ΤΟΥ
ἐν ἁγίοις πατρὸς
ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
Κωνσταντινουπόλεως τοῦ
Χρυσοστόμου

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ,
Δι' ἐπιμελείας καὶ ἀναλωμάτων
ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων
ἐκδοθέντα.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ETONAE,
In Collegio Regali,
Excudebat IOANNES NORTON,
*in Græcis, &c. Typographus
Regius.*
ANNO CIↃ IↃC X.

Cum priuilegio.

11= Of
x1 6
E.d.

MVSEVM
BRITAN
NICVM

HONI SOIT QUI MAL Y PENSE

ΙΑΚΩΒΩ
ΤΩ
ΕΝΔΟΞΟΤΑΤΩ
ΚΑΙ
ΜΕΓΙΣΤΩ
ΜΕΓΑΛΗΣ ΒΡΕΤΤΑΝΙΑΣ,
ΦΡΑΓΚΙΑΣ
ΚΑΙ
ΙΟΥΕΡΝΙΑΣ
ΒΑΣΙΛΕΙ
ΔΩΡΟΝ.

ΧΡΥΣΟΣΤΟΜΟΥ
ΤΩΝ ΕΙΣ ΤΗΝ
ΓΕΝΕΣΙΝ

ΛΟΓΟΣ Α. Εἰς τὴν εἴσοδον τῆς ἁγίας τεσσαρακοστῆς.

ΧΑΙΡΩ καὶ εὐφραίνομαι, ὁρῶν σήμερον τὴν τοῦ Θεοῦ ἐκκλησίαν τῷ πλήθει τῶν οἰκείων τέκνων κοσμουμένην, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ἅπαντας ὑμᾶς ″συνδραμόντας. ὅταν γὰρ ἀποβλέψω πρὸς τὰ φαιδρὰ ὑμῶν πρόσωπα, τεκμήριον μέγιστον ποιοῦμαι τῆς κατὰ ψυχὴν ὑμῶν ἡδονῆς, καθάπερ καὶ σοφός τις ἔλεγε, Καρδίας εὐφραινομένης θάλλει πρόσωπον. Διά τοι τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας ἀνέστην σήμερον, ὁμοῦ καὶ τῆς εὐφροσύνης ὑμῖν κοινωνήσων ταύτης τῆς πνευματικῆς, καὶ μηνυτὴς [ὑμῖν] γενέσθαι βουλόμενος τῆς παρουσίας τῆς ἁγίας τεσσαρακοστῆς, τοῦ φαρμάκου λέγω τῶν ἡμετέρων ψυχῶν. καθάπερ γὰρ πατὴρ φιλόστοργος, ὁ κοινὸς ἁπάντων ἡμῶν δεσπότης, βουλόμενος ἡμᾶς ἀπονίψασθαι τὰ ἐν παντὶ τῷ χρόνῳ ἡμῖν ἡμαρτημένα, τὴν διὰ τῆς ἁγίας νηστείας ἐπενόησεν ἡμῖν θεραπείαν. μηδεὶς τοίνυν γινέσθω κατηφής, ″μηδεὶς * στυγνός· ἀλλὰ σκιρτάτω, καὶ χαιρέτω, καὶ δοξαζέτω τὸν κηδεμόνα τῶν ἡμετέρων ψυχῶν, τὸν ταύτην ἡμῖν τὴν ἀρίστην τεμόντα ὁδόν, καὶ μετὰ πολλῆς τῆς ″περιχαρείας ὑποδεχέσθω ταύτης τὴν παρουσίαν. αἰσχυνέσθωσαν Ἕλληνες, ἐγκαλυπτέσθωσαν Ἰουδαῖοι, ὁρῶντες ὑμᾶς τὴν ἀγάπην ἱλαρᾷ τῇ προθυμίᾳ τὴν ταύτης παρουσίαν ἀσπαζομένους· καὶ μανθανέτωσαν διὰ τῆς τῶν πραγμάτων πείρας, ὅσον τὸ μέσον ἡμῶν τε καὶ αὐτῶν. καὶ ἐκεῖνοι μὲν ἑορτὰς καὶ πανηγύρεις ὀνομαζέτωσαν τὴν μέθην καὶ τὴν ἄλλην ἅπασαν ἀκολασίαν καὶ τὰς ἀσχημοσύνας, ἃς εἰκὸς ἐντεῦθεν αὐτοὺς ἐπισύρεσθαι· ἡ δὲ τοῦ Θεοῦ ἐκκλησία ἀπ' ἐναντίας ἐκείνοις τὴν νηστείαν, τὴν τῆς γαστρὸς ὑπεροψίαν, καὶ τὴν ἑπομένην ταύτῃ πᾶσαν ἀρετήν, ἑορτὴν ὀνομαζέτω. αὕτη γὰρ [ἡ] ἀληθὴς ἑορτή, ἔνθα ψυχῶν σωτηρία, ἔνθα εἰρήνη καὶ ὁμόνοια, ἔνθα βιωτικὴ πᾶσα φαντασία ἀπελήλαται· ὅπου κραυγὴ καὶ θόρυβος, καὶ μαγείρων δρόμοι, καὶ τῶν ἀλόγων σφαγαὶ ἐκποδών· ἠρεμία δὲ πᾶσα, καὶ γαλήνη, καὶ ἀγάπη, καὶ χαρά, καὶ εἰρήνη, καὶ πραότης, καὶ τὰ μυρία ἀγαθὰ ἀντ' ἐκείνων πολιτεύεται. Φέρε οὖν, παρακαλῶ, μικρὰ περὶ ταύτης διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην· ἐκεῖνο πρότερον παρακαλέσαντες ὑμᾶς, μετὰ πολλῆς τῆς ἡσυχίας δέξασθαι τοὺς ἡμετέρους λόγους· ἵνα καρπωσάμενοί τι γνήσιον, ἐντεῦθεν οἴκαδε ἀναχωρήσητε. οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ ἐνταῦθα σύνιμεν, ἵνα ὁ μὲν εἴπῃ, ὁ δὲ κροτήσῃ ἁπλῶς τὰ λεγόμενα, [καὶ οὕτως ἐντεῦθεν ἐξέλθωμεν·] ἀλλ' ἵνα καὶ ἡμεῖς χρήσιμόν τι καὶ τῶν ″συνεχόντων τὴν σωτηρίαν τὴν ἡμετέραν

γρ. συνδεδραμηκότας,

παροιμ. ιε. ιγ.

γρ. μηδὲ φαινέσθω.

γρ. προθυμίας.

γρ. ὑπαρχόντων

φθεγξώμεθα, καὶ ὑμεῖς κερδάναντες ἐκ τῶν λεγομένων καὶ πολλὴν τὴν ὠφέλειαν καρπωσάμενοι, οὕτως ἐντεῦθεν ἐξέλθητε. ἰατρεῖον γάρ ἐστι πνευματικὸν ἡ ἐκκλησία, καὶ δεῖ τοὺς ἐνταῦθα παραγινομένους κατάλληλα τὰ φάρμακα λαμβάνοντας, καὶ τοῖς οἰκείοις τραύμασιν ἐπιτιθέντας, οὕτως ἐπανιέναι. ὅτι γὰρ ἡ ἀκρόασις μόνη ἄνευ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως οὐδὲν " ὀνήσει, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καὶ ὁ Χριστὸς δὲ δημηγορῶν ἔλεγεν, οὐ πᾶς ὁ λέγων μοι, κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. εἰδότες τοίνυν, ἀγαπητοί, ὡς οὐδὲν ἡμῖν ἐστι πλέον ἐκ τῆς ἀκροάσεως, εἰ μὴ ἕποιτο καὶ ἡ διὰ τῶν ἔργων πλήρωσις, μὴ μόνον ἀκροαταὶ γινώμεθα, ἀλλὰ καὶ ποιηταί, ἵνα τὰ ἔργα τοῖς λόγοις ἑπόμενα πολλῆς ἡμῖν παρρησίας ὑπόθεσις γένηται. ἁπλώσαντες τοίνυν τοὺς κόλπους τῆς διανοίας, οὕτω δέξασθε τοὺς περὶ τῆς νηστείας λόγους. καὶ καθάπερ οἱ σώφρονα καὶ κοσμίαν * ἐλευθέραν μέλλοντες ἀγαγέσθαι, πάντοθεν παραπετάσμασι καλλωπίσαντες τὰς παστάδας, καὶ ἐκκαθάραντες τὴν οἰκίαν ἅπασαν, καὶ πάσαις ταῖς ἠμελημέναις θεραπαινίσιν ἄβατον ποιήσαντες, οὕτω ταύτην εἰς τὰς παστάδας εἰσάγουσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμᾶς βούλομαι ἐκκαθάραντας ὑμῶν τὸν λογισμόν, καὶ τῇ τρυφῇ καὶ τῇ " λοιπῇ ἀδηφαγίᾳ πολλὰ χαίρειν εἰπόντας, οὕτω τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων καὶ τῆς σωφροσύνης καὶ τῆς ἄλλης " πάσης ἀρετῆς διδάσκαλον, τὴν νηστείαν λέγω, ἡπλωμένοις τοῖς κόλποις ὑποδέξασθαι, ἵνα καὶ ὑμεῖς πλείονος ἀπολαύσητε τῆς ἡδονῆς, καὶ αὐτὴ τὴν οἰκείαν καὶ κατάλληλον ὑμῖν ἰατρείαν παράσχηται. εἰ γὰρ οἱ τῶν ἰατρῶν παῖδες, ἐπειδὰν μέλλωσι φάρμακα διδόναι τοῖς βουλομένοις τὸν σεσηπότα καὶ διεφθαρμένον χυμὸν ἐκκαθάραι, κελεύουσι τῆς σωματικῆς ταύτης τροφῆς " ἀποσχέσθαι, ὥστε μὴ κώλυμα γενέσθαι τῇ τοῦ φαρμάκου δυνάμει, ἀλλ' ἐνεργῆσαι καὶ τὸ οἰκεῖον ἔργον ἐπιδείξασθαι· πολλῷ μᾶλλον ἡμᾶς προσήκει τὸ πνευματικὸν τοῦτο φάρμακον μέλλοντας ὑποδέχεσθαι, τὴν ἐκ τῆς νηστείας ὠφέλειαν λέγω, λιτότητι διαίτης ἐκκαθάραι ἡμῶν τὸν λογισμὸν καὶ κουφοτέραν ἐργάσασθαι τὴν διάνοιαν, ἵνα μὴ ὑπὸ τῆς μέθης καταβαπτισθεῖσα, ἄχρηστον καὶ ἀνόνητον ἡμῖν κατασκευάσῃ τὴν ἐκ ταύτης ὠφέλειαν. καὶ οἶδα μὲν ὅτι τοὺς πολλοὺς ξενίζει τὰ λεγόμενα παρ' ἡμῶν σήμερον· ἀλλὰ παρακαλῶ μὴ τῇ συνηθείᾳ ἁπλῶς δουλεύωμεν, ἀλλὰ λογισμῷ τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν. μὴ γὰρ ἔσται τι κέρδος ἡμῖν ἀπὸ τῆς ἡμερινῆς ἀδηφαγίας, καὶ ἀπὸ τῆς πολλῆς μέθης; καὶ τί λέγω κέρδος; " ἀλλὰ καὶ πολλὴ ἡ ζημία, καὶ ἡ βλάβη ἀφόρητος. ὅταν γὰρ καταβαπτισθῇ ὑπὸ τῆς πολλῆς οἰνοποσίας ὁ λογισμός, εὐθέως ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων " ἀποκρούεται τὸ ἀπὸ τῆς νηστείας κέρδος. τί γὰρ ἀηδέστερον, εἰπέ μοι, τί δὲ ἀσχημονέστερον, ὅταν μέχρι μεσονυκτίου τὸν ἄκρατον σπῶντες, ὑπὸ τὴν ἕω, τῆς ἀκτῖνος τῆς ἡλιακῆς " ἀνισχούσης, ὡς πρόσφατον τοῦ οἴνου ἐμφορηθέντες οὕτως ἀποπνέωσι, καὶ ἀηδεῖς μὲν φαίνωνται τοῖς ἐντυγχάνουσιν, εὐκαταφρόνητοι δὲ τοῖς οἰκέταις, καὶ καταγελῶνται παρὰ πάντων τῶν ὁπωσοῦν τὸ δέον συνορώντων· καὶ πρὸ τούτων ἁπάντων, [ὅταν] διὰ τὴν πολλὴν ταύτην ἀκρασίαν καὶ τὴν ἀμετρίαν τὴν ἄκαιρον καὶ ἀνόνητον, καὶ τὴν παρὰ τοῦ θεοῦ ἀγανάκτησιν ἐπισπῶνται; οἱ γὰρ μέθυσοι, φησί, βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. τί οὖν ἂν τούτων ἀθλιώτερον γένοιτ' ἂν τῶν διὰ βραχεῖαν καὶ ἐπιβλαβῆ ἡδονὴν τῶν τῆς βασιλείας προθύρων ἐκβαλλομένων; ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐνταῦθα συνειλεγμένων τούτῳ ἁλῶναι τῷ πάθει· ἀλλὰ μετὰ πάσης φιλοσοφίας καὶ σωφροσύνης τὴν παροῦσαν ἡμέραν ἑστιασαμένους, καὶ τοῦ χειμῶνος καὶ τῆς ζάλης, ἣν ἡ μέθη ἐργάζεσθαι πέφυκεν,

Ῥωμ. β. ιγ.

Ματθ. ζ. κα.

α. Κορ. ς. ι.

γρ. ὀνίνησι.

* καὶ.

γρ. πολλῇ.

γρ. ἁπάσης.

γρ. ἀπέχεσθαι.

γρ. εἰ δὲ μή.

γρ. ἀποκρύπτεται.

γρ. ἀνασχούσης.

φυκεν, ἐλευθερωθέντας, εἰς τὸν λιμένα καταντῆσαι τὸν ἡμετέρων ψυχῶν, τὴν νηστείαν λέγω, ἵνα μετὰ δαψιλείας τὰ ἀπὸ ταύτης δυνηθῶμεν καρπώσασθαι ἀγαθά. ὥσπερ γὰρ ἡ ἀδδηφαγία μυρίων κακῶν αἰτία καὶ πρόξενος τῷ τῶν ἀνθρώπων γίνεται γένει, οὕτω [καὶ] ἡ νηστεία καὶ ἡ τῆς γαστρὸς ὑπεροψία τῶν ἀφάτων ἡμῖν ἀγαθῶν [ἀεὶ] αἰτία " γέγονε. πλάσας γὰρ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ὁ θεός, καὶ εἰδὼς ὅτι τούτου αὐτῷ μάλιστα δεῖ τοῦ φαρμάκου πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν, εὐθέως καὶ ἐκ προοιμίων τῷ πρωτοπλάστῳ ταύτην δέδωκε τὴν ἐντολήν, εἰπών, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. τὸ δὲ λέγειν, τόδε φάγε, καὶ τόδε μὴ φάγῃς, νηστείας ἦν εἰκών. ἀλλὰ δέον φυλάξαι τὴν ἐντολήν, τοῦτο μὲν οὐκ ἐποίησε, δι' " ἀκρασίας δὲ τῆς γαστρὸς ἡττηθεὶς καὶ τὴν παρακοὴν ἐργασάμενος, θανάτῳ κατεδικάζετο. ἐπειδὴ γὰρ εἶδεν ὁ πονηρὸς δαίμων ἐκεῖνος καὶ ἐχθρὸς τῆς φύσεως τῆς ἡμετέρας τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν τοῦ πρωτοπλάστου, καὶ τὸν ἀταλαίπωρον βίον ἐκεῖνον, καὶ ὅτι καθάπερ ἄγγελος, οὕτω σώματι συμπεπλεγμένος διῆγεν ἐπὶ τῆς γῆς, βουλόμενος αὐτὸν ὑποσκελίσαι καὶ καταβαλεῖν, ἐλπίδι μειζόνων ὑποσχέσεων καὶ τὰ ἐν χερσὶν ἐξέβαλε. τοσοῦτόν ἐστι " κακὸν τὸ μὴ μένειν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τῶν μειζόνων ἐφίεσθαι. καὶ τοῦτο αὐτὸ δηλῶν σοφός τις ἔλεγε, Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. εἶδες, ἀγαπητέ, πῶς ἐκ προοιμίων ἐξ ἀδδηφαγίας ὁ θάνατος τὴν εἴσοδον ἔσχε; σκόπει δὲ πάλιν καὶ μετὰ ταῦτα τὴν θείαν γραφὴν κατηγοροῦσαν συνεχῶς τῆς τρυφῆς, καὶ λέγουσαν, ποτὲ μέν, Ὁ λαὸς ἐκάθισε φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν· ἄλλοτε δέ, Ἔφαγε καὶ ἔπιε * καὶ ἐλιπάνθη καὶ ἐπαχύνθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καὶ οἱ τὰ σόδομα δὲ οἰκοῦντες μετὰ τῶν ἄλλων κακῶν ἐντεῦθεν τὴν ἀπαραίτητον ὀργὴν ἐκείνην ἐπεσπάσαντο. ἄκουσον γὰρ τοῦ προφήτου λέγοντος, Τοῦτο τὸ ἀνόμημα σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων. καθάπερ γάρ πηγή τις καὶ ῥίζα τυγχάνει τῶν κακῶν ἁπάντων. εἶδες τῆς ἀδδηφαγίας τὴν βλάβην· ὅρα μοι πάλιν τῆς νηστείας " τὰ κατορθώματα. τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος ὁ μέγας μωϋσῆς, τῆς νομοθεσίας τὰς πλάκας λαβεῖν ἠδυνήθη· καὶ ἐπειδὴ κατελθὼν εἶδε τοῦ λαοῦ τὴν παρανομίαν, ἃς μετὰ τοσαύτης προσεδρείας λαβεῖν ἴσχυσε, ταύτας ῥίψας συνέκλασεν, ἄτοπον εἶναι λογισάμενος μεθύοντα λαὸν καὶ παρανομοῦντα νομοθεσίαν δεσπότου δέξασθαι. διὸ καὶ ἑτέρων πάλιν τεσσαράκοντα ἡμερῶν νηστείας ἐδεήθη ὁ θαυμάσιος ἐκεῖνος προφήτης, ἵνα δυνηθῇ τὰς διὰ τὴν παρανομίαν αὐτῶν συντριβείσας πλάκας πάλιν ἄνωθεν δεξάμενος κατενεγκεῖν. καὶ ὁ μέγας δὲ ἠλίας τοσούτων ἡμερῶν νηστείαν ἐπεδείξατο, ὁ καὶ τὴν τοῦ θανάτου τυραννίδα διαφυγών, καὶ μετὰ πυρίνου ἅρματος [ὡς] εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ οὐδέπω καὶ τήμερον θανάτου πεῖραν λαβών. καὶ ὁ ἀνὴρ δὲ τῶν ἐπιθυμιῶν, πολλῶν ἡμερῶν νηστείαν ἐπιδειξάμενος, οὕτως ἠξιώθη τῆς θαυμαστῆς ἐκείνης ὀπτασίας, ὃς καὶ τῶν λεόντων τὸν θυμὸν ἐχαλίνωσε, καὶ εἰς προβάτων ἡμερότητα μετέστησεν, οὐ τὴν φύσιν μεταβαλών, ἀλλὰ τῆς θηριωδίας μενούσης τὴν προαίρεσιν ἀμείψας. ταύτῃ καὶ Νινευῖται χρησάμενοι, τὴν ἀπόφασιν ἀνεκαλέσαντο τοῦ δεσπότου, μετὰ τῶν ἀνθρώπων καὶ τὸ τῶν ἀλόγων γένος ταύτην ἐπιδείξασθαι παρασκευάσαντες· καὶ οὕτως ἀποστάντες ἕκαστος ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων, εἰς φιλανθρωπίαν ἐξεκαλέσαντο τὸν τῶν ἁπάντων δεσπότην. καὶ τί περὶ τῶν δούλων ἐπιστρέφομαι (καὶ γὰρ ἔχομεν καὶ ἑτέρους πολλοὺς " ἀπαριθμῆσαι καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ διὰ ταύτης εὐδοκιμήσαντας) δέον [δὴ] ἐπὶ τὸν κοινὸν ἁπάντων ἡμῶν δεσπότην ἐλθεῖν; ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ αὐ-

γρ. γίνεται.

Γεν. β. ις.

γρ. ἐγκρασίαν.

γρ. χαλεπόν.

Σοφ. β. κδ.

Ἐξοδ. λβ. ϛ.
Δευτ. λβ. ιε.

* καὶ ἐνεπλήσθη.

Ιεζ. ις. μθ.

γρ. τὰ κατορθώματα.

Ἐξοδ. κδ. ιη.
λα. ιζ.
λβ. ιθ.

Ἐξοδ. λδ. κη.

γ. Βασ. ιθ. η.

Δαν. ι. γ.

Ιων. γ. ζ.

γρ. ἀριθμῆσαι.

Ματθ. δ. β.

τὸς τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος, οὕτως τῆς πρὸς τὸν διάβολον ἥψατο πάλης, πᾶσιν ἡμῖν ὑπογραμμὸν διδοὺς, ὥστε διὰ ταύτης καθοπλίζεσθαι, καὶ τὴν ἐντεῦθεν ἰσχὺν προσλαβόντας, οὕτως παρατάττεσθαι εἰς τὴν πρὸς ἐκεῖνον μάχην. ἀλλ' ἐνταῦθα ἴσως ἔροιτό τις ἂν τῶν ὀξὺ βλεπόντων καὶ διεγηγερμένων τὴν διάνοιαν, τίνος ἕνεκεν τὰς αὐτὰς τοῖς δούλοις ἡμέρας ὁ δεσπότης νηστεύων φαίνεται, καὶ οὐχ ὑπερηκόντισε τὸν ἀριθμόν; οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο γεγένηται, ἀλλὰ καὶ τοῦτο [λίαν] σοφῶς καὶ κατὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. ἵνα γὰρ μὴ νομισθῇ δοκήσει παραγεγενῆσθαι, καὶ μὴ ἀνειληφέναι σάρκα, ἢ ἔξω τῆς φύσεως εἶναι τῆς ἀνθρωπίνης, διὰ τοῦτο τὸν αὐτὸν ἀριθμὸν νηστεύει, καὶ οὐ προστίθησι ταῖς ἡμέραις, ὥστε ἐπιστομίσαι τὴν ἀναισχυντεῖν βουλομένων τὴν φιλονεικίαν. εἰ γὰρ καὶ τούτου γεγενημένου, εἰσὶν ἔτι καὶ νῦν τινες *ταῦτα τολμῶντες φθέγγεσθαι, εἰ μὴ τῇ οἰκείᾳ προγνώσει ταύτην αὐτῶν ἐξέκοψε τὴν ἀφορμὴν, τί οὐκ ἂν ἐπεχείρησαν εἰπεῖν; διὰ τοῦτο οὐκ ἀνέχεται πλείους ἡμέρας νηστεῦσαι, ἀλλὰ τοσαύτας, ὅσας οἱ δοῦλοι ἵνα δι' αὐτῶν τῶν πραγμάτων ἡμᾶς παιδεύσῃ, ὅτι τὴν αὐτὴν σάρκα καὶ αὐτὸς περιέκειτο, καὶ οὐκ ἔξω τῆς φύσεως τῆς ἡμετέρας ὑπῆρχεν. ἀλλ' ὅτι μὲν μεγάλη τῆς νηστείας ἡ ~~ἰσχὺς~~ καὶ πολὺ τὸ ἐκ ταύτης κέρδος τῇ ψυχῇ προσγινόμενον, καὶ ἐκ τῶν δούλων καὶ ἐκ τοῦ δεσπότου δῆλον ἡμῖν γεγένηται. παρακαλῶ οὖν τὴν ὑμετέραν ἀγάπην εἰδότας αὐτῆς τὸ κέρδος, μὴ διὰ ῥαθυμίαν ἀπώσασθαι τὴν ἐκ ταύτης ὠφέλειαν, μηδὲ δυσχεραίνειν πρὸς τὴν ταύτης παρουσίαν, ἀλλὰ χαίρειν καὶ ἀγάλλεσθαι κατὰ τὸν μακάριον Παῦλον, Ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται. νηστεία γὰρ τῆς ψυχῆς ἐστι τροφή· καὶ καθάπερ αὕτη ἡ σωματικὴ τροφὴ πιαίνει τὸ σῶμα, οὕτω καὶ ἡ νηστεία τὴν ψυχὴν εὐτονωτέραν ἐργάζεται, κοῦφον αὐτῇ τὸ πτερὸν κατασκευάζει, μετάρσιον αὐτὴν ποιεῖ, τὰ ἄνω φαντάζεσθαι προξενεῖ, ἀνωτέραν αὐτὴν τῶν ἡδονῶν καὶ τῶν ἡδέων τοῦ παρόντος βίου ἀπεργαζομένη. καὶ καθάπερ τὰ κοῦφα τῶν πλοίων ὀξύτερον τὰ πελάγη διαπερᾷ, τὰ δὲ πολλῷ τῷ φόρτῳ βαρυνόμενα ὑποβρύχια γίνεται· οὕτως ἡ μὲν νηστεία κουφότερον ἐργαζομένη τὸν λογισμόν, παρασκευάζει μετ' εὐκολίας τὸ πέλαγος τοῦ παρόντος βίου διαπερᾶν, καὶ πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἐπτοῆσθαι, καὶ μηδὲν ἡγεῖσθαι τὰ παρόντα, ἀλλὰ σκιᾶς καὶ ὀνειράτων″ οὐδαμινέστερα λογιζομένους αὐτὰ παρατρέχειν. ἡ δὲ μέθη καὶ ἡ ἀδηφαγία βαρύνουσα τὸν λογισμόν, καὶ πιαίνουσα τὴν σάρκα, αἰχμάλωτον″ ἀπεργάζεται τὴν ψυχήν, πάντοθεν αὐτὴν πολιορκοῦσα, καὶ οὐκ ἀφιεῖσα τοῦ λογισμοῦ τὸ κριτήριον ἐρρωμένον ἔχειν, ″ἀλλὰ κατὰ κρημνῶν φέρεσθαι παρασκευάζει, καὶ κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα ἐργάζεσθαι. μὴ δὴ ῥαθύμως οἰκονομῶμεν, ἀγαπητοί, τὰ κατὰ τὴν σωτηρίαν τὴν ἡμετέραν, ἀλλ' εἰδότες ὅσα κακὰ ἐντεῦθεν τίκτεται, φεύγωμεν τὴν ἐξ αὐτῆς βλάβην. οὐδὲ γὰρ ἐν τῇ καινῇ μόνον (ἔνθα πλείων ἡ ἐπίτασις τῆς φιλοσοφίας, καὶ μείζονα τὰ σκάμματα, καὶ μεγάλοι οἱ ἱδρῶτες, καὶ πολλὰ τὰ βραβεῖα, καὶ ἄφατοι οἱ στέφανοι) τὰ τῆς τρυφῆς ἀπηγόρευται· ἀλλὰ καὶ ἐπὶ τῆς παλαιᾶς, (ἡνίκα ἔτι τῇ σκιᾷ προσεκάθηντο, καὶ τῷ λύχνῳ ἦσαν προσηλωμένοι, καὶ καθάπερ παιδία γαλακτοτροφούμενα οὕτω κατὰ μικρὸν ἐνήγοντο) οὐδὲ τότε ″ἠφεῖτο τρυφᾶν. καὶ ἵνα μὴ νομίσητε ἁπλῶς ἡμᾶς κατηγοροῦντας τῆς τρυφῆς, ταῦτα λέγειν, ἀκούσατε τοῦ προφήτου λέγοντος· οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά, οἱ πίνοντες τὸν διυλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι· ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. εἴδετε πόσην κατηγορίαν ἐποιήσα-

β. Κορ. δ. ιϛ.

Ἀμ. ϛ. γ.

*οἱ.

γρ. ἀγαλλιᾶσθαι.

γρ. οὐδαμινέστερον.

γρ. ἐργάζεται.

γρ. καὶ.

γρ. ἠφίετο.

το τῆς τρυφῆς ὁ προφήτης, καὶ ταῦτα Ἰουδαίοις διαλεγόμενος τοῖς ἀναισθήτοις, τοῖς ἀγνώμοσι, τοῖς καθ' ἑκάστην ἡμέραν γαστριζομένοις. σκοπεῖτε γὰρ τῶν ῥημάτων τὴν ἀκρίβειαν. διαβαλὼν γὰρ αὐτῶν τὴν ἀδηφαγίαν, καὶ τὴν πολλὴν ἐκ τοῦ οἴνου μέθην, τότε ἐπήγαγεν, ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα· μόνον οὐχὶ δεικνὺς ὅτι μέχρι τοῦ φάρυγγος καὶ τῶν χειλέων ἐστὶν ἡ ἀπόλαυσις, καὶ περαιτέρω οὐ πρόεισιν. ἀλλ' ἡ μὲν ἡδονὴ βραχεῖα καὶ πρόσκαιρος, ἡ δὲ ὀδύνη διηνεκής, καὶ πέρας οὐκ ἔχουσα. καὶ ταῦτα, φησι, διὰ τῆς πείρας μαθόντες, ὡς ἑστῶτα [ὅλα] ἐλογίσαντο καὶ μένοντα, καὶ οὐχ ὡς φεύγοντα, τοῦτ' ἔστιν ἀφιπτάμενα καὶ οὐδὲ τὸ τυχὸν παραμένοντα. τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα καὶ τὰ σαρκικά· οὔπω παρεγένετο, καὶ ἀπέπτη. τοιοῦτον ἡ τρυφή, τοιοῦτον ἡ δόξα ἡ ἀνθρωπίνη καὶ ἡ δυναστεία, τοιοῦτον ὁ πλοῦτος, τοιοῦτον ἡ εὐημερία πᾶσα τοῦ παρόντος βίου, οὐδὲν βέβαιον ἔχουσα, οὐδὲν στάσιμον, οὐδὲν πάγιον· ἀλλὰ ποταμίων ῥευμάτων μᾶλλον παρατρέχει, καὶ ἐρήμους καὶ γυμνοὺς καταλιμπάνει τοὺς περὶ″ ταῦτα ἐπτοημένους. ἀλλὰ τὰ πνευματικὰ οὐ τοιαῦτα· ἀλλ' ἀπ' ἐναντίας τούτοις βέβαια [καὶ] ἀκίνητα, μεταβολὴν οὐκ ἐπιδεχόμενα, παντὶ τῷ αἰῶνι παρεκτεινόμενα. πόσης οὖν οὐκ ἂν εἴη παραφροσύνης, τῶν ἀκινήτων τὰ σαλευόμενα ἀνταλλάττεσθαι, τῶν διαιωνιζόντων τὰ πρόσκαιρα, τὰ ἀφιπτάμενα τῶν διηνεκῶς μενόντων, τῶν πολλὴν ἐν τῷ μέλλοντι αἰῶνι τὴν ἀπόλαυσιν προξενούντων τὰ πολλὴν τὴν κόλασιν ἡμῖν ἐκεῖ″ κατασκευάζοντα; ταῦτα δὴ πάντα ἐννοοῦντες, ἀγαπητοί, καὶ πολὺν τῆς ἡμετέρας σωτηρίας ποιούμενοι λόγον, καταφρονήσωμεν τῆς τρυφῆς τῆς ″ἀνονήτου καὶ ἐπιβλαβοῦς, ἀσπασώμεθα τὴν νηστείαν καὶ τὴν ἄλλην ἅπασαν φιλοσοφίαν, καὶ τοῦ βίου πολλὴν τὴν μεταβολὴν ἐπιδειξώμεθα, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὴν τῶν ἀγαθῶν ἔργων πρᾶξιν ἐπειγώμεθα· ἵνα * τὸν καιρὸν ἅπαντα τῆς ἁγίας τεσσαρακοστῆς τὴν πνευματικὴν ἐμπορίαν ἐμπορευσάμενοι, καὶ πολὺν τὸν πλοῦτον συναγαγόντες τῆς ἀρετῆς, οὕτω καταξιωθῶμεν καὶ εἰς τὴν κυρίαν ἡμέραν παραγενέσθαι, καὶ μετὰ παρρησίας τῇ φρικτῇ καὶ πνευματικῇ τραπέζῃ προσελθεῖν, καὶ τῶν ἀπορρήτων ἐκείνων καὶ ἀθανάτων ἀγαθῶν μετασχεῖν μετὰ καθαροῦ τοῦ συνειδότος, καὶ τῆς ″ἐκεῖθεν πληρωθῆναι χάριτος, εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ Χριστῷ τῷ φιλανθρώπῳ θεῷ ἡμῶν· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. αὐτά.

γρ. παρα.

γρ. ἀνοήτου.

* ὥστε

γρ. ἐκεῖνον.

Λογ. β. ΕΙΣ ΤΗΝ ΑΡΧΗΝ ΤΗΣ ΚΤΙΣΕΩΣ, ΗΓΟΥΝ

εἰς τό, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

Πολλῆς σήμερον πληροῦμαι τῆς ἡδονῆς ὁρῶν ὑμῶν τὰ ποθεινὰ πρόσωπα. καὶ γὰρ οὐχ οὕτω φιλόστοργοι χαίρουσι καὶ εὐφραίνονται πατέρες, τῶν παίδων αὐτοὺς πανταχόθεν κυκλούντων, καὶ διὰ τῆς ἄλλης εὐκοσμίας καὶ ″πάσης τῆς θεραπείας πολλὴν τὴν ἡδονὴν παρεχόντων, ὡς ἐγὼ νῦν χαίρω καὶ εὐφραίνομαι ὁρῶν ὑμῶν τὴν πνευματικὴν ταύτην σύνοδον μετὰ τοσαύτης εὐκοσμίας ἐνταῦθα παραγινομένην, καὶ ἀκμάζοντα τὸν πόθον ἔχουσαν περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, καὶ τῆς σαρκικῆς τροφῆς ὑπεριδόντας, καὶ πρὸς τὴν πνευματικὴν ἑστίασιν ἐπειγομένους, καὶ δι' αὐτῶν τῶν ἔργων τὸ τοῦ κυρίου λόγιον δεικνύντας τὸ λέγον, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. Φέρε οὖν καὶ ἡμεῖς μιμησώμεθα τοὺς γηπόνους, καὶ καθάπερ ἐκεῖνοι ἐπειδὰν ἴδωσι τὴν ἄρου-

γρ. τῆς ἄλλης.

Ματθ. δ. δ.

ἐαν ἐκκεκαθαρμένην, καὶ τῆς ἀπὸ τῶν βοτανῶν λύμης ἀπηλλαγμένην, μετὰ πολλῆς τῆς δαψιλείας τὰ σπέρματα καταβάλλουσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἐπειδὴ τῇ τοῦ θεοῦ χάριτι νῦν ἡμῖν ἡ ἄρουρα αὕτη ἡ πνευματικὴ καθαρεύει τῶν διενοχλούντων παθῶν, τῆς τρυφῆς ἐκποδὼν γεγενημένης, καὶ οὐδαμοῦ ζάλη οὐδὲ χειμὼν ἐν τοῖς λογισμοῖς, ἀλλὰ γαλήνη καὶ πολλὴ [ἡ] ἡσυχία, τῆς διανοίας ἐπτερωμένης καὶ πρὸς αὐτόν, ὡς εἰπεῖν, τὸν οὐρανὸν τεταμένης, καὶ τὰ πνευματικὰ παρὰ τῶν σαρκικῶν φανταζομένης, μικρά τινα διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ λεπτοτέρων σήμερον κατατολμήσωμεν νοημάτων, τὰ ἀπὸ τῶν θείων γραφῶν παρατιθέντες ὑμῖν διδάγματα. εἰ γὰρ μὴ νῦν τοῦτο ποιήσαιμεν, ὅτε νηστεία, καὶ γαστρὸς ὑπεροψία, καὶ τοσαύτη τῶν ὀρθῶν λογισμῶν ἡ γαλήνη, πότε δυνησώμεθα ταῦτα παραθεῖναι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτε τρυφὴ καὶ ἀδδηφαγία, καὶ πολλὴ ἡ ῥαθυμία; ἀλλὰ τότε οὔτε αὐτοὶ τοῦτο δεόντως "ποιήσωμεν, οὔτε ὑμεῖς δυνήσεσθε, καθάπερ ὑπὸ ἀχλύος τινὸς τῆς τῶν λογισμῶν ζάλης καταβαπτιζόμενοι, δέξασθαί τι τῶν λεγομένων. νῦν δέ, εἰ καί ποτε ἄλλοτε, καιρὸς τῶν τοιούτων διδαγμάτων, ὅτε οὐκέτι κατεξανίσταται τῆς κυρίας ἡ δούλη, ἀλλ' εὐήνιος γενομένη πολλὴν τὴν πειθὼ καὶ τὴν ὑπακοὴν ἐπιδείκνυται, τὰ σκιρτήματα τῆς σαρκὸς καταστορέσασα, καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένουσα. νηστεία γάρ ἐστιν ἡ γαλήνη τῶν ἡμετέρων ψυχῶν, ἡ τῶν γεγηρακότων εὐκοσμία, ἡ τῶν νέων παιδαγωγός, ἡ τῶν σωφρονούντων διδάσκαλος, ἡ πᾶσαν ἡλικίαν καὶ φύσιν καθάπερ διαδήματί τινι κατακοσμοῦσα. οὐδαμοῦ σήμερον θόρυβος, οὐδὲ κραυγή, οὐδὲ κρεῶν κατακοπαί, οὐδὲ μαγείρων δρόμοι, ἀλλὰ πάντα ἐκεῖνα ἀπελήλαται, καὶ εὐσχήμονά τινα καὶ κοσμίαν καὶ σώφρονα ἐλευθέραν ἡ πόλις "[ἡμῶν] μιμεῖται νῦν. ὅταν γὰρ ἐννοήσω τὴν ἀθρόαν μεταβολὴν τὴν σήμερον γεγενημένην, καὶ λογίσωμαι τῆς χθεσινῆς ἡμέρας τὴν ἀκαταστασίαν, θαυμάζω καὶ ἐκπλήττομαι τῆς νηστείας τὴν ἰσχύν, ὅπως εἰς τὴν ἑκάστου συνείδησιν εἰσελθοῦσα μετέπλασε τὸν λογισμόν, "διεκάθαρε τὴν διάνοιαν, οὐκ ἀρχόντων μόνον, ἀλλὰ καὶ ἰδιωτῶν, οὐκ ἐλευθέρων, ἀλλὰ καὶ δούλων, οὐκ ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν, οὐ πλουσίων, ἀλλὰ καὶ πενήτων, οὐ τῶν τὴν ἑλλάδα γλῶτταν πεπαιδευμένων, ἀλλὰ καὶ τὴν "βάρβαρον. καὶ τί λέγω ἀρχόντων καὶ ἰδιωτῶν; καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου τὸ συνειδὸς ὁμοίως τοῖς λοιποῖς πρὸς τὴν "ταύτης ὑπακοὴν μετέστησεν. καὶ οὐκ ἔστι σήμερον διαφορὰν ἰδεῖν τῆς τοῦ πλουσίου τραπέζης καὶ τῆς τοῦ πένητος, ἀλλὰ πανταχοῦ λιτὴ ἡ δίαιτα, ἀπηλλαγμένη κόμπου καὶ φαντασίας· καὶ μετὰ πλείονος τῆς ἡδονῆς σήμερον τῇ εὐτελείᾳ τῆς τραπέζης προσέρχονται, ἢ ὅτε πολλὰ αὐτοῖς τὰ καρυκεύματα παρέκειτο, καὶ πολὺς ὁ ἄκρατος. εἴδετε, ἀγαπητοί, ἐξ αὐτῶν τῶν προοιμίων τῆς νηστείας τὴν ἰσχύν; διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος σήμερον τῆς προθυμίας, ἢ πρότερον, τῶν πρὸς ὑμᾶς ἅπτομαι λόγων, εἰδὼς ὅτι εἰς λιπαρὰν καὶ βαθύγειον ἄρουραν καταβάλλω τὰ σπέρματα, δυναμένην πολλαπλασίους ἡμῖν ταχέως ἀποδοῦναι τῶν καταβαλλομένων τοὺς καρπούς. καταμάθωμεν τοίνυν, εἰ δοκεῖ, τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων ἐκ τῶν τοῦ μακαρίου μωϋσέως λόγων τὴν δύναμιν. ἀλλὰ προσέχετε, παρακαλῶ, μετὰ ἀκριβείας τοῖς παρ' ἡμῶν λεγομένοις. οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις "παραγάγῃ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. τίνα δὲ ταῦτά ἐστιν;

ἴσ. ποιήσωμεν.
γρ. ἡμῶν.
γρ. ἐξεκάθηρε.
γρ. βαρβάρων.
γρ. αὐτῆς.
γρ. παράγει.

κεφ. α.

1 Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ἄξιον ἐνταῦθα διαπορῆσαι, τίνος ἕνεκεν ὁ μακάριος οὗτος προφήτης μετὰ πολλὰς ὕστερον γενεὰς γεγονώς, ταῦτα ἡμῖν ἐκτίθεται. οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ· ἀλλ' ἐπειδὴ ἐξ ἀρχῆς πλάσας τὸν ἄνθρωπον ὁ θεός, δι' ἑαυτοῦ διελέγετο τοῖς ἀνθρώποις, ὡς ἂν ἀνθρώποις ἀκοῦσαι δυνατὸν ἦν (οὕτως γὰρ πρὸς τὸν Ἀδὰμ ἦλθεν, οὕτως τῷ Καῒν ἐπετίμησεν, οὕτως τῷ Νῶε διελέχθη, οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ) ὅτε δὲ εἰς πολλὴν κακίαν ἐξώκειλε πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, καὶ ἀνάξιοι λοιπὸν γεγόνασι τῆς τοιαύτης ὁμιλίας, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὸ τῶν ἀνθρώπων γένος ὁ τῶν ἁπάντων δημιουργός, ἀλλ' ἐπειδὴ ἀνάξιοι λοιπὸν γεγόνασι τῆς ὁμιλίας * αὐτοῦ, βουλόμενος πάλιν ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς ″ φιλανθρωπίαν, καθάπερ ἀνθρώποις μακρὰν ἀφεστῶσι γράμματα πέμπει, πρὸς ἑαυτὸν ἐφελκόμενος πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν. καὶ ταῦτα τὰ γράμματα ἔπεμψε μὲν ὁ θεός, ἐκόμισε δὲ Μωϋσῆς. τί οὖν λέγει τὰ γράμματα; ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. σκόπει τοῦ θαυμαστοῦ τούτου προφήτου, ἀγαπητέ, καὶ ἐν τούτῳ τὸ ἐξαίρετον. οἱ μὲν γὰρ ἄλλοι προφῆται πάντες, ἢ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον εἶπον, ἢ τὰ κατ' αὐτὸν μέλλοντα ″ συμβήσεσθαι τὸν καιρόν· ὁ δὲ μακάριος οὗτος μετὰ πολλὰς γενεὰς γεγονώς, ὑπὸ τῆς ἄνωθεν δεξιᾶς ὁδηγούμενος, ἐκεῖνα εἰπεῖν ″ κατηξιώθη, ἃ πρὸ τῆς αὐτοῦ γενέσεως ὑπὸ τοῦ τῶν ἁπάντων ἐδημιουργήθη δεσπότου. διὰ τοῦτο καὶ οὕτως ἤρξατο λέγων, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· μονονουχὶ πρὸς ἅπαντας ἡμᾶς λαμπρᾷ βοῶν τῇ φωνῇ, καὶ λέγων, μὴ γὰρ παρὰ ἀνθρώπου διδασκόμενος ταῦτα φθέγγομαι; ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ παραγαγών, οὗτος καὶ τὴν ἐμὴν γλῶτταν ″ εἰς τὴν τούτων ἐξήγησιν παρώρμησεν. ὡς οὖν οὐκ ἔτι παρὰ Μωϋσέως ταῦτα ἀκούοντες, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ διὰ τῆς τοῦ Μωϋσέως γλώττης, οὕτω τοῖς λεγομένοις προσέχωμεν, παρακαλῶ, καὶ πολλὰ χαίρειν τοῖς ἡμετέροις λογισμοῖς εἰπόντες (λογισμοὶ γάρ, φησιν, ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν) μετὰ πολλῆς τῆς εὐγνωμοσύνης δεχώμεθα τὰ λεγόμενα, μὴ ὑπερβαίνοντες τὸ οἰκεῖον μέτρον, μηδὲ τὰ ὑπὲρ ἡμᾶς περιεργαζόμενοι, ὅπερ πεπόνθασιν οἱ τῆς ἀληθείας ἐχθροί, βουληθέντες τοῖς οἰκείοις λογισμοῖς ἐπιτρέψαι τὸ πᾶν, καὶ οὐκ ἐννοήσαντες ὅτι ἀδύνατον τὴν ἀνθρωπείαν φύσιν τὴν τοῦ θεοῦ δημιουργίαν περιεργάζεσθαι. καὶ τί λέγω τὴν τοῦ θεοῦ δημιουργίαν; ἀλλ' οὐδὲ ἀνθρώπου τέχνην τοῦ ὁμογενοῦς ἡμῖν περιεργάζεσθαι δυνατόν. εἰπὲ γάρ μοι, πῶς ἀπὸ τῆς μεταλλικῆς τέχνης χρυσίου συνίσταται φύσις, ἢ πῶς τῆς ὑέλου ἡ καθαρότης ἀπὸ ψάμμου γίνεται; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. εἰ τοίνυν ταῦτα τὰ πρὸ τῶν ὀφθαλμῶν κείμενα, καὶ ἅπερ διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν σοφία ἀνθρωπίνη ἐργάζεται, ″ καταλαβεῖν οὐ δυνατόν, τὰ ὑπὸ τοῦ θεοῦ δημιουργηθέντα περιεργάζῃ, ἄνθρωπε; καὶ ποίας ἂν τύχοις συγγνώμης, τίνος δὲ ἀπολογίας, οὕτω μεμηνὼς καὶ τὰ ὑπὲρ τὴν σαυτοῦ φύσιν φανταζόμενος; τὸ γὰρ λέγειν, ἐξ ὑποκειμένης ὕλης τὰ ὄντα γεγενῆσθαι, καὶ μὴ ὁμολογεῖν ὅτι ἐξ οὐκ ὄντων αὐτὰ παρήγαγεν ὁ τῶν ἁπάντων δημιουργός, τῆς ἐσχάτης παραφροσύνης ἂν εἴη σημεῖον. ἐμφράττων τοίνυν τῶν ἀγνωμόνων τὰ στόματα ὁ μακάριος οὗτος προφήτης, μέλλων ἄρχεσθαι τοῦ βιβλίου, οὕτως ἤρξατο· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὅταν οὖν ἀκούσῃς τὸ, ἐποίησε, ″ μηδὲν ἕτερον περιεργάζου, ἀλλὰ κάτω κύπτων πίστευε τῷ λεχθέντι. θεὸς γάρ ἐστιν ὁ πάντα ποιῶν καὶ μετασκευάζων, καὶ πρὸς τὸ αὐτοῦ βούλημα τὰ πάντα μεταρρυθμίζων. καὶ ὅρα τῆς συγκαταβάσεως τὴν ὑπερβολήν. οὐδὲν περὶ τῶν ἀοράτων δυνάμεων διαλέγεται), οὐδὲ λέγει, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τοὺς ἀγγέλους, ἢ τοὺς ἀρχαγγέλους. οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ταύτην ἡμῖν ἔτεμε τῆς διδασκαλίας τὴν ὁδόν. ἐπειδὴ γὰρ ἰουδαίοις διελέγετο τοῖς περὶ τὰ παρόντα ἐπτοημένοις, καὶ οὐδὲν νοητὸν φαντασθῆναι δυναμένοις, ἀπὸ τῶν αἰσθητῶν τέως αὐτοὺς ″ ἀνάγει πρὸς τὸν τῶν ὅλων δημιουργόν, ἵνα ἐκ τῶν δημιουργημάτων τὸν τεχνίτην τοῦ παντὸς καταμαθόντες,

*τῆς,

γρ. φιλίαν.

γρ. συμβαίνειν.

γρ. ἠξιώθη.

γρ. πρὸς.

Σοφ. θ. 15.

γρ. καταμαθεῖν.

γρ. μή.

γρ. ἀνάγει.

τα μαθόντες, προσκυνήσωσι τὸν ἐργασάμενον, καὶ μὴ ἐναπομείνωσι τοῖς κτίσμασιν. εἰ γὰρ καὶ τούτου γενομένου οὐκ ἐπαύσαντο τὰ κτίσματα θεοποιοῦντες, καὶ περὶ τὰ ἀτιμότατα τῶν ἀλόγων τὸ σέβας ἐπιδεικνύμενοι, ποῦ οὐκ ἂν μανίας ἐξώκειλαν, εἰ μὴ τοσαύτῃ τῇ συγκαταβάσει ἐχρήσατο; καὶ μὴ ξενισθῇς, ἀγαπητέ, εἰ Μωϋσῆς ταύτην ἔρχεται τὴν ὁδὸν ἐν ἀρχῇ καὶ ἐν προοιμίοις, τοῖς " παχυτάτοις ἰουδαίοις διαλεγόμενος, ὅπου γε καὶ ὁ Παῦλος ἐν τῇ χάριτι, ἡνίκα τοσαύτη ἡ ἐπίδοσις γέγονε τοῦ κηρύγματος, μέλλων τοῖς ἐν ἀθήναις διαλέγεσθαι, ἀπὸ τῶν ὁρωμένων ποιεῖται πρὸς αὐτοὺς τὴν διδασκαλίαν, οὕτω λέγων, Ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται. ἐπειδὴ γὰρ ᾔδει ταύτην αὐτοῖς κατάλληλον οὖσαν τὴν διδασκαλίαν, ταύτην ἦλθε τὴν ὁδόν. πρὸς γὰρ τοὺς δεχομένους τὰ παρ' αὐτοῦ διδάγματα οὕτως ὑπὸ τοῦ πνεύματος ὁδηγούμενος καὶ τὴν διδασκαλίαν ἐποιεῖτο. καὶ ἵνα μάθῃς, ὅτι ἡ τῶν προσώπων διαφορὰ, καὶ ἡ τῶν ἀκουόντων παχύτης τούτου αἰτία " ἦν, ἄκουε αὐτοῦ, ἡνίκα πρὸς Κολασσαεῖς ἐπέστελλεν, μηκέτι ταύτην ἐρχόμενον τὴν ὁδὸν, ἀλλ' ἑτέρως αὐτοῖς διαλεγόμενον καὶ λέγοντα, Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθη. καὶ Ἰωάννης δὲ ὁ τῆς βροντῆς υἱὸς ἐβόα λέγων, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο " οὐδέν. ἀλλ' οὐχ ὁ Μωϋσῆς οὕτως· εἰκότως. οὐδὲ γὰρ ἦν " εὔλογον τοῖς ἔτι γαλακτοτροφίας δεομένοις στερεᾶς μεταδοῦναι τροφῆς. καθάπερ γὰρ οἱ διδάσκαλοι, τὰ παρὰ τῶν " πατέρων τὰ παιδία δεχόμενοι, τὰ πρῶτα στοιχεῖα αὐτοῖς παραδιδόασιν, οἱ δὲ παρ' ἐκείνων ταῦτα πάλιν τὰ παιδία λαμβάνοντες, τὰ τελειότερα τῶν μαθημάτων αὐτοῖς ἐνηχοῦσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Μωϋσῆς, καὶ ὁ τῶν ἐθνῶν διδάσκαλος, καὶ ὁ τῆς βροντῆς υἱὸς πεποιήκασιν. ὁ μὲν γὰρ ἐκ προοιμίων παραλαβὼν τὴν φύσιν τὴν ἀνθρωπίνην, τὰ πρῶτα στοιχεῖα τότε ἀκούουσαν ἐπαίδευεν· οὗτοι δὲ παρὰ Μωϋσέως παραλαβόντες, λοιπὸν τὰ τελειότερα παρεδίδοσαν. τέως οὖν ἐμάθομεν τῆς συγκαταβάσεως τὴν αἰτίαν, καὶ ὅτι πνεύματι φθεγγόμενος καταλλήλως τοῖς ἀκούουσιν ἅπαντα ἐξετίθετο, πάσας ὁμοῦ τὰς δίκην ζιζανίων ἐπιφυομένας αἱρέσεις τῇ ἐκκλησίᾳ " πόρρωθεν ἀνασπῶν, διὰ τοῦ εἰπεῖν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. κἂν γὰρ Μανιχαῖος προσέλθῃ, λέγων τὴν ὕλην προϋπάρχειν, κἂν Μαρκίων, κἂν Οὐαλεντῖνος, κἂν ἑλλήνων παῖδες, λέγε πρὸς " αὐτοὺς, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀλλ' οὐ πιστεύει τῇ γραφῇ. ἀποστράφηθι λοιπὸν αὐτὸν, ὡς μαινόμενον καὶ ἐξεστηκότα. ὁ γὰρ τῷ δημιουργῷ τῶν ὅλων ἀπιστῶν, ὡς καὶ ψεῦδος τῆς ἀληθείας " καταγινώσκειν, ποίας ἂν τύχοι συγγνώμης ποτέ; πεπλασμένον ἔχουσιν ἐκεῖνοι δὲ χρῶμα, καὶ ἐπιεικείας πρόσωπον ὑποδυόμενοι, κρύπτουσιν ἐν τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. [ἀλλὰ σὺ μὴ ἀπατηθῇς] ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μάλιστα μίσησον αὐτὸν, ὅτι πρὸς μὲν σὲ τὸν ὁμόφυλον ἐπιείκειαν ὑποκρίνεται, πρὸς δὲ τὸν τῶν ὅλων δεσπότην θεὸν τὸν πόλεμον ἤρατο, καὶ κατὰ τῆς ἑαυτοῦ σωτηρίας τρέχων οὐκ αἰσθάνεται). ἡμεῖς δὲ τῆς πέτρας ἐχώμεθα τῆς ἀῤῥαγοῦς, καὶ ἐπὶ τὴν ἀρχὴν πάλιν ἐπανέλθωμεν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὅρα καὶ ἐξ αὐτοῦ τοῦ τῆς δημιουργίας τρόπου τὴν θείαν φύσιν διαλάμπουσαν, " πῶς ἀπ' ἐναντίας τῇ ἀνθρωπίνῃ συνηθείᾳ τὴν δημιουργίαν ποιεῖται, πρότερον τὸν οὐρανὸν τείνας, καὶ τότε τὴν γῆν ὑποστορέσας, πρότερον τὸν ὄροφον, καὶ τότε τὸν θεμέλιον. τίς εἶδε, τίς ἤκουσεν; ἐπὶ μὲν γὰρ τῆς ἀνθρωπίνης δημιουργίας οὐκ ἂν τοῦτο γένοιτ' ἄν ποτε· ὅταν δὲ ὁ θεὸς κελεύῃ, πάντα τῷ βουλήματι αὐτοῦ εἴκει καὶ " ὑποχωρεῖ. μὴ τοίνυν ἀνθρωπίνῳ

λογισμῷ

Πραξ. ιζ. κδ.

Κολ. α. ιϛ.

Ιω. α. γ.

γρ. παχυτέροις.

γρ. γέγονεν.

γρ. οὐδὲ ἕν.

γρ. εὔκολον.

γρ. μητέρων.

γρ. κάτωθεν.

γρ. αὐτόν.

γρ. καταγινώσκων.

γρ. καὶ ἀεὶ

γρ. παραχωρεῖ.

Ρω. α. κ.

λογισμῷ τὰ τοῦ θεοῦ ἔργα περιεργαζώμεθα, ἀλλ' ἐκ τῶν ἔργων ὁδηγούμενοι θαυμάζωμεν τὸν τεχνίτην. τὰ γὰρ ἀόρατα αὐτοῦ, φησίν, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. Εἰ δὲ ἐπιμένοιεν οἱ τῆς ἀληθείας ἐχθροί, λέγοντες ἀδύνατον εἶναι ἐξ οὐκ ὄντων τι παραχθῆναι, ἐρώμεθα αὐτούς, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς ἐπλάσθη, ἢ ἑτέρωθέν ποθεν; πάντως ἐροῦσιν ὅτι ἐκ γῆς, καὶ συνομολογήσουσιν. Εἰπάτωσαν οὖν ἡμῖν, πῶς ἐκ γῆς σαρκὸς ἐγένετο φύσις; ἀπὸ γῆς γὰρ πηλὸς καὶ πλίνθος καὶ κέραμος καὶ ὄστρακον ἂν γένοιτο. πῶς οὖν σαρκὸς ἐγένετο φύσις; πῶς ὀστᾶ, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ πιμελή, καὶ δέρμα, καὶ ὄνυχες, καὶ τρίχες, καὶ ἐκ μιᾶς ὑποκειμένης ὕλης διαφόρων οὐσιῶν ποιότητες; ἀλλ' οὐκ ἂν δυνηθεῖεν πρὸς ταῦτα διᾶραι τὸ στόμα ποτέ. τί δὲ λέγω περὶ τοῦ σώματος τοῦ ἡμετέρου; περὶ τοῦ ἄρτου, οὗ καθ' ἑκάστην ἡμέραν σιτούμεθα, εἰπάτωσαν ἡμῖν, πῶς μονοειδὴς ὢν μεταβάλλεται εἰς αἷμα καὶ φλέγμα καὶ χολὴν καὶ διαφόρους χυμούς; καὶ ὁ μὲν σιτόχρους πολλάκις ἐστί, τὸ δὲ αἷμα πυῤῥὸν ἢ μέλαν. Εἰ τοίνυν ταῦτα τὰ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν ὁρώμενα εἰπεῖν ἡμῖν οὐκ ἂν δύναιντό ποτε, σχολῇ γ' ἂν εἴποιεν περὶ τῶν ἄλλων τοῦ θεοῦ δημιουργημάτων. ἀλλ' εἰ καὶ μετὰ τοσαύτην τῶν ἀποδείξεων περιουσίαν ἐπιμένοιεν τὴν οἰκείαν φιλονεικίαν κρατύνειν βουλόμενοι, ἡμεῖς μηδὲ οὕτω παυσώμεθα τὰ αὐτὰ πάλιν πρὸς αὐτοὺς λέγοντες, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τοῦτο γὰρ ἱκανὸν μόνον τὸ ῥῆμα, πάντας τῶν ἐναντίων τοὺς πύργους καταβαλεῖν, καὶ πάντας τοὺς ἀνθρωπίνους λογισμοὺς ἐξ αὐτῶν τῶν βάθρων ἀνασπάσαι· καὶ εἰ βουληθεῖεν ὀψέ ποτε τῆς φιλονεικίας ἀποσχέσθαι, πρὸς τὴν τῆς ἀληθείας ὁδὸν αὐτοὺς χειραγωγῆσαι δυνήσεται.

2 Ἡ δὲ γῆ ἦν, φησίν, ἀόρατος καὶ ἀκατασκεύαστος.

γρ. τιμήσῃ.

Τίνος ἕνεκεν, εἰπέ μοι, τὸν μὲν οὐρανὸν φαιδρὸν καὶ ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἀμόρφωτον ἔδειξεν; οὐχ ἁπλῶς οὐδὲ τοῦτο πεποίηκεν, ἀλλ' ἵνα ἐν τῷ βελτίονι μέρει τῆς κτίσεως μαθὼν αὐτοῦ τὴν δημιουργίαν, μηδὲν ἀμφιβάλλῃς λοιπόν, μηδὲ νομίσῃς δι' ἀσθένειαν δυνάμεως τοῦτο γενέσθαι. ἄλλως τε καὶ δι' ἕτερον τρόπον ἀμόρφωτον αὐτὴν παρήγαγεν. ἐπειδὴ γὰρ αὕτη καὶ τροφὸς καὶ μήτηρ ἡμῶν ἐστι, καὶ ἐξ αὐτῆς καὶ γεγόναμεν καὶ τρεφόμεθα, καὶ αὕτη ἡμῖν καὶ πατρὶς καὶ κοινὸς τάφος γίνεται, καὶ πρὸς αὐτὴν πάλιν ἐπάνοδος, καὶ τῶν μυρίων ἀγαθῶν δι' αὐτῆς ἀπολαύομεν· ἵνα μὴ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν αὐτὴν " τιμήσωσι τὸ τῶν ἀνθρώπων γένος, δείκνυσί σοι αὐτὴν πρότερον ἀμόρφωτον καὶ ἀδιατύπωτον, ἵνα μὴ τῇ φύσει τῆς γῆς τὰς ἐξ αὐτῆς εὐεργεσίας λογίσῃ, ἀλλὰ τῷ ταύτην ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι. διὰ τοῦτό φησιν, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος.

ΗΘΙΚΟΝ.

γρ. ἐκεῖνο.

γρ. παρατίθετε.

γρ. ζητεῖ.

Τάχα εὐθὺς καὶ ἐκ προοιμίων κατετείναμεν ὑμῶν τὴν διάνοιαν τοῖς λεπτοτέροις νοήμασι. διὸ προσήκει μέχρι τούτου στῆσαι τὸν λόγον, * παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ ἀεὶ τούτων ἔναυλον ἔχειν τὴν μνήμην, καὶ μετὰ τῆς αἰσθητῆς τραπέζης, ἐπειδὰν ἐντεῦθεν ἐξέλθητε, " παρατίθεσθαι καὶ τὴν πνευματικὴν τράπεζαν· καὶ λεγέτω μέν τινα τῶν ἐνταῦθα λεχθέντων ὁ ἀνήρ, ἀκουέτω δὲ ἡ γυνή, μανθανέτωσαν δὲ καὶ οἱ παῖδες, διδασκέσθωσαν δὲ καὶ οἱ οἰκέται, καὶ ἐκκλησία λοιπὸν γινέσθω ἡ οἰκία· ἵνα φυγαδεύηται μὲν ὁ διάβολος, καὶ δραπετεύῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος, καὶ ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας, ἐπαναπαύηται δὲ αὐτόθι ἡ τοῦ ἁγίου πνεύματος χάρις, καὶ πᾶσα εἰρήνη καὶ ὁμόνοια " περιστοιχίζῃ τοὺς ἐνοικοῦντας. ἐὰν γὰρ τῶν ἤδη πρότερον ῥηθέντων μνημονεύητε, καὶ τὰ μετὰ ταῦτα καταβαλλόμενα προθυμότερον δέξεσθε, καὶ ἡμεῖς μετὰ πλείονος [τῆς προθυμίας καὶ] τῆς βασιλείας ἐροῦμεν τὰ ὑπὸ τῆς τοῦ θεοῦ χάριτος χορηγούμενα, ἐπειδὰν εἴδωμεν τῶν ἤδη καταβληθέντων τὴν βλάστην. ἐπεὶ καὶ γηπόνος, ὅταν ἴδῃ τὰ σπέρματα φυόμενα, μετὰ πολλῆς τῆς προθυμίας περισκοπῶν τὰς ἀρούρας, ἑτοίμως καὶ ἕτερα καταβάλλειν ἐπείγεται. ἵν' οὖν προθυμοτέρους ἡμᾶς ἐργάσησθε, τῶν ἤδη ῥηθέντων ἀσφαλῆ τὴν φυλακὴν ἐπιδείξασθε, καὶ μετὰ τῶν ὀρθῶν δογμάτων καὶ περὶ τὴν τοῦ βίου ἐπιμέλειαν πολλὴν ποιήσασθε τὴν σπουδήν. λαμψάτω γάρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς, ἵνα καὶ ὁ βίος συμφωνῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα κηρύττῃ τὸν βίον. πίστις γὰρ χωρὶς ἔργων νεκρά ἐστι, καὶ ἔργα χωρὶς πίστεως νεκρά ἐστι. κἂν γὰρ δόγματα ἔχωμεν ὑγιῆ, βίου δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν δογμάτων. πάλιν, ἂν βίου μὲν ἐπιμελώμεθα, περὶ τὰ δόγματα δὲ χωλεύωμεν, οὐδὲ οὕτως ἔσται τι κέρδος ἡμῖν. διὸ προσήκει ἑκατέρωθεν ἡμῖν τὴν οἰκοδομὴν ταύτην τὴν πνευματικὴν συνεσφίγχθαι. πᾶς γάρ, φησιν, ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ. ὅρα πῶς οὐ μόνον ἀκούειν ἡμᾶς βούλεται, ἀλλὰ καὶ ποιεῖν καὶ διὰ τῶν ἔργων ἐπιδείκνυσθαι τὴν ὑπακοήν. καὶ τοῦτον μὲν φρόνιμον ἐκάλεσε, τὸν τὰ ἔργα τοῖς λόγοις ἀκόλουθα ἐπιδεικνύμενον· τὸν δὲ μέχρι τῶν λόγων ἱστάμενον μωρὸν ὠνόμασεν, εἰκότως. ὁ γὰρ τοιοῦτος, φησιν, ἐπὶ τὴν ἄμμον τὴν οἰκίαν αὐτοῦ ᾠκοδόμησε· διὸ οὐδὲ τὴν προσβολὴν τῶν ἀνέμων ἐνεγκεῖν ἐδυνήθη, ἀλλὰ ταχέως κατέπεσε. τοιαῦται γὰρ αἱ ῥάθυμοι ψυχαί, καὶ μὴ ἐπὶ τὴν πέτραν τῆς πνευματικῆς ἐστηριγμέναι. οὐ γὰρ περὶ οἰκοδομῆς νῦν ὁ λόγος καὶ οἰκίας, ἀλλὰ περὶ ψυχῶν ἐστι τὸ εἰρημένον, τῶν καὶ ἀπὸ τοῦ τυχόντος πειρασμοῦ σάλον ὑπομενουσῶν. τῷ γὰρ ὀνόματι τοῦ ἀνέμου καὶ τῆς βροχῆς καὶ τῶν ποταμῶν, τὴν τῶν πειρασμῶν ἡμῖν τὴν ἐπαγωγὴν ᾐνίξατο. ὁ γὰρ στερρὸς καὶ ἐγρηγορὼς καὶ νήφων, ταύτῃ μᾶλλον ἰσχυρότερος γίνεται, καὶ ὅσῳ τὰ τῆς θλίψεως ἐπιτείνεται, τοσούτῳ καὶ τὰ τῆς ἀνδρείας αὔξεται. ὁ δὲ ῥάθυμος καὶ ἀναπεπτωκώς, κἂν βραχεῖά τις αὔρα πειρασμοῦ προσπέσῃ, εὐθέως σαλεύεται καὶ καταπίπτει, οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν τῆς προαιρέσεως ἀσθένειαν. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι καὶ πρὸς πάντα παρεσκευασμένους εἶναι, ἵνα καὶ ἐν τῇ ἀνέσει συγκεκροτημένοι ὦμεν, καὶ ἐν ταῖς ἐπαγομέναις θλίψεσι νήφωμεν, καὶ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα, διηνεκῶς τὴν εὐχαριστίαν ἀναφέροντες τῷ φιλανθρώπῳ θεῷ. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα τῆς ἄνωθεν ῥοπῆς, καὶ οὕτω δυνησόμεθα καὶ τὸν παρόντα βίον ἀσφαλῶς διαπερᾶν, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν πολλὴν ἑαυτοῖς προαποτίθεσθαι τὴν παρρησίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Matth. ε. ις.
Iac. β. κς.
Matth. ζ. κδ.
Matth. ζ. κς.
γρ. ἰδεῖ.
γρ. ψυχαῖς.
γρ. ἀναπέμποντες.

Λογ. γ. ΕΙΣ ΤΑ ΥΠΟΛΟΙΠΑ ΤΟΥ, ΕΝ ΑΡΧΗ ΕΠΟΙΗσεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἕως τοῦ, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.

Θησαυρῷ τινι προσέοικεν ἡ τῶν θείων γραφῶν ἀνάγνωσις. καθάπερ γὰρ ἐκεῖθεν τις κἂν μικρὸν ψῆγμα λαβεῖν δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω δὴ καὶ ἐπὶ τῆς θείας γραφῆς, καὶ ἐν βραχείᾳ λέξει πολλὴν ἔστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν, καὶ ἄφατον τὸν πλοῦτον. καὶ οὐ θησαυρὸν μόνον, ἀλλὰ καὶ πηγὴν μιμεῖται τὰ θεῖα λόγια, δαψιλῆ τὰ νάματα ἀναβλύζουσαν,

σαι, καὶ πολλὴν ἔχουσαι τὴν ἐπιρροήν. καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων χθὲς ἅπαντες μεμαθήκαμεν. τὸ γὰρ προοίμιον ἀρξάμενοι τοῦ τῆς κτίσεως βιβλίου, εἰπεῖν τό, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, πᾶσαν τὴν διδασκαλίαν ἐτελειώσαμεν· καὶ οὐδὲ οὕτως τὸ πᾶν" καταλαβεῖν ἐξισχύσαμεν. πολλὴ γάρ ἐστι τῶν ἐναποκειμένων ἡ περιουσία, καὶ τῶν ναμάτων τῆς πηγῆς ταύτης τῆς πνευματικῆς ἡ δαψίλεια. καὶ μὴ θαυμάσῃς, εἰ ἡμεῖς τοῦτο πεπόνθαμεν. καὶ γὰρ καὶ οἱ πρὸ ἡμῶν κατὰ δύναμιν τὴν ἑαυτῶν τὰ ἐντεῦθεν νάματα ἐξήντλησαν, καὶ οἱ μεθ' ἡμᾶς πάλιν" τοῦτο ποιῆσαι ἐπιχειρήσουσι, καὶ οὐδὲ οὕτως κενῶσαι δυνήσονται τὸ πᾶν· ἀλλ' αὔξεται τὰ τῆς ἐπιρροῆς, καὶ ἐπιδίδωσι τὰ νάματα. τοιαύτη γὰρ τῶν ναμάτων τῶν πνευματικῶν ἡ φύσις, ὅσῳ ἄν τις μετὰ δαψιλείας τὰ ἐντεῦθεν ἀρύσασθαι" βουληθῇ νάματα, τοσούτῳ μᾶλλον ἀναβλύζει καὶ ἐπιδίδωσιν ἡ χάρις ἡ πνευματική. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, τὸ δαψιλὲς τῶν ναμάτων τῶν πνευματικῶν ἡμῖν ἐμφαίνων. ἐπεὶ οὖν τοιαύτη τῶν πνευματικῶν ναμάτων ἡ φύσις, φέρε ἕκαστος ἡμῶν τὰ ἀγγεῖα τῆς διανοίας μετὰ δαψιλείας προσενέγκωμεν, ἵνα πληρώσαντες αὐτὰ οὕτως ἐπανέλθωμεν. ὅταν γὰρ ἴδῃ ἡ τοῦ πνεύματος χάρις πόθον ζέοντα καὶ διεγηγερμένην διάνοιαν, πλουσίαν τὴν παρ' ἑαυτῆς δωρεῖται χάριν. ἀποστήσαντες τοίνυν ἑαυτοὺς πάντων τῶν βιωτικῶν, καὶ τὰς φροντίδας τὰς ἀκανθῶν δίκην συμπνίγειν δυναμένας τὸν ἡμέτερον λογισμὸν" ἐκβαλόντες, ὅλην ἑαυτῶν τὴν διάνοιαν μεταστήσωμεν εἰς τὴν τῶν πνευματικῶν ἐπιθυμίαν· ἵνα πολλὴν ἐντεῦθεν δεξάμενοι τὴν ὠφέλειαν, καὶ κερδάναντές τι μέγα καὶ γενναῖον, οὕτως" ἐξέλθωμεν. ἀλλ' ἵνα σαφέστερος" ὑμῖν ὁ λόγος γένηται, μικρὰ τῶν χθὲς εἰρημένων" ὑπομνήσωμεν τὴν ὑμετέραν ἀγάπην, ἵνα οὕτως, καθάπερ σῶμα ἕν, καὶ τὰ σήμερον μέλλοντα ῥηθήσεσθαι συνάψωμεν τοῖς χθὲς εἰρημένοις. ἐδείκνυμεν γὰρ χθές, καθάπερ μέμνησθε, πῶς ὁ μακάριος Μωϋσῆς διηγούμενος ἡμῖν τῶν στοιχείων τούτων τῶν ὁρωμένων τὴν δημιουργίαν, ἔλεγεν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. καὶ ἐδιδάσκομεν ὑμᾶς τὴν αἰτίαν, τίνος ἕνεκεν καὶ διατί οὕτως τὴν γῆν παρήγαγεν ἀμόρφωτον καὶ ἀδιατύπωτον. καὶ οἶμαι ὑμᾶς ἅπαντα μετὰ ἀκριβείας κατέχειν. ἀναγκαῖον οὖν σήμερον τοῖς ἀκολούθως εἰρημένοις ἐπεξελθεῖν. ἐπειδὴ γὰρ εἶπεν, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, διδάξας ἡμᾶς ἀκριβῶς πόθεν ἦν ἀόρατος καὶ ἀκατασκεύαστος," φήσας, Καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. σκόπει μοι ἐνταῦθα τοῦ μακαρίου προφήτου τὸ ἀπέριττον, καὶ ὅπως οὐ πάντα κατὰ μέρος διηγεῖται τὰ δημιουργηθέντα· ἀλλὰ τὰ" συνεκτικώτερα τῶν στοιχείων ἡμᾶς διδάξας, καὶ οὐρανοῦ καὶ γῆς μνημονεύσας, τὰ ἄλλα παραλιμπάνει. οὐδαμοῦ γὰρ εἰπὼν τῶν ὑδάτων τὴν δημιουργίαν, φησί,

Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

Τοῦτο γὰρ ἦν τὸ καλύπτον τῆς γῆς τὸ πρόσωπον, τὸ σκότος λέγω, καὶ ἡ ἄβυσσος τῶν ὑδάτων. ἐμάθομεν ἐντεῦθεν ὅτι ἅπαν τὸ ὁρώμενον, ἄβυσσος ἦν ὑδάτων σκότῳ κεκαλυμμένη, καὶ ἐδεῖτο τοῦ σοφοῦ δημιουργοῦ, ὥστε πᾶσαν ταύτην τὴν ἀμορφίαν ἐξελεῖν, καὶ εἰς εὐκοσμίαν τινὰ [τὰ] πάντα ἀγαγεῖν. * καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. τί βούλεται ὁ φησι, πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος; ἐμοὶ δοκεῖ τοῦτο σημαίνειν, ὅτι ἐνέργειά τις ζωτικὴ προσῆν τοῖς ὕδασι, καὶ οὐκ ἦν ἁπλῶς ὕδωρ ἑστώς, καὶ ἀκίνητον, ἀλλὰ κινούμενον καὶ ζωτικήν τινα δύναμιν ἔχον. τὸ γὰρ ἀκίνητον, πάν-

παραβαλεῖν

ἐπιχειρή-
σει

βουληθείη

τέμνοντες

ἵνα καὶ ἐπα-
ωμεν.
μῶν
μνημονεύσας

άσκων

συνεκτικώ-

σκότος, ση·
ἐπάνω τ̃
ὕδατος

Ιωα. ζ. λη.

τη ἄχρηστον· τὸ δὲ κινούμενον, πρὸς πολλὰ ἐπιτήδειον. ἵν' οὖν διδάξῃ ἡμᾶς ὅτι τὸ ὕδωρ τοῦτο τὸ πολὺ καὶ ἀμήχανον τινα δύναμιν εἶχε ζωτικήν, διὰ τοῦτό φησι, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. τοῦτο δὲ οὐχ ἁπλῶς προλαβοῦσα λέγει ἡ θεία γραφή. ἀλλ' ἐπειδὴ προϊοῦσα μέλλει διηγεῖσθαι ἡμῖν, ὅτι καὶ ζῶα ἐκ τούτων τῶν ὑδάτων κατὰ τὸ πρόσταγμα τοῦ τῶν ἁπάντων δημιουργοῦ παρήχθη, διὰ τοῦτο ἐντεῦθεν ἤδη διδάσκει τὸν ἀκροατήν, ὅτι οὐχ ἁπλῶς ὕδωρ ἦν ″ ἑστώς, ἀλλὰ κινούμενον καὶ διατρέχον καὶ τὰ πάντα ἐπικλύζον. ἐπεὶ οὖν πολλὴ κατεκέχυτο πάντως τοῦ ὁρωμένου ἡ ἀμορφία, προσέταξεν ὁ ἀριστοτέχνης θεός, καὶ τὰ τῆς ἀμορφίας διεσκεδάσθη, καὶ τὸ κάλλος τοῦτο τὸ ἀμήχανον τοῦ φωτὸς τοῦ ὁρωμένου παραχθέν, τό, τε σκότος ἀπήλασε τὸ αἰσθητόν, καὶ τὰ πάντα κατηύγασε.

γρ. στασιμαῖον

3 Καὶ εἶπε, φησίν, ὁ θεός· γενηθήτω φῶς, καὶ ἐγένετο φῶς.

Εἶπε, καὶ ἐγένετο· ἐκέλευσε, καὶ τὸ μὲν σκότος ἐφυγαδεύθη, τὸ δὲ φῶς παρήχθη. Εἶδες δύναμιν ἄφατον. ἀλλ' οἱ τῇ πλάνῃ προκατειλημμένοι, οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῶν εἰρημένων, οὐδὲ ἀκούοντες τοῦ μακαρίου Μωϋσέως λέγοντος, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τότε ἐπάγοντος, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, διὰ τὸ σκότει καὶ τοῖς ὕδασι κεκαλύφθαι. (οὕτω γὰρ ἔδοξε τῷ δεσπότῃ ἐξ ἀρχῆς αὐτὴν παραγαγεῖν) φασὶν ὅτι προϋπέκειτο ἡ ὕλη, καὶ τὸ σκότος προϋπῆρχε. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; ἀκούεις ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο τὰ ὄντα, καὶ λέγεις, ὅτι προϋπῆρχεν ἡ ὕλη; καὶ τίς ἀνάσχοιτο τοσαύτης παροινίας τῶν νοῦν ἐχόντων; μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ δημιουργῶν, ἵνα δεηθῇ τινος ὑποκειμένου, καὶ οὕτως τὰ τῆς τέχνης ″ ἐπιδείξηται; θεός ἐστιν ″ ᾧ πάντα εἴκει, λόγῳ καὶ προστάγματι δημιουργῶν. ὅρα γάρ, εἶπε μόνον, καὶ παρήχθη τὸ φῶς, καὶ παρεχώρησε τὸ σκότος.

γρ. [illegible]
γρ. ὁ πάντα λήγη ᾗ

4 Καὶ διεχώρισεν ὁ θεός, φησίν, ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους.

Τί ἐστι διεχώρισεν; ἑκάστῳ ἰδίαν χώραν ἀπένειμε, κατάλληλον καιρὸν ἀφώρισε· καὶ ἐπειδὴ τοῦτο γέγονε, τότε λοιπὸν ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπιτίθησιν.

5 Ἐκάλεσε γάρ, φησίν, ὁ θεὸς τὸ φῶς, ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα.

Εἶδες διαίρεσιν ἀρίστην, καὶ δημιουργίαν θαυμαστήν, καὶ πάντα λόγον ὑπερβαίνουσαν, λόγῳ μόνῳ καὶ ἐπιτάγματι ″ γινομένην; Εἶδες πόσῃ τῇ συγκαταβάσει ὁ μακάριος οὗτος προφήτης ἐχρήσατο, μᾶλλον δὲ ὁ φιλάνθρωπος θεὸς διὰ τῆς τοῦ προφήτου γλώττης παιδεύων τὸ τῶν ἀνθρώπων γένος εἰδέναι τῶν γινομένων τὴν τάξιν, καὶ τίς ὁ τοῦ παντὸς δημιουργός, καὶ ὅπως ἕκαστον παρήχθη; ἐπειδὴ γὰρ ἔτι ἀτελέστερον διέκειτο τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐκ ἠδύνατο τῶν τελειοτέρων συνιέναι τὴν κατανόησιν, διὰ τοῦτο πρὸς τὴν τῶν ἀκουόντων ἀσθένειαν τὸ πνεῦμα τὸ ἅγιον τὴν τοῦ προφήτου γλῶτταν κινῆσαν, οὕτως ἅπαντα ἡμῖν διαλέγεται. καὶ ἵνα μάθῃς, ὅτι διὰ τὸ ἀτελὲς τῆς ἡμετέρας διανοίας ταύτῃ ἐχρήσατο τῇ συγκαταβάσει τῆς διηγήσεως, ὅρα τὸν τῆς βροντῆς υἱόν, ὅτε πρὸς ἀρετὴν ἐπέδωκε τὸ τῶν ἀνθρώπων γένος, οὐκέτι ταύτην ἐρχόμενον τὴν ὁδόν, ἀλλ' ἐπὶ τὴν ὑψηλοτέραν διδασκαλίαν ἀνάγοντα τοὺς ἀκροωμένους. Ἰω. α. α. εἰπὼν γάρ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος, ἐπήγαγεν, ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. καθάπερ γὰρ ἐνταῦθα τὸ φῶς τοῦτο τὸ αἰσθητὸν τῷ προστάγματι τοῦ δεσπότου παραχθέν, τὸ σκότος τοῦτο τὸ ὁρώμενον ἀπέκρυψεν· οὕτω καὶ τὸ νοητὸν φῶς τῆς πλάνης τὸ σκότος ἀπήλασε, καὶ πρὸς τὴν ἀλήθειαν τοὺς πλανωμένους ἐχειραγώγησε.

γρ. γινο

δεξώμεθα οὖν μετὰ πολλῆς [τῆς] εὐγνωμοσύνης τὰ παρὰ τῆς θείας γραφῆς διδάγματα, καὶ μὴ ἀντιβλέπωμεν τῇ ἀληθείᾳ, μηδὲ τῷ σκότει παραμένωμεν· ἀλλὰ πρὸς τὸ φῶς ἐπειγώμεθα, καὶ ἄξια τοῦ φωτὸς καὶ τῆς ἡμέρας διαπραττώμεθα [ἔργα], καθάπερ καὶ Παῦλος παραινεῖ λέγων, Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, καὶ μὴ ἐργαζώμεθα τὰ ἔργα τοῦ σκότους. καὶ ἐκάλεσε, φησιν, ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. ἀλλ' ὃ μικροῦ ἡμᾶς παρέδραμεν, ἀναγκαῖον τοῦτο ἐπαναλαβεῖν πάλιν. ἐπειδὴ γὰρ εἶπε, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, ἐπήγαγε· καὶ εἶδεν ὁ θεὸς τὸ φῶς, ὅτι καλόν. θέα μοι, ἀγαπητέ, ἐνταῦθα πόση ἡ συγκατάβασις τῶν ῥημάτων. τί οὖν πρὶν ἢ γενέσθαι, οὐκ ᾔδει ὁ θεὸς ὅτι καλόν, ἀλλὰ μετὰ τὸ παραχθῆναι ἡ ὄψις ἔδειξε τῷ δημιουργῷ τὸ κάλλος τοῦ παραχθέντος; καὶ τίς ἂν τοῦτο εἴποι τῶν νοῦν ἐχόντων; εἰ γὰρ ἄνθρωπος τέχνῃ τινὶ ἐργαζόμενος, [καὶ] πρὶν ἢ κατασκευάζῃ τὸ ὑπ' αὐτοῦ δημιουργούμενον, καὶ πρὶν ἢ μορφώσῃ, οἶδε τὴν χρείαν, εἰς ἣν συντελεῖ τὸ ὑπ' αὐτοῦ γινόμενον· πολλῷ μᾶλλον ὁ τῶν ἁπάντων δημιουργός, ὁ λόγῳ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, ᾔδει καὶ πρὸ τοῦ δημιουργηθῆναι τὸ φῶς, ὅτι καλόν. τίνος οὖν ἕνεκεν ταύτῃ τῇ λέξει ἐχρήσατο; πρὸς τὴν συνήθειαν τὴν ἀνθρωπίνην συγκαταβαίνων ἅπαντα φθέγγεται ὁ μακάριος οὗτος προφήτης. καὶ καθάπερ οἱ ἄνθρωποι, ἐπειδάν τι μετὰ πολλῆς τῆς ἐπιμελείας ἐργάσωνται, καὶ τέλος ἐπιθῶσι τοῖς οἰκείοις καμάτοις, τότε ἐκ τῆς δοκιμασίας καὶ τὸν ἔπαινον προσάγουσι τοῖς ὑπ' αὐτῶν γινομένοις· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ θεία γραφὴ νῦν συγκατιοῦσα τῇ ἀσθενείᾳ τῆς ἀκοῆς τῆς ἡμετέρας, φησί, καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι καλόν· καὶ τότε ἐπήγαγε, καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτός, καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. ἰδίαν τινὰ χώραν ἑκάστῳ ἀπένειμεν, ὅρους τινὰς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἑκάστῳ πηγνύς, ὥστε εἰς τὸ διηνεκὲς τούτους ἀπαραποδίστως διαφυλάττειν. καὶ τοῦτο ἔξεστι συνιδεῖν ἑκάστῳ τῶν εὖ φρονούντων, πῶς ἐξ ἐκείνου μέχρι τοῦ παρόντος οὔτε τὸ φῶς ὑπερέβη τοὺς οἰκείους ὅρους, οὔτε τὸ σκότος τὴν οἰκείαν τάξιν παρῆλθε σύγχυσίν τινα καὶ ἀταξίαν ἐργαζόμενον. καὶ γὰρ ἱκανὸν καὶ τοῦτο μόνον τοὺς ἀγνωμονεῖν βουλομένους πρὸς τὴν πειθὼ καὶ τὴν ὑπακοὴν τῶν παρὰ τῆς θείας γραφῆς λεγομένων ἐνάγειν, ὥστε μιμήσασθαι κἂν τῶν στοιχείων τὴν τάξιν τὴν ἀπαραπόδιστον τηρούντων τὸν δρόμον, καὶ μὴ ὑπερβαίνειν τὰ οἰκεῖα μέτρα, ἀλλ' ἐπιγινώσκειν τὴν οἰκείαν φύσιν. εἶτα ἐπειδὴ ἑκάστῳ τὴν προσηγορίαν ἐπέθηκεν, ἀμφότερα εἰς ταυτὸ συναγαγών, φησι,

Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα μία.

Τὸ τέλος τῆς ἡμέρας καὶ τὸ τέλος τῆς νυκτὸς μίαν ἐμφαίνων ὠνόμασεν, ἵνα τάξιν τινὰ καὶ ἀκολουθίαν ἐπιστήσῃ τοῖς ὁρωμένοις, καὶ μηδεμία σύγχυσις ᾖ· ἀλλ' εἰδέναι ἔχωμεν διδασκόμενοι παρὰ τοῦ πνεύματος τοῦ ἁγίου διὰ τῆς τοῦ μακαρίου τούτου προφήτου γλώττης, τίνα μὲν κατὰ τὴν πρώτην ἐδημιουργήθη ἡμέραν, τίνα δὲ ἐν ταῖς ἄλλαις. καὶ τοῦτο δὲ αὐτὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐστὶ καὶ συγκαταβάσεως. οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος αὐτοῦ χεὶρ, καὶ ἡ ἄπειρος σοφία καὶ ἐν μιᾷ ἡμέρᾳ τὰ πάντα παραγαγεῖν. τί δὲ λέγω ἐν μιᾷ ἡμέρᾳ; καὶ ἐν ἀκαριαίᾳ ῥοπῇ. ἀλλ' ἐπειδὴ οὐ διὰ τὴν ἑαυτοῦ χρείαν παρήγαγέ τι τῶν ὄντων (οὐδενὸς γὰρ δεῖται ἀνενδεὴς ὤν) ἀλλὰ φιλανθρωπίᾳ τινὶ καὶ ἀγαθότητι τὰ πάντα ἐτεκτήνατο, διὰ τοῦτο κατὰ μέρος δημιουργεῖ, καὶ [τὴν] διδασκαλίαν ἡμῖν σαφῆ τῶν γινομένων παραδίδωσι διὰ τῆς τοῦ* προφήτου γλώττης· ἵνα μαθόντες ἀκριβῶς, μὴ προσπταίωμεν τοῖς ἐξ ἀνθρωπίνων λογισμῶν κινουμένοις. Εἰ γὰρ καὶ τούτων οὕτω γεγενημένων, εἰσί τινες οἱ αὐτόματα λέγοντες γεγενῆσθαι πάντα

Ρω. ιγ. ιγ.

γρ. εἶδεν

γρ. τι

γρ. πόσῳ

γρ. ἀγαγεῖν

γρ. ἰδίαν

γρ. τῆς τοῦ φιλανθρώπου θεοῦ ἐστι συγκαταβάσεως.

γρ. τὰ ὄντα

μακαρίου

γρ. ἐκ τῶν ἀνθ. λογ. κινούμενοι.

τὰ ὄντα· εἰ μὴ τοσαύτῃ ἐχρήσατο τῇ συγκαταβάσει καὶ διδασκαλίᾳ, τί οὐκ ἂν ἐτόλμησαν οἱ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα καὶ λέγειν καὶ πράττειν σπουδάζοντες; τί γὰρ ἂν εἴη ἀθλιώτερον καὶ ἀνοητότερον τῶν ταῦτα λέγειν ἐπιχειρούντων, καὶ αὐτόματα φασκόντων γεγενῆσθαι τὰ ὄντα, καὶ τῆς τοῦ θεοῦ προνοίας ἀποστερούντων τὴν πᾶσαν δημιουργίαν; πῶς γὰρ ἂν ἔχοι λόγον, εἰπέ μοι, τὰ τοσαῦτα στοιχεῖα καὶ τὴν τοσαύτην διακόσμησιν ἄνευ τινὸς τοῦ κυβερνῶντος καὶ τὰ πάντα διακρατοῦντος ἡνιοχεῖσθαι; καὶ ναῦς μὲν οὐκ ἄν ποτε δυνηθείη κυβερνήτου χωρὶς τὰ τῆς θαλάττης κύματα διαδραμεῖν· οὐδὲ στρατιώτης ἐργάζεσθαί τι γενναῖον, μὴ τοῦ στρατηγοῦντος ἐφεστῶτος· οὐδὲ οἰκία συνεστάναι μὴ τοῦ ταύτην οἰκοδομοῦντος παρόντος· ὁ δὲ ἄπειρος οὗτος κόσμος καὶ τῶν στοιχείων τούτων ἡ διακόσμησις, ἁπλῶς καὶ ὡς ἔτυχε, φέρεσθαι ἠδύνατο, μή τινος ὄντος τοῦ ἡνιοχεῖν τὰ πάντα δυναμένου, καὶ κατὰ τὴν οἰκείαν σοφίαν συνέχοντος καὶ διαβαστάζοντος ἅπαντα τὰ ὁρώμενα; ἀλλὰ τί περαιτέρω φιλονεικοῦμεν ταῦτα δεικνύειν ἐκείνοις, ἃ, κατὰ τὴν παροιμίαν, καὶ τυφλοῖς δῆλα καθέστηκεν; ὅμως μὴ διαλιμπάνωμεν προστιθέντες αὐτοῖς τὰ ἀπὸ τῆς γραφῆς διδάγματα, καὶ πᾶσαν ποιούμενοι σπουδὴν, ὥστε καὶ τῆς πλάνης αὐτοὺς ἀπαλλάξαι, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. εἰ γὰρ καὶ ἔτι τῇ πλάνῃ εἰσὶ προκατειλημμένοι, ἀλλ᾽ ὅμως ὁμογενεῖς τυγχάνουσι, καὶ προσήκει πολλὴν αὐτῶν ποιεῖσθαι τὴν πρόνοιαν, καὶ μηδέποτε ναρκᾶν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας τὰ παρ᾽ ἑαυτῶν ἐπιδεικνυμένους κατάλληλον αὐτοῖς τὴν ἰατρείαν παρέχειν, ἵνα ὀψέ γέ ποτε πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανέλθωσιν. οὐδὲν γὰρ οὕτω τῷ θεῷ περισπούδαστον, ὡς ψυχῆς σωτηρία. καὶ βοᾷ Παῦλος λέγων, Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ πάλιν, αὐτὸς ὁ θεός φησιν, Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. διὰ γὰρ τοῦτο καὶ τὴν κτίσιν * ἅπασαν παρήγαγε, καὶ ἡμᾶς ἐδημιούργησεν, οὐχ ἵνα ἀπολώμεθα, οὐδ᾽ ἵνα εἰς κόλασιν ἡμᾶς παραπέμψῃ, ἀλλ᾽ ἵνα σώσῃ, καὶ τῆς πλάνης * ἐλευθερώσας τῆς βασιλείας τὴν ἀπόλαυσιν ἡμῖν δωρήσηται. ταύτην γὰρ ἡμῖν καὶ ἡτοίμασεν, οὐ νῦν μετὰ τὸ γενέσθαι, ἀλλὰ πρὸ καταβολῆς κόσμου, καθὼς αὐτός φησι, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν " πρὸ καταβολῆς κόσμου. ὅρα φιλανθρωπίαν δεσπότου, ὅπως καὶ πρὸ τῆς δημιουργίας, καὶ πρὶν ἢ παραγαγεῖν τὸν ἄνθρωπον, τὰ μυρία αὐτῷ ἀγαθὰ εὐτρέπισε, δεικνὺς ὅσην πρόνοιαν ποιεῖται τοῦ γένους τοῦ ἡμετέρου, καὶ ὅτι πάντας βούλεται σωθῆναι. τοιοῦτον τοίνυν ἔχοντες δεσπότην, οὕτω φιλάνθρωπον, οὕτως ἀγαθὸν, οὕτως ἥμερον, καὶ τῆς οἰκείας σωτηρίας φροντίζωμεν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων. τοῦτο γὰρ ἡμῖν καὶ σωτηρίας ὑπόθεσις " γίνεται, ὅταν μὴ ὑπὲρ ἑαυτῶν μόνον σπουδάζωμεν, ἀλλ᾽ ὅταν καὶ τὸν πλησίον ὠφελῶμεν, καὶ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν χειραγωγῶμεν. καὶ ἵνα μάθῃς ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἕτερον κερδᾶναι, " ἄκουε ἐκ προσώπου τοῦ θεοῦ λέγοντος τοῦ προφήτου· Ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται. τί δὲ τοῦτο ἐστιν; ὁ ἐκ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, φησι, χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς τὴν ἀρετὴν ὁδηγῶν τὸν πλησίον, κατὰ δύναμιν ἀνθρωπίνην ἐμὲ μιμεῖται. καὶ γὰρ καὶ αὐτὸς δι᾽ οὐδὲν ἕτερον, θεὸς ὢν, τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ διὰ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους γέγονεν ἄνθρωπος. καὶ τί λέγω τὴν ἡμετέραν ὑπέδυ σάρκα; καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινεν, ὅπου γε καὶ σταυρὸν κατεδέξατο, ἵνα ἡμᾶς τοὺς ὑπὸ ἁμαρτιῶν προδεδομένους τῆς κατάρας ἐλευθερώσῃ. καὶ βοᾷ τοῦτο Παῦλος λέγων, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ

ἡμῶν

α. Τιμ. β. δ.

Ἰεζ. ιη. κγ.

Ματθ. κε. λδ.

Ἱερ. ιε. ιθ.

Γαλ. γ. ιγ.

γρ. ἐπιμελείας

* ταύτην

* ἡμᾶς.

γρ. ἀπό

γρ. γίνεται

γρ. ἄκουσον

ἡμῶν κατάρχει. Εἰ τοίνυν αὐτὸς, θεὸς ὢν, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων, διὰ φιλανθρωπίαν ἄφατον ταῦτα ἅπαντα κατεδέξατο δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, τί οὐκ ἂν εἴημεν αὐτοὶ δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγγος αὐτοὺς ἐξαρπάσαι τοῦ διαβόλου καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγῆσαι; ὅσῳ γὰρ ψυχὴ σώματος κρείττων, τοσούτῳ τῶν χρήμασι βοηθούντων τοῖς δεομένοις οὗτοι μειζόνων ἀξιοῦνται τῶν ἀμοιβῶν, οἱ διὰ τῆς παραινέσεως καὶ τῆς συνεχοῦς διδασκαλίας τοὺς ῥαθύμους καὶ ἀναπεπτωκότας ἀνάγοντες ἐπὶ τὴν εὐθεῖαν ὁδὸν, καὶ δεικνύντες τῆς μὲν κακίας τὸ δυσειδὲς, τῆς δὲ κατὰ θεὸν ἀρετῆς τὴν πολλὴν" εὐμορφίαν.

γρ. εὐωδίαν.

ΗΘΙΚΟΝ.

Ταῦτα τοίνυν ἅπαντα εἰδότες, παρὰ τὴν ἄλλων ἁπάντων τῶν βιωτικῶν, περὶ τῆς κατὰ ψυχὴν σωτηρίας διαλεγώμεθα τοῖς πλησίον, εἰς ταύτην αὐτοὺς ἐνάγοντες τὴν μέριμναν. ἀγαπητὸν γὰρ, ἀγαπητὸν συνεχῶς ταῦτα ἐνηχουμένην ψυχὴν δυνηθῆναι" ἀνενεγκεῖν ἐκ τῆς ἀβύσσου τῶν κακῶν τῶν ἐν τῷ μέσῳ στρεφομένων, καὶ περιγενέσθαι τῆς τῶν παθῶν ἐπαναστάσεως, ἅπερ διηνεκῶς πολιορκεῖ τὴν ἡμετέραν ψυχήν. (γρ. ἀνελκεῖν) καὶ διὰ τοῦτο χρεία ἡμῖν πολλῆς τῆς ἀγρυπνίας, ἐπειδὴ καὶ διηνεκὴς ἡμῖν ἐστιν ὁ πόλεμος, καὶ ἀνακωχὴν οὐδέποτε ἔχων. διὸ καὶ Παῦλος ἔλεγεν Ἐφεσίοις γράφων, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. (Εφ. ς. ιβ.) μὴ νομίσητε, φησὶ, τὸν τυχόντα ἡμῖν προκεῖσθαι ἀγῶνα· οὐ πρὸς ὁμογενεῖς ἡμῖν ἐστιν ἡ πάλη, οὐδὲ ἐξ ἴσης ἡμῖν ἐστι τὰ τῆς παρατάξεως. καὶ γὰρ σώματι συμπεπλεγμένοι ταῖς ἀσωμάτοις παλαίειν δυνάμεσι προσετάγημεν. ἀλλὰ μὴ δείσητε. εἰ γὰρ καὶ ἀνώμαλος ἡ μάχη, ἀλλὰ μεγάλη τῶν ὅπλων τῶν ἡμετέρων ἡ δύναμις. ἐπήγαγε γὰρ μονονουχὶ λέγων, ἐπειδὴ ἔγνωτε τῶν πολεμίων τὴν φύσιν, μὴ καταπέσητε μηδὲ ναρκήσητε πρὸς τὴν πάλην· ἀλλὰ διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. πολλαὶ γὰρ αἱ τούτου μεθοδεῖαι, τουτ' ἔστιν ὁδοὶ, δι' ὧν ὑποσκελίζειν ἐπιχειρεῖ τοὺς ῥαθυμοτέρους, καὶ δεῖ ταύτας ἀκριβῶς ἐπίστασθαι, ὥστε διαφυγεῖν* τὰς" λαβὰς, καὶ μηδεμίαν αὐτῷ παρείσδυσιν ἀφιέναι, ἀλλὰ καὶ γλώττης ἀκρίβειαν ἐπιδείκνυσθαι, καὶ ὀφθαλμῶν ἀσφάλειαν, καὶ διανοίας καθαρότητα, καὶ διηνεκῶς ἐναγώνιον εἶναι, καθάπερ θηρίου τινὸς ἐπιόντος καὶ λυμήνασθαι ἡμῖν ἐπιχειροῦντος.

* αὐτοῦ
γρ. βουλάς

διὰ γὰρ τοῦτο καὶ ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, ὁ τῶν ἐθνῶν διδάσκαλος, ἡ γλῶττα τῆς οἰκουμένης, ὁ ὑπὲρ τῆς τῶν μαθητευομένων σωτηρίας ἅπαντα πραγματευόμενος, εἰπὼν, ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πάλιν ἐπήγαγε πανταχόθεν ἡμᾶς περιφράττων, καὶ ἀχειρώτους ἐργαζόμενος, οὕτω λέγων, Στῆτε οὖν" περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ.

Εφ. ς. ιδ.

γρ. περιεζωσμένοι

Εἶδες ὅπως πάντα τὰ μέλη περιέφραξε; καὶ καθάπερ τις εἰς πόλεμόν τινα μέλλων ἐξαγαγεῖν, οὕτω πρῶτον μὲν τῇ ζώνῃ ἠσφαλίσατο, ὥστε εὔκολον εἶναι ἡμῖν τὸν δρόμον· ἔπειτα τὸν θώρακα* ἐνέδυσεν, ἵνα μὴ ὑπὸ τῶν βελῶν πληττώμεθα, καὶ τοὺς πόδας ἠσφαλίσατο, καὶ πανταχόθεν τῇ πίστει περιέφραξεν. αὕτη γὰρ, αὕτη, φησὶ, καὶ τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι δυνήσεται. τίνα δέ ἐστι τοῦ διαβόλου τὰ βέλη; αἱ πονηραὶ ἐπιθυμίαι, οἱ ἀκάθαρτοι λογισμοὶ, τὰ πάθη τὰ ὀλέθρια, θυμὸς, βασκανία, φθόνος, ὀργὴ, μῖσος, χρημάτων ἐπιθυμία, καὶ ἡ ἄλλη ἀπα-

* ἡμῖν

τὰ ὄντα. Εἰ μὴ τοσαύτῃ ἐχρήσατο τῇ συγκαταβάσει καὶ διδασκαλίᾳ, τί οὐκ ἂν ἐτόλμησαν οἱ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα καὶ λέγειν καὶ πράττειν σπουδάζοντες; τί γὰρ ἂν εἴη ἀθλιώτερον καὶ ἀνοητότερον τῶν ταῦτα λέγειν ἐπιχειρούντων, καὶ αὐτόματα φασκόντων γεγενῆσθαι τὰ ὄντα, καὶ τῆς τοῦ θεοῦ προνοίας ἀποστερούντων τὴν πᾶσαν δημιουργίαν; πῶς γὰρ ἂν ἔχοι λόγον, εἰπέ μοι, τὰ τοσαῦτα στοιχεῖα καὶ τὴν τοσαύτην διακόσμησιν ἄνευ τινὸς τοῦ κυβερνῶντος καὶ τὰ πάντα διακρατοῦντος ἡνιοχεῖσθαι; καὶ ναῦς μὲν οὐκ ἄν ποτε δυνηθείη κυβερνήτου χωρὶς τὰ τῆς θαλάττης κύματα διαδραμεῖν· οὐδὲ στρατιώτης ἐργάζεσθαί τι γενναῖον, μὴ τοῦ στρατηγοῦντος ἐφεστῶτος· οὐδὲ οἰκία συνεστάναι μὴ τοῦ ταύτην οἰκοδομοῦντος παρόντος· ὁ δὲ ἄπειρος οὗτος κόσμος καὶ τῶν στοιχείων τούτων ἡ διακόσμησις, ἁπλῶς καὶ ὡς ἔτυχε, φέρεσθαι ἠδύνατο, μή τινος ὄντος τοῦ ἡνιοχεῖν τὰ πάντα δυναμένου, καὶ κατὰ τὴν οἰκείαν σοφίαν συνέχοντος καὶ διαβαστάζοντος ἅπαντα τὰ ὁρώμενα; ἀλλὰ τί περαιτέρω φιλονεικοῦμεν ταῦτα δεικνύειν ἐκείνοις, ἃ, κατὰ τὴν παροιμίαν, καὶ τυφλοῖς δῆλα καθέστηκεν; ὅμως μὴ διαλιμπάνωμεν προστιθέντες αὐτοῖς τὰ ἀπὸ τῆς γραφῆς διδάγματα, καὶ πᾶσαν ποιούμενοι σπουδήν, ὥστε καὶ τῆς πλάνης αὐτοὺς ἀπαλλάξαι, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. Εἰ γὰρ καὶ ἐπὶ τῇ πλάνῃ εἰσὶ προκατειλημμένοι, ἀλλ' ὅμως ὁμογενεῖς τυγχάνουσι, καὶ προσήκει πολλὴν αὐτῶν ποιεῖσθαι τὴν πρόνοιαν, καὶ μηδέποτε ναρκᾶν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας τὰ παρ' ἑαυτῶν ἐπιδεικνυμένους κατάλληλον αὐτοῖς τὴν ἰατρείαν παρέχειν, ἵνα ὀψέ γοῦν ποτε πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανέλθωσιν. οὐδὲν γὰρ οὕτω τῷ θεῷ περισπούδαστον, ὡς ψυχῆς σωτηρία. καὶ βοᾷ Παῦλος λέγων, Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ πάλιν, αὐτὸς ὁ θεός φησιν, Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Διὰ γὰρ τοῦτο καὶ τὴν κτίσιν * ἅπασαν παρήγαγε, καὶ ἡμᾶς ἐδημιούργησεν, οὐχ ἵνα ἀπολώμεθα, οὐδ' ἵνα εἰς κόλασιν ἡμᾶς παραπέμψῃ, ἀλλ' ἵνα σώσῃ, καὶ τῆς πλάνης * ἐλευθερώσας τῆς βασιλείας τὴν ἀπόλαυσιν ἡμῖν δωρήσηται. ταύτην γὰρ ἡμῖν καὶ ἡτοίμασεν, οὐ νῦν μετὰ τὸ γενέσθαι, ἀλλὰ πρὸ καταβολῆς κόσμου, καθὼς αὐτός φησι, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ‖ πρὸ καταβολῆς κόσμου. ὅρα φιλανθρωπίαν δεσπότου, ὅπως καὶ πρὸ τῆς δημιουργίας, καὶ πρὶν ἢ παραγαγεῖν τὸν ἄνθρωπον, τὰ μυρία αὐτῷ ἀγαθὰ εὐτρέπισε, δεικνὺς ὅσην πρόνοιαν ποιεῖται τοῦ γένους τοῦ ἡμετέρου, καὶ ὅτι πάντας βούλεται σωθῆναι. τοιοῦτον τοίνυν ἔχοντες δεσπότην, οὕτω φιλάνθρωπον, οὕτως ἀγαθόν, οὕτως ἥμερον, καὶ τῆς οἰκείας σωτηρίας φροντίζωμεν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων. τοῦτο γὰρ ἡμῖν καὶ σωτηρίας ὑπόθεσις ‖ γίνεται, ὅταν μὴ ὑπὲρ ἑαυτῶν μόνον σπουδάζωμεν, ἀλλ' ὅταν καὶ τὸν πλησίον ὠφελῶμεν, καὶ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν χειραγωγῶμεν. καὶ ἵνα μάθῃς ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἕτερον κερδᾶναι, ‖ ἄκουε ἐκ προσώπου τοῦ θεοῦ λέγοντος τοῦ προφήτου· Ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται. τί δὲ τοῦτό ἐστιν; ὁ ἐκ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, φησί, χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς τὴν ἀρετὴν ὁδηγῶν τὸν πλησίον, κατὰ δύναμιν ἀνθρωπίνην ἐμὲ μιμεῖται. καὶ γὰρ καὶ αὐτὸς δι' οὐδὲν ἕτερον, θεὸς ὤν, τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ διὰ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους γέγονεν ἄνθρωπος. καὶ τί λέγω τὴν ἡμετέραν ὑπέδυ σάρκα; καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινεν, ὅπου γε καὶ σταυρὸν κατεδέξατο, ἵνα ἡμᾶς τοὺς ὑπὸ ἁμαρτιῶν προδεδομένους τῆς κατάρας ἐλευθερώσῃ. καὶ βοᾷ τοῦτο Παῦλος λέγων, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ

ἡμῶν

α. Τιμ. β. δ.
Ἰεζ. λγ. ια.
Ματθ. κε. λδ.
Ἱερ. ιε. ιθ.
Γαλ. γ. ιγ.

γρ. ἐπιμελείας
* ταύτην
* ἡμᾶς.
γρ. ἀπὸ.
γρ. γενήσεται
γρ. ἄκουσον

ἡμῶν κατάρα. Εἰ τοίνυν αὐτός, θεὸς ὤν, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων, διὰ φιλανθρωπίαν ἄφατον ταῦτα ἅπαντα κατεδέξατο δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, τί οὐκ ἂν εἴημεν [illegible] δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγγος αὐτοὺς ἐξαρπάσαι τοῦ διαβόλου, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγῆσαι; ὅσῳ γὰρ ψυχὴ σώματος κρείττων, τοσούτῳ τῶν χρήμασι βοηθούντων τοῖς δεομένοις οὗτοι μειζόνων ἀξιοῦνται τῶν ἀμοιβῶν, οἱ διὰ τῆς παραινέσεως καὶ τῆς συνεχοῦς διδασκαλίας τοὺς ῥαθύμους καὶ ἀναπεπτωκότας ἀνάγοντες ἐπὶ τὴν εὐθεῖαν ὁδόν, καὶ δεικνύντες τῆς μὲν κακίας τὸ δυσειδές, τῆς δὲ κατὰ θεὸν ἀρετῆς τὴν πολλὴν ″εὐμορφίαν.

γρ. εὐωδίαν.

ΗΘΙΚΟΝ.

Ταῦτα τοίνυν ἅπαντα εἰδότες, περὶ τῶν ἄλλων ἁπάντων τῶν βιωτικῶν, περὶ τῆς κατὰ ψυχὴν σωτηρίας διαλεγώμεθα τοῖς πλησίον, εἰς ταύτην αὐτοὺς ἐνάγοντες τὴν μέριμναν. ἀγαπητὸν γάρ, ἀγαπητὸν συνεχῶς ταῦτα ἐνηχουμένην ψυχὴν δυνηθῆναι ″ἀνενεγκεῖν ἐκ τῆς ἀβύσσου τῶν κακῶν τῶν ἐν τῷ μέσῳ στρεφομένων, καὶ περιγενέσθαι τῆς τῶν παθῶν ἐπαναστάσεως, ἅπερ διηνεκῶς πολιορκεῖ τὴν ἡμετέραν ψυχήν.

γρ. ἐνεγκεῖν

καὶ διὰ τοῦτο χρεία ἡμῖν πολλῆς τῆς ἀγρυπνίας, ἐπειδὴ καὶ διηνεκὴς ἡμῖν ἐστιν ὁ πόλεμος, καὶ ἀνακωχὴν οὐδέποτε ἔχων. διὸ καὶ Παῦλος ἔλεγεν Ἐφεσίοις γράφων, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Ep. 5. 12.

μὴ νομίσητε, φησί, τὸν τυχόντα ἡμῖν προκεῖσθαι ἀγῶνα· οὐ πρὸς ὁμογενεῖς ἡμῖν ἐστιν ἡ πάλη, οὐδὲ ἐξ ἴσης ἡμῖν ἐστι τὰ τῆς παρατάξεως. καὶ γὰρ σώματι συμπεπλεγμένοι ταῖς ἀσωμάτοις παλαίειν δυνάμεσι προσετάγμεθα. ἀλλὰ μὴ δείσητε. εἰ γὰρ καὶ ἀνώμαλος ἡ μάχη, ἀλλὰ μεγάλη τῶν ὅπλων τῶν ἡμετέρων ἡ δύναμις. ἐπήγαγε γὰρ μονονουχὶ λέγων, ἐπειδὴ ἔγνωτε τῶν πολεμίων τὴν φύσιν, μὴ καταπέσητε μηδὲ ναρκήσετε πρὸς τὴν πάλην· ἀλλὰ διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. πολλαὶ γὰρ αἱ τούτου μεθοδεῖαι, τουτέστιν ὁδοί, δι' ὧν ὑποσκελίζειν ἐπιχειρεῖ τοὺς ῥαθυμοτέρους, καὶ δεῖ ταύτας ἀκριβῶς ἐπίστασθαι, ὥστε διαφυγεῖν* τὰς ″λαβάς, καὶ μηδεμίαν αὐτῷ παρείσδυσιν ἀφιέναι, ἀλλὰ καὶ γλώττης ἀκρίβειαν ἐπιδείκνυσθαι, καὶ ὀφθαλμῶν ἀσφάλειαν, καὶ διανοίας καθαρότητα, καὶ διηνεκῶς ἐναγώνιον εἶναι, καθάπερ θηρίου τινὸς ἐπιόντος καὶ λυμήνασθαι ἡμῖν ἐπιχειροῦντος.

* αὐτοῦ
γρ. βουλάς

διὰ γὰρ τοῦτο καὶ ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ τῶν ἐθνῶν διδάσκαλος, ἡ γλῶττα τῆς οἰκουμένης, ὁ ὑπὲρ τῆς τῶν μαθητευομένων σωτηρίας ἅπαντα πραγματευόμενος, εἰπών, ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πάλιν ἐπήγαγε πανταχόθεν ἡμᾶς περιφράττων, καὶ ἀχειρώτους ἐργαζόμενος, οὕτω λέγων, Στῆτε οὖν ″περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ.

Ep. 5. 18.

γρ. περιζωσάμενοι

Εἶδες ὅπως πάντα τὰ μέλη περιέφραξε; καὶ καθάπερ τις εἰς πόλεμόν τινα μέλλων ἐξαγαγεῖν, οὕτω πρῶτον μὲν τῇ ζώνῃ ἠσφαλίσατο, ὥστε εὔκολον εἶναι ἡμῖν τὸν δρόμον· ἔπειτα τὸν θώρακα * ἐνέδυσεν, ἵνα μὴ ὑπὸ τῶν βελῶν πληττώμεθα, καὶ τοὺς πόδας ἠσφαλίσατο, καὶ πανταχόθεν τῇ πίστει περιέφραξεν. αὕτη γάρ, αὕτη, φησί, καὶ τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι δυνήσεται. τίνα δέ ἐστι τοῦ διαβόλου τὰ βέλη; αἱ πονηραὶ ἐπιθυμίαι, οἱ ἀκάθαρτοι λογισμοί, τὰ πάθη τὰ ὀλέθρια, θυμός, βασκανία, φθόνος, ὀργή, μῖσος, χρημάτων ἐπιθυμία, καὶ ἡ ἄλλη ἅπα-

* ἡμῖν

σα ῥᾳθυμία. Ταῦτά φησιν ἅπαντα σβέσαι δυνήσεται ἡ μάχαιρα τοῦ πνεύματος. καὶ τί λέγω σβέσαι; καὶ τὴν κεφαλὴν αὐτὴν τοῦ πολεμίου ἀποτεμεῖν δυνήσεται. Εἶδες πῶς ἐνεύρωσε τοὺς μαθητευομένους; πῶς κηροῦ μαλακωτέρους ὄντας, σιδήρου στερροτέρους ″εἰργάσατο; ἐπειδὴ γὰρ ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα ὁ πόλεμος, ἀλλὰ πρὸς τὰς ἀσωμάτους δυνάμεις, διὰ τοῦτο οὐδὲ τὰ ὅπλα ἡμῖν σαρκικὰ περιέθηκεν, ἀλλὰ πνευματικὰ πάντα, καὶ οὕτως ἀποστίλβοντα, ὥστε μηδὲ τὴν ἐκ τούτων αἴγλην ἐνεγκεῖν δύνασθαι τὸν πονηρὸν ἐκεῖνον δαίμονα. Τοιαῦτα τοίνυν ὅπλα ἐνδεδυμένοι μὴ φεύγωμεν τὴν πάλην, μηδὲ τὴν ″συμβολὴν φεύγωμεν, ἀλλὰ μηδὲ ῥᾳθυμῶμεν. ὥσπερ γὰρ νηφόντων ἡμῶν οὐκ ἄν ποτε περιγένοιτο ὁ πονηρὸς δαίμων ἐκεῖνος τῆς τῶν ὅπλων δυνάμεως, ἐὰν βουλώμεθα ″ἄκυρα αὐτοῦ ποιῆσαι τὰ μηχανήματα· οὕτως ἐὰν ῥᾳθυμῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται, τοῦ πολεμίου τῆς ἡμετέρας σωτηρίας διηνεκῶς ἐγρηγορότος, καὶ πάντα κατὰ τῆς σωτηρίας ἡμῶν διαπραττομένου. πανταχόθεν τοίνυν ὁπλίζωμεν ἑαυτοὺς, καὶ ῥημάτων φειδόμενοι καὶ πραγμάτων ἀπεχόμενοι τῶν βλάπτειν ἡμᾶς δυναμένων, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τῆς ἄλλης ἀρετῆς, καὶ τὴν περὶ τοὺς πένητας δαψίλειαν ἐπιδεικνυώμεθα, εἰδότες ὅση τῆς περὶ τούτους θεραπείας ἡμῖν κείσεται ἡ ἀνταπόδοσις. ὁ γὰρ ἐλεῶν, φησὶ, ″πτωχὸν, δανείζει θεῷ. ὅρα δανείου φύσιν ξένην καὶ παράδοξον. ἕτερός ἐστιν ὁ λαμβάνων, καὶ ἕτερος ὁ τῷ δανείῳ ὑπεύθυνον ἑαυτὸν καθιστάς· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐπὶ τούτου τοῦ δανείου οὐκ ἔστιν ἀγνωμοσύνην ὑποστῆναι, οὐδὲ ἑτέραν τινὰ ζημίαν. οὐδὲ γὰρ καθάπερ ἐνταῦθα ἑκατοστὴν μόνον ὑπισχνεῖται δώσειν, ἀλλὰ ἑκατονταπλασίονα τῶν διδομένων, καὶ οὐδὲ μέχρι τούτου ἵσταται· ἀλλὰ ταῦτα μὲν ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι δὲ ζωὴν αἰώνιον. καὶ ἐπὶ μὲν τοῦ παρόντος βίου εἴ τις ἡμῖν ὑπέσχετο διπλασίονα μόνον τῶν διδομένων ὑφ' ἡμῶν παρέξειν, προθύμως ἂν ἅπασαν ἡμῶν τὴν ὕπαρξιν προεθηκάμεθα, ὅπου πολλὴ πολλάκις ἡ ἀγνωμοσύνη, πολλαὶ τῶν πλεονεκτούντων αἱ ὑπερβολαί. καὶ γὰρ καὶ τῶν σφόδρα γνησίων πολλοὶ οὐδὲ αὐτὸ τὸ δανεισθὲν τοῖς δεδωκόσι παρέσχον, ἢ διὰ ἀγνωμοσύνην τοῦτο ὑπομείναντες, ἢ καὶ πολλάκις ὑπὸ πενίας κωλυθέντες. ἐπὶ δὲ τοῦ τῶν ἁπάντων δεσπότου, οὐδὲν τούτων ἐστὶ λογίσασθαι· ἀλλὰ καὶ τὸ δάνειον ἀκέραιον μένει, καὶ * τῶν καταβαλλομένων ἑκατονταπλασίονα παρέξειν ὑπισχνεῖται, ″μετὰ τοῦ καὶ τὴν ἐν τῷ μέλλοντι ζωὴν ἡμῖν ταμιεύεσθαι. τίς οὖν ἡμῖν λοιπὸν ἀπολογία λείπεται μὴ σπεύδουσι καὶ ἐπειγομένοις ἀντὶ τῶν ὀλίγων ἑκατονταπλασίονα λαβεῖν, * καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια; ἀλλ' ἡδέως θύραις καὶ μοχλοῖς ″ἐναποκλειόμεθα τὰ χρήματα, οὐ βουλόμενοι αὐτὰ νῦν προθέσθαι τοῖς δεομένοις τὰ ἁπλῶς καὶ εἰκῆ κείμενα, ἵνα ἐν τῷ μέλλοντι αἰῶνι τῆς παρ' αὐτοῦ προστασίας ἀπολαύσωμεν. Ποιήσατε γὰρ, φησὶν, ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. καὶ οἶδα ὅτι πολλοὶ οὐ μόνον οὐ προσίενται τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ ὡς λῆρόν τινα καὶ μῦθον ἀκούοντες, οὕτω προσέχουσι τοῖς ἡμετέροις λόγοις. ἀλλ' ἐγὼ καὶ διὰ τοῦτο δάκνομαι καὶ ὀδυνῶμαι, ὅτι οὔτε τῶν πραγμάτων ἡ πεῖρα, οὔτε ἡ τοσαύτη τοῦ θεοῦ ὑπόσχεσις, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε αἱ καθ' ἑκάστην ἡμέραν παρ' ἡμῶν παραινέσεις τῶν τοιούτων καθικέσθαι ″ἠδυνήθη. ″ὅμως οὐ παύσομαι οὐδ' οὕτως τῆς τοιαύτης συμβουλῆς, μέχρις ἂν τῇ πολλῇ συνεχείᾳ τῶν λόγων περιγενέσθαι δυνηθῶ, καὶ εἰς νῆψιν αὐτοὺς ἀγαγεῖν, καὶ ἐκ τοῦ κάρου καὶ τῆς μέθης, ἣν ἡ τῶν χρημάτων ἐπιθυμία ἤνεγκε σκοτώσασα τὸν λογισμὸν, ἀνενεγκεῖν. οἶδα γὰρ, οἶδα ὅτι μετὰ τῆς τοῦ θεοῦ χάριτος καὶ ἡ τῶν ἡμετέρων λόγων συνέχεια καὶ ἡ παρὰ τῆς νηστείας ἐπιμέλεια δυνήσεται αὐτοὺς ὀψέ γοῦν ποτε ἀπαλλάξαι τοῦ χαλεποῦ τούτου νοσήματος, καὶ εἰς τελείαν ὑγίειαν ″ἐπαναγαγεῖν· ἵνα καὶ αὐτοὶ τῆς ἐ-

πηρτημένης

Παροιμ. ιθ. ιζ.

Λουκ. ιϛ. θ.

γρ. ἀπειργάσατο

γρ. συμπλοκὴν

γρ. καὶ ἄκυρα αὐτοῦ ποιήσωμεν τὰ

γρ. πτωχῷ

* ὑπὲρ

γρ. μετὰ τοῦτο καὶ τὴν ἐν τῷ μέλλοντι ζωὴν ἡμῖν ταμιεύονται.

* καὶ ἀντὶ τῶν παρόντων τὰ μέλλοντα,

γρ. κλείομεν

ἴσ. ἠδυνήθησαν

γρ. καὶ

γρ. ἀναγαγεῖν

πηρτημένης τοῖς τοιούτοις τιμωρίας ἐλευθερωθῶσι, καὶ ἡμεῖς τῆς ἀθυμίας ἀπαλλαγῶμεν, καὶ τὴν ὑπὲρ ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. δ. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ, ΓΕΝΗΘΗΤΩ ΣΤΕΡΕΩΜΑ ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἐγένετο οὕτως.

Ὁρῶν ὑμῶν, ἀγαπητοὶ, τὴν μετὰ προθυμίας καθ' ἑκάστην ἡμέραν ἐνταῦθα συνέλευσιν, μεγάλην καρποῦμαι τὴν ἡδονὴν, καὶ οὐ παύομαι δοξάζων τὸν φιλάνθρωπον θεὸν ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. ὥσπερ γὰρ τὸ πεινῆν, σωματικῆς εὐεξίας ἐστὶ σημεῖον, οὕτω καὶ τὸ περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων ἐσπουδακέναι, τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἄν τις μέγιστον ποιήσαιτο. διὸ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς ἐν τοῖς μακαρισμοῖς ἐκείνοις τοῖς ἐπὶ τοῦ ὄρους γεγενημένοις ἔλεγε· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Ματθ. ε. τίς ἂν οὖν ὑμᾶς κατ' ἀξίαν ἐπαινέσαι δυνηθείη τοὺς ἅπαξ [παρὰ] τοῦ τῶν ἁπάντων δεσπότου τὸν μακαρισμὸν δεξαμένους, καὶ τὰ μυρία προσδοκῶντας παρ' αὐτοῦ ἀγαθά; τοιοῦτος γὰρ ὁ ἡμέτερος δεσπότης, ὅταν ἴδῃ ψυχὴν πολλῷ τῷ πόθῳ, καὶ ἐπιτεταμένῃ τῇ προθυμίᾳ τοῖς πνευματικοῖς προσιοῦσαν, ἐπιδαψιλεύεται τὴν χάριν, καὶ πλουσίας τὰς παρ' ἑαυτοῦ χαρίζεται δωρεάς. ὅθεν προσδοκῶ καὶ ἡμῖν διὰ τὴν ὑμετέραν ὠφέλειαν πλείονα παρασχεθήσεσθαι τὸν τῆς διδασκαλίας λόγον εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης. δι' ὑμᾶς γὰρ καὶ τὴν προκοπὴν τὴν ὑμετέραν, ἅπαντα τοῦτον τὸν πόνον ὑπομένομεν· ὥστε καὶ ὑμᾶς πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν θᾶττον ἀναδραμεῖν, καὶ πᾶσι τοῖς εἰς ὑμᾶς ὁρῶσι διδασκάλους γενέσθαι τῆς κατὰ θεὸν πολιτείας, καὶ ἡμᾶς πλείονος ἀπολαύειν τῆς παρρησίας ὁρῶντας οὐ μάτην οὐδὲ εἰκῇ πονουμένους ἡμᾶς· ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὐξανόμενον τοῦτον τὸν σπόρον τὸν πνευματικὸν, καὶ μὴ καθάπερ ἐν τῷ εὐαγγελίῳ ἐπὶ τοῦ σπείροντος γέγονεν, οὕτω καὶ ἐφ' ἡμῶν συμβῆναι. Ματθ. ιγ. ἐκεῖ μὲν γὰρ ἓν μέρος διεσώθη, καὶ τὰ τρία παραπώλετο. τὸ μὲν γὰρ τῶν σπερμάτων παρὰ τὴν ὁδὸν καταβληθὲν, ἄκαρπον ἔμεινε· τὸ δὲ, ὑπὸ τῶν ἀκανθῶν ἀπεπνίγη· ἕτερον δὲ εἰς τὰς πέτρας καταβληθὲν, καὶ ἐπὶ τῆς ἐπιφανείας μεῖναν, οὐδένα καρπὸν ἐνεγκεῖν ἠδυνήθη· ἐνταῦθα δὲ διὰ τὴν τοῦ θεοῦ χάριν προσδοκῶμεν ἅπαντα τὸν σπόρον εἰς τὴν καλὴν γῆν καταβεβλῆσθαι, καὶ τοὺς μὲν, ἑκατὸν ποιεῖν, τοὺς δὲ, ἑξήκοντα, τοὺς δὲ, τριάκοντα. τοῦτο ἡμῶν τὴν προθυμίαν αὔξει, τοῦτο τὴν διάνοιαν ″διεγείρῃ, ἐγείρει, τὸ εἰδέναι ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς λόγους προϊέμεθα, ἀλλ' ὅτι νηφούσαις ταῖς ἀκοαῖς καὶ συντεταμένῃ τῇ διανοίᾳ τὰ παρ' ἡμῶν δέχεσθε. καὶ ταῦτα οὐ κολακεύων ὑμῶν τὴν ἀγάπην λέγω· ἀλλὰ στοχαζόμενος τὴν προθυμίαν ἐκ τῶν χθὲς παρ' ἡμῶν εἰρημένων. ἑώρων γὰρ ἅπαντας ἐκκρεμαμένους περὶ τὴν διδασκαλίαν, καὶ πάντα ποιοῦντας ὥστε μηδὲ τὸ τυχὸν ὑμᾶς τῶν λεγομένων παραδραμεῖν· ἄλλως δὲ καὶ ἡ τῶν κρότων συνέχεια, μεγίστη ἀπόδειξις ἐγένετο τοῦ μεθ' ἡδονῆς ὑμᾶς δέχεσθαι τὰ λεγόμενα. ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τινῶν λεγομένων, δῆλον ὅτι καὶ ἐμπήγνυσιν αὐτὰ τῇ διανοίᾳ, καὶ ἀνεξάλειπτα ἐργάζεται τῷ πλάτει τῆς διανοίας ἐναποθέμενος. τίς ἂν οὖν πρὸς ἀξίαν καὶ ἡμᾶς μακαρίσειε καὶ ὑμᾶς ἐπαινέσειεν, ὅτι εἰς ὦτα λέγομεν ἀκουόντων; Μακάριος γὰρ, φησιν, ὁ λέγων εἰς ὦτα ἀκουόντων. Σειρ. [illegible]. ιβ. τοῦτο νηστείας τὸ κατόρθωμα, τοῦτο τὸ φάρμακον τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν εἰργάσατο. εἰ δὲ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτην τὴν ἰσχὺν ἐπεδείξατο, περιϊουσῶν τῶν ἡμερῶν πόσην χρὴ προσδοκῆσαι τὴν ὠφέλειαν προσγίνεσθαι; μόνον ὑμεῖς, παρακαλῶ, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε, καὶ μηδεμίαν παρείσδυσιν δότε τῷ ἐχθρῷ τῆς σωτηρίας τῆς ὑμετέρας. ὁρῶν γὰρ ὑμῶν νῦν τὸν πλοῦτον τὸν πνευματικόν, μέμηνε καὶ ἀγριαίνει, καὶ καθάπερ λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ. ἀλλ' ἐὰν νήφωμεν, οὐδενὸς περιέσται διὰ τὴν τοῦ θεοῦ χάριν. τοιαῦτα γὰρ ἡμῶν τὰ ὅπλα τὰ πνευματικά, ἅπερ ἡμᾶς ἐνέδυσεν ἡ τοῦ πνεύματος χάρις, καθάπερ χθὲς ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην. ἂν τοίνυν τούτοις διηνεκῶς ὦμεν πεφραγμένοι πάντα τὰ μέλη, οὐδὲν τῶν ἀπ' ἐκείνου ἀφιεμένων βελῶν καθικέσθαι ἡμῶν δυνήσεται, ἀλλ' ἄκυρα πρὸς αὐτὸν ἐπανήξει. ἀδάμαντος γὰρ στερροτέρους ἡμᾶς ἡ τοῦ θεοῦ χάρις κατεσκεύασε, καὶ πάντη ἀναλώτους, ἐὰν βουλώμεθα. ὥσπερ οὖν ὁ ἀδάμαντα παίων, ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἑαυτοῦ δὲ τὴν ἰσχὺν καθεῖλε· καὶ ὁ πρὸς κέντρα λακτίζων, τοὺς οἰκείους αἱμάσσει πόδας· οὕτω δὴ καὶ ἐφ' ἡμῶν ἔσται καὶ τοῦ πολεμίου τῆς σωτηρίας τῆς ἡμετέρας, ἐὰν τοῖς ὅπλοις τοῖς δεδομένοις ἡμῖν παρὰ τῆς τοῦ πνεύματος χάριτος ἑαυτοὺς διηνεκῶς φράττωμεν. τοσαύτη γὰρ τούτων ἡ δύναμις, ὡς μηδὲ τὴν ἐξ αὐτῶν ἀστραπὴν ὑφίστασθαι τὸν πολέμιον, ἀλλ' ἀποτυφλοῦσθαι τὰς ὄψεις ἐκ τῆς αὐγῆς τῆς ἐντεῦθεν ἐκπεμπομένης. τούτοις τοῖς ὅπλοις, παρακαλῶ, διὰ παντὸς ἑαυτοὺς τειχίζοντες, οὕτω καὶ εἰς ἀγορὰν ἐμβάλλωμεν, καὶ φίλοις συγγινώμεθα, καὶ πράγματα μεταχειριζώμεθα. καὶ τί λέγω εἰς ἀγοράν; καὶ εἰς ἐκκλησίαν ἀπαντῶντες, ταῦτα ἔχωμεν ἡμῖν περικείμενα, καὶ οἴκαδε ἐπανιόντες, καὶ καθεύδοντες, καὶ διανιστάμενοι, καὶ μηδέποτε αὐτὰ ἀποθώμεθα παρὰ πᾶσαν ἡμῶν τὴν ζωήν. ἄπεισι γὰρ μεθ' ἡμῶν, καὶ τῆς ἐκεῖ παρρησίας ὑπόθεσις [ἡμῖν] μεγίστη γίνεται. οὐδὲ γὰρ ὁμοίως τοῖς αἰσθητοῖς ὅπλοις βαρύνει τὸ σῶμα, ἀλλὰ μᾶλλον κουφίζει καὶ μετάρσιον ἐργάζεται, καὶ τὴν ἰσχὺν ἐπιτείνει μόνον ἐὰν αὐτὰ καθ' ἑκάστην ἡμέραν ἀποσμήχωμεν, ὥστε λαμπρὰ φαινόμενα διὰ τῆς οἰκείας ἀστραπῆς πηροῦν τὰς ὄψεις τοῦ πονηροῦ δαίμονος, καὶ πάντα κατὰ τῆς σωτηρίας τῆς ἡμετέρας μηχανωμένου. φέρε δὴ λοιπόν, ἐπειδὴ ἱκανῶς ὑμᾶς καθωπλίσαμεν, τὴν συνήθη παραθῶμεν ὑμῖν τράπεζαν, καὶ τὰ ἀκόλουθα τῶν χθὲς ἡμῖν εἰρημένων προσθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, πάλιν τὸν θαυμάσιον ἑστιάτορα τὸν μακάριον Μωϋσέα, τὸν μέγαν προφήτην, τῆς καλῆς ταύτης διδασκαλίας ἡγεμόνα ποιησάμενοι. ἴδωμεν οὖν τίνα ἐστίν, ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται, καὶ προσέχωμεν ἀκριβῶς τοῖς παρ' αὐτοῦ λεγομένοις. οὐδὲ γὰρ οἰκείᾳ δυνάμει φθέγγεται, ἀλλ' ἅπερ ἂν ἡ τοῦ πνεύματος χάρις ἐνηχήσῃ, ταῦτα διὰ τῆς οἰκείας προφέρει γλώττης, διδάσκων τὴν τῶν ἀνθρώπων φύσιν. ἀπαρτίσας τοίνυν τὸν περὶ τῆς πρώτης ἡμέρας λόγον, καὶ εἰπὼν μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν, ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα μία, πάλιν φησί·

Φιλιπ. β. ιβ.

α. Πετ. ε. η.

κ. ὦν

6 Καὶ εἶπεν ὁ θεός, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. Σκόπει μοι ἐνταῦθα, ἀγαπητέ, διδασκαλίας ἀκολουθίαν. ἐπειδὴ γὰρ προλαβὼν ἡμῖν εἶπε μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, ὅτι ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι διὰ τοῦτο ἦν ἀόρατος διὰ τὸ καλύπτεσθαι ὑπὸ τοῦ σκότους καὶ τῶν ὑδάτων (ὕδωρ γὰρ ἦν τὸ πᾶν καὶ σκότος, καὶ οὐδὲν ἕτερον) εἶτα τοῦ δεσπότου προστάξαντος παρήχθη τὸ φῶς, καὶ διαχωρισμὸς ἐγένετο φωτὸς καὶ σκότους, καὶ τὸ μὲν τὴν τῆς ἡμέρας προσηγορίαν ἔλαβε, τὸ δὲ τὴν τῆς νυκτὸς ἐδέξατο· πάλιν ἡμᾶς διδάξαι βούλεται, ὅτι ὥσπερ τὸ σκότος διεῖλε τὸ φῶς παραγαγών, καὶ ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπέθηκεν, οὕτω καὶ τὸ πλῆθος τῶν ὑδάτων προστάγματι διαιρεῖ. καὶ ὅρα δύναμιν ἄφατον, καὶ πάντα

γρ. γίνεται

ἀνθρώπινον λογισμὸν ὑπερβαίνουσαν. κελεύει γὰρ μόνον, καὶ τὸ μὲν παραδέχεται τῶν στοιχείων, τὸ δὲ παραχωρεῖ. καὶ εἶπε, φησὶν, ὁ θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. τί ἐστι, γενηθήτω στερέωμα; ὡς ἂν εἴποι τις γλώττῃ ἀνθρωπίνῃ τειχίον τι καὶ διάφραγμα, διαιροῦν μεταξὺ καὶ χωρισμὸν ἐργαζόμενον. καὶ ἵνα μάθῃς τὴν πολλὴν ὑπακοὴν τῶν στοιχείων καὶ τὴν ὑπερβάλλουσαν δύναμιν τοῦ δημιουργοῦ, φησὶ, καὶ ἐγένετο οὕτω. εἶπε μόνον, καὶ τὸ ἔργον ἠκολούθησε.

7. Καὶ ἐποίησε, φησιν, ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος.

Γενομένου, φησὶ, τοῦ στερεώματος, τὰ μὲν τῶν ὑδάτων προσέταξεν ὑπὸ τὸ στερέωμα φέρεσθαι, τὰ δὲ ὑπὲρ τῶν νώτων εἶναι τοῦ στερεώματος. ἀλλὰ τί ἄν τις εἴποι τοῦτο εἶναι τὸ στερέωμα; ὕδωρ πεπηγός; ἀλλ᾽ ἀέρα τινα συνεστραμμένον; ἀλλ᾽ ἑτέραν τινὰ οὐσίαν; οὐκ ἄν τις ἁπλῶς τῶν εὖ φρονούντων διισχυρίσαιτο· ἀλλὰ προσήκει πολλῇ τῇ εὐγνωμοσύνῃ κεχρημένους δέχεσθαι τὰ λεγόμενα, καὶ μὴ περαιτέρω τῆς οἰκείας φύσεως ὑπερβαίνοντας διερευνᾶσθαι τὰ ὑπὲρ ἡμᾶς· ἀλλὰ τοῦτο μόνον εἰδέναι καὶ κατέχειν παρ᾽ ἑαυτοῖς, ὅτι τῷ προστάγματι τοῦ δεσπότου παρήχθη τὸ στερέωμα, τὸ τὸν χωρισμὸν τῶν ὑδάτων ἐργαζόμενον, καὶ τὰ μὲν κάτω κατέχον, τὰ δὲ ἄνω μετέωρα ὑπὲρ τῶν οἰκείων νώτων φέρειν δυνάμενον.

8 Καὶ ἐκάλεσε, φησιν, ὁ θεὸς τὸ στερέωμα, οὐρανόν.

Ὅρα πῶς τῇ αὐτῇ ἀκολουθίᾳ καὶ νῦν ἐχρήσατο ἡ θεία γραφή. καὶ καθάπερ εἶπε χθὲς, γενηθήτω φῶς, καὶ μετὰ τὸ παραχθῆναι, τότε ἐπήγαγεν, ἔστω διαχωρίζον ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ οὕτω τὸ φῶς ἐκάλεσεν ἡμέραν· οὕτω καὶ σήμερον εἶπε, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος. εἶτα καθάπερ ἐπὶ τοῦ φωτὸς, οὕτω καὶ ἐνταῦθα ἐδίδαξεν ἡμᾶς τὴν χρείαν τοῦ στερεώματος, ὥστε διαχωρίζειν, φησὶν, ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ὅτε αὐτοῦ τὴν χρείαν φανερὰν ἡμῖν κατέστησε, τότε καθάπερ τῷ φωτὶ τὴν ὀνομασίαν προσέθηκεν, οὕτω καὶ τῷ στερεώματι τὴν προσηγορίαν ἐπέθηκε. καὶ ἐκάλεσε, φησιν, ὁ θεὸς τὸ στερέωμα, οὐρανόν, τοῦτο τὸ ὁρώμενον. καὶ πῶς, φησὶ, τινες βούλονται λέγειν, πολλοὺς οὐρανοὺς γεγενῆσθαι; οὐκ ἀπὸ τῆς θείας γραφῆς ταῦτα διδασκόμενοι, ἀλλ᾽ ἐξ οἰκείων λογισμῶν ὁρμώμενοι. ὁ γὰρ μακάριος Μωϋσῆς οὐδὲν τούτων πλέον ἡμᾶς διδάσκει. εἰπὼν γὰρ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα τὴν αἰτίαν διδάξας δι᾽ ἣν ἀόρατος ἐτύγχανεν ἡ γῆ, ὑπὸ τοῦ σκότους καὶ τῶν ὑδάτων τῆς ἀβύσσου καλυπτομένη, μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν τάξει τινὶ καὶ ἀκολουθίᾳ χρώμενός φησι, καὶ εἶπεν ὁ θεὸς, γενηθήτω στερέωμα· εἶτα τὴν χρείαν αὐτοῦ τούτου τοῦ στερεώματος μετὰ ἀκριβείας διδάξας καὶ εἰπὼν, ὥστε διαχωρίζειν ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, αὐτὸ τοῦτο τὸ στερέωμα οὐρανὸν ἐκάλεσε τὸ τῶν ὑδάτων τὸν χωρισμὸν ἐργασάμενον. τίς ἂν οὖν λοιπὸν μετὰ τὴν τοιαύτην διδασκαλίαν ἀνάσχοιτο τῶν ἁπλῶς ἐξ οἰκείας διανοίας φθέγγεσθαι βουλομένων, καὶ ἀπ᾽ ἐναντίας τῇ θείᾳ γραφῇ πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειρούντων; ἀλλ᾽ ἰδοὺ, φησιν, ὁ μακάριος Δαβὶδ ὕμνον ἀναφέρων τῷ θεῷ ἔφησεν, Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν. Ψαλ. ρμη. δ. μὴ θορυβηθῇς, ἀγαπητὲ, μηδὲ νομίσῃς τὴν ἁγίαν γραφὴν ἐναντία ἑαυτῇ λέγειν ποτέ· ἀλλὰ μάνθανε τὴν ἀλήθειαν τῶν εἰρημένων, καὶ κατέχων τὴν ἀκριβῆ ταύτης διδασκαλίαν, ἀπόφραξον τὰς ἀκοὰς τοῖς ἀπ᾽ ἐναντίας ταύτῃ φθεγγομένοις. τί δέ ἐστιν ὃ βούλομαι εἰπεῖν, ἀκούσατε μετὰ πολλῆς [τῆς] προσοχῆς, ἵνα μὴ εὐκόλως παρασαλεύησθε ὑπὸ τῶν τὰ παρεισάμενα λέγειν βουλομένων. πᾶσαι αἱ θεῖαι βίβλοι τῆς παλαιᾶς διαθήκης τῇ τῶν ἑβραίων γλώττῃ ἐξ ἀρχῆς ἦσαν συντεθειμέναι, καὶ τοῦτο πάντες ἂν ἡμῖν συνομολογήσαιεν. οὐ πρὸ πολλῶν δὲ ἐτῶν τῆς τοῦ χριστοῦ παρουσίας βασιλεύς τις πτολεμαῖος περὶ τὴν τῶν βιβλίων συναγωγὴν πολλὴν τινα σπουδὴν ποιησάμενος, καὶ πολλὰ ἕτερα συναγαγὼν καὶ διάφορα, ἔγνω δεῖν καὶ ταύτας τὰς βίβλους συναγαγεῖν. μεταπεμψάμενος οὖν τινας τῶν ἐν ἱεροσολύμοις ἰουδαίων, μεταβαλεῖν εἰς τὴν ἑλλάδα γλῶτταν προσέταξε· καὶ δὴ τοῦτο εἰς ἔργον αὐτῷ ἐξενήνεκται. ἐγίνετο δὲ καὶ τοῦτο τῆς τοῦ θεοῦ οἰκονομίας ἔργον, ὥστε μὴ μόνον τοὺς τὴν ἑβραίων γλῶτταν ἠσκημένους, ἀλλὰ καὶ πάντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπώσασθαι. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐ τῶν τὰ ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο, ἀλλ' ἀνὴρ τοῖς εἰδώλοις προσεστηκώς, καὶ ἀπ' ἐναντίας τῇ θρησκείᾳ διακείμενος. τοιαῦτα γάρ ἐστιν ἅπαντα τὰ ὑπὸ τοῦ δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας πράγματα. ταῦτα δὲ οὐχ ἁπλῶς διηγησάμην ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἵνα εἰδέναι ἔχητε, ὅτι οὐ ταύτῃ τῇ γλώττῃ, τῇ ἡμετέρᾳ λέγω, ἀλλὰ τῇ ἑβραΐδι ἦσαν συντεθειμέναι. λέγουσι τοίνυν οἱ τὴν γλῶτταν ἐκείνην ἀκριβῶς ἠσκημένοι, τὸ τοῦ οὐρανοῦ ὄνομα πληθυντικῶς καλεῖσθαι παρὰ τοῖς ἑβραίοις, καὶ τοῦτο καὶ οἱ τὴν σύρων γλῶτταν ἐπιστάμενοι συνομολογοῦσι· καὶ οὐκ ἄν τις εἴποι τῇ γλώττῃ, φησὶ, τῇ παρ' αὐτοῖς, ὁ οὐρανός, ἀλλ' οἱ οὐρανοί. διὰ τοῦτο τοίνυν * εἴρηται τὸ ὑπὸ τοῦ μακαρίου Δαβὶδ εἰρημένον, οἱ οὐρανοὶ τῶν οὐρανῶν, οὐκ ἐπειδὴ πολλοί εἰσιν οὐρανοὶ (οὐδὲ γάρ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ μακάριος Μωϋσῆς) ἀλλ' ἐπειδὴ σύνηθες τῇ γλώττῃ τῶν Ἑβραίων οὕτως ὀνομάζειν τὴν τοῦ ἑνὸς προσηγορίαν πληθυντικῶς· ἐπεὶ εἰ πολλοὶ ἦσαν, οὐκ ἂν παρέλειπε τὸ πνεῦμα τὸ ἅγιον μὴ διὰ τῆς γλώττης τοῦ μακαρίου τούτου προφήτου διδάξαι ἡμᾶς καὶ τῶν ἄλλων τὴν δημιουργίαν. ταῦτα ἀκριβῶς κατέχετε, παρακαλῶ, ἵνα δύνησθε ἐπιστομίζειν τοὺς ἐναντία τῇ ἐκκλησίᾳ δόγματα ἐπιφέρειν βουλομένους, καὶ εἰδῆτε μετὰ ἀσφαλείας τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων τὴν δύναμιν. διὰ γὰρ τοῦτο καὶ συνεχῶς ἐνταῦθα παραγίνεσθε, καὶ ἡμεῖς πυκνότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, Ἵνα παρεσκευασμένοι ἦτε παντὶ τῷ αἰτοῦντι ὑμᾶς διδόναι λόγον. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν, εἰ δοκεῖ, [καὶ τὴν κατεπείγουσαν ὑπόθεσιν ἀναλάβωμεν.]

γρ. ἑβραΐδι

γρ. συλλογὴν

γρ. τις

γρ. οὐρανοί

* ἴσως

α. Πετ. γ. ιε.

8 Καὶ ἐκάλεσε, φησιν, ὁ θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν.

Σκόπει μοι, πόση τῶν ῥημάτων ἡ συγκατάβασις διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην. καθάπερ γὰρ ἐπὶ τοῦ φωτὸς εἶπεν, εἶδεν ὅτι καλόν, οὕτω καὶ νῦν ἐπὶ τοῦ οὐρανοῦ, ἤτοι τοῦ στερεώματος, καὶ εἶδε, φησιν, ὁ θεὸς ὅτι καλόν, διδάσκων ἡμᾶς διὰ τούτου τὸ κάλλος αὐτοῦ τὸ ἀμήχανον. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειεν, ὅτι ἐν τοσούτῳ χρόνῳ ἀκμαῖον διετήρησε τὸ κάλλος, καὶ ὅσῳ πρόεισιν ὁ χρόνος, τοσούτῳ καὶ τὸ κάλλος ἐπιτείνεται; τί γὰρ ὡραιότερον γένοιτ' ἂν τοῦ παρὰ τοῦ δημιουργοῦ τὸν ἔπαινον δεξαμένου; εἰ γὰρ [καὶ] ἡμεῖς ἀνθρώπου ἔργον ὁρῶντες ἀπηρτισμένον, θαυμάζομεν τὸ σχῆμα, τὴν θέσιν, τὸ κάλλος, τὴν ἀναλογίαν, τὸν ῥυθμὸν, τὰ ἄλλα πάντα· τὸ ὑπὸ τοῦ θεοῦ δημιουργηθὲν πῶς ἄν τις κατ' ἀξίαν ἐπαινέσειε, καὶ μάλιστα ὅταν καὶ παρ' αὐτοῦ τοῦ δεσπότου τὸν ἔπαινον δέξηται; τοῦτο γὰρ διὰ τὴν ἡμετέραν συγκατάβασιν εἴρηται· καὶ ὄψει αὐτὸν ἐφ' ἑκάστου τῶν γινομένων τοῦτο λέγοντα, καὶ προαναιροῦντα τὴν τόλμαν τῶν μετὰ ταῦτα μελλόντων τὴν οἰκείαν γλῶτταν ἀκονᾷν κατὰ τῆς τοῦ θεοῦ δημιουργίας, καὶ λεγόντων, διατί τὸ καὶ τὸ γέγονε; τοὺς ταῦτα τοίνυν ἐπιχειρήσοντας λέγειν προαναστέλλων, φησὶ, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. ὅταν δὲ ἀκούσῃς, ὅτι εἶδεν ὁ θεὸς καὶ ἐπῄνεσε, θεοπρεπῶς νόει τὸ ῥηθὲν, καὶ ὡς εἰκὸς ἐπὶ θεοῦ. ὁ γὰρ παραγαγὼν, καὶ πρὶν ἢ δημιουργῆσαι ἠπίστατο τοῦ δημιουργουμένου τὸ κάλλος· ἀλλ᾽ ἐπειδὴ ἀνθρώπους ὄντας ἡμᾶς, καὶ "τοσαύτῃ ἀσθενείᾳ περιβεβλημένους οὐκ ἐνῆν ἑτέρως ἀκοῦσαι, διὰ τοῦτο παρεσκεύασε τὴν τοῦ μακαρίου προφήτου γλῶτταν, τῇ παχύτητι τούτων χρήσασθαι τῶν ῥημάτων πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως. ὅταν τοίνυν ἀνατείνῃς τὸ ὄμμα καὶ θεάσῃ τοῦ οὐρανοῦ τὸ κάλλος, τὸ μέγεθος, τὴν χρείαν, τότε ἐντεῦθεν ἐπὶ τὸν δημιουργὸν ἀνάδραμε· καθάπερ καὶ σοφός τις "φησιν, Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. καὶ σκόπει τοῦ δεσπότου τὴν δύναμιν, ὅση τίς ἐστιν, καὶ ἐκ τῆς τῶν στοιχείων τούτων δημιουργίας. ὁ γὰρ εὐγνώμονα ψυχὴν ἔχων, εἰ βουληθείη καθ᾽ ἕκαστον τῶν ὁρωμένων διερευνᾶσθαι· καὶ τί λέγω καθ᾽ ἕκαστον τῶν ὁρωμένων; τὴν οἰκείαν μόνον διάπλασιν ἐὰν ἀκριβῶς βουληθῇ διασκέψασθαι, ὄψεται καὶ διὰ τῶν μικρῶν τούτων τὴν ἄφατον καὶ ἀνεκδιήγητον τοῦ θεοῦ δύναμιν. εἰ δὲ τὰ ὁρώμενα ἱκανὰ διδάξαι τὸ μέγεθος τῆς τοῦ δημιουργοῦ δυνάμεως, ἐὰν καὶ ἐπὶ τὰς ἀοράτους ἔλθῃς δυνάμεις, καὶ τὸν λογισμὸν ἀνατείνῃς ἐπὶ τὰς τῶν ἀγγέλων στρατιάς, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν χερουβὶμ, τῶν σεραφὶμ, ποία διάνοια, ποῖος λόγος ἀρκεῖ ἐξειπεῖν τὴν μεγαλωσύνην αὐτοῦ τὴν ἀνεκδιήγητον; εἰ γὰρ Δαβὶδ ὁ μακάριος προφήτης τῶν ὁρωμένων τὴν διακόσμησιν καταμαθὼν, ἐβόα λέγων, Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἀνὴρ τοσούτου πνεύματος ἠξιωμένος, καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθεῖν καταξιωθεὶς, τί ἂν εἴποιμεν ἡμεῖς οἱ γῆ καὶ σποδὸς ὄντες, καὶ διηνεκῶς ὀφείλοντες κάτω κύπτειν καὶ ἐκπλήττεσθαι τοῦ τῶν ἁπάντων "δημιουργοῦ τὴν ἄφατον φιλανθρωπίαν; καὶ τί λέγω τὸν προφήτην; ὁ γὰρ μακάριος Παῦλος, ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, ὁ σῶμα περικείμενος καὶ ταῖς ἀσωμάτοις δυνάμεσιν ἁμιλλώμενος, ὁ ἐν γῇ βαδίζων καὶ τὸν οὐρανὸν τῇ προθυμίᾳ περιπολῶν, εἰς μέρος ἕν τι τῶν οἰκονομιῶν τοῦ θεοῦ ἐμπεσὼν, τὸ κατὰ Ἰουδαίους καὶ Ἕλληνας λέγω, καὶ πῶς οἱ μὲν ἐξεβλήθησαν, οἱ δὲ ἀντεισήχθησαν, καὶ διαπορήσας καὶ ἰλιγγιάσας ἀνέκραξε μέγα βοῶν καὶ λέγων, Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; ἀλλ᾽ ἐνταῦθα ἡδέως ἐροίμην τοὺς τὴν τοῦ υἱοῦ τοῦ θεοῦ γέννησιν περιεργάζεσθαι τολμῶντας, καὶ τοῦ ἁγίου πνεύματος τὴν ἀξίαν "καθαιρεῖν ἐπιχειροῦντας, πόθεν ὑμῖν εἰπέ μοι τῆς τοσαύτης τόλμης ἡ προπέτεια; ἀπὸ ποίας "παρανοίας εἰς τοσοῦτον μανίας ἐξωκείλατε; εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος τὰ κρίματα αὐτοῦ (τοῦτ᾽ ἔστι τὰς οἰκονομίας καὶ τὰς διοικήσεις) ἀνεξερεύνητά φησιν εἶναι, καὶ οὐκ εἶπεν ἀκατάληπτα, ἀλλ᾽ ἀνεξερεύνητα, ὥστε μηδὲ ἔρευναν ἐπιδέξασθαι, * καὶ ἀνεξιχνίαστοί φησιν αἱ ὁδοὶ αὐτοῦ (πάλιν τὸ αὐτὸ λέγων, ὁδοὺς τὰ προστάγματα καλῶν καὶ τὰς ἐντολάς) πῶς ὑμεῖς αὐτὴν τὴν οὐσίαν τοῦ μονογενοῦς περιεργάζεσθαι τολμᾶτε, καὶ τοῦ ἁγίου πνεύματος τὴν ἀξίαν ἐλαττοῦν τό γε καθ᾽ ὑμᾶς; ὁρᾶτε, ἀγαπητοὶ, ὅσον ἐστὶ κακὸν τὸ μὴ προσέχειν μετ᾽ ἀκριβείας τοῖς ἐν τῇ θείᾳ γραφῇ κειμένοις; οὗτοι γὰρ εἰ τὰ ἀπὸ τῆς θείας γραφῆς διδάγματα μετ᾽ εὐγνωμοσύνης ἐδέχοντο, καὶ μὴ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν εἰσέφερον, οὐκ ἂν εἰς τοσαύτην ἄνοιαν ἐτράπησαν. ἀλλ᾽ ἡμεῖς μηδ᾽ οὕτω παυσώμεθα τὰ ἀπὸ τῆς θείας γραφῆς αὐτοῖς ἐνηχοῦντες, καὶ τὰς ἑαυτῶν ἀκοὰς ἀποτειχίζοντες τοῖς ὀλεθρίοις αὐτῶν διδάγμασιν. ἀλλ᾽ οὐκ οἶδα "πῶς πάλιν ὑπὸ τῆς ῥύμης τοῦ λόγου εἰς ταῦτα ἐξενεχθέντες, τῆς ἀκολουθίας ἐξεπέσαμεν. διὸ πάλιν "ἐπαναγαγεῖν δεῖ τὸν λόγον ἐπὶ τὰ πρότερα.

ποιοῦ τὴν
σθένειαν.

λε χω.

δεσπότου

καθαίρειν.
παρρησίας

λώσασθαι.

ὅπως
παναγαγεῖν

Σοφ. ιγ. ε.

Ψαλ. ργ. κδ.

Ρω. ια. λγ.

Καὶ ἐκάλεσε, φησὶν, ὁ θεὸς τὸ στερέωμα οὐρανόν, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα.

Ἐπιθεὶς τὴν προσηγορίαν τῷ στερεώματι, καὶ ἐπαινέσας τὸ γεγονός, τέλος ἐπέθηκε τῇ δευτέρᾳ ἡμέρᾳ, καί φησι, Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα. Εἶδες πῶς μετὰ ἀκριβείας ἡμᾶς διδάσκει, τὸ μὲν τέλος τοῦ φωτὸς ἑσπέραν καλῶν, τὸ δὲ τέλος τῆς νυκτὸς πρωΐαν, καὶ ἡμέραν τὸ πᾶν προσαγορεύων; ὥστε μὴ πλανᾶσθαι ἡμᾶς μηδὲ νομίζειν τὴν ἑσπέραν τέλος εἶναι τῆς ἡμέρας, ἀλλ' εἰδέναι σαφῶς ὅτι ἀμφοτέρων τὸ μῆκος μίαν ἡμέραν πληροῖ, καὶ ἡ μὲν ἑσπέρα τέλος τοῦ φωτὸς δικαίως ἂν λέγοιτο, ὁ δὲ ὄρθρος, τοῦτ' ἔστι τὸ τέλος τῆς νυκτὸς, πλήρωμα τῆς ἡμέρας. τοῦτο γὰρ βούλεται δηλοῦν ἡ θεία γραφὴ φάσκουσα, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα.

ΗΘΙΚΟΝ.

Τάχα εἰς πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν, ἀλλ' οὐχ ἑκόντες, ἀλλ' ὑπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς τῶν λόγων ἀκολουθίας, καθάπερ ὑπὸ χειμάρρου τινὸς σφοδροτάτου παρασυρέντες· καὶ τούτου δὲ ὑμεῖς αἴτιοι οἱ μεθ' ἡδονῆς ἀκούοντες τῶν παρ' ἡμῶν λεγομένων. οὐδὲν γὰρ οὕτω διεγείρειν δύναται τὸν λέγοντα, καὶ εἰς πλείονα εὐπορίαν ἀγαγεῖν νοημάτων, ὡς ἡ τῶν ἀκροατῶν προθυμία. καὶ ὥσπερ οἱ ἀναπεπτωκότες καὶ ῥᾴθυμοι ἀκροαταὶ, καὶ τὸν λέγειν δυνάμενον ὀκνηρότερον ἀπεργάζονται· οὕτως ὑμεῖς διὰ τὴν τοῦ θεοῦ χάριν, κἂν αὐτῶν τῶν λίθων ὦμεν ἀφωνότεροι, ἱκανοὶ τυγχάνετε τὴν ἡμετέραν νωθείαν διεγεῖραι καὶ τὸν ὕπνον ἀποτινάξαι, καὶ βιάσασθαι εἰπεῖν τι τῶν ὑμῖν χρησίμων, καὶ εἰς τὴν ὑμετέραν οἰκοδομὴν συντεινόντων. ἐπεὶ οὖν τοιοῦτοι τυγχάνετε, θεοδίδακτοι ὄντες, δυνάμενοι κατὰ τὸν μακάριον Παῦλον καὶ ἄλλους νουθετεῖν, φέρε παρακαλέσωμεν ὑμᾶς νῦν, εἰ καί ποτε ἄλλοτε, κατὰ τὸν τῆς νηστείας καιρὸν πολλὴν τῆς ἀρετῆς ″ τὴν κατὰ θεὸν πρόνοιαν ποιήσασθαι. καὶ μὴ προσκορὴς ὑμῖν ὁ λόγος γενήσεται, εἰ καθ' ἑκάστην ἡμέραν ὑμῖν περὶ τῶν αὐτῶν διαλεγόμεθα. τὰ αὐτὰ γὰρ λέγειν κατὰ τὸν μακάριον Παῦλον ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ τὸ ἀσφαλές. δεῖται γὰρ ἡμῶν ἡ ψυχὴ ῥᾴθυμος οὖσα ″ συνεχοῦς τῆς ὑπομνήσεως. καὶ καθάπερ τὸ σῶμα τοῦτο καθ' ἑκάστην ἡμέραν δεῖται τῆς σωματικῆς τροφῆς, ὥστε μὴ εἰς πολλὴν ἀσθένειαν ἐμπεσὸν ἀνενέργητον κεῖσθαι· οὕτω δὴ καὶ ἡ ψυχὴ χρῄζει τῆς πνευματικῆς τροφῆς, καὶ τῆς ἀρίστης πολιτείας, ὥστε ἐν συνηθείᾳ τινὶ τῶν καλῶν γινομένην αὐτὴν ἀχείρωτον λοιπὸν καταστῆναι ταῖς ἐπιβουλαῖς τοῦ πονηροῦ. καθ' ἑκάστην τοίνυν τὴν ἡμέραν ταύτης τὴν ἰσχὺν περιεργαζώμεθα, καὶ ἑαυτοὺς διερευνώμενοι μηδέποτε διαλείπωμεν, καὶ λογοθέσιον ἑαυτοῖς ποιῶμεν καὶ τῶν εἰσαγομένων καὶ τῶν ἐξαγομένων· τί μὲν χρησίμως ἐφθεγξάμεθα, τί δὲ ἀργὸν ῥῆμα προηνέγκαμεν· καὶ πάλιν τί μὲν τῶν ἐπωφελῶν διὰ τῆς ἀκοῆς εἰς τὴν ψυχὴν εἰσηγάγομεν, τί δὲ τῶν βλάπτειν δυναμένων πάλιν εἰς ταύτην εἰσηνέγκαμεν· καὶ τῇ μὲν γλώττῃ κανόνας τινὰς καὶ ὅρους ἐπιθῶμεν, ὥστε πρότερον διαμηρυκᾶσθαι τὰ ῥήματα, καὶ οὕτω προφέρειν τοὺς λόγους· τὴν δὲ διάνοιαν παιδεύωμεν μηδὲν ″ προΐεσθαι τῶν βλαβερῶν, ἀλλὰ κἂν ἔξωθέν τι ἐπεισφέρηται τοιοῦτον, τοῦτο ὡς περιττὸν καὶ βλάπτειν δυνάμενον ἀποσείεσθαι· κἂν ἔνδοθεν τίκτηται, ταχέως αὐτὸ φυγαδεύειν τῷ εὐσεβεῖ λογισμῷ. καὶ μὴ νομίζωμεν τὴν ἀσιτίαν μόνην τὴν μέχρι τῆς ἑσπέρας ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν. εἰ γὰρ Ἰουδαίοις τοῖς ἀγνώμοσιν ἔλεγεν ὁ φιλάνθρωπος δεσπότης διὰ τοῦ προφήτου, Ἰδοὺ ἔτη ἑβδομήκοντα μὴ νηστείαν νενηστεύκατέ μοι; καὶ ἐὰν φάγητε καὶ πίνητε, οὐχ ″ ὑμεῖς ἐσθίετε καὶ πίνετε; τάδε λέγει κύριος παντοκράτωρ, Κρίμα δίκαιον κρίνατε, καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύητε, καὶ κακίαν ἕκαστος μετὰ

Ρω. ιε. ιδ.

Φιλ. γ. α.

Ζαχ. ζ. ε.

γρ. ταπεινότεροι

γρ. τὴν περὶ

γρ. συνεχῶς

ἴσ. προσίεσθαι

γρ. ὑμῶν

τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακῆτε ἐν ταῖς καρδίαις ὑμῶν. εἰ τοίνυν ἐκείνοις τοῖς ‴ἔτι τῇ σκιᾷ προσκαθημένοις, καὶ τῷ σκότῳ τῆς πλάνης προσηλωμένοις, οὐδὲν ὄφελος ἀπὸ τῆς νηστείας μόνης ἐγίνετο μὴ ταῦτα κατωρθωκόσι, καὶ τὴν κακίαν τὴν πρὸς τὸν πλησίον ἐκ τῆς καρδίας ἐξορίσασι, ποίαν ἕξομεν ἡμεῖς ἀπολογίαν, οἱ τὰ μείζονα ἀπαιτούμενοι, καὶ οὐ μόνον ταῦτα ποιεῖν κελευόμενοι, ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ εὐεργετεῖν προσταττόμενοι; καὶ τί λέγω εὐεργετεῖν; εὔχεσθαι μὲν οὖν ὑπὲρ αὐτῶν, καὶ τὸν δεσπότην παρακαλεῖν καὶ ἱκετεύειν εἰς τὴν ὑπὲρ τούτων κηδεμονίαν; τοῦτο γὰρ ἡμῶν μάλιστα πάντων ἐν ἐκείνῃ τῇ φοβερᾷ προστήσεται ἡμέρᾳ, καὶ δαπάνη μεγίστη ἔσται τῶν ἡμῖν ἡμαρτημένων, ἐὰν οὕτω πρὸς τοὺς ἐχθρωδῶς πρὸς ἡμᾶς ἔχοντας διακείμεθα. εἰ γὰρ καὶ μέγα ἐστὶ ″σφόδρα τὸ ἐπίταγμα, ἀλλ᾽ ἐὰν τὸ ἔπαθλον ἐννοήσῃς τὸ κείμενον τοῖς τοῦτο κατορθοῦσιν, οὐδὲν ὅλως φανεῖται, κἂν σφόδρα μέγα ᾖ. τί δὲ τοῦτό ἐστιν; ἐὰν τοῦτο ποιήσητε, φησιν, Ὅμοιοι ἔσεσθε τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ ἵνα σαφέστερον ἡμῖν τὸν λόγον ποιήσῃ, ἐπήγαγεν; ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ″μιμοῦ, γάρ, φησι, κατὰ δύναμιν ἀνθρωπίνην τὸν θεόν. καθάπερ γὰρ ἐκεῖνος οὐ δικαίοις μόνον τὸν ἥλιον ἀνατέλλει, ἀλλὰ καὶ τοῖς τὰ πονηρὰ ἐργαζομένοις, καὶ τὸν ὑετὸν καὶ τοὺς ″ἐτησίους ὄμβρους οὐ τοῖς ἀγαθοῖς μόνον χορηγεῖ, ἀλλὰ καὶ τοῖς πονηροῖς· οὕτω καὶ σὺ ἐὰν μὴ μόνον τοὺς ἀγαπῶντάς σε ἀγαπᾷς, ἀλλὰ καὶ τοὺς ἐχθρωδῶς πρὸς σὲ διακειμένους, κατὰ τὴν δύναμιν τὴν σὴν τὸν δεσπότην ″μιμῇ τὸν σόν. εἶδες πῶς εἰς τὴν ἀνωτάτω κορυφὴν ἀνήγαγε τὸν ταύτην κατορθοῦν δυνάμενον τὴν ἀρετήν; ἀλλὰ μὴ τὸ δυσχερὲς μόνον ἐννόει τοῦ ″προστάγματος, ἀγαπητέ, ἀλλὰ πρότερον ἀναλογίζου κατὰ σαυτὸν, ὅσης μέλλεις ἀξιοῦσθαι τῆς τιμῆς· καὶ ἡ τῆς τιμῆς ὑπόθεσις τὸ βαρὺ καὶ φορτικὸν κοῦφόν σοι κατασκευαζέτω. οὐ γὰρ ὀφείλεις χάριν εἰδέναι, ὅτι ἀφορμὴν εὑρίσκεις διὰ τῆς εἰς τὸν ἐχθρὸν εὐεργεσίας, ἀνοιγῆναί σοι τῆς πρὸς τὸν θεὸν παρρησίας τὰς ″θύρας, καὶ τῶν ἡμαρτημένων σοι τὴν δαπάνην ἐργάζεσθαι; ἀλλ᾽ ἴσως ἐπιθυμεῖς ἀμύνασθαι τὸν ἐχθρὸν, καὶ τὸν κακῶς σε διαθέντα τοῖς ἴσοις περιβαλεῖν, ἢ καὶ μείζοσι. καὶ τί πλέον ἐκ ″τούτων ἔσται, ὅταν μετὰ τοῦ μηδὲ ὄνησίν σοί τινα γίνεσθαι, καὶ εὐθύνας μέλλεις ὑπὲρ τούτου ὑπέχειν ἐν τῷ φοβερῷ ἐκείνῳ δικαστηρίῳ, ὡς τοὺς ὑπ᾽ αὐτοῦ τεθέντας νόμους παραχαράξας; εἰπὲ γάρ μοι, εἰ βασιλεύς τις τῶν ἐπὶ γῆς νόμον τοιοῦτον ἔθηκεν, ὥστε τοὺς ἐχθροὺς θεραπεύειν, ἢ θάνατον εἶναι τὴν τιμωρίαν, οὐκ ἂν διὰ τὸν φόβον τοῦ σωματικοῦ τούτου θανάτου πάντες ἐπέδραμον εἰς τὴν τοῦ νόμου ἐκπλήρωσιν; πόσης οὖν οὐκ ἂν εἴη κατηγορίας ἄξιον, τὸ διὰ μὲν τὸν σωματικὸν θάνατον (ὃν καὶ ἄνευ τούτου ὁ τῆς φύσεως ἡμῖν χρέως πάντως ἐπάγει) πάντα καταδέχεσθαι ποιεῖν, διὰ δὲ τὸν θάνατον, ἔνθα παραμυθίαν οὐκ ἔστιν εὑρεῖν, ἔλαττον φροντίζειν τοῦ ὑπὸ τοῦ τῶν ἁπάντων δεσπότου κειμένου νόμου; ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν ταῦτα διαλεγόμενος τοῖς οὐδὲ πρὸς τοὺς ἀγαπῶντας τὴν ἴσην ἀγάπην ἐπιδεικνυμένοις. τίς οὖν ἡμᾶς λοιπὸν ἐξαιρήσεται τῆς κολάσεως ἐκείνης, ὅταν μὴ μόνον τῆς ἐκείνης ἐντολῆς ὦμεν μακρὰν ἀπῳκισμένοι, ἀλλὰ μηδὲ τὰ αὐτὰ τοῖς τελώναις πράττωμεν; Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, φησι, τί μέγα ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ὅταν οὖν μηδὲ τοῦτο παρ᾽ ἡμῶν γίνηται, ποία σωτηρίας ἡμῖν ἐλπίς; διὸ πάλιν, παρακαλῶ, μὴ γινώμεθα, ῥᾴθυμοι περὶ τὴν τήρησιν τῶν ἐντολῶν, ἀλλὰ δαμάσωμεν ἡμῶν τὸ ″σῶμα, καὶ πρότερον μὲν παιδεύσωμεν ἑαυτοὺς νικᾶν τὸν πλησίον ἐν τῇ ἀγάπῃ, καὶ κατὰ τὸν μακάριον Παῦλον τῇ τιμῇ ἀλλήλους προηγούμενοι, ὑπερέχοντας ἑαυτῶν τοὺς πέλας ἡγεῖσθαι, καὶ μὴ ἀνέχεσθαι ἐλαττοῦ-

Ματθ. ε. μδ.
Λουκ. ϛ. κζ.

Ματθ. ε. μδ.

Ματθ. ε. μϛ.

Φιλιπ. β. γ.

σθαι

θαι, ἀλλὰ νικᾶν καὶ μὴ ὑπερβάλλεσθαι, ἀλλὰ καὶ πλείονα ἐπιδείκνυσθαι καὶ θερμοτέραν τὴν περὶ τοὺς ἀγαπῶντας διάθεσιν. τοῦτο γάρ ἐστιν ὃ μάλιστα συνέχει καὶ συγκροτεῖ τὴν ζωὴν τὴν ἡμετέραν· καὶ τούτῳ τῶν ἀλόγων καὶ τῶν θηρίων διεστήκαμεν τῷ δύνασθαι, εἰ βουληθείημεν, τὴν προσήκουσαν ἡμῖν τάξιν διατηρεῖν, καὶ πολλὴν τὴν περὶ τοὺς πλησίον ὁμόνοιαν ἐπιδείκνυσθαι· ἔπειτα δὲ ἄγχειν τὸν λογισμόν, καὶ τὸ ἀτίθασον τοῦτο θηρίον, τὸν θυμὸν λέγω, καταξαίνειν, καὶ τὸν ἀγῶνα αὐτῷ τοῦ φοβεροῦ κριτηρίου ἐφιστᾶν, καὶ παιδεύειν, ὅτι εἰ ὑπόσχοιτο πρὸς τοὺς ἐχθροὺς σπείσασθαι, μεγάλων τεύξεται τῶν ἀγαθῶν. εἰ δ' ἔτι φιλονεικοίη, πολλὴν ὑποστήσεται τὴν δίκην. οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ δαπανᾶν ἡμᾶς τὸν χρόνον προσήκεν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ κυρίου κριτήριον, καὶ ἵνα μὲν ἐστὶ τὰ πολλὴν ἡμῖν τὴν παρρησίαν προξενοῦν δυνάμενα, ἵνα δὲ τὰ τὴν κόλασιν ἐπιτείνοντα· καὶ οὕτω ταῦτα στρέφοντες ἐν τοῖς ἡμετέροις λογισμοῖς, περιγινώμεθα τῶν παθῶν, καταστέλλωμεν ἡμῶν τὰ τῆς σαρκὸς σκιρτήματα, καὶ, Νεκρώσωμεν ἡμῶν, κατὰ τὸν μακάριον Παῦλον, τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, θυμόν, πλεονεξίαν, κενοδοξίαν, βασκανίαν. ἐὰν τούτοις τοῖς πάθεσι νεκροὺς ἑαυτοὺς καταστήσωμεν, ὡς μὴ δύνασθαι ἐν ἡμῖν ἐνεργεῖν, δυνησόμεθα τὸν καρπὸν τοῦ πνεύματος δέξασθαι, Ὅ ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. αὕτη τοῦ χριστιανοῦ πρὸς τὸν ἄπιστον ἔστω ἡ διαφορά, ταῦτα ἡμῶν ἔστω τὰ γνωρίσματα· μὴ τῇ προσηγορίᾳ μόνον ἐγκαλλωπιζώμεθα, μηδὲ τῷ σχήματι μέγα φρονῶμεν, μᾶλλον δὲ μὴ δὲ εἰ ταῦτα ἐκτησάμεθα, ἅπερ ἀπηριθμησάμην, μέγα φρονήσωμεν ποτέ, ἀλλὰ καὶ τότε μᾶλλον ἑαυτοὺς συστείλωμεν. Ὅταν γὰρ πάντα ποιήσητε, φησί, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἐὰν οὕτω μεμεριμνημένοι τυγχάνωμεν καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζωμεν, δυνησόμεθα καὶ ἑτέρους καὶ ἑαυτοὺς τὰ μέγιστα ὠφελεῖν, καὶ τῆς μελλούσης κολάσεως ἐξαρπάζειν, καὶ τοῖς εἰς ἡμᾶς ὁρῶσι διδάσκαλοι γίνεσθαι τῶν συμφερόντων, ἵνα μετὰ ἀκριβείας τὸν παρόντα διανύσαντες βίον, καταξιωθῶμεν τῆς ἐν τῷ μέλλοντι αἰῶνι φιλανθρωπίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, κυρίου δὲ ἡμῶν, Ἰησοῦ χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, * νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κολ. γ. ε.
Γαλ. ε. κβ.
Λουκ. ιζ. ι.

γρ. ἐστὶ
γρ. συγκροτεῖ
γρ. πώποτε
* καὶ προσκύνησις ἀναπέμπεται

Λογ. ε. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ· ΣΥΝΑΧΘΗΤΩ ΤΟ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά.

Φέρε καὶ σήμερον ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ῥημάτων τὴν ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ τὰ κατὰ τὴν τρίτην ἡμέραν παρὰ τοῦ δεσπότου δημιουργηθέντα κατοπτεύσωμεν μετὰ ἀκριβείας. εἰ γὰρ οἱ τὴν χρυσῖτιν γῆν διορύττοντες, ἔνθα ἂν ἴδωσι φλέβας τινὰς ψήγματα ἐχούσας, οὐ πρότερον ἀφίστανται μέχρις ἂν ἀναμοχλεύσαντες καὶ εἰς αὐτὸ τὸ βάθος κατελθόντες πολλὴν τὴν εὐπορίαν ἐκεῖθεν καρπώσωνται· πολλῷ μᾶλλον ἡμᾶς προσήκει οὐ ψήγματα χρυσίου μέλλοντας διερευνᾶσθαι, ἀλλὰ θησαυρὸν ἄφατον εὑρίσκειν προσδοκῶντας, καθ' ἑκάστην ἡμέραν τοῦτον διιχνεύειν, ἵνα πολὺν τὸν πλοῦτον τῆς περιουσίας τῆς πνευματικῆς ἐντεῦθεν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. ἐκείνων γὰρ ὁ πλοῦτος ὁ αἰσθητὸς πολλάκις καὶ κινδύνους ἔτεκε τοῖς αὐτὸν κτησαμένοις,

γρ. κεκτημένοις

καὶ περὶ τῶν κινδύνων δὲ βραχεῖαν τὴν ἡδονὴν παρέχων ἀνθρώποις ἀπέπτη, ἢ συκοφαντῶν ἐπιθεμένων, ἢ λῃστῶν, ἢ τοιχορύχων, ἢ τῶν οἰκετῶν τῶν φυλαττόντων ὑφελομένων καὶ δραπετευσάντων· ἐνταῦθα δὲ οὐδέν ἐστι τοιοῦτον παθεῖν. ἀνάλωτος γάρ ἐστιν ὁ πνευματικὸς οὗτος θησαυρός. καὶ ἐπειδὰν εἰς τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας ἐναποτεθῇ, ἀχείρωτος γίνεται πάσαις ταῖς ἐπιβουλαῖς, μόνον ἐὰν ἡμεῖς μὴ ῥαθυμήσαντες χώραν δῶμεν τῷ τοῦτον ἡμῶν ἀφελέσθαι ἐπιθυμοῦντι. ὁ γὰρ ἐχθρὸς ὁ ἡμέτερος, ὁ πονηρὸς λέγω διάβολος, ἐπειδὰν ἴδῃ πλοῦτον πνευματικὸν συλλεγέντα, μέμηνε καὶ θήγει τοὺς ὀδόντας καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδείκνυται, ὥστε καιρὸν ἐπιτήδειον εὑρεῖν καὶ ὑφελέσθαι τι τῶν ἔνδον ἡμῖν ἀποκειμένων· οὐδεὶς δὲ ἐκείνῳ καιρὸς ἐπιτήδειος, εἰ μὴ μόνον ἡ ῥαθυμία ἡ ἡμετέρα. διὸ προσήκει διηνεκῶς ἡμᾶς ἐγρηγορέναι καὶ ἀποτειχίζειν ἐκείνῳ τὰς ἐφόδους. ἐὰν γὰρ ἴδῃ νήφοντας καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδεικνυμένους ἡμᾶς, ἐπειδὰν ἅπαξ καὶ δεύτερον ἐπιθέμενος θεάσηται, ὡς ἀνονήτοις ἐπιχειρεῖ, ἄπεισι λοιπὸν καταισχυνθεὶς, εἰδὼς [ὡς] ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, ἡμῶν πολλὴν τὴν φυλακὴν ἐπιδεικνυμένων. ὡς οὖν εἰδότες ὅτι πάντα τὸν παρόντα βίον ἐναγώνιοι τυγχάνειν ὀφείλομεν, οὕτως ἑαυτοὺς καθοπλίζωμεν, ὡσανεὶ παρεστῶτα τὸν ἐχθρὸν ἔχοντες, καὶ ἀδιαλείπτως ἐπιτηροῦντα, μήπου τι μικρὸν ἀπονυστάξαντες ἀφορμὴν ἐπιθέσεως αὐτῷ παράσχωμεν. οὐχ ὁρᾷς τοὺς πολλὰ χρήματα κεκτημένους, ἐπειδὰν ἔφοδον προσδοκῶσι πολεμίων, πόσην πρόνοιαν ἐπὶ τὴν τούτων φυλακὴν ἐπιδείκνυνται; οἱ μὲν θύραις καὶ μοχλοῖς ἐναποκλείοντες, καὶ πᾶσαν ἀσφάλειαν ἐπιδεικνύμενοι· οἱ δὲ καὶ εἰς αὐτὴν τὴν γῆν κατορύττοντες, ὥστε δυνηθῆναι πάντας λαθεῖν; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς προσήκει τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγόντας, μετὰ πολλῆς φυλάττειν τοῦτον τῆς ἀκριβείας, καὶ μὴ προτιθέναι ὑπὸ τοῖς τῶν ἁπάντων ὀφθαλμοῖς, ἀλλ' ἐν τῷ ἀσφαλεστάτῳ τῆς διανοίας ταμιείῳ τοῦτον κατακρύπτειν, καὶ πάσας τὰς ἐφόδους ἀποτειχίζειν τῷ τοῦτον ὑφελέσθαι ἐσπουδακότι· ἵνα ἀνάλωτον αὐτὸν διαφυλάξαντες, δυνηθῶμεν τῆς ζωῆς μεθιστάμενοι, ἐφόδιά τινα ἔχειν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν. ὥσπερ γὰρ οἱ ἐπὶ τῆς ξένης τυγχάνοντες, ἐπειδὰν μέλλωσιν εἰς τὴν οἰκείαν ἐπανιέναι πατρίδα, ἀπὸ πολλοῦ τοῦ χρόνου κατὰ μικρὸν σπεύδουσι καὶ ἐπείγονται συναγαγεῖν τοσαῦτα* ἐφόδια, ὅσα πρὸς τὸ τῆς ὁδοῦ μῆκος ἀρκεῖν αὐτοῖς δυνήσεται, ἵνα μὴ λάθωσιν ἑαυτοὺς λιμῷ παραδιδόντες· κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἡμᾶς καθάπερ ἐπὶ ξένης ἐνταῦθα τυγχάνοντας (ξένοι γὰρ πάντες ἐσμὲν καὶ παρεπίδημοι) ἐντεῦθεν ἤδη σκοπεῖν καὶ προαποτίθεσθαι ἑαυτοῖς τὰ διὰ τῆς ἀρετῆς τῆς πνευματικῆς ἐφόδια· ἵν' ὅταν προστάξῃ ὁ δεσπότης εἰς τὴν οἰκείαν ἡμᾶς πατρίδα ἐπανελθεῖν, ἐμπαρασκευοι ὦμεν, καὶ τὰ μὲν μεθ' ἑαυτῶν ἀποκομίσωμεν, τὰ δὲ προπέμψαντες ὦμεν. τοιαύτη γὰρ τῶν ἐφοδίων τούτων ἡ φύσις, ἅπερ ἂν διὰ τῆς τῶν ἀγαθῶν τούτων πράξεων ἐργασίας θελήσωμεν ἑαυτοῖς προαποθέσθαι, προφθάσαντα ἡμᾶς ἐκεῖ τὰς θύρας ἡμῖν ἀνοίγνυσι τῆς παρρησίας τῆς πρὸς τὸν δεσπότην, καὶ τὴν εἴσοδον προευτρεπίζει, ὥστε μετὰ πάσης ἀδείας εἰσελθεῖν καὶ πολλὴν εὑρεῖν παρὰ τῷ δικαστῇ τὴν εὔνοιαν. καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐννόει μοι, ὅτι ὁ τὴν ἐλεημοσύνην μετὰ δαψιλείας ἐργαζόμενος, καὶ ἐνταῦθα ἀγαθῷ συνειδότι τρεφόμενος διατελεῖ, καὶ ἐπειδὰν ἐντεῦθεν μεταστῇ, πολλὴν εὑρίσκει παρὰ τῷ δικαστῇ τὴν φιλανθρωπίαν, καὶ τῶν μακαρίων ἐκείνων ῥημάτων ἀκούσεται μετὰ τῶν λοιπῶν, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γινόμενον εὕροι τις

Ματθ. κε. λδ.

θαι, ἀλλὰ νικᾶν καὶ μὴ ὑπερβάλλεσθαι, ἀλλὰ καὶ πλείονα ἐπιδείκνυσθαι καὶ θερμοτέραν τὴν περὶ τοὺς ἀγαπῶντας διάθεσιν. τοῦτο γάρ ἐστιν ὃ μάλιστα συνέχει καὶ συγκροτεῖ τὴν ζωὴν τὴν ἡμετέραν· καὶ τούτῳ τῶν ἀλόγων καὶ τῶν θηρίων διεστήκαμεν τῷ δύνασθαι, εἰ βουληθείημεν, τὴν προσήκουσαν ἡμῖν τάξιν διατηρεῖν, καὶ πολλὴν τὴν περὶ τοὺς πλησίον ὁμόνοιαν ἐπιδείκνυσθαι· ἔπειτα δὲ ἄγχειν τὸν λογισμὸν, καὶ τὸ ἀτίθασσον τοῦτο θηρίον, τὸν θυμὸν λέγω, καταξαίνειν, καὶ τὸν ἀγῶνα αὐτῷ τοῦ φοβεροῦ κριτηρίου ἐφιστᾶν, καὶ παιδεύειν, ὅτι εἰ ὑπερίδοι πρὸς τοὺς ἐχθροὺς ἀμύνασθαι, μεγάλων τεύξεται τῶν ἀγαθῶν. εἰ δὲ ἐπὶ φιλονεικίαν, πολλὴν ὑποστήσεται τὴν δίκην. οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ δαπανᾶν ἡμᾶς τὸν χρόνον προσήκει, ἀλλὰ καθ᾽ ἑκάστην ἡμέραν καὶ ὥραν πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ κυρίου κριτήριον, καὶ ἵνα μὲν ἐστὶ τὰ πολλὴν ἡμῖν τὴν παρρησίαν προξενεῖν δυνάμενα, ἵνα δὲ τὰ τὴν κόλασιν ἐπιτείνοντα· καὶ οὕτω ταῦτα στρέφοντες ἐν τοῖς ἡμετέροις λογισμοῖς, περιγινώμεθα τῶν παθῶν, καταστέλλωμεν ἡμῶν τὰ τῆς σαρκὸς σκιρτήματα, καὶ, Νεκρώσωμεν ἡμῶν, κατὰ τὸν μακάριον Παῦλον, τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, θυμὸν, πλεονεξίαν, κενοδοξίαν, βασκανίαν. ἐὰν τούτοις τοῖς πάθεσι νεκροὺς ἑαυτοὺς καταστήσωμεν, ὡς μὴ δύνασθαι ἐν ἡμῖν ἐνεργεῖν, δυνησόμεθα τὸν καρπὸν τοῦ πνεύματος δέξασθαι, Ὅ ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. αὕτη τοῦ χριστιανοῦ πρὸς τὸν ἄπιστον ἔστω ἡ διαφορά, ταῦτα ἡμῶν ἔστω τὰ γνωρίσματα· μὴ τῇ προσηγορίᾳ μόνον ἐγκαλλωπιζώμεθα, μηδὲ τῷ σχήματι μέγα φρονῶμεν, μᾶλλον δὲ μηδὲ εἰ ταῦτα ἐκτησάμεθα, ἅπερ ἀπηριθμησάμην, μέγα φρονήσωμεν ποτε, ἀλλὰ καὶ τότε μᾶλλον ἑαυτοὺς συστείλωμεν. Ὅταν γὰρ πάντα ποιήσητε, φησὶ, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἐὰν οὕτω μεμεριμνημένοι τυγχάνωμεν καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζωμεν, δυνησόμεθα καὶ ἑτέρους καὶ ἑαυτοὺς τὰ μέγιστα ὠφελεῖν, καὶ τῆς μελλούσης κολάσεως ἐξαρπάζειν, καὶ τοῖς εἰς ἡμᾶς ὁρῶσι διδάσκαλοι γίνεσθαι τῶν συμφερόντων, ἵνα μετὰ ἀκριβείας τὸν παρόντα διανύσαντες βίον, καταξιωθῶμεν τῆς ἐν τῷ μέλλοντι αἰῶνι φιλανθρωπίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, κυρίου δὲ ἡμῶν, Ἰησοῦ χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, * νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κολ. γ. ε.

Γαλ. ε. κβ.

Λουκ. ιζ. ι.

γρ. ἐστί

γρ. συγκροτεῖ

γρ. πώποτε

* καὶ προσκύνησις [illegible]

Λογ. ε. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ· ΣΥΝΑΧΘΗΤΩ ΤΟ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά.

ΦΕρε καὶ σήμερον ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ῥημάτων τὴν ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ τὰ κατὰ τὴν τρίτην ἡμέραν παρὰ τοῦ δεσπότου δημιουργηθέντα καταδύσωμεν μετὰ ἀκριβείας. Εἰ γὰρ οἱ τὴν χρυσῖτιν γῆν διορύττοντες, ἔνθα ἂν ἴδωσι φλέβας τινὰς ψήγματα ἐχούσας, οὐ πρότερον ἀφίστανται μέχρις ἂν ἀναμοχλεύσαντες καὶ εἰς αὐτὸ τὸ βάθος κατελθόντες πολλὴν τὴν εὐπορίαν ἐκεῖθεν καρπώσωνται· πολλῷ μᾶλλον ἡμᾶς προσήκει οὐ ψήγματα χρυσίου μέλλοντας διερευνᾶσθαι, ἀλλὰ θησαυρὸν ἄφατον εὑρίσκειν προσδοκῶντας, καθ᾽ ἑκάστην ἡμέραν τοῦτον ἀνιχνεύειν, ἵνα πολὺν τὸν πλοῦτον τῆς περιουσίας τῆς πνευματικῆς ἐντεῦθεν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος ὁ αἰσθητὸς πολλάκις καὶ κινδύνους ἔτεκε τοῖς αὐτὸν κτησαμένοις,

γρ. [illegible]

καὶ περὶ τῶν κινδύνων· ἢ βραχεῖαν τὴν ἡδονὴν παρέχων ἀνθρώπων ἀπέπτη, ἢ συκοφαντῶν ἐπιτιθεμένων, ἢ λῃστῶν, ἢ τοιχορύχων, ἢ τῶν οἰκετῶν τῶν φυλαττόντων ὑφελομένων καὶ δραπετευσάντων· ἐνταῦθα δὲ οὐδέν ἐστι τοιοῦτον παθεῖν. ἀνάλωτος γάρ ἐστιν ὁ πνευματικὸς οὗτος θησαυρός. καὶ ἐπειδὰν εἰς τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας ἐναποτεθῇ, ἀχείρωτος γίνεται πάσαις ταῖς ἐπιβουλαῖς, μόνον ἐὰν ἡμεῖς μὴ ῥᾳθυμήσαντες χώραν δῶμεν τῷ τοῦτον ἡμῖν ἀφελέσθαι ἐπιθυμοῦντι. ὁ γὰρ ἐχθρὸς ὁ ἡμέτερος, ὁ πονηρὸς λέγω διάβολος, ἐπειδὰν ἴδῃ πλοῦτον πνευματικὸν συλλεγέντα, μέμηνε καὶ θήγει τοὺς ὀδόντας καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδείκνυται, ὥστε καιρὸν ἐπιτήδειον εὑρεῖν καὶ ὑφελέσθαι τι τῶν ἔνδον ἡμῖν ἀποκειμένων· οὐδεὶς δὲ ἐκείνῳ καιρὸς ἐπιτήδειος, εἰ μὴ μόνον ἡ ῥᾳθυμία ἡ ἡμετέρα. διὸ προσήκει διηνεκῶς ἡμᾶς ἐγρηγορέναι καὶ ἀποτειχίζειν ἐκείνῳ τὰς ἐφόδους. ἐὰν γὰρ ἴδῃ νήφοντας καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδεικνυμένους ἡμᾶς, ἐπειδὰν ἅπαξ καὶ δεύτερον ἐπιτιθέμενος θεάσηται, ὡς ἀνονήτοις ἐπιχειρεῖ, ἄπεισι λοιπὸν καταισχυνθείς, εἰδὼς [ὡς] ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, ἡμῶν πολλὴν τὴν φυλακὴν ἐπιδεικνυμένων. ὡς οὖν εἰδότες ὅτι πάντα τὸν παρόντα βίον ἐναγώνιοι τυγχάνειν ὀφείλομεν, οὕτως ἑαυτοὺς καθοπλίζωμεν, ὡσανεὶ παρεστῶτα τὸν ἐχθρὸν ἔχοντες, καὶ ἀδιαλείπτως ἐπιτηροῦντα, μήπου τι μικρὸν ἀπονυστάξαντες ἀφορμὴν ἐπιθέσεως αὐτῷ παράσχωμεν. οὐχ ὁρᾷς τοὺς πολλὰ χρήματα κεκτημένους, ἐπειδὰν ἔφοδον προσδοκῶσι πολεμίων, πόσην πρόνοιαν ἐπὶ τὴν τούτων φυλακὴν ἐπιδείκνυνται; οἱ μὲν θύραις καὶ μοχλοῖς ἐναποκλείοντες, καὶ πᾶσαν ἀσφάλειαν ἐπιδεικνύμενοι· οἱ δὲ καὶ εἰς αὐτὴν τὴν γῆν κατορύττοντες, ὥστε δυνηθῆναι πάντας λαθεῖν; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς προσήκει τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγόντας, μετὰ πολλῆς φυλάττειν τοῦτον τῆς ἀκριβείας, καὶ μὴ προτιθέναι ὑπὸ τοῖς τῶν ἁπάντων ὀφθαλμοῖς, ἀλλ' ἐν τῷ ἀσφαλεστάτῳ τῆς διανοίας ταμιείῳ τοῦτον κατακρύπτειν, καὶ πάσας τὰς ἐφόδους ἀποτειχίζειν τῷ τοῦτον ὑφελέσθαι ἐσπουδακότι· ἵνα ἀνάλωτον αὐτὸν διαφυλάξαντες, δυνηθῶμεν τῆς ζωῆς μεθιστάμενοι, ἐφόδιά τινα ἔχειν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν. ὥσπερ γὰρ οἱ ἐπὶ τῆς ξένης τυγχάνοντες, ἐπειδὰν μέλλωσιν εἰς τὴν οἰκείαν ἐπανιέναι πατρίδα, ἀπὸ πολλοῦ τοῦ χρόνου κατὰ μικρὸν σπεύδουσι καὶ ἐπείγονται συναγαγεῖν τοσαῦτα* ἐφόδια, ὅσα πρὸς τὸ τῆς ὁδοῦ μῆκος ἀρκεῖν αὐτοῖς δυνήσεται, ἵνα μὴ λάθωσιν ἑαυτοὺς λιμῷ παραδιδόντες· κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἡμᾶς καθάπερ ἐπὶ ξένης ἐνταῦθα τυγχάνοντας (ξένοι γὰρ πάντες ἐσμὲν καὶ παρεπίδημοι) ἐντεῦθεν ἤδη σκοπεῖν καὶ προαποτίθεσθαι ἑαυτοῖς τὰ διὰ τῆς ἀρετῆς τῆς πνευματικῆς ἐφόδια· ἵν' ὅταν προστάξῃ ὁ δεσπότης εἰς τὴν οἰκείαν ἡμᾶς πατρίδα ἐπανελθεῖν, ἐμπαράσκευοι ὦμεν, καὶ τὰ μὲν μεθ' ἑαυτῶν ἀποκομίσωμεν, τὰ δὲ προπέμψαντες ὦμεν. τοιαύτη γὰρ τῶν ἐφοδίων τούτων ἡ φύσις, ἅπερ ἂν διὰ τῆς τῶν ἀγαθῶν τούτων πράξεων ἐργασίας θελήσωμεν ἑαυτοῖς προαποθέσθαι, προφθάσαντα ἡμᾶς ἐκεῖ τὰς θύρας ἡμῖν ἀνοίγνυσι τῆς παρρησίας τῆς πρὸς τὸν δεσπότην, καὶ τὴν εἴσοδον προευτρεπίζει, ὥστε μετὰ πάσης ἀδείας εἰσελθεῖν καὶ πολλὴν εὑρεῖν παρὰ τῷ δικαστῇ τὴν εὔνοιαν. καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐννόει μοι, ὅτι ὁ τὴν ἐλεημοσύνην μετὰ δαψιλείας ἐργαζόμενος, καὶ ἐνταῦθα ἀγαθῷ συνειδότι τρεφόμενος διατελεῖ, καὶ ἐπειδὰν ἐντεῦθεν μεταστῇ, πολλὴν εὑρίσκει παρὰ τῷ δικαστῇ τὴν φιλανθρωπίαν, καὶ τῶν μακαρίων ἐκείνων ῥημάτων ἀκούσεται μετὰ τῶν λοιπῶν, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. Ματθ. κε. λδ. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γινόμενον εὕροι τις ἀν. οὕτως καὶ ἐπὶ τῆς ἐξομολογήσεως τῶν ἁμαρτιῶν, καὶ ἐπὶ τῶν εὐχῶν τῶν μετὰ ἐκτενείας γενομένων συμβήσεται. ὅταν γὰρ ἐν τῇ παρούσῃ ζωῇ διὰ τῆς ἐξομολογήσεως ἀπονίψασθαι τὰ πεπλημμελημένα δυνηθῶμεν, καὶ τὴν συγχώρησιν δέξασθαι παρὰ τοῦ δεσπότου, ἄπιμεν ἐκεῖ καθαροὶ τῶν ἁμαρτημάτων, καὶ πολλὴν εὑρήσομεν τὴν παρρησίαν ἡμῖν δωρουμένην. οὐδὲ γὰρ οἷόν τε λοιπὸν εὑρεῖν τινα παραμυθίαν ἐκεῖ, τὸν μὴ ἐν τῷ παρόντι βίῳ ἀπονιψάμενον τὰ ἡμαρτημένα. Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; καὶ εἰκότως. οὗτος γάρ ἐστιν ὁ τῶν σκαμμάτων καιρός, καὶ τῶν ἀγώνων καὶ τῶν παλαισμάτων· ἐκεῖνος δὲ τῶν στεφάνων καὶ τῶν ἀμοιβῶν καὶ τῶν βραβείων. ἀγωνισώμεθα τοίνυν, ὡς ἔτι ἐν τῷ σταδίῳ διάγοντες, ἵνα ἐν τῷ καιρῷ, καθ' ὃν δεῖ τὸν στέφανον" κομίσασθαι, καὶ τῶν καμάτων τὰς ἀμοιβάς, μὴ γενώμεθα τῶν καταισχυνομένων, ἀλλὰ τῶν μετὰ παρρησίας τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς δεχομένων. ταῦτα οὐχ ἁπλῶς οὐδὲ μάτην προοιμιαζόμεθα ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλὰ βουλόμενοι καθ' ἑκάστην ἡμέραν εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν τῶν ἀγαθῶν πράξεων, ἵνα τέλειοι καὶ ἀπηρτισμένοι τυγχάνοντες, καὶ κατὰ τὴν τῆς πολιτείας ἀρετὴν διαλάμποντες, γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ ἀμώμητα, καὶ φανῆσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἡμέτερον εἰς ἡμέραν Χριστοῦ, ἵνα καὶ μόνον φαινόμενοι ὠφελῆτε τοὺς ὑμῖν συγγινομένους, καὶ τῆς προσούσης ὑμῖν εὐωδίας τῆς πνευματικῆς καὶ τῆς ἀρίστης πολιτείας μεταλαμβάνωσιν οἱ κοινωνοῦντες ὑμῖν τῆς διαλέξεως. ὥσπερ γὰρ ἡ τῶν φαύλων συνουσία καταβλάπτειν εἴωθε τοὺς ἀναμιγνυμένους, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησι, Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· οὕτω καὶ ἡ τῶν ἀγαθῶν συνουσία τὰ μέγιστα ὀνίνησι τοὺς πλησιάζοντας. διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης συνεχώρησεν ἀναμεμῖχθαι τοὺς ἀγαθοὺς τοῖς πονηροῖς, ἵνα κερδάνωσί τι ἐκ τῆς συνουσίας, καὶ μὴ ἐναπομένωσι διηνεκῶς τῇ πονηρίᾳ, ἀλλὰ συνεχῆ ὑπόμνησιν ἔχοντες τὴν ἐκείνων θέαν, καρπώσωνταί τι πλέον ἐκ τῆς τούτων συνουσίας. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὡς καὶ τοὺς μὴ μετιόντας σφόδρα αὐτὴν αἰδεῖσθαι, καὶ πολὺν τὸν ὑπὲρ αὐτῆς ἔπαινον διεξιέναι. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ κακία πάλιν καὶ παρ' αὐτῶν τῶν μετιόντων αὐτὴν διηνεκῶς βάλλεται ταῖς κατηγορίαις. οὕτως ἐστὶ πᾶσι δήλη καὶ καταφανής, καὶ οὐδένα εὑρήσεις ποτὲ ταχέως ἐπὶ ταύτῃ παρρησιαζόμενον· ἀλλὰ καὶ τὸ θαυμαστόν, ὅτι ἃ διὰ τῶν ἔργων πράττειν ἐπιχειροῦσι, πολλάκις τοῖς λόγοις κακίζουσι καὶ λανθάνειν τοὺς πολλοὺς βούλονται. καὶ τοῦτο δὲ τῆς τοῦ θεοῦ φιλανθρωπίας, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπεδείξατο, τὸ ἑκάστῳ ἡμῶν" ἐνθεῖναι κριτήριον ἀδέκαστον τὸ συνειδός, ἔχον ἀκριβῆ τὴν διάγνωσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· ὃ δὴ μάλιστα καὶ πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται, οὐ δι' ἄγνοιαν προσπταίοντας τοῖς ἁμαρτήμασιν, ἀλλὰ διὰ ῥαθυμίαν ψυχῆς καὶ ἀμέλειαν τῆς ἀρετῆς. ταῦτα καθ' ἑκάστην ὥραν" στρέφωμεν πρὸς ἑαυτούς, πολλὴν" ποιοῦντες τὴν μέριμναν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἵνα μή, τοῦ χρόνου παρατρέχοντος, λάθωμεν ἑαυτοὺς τὰ μέγιστα ζημιοῦντες. ἀλλὰ τῶν μὲν προοιμίων ἅλις. ἀκούσωμεν δέ, εἰ δοκεῖ, τίνα ἐστὶν ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται ἡ τοῦ πνεύματος χάρις διὰ τῆς τοῦ * Μωϋσέως γλώττης.

Ψαλ. ϛ. α.

α. Κορ. ιε. λγ.

γρ. ἀναδήσασθαι

γρ. ἐνστῆναι

γρ. στρέφοντες

γρ. ποιώμεθα

* μακαρίου

9 Καὶ εἶπε, φησίν, ὁ θεός, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτως.

Βλέπε μοι, ἀγαπητέ, ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν ἀρίστην. ἐπειδὴ γὰρ εἶπεν ἐν ἀρχῇ, ὅτι ἦν ἡ γῆ ἀόρατος καὶ ἀκατασκεύαστος τῷ καὶ τῷ σκότῳ καὶ τοῖς ὕδασι καλύπτεσθαι, εἶτα τῇ δευτέρᾳ ἡμέρᾳ τὸ στερέωμα κελεύσας γενέσθαι, τὸν χωρισμὸν τῶν ὑδάτων εἰργάσατο καλέσας τὸ στερέωμα, οὐρανόν· νῦν πάλιν διδάσκει ἡμᾶς, ὅτι

ἐν τῇ τρίτῃ ἡμέρᾳ τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ, ἤτοι τοῦ στερεώματος, προσέταξεν εἰς μίαν συναγωγὴν συνελθὸν χώραν παρασχεῖν " ὀφθῆναι τὴν ξηράν, καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἅπαντα ὑδάτων ἐπεπλήρωτο, κελεύει εἰς μίαν συναγωγὴν ὑδάτων τὸ πλῆθος συνελθεῖν, ἵν' οὕτως ὀφθῇ ἡ ξηρά. σκόπει πῶς κατὰ μικρὸν ἡμῖν τὴν διακόσμησιν καὶ τὴν εὐμορφίαν αὐτῆς παραδείκνυσι· καὶ ἐγένετο, φησιν, οὕτως. πῶς; ὡς προσέταξεν ὁ δεσπότης· εἶπε μόνον καὶ τὸ ἔργον ἠκολούθησε. τοῦτο γὰρ ἴδιον θεοῦ τὸ κατὰ τὸ ἑαυτοῦ βούλημα τὰ δημιουργήματα ἡνιοχεῖν.

ὀφθῆναι τῇ

Καὶ συνήχθη, φησὶ, τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς " αὐτοῦ, καὶ ὤφθη ἡ ξηρά.

αὐτοῦ

Καθάπερ ἐπὶ τοῦ φωτὸς, σκότους ὄντος πανταχοῦ, ἐκέλευσε παραχθῆναι τὸ φῶς, καὶ διαχωρισμὸν εἰργάσατο τοῦ φωτὸς καὶ τοῦ σκότους, τὸ μὲν τῇ ἡμέρᾳ ἀποκληρώσας, τὸ δὲ τῇ νυκτὶ, καὶ ἐπὶ τῶν ὑδάτων πάλιν τὸ στερέωμα παραγαγὼν, τὰ μὲν τὴν ἄνω χώραν ἐπέχειν ἐκέλευσε, τὰ δὲ ὑπὸ τὸ στερέωμα εἶναι· οὕτω καὶ νῦν αὐτὰ ταῦτα τὰ ὕδατα τὰ ὑποκάτω τοῦ στερεώματος προστάσσει εἰς μίαν συναγωγὴν συνδραμεῖν, ἵνα φανῇ ἡ ξηρά, καὶ τότε καὶ ταύτῃ τὸ οἰκεῖον ἐπιθῇ ὄνομα, ὥσπερ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους. συνήχθη γὰρ, φησι, τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτοῦ, καὶ ὤφθη ἡ ξηρά, καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν, γῆν. Εἶδες, ἀγαπητὲ, πῶς ἀόρατον οὖσαν καὶ ἀκατασκεύαστον, καθάπερ ὑπὸ παραπετάσμασί τισι καλυπτομένην τοῖς ὕδασιν, ἀπαμφιάσας, ὡς εἰπεῖν, δείκνυσιν ἡμῖν αὐτῆς τέως τὸ πρόσωπον, ἐπιθεὶς αὐτῇ τὴν οἰκείαν προσηγορίαν; καὶ τὰ συστήματα, φησι, τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. ἰδοὺ καὶ τὰ ὕδατα ἔλαβε τὴν οἰκείαν προσηγορίαν. καθάπερ γάρ τις τεχνίτης ἄριστος, ἐπειδὰν μέλλῃ κατασκευάζειν τι σκεῦος διὰ τῆς οἰκείας ἐπιστήμης, οὐ πρότερον τούτῳ τὴν οἰκείαν προσηγορίαν ἐπιτίθησι, μέχρις ἂν τὸ τέλος ἐπιθῇ τῷ κατασκευαζομένῳ· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος δεσπότης, οὐ πρότερον τὰς προσηγορίας τοῖς στοιχείοις ἐπιτίθησι, μέχρις ἂν εἰς τὴν οἰκείαν χώραν τῷ οἰκείῳ προστάγματι ἐναποθῆται. ἐπεὶ οὖν ἐδέξατο καὶ ἡ γῆ τὴν ἑαυτῆς προσηγορίαν, καὶ πρὸς τὴν οἰκείαν μορφὴν ἐπανῆλθε, καὶ τὰ ὕδατα συναχθέντα πάλιν τῆς ἰδίας ὀνομασίας ἠξιώθη.

10 Ἐκάλεσε γάρ, φησι, τὰ συστήματα τῶν ὑδάτων, θαλάσσας. καὶ ἐπήγαγε πάλιν, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν.

Ἐπειδὴ γὰρ ἀσθενὴς οὖσα τῶν ἀνθρώπων ἡ φύσις οὐκ ἤρκει πρὸς ἀξίαν ἐπαινέσαι τὰ τοῦ θεοῦ δημιουργήματα, προλαβοῦσα ἡ θεία γραφὴ τὸν ὑπ' αὐτοῦ τοῦ δημιουργοῦ ἔπαινον ἡμᾶς διδάσκει. ὅταν τοίνυν μάθῃς ὅτι καὶ αὐτῷ τῷ παραγαγόντι καλὰ ὤφθη τὰ γεγενημένα, μεῖζον μὲν ἕξεις τὸ θαῦμα, οὐδὲν δὲ πλέον εἰς ἔπαινον καὶ ἐγκωμίου λόγον εἰσενεγκεῖν δυνήσῃ. τοιοῦτον γὰρ ἔχεις δεσπότην, τοιαῦτα ἐργαζόμενον, ἃ μηδὲ τὸν παρ' ἡμῶν ἔπαινον δέξασθαι δύναται. πῶς γὰρ ἂν δυνηθείη ἀνθρωπίνη φύσις θεοῦ ἔργα κατ' ἀξίαν ἐπαινέσαι ποτέ; καὶ θέα μοι λοιπὸν, ἐνταῦθα διὰ τῶν ἐπαγομένων τοῦ εὐμηχάνου θεοῦ τὴν ἄφατον σοφίαν. ἐπειδὴ γὰρ φανερὸν ἡμῖν τῆς γῆς τὸ πρόσωπον ἔδειξε, λοιπὸν τῷ οἰκείῳ προστάγματι τὴν προσήκουσαν εὐμορφίαν αὐτῇ χαρίζεται, καλλωπίζων αὐτῆς τὸ πρόσωπον τῇ ποικιλίᾳ τῶν σπερμάτων.

11 Καὶ εἶπε, φησιν, ὁ θεὸς· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ " [καθ' ὁμοιότητα,] κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως.

Τί ἐστι, " καὶ ἐγένετο οὕτως; προσέταξεν " ὁ θεὸς, φησι, καὶ εὐθέως ἡ γῆ τὰς οἰκείας

τό.
δεσπότης.

ὠδῖνας διεγείρασα, πρὸς τὴν τῶν σπερμάτων βλάστην ἑαυτὴν ηὐτρέπισε

12 Καὶ ἐξήνεγκε, φησιν, ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς.

Ἐνταῦθα, ἀγαπητὲ, ἐννόει μοι πῶς " τὸ ῥῆμα τοῦ δεσπότου τὰ πάντα ἐγένετο τῇ γῇ. οὔτε γὰρ ἄνθρωπος ἦν ὁ ἐργαζόμενος, οὐκ ἄροτρον, οὐ βοῶν συνεργία, οὐκ ἄλλη τις περὶ αὐτὴν ἐπιμέλεια, ἀλλὰ μόνον ἤκουσε τοῦ ἐπιτάγματος, καὶ εὐθέως τὰ παρ' ἑαυτῆς ἐπεδείξατο. ἐκ τούτου μανθάνομεν, ὅτι καὶ νῦν οὐ τῶν γηπόνων ἡ ἐπιμέλεια, οὐδὲ ὁ πόνος καὶ ἡ λοιπὴ ταλαιπωρία ἡ κατὰ τὴν γεωργίαν γινομένη τῶν καρπῶν ἡμῖν τὴν φορὰν χαρίζεται· ἀλλὰ πρὸ τούτων ἁπάντων τὸ τοῦ θεοῦ ῥῆμα, τὸ ἐξ ἀρχῆς πρὸς αὐτὴν γενόμενον. ἄλλως τε δὲ καὶ τὴν μετὰ ταῦτα ἀγνωμοσύνην τῶν ἀνθρώπων διορθουμένη ἡ θεία γραφὴ, ἀκριβῶς ἡμῖν ἅπαντα διηγεῖται, καὶ τὴν τάξιν τῶν γεγονότων, ἵνα ἀναστείλῃ τῶν μάτην φθεγγομένων τὰς ἀπὸ τῶν οἰκείων λογισμῶν ληρωδίας, τῶν λέγειν ἐπιχειρούντων ὅτι τῆς τοῦ ἡλίου συνεργείας δεῖ πρὸς τὴν τῶν καρπῶν τελεσφόρησιν. εἰσὶ δέ τινες οἳ καὶ τῶν ἄστρων τισὶ ταῦτα ἐπιγράφειν ἐπιχειροῦσι. διὰ τοῦτο διδάσκει ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον ὅτι πρὸ τῆς τῶν στοιχείων τούτων δημιουργίας τῷ λόγῳ αὐτοῦ καὶ τῷ προστάγματι εἴκουσα ἡ γῆ, πάντα τὰ σπέρματα ἐκδίδωσιν, οὐδενὸς ἑτέρου δεηθεῖσα πρὸς συνέργειαν. ἤρκεσε γὰρ αὐτῇ ἀντὶ πάντων τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. κατακολουθοῦντες τοίνυν τῇ θείᾳ γραφῇ μηδέποτε ἀνεχώμεθα τῶν ἁπλῶς τὰ παριστάμενα λεγόντων. κἂν γὰρ ἄνθρωποι τὴν γῆν ἐργάζωνται, κἂν τὴν ἀπὸ τῶν ἀλόγων συνέργειαν ἔχωσι, κἂν πολλὴν τῇ γῇ ἐπιμέλειαν ἐπιδείξωνται, κἂν ἀέρων εὐκρασία γένηται, κἂν πάντα τὰ ἄλλα συνδράμῃ, εἰ μὴ τὸ νεῦμα τοῦ δεσπότου γένοιτο, πάντα εἰκῆ καὶ μάτην, καὶ οὐδὲν ἔσται τι πλέον τῶν πολλῶν μόχθων καὶ τῶν καμάτων, μὴ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, καὶ τὴν τελεσφόρησιν χαριζομένης τοῖς γινομένοις. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειεν, ἐννοῶν ὅπως τὸ ῥῆμα τοῦ δεσπότου, τὸ λέγον, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, " εἰς αὐτὰς τῆς γῆς τὰς λαγόνας κατελθὸν, καθάπερ πέπλῳ τινὶ θαυμαστῷ, οὕτω τῇ τῶν ἀνθῶν ποικιλίᾳ τῆς γῆς τὸ πρόσωπον κατεκόσμησε; καὶ ἦν ἰδεῖν ἀθρόον τὴν πρότερον ἄμορφον καὶ ἀκατασκεύαστον, τοσοῦτον δεξαμένην τὸ κάλλος, ὡς, μικροῦ δεῖν, ἁμιλλᾶσθαι τῷ οὐρανῷ. καθάπερ γὰρ ἐκεῖνος μετ' οὐ πολὺ μέλλει κοσμεῖσθαι τῇ τῶν ἄστρων ποικιλίᾳ, οὕτω καὶ αὕτη τῇ διαφορᾷ τῶν ἀνθῶν οὕτως ἐκαλλωπίσατο, ὡς καὶ τὸν δημιουργὸν εἰς ἔπαινον " ἀγαγεῖν. καὶ εἶδε γὰρ, φησιν, ὁ θεὸς ὅτι καλόν. εἶδες πῶς καθ' ἕκαστον τῶν γινομένων δείκνυσιν ἐπαινοῦντα τὸν δημιουργὸν, ἵνα μετὰ ταῦτα ἡ τῶν ἀνθρώπων φύσις ταῦτα διδασκομένη, ἐκ τῶν δημιουργημάτων ἀνατρέχῃ πρὸς τὸν δημιουργήσαντα. εἰ γὰρ τὰ δημιουργήματα [τοιαῦτα ὄντα] νικᾷ τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ οὐδεὶς ἂν αὐτὰ κατ' ἀξίαν ἐπαινέσαι δυνήσεται, τί ἄν τις εἰπεῖν δυνηθείη περὶ αὐτοῦ τοῦ δημιουργοῦ;

γρ. τῷ ῥήματι

γρ. ἐπ'

γρ. ἄγειν

13. Καὶ εἶδε, φησιν, ὁ θεὸς ὅτι καλὸν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Ὅρα πῶς τῇ συνεχείᾳ τῆς διδασκαλίας ἐμπῆξαι βούλεται τῇ διανοίᾳ τῇ ἡμετέρᾳ τῶν λεγομένων τὴν δύναμιν. ἐξῆν γὰρ εἰπεῖν, καὶ ἐγένετο ἡμέρα τρίτη· ἀλλ' ὅρα πῶς καθ' ἑκάστην ἡμέραν οὕτω φησὶ, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη· οὐχ ἁπλῶς οὐδὲ εἰκῆ, ἀλλ' ἵνα μὴ συγχέωμεν τὴν τάξιν, μηδὲ νομίζωμεν ἑσπέρας καταλαβούσης τέλος εἰληφέναι τὴν ἡμέραν, ἀλλ' ἴδωμεν ὅτι ἡ μὲν ἑσπέρα τέλος ἐστὶ τοῦ φωτὸς καὶ ἀρχὴ τῆς νυκτός· ὁ δὲ ὄρθρος τέλος τῆς νυκτὸς καὶ πλήρωμα τῆς ἡμέρας. τοῦτο γὰρ ἡμᾶς βούλεται διδάξαι ὁ μακάριος Μωϋσῆς λέγων, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα τρίτη. καὶ μὴ ξενισθῇς, ἀγαπητέ, εἰ ταῦτα πολλάκις καὶ συνεχῶς ἡ θεία γραφὴ λέγει. εἰ γὰρ καὶ μετὰ τὴν ʺτοσαύτην συνέχειαν ἔτι οἱ τῇ πλάνῃ προκατειλημμένοι Ἰουδαῖοι, οἱ ʺπεπωρωμένοι τὴν καρδίαν φιλονεικεῖν πειρῶνται, καὶ τὴν ἑσπέραν ἀρχὴν τῆς ἐπιούσης ἡμέρας εἶναι νομίζουσιν, ἀπατῶντες ἑαυτοὺς καὶ παραλογιζόμενοι, καὶ τῇ σκιᾷ ἔτι προσκαθήμενοι, τῆς ἀληθείας οὕτω πᾶσι δήλης γεγενημένης, καὶ τῷ λύχνῳ προσεδρεύοντες, τοῦ ἡλίου τῆς δικαιοσύνης πανταχοῦ τὰς οἰκείας ἀκτῖνας ἀφιέντος, εἰ μὴ τοσαύτῃ τῇ διδασκαλίᾳ μετὰ πολλῆς τῆς ἀκριβείας ἐχρήσατο, τίς ἂν ἤνεγκε τῶν ἀγνωμόνων τὴν φιλονεικίαν;

ΗΘΙΚΟΝ.

Ἀλλ' ἐκεῖνοι μὲν τῆς οἰκείας ἀνοίας ἀναμενέτωσαν τὰ ἐπίχειρα, ἡμεῖς δὲ οἱ καταξιωθέντες τὰς μαρμαρυγὰς δέξασθαι τοῦ ἡλίου τῆς δικαιοσύνης, πειθώμεθα τῇ τῆς θείας γραφῆς διδασκαλίᾳ, καὶ τῷ κανόνι ταύτης ἐξακολουθοῦντες, οὕτω τὰ ὑγιῆ δόγματα ἐναποθώμεθα τοῖς ταμείοις τῆς διανοίας τῆς ἡμετέρας, καὶ μετὰ τῆς τούτων φυλακῆς πολλὴν πρόνοιαν τῆς ἑαυτῶν σωτηρίας ποιώμεθα, καὶ τὰ λυμαινόμενα ἡμῶν τὴν κατὰ ψυχὴν ὑγίειαν φεύγωμεν, καθάπερ δηλητηρίων φαρμάκων, πάντων τῶν τοιούτων ἀπεχόμενοι. πολὺ γὰρ μείζων αὕτη ἡ βλάβη καὶ τοσούτῳ μείζων, ὅσῳ ψυχὴ σώματος βελτίων. ἐκεῖνα μὲν γὰρ τὰ φάρμακα τὸν σωματικὸν τοῦτον θάνατον ἐπάγει, τὰ δὲ τῇ ὑγιείᾳ τῆς ψυχῆς λυμαινόμενα, τὸν αἰώνιον ἡμῖν θάνατον προξενεῖ. τίνα δέ ἐστι τὰ λυμαινόμενα ʺἡμῖν; πολλὰ μὲν καὶ διάφορα, μάλιστα δὲ τὸ πρὸς τὴν δόξαν ἐπτοῆσθαι τὴν ἀνθρωπίνην, καὶ μὴ εἰδέναι ταύτης ὑπερορᾶν. τοῦτο γὰρ ἡμῖν πολλῶν αἴτιον ἀεὶ γίνεται τῶν κακῶν, καὶ εἴ τινα ἔχοιμεν πλοῦτον πνευματικόν, τοῦτον κενοὺς καὶ ἐρήμους ἡμᾶς καθίστησι τῆς ἐντεῦθεν ὠφελείας. τί οὖν ἂν γένοιτο ταύτης τῆς λύμης ὀλεθριώτερον, ὅταν καὶ ἃ δοκοῦμεν ἔχειν, ἀφίπτασθαι ἡμῶν παρασκευάζει; οὕτως ὁ Φαρισαῖος ἐκεῖνος τοῦ τελώνου γέγονεν ἐλάττων, οὐ δυνηθεὶς κρατῆσαι τῆς ʺἰδίας γλώττης, ἀλλὰ δι' ἐκείνης καθάπερ διά θυρίδος τινὸς ἐκχέας πάντα αὐτοῦ τὸν πλοῦτον. τοσοῦτόν ἐστι κενοδοξία κακόν. εἰπὲ γάρ μοι, τίνος ἕνεκεν καὶ διά τι ἐπτόησαι περὶ τὸν τῶν ἀνθρώπων ἔπαινον; οὐκ οἶσθα ὅτι καθάπερ σκιά, καὶ εἴ τι ταύτης εὐτελέστερον, οὕτως ὁ παρὰ τούτων ἔπαινος εἰς τὸν ἀέρα διαχυθεὶς ἀφανίζεται; ἄλλως τε καὶ εὐπερίτρεπτος καὶ εὐμετάβλητός ἐστιν ἡ τῶν ἀνθρώπων φύσις, καὶ οἱ αὐτοὶ νῦν μὲν ἐπαινοῦσι, νῦν δὲ κακίζουσι τὸν αὐτόν· ἐπὶ δὲ τῆς τοῦ θεοῦ ψήφου οὐκ ἄν ποτε τοῦτο γένοιτο. μὴ τοίνυν ἀνόητοι ὦμεν μηδὲ εἰκῇ καὶ μάτην ἑαυτοὺς ἀπατῶμεν. κἂν γὰρ ποιῶμέν τι ἀγαθόν, μὴ διὰ τοῦτο δὲ μόνον αὐτὸ μετερχώμεθα, ἵνα τὴν ἐντολὴν πληρώσωμεν τοῦ ἡμετέρου δεσπότου, κἀκείνῳ μόνῳ γνώριμοι γενώμεθα· εἰκῇ τὸν πόνον ὑπομένομεν, τοῦ ἐντεῦθεν καρποῦ ἑαυτοὺς ἀποστεροῦντες. ὁ γὰρ διὰ τὸ θηρᾶσθαι τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τι τῶν ἀγαθῶν ἐργαζόμενος, κἄντε ταύτης ἀπολαῦσαι δυνηθῇ, κἄντε μὴ (πολλάκις γὰρ καὶ διὰ τοῦτο πάντα πράττων οὐδὲ ἐπιτυχεῖν ταύτης δυνήσεται) κἄντε οὖν ἐπιτύχῃ, κἄντε ἀποτύχῃ, ἀρκοῦσαν εἴληφεν ἐνταῦθα τὴν ἀμοιβήν, καὶ οὐδεμίαν λήψεται ἐκεῖ ὑπὲρ τούτου * ἀντίδοσιν. διά τι; ἐπειδὴ προλαβὼν ἑαυτὸν ἀπεστέρησε τῆς παρὰ τοῦ κριτοῦ φιλοτιμίας, προτιμήσας τὰ παρόντα τῶν μελλόντων, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ψήφου τοῦ δικαίου κριτοῦ. πάλιν, ἂν δι' αὐτὸ τοῦτο μόνον ἐργαζώμεθά τι τῶν πνευματικῶν, ὥστε ἐκείνῳ μόνῳ ἀρέσαι τῷ ἀκοιμήτῳ ὀφθαλμῷ, ᾧ πάντα γυμνά ἐστι καὶ τετραχηλισμένα, καὶ ὁ θησαυρὸς ἡμῖν ἀνάλωτος μένει, καὶ τὰ τῆς ἀμοιβῆς ἀκέραια, καὶ ἡ χρηστὴ προσδοκία ἐν-

γρ. τοιαύτην
γρ. πεπηρωμένοι
γρ. ἡμᾶς
γρ. οἰκείας
γρ. τὴν
Ἑβρ. δ. ιγ.

τεῦθεν ἡμῖν ἤδη πολλὴν παρέχει τὴν παραμυθίαν, καὶ μετὰ τοῦ ἐν ἀσύλῳ ταμιείῳ ἐκείνην ἡμῖν διαφυλάττεσθαι τὴν ἀμοιβὴν καὶ ἡ παρὰ τῶν ἀνθρώπων ἀκολουθήσει δόξα. τότε γὰρ αὐτῆς μᾶλλον μετὰ δαψιλείας ἀπολαύομεν, ὅταν αὐτῆς ὑπερορῶμεν, ὅταν αὐτὴν μὴ ζητῶμεν, ὅταν αὐτὴν μὴ διώκωμεν. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν τὴν πνευματικὴν φιλοσοφίαν μετιόντων τοῦτο γίνεται, ὅπουγε καὶ ἐπὶ τῶν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπτοημένων, τούτων μάλιστα οἱ πλείους καταφρονοῦσι καὶ ὑπερορῶσι τῶν ἐπιζητεῖν βουλομένων τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν; καὶ εὑρήσεις παρὰ πάντων αὐτοὺς σκωπτομένους ἐπὶ τῷ τῆς κενοδοξίας ἐφίεσθαι. τί οὖν ἀθλιώτερον γένοιτο ἡμῶν τῶν τὰ πνευματικὰ μετιόντων, εἰ μέλλοιμεν ὁμοίως ἐκείνοις περὶ τὰς τῶν ἀνθρώπων κεχηνέναι εὐφημίας, καὶ μὴ ἀρκεῖσθαι τῷ ἐπαίνῳ τῷ παρὰ τοῦ θεοῦ; καθάπερ καὶ Παῦλός φησιν, Οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ θεοῦ. οὐχ ὁρᾷς, ἀγαπητέ, καὶ ἐν ταῖς ἱπποδρομίαις ὅπως οἱ τοὺς ἵππους ἐλαύνοντες, παντὸς τοῦ δήμου καθημένου καὶ μυρίας εὐφημίας καταχέοντος, οὐκ ἐπιστρέφονται, οὐδὲ ἡδονὴν [τὴν] ἐκ τῆς ἐκείνων εὐφημίας καρποῦνται· ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι τὸν βασιλέα τὸν ἐν μέσῳ καθήμενον, καὶ τῷ νεύματι ἐκείνου προσέχοντες πάντας ὑπερορῶσι τοῦ πλήθους, καὶ τότε μόνον μέγα φρονοῦσιν, ἐπειδὰν ἐκεῖνος αὐτοὺς στεφανώσῃ; καὶ τούτους δὴ καὶ σὺ μιμούμενος μὴ πολὺν λόγον ποιοῦ τῆς τῶν ἀνθρώπων εὐφημίας, μηδὲ διὰ τοῦτο τὴν ἀρετὴν μετέρχου· ἀλλὰ τὴν παρὰ τοῦ δικαίου κριτοῦ ψῆφον ἀνάμενε, καὶ τῷ ἐκείνου νεύματι προσέχων οὕτω σου τὸν βίον ἅπαντα οἰκονόμει, ἵνα καὶ ἐνταῦθα διηνεκῶς ἧς ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος, κἀκεῖ τῶν αἰωνίων ἀπολαύσῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ῥωμ. β. κθ.
α. Θεσ. β. δ.

Λογ. ϛ. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ· ΓΕΝΗΘΗΤΩΣΑΝ

φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς.

Βούλομαι τῆς συνήθους ἅψασθαι διδασκαλίας, καὶ ὀκνῶ καὶ ἀναδύομαι. νέφος γὰρ ἀθυμίας ἐπελθὸν συνέχεε καὶ συνετάραξέ μου τὸν λογισμὸν, μᾶλλον δὲ οὐκ ἀθυμίας μόνον, ἀλλὰ καὶ θυμοῦ· καὶ οὐκ οἶδα ὅ,τι πράξω. ἀπορία γὰρ κατέχει μου τὴν διάνοιαν. ὅταν γὰρ ἐννοήσω, ὅτι μικρὸν πνεύσαντος τοῦ διαβόλου, πᾶσαν ἡμῶν ἐκείνην τὴν συνεχῆ διδασκαλίαν, τὴν καθημερινὴν παραίνεσιν λήθῃ παραδόντες, εἰς τὴν σατανικὴν ἐκείνην πομπὴν ἅπαντες δεδραμήκατε, τὴν ἱπποδρομίαν καταλαβόντες· ποίᾳ προθυμίᾳ δυνήσομαι πάλιν τὴν πρὸς ὑμᾶς ποιήσασθαι διδασκαλίαν, τῶν προτέρων οὕτως ἀθρόον διαῤῥυέντων; τὸ γὰρ μάλιστα ἐπιτεῖνόν μοι τὴν ἀθυμίαν καὶ σφοδρότερόν μοι τὸν θυμὸν ἐργαζόμενον, τοῦτό ἐστιν, ὅτι μετὰ τῆς παραινέσεως τῆς ἡμετέρας, καὶ τὴν αἰδὼ τῆς ἁγίας τεσσαρακοστῆς ἐξεβάλετε τῆς ἑαυτῶν ψυχῆς, καὶ οὕτω τοῖς τοῦ διαβόλου δικτύοις ἑαυτοὺς ἐκδεδώκατε. πῶς οὖν ἄν τις δυνηθείη, κἂν αὐτολιθίνην ἔχοι ψυχὴν, πράως ἐνεγκεῖν τὴν τοσαύτην ὑμῶν ὀλιγωρίαν; αἰσχύνομαι, πιστεύσατε, καὶ ἐρυθριῶ ὅταν ἴδω μάτην ἡμᾶς πονουμένους, καὶ εἰς πέτρας τὸν σπόρον καταβάλλοντας. ἀλλ' ἐμοὶ μὲν κἄν τε ἀκούητε τῶν λεγομένων, κἄν τε παρακούητε, τὰ τῶν μισθῶν ἀπηρτισμένα τυγχάνει. τὸ γὰρ ἐμαυτοῦ πᾶν ποιῶν διετέλεσα, καὶ τὸ ἀργύριον κατέβαλον, καὶ τὴν ὑπόθεσιν ἐποιησάμην· δέδοικα δὲ καὶ ἀγωνιῶ μὴ" τοῦτο αὐτὸ πλείονος ὑμῖν κατηγορίας αἴτιον γένηται. Ὁ γὰρ δοῦλος, φησιν, ἐκεῖνος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. οὐδὲ γὰρ εἰς ἄγνοιαν ὑμῶν τις ἔχει καταφυγεῖν, οὕτως ἡμῶν καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ ἐνηχούντων, καὶ ὑποδεικνυόντων καὶ τὰς διαβολικὰς πάγας, καὶ τὸ ἀρετῆς τὴν πολλὴν εὐκολίαν, ἐὰν νήφειν βουλώμεθα. ἢ οὐκ ἴστε, ὅτι τοὺς οὕτως τῆς ἑαυτῶν σωτηρίας ἀμελοῦντας, καί ποτε μὲν ἐνταῦθα παραγινομένους, ἄλλοτε δὲ εἰς τὰ τοῦ διαβόλου δίκτυα ἑαυτοὺς ἐκδιδόντας, τοῖς κυσὶ παραβάλλει ἡ θεία γραφή. Ἄνθρωπος γάρ, φησιν, ἀποστρέφων ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ πάλιν εἰς αὐτὴν ἐπανιών, ὅμοιός ἐστι κυνὶ ἐπιστρέφοντι ἐπὶ τὸ ἴδιον ἔμετον. ὁρᾷς τίνι ἐοίκασιν οἱ πρὸς τὴν θέαν ἐκείνην τὴν παράνομον" συνδεδραμηκότες; οὐκ ἠκούσατε τοῦ Χριστοῦ λέγοντος, Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη; οἱ δὲ εἰς τὴν ἱπποδρομίαν δεδραμηκότες, καὶ τούτου χείρους γεγόνασιν. ἐκείνου γὰρ ἡ οἰκία κἂν μετὰ τὴν προσβολήν, τὴν κατάπτωσιν ὑπέμεινε. ποταμοὺς γὰρ καὶ ἀνέμους εἶπεν, οὐχ ἵνα ὑδάτων πλῆθος ἡμῖν αἰνίξηται, καὶ ἀνέμων σφοδρότητα, ἀλλὰ τὸν πειρασμῶν τὴν ἐπαγωγὴν τὴν σφοδράν· καὶ τὴν κατάπτωσιν δὲ τῆς οἰκίας, οὐχ ἵνα περὶ αἰσθητῆς οἰκίας νομίσωμεν (περὶ γὰρ ψυχῆς ὁ λόγος τῆς ἀπὸ τῆς τῶν δεινῶν προσβολῆς καταπιπτούσης, καὶ μὴ δυνηθείσης ἀντισχεῖν) ἐφ' ὑμῶν δὲ οὔτε ἄνεμος ἐκινήθη, οὔτε ποταμοὶ προσέρρηξαν, ἀλλ' ἁπλῶς αὔρα τις μικρὰ διαβολικὴ ἔπνευσε, καὶ πάντας ὑμᾶς ἀνερρίπισε. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; τί τῆς νηστείας ὄφελος, εἰπέ μοι; τί τῆς ἐνταῦθα συνελεύσεως τὸ κέρδος; τίς οὐκ ἂν καὶ ὑπὲρ ὑμῶν στενάξειε, καὶ ἡμᾶς ταλανίσειεν; ὑπὲρ ὑμῶν μέν, ὅτι ἀπώλετε, ὅσα συνηγάγετε, ὑφ' ἓν ἐξεχέατε, καὶ τὰς θύρας τῆς διανοίας ὑμῶν ἀνεπετάσατε τῷ πονηρῷ δαίμονι, ὥστε καὶ εἰσελθεῖν, καὶ μετὰ πολλῆς τῆς εὐκολίας πάντα ὑμῶν ἐκφορῆσαι τὸν πλοῦτον τὸν πνευματικόν· ἡμᾶς δὲ ταλανίσειεν εἰκότως, ὅτι εἰς νεκρὰς οὕτως ἐνηχοῦμεν ἀκοάς, καὶ τοσαύτην ζημίαν ὑπομένομεν καθ' ἑκάστην ἡμέραν σπείροντες, μηδὲν δὲ καρπώσασθαι δυνάμενοι. μὴ γὰρ διὰ τοῦτο λέγειν σπουδάζομεν, ὥστε ἁπλῶς τέρψαι ὑμῶν τὴν ἀκοήν, ἢ ὡς τοῦ παρ' ὑμῶν ἐπαίνου ἐφιέμενοι. εἰ μὴ μέλλοιτέ τι κερδαίνειν ἐκ τῶν παρ' ἡμῶν λεγομένων, βέλτιον ἡμᾶς σιγῆσαι λοιπόν. οὐδὲ γὰρ βούλομαι ὑμῖν πλείονα τὴν κατάκρισιν ἐργάζεσθαι. καθάπερ γὰρ ἔμπορος, ἐπειδὰν πολὺν τὸν φόρτον συναγάγῃ, καὶ πεπληρωμένην τὴν ὁλκάδα ἔχων πολλοῦ τοῦ πλούτου, ἀθρόας καταιγίδος" ἐμπεσούσης, καὶ τῆς τῶν πνευμάτων βίας περιγενομένης, αὔτανδρον καταδύσῃ τὸ σκάφος, ἐλεεινὸν ἅπασι θέαμα γίνεται, γυμνὸς ἐξαίφνης φανείς, καὶ μετὰ πολὺν καὶ ἄφατον πλοῦτον ἐν ἐσχάτῃ πενίᾳ καταστάς· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμᾶς νῦν ὁ διάβολος διέθηκεν. ὁρῶν γὰρ ὑμῶν πεπληρωμένην τὴν ὁλκάδα τὴν πνευματικὴν πολλοῦ [τοῦ] πλούτου, καὶ ἄφατον ἰδὼν τὸν θησαυρόν, ὃν ἀπό τε τῆς νηστείας, ἀπό τε τῆς συνεχοῦς διδασκαλίας συναγαγεῖν ἠδυνήθητε, καθάπερ καταιγίδα τινὰ ἐπαφείς, τὴν ἀνόητον ἐκείνην καὶ ἐπιβλαβῆ τῶν ἵππων ἅμιλλαν, δι' ἐκείνης ἐρήμους καὶ γυμνοὺς πάσης τῆς εὐπορίας κατέστησεν. οἶδα ὅτι σφοδρᾷ τῇ ἐπιτιμήσει κέχρημαι· ἀλλὰ σύγγνωτέ μοι, παρακαλῶ. τοιοῦτον γὰρ ἡ ὀδυνω-

μένη

Λουκ. ιβ. μζ.

β. Πετ. β. κβ.

Ματθ. ζ. κϛ.

τοῦτο αὐτὸ

κ. αἴτιος

γένηται.

νεσμ.

σεσαπεσούσης.

μένῃ ψυχῇ. οὐδὲ γὰρ ἐξ ἀπεχθείας ταῦτα φθέγγομαι, ἀλλ' ἀπὸ κηδεμονίας καὶ φιλοστόργου ψυχῆς. διὸ τῆς σφοδρότητος μικρὸν καθυφείς, ἐπειδὴ αὐτῆς τῆς νομῆς τοῦ ἕλκους προειρημένα, βούλομαι καὶ εἰς ἐλπίδας χρηστὰς ἀγαγεῖν τὴν ὑμετέραν ἀγάπην, ὥστε μὴ ἀπογνῶναι μηδὲ ἀπαγορεῦσαι. οὐδὲ γὰρ καθάπερ ἐπὶ τῶν αἰσθητῶν γίνεται πραγμάτων, οὕτως καὶ ἐνταῦθα συμβαίνει. ἐκεῖ μὲν γὰρ οὐκ ἔνι τὸν ἀπὸ τοῦ πλούτου ἐκείνου εἰς τὴν ἐσχάτην πενίαν κατενεχθέντα, εὐθέως ἀνενεγκεῖν· ἐνταῦθα δὲ δέξασθαι τὴν τοῦ θεοῦ φιλανθρωπίαν, ἐὰν βουλώμεθα μόνον καταγνῶναι τῶν ἤδη εἰργασμένων ἡμῖν, καὶ μέχρι τούτου στῆσαι τὰ τῆς ῥαθυμίας, δυνάμεθα ταχέως ἐπὶ τὴν προτέραν εὐπορίαν ἐπανελθεῖν. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος, οὕτω φιλότιμος καὶ μεγαλόδωρος· καὶ βοᾷ διὰ τοῦ προφήτου λέγων, Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. οἶδα ὅτι εὐγνώμονες ὄντες αἰσθάνεσθε τῶν ἐπταισμένων ὑμῖν. οὐ μικρὰ δὲ ὁδὸς πρὸς τὴν ἐπάνοδον τῆς ἀρετῆς τὸ εἰδέναι τῶν ἡμαρτημένων τὸ μέγεθος. ἀλλὰ μή μοι πάλιν τὰ τῆς διαβολικῆς ἐκείνης ἀπάτης ῥήματά τις προαγέτω, λέγων· ποῖον γὰρ ἁμάρτημα ἰδεῖν ἵππους τρέχοντας; ἐὰν γὰρ βουληθῇς εὐγνωμόνως καταμαθεῖν ἅπαντα τὰ ἐκεῖ γινόμενα, εὑρήσεις πάντα μεστὰ σατανικῆς ἐνεργείας. οὐ μόνον γὰρ ἵππους τρέχοντας ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ κραυγῶν καὶ βλασφημιῶν καὶ μυρίων ἀκαίρων ἐστὶν ἀκοῦσαι λόγων, καὶ γυναῖκας ἡταιρηκυίας εἰς τὸ μέσον προϊούσας ἰδεῖν, καὶ νέους πρὸς τὴν τῶν γυναικῶν ἁπαλότητα ἑαυτοὺς ἐκδιδόντας. ἢ μικρά σοι ταῦτα εἶναι δοκεῖ πρὸς τὸ τὴν ψυχὴν αἰχμάλωτον ἐργάσασθαι; εἰ γὰρ αἱ ἀπὸ ταὐτομάτου συντυχίαι πολλάκις ὑπεσκέλισαν, καὶ κατέβαλον, καὶ εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον κατήνεγκαν τὸν μὴ προσέχοντα, τί εἰκὸς παθεῖν τοὺς ἐπ'' αὐτὸ τοῦτο ἐκεῖ παραγινομένους, καὶ τοὺς ὀφθαλμοὺς ἑστιῶντας ταῖς παρανόμοις ἐκείναις θέαις, καὶ ἀπηρτισμένους μοιχοὺς ἐκεῖθεν καλιόντας; εἰδὼς γὰρ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης τῆς φύσεως τῆς ἡμετέρας τὸ εὐεπηρέαστον, καὶ τῆς τοῦ διαβόλου κακουργίας τὸ πανοῦργον, καὶ πολύπλοκον, ἐκ πολλοῦ τοῦ περιόντος τειχίζων ἡμᾶς, καὶ βουλόμενος ἀναλώτους ἐργάσασθαι ταῖς τούτου παγίσιν, τὸν νόμον τοῦτον τέθεικε λέγων· Ὁ ἐμβλέψας'' γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, μοιχείαν ἀπηρτισμένην καλῶν τὴν μετὰ περιεργίας θεωρίαν γεγενημένην. μὴ τοίνυν μοι λέγε λοιπόν, τί γὰρ βλάβος ἀπὸ τῆς ἐκεῖσε διατριβῆς; καὶ αὐτὸ γὰρ μόνον τὸ τῆς τῶν ἵππων ἁμίλλης ἱκανὸν πολὺν τῇ ψυχῇ τὸν ὄλεθρον ἐπαγαγεῖν. ὅταν γὰρ ὑπὲρ ἀνοήτων, καὶ μὴ μόνον μηδὲν τῇ ψυχῇ συμβαλλομένων, ἀλλὰ καὶ λυμαινομένων αὐτῇ, τὸν καιρὸν καταναλίσκωμεν, καὶ διαπληκτιζώμεθα, καὶ μυρία ῥητὰ καὶ ἄρρητα φθεγγώμεθα, τίς ἡμῖν ἔσται συγγνώμη; ποία δὲ ἀπολογία; καὶ ἐνταῦθα μὲν ἐὰν μικρὸν παρατείνωμεν τὴν διδασκαλίαν, πολλοὶ δυσχεραίνουσι καὶ ἀλύουσι, καὶ πόνον τοῦ σώματος καὶ κάματον προβάλλονται, καὶ ταῦτα, τοῦ θαυμαστοῦ τούτου ὀρόφου ἱκανοῦ ὄντος παραμυθήσασθαι. οὔτε γὰρ ὑπὸ κρυμοῦ ἐστὶν ἐνοχληθῆναι, οὔτε ὑπὸ ὑετοῦ, ἢ τῆς τῶν ἀνέμων σφοδρότητος· ἐκεῖ δὲ καὶ ὑετοῦ λάβρου καταρρηγνυμένου, καὶ ἀνέμων σφοδρῶν πνεόντων, καὶ ἄλλοτε τοῦ ἡλίου θερμὴν τὴν ἀκτῖνα ἀφιέντος, οὐ μίαν οὐδὲ δύο ὥρας, ἀλλὰ τὸ πλέον τῆς ἡμέρας διημερεύουσι· καὶ οὔτε ὁ γέρων αἰδεῖται τὴν πολιάν, οὔτε ὁ νέος αἰσχύνεται πρὸς τὰ τῆς πολιᾶς ὑπεκκαύματα βαδίζων· ἀλλὰ τοσαύτη ἡ ἀπάτη, ὡς καὶ μετὰ ἡδονῆς τὸ δέλεαρ ἐκεῖνο τῶν ψυχῶν'' προσίεσθαι, καὶ μὴ ἐννοεῖν τῆς ἡδονῆς τι τῆς ἐπιβλαβοῦς τὸ βραχὺ καὶ πρόσκαιρον, τῆς δὲ ὀδύνης τὸ διηνεκὲς καὶ τοῦ συνειδότος τὴν κατηγορίαν. ὁρῶ γὰρ ἐνίων καὶ νῦν τὰ πρόσωπα, καὶ στοχάζομαι τῆς ψυχῆς τὴν

κατάστασιν

Ἰεζ. ιη. κγ.

Ματθ. ε. κη.

γρ. αὐτῷ τοῦτο

γρ. [illegible]

γρ. [illegible]

κατάστασιν, καὶ ὅση νῦν αὐτοῖς ἡ μετάνοια " εἰσέρχεται. ἀλλ' ὅπως μὴ πάλιν τοῖς αὐτοῖς περιπέσητε, μηδὲ μετὰ τὴν τοσαύτην ἡμῶν παραίνεσιν πάλιν ἐπὶ τὰ σατανικὰ ἐκεῖνα συνέδρια δράμητε, ἀναγκαῖον διαμαρτύρεσθαι. οὐδὲ γὰρ πάντοτε καλὸν προσηνῆ φάρμακα ἐπιτιθέναι, ἀλλ' ὅταν ᾖ τὸ ἕλκος δυσένδοτον, δεῖ καὶ τὰ στύφοντα, καὶ τὰ δάκνειν δυνάμενα προσάγειν, ἵνα ταχεῖα γένηται ἡ διόρθωσις. μαθέτωσαν τοίνυν ἅπαντες οἱ τοῖς ἐγκλήμασιν ὑπεύθυνοι, ὅτι εἰ καὶ μετὰ ταύτην ἡμῶν τὴν παραίνεσιν πάλιν τῇ αὐτῇ ῥαθυμίᾳ ἐπιμένωσιν, οὐκ ἀνεξόμεθα, ἀλλὰ τοῖς νόμοις τῆς ἐκκλησίας χρησάμενοι, μετὰ πολλῆς αὐτοὺς τῆς σφοδρότητος διδάξομεν μὴ τοιαῦτα πλημμελεῖν, μηδὲ μετὰ τοσαύτης καταφρονήσεως τῶν θείων ἀκούειν λογίων. καὶ ταῦτα οὐ περὶ πάντων λέγω τῶν ἐνταῦθα συνειλεγμένων, ἀλλὰ περὶ τῶν ὑπευθύνων τοῖς λεγομένοις. ὁ μὲν γὰρ λόγος πρὸς ἅπαντας διαλέγεται, ἕκαστος δὲ τῶν ἀκουόντων δεχέσθω τὸ κατάλληλον φάρμακον· ὁ μὲν τῷ ἁμαρτήματι ὑπεύθυνος, ὥστε μέχρι τούτου στῆσαι τὰ τῆς ῥαθυμίας, καὶ μὴ περαιτέρω προελθεῖν, ἀλλὰ διὰ τῆς μετὰ ταῦτα σπουδῆς ἀνακαλέσασθαι ἑαυτὸν, καὶ τῶν ἐπταισμένων ποιήσασθαι τὴν διόρθωσιν· ὁ δὲ ἀνεύθυνος ἀσφαλέστερος γενέσθω πρὸς τὸ μὴ ἁλῶναι τῷ τοιούτῳ πτώματι, μηδὲ ὑπεύθυνος γενέσθαι ποτέ. ἀλλ' ἵνα δι' αὐτῶν τῶν πραγμάτων πείσωμεν τὴν ὑμετέραν ἀγάπην, ὅτι ἀπὸ φιλοστοργίας καὶ πολλῆς κηδεμονίας δακνόμενοι τὴν ψυχὴν, καὶ σφόδρα ὑπὲρ τῆς σωτηρίας τῆς ὑμετέρας δεδοικότες, ταῦτα εἰπεῖν προήχθημεν· φέρε πάλιν ἑαυτοὺς ταῖς χρησταῖς ἐλπίσι τρέφοντες, τὴν συνήθη παραθῶμεν ὑμῖν διδασκαλίαν, δεικνύντες ὑμῖν τὴν πατρικὴν εὔνοιαν, ἣν περὶ ὑμᾶς ἔχομεν. ἀλλὰ, παρακαλῶ, μετὰ ἀκριβείας προσέχετε τοῖς λεγομένοις, ἵνα καρπώσησθέ τι πλέον ἐκ τῶν λεγομένων, καὶ οὕτως οἴκαδε ἐπανέλθητε. ἀναγκαῖον δὲ " αὐτὰ τὰ ἀναγνωσθέντα εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης.

…ταῦτα

14. Καὶ εἶπε, φησὶν, ὁ θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτοὺς,

15. Καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως.

Ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς ὅπως τὴν ἀμορφίαν τῆς γῆς ἐκαλλώπισεν ὁ τῶν ὅλων δημιουργὸς ταῖς βοτάναις, καὶ τῇ τῶν ἀνθέων ποικιλίᾳ, καὶ τῇ βλάστῃ τῶν σπερμάτων, σήμερον πάλιν μετήγαγε τὸν λόγον ἐπὶ τὸν τοῦ οὐρανοῦ κόσμον. καθάπερ γὰρ ἡ γῆ καλλωπίζεται διὰ τῶν ἐξ αὐτῆς ἀναδιδομένων, οὕτω τὸν οὐρανὸν τοῦτον τὸν ὁρώμενον φαιδρότερον καὶ λαμπρότερον εἰργάσατο, τῇ τε τῶν ἄστρων ποικιλίᾳ καταστίξας αὐτὸν, καὶ τῇ δημιουργίᾳ τῶν δύο φωστήρων τῶν μεγάλων, τοῦ ἡλίου, λέγω, καὶ τῆς σελήνης.

16. Καὶ ἐποίησεν ὁ θεός, φησὶ, τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάττω εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας.

Εἶδες σοφίαν τοῦ δημιουργοῦ; εἶπε μόνον, καὶ παρήχθη τὸ στοιχεῖον τοῦτο τὸ θαυμαστὸν, ὁ ἥλιος λέγω. τοῦτον γὰρ καλεῖ φωστῆρα μέγαν, καί φησιν αὐτὸν εἰς ἀρχὰς τῆς ἡμέρας γεγενῆσθαι. οὗτος γὰρ φαιδροτέραν τὴν ἡμέραν ἀπεργάζεται, καθάπερ μαρμαρυγάς τινας, τὰς ἀκτῖνας τὰς οἰκείας " ἀφιεὶς, καὶ καθ' ἑκάστην ἡμέραν ἀκμαῖον τὸ οἰκεῖον κάλλος ἐπιδεικνύμενος, καὶ ἅμα τῷ ὄρθρῳ φαινόμενος, καὶ πᾶσι τὴν τῶν αἰσθέ-

πτων

πων φύσιν διεγείρων πρὸς τὴν τῶν οἰκείων ἔργων ἐπιτήδευσιν. Τοῦτο τὸ κάλλος ἐμφαίνων ὁ μακάριος προφήτης φησί, Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ. ὁρᾷς ὅπως καὶ τὸ κάλλος ἡμῖν παρεδήλωσε, καὶ τὸ τάχος τῆς ἐνεργείας; εἰπὼν γὰρ ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐσήμανεν ἡμῖν ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν διατρέχει τὴν οἰκουμένην, καὶ ἀπὸ περάτων εἰς πέρατα τὰς οἰκείας ἀκτῖνας ἀφίησι, πολλὴν τὴν ἑαυτοῦ χρείαν παρεχόμενος. οὔτε γὰρ θερμαίνει μόνον ἀλλὰ καὶ ξηραίνει, καὶ οὐ ξηραίνει μόνον ἀλλὰ καὶ καίει, καὶ πολλὰς καὶ διαφόρους τὰς χρείας ἡμῖν παρέχεται, καὶ πολὺ τοῦ στοιχείου τούτου τὸ θαῦμα, καὶ οὐκ ἄν τις κατ' ἀξίαν ἅπαντα εἰπεῖν δυνηθείη. Ταῦτα δὲ λέγω καὶ ἐπαίρω τῷ λόγῳ τὸ στοιχεῖον, ἵνα μὴ μέχρι τούτου στῆτε, ἀγαπητοί, ἀλλ' ἐντεῦθεν ἀναδράμητε, καὶ ἐπὶ τὸν τοῦ στοιχείου δημιουργὸν τὸ θαῦμα μεταγάγητε. ὅσῳ γὰρ ἂν μέγα δειχθῇ τὸ στοιχεῖον, τοσούτῳ πολὺ τοῦ δημιουργοῦ τὸ θαῦμα δείκνυται. ἀλλ' οἱ Ἑλλήνων παῖδες θαυμάσαντες καὶ ἐκπλαγέντες τὸ στοιχεῖον οὐκ ἠδυνήθησαν διαβλέψαι, καὶ τὸν παραγαγόντα ἀνυμνῆσαι, ἀλλ' ἐναπέμειναν τῷ στοιχείῳ, καὶ τοῦτο ἐθεοποίησαν. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλός φησι, Καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. τί γὰρ ἂν αὐτῶν ἀνοητότερον γένοιτ' ἄν, μὴ δυνηθέντων ἐκ τοῦ δημιουργήματος τὸν δημιουργὸν καταμαθεῖν, ἀλλὰ τοσαύτην πλάνην πλανηθέντων, ὡς τὸ κτίσμα καὶ τὸ ποίημα εἰς τὴν αὐτὴν τάξιν τῷ δημιουργῷ ἀναγαγεῖν; διά τοι τοῦτο καὶ ἡ θεία γραφὴ προειδυῖα τὸ πρὸς τὴν πλάνην τῶν ῥαθύμων ἐπιρρεπές, μετὰ τρεῖς ἡμέρας διδάσκει ἡμᾶς τούτου τοῦ στοιχείου τὴν δημιουργίαν γεγενῆσθαι, μετὰ τὸ πάντα τὰ σπέρματα ἀπὸ τῆς γῆς ἀναδοθῆναι, μετὰ τὸ ἀπολαβεῖν τὴν γῆν τὸν οἰκεῖον κόσμον, ἵνα μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα λέγειν ὅτι ἄνευ τῆς τούτου συνεργείας οὐκ ἂν ἐτελεσφορήθη τὰ ἀπὸ τῆς γῆς. διὰ τοῦτο δείκνυσί σοι πρὸ τῆς τούτου δημιουργίας ἅπαντα πεπληρωμένα, ἵνα μὴ τούτῳ ἐπιγράφῃς τῶν καρπῶν τὴν τελεσφόρησιν, ἀλλὰ τῷ τῶν ἁπάντων δημιουργῷ τῷ ἐξ ἀρχῆς εἰπόντι, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. εἰ δὲ λέγοιεν, ὅτι συντελεῖ τι καὶ ἡ τοῦ ἡλίου χρεία πρὸς τὸ τοὺς καρποὺς πεπαίνεσθαι, οὐδὲ ἐγὼ ἀντιλέγω. ὥσπερ γὰρ καὶ τὸν γηπόνον λέγων συνεργεῖν πρὸς τὴν τῆς γῆς ἐργασίαν, οὐ τῷ γηπόνῳ τὸ πᾶν λογίζομαι, ἀλλὰ κἂν μυριάκις ὁ γηπόνος τὰ παρ' ἑαυτοῦ ἐπιδείξηται, εἰ μὴ ὁ τῷ οἰκείῳ προστάγματι ἐξ ἀρχῆς αὐτὴν διεγείρας πρὸς τὴν τῶν καρπῶν γένεσιν κινῆσαι βουληθῇ, οὐδὲν ὄφελος τῶν πολλῶν καμάτων· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθά φημι, ὅτι κἂν μετὰ τοῦ γηπόνου καὶ ἡ τοῦ ἡλίου συνέργεια συμβάληται, καὶ ἡ τῆς σελήνης, καὶ ἡ τῶν ἀέρων εὐκρασία, οὐδὲ οὕτως ἔσται τι πλέον, μὴ τῆς ἄνωθεν δεξιᾶς συνεφαπτομένης. ἐκείνης οὖν τῆς κραταιᾶς χειρὸς βουλομένης, καὶ ἡ παρὰ τῶν στοιχείων ἐνέργεια τὰ μέγιστα συμβάληται. Ταῦτα μετὰ ἀκριβείας κατέχοντες, ἐπιστομίζετε μετὰ σφοδρότητος τοὺς ἔτι πλανᾶσθαι βουλομένους, καὶ μὴ συγχωρεῖτε τὸ τοῦ δημιουργοῦ σέβας τοῖς κτίσμασιν ἀπονέμειν. διὰ τοῦτο γὰρ καὶ ἡ θεία γραφὴ οὐ μόνον τὸ κάλλος αὐτοῦ ἡμῖν δείκνυσι, καὶ τὸ μέγεθος, καὶ τὴν χρείαν, διὰ τοῦ εἰπεῖν ὡς νυμφίος, καὶ ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν, ἀλλὰ καὶ τὸ ἀσθενὲς καὶ οὐδαμινόν. ἄκουσον γάρ τί φησιν ἀλλαχοῦ· τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει. μή σε ἀπατάτω, φησίν, ἡ θέα. ἐὰν γὰρ βουληθῇ ὁ δημιουργήσας προστάξαι, ὡς οὐδὲ γεγονώς, ἀφίπταται. Ταῦτα εἰ συνεῖδον Ἑλλήνων παῖδες, οὐκ ἂν τοσαύτην πλάνην ἐπλανήθησαν, ἀλλ' εἶδον ἂν καλῶς, ὅτι προσήκει ἐκ τῆς τῶν δημιουργημάτων θεωρίας ἐπὶ τὸν δημιουργὸν ἀναδραμεῖν.

Ψαλ. ιη. ε.

Ρω. α. κε.

ἴσ. συμβάλλεται.

Σειρ. ιζ. λ.

δραμεῖν. διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ αὐτὸν ἐδημιούργησεν, ἵνα μὴ νομίσῃς τοῦτον συνιστᾶν τὴν ἡμέραν. ὃ γὰρ ἐπὶ τῶν σπερμάτων εἴπομεν, τοῦτο καὶ ἐπὶ τῆς ἡμέρας ἐροῦμεν, ὅτι ἐγένοντο μὲν τρεῖς ἡμέραι πρὸ τῆς τούτου δημιουργίας· ἐβουλήθη δὲ ὁ δεσπότης καὶ διὰ τοῦ στοιχείου τούτου φαιδρότερον τὸ φῶς τῆς ἡμέρας ἐργάσασθαι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐλάττονος φωστῆρος εἴποιμεν ἂν, τῆς σελήνης λέγω. γεγόνασι γὰρ τρεῖς νύκτες πρὸ τῆς ταύτης δημιουργίας· ἀλλ' ὅμως καὶ αὐτὴ παραχθεῖσα τὴν παρ' ἑαυτῆς εἰσφέρει χρείαν, διασκεδάζουσα τῆς νυκτὸς τὸ σκότος, καὶ σχεδὸν εἰπεῖν τὰ αὐτὰ τῷ ἡλίῳ συντελοῦσα πρὸς τὰ ἄλλα πάντα. ὁ μὲν γὰρ ἀφώρισται εἰς ἀρχὰς τῆς ἡμέρας, ἡ δὲ εἰς ἀρχὰς τῆς νυκτός. τί ἐστιν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ εἰς ἀρχὰς τῆς νυκτός; τὴν ἐξουσίαν, φησὶν, ἔλαβεν ὁ μὲν, τῆς ἡμέρας, ἡ δὲ, τῆς νυκτὸς, ἵνα ὁ μὲν φαιδροτέραν αὐτὴν ἀπεργάζηται διὰ τῶν οἰκείων ἀκτίνων, ἡ δὲ διασκεδάζῃ τὸ σκότος καὶ τῇ φύσει τῶν ἀνθρώπων διὰ τοῦ οἰκείου φωτὸς παρέχῃ μετ' εὐκολίας κεχρῆσθαι τοῖς οἰκείοις ἐπιτηδεύμασι. τότε γὰρ καὶ ὁδοιπόρος θαῤῥῶν τῆς ὁδοιπορίας ἅπτεται, καὶ ναύτης καθέλκει τὸ πλοῖον καὶ τὰ πελάγη διαπερᾷ, καὶ ἕκαστος δὲ τῶν τὰ ἐπιτηδεύματα μετιόντων μετὰ πολλῆς τῆς ἀδείας τὰ τῆς οἰκείας ἐπιστήμης μεταχειρίζει. εἶτα ἐπειδὴ ἐδίδαξεν ἡμᾶς τῶν φωστήρων τούτων τὴν χρείαν, φησὶ, καὶ τοὺς ἀστέρας·

17 Καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς,

18 Καὶ ἄρχειν τῆς ἡμέρας, καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους.

Ἐννόει δὲ τούτων πόσην ἡμῖν τὴν χρείαν ἐδήλωσεν· ἔθετο αὐτοὺς, φησὶν, ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. τί ἐστιν ἔθετο; ὡς ἂν εἴποι τις, ἔπηξεν; οὐχὶ, μὴ γένοιτο. ὁρῶμεν γὰρ αὐτοὺς πολλάκις ἐν μιᾷ καιροῦ ῥοπῇ πολὺ διάστημα διατρέχοντας, καὶ οὐδέποτε ἐν ἑνὶ τόπῳ ἱσταμένους, ἀλλὰ τὸν οἰκεῖον δρόμον ἀποπληροῦντας, ὃν τρέχειν ἐτάχθησαν παρὰ τοῦ δεσπότου. τί οὖν ἐστι τὸ ἔθετο; ἀντὶ τοῦ προσέταξεν αὐτοὺς εἶναι ἐν τῷ οὐρανῷ. καὶ γάρ ἐστιν ἰδεῖν παροῦσαν τὴν γραφὴν καὶ ἀλλαχοῦ λέγουσαν, Ὅτι ἔθετο τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ, οὐκ ἐπειδὴ ἐνέπηξεν αὐτὸν τῷ παραδείσῳ, ἀλλ' ὅτι προσέταξεν αὐτὸν εἶναι ἐν τῷ παραδείσῳ. Γεν. β. θ. τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τῶν ἄστρων εἴποιμεν ἂν, ὅτι προσέταξεν αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὄντας, τὸ οἰκεῖον φῶς ἐκπέμπειν ἐπὶ τῆς γῆς. ἐννόησον γάρ μοι, ἀγαπητὲ, ποίων λειμώνων καὶ παραδείσων οὐκ ἂν εἴη τερπνότερον ἰδεῖν ἐν μέσῃ τῇ νυκτὶ τὸν οὐρανὸν κατηστερωμένον, καὶ καθάπερ τισὶν ἄνθεσι τῇ διαφορᾷ τῶν ἄστρων καλλωπιζόμενον, καὶ πολὺ τὸ φῶς εἰς τὴν γῆν αὐτοὺς καταπέμποντας; εἰς τοῦτο γὰρ καὶ ἐτάχθησαν, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός· ὃ καθολικῶς καὶ περὶ τῶν μεγάλων φωστήρων εἴρηται. ἐπειδὴ * τῶν δύο φωστήρων ἡμᾶς ἐδίδαξε τὴν δημιουργίαν, καὶ τῶν ἄστρων, περὶ πάντων κοινῇ λέγων, φησὶ, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. ὥσπερ γὰρ οὐκ ἔστιν ἐν ἡμέρᾳ ἀστέρας ἰδεῖν ἐν τῷ οὐρανῷ διατρέχοντας (τὸ γὰρ τοῦ ἡλίου φῶς τῇ πολλῇ φαιδρότητι ἀποκρύπτει ἐκείνων τὴν χρείαν) οὕτως οὐδὲ ἥλιος ἐν νυκτὶ ἂν φανείη ποτὲ, ἀρχούσης τῆς σελήνης τῷ ἰδίῳ φωτὶ καταυγάσαι τῆς νυκτὸς τὸ ζοφῶδες· ἀλλ' ἕκαστον δὲ τῶν στοιχείων τοῖς οἰκείοις ὅροις ἐμμένον, οὐδέποτε ὑπερβαίνει τὸ οἰκεῖον μέτρον, ἀλλὰ τὴν διάταξιν τοῦ δεσπότου φυλάττον, τὴν οἰκείαν ἐνέργειαν πληροῖ. τί ἂν τις εἴποι τὰ ἄλλα πάντα, ὅσα συντελεῖ πρὸς τὴν τῶν ἀνθρώπων φύσιν ἡ τῶν φωστήρων τούτων καὶ τῶν ἀστέρων χρεία; ἔστωσαν γάρ, φησιν, εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς. * διδάξαι ἡμᾶς βούλεται ἡ θεία γραφὴ, ὅτι ὁ τούτων

…ἐκείνω

…ἐστιν, εἰς ση-
…α, καὶ εἰς και-
…ς, καὶ εἰς ἡμέ-
…ς, καὶ εἰς ἐνι-
…ούς;

τούτων δρόμος τὴν γνῶσιν ἡμῖν χαρίζεται τῶν καιρῶν, καὶ τῆς τῶν τροπῶν ἐναλλαγῆς, τῶν ἡμερῶν τὸν ἀριθμὸν [τὸν εὔτακτον,] τοῦ ἐνιαυτοῦ τὸν δρόμον, καὶ ἐκ τούτων δυνάμεθα διαγινώσκειν ἅπαντα. καὶ γὰρ ὁ κυβερνήτης πρὸς τὸν τούτων δρόμον ὁρῶν, καὶ ἀτενίζων εἰς τὸν οὐρανόν, καὶ μετὰ ἀκριβείας ἅπαντα καταμανθάνων, πότε τῆς ναυτιλίας ῞ἅπτεται, καὶ πελάγη διαπερᾷ, καὶ πολλάκις ζοφωτάτης οὔσης τῆς νυκτὸς ἀπὸ τῆς τῶν ἄστρων ῞θεωρείας ἠδυνήθη τὸ σκάφος ἰθῦναι, καὶ διὰ τῆς οἰκείας τέχνης τὴν σωτηρίαν τοῖς ἐμπλέουσι χαρίσασθαι. καὶ ὁ γηπόνος δὲ ἐντεῦθεν καταμαθὼν οἶδε πότε μὲν προσήκει τὰ σπέρματα καταβαλεῖν, πότε δὲ τὴν γῆν ἀναμοχλεῦσαι, καὶ ἄροτρον ἑλκύσαι, καὶ πότε τὴν δρεπάνην ἀκονῆσαι, καὶ τὸν ἄμητον τῶν σπερμάτων ἐργάσασθαι. καὶ εἰς τὴν τοῦ βίου δὲ σύστασιν οὐκ ὀλίγα ἡμῖν συμβάλλεται ἡ τῶν χρόνων εἴδησις, καὶ ὁ τῶν ἡμερῶν ἀριθμός, καὶ ὁ τοῦ ἐνιαυτοῦ κύκλος. καὶ πολλὰ ἄν τις εὕροι πρὸς τὴν ἀνθρωπίνην σύστασιν ὑπὸ τούτων τῶν δημιουργημάτων συντελούμενα, ἅπερ οὐκ ἂν δυνηθείη τις μετὰ ἀκριβείας ἅπαντα εἰπεῖν. διὸ χρὴ ἐκ τῶν ὀλίγων στοχασαμένους εἰδέναι ὅτι τούτων ἐστὶν ἡ χρεία, καὶ θαυμάσαντας τὰ δημιουργήματα, προσκυνεῖν τὸν τούτων δημιουργόν, καὶ ἀνυμνεῖν, καὶ ἐκπλήττεσθαι τὴν ἄφατον φιλανθρωπίαν, ἣν περὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐπεδείξατο, δι' οὐδὲν ἕτερον ταῦτα ἅπαντα παραγαγών, ἀλλ' ἢ διὰ τὸν ἄνθρωπον, ὃν μέλλει μετ' οὐ πολὺ καθάπερ τινὰ βασιλέα καὶ ἄρχοντα ἐφιστᾶν πᾶσι τοῖς ὑπ' αὐτοῦ δημιουργηθεῖσι.

γρ. ἄρχεται

γρ. θέσεως

Καὶ εἶδεν ὁ θεός, φησιν, ὅτι καλόν.

Εἶδες πῶς καθ' ἑκάστην ἡμέραν δείκνυσιν ἡ θεία γραφὴ ἀρεσκόμενον τὸν θεὸν αὐτοῖς τοῖς δημιουργήμασιν, ἵνα πᾶσαν ἐκκόψῃ ἀφορμὴν τῶν ἐπισκήπτειν τολμώντων τοῖς ὑπ' αὐτοῦ γεγενημένοις. ὅτι γὰρ τούτου ἕνεκεν καθ' ἕκαστον τοῦτο ἐπισημαίνεται ἡ θεία γραφή, ἐκ τῆς συνεχείας δῆλον καθέστηκεν. ἤρκει γὰρ μετὰ πάντα τὰ δημιουργήματα ἅπαξ εἰπεῖν, ὅτι πάντα ὅσα ἐποίησε, καλὰ λίαν· ἀλλ' εἰδυῖα τῆς ἀσθενείας τῶν ἡμετέρων λογισμῶν τὴν ὑπερβολήν, κατὰ μέρος τοῦτο ποιεῖ, διδάσκουσα ἡμᾶς ὅτι σοφίᾳ τινὶ εὐμηχάνῳ καὶ φιλανθρωπίᾳ ἀφάτῳ ἅπαντα παρήχθη.

19 Καὶ ἐγένετο, φησιν, ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη.

Ἐπειδὴ γὰρ ἀπήρτισε τὸν κόσμον τοῦ οὐρανοῦ, καλλωπίσας αὐτὸν τοῖς ἄστροις, καὶ τοὺς δύο φωστῆρας τοὺς μεγάλους παραγαγών, τέλος τῇ ἡμέρᾳ ἐπέθηκε, καὶ φησι, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη. σκόπει πῶς καθ' ἑκάστην ἡμέραν οὕτω λέγει, τῇ πυκνότητι τῆς διδασκαλίας ἐμπῆξαι τῇ διανοίᾳ βουλόμενος τὰ θεῖα δόγματα.

ΗΘΙΚΟΝ.

Ταῦτα τοίνυν ἅπαντα κατέχοντες ἐγκεκολαμμένα ἡμῶν τῷ πλάτει τῆς ῞καρδίας, πᾶσαν ῥαθυμίαν ἀποτιναξάμενοι, τά τε δόγματα κατέχωμεν τὰ ὑγιῆ μετὰ ἀκριβείας, καὶ τοὺς τῇ ἑλληνικῇ πλάνῃ προκατειλημμένους μετὰ πάσης ἐπιεικείας διδάσκωμεν μὴ συγχέειν τὴν τάξιν, μηδὲ καταλιπόντας τὸν δημιουργὸν τὰ δημιουργήματα προσκυνεῖν, τὰ διὰ τὴν ἡμετέραν [σωτηρίαν καὶ] χρείαν γεγενημένα. κἂν γὰρ μυριάκις ἀποπνίγωνται ἕλληνες, λαμπρᾷ τῇ φωνῇ βοῶ, ὅτι διὰ τὴν τῶν ἀνθρώπων φύσιν ταῦτα ἅπαντα ἐδημιουργήθη· ἐπεὶ ἀνενδεὴς ὢν ὁ δημιουργός, οὐδενὸς τούτων ἐδεῖτο, ἀλλ' ἵνα τὴν περὶ ἡμᾶς φιλανθρωπίαν ἐπιδείξηται, ταῦτα ἅπαντα παρήγαγε, δεικνὺς ὅσου τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, καὶ ἵνα ἐκ τούτων ὁδηγούμενοι τὴν προσήκουσαν αὐτῷ προσκύνησιν ἀναφέρωμεν. πόσης γὰρ οὐκ ἂν εἴη ῞παρανοίας προσπαλαίειν τῷ κάλλει τῶν γινομένων, καὶ τούτοις παρακαθῆσθαι, καὶ μὴ ἀνατείνειν τὸ ὄμμα [τῆς διανοίας]

γρ. διανοίας

γρ. παροινίας

διανοίας] πρὸς τὸν παραγαγόντα, καὶ πείθεσθαι τῷ μακαρίῳ Παύλῳ λέγοντι, Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται; τί λέγεις, ἄνθρωπε; ἰδὼν τὸν οὐρανὸν θαυμάζεις αὐτοῦ τὸ κάλλος, τῶν ἀστέρων τὴν ποικιλίαν, τῆς φαιδρότητος τὴν ὑπερβολήν; μὴ στῇς μέχρι τούτου, ἀλλ' ἔκτεινόν σου τὴν διάνοιαν εἰς τὸν τούτων δημιουργόν. ἐκπλήττει σε πάλιν τοῦ ἡλίου τὸ φῶς, καὶ ὁρῶν αὐτοῦ πολλὴν οὖσαν τὴν χρείαν, εἰς θαῦμα διεγείρῃ, καὶ ἐπειδὰν ἴδῃς τὰς ἀκτῖνας αὐτοῦ καταυγαζούσας σου τὰς ὄψεις, θαυμάζεις τοῦ στοιχείου τὸ κάλλος; ἀλλὰ μηδὲ ἐνταῦθα μέχρι τούτου στῇς, ἀλλ' ἐννόησον ὅτι εἰ τὸ δημιούργημα οὕτω θαυμαστὸν καὶ παράδοξον, καὶ πάντα ἀνθρώπινον νοῦν ὑπερβαῖνον, ποταπὸς ἂν εἴη ὁ τοῦτο λόγῳ μόνῳ δημιουργήσας καὶ ἐπιτάγματι παραγαγών; τὸ αὐτὸ καὶ ἐπὶ τῆς γῆς λογίζου. ἐπειδὰν γὰρ ἴδῃς αὐτὴν τοῖς ἄνθεσι καλλωπιζομένην, καθάπερ ἱμάτιον ποικίλον, ἐφηπλωμένην αὐτῇ πανταχόθεν τὴν βλάστην τὴν ἀπὸ τῶν βοτανῶν, μὴ τῇ δυνάμει τῆς γῆς λογίσῃ τὰ ἐξ αὐτῆς τικτόμενα, μηδὲ τῇ τοῦ ἡλίου συνεργείᾳ, ἢ τῆς σελήνης· ἀλλ' ἐννόησον εὐγνωμόνως, ὅτι καὶ περὶ τῆς τούτων δημιουργίας εἶπε μόνον, ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ παραχρῆμα ἅπαν τῆς γῆς τὸ πρόσωπον ἐφαιδρύνετο. ἐὰν ταῦτα καθ' ἑκάστην ἡμέραν στρέφωμεν ἐν τοῖς ἡμετέροις λογισμοῖς, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ τῷ δεσπότῃ τὴν προσήκουσαν, μᾶλλον δὲ τὴν κατὰ δύναμιν τὴν ἡμετέραν, δοξολογίαν ἀναπέμψομεν. δοξάσωμεν δὲ αὐτὸν οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τῆς ἀρίστης πολιτείας, ἐὰν μὴ πάλιν τοῖς αὐτοῖς περιπέσωμεν, ἀλλ' ἐὰν πολλὰ χαίρειν εἰπόντες ταῖς διαβολικαῖς ἀπάταις, τῇ μετὰ ταῦτα προσοχῇ, καὶ τῇ πολλῇ σπουδῇ, καὶ τῇ συντόνῳ ἐξομολογήσει τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. ἀρκεῖ γὰρ αὐτῷ διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὸ στῆναι μόνον ἡμᾶς τῆς κακίας. ἂν γὰρ τοῦτο ἑλώμεθα, εὐκόλως καὶ πρὸς τὴν τῶν ἀγαθῶν ἔργων πρᾶξιν ὁρμήσομεν. μή μοι λοιπὸν ἐν ἱπποδρομίαις τις φαινέσθω, παρακαλῶ, ἀλλὰ μηδὲ ἐν τοῖς συλλόγοις τοῖς ἀκαίροις καταδαπανάτω τὸν καιρὸν τῆς ἡμέρας. μή μοι κύβοις καὶ τῇ ἐντεῦθεν τικτομένῃ κραυγῇ, καὶ τῇ λοιπῇ λύμῃ ἑαυτόν τις ἐκδιδότω. τί γὰρ ὄφελος, εἰπέ μοι, τῆς νηστείας, ὅταν ἄσιτος μὲν διημερεύῃς, κύβοις δὲ ἑαυτὸν ἐκδοὺς, καὶ φλυαρίαις ‖ ἀνονήτοις, πολλάκις δὲ καὶ ἐπιορκίαις καὶ βλασφημίαις, πᾶσαν ἀναλώσῃς τὴν ἡμέραν; μὴ, παρακαλῶ, οὕτω ῥαθύμως περὶ τὴν ἑαυτῶν σωτηρίαν διατεθῶμεν, ἀλλὰ μᾶλλον περὶ τῶν πνευματικῶν ἡμῖν ἔστω διηνεκῶς ἡ διάλεξις, καὶ βιβλίον τις θεῖον λαβὼν μετὰ χεῖρας, καὶ συγκαλέσας τοὺς πλησίον, διὰ τῶν θείων λογίων ἀρδέτω καὶ τὴν ἑαυτοῦ διάνοιαν καὶ τῶν συγγινομένων, ἵν' οὕτω καὶ τὰς μηχανὰς τοῦ πονηροῦ διαφυγεῖν δυνηθῶμεν, καὶ μεγάλα ἀπὸ τῆς νηστείας καρπώσασθαι ἀγαθὰ, καὶ τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ro.a.x.

‖ ἀνοήτοις

Λογ. ζ. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ, ΕΞΑΓΑΓΕΤΩ ΤΑ

ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτω· καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν;

Ἱκανῶς χθὲς καθηψάμεθα τῶν εἰς τὰς ἱπποδρομίας αὐτομολησάντων, δείξαντες αὐτοῖς τῆς βλάβης τὸ μέγεθος, ἣν ὑπέστησαν, τὸν συλλεγέντα ἀπὸ τῆς νηστείας αὐτοῖς πλοῦτον πνευματικὸν ἀθρόον ἐκχέαντες, καὶ ἀπὸ τῆς πολλῆς περιουσίας ἐξαίφνης εἰς ἐσχάτην πενίαν ἑαυτοὺς καταστήσαντες. φέρε δὴ σήμερον προσηνεστέρῳ χρησώμεθα τῷ φαρμάκῳ, καὶ καθάπερ μέλη ἡμέτερα, οὕτως αὐτῶν τὰ τῆς ψυχῆς τραύματα ἐπιδήσωμεν· ἐπεὶ καὶ χθὲς αὐστηρότερα τὰ φάρμακα ἐπεθήκαμεν, οὐχ ἵνα ἁπλῶς λυπήσωμεν καὶ τὴν ἀλγηδόνα ἐπιτείνωμεν, ἀλλ' ἵνα τῇ σφοδρότητι καθικέσθαι δυνηθῶμεν τοῦ ἕλκους. καὶ γὰρ καὶ ἰατροὶ καὶ πατέρες οὕτως ποιεῖν εἰώθασιν, οἱ μὲν δραστικώτερα πρότερον ἐπιτιθέασι, καὶ ἐπειδὰν ῥήξῃ τὸ ἕλκος, τότε τὰ καταγλυκαίνειν δυνάμενα φάρμακα προσάγουσι· καὶ πατέρες δὲ, ὅταν ἴδωσι τοὺς παῖδας τοὺς ἑαυτῶν ἀτακτοῦντας, πρότερον ἐπιπλήξεσι σφοδροτέραις κέχρηνται, μετὰ δὲ ταῦτα νουθεσίαις καὶ παρακλήσεσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, εἰ καὶ χθὲς σφοδρότερον ἐχρησάμεθα τῷ λόγῳ, ἀλλὰ σήμερον προσηνεστέραν ποιησώμεθα τὴν διάλεξιν, καὶ καθάπερ μέλη ἡμέτερα θεραπεύσωμεν. ὥσπερ γὰρ ἡ προκοπὴ ἡ ὑμετέρα ἡμῖν πλείονα τὴν παρρησίαν προξενεῖ, καὶ τοῦτο ἡμῖν ἐστιν ὁ πλοῦτος ὁ πνευματικὸς, τὸ ὁρᾶν ὑμᾶς ἐν τοῖς πνευματικοῖς ἐπιδιδόντας, καὶ ἐν ἀρετῇ διαλάμποντας, καὶ τῶν βλάπτειν δυναμένων ἀπεχομένους· οὕτως ἐπειδὰν ἴδωμεν ὑμᾶς ὑποσκελιζομένους καὶ ὑπαγομένους ταῖς ἀπάταις ταῖς διαβολικαῖς, κατηφείας πληρούμεθα, καὶ ἀχλύς τις, ὡς εἰπεῖν, "κατασκεδάζεται τῇ ἡμετέρᾳ ψυχῇ. κατὰ γὰρ τὸν μακάριον Παῦλον, Τότε ἡμεῖς ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν κυρίῳ. ὡς οὖν τέλειοι καὶ πεπληρωμένοι συνέσεως, οὕτω τῶν μὲν ὄπισθεν ἐπιλανθάνεσθε, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνεσθε, καὶ τὰς συνθήκας, ἃς πρὸς τὸν Χριστὸν ἔθεσθε, ἀνακαλεσάμενοι, βεβαίας ταύτας εἰς τὸ ἑξῆς διαφυλάττετε, καὶ λογισμῷ σώφρονι πᾶσαν εἴσοδον ταῖς τοῦ διαβόλου μηχαναῖς ἀποκλείσαντες, τῇ μετὰ ταῦτα σπουδῇ τὴν ἀπὸ τῆς ῥαθυμίας προστριβεῖσαν ὑμῖν κηλῖδα ἀπονίψασθε, περιγινόμενοι τῆς ἀχρείου συνηθείας καὶ ἐπιβλαβοῦς, καὶ λογισάμενοι ὡς οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι ἑαυτοῖς πολλὴν τὴν βλάβην προστρίβονται οἱ αὐτόθι παραγινόμενοι, ἀλλ' ὅτι καὶ πολλοῖς ἑτέροις σκανδάλου ὑπόθεσις γίνονται. ὅταν γὰρ ἴδωσιν Ἕλληνες καὶ Ἰουδαῖοι τὸν ἐφ' ἑκάστης ἡμέρας εἰς τὴν ἐκκλησίαν διημερεύοντα, καὶ συνεχοῦς ἀπολαύοντα διδασκαλίας, ἀθρόον ἐκεῖ φαινόμενον, καὶ μετ' αὐτῶν συμφυρόμενον, πῶς οὐ νομίσουσιν ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ περὶ πάντων τῶν παρ' ἡμῖν τὴν αὐτὴν ὑπόληψιν ἕξουσιν; ἢ οὐκ ἀκούεις τοῦ μακαρίου Παύλου παραινοῦντος καὶ συμβουλεύοντος λαμπρᾷ τῇ φωνῇ, ἀπρόσκοποι γίνεσθε; εἶτα ἵνα μὴ νομίσῃς περὶ τῶν οἰκείων μόνον τὴν παραγγελίαν παρ' αὐτοῦ γίνεσθαι καὶ τῶν μεθ' ἡμῶν τεταγμένων, προσέθηκε, καὶ Ἰουδαίοις καὶ Ἕλλησι· καὶ τότε ἐπήγαγε, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. οὐδὲν γὰρ οὕτω λυμαίνεται καὶ βλάπτει τῇ θρησκείᾳ τῇ ἡμετέρᾳ, ὡς τὸ τοῖς ἀπίστοις λαβήν τινα παρέχειν. ὅταν οὖν ἴδωσί τινας ἐν ἀρετῇ διαλάμποντας παρ' ἡμῖν, καὶ πολλὴν τῶν βιωτικῶν ὑπεροψίαν ποιουμένους, οἱ μὲν αὐτῶν καὶ ἀποπνίγονται, οἱ δὲ πολλάκις καὶ εἰς θαῦμα ἔρχονται ἐκπληττόμενοι ὅτι τῆς αὐτῆς αὐτοῖς φύσεως ὄντες, οὐ τὰ αὐτὰ αὐτοῖς μετίασιν. ἀμέλει ἐπειδὰν θεάσωνται "τινὶ μικρὰν ῥαθυμίαν προσγινομένην, εὐθέως τὴν γλῶτταν ἀκονοῦσι κατὰ πάντων ὁμοῦ, καὶ ἀπὸ τῆς τοῦ ἑνὸς ῥαθυμίας κατὰ παντὸς τοῦ τῶν χριστιανῶν "γένους τὰ αὐτὰ" καταψηφίζονται.

α. Θεσ. γ. η.

α. Κορ. ι. λβ.

γρ. κατασκεδάζεται τῆς ἡμετέρας ψυχῆς

γρ. τινὰ

γρ. ἔθνους

γρ. ψηφίζονται

ζονται. καὶ οὐδὲ μέχρι τούτου ἵστανται, ἀλλ' εὐθέως κατὰ τῆς ἑαυτῶν κεφαλῆς φθεγγόμενοι, διὰ τὴν τῶν δούλων ῥαθυμίαν καὶ τὸν κοινὸν δεσπότην βλασφημεῖν τολμῶσι, καὶ νομίζουσι τῆς οἰκείας πλάνης παραπέτασμα αὐτοῖς γίνεσθαι τὴν ἑτέρων ῥαθυμίαν. ὅτι δὲ μέγιστον τοῦτο φέρει κίνδυνον τοῖς ἀφορμὴν αὐτοῖς τῆς βλασφημίας παρέχουσιν, ἀκούσωμεν τοῦ προφήτου βοῶντος καὶ λέγοντος ἐκ προσώπου τοῦ θεοῦ· Οὐαὶ ὑμῖν, ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. Ησ. νβ. ε. φοβερὸν τὸ ῥῆμα, καὶ φρίκης γέμον. τὸ γὰρ οὐαὶ τοῦτο ὡσανεὶ θρηνοῦντός ἐστι τοὺς μέλλοντας ὑπὸ τὴν ἀπαραίτητον ἐκείνην κόλασιν γίνεσθαι. ὥσπερ οὖν τοῖς διὰ τῆς οἰκείας ἀμελείας αἰτίαν ἐκείνοις παρέχουσι τῆς βλασφημίας τοσαύτη κεῖται τιμωρία· οὕτω πάλιν τοῖς τῆς ἀρετῆς ἐπιμελουμένοις μυρίων στεφάνων ὑπόθεσις γίνονται. Τὸ αὐτὸ τοῦτο διδάσκων ὁ Χριστὸς ἔλεγε, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ματθ. ε. ιϛ. ὃν γὰρ τρόπον ἐκεῖνοι διὰ τὴν τινῶν ῥαθυμίαν σκανδαλιζόμενοι, τὴν γλῶτταν ἀκονοῦσι κατὰ τοῦ δεσπότου τοῦ ἡμετέρου· οὕτω, φησίν, ἐπειδὰν τὴν ἀρετὴν μετίητε, ὁρῶντες ὑμᾶς οἱ ἄνθρωποι, οὐ μέχρι τῆς ὑμετέρας εὐφημίας ἵστανται, ἀλλ' ὅταν ἴδωσιν ὑμῶν τὰ ἔργα λάμποντα καὶ καταυγάζοντα ὑμῶν τὰς ὄψεις, εἰς δοξολογίαν κινοῦνται τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. τούτου δὲ ὑπ' ἐκείνων γινομένου, πάλιν ἡμῖν τὰ τῆς ἀμοιβῆς πολυπλασιάζεται, καὶ ὑπὲρ τῆς ἐκείνων εὐφημίας τὰ μυρία ἡμῖν ἀγαθὰ χαρίζεται ὁ δεσπότης. Τοὺς δοξάζοντάς με γάρ, φησι, δοξάσω. α. Βασ. β. λ. πάντα τοίνυν ποιῶμεν, ἀγαπητοί, ὥστε δοξάζεσθαι τὸν ἡμέτερον δεσπότην, καὶ μηδενὶ σκανδάλου αἰτίαν παρέχωμεν. τοῦτο γὰρ διηνεκῶς ἡμᾶς διδάσκει ὁ τῆς οἰκουμένης διδάσκαλος ὁ μακάριος Παῦλος, πότε μὲν λέγων, Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα· πότε δέ, Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. α. Κορ. η. ιγ. ιβ. σφοδρὰ ἡ ἀπειλὴ καὶ μεγάλην ἔχουσα τὴν κατάκρισιν. μὴ γὰρ νομίσῃς, φησίν, εἰς ἐκεῖνον μόνον περιστήσεσθαι τὴν βλάβην· εἰς αὐτὸν διαβαίνει τὸν Χριστόν, τὸν δι' ἐκεῖνον σταυρωθέντα. εἰ τοίνυν ὁ δεσπότης σου σταυρωθῆναι δι' αὐτὸν οὐ παρῃτήσατο, σὺ πῶς οὐκ ἀνέξῃ πάντα ποιῆσαι, ὥστε μηδεμίαν αὐτῷ σκανδάλου ἀφορμὴν παρέχειν; καὶ πανταχοῦ εὑρήσεις αὐτὸν ταῦτα συμβουλεύοντα τοῖς μαθητευομένοις. τοῦτο γάρ ἐστιν ὃ συνέχει τὴν ζωὴν τὴν ἡμετέραν. διὰ τοῦτο καὶ ἀλλαχοῦ γράφων ἔλεγε, Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων· Φιλ. β. δ. καὶ πάλιν ἑτέρωθι, Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. α. Κορ. ι. κγ. Εἶδες σύνεσιν ἀποστολικήν; Εἰ καὶ ἔξεστί μοι, φησί, τι διαπράξασθαι, καὶ μηδέν μοι τοῦτο λυμαίνεται, ἀλλὰ διὰ τὸ μὴ ἔπεσθαι τὴν τοῦ πλησίον οἰκοδομήν, οὐκ ἂν ἀναδεξαίμην αὐτὸ πρᾶξαι. Εἶδες ψυχὴν φιλόστοργον, καὶ πῶς οὐδαμοῦ τὸ ἑαυτοῦ σκοπεῖ, ἀλλὰ διὰ πάντων δείκνυσι μεγίστην ἀρετὴν ταύτην οὖσαν, τὸ τῆς τῶν πλησίον οἰκοδομῆς πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν; ταῦτα δὴ πάντα γινώσκοντες, φυλαττώμεθα, παρακαλῶ, καὶ ἀπεχώμεθα τῶν λυμαίνεσθαι τὸν πλοῦτον τῆς ἡμετέρας ἀρετῆς δυναμένων, καὶ μηδέποτέ τι πράττωμεν, ὃ τῷ πλησίον παρέχῃ τινὰ βλάβην. τοῦτο γὰρ καὶ τὸ ἁμάρτημα ἐπιτείνει, καὶ τὴν κόλασιν ἡμῖν σφοδροτέραν προξενεῖ. καὶ μηδὲ τοῦ τυχόντος καταφρονῶμεν, μηδὲ λέγωμεν τὰ ψυχρὰ ἐκεῖνα ῥήματα, τί δέ μοι μέλει, ἐὰν ὁ δεῖνα σκανδαλίζηται; τί λέγεις, εἰπέ μοι; τί σοι μέλει; οὕτω σου προσέταξεν ὁ Χριστὸς λάμπειν τὸν βίον, ὡς μὴ μόνον σε θαυμάζεσθαι ὑπὸ τῶν ὁρώντων, ἀλλὰ καὶ τὸν δεσπότην τὸν σὸν δοξολογεῖσθαι· καὶ σὺ τὸ ἐναντίον ἐργαζόμενος, καὶ παρασκευάζων ἀντὶ δοξολογίας βλασφημίας εἰς αὐτὸν γίνεσθαι,

τοῦτο αὐτὸ

πάλιν ἐκεῖ- φασί, ἐπὶ τοῦ

οὐδένα λόγον ποιῇ; καὶ πῶς τοῦτο ψυχῆς εὐλαβοῦς, καὶ τοὺς τοῦ θεοῦ νόμους ἀκριβῶς ἐπισταμένης; ἀλλ' εἴ τι πρότερον ταῦτά τις ὑπὸ τῆς συνηθείας ἑλκόμενος ἀδιαφόρως ἐφθέγγετο, νῦν, παρακαλῶ, δεξάμενος ἡμῶν τὴν νουθεσίαν, παυέσθω τῶν ἀκαίρων τούτων λόγων, καὶ οὕτως ἅπαντα πράττειν σπουδαζέτω, ὡς μήτε ὑπὸ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ κατακρίνεσθαι, μήτε ὑπὸ τοῦ συνειδότος καταγινώσκεσθαι, μήτε ὑπὸ τῶν εἰς αὐτὸν ὁρώντων βλασφημίας κινεῖσθαι κατὰ τοῦ δεσπότου. ἐὰν γὰρ μετὰ τοσαύτης φυλακῆς τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα καὶ τῆς παρὰ τοῦ δεσπότου φιλανθρωπίας, καὶ διαφευξόμεθα τοῦ διαβόλου τὰς μηχανάς. ὅταν γὰρ ἴδῃ ἡμᾶς οὕτω νήφοντας καὶ ἐγρηγορότας, ἐννοῶν ὡς ἀνηνύτοις [ἂν] ἐπιχειρήσειεν, ἐγκαλυψάμενος ἀποστήσεται. ἀλλὰ τῶν μὲν προοιμίων ἅλις. φέρε δὴ λοιπὸν τὰ ἀναγνωσθέντα προθέντες ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τὴν πνευματικὴν ὑμῖν παραθῶμεν ἑστίασιν, ″καὶ ἴδωμεν τί καὶ σήμερον ὁ μακάριος Μωϋσῆς, μᾶλλον δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης, ἡμᾶς διδάξαι βούλεται. τί οὖν φησι;

γ. κατίδωμεν

20. Καὶ εἶπεν ὁ θεός, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως.

Ὅρα φιλανθρωπίαν δεσπότου, πῶς τάξει τινὶ καὶ ἀκολουθίᾳ πᾶσαν τὴν δημιουργίαν ἡμᾶς διδάσκει. πρότερον ἐδίδαξεν ἡμᾶς πῶς τὴν γῆν εἰς τὴν τῶν καρπῶν γένεσιν τῷ αὐτοῦ ἐπιτάγματι διήγειρεν· εἶτα τὴν δημιουργίαν τῶν δύο φωστήρων διδάξας, προσέθηκε καὶ τὴν τῶν ἀστέρων ποικιλίαν, δι' ὧν τοῦ οὐρανοῦ φαιδρότερον τὸ κάλλος εἰργάσατο· σήμερον λοιπὸν μεταβαίνει ἐπὶ τὰ ὕδατα, καὶ δείκνυσιν ἡμῖν τῷ λόγῳ αὐτοῦ καὶ τῷ ἐπιτάγματι ζῶα ἔμψυχα ἐξ αὐτῶν ἀναδιδόμενα. ἐξαγαγέτω γάρ, φησι, τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. ποῖος λόγος, εἰπέ μοι, ἐφικέσθαι δυνήσεται τοῦ θαύματος, ποία ἀρκέσει γλῶσσα πρὸς εὐφημίαν τοῦ δημιουργοῦ; εἶπε μόνον, βλαστησάτω ἡ γῆ, καὶ εὐθέως πρὸς τὰς ὠδῖνας αὐτὴν διήγειρε· νῦν λέγει, ἐξαγαγέτω τὰ ὕδατα. ὅρα πῶς κατάλληλα αὐτοῦ προστάγματα. ἐκεῖ, βλαστησάτω ἡ γῆ, ἐνταῦθα, ἐξαγαγέτω τὰ ὕδατα, φησίν, ἑρπετὰ ψυχῶν ζωσῶν. καθάπερ γὰρ ἐπὶ τῆς γῆς εἶπε μόνον βλαστησάτω, καὶ διάφορος καὶ ποικίλη τῶν ἀνθῶν ἡ ποικιλία καὶ τῶν βοτανῶν καὶ τῶν σπερμάτων ″ἀνεδόθη, καὶ ἑνὶ λόγῳ τὰ πάντα παρήχθη· οὕτω καὶ ἐνταῦθα εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἀθρόον τοσαῦτα γένη ἑρπετῶν, τοσαύτη διαφορὰ πετεινῶν ἐδημιουργεῖτο, ὅσην οὐδὲ ἀπαριθμήσασθαι τῷ λόγῳ δυνατόν. καὶ τὸ μὲν ῥῆμα βραχύ, καὶ ῥῆμα ἕν, τὰ δὲ γένη τῶν ζώων διάφορα καὶ ποικίλα. ἀλλὰ μὴ ξενισθῇς, ἀγαπητέ· ῥῆμα γάρ ἐστι θεοῦ, καὶ ὁ λόγος αὐτοῦ τὴν σύστασιν τοῖς γενομένοις ἐχαρίσατο. ὁρᾷς πῶς ἅπαντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει; εἶδες διδασκαλίας ἀκρίβειαν, εἶδες συγκατάβασιν δεσπότου πόσην ἐπιδείκνυται περὶ τὸ γένος τὸ ἡμέτερον; πόθεν γὰρ ἡμεῖς ταῦτα οὕτω μετ' ἀκριβείας μαθεῖν ἠδυνήθημεν, εἰ μὴ αὐτὸς διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν κατηξίωσε διὰ τῆς τοῦ προφήτου γλώττης διδάξαι τὴν τῶν ἀνθρώπων φύσιν· ἵνα εἰδέναι ἔχωμεν καὶ τῶν δημιουργηθέντων τὴν τάξιν, καὶ τοῦ δημιουργήσαντος τὴν δύναμιν, καὶ ὅπως ὁ λόγος αὐτοῦ ἔργον ἐγένετο, καὶ τὸ ῥῆμα αὐτοῦ τὴν σύστασιν καὶ τὴν εἰς τὸ εἶναι πάροδον αὐτοῖς ἐχαρίζετο; ἀλλ' εἰσί τινες τῶν ἀγνωμόνων, οἳ καὶ μετὰ τὴν τοσαύτην διδασκαλίαν ἀπιστεῖν ἐπιχειροῦντες, καὶ μὴ συγχωροῦντες μήτε δημιουργὸν ἔχειν τὰ ὁρώμενα, ἄλλοι μὲν αὐτόματα αὐτὰ φάσκοντες εἶναι, ἕτεροι δὲ ἐξ ὑποκειμένης τινὸς ὕλης γεγενῆσθαι. σκόπει τοῦ

γ. ἐδόθη

διαβόλου πόση ἡ ἀπάτη· πῶς ἀπεχρήσατο τῇ εὐκολίᾳ τῆς γνώμης τῶν τῇ πλάνῃ δουλευόντων. διὰ τοῦτο ὁ μακάριος Μωϋσῆς μετὰ τοσαύτης ἡμᾶς ἀκριβείας διδάσκει, ὑπὸ τοῦ θείου πνεύματος ἐνηχούμενος, ἵνα μὴ τὰ αὐτὰ τούτοις πάθωμεν, ἀλλ' εἰδέναι ἔχωμεν σαφῶς καὶ τὴν ἀκολουθίαν τῶν δημιουργηθέντων, καὶ ὅπως ἕκαστον ἐδημιουργήθη. εἰ γὰρ μὴ τῆς ἡμετέρας σωτηρίας κηδόμενος ὁ θεὸς οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶσσαν, ἤρκει ἂν εἰπεῖν, ὅτι, ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν, τὴν θάλασσαν, τὰ ζῶα, καὶ μήτε τάξιν θεῖναι ἡμερῶν, μήτε τί μὲν πρῶτον, τί δὲ ὕστερον γεγένηται· ἀλλ' ἵνα μηδεμίαν τοῖς ἀγνωμονεῖν βουλομένοις καταλίπηται ἀπολογίας πρόφασιν, οὕτω διαιρεῖ σαφῶς καὶ τὴν τῶν γενομένων τάξιν, καὶ τῶν ἡμερῶν τὸν ἀριθμὸν, καὶ πάντα μετὰ πολλῆς τῆς συγκαταβάσεως ἡμᾶς διδάσκει, ἵνα μαθόντες τὴν ἀλήθειαν ἅπασαν, μηκέτι τῇ πλάνῃ τῶν ἐξ οἰκείων λογισμῶν ἅπαντα φθεγγομένων προσέχωμεν· ἀλλ' εἰδέναι ἔχωμεν τοῦ δημιουργοῦ του ἡμετέρου τὴν ἄφατον δύναμιν. καὶ ἐγένετό, φησιν, οὕτως. εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ὑπήκουσε τὸ στοιχεῖον, καὶ ἐπλήρωσε τὸ ἐπιταχθὲν, καὶ ἐγένετό, φησιν, οὕτως, ὡς ἐκέλευσεν ὁ δεσπότης.

21 Καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς, ὅτι καλά. 22 Καὶ εὐλόγησεν αὐτὰ ὁ θεὸς, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς.

Θέα μοι πάλιν ἐνταῦθα, πόση τοῦ πνεύματος ἡ σοφία. Εἰπὼν γὰρ ὁ μακάριος Μωϋσῆς, ὅτι ἐγένετο οὕτω, διδάσκει ἡμᾶς κατὰ μέρος ἐπάγων καὶ λέγων, καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ εἶδεν ὁ θεὸς, φησιν, ὅτι καλά. ἐνταῦθα τῶν ἀπερισκέπτως ἅπαντα φθεγγομένων πάλιν ἀναιρεῖ τὴν τόλμαν. ἵνα γὰρ μή τις ἔχῃ λέγειν, καὶ τίνος ἕνεκεν τὰ κήτη γέγονε, ποίαν ἡμῖν χρείαν συντελεῖ, τί τὸ ὄφελος ἐκ τῆς τούτων δημιουργίας· διὰ τοῦτο εἰπὼν, ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, * καὶ πετεινὰ, εὐθέως ἐπήγαγε, καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. μὴ γὰρ ἐπειδὴ σὺ, φησι, τὸν λόγον ἀγνοεῖς τῶν γεγενημένων, ἐπισκήπτειν ἐπιχείρει τοῖς δημιουργήμασιν. ἤκουσας τοῦ δεσπότου ψηφιζομένου καὶ λέγοντος, ὅτι καλά· καὶ πῶς σὺ μέμηνας, τολμῶν λέγειν, διὰ τί γεγένηται, καὶ ὡς περιττὴν αὐτῶν διαβάλλεις τὴν δημιουργίαν; ἐὰν γὰρ εὐγνώμων ᾖς, δυνήσῃ καὶ ἐκ τῆς τούτων δημιουργίας καὶ τὴν δύναμιν τοῦ σοῦ δεσπότου, καὶ τὴν ἄφατον φιλανθρωπίαν καταμαθεῖν· τὴν μὲν δύναμιν ὅτι τῷ λόγῳ καὶ ἐπιτάγματι ἐκ τῶν ὑδάτων τοιαῦτα ζῶα παραχθῆναι πεποίηκε· τὴν δὲ φιλανθρωπίαν, ὅτι καὶ παραγαγὼν ἰδίαν τινὰ χώραν αὐτοῖς ἀπένειμε, καὶ τὸ ἄπλωτον μέρος τῆς θαλάσσης αὐτοῖς ἀπεκλήρωσεν, ὥστε μηδένα λυμαίνεσθαι, ἀλλ' ἐνδιαιτᾶσθαι μὲν τοῖς ὕδασι, καὶ διὰ τῆς ὄψεως τοῦ δημιουργοῦ διδάσκειν τὴν ὑπερβάλλουσαν δύναμιν, μηδεμίαν δὲ βλάβην παρέχειν τῷ τῶν ἀνθρώπων γένει. ἢ μικρὸν οἴει τοῦτο μέρος εἶναι φιλανθρωπίας, τὸ διπλῆν ἐξ αὐτῶν γίνεσθαί σοι τὴν ὠφέλειαν; καὶ γὰρ εἰς θεογνωσίαν ἐνάγει τοὺς εὐγνωμονεῖν βουλομένους, καὶ ἐκπλήττεσθαι παρασκευάζει τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, ὅτι τῆς ἀπ' αὐτῶν βλάβης ἠλευθέρωσε τὴν τῶν ἀνθρώπων φύσιν. οὐδὲ γὰρ εἰς χρείαν ἡμῖν μόνον ἅπαντα παρ' αὐτοῦ δεδημιούργηται, ἀλλὰ διὰ τὴν πολλὴν αὐτοῦ φιλοτιμίαν, τὰ μὲν εἰς χρείαν, τὰ δὲ καὶ διὰ τοῦτο παρήχθη, ἵνα κηρύττηται τοῦ ποιήσαντος αὐτὰ ἡ δύναμις. ἀκούων τοίνυν, ὅτι εἶδεν ὁ θε-

ἐξήγαγε τὰ
τα.

τοῦ δεσπότου

τὴν δύναμιν

ὸς ὅτι καλά, μηκέτι τόλμα ἀντιφθέγγεσθαι τῇ θείᾳ γραφῇ, μηδὲ περιεργάζεσθαι, καὶ πολυπραγμονεῖν, καὶ λέγειν, διατί τὸ καὶ τὸ ἐγένετο. καὶ εὐλόγησεν αὐτὰ ὁ θεός, φησί, καὶ εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. αὕτη ἐστὶν ἡ εὐλογία, τὸ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι. ἐπειδὴ γὰρ ἔμψυχα ἦν τὰ ζῶα τὰ δημιουργηθέντα, ἐβούλετο δὲ διηνεκῆ τὴν σύστασιν τούτων εἶναι, διὰ τοῦτο ἐπήγαγε, καὶ εὐλόγησεν αὐτὰ ὁ θεὸς καὶ εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε [καὶ πληρώσατε τὴν γῆν]. τὸ γὰρ ῥῆμα ἐκεῖνο μέχρι τοῦ παρόντος ταῦτα συγκρατεῖ, καὶ τοσοῦτον μῆκος χρόνου παρέδραμε, καὶ οὐδὲ ἓν τούτων γένος ἠλαττώθη. ἡ γὰρ εὐλογία ἡ παρὰ τοῦ θεοῦ, καὶ τὸ ῥῆμα τὸ λέγον, αὐξάνεσθε καὶ πληθύνεσθε, τὴν σύστασιν αὐτοῖς καὶ τὴν διαμονὴν ταύτην ἅπασαν ἐχαρίσατο.

23 Καὶ ἐγένετο, φησίν, ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη.

Εἶδες πῶς καὶ τὰ κατὰ τὴν πέμπτην ἡμέραν δημιουργηθέντα ζῶα ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφή; ἀλλὰ μικρὸν ἀνάμεινον, καὶ ὄψει πάλιν τοῦ σοῦ δεσπότου τὴν φιλανθρωπίαν. οὐδὲ γὰρ μόνον τὰ ὕδατα πρὸς τὴν τῶν ζώων γένεσιν διήγειρεν, ἀλλὰ καὶ ἐκ τῆς γῆς πάλιν ἀναδοθῆναι προσέταξε ζῶα χερσαῖα. ″οὐδὲν γὰρ ἄτοπον μικρὸν ἐφάψασθαι σήμερον καὶ τῶν κατὰ τὴν ἕκτην ἡμέραν γενομένων.

γρ. ἀλλ

24 Καὶ εἶπε, φησίν, ὁ θεός, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία ἐπὶ τῆς γῆς, καὶ τὰ κτήνη, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτως.

″Ὅρα καὶ τὴν γῆν πάλιν διπλῆν καρποφορίαν παρέχουσαν καὶ τῷ προστάγματι τοῦ δεσπότου ὑπηρετουμένην. τότε μὲν γὰρ τῶν σπερμάτων τὴν βλάστην ἐξέδωκε, νῦν δὲ ζῶα ἔμψυχα, τετράποδα, ἑρπετά, θηρία, καὶ κτήνη. ἰδοὺ ὃ προέφθην εἰπών, τοῦτο καὶ νῦν δείκνυται, ὅτι οὐ διὰ χρείαν ἡμετέραν μόνον ἅπαντα παρήγαγεν, ἀλλὰ καὶ δι᾽ ὠφέλειαν, ἵνα ὁρῶντες τὴν ἄφθονον περιουσίαν τῶν αὐτοῦ δημιουργημάτων, ἐκπληττώμεθα τοῦ δημιουργοῦ τὴν δύναμιν, καὶ εἰδέναι ἔχωμεν, ὡς σοφίᾳ τινὶ καὶ ἀφάτῳ φιλανθρωπίᾳ διὰ τὴν εἰς τὸν μέλλοντα ἄνθρωπον γίνεσθαι τιμήν, ταῦτα ἅπαντα παρήχθη.

γρ. ὅρα τοῦ φιλανθρώπου θεοῦ τὴν ἀγαθότητα, πῶς καὶ τὴν γῆν πάλιν διήγειρε διπλῆν καρποφορίαν παρέχειν καὶ τῷ προστάγματι αὐτοῦ ὑπηρετουμένην.

25 Καὶ ἐποίησε, φησίν, ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ εἶδεν ὁ θεὸς ὅτι καλά.

Ποῦ νῦν εἰσιν οἱ τολμῶντες λέγειν, διατί θηρία, διατί ἑρπετά; ἀκουέτωσαν τῆς θείας γραφῆς λεγούσης, καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. εἰπέ μοι, αὐτὸς ὁ δημιουργήσας ἐπαινεῖ τὰ γενόμενα, καὶ σὺ ἐπισκήπτειν τολμᾷς; καὶ πόσης οὐκ ἂν εἴη τοῦτο μανίας; ἐπεὶ καὶ ἐν τοῖς σπέρμασι καὶ ἐν τοῖς φυτοῖς, οὐ μόνον ἔγκαρπα δένδρα ἀνέδωκεν ἡ γῆ, ἀλλὰ καὶ ἄκαρπα, καὶ οὐ μόνον χρησίμους βοτάνας, ἀλλὰ καὶ ἡμῖν ἀγνώστους ἐκφέρει, πολλάκις δὲ καὶ ἐπιβλαβεῖς· ἀλλ᾽ οὐ διὰ τοῦτο τολμήσει τις μέμφεσθαι τοῖς γινομένοις. οὐδὲν γὰρ μάτην, οὐδὲ ἁπλῶς γεγένηται. οὐδὲ γὰρ ἂν τὸν ἔπαινον ἐδέξατο παρὰ τοῦ δεσπότου, εἰ μὴ πρὸς χρείαν τινὰ ἐπωφελῆ δεδημιούργητο. καθάπερ οὖν ἐπὶ τῶν δένδρων οὐ πάντα ἐστὶν ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρπα πολλά, καὶ οὐκ ἔλαττον τῶν ἐγκάρπων κἀκεῖνα θαυμαστὴν τὴν χρείαν ἡμῖν παρέχεται, πρὸς τὴν ἀνάπαυσιν τὴν ἡμετέραν συντελοῦντα (καὶ γὰρ καὶ οἰκοδομὰς ἐξ αὐτῶν, καὶ πολλὰς ἑτέρας χρείας πρὸς τὴν ἡμετέραν ″συντελούσας ἀνάπαυσιν κατασκευαζόμεθα· καὶ ὅλως οὐδέν ἐστιν ὃ μὴ λόγῳ τινὶ δεδημιούργηται, εἰ καὶ ἡ ἀνθρωπίνη φύσις οὐκ ἰσχύει πάντων μετὰ ἀκριβείας εἰδέναι τὸν λόγον) ὥσπερ οὖν ἐπὶ τῶν δένδρων, οὕτω καὶ ἐπὶ τῶν ζώων, τὰ μὲν πρὸς βρῶσιν ἡμῖν ἐστιν ἐπιτήδεια, τὰ δὲ πρὸς ὑπηρεσίαν· καὶ τῶν θηρίων δὲ τὰ γένη καὶ τῶν ἑρπετῶν οὐ μικρὰν ἡμῖν χρείαν συντελεῖ.

γρ. λοιπ

συντελεῖ. καὶ εἰ βουληθείη τις εὐγνωμόνως καταμαθεῖν, εὑρήσει καὶ νῦν, ὅτε τῆς ἀρχῆς αὐτῶν ἀφῃρέθημεν διὰ τὴν τοῦ πρωτοπλάστου παρακοήν, πολλὴν τὴν ἀπ' αὐτῶν ὠφέλειαν ἡμῖν προσγινομένην. πολλὰ γὰρ καὶ ἐκ τούτων λαμβάνοντες ἰατρῶν παῖδες κατασκευάζουσι, πρὸς τὴν τῶν ἡμετέρων σωμάτων ὑγείαν συντελεῖν δυνάμενα· ἄλλως δὲ ποία βλάβη ἐκ τῆς τῶν θηρίων δημιουργίας, ὁπότε καθάπερ τὰ ἥμερα, οὕτω καὶ αὐτὰ ὑπὸ τὴν ἐξουσίαν τυγχάνειν ἔμελλε τοῦ μετ' οὐ πολὺ μέλλοντος δημιουργεῖσθαι; τοῦτο γὰρ τέως φημί. ἵνα δὲ μάθῃς τοῦ τῶν ἁπάντων δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, ἣν περὶ τὸ γένος τὸ ἡμέτερον ἐπιδείκνυται, ἐπειδὴ ἐξέτεινε τὸν οὐρανόν, ἥπλωσε τὴν γῆν, ἐδημιούργησε τὸ στερέωμα, καθάπερ τι μέσον τειχίον τὴν διαίρεσιν τῶν ὑδάτων ἐργαζόμενον, εἶτα τὴν συναγωγὴν τῶν ὑδάτων γενέσθαι προστάξας, τὰ μὲν θαλάσσας ὠνόμασε, τὴν δὲ ξηρὰν γῆν, εἶτα ταύτην ἐκαλλώπισε ταῖς τῶν σπερμάτων ἀναδόσεσι, καὶ τῶν λοιπῶν βοτανῶν, μετῆλθε πάλιν ἐπὶ τὴν τῶν δύο μεγάλων φωστήρων δημιουργίαν, καὶ τῶν ἀστέρων τὴν ποικιλίαν, δι' αὐτῶν τὸ κάλλος τοῦ οὐρανοῦ κατακοσμήσας· εἶτα ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα παραγαγών, καὶ τὰ πετεινὰ τὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ πληρώσας τὸν πέντε ἀριθμὸν τῶν ἡμερῶν, ἐπειδὴ ἐχρῆν καὶ τὰ ἐπὶ τῆς γῆς ζῶα δημιουργηθῆναι, προστάξας καὶ ταῦτα ἀναδοθῆναι τά τε πρὸς τροφὴν ἐπιτήδεια, τά τε πρὸς τὴν ὑπηρεσίαν χρήσιμα, καὶ τὰ θηρία καὶ τὰ ἑρπετά· τότε λοιπὸν (ἐπειδὴ πάντα κατεκόσμησε, καὶ τὴν προσήκουσαν ἐπέθηκεν εὐταξίαν καὶ διακόσμησιν τοῖς ὁρωμένοις, καὶ τὴν τράπεζαν πολυτελῆ κατεσκεύασε ποικίλων καὶ παντοδαπῶν πεπληρωμένην τῶν ἐδεσμάτων, καὶ πολλὴν τὴν ἀφθονίαν καὶ τὸν πλοῦτον ἔχουσαν, καὶ τὰ βασίλεια, ὡς ἂν εἴποι τις, πανταχόθεν λαμπρὰ εἰργάσατο τὰ ἄνω, τὰ κάτω ποικίλως φαιδρύνας) τότε λοιπὸν τὸν τούτων ἁπάντων ἀπολαύειν μέλλοντα δημιουργεῖ, τὴν ἐξουσίαν τῶν ὁρωμένων ἁπάντων αὐτῷ παραδιδούς, καὶ δεικνὺς ὅσῳ τῶν δημιουργηθέντων ἁπάντων τιμιώτερον τὸ μέλλον διαπλάττεσθαι ζῶον, εἴγε πάντα τὰ γενόμενα ὑπὸ τὴν τούτου ἐξουσίαν καὶ ἐπιτροπὴν γενέσθαι κελεύει.

ΗΘΙΚΟΝ.

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις, εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ κατὰ τὴν διάπλασιν τοῦ θαυμαστοῦ τούτου ζώου, τοῦ λογικοῦ καὶ ἐμψύχου, τοῦ ἀνθρώπου λέγω, τὴν συνήθη παράκλησιν καὶ νῦν ὑμῖν " προσάγοντες, ὥστε καὶ τῶν εἰρημένων τὴν μνήμην διαφυλάττειν, καὶ διὰ πάντων τῶν ὁρωμένων εἰς τὴν τοῦ δεσπότου δοξολογίαν ἑαυτοὺς διεγείρειν. τὸ δὲ μὴ ἐφικνεῖσθαι, μηδὲ δύνασθαι πάντων τῶν δημιουργηθέντων τὸν λόγον καταλαβεῖν, μὴ γινέσθω ἡμῖν ἀπιστίας ὑπόθεσις, ἀλλὰ δοξολογίας ἀφορμή. ὅταν γὰρ ἀτονήσῃ ὁ λογισμός, καὶ μὴ χωρήσῃ ἡ διάνοια, ἐννόει τοῦ δεσπότου σου τὸ μέγεθος καὶ ἐξ αὐτοῦ τούτου, ὅτι τοσαύτη αὐτοῦ ἡ δύναμις, ὡς μηδὲ τὸν λόγον ἡμᾶς μετὰ ἀκριβείας εἰδέναι τῶν ὑπ' αὐτοῦ γεγενημένων. τοῦτο διανοίας εὐγνώμονος, τοῦτο ψυχῆς νηφούσης. ἐπεὶ καὶ Ἕλληνες οὕτως ἐπλανήθησαν τοῖς οἰκείοις λογισμοῖς " τὸ πᾶν ἐπιτρέψαντες, καὶ μὴ θελήσαντες πρὸς τὸ ἀσθενὲς τῆς οἰκείας φύσεως ἀπιδεῖν, ἀλλὰ τὰ ὑπὲρ αὐτοὺς φαντασθέντες, καὶ τῶν οἰκείων ὅρων ὑπερβάντες τὸ μέτρον, καὶ τῆς προσούσης αὐτοῖς ἀξίας ἐξέπεσον. οἱ γὰρ λόγῳ τετιμημένοι, καὶ τοσαύτην προεδρείαν λαβόντες παρὰ τοῦ δημιουργοῦ, καὶ τῶν κτισμάτων ἁπάντων τῶν ὁρωμένων τιμιώτεροι, οὗτοι εἰς τοσαύτην ἀλογίαν κατηνέχθησαν, ὡς κύνας καὶ πιθήκους καὶ κροκοδείλους καὶ τὰ ἀτιμότερα τούτων προσκυνεῖν. καὶ τί λέγω ζῶα ἄλογα; πολλοὶ τούτων εἰς τοσαύτην ἄνοιαν καὶ ἀναισθησίαν ἐξέπεσον, ὡς καὶ κρόμμυα, καὶ τὰ τούτων

των εὐτελέστερα στέρξῃ. διὰ τοῦτο ὁ προφήτης τούτους αἰνιττόμενος ἔλεγε, Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· ὁ λόγῳ, φησί, τετιμημένος καὶ τοσαύτης σοφίας ἀξιωθείς, τῶν ἀλόγων γέγονεν ὅμοιος, τάχα δὲ καὶ χείρων. ἐκεῖνα μὲν γὰρ, ἅτε ἄλογα ὄντα, οὐδὲ εὐθύνας ὑφέξει· ὁ δὲ λόγῳ τετιμημένος, εἰς τὴν ἐκείνων ἀλογίαν μεταπεσὼν εἰκότως μεγάλας δώσει τὰς εὐθύνας, ἀγνώμων γενόμενος περὶ τὴν τοσαύτην εὐεργεσίαν. ἐντεῦθεν καὶ λίθους καὶ ξύλα λοιπὸν θεοὺς προσηγόρευσαν, καὶ ταῦτα τὰ ὁρώμενα στοιχεῖα ἐθεοποίησαν. ἅπαξ γὰρ ἐκτραπέντες τῆς εὐθείας ὁδοῦ, κατὰ κρημνῶν ὠλίσθησαν, καὶ εἰς αὐτὴν τὴν ἄβυσσον τῆς κακίας ἐξώκειλαν. Ἀλλ' ἡμεῖς μηδὲ οὕτως ἀπογνῶμεν " τῆς σωτηρίας αὐτῶν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ μετὰ πάσης προθυμίας καὶ μακροθυμίας αὐτοῖς διαλεγώμεθα, δεικνύντες καὶ τοῦ πράγματος τὴν ἀτοπίαν, καὶ τῆς βλάβης τὸ μέγεθος, καὶ μηδέποτε ἀπαγορεύωμεν αὐτῶν τὴν σωτηρίαν. εἰκὸς γὰρ αὐτοὺς πεισθήσεσθαι, τοῦ χρόνου προϊόντος, καὶ μάλιστα ἂν ἡμεῖς οὕτω πολιτευώμεθα, ὡς μηδεμίαν αὐτοῖς παρέχειν βλάβην. πολλοὶ γὰρ τούτων ἐπειδὰν ἴδωσί τινας τῶν μὲν ἡμετέρων τεταγμένων τῷ ῥήματι μὲν καὶ τῇ προσηγορίᾳ χριστιανοὺς ὀνομαζομένους, ὁμοίως δὲ ἐκείνοις ἁρπάζοντας, πλεονεκτοῦντας, βασκαίνοντας, ἐπιβουλεύοντας, δόλους ῥάπτοντας, τὰ ἄλλα ἅπαντα ἐργαζομένους, τρυφῇ καὶ ἀδηφαγίᾳ προσέχοντας, οὐκέτι οὐδὲ τὴν ἀπὸ τῶν λόγων νουθεσίαν προσίενται, νομίζοντες ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ τοὺς αὐτοὺς ἅπαντας ὑπευθύνους εἶναι. ἐννόει μοι τοίνυν, πόσων ἂν οἱ τοιοῦτοι γένοιντο κολάσεων ἄξιοι, ὅταν μὴ μόνον ἑαυτοῖς ἐπισωρεύωσι τὸ πῦρ τὸ ἄσβεστον, ἀλλὰ καὶ ἑτέροις αἴτιοι γίνωνται τοῦ τῇ πλάνῃ προσηλῶσθαι, καὶ πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν ἀποφράττειν τὰ ὦτα, καὶ μετὰ τούτου καὶ τοῖς τὴν ἀρετὴν μετιοῦσι διαβολῆς ἀφορμὴν παρέχωσι, καὶ τὸ δὴ πάντων ' χαλεπώτερον, ὅταν δι' αὐτῶν ὁ δεσπότης βλασφημεῖται. ὁρᾷς ὅση τῆς κακίας ἡ λύμη; ὁρᾷς ὡς οὐ τῇ τυχούσῃ κολάσει ὑπευθύνους ἑαυτοὺς καθιστᾶσιν οἱ τὴν κακίαν μετιόντες, ἀλλὰ καὶ σφόδρα βαρυτάτῃ, εἴγε μέλλοιεν ὑπὲρ ἁπάντων εὐθύνας ὑπέχειν, οὐ μόνον ὑπὲρ τῆς ἑαυτῶν ἀπωλείας, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῶν πεπλανημένων σκανδάλου, καὶ ὑπὲρ τῆς κατηγορίας τῶν τὴν ἀρετὴν μετιόντων, καὶ ὑπὲρ τῆς εἰς τὸν θεὸν βλασφημίας. ταῦτα δὴ πάντα ἐννοοῦντες, μὴ ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς κατὰ θεὸν πολιτείας πολλὴν ποιώμεθα τὴν φροντίδα, εἰδότες ὅτι ἐντεῦθεν μάλιστα ἢ κατακρινόμεθα, ἢ τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιούμεθα. οὕτω τοίνυν πάντα πράττωμεν, ὥστε καὶ ἡμᾶς ἀγαθῷ συνειδότι συζῆν, καὶ τοὺς ἔτι πλανωμένους διὰ τῆς ἡμετέρας κατὰ θεὸν ἀναστροφῆς ἐπὶ τὴν ἀλήθειαν χειραγωγεῖν, καὶ δι' ἡμῶν καὶ τοὺς ἄλλους ἅπαντας τοὺς μεθ' ἡμῶν τεταγμένους χρηστῆς " εὐφημίας ἀπολαύειν, καὶ πρὸ τούτων ἁπάντων δοξάζεσθαι τὸν ἡμέτερον δεσπότην, καὶ πλείονα τὴν περὶ ἡμᾶς ἐπιδείκνυσθαι κηδεμονίαν. ὅταν γὰρ εἰς ἡμᾶς ὁρῶντες οἱ ἄνθρωποι κερδαίνωσι, καὶ τὴν εἰς τὸν θεὸν εὐφημίαν ἀναφέρωσι, πλείονος καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς παρ' αὐτοῦ ῥοπῆς. τί γὰρ ἂν εἴη μακαριώτερον ἀνθρώπου, ὅταν οὕτω πολιτεύηται, ὥστε τοὺς ὁρῶντας ἐκπλήττεσθαι, καὶ λέγειν, δόξα σοι ὁ θεός, ποταποί εἰσιν οἱ χριστιανοί; πόσην ἐπιδείκνυνται φιλοσοφίαν; πῶς ὑπερορῶσι τῶν παρόντων; πῶς ἅπαντα σκιὰ αὐτοῖς καὶ ὄναρ νενόμισται, καὶ οὐδενὶ τῶν ὁρωμένων προσεστήκασιν, ἀλλὰ καθάπερ ἐν ξένῃ πολιτευόμενοι, οὕτως ἅπαντα διαπράττονται, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἐπειγόμενοι; πόσην οἴει τὰ ῥήματα ταῦτα κομίζειν τοῖς οὕτω πολιτευομένοις ἐντεῦθεν ἤδη τὴν παρὰ τοῦ θεοῦ ἀμοιβήν; καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτοὶ οἱ ταῦτα περὶ ἡμῶν ψηφιζόμενοι,

ψαλ. μη. κα.

γρ. τὴν σωτηρίαν

γρ. χαλεπώτατον

γρ. [illegible]

φιζόμενοι, ταχέως τῆς πλάνης ἀποστήσονται, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήξουσι. τοῦτο δὲ ὅσην τοῖς τοιούτοις ἐκεῖ τὴν παρρησίαν παρέξει, παντί που δῆλόν ἐστιν. Εἰδότες τοίνυν ὡς ὑπεύθυνοι καὶ τῆς ὠφελείας καὶ τῆς βλάβης τῶν πλησίον ἐσμὲν, οὕτω τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, ὡς μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις διδασκαλίας ὑπόθεσις γίνεσθαι, ἵνα καὶ ἐνταῦθα πολλὴν τὴν παρὰ τοῦ θεοῦ ῥοπὴν ἐπισπασώμεθα, καὶ ἐν τῷ μέλλοντι δαψιλῶς ἀπολαύσωμεν τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. η. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ, ΠΟΙΗΣΩΜΕΝ ΑΝθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Φέρε δὴ καὶ σήμερον, ἐπειδὴ μετὰ πολλῆς τῆς προθυμίας ἠκούσατε χθὲς τῶν παρ' ἡμῶν λεγομένων, τὰ πρόσφατον ἀναγνωσθέντα προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, πρότερον ἐκεῖνο παρακαλέσαντες ὑμᾶς μετὰ πολλῆς ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ τὰ πρότερα ἐναποτίθεσθαι ὑμῶν τῇ διανοίᾳ, ἵνα μὴ μάτην καὶ εἰκῆ τοσοῦτον πόνον ὑπομένωμεν. τὸ γὰρ σπουδαζόμενον ἡμῖν τοῦτο ἐστι, μετὰ ἀκριβείας ὑμᾶς εἰδέναι τῶν γεγραμμένων (ἐγγεγραμμένων) τὴν δύναμιν, ὥστε μὴ μόνον ὑμᾶς ταῦτα ἐπίστασθαι, ἀλλὰ καὶ ἑτέροις διδασκάλους γίνεσθαι, ἵνα δυνῆσθε, κατὰ τὸν μακάριον Παῦλον, Εἷς τὸν ἕνα οἰκοδομεῖν. (α. Θεσ. ε. ια.) ἐὰν γὰρ ὑμεῖς προκόπτητε ἐν κυρίῳ, καὶ περὶ τὴν τῶν πνευματικῶν διδασκαλίαν ἐπίδοσίν τινα ἐπιδείκνυσθε, πολλὴν καὶ ἡμῖν παρέξετε τὴν εὐφροσύνην. τοῦτο γὰρ ἡμῶν ἐστιν ἡ πᾶσα εὐημερία, καὶ ἡ μεγίστη ἑορτή. Τίς γὰρ ἡμῶν ἡ ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος, φησὶ, καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς, (α. Θεσ. β. ιθ.) καὶ ἡ ὑμετέρα κατὰ θεὸν ἐπίδοσις; ἐπεὶ καὶ τῶν διδασκάλων ἕκαστος ἐπειδὰν ἴδῃ τὸν μαθητευόμενον τῶν προτέρων διδαγμάτων τὴν μνήμην ἀκριβῶς ἐμπήξαντα τῇ διανοίᾳ, καὶ τὸν καρπὸν διὰ τῶν ἔργων ἐπιδεικνύμενον, μετὰ πλείονος τῆς προθυμίας καὶ τὴν ἑξῆς τὴν γνῶσιν αὐτῷ παρακατατίθεται. καὶ ἡμεῖς τοίνυν ὅσῳ ἂν ἴδωμεν ὑμῶν τὴν διάνοιαν διεγηγερμένην, καὶ τὸν πόθον αὐξανόμενον, καὶ τὸν λογισμὸν ἐπτερωμένον, τοσούτῳ πλέον προθυμότεροι γινόμεθα πρὸς τὸ δαψιλεστέραν ὑμῖν παρατιθέναι τὴν διδασκαλίαν. ὅσῳ γὰρ ἂν πλείονα προχέωμεν ὑμῖν τὰ νάματα ταῦτα τὰ πνευματικὰ, τοσούτῳ καὶ ἡμῖν αὔξεται τὰ τῆς ἐπιρροῆς διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, διὰ τὴν ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν. οὐδὲ γὰρ ἐστιν ἐνταῦθα συμβῆναι, ὅπερ ἐπὶ τῶν χρημάτων γίνεσθαι εἰκός. ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν τῷ πλησίον τὸ ἀργύριον, ἠλάττωσε τὴν οἰκείαν περιουσίαν, καὶ ὅσῳ ἂν πλείονα καταβάλῃ, τοσούτῳ καὶ τὰ τῆς οὐσίας αὐτῷ μειοῦται· ἐνταῦθα δὲ ἀπ' ἐναντίας τότε μᾶλλον ἡμῖν αὔξεται τὰ τῆς περιουσίας, τότε πλέον ἐπιδίδωσι τὰ [τῆς ἐπιῤῥοῆς, καὶ] τοῦ πλούτου τούτου πνευματικοῦ, ὅταν μετὰ δαψιλείας προχέωμεν τὰ τῆς διδασκαλίας τοῖς ἀρύεσθαι βουλομένοις. ἐπεὶ οὖν καὶ ἡμῖν τοῦτο πλείονος πλούτου καὶ περιουσίας ὑπόθεσις γίνεται, καὶ ὑμεῖς ἀκορέστως ἔχετε περὶ τὴν πνευματικὴν ταύτην τροφὴν, φέρε ἴδωμεν τί καὶ σήμερον ὁ μακάριος Μωϋσῆς διδάσκει ἡμᾶς διὰ τῶν ἀναγνωσθέντων, μᾶλλον δὲ τί ἡ τοῦ πνεύματος χάρις διὰ τῆς τούτου γλώττης πᾶσιν ἡμῖν διαλέγεται.

26 Καὶ εἶπε, φησιν, ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.

Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα· ἀλλὰ διερευνησώμεθα ἑκάστην λέξιν, καὶ πρὸς τὸ βάθος κατελθόντες ἀνιχνεύσωμεν τὴν ἐγκεκρυμμένην δύναμιν τοῖς βραχέσι τούτοις ῥήμασιν. Εἰ γὰρ καὶ ὀλίγα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκεκρυμμένος θησαυρὸς, καὶ προσήκει τοὺς νήφοντας καὶ ἐγρηγορότας μὴ μέχρι τῆς ἐπιφανείας ἵστασθαι· ἐπεὶ καὶ οἱ τὸν αἰσθητὸν τοῦτον θησαυρὸν ἀνορύττειν ἐπιχειροῦντες, οὐκ ἐξ ἐπιπολῆς μόνον διασκάπτουσιν, οὐδὲ τὴν ἐπιφάνειαν διερευνῶνται, ἀλλ' ἐπειδὰν πολὺ βάθος κατέλθωσι, τότε τοὺς κόλπους τῆς γῆς ἀνιχνεύουσι, καὶ οὕτω διὰ τῆς οἰκείας ἐπιστήμης χωρίζουσι τῆς γῆς τὸ χρυσίον, καὶ μετὰ τὸν πολὺν πόνον καὶ ἱδρῶτα πολλάκις ὀλίγα ψήγματα μόλις εὑρεῖν ἠδυνήθησαν. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν· ἀλλὰ καὶ ὁ πόνος ἐλάττων, καὶ ἡ περιουσία ἄφατος. Τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά. Μὴ τοίνυν γενώμεθα χείρους τῶν περὶ τὰ αἰσθητὰ ἐπτοημένων, ἀλλὰ διερευνησώμεθα καὶ ὑμεῖς τὸν θησαυρὸν τοῦτον τὸν πνευματικὸν, τὸν τοῖς ῥήμασι τούτοις ἐναποκείμενον. Καὶ πρῶτον ἴδωμεν τί τὸ καινὸν καὶ παράδοξον τῶν εἰρημένων, καὶ τίνος ἕνεκεν τοσαύτῃ τῇ ἐναλλαγῇ τῶν ῥημάτων ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης, μᾶλλον δὲ ὁ φιλάνθρωπος θεὸς διὰ τοῦ προφήτου φθεγγόμενος. Καὶ φησι, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. Πρώην μὲν γὰρ ἠκούομεν αὐτοῦ λέγοντος, μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ πάλιν, συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, καὶ γενηθήτωσαν φωστῆρες, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν. Εἶδες λόγῳ'' μόνον καὶ προστάγματι πᾶσαν τὴν κτίσιν δημιουργουμένην ἐν ταῖς πέντε ἡμέ- γρ. μόνῳ
ραις; σκόπει σήμερον, πόση τῶν ῥημάτων ἡ διαφορά. Οὐκ ἔτι γάρ φησι, γενηθήτω ἄνθρωπος· ἀλλὰ τί; ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Τί τὸ καινόν; τί τὸ ξένον; τίς ἄρα οὗτός ἐστιν ὁ δημιουργούμενος, ὅτι τοσαύτης βουλῆς καὶ σκέψεως ἐδέησε τῷ δημιουργῷ πρὸς τὴν τούτου κατασκευήν; Μὴ ξενισθῇς, ἀγαπητέ. Τὸ γὰρ τιμιώτερον ἁπάντων τῶν ὁρωμένων ζῶόν ἐστιν ὁ ἄνθρωπος· δι' ὃν καὶ ταῦτα ἅπαντα παρήχθη, οὐρανὸς, γῆ, θάλαττα, ἥλιος, σελήνη, ἀστέρες, τὰ ἑρπετὰ, τὰ'' νη- γρ. κήτη
κτὰ, πάντα τὰ ἄλογα ζῶα. Καὶ τίνος ἕνεκεν, φησὶν, εἰ τούτων [ἁπάντων] τιμιώτερον τυγχάνει, ὕστερον παρήχθη; Εἰκότως. Καθάπερ γὰρ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν, τοὺς δορυφόρους ἀνάγκη προηγεῖσθαι, καὶ τοὺς ἄλλους ἅπαντας, ἵνα εὐτρεπισμένων τῶν βασιλείων, οὕτως ὁ βασιλεὺς εἰς τὰ βασίλεια παραγίνηται· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, καθάπερ βασιλέα τινὰ καὶ ἄρχοντα μέλλων ἐφιστᾶν πᾶσι τοῖς ἐπὶ τῆς γῆς, πᾶσαν ταύτην τὴν διακόσμησιν πρότερον ἐτεκτήνατο, καὶ τότε τὸν μέλλοντα ἐφίστασθαι παρήγαγε· δεικνὺς ἡμῖν δι' αὐτῶν τῶν πραγμάτων, ὅσου τιμᾶται τουτὶ τὸ ζῶον. Ἀλλ' ἐρώμεθα τὸν Ἰουδαῖον, καὶ ἴδωμεν τί φησι. Πρὸς τίνα εἴρηται, τὸ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν; Μωϋσέως γάρ ἐστι τὰ γράμματα, ᾧ λέγουσι
Ἰωα. μϛ. μὲν πιστεύειν, οὐ πιστεύουσι δὲ, καθὼς καὶ ὁ Χριστός φησιν, Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί. Ἀλλὰ τὰ μὲν γράμματα παρ' αὐτοῖς, τὰ δὲ νοήματα παρ' ἡμῖν. Πρὸς τίνα οὖν εἴρηται, τὸ, ποιήσωμεν ἄνθρωπον, καὶ τίνι τὴν βουλὴν ταύτην'' προστίθησιν ὁ δεσπότης; γρ. [illegible]
Οὐκ ἐπειδὴ βουλῆς δεῖται καὶ σκέψεως (μὴ γένοιτο) ἀλλὰ τῷ προσχήματι τῶν ῥημάτων ἐνδείξασθαι ἡμῖν βούλεται τὴν ὑπερβάλλουσαν τιμὴν, ἣν περὶ τὸν ἄνθρωπον τὸν

δημιουργούμενον ἐπιδείκνυται. τί οὖν φασιν οὗτοι, Οἱ τὸ κάλυμμα ἔτι ἔχοντες ἐπικείμενον ἐν ταῖς καρδίαις αὐτῶν, καὶ μηδὲν τῶν ἐγκειμένων συνιέναι βουλόμενοι; πρὸς ἀγγέλους, φησί, ταῦτα λέγει, ἢ ἀρχαγγέλους. ὢ τῆς ἀνοίας· ὢ τῆς πολλῆς ἀναισχυντίας· καὶ πῶς ἂν ἔχοι λόγον, ὦ ἄνθρωπε, ἀγγέλους κοινωνεῖν γνώμης τῷ δεσπότῃ, τὰ δημιουργήματα τῷ δημιουργῷ; ἀγγέλων οὐκ ἔστι τὸ γνώμης κοινωνεῖν, ἀλλὰ [τὸ] παρεστάναι, καὶ τὴν λειτουργίαν ἀποπληροῦν. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ μεγαλοφωνοτάτου Ἠσαΐου λέγοντος περὶ τῶν ἀνωτέρω τῶν ἀγγέλων δυνάμεων, Ὅτι εἶδον τὰ χερουβεὶμ ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ, καὶ τὰ σεραφεὶμ, καὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν ἐν ταῖς πτέρυξι, καὶ τοὺς πόδας, διὰ τὸ μὴ φέρειν δηλονότι τὴν ἐκεῖθεν ἐκπηδῶσαν ἀστραπήν· ἀλλ' εἱστήκεισαν μετὰ πολλοῦ τοῦ φόβου καὶ τρόμου. καὶ γὰρ τῶν δημιουργημάτων ἴδιον τὸ παρεστάναι τῷ δεσπότῃ. ἀλλ' οὗτοι μηδὲν τῶν ἐγκειμένων συνιέντες, ἁπλῶς τὸ ἐπιὸν φθέγγονται. διόπερ προσήκει τὴν ἐκείνων ληρωδίαν παρωσαμένους, διδάξαι τῆς ἐκκλησίας τὰ τέκνα τὴν ἀλήθειαν τῶν εἰρημένων. τίς οὖν ἐστιν οὗτος, πρὸς ὅν φησι, ποιήσωμεν ἄνθρωπον; τίς δὲ ἄλλος, ἀλλ' ἢ Ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς τοῦ θεοῦ παῖς, ὁ τῷ πατρὶ ὅμοιος κατὰ τὴν οὐσίαν, δι' οὗ τὰ πάντα παρήχθη· τούτῳ φησί, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἐνταῦθα καὶ τοῖς τὰ Ἀρείου φρονοῦσι καιρίαν δίδωσι τὴν πληγήν. οὐδὲ γὰρ προστακτικῶς εἶπε, ποίησον, ὡς ὑποδεεστέρῳ, ἢ ὡς ἐλάττονι κατὰ τὴν οὐσίαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἰσοτιμίας, ποιήσωμεν· καὶ τὸ ἑξῆς δὲ πολλὴν δείκνυσιν ἡμῖν τῆς οὐσίας τὴν ὁμοιότητα. ποιήσωμεν γάρ, φησιν, ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἀλλ' ἐνταῦθα πάλιν ἐπιφύονται ἕτεροι αἱρετικοὶ λυμαινόμενοι τῆς ἐκκλησίας τὰ δόγματα, καί φασιν, ἰδοὺ, εἶπε κατ' εἰκόνα ἡμετέραν· καὶ ἐντεῦθεν βούλονται ἀνθρωπόμορφον λέγειν τὸ θεῖον, ὅπερ ἐσχάτης ἂν εἴη παραπληξίας, τὸν ἀσχημάτιστον καὶ ἀνείδεον καὶ ἀναλλοίωτον εἰς μορφὴν ἀνθρωπίνην κατάγειν, καὶ σχήματα καὶ μέλη περιτιθέναι τῷ ἀσωμάτῳ. τί ταύτης τῆς μανίας ἴσον γένοιτ' ἄν, ὅταν μὴ μόνον κερδαίνειν μὴ βούλωνται ἀπὸ τῆς τῶν θεοπνεύστων γραφῶν διδασκαλίας, ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν βλάπτονται; τοιοῦτον γὰρ οἱ νοσοῦντες καὶ οἱ τὰς ὄψεις ταύτας τὰς σωματικὰς ἀσθενῶς διακείμενοι. καθάπερ γὰρ οὗτοι καὶ πρὸς τὸ ἡλιακὸν φῶς ἀπεχθάνονται διὰ τὴν τῆς ὄψεως ἀσθένειαν, καὶ οἱ νοσοῦντες καὶ τὰ ὑγιεινότερα τῶν σιτίων ἀποστρέφονται· οὕτω δὴ καὶ οὗτοι νοσοῦντες τὴν ψυχὴν καὶ τὸ τῆς διανοίας ὄμμα πεπηρωμένοι, πρὸς τὸ φῶς τῆς ἀληθείας ἐνατενίσαι οὐκ ἰσχύουσι. διὸ τὰ παρ' ἡμῶν αὐτῶν πληρώσωμεν, καὶ χεῖρα αὐτοῖς ὀρέξωμεν μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτοὺς διαλεγόμενοι. καὶ γὰρ ὁ μακάριος Παῦλος οὕτω παρῄνεσε, λέγων, Ἐν πρᾳότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ θεός, φησι, μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. ὁρᾷς πῶς ἐνέφηνε διὰ τῶν ῥημάτων, ὅτι καθάπερ ὑπὸ μέθης τινός εἰσι κατακεχωσμένοι; τὸ γὰρ εἰπεῖν, ἀνανήψωσιν, ἔδειξε κάτω που βεβαπτισμένους αὐτούς. καὶ πάλιν ἐζωγρημένοι, φησίν, ὑπὸ τοῦ διαβόλου· μονονουχὶ λέγων, καθάπερ ἐν δικτύοις εἰσὶν ἀπειλημμένοι, καὶ δεῖ πολλῆς ἡμῖν τῆς ἐπιεικείας καὶ τῆς μακροθυμίας, ὥστε δυνηθῆναι αὐτοὺς ἐξαρπάσαι καὶ ἐξαγαγεῖν ἐκ τῶν παγίδων τοῦ διαβόλου. εἴπωμεν τοίνυν πρὸς αὐτούς, ἀνανήψατε μικρόν, διαβλέψατε πρὸς τὸ φῶς τῆς δικαιοσύνης, ἐννοήσατε τῶν ῥημάτων τὴν ἀκρίβειαν. οὐδὲ γὰρ εἰπών, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν,

β. Κορ. γ. ιγ.

Ησ. ϛ. β.

Ησ. θ. ϛ.

β. Τιμ. β. κε.

ωσιν, μέχρι τούτου ἔστη, ἀλλὰ διὰ τῆς ἐπαγωγῆς δῆλον ἡμῖν ἐποίησε, κατὰ ποῖον λογισμὸν τὸ ὄνομα τῆς εἰκόνος ἔλαβε. τί γάρ φησι;

Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Κατὰ τὴν τῆς ἀρχῆς οὖν εἰκόνα φησίν, οὐ καθ᾽ ἕτερόν τι. καὶ γὰρ πάντων τῶν ἐπὶ τῆς γῆς ἄρχοντα τὸν ἄνθρωπον ἐδημιούργησεν ὁ θεός, καὶ οὐδὲν τῶν ἐπὶ τῆς γῆς ἐστι τούτου μεῖζον, ἀλλὰ πάντα ὑπὸ τὴν ἐξουσίαν τὴν τούτου τυγχάνει. Εἰ δὲ ἔτι καὶ μετὰ τὴν τοσαύτην τῶν εἰρημένων ἀκρίβειαν, φιλονεικοῦντες λέγοιεν κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἰρῆσθαι, ἐροῦμεν πρὸς αὐτούς, οὐκοῦν οὐ μόνον ὁ ἀνήρ, ἀλλὰ καὶ ἡ γυνὴ δηλονότι. τὴν αὐτὴν γὰρ μορφὴν ἑκάτεροι ἔχουσιν. ἀλλ᾽ οὐκ ἂν ἔχοι τοῦτο λόγον. ἀκούετε γὰρ α. Κορ. ια. ζ. Παύλου λέγοντος, Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· ἡ γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. ὁ μὲν γάρ, ἄρχει, ἡ δέ, ὑποτέτακται, Γε. γ. ιϛ. καθὼς καὶ ὁ θεὸς ἐξ ἀρχῆς πρὸς αὐτήν φησι, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπειδὴ γὰρ κατὰ τὸν τῆς ἀρχῆς λόγον τὸ τῆς εἰκόνος παρείληφε, καὶ οὐ κατὰ τὴν μορφήν, καὶ ὁ μὲν ἀνὴρ ἄρχει πάντων, ἡ δὲ γυνὴ ὑποτέτακται· διὰ τοῦτό φησι περὶ τοῦ ἀνδρὸς ὁ Παῦλος, ὅτι εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχει, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν. Εἰ δὲ περὶ μορφῆς ἔλεγεν, οὐκ ἂν διεῖλεν. ὁ γὰρ αὐτὸς τύπος καὶ ἀνδρὸς καὶ γυναικός. Εἶδες τῆς ἀληθείας τὴν περιουσίαν, πῶς οὐδεμίαν καταλιμπάνει ἀπολογίας πρόφασιν τοῖς μάτην ἀναισχυντεῖν βουλομένοις; ἀλλ᾽ ὅμως καὶ τούτων οὕτως ἐχόντων μὴ παυσώμεθα πολλῇ τῇ μακροθυμίᾳ πρὸς αὐτοὺς κεχρημένοι, μήποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας. Μὴ τοίνυν ναρκήσωμεν πολλὴν τὴν ἐπιείκειαν ἐπιδεικνύμενοι, εἴπως δυνηθείημεν αὐτοὺς ἐξαρπάσαι τῆς τοῦ διαβόλου ἀπάτης, καὶ εἰ δοκεῖ πάλιν ἐπιστήσωμεν αὐτοῖς τὸν μακάριον Παῦλον οὕτω λέγοντα Πραξ. ιζ. κθ. πρὸς τοὺς τὰς Ἀθήνας οἰκοῦντας, Οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ ἢ χαράγματι τέχνης ἢ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. εἶδες τὸν σοφὸν διδάσκαλον, μεθ᾽ ὅσης ἀκριβείας πᾶσαν αὐτῶν ἐξέκοψε τὴν ἀπάτην; οὐ μόνον γὰρ τύπου σωματικοῦ ἔφησεν ἀπηλλάχθαι τὸ θεῖον, ἀλλὰ μηδὲ ἐνθύμησιν ἀνθρώπου δυνατὴν εἶναι ἀναπλάσαι τι τοιοῦτον. Ταῦτα πρὸς αὐτοὺς συνεχῶς διαλεγόμενοι μὴ παύσησθε, τὰ παρ᾽ ἑαυτῶν εἰσφέροντες, [ἂν ἄρα ἐνδῶσιν,] ἂν ἄρα βουληθῶσι διαβλέψαι πρὸς τὴν ἀλήθειαν. Καὶ ἐκείνοις μὲν μετὰ πολλῆς ἐπιεικείας καὶ τῆς ἀσφαλείας διαλεγόμενοι μὴ παύσησθε· αὐτοὶ δέ, παρακαλῶ, μετὰ ἀκριβείας τὰ δόγματα τῆς ἐκκλησίας κατέχετε, μὴ συγχέοντες τῶν εἰρημένων τὴν ἀκολουθίαν, ἀλλὰ πρὸς μὲν Ἰουδαίους καταλλήλως διαλεγόμενοι, καὶ δεικνῦντες, ὅτι οὐ πρός τινα τῶν λειτουργικῶν δυνάμεων ταῦτα τὰ εἰρημένα, ἀλλὰ πρὸς τὸν αὐτὸν μονογενῆ τοῦ θεοῦ υἱόν, πρὸς δὲ τοὺς τὰ Ἀρείου φρονοῦντας πάλιν ἐντεῦθεν τὴν ὁμοτιμίαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἀποδεικνῦντες, καὶ πρὸς τοὺς ἀνθρωπόμορφον τὸ θεῖον εἶναι φανταζομένους τὰ παρὰ τοῦ μακαρίου Παύλου εἰρημένα εἰς μέσον παραγαγόντες, ἀνατρέπετε μὲν τὰ ζιζανίων δίκην ἐπιφυόμενα ὀλέθρια νοσήματα τοῖς τῆς ἐκκλησίας δόγμασι· σπουδάζετε δὲ κρατύνειν ἐν ἑαυτοῖς τὰ εὐσεβῆ διδάγματα. βούλομαι γὰρ καὶ εὔχομαι πάντας ὑμᾶς διδασκάλων τάξιν ἐπέχειν, καὶ μὴ μόνον ἀκροατὰς εἶναι τῶν παρ᾽ ἡμῶν λεγομένων, ἀλλὰ καὶ ἑτέρους διαπορθμεύειν, καὶ σαγηνεύειν τοὺς ἔτι πλανωμένους πρὸς τὴν τῆς ἀληθείας α. Θεσ. ε. ια. ὁδόν, καθάπερ καὶ Παῦλός φησιν, Εἷς τὸν ἕνα οἰκοδομεῖτε· καὶ μετὰ φόβου καὶ τρόμου τὴν Φιλ. β. ιβ. ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. οὕτως ἡμῖν καὶ ἡ ἐκκλησία [τοῦ θεοῦ] εἰς πλῆθος ἐπιδώσει, καὶ ὑμεῖς πλείονος ἀπολαύσεσθε τῆς ἄνωθεν ῥοπῆς, πολλὴν τῶν ὑμετέρων μελῶν τὴν φροντίδα ποιούμενοι. οὐδὲ γὰρ ἑαυτῷ μόνον ἀρκεῖν ὁ θεὸς βούλεται τὸν χριστιανόν, ἀλλὰ καὶ ἑτέρους οἰκοδομεῖν, οὐ διὰ τῆς διδασκαλίας μόνον, ἀλλὰ καὶ διὰ τοῦ βίου καὶ *τῆς ἀναστροφῆς. οὐδὲν γὰρ οὕτως ἐνάγει πρὸς τὴν τῆς ἀληθείας ὁδόν, ὡς πολιτείας ἀκρίβεια. οὐδὲ γὰρ τοῖς παρ' ἡμῶν λεγομένοις οὕτω προσέχουσιν, ὡς τοῖς ὑφ' ἡμῶν πραττομένοις. καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἔχει, κἂν μυριάκις φιλοσοφῶμεν τοῖς λόγοις καὶ περὶ ἀνεξικακίας διαλεγώμεθα, καιροῦ δὲ παραπεσόντος μὴ διὰ τῶν ἔργων ταύτην ἐπιδειξώμεθα, οὐ τοσοῦτον ὁ λόγος ὠφέλησεν, ὅσον ἡ πρᾶξις ἔβλαψεν. ″ἂν δὲ καὶ πρὸ τῶν λόγων καὶ μετὰ τοὺς λόγους τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ποιώμεθα, ἀξιόπιστοι ἐσόμεθα ἐκεῖνα παραινοῦντες, ἃ καὶ διὰ τῶν ἔργων πληροῦμεν. ἐπεὶ καὶ ὁ Χριστὸς τούτους ἐμακάρισε λέγων, Μακάριος ὁ ποιήσας καὶ διδάξας. σκόπει πῶς πρότερον τὴν ποίησιν ἔθηκε, καὶ τότε τὴν διδασκαλίαν. τῆς πράξεως γὰρ προηγουμένης, κἂν μὴ ἕπηται ἡ διδασκαλία, ἀρκεῖ τὰ ἔργα φωνῆς λαμπρότερον διδάξαι τοὺς εἰς ἡμᾶς ὁρῶντας.

Ματθ. ε. ιθ.

ΗΘΙΚΟΝ

Τοῦτο οὖν πανταχοῦ σκοπῶμεν πρότερον τοῖς ἔργοις διδάσκειν, καὶ τότε τοῖς λόγοις· ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ Παύλου, Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; καὶ ὅταν βουλώμεθά τινι παραινέσαι ὥστε κατορθῶσαί τι τῶν ἀναγκαίων, πρότερον αὐτοὶ σπουδάζωμεν τοῦτο κατορθοῦν, ἵνα μετὰ πλείονος τῆς παρρησίας τὴν διδασκαλίαν ποιώμεθα, καὶ πᾶσα ἡμῶν ἡ φροντὶς ἔστω περὶ τῆς κατὰ ψυχὴν σωτηρίας, καὶ ὅπως δυνηθείημεν τὰ σκιρτήματα τῆς σαρκὸς χαλινώσαντες τὴν ἀληθῆ νηστείαν ἐπιδείξασθαι, λέγω δὴ τὴν τῶν κακῶν ἀποχήν. τοῦτο γὰρ νηστεία. καὶ γὰρ ἡ τῶν βρωμάτων ἀποχὴ διὰ τοῦτο παρείληπται, ἵνα τὸν τόνον τῆς σαρκὸς χαλινώσῃ, καὶ εὐήνιον ἡμῖν τὸν ἵππον ἐργάσηται. τὸν νηστεύοντα μάλιστα πάντων προσήκει τὸν θυμὸν χαλινοῦν, πρᾳότητα ″πεπαιδεῦσθαι καὶ ἐπιείκειαν, συντετριμμένην ἔχειν τὴν καρδίαν, τῶν ἐπιθυμιῶν τῶν ἀτόπων ἐξορίζειν τὰς ἐνθυμήσεις, πρὸ ὀφθαλμῶν λαμβάνοντα τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμόν, καὶ τὸ κριτήριον τὸ ἀδέκαστον, χρημάτων κρείττονα γίνεσθαι, περὶ τὴν ἐλεημοσύνην πολλὴν τὴν δαψίλειαν ἐπιδείκνυσθαι, πᾶσαν κακίαν τὴν περὶ τὸν πλησίον ἐκ τῆς ψυχῆς ἀπελαύνειν. αὕτη ἀληθὴς ἡ νηστεία, καθάπερ καὶ Ἡσαΐας φησὶν ἐκ προσώπου τοῦ θεοῦ φθεγγόμενος, Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει κύριος, οὐδ' ἂν κάμψῃς, ὡς ″κλοιόν, τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ· οὐδ' οὕτω καλέσητε νηστείαν δεκτήν, λέγει κύριος. ἀλλὰ ποίαν εἰπέ· λύε, φησί, στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· καὶ ἐὰν ταῦτα πράξῃς, φησί, τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. Εἶδες, ἀγαπητέ, ποία ἐστὶν ἡ ἀληθὴς νηστεία. ταύτην ἀσκήσωμεν, καὶ μὴ ἁπλῶς, κατὰ τοὺς πολλούς, νομίζωμεν ἐν τούτῳ τὰ τῆς νηστείας ἡμῖν περιωρίσθαι, ἐὰν μέχρι τῆς ἑσπέρας ἄσιτοι διαμείνωμεν. οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ' ἵνα μετὰ τῆς τῶν βρωμάτων ἀποχῆς καὶ τὴν ἀποχὴν τῶν βλαπτόντων ἐπιδειξώμεθα, καὶ περὶ τὴν τῶν πνευματικῶν ἐργασίαν πολλὴν σπουδὴν ποιησώμεθα· τὸν νηστεύοντα κατεσταλμένον εἶναι χρή, ἥσυχον, ἥμερον, ταπεινόν, ὑπερορῶντα τῆς δόξης τοῦ παρόντος βίου. ὥσπερ γὰρ τῆς ″τρυφῆς ὑπερεῖδεν, οὕτω προσήκει καὶ τῆς κενῆς δόξης ὑπεριδεῖν, καὶ πρὸς ἐκεῖνον μόνον ὁρᾶν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ μετὰ πολλῆς ἀκριβείας τὰς εὐχὰς καὶ τὰς ἐξομολογήσεις ποιεῖσθαι πρὸς τὸν θεόν, καὶ κατὰ δύναμιν τὴν διὰ τῆς ἐλεημοσύνης βοήθειαν ἑαυτῷ παρέχειν. αὕτη γάρ, αὕτη μάλιστα ἡ ἐντολὴ ἀφανίσαι δύναται ἡμῖν πάντα τὰ ἁμαρτήματα, καὶ τοῦ πυρὸς τῆς γεέννης ἐξαρπάσαι.

Ῥω. β. κα.

Ἡσ. νη. ε.

Ψαλ. ζ. ι.

κεφ. α.

πάσαι, μόνον ἐὰν μετὰ δαψιλείας αὐτὴν ἐπιδειξώμεθα, καὶ μὴ πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων τοῦτο ποιῶμεν. καὶ τί λέγω μὴ πρὸς ἐπίδειξιν; εἰ γὰρ ἦμεν εὐγνώμονες, καὶ δι' αὐτὸ μόνον τὸ καλὸν, καὶ τὸ περὶ τοὺς ὁμογενεῖς συμπαθὲς ταύτην ἐπιδείκνυσθαι ἐχρῆν, οὐ διὰ τοὺς ἐπηγγελμένους μισθοὺς παρὰ τοῦ δεσπότου. ἀλλ' ἐπειδὴ οὐδὲν ὑψηλὸν φαντασθῆναι δυνάμεθα, κἂν διὰ τοῦτο αὐτὴν μετερχώμεθα, μηδαμοῦ τὴν παρὰ τῶν ἀνθρώπων θηρώμενοι δόξαν, ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομένωμεν, καὶ τοῦ μισθοῦ ἀποστερηθῶμεν. καὶ τοῦτο μὴ μόνον ἐπὶ τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἐφ' ἑκάστῳ κατορθώματι πνευματικῷ σκοπῶμεν, καὶ μηδὲν πρὸς τὴν τῶν ἀνθρώπων εὐφημίαν ἀφορῶντες ποιήσωμεν. ἐπεὶ οὐδὲν ἡμῖν ὄφελος ἔσται, οὔτε ἐὰν νηστεύωμεν, οὔτε ἐὰν εὐχώμεθα, οὔτε ἐὰν ἐλεῶμεν, οὔτε ὅταν ἄλλο ἕτερόν τι ποιῶμεν, ἂν μὴ δι' ἐκεῖνον μόνον γένηται τὸν εἰδότα καὶ τὰ λανθάνοντα καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ἐναποκείμενα. εἰ γὰρ παρ' ἐκείνου τὰς ἀμοιβὰς ἀναμένεις, ἄνθρωπε, τίνος ἕνεκεν παρὰ τοῦ ὁμογενοῦς βούλει ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι; καὶ τί λέγω ἐπαινεῖσθαι; πολλάκις οὗτος οὐ μόνον οὐκ ἐπαινεῖ, ἀλλὰ καὶ μᾶλλον βασκαίνει. εἰσὶ γὰρ πολλοὶ οὕτω μοχθηρῶς διακείμενοι, ὅτι καὶ τὰ καλῶς ὑφ' ἡμῶν γινόμενα εἰς τὸ ἐναντίον περιτρέπουσι. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὴν διεφθαρμένην τούτων κρίσιν περὶ πολλοῦ ποιῇ; τὸν γὰρ ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν οὐδέν ἐστιν, ὃ λανθάνει, τῶν παρ' ἡμῶν γινομένων. καὶ δεῖ τοῦτο ἐννοοῦντας μετὰ τοσαύτης ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὡς μετ' οὐ πολὺ μέλλοντας καὶ ῥημάτων καὶ πράξεων καὶ αὐτῶν τῶν ἐνθυμημάτων εὐθύνας ὑπέχειν. μὴ τοίνυν καταφρονῶμεν τῆς ἑαυτῶν σωτηρίας. οὐδὲν γὰρ ἀρετῆς ἴσον, ἀγαπητέ. αὕτη γὰρ ἡμᾶς καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γεέννης ἐξαρπάζει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἡμῖν τὴν ἀπόλαυσιν χαρίζεται, καὶ ἐν τῷ παρόντι βίῳ πάντων ἀνωτέρους καθίστησι τῶν μάτην καὶ εἰκῇ ἐπιβουλεύειν ἐπιχειρούντων· καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων, καὶ τοῦ ἐχθροῦ τῆς σωτηρίας τῆς ἡμετέρας, τοῦ διαβόλου λέγω, ἰσχυροτέρους ἀπεργάζεται. τί οὖν ἂν εἴη ταύτης ἴσον, ὅταν μὴ μόνον τῶν ἀνθρώπων τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ τῶν δαιμόνων ἀνωτέρους ποιῇ τοὺς αὐτὴν μετιόντας; ἀρετὴ δέ ἐστι τὸ πάντων τῶν ἀνθρωπίνων ὑπερορᾶν, τὸ τὰ μέλλοντα ἐφ' ἑκάστης ὥρας φαντάζεσθαι, τὸ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, ἀλλ' εἰδέναι ὅτι πάντα τὰ ἀνθρώπινα σκιά ἐστι καὶ ὄναρ, καὶ εἴ τι τούτων εὐτελέστερον· ἀρετή ἐστι τὸ καθάπερ νεκρὸν οὕτω διακεῖσθαι πρὸς τὰ τοῦ βίου τούτου πράγματα, καὶ πρὸς μὲν τὰ λυμαινόμενα τὴν τῆς ψυχῆς σωτηρίαν ὡσανεὶ νεκρὸν ὄντα οὕτως εἶναι ἀνενέργητον, πρὸς δὲ τὰ πνευματικὰ μόνον ζῆν καὶ ἐνεργεῖν· καθάπερ καὶ Παῦλος ἔλεγε, Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. καὶ ἡμεῖς τοίνυν, ἀγαπητοὶ, ὡς τὸν Χριστὸν ἐνδεδυμένοι, οὕτως ἅπαντα πράττωμεν, καὶ μὴ λυπῶμεν τὸ πνεῦμα τὸ ἅγιον. ὅταν οὖν ἐνοχληθῶμεν ὑπὸ πάθους, ἢ ἐπιθυμίας ἀτόπου, ἢ ὀργῆς, ἢ θυμοῦ, ἢ βασκανίας, ἐννοῶμεν τὸν ἐν ἡμῖν ἐνοικοῦντα, καὶ φυγαδεύωμεν πόρρω πᾶσαν τὴν τοιαύτην ἐνθύμησιν, αἰδεσθῶμεν τῆς παρὰ τοῦ θεοῦ παρασχεθείσης ἡμῖν χάριτος τὴν ὑπερβολὴν, καὶ χαλινώσωμεν πάντα τῆς σαρκὸς τὰ πάθη, ἵνα νομίμως ἀθλήσαντες ἐν τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ βίῳ, τῶν μεγάλων ἐκείνων στεφάνων ἀξιωθῶμεν ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ, τῇ φοβερᾷ μὲν ἡμῖν τοῖς ἁμαρτωλοῖς, ποθεινῇ δὲ τοῖς τὴν ἀρετὴν ἐνδεδυμένοις, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀγαθὸν

Γαλ. β. κ.

Λογ. θ. ΕΙΣ ΤΑ ΑΚΟΛΟΥΘΑ ΤΟΥ, ΠΟΙΗΣΩΜΕΝ ΑΝθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ πρὸς τοὺς λέγοντας διατί τὰ θηρία ἐδημιουργήθη, καὶ τί τὸ χρήσιμον ἀπὸ τοῦ παραχθῆναι, καὶ ὅτι καὶ τοῦτο μάλιστα δείκνυσι καὶ τὴν τιμὴν τὴν εἰς τὸν ἄνθρωπον, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν.

Οἱ φιλόπονοι τῶν γηπόνων ἐπειδὰν ἴδωσι λιπαρὰν καὶ βαθύγειον τὴν ἄρουραν, δαψιλῆ τὰ σπέρματα καταβάλλοντες, πολλὴν καὶ συνεχῆ τὴν ἐπιμέλειαν ποιοῦνται, καθ᾽ ἑκάστην ἡμέραν περισκοποῦντες, μήπου τι τῶν λυμαίνεσθαι δυναμένων τοῖς σπέρμασιν ἀνόνητον αὐτοῖς τὸν προλαβόντα καταστῆσαι πόνον· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὸν πόθον τὸν πνευματικὸν καὶ τὴν πολλὴν φιληκοΐαν, καθ᾽ ἑκάστην ἡμέραν τὰ ἀπὸ τῶν θείων γραφῶν νοήματα ἐνιέναι ὑμῶν τῇ διανοίᾳ σπουδάζομεν, ὑποδεικνύντες ὑμῖν καὶ τὰ βλάπτειν δυνάμενα τὸν σπόρον τοῦτον τὸν πνευματικὸν, ὥστε μὴ ἁλῶναι, μηδὲ τὴν ὑγιῆ τῶν δογμάτων διδασκαλίαν ἐπιθολῶσαι τῇ λύμῃ τῶν ἐπιχειρούντων τὰ ἐκ τῶν οἰκείων λογισμῶν ἐπεισάγειν τοῖς τῆς ἐκκλησίας δόγμασιν. ὑμέτερον δ᾽ ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακατατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα καὶ τοῖς ἑξῆς μετ᾽ εὐκολίας δυνήσθε παρακολουθεῖν. εἰ γὰρ μὴ νῦν καὶ ἡμεῖς καταβαίημεν πρὸς τὰ βαθύτερα τῶν νοημάτων, καὶ ὑμεῖς συντείνητε ὑμῶν τὴν διάνοιαν, ὅτε νηστείας καιρὸς, ὅτε κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα τῆς διανοίας τῷ πονηρῷ τῆς τρυφῆς μὴ ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα πρὸς τὸ μὴ ἀποπνίγεσθαι, πότε δυνησόμεθα τοῦτο ποιῆσαι, ὅτε τρυφὴ καὶ μέθη καὶ ἀδηφαγία καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά; ἢ οὐχ ὁρᾶτε, ὅτι καὶ οἱ τοὺς λίθους τούτους τοὺς ἀπὸ τῆς θαλάσσης εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι, καὶ τὰ κύματα ἀριθμοῦντες οὕτω τὴν εὕρεσιν ποιοῦνται, ἀλλ᾽ εἰς αὐτὸ τὸ βάθος καθιέντες ἑαυτοὺς, καὶ εἰς αὐτοὺς, ὡς εἰπεῖν, τοὺς κόλπους τῆς ἀβύσσου κατιόντες, οὕτω τῶν σπουδαζομένων ἐπιτυγχάνουσι; καίτοι τί μέγα ὄφελος εἰσενέγκοι ἂν εἰς τὸν βίον τὸν ἡμέτερον ἡ τῶν λίθων ἐκείνων εὕρεσις; εἴθε μὲν οὖν μὴ μεγάλην τὴν βλάβην, καὶ πολλὴν τὴν ζημίαν εἰσέφερεν. ἐντεῦθεν γὰρ τὰ μυρία τίκτεται κακὰ, ἀπὸ τῆς τῶν χρημάτων μανίας, καὶ τῆς περὶ ταῦτα λύσσης. ἀλλ᾽ ὅμως καὶ τοσαύτης τῆς ἐξ ἐκείνων τικτομένης βλάβης, πρὸς οὐδὲν ὀκνοῦσιν οἱ περὶ ταῦτα ἐσχολακότες, ἀλλὰ καὶ κινδύνοις ἑαυτοὺς ἐκδιδόασι, καὶ πολὺν πόνον ὑπομένουσιν, ὥστε δυνηθῆναι εὑρεῖν τὸ ζητούμενον· ἐπὶ καὶ τῶν θείων γραφῶν καὶ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων οὔτε κίνδυνόν ἐστιν ὑπιδέσθαι, * καὶ ὁ πόνος οὐ πολὺς, καὶ τὸ κέρδος ἄφατον, μόνον ἐὰν ἡμεῖς μετὰ προθυμίας τὰ παρ᾽ ἑαυτῶν εἰσφέρωμεν. ἡ γὰρ χάρις ἑτοιμός ἐστιν, ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας αὐτὴν ὑποδεχομένους. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος, ἐπειδὰν ἴδῃ ψυχὴν διεγηγερμένην καὶ πόθον ζέοντα, τὸν οἰκεῖον πλοῦτον μετὰ δαψιλείας χορηγεῖ, ὑπερβαίνων τὴν αἴτησιν τῇ οἰκείᾳ φιλοτιμίᾳ. Ταῦτα τοίνυν εἰδότες, ἀγαπητοὶ, ἐκκαθάραντες ὑμῶν τὸν λογισμὸν ἀπὸ τῶν βιωτικῶν πραγμάτων, καὶ εὐρύναντες ὑμῶν τὸ πλάτος τῆς διανοίας, μετὰ πολλῆς τῆς προθυμίας δέχεσθε τὰ παρὰ τοῦ πνεύματος χορηγούμενα· ἵνα καθάπερ γῆ λιπαρὰ καὶ γόνιμος, πολυπλασιάσητε τὰ

ἄλλο τι,

φιλανθρωπάσαι, μόνον ἐὰν μετὰ διαψιλείας αὐτὴν ἐπιδειξώμεθα, καὶ μὴ πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων τοῦτο ποιῶμεν. καὶ τί λέγω μὴ πρὸς ἐπίδειξιν; εἰ γὰρ ἦμεν εὐγνώμονες, καὶ δι' αὐτὸ μόνον τὸ καλὸν, καὶ τὸ περὶ τοὺς ὁμογενεῖς συμπαθὲς ταύτην ἐπιδείκνυσθαι ἐχρῆν, οὐ διὰ τοὺς ἐπηγγελμένους μισθοὺς παρὰ τοῦ δεσπότου. γρ. ἀγαθὸν ἀλλ' ἐπειδὴ οὐδὲν ὑψηλὸν φαντασθῆναι δυνάμεθα, κἂν διὰ τοῦτο αὐτὴν μετερχώμεθα, μηδαμοῦ τὴν παρὰ τῶν ἀνθρώπων θηρώμενοι δόξαν, ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομένωμεν, καὶ τοῦ μισθοῦ ἀποστερηθῶμεν. καὶ τοῦτο μὴ μόνον ἐπὶ τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἐφ' ἑκάστῳ κατορθώματι πνευματικῷ σκοπῶμεν, καὶ μηδὲν πρὸς τὴν τῶν ἀνθρώπων εὐφημίαν ἀφορῶντες ποιήσωμεν. ἐπεὶ οὐδὲν ἡμῖν ὄφελος ἔσται, οὔτε ἐὰν νηστεύωμεν, οὔτε ἐὰν εὐχώμεθα, οὔτε ἐὰν ἐλεῶμεν, οὔτε ὅπερ ἂν ἕτερόν τι ποιῶμεν, ἂν μὴ δι' ἐκεῖνον μόνον γένηται τὸν εἰδότα καὶ τὰ λανθάνοντα καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ἐναποκείμενα. εἰ γὰρ παρ' ἐκείνου τὰς ἀμοιβὰς ἀναμένεις, ἄνθρωπε, τίνος ἕνεκεν παρὰ τοῦ ὁμογενοῦς βούλει ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι; καὶ τί λέγω ἐπαινεῖσθαι; πολλάκις οὗτος οὐ μόνον οὐκ ἐπαινεῖ, ἀλλὰ καὶ μᾶλλον βασκαίνει. εἰσὶ γὰρ πολλοὶ οὕτω μοχθηρῶς διακείμενοι, ὅτι καὶ τὰ καλῶς ὑφ' ἡμῶν γινόμενα εἰς τὸ ἐναντίον περιτρέπουσι. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὴν διεφθαρμένην τούτων κρίσιν περὶ πολλοῦ ποιῇ; τὸν γὰρ ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν οὐδέν ἐστιν, ὃ λανθάνει, τῶν παρ' ἡμῶν γινομένων. καὶ δεῖ τοῦτο ἐννοοῦντας μετὰ τοσαύτης ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὡς μετ' οὐ πολὺ μέλλοντας καὶ ῥημάτων καὶ πράξεων καὶ αὐτῶν τῶν ἐνθυμημάτων εὐθύνας ὑπέχειν. μὴ τοίνυν καταφρονῶμεν τῆς ἑαυτῶν σωτηρίας. οὐδὲν γὰρ ἀρετῆς ἴσον, ἀγαπητέ. αὕτη γὰρ ἡμᾶς καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γεέννης ἐξαρπάζει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἡμῖν τὴν ἀπόλαυσιν χαρίζεται, καὶ ἐν τῷ παρόντι βίῳ πάντων ἀνωτέρους καθίστησι τῶν μάτην καὶ εἰκῇ ἐπιβουλεύειν ἐπιχειρούντων· καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων, καὶ τοῦ ἐχθροῦ τῆς σωτηρίας τῆς ἡμετέρας, τοῦ διαβόλου λέγω, ἰσχυροτέρους ἀπεργάζεται. τί οὖν ἂν εἴη ταύτης ἴσον, ὅταν μὴ μόνον τῶν ἀνθρώπων τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ τῶν δαιμόνων ἀνωτέρους ποιῇ τοὺς αὐτὴν μετιόντας; ἀρετὴ δέ ἐστιν τὸ πάντων τῶν ἀνθρωπίνων ὑπερορᾶν, τὸ τὰ μέλλοντα ἐφ' ἑκάστης ὥρας φαντάζεσθαι, τὸ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, ἀλλ' εἰδέναι ὅτι πάντα τὰ ἀνθρώπινα σκιά ἐστι καὶ ὄναρ, καὶ εἴ τι τούτων εὐτελέστερον· ἀρετή ἐστι τὸ καθάπερ νεκρὸν οὕτω διακεῖσθαι πρὸς τὰ τοῦ βίου τούτου πράγματα, καὶ πρὸς μὲν τὰ λυμαινόμενα τὴν τῆς ψυχῆς σωτηρίαν ὡσανεὶ νεκρὸν ὄντα οὕτως εἶναι ἀνενέργητον, πρὸς δὲ τὰ Γαλ. β. κ. πνευματικὰ μόνον ζῆν καὶ ἐνεργεῖν· καθάπερ καὶ Παῦλος ἔλεγε, Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. καὶ ἡμεῖς τοίνυν, ἀγαπητοὶ, ὡς τὸν Χριστὸν ἐνδεδυμένοι, οὕτως ἅπαντα πράττωμεν, καὶ μὴ λυπῶμεν τὸ πνεῦμα τὸ ἅγιον. ὅταν οὖν ἐνοχληθῶμεν ὑπὸ πάθους, ἢ ἐπιθυμίας ἀτόπου, ἢ ὀργῆς, ἢ θυμοῦ, ἢ βασκανίας, ἐννοῶμεν τὸν ἐν ἡμῖν ἐνοικοῦντα, καὶ φυγαδεύωμεν πόρρω πᾶσαν τὴν τοιαύτην ἐνθύμησιν, αἰδεσθῶμεν τῆς παρὰ τοῦ θεοῦ παρασχεθείσης ἡμῖν χάριτος τὴν ὑπερβολὴν, καὶ χαλινώσωμεν πάντα τῆς σαρκὸς τὰ πάθη, ἵνα νομίμως ἀθλήσαντες ἐν τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ βίῳ, τῶν μεγάλων ἐκείνων στεφάνων ἀξιωθῶμεν ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ, τῇ φοβερᾷ μὲν ἡμῖν τοῖς ἁμαρτωλοῖς, ποθεινῇ δὲ τοῖς τὴν ἀρετὴν ἐνδεδυμένοις, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. θ. ΕΙΣ ΤΑ ΑΚΟΛΟΥΘΑ ΤΟΥ, ΠΟΙΗΣΩΜΕΝ ΑΝΘΡΩΠΟΝ κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ πρὸς τοὺς λέγοντας διὰ τί τὰ θηρία ἐδημιουργήθη, καὶ τί τὸ χρήσιμον ἀπὸ τοῦ παραχθῆναι, καὶ ὅτι καὶ τοῦτο μάλιστα δείκνυσι καὶ τὴν τιμὴν τὴν εἰς τὸν ἄνθρωπον, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν.

Οἱ φιλόπονοι τῶν γηπόνων ἐπειδὰν ἴδωσι λιπαρὰν καὶ βαθύγεων τὴν ἄρουραν, δαψιλῆ τὰ σπέρματα καταβάλλοντες, πολλὴν καὶ συνεχῆ τὴν ἐπιμέλειαν ποιοῦνται, καθ' ἑκάστην ἡμέραν περισκοποῦντες, μήπου τι τῶν λυμαίνεσθαι δυναμένων τοῖς σπέρμασιν ἀνόνητον αὐτοῖς τὸν προλαβόντα καταστήσαι πόνον· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὸν πόθον τὸν πνευματικὸν καὶ τὴν πολλὴν φιληκοΐαν, καθ' ἑκάστην ἡμέραν τὰ ἀπὸ τῶν θείων γραφῶν νοήματα ἐνιέναι ὑμῶν τῇ διανοίᾳ σπουδάζομεν, ὑποδεικνῦντες ὑμῖν καὶ τὰ βλάπτειν δυνάμενα τὸν σπόρον τοῦτον τὸν πνευματικόν, ὥστε μὴ ἁλῶναι, μηδὲ τὴν ὑγιῆ τῶν δογμάτων διδασκαλίαν ἐπιθολῶσαι τῇ λύμῃ τῶν ἐπιχειρούντων τὰ ἐκ τῶν οἰκείων λογισμῶν ἐπεισάγειν τοῖς τῆς ἐκκλησίας δόγμασιν. ὑμέτερον δ' ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακατατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα καὶ τοῖς ἑξῆς μετ' εὐκολίας δυνήσθε παρακολουθεῖν. εἰ γὰρ μὴ νῦν καὶ ἡμεῖς καταβαίημεν πρὸς τὰ βαθύτερα τῶν νοημάτων, καὶ ὑμεῖς συντείνητε ὑμῶν τὴν διάνοιαν, ὅτε νηστείας καιρός, ὅτε κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα τῆς διανοίας τῷ πονηρῷ τῆς τρυφῆς μὴ ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα πρὸς τὸ μὴ ἀποπνίγεσθαι, πότε δυνησόμεθα τοῦτο ποιῆσαι, ὅτε τρυφὴ καὶ μέθη καὶ ἀδηφαγία καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά; ἢ οὐχ ὁρᾶτε, ὅτι καὶ οἱ τοὺς λίθους τούτους τοὺς ἀπὸ τῆς θαλάσσης εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι, καὶ τὰ κύματα ἀριθμοῦντες οὕτω τὴν εὕρεσιν ποιοῦνται, ἀλλ' εἰς αὐτὸ τὸ βάθος καθιέντες ἑαυτούς, καὶ εἰς αὐτούς, ὡς εἰπεῖν, τοὺς κόλπους τῆς ἀβύσσου κατιόντες, οὕτω τῶν σπουδαζομένων ἐπιτυγχάνουσι; καίτοι τί μέγα ὄφελος εἰσενέγκοι ἂν εἰς τὸν βίον τὸν ἡμέτερον ἡ τῶν λίθων ἐκείνων εὕρεσις; εἴθε μὲν οὖν μὴ μεγάλην τὴν βλάβην, καὶ πολλὴν τὴν ζημίαν εἰσέφερεν. ἐντεῦθεν γὰρ τὰ μυρία τίκτεται κακά, ἀπὸ τῆς τῶν χρημάτων μανίας, καὶ τῆς περὶ ταῦτα λύσσης. ἀλλ' ὅμως καὶ τοσαύτης ἐξ ἐκείνων τικτομένης βλάβης, πρὸς οὐδὲν ὀκνοῦσιν οἱ περὶ ταῦτα ἐσχολακότες, ἀλλὰ καὶ κινδύνοις ἑαυτοὺς ἐκδιδόασι, καὶ πολὺν πόνον ὑπομένουσιν, ὥστε δυνηθῆναι εὑρεῖν τὸ ζητούμενον· ἐπὶ καὶ τῶν θείων γραφῶν καὶ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων οὔτε κίνδυνόν ἐστιν ὑπιδέσθαι, * καὶ ὁ πόνος οὐ πολύς, καὶ τὸ κέρδος ἄφατον, μόνον ἐὰν ἡμεῖς μετὰ προθυμίας τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. ἡ γὰρ χάρις ἑτοιμός ἐστιν, ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας αὐτὴν ὑποδεχομένους. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος, ἐπειδὰν ἴδῃ ψυχὴν διεγηγερμένην καὶ πόθον ζέοντα, τὸν οἰκεῖον πλοῦτον μετὰ δαψιλείας χορηγεῖ, ὑπερβαίνων τὴν αἴτησιν τῇ οἰκείᾳ " φιλοτιμίᾳ. ταῦτα τοίνυν εἰδότες, ἀγαπητοί, ἐκκαθάραντες ὑμῶν τὸν λογισμὸν ἀπὸ τῶν βιωτικῶν πραγμάτων, καὶ εὐρύναντες ὑμῶν τὸ πλάτος τῆς διανοίας, μετὰ πολλῆς τῆς προθυμίας δέχεσθε τὰ παρὰ τοῦ πνεύματος χορηγούμενα· ἵνα καθάπερ γῆ λιπαρὰ καὶ γόνιμος, πολυπλασιάσητε τὰ

*οὔτε ἄλλο τι, ἀλλὰ

γρ. φιλανθρωπίᾳ.

καταβαλλόμενα, καὶ ποιήσοντε, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. ἠκούσατ ἐν ταῖς παρελθούσαις ἡμέραις τὴν ἄφατον σοφίαν τοῦ τὰ ὁρώμενα πάντα τεκτηναμένου, καὶ ὅπως ῥήματι μόνον καὶ θελήματι τὰ πάντα παρήγαγεν. εἶπε γὰρ, γενηθήτω, καὶ ἐγένετο, καὶ εὐθέως παρήχθη ἅπαντα τὰ στοιχεῖα, καὶ ἤρκεσε τὸ ῥῆμα πρὸς τὴν τῶν γενομένων σύστασιν· οὐκ ἐπειδὴ ῥῆμα ἦν ἁπλῶς, ἀλλ᾽ ἐπειδὴ ῥῆμα θεοῦ. μέμνησθε πάντως τῶν τότε κινηθέντων ἡμῖν πρὸς τοὺς ἐξ ὑποκειμένης ὕλης λέγοντας τὰ ὄντα γεγενῆσθαι, καὶ τὴν οἰκείαν ληρωδίαν ἐπεισφέροντας τοῖς τῆς ἐκκλησίας δόγμασιν. ἐμάθετε τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἀμόρφωτον καὶ ἀδιατύπωτον. καὶ γὰρ δύο αἰτίας τότε εἰρήκαμεν, μίαν μὲν, ἵνα ἐν τῷ βελτίονι στοιχείῳ καταμαθόντες τὴν δύναμιν τοῦ δεσπότου, μηκέτι ἀμφιβάλωμεν νομίζοντες δι᾽ ἀσθενείας δυνάμεως τοῦτο γεγενῆσθαι· ἑτέραν δὲ, ἐπειδὴ αὕτη καὶ μήτηρ καὶ τροφὸς ἡμῖν γεγένηται, καὶ ἐξ αὐτῆς καὶ τρεφόμεθα καὶ πάντων τῶν ἄλλων ἀπολαύομεν, καὶ πρὸς αὐτὴν πάλιν ἐπανίμεν (αὕτη γὰρ " ἡμῖν καὶ πατρὶς καὶ τάφος ἐστὶν) ἵνα οὖν μὴ τὸ τῆς χρείας ἀναγκαῖον παρασκευάσῃ μέγα τι καὶ περὶ αὐτῆς φαντάζεσθαι, δείκνυσιν αὐτὴν ἐξ ἀρχῆς ἀμόρφωτον, ἵνα παιδευώμεθα καὶ δι᾽ αὐτῶν τῶν πραγμάτων μηκέτι τῇ φύσει τῆς γῆς λογίζεσθαι τὰ προειρημένα ἅπαντα, ἀλλὰ τῇ δυνάμει τοῦ παραγαγόντος. ἐμάθετε πάλιν πῶς τὸν χωρισμὸν τῶν ὑδάτων εἰργάσατο, τὸ στερέωμα τοῦτο τὸ ὁρώμενον παρασχεθῆναι προστάξας. εἴδετε τὰ ζῶα τὰ ἔμψυχα καὶ ἐκ τῶν ὑδάτων καὶ ἐκ τῆς γῆς ἀναδιδόμενα. ταῦτα οὐχ ἁπλῶς οὐδὲ μάτην νῦν ἀναγκάζομαι ἐπαναλαμβάνειν καὶ δεύτερον ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἀλλ᾽ ἵνα τοῖς μὲν ἀκηκοόσιν " ὑπόμνησις γένηται, καὶ ἀσφαλέστερον αὐτὰ ἐναποθῶνται τῇ διανοίᾳ· τοῖς δὲ τότε μὴ παραγενομένοις ἀρκοῦσα γένηται ἡ διδασκαλία, καὶ μηδεμίαν ἐκ τῆς ἀπουσίας ζημίαν ὑπομείνωσιν· ἐπεὶ καὶ πατὴρ φιλόστοργος τοῖς ἀπολειφθεῖσι παισὶ τῆς τραπέζης τὰ λείψανα διαφυλάττει, ἵνα παραγενόμενοι παραμυθίαν τῆς ἀπουσίας εὕρωσι τὴν τούτων φυλακήν. διὰ δὴ τοῦτο καὶ ἡμεῖς πάντων τῶν ἐνταῦθα συνιόντων ὡς οἰκείων μελῶν κηδόμενοι, καὶ τὴν ὑμετέραν προκοπὴν, οἰκείαν εὐδοκίμησιν τιθέμενοι, ἐπιθυμοῦμεν ἅπαντας τελείους καὶ ἀπηρτισμένους ἀποδειχθῆναι εἰς δόξαν θεοῦ, καὶ εὐδοκίμησιν τῆς ἐκκλησίας, καὶ εἰς καύχημα ἡμέτερον. καὶ εἰ μὴ δοκῶ παρενοχλεῖν, φέρε δι᾽ ὀλίγων καὶ τῶν χθὲς ἡμῖν εἰρημένων ὑπομνήσωμεν ὑμῶν τὴν ἀγάπην. εἴδετε τὴν διαφορὰν τῆς δημιουργίας τῶν κτισμάτων καὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως· ἠκούσατε ὅσης τιμῆς ἠξίωσε τὸν ἀρχηγὸν τοῦ γένους τοῦ ἡμετέρου, καὶ ἐν αὐτῇ τῇ διαπλάσει πῶς δι᾽ αὐτῶν τῶν ῥημάτων, καὶ τῆς τῶν λέξεων παχύτητος ἐνέφηνε τὴν τιμὴν εἰς τὸν μέλλοντα δημιουργεῖσθαι, λέγων, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν· ἐμάθετε τί ἐστι τὸ κατ᾽ εἰκόνα, ὅτι οὐκ οὐσίας ἐστὶν ἀξία, ἀλλ᾽ ἀρχῆς ὁμοιότης, καὶ ὅτι οὐ κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἶπεν, ἀλλὰ κατὰ τὸν τῆς ἀρχῆς λόγον. διὸ καὶ ἐπήγαγε, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων, καὶ τῶν ἑρπετῶν τῆς γῆς. ἀλλ᾽ ἐνταῦθα ἐπιφύονται ἡμῖν Ἕλληνες λέγοντες, ὅτι οὐκ ἀληθὴς ὁ λόγος εὑρίσκεται. οὐ γὰρ ἄρχομεν τῶν θηρίων, καθάπερ ὑπέσχετο, ἀλλ᾽ αὐτὰ ἡμῶν ἄρχει. μάλιστα μὲν οὖν οὐδὲ τοῦτο ἀληθές. ἔνθα γὰρ ἂν φανῇ ἄνθρωπος, εὐθέως φυγαδεύεται τὰ θηρία. εἰ δέ ποτε ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτοῖς ἐπιόντων τὴν ἀπ᾽ αὐτῶν βλάβην δεχόμεθα, τοῦτο λοιπὸν οὐ παρὰ τὸ ἐκεῖνα ἡμῶν ἄρχειν γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν αἰτίαν· ἐπεὶ καὶ λῃστῶν ἡμῖν ἐπιόντων, εἰ μὴ ῥαθυμήσαιμεν, ἀλλ᾽ ὁπλιζοίμεθα, οὐ τῆς ἐκείνων ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ

γρ. ἡμῶν

γρ. ὑπόθεσις

τῆς οἰκείας σωτηρίας ἡ πρόνοια. ἀκούσωμεν δὲ τέως τῶν εἰρημένων. Ποιήσωμεν, φησὶν, ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ὥσπερ εἰκόνα εἶπε, τὴν τῆς ἀρχῆς δηλῶν εἰκόνα, οὕτω καὶ ὁμοίωσιν, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην ὁμοίους ἡμᾶς γίνεσθαι θεῷ, κατὰ τὸ ἥμερον λέγω καὶ πρᾶον ἐξομοιοῦσθαι αὐτῷ, καὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥσπερ καὶ ὁ Χριστός φησι, Γίνεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὥσπερ γὰρ ἐν τῇ πλατείᾳ ταύτῃ γῇ καὶ εὐρυχώρῳ τῶν ζώων τὰ μέν ἐστιν ἡμερώτερα, τὰ δὲ θηριωδέστερα, οὕτω καὶ ἐν τῷ πλάτει τῆς ψυχῆς τῆς ἡμετέρας, τῶν λογισμῶν οἱ μὲν εἰσὶν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. δεῖ τοίνυν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν ἀρχὴν τούτων παραδιδόναι. καὶ πῶς ἄν τις περιγένοιτο, φησὶ, λογισμοῦ θηριώδους; τί λέγεις, ἄνθρωπε; λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα μεταβαλεῖν οὐ δυνήσῃ; καίτοι τῷ θηρίῳ μὲν κατὰ φύσιν πρόσεστι τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ ἥμερον, παρὰ φύσιν δὲ τὸ ἄγριον καὶ θηριῶδες. Ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβαλὼν, καὶ τὸ παρὰ φύσιν ἐνθεὶς τῇ τοῦ θηρίου ψυχῇ, τὸ κατὰ φύσιν αὐτὸς οὐ δύνασαι διατηρῆσαι; καὶ πόσης [οὐκ] ἂν εἴη τοῦτο καταγνώσεως; καὶ τὸ δὴ τούτου παραδοξότερον, * ἐπὶ μὲν τῆς τῶν λεόντων φύσεως καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί· λογισμῶν γάρ ἐστιν ἔρημον τὸ θηρίον· ἀλλ᾽ ὅμως ὁρῶμεν πολλάκις λέοντας ἡμέρους διὰ τῆς ἀγορᾶς ἀγομένους, πολλοὶ δὲ καὶ τῶν ἐπὶ τῶν ἐργαστηρίων καὶ ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι, μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι᾽ ἧς τὸ θηρίον ἡμέρωσεν· ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια. μὴ τοίνυν σκήψεις λέγε καὶ προφάσεις. δυνατὸν γὰρ, ἐὰν θέλῃς, ἥμερον εἶναι καὶ πρᾶον καὶ ἐπιεικῆ. Ποιήσωμεν ἄνθρωπόν, φησι, κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον πάλιν ζήτημα ἐπανίωμεν. δείκνυται γὰρ ἐκ τῶν εἰρημένων, ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπηρτισμένην εἶχε τὴν ἀρχὴν ὁ ἄνθρωπος τὴν κατὰ τῶν θηρίων. ἀρχέτωσαν γάρ, φησι, τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων, καὶ τῶν ἑρπετῶν τῆς γῆς. ὅτι δὲ νῦν φοβούμεθα τὰ θηρία καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν, οὐδὲ αὐτὸς ἀντιλέγω· ἀλλ᾽ οὐ τοῦτο ψευδῆ τοῦ θεοῦ τὴν ὑπόσχεσιν δείκνυσι. παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ᾽ ἐδεδοίκει καὶ ἔτρεμε τὰ θηρία καὶ ὑπέκυπτε τῷ δεσπότῃ. ἐπειδὴ δὲ τῆς παρρησίας ἐξέπεσε διὰ τὴν παράβασιν, καὶ τὰ τῆς ἀρχῆς ἠκρωτηριάσθη. ὅτι γὰρ ὑποτεταγμένα ἦν ἅπαντα τῷ ἀνθρώπῳ, ἄκουσον τῆς γραφῆς λεγούσης, Ἤγαγε, φησι, τὰ θηρία, καὶ πάντα τὰ ἄλογα πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά· καὶ ὁρῶν πλησίον αὐτοῦ γινόμενα τὰ θηρία, οὐκ ἀπεπήδησεν, ἀλλὰ καθάπερ τις δεσπότης δούλοις ὑποκειμένοις ὀνόματα ἐπιτιθεὶς, οὕτως ἅπασι τὰς προσηγορίας ἐπέθηκε, καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ, φησὶν, Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. καὶ τοῦτο γὰρ δεσποτείας σύμβολον. διὰ τοῦτο καὶ ὁ θεὸς βουλόμενος καὶ διὰ τούτου διδάξαι αὐτὸν τὸ τῆς ἐξουσίας ἀξίωμα, αὐτῷ τῶν ὀνομάτων τὴν θέσιν ἐπέτρεψεν. ἱκανὸν μὲν οὖν τοῦτο δεῖξαι τοῦ μὴ φοβερὰ εἶναι ἐξ ἀρχῆς τῷ ἀνθρώπῳ τὰ θηρία. ἔστι δὲ καὶ ἕτερον οὐκ ἔλαττον τούτου, ἀλλὰ καὶ πολλῷ σαφέστερον. τί δὴ τοῦτό ἐστιν; ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τῷ ἀνθρώπῳ, οὐκ ἂν ἰδοῦσα τὸν ὄφιν ἡ γυνὴ ἔμενεν, οὐκ ἂν ἐδέξατο τὴν συμβουλὴν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας, ἀλλ᾽ εὐθέως ἂν πρὸς τὴν πρόσοψιν ἐξεπλάγη καὶ ἀπεπήδησε· νῦν δὲ καὶ διαλέγεται, καὶ οὐ φοβεῖται. οὔπω γὰρ ἦν ὁ φόβος

γρ. γενέσθαι

Ματθ. ε. μη.

γρ. ἔχεις

γρ. ἔχει

* καὶ θαυμασιώτερον,

Γεν. β. ιθ.

γρ. δεῖξαι αὐτῷ

γρ. οὕτω

γρ. πρόσοδον.

οὗτος

οὕτως· ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία "ἐπεισῆλθεν, ἀφῃρέθη λοιπὸν καὶ τὰ τῆς τιμῆς καὶ τὰ τῆς ἐξουσίας· καὶ ὥσπερ ἐπὶ τῶν οἰκετῶν, οἱ μὲν εὐδοκιμοῦντες, φοβεροὶ καὶ τοῖς συνδούλοις εἰσίν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς ὁμοδούλους δεδοίκασιν· οὕτω δὴ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. ἕως μὲν γὰρ εἶχε τὴν πρὸς τὸν θεὸν παῤῥησίαν, φοβερὸς καὶ τοῖς θηρίοις ἦν· ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν ὁμοδούλων ἐδεδοίκει λοιπόν. εἰ δὲ μὴ ἀνέχῃ τῶν παρ' ἡμῶν λεγομένων, σύ μοι δεῖξον, πρὸ τῆς ἁμαρτίας ὅτι φοβερὰ τῷ ἀνθρώπῳ τὰ θηρία ἦν. ἀλλ' οὐκ ἂν ἔχοις. εἰ δὲ μετὰ ταῦτα ἐπεισῆλθεν ὁ φόβος, καὶ τοῦτο τοῦ θεοῦ φιλανθρωπίας μέγιστον τεκμήριον. εἰ γὰρ καὶ τῆς ἐντολῆς παραβαθείσης ὑπὸ τοῦ ἀνθρώπου, ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως ἀπὸ τοῦ πτώματος. ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι καὶ μὴ παρακούοντες τῆς "αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐ ταχέως ἀφίστανται τῆς κακίας. εἰ γὰρ καὶ νῦν φόβων καὶ τιμωριῶν καὶ κολάσεων ἐπικειμένων, οὐκ ἀνέχονται σωφρονεῖν, τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπαθον ὑπὲρ ὧν ἐπλημμέλουν δεινῶν; ὥστε κηδόμενος ἡμῶν καὶ φροντίζων ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς. σὺ δέ μοι, ἀγαπητέ, καὶ ἐντεῦθεν σκόπει τὴν * τοῦ θεοῦ φιλανθρωπίαν, πῶς ὁ μὲν Ἀδὰμ πᾶσαν "ἀνέτρεψε τὴν ἐντολήν, καὶ πάντα παρέβη τὸν νόμον· ὁ δὲ θεὸς φιλάνθρωπος ὤν, καὶ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα, οὐ πᾶσαν ἔλυσε τὴν τιμήν, οὐδὲ πάσης αὐτὸν ἐξέβαλε τῆς δεσποτείας· ἀλλ' ἐκεῖνα μόνον ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῷα, ἃ μὴ σφόδρα αὐτῷ συνετέλει πρὸς τὴν τῆς ζωῆς χρείαν, τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα καὶ πολλὴν εἰσφέροντα τὴν λειτουργίαν εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ ὑποταγῇ καὶ τῇ δουλείᾳ. ἀφῆκε γοῦν βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν διατέμνωμεν, ἵνα τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε καὶ τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν συναντιλαμβάνηται τῶν πόνων ἡμῖν· ἀφῆκε τῶν προβάτων τὰς ποίμνας, ἵνα ἔχωμεν ἐν τῇ περιβολῇ τῶν ἐνδυμάτων χορηγίαν ἀρκοῦσαν, καὶ ἕτερα δὲ γένη τῶν ζώων εἴασε, πολλὴν ἡμῖν τὴν χορηγίαν παρέχοντα. ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον διὰ τὴν παρακοὴν ἔλεγεν, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας. καὶ ταὐτὸν πεποίηκεν, οἷον ἂν εἰ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν ἑαυτοῦ μαστίξας καὶ θεραπείαν τινὰ προσαγάγῃ ταῖς μάστιξιν· οὕτω δὴ καὶ ὁ θεὸς καταδίκην ἐπιθεὶς τῷ ἡμαρτηκότι, παντὶ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. ὥστε δὲ τὸ δοῦναι τὴν τιμήν, καὶ τὸ πάλιν ἀφελέσθαι, καὶ τὸ τὸν φόβον ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἀκριβῶς ἐξετάζοι καὶ εὐγνωμόνως, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς τῆς φιλανθρωπίας.

γρ. εἰσῆλθεν

γρ. αὐτῷ

* ἄφατον

γρ. ἀνέτρεψε

ΗΘΙΚΟΝ

Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν αὐτῷ, καὶ εὐγνώμονες γινώμεθα περὶ τὸν τοσαῦτα ἡμᾶς εὐεργετηκότα. οὐδὲ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἐπιζητεῖ παρ' ἡμῶν, ἀλλ' ἢ τὸ ὁμολογεῖν μόνον τὰς τοσαύτας εὐεργεσίας, καὶ τὰς ὑπὲρ τούτων αὐτῷ εὐχαριστίας ἀναφέρειν· οὐκ ἐπειδὴ αὐτὸς δεῖται τούτου (ἀνενδεὴς γὰρ ὑπάρχει) ἀλλ' ἵνα ἡμεῖς παιδευώμεθα τὸν χορηγὸν "ἐπισπᾶσθαι τῶν ἀγαθῶν, καὶ μὴ ἀγνώμονες γινώμεθα, ἀλλ' ἀξίαν τῶν εὐεργεσιῶν καὶ τῆς τοσαύτης κηδεμονίας τὴν ἀρετὴν εἰσφέρωμεν. οὕτω γὰρ καὶ αὐτὸν εἰς πλείονα τὴν περὶ ἡμᾶς ἐκκαλεσόμεθα κηδεμονίαν. μὴ τοίνυν ῥᾳθυμῶμεν,

γρ. [illegible]

μεν, παρακαλῶ, ἀλλ' ἕκαστος ὑμῶν καθ' ἑκάστην ὥραν, εἰ οἷόν τε, ἀναλογιζέσθω καθ' ἑαυτὸν, μὴ μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ τὰς " ἰδίας εἰς αὐτὸν γινομένας, μὴ τὰς ὡμολογημένας καὶ πᾶσι δήλους, ἀλλὰ καὶ τὰς ἰδιαζούσας καὶ λανθανούσας τοὺς πολλούς. οὕτω γὰρ δυνήσεται διηνεκῆ τὴν εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ. τοῦτο μεγίστη θυσία, τοῦτο προσφορὰ τελεία, τοῦτο παῤῥησίας ἡμῖν ὑπόθεσις γενήσεται. καὶ πῶς; ἐγὼ λέγω. ὁ γὰρ ταῦτα διηνεκῶς στρέφων ἐν τῇ διανοίᾳ τῇ ἑαυτοῦ, καὶ τὴν μὲν οἰκείαν εὐτέλειαν καταμανθάνων μετὰ ἀκριβείας, ἐννοῶν δὲ τὴν ἄφατον καὶ τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν, καὶ ὅπως οὐ πρὸς ἀξίαν τῶν ἡμαρτημένων ἐφ' ἡμῶν, ἀλλὰ πρὸς τὴν οἰκείαν ἀγαθότητα ἀφορῶν, οὕτω τὰ καθ' ἡμᾶς οἰκονομεῖ, συστέλλεται τὴν διάνοιαν, συντρίβεται τὸν λογισμὸν, πάντα τῦφον καὶ ἀπόνοιαν καταστέλλει, μετριάζειν μανθάνει, ὑπερορᾷν τῆς δόξης τοῦ παρόντος βίου, καταγελᾷν πάντων τῶν ὁρωμένων, φαντάζεσθαι τὰ μέλλοντα ἀγαθὰ, καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον καὶ πέρας οὐκ ἔχουσαν. ὁ δὲ οὕτω τὴν ψυχὴν διακείμενος, τὴν ἀληθῆ καὶ ἐπέραστον θυσίαν τῷ θεῷ ἀναφέρει, καθὼς ὁ προφήτης φησὶ, Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. τοὺς γὰρ εὐγνώμονας τῶν οἰκετῶν οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι ἐπιστρέφουσιν, ὡς αἱ εὐεργεσίαι, καὶ τὸ εἰδέναι ὅτι οὐ πρὸς ἀξίαν τῶν πεπλημμελημένων τὴν δίκην δεδώκασι. Συντρίψωμεν τοίνυν ἡμῶν, παρακαλῶ, τὸν λογισμὸν, ταπεινώσωμεν τὴν διάνοιαν, καὶ μάλιστα νῦν, ὅτε τῆς νηστείας ὁ καιρὸς πολλὴν ἡμῖν εἰς τοῦτο τὴν συμμαχίαν εἰσφέρει. ἐὰν γὰρ οὕτως ὦμεν διακείμενοι, δυνησόμεθα καὶ τὰς εὐχὰς μετὰ πολλῆς τῆς νήψεως ποιεῖσθαι, καὶ ἐξομολογούμενοι τὰ πεπλημμελημένα, πολλὴν ἐπισπάσασθαι τὴν ἄνωθεν χάριν. καὶ ἵνα μάθητε ὅτι ταῖς τοιαύταις ἀρέσκεται ψυχαῖς ὁ δεσπότης, ἄκουε αὐτοῦ λέγοντος, Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον [καὶ ταπεινὸν] καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; διὰ τοῦτο καὶ ὁ Χριστὸς διαλεγόμενος ἔλεγε, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ὄντως ταπεινῶν ἑαυτὸν, οὐκ ἂν δυνηθείη ποτὲ εἰς θυμὸν ἐξενεχθῆναι, οὐδὲ τῷ πλησίον ὀργισθῆναι, τῆς ψυχῆς κατεσταλμένης, καὶ τὰ καθ' ἑαυτὴν σκοπουμένης. τῆς δὲ οὕτω διακειμένης ψυχῆς τί ἂν γένοιτο μακαριώτερον; ὁ τοιοῦτος ἐν λιμένι διηνεκῶς κάθηται, παντὸς χειμῶνος ἀπηλλαγμένος, καὶ ἐντρυφῶν τῇ ἀπὸ τῶν λογισμῶν γαλήνῃ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὥσπερ οὖν ὁ τὰ πάθη ταῦτα καθευνάσας πολλῆς ἀπολαύει τῆς ἀναπαύσεως, οὕτως ὁ ῥᾴθυμος καὶ ἀναπεπτωκὼς, καὶ μὴ δυνάμενος δεόντως ἡνιοχεῖν τὰ ἐν αὐτῷ τικτόμενα πάθη, ἐν διηνεκεῖ σάλῳ καθέστηκεν, οἴκοθεν τὸν πόλεμον ἔχων, καὶ οὐδενὸς παρόντος ταραττόμενος, καὶ πολὺν τὸν χειμῶνα ὑπομένων. διὸ καὶ τῶν κυμάτων κορυφουμένων, καὶ τῆς τῶν πονηρῶν πνευμάτων καταιγίδος ἐπιούσης, πολλάκις ὑποβρύχιος γίνεται, καταβαπτισθέντος τοῦ σκάφους διὰ τὴν ἀπειρίαν τοῦ κυβερνήτου. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι καὶ διηνεκῆ τὴν μέριμναν ἔχειν καὶ ἀδιάλειπτον τῆς κατὰ ψυχὴν σωτηρίας. τὸν γὰρ Χριστιανὸν ἀεὶ παρατετάχθαι χρὴ πρὸς τὰ πάθη τῆς σαρκὸς, καὶ τοὺς νόμους τοὺς τεθέντας ἡμῖν παρὰ τοῦ κοινοῦ πάντων δεσπότου ἐναύλους ἔχειν, καὶ τούτοις τειχίζεσθαι, καὶ τῇ πολλῇ αὐτοῦ περὶ ἡμᾶς μακροθυμίᾳ εἰς δέον κεχρῆσθαι, καὶ μὴ ἀναμένειν τὴν διὰ τῶν ἔργων πεῖραν, καὶ τότε συστέλλεσθαι, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, " Ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν. ἔχοντες οὖν, ἀγαπητοὶ, σύμμαχον τῆς νηστείας τὴν παρουσίαν, πάντες ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπλημμελημένων ἐπειγώμεθα, καὶ ἀπεχώμεθα μὲν πάσης κακίας,

γρ. ἰδίως

Ψαλ. ν. ιθ.

Ησ. ξς. β.

Ματθ. ια. κθ.

Ψαλ. οζ. λδ.

μετιώμε

μετίωμεν ἐπὶ πᾶσαν ἀρετήν. οὕτω γὰρ καὶ ὁ μακάριος προφήτης διδάσκει λέγων, Ψαλ. λς. κη. Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τὴν ἀποχὴν τῆς κακίας ἐπιδειξώμεθα, δυνησόμεθα καὶ αὐτοὶ πλείονος ἀπολαῦσαι τῆς παρρησίας, καὶ δαψιλεστέρας ἀξιωθῆναι τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας, καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ι. ΠΡΟΤΡΟΠΗ ΠΡΟΣ ΤΟΥΣ ΕΡΥΘΡΙΩΝΤΑΣ μετὰ τὴν ἑστίασιν παραβαλεῖν τῇ συνάξει κατὰ τὴν ἑσπέραν· καὶ εἰς τὰ ἑξῆς τοῦ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ εἰς τό, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

γρ. καὶ τὰ ἑξῆς, καὶ εἰς τό,

Ἐλάττων ἡμῖν ὁ σύλλογος σήμερον, καὶ βραχὺ τὸ θέατρον τῶν συνδεδραμηκότων. τίνος ἕνεκεν καὶ διὰ τί; τάχα τινὲς ἠρυθρίασαν μετὰ τὴν αἰσθητὴν τράπεζαν εἰς τὴν πνευματικὴν ταύτην ἑστίασιν παραγενέσθαι, καὶ τοῦτο αὐτοῖς αἴτιον γεγένηται τῆς ἀπολείψεως. γρ. χρεία ἀλλ' ἀκουέτωσαν σοφοῦ τινος λέγοντος, Σειρ. δ. κδ. Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. οὐκ ἔστιν αἰσχύνης ἄξιον, τραπέζης μετασχόντας σωματικῆς ἐλθεῖν ἐπὶ τὴν πνευματικὴν ἑστίασιν. οὐδὲ γὰρ καθάπερ τὰ ἀνθρώπινα πράγματα, οὕτω καὶ τὰ πνευματικὰ καιροῖς ἀφωρισμένοις διατετύπωται. ἡ γὰρ περὶ τῶν πνευματικῶν διάλεξις πάντα τῆς ἡμέρας τὸν καιρὸν ἐπιτήδειον ἔχει. καὶ τί λέγω τῆς ἡμέρας τὸν καιρόν; κἂν νὺξ καταλάβῃ, οὐδὲ οὕτω κώλυμα γίνεται τῇ πνευματικῇ διδασκαλίᾳ. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε Τιμοθέῳ γράφων, β. Τιμ. δ. β. Ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. καὶ πάλιν ἄκουε τοῦ μακαρίου Λουκᾶ λέγοντος· Πραξ. κ. ζ. Ὅτι μέλλων ἐξιέναι, φησί, τῇ ἐπαύριον ὁ Παῦλος ἀπὸ τῆς Τρωάδος διελέγετο αὐτοῖς, καὶ παρέτεινε τὸν λόγον μέχρι μεσονυκτίου. μή τι ὁ καιρὸς ἐλυμήνατο, εἰπέ μοι, ἢ διέκοψε τὸν τῆς διδασκαλίας λόγον; ὁ νήφων ἀκροατής, κἂν ἠριστηκὼς ᾖ, ἄξιος ἂν εἴη τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ· ὥσπερ οὖν ὁ ῥάθυμος καὶ ἀναπεπτωκώς, κἂν ἄσιτος διαμένῃ, οὐδεμίαν ἐντεῦθεν δέξεται τὴν ὠφέλειαν. καὶ ταῦτα λέγω οὐ τὸν τόνον τῆς νηστείας ἐκλύων (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα ἐπαινῶν καὶ ἀποδεχόμενος τοὺς νηστεύοντας, ἀλλὰ βουλόμενος διδάξαι ὑμᾶς λογισμῷ τινι νήφοντι μετιέναι τὰ πνευματικά, καὶ μὴ συνηθείᾳ [τινὶ] κατακολουθεῖν. οὐ γὰρ * μεταλαβόντα τροφῆς αἰσχρὸν παραβαλεῖν τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ· ἀλλὰ τὸ ῥαθυμούσῃ διανοίᾳ, καὶ τὸ ὑπὸ τῶν παθῶν πολιορκεῖσθαι, καὶ μὴ καταστέλλειν τὰ τῆς σαρκὸς σκιρτήματα. οὐ τὸ φαγεῖν, κακὸν (μὴ γένοιτο) ἀλλ' ἡ ἀδηφαγία, βλαβερόν, καὶ τὸ ὑπὲρ τὴν χρείαν ἐμπίπλασθαι, καὶ διαρρήγνυσθαι τὴν γαστέρα (τοῦτο γὰρ καὶ τὴν ἡδονὴν τὴν ἀπὸ τῆς τροφῆς λυμαίνεται) ὥσπερ οὖν οὐδὲ τό, οἴνου συμμέτρου μετασχεῖν, πονηρόν, ἀλλὰ τὸ μέθῃ ἑαυτὸν ἐκδοῦναι, καὶ τὸν λογισμὸν τὸ κριτήριον παρατρέψαι διὰ τῆς ἀμετρίας. εἰ δὲ δι' ἀσθένειαν σωματικήν, ἀγαπητέ, μὴ δύναιο ἄσιτος διατείνειν τὴν ἡμέραν, οὐδεὶς

σε

τῶν φρενῶν ὑπὲρ τούτου σοι ἐγκαλέσαι δυνήσεται. δεσπότην γὰρ ἔχομεν ἥμερον καὶ φιλάνθρωπον, καὶ οὐδὲν τῶν ὑπὲρ δύναμιν παρ' ἡμῶν ἐπιζητοῦντα. οὐδὲ γὰρ τὴν ἀποχὴν τῶν βρωμάτων καὶ τὴν νηστείαν ἁπλῶς ἀπαιτεῖ παρ' ἡμῶν γίνεσθαι," οὐδὲ δι' αὐτὸ τοῦτο, ἵνα ἄσιτοι διαμένωμεν μόνον, ἀλλ' ἵνα ἀφιστῶντες ἑαυτοὺς ἀπὸ τῶν βιωτικῶν πραγμάτων, πᾶσαν τὴν σχολὴν ἐν τοῖς πνευματικοῖς ἀναλίσκωμεν. ὡς εἰ μετὰ νηφούσης διανοίας τὸν ἑαυτῶν βίον οἰκονομοῦμεν, καὶ περὶ τὰ πνευματικὰ πᾶσαν τὴν σχολὴν ἐπιδεικνύμεθα, καὶ τῇ τροφῇ οὕτω προσιέμεθα, ὡς τὴν χρείαν μόνον" ἀποπληροῦν, καὶ ἐν ταῖς ἀγαθαῖς πράξεσιν ἅπαντα τὸν βίον καταναλίσκειν, οὐδὲ χρεία ἡμῖν ἦν τῆς βοηθείας τῆς ἀπὸ τῆς νηστείας. ἀλλ' ἐπειδὴ ῥάθυμός ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ τῇ ἀνέσει καὶ τῇ τρυφῇ μᾶλλον ἑαυτὴν ἐπιδίδωσι, διὰ τοῦτο καθάπερ πατὴρ φιλόστοργος τὴν ἀπὸ τῆς νηστείας ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ φιλάνθρωπος δεσπότης, ἵνα καὶ τὰ τῆς τρυφῆς ἡμῖν ἐκκόπτηται, καὶ τὴν περὶ τὰ βιωτικὰ φροντίδα μεταγάγωμεν ἐπὶ τὴν τῶν πνευματικῶν ἐργασίαν. εἰ τοίνυν ὡσί τινες τῶν ἐνταῦθα συνιόντων ὑπὸ ἀσθενείας σωματικῆς κωλυόμενοι, καὶ μὴ δυνάμενοι ἄσιτοι διαμένειν, τούτοις παραινῶ καὶ τὴν ἀσθένειαν τὴν σωματικὴν παραμυθεῖσθαι, καὶ τῆς διδασκαλίας ταύτης τῆς πνευματικῆς μὴ ἀποστερεῖν ἑαυτούς, ἀλλὰ ταύτῃ μᾶλλον πλείονα τὴν σπουδὴν ἐπιδείκνυσθαι. εἰσὶ γάρ, εἰσὶν ὁδοὶ πολλῷ μείζους τῆς ἀποχῆς τῶν βρωμάτων, αἱ δυνάμεναι τὰς θύρας ἡμῖν" ἀνοίγειν τῆς παρρησίας τῆς πρὸς τὸν θεόν. ὁ τροφῆς τοίνυν μεταλαμβάνων, καὶ νηστεύειν μὴ δυνάμενος, δαψιλεστέραν τὴν ἐλεημοσύνην ἐπιδεικνύσθω, εὐχὰς ἐκτενεῖς, τὴν προθυμίαν ἐπιτεταμένην ἐχέτω" πρὸς τὴν ἀκρόασιν τῶν θείων λογίων. ἐνταῦθα οὐδὲν ἡ τοῦ σώματος ἀσθένεια ἐμπόδιον ἡμῖν γίνεται. τοῖς ἐχθροῖς καταλλαττέσθω, πᾶσαν μνησικακίαν ἐξοριζέτω τῆς ἑαυτοῦ ψυχῆς. ἂν ταῦτα κατορθοῦν βούληται, τὴν ἀληθῆ νηστείαν ἐπεδείξατο, καὶ ἣν μάλιστα πάντων ἀπαιτεῖ παρ' ἡμῶν ὁ δεσπότης· ἐπεὶ καὶ ταύτην τὴν ἀποχὴν τῶν βρωμάτων διὰ τοῦτο κελεύει γίνεσθαι, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκὸς, εὐήνιον αὐτὴν ἐργαζώμεθα πρὸς τὴν τῶν ἐντολῶν" ἐκπλήρωσιν. εἰ δὲ μέλλοιμεν μηδὲ τὴν ἀπὸ τῆς νηστείας βοήθειαν ἑαυτοῖς προσάγειν διὰ τὴν τοῦ σώματος ἀσθένειαν, καὶ πλείονα τὴν ῥαθυμίαν ἐπιδείκνυσθαι, λανθάνομεν ἑαυτοὺς τὰ μέγιστα ζημιούμενοι. εἰ γὰρ καὶ μετὰ νηστείας ἡ τῶν προειρημένων κατορθωμάτων ἔλλειψις οὐδὲν ἡμᾶς ὀνίνησι, πολλῷ μᾶλλον, εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμενοι πλείονα τὴν ῥαθυμίαν ἐπιδειξόμεθα. ταῦτα δὴ μαθόντες παρ' ἡμῶν, παρακαλῶ, οἱ νηστεύειν δυνάμενοι, αὐτοί τε, καθ' ὅσον οἷόν τε, ἐπιτείνετε ὑμῶν τὴν καλὴν ταύτην καὶ ἐπαινετὴν προθυμίαν. Ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. β. Κορ. δ. ιϛ. ἡ γὰρ νηστεία τὸ μὲν σῶμα κατατείνει, καὶ χαλινοῖ τὰ ἄτακτα σκιρτήματα, τὴν δὲ ψυχὴν διαυγεστέραν ἐργάζεται, καὶ πτεροῖ, καὶ μετάρσιον καὶ κούφην ποιεῖ· καὶ" τοὺς ἀδελφοὺς δὲ τοὺς ἡμετέρους, ὅσοι διὰ σωματικὴν ἀσθένειαν νηστεύειν μὴ δύνανται, προτρέπεσθε μὴ ἀπολιμπάνεσθαι τῆς πνευματικῆς ταύτης τροφῆς, διδάσκοντες αὐτούς, καὶ τὰ παρ' ἡμῶν αὐτοῖς διαπορθμεύοντες, καὶ δεικνύντες *ὅτι οὐχ ὁ" φαγὼν καὶ πιὼν συμμέτρως ἀνάξιός ἐστι ταύτης τῆς ἀκροάσεως, ἀλλ' ὁ ῥάθυμος καὶ διακεχυμένος· καὶ λέγετε πρὸς αὐτοὺς καὶ τὸ ἀποστολικὸν λόγιον, Ὅτι καὶ ὁ ἐσθίων, κυρίῳ ἐσθίει, καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ θεῷ. Ρω. ιδ. ϛ. καὶ ὁ νηστεύων τοίνυν εὐχαριστείτω τῷ θεῷ, ὅτι δύναμιν ἔχει δυναμένην ἀντέχειν πρὸς τὸν" πόνον τῆς νηστείας, καὶ ὁ ἐσθίων πάλιν εὐχαριστείτω τῷ θεῷ, ὅτι οὐδὲν αὐτὸν τοῦτο λυμήνασθαι δύναται πρὸς τὴν τῆς ψυχῆς σωτηρί-

αν

ὐδὲ διαμέ-
μεν διὰ τοῦ-
ἄσιτοι μό-
ο

πληροῦν,

. ἀνοῖξαι

. περὶ

. ἀποπληρω-
ν

γρ. τῶν ἀδελ-
φῶν δὲ τῶν ἡ-
μετέρων

ὅσον τῆς ἀκρο-
άσεως τὸ ὠ-
φέλιμον, καὶ
γρ. ἠρεστηκὼς

ρ. πονηρὸν τῆς
νηστείας ἀντί-
παλον

ἀν, [ἐὰν θέλῃ.] τοσαύτας γὰρ ἡμῖν ὁδοὺς ἔτεμεν ὁ φιλάνθρωπος θεός, ὅσας οὐδὲ εἰ-
πεῖν ἐστι, δι' ὧν δυνατόν ἐστιν ἡμᾶς, ἐὰν βουλώμεθα, τῆς ἀνωτάτω παρρησίας μετασχεῖν.
" τάχα ἀρχομένως τῶν ἀπολειφθέντων ἕνεκεν διελέχθημεν περιελόντες αὐτὴν τῆς γρ. ταῦτα πᾶσιν ἀρκοῦντας
αἰσχύνης τὴν πρόφασιν, καὶ δείξαντες ὅτι οὐ δεῖ ἐπὶ τούτῳ αἰσχύνεσθαι. οὐ γὰρ τὸ φαγεῖν,
αἰσχύνην ἡμῖν προξενεῖ, ἀλλὰ τὸ κακόν τι " πράξασθαι. * μεγάλη αἰσχύνη ἡ ἁμαρ- γρ. διαπράξασθαι
τία. ἐὰν ταύτην ἐργασώμεθα, οὐ μόνον αἰσχύνεσθαι ὀφείλομεν, ἀλλὰ καὶ ἐγκαλύπτεσθαι,
καὶ καθάπερ οἱ προσκεκρουκότες, οὕτως ἑαυτοὺς ταλανίζειν, μᾶλλον δὲ μηδὲ τότε ἀ-
παγορεύειν ἑαυτούς, ἀλλὰ πρὸς ἐξομολόγησιν ἐπείγεσθαι καὶ πρὸς εὐγνωμοσύνην.
τοιοῦτον γὰρ ἔχομεν δεσπότην οὐδὲν ἕτερον παρ' ἡμῶν ἐπιζητοῦντα μετὰ τὴν τῆς ἁμαρ-
τίας πρᾶξιν, εἴποτε διὰ ῥᾳθυμίαν ἁλῶμεν, ἢ τὸ ὁμολογῆσαι τὰ ἐπταισμένα, καὶ
μέχρι τούτου στῆναι, καὶ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. ἐὰν δὲ τροφῆς συμμέτρου μεταλά-
βωμεν, μηδέποτε αἰσχυνώμεθα. σῶμα γὰρ ἡμᾶς τοιοῦτο συνέπλεξεν ὁ δεσπότης,
ὃ μὴ δυνατὸν ἑτέρως συνεστάναι, εἰ μὴ ταύτης μεταλάβοι· μόνον τὰ τῆς ἀμετρίας
ἐκκοπτέσθω. τοῦτο γὰρ ὑμῖν καὶ πρὸς τὴν ὑγίειαν τούτου καὶ εὐεξίαν τὰ μέγιστα συμβάλλε-
ται. ἢ οὐχ ὁρᾶτε καθ' ἑκάστην ἡμέραν ἀπὸ τῶν πολυτελῶν τραπεζῶν καὶ τῆς ἀμέτρου ἀδδη-
φαγίας τὰ μυρία ἐπαγόμενα νοσήματα; πόθεν ποδαλγίαι, πόθεν καρηβαρεῖαι, πόθεν
ὁ τῶν χυμῶν τῶν διεφθαρμένων πλεονασμός, πόθεν τὰ ἄλλα μυρία νοσήματα; οὐκ ἀπὸ τῆς
ἀμετρίας, καὶ τοῦ πλέον τοῦ δέοντος " ἐκχέειν ἑαυτοῖς τὸν ἄκρατον; καθάπερ γὰρ πλοῖον ὑπέρ- ἴσ. ἐγχέειν
αντλον γενόμενον ταχέως καταβαπτίζεται, καὶ ὑποβρύχιον γίνεται· οὕτω καὶ ἄνθρωπος ὅταν
τῇ ἀδδηφαγίᾳ καὶ μέθῃ ἑαυτὸν ἐκδῷ, κατὰ κρημνῶν ἄπεισι, καὶ ὑποβρύχιον ἐργάζεται
τὸν λογισμόν, καὶ κεῖται λοιπὸν καθάπερ νεκρὸς ἔμψυχος, πρὸς μὲν τὰ κακὰ πολλάκις ἐν-
εργεῖν δυνάμενος, πρὸς δὲ τὰ ἀγαθὰ ἅπαντα οὐδὲν ἄμεινον τῶν νεκρῶν διακείμενος.
Ρω. ιγ. ιδ. διὸ παρακαλῶ, κατὰ τὸν μακάριον Παῦλον, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπι-
θυμίας, ἀλλὰ πρὸς τὸ συνεστάναι, καὶ δύνασθαι μετὰ πλείονος προθυμίας ἐν τῇ τῶν
πνευματικῶν ἐργασίᾳ πολλὴν τὴν σπουδὴν ἐπιδείκνυσθαι. ταῦτα δὴ πάντα δια-
λεγόμενοι πρὸς τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους, πείθετε αὐτοὺς μηδέποτε τῆς πνευματι-
κῆς ταύτης τροφῆς ἑαυτοὺς ἀποστερεῖν, ἀλλὰ κἂν ἠριστηκότες ὦσιν, ἐρχέσθωσαν μετὰ πά-
σης προθυμίας, ἵνα δεξάμενοι τὴν ἐντεῦθεν διδασκαλίαν, δύνωνται γενναίως ἵστασθαι
πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. ἡμεῖς δὲ λοιπόν, φέρε, τὴν συνήθη τράπεζαν ὑμῖν
παραθῶμεν, καὶ τῆς σπουδῆς τῆς περὶ τὴν ἀκρόασιν ἀμειψώμεθα τὴν ὑμετέραν ἀγά-
πην, καὶ τὸ χρέος ἐκτίσωμεν ὅπερ ὀφείλομεν ὑμῖν. ἴστε γὰρ πάντως καὶ μέμνησθε ὅτι
περὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως ἀρξάμενοι διαλέγεσθαι, ὑπὸ τοῦ καιροῦ στενο-
χωρηθέντες, οὐκ ἰσχύσαμεν πάντα ἐπεξελθεῖν τῷ ἀναγνώσματι, ἀλλ' εἰς τὸν περὶ τῶν
θηρίων λόγον τὴν διδασκαλίαν ἐτελέσαμεν, δεικνύντες ὅτι τὴν κατ' αὐτῶν ἀρχὴν
πρότερον ἔχων ὁ ἄνθρωπος, διὰ τὴν τῆς παρακοῆς ἁμαρτίαν ταύτην ἀφῃρέθη. διὸ βου-
λόμεθα σήμερον τὰ λειπόμενα ὑμῖν ἀποδόντες οὕτως ὑμᾶς ἐντεῦθεν ἀποπέμψαι.
ἀλλ' ἵνα σαφὴς ἡμῖν ὁ λόγος γένηται, ἀναγκαῖον ὑμᾶς ὑπομνῆσαι, ποῦ τότε τὴν διδα-
σκαλίαν κατελύσαμεν, ἵνα ἐκεῖθεν ἀρξάμενοι οὕτω τὰ λειπόμενα " ἀποπληρώσω- γένηται
μεν. ποῦ οὖν τὸν λόγον τότε κατελύσαμεν; εἰπόντες εἰς τό, ποιήσωμεν ἄνθρωπον
κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν
πετεινῶν τοῦ οὐρανοῦ, ἐπειδὴ εἰς πολὺ μῆκος ὁ λόγος ἐξετάθη, καὶ πολὺ πέλαγος ἡμῖν
ἐτέχθη νοημάτων, οὐ συνεχωρήθη ἡμῖν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρι τούτου
στάντες, τῶν ἑξῆς οὐκ ἐφηψάμεθα. διόπερ ἀναγκαῖον νῦν αὐτὴν τὴν ἀκολουθίαν ἀναγνῶ-

ναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἵν' εἰδέναι ἔχοιτε, τίνα ἐστὶν ἃ μέλλοιμεν ἐρεῖν πρὸς ὑμᾶς. εὐθέως οὖν ἐπήγαγεν ἡ θεία γραφή,

27 Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· 28 Καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Βραχέα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκείμενος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι. πνεύματι γὰρ φθεγγόμενος ὁ μακάριος οὗτος προφήτης, ἀπόρρητά τινα ἡμᾶς νῦν διδάσκειν βούλεται. ἐπειδὴ γὰρ, εἶπε, ποιήσωμεν ἄνθρωπον, καὶ βουλὴν, ὡς εἰπεῖν, καὶ σκέψιν" προσέθηκεν ὁ τῶν ἁπάντων δημιουργὸς, διὰ τοῦ σχήματος τούτου τὴν τιμὴν ἐπιδεικνύμενος τὴν περὶ τὸν μέλλοντα διαπλάττεσθαι, καὶ περὶ τῆς διαπλάσεως ἐδίδαξεν ἡμᾶς καὶ τὸ μέγεθος τῆς ἀρχῆς ἧς" μέλλει ἐγχειρίζειν τῷ δημιουργεῖσθαι μέλλοντι, εἰπὼν γοῦν ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, ἐπήγαγε, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. ὅρα πῶς ἐκ προοιμίων τὸν θησαυρὸν ἡμῖν τῶν" ἐγκεκρυμμένων ἀποδείκνυσι. πνεύματι [γὰρ] φθεγγόμενος ὁ προφήτης, καὶ τὰ μηδέπω ὑφεστῶτα, ὡς ὑφεστῶτα καὶ γεγενημένα" ὁρᾷ. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, εἰπὼν, ποιήσωμεν ἄνθρωπον, νῦν λέγει, καὶ ἀρχέτωσαν; λανθάνον τι μυστήριον ἡμῖν ἐντεῦθεν ἤδη λοιπὸν παραδηλοῖ. τίνες ἀρχέτωσαν; ἢ δῆλον ὅτι τὴν τῆς γυναικὸς αἰνιττόμενος διάπλασιν τοῦτο εἴρηκεν. ὁρᾷς ὅπως οὐδέν ἐστι τῶν ἐν τῇ θείᾳ γραφῇ ἁπλῶς καὶ εἰκῇ κείμενον, ἀλλὰ καὶ τὸ τυχὸν ῥῆμα πολὺν ἔχει ἐναποκείμενον τὸν θησαυρόν. καὶ μή σε ξενίσῃ, ἀγαπητὲ, τὸ εἰρημένον. τοιοῦτον γὰρ ἔθος ἅπασι τοῖς προφήταις περὶ τῶν μηδέπω γεγενημένων, ὡς γεγενημένων διαλέγεσθαι. ἐπειδὴ γὰρ τοῖς πνευματικοῖς ἑώρων ὀφθαλμοῖς τὰ μετὰ πολὺν ἐτῶν ἀριθμὸν μέλλοντα γίνεσθαι, διὰ τοῦτο ὡς ἤδη πρὸ τῶν ὀφθαλμῶν κείμενα κατοπτεύοντες τὰ πράγματα, οὕτως ἅπαντα διελέγοντο. καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ μακαρίου Δαβὶδ λέγοντος, καὶ πρὸ τοσούτων γενεῶν τὰ κατὰ τὸν σταυρὸν τοῦ Χριστοῦ προφητεύοντος καὶ βοῶντος, Ὤρυξαν χεῖράς μου καὶ πόδας μου. καὶ πάλιν, Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς. ὁρᾷς πῶς τὰ μέλλοντα μετὰ χρόνον πολὺν ἔσεσθαι, ὡς ἤδη γεγενημένα προανεφώνει; οὕτω καὶ ὁ μακάριος οὗτος προφήτης ἤδη αἰνιττόμενος ἡμῖν τὴν τῆς γυναικὸς διάπλασιν αἰνιγματωδῶς φησι, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. εἶτα προϊὼν πάλιν σαφέστερόν φησι, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. σκόπει πόσῃ κέχρηται τῇ ἀκριβείᾳ, καὶ ἅπαξ καὶ δεύτερον τὸ αὐτὸ λέγων, ἵνα δυνηθῇ ἐναποτεθῆναι τῇ τῶν ἀκροατῶν διανοίᾳ τὰ λεγόμενα. εἰ γὰρ μὴ τοῦτο ἦν αὐτῷ τὸ σπουδαζόμενον, ἤρκει εἰπεῖν, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· ἀλλὰ πάλιν προστίθησι κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς διὰ τῶν προλαβόντων, κατὰ τί εἴρηται τὸ κατ' εἰκόνα, διὰ τοῦτο πάλιν ἐνταῦθα τὸν αὐτὸν ἐπαναλαμβάνων λόγον φησὶ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. καὶ ἵνα μηδὲ ἀναίσχυντον καταλίπῃ ἀπολογίας πρόφασιν τοῖς μάχεσθαι βουλομένοις τοῖς τῆς ἐκκλησίας δόγμασι, κατὰ μικρὸν προϊὼν διδάσκει τὰ αὐτὰ πάλιν, ὅτι κατὰ τὸ ἄρχειν καὶ ὑποτεταγμένα ἔχειν ἅπαντα τὰ δημιουργηθέντα, κατὰ τοῦτο τῷ τῆς εἰκόνος ὀνόματι ἐχρήσατο. τέως δὲ ἴδωμεν τί φησι· καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ὅπερ ἀνωτέρω ᾐνίξατο εἰπὼν, καὶ ἀρχέτωσαν,

ἐνταῦθα

ροσέθη-

ἔμελλεν

τῶν ἐγκε-
ρυμμένων
ημάτων
ὁρῶν

ψαλ. κα. ιη.

γεν. α.

ἐνταῦθα σαφέστερον εἶπε, καὶ αὐτὸ δὲ ὅμως κεκρυμμένως ἡμᾶς ἐδίδαξεν. οὐδέπω γὰρ περὶ τῆς διαπλάσεως ἡμᾶς διδάξας, οὐδὲ εἰπὼν, πόθεν ἡ γυνὴ παρήχθη, φησὶν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. εἶδες πῶς τὸ μηδέπω γεγονὸς, ὡς γεγονὸς διηγήσατο; τοιοῦτοι γὰρ οἱ πνευματικοὶ ὀφθαλμοί. οὐδὲ γὰρ οὕτως οἱ σωματικοὶ οὗτοι ὀφθαλμοὶ τὰ ὁρώμενα βλέπειν δύνανται, ὡς οἱ τοῦ πνεύματος ὀφθαλμοὶ τὰ μὴ ὁρώμενα, μηδὲ ὑφεστῶτα. Εἰπὼν τοίνυν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ὡς πρὸς ἀμφοτέρους τὴν εὐλογίαν ποιεῖται, καί φησι· καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης. ἰδοὺ τὸ ἐξαίρετον τῆς εὐλογίας. τὸ μὲν γὰρ, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ ἐπὶ τῶν ἀλόγων ζώων καὶ ἐπὶ τῶν ἑρπετῶν ἴδοι τις ἂν εἰρημένον· τὸ δὲ, κατακυριεύσατε καὶ ἄρχετε, ἐπὶ τοῦ ἀνθρώπου καὶ * τῆς γυναικός. Ὁρᾷς φιλανθρωπίαν δεσπότου· καὶ πρὶν ἢ παραγαγεῖν αὐτὴν, καὶ κοινωνὸν αὐτὴν τῆς ἀρχῆς ἀπεργάζεται, καὶ τῆς εὐλογίας αὐτὴν ἀξιοῖ. καὶ ἄρχετε, φησι, τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. εἶδες ἐξουσίαν ἄφατον; εἶδες ἀρχῆς μέγεθος; εἶδες πάντα τὰ δημιουργηθέντα ὑπὸ τὴν τούτου ὑποταγὴν γενόμενα; μηδὲν οὖν λοιπὸν μικρὸν φαντασθῇς περὶ τοῦ ζώου τούτου τοῦ λογικοῦ, ἀλλ' ἐννόησον τῆς τιμῆς τὸ μέγεθος, καὶ τὴν περὶ αὐτὸ εὔνοιαν τοῦ δεσπότου, ἐκπλήττου τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν.

γρ. ἀρχέτω

* ἐπὶ

29 Καὶ εἶπεν ὁ θεὸς, ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν· 30 Καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτω.

Θέα μοι τῶν ῥημάτων τὴν ἀκρίβειαν, ἀγαπητὲ, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ μηδὲν ἁπλῶς παραδράμῃς τῶν εἰρημένων. καὶ εἶπε, φησιν, ὁ θεὸς, ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον· ὡς πρὸς τοὺς δύο ἡ διάλεξις γίνεται, καὶ ταῦτα μηδέπω τῆς γυναικὸς παραχθείσης. Εἶτα ἵνα μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, ὅρα πῶς οὐ μέχρι τοῦ ἀνθρώπου καὶ τῆς γυναικὸς τῆς μηδέπω παραχθείσης τὴν φιλανθρωπίαν ἐπιδείκνυται, καὶ τὴν ὑπερβάλλουσαν φιλοτιμίαν, ἀλλὰ καὶ μέχρις αὐτῶν τῶν ἀλόγων. Εἰπὼν γὰρ, ὑμῖν ἔσται εἰς βρῶσιν, ἐπήγαγε, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. ὅρα πάλιν ἑτέραν ἄβυσσον φιλανθρωπίας. οὐ μόνον γὰρ τῶν ἀλόγων τῶν ἡμέρων, καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτηδείων, καὶ πρὸς ὑπηρεσίαν, πρόνοιαν πεποίηται, ἀλλὰ καὶ τῶν θηρίων. καὶ τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο τῆς ἀπείρου ταύτης ἀγαθότητος; ὑμῖν ἔσται εἰς βρῶσιν, φησι, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. πολλὴ τοῦ δεσπότου δείκνυται ἡ περὶ τὸν ἄνθρωπον τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα πρόνοια. ἐπειδὴ γὰρ αὐτὸν παρήγαγε, καὶ πᾶσαν αὐτῷ τὴν ἀρχὴν τῆς δημιουργίας ἐνεχείρισεν, ἵνα μὴ εὐθέως καὶ ἐκ προοιμίων ὁρῶν τῶν ἀλόγων τὸ πλῆθος, δυσχεραίνειν ἔχῃ, ὡς οὐ μὴ δυνάμενος ἀρκέσαι πρὸς τὴν τῶν τοσούτων ζώων τροφὴν, πρὶν ἢ καὶ ἔννοιαν αὐτόν τινα δέξασθαι περὶ τούτου, προλαβὼν ὁ ἀγαθὸς δεσπότης παραμυθούμενος αὐτὸν, ὡς εἰπεῖν, καὶ δεικνὺς, ὡς καὶ αὐτὸς, καὶ τὰ ἄλογα πάντα πολλὴν ἕξει τὴν ἀφθονίαν, τῆς γῆς τῷ προστάγματι τοῦ δεσπότου πρὸς τὴν διατροφὴν τούτων ὑπηρετουμένης, εἰπὼν, ὑμῖν ἔσται εἰς βρῶσιν,

γρ.

γρ.

γρ.

εὐθέως ἐπήγαγε, καὶ τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτω. πάντα ὅσα προσέταξεν ὁ δημιουργός, φησιν, εἰς ἔργον ἐξῆλθε, καὶ πάντα εἰς τὴν προσήκουσαν εὐταξίαν ἀποκατέστη· διά τοι τοῦτο εὐθέως ἐπήγαγε,

31 Καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν.

Τίς ἂν καὶ ἀξίαν ἀνυμνήσειε τῆς θείας γραφῆς τὴν ἀκρίβειαν; ἰδοὺ γὰρ καὶ ἐνταῦθα διὰ μιᾶς λέξεως εἰποῦσα, καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, πάντων τῶν μετὰ ταῦτα ἀντιλέγειν ἐπιχειρούντων τὴν γλῶτταν ἐπεστόμισε. καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, φησι, καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. ἐπειδὴ γὰρ ἐφ' ἑκάστου τῶν δημιουργηθέντων ἔλεγε, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν, νῦν ὅτε τὰ πάντα συνετελέσθη, καὶ τὰ τῆς ἕκτης ἡμέρας ἔργα τέλος ἔλαβε, καὶ ὁ μέλλων πάντων τῶν δημιουργηθέντων ἀπολαύειν εἰς τὸ μέσον παρήχθη, φησί, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. σκόπει πῶς συλλαβὼν τὰ δημιουργηθέντα ἅπαντα διὰ τῆς λέξεως ταύτης (τοῦ πάντα) πᾶσι τοῖς δημιουργηθεῖσι τὸν ἔπαινον ἀπεκλήρωσεν. οὐδὲ γὰρ εἰποῦσα, ἅπαντα, ἠρκέσθη, ἀλλ' ἐπήγαγεν, ὅσα ἐποίησε, καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἰδοὺ καλά, καὶ λίαν καλά φησι. τοῦτ' ἔστι πάνυ καλά. ὅταν οὖν ὁ δεσπότης, ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, καλὰ καὶ πάνυ καλὰ τὰ δημιουργήματα προσείποι, τίς ἂν τολμήσειε, κἂν αὐτομανίας ᾖ πεπληρωμένος, διάραι τὸ στόμα καὶ ἀντιφθέγξασθαι τοῖς ὑπὸ τοῦ θεοῦ ῥηθεῖσιν; ἐπειδὴ γὰρ ἐν τοῖς ὁρωμένοις οὐ μόνον φῶς ἐδημιουργήθη, ἀλλὰ καὶ σκότος ἀπ' ἐναντίας τῷ φωτί, καὶ οὐ μόνον ἡμέρα, ἀλλὰ καὶ νὺξ ἀπ' ἐναντίας τῇ ἡμέρᾳ, καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀναδιδομένων σπερμάτων, οὐ μόνον βοτάναι χρήσιμοι, ἀλλὰ καὶ ὀλέθριαι, καὶ δένδρα οὐ μόνον ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρπα, καὶ ζῶα οὐ μόνον ἥμερα, ἀλλὰ καὶ ἄγρια καὶ ἀτίθασσα, καὶ ἐπὶ τῶν ἐκ τῶν ὑδάτων ἀναδοθέντων οὐ μόνον ἰχθύες, ἀλλὰ καὶ κήτη καὶ ἕτερα θηρία θαλάττια, καὶ γῆ οὐ μόνον οἰκουμένη, ἀλλὰ καὶ ἀοίκητος· καὶ οὐ μόνον ὕπτια πεδία, ἀλλὰ καὶ ὄρη καὶ νάπαι, καὶ ἐπὶ τῶν πετεινῶν, οὐ μόνον ἥμερα καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτήδεια, ἀλλὰ καὶ ἄγρια καὶ ἀκάθαρτα ζῶα, καὶ ἰκτῖνες καὶ γῦπες καὶ ἕτερα πολλὰ τοιαῦτα, καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀναδοθέντων οὐ μόνον ἥμερα ζῶα, ἀλλὰ καὶ ὄφεις καὶ ἔχεις καὶ δράκοντες καὶ λέοντες καὶ παρδάλεις, καὶ ἐπὶ τοῦ ἀέρος πάλιν οὐ μόνον "ὑετοὶ καὶ ἄνεμοι ἐπιτήδειοι, ἀλλὰ καὶ χάλαζαι καὶ χιόνες (καὶ εἴ τις καθ' ἕκαστον ἐπεξιέναι βούλοιτο, πολλὰ εὑρήσει ἐφ' ἑκάστῳ τῶν δημιουργηθέντων, οὐ μόνον ἡμῖν χρήσιμα, ἀλλὰ καὶ βλαβερὰ νομιζόμενα) ἵν' οὖν μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα πρὸς τὰ δημιουργηθέντα ἀποβλεπόντων ἐπισκήπτειν τοῖς γεγενημένοις, καὶ λέγειν διὰ τί τοῦτο; εἰς τί τοῦτο; καὶ τὸ μὲν καλῶς γεγένηται, τὸ δὲ οὐ καλῶς· διὰ τοῦτο ἡ "ἁγία γραφὴ πάντας, ὡς εἰπεῖν, τοὺς ἀγνωμονεῖν ἐπιχειροῦντας ἐπιστομίζουσα κατὰ τὴν ἕκτην ἡμέραν μετὰ τὴν ἁπάντων δημιουργίαν φησί, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. τί ταύτης τῆς ἀξιοπιστίας ἴσον γένοιτ' ἄν, ὅταν αὐτὸς ὁ δημιουργὸς τῶν ἁπάντων ψηφίζεται καὶ λέγει, ὅτι πάντα τὰ γεγενημένα καλά, καὶ καλὰ λίαν; ὅταν τοίνυν ἴδῃς τινὰ ἐξ οἰκείων λογισμῶν κινούμενον [καὶ βουλόμενον] "ἀντιφθέγξασθαι τῇ θείᾳ γραφῇ, ὡς μαινόμενον ἀποτράφηθι· μᾶλλον δὲ μηδὲ ἀποτραφῇς, ἀλλ' ἐλεῶν αὐτὸν τῆς ἀγνοίας, πάραγε τὸ παρὰ τῆς θείας γραφῆς εἰρημένον καὶ λέγε, ὅτι εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ εἶπεν, ἰδοὺ καλὰ λίαν· καὶ ἴσως ἐπισχεῖν αὐτοῦ δυνήσῃ τὴν ἀκόλαστον γλῶτταν. εἰ γὰρ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπειδὰν ἴδωμέν τινας τῶν ἐν

γρ. ὑετός

γρ. θεία

γρ. ἀντιφθέγγεσθαι

" ἀξιώμασι ψηφιζομένους, τοῖς γεγενημένοις οὐκ ἀντιτεινόμεθα, ἀλλὰ συγκατατιθέμεθα, καὶ τῆς οἰκείας κρίσεως πολλάκις προτιμῶμεν τὴν παρ' ἐκείνων ψῆφον· πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων θεοῦ, τοῦ δημιουργοῦ τῶν ὁρωμένων ἁπάντων, τοῦτο ποιεῖν χρὴ, καὶ μαθόντας τὴν παρ' αὐτοῦ ψῆφον κατακοιμίζειν τοὺς ἡμετέρους λογισμοὺς, καὶ μηδὲν περαιτέρω τολμᾶν, ἀλλ' εἰδέναι καὶ πεπληροφορῆσθαι, ὅτι πάντα λόγῳ τινὶ καὶ φιλανθρωπίᾳ παρ' αὐτοῦ παρήχθη, καὶ οὐδέν ἐστιν ἁπλῶς καὶ εἰκῆ γεγενημένον. ἀλλὰ κἂν ἡμεῖς διὰ τὴν ἀσθένειαν τῶν ἡμετέρων λογισμῶν ἀγνοῶμεν τὴν χρείαν τῶν γεγενημένων, αὐτὸς κατὰ τὴν αὐτοῦ σοφίαν καὶ εὐμήχανον φιλανθρωπίαν ἅπαντα παρήγαγε.

γρ. ἀξιώματι

Καὶ ἐγένετο, φησὶν, ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα ἕκτη.

Τῷ τέλει τῆς ἕκτης ἡμέρας καὶ τὸ τέλος τῶν " δημιουργημάτων ἁπάντων ἐπέθηκε· διὰ τοῦτο καὶ ἐπήγαγε.

γρ. δημιουργηθέντων

κεφ. β.

1 Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν.

Σκόπει τὸ ἀνεπαχθὲς καὶ ἀπέριττον τῆς θείας γραφῆς. τῶν συνεκτικωτάτων στοιχείων μνημονεύσασα, οὐκέτι κατὰ μέρος τῶν λοιπῶν ἐμνήσθη, ἀλλ' εἰποῦσα, συνετελέσθη ὁ οὐρανὸς καὶ ἡ γῆ, φησὶ, καὶ πᾶς ὁ κόσμος αὐτῶν, ἐμφαίνουσα διὰ τούτου τὰ κατὰ τὴν γῆν ἅπαντα καὶ τὸν οὐρανόν. κόσμος γὰρ τῆς γῆς τὰ ἐξ αὐτῆς ἀναδιδόμενα, ἡ βλάστη τῶν βοτανῶν, τῶν καρπῶν ἡ φορὰ, τῶν δένδρων οἱ καρποὶ, τὰ ἄλλα ἅπαντα, οἷς αὐτὴν ὁ δημιουργὸς " κατεκόσμησε· καὶ τοῦ οὐρανοῦ πάλιν κόσμος, ἥλιος, σελήνη, τῶν ἄστρων ἡ ποικιλία, καὶ τὰ ἐν μέσῳ ἅπαντα δημιουργήματα. διὰ τοῦτο τοῦ οὐρανοῦ καὶ τῆς γῆς μνημονεύσασα ἡ θεία γραφὴ, πᾶσαν τὴν δημιουργίαν διὰ τούτων τῶν στοιχείων συμπεριέλαβε. καὶ συνετέλεσε, φησὶν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε. σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον τὸ αὐτὸ λέγει, ἵνα μάθωμεν ὅτι μέχρι τῆς ἕκτης ἡμέρας τὰ τῆς δημιουργίας ἅπαντα γεγένηται.

γρ. ἐκαλλώπισε

2 Συνετέλεσε γὰρ, φησὶ, τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε.

Τί ἐστι, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε; θέα, πῶς ἀνθρωπίνως καὶ διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν ἅπαντα διαλέγεται ἡ θεία γραφή. οὐδὲ γὰρ ἦν ἄλλως ἡμᾶς συνιέναι τι τῶν λεγομένων μὴ τοσαύτης ἀξιωθέντας συγκαταβάσεως. καὶ κατέπαυσε, φησὶν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. ἔστη, φησὶ, τοῦ δημιουργεῖν καὶ παράγειν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. πάντα γὰρ ὅσα ἐχρῆν, παρήγαγε, καὶ τὰ μέλλοντα τούτων ἀπολαύειν ἐδημιούργησε.

3 Καὶ εὐλόγησε, φησὶν, ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτὴν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι.

Ἐπειδὴ γὰρ ἔστη δημιουργῶν, καὶ πάντα ὅσα ἐβουλήθη κατὰ τὴν οἰκείαν φιλανθρωπίαν παρήγαγεν εἰς τὸ μέσον τῷ οἰκείῳ προστάγματι, καὶ τέλος ἐπέθηκε τοῖς δημιουργουμένοις κατὰ τὴν ἕκτην ἡμέραν, οὐδὲν δὲ ἕτερον ἐβούλετο παραγαγεῖν ἐν τῇ ἑβδόμῃ διὰ τὸ πάντα ὅσα ἐβούλετο πεπληρῶσθαι, ἵν' ἔχῃ τι προτέρημα καὶ ἡ ἡμέρα αὕτη, καὶ μὴ δοκῇ ἔλαττόν τι ἔχειν διὰ τὸ μηδὲν ἐν αὐτῇ δεδημιουργῆσθαι, εὐλογίας αὐτὴν ἀξιοῖ. καὶ εὐλόγησε, φησὶν, ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν. τί οὖν, αἱ λοιπαὶ οὐκ ἦσαν εὐλογημέναι; ναὶ [φησιν] ἀλλ' ἤρκει ἐκείναις ἀντὶ πάσης εὐλογίας τὸ καθ' ἑκάστην αὐτῶν τὰ δημιουργήματα παραχθῆναι. διὸ ἐπ' ἐκείνων μὲν οὐκ εἶπεν εὐλόγησεν, ἐπὶ δὲ τῆς ἑβδόμης μόνης τοῦτο εἰπὼν, προσέθηκε καὶ ἡγίασεν αὐτήν.

τί ἐστι, καὶ ἡγίασεν αὐτήν; ἀφώρισεν αὐτήν. εἶτα διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ καὶ τὴν αἰτίαν δι᾽ ἣν εἴρηκεν, ἡγίασεν αὐτήν, προσέθηκεν ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι. ἤδη ἐντεῦθεν ἐκ προοιμίων αἰνιγματωδῶς διδασκαλίαν ἡμῖν ὁ θεὸς παρέχεται, παιδεύων τὴν μίαν ἡμέραν ἐν τῷ κύκλῳ τῆς ἑβδομάδος ἅπασαν ἀνατιθέναι καὶ ἀφορίζειν τῇ τῶν πνευματικῶν ἐργασίᾳ. διὰ γὰρ τοῦτο καὶ ὁ δεσπότης ἐν ἓξ ἡμέραις τὰ τῆς δημιουργίας ἅπαντα πληρώσας, τὴν ἑβδόμην εὐλογίας ἀξιώσας ἡγίασε, διὰ τὸ ἐν αὐτῇ καταπαῦσαι ἀπὸ τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι. ἀλλ᾽ ″ ἐντεῦθεν πάλιν ὁρῶ πέλαγος ἀχανὲς νοημάτων ἡμῖν τικτόμενον, καὶ βούλομαι μὴ ἁπλῶς αὐτὸ παραδραμεῖν, ἀλλὰ καὶ ὑμᾶς κοινωνοὺς λαβεῖν τῆς ἐμπορείας ταύτης τῆς πνευματικῆς. τί οὖν ἐστι τὸ ἐντεῦθεν ἀνακύπτον ἡμῖν ζήτημα; τῆς θείας γραφῆς ἐνταῦθα λεγούσης, ὅτι κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, ἐν τοῖς εὐαγγελίοις ὁ Χριστός φησιν, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. οὐ δοκεῖ ἐκ τῆς παραφορᾶς τῶν ῥημάτων ἐναντίωσίς τις εἶναι ἐν τοῖς λεγομένοις; ἀλλὰ οὐκ ἔστι· μὴ γένοιτο. οὐδὲν γὰρ ἐναντίον τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων. ἐνταῦθα γὰρ εἰποῦσα ἡ γραφή, ὅτι κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, διδάσκει ἡμᾶς ὅτι τοῦ δημιουργεῖν, καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν ἐπαύσατο κατὰ τὴν ἕκτην ἡμέραν. ὁ δὲ Χριστὸς λέγων, ὅτι ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι, τὴν διηνεκῆ αὐτοῦ πρόνοιαν ἡμῖν παραδηλοῖ, καὶ ἐργασίαν λέγει τὸ διακρατεῖν τὰ γεγενημένα, καὶ τὴν διαμονὴν αὐτοῖς χαρίζεσθαι καὶ ἡνιοχεῖν τὸν σύμπαντα ″ χρόνον. εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἂν συνέστη τόδε τὸ πᾶν, μὴ τῆς ἄνωθεν χειρὸς κυβερνώσης καὶ διοικούσης καὶ τὰ ὁρώμενα ἅπαντα καὶ τὸ τῶν ἀνθρώπων γένος; καὶ ἐάν τις βουληθῇ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἅπαντα κατ᾽ εἶδος ἐποπτεῦσαι τὰ καθ᾽ ἑκάστην ἡμέραν ἐπ᾽ εὐεργεσίᾳ ἡμετέρᾳ ὑπὸ τοῦ τῶν ἁπάντων δημιουργοῦ ἐπιτελούμενα, ἄβυσσον εὑρήσει φιλανθρωπίας. ποῖος γὰρ λογισμός, ἢ ποία διάνοια ἐφικέσθαι δυνήσεται τῆς ἀφάτου ἀγαθότητος, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐνδείκνυται, ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν χορηγῶν;

γ. ἐνταῦθα

γ. κόσμον.

Ιω. ε. ιζ.

ΗΘΙΚΟΝ

Τάχα περαιτέρω τοῦ δέοντος τὸν λόγον ἐξετείναμεν, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο ποιήσαντες, ἀλλ᾽ ἵνα δι᾽ ὑμῶν μάθωσιν οἱ ἀπολειφθέντες, ὅσον ἑαυτοὺς ἐζημίωσαν, διὰ τὴν σωματικὴν τροφὴν ἀποστερήσαντες ἑαυτοὺς τῆς πνευματικῆς διδασκαλίας. ἀλλ᾽ ἵνα μὴ ἐπιτείνηται αὐτοῖς τὰ τῆς ἀθυμίας, τὴν ἀδελφικὴν περὶ αὐτοὺς ἐπιδείξασθε εὔνοιαν, διαβιβάσαντες αὐτοῖς τὰ παρ᾽ ἡμῶν εἰρημένα. τοῦτο γὰρ γνησίας ἀγάπης τεκμήριον. εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων οἱ τοῦτο ποιοῦντες, καὶ τὰ ἀπὸ τῆς τραπέζης τοῖς αὐτῶν γνωρίμοις διαφυλάττοντες, μέγιστον ἀγάπης τεκμήριον ἐκφέρουσι, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο γινόμενον πολὺν ἡμῖν παρέξει τὸν ἔπαινον. πάλιν γὰρ εἰς ὑμᾶς τὰ τῆς ὠφελείας περιστήσεται. ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων, οὐ τοσοῦτον ἐκεῖνον εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος, τῆς τε παρὰ τοῦ θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύων, καὶ αὐτὸς δι᾽ ὧν τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρεῖ, εἰς ὑπόμνησιν ἐρχόμενος, καὶ ἀνανεῶν παρ᾽ ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων. τὸ κέρδος τοίνυν ἐννοοῦντες τὸ ὑμέτερον, μὴ φθονήσητε τοῖς ἀδελφοῖς τοῖς ὑμετέροις, ἀλλὰ νῦν μὲν τὰ παρ᾽ ἡμῶν λεγόμενα παρ᾽ ὑμῶν μανθανέτωσαν. ἵνα δὲ μὴ ἐν χάριτος μέρει παρ᾽ ὑμῶν μέλλωσι ταῦτα διδάσκεσθαι, ἕλκετε αὐτοὺς πρὸς ἡμᾶς, πείθοντες ὡς οὐδέποτε κώλυμα γίνεται πρὸς τὴν διδασκαλίαν τὴν πνευματικὴν ἡ τῆς τροφῆς τῆς σωματικῆς μετάληψις. ἀλλὰ δεῖ πάντα καιρὸν ἐπιτήδειον ἡγεῖσθαι πρὸς τὴν τῶν πνευματικῶν λόγων διάλεξιν. ἂν ταῦτα μετὰ ἀκριβείας ἴδωμεν, δυνησόμεθα καὶ ἐπὶ οἰκίας διατρίβοντες, καὶ μετὰ τὴν ἑστίασιν, καὶ πρὸ τῆς ἑστιάσεως μετὰ χεῖρας λαβόντες τὰ θεῖα βιβλία, τὴν ἐξ αὐτῶν καρποῦσθαι ὠφέλειαν, καὶ τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παρέχειν. ὥσπερ γὰρ τὸ σῶμα δεῖται τῆς αἰσθητῆς τροφῆς, οὕτω καὶ ἡ ψυχὴ χρῄζει καθημερινῆς ὑπομνήσεως, καὶ τροφῆς πνευματικῆς, ἵνα νευρουμένη ἀντέχειν δύνηται πρὸς τὰς ἐπαναστάσεις τῆς σαρκὸς, καὶ πρὸς τὸν διηνεκῆ πόλεμον τὸν ἐπικείμενον ἡμῖν, καὶ αἰχμάλωτον ἡμῶν ἀπεργαζόμενον τὴν ψυχὴν, ἐὰν κἂν πρὸς βραχὺ ῥαθυμῆσαι βουληθῶμεν. διὸ καὶ ὁ προφήτης Δαβὶδ Μακάριον ἐκεῖνον ἐκάλεσε τὸν ἐν τῷ νόμῳ κυρίου μελετῶντα ἡμέρας καὶ νυκτός· ψαλ. α. β. καὶ ὁ μακάριος δὲ Μωϋσῆς παιδεύων τὸ τῶν ἰουδαίων ἔθνος, ἐδίδασκεν αὐτοὺς λέγων, Δευτ. η. ι. Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς μνήσθητι κυρίου τοῦ θεοῦ σου. ὁρᾷς πῶς καὶ τότε μάλιστα προσήκει μετὰ τὴν τῆς τροφῆς ἀπόλαυσιν, τὴν πνευματικὴν ἑστίασιν ἑαυτοῖς παραθεῖναι, ἵνα μηδὲ μετὰ τὴν πλησμονὴν τῆς σωματικῆς τροφῆς ῥαθυμήσασα ἡ ψυχὴ, εἰς ὄλεθρόν τινα ἐκπέσῃ, καὶ χώραν δῷ ταῖς τοῦ διαβόλου μηχαναῖς, πάντα καιρὸν ἐπιτηροῦντος καὶ βουλομένου καιρίαν ἡμῖν δοῦναι τὴν πληγήν; καὶ πάλιν δὲ ἑτέρωθι ἔλεγεν ὁ αὐτὸς οὗτος προφήτης, Δευτ. ϛ. ζ. Κοιταζόμενοι καὶ διανιστάμενοι μνημονεύετε κυρίου τοῦ θεοῦ ὑμῶν. εἶδες πῶς οὐδέποτε ἡμᾶς προσήκει τὴν μνήμην ταύτην ἐκβαλεῖν τῆς ψυχῆς, ἀλλ' ἐγκεκολαμμένην ἔχειν τῷ συνειδότι, καὶ διηνεκῶς ἐναγωνίους εἶναι, καὶ μηδέποτε ἀνακωχὴν ἑαυτοῖς παρέχειν, ἀλλὰ τὴν μανίαν εἰδότας τοῦ τὴν πρὸς ἡμᾶς ἔχθραν ἀραμένου, νήφειν καὶ ἐγρηγορέναι, καὶ ἀποτειχίζειν αὐτῷ τὰς ἐφόδους, καὶ μηδέποτε ἀμελεῖν τροφῆς πνευματικῆς; τοῦτο γὰρ ἡμῶν ἡ σωτηρία, τοῦτο ὁ πλοῦτος ὁ πνευματικὸς, τοῦτο ἡ ἀσφάλεια. ἐὰν οὕτως ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν τειχίζωμεν, καὶ δι' ἀναγνώσεως καὶ δι' ἀκροάσεως καὶ διαλέξεως πνευματικῆς, δυνησόμεθα καὶ αὐτοὶ ἀχείρωτοι γενέσθαι, καὶ τοῦ πονηροῦ δαίμονος ἄκυρα ποιῆσαι τὰ μηχανήματα, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια. ΟΤΙ ΔΕΙ ΠΟΛΥΝ ΤΗΣ ΑΡΕΤΗΣ ΠΟΙΕΙΣθαι λόγον, καὶ μιμεῖσθαι τοὺς ἁγίους, οἳ τῆς αὐτῆς φύσεως ἡμῖν ὄντες ταύτην μετὰ ἀκριβείας κατώρθωσαν, καὶ ὅτι ῥαθυμοῦσιν ἡμῖν οὐδεμία ἔσται ἀπολογία.

Οἶδα ὅτι κατέτεινα ὑμῶν τὸν λογισμὸν ἐν ταῖς παρελθούσαις ἡμέραις τοῖς βαθυτέροις νοήμασι. διὰ τοῦτο βούλομαι σήμερον ἀφελεστέραν ὑμῖν παραθεῖναι διδασκαλίαν. καθάπερ γὰρ τὸ σῶμα ὑπὸ τῆς νηστείας κατεσκληκὸς δεῖται μικρᾶς ἀνέσεως, ἵν' οὕτω πάλιν ἀκμαζούσῃ τῇ προθυμίᾳ πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ἐπαποδύσηται· οὕτω καὶ ἡ ψυχὴ χρῄζει διαναπαύεσθαι καὶ ἀνίεσθαι. οὔτε γὰρ ἀεὶ κατατείνειν χρὴ, οὔτε δὲ ἀνιέναι, ἀλλὰ ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο ποιεῖν, καὶ οὕτως ἡνιοχεῖν καὶ τῆς ψυχῆς τὴν κατάστασιν, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα. ὥσπερ γὰρ τὸ ἀεὶ κατατείνειν τοῖς πόνοις, ἀποκναίειν ποιεῖ καὶ ἀναπίπτειν, οὕτω τὸ διηνεκῶς ἀνιέναι, εἰς ῥᾳθυμίαν ἄγει. τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς καὶ ἐπὶ τοῦ σώματος συμβαῖνον ἴδοι τις ἄν. διὰ τοῦτο πανταχοῦ ἡ συμμετρία καλόν. καὶ τοῦτο αὐτὸ διδάσκει ἡμᾶς ὁ τῶν ὅλων θεός, καὶ δι' αὐτῶν τῶν δημιουργημάτων, ἃ πρὸς τὴν ἡμετέραν σύστασιν παρήγαγε. καὶ ἵνα μάθητε, ἐπὶ τῆς ἡμέρας καὶ τῆς νυκτός, τοῦ φωτὸς λέγω καὶ τοῦ σκότους, τὸν λόγον γυμνάσωμεν. ἐπειδὴ γὰρ τὴν μὲν ἡμέραν ἀφώρισεν ἐπ' ἐργασίᾳ τῇ τῶν ἀνθρώπων φύσει, τὸ δὲ τῆς νυκτὸς σκότος* εἰς ἄνεσιν καὶ ἀνακωχὴν τῶν πόνων, μέτρα καὶ ὅρους ἑκατέροις ἐπῆξεν, ὥστε καὶ ἅπαντας ἡμᾶς τῆς ἐκεῖθεν εὐεργεσίας ἀπολαύειν. ὅτι γὰρ τὸ φῶς τῆς ἡμερινῆς ἐργασίας ἐστὶ καιρός, ἄκουε τοῦ Δαβὶδ λέγοντος, Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. καὶ καλῶς εἶπεν, ἕως ἑσπέρας. καταλαβούσης γὰρ τῆς ἑσπέρας, τὸ φῶς ὑποχωρεῖ, καὶ ἐπελθὸν τὸ σκότος κατακοιμίζει τὴν ἀνθρωπίνην φύσιν, καὶ τὸ σῶμα πεπονηκὸς διαναπαύει, καὶ τὰς αἰσθήσεις ἁπάσας ἀνίησι, καθάπερ τροφὸς ἀρίστη τὰ αἰσθητήρια ἅπαντα τῆς περὶ ἑαυτῆς ἐπιμελείας τῶν πόνων καὶ τῶν καμάτων λύουσα. ἐπειδὰν δὲ πληρωθῇ τῆς νυκτὸς τὸ μέτρον, ἐπιστάσης τῆς τοῦ φωτὸς παρουσίας καὶ διεγειράσης, παρασκευάζει ἀκμαζούσαις ταῖς αἰσθήσεσι προσβάλλειν ταῖς ἡλιακαῖς ἀκτῖσι, καὶ τῶν συνήθων ἔργων ἅπτεσθαι νεαρᾷ καὶ ζεούσῃ τῇ προθυμίᾳ. τοῦτο καὶ ἐπὶ τῶν τροπῶν τοῦ ἐνιαυτοῦ ἐστιν ἰδεῖν γεγενημένον. τὸν γὰρ χειμῶνα διαδέχεται ἔαρ, καὶ οὕτως ἐπιστάντος τοῦ θέρους καταλαμβάνει τὸ μετόπωρον, ἵνα τῇ ἐναλλαγῇ τῆς τῶν ἀέρων κράσεως διαναπαύηται ἡμῶν τὰ σώματα, καὶ μήτε ἐπὶ πλέον τῷ κρυμῷ πηγνύμενα διαφθείρηται, μήτε ὑπὸ τῆς τοῦ θέρους σφοδρότητος ἐπὶ πολὺ θερμαινόμενα διαλύηται. διὰ τοῦτο ἐγγυμνάζεσθαι παρασκευάζει περὶ μὲν τοῦ χειμῶνος τῷ μετοπώρῳ, περὶ δὲ τοῦ θέρους τῷ ἔαρι. καὶ εἴ τις εὐγνωμόνως ἅπαντα σκοπεῖν βούλοιτο, εὑρήσει ἐν ἅπασι τοῖς δημιουργηθεῖσι τάξιν τινὰ καὶ λόγον, καὶ οὐδὲν ἁπλῶς οὐδὲ εἰκῇ γεγενημένον. τοῦτο καὶ ἐπὶ τῶν σπερμάτων τῶν ἐκ τῆς γῆς ἀναδιδομένων ἄν τις κατίδοι. οὔτε γὰρ κατὰ τὸν αὐτὸν καιρὸν ἅπαντα ἐκδίδωσιν ἡ γῆ, οὔτε ὁ αὐτὸς καιρὸς ἐπιτήδειος πρὸς τὴν ἐπιμέλειαν τῶν ἐξ αὐτῆς βλαστανόντων, ἀλλ' οἶδε τὸν ἁρμόζοντα καιρὸν ὁ γεωπόνος παρὰ τῆς τοῦ θεοῦ δοθείσης σοφίας τοῦτο μεμαθηκώς, καὶ ἐπίσταται πότε μὲν δεῖ τὰ σπέρματα καταβάλλειν, πότε δὲ τῶν δένδρων τὰ φυτὰ καὶ τῆς ἀμπέλου τοῖς κόλποις τῆς γῆς παρακατατίθεσθαι, καὶ πότε μὲν θήγειν τὴν δρεπάνην πρὸς τὸν ἀμητόν, πότε δὲ τὸν καρπὸν τῆς ἀμπέλου δρέπεσθαι, καὶ τοὺς βότρυας ἐκτέμνειν, καὶ κατὰ ποῖον καιρὸν ἐκλέγειν τῆς ἐλαίας τὸν καρπόν. καὶ εὑρήσεις, εἰ βούλοιο κατὰ μέρος διερευνᾶσθαι ταῦτα ἅπαντα, πολλὴν σοφίαν καὶ παρὰ τοῖς τὴν γῆν ἐργαζομένοις ἐναποκειμένην. καὶ οὐκ ἐπὶ τῆς γῆς τοῦτό ἐστιν ἰδεῖν μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης. καὶ γὰρ ἐνταῦθα πάλιν ἑτέραν θαυμαστὴν σοφίαν ἐστὶν ἰδεῖν. οἶδε γὰρ ὁ κυβερνήτης, πότε δεῖ καθελκύσαι τὸ πλοῖον, καὶ ἐκ τοῦ λιμένος ἐκβαλεῖν, καὶ τὰ πελάγη περαιώσασθαι, καὶ πολλὴν μάλιστα παρὰ τούτοις ἐστὶν ἰδεῖν τὴν σύνεσιν, ἣν ἡ τοῦ θεοῦ σοφία ἐναπέθετο τῇ ἀνθρωπίνῃ φύσει. οὐδὲ γὰρ οὕτως οἱ τὰς λεωφόρους διατρέχοντες ἴσασι μετὰ ἀκριβείας τὰς ἀτραπούς, ὡς οὗτοι οἱ ἐν τοῖς ὕδασι μετὰ ἀσφαλείας τὴν πορείαν ποιοῦνται. διὸ καὶ ἡ γραφὴ ἐκπληττομένη τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ σοφίαν ἔλεγεν, Ὁ διδοὺς ἐν θαλάσσῃ ὁδόν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον. ποῖος ἀνθρώπινος λογισμὸς δύναται ταῦτα κατιδεῖν; κατὰ τὸν αὐτὸν λόγον εὕροι τις ἂν καὶ ἐν τῇ μεταλήψει τῆς τροφῆς τῆς ἀνθρωπίνης ταῦτα διατεταγμένα. καὶ γὰρ καθ' ἕκαστον καιρόν, καὶ καθ' ἑκάστην τροπὴν τοῦ ἐνιαυτοῦ, διαφόρους ἡμῖν τροφὰς ὁ δεσπότης κεχάρισται· καὶ καθάπερ τροφὸς ἀρίστη, οὕτως ἡ γῆ τὰ παρ' ἑαυτῆς ἡμῖν δωροφορεῖ, τῷ ἐπιτάγματι τοῦ

Ψαλ. ργ.

γρ. ἐκτείνωμεν

γρ. ἡμῖν

Παροι. θ. θ.

δημιουργοῦ ὑπηρετουμένη. ἀλλ' ἵνα μὴ ἐπὶ πλέον τοῦτον ἐκτείνω τὸν λόγον, ἔξεστιν ὑμῖν συνετοῖς οὖσι τὰ λοιπὰ ἅπαντα ἀναλέγεσθαι. Δίδου γάρ, φησι, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας τροφῆς τοῦτο μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῆς τῶν ἀλόγων. καὶ δυνήσεσθε, εἰ βουληθείητε, καὶ ἐκ πολλῶν ἑτέρων διερευνώμενοι καταμαθεῖν τοῦ ἀριστοτέχνου θεοῦ τὴν ἄφατον σοφίαν, καὶ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, καὶ ὡς ἕκαστον τῶν γεγενημένων λόγῳ τινὶ παρήχθη. κατὰ τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ καιροῦ τῆς ἁγίας τεσσαρακοστῆς εὑρήσομεν νῦν ἡμῖν διατετυπωμένον. καθάπερ γὰρ ἐν ταῖς λεωφόροις εἰσὶ σταθμοὶ καὶ καταγώγια, ὥστε τοὺς ὁδίτας κεκμηκότας διαναπαύεσθαι, καὶ τῶν πόνων λήγοντας οὕτω πάλιν ἅπτεσθαι τῆς ὁδοιπορείας, καὶ ἐν τῇ θαλάσσῃ δὲ ἀκταὶ καὶ αἰγιαλοὶ καὶ λιμένες εἰσίν, ὥστε καὶ τοὺς ναυτιλλομένους, μετὰ τὸ πολλὰ κύματα διαδραμεῖν, καὶ πρὸς τὰς τῶν ἀνέμων ἐμβολὰς ἀντιστῆναι, μικρὸν ἀνεθέντας οὕτω πάλιν τῆς ναυτιλίας ἅπτεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ἐπὶ τῆς ἁγίας τεσσαρακοστῆς, τοῖς τὸν δρόμον τῆς νηστείας καταδεξαμένοις, καθάπερ σταθμοὺς καὶ καταγώγια καὶ ἀκτὰς καὶ αἰγιαλοὺς καὶ λιμένας, τὰς δύο ταύτας ἡμέρας τῆς ἑβδομάδος βραχύ τι διαναπαύεσθαι κεχάρισται ὁ δεσπότης, ἵνα καὶ τὸ σῶμα μικρὸν ἀνέντες ἀπὸ τῶν πόνων τῆς νηστείας, καὶ τὴν ψυχὴν παραμυθησάμενοι, πάλιν παρελθουσῶν τῶν δύο τούτων ἡμερῶν, τῆς αὐτῆς ὁδοῦ μετὰ προθυμίας ἅπτωνται οἱ τὴν καλὴν ταύτην καὶ ἐπωφελῆ ὁδοιπορείαν ποιούμενοι. φέρε οὖν καὶ ἡμεῖς, ἐπειδὴ τῆς ἀνέσεως ἐστὶν ἡμέρα σήμερον, παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην τὰ ἀπὸ τῆς νηστείας συλλεγμένα κέρδη μετὰ ἀσφαλείας φυλάττειν, ἵνα μικρὸν διαναπαυσάμενοι, πάλιν προσθήκην ἐργάσησθε τοῖς προλαβοῦσι· καὶ οὕτω κατὰ μικρὸν μεγάλην τὴν ἐμπορείαν ἑαυτοῖς κατασκευάσαντες, οὕτως εἰς τὴν κυρίαν ἡμέραν ἀπαντήσητε, καὶ πεπληρωμένην ὑμῶν τὴν ὁλκάδα τῆς πνευματικῆς εἰς τὸν λιμένα τῆς ἁγίας ἑορτῆς εἰσαγάγητε. ὥσπερ γὰρ τὰ παρὰ τοῦ δεσπότου γεγενημένα ἅπαντα, καθάπερ ὁ λόγος ἀπέδειξε, καὶ ἡ τῶν πραγμάτων διδάσκει μαρτυρία, λόγῳ τινὶ δεδημιούργηται χρείαν ἀναγκαίαν ἀποπληροῦντα· οὕτω καὶ τὰ παρ' ἡμῶν γινόμενα προσήκει μὴ ἁπλῶς μηδὲ μάτην γίνεσθαι, ἀλλ' ἐπ' ὠφελείᾳ καὶ κέρδει τῆς σωτηρίας τῆς ἡμετέρας. εἰ γὰρ οἱ τὰ βιωτικὰ μετιόντες πράγματα, οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπιτηδεύματος ἅψασθαι, μὴ πρότερον τὸ ἐκεῖθεν κέρδος περισκοπήσαντες· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τοῦτο ποιεῖν, καὶ μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν συνείδησιν καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι ἡμῖν κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθωσάμεθα. εἰ γὰρ μὴ μέλλοιμεν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν καὶ τοσαύτην ποιεῖσθαι ἐπιμέλειαν τῆς ἑαυτῶν ψυχῆς, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς νηστείας, οὐδὲ τῆς ἀσιτίας, ἣν ὑπομένομεν· μάλιστα εἰ φαινόμεθα ἐλάττους τῶν περὶ τὴν συλλογὴν τῶν χρημάτων τοσαύτην σπουδὴν ποιουμένων. εὑρήσεις γὰρ ἕκαστον ἐκείνων πᾶσαν ἀγρυπνίαν ἐπιδεικνύμενον, ὥστε ἐφ' ἑκάστης ἡμέρας προστιθέναι τοῖς προτέροις, καὶ οὐδέποτε κόρον λαμβάνοντα, ἀλλ' ὅσῳ ἂν αὔξηται αὐτῷ τὰ τῆς περιουσίας, τοσούτῳ μᾶλλον καὶ τὴν ἐπιθυμίαν καὶ τὴν σπουδὴν ἐπιτεινομένην. εἰ τοίνυν, ἔνθα καὶ τὰ τῆς σπουδῆς ἀνόνητα, καὶ τὰ τῆς περιουσίας πολλάκις πολλὴν ἐργάζεται τῇ τῆς ψυχῆς σωτηρίᾳ τὴν λύμην, τοσαύτην ἐπιδείκνυνται τὴν ἀγρυπνίαν, οὐ πολλῷ μᾶλλον ἡμεῖς ὀφείλομεν πλείονα τὴν διέγερσιν ἐπιδείξασθαι; καὶ μετὰ τούτων δὲ ἁπάντων ἐκεῖ πολλὴ ἡ ἀδηλία. ἀβέβαιος γὰρ τῶν χρημάτων ἡ κτῆσις, οὐκ ἐπειδὴ μόνον τῆς τελευτῆς ἐπιστάσης ἐνταῦθα μένοντα· οὐδὲ μίαν ὄνησιν παρέχει τῷ ταῦτα συνάγοντι, ἀλλ' ὅτι καὶ τῶν χρημάτων ὧδε μενόντων τὰς ὑπὲρ τούτων εὐθύνας μετὰ πολλῆς τῆς σφοδρότητος ἀπαιτεῖσθαι ἀναγκάζεται. ″ἔστι καὶ ὅτε πολλάκις καὶ πρὸ τῆς τελευτῆς μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας, καθάπερ καταιγίδος τινὸς προσπεσούσης τῆς τῶν πραγμάτων περιστάσεως, ἀθρόον ὁ πολλὴν τὴν περιουσίαν τοῦ πλούτου κεκτημένος, τῶν σφόδρα πενήτων γέγονε πενέστερος. καὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ἐστὶν ἰδεῖν συμβαίνοντα. ἐπὶ μέντοι τῆς πνευματικῆς ἐμπορείας οὐδέν ἐστι τοιοῦτον δεῖσαί ποτε. αὕτη γὰρ βεβαία μένει καὶ ἀκίνητος, καὶ ἔνθα μάλιστα χρῄζομεν αὐτῆς, ἐκεῖ πολλὴν ἡμῖν παρέχει τὴν ἐξ αὐτῆς παραμυθίαν. ὡς οὖν καιρὸν ἔχομεν, παρακαλῶ, κἂν νῦν τὴν αὐτὴν ἐκείνοις εἰσενέγκωμεν σπουδὴν περὶ τὴν πνευματικὴν ταύτην ἐμπορείαν, καὶ μηδέποτε παυώμεθα τοῦτο μεριμνῶντες, εἴ τι κατώρθωται ἡμῖν, καὶ εἴ τινα τῶν ἐνοχλούντων ἡμῖν παθῶν διὰ τῆς πολλῆς ἀγρυπνίας εἰς φυγὴν ἐτρέψαμεν, ἵν' ἔχοντες τὴν ἀπὸ τοῦ συνειδότος πληροφορίαν, πολλὴν καρπωσάμεθα τὴν ἡδονήν. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἵνα καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγινώμεθα, καὶ περὶ τῶν αὐτῶν συνεχῶς ἀκούωμεν, καὶ τὴν τεσσαρακοστὴν πᾶσαν νηστεύοντες ὦμεν. εἰ γὰρ μὴ μέλλοιμεν τι κερδαίνειν ἐκ τῆς ἐνταῦθα συνεχοῦς ἐλεύσεώς τε καὶ παραινέσεως, καὶ ἀπὸ τοῦ τῆς νηστείας καιροῦ προσφέρειν τι τῶν χρησίμων εἰς τὴν ἑαυτῶν ψυχήν, ταῦτα οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελήσει, ἀλλὰ καὶ μείζονος ἡμῖν κατακρίσεως ἀφορμὴ γενήσεται, ὅταν τοσαύτης ἐπιμελείας ἀπολαύοντες, οἱ αὐτοὶ διαμένωμεν, καὶ μήτε ὁ ὀργίλος ἐπιεικὴς γένηται, μήτε ὁ θυμώδης εἰς πραότητα μεταβάλλοιτο, μήτε ὁ βάσκανος εἰς φιλοφροσύνην ἑαυτὸν ἐναγάγῃ, μήτε ὁ περὶ τὰ χρήματα μεμηνώς, ἀποστὰς τοῦ πάθους πρὸς ἐλεημοσύνην ἑαυτὸν παρασκευάσῃ καὶ τὴν τῶν πενήτων διατροφήν, μήτε ὁ ἀκόλαστος σώφρων γένοιτο, μήτε ὁ περὶ τὴν κενὴν ταύτην δόξαν ἐπτοημένος, μάθῃ ταύτης ὑπερορᾶν καὶ τῆς ἀληθοῦς ἐφίεσθαι δόξης, μήτε ὁ περὶ τὴν ἀγάπην τὴν περὶ τὸν πλησίον ῥᾴθυμος, διαναστήσας ″αὐτὸν παιδεύσῃ, μὴ μόνον τῶν τελωνῶν μὴ εἶναι ἐλάττων (Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, φησί, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν;) ἀλλ' ἵνα ″παρασκευάζῃ αὐτοῦ τὸν λογισμὸν καὶ τοὺς ἐχθροὺς ἡμέρως ὁρᾶν καὶ πολλὴν περὶ αὐτοὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι. ἐὰν μὴ τούτων περιγενοίμεθα τῶν παθῶν, καὶ τῶν ἄλλων τῶν ἐν ἡμῖν τικτομένων, καθ' ἑκάστην ἐνταῦθα παραγινόμενοι, καὶ συνεχοῦς ἀκροάσεως ἀπολαύοντες, καὶ τοσαύτης διδασκαλίας μετέχοντες, καὶ τὴν ἀπὸ τῆς νηστείας ἔχοντες βοήθειαν, ποία ἡμῖν ἔσται συγγνώμη, ποία δὲ ἀπολογία; εἰπὲ γάρ μοι, παρακαλῶ, εἰ τὸν παῖδα τὸν σὸν θεάσῃ καθ' ἑκάστην ἀπιόντα ἡμέραν εἰς τὸ διδασκαλεῖον, καὶ τοῦ χρόνου προϊόντος μηδὲν πλέον ἐκεῖθεν κερδαίνοντα, ἆρα ἀνεκτῶς οἴσεις; οὐχὶ δὲ καὶ τῷ παιδὶ μάστιγας ἐπιθήσεις, καὶ τῷ διδασκάλῳ μέμψῃ; εἶτα εἰ μάθοις, ὅτι τὰ μὲν παρὰ τοῦ διδασκάλου πάντα γεγένηται, καὶ οὐδὲν λέλειπται, ἡ δὲ ῥᾳθυμία τοῦ παιδὸς αἰτία πάντων καθέστηκε, οὐχὶ πᾶσαν τὴν ἀγανάκτησιν ἐπὶ τὸν παῖδα μεταθήσεις, τῆς αἰτίας ἀφεὶς τὸν διδάσκαλον; τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα γίνεσθαι δίκαιον. ἡμεῖς γάρ, καθάπερ ἐτάχθημεν παρὰ τῆς τοῦ θεοῦ χάριτος, ὡς τέκνα πνευματικὰ καθ' ἑκάστην ἡμέραν εἰς τὸ διδασκαλεῖον τοῦτο καλοῦντες, τὴν σωτηριώδη διδασκαλίαν ὑμῖν παρατίθεμεν, οὐ τὰ ἀπὸ τῆς οἰκείας διανοίας φθεγγόμενοι, ἀλλὰ τὰ παρὰ τοῦ δεσπότου διὰ τῶν θείων γραφῶν ἡμῖν δωρηθέντα διδάγματα, ταῦτα εἰς μέσον προτιθέντες καὶ ″ταῦτα συνεχῶς ἐνηχοῦντες. εἰ τοίνυν ἡμῶν πᾶσαν σπουδὴν καὶ ἀγρυπνίαν

οἱ καὶ ὅτε

ἴσ. ἑαυτὸν

Ματθ. ε. μζ.

γρ. παιδεύσῃ

γρ. τὰ αὐτά

ἀγρυπνίαν ἐπιδεικνυμένων, καὶ ἐφ᾽ ἑκάστης ἐπὶ τὴν ὁδὸν τῆς ἀρετῆς ὁδηγούντων, ὑμεῖς τοῖς αὐτοῖς ἐπιμένετε, ἐννοήσατε ὅση καὶ ἡμῖν ἔσται ἡ ὀδύνη καὶ ὑμῖν ἡ κατάγνωσις, ἵνα μηδὲν πλέον εἴπω. Εἰ γὰρ καὶ ἀνευθύνους ἡμᾶς δείκνυσι τὸ μηδὲν παραλιπεῖν τῶν εἰς τὴν ὑμετέραν οἰκοδομὴν ἡκόντων, ἀλλ᾽ ὅμως ἐπειδὴ κηδόμεθα τῆς ὑμετέρας σωτηρίας, οὐ δυνάμεθα πράως φέρειν· ἐπεὶ καὶ ὁ διδάσκαλος ἐπειδὰν ἴδῃ τὸν μαθητὴν μηδὲν καρπούμενον παρὰ τῆς αὐτοῦ σπουδῆς, οὐχ ὡς ἔτυχεν ἀλγεῖ καὶ ὀδυνᾶται, ὁρῶν ἑαυτὸν μάτην πονούμενον. Ταῦτα * λέγω [νῦν] οὐχ ἵνα λυπήσω τὴν ὑμετέραν ἀγάπην, ἀλλ᾽ ἵνα διεγείρω καὶ παρασκευάσω μήτε ἁπλῶς κατατείνειν τὸ σῶμα τῇ νηστείᾳ, μήτε εἰκῇ καὶ μάτην τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς παρατρέχειν. καὶ τί λέγω τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς, ὅπου γε ἡμᾶς προσήκει μήτε μίαν ὅλως ἡμέραν παραπέμπεσθαι, εἰ οἷόν τε, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς, ἐν ᾗ μὴ κέρδος πνευματικὸν ἑαυτοῖς ἐναποτιθέμεθα, ἢ δι᾽ εὐχῆς, ἢ δι᾽ ἐξομολογήσεως, ἢ δι᾽ εὐποιΐας, ἢ δι᾽ ἑτέρας τινὸς ἐργασίας πνευματικῆς; εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τὰ ἄρρητα ἐκεῖνα ῥήματα ἀκούσας, ἃ μέχρι τῆς σήμερον οὐδεὶς ἔγνω, ἐβόα λέγων, Καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, διδάσκων ἡμᾶς, ὅτι οὕτως ἑαυτὸν τοῖς κινδύνοις τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐξεδίδου, ὡς πρὸ αὐτὸν τὸν θάνατον γίνεσθαι ἐφ᾽ ἑκάστης ἡμέρας, καὶ ὅπερ ἡ φύσις οὐκ ἐδέχετο (ἑνὶ γὰρ θανάτῳ πάντες ὑποκείμεθα) τοῦτο ἡ φιλονεικία τῆς προαιρέσεως αὐτοῦ κατώρθου, εἰ καὶ ὁ φιλάνθρωπος θεὸς ἐπὶ πλέον αὐτὸν διετήρει διὰ τὴν τῶν λοιπῶν σωτηρίαν· εἰ τοίνυν ἐκεῖνος ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος ἐπὶ γῆς φαινόμενος, καθ᾽ ἑκάστην ἐσπούδαζε κερδαίνειν, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας κινδύνους παρατάττεσθαι, καὶ τὴν ἐμπορείαν τὴν πνευματικὴν ἑαυτῷ συλλέγειν, καὶ μηδέποτε ἵστασθαι, ποίαν ἂν σχοίημεν ἡμεῖς ἀπολογίαν, οἱ μὴ μόνον πάντων ὄντες ἔρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον ἡμῖν προσὸν ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιούμενοι σπουδὴν κἂν γοῦν ταῦτα διορθοῦν; ὁπόταν γὰρ ὁ αὐτὸς πολλάκις εὑρίσκοιτο μὴ μόνον ἓν ἐλάττωμα ἔχων, ἀλλὰ καὶ πλείονα, καὶ ὀργίλος ᾖ, καὶ ἀκόλαστος, καὶ πλεονέκτης, καὶ βάσκανος, καὶ θυμώδης, καὶ μήτε ταῦτα διορθοῦν βούλοιτο, μήτε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι, ποία λοιπὸν ἂν γένοιτο σωτηρίας ἐλπίς; ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, ἵνα ἕκαστος τῶν ἀκουόντων τὸ κατάλληλον ἑαυτῷ φάρμακον δεξάμενος ἐκ τῶν παρ᾽ ἡμῶν λεγομένων, σπουδάσῃ ταχέως καὶ τῶν ἐνοχλούντων παθῶν ἀπαλλαγεὶς πρὸς ὑγείαν ἐπανελθεῖν, καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἑαυτὸν ἐπιτήδειον καταστῆσαι. καὶ γὰρ ἐπὶ τῶν καμνόντων τὰ σώματα κἂν μυριάκις ὁ ἰατρὸς ἐπιθῇ τὰ φάρμακα, ὁ δ᾽ ἄρρωστος μὴ ἀνέχηται ἐπιμένειν τὴν ἀπὸ τοῦ φαρμάκου θεραπείαν, ἀλλὰ πολλάκις δυσχεραίνων μετὰ τὸ ἐπιθεῖναι τὸν ἰατρὸν, οὐκ ἀνεχόμενος τῆς ἀλγηδόνος ἀπορρίπτῃ τοῦτο, καὶ μὴ καταδέξοιτο τὴν ἐξ αὐτοῦ ὠφέλειαν, οὐδεὶς ἂν τῶν εὖ φρονούντων μέμψοιτο τῷ ἰατρῷ τῷ τὰ παρ᾽ ἑαυτοῦ πάντα εἰσαγαγόντι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα ἡμεῖς μετὰ τὸ φάρμακον τὸ ἀπὸ τῆς διδασκαλίας τῆς πνευματικῆς κατασκευάσαντες ἐπιτίθεμεν, ὑμέτερον δ᾽ ἂν εἴη λοιπὸν καὶ ἀνέχεσθαι τῶν ἀλγηδόνων, καὶ τῆς θεραπείας ἀπόνασθαι, καὶ ἀπαλλαγέντας τῆς νόσου πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανελθεῖν. οὕτω γὰρ καὶ αὐτοὶ πολλὴν τῆς ὠφελείας τὴν αἴσθησιν λήψεσθε, καὶ ἡμεῖς οὐ μικρὰν ἕξομεν τὴν παραμυθίαν, ὁρῶντες τοὺς πρότερον κάμνοντας οὕτω ταχέως πρὸς ὑγείαν ἐπανελθόντας. ἕκαστος τοίνυν ἡμῶν, παρακαλῶ, εἰ καὶ μὴ πρότερον, κἂν γοῦν ἐκ τοῦ παρόντος σπουδαζέτω, ὅπερ οἶδεν

ἐνοχλοῦν

γρ. ἐπιμένοντες

* τοίνυν

α. Κορ. ιε. λα.

γρ. παύομαι

ἐνοχλοῦν αὐτῷ ἐλάττωμα τῶν ἄλλων πλέον παθῶν, τοῦτο ἐκτεμεῖν τῆς ψυχῆς, καὶ τῷ εὐσεβεῖ λογισμῷ, καθάπερ μαχαίρᾳ τινὶ πνευματικῇ χρώμενος, οὕτως ἑαυτὸν τοῦ πάθους ἀπαλλαττέτω. δέδωκε γὰρ ἡμῖν ὁ θεὸς λογισμὸν ἀρκοῦντα καὶ δυνάμενον, εἰ βουληθείημεν μικρὸν διαβλέψαι, ἑκάστου τῶν ἐν ἡμῖν τικτομένων παθῶν περιγίνεσθαι. διὰ τοῦτο καὶ τῶν ἁγίων ἡμῖν ἁπάντων τοὺς βίους καὶ τὴν πολιτείαν διὰ τῶν θείων γραφῶν ἀνάγραπτον καταλέλοιπεν ἡ τοῦ πνεύματος χάρις, ἵνα μαθόντες, ὡς τῆς αὐτῆς ὄντες ἡμῖν φύσεως ἅπαντα τὰ τῆς ἀρετῆς κατώρθωσαν, μὴ ῥᾳθυμώμεθα περὶ τὴν ταύτης ἐργασίαν. ἢ οὐχὶ τῆς αὐτῆς ἡμῖν φύσεως ἦν ὁ μακάριος Παῦλος; ἐκκαιόμεθα γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον, καὶ διὰ τοῦτο συνεχῶς αὐτοῦ περιστρέφων οὐ παύομαι, καὶ ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα, εἰς τὴν τούτου ψυχὴν ἐνορῶν, ἐκπλήττομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας τὴν ὑπερβολὴν, τοῦ φίλτρου τοῦ πρὸς τὸν θεὸν τὸ διάπυρον. καὶ λογίζομαι ὅτι πᾶσαν τῶν ἀρετῶν τὴν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατώρθωσε. καὶ ἡμῶν ἕκαστος οὐδὲ τὸ τυχὸν κατορθοῦν βούλεται. τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀπαραιτήτου, ὅταν καὶ τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγονὼς, καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἑλκόμενος, παρατιλλόμενος, καὶ δημοσίᾳ συρόμενος ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων, ὥστε καὶ νομίσαντες αὐτὸν πολλάκις τεθνάναι, τότε λοιπὸν ὡς εἰς ἔργον ἀγαγόντες τὴν φονικὴν αὐτῶν γνώμην, οὕτω κατέλιπον, ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν τῶν ἐκείνου μιμεῖσθαι βουλώμεθα; εὑρίσκεται γάρ τις ἡμῶν τοσοῦτον μέγεθος ἀρετῆς ἐπιδεικνύμενος, οὕτως ἀναπεπτωκότων καὶ τοσαύτῃ ῥᾳθυμίᾳ ἑαυτοὺς ἐκδεδωκότων; ἀλλ' ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ περὶ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ τῆς εὐσεβείας κηρύγματος καθ' ἑκάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος. ἡνίκα γὰρ εἰς ἀνάγκην κατέστη διὰ τὴν τῶν ψευδαποστόλων ἀπάτην τὰ ἑαυτοῦ διηγεῖσθαι (οὕτω γὰρ ἦν αὐτῷ τοῦτο βαρὺ καὶ ἐπαχθὲς, ὡς καὶ ἀναδύεσθαι, καὶ μηδέποτε βούλεσθαι ταῦτα εἰς μέσον ἄγειν, ἀλλὰ καὶ τολμᾶν ἑαυτὸν καλεῖν βλάσφημον καὶ διώκτην) ἐπειδὴ δὲ πολλὴν εἶναι τὴν ἀνάγκην ἑώρα ὑπὸ τοῦ ἀπορράψαι τὰ στόματα τῶν ἀπατεώνων, καὶ μικρὰν δοῦναι τὴν παραψυχὴν τοῖς μαθητευομένοις, οὕτω πως ἤρξατο μετὰ τὸ πολλὰ ἕτερα εἰπεῖν, Ἐν ᾧ δ' ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω) τολμῶ κἀγώ. σκόπει ψυχὴν φιλόθεον. οὐ μόνον γὰρ τόλμαν, ἀλλὰ καὶ ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, παιδεύων ἡμᾶς, μηδέποτε ἁπλῶς ἄνευ ἀνάγκης, καὶ μηδενὸς καταναγκάζοντος, τὰ ὑφ' ἡμῶν γεγενημένα ἐκπομπεύειν. εἰ δέ τινες ἐξ ἡμῶν εὑρεθεῖεν ἀγαθόν τι ἐργασάμενοι, ἐν ᾧ δ' ἄν τις τολμᾷ, φησιν, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ· τοῦτ' ἔστιν, ἐπειδὴ πολλὴν ὁρῶ τὴν ἀνάγκην, τολμῆσαι βούλομαι καὶ ἀφροσύνης ἔργον ἐπιδείξασθαι. ἑβραῖοί εἰσι· κἀγώ. ἰσραηλῖταί εἰσι· κἀγώ. σπέρμα Ἀβραάμ εἰσι· κἀγώ. ἐπὶ τούτοις, φησὶ, μέγα φρονοῦσι; μὴ νομιζέτωσαν λείπεσθαι ἡμᾶς τούτων. καὶ γὰρ καὶ ἡμεῖς τῶν αὐτῶν μετέχομεν· εἶτα ἐπήγαγε· διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. θέα μου ἐνταῦθα, ἀγαπητὲ, τῆς τοῦ μακαρίου τούτου ψυχῆς τὴν ἀρετήν. ἐπειδὴ γὰρ καὶ τόλμην καὶ ἀφροσύνην ἐκάλεσε τὸ γεγενημένον ὑπ' αὐτοῦ, καί τοι εἰς τοσαύτην ἀνάγκην καταστὰς, οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις, ἀλλ' ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολλῷ τῷ μέτρῳ ἐκείνους ὑπερακοντίζοντα, ἵνα μή τις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα φθέγγεσθαι, πάλιν παραφροσύνην καλεῖ τὸ παρ' αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων, μὴ γὰρ οὐκ οἶδα, ὅτι πρᾶγμα ποιῶ

ὑπὲρ

μή ποτε

β. Κορ. ια. κα.

ποιῶ τοῖς πολλοῖς "προσισάμενον καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ' ἡ πολλή με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβιάζεται. διὸ σύγγνωτέ μοι, φησί, παραφροσύνης ῥήματα φθεγγομένῳ. οὕτω κἂν τὴν σκιὰν μιμησώμεθα ἡμεῖς, οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις ἕν τι βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ ταμιεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι, ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶσθαι δόξαν ἐκπομπεύοντες, καὶ εἰς μέσον προτιθέντες, καὶ διὰ τῆς ἀκαίρου ταύτης φλυαρίας τῆς παρὰ τοῦ θεοῦ ἀμοιβῆς ἑαυτοὺς ἀποστεροῦντες. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν τι πέπονθεν. ἀλλὰ τί; διάκονοι Χριστοῦ εἰσί, φησι, παραφρονῶν λαλῶ· ὑπὲρ ἐγώ. εἶτα λοιπὸν ἐντεῦθεν ἐκεῖνα εἰς μέσον ἄγει, ὧν οἱ ψευδαπόστολοι οὐδὲν ἦσαν ἐπιδεδειγμένοι. πῶς γάρ, οἱ καὶ τῇ ἀληθείᾳ πολεμοῦντες, καὶ πρὸς τὸ ἐμποδίσαι τῷ κηρύγματι τῆς εὐσεβείας πάντα διαπραττόμενοι, καὶ τῶν ἀφελεστέρων τὰς διανοίας παρασαλεύοντες; εἰπὼν τοίνυν ὑπὲρ ἐγώ, ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώματα, καί φησιν, Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. τί λέγεις; ξένον τι καὶ παράδοξόν ἐστι τὸ παρὰ σοῦ λεγόμενον. ἔστι γὰρ πολλάκις θάνατον ὑπομεῖναι; ναί φησιν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ γνώμῃ· διδάσκων ἡμᾶς, ὅτι διηνεκῶς τοιούτοις ἑαυτὸν κινδύνοις ἐξεδίδου διὰ τὸ κήρυγμα τοῖς "θανάτοις αὐτῷ τίκτουσιν. ἀλλ' ἡ τοῦ θεοῦ χάρις ἐν αὐτοῖς μέσοις τοῖς κινδύνοις τὸν ἀθλητὴν διεφύλαττεν, ὥστε τοῖς μαθητευομένοις πολλὴν γίνεσθαι παρ' αὐτοῦ τὴν ὠφέλειαν. ἐν θανάτοις, φησί, πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐν πόλεσι, κινδύνοις ἐν "ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ. μὴ ἁπλῶς παρατρέχωμεν, ἀγαπητοί, τὰ εἰρημένα. ἕκαστον γὰρ τούτων καθ' ἑαυτὸ μόνον πέλαγος ἡμῖν ὑποδείκνυσι πειρασμῶν. οὐδὲ γὰρ ἁπλῶς ὁδοιπορίαν μίαν εἶπεν, ἀλλ' ὁδοιπορίαις, φησί, πολλάκις· οὐδὲ κίνδυνον ἕνα ποταμῶν, ἀλλὰ πολλοὺς καὶ διαφόρους κινδύνους· καὶ πάντα μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπέμεινε. καὶ μετὰ ταῦτα ἅπαντα πάλιν φησίν, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. ὅρα πάλιν ἄλλο πέλαγος ἡμῖν πειρασμῶν διανοιγόμενον. εἰπὼν γὰρ χωρὶς τῶν παρεκτός, ᾐνίξατο ὅτι τὰ παραλειφθέντα πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ πάλιν ἡμᾶς διδάσκει τὰς ἐπισυστάσεις καὶ τὰς συστροφάς, ἃς ὑπέμεινεν, οὕτω λέγων, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. ἰδοὺ πάλιν καὶ τοῦτο ἱκανὸν κατόρθωμα καὶ μόνον τυγχάνον, εἰς αὐτὴν "ἄγον τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς. ἡ μέριμνα, φησί, πασῶν τῶν ἐκκλησιῶν· οὐχὶ μιᾶς καὶ δύο καὶ τριῶν, ἀλλὰ πασῶν τῶν κατὰ τὴν οἰκουμένην. ὥσπερ γὰρ ἥλιος "διατρέχει γῆν τὰς οἰκείας ἀκτῖνας ἀφιείς," τοσαύτην καὶ ὁ μακάριος οὗτος εἶχε τὴν μέριμναν καὶ τὴν φροντίδα. εἶδες πλάτος ψυχῆς; εἶδες διανοίας μέγεθος; καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα, ὡς εἰπεῖν, τὰ εἰρημένα ἀποκρύπτει. Τίς γὰρ ἀσθενεῖ, φησι, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; βαβαί· πόση τοῦ ἀνδρὸς τούτου ἡ φιλοστοργία, πόση ἡ ἀγρυπνία, πόση ἡ μέριμνα; ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα, τοῦ παιδὸς αὐτῆς πυρέττοντος, καὶ ἐπὶ τῆς κλίνης κειμένου, ὡς ὁ μακάριος οὗτος ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο; σκόπει γάρ μοι λέξεως ἔμφασιν. οὐκ εἶπε, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ λυποῦμαι,

ἐρραβδίσθην

γρ. φεισάμενον,

γρ. θάνατον

γρ. ἐρημίαις

γρ. ἀνάγον

γρ. ἐφορᾷ

γρ. ταύτης [illegible]

πουμένη, ἀλλὰ πυρουμένη φησί· τὴν ἐπίτασιν ἡμῖν τῆς ὀδύνης δηλῶν, μονονουχὶ δεικνὺς ἐμπυριζόμενον ἑαυτὸν καὶ καιόμενον ἔνδοθεν ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων. οἶδα ὅτι εἰς πολὺ μῆκος πάλιν ἐξέτεινα τὴν διδασκαλίαν, καὶ ταῦτα προειρημένος σήμερον συστεῖλαι, ἵνα μικρὸν ἐκ τοῦ τῆς νηστείας πόνου ἀνεθῆναι δυνηθῆτε· ἀλλ' οὐκ οἶδα ὅπως ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου, καθάπερ ὑπὸ ῥύμης ὑδάτων σφοδροτάτης, οὕτω τὴν γλῶτταν παρεσύρην. ἀλλὰ μέχρι τούτου στήσας τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διηνεκῶς τοῦτον ἐν διανοίᾳ περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελὲς καὶ εὐκαταφρόνητον, καὶ δέρματα ῥάπτων, καὶ ἐπὶ ἐργαστηρίου ἑστηκώς, ἐπειδὴ ἠβουλήθη καὶ ἠθέλησε πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου πνεύματος, δαψιλεστέρας ἀπήλαυσε τῆς ἄνωθεν φιλοτιμίας. καὶ ἡμεῖς τοίνυν, ἐὰν βουληθῶμεν τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι, οὐδὲν τὸ κωλῦον τῶν αὐτῶν ἡμᾶς ἀπολαῦσαι. φιλότιμος γὰρ ὁ δεσπότης, Καὶ βούλεται πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ἀξίους τοίνυν ἑαυτοὺς κατασκευάσωμεν, καὶ μετὰ προθυμίας ζεούσης τῆς ἀρετῆς ὀψὲ γοῦν ποτε ἐπιλαβώμεθα, καὶ τῶν ἐν ἡμῖν παθῶν τὴν διόρθωσιν ἐπιδειξάμενοι ἐπιτηδείους ἑαυτοὺς ἀπεργασώμεθα πρὸς τὴν τοῦ πνεύματος ὑποδοχήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

προειρηκὼς

καταστήσω-

α. Τιμ. β. δ.

Λογ. ιβ. ΕΙΣ ΤΑ ΑΚΟΛΟΥΘΑ ΤΗΣ ΚΤΙΣΕΩΣ· ΑΥΤΗ ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

ΦΕρε δὴ σήμερον πληρώσωμεν ἡμῶν τὴν ὑπόσχεσιν, καὶ τῆς συνήθους ἁψώμεθα διδασκαλίας, καὶ τῇ ἀκολουθίᾳ τῶν πρῴην εἰρημένων συνάψωμεν καὶ τὰ μέλλοντα νῦν ῥηθήσεσθαι. ἴστε γὰρ ὅτι καὶ ἅπαξ καὶ δεύτερον σπεύδοντας ἡμᾶς καὶ βουλομένους τοῦτο ποιῆσαι, ἡ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πρόνοια τὴν γλῶτταν ἡμῖν εἰς τὴν πρὸς ἐκείνους παραίνεσιν μετήγαγε. ποτὲ μὲν γὰρ τοὺς νενοσηκότας τῶν ἀδελφῶν, καὶ διὰ συνηθείας πρόληψιν ἀποσχίζοντας ἑαυτοὺς τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ, καὶ τὴν ἡδονὴν τῆς ἁγίας ἑορτῆς ἡμῖν ἀκρωτηριάζοντας, διὰ τῆς πολλῆς παρακλήσεως καὶ συμβουλῆς ἐπείθομεν μὴ ἐπὶ πολὺ χωρίζειν ἑαυτοὺς τῆς τοῦ Χριστοῦ ποίμνης, μηδὲ ἔξω τοῦ σηκοῦ τούτου τοῦ πνευματικοῦ πλανᾶσθαι, καὶ τῷ μὲν λόγῳ καὶ τῷ ὀνόματι ἡμῖν ἑνοῦσθαι, τῇ δὲ ἀληθείᾳ Ἰουδαίοις κατακολουθεῖν τοῖς ἔτι τῇ σκιᾷ παρακαθημένοις, καὶ τῷ λύχνῳ προσηλωμένοις μετὰ τὴν ἔλλαμψιν τοῦ τῆς δικαιοσύνης ἡλίου· ποτὲ δὲ τῶν ἐνταῦθα συλλεγομένων τοὺς ἀμυήτους προσεκαλέσαμεν ἐπιδραμεῖν τῇ κλήσει τῇ πνευματικῇ, καὶ πάντα ὕπνον καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξαμένους, πόθῳ ζέοντι καὶ προθυμίᾳ συντεταμένῃ ἑτοίμους ἑαυτοὺς πρὸς τὴν ὑποδοχὴν τῆς βασιλικῆς δωρεᾶς ἀπεργάσασθαι, καὶ σπεῦσαι πρὸς τὸν τὴν ἄφεσιν τῶν πεπλημμελημένων δωρούμενον, καὶ τὰ μυρία ἀγαθὰ μετὰ δαψιλείας παρέχοντα. ἐπεὶ οὖν καὶ τῶν περὶ τὴν τοῦ πάσχα ἑορτὴν σφαλλομένων,

προειρη-
μένων

εῖ

πλημμελη-
των

μένων, καὶ διὰ τῆς νομιζομένης ταύτης μικρᾶς παρατηρήσεως μεγάλα ἑαυτοὺς ζημιούντων, τὴν ἡμῖν ἁρμόττουσαν πρόνοιαν ἐποιησάμεθα, κατάλληλον αὐτῶν τῷ τραύματι τὴν θεραπείαν ἐπαγαγόντες, καὶ τοῖς ἀμυήτοις τὴν προσήκουσαν νουθεσίαν προσηγάγομεν· ἀκόλουθον ἂν εἴη λοιπὸν, ἐπειδὴ πρὸς τὰ κατεπείγοντα τῶν νοσημάτων ἔστημεν, καὶ γρ. νομιμάτ τὸ ἑαυτῶν ἐπληρώσαμεν, κοινῇ πᾶσιν ὑμῖν σήμερον τὴν ἑστίασιν παραθεῖναι τὴν πνευματικήν. ὥσπερ γὰρ χρεὼν ἦν τῶν ἀδελφῶν τῶν ἡμετέρων τὴν ἐπιμέλειαν ποιήσασθαι, εἰ τὰς πρὸς ἐκείνους παραινέσεις καταλιπόντες τῆς ἀκολουθίας ἐχόμενοι παρείδομεν κάμνοντας αὐτούς, εἰκότως ἄν τις ἡμῖν μέμψαιτο, ὡς τὸν ἐπιτήδειον καιρὸν παραδραμοῦσιν· οὕτω νῦν ἐπειδὴ μηδὲν παραλέλειπται τῶν εἰς δύναμιν τὴν ἡμετέραν, ἀλλὰ τὸν τῆς διδασκαλίας λόγον ἐποιησάμεθα, καὶ τὸ ἀργύριον κατεβάλομεν, καὶ τὰ σπέρματα τῇ γῇ ταύτῃ τῇ πνευματικῇ παρακατεθέμεθα, ἀκόλουθόν ἐστι πάλιν τὰ παρὰ τοῦ μακαρίου Μωϋσέως ἀναγνωσθέντα εἰς μέσον προθεῖναι, ἵνα τὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. τίνα οὖν ἐστιν, ἀκούσωμεν.

4 Αὕτη ἡ βίβλος, φησί, γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο ἡ ἡμέρα ᾗ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, 5 Καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ, πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν. 6 Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς.

Σκόπει μοι πάλιν τοῦ θαυμαστοῦ τούτου προφήτου τὴν σύνεσιν, μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν. μετὰ γὰρ τὸ διηγήσασθαι ἡμῖν κατὰ μέρος τὰ τῆς δημιουργίας ἅπαντα, καὶ τὰ ἔργα τῶν ἓξ διελθεῖν ἡμερῶν, καὶ τὴν τοῦ ἀνθρώπου δημιουργίαν, καὶ τὴν ἐξουσίαν τὴν παρασχεθεῖσαν αὐτῷ πάντων τῶν ὁρωμένων, νῦν πάλιν ἀνακεφαλαιούμενος τὰ πάντα φησίν, Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο. ἄξιον ἐνταῦθα ζητῆσαι, τίνος ἕνεκεν βίβλον αὐτὴν καλεῖ οὐρανοῦ τε καὶ γῆς, καίτοι πολλὰ ἕτερα τῆς βίβλου περιεχούσης, καὶ διδασκούσης ἡμᾶς καὶ περὶ ἑτέρων πλειόνων, καὶ περὶ τῆς τῶν δικαίων ἀρετῆς, καὶ περὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ τῆς συγκαταβάσεως, ἣν ἐπεδείξατο περί τε τὸν πρωτόπλαστον, καὶ περὶ ἅπαν δὲ τῶν ἀνθρώπων γένος, καὶ περὶ ἑτέρων δὲ πολλῶν, ἅπερ οὐκ ἂν εἴη τοῦ παρόντος καιροῦ καταλέγειν. μὴ ξενισθῇς, ἀγαπητέ. ἔθος γὰρ τοῦτο τῇ θείᾳ γραφῇ μὴ πανταχοῦ κατὰ μέρος ἡμῖν ἅπαντα διηγεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν συνεκτικωτάτων ἀρχομένην καταλιμπάνειν τὰ ἑξῆς σκοπεῖν τοῖς εὐγνώμοσιν ἀκροαῖς δεχομένοις τὰ λεγόμενα. καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἐστίν, ἐξ αὐτῶν τῶν νῦν ἀνεγνωσμένων τοῦτο δῆλον ὑμῖν καθίστημι. ἰδοὺ γὰρ ἐν τοῖς προλαβοῦσι διδάξασα ἡμᾶς ἡ θεία γραφὴ τὴν κατὰ μέρος ἁπάντων δημιουργίαν, νῦν οὐ πάντων μέμνηται, ἀλλά φησιν· αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἑξῆς. ὁρᾷς πῶς πάντα τὸν λόγον εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν περιστρέφει, ἡμῖν καταλιμπάνουσα ἐκ τούτων τὰ ἄλλα πάντα συνιδεῖν; ὅταν γὰρ εἴπῃ οὐρανὸν καὶ γῆν, πάντα [τὰ ποιήματα] ὁμοῦ συνελοῦσα εἶπε, τά τε ἐν τῇ γῇ, τά τε ἐν τῷ οὐρανῷ. ὥσπερ οὖν ἐπὶ τῆς τῶν δημιουργημάτων διηγήσεως, οὐ πάντα καθεξῆς λέγει, ἀλλὰ τῶν συνεκτικωτάτων μνημονεύουσα, οὐκέτι καθ᾽ ἓν ἡμῖν ἅπαντα διηγεῖται· οὕτω καὶ τὴν βίβλον πᾶσαν, εἰ καὶ πολλὰ ἕτερα περιέχει, βίβλον γενέσεως οὐρανοῦ τε καὶ γῆς ὠνόμασεν, ἡμῖν γρ. πάντα καταλιμπάνουσα λοιπὸν διὰ τῆς τούτων μνήμης ἀναλογίζεσθαι, ὅτι πάντα ἀνάγκη ἐν ταύτῃ τῇ βίβλῳ περιέχεσθαι τὰ ὁρώμενα τά τε ἐν τῷ οὐρανῷ τά τε ἐν τῇ γῇ. ᾗ ἡμέρᾳ, φησίν, ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. πολὺς ὁ ἐγκεκρυμμένος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι. διὸ προσήκει μετὰ πολλῆς τῆς συνέσεως ὑπὸ τῆς τοῦ θεοῦ χάριτος ὁδηγουμένους ἡμᾶς ἀνακαλύψαι τὰ εἰρημένα, καὶ κοινωνοὺς ὑμᾶς λαβεῖν τοῦ πλούτου τούτου τοῦ πνευματικοῦ. τὸ γὰρ πνεῦμα τὸ ἅγιον τὰ μέλλοντα προγινώσκον, ἵνα μηδενὶ τῶν μετὰ ταῦτα ἐξῇ φιλονεικεῖν καὶ ἀπ' ἐναντίας τῇ θείᾳ γραφῇ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπεισφέρειν τοῖς τῆς ἐκκλησίας δόγμασι, καὶ νῦν πάλιν μετὰ τὸ διδάξαι τῶν δημιουργηθέντων τὴν τάξιν, καὶ τί μὲν πρῶτον παρήχθη, τί δὲ δεύτερον, καὶ ὅτι τὰ ἀπὸ τῆς γῆς σπέρματα τῷ λόγῳ καὶ τῷ προστάγματι ὑπηρετουμένη τοῦ δεσπότου ἐξέδωκεν ἡ γῆ, καὶ πρὸς τὰς ὠδῖνας διηγέρθη, οὔτε τοῦ ἡλίου πρὸς συνέργειαν δεηθεῖσα (πῶς γὰρ τοῦ μηδέπω δημιουργηθέντος;) οὔτε τῆς τῶν ὑετῶν ἐπομβρίας, οὔτε τῆς τοῦ ἀνθρώπου ἐργασίας (οὐδὲ γὰρ οὗτος ἦν παραχθεὶς εἰς τὸ μέσον) διὰ τοῦτο πάλιν κατὰ μέρος πάντων μνημονεύει, ἵνα τῶν ἀναισχυντεῖν ἐπιχειρούντων ἐπιστομίσῃ τὴν ἀκόλαστον γλῶτταν. τί γάρ φησιν; ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. τοῦτο βούλεται εἰπεῖν, ὅτι τῷ λόγῳ αὐτοῦ καὶ τῷ προστάγματι τὰ πρότερον μὴ ὄντα εἰς τὸ εἶναι ὑπέστη, καὶ ἅπερ οὐκ ἦν, ταῦτα ἀθρόον ἐδείκνυτο, ὁ χόρτος ὁ ἐκ τῆς γῆς ἀναδιδόμενος. χόρτον δὲ ὅταν εἴπῃ, τὰ σπέρματα ἅπαντα λέγει. καὶ περὶ τῶν ὑετῶν διδάσκουσα ἡμᾶς πάλιν ἡ θεία γραφή, ἐπήγαγεν· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν· τοῦτ' ἔστιν οὐδέπω οὐδὲ ὑετοὶ ἄνωθεν κατεφέροντο. καὶ μετὰ τοῦτο λοιπὸν δείκνυσιν ἡμῖν, ὅτι οὐδὲ τῆς τοῦ ἀνθρώπου ἐργασίας ἐδεήθη (ἄνθρωπος γάρ, φησιν, οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν) μονονουχὶ βοῶσα καὶ λέγουσα τοῖς μετὰ ταῦτα ἅπασιν, ὅτι ταῦτα ἀκούοντες, μάθετε πῶς ἐξ ἀρχῆς ἅπαντα παρήχθη τὰ ἀπὸ τῆς γῆς ἀναδιδόμενα, καὶ μὴ τῇ ἐπιμελείᾳ τῶν τὴν γῆν θεραπευόντων τὸ πᾶν λογίζεσθε, μηδὲ ἐκείνοις τὰς ὠδῖνας ταύτης ἐπιγράφετε· ἀλλὰ τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι τῷ ἐξ ἀρχῆς πρὸς αὐτὴν παρὰ τοῦ δημιουργήσαντος αὐτὴν γενομένῳ. ταῦτα δὲ ἅπαντα γέγονεν, ἵνα μάθωμεν ὅτι οὐκ ἐδεήθη τῆς τῶν ἄλλων στοιχείων συνεργίας πρὸς τὴν τῶν οἰκείων σπερμάτων ἀνάδοσιν ἡ γῆ· ἀλλ' ἠρκέσθη τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὕτως ὁ νῦν τῷ οἰκείῳ λόγῳ πρὸς τὴν τῶν τοσούτων σπερμάτων βλάστην αὐτὴν διεγείρας, καὶ τὴν οἰκείαν δύναμιν ἐπιδειξάμενος ὑπερβαίνουσαν τὸν ἀνθρώπινον λογισμόν, ταύτην αὐτὴν τὴν βαρεῖαν καὶ τὴν τοσοῦτον κόσμον ἐπὶ τῶν οἰκείων νώτων φέρουσαν ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσε, καθὼς ὁ προφήτης φησίν, Ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων. Ψαλ. κγ. β. ποῖος λογισμὸς ἀνθρώπινος ἐφικέσθαι τούτων δυνήσεται; ἐπὰν γὰρ οἱ ἄνθρωποι οἰκίας οἰκοδομούμενοι, καὶ θεμελίους καταβαλεῖν βουλόμενοι, πρότερον διασκάπτοντες, καὶ εἰς τὸ βάθος κατιόντες, κἂν μικρὰν νοτίδα ἴδωσι, πάντα ποιοῦσιν ὥστε πᾶσαν αὐτὴν ἐξαντλῆσαι, καὶ οὕτω τοὺς θεμελίους καταβαλεῖν· διὰ τοῦτο * ὁ τῶν ἁπάντων δημιουργὸς ἀπ' ἐναντίας τῇ ἀνθρωπίνῃ φύσει ἅπαντα δημιουργεῖ· ἵνα μάθῃς καὶ ἐκ τούτων αὐτοῦ τὴν ἄφατον δύναμιν· καὶ ὅτι ἐπειδὰν βουληθῇ, καὶ αὐτὰ τὰ στοιχεῖα τὰ ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ ἐπιδείκνυνται τῷ ἐπιτάγματι τοῦ δημιουργήσαντος ὑπηρετούμενα. καὶ ἵνα σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, τέως ἐπ' αὐτοῦ τοῦ προκειμένου τὸν λόγον γυμνάσωμεν, καὶ

πότε δὲ ἐφ᾽ ἕτερον μεταβησώμεθα. τοῦτο γὰρ αὐτὸ ἐναντίον ἐστὶ τῇ φύσει τῶν ὑδάτων, τὸ οὕτω βαρὺ σῶμα φέρειν, καὶ τῇ γῇ πάλιν ἐναντίον τὸ ἐπὶ τοιούτῳ θεμελίῳ τὴν ἕδραν ἔχειν. καὶ τί θαυμάζεις; κἂν γὰρ ἐφ᾽ ἑκάστου τῶν γινομένων διερευνῆσαι βουληθῇς, εὑρήσεις τοῦ δημιουργήσαντος ἄπειρον τὴν δύναμιν· καὶ ὅτι τῇ οἰκείᾳ βουλήσει ἡνιοχεῖ πάντα τὰ ὁρώμενα. τοῦτο γὰρ καὶ ἐπὶ τοῦ πυρὸς ἐστὶν ἰδεῖν γινόμενον. τὸ γὰρ δαπανητικὴν ἔχον ἐνέργειαν, καὶ πάντων περιγινόμενον, καὶ πᾶσαν ὕλην λίθων τε καὶ ξύλων καὶ σωμάτων καὶ σιδήρου μετ᾽ εὐκολίας καταναλίσκον, ἐπειδὴ προσέταξεν ὁ δημιουργὸς, σωμάτων ἁπαλῶν καὶ φθαρτῶν οὐχ ἥψατο, ἀλλ᾽ ἀβλαβεῖς τοὺς παῖδας διεφύλαξεν ἐν μέσῃ τῇ καμίνῳ. καὶ μὴ θαυμάσῃς εἰ τῶν σωμάτων αὐτῶν οὐχ ἥψατο, ἀλλ᾽ εὐταξίαν τοσαύτην ἐπεδείξατο τὸ ἄλογον στοιχεῖον, ὅσην οὐδὲ ἐστὶν εἰπεῖν. οὐδὲ γὰρ ταῖς θριξὶν ἐλυμήνατο· ἀλλ᾽ ἐκύκλου μὲν αὐτοὺς καὶ εἶχεν ἔνδον· καθάπερ δὲ ὑπακοὴν πληροῦσα ἡ τοῦ πυρὸς οὐσία, καὶ δεσπότου ἐπιτάγματι ὑπηρετουμένη, ἀκεραίους καὶ ἀβλαβεῖς διεφύλαξε τοὺς θαυμαστοὺς ἐκείνους παῖδας, καὶ ὥσπερ ἐν λειμῶνι καὶ παραδείσῳ βαδίζοντες, μετὰ τοσαύτης ἀδείας ἐπὶ τῆς καμίνου διῆγον. καὶ ἵνα μὴ νομίσῃ τις, ὅτι οὐκ ἦν ἐνέργεια πυρὸς τὸ ὁρώμενον, διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης οὐ τὴν ἐνέργειαν αὐτοῦ ἐπέδησεν· ἀλλ᾽ ἀφεὶς μένειν τὴν ἐνέργειαν αὐτοῦ τὴν καυστικὴν, τοὺς ἰδίους θεράποντας ἀνωτέρους τῆς ἐκ τούτου βλάβης εἰργάζετο. ἀλλ᾽ ἵνα μάθωσι καὶ οἱ ἐμβάλλοντες, ὅση τοῦ τῶν ὅλων θεοῦ ἡ δύναμις, ἐπ᾽ ἐκείνων μὲν τὴν οἰκείαν ἐνέργειαν ἐπιδείκνυται τὸ πῦρ· καὶ τὸ αὐτὸ ἐκείνους μὲν περιέστελλεν ἔνδον, τοὺς δὲ ἔξω ἑστῶτας κατέφλεγε καὶ ἀνήλισκεν. εἶδες πῶς, ὅταν ὁ δεσπότης βούληται, ἕκαστον τῶν στοιχείων πρὸς τὴν ἐναντίαν μεθίστησιν οὐσίαν; δημιουργὸς γάρ ἐστι καὶ δεσπότης, καὶ πρὸς τὸ οἰκεῖον θέλημα ἅπαντα οἰκονομεῖ. βούλεσθε δὲ ἐπὶ τῶν ὑδάτων πάλιν ἰδεῖν τὸ αὐτὸ τοῦτο γινόμενον; καθάπερ γὰρ ἐνταῦθα τὸ πῦρ τῶν μὲν ἔνδον ὄντων ἀπέσχετο, καὶ ἐπελάθετο τῆς οἰκείας ἐνεργείας, ἐπὶ δὲ τῶν ἔξω τυγχανόντων τὰ ἑαυτοῦ ἐπλήρου· οὕτω καὶ τὰ ὕδατα ὀψόμεθα τοὺς μὲν ὑποβρυχίους ἐργαζόμενα, ἑτέροις δὲ ὑποχωροῦντα, ὥστε ἀβλαβῶς αὐτοὺς διελθεῖν. ἀναμνήσθητέ μοι νῦν τοῦ Φαραὼ, καὶ τῶν Αἰγυπτίων, καὶ τοῦ δήμου τῶν Ἑβραίων, πῶς ἐκεῖνοι μὲν, διὰ τὸ πρόσταγμα τοῦ δεσπότου τοῦ μεγάλου Μωϋσέως προηγουμένου, καθάπερ ἐπὶ ξηρᾶς, οὕτω διέβαινον διὰ τῆς θαλάττης τῆς ἐρυθρᾶς· οἱ δὲ Αἰγύπτιοι μετὰ τοῦ Φαραὼ τὴν αὐτὴν αὐτοῖς ὁδὸν διελθεῖν βουληθέντες, ὑποβρύχιοι γινόμενοι κατεποντίζοντο. οὕτως οἶδε καὶ τὰ στοιχεῖα αἰδεῖσθαι τοὺς τοῦ δεσπότου θεράποντας, καὶ τὴν οἰκείαν ὁρμὴν εἴσω κατέχειν. ἀκούσωμεν ὅσοι θυμώδεις, ὅσοι ὀργίλοι, ὅσοι ὑπὸ τῶν ἀλόγων παθῶν διὰ ῥᾳθυμίαν ἀναλισκόμενοι τὴν ἑαυτῶν προδίδομεν σωτηρίαν, καὶ μιμησώμεθα τῶν ἀλόγων τούτων στοιχείων τὴν τοσαύτην ὑπακοὴν ἡμεῖς οἱ λόγῳ τετιμημένοι. εἰ γὰρ τὸ πῦρ τὸ οὕτω δαπανητικὸν, τὸ οὕτω σφοδρὸν, σωμάτων φθαρτῶν καὶ οὕτως ἁπαλῶν ἀπέσχετο· ποίας ἂν τύχοι συγγνώμης ἄνθρωπος μὴ βουλόμενος τὸν ἑαυτοῦ χαλινῶσαι θυμὸν διὰ τὸ ἐπίταγμα τοῦ δεσπότου, καὶ τὴν ὀργὴν τὴν πρὸς τὸν πλησίον ἐκβαλεῖν, καὶ τὸ δὴ μεῖζον, ὅτι τὸ μὲν πῦρ ταύτην ἔχον τὴν οὐσίαν, τὸ καίειν λέγω, τὴν οἰκείαν ἐνέργειαν οὐκ ἐπεδείξατο· ὁ δὲ ἄνθρωπος, τὸ ἥμερον ζῶον, τὸ λογικὸν, τὸ ἐπιεικὲς, τὰ ἐναντία τῇ οἰκείᾳ φύσει διαπράττεται, καὶ διὰ ῥᾳθυμίαν εἰς τὴν τῶν θηρίων ὠμότητα ἑαυτὸν ἐξάγει. διὰ τοῦτο καὶ ἡ θεία γραφὴ πρὸς τὰ πάθη τὰ ἐνοχλοῦντα οὕτω καὶ τὰς τῶν ἀλόγων προσηγορίας, πολλαχοῦ δὲ καὶ τῶν θηρίων, τοῖς λόγῳ τετιμημένοις ἐπιτίθησι· ποτὲ μὲν, κύνας καλοῦσα διὰ τὸ ἀναίσχυντον καὶ ἰταμὸν, Κύνες γάρ, φησιν, ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν· ποτὲ δὲ ἵππους διὰ τὸ λάγνον, Ἵπποι γὰρ

Δαν. γ.

Εξ. ιδ.

γρ. ὅπως

γρ. αὐτὴν

γρ. ἀλισκόμενοι

Ησ. νς. ι.

Ιερ. ε. η.

θηλυμανεῖς ἐγένοντο, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον χρεμετίζοντες· ποτὲ δὲ ὄνοις διὰ τὴν ἀγνωμοσύνην καὶ τὴν ἄνοιαν, Παρασυνεβλήθη γάρ, φησι, τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· ποτὲ δὲ λέοντας καὶ παρδάλεις διὰ τὸ ἁρπακτικὸν καὶ πλεονεκτικόν· ποτὲ δὲ ἀσπίδας διὰ τὸ δολερόν, Ἰὸς γάρ, φησιν, ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ποτὲ δὲ ὄφεις καὶ ἔχεις, διὰ τὸν ἰὸν καὶ τὴν πονηρίαν· καθὼς καὶ ὁ μακάριος Ἰωάννης βοᾷ λέγων· Ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; καὶ ἕτερα δὲ κατάλληλα τοῖς πάθεσιν ὀνόματα ἐπάγει, ἵνα κἂν οὕτως αἰδεσθέντες ὀψέ ποτε πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωσι, καὶ ἀπείσωνται πρὸς τὸ ὁμογενές, καὶ τοὺς τοῦ θεοῦ νόμους προτιμοτέρους ἡγήσωνται τῶν οἰκείων παθῶν, οἷς διὰ ῥᾳθυμίαν ἑαυτοὺς ἐκδεδώκασιν. ἀλλ' οὐκ οἶδ' ὅπως ὑπὸ τῆς τοῦ λόγου ῥύμης εἰς ταῦτα ἐξέβημεν. φέρε δὴ λοιπὸν ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ ἴδωμεν τί καὶ ἕτερον σήμερον ἡμᾶς διδάξαι βούλεται ὁ μακάριος οὗτος προφήτης. Εἰπὼν γάρ, αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, περὶ ὧν διηγεῖται * πάλιν ἀκριβέστερον τὴν τοῦ ἀνθρώπου δημιουργίαν. καὶ ἐπειδὴ ἀνωτέρω συντόμως εἶπε, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, νῦν φησι,

Ψαλ. μη. ιϛ.

Ψαλ. ρλθ. γ.

Ματθ. γ. ζ.

7 Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

Μέγα τὸ εἰρημένον, καὶ πολλῆς ἐκπλήξεως γέμον, καὶ ὑπερβαῖνον διάνοιαν ἀνθρωπίνην. καὶ ἔπλασε, φησιν, ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. ὥσπερ ἐπὶ τῶν κτισμάτων τῶν ὁρωμένων ἁπάντων ἔλεγον, ὅτι ἀπ' ἐναντίας τῇ φύσει τῇ ἀνθρωπίνῃ ἅπαντα διαπράττεται ὁ τῶν ὅλων δημιουργός, ἵνα καὶ διὰ τούτου ἡ ἄφατος αὐτοῦ δειχθῇ δύναμις· οὕτω καὶ ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως εὑρήσομεν νῦν γεγονός. ὅρα γάρ· τὴν γῆν ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν, ὅπερ οὐ χωρεῖ δέξασθαι λογισμὸς ἀνθρώπινος ἄνευ πίστεως, καὶ τὰς οὐσίας δὲ πάσας, ἐπειδὰν βουληθῇ, καθάπερ ἀπεδείξαμεν, ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ παρασκευάζει διαπράττεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς πλάσεως τοῦ ἀνθρώπου νῦν ἡμῖν ἐμφαίνει γεγονὸς ἡ θεία γραφή. ἔπλασεν * ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών. τί λέγεις; χοῦν λαβὼν ἀπὸ τῆς γῆς ἔπλασε τὸν ἄνθρωπον; ναί, φησι, καὶ οὐχ ἁπλῶς εἶπε γῆν, ἀλλὰ χοῦν· ὡς ἂν εἴποι τις, αὐτῆς τῆς γῆς τὸ λεπτότερον καὶ ἀτιμότερον. μέγα σοι καὶ παράδοξον εἶναι δοκεῖ τὸ εἰρημένον; ἀλλ' ἐὰν ἐννοήσῃς τίς ὁ δημιουργός, οὐκέτι ἀπιστήσεις τῷ γινομένῳ, ἀλλὰ θαυμάσεις καὶ προσκυνήσεις τοῦ δημιουργήσαντος τὴν δύναμιν. ἐὰν δὲ μέλλῃς πρὸς τὴν ἀσθένειαν τῶν σῶν λογισμῶν ταῦτα περιεργάζεσθαι, εἰκός γε κἀκεῖνό σε εἰς ἔννοιαν λαβεῖν, ὅτι ἀπὸ [τῆς] γῆς σῶμα οὐκ ἂν γένοιτό ποτε, ἀλλ' ἢ πλίνθος ἢ ὄστρακον· σῶμα δὲ τοιοῦτον οὐκ ἂν γένοιτο. ὁρᾷς ὅτι ἐὰν μὴ τὴν δύναμιν εἰς ἔννοιαν λάβωμεν τοῦ δημιουργήσαντος, καὶ τοὺς οἰκείους λογισμοὺς τοὺς πολλὴν τὴν ἀσθένειαν περιβεβλημένους κατευνάσωμεν, οὐ δυνάμεθα τῶν εἰρημένων τὸ ὕψος δέξασθαι; τῶν γὰρ τῆς πίστεως ὀφθαλμῶν δεῖται τὰ λεγόμενα, καὶ ταῦτα, μετὰ πολλῆς τῆς συγκαταβάσεως καὶ διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν οὕτω ῥηθέντα. καὶ αὐτὸ γὰρ τὸ εἰπεῖν, ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν, ἀνάξιον θεοῦ· ἀλλὰ δι' ἡμᾶς, καὶ τὸ ἀσθενὲς τὸ ἡμέτερον, οὕτω ταῦτα διηγεῖται ἡ θεία γραφὴ ἡμῖν συγκαταβαίνουσα, ἵνα ταύτης ἀξιωθέντες τῆς συγκαταβάσεως, ἀνελθεῖν πρὸς τὸ ὕψος ἐκεῖνο ἰσχύσωμεν. καὶ ἔπλασε, φησιν, ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. τέως οὐ μικρὰ ἡμῖν ἐντεῦθεν τίκτεται, ἐὰν νήφειν βουλώμεθα, ταπεινοφροσύνης διδασκαλία. ὅταν γὰρ ἐννοήσωμεν πόθεν ἔσχε τὴν ἀρχὴν τῆς συστάσεως ἡ φύσις ἡ ἡμετέρα, κἂν μυριάκις τὰς ὀφρῦς ἀνασπάσωμεν, καταστελλόμεθα, ταπεινούμεθα, τὴν οὐσίαν ἑαυτῶν ἀναλογιζόμενοι μετριάζειν παιδευόμεθα. διὰ τοῦτο γὰρ καὶ ὁ θεὸς κηδόμενος ἡμῶν τῆς σωτηρίας, οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶτταν πρὸς τὴν ἡμετέραν διδασκαλίαν. ἐπειδὴ γὰρ εἶπε προλαβοῦσα ἡ θεία γραφή, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, καὶ τὴν ἀρχὴν αὐτῷ πάντων παρέδωκε τῶν ὁρωμένων· ἵνα μὴ ἀγνοῶν τῆς οἰκείας οὐσίας τὴν σύστασιν μεγάλα φαντασθῇ, καὶ ὑπερβῇ τοὺς οἰκείους ὅρους, διὰ τοῦτο ἐπιλαμβάνουσα διδάσκει καὶ τὸν τρόπον τῆς συστάσεως καὶ τῆς γενέσεως τὴν ἀρχήν, καὶ ὅθεν ὁ πρῶτος ἄνθρωπος παρήχθη [καὶ πῶς παρήχθη]. εἰ γὰρ καὶ μετὰ ταύτην τὴν διδασκαλίαν, καὶ μετὰ τὸ γνῶναι ὅτι ἀπὸ τῆς γῆς ἔχει τὴν ἀρχὴν τῆς συστάσεως, ἐξ ἧς τὰ σπέρματα, ἐξ ἧς τὰ ἄλογα ζῶα (" εἰ καὶ ἡ διάπλασις, καὶ τῆς ψυχῆς ἡ οὐσία ἡ ἀσώματος πολλὴν αὐτῷ τὴν προεδρίαν διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν κεχάρισται· διὰ γὰρ ταύτην, καὶ τὸ λογικὸς εἶναι, καὶ τὴν κατὰ πάντων ἀρχὴν ἐδέξατο) εἰ τοίνυν καὶ ταῦτα μαθών, διὰ τὴν παρὰ τοῦ ὄφεως ἀπάτην, ἰσοθείαν ἐφαντάσθη ὁ ἐκ γῆς πλασθείς, εἰ τῇ πρώτῃ διηγήσει ἠρκέσθη ὁ μακάριος οὗτος προφήτης, καὶ μὴ ἐπαναλαβὼν πάντα μετὰ ἀκριβείας ἡμᾶς ἐδίδαξε· ποῦ οὐκ ἂν μανίας ἐξωκείλαμεν; ὥστε μέγιστον ἡμῖν ἐστιν εἰς διδασκαλίαν φιλοσοφίας τὸ μαθεῖν πόθεν ἐξ ἀρχῆς τὴν σύστασιν τῆς οὐσίας ἐσχήκαμεν. καὶ ἔπλασε, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ἐπειδὴ ἀνθρώποις διελέγετο οὐ δυναμένοις ἑτέρως ἀκοῦσαι, * ὡς ἀκοῦσαι ἡμᾶς δυνατὸν ἦν, οὕτω τῇ παχύτητι τῶν λόγων κέχρηται. καὶ ἵνα διδάξῃ ἡμᾶς, ὅτι τοῦτον τὸν ἐκ τῆς γῆς πλασθέντα ἡ φιλανθρωπία τοῦ δεσπότου ἐβουλήθη καὶ ψυχῆς οὐσίαν ἔχειν λογικήν, δι' ἧς τὸ ζῶον τοῦτο ἄρτιον καὶ τέλειον ἀπεδείκνυτο, καὶ ἐνεφύσησε, φησίν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ζωτικήν, φησίν, ἐνέργειαν, τὸ ἐμφύσημα ἐχαρίσατο τῷ ἐκ γῆς πλασθέντι, καὶ τοῦτο ἐγένετο σύστασις " τῆς οὐσίας τῆς ψυχῆς. ἐπήγαγε γοῦν, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐκεῖνος ὁ πλασθείς, ὁ ἀπὸ τοῦ χοὸς δεξάμενος τὸ ἐμφύσημα, τὴν πνοὴν τῆς ζωῆς, ἐγένετο, φησίν, εἰς ψυχὴν ζῶσαν. τί ἐστιν εἰς ψυχὴν ζῶσαν; ἐνεργοῦσαν, ἔχουσαν ὑπηρετούμενα τὰ μέλη τοῦ σώματος ταῖς αὐτῆς ἐνεργείαις, καὶ τῷ βουλήματι αὐτῆς ἑπόμενα. ἀλλ' οὐκ οἶδ' ὅπως ἡμεῖς ἀντεστρέψαμεν τὴν τάξιν, καὶ τοσαύτη γέγονεν ἡ τῆς κακίας ἐπίτασις, ὡς ταύτην ἀναγκάζειν τοῖς τῆς σαρκὸς βουλήμασιν ἐξακολουθεῖν· καὶ τὴν ἐν τάξει δεσποίνης ὀφείλουσαν προκαθῆσθαι καὶ ἐπιτάττειν καταβιβάσαντες ἀπὸ τοῦ θρόνου, ὑπακούειν ταῖς τῆς σαρκὸς ἡδοναῖς καταναγκάζομεν, ἀγνοοῦντες αὐτῆς τὴν εὐγένειαν, καὶ ὅση ταύτης ἡ προεδρία τυγχάνει. ἐννόησον γάρ μοι τὴν τάξιν τῆς διαπλάσεως, καὶ λογίζου περὶ τοῦ ἐμφυσήματος τοῦ δεσπότου, ὅπερ αὐτῷ γέγονεν εἰς πνοὴν ζῶσαν (καὶ ἐγένετο εἰς " πνοὴν ζῶσαν) τί ἦν ὁ πλασθείς; " ἁπλῶς εἰκὼν ἄψυχος καὶ ἀνενέργητος καὶ εἰς οὐδὲν χρήσιμος, ὥστε τὸ πᾶν, καὶ τὸ εἰς τοσαύτην αὐτὸν τιμὴν ἀγαγόν, ἐκεῖνό ἐστι τὸ παρὰ τοῦ θεοῦ γεγονὸς εἰς αὐτὸν ἐμφύσημα. καὶ ἵνα τοῦτο μὴ ἐκ τῶν τότε γεγενημένων, ἀλλὰ καὶ ἐκ τῶν νῦν καθ' ἑκάστην ἡμέραν συμβαινόντων κατίδοις, ἐννόει μοι μετὰ τὴν τῆς ψυχῆς ἔξοδον τὸ σῶμα τοῦτο, πῶς ἀηδὲς καὶ ἀτερπὲς φαίνεται). καὶ τί λέγω ἀηδὲς καὶ ἀτερπές; πῶς φευκτόν, δυσωδίας ἐμπεπλησμένον, πάσης ἀμορφίας πεπληρωμένον τὸ πρὸ τούτου, ἡνίκα τὴν ψυχὴν εἶχεν ἡνιοχοῦσαν, φαιδρόν, χαρίεν, πολλῆς τῆς εὐμορφίας ἐμπεπλησμένον, πολλῆς τῆς συνέσεως πεπληρωμένον, πολλὴν ἐπιτηδειότητα ἔχον πρὸς τὴν τῶν ἀγαθῶν πράξεων τὴν ἐνέργειαν.

γρ. κἀκεῖ

* ἦ

γρ. τῇ οὐσίᾳ

γρ. ψυχὴν

γρ. οὐδὲ

Ταῦτα

ΗΘΙΚΟΝ

Ταῦτα δὴ πάντα ἐννοοῦντες, καὶ λογιζόμενοι τὴν εὐγένειαν τῆς ἡμετέρας ψυχῆς, μηδὲν ἀνάξιον αὐτῆς διαπραττώμεθα, μηδὲ καταρρυπαίνωμεν αὐτήν, ταῖς ἀτόποις πράξεσι καθέλκοντες αὐτὴν εἰς τὴν τῆς σαρκὸς ὑποταγήν, καὶ περὶ τὴν οὕτως εὐγενῆ καὶ τοσαύτης ἠξιωμένην προεδρείας οὕτως ἀσυμπαθεῖς γινόμενοι καὶ ἀγνώμονες. διὰ γὰρ τὴν ταύτης οὐσίαν ἡμεῖς οἱ σώματι συμπεπλεγμένοι, ἐὰν βουληθῶμεν, δυνησόμεθα τῆς παρὰ τοῦ θεοῦ ῥοπῆς ἡμῖν συνεφαπτομένης, ταῖς ἀσωμάτοις ἁμιλλᾶσθαι δυνάμεσι, καὶ ἐν τῇ γῇ βαδίζοντες, ὡς ἐν οὐρανῷ διάγοντες, οὕτω πολιτεύεσθαι, καὶ μηδὲν ἐκείνων ἔλαττον ἔχειν, ἀλλὰ τάχα κατά τι καὶ πλέον. καὶ πῶς, ἐγὼ λέγω. ὅταν γὰρ εὑρεθῇ τις, μετὰ τὸ σώματι φθαρτῷ συμπεπλέχθαι, τὰ αὐτὰ ταῖς ἄνω δυνάμεσι πολιτευόμενος, πῶς οὐ πλείονος ἀξιωθήσεται τῆς παρὰ τοῦ θεοῦ ῥοπῆς, ὅτι καὶ ταῖς ἀνάγκαις τοῦ σώματος ὑποκείμενος, ἀκέραιον τῆς ψυχῆς τὴν εὐγένειαν διετήρησε; καὶ τίς ἂν δυνηθείη, φησί, τοιοῦτος εὑρεθῆναί ποτε; εἰκότως ἀδύνατον ἡμῖν τὸ πρᾶγμα νενόμισται διὰ τὸν πολὺν τῆς ἀρετῆς αὐχμόν. εἰ δὲ βούλει μαθεῖν ὅτι οὐκ ἔστι τοῦτο τῶν ἀδυνάτων, ἐννόησόν μοι ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τοὺς εὐαρεστήσαντας τῷ δεσπότῃ· τὸν μέγαν Ἰωάννην ἐκεῖνον τὸν τῆς στείρας υἱόν, τὸν τῆς ἐρήμου πολίτην· Παῦλον τὸν τῆς οἰκουμένης διδάσκαλον, καὶ ἅπαντα τῶν ἁγίων τὸν ὁρμαθόν, οἳ τῆς αὐτῆς ἡμῖν φύσεως ἐτύγχανον, ταῖς αὐταῖς ἀνάγκαις τοῦ σώματος ὑποκείμενοι· καὶ μηκέτι λοιπὸν ἀδύνατον εἶναι τὸ πρᾶγμα νόμιζε, μηδὲ ὀκνηρότερος γίνου περὶ τὴν ἀρετήν, τοσαύτας λαβὼν τὰς ἀφορμὰς παρὰ τοῦ δεσπότου πρὸς τὸ μετ' εὐκολίας αὐτὴν ἀσπάσασθαι. καὶ γὰρ εἰδὼς ὁ φιλάνθρωπος ἡμῶν δεσπότης τὸ ἀσθενὲς ἡμῶν τῆς προαιρέσεως, καὶ τὸ εὐόλισθον, μεγάλα φάρμακα ἡμῖν κατέλιπε, τὴν ἐκ τῶν γραφῶν ἀνάγνωσιν· ἵνα ταῦτα ἐπιτιθέντες ἑαυτοῖς συνεχῶς, καὶ τοὺς βίους ἀναλογιζόμενοι τῶν θαυμαστῶν καὶ μεγάλων ἐκείνων ἀνδρῶν, εἰς ζῆλον ἐναγώμεθα, * καὶ μὴ ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ φεύγωμεν τὴν κακίαν, καὶ πάντα ποιῶμεν, ὥστε μὴ ἀναξίους ἑαυτοὺς καταστῆσαι τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιγ. ΚΑΙ ΕΦΥΤΕΥΣΕΝ * Ο ΘΕΟΣ ΠΑΡΑΔΕΙΣΟΝ

ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν.

ΟΡῶν ὑμῶν τὸν πόθον τὸν ἀκόρεστον, καὶ τὴν προθυμίαν τὴν πολλήν, καὶ συντεταμένην τὴν διάνοιαν, καὶ πάντας κεχηνότας καὶ ἀνεπτερωμένους πρὸς τὴν πνευματικὴν διδασκαλίαν, καίτοι πολλὴν ἐμαυτῷ πενίαν συνειδώς, συνεχῶς καὶ καθ' ἑκάστην ἡμέραν τὴν πτωχὴν ταύτην καὶ εὐτελῆ τράπεζαν ὑμῖν παρατιθέναι σπουδάζω, θαρρῶν ὅτι τῇ ἐπιθυμίᾳ ἐκκαιόμενοι μετὰ προθυμίας δέξεσθε τὰ λεγόμενα, ἐπεὶ καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. ὅταν μὲν γὰρ διεγηγερμένην ἔχωσι τὴν ὄρεξιν οἱ δαιτυμόνες, κἂν πτωχή τις τυγχάνῃ ἡ τράπεζα, κἂν εὐτελὴς ᾖ ὁ ἑστιάτωρ, μετὰ πολλῆς τῆς ἡδονῆς δαπανῶσι τὰ παρατιθέμενα. ὅταν δὲ καταβεβλημένην ἔχωσι τὴν ὄρεξιν οἱ ἑστιώμενοι, κἂν πολυτελὴς τυγχάνῃ ἡ τράπεζα, κἂν πολλὰ ἔχῃ καὶ διάφορα ἐδέσματα, οὐδὲν ὄφελος, οὐκ ὄντων τῶν δυναμένων χρήσασθαι τοῖς παρασκευασθεῖσιν. ἐνταῦθα δὲ ἐπειδὴ διὰ τὴν τοῦ θεοῦ χάριν καὶ ἡ προθυμία ὑμῶν διεγηγερμένη τυγχάνει, καὶ ἡ τράπεζα πνευματική, μετὰ πολλοῦ τοῦ πόθου καὶ αὐτοὶ λέγομεν, εἰδότες ὅτι νηφούσαις ἀκοαῖς παρατιθέμεθα τὰ θεῖα ταῦτα διδάγματα. ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν εὕρῃ λιπαρὰν καὶ βαθύγεων ἄρουραν, τὰ παρ' ἑαυτοῦ πάντα εἰς αὐτὴν ἐπιδειξάμενος, καὶ τὰς αὔλακας ἀνατεμὼν, καὶ τὸ ἄροτρον ἑλκύσας, καὶ τὰς ἀκάνθας ἀνασπάσας, μετὰ δαψιλείας καταβάλλει τὰ σπέρματα, καὶ ταῖς χρησταῖς ἐλπίσιν ἤδη τρεφόμενος καθ' ἑκάστην ἡμέραν τὴν βλάστην ἀναμένει τῶν καταβληθέντων, ὡς γονίμῳ τῆς γῆς προσέχων, καὶ πολλαπλασίονα τῶν σπερμάτων ἕτοιμος ὢν ὑποδέξασθαι τὸν ἄμητον. κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν ἐφ' ἑκάστης ἡμέρας αὐξανομένην τὴν προθυμίαν, τὸν πόθον ἀκμάζοντα, τὴν σπουδὴν ἐπίδοσιν λαμβάνουσαν, καὶ περὶ ὑμῶν χρηστὰς ἔχομεν τὰς ἐλπίδας, καὶ αὐτοὶ πλείονι προθυμίᾳ καὶ σπουδῇ τὰ εἰς δύναμιν ἡμετέραν εἰσφέρειν ἐπειγόμεθα εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης, εἰς δόξαν θεοῦ, εἰς καύχημα τῆς τοῦ θεοῦ ἐκκλησίας. φέρε οὖν, εἰ δοκεῖ, μικρὰ τῶν πρώην εἰρημένων ἀναλαβόντες, ἀκολούθως τοῖς σήμερον ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν. τί δὲ ἡμῖν ἦν τὸ πρώην κινούμενον, καὶ μέχρι ποῦ τὸν λόγον ἐκτείναντες κατελύσαμεν τὴν διδασκαλίαν, ἀναγκαῖον εἰπεῖν. καὶ ἔπλασε, φησὶν, ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ὅπερ τότε ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ, καὶ διηνεκῶς λέγων οὐ παύσομαι· ὅτι πολλὴ καὶ ἄφατος ἡ φιλανθρωπία τοῦ κοινοῦ πάντων δεσπότου ἡ περὶ τὸ γένος τὸ ἡμέτερον. καὶ γὰρ πολλῇ συγκαταβάσει ἐχρήσατο διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν, καὶ πολλῆς τιμῆς ἠξίωσε τοῦτο τὸ ζῶον, τὸν ἄνθρωπον λέγω, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων δεικνὺς, ὡς πάντων τῶν ὁρωμένων πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται. οὐδὲν γὰρ κωλύει καὶ σήμερον τὰ αὐτὰ διερευνᾶσθαι, ἐπὶ τῆς ὑμετέρας ἀγάπης. καθάπερ γὰρ ἡ τῶν θυμιαμάτων φύσις, ὅσῳ ἂν ὑπὸ τῶν δακτύλων τῶν ἡμετέρων περιστρέφηται, πλείονα τὴν εὐωδίαν παρέχει, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν γραφῶν ἐστιν ἰδεῖν γινόμενον· ὅσῳ ἄν τις ἐπὶ πλέον ταύταις ἐπιέναι σπουδάζῃ, τοσούτῳ μᾶλλον κατοπτεύειν δύναται τὸν ἐγκεκρυμμένον θησαυρὸν, καὶ πολὺν καὶ ἄφατον τὸν πλοῦτον ἐντεῦθεν καρποῦσθαι. καὶ ἔπλασε, φησὶν, ὁ θεὸς ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. σκόπει μοι τὴν διαφορὰν εὐθέως ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν λόγων. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων τῶν δημιουργηθέντων ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς τὸν τρόπον λέγων τῆς δημιουργίας, ὅτι εἶπεν ὁ θεὸς, γενηθήτω φῶς καὶ ἐγένετο φῶς, γενηθήτω στερέωμα, καὶ συναχθήτω τὸ ὕδωρ, φησὶ, καὶ γενηθήτωσαν φωστῆρες, καὶ βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. εἶδες πῶς λόγῳ τὰ πάντα ἐδημιουργήθη. ἀλλ' ἴδωμεν λοιπὸν ἐπὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας τί φησι. καὶ ἔπλασε, φησὶν, ὁ θεὸς τὸν ἄνθρωπον. ὅρα πῶς διὰ τῆς τῶν ῥημάτων συγκαταβάσεως, οἷς διὰ τὴν ἡμετέραν ἀσθένειαν ἐχρήσατο, ὁμοῦ καὶ τὸν τρόπον τῆς δημιουργίας διδάσκει, καὶ τὸ ἐνηλλαγμένον, καὶ μονονουχὶ, ἵνα ἀνθρωπίνως εἴπω, ταῖς χερσὶν αὐτὸν διαπλαττόμενον ὑποδείκνυσι τοῦ θεοῦ· καθὼς καὶ ἕτερος προφήτης φησὶν, Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. εἰ γὰρ προσέταξεν ἁπλῶς (εἰπέ μοι) ἐκ τῆς γῆς ἀναδοθῆναι τὸν ἄνθρωπον, οὐκ ἂν παρήχθη τὸ προσταχθέν; ἀλλ' ἵνα διὰ τοῦ τρόπου τῆς δημιουργίας διδασκαλίαν ἡμῖν ἐναποθῆται διηνεκῆ, ὥστε μὴ πλέον τι τῆς φύσεως φαντάζεσθαι, διὰ τοῦτο οὕτω μετὰ ἀκριβείας ἅπαντα διηγεῖται καί φησιν, ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. ὅρα καὶ ἐν τούτῳ αὐτοῦ τὴν

τιμήν.

γρ. διερευνᾶσθαι

γρ. δημιουργημάτων.

Ἰωβ. ι. κ.

τιμήν. οὐ γὰρ ἁπλῶς γῆν λαμβάνει, ἀλλὰ χοῦν, τὸ λεπτότατον, ὡς ἂν εἴποι τις, τῆς γῆς, καὶ τοῦτον αὐτὸν τὸν χοῦν τὸν ἀπὸ τῆς γῆς τῷ οἰκείῳ προστάγματι εἰς σώματος φύσιν μετέστησει. ὥσπερ γὰρ αὐτὴν τὴν οὐσίαν τῆς γῆς οὐχ ὑφεστῶσαν παρήγαγεν, οὕτω καὶ νῦν, ὅτε ἐβουλήθη, τὸν χοῦν τὸν ἀπὸ τῆς γῆς εἰς σῶμα μετέστησεν. ἐνταῦθα ἀναβοῆσαι καλὸν τὸ παρὰ τοῦ μακαρίου Δαβὶδ εἰρημένον· Τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ, ὅτι ἀπὸ χοὸς τοιοῦτον ζῶον ἀνέδειξε, καὶ εἰς τοσαύτην τιμὴν ἀνήγαγε, καὶ τοσαύτας εὐεργεσίας εἰς αὐτὸν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπιδείκνυται, δεικνὺς διὰ πάντων τὴν οἰκείαν φιλανθρωπίαν; καὶ ἐνεφύσησε, φησιν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐνταῦθά τινες τῶν ἀγνωμόνων ἐξ οἰκείων λογισμῶν κινούμενοι, καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες, οὔτε τὴν συγκατάβασιν τῶν ῥημάτων λογιζόμενοι, λέγειν ἐπιχειροῦσιν, ὅτι ἐκ τῆς τοῦ θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. ὢ τῆς μανίας· ὢ τῆς παραφροσύνης. πόσας ὁδοὺς ἀπωλείας ὁ διάβολος ἔτεμε τοῖς αὐτὸν θεραπεύειν βουλομένοις; καὶ ἵνα μάθῃς, σκόπει πῶς ἀπ' ἐναντίας ἀλλήλοις ἔρχονται. οἱ μὲν γὰρ αὐτῶν φασιν ἐπιλαβόμενοι τῆς λέξεως τῆς λεγούσης, ὅτι ἐνεφύσησε, λέγουσιν ὅτι ἐκ τῆς οὐσίας τοῦ θεοῦ τυγχάνουσιν αἱ ψυχαί· ἕτεροι πάλιν φασίν, ὅτι καὶ εἰς τὴν τῶν ἀτιμοτάτων ἀλόγων οὐσίαν μεθίστανται αὗται. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; ἐπειδὴ γὰρ ἐσκοτίσθη ὁ λογισμὸς αὐτῶν, καὶ τὸν ἀληθῆ τῆς γραφῆς νοῦν ἠγνόησαν, καθάπερ πηρωθέντες τὸ ὄμμα τῆς διανοίας, ἀπ' ἐναντίας ἀλλήλοις κατὰ κρημνῶν φέρονται, οἱ μὲν ὑπὲρ τὴν ἀξίαν αὐτὴν ἀνάγοντες, οἱ δὲ παρὰ τὴν ἀξίαν κατάγοντες. εἰ γὰρ μέλλοιμεν διὰ τὸ λέγειν τὴν γραφήν, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ στόμα περιτιθέναι τῷ θεῷ, ἀνάγκη καὶ χεῖρας αὐτῷ περιάπτειν, ἐπειδὴ εἶπεν, ἔπλασε τὸν ἄνθρωπον. ἀλλ' ἵνα μή, βουλόμενοι τὴν ἐκείνων ληρῳδίαν εἰς μέσον προτιθέναι, ἀναγκαζώμεθα καὶ αὐτοὶ τὰ μὴ πρέποντα φθέγγεσθαι, φέρε δὴ λοιπὸν τὴν μὲν ἄνοιαν αὐτῶν καὶ τὴν πολλὴν φρενοβλάβειαν ἐκτρεπώμεθα· κατακολουθήσωμεν δὲ τῷ σκοπῷ τῆς θείας γραφῆς ἑαυτὴν ἑρμηνευούσης, μόνον ἐὰν ἡμεῖς μὴ τῇ παχύτητι τῶν ῥημάτων προσέχωμεν, ἀλλ' ἐκεῖνο ἐννοῶμεν, ὅτι αἰτία τῆς τῶν λέξεων παχύτητος ἡ ἀσθένεια τυγχάνει ἡ ἡμετέρα. οὐδὲ γὰρ ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην δέξασθαι τὰ λεγόμενα, μὴ τοσαύτης ἀπολαύσασαν τῆς συγκαταβάσεως. ἐννοοῦντες τοίνυν καὶ τὴν ἑαυτῶν ἀσθένειαν, καὶ ὅτι περὶ θεοῦ ἐστι τὰ λεγόμενα, οὕτω δεχώμεθα τὰ εἰρημένα, ὡς εἰκὸς περὶ θεοῦ λέγεσθαι, μὴ εἰς σωμάτων σχηματισμὸν καὶ μελῶν σύνθεσιν τὸ θεῖον " καταγαγόντες, ἀλλὰ θεοπρεπῶς ἅπαντα " νοοῦντες. ἁπλοῦν γὰρ καὶ ἀσύνθετον καὶ ἀσχημάτιστον τὸ θεῖον. ἐπεὶ εἰ μέλλοιμεν ἐξ ἑαυτῶν ὁρμώμενοι, καὶ μελῶν σύνθεσιν περιτιθέναι τῷ θεῷ, λανθάνομεν ἑαυτοὺς εἰς τὴν ἑλληνικὴν ἀσέβειαν " ἐκπίπτοντες. ὅταν οὖν ἀκούσῃς τῆς γραφῆς λεγούσης, ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, τὴν αὐτὴν νόει δύναμιν τῷ γενηθήτω. καὶ πάλιν ὅταν ἀκούσῃς ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, τοῦτο πάλιν λογίζου, ὅτι ἔδοξεν αὐτῷ, καθάπερ τὰς ἀσωμάτους δυνάμεις παρήγαγεν, οὕτω καὶ τὸ σῶμα τοῦτο τὸ ἀπὸ τοῦ χοὸς ψυχὴν ἔχειν λογικὴν τὴν τοῖς μέλεσι τοῦ σώματος κεχρῆσθαι δυναμένην. δημιουργηθὲν γὰρ τουτὶ τὸ σῶμα κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου, καθάπερ ὄργανον ἔκειτο δεόμενον τοῦ κινοῦντος αὐτό· μᾶλλον δὲ καθάπερ λύρα χρῄζουσά τινος τοῦ δυναμένου διὰ τῆς οἰκείας τέχνης καὶ σοφίας, ὥσπερ διὰ δονάκων τινῶν, διὰ τῶν μελῶν τῶν ἐν ἑαυτῷ τὴν προσήκουσαν μελῳδίαν " ἀναφέρειν τῷ δεσπότῃ. ἐνεφύσησε, φησιν, εἰς τὸ πρόσωπον αὐτοῦ

πνοὴν

Ψαλ. ρε. β.

μέλλοιεν

καταγοντες

ἐννοοῦντες

ἐμβάλλοντες

προσᾶγειν

πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. τί ἐστιν ἐνεφύσησε πνοὴν ζωῆς; τὸ σῶμά, φησι, τοῦτο τὸ δημιουργηθὲν ἐβουλήθη καὶ προσέταξε ζωτικὴν ἔχειν δύναμιν, ἥτις ἐγένετο τῷ ζώῳ εἰς ψυχὴν ζῶσαν, τουτέστιν ἐνεργοῦσαν, καὶ τὴν ἑαυτῆς τέχνην διὰ τῆς τῶν μελῶν κινήσεως ἐπιδείκνυσθαι δυναμένην. καὶ σκόπει καὶ ἐν αὐτῷ τούτῳ τὴν διαφορὰν τοῦ θαυμαστοῦ τούτου ζώου τοῦ λογικοῦ, καὶ τῆς τῶν ἀλόγων [ζώων] δημιουργίας. ἐπ' ἐκείνων μὲν γάρ φησιν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ εὐθὺς ἀνεδίδοτο ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα· καὶ ἐπὶ τῆς γῆς πάλιν ὡσαύτως, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν· ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ οὕτως. ἀλλὰ πρότερον ἀπὸ τοῦ χοὸς τὸ σῶμα δημιουργεῖται, καὶ μετὰ ταῦτα ἡ ζωτικὴ δύναμις αὐτῷ δίδοται, ὅπερ ἐστὶν ἡ τῆς ψυχῆς οὐσία. διὰ τοῦτο καὶ περὶ τῶν ἀλόγων ἔλεγε Μωϋσῆς, ὅτι τὸ αἷμα αὐτοῦ ἡ ψυχὴ αὐτοῦ ἐστιν· ἐπὶ δὲ τοῦ ἀνθρώπου, οὐσία τίς ἐστιν ἀσώματος καὶ ἀθάνατος, πολλὴν πρὸς τὸ σῶμα τὴν ὑπεροχὴν κεκτημένη, καὶ τοσαύτην, ὅσην εἰκὸς τὸ ἀσώματον τοῦ σώματος. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν, εἰ τιμιωτέρα ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρότερον δημιουργεῖται, καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον; οὐχ ὁρᾷς, ἀγαπητέ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ ὁ οὐρανὸς καὶ γῆ, καὶ ἥλιος, καὶ σελήνη, καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη, καὶ τὰ ζῶα τὰ ἄλογα, καὶ μετὰ ταῦτα ἅπαντα ὁ ἄνθρωπος ὁ τούτων ἁπάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παράγεται, καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. ὃν γὰρ τρόπον τὰ ἄλογα, τὰ πρὸς ὑπηρεσίαν μέλλοντα τῷ ἀνθρώπῳ εἶναι χρήσιμα, πρὸ τοῦ ἀνθρώπου″ δεδημιούργηται, ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν· οὕτω καὶ πρὸ τῆς ψυχῆς τὸ σῶμα δημιουργεῖται, ἵνα, ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῇ, ἔχῃ τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως.

γρ. δημιουργεῖται.

8 Καὶ ἐφύτευσέ, φησιν, ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν.

Ἐπειδὴ τὴν οἰκείαν φιλανθρωπίαν ἐπεδείξατο ὁ τῶν ὅλων δεσπότης, καὶ δι' ὃν πάντα τὰ ὁρώμενα ἐδημιούργησε παρήγαγεν εἰς μέσον, εὐθέως ἄρχεται τὰς εἰς αὐτὸν εὐεργεσίας κατατίθεσθαι. καὶ ἐφύτευσεν ὁ θεός, φησι, παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς. σκόπει καὶ ἐνταῦθα, ἀγαπητέ, ὅτι ἐὰν μὴ θεοπρεπῶς τὰ ῥήματα δεχώμεθα, εἰς βαθὺ κρημνὸν ἀνάγκη κατενεχθῆναι. τί γὰρ ἂν εἰπεῖν ἔχοιεν καὶ ἐπὶ τούτου τοῦ ῥήματος οἱ πάντα τὰ περὶ τοῦ θεοῦ λεγόμενα ἀνθρωπίνως ἐκλαμβάνειν τολμῶντες; καὶ ἐφύτευσεν ὁ θεός, φησι, παράδεισον. τί οὖν, εἰπέ μοι, σκαπάνης ἐδεήθη, καὶ γεωργίας, καὶ τῆς ἄλλης ἐπιμελείας, ἵνα καλλωπίσῃ τὸν παράδεισον; μὴ γένοιτο. πάλιν γὰρ καὶ ἐνταῦθα τὸ ἐφύτευσεν οὕτω δεῖ νοεῖν, ὅτι προσέταξε παράδεισον ἐν τῇ γῇ γενέσθαι, ὥστε τὸν παραχθέντα ἄνθρωπον τούτῳ ἐνδιαιτᾶσθαι. ὅτι γὰρ διὰ″ τοῦτο τὸν παράδεισον παρήγαγεν, ἄκουσον αὐτῆς τῆς γραφῆς λεγούσης· καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. διὰ τοῦτο καὶ τὸ ὄνομα τοῦ τόπου ἐντίθησιν ἐν τοῖς γράμμασιν ὁ μακάριος * Μωϋσῆς, ἵνα μὴ ἐξῇ τοῖς φλυαρεῖν μάτην βουλομένοις ἀπατᾶν τῶν ἀφελεστέρων τὰς ἀκοάς, καὶ λέγειν, μὴ εἶναι ἐν τῇ γῇ τὸν παράδεισον, ἀλλ' ἐν τῷ οὐρανῷ, καὶ μυθολογίας τινὰς τοιαύτας ὀνειροπολεῖν. εἰ γὰρ καὶ τοσαύτῃ χρησαμένης ἀκριβείᾳ τῆς θείας γραφῆς, οὐ παρῃτήσαντό τινες τῶν ἐπὶ εὐγλωττίᾳ μεγαλοφρονούντων καὶ τῇ σοφίᾳ τῇ ἔξωθεν, ἀπ' ἐναντίας τοῖς γεγραμμένοις φθέγξασθαι καὶ εἰπεῖν, μὴ ἐπὶ τῆς γῆς εἶναι τὸν παράδεισον, καὶ πολλὰ ἕτε-

γρ. τοῦτο

* οὗτος

ρα τῶν εἰρημένων παρεγκύψαντες μή, ὡς γέγραπται, φρονεῖν, ἀλλ' ἀπ' ἐναντίας ἔρχεσθαι, καὶ τὰ ἐπὶ τῆς γῆς εἰρημένα περὶ τῶν ἐν οὐρανοῖς νομίζειν εἰρῆσθαι, εἰ μὴ τῇ ταπεινότητι τούτων τῶν λόγων καὶ τῇ συγκαταβάσει ὁ μακάριος Μωϋσῆς ἐχρήσατο τοῦ ἁγίου πνεύματος τὴν γλῶτταν αὐτοῦ κινοῦντος, ποῦ οὐκ ἂν ἐξεκυλίσθησαν, καί τοι γε τῆς ἁγίας γραφῆς, ἐπειδὰν βούληταί τι τοιοῦτον ἡμᾶς διδάσκειν, ἑαυτὴν ἑρμηνευούσης καὶ οὐκ ἀφιείσης πλανᾶσθαι τὸν ἀκροατήν; ἀλλ' ἐπειδὴ οἱ πολλοὶ οὐ διὰ τὸ καρπώσασθαί τι κέρδος ἐκ τῶν θείων γραφῶν, ἀλλὰ τέρψεως ἕνεκεν τὰς ἀκοὰς ὑπέχουσι τοῖς τὰ παριστάμενα λέγουσι, διὰ τοῦτο οὐ τοῖς ὠφελοῦσιν, ἀλλὰ τοῖς τέρπειν μᾶλλον δυναμένοις προσέχειν σπουδάζουσι. διό, παρακαλῶ, πᾶσι τούτοις τὰς ἀκοὰς ἀποτειχίσαντες, τῷ κανόνι τῆς ἁγίας γραφῆς κατακολουθήσωμεν· καὶ ὅταν ἀκούσῃς, ἀγαπητέ, ὅτι ἐφύτευσε παράδεισον ὁ θεὸς ἐν ἐδὲμ κατὰ ἀνατολάς, τὸ μὲν ἐφύτευσε θεοπρεπῶς ἐπὶ θεοῦ νόει, ὅτι προσέταξε· τὸ δὲ ἑξῆς πίστευε, ὅτι καὶ παράδεισος γέγονε, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα καὶ ἡ γραφὴ ἐπεσημήνατο. τὸ γὰρ μὴ πιστεύειν τοῖς ἐν τῇ θείᾳ γραφῇ κειμένοις, ἀλλ' ἕτερα ἐπεισάγειν ἐξ οἰκείας διανοίας, πολὺν ἡγοῦμαι κίνδυνον φέρειν τοῖς τοῦτο ποιεῖν τολμῶσι. καὶ ἔθετό, φησιν, ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν. ὅρα εὐθέως πόσην τιμὴν εἰς αὐτὸν ἐπιδείκνυται. ἔξω τοῦ παραδείσου τοῦτον δημιουργήσας εὐθέως αὐτὸν παραγαγών, ἵνα διὰ τῶν πραγμάτων αἴσθησιν αὐτῷ τῆς εὐεργεσίας παράσχῃ, καὶ γνῷ διὰ τῶν ἔργων τὴν τιμήν, ἣν εἰς αὐτὸν ἐπιδείκνυται, εἰς τὸν παράδεισον αὐτὸν εἰσήγαγε, καὶ ἔθετό, φησιν, ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. καὶ τὸ ἔθετο πάλιν οὕτω νοῶμεν, ἀντὶ τοῦ, προσέταξεν ἐκεῖ αὐτὸν διάγειν, ἵνα καὶ ἡ ὄψις καὶ ἡ διαγωγὴ πολλὴν αὐτῷ τὴν ἡδονὴν παρέχῃ, καὶ εἰς εὐχαριστίαν καὶ εὐγνωμοσύνην αὐτὸν διεγείρῃ, ἐννοοῦντα ὅσον εὐεργέτηται οὐδέπω οὐδὲν ἐπιδειξάμενος. μὴ τοίνυν ξενιζέτω σε ἡ τοῦ ἔθετο λέξις. ἔθος γὰρ ἀεὶ τῇ γραφῇ δι' ἡμᾶς καὶ τὴν ὠφέλειαν τὴν ἡμετέραν ταῖς ἀνθρωπίναις κεχρῆσθαι λέξεσι. καὶ ἵνα μάθῃς, ὅρα πῶς προλαβοῦσα καὶ ἐπὶ τῆς τῶν ἀστέρων δημιουργίας τῇ αὐτῇ λέξει ἐχρήσατο εἰποῦσα, καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ· οὐχ ἵνα ἐμπεπῆχθαι αὐτοὺς τῷ οὐρανῷ νοήσωμεν (καὶ γὰρ ἕκαστος αὐτῶν τὸν οἰκεῖον δρόμον διανύει, τόπους ἐκ τόπων ἀμείβων) ἀλλ' ἵνα διδάξῃ, ὅτι ἐν τῷ οὐρανῷ αὐτοὺς εἶναι προσέταξε, καθάπερ καὶ τὸν ἄνθρωπον ἐν τῷ παραδείσῳ διάγειν.

9 Καὶ ἐξανέτειλε, φησιν, ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ.

Ἰδοὺ καὶ ἕτερον εὐεργεσίας εἶδος πάλιν διὰ τὴν εἰς τὸν δημιουργηθέντα τιμήν. ἐπειδὴ γὰρ αὐτὸν ἐν τῷ παραδείσῳ διάγειν ἐβουλήθη, προσέταξεν ἐκ τῆς γῆς ἀναδοθῆναι δένδρα διάφορα, ὁμοῦ καὶ τέρπειν αὐτὸν δυνάμενα διὰ τῆς θέας, καὶ πρὸς βρῶσιν ἐπιτήδεια. πᾶν γὰρ ξύλον, φησίν, ὡραῖον εἰς ὅρασιν, τοῦτ' ἔστιν εἰς θέαν, καὶ καλὸν εἰς βρῶσιν, τοῦτ' ἔστι καὶ εὐφραίνειν δυνάμενα διὰ τῆς ὄψεως, καὶ ἡδονὴν πολλὴν παρέχοντα διὰ τῆς βρώσεως, καὶ τῷ πλήθει δὲ καὶ τῇ ἀφθονίᾳ πολλὴν τὴν εὐφροσύνην προξενοῦντα τῷ μέλλοντι τούτων ἀπολαύειν. πᾶν γάρ, φησι, ξύλον, ὅπερ ἂν εἴπῃς, ἀναδοθῆναι πεποίηκεν. εἶδες διαγωγὴν ἀταλαίπωρον; εἶδες βίον θαυμαστόν; καθάπερ γὰρ ἄγγελός τις, οὕτως ἐπὶ τῆς γῆς διέτριβεν ὁ ἄνθρωπος, σῶμα μὲν περικείμενος, ἔξω δὲ τῶν σωματικῶν ἀναγκῶν τυγχάνων, καὶ καθάπερ βασιλεὺς ἁλουργίδι καὶ διαδήματι κεκοσμημένος καὶ πορφυρίδα ἀναβεβλημένος, οὕτως ἐνετρύφα τῇ τοῦ παραδείσου διαγωγῇ, γῆ, μετὰ ἀδείας πολλὴν ἔχων τὴν ἀφθονίαν. καὶ τὸ ξύλον, φησί, τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. μετὰ τὸ διδάξαι ἡμᾶς, ὅτι πᾶν ξύλον ἐξέδωκεν ἡ γῆ κατὰ τὸ τοῦ θεοῦ πρόσταγμα, καὶ ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν, τότε φησί, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. προειδὼς γὰρ ὁ φιλάνθρωπος δεσπότης, ὡς δημιουργὸς, τὴν ἐκ τῆς πολλῆς ἀδείας μέλλουσαν τοῦ χρόνου προϊόντος τίκτεσθαι βλάβην, ἀνῆκε καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ἐπειδὴ μετ' οὐ πολὺ μέλλει τὴν τούτου ἀποχὴν αὐτῷ κελεύειν, ἵνα εἰδέναι ἔχῃ, ὅτι χάριτι καὶ φιλοτιμίᾳ τὴν ἀπόλαυσιν ἔχει, καὶ ὅτι ἐστί τις δεσπότης καὶ δημιουργὸς καὶ τῆς αὐτοῦ φύσεως καὶ πάντων τῶν ὁρωμένων, διὰ τοῦτο ἤδη τοῦ ξύλου τὴν μνήμην ἐποιήσατο. καὶ διηγεῖται ἡμῖν ἐφεξῆς τῶν ποταμῶν τὰ ὀνόματα, καὶ τούτων τὸν ἀφορισμὸν, ὡς ἂν εἴποι τις· καὶ ὅτι ἐξ ἐκείνου τοῦ τὴν ἄρδειαν τῷ παραδείσῳ παρέχοντος, ἔπειτα εἰς τέσσαρας ἀρχὰς διαιρεθέντες οὕτω τὰ κλίματα τῆς γῆς διενείμαντο. ἀλλ' ἴσως οἱ τὰ ἀπὸ τῆς οἰκείας σοφίας φθέγγεσθαι βουλόμενοι πάλιν οὔτε ποταμοὺς συγχωροῦσιν εἶναι τοὺς ποταμοὺς, οὔτε τὰ ὕδατα ὕδατα, ἀλλ' ἕτερόν τι φαντάζεσθαι ἀναπείθουσι τοὺς ἐκδιδόναι αὐτοῖς τὰς ἀκοὰς αἱρουμένους.

ΗΘΙΚΟΝ

Ἀλλ' ἡμεῖς (παρακαλῶ) τούτων μὲν μὴ ἀνεχώμεθα, ἀλλ' ἀποφράττωμεν αὐτοῖς τὰς ἀκοάς· πειθώμεθα δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις κατακολουθοῦντες, τὰ ὑγιῆ δόγματα σπουδάζωμεν ἐναποτίθεσθαι ταῖς ἑαυτῶν ψυχαῖς, καὶ μετὰ τούτων καὶ βίου ἀκρίβειαν ἐπιδείκνυσθαι· ἵνα καὶ ὁ βίος μαρτυρῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα τὸν βίον ἀξιοπιστότερον ἀποφαίνῃ. οὔτε γὰρ ἐὰν δόγματα μὲν ἔχωμεν ὀρθὰ, βίου δὲ ἀμελῶμεν, ὄφελος ἡμῖν ἔσται τι· οὔτε ἐὰν βίον ἔχοντες, τῶν ὀρθῶν δογμάτων ἀμελῶμεν, κερδᾶναί τι χρήσιμον [καὶ] πρὸς σωτηρίαν ἡμετέραν δυνησόμεθα. προσήκει γὰρ, εἰ βουλοίμεθα καὶ γεέννης ἐλευθερωθῆναι, καὶ βασιλείας ἐπιτυχεῖν, ἀμφοτέρωθεν κοσμεῖσθαι, καὶ δογμάτων ὀρθότητι, καὶ βίου ἐπιμελείᾳ. τί γὰρ ὄφελος, εἰπέ μοι, δένδρου εἰς ὕψος πολὺ ἐκτεινομένου, καὶ τοῖς φύλλοις κομῶντος, ὅταν καρποῦ ἔρημον ᾖ; οὕτω καὶ τὸν χριστιανὸν οὐδὲν ὀνίνησι τὰ ὀρθὰ δόγματα, ἐὰν τῆς κατὰ τὸν βίον πολιτείας ἀμελῇ. διὰ Matth. c. 19. τοῦτο καὶ ὁ Χριστὸς τοὺς τοιούτους ἐμακάριζε λέγων, Μακάριος ὁ ποιήσας καὶ διδάξας. τῆς γὰρ διὰ τῶν λόγων διδασκαλίας ἡ διὰ τῶν ἔργων ἀκριβεστέρα καὶ ἀξιοπιστοτέρα πολλῷ. ὁ γὰρ τοιοῦτος καὶ σιγῶν καὶ μὴ ὁρώμενος παιδεύειν δύναται τοὺς μὲν διὰ τῆς θέας, τοὺς δὲ καὶ διὰ τῆς ἀκοῆς· καὶ πολλῆς ἀπολαύσεται καὶ τῆς παρὰ τοῦ θεοῦ εὐνοίας, οὐ μόνον δὲ δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ τῶν εἰς αὐτὸν ὁρώντων παρασκευάζων δοξάζεσθαι τὸν ἑαυτοῦ δεσπότην. ὁ τοιοῦτος διὰ μυρίων γλωττῶν καὶ διὰ πολλῶν στομάτων, τὰς εὐχαριστίας καὶ τοὺς ὕμνους ἀνοίσει τῷ τῶν ὅλων θεῷ. οὐδὲ γὰρ οἱ γνώριμοι μόνον καὶ μάρτυρες ὄντες τοῦ βίου, καὶ αὐτὸν θαυμάσονται καὶ τὸν αὐτοῦ δεσπότην, ἀλλὰ καὶ οἱ ἀγνῶτες παρὰ ἑτέρων ταῦτα μανθάνοντες, καὶ οἱ πόρρωθεν οἰκοῦντες, καὶ οἱ μακρὰν ἀπῳκισμένοι· καὶ οὐ φίλοι μόνον, ἀλλὰ καὶ ἐχθροὶ αἰδεσθήσονται τῆς ἀρετῆς τὴν ὑπερβολήν. τοσαύτη γὰρ ταύτης ἡ ἰσχὺς, ὡς καὶ τῶν πολεμούντων αὐτῇ ἀποφράττειν τὰ στόματα, καὶ τὴν γλῶτταν ἐπιστομίζειν. καὶ ὥσπερ πρὸς τὰς ἀκτῖνας τὰς ἡλιακὰς οἱ ἀσθενεῖς τὰς ὄψεις ἀντιβλέψαι οὐ τολμῶσιν, οὕτως οὐδὲ πρὸς τὴν ἀρετὴν ἡ κακία ἀντιβλέψαι δυνήσεταί ποτε, ἀλλὰ παραχωρήσει, καὶ νῶτα δώσει, καὶ τὴν ἧτταν ὁμολογήσει. ὃ δὴ καὶ πεπεισμένοι ἀντεχώμεθα τῆς ἀρετῆς, καὶ μετὰ ἀσφαλείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, καὶ τῶν μικρῶν καὶ εὐτελῶν εἶναι δοκούντων ἁμαρτημάτων εἴτε ἐν λόγῳ, εἴτε ἐν πράγμασιν ἀπέχεσθαι σπουδάζωμεν. οὕτω γὰρ οὐδέποτε τοῖς μείζοσι περιπεσούμεθα τῶν ἁμαρτημάτων, ἐὰν τῶν μικρῶν″ ἀπεχώμεθα· καὶ τοῦ χρόνου προϊόντος δυνησόμεθα καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες, τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τὴν κόλασιν διαφυγεῖν τὴν ἀποκειμένην, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιδ. ΚΑΙ ΕΛΑΒΕ ΚΥΡΙΟΣ Ο ΘΕΟΣ ΤΟΝ ΑΝθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν.

ΠΑλιν, εἰ βούλεσθε, καὶ σήμερον τῆς ἀκολουθίας τῶν χθὲς ἡμῖν εἰρημένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν τὴν πνευματικὴν ὑφᾶναι σπουδάσωμεν. πολλὴ γὰρ καὶ τῶν πρόσφατον ἀναγνωσθέντων ἡ ἐγκεκρυμμένη δύναμις, καὶ προσήκει πρὸς τὸ βάθος ἡμᾶς καθιέντας, καὶ ἅπαντα μετ' ἀκριβείας διερευνησαμένους, τὸ ἐξ αὐτῶν κέρδος καρπώσασθαι. εἰ γὰρ (α) τοὺς ἀπὸ τῆς θαλάττης λίθους εὑρίσκειν βουλόμενοι τοσοῦτον πόνον καὶ ταλαιπωρίαν ὑπομένουσι τῇ τῶν ἀτάκτων ὑδάτων ῥύμῃ ἑαυτοὺς ἐκδιδόντες, ἵνα τῶν σπουδαζομένων ἐπιτύχωσι· πολλῷ μᾶλλον ἡμᾶς ἀκόλουθον συντεῖναι τὴν διάνοιαν, καὶ τὰ ἐν τῷ βάθει καταδύσαντας τῶν εἰρημένων, οὕτω τῶν τιμίων τούτων λίθων ἐπιλαβέσθαι. ἀλλὰ μὴ δείσῃς, ἀγαπητὲ, βάθος ἀκούων. οὐ γάρ ἐστιν ἐνταῦθα ὑδάτων ἄτακτος φορὰ, ἀλλὰ πνεύματος χάρις καταυγάζουσα ἡμῶν τὴν διάνοιαν, καὶ τὴν εὕρεσιν τῶν ζητουμένων μετ' εὐκολίας ἡμῖν παρεχομένη, καὶ πάντα πόνον ἐπικουφίζουσα. ″καὶ ἐκείνων μὲν τῶν λίθων ἡ εὕρεσις οὐ σφόδρα ὤνησε τὸν ἐπιτυχόντα, πολλάκις δὲ καὶ κατέβλαψε, καὶ μυρίων ναυαγίων ὑπόθεσις αὐτῷ γέγονε· καὶ οὐ τοσαύτην ἀπὸ τῆς εὑρέσεως ἐκαρπώσατο τὴν εὐφροσύνην, ὅσην μετὰ τὴν εὕρεσιν τὴν ἀηδίαν ὑπέμεινε, τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ἀναπτερώσας καθ' ἑαυτοῦ, τοὺς πλεονέκτας διεγείρας εἰς τὸν κατ' αὐτοῦ πόλεμον. οὕτως οὐ μόνον οὐδὲν ὄφελος εἰς τὸν βίον εἰσάγει τὸν ἡμέτερον ἡ ἐκείνων εὕρεσις, ἀλλὰ καὶ πολλῶν πολέμων ὑπόθεσις″ γίνεται. ″ὕλη γάρ ἐστι πλεονεξίας, καὶ κάμινον ἀνάψασα φιλαργυρίας πολιορκεῖ τὴν ψυχὴν τῶν ἁλόντων. ἐπὶ δὲ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων, οὐδέν ἐστι δεῖσαι τοιοῦτόν τι. ἀλλὰ καὶ ὁ πλοῦτος ὁ ἐντεῦθεν συλλεγόμενος ἄφατος, καὶ ἡ ἡδονὴ ἀμάραντος, καὶ ἐκ πολλοῦ τοῦ περιόντος νικῶσα πᾶσαν τὴν ἐκεῖθεν″ προσγινομένην τοῖς ἀνθρώποις εὐφροσύνην. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἄκουε τοῦ μακαρίου Δαβὶδ λέγοντος, Ὅτι ἐπιθυμητὰ τὰ λόγιά σου ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. ὁρᾷς πῶς τὰς τιμιωτέρας νομιζομένας τῶν ὑλῶν εἰς μέσον παραγαγὼν οὐ μόνον ταύτῃ τῇ συγκρίσει ἠρκέσθη, ἀλλὰ καὶ προσέθηκε, πολὺν, καὶ τότε τὴν ἐντεῦθεν ὑπεροχὴν ἡμῖν ἐδήλωσε; ὑπὲρ γὰρ χρυσίον καὶ λίθον, φησὶ, τίμιον πολύν· οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητὰ τὰ θεῖα λόγια, ἀλλ' ἐπειδὴ ταύτας″ μόνον τὰς ὕλας παρὰ τοῖς ἀνθρώποις εἶδε τὴν ἀνωτάτω προεδρείαν ἐχούσας, διὰ τοῦτο ταύτας παραγαγὼν εἰς μέσον οὕτω τὴν ὑπεροχὴν ἔδειξε καὶ τὴν ἐπιθυμίαν τῶν τοῦ πνεύματος″ λογίων σφοδροτέραν οὖσαν. καὶ ἵνα″ μάθῃς, ὅτι τοῦτο

ἔθος

Ψαλ. ιη. ια.

…ησόμεθα·

…κείνων μὲν
…τῶν λίθων
…ρεσις

…γέγονεν
…όλη

…ροσγινο-
…ην

μόνας

λογίων
μάθητε

τοῦτο ἔθος ἀεὶ τῇ γραφῇ, τοῖς αἰσθητοῖς παραβάλλειν πράγμασι τὴν ἐντεῦθεν ὠφέλει-
αν, καὶ οὕτω τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι, " ἄκουε καὶ τῶν ἑξῆς. ἐπήγαγε γοῦν, καὶ γλυ- γρ. ἀκούει
κύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ ἐνταῦθα, οὐκ ἐπειδὴ τοσοῦτόν ἐστι μόνον γλυκύτερα,
οὐδὲ ἐπειδὴ τοσαύτην παρέχειν δύναται τὴν ἡδονήν, ἀλλ' ἐπειδὴ οὐδὲν ἕτερον εἶ-
χεν ἐν τοῖς αἰσθητοῖς παραβαλεῖν τῇ ἡδονῇ τῶν θείων λογίων· διὰ τοῦτο τούτων μνημο-
νεύσας οὕτω πάλιν τὴν ὑπεροχὴν ἔδωκε, καὶ τὴν ἡδονὴν πλείονα ἔφησεν εἶναι τῶν πνευ-
ματικῶν διδαγμάτων. τῷ αὐτῷ κανόνι εὑρήσεις καὶ τὸν Χριστὸν ἐν τοῖς εὐαγγελίοις
κεχρημένον. ὅτε γὰρ τοῖς μαθηταῖς διελέγετο, καὶ ἐπεθύμουν μαθεῖν τὴν ἑρμηνείαν
τῆς παραβολῆς τοῦ σπείροντος τὸ καλὸν σπέρμα ἐν τῷ ἀγρῷ, καὶ τοῦ ἐχθροῦ τοῦ τὰ ζι-
ζάνια ἀνὰ μέσον τοῦ σίτου " ἐπεμβάλλοντος, κατὰ μέρος πᾶσαν διέλυσε τὴν παραβολήν, γρ. ἐμβαλόντος
εἰπὼν τίς ἐστιν [ὁ σπείρων] ὁ τὸ καλὸν σπέρμα σπείρας, καὶ τίς ὁ ἀγρός, καὶ τίνα ἐστὶ τὰ ζι-
ζάνια, καὶ τίς ὁ ταῦτα κατασπείρας, καὶ τίνες οἱ θερίζοντες, καὶ τίς ὁ θερισμός, καὶ ὅτε πάν-
Ματ. ιγ. μγ. τα σαφῶς αὐτοῖς ἐξεκάλυψε, τότε φησίν, Οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος, ἐν τῇ
βασιλείᾳ τοῦ πατρὸς " αὐτῶν· οὐκ ἐπειδὴ τοσαύτην μόνην τὴν λαμπηδόνα ἕξουσιν οἱ γρ. μου
δίκαιοι, ἀλλὰ δεικνὺς ὅτι πολλῷ μείζονα· τοσαύτην δὲ εἶπεν, ἐπειδὴ μείζονα ταύτης
εἰκόνα ἐν τοῖς ὁρωμένοις οὐκ ἦν εὑρεῖν. ἐπειδὰν οὖν τι τοιοῦτον ἀκούσωμεν, μὴ μέχρι
τῶν λεγομένων ἐναπομείνωμεν, ἀλλὰ ἀναλογιζώμεθα ἀπὸ τῶν αἰσθητῶν καὶ ὁρωμένων
τῶν πνευματικῶν μάλιστα τὴν ὑπεροχήν. εἰ τοίνυν καὶ τὴν ἐπιθυμίαν σφοδροτέραν
ἐστὶν " ἐνταῦθα εὑρεῖν, καὶ τὴν ἡδονὴν ἀκριβεστέραν (θεῖα γάρ ἐστι τὰ λόγια καὶ πνευμα- γρ. ἐπιπόθων μαθεῖν
τικά, καὶ πολλὴν δυνάμενα τίκτειν τῇ ψυχῇ τὴν εὐφροσύνην τὴν πνευματικήν) μετὰ
πολλοῦ τοῦ πόθου, καὶ σφοδρᾶς τῆς ἐπιθυμίας τὰς ἀκοὰς ὑπέχωμεν τοῖς λεγομένοις,
ἵνα τὸν ἀληθῆ πλοῦτον ἐντεῦθεν ἑαυτοῖς περιποιησάμενοι, καὶ πρὸς τὴν κατὰ θεὸν
φιλοσοφίαν πολλὰ δεξάμενοι τὰ σπέρματα, οὕτως οἴκαδε " ἀναχωρήσωμεν. ἀκούσω- γρ. ἀναχωρῶμεν
μεν τοίνυν τίνα ἐστὶ τὰ σήμερον ἀναγνωσθέντα. ἀλλὰ συντείνατέ μοι (παρακαλῶ) τὴν
διάνοιαν, καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξάμενοι καὶ φροντίδα βιωτικήν, οὕτω τοῖς λε-
γομένοις προσέχετε. θεῖοι γάρ εἰσι νόμοι ἄνωθεν ἐκ τοῦ " οὐρανοῦ κατενεχθέντες διὰ γρ. ἐκ τῶν οὐρανῶν
τὴν σωτηρίαν τὴν ἡμετέραν. εἰ γὰρ [ἔνδον βασιλικῶν αὐλῶν διατρίβωμεν, καὶ] βα-
σιλικῶν γραμμάτων ἀναγινωσκομένων πολλὴ γίνεται ἡ ἡσυχία, καὶ πᾶς θόρυβος καὶ
ταραχὴ ἐκποδών, πάντων συντεταμέναις ταῖς ἀκοαῖς ἑστώτων, καὶ ἐπιθυμούντων
ἀκοῦσαι τίνα ἐστίν, ἃ δηλοῖ τὰ γράμματα τὰ βασιλικά, καὶ κίνδυνος " μέγας ἕπεται γρ. μέγιστος
τῷ κἂν πρὸς βραχὺ θορυβήσαντι, καὶ διακόψαντι τῶν ἀναγινωσκομένων τὴν ἀκολου-
θίαν· πολλῷ μᾶλλον ἐνταῦθα μετὰ φόβου καὶ τρόμου ἑστάναι δεῖ, καὶ πολλὴν παρέχειν τὴν
" σιγήν, καὶ τῶν λογισμῶν τὴν ταραχὴν φυγαδεύειν, ἵνα καὶ συνιέναι δυνηθῆτε τὰ λε- γρ. σπουδὴν
γόμενα, καὶ τῆς ὑπακοῆς ἀποδεξάμενος ὑμᾶς ὁ βασιλεὺς τῶν οὐρανῶν, μειζόνων
καταξιώσῃ τῶν δωρεῶν. ἴδωμεν τοίνυν τί διδάσκει ἡμᾶς καὶ νῦν ὁ μακάριος Μωϋσῆς,
οὐκ οἰκείᾳ γλώττῃ μόνον ταῦτα λέγων, ἀλλ' ὑπὸ τῆς τοῦ πνεύματος χάριτος " ἐνη- γρ. ἀναβλυζόμενος
χούμενος.

15 Καὶ ἔλαβε, φησί, κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε.

Καλῶς εὐθέως ἐκ προοιμίων τὰ δύο τέθεικεν. οὐδὲ γὰρ εἶπε κύριος καὶ ἐσίγησεν,
ἀλλὰ προσέθηκεν, ὁ θεός, λανθάνον τι καὶ κεκρυμμένον ἐντεῦθεν ἡμᾶς διδάσκων· ἵνα
εἰδέναι ἔχωμεν, ὅτι κἄν τε κύριον ἀκούσωμεν, κἄν τε θεόν, οὐδεμία ἐν τοῖς ὀνόμασίν ἐστι
διαφορά. τοῦτο δὲ νῦν οὐχ ἁπλῶς ἐμνημόνευσα· ἀλλ' ἵνα, ὅταν ἀκούσῃς Παύλου
α. Κορ. η. ς. λέγοντος, Εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα,

μὴ νομίσῃς διαφορὰν εἶναι ἐν ταῖς λέξεσι, καὶ τὴν μὲν μεῖζόν τι δηλοῦν, τὴν δὲ ἔλαττον. διὰ τοῦτο καὶ ἀδιαφόρως ἡ γραφὴ τούτοις κέχρηται τοῖς ὀνόμασιν, ἵνα μὴ δόξῃ τοῖς φιλονείκως διακειμένοις τὰ ἐξ οἰκείας ὑπονοίας ἐπεισφέρειν τῇ τῶν δογμάτων ὀρθότητι. καὶ ἵνα μάθῃς, ὡς οὐδὲν τῶν τοιούτων παρατετηρημένως καὶ ἀποκεκληρωμένως φθέγγεται ἡ θεία γραφὴ, ἐξ αὐτοῦ τοῦ νῦν λεγομένου σκόπει μετὰ ἀκριβείας. καὶ ἔλαβε, φησι, κύριος ὁ θεός. περὶ τίνος " τοῦτο βούλεται εἰρῆσθαι ὁ αἱρετικός; περὶ τοῦ πατρὸς μόνου; " καλῶς. ἄκουε τοίνυν Παύλου λέγοντος, Εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. ὁρᾷς πῶς τὸ κύριος ὄνομα τῷ υἱῷ προσένειμε; τί ἂν οὖν εἴποιεν, τὴν κύριος προσηγορίαν μείζονα εἶναι τῆς θεός; ὁρᾶτε ὅσον τὸ ἄτοπον, καὶ ὅση τῆς βλασφημίας ἡ ἐπίτασις, ὅταν μὴ βούληταί τις ἀνέχεσθαι κατακολουθεῖν τῷ κανόνι τῆς θείας γραφῆς, ἀλλὰ καὶ τοῖς οἰκείοις λογισμοῖς ἐθέλοι διδόναι χώραν παρεκτείνειν τὴν διάνοιαν, καὶ λογομαχίας καὶ ζητήσεις ἀπεράντους ἐπεισφέρειν τῇ ὑγιεῖ τῶν δογμάτων ὀρθότητι. καὶ ἔλαβε, φησι, κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν. ὅρα πόσῃ κέχρηται προνοίᾳ περὶ τὸν δημιουργηθέντα ἄνθρωπον. ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς λέγων, ὅτι ἐφύτευσεν ὁ θεὸς τὸν παράδεισον, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ἀντὶ τοῦ ἐβουλήθη ἐκεῖ αὐτὸν ἔχειν τὸ οἰκητήριον, καὶ ἐνδιαιτᾶσθαι τῇ ἀπολαύσει τοῦ παραδείσου, σήμερον πάλιν δείκνυσιν ἡμῖν τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, ἣν περὶ αὐτὸν ἐπιδείκνυται· καὶ ἐπαναλαμβάνων τὸν λόγον φησὶ,

α. Κορ. η. ϛ.

Καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς. οὐχ ἁπλῶς εἶπεν ἐν τῷ παραδείσῳ, ἀλλὰ προσέθηκε τῆς τρυφῆς, ἵνα τὴν ὑπερβάλλουσαν ἡδονὴν, ἧς ἀπέλαυεν ἐκ τῆς αὐτόθι οἰκήσεως, * ἐμφανῇ ἡμῖν. καὶ εἰπὼν, ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, φησὶν,

Ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν.

Πολλῆς καὶ τοῦτο κηδεμονίας. * ἐπειδὴ γὰρ τρυφῆς ἁπάσης ἐπεπλήρωτο ἡ αὐτόθι διαγωγὴ, καὶ τὴν ἀπὸ τῆς θέας τέρψιν ἔχουσα, καὶ τὴν ἀπὸ τῆς ἀπολαύσεως εὐφροσύνην, ἵνα μὴ ἀποσκιρτήσῃ ἐκ τῆς ὑπερβαλλούσης ἀνέσεως ὁ ἄνθρωπος (πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξέ, φησιν, ἡ ἀργία) διὰ τοῦτο προσέταξεν αὐτὸν ἐργάζεσθαι καὶ φυλάττειν. τί οὖν, φησι, τῆς παρ᾽ αὐτοῦ ἐπιμελείας ἐδεῖτο ὁ παράδεισος; οὐ τοῦτο λέγω· ἀλλ᾽ ἐβουλήθη τέως μικράν τινα καὶ σύμμετρον ἔχειν αὐτὸν μέριμναν περί τε τὴν φυλακὴν, περί τε τὴν ἐργασίαν. " καὶ γὰρ ἔτι πόνου παντὸς ἦν ἀπηλλαγμένη ἡ ἐργασία, παρεῖχε δὲ αὐτῷ ἀσχολίαν τινὰ ἀνώδυνον καὶ " ἀταλαίπωρον. καὶ τὸ εἰπεῖν δὲ ὅτι φυλάττειν, οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ συγκατάβασίς ἐστι τῶν ῥημάτων, ἵνα ὅλως εἰδέναι ἔχῃ, ὅτι ὑπόκειταί τινι δεσπότῃ τῷ τὴν τοσαύτην ἀπόλαυσιν αὐτῷ χαρισαμένῳ, καὶ μετὰ τῆς ἀπολαύσεως τὴν φυλακὴν ἐπιτρέψαντι. πάντα γὰρ ποιεῖ ὁ θεὸς καὶ πραγματεύεται διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν· καὶ μετὰ τοῦτο καὶ τὴν ἀπόλαυσιν καὶ τὴν ἄνεσιν δωρεῖται. εἰ γὰρ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, καὶ πρὶν ἡμᾶς παραγαγεῖν, τὰ ἀπόρρητα ἐκεῖνα ἡμῖν ἀγαθὰ εὐτρέπισε, καθὼς αὐτὸς λέγει, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν " πρὸ καταβολῆς κόσμου· πολλῷ μᾶλλον τὰ ἐνταῦθα πάντα μετὰ δαψιλείας παρέσχε. ἐπεὶ οὖν τοσαύτας εὐεργεσίας εἰς τὸν δημιουργηθέντα κατέθετο, πρῶτον ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὸν παραγαγὼν, καὶ ἀπὸ τοῦ χοὸς σῶμα διαπλάσαι καταξιώσας, καὶ μετὰ ταῦτα τὸ κυριώτερον, τὴν ψυχήν φημι τὴν ἀσώματον, διὰ τοῦ ἐμφυσήματος χαρι-

Σειρ. λγ. λβ.

Ματθ. κε. λδ.

σάμενος, εἶτα τὸν παράδεισον γενέσθαι κελεύσας καὶ ἐκεῖ αὐτὸν ἐνδιαιτᾶσθαι προστάξας, μετὰ ταῦτα πάλιν, καθάπερ πατὴρ φιλόστοργος παιδὶ νέῳ πολλῆς ἀδείας καὶ ἀνέσεως ἀπολαύοντι, ὥστε μὴ ἀποσκιρτῆσαι, μικράν τινα καὶ σύμμετρον ἐπίπονος φροντίδα, οὕτω καὶ ὁ δεσπότης θεὸς τῷ Ἀδὰμ τὴν ἐργασίαν καὶ τὴν φυλακὴν προσέταξεν, ἵνα μετὰ τῆς τρυφῆς τῆς πολλῆς, καὶ τῆς ἀδείας, καὶ τῆς ἀνέσεως, ἠρέμα πως ἔχῃ ταῦτα ἀμφότερα ἐγκόπτοντα αὐτοῦ τὴν εἰς τὸ πρόσω φοράν. ταῦτα μὲν οὖν τὰ ἤδη ὑπηρξάμενα τῷ δημιουργηθέντι· τὰ δὲ ἑξῆς ἐπαγόμενα πάλιν πολλὴν καὶ ὑπερβάλλουσαν ἡμῖν ἐμφαίνει τὴν περὶ αὐτὸν φιλανθρωπίαν, τήν τε συγκατάβασιν, ἣν διὰ τὴν οἰκείαν ἀγαθότητα ἐπιδείκνυται. τί γάρ φησιν ἡ γραφή; καὶ ἐνετείλατο Κύριος ὁ θεὸς τῷ Ἀδάμ. ἰδοὺ πάλιν καὶ ἐνταῦθα ἡ θεία γραφὴ τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ἵνα τῇ πυκνότητι τῶν λεγομένων ἀκριβῆ τὴν διδασκαλίαν δεξώμεθα, καὶ μηκέτι ἀνεχώμεθα τῶν τολμώντων ἀποκληροῦν τὰς τῶν ὀνομάτων προσηγορίας, καὶ τὴν μὲν τῷ πατρί, τὴν δὲ τῷ υἱῷ προσνέμειν. ἐπειδὴ γὰρ ἀμφοτέρων ἡ οὐσία μία, διὰ τοῦτο καὶ ἡ θεία γραφὴ ἀδιαφόρως ποτὲ μὲν τῷ πατρί, ποτὲ δὲ τῷ υἱῷ τὴν αὐτὴν προσηγορίαν εὑρίσκεται ἀποκληροῦσα. καὶ ἐνετείλατό, φησι, Κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων. ἄξιον [καὶ] ἐνταῦθα ἐκπλαγῆναι τὴν πάντα λόγον ὑπερβαίνουσαν τοῦ θεοῦ φιλανθρωπίαν, ἣν ἐνδείκνυται ἡμῖν διὰ τῆς βραχείας ταύτης λέξεως. καὶ ἐνετείλατό φησι. βλέπε ἐκ προοιμίων, πόσῃ τιμῇ κέχρηται περὶ τὸν ἄνθρωπον. οὐδὲ γὰρ εἶπε προσέταξεν, ἢ ἐκέλευσεν, ἀλλὰ τί; ἐνετείλατο. καθάπερ φίλος φίλῳ περὶ τινῶν ἀναγκαίων ἐντελλόμενος διαλέγεται, οὕτω καὶ ὁ θεὸς τῇ φύσει τῇ ἀνθρωπίνῃ, μονονουχὶ διὰ τῆς τοσαύτης τιμῆς ἐπισπάσασθαι βουλόμενος αὐτὸν πρὸς τὴν ὑπακοὴν τῶν ἐντελλομένων ὑπ' αὐτοῦ.

16 Καὶ ἐνετείλατο Κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, 17 Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

Πολὺ τῆς ἐντολῆς τὸ ἀνεπαχθές· ἀλλὰ δεινόν, ἀγαπητέ, ἡ ῥαθυμία. ὥσπερ γὰρ αὕτη καὶ τὰ εὔκολα, δύσκολα ἡμῖν φαίνεσθαι ποιεῖ, οὕτως ἡ σπουδὴ καὶ ἡ ἀγρυπνία καὶ τὰ δύσκολα, εὔκολα ἡμῖν ἀπεργάζεται. τί γάρ, εἰπέ μοι, τούτου ἀνεπαχθέστερον; τί ταύτης τῆς τιμῆς μεῖζον γένοιτ' ἄν; παρέχειν ἐνδιαιτᾶσθαι τῷ παραδείσῳ, τῷ κάλλει τέρπεσθαι τῶν ὁρωμένων, καὶ τὴν ὄψιν ἐκεῖθεν εὐφραίνειν, καὶ διὰ τῆς ἀπολαύσεως πολλὴν τὴν ἡδονὴν καρποῦσθαι. ἐννόησον γὰρ ὅσον ἦν ὁρᾶν τὰ δένδρα τοῖς καρποῖς βριθόμενα, τῶν ἀνθῶν τὴν ποικιλίαν, τῶν βοτανῶν τὴν διαφοράν, τῶν φύλλων τὰς κόμας, τὰ ἄλλα ὅσα εἰκὸς ἐν παραδείσῳ τυγχάνειν, καὶ ἐν παραδείσῳ τῷ ὑπὸ τοῦ θεοῦ φυτευθέντι. διὰ γὰρ τοῦτο προλαβοῦσα ἡ θεία γραφὴ εἶπεν, ὅτι ἐξανέτειλεν ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, ἵνα εἰδέναι ἔχωμεν ὅσης ἀφθονίας ἀπολαύων, εἰς τὴν δοθεῖσαν αὐτῷ ἐντολὴν ἐξύβρισε διὰ πολλὴν ἀκρασίαν καὶ ῥαθυμίαν. ἐννόησον γάρ μοι, ἀγαπητέ, τῆς τιμῆς τὴν ὑπερβολήν, ἧς αὐτὸν ἠξίωσεν, ἰδιάζουσαν καὶ ἀφωρισμένην αὐτῷ τράπεζαν τὴν ἐν τῷ παραδείσῳ δωρησάμενος, ἵνα μὴ νομίσῃ τὴν αὐτὴν τοῖς ἀλόγοις καὶ αὐτῷ τροφὴν ὑπάρχειν· ἀλλ' ἔχῃ, καθάπερ βασιλεύς, ἐνδιαιτώμενος τῇ τοῦ παραδείσου διαγωγῇ, ἐντρυφᾶν τῇ ἐκεῖθεν ἀπολαύσει, καὶ καθάπερ δεσπότης κεχωρισμένος ᾖ τῶν εἰς ὑπηρεσίαν αὐτῷ παρασχεθέντων, καὶ ἀφωρισμένην ἔχῃ τὴν διαγωγήν. καὶ ἐνετείλατό, φησι, Κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων, ἀπὸ παντὸς ξύλου τοῦ τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. μονονουχὶ λέγων πρὸς αὐτόν· μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἀπαιτῶ παρὰ σοῦ; πάντων τὴν ἀπόλαυσιν ἐπιτρέπω· ἑνὸς τούτου μόνου μὴ ἅψασθαι ἐντέλλομαι. ἀλλὰ καὶ τὸ ἐπιτίμιον μέγα ὁρίζω, ἵνα κἂν τῷ φόβῳ σωφρονιζόμενος φυλάξῃς τὴν παρ' ἐμοῦ σοι δοθεῖσαν ἐντολήν, ταυτὸν ποιῶν, ὥσπερ ἂν εἴ τις δεσπότης φιλότιμος οἰκίαν μεγάλην τινὶ ἐμπιστεύσειε, καὶ ὑπὲρ τοῦ τὴν δεσποτείαν αὐτῷ ἀκέραιον μένειν, βραχύ τι ἀργύριον τυπώσειε παρ' αὐτοῦ δίδοσθαι. οὕτω δὴ καὶ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἀπόλαυσιν αὐτῷ χαρισάμενος, τοῦ ἑνὸς ξύλου μόνου ἀπέχεσθαι ἐκέλευσεν, ἵνα εἰδέναι ἔχῃ ὅτι ὑπὸ δεσπότην ἐστίν, ᾧ προσήκει αὐτὸν πείθεσθαι, καὶ τοῖς ὑπ' ἐκείνου προσταττομένοις εἴκειν. τίς ἂν κατ' ἀξίαν θαυμάσειε τοῦ κοινοῦ πάντων δεσπότου τὴν φιλοτιμίαν; οὐδὲν οὐδέπω ἐπιδειξάμενον πόσης ἀξιοῖ τῆς εὐεργεσίας; οὐδὲ γὰρ ἐξ ἡμισείας αὐτῷ τὴν ἀπόλαυσιν δέδωκεν, οὐδὲ τῶν πλειόνων ἀπέχεσθαι ἐκέλευσε, τῶν δὲ λειπομένων ἔχειν τὴν ἀπόλαυσιν· ἀλλὰ πάντων τῶν ἐν τῷ παραδείσῳ μετέχειν αὐτὸν βουληθείς, τοῦ ἑνὸς ξύλου μόνου ἀπέχεσθαι προσέταττεν, δεικνὺς διὰ τῶν πραγμάτων, ὅτι οὐδενὸς ἑτέρου ἕνεκεν τοῦτο πεποίηκεν, ἀλλ' ἵνα τὸν αἴτιον εἰδέναι ἔχῃ τῶν τοσούτων εὐεργεσιῶν. καὶ σκόπει μετὰ τῶν ἄλλων καὶ ἐντεῦθεν τοῦ θεοῦ τὴν ἀγαθότητα, ὅσῃ τῇ τιμῇ κέχρηται καὶ περὶ τὴν μέλλουσαν ἐξ αὐτοῦ διαπλάττεσθαι γυναῖκα. οὐδέπω γὰρ αὐτῆς παραχθείσης, ὡς πρὸς ἀμφοτέρους τὴν ἐντολὴν ποιεῖται λέγων, οὐ φάγεσθε ἀπ' αὐτοῦ· καὶ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, δηλῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι ἓν εἰσιν ἀνὴρ καὶ γυνή, καθὼς καὶ ὁ Παῦλός φησι, Κεφαλὴ τῆς γυναικὸς ὁ ἀνήρ. διὰ τοῦτο τοίνυν ὡς πρὸς ἀμφοτέρους διαλέγεται, ἵνα μετὰ ταῦτα διαπλάσας ἐξ αὐτοῦ τὴν γυναῖκα * ἀφορμὰς αὐτῷ παράσχῃ τοῦ γνωρίσαι αὐτῇ τὰ παρ' αὐτοῦ ἐνταλθέντα. καὶ οἶδα μὲν ὅτι πολυθρύλλητόν ἐστι τοῦτο τὸ περὶ τοῦ ξύλου ζήτημα, καὶ ὅτι πολλοὶ τῶν ἀπαραφυλάκτως φθεγγομένων, ἀπὸ τοῦ ἀνθρώπου ἐπὶ τὸν θεὸν τὴν αἰτίαν μετάγειν ἐπιχειροῦσι, καὶ λέγειν τολμῶσι, τίνος γὰρ ἕνεκεν ἐδίδου αὐτῷ τὴν ἐντολήν, εἰδὼς ὅτι παραβήσεται; καὶ πάλιν, διὰ τί γὰρ τὸ ξύλον προσέταξε γενέσθαι ἐν τῷ παραδείσῳ, καὶ πολλὰ ἕτερα; ἀλλ' ἵνα μὴ νῦν πρὸ τοῦ καιροῦ τῆς παραβάσεως δόξωμεν προπηδᾶν εἰς τὴν περὶ τούτων ἐξήγησιν, ἀναγκαῖον ἀναμεῖναι καὶ ἡμᾶς τὴν τοῦ μακαρίου Μωϋσέως διήγησιν, ἵν' οὕτως εἰς τὸν τόπον ἀφικόμενοι, εὐκαίρως, ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις χορηγήσῃ, περὶ τούτου κινήσαντες διδάξωμεν τὴν ὑμετέραν ἀγάπην τὸν ἀληθῆ τῆς γραφῆς νοῦν· ἵν' εἰδότες τὴν ἀλήθειαν τῶν ἐγγεγραμμένων, καὶ τὴν προσήκουσαν δοξολογίαν ἀναφέρητε τῷ δεσπότῃ, καὶ μὴ καταλιπόντες τὸν ἡμαρτηκότα, ἐπὶ τὸν ἀναίτιον θεὸν τὴν αἰτίαν μετάγητε. τέως δὲ ἐπὶ τοῦ παρόντος, εἰ δοκεῖ, τὰ ἑξῆς τοῦ ἀναγνώσματος ἐπέλθωμεν.

α. Κορ. ια. γ.
Ἐφ. ε. κγ.

18 Καὶ εἶπέ, φησι, Κύριος ὁ θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον.

Ἰδοὺ πάλιν ὁμοίως εἶπε καθάπερ καὶ πρότερον τὸ κύριος ὁ θεός, ἵνα ἐμπήξαντες ἡμῶν τῇ διανοίᾳ τὰ λεγόμενα, μὴ τὰ ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν τῆς θείας γραφῆς κυριώτερα εἶναι νομίζωμεν. καὶ εἶπέ, φησι, Κύριος ὁ θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. σκόπει πῶς οὐχ ἵσταται ὁ ἀγαθὸς θεός, ἀλλ' εὐεργεσίας εὐεργεσίαις προστίθησι, καὶ πλουτῶν ἀγαθότητι, πάσῃ τιμῇ περιβαλεῖν βούλεται τὸ ζῶον τοῦτο τὸ λογικόν, καὶ μετὰ τῆς τιμῆς καὶ εὐκολίαν αὐτῷ διαγωγῆς χαρίσασθαι.

Καὶ εἶπε, φησὶ, κύριος ὁ θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν.

Ἰδοὺ πάλιν καὶ ἐνταῦθα τὸ ποιήσωμεν. καθάπερ γὰρ ἐξ ἀρχῆς ἔλεγεν ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· οὕτω καὶ νῦν μέλλων τὴν γυναῖκα διαπλάττειν, τῷ αὐτῷ κέχρηται ῥήματι, καί φησι, ποιήσωμεν. πρὸς τίνα διαλέγεται; οὐ πρὸς κτίσιν τινὰ δύναμιν, ἀλλὰ πρὸς τὸν ἐξ αὐτοῦ γεννηθέντα, τὸν θαυμαστὸν σύμβουλον, τὸν ἐξουσιαστὴν, τὸν ἄρχοντα τῆς εἰρήνης, τὸν μονογενῆ αὐτοῦ παῖδα. Ησ. θ. ς. καὶ ἵνα μάθῃ ὁ Ἀδὰμ ὅτι ὁμότιμον αὐτῷ ζῶον μέλλει εἶναι τὸ διαπλαττόμενον, διὰ τοῦτο καθάπερ ἐπ' αὐτοῦ ἔλεγε ποιήσωμεν, οὕτω καὶ νῦν φησι, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. ἀμφότερα πολλὴν ἔχει τὴν δύναμιν, καὶ τὸ βοηθὸν, καὶ τὸ κατ' αὐτόν. οὐ βούλομαί, φησι, μόνον αὐτὸν εἶναι, ἀλλ' ἔχειν τινὰ παραμυθίαν ἐκ τῆς συνουσίας· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κατάλληλον αὐτῷ βοηθὸν παραγαγεῖν δεῖ, τὴν γυναῖκα αἰνιττόμενος. διὰ τοῦτό φησι, ποιήσωμεν αὐτῷ βοηθόν. καὶ προσέθηκε τὸ κατ' αὐτὸν, ἵν', ὅταν ἴδῃς εὐθὺς τὰ θηρία παραγόμενα καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, μὴ νομίσῃς περὶ τούτων εἰρῆσθαι. εἰ γὰρ καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ πολλὰ τῶν ἀλόγων, ἀλλ' οὐδὲν ἴσον τῆς λογικῆς γυναικός. διὰ τοῦτο εἰπὼν, βοηθὸν κατ' αὐτὸν, ἐπήγαγε·

19 Καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ.

Οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο γίνεται, ἀλλὰ διὰ τὰ μέλλοντα μετ' οὐ πολὺ συμβαίνειν, ἃ προειδὼς ὁ θεὸς δείκνυσιν ἡμῖν τὴν πολλὴν σοφίαν, ἣν κεχάρισται τῷ ὑπ' αὐτοῦ δημιουργηθέντι· ἵν', ἐπειδὰν τὰ τῆς παραβάσεως τῆς ἐντολῆς τῆς ὑπὸ τοῦ θεοῦ δοθείσης γένηται, μὴ νομίσῃς δι' ἄγνοιαν αὐτὸν παραβεβηκέναι, ἀλλ' εἰδέναι ἔχῃς, ὅτι ῥαθυμίας ἐστὶ τὸ πταῖσμα. ὅτι γὰρ σοφίας πολλῆς ἐπεπλήρωτο, μάνθανε ἐκ τῶν νῦν γινομένων. καὶ ἤγαγεν αὐτά, φησι, πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά. ἀπόδειξιν ἡμῖν τῆς πολλῆς αὐτοῦ σοφίας παρασχεῖν βουλόμενος τοῦτο ποιεῖ ὁ θεός. καὶ πάλιν, ὃ ἐκάλεσεν αὐτό, φησιν, Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. οὐχ ἵνα γὰρ τὴν σοφίαν αὐτοῦ μόνον καταμάθωμεν τοῦτο γίνεται, ἀλλ' ἵνα καὶ τὸ σύμβολον τῆς δεσποτείας διὰ τῆς τῶν ὀνομάτων θέσεως ἐπιδείξηται. καὶ γὰρ καὶ τοῖς ἀνθρώποις ἔθος τοῦτο ποιεῖσθαι σύμβολον δεσποτείας, ἐπειδὰν οἰκέτας ὠνήσωνται, μετατιθέναι αὐτῶν τὰς προσηγορίας. διὰ τοῦτο καὶ τὸν Ἀδὰμ παρασκευάζει, καθάπερ δεσπότην, πᾶσι τοῖς ἀλόγοις ἐπιθεῖναι τὰς προσηγορίας. μὴ γὰρ ἁπλῶς παραδράμῃς, ἀγαπητέ, τὸ εἰρημένον· ἀλλ' ἐννόησόν μοι, πόσης ἦν σοφίας τοσούτοις γένεσι πτηνῶν, ἑρπετῶν, θηρίων, κτηνῶν, τῶν ἄλλων ἀλόγων, τῶν ἡμέρων, τῶν ἀγρίων, τῶν ἐν τοῖς ὕδασι διαιτωμένων, τῶν ἐκ τῆς γῆς ἀναδοθέντων, πᾶσι τούτοις ἐπιθεῖναι τὰς προσηγορίας, καὶ προσηγορίας κυρίας καὶ καταλλήλους ἑκάστῳ γένει. πᾶν γάρ, φησιν, ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. εἶδες ἐξουσίαν ἀπηρτισμένην, εἶδες δεσποτείας αὐθεντείαν· λογίζου μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὅτι καὶ λέοντες, καὶ παρδάλεις, καὶ ἔχεις, καὶ σκορπίοι, καὶ ὄφεις, καὶ τὰ ἄλλα ἅπαντα τὰ τούτων θηριωδέστερα, καθάπερ πρὸς δεσπότην, μετὰ πάσης ὑποταγῆς παραγενόμενα τὰς προσηγορίας ἐδέξαντο, καὶ οὐδὲν τούτων τῶν θηρίων ἐδεδοίκει ὁ Ἀδάμ. μὴ τοίνυν ἐπισκηπτέτω τις τοῖς γεγενημένοις παρὰ τοῦ δεσπότου, καὶ τὴν γλῶτταν ἀκονάτω κατὰ τοῦ δημιουργοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, καὶ λεγέτω τὰ ἀνόνητα ἐκεῖνα ῥήματα, [ὅτι] τίνος ἕνεκεν τὰ θηρία παρήχθη; ὅτι γὰρ ἅπαντα ὁμοίως τοῖς ἡμέροις τὴν δουλείαν ἐπεγίνωσκε ϗ τὴν δεσποτείαν, δείκνυσιν ἡμῖν ἀκριβῶς ἡ τῶν ὀνομάτων θέσις. αἱ γὰρ προσηγορίαι ἐκεῖναι, ἃς ἔθετο αὐτοῖς, μέχρι τοῦ παρόντος διαμένουσιν. οὕτως αὐτὰς ἐκύρωσεν ὁ θεὸς, ἵνα διηνεκῆ ὑπόμνησιν ἔχωμεν ϗ τῆς τιμῆς, ἣν ἐξ ἀρχῆς ἐδέξατο παρὰ τοῦ δεσπότου ὁ Ἀδὰμ, πάντων τούτων τὴν ὑποταγὴν λαβὼν, καὶ τῆς ἀφαιρέσεως αὐτῷ τὴν αἰτίαν ἐπιγράφωμεν διὰ τῆς ἁμαρτίας τὴν ἐξουσίαν ἀκρωτηριάσαντι.

20 Καὶ ἐκάλεσεν Ἀδὰμ, φησιν, ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, ϗ πᾶσι τοῖς θηρίοις τῆς γῆς.

Ἐντεῦθεν ἤδη σκόπει μοι, ἀγαπητὲ, τῆς προαιρέσεως τὸ αὐτεξούσιον, ϗ τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολήν· ϗ μή μοι λέγε, ὅτι ἠγνόει τί μὲν καλὸν, τί δὲ κακόν. ὁ γὰρ δυνηθεὶς καταλλήλους προσηγορίας τοῖς κτήνεσιν ἐπιθεῖναι, ϗ τοῖς πετεινοῖς, ϗ τοῖς θηρίοις, ϗ μὴ συγχέας τὴν τάξιν, μηδὲ τὰς μὲν τοῖς ἡμέροις ζώοις ἁρμοζούσας προσηγορίας τοῖς ἀγρίοις ἐπιθεῖναι, μηδὲ τὰς τοῖς ἀγρίοις προσηκούσας τοῖς ἡμέροις ἀφορίσαι, ἀλλὰ πᾶσι τὰς καταλλήλους ὀνομασίας δοῦναι, πῶς οὐ πάσης σοφίας καὶ συνέσεως ἐπεπλήρωτο; λογίζου ἐντεῦθεν λοιπὸν ὅση τοῦ ἐμφυσήματος ἐκείνου ἡ δύναμις, ϗ πόση τῆς ἀσωμάτου ψυχῆς ἡ σοφία, ἣν ὁ δεσπότης αὐτῇ κεχάρισται, ζῶον τοιοῦτον λογικὸν ϗ θαυμαστὸν ἐκ δύο οὐσιῶν συστησάμενος, καὶ τὴν ἀσώματον οὐσίαν τῆς ψυχῆς συμπλέξας τῷ σώματι, καθάπερ ὀργάνῳ τινὶ τεχνίτην ἄριστον. ὅταν οὖν ἐννοήσῃς τοῦ ζώου τούτου τὴν τοσαύτην σοφίαν, ἐκπλήττου τοῦ δημιουργήσαντος τὴν δύναμιν. εἰ γὰρ τοῦ οὐρανοῦ τὸ κάλλος ὁρώμενον τὸν εὐγνώμονα θεατὴν εἰς τὴν τοῦ δημιουργήσαντος παραπέμπει δοξολογίαν, πολλῷ μᾶλλον τὸ λογικὸν τοῦτο ζῶον, ὁ ἄνθρωπος, δυνήσεται τὰ κατὰ τὴν οἰκείαν διάπλασιν ἀναλογιζόμενος, καὶ τῆς τιμῆς τῆς παρασχεθείσης αὐτῷ τὴν ὑπερβολὴν, ϗ τῶν δωρεῶν τὰ μεγέθη, καὶ τὰς ἀφάτους εὐεργεσίας, διηνεκῶς ἀνυμνεῖν τὸν παραγαγόντα, καὶ τὴν κατὰ δύναμιν δοξολογίαν ἀναφέρειν τῷ δεσπότῃ.

ΗΘΙΚΟΝ

Ἐβουλόμην καὶ τοῖς ἑξῆς ἐπεξελθεῖν· ἀλλ᾽ ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν τὴν μνήμην τῶν ἤδη λεχθέντων, ἀναγκαῖον ἐνταῦθα στῆσαι τὸν τῆς διδασκαλίας λόγον. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶν ἡμῖν τὸ σπουδαζόμενον ἁπλῶς πολλὰ εἰπεῖν, ἀλλὰ διὰ τοῦτο λέγομεν, ὥστε αὐτὰ διηνεκῶς ὑμᾶς ἔχειν ἐμπεπηγότα ταῖς διανοίαις ταῖς ὑμετέραις· ἵνα μὴ μόνον αὐτοὶ ἴδητε τὰ ἐν ταῖς θείαις γραφαῖς ἐγκείμενα, ἀλλὰ ϗ ἑτέροις διδάσκαλοι γίνησθε, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. ἕκαστος τοίνυν ὑμῶν (παρακαλῶ) ἐντεῦθεν ἐξιὼν, μετὰ τοῦ πλησίον ἀναλαμβανέτω τῶν εἰρημένων τὴν μνήμην, ϗ τὰ παρ᾽ ἑαυτοῦ εἰσφέρων δεχέσθω ϗ τὰ παρ᾽ ἑτέρου μνημονευθέντα, ϗ οὕτω συλλέγοντες ἅπαντα, ϗ ἔναυλον αὐτῶν ἔχοντες τὴν μνήμην οἴκαδε ἀναχωρεῖτε, [ϗ] καθ᾽ ἑαυτοὺς ἀναμηρυκώμενοι τὰ θεῖα ταῦτα διδάγματα· ἵνα ἐν τούτοις ἔχοντες τὴν μέριμναν ἅπασαν, ϗ ἀσχολοῦντες ὑμῶν τὴν διάνοιαν, δυνήσθε μετ᾽ εὐκολίας περιγενέσθαι ϗ τῶν παθῶν τῶν ἐνοχλούντων, ϗ τὰς τοῦ διαβόλου μηχανὰς διαφυγεῖν. ἔνθα γὰρ ἂν ἴδῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος ψυχὴν τὰ τοῦ θεοῦ μεριμνῶσαν, ϗ διηνεκῶς ἐκεῖνα φανταζομένην, ϗ ταῦτα περιστρέφουσαν, οὐδὲ προσεγγίσαι τολμᾷ, ἀλλὰ ταχέως ἀποπηδᾷ, καθάπερ ἀπὸ "πυρᾶς τινος ὑπὸ τῆς τοῦ πνεύματος ἐνεργείας φυγαδευόμενος. ἵν᾽ οὖν ϗ αὐτοὶ τὰ μέγιστα "κερδαίωμεν, κἀκείνου περιγενέσθαι δυνηθῶμεν, καὶ τὴν παρὰ τοῦ θεοῦ ῥοπὴν μειζόνως ἐπισπασώμεθα, ἐν τούτοις ἀσχο-

πυρὸς

κερδαίνωμεν

λῶμεν ἡμῶν τὴν διάνοιαν. οὕτω γὰρ ἡμῖν καὶ τὰ ἐν χερσὶ πάντα ἐξευμαρισθήσεται, καὶ τὰ δύσκολα, εὔκολα γενήσεται, καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ χρηστὸν λήψεται τέλος, καὶ οὐδὲν ἡμᾶς τῶν παρόντων λυπῆσαι δυνήσεται. ἐὰν γὰρ τὰ τοῦ θεοῦ μεριμνῶμεν, τὰ ἡμέτερα αὐτὸς μεριμνήσει· καὶ μετὰ πολλῆς ἀδείας τὸ πέλαγος τοῦ παρόντος βίου διαπλεύσομεν, καὶ ὑπὸ τοῦ μεγάλου κυβερνήτου τοῦ ἐπὶ πάντων θεοῦ ὁδηγούμενοι καταντήσομεν εἰς τὸν λιμένα τῆς τοῦ θεοῦ φιλανθρωπίας, ᾧ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιε. ΤΩ ΔΕ ΑΔΑΜ ΟΥΧ ΕΥΡΕΘΗ ΒΟΗΘΟΣ Ὁμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς· καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα.

Πολλάς ὑμῖν ἔχω χάριτας, ὅτι μετὰ πολλῆς τῆς προθυμίας χθὲς ἐδέξασθε τὴν παρ' ἡμῶν παραίνεσιν· καὶ πρὸς τὸ μῆκος τῶν εἰρημένων οὐ μόνον οὐκ ἐδυσχεράνατε, ἀλλὰ καὶ μέχρι τοῦ τέλους οὕτω παρηκολουθήσατε, ὡς ἀκμάζοντα ὑμῖν ἐναπομεῖναι τὸν τῆς ἀκροάσεως πόθον. ὅθεν καὶ χρηστὰς ἡμῖν τὰς ἐλπίδας ὑπεφήνατε, ὡς διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὰ τῆς ἡμετέρας συμβουλῆς. ὁ γὰρ μετὰ τοσαύτης ἡδονῆς ἀκούων, δῆλος ἂν εἴη καὶ πρὸς τὴν διὰ τῶν ἔργων πρᾶξιν παρεσκευασμένος· ἄλλως δὲ καὶ ἡ νῦν ὑμῶν συνδρομὴ τεκμήριον ἂν γένοιτο τῆς κατὰ ψυχὴν ὑμῶν ὑγιείας. ὥσπερ γὰρ τὸ πεινῆν, σωματικῆς εὐεξίας σημεῖόν ἐστιν· οὕτω τὸ λογίων θείων ἐρᾶν, ψυχικῆς ὑγιείας τεκμήριον ἂν γένοιτο μέγιστον. ἐπεὶ οὖν ὁ καρπὸς τῆς ὑμετέρας σπουδῆς δείκνυσι τῆς ὑπακοῆς τὴν ἐκπλήρωσιν, φέρε, καὶ ἡμεῖς τὸν μισθόν, ὃν ὑπεσχόμεθα χθές, καταβάλωμεν ὑμῶν τῇ ἀγάπῃ· τὴν πνευματικὴν ταύτην λέγω διδασκαλίαν, μισθὸν κἀμοὶ τῷ καταβάλλοντι δυνάμενον αὐξῆσαι τὴν περιουσίαν, καὶ ὑμᾶς τοὺς ὑποδεχομένους πλουσίους ἀπεργαζόμενον. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά, ὅπερ ἐπὶ τῶν αἰσθητῶν πραγμάτων οὐκ ἔνι. ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν ἠλάττωσεν ἑαυτοῦ τὴν οὐσίαν, καὶ τὸν ὑποδεχόμενον εὐπορώτερον κατέστησεν· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ καὶ ὁ καταβαλὼν ταύτῃ μᾶλλον τὸν οἰκεῖον πλοῦτον αὔξει, καὶ τοῖς ὑποδεχομένοις μείζων ἡ περιουσία γίνεται. ἐπεὶ οὖν καὶ ἡμεῖς ἕτοιμοι πρὸς εὐγνωμοσύνην, καὶ ὑμεῖς οἱ ὑποδέχεσθαι μέλλοντες τὸν πλοῦτον τοῦτον τὸν πνευματικὸν εὐτρεπισμένους ἔχετε τοὺς κόλπους τῆς διανοίας, φέρε, τὴν ὑπόσχεσιν πληρώσωμεν, καὶ τῆς ἀκολουθίας πάλιν τῶν παρὰ τοῦ μακαρίου Μωϋσέως ἀνεγνωσμένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὸν μισθὸν καταβάλωμεν. τίνα οὖν ἐστι τὰ σήμερον ἀνεγνωσμένα, ἀναγκαῖον εἰς μέσον προθεῖναι, ἵν' οὕτω μετὰ ἀκριβείας διερευνώμενοι τὸν τοῖς ῥήμασιν ἐναποκεκρυμμένον πλοῦτον τῶν νοημάτων, προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἠκούσατε γὰρ ἀρτίως τῆς θείας γραφῆς λεγούσης·

20 Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.

Τί βούλεται ἡ βραχεῖα αὕτη λέξις, τῷ δὲ Ἀδάμ; τίνος ἕνεκεν προσέθηκε τὸν σύνδεσμον; οὐ γὰρ ἤρκει εἰπεῖν τῷ Ἀδάμ; οὐχ ἁπλῶς ταῦτα διερευνᾶσθαι σπουδάζομεν φιλοτιμίας ἕνεκεν περιττῆς, ἀλλ' ἵνα μετὰ ἀκριβείας ὑμῖν ἅπαντα ἑρμηνεύοντες παιδεύσωμεν ὑμᾶς μηδὲ βραχεῖαν λέξιν, μηδὲ συλλαβὴν μίαν παρατρέχειν τὴν ἐν ταῖς θείαις γραφαῖς κειμένων. οὐ γὰρ ῥήματά ἐστιν ἁπλῶς, ἀλλὰ τοῦ πνεύματος τοῦ ἁγίου ῥήματα· καὶ διὰ τοῦτο πολλήν ἐστι τὸν θησαυρὸν εὑρεῖν καὶ ἐν μιᾷ συλλαβῇ. προσέχετε οὖν, παρακαλῶ, μετὰ ἀκριβείας· μηδεὶς νωθρός, μηδεὶς ὑπνηλός, πάντες διεγηγερμένην μοι τὴν διάνοιαν παρέχετε· μηδεὶς ἔξω ῥεμβέσθω τὸν λογισμόν, μηδὲ φροντίδας βιωτικὰς ἐπισυρόμενος ἐνταῦθα ἑστηκέτω· ἀλλ' ἐννοῶν τῆς πνευματικῆς ταύτης συνόδου τὸ ἀξίωμα, καὶ ὅτι διὰ τῆς τῶν προφητῶν γλώττης τοῦ θεοῦ πρὸς ἡμᾶς διαλεγομένου ἀκούομεν, οὕτω τὴν ἀκοὴν ὑπεχέτω, καὶ συντεταμένον ἐχέτω τὸν νοῦν· ἵνα μηδὲν τῶν παρ' ἡμῶν καταβαλλομένων σπερμάτων εἰς πέτραν κατενεχθῇ, ἢ παρὰ τὴν ὁδόν, ἢ παρὰ τὰς ἀκάνθας, ἀλλ' ὁλόκληρον τὸ σπέρμα εἰς τὴν γῆν τὴν καλὴν καταβληθὲν (τὸ πλάτος λέγω τῆς διανοίας τῆς ὑμετέρας) δαψιλῆ τὸν καρπὸν ἡμῖν ἐνέγκαι δυνηθῇ, καὶ πολυπλασιάσῃ τὰ παρ' ἡμῶν καταβαλλόμενα. ἀλλ' ἴδωμεν λοιπὸν τί βούλεται ἡμῖν αὕτη ἡ τοῦ συνδέσμου συμπλοκή. τῷ δὲ Ἀδάμ, φησιν, οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. θέα μοι τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. εἰποῦσα γάρ, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθός, οὐκ ἔστη μέχρι τούτου· ἀλλὰ προσέθηκεν, ὅμοιος αὐτῷ, τῇ προσθήκῃ ταύτῃ παραδηλοῦσα ἡμῖν τὴν αἰτίαν, δι' ἣν τοῦ συνδέσμου τὴν συμπλοκὴν ἐποιήσατο. οἶμαι λοιπὸν τοὺς ὀξύτερον ἐπιβάλλειν δυναμένους ἤδη προορᾶν τὸ μέλλον ὑφ' ἡμῶν ῥηθήσεσθαι. ἀλλ' ἐπειδὴ προσήκει ἡμᾶς κοινὴν πρὸς ἅπαντας ποιουμένους τὴν διδασκαλίαν, πᾶσι σαφῆ ποιεῖν τὰ παρ' ἡμῶν λεγόμενα, φέρε, διδάξωμεν ὑμᾶς, τίνος ἕνεκεν οὕτως εἴρηκεν. ἀλλὰ μικρὸν ἀνάσχεσθε. ἐπειδὴ γὰρ ἐν τοῖς πρώην ῥηθεῖσι (καθάπερ μνημονεύετε) εἰποῦσα ἡ θεία γραφή, ὅτι ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, εὐθέως ἐδίδαξεν ἡμᾶς τὴν τῶν θηρίων καὶ τῶν ἑρπετῶν καὶ τῶν ἀλόγων ἁπάντων δημιουργίαν (φησὶ γάρ, καὶ ἔπλασεν ἔτι ὁ θεὸς ἐκ τῆς γῆς πάντα τὰ θηρία, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ καθάπερ δεσπότης πᾶσιν ἐπέθηκε τὰ ὀνόματα, καὶ τὴν οἰκείαν προσηγορίαν ἑκάστῳ γένει τῶν θηρίων καὶ τῶν πετεινῶν καὶ πάντων τῶν ἀλόγων κατὰ τὴν παρασχεθεῖσαν αὐτῷ σοφίαν ἀπένειμεν) ἵνα εἰδέναι ἔχωμεν λοιπόν, ὅτι ἐκεῖνα μὲν ἅπαντα τὰ γεγενημένα, εἰ καὶ ὑπηρεσίαν τινὰ πληροῖ, καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ, ἀλλ' ὅμως ἄλογά ἐστι, καὶ πολλῷ τῷ μέτρῳ λειπόμενα τοῦ ἀνθρώπου· καὶ ἵνα μὴ νομίζωμεν ὅτι περὶ τούτων εἶπε, * ποιήσωμεν αὐτῷ βοηθόν (εἰ γὰρ καὶ βοηθεῖ, καὶ πρὸς πολλὰ χρήσιμα καθέστηκε τῇ τοῦ ἀνθρώπου ὑπηρεσίᾳ, ἀλλ' ὅμως ἄλογά ἐστιν. ὅτι μὲν γὰρ βοηθεῖ, δείκνυσιν αὐτὴ ἡ πεῖρα τῶν πραγμάτων. καὶ γὰρ τὰ μὲν πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν ἡμῖν ἐστιν ἐπιτήδεια, τὰ δὲ πρὸς τὴν τῆς γῆς ἐργασίαν. βοῦς μὲν γὰρ ἄροτρον ἕλκει, καὶ αὔλακα ἀνατέμνει, καὶ πολλὴν ἑτέραν χρείαν πρὸς τὴν γεωργίαν ἡμῖν εἰσφέρει. ὄνος δὲ πάλιν, πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν πολλὴν παρέχει τὴν χρείαν· καὶ ἕτερα δὲ πολλὰ τῶν ἀλόγων, ἡμῖν ὑπηρετεῖται πρὸς τὰς τοῦ σώματος χρείας. καὶ γὰρ τὰ πρόβατα τὴν ἐκ τοῦ ἐρίου χρείαν ἡμῖν παρέχει πρὸς τὴν τῶν ἐνδυμάτων κατασκευήν· καὶ αἱ αἶγες πάλιν ὡσαύτως καὶ τὴν ἀπὸ τῶν τριχῶν λειτουργίαν ἡμῖν εἰσφέρουσι, καὶ τὴν ἀπὸ τοῦ γάλακτος, καὶ ἕτερα δὲ πρὸς τροφὴν ἡμῖν ἐπιτήδεια) ἵν' οὖν μὴ περὶ τούτων εἶναι νομίσῃς τὸ δεύτερον εἰρημένον, ὅτι ποιήσωμεν αὐτῷ βοηθόν, διὰ τοῦτο νῦν ἀρχόμενος τοῦ λόγου φησί, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· μονονουχὶ διδάσκων ἡμᾶς ὁ μακάριος Μωϋσῆς καὶ ταῦτα λέγων τὰ ῥήματα, ὅτι ταῦτα μὲν ἅπαντα παρήχθη, καὶ τὰς τῶν ὀνομάτων προσηγορίας ἔλαβε παρὰ τοῦ Ἀδάμ, ἀλλ' ὅμως οὐδὲν τούτων ἄξιον αὐτοῦ πρὸς βοήθειαν εὑρέθη. διὸ βούλεται ἡμᾶς διδάξαι τοῦ μέλλοντος ζώου παράγεσθαι τὴν διάπλασιν, καὶ ὅτι τοῦτο τὸ μέλλον δημιουργεῖσθαι ζῶον τοῦτό ἐστι περὶ οὗ ἔλεγε, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, ὅμοιον αὐτῷ, φησι, τῆς αὐτῆς αὐτῷ οὐσίας, ἄξιον αὐτοῦ, μηδὲν αὐτοῦ λειπόμενον. διὰ τοῦτο οὖν ἔλεγε· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· δεικνὺς ἡμῖν ὁ μακάριος οὗτος, ὅτι ὅσην ἂν παρέχηται χρείαν ἡμῖν πρὸς ὑπηρεσίαν ταυτὶ τὰ ἄλογα, ἑτέρα τίς ἐστιν ἡ βοήθεια καὶ πολλῷ τῷ μέτρῳ ὑπερακοντίζουσα ἡ τῷ Ἀδὰμ παρεχομένη παρὰ τῆς γυναικός. ἐπεὶ οὖν πάντων παραχθέντων τῶν ζώων, καὶ τὰς προσηγορίας δεξαμένων παρὰ τοῦ πρωτοπλάστου, ἐπεζήτει τὸν ὅμοιον αὐτῷ βοηθὸν ὁ φιλάνθρωπος δεσπότης παραγαγεῖν, ὁ πάντα διὰ τὸν δημιουργηθέντα ὑπ' αὐτοῦ οἰκονομῶν καὶ πᾶσαν τὴν κτίσιν ταύτην τὴν ὁρωμένην διὰ τοῦτον παραγαγών, μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν γυναῖκα δημιουργεῖ. καὶ ὅρα πῶς μετ' ἀκριβείας ἡμᾶς διδάσκει καὶ τῆς δημιουργίας αὐτῆς τὴν διάπλασιν. ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς, ὅτι βούλεται βοηθὸν αὐτῷ παραγαγεῖν ὅμοιον αὐτῷ (καὶ γὰρ ἀνωτέρω ἔλεγε, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· καὶ ἐνταῦθα φησιν, οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ) διὰ τοῦτο ἐκ τῆς οὐσίας αὐτοῦ ταύτης τὴν διάπλασιν ἐργάζεται, καί φησι·

21 Καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, 22 Καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευρὰν ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ.

Μεγάλη τῶν εἰρημένων ἡ δύναμις καὶ πάντα λογισμὸν ἀνθρώπινον ὑπερβαίνουσα. οὐδὲ γὰρ δυνατὸν ἑτέρως τούτων συνιέναι τὸ μέγεθος μὴ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἅπαντα ″κατοπτεύσαντες. καὶ ἐπέβαλέ, φησιν, ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν. ὅρα τὴν ἀκρίβειαν τῆς διδασκαλίας. ἀμφότερα τέθεικεν ὁ μακάριος οὗτος προφήτης (μᾶλλον δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης) παιδεύων ἡμᾶς τῶν γεγενημένων τὴν ἀκολουθίαν. καὶ ἐπέβαλέ, φησιν, ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν. οὔτε ἔκστασις μόνον ἦν τὸ συμβάν, οὔτε ὕπνος ὁ συνήθης· ἀλλ' ἐπειδὴ ὁ σοφὸς καὶ εὐμήχανος τῆς ἡμετέρας φύσεως δημιουργὸς ἔμελλεν ἐκ τῆς πλευρᾶς αὐτοῦ μίαν ἀφαιρεῖσθαι, ἵνα μὴ ἡ αἴσθησις ὀδύνην αὐτῷ ἐργάσηται, καὶ μετὰ ταῦτα πρὸς τὴν ἐξ ἐκείνης τῆς πλευρᾶς διαπλαττομένην ἀπεχθῶς ἔχῃ διακεῖσθαι, καὶ μισήσῃ τὸ διαπλαττόμενον ζῶον τῆς ὀδύνης μεμνημένος, διὰ τοῦτο τοσοῦτον αὐτῷ ὕπνον ἐπήγαγεν ἔκστασιν ἐπιβαλών, καὶ ὥσπερ κάρῳ τινὶ καταχεθῆναι προστάξας, ἵνα μηδεμίαν αἴσθησιν δέξηται τοῦ γινομένου, ἀλλὰ καθάπερ τεχνίτης ἄριστος καὶ ἀφέληται τὸ δοκοῦν, καὶ ἀναπληρώσῃ τὸ λεῖπον, καὶ οὕτω τὸ ληφθὲν δημιουργήσῃ κατὰ τὴν οἰκείαν φιλανθρωπίαν. ἐπέβαλε γάρ, φησιν, ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς· ἵνα μὴ ἔχῃ μετὰ τὴν τοῦ ὕπνου ἀπαλλαγὴν ἐκ τοῦ λείποντος αἰσθάνεσθαι τοῦ γεγενημένου. εἰ γὰρ καὶ ἐν τῷ τῆς ἀφαιρέσεως καιρῷ ἠγνόησεν, ἀλλ' ὅμως ἔμελλε μετὰ ταῦτα ἐπιγινώσκειν τὸ γεγονός. ἵν' οὖν μήτε ἐν τῷ ἀφαιρεῖσθαι ὀδύνην αὐτῷ ἐμποιήσῃ, μήτε μετὰ ταῦτα ἡ ἔλλειψις ἀθυμίαν ἐργάσηται, ἀμφότερα οὕτως ᾠκονόμησε, καὶ ἀφελόμενος ἀνωδύνως, καὶ πληρώσας τὸ λεῖπον, καὶ μὴ συγχωρήσας μηδενὸς αὐτὸν τῶν γεγενημένων αἴσθησιν δέξασθαι. λαβὼν οὖν, φησι, ταύτην τὴν πλευρὰν ᾠκοδόμησε κύριος ὁ θεὸς εἰς γυναῖκα. παράδοξον τὸ εἰρημένον καὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς τὸν ἡμέτερον λογισμόν. τοιαῦτα γὰρ ἅπαντα τὰ παρὰ τοῦ δεσπότου. τοῦ γὰρ ἀπὸ τοῦ χοὸς πλασθῆναι τὸν ἄνθρωπον οὐκ ἔλαττον τοῦτο. καὶ ὅρα τὴν συγκατάβασιν

γρ. κατοπτεύσαντα.

τῆς θείας γραφῆς οἵοις ῥήμασι κέχρηται διὰ τὴν ἡμετέραν ἀσθένειαν. καὶ ἔλαβε, φησί, μίαν τῶν πλευρῶν αὐτοῦ. μὴ ἀνθρωπίνως δέχου τὰ λεγόμενα, ἀλλὰ τὴν παχύτητα τῶν λέξεων τῇ ἀσθενείᾳ λογίζου τῇ ἀνθρωπίνῃ. εἰ μὴ γὰρ τούτοις τοῖς ῥήμασιν ἐχρήσατο, πῶς ἂν μαθεῖν ἠδυνήθημεν ταῦτα τὰ ἀπόρρητα μυστήρια; μὴ τοῖς ῥήμασιν οὖν μόνοις ἐναπομείνωμεν, ἀλλὰ θεοπρεπῶς ἅπαντα νοῶμεν, ὡς ἐπὶ θεοῦ. τὸ γὰρ ἔλαβε, καὶ ὅσα τοιαῦτα, διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν εἴρηται. σκόπει δὲ πῶς καὶ ἐνταῦθα πάλιν τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ᾗ καὶ ἐπὶ τοῦ Ἀδάμ. ὥσπερ γὰρ ἐκεῖ καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις εἶπε, καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ πάλιν καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδάμ, καὶ πάλιν καὶ εἶπε κύριος ὁ θεός, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· οὕτω καὶ νῦν φησι, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα, καὶ ἀνωτέρω, καὶ ἐπέβαλε κύριος ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ· ἵνα μάθῃς ὡς οὐδεμία διαφορά ἐστι πατρὸς καὶ υἱοῦ ἐν ταῖς λέξεσιν, ἀλλὰ διὰ τὸ μίαν εἶναι τὴν οὐσίαν ἀμφοτέρων, ἀδιαφόρως ἡ γραφὴ κέχρηται τοῖς ὀνόμασιν. ἰδοὺ γοῦν καὶ ἐπὶ τῆς διαπλάσεως τῆς γυναικὸς τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο εἰποῦσα, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα. τί οὖν ἂν εἴποιεν ἐνταῦθα οἱ αἱρετικοὶ οἱ πάντα περιεργάζεσθαι βουλόμενοι, καὶ τοῦ δημιουργοῦ τῶν ὅλων τὴν γέννησιν κατειληφέναι οἰόμενοι; ποῖος λόγος τοῦτο ἑρμηνεῦσαι δύναται, ποῖος νοῦς καταλαβεῖν; μίαν πλευράν, φησίν, ἔλαβε. καὶ πῶς ἐκ ταύτης τῆς μιᾶς πλευρᾶς τὸ ὅλον ζῶον διέπλασε; τί δὲ λέγω, πῶς ἐκ ταύτης τῆς μιᾶς τὸ ζῶον ὅλον διέπλασεν; εἰπέ μοι, πῶς ἡ ἀφαίρεσις γέγονε, πῶς αἴσθησιν οὐκ ἔλαβε τῆς ἀφαιρέσεως; ἀλλ' οὐδὲν τούτων δυνήσῃ εἰπεῖν. μόνος γὰρ ἐκεῖνος οἶδεν ὁ τὴν δημιουργίαν ἐργασάμενος. εἰ τοίνυν ταῦτα τὰ ἐν χερσί, καὶ τὰ τῆς διαπλάσεως τοῦ ὁμογενοῦς ἡμῖν ζώου εὑρεῖν οὐ καταλαμβάνομεν, πόσης ἂν εἴη μανίας καὶ παραφροσύνης τὰ κατὰ τὸν δημιουργὸν περιεργάζεσθαι, καὶ ἐκεῖνα φάσκειν κατειληφέναι, ὧν οὔτε αἱ ἀσώματοι καὶ αἱ θεῖαι δυνάμεις τὴν ἀκριβῆ γνῶσιν ἔχουσιν, ἀλλὰ μετὰ φόβου καὶ τρόμου δοξολογοῦσαι διηνεκῶς διατελοῦσι. καὶ ᾠκοδόμησε, φησί, κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα. ὅρα τῆς γραφῆς τὴν ἀκρίβειαν. οὐκέτι γὰρ εἶπεν ἔπλασεν, ἀλλ' ᾠκοδόμησεν. ἐπειδὴ ἐκ τοῦ ἤδη πλασθέντος τὸ μέρος ἔλαβε, καί, ὡς ἂν εἴποι τις, τὸ λοιπὸν ἐχαρίσατο, διὰ τοῦτό φησι, καὶ ᾠκοδόμησεν. οὐκ ἄλλην πλάσιν εἰργάσατο, ἀλλ' ἐκ τῆς ἤδη γενομένης πλάσεως βραχύ τι μέρος λαβὼν τοῦτο τὸ μέρος ᾠκοδόμησε, καὶ τέλειον εἰργάσατο τὸ ζῶον. πόση τοῦ ἀριστοτέχνου θεοῦ ἡ δύναμις, ἀπὸ τοῦ βραχυτάτου μέρους ἐκείνου τοσούτων μελῶν ἀναλογίαν ἐργάσασθαι, καὶ τοσαύτας αἰσθήσεις δημιουργῆσαι, καὶ τέλειον καὶ ὁλόκληρον καὶ ἀπηρτισμένον ζῶον κατασκευάσαι, τὸ δυνάμενον καὶ προσδιαλέγεσθαι, καὶ τῇ τῆς οὐσίας κοινωνίᾳ πολλὴν αὐτῷ τὴν παραμυθίαν'' εἰσφέρειν; διὰ γὰρ τὴν τούτου παράκλησιν τοῦτο τὸ ζῶον ἐδημιουργήθη. διὸ καὶ Παῦλος ἔλεγεν· Οὐ γὰρ ἐκτίσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. ὁρᾷς πῶς ἅπαντα δι' αὐτὸν γίνεται. μετὰ γὰρ τὴν δημιουργίαν τῆς κτίσεως, μετὰ τὸ παραχθῆναι τὰ ἄλογα τὰ πρὸς βρῶσιν ἐπιτήδεια, τὰ πρὸς ὑπηρεσίαν χρησιμεύειν δυνάμενα, ἐπειδὴ ἐδεῖτο ὁ πλασθεὶς ἄνθρωπός τινος τοῦ προσδιαλεγομένου, καὶ δυναμένου τῇ κοινωνίᾳ τῆς οὐσίας πολλὴν αὐτῷ παρέχειν τὴν παραμυθίαν, διὰ τοῦτο ἐκ τῆς πλευρᾶς αὐτοῦ δημιουργεῖται τὸ ζῶον τοῦτο τὸ λογικόν, καὶ κατὰ τὴν ἀμήχανον αὐτοῦ σοφίαν τέλειον καὶ ἀπηρτισμένον αὐτὸ εἰργάσατο, κατὰ πάντα τῷ ἀνθρώπῳ ὅμοιον, ἀντὶ τοῦ, λογικόν, δυνάμενον ἐν τοῖς καιρίοις αὐτῷ, καὶ τοῖς ἀναγκαίοις καὶ τοῖς συνέχουσι

τὴν

φέρειν;

α. Κορ. ια. β.

τὴν ζωὴν τὰ τῆς βοηθείας εἰσφέρειν. θεὸς γὰρ ἦν ὁ τὰ πάντα σοφίᾳ τινὶ καὶ δημιουργίᾳ οἰκονομῶν. εἰ γὰρ καὶ ἡμεῖς διὰ τὴν τῶν λογισμῶν ἀσθένειαν καταλαμβάνειν μὴ δυνάμεθα τὸν τρόπον τῶν γεγενημένων, ἀλλ' ὅμως πιστεύωμεν ὅτι τῷ βουλήματι αὐτοῦ πάντα εἴκει καὶ παραχωρεῖ, καὶ ὅπερ ἂν προστάξῃ, τοῦτο εἰς μέσον παράγεται. καὶ ᾠκοδόμησε, φησὶ, κύριος ὁ θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ, δεικνὺς ὅτι δι' αὐτὸν αὐτὴν παρήγαγεν. ἤγαγεν αὐτὴν, φησι, πρὸς τὸν Ἀδάμ. ἐπειδὴ γὰρ οὐδεὶς εὑρέθη, φησὶν, ἐν πᾶσι τοῖς ″ ἄλλοις ὅμοιός σοι βοηθὸς, ἰδοὺ ὅπερ ὑπεσχόμην. ἐπηγγειλάμην γὰρ βοηθὸν, ὅμοιόν σοι κατασκευάζειν· τοῦτο πληρώσας παραδίδωμί σοι. ἤγαγε γὰρ αὐτὴν, φησι, πρὸς τὸν Ἀδάμ·

γρ. ἀλόγοις

23 Καὶ εἶπεν Ἀδάμ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ″ ἐκ τῆς σαρκός μου.

γρ. ἐκ τῶν κρεῶν μου.

Θέα μοι ἐνταῦθα, ἀγαπητέ, πῶς μετὰ τῆς σοφίας ἐκείνης τῆς ἀφάτου τῆς παρὰ τοῦ θεοῦ αὐτῷ χορηγηθείσης, ἧς τὰ δείγματα ἡμῖν ἐδείκνυ διὰ τῆς τῶν ὀνομάτων θέσεως ἅπερ ἐπέθηκε τοῖς τοσούτοις γένεσι τῶν ἀλόγων ζώων, καὶ προφητικῆς ἠξίωτο χάριτος. διὰ γὰρ τοῦτο ἐν τοῖς ἀνωτέρω ἐδίδαξεν ἡμᾶς ὁ μακάριος οὗτος προφήτης, ὅτι μετὰ τοῦ ὕπνου καὶ ἔκστασις αὐτὸν ἔλαβεν, ὡς μηδὲ ὅλως αἴσθησιν δέξασθαι τοῦ γενομένου, ἵν', ἐπειδὰν μάθῃς νῦν ὅτι μετὰ τὴν θέαν τῆς γυναικὸς μετὰ ἀκριβείας ἀπαγγέλλει τὸ γεγονὸς, πεισθῇς ἀκριβῶς, ὅτι προφητικῇ χάριτι ταῦτα φθέγγεται, καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος διδασκαλίας. ὁ γὰρ μηδὲν τῶν γεγενημένων εἰδὼς, ἐπειδὴ ἤγαγεν αὐτὴν πρὸς αὐτόν, φησι, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἕτερος δέ τις ἑρμηνευτής φησιν ἀντὶ τοῦ τοῦτο νῦν, τοῦτο ἅπαξ· δηλῶν, ὅτι νῦν τοῦτο μόνον γέγονε, καὶ οὐκέτι οὕτως ἔσται τῆς γυναικὸς ἡ διάπλασις. νῦν, φησι, γέγονεν ἐξ ἀνδρὸς ἡ γυνὴ, μετὰ δὲ ταῦτα οὐχ οὕτως, ἀλλ' ἐκ τῆς γυναικὸς ὁ ἀνήρ· μᾶλλον δὲ οὐκ ἐκ γυναικός, ἀλλ' ἐκ τῆς ἀμφοτέρων συνεργείας, ὡς καὶ ὁ Παῦλός φησιν· α. Κορ. ια. η. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλ' ἡ γυνὴ ἐξ ἀνδρός. καὶ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. ναί· ἀλλὰ ταῦτα, φασι, τὰ εἰρημένα δείκνυσιν, ὅτι ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς ἐγένετο. ἀλλ' ἀνάμεινον, καὶ ὄψει διὰ τοῦ ἐπαγομένου τὴν ἀκριβῆ διδασκαλίαν. φησὶ γὰρ, πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός, διδάσκων ἡμᾶς, ὅτι λοιπὸν διὰ τῆς ἀμφοτέρων συνουσίας ἡ σύστασις ἔσται καὶ ἀνδρὸς καὶ γυναικός. διὰ τοῦτο τοίνυν καὶ ὁ Ἀδὰμ ἔλεγε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. εἶτα ἵνα μάθῃς αὐτοῦ τῆς προφητείας τὴν ἀκρίβειαν, καὶ ὅπως μέχρι τοῦ νῦν, καὶ μέχρι τῆς συντελείας αὐτῆς διαλάμπει τὸ ὑπ' αὐτοῦ εἰρημένον, ἄκουε καὶ τῶν ἑξῆς.

24 Αὕτη κληθήσεται γυνή, φησιν, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

Εἶδες πῶς ἅπαντα ἡμῖν παρήνοιξε, διὰ τῆς οἰκείας προφητείας ἕκαστον μετὰ ἀκριβείας δηλώσας. αὕτη, φησὶ, κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. πάλιν ἡμῖν τὴν ἀφαίρεσιν τῆς πλευρᾶς αἰνίττεται· εἶτα δηλῶν τὰ μέλλοντα συμβήσεσθαι, φησιν, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. πόθεν, εἰπέ μοι, ταῦτα ἐπῆλθεν αὐτῷ φθέγξασθαι; πόθεν ᾔδει τὰ μέλλοντα, καὶ ὅτι εἰς πλῆθος ἐπιδώσει τὸ τῶν ἀνθρώπων γένος; ὅτι γὰρ συνουσία ἔσται ἀνδρὸς καὶ γυναικός, πόθεν ἠπίστατο; μετὰ γὰρ τὴν παράβασιν τὰ τῆς συνουσίας γέγονεν. ἐπεὶ μέχρις ἐκείνου καθάπερ ἄγγελοι, οὕτω διητῶντο ἐν τῷ παραδείσῳ, οὐχ ὑπὸ ἐπιθυμίας φλεγόμενοι, οὐχ ὑπὸ ἑτέρων παθῶν πολιορκούμενοι, οὐ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποκείμενοι· ἀλλὰ δι' ὅλου ἄφθαρτοι κτισθέντες καὶ ἀθάνατοι, ὅπου γε οὐδὲ τῆς τῶν ἱματίων περιβολῆς ἐδέοντο. ἦσαν γάρ, φησιν, οἱ δύο γυμνοί, καὶ οὐκ ᾐσχύνοντο. οὐδέπω γὰρ τῆς ἁμαρτίας ἐπεισελθούσης καὶ τῆς παρακοῆς, τῇ ἄνωθεν ἦσαν δόξῃ ἠμφιεσμένοι· διὸ οὐδὲ ᾐσχύνοντο. μετὰ δὲ τὴν παράβασιν τῆς ἐντολῆς τότε καὶ ἡ αἰσχύνη ἐπεισῆλθε, καὶ ἡ γνῶσις τῆς γυμνότητος. πόθεν οὖν, εἰπέ μοι, ταῦτα αὐτῷ ἐπῆλθε φθέγξασθαι; ἢ δηλονότι προφητικοῦ χαρίσματος μετέχων πρὸ τῆς παρακοῆς ἅπαντα ταῦτα ἑώρα τοῖς πνευματικοῖς ὀφθαλμοῖς; ταῦτα δὲ οὐχ ἁπλῶς νῦν μηνύω, ἀλλ' ἵνα ἐντεῦθεν ἤδη καὶ τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν καταμάθητε, ἣν περὶ τὸν ἄνθρωπον ἐπεδείξατο, ἀγγελικὸν αὐτῷ βίον ἐξ ἀρχῆς χαρισάμενος, καὶ μυρίας εἰς αὐτὸν εὐεργεσίας παραθέμενος, καὶ μετὰ τῶν ἄλλων ἁπάντων καὶ προφητικοῦ χαρίσματος αὐτὸν ἀξιώσας, καὶ τοῦ ἀνθρώπου δὲ τὴν μετὰ τοσαύτας εὐεργεσίας ῥαθυμίαν ἰδόντες μηκέτι ἐπὶ τὸν θεὸν τὴν αἰτίαν μετάγητε, ἀλλὰ τούτῳ τὸ πᾶν λογίζησθε. αὐτὸς γὰρ ἑαυτῷ πάντων αἴτιος γέγονε τῶν κακῶν (ὡς καὶ μετὰ ταῦτα μαθήσεσθε) καὶ τῆς ἐκπτώσεως τῶν τοσούτων ἀγαθῶν, καὶ τῆς καταδίκης ἣν διὰ τὴν παρακοὴν ὑπέμεινεν. ὅταν γὰρ ἐννοήσω τῆς διαγωγῆς αὐτοῦ τὴν κατάστασιν, ἣν ὁ δεσπότης αὐτῷ ἐχαρίσατο οὕτω δαψιλεῖς εἰς αὐτὸν εὐεργεσίας ἐπιδειξάμενος, καὶ πρότερον μὲν ὅτι καὶ πρὸ τῆς αὐτοῦ διαπλάσεως τοῦτον ὅλον τῆς κτίσεως τὸν κόσμον δι' αὐτὸν παρήγαγε, καὶ τότε αὐτὸν ἐδημιούργησεν, ἵνα γενόμενος ἀπολαύσῃ πάντων τῶν ὁρωμένων· εἶτα τὸν παράδεισον γενέσθαι προστάξας, ἐκεῖ αὐτὸν διαιτᾶσθαι ἠβουλήθη, χωρίσας αὐτὸν τῶν ἀλόγων ζώων, καὶ πάντων αὐτῷ τὴν ἐξουσίαν δεδωκώς, καθάπερ δεσπότην τινὰ δούλοις καὶ ὑπηκόοις τὰ ὀνόματα θεῖναι πᾶσιν ἐπέταξεν· εἶτα ἐπειδὴ μόνος ὢν ἐδεῖτό τινος τῆς αὐτῆς αὐτῷ κοινωνούσης οὐσίας βοηθοῦ, οὐδὲ τοῦτο παρέλιπεν, ἀλλὰ τὴν γυναῖκα παραγαγὼν καθ' ὃν αὐτὸς ἐβουλήθη τρόπον ἐνεχείρισεν αὐτῷ ταύτην· καὶ μετὰ τούτων ἁπάντων καὶ προφητείας αὐτῷ ἀξίωμα χαρισάμενος, καὶ μετὰ τὰς ἀφάτους ταύτας εὐεργεσίας, καὶ τὸ κεφάλαιον ἁπάντων ἐδωρήσατο, πάντων αὐτὸν ἐλευθερώσας τῶν τοῦ σώματος φροντίδων, καὶ μήτε ἱματίων περιβολῆς, μήτε ἑτέρας τινὸς χρείας δεῖσθαι συγχωρήσας, ἀλλά, καθάπερ ἔφθην εἰπών, ὡς ἄγγελον ἐπίγειον οὕτως αὐτὸν ἐπὶ τῆς γῆς διάγειν βουληθείς· ὅταν τοίνυν πάντα ταῦτα λογίσωμαι, καὶ τοῦ δεσπότου ἐκπλήττομαι τὴν περὶ τὸ γένος τὸ ἡμέτερον φιλανθρωπίαν, καὶ τοῦ ἀνθρώπου τὴν ῥαθυμίαν καὶ τοῦ διαβόλου τὴν βασκανίαν. οὐδὲ γὰρ ἤνεγκεν ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὁρῶν ἐν σώματι ἀνθρωπίνῳ ἀγγελικὴν διαγωγήν.

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, εἰ δοκεῖ, τὰ κατὰ τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλὴν εἰς τὴν ἑξῆς ταμιευσάμενοι, ἐνταῦθα καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, μεμνῆσθαι τῶν εἰρημένων μετὰ ἀκριβείας, καὶ καθ' ἑαυτοὺς ἅπαντα ἀναλογίζεσθαι, ἵνα ἔχητε αὐτὰ ἐνιδρυμένα ταῖς διανοίαις ταῖς ὑμετέραις. ἐὰν γὰρ συνεχῶς ἀναμιμνησκώμεθα τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ὧν εἰς τὴν ἡμετέραν φύσιν κατέθετο, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν προτροπὴ ἡμῖν μεγίστη τοῦτο γενήσεται. ὁ γὰρ τῶν εὐεργεσιῶν μεμνημένος, τοῦ θεοῦ δηλονότι σπουδάσει μὴ ἀνάξιον ἑαυτὸν ἀποφῆναι, ἀλλὰ τοσαύτην ἐπιδείξασθαι τὴν σπουδὴν καὶ τὴν εὐγνωμοσύνην, ὡς καὶ ἑτέρων πάλιν ἀξιωθῆναι. Φι-

ΗΘΙΚΟΝ

λότιμος γάρ ὁ δεσπότης ὁ ἡμέτερος, καὶ ἐπειδὰν ἴδῃ περὶ τὰ ἤδη ἡμῖν ὑπάρξαντα
παρ' αὐτοῦ εὐγνώμονας γενομένους, πολλὴν ἐπιδαψιλεύεται τὴν χάριν, καὶ μειζόνων ἡμᾶς
πάλιν ἀξιοῖ τῶν δωρεῶν· μόνον ἐὰν ἡμεῖς τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες, μὴ ἁ-
πλῶς τὸν χρόνον παρατρέχωμεν, μηδὲ τοῦτο σκοπῶμεν, εἰ τὸ ἥμισυ τῆς ἁγίας τεσ-
σαρακοστῆς παρεδράμομεν, ἀλλ' εἴ τινα ἡμῖν κατώρθωται ἐν τούτῳ τῷ χρόνῳ, καὶ εἴ τι τῶν
ἐνοχλούντων ἡμῖν παθῶν διωρθωσάμεθα. Εἰ γὰρ μέλλοιμεν καθ' ἑκάστην ἡμέραν
τῆς πνευματικῆς διδασκαλίας ἀπολαύοντες τῶν αὐτῶν διαμένειν, καὶ μὴ ἐπιδιδόναι
πρὸς ἀρετήν, μηδὲ τὰ τῆς κακίας εἴδη ἐξορίζειν τῆς ἑαυτῶν ψυχῆς, οὐ μόνον ἡμῖν
οὐδὲν ὄφελος ἔσται, ἀλλὰ καὶ πλείων ἡ βλάβη. ὅταν γάρ τις καὶ ἐπιμελείας τοσαύτης
ἀπολαύων μηδὲν κερδαίνῃ, μεῖζον ἑαυτῷ ἐπισωρεύει τὸ τῆς γεέννης πῦρ. διὸ παρα-
καλῶ, κἂν τῷ ὑπολειπομένῳ χρόνῳ τῆς νηστείας εἰς δέον χρησώμεθα, καὶ καθ' ἑκάστην
ἑβδομάδα, μᾶλλον δὲ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς περισκοπῶμεν, καὶ τὰ μὲν ἐλαττώμα-
τα ἡμῶν ἐξορίζωμεν τῆς ἑαυτῶν ψυχῆς, κατορθωμάτων δὲ κτῆσιν προσλαμβάνω-
Ψαλ. λς. κη. μεν, καθάπερ ὁ προφήτης παρῄνεσε, Καὶ ἐκκλίνωμεν ἀπὸ τῶν κακῶν, καὶ μετέλθωμεν
ἐπὶ τὴν ἀρετήν. αὕτη γὰρ ἡ ἀληθὴς νηστεία. ὁ θυμώδης τὸ μὲν πάθος τὸ ἐνοχλοῦν
εὐσεβεῖ λογισμῷ ἐξοριζέτω τῆς ψυχῆς, πρᾳότητα δὲ καὶ ἐπιείκειαν ἀσπαζέσθω. ὁ ῥᾴ-
θυμος καὶ ἀκόλαστος καὶ μετὰ ἀδείας πρὸς τὰ κάλλη τῶν σωμάτων ἐπτοημένος, χαλινώσας
ἑαυτοῦ τὸν λογισμόν, καὶ τὸν νόμον τοῦ Χριστοῦ εἰς τὸ πλάτος αὐτοῦ τῆς διανοίας ἐγγρά-
Ματθ. ε. κη. ψας τὸν λέγοντα, Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν
αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, τὸ μὲν τῆς ἀκολασίας πάθος φυγαδευέτω, τὴν δὲ σωφροσύνην
κατορθούτω. ὁ προπετὴς ἐν γλώσσῃ, καὶ ἁπλῶς τὰ ἐπιόντα φθεγγόμενος, μιμείσθω
Ψαλ. ρμ. γ. πάλιν τὸν μακάριον προφήτην καὶ λεγέτω, Θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ
θύραν περιοχῆς περὶ τὰ χείλη μου· καὶ μηδέποτε ἁπλῶς καὶ ὡς ἔτυχε προφερέτω τὰ
Εφ. δ. λα. ῥήματα, ἀλλ' ἀκουέτω τοῦ Παύλου λέγοντος, Πᾶσα κραυγὴ καὶ θυμὸς καὶ βλασφημία καὶ
Εφ. δ. κθ. αἰσχρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. καὶ πάλιν, Εἴ τις λό-
γος ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. καὶ τοὺς ὅρκους δὲ
Ματθ. ε. λγ. παντελῶς φευγέτω ἀκούων τῆς ἀποφάσεως τοῦ Χριστοῦ λέγοντος, Ὅτι ἐρρέθη τοῖς
ἀρχαίοις, οὐκ ἐπιορκήσεις· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. μὴ τοίνυν μοι λέγε,
ὅτι ἐπὶ δικαίῳ ὄμνυμι. οὐκ ἔξεστι γὰρ οὔτε ἐπὶ δικαίῳ οὔτε ἐπὶ ἀδίκῳ ὀμνύναι. καθαρὸν
τοίνυν τηρῶμεν ὅρκων τὸ στόμα, καὶ τούτοις ἅπασι τειχίζωμεν ἡμῶν καὶ τὴν γλῶτταν καὶ
τὰ χείλη καὶ τὴν διάνοιαν, ὥστε μὴ ἔνδοθεν τίκτεσθαί τι τῶν πονηρῶν λογισμῶν, μήτε
διὰ γλώττης προφέρεσθαι. καὶ τὰς ἀκοὰς δὲ ἀσφαλῶς ἀποφράττωμεν, ὥστε μηδὲ ἀ-
Ἐξοδ. κγ. α. κοὴν ματαίαν παραδέχεσθαι, καθάπερ ὁ μακάριος Μωϋσῆς παρήγγειλε λέγων, Ἀ-
Ψαλ. ξ. ε. κοὴν ματαίαν οὐ παραδέξῃ. καὶ πάλιν ὁ μακάριος Δαβὶδ ἔλεγε, Τὸν καταλαλοῦντα
λάθρα τοῦ πλησίον αὐτοῦ τοῦτον ἐξεδίωκον. Εἶδες, ἀγαπητέ, ὅσης ἡμῖν ἀγρυπνίας
χρεία, ὅσου τόνου πρὸς τὴν ἀρετήν, πῶς καὶ βραχὺ μέρος ἀμεληθὲν ὁλόκληρον ἡμῖν
ἐπάγει τὸν κίνδυνον; διὰ τοῦτο καὶ ἑτέρωθι ἐβόα λέγων ὁ μακάριος Δαβὶδ ἐγκαλῶν
Ψαλ. μθ. κα. τῷ τοῦτο ποιοῦντι, Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μη-
τρός σου ἐτίθης σκάνδαλον. ἐὰν οὕτως ἡμῶν ἅπαντα τὰ μέλη τειχίζωμεν, δυνησόμεθα
καὶ πρὸς τὰ τῆς ἀρετῆς ἔργα διεγερθῆναι, καὶ τὴν μὲν γλῶτταν πρὸς δοξολογίαν καὶ
ὕμνους τοὺς εἰς τὸν τῶν ὅλων θεὸν ἀπασχολεῖν, τὴν δὲ ἀκοὴν πρὸς ἀκρόασιν καὶ μάθη-
σιν τῶν θείων λογίων, καὶ τὴν διάνοιαν πρὸς τὴν κατανόησιν τῶν πνευματικῶν διδαγμά-
των, καὶ τὰς χεῖρας μὴ πρὸς ἁρπαγὴν καὶ πλεονεξίαν, ἀλλὰ καὶ πρὸς ἐλεημοσύνην

ϗ

καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν, καὶ τοὺς πόδας μὴ εἰς θέατρα καὶ ἱπποδρομίας καὶ τὰς ἐπιβλαβεῖς θεωρίας, ἀλλ' εἰς τὴν ἐκκλησίαν, καὶ εἰς εὐκτηρίους οἴκους πρὸς τὰς τῶν ἁγίων μαρτύρων θήκας· ἵνα τὴν παρ' αὐτῶν εὐλογίαν καρπούμενοι, ἀχειρώτους ἑαυτοὺς καταστήσωμεν ταῖς τοῦ διαβόλου παγίσιν. ἐὰν οὕτως ὦμεν μεμεριμνημένοι καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες, δυνησόμεθα καὶ τὸ ἀπὸ τῆς νηστείας κέρδος καρπώσασθαι, καὶ τὰς τοῦ πονηροῦ μηχανὰς διαφυγεῖν, καὶ πολλὴν τὴν ἄνωθεν ῥοπὴν ἐπισπάσασθαι· ἧς γένοιτο πάντας ἡμᾶς [ἀκατακρίτως] ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ις. ΚΑΙ ΗΣΑΝ ΟΙ ΔΥΟ ΓΥΜΝΟΙ, Ο, ΤΕ ΑΔΑΜ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

Βούλομαι* σήμερον, ἀγαπητοὶ, θησαυρὸν ὑμῖν πνευματικὸν ὑπανοῖξαι, μεριζόμενον καὶ μηδέποτε δαπανώμενον, πάντας πλουτίζοντα καὶ ἐν μηδενὶ ἐλαττούμενον, ἀλλὰ καὶ προστιθέμενον. καθάπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ θησαυροῦ κἂν μικρόν τι χρῆμα λαβεῖν τις δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω δὲ καὶ ἐπὶ τῆς θείας γραφῆς, καὶ ἐν βραχείᾳ λέξει πολλὴν ἔστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν καὶ ἄφατον τὸν πλοῦτον· τοιαύτη γὰρ ἡ φύσις τοῦ θησαυροῦ τούτου. τοὺς ὑποδεχομένους εὐπόρους ἀπεργαζόμενος, οὐδέποτε αὐτὸς ἐλλείπει. πηγὴ γὰρ τοῦτον ἀναβλύζει τοῦ πνεύματος τοῦ ἁγίου. ὑμέτερον δ' ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακατατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα μετ' εὐκολίας δυνηθῆτε παρακολουθεῖν τοῖς [παρ' ἡμῶν] λεγομένοις· μόνον μετὰ σπουδῆς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. ἡ γὰρ χάρις [τοῦ παναγίου πνεύματος] ἑτοιμός ἐστιν, ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας ταύτην ὑποδεχομένους. ἀκούσωμεν δὲ, παρακαλῶ, καὶ τῶν σήμερον ἀνεγνωσμένων, ἵνα μάθωμεν τοῦ θεοῦ τὴν φιλανθρωπίαν, καὶ ὅσῃ συγκαταβάσει κέχρηται διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν.

25 Καὶ ἦσαν, φησιν, οἱ δύο γυμνοὶ, ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

Ἐννόησόν μοι μακαριότητος ὑπερβολήν· πῶς ἀνώτεροι ἦσαν τῶν σωματικῶν ἁπάντων· πῶς καθάπερ τὸν οὐρανὸν, οὕτω τὴν γῆν ᾤκουν, καὶ ἐν σώματι τυγχάνοντες, τὰ τῶν σωμάτων οὐχ ὑπέμενον. οὔτε γὰρ στέγης, οὔτε ὀροφοῦ, οὔτε ἱματίου, οὔτε ἄλλου οὐδενὸς τῶν τοιούτων ἐδέοντο. καὶ οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο ἡμῖν ἐπεσημήνατο ἡ θεία γραφὴ, ἀλλ' ἵνα μαθόντες τὴν ἄλυπον αὐτῶν ταύτην διαγωγὴν, καὶ τὸν ἀνώδυνον βίον, καὶ τὴν ἀγγελικὴν, ὡς εἰπεῖν, κατάστασιν, ἐπειδὰν ἴδωμεν μετὰ ταῦτα τούτων ἁπάντων ἐρήμους αὐτοὺς γινομένους, καὶ καθάπερ ἀπὸ πολλοῦ πλούτου καὶ περιουσίας εἰς ἐσχάτην πενίαν κατενεχθέντας, τῇ ῥᾳθυμίᾳ αὐτῶν τὸ πᾶν ἐπιγράψωμεν. ἀναγκαῖον δὲ [πάλιν] ἀκοῦσαι τῶν ἀνεγνωσμένων. εἰπὼν γὰρ ὁ μακάριος Μωϋσῆς, ὅτι γυμνοὶ ἦσαν, καὶ οὐκ ᾐσχύνοντο (οὐδὲ γὰρ ᾔδεισαν ὅτι γυμνοὶ ἦσαν. καὶ γὰρ οὐδὲ ἦσαν γυμνοὶ, τῆς δόξης τῆς ἀφάτου περιστελλούσης αὐτοὺς, καὶ παντὸς ἱματίου μᾶλλον αὐτοὺς κοσμούσης) φησίν,

1 Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικὶ, τί ὅτι εἶπεν ὁ θεὸς, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; Κεφ. γ.

Ὅρα πονηροῦ δαίμονος βασκανίαν καὶ "πολύπλοκον μηχανήν. Ἐπειδὴ γὰρ εἶδεν ἐν τῇ ἀνωτάτω τιμῇ τυγχάνοντα τὸν δημιουργηθέντα ἄνθρωπον, καὶ οὐδὲν σχεδὸν ἔλαττον ἔχοντα τῶν ἀγγέλων, καθάπερ καὶ ὁ μακάριος Δαβὶδ φησιν, Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους (καὶ τοῦτο δὲ αὐτὸ τὸ βραχὺ ἡ τῆς παρακοῆς ἁμαρτία εἰσήγαγε· μετὰ γὰρ τὴν παρακοὴν τοῦτο ἐφθέγξατο ὁ προφήτης) ὁρῶν τοίνυν ἄγγελον ἐπίγειον ἐπὶ τῆς γῆς τυγχάνοντα, καὶ ὑπὸ τῆς βασκανίας τηκόμενος ὁ ἀρχέκακος δαίμων, ἐπειδὴ αὐτὸς ἐν ταῖς ἄνω δυνάμεσι τελῶν διὰ μοχθηρίαν προαιρέσεως, καὶ κακίας ὑπερβολὴν ἐκ τοῦ ὕψους ἐκείνου ἐρρίφη κάτω, πολλῇ κέχρηται τῇ μηχανῇ, ὥστε τῆς εὐνοίας τοῦ θεοῦ ἀποστερῆσαι τὸν ἄνθρωπον, καὶ ἀγνώμονα αὐτὸν τῷ ἰδίῳ δεσπότῃ ἀπεργασάμενος, γυμνῶσαι τῶν τοσούτων ἀγαθῶν, τῶν διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν παρασχεθέντων αὐτῷ. Καὶ τί ποιεῖ; εὑρὼν τὸ θηρίον τοῦτο, τὸν ὄφιν λέγω, τὰ ἄλλα θηρία τῇ φρονήσει νικῶντα, καθάπερ καὶ ὁ μακάριος Μωϋσῆς ἐμαρτύρησεν εἰπών, Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός· τούτῳ ὥσπερ τινὶ ὀργάνῳ χρησάμενος, δι' αὐτοῦ τὸ ἄπλαστον καὶ "ἀσθενὲς σκεῦος, τὴν γυναῖκα λέγω, διὰ τῆς ὁμιλίας εἰς τὴν ἑαυτοῦ ἀπάτην ἐκκαλεῖται, καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί. Λογίζου, ἀγαπητέ, ἐκ τούτου, πῶς οὐδὲν ἦν ἐν προοιμίοις φοβερὸν τῶν θηρίων τῶν γεγενημένων οὔτε τῷ ἀνδρὶ οὔτε τῇ γυναικί, ἀλλὰ τὴν ὑποταγὴν καὶ τὴν δεσποτείαν ἐπεγίνωσκον· καὶ καθάπερ νῦν τὰ ἥμερα, οὕτω καὶ τὰ ἄγρια, καὶ τὰ ἀτίθασα τότε χειροήθη ἐτύγχανεν. Ἀλλ' ἴσως ἐνταῦθα διαπορήσειεν ἄν τις, καὶ μαθεῖν ζητήσειεν, εἰ καὶ τὸ θηρίον μετεῖχε λόγου. Οὐ τοῦτο δέ ἐστι (μὴ γένοιτο) ἀλλὰ ἀεὶ "κατακολουθοῦντας τῇ γραφῇ τοῦτο λογίζεσθαι χρή, ὅτι τὰ μὲν "ῥήματα ἦν τοῦ διαβόλου τοῦ διὰ τὸν οἰκεῖον φθόνον πρὸς τὴν ἀπάτην ταύτην διεγερθέντος· τῷ δὲ θηρίῳ τούτῳ ὥσπερ ἐπιτηδείῳ ὀργάνῳ ἐχρήσατο, ἵνα δυνηθῇ τὸ δέλεαρ τῆς οἰκείας ἀπάτης ἐνεὶς ὑποσκελίσαι, πρότερον μὲν τὴν γυναῖκα, ἅτε ἀεὶ εὐκολώτερον δυναμένην ἀπατηθῆναι, ἔπειτα δὲ δι' αὐτῆς καὶ τὸν πρωτόπλαστον. Τῷ οὖν ἀλόγῳ τούτῳ χρησάμενος πρὸς τὴν τῆς ἐπιβουλῆς κατασκευήν, δι' αὐτοῦ τῇ γυναικὶ διαλέγεται, καί φησι, Τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου;" σκοπεῖτε ἐνταῦθα κακουργίας ὑπερβολὴν λεπτοτάτην. Τὸ μὴ ῥηθὲν ὑπὸ τοῦ θεοῦ ἐν τάξει συμβουλῆς καὶ ἐρωτήσεως εἰσάγει, καὶ ὡσανεὶ τὴν ὑπὲρ αὐτῶν κηδεμονίαν ποιούμενος. Τοῦτο γάρ ἐστιν ἐνδεικνυμένου, τὸ λέγειν, Τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; μονονουχὶ λέγων ὁ πονηρὸς οὗτος δαίμων, τίνος ἕνεκεν ἀπεστέρησεν ὑμᾶς ὁ θεὸς τῆς τοσαύτης ἀπολαύσεως; Διατί οὐ συγχωρεῖ μετέχειν τῶν ἐν τῷ παραδείσῳ ἀγαθῶν, ἀλλὰ τῆς μὲν θέας τὴν ἀπόλαυσιν ἐδωρήσατο, οὐκ ἀφίησι δὲ μεταλαβεῖν, καὶ πλείονα καρποῦσθαι τὴν ἡδονήν; Τί ὅτι Εἶπεν ὁ θεός; διὰ τί, φησι, τοῦτο; τί δὲ ὄφελος τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, ὅταν μὴ ἐξῇ τῶν ἐν αὐτῷ ἀπολαύειν, ἀλλὰ ταύτῃ μάλιστα πλείονα τὴν ὀδύνην ἔχειν, ὅταν θέα μὲν ᾖ, ἀπόλαυσις δὲ ἡ ἀπὸ τῆς "μεταλήψεως μὴ γένηται; Εἶδες πῶς καθάπερ δέλεαρ διὰ τῶν ῥημάτων ἐνίησιν" αὐτοῦ τὸν ἰόν. Δέον τὴν γυναῖκα ἐξ αὐτῆς τῆς ἐπιχειρήσεως κατανοῆσαι τῆς μανίας τὴν ὑπερβολήν, καὶ ὅτι τὰ μὴ ὄντα ἐπίτηδες λέγει, καὶ ἐν τάξει δῆθεν κηδεμονίας, ἵνα μαθεῖν δυνηθῇ τὰ παρὰ τοῦ θεοῦ αὐτοῖς ἐνταλθέντα, καὶ οὕτω πρὸς τὴν παράβασιν αὐτοὺς ἑλκύσῃ· δυναμένη τοίνυν εὐθέως συνιδεῖν αὐτοῦ τὴν ἀπάτην, καὶ ἀποστραφῆναι λοιπὸν τὴν πρὸς αὐτὸν διάλεξιν, ὡς ἐναντία λέγοντα, καὶ μὴ ἑαυτὴν εἰς τοσαύτην ταπεινότητα καταγαγεῖν, οὐκ ἠθέλησεν. Ἔδει μὲν γὰρ μηδὲ ἐξ ἀρχῆς ἀνασχέσθαι τῆς πρὸς αὐτὸν διαλέξεως· ἀλλ' ἐκείνῳ μόνῳ διαλέγεται.

Ψαλ. η. ς.

χ. πολύπλοκον

χ. ἀσθενέστερον

χ. ἀκολ.

χ. ῥήματα

χ. ἐκεῖνη μὲν ἐνταῦθα

χ. διὰ

χ. αὐτῇ

γυναῖκα, δι' ἣν παρήχθη, καὶ κοινωνὸς κατὰ τὴν ἀξίαν ἐγένετο, καὶ εἰς βοήθειαν ἐδημιουργήθη. ἐπειδὴ δὲ, οὐκ οἶδ' ὅπως, παρατυρεῖσα ἠνέχετο τῆς ὁμιλίας τῆς πρὸς τὸν ὄφιν, καὶ ἐδέχετο τὰ ὀλέθρια ῥήματα τοῦ διαβόλου διὰ τούτου ὡς δι' ὀργάνου, ἀκόλουθον ἦν εὐθέως μαθοῦσαν ἐκ τῶν παρ' αὐτοῦ λεχθέντων τὴν ἐναντίωσιν τῶν ῥημάτων, καὶ ὅτι ἕτερα μὲν ὁ δημιουργήσας προσέταξεν, ἕτερα δὲ οὗτος κατ' ἀπεναντίας τῷ δημιουργῷ ἔλεγεν, ἀποστραφῆναι καὶ φυγεῖν λοιπὸν τὴν πρὸς αὐτὸν ὁμιλίαν, καὶ βδελύξασθαι τὸ τολμῆσαι τὴν οἰκείαν γλῶσσαν ἀκονῆσαι κατὰ τῆς δοθείσης αὐτοῖς ἐντολῆς. ἀλλὰ διὰ τὴν πολλὴν ἀπροσεξίαν οὐ μόνον οὐκ ἀπεστράφη, ἀλλὰ καὶ τὴν ἐντολὴν ἅπασαν αὐτῷ ἐκκαλύπτει, καὶ τοὺς μαργαρίτας τῷ χοίρῳ παραρρίπτει, καὶ πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· Μὴ βάλλετε γάρ, φησι, τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. ὃ δὴ καὶ νῦν γέγονε. παρέθηκε γὰρ τῷ χοίρῳ, τῷ πονηρῷ τούτῳ θηρίῳ, ἤτοι τῷ δαίμονι τῷ δι' αὐτοῦ ἐνεργοῦντι, τοὺς θείους μαργαρίτας· καὶ οὐ μόνον αὐτοὺς κατεπάτησε καὶ ἀντετάξατο τοῖς ῥηθεῖσιν, ἀλλὰ καὶ στραφεὶς οὐκ αὐτὴν μόνον, ἀλλὰ καὶ μετ' αὐτῆς καὶ τὸν πρωτόπλαστον εἰς τὸ τῆς παρακοῆς ῥῆγμα κατήγαγε. τοσοῦτόν ἐστι κακὸν ἁπλῶς καὶ ὡς ἔτυχεν ἀνέδην πᾶσιν ἐκκαλύπτειν τὰ θεῖα μυστήρια. ἀκουέτωσαν οἱ ἁπλῶς καὶ ἀδιαφόρως πρὸς ἅπαντας διαλεγόμενοι. οὐδὲ γὰρ ἐκεῖ περὶ χοίρων * ὁ Χριστὸς λέγει, ἀλλὰ τοὺς χοιρώδεις τῶν ἀνθρώπων αἰνιττόμενος, καὶ ὁμοίως τοῖς ἀλόγοις " ἐγκαλινδουμένους τῷ τῆς ἁμαρτίας βορβόρῳ, παιδεύων ἡμᾶς εἰδέναι καὶ προσώπων διαφορὰν, καὶ πολιτείας " ἐπιζητεῖν ἀκρίβειαν, ἡνίκα ἂν " δέῃ τι τῶν θείων λογίων ἐκκαλύπτειν, ἵνα μὴ κἀκείνους καὶ ἑαυτοὺς λυμαινώμεθα. οἱ γὰρ τοιοῦτοι οὐ μόνον οὐδὲν κερδαίνουσιν ἀπὸ τῶν λεγομένων, ἀλλὰ καὶ τοὺς ἀνεξετάστως παραθέντας τοὺς καλοὺς τούτους μαργαρίτας εἰς τὸ αὐτὸ αὐτοῖς βάραθρον τῆς ἀπωλείας πολλάκις κατήγαγον. διὸ χρὴ μετὰ ἀκριβείας ταῦτα παραφυλάττεσθαι, ἵνα μὴ τὰ αὐτὰ τοῖς νῦν ἀπατηθεῖσιν ὑπομείνωμεν. εἰ γὰρ καὶ νῦν ἡ γυνὴ ἐβουλήθη τοὺς θείους μαργαρίτας μὴ προθεῖναι τῷ χοίρῳ, οὐκ ἂν οὔτε αὐτὴ εἰς τὸν κρημνὸν τοῦτον κατηνέχθη, οὔτε τὸν ἄνδρα συγκατέσπασεν. ἀλλ' ἀκούσωμεν τί πρὸς αὐτὸν ἀποκρίνεται. εἰπόντος γὰρ ἐκείνου, τί ὅτι εἶπεν ὁ θεὸς ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου οὐ μὴ φάγητε;

Ματθ. ζ. ϛ.

* αὐτὸς τοῦ

γρ. ἐγκυλινδουμένους

γρ. ζητεῖν

γρ. ἄν τι δέοι

2 Φησὶν ἡ γυνὴ τῷ ὄφει, ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγούμεθα· 3 Ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ φάγεσθε, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε.

Εἶδες κακουργίαν [πολυπλόκου δαίμονος]. εἶπε τὸ μὴ ὄν, ἵνα ἐκκαλεσάμενος αὐτὴν εἰς διάλεξιν μάθῃ λοιπὸν τὸ ὄν. ἡ γὰρ γυνὴ λοιπὸν ὡς εὐνοϊκῶς πρὸς αὐτὴν διακειμένου, θαρρήσασα πᾶσαν ἐκκαλύπτει τὴν ἐντολὴν, καὶ λέγει πάντα μετὰ ἀκριβείας, καὶ δι' ὧν ἀπεκρίνατο πάσης ἑαυτὴν ἀποστερεῖ τῆς ἀπολογίας. τί γὰρ ἂν ἔχοις εἰπεῖν ὦ γύναι; * εἶπεν ὁ θεὸς, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; δέον σε, ὡς ἐναντία εἰρηκότα, ἀποστραφῆναι, καὶ εἰπεῖν πρὸς αὐτὸν, ἄπαγε, ἀπατεὼν εἶ σύ· οὐκ οἶσθα οὐδὲ τῆς ἐντολῆς τῆς δεδομένης ἡμῖν τὴν δύναμιν, οὐδὲ τῆς ἀπολαύσεως τὸ μέγεθος, οὐδὲ τὴν δαψίλειαν τῆς χορηγίας. σὺ μὲν γὰρ ἔφης εἰρηκέναι τὸν θεὸν ἀπὸ μηδενὸς ξύλου ἡμᾶς ἀπογεύσασθαι· ὁ δεσπότης δὲ καὶ δημιουργὸς διὰ πολλὴν ἀγαθότητα πάντων ἡμῖν ἀνεὶς τὴν ἀπόλαυσιν καὶ τὴν ἐξουσίαν, ἑνὸς μόνου " ἀπέχεσθαι ἐκέλευσε, καὶ τούτου πάλιν διὰ τὴν περὶ ἡμᾶς κηδεμονίαν, ὥστε μὴ μετασχόντας ἁλῶναι θανάτῳ. δέον, εἴπερ εὐγνώμων ἦν, ταῦτα πρὸς αὐτὸν εἰποῦσαν τὰ ῥήματα πάν-

* τί ὅτι

γρ. ἀπέχεσθαι

τῃ ἀποστραφῆναι, καὶ μηκέτι μήτε διαλεχθῆναι, μήτε ἀκοῦσαί τι τῶν παρ' αὐτοῦ λεγομένων· ἀλλ' ἡ δὲ τὴν ἐντολὴν ἐκκαλύψασα καὶ εἰποῦσα τὰ παρὰ τοῦ θεοῦ αὐτοῖς ῥηθέντα, ἄλλην δέχεται παρ' αὐτοῦ συμβουλὴν ὀλεθρίαν καὶ θανάσιμον. ἐπειδὴ γὰρ εἶπεν ἡ γυνὴ, ὅτι ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγόμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ φάγητε ἀπ' αὐτοῦ, οὐδ' οὐ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε, πάλιν ὁ πονηρὸς καὶ ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας ἐναντίαν τῷ δεσπότῃ τὴν συμβουλὴν εἰσάγει. τοῦ γὰρ φιλανθρώπου θεοῦ διὰ πολλὴν κηδεμονίαν τὴν μετάληψιν κωλύσαντος, ἵνα μὴ διὰ τῆς παρακοῆς θνητοὶ γένωνται,

χ. φάγηθε

4 Οὗτός φησι τῇ γυναικί, οὐ θανάτῳ ἀποθανεῖσθε.

Ποίας ἄν τις ἀξιώσειε συγγνώμης τὴν γυναῖκα, ὅτι ὅλως κἂν ὑποσχεῖν ἠνέσχετο ταῖς ἀκοαῖς τῷ οὕτω τολμηρὰ φθεγξαμένῳ; εἰπόντος γὰρ τοῦ θεοῦ, μὴ ἅψησθε ἵνα μὴ ἀποθάνητε, οὗτός φησιν, οὐ θανάτῳ ἀποθανεῖσθε. εἶτα οὐκ ἀρκεσθεὶς τῷ ἀντιφθέγξασθαι τοῖς παρὰ τοῦ θεοῦ ῥηθεῖσι, καὶ ὡς φθονερὸν διαβάλλει τὸν δημιουργὸν, ἵν' οὕτω τὴν ἀπάτην εἰσαγαγεῖν δυνηθῇ, καὶ τὴν γυναῖκα ὑποσκελίσας τὸν οἰκεῖον σκοπὸν ἀποπληρώσῃ.

χ. ἀποφθεγξαμένῳ

5 Οὐ θανάτῳ, φησὶν, ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν.

Ἰδοὺ τὸ δέλεαρ ἅπαν. πληρώσας γὰρ ὁ πανοῦργος τὴν κύλικα δηλητηρίου φαρμάκου, ἐπέδωκε τῇ γυναικὶ, ἡ δὲ τὸ θανάσιμον ἰδεῖν οὐ βουληθεῖσα (ἐδύνατο γὰρ, εἴπερ ἐβούλετο, ἐκ προοιμίων τοῦτο γνῶναι) ἀλλ' ἀκούσασα παρ' αὐτοῦ, ὅτι διὰ τοῦτο τὴν μετάληψιν ἐκώλυσεν ὁ θεὸς, ἐπειδὴ ᾔδει ὅτι διανοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρὸν, τῇ ἐλπίδι τῆς ἰσοθείας φυσηθεῖσα πρὸς μεγάλα λοιπὸν ἦν φανταζομένη. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα· ὅταν εἰς πολὺ ὕψος διὰ τῆς ἀπάτης ἀναγάγῃ, τὸ τηνικαῦτα εἰς τὸν βαθὺν κρημνὸν κατάγει. φαντασθεῖσα γὰρ ἰσοθείαν, ἐπὶ τὴν μετάληψιν ἔσπευδε, καὶ ἐκεῖ λοιπὸν ἔτεινε καὶ τὸν λογισμὸν καὶ τὴν διάνοιαν, καὶ οὐδὲν ἕτερον περιεσκόπει ἢ πῶς τὴν κύλικα ἐκπίῃ τὴν παρὰ τοῦ πονηροῦ δαίμονος κερασθεῖσαν. μετὰ γὰρ τὸ δέξασθαι τὸν ὀλέθριον ἐκεῖνον ἰὸν διὰ τῆς συμβουλῆς τοῦ ὄφεως, ἵνα μάθῃς ὅτι περὶ τούτων τὴν σπουδὴν εἶχεν, ἄκουε τῆς θείας γραφῆς λεγούσης·

6 Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ ἔλαβεν ἀπὸ τοῦ καρποῦ αὐτοῦ καὶ ἔφαγεν.

α. Κορ. ιε λγ.

Ἀληθῶς φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. διὰ τί γὰρ πρὸ τῆς συμβουλῆς τοῦ πονηροῦ δαίμονος ἐκείνου μηδὲν τοιοῦτον ἔπαθε, μηδὲ κατενόησε τὸ ξύλον, μηδὲ εἶδεν αὐτοῦ τὴν ὡραιότητα; ἐπειδὴ ἐδεδοίκει τοῦ θεοῦ τὴν ἐντολὴν, καὶ τὸ μέλλον ἐπιτίμιον ἔσεσθαι ἐκ τῆς μεταλήψεως. νυνὶ δὲ ἐπειδὴ ἠπατήθη παρὰ τοῦ πονηροῦ τούτου θηρίου, ὅτι οὐ μόνον τοῦτο πείσονται, ἀλλὰ καὶ ἰσόθεοι ἔσονται, τότε λοιπὸν ἡ ἐλπὶς τῆς ὑποσχέσεως ἐπὶ τὴν μετάληψιν αὐτὴν παρώρμησε· καὶ οὐκ ἀνασχομένη μεῖναι ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τὸν ἐχθρὸν καὶ τὸν πολέμιον τῆς σωτηρίας τῆς ἡμετέρας ἀξιοπιστότερον εἶναι νομίσασα τῶν παρὰ τοῦ θεοῦ ῥημάτων, ἐμάνθανε διὰ τῆς πείρας αὐτῆς μετ' οὐ πολὺ τῆς συμβουλῆς τὸ ὀλέθριον, καὶ τὴν ἐκ τῆς μεταλήψεως καταληψομένην αὐτὴν συμφοράν. ἰδοῦσα γάρ, φησιν, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι τοῖς ὀφθαλμοῖς ἀρεστὸν ἰδεῖν, καὶ ὡραῖον τοῦ κατανοῆσαι, λογισαμένη πρὸς ἑαυτὴν ἴσως ἐκ τῶν παρὰ τοῦ διαβόλου ἀπάτης, ἣν διὰ τοῦ ὄφεως αὐτῇ προσήγαγεν, εἰ καὶ εἰς βρῶσιν καλὸν τὸ ξύλον, καὶ τοὺς ὀφθαλμοὺς οὕτω τέρπειν δύναται, καὶ ὡραιότης τίς ἐστιν ἄφατος ἐν αὐτῷ, παρέχει δὲ ἡμῖν ἡ τούτου μετάληψις καὶ τὴν ἀνωτάτω τιμὴν, καὶ τὴν αὐτὴν ἀξίαν τῷ δημιουργῷ ἕξομεν, τίνος ἕνεκεν οὐ μεταληψόμεθα τούτου; εἶδες πῶς αὐτὴν αἰχμάλωτον ὁ διάβολος ἀπήγαγε, καὶ ὑπέσυρε τὸν λογισμὸν, καὶ παρεσκεύασε μείζονα τῆς οἰκείας ἀξίας φρονῆσαι, ἵνα κεναῖς ἐλπίσι φυσωμένη ἐκπέσῃ καὶ τῶν ἤδη παρασχεθέντων.

7 Καὶ ἔλαβέ, φησιν, ἀπὸ τοῦ καρποῦ αὐτοῦ καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν.

Τί πεποίηκας ὦ γύναι; διὰ τί τὴν ὀλεθρίαν συμβουλὴν δεξαμένη, τὸν παρὰ τοῦ θεοῦ ″δεδομένον νόμον κατεπάτησας, καὶ ἐξύβρισας εἰς τὴν ἐντολὴν, καὶ τοσαύτῃ ἐχρήσω τῇ ἀκρασίᾳ, ὡς μὴ ἀρκεσθῆναι τῇ τοσαύτῃ ἀπολαύσει, ἀλλὰ καὶ τοῦ ἑνὸς ξύλου, οὗ προσέταξεν ὁ δεσπότης μὴ ἅψασθαι, ἐτόλμησας ἐπιλαβέσθαι, καὶ ἐπίστευσας τοῖς παρὰ τοῦ ὄφεως εἰρημένοις, καὶ ἀξιοπιστοτέραν τὴν τούτου συμβουλὴν ἐνόμισας τῆς παρὰ τοῦ δημιουργήσαντος δοθείσης ἐντολῆς, καὶ τοσαύτην ἀπατηθεῖσα ἀπάτην, ὡς μηδὲ συγγνώμης εἶναι ἀξίαν; μὴ γὰρ ὁμογενής σοι ἦν ὁ τὴν συμβουλὴν εἰσαγαγών; τῶν ὑποτεταγμένων ἐτύγχανε, τῶν δούλων, τῶν ὑπὸ τὴν σὴν ἐξουσίαν τυγχανόντων. τίνος ἕνεκεν οὕτω σαυτὴν κατῄσχυνας, καὶ ἐκεῖνον καταλιποῦσα δι᾽ ὃν ἐδημιουργήθης, ᾧ πρὸς βοήθειαν ″προσήχθης, ᾧ κοινωνὸς τῆς ″ἀξίας ἐγένου, καὶ ὁμοούσιος, καὶ ὁμόφωνος, τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν κατεδέξω, καὶ διὰ τοῦ θηρίου τούτου τὴν παρὰ τοῦ διαβόλου δέξασθαι συμβουλὴν καὶ φανερῶς ἀπεναντίας οὖσαν τῆς τοῦ δημιουργήσαντος νομοθεσίας, οὐδὲ οὕτως ἀπεστράφης, ἀλλὰ τῇ ἐλπίδι τῆς ὑποσχέσεως κατετόλμησας τῆς μεταλήψεως; ἔστω τοίνυν· σαυτὴν εἰς τοσοῦτον κρημνὸν κατήγαγες, καὶ τῆς τιμῆς τῆς ὑπερβαλλούσης ἀπεστέρησας. τίνος ἕνεκεν καὶ τὸν ἄνδρα κοινωνὸν λαμβάνεις τοῦ χαλεποῦ τούτου ″πταίσματος, καὶ ᾧ βοηθὸς εἶναι ἐτάχθης, τούτου ἐπίβουλος γίνῃ, καὶ διὰ μικρᾶς βρώσεως τῆς εὐνοίας τῆς παρὰ τοῦ θεοῦ ἀλλοτριοῖς κἀκεῖνον μετὰ σαυτῆς; ποία μανίας ὑπερβολὴ εἰς ″ταύτην σε τὴν τόλμαν ἤγαγεν; οὐκ ″ἤρκει σοι τὸν ἀταλαίπωρον ζῆν βίον; τὸ σῶμα μὲν περικεῖσθαι, μηδενὸς δὲ δεῖσθαι τῶν σωματικῶν; τὸ πάντων τῶν ἐν τῷ παραδείσῳ ἀπολαύειν, πλὴν ἑνὸς ξύλου; τὸ πάντα τὰ ὁρώμενα ὑπὸ τὴν ἐξουσίαν εἶναι τὴν ὑμετέραν, καὶ τὴν κατὰ πάντων ἀρχὴν κεκτῆσθαι, ἀλλὰ ἀπατηθεῖσα ταῖς ἐλπίσι προσεδόκησας καὶ εἰς αὐτὴν τὴν ἀνωτάτω κορυφὴν ἥξειν; διὰ τοῦτο μαθήσῃ δι᾽ [αὐτῶν] τῶν πραγμάτων, ὅτι οὐ μόνον ἐκείνων οὐκ ἐπιτεύξῃ, ἀλλὰ καὶ πάντων τῶν ἤδη δεδομένων ἀποστερήσεις καὶ σαυτὴν καὶ τὸν ἄνδρα, καὶ εἰς τοσαύτην ἥξετε μεταμέλειαν, ὡς ὑμᾶς μὲν ἄπρακτα μεταγινώσκειν· τὸν δὲ πονηρὸν δαίμονα τὸν τὴν ὀλεθρίαν ταύτην συμβουλὴν εἰσαγαγόντα ″ἐπεγγελᾶν καὶ ἐπεμβαίνειν, ἅτε δὴ λοιπὸν κειμένοις, καὶ τὰ αὐτὰ ἐκείνῳ πεπονθόσι. καθάπερ γὰρ ἐκεῖνος τὰ ὑπὲρ τὴν ἀξίαν φρονήσας, καὶ τῆς παρασχεθείσης αὐτῷ ἀξίας ἐξεβλήθη, καὶ ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατηνέχθη· τὸ αὐτὸ δὴ καὶ ὑμᾶς ἐργάσασθαι ἐβουλήθη, καὶ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς εἰς τὸ τοῦ θανάτου ἐπιτίμιον ἀγαγεῖν, καὶ τὸν οἰκεῖον φθόνον ″πληρῶσαι· καθὼς καὶ σοφός τις ἔλεγε, Φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. καὶ ἔδωκέ, φησι, καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, πολλὴ καὶ τοῦ ἀνδρὸς ἡ ῥαθυμία. εἰ γὰρ καὶ ὁμογενὴς ἦν καὶ γυνὴ ἦν, ἀλλ᾽ ἐχρῆν ἐναύλως ἔχοντα τοῦ θεοῦ τὴν ἐντολὴν, προτιμοτέραν ταύτην ποιήσασθαι τῆς ἀκαίρου ἐπιθυμίας ἐκείνης, καὶ μὴ κοινωνῆσαι τῆς παραβάσεως, μηδὲ διὰ βραχεῖαν ἡδονὴν τῶν τοσούτων ἀγα-

γρ. δεδωρημένον;
γρ. προσήχθης. ἄλλ. πορίχθης
γρ. ἀξίας L.
γρ. πλάσματος
γρ. τοσαύτην
γρ. ἤρκεσεν
γρ. ἐπιγελᾶν
γρ. ἀποπληρῶσαι.
Σοφ. β. κδ.

φθῶν ἑαυτὸν ἀποστερῆσαι, καὶ προσκρούσαι τῷ " οὕτως εὐεργέτῃ, καὶ τοσαύτην φιλοτιμίαν ἐπιδειξαμένῳ, καὶ οὕτως ἀνώδυνον καὶ μόχθου παντὸς ἀπηλλαγμένον βίον χαρισαμένῳ. μὴ γὰρ οὐκ ἐξῆν τῶν ἄλλων ἁπάντων τῶν ἐν τῷ παραδείσῳ μετὰ δαψιλείας ἀπολαύειν; τίνος ἕνεκεν οὕτως εὔκολον οὖσαν τὴν ἐντολὴν φυλάξαι οὐδὲ αὐτὸς ἐβουλήθης; ἀλλ' ἴσως ἀκούσας παρὰ τῆς γυναικὸς τῆς ὀλεθρίου συμβουλῆς τὴν ὑπόσχεσιν, καὶ τῇ ἐλπίδι καὶ αὐτὸς φυσηθεὶς, ἑτοίμως ἐκοινώνησας τῆς βρώσεως. διὰ τοῦτο καὶ τὸ ἐπιτίμιον ἀμφοτέρους διαδέξεται, καὶ τῶν πραγμάτων ἡ πεῖρα διδάξει ὑμᾶς μὴ τοῦ θεοῦ ἀξιοπιστοτέραν ἡγεῖσθαι τὴν τοῦ πονηροῦ δαίμονος συμβουλήν. καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον, καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν. (ζήτημα μέγιστον ἡμῖν ἐντεῦθεν τίκτεται), ὅπερ πρώην ὑπεσχόμην τῇ ὑμετέρᾳ ἀγάπῃ. δικαίως γὰρ ἄν τις ἔροιτο, τίνα ἰσχὺν εἶχεν ἐκεῖνο τὸ ξύλον, ὥστε τὴν ἐξ αὐτοῦ βρῶσιν τοὺς ὀφθαλμοὺς αὐτῶν διανοῖξαι, καὶ διατί γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται. καὶ, εἰ βούλεσθε, ἀνάσχεσθε. μικρὰ γὰρ [ὑμῖν] τὰ περὶ τούτου διαλεχθῆναι βούλομαι, καὶ διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὅτι εἰ βουληθείημεν εὐγνωμόνως δέχεσθαι τὰ ἐν τῇ θείᾳ γραφῇ λεγόμενα, οὐδὲν ἡμῖν τῶν εἰρημένων δυσχερὲς φανεῖται. οὐδὲ γὰρ ἡ ἐκ τοῦ ξύλου βρῶσις αὐτῶν τοὺς ὀφθαλμοὺς διήνοιξε (καὶ γὰρ καὶ πρὸ τῆς βρώσεως ἔβλεπον) ἀλλ' ἐπειδὴ ἡ τούτου " βρῶσις παρακοῆς ἦν ὑπόθεσις, καὶ τῆς παρὰ τοῦ θεοῦ δοθείσης ἐντολῆς παράβασις, δι' ἣν αἰτίαν λοιπὸν καὶ τὴν δόξαν τὴν περιστέλλουσαν αὐτοὺς ἀφῃρέθησαν, ἀναξίους ἑαυτοὺς τῆς τιμῆς τῆς τοσαύτης καταστήσαντες, διὰ τοῦτο τῇ οἰκείᾳ συνηθείᾳ κατακολουθοῦσα ἡ θεία γραφή φησιν, ἔφαγον καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ " ἐπέγνωσαν ὅτι γυμνοὶ ἦσαν. διὰ τὴν παράβασιν τῆς ἐντολῆς γυμνωθέντες τῆς ἄνωθεν ῥοπῆς, αἴσθησιν λαμβάνουσι καὶ τῆς αἰσθητῆς " γυμνότητος, ἵνα διὰ τῆς καταλαβούσης αὐτοὺς αἰσχύνης γνῶσιν ἀκριβῶς, εἰς οἷον αὐτοὺς ὄλισθον ἤγαγε τὸ παρακινῆσαι τὴν ἐντολὴν τοῦ " δεσπότου. οἱ γὰρ πρὸ τούτου τοσαύτης παρρησίας ἀπολαύοντες, καὶ οὐδὲ εἰδότες ὅτι γυμνοὶ τυγχάνουσιν (οὐδὲ γὰρ ἦσαν γυμνοί· ἡ γὰρ ἄνωθεν δόξα παντὸς ἱματίου μᾶλλον αὐτοὺς περιέσκεπε) μετὰ τὴν βρῶσιν, οὐκ ἔτι, μετὰ τὴν παράβασιν τῶν προσταχθέντων, εἰς τοσαύτην ταπεινότητα κατηνέχθησαν, ὡς καὶ σκέπην λοιπὸν ἐπιζητεῖν, διὰ τὸ μὴ φέρειν τὴν αἰσχύνην. ἡ γὰρ παράβασις τῆς ἐντολῆς ἐπεισελθοῦσα, τὸ ἱμάτιον ἐκεῖνο τὸ καινὸν καὶ παράδοξον, τὸ τῆς δόξης λέγω καὶ τῆς ἄνωθεν εὐνοίας, ὅπερ ἦσαν ἠμφιεσμένοι, περιελοῦσα καὶ τῆς γυμνότητος αἴσθησιν παρέσχε, καὶ αἰσχύνην ἄφατον περιέβαλε.

γρ. οὕτω τῷ εὐεργέτῃ. ἀλλ. τοσούτῳ εὐεργέτ.

γρ. γνῶσις

γρ. ἔγνωσαν

γρ. γυμνότητος,

γρ. θεοῦ

Καὶ ἔρραψαν, φησὶ, φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

Εννόησόν μοι, ἀγαπητὲ, ἀπὸ ποταποῦ ὕψους πῶς εἰς " βαθὺν κρημνὸν αὐτοὺς κατήγαγεν ἡ παρὰ τοῦ διαβόλου συμβουλή. οἱ γὰρ [πρὸ τούτου] τοσαύτῃ δόξῃ περιεσταλμένοι, νῦν φύλλα συκῆς ῥάπτουσι καὶ ποιοῦσιν ἑαυτοῖς περιζώματα. τοῦτο τῆς τοῦ διαβόλου ἀπάτης τὸ κέρδος, αὕτη τῆς " συμβουλίας ἐκείνου ἡ μηχανὴ, τὸ μὴ μόνον τὰ μείζονα μὴ προξενῆσαι, ἀλλὰ καὶ τῶν ὄντων γυμνὸν καὶ ἔρημον ἀποφῆναι. ἐπεὶ οὖν ἡ τοιαύτη πρόφασις ἡ τῆς βρώσεως τὴν παρακοὴν εἰργάσατο, διὰ τοῦτό φησιν ἡ γραφὴ, καὶ ἔφαγον καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, οὐ περὶ τῶν αἰσθητῶν ὀφθαλμῶν φάσκουσα, ἀλλὰ περὶ τῆς κατὰ διάνοιαν αἰσθήσεως. ἐπειδὴ γὰρ παρέβησαν τὰ προστεταγμένα, αἰσθέσθαι αὐτοὺς λοιπὸν ἐποίησεν ὧν πρότερον οὐκ ἐλάμβανον αἴσθησιν, διὰ τὴν εὔνοιαν ἣν περὶ αὐτοὺς ὁ δεσπότης ἐπεδείκνυτο. ὅταν οὖν ἀκούσῃς ὅτι διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, τοῦτο νόει, ὅτι παρεσκεύασεν αὐτοὺς αἴσθησιν λαβεῖν

γρ. βαθὺ

γρ. συμβουλῆς

βεῖν λοιπὸν τῆς γυμνότητος, καὶ τῆς ἐκπτώσεως τῆς δόξης, ἧς πρὸ τῆς βρώσεως ἀπήλαυον. ὅτι δὲ τοῦτο τῆς γραφῆς ἐστὶ τὸ ἔθος, ἄκουε αὐτῆς καὶ ἀλλαχοῦ λεγούσης. ἡνίκα γὰρ ἡ παιδίσκη τῆς Σάῤῥας ἀποδιδράσκουσα τὴν δεσπότιν ἐπλανᾶτο, ῥίψασα τὸ παιδίον πλησίον μιᾶς ἐλάτης, ἀπὸ διαστήματος περιεσκόπει τούτου τὴν τελευτήν, καί φησι, Διήνοιξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς τῆς Ἄγαρ, οὐκ ἐπειδὴ πρὸ τούτου οὐκ ἔβλεπεν, ἀλλ᾽ ὅτι τὴν διάνοιαν αὐτῆς διήγειρεν. ὁρᾷς ὅτι τὸ διήνοιξεν οὐ περὶ τῶν σωματικῶν ὀφθαλμῶν λέγει, ἀλλὰ περὶ τῆς αἰσθήσεως τῆς κατὰ διάνοιαν. τὸ αὐτὸ ἂν εἴποιμεν καὶ περὶ τοῦ ἑτέρου ζητήματος τοῦ ἐντεῦθεν ἀνακύπτοντος. φασὶ γάρ, διατί τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται; καὶ γὰρ πολλοὶ τῶν φιλονείκως διακειμένων λέγειν ἐπιχειροῦσιν, ὅτι μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὴν γνῶσιν ἔσχεν ὁ Ἀδὰμ τοῦ διακρίνειν τὸ καλὸν καὶ τὸ χεῖρον. τοῦτο δὲ τῆς ἐσχάτης ἂν εἴη ἀνοίας. διὰ τοῦτο γὰρ πρώην ταῦτα προορῶντες, τοσαῦτα περὶ τῆς σοφίας τῆς παρὰ τοῦ θεοῦ παρασχεθείσης τῷ ἀνθρώπῳ διεξήλθομεν, δεικνύντες ταύτην ἐκ τῆς τῶν ὀνομάτων θέσεως, ″ἣν τοῖς θηρίοις πᾶσι, καὶ τοῖς πετεινοῖς, καὶ τοῖς ἀλόγοις ἐπέθηκε· καὶ ὅτι μετὰ τῆς ἀφάτου ταύτης σοφίας, καὶ προφητικοῦ χαρίσματος ἦν ἠξιωμένος, ἵνα ″μηδενὶ ἐξῇ τοῦτο λέγειν. ὁ τοίνυν καὶ τὰς προσηγορίας ἐπιθείς, καὶ προφητεύσας τὴν οὕτω θαυμαστὴν προφητείαν περὶ τῆς γυναικός, καθάπερ ἤδη εἰρήκαμεν, πῶς ἠγνόει, τί μὲν καλόν, τί δὲ πονηρόν. εἰ γὰρ δὴ τοῦτο καταδεξόμεθα (ὃ μὴ γένοιτο) πάλιν εἰς τὸν δημιουργὸν τὰ τῆς βλασφημίας μετενεχθήσεται. πῶς γὰρ καὶ ἐνετέλλετο ἀγνοοῦντι, ὅτι κακὸν ἦν ἡ παράβασις; ἀλλ᾽ οὐκ ἔστι τοῦτο, μὴ γένοιτο· ἀλλ᾽ ᾔδει σαφῶς. διὰ γὰρ τοῦτο ἐξ ἀρχῆς αὐτεξούσιον τουτὶ τὸ ζῶον κατεσκεύασεν. εἰ γὰρ μὴ τοῦτο ἦν, οὔτε παραβάντα τὴν ἐντολὴν κολασθῆναι ἔδει, οὔτε φυλάξαντα ἀποδοχῆς ἀξιωθῆναι. ὅτι γὰρ διὰ τὴν παράβασιν θνητὸς γέγονε, δῆλον καὶ ἐξ αὐτῆς τῆς ἐντολῆς, καὶ ἐκ τῶν μετὰ ταῦτα συμβάντων. ″ἀκούεις αὐτῆς τῆς γυναικὸς λεγούσης τῷ ὄφει, ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ μὴ φάγεσθε ἀπ᾽ αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. ὥστε πρὸ τῆς ″βρώσεως ἀθάνατοι ἐτύγχανον. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν μετὰ τὴν βρῶσιν ἐν τάξει τιμωρίας αὐτοῖς ἐπήγαγε τὸν θάνατον. τίς ἂν οὖν ἀνάσχοιτο τῶν λέγειν βουλομένων, ὅτι μετὰ τὴν ἀπὸ τοῦ ξύλου βρῶσιν ἔσχε τὴν γνῶσιν τοῦ τε καλοῦ καὶ τοῦ πονηροῦ ὁ ἄνθρωπος, ὁπότε καὶ πρὸ τῆς βρώσεως τοσαύτης ἦν σοφίας πεπληρωμένος, καὶ μετὰ τῆς σοφίας καὶ προφητικοῦ χαρίσματος ἠξιωμένος; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, αἶγας μὲν καὶ πρόβατα καὶ πᾶσαν τὴν τῶν ἀλόγων φύσιν εἰδέναι, ποία μὲν βοτάνη πρὸς τροφὴν ἐπιτηδεία, ποία δὲ ὀλεθρία, καὶ τῶν μὲν ἀπέχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς, ταῖς δὲ ἐπιτρέχειν· τὸν δὲ ἄνθρωπον, τὸ λογικὸν ζῶον, ἀγνοεῖν τί μὲν καλόν, τί δὲ πονηρόν; ἀλλ᾽ ἰδού, φησι, ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ αὐτὸ ἐκάλεσεν ἡ γραφή. οἶδα κἀγώ. ἀλλ᾽ ἐὰν τὰ ἰδιώματα τῆς θείας γραφῆς μαθεῖν βουληθῇς, εἴσῃ τίνος ἕνεκεν τὴν ὀνομασίαν ταύτην ἐπέθηκε τῷ ξύλῳ. οὐ γὰρ ἐπειδὴ αὐτὸ τὴν γνῶσιν παρεῖχεν οὕτως ἐκαλεῖτο, ἀλλ᾽ ἐπειδὴ περὶ αὐτὸ γέγονεν ἡ παράβασις τῆς ἐντολῆς, καὶ ἐξ ἐκείνου λοιπὸν τῆς ἁμαρτίας ″ἐπεισῆλθεν ἡ γνῶσις καὶ ἡ αἰσχύνη, διὰ τοῦτο οὕτως ″ἐκέκλητο. ἔθος γὰρ τῇ θείᾳ γραφῇ ἀπὸ τῶν συμβαινόντων πραγμάτων καὶ τὴν ὀνομασίαν τοῖς τόποις ″ἐπιτιθέναι, ἔνθα ἂν συμβαίνῃ αὐτὰ τὰ πράγματα. διὰ τοῦτο οὖν καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν ἡ θεία γραφή, ἐπειδὴ περὶ αὐτὸ ἦν ἡ παράβασις καὶ ἡ φυλακὴ τῆς ἐντολῆς. ὁ γὰρ φιλάνθρωπος δεσπότης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὸν ἄνθρωπον, καὶ διδάξαι βουλόμενος αὐτόν, ὅτι ἔχει δημιουργὸν [τε] καὶ ποιητὴν τὸν τὰ ὁρώμενα πάντα παραγαγόντα,

Γεν. κα. 19.

γρ. ἧς

γρ. μηδ᾽ ἐξῇ ποτε

γρ. ἀκούει γὰρ

γρ. παραβάσεως

γρ. εἰσῆλθεν

γρ. ἐκαλεῖτο

γρ. τιθέναι

παραγαγόντα, καὶ αὐτὸν διαπλάσαντα, διὰ τῆς "μικρᾶς ταύτης ἐντολῆς τὴν οἰκείαν δεσποτείαν αὐτῷ δεικνύναι ἐβούλετο. καὶ ὡσανεὶ δεσπότης φιλότιμος οἶκον μέγαν καὶ θαυμαστὸν τινὶ παρεσχηκὼς πρὸς ἀπόλαυσιν, οὐ τὴν ἀξίαν τιμὴν, ἀλλὰ βραχύ τι μέρος λαμβάνειν βούλεται, ὥστε καὶ αὐτῷ τὰ τῆς δεσποτείας φυλάττεσθαι, κἀκεῖνον ἀκριβῶς εἰδέναι ὡς οὐ τῆς κτήσεως δεσπότης ἐστὶν, ἀλλὰ χάριτι καὶ φιλοτιμίᾳ τῆς χρήσεως ἀπολαύει· οὕτω δὴ καὶ ὁ δεσπότης ὁ ἡμέτερος πάντα τὰ ὁρώμενα "ἐμπιστεύσας τῷ ἀνθρώπῳ, καὶ τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν, καὶ πάντων τῶν ἐν αὐτῷ παρεσχηκὼς τὴν ἀπόλαυσιν, ἵνα μὴ κατὰ μικρὸν ὑποσυρεὶς τὴν διάνοιαν, νομίσῃ αὐτόματα εἶναι τὰ ὁρώμενα, καὶ πλέον τι τῆς οἰκείας ἀξίας φαντασθῇ, κελεύει τοῦ ἑνὸς ἀπέχεσθαι ξύλου, σφοδρὸν τὸ ἐπιτίμιον ὁρίσας εἰ παραβαίη, ἵνα εἰδέναι ἔχῃ, ὡς ὑπὸ δεσπότην ἐστὶ [καὶ δημιουργὸν] καὶ ὅτι καὶ τῶν λοιπῶν μετέχει διὰ τὴν φιλοτιμίαν τοῦ δεσπότου. ἀλλ' ἐπειδὴ πολλῇ τῇ ἀπροσεξίᾳ χρησάμενος, ἅμα τῇ γυναικὶ εἰς τὸν ὄλισθον τοῦτον κατέπεσεν ἐκ τοῦ παραβῆναι τὴν δοθεῖσαν ἐντολὴν καὶ τοῦ ξύλου ἀπογεύσασθαι, διὰ τοῦτο οὖν ξύλον αὐτὸ γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν· οὐκ ἐπειδὴ περὶ τούτου ἠγνόει τὸ καλὸν καὶ τὸ πονηρὸν (οὕτω γὰρ οὐκ ἠγνόει, ὡς τὴν γυναῖκα πρὸς τὸν ὄφιν διαλεγομένην εἰπεῖν, ὅτι εἶπεν ὁ θεὸς οὐ φάγεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε· ὥστε ᾔδει ὅτι τιμωρία ὁ θάνατος ἦν, εἰ παραβῶσι τὴν ἐντολὴν) ἀλλ' ἐπειδὴ μετὰ τὴν τούτου βρῶσιν καὶ τῆς ἄνωθεν ἐγυμνώθησαν δόξης, καὶ τῆς αἰσθητῆς γυμνώσεως πεῖραν ἔλαβον, διὰ τοῦτο γνωστὸν αὐτὸ καλοῦ καὶ πονηροῦ ὠνόμασεν, ἐπειδὴ περὶ αὐτὸ, ὡς ἂν εἴποι τις, ἡ γυμνασία ἦν τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς.

γρ. μικρᾶς

γρ. πιστεύσας

ΗΘΙΚΟΝ

Ἐμάθετε τίνος ἕνεκεν εἶπεν, ὅτι διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν· ἔγνωτε τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον. ἐννόησον γὰρ ὅσης αἰσχύνης πλήρεις γεγόνασι λοιπὸν μετὰ τὴν τούτου βρῶσιν, παραβάντες τὴν ἐντολὴν τοῦ δεσπότου. ἔρραψαν γὰρ φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. ὅρα ἀφ' οἵας δόξης εἰς οἵαν εὐτέλειαν κατηνέχθησαν. οἱ πρὸ τούτου καθάπερ ἐπίγειοι ἄγγελοι διάγοντες, τὴν ἀπὸ τῶν φύλλων σκέπην ἑαυτοῖς ἐπινοοῦσι. τοσοῦτόν ἐστιν ἁμαρτία κακόν. οὐ μόνον γὰρ τῆς ἄνωθεν ἡμᾶς εὐνοίας ἀφίστησιν, ἀλλὰ καὶ εἰς πολλὴν ἡμᾶς αἰσχύνην καὶ ταπεινότητα κατάγει, καὶ τῶν ἤδη ὑπηργμένων ἀγαθῶν ἀποστερήσασα, πᾶσαν ἡμῶν ἀφαιρεῖται τὴν παρρησίαν. ἀλλ' ἵνα μὴ δι' ὅλου σκυθρωπὸν ποιώμεθα τὸν λόγον τὴν ἁμαρτίαν περιστρέφοντες τὴν ἀπὸ τῆς τοῦ ξύλου βρώσεως καὶ τῆς παρακοῆς καταβαλοῦσαν τὸν ἄνθρωπον, φέρε, εἰ δοκεῖ, ἀπὸ τοῦ ξύλου τούτου ἐφ' ἕτερον μεταγάγωμεν τὸν λόγον, ἀπὸ τοῦ ξύλου τούτου ἐπὶ τὸ ξύλον τοῦ σταυροῦ· καὶ ἴδωμεν τίνα μὲν τοῦτο εἰσήγαγε τὰ κακὰ, τίνα δὲ ἐκεῖνο προεξένησε τὰ ἀγαθά· μᾶλλον δὲ οὐδὲ τὸ ξύλον εἰσήγαγε τὰ κακὰ, ἀλλ' ἡ προαίρεσις ἡ ῥᾴθυμος καὶ ἡ καταφρόνησις, ἣν περὶ τὴν ἐντολὴν ἐπεδείξατο. ἐκεῖνο τὸ ξύλον θάνατον "ἐπεισήγαγε (μετὰ γὰρ τὴν παράβασιν ὁ θάνατος" εἰσῆλθεν) ἀλλὰ τοῦτο τὴν ἀθανασίαν ἐχαρίσατο· ἐκεῖνο παραδείσου ἐξέβαλε, τοῦτο εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν· ἐκεῖνο διὰ μίαν παράβασιν τοσαύτῃ τιμωρίᾳ ὑπεύθυνον τὸν Ἀδὰμ κατέστησε, τοῦτο τὰ μυρία [ἡμῶν] φορτία τῶν ἁμαρτημάτων ἀφανίσαν τὴν πρὸς τὸν δεσπότην "ἡμῖν παρρησίαν δεδώρηται. "ἴδητε ξύλου καὶ ξύλου διαφοράν· εἴδετε διαβόλου κακουργίαν, καὶ ἀνθρώπου ῥᾳθυμίαν, καὶ "δεσπότου φιλανθρωπίαν. καθοπλίσωμεν τοίνυν, παρακαλῶ, τὴν ὑμετέραν ἀγάπην, ἑαυτοὺς τῷ ὅπλῳ τοῦ ζωοποιοῦ τούτου ξύλου, καὶ νεκρώσωμεν τὰ ψυχοφθόρα πάθη τῇ τούτου δυνάμει· καθὼς καὶ ὁ ἀπόστολος Παῦλος οὕτω πως φησιν, Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐ-

σταύρωσαν

γρ. εἰσήγαγε

γρ. ἐπεισῆλθεν

γρ. ἡμῖν

γρ. εἴδετε

γρ. θεοῦ

Γαλ. ε. κδ.

γρ. ἀναθήσαντες

ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ ὁλικῶς ″ ἀναθέντες ἑαυτοὺς τῷ Χριστῷ, ἀπενέκρωσαν πᾶσαν ἐπιθυμίαν ἄτοπον ἐπιγινομένην τῇ σαρκί, πρὸς τὸ λυμήνασθαι πάσας τὰς τῆς ψυχῆς ἐνεργείας. τούτοις οὖν καὶ ἡμεῖς κατακολουθοῦντες ἀνενέργητα ἡμῶν κατασκευάσωμεν τὰ μέλη πρὸς τὴν τυραννίδα τὴν ἐκ διαβολικῆς ἐνεργείας ἡμῖν ἐπανισταμένην· ἵνα καὶ ἐν τῷ παρόντι βίῳ ἀταράχως διαπλεύσωμεν τὸ ζαλῶδες τοῦτο καὶ ἐπικίνδυνον πέλαγος, καὶ εἰς τοὺς ″ εὐδίνους λιμένας καταντήσαντες τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐπιτυχεῖν ἀξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα σὺν τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. γαληνές. ἀλλ. εὐδιεινὸς

Λογ. ιζ. ΚΑΙ ΗΚΟΥΣΑΝ ΤΗΣ ΦΩΝΗΣ ΚΥΡΙΟΥ τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν.

Ἱκανῶς, οἶμαι, κατὰ δύναμιν τὴν ἡμετέραν πρῴην τὴν περὶ τοῦ ξύλου ἑρμηνείαν διεξήλθομεν, διδάξαντες τὴν ὑμετέραν ἀγάπην, τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ αὐτὸ ἐκάλεσεν ἡ θεία γραφή. διὸ βούλομαι σήμερον τοῖς ἑξῆς ἐπεξελθεῖν, ἵνα μάθητε τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ ὅσῃ κέχρηται συγκαταβάσει διὰ τὴν περὶ τὸ γένος τὸ ἡμέτερον κηδεμονίαν. πάντα γὰρ ἐποίησε καὶ ἐπραγματεύσατο, ὥστε τὸ ζῶον τοῦτο τὸ λογικὸν τὸ ὑπ' αὐτοῦ δημιουργηθὲν ἐν πάσῃ τιμῇ τυγχάνειν, καὶ κατὰ μηδὲν ἐλαττοῦσθαι τῆς τῶν ἀγγέλων διαγωγῆς, ἀλλὰ καὶ ἐν σώματι τὴν ἐκείνων ἀπάθειαν κεκτῆσθαι. ἐπειδὴ δὲ διὰ ῥαθυμίαν εἶδε παραβάντας ἀμφοτέρους τὰ ὑπ' αὐτοῦ προστεταγμένα, καὶ ταῦτα προδιαστείλαντος αὐτοῦ διὰ τῆς ἀπειλῆς, καὶ ἀσφαλεστέρους αὐτοὺς ἐργασαμένου, οὐδὲ οὕτως ἵσταται τῆς φιλανθρωπίας τῆς ἑαυτοῦ, ἀλλὰ τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καθάπερ πατὴρ φιλόστοργος τὸν ἑαυτοῦ παῖδα ὁρῶν διὰ ῥαθυμίαν ἀνάξια τῆς ἑαυτοῦ εὐγενείας διαπραττόμενον, καὶ ἀπὸ τῆς ἀνωτάτω τιμῆς εἰς ἐσχάτην εὐτέλειαν ″ κατενεχθέντα, τοῖς πατρικοῖς σπλάγχνοις διαθερμαινόμενος οὐδὲ οὕτως αὐτὸν περιιδεῖν ἀνέχεται, ἀλλὰ πάλιν τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται, βουλόμενος κατὰ μικρὸν τῆς εὐτελείας ἐκείνης ἀπαλλάξαι, καὶ εἰς τὴν ἀρχαίαν ἀναγαγεῖν τιμήν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς οἰκτείρας τὸν ἄνθρωπον τῆς ἐπιβουλῆς, ″ ἣν ὑπέμεινε συναπατηθεὶς τῇ γυναικί, καὶ δεξάμενος τὴν τοῦ διαβόλου συμβουλὴν τὴν διὰ τοῦ ὄφεως, καθάπερ ἰατρὸς πρὸς ἀρρωστοῦντα καὶ κάμνοντα [καὶ κείμενον] καὶ δεόμενον πολλῆς τῆς θεραπείας καὶ τῶν τοῦ ἰατροῦ χειρῶν, παραγίνεται εὐθέως πρὸς αὐτόν. ἀλλ' ἵνα καὶ ἐξ αὐτῶν τῶν ῥημάτων μάθητε τὴν ἄφατον τοῦ θεοῦ συγκατάβασιν, ἀναγκαῖον ἀκοῦσαι τῶν ἀνεγνωσμένων.

γρ. κατενηνεγμένον,

γρ. τῆς

8 Καὶ ἤκουσάν, φησι, τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου.

Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα [παρὰ τῆς θείας γραφῆς] μηδὲ ταῖς λέξεσιν ἐναπομείνωμεν, ἀλλ' ἐννοῶμεν ὅτι διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν ἡ ταπεινότης τῶν λέξεων ἔγκειται, καὶ θεοπρεπῶς ἅπαντα γίνεται διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. ″ εἰπὲ γάρ μοι, εἰ βουληθείημεν τῇ προφορᾷ τῶν ῥημάτων κατακολουθῆσαι,

γρ. νῦν γὰρ βουληθείημεν

παρακολουθῆσαι, καὶ μὴ θεοπρεπῶς ἐκλαβεῖν τὰ λεγόμενα, πῶς οὐ πολλὰ ἕψεται τὰ ἄτοπα; ἰδοὺ γὰρ ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν ἀνεγνωσμένων σκοπήσωμεν. καὶ ἤκουσαν, φησι, τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν. τί λέγεις; ὁ θεὸς περιπατεῖ; καὶ πόδας αὐτῷ περιάπτομεν; καὶ οὐδὲν ὑψηλὸν ἐκ τούτου ἐννοήσομεν; οὐ περιπατεῖ ὁ θεός, μὴ γένοιτο. πῶς γὰρ ἂν ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, οὗ ὁ οὐρανὸς θρόνος, ἡ δὲ γῆ ὑποπόδιον, οὗτος τῷ παραδείσῳ ἐμπεριέχεται; καὶ τίς ταῦτα ἂν εἴποι τῶν νοῦν ἐχόντων; τί οὖν ἐστι τό, ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν; αἴσθησιν αὐτοῖς τοιαύτην ἠβουλήθη παρασχεῖν, ἵνα εἰς ἀγωνίαν αὐτοὺς ἐμβάλῃ· ὃ δὴ καὶ γέγονεν. ἐπειδὴ γὰρ τοιαύτην ἔσχον τὴν αἴσθησιν, ὡς τοῦ θεοῦ παραγενομένου κρύπτεσθαι ἐπιχειροῦσιν. ἐπεισῆλθε γὰρ ἡ ἁμαρτία καὶ ἡ παράβασις, καὶ κατεσκεδάσθη αὐτοῖς ἡ αἰσχύνη. ὁ γὰρ ἀδέκαστος δικαστής, τὸ συνειδὸς λέγω" κατεξανιστάμενον λαμπρᾷ τῇ φωνῇ ἀνεβόα καὶ κατηγόρει, καὶ ἐδείκνυ, καὶ ὡσανεὶ πρὸ τῶν ὀφθαλμῶν ὑπέγραφεν αὐτοῖς τῶν" ἁμαρτημάτων τὸ μέγεθος. διὰ τοῦτο γὰρ καὶ ὁ φιλάνθρωπος δεσπότης ἄνωθεν καὶ ἐκ προοιμίων διαπλάττων τὸν ἄνθρωπον, τὸ συνειδὸς αὐτῷ ἐγκατέθετο, κατήγορον ἀδιάλειπτον, παραλογισθῆναι μὴ δυνάμενον, μηδὲ ἀπάτην ὑπομεῖναί ποτε. ἀλλὰ κἂν πάντας ἀνθρώπους λαθεῖν τις δυνηθείη τὴν ἁμαρτίαν ἐργασάμενος, καὶ τὴν ἄτοπον πρᾶξιν ἐπιτελέσας, ἐκεῖνον τὸν κατήγορον λαθεῖν οὐ δύναται· ἀλλὰ περιέρχεται διηνεκῶς αὐτὸν ἔνδον ἔχων ἐνοχλοῦντα, καταξαίνοντα, μαστίζοντα, οὐδέποτε ἠρεμοῦντα· ἀλλὰ καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγρῷ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν συλλόγοις, καὶ ἐν τραπέζῃ, καὶ καθεύδοντι καὶ" διανισταμένῳ ἐπιτιθέμενον, καὶ δίκην ἀπαιτοῦντα τῶν πεπλημμελημένων, καὶ ὑπ' ὄψιν ἄγοντα καὶ τῶν ἡμαρτημένων τὴν ἀτοπίαν, καὶ τὴν ἑπομένην αὐτῷ κόλασιν· καὶ καθάπερ ἰατρὸς ἄριστος, οὐ παύεται τὰ παρ' ἑαυτοῦ φάρμακα ἐπιτιθείς, κἂν ἴδῃ διακρουόμενον τὸν ἄρρωστον, οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ διηνεκῆ τὴν ἐπιμέλειαν ποιεῖται. τοῦτο γὰρ αὐτοῦ ἔργον τὸ ἀδιάλειπτον, ὑπόμνησιν εἰσάγειν, καὶ μὴ συγχωρεῖν αὐτῷ λήθην ποτὲ ποιήσασθαι τῶν εἰργασμένων, ἀλλ' ὑπ' ὄψιν αὐτὰ τιθέναι, ἵνα κἂν ταύτῃ ὀκνηροτέρους ἡμᾶς ἐργάσηται πρὸς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. εἰ γὰρ καὶ τὴν ἐντεῦθεν ἔχοντες συμμαχίαν, καὶ τὴν ἀπὸ τοῦ συνειδότος βοήθειαν, καὶ τὸν σφοδρὸν τοῦτον κατήγορον ἐπικείμενον καὶ μαστίζοντα ἡμῶν τὸ συνειδός, καὶ καταξαίνοντα τὴν καρδίαν, καὶ δημίου παντὸς βαρύτερον ἐπεμβαίνοντα, οὐδ' οὕτως οἱ πολλοὶ τῆς ῥᾳθυμίας περιγινόμεθα· εἰ μὴ ταύτην εἴχομεν τὴν βοήθειαν, ποῦ οὐκ ἂν ταχέως ἐξωκείλαμεν; διά τοι τοῦτο καὶ ὁ πρωτόπλαστος νῦν αἴσθησιν λαβὼν τοιαύτην καὶ τὴν παρουσίαν τοῦ δεσπότου ἐννοήσας, * κρύπτεται. τίνος ἕνεκεν, εἰπέ μοι; ἐπειδὴ ἑώρα σφοδρὸν αὐτῷ τὸν κατήγορον ἐφεστῶτα, τὸ συνειδὸς λέγω. οὐδένα γὰρ ἕτερον εἶχε τὸν διελέγχοντα καὶ μάρτυρα ὄντα τῶν ἐπταισμένων, ἀλλ' ἐκεῖνον μόνον, ὃν ἔνδοθεν περιέφερεν. ἄλλως δὲ μετὰ τῆς τοῦ συνειδότος κατηγορίας καὶ ἡ ἀφαίρεσις τῆς δόξης τῆς πρότερον αὐτοὺς καθάπερ ἱματίῳ λαμπρῷ περιστελλούσης, ἐδίδασκεν αὐτοὺς διὰ τῆς γυμνότητος, τῆς ἁμαρτίας ἧς εἰργάσαντο τὸ μέγεθος. ἐπεὶ οὖν μετὰ τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν αἰσχύνῃ περιεβλήθησαν, κρύπτεσθαι ἐπεχείρουν. ἤκουσαν γάρ, φησι, τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ παραδείσου. οὐδὲν ἁμαρτίας χεῖρον, ἀγαπητέ. αὕτη γὰρ ἐπεισελθοῦσα οὐ μόνον αἰσχύνης ἡμᾶς πληροῖ, ἀλλὰ καὶ ἀνοήτους ἐργάζεται τοὺς πρότερον συνετούς, καὶ σοφίας πολλῆς

γρ. κατεξανιστάμενος

γρ. ἁμαρτηθέντων

γρ. ἀνισταμένῳ

* εὐθέως

λῆς πεπληρωμένους. ἐννόησον γάρ μοι, πόσῃ τῇ ἀνοίᾳ λοιπὸν κέχρηται ὁ τοσαύτης μετέχων σοφίας πρὸ τούτου, ὁ διὰ τῶν πραγμάτων ἡμῖν τὴν παρασχεθεῖσαν σοφίαν αὐτῷ ἐπιδεικνύμενος, ὁ τοσαῦτα προφητεύσας. ἀκούσας, φησὶ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν, ἐκρύβησαν αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. πόσης οὐκ ἂν εἴη τοῦτο ἀνοίας; τὸν θεὸν, τὸν πανταχοῦ παρόντα, τὸν δημιουργὸν, τὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγόντα, τὸν τὰ λανθάνοντα ἐπιστάμενον, τὸν Πλάσαντα κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων, καὶ συνιέντα εἰς πάντα τὰ ἔργα αὐτῶν, Τὸν ἐτάζοντα καρδίας καὶ νεφροὺς, Τὸν καὶ αὐτὰ τὰ κινήματα τῆς καρδίας ἡμῶν ἐπιστάμενον, τοῦτον κρύπτεσθαι ἐπεχείρουν; ἀλλὰ μὴ θαυμάσῃς ἀγαπητέ. τοιοῦτον γὰρ τῶν ἁμαρτανόντων τὸ ἔθος· κἂν μὴ δύνωνται λανθάνειν, ὅμως σπουδάζουσι λανθάνειν. ἐπεὶ γὰρ οὐ φέροντες τὴν αἰσχύνην, ἣν μετὰ τὴν ἁμαρτίαν ἑαυτοὺς περιέβαλον γυμνωθέντες τῆς ἀφθάρτου δόξης ἐκείνης, τοῦτο ἐποίουν, ἐννόει καὶ ποῦ κρύπτονται. ἐν μέσῳ τοῦ παραδείσου. καθάπερ γὰρ μαστιγίαι τινὲς καὶ οἰκέται ἀγνώμονες οὐ δυνάμενοι λαθεῖν τὸν οἰκεῖον δεσπότην ὧδε κἀκεῖσε περὶ τὰς γωνίας τοῦ οἴκου περιτρέχειν ἐπιχειροῦσι, τοῦ φόβου κατασείοντος αὐτῶν τὴν διάνοιαν· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι οὐδεμίαν εὑρίσκοντες ἀποφυγὴν ἐν αὐτῷ τῷ οἴκῳ περιστρέφονται, λέγω δὴ ἐν τῷ παραδείσῳ. οὐχ ἁπλῶς δὲ πρόσκειται ὁ καιρός. ἤκουσαν γὰρ, φησὶ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν· ἀλλ' ἵνα μάθῃς τοῦ δεσπότου τὴν φιλανθρωπίαν, ὅτι οὐδὲ τὸ τυχὸν ἀνεβάλλετο, ἀλλ' εὐθέως '' οἶδε τὸ γεγονὸς, καὶ τοῦ ἕλκους τὸ μέγεθος, καὶ ἐπὶ τὴν ἰατρείαν ἔσπευσεν, ἵνα μὴ νομὴν ἐργασάμενον τὸ ἕλκος ἀνίατον τὸ τραῦμα κατασκευάσῃ. διὰ τοῦτο τοίνυν προκαταλαμβάνει ἐπείγεται) καὶ εὐθέως πρὸς τὴν νομὴν τοῦ ἕλκους ἵσταται, καὶ οὐδὲ πρὸς βραχὺ '' κατέλειπεν ἀπρονόητον, τὴν οἰκείαν ἀγαθότητα μιμούμενος. καὶ γὰρ τοσαύτην ἐπεδείξατο τὴν μανίαν ὁ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, ὁ ἀεὶ βασκαίνων τοῖς ἡμετέροις ἀγαθοῖς, ὡς ἐξ αὐτῶν τῶν προοιμίων τὴν ἐπιβουλὴν ἐργάσασθαι, καὶ διὰ τῆς ὀλεθρίου συμβουλῆς, τῆς θαυμαστῆς αὐτοὺς ἐκείνης διαγωγῆς ἀποστερῆσαι. ἀλλ' ὁ εὐμήχανος θεὸς, ὁ κατὰ τὴν αὐτοῦ σοφίαν τὰ ἡμέτερα οἰκονομῶν, ὁρῶν μὲν καὶ τοῦ διαβόλου τὴν γεγενημένην κακουργίαν, καὶ τοῦ ἀνθρώπου δὲ τὴν ῥαθυμίαν, δι' ἧς εἰς τοσαύτην αἰσχύνην ἑαυτὸν περιέβαλε συναπατηθεὶς τῇ γυναικὶ, ἐφίσταται, καὶ καθάπερ δικαστὴς ἥμερος καὶ φιλάνθρωπος, καθίζει δικαστήριον φόβου καὶ φρίκης γέμον, καὶ τὴν ἐξέτασιν μετὰ ἀκριβείας ποιεῖται, ἡμᾶς διὰ τούτου παιδεύων μὴ πρότερον τοὺς ὁμοφυεῖς καταδικάζειν, πρὶν ἂν ἀκριβῆ τὴν ἐξέτασιν ποιησώμεθα. ἀκούσωμεν τοίνυν, εἰ δοκεῖ, τίνα μὲν ὁ δικαστὴς ἐπερωτᾷ, τίνα δὲ οἱ κατάδικοι ἀποκρίνονται, καὶ ποίας τιμωρίας δέχονται, καὶ ποίᾳ καταδίκῃ ὑπεύθυνος γίνεται ὁ τὴν τοσαύτην ἐπιβουλὴν εἰς αὐτοὺς ἐργασάμενος. ἀλλὰ συντείνατέ μοι, παρακαλῶ, τὴν διάνοιαν, καὶ μετὰ πολλοῦ τοῦ φόβου τοῖς λεγομένοις προσέχετε. εἰ γὰρ δικαστὴν ὁρῶντες [ἐπίγειον] ἐφ' ὑψηλοῦ βήματος καθήμενον, καὶ τοὺς καταδίκους εἰς μέσον ἄγοντα, καὶ καταξαίνοντα, καὶ τιμωρούμενον, μετὰ πολλοῦ τοῦ δέους παρεστήκαμεν, ἀκοῦσαι βουλόμενοι τί μὲν ὁ δικαστὴς λέγει, τί δὲ ὁ ὑπεύθυνος ἀποκρίνεται· πολλῷ μᾶλλον νῦν τοῦτο ποιεῖν ἡμᾶς δίκαιον, ὁρῶντας τὸν δημιουργὸν τῆς φύσεως δίκην εἰσπραττόμενον τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας. ἀλλ' ἐὰν προσέχητε μετὰ ἀκριβείας, ὄψεσθε πόσον τὸ μέσον τῆς τοῦ θεοῦ φιλανθρωπίας, καὶ τῆς τῶν ἀνθρώπων περὶ τοὺς ὁμοφυεῖς αὐστηρότητος.

Ψαλ. λβ. ιε.
Ψαλ. ζ. ι.
Ψαλ. μγ. κγ.
γρ. εἶδε
γρ. κατέλιπεν

Καὶ

9 Καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδάμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ ποῦ εἶ;

Ἐξ αὐτῆς τῆς ἐρωτήσεως ἄξιον ἐκπλαγῆναι τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, οὐχ ὅτι ἐκάλεσε μόνον, ἀλλ' ὅτι δι' ἑαυτοῦ ἐκάλεσεν, ὅπερ ἄνθρωποι ποιῆσαι οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπὶ τῶν ὁμογενῶν, καὶ τῆς αὐτῆς αὐτοῖς φύσεως κοινωνούντων. ἴστε γὰρ ὅτι ἐπειδὰν ἐφ' ὑψηλοῦ τοῦ βήματος καθήμενοι δίκην εἰσπράττωνται τοὺς τὰ φαῦλα ἐργασαμένους, οὐκ ἀξιοῦσιν αὐτοὺς τῆς οἰκείας ἀποκρίσεως, [καὶ] διὰ τοῦτο δεικνύντες αὐτοῖς, ὅσῃ ἀτιμίᾳ ἑαυτοὺς περιέβαλον διὰ τῆς τῶν πονηρῶν πράξεων ἐργασίας· ἀλλ' ὁ μὲν δικαστὴς ἀποκρίνεται, ἕτερος δέ τις ἔσω διαβιβάζει τὰ παρὰ τοῦ δικαστοῦ τῷ ὑπευθύνῳ, καὶ τὰ παρ' ἐκείνου πάλιν διαπορθμεύει τῷ δικαστῇ. καὶ τοῦτον ἄν ἴδοι τις τῶν δικαζόντων πανταχοῦ τὸ ἔθος. ἀλλ' ὁ θεὸς οὐχ οὕτως. ἀλλὰ τί; αὐτὸς δι' ἑαυτοῦ καλεῖ. καὶ ἐκάλεσε, φησι, κύριος ὁ θεὸς τὸν Ἀδάμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ ποῦ εἶ; ὅρα πόση δύναμις ἐναπόκειται ἐν τῇ βραχείᾳ ταύτῃ λέξει. καὶ αὐτὸ μὲν δὴ τὸ καλέσαι πολλῆς καὶ ἀφάτου φιλανθρωπίας, καὶ τὸ τῷ κατῃσχυμμένῳ καὶ μηδὲ διᾶραι τὸ στόμα τολμῶντι, μηδὲ κινῆσαι γλῶτταν, ἀφορμὴν δοῦναι διὰ τῆς ἐρωτήσεως, πολλῆς ἀγαθότητος. τὸ δὲ καὶ λέγειν, ποῦ εἶ; πολλὴν ἔχει τὴν ἰσχὺν μετὰ τῆς φιλανθρωπίας. μονονουχὶ γὰρ αἰνίττεται αὐτὸν διὰ τούτου λέγοντα πρὸς αὐτόν, τί γέγονεν; ἑτέρωθί σε κατέλιπον, καὶ ἑτέρωθι νῦν εὑρίσκω. ἑτέρᾳ δόξῃ ἠμφιεσμένον καταλιπών, νῦν εὗρον ἐν γυμνότητι. ποῦ εἶ; πόθεν σοι συνέβη τοῦτο; τίς σε εἰς τοσαύτην ἤγαγε μεταβολήν; ποῖος λῃστής, καὶ τοιχωρύχος οὕτως ἀθρόον ἅπασαν τοῦ πλούτου τὴν περιουσίαν ἀφελόμενος, ἐν τοσαύτῃ σε πενίᾳ κατέστησε; πόθεν σοι τῆς γυμνώσεως ἡ αἴσθησις γέγονε; τίς σοι αἴτιος τῆς ἀφαιρέσεως τοῦ θαυμαστοῦ ἐκείνου ἐνδύματος, ὃ περιβεβλημένος ἐτύγχανες; τίς ἡ ἀθρόα αὕτη μεταβολή; ποία καταιγὶς οὕτω σφοδρὰ ταχέως ἅπαντά σου τὸν φόρτον κατέδυσε; τί γέγονεν, ὅτι τὸν τοσαῦτα εὐεργετήσαντα καὶ εἰς τοσαύτην ἀναγαγόντα τιμὴν κρύπτεσθαι ἐπιχειρεῖς; τίνα δὲ δεδοικώς, νῦν λανθάνειν σπουδάζεις; μὴ γὰρ κατήγορος παρέστηκε; μὴ γὰρ μάρτυρες ἐφεστήκασι; πόθεν σοι ἡ τοσαύτη δειλία καὶ ὁ φόβος κατεσκεδάσθη;

γρ. γὰρ
γρ. ἆραι
γρ. ἀνοῖξαι
γρ. γέγονας
γρ. κατήγαγε
γρ. ἀθρόως

10 Τῆς φωνῆς σου ἤκουσα, φησι, περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην.

Πόθεν σοι ἡ γνῶσις τῆς γυμνώσεως γέγονεν; εἰπέ μοι, τί τὸ καινὸν καὶ παράδοξον; τίς δὲ τοῦτο ἐδυνήθη ποτὲ ἀναγγεῖλαί σοι, εἰ μὴ σὺ σαυτῷ ταύτης αἴτιος ἐγένου τῆς αἰσχύνης; εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; ὅρα φιλανθρωπίαν δεσπότου καὶ ἀνεξικακίας ὑπερβολήν. δυνάμενος γὰρ εὐθέως μηδὲ ἀποκρίσεως ἀξιῶσαι τὸν τοσαῦτα ἡμαρτηκότα, ἀλλ' ὑπὸ τὸ ἐπιτίμιον ἀγαγεῖν, ὃ προλαβὼν ὥρισεν, εἰ παραβαίη, μακροθυμεῖ, καὶ ἀνέχεται, καὶ ἐρωτᾷ, καὶ ἀπόκρισιν δέχεται, καὶ πάλιν ἐρωτᾷ, μονονουχὶ εἰς ἀπολογίαν αὐτὸν ἐκκαλούμενος· ἵνα ἀφορμὴν λαβών, τὴν οἰκείαν φιλανθρωπίαν καὶ μετὰ τὴν τοσαύτην παράβασιν περὶ αὐτὸν ἐπιδείξηται, παιδεύων καὶ ἡμᾶς διὰ τούτου, ἐπειδὰν δικάζωμεν τοῖς ὑπευθύνοις, μὴ ἀνημέρως αὐτοῖς προσφέρεσθαι, μηδὲ τὴν τῶν θηρίων ὠμότητα περὶ αὐτοὺς ἐπιδείκνυσθαι, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ καὶ τῇ φειδοῖ κεχρῆσθαι, ἅτε δὴ ὡς οἰκείοις μέλεσι δικάζοντας, καὶ τὸ ὁμογενὲς ἐννοοῦντας φιλανθρωπίᾳ τὴν τιμωρίαν κεραννύναι. οὐδὲ γὰρ ἁπλῶς τοσαύτῃ συγκαταβάσει ἡ θεία γραφὴ κέχρηται, ἀλλὰ διὰ τῆς παχύτητος τῶν λέξεων διδάσκουσα ἡμᾶς τήν τε τοῦ θεοῦ φιλανθρωπίαν, καὶ εἰς ζῆλον ἄγουσα, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην μιμεῖσθαι τοῦ δεσπότου τὴν ἀγαθότητα.

γρ. τοὺς ὑπευθύνους

11 Καὶ εἶπεν αὐτῷ, τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην
σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;

Πόθεν δή, φησιν, ἠδυνήθης τοῦτο γνῶναι, καὶ τοσαύτῃ αἰσχύνῃ περιβληθῆναι, εἰ μὴ
πολλῇ τῇ ἀκρασίᾳ ἐχρήσω, καὶ κατεφρόνησάς μου τῆς ἐντολῆς; σκόπει, ἀγαπητέ, τῆς
ἀγαθότητος τοῦ θεοῦ τὴν ὑπερβολήν, ὅπως καθάπερ φίλος φίλῳ διαλεγόμενος, καὶ
γρ. ὑπὸ ἐγκαλῶν ὡς παραβάντι τὰ ″ παρ' αὐτοῦ ἐνταλθέντα, οὕτω πρὸς αὐτὸν τὴν διάλεξιν
ποιεῖται. τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου
μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; οὐ μικρὰν ἔμφασιν ἔχει καὶ τὸ λέγειν, τούτου μόνου.
μὴ γὰρ ἐστενοχώρησά σε, φησί, τὴν ἀπόλαυσιν; οὐχὶ πᾶσαν ἄδειάν σοι παρέσχον, καὶ
γρ. τοῦτον πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἐξουσίαν δεδωκὼς ἑνὸς ″ τούτου μόνον ἀπέχεσθαι ἐνετειλάμην,
γρ. δεσποτείαν ἵνα εἰδέναι ἔχῃς, ὅτι ὑπὸ ″ δεσπότην εἶ, καὶ ὀφείλεις ὑπακοήν τινα ἐπιδείκνυσθαι;
τίς οὖν ἡ τοσαύτη ῥᾳθυμία, ὥστε τοσαύτην ἔχοντα ἀπόλαυσιν μὴ ἀνασχέσθαι,
μηδὲ τούτου [τοῦ] ἑνὸς ἀποσχέσθαι, ἀλλ' οὕτω ταχέως εἰς τὴν παρ' ἐμοῦ δοθεῖσαν ἐντολὴν
ἐξυβρίσαι, καὶ τοσούτοις κακοῖς ἑαυτὸν περιβαλεῖν; τί σοι τὸ ὄφελος γέγονεν; οὐ προλαβὼν
ταῦτα εἶπον; οὐ τῷ φόβῳ τοῦ ἐπιτιμίου προδιαστεῖλαι ἠβουλήθην, καὶ ἀσφαλεστέρους
ἐργάσασθαι; οὐκ εἶπον τὸ μέλλον ὑμῖν συμβήσεσθαι; οὐ διὰ τοῦτο τὴν βρῶσιν ἐκώλυσα,
ἵνα μὴ τούτοις περιπέσητε; τίς δή σε συγγνώμης ἀξιώσει τὸν μετὰ τοσαύτας παραγγελίας
οὕτως ἀγνώμονα γενόμενον; οὐ καθάπερ πατὴρ παιδὶ γνησίῳ, οὕτω πάντα διεστειλάμην,
καὶ ἐδίδαξα τῶν μὲν ἄλλων ἀπογεύσασθαι, τούτου δὲ ἀπέχεσθαι, ἵνα μὴ [ἡ
τούτου παράβασις] πᾶσί σου τοῖς ἀγαθοῖς λυμήνηται; ἀλλ' ἴσως ἀγαθὴν καὶ ἀξιοπιστοτέραν
ἡγησάμενος τῆς ἐμῆς ἐντολῆς τὴν ἑτέρου συμβουλήν, καὶ προσδοκήσας μειζόνων
ἐπιτεύξεσθαι, τοῦτο πεποίηκας, καὶ τὰς ἐμὰς ἐντολὰς παρωσάμενος κατετόλμησας
τῆς τοῦ ξύλου βρώσεως. ἰδοὺ διὰ τῆς πείρας ὧν πέπονθας, ἔμαθες ὅσον τῆς συμβουλῆς
γρ. ἐκείνης ″ ἐκείνου τὸ ὀλέθριον. ″ εἴδετε δικαστοῦ φιλανθρωπίαν, εἴδετε ἡμερότητα καὶ
γρ. ἴδετε
γρ. δεσπότου, ἀνεξικακίαν ″ ἄφατον, εἴδετε συγκατάβασιν πάντα λόγον καὶ διάνοιαν ὑπερβαίνουσαν,
εἴδετε πῶς διὰ τῆς ἐρωτήσεως καὶ τοῦ λέγειν, τίς ἀνήγγειλέ σοι, εἰ μὴ ἀπὸ τοῦ ξύλου,
τοῦτο μόνου οὗ ἐνετειλάμην σοι * μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ″ θύρας αὐτῷ ἀνοῖξαι βούλεται
γρ. θύρας ἀπολογίας, ἵνα καὶ πρὸς τὸν οὕτως ἡμαρτηκότα τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται.
ἀκούσωμεν τοίνυν καὶ τοῦ καταδίκου, τί πρὸς ταῦτα ἀποκρίνεται.

12 Καὶ εἶπε, φησιν, ὁ Ἀδάμ· ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ
τοῦ ξύλου, καὶ ἔφαγον.

Ἐλεεινὰ τὰ ῥήματα, πολλοῦ τοῦ οἴκτου γέμοντα, καὶ ἱκανὰ πρὸς φιλανθρωπίαν
ἐπισπάσασθαι τὸν δεσπότην, τὸν οὕτως ἥμερον, καὶ ἀγαθότητι νικῶντα τὰ ἡμέτερα
πλημμελήματα. ἐπειδὴ γὰρ διὰ τῆς πολλῆς μακροθυμίας κατέστειλεν αὐτοῦ τὴν
διάνοιαν, καὶ ἔδειξεν αὐτῷ τοῦ ἁμαρτήματος τὸ μέγεθος, μονονουχὶ ἀπολογίαν Ἀδὰμ
συντιθείς, φησιν, ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον.
οἶδα, φησιν, ἡμαρτηκώς, ἀλλ' ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, περὶ ἧς αὐτὸς εἴρηκας,
ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, αὕτη μοι τοῦ ὀλίσθου αἰτία γέγονεν ἡ γυνή, ἣν ἔδωκας
μετ' ἐμοῦ. πότε γὰρ προσεδόκησα [ταύτην] τῇ αἰσχύνῃ με ταύτῃ περιβαλεῖν,
τὴν διὰ τοῦτό [μοι] δημιουργηθεῖσαν, ἵνα μοι τὴν παρ' ἑαυτῆς παραμυθίαν εἰσαγάγῃ;
σύ μοι αὐτὴν ἔδωκας· σὺ αὐτὴν ἤγαγες πρός με. αὕτη τοίνυν, οὐκ οἶδα πόθεν κινουμένη,
ἔδωκέ μοι ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. ταῦτα δοκεῖ μὲν ἀπολογίαν τινὰ ἔχειν,
πάσης δὲ ἀπεστέρηται συγγνώμης. ποίας γὰρ ἂν εἴη συγγνώμης ἄξιος, φησι, τὰς ἐμὰς

ἐντολῶν ἐπιλαθόμενος, καὶ τῶν παρ' ἐμοῦ "ῥημάτων προτιμοτέραν ἡγησάμενος τὴν παρὰ τῆς γυναικὸς δόσιν; εἰ γὰρ καὶ ἡ γυνὴ παρεῖχε τὴν δόσιν, ἀλλ' ἡ ἐντολὴ ἡ ἐμὴ, καὶ ὁ φόβος τῆς ἐπιτιμίας ἱκανὸς ἦν παρασκευάσασθαι φυγεῖν τὴν μετάληψιν. μὴ γὰρ ἠγνόεις; μὴ γὰρ οὐκ ᾔδεις; προλαβὼν διὰ τοῦτο εἶπον κηδόμενος ὑμῶν, ἵνα μὴ τούτοις περιπέσητε· ὥστε εἰ καὶ ἡ γυνή σοι πρὸς τὴν παράβασιν τῆς ἐντολῆς ὑπηρετήσατο, ἀλλ' οὐδὲ οὕτως ἀνεύθυνος ἔσῃ. ἀξιοπιστοτέραν γὰρ ἐχρῆν ἡγήσασθαι τὴν παρ' ἐμοῦ ἐντολὴν, καὶ οὐ μόνον αὐτόν σε παραιτήσασθαι τὴν βρῶσιν, ἀλλὰ καὶ τῇ γυναικὶ δεῖξαι τῶν ἡμαρτημένων τὸ μέγεθος. κεφαλὴ γὰρ εἶ τῆς γυναικὸς, καὶ διὰ σὲ ἐκείνη παρήχθη. σὺ δὲ τὴν τάξιν ἀντέστρεψας, καὶ οὐ μόνον ἐκείνην οὐ διώρθωσας, ἀλλὰ καὶ αὐτὸς συγκατεσπάσθης· καὶ δέον τὸ λοιπὸν σῶμα τῇ κεφαλῇ ἕπεσθαι, τὸ ἐναντίον γέγονε, καὶ ἡ κεφαλὴ τῷ λοιπῷ σώματι ἐπηκολούθησε, καὶ τὰ ἄνω κάτω γέγονε. διὰ τοῦτο ἐπειδὴ τὴν τάξιν ἅπασαν ἀντέστρεψας, ἐν τούτοις εἶ νῦν, ὁ πρὸ τούτου τοσαύτῃ δόξῃ περιβεβλημένος. τίς σε οὖν κατ' ἀξίαν ὀδύρηται τῆς ἀφαιρέσεως τῶν τοσούτων ἀγαθῶν; ἀλλ' ὅμως εἰ καὶ ταῦτά σοι ἅπαντα συμβέβηκε, μηδενὶ ἑτέρῳ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ σαυτῷ καὶ τῇ σῇ ῥαθυμίᾳ. οὐ γὰρ ἂν, εἰ μὴ ἐβουλήθης, ἡ γυνή σε ἐδύνατο εἰς τὸν ὄλεθρον τοῦτον ἀγαγεῖν. μὴ γὰρ παρεκάλεσε; μὴ γὰρ διελέχθη; μὴ γὰρ ἠπάτησεν; ἔδωκε μόνον, καὶ εὐθέως μετὰ τοσαύτης εὐκολίας ἐπὶ τὴν μετάληψιν ὑπηνέχθης, οὐδεμίαν μνήμην ποιησάμενος τῆς ἐμῆς ἐντολῆς, ἀλλ' ἐνόμισας ἠπατῆσθαι παρ' ἐμοῦ, καὶ διὰ τοῦτο μὴ συγχωρηθῆναί σοι τὴν βρῶσιν, ἵνα μὴ μειζόνων ἐπιτύχῃς. καὶ πῶς ἂν ἔχοι λόγον παρ' ἐμοῦ ἠπατῆσθαί σε, τοῦ τοσαύτας εὐεργεσίας εἰς σὲ καταθεμένου; καὶ τοῦτο δὲ αὐτὸ ὅσης ἦν εὐεργεσίας μέγεθος, τὸ προλαβεῖν καὶ διαστείλασθαι τὴν ἀποχὴν, ὥστε μὴ τούτοις περιπεσεῖν, οἷς νῦν σεαυτὸν περιέβαλες; ἀλλὰ ταῦτα πάντα "παρ' οὐδὲν θέμενος, ἰδοὺ διὰ τῆς πείρας ἔμαθες τῶν ἡμαρτημένων σοι τὸ μέγεθος. λοιπὸν μηδὲ τῇ γυναικὶ μόνῃ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ καὶ τῇ ῥαθυμίᾳ τῇ σαυτοῦ. ἐπειδὴ τοίνυν ἀρκούντως πρὸς τὸν Ἀδὰμ διελέχθη, καὶ τὴν ὁμολογίαν ἐκεῖνος ἐποιήσατο τῶν ἡμαρτημένων, ὡς ἐνόμισε, τὴν αἰτίαν ἐπὶ τὴν γυναῖκα μεταθεὶς, ὅρα τὸν ἀγαθὸν δεσπότην, πόσῃ τῇ συγκαταβάσει πάλιν κέχρηται, καὶ ἀξιοῖ καὶ ταύτην τῆς παρ' αὐτοῦ ἀποκρίσεως.

γρ. παριδόμενος

13 Καὶ εἶπε, φησιν, "ὁ θεὸς τῇ γυναικὶ, τί τοῦτο ἐποίησας;

γρ. κύριος ὁ θεὸς

Ἤκουσας, φησὶ, τοῦ ἀνδρὸς ἐπὶ σὲ τὴν αἰτίαν μεταφέροντος, καὶ τὸ πᾶν ἐπιγράφοντός σοι τῇ πρὸς βοήθειαν αὐτῷ" δεδωρημένῃ, καὶ διὰ τοῦτο" παραχθείσῃ, ἵνα τὴν παρὰ σαυτῆς παραμυθίαν εἰσαγάγῃς αὐτῷ, οἷα δὴ ὁμογενὴς καὶ τῆς αὐτῆς αὐτῷ φύσεως κοινωνοῦσα. τίνος οὖν ἕνεκεν τοῦτο πεποίηκας; [τί τοῦτο ἐποίησας] ὦ γύναι; διατί καὶ σαυτῇ καὶ τῷ ἀνδρὶ τοσαύτης αἰσχύνης αἰτία κατέστης; τί σοι τὸ ὄφελος γέγονεν ἀπὸ τῆς τοσαύτης ἀχρησίας; τί σοι τῆς ἀπάτης τὸ κέρδος, ἣν ἑκοῦσα ἠπατήθης, καὶ τὸν ἄνδρα κοινωνὸν τῆς ἀπάτης εἰργάσω; τί οὖν ἡ γυνή;

γρ. δεδομένῃ
γρ. παραχθείσῃ

Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον.

Ὅρα καὶ ταύτην ἐν πολλῇ δειλίᾳ καθεστῶσαν, καὶ "ἀπολογουμένην ὑπὲρ τῶν ἡμαρτημένων. καθάπερ γὰρ ὁ ἀνὴρ τὴν αἰτίαν ἐπὶ τὴν γυναῖκα ἔδοξε μετάγειν λέγων, ἡ γυνὴ ἤνεγκε καὶ ἔδωκέ μοι καὶ ἔφαγον· οὕτω καὶ αὐτὴ οὐδεμίαν εὑρίσκουσα ἀποφυγὴν ὁμολογεῖ τὸ γεγενημένον, καί φησιν, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. τὸ πονηρὸν ἐκεῖνο, φησὶ, θηρίον τοῦτον ἡμῖν τὸν ὄλεθρον προεξένησεν, ἐκείνου ἡ ὀλέθριος συμβουλὴ εἰς ταύτην ἡμᾶς τὴν αἰσχύνην ἤνεγκεν, ἐκεῖνός με ἠπάτησε καὶ ἔφαγον. μὴ ἁπλῶς παρατρέχω-

γρ. [illegible]

μεν

μένη, ἀγαπητοί, τὰ λεγόμενα, ἀλλ' ἀκριβῶς " διερευνησάμενοι, πολλὴν ἐντεῦθεν καρπωσόμεθα τὴν ὠφέλειαν. δικαστήριον γάρ ἐστι φοβερὸν καὶ φρίκης γέμον· καὶ δεῖ πάντα μετ' " ἀκριβείας ἀκούοντας πολλὴν τὸν ἀπὸ τῶν λεγομένων θησαυρὸν " ἐναποτίθεσθαι τῇ διανοίᾳ. σκόπει γὰρ καὶ τὸν ἄνδρα λέγοντα, ὅτι ἡ γυνὴ, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε καὶ ἔφαγον. οὐδαμοῦ ἀνάγκη, οὐδαμοῦ βία, ἀλλὰ προαίρεσις καὶ γνώμη. ἔδωκε μόνον, οὐκ ἠνάγκασεν, οὐκ ἐβιάσατο. καὶ αὕτη πάλιν ἀπολογίαν συνθεῖσα οὐκ εἶπεν, ὁ ὄφις ἠνάγκασέ με καὶ ἔφαγον, ἀλλὰ τί; ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. τοῦ δὲ ἀπατηθῆναι καὶ μὴ ἀπατηθῆναι κυρία ἦν. ὁ ὄφις, φησὶν, ἠπάτησέ με. ὁ γὰρ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας ἐνεργήσας διὰ τοῦ πονηροῦ ἐκείνου θηρίου τὴν συμβουλὴν εἰσαγαγὼν ἠπάτησεν, οὐκ ἠνάγκασεν, οὐδὲ ἐβιάσατο, ἀλλὰ διὰ τῆς ὀλεθρίας συμβουλῆς τὴν ἀπάτην εἰς ἔργον ἤγαγεν, ἐπειδὴ εὗρε τὴν γυναῖκα εὐκόλως δυναμένην δέξασθαι τὴν ἀπάτην, τῆς πάσης συγγνώμης " ἀπεστερημένην. ὁ ὄφις, φησὶν, ἠπάτησέ με, καὶ ἔφαγον. ὅρα τοίνυν τὸν ἀγαθὸν δεσπότην ἀρκούμενον αὐτῶν τοῖς ῥήμασι, καὶ οὐδὲν περαιτέρω καταναγκάζοντα λέγειν. ἐπειδὴ γὰρ οὐκ ἀγνοῶν ταῦτα ἠρώτα, ἀλλ' εἰδὼς, καὶ σφόδρα εἰδὼς, ἵνα τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, συγκαταβαίνει αὐτῶν τῇ ἀσθενείᾳ, καὶ ἐκκαλεῖται αὐτοὺς εἰς ὁμολογίαν τῶν ἐπταισμένων· διὰ τοῦτο οὐδὲν πλέον ἐρωτᾷ. ἐχρῆν γὰρ ἄρα μαθεῖν καὶ τὸ εἶδος τῆς ἀπάτης· ἀλλ' ἵνα ἡμῖν δείξῃ ὅτι οὐκ ἀγνοίας ἦν ἡ ἐρώτησις, ἀρκεῖται τοῖς ῥηθεῖσιν. εἰποῦσα γὰρ, ὁ ὄφις ἠπάτησέ με καὶ ἔφαγον, ἐκείνην ᾐνίξατο τὴν ὀλεθρίαν συμβουλὴν, ἣν ἐδέξατο παρὰ τοῦ διαβόλου διὰ τοῦ ὄφεως, ὅτι ἔσεσθε μετὰ τὴν βρῶσιν ὡς θεοί. εἴδετε μεθ' ὅσης ἀκριβείας ἠρωτήθη ὁ Ἀδὰμ, μεθ' ὅσης ἀνεξικακίας εἰσήχθη εἰς τὸ δικαστήριον καὶ ἡ γυνὴ, πῶς ἑκάτερος αὐτῶν τὴν ἀπολογίαν ἐποιήσατο. βλέπετε λοιπὸν ἐνταῦθα τῆς ἀφάτου φιλανθρωπίας τοῦ δικαστοῦ τὴν ὑπερβολήν. ἐπειδὴ γὰρ εἶπεν ἡ γυνὴ, ὅτι ὁ ὄφις ἠπάτησέ με καὶ ἔφαγον, οὐκ ἔτι λοιπὸν ἀποκρίσεως ἀξιοῖ τὸν ὄφιν, οὐδὲ ἀπολογίας χώραν αὐτῷ παρέχει, οὐδὲ ἐρωτᾷ καθάπερ τὸν ἄνδρα καὶ τὴν γυναῖκα, ἀλλὰ τὰς παρ' ἐκείνων ἀπολογίας δεξάμενος, ἐπὶ τοῦτον, ὡς αἴτιον τῶν [ὅλων] κακῶν " γεγενημένων ὁρμᾷ. καὶ ἐπειδὴ ὡς θεὸς καὶ τὰ ἀπόρρητα ἐπιστάμενος ᾔδει ὅτι αὐτὸς ἦν ὁ ὑπηρετησάμενος τῇ τοῦ διαβόλου ἐπιβουλῇ, καὶ τῇ βασκανίᾳ, ἣν περὶ τὸν ἄνθρωπον ἐπεδείξατο, ἵνα μάθῃς αὐτοῦ τὴν ἀγαθότητα, πῶς ἐπ' ἐκείνων μὲν καὶ εἰδὼς τῷ μὲν ἔλεγε, ποῦ εἶ, τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, τῇ δὲ ἔλεγε, τί τοῦτο ἐποίησας, ἐπὶ τοῦ πονηροῦ τούτου θηρίου οὐδὲν τοιοῦτον ποιεῖ. ἀλλὰ τί; καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο. εἶδες διαφοράν. τῇ μὲν γὰρ γυναικὶ ἔλεγε, τί τοῦτο ἐποίησας;

14 Τῷ δὲ ὄφει, ὅτι ἐποίησας τοῦτο·

Ὅτι τὸ κακὸν, φησὶ, τοῦτο εἰργάσω, ὅτι τὴν ὀλεθρίαν συμβουλὴν ταύτην εἰσήγαγες, ὅτι τοσαύτῃ βασκανίᾳ ὑπηρετήσω, ὅτι οὕτω τὸν φθόνον ἠκόνησας κατὰ τοῦ δημιουργηθέντος ὑπ' ἐμοῦ,

Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. 15 Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν.

Σκόπει μοι ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν φιλανθρωπίας πεπληρωμένην. τὴν μὲν γὰρ ἐρώτησιν ποιούμενος ἀπὸ τοῦ ἀνδρὸς ἤρξατο, εἶτα μετῆλθεν ἐπὶ τὴν γυναῖκα. καὶ ἐπειδὴ εἶπεν αὕτη τὸν αἴτιον αὐτῇ γεγενημένον, ἐλθὼν ἐπὶ τὸν ὄφιν, καὶ οὐκ ἔτι αὐτὸν ἀποκρίσεως ἀξιώσας, τὴν τιμωρίαν ἐπάγει, καὶ τοιαύτην ὡς παντὶ τῷ χρόνῳ παρεκτείνεσθαι, καὶ διὰ τῆς ὄψεως διηνεκῆ διδασκαλίαν γίνεσθαι τοῖς ʺἑξῆς ἅπασι, μηκέτι δέχεσθαι τὴν ὀλεθρίαν ἐκείνην συμβουλήν, μηδὲ ἀπατᾶσθαι τοῖς παρ' ἐκείνου μηχανήμασιν. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ εἰ ὁ διάβολος διὰ τοῦ ὄφεως ἐνεργήσας τὴν συμβουλὴν εἰσήγαγε, τίνος ἕνεκεν τὸ θηρίον τοσαύτην ὑπέμεινε τιμωρίαν; καὶ τοῦτο τῆς ἀφάτου φιλανθρωπίας τοῦ θεοῦ ἔργον γέγονε. καθάπερ γὰρ πατὴρ φιλόστοργος, τὸν ʺἀπεκτακότα τὸν υἱὸν τὸν ἑαυτοῦ τιμωρούμενος, καὶ τὴν μάχαιραν καὶ τὸ ξίφος, δι' οὗ τὸν φόνον εἰργάσατο, διασπᾷ καὶ εἰς πολλὰ κατατέμνει μέρη· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς θεός. ἐπειδὴ ὥσπερ μαχαίρᾳ τις ὑπηρετήσατο τὸ θηρίον τοῦτο τῇ τοῦ διαβόλου πανουργίᾳ, ἐπάγει αὐτῷ διηνεκῆ τὴν τιμωρίαν· ἵνα διὰ τοῦ αἰσθητοῦ τούτου καὶ ὁρωμένου λογιζώμεθα ἐν ὅσῃ ἀτιμίᾳ κἀκεῖνος τυγχάνει. εἰ γὰρ οὗτος ὁ, καθάπερ ὄργανον, ὑπηρετησάμενος τοσαύτης ἐπειράθη τῆς ἀγανακτήσεως, ποίαν εἰκὸς ἐκεῖνον δέξασθαι τιμωρίαν; μᾶλλον δὲ καὶ τοῦτο ἤδη ἡμᾶς ἐδίδαξεν ὁ Χριστὸς διὰ τῶν θείων εὐαγγελίων φάσκων πρὸς τοὺς ἐξ εὐωνύμων ἑστῶτας· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐκεῖνο γὰρ πάλαι τούτῳ ἡτοίμασται, καὶ ἐκεῖνο τὸ ἄσβεστον πῦρ αὐτὸν ἐκδέχεται. τί οὖν ἂν εἴη ἀθλιώτερον τῶν δι' ἀμέλειαν τῆς οἰκείας σωτηρίας ἑαυτοὺς ἐκείνῃ τῇ τιμωρίᾳ καθιστώντων ὑπευθύνους τῇ ἐκείνῳ ἡτοιμασμένῃ; ὅτι γὰρ ἡμῖν, εἰ βουληθείημεν ἀρετὴν ἐπιδείξασθαι καὶ τοῖς παρὰ τοῦ Χριστοῦ τεθεῖσι νόμοις ἕπεσθαι, ἡ βασιλεία ἡτοίμασται, αὐτοῦ πάλιν ἄκουσον λέγοντος· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.ʺ εἴδετε ἐκείνῳ μὲν τὸ ἄσβεστον πῦρ ἡτοιμασμένον, ἡμῖν δέ, εἰ μὴ ῥαθυμήσαιμεν, τὴν βασιλείαν. ταῦτα τοίνυν ἐννοοῦντες καὶ βίου ἐπιμελώμεθα, καὶ τὴν κακίαν φεύγωμεν, καὶ μηδέποτε ἀπατώμεθα ταῖς τοῦ διαβόλου μηχαναῖς. ἀλλ', εἰ βούλεσθε καὶ μὴ ἀπεκάμετε, πάλιν εἰς μέσον ἀγάγωμεν τὴν τιμωρίαν τὴν τῷ ὄφει ἐπαγομένην, ἵν' οὕτω κατὰ μικρὸν εἰς τὸ τέλος τῆς δίκης φθάσαντες ἴδωμεν τῆς φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος. εἰ γὰρ ἄνθρωποι δικαστὴν ὁρῶντες πολλάκις δημοσίᾳ καθήμενον, καὶ τὴν κατὰ τῶν καταδίκων ψῆφον ἐκφέροντα, διὰ πάσης ἡμέρας παραμένουσι, καὶ οὐκ ἀφίστανται μέχρις ἂν ἴδωσιν ἀναστάντα τὸν δικαστήν· πολλῷ μᾶλλον ἡμᾶς νῦν προσήκει μετὰ πλείονος τῆς προθυμίας ἰδεῖν τὸν ἀγαθὸν θεόν, πῶς μὲν τῷ ὄφει σφοδρὰν τὴν τιμωρίαν ἐπιτίθησιν, ἵνα διὰ τῆς τοῦ αἰσθητοῦ τούτου θηρίου τιμωρίας, ᾧ ὥσπερ ὀργάνῳ ἐχρήσατο ὁ πονηρὸς δαίμων ἐκεῖνος, αἴσθησιν ἡμῖν παράσχῃ τῆς μελλούσης ἐκεῖνον τιμωρίας ἐκδέχεσθαι· πῶς δὲ μετὰ φειδοῦς σύμμετρον ἐπάγει καὶ τῇ γυναικὶ καὶ τῷ ἀνδρὶ τὴν ἐπιτίμησιν, νουθεσίαν μᾶλλον ἔχουσαν ἢ κόλασιν· ἵνα ταῦτα ἅπαντα μετὰ ἀκριβείας σκοπήσαντες, θαυμάσωμεν τὴν τοῦ φιλανθρώπου θεοῦ κηδεμονίαν, ἣν περὶ τὴν φύσιν ἐπιδείκνυται τὴν ἡμετέραν. τί οὖν φησι; καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. καὶ αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. μεγάλη δὲ σφοδρὰ ἡ ἀγανάκτησις, ἐπειδὴ καὶ μεγάλη τῆς ἀπάτης ἡ ὑπερβολή, ἣνʺ δι' αὐτοῦ προσήγαγεν ὁ πονηρὸς διάβολος. καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο. ἐπειδή, φησι, τοιαύτῃ ὑπηρετήσω πανουργίᾳ καὶ οὕτω τὴν ἀπάτην εἰς ἔργον ἤγαγες, ὀλεθρίαν συμ-

βουλὴν

Ματθ. κε. μα.

Ματθ. κε. λδ.

γ. ὁρίζει

γ. ἀπεκτονότα φονέα

γ. ἤδη

γ. δι' ἧς τοῦ ὄφεως ἤγαγεν

βουλὴν εἰσαγαγών, καὶ τὸ δηλητήριον αὐτοῖς φάρμακον κεράσας, ἐπειδὴ τοῦτο εἰργάσω καὶ τῆς ἐμῆς εὐνοίας ἐκβαλεῖν ἠβουλήθης τοὺς ὑπ' ἐμοῦ δημιουργηθέντας, ὑπηρετησάμενος τῇ τοῦ πονηροῦ δαίμονος γνώμῃ, τοῦ διὰ τὴν βασκανίαν καὶ τὴν ὑπερβάλλουσαν ὑπερηφανίαν ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατενεχθέντος, διὰ τοῦτο, ἐπειδὴ ἐν τούτοις ὀργάνῳ σοι ἐχρήσατο, διηνεκῆ σοι τὴν τιμωρίαν ἐπιτίθημι, ἵνα διὰ τῶν εἰς σὲ ''γεγενημένων κἀκεῖνος εἰδέναι ἔχῃ οἵα τιμωρία αὐτὸν ἐκδέχεται, καὶ οἱ ἑξῆς ἄνθρωποι παιδεύωνται μηκέτι ὑπάγεσθαι ταῖς τούτου συμβουλαῖς, μηδὲ τὴν ἀπάτην ''περιίεσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. διὰ τοῦτο ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσω τῇ φρονήσει, ἀλλὰ τὸ προτέρημα, ὅπερ εἶχες ὑπὲρ ἅπαντα τὰ θηρία, τοῦτό σοι γέγονε τῶν κακῶν ἁπάντων αἴτιον. ὁ γὰρ ὄφις, φησίν, ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς. διὰ τοῦτο ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς γενήσῃ. ἀλλ' ἐπειδὴ τὸ τῆς κατάρας οὐκ ἦν αἰσθητὸν οὐδὲ ὀφθαλμοῖς φαινόμενον, διὰ τοῦτο καὶ αἰσθητὴν αὐτῷ τιμωρίαν ἐπάγει, ἵνα διηνεκῶς πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν ὁρᾷν τῆς τιμωρίας αὐτοῦ τὰ ὑπομνήματα. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἐπειδή, φησι, τῇ διαπλάσει οὐ δεόντως ἐχρήσω, ἀλλὰ καὶ εἰς ὁμιλίαν ἐλθεῖν ἐτόλμησας τῷ ὑπ' ἐμοῦ δημιουργηθέντι λογικῷ ζώῳ, καθάπερ τινὶ ὁ διάβολος ἐνεργήσας διὰ σοῦ καὶ ὀργάνῳ σοι χρησάμενος, ἐπειδὴ ὑπὲρ τὴν οἰκείαν ἀξίαν ἐφρόνησεν, ἐκ τῶν οὐρανῶν * κατηνέχθη· τὸν αὐτὸν δὴ τρόπον καὶ σὲ ἕτερον σχῆμα διαπλάσεως ἀναλαβεῖν προστάττω, καὶ ἐπὶ τῆς γῆς σύρεσθαι, καὶ ταύτην ἔχειν τροφήν, ὥστε μὴ ἐξεῖναί σοι λοιπὸν ἀνανεύειν ἄνω, ἀλλὰ διηνεκῶς ἐν ταύτῃ τυγχάνειν τῇ καταστάσει, καὶ παρὰ πάντα τὰ λοιπὰ θηρία τὴν γῆν σιτεῖσθαι· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. καὶ οὐδὲ τούτῳ, φησίν, ἀρκεσθήσομαι τῷ ἐπὶ τῆς γῆς σύρεσθαί σε, ἀλλὰ καὶ ἐχθρὰν ἄσπονδόν σοι καταστήσω τὴν γυναῖκα· καὶ οὐκ αὐτὴν μόνην, ἀλλὰ καὶ τὸ σπέρμα αὐτῆς τῷ σπέρματί σου πολέμιον διηνεκῆ ἐργάσομαι. Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. καὶ γὰρ τοσαύτην ἐκείνῳ μὲν παρέξω τὴν ἰσχύν, ὡς διηνεκῶς ἐπικεῖσθαι τῇ σῇ κεφαλῇ, σὲ δὲ τοῖς ἐκείνου ποσὶν ὑποκεῖσθαι. ὅρα, ἀγαπητέ, διὰ τῆς κατὰ τοῦ θηρίου τούτου τιμωρίας, ὅσην ἡμῖν ἐνδείκνυται τὴν κηδεμονίαν, ἣν περὶ τὴν τῶν ἀνθρώπων φύσιν ἔχει. καὶ ταῦτα μὲν περὶ τοῦ αἰσθητοῦ ὄφεως. ἔξεστι δὲ τῷ βουλομένῳ μετὰ τοῦτο τηρεῖν τῶν ἐγγεγραμμένων τὴν ἀκολουθίαν, καὶ εἰδέναι, ὅτι εἰ περὶ τοῦ αἰσθητοῦ ταῦτα εἴρηται, πολλῷ μᾶλλον ἐκλαμβάνειν τὰ εἰρημένα δεῖ καὶ περὶ τοῦ νοητοῦ ὄφεως. καὶ γὰρ καὶ ἐκεῖνον ὑπὸ τοὺς πόδας ἡμῶν ταπεινώσας κατήνεγκε, καὶ ἡμᾶς ἐπικεῖσθαι αὐτοῦ τῇ κεφαλῇ πεποίηκεν. ἢ οὐχὶ τοῦτο σημαίνει λέγων, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων; εἶτα ἵνα μὴ νομίσωμεν περὶ τῶν αἰσθητῶν θηρίων ταῦτα εἰρῆσθαι, ἐπήγαγε· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. εἴδετε καὶ ἐκ τῆς ἐπαχθείσης τῷ ὀργάνῳ τοῦ διαβόλου τιμωρίας τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν· ἔλθωμεν πάλιν, εἰ δοκεῖ, ἐπὶ τὴν γυναῖκα. ἐπειδὴ γὰρ ὁ ὄφις τὴν ἀπάτην εἰσήγαγε, διὰ τοῦτο οὗτος πρῶτος τὴν τιμωρίαν ἐδέξατο. καὶ ἐπειδὴ ''πρώτην τὴν γυναῖκα ἠπάτησε, καὶ τότε ἐκείνη τὸν ἄνδρα συγκατέσπασε, διὰ τοῦτο ἐκείνην πρῶτον τιμωρεῖται τιμωρίαν, νουθεσίαν πολλὴν ἔχουσαν.

γρ. ἠπατημένων

ἴσ. περισπᾶσθαι

κάτω

Λυ. ι. ιθ.

γρ. πρῶτον

16 Καὶ τῇ γυναικὶ εἶπε, πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου. Ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

Ὅρα δεσπότου ἀγαθότητα, ὅσῃ κέχρηται τῇ ἡμερότητι μετὰ τὴν τοσαύτην παράβασιν. πληθύνων πληθυνῶ τὰς λύπας σου. * ἐγὼ μὲν ἠβουλήθην, φησὶν, ἀνώδυνον καὶ ἀταλαίπωρόν σε ἔχειν ζωὴν, πάσης λύπης καὶ ἀθυμίας ἀπηλλαγμένην, καὶ πάσης ἡδονῆς πεπληρωμένην, καὶ μηδενὸς αἰσθάνεσθαι τῶν σωματικῶν σῶμα περικειμένην. ἐπειδὴ δὲ οὐκ ἐχρήσω εἰς δέον τῇ τοσαύτῃ ἀνέσει, ἀλλ᾽ ἡ περιουσία τῶν ἀγαθῶν εἰς τοσαύτην σε ἀγνωμοσύνην ἤγαγε, διὰ τοῦτό σοι χαλινὸν ἐπιτίθημι, ὥστε μὴ ἐπὶ πλέον ἀποσκιρτῆσαι, καὶ λύπαις καὶ στεναγμοῖς σε καταδικάσω. πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου. ἐν λύπαις τέξῃ τέκνα. τὴν ὑπόθεσιν, φησὶ, τῆς πολλῆς εὐφροσύνης, καὶ τῶν τέκνων τὴν διαδοχὴν ἀπὸ λύπης ἄρχεσθαί σε παρασκευάσω, ἵνα διηνεκῆ ἔχῃς καὶ αὐτὴν τὴν ὑπόμνησιν διὰ τῶν καθ᾽ ἕκαστον καιρὸν ὠδίνων, καὶ τῶν λυπηρῶν τῶν καθ᾽ ἑκάστην τικτομένων, πόσον τῆς ἁμαρτίας ταύτης καὶ τῆς παρακοῆς τὸ μέγεθος, καὶ μὴ τοῦ χρόνου παριόντος λήθῃ παραδῷς τὸ γεγενημένον, ἀλλ᾽ εἰδέναι ἔχῃς ὡς ἡ ἀπάτη αὕτη τούτων σοι αἴτιος γεγένηται). διὰ τοῦτο πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου. ἐν λύπαις τέξῃ τέκνα. τὰς ὠδῖνας ἐνταῦθα αἰνίττεται καὶ τὸν πολὺν κάματον ἐκεῖνον, ὃν ὑπομένειν ἀνάγκη, καθάπερ φορτίον, ἐν μησὶ τοσούτοις τὸ βρέφος "βαστάζουσα, καὶ τὰς κατὰ μέρος ἐντεῦθεν φυομένας ἀλγηδόνας, καὶ τὸν μελῶν τὸν διασπασμὸν, καὶ τὰς "ὀδύνας ἐκείνας τὰς ἀφορήτους, ἃς ἐκεῖναι μόναι ἴσασιν αἱ διὰ τῆς πείρας ἐλθοῦσαι. ἀλλ᾽ ὅμως τοσαύτην ὁ φιλάνθρωπος θεὸς παρέσχε μετὰ τῶν λυπηρῶν τὴν παραμυθίαν, ὡς ἰσόρροπον εἶναι τὴν διὰ τὸ τεχθὲν βρέφος εὐφροσύνην τῶν ὠδίνων ἐκείνων τῶν ἐν τοσούτοις μησὶ τὴν γαστέρα διακοπτουσῶν. αἱ γὰρ τοσοῦτον πόνον ὑπομείνασαι, καὶ οὕτως ὑπὸ τῶν ἀλγηδόνων σπαραττόμεναι, καὶ, ὡς εἰπεῖν, πρὸς αὐτὴν τὴν ζωὴν ἀπαγορεύουσαι, μετὰ τὸ τεκεῖν, καὶ τῆς ἀπὸ τῶν καμάτων εὐφροσύνης ἀπολαῦσαι, πάλιν ὥσπερ ἐπιλαθόμεναι τῶν γεγενημένων ἁπάντων, ἑαυτὰς ἐκδιδόασι πρὸς τὴν τῶν τέκνων γονὴν, τοῦ φιλανθρώπου θεοῦ οὕτως οἰκονομήσαντος πρὸς σύστασιν τῆς τῶν ἀνθρώπων σωτηρίας. ἡ γὰρ ἐλπὶς ἀεὶ τῶν μελλόντων ἀγαθῶν κούφως ποιεῖ φέρειν τὰ παρόντα λυπηρά. καὶ τοῦτο ἴδοι τις ἂν καὶ τοὺς ἐμπόρους ὑπομένοντας, καὶ μακρὰ πελάγη διαπερῶντας, καὶ ναυαγίων ἀνεχομένους καὶ πειρατῶν, καὶ μετὰ τοὺς πολλοὺς ἐκείνους κινδύνους πολλάκις καὶ διαμαρτόντας τῆς προσδοκίας, καὶ μηδὲ οὕτως ἀποστάντας, ἀλλὰ πάλιν τῶν αὐτῶν ἀπτομένους. τοῦτο καὶ ἐπὶ τῶν γεηπόνων ἐστὶν "εἰπεῖν. καὶ γὰρ καὶ οὗτοι, ὅτε βαθεῖαν αὔλακα ἀνατέμωσι, καὶ πολλὴν τὴν ἐπιμέλειαν τῆς γῆς ἐπιδείξωνται, καὶ δαψιλῆ τὰ σπέρματα καταβάλωσι, πολλάκις αὐχμοῦ γενομένου, ἢ ἐπομβρίας, ἢ πρὸς αὐτῷ τῷ τέλει τῶν δραγμάτων ἐρυσίβης κατενεχθείσης, τῆς ἐλπίδος διήμαρτον· ἀλλ᾽ οὐδ᾽ οὕτως ἀφίστανται, ἀλλὰ πάλιν τοῦ καιροῦ καταλαβόντος, ἅπτονται τῆς γεωργίας. καὶ τοῦτο ἐφ᾽ ἑκάστου εὕροι τις ἂν ἐπιτηδεύματος γινόμενον. κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ γυνὴ καὶ αὕτη πολλάκις μετὰ τοὺς πολλοὺς μῆνας ἐκείνους, μετὰ τὰς ὠδῖνας τὰς ἀφορήτους, μετὰ τὰς νύκτας τὰς ἀΰπνους, μετὰ τὸν τῶν μελῶν διασπασμὸν, μικρᾶς τινος περιστάσεως γενομένης πρὸ τοῦ προσήκοντος καιροῦ τὸ βρέφος ὠθήσασα ἀμόρφωτον καὶ ἀδιατύπωτον, ἢ μεμορφωμένον μὲν, οὐκ ἄρτιον δὲ οὐδὲ ὑγιὲς, ἢ καὶ νεκρὸν πολλάκις, μόλις τὸν κίνδυνον διέφυγε· καὶ ὅμως ὥσπερ ἐπιλαθομένη τούτων ἁπάντων, τῶν αὐτῶν ἀνέχεται καὶ τὰ αὐτὰ ὑπομένει. καὶ τί λέγω; πολλάκις καὶ συναποθανεῖν τῷ τεχθέντι συνέβη, καὶ οὐδὲ τοῦτο τὰς λοιπὰς ἐσωφρόνισε καὶ ἀνέπεισε φυγεῖν τὸ πρᾶγμα. τοσαύτην ὁ θεὸς ἐγκατέσπειρε τοῖς λυπηροῖς τούτοις τὴν ἡδονὴν ὁμοῦ καὶ τὴν εὐφροσύνην. διὰ τοῦτο ἔλεγε, πληθύνων πληθυνῶ τὰς λύπας

* καὶ τὸ πειρώμενον σε.

" ἢ βαστάζουσαι.

γρ. ὠδῖνας

γρ. ἰδεῖν

σου καὶ τὸν στεναγμόν σου. ἐν λύπαις τέξῃ τέκνα. τοῦτο τοίνυν καὶ ὁ Χριστὸς διαλεγόμενος τοῖς μαθηταῖς, καὶ δεικνὺς καὶ τῆς ὀδύνης τὸ μέγεθος, καὶ τῆς εὐφροσύνης τὴν ὑπερβολὴν ἔλεγεν, Η γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς. εἶτα παραστῆσαι ἡμῖν βουλόμενος, ὅπως τὰ μὲν τῆς λύπης ἀθρόον ἐκποδὼν γίνεται, τὰ δὲ τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης διαδέχεται, φησίν· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. εἶδες κηδεμονίαν ὑπερβάλλουσαν, Εἶδες τιμωρίαν νουθεσίας πεπληρωμένην. ἐν λύπαις τέξῃ τέκνα. Εἶτα πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. μονονουχὶ ἀπολογούμενος πρὸς τὴν γυναῖκα ὁ φιλάνθρωπος θεὸς ταῦτά φησιν· ὅτι ἐγὼ μὲν ἐξ ἀρχῆς ὁμότιμόν σε ἐδημιούργησα, καὶ τῆς αὐτῆς ἀξίας ἐν ἅπασιν αὐτῷ κοινωνεῖν ἠβουλήθην, καὶ ὥσπερ τῷ " ἀνδρὶ οὕτω καὶ σοὶ τὴν κατὰ πάντων ἀρχὴν ἐνεχείρισα· ἀλλ' ἐπειδὴ οὐκ ἐχρήσω εἰς δέον τῇ ὁμοτιμίᾳ, διὰ τοῦτό σε ὑποτάττω τῷ ἀνδρί, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπειδὴ καταλιποῦσα τὸν ὁμότιμον, καὶ τὸν τῆς αὐτῆς * φύσεως κοινωνοῦντα, καὶ δι' ὃν ἐδημιουργήθης, τῷ πονηρῷ θηρίῳ τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν ἠβουλήθης, καὶ τὴν παρ' ἐκείνου δέξασθαι συμβουλήν· διὰ τοῦτο λοιπὸν τούτῳ σε ὑποτάττω, καὶ τοῦτόν σοι κύριον ἀποφαίνω, ὥστε τὴν τούτου δεσποτείαν ἐπιγινώσκειν. καὶ ἐπειδὴ οὐκ ἔγνως ἄρχειν, μάθε καλῶς ἄρχεσθαι. πρὸς τὸν ἄνδρα σου γὰρ ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. βέλτιόν σε ὑπὸ τοῦτον εἶναι καὶ ὑπὸ τὴν τούτου δεσποτείαν τυγχάνειν, ἢ ἀδείας ἀπολαύουσαν καὶ ἐξουσίας κατὰ " κρημνῶν φέρεσθαι. ἐπεὶ καὶ ἵππῳ λυσιτελὲς ἂν γένοιτο χαλινὸν ἔχειν καὶ εὔτακτα βαδίζειν, ἢ ἄνευ τούτου κατὰ κρημνῶν φέρεσθαι. τὸ συμφέρον τοίνυν σκοπῶν τὸ σόν, πρὸς τοῦτόν σε ἔχειν τὴν ἀποστροφὴν βούλομαι, καὶ καθάπερ σῶμα κεφαλῇ ἕπεσθαι, καὶ τὴν δεσποτείαν μεθ' ἡδονῆς ἐπιγινώσκειν. οἶδα ὅτι ἀπεκάμετε πρὸς τὸ μῆκος τῶν εἰρημένων, ἀλλὰ μικρὸν διεγέρθητε, παρακαλῶ. μὴ ἀτέλεσον τὴν δίκην καταλείπωμεν, μηδὲ ἀφέντες ἐπὶ τὸν δικαστὴν καθήμενον ἀναχωρήσωμεν. καὶ γὰρ λοιπὸν πρὸς αὐτὸ τὸ τέλος ἀπηντήκαμεν. ἴδωμεν τοίνυν τί μετὰ τὴν γυναῖκα πρὸς τὸν ἄνδρα φησί, καὶ ποίαν καὶ τούτῳ τιμωρίαν ἐπάγει.

Io. 16. 21.

γρ. Ἀδὰμ

* σοι

γρ. κατὰ κρημνῶν

17 Τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. 18 Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. 19 Εν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

Μεγάλη καὶ ἄφατος καὶ ἐντεῦθεν δείκνυται ἡ περὶ τὸν ἄνθρωπον τοῦ δεσπότου κηδεμονία. ἀλλ' ἀκούσωμεν ἀκριβῶς ἕκαστον τῶν εἰρημένων. Τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες. ἐπειδή, φησιν, " ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, καὶ τῆς ἐμῆς ἐντολῆς προετίμησας τὴν παρ' ἐκείνης συμβουλήν, καὶ οὐκ ἠβουλήθης τοῦ ξύλου τοῦ ἑνὸς ἀποσχέσθαι, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν· μὴ γὰρ πολλῶν σε " ἀποσχέσθαι ἐπέταξα; ἑνὸς μόνου, καὶ οὐδὲ τούτου ἀπέσχου· ἀλλ' ἐπιλαθόμενος τῶν ἐμῶν ἐντολῶν ἐπείσθης τῇ γυναικί, καὶ διὰ τοῦτο μαθήσῃ δι' αὐτῶν τῶν " ἔργων, ὅσον εἰργάσω κακόν. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες· οἱ μὲν ἵνα μὴ ἀνέχωνται τῶν πονηρὰ συμβουλευουσῶν, αἱ δὲ ἵνα μὴ τοιαῦτα συμβουλεύωσιν. εἰ γὰρ τότε

γρ. ὑπήκουσας

γρ. ἀπέχεσθαι

γρ. πραγμάτων,

ἐπὶ τὴν γυναῖκα τὴν αἰτίαν μεταγαγὼν οὐδεμίας ἠξιώθη συγγνώμης, ποίαν ἄν τις ἀπολογίαν σχοίη λέγων, ὅτι διὰ τὴν γυναῖκα τὸ καὶ τὸ ἥμαρτον, καὶ τὸ καὶ τὸ ἔπραξα; διὰ τοῦτο γὰρ καὶ ὑπὸ τὴν δεσποτείαν γέγονε τὴν σήν, καὶ κύριος αὐτῆς ἀπεφάνθης, ἵνα ἐκείνη σοι κατακολουθῇ, καὶ μὴ ἡ κεφαλὴ τοῖς ποσὶν ἕπηται. ἀλλ' οὖν ἐστιν ἰδεῖν πολλάκις τὸ ἐναντίον συμβαῖνον, καὶ τὸν ἐν τάξει κεφαλῆς εἶναι ὀφείλοντα, οὐδὲ τὴν τῶν ποδῶν τὴν τάξιν ἐπέχοντα, καὶ τὴν ἐν τάξει ποδῶν οὖσαν, ταύτην ἐν τάξει κεφαλῆς καθισταμένην. διὸ καὶ ὁ μακάριος Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος, ταῦτα [πάντα] προορῶν ἐβόα· α. Κορ. ζ. ιε. Τί γὰρ οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ἀλλ' ὅμως καὶ ὁ ἀνὴρ πολλὴν τὴν φυλακὴν ἐπιδεικνύσθω, ὥστε τὰ ὀλέθρια συμβουλευούσαν ἀποσείεσθαι, καὶ ἡ γυνὴ ἔναυλον ἔχουσα τὴν τιμωρίαν, ἣν ἐδέξατο ἡ Εὔα τὴν ὀλεθρίαν ἐκείνην συμβουλὴν εἰσαγαγοῦσα τῷ ἀνδρί, μὴ τολμάτω τοιαῦτα συμβουλεύειν, μηδὲ μιμεῖσθαι τὴν Εὔαν, ἀλλὰ τῷ ὑποδείγματι σωφρονιζέσθω, κἀκεῖνα συμβουλευέτω, ἃ καὶ αὐτὴν καὶ τὸν ἄνδρα πάσης ἀπαλλάξει κολάσεως καὶ τιμωρίας. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τῷ δὲ Ἀδάμ, φησιν, εἶπεν ὁ θεός· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες· ἐπειδὴ τοσαύτῃ ῥαθυμίᾳ ἐχρήσω περὶ τὴν φυλακὴν τῆς παρ' ἐμοῦ δοθείσης ἐντολῆς, καὶ οὔτε ὁ φόβος, οὔτε τὸ προλαβόντα με διαστείλασθαι τὰ μέλλοντα συμβήσεσθαι ὑμῖν ἀπὸ τῆς βρώσεως ὠφέλησέ τι, ἀλλ' εἰς τοσαύτην κακίαν ἐξώκειλας, ὡς μὴ δύνασθαι μηδὲ τοῦ ἑνὸς ἀπέχεσθαι ξύλου μετὰ τὴν τοσαύτην ἀπόλαυσιν, διὰ τοῦτο ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. ὅρα φιλανθρωπίαν δεσπότου, πῶς μὲν τὸν ὄφιν τιμωρεῖται, πῶς δὲ τὸ λογικὸν τοῦτο ζῶον. ἐκείνῳ γάρ φησιν, ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, καὶ εἰκότως. ἐπειδὴ γὰρ διὰ τὸν ἄνθρωπον παρήχθη, ἵν' ἐκεῖνος ἀπολαύειν δύνηται τῶν ἐξ αὐτῆς ἀναδιδομένων, διὰ τοῦτο πάλιν διὰ τὸν ἄνθρωπον ἁμαρτόντα ταύτῃ τὴν κατάραν ἐπιτίθησιν, ἐπειδὴ ἡ εἰς αὐτὴν κατάρα πάλιν τοῦ ἀνθρώπου ἐλυμαίνετο τῇ ἀνέσει καὶ ἀδείᾳ. ἐπικατάρατος, φησιν, ἡ γῆ ἐν τοῖς ἔργοις σου. εἶτα ἵνα μάθῃς τί ἐστιν ἐπικατάρατος, ἐπήγαγεν, ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ὅρα ἑκάστην τιμωρίαν τῷ αἰῶνι παρεκτεινομένην, ἵνα μὴ μόνον αὐτοὶ κερδάνωσιν, ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς μέλλοντες γίνεσθαι, δι' αὐτῶν τῶν πραγμάτων διδάσκωνται, πόθεν αὐτοῖς τὰ τῆς τιμωρίας ταύτης ἐπήχθη. ἐν λύπαις, φησί, φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. εἶτα ἀκριβέστερον διδάσκων τῆς κατάρας τὸ εἶδος, καὶ τῆς λύπης τὴν αἰτίαν ἐπήγαγεν, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι. ἰδοὺ τῆς κατάρας τὰ ὑπομνήματα. ἀκάνθας, φησίν, ἐκδώσει καὶ τριβόλους ἡ γῆ, ὥστε πολὺν τὸν πόνον καὶ τὴν ταλαιπωρίαν ἐργάσασθαι· καὶ μετὰ λύπης πάντα τὸν χρόνον διάγειν σε ποιήσω, ἵνα τοῦτο χαλινός σοι γένηται τοῦ μὴ ὑπὲρ ἀξίαν φαντάζεσθαι, ἀλλὰ καὶ διηνεκῶς ἔχῃς ἔννοιαν τῆς σαυτοῦ οὐσίας, καὶ μηδέποτε ἀνάσχῃ τοιαῦτα ἀπατηθῆναι. καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. ὅρα πῶς ἀπεναντίας τῆς προτέρας διαγωγῆς τὰ μετὰ τὴν παράβασιν ἅπαντα αὐτῷ ἐπήχθη. ἐγὼ μὲν γάρ, φησι, παραγαγών σε εἰς τόνδε τὸν κόσμον, ἠβουλήθην ἄνευ λύπης καὶ μόχθων καὶ ταλαιπωρίας, καὶ ἄνευ ἱδρώτων διάγειν σε, καὶ ἐν ἀπολαύσει εἶναι καὶ εὐημερίᾳ, καὶ μηδὲ ταῖς τοῦ σώματος ἀνάγκαις ὑποκεῖσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλάχθαι, καὶ ἐν ἐλευθερίᾳ πάσῃ τυγχάνειν· ἐπειδὴ δὲ οὐκ ὤνησέ σε ἡ τοσαύτη ἄδεια, διὰ τοῦτο καὶ τὴν γῆν καταράσομαι, ὥστε μὴ ἄσπαρτά σοι καὶ ἀνήροτα, καθάπερ πρότερον, τὰ ἐξ αὐτῆς ἀναδιδόμενα παρέχειν·

γρ. τὸ μέλλον

γρ. τοῦ ἀνθρώπου ἁμαρτόντος

γρ. μάθωμεν

ρέχειν· ἀλλὰ καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ μόχθου καὶ τῆς ταλαιπωρίας καὶ λύπαις σε διηνεκέσι [καὶ ῥαθυμίαις] περιέβαλον, καὶ μετὰ ἱδρώτων πάντα σε κατορθοῦν παρασκευάσω, ἵνα τούτοις πιεζόμενος ἔχῃς διηνεκῆ διδασκαλίαν τοῦ μετριάζειν, ″τοῦ τὴν ἑαυτοῦ φύσιν ἐπιγινώσκειν. καὶ τοῦτο οὐ πρὸς ὀλίγον οὐδὲ πρὸς βραχὺν χρόνον ἔσται, ἀλλὰ παντὶ τῷ τῆς ζωῆς χρόνῳ παρεκταθήσεται. ἐν ἱδρῶτι γάρ, φησι, τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. μέχρις ἐκείνου ταῦτα ὑπομενεῖς, ἕως ἂν τὸ τέλος τῆς ζωῆς σου ἐπαχθήσεται, καὶ εἰς ἐκείνην διαλυθῇς, ἐξ ἧς καὶ ἐπλάσθης. εἰ γὰρ καὶ ″σῶμά σοι, φησιν, ἐχαρισάμην διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν, ἀλλ᾽ αὐτὸ τὸ σῶμα ἀπὸ γῆς ὂν γῆ πάλιν γίνεται. γῆ γὰρ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἵνα γὰρ μὴ ταῦτα γένηται, διὰ τοῦτο εἶπον, μὴ ἅψησθε τοῦ ξύλου, φήσας ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. οὐ γὰρ ἐβουλόμην τοῦτο. ἀλλ᾽ ἐπειδὴ τὰ μὲν παρ᾽ ἐμοῦ ἅπαντα γεγένηται, σὺ δὲ σαυτῷ ταῦτα προεξένησας, ἐπὶ μηδένα ἕτερον τὴν αἰτίαν ″ἄπαγε, ἀλλὰ τῇ σαυτοῦ ῥαθυμίᾳ τὸ πᾶν ἐπίγραφε. ἀλλὰ πάλιν ἡμῖν ἕτερον ζήτημα ἐντεῦθεν τίκτεται, ὅπερ, εἰ βούλεσθε, συντόμως διαλύσαντες ″τὸ τηνικαῦτα καταπαύσομεν τὸν λόγον. εἶπε, φησιν, ὁ θεός, ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· δείκνυνται δὲ ζήσαντες μετὰ τὴν παρακοὴν καὶ τὸ τῆς βρώσεως μετασχεῖν πολλῶν ἐτῶν ἀριθμόν. τοῦτο δοκεῖ μὲν ἁπλῶς τοῖς ἐπιπολαίως ἐντυγχάνουσι τοῖς ἐγκειμένοις ἔχειν ζήτησίν τινα. εἰ δέ τις εὐγνωμόνως τὴν ἀκοὴν ″ὑπόσχοιτο, σαφές ἐστι τὸ εἰρημένον καὶ οὐδεμίαν τῷ προσέχοντι ζήτησιν ἔχον. εἰ γὰρ καὶ πολλὴν ἐτῶν χρόνον ἔζησαν, ἀλλ᾽ ὅμως ἀφ᾽ ἧς ἤκουσαν τό, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ τὴν ἀπόφασιν * ἐδέξαντο τοῦ θανάτου, θνητοὶ γεγόνασι, καὶ ἐξ ἐκείνου ἄν τις εἶπεν αὐτοὺς τεθνηκέναι. τοῦτο οὖν καὶ ἡ γραφὴ αἰνιττομένη εἶπεν, ὅτι ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, ἀντὶ τοῦ, τὴν ἀπόφασιν δέξεσθε τοῦ θνητοὺς λοιπὸν εἶναι ὑμᾶς. καθάπερ γὰρ ἐπὶ τῶν δικαστηρίων τῶν ἀνθρωπίνων ἐπειδὰν ἀπόφασίν τις δεξάμενος τοῦ πάντως τὴν κεφαλὴν ἀποτμηθῆναι, εἶτα εἰς τὸ δεσμωτήριον ἐμβληθῇ, κἂν ἐπὶ πολὺν χρόνον διαμένῃ, οὐδὲν ἄμεινον τῶν νεκρῶν καὶ τεθνηκότων διάξει, τῇ ἀποφάσει τεθνηκώς· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς τὴν ἀπόφασιν ἐδέξαντο τῆς θνητότητος, εἰ καὶ πολὺν διήρκεσαν χρόνον, ἀλλὰ τῇ ἀποφάσει τεθνήκασιν.

γ. τοῦ

γ. σώματός σοι φύσιν ἐχαρισ.

γ. ἄπαγε

γ. ἐνταῦθα

ἴσ. ὑπόσχοι,

* ταύτην

ΗΘΙΚΟΝ

Οἶδα ὅτι πολλὰ τὰ εἰρημένα, καὶ εἰς πολὺ μῆκος ἡμῖν ἐξετάθη τὰ τῆς διδασκαλίας. ἀλλ᾽ ἐπειδὴ τῇ τοῦ θεοῦ χάριτι κατὰ δύναμιν ἡμετέραν ἅπαντα εἰς μέσον ὑμῖν προθέντες τέλος ἐπεθήκαμεν τοῖς ἀναγνωσθεῖσι, συστείλωμεν ἐνταῦθα τὸν λόγον. ″ἐνῆν μὲν γὰρ καὶ ἕτερα προσθέντας δεῖξαι πάλιν καὶ ταύτην αὐτὴν τὴν τιμωρίαν τὴν ἐπαχθεῖσαν, καὶ τὸ θνητοὺς γενέσθαι, πολλὴν ἔχουσαν ἄβυσσον φιλανθρωπίας· ἀλλ᾽ ἵνα μὴ τῷ πολλῷ πλήθει καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, φέρε, παρακαλέσωμεν ὑμᾶς ἐντεῦθεν ἐξελθόντας μὴ εἰς ἀνοήτους συλλόγους ἑαυτοὺς ἐκδιδόναι, μηδὲ εἰς φλυαρίας ἀκαίρους, ἀλλὰ καθ᾽ ἑαυτοὺς συνιόντας μετ᾽ ἀλλήλων συλλέγειν τὰ εἰρημένα, καὶ εἰς ὑπόμνησιν ἑαυτοὺς ἄγειν, τί μὲν ὁ δικαστὴς ἀπεκρίνατο, τί δὲ οἱ ὑπεύθυνοι ἀπελογήσαντο καὶ πῶς ὁ μὲν Ἀδὰμ τὴν αἰτίαν ἐπὶ τὴν γυναῖκα μετήγαγεν, ἐκείνη δὲ ἐπὶ τὸν ὄφιν καὶ πῶς καὶ τοῦτον ἐτιμωρήσατο, καὶ ὅτι διηνεκῆ καὶ τῷ παντὶ αἰῶνι συμπαρεκτεινομένην αὐτῷ τὴν τιμωρίαν ἐπήγαγε, καὶ σφοδρὰν τὴν κατ᾽ αὐτοῦ ἀγανάκτησιν ἐποιήσατο, καὶ διὰ τούτου δεικνὺς τὴν πρὸς τοὺς ἀπατηθέντας κηδεμονίαν. δι᾽ ὧν γὰρ τὸν ἀπατήσαντα οὕτως ἠμύνατο, δῆλον ὅτι εἰς τοὺς πάνυ αὐτῷ περισπουδάστους τὴν ἀπάτην εἰργάσατο.

γ. ἐνὶ

κεφ. γ.

σαν. Εἶτα ἐντεῦθεν μνημονεύσατε τῆς ἐπιτιμίας τῆς γυναικός, καὶ τῆς κολάσεως τῆς ἐπαχθείσης αὐτῇ, μᾶλλον δὲ τῆς νουθεσίας· καὶ οὕτω τὰ πρὸς τὸν Ἀδὰμ εἰρημένα μνημονεύσαντες, καὶ τῆς ἀποφάσεως εἰς ἔννοιαν ἐλθόντες, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἐντεῦθεν ἐκπλάγητε τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, ὅτι ἡμᾶς τοὺς ἐκ τῆς γῆς ὄντας καὶ εἰς γῆν διαλυομένους, εἰ βουληθείημεν ἀρετὴν μετελθεῖν καὶ κακίαν φυγεῖν, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιοῦν ἐπηγγείλατο τῶν ἡτοιμασμένων τοῖς ἠγαπηκόσιν αὐτόν, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Χάριν τοίνυν πολλὴν ὀφείλομεν ἡμεῖς ὁμολογεῖν τῷ δεσπότῃ ὑπὲρ τῶν τηλικούτων εὐεργεσιῶν, καὶ μηδέποτε λήθῃ ταῦτα παραπέμπειν, ἀλλὰ διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς πολλῆς τῶν φαύλων ἀποφυγῆς τοῦτον ἐξιλεωσώμεθα καὶ εὐμενῆ ἡμῖν καταστήσωμεν. πῶς γὰρ οὐ πάσης τοῦτο ἀγνωμοσύνης δεῖγμα, εἰ αὐτὸς μὲν θεὸς ὢν καὶ ἀθάνατος, τὴν φύσιν ἀναλαβέσθαι τὴν θνητὴν ἡμῶν καὶ γήϊνον οὐσίαν οὐ παρῃτήσατο, καὶ τῆς ἀρχαίας νεκρώσεως ἀπαλλάξαι, καὶ ὑπὲρ τὸν οὐρανὸν ταύτην ἀναβιβάσαι, καὶ τῇ πατρικῇ συνεδρίᾳ τιμῆσαι, καὶ ὑπὸ πάσης τῆς οὐρανίας στρατιᾶς προσκυνεῖσθαι καταξιῶσαι· ἡμεῖς δὲ τὰ ἐναντία τούτῳ ἀνταμείψαι οὐ κατῃδέσθημεν, ἀλλὰ καὶ τὴν ἀθάνατον ψυχήν, ὡς ἄν τις εἴποι, τῇ σαρκὶ προσκολλήσαντες, γήϊνον αὐτὴν καὶ νεκρὰν καὶ ἀνενέργητον γενέσθαι κατεσκευάσαμεν; μή, παρακαλῶ, μὴ οὕτως ἀγνώμονες ὦμεν περὶ τὸν τοσαῦτα ἡμᾶς εὐεργετηκότα, ἀλλὰ τοῖς αὐτοῦ νόμοις ἑπόμενοι τὰ αὐτῷ δοκοῦντα καὶ εὐάρεστα ὄντα διαπραττώμεθα, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἀξίους ἡμᾶς ἀναδείξῃ, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λόγ. ιη.

ΚΑΙ ΕΚΑΛΕΣΕΝ ΑΔΑΜ ΤΟ ΟΝΟΜΑ ΤΗΣ γυναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων. Καὶ ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς, καὶ εἶπεν ὁ θεός, ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν.

Εἴδετε χθὲς δικαστοῦ φιλανθρωπίαν, εἴδετε ἐξέτασιν ἀγαθότητος γέμουσαν, εἴδετε τιμωριῶν διαφοράν, πῶς μὲν ὁ διὰ τῆς ἀπάτης ὑποσκελίσας ἐτιμωρήθη, πῶς δὲ ἡ τοῖς ὑποσκελισθεῖσιν ἐπαχθεῖσα τιμωρία πολλὴν δείκνυσι τὴν τοῦ θεοῦ φιλανθρωπίαν, εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις τὸ παραστῆναι τῷ δικαστηρίῳ, καὶ ἰδεῖν ὅπως προεχώρησεν ἡ ἐξέτασις. ἔγνωμεν γὰρ ὅσων τε καὶ ἡλίκων ἀγαθῶν ἑαυτοὺς ἀπεστέρησαν ὅ, τε Ἀδὰμ ἥ τε Εὔα, διὰ τῆς παραβάσεως τῆς δοθείσης ἐντολῆς γυμνωθέντες τῆς δόξης ἐκείνης τῆς ἀφάτου, καὶ τῆς ζωῆς τῆς οὐδὲν ἔλαττον σχεδὸν ἐχούσης τῶν ἀγγέλων. εἴδομεν τὴν ἀνεξικακίαν τοῦ δεσπότου· ἐπαιδεύθημεν ὅσον κακόν ἐστι ῥᾳθυμία, καὶ ὅπως καὶ τῶν ἤδη ὑπηργμένων ἀγαθῶν γυμνοὺς καὶ ἐρήμους ἡμᾶς ἐργάζεται, καὶ ἐν πολλῇ καθίστησι τῇ αἰσχύνῃ. διό, παρακαλῶ, νήφωμεν, καὶ τὰ ἐκείνων πτώματα ἡμῖν γενέσθω φάρμακα, καὶ ἡ ἐκείνων ῥᾳθυμία ἡμῖν γινέσθω ἀσφαλείας ὑπόθεσις. ἐπεὶ καὶ μείζων ἡ τιμωρία τοῖς εἰς τὸ ἑξῆς τὰ αὐτὰ πλημμελοῦσιν, ὅσῳ μηδὲ τοῖς ὑποδείγμασι σωφρονέστεροι γενέσθαι ἠβουλήθησαν. οὐδὲ γὰρ οἱ μετὰ ταῦτα τὰ αὐτὰ τοῖς προτέροις ἁμαρτάνοντες, τὴν αὐτὴν εἰσπράττονται δίκην. καὶ τοῦτο συντόμως μαθεῖν ἔξεστιν ἀπὸ τοῦ σοφοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ μακαρίου Παύλου φημὶ, λέγοντος, Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ τὴν αὐτὴν δώσουσι δίκην οἱ πρὸ τοῦ νόμου καὶ μετὰ τὸν νόμον, ἀλλὰ βαρυτέρας ὑποστήσονται τιμωρίας οἱ μετὰ τὴν τοῦ νόμου δόσιν ἁμαρτάνοντες. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, τουτέστιν, ἡμερωτέραν αὐτοῖς ποιεῖ τὴν τιμωρίαν τὸ μὴ ἔχειν τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν καὶ βοήθειαν. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. οὗτοι δὲ, φησὶν, ἐπειδὴ καὶ τὸν νόμον ἔσχον διδάσκαλον, καὶ οὐδ᾽ οὕτως ἐσωφρονίσθησαν, ἀλλὰ τὰ αὐτὰ ἐκείνοις ἥμαρτον, μείζονα καὶ τὴν δίκην ὑποστήσονται). ἀλλ᾽ ἀκούσωμεν καὶ τῶν σήμερον [ἡμῖν] ἀναγνωσθέντων.

Ρωμ. β. 12.

20 Καὶ ἐκάλεσε, φησιν, Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωὴ, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

Ὅρα τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, πῶς οὐδὲ τοῦτο παρῆκεν, ἀλλ᾽ ἐδίδαξεν ἡμᾶς, ὅτι καὶ τῇ γυναικὶ τὴν προσηγορίαν ὁ Ἀδὰμ ἐπέθηκεν. ἐκάλεσε γάρ, φησι, τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωὴ, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων, τουτέστιν, αὕτη ἀρχή ἐστιν πάντων τῶν ἐξ αὐτῆς ἐσομένων, καὶ ῥίζα καὶ θεμέλιος τῆς μετὰ ταῦτα γενεᾶς. Εἶτα μετὰ τὸ διδάξαι ἡμᾶς τὴν ἐπιτεθεῖσαν τῇ γυναικὶ προσηγορίαν, πάλιν δείκνυσιν ἡμῖν τοῦ θεοῦ τὴν ἀγαθότητα, ὅπως οὐ περιορᾷ ἐν τοσαύτῃ αἰσχύνῃ καὶ γυμνότητι τοὺς ὑπ᾽ αὐτοῦ δημιουργηθέντας.

21 Καὶ ἐποίησε γάρ, φησι, κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς.

Καθάπερ γὰρ πατὴρ εὔσπλαγχνος παῖδα ἔχων "ἀσελγῆ, καὶ μετὰ πάσης ἐπιμελείας ἀνατρεφόμενον, καὶ τρυφῆς ἁπάσης ἀπολαύοντα, καὶ ἐσθῆτι λαμπρᾷ κεχρημένον, καὶ σηρικὰ ἱμάτια περιβεβλημένον, καὶ μετὰ ἀδείας τῇ ἐξουσίᾳ καὶ τῷ πλούτῳ κεχρημένον τῷ πατρικῷ, ὁρῶν ὕστερον ἀπὸ τῆς ἀνέσεως ταύτης τῆς πολλῆς εἰς κρημνὸν κακίας ἐξοκείλαντα, πάντων ἐκείνων ἀποστερήσας, καὶ τῇ ἑαυτοῦ ἐξουσίᾳ ὑποτάξας, καὶ τῆς ἐσθῆτος γυμνώσας, ἱμάτιον εὐτελὲς αὐτῷ πολλάκις καὶ δουλικὸν περιτίθησιν, ὥστε μὴ πάντη γυμνὸν εἶναι καὶ ἀσχημονεῖν· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος θεὸς, ἐπειδὴ ἀναξίους ἑαυτοὺς κατέστησαν τοῦ λαμπροῦ ἐκείνου καὶ φαιδροῦ ἐνδύματος, τοῦ περιστέλλοντος αὐτοὺς, καὶ "κατασκευάζοντος ἀνωτέρους εἶναι τῶν σωματικῶν ἀναγκῶν, γυμνώσας αὐτοὺς τῆς δόξης ἐκείνης [ἁπάσης] καὶ τῆς ἀπολαύσεως, ἧς πρότερον μετεῖχον, πρὶν ἢ πεσεῖν τὸ πτῶμα τοῦτο τὸ χαλεπὸν, πολλὴν περὶ αὐτοὺς τὸν οἶκτον ἐπιδεικνύμενος καὶ ἐλεῶν αὐτοὺς τῆς ἐκπτώσεως, καὶ ὁρῶν πολλὴν τὴν ἀσχημοσύνην περιβεβλημένους, καὶ οὐκ εἰδότας ὅ,τι καὶ πράξουσι (τοιαῦτα γὰρ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα. ἐπειδὰν γὰρ εὕρῃ τοὺς αὐτῷ πειθομένους, διὰ τῆς βραχείας ἡδονῆς ὑποσκελίσας, καὶ εἰς αὐτὸν τὸν βυθὸν τῆς κακίας καταβαλὼν, καὶ πάσης αἰσχύνης καὶ ἀτιμίας πληρώσας, ἀφίησι κεῖσθαι κάτω, ἐλεεινὸν θέαμα τοῖς ὁρῶσιν) ἀλλ᾽ ὁ τῶν ἡμετέρων ψυχῶν κηδεμὼν ὁρῶν αὐτοὺς ἐν ἀμηχανίᾳ πολλῇ, οὐδὲ οὕτω περιιδεῖν ἠνέσχετο, ἀλλὰ σκέπην αὐτοῖς ἐπινοεῖ, διὰ τῆς εὐτελείας τοῦ ἐνδύματος δεικνὺς αὐτοῖς, οἵων ἑαυτοὺς κατέστησαν ἀξίους ἐνδυμάτων. Καὶ ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς. ὅρα πόση τῆς θείας γραφῆς ἡ συγκατάβασις. ἀλλ᾽ ὅπερ πολλάκις εἶπον, καὶ νῦν λέγω· θεοπρεπῶς ἅπαντα νοῶμεν, καὶ τὸ ἐποίησεν, ἀντὶ τοῦ προσέταξε νοῶμεν· ἐκέλευσε χιτῶνας δερματίνους αὐτοὺς "περιβάλλεσθαι, ὑπόμνημα διηνεκὲς

γ. ἀνόητον

γ. ὑπεράνω [illegible]

γ. περιβεβλῆσθαι

τῆς παρακοῆς. ἀκουέτωσαν οἱ πλουτοῦντες, οἱ ἐντρυφῶντες τοῖς τῶν σκωλήκων νήμασι καὶ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ μανθανέτωσαν πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὴν ἀνθρωπίνην φύσιν ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ διὰ τὴν παράβασιν τῷ ἐπιτιμίῳ τοῦ θανάτου γέγονεν ὑπεύθυνος ὁ πρωτόπλαστος, ἔχρῃζε δὲ ἱματίων αὐτῷ περιτεθῆναι τὸ τὴν αἰσχύνην συγκαλύπτον, δερματίνους αὐτοῖς ἐποίησε χιτῶνας, διδάσκων φεύγειν ἡμᾶς τὸν ὑγρὸν καὶ διαλελυμένον βίον, καὶ μὴ τὸν ἀνειμένον καὶ βλακείας γέμοντα μεταδιώκειν, ἀλλὰ τὸν αὐστηρὸν μᾶλλον ἀσπάζεσθαι. ἀλλ' ἴσως ἀλγούμενοι πρὸς τὰ λεγόμενα οἱ πλουτοῦντες ἐροῦσι, τί οὖν; δερματίνους ἡμᾶς χιτῶνας κελεύεις περιβάλλεσθαι; οὐ τοῦτο λέγω. οὐδὲ γὰρ ἐκεῖνοι εἰς τὸ διηνεκὲς ἐκείνοις τοῖς χιτῶσιν ἐκέχρηντο. ὁ γὰρ φιλάνθρωπος δεσπότης ἀεὶ ταῖς προλαβούσαις εὐεργεσίαις ἑτέρας προστίθησιν. ἐπειδὴ γὰρ ὑπευθύνους λοιπὸν ἑαυτοὺς κατέστησαν ταῖς σωματικαῖς ἀνάγκαις, τῆς ἀπαθείας ἐκείνης καὶ τῆς ἀγγελικῆς διαγωγῆς ἀποστερηθέντες, μετὰ ταῦτα ᾠκονόμησεν ἀπὸ τῶν ἐρίων τῶν προβάτων ὁ θεὸς τὰ ἐνδύματα τοῖς ἀνθρώποις κατασκευάζεσθαι, οὐδενὸς ἑτέρου ἕνεκεν, ἢ ὥστε σκέπην γενέσθαι, καὶ μὴ τὸ λογικὸν τοῦτο ζῶον κατὰ τὸ αὐτὸ τοῖς ἀλόγοις ἐν γυμνότητι καὶ ἀσχημοσύνῃ διάγειν. ἡ τοίνυν τῶν ἱματίων περιβολὴ ὑπόμνησις ἡμῖν γενέσθω διηνεκὴς τῆς τε τῶν ἀγαθῶν ἐκπτώσεως, καὶ τῆς τιμωρίας διδασκαλία, ἣν διὰ τὴν παρακοὴν τὸ τῶν ἀνθρώπων γένος ἐδέξατο. λεγέτωσαν τοίνυν ἡμῖν οἱ τοσαύτῃ κεχρημένοι τῇ φαντασίᾳ, ὡς μηδὲ εἰδέναι λοιπὸν τὰ ἀπὸ τοῦ ἐρίου τῶν προβάτων ἐνδύματα, ἀλλὰ τὰ σηρικὰ" περιβαλλόμενοι καὶ εἰς τοσοῦτον ἐξοκείλαντες μανίας, ὡς καὶ" χρυσίον συνυφαίνειν τοῖς ἐνδύμασι (μάλιστα γὰρ τὸ τῶν γυναικῶν φῦλος ταύτην ἡμῖν ἐπιδείκνυται τὴν βλακείαν) τίνος [γὰρ] ἕνεκεν, εἰπέ μοι, τούτοις τὸ σῶμα καλλωπίζεις, καὶ χαίρεις τῇ ἐντεῦθεν περιβολῇ, καὶ οὐκ ἐννοεῖς ὅτι ἀντὶ μεγίστης ἡμῖν τιμωρίας διὰ τὴν παράβασιν ἡ σκέπη αὕτη ἐπενοήθη; διατί γὰρ μὴ ἀκούεις Παύλου λέγοντος, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα; ὁρᾷς ὅτι ἑνὸς μόνου δεῖ φροντίζειν, τοῦ μὴ γυμνὸν εἶναι τὸ σῶμα, τοῦ σκέπεσθαι αὐτὸ μόνον, μηκέτι δὲ καὶ περὶ διαφορᾶς ἐσθῆτος φροντίδα ποιεῖσθαι. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἔλθωμεν.

α. Τιμ. ϛ. η.

γρ. ἀνθρωπείαν

γρ. περιβαλλόμενοι

γρ. χρυσίῳ συνυφαίνειν τοῖς ἐνδύμασι

22 Καὶ εἶπεν ὁ θεός, ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. 23 Καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη.

Ὅρα πάλιν θεοῦ συγκατάβασιν· καὶ εἶπε, φησὶ, κύριος ὁ θεὸς, ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν. εἶδες πόση ἡ τῆς λέξεως" ταπεινότης· ταῦτα δὲ ἅπαντα θεοπρεπῶς νοῶμεν. βούλεται γὰρ ἐνταῦθα διὰ τῶν ῥημάτων τούτων τῆς ἀπάτης ἡμᾶς ὑπομνῆσαι, ἣν ἠπατήθησαν ὑπὸ τοῦ διαβόλου διὰ τοῦ ὄφεως. ἐπειδὴ γὰρ ἔλεγεν ἐκεῖνος, ὅτι ἐὰν φάγητε, ἔσεσθε ὡς θεοὶ, καὶ ἰσοθείας ἐλπίδι τῆς βρώσεως κατετόλμησαν, διὰ τοῦτο καὶ ὁ θεὸς πάλιν ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῶν ἐπταισμένων, καὶ τῆς παρακοῆς τὸ μέγεθος δεῖξαι, καὶ τῆς ἀπάτης τὴν ὑπερβολὴν, φησὶν, ἰδοὺ γέγονεν Ἀδὰμ, ὡς εἷς ἐξ ἡμῶν. μεγάλη τοῦ ῥήματος ἡ ἐντροπὴ, καθικέσθαι δυναμένη τοῦ παραβάντος. διὰ τοῦτο, φησὶ, καταφρονήσας τῆς ἐντολῆς τῆς ἐμῆς [ἰσοθείαν φαντασθείς;] ἰδοὺ γέγονας ὃ προσεδόκησας, μᾶλλον δὲ οὐχ ὃ προσεδόκησας, ἀλλ' ὅπερ ἦς ἄξιος γενέσθαι. ἰδοὺ γὰρ, φησὶν, Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. τοῦτο γὰρ ὁ ἀπατεὼν διάβολος αὐτοῖς ἔλεγε διὰ τοῦ ὄφεως, ὅτι διανοιχθήσον-

γρ. ταπείνωσις

ται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ καὶ ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. ὅρα μοι ἐνταῦθα φιλανθρωπίαν δεσπότου. δεῖ γὰρ μετὰ ἀκριβείας διερευνῆσαι τὸ εἰρημένον, ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ τῶν ἐν τῷ βάθει τούτῳ κεκρυμμένων. ἡνίκα τὴν ἐντολὴν ἐδίδου τῷ Ἀδὰμ ὁ θεὸς, οὐδενὸς ἑτέρου ἀπέχεσθαι αὐτὸν προσέταξεν, ἢ μόνου τοῦ ξύλου, οὗ τῆς βρώσεως κατατολμήσας τὸ ἐπιτίμιον τοῦ θανάτου ἐδέξατο, ὅπερ ἐντελλόμενος αὐτῷ ὡς εἶπεν εἰ παραβαίη, περὶ τοῦ τῆς ζωῆς ξύλου οὐδὲν διαστειλάμενος. ἐπειδὴ γὰρ, ὡς ἡγοῦμαι καὶ ἔστι συνιδεῖν, ἀθάνατον αὐτὸν ἐδημιούργησεν, ἐξῆν αὐτῷ, εἴπερ ἐβούλετο, μετὰ τῶν ἄλλων καὶ ἐκείνου μεταλαμβάνειν, δυναμένου διηνεκῆ τὴν ζωὴν αὐτῷ παρέξειν. διόπερ οὐδεμίαν ἐντολὴν περὶ ἐκείνου δέχεται. εἰ δέ τις βούλοιτο περίεργος ὢν ζητεῖν διατί ξύλον ζωῆς ἐκαλεῖτο, μανθανέτω μὴ πάντα μετὰ ἀκριβείας τοῖς οἰκείοις λογισμοῖς ἀκολουθοῦντα δύνασθαι τὸν ἄνθρωπον καὶ τὰ τοῦ θεοῦ ἔργα κατοπτεύειν. ἔδοξε γὰρ τῷ δεσπότῃ, ἵνα γυμνασίαν ἔχῃ ὑπακοῆς καὶ παρακοῆς ὁ ὑπ' αὐτοῦ δημιουργηθεὶς ἄνθρωπος ἐν τῷ παραδείσῳ διάγων, καὶ τὰ δύο ταῦτα ξύλα ἐκεῖ ἀναδεῖξαι, τὸ μὲν τῆς ζωῆς, τὸ δὲ, ὡς εἰπεῖν, τοῦ θανάτου. ἡ γὰρ τούτου βρῶσις καὶ ἡ παράβασις τῆς ἐντολῆς τὸν θάνατον αὐτῷ ἐπήγαγεν. ἐπεὶ οὖν τούτου μεταλαβὼν θνητὸς γέγονε, καὶ ταῖς τοῦ σώματος ἀνάγκαις λοιπὸν ὑπεύθυνος, καὶ ἀρχὴν ἔλαβε τῆς ἁμαρτίας ἡ εἴσοδος, δι' ἣν καὶ ὁ θάνατος ὑπὸ τοῦ δεσπότου συμφερόντως ᾠκονομήθη, οὐκέτι λοιπὸν ἀφίησιν ἐν τῷ παραδείσῳ τὸν Ἀδὰμ, ἀλλ' ἐξελθεῖν ἐκεῖθεν προστάττει, δεικνὺς ὅτι δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ″ἢ διὰ τὴν φιλανθρωπίαν τὴν περὶ αὐτόν. καὶ ἵνα μάθωμεν ἀκριβῶς, ἀναγκαῖον αὐτὰ πάλιν ἀναγνῶναι τὰ ῥήματα τῆς θείας γραφῆς. καὶ νῦν, φησι, μήποτε ἐκτείνῃ τὴν χεῖρα, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. ἐπειδὴ γὰρ πολλῆς ἀκρασίας, φησὶ, δείγματα παρέσχε διὰ τῆς ἤδη δοθείσης ἐντολῆς, καὶ θνητὸς γέγονεν, ἵνα μὴ πάλιν [φησὶ] κατατολμήσῃ καὶ τούτου τοῦ ξύλου ἐφάψασθαι, τοῦ τὴν ζωὴν παρέχοντος τὴν διηνεκῆ, καὶ μέλλῃ ἀθάνατα ἁμαρτάνειν, βέλτιον αὐτὸν ἐντεῦθεν ἔξω βληθῆναι· ὥστε κηδεμονίας μᾶλλον ἦν, ἢ ἀγανακτήσεως ἡ ἐκβολὴ τοῦ παραδείσου. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος, καὶ τιμωρούμενος οὐκ ἔλαττον, ἢ εὐεργετῶν τὴν περὶ ἡμᾶς κηδεμονίαν ″ἐπιδείκνυται. καὶ γὰρ καὶ αὐτὴν τὴν τιμωρίαν νουθεσίας ἕνεκεν ἡμῖν ἐπάγει. ὡς εἴγε ᾔδει ἡμᾶς μὴ χείρους γινομένους τῷ ἀτιμωρητὶ ἁμαρτάνειν, οὐκ ἂν οὐδὲ ἐτιμωρήσατο· ἀλλὰ προαναστέλλων ἡμῶν τὴν ἐπὶ τὸ χεῖρον πρόοδον, καὶ τὴν πονηρίαν ″ἐγκόπτων τὴν ἐπὶ τὸ πρόσω, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος τιμωρεῖται· ὃ δὴ καὶ νῦν πεποίηκε. κηδόμενος γὰρ τοῦ πρωτοπλάστου, ἐκβληθῆναι αὐτὸν τοῦ παραδείσου προσέταξε. καὶ ἐξαπέστειλεν αὐτὸν, φησι, κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. ὅρα μοι πάλιν ἐνταῦθα τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐξαπέστειλεν αὐτὸν, φησι, κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. ἰδοὺ, τὰς ἀποφάσεις αὐτοῦ εἰς ἔργον ἄγει, καὶ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐξαγαγὼν, ἐργάζεσθαι τὴν γῆν αὐτὸν ποιεῖ ἐξ ἧς ἐλήφθη. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐξ ἧς ἐλήφθη, ἀλλ' ἵνα διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ τῆς ταπεινοφροσύνης, τὴν ἐργασίαν, καὶ εἰδέναι ἔχῃ, ὡς ἐκεῖθεν αὐτῷ ἡ σύστασις καὶ ἡ οὐσία τοῦ σώματος [ἐκ τῆς γῆς, ἐξ ἧς] ἐξ ἀρχῆς γεγένηται· ἐκείνην φησὶν ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς καὶ αὐτὸς συνέστη. τοῦτο γὰρ καὶ ἐν τῇ ἀποφάσει ἔλεγεν, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. τὸ αὐτὸ τοίνυν καὶ νῦν λέγει διὰ τοῦ εἰπεῖν ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. εἶτα ἵνα μάθωμεν πό-

γρ. ἀλλ' ἢ

γρ. ἐνδείκνυται.

γρ. ἐκκόπτ.

σῳ διαστήματι αὐτὸν " ἀπῴκησε τοῦ παραδείσου, καὶ τοῦτο διδάσκει ἡμᾶς ἡ θεία γραφὴ λέγουσα·

24 Καὶ ἐξέβαλε κύριος ὁ θεὸς τὸν Ἀδάμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς.

Σκόπει πῶς ἕκαστον τῶν γινομένων ὑπὸ τοῦ κοινοῦ δεσπότου, φιλανθρωπίας ὑπόθεσις ἦν· καὶ ἕκαστον [τῆς] τιμωρίας εἶδος, ἀγαθότητος γέμει πολλῆς. οὐ γὰρ τὸ ἐκβαλεῖν μόνον φιλανθρωπίας καὶ ἀγαθότητος ἦν, ἀλλὰ καὶ τὸ ἀπέναντι τοῦ παραδείσου "κατοικίσαι αὐτόν, ἵνα ἀδιάλειπτον ὀδύνην ἔχῃ καθ' ἑκάστην ἡμέραν ἀναλογιζόμενος, οἵων ἐκπεπτωκὼς εἰς οἵαν ἑαυτὸν κατάστασιν ἤγαγεν. ἀλλ' ὅμως εἰ καὶ ὀδύνην ἀφόρητον ἔχει ἡ θέα, ἀλλ' οὐ μικρᾶς ὠφελείας ὑπόθεσίς ἐστι, καὶ πρὸς τὸ ἑξῆς ἀσφάλεια τῷ ὀδυνωμένῳ ἡ συνεχὴς θέα, πρὸς τὸ μὴ τοῖς αὐτοῖς πάλιν *περιπεσεῖν. καὶ γάρ, ὡς ἐπὶ τὸ πλεῖστον, τῆς ἀνθρωπίνης φύσεως τοιοῦτον τὸ ἔθος. ἐπειδὰν γὰρ ἐν ἀπολαύσει τῶν ἀγαθῶν ὄντες μὴ ἤδειμεν αὐτοῖς κεχρῆσθαι δεόντως, τῇ στερήσει τούτων σωφρονιζόμεθα, καὶ τότε διὰ τῆς πείρας μανθάνοντες αἴσθησιν λαμβανόμεθα τῆς οἰκείας ῥᾳθυμίας, καὶ οὕτω διὰ τῆς τῶν πραγμάτων μεταβολῆς διδασκόμεθα, τίνων μὲν ἐξεπέσαμεν, τίσι δὲ ἑαυτοὺς περιεπείραμεν. ὥστε καὶ τὸ πλησίον καὶ ἀπέναντι τοῦ παραδείσου προστάξαι κατοικεῖν τὸν ἐκεῖθεν ἐκπεπτωκότα, μεγίστης κηδεμονίας σημεῖον ἦν, ἵνα καὶ τὴν ἐκ τῆς θέας ὑπόμνησιν ἔχῃ, καὶ τοῦ ἐντεῦθεν κέρδους ἀπολαύῃ, καὶ μηδὲ ἐπιθυμίαν τῆς φιλοζωίας ἔχων καὶ ἔξω τυγχάνων κατατολμήσῃ τῆς τοῦ ξύλου βρώσεως. ὡς γὰρ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν συγκαταβαίνουσα, ἅπαντα ἡμῖν διαλέγεται ἡ θεία γραφή.

Καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Τῆς ῥᾳθυμίας [αὐτῶν] "ἣν ἤδη περὶ τὴν δοθεῖσαν ἐντολὴν "ἐπεδείξαντο, αἴτιον γέγονε, τὸ μετὰ τοσαύτης ἀσφαλείας ἀποτειχισθῆναι αὐτῷ τὴν εἴσοδον. ἐννόησον γάρ μοι, ὅτι οὐδὲ τῇ ἀπέναντι τοῦ παραδείσου οἰκήσει ἠρκέσθη ὁ φιλάνθρωπος, ἀλλ' ἔταξε τὰς δυνάμεις ταύτας, τὰ χερουβίμ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τὴν ἐκεῖσε εἰσάγουσαν. οὐχ ἁπλῶς δὲ προσέθηκε τὴν στρεφομένην, ἀλλ' ἵνα διδάξῃ ἡμᾶς, ὅτι πᾶσα ὁδὸς αὐτῷ ἀποτετείχιστο τῆς ῥομφαίας ἐκείνης διὰ τοῦ στρέφεσθαι πάσας τὰς ἐκεῖσε φερούσας ὁδοὺς ἀποφραττούσης, καὶ διηνεκῆ τὸν φόβον αὐτῷ καὶ τὴν ὑπόμνησιν παρέχειν δυναμένης.

Κεφ. δ.

1 Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ.

Σκόπει πότε τοῦτο γέγονε. μετὰ τὴν παρακοήν, μετὰ τὴν ἔκπτωσιν τὴν ἐκ τοῦ παραδείσου, τότε τὰ τῆς συνουσίας ἀρχὴν λαμβάνει. πρὸ γὰρ τῆς παρακοῆς ἀγγελικὸν ἐμιμοῦντο βίον, καὶ οὐδαμοῦ συνουσίας λόγος. πῶς γάρ, ὁπότε οὐδὲ ταῖς τῶν σωμάτων ἀνάγκαις ὑπέκειντο; ὥστε ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τὰ τῆς παρθενίας ἀρχὴν ἐλάμβανεν. ἀλλ' ἐπειδὴ ἐπεισῆλθε διὰ ῥᾳθυμίαν ἡ παρακοή, καὶ εἴσοδον ἔσχε τὰ τῆς ἁμαρτίας, ἐκείνη μὲν ἀπέπτη, ἅτε δὴ ἀναξίων αὐτῶν γεγονότων τοῦ τοσούτου μεγέθους τῆς ἀρετῆς· ἐπεισῆλθε δὲ λοιπὸν ὁ τῆς συνουσίας νόμος. ἐννόησόν μοι τοίνυν, ἀγαπητέ, ὅσον τῆς παρθενίας τὸ ἀξίωμα, ὅπως ὑψηλόν τί ἐστι καὶ μέγα χρῆμα καὶ "ὑπερβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον "χειρός. ὅτι γὰρ ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπιδείκνυνται δυνάμεων (α) τὴν παρθενίαν προθύμως ἑλόμενοι, ἄκουε τοῦ Χριστοῦ λέγοντος πρὸς τοὺς Σαδδουκαίους. ἐπειδὴ γὰρ (β) περὶ τῆς ἀναστάσεως κινοῦντες λόγον πυνθάνεσθαι ἐβούλοντο, ἐπηρώτων αὐτὸν λέγοντες, Διδάσκαλε, ἦσαν παρ' ἡμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε μὴ ἔχων τέκνα, καὶ ἀφῆκε

Ματ. κβ. κθ.
Μαρ. ιβ. ιθ.
Λουκ. κ. κη.

ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ὁ δεύτερος ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ, ὁμοίως καὶ ὁ τρίτος καὶ ὁ τέταρτος καὶ ὁ πέμπτος καὶ ὁ ἕκτος καὶ ὁ ἕβδομος. ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν. τί οὖν ὁ Χριστὸς πρὸς αὐτούς; πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι θεοῦ. εἶδες πῶς ἐν γῇ βαδίζοντες καὶ σώματι συμπεπλεγμένοι τὴν ἀγγελικὴν μιμοῦνται διαγωγὴν οἱ τὸν τῆς παρθενίας κλῆρον ἀναδεξάμενοι διὰ τὸν τοῦ Χριστοῦ πόθον. "ὅσον γὰρ μέγα καὶ ὑψηλὸν τὸ πρᾶγμα, τοσούτῳ," μᾶλλον δὲ πολλῷ μείζους οἱ στέφανοι, καὶ αἱ ἀντιδόσεις, καὶ τὰ ἐπηγγελμένα ἀγαθὰ τοῖς μετ' αὐτῆς καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν" ἐνδεικνυμένοις.

γρ. ὅσῳ
γρ. τοσοῦτον καὶ πολλῷ
γρ. ἐπιδεικνυμένοις.

Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν.

Ἐπειδὴ" ἐπεισῆλθεν ἡ ἁμαρτία διὰ τῆς παρακοῆς, καὶ ἡ ἀπόφασις θνητοὺς αὐτοὺς εἰργάσατο, λοιπὸν ὁ εὐμήχανος θεὸς κατὰ τὴν" ἑαυτοῦ σοφίαν τὴν διαμονὴν τοῦ τῶν ἀνθρώπων γένους οἰκονομῶν, συνεχώρησε διὰ τῆς συνουσίας αὐξηθῆναι τὸ γένος, καὶ εἶπεν,

γρ. ἐπῆλθεν
γρ. αὐτοῦ.

Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ.

Ὅρα πῶς τὸ γενόμενον ἐπιτίμιον σωφρονεστέραν εἰργάσατο τὴν γυναῖκα. τὸ γὰρ τεχθὲν παιδίον οὐ τῇ φύσει, ἀλλὰ τῷ θεῷ λογίζεται, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται. εἶδες πῶς ἡ τιμωρεία νουθεσίας ὑπόθεσις αὐτοῖς γέγονεν. ἐκτησάμην γάρ, φησιν, ἄνθρωπον διὰ τοῦ θεοῦ. οὐχ ἡ φύσις, φησί, τὸ παιδίον μοι ἐχαρίσατο, ἀλλ' ἡ ἄνωθεν χάρις δεδώρηται.

2 Καὶ προσέθετο τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ.

Ἐπειδὴ εὐγνώμων γέγονεν ἐπὶ τῷ τεχθέντι, καὶ ἐπέγνω τὴν προτέραν εὐεργεσίαν, ἐπέτυχε καὶ τῆς δευτέρας. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος. ἐπειδὰν ἐπὶ τοῖς προλαβοῦσι τὴν" ἑαυτῶν εὐγνωμοσύνην ἐπιδειξώμεθα, καὶ τὴν εὐεργεσίαν ἐπιγνῶμεν, ἐπιδαψιλεύεται τὰς ἑαυτοῦ δωρεάς. καὶ αὕτη τοίνυν ἐπειδὴ τῷ θεῷ τὸν τόκον ἐλογίσατο, διὰ τοῦτο καὶ ἕτερον λαμβάνει παιδίον. μεγίστη γὰρ ἦν λοιπὸν παραμυθία τῆς θνητότητος ἐπεισελθούσης ἡ τῶν παίδων διαδοχή. διά τοι τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς εὐθέως * ἐξ ἀρχῆς τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως ὑποτεμνόμενος, καὶ τοῦ θανάτου τὸ φοβερὸν προσωπεῖον περιαιρῶν, τὴν τῶν παίδων διαδοχὴν ἐχαρίσατο, ὡς ἂν εἴποι τις, εἰκόνα ἀναστάσεως ἐντεῦθεν ὑποφαίνων, καὶ ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀνίστασθαι οἰκονομῶν.

γρ. ἐπ' αὐτὸν
* καὶ

Καὶ ἐγένετο, φησιν, Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν.

Ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφὴ ἑκάστου τῶν τεχθέντων τὰ ἐπιτηδεύματα· καὶ ὅτι ὁ μὲν τὴν ποιμαντικὴν εἵλετο, ὁ δὲ τὴν γῆν" ἐργάζεσθαι.

γρ. εἰργάζετο.

3 Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ" θεῷ.

γρ. κυρίῳ.

Σκόπει πῶς τῷ συνειδότι τὴν γνῶσιν ἐναπέθετο τῆς φύσεως ὁ δημιουργός. τίς γάρ, εἰπέ μοι, τοῦτον ὡδήγησε πρὸς τὴν τοιαύτην ἔννοιαν; οὐδεὶς ἕτερος, ἀλλ' ἡ ἐν τῷ συνειδότι γνῶσις. ἤνεγκε, φησιν, ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ" θεῷ. ᾔδει γὰρ καὶ ἠπίστατο, ὅτι προσήκει καθάπερ δεσπότῃ ἐκ τῶν οἰκείων κλημάτων προσαγαγεῖν τι τῶν πάντων· οὐκ ἐπειδὴ ὁ θεὸς τούτων δεῖται, ἀλλ' ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται αὐτὸς τῆς τοιαύτης ἐργασίας ἀπολαύων. ἀνενδεὴς γὰρ ὁ θεός, καὶ οὐδενὸς χρῄζει τῶν παρ'' ἡμῶν· διὰ δὲ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν συγκατα-

γρ. κυρίῳ.
γρ. ἡμῶν

βαίνων ἡμῖν, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν ἀνέχεται ταῦτα γίνεσθαι, ἵνα διδασκάλειον ἀρετῆς ᾖ τῇ τῶν ἀνθρώπων φύσει ἡ ἐπίγνωσις τοῦ δεσπότου.

4 Καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ.

Οὐχ ἁπλῶς οὐδὲ εἰκῇ προοιμιαζόμενος ἐν ἀρχῇ τοῦ λόγου ἐδίδασκον ὑμῶν τὴν ἀγάπην, ὅτι διαφορὰν προσώπων οὐκ οἶδεν ὁ δεσπότης ὁ ἡμέτερος, ἀλλ' ἀπὸ προαιρέσεως ἐξετάζων τὴν γνώμην στεφανοῖ. ἰδοὺ γοῦν καὶ νῦν τοῦτο σκόπει γεγενημένον. προσέχωμεν τοίνυν μετὰ ἀκριβείας, ἀγαπητοὶ, τοῖς εἰρημένοις, καὶ ἴδωμεν τί μὲν περὶ τοῦ Κάϊν διηγεῖται ἡ γραφὴ, τί δὲ περὶ τοῦ Ἄβελ, καὶ μὴ ἁπλῶς αὐτὰ παραδράμωμεν. οὐδὲν γὰρ″ ἁπλῶς καὶ ὡς ἔτυχε φθέγγεται ἡ θεία γραφὴ, ἀλλὰ κἂν συλλαβὴ τυγχάνῃ, κἂν κεραία μία, ἔχει τινὰ ἐγκεκρυμμένον θησαυρόν. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά. τί οὖν φησι; καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ″ θεῷ, καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ,

γρ. αὐτῷ

γρ. κυρίῳ,

Καὶ ἀπὸ τῶν στεάτων αὐτῶν.

Τοῖς ὀξύτερον ἐπιβάλλειν δυναμένοις ἤδη καὶ ἐκ τῆς ἀναγνώσεως δῆλόν ἐστι τὸ εἰρημένον. ἀλλ' ἐπειδὴ προσήκει ἡμᾶς πάντων κοινῶς ποιεῖσθαι τὴν πρόνοιαν (οὐδὲ γὰρ οἶδε διαφορὰν ἡ πνευματικὴ διδασκαλία) φέρε, σαφέστερον ὑμῖν ἐκκαλύψωμεν τὰ εἰρημένα, πάλιν τὰ αὐτὰ″ ἀναλαμβάνοντες. Κάϊν, φησὶν, ἤνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ. εἶτα βουλομένη καὶ περὶ τοῦ Ἄβελ διδάξαι ἡμᾶς ἡ θεία γραφή φησιν, ὅτι καὶ αὐτὸς ἀπὸ τοῦ ἐπιτηδεύματος αὐτοῦ καὶ ἐκ τῆς ποιμαντικῆς τὴν [ἑαυτοῦ] θυσίαν προσήνεγκεν. ἤνεγκε γάρ, φησι, καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. σκόπει πῶς ἡμῖν αἰνίττεται τὸ φιλόθεον τούτου τῆς γνώμης· καὶ ὅτι οὐχ ἁπλῶς ἀπὸ τῶν προβάτων προσήνεγκεν, ἀλλ' ἀπὸ τῶν πρωτοτόκων, τοῦτ' ἔστιν ἀπὸ τῶν τιμίων, τῶν ἐξαιρέτων· εἶτα καὶ ἐξ αὐτῶν τούτων τῶν πρωτοτόκων πάλιν τὰ τιμιώτερα, καὶ ἀπὸ τῶν στεάτων, φησὶν, αὐτῶν, τῶν εὐπαθεστέρων, τῶν τιμιωτέρων. ἐπὶ δὲ τοῦ Κάϊν οὐδὲν τοιοῦτον ἐπεσημήνατο· ἀλλὰ τί; προσήνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ, ὡς ἂν εἴποι τις, τὰ τυχόντα, οὐδεμίαν σπουδὴν οὐδὲ ἀκρίβειαν ἐπιδειξάμενος. πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι· *οὐκ ἐπειδὴ ὁ θεὸς″ τῶν παρ' ἡμῶν δεῖται, ἀνέχεται τῶν προσαγομένων, ἀλλὰ βούλεται καὶ διὰ τούτων δείκνυσθαι τὴν ἡμετέραν εὐγνωμοσύνην. τὸν γὰρ θεῷ προσάγοντα, καὶ ἐκ τῶν αὐτοῦ προσάγοντα, ἐννοοῦντα τὸ μέσον τῆς φύσεως, καὶ ὅτι ἄνθρωπος ὢν τοσαύτης ἀξιοῦται τῆς τιμῆς, ἐχρῆν κατὰ τὸ ἐγχωροῦν τὰ παρ' ἑαυτοῦ ἐπιδείξασθαι, καὶ τὰ τιμιώτερα προσάγειν. ἀλλ' ὅρα μοι, ἀγαπητὲ [καὶ] ἐντεῦθεν ἔχων ἀφορμὰς πρὸς τὸ συνιδεῖν τὸ δέον, εἰκότως εὐθύνας δίδωσι, διὰ ῥαθυμίαν τὴν οἰκείαν προδιδοὺς σωτηρίαν. οὔτε γὰρ ἐκεῖνός τινα εἶχε τὸν διδάσκοντα, οὔτε οὗτός τινα τὸν ὑποτιθέμενον καὶ συμβουλεύοντα, ἀλλ' ἕκαστος ἐκ τῆς τοῦ συνειδότος διδασκαλίας καὶ τῆς ἄνωθεν σοφίας τῷ τῶν ἀνθρώπων γένει χορηγηθείσης κινούμενος, ὥρμησεν ἐπὶ τὴν τοιαύτην προσαγωγήν. ἀλλ' ἡ διαφορὰ τῆς γνώμης λοιπὸν, καὶ τῆς προαιρέσεως ἡ ῥαθυμία, τοῦ μὲν εὐπρόσδεκτον ἐποίησε τὴν προσαγωγὴν, τοῦ δὲ ἀπόβλητον.

γρ. τὰ αὐτὰ ἀναλαβόντες.

* ὅτι

γρ. τούτων

Καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ.

Ὅρα πῶς πληροῦται ἐνταῦθα τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον, ὅτι Ἔσονται οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. Ἰδοὺ γὰρ καὶ ἀπὸ τῶν″ πρωτοτόκων ἔχων προτέρημα, καὶ πρῶτος δῆθεν προσενεγκὼν, ἐπειδὴ οὐ δεόντως προσήνεγκεν, ″ἐλάττων ὤφθη τοῦ ἀδελφοῦ. ἀμφοτέρων γὰρ προσενεγκάντων τὰ δῶρα, φησιν ἡ θεία γρα-

Λουκ. ιγ. λ.
Μαρ. ι. λα.
Ματ. ιθ. λ.

γρ. πρωτοτοκίων
γρ. ἔλαττον

φη.

φῇ, καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. τί ἐστι καὶ ἐπεῖδεν; ἀντὶ τοῦ ἀπεδέξατο καὶ ἐπῄνεσε τὴν γνώμην, ἐστεφάνωσε τὴν προαίρεσιν, ἠρέσθη, ὡς ἂν εἴποι τις, τῷ" γεγονότι. εἰ γὰρ καὶ περὶ θεοῦ φθεγγόμεθα, καὶ περὶ τῆς ἀκηράτου φύσεως ἐκείνης τολμῶμεν" διαίρειν στόμα, ἀλλ' ἄνθρωποι ὄντες οὐκ ἄλλως" διαντείνημεν ταῦτα, ἢ διὰ τῆς γλώττης νοεῖν. σκόπει δὲ τὸ θαυμαστόν. ἐπεῖδε, φησιν, ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. τὴν τῶν προβάτων προσαγωγὴν δῶρα ἐκάλεσε διὰ τὸ τίμιον, διὰ τὸ ἐξαίρετον, διὰ τὸ ἄμωμον τῶν προσενεχθέντων. ἐπεῖδε τοίνυν ἐπ' αὐτὸν, ὅτι ὑγιεῖ γνώμῃ τὴν προσαγωγὴν ἐποιήσατο, καὶ ἐπὶ τὰ δῶρα τὰ προσενεχθέντα, οὐχ ὅτι ἀκηλίδωτα μόνον, ἀλλ' ὅτι πανταχόθεν τίμια φαινόμενα ἦν, ἀπό τε τῆς γνώμης τοῦ" προσάγοντος, ἀπό τε τοῦ πρωτότοκα εἶναι, καὶ τούτων τὰ ἐξαίρετα, καὶ ἀπὸ τῶν στεάτων, φησὶ, καὶ αὐτῶν τούτων τὰ βέλτιστα. καὶ ἐπεῖδε, φησιν, ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν. ἐπειδὴ ὀρθῇ γνώμῃ καὶ εἰλικρινεῖ διανοίᾳ προσήνεγκεν ὁ Ἄβελ, ἐπεῖδε, φησιν, ὁ θεὸς, τουτέστιν, ἐδέξατο, "ἠρέσθη," ἐπῄνεσε. δῶρα δὲ ἐκάλεσε τὰ προσενεχθέντα, τιμῶν καὶ διὰ τούτου τοῦ προσενέγκαντος τὴν γνώμην.

γ. τῷ γινομένῳ.
γ. διαίρειν
γ. [illegible]
γ. προσενέγκαντος.
γ. ἠρέσθη,
γ. ἐπεῖδε το.

5 Ἐπὶ δὲ Κάϊν, φησὶ, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε.

Σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν. τὸ μὲν γὰρ εἰπεῖν οὐ προσέσχεν, ἔδειξε τὴν ἀποβολὴν τῶν προσενεχθέντων· τὸ δὲ θυσίας καλέσαι τὰ ἀπὸ τῆς γῆς προσενεχθέντα, πάλιν ἕτερον ἡμᾶς τι διδάσκει. ὅρα γὰρ πῶς δείκνυσι δι' αὐτῶν τῶν γεγενημένων καὶ διὰ τῶν ῥημάτων, ὅτι ταῦτα ἅπαντα βούλεται παρ' ἡμῶν ὁ δεσπότης γίνεσθαι, ἵνα τὰ τῆς γνώμης ἡμῶν διὰ τῶν ὑφ' ἡμῶν πραττομένων δῆλα καθιστᾶται, καὶ ἵνα εἰδέναι ἔχωμεν, ὅτι ὑπὸ δεσπότην ἐσμὲν καὶ δημιουργὸν τὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγόντα. τὰ γὰρ πρόβατα δῶρα ὀνομάσασα ἡ θεία γραφὴ, καὶ τὰ ἀπὸ τῆς γῆς θυσίας προσειποῦσα παιδεύει ἡμᾶς, ὅτι οὔτε ἡ τῶν ἀλόγων προσκομιδὴ, οὔτε ἡ τῶν ἀπὸ τῆς γῆς καρπῶν προσαγωγὴ ζητεῖται παρὰ τῷ" δεσπότῃ, ἀλλ' ἡ τῆς γνώμης διάθεσις μόνον· ὅθεν καὶ νῦν ὁ μὲν ἀπ' αὐτῆς ἀπόδεκτος γέγονε μετὰ τοῦ δώρου, ὁ δὲ πάλιν διὰ ταύτην ἀπεβλήθη μετὰ τῆς θυσίας. τὸ δὲ ἐπεῖδεν ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε, θεοπρεπῶς νοῶμεν. βούλεται γὰρ εἰπεῖν ὅτι τοιαύτην αὐτοῖς γνῶσιν ἐνέθηκεν, ὅτι τοῦ μὲν ἠρέσθη" τῇ προαιρέσει, τοῦ δὲ ἀπεσείσατο τὴν ἀγνωμοσύνην. ἀλλὰ τὰ μὲν παρὰ τοῦ θεοῦ τοιαῦτα· ἴδωμεν δὲ λοιπὸν τὰ ἑξῆς.

γ. θεῷ,
γ. ἠρέσθη τὴν προαίρεσιν,

Καὶ ἐλύπησέ, φησι, τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ.

Τί ἐστι, καὶ ἐλύπησε τὸν Κάϊν λίαν; διπλῆ τὰ τῆς λύπης αὐτῷ γέγονεν, οὐχ ὅτι αὐτὸς" μόνον ἀπόβλητος ἐφάνη, ἀλλ' ὅτι καὶ τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδέχθη. καὶ ἐλύπησέ, φησι, τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ. τί ἐλύπησεν αὐτόν; ἀμφότερα αὐτὸν ἐλύπησε, καὶ τὸ μὴ προσέχειν τῇ θυσίᾳ αὐτοῦ τὸν δεσπότην, καὶ τὸ εὐπρόσδεκτον γενέσθαι τὸ τοῦ ἀδελφοῦ δῶρον· δέον οὖν τὴν αἰτίαν συνειδότα ἐξ αὐτῶν τῶν γεγενημένων, διορθώσασθαι τὸ πλημμεληθέν. φιλάνθρωπος γὰρ ὢν ὁ δεσπότης ὁ ἡμέτερος, ἐπειδὰν τι πλημμελήσωμεν, οὐχ οὕτως ἡμᾶς ἀποστρέφεται διὰ τὸ πλημμεληθέν, ὡς ἐπειδὰν ἐπιμείνωμεν τῷ πλημμελήματι. * καὶ ἵνα τοῦτο μάθῃς ἀκριβῶς, καὶ ἴδῃς τὸ ἄφατον μέγεθος φιλανθρωπίας, σκόπει ἐκ τῶν νῦν λεγομένων τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολὴν, καὶ τῆς ἀνεξικακίας τὸ μέγεθος. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν ἀμέτρως λυπηθέντα καὶ, ὡς εἰπεῖν, μέλλοντα καταβαπτίζεσθαι ὑπὸ τῶν τῆς λύπης κυμάτων, οὐ περι-

γ. μόνος

* ὁ δὲ λόγον οὐδένα ποιεῖ τούτων.

ὁρᾷ, ἀλλ' ἣν ἐπεδείξατο φιλανθρωπίαν περὶ τὸν τούτου πατέρα, ἀφορμὰς αὐτῷ διδοὺς ἀπολογίας, καὶ παρρησίας αὐτῷ θύραν ἀνοίγων, καὶ λέγων ποῦ εἶ, μετὰ τὸ χαλεπὸν ἐκεῖνο *″ παράπτωμα, τὴν αὐτὴν καὶ νῦν ἐπιδείκνυται * περὶ τὸν οὕτως ἀγνώμονα γεγονότα, καὶ ὡσανεὶ μέλλοντα κατὰ κρημνῶν φέρεσθαι, χεῖρα ὀρέγων καὶ πρόφασιν παρασχεῖν βουλόμενος τοῦ διορθώσασθαι τὸ πλημμέλημα, φησὶ πρὸς αὐτόν,

* καὶ μέγιστον
χ. πταῖσμα,
* φιλανθρωπίαν

6 Ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; 7 Οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ.

Σκόπει μοι, ἀγαπητὲ, συγκατάβασιν καὶ ″ κηδεμονίαν ἄφατον. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν πολιορκούμενον, ὡς εἰπεῖν, ὑπὸ τοῦ τῆς βασκανίας πάθους, ὅρα πῶς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, κατάλληλα αὐτῷ τὰ φάρμακα ἐπιτίθησιν, ὥστε ταχέως αὐτὸν ἀνιμήσασθαι, καὶ μὴ ὑποβρύχιον γενέσθαι. ἵνα τί, φησι, περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; τίνος ἕνεκεν, φησι, τοσαύτῃ κατεσχέθης λύπῃ, ὡς καὶ διὰ τοῦ προσώπου δεικνύναι τῆς ἀθυμίας τὸ μέγεθος; ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; διὰ τί οὕτω σου ἥψατο τὸ γεγενημένον; τίνος ἕνεκεν οὐκ ἀφ' ἑαυτοῦ ″ συνεῖδες τὸ δέον; μὴ γὰρ ἀνθρώπῳ προσέφερες παραλογισθῆναι δυναμένῳ; οὐκ ″ ᾔδεις ὅτι οὐχὶ τῶν προσαγομένων ἐδεόμην, ἀλλὰ τῆς τῶν προσαγόντων ὑγιοῦς γνώμης; ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; τὸ μὲν γὰρ εἰς ἔννοιαν ἐλθεῖν τοῦ προσενεγκεῖν, ἐπαινετόν· τὸ δὲ μὴ ὀρθῶς διελεῖν, [τοῦτο] τὴν ἀποβολὴν εἰργάσατο τοῦ προσενεχθέντος. ἔδει γὰρ θεῷ προσαγαγόντα πολλὴν ἐπιδείξασθαι περὶ τὴν διαίρεσιν τὴν ἀκρίβειαν, καὶ ὅσον ἐστὶ τὸ μέσον τοῦ δεχομένου καὶ τοῦ προσάγοντος, τοσαύτην ποιήσασθαι καὶ ἐν τῇ διαιρέσει τὴν διαφοράν. ἀλλὰ τούτων οὐδὲν ἐνενόησας σύ· ἁπλῶς τὰ τυχόντα προσήγαγες. διὰ τοῦτο οὐδὲ δεκτὰ γενέσθαι ″ ἠδυνήθη. ὥσπερ γὰρ ἡ σὴ γνώμη, μεθ' ἧς τὴν προσαγωγὴν ἐποιήσω οὐδὲν τὸ μέσον λογισάμενος, ἀποβληθῆναι ἐποίησε τὴν παρὰ σοῦ προσενεχθεῖσαν θυσίαν· οὕτως ἡ τοῦ ἀδελφοῦ γνώμη ὀρθὴ τετυχηκυῖα, καὶ πολλὴν ἐπιδειξαμένη ἐν τῇ διαιρέσει τὴν ἀκρίβειαν εὐπρόσδεκτα αὐτοῦ τὰ δῶρα πεποίηκεν. ὅμως οὐδὲ οὕτω δίκην ἀπαιτῶ τοῦ πλημμελήματος, ἀλλὰ δείκνυμι μόνον τὸ ἁμαρτηθὲν καὶ συμβουλὴν εἰσάγω, ἣν εἰ βουληθείης δέξασθαι, καὶ τὸ ἁμαρτηθὲν διορθώσῃ, καὶ χείροσιν οὐ περιβαλεῖς σαυτὸν κακοῖς. [τί οὖν;] ἥμαρτες, καὶ μέγα ἥμαρτες, ἀλλ' οὐ κολάζω διὰ τὸ ἁμαρτηθέν. φιλάνθρωπος γάρ εἰμι, καὶ οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἐπεὶ οὖν ἥμαρτες, ἡσύχασον, γαλήνην ἔργασαί σου τοῖς λογισμοῖς, καὶ ἀπαλλάγηθι τῆς τῶν κυμάτων σφοδρότητος τῶν πολιορκούντων σου τὴν διάνοιαν, κατάστειλον τὴν ταραχήν, μὴ τῷ προλαβόντι ἁμαρτήματι ἕτερον χαλεπώτερον προσθῇς, μηδὲ βουλεύσῃ μηδὲν τῶν ἀνηκέστων. μὴ αἰχμάλωτον σαυτὸν ἐκδῷς τῷ πονηρῷ δαίμονι. ἥμαρτες, ἡσύχασον. ᾔδει καὶ ἐκ προοιμίων τὴν μέλλουσαν ἐπιχείρησιν κατὰ τοῦ ἀδελφοῦ ″ γίνεσθαι, καὶ διὰ τούτων αὐτὴν προαναστέλλει τῶν ῥημάτων. ἐπειδὴ γὰρ ὡς θεὸς καὶ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος ᾔδει τῆς καρδίας αὐτοῦ τὰ κινήματα, τῇ πολλῇ παραινέσει, καὶ τῇ τῶν ῥημάτων συγκαταβάσει κατάλληλον αὐτῷ τὴν ἰατρείαν ″ προσφέρει, τὰ παρ' ἑαυτοῦ ἅπαντα πληρῶν, εἰ καὶ οὗτος τὸ φάρμακον ″ ἀπωσάμενος εἰς τὸ τῆς ἀδελφοκτονίας βάραθρον ἑαυτὸν κατεκρήμνισεν. ἥμαρτες, ἡσύχασον, μὴ νομίσῃς, φησὶν, εἰ καὶ ἀπεστράφην σου τὴν θυσίαν διὰ τὴν οὐκ ὀρθὴν γνώμην, καὶ εἰ τὰ τοῦ ἀδελφοῦ δῶρα προσεδεξάμην διὰ τὴν ὑγιῆ

χ. φιλανθρωπίαν
χ. σύνοιδας
χ. οἶδας
χ. ἠδυνήθησαν.
Ιεζ. ιη. κγ.
χ. ἔσεσθαι,
χ. εἰσφέρει,
χ. ἀπωσάμενος

προαίρεσιν

παραίρεσιν, ὅτι τῶν πρωτείων σε ἀποστερῶ, καὶ τῆς ἀξίας τῶν "πρωτοτόκων σε" ἐκβάλλω. ἥμαρτες· ἡσύχασον. Εἰ γὰρ καὶ τῆς παρ' ἐμοῦ τιμῆς ἠξίωται, καὶ εὐπρόσδεκτα αὐτοῦ γέγονε τὰ δῶρα, ἀλλὰ πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. ὥστε καὶ μετὰ τὴν ἁμαρτίαν ταύτην ἔχειν σε συγχωρῶ τὰ προτερήματα τῆς πρωτοτοκίας, κἀκεῖνον ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι κελεύω, καὶ ὑπὸ τὴν ἀρχὴν τὴν σήν. ὅρα φιλανθρωπίαν δεσπότου, πῶς αὐτοῦ βούλεται τὸν θυμὸν καὶ τὴν μανίαν καταστεῖλαι, καὶ τὴν ὁρμὴν "ἐγκόψαι διὰ τῶν ῥημάτων τούτων. τὰ γὰρ κινήματα τῆς διανοίας αὐτοῦ καταμαθών, καὶ τῆς φονικῆς αὐτοῦ γνώμης ἐπιστάμενος τὸ ἀπηνές, ἤδη προλεᾶναι αὐτοῦ βούλεται τὸν λογισμόν, καὶ γαλήνην ἐργάσασθαι αὐτοῦ τῇ διανοίᾳ, ὑποτάττων αὐτῷ τὸν ἀδελφόν, καὶ τὴν ἐξουσίαν αὐτοῦ μὴ ὑποτεμνόμενος. ἀλλὰ καὶ μετὰ τὴν τοσαύτην ἐπιμέλειαν, καὶ τοσαῦτα τὰ φάρμακα, οὐδὲν πλέον ὁ Κάϊν ἀπώνατο. τοσοῦτόν ἐστι γνώμης διαφθορά, καὶ κακίας ὑπερβολή.

γρ. πρωτοτο-κίων

γρ. ἐκβαλῶ

γρ. ἐκκόψ.

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον ἐκτείνοντες τὸν λόγον δόξωμεν παρενοχλεῖν τὴν ὑμετέραν ἀγάπην, καὶ προσκορὴς ὑμῖν νομισθῇ ἡ παρ' ἡμῶν "ὁμιλία τὰς ἀκοὰς ὑμῶν ἀποκναίουσα, ἐνταῦθα καταπαύσαντες τὸν λόγον, ἐκεῖνο παρακαλέσομεν ὑμῶν τὴν φιληκοΐαν, μισῆσαι τὴν τοιαύτην μίμησιν, καὶ τῇ κακίᾳ πολλὰ χαίρειν προσειπόντας, τὰς τοῦ κυρίου ἐντολὰς μετ' ἐπιμελείας πολλῆς καὶ ἐξ ὅλης καρδίας μετέρχεσθαι, καὶ μάλιστα μετὰ τοσούτων καὶ τηλικούτων παραδειγμάτων. οὐδὲ γὰρ εἰς ἄγνοιαν λοιπὸν ἡμῶν τις καταφυγεῖν δυνήσεται. εἰ γὰρ ἐκεῖνος, λέγω δὴ ὁ Κάϊν, μηδένα ἔχων τῶν πρὸ αὐτοῦ γεγονότων εὑρεῖν τοιοῦτόν τι διαπραξάμενον, ὅμως τὴν ἀνύποιστον ἐκείνην καὶ χαλεπὴν ὑπέμεινε τιμωρίαν, ὡς μετέπειτα γνωσθήσεται, τί πείσεσθαι ἡμᾶς εἰκὸς τὰ αὐτὰ ἢ καὶ χείρονα ἀποτολμῶντας μετὰ τὴν τοσαύτην τοῦ χάριτος δαψίλειαν, ἢ πάντως τὸ πῦρ τὸ αἰώνιον, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸ σκότος τὸ ἐξώτερον, τὴν γέενναν τοῦ πυρός, καὶ τὰς ἄλλας τὰς ἀπαραιτήτους τιμωρίας ἡμᾶς ὑποδέξεσθαι; οὐδὲ γὰρ ἀπολογία τις λοιπὸν ὑπολείπεται *οὕτω ῥαθύμως ἡμῶν διακειμένων καὶ ἀναπεπτωκότων. μὴ γὰρ οὐκ ἴσμεν ἅπαντες τὰ πρακτέα, καὶ τὰ μὴ τοιαῦτα· καὶ ὅτι οἱ μὲν τὰ πρέποντα πράττοντες, τὰ πρωτεῖα τῶν στεφάνων ἕξουσιν· οἱ δὲ τοῖς ἐσχάτοις ὑποπεσόντες, τῶν ἐσχάτων ὑποστήσονται κολαστηρίων τὴν καταδίκην; διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ, μὴ ἀνόνητος ἡμῖν ἡ ἐνταῦθα συνέλευσις "γένηται, ἀλλὰ τῇ τῶν λόγων ἀκροάσει καὶ τὰ ἔργα ἐπακολούθως ἕποιντο, ἵνα τὴν ἀπὸ τοῦ συνειδότος ἔχοντες πληροφορίαν, καὶ ταῖς χρησταῖς ἐλπίσιν ἐντεῦθεν ἤδη τρεφόμενοι, δυνηθῶμεν τῶν δυσχερῶν τοῦ παρόντος βίου εὐμαρῶς τὸ πέλαγος "διαπλεύσαντες εἰς τὸν λιμένα καταντῆσαι τῆς τοῦ θεοῦ φιλανθρωπίας, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτυχεῖν, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ ἁγίῳ καὶ προσκυνητῷ αὐτοῦ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. διδασκα-λία

*ἡμῶν

γρ. γενέσθαι,

γρ. διαπερά-σαντες

Λογ. ιθ. ΚΑΙ ΕΙΠΕ ΚΑΙΝ ΠΡΟΣ ΑΒΕΛ ΤΟΝ ΑΔΕΛΦΟΝ αὐτοῦ, διέλθωμεν δὴ εἰς τὸ πεδίον.

Καθάπερ γὰρ τὰ δυσίατα τῶν τραυμάτων οὐδὲ τοῖς αὐστηροῖς τῶν φαρμάκων εἴκει, οὐδὲ τοῖς γλυκαίνειν αὐτὰ δυναμένοις· οὕτω καὶ ψυχή, ἐπειδὰν ἅπαξ αἰχμάλωτος γένηται, καὶ ἑαυτὴν ἐκδῷ ὁτῳοῦν πλημμελήματι, καὶ μὴ βούληται τὸ ἑαυτῆς συμφέρον συνιδεῖν, κἂν μυρία τις ἐνηχῇ, οὐδὲν κερδαίνει, ἀλλὰ καθάπερ νεκρὰς ἀκοὰς κεκτημένη, οὐδεμίαν ἀπὸ τῆς παραινέσεως δέχεται τὴν ὠφέλειαν, οὐκ ἐπειδὴ μὴ δύναται, ἀλλ᾽ ἐπειδὴ μὴ βούληται. οὐ γὰρ καθάπερ ἐπὶ τῶν σωματικῶν τραυμάτων ἐστὶν ἰδεῖν, οὕτω καὶ ἐπὶ τῆς προαιρέσεως. ἐπὶ μὲν γὰρ τῶν σωματικῶν, ἀκίνητά ἐστι πολλάκις τὰ τῆς φύσεως πάθη· ἐπὶ δὲ τῆς προαιρέσεως οὐδὲν τοιοῦτον, ἀλλ᾽ ἔστι πολλάκις θελήσαντα καὶ τὸν φαῦλον μεταβαλέσθαι, καὶ γενέσθαι καλόν, καὶ τὸν καλὸν ῥαθυμήσαντα πρὸς τὴν κακίαν "αὐτομολῆσαι. ἐπεὶ οὖν αὐτεξούσιον ἡμῶν τὴν φύσιν εἰργάσατο ὁ τῶν ὅλων θεός, τὰ μὲν παρ᾽ ἑαυτοῦ ἅπαντα ἐπιδεικνύμενος, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ τὰ ἀπόρρητα καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας κινούμενα ἐπιστάμενος, παραινεῖ, συμβουλεύει, προαναστέλλει τῆς κακῆς ἐπιχειρήσεως· οὐ μὴν ἀνάγκην ἐπιτίθησιν, ἀλλὰ τὰ φάρμακα κατάλληλα ἐπιθείς, ἀφίησιν "ἐπὶ γνώμῃ τοῦ κάμνοντος κεῖσθαι τὸ πᾶν. τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ Κάϊν νῦν γέγονεν. ὅρα γὰρ μετὰ τὴν τοσαύτην κηδεμονίαν, εἰς ὅσην ἤδη μανίαν ἐξώκειλε. δέον γὰρ συνειδότα τὴν ἑαυτοῦ ἁμαρτίαν περὶ τὴν ταύτης διόρθωσιν λοιπὸν ἀσχοληθῆναι, ὁ δὲ καθάπερ μεθύων τῷ πάθει, καὶ τῷ τραύματι τῷ προτέρῳ ἕλκος ἕτερον συνάπτων, καὶ τὴν ἰατρείαν οὐ προσιέμενος τὴν μετὰ τοσαύτης ἐπιμελείας προσαχθεῖσαν αὐτῷ, ἀλλὰ τὸν οἰκεῖον φθόνον εἰς ἔργον ἀγαγεῖν ἐπειγόμενος, ἀπὸ δόλου καὶ πανουργίας τὴν ἀρχὴν ποιεῖται, καὶ τοῖς "πεπλασμένοις ῥήμασι τὸν ἀδελφὸν ἀπατᾷ. τοσοῦτον "θηριῶδές ἐστιν ἄνθρωπος εἰς κακίαν ἀποκλίνας. ὥσπερ γὰρ μέγα καὶ τίμιον τὸ λογικὸν τοῦτο ζῶον, καὶ μάλιστα ἐπειδὰν ἐπὶ τὴν τῆς ἀρετῆς "ἐργασίαν ὁρμήσῃ, οὕτως ὅταν πρὸς κακίαν "ἀποκλίνῃ, τῶν "ἀλόγων θηρίων μιμεῖται τὴν ὠμότητα· ἀλλὰ καὶ εἰς τὴν ἐκείνων πάλιν "μεταπεσὸν ἀγριότητα τὸ ἥμερον τοῦτο καὶ λογικὸν ζῶον, ἐκ πολλοῦ τοῦ περιόντος νικᾷ τὴν ἐκείνων θηριωδίαν. ἴδωμεν οὖν καὶ ἐνταῦθα τί γίνεται.

8 Καὶ εἶπε, φησί, Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, διέλθωμεν δὴ εἰς τὸ πεδίον.

Τὰ μὲν ῥήματα ἀδελφοῦ, ἡ δὲ γνώμη φονική. τί ποιεῖς ὦ Κάϊν; οὐκ οἶδας πρὸς τίνα διαλέγῃ; οὐκ ἐννοεῖς ὅτι πρὸς ἀδελφόν ["σου] γίνεται ἡ διάλεξις; οὐ λογίζῃ ὅτι τὰς αὐτάς σοι ἔλυσεν ὠδῖνας; οὐ λαμβάνεις εἰς ἔννοιαν τὸ μυσαρὸν τῆς ἐπιχειρήσεως; οὐ φοβῇ τὸν ἀπαραλόγιστον δικαστήν; οὐ φρίττεις τὴν ἔννοιαν τοῦ τολμήματος; τίνος γὰρ ἕνεκεν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφόν, καὶ ἔξω τῶν ἀγκαλῶν τῶν πατρικῶν ἐξάγεις; τίνος ἕνεκεν ἔρημον ποιεῖς τῆς πατρικῆς αὐτὸν βοηθείας; τί τὸ ξένον, ὅτι νῦν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφόν, καὶ ὅπερ πρότερον οὐκ ἐποίησας, νῦν ποιεῖν ἐπιχειρεῖς; καὶ προφάσει φιλοφροσύνης εὔνοιαν ἀδελφικὴν προβαλλόμενος, τὰ τῶν πολεμίων "αὐτῷ διαθεῖναι βούλει; τίς ἡ μανία; τίς ἡ λύσσα; ἔστω, πηρωθεὶς τὸν λογισμὸν οὐδένα λόγον ποιῇ τῆς ἀδελφικῆς διαθέσεως, οὔτε τὴν φύσιν αὐτὴν ἐπιγινώσκεις, ἀλλὰ πρὸς τὸν οὐδὲν ἠδικηκότα οὕτως ἐξεπολεμώθης. τί καὶ τοῖς γεννήσασιν ἔχων ἐγκαλεῖν "τοσαύτην αὐτοῖς κατήφειαν περιβαλεῖν βούλει, καὶ ἀρχηγὸς γενέσθαι τοῦ φοβεροῦ τούτου δράματος, καὶ πρῶτος τὸν βίαιον τοῦτον θάνατον αὐτοῖς ὑποδεῖξαι; ταύτας αὖθις ἀποδίδως

γρ. ἐξουσιαστικόν.

γρ. ἐν τῷ γ.

γρ. πεπλασμένοις

γρ. θηριώδης

γρ. ὁδὸν

γρ. ἐκκλίνῃ

γρ. ἀγριωτέρων

γρ. μεταπεσὼν

γρ. σοὶ

ἴσ. αὐτὸν.

γρ. τοσαύτῃ αὐτοὺς κατηφείᾳ

δως τὰς ἀμοιβὰς τῆς ἀνατροφῆς; ποία τοῦ διαβόλου μηχανὴ εἰς ταύτην σε τὴν πρᾶξιν παρώρμησε; μὴ γὰρ ἔχεις εἰπεῖν, ὅτι ἡ εὔνοια τοῦ κοινοῦ δεσπότου ἡ" πρὸς αὐτὸν ἐπὶ τὸ φθονῆσαι αὐτὸν ἐποίησε κατὰ σοῦ; οὐχὶ προλαβὼν διὰ ταύτην σου τὴν φονικὴν γνώμην ὑπέταξεν αὐτόν, καὶ ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι πεποίηκε, καὶ εἶπεν ὅτι πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ" ἄρξεις; καὶ γὰρ περὶ τῆς τοῦ ἀδελφοῦ ὑποταγῆς τοῦτο ἐκλαμβάνειν δεῖ. εἰσὶ γάρ τινες λέγοντες, ὅτι περὶ τῆς θυσίας τῆς προσενεχθείσης παρ' αὐτοῦ ὁ θεὸς πρὸς αὐτὸν διελέχθη τὰ τοιαῦτα· ὅτι πρὸς σέ, φησιν, ἡ ἀποστροφὴ αὐτοῦ τοῦ δώρου, καὶ σὺ αὐτοῦ ἄρξεις, ἀντὶ τοῦ, σὺ αὐτοῦ ἀπολαύσεις. διὰ τοῦτο οὖν ἀμφότερα εἰπὼν καταλιμπάνω τῇ ὑμετέρᾳ συνέσει, ἵνα ὅπερ ἂν ὑμῖν" ἀκολουθότερον τοῖς εἰρημένοις" φανῆται, τοῦτο καὶ αὐτοὶ δέξησθε· ἐμοὶ γὰρ δοκεῖ περὶ τοῦ ἀδελφοῦ εἰρῆσθαι τοῦτο.

γρ. πρὸ

γρ. ἄρξῃς

γρ. καταλλήλως

γρ. φανεῖται,

Καὶ ἐγένετο, φησιν, ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν.

Φοβερὰ ἡ πρᾶξις· ἐπικίνδυνον τὸ τόλμημα· μυσαρὰ ἡ ἐπιχείρησις· ἀσύγγνωστον τὸ ἁμάρτημα· τεθηριωμένης ψυχῆς ἡ γνώμη. ἀνέστη, φησίν, ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν. ὢ μιαρᾶς χειρός· ὢ δεξιᾶς ἐλεεινῆς· μᾶλλον δὲ οὐ τὴν χεῖρα ἐλεεινὴν δεῖ καλεῖν καὶ μιαράν, ἀλλὰ τὴν γνώμην, εἰ καὶ τὸ μέλος ὑπηρετήσατο. εἴπωμεν τοίνυν οὕτως, ὢ γνώμης τολμηρᾶς καὶ μιαρᾶς καὶ ἐλεεινῆς· καὶ ὅπερ ἂν εἴποι τις, οὐδὲν ἀντάξιον ἐρεῖ. πῶς οὐκ ἐνάρκησεν αὐτοῦ ἡ χείρ; πῶς ἠδυνήθη" καταχεῖν τὸ ξίφος καὶ τὴν πληγὴν ἐπαγαγεῖν; πῶς οὐκ" ἀπέστη τοῦ σώματος ἡ ψυχή; πῶς ἴσχυσεν εἰς ἔργον ἀγαγεῖν τὸ ἀνόσιον τοῦτο τόλμημα; πῶς οὐκ ἐπεκάμφθη καὶ μετέβαλε τὴν γνώμην; πῶς οὐκ ἔλαβεν ἔννοιαν τῆς φύσεως; πῶς οὐκ ἐλογίσατο πρὸ τῆς ἐπιχειρήσεως τὸ τέλος τοῦ γινομένου; πῶς ἠνέσχετο μετὰ τὴν ἀναίρεσιν ἰδεῖν τὸ σῶμα τοῦ ἀδελφοῦ σπαῖρον ἐπὶ τῆς γῆς; πῶς ἴσχυσε θεάσασθαι σῶμα νεκρὸν ἐπὶ τῆς γῆς ἐρριμμένον, καὶ οὐκ εὐθὺς διεχύθη ἀπὸ τῆς θέας; εἰ γὰρ ἡμεῖς μετὰ τοσούτων ἐτῶν ἀριθμὸν καθ' ἑκάστην ἡμέραν ὁρῶντες τοὺς τελευτῶντας, καὶ ταῦτα οἰκείᾳ τελευτῇ τῆς ζωῆς μεθισταμένους, καὶ οὐδαμόθεν ἡμῖν προσήκοντας," κατακλώμεθα, κἂν ἐχθρὸς ᾖ, καταλυόμεθα τὴν ἔχθραν· πολλῷ δὴ μᾶλλον τοῦτον εἰκὸς ἦν διαλυθῆναι καὶ ἀθρόον ἀφεῖναι τὴν ψυχήν, ὁρῶντα τὸν πρὸ μικροῦ διαλεγόμενον ἀδελφόν, τὸν ὁμομήτριον, τὸν ὁμοπάτριον, τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας, τὸν τὴν παρὰ θεοῦ εὔνοιαν ἐπισπασάμενον, ἐξαίφνης ἄπνουν καὶ ἀνενέργητον κείμενον καὶ ἐπὶ τῆς γῆς σπαίροντα. ἀλλ' ἴδωμεν πάλιν καὶ μετὰ τὴν ἀνοσίαν ταύτην πρᾶξιν καὶ μετὰ τὸ τολμῆσαι τοῦτο τὸ πάσης συγγνώμης ἀπεστερημένον, πόσῃ κέχρηται συγκαταβάσει καὶ φιλανθρωπίᾳ ὁ τῶν ἁπάντων θεός.

γρ. καταγαγεῖν

γρ. ἀπέπτη

γρ. συστελλόμεθα,

9 Καὶ εἶπεν ὁ θεὸς πρὸς Κάϊν.

Αὐτὸ τοῦτο μόνον πόσης ἐστὶν ἀγαθότητος, τὸ τὸν τὰ τοιαῦτα ἐργασάμενον ἀποκρίσεως ἀξιῶσαι; εἰ γὰρ ἡμεῖς πολλάκις τοὺς ὁμογενεῖς βδελυττόμεθα, ἐπειδὰν ἴδωμεν τοιοῦτόν τι τόλμημα ἐργασαμένους, πολλῷ μᾶλλον τὸν ἀγαθὸν θεὸν ἐκπλήττεσθαι δεῖ τοσαύτῃ τῇ ἀνεξικακίᾳ κεχρημένον, καὶ μάλα εἰκότως. ἰατρὸς γάρ ἐστι, καὶ πατὴρ φιλόστοργος· καὶ ὡς μὲν ἰατρός, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τοὺς ἐν χαλεπαῖς ἀρρωστίαις τυγχάνοντας πρὸς ὑγείαν ἐπαναγαγεῖν· ὡς δὲ καὶ πατὴρ φιλόστοργος, τοὺς τὴν οἰκείαν εὐγένειαν διὰ ῥαθυμίαν προδεδωκότας, βούλεται διὰ τῆς πατρικῆς φιλοστοργίας εἰς τὴν προτέραν ἀγαγεῖν εὐημερίαν. ἐπεὶ οὖν πολὺ τῆς ἀγαθότητός ἐστιν αὐτοῦ τὸ μέγεθος, βούλεται καὶ πρὸς τὸν τὰ τοιαῦτα τετολμηκότα *πολλὴν τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείξασθαι. φησὶ γὰρ πρὸς αὐτόν

*πλὴν

Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;

Πολλὴ καὶ ἄπειρος ἡ ἀνεξικακία τοῦ θεοῦ. οὐ γὰρ ἐπειδὴ ἠγνόει, ἠρώτα· ἀλλ' ὅπερ ἐπὶ τοῦ πατρὸς αὐτοῦ πεποίηκεν (οὐδὲν γὰρ κωλύει πάλιν" τὰ αὐτὰ εἰπεῖν) καθάπερ γὰρ ἐκεῖνον ὁρῶν διὰ τὴν αἰσχύνην τῆς γυμνότητος κρυπτόμενον ἠρώτα, ποῦ εἶ, οὐκ ἀγνοῶν, ἀλλὰ παρρησίας αὐτῷ ἀφορμὰς διδοὺς, ὥστε διὰ τῆς ὁμολογίας τοῦ πταίσματος ἀπονίψασθαι τὸ πλημμέλημα (τοῦτο γὰρ ἔθος αὐτῷ ἄνωθεν καὶ ἐξ ἀρχῆς, τὴν ὁμολογίαν ἀπαιτεῖν παρὰ ἡμῶν τῶν ἡμαρτημένων, καὶ τότε τὴν συγχώρησιν παρέχειν) ἐρωτᾷ καὶ νῦν τὸν Καΐν καί φησι, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; ἄγνοιαν προσποιεῖται ὁ φιλάνθρωπος δεσπότης, ἵνα διὰ τῆς ἐρωτήσεως παρασκευάσῃ τὸν τὰ τοιαῦτα ἐργασάμενον ἐπειχθῆναι πρὸς τὴν ὁμολογίαν τοῦ πλημμελήματος, καὶ δυνηθῇ συγγνώμης τινὸς, ἴσως καὶ φιλανθρωπίας ἐπιτυχεῖν. ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; τί οὖν ὁ ἀγνώμων καὶ ἀναίσθητος, ὁ ἰταμὸς καὶ ἀναίσχυντος; δέον ἐννοῆσαι, ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὴν παρ' αὐτοῦ ἀπαιτῶν ὁμολογίαν, καὶ ἡμᾶς παιδεύων μηδέποτε πρὸ τῆς ἀποδείξεως καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, καὶ εἰς ἔννοιαν ἐλθεῖν τῆς τοῦ δεσπότου συμβουλῆς, καὶ ὅτι ταύτην αὐτοῦ τὴν ἐπιχείρησιν προαναστέλλων, καὶ εἰδὼς καὶ πρὸ τῆς ἐκβάσεως τὴν ἐν τῇ διανοίᾳ αὐτοῦ κίνησιν, προφυλακτικοῖς ἐχρήσατο φαρμάκοις· δέον ταῦτα πάντα ἐννοήσαντα μέχρι τούτων στῆσαι τὰ τῆς μανίας, καὶ εἰπεῖν τὸ γεγονὸς, καὶ δεῖξαι τῷ ἰατρῷ τὸ ἕλκος, καὶ δέξασθαι τὰ παρ' αὐτοῦ φάρμακα· ὁ δὲ πάλιν ἐπιτείνει τὸ τραῦμα, καὶ τὴν νομὴν τῶν ἑλκῶν βαρυτέραν ἐργάζεται,

γρ. πάλιν

Καὶ εἶπεν, οὐ γινώσκω.

Ὅρα ἀποκρίσεως ἀναίδειαν. μὴ γὰρ ἀνθρώπῳ διαλέγῃ, ὃν ἴσως καὶ παραλογίσασθαι δυνατὸν ἦν; οὐκ οἶδας, ἄθλιε καὶ ταλαίπωρε, τίς ἐστιν ὁ πρὸς σὲ διαλεγόμενος; οὐ λογίζῃ ὅτι διὰ πολλὴν ἀγαθότητα πυνθάνεται, βουλόμενος ἀφορμήν τινα εὑρεῖν, δι' ἧς τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ ἵνα λοιπὸν τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδειξαμένου μηδεμίαν ἔχῃς ἀπολογίαν, τῇ τιμωρίᾳ σαυτὸν ὑπεύθυνον καταστήσας;

Καὶ εἶπέ, φησιν, οὐ γινώσκω. μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;

Ἐννόει μοι ἐνταῦθα τοῦ συνειδότος τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος, ὡς εἰπεῖν, ὑπὸ τῆς συνειδήσεως, οὐκ ἔστη μέχρι τοῦ εἰπεῖν, οὐ γινώσκω, ἀλλ' ἐπήγαγε, μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ, μονονουχὶ ἑαυτὸν ἐλέγχων. καίτοι εἴ σοι κατὰ ἀκολουθίαν ἅπαντα ἐπέπρακτο καὶ κατὰ τὸν τῆς φύσεως νόμον, ἐχρῆν σε καὶ φύλακα εἶναι τῆς τοῦ ἀδελφοῦ σωτηρίας. τοῦτο γὰρ ἡ φύσις ἐπέτρεπε, καὶ ἔδει οὕτω τὰς αὐτὰς λύσαντας ὠδῖνας ἀλλήλων φύλακας εἶναι. εἰ δὲ μὴ τοῦτο ἐβούλου, μηδὲ ἤθελες εἶναι φύλαξ τοῦ ἀδελφοῦ σου, τίνος ἕνεκεν καὶ" σφαγεὺς ἐγένου, καὶ τὸν οὐδὲν ἠδικηκότα ἐφόνευσας, καὶ ἐνόμισας μηδὲ τὸν ἐλέγχοντα ἔχειν; ἀλλ' ἀνάμεινον, καὶ ὄψει αὐτόν σου κατήγορον γινόμενον, τὸν ἀνῃρημένον καὶ νεκρὸν κείμενόν σου τοῦ ζῶντος καὶ βαδίζοντος λαμπρᾷ τῇ φωνῇ καταβοῶντα.

γρ. φονεὺς

10 Καὶ εἶπεν ὁ θεὸς, τί ἐποίησας τοῦτο;

Πολλὴ καὶ τοῦ ῥήματος τούτου ἡ ἔμφασις. τίνος ἕνεκεν, φησὶ, τοῦτο διεπράξω; τί ἐποίησας τοῦτο τὸ ἀνόσιον τόλμημα, τὸ μιαρὸν ἐπιχείρημα, τὴν πρᾶξιν τὴν ἀσύγγνωστον, τὴν μανίαν τὴν ἀφόρητον, τὸν φόνον τὸν καινὸν καὶ ξένον καὶ πρῶτον τῶν ἀνθρώπων βίῳ εἰσενεχθέντα διὰ τῆς σῆς δεξιᾶς; τί ἐποίησας τοῦτο, τὸ μέγα καὶ φοβερὸν, τὸ μὴ ἔχον ἑτέραν ὑπερβολὴν ἁμαρτήματος;

Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς.

Μὴ γὰρ ἄνθρωπός εἰμι, φησὶν, ἐκείνης μόνης τῆς φωνῆς τῆς διὰ γλώσσης "προσφερομένης ἀκούων; θεός εἰμι, δυνάμενος καὶ δι' αἵματος ὑπακούειν βοῶντος καὶ χαμαί που κάτω κειμένου. ἰδοὺ γὰρ πόσον ἵπταται τοῦ αἵματος τούτου ἡ φωνὴ, ὡς ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀναβαίνειν, καὶ διατρέχειν τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ τὰς "ἀνωτέρω δυνάμεις, καὶ παρ' αὐτὸν ἵστασθαι τὸν θρόνον τὸν βασιλικὸν, καὶ τὴν σὴν μιαιφονίαν ἀποδύρασθαι, καὶ τῆς ἀνοσίας ταύτης πράξεως κατηγορεῖν. Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. μὴ γὰρ, φησὶν, εἰς ξένον καὶ ἀλλότριον τὴν παρανομίαν ταύτην εἰργάσω; εἰς τὸν ἀδελφὸν τὸν σὸν, τὸν οὐδὲν ἠδικηκότα. ἀλλ' ἴσως ἡ περὶ ἐμοῦ εὔνοια τὸν φόνον αὐτοῦ τοῦτον ἔτεκε, καὶ μὴ δυνάμενος ἐμοὶ μάχεσθαι εἰς ἐκεῖνον τὸν ἀκάθεκτον θυμὸν ἐξεκένωσας. διά τοι τοῦτο τοιαύτην ἐπάξω σοι τιμωρίαν, ὡς μηδὲ λήθῃ παραδοθῆναι τὸ τολμηθὲν καὶ τὴν διὰ τοῦτο ἐπενεχθεῖσάν σοι τιμωρίαν, ἵνα τὰ εἰς σὲ γινόμενα σωφρονισμὸς γένηται τοῖς μετὰ ταῦτα πᾶσι. καὶ νῦν ἐπειδὴ τοῦτο εἰργάσω, καὶ εἰς ἔργον ἤγαγες τὰ κακῶς σοι δόξαντα, καὶ ὑπὸ τοῦ φθόνου τοῦ πολλοῦ εἰς τὸν φόνον ὥρμησας,

...προσφερο-
μένην

...ἀνωτέρας

11 Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς.

Ὁρᾷς τῆς κατάρας τὴν διαφορὰν, ἀγαπητέ. μὴ ἁπλῶς παραδράμῃς, ἀλλ' ἐκ τοῦ μεγέθους τῆς κατάρας ἐννόει τοῦ τολμήματος τὴν ὑπερβολήν· καὶ ὅτι ὅσον μεῖζον τοῦτο τὸ ἁμάρτημα τῆς παραβάσεως τοῦ πρωτοπλάστου, ἐκ τῆς διαφορᾶς τῆς κατάρας ἔξεστι τῷ βουλομένῳ συνιδεῖν. ἐκεῖ μὲν γὰρ, φησὶν, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, καὶ ἐπὶ τὴν γῆν τὴν κατάραν ἐξέχεε, τὴν κηδεμονίαν τὴν περὶ τὸν ἄνθρωπον ἐπιδεικνύμενος. ἐνταῦθα δὲ, ἐπειδὴ ἡ πρᾶξις ὀλεθρία, καὶ τὸ τόλμημα παράνομον, καὶ τὸ ἐπιχείρημα ἀσύγγνωστον, αὐτὸς τὴν κατάραν δέχεται. ἐπικατάρατος γὰρ, φησὶ, σὺ ἀπὸ τῆς γῆς. ἐπειδὴ γὰρ τὰ αὐτὰ σχεδὸν τῷ ὄφει εἰργάσατο, καθάπερ "ὀργάνῳ ὑπηρετησάμενος τῇ τοῦ διαβόλου γνώμῃ, καὶ καθάπερ ἐκεῖνος διὰ τῆς ἀπάτης τὴν θνητότητα εἰσήγαγεν· οὕτω καὶ οὗτος ἀπατήσας τὸν ἀδελφὸν, καὶ εἰς τὸ πεδίον ἐξαγαγὼν, τὴν δεξιὰν ὥπλισε κατ' αὐτοῦ καὶ τὸν φόνον εἰργάσατο, διὰ τοῦτο ὥσπερ ἐκείνῳ ἔλεγεν, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς, οὕτω καὶ "τοῦτον, ἐπειδὴ τὰ αὐτὰ ἐκείνῳ εἰργάσατο. ὥσπερ γὰρ ὁ διάβολος ὑπὸ φθόνου καὶ βασκανίας κινούμενος, καὶ οὐ φέρων τὰς ἀφάτους εὐεργεσίας τὰς εἰς τὸν ἄνθρωπον γεγενημένας, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπὸ τοῦ φθόνου ἐπὶ τὴν ἀπάτην ὥρμησε, τὴν [ἐπὶ] τὸν θάνατον εἰσάγουσαν· οὕτω καὶ οὗτος θεασάμενος εὐνοϊκῶς τὸν δεσπότην πρὸς τὸν ἀδελφὸν διακείμενον ἀπὸ τοῦ φθόνου ἐπὶ τὸν φόνον ὥρμησε. διό φησι πρὸς αὐτὸν, Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς. Κατηραμένος ἔσῃ, φησὶ, καὶ αὐτῇ τῇ γῇ,

...ὀργάνῳ ;

...τούτῳ

Ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου.

Καὶ αὐτῇ τῇ γῇ, φησὶν, ἔσῃ κατηραμένος τῇ ἀναγομένῃ τοιούτῳ αἵματι ἀρδευθῆναι, τοσούτου μύσους πεπληρωμένῳ, τῷ ὑπὸ χειρὸς οὕτως ἀνοσίας ἐκχεομένῳ. εἶτα ἑρμηνεύουσα ἡ θεία γραφὴ σαφέστερον τὴν κατάραν φησὶν,

Ὅτι ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι.

Μέγα τιμωρίας εἶδος, καὶ πολὺς ὁ ὄγκος τῆς ἀγανακτήσεως. τὸν μὲν πόνον, φησὶν,

ὑπομενεῖς,

ὑπομένῃς, καὶ τὰ σαυτοῦ ἅπαντα ἐπιδείξῃ, καὶ ἐργάσῃ τὴν γῆν τοιούτῳ αἵματι μολυνθεῖσαν· οὐ καρπώσῃ δέ τινα αἴσθησιν τῶν πολλῶν πόνων ἐκείνων, ἀλλ' ἀνόνητος ἔσται σοι πᾶς ὁ″ κόπος, ὃν ἂν ἐπιδείξῃ. καὶ οὐ μέχρι τούτου τὰ τῆς τιμωρίας στήσεται, ἀλλὰ καὶ Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς.

Πάλιν καὶ τοῦτο μέγιστον τιμωρίας εἶδος, τὸ διηνεκῶς στένειν καὶ τρέμειν. ἐπειδὴ γὰρ οὐκ εἰς δέον ἐχρήσω, φησὶ, τῇ ἰσχύϊ τοῦ σώματος, οὐδὲ τῇ τῶν μελῶν εὐεξίᾳ, διὰ τοῦτο διηνεκῶς σοι τὸν σάλον καὶ τὸν τρόμον ″ ἐπιτίθημι, ἵνα μὴ μόνον αὐτὸς ἔχῃς ἀδιάλειπτον νουθεσίαν καὶ ὑπόμνησιν τῆς ἀνοσιουργίας ταύτης, ἀλλ' ἵνα καὶ πάντες οἱ εἰς σὲ βλέποντες διὰ τῆς ὄψεως, καθάπερ διὰ φωνῆς τινος λαμπρᾷ βοώσης, μανθάνωσι μὴ τοιαῦτα τολμᾶν, ἵνα μὴ ″ τὰ τοιαῦτα πάθωσι· καὶ ἡ εἰς σὲ τιμωρία, διδάσκαλος ἅπασι γένηται μηκέτι τοιούτῳ αἵματι τὴν γῆν μολῦναι. διὰ τοι τοῦτο οὐδὲ σύντομόν σοι τὴν τελευτὴν ἐπάγω, ἵνα μὴ λήθῃ παραδοθῇ τὸ γεγονός· ἀλλὰ ζωὴν θανάτου βαρυτέραν ὑπομένειν σε ποιῶ, ἵνα δι' αὐτῶν τῶν ἔργων μάθῃς, οἷα τετόλμηκας.

γρ. κάματος,

γρ. ἐντίθημι,

γρ. τὰ αὐτὰ

12 Καὶ εἶπε Κάϊν πρὸς κύριον, μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με.

Μέγα τι καὶ σφόδρα λυσιτελὲς πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν ἔξεστιν ἐντεῦθεν καταμαθεῖν, ἐὰν βουλώμεθα προσέχειν. καὶ εἶπε Κάϊν, μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με. ἰδοὺ ὁμολογία ἀπηρτισμένη. τοιοῦτον γάρ, φησίν, ἐστι τὸ ἁμάρτημα τὸ παρ' ἐμοῦ γεγονὸς, ὡς μὴ δύνασθαι συγχώρησιν δέξασθαι. ἰδοὺ, φησιν, ἐξωμολογήσατο, καὶ ἐξωμολογήσατο μετὰ πολλῆς τῆς ἀκριβείας, [καὶ οὕτως ἐξωμολογήσατο, ὡς ὑπερβῆναι πᾶσαν ἀκρίβειαν]. ἀλλ' οὐδὲν τὸ κέρδος, ἀγαπητέ. ἄκαιρος γὰρ ἡ ἐξομολόγησις. τοῦτο γὰρ ἐχρῆν ποιῆσαι ἐν τῷ καιρῷ τῷ δέοντι, ὅτε δυνατὸν ἦν καὶ τῆς παρὰ τοῦ δικαστοῦ τυχεῖν φιλανθρωπίας. μνημονεύσατέ μοι νῦν, ὧν πρώην ἔλεγον· ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ τὸ κριτήριον ἐκεῖνο τὸ ἀδέκαστον, καὶ ἡμῶν ἕκαστος μεταγνώσεται ἐπὶ τοῖς ἡμαρτημένοις, ὁρῶν πρὸ τῶν ὀφθαλμῶν τὰ φοβερὰ ἐκεῖνα κολαστήρια, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους· ἀλλ' οὐδεμίαν ἕξει τὴν ὄνησιν προδεδομένος ὑπὸ τοῦ καιροῦ. ἡ γὰρ μετάνοια, πρὶν ἢ τὴν τιμωρίαν ″ ἐλθεῖν καιρὸν ἔχει καὶ ἰσχὺν ἄφατον. διὸ παρακαλῶ, ὅτε δυνατὸν ἐνεργῆσαι τὸ θαυμαστὸν τοῦτο φάρμακον, τότε τὴν παρ' αὐτοῦ ὠφέλειαν καρπωσώμεθα, καὶ ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, τὴν ἀπὸ τῆς μετανοίας ἰατρείαν ἑαυτοῖς ἐπάγωμεν, μαθόντες ἀκριβῶς, ὡς οὐδὲν ἡμῖν ὄφελος ἔσται τότε μεταγινώσκουσι μετὰ τὸ λυθῆναι τὸ θέατρον, καὶ τὸν τῶν παλαισμάτων καιρὸν ἀναιρεθῆναι. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. δέον γὰρ τοῦτον, ἡνίκα ἠρωτᾶτο παρὰ τοῦ δεσπότου, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου, τότε ὁμολογῆσαι τὸ πλημμέλημα καὶ προσπεσεῖν καὶ δεηθῆναι καὶ συγγνώμην αἰτῆσαι· ὁ δὲ τότε μὲν τὴν ἰατρείαν ἀπεπέμψατο, νυνὶ δὲ μετὰ τὴν ἀπόφασιν, μετὰ τὸ λαβεῖν τέλος ἅπαντα, μετὰ τὸ λαμπρᾷ τῇ φωνῇ τὴν κατηγορίαν ὑπὸ τοῦ αἵματος γενέσθαι τοῦ κειμένου, ἐξομολογεῖται, καὶ οὐδὲν ἐντεῦθεν κερδαίνει. διὸ καὶ ὁ προφήτης ἔλεγε· Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. καὶ οὗτος τοίνυν εἰ προέλαβε τὸν τοῦ δεσπότου ἔλεγχον, ″ ἴσως ἂν ἠξιώθη τινὸς φιλανθρωπίας διὰ τὴν ἄπειρον τοῦ δεσπότου ἀγαθότητα. οὐδὲν γάρ ἐστιν ἁμάρτημα, κἂν σφόδρα μέγα ᾖ, νικῶν αὐτοῦ τὴν φιλανθρωπίαν, ἐὰν ἡμεῖς ἐν καιρῷ τῷ δέοντι τὴν μετάνοιαν ἐπιδειξώμεθα, καὶ τὴν συγγνώμην αἰτώμεθα. καὶ εἶπε Κάϊν, μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με. ἰσχυρὰ ἐξομολόγησις, ἀλλ' ἄκαιρος.

γρ. ἐπαχθῆναι καιρὸν ἂν ἔχῃ

Παροιμ. ιη. ιζ.

γρ. πολλῆς

13 Καὶ εἶπεν, εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ

προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. καὶ ἔσται, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με.

Ὅρα πῶς ἐλεεινὰ τὰ ῥήματα, καὶ διὰ τὴν ἀκηδίαν, καὶ διὰ τὸ παραδεδόσθαι ὑπὸ τοῦ καιροῦ οὐδεμίαν τὴν ἰσχὺν κεκτημένα. καὶ εἶπεν, Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. καὶ ἔσται, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. Εἰ τῇ γῇ, φησιν, ἐπικατάρατόν με ἐποίησας, καὶ αὐτός με ἀπεστράφης, καὶ τοσαύτῃ τιμωρίᾳ παρέδωκας, ὥστε στένειν καὶ τρέμειν, οὐδὲν τὸ κωλῦον λοιπὸν τὸν ἐν τούτοις ὄντα, καὶ γυμνωθέντα τῆς παρὰ σοῦ ῥοπῆς ὑπὸ τοῦ τυχόντος ἀναιρεθῆναι. εὐεπιχείρητός, φησιν, ἔσομαι παντὶ τῷ βουλομένῳ με ἀνελεῖν. οὔτε γὰρ αὐτὸς ἐγὼ ἰσχύω ἀντιστῆναι διαλελυμένα τὰ μέλη περιφέρων καὶ πανταχόθεν σαλευόμενος, καὶ τὸ εἰδέναι ἅπαντας, ὅτι τῆς σῆς ἐγυμνώθην ῥοπῆς, παρασκευάσει τὸν βουλόμενον ἐπὶ τὴν ἀναίρεσιν τὴν ἐμὴν ὁρμῆσαι. τί οὖν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς δεσπότης;

14 Καὶ εἶπεν αὐτῷ κύριος ὁ θεὸς, οὐχ οὕτω.

Μὴ νομίσῃς, φησὶ, ταῦτα οὕτω γίνεσθαι. οὐδὲ γὰρ ἔξεστι τῷ βουλομένῳ σε ἀνελεῖν, ἀλλὰ τῇ παρατάσει τῆς ζωῆς τῆς σῆς καί σοι πλείονα τὴν ὀδύνην ″ ἐργάσομαι, καὶ διδάσκαλον καταλείψω ταῖς εἰς τὸ ἑξῆς γενεαῖς, ἵνα ἡ σὴ θέα σωφρονισμὸς αὐτοῖς γένηται, καὶ μηδεὶς ἐξ αὐτῶν τῇ σῇ γνώμῃ κατακολουθήσῃ.

Καὶ εἶπε κύριος ὁ θεὸς, οὐχ οὕτω. πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπτὰ ἐκδικούμενα παραλύσει.

Τάχα πολλὰ τὰ εἰρημένα, καὶ πολὺν τῷ σώματι τὸν κάματον παρεξενήσαμεν. ἀλλὰ τί πάθω; ὁρῶν γὰρ ὑμῶν τὴν φιληκοΐαν καὶ ἀκμάζοντα τὸν πόθον ἐπιδεικνυμένην, βούλομαι καὶ τοῖς λειψάνοις ἐπεξελθεῖν, καὶ κατὰ δύναμιν τὴν ἐμὴν ἑρμηνεῦσαι τί ἐστι τὸ ἑπτὰ ἐκδικούμενα παραλύσει. ἀλλὰ πάλιν δέδοικα μὴ τῷ πλήθει τῶν λεγομένων καὶ τὴν μνήμην καταχώσωμεν τῶν εἰρημένων, καὶ ″ προσκορεῖς ὑμῖν νομισθείημεν. ἀλλ᾽ εἰ μὴ ἀπεκάμετε, ἀνάσχεσθε, καὶ διαλύσαντες τὸ προκείμενον οὕτω καταπαύσομεν τὸν λόγον.

Καὶ εἶπεν αὐτῷ κύριος ὁ θεὸς, οὐχ οὕτω. πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπτὰ ἐκδικούμενα παραλύσει. καὶ ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

Τοῦτο δέδοικας, φησὶ, τοῦ μὴ ἀναιρεθῆναί σε; θάρσει. οὐκ ″ ἔστι τοῦτο. καὶ γὰρ ὁ τοῦτο ″ πεποιηκὼς, ἑπτὰ τιμωρίαις ὑπεύθυνον ἑαυτὸν καταστήσει. διά τοι τοῦτο καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε μηδένα ἀγνοήσαντα καὶ ἀνελόντα σε ὑπεύθυνον ἑαυτὸν ταῖς ″ τοιαύταις τιμωρίαις καταστῆσαι. ἀλλὰ σαφέστερον ἡμᾶς προσήκει διδάξαι, πῶς ἑπτὰ τιμωρίαις ὑπεύθυνος γίνεται ὁ τὸν Κάϊν ἀνελών. ἀλλὰ προσέχετε, παρακαλῶ. εἰ γὰρ μὴ νῦν, [καθάπερ ἐν ταῖς παρελθούσαις ἡμέραις εἰρήκαμεν πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην] ὅτε νηστείας καιρὸς, καὶ τοσαύτης γαλήνης ἀπολαύομεν, καὶ ἀπηλλαγμένοι τῶν λογισμῶν τῶν ταραττόντων ἡμῶν τὴν διάνοιαν, τὰ ἐν ταῖς θείαις γραφαῖς ἐγκείμενα κατανοήσομεν μετὰ [πάσης] ἀκριβείας, πότε δυνησόμεθα ταῦτα μαθεῖν ἐν ἑτέρῳ καιρῷ; διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ, καὶ μονονουχὶ καὶ τῶν γονάτων ὑμῶν καθάπτομαι, μετὰ συντεταμένης διανοίας τοῖς λεγομένοις προσέχωμεν, ἵνα καρπωσάμενοί τι γενναῖον καὶ ὑψηλὸν οὕτως οἴκαδε ἐπανέλθωμεν. τί οὖν ἐστι τὸ ἑπτὰ ἐκδικούμενα παραλύσει; πρῶτον μὲν ὁ τῶν ἑπτὰ ἀριθμὸς ἐπὶ πλήθους

ἐργάσῃ,

προσκορὴς
μῖν ὁ λόγος
). ἀλλ᾽

ἔσται.
ἐπιχειρῶν
ποιῆσαι,

τοιαύταις

λαμβάνεται ἐν τῇ θείᾳ γραφῇ, καὶ τοῦτο πολλαχοῦ εὕροι τις ἂν οὕτως εἰρημένον, ὡς τὸ, Στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ὅσα τοιαῦτα. αἰνίττεται δὲ ἡμῖν ἐνταῦθα τοῦ τολμήματος τὸ μέγεθος, καὶ ὅτι οὐχ ἕν ἐστι τὸ ἁμάρτημα τὸ παρ' ἐκείνου γεγονὸς, ἀλλ' ἑπτὰ ἁμαρτήματα, καὶ μεγάλην ἕκαστον ἁμάρτημα τὴν τιμωρίαν ὤφειλεν ὑπέχειν. πῶς οὖν αὐτὰ ἀπαριθμησόμεθα; εἰ τοῦτο λογισόμεθα, πρῶτον ὅτι ἐβάσκηνε τῷ ἀδελφῷ διὰ τὴν εὔνοιαν τὴν παρὰ τοῦ θεοῦ, ὅπερ καὶ μόνον προσὸν ἱκανὸν ἦν αὐτῷ τὸν ὄλεθρον ἐπαγαγεῖν. δεύτερον, ὅτι τὸν ἴδιον ἀδελφὸν ἐβάσκηνε. τρίτον, ὅτι δόλον ἔρραψε. τέταρτον, αὐτὸς ὁ φόνος ὃν εἰργάσατο. πέμπτον, ὅτι τὸν ἴδιον ἀδελφὸν ἐφόνευσεν. ἕκτον, ὅτι πρῶτος τὸν θάνατον εἰργάσατο. ἕβδομον, ὅτι τὸν θεὸν ἐψεύσατο. παρηκολουθήσατε τοῖς ῥηθεῖσιν, ἢ βούλεσθε ἄνωθεν αὐτὰ πάλιν ἀριθμησόμεθα, ἵνα εἰδῆτε πῶς ἕκαστον τούτων καὶ μόνον ἱκανὸν ἦν τῆς μεγίστης αὐτὸν ἀξιῶσαι τιμωρίας; τίς γὰρ ἂν ἀξιώσειε συγγνώμης τὸν βασκήναντα τῷ ἀπολαύοντι τῆς παρὰ τοῦ θεοῦ εὐνοίας; ἰδοὺ μία μεγίστη καὶ ἀσύγγνωστος ἁμαρτία. πάλιν αὕτη μεῖζον δείκνυται, ὅταν ἀδελφὸς ᾖ ὁ βασκαινόμενος καὶ μηδὲν τὸ παράπαν ἠδικηκώς. ἰδοὺ οὖν καὶ αὕτη πάλιν οὐχ ἡ τυχοῦσα ἁμαρτία. τρίτην πάλιν, ὅτι δόλον ἔρραψεν, ἀπατήσας τὸν ἀδελφὸν, καὶ ἑλκύσας εἰς τὸ πεδίον, καὶ οὐδὲ αὐτὴν τὴν φύσιν αἰδεσθείς. τέταρτον ἁμάρτημα, αὐτὸς ὁ φόνος ὃν εἰργάσατο. πέμπτον, ὅτι ἀδελφὸν ἐφόνευσε, τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας. ἕκτον, ὅτι πρῶτος τοῦ φόνου τὸ εἶδος εἰσήνεγκεν. ἕβδομον, ὅτι ἐρωτώμενος παρὰ τοῦ θεοῦ, ψεύσασθαι ἐτόλμησεν. ὁ τοίνυν, φησὶν, ἀνελεῖν σε ἐπιχειρήσας, ἑπτὰ τιμωρίαις μεγίσταις ἑαυτὸν ὑπεύθυνον καταστήσει. μὴ τοίνυν δέδιθι τοῦτο. ἰδοὺ γὰρ καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε μηδένα τῶν εὑρισκόντων σε ἀγνοήσαντα ἁλῶναι τῇ σῇ τελευτῇ, καὶ ὑπεύθυνον ἑαυτὸν ποιῆσαι τοῖς ἑπτὰ τούτοις ἁμαρτήμασιν. ἡ γὰρ πάσης τῆς ζωῆς σου πάρεσις λυσιτελὴς ἔσται ταῖς μετὰ ταῦτα γενεαῖς· καὶ ὅπερ μόνος μηδενὸς παρόντος ἔπραξας, τοῦτο μαθήσονται πάντες, ὁρῶντές σε στένοντα καὶ τρέμοντα, καὶ μονονουχὶ βοῶντα διὰ τοῦ σχήματος τοῦ σωματικοῦ, καὶ πᾶσι διαλεγόμενον καὶ λέγοντα, μηδεὶς ἕτερος τοιαῦτα τολμήσῃ, οἷάπερ ἐγὼ, ἵνα μὴ τοιαύτην δέξηται τὴν τιμωρίαν.

α. Βασ. β. ε.
Ιερ. ιε. δ.

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες, ἀγαπητοὶ, μὴ ἁπλῶς παρατρέχωμεν τὰ εἰρημένα, μηδὲ τοῦτο μόνον σκοπῶμεν, εἰ καθ' ἑκάστην ἐνταῦθα συνερχόμενοι πνευματικῆς τραπέζης ἀπολαύομεν (οὐδὲν γὰρ ὄφελος τῆς ἀκροάσεως μόνης ἄνευ τῆς διὰ τῶν ἔργων ὑπακοῆς) ἀλλ' ἐννοοῦντες πόθεν εἰς ταύτην τὴν ἀσύγγνωστον καὶ χαλεπὴν ἁμαρτίαν συνήλασεν ἑαυτὸν ὁ Κάϊν, καὶ ὅτι ἀπὸ τοῦ φθονῆσαι τὸν μηδόλως αὐτὸν ἀδικῆσαί ποτε ἐπιχειρήσαντα, τὴν τοιαύτην εἰσπραξιν, μᾶλλον δὲ ἀναίρεσιν εἰς τὸν ἴδιον ἀδελφὸν τετόλμηκε, μὴ τὸ κακῶς παθεῖν φεύγωμεν, ἀλλὰ μᾶλλον τὸ κακῶς ἑτέροις διατιθέναι. ἐκεῖνος γάρ ἐστιν ὄντως ὁ κακῶς πεπονθὼς, ὁ τὸν πλησίον ἑαυτοῦ κατεργάζεσθαι βουλόμενος. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐστὶν ἀληθὲς, ὅρα μοι ἐνταῦθα τίς ἐστιν ὁ κακῶς πεπονθὼς, ὁ ἀνελὼν, ἢ ὁ ἀναιρεθείς. δηλονότι ὁ ἀνελών. διατί; ὅτι ὁ μὲν ἀναιρεθεὶς καὶ μέχρι τοῦ νῦν ᾄδεται παρὰ τοῖς ἁπάντων στόμασι, καὶ ἀνακηρύττεται, καὶ στεφανοῦται, ὡς τῆς ἀληθείας πρωτομάρτυς· καθάπερ φησὶ καὶ ὁ μακάριος Παῦλος, Ἀποθανὼν Ἄβελ ἔτι λαλεῖ· ὁ δὲ ἀνελὼν τότε μὲν ἐλεεινότερον πάντων ἀνθρώπων βίον ἔζη, μετὰ δὲ ταῦτα παρὰ πάντων ταῖς κατηγορίαις βάλλεται, καὶ ὡς βδελυκτὸς παρὰ τῷ θεῷ καὶ κατηραμένος ὑπὸ τῆς θείας γραφῆς παραδειγματίζεται. καὶ ταῦτα μὲν ἐν τῷ παρόντι καὶ συγκαταλυομένῳ βίῳ. τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ἀπαντῆσαι ἀμφοτέροις ὀφείλοντα, καὶ καταλλήλως ἑκάστῳ τῆς ἑαυτοῦ πράξεως ἀπολαβεῖν παρὰ τοῦ δικαίου κριτοῦ, τίς

Εβρ. ια. δ.

λόγος παραστῆσαι δυνήσεται, ἢ τὰ ἀγαθὰ ἢ τὰ ἐναντία; οὐκ ἔστιν οὐδεὶς οὔτε τὰ χρηστὰ οὔτε τὰ λυπηρά. καὶ γὰρ ἐκεῖνον μὲν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ αἰώνιοι σκηναί, καὶ οἱ χοροὶ πατριαρχῶν, προφητῶν τε καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων ὅμιλος ὑποδέξονται συμβασιλεύσοντα εἰς αἰῶνας ἀτελευτήτους τῷ βασιλεῖ Χριστῷ Ἰησοῦ, τῷ τοῦ θεοῦ μονογενεῖ υἱῷ καὶ θεῷ· τοῦτον δὲ ἡ γέεννα τοῦ πυρὸς, καὶ τὰ ἄλλα ἅπαντα ἀθάνατα βασανιστήρια διαδέξονται εἰς αἰῶνας ἀπεράντους τιμωρούμενον, μετὰ καὶ πάντων τῶν παραπλήσια τούτῳ πεπραχότων, καὶ μάλιστα τῶν μετὰ ταῦτα τοῖς αἰσχίστοις πάθεσιν ἁλόντων, ὅσῳ καὶ μείζων ἡ τιμωρία παρὰ τοῦ κοινοῦ δεσπότου ἐκφέρεται. ἄκουε γὰρ τοῦ μακαρίου Παύλου λέγοντος· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, τοῦτ᾽ ἔστιν, ἐλαφροτέραν ὑποστήσονται τὴν τιμωρίαν, διὰ τὸ μὴ ἔχειν ἔλεγχον τὴν ἐκ τοῦ νόμου ἀπειλήν τε καὶ διόρθωσιν· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. οὗτοι δέ, φησιν, οἱ καὶ μετὰ τὴν ἐκ τοῦ νόμου βοήθειαν τὰ αὐτὰ ἐκείνοις πεπραχότες βαρυτέρας καὶ ἀφορητοτέρας ὑπομενοῦσι καὶ τὰς κολάσεις, καὶ μάλα εἰκότως. ὅτι οὔτε ὁ νόμος, οὔτε τὸ ἑτέρους '' εἰδότας τοσούτοις κακοῖς ὑποβληθέντας σωφρονεστέρους αὐτοὺς ἢ ἐπιεικεστέρους ἀπειργάσατο. διὸ παρακαλῶ, κἂν γοῦν ἀπὸ τοῦ νῦν τοῖς ἑτέρων παιδεύμασι σωφρονίσωμεν ἑαυτοὺς, καὶ τὸν βίον τὸν ἑαυτῶν ἰθύνωμεν πρὸς τὴν τοῦ κυρίου ὑποταγὴν, τοῖς αὐτοῦ ὑπείκοντες νόμοις. καὶ μηδὲ φθόνος, μήτε βασκανία, μήτε ὁ τῶν σωμάτων ἔρως, μήτε ἡ τοῦ παρόντος βίου δόξα τε καὶ δυναστεία, μήτε ἡ τῆς γαστρὸς ἡδονὴ, μήτε ἄλλη τις ἄτοπος ἐπιθυμία κατακυριευέτω ἡμῶν τῶν ἐν τῇ ψυχῇ λογισμῶν· ἀλλ᾽ ἐκκαθάραντες ἑαυτοὺς ἀπὸ πάσης ἰλύος καὶ τύρβης βιωτικῆς, καὶ πολλὰ χαίρειν εἰπόντες τοῖς αἰσχίστοις καὶ ἀτοπωτάτοις πάθεσι, πρὸς τὴν μακαρίαν ἐκείνην ζωὴν ἐπειχθῶμεν καὶ * τὰ ἀπόρρητα ἀγαθὰ, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς '' ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Ρωμ. β. ιβ.

ρ. εἰδέναι

* ἀπολαύσωμεν

ρ. ἠγαπηκόσιν

λογ. κ. ΕΞΗΛΘΕ ΔΕ ΚΑΙΝ ΑΠΟ ΠΡΟΣΩΠΟΥ ΤΟΥ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ, καὶ τὰ ἑξῆς.

ΦΕρε πάλιν τῆς ἀκολουθίας [καὶ] σήμερον τῶν ἀνεγνωσμένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν παραθῶμεν, καὶ ἐκ τῆς βίβλου τοῦ μακαρίου Μωϋσέως τὴν συνήθη διάλεξιν πρὸς ὑμᾶς ποιησώμεθα, μᾶλλον δὲ ἐκ τῶν τοῦ πνεύματος λογίων, ἅπερ διὰ τῆς τούτου γλώττης ἡμᾶς ἐδίδαξεν ἡ θεία χάρις. ἀλλ᾽ ἵνα σαφέστερος ὑμῖν γένηται ὁ λόγος, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην τῶν ἤδη ῥηθέντων, καὶ ὅπου τὴν διδασκαλίαν κατελύσαμεν, ἵνα ἐκεῖθεν αὐτὴν σήμερον ἀναλαβόντες οὕτω τῆς ἀρχῆς τῶν ἀνεγνωσμένων ἁψώμεθα. ἴστε γὰρ ὅτι τὴν κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ ὑπόθεσιν κινήσαντες ἐδείκνυμεν ἐξ αὐτῶν τῶν γεγενημένων, καὶ ἐξ ὧν ἕκαστος τὰς θυσίας αὐτῶν προσήνεγκε τῷ δεσπότῃ, ὅπως ἔγκειται τῇ ἡμετέρᾳ φύσει ἡ γνῶσις τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων· καὶ ὅτι αὐτεξουσίους ἡμᾶς εἰργάσατο ὁ τῶν ἁπάντων δημιουργὸς; καὶ πανταχοῦ ἀπὸ τῆς γνώμης τῆς ἡμετέρας ἢ κατακρίνει ἢ στεφανοῖ (ἀπὸ γὰρ ταύτης τοῦ μὲν Κάϊν ἀπόβλητος γέγονεν ἡ θυσία, τοῦ δὲ Ἄβελ τὰ δῶρα προσεδέχθη) καὶ ὅτι ἐντεῦθεν ὑπὸ βασκανίας κινηθεὶς ὁ Κάϊν ἐπὶ τὸν τοῦ ἀδελφοῦ φόνον ὥρμησε· καὶ μετὰ τὴν ἀνόσιον ταύτην πρᾶξιν βουλομένου τοῦ θεοῦ ἐκκαλέσασθαι αὐτὸν εἰς ἐξομολόγησιν τῶν ἡμαρτημένων, οὐδὲ οὕτω τὸ φάρμακον τῆς ἰατρείας ἐδέξατο, ἀλλὰ τῷ μυσαρῷ ἐκείνῳ φόνῳ τὸ ψεῦδος συνάψας, τὴν χαλεπὴν ἐκείνην τιμωρίαν ἐπεσπάσατο, καὶ γυμνὸν καὶ ἔρημον ἑαυτὸν κατέστησε τῆς ἄνωθεν ῥοπῆς, ὑπόδειγμα σωφρονισμοῦ πᾶσι τοῖς μετὰ ταῦτα προκείμενος, καὶ διὰ τῆς ἀποφάσεως, ἧς ἐδέξατο, πάντη τῷ τῶν ἀνθρώπων γένει διαλεγόμενος, καὶ μονονουχὶ βοῶν καὶ λέγων· μηδεὶς ὑμῶν τοιοῦτόν τι" τολμήσῃ ποτὲ, ἵνα μὴ τοῖς τοιούτοις περιπέσητε. εἴδετε δεσπότου φιλανθρωπίαν, ὅπως διὰ τῆς εἰς ἐκεῖνον τιμωρίας οὐκ ἐκεῖνον μόνον σωφρονίσαι ἠβουλήθη, ἀλλὰ καὶ τοὺς εἰς τὸ ἑξῆς ἅπαντας διδάξαι πάντη φεύγειν τὸ τολμηθὲν τούτῳ ἐπιχείρημα. φέρε λοιπὸν τῶν ἑξῆς ἁψώμεθα, καὶ ἴδωμεν τί καὶ σήμερον διηγεῖται ἡμῖν ὁ μακάριος οὗτος προφήτης, ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος ἐνηχούμενος ἐνεργείας. ἐπειδὴ γὰρ τὴν ἀπόφασιν ἐδέξατο παρὰ τοῦ δεσπότου ὁ Κάϊν,

χ. τολμήσῃ ποτέ,

15 Ἐξῆλθε, φησὶν, ἀπὸ προσώπου τοῦ θεοῦ.

Τί ἐστιν ἐξῆλθεν ἀπὸ προσώπου τοῦ θεοῦ; τουτέστιν, ἐγυμνώθη τῆς παρ' αὐτοῦ προστασίας διὰ τὴν μυσαρὰν ἐκείνην καὶ ὀλεθρίαν πρᾶξιν,

Καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ.

Λέγει ἡμῖν ἡ θεία γραφὴ καὶ τὸν τόπον, ἔνθα λοιπὸν τὴν κατοίκησιν ἐποιήσατο, καὶ διδάσκει πῶς οὐδὲ πόῤῥω τοῦ παραδείσου διῆγεν, ἵνα κατέναντι αὐτοῦ ὢν διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ καὶ τῶν τῷ πατρὶ συμβεβηκότων διὰ τὴν παράβασιν, καὶ τοῦ μεγέθους τῶν αὐτῷ τετολμημένων, τὴν" τοσαύτην τιμωρίαν, ἣν ἐδέξατο μηδὲ τῇ τοῦ πατρὸς τιμωρίᾳ σωφρονισθείς. καὶ αὐτὸς δὲ ὁ τόπος, ἔνθα κατῴκει, ὑπόμνησις ἀδιάλειπτος ἦν οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ ταῖς" μετέπειτα γενεαῖς τοῦ σάλου καὶ τοῦ τρόμου. τὸ γὰρ Ναῒδ ὄνομα ἑβραϊκὴ λέξις ἐστὶν, ἑρμηνεύεται δὲ σάλος. ἵν' οὖν ὥσπερ ἐν στήλῃ χαλκῇ" ἀνέκλειπτον ἔχῃ καὶ ἀπὸ τοῦ τόπου τὴν κατηγορίαν, ἐκεῖ αὐτὸν ὁ δεσπότης κατῴκισεν. εἶτά φησι,

ἴσ. καὶ τῇ τοῦ πατρὸς τιμωρίᾳ,

χ. μετὰ ταῦτα

χ. ἀνεξάλειπτον

16 Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώς:

Θνητοὶ λοιπὸν γεγονότες, εἰκότως περὶ τὴν τῶν τέκνων διαδοχὴν τὴν ἅπασαν σπουδὴν" εἶχον. ἀλλ' ἴσως εἴποι τις ἄν, πῶς, οὐδαμοῦ τῆς γραφῆς μνημονευσάσης ἑτέρας γυναικὸς, ὁ Κάϊν ἔσχε τὴν γυναῖκα; μή σε ξενίσῃ τοῦτο, ἀγαπητέ. οὐδαμοῦ γὰρ θηλειῶν πως κατάλογον ποιεῖται μετὰ ἀκριβείας, ἀλλὰ τὸ ἀπέριττον φυλάττουσα ἡ θεία γραφὴ, ἐκ μέρους τῶν ἀρρένων μνημονεύει, καὶ οὐδὲ αὐτῶν πάντων, ἀλλὰ συντομώτερον ἡμῖν διηγεῖται λέγουσα, ὅτι ὁ δεῖνα ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανεν. εἰκὸς οὖν τὴν Εὔαν καὶ θυγατέρα τεκεῖν μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἣν εἰς γυναῖκα ἔλαβε Κάϊν. ἐπειδὴ γὰρ προοίμια ἦν, καὶ ἔδει λοιπὸν αὐξηθῆναι τὸ γένος, καὶ ταῖς ἀδελφαῖς συγγενέσθαι συνεχώρουν. διά τοι τοῦτο καταλιποῦσα ἡ γραφὴ ἡμῖν συνιδεῖν τὸ ἀκόλουθον, τοῦτο μόνον διηγεῖται λέγουσα,

χ. εἶπον

Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώς· καὶ ἦν οἰκοδομῶν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώς.

Ὅρα πῶς σοφίζεται λοιπὸν κατὰ μικρὸν, ἐπειδὴ θνητοὶ γεγόνασι, διηνεκῆ αὐτῶν σώζεσθαι τὴν μνήμην ἀπό τε τῶν τικτομένων, ἀπό τε τῆς ὀνομασίας τῶν τόπων, οἷς τὰς προσηγορίας ἐπιτιθέασι τῶν παίδων. ταῦτα πάντα ὑπομνήματα ἄν τις εἴποι διηνεκοῦς εἶναι τῶν ἡμαρτημένων αὐτοῖς καὶ τῆς ἐκπτώσεως τῆς δόξης ἐκείνης, ἐν ᾗ τυγχάἀνώτεροι

νοῦντες οὐδενὸς τούτων ἐδέοντο ὅ τε Ἀδὰμ ἥ τε Εὔα, ἀλλ᾽″ ἀνωτέρω πάντων καθειστήκεσαν.

17 Ἐγεννήθη δὲ τῷ Ἐνὼς, φησὶ, Γαϊδὰδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεὴλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.

Ὁρᾷς πῶς παρέδραμε τὰς γενεαλογίας, τῶν ἀρρένων μόνον μνημονεύσας ὁ μακάριος οὗτος προφήτης, καὶ οὐδαμοῦ τῶν θηλειῶν ἐπιμνησθείς. ἀλλὰ καθάπερ ἐπὶ τοῦ Καῒν εἶπεν, ὅτι ἔγνω Καῒν τὴν γυναῖκα αὐτοῦ, μηδὲν διδάξας ἡμᾶς, μηδὲ εἰπὼν, πόθεν ἔσχε τὴν γυναῖκα, οὕτω δὴ καὶ ἐνταῦθα πάλιν φησί·

18 Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδὰ, καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά. 19 Καὶ ἔτεκεν Ἀδὰ, φησὶ, τὸν Ἰωβήλ. οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. 20 Καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ. οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν.

Σκόπει τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐδίδαξεν ἡμᾶς καὶ τὰ ὀνόματα τῶν τεχθέντων ὑπὸ τῆς γυναικὸς τοῦ Λάμεχ, καὶ τίνα τὰ ἐπιτηδεύματα ἔσχον, καὶ ὅτι ὁ μὲν περὶ τὴν κτηνοτροφίαν ἑαυτὸν ἐξέδωκεν, ὁ δὲ ἐπενόησε ψαλτήριον καὶ κιθάραν.

21 Σελλὰ δὲ, φησὶν, ἔτεκε καὶ αὐτὴ τὸν Θοβὲλ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου.

Πάλιν καὶ τοῦ παρὰ τῆς Σελλᾶς τεχθέντος τὸ ἐπιτήδευμα ἡμῖν ἐδήλωσεν, ὅτι τὴν χαλκευτικὴν τέχνην εἵλετο. ὅρα πῶς κατὰ μικρὸν τὰ τῆς συστάσεως τοῦ τῶν ἀνθρώπων γένους ᾠκονόμητο. καὶ πρῶτον μὲν ὁ Καῒν τῷ ὑπ᾽ αὐτοῦ τεχθέντι τὴν ὑπ᾽ αὐτοῦ οἰκοδομουμένην πόλιν ἐπωνόμασεν. εἶτα οἱ ὑπὸ τῶν γυναικῶν τοῦ Λάμεχ τεχθέντες, ὃς μὲν τῇ κτηνοτροφίᾳ ἑαυτὸν ἐξέδωκεν, ὁ δὲ ἕτερος τὴν χαλκευτικὴν εἵλετο, ὁ δὲ ψαλτήριον καὶ κιθάραν κατέδειξεν.

Ἀδελφὴ δὲ, φησὶ, Θοβὲλ, Νοεμάν.

Τί τὸ καινὸν καὶ παράδοξον; νῦν γὰρ ἡμῖν πρῶτον δείκνυται θηλείας μνήμην ὀνομασὶ ποιησάμενος. οὐχ ἁπλῶς οὐδὲ εἰκῆ, ἀλλά τι κεκρυμμένον ἡμῖν ἐντεῦθεν ἐμφαίνων τοῦτο πεποίηκεν ὁ μακάριος προφήτης, ὅπερ εἰς ἕτερον ὑμῖν καιρὸν ταμιευσάμενοι νῦν τῆς ἀκολουθίας ″ἐξόμεθα. οὐδὲ γὰρ τὸ τυχόν ἐστι τὸ ἐπαγόμενον, ἀλλὰ καὶ σφόδρα πολλοῦ τοῦ ἀγῶνος δεόμενον, καὶ ἀκριβεστέρας τῆς ἑρμηνείας, ὥστε δυνηθῆναι μετὰ σαφηνείας ἅπαντα διερευνησαμένους πολλὴν ὑμῖν τὴν ὠφέλειαν ἐντεῦθεν παρασχεῖν.

ἐχόμεθα.

22 Εἶπε δὲ, φησὶ, Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν, Ἀδὰ καὶ Σελλά· ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους. ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. 23 Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Καῒν· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

Συντείνατέ μοι τὴν διάνοιαν, παρακαλῶ, καὶ πάντα τὸν βιωτικὸν λογισμὸν ἀπωσάμενοι μετ᾽ ἀκριβείας τὰ εἰρημένα διερευνησώμεθα, ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ, ἀλλ᾽, ὅσον ἡμῖν οἷόν τε, πρὸς τὸ βάθος αὐτῶν καθιέντες ἑαυτοὺς θηρᾶσαι δυνηθῶμεν τὸν ἐγκεκρυμμένον θησαυρὸν τοῖς βραχέσι τούτοις ῥήμασιν. Εἶπε δὲ, φησὶ, Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν, Ἀδὰ καὶ Σελλά· ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους. ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοὶ, ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Καῒν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. σκόπει μοι εὐθέως ἐκ προοιμίων, πόσον ὤνησε τοῦτον ἡ εἰς τὸν Καῒν γεγενημένη

Παροιμ. ιη.

τιμωρία. οὐ μόνον γὰρ οὐ περιμένει τὸν παρὰ ἑτέρου ἔλεγχον, ὡς ἐπὶ αὐτῷ ἁμαρτήματι, ᾧ καὶ χείρονι περιπεσών, ἀλλὰ καὶ, μηδενὸς ἐγκαλοῦντος μηδὲ ἐπιτιμῶντος, αὐτὸς ἑαυτὸν κατάδηλον ποιεῖ, καὶ ἐξαγορεύει τὰ εἰργασμένα, καὶ ταῖς γυναιξὶ διηγεῖται τοῦ πλημμελήματος τὸ μέγεθος, μονονουχὶ ἐκεῖνο πληρῶν τὸ εἰρημένον παρὰ τοῦ προφήτου, Ὅτι δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. μέγιστον γάρ ἐστιν εἰς διόρθωσιν τῶν ἡμαρτημένων ἡ ὁμολογία· ὥσπερ οὖν βαρύτερον τῶν ἡμαρτημένων τυγχάνει, τὸ μετὰ τὴν πρᾶξιν τῆς ἁμαρτίας ἐπὶ τὴν ἄρνησιν ἔρχεσθαι, ὅπερ καὶ ὁ ἀδελφοκτόνος ἐκεῖνος'' πέπονθε, καὶ ἐρωτώμενος παρὰ τοῦ φιλανθρώπου θεοῦ, ποῦ Ἄβελ ὁ ἀδελφός σου, οὐ μόνον οὐχ ὡμολόγησε τὸ ὑπ' αὐτοῦ τολμηθέν, ἀλλ' ἐτόλμησε ψεύσασθαι θεῷ. διὰ τοῦτο καὶ παρὰ τὰ θανεῖν αὐτοῦ τὴν ζωὴν ἐποίησεν. ὁ τοίνυν Λάμεχ τοῖς αὐτοῖς περιπεσών, καὶ εἰς ἔννοιαν ἐλθὼν, ὅτι ἐκεῖνον ἡ ἄρνησις χαλεπωτέραν παρεσκεύασε δέξασθαι τὴν τιμωρίαν, καλέσας τὰς ἑαυτοῦ γυναῖκας, οὐδενὸς καταναγκάζοντος οὐδὲ διελέγχοντος, αὐτὸς διὰ τῆς οἰκείας γλώττης καὶ τὴν ὁμολογίαν τῶν ἡμαρτημένων ποιεῖται, καὶ συγκρίνων τὰ ὑπ' αὐτοῦ εἰργασμένα τοῖς παρὰ τοῦ Κάϊν πεπραγμένοις, ἑαυτῷ τὴν τιμωρίαν ὁρίζει. εἶδες κηδεμονίαν δεσπότου, πῶς καὶ αἱ τιμωρίαι αὐτοῦ φιλανθρωπίας ὑποθέσεις εἰσὶ, καὶ ὅτι οὐ μέχρι τοῦ τὴν τιμωρίαν δεχομένου τὰ τῆς φιλανθρωπίας ἵσταται, ἀλλὰ καὶ τοῖς λοιποῖς χρήσιμον κατασκευάζει τὸ φάρμακον, εἰ βουληθεῖεν τὴν ἐξ αὐτοῦ ὠφέλειαν καρπώσασθαι. πόθεν γὰρ, εἰπέ μοι, ἑτέρωθεν ὁ Λάμεχ ἐπὶ τὴν'' τοσαύτην ἐξομολόγησιν ἐπείχθη, εἰ μὴ τὴν ἐκ τῶν ἐκείνῳ συμβάντων ὑπόμνησιν εἶχε διηνεκῶς αὐτοῦ τὴν διάνοιαν κατασείουσαν; εἶπε δέ, φησιν· Ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους. ὅρα πῶς καθ'' ἑαυτὸν δικαστήριον καθίσας οὕτω τὴν παράκλησιν αὐταῖς προσάγει, ὥστε μὴ παρέργως δέξασθαι τὰ λεγόμενα. τὸ γὰρ εἰπεῖν, ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους, τοῦτο δηλοῦντός ἐστι, συντείνατε ὑμῶν, φησι, τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε, οἷς ἐρεῖν μέλλω. οὐδὲ γὰρ περὶ τῶν τυχόντων ὑμῖν διαλέξομαι, ἀλλὰ πράγματα ὑμῖν ἐξαγορεύσω λανθάνοντα, καὶ ἃ μηδεὶς ἕτερος οἶδεν, ἀλλ' ἢ μόνος ἐγὼ, καὶ ὁ ἀκοίμητος ἐκεῖνος ὀφθαλμὸς, ὃν δεδοικὼς σπεύδω καὶ ἐπείγομαι φανερὰ ὑμῖν καταστῆσαι τὰ ὑπ' ἐμοῦ πεπραγμένα, καὶ ὅσαις τιμωρίαις ἑαυτὸν ὑπεύθυνον κατέστησα διὰ τῶν ἀνοσίων πράξεων. Ὅτι ἄνδρα ἀπέκτεινα, φησιν, εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. μέγα τὸ εἰρημένον, καὶ σφόδρα μέγα, καὶ πολλὴ τοῦ ἀνδρὸς ἡ εὐγνωμοσύνη. οὐ μόνον γὰρ ὁμολογεῖ τὸ γεγονὸς, καὶ τοὺς φόνους εἰς μέσον ἄγει οὓς εἰργάσατο, ἀλλὰ καὶ διὰ τῆς συγκρίσεως τῶν ὑπ' ἐκείνου καὶ ὑπ' αὐτοῦ γεγονότων τὸ ἐπιτίμιον ἑαυτῷ ἐπιτίθησι. ποίας γὰρ ἂν εἴη, φησὶ, συγγνώμης ἄξιος, ὁ μηδὲ τῇ ἑτέρου τιμωρίᾳ σωφρονισθεὶς, ἀλλὰ καὶ ἔναυλον ἔχων τὴν μνήμην καὶ πρὸς ἐπὶ τούτοις διπλοῦν ἐργασάμενος φόνον; ὅτι ἄνδρα, φησὶν, ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. οὐ τοσοῦτον ἠδίκησα, φησιν, ἐκείνους, οὓς ἀνεῖλον, ὅσον ἐμαυτόν. εἰς ἄφυκτον γὰρ τιμωρίαν ἑαυτὸν ἐνέβαλον, ἁμαρτήματα ἐργασάμενος συγγνώμης ἐπέκεινα. εἰ γὰρ ἐκεῖνος ὑπὲρ τοῦ ἑνὸς φόνου ἑπτὰ τιμωρίαις ὑπεύθυνος γέγονεν, ἐγὼ δίκαιος ἂν εἴην ἑβδομηκοντάκις ἑπτὰ τιμωρίας ὑποσχεῖν. τίνος ἕνεκεν καὶ διὰ τί; εἰ γὰρ καὶ φόνον ἐκεῖνος εἰργάσατο, καὶ ἀδελφοῦ φόνον, ἀλλ' οὐδένα οὐδέποτε πρότερον τεθεαμένος τοῦτο πεποιηκότα, οὐδὲ κατιδὼν ἕτερον διὰ τὴν πρᾶξιν τιμωρηθέντα καὶ τοσαύτης πειραθέντα τῆς ἀγανακτήσεως· ἅπερ ἀμφότερα ἐμοὶ αὔξει τὰ τῆς τιμωρίας, ὅτι καὶ πρὸ τῶν ὀφθαλμῶν ἔχων τὸ ὑπ' ἐκείνου τολμηθὲν, καὶ τὴν

τιμωρίαν

τιμωρείαν ὁρῶν οὕτως ἀνήκεστον οὖσαν, οὐδὲ οὕτως ἐσωφρονίσθη. διὰ τοῦτο κἂν ἑβδομηκοντάκις ἑπτὰ τιμωρείας ἐκείνου" ὑποσταίη, οὐδὲ οὕτω τὴν ἀξίαν δώσω δίκην. ὁρᾷς, ἀγαπητέ, πῶς αὐτεξούσιον ἡμῶν τὴν γνώμην ὁ θεὸς ἐδημιούργησε, καὶ ὥσπερ ῥαθυμοῦντες ὑποσκελιζόμεθα, οὕτω καὶ νῆψαι βουληθέντες συνορῶμεν τὸ δέον. τίς γάρ, εἰπέ μοι, τοῦτον ἐπὶ τὴν τοσαύτην ἐξομολόγησιν κατήπειξεν; οὐδεὶς ἕτερος, ἀλλ' ἢ τὸ συνειδὸς καὶ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος. ἐπειδὴ γὰρ εἰς ῥαθυμίαν ἀποκλίνας εἰς ἔργον ἤγαγε τὴν κακὴν ἐπιχείρησιν, εὐθέως κατεξανέστη τὸ συνειδὸς καταβοῶν, καὶ δεικνύον καὶ τῶν ἁμαρτηθέντων τὸ μέγεθος, καὶ ὅσαις τιμωρείαις ἑαυτὸν ὑπεύθυνον εἰργάσατο. τοιοῦτον γὰρ ἡ ἁμαρτία. πρὶν ἢ μὲν γὰρ διαπραχθῆναι καὶ εἰς ἔργον ἐλθεῖν, σκοτοῖ τὸν λογισμὸν καὶ ἀπατᾷ τὴν διάνοιαν· ἐπειδὰν δὲ τελειωθῇ, τότε δήλην ἡμῖν τὴν αὐτῆς ἀτοπίαν καθίστησι, καὶ ἡ βραχεῖα ἐκείνη καὶ ἄτοπος ἡδονὴ διηνεκῆ τὴν ὀδύνην ἡμῖν ἐντίθησι, καὶ τοῦ συνειδότος ἀφαιρεῖται τὴν παῤῥησίαν, καὶ αἰσχύνῃ περιβάλλει τὸν ἁλόντα. ὁ γὰρ φιλάνθρωπος δεσπότης τοιοῦτον ἡμῖν τὸν κατήγορον τοῦτον ἐπέστησεν, ὡς μηδέποτε ἠρεμεῖν, ἀλλ' ἀδιαλείπτως συνόντα καταβοᾶν, καὶ δίκην ἀπαιτεῖν τῶν πεπλημμελημένων. καὶ τοῦτο ἄν τις ἴδοι σαφῶς ἐξ αὐτῶν τῶν πραγμάτων. ὁ γὰρ πόρνος ἢ ὁ μοιχός, ἢ ἕτερόν τι τοιοῦτον εἰργασμένος, κἂν πάντας λαθεῖν δυνηθῇ, οὐδὲ οὕτως ἐν ἠρεμίᾳ διάγει, ἀλλ' ἔχων τοῦτον τὸν σφοδρὸν κατήγορον, τὰς ὑποψίας δέδοικε, τὰς σκιὰς τρέμει, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, διηνεκῆ χειμῶνα ἔχων ἐν τῇ ψυχῇ, καὶ κύματα ἐπάλληλα· καὶ οὔτε ὕπνος τῷ τοιούτῳ ἡδύς, ἀλλὰ φόβου καὶ δειμάτων πεπληρωμένος, οὔτε τροφὴ ἡδονὴν ἔχουσα, οὔτε διάλεξις φίλων τὸν τοιοῦτον μεταγαγεῖν δυνήσεται, ἢ ἀπαλλάξαι τοῦ ἀγῶνος τοῦ ἐπικειμένου. ἀλλὰ καθάπερ δήμιον περιφέρων καταξαίνοντα αὐτὸν καὶ μαστίζοντα διηνεκῶς, οὕτω μετὰ τὴν ἄτοπον πρᾶξιν ἐκείνην περιέρχεται οὐδενὸς εἰδότος τὰς ἀφορήτους ἐκείνας τιμωρείας ὑπέχων, καὶ δικαστὴς ἑαυτοῦ γενόμενος, καὶ κατήγορος. ἀλλ' ὁ ταῦτα εἰργασμένος, ἐὰν βουληθῇ εἰς δέον χρήσασθαι τῇ ἀπὸ τοῦ συνειδότος βοηθείᾳ, καὶ ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπραγμένων ἐπειχθῆναι, καὶ τῷ ἰατρῷ δεῖξαι τὸ ἕλκος τῷ θεραπεύοντι καὶ μὴ ὀνειδίζοντι, καὶ τὰ παρ' ἐκείνου φάρμακα δέξασθαι, καὶ μόνος αὐτῷ διαλεχθῆναι μηδενὸς εἰδότος, καὶ πάντα εἰπεῖν μετ' ἀκριβείας, ταχεῖαν" ποιήσεται τὴν διόρθωσιν τῶν ἐπταισμένων. ἡ γὰρ ὁμολογία τῶν ἡμαρτημένων, ἀφανισμὸς γίνεται τῶν πλημμελημάτων. εἰ γὰρ δὴ ὁ Λάμεχ οὗτος ταῖς ἑαυτοῦ γυναιξὶ τοὺς παρ' αὐτοῦ γενομένους φόνους ἐξαγορεῦσαι οὐ παρῃτήσατο, ποίας ἂν εἴημεν συγγνώμης ἄξιοι τῷ πάντα μετ' ἀκριβείας εἰδότι τὰ ἡμέτερα πλημμελήματα μὴ βουλόμενοι ἐξαγορεύειν τὰ ἡμαρτημένα; μὴ γάρ, ἐπειδὴ ἀγνοεῖ, μαθεῖν βούλεται; οὐκ, ἐπειδὴ ἀγνοεῖ, τὴν παρ' ἡμῶν ὁμολογίαν ἐπιζητεῖ ὁ πάντα εἰδὼς πρὸ γενέσεως αὐτῶν· ἀλλὰ βουλόμενος ἡμᾶς ὁμοῦ καὶ αἴσθησιν λαβεῖν τῶν ἐπταισμένων διὰ τῆς ὁμολογίας, καὶ τὴν εὐγνωμοσύνην τὴν παρ' ἑαυτῶν ἐπιδείξασθαι. μὴ γὰρ χρήματά" ἐστιν ἐνταῦθα δαπανῆσαι; μὴ γὰρ ὁδὸν μακρὰν στείλασθαι; μὴ γὰρ ὀδύνην καὶ ἀλγήματα παρέχει ἡ ἰατρεία αὕτη; καὶ ἀδάπανός ἐστι καὶ ἀνώδυνος, καὶ ταχεῖαν παρέχουσα τὴν θεραπείαν. πρὸς γὰρ τὸν τόνον τῆς διαθέσεως τοῦ προσιόντος, οὕτω καὶ τὰ φάρμακα τῶν τραυμάτων χαρίζεται ὁ δεσπότης. ὁ τοίνυν βουλόμενος θᾶττον πρὸς ὑγείαν ἐπανελθεῖν καὶ τὰ τῆς ψυχῆς ἕλκη θεραπεῦσαι, μετὰ νήψεως προσίτω πάντων ἑαυτὸν ἀποστήσας τῶν βιωτικῶν, θερμὰ δάκρυα προχεέτω, προσεδρίαν πολλὴν ἐπιδεικνύσθω, πίστιν ἀκριβῆ εἰσφερέτω, καὶ θαῤῥείτω τοῦ ἰατροῦ τῇ τέχνῃ, καὶ παραχρῆμα τῆς ὑγείας ἀπολαύσεται. εἶδες ἰατροῦ

φιλοτιμίαν

ὑποστῇ

γρ. ποιήσηται

γρ. ἔξεστιν

φιλοτιμίαν πάντως παρὰ τῆς φιλοστοργίας ἀποκρύπτοντος. μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν ἐπιζητεῖ; συντριβὴν καρδίας, λογισμοῦ κατάνυξιν, ὁμολογίαν" πταίσματος, προσεδρίαν συντεταμένην· καὶ οὐ μόνον τῶν τραυμάτων τὴν θεραπείαν χαρίζεται, καὶ τὴν ἡμαρτημένων κάθαρσιν ἀποδείκνυσιν, ἀλλὰ καὶ τὸν πρὸ τούτου μυρίοις βαρυνόμενον φορτίοις ἁμαρτημάτων, δίκαιον ἀπεργάζεται. ὢ φιλανθρωπίας μέγεθος· ὢ ἀγαθότητος ὑπερβολή. τὸν ἡμαρτηκότα, ἐπειδὰν ὁμολογήσῃ τὰ ἡμαρτημένα συγγνώμην αἰτήσας, καὶ τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν ἐπιδείξηται, ἀθρόον δίκαιον ἀποφαίνει. καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ προφήτου λέγοντος, Λέγε σὺ πρῶτος τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς. οὐχ ἁπλῶς εἶπε, Λέγε σὺ τὰς ἀνομίας σου, ἀλλὰ προσέθηκε πρῶτος, τουτέστι, μὴ ἀναμείνῃς τὸν ἐλέγχοντα, μηδὲ ἐκδέξῃ τὸν κατήγορον· αὐτὸς προλαβὼν ἅρπασον τὴν" πρωτολογίαν, ἵνα ἀποκλείσῃς τοῦ κατηγόρου τὴν γλῶτταν. εἶδες δικαστοῦ" φιλανθρωπίαν. ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων δικαστηρίων, ὅταν τις τοῦτο ποιῆσαι καταδέξηται, καὶ πρὸ τῶν ἐλέγχων προλαβὼν ὁμολογήσῃ τὰ εἰργασμένα, τὰς μὲν βασάνους καὶ τὰς ἐπαλλήλους τιμωρίας ἴσως διαφυγεῖν δυνήσεται, καὶ ταῦτα, εἰ ἡμέρου τινὸς ἐπιτύχῃ δικαστοῦ, τὴν μέντοι ἀπόφασιν τὴν ἐπὶ θάνατον" ἄγουσαν πάντως δέχεται· ἐπὶ δὲ τοῦ φιλανθρώπου θεοῦ καὶ ἰατροῦ τῶν ἡμετέρων ψυχῶν ἄφατος ἡ ἀγαθότης, καὶ πάντα λόγον ὑπερβαίνουσα ἡ φιλοτιμία. ἐὰν γὰρ προλαβόντες τὸν ἀντίδικον τὸν ἡμέτερον, τὸν διάβολον λέγω, τὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατὰ πρόσωπον ἡμῶν ἱστάμενον, ἤδη ἐν τῷ παρόντι βίῳ πρὸ τῆς εἰς τὸ δικαστήριον εἰσόδου ὁμολογήσωμεν τὰ πεπραγμένα, καὶ τὴν πρωτολογίαν ἁρπάσωμεν, καὶ αὐτοὶ ἑαυτῶν κατήγοροι γενώμεθα, εἰς τοσαύτην φιλανθρωπίαν ἐκκαλεσόμεθα τὸν δεσπότην, ὡς μὴ μόνον τὴν ἐλευθερίαν τῶν ἡμαρτημένων ἡμῖν δωρήσασθαι, ἀλλὰ καὶ εἰς τὸν τῶν δικαίων κατάλογον ἡμᾶς καταριθμῆσαι. εἰ γὰρ ὁ Λάμεχ οὗτος, μήτε νόμου δεδομένου τοῦ διδάσκειν δυναμένου, μήτε προφητῶν ἀκούσας, μήτε ἑτέρας τινὸς παραινέσεως, ἀπὸ τοῦ ἐγκειμένου τῇ φύσει κριτηρίου συνειδότος, ἅπερ ἐτόλμησε, καὶ εἰς μέσον ἤγαγε τὰ εἰργασμένα καὶ" ἑαυτὸν κατεψηφίσατο, πῶς ἡμεῖς δυνησόμεθα ἀπολογίας τινὸς τυχεῖν, μὴ μετὰ πάσης σπουδῆς τὰ ἡμέτερα τραύματα ἐπιδεικνύντες τῷ δεσπότῃ, καὶ παρ' αὐτοῦ τὴν τούτων ἰατρείαν δεχόμενοι; ὅπερ εἰ μὴ νῦν ποιήσομεν, ὅτε νηστείας καιρός, ὅτε τοσαύτη τῶν λογισμῶν ἡ γαλήνη, ὅτε πᾶσα τρυφὴ ἐκποδών, πότε δυνησόμεθα εἰς ἔννοιαν ἐλθεῖν τῶν ἡμῖν πεπραγμένων; διὸ παρακαλῶ πάντοτε μὲν νήφειν καὶ ἐγρηγορέναι, καὶ τὴν παροῦσαν ζωὴν ἅπασαν εἰς τοῦτο καταδαπανᾶν, ἵνα τῇ προσεδρίᾳ δυνηθῶμεν τὴν ἀφόρητον ἐκείνην κόλασιν διαφυγεῖν, καὶ ἐκτὸς γενέσθαι τοῦ τῆς γεέννης πυρός· μάλιστα δὲ νῦν μετὰ πλείονος τῆς σπουδῆς τοῦτο [δεῖ] ποιεῖν, ὅτε * διὰ τὸν τῆς νηστείας καιρὸν καὶ πλείονος καὶ συνεχοῦς ἀπολαύητε τῆς διδασκαλίας.

Ησ. μγ. κϛ.

γρ. πταισμάτων;

γρ. τὴν προτιλόγια,

γρ. φιλανθρωπίας ὑπερβολήν.

γρ. ἀπάγουσαν

γρ. ἑαυτὸν

* καὶ

24 Ἔγνω δέ, φησιν, Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν.

Μέχρι τοῦ Λάμεχ τὴν γενεαλογίαν στήσασα ἡ θεία γραφή, ἐπανῆλθε πάλιν ἐπὶ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ, καί φησιν, ἔγνω δὲ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ἔτεκε, φησιν, υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. καὶ οὐκ ἀρκεσθεῖσα ἡ μήτηρ τῆς" προσηγορίας φησίν, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὅρα καὶ τὴν μητέρα, ὁ

γρ. τῇ προσηγορίᾳ

πῶς

ὅπως διὰ τῆς προσηγορίας τοῦ τεχθέντος παιδίου τὴν μνήμην τῆς πονηρᾶς ἐκείνης πράξεως διηνεκῆ ἐναποτίθεται· καὶ ἵνα καὶ οἱ εἰς τὰς ἑξῆς γενεὰς εἰδέναι ἔχωσι τὸ τολμηθὲν ὑπὸ τοῦ Κάϊν, φησὶν, ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, συγχεομένης ὑπὸ τῆς μνήμης τοῦ γεγονότος καὶ εὐχαριστούσης μὲν ὑπὲρ τοῦ τεχθέντος, μονονουχὶ δὲ στηλιτευούσης ἐκεῖνον διὰ τῆς τοῦ παιδὸς προσηγορίας. καὶ γὰρ ἀληθῶς οὐ τὸ τυχὸν πένθος εἰργάσατο τοῖς γονεῦσι, τὴν ἑαυτοῦ δεξιὰν ὁπλίσας κατὰ τοῦ ἀδελφοῦ, καὶ τὸν ποθεινὸν καὶ ἐπέραστον δείξας αὐτοῖς χαμαὶ ἐῤῥιμμένον νεκρὸν καὶ ἀναίσθητον. εἰ γὰρ καὶ τὸ ἐπιτίμιον ἐδέξατο ὁ Ἀδὰμ, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, ἀλλ᾽ ὅμως ἐν ῥήμασιν ἦν τέως τὰ τῆς ἀποφάσεως, καὶ οὐδέπω ᾔδεισαν, τί ἦν τοῦ θανάτου τὸ εἶδος. ἀλλ᾽ οὗτος προλαβὼν, διὰ τὸ μῖσος τὸ πρὸς τὸν ἀδελφὸν καὶ τὸν φθόνον τὸν ἔνδοθεν αὐτὸν τήκοντα, ἐπὶ τὴν σφαγὴν ὥρμησε τοῦ Ἄβελ, καὶ δεινὸν θέαμα παρέσχε τοῖς γονεῦσιν ἰδεῖν. διά τοι τοῦτο ἡ μήτηρ μικρὸν ἀναπνεύσασα, καὶ μόλις ὀψέ ποτε τοῦ ἀφορήτου πένθους ἐκείνου παραμυθίαν εὑρεῖν δυνηθεῖσα διὰ τοῦ τεχθέντος παιδίου, καὶ τὴν εὐχαριστίαν ἀναπέμπει τῷ δεσπότῃ, καὶ τοῦ ἀδελφοκτόνου στηλιτεύει τὴν πρᾶξιν, ταύτην αὐτῷ καὶ αὐτὴ μεγίστην τιμωρίαν ἐπάγουσα, τὸ διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῶν παρ᾽ αὐτοῦ γεγενημένων. εἴδετε ὅσον κακόν ἐστιν ἁμαρτία, πῶς εἰς αἰσχύνην καὶ ὄνειδος περιΐστησι τοὺς ταύτην εἰργασμένους. εἴδετε πῶς τῆς ἄνωθεν χάριτος διὰ ταύτην γυμνὸς γέγονε, καὶ ἅπασι προκείμενος εἰς καταγέλωτα. εἴδετε πῶς καὶ τοῖς γονεῦσι τοῖς ὑπὸ τῆς φύσεως αὐτῆς ὠθουμένοις εἰς φιλοστοργίαν βδελυκτὸς κατέστη διὰ τὴν κακὴν ἐπιχείρησιν. Φεύγωμεν τοίνυν, παρακαλῶ, τὴν ἁμαρτίαν τὴν τοσούτοις ἡμᾶς περιβάλλουσαν κακοῖς, καὶ τὴν ἀρετὴν ἑλώμεθα, ἵνα καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα, καὶ τὴν κόλασιν διαφύγωμεν.

25 Καὶ τῷ Σὴθ, φησιν, ἐγένετο υἱός· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ, Ενώς. οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

Ὅρα πῶς κατὰ μικρὸν λοιπὸν παιδεύονται ταῖς προσηγορίαις τῶν τικτομένων ἐναποτίθεσθαι τῆς οἰκείας εὐγνωμοσύνης τὴν ἀπόδειξιν. καὶ οὗτος γάρ, φησιν, ὁ Σὴθ γεννήσας υἱὸν ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ενώς. εἶτα ἑρμηνεῦσαι ἡμῖν βουληθεῖσα ἡ θεία γραφὴ τοῦ ὀνόματος τὴν προσηγορίαν φησὶν, οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ. καὶ γὰρ ἐκ τούτου λοιπὸν τὴν ἀρχὴν μέλλει ποιεῖσθαι ὁ μακάριος προφήτης τῆς γενεαλογίας, τοῦ Κάϊν τὴν μνήμην ἀποπεμψάμενος, καὶ τῶν ἐξ αὐτοῦ μέχρι τοῦ Λάμεχ γεγονότων. καὶ ἐπειδὴ τὴν ἀπὸ τῆς φύσεως αὐτῷ προεδρίαν χαρισθεῖσαν, τὴν τῶν πρωτοτόκων λέγω, τῇ κακίᾳ τῆς προαιρέσεως ἐλυμήνατο, ἐκβάλλεται μὲν αὐτὸς καὶ οἱ ἐξ αὐτοῦ τοῦ καταλόγου· ὁ δὲ Σὴθ λοιπὸν, ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τοῦτο διὰ τὴν τῆς προαιρέσεως εὐγνωμοσύνην ἀξιοῦται, καὶ εἰς τοῦτον μεθίσταται λοιπὸν τὰ τῆς πρωτοτοκίας, εἰ καὶ μὴ διὰ τὴν φύσιν, ἀλλὰ διὰ τὴν τῆς προαιρέσεως γνώμην, καὶ οἱ ἐκ τούτου τικτόμενοι τῆς γενεαλογίας ἀξιοῦνται. καὶ ὥσπερ οὗτος Ενὼς ἐκλήθη διὰ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ, οὕτω καὶ οἱ ἐκ τούτου λοιπὸν τὸ γένος καταγόμενοι τῆς αὐτῆς ἀξιοῦνται προσηγορίας. διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος προφήτης ἐνταῦθα στήσας τὴν διήγησιν, πάλιν ἑτέραν ἀρχὴν ποιεῖται. ἀλλ᾽ ἵνα μὴ ἀρξάμενοι τοῦ διηγήματος, εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, ἐνταῦθα καὶ ἡμεῖς, καθάπερ ὁ μακάριος οὗτος προφήτης, καταπαύσωμεν τὸν λόγον, εἰς τὴν ἑξῆς, ἐὰν ὁ θεὸς ἐπιτρέπῃ, τῶν ἑπομένων τὴν ἑρμηνείαν ταμιευσάμενοι.

Τέως

ΗΘΙΚΟΝ

Τέως δὲ ἐπὶ τοῦ παρόντος ἐκεῖνο παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην βούλομαι, ὥστε καρποῦσθαί τι πλέον ἐκ τῶν παρ' ἡμῶν λεγομένων, καὶ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς διερευνᾶσθαι, τί μὲν ἐκ ταύτης τῆς διδασκαλίας ἐκερδάνατε, τί δὲ ἐκ τῆς ἑτέρας, καὶ μὴ μόνον μέχρι τῆς ἀκοῆς δέχεσθαι τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ εἰς τὴν διάνοιαν ὑμῶν αὐτὰ ἐναποτίθεσθαι, καὶ τῇ συνεχεῖ μελέτῃ παγίαν αὐτῶν τὴν μνήμην ποιεῖσθαι. βούλομαι γὰρ ὑμᾶς μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις διδασκάλους γίνεσθαι, ὥστε δύνασθαι καὶ ἑτέρους νουθετεῖν, καὶ μὴ διὰ λόγων μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ διὰ τῶν ἔργων παιδεύειν τοὺς πλησίον πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. ἐννόησον γάρ μοι ὅτι, εἰ βουληθείητε καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγινόμενοι μικρόν τι μέρος * καρποῦσθαι, καὶ τῶν ἐνοχλούντων ὑμῖν παθῶν διόρθωσιν ποιήσασθαι, πῶς κατ' ὀλίγον εἰς αὐτὴν τῆς ἀρετῆς τὴν ἄκραν κορυφὴν ἐλεύσεσθε. οὐδὲ γὰρ παυόμεθα ἐφ' ἑκάστης διαλεγόμενοι, καὶ περὶ τῆς ἀρίστης πολιτείας ὑμῖν ἐνηχοῦντες, ὥστε τὰ ὀλέθρια ταῦτα πάθη ἐκκόπτειν, τὸν θυμὸν λέγω, τὴν βασκανίαν, τὸν * φθόνον. τούτων γὰρ ἀναιρεθέντων εὐκολώτερον καὶ ἡ περὶ τὰ χρήματα μανία διόρθωσιν λήψεται· καὶ τῆς περὶ τὰ χρήματα μανίας πάλιν παυθείσης, μετὰ πλείονος τῆς ἀδείας οἱ ἄτοποι λογισμοὶ καὶ αἱ αἰσχραὶ ἐνθυμήσεις κατασταλήσονται. Ῥίζα γὰρ πάντων τῶν κακῶν [ἐστὶν] ἡ φιλαργυρία. ἂν τοίνυν τὴν ῥίζαν ἐκτέμωμεν καὶ ἐξ αὐτοῦ τοῦ βάθους αὐτὴν ἀνασπάσωμεν, εὐκολώτερον τῶν κλάδων περιεσόμεθα. ἡ γὰρ ἀκρόπολις τῶν κακῶν, καὶ ὁ κολοφών, ὡς εἰπεῖν, τῶν ἁμαρτημάτων, ἡ λύσσα τῶν χρημάτων ἐστίν· ἧς εἰ βουληθείημεν περιγενέσθαι, οὐδὲν τὸ κωλῦον καὶ ταύτης τὴν μανίαν ἐκφυγεῖν, καὶ μετὰ ταύτης συνανασπάσαι καὶ ἐκτεμεῖν πάντα τὰ ὀλέθρια πάθη. καὶ μὴ νομίσατε μέγα τι καὶ φορτικὸν εἶναι τὸ χρημάτων ὑπεριδεῖν. ὅταν γὰρ ἐννοήσω, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ κενὴν καὶ ἀνόητον φιλοτιμίαν πολλὰ χρυσοῦ τάλαντα ἐξέχεον εἰς οὐδὲν δέον, ἀλλ' ἵνα τὴν παρὰ τῶν ἀγοραίων καὶ τελιοβολιμαίων πολλάκις ἀνθρώπων εὐφημίαν καρπώσωνται τὴν περὶ τῆς ἑσπέρας τέλος λαμβάνουσαν, πολλάκις δὲ οὐδὲ μέχρι τῆς ἑσπέρας διαμεῖναι, ἀλλὰ καὶ πρὶν ἢ πληρωθῆναι τὴν ἡμέραν μυρίοις αὐτοὺς περιβάλλουσαν κακοῖς· ἕτεροι δὲ τῶν ἐπὶ τῇ πλάνῃ τῇ ἑλληνικῇ προκατειλημμένων πάλιν, διὰ τὸ πρὸς τὴν τῶν ἀνθρώπων ἐπτοῆσθαι δόξαν, καὶ ταύτην περὶ πολλοῦ ποιεῖσθαι, πάντα τὰ ὄντα ῥίψαντες, καὶ ἓν μόνον τριβώνιον ἑαυτοῖς'' καταλιπόντες καὶ βακτηρίαν, οὕτω τὸν ἅπαντα βίον διάγουσι, πάντα τὸν πόνον ἐκεῖνον καὶ τὴν ταλαιπωρίαν διὰ τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν ὑπομένειν αἱρούμενοι· ὅταν τοίνυν ταῦτα λογίσωμαι, οὐκ οἶδα ποίαν ἕξομεν ἀπολογίαν ἢ συγγνώμην, οὐδὲ τὸ πολλοστὸν ἐκείνων διὰ τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν ἐντολὴν προέσθαι ἀνεχόμενοι καὶ διὰ τὴν δόξαν ἐκείνην τὴν ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν, ἀλλὰ καὶ ἐκείνων χείρους γινόμενοι, καὶ μηδέ, ὅσον τὸ μέσον, ἐννοοῦντες, ὅτι ἐκεῖνοι μὲν διὰ τὴν παρὰ τῶν ἀνθρώπων τῶν ὁμογενῶν ἀνόνητον εὐφημίαν τοσαῦτα προΐενται, ἡμεῖς δὲ διὰ τὸν δεσπότην τὸν ἡμέτερον τὸν καὶ τῶν ὑπηργμένων χορηγόν, καὶ ταῖς'' ἀπορρήτοις ἐκείναις δωρεαῖς ἐφελκόμενον, οὐδὲ'' τὸ τυχὸν πολλάκις τοῖς πενομένοις μεταδιδόναι αἱρούμεθα. καὶ ποίοις ὀφθαλμοῖς ὀψόμεθα τὸν κριτήν, τῆς οὕτως εὐκόλου'' ἐντολῆς καταμελοῦντες; μὴ γὰρ πάντα τὰ ὄντα ῥίψαι προτρέπω; ἀπόλαυε πάσης ἀνέσεως, καὶ τὴν ἑαυτοῦ χρείαν πληρώσας, τὰ περιττὰ καὶ εἰκῇ κείμενα ταῦτα ἀναγκαῖα ποίησον, καὶ τοῖς λιμῷ πιεζομένοις καὶ ὑπὸ τοῦ κρυμοῦ πηγνυμένοις ταῦτα διάνειμον, καὶ διὰ τῆς τούτων χειρὸς εἰς τὴν ἑαυτοῦ πατρίδα διάπεμπε, ἵνα μετ' οὐ πολὺ λήψῃ. οὗτοι γὰρ μάλιστα δυνήσονταί σοι χρησιμεῦσαι πρὸς τὴν

ἐκεῖ

α. Τιμ. ς. ι.

* ἀρετῆς

* τὸν φόνον.

γρ. [illegible]

γρ. τὰς ἀπορρήτους ἐκείνας δωρεὰς ἐφελκόμενον, γρ. τοῦ τυχόντος γρ. ἀρετῆς ἐκεῖ μετακομιδὴν, ἵν' ὅταν ἀπέλθῃς ἐκεῖ, ἅπαντα ″ εὕρῃς εὐτρεπισμένα, καὶ πλείονος ἀπολαύσῃς ἐκεῖ τῆς εὐπορίας, ὁρῶν ταῦτα ὑπὸ τῶν μετακομισάντων, μᾶλλον δὲ ὑπὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας πολυπλασιασθέντα. μὴ γὰρ κάματον ἔχει τὸ πρᾶγμα; μὴ γὰρ φροντίδα τινὰ καὶ μέριμναν; οὐχ ὑποζυγίων σοι χρεία πρὸς τὴν μετακομιδὴν, οὐ τοῦ φυλάττοντος, οὐκ ἄλλου οὐδενὸς τοιούτου. οὔτε γὰρ λῃστὴς οὔτε τοιχωρύχος ἐκείνην βαδίζει τὴν ὁδὸν, ἵνα λυμήνηται τοῖς παρὰ σοῦ πεμπομένοις· ἀλλ' ἅπερ ἂν ἀποθῇ εἰς τὰς τῶν πενήτων χεῖρας, ταῦτα εἰς ἀσφαλὲς ταμεῖον ἀποθήσῃ, τὴν τοῦ θεοῦ χεῖρα. αὕτη γὰρ ἀκέραιον καὶ τὴν τούτων φυλακὴν παρέξει, καὶ ἐπειδὰν ἐπανέλθῃς εἰς τὴν οἰκείαν πατρίδα, μετὰ τῆς ἐκείνων ἀποδόσεως καὶ ἀνακηρύξει καὶ στεφανώσει καὶ ἐν πάσῃ εὐρυχωρίᾳ καὶ ἀνέσει καταστήσει. ἐκχέωμεν τοίνυν, παρακαλῶ, τὰ ἀποκείμενα εἰς τὰς τῶν πενήτων γαστέρας, καὶ σπείρωμεν, ὡς ἔτι καιρὸς, ἵνα εἰς τὸν δέοντα καιρὸν θερίσωμεν, καὶ μὴ παρορώμεθα τὴν παροῦσαν ″ εὐκαιρίαν, ἵνα μὴ ὕστερον ἀνόνητα μεταμελώμεθα. μὴ γὰρ διὰ τοῦτο τὰ πλείονά σοι κεχάρισται ὁ φιλάνθρωπος δεσπότης, ἵνα εἰς τὴν ἑαυτοῦ μόνον χρείαν καταναλώσῃς τὰ δοθέντα, καὶ τὰ λοιπὰ ταμείοις καὶ κιβωτίοις ἐναποκλείσῃς; οὐ διὰ τοῦτο, ἀλλ' ἵνα, κατὰ τὴν παραίνεσιν τὴν ἀποστολικὴν, Τὸ σὸν περίσσευμα γένηται εἰς τὸ τῶν ἄλλων ὑστέρημα. καὶ σὺ μὲν ἴσως καὶ ὑπὲρ τὴν χρείαν ἀπολαύεις, καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τοῖς ἐσθήμασι καὶ ἐν ″ ἄλλῃ πολυτελείᾳ πολλῷ τῷ ἀργύρῳ κεχρημένος, καὶ μέχρι τῶν οἰκετῶν καὶ τῶν ἀλόγων ″ τούτων κερματίζων· ὁ δὲ πένης οὐδὲν τούτων ζητεῖ παρὰ σοῦ, ἢ μόνον λιμὸν παραμυθήσασθαι, καὶ τὴν ἀναγκαίαν χρείαν καὶ τὴν ἐφήμερον αὐτῷ τροφὴν παρασχεῖν, ὥστε συστῆναι καὶ μὴ διαφθαρῆναι· καὶ οὐδὲ τοῦτο ἀνέχῃ ποιῆσαι, οὐδὲ λογίζῃ, ὅτι πολλάκις ἀθρόον ἀναρπασθεὶς τὰ μὲν συλλεγέντα ἅπαντα ″ ἐντεῦθεν καταλιμπάνεις, καὶ ἐνίοτε εἰς ἐχθροὺς καὶ πολεμίους ταῦτα μεταστήσεται, αὐτὸς δὲ τὰ ἁμαρτήματα ἅπαντα, ἐξ ὧν ταῦτα συλλέγεις, μεθ' ἑαυτοῦ λαβὼν ἄπει. καὶ τί τότε ἐρεῖς κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; τί δὲ ἀπολογήσῃ, οὕτω ῥαθύμως τὰ κατὰ τὴν ἑαυτοῦ σωτηρίαν οἰκονομήσας; διὰ τοῦτο * ἐμοὶ πείθοιο, καὶ ὡς ἔτι καιρὸν ἔχεις, διάνεμε τὰ περιττὰ τῶν χρημάτων, ἵνα τὴν ἐκ σαυτοῦ προαποθῇς σωτηρίαν, καὶ τῶν αἰωνίων ἀγαθῶν εὑρήσῃς τὴν ἀνταπόδοσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

γ. εὑρήσεις
γ. εὐκαιρίαν,
γ. πολλῇ
ἴσ. τοῦτον
ἴσ. ἐνταῦθα
* ἂν

β. Κορ. η. ιδ.

Λογ. κα ΑΥΤΗ Η ΒΙΒΛΟΣ ΓΕΝΕΣΕΩΣ ΑΝΘΡΩΠΩΝ,

ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ ἐπωνόμασε τὸ ὄνομα ″ αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς.

γ. αὐτῷ

ΠΟλὺς καὶ ἄφατος ὁ θησαυρὸς, ἀγαπητοὶ, ἐν τοῖς πρόσφατον ἀναγνωσθεῖσι. καὶ οἶδα μὲν ὅτι πολλοὶ πρὸς τὸν τῶν ὀνομάτων κατάλογον ἀφορῶντες καὶ ἐξ ἐπιπολῆς τοῖς ἀνεγνωσμένοις προσέχοντες, νομίζουσι μηδὲν πλέον ἔχειν τὰ εἰρημένα, ἀλλ' ἢ ἁπλῶς ὀνομάτων εἶναι προσηγορίας. ἐγὼ δὲ παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς παρατρέχειν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. οὐδὲν γὰρ τῶν ἐνταῦθα γεγραμμένων ἐστὶν, ὃ μὴ πολὺν νοημάτων πλοῦτον ἔχει. ἐπειδὴ γὰρ πνεύματι θείῳ ἐνηχούμενοι ἐξέθεντο οἱ μακάριοι προφῆται, διὰ τοῦτο, ἅτε πνεύματι γεγραμμένα, πολὺν ἔχουσιν ἐγκεκρυμμένον θησαυρόν. καὶ μὴ θαυμάσῃς, εἰ ἐν τῷ καταλόγῳ τῶν ὀνομάτων νῦν ἐπαγγελλομένη ὑμῖν δεικνύναι πολὺν ἐγκεκρυμμένον πλοῦτον νοημάτων. οὐδὲ γὰρ συλλαβὴ οὐδὲ κεραία μία ἐστὶν ἐγκειμένη παρὰ τῇ γραφῇ, ἣ μὴ πολὺς ἐναπόκειται θησαυρὸς ἐν τῷ βάθει. διά τοι τοῦτο προσήκει ἡμᾶς ὑπὸ τῆς ἄνωθεν χάριτος ὁδηγουμένους καὶ τὴν παρὰ τοῦ ἁγίου πνεύματος ἔλλαμψιν δεξαμένους, οὕτως ἐπιέναι τὰ θεῖα λόγια. οὐδὲ γὰρ σοφίας ἀνθρωπίνης δεῖται ἡ θεία γραφὴ πρὸς τὴν κατανόησιν τῶν γεγραμμένων, ἀλλὰ τῆς τοῦ πνεύματος ἀποκαλύψεως, ἵνα τὸν ἀληθῆ νοῦν τῶν ἐγκειμένων καταμαθόντες πολλὴν ἐκεῖθεν δεξώμεθα τὴν ὠφέλειαν. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασι, τὰ ὑπὸ τῶν ἀνθρώπων συντελούμενα γραμματεῖα πολλάκις τῷ χρόνῳ διαφθαρέντα, ἀπὸ τοῦ ἐγκειμένου χρόνου τῷ προοιμίῳ τοῦ γραμματείου, καὶ ἀπὸ μιᾶς συλλαβῆς * πολλὴν ἔχει τὴν ἰσχύν· πολλῷ μᾶλλον ἐπὶ τῶν θείων γραφῶν τῶν πνεύματι ἁγίῳ συγκειμένων τοῦτ' ἔστιν εὑρεῖν· μόνον ἐὰν νήφωμεν, καὶ μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλὰ συντείνοντες ἡμῶν τὸν λογισμὸν καταπλεύσωμεν ἅπαντα μετὰ ἀκριβείας, καὶ μὴ χείρους γινώμεθα τῶν περὶ τὰ αἰσθητὰ τοσαύτην [τὴν] σπουδὴν ἐπιδεικνυμένων. καὶ γὰρ οἱ τὴν μεταλλικὴν γῆν ἀνορύττοντες οὐ μέχρι τῆς ἐπιφανείας ἵστανται, ἀλλ' ἐπειδὰν πολὺ βάθος κατέλθωσι καὶ καταλαβεῖν δυνηθῶσι τοῦ χρυσίου τὰ ψήγματα, μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς εὐτονίας ταῦτα τῆς γῆς χωρίζουσι, καὶ μετὰ τὸν πολὺν ἐκεῖνον πόνον βραχεῖαν τινὰ τῶν πόνων εὑρίσκουσι παραμυθίαν· καὶ ὅμως εἰδότες, ὅτι ἐλάττονα τῶν πόνων καρποῦνται τὴν ὠφέλειαν, πολλάκις δὲ καὶ μετὰ τὴν πολλὴν ἀγρυπνίαν καὶ τὸν κάματον καὶ τῆς προσδοκίας διήμαρτον, καὶ οὐδὲ οὕτως ἀφίστανται, ἀλλὰ τῇ ἐλπίδι τρεφόμενοι, τῶν πόνων αἴσθησιν οὐ λαμβάνουσιν. εἰ τοίνυν ἐκεῖνοι περὶ τὰ φθαρτὰ καὶ ἐπίκηρα, ἔνθα καὶ ἀδηλία πολλή, τοσαύτην ἐπιδείκνυνται τὴν σπουδήν· πολλῷ μᾶλλον προσήκει ἡμᾶς, ὅπου καὶ ὁ πλοῦτος ἀναφαίρετος, καὶ ὁ θησαυρὸς ἀδαπάνητος, καὶ διαμαρτεῖν οὐκ ἔνι, τὴν ἴσην ἢ καὶ πλείονα σπουδὴν ἐπιδείκνυσθαι, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν σπουδαζομένων, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, καὶ καταμαθόντες τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν εὐγνώμονές τε γινώμεθα περὶ τὸν ἡμέτερον δεσπότην, καὶ τὴν ἐκεῖθεν εὔνοιαν ἐπισπασάμενοι ἀχείρωτοι καταστῶμεν ταῖς τοῦ διαβόλου παγίσι. φέρε οὖν, τὰ πρόσφατον ἀναγνωσθέντα εἰς μέσον προθέντες διερευνησώμεθα μετὰ ἀκριβείας ἕκαστον, ἵνα τῆς συνήθους ἀπολαύσαντες διδασκαλίας οὕτως οἴκαδε ἀναχωρήσητε.

χ. γεγραμμέναι,

χ. πάντα

χ. ἢ ἀπὸ ἰδίων συλλαβῶν * πολλάκις

χ. εὐγνωμονεῖν περὶ τόν

Κεφ. ε.

1 Αὕτη ἡ βίβλος, φησί, γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· 2 Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς.

χ. αὐτοῦ

Θέα μοι τοῦ θαυμαστοῦ τούτου προφήτου τὴν σύνεσιν, μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν. ἐκεῖθεν γάρ, ὡς πολλάκις εἴρηται, ἐνηχούμενος ἅπαντα ἡμῖν φθέγγεται, καὶ τὴν γλῶτταν μὲν οὗτος ἐδάνεισεν, ἡ δὲ τοῦ πνεύματος χάρις πάντα σαφῶς διὰ τούτου τὴν ἡμετέραν διδάσκει φύσιν. σκόπει τοίνυν πῶς ἐξ ἀρχῆς τὸν λόγον ἀνήγαγε, καὶ ἄνωθεν, ὡς εἰπεῖν, πάλιν τὴν διήγησιν ποιήσασθαι βούλεται. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ γὰρ εἶδε τοὺς ἤδη γεγονότας πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξαμένους, καὶ μηδὲ τοῖς εἰς τὸν πρωτόπλαστον γεγενημένοις σωφρονισθέντας, ἀλλ' εἰς αὐτὸν τὸν κρημνὸν τῆς κακίας κατενεχθέντας· ὅτε γὰρ ὑπ' αὐτοῦ τεχθεὶς εὐθέως διὰ βασκανίαν

χ. εἰς ἀρχήν

κομίδῃ εἰς ἀδελφοκτονίαν ὥρμησε, διὸ καὶ τὴν τιμωρίαν ἐκείνην τὴν χαλεπωτάτην ἐδέξατο, καθὼς φθάσαντες ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην· εἶτα πάλιν ⓓ μετ' ἐκεῖνον οὐδὲ τῇ τούτου τιμωρίᾳ σωφρονισθέντες, χείροσι κακοῖς ἑαυτοὺς περιέβαλον, καθάπερ ἠκούσατε χθὲς τοῦ Λάμεχ τὴν οἰκείαν ἁμαρτίαν διηγουμένου ταῖς ἑαυτοῦ γυναιξὶ, καὶ καθ' ἑαυτοῦ τὸ ἐπιτίμιον ὁρίζοντος) ἐπεὶ οὖν κατὰ μικρὸν εἶδεν αὐξανομένην αὐτῶν τὴν κακίαν, καθάπερ ῥεῦμα πονηρὸν μέλλον κατὰ παντὸς διατρέχειν τοῦ σώματος, ἵστησι τῆς κακίας τὴν φορὰν, καὶ τὰς γενεὰς ταύτας λοιπὸν, τὰς ἐκ τοῦ Κάϊν μέχρι τοῦ Λάμεχ γενομένας, οὐδὲ μνήμης ἀξιοῖ, ἀλλ' ὥσπερ ἀρχήν τινα ποιούμενος, καὶ τὸ πένθος τοῦ Ἀδὰμ καὶ τῆς Εὔας παραμυθήσασθαι βουλόμενος, ᾧ περιέβαλεν αὐτοὺς ἐτόλμησεν ὁ ἀδελφοκτόνος τὴν δεξιὰν ὁπλίσας κατὰ τοῦ Ἄβελ, οὕτως ἄρχεται τῆς διηγήσεως, καί φησιν, Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα" αὐτῶν, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. σκόπει πῶς τοῖς αὐτοῖς ῥήμασι κέχρηται, ὡς καὶ ἐν προοιμίοις, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ὡς ἀδοκίμους γενομένας τὰς γενεὰς ἐκείνας οὐδὲ μνήμης λοιπὸν ἀξιοῖ, ἀλλ' ἐκ τοῦ νῦν τεχθέντος τοῦ Σὴθ λέγω, τῆς γενεαλογίας ἄρχεται· ἵνα καὶ ἐκ τούτου μάθῃς, ὅσος τῷ θεῷ λόγος τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅπως ἀποστρέφεται τοὺς φονικὴν ἔχοντας τὴν γνώμην. ὡς γὰρ μηδὲ παραχθέντων λοιπὸν ἐκείνων εἰς τὸν βίον, οὕτως αὐτῶν τὴν μνήμην παραλιμπάνει, δεικνὺς ἡμῖν, ὅσον ἐστὶ κακία χαλεπὸν, καὶ ὅτι "ἑαυτοὺς τὰ μέγιστα λυμαίνονται") ⓓ ταύτην ἀσπαζόμενοι. ἰδοὺ γὰρ, οὗτοι μὲν τοῦ καταλόγου λοιπὸν ἐξαλείφονται, ἐπὶ τοσοῦτον δὲ μνήμης ἠξιώθησαν μόνον, ὥστε τὴν κακίαν αὐτῶν στηλιτευθῆναι, καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς γενέσθαι σωφρονισμοῦ" ὑπόθεσιν. ὁ δὲ ἀδίκως ἀναιρεθεὶς καὶ ὑπὸ τῆς ἀδελφικῆς χειρὸς φονευθεὶς, ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἐν τοῖς ἁπάντων ᾄδεται στόμασι, καὶ οὔτε ὁ χρόνος τούτου τὴν μνήμην ἔσβεσεν, οὔτε ἐκείνου τὴν κατηγορίαν ὑπετέμετο· ἀλλὰ καὶ οὗτος καθ' ἑκάστην ἡμέραν παρὰ πάντων ἀνακηρύττεται, καὶ ἐκεῖνος διηνεκῶς στηλιτεύεται. Εἴδετε ὅση τῆς κακίας ἡ λύμη, καὶ ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς, καὶ ὅπως ἡ μὲν καὶ πολεμοῦσα καὶ περιγινομένη σβέννυταί τε καὶ ἀφανίζεται, ἡ δὲ καὶ πολεμουμένη καὶ τὰ μυρία δεινὰ ὑπομένουσα, ταύτῃ μᾶλλον καὶ λαμπροτέρα καὶ φαιδροτέρα γίνεται. Καὶ ἦν μὲν καὶ ἐξ ἑτέρων πραγμάτων ὁμοίως συμβάντων τοῦτο δεῖξαι νῦν ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἀλλ' ἵνα μὴ τῆς προκειμένης ἀκολουθίας τέως ἐκπέσωμεν, φέρε πάλιν ἐπαναλάβωμεν αὐτὰ τὰ εἰρημένα. αὕτη ἡ βίβλος, φησὶ, γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ. κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα" αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. ὅρα πῶς πάλιν τῆς διηγήσεως ἄνωθεν ἀρξαμένη ἡ θεία γραφὴ ὑπομιμνήσκει ἡμᾶς ὅσης ἠξίωται τιμῆς ὁ δημιουργηθεὶς ἄνθρωπος. ᾗ ἡμέρᾳ, φησὶν, ἐποίησε τὸν Ἀδάμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἀντὶ τοῦ, ἄρχοντα αὐτὸν κατέστησε πάντων τῶν ὁρωμένων. τοῦτο γάρ ἐστι κατ' εἰκόνα, κατά τε τὸν τῆς ἀρχῆς λόγον, καὶ κατὰ τὸν τῆς δεσποτείας. ὥσπερ γὰρ ὁ τῶν ὅλων θεὸς τὴν κατὰ πάντων ἀρχὴν ἔχει τῶν τε ὁρατῶν τῶν τε ἀοράτων, δημιουργὸς [τε καὶ ποιητὴς] ἁπάντων τυγχάνων· οὕτω καὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν δημιουργήσας, ἐβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν [αὐτὸν] ἔχειν. διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο, βουληθεὶς αὐτὸν καὶ ἀθάνατον εἶναι εἰς τὸ διηνεκές. ἀλλ' ἐπειδὴ διὰ ῥαθυμίαν" ὤλισθε καὶ παρέβη τὴν δοθεῖσαν ἐντολὴν, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, ἀλλὰ τῆς μὲν ἀθανασίας αὐτὸν ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας

γρ. αὐτῷ Ἀδάμ

γρ. ἑαυτοῖς

γρ. ὑπόθεσις.

γρ. αὐτῷ

γρ. ὠλίσθησε

ἐπὶ τῆς αὐτῆς ἀρχῆς σχεδὸν ἀφῆκεν εἶναι). εἶτα ἐπειδὴ ὁ ἐξ αὐτῶν τεχθεὶς εἰς τοσαύτην μανίαν ἐξώκειλε, καὶ πρῶτος τὸ εἶδος τοῦ" φόνου ἐξήνεγκε, καὶ τὸν βεβιασμένον ἐκεῖνον θάνατον κατέδειξε, καὶ πολλὴν ἐπεδείξατο τὴν ἀγνωμοσύνην, ψεῦδος τῷ φόνῳ συνάψας, τῇ διηνεκεῖ τιμωρίᾳ σωφρονίσαι αὐτὸν ἠβουλήθη, ἵνα μὴ μόνον αὐτὸς κερδάνῃ ἐκ τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα διδάσκηται καὶ τῶν τετολμημένων τὸ μέγεθος καὶ τῆς ἀτοπίας τὴν ὑπερβολήν. ἀλλ' ἐπειδὴ διὰ πολλὴν ῥαθυμίαν καὶ οἱ ἐκ τούτου γεγενημένοι κατὰ μικρὸν χείροσιν ἑαυτοὺς περιέβαλον κακοῖς, παραμυθήσασθαι, ὡς εἰπεῖν, βουλόμενος τὸν Ἀδάμ, οὐ μόνον διὰ τὴν οἰκείαν παράβασιν ἐν τοσαύτῃ τυγχάνοντα κατηφείᾳ, ἀλλὰ καὶ διὰ τὸ τόλμημα τοῦ Κάϊν καὶ τὸ πένθος ἐκεῖνο τὸ ἀφόρητον, ὅπερ εἶδε τοῖς οἰκείοις ὀφθαλμοῖς (οὔτε γὰρ τοῦ θανάτου ᾔδεσαν τὸ εἶδος, εἰ καὶ τὴν ἀπόφασιν ἐδέξαντο, καὶ διπλοῦν" αὐτῷ καὶ τριπλοῦν τὸ πένθος ἐγένετο, ὅτι τε καὶ τὸν θάνατον πρῶτον εἶδον εἰσενεχθέντα εἰς τὸν βίον, καὶ βίαιον θάνατον, καὶ ὑπὸ τοῦ παιδὸς τολμηθέντα, καὶ εἰς ἀδελφὸν ὁμομήτριον καὶ ὁμοπάτριον καὶ οὐδὲν ἠδικηκότα) βουλόμενος τοίνυν ὁ φιλάνθρωπος" δεσπότης ἀντίῤῥοπον αὐτῷ τῆς λυπηρᾶς τὴν παραμυθίαν εἰσαγαγεῖν, ἕτερον αὐτῷ παρέχει παῖδα τὸν Σήθ, καὶ ἀρχὴν δοῦσαν αὐτῷ τὴν παράκλησιν ἐντεῦθεν ποιησάμενος, ἀπὸ τούτου λοιπὸν τῆς γενέσεως τὴν ἀρχὴν συνίστησι. διὰ τοῦτο καὶ ὁ μακάριος προφήτης οὗτος ἤρξατο λέγων, Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. εἶτα ἐπαγγειλάμενος τὴν γένεσιν τῶν ἀνθρώπων διηγεῖσθαι, σκόπει οἵᾳ κέχρηται ἀκολουθίᾳ.

γ. [illegible]
γ. αὐτῶν
γ. διὰ

3 Ἔζησε, φησιν, Ἀδὰμ ἔτη διακόσια τριάκοντα, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. 4 Ἐγένοντο δὲ αἱ ἡμέραι αὐτοῦ ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. 5 Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδὰμ ἔτη ἐννακόσια τριάκοντα, καὶ ἀπέθανεν.

Οὐ καλῶς ἔλεγον ἐν τοῖς* προοιμίοις, ὅτι οὐδέν ἐστιν [εὑρεῖν] ἁπλῶς καὶ εἰκῆ" γεγραμμένον ἐν τῇ θείᾳ γραφῇ; ἰδοὺ γὰρ καὶ νῦν, πόσῃ τῇ ἀκριβείᾳ ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης. ἐγέννησε δέ, φησιν, Ἀδὰμ κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ· ἐπὶ δὲ τοῦ προτέρου τεχθέντος, τοῦ Κάϊν λέγω, οὐδὲν τοιοῦτον" ἐπισημηνάμενος, ἀλλ' ἄνωθεν προμηνύων αὐτοῦ τὴν ἐπὶ τὴν κακίαν ὁρμήν, καὶ εἰκότως. οὐ γὰρ ἔσωζε τοὺς πατρικοὺς χαρακτῆρας, ἀλλ' εὐθέως πρὸς τὴν κακίαν ηὐτομόλησεν. ἐνταῦθα δέ φησι, κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, τουτέστιν ὁμότροπον τῷ γεγεννηκότι, τοὺς αὐτοὺς τῆς ἀρετῆς χαρακτῆρας διασώζοντα, τὴν εἰκόνα τὴν πατρικὴν διὰ τῶν ἔργων δεικνύντα, ἀνακαλέσασθαι δυνάμενον διὰ τῆς οἰκείας ἀρετῆς τὸ τοῦ προλαβόντος πλημμέλημα. οὐδὲ γὰρ περὶ σωματικῶν χαρακτήρων ἐνταῦθα ἡμῖν διαλέγεται ἡ θεία γραφὴ λέγουσα, κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, ἀλλὰ περὶ τῆς ἐν τῇ ψυχῇ καταστάσεως, ἵνα μάθωμεν ὅτι οὗτος οὐκ ἔσται τοιοῦτος. διὸ καὶ ἡ μήτηρ τὴν προσηγορίαν" ἐπιθεῖσα τῷ παιδί, μετ' εὐχαριστίας ταύτην ἐπιτίθησι, καὶ οὐ τῇ φύσει οὐδὲ τῷ τόκῳ λογίζεται τὸ τεχθὲν παιδίον, ἀλλὰ τῇ τοῦ θεοῦ δυνάμει. ἐκείνη γὰρ καὶ τὴν φύσιν διήγειρε πρὸς τὸν τόκον. καί φησιν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὅρα τοῦ ῥήματος τὴν ἀκρίβειαν. οὐκ εἶπεν, ἔδωκέ μοι ὁ θεός, ἀλλ' ἐξανέστησέ μοι. σκόπει πῶς ἀμυδρῶς τὰ προοίμια τῆς ἀναστάσεως ἐντεῦθεν ἤδη δείκνυται διὰ τοῦ ῥήματος. ὡς γὰρ ἂν εἴποι τις, ἔλεγεν, ἀντὶ τοῦ πεσόντος ἀνέστησέ μοι τοῦτον. εἰ καὶ ἐκεῖνος, φησιν, ὑπὸ τῆς ἀδελφικῆς δεξιᾶς εἰς τὴν γῆν κατέπεσε, καὶ τοῦ θανάτου πεῖραν

*ἔμπροσθεν
γ. κείμενον
γ. ἐπισημή-νατο, ἄνωθ
γ. ἐπιτιθεῖσα

πεῖραν ἔλαβεν, ἀλλ' ἡ τοῦ θεοῦ δύναμις ἀντὶ τοῦ πεσόντος τοῦτον" γρ. ἤγειρεν. ἀνήγειρεν. ἐπειδὴ γὰρ οὐδέπω καιρὸς ἦν τῆς ἀναστάσεως, οὐχὶ τὸν πεσόντα ἤγειρεν, ἀλλ' ἕτερον ἀντ' ἐκείνου. διὸ καὶ αὐτή φησιν, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. εἶδες εὐγνωμοσύνην γυναικός, εἶδες φιλανθρωπίαν δεσπότου, πῶς ταχεῖαν αὐτοῖς τὴν παραμυθίαν ἐπενόησε. ταύτην μιμώμεθα ἅπαντες, καὶ τὸ πᾶν τῇ ἄνωθεν χάριτι λογιζώμεθα. εἰ γὰρ καὶ ἡ φύσις ἐργάζεται, ἀλλ' οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῷ προστάγματι τοῦ δημιουργήσαντος εἴκουσα. ἀκουέτωσαν γυναῖκες, καὶ μηδέποτε ἀλγείτωσαν, ἐπειδὰν μὴ τίκτωσιν, ἀλλὰ γνώμην εὐχάριστον ἐπιδεικνύμεναι ἐπὶ τὸν τῆς φύσεως δημιουργὸν καταφευγέτωσαν, καὶ παρ' ἐκείνου αἰτείτωσαν τοῦ τῆς φύσεως δεσπότου, καὶ μήτε τῇ συνουσίᾳ τῶν συνοικούντων, μήτε ἑτέρῳ τινὶ λογιζέσθωσαν τὴν τῶν παίδων γονήν, ἀλλὰ τῷ δημιουργῷ τῶν ὅλων, τῷ καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι τὴν φύσιν τὴν ἡμετέραν, καὶ χωλεύουσαν πάλιν διορθῶσαι δυναμένῳ· ἐπεὶ καὶ αὐτὴ τὴν τοῦ πένθους ὑπόθεσιν δοξολογίας ἀφορμὴν ἐποιήσατο, καὶ τῷ δεσπότῃ τὸ πᾶν λογίζεται, λέγουσα, ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὁρᾷς πῶς οὐ μόνον οὐκ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι λυπηρὸν (οὐ γὰρ ἂν παρέλιπεν ἡ θεία γραφή, εἴ γέ τι τοιοῦτον εἴρητο παρ' αὐτῆς) ἀλλὰ γενναίως ἐνεγκοῦσα τὸ συμβὰν ταχείας ἀξιοῦται τῆς παραμυθίας, καὶ πλείονα τὴν εὐγνωμοσύνην ἐπιδείκνυται, ἀνακηρύττουσα τοῦ δεσπότου τὴν εὐεργεσίαν. ὅρα γὰρ μεθ' ὅσης φιλοτιμίας ὁ δεσπότης τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται. οὐ μόνον γὰρ υἱὸν ἕτερον ἐχαρίσατο, ἀλλὰ καὶ ἐνάρετον αὐτὸν ἔσεσθαι ἤδη προμηνύει. ἐγέννησε γάρ, φησι, κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ. καὶ ἵνα μάθωμεν εὐθέως τοῦ τεχθέντος τὴν ἀρετήν, ὅρα καὶ αὐτὸν πάλιν διὰ τῆς προσηγορίας τοῦ ὑπ' αὐτοῦ τεχθέντος δεικνύντα τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης.

Καὶ τῷ Σὴθ, φησιν, ἐγένετο υἱός, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

Εἶδες προσηγορίαν διαδήματος λαμπροτέραν, ἁλουργίδος φαιδροτέραν. τί γὰρ ἂν εἴη" γρ. μακαριώτερον μακαριστότερον τοῦ τοιούτου τῇ ἐπικλήσει τοῦ θεοῦ καλλωπιζομένου, καὶ τοῦτο ἀντὶ ὀνόματος κεκτημένου; ὁρᾷς πῶς, ὅπερ ἐξ ἀρχῆς ἔλεγον, καὶ ἐν αὐταῖς ταῖς ψιλαῖς προσηγορίαις πολὺς ἐναπόκειται πλοῦτος νοημάτων. οὐ μόνον γὰρ τῶν γονέων ἐντεῦθεν δείκνυται τὸ φιλόθεον, ἀλλὰ καὶ ἡ πολλὴ περὶ τοὺς παῖδας αὐτῶν ἐπιμέλεια, καὶ ὅπως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπαίδευον τὰ τικτόμενα παιδία διὰ τῆς προσηγορίας, ἣν αὐτοῖς ἐπετίθεσαν, τῆς ἀρετῆς ἀντέχεσθαι. καὶ οὐ καθάπερ οἱ νῦν ἁπλῶς καὶ ὡς ἔτυχε τὰς προσηγορίας ποιοῦνται, εἰς τὸ ὄνομα, φησί, τοῦ πάππου καὶ τοῦ ἐπιπάππου καλείσθω τὸ παιδίον· ἀλλ' οἱ παλαιοὶ οὐχ οὕτως, ἀλλὰ πᾶσαν σπουδὴν ἐποιοῦντο τοιαύτας ἐπιτιθέναι τοῖς τικτομένοις προσηγορίας, αἳ μὴ μόνον αὐτοὺς τοὺς τὴν προσηγορίαν δεχομένους εἰς ἀρετὴν ἐνῆγον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ τοῖς μετὰ ταῦτα γενεαῖς διδασκαλία φιλοσοφίας ἁπάσης ἐγίνοντο· καὶ τοῦτο εἰσόμεθα κατὰ μικρὸν προϊόντος τοῦ λόγου. μὴ τοίνυν, μηδὲ ἡμεῖς τὰς τυχούσας προσηγορίας ἐπιτιθῶμεν τοῖς παισί, μηδὲ τῶν πάππων καὶ τῶν ἐπιπάππων, καὶ τῶν πρὸς" γρ. γένος γένος διαφερόντων τὰς ὀνομασίας αὐτοῖς χαριζώμεθα, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν, τῶν ἐν ἀρετῇ διαλαμψάντων, τῶν πολλὴν παρρησίαν πρὸς τὸν θεὸν ἐσχηκότων· μᾶλλον δὲ μηδὲ ταῖς τούτων προσηγορίαις ἁπλῶς θαρρείτωσαν μήτε οἱ γονεῖς, μήτε οἱ παῖδες οἱ τὰς προσηγορίας δεχόμενοι. οὐδὲ γὰρ ὀνίνησί τι προσηγορία ἀρετῆς ἔρημος οὖσα· ἀλλὰ δεῖ ἐν

τῇ κατορθώσει τῆς ἀρετῆς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, καὶ μήτε ἐπὶ περιουσίᾳ μέγα φρονεῖν, μήτε ἐπὶ συγγενείᾳ τῶν ἁγίων ἀνδρῶν, μήτε ἐπ' ἄλλῳ μηδενί, ἀλλ' ἐπὶ τῇ τῶν οἰκείων ἔργων παῤῥησίᾳ· μᾶλλον δὲ μηδὲ ἐπὶ ταύτῃ μέγα φρονεῖν, ἀλλὰ τότε μᾶλλον καταστέλλεσθαι καὶ μετριάζειν, ὅταν πολὺν τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγεῖν δυνηθῶμεν. οὕτω γὰρ καὶ αὐτοὶ μετ' ἀσφαλείας τὸν συλλεγέντα πλοῦτον" συνάξωμεν, καὶ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, πανταχοῦ καταστέλλων αὐτῶν τὰ φρονήματα, καὶ πείθων * μὴ μετεωροφρονεῖν, καὶ μὴ ἐπαίρεσθαι ἐπὶ κατορθώμασιν, ἀλλ' εἰδέναι, ὡς ἡ μεγίστη ἀρετὴ αὕτη μάλιστα πάντων ἐστί, τὸ ἐν κατορθώμασιν ὄντα μετριάζειν. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν πάλιν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ἴδωμεν τοὺς ἑξῆς τεθέντας. εἰκὸς γὰρ κατὰ μικρὸν προϊόντας μείζονα θησαυρὸν εὑρεῖν, καὶ πολὺν καὶ ἄφατον τὸν πλοῦτον.

Λουκ. ιζ. ι.

γρ. συλλέξομεν,

* ἡμᾶς

9 Καὶ ἔζησε, φησιν, Ἐνώς, οὗτος ὁ τοῦ Σὴθ υἱός, ἔτη ἑκατὸν ἐνενήκοντα, καὶ ἐγέννησε τὸν Καϊνάν. 12 Καὶ Καϊνὰν ἐγέννησε τὸν Μαλελεήλ. 15 Καὶ Μαλελεὴλ ἐγέννησε τὸν Ἰαρέδ. 18 Καὶ Ἰαρὲδ ἐγέννησε τὸν Ἐνώχ. 21 Καὶ ἔζησεν Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα. 22 Εὐηρέστησε δέ, φησι, τῷ θεῷ Ἐνὼχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα, ἔτη διακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. 23 Καὶ ἐγένοντο αἱ ἡμέραι Ἐνὼχ ἔτη τριακόσια ἑξήκοντα πέντε. 24 Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός.

Οὐ καλῶς ἔλεγον, ὅτι προϊόντες πολὺν καὶ ἄφατον εὑρήσομεν πλοῦτον πνευματικὸν ἐν τούτοις τοῖς ὀνόμασιν; ἐννόει γάρ μοι ἐνταῦθα, ἀγαπητέ, καὶ τοῦ δικαίου τὴν ἀρετήν, καὶ τοῦ ἀγαθοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. καὶ ἔζησε, φησιν, Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα, καὶ εὐηρέστησε, φησιν, Ἐνὼχ τῷ θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα. ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες, καὶ παιδευέσθωσαν τοῦ δικαίου τὴν ἀρετήν, καὶ μὴ νομιζέτωσαν τὸν γάμον κώλυμα εἶναι πρὸς τὴν εὐαρέστησιν τὴν πρὸς τὸν θεόν. διὰ γὰρ τοῦτο καὶ ἅπαξ καὶ δεύτερον ἐπεσημήνατο ἡ θεία γραφή, ὅτι ἐγέννησε τὸν Μαθουσάλα, καὶ τότε εὐηρέστησε. καὶ πάλιν τὸ αὐτὸ ἐδιπλασίασε λέγουσα, καὶ εὐηρέστησε μετὰ τὸ γεννῆσαι αὐτόν, ἵνα μή τις νομίσῃ ἐμποδίζεσθαι πρὸς τὴν ταύτης κατόρθωσιν. ἐὰν γὰρ νήφωμεν, οὔτε γάμος οὔτε" ἀνατροφή, οὔτε ἕτερόν τι ἐμποδίσαι ἡμῖν δυνήσεται εἰς τὴν" τοῦ θεοῦ εὐαρέστησιν. ἰδοὺ γὰρ καὶ οὗτος ἡμῖν τῆς αὐτῆς φύσεως τυγχάνων, καὶ οὔτε νόμου δοθέντος, οὔτε γραφῶν οὐσῶν τῶν διδασκουσῶν, οὔτε ἑτέρου τινὸς εἰς φιλοσοφίαν ἐνάγοντος, οἴκοθεν καὶ ἀπὸ προαιρέσεως τοσαύτην ἐπεδείξατο τὴν εὐαρέστησιν, ὡς μέχρι τῆς σήμερον διαρκέσαι, καὶ μηδέπω καὶ νῦν πεῖραν θανάτου λαβεῖν. εἰ γὰρ ὁ γάμος, ἀγαπητέ, καὶ ἡ παιδοτροφία κώλυμα ἔμελλε γίνεσθαι πρὸς τὴν τῆς ἀρετῆς ὁδόν, οὐκ ἂν εἰσήνεγκε γάμον εἰς τὸν βίον τὸν ἡμέτερον ὁ τῶν ὅλων δημιουργός, ἵνα μὴ ἐν τοῖς καιρίοις καὶ σφόδρα" ἀναγκαιοτέροις ἡμᾶς λυμαίνηται· ἀλλ' ὅτι οὐ μόνον οὐδὲν ἡμῖν ἐμποδίζει πρὸς τὴν κατὰ θεὸν φιλοσοφίαν, ἐὰν βουλώμεθα νήφειν, ἀλλὰ καὶ πολλὴν ἡμῖν εἰσάγει τὴν παραμυθίαν, μαινομένην τὴν φύσιν" καταστέλλουσα, καὶ οὐκ" ἀφιεῖσα πελάγιον σαλεύειν, ἀλλὰ διηνεκῶς ἐν λιμένι τὸ σκάφος ὁρμεῖν παρασκευάζων, διὰ τοῦτο τὴν ἐντεῦθεν παραμυθίαν ἐχαρίσατο τῷ τῶν ἀνθρώπων γένει. ὅτι γὰρ ἀληθῆ τὰ παρ' ἡμῶν λεγόμενα, δείκνυσιν ὁ δίκαιος οὗτος. μετὰ γὰρ τὸ γεννῆσαι, φησι, τὸν Μαθουσάλα, εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐ βραχύν τινα

ἀριθμὸν

γρ. ἀνατροφή.

γρ. τὴν εὐαρέστησιν τὴν πρὸς τὸν θεόν.

γρ. ἀναγκαιοτάτοις

ἴσ. καταστέλλων, ἀφιείς

ἀριθμὸν διήρκεσε τὴν ἀρετὴν μετιὼν, ἀλλά, φησι, διακόσια ἔτη. καὶ ἐπειδὴ μετὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν εὑρέθη ἄνθρωπος πρὸς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς ἀνιὼν, καὶ τὴν τοῦ προπάτορος ἁμαρτίαν ἀνακαλούμενος διὰ τῆς οἰκείας εὐαρεστήσεως, ὅρα τοῦ ἀγαθοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. ἐπειδὴ εὗρε δυνηθέντα ἀνακαλέσασθαι τὸ ἁμάρτημα τοῦ Ἀδὰμ, δεικνὺς δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ βουλόμενος τὸν θάνατον ἐπαγαγεῖν τῷ γένει τῷ ἡμετέρῳ, ἀλλὰ διὰ τὴν τῆς ἐντολῆς παράβασιν τοῦτον κατεδίκασε, τὸν τὴν ἐντολὴν δεξάμενον, τοῦτον νῦν ζῶντα μετίστησι. καὶ εὐηρέστησε, φησὶν, Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός. ὁρᾷς σοφίαν δεσπότου. μετέθηκε ζῶντα, οὐχὶ ἀθανασίαν ἐχαρίσατο, ἵνα μὴ ἐκλύσῃ τοῦ πλημμελήματος τὸν φόβον, ἀλλ' ἀφῆκεν ἀκμάζειν τὸν θάνατον τῷ τῶν ἀνθρώπων γένει. διὰ τοῦτο πάλιν ἀμυδρῶς, ὡς εἰπεῖν, καὶ λανθανόντως, ἀνακαλέσασθαι βούλεται τὴν ἀπόφασιν, ἣν κατὰ τοῦ Ἀδὰμ ἐξήνεγκεν. ἀλλ' οὐ ποιεῖ αὐτὸ φανερὸν, ἵνα ὁ φόβος ἀντὶ σωφρονισμοῦ γένηται. διὰ τοῦτο εὐαρεστήσαντα τὸν Ἐνὼχ μετέθηκεν. εἰ δέ τις βούλοιτο περιεργάζεσθαι καὶ λέγειν, καὶ ποῦ αὐτὸν μετέθηκε, καὶ εἰ μέχρι τοῦ παρόντος διήρκεσε, μανθανέτω μὴ λογισμοῖς ἀνθρωπίνοις κατακολουθεῖν, καὶ τὰ παρὰ τοῦ θεοῦ πολυπραγμονεῖν, ἀλλὰ πιστεύειν μόνον τοῖς λεγομένοις. ὅταν γὰρ ὁ θεὸς ἀποφαίνηταί τι, οὐ δεῖ ἀντιβλέπειν τοῖς ῥηθεῖσιν, ἀλλὰ τὰ παρὰ τοῦ θεοῦ λεγόμενα ἀξιοπιστότερα ἡγεῖσθαι, κἂν μὴ φαίνηται, τῶν ὑπὸ τοῖς ὀφθαλμοῖς κειμένων τοῖς ἡμετέροις. ὅτι γὰρ μετέθηκεν αὐτὸν, εἶπεν ἡ θεία γραφὴ, καὶ ὅτι ζῶντα μετέθηκε, καὶ πεῖραν μὴ λαβόντα θανάτου, ἀλλὰ διὰ τῆς οἰκείας εὐαρεστήσεως ἀνώτερον γενόμενον τῆς ἐξενεχθείσης ἀποφάσεως κατὰ τοῦ τῶν ἀνθρώπων γένους· ποῦ δὲ αὐτὸν μετέθηκε, καὶ ὅπως νῦν διάγει, τοῦτο οὐ προσέθηκεν. εἶδες ἀγαθότητα δεσπότου, πῶς εὑρὼν ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα, οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας, ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς, διδάσκων ἡμᾶς, ὅτι κἀκεῖνος, εἰ μὴ τὴν ἀπάτην προετίμησε τῆς δοθείσης ἐντολῆς, τῆς αὐτῆς ἂν ἠξίωτο ἢ καὶ μειζόνων. ταῦτα μὴ ἁπλῶς ἀκούωμεν, ἀγαπητοὶ, ἀλλὰ παιδευώμεθα τῆς ἀρετῆς ἐπιμελεῖσθαι, καὶ τὴν περὶ τὸν θεὸν εὐαρέστησιν περὶ πολλοῦ ποιεῖσθαι· καὶ μήτε οἰκίας προστασίαν, μήτε γυναικὸς φροντίδα, μήτε παίδων ἐπιμέλειαν, μήτε ἄλλο μηδὲν προβαλλώμεθα, καὶ νομίσωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν τοῦ ῥαθύμως καὶ ἠμελημένως ζῆν· μηδὲ τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ ἀνόητα προφέρωμεν καὶ λέγωμεν, κοσμικός εἰμι, καὶ γυναῖκα ἔχω, καὶ τέκνων φροντίδα ποιοῦμαι. ταῦτα τοῖς πλείοσιν ἔθος λέγειν, ἐπειδὰν αὐτοὺς παρακαλῶμεν εἰς τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους, ἢ περὶ τὴν τῶν γραφῶν ἀνάγνωσιν πολλὴν ποιεῖσθαι τὴν σπουδήν. οὐκ ἔστιν ἐμὸν τοῦτό φησι. μὴ γὰρ ἀπεταξάμην; μὴ γὰρ μοναχός εἰμι; τί λέγεις ἄνθρωπε; ἐκείνοις γὰρ μόνοις ἀποκεκλήρωται τὸ τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως; Πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ οὐδένα βούλεται ἀρετῆς ἀμελεῖν. ἄκουε γὰρ αὐτοῦ διὰ τοῦ προφήτου λέγοντος· Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μή τι γέγονεν, εἰπέ μοι, τούτῳ τῷ δικαίῳ κώλυμα ἡ συνουσία τῆς γυναικὸς, ἢ ἡ τῶν παίδων φροντίς; μὴ τοίνυν, παρακαλῶ, μηδὲ ἡμεῖς ἀπατῶμεν ἑαυτοὺς, ἀλλ' ὅσῳ ταύταις ταῖς φροντίσιν ἐνεχόμεθα, τοσούτῳ μᾶλλον τὰ ἀπὸ τῆς ἀναγνώσεως τῶν θείων γραφῶν δεχώμεθα φάρμακα. μὴ γὰρ καὶ οὗτοι οὐ τῆς αὐτῆς ἡμῖν φύσεως ἦσαν, καὶ οὐδὲ τοσαύτας ἀφορμὰς εἶχον τὰς ἐναγούσας αὐτοὺς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν; ποίας οὖν ἂν εἴημεν συγγνώμης ἄξιοι, Ⓖ καὶ διδασκα-

φανερῶς,

ἀντιλέγειν

α. Τιμ. β. δ.

Ιεζ. ιη. κγ.

τῇ κατορθώσει τῆς ἀρετῆς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, καὶ μήτε ἐπὶ προσηγορίᾳ μέγα φρονεῖν, μήτε ἐπὶ συγγενείᾳ τῶν ἁγίων ἀνδρῶν, μήτε ἐπ᾽ ἄλλῳ μηδενί, ἀλλ᾽ ἐπὶ τῇ τῶν οἰκείων ἔργων παρρησίᾳ· μᾶλλον δὲ μηδὲ ἐπὶ ταύτῃ μέγα φρονεῖν, ἀλλὰ τότε μᾶλλον κατεστάλθαι καὶ μετριάζειν, ὅταν πολὺν τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγεῖν δυνηθῶμεν. οὕτω γὰρ καὶ αὐτοὶ μετ᾽ ἀσφαλείας τὸν συλλεγέντα πλοῦτον" συνάξωμεν, καὶ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, πανταχοῦ καταστέλλων αὐτῶν τὰ φρονήματα, καὶ πείθων * μὴ μεγαλοφρονεῖν, καὶ μὴ ἐπαίρεσθαι ἐπὶ κατορθώμασιν, ἀλλ᾽ εἰδέναι, ὡς ἡ μεγίστη ἀρετὴ αὕτη μάλιστα πάντων ἐστί, τὸ ἐν κατορθώμασιν ὄντα μετριάζειν. ἀλλ᾽ ἐπὶ τὴν ἀκολουθίαν πάλιν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ἴδωμεν τοὺς ἐξῆς τεθέντας. Εἰκὸς γὰρ κατὰ μικρὸν προϊόντας μείζονα θησαυρὸν εὑρεῖν, καὶ πολὺν καὶ ἄφατον τὸν πλοῦτον.

Λουκ. ιζ. ι.

γρ. φυλάξωμεν,

* ἡμᾶς

9 Καὶ ἔζησέ, φησιν, Ἐνώς, οὗτος ὁ τοῦ Σὴθ υἱός, ἔτη ἑκατὸν ἐνενήκοντα, καὶ ἐγέννησε τὸν Καϊνάν. 12 Καὶ Καϊνὰν ἐγέννησε τὸν Μαλελεήλ. 15 Καὶ Μαλελεὴλ ἐγέννησε τὸν Ἰάρεδ. 18 Καὶ Ἰάρεδ ἐγέννησε τὸν Ἐνώχ. 21 Καὶ ἔζησεν Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα. 22 Εὐηρέστησε δέ, φησι, τῷ θεῷ Ἐνὼχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα, ἔτη διακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. 23 Καὶ ἐγένοντο αἱ ἡμέραι Ἐνὼχ ἔτη τριακόσια ἑξήκοντα πέντε. 24 Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός.

Οὐ καλῶς ἔλεγον, ὅτι προϊόντες πολὺν καὶ ἄφατον εὑρήσομεν πλοῦτον πνευματικὸν ἐν τούτοις τοῖς ὀνόμασιν; ἐννόει γάρ μοι ἐνταῦθα, ἀγαπητέ, καὶ τοῦ δικαίου τὴν ἀρετήν, καὶ τοῦ ἀγαθοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. καὶ ἔζησέ, φησιν, Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα, καὶ εὐηρέστησέ, φησιν, Ἐνὼχ τῷ θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα. ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες, καὶ παιδευέσθωσαν τοῦ δικαίου τὴν ἀρετήν, καὶ μὴ νομιζέτωσαν τὸν γάμον κώλυμα εἶναι πρὸς τὴν εὐαρέστησιν τὴν πρὸς τὸν θεόν. διὰ γὰρ τοῦτο καὶ ἅπαξ καὶ δεύτερον ἐπεσημήνατο ἡ θεία γραφή, ὅτι ἐγέννησε τὸν Μαθουσάλα, καὶ τότε εὐηρέστησε. καὶ πάλιν τὸ αὐτὸ ἐδιπλασίασε λέγουσα, καὶ εὐηρέστησε μετὰ τὸ γεννῆσαι αὐτόν, ἵνα μή τις νομίσῃ ἐμποδίζεσθαι πρὸς τὴν ταύτης κατόρθωσιν. ἐὰν γὰρ νήφωμεν, οὔτε γάμος οὔτε" ἀνατροφή, οὔτε ἕτερόν τι ἐμποδίσαι ἡμῖν δυνήσεται εἰς τὴν" τοῦ θεοῦ εὐαρέστησιν. ἰδοὺ γὰρ καὶ οὗτος ἡμῖν τῆς αὐτῆς φύσεως τυγχάνων, καὶ οὔτε νόμου δοθέντος, οὔτε γραφῶν οὐσῶν τῶν διδασκουσῶν, οὔτε ἑτέρου τινὸς εἰς φιλοσοφίαν ἐνάγοντος, οἴκοθεν καὶ ἀπὸ προαιρέσεως τοσαύτην ἐπεδείξατο τὴν εὐαρέστησιν, ὡς μέχρι τῆς σήμερον διαρκέσαι, καὶ μηδέπω καὶ νῦν πεῖραν θανάτου λαβεῖν. Εἰ γὰρ ὁ γάμος, ἀγαπητέ, καὶ ἡ παιδοτροφία κώλυμα ἔμελλε γίνεσθαι πρὸς τὴν τῆς ἀρετῆς ὁδόν, οὐκ ἂν εἰσήνεγκε γάμον εἰς τὸν βίον τὸν ἡμέτερον ὁ τῶν ὅλων δημιουργός, ἵνα μὴ ἐν τοῖς καιρίοις καὶ σφόδρα" ἀναγκαιοτέροις ἡμᾶς λυμήνηται· ἀλλ᾽ ἐπειδὴ οὐ μόνον οὐδὲν ἡμῖν ἐμποδίζει πρὸς τὴν κατὰ θεὸν φιλοσοφίαν, ἐὰν βουλώμεθα νήφειν, ἀλλὰ καὶ πολλὴν ἡμῖν εἰσάγει τὴν παραμυθίαν, μαινομένην τὴν φύσιν" καταστέλλουσα, καὶ οὐκ" ἀφιεῖσα πελάγιον σαλεύειν, ἀλλὰ διηνεκῶς ἐν λιμένι τὸ σκάφος ὁρμεῖν παρασκευάζων, διὰ τοῦτο τὴν ἐντεῦθεν παραμυθίαν ἐχαρίσατο τῷ τῶν ἀνθρώπων γένει. ὅτι γὰρ ἀληθῆ τὰ παρ᾽ ἡμῶν λεγόμενα, δείκνυσιν ὁ δίκαιος οὗτος. μετὰ γὰρ τὸ γεννῆσαι, φησι, τὸν Μαθουσάλα, εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐ βραχύν τινα

ἀριθμὸν

γρ. ἀνατροφή

γρ. τὴν εὐαρέστησιν τὴν πρὸς τὸν θεόν.

γρ. ἀναγκαιοτέροις

γρ. καταστέλλουσαν, ἀφιεῖσαν

ἀριθμὸν διήρκεσε τὴν ἀρετὴν μετιών, ἀλλά, φησι, διακόσια ἔτη. καὶ ἐπειδὴ μετὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν εὑρέθη ἄνθρωπος πρὸς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς ἀνιών, καὶ τὴν τοῦ προπάτορος ἁμαρτίαν ἀνακαλούμενος διὰ τῆς οἰκείας εὐαρεστήσεως, ὅρα τοῦ ἀγαθοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. ἐπειδὴ ηὗρε δυνηθέντα ἀνακαλέσασθαι τὸ ἁμάρτημα τοῦ Ἀδάμ, δεικνὺς δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ βουλόμενος τὸν θάνατον ἐπαγαγεῖν τῷ γένει τῷ ἡμετέρῳ, ἀλλὰ διὰ τὴν τῆς ἐντολῆς παράβασιν τοῦτον κατεδίκασε, τὸν τὴν ἐντολὴν δεξάμενον, τοῦτον νῦν ζῶντα μεθίστησι. καὶ εὐηρέστησε, φησιν, Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός. ὁρᾷς σοφίαν δεσπότου. μετέθηκε ζῶντα, οὐχὶ ἀθανασίαν ἐχαρίσατο, ἵνα μὴ ἐκλύσῃ τοῦ πλημμελήματος τὸν φόβον, ἀλλ' ἀφῆκεν ἀκμάζειν τὸν θάνατον τῷ τῶν ἀνθρώπων γένει. διὰ τοῦτο πάλιν ἀμυδρῶς, ὡς εἰπεῖν, καὶ λανθανόντως, ἀνακαλέσασθαι βούλεται τὴν ἀπόφασιν, ἣν κατὰ τοῦ Ἀδὰμ ἐξήνεγκεν. ἀλλ' οὐ ποιεῖ αὐτὸ φανερόν, ἵνα ὁ φόβος ἀντὶ (σωφρονισμοῦ γένηται). διὰ τοῦτο εὐαρεστήσαντα τὸν Ἐνὼχ μετέθηκεν. εἰ δέ τις βούλοιτο περιεργάζεσθαι καὶ λέγειν, καὶ ποῦ αὐτὸν μετέθηκε, καὶ εἰ μέχρι τοῦ παρόντος διήρκεσε, μανθανέτω μὴ λογισμοῖς ἀνθρωπίνοις κατακολουθεῖν, καὶ τὰ παρὰ τοῦ θεοῦ πολυπραγμονεῖν, ἀλλὰ πιστεύειν μόνον τοῖς λεγομένοις. ὅταν γὰρ ὁ θεὸς ἀποφαίνηταί τι, οὐ δεῖ ἀντιβλέπειν τοῖς ῥηθεῖσιν, ἀλλὰ τὰ παρὰ τοῦ θεοῦ λεγόμενα ἀξιοπιστότερα ἡγεῖσθαι, κἂν μὴ φαίνηται, τῶν ὑπὸ τοῖς ὀφθαλμοῖς κειμένων τοῖς ἡμετέροις. ὅτι γὰρ μετέθηκεν αὐτόν, εἶπεν ἡ θεία γραφή, καὶ ὅτι ζῶντα μετέθηκε, καὶ πεῖραν μὴ λαβόντα θανάτου, ἀλλὰ διὰ τῆς οἰκείας εὐαρεστήσεως ἀνώτερον γενόμενον τῆς ἐξενεχθείσης ἀποφάσεως κατὰ τοῦ τῶν ἀνθρώπων γένους· ποῦ δὲ αὐτὸν μετέθηκε, καὶ ὅπως νῦν διάγει, τοῦτο οὐ προσέθηκεν. εἶδες ἀγαθότητα δεσπότου, πῶς εὑρὼν ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα, οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας, ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς, διδάσκων ἡμᾶς, ὅτι κἀκεῖνος, εἰ μὴ τὴν ἀπάτην προετίμησε τῆς δοθείσης ἐντολῆς, τὸν αὐτῶν ἂν ἠξίωτο ἢ καὶ μειζόνων. ταῦτα μὴ ἁπλῶς ἀκούωμεν, ἀγαπητοί, ἀλλὰ παιδευώμεθα τῆς ἀρετῆς ἐπιμελεῖσθαι, καὶ τὴν περὶ τὸν θεὸν εὐαρέστησιν περὶ πολλοῦ ποιεῖσθαι· καὶ μήτε οἰκίας προστασίαν, μήτε γυναικὸς φροντίδα, μήτε παίδων ἐπιμέλειαν, μήτε ἄλλο μηδὲν προβαλλώμεθα, καὶ νομίσωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν τοῦ ῥαθύμως καὶ ἠμελημένως ζῆν· μηδὲ τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ ἀνόητα προφέρωμεν καὶ λέγωμεν, κοσμικός εἰμι, καὶ γυναῖκα ἔχω, καὶ τέκνων φροντίδα ποιοῦμαι. ταῦτα τοῖς πλείοσιν ἔθος λέγειν, ἐπειδὰν αὐτοὺς παρακαλῶμεν εἰς τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους, ἢ περὶ τὴν τῶν γραφῶν ἀνάγνωσιν πολλὴν ποιεῖσθαι τὴν σπουδήν. οὐκ ἔστιν ἐμὸν τοῦτό φησι. μὴ γὰρ ἀπεταξάμην; μὴ γὰρ μοναχός εἰμι; τί λέγεις ἄνθρωπε; ἐκείνοις γὰρ μόνοις ἀποκεκλήρωται τὸ τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως; Πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ οὐδένα βούλεται ἀρετῆς ἀμελεῖν. ἄκουε γὰρ αὐτοῦ διὰ τοῦ προφήτου λέγοντος· Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μή τι γέγονεν, εἰπέ μοι, τούτῳ τῷ δικαίῳ κώλυμα ἡ συνουσία τῆς γυναικός, ἢ ἡ τῶν παίδων φροντίς; μὴ τοίνυν, παρακαλῶ, μηδὲ ἡμεῖς ἀπατῶμεν ἑαυτούς, ἀλλ' ὅσῳ ταύταις ταῖς φροντίσιν ἐνεχόμεθα, τοσούτῳ μᾶλλον τὰ ἀπὸ τῆς ἀναγνώσεως τῶν θείων γραφῶν δεχώμεθα φάρμακα. μὴ γὰρ καὶ οὗτοι οὐ τῆς αὐτῆς ἡμῖν φύσεως ἦσαν, καὶ οὐδὲ τοσαύτας ἀφορμὰς εἶχον τὰς ἐναγούσας αὐτοὺς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν; ποίας οὖν ἂν εἴημεν συγγνώμης ἄξιοι, Ⓖ καὶ διδασκα-

φανερῶς,

ἀντιλέγειν

α. Τιμ. β. δ.

Ιεζ. ιη. κγ.

λίας τοσαύτης "ἀπολαύσαντες, καὶ τοσαύτης χάριτος ἀξιωθέντες, καὶ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, καὶ τὴν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν τὴν ἐπαγγελίαν δεξάμενοι, ἐὰν μηδὲ πρὸς τὸ τῶν παλαιῶν ἀνδρῶν φθάσωμεν τῆς ἀρετῆς τὸ μέτρον;

γρ. ἀπολαύοντες,

25 Καὶ ἔζησε, φησὶ, Μαθουσάλα ἔτη ἑκατὸν ἑξήκοντα ἑπτὰ, καὶ ἐγέννησε τὸν Λάμεχ. 28 Καὶ ἔζησε Λάμεχ ἔτη ἑκατὸν ὀγδοήκοντα, 29 Καὶ ἐγέννησεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Νῶε, λέγων· Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν "λυπηρῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ θεός.

γρ. λυπῶν

Ὅρα πάλιν διὰ τῆς προσηγορίας τοῦ νῦν τεχθέντος ὑπὸ τοῦ Λάμεχ μυστηρίων μέγεθος, καὶ προρρήσεως ὑπερβολὴν, καὶ φιλανθρωπίαν ἄφατον τοῦ ἀγαθοῦ θεοῦ. ἐπειδὴ γὰρ τῇ οἰκείᾳ προγνώσει τὰ μέλλοντα προεώρα, ἰδὼν τὴν κακίαν τῶν ἀνθρώπων αὐξανομένην προλέγει διὰ τῆς τοῦ παιδὸς προσηγορίας τὰ μέλλοντα καταλήψεσθαι κακὰ ἅπαν τὸ τῶν ἀνθρώπων γένος. Εἶδες ἀγαθότητα καὶ φιλανθρωπίαν; προλέγει διὰ τῆς προσηγορίας τὰ μέλλοντα, ἵνα κἂν τῷ φόβῳ σωφρονισθέντες ἀπόσχωνται τῆς κακίας, ἕλωνται δὲ τὴν ἀρετήν. καὶ ὅρα μακροθυμίαν δεσπότου, πρὸ πόσου χρόνου τὴν πρόρρησιν γενέσθαι ποιεῖ, ἵνα καὶ τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ πάσης ἀπολογίας ἀποστερήσῃ τοὺς τὴν τιμωρίαν μέλλοντας" δέχεσθαι. ἀλλ' ἴσως ἄν τις εἴποι, καὶ πόθεν τῷ Λάμεχ [ἐπῆλθεν εἰπεῖν] τὸ τοσοῦτον μέγεθος τῆς προρρήσεως; μὴ γὰρ μέμνηται ἡ γραφὴ, ὅτι ἐνάρετός τις ἦν καὶ θαυμαστός; μὴ ξενισθῇς, ἀγαπητέ. σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ὁ δεσπότης καὶ δι' ἀναξίων πολλάκις συγχωρεῖ προλέγεσθαι θαυμαστὰ καὶ μεγάλα πράγματα. καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν τῇ καινῇ τις ἂν κατίδοι. ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ περὶ τοῦ Καϊάφα τοῦ τῶν Ἰουδαίων ἀρχιερέως λέγοντος· Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν, ὅτι ἔμελλεν ὁ "Ἰησοῦς ἀποθνήσκειν, οὐχ ὑπὲρ" τοῦ λαοῦ μόνον, ἀλλ' ἵνα καὶ τὰ ἔθνη τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. εὑρήσεις τοιοῦτόν τι πάλιν καὶ ἐπὶ τοῦ Βαλαὰμ "γινόμενον. κληθεὶς γὰρ ὥστε καταράσασθαι τὸν λαὸν, οὐ μόνον οὐ κατηράσατο, ἀλλὰ καὶ προεφήτευσε μεγάλα καὶ θαυμαστὰ πράγματα, οὐ περὶ τοῦ λαοῦ μόνον, ἀλλὰ καὶ περὶ τῆς τοῦ σωτῆρος ἐπιδημίας. μὴ τοίνυν ξενίζου, εἰ καὶ νῦν ὁ Λάμεχ προσηγορίαν ἐπιθεὶς τῷ παιδὶ, τοιαύτην ἐπιτίθησιν, ἀλλὰ τῷ θεῷ λογίσαι τὸ πᾶν τῷ διὰ τῆς εὐμηχάνου αὐτοῦ σοφίας πάντα οἰκονομοῦντι. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε. ἑρμηνεύεται γὰρ τὸ ὄνομα αὐτοῦ, ἀνάπαυσις. τὴν οὖν πανωλεθρίαν ἐκείνην τὴν μετὰ τοσούτων ἐτῶν ἀριθμὸν συμβήσεσθαι μέλλουσαν, ἀνάπαυσιν καλεῖ· καθάπερ καὶ ὁ Ἰὼβ φησι, Θάνατος ἀνδρὶ ἀνάπαυσις. ἐπειδὴ γὰρ πολὺν καὶ σφόδρα μέγαν ἔχει τὸν κάματον ἡ κακία, τὴν ταύτης ἀποχὴν καὶ τὴν ἀναίρεσιν, ἣν διὰ τοῦ κλυδωνίου ἐκείνου ἔμελλεν ὑφίστασθαι, ἀνάπαυσιν καλεῖ. καὶ ἐκάλεσέ, φησι, τὸ ὄνομα αὐτοῦ Νῶε. Εἶτα ἑρμηνεύων ἡμῖν τοῦ ὀνόματος τὴν προσηγορίαν φησὶν, Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν. ἀπὸ τῆς κακίας, φησὶν, ἀποστήσει καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν. καὶ πάλιν τὸ αὐτὸ, ἀπὸ τῶν πράξεων, φησι, τῶν πονηρῶν. οὐδὲ γὰρ ἐπειδὴ αἱ χεῖρες ἐλυποῦντο, οὕτω τοῦτό φησιν, ἀλλ' ἐπειδὴ διὰ τῆς τούτων ἐργασίας καὶ τῆς πονηρᾶς πράξεως τὰ τῆς λύπης αὐτοῖς ηὔξετο. καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ θεός, ἐλευθερώσει ἡμᾶς πάντων, φησὶ, τῶν ἐπικειμένων κακῶν, καὶ τοῦ περὶ τὴν γῆν πονεῖσθαι καὶ ταλαιπωρεῖσθαι τὴν κατάραν δεξαμένην διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν. ἐννόει γάρ μοι λοιπὸν, ἀγαπητὲ, πῶς τὸ παιδίον τοῦτο κατὰ μικρὸν αὐξανόμενον διδασκαλίας ὑπόθεσις ἅπασι τοῖς ὁρῶσιν ἐγένετο. μόνον γάρ τις ἐπυνθάνετο

γρ. [illegible]

Ἰωαν. ια. να.

γρ. κύριος
γρ. τῶν ἰουδαίων

Ἀριθ. κγ.

γρ. γινόμενον

Ἰωβ. γ. κγ.

τοῦ

γ. παιδὸς
ισ. τὴν μέλλου-
σ συμβήσεσθαι
πανωλεθρίαν.
γ τὸν ὄλεθρον.

τοῦ" παιδὸς τὴν προσηγορίαν, καὶ εὐθέως ἡ ἑρμηνεία τῆς προσηγορίας ἐδίδασκε τῶν "μελλόντων συμβήσεσθαι" τὴν πανωλεθρίαν. εἰ μὲν γάρ τις ἁπλῶς εἶπεν ἐνηχηθεὶς, ὅτι τόδε ἔσται, κἂν λήθῃ παρεδόθη τὸ ῥηθὲν, καὶ οὐκ ἅπαντες ἐγίνωσκον τῆς τιμωρίας τὸ ἀφόρητον· νυνὶ δὲ οὗτος ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς στρεφόμενος, εὐκαίρως, ἀκαίρως ὑπόμνησις ἐγίνετο τῆς τοῦ θεοῦ ἀγανακτήσεως. καὶ ἵνα μάθωμεν ἀκριβῶς, ἐπὶ πόσον χρόνον διήρκεσεν ὁ υἱὸς διὰ τῆς προσηγορίας τῆς ἑαυτοῦ πᾶσι παραινῶν ἀποστῆναι μὲν τῆς κακίας, ἑλέσθαι δὲ τὴν ἀρετὴν καὶ διαφυγεῖν τὴν τοσαύτην ἀγανάκτησιν, φησι,

32 Καὶ ἦν Νῶε ἐτῶν φ, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς.

Ὅρα πάλιν ἄλλον δίκαιον μετὰ γυναικὸς καὶ τέκνων πολλὴν τὴν περὶ τὸν θεὸν εὐαρέστησιν κατωρθωκότα, καὶ ἀπ᾽ ἐναντίας ἅπασι τὴν τῆς ἀρετῆς ὁδὸν ἑλόμενον, καὶ οὐδὲν οὔτε ὑπὸ τοῦ γάμου, οὔτε ὑπὸ τῆς παιδοτροφίας κωλυθέντα. τέως δὲ ἀναγκαῖον ἐκπλαγῆναι τοῦ θεοῦ τὴν ἄφατον μακροθυμίαν, καὶ τῶν τότε ἀνθρώπων τὴν ἀγνωμοσύνην τὴν πολλὴν καὶ ὑπερβάλλουσαν. ἰδοὺ γὰρ, πεντακόσια ἔτη τέως διήρκεσεν ὁ δίκαιος οὗτος βοῶν καὶ διαμαρτυρόμενος διὰ τῆς ἑαυτοῦ προσηγορίας τὸ μέλλον ἔσεσθαι κλυδώνιον κατὰ πᾶσαν τὴν οἰκουμένην διὰ τὴν τῆς κακίας ἐπίτασιν, καὶ οὐδὲ οὕτως ἀποστῆναι τῆς κακίας ἠβουλήθησαν. ἀλλ᾽ ὁ φιλάνθρωπος θεὸς οὐδὲ μετὰ τὴν τοσαύτην πρόρρησιν, οὐδὲ μετὰ τοσοῦτον ἀριθμὸν ἐτῶν, τὴν τιμωρίαν ἐπάγει, ἀλλὰ πάλιν αὔξων αὐτοῦ τὴν μακροθυμίαν καὶ ἕτερον οὐκ ὀλίγων ἐτῶν ἀριθμὸν προστίθησι τῇ οἰκείᾳ ἀνεξικακίᾳ. οὐδὲ γὰρ διὰ τοῦτο παρήγαγε τὴν τῶν ἀνθρώπων φύσιν, ὥστε τιμωρήσασθαι, ἀλλὰ τοὐναντίον ἅπαν, ὥστε τῶν μυρίων ἀγαθῶν τὴν ἀπόλαυσιν δωρήσασθαι. διὰ τοῦτο ὁρᾷς αὐτὸν πανταχοῦ μέλλοντα καὶ ἀναβαλλόμενον ἐν ταῖς τιμωρίαις.

ΗΘΙΚΟΝ

Ἀλλ᾽ ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, μέχρι τούτου στήσαντες τὸν λόγον εἰς τὴν ἐπιοῦσαν τὰ λειπόμενα ταμιευσώμεθα. εἰ γὰρ βουλοίμεθα νήφειν, ἱκανὰ τὰ σήμερον ἡμῖν κινηθέντα διεγεῖραι ἡμᾶς πρὸς τὸν πόθον τῆς ἀρετῆς, καὶ μηδέποτε νομίζειν κώλυμα ἡμῖν γίνεσθαι πρὸς τὴν ταύτης ὁδόν. εἰ γὰρ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης διδασκαλίας εἰς τοσαύτην ἔφθασαν ἀρετὴν, τί ἔχομεν εἰπεῖν ἡμεῖς, οἱ μετὰ τοσαύτην βοήθειαν καὶ τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ τὰ μυρία θαύματα πόρρω τῆς ἀρετῆς τυγχάνοντες; διὸ παρακαλῶ, μὴ ἁπλῶς ἐπερχώμεθα τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα, ἀλλὰ μετὰ προσοχῆς ἀναγινώσκωμεν τὰ ἐγκείμενα, ἵνα τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπούμενοι, ὀψέ γοῦν ποτε τῆς κατὰ θεὸν ἀρετῆς ἀντιλαβέσθαι δυνηθῶμεν. εἰ γὰρ δὴ μέλλοιμεν καὶ ἡμεῖς καθ᾽ ἑκάστην ἡμέραν ὑμῖν ἐνηχεῖν τὴν πνευματικὴν ταύτην διδασκαλίαν, καὶ ὑμεῖς ἐπὶ τῆς αὐτῆς ῥαθυμίας μείνητε, ποῖον ὑμῖν ὄφελος ἔσται ἐκ τῆς συνεχοῦς διδασκαλίας, ἢ ἡμῖν τίς ἔσται παραμυθία ὁρῶσι τοσοῦτον ἡμῶν κάματον ἀνόνητον γινόμενον, καὶ οὐδεμίαν προσθήκην γινομένην ἐκ τῆς ἡμετέρας σπουδῆς; εἰπέ μοι γάρ· οὐχὶ ἀπὸ δύο οὐσιῶν συνεστήκαμεν, ἐκ ψυχῆς λέγω καὶ σώματος; τίνος οὖν ἕνεκεν μὴ τὴν ἴσην καὶ αὐτοὶ πρόνοιαν ἀμφοτέροις ἀπονέμομεν; ἀλλὰ τὸ μὲν σῶμα παντὶ τρόπῳ θεραπεύειν σπουδάζομεν, καὶ ἰατροῖς χρήματα διδόντες, καὶ αὐτοὶ πολλὴν περὶ αὐτὸ τὴν ἐπιμέλειαν ἐπιδεικνύμενοι, καὶ ἐσθῆτι πολυτελεῖ περιβάλλοντες, καὶ τροφὴν πλέον τοῦ δέοντος παρέχοντες· καὶ ἐν ἀνέσει διηνεκεῖ αὐτὸ εἶναι βουλόμεθα, καὶ ὑπὸ μηδενὸς ὅλως ἐνοχλεῖσθαι νοσήματος· ἀλλὰ κἂν τὸ τυχὸν τὸ ἐνοχλοῦν συμβῇ, πᾶσαν κινοῦμεν μηχανὴν, ὥστε τὸ λυποῦν διορθώσασθαι. καὶ ἐπὶ μὲν τοῦ σώματος, τοῦ ἐλάττονος λέ-

λέγω τὴν οὐσίαν (τί γὰρ ἴσον, εἰπέ μοι, ψυχὴ καὶ σῶμα;) τοιαῦτα καὶ ποιούμεθα καὶ διανοούμεθα. καὶ εἰ βούλει τὴν διαφορὰν ἰδεῖν, σκόπει πῶς οὐδενὸς λόγου ἄξιον εὑρίσκεται τὸ σῶμα τῆς ψυχῆς ἀναχωρησάσης. ὁ τοίνυν τοῦ σώματος τοσαύτην πρόνοιαν ποιούμενος, τίνος ἕνεκεν καὶ διὰ τί τοσαύτῃ περὶ τὴν τῆς ψυχῆς πρόνοιαν ὑπεροψίᾳ κεχρῆσθαι βούλει, καὶ οὔτε τροφὴν αὐτῇ κατάλληλον προσάγειν, τὴν ἐκ τῶν θείων γραφῶν λέγω παραίνεσιν, οὔτε τοῖς τραύμασιν αὐτῆς καὶ τοῖς ἕλκεσι τοῖς καθαιροῦσιν αὐτῆς τὴν ἰσχὺν, καὶ τὴν παῤῥησίαν ὑποτεμνομένοις τὰ ἐπιτήδεια φάρμακα ἐπιτιθέναι, ἀλλὰ καὶ περιορᾷν ἀνέχῃ αὐτὴν καὶ λιμῷ τηκομένην καὶ ὑπὸ τῶν ἑλκῶν διαφθειρομένην καὶ προκειμένην, ὡς εἰπεῖν, καθάπερ κυσὶ, τοῖς πονηροῖς καὶ ἀτόποις λογισμοῖς, ὥστε διασπᾷν, καὶ τὸν τόνον αὐτῆς ἅπαντα καθαιρεῖν; διατί μὴ, καθάπερ τοῦ σώματος τοῦ ὁρωμένου ποιούμεθα τὴν πρόνοιαν, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς ψυχῆς τῆς ἀσωμάτου καὶ μὴ ὁρωμένης; ὁπότε καὶ ἡ περὶ ταύτην ἐπιμέλεια, οὐ μόνον εὔκολος καὶ κούφη, ἀλλὰ καὶ ἀδάπανος καὶ οὐδενὸς καμάτου δεομένη. καὶ ἐνταῦθα μὲν ἐπὶ τῆς τοῦ σώματος ἐπιμελείας καὶ τῶν τοῦ σώματος ἀῤῥωστημάτων ἀνάγκη καὶ χρημάτων πολλὴν δαπάνην γενέσθαι, καὶ τὰ μὲν αὐτῶν τοῖς ἰατροῖς προσαναλίσκειν, τὰ δὲ εἰς τὴν ἄλλην ἅπασαν θεραπείαν, πρὸς τροφὴν λέγω καὶ πρὸς ἐνδύματα, καὶ οὔπω φημὶ, ὅτι καὶ ὑπὲρ τὴν χρείαν οἱ πλείους ταῦτα δαπανῶσιν ἀμετρίᾳ πολλῇ κεχρημένοι· ἐπὶ δὲ τῆς ψυχῆς, οὐδενὸς τῶν τοιούτων δεῖ. ἀλλ' εἰ βουληθείης, καθάπερ ἐφ' ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν χορηγεῖς καὶ τὰ χρήματα καταναλίσκων, οὕτω καὶ τὴν ψυχὴν μὴ περιορᾷν λιμῷ διαφθειρομένην, ἀλλὰ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν, τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως καὶ τῆς πνευματικῆς νουθεσίας παραίνεσιν (Οὐκ ἐπ' ἄρτῳ γὰρ, φησι, μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ·) ἄριστα περὶ τούτων διατεθειμένος ἔσῃ, καὶ περὶ τῶν παρ' ἡμῖν οἰκειοτέρου προσηκόντως διανοούμενος. καὶ εἰ τοῦτο ποιήσεις, καὶ ὥσπερ τῷ σώματι διάφορα παρέχεις ἐνδύματα, καὶ ἐπιτηδεύεις πρὸς τὴν τῶν καιρῶν τροπὴν καὶ τῶν ἐνδυμάτων τὴν ποικιλίαν, κατὰ τὸ αὐτὸ μηδὲ τὴν ψυχὴν περιορᾷς γυμνὴν περιιοῦσαν τῶν ἀγαθῶν πράξεων, ἀλλὰ καὶ αὐτὴν περιβάλλεις ἐνδύμασι τοῖς αὐτῇ πρέπουσι, ταχέως αὐτὴν ἀνακλήσῃ, καὶ πρὸς τὴν κατὰ φύσιν ὑγείαν ἐπαναγάγῃς. ποῖα δὲ ἂν εἴη τὰ ταύτης ἐνδύματα; ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψίλεια. τοῦτο γὰρ μέγιστον τῆς ψυχῆς περιβόλαιον, τοῦτο τὸ φαιδρὸν αὐτῆς ἱμάτιον. εἰ δὲ βούλει μὴ μόνον ἐνδύματα παρέχειν, ἀλλ' ὁμοίως τῷ σώματι καὶ ταύτην καλλωπίζειν, πρόσθει καὶ τὴν διὰ τῶν εὐχῶν βοήθειαν, καὶ τὴν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, καὶ τῇ συνεχείᾳ τῶν δακρύων ἀποσμήχων αὐτῆς τὸ πρόσωπον μὴ διαλείπῃς. καθάπερ γὰρ πάσῃ σπουδῇ τὴν ὄψιν τοῦ σώματος καθ' ἑκάστην ἡμέραν ἐκπλύνεις, ὥστε μηδαμοῦ ῥύπον τινὰ ἐπικείμενον τῇ ὄψει δυσειδῆ αὐτὴν δεικνύναι, ὡσαύτως καὶ ἐπὶ τῆς ψυχῆς ποιεῖν σπούδαζε, καὶ καθ' ἑκάστην αὐτὴν ἀπόπλυνε θερμὰ δάκρυα προχέων. τούτῳ γὰρ τῷ ὕδατι ἐκείνη τὸν ῥύπον ἀποθεμένη φαιδροτέρα γίνεται. καὶ ἐπειδὴ αἱ πλείους τῶν γυναικῶν διὰ πολλὴν βλακείαν τοῦ παραγγέλματος τοῦ ἀποστολικοῦ ὑπερφρονοῦσαι τοῦ κελεύοντος, Μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ ἑαυτὰς κοσμεῖν, μετὰ πολλῆς τῆς δαψιλείας αὐτὰ τοῦτο ἐργάζονται· οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἀνδρῶν ὅσοι βλακώδεις, καὶ πρὸς τὴν τῶν γυναικῶν εὐτέλειαν ἑαυτοὺς κατάγουσι, δακτυλίους [τινὰς] περιτιθέμενοι, καὶ τῷ μεγέθει καὶ τῷ ὄγκῳ τῶν λίθων καλλωπιζόμενοι, ἐφ' οἷς αἰσχύνεσθαί τε καὶ ἐγκαλύπτεσθαι ἐχρῆν· καὶ οὗτοι τοίνυν κἀκεῖναι, εἰ τῶν

Ματθ. δ. δ.

α. Τιμ. β. θ.

τῶν ἡμετέρων ἀνάσχοιντο λόγων, τὰ χρυσία ταῦτα, τὰ πολλὴν καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ τὴν λύμην παρέχοντα, εἰς τὸν τῆς ψυχῆς κόσμον μᾶλλον μεταγαγέτωσαν, καὶ ἐκείνην διὰ τούτων καλλωπιζέτωσαν. ὥσπερ γὰρ τῷ σώματι περικείμενα χρυσία, κἂν εὔμορφον ᾖ, δυσειδέστερον τοῦτο ἀπεργάζεται, οὕτω τῇ ψυχῇ περιτιθέμενα, κἂν ἄμορφος ᾖ, εἰς τὴν ἄκραν εὐμορφίαν αὐτὴν μεθίστησι. καὶ πῶς, φησὶ, δυνατὸν τῇ ψυχῇ περιθεῖναι τὰ χρυσία; [πάλιν] διὰ τῆς τῶν πενήτων χειρός. οὗτοι γὰρ δεχόμενοι, τὴν ταύτης εὐμορφίαν κατασκευάζουσιν. ἐκείνοις ἐγχείρισον τὰ χρυσία, διανείμας αὐτὰ εἰς τὰς αὐτῶν γαστέρας, καὶ τοσαύτην τῆς ψυχῆς εὐμορφίαν σοι παραδιδόασιν, ὡς αὐτὸν τὸν ἀληθῆ νυμφίον διὰ τῆς ὥρας ἐπισπάσασθαι, καὶ τὰ μυρία σοι ἀγαθὰ διὰ τούτου προξενῆσαι. ὅταν γὰρ διὰ τοῦ κάλλους ἐπισπάσῃ τὸν δεσπότην, πάντων τῶν ἀγαθῶν ἕξεις τὴν χορηγίαν, καὶ τὴν ἄφατον εὐπορίαν ἐκτήσω. εἰ τοίνυν βουλοίμεθα ἐπέραστοι γενέσθαι τῷ δεσπότῃ, καταλιπόντες τὸ περὶ τὸν τοῦ σώματος καλλωπισμὸν ἐπτοῆσθαι, τὴν ἐκείνης εὐμορφίαν καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, ἵνα καὶ τὴν εὔνοιαν ἐπισπασώμεθα τοῦ φιλανθρώπου θεοῦ, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. τούτων

χ. περὶ τὴν τ.
ι. καλλωπισ-
μάτων

Λόγ. κβ. ΚΑΙ ΗΝ ΝΩΕ ΕΤΩΝ ΠΕΝΤΑΚΟΣΙΩΝ. ΚΑΙ ἐγέννησε Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ. καὶ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς.

ΤΑ λείψανα τῆς χθεσινῆς τραπέζης ὑμῖν παραθεῖναι βούλομαι τήμερον. ἀλλὰ μὴ δυσχεράνῃς, ἀγαπητὲ, λείψανα ἀκούων. ἐπὶ μὲν γὰρ τῶν αἰσθητῶν ἐδεσμάτων μετὰ μίαν καὶ δευτέραν ἡμέραν ἕωλα πολλάκις γινόμενα τὰ ἐδέσματα, ἄχρηστα γέγονε καὶ ἀνεπιτήδεια πρὸς τροφήν· ἐπὶ δὲ τῆς πνευματικῆς τραπέζης οὐδέν ἐστι τοιοῦτον δέος, ἀλλ' ὅσος ἂν παρέλθῃ χρόνος, τοσούτῳ μᾶλλον πλείονα τὴν χάριν ἐπιδείκνυται, καὶ νεαρώτερα καὶ ἀκμαιότερα εὑρίσκεται. φέρε οὖν, τὴν ὑπόσχεσιν, ἥνπερ χθὲς ὑπεσχόμεθα, εἰς ἔργον ἀγάγωμεν, καὶ τὸ χρέος τῆς διδασκαλίας καταβάλλωμεν, καὶ τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα. οὐδὲ γὰρ τοῖς ὑποδεχομένοις μόνον λυσιτελὴς αὕτη τυγχάνει, καθάπερ ἐπὶ τῶν χρεῶν, ἀλλὰ καὶ ἐμοὶ τῷ καταβάλλοντι. καὶ τί λέγω ἐμοὶ τῷ καταβάλλοντι; τοιαύτη τούτου τοῦ χρέους τοῦ πνευματικοῦ ἡ φύσις, ὅτι ὅσῳ ἂν καταβάλληται, τοσούτῳ μᾶλλον αὔξεται, καὶ πλείονα τὴν περιουσίαν ἐργάζεται, καὶ ἄφατον τὸν πλοῦτον καὶ τῷ καταβάλλοντι καὶ τοῖς ὑποδεχομένοις. εἶδες καινὴν χρέους φύσιν, καὶ ξένον καταβολῆς εἶδος. τοιαῦτα γὰρ τὰ πνευματικά. τῇ διανομῇ μᾶλλον αὔξεται, καὶ τῇ τῶν πλειόνων μεταλήψει πλείων ἡ περιουσία γίνεται· καὶ οὔτε ὁ καταβάλλων αἴσθησίν τινα τῆς καταβολῆς λαμβάνει, ἀλλὰ καὶ αὔξεται αὐτῷ τὰ τῆς περιουσίας, καὶ οἱ ὑποδεχόμενοι ἐν πλείονι εὐπορίᾳ καθίστανται. ἐπεὶ οὖν τοιαύτη τῶν πνευματικῶν τούτων ἡ φύσις, μετὰ πάσης προθυμίας καὶ ἡμεῖς πρὸς τὴν ἔκτισιν σπεύδωμεν, καὶ ὑμεῖς πρὸς τὴν ὑποδοχὴν τὰς ἀκοὰς εὐτρεπίσατε, ἵνα ἕκαστος ὑμῶν ἡπλωμένοις τοῖς τῆς διανοίας κόλποις ὑποδεξάμενος τὰ παρ' ἡμῶν λεγόμενα, οὕτως οἴκαδε ἀναχωρήσῃ. πάλιν γὰρ τὴν κατὰ τὸν Νῶε ὑπόθεσιν εἰς μέσον ἀγαγεῖν βούλομαι, ἵνα τοῦ δικαίου τὴν πολλὴν ἀρετὴν καταμάθητε, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ τὴν μακροθυμίαν τὴν πάντα λόγον ὑπερβαίνουσαν. ἐμάθετε χθὲς πῶς ἐκ προοιμίων τῆς γεννήσεως ὁ δίκαιος οὗτος δεξάμενος παρὰ τοῦ πατρὸς τὴν προσηγορίαν, πᾶσι τοῖς τότε ἀνθρώποις οὖσι περιῄει διδάσκαλος τῶν συμφορῶν, μονονουχὶ βοῶν καὶ λέγων διὰ τοῦ οἰκείου ὀνόματος, ἀπόστητε τῆς κακίας, μετέρχεσθε τὴν ἀρετήν, φοβήθητε τὴν ἐπηρτημένην κόλασιν. κοινὸν ἅπασαν τὴν οἰκουμένην καταλήψεται κλυδώνιον. πολλὴ τῆς ἀγανακτήσεως ἡ ὑπερβολή, ἐπειδὴ καὶ πολλὴ τῆς κακίας ἡ φορά. καὶ τοῦτο οὐκ ἐπὶ δυσὶν ἢ τρισὶν ἔτεσιν ἐποίει, ἀλλὰ [καὶ] ἐπὶ πεντακόσια ἔτη διήρκεσε ταῦτα παραινῶν. εἴδετε μακροθυμίαν δεσπότου, εἴδετε ἀγαθότητος ὑπερβολήν, εἴδετε ἀνεξικακίαν ἄφατον, εἴδετε κακίας ἐπίτασιν, εἴδετε ἀγνωμοσύνης μέγεθος. μέχρι γὰρ τούτου, ὡς ἴστε, χθὲς ἡμῖν τὰ τῆς διδασκαλίας τέλος ἔλαβεν. ἀναγκαῖον τοίνυν σήμερον καταμαθεῖν, ὅπως ὁ φιλάνθρωπος δεσπότης τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, οὐδὲ μέχρι τῶν πεντακοσίων ἐτῶν ἔστη, ἀλλὰ καὶ ἑτέραν προσθήκην περὶ τοὺς τοσαῦτα ἡμαρτηκότας προνοίας ἐπεδείξατο. καὶ ἦν Νῶε, φησίν, ἐτῶν πεντακοσίων. ἐπίτηδες ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου ἐπεσημήνατο ἡ θεία γραφή, ἵνα μάθωμεν ἐν πόσῳ χρόνῳ διετέλεσε παραινῶν αὐτοῖς· καὶ πῶς ἐκεῖνοι μὲν τὴν τῆς κακίας ὁδὸν ἑλόμενοι ἐν ταύτῃ κατεδαπανῶντο· ὁ δὲ δίκαιος ἀπ' ἐναντίας ἅπασι πορευόμενος τὴν ἄκραν ἀρετὴν ἐπεδείξατο, ὥστε καὶ τὴν παρὰ τοῦ θεοῦ ἐπισπάσασθαι εὔνοιαν, καὶ πάντων ὑποβρυθίων τῇ τιμωρίᾳ γινομένων αὐτὸν μόνον διαφυγεῖν μετὰ τῶν αὐτῷ προσηκόντων. ἐντεῦθεν μανθάνομεν, ὅτι ἐὰν νήφωμεν καὶ μὴ ῥαθυμῶμεν, οὐ μόνον οὐδὲν ἡμᾶς βλάπτει τὸ μεταξὺ τῶν κακῶν ἀναμεμίχθαι, ἀλλὰ καὶ ἀκριβεστέρους περὶ τὴν ἀρετὴν ἐργάζεται. διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς οὕτως ᾠκονόμησε κατὰ ταυτὸν ἅπαντας εἶναι καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς, ἵνα καὶ τῶν πονηρῶν ἡ κακία ἐγκόπτηται, καὶ τῶν ἀγαθῶν ἡ ἀρετὴ λαμπροτέρα δεικνύηται, καὶ τὰ μέγιστα κερδαίνωσιν (οἱ ῥάθυμοι, ἐὰν βούλωνται), ἀπὸ τῆς τῶν σπουδαίων συνουσίας. ἐννόει γάρ μοι τοῦ δικαίου τούτου τὸ ἐνάρετον, ὅπως ἐν πλήθει τοιούτῳ πολλῇ τῇ ῥύμῃ πρὸς τὴν κακίαν" φερομένων, μόνος αὐτὸς τὴν ἐναντίαν ἦλθεν ὁδόν, τὴν ἀρετὴν προτιμοτέραν τῆς κακίας ἑλόμενος, καὶ οὔτε ἡ συμφωνία, οὔτε τὸ τοσοῦτον πλῆθος ὀκνηρότερον αὐτὸν εἰργάσατο πρὸς τὴν τῆς ἀρετῆς ὁδόν, ἀλλ' ἤδη προλαβὼν ἐπλήρου τὸ παρὰ τοῦ μακαρίου Μωϋσέως μέλλον ῥηθήσεσθαι, Οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ. καὶ τὸ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ πολλοὺς ἔχων, μᾶλλον δὲ ἅπαντας ἐπὶ τὴν κακίαν προτρεπομένους, καὶ τὴν τῶν πονηρῶν πράξεων ἐργασίαν, καὶ οὐδενὸς ὄντος τοῦ πρὸς τὴν ἀρετὴν ἐνάγοντος, οἴκοθεν ἐπὶ ταύτην μετὰ τοσαύτης ὥρμησε τῆς σφοδρότητος, ὥστε τοσούτῳ πλήθει ἀπεναντίας ἦλθε· καὶ οὔτε ἔδεισεν, οὔτε ὑπείδετο τὴν κακὴν συμφωνίαν, οὔτε ἔπαθέ τι τοιοῦτον, οἷον" εἰκός, εἴ τῶν ῥαθυμούντων τις ἦν, παθεῖν· οἱ ἐπειδὰν ἴδωσι πολλοὺς κατὰ ταυτὸ συμφωνίαν ἐπιδεικνυμένους ἐπὶ κακίαν, ταύτην ἀφορμὴν καὶ προκάλυμμα τῆς οἰκείας ῥαθυμίας προβαλλόμενοί φασι, τί δὴ μέλλω ἐγὼ παρὰ τούτους ἅπαντας ξένον τι καὶ καινὸν βουλεύεσθαι, καὶ τοσούτῳ πλήθει ἐναντιοῦσθαι, καὶ πρὸς τοσοῦτον δῆμον πόλεμον ἀναδέχεσθαι; μὴ γὰρ δικαιότερος ἐγὼ παρὰ τούτους ἅπαντας τυγχάνω; τίς μοι χρεία τῆς τοσαύτης ἀπεχθείας; τί μοι ὄφελος τοῦ τοσούτου μίσους; οὐδὲν τῶν ἀνονήτων τούτων ἐβουλεύσατο, οὐδὲν ἐνενόησεν· ἀλλὰ πάλιν ἐκεῖνο προλαβὼν ἐπλήρου τὸ εἰρημένον

Ἐξοδ. κγ. β.

γρ. φερομένων.

γρ. εἰκὸς ἦν τῶν ῥαθυμούντων παθεῖν.

Σειρ. ιε. δ.

νον" παρὰ τοῦ προφήτου, Ὅτι κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι. μὴ γὰρ ἡ κοινωνία, φησὶ, καὶ τὸ συγκαταπεσεῖν τῷ πλήθει πρὸς τὴν κακίαν αὐτομολοῦντι, ἐξελέσθαι με δυνήσεται τῆς τιμωρίας; ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι ἕκαστος ὑπὲρ τῆς οἰκείας ῥᾳθυμίας τὰς εὐθύνας δώσει, καὶ οὐκ ἔστιν ἕτερον ὑπὲρ τοῦ ἁμαρτόντος οὐδὲ κόλασιν ὑπομεῖναι, οὔτε ἀμοιβῆς τινος ἐπιτυχεῖν. διὰ τοῦτο ὁ δίκαιος οὗτος, καθάπερ σπινθὴρ ἐν μέσῳ πελάγει τυγχάνων, οὐ μόνον οὐκ ἐσβέννυτο, ἀλλὰ καὶ καθ᾽ ἑκάστην ἡμέραν λαμπρότερον ἠφίει τὸ φῶς, διδάσκαλος πᾶσι γινόμενος διὰ τῶν ἑαυτοῦ ἔργων. Εἶδες πῶς αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ δεσπότης ἐδημιούργησε. πόθεν γὰρ, εἰπέ μοι, ἐκεῖνοι μὲν πρὸς τὴν κακίαν ἔσπευδον καὶ τῇ τιμωρίᾳ ὑπευθύνους ἑαυτοὺς καθίστων, οὗτος δὲ τὴν ἀρετὴν ἑλόμενος, καὶ τὴν πρὸς ἐκείνους κοινωνίαν φυγὼν, τῆς τιμωρίας πεῖραν οὐκ ἐλάμβανεν; οὐκ εὔδηλον, ὅτι διὰ τὸ ἕκαστον τῇ οἰκείᾳ προαιρέσει ἢ τὴν κακίαν ἢ τὴν ἀρετὴν αἱρεῖσθαι; Εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ τὰ τῆς ἐξουσίας ἔκειτο, οὔτε ἐκείνους κολάζεσθαι ἔδει, οὔτε τούτους ἀμοιβὰς λαμβάνειν τῆς ἀρετῆς. ἀλλ᾽ ἐπειδὴ ἐν τῇ προαιρέσει τῇ ἡμετέρᾳ κατέλιπε μετὰ τὴν ἄνωθεν χάριν τὸ πᾶν, διὰ τοῦτο καὶ τοῖς ἁμαρτάνουσι κολάσεις ἀπόκεινται, καὶ τοῖς κατορθοῦσιν ἀντιδόσεις καὶ ἀμοιβαί. καὶ ἦν, φησι, Νῶε ἐτῶν πεντακοσίων· καὶ ἐγέννησε Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, καὶ τὸν Ἰάφεθ. σκόπει τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ διηγήσατο ἡμῖν τὸν ἐτῶν τοῦ δικαίου τὸν ἀριθμὸν, δεικνῦσα τῆς μακροθυμίας τοῦ δεσπότου τὴν ὑπερβολὴν, βούλεται πάλιν καὶ τὴν ἐπίτασιν τῆς ἀνεξικακίας τοῦ δεσπότου δήλην ἡμῖν ποιῆσαι, καὶ τῆς κακίας τῶν ἀνθρώπων τὴν πολλὴν φοράν. ἀλλ᾽ ἀκούσωμεν αὐτῶν τῶν παρὰ τοῦ Μωϋσέως ῥηθέντων. πνεύματι γὰρ φθεγγόμενος ἅπαντα μετὰ ἀκριβείας ἡμᾶς διδάξαι βούλεται.

κεφ. ϛ.

1 Καὶ ἐγένετο, φησιν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς.

Οὐχ ἁπλῶς προσέθηκε τὸ, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἀλλ᾽ ἵνα τὸ πολὺ πλῆθος ἡμῖν ἐμφήνῃ. ὅπου γὰρ τοσοῦτο τῶν ῥιζῶν πλῆθος, ἀνάγκη πολλοὺς τίκτεσθαι τοὺς κλάδους.

2 Ἰδόντες δέ, φησιν, οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο.

Ἑκάστην λέξιν τῶν εἰρημένων σαφῶς κατοπτεύσωμεν, ἵνα μηδὲν ἡμᾶς παραδράμῃ τῶν ἐν τῷ βάθει κεκρυμμένων. καὶ γὰρ ἀναγκαῖον τούτου τοῦ χωρίου πολλὴν τὴν ἔρευναν ποιήσασθαι, καὶ ἀνατρέψαι τὰς μυθολογίας τῶν ἀπερισκέπτως πάντα φθεγγομένων· καὶ πρότερον μὲν εἰπεῖν, ἅπερ λέγειν τολμῶσι, καὶ δείξαντας τὴν ἀτοπίαν τῶν παρ᾽ αὐτῶν λεγομένων, οὕτω τὸν ἀληθῆ νοῦν τῆς γραφῆς διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὥστε μὴ ἁπλῶς ὑπέχειν τὰς ἀκοὰς τοῖς τὰ βλάσφημα ἐκεῖνα φθεγγομένοις, καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς τολμῶσι λέγειν. φασὶ γὰρ, ὅτι οὐ περὶ ἀνθρώπων τοῦτο εἴρηται, ἀλλὰ περὶ ἀγγέλων. τούτους γὰρ, φησιν, υἱοὺς θεοῦ προσηγόρευσε. πρότερον μὲν δειξάτωσαν ποῦ ἄγγελοι υἱοὶ θεοῦ προσηγορεύθησαν. ἀλλ᾽ οὐκ ἂν ἔχοιεν οὐδαμοῦ δεῖξαι. ἄνθρωποι μὲν γὰρ ἐκλήθησαν υἱοὶ τοῦ θεοῦ, ἄγγελοι δὲ οὐδαμῶς. ἀλλὰ περὶ μὲν τῶν ἀγγέλων φησίν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· περὶ δὲ τῶν ἀνθρώπων, Ἐγὼ εἶπον, θεοί ἐστε. καὶ πάλιν, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα. καὶ πάλιν, Πρωτότοκός μου υἱὸς ἰσραήλ. ἄγγελος δὲ οὐδαμοῦ υἱὸς ἐκλήθη, οὐδὲ υἱὸς θεοῦ. ἀλλὰ τί φασι; ναὶ ἄγγελοι μὲν ἦσαν, διότι δὲ πρὸς τὴν παράνομον ταύτην

Ψαλ. ργ. ε.
Ψαλ. πα. ϛ.
Ησ. α. β.
Εξ. δ. κβ.

ταύτην πρᾶξιν κατῆλθον, τῆς ἀξίας ἐξέπεσον. πάλιν ἕτερον μυθωδέστερον. τί οὖν; νῦν ἐξέπεσον, καὶ αὕτη τῆς πτώσεως αὐτοῖς ἐστιν ἡ αἰτία; καὶ μὴν ἡ γραφὴ ἄλλως ἡμᾶς διδάσκει, ὅτι καὶ πρὸ τῆς τοῦ πρωτοπλάστου δημιουργίας, τῆς ἀξίας ἐκείνης κατηνέχθησαν καὶ ὁ διάβολος καὶ οἱ μετ' αὐτοῦ, μεῖζον τῆς ἀξίας φρονήσαντες. καθάπερ καὶ σο- Σοφ. β. κδ. φός τις φησι, φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. εἰπὲ γάρ μοι, εἰ μὴ ἦν πρὸ τῆς τοῦ ἀνθρώπου δημιουργίας ἐκπεπτωκὼς, πῶς ἂν ἐπὶ τῆς ἀξίας μένων ἐβάσκηνε τῷ ἀνθρώπῳ; ποῖον γὰρ ἂν ἔχοι λόγον, ἄγγελον ἀνθρώπῳ βασκαίνειν, τὸν ἀσώματον καὶ ἐν τοσαύτῃ τιμῇ τυγχάνοντα τῷ σώματι περικειμένῳ; ἐν. σῶμα ἀλλ' ἐπειδὴ ἀπὸ τῆς ἀνωτάτω δόξης εἰς ἐσχάτην ἀτιμίαν κατηνέχθη, καὶ ταῦτα ἀσώματος ὤν, εἶδε δὲ τὸν ἄνθρωπον δημιουργηθέντα, καὶ ἐν σώματι τοσαύτης τιμῆς ἀξιωθέντα, διὰ τὴν τοῦ δημιουργήσαντος φιλανθρωπίαν, εἰς φθόνον ἐξήφθη, καὶ διὰ τῆς ἀπάτης, τὴν διὰ τοῦ ὄφεως προσήγαγε, τῷ τοῦ θανάτου ἐπιτιμίῳ ὑπεύθυνον τὸν ἄνθρωπον χ. ἣν κατεσκεύασε. τοιοῦτον γὰρ ἡ πονηρία. οὐ δύναται πράως φέρειν τὴν ἑτέρων εὐημερίαν. ὅτι μὲν οὖν πάλαι καὶ ὁ διάβολος, καὶ πᾶσα αὐτοῦ ἡ φάλαγξ ἐκ τῆς δόξης ἐκείνης ἐξέπεσον, καὶ τῶν ἠτιμωμένων γεγόνασι, δῆλον ἐκ τῶν εἰρημένων ἅπασιν. ἄλλως δὲ καὶ ποίας οὐκ ἂν εἴη ἀνοίας ἀνάμεστον τὸ λέγειν, ὅτι ἄγγελοι πρὸς συνουσίαν γυναικῶν κατηνέχθησαν, καὶ ἡ ἀσώματος ἐκείνη φύσις πρὸς τὴν συναλλαγὴν τῶν σωμάτων ὑπήχθη; ἢ οὐκ Ματ. κβ. λ. Μαρ. ιβ. κε. Λουκ. κ. λε. ἀκούεις τοῦ Χριστοῦ λέγοντος περὶ τῆς τῶν ἀγγέλων οὐσίας, Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι θεοῦ; οὐδὲ γὰρ οἷόν τε τὴν ἀσώματον φύσιν ἐκείνην τοιαύτην ἐπιθυμίαν δέξασθαί ποτε. πρὸς τούτοις δὲ κἀκεῖνο ἐννοῆσαι δεῖ, ὅτι πάντων τῶν ἀτοπωτάτων ἐστὶ τοῦτο δέξασθαι τῷ λογισμῷ. εἰ γὰρ οἱ ἅγιοι καὶ πνεύματος ἁγίου ἠξιωμένοι οὐδὲ ὀπτασίαν ἀγγέλων ἰδεῖν ἴσχυσαν χ. ἀγγέλου (καὶ γὰρ ὁ ἀνὴρ τῶν ἐπι- Δαν. ι. ια. θυμιῶν θεασάμενος ἀγγέλου παρουσίαν, οὐκ αὐτὴν τὴν οὐσίαν (πῶς γὰρ οἷόν τε ἀσώματον οὐσίαν ἰδεῖν, ἀλλὰ μετασχηματισθεῖσαν;) τὴν ἐνέργειαν μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀφῆκε, καὶ ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ ἄπνους σχεδὸν ἔκειτο) τίς ἂν, κἂν σφόδρα μεμηνὼς ᾖ, καταδέξαιτο τὸ βλάσφημον τοῦτο ῥῆμα, καὶ πολλῆς γέμον τῆς ἀνοίας, καὶ ὅτι ἡ ἀσώματος φύσις καὶ ἡ νοερὰ σωμάτων συμπλοκῆς ἠνέσχετο; ἀλλ' ἵνα μὴ ἐπὶ πολὺ ταῦτα κινοῦντες καὶ αὐτοὶ δόξωμεν εἰκῇ τὸν χρόνον κατατρίβειν, φέρε, ἐπειδὴ διὰ τῶν πραγμάτων ἐπληροφορήσαμεν ὑμῶν τὴν ἀγάπην, ὡς τῶν ἀδυνάτων τοῦτο καθέστηκε, τὴν ἀλήθειαν τῶν ἐγκειμένων διδάξωμεν ὑμᾶς, πάλιν ἀναγνόντες τὰ παρὰ τῆς θείας γραφῆς εἰρημένα. Καὶ ἐγένετο, φησιν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. προλαβόντες ἐδιδάξαμεν ὑμᾶς, ὅτι ἔθος τῇ γραφῇ καὶ τοὺς ἀνθρώπους, υἱοὺς θεοῦ καλεῖν. ἐπεὶ οὖν ἀπὸ τοῦ Σὴθ οὗτοι κατῆγον τὸ γένος, τοῦ τὸν ὑπ' αὐτοῦ τεχθέντα προσαγορεύοντος Ἐνὼς (οὗτος γάρ, φησιν, ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ) ἐξ ἐκείνου λοιπὸν οἱ ἑξῆς τικτόμενοι, υἱοὶ θεοῦ προσηγορεύθησαν παρὰ τῆς θείας γραφῆς, διὰ τὸ μιμεῖσθαι μέχρις ἐκείνου τῶν προγόνων τὴν ἀρετήν· υἱοὺς δὲ ἀνθρώπων ἐκάλεσε τοὺς πρὸ τοῦ Σὴθ γεγονότας, τοὺς ἀπὸ τοῦ Κάϊν καὶ τοὺς ἐξ ἐκείνου τὸ γένος κατάγοντας. ἐγένετο γάρ, φησιν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ, οἱ ἀπὸ τοῦ Σὴθ καὶ τοῦ Ἐνώς, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἐκείνας τὰς ὑπ' ἐκείνων τεχθείσας, περὶ ὧν εἶπεν, ὅτι καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ὅτι καλαὶ λαί εἰσιν, ἔλαβον ἑαυτοῖς εἰς γυναῖκας. ὅρα πῶς διὰ τῆς λέξεως ταύτης πᾶσαν ἡμῖν αὐτῶν τὴν ἀσέλγειαν ἐνέφηνεν. οὐδὲ γὰρ διʼ ἐπιθυμίαν παιδοποιΐας ἐπὶ τὴν πρᾶξιν ταύτην ὥρμησαν, ἀλλὰ διʼ ἀκρασίαν ἡδονῆς. ἰδόντες γάρ, φησι, τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν. ἡ ἐπιθυμία τῆς εὐμορφίας εἰς τὸν ὄλεθρον αὐτοὺς τοῦτον ἐνήνεγκε· τὸ κάλλος τῆς ὄψεως καὶ τῆς πορνείας καὶ τῆς ἀσελγείας αὐτοῖς γεγένηται αἴτιον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη ἡ θεία γραφή, ἀλλὰ προσέθηκεν, ἔλαβον δὲ ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. καὶ τοῦτο πάλιν ἐμφαίνοντός ἐστι τὴν πολλὴν αὐτῶν ἀσέλγειαν, ὅτι τῷ κάλλει ἡττήθησαν, καὶ χαλινὸν ἐπιθεῖναι τῇ ἀτάκτῳ ἐπιθυμίᾳ οὐκ ἠβουλήθησαν, ἀλλʼ ὑποβρύχιοι γεγόνασιν ὑπὸ τῆς θέας χειρωθέντες, καὶ διὰ τὴν παράνομον ταύτην πρᾶξιν ἐρήμους ἑαυτοὺς καταστήσαντες τῆς ἄνωθεν προνοίας: καὶ ἵνα μάθωμεν ὅτι οὐ νόμῳ γάμου, οὐδὲ παιδοποιΐας ἕνεκεν τοῦτο διεπράξαντο, διὰ τοῦτό φησιν, ἰδόντες ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. τί οὖν; τὸν ὀφθαλμὸν τὴν θέαν ἄν τις αἰτιάσαιτο; οὐδαμῶς. οὐδὲ γὰρ ὁ ὀφθαλμὸς τοῦ ὀλίσθου αἴτιος γέγονεν, ἀλλʼ ἡ τῆς προαιρέσεως ῥᾳθυμία, καὶ τὸ τῆς ἐπιθυμίας ἀχαλίνωτον. ὁ γὰρ ὀφθαλμὸς διὰ τοῦτο ἐδημιουργήθη, ὥστε διὰ τούτου κατοπτεύοντας τὰ τοῦ θεοῦ δημιουργήματα δοξάζειν τὸν τούτων ποιητήν. τοῦ ὀφθαλμοῦ τοίνυν ἐστὶν ἔργον τὸ ὁρᾷν, τὸ δὲ κακῶς ὁρᾷν ἀπὸ τοῦ ἔνδοθεν ἡνιοχοῦντος λογισμοῦ γίνεται. τὰ γὰρ μέλη πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἡμῖν εἶναι χρήσιμα ἐδημιούργησεν ὁ δεσπότης, καὶ ἡνιοχεῖσθαι συνεχώρησεν ὑπὸ τῆς ἀσωμάτου οὐσίας, τῆς ψυχῆς λέγω. ἐπειδὰν οὖν ἐκείνη εἰς ῥᾳθυμίαν ἀποκλίνῃ, καὶ τὰς ἡνίας χαλάσῃ, καθάπερ ἡνίοχος οὐκ εἰδὼς τὰ ἄτακτα τῶν ἵππων σκιρτήματα καταστέλλειν, ταῖς ἡνίαις ἐνδοὺς καὶ τοὺς ἵππους τοὺς τὸ ἅρμα ἕλκοντας καὶ ἑαυτὸν κατακρημνίζει· οὕτω δὴ καὶ ἡ προαίρεσις ἡ ἡμετέρα, ἐπειδὰν μὴ εἰδῇ τοῖς μέλεσι δεόντως κεχρῆσθαι, ταῖς ἀτάκτοις ἐπιθυμίαις ἐνδοῦσα ὑποβρύχιον ἑαυτὴν ἐργάζεται. διὰ τοῦτο ὁ δεσπότης ἡμῶν Χριστὸς εἰδὼς τῆς φύσεως ἡμῶν τὸ εὐεπηρέαστον, καὶ τῆς προαιρέσεως τὴν ῥᾳθυμίαν, νόμον ἔθηκεν ἀποτειχίζοντα καὶ κωλύοντα τὴν περίεργον θεωρίαν, ἵνα ἐκ πολλοῦ τοῦ διαστήματος τὴν ἐν ἡμῖν τικτομένην πυρὰν σβέσῃ, καί φησιν· Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. διὰ τοῦτό, φησίν, ἀπαγορεύω τὴν ἀκόλαστον ὄψιν, ἵνα ἐλευθερώσω τῆς ἀτόπου πράξεως. μὴ γὰρ δὴ νομίσῃς, φησίν, ὅτι ἡ συμπλοκὴ μόνον τὴν ἁμαρτίαν ἐργάζεται. ἡ γὰρ γνώμη ἐστὶν ἡ τὴν κατάκρισιν δεχομένη. καὶ οὗτοι τοίνυν, ἐπειδὴ τὸ κάλλος εἴδεσαν, ἑάλωσαν τῇ θέᾳ. εἶδον γάρ, φησιν, ὅτι καλαί εἰσι, καὶ ἔλαβον ἑαυτοῖς ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. ἀλλʼ ἴδωμεν καὶ μετὰ τὴν ἄτοπον ταύτην πρᾶξιν καὶ τὴν ἀκόλαστον γνώμην, * τοῦ θεοῦ τὴν ἀγαθότητα.

Ματθ. ε. κη.

ἰδόντες,

καὶ

3 Καὶ εἶπε, φησι, κύριος ὁ θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν, ἔτη ἑκατὸν εἴκοσιν.

Ἄβυσσον φιλανθρωπίας ἐστὶν ἰδεῖν ἐν τοῖς βραχέσι τούτοις ῥήμασι, καὶ εἶπε κύριος ὁ θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. τὸ πνεῦμα ἐνταῦθα τὴν προνοητικὴν αὐτοῦ δύναμιν ἐκάλεσε, τὴν ἀπώλειαν αὐτῶν ἤδη προμηνύων. καὶ ἵνα μάθῃς ὅτι περὶ τούτου ἦν ὁ λόγος, ὅρα τὸ ἐπαγόμενον. διὰ τὸ εἶναι αὐτούς, φησι, σάρκας· τουτέστι, διὰ τὸ σαρκικαῖς πράξεσιν αὐτοὺς καταδαπανᾶσθαι, καὶ μὴ εἰς δέον κεχρῆσθαι τῇ τῆς ψυχῆς οὐσίᾳ, ἀλλʼ ὡς σάρκα

καταδεδαπανῆσθαι,

μόνην περικειμένους καὶ ψυχῆς ἐρήμους ὄντας, οὕτω τὸν ἑαυτῶν βίον καταναλίσκειν. ἔθος γὰρ ἀεὶ τῇ θείᾳ γραφῇ σάρκα τοὺς σαρκικοὺς καλεῖν, ὥσπερ τοὺς ἐναρέτους ἀσάρκους ὀνομάζειν· καθάπερ ὁ Παῦλός φησιν, Ῥωμ. η. θ. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, οὐκ ἐπειδὴ σάρκα οὐ περιέκειντο, ἀλλ' ἐπειδὴ σάρκα περικείμενοι ἀνώτεροι τῶν σαρκικῶν ἦσαν φρονημάτων." ὥσπερ οὖν καὶ τοῖσδε, γρ. ὥσπερ καὶ τοῖς, διὰ τὸ ὑπερορᾶν τῶν σαρκικῶν, ἔλεγεν, ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, οὕτω καὶ ἐπὶ τούτων, ἐπειδὴ περὶ τὰς σαρκικὰς πράξεις διηνεκῶς ἦσαν ἠσχολημένοι, σάρκας αὐτοὺς ἐκάλεσε. διὰ τὸ εἶναι αὐτοὺς σάρκας, οὐκ ἔτι συγχωρήσω ταῖς ἁμαρτίαις αὐτοὺς καταρρυπαίνεσθαι. εἶδες ἀγανακτήσεως μέγεθος, εἶδες ἀπειλῆς ὑπερβολήν. σκόπει πῶς τῇ ἀπειλῇ καὶ τῇ ἀγανακτήσει τὴν φιλανθρωπίαν" ἐπέμιξε. γρ. ἔμιξε. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος. ἀπειλεῖ πολλάκις, οὐχ ἵνα εἰς ἔργον ἀγάγῃ τὴν ἀπειλήν, ἀλλ' ἵνα διορθωσάμενος αὐτοὺς μηκέτι τὴν ἀπειλὴν εἰς ἔργον ἐξενέγκῃ. εἰ γὰρ ἐβούλετο τιμωρήσασθαι, τίνος ἕνεκεν καὶ προέλεγεν; ἀλλ' ἐπειδὴ μὴ βούλεται, διὰ τοῦτο ἀεὶ μέλλει καὶ ἀναβάλλεται καὶ προλέγει, ἀφορμὴν παρέχων τοῖς ὑπευθύνοις φυγεῖν μὲν τὴν κακίαν, ἐλέσθαι δὲ τὴν ἀρετήν, καὶ τῆς τιμωρίας τὴν πεῖραν διαφυγεῖν. ἐπεὶ οὖν ἠπείλησε πανωλεθρίᾳ αὐτοὺς παραδώσειν (τοῦτο γάρ ἐστι τό, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἀντὶ τοῦ, οὐκ ἐάσω αὐτοὺς λοιπὸν ζῆν) οὐκ ἀρκεσθεὶς τῇ τῶν πεντακοσίων ἐτῶν μακροθυμίᾳ, ἣν διὰ πάσης τῆς ζωῆς τοῦ Νῶε διὰ τῆς προσηγορίας ἐπαιδεύοντο, νῦν πάλιν ἐπιτείνων τὴν" γρ. ἀγανάκτησιν, μακροθυμίαν, ἑτέραν αὐτοῖς προθεσμίαν ὁρίζει καί φησιν· ἠπειλησάμην καὶ εἶπον καὶ δήλην ἐποίησα τὴν ἐμὴν ἀγανάκτησιν, ἣν διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων τῶν εἰργασμένων ὑμῖν ἐπαχθῆναι ὑμῖν ἐστιν ἀκόλουθον· ἀλλ' ἐπειδὴ καὶ τοὺς τὰ ἀνίατα ἡμαρτηκότας σωθῆναι βούλομαι καὶ μηδένα ἀπόλλυσθαι, διὰ τοῦτο καὶ ἑκατὸν εἴκοσιν ἐτῶν χρόνον πάλιν ἐνδίδωμι, ἵνα, εἰ βούλεσθε, καὶ τὰ ἡμαρτημένα ἀπονίψασθε διὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς, καὶ τὴν ἀρετὴν" ἑλόμενοι, ἴσ. ἑλῶσι, τῆς τιμωρίας τὴν πεῖραν ἐκφύγητε. ἔσονται γάρ, φησιν, αἱ ἡμέραι αὐτῶν, ἔτη ἑκατὸν εἴκοσιν.

4 Οἱ δὲ γίγαντές, φησίν, ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ μετ' ἐκεῖνα, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς. ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

Γίγαντας ἐνταῦθα τοὺς ἰσχυροὺς τὸ σῶμα οἶμαι λέγειν τὴν θείαν γραφήν. ἐξ ἐκείνων, φησίν, ἡ γενεὰ αὐτῶν ηὐξήθη. καὶ γὰρ καὶ ἀλλαχοῦ ἐστιν ἰδεῖν τοῦτο εἰρημένον. Ἡσ. ιγ. γ. Γίγαντες γάρ, φησιν, ἔρχονται τὸν θυμόν μου παῦσαι. τοῦτον δὲ τὸν τῶν ἑκατὸν εἴκοσιν ἐτῶν ἀριθμόν τινες νομίζουσι τὸν ὅρον τῆς ζωῆς εἶναι· οὐ τοῦτο δὲ σημαίνει, ἀλλὰ τέως τὴν μακροθυμίαν ἐνδείξασθαι βούλεται, ἣν καὶ μετὰ τοσαῦτα ἁμαρτήματα ἐπὶ αὐτοὺς ἐπιδείκνυται. ἵν' οὖν μάθωμεν, καὶ μετὰ τὴν ἀγανάκτησιν καὶ τὴν ἀπειλὴν καὶ τὴν τοσαύτην τοῦ χρόνου μακροθυμίαν, ἣν εἰς μετάνοιαν αὐτοῖς δέδωκεν, ὡς οὐ μόνον οὐδὲν ἐκέρδανον, ἀλλὰ καὶ τοῖς αὐτοῖς ἐπέμενον, διὰ τοῦτό φησιν· ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς. ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. εἶδες ἀγνωμοσύνης ὑπερβολήν, εἶδες ψυχὴν ἀνάλγητον. οὔτε ὁ τῆς τιμωρίας φόβος, οὔτε ὁ τῆς μακροθυμίας χρόνος ἀπέστησεν αὐτοὺς τῶν πονηρῶν πράξεων, ἀλλὰ ἅπαξ κατὰ κρημνῶν κατενεχθέντες, καὶ τὸ τῆς διανοίας ὄμμα πηρωθέντες, οὐκ ἔτι λοιπὸν καθάπερ ὑπὸ μέθης τινός, τῆς πονηρᾶς ἐπιθυμίας καταβαπτισθέντες ἀνενεγκεῖν ἠβουλήθησαν· καθάπερ καὶ σοφός τις φησιν, Παροιμ. ιη. γ. Ἀσεβὴς ἐμπεσὼν εἰς βάθος κακῶν καταφρονεῖ. δεινὸν γάρ, δεινόν, ἀγαπητέ, ἁλῶναι ταῖς τοῦ διαβόλου παγίσιν. ἡ γὰρ ψυχὴ λοιπὸν, καθάπερ ἐν δικτύοις ἀπειλημμένη, καὶ ὥσπερ ὗς ἐγκυλιομένη βορβόρῳ ἥδεται, οὕτω καὶ αὐτὴ ὑπὸ τῆς κακῆς συνηθείας καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, ὥστε μηδεμίαν τῷ πονηρῷ δαίμονι παρὰ τὴν ἀρχὴν εἴσοδον παρασχεῖν, ἵνα μὴ σκοτώσας ἡμῶν τὸν λογισμὸν, καὶ τὸ διορατικὸν τῆς διανοίας ἀποτυφλώσας, παρασκευάσῃ καθάπερ ἀπεστερημένους τοῦ ἡλιακοῦ τούτου φωτὸς, καὶ πρὸς τὰς ἀκτῖνας τοῦ τῆς δικαιοσύνης ἡλίου ὁρᾶν μὴ δυναμένους κατὰ κρημνῶν φέρεσθαι, ὅπερ καὶ οὗτοι τότε πεπόνθασιν. ἄκουε γὰρ πάλιν τῆς τοῦ θεοῦ ἀγαθότητος τὴν ἀνεξικακίαν.

5 Ἰδὼν δέ, φησι, κύριος ὁ θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς.

Τί βούλεται τὸ εἰρημένον, ἰδὼν δέ; οὐκ ἐπειδὴ ἠγνόει ὁ δεσπότης (μὴ γένοιτο) ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν ἅπαντα διηγεῖται ἡ θεία γραφή. ἵνα γὰρ ἡμᾶς διδάξῃ, ὅτι καὶ μετὰ τὴν τοσαύτην αὐτοῦ μακροθυμίαν τοῖς αὐτοῖς ἐπέμενον, ἢ καὶ χείροσι προσέβαλλον ἑαυτοὺς κακοῖς, φησιν, ἰδὼν δὲ ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. ἐκ γὰρ τῆς πονηρᾶς πράξεως ταύτης, καθάπερ ἀπὸ πηγῆς τινος, καὶ ἕτερα πολλὰ αὐτοῖς ἐτίκτετο ἁμαρτήματα. διὰ τοῦτό φησιν, αἱ κακίαι τῶν ἀνθρώπων. ὅπου γὰρ πορνεία καὶ ἀσέλγεια καὶ τοσαύτη ἀκολασία, εἰκὸς καὶ μέθην καὶ παροινίαν, καὶ πολλὴν ἀδικίαν καὶ πλεονεξίαν καὶ τὰ μυρία τίκτεσθαι κακά.

Ἰδὼν δέ, φησι, κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας.

Ὅρα πῶς ἕκαστον τῶν εἰρημένων δείκνυσι τὸ μέγεθος [αὐτῶν] τῶν ἡμαρτημένων. ἐπειδὴ γὰρ εἶπε καθολικῶς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπήγαγε, καὶ πᾶς τις. μεγάλη τοῦ ῥήματος ἡ ἔμφασις. οὐχ ὁ νέος, φησὶν, ἀλλὰ καὶ ὁ πρεσβύτης τὰ αὐτὰ τῷ νέῳ διαπράττεται· οὐδὲ ἀνὴρ μόνον, ἀλλὰ καὶ γυνή· οὐ δοῦλος, ἀλλὰ καὶ ἐλεύθερος· οὐ πλούσιος, ἀλλὰ καὶ πένης. καὶ τὸ, διανοεῖται, πολλὴν ἔχει τὴν δύναμιν. οὐ γὰρ ἐκ συναρπαγῆς τοῦτο ὑπομένουσιν, ἀλλ' ἐν τῇ καρδίᾳ διανοούμενοι καὶ ταῦτα καθ' ἑκάστην ὥραν βουλευόμενοι, καὶ ἐν τούτοις τὴν σπουδὴν ἔχοντες, καὶ οὐδὲ ἁπλῶς καὶ ὡς ἔτυχεν ἅπαξ καὶ δεύτερον ὑποσκελισθέντες ὑπὸ τῆς ἁμαρτίας ἵστανται τῆς κακίας, ἀλλ' ἐπιμελῶς ταύτην μετέρχονται, καὶ τὰ πονηρὰ διαπράττονται· τοῦτ' ἔστι, μετὰ πολλῆς τῆς σπουδῆς· οὐδὲν παρέργως, οὐδὲν ἠμελημένως ὑπ' αὐτῶν γίνεται, οὐδὲ πρὸς βραχὺν χρόνον, ἀλλὰ πάσας τὰς ἡμέρας, πᾶσαν αὐτῶν τὴν ζωὴν εἰς τοῦτο καταναλίσκουσιν. εἶδες πονηρίας ἐπίτασιν, εἶδες πῶς μελέτην τὸ πρᾶγμα ἐποιοῦντο, ἐπιμελῶς ἅπαντα τὰ πονηρὰ διαπραττόμενοι. καὶ πᾶσα ἡλικία πρὸς τὴν τῆς κακίας ἐργασίαν ηὐτομόλει. πᾶς τις, φησι, οὐδὲ ἡ ἄωρος ἡλικία οὐδὲ ἡ ἀπειρόκακος ἄμοιρος ἦν, ἀλλ' εὐθέως καὶ ἐκ προοιμίων τὴν κακὴν ταύτην ἅμιλλαν πάντες ἐποιοῦντο, ἕκαστος τὸν πλησίον ὑπερβάλλεσθαι φιλονεικῶν τῇ τῶν πράξεων παρανομίᾳ. ἐννόει γάρ μοι ἐνταῦθα τῶν δικαίου τὴν ὑπερβάλλουσαν σοφίαν, ὅτι ἐν τοσαύτῃ κακῶν συμφωνίᾳ ἴσχυσε τὴν λύμην διαφυγεῖν καὶ μηδεμίαν ἐντεῦθεν δέξασθαι βλάβην, ἀλλὰ καθάπερ ἐξ ἑτέρας φύσεως συγκείμενος, οὕτως ἐρρωμένον φρόνημα ἀναλαβὼν, καὶ οἴκοθεν ἐπὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν σπεύσας, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διέφυγε, καὶ τῆς κατὰ πάντων ἐνεχθείσης πανωλεθρίας ἐκτὸς γέγονε.

6 Καὶ ἐνεθυμήθη, φησί, κύριος ὁ θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.

Ὅρα πάλιν λέξεως παχύτητα, καὶ συγκατάβασιν. ἐνεθυμήθη φησὶν, ἀντὶ τοῦ, μετεμελήθη· οὐκ ἐπειδὴ μεταμελεῖται θεὸς (μὴ γένοιτο) ἀλλὰ κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην ἡμῖν διαλέγεται ἡ θεία γραφή, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ἡ ὑπερβολὴ τῶν ἡμαρτημένων αὐτοῖς εἰς τοσαύτην ἀγανάκτησιν τὸν φιλάνθρωπον θεὸν ἤγαγε. καὶ ἐνεθυμήθη, φησί, κύριος ὁ θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς. μὴ γὰρ διὰ τοῦτό, φησιν, αὐτὸν παρήγαγον, ἵνα εἰς τοσοῦτον ὄλεθρον κατενεχθεὶς ἀπωλείας ἑαυτῷ αἴτιος καταστῇ; διὰ τοῦτο ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτης ἠξίωσα αὐτὸν τῆς τιμῆς καὶ τοσαύτην περὶ αὐτὸν τὴν πρόνοιαν ἐπεδειξάμην, ἵνα τὴν ἀρετὴν ἑλόμενος ἐκτὸς τῆς ἀπωλείας γένηται). ἐπειδὴ δὲ οὐκ εἰς δέον ἐχρήσατο τῇ φιλανθρωπίᾳ τῇ ἐμῇ, βέλτιον λοιπὸν ἐκκόψαι αὐτοῦ τὴν κακὴν ἐπιχείρησιν. καὶ διενοήθη, καὶ εἶπε κύριος ὁ θεός, Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου [πάσης] τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς. τὰ παρ᾽ ἐμαυτοῦ πάντα, φησίν, ἐπεδειξάμην. ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγον, τὴν γνῶσιν τῶν πρακτέων καὶ μὴ πρακτέων ″ ἐνέθηκα τῇ φύσει, τὸ αὐτεξούσιον ἐδωρησάμην, ἀφάτῳ τῇ μακροθυμίᾳ ἐχρησάμην· καὶ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον, καὶ τὴν ἀγανάκτησιν, καὶ τὴν ἀπειλήν, ἣν εἶπον, καὶ ἑτέραν προθεσμίαν ὥρισα, βουλόμενος εἰς αἴσθησιν αὐτοὺς ἐλθόντας τῶν οἰκείων ″ πλασμάτων ἀνακαλέσασθαι τὴν ἐμὴν ἀγανάκτησιν. ἐπειδὴ δὲ οὐδὲ οὕτως ἐκέρδαινόν τι πλέον, ἀνάγκη τὴν ἀπειλὴν εἰς ἔργον ἐξαγαγεῖν καὶ παντελῆ ἐξάλειψιν αὐτῶν ἐργάσασθαι, καὶ καθάπερ ζύμην τινὰ πονηρὰν ἀφανίσαι τούτων τὸ γένος, ἵνα μὴ καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς τῆς κακίας διδάσκαλοι γένωνται.

γρ. ἐγκατέθηκα

γρ. ἁμαρτημάτων

7 Καὶ εἶπε κύριος ὁ θεός, ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Ἀλλ᾽ ἴσως εἴποι τις ἄν, τίνος ἕνεκεν, τοῦ ἀνθρώπου πρὸς κακίαν ἀποκλίναντος, καὶ τὰ ἄλογα τὴν αὐτὴν αὐτῷ τιμωρίαν ὑπομένει; μὴ γὰρ διὰ τὴν ἑαυτῶν χρείαν τὰ ἄλογα γέγονε; διὰ τὸν ἄνθρωπον ταῦτα παρήχθη. τούτου τοίνυν ἐκ τοῦ μέσου ″ αἰρομένου, ποία ἐκείνων λοιπὸν χρεία γένοιτ᾽ ἄν; διὰ τοῦτο οὖν καὶ ταῦτα κοινωνεῖ τῆς τιμωρίας, ἵνα μάθητε τῆς ἀγανακτήσεως τὴν ὑπερβολήν· καὶ καθάπερ ἐξ ἀρχῆς τοῦ πρωτοπλάστου ἁμαρτόντος, ἡ γῆ τὴν κατάραν ἐδέξατο, οὕτω καὶ νῦν, τοῦ ἀνθρώπου μέλλοντος ἀφανίζεσθαι, καὶ τὰ ἄλογα κοινωνεῖ τῆς τιμωρίας. ὥσπερ δὲ εὐδοκιμοῦντος τοῦ ἀνθρώπου καὶ ἡ κτίσις κοινωνεῖ τῇ τοῦ ἀνθρώπου εὐημερίᾳ (καθάπερ καὶ Παῦλός φησιν, Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τῆς δόξης τοῦ θεοῦ) οὕτω καὶ νῦν διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων μέλλοντος τούτου κολάζεσθαι καὶ πανωλεθρίᾳ παραδίδοσθαι, καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ συναπολαύει τοῦ κλυδωνίου, τοῦ πᾶσαν τὴν οἰκουμένην καταλαμβάνειν μέλλοντος. καὶ καθάπερ ἐν οἰκίᾳ τοῦ προεστῶτος ὑπὸ τὴν δεσποτικὴν ἀγανάκτησιν γεγονότος, καὶ τοὺς συνυπηρετοῦντας πάντας εἰκὸς κοινωνεῖν τῆς κατηφείας· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα, καθάπερ ἐν οἰκίᾳ τῶν ἀνθρώπων ἀπολλυμένων, ἅπαντα τὰ ἐν τῇ οἰκίᾳ καὶ τὰ ὑπὸ τὴν τούτου δεσποτείαν τυγχάνοντα ἀνάγκη ὑπὸ τὴν αὐτὴν τιμωρίαν * πεσεῖν.

Ῥωμ. η. κα.

γρ. αἰρομένου

* αὐτοῦ

Καὶ ἐνεθυμήθην, φησίν, ὅτι ἐποίησα αὐτούς.

Πόσης συγκαταβάσεως τουτὶ πεπλήρωται τὸ ῥῆμα; μὴ γὰρ ἐβουλόμην, φησί, τοσαύτῃ τιμωρίᾳ αὐτοὺς περιβαλεῖν; αὐτοί με τῇ ὑπερβολῇ τῆς παρανομίας εἰς ταύτην ἐξήνεγκαν τὴν ἀγανάκτησιν. εἶτα ἵνα μὴ νομίζωμεν ἀφανισμὸν παντελῆ τοῦ τῶν ἀνθρώπων γίνεσθαι ἡμᾶς, μηδὲ πρόρριζον τὴν ἡμετέραν φύσιν ἀφανίζεσθαι, ἀλλὰ μάθωμεν ὅσον κακὸν ἁμαρτία, καὶ ὅσον ἀγαθὸν ἀρετή, καὶ ὅτι Κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι, φησί·

Σειρ. ιϛ. δ.

8 Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ.

Εἰ καὶ τὸ πλῆθος ἅπαν, φησί, πρὸς τοσαύτην κακίαν ἐξώκειλεν, ἀλλ' ὁ δίκαιος οὗτος τὸν ἀνθηρὸν τῆς ἀρετῆς διετήρησεν, ὁμοῦ καὶ τούτοις ἅπασι διὰ παντὸς τοῦ χρόνου διαλεγόμενος, καὶ παραινῶν ἀπαλλαγῆναι τῆς κακίας, καὶ ἑαυτὸν τῆς ἀπ' αὐτῶν λύμης ἐλεύθερον καθιστάς· καὶ ὥσπερ οὗτοι διὰ τῶν πονηρῶν πράξεων εἰς ἀγανάκτησιν τὸν φιλάνθρωπον θεὸν ἐπεσπάσαντο, οὕτω καὶ οὗτος τὴν ἀρετὴν ἑλόμενος, χάριν εὗρεν ἐναντίον κυρίου τοῦ θεοῦ. οὐ γάρ ἐστι προσωπολήπτης ὁ θεός, ἀλλὰ κἂν ἕνα εὕρῃ ἐν τοσούτῳ πλήθει τὰ αὐτῷ δοκοῦντα διαπραττόμενον, οὐ περιορᾷ, ἀλλὰ τῆς οἰκείας αὐτὸν ἀξιοῖ προνοίας· καὶ ταύτῃ μᾶλλον πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται, ὅσῳ καὶ τοσούτων ὄντων τῶν ἐπὶ τὴν κακίαν ἑλκόντων, τὴν τῆς ἀρετῆς αὐτὸς ὁδὸν εἵλετο.

ΗΘΙΚΟΝ

Ἃ δὴ γινώσκοντες, πρὸς ἓν μόνον ὁρῶμεν τὸ αὐτῷ δοκοῦν, καὶ τὸ ποιοῦν ἡμᾶς τὴν ἐκεῖθεν εὔνοιαν ἐπισπάσασθαι· καὶ μήτε φιλίᾳ χαριζόμενοι, μήτε συνηθείᾳ τινὶ δουλεύοντες ἀμελῶμεν τῆς κατὰ θεὸν ἀρετῆς, ἀλλὰ τῇ τοῦ θεοῦ μακροθυμίᾳ εἰς δέον χρησώμεθα, καὶ ὡς ἔτι καιρὸν ἔχομεν, πᾶσαν ῥαθυμίαν ἀποθέμενοι ποθήσωμεν τὴν ἀρετήν, μισήσωμεν τὴν κακίαν. ἐὰν γὰρ μὴ καὶ πρὸς ταύτην πόθῳ καὶ ἐπιθυμίᾳ μετέλθωμεν, καὶ πρὸς ἐκείνην μῖσος πολὺ κινησώμεθα, οὔτε ἐκείνης τὴν λύμην διαφυγεῖν δυνησόμεθα, οὐδὲ ταύτης ἐπιλαβέσθαι. ὅτι γὰρ ἐπιθυμούντων χρείαν ἔχει ἡ ἀρετὴ καὶ ἐκκαιομένων εἰς τὸν περὶ αὐτῆς πόθον, ἄκουε τοῦ προφήτου λέγοντος· Τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητά, ἀλλ' ἐπειδὴ τούτων τῶν ὑλῶν οὐκ ἔστιν ἕτερα εὑρεθῆναι παρ' ἡμῖν τιμιώτερα. διὸ καὶ ἐπήγαγε, Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ ἐνταῦθα πάλιν, ἐπειδὴ μὴ εἶχε φύσιν εὑρεῖν τοῦ μέλιτος γλυκυτέραν, ταύτῃ ἐχρήσατο τῇ εἰκόνι. καθάπερ οὖν οἱ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες, ἐπιθυμίᾳ τινὶ καὶ πόθῳ, ἐπὶ τούτῳ πᾶσαν τὴν ὁρμὴν ἔχειν σπουδάζουσι, καὶ οὐδέποτε κόρον λαμβάνουσι (μέθη γὰρ ἀκόρεστός ἐστιν ἡ φιλαργυρία) καὶ καθάπερ οἱ μεθύοντες ὅσῳ ἂν πλείονα τὸν ἄκρατον ἑαυτοῖς ἐγχέωσι, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται· οὕτω δὴ καὶ οὗτοι τὴν μανίαν ταύτην τὴν ἀκάθεκτον οὐδέποτε στῆσαι δύνανται, ἀλλ' ὅσῳ ἂν αὐξανομένην ἴδωσιν ἑαυτοῖς τὴν περιουσίαν, τοσούτῳ μᾶλλον καὶ τὴν ἐπιθυμίαν ἀνάπτουσι, καὶ οὐ πρότερον λήγουσι τῆς πονηρᾶς ταύτης ὀρέξεως, μέχρις ἂν εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατενεχθῶσιν. εἰ τοίνυν οὗτοι τὴν ὀλέθριον ταύτην ἐπιθυμίαν καὶ πάντων τῶν κακῶν αἰτίαν γενομένην μετὰ τοσούτου ἐπιδείκνυνται τοῦ τόνου· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τὰ κρίματα κυρίου, τὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν τυγχάνοντα τιμιώτερα, ταῦτα δι' ὅλου στρέφειν ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, καὶ μηδὲν τῆς ἀρετῆς ἡγεῖσθαι προτιμότερον, ἀλλὰ καὶ τὰ ὀλέθρια ταῦτα πάθη ἐκτέμνειν τῆς ἑαυτῶν ψυχῆς, καὶ εἰδέναι, ὅτι ἡ πρόσκαιρος αὕτη ἡδονὴ ὀδύνην τίκτειν εἴωθε διηνεκῆ καὶ βάσανον πέρας οὐκ ἔχουσαν, καὶ μὴ ἀπατᾶν ἑαυτούς, μηδὲ νομίζειν, ὅτι μέχρι τοῦ παρόντος βίου ἵσταται τὰ ἡμέτερα. εἰ γὰρ καὶ μὴ τοῖς ῥήμασι ταῦτα φθέγγονται οἱ πολλοί, ἀλλὰ καὶ πιστεύειν λέγουσι τῷ τῆς ἀναστάσεως λόγῳ καὶ τῇ τῶν μελλόντων ἀντιδόσει, ἀλλ' ἐγὼ οὐ τοῖς ῥήμασι προσέχω, ἀλλὰ τοῖς καθ' ἑκάστην ἡμέραν γινομένοις. εἰ γὰρ ἀνάστασιν προσδοκᾷς καὶ ἀντίδοσιν, τίνος ἕνεκεν οὕτω περὶ τὴν τοῦ πα-

Ψαλ. ιη. ι.

πόθον καὶ ἐ-
υμίαν ἀκα-
ετον λά-
μεν,

τῷτο

ἐκχέωσι,

ρόντος βίου δόξαν ἐπλούτησαι; τίνος ἕνεκεν, εἰπέ μοι, κόπτεις σαυτὸν καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τὴν ἄμμον τὰ χρήματα συλλέγων, καὶ ἀγροὺς καὶ οἰκίας καὶ βαλανεῖα ὠνούμενος, πολλάκις δὲ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ταῦτα περιβαλλόμενος, καὶ πληρῶν ἐκεῖνο τὸ παρὰ τοῦ προφήτου εἰρημένον· Ουαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι; ἢ οὐχὶ ταῦτά ἐστι καθ' ἑκάστην ἡμέραν ἰδεῖν γινόμενα, καὶ ὁ μέν φησιν, ἐπισκοτεῖ μοι τοῦ δεῖνος ἡ οἰκία, καὶ μυρίας προφάσεις ἐπινοεῖ, ἵνα ταύτην ἀφέληται· ἕτερος δὲ τὸν ἀγρὸν τοῦ πένητος λαβὼν συνῆψε τῷ ἑαυτοῦ. καὶ τὸ δὴ μεῖζον καὶ καινὸν καὶ ξένον, καὶ οὐδὲ συγγνώμην ἔχον, ὅτι ἐν ἑνὶ τόπῳ αὐτὸς καθήμενος, καὶ πολλάκις, οὐδὲ θέλων, ἑτέρωθι διαβῆναι δυνάμενος, ἢ διὰ ἑτέραν τινὰ πραγμάτων περίστασιν, ἢ καὶ ὑπὸ τῆς τοῦ σώματος ἀρρωστίας πεπεδημένος, πανταχοῦ καὶ ἐν πάσαις, ὡς εἰπεῖν, ταῖς πόλεσι βούλεται ὑπομνήματα τῆς οἰκείας πλεονεξίας κεκτῆσθαι, καὶ στήλας ἀθανάτους τῆς οἰκείας κακίας παρὰ πᾶσιν ἔχειν. καὶ τὰ μὲν ἁμαρτήματα, ἐξ ὧν ἅπαντα ταῦτα "συνελέγη, τῇ οἰκείᾳ ἐπιτίθησι κεφαλῇ, καὶ φορτίον βαρὺ καὶ δυσβάστακτον ἐπιφερόμενος οὐκ αἰσθάνεται· τὴν δὲ ἐκ τούτων ἀπόλαυσιν ἑτέροις παραχωρεῖ, οὐ μετὰ τὴν τῆς ζωῆς μετάστασιν μόνον, ἀλλὰ καὶ πρὸ τῆς ἐντεῦθεν ἐξόδου. κἂν γὰρ μὴ ἄκων αὐτῶν γυμνωθῇ, ὑπὸ τῶν ᾠκειωμένων διαρπάζεται, ὡς εἰπεῖν, καὶ διασπαράττεται ἅπαντα ταῦτα, καὶ οὐδὲ τοῦ πολλοστοῦ αὐτῶν μέρους ἐν ἀπολαύσει γίνεται. τί δὲ λέγω ἐν ἀπολαύσει; ἂν γὰρ * βουληθῇ, πῶς "ἀρκέσαι μίαν ἔχων γαστέρα πρὸς τοσοῦτον πλῆθος χρημάτων; ἀλλὰ τῶν κακῶν ἁπάντων τὸ αἴτιον ἡ κενοδοξία, καὶ τὸ βούλεσθαι τὴν προσηγορίαν ἐπικεῖσθαι τὴν ἑαυτοῦ τοῖς ἀγροῖς, τοῖς βαλανείοις, ταῖς οἰκίαις. τί σοι τὸ ὄφελος, ἄνθρωπε, ὅταν μετ' οὐ πολὺ πυρετοῦ καταλαβόντος ἀθρόον ἀφιπταμένη ἡ ψυχὴ καταλιμπάνῃ σε ἔρημον καὶ γυμνόν, μᾶλλον δὲ ἀρετῆς μὲν γεγυμνωμένον, περιβεβλημένον δὲ τὰς ἀδικίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τοὺς στεναγμούς, τὸν ὀδυρμόν, τὰ δάκρυα τῶν ὀρφανῶν, τὰς ἐπιβουλάς, τοὺς δόλους; πῶς δυνήσῃ τὰ μεγάλα ταῦτα φορτία τῶν ἁμαρτημάτων ἔχων ἐπικείμενα, τὴν στενὴν πύλην ἐκείνην διαβῆναι, τὴν οὐ δυναμένην δέξασθαι τὸν ὄγκον τοῦ τοσούτου μεγέθους; ἀνάγκη τοίνυν ἔξω μένοντα καὶ ὑπὸ τῶν φορτίων τούτων βαρούμενον ἀνήνυτα μεταγινώσκειν, ἤδη πρὸ τῶν ὀφθαλμῶν τὰ κολαστήρια ὁρῶντα εὐτρεπισμένα, καὶ τὸ πῦρ ἐκεῖνο τὸ φοβερὸν καὶ μηδέποτε σβεννύμενον, καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον. ἀλλ' εἴ τις ἡμῖν λόγος τῆς σωτηρίας τῆς ἡμετέρας, ὡς ἔτι καιρὸν ἔχομεν, ἀποστῶμεν τῆς κακίας, τὴν ἀρετὴν μεταδιώξωμεν, τῆς κενοδοξίας ὑπεριδῶμεν. διὰ τοῦτο γὰρ [καὶ] κενὴ λέγεται, ἐπειδὴ διάκενός ἐστι καὶ οὐδὲν ἔχουσα βέβαιον οὐδὲ μόνιμον, ἀλλ' ἀπάτη μόνον ὀφθαλμῶν τυγχάνει, πρὶν ἢ φανῆναι, ἀφιπταμένη. ἢ οὐχ ὁρῶμεν τὸν σήμερον ὑπὸ τῶν ῥαβδούχων προπεμπόμενον καὶ ὑπὸ τῶν δορυφόρων κυκλούμενον, αὔριον πολλάκις δεσμωτήριον οἰκοῦντα καὶ μετὰ τῶν κακούργων στρεφόμενον; τί ταύτης τῆς κενῆς καὶ ματαίας δόξης ἀπατηλότερον; εἰ δὲ καὶ μὴ ἐν τῷ παρόντι τὰ τῆς μεταβολῆς αὐτὸν ἐκδέξηται, ὁ θάνατος πάντως ἐπελθὼν διέκοψε τὴν εὐημερίαν· καὶ ὁ σήμερον σοβῶν ἐπὶ τῆς ἀγορᾶς, καὶ εἰς δεσμωτήριον ἐμβάλλων, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, καὶ μεγάλα φυσῶν, καὶ τοὺς ἅπαντας ἀνθρώπους ὡς σκιὰς ὁρῶν, ἀθρόον τῇ ἑξῆς κεῖται νεκρός, ἄπνους, δυσωδίας ἐμπεπλησμένος, μυρίαις κατηγορίαις βαλλόμενος ὑπὸ τῶν ἀδικηθέντων, ὑπὸ τῶν μηδὲν ἀδικηθέντων, συναλγούντων δὲ τοῖς ἀδικηθεῖσι. τί τοῦ τοιούτου ἐλεεινότερον γένοιτ' ἄν; καὶ τὰ μὲν συλλεγέντα ἅπαντα πολλάκις ἐχθροὶ καὶ πολέμιοι πρὸς ἀλλήλους διενείμαντο· τὰ δὲ ἐκ τούτων ἐπισωρευθέντα αὐτῷ ἁμαρτήματα λαβὼν ἄπεισι, τὰ ὑ-

Ἡσ. ε. η.

χ. συλλέγη,

* ἐντρυφῆσαι χ. ἀρκέσει

χ. βαρυνόμενον

πέρ

περ τούτων ἀπολογίας μετὰ πολλῆς ἀπαιτούμενος τῆς ἀκριβείας. διὸ παρακαλῶ, ″ φυγόντες τὴν κενὴν ταύτην δόξαν, τὴν ἀληθῆ ποθήσωμεν καὶ διαιωνίζουσαν, καὶ μήτε χρημάτων ἔρως ὑμᾶς ὑποσκελιζέτω, μήτε ἐπιθυμίας φλὸξ καταιγνυέτω, μήτε φθόνος καὶ βασκανία τηκέτω, μήτε θυμὸς ἐμπρησμὸν ἡμῖν ἀπεργαζέσθω· ἀλλὰ πάντα ταῦτα τὰ πονηρὰ καὶ ὀλέθρια πάθη τῇ δρόσῳ τοῦ πνεύματος κατασβέσαντες, ὑπερείδωμεν τῶν παρόντων, ποθήσωμεν τὰ μέλλοντα, ἔννοιαν τινὰ λάβωμεν τῆς μελλούσης ἡμέρας, καὶ πολλὴν τοῦ βίου τὴν ἀκρίβειαν ἐπιδειξώμεθα. οὐδὲ γὰρ διὰ τοῦτο εἰς τὸν βίον τοῦτον παρήχθημεν, ἵνα μόνον ἐσθίωμεν καὶ πίνωμεν. οὐ γὰρ τὸ ζῆν διὰ τὸ φαγεῖν καὶ πιεῖν γέγονεν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν καὶ πιεῖν. μὴ τοίνυν ἀντιστρέφωμεν τὴν τάξιν, μήτε, ὡς δι' αὐτὸ γενόμενοι, οὕτω τῇ γαστρὶ δουλεύωμεν καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς, ἀλλὰ τὴν ἐντεῦθεν ἡμῖν τικτομένην βλάβην ἀναλογιζόμενοι καταστέλλωμεν τῆς σαρκὸς τὰ κινήματα, καὶ μὴ ῥᾳθυμῶμεν μηδὲ συγχωρῶμεν αὐτὴν κατεξανίστασθαι τῆς ψυχῆς. εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ, καθάπερ ὑπόπτερος, τὴν οἰκουμένην διαδραμὼν ἅπασαν, καὶ τῶν σωματικῶν ἀναγκῶν ἀνώτερος γεγονώς, καὶ τῶν ἀρρήτων ἐκείνων ῥημάτων ἀκοῦσαι καταξιωθείς, ὧν μέχρι τῆς σήμερον οὐδεὶς ἄλλος ἤκουσε, γράφων ἔλεγεν, Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι· εἰ τοίνυν ἐκεῖνος ὁ τοσαύτης ἀξιωθεὶς χάριτος, μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα ἐδεῖτο τοῦ ὑπωπιάζειν καὶ δουλαγωγεῖν καὶ ὑποτάττειν τῇ τῆς ψυχῆς ἐξουσίᾳ καὶ ὑπὸ τὴν ταύτης ἀρετὴν εἶναι ποιεῖν τοῦ σώματος τὰ σκιρτήματα (ὑπωπιάζει γάρ τις τὸ ″ ἐξαλυσάμενον, καὶ δουλαγωγεῖ τὸ ἀφηνιοῦν) τί ἂν εἴποιμεν ἡμεῖς, οἱ πάντων ἔρημοι τῶν ἀγαθῶν, οἱ φορτίοις ἁμαρτημάτων βεβαρημένοι, καὶ πρὸς τούτοις πολλὴν τὴν ῥᾳθυμίαν ἐπιδεικνύμενοι; μὴ γὰρ ἀνακωχὴν ἔχει ὁ πόλεμος οὗτος; μὴ γὰρ καιρὸν ἐπιθέσεως κέκληται; πάντοτε νήφειν καὶ ἐγρηγορέναι δεῖ, καὶ μηδέποτε ἐν ἀδείᾳ εἶναι· ἐπεὶ μηδὲ ἔστι καιρὸς ὡρισμένος τῆς τοῦ πολεμοῦντος ἡμῖν καὶ ἐπεμβαίνοντος ἐπιθέσεως. ἀεὶ τοίνυν φροντίζωμεν, ἀεὶ μεριμνῶμεν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας, ἵν' οὕτω δυνηθῶμεν καὶ αὐτοὶ ἀνάλωτοι μεῖναι, καὶ τὰς παρὰ τοῦ πολεμίου μηχανὰς διαφυγόντες τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ς. φύγωμεν

κατεξανι-
μένον,

α. Κορ. θ. κζ.

Λόγ. κγ. ΝΩΕ ΔΕ ΕΥΡΕ ΧΑΡΙΝ ΕΝΑΝΤΙΟΝ ΚΥΡΙΟΥ

τοῦ θεοῦ. αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε.

Εἴδετε ἐν τοῖς ἤδη ῥηθεῖσιν, ὅσον τῆς φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος, καὶ πόση αὐτοῦ τῆς ἀνεξικακίας ἡ ὑπερβολή. εἴδετε τῶν τότε ἀνθρώπων τῆς κακίας τὴν ἐπίτασιν. κατεμάθετε ἐν μέσῳ ″ τοσούτῳ πλήθει ὅση τοῦ δικαίου γέγονεν ἡ ἀρετή, καὶ ὅτι οὐδὲν αὐτὸν ἐλυμήνατο οὔτε ἡ συμφωνία ἐκείνων ἐπὶ τὴν κακίαν ῥέπουσα, οὔτε τὸ μόνον ἐν μέσῳ τούτων ἀπειλῆφθαι καὶ τὴν ἐναντίαν ὁδεύειν ὁδόν, ἀλλά, καθάπερ κυβερνήτης ἄριστος, τοὺς τῆς διανοίας οἴακας μετὰ πολλῆς τῆς ἀγρυπνίας μεταχειριζόμενος, οὐκ ″ ἤφιε καταβαπτισθῆναι τὸ σκάφος ὑπὸ τῆς σφοδρότητος τῶν τῆς κακίας κυμάτων, ἀλλ' ἀνώτερος τοῦ χειμῶνος γεγονώς,

Ἴσ. τοσούτου πλήθους

Ἴσ. ἠφίει

καὶ πελάγιος σαλεύων, ὡς ἐν λιμένι καθήμενος, οὕτω τῆς ἀρετῆς τὸ πηδάλιον ἰθύνων, ἐκτὸς ἑαυτὸν κατέστησε τοῦ μέλλοντος κλυδωνίου τοὺς κατὰ τὴν οἰκουμένην ἅπαντας καταλήψεσθαι. τοσοῦτόν ἐστιν ἀρετὴ πρᾶγμα ἀθάνατον καὶ ἀχείρωτον, καὶ οὐκ εἶκον ταῖς τοῦ παρόντος βίου ἀνωμαλίαις, ἀλλ' ὑπεράνω τῶν τῆς κακίας δικτύων ἀφιπταμένη, καθάπερ ἀφ' ὑψηλῆς τινος σκοπιᾶς, οὕτως ἅπαντα τὰ ἀνθρώπινα καθορῶσα, οὐδενὸς ἐπαισθάνεται τῶν τοῖς ἄλλοις λυπηρῶν φαινομένων· ἀλλ' ὥσπερ ὁ ἐπὶ πέτρας τινὸς ὑψηλῆς ἑστὼς καταγελᾷ τῶν κυμάτων, ἐπειδὰν ἴδῃ ταῦτα προσρηγνύμενα μὲν τῇ πέτρᾳ, εἰς ἀφρὸν δὲ εὐθὺς διαλυόμενα· οὕτω δὴ καὶ ὁ τὴν ἀρετὴν μετιὼν ἐν ἀσφαλεῖ χωρίῳ καθεστὼς, οὐδὲν ἀηδὲς ὑπομένει ὑπὸ τῆς τῶν πραγμάτων ταραχῆς, ἀλλ' ἐν ἡσυχίᾳ κάθηται, τῇ τῶν οἰκείων λογισμῶν ἐντρυφῶν γαλήνῃ, καὶ ἐννοῶν ὡς οὐδὲν τῶν ποταμίων ῥευμάτων διενήνοχε τὰ τοῦ παρόντος βίου πράγματα, μετὰ τοσαύτης εὐκολίας καὶ ῥύμης παρατρέχοντα. καθάπερ γάρ ἐστιν ἰδεῖν τὰ τῆς θαλάσσης κύματα νῦν μὲν εἰς ὕψος ἄφατον αἰρόμενα, ἀθρόον δὲ πάλιν ταπεινούμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ τοὺς ἀρετῆς ἀμελοῦντας, καὶ τὴν κακίαν μετιόντας ὁρῶμεν, νῦν μὲν μεγάλα φρονοῦντας, καὶ τὰς ὀφρύας ἀνασπῶντας, καὶ περὶ τὰ τοῦ παρόντος βίου πράγματα ἐπτοημένους, ἀθρόον δὲ ταπεινουμένους καὶ εἰς ἐσχάτην πενίαν ἐλαυνομένους. τούτους γὰρ καὶ ὁ μακάριος Δαβὶδ ὁ προφήτης αἰνιττόμενος ἔλεγε, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. καὶ καλῶς εἶπε, μὴ φοβοῦ, μή σε θορυβείτω, φησὶν, ἡ τοῦ πλούτου περιουσία καὶ ἡ τῆς δόξης περιφάνεια. ὄψει γὰρ μετ' οὐ πολὺ χαμαὶ κείμενον, ἀνενέργητον, νεκρὸν, ἐρριμμένον, σκωλήκων γινόμενον τροφὴν, γυμνὸν τούτων ἁπάντων γινόμενον, καὶ οὐδὲν ὅλως μεθ' ἑαυτοῦ ἀπενεγκεῖν δυνηθέντα, ἀλλ' ἐνταῦθα ἅπαντα καταλιπόντα. μὴ τοίνυν τὰ παρόντα ἰδὼν ἀγωνιάσῃς, μηδὲ μακαρίσῃς τὸν μετὰ βραχὺν χρόνον ἐν ἐρημίᾳ τούτων μέλλοντα γίνεσθαι. τοιοῦτον γὰρ ἡ παροῦσα εὐημερία, καὶ ἡ τοῦ πλούτου φύσις. οὐ συναποδημεῖ τοῖς ἐντεῦθεν μεθισταμένοις, ἀλλ' ἐνταῦθα αὐτὴν ἅπασαν καταλιπόντες, γυμνοὶ καὶ ἔρημοι ἀπίασι, μόνην τὴν κακίαν περιβεβλημένοι, καὶ τὰ ἐκ ταύτης αὐτοῖς συλλεγέντα ἁμαρτημάτων φορτία. ἐπὶ δὲ τῆς ἀρετῆς τοιοῦτον οὐδέν· ἀλλὰ καὶ ἐνταῦθα ἀνωτέρους τῶν ἐπιβουλευόντων καθίστησι, καὶ ἀναλώτους ἐργάζεται, καὶ διηνεκῆ τὴν ἡδονὴν χαρίζεται, καὶ οὐκ ἀφίησι τῆς τῶν πραγμάτων ἀνωμαλίας αἴσθησιν λαβεῖν· καὶ ἐντεῦθεν ἀποδημοῦσι συμμεθίσταται, καὶ τότε μάλιστα, ὅτε χρῄζομεν τῆς παρ' αὐτῆς συμμαχίας, [καὶ] κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πολλὴν ἡμῖν παρέχει τὴν βοήθειαν, ἥμερον ἡμῖν καθιστῶσα τοῦ δικαστοῦ τὸ ὄμμα· καὶ καθάπερ ἐνταῦθα παρόντων τῶν δεινῶν ἀνωτέρους καθίστησι τῶν δεινῶν, οὕτω καὶ ἐν τῷ μέλλοντι ἐξαρπάζει τοὺς αὐτὴν ἐπιφερομένους τῶν κολαστηρίων ἐκείνων· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔτι καὶ τῆς τῶν ἀπορρήτων ἀγαθῶν ἀπολαύσεως πρόξενος ἡμῖν γίνεται. καὶ ἵνα μάθῃς ὅτι ταῦτα οὕτως ἔχει, καὶ οὐχ ἁπλῶς καὶ εἰκῇ ψυχαγωγοῦντες ὑμᾶς τούτοις κεχρήμεθα τοῖς ῥήμασιν, ἐκ τῶν νῦν προκειμένων δεῖξαι πειράσομαι τῇ ὑμετέρᾳ ἀγάπῃ. ὅρα γὰρ, πῶς ὁ θαυμάσιος οὗτος, ὁ Νῶε λέγω, παντὸς τοῦ τῶν ἀνθρώπων γένους εἰς τὴν κατ' αὐτῶν ἀγανάκτησιν ἐκκαλεσαμένου τὸν φιλάνθρωπον δεσπότην, οὗτος διὰ τῆς οἰκείας ἠδυνήθη ἀρετῆς, καὶ τῆς ἀγανακτήσεως τὴν πεῖραν διαφυγεῖν, καὶ πολλὴν τὴν παρ' αὐτοῦ εὔνοιαν ἐφελκύσασθαι. καὶ, εἰ βούλει, πρῶτον περὶ τῶν ἐν τῷ παρόντι βίῳ διαλεχθῶμεν. ἴσως γάρ τινες τοῖς μέλλουσι καὶ μὴ ὁρωμένοις διαπιστοῦσιν. ἴδωμεν τοίνυν ἐκ τῶν ἐνταῦθα γινομένων, τίνα μὲν τοὺς πρὸς τὴν κακίαν αὐτομολήσαντας διεδέξατο, τίνων δὲ ὁ τὴν ἀρετὴν

ψαλ. μη. ιζ.

γρ. [illegible]μενον,

ἑλόμενος

ἐλόμενος ἠξιώθη. ἐπειδὴ γὰρ διὰ τὴν πολλὴν τῆς κακίας ἐπίτασιν ἀπεφήνατο ὁ ἀγαθὸς θεὸς πανωλεθρίᾳ τὸ τῶν ἀνθρώπων γένος καταδικάσειν εἰπών, Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, καὶ δεικνὺς τῆς ἀγανακτήσεως αὐτοῦ τὴν ὑπερβολὴν οὐ κατὰ τοῦ τῶν ἀνθρώπων γένους μόνον τὴν ἀπόφασιν ἐξήνεγκεν, ἀλλὰ καὶ κατὰ πάντων τῶν κτηνῶν καὶ τῶν ἑρπετῶν καὶ τῶν πετεινῶν (τῶν γὰρ ἀνθρώπων, δι᾽ οὓς ταῦτα παρήχθη, ἀπόλλυσθαι μελλόντων καὶ ὑποβρυχίων γίνεσθαι, εἰκότως καὶ ταῦτα τῆς τιμωρείας συναπήλαυσεν) ἐπειδὴ οὖν ἡ ἀπόφασις ἀόριστος ἦν καὶ οὐδεμίαν ἔχουσα διαίρεσιν, ἵνα μάθῃς τὸ ἀπροσωπόληπτον τοῦ θεοῦ, καὶ ὅτι ταῖς καρδίαις ταῖς ὑμετέραις ἐμβατεύων, οὐδένα παρορᾷ, ἀλλὰ κἂν μικράν τινα ἀφορμὴν εὕρῃ παρὰ ἡμῶν εἰσφερομένην, ἄφατον αὐτοῦ ἐπιδείκνυται τὴν φιλανθρωπίαν, φησὶν ἡ γραφή, ἵνα μὴ νομίσωμεν ὅτι παντελὴς ἀφανισμὸς γίνεται τοῦ τῶν ἀνθρώπων γένους, ἀλλὰ γνῶμεν ὅτι διὰ τὴν οἰκείαν αὐτοῦ ἀγαθότητα ἀφίησι σπινθῆρά τινα σώζεσθαι, καὶ ῥίζαν τῷ τῶν ἀνθρώπων γένει, ὥστε πάλιν εἰς μακροὺς ἐκταθῆναι τοὺς κλάδους,

8 Νῶε δὲ εὗρε χάριν ἐναντίον τοῦ θεοῦ.

Σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲ τὴν τυχοῦσαν συλλαβὴν ἔστιν εὑρεῖν ἁπλῶς κειμένην. ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς τὴν ὑπερβολὴν τῆς κακίας τῶν ἀνθρώπων, καὶ τῆς τιμωρείας τὸ μέγεθος τῆς μελλούσης ἐπάγεσθαι τοῖς ταύτης ἐργάταις, διδάσκει ἡμᾶς καὶ τὸν ἐν τοσούτῳ πλήθει δυνηθέντα τὴν ἀρετὴν ἀκέραιον διασῶσαι. ἔστι μὲν γὰρ καὶ καθ᾽ ἑαυτὴν ἡ ἀρετὴ θαυμαστή· ὅταν δὲ καὶ ἐν μέσῳ τῶν κωλυόντων τυγχάνων τις ταύτην μετίῃ, πολλῷ* θαυμαστοτέραν αὐτὴν ἀποφαίνει. διὰ τοῦτο ὥσπερ θαυμάζουσα τὸν δίκαιον ἡ θεία γραφή φησιν, ὅτι μεταξὺ τῶν τοσούτων τῶν διὰ τὴν κακίαν μελλόντων τῆς ἀγανακτήσεως πειρᾶσθαι, Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. εὗρε χάριν, ἀλλ᾽ ἐνώπιον τοῦ θεοῦ. οὐχ ἁπλῶς εὗρε χάριν, ἀλλ᾽ ἐναντίον κυρίου τοῦ θεοῦ· ἵνα ἡμᾶς διδάξῃ, ὅτι ἕνα τοῦτον εἶχε τὸν σκοπόν, ὥστε τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ἐπαινέτην ἔχειν, καὶ οὐδεὶς αὐτῷ λόγος τῆς τῶν ἀνθρώπων δόξης, οὐδὲ τῆς ἀτιμίας καὶ τοῦ γέλωτος. εἰκὸς γὰρ αὐτὸν ἀπ᾽ ἐναντίας ἅπασι τὴν ἀρετὴν μετιέναι βουλόμενον πολλὴν ὑπομένειν τὴν χλεύην καὶ τὸν γέλωτα, πάντων τῶν τὴν κακίαν μετιόντων εἰωθότων ἀεὶ ἐπισκώπτειν τοὺς ταύτην φεύγειν βουλομένους καὶ ἀρετὴν αἱρουμένους· ὅπερ καὶ νῦν πολλάκις γίνεται, καὶ πολλοὺς τῶν ῥαθυμοτέρων ὁρῶμεν μὴ φέροντας τὸν γέλωτα καὶ τὴν χλευασίαν, ἀλλὰ προτιμῶντας τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ἀληθοῦς καὶ ἀεὶ μενούσης, ὑποσυρομένους καὶ συγκατασπωμένους τῇ τῶν ἑτέρων κακίᾳ. ψυχῆς γὰρ ἐστι γενναίας καὶ στερρῷ τῷ φρονήματι κεχρημένης τὸ δυνηθῆναί τι ἀντισχεῖν πρὸς τοὺς διασύρειν βουλομένους, καὶ μὴ πρὸς ἀρέσκειαν τῶν ἀνθρώπων τι διαπράττεσθαι, ἀλλὰ πρὸς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν τείνειν τὸ ὄμμα, καὶ τὴν παρ᾽ ἐκείνου εὐφημίαν μόνον ἀναμένειν, καὶ τούτων ὑπερορᾶν, καὶ μηδὲν ἡγεῖσθαι αὐτῶν τὸν ἔπαινον μήτε τὸν ψόγον, ἀλλὰ καθάπερ σκιὰς καὶ ὀνείρατα παρατρέχειν. καὶ ἐνταῦθα μὲν πολλοὶ πολλάκις τὴν ὕβριν οὐ φέροντες δέκα ἢ εἴκοσι ἀνθρώπων ἢ καὶ ἐλαττόνων ὑπεσκελίσθησαν καὶ κατέπεσον. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν ὑπεριδεῖν τῶν ὀνειδιζόντων καὶ καταγελώντων καὶ κωμῳδεῖν βουλομένων. ἀλλ᾽ ὁ δίκαιος οὗτος οὐχ οὕτως. οὐ μόνον γὰρ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἀνθρώπων, ἀλλὰ καὶ πάσης τῆς τῶν ἀνθρώπων φύσεως καὶ μυριάδων τοσούτων ὑπερεῖδεν. εἰκὸς γὰρ ἅπαντας αὐτοὺς καταγελᾶν, κωμῳδεῖν, χλευάζειν, πολλὴν τὴν παροινίαν περὶ αὐτὸν ἐπιδείκνυσθαι, ἴσως δὲ ἢ καὶ βούλεσθαι διασπᾶν, εἰ οἷόν τε ἦν. πολλὴν γὰρ ἀεὶ τὴν μανίαν ἐπιδείκ-

*μᾶλλον

ς. τοῦ πληθ-

νυται ἡ κακία κατὰ τῆς ἀρετῆς. ἀλλ' οὐ μόνον οὐδὲν αὐτὴν βλάπτει, ἀλλὰ καὶ τὸ "πολεμεῖν ἰσχυροτέραν ταύτην ἀπεργάζεται. ἴσ. τῷ τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχὺς, ὅτι ἐν τῷ πάσχειν τῶν ποιούντων περιγίνεται, καὶ ἐν τῷ πολεμεῖσθαι τῶν πολεμούντων δυνατωτέρα καθίσταται. καὶ τοῦτο ἔνεστι μὲν καὶ ἐκ πολλῶν συνιδεῖν· ἵνα δὲ ἀφορμὰς ὑμῖν παράσχωμεν Παρ. θ. θ. (Δίδου γὰρ, φησὶ, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται) ἀναγκαῖον καὶ ἐκ τῆς παλαιᾶς καὶ ἐκ τῆς καινῆς τὰ παραδείγματα ὑμῖν παραγαγεῖν. ἐννόει μοι τοίνυν τὸν Ἄβελ. οὐχὶ ἀνῃρέθη ὑπὸ τοῦ Κάϊν; οὐχὶ ἐπὶ τοῦ ἐδάφους ἦν ἐρριμμένος; ἀλλὰ μὴ τοῦτο σκόπει ὅτι ἐκράτησε καὶ περιεγένετο, καὶ ἀνεῖλε τὸν φθονούμενον καὶ οὐδὲν ἠδικηκότα, ἀλλὰ τὰ μετὰ ταῦτα λογίζου, ὅτι ὁ μὲν ἀναιρεθεὶς ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνακηρύττεται καὶ στεφανοῦται, καὶ ὁ τοσοῦτος χρόνος τὴν μνήμην οὐκ ἐμάρανεν· ὁ δὲ ἀνελὼν καὶ περιγενόμενος καὶ τότε ζωὴν θανάτου βαρυτέραν ὑπέμεινε, καὶ ἐξ ἐκείνου πάλιν μέχρι τοῦ νῦν οὗτος μὲν στηλιτεύεται καὶ τὰς παρὰ πάντων κατηγορίας δέχεται, ἐκεῖνος δὲ καθ' ἑκάστην ἡμέραν ἐν τοῖς ἁπάντων ᾄδεται στόμασι. καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται; καὶ οἶδα μὲν ὅτι συνετοὶ ὄντες πολλὰ καὶ διάφορα τοιαῦτα ἕτερα εὑρήσετε ἐν ταῖς γραφαῖς κείμενα. διὰ γὰρ τοῦτο γέγραπται * πρὸς ὠφέλειαν τὴν ἡμετέραν, ὥστε ταῦτα μανθάνοντας φεύγειν μὲν τὴν κακίαν, προτιμᾶν δὲ τὴν ἀρετήν. Εἰ δὲ βούλει καὶ ἐν τῇ καινῇ τὸ αὐτὸ τοῦτο ἰδεῖν, Πραξ. ε. μα. ἄκουε τοῦ μακαρίου Λουκᾶ τὸ αὐτὸ τοῦτο διηγουμένου περὶ τῶν ἀποστόλων, ὅτι Μαστιγωθέντες ἀνεχώρουν ἀπὸ τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. καίτοι γε αἱ μάστιγες οὐ χαρᾶς ἦσαν ἀφορμαὶ, ἀλλὰ λύπης καὶ ἀθυμίας· ἀλλ' αἱ διὰ τὸν θεὸν μάστιγες, καὶ ἡ ὑπόθεσις, δι' ἣν ἐμαστίζοντο, τὴν χαρὰν αὐτοῖς ἔτικτε. καὶ οἱ μὲν μαστιγώσαντες ἐν ἀπορίᾳ πολλῇ καὶ ἀμηχανίᾳ καθειστήκεσαν, οὐκ εἰδότες ὅ,τι καὶ πράξωσιν. ἄκουε γὰρ αὐτῶν Πραξ. δ. ις. καὶ μετὰ τὰς μάστιγας διαπορούντων καὶ λεγόντων, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; τί λέγεις; ἐμαστίξατε, μυρία κακὰ διεθήκατε, καὶ ἔτι ἀπορεῖτε; τοσοῦτόν ἐστιν ἰσχυρὸν πρᾶγμα καὶ ἀχείρωτον ἡ ἀρετὴ, καὶ ἐν αὐτῷ τῷ πάσχειν τῶν ποιούντων περιγινομένη. ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, ἀναγκαῖον πάλιν ἐπανελθεῖν ἐπὶ τὸν δίκαιον τοῦτον, καὶ ἐκπλαγῆναι αὐτοῦ τῆς ἀρετῆς τὴν ὑπερβολὴν, πῶς ἴσχυσε τοσούτου δήμου καταγελῶντος, ἐπεμβαίνοντος, χλευάζοντος, κωμῳδοῦντος (πάλιν γὰρ τὰ αὐτὰ λέγω, καὶ λέγων οὐ παύσομαι) ὑπεριδεῖν καὶ ἀνώτερος γενέσθαι. πῶς, ἐγὼ λέγω· ἐπειδὴ διηνεκῶς πρὸς τὸν ἀκοίμητον ἑώρα ὀφθαλμὸν, καὶ ἐκτεταμένον εἶχε τὸ τῆς διανοίας ὄμμα, καὶ λοιπὸν τούτων ἁπάντων ὡς οὐδὲν ὄντων ἐφρόντιζε. καὶ γὰρ οὕτως ἔχει. ἐπειδὰν γάρ τις τρωθῇ τῷ ἔρωτι ἐκείνῳ, καὶ εἰς τὸν πρὸς τὸν θεὸν πόθον ἑαυτὸν ἐκτείνει, οὐδὲν ἕτερον ὁρᾷ τῶν ὁρωμένων, ἀλλὰ διηνεκῶς ἐκεῖνον φαντάζεται τὸν ποθούμενον, καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ καὶ κοιταζόμενος καὶ "διανιστάμενος. γρ. ἀνιστάμενος μὴ τοίνυν σε ξενιζέτω, εἰ καὶ ὁ δίκαιος οὗτος ἅπαξ ἐκτείνας ἑαυτοῦ τὴν διάνοιαν, οὐδενὸς ἐφρόντιζε τῶν ὑποσκελίζειν ἐπιχειρούντων. τὰ γὰρ παρ' ἑαυτοῦ ἐπιδειξάμενος καὶ τὴν ἄνωθεν "χάριν ἐπισπασάμενος, ἀνώτερος ἁπάντων ἐγίνετο. Νῶε γὰρ, φησὶν, εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. εἰ καὶ πάσῃ τῇ τῶν τότε ἀνθρώπων φύσει οὐκ ἦν "ἐπιχαρὴς οὐδὲ ποθεινὸς, διὰ τὸ μὴ βούλεσθαι τὴν αὐτὴν αὐτοῖς ὁδεύειν ὁδὸν, ἀλλὰ πρὸς ἐκεῖνον τὸν τὰς καρδίας ἐμβατεύοντα χάριν ηὗρε, καὶ ἐκεῖνος αὐτοῦ τὴν γνώμην ἀπεδέξατο. τί γὰρ, εἰπέ μοι, βλάβος ἐντεῦθεν ἐγένετο ἀπὸ τῆς τῶν ὁμογενῶν χλεύης, καὶ τοῦ καταγέλωτος, τοῦ πλάσαντος τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν ἀνακηρύττοντος τὸν ἄνδρα καὶ στεφανοῦντος αὐτόν; τί δὲ ὄφελος ἀνθρώπῳ γένοιτ' ἂν παρὰ πάσης τῆς οἰκουμένης θαυμαζομένῳ καὶ ἐπαινουμένῳ,

μένῳ, παρὰ δὲ τοῦ τῶν ὅλων δημιουργοῦ καὶ τοῦ ἀπαραλογίστου δικαστοῦ ἐπὶ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς κρινομένῳ; Ταῦτα τοίνυν εἰδότες, ἀγαπητοί, μηδένα λόγον ποιώμεθα τοῦ παρὰ τῶν ἀνθρώπων ἐπαίνου, μηδὲ τὴν παρὰ τούτων εὐφημίαν ἐκ παντὸς τρόπου ζητῶμεν, ἀλλὰ καὶ δι' ἐκεῖνον μόνον τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ τὰ τῆς ἀρετῆς ἔργα μετίωμεν, καὶ τὴν κακίαν φεύγωμεν. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς παιδεύων ἡμᾶς μὴ κεχηνέναι πρὸς τὰς παρὰ τῶν ἀνθρώπων εὐφημίας, μετὰ πολλὰ ἕτερα τελευταῖον καὶ τοῦτο ἐπήνεγκε λέγων, Οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι. σκόπει πῶς διὰ τοῦ οὐαὶ ἡμῖν ἐνεφάνισε, ποταπὴ τοῖς τοιούτοις κείσεται τιμωρία. τὸ γὰρ οὐαὶ τοῦτο, θρηνῶδές ἐστιν ἐπίφθεγμα. μονονουχὶ γὰρ ταλανίζων αὐτούς φησιν, Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. καὶ ὅρα τοῦ ῥητοῦ τὴν ἀκρίβειαν. οὐκ εἶπεν ἁπλῶς οἱ ἄνθρωποι, ἀλλὰ πάντες οἱ ἄνθρωποι. οὐδὲ γὰρ οἷόν τε τὸν ἐνάρετον καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύοντα καὶ ταῖς ἐντολαῖς τοῦ Χριστοῦ κατακολουθοῦντα παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι. πολλὴ γὰρ τῆς κακίας ἡ ἐπίτασις καὶ ἡ πρὸς τὴν ἀρετὴν ἐναντίωσις. Εἰδὼς οὖν ὁ δεσπότης, ὅτι τὸν μετὰ ἀκριβείας τὴν ἀρετὴν μετιόντα, καὶ τὸν παρ' αὐτοῦ μόνον ἐκδεχόμενον ἔπαινον, τῶν ἀδυνάτων ἂν εἴη παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι καὶ καλῶς ἀκούειν, διὰ τοῦτο ταλανίζει τοὺς διὰ τὸν παρὰ τούτων ἔπαινον τῆς ἀρετῆς ἀμελοῦντας. ἡ γὰρ παρὰ πάντων εὐφημία τεκμήριον ἂν εἴη μέγιστον τοῦ μὴ πολὺν τῆς ἀρετῆς λόγον ποιεῖσθαι. πῶς γὰρ παρὰ πάντων ἐπαινεθείη ὁ ἐνάρετος, εἰ βούλοιτο τοὺς ἀδικουμένους ἐξαρπάζειν τῶν ἀδικούντων, τοὺς ἐπηρεαζομένους τῶν κακῶς ποιεῖν βουλομένων; πάλιν εἰ βούλοιτο διορθοῦν τοὺς ἁμαρτάνοντας, καὶ ἐπαινεῖν τοὺς κατορθοῦντας, οὐκ εἰκὸς τοὺς μὲν ἐπαινεῖν, τοὺς δὲ ψέγειν; διὰ τοῦτό φησιν, Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. πῶς οὖν οὐκ ἄξιον θαυμάζειν καὶ ἐκπλήττεσθαι τὸν δίκαιον τοῦτον, ὅτι, ἅπερ ὁ Χριστὸς ὕστερον παραγενόμενος ἐδίδασκε, ταῦτα προλαβὼν ὑπὸ τοῦ ἐν τῇ φύσει κειμένου νόμου παιδευθεὶς μετὰ πολλῆς μετῄει τῆς ὑπερβολῆς, καὶ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον ἀποπεμψάμενος, διὰ τῆς τῶν βεβιωμένων ἀρετῆς τὴν παρὰ τῷ θεῷ χάριν εὑρεῖν ἐσπούδαζε; Νῶε γάρ, φησιν, εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. ἀλλ' ὅτι μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ, διηγήσατο ἡμῖν ὁ θαυμάσιος οὗτος προφήτης ἐνηχούμενος ὑπὸ τοῦ ἁγίου πνεύματος. ἀναγκαῖον δὲ καὶ τὰ ἑξῆς εἰρημένα καταμαθεῖν, καὶ ἰδεῖν καὶ τὴν ψῆφον τὴν παρὰ τοῦ θεοῦ περὶ αὐτοῦ γινομένην.

9 Αὗται δέ, φησιν, αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε.

Ξένος γενεαλογίας τρόπος. Εἰποῦσα γὰρ ἡ θεία γραφή, αὗται δὲ αἱ γενέσεις Νῶε, καὶ τὰς ἀκοὰς ἡμῶν ἀναπληρώσασα, ὡς μέλλουσα τὴν γενεαλογίαν αὐτοῦ διηγεῖσθαι, καὶ τίς μὲν αὐτοῦ πατὴρ ἐγένετο, πόθεν δὲ τὸ γένος κατῆγε, καὶ ὅπως εἰς τὸν βίον παρήχθη, καὶ τὰ ἄλλα ἅπαντα, ἅπερ ἔθος τοῖς τὰς γενεαλογίας ἐξηγουμένοις διηγεῖσθαι, ταῦτα πάντα καταλιποῦσα καὶ τῆς συνηθείας καινοτέρα γινομένη φησί, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε. Εἶδες θαυμαστὴν γενεαλογίαν. Νῶε, φησιν, ἄνθρωπος. ὅρα καὶ τὸ κοινὸν ὄνομα τῆς φύσεως ἀντ' ἐγκωμίου τῷ δικαίῳ γινόμενον. ἐπειδὴ γὰρ ἐκεῖνοι καὶ τὸ ἄνθρωποι εἶναι ἀπώλεσαν διὰ τὸ πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ὀλισθῆσαι, οὗτος, φησιν, ἐν τοσούτῳ δήμῳ τῶν ἀνθρώπων τὴν εἰκόνα διέσωσε. τοῦτο γὰρ ἄνθρωπος, ὅταν ἀρετὴν μετίῃ. οὐδὲ γὰρ τὸ μορφὴν ἔχειν ἀνθρώπου,

τὰ τῆς κα-

Λουκ. ϛ. κϛ.

ῥήματος

ἐπαινεθῆ-ναι

αὐτὴν παι-δεύοντος

ἐξηγεῖσθαι,

θρώπου, καὶ ὀφθαλμούς, καὶ ῥῖνα, καὶ στόμα, καὶ παρειάς, καὶ τὰ λοιπὰ μέλη, τοῦτο ἄνθρωπον
ἀποδείκνυσι (ταῦτα γὰρ τὰ μέλη τυγχάνει τοῦ σώματος) ἄνθρωπον γὰρ ἐκεῖνον ἂν καλέσαιμεν
τὸν τὴν εἰκόνα τοῦ ἀνθρώπου διασώζοντα. τί δέ ἐστι τοῦ ἀνθρώπου ἡ εἰκών;
τὸ λογικὸν εἶναι. τί οὖν, φησιν; ἐκεῖνοι οὐκ ἦσαν λογικοί; ἀλλ' οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ
γρ. οὐκ ἂν εἶεν λογικοί;
ἐνάρετον εἶναι, καὶ τὸ τὰ κακὰ διαφεύγειν, καὶ τῶν ἀτόπων παθῶν κρατεῖν, τὸ ταῖς ἐντολαῖς
τοῦ δεσπότου κατακολουθεῖν, τοῦτο ἄνθρωπος. καὶ ἵνα μάθῃς ὅτι ἔθος τῇ γραφῇ
τοὺς τὴν κακίαν μετιόντας καὶ τῆς ἀρετῆς ἀμελοῦντας μηδὲ τῆς τοῦ ἀνθρώπου προσηγορίας
Γεν. ϛ. γ. ἀξιοῦν, ἄκουε τοῦ θεοῦ λέγοντος καθάπερ χθὲς ἐλέγομεν, Οὐ μὴ καταμείνῃ τὸ
πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Ἐγὼ γάρ, φησιν,
μετὰ τῆς σαρκὸς καὶ τῆς ψυχῆς τὴν ἐξουσίαν ἐδωρησάμην, αὐτοὶ δὲ ὡς σάρκα μόνον περικείμενοι,
οὕτω τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντες, ὅλοι τῆς σαρκὸς λοιπὸν γεγόνασιν.
Εἶδες πῶς διὰ τὴν κακίαν, σάρκας αὐτοὺς καλεῖ, καὶ οὐκ ἀνθρώπους· καὶ πάλιν περιιοῦσα
ὡς αὐτίκα μάλα εἴσεσθε, γῆν αὐτοὺς ὀνομάζει ἡ θεία γραφή, διὰ τὸ τοῖς γηΐνοις
Γεν. ϛ. ια. φρονήμασι καταδεδαπανῆσθαι. Φησὶ γάρ, Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, οὐ περὶ
τῆς γῆς τῆς αἰσθητῆς λέγουσα, ἀλλὰ τοὺς ἐνοικοῦντας, γῆν ὀνομάζουσα. ἀλλαχοῦ
δὲ οὔτε σάρκα οὔτε γῆν ὀνομάζει, ἀλλ' οὐδὲ εἶναι αὐτοὺς ἡγεῖται ἐν τῷ παρόντι βίῳ διὰ
τὸ τῆς ἀρετῆς ἐρήμους εἶναι. ἄκουε γὰρ τοῦ προφήτου βοῶντος καὶ λέγοντος ἐν μέσῃ
τῇ μητροπόλει τῶν Ἱεροσολύμων, ὅπου ἄπειρα πλήθη, ὅπου μυριάδες τοσαῦται,
Ησ. ν. β. Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος· οὐκ ἐπειδὴ μὴ παρῆσαν,
ἀλλ' ἐπειδὴ παρόντες τῶν μὴ παρόντων οὐδὲν ἄμεινον διέκειντο. καὶ πάλιν ἑτέρωθι,
Ιερ. ε. α. Περιδράμετε, φησί, καὶ ἴδετε, εἰ ἔστιν εἷς ποιῶν κρίμα καὶ δικαιοσύνην, καὶ ἵλεως
ἔσομαι. εἶδες πῶς ἐκεῖνον μόνον οἶδε καλεῖν ἄνθρωπον ἡ ἁγία γραφή, τὸν τὴν ἀρετὴν
μετιόντα, τοὺς δὲ λοιποὺς οὐδὲ εἶναι νομίζει· ἀλλὰ ποτὲ μὲν σάρκας ὀνομάζει, ποτὲ δὲ
γῆν. διὰ τοῦτο καὶ νῦν τὴν γενεαλογίαν τοῦ δικαίου διηγεῖσθαι ἐπαγγελλομένη ἡ θεία
γραφή φησιν, Νῶε ἄνθρωπος. οὗτος γὰρ μόνος, φησίν, ἄνθρωπος, οἱ δὲ λοιποὶ οὐκ ἄνθρωποι,
ἀλλὰ μορφὴν μὲν ἔχοντες ἀνθρώπων, τῇ δὲ πονηρίᾳ τῆς προαιρέσεως τὴν εὐγένειαν
τῆς φύσεως προδεδωκότες, καὶ ἀντὶ ἀνθρώπων πρὸς τὴν τῶν θηρίων ἀλογίαν ἐκπεσόντες.
ὅτι γὰρ καὶ ἀνθρώπους τοὺς λογικούς, ἐπειδὰν πρὸς κακίαν ἀποκλίνωσι, καὶ τῶν ἀλόγων
παθῶν αἰχμάλωτοι γίνωνται, τῶν θηρίων τὰς προσηγορίας αὐτοῖς ἐπιτίθησιν ἡ
Ιερ. ε. η. θεία γραφή, ἄκουε ποτὲ μὲν αὐτῆς λεγούσης, Ἵπποι θηλυμανεῖς ἐγένοντο (ὅρα πῶς
διὰ τὴν ἄμετρον λαγνείαν αὐτῶν τὴν τοῦ ἀλόγου προσηγορίαν αὐτοῖς ἐπιτίθησιν) ἄλλοτε
Ψαλ. ϱλθ. γ. δέ, Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. ἐνταῦθα τοὺς τοῦ θηρίου τὸ ὕπουλον καὶ
Ησ. νϛ. ι. δολερὸν μιμουμένους ἐμφαίνει. καὶ πάλιν, Κύνας ἐνεοὺς ἑτέρους καλεῖ. καὶ πάλιν,
Ψαλ. νζ. δ. Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, τοὺς πρὸς τὴν διδασκαλίαν τῆς ἀρετῆς
τὰς ἀκοὰς ἀποφράττοντας αἰνιττομένη. καὶ πολλὰ εὕροι τις ἂν ὀνόματα ἐπιτιθέμενα
παρὰ τῆς θείας γραφῆς τοῖς διὰ ῥαθυμίαν πρὸς τὰ τῶν ἀλόγων καταφερομένοις πάθη.
καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον τοῦτο ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν τῇ καινῇ. ἄκουε γὰρ τοῦ
Ματθ. γ. ζ. Βαπτιστοῦ λέγοντος τοῖς Ἰουδαίοις, Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ
τῆς μελλούσης ὀργῆς; Εἶδες πῶς καὶ ἐνταῦθα τῆς γνώμης αὐτῶν τὸ δολερὸν ἀπὸ τῆς τοῦ
θηρίου προσηγορίας ᾐνίξατο. τί οὖν ἂν ἐλεεινότερον γένοιτο τῶν τὴν κακίαν μετιόντων,
ὅταν καὶ αὐτῆς τῆς προσηγορίας τοῦ καλεῖσθαι ἄνθρωποι ἀποστερῶνται, καὶ διὰ
τοῦτο πλείονα τὴν τιμωρίαν ὑπέχωσιν, ὅτι πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξάμενοι,
ταύτας προδεδώκασιν ἑκόντες ὑποσυρέντες καὶ πρὸς τὴν κακίαν αὐτομολοῦντες;

μολοῦντες; ἐπεὶ οὖν δὴ τότε πάντες ἀναξίως ἑαυτοὺς τῆς προσηγορίας κατέστησαν καὶ τοῦ ὀνομάζεσθαι ἄνθρωποι, ὁ δὲ δίκαιος οὗτος ἐν τοσούτῳ ἀρετῆς αὐχμῷ τοσαύτην ἐπεδείξατο τῆς οἰκείας ἀρετῆς τὴν ὑπερβολήν, ἀρξαμένη διηγεῖσθαι ἡ θεία γραφὴ τοῦ ἀνδρὸς τὴν γενεαλογίαν φησίν, Νωε δὲ ἄνθρωπος. ἔστι καὶ ἐπ' ἄλλου δικαίου ταύτην εὑρεῖν τὴν προσηγορίαν αὐτῇ μεγίστου ἐγκωμίου ἐγκειμένην, καὶ περὶ τῶν ἄλλων ἁπάντων ἀπὸ ταύτης τῆς προσηγορίας ἀνακηρυττόμενον, τὴν ἀρετὴν μετὰ ἀκριβείας ἐπιδεικνύμενον. τίς οὖν οὗτός ἐστιν; ὁ μακάριος Ἰὼβ, ὁ τῆς εὐσεβείας ἀθλητής, ὁ τῆς οἰκουμένης στεφανίτης, ὁ μόνος τὰ ἀνήκεστα ἐκεῖνα ὑπομείνας, καὶ τὰ μυρία βέλη δεξάμενος παρὰ τοῦ πονηροῦ δαίμονος ἐκείνου, καὶ ἄτρωτος διαμείνας. καθάπερ ἀδάμας τις οὗτος πάσας τὰς προσβολὰς ἐνεγκεῖν δυνηθεὶς, καὶ οὐ μόνον οὐ καταβαπτισθεὶς ὑπὸ τῶν τοσούτων κυμάτων, ἀλλὰ καὶ ἀνώτερος τῶν κυμάτων γενόμενος, καὶ τὰ τῆς οἰκουμένης πάθη ἐν τῷ οἰκείῳ σώματι δεξάμενος, ταύτῃ μᾶλλον λαμπρότερος ἀνεδείκνυτο. οὐ μόνον γὰρ οὐ κατέσεισεν αὐτὸν ἡ συνέχεια τῆς τῶν δεινῶν ἐμβολῆς, ἀλλὰ καὶ εἰς μείζονα εὐπαρρησίαν αὐτὸν διήγειρε, καὶ διὰ πάντων τὴν οἰκείαν εὐγνωμοσύνην ἐπεδείκνυτο, καιρίαν [αὐτῷ] τῷ διαβόλῳ δοὺς τὴν πληγὴν, καὶ δεικνὺς ὡς ἀνηνύτοις ἐπιχειρεῖ, καὶ πρὸς κέντρα λακτίζει. τοῦτον τοίνυν τὸν ἅγιον καὶ περὶ τῶν ἀγώνων καὶ περὶ τῶν ἄθλων τῶν τοσούτων ἐπαινῶν ὁ φιλάνθρωπος θεὸς καὶ ἀνακηρύττων, φησὶ πρὸς τὸν διάβολον· Προσέσχες τῇ διανοίᾳ σου τῷ θεράποντί μου Ἰώβ; ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Εἶδες καὶ τοῦτον ἀπὸ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος πρότερον ἀνακηρυττόμενον. προσέσχες, φησίν, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ὅμοιος αὐτῷ ἄνθρωπος; καὶ μὴν ἅπαντες ὅμοιοι· ἀλλ' οὐχὶ κατὰ τὴν ἀρετὴν, ἀλλὰ κατὰ τὸν τῆς μορφῆς λόγον. οὐ τοῦτο δὲ ἄνθρωπος, ἀλλ' ὅταν τῆς κακίας ἀπεχόμενος τὴν ἀρετὴν μετίῃ. Εἶδες τίνας οἶδεν ἀνθρώπους καλεῖν ἡ θεία γραφή. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ἰδὼν τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα ὁ τῶν ὅλων δεσπότης ἔλεγε, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, τουτέστιν, ἵνα ἄρχων ᾖ καὶ τῶν ὁρωμένων ἁπάντων καὶ τῶν ἐν αὐτῷ ψυχοβλαβῶν παθῶν τικτομένων, ἵνα ἄρχῃ καὶ μὴ ἄρχηται). ἐὰν μέντοι προδοὺς τὴν ἀρχὴν ἄρχηται μᾶλλον ἢ ἄρχῃ, ἀπόλλυσι καὶ τὸ εἶναι ἄνθρωπος, καὶ πρὸς τὴν τῶν ἀλόγων προσηγορίαν ἑαυτὸν μετατίθησι. διά τοι τοῦτο καὶ νῦν τὴν ἀρετὴν τοῦ δικαίου τούτου ἀνακηρύξαι βουλομένη ἡ θεία γραφή φησιν, αὗται αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος. ἰδοὺ καὶ ἕτερον ἐγκωμίου μέγιστον εἶδος, δίκαιος. διὰ ταύτης τῆς προσηγορίας τὴν καθόλου ἀρετὴν αὐτοῦ ἐμφαίνει. τὸ γὰρ δίκαιος ὄνομα, ἔθος ἡμῖν ἐπὶ τῶν πᾶσαν ἀρετὴν μετιόντων λέγειν. Εἶτα ἵνα μάθῃς ὅπως πρὸς αὐτὸ τὸ ἄκρον τῆς κορυφῆς τῶν ἀρετῶν ἔφθασεν, ὅσαπερ καὶ τότε ἀπῃτεῖτο παρὰ τῆς φύσεως τῆς ἡμετέρας, φησὶ, δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· πάντα πληρώσας, φησὶν, ἅπερ ἐχρῆν ἄνθρωπον ἐπιδείξασθαι ἀρετὴν ἑλόμενον. τοῦτο γάρ ἐστι τέλειος, οὐδὲν ἐλλελοιπὼς, ἐν οὐδενὶ χωλεύων· οὐ τὸ μὲν κατορθώσας, ἐν τῷ δὲ διαμαρτών, ἀλλ' ἐν πάσῃ ἀρετῇ τέλειος ὤν. τοῦτο γὰρ ἐχρῆν αὐτὸν ἐπιδείξασθαι. Εἶτα ἵνα ἐκ τοῦ χρόνου καὶ ἐκ τῆς συγκρίσεως περιφανέστερον ἡμῖν τὸν δίκαιον ἀπεργάσηται, φησι, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, ἐν τῷ καιρῷ ἐκείνῳ, ἐν τῇ γενεᾷ αὐτοῦ τῇ διεστραμμένῃ, τῇ πρὸς τοσαύτην κακίαν ἀποκλινάσῃ, τῇ μηδὲ ἴχνος τῆς ἀρετῆς ἐπιδείξασθαι βουληθείσῃ. ἐν ἐκείνῃ τοίνυν τῇ γενεᾷ, ἐν ἐκείνοις τοῖς καιροῖς οὗτος ὁ δίκαιος οὐ μόνον ἀρετὴν ἐπεδείξατο, ἀλλὰ καὶ εἰς τὴν ἄκραν κορυφὴν τῶν ἀρετῶν ἔφθασε, τέλειος γεγονὼς καὶ ἐν ἅπασιν ἀπηρτισμένος. ὅπερ γὰρ ἔφθην εἰπὼν,

.καὶ καθ. α. τ.
ος

. κατέπληξεν

. ἀνονήτως

Ἰωβ. α. η.

πων, μείζονα δείκνυσιν ἀεὶ τῆς ἀρετῆς τὸν ὄγκον, τὸ μεταξὺ τῶν πολεμούντων αὐτὴν κατορθοῦσθαι, καὶ ἐν μέσῳ τῶν κωλυόντων τὴν ″ αὐτῆς ἐπιδείκνυσθαι ἀκρίβειαν. διὰ δὴ καὶ ὁ δίκαιος οὗτος πλειόνων ἀξιοῦται τῶν ἐπαίνων. καὶ οὐδὲ μέχρι τούτου ἵσταται ἀνακηρύττουσα αὐτὸν ἡ θεία γραφὴ, ἀλλὰ δεικνῦσα ἡμῖν τῆς ἀρετῆς αὐτοῦ τὴν ὑπερβολὴν, καὶ ὅτι τὴν ψῆφον ἄνωθεν ἐδέξατο, εἰποῦσα, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, φησὶ, τῷ θεῷ εὐηρέστησε Νῶε. τοσαύτη ἦν, φησὶ, τῆς ἀρετῆς αὐτοῦ ἡ περιουσία, ὡς τὸν παρὰ τοῦ θεοῦ ἔπαινον ἐπισπάσασθαι. τῷ θεῷ γὰρ, φησὶν, εὐηρέστησε Νῶε, ἵνα εἴπῃ, ὅτι ἀποδεκτὸς παρὰ τῷ θεῷ γέγονεν, ἤρεσε τῷ ἀκοιμήτῳ ἐκείνῳ ὀφθαλμῷ διὰ τῶν αὐτῷ κατορθωμένων, καὶ ἐκείνου τὴν εὔνοιαν ἐφειλκύσατο ἡ τῶν βεβιωμένων πρᾶξις, καὶ οὐ μόνον τῆς μελλούσης κατὰ πάντων ἐκφέρεσθαι ἀγανακτήσεως ἠλευθέρωσεν, ἀλλὰ καὶ ἑτέρων προστάτην αὐτὸν ἀπειργάσατο. τῷ θεῷ, φησὶν, εὐηρέστησε Νῶε. τίς ἂν τούτου ″ μακαριστότερος γένοιτ' ἂν τοῦ δυνηθέντος τοσαύτην ἐπιδείξασθαι τὴν ἀρετὴν, ὡς τὸν ἁπάντων δεσπότην ἐπαινέτην ἔχειν; τῶν μὲν οὖν αὐτῷ πεπραγμένων τοῦτο παντὸς πλούτου, πάσης περιουσίας, πάσης δόξης καὶ δυναστείας, καὶ τῆς ἄλλης ἁπάσης ἀνθρωπίνης εὐημερίας τῷ νοῦν ἔχοντι προτιμότερον ἂν εἴη. τοῦτο τῷ γνησίαν περὶ τὸν θεὸν τὴν ἀγάπην ἐπιδεικνυμένῳ βασιλείας ἂν εἴη ποθεινότερον. ἡ γὰρ ἀληθινὴ βασιλεία αὕτη ἐστὶ, τὸ δυνηθῆναι ἡμᾶς διὰ τῆς ἀρίστης πολιτείας εὐμενῆ καὶ ἵλεω καταστῆσαι ἑαυτοῖς τὸν δεσπότην. οὐδὲ γὰρ τὴν γέενναν διὰ τοῦτο φοβεῖσθαι ὀφείλομεν καὶ δεδοικέναι διὰ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὰς φοβερὰς τιμωρίας καὶ τὰς διηνεκεῖς κολάσεις, ἀλλὰ διὰ τὸ προσκροῦσαι τῷ οὕτως ἀγαθῷ δεσπότῃ, καὶ τῆς ἐκείνου εὐνοίας ἐκτὸς ἡμᾶς στῆναι· ὥσπερ οὖν καὶ ἐπὶ τὴν βασιλείαν διὰ τοῦτο σπεύδειν ἡμᾶς χρὴ, διὰ τὸν περὶ αὐτὸν πόθον, καὶ ἵνα τῆς ἐκείνου ῥοπῆς ἀπολαύωμεν. ὥσπερ γὰρ βασιλείας ποθεινότερον τὸ εὐνοϊκῶς περὶ ἡμᾶς διακεῖσθαι τὸν φιλάνθρωπον ἡμῶν δεσπότην, οὕτω γεέννης χαλεπώτερον τὸ τῆς ἐκεῖθεν εὐνοίας ἐκπεσεῖν. εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις ἡ προσηγορία μόνη τοῦ δικαίου, καὶ ὅσον ἡμῖν θησαυρὸν νοημάτων ἔτεκεν ἡ γενεαλογία τοῦ θαυμαστοῦ τούτου ἀνδρός. μιμώμεθα τοίνυν καὶ ἡμεῖς τῆς θείας γραφῆς τοὺς κανόνας, καὶ ἐὰν βουλώμεθά τινων γενεαλογίαν ἐξηγεῖσθαι, μὴ πατέρας καὶ πάππους καὶ ἐπιπάππους εἰς μέσον φέρωμεν, ἀλλὰ τοῦ γενεαλογουμένου τὴν ἀρετὴν ἐκκαλύπτωμεν. οὗτος γὰρ ἄριστος γενεαλογίας τρόπος. τί γὰρ ὄφελος ἐκ πατέρων εἶναι λαμπρῶν καὶ ἐναρέτων, αὐτὸν δὲ ἔρημον ὑπάρχειν τῆς ἀρίστης πολιτείας; ἢ πάλιν τί βλάβος ἂν γένοιτο ἐκ πατέρων εἶναι καὶ προγόνων δυσγενῶν τε καὶ ἀφανῶν, αὐτὸν δὲ πολλῇ κομᾶν τῇ ἀρετῇ; ἐπεὶ καὶ ὁ δίκαιος οὗτος τοιοῦτος γεγονὼς, καὶ τὴν τοῦ θεοῦ εὔνοιαν ἐπισπασάμενος, οὐκ ἀπὸ τῶν τοιούτων γέγονε προγόνων (οὐδὲ γὰρ ὡς ἐναρέτων αὐτῶν ἐμνημόνευσεν ἡ θεία γραφὴ) καὶ ὅμως ἴσχυσε τοσούτων ὄντων τῶν κωλυμάτων, καὶ ὑπὸ τοσούτων ἐμποδιζόμενος, εἰς αὐτὴν τὴν ἄκραν ἀνελθεῖν τῆς ″ ἀρετῆς· ἵνα μάθῃς, ὅτι τὸν βουλόμενον νήφειν καὶ ἐγρηγορέναι, καὶ πολλὴν τῆς οἰκείας σωτηρίας ποιεῖσθαι τὴν πρόνοιαν, οὐδέν ἐστι τὸ διακωλῦον. ὥσπερ γὰρ εἰς ῥαθυμίαν ἀποκλίνοντες καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα, οὕτως ἐὰν βουληθῶμεν νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες, οὐδὲν ἡμῶν τῇ σπουδῇ λυμήνασθαι δυνήσονται· καθάπερ οὐδὲ τὸν δίκαιον τοῦτον ἴσχυσαν τοσοῦτοι ὄντες ὀκνηρότερον περὶ τὴν ἀρετὴν ἐργάσασθαι. μηδεὶς τοίνυν ἑτέρῳ τινὰ αἰτιάσθω, καὶ ἐφ' ἑτέρους τὴν αἰτίαν μεταγαγέτω, ἀλλὰ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. καὶ τί λέγω ἐφ' ἑτέρους; μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν δύνασθαι. ἀλλ' ἀ-

πατᾷ

γρ. αὐτῶ

γρ. μακαριώτερος

γρ. κορυφῆς

πατᾷ μὲν καὶ ὑποσκελίζει τοὺς ῥαθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται. καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι, ἡνίκα μὲν ἂν βουλώμεθα νήφειν, τοσοῦτον [τὸν] τόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ, πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν, ἀνέχεσθαι τῆς [τοιαύτης] συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στεῤῥοτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς· ὅταν δὲ ῥαθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος, οἴκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν. Εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν ἔκειτο, μηδὲ ἐν τῇ τῆς γνώμης ἐξουσίᾳ, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος θεὸς κατεσκεύασεν, ἐχρῆν ἢ ἅπαντας εἶναι κακοὺς τοὺς τῆς αὐτῆς φύσεως κοινωνοῦντας, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένους, ἢ πάντας εἶναι πάλιν ἐναρέτους. ὅταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῖν, καὶ ὑπὸ τῶν αὐτῶν παθῶν ἐνοχλουμένους, οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐῤῥωμένῳ τῷ λογισμῷ ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ χαλινοῦντας τὴν ἐπιθυμίαν, κρατοῦντας ὀργῆς, βασκανίαν φεύγοντας, φθόνον ἐξορίζοντας, τῆς λύσσης τῶν χρημάτων ὑπερορῶντας, δόξης ἔλαττον φροντίζοντας, πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, καὶ τὸν παρὰ τοῦ θεοῦ ἔπαινον πάντων τῶν ὁρωμένων προτιμῶντας, οὐκ εὔδηλον, ὅτι τῇ οἰκείᾳ σπουδῇ ταῦτα κατορθοῦν δυνήσεταί τις μετὰ τὴν ἄνωθεν χάριν, καὶ ἡμεῖς τῇ οἰκείᾳ ῥαθυμίᾳ κεχρημένοι προδίδομεν ἡμῶν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες τῆς ἐκεῖθεν εὐνοίας;

Διὸ παρακαλῶ ταῦτα λογιζομένους καὶ συνεχῶς κινοῦντας ἐν τῇ διανοίᾳ μηδέποτε τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον ἡμῶν γνώμην. καὶ ταῦτα λέγω οὐκ ἐκεῖνον ἀπαλλάξαι βουλόμενος κατηγορίας (μὴ γένοιτο) καὶ γὰρ Περιέρχεται ὡς λέων ἁρπάσας, καὶ ὠρυόμενος, καὶ ζητῶν τίνα καταπίῃ· ἀλλὰ καὶ ἡμᾶς ἀσφαλεστέρους ποιῆσαι θέλων, ἵνα μὴ νομίζωμεν ἐκτὸς εἶναι ἐγκλημάτων οὕτως εὐκόλως πρὸς τὴν κακίαν αὐτομολοῦντες. καὶ μὴ τὰ ψυχρὰ ἐκεῖνα λέγωμεν ῥήματα· τίνος ἕνεκεν ἀφῆκεν αὐτὸν ὁ θεὸς τοιοῦτον ὄντα πονηρὸν, ὥστε ὑποσκελίζειν καὶ καταβάλλειν; μεγίστης γὰρ ἂν εἴη ταῦτα τὰ ῥήματα ἀγνωμοσύνης. ἀλλ' ἐκεῖνο σὺ ἐν ἑαυτῷ σκόπει, ὅτι διὰ τοῦτο μάλιστα αὐτὸν κατέλιπεν, ἵνα τῷ φόβῳ συνωθούμενοι καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες, πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνυώμεθα, τῇ τῶν ἀμοιβῶν ἐλπίδι καὶ τῇ ἀντιδόσει τῶν αἰωνίων ἐκείνων καὶ ἀποῤῥήτων ἀγαθῶν πάντα τῆς ἀρετῆς τὸν κάματον ὑποτεμνόμενοι. καὶ τί θαυμάζεις, εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε κηδόμενος ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥαθυμίαν, καὶ ὑπόθεσιν στεφάνων ἡμῖν κατασκευάζων αὐτὴν τὴν γέενναν; διὰ τοῦτο προεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος καὶ τῆς κολάσεως τὸ ἀφόρητον πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ. Εἶδες εὐμήχανον δεσπότου φιλανθρωπίαν, πῶς πάντα ποιεῖ καὶ πραγματεύεται, ὡς μὴ μόνον σῶσαι τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας, ἀλλὰ καὶ τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν ἀξιῶσαι. διάτοι τοῦτο καὶ τὸ αὐτεξούσιον ἡμῖν δεδώρηται, καὶ ἐν τῇ φύσει καὶ ἐν τῷ συνειδότι ἡμῶν ἐναπέθετο τὴν γνῶσιν τῆς κακίας καὶ τῆς ἀρετῆς, καὶ τὸν διάβολον συνεχώρησεν εἶναι, καὶ τὴν γέενναν ἠπείλησεν, ἵνα μήτε τῆς γεέννης πεῖραν λάβωμεν, καὶ τῆς βασιλείας ἐπιτύχωμεν. καὶ τί θαυμάζεις, εἰ ταῦτα ἅπαντα διὰ τοῦτο ἐπραγματεύσατο καὶ μυρία ἕτερα; δούλου μορφὴν ὁ ἐν τοῖς κόλποις τοῖς πατρικοῖς τυγχάνων λαβεῖν κατεδέξατο, καὶ πάντα τὰ ἄλλα ὑπομεῖναι τὰ σωματικὰ, καὶ ἐκ γυναικὸς γεννηθῆναι, καὶ ἐκ παρθένου τεχθῆναι, καὶ ἐννεαμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ σπάργανα δέξασθαι, καὶ πατέρα αὐτοῦ νομισθῆναι τὸν Ἰωσὴφ τὸν μνη-

ΗΘΙΚΟΝ

α. Πετ. ε. η.

ὀργῆς,

μετὰ τῆς ἀ-
ωθεν χάρι-

ὑμᾶς

τοιοῦτον

εὐμήχανε

ὀνομασθῆναι

στέρνα τῆς Μαρίας, καὶ κατὰ μικρὸν αὐξηθῆναι, καὶ περιτμηθῆναι, καὶ θυσίαν ἀνενεγκεῖν, καὶ πεινῆσαι καὶ διψῆσαι καὶ κοπιάσαι, καὶ τὸ τελευταῖον καὶ θάνατον ὑπομεῖναι, καὶ θάνατον οὐχ ἁπλῶς, ἀλλὰ τὸν ἐπονείδιστον νομιζόμενον, τὸν σταυροῦ λέγω. καὶ ταῦτα ἅπαντα δι᾽ ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν κατεδέξατο ὁ τῶν ἁπάντων δημιουργός, ὁ ἀναλλοίωτος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, οὗ τῆς δόξης τὴν ἀστραπὴν οὐδὲ τὰ χερουβὶμ αἱ ἀσώματοι δυνάμεις ἐκεῖναι ἰδεῖν δύνανται, ἀλλ᾽ ἀποστρέφουσαι τὰς ὄψεις, τῇ περιβολῇ τῶν πτερύγων τὸ θαῦμα ἡμῖν ἐπιδείκνυνται, ὃν διὰ παντὸς ὑμνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, καὶ μυρίαι μυριάδες [ἀγγέλων·] οὗτος δι᾽ ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν ἄνθρωπος γενέσθαι κατεδέξατο, καὶ τῆς ἀρίστης πολιτείας ἡμῖν τὴν ὁδὸν ἔτεμε, καὶ δι᾽ ὧν αὐτὸς μετῆλθε τὴν αὐτὴν ἡμῖν φύσιν ἀναλαβών, ἡμῖν ἀρκοῦσαν διδασκαλίαν ἐναπέθετο. ποία τοίνυν ἡμῖν λείπεται λοιπὸν ἀπολογία, τοσούτων διὰ τὴν ἡμετέραν σωτηρίαν προηγουμένων, εἰ μέλλοιμεν ἀνόητα ἅπαντα δεικνύναι, διὰ τῆς ῥᾳθυμίας τῆς τούτων προδιδόντες ἡμῶν τὴν σωτηρίαν; διὸ παρακαλῶ νήφειν, καὶ μὴ ἁπλῶς τῇ συνηθείᾳ τῶν ἄλλων κατακολουθεῖν, ἀλλὰ τὴν ἑαυτῶν ζωὴν καθ᾽ ἑκάστην ἡμέραν πολυπραγμονεῖν, καὶ εἰδέναι, τί μὲν ἡμῖν ἡμάρτηται, τί δὲ κατώρθωται· καὶ οὕτω τῶν ἡμαρτημένων τὴν διόρθωσιν ποιώμεθα, ἵνα καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασώμεθα, καὶ εὐάρεστοι τῷ θεῷ γενώμεθα, καθάπερ καὶ ὁ δίκαιος οὗτος, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. κδ. ΕΓΕΝΝΗΣΕ ΔΕ ΝΩΕ ΤΡΕΙΣ ΥΙΟΥΣ, ΤΟΝ Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ. ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.

ΟΥ τὰ τυχόντα ἡμᾶς ὠφέλησε χθὲς ἡ τοῦ δικαίου Νῶε γενεαλογία. καὶ γὰρ ἔγνωμεν θαυμαστὸν γενεαλογίας τρόπον, καὶ εἴδομεν τὸν δίκαιον ἀνακηρυττόμενον οὐκ ἀπὸ τῆς τῶν προγόνων περιφανείας, ἀλλ᾽ ἀπὸ τῆς τῶν οἰκείων τρόπων ἀρετῆς· δι᾽ ἣν καὶ τοσαύτην ἐδέξατο μαρτυρίαν παρὰ τῆς θείας γραφῆς. Νῶε γάρ, φησιν, ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε. εἰς ταῦτα γὰρ τὰ βραχέα ῥήματα ἅπασαν τὴν διδασκαλίαν χθὲς κατηναλώσαμεν. ἡ γὰρ τῶν θείων λογίων φύσις καὶ ἐν ὀλίγοις ῥήμασι πολὺν ἐπιδείκνυται τῶν νοημάτων τὸν πλοῦτον, καὶ ἄφατον χαρίζεται τὸν θησαυρὸν τοῖς μετὰ ἀκριβείας τὴν ἔρευναν ποιεῖσθαι βουλομένοις. διὸ δή, παρακαλῶ, μηδὲν ἁπλῶς παρατρέχωμεν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ἀλλὰ κἂν ὀνομάτων κατάλογος ᾖ, κἂν ἱστορίας διήγησις, τὸν ἐγκεκρυμμένον ἀνιχνεύωμεν θησαυρόν. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐρευνᾶτε τὰς γραφάς· ἐπειδὴ οὐ πανταχοῦ ἐξ ἐπιπολῆς ἐστιν εὑρεῖν τὸν νοῦν τῶν ἐγγεγραμμένων, ἀλλὰ χρεία καὶ πολλῆς ἐρεύνης ἡμῖν, ὥστε μηδὲν ἡμᾶς λαθεῖν τῶν ἐν τῷ βάθει κειμένων. εἰ δὲ ἡ προσηγορία μόνη τῆς φύσεως, τὸ ἄνθρωπος ὄνομα λέγω, τοσαύτην ἡμῖν χθὲς ἔτεκεν ὠφελείας ὑπόθεσιν, πόσον οὐ καρπωσόμεθα κέρδος, εἰ ἕκαστον τῶν ἐν τῇ γραφῇ μετὰ προσοχῆς καὶ ἀγρύπνου διανοίας ἐπίωμεν; καὶ γὰρ φιλάνθρωπον ἔχομεν δεσπότην· καὶ ἐπειδὰν ἴδῃ μεριμνῶντας ἡμᾶς, καὶ πόθον πολὺν ἐπιδεικνυμέ-

Ιω. ε. λθ.

νους πρὸς τὴν τῶν θείων λογίων κατανόησιν, οὐκ ἀφίησιν ἑτέρου τινὸς δεηθῆναι, ἀλλ' εὐθέως φωτίζει τὸν ἡμέτερον λογισμόν, καὶ τὴν παρ' αὐτοῦ ἔλλαμψιν παρέχεται, καὶ κατὰ τὴν εὐμήχανον αὐτοῦ σοφίαν πᾶσαν τὴν ἀληθῆ διδασκαλίαν ἐντίθησι τῇ ἡμετέρᾳ ψυχῇ. διὰ τοῦτο δὲ καὶ προτρέπων ἡμᾶς ἐπὶ τοῦτο καὶ προθυμοτέρους ἐργαζόμενος, μακαρισμοῦ ἀξίους ἀπέφηνε τοὺς τοιοῦτον πόθον ἐπιδεικνυμένους λέγων, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ὅρα σοφίαν διδασκάλου. οὐ γὰρ διὰ τοῦ μακαρισμοῦ μόνον προέτρεψεν, ἀλλὰ καὶ τῷ εἰπεῖν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ἐδίδαξε τοὺς ἀκούοντας, μεθ' ὅσης προθυμίας προσήκει πρὸς τὴν τῶν πνευματικῶν λογίων ἔρευναν ὁρμᾶν. καθάπερ γάρ, φησιν, οἱ πείνης προηγησαμένης, μετὰ προθυμίας ἀφάτου ἐπὶ τὴν τροφὴν ἐπείγονται, καὶ οἱ ἀπὸ τοῦ πολλοῦ δίψους ἐκκαιόμενοι τῷ πόματι μετὰ σπουδῆς προσίασι· κατὰ τὸν αὐτὸν δὴ τρόπον προσήκει, καθάπερ πεινῶντας καὶ διψῶντας, οὕτω τῇ διδασκαλίᾳ τῇ πνευματικῇ προσιέναι. οἱ γὰρ τοιοῦτοι οὐ μόνον μακαρισμῶν ἄξιοι, ἀλλὰ καὶ τῶν σπουδαζομένων ἐπιτεύξονται. καὶ γὰρ χορτασθήσονται, φησιν, τουτέστιν, ἐμπλησθήσονται, πληρώσουσιν αὐτῶν τὴν ἐπιθυμίαν τὴν πνευματικήν. ἐπεὶ οὖν τοιοῦτον ἔχομεν δεσπότην, οὕτως ἀγαθόν, οὕτω φιλότιμον, φέρε, καὶ ἡμεῖς ἐπ' αὐτὸν καταφύγωμεν, καὶ τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπασώμεθα, ἵνα καὶ αὐτὸς τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος φωτίσῃ ἡμῶν τὸν λογισμὸν πρὸς τὸ κατοπτεύειν τῶν θείων γραφῶν τὴν δύναμιν· καὶ ὑμεῖς δὲ μετὰ πολλῆς τῆς προθυμίας, καθάπερ πεινῶντες καὶ διψῶντες, οὕτω τὴν πνευματικὴν διδασκαλίαν ὑποδέξασθε. ἴσως γάρ, ἴσως ὁ ἀγαθὸς καὶ εὐμήχανος δεσπότης, κἂν ἡμεῖς εὐτελεῖς ὦμεν καὶ μηδενὸς λόγου ἄξιοι, ἀλλὰ [καὶ] δι' ὑμᾶς καὶ τὴν ὠφέλειαν τὴν ὑμετέραν χορηγήσει λόγον ἡμῖν ἐν ἀνοίξει τοῦ στόματος εἰς τὴν δόξαν αὐτοῦ καὶ εἰς οἰκοδομὴν ὑμετέραν. εἰς τὴν ἄνωθεν τοίνυν χάριν τὸ πᾶν ἐπιρρίψαντες, κἀκεῖνον ἐπικαλεσάμενοι τὸν σοφίζοντα τοὺς τυφλούς, καὶ τρανοῦντα τὰς γλώσσας τῶν μογιλάλων, ἁψώμεθα καὶ τῶν ″ πρόσφατον ἀνεγνωσμένων· ἵνα ἄνωθεν αὐτὸς χορηγήσῃ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, ταῦτα παραθῶμεν τῇ ὑμετέρᾳ ἀγάπῃ. ἀλλὰ συντείνατέ μοι, παρακαλῶ, τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς λεγομένοις, πάντα βιωτικὸν λογισμὸν ἑαυτῶν ἀποστήσαντες, ἵνα καθάπερ εἰς λιπαρὰν καὶ βαθύγεων ἄρουραν τῶν βοτανῶν καὶ τῶν ἀκανθῶν ἐκκεκαθαρμένων, οὕτω τὸν πνευματικὸν σπόρον καταβάλωμεν. Αὗται δέ, φησιν, αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ. τῷ θεῷ εὐηρέστησε Νῶε. ἄχρις τούτου τέλος ἔσχε τὰ τῆς διδασκαλίας χθές. διὸ χρὴ τὰ λειπόμενα σήμερον εἰς μέσον ″ προθεῖναι.

Ματθ. ε. ϛ.

γ. προσφάτως

γ. προσθεῖναι.

10 Ἐγέννησε δέ, φησι, Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ.

Οὐχ ἁπλῶς ἡμῖν ἡ θεία γραφὴ καὶ τὸν καιρὸν καὶ τὸν ἀριθμὸν ″ ἐπεσημήνατο τῶν παίδων τοῦ δικαίου, ἀλλὰ καὶ ἐντεῦθεν ἡμῖν λανθανόντως παραδηλῶσαι βουλομένη τῆς πολλῆς αὐτοῦ ἀρετῆς τὴν ὑπερβολήν. ἀνωτέρω γὰρ εἰποῦσα, ὅτι Νῶε ἦν ἐτῶν πεντακοσίων, τότε ἐπήγαγε, καὶ Ἐγέννησε τρεῖς υἱούς, διδάσκουσα ἡμᾶς τῆς ἐγκρατείας αὐτοῦ τὸ ὑπερβάλλον μέγεθος, καὶ ὅτι πάντων τῶν τότε ὄντων ἀνθρώπων τοσαύτῃ ἀκρασίᾳ κεχρημένων, καὶ πολλὴν τὴν λαγνείαν ἐπιδεικνυμένων, καὶ πάσης, ὡς εἰπεῖν, ἡλικίας ἐπὶ τὴν κακίαν αὐτομολησάσης (ἠκούετε γὰρ λεγούσης τῆς θείας γραφῆς, Ἰδὼν δὲ κύριος ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται τὰ πονηρὰ ἐπιμελῶς ἐν τῇ καρδίᾳ αὐτοῦ ἐκ νεότητος, καὶ σαφῶς ἡμῖν δεικνυούσης ὅτι καὶ

γ. ἐπεσημήναντο

κεφ. ϛ.

νέοι ἐνίκων τοὺς προβεβηκότας, καὶ οἱ γέροντες τῶν νέων οὐκ ἔλαττον ἐμάνησαν, καὶ ὅτι καὶ αὐτὴ ἡ ἀπειρόκακος ἡλικία πρὸς τὴν κακίαν πολλὴν εἶχε τὴν ῥοπήν) ἵνα τοίνυν μάθωμεν, ὅπως τούτων ἁπάντων πολλὴν τὴν λύσσαν καὶ τὴν μανίαν ἐπιδεικνυμένων, ὁ δίκαιος οὗτος ἔμεινε μόνος τὸν τῆς σωφροσύνης ἆθλον μετὰ τῆς ἄλλης ἀρετῆς κατορθῶν, μέχρις ὅτε εἰς τὸ πεντακοσιοστὸν ἔτος ἔφθασε. μετὰ τὸ εἰπεῖν γάρ, ἦν Νῶε ἐτῶν πεντακοσίων, τότε φησί, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς. Εἶδες, ἀγαπητέ, τοῦ δικαίου τὴν ὑπερβάλλουσαν ἐγκράτειαν. μὴ γὰρ δὴ ἁπλῶς αὐτὰ παραδράμωμεν, ἀλλὰ καὶ τὸν καιρὸν ἐννοήσαντες ἐκεῖνον καὶ τὴν κακίαν τὴν κατὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους διὰ τὴν πολλὴν ῥαθυμίαν ἐπιπολάζουσαν, σκοπήσωμεν πόσης ἦν ἀρετῆς καὶ φιλοθέου γνώμης ἐν τοσούτῳ μήκει χρόνου τῆς ἐπιθυμίας τὴν λύτταν χαλινῶσαι, καὶ ἀπεναντίας τοῖς ἄλλοις ἅπασιν ἐλθεῖν, καὶ μὴ μόνον τῆς "παρανόμου μίξεως ἀποσχέσθαι, ἀλλὰ καὶ τῆς νενομισμένης καὶ ἔξω τυγχανούσης ἐγκλημάτων.

" γρ. παραλόγου

Καὶ ἐγέννησε, φησι, Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. 11 Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.

Ἐμοὶ δοκεῖ τῇ τοῦ θεοῦ οἰκονομίᾳ ὑπηρετούμενον τὸν δίκαιον τοῦτον καὶ νῦν τῆς μίξεως ἀνασχέσθαι, καὶ τοὺς παῖδας τούτους ἔχειν. ἐπειδὴ γὰρ διὰ τὸ τῆς κακίας μέγεθος καὶ τὴν ὑπερβάλλουσαν πονηρίαν πανωλεθρίᾳ ἔμελλε τὴν οἰκουμένην καταλήψεσθαι, ὁ δὲ φιλάνθρωπος θεὸς καθάπερ ῥίζαν τινὰ καὶ ζύμην ἐβούλετο τὸν δίκαιον καταλιπεῖν, ἵνα ἀρχὴ γένηται μετὰ τὸν ἐκείνων ἀφανισμὸν τῶν μετὰ ταῦτα μελλόντων ἔσεσθαι, ταύτης ἕνεκεν τῆς αἰτίας μετὰ πεντακόσια ἔτη τούτους τοὺς τρεῖς παῖδας ἐσχηκὼς μέχρι τούτων ἵσταται, δεικνὺς δι' αὐτῶν τῶν πραγμάτων, ὅτι τῇ μελλούσῃ παρὰ τοῦ θεοῦ φιλανθρωπίᾳ εἰς τὸ τῶν ἀνθρώπων γένος ἔσεσθαι "ὑπηρετούμενος" τοῦτο πεποίηκε. καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς στοχασμός ἐστι ταυτὶ τὰ ῥήματα, σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἔσχεν ὁ δίκαιος * τρεῖς υἱούς, εὐθέως ἐπήγαγεν, Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. Εἶδες ἐπὶ τῆς αὐτῆς φύσεως πολλὴν καὶ ἄφατον τὴν διαφοράν. ἐπὶ μὲν γὰρ τοῦ δικαίου ἔλεγεν ἡ γραφή, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· ἐπὶ δὲ τῶν λοιπῶν ἁπάντων φησίν, Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. τῷ ὀνόματι τῆς γῆς τὸ τῶν ἀνθρώπων "πλῆθος ὀνομάζει. ἐπειδὴ γὰρ πᾶσαι αὐτῶν αἱ πράξεις γήϊναι ἐτύγχανον, διὰ τοῦτο τῷ τῆς γῆς ὀνόματι τὴν εὐτέλειαν αὐτῶν ἐμφαίνει καὶ τῆς κακίας τὴν ὑπερβολήν. καθάπερ γὰρ ἐπὶ τοῦ πρωτοπλάστου μετὰ τὴν παράβασιν καὶ τὴν ἀφαίρεσιν τῆς δόξης τῆς προτέρας περιστελλούσης αὐτόν, ἐν τῷ ἐπιτιμίῳ τοῦ θανάτου αὐτὸν ὑπαγαγὼν ἔλεγε, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, οὕτω δὴ καὶ ἐνταῦθα, ἐπειδὴ πολλὴ ἦν τῶν κακῶν ἡ ἐπίτασις, φησιν, ἐφθάρη ἡ γῆ· καὶ οὐχ ἁπλῶς εἶπεν, ἐφθάρη δὲ ἡ γῆ, ἀλλ' ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. τῷ μὲν εἰπεῖν, ἐφθάρη, πᾶσαν αὐτῶν τὴν κακίαν ἐνέφηνεν. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι ἑνὶ καὶ δύο καὶ τρισὶν ἁμαρτήμασιν ὑπευθύνους ἑαυτοὺς κατέστησαν, ἀλλὰ πάσας τὰς παρανομίας μετὰ πολλῆς τῆς δαψιλείας διεπράττοντο. διὸ καὶ ἐπήγαγε, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τὴν κακίαν ἐπετήδευον, ἀλλ' ἑκάστην ἁμαρτίαν μετὰ πολλῆς τῆς ἐπιτάσεως ἐπεδείκνυντο. καὶ ὅρα πῶς λοιπὸν οὐδὲ μνήμης αὐτοὺς ψιλῆς ἀξιῶσαι ἀνέχεται, ἀλλὰ τῷ τῆς γῆς ὀνόματι αὐτοὺς καλεῖ, δεικνῦσα * τῆς κακίας τὴν ὑπερβολήν, καὶ τῆς τοῦ θεοῦ ἀγανακτήσεως τὸ μέγεθος. ἐφθάρη δέ, φησιν, ἡ γῆ ἐναντίον τοῦ θεοῦ, τοῦτ' ἔστιν ἀπ' ἐναντίας τοῖς τοῦ θεοῦ προστάγμασιν ἅπαντα διεπράττοντο, καταπατοῦντες τὰς τοῦ θεοῦ ἐντολάς, καὶ τὸν ἐν τῇ φύσει κείμενον τῇ ἀνθρωπίνῃ

" γρ. τοῦτο καὶ ποιῆσαι ὑπεδέξατο.

* τοὺς

" γρ. γένος

* καὶ

διδάσκαλον διὰ τῆς οἰκείας ῥαθυμίας προδεδωκότες. καὶ ἐπλήσθη, φησὶν, ἡ γῆ ἀδικίας. εἶδες, ἀγαπητὲ, ὅσον κακὸν ἁμαρτία, πῶς καὶ αὐτῆς τῆς προσηγορείας καὶ τοῦ ἀνθρώπους ὀνομάζεσθαι λοιπὸν ἀναξίους ἐργάζεται. ἄκουε πάλιν καὶ τῶν ἑξῆς.

12 Καὶ εἶδε κύριος ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη.

Ὅρα πάλιν γῆν αὐτοὺς ὀνομαζομένους. εἶτα ἐπειδὴ καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον γῆν αὐτοὺς ὠνόμασεν, ἵνα μή τις ὑπολάβῃ περὶ τῆς γῆς τῆς αἰσθητῆς ταῦτα εἰρῆσθαί, φησιν,

Ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς.

Οὐδὲ νῦν ἀνθρώποις αὐτοὺς καλέσαι κατηξίωσεν, ἀλλὰ τῷ τῆς σαρκὸς ὀνόματι μόνον" ἐνδείξασθαι ἡμῖν βούλεται, ὅτι οὐ περὶ τῆς γῆς ταῦτά φησιν, ἀλλὰ περὶ τῶν ἀνθρώπων τῶν σάρκα περικειμένων καὶ ταῖς γηΐναις πράξεσιν ἑαυτοὺς καταναλωσάντων. ἔθος γὰρ τῇ γραφῇ, καθάπερ πολλάκις εἴπομεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοὺς σαρκικὸν φρόνημα ἐπιδειξαμένους καὶ μηδὲν ὑψηλὸν φανταζομένους τῷ τῆς σαρκὸς ὀνόματι προσαγορεύειν· καθάπερ καὶ ὁ μακάριος Παῦλός φησιν, Οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται. τί οὖν; αὐτὸς ὁ ταῦτα λέγων οὐχὶ σάρκα περιέκειτο; ἀλλ' οὐ τοῦτό φησιν, ὅτι οἱ σάρκα περικείμενοι οὐ δύνανται ἀρέσαι οὕτοι θεῷ, ἀλλ' ὅτι οἱ μηδένα τῆς ἀρετῆς λόγον ποιούμενοι, ἀλλὰ" πάντα τὰ σαρκικὰ φρονοῦντες, καὶ περὶ τὰς ταύτης ἡδονὰς κατασπώμενοι, καὶ μηδεμίαν τῆς ψυχῆς τῆς ἀσωμάτου καὶ νοερᾶς φροντίδα ποιούμενοι. ἐπεὶ οὖν διὰ τῶν εἰρημένων ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφὴ τῶν ἁμαρτημάτων τὸ πλῆθος, τῆς κακίας τὴν ὑπερβολὴν, τῆς ἀγανακτήσεως τοῦ θεοῦ τὸ μέγεθος, καὶ ὅτι διὰ τὴν τῶν παρανόμων ἔργων ἐπιτήδευσιν καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον γῆν αὐτοὺς ὠνόμασε," καὶ τῷ τῆς σαρκὸς ὀνόματι προσηγόρευσεν ἀποστερήσασα τοῦ τῆς κοινῆς φύσεως ὀνόματος, διὰ τῶν ἐπαγομένων τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν ἡμῖν ἐνδείκνυται καὶ τῆς συγκαταβάσεως τὴν ὑπερβολήν. τί γάρ φησι; καὶ εἶπε κύριος ὁ θεὸς πρὸς Νῶε. ὅρα ἀγαθότητος ὑπερβολήν. καθάπερ γὰρ φίλος φίλῳ, οὕτω λοιπὸν κοινοῦται τῷ δικαίῳ περὶ τῆς τιμωρίας, ἣν ἐπάγειν μέλλει τῷ τῶν ἀνθρώπων γένει,

13 Καί φησι, καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν. καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν.

Τί ἐστι καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ; πολλήν, φησιν, ἐπεδειξάμην τὴν μακροθυμίαν, πολλὴν τὴν ἀνεξικακίαν, οὐ βουλόμενος ταύτην ἐπάγειν τὴν τιμωρίαν, ἣν ἐπαγαγεῖν μέλλω· ἀλλ' ἐπειδὴ πολλὴ τῶν ἁμαρτημάτων αὐτοῖς ἡ ὑπερβολὴ [καὶ] εἰς αὐτὸν ἤγαγεν αὐτοὺς τὸν καιρὸν, καὶ τέλος δεῖ λοιπὸν ἐπιτεθῆναι καὶ" ἐκκοπῆναι αὐτῶν τὴν κακίαν, ὥστε μὴ περαιτέρω προβῆναι. καιρὸς γάρ, φησι, παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. ὅρα καὶ ἐνταῦθα πῶς καθάπερ ἀνωτέρω ἔλεγε, πᾶς τις διανοεῖται, οὕτω καὶ νῦν, παντὸς ἀνθρώπου. πάντες γὰρ συμφωνοῦσι καὶ πρὸς τὴν παρανομίαν ηὐτομόλησαν φησὶ, καὶ οὐκ ἔστιν εὑρεῖν ἐν τοσούτῳ πλήθει τινὰ ἀρετῆς [ἐπιμελούμενον ἢ] λόγον ποιούμενον. καιρὸς γάρ, φησι, παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. καιρὸς ἥκει, τουτ' ἔστιν, ἔφθασεν ὁ καιρὸς, καθ' ὃν δεῖ τὴν τομὴν ἐπιθεῖναι, καὶ τὴν νομὴν τοῦ ἕλκους ἐπισχεῖν. καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. ὡσανεὶ μηδενὸς ἐφορῶντος καὶ μέλλοντος εὐθύνας ἀπαιτεῖν τῶν αὐτοῖς πεπλημμελημένων, οὕτω πρὸς τὰς παρανόμους πράξεις ἑαυτοὺς ἐξέδωκαν, οὐκ ἐννοοῦντες ὅτι ἐμὲ λαθεῖν οὐχ οἷοί τε τὸν τὴν σύστασιν τῆς ζωῆς χαριζόμενον, καὶ σῶμα καὶ ψυχὴν χαρισάμενον, καὶ τοσούτων ἀγαθῶν τὴν

χορηγίαν

ἐπιδείξασθαι

μόνον τὰς
ικὸς φρονο-
μενοι,

καὶ πάρκτος,
αξίους αὐτοὺς
ίνασα τὸ τῆς

ἐγκοπῆναι

Ρωμ. η. η.

χορηγίαν παρεσχηκότα. καιρὸς τοίνυν παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. Εἶτα ὥσπερ ἀπολογούμενος τῷ δικαίῳ, καὶ δεικνὺς ὅτι ἡ τῶν ἡμαρτημένων αὐτοῖς ὑπερβολὴ εἰς "ταύτην αὐτὸν ἐκκαλεῖται τὴν ἀγανάκτησιν, φησιν, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν. μὴ γὰρ παρέλιπόν τι, φησι, τῶν εἰς κακίαν συντεινόντων; τοσοῦτον ἐπεδείξαντο μέγεθος, ὡς καὶ ὑπερβλύζειν λοιπὸν τὴν κακίαν, καὶ πᾶσαν τὴν γῆν τῆς κακίας ἐμπεπλῆσθαι. διά τοι τοῦτο καὶ αὐτοὺς καταφθείρω καὶ τὴν γῆν. καὶ ἰδού, φησιν, ἐγὼ καταφθερῶ αὐτοὺς καὶ τὴν γῆν. ἐπειδὴ αὐτοὶ προλαβόντες διὰ τῶν παρανόμων πράξεων ἑαυτοὺς κατέφθειραν, διὰ τοῦτο παντελῆ πανωλεθρίαν ἐπάγω, καὶ ἀφανισμὸν ἐργάζομαι καὶ αὐτῶν καὶ τῆς γῆς, ἵνα καθαρμόν τινα δέξασθαι δυνηθῇ ἡ γῆ, καὶ "ἀποκαθαίρηται τοῦ ῥύπου τῶν τοσούτων ἁμαρτημάτων. ἐννόει μοι λοιπόν, ποίαν εἰκὸς ἔχειν ψυχὴν τὸν δίκαιον τοῦτον ταῦτα ἀκούοντα [τὰ ῥήματα] παρὰ τοῦ δεσπότου. εἰ γὰρ καὶ πολλὴν ἀρετὴν ἑαυτῷ συνῄδει, ἀλλ' ὅμως οὐκ ἀναλγήτως ἐδέχετο τὰ λεγόμενα. φιλόστοργον γὰρ τῶν δικαίων τὸ γένος, καὶ ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας πάντα ἂν ἕλοιντο εὐκόλως ὑπομεῖναι. πῶς τοίνυν εἰκὸς ἦν ἐκ τῶν ῥημάτων τούτων "συνέχεσθαι τὸν θαυμάσιον τοῦτον, ὑπογράφοντα ἤδη τῷ λογισμῷ τὴν ἁπάντων ἀπώλειαν καὶ τὴν τῆς κτίσεως ἁπάσης φθοράν, ἴσως οὐδὲ περὶ ἑαυτοῦ τι χρηστὸν ὑποπτεύοντα; οὐδέπω γὰρ ἦν αὐτῷ τοῦτο φανερόν. ἵν' οὖν μὴ διαταράττηται τὸν "λογισμόν, ἀλλὰ μικρὰν ἵνα παραμυθίαν ἐν τῷ τοσούτῳ μεγέθει τῆς ἀθυμίας σχεῖν δυνηθῇ, ἐπειδὴ ἐδίδαξεν αὐτὸν τῆς κακίας αὐτῶν τὴν ὑπερβολήν, καὶ ὅτι καιρὸς κατεπείγει λοιπὸν ἀπαιτῶν βαθεῖαν αὐτοὺς δέξασθαι τὴν τομήν, φησι πρὸς αὐτόν· ἐκείνους μὲν κοινὸς ὄλεθρος ἐκδέξεται,

γρ. τοσαύτην

γρ. ἀποκαθαρθῇ ἑαυτῆς

γρ. συγχεῖσθαι

γρ. τὸν λογισμῷ

14 Σὺ δὲ ποίησον σεαυτῷ κιβωτόν.

Τί ἐστι, σὺ δέ; ἐπειδὴ οὐκ ἐκοινώνησας αὐτοῖς τῆς κακίας, ἀλλὰ [καὶ] μετὰ ἀρετῆς τὸν βίον ὅλον διήνυσας, διὰ τοῦτό σοι προστάττω κιβωτὸν κατασκευάσαι

Εκ ξύλων τετραγώνων ἀσήπτων. νοσσιὰς ποιήσεις τὴν κιβωτόν, καὶ ἀσφαλτώσεις ἔξωθεν καὶ ἔσωθεν αὐτὴν τῇ ἀσφάλτῳ. 15 Εσω δὲ τ' πηχέων τὸ μῆκος, καὶ ν' τὸ πλάτος, καὶ λ' τὸ ὕψος. 16 Επισυνάγων ποιήσεις τὴν κιβωτόν, καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν ποιήσεις ἐκ πλαγίων. "κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτήν.

γρ. κατώγαια

Σκόπει θεοῦ συγκατάβασιν καὶ δύναμιν ἄφατον καὶ φιλανθρωπίαν πάντα λόγον ὑπερβαίνουσαν. ὁμοῦ καὶ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐπιδείκνυται προστάττων αὐτῷ τὴν κιβωτὸν κατασκευάσαι, καὶ διαταξάμενος καὶ τὸν τρόπον τῆς κατασκευῆς, καὶ τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος, καὶ παραμυθίαν αὐτῷ παρέξεται μεγίστην ἐλπίδας αὐτῷ σωτηρίας ὑπογράφων διὰ τῆς κατασκευῆς, κἀκείνους τοὺς τοσαῦτα ἡμαρτηκότας βουλόμενος διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ εἰς ἔννοιαν ἐλθόντας τῶν αὐτοῖς εἰργασμένων καὶ μετάνοιαν ἐπιδειξαμένους τῆς ἀγανακτήσεως πεῖραν μὴ λαβεῖν. οὐδὲ γὰρ ὀλίγος χρόνος πάλιν αὐτοῖς πρὸς μετάνοιαν παρεσχέθη διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ, ἀλλὰ καὶ σφόδρα πολύς, καὶ ἱκανός, εἰ μὴ σφόδρα ἦσαν ἀγνώμονες, "καταπλῆξαι πρὸς τὴν διόρθωσιν τῶν ἐπταισμένων. εἰκὸς γὰρ ἕκαστον αὐτῶν ὁρῶντα τὸν δίκαιον τεκταινόμενον τὴν κιβωτόν, τὴν αἰτίαν πυνθάνεσθαι τῆς κατασκευῆς· εἶτα μαθόντα τοῦ θεοῦ τὴν ἀγανάκτησιν, εἰς αἴσθησιν ἐλθεῖν τῶν οἰκείων ἁμαρτημάτων, εἴ γε ἐβούλοντο. ἀλλ' ἐκεῖνοι οὐδὲ ἐντεῦθεν ἐκέρδηνάν τι πλέον, οὐκ ἐπειδὴ οὐκ ἠδύναντο, ἀλλ' ἐπειδὴ οὐκ ἐβουλήθησαν. ἐπειδὴ τοίνυν τὰ περὶ τῆς κατασκευῆς τῆς κιβωτοῦ τῷ δικαίῳ διετάξατο, κοινοῦται αὐτῷ καὶ τῆς τιμωρίας τὸ εἶδος, ἧς ἤμελλεν "ἐπάγειν, καὶ φη-

γρ. καταπληχθῆναι

γρ. ἐπαγαγεῖν

σι· σὺ μὲν ταύτην κατασκεύασον καθὰ σοι διεταξάμην· ἐγὼ δὲ, ἐπειδὰν πληρώσῃς τὴν κατασκευὴν, καὶ τὰ μετὰ σὲ ἐν ἀσφαλείᾳ καταστήσω.

17 Ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν, ὕδωρ ἐπὶ τὴν γῆν, καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστι πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ. καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς, τελευτήσει.

Ὅρα πῶς καὶ διὰ τῆς ἀπειλῆς δείκνυσι τῶν ἡμαρτημένων αὐτοῖς τὸ μέγεθος, καί φησι, καὶ τὴν αὐτὴν τιμωρίαν ἐπάξω καὶ τοῖς λογικοῖς καὶ τοῖς ἀλόγοις. ἐπειδὴ γὰρ τὴν ἑαυτῶν προεδρίαν προδεδώκασι, καὶ πρὸς τὴν τῶν ἀλόγων μετέπεσαν κακίαν, οὐδεμίαν διαφορὰν ἕξει ἡ τιμωρία. ἐπάγω γὰρ κατακλυσμὸν ὕδατος καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστι πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ. καὶ τὰ κτήνη, φησὶ, καὶ τὰ πετεινὰ καὶ τὰ θηρία καὶ τὰ τετράποδα καὶ ὅσα ἂν ᾖ ὑποκάτω τοῦ οὐρανοῦ, καταφθαρήσεται. καὶ ἵνα μάθῃς ὅτι οὐδὲν ὑπολειφθήσεται, φησι, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς, τελευτήσει. καὶ γὰρ καθαρσίου λοιπὸν δεῖται ἡ οἰκουμένη· ἀλλὰ τοῦτο μή σε ταραττέτω μηδὲ συγχείτω σου τὸν λογισμόν. ὁρῶν γὰρ αὐτῶν τοῦ ἕλκους τὸ ἀνίατον, στῆσαι βούλομαι τὰ τῆς κακίας ῥεύματα, ἵνα μὴ μείζοσι τιμωρίαις ἑαυτοὺς ὑπευθύνους καταστήσωσι. διὸ καὶ νῦν τὴν ἑαυτοῦ φιλανθρωπίαν μιμούμενος καὶ ἀγαθότητι κεραννὺς τὴν ἀγανάκτησιν, τοιαύτην ἐπάγει τὴν τιμωρίαν, ὡς ἀνώδυνον αὐτοῖς γενέσθαι καὶ ἀνεπαίσθητον. οὐδὲ γὰρ πρὸς τὸ τῶν ἡμαρτημένων αὐτοῖς μέγεθος ἀφορῶν, οὐδὲ τίνων ἄξιοι τυγχάνουσιν, ἀλλὰ τὰ μετὰ ταῦτα προορῶν καὶ τούτοις βούλομαι τὴν ἁρμόττουσαν τιμωρίαν ἐπαγαγεῖν, καὶ τοὺς ἑξῆς μέλλοντας ἔσεσθαι τῆς ἐκ τούτων ἀπαλλάξαι λύμης. μὴ τοίνυν κατηφὴς ἔσο, μηδὲ θορυβοῦ ταῦτα ἀκούων. εἰ γὰρ καὶ ἐκείνους ἀξία τῶν ἡμαρτημένων δίκη καταλήψεται,

ὅσα ἐστὶν

18 Ἀλλὰ στήσω τὴν διαθήκην μου μετὰ σοῦ.

Ἐπειδὴ πάντες οἱ προλαβόντες ἀναξίους ἑαυτοὺς κατέστησαν, καὶ οὐ γεγόνασιν εὐγνώμονες περὶ τὰς ἐμὰς ἐντολὰς, μετὰ σοῦ λοιπὸν στήσω τὴν διαθήκην μου. καὶ γὰρ ὁ πρωτόπλαστος μετὰ τοσαύτας εὐεργεσίας ἀπάτην ὑπομείνας παρέβη μου τὰς ἐντολὰς, καὶ ὁ ἐξ ἐκείνου πάλιν τεχθεὶς εἰς αὐτὸν τὸν τῆς κακίας πυθμένα ὤλισθε, διὸ καὶ διηνεκῆ τὴν τιμωρίαν ἐδέξατο μετὰ τῆς κατάρας, ἀλλ' οὐδὲ ταῖς τούτου τιμωρίαις οἱ μετ' αὐτὸν ἐσωφρονίσθησαν· ἀλλὰ καὶ ἐπεδαψιλεύσαντο, ὡς καὶ τῆς γενεαλογίας αὐτοὺς ἀποδοκιμασθῆναι. μετὰ δὴ ταῦτα εὑρὼν τὸν Ἐνὼχ τῆς ἀρετῆς τὴν εἰκόνα διασώζοντα, διὰ τὴν πολλὴν εὐαρέστησιν ζῶντα αὐτὸν μετέθηκα, δεικνὺς καὶ τοῖς τὴν ἀρετὴν μετιοῦσιν ὅσων καταξιοῦνται τῶν ἀμοιβῶν, καὶ βουλόμενος τοὺς ἑξῆς ζηλωτὰς ἐκείνου καταστῆσαι, καὶ τὴν αὐτὴν ἐκείνῳ βαδίσαι ὁδόν. ἐπεὶ τοίνυν, πάντων λοιπὸν ἐπὶ τὴν κακίαν αὐτομολησάντων, σε μόνον εὗρον ἐν τοσούτῳ πλήθει δυνάμενον ἀνακαλέσασθαι τοῦ προπάτορος τὴν παράβασιν, μετὰ σοῦ στήσω τὴν διαθήκην μου. ἡ γὰρ τῶν βεβιωμένων σοι πρᾶξις ἀξιόπιστόν σε δείκνυσι πρὸς τὸ δέξασθαι τὰς παρ' ἐμοῦ ἐντολάς. Εἶτα ἵνα μὴ καὶ ταῦτα ἀκούων ὁ δίκαιος ἐκεῖνος ἔτι ἀθυμῇ, ὡς μόνος μέλλων καταλειφθήσεσθαι, παραμυθούμενος αὐτὸν, ὡς εἰπεῖν, πάλιν φησίν·

Εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ.

Εἰ γὰρ καὶ πολὺ τῆς τοῦ δικαίου ἀρετῆς ἐλείποντο, ἀλλ' ὅμως τῆς ὑπερβαλλούσης ἐκείνων κακίας ἐκτὸς ἦσαν· ἄλλως δὲ καὶ διὰ δύο ταύτας τὰς αἰτίας τῆς σωτηρίας ἀπολαύουσι, μίαν μὲν εἰς τιμὴν τοῦ δικαίου. ἔθος γὰρ τῷ φιλανθρώπῳ θεῷ τιμᾶν

τοὺς αὐτοῦ δούλους, καὶ χαρίζεσθαι αὐτοῖς πολλάκις τὴν ἑτέρων σωτηρίαν· ὃ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου πεποίηκε τοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ πανταχοῦ τὰς ἀκτῖνας τῆς οἰκείας διδασκαλίας ἀφιέντος. ἡνίκα γὰρ δέσμιος ἐπὶ τὴν Ῥώμην ἀνήγετο, χειμῶνος κατὰ τὴν θάλατταν πολλοῦ γινομένου, καὶ πάντων τῶν ἐν τῷ πλοίῳ περὶ αὐτῆς τῆς σωτηρίας δεδοικότων, καὶ οὐδεμίαν ἐλπίδα χρηστὴν ἐχόντων διὰ τὸ τοῦ κλυδωνίου μέγεθος, καλέσας ἅπαντας φησίν, Εὐθυμεῖτε ἄνδρες· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ἡμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω, ἄγγελος λέγων, μὴ φοβοῦ Παῦλε· κεχάρισται γάρ σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. Εἶδες πῶς ἡ ἀρετὴ τοῦ ἀνδρὸς τὴν σωτηρίαν ἐκείνοις προεξένησε, μᾶλλον δὲ οὐχ ἡ ἀρετὴ μόνον, ἀλλὰ καὶ ἡ φιλανθρωπία τοῦ δεσπότου. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, διὰ μίαν μὲν αἰτίαν ταύτην· δι᾽ ἑτέραν δέ, ἐπειδὴ ἐβούλετο ζύμην τινὰ καὶ ῥίζαν τοῦ μέλλοντος εἰς τὸ ἑξῆς σώζεσθαι γένους καταλειφθῆναι. οὐκ ἐπειδὴ ἀδύνατον ἦν τῷ θεῷ καὶ ἄνωθεν πάλιν διαπλάσαι, καὶ ἐξ ἑνὸς μόνου τὸ γένος αὐξῆσαι, ἀλλ᾽ ἐπειδὴ οὕτως'' ἐδοκίμασε τὴν οἰκείαν ἀγαθότητα μιμούμενος. σκόπει δὲ καὶ διὰ τῶν ἑξῆς τοῦ φιλανθρώπου θεοῦ τὴν ἀγαθότητα. ὥσπερ γὰρ ἐν τῇ ἀπειλῇ τῆς τιμωρίας μετὰ τοῦ τῶν ἀνθρώπων γένους καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ καὶ τὰ θηρία ἀπολέσθαι εἶπεν, οὕτω καὶ ἐνταῦθα διὰ τὸν δίκαιον καὶ ἐκ τούτων εἰσαχθῆναι εἰς τὴν κιβωτὸν ἀφ᾽ ἑκάστου γένους προστάττει μίαν συζυγίαν, ὥστε σπέρμα καὶ ἀπαρχὴν γενέσθαι τοῦ μετὰ ταῦτα μέλλοντος ἔσεσθαι πλήθους.

Πράξ. κζ. κε.

γρ. ηὐδόκησε

19 Καὶ ἀπὸ πάντων, φησί, τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ πάσης σαρκός, δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτόν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ. ἄρσεν καὶ θῆλυ ἔσονται. 20 Ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος, δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σέ, τρέφεσθαι μετὰ σεαυτοῦ, ἄρσεν καὶ θῆλυ.

Τοῦτο μὴ ἁπλῶς παραδράμῃς, ἀγαπητέ. ἐννόησον γὰρ ὅσον ἔτικτε τῷ δικαίῳ τὸν θόρυβον ἐννοοῦντι τὴν τούτων ὅλων ἐπιμέλειαν. οὐ γὰρ ἤρκει αὐτῷ ἡ φροντὶς τῆς γυναικὸς καὶ τῶν παίδων καὶ τῶν τούτων γυναικῶν, ἀλλὰ καὶ ἡ μέριμνα τῶν τοσούτων ἀλόγων καὶ ἡ διατροφὴ προσετίθετο. ἀλλ᾽ ἀνάμεινον μικρόν, καὶ ὄψῃ τοῦ θεοῦ τὴν ἀγαθότητα, καὶ ὅπως ἐπικουφίζει τὴν ἐπικειμένην φροντίδα τῷ δικαίῳ.

21 Σὺ δὲ λήψῃ σεαυτῷ, φησίν, ἀπὸ πάντων τῶν βρωμάτων, ὧν ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτόν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν.

Μὴ νομίσῃς, φησίν, ἀπρονόητόν σε καταλιμπάνεσθαι. ἰδοὺ γὰρ προστάττω καὶ τὰ πρὸς τὴν ὑμετέραν τροφὴν ἀρκοῦντα, καὶ τὰ πρὸς διατροφὴν τῶν ἀλόγων ἅπαντα εἰσαχθῆναι εἰς τὴν κιβωτόν, ὥστε μήτε ὑμᾶς λιμοῦ καὶ στενοχωρίας πεῖραν λαβεῖν, μήτε τὰ ἄλογα διαφθαρῆναι οὐκ ἔχοντα τὴν κατάλληλον τροφήν.

22 Καὶ ἐποίησε, φησί, Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός, οὕτως ἐποίησεν.

Ὅρα μοι πάλιν καὶ ἐνταῦθα ἐγκωμίου μέγεθος. ἐποίησε, φησί, Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός, οὐ τὸ μὲν τῶν ἐπιταχθέντων εἰς ἔργον ἤγαγε, τοῦ δὲ ἠμέλησεν, ἀλλὰ πάντα τὰ ἐνταλθέντα ἐποίησε, καὶ οὕτως ἐποίησεν, ὡς ἐνετείλατο αὐτῷ. οὐδὲν παρέλιπεν, ἀλλὰ πάντα ἐπλήρωσε, καὶ ἔδειξε καὶ δι᾽ αὐτῶν τῶν ἔργων, ὅτι δικαίως ἠξιώθη'' εὐνοίας παρὰ τοῦ δεσπότου. πόσων στεφάνων οὐκ ἀξία ἂν γένοιτο ἡ μαρτυρία αὕτη.

γρ. προνοίας

κεφ. ζ.

αὕτη, ἧς ἀπήλαυσε παρὰ τῆς θείας γραφῆς ὁ δίκαιος; τίς ἂν γένοιτο τούτου μακαριώτερος τοῦ τὰ πάντα εἰς ἔργον ἀγαγόντος τὰ παρὰ τοῦ θεοῦ ἐνταλθέντα, καὶ τοσαύτην ὑπακοὴν περὶ τὰ ἐπιταχθέντα ἐπιδειξαμένου; καὶ ἵνα μάθῃς ὅσης ἀξιοῦται διὰ τοῦτο τῆς παρρησίας παρὰ τοῦ τῶν ἁπάντων δημιουργοῦ, ἄκουε τῶν ἑξῆς.

1 Καὶ εἶπε, φησι, κύριος ὁ θεὸς πρὸς τὸν Νῶε, εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτόν.

κεφ. ζ.

Εἶτα ἵνα μάθωμεν ὡς οὐ χάριτι μόνον σώζει τὸν δίκαιον, ἀλλὰ καὶ τῶν πόνων τὰς ἀμοιβὰς αὐτῷ δίδωσι καὶ τῆς ἀρετῆς τὰς ἀντιδόσεις, φησὶ, διὰ τοῦτό σε προστάττω εἰς τὴν κιβωτὸν εἰσελθεῖν μετὰ τοῦ οἴκου σου,

Ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ.

τί γὰρ ἂν γέ-
ιτο ταύτης :
ζων,

Μεγάλη καὶ ἀξιόπιστος ἡ μαρτυρία. Τίς γὰρ ἂν γένοιτο ταύτης μείζων, ὅταν αὐτὸς ὁ δημιουργὸς καὶ εἰς τὸ εἶναι παραγαγὼν, τοιαῦτα ψηφίζηται περὶ τοῦ δικαίου; ὅτι σέ, φησιν, εἶδον δίκαιον ἐναντίον μου. ἀληθὴς ἀρετὴ αὕτη, ὅταν ἐναντίον τοῦ θεοῦ τις ταύτην ἐπιδείκνυται, ὅταν ὁ ὀφθαλμὸς ἐκεῖνος ὁ ἀπαραλόγιστος τὴν ψῆφον φέρῃ. Εἶτα διδάσκων ἡμᾶς ὁ φιλάνθρωπος θεὸς τὸ μέτρον τῆς ἀρετῆς, ὅπερ ἀπῄτει τότε παρὰ τοῦ δικαίου (οὐ γὰρ τὸ αὐτὸ μέτρον παρ' ἑκάστου βούλεται τῆς ἀρετῆς εἰσφέρεσθαι, ἀλλὰ τῇ διαφορᾷ τῶν χρόνων καὶ τὴν διαφορὰν τῆς ἀρετῆς ἐπιζητεῖ) φησιν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ, τῇ πρὸς τοσαύτην κακίαν ἀποκλινάσῃ· ἐν τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ, τῇ τοσαύτην ἀγνωμοσύνην ἐπιδειξαμένῃ, σε εἶδον δίκαιον, σε μόνον εὗρον εὐγνώμονα, σε εἶδον τῆς ἀρετῆς πολὺν ποιούμενον λόγον· σὺ μόνος ἐναντίον μου δίκαιος ὤφθης, [καὶ] τούτων ἁπάντων ἀπολλυμένων, σε προστάττω εἰσελθεῖν μετὰ τοῦ οἴκου σου παντὸς εἰς τὴν κιβωτόν. ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν κελεύω εἰσαγαγεῖν σε ἑπτὰ ἑπτά. ἐπειδὴ προλαβὼν προσέταξεν ἀδιορίστως ἀπὸ πάντων μίαν συζυγίαν εἰσαχθῆναι, διὰ τοῦτο νῦν φησιν,

.ἐπιμετρεῖ

2 Ἀπὸ μὲν τῶν καθαρῶν ἑπτὰ ἑπτά, ἀπὸ δὲ τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ.

Εἶτα τὴν αἰτίαν διδάσκων ἐπήγαγε,

3 Διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν.

Ἄξιον δὲ ἐνταῦθα διερευνῆσαι καὶ ἰδεῖν, πόθεν ᾔδει ὁ δίκαιος τίνα μὲν καθαρά, τίνα δὲ ἦν ἀκάθαρτα. οὐδέπω γὰρ ἦν ἡ διαίρεσις αὕτη γεγενημένη, ἣν μετὰ ταῦτα Μωϋσῆς ἐνομοθέτησε τοῖς Ἰουδαίοις. πόθεν οὖν ᾔδει; οἴκοθεν κινούμενος ἀπὸ τῆς ἐν τῇ φύσει ἐναποκειμένης διδασκαλίας, μετὰ δὲ ταύτης καὶ ὁ λογισμὸς ὑπηγόρευσεν. οὐδὲν γὰρ ἀκάθαρτον τῶν παρὰ τοῦ θεοῦ γεγενημένων. πῶς γὰρ ἀκάθαρτόν τι καλέσαιμεν τῶν δημιουργηθέντων, ἅπαξ τῆς ἄνωθεν ψήφου ὑπὲρ αὐτῶν γεγενημένης, καὶ εἰπούσης τῆς θείας γραφῆς, ὅτι εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν; ἀλλὰ λοιπὸν ἡ φύσις ἀφ' ἑαυτῆς κινουμένη τὴν διάκρισιν ταύτην ἐπεδείξατο. καὶ ὅτι τοῦτο ἐστιν ἀληθές, ἐννόησόν μοι ἔτι καὶ νῦν, ὅπως ἐν τισὶ μὲν τόποις τινῶν ἀπέχονται ἔνιοι, ὡς ἀκαθάρτων καὶ μὴ νενομισμένων, ἔνιοι δὲ πάλιν τούτων τὴν μετάληψιν ποιοῦνται, τῆς συνηθείας αὐτοὺς ἐπὶ τοῦτο ἀγούσης. οὕτως οὖν καὶ τότε αὕτη ἡ ἐναποκειμένη γνῶσις τῷ δικαίῳ ἐδίδασκε, τίνα μὲν ἦν πρὸς βρῶσιν ἐπιτήδεια, τίνα δὲ ἀκάθαρτα, οὐκ ὄντα, ἀλλὰ νομιζόμενα. τίνος γὰρ ἕνεκεν ἀκάθαρτον, εἰπέ μοι, ἡγούμεθα τὸν ὄνον, καί τοι οὐδὲν ἕτερον σιτούμενον ἢ σπέρματα, ἕτερα δὲ τῶν τετραπόδων πρὸς βρῶσιν ἐπιτήδεια νομίζομεν, καί τοι ἀκαθάρτου τροφῆς μεταλαμβάνοντα; οὕτως ἡ παρὰ τοῦ θεοῦ χορηγηθεῖσα τοῖς

.αὐ

.τῇ φύσει

ἀνθρώποις φυσικὴ γνῶσις τούτων διδάσκαλος ἐγένετο. ἑτέρως δὲ ἔστιν εἰπεῖν, ὅτι καὶ ὁ προστάξας θεὸς τὴν γνῶσιν αὐτῷ τούτων δήλην ἐποίησεν. ἀλλὰ περὶ μὲν τῶν καθαρῶν καὶ ἀκαθάρτων ἀρκούντως εἰρήκαμεν. πάλιν δὲ ἕτερον ἡμῖν ἀνακύπτει ζήτημα, τί δήποτε ἀπὸ μὲν τῶν ἀκαθάρτων δύο δύο, ἀπὸ δὲ τῶν καθαρῶν ἑπτὰ ἑπτά; καὶ πάλιν τίνος ἕνεκεν οὐχ ἓξ οὐδὲ ὀκτώ, ἀλλ' ἑπτά; τάχα εἰς πολὺ μῆκος ὁ λόγος ἡμῖν ἐκτείνεται, ἀλλ' εἰ μὴ ἀπεκάμετε καὶ βούλεσθε, συντόμως καὶ περὶ τούτων διδάξωμεν τὴν ὑμετέραν ἀγάπην, ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις χορηγήσῃ. πολλοὶ γὰρ πολλὰ περὶ τούτων μυθολογοῦσι, καὶ ἐντεῦθεν ἀφορμὴν λαμβάνοντες παρατηρήσεις ἀριθμῶν [τινων] ἐπιδείκνυνται. ὅτι δὲ οὐκ ἔστι παρατήρησις, ἀλλ' ἡ ἄκαιρος φιλοπραγμοσύνη τῶν ἀνθρώπων ταῦτα ἀναπλάττειν ἐπιχειρεῖ, ὅθεν καὶ αἱ πλείους τῶν αἱρέσεων ἐτέχθησαν, αὐτίκα μάλα εἴσεσθε. καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον, ἵνα δόξωμεν ὡς ἐκ περιουσίας ἐπιστομίζειν τοὺς τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπεισφέροντας, " εὑρήσομεν ἐν ταῖς θείαις γραφαῖς μᾶλλον τὸν τῆς συζυγίας ἀριθμὸν σωζόμενον. καὶ γὰρ ἡνίκα ἀπέστειλε τοὺς μαθητάς, δύο δύο αὐτοὺς ἀπέστειλε, καὶ αὐτοὶ δὲ πάντες δώδεκα ἦσαν, καὶ τὰ εὐαγγέλια τέσσαρα ἀριθμόν ἐστιν. ἀλλὰ ταῦτα περιττὸν κινεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης δεδιδαγμένης ἅπαξ τοῖς τοιούτοις ἀποφράττειν τὰς ἀκοάς. ἀναγκαῖον δὲ λοιπὸν εἰπεῖν, τίνος ἕνεκεν ἑπτὰ ἑπτὰ ἀπὸ τῶν καθαρῶν εἰσαχθῆναι εἰς τὴν κιβωτὸν προσέταξε. τὸ μὲν πλείονα προστάξαι τῶν καθαρῶν εἰσαχθῆναι, διὰ τὸ παραμυθίαν τινὰ ἔχειν καὶ τὸν δίκαιον καὶ τοὺς σὺν αὐτῷ τῆς ἐξ ἐκείνων ἀπολαύσεως μετέχοντας· τὸ δὲ ἑπτὰ ἑπτά, καὶ τοῦτο πάλιν, εἰ τὴν αἰτίαν μάθοιτε, ἀπόδειξις ἂν εἴη μεγίστη τῆς φιλοθέου γνώμης " τοῦ δικαίου. ἐπειδὴ γὰρ ᾔδει ὁ φιλάνθρωπος θεὸς τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ ὅτι δίκαιος ὢν καὶ τοσαύτης ἀπολαῦσαι παρὰ τοῦ δεσπότου φιλανθρωπίας, καὶ τοῦ τοσούτου κλυδωνίου διαφυγὼν τὴν πεῖραν, ἤμελλέ γε μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν καὶ τὸ ἐλευθερωθῆναι τῆς ἐν τῇ κιβωτῷ διαγωγῆς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ βούλεσθαι " θυσίας ἀνενεγκεῖν ὑπὲρ εὐχαριστίας τῶν γεγενημένων καὶ ὑπηργμένων αὐτῷ· ἵνα οὖν μὴ τοῦτο ποιῶν ἀκρωτηριάσῃ τὰς συζυγίας, διὰ τοῦτο προειδὼς αὐτοῦ τῆς γνώμης τὸ εὐχάριστον, κελεύει ἑπτὰ ἑπτὰ εἰσάγεσθαι ἀφ' ἑκάστου γένους τῶν ὀρνέων, ἵνα τῆς πανωλεθρίας παυσαμένης καὶ τὸν οἰκεῖον σκοπὸν ἐπιδείξηται, καὶ τῆς " συζυγίας τῶν πετεινῶν καὶ τῶν λοιπῶν ὀρνέων μηδὲν λυμαίνηται· ὃ δὴ καὶ προϊούσης τῆς διδασκαλίας μαθήσεσθε, ἐπειδὰν εἰς αὐτὸν τὸν τόπον παραγενώμεθα. ὄψεσθε γὰρ τὸν δίκαιον τοῦτον τοῦτο πεποιηκότα. ἐμάθετε τὴν αἰτίαν, δι' ἣν ἑπτὰ ἑπτὰ εἰσαγαγεῖν προσετάχθη. μηκέτι λοιπὸν ἀνέχεσθε τῶν μυθολογεῖν ἐπιχειρούντων, καὶ " κατασοιχειουμένων τῆς θείας γραφῆς, καὶ τὰ ἀπὸ τοῦ οἰκείου νοὸς ἐπεισφερόντων τοῖς θείοις διδάγμασιν. ἐπειδὴ τοίνυν διετάξατο σαφῶς πάντα καὶ περὶ τῶν ὀρνέων, καὶ περὶ τῶν καθαρῶν καὶ περὶ τῶν ἀκαθάρτων, καὶ τῆς τούτων διατροφῆς, φησὶ πρὸς τὸν δίκαιον,

γρ. εὑρίσκομεν
γρ. τῷ δικαίῳ
γρ. θυσίαν
γρ. τῇ συζυγίᾳ
γρ. κατεπαιρομένων τὰ στοιχεῖα

4 Ἔτι γὰρ ἡμερῶν ἑπτά, ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Σκόπει μοι καὶ ἐκ τῶν νῦν εἰρημένων τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολήν, πῶς μετὰ τὴν τοσαύτην μακροθυμίαν καὶ νῦν πρὸ ἑπτὰ ἡμερῶν προλέγει, βουλόμενος τῷ φόβῳ σωφρονεστέρους αὐτοὺς ποιῆσαι καὶ εἰς μετάνοιαν " ἐναγαγεῖν. καὶ ὅτι διὰ τοῦτο προλέγει, ἵνα μὴ ἐπαγάγῃ τὰ παρ' αὐτοῦ εἰρημένα, ἐννόει μοι τοὺς Νινευΐτας, καὶ βλέπε πόση ἡ διαφορὰ τούτων, κἀκείνων. μετὰ γὰρ [τὰ] τοσαῦτα ἔτη ἀκούσαντες οὐκ ἐπὶ

γρ. ἐνάγειν.

Ἰων. γ.

θύραις ἐστὶ τὰ δεινά, οὐδὲ οὕτω τῆς κακίας ἔστησαν. καὶ γὰρ εἰώθαμέν πως, μηνύσεως μὲν τῆς τιμωρίας, ῥαθυμεῖν καὶ διαναβάλλεσθαι· ἐπειδὰν δὲ πλησίον ὦμεν τῶν λυπεῖν δυναμένων, τότε συστέλλεσθαι καὶ πολλὴν ἐπιδείκνυσθαι τὴν μεταβολήν· ὃ δὴ καὶ ἐπὶ τῶν Νινευϊτῶν γέγονεν. ἐπειδὴ γὰρ ἤκουσαν, ὅτι Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται, οὐ μόνον οὐκ ἀπηγόρευσαν, ἀλλὰ καὶ διανέστησαν πρὸς τὸ ῥηθέν, καὶ τοσαύτην τῶν κακῶν τὴν ἀποχὴν ἐποιήσαντο, καὶ οὕτως ἀκριβῆ τὴν ἐξομολόγησιν ἐπεδείξαντο, ὡς καὶ μέχρι τῶν ἀλόγων ἐκτεῖναι αὐτοὺς τὰ τῆς ἐξομολογήσεως· οὐχ ὅτι δὲ τὰ ἄλογα ἐξωμολογήσαντο (πῶς γάρ, τὰ λόγων ἔρημα ὄντα;) ἀλλ' ἵνα διὰ τούτων ἐπισπάσωνται εἰς τὴν περὶ αὐτοὺς φιλανθρωπίαν τὸν ἀγαθὸν δεσπότην*. Κηρύξαντες γάρ, φησι, νηστείαν προσέταξαν τοῖς περὶ τὸν βασιλέα, καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα ἄλογα μήτε νομῆς μεταλαχεῖν μήτε ὕδατος, ἀλλὰ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις τότε σάκκον περιβαλλομένη, καὶ αὐτὸς ὁ ἐπὶ τοῦ θρόνου καθήμενος βασιλεύς, πολλὴν καὶ σύντονον τὴν ἐξομολόγησιν ἀμφότεροι ἐποιήσαντο, καὶ ταῦτα οὐκ εἰδότες ὅτι διαφεύξονται τὴν τιμωρίαν. ἔλεγον γάρ, Τίς οἶδεν, εἰ ἄρα μετανοήσει ὁ θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι ἡμῖν; εἶδες βαρβάρων εὐγνωμοσύνην, εἶδες πῶς οὐδὲ ἡ τῶν ἡμερῶν στενοχωρία αὐτοὺς ὀκνηροτέρους εἰργάσατο οὐδὲ ἀπαγορεῦσαι πεποίηκεν. ὅρα καὶ τούτους μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ἀκούσαντας, ὅτι ἑπτὰ ἡμέραι καὶ ὁ κατακλυσμὸς ἐπάγεται, οὐδ' οὕτως ἐπιστρεφομένους, ἀλλ' ἀναλγήτως διακειμένους. ὅθεν ὡμολογημένον ἂν εἴη, ὅτι ἡ προαίρεσις ἡ ἡμετέρα τῶν κακῶν ἁπάντων ἐστὶν αἰτία. ἰδοὺ γάρ, καὶ οὗτοι ἄνθρωποι, κἀκεῖνοι ἄνθρωποι, καὶ τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς προαιρέσεως. διὸ οὐδὲ τῶν αὐτῶν ἀπήλαυσαν, ἀλλ' οἱ μὲν διέφυγον τὴν καταστροφήν, τοῦ ἀγαθοῦ θεοῦ ἀρκεσθέντος αὐτῶν τῇ μετανοίᾳ διὰ τὴν οἰκείαν φιλανθρωπίαν, οἱ δὲ ὑποβρύχιοι γενόμενοι πανωλεθρίᾳ παρεδόθησαν. ἔτι γάρ, φησιν, ἡμερῶν ἑπτὰ ἐπάγω ὑετὸν ἐπὶ τῆς γῆς. εἶτα αὐξῆσαι τὸν φόβον βουλόμενός φησι, τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. τί γάρ; οὐκ ἦν αὐτῷ δυνατόν, εἴπερ ἐβούλετο, καὶ ἐν μιᾷ ἡμέρᾳ πάντα τὸν ὑετὸν ἐπαγαγεῖν; τί δὲ λέγω ἐν μιᾷ ἡμέρᾳ; ἐν μιᾷ ῥοπῇ; ἀλλ' ἐπιτηδὲς τοῦτο ποιεῖ, βουλόμενος ὁμοῦ καὶ τὸν φόβον ἐπιτεῖναι, καὶ ἀφορμὴν αὐτοῖς παρασχεῖν τοῦ κἂν πρὸς αὐταῖς ταῖς θύραις γενομένους τὴν τιμωρίαν ταύτην διαφυγεῖν. καὶ ἐξαλείψω, φησί, πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους. ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον προλέγει, καὶ οὐδ' οὕτω καθικνεῖται. ταῦτα δὲ πάντα ἐποίει, ἵνα ἡμᾶς διδάξῃ, ὅτι δικαίως αὐτοῖς τὴν τοσαύτην τιμωρίαν ἐπήγαγε, καὶ μηδεὶς ἔχῃ τῶν ἀνοήτων μέμφεσθαι καὶ λέγειν, ὅτι εἰ ἐμακροθύμησεν, ἄρα ἂν μετέγνωσαν, ἄρα ἂν ἀπέσχοντο τῆς κακίας καὶ ἐπανῆλθον πρὸς τὴν ἀρετήν. διὰ τοῦτο καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν δῆλον ἡμῖν ποιεῖ, καὶ τῆς κιβωτοῦ τὴν κατασκευὴν προστάττει γενέσθαι, καὶ μετὰ ταῦτα ἅπαντα καὶ περὶ τῶν ἑπτὰ ἡμερῶν προλέγει, ἵνα πάντων τῶν ἀπερισκέπτως φθέγγεσθαι βουλομένων ἐπιστομίσῃ τὴν ἀναίσχυντον γλῶτταν.

ἀναβάλ.

Ιων. γ. δ.

δὲ τούτων
ήσαντο.

Ιων. γ. ζ.

Ιων. γ. θ.

5 Καὶ ἐποίησε, φησί, Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός.

Ὅρα πῶς καὶ νῦν ἀνακηρύττει τοῦ δικαίου τὴν εὐγνωμοσύνην καὶ τὴν ὑπακοὴν ἡ θεία γραφή, διδάσκουσα ὡς οὐδὲν τῶν ἐπιταχθέντων παρέλιπεν, ἀλλὰ πάντα πληρώσας, τῆς οἰκείας ἀρετῆς καὶ διὰ τούτου τὴν ἀπόδειξιν παρέσχετο.

ΗΘΙΚΟΝ

Τοῦτον τοίνυν καὶ ἡμεῖς μιμησώμεθα τὸν δίκαιον, καὶ τὰς παρὰ τοῦ θεοῦ δεδομένας ἡμῖν ἐντολὰς πληροῦν σπουδάζωμεν, καὶ μὴ καταφρονῶμεν τῶν δεδομένων ἡμῖν παρὰ τοῦ θεοῦ νόμων, ἀλλ' ἔναυλον ἔχοντες τούτων τὴν μνήμην, πρὸς τὴν τούτων κατόρθωσιν

ἐπειγώμεθα, καὶ μὴ ῥᾳθύμως τὰ κατὰ τὴν ἑαυτῶν σωτηρίαν οἰκονομῶμεν, καὶ μάλιστα ὅτι πολλῷ μεῖζον μέτρον ἀρετῆς νῦν ἀπαιτούμεθα, ὅσῳ καὶ μειζόνων ἀπηλαύσαμεν. διὸ
Ματθ. ε. κ. καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. σκοπῶμεν τοίνυν* καθ' ἑαυτοὺς, καὶ μὴ ἁπλῶς παρατρέχωμεν τὸ εἰρημένον, ἀλλ' ἐννοήσωμεν, ὅση κείσεται κόλασις τοῖς μὴ μόνον ὑπερβαίνειν ἐκείνους μὴ σπουδάζουσιν, ἀλλὰ καὶ ἔλαττον αὐτῶν ἔχουσι, καὶ μὴ ἀνεχομένοις μήτε ὀργὴν ἀφεῖναι τῷ πλησίον, μήτε καθαρὰν τὴν γλῶτταν διατηρεῖν ἀπὸ ὅρκων, μήτε" τοῖς ὀφθαλμοῖς βουλομένοις ἀποτειχίζειν τὴν ἐπιβλαβῆ θέαν, τοῦ δεσπότου καὶ θεοῦ ἡμῶν προστάττοντος μὴ μόνον ἀδικούμενον φέρειν γενναίως,
Ματθ. ε. μ. ἀλλὰ καὶ ἐπιδαψιλεύεσθαι. Τῷ θέλοντι γάρ σοι, φησί, κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. ἡμεῖς δὲ πολλάκις καὶ ἀδικεῖν τὸν πλησίον ἐπιχειροῦμεν, ἢ καὶ ἀμύνασθαι ἀδικοῦντα, καί τοι προστατόμενοι μὴ μόνον τοὺς ἀγαπῶντας
Ματθ. ε. μϛ. ἀγαπᾷν (τοῦτο γάρ, φησι, καὶ οἱ τελῶναι ποιοῦσιν) ἀλλὰ καὶ πρὸς τοὺς ἐχθραίνοντας γνησίως διακεῖσθαι. ἡμεῖς δὲ οὐδὲ πρὸς τοὺς ἀγαπῶντας τὴν ἴσην ἀγάπην ἐπιδεικνύμεθα. διὰ ταῦτα ἀλγῶ καὶ ὀδυνῶμαι, ὁρῶν τῆς μὲν ἀρετῆς τοσαύτην ἐν ἡμῖν τὴν σπάνιν, τῆς δὲ κακίας καθ' ἑκάστην ἡμέραν τὴν ἐπίτασιν γινομένην, καὶ οὔτε τῆς γεέννης τὸν φόβον ἐκκόπτοντα ἡμῶν τὴν ἐπὶ τὴν κακίαν ὁρμὴν, οὐδὲ τῆς βασιλείας τὸν πόθον προτρεπόμενον ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν, ἀλλὰ πάντας, ὡς εἰπεῖν, βοσκημάτων δίκην ἀπαγομένους, καὶ οὐδεμίαν ἔννοιαν λαμβάνοντας οὔτε τῆς φοβερᾶς ἐκείνης ὥρας, οὔτε τῶν παρὰ τοῦ θεοῦ νόμων τεθέντων ἡμῖν, ἀλλὰ πρὸς τὴν τῶν ἀνθρώπων ὑπόληψιν ἅπαντας ἐπτοημένους, καὶ τὸν παρὰ τούτων ἔπαινον θηρᾶσθαι σπουδάζοντας, καὶ
Ιω. ε. μδ. μηδὲ ἀκούειν ἀνεχομένους τοῦ εὐαγγελίου λέγοντος, Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες; ὥσπερ δὲ οἱ ταύτης ἐφιέμενοι, ἐκείνης παντελῶς ἐκπίπτουσιν, οὕτως οἱ ἐκείνης διηνεκῶς ἐξηρτημένοι, οὐδὲ ταύτης ἀποστεροῦνται. καὶ γὰρ αὐτὸς προλαβὼν ἐπηγγείλατο λέγων,
Ματθ. ϛ. λγ. Ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, καὶ τῷ πρὸς ἐκείνην ἔχοντι τὸν πόθον ταῦτα πάντα ἕπεται. ὁ γὰρ ἐκεῖ πτερώσας ἑαυτοῦ τὴν διάνοιαν, πάσης τῆς παρούσης εὐημερίας, ὡς οὐδὲ οὔσης, ὑπερορᾷ. οἱ γὰρ τῆς πίστεως ὀφθαλμοὶ, ὅταν ἐκεῖνα κατοπτεύσωσι τὰ ἀπόρρητα ἀγαθὰ, οὐδὲ αἴσθησιν λαμβάνουσι τῶν ὁρωμένων. τοσοῦτον τὸ μέσον ἐκείνων καὶ τούτων. ἀλλ' οὐδένα ὁρῶ προτιμῶντα τῶν ὁρωμένων τὰ μὴ ὁρώμενα. διὸ καὶ λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου, ὅτι οὐδὲ ἡ πεῖρα τῶν πραγμάτων ἡμᾶς ἐπαίδευσεν, οὐδὲ αἱ τοῦ θεοῦ ὑποσχέσεις, οὐδὲ τῶν δωρεῶν τὸ μέγεθος πρὸς τὸν τῆς βασιλείας πόθον μεταστῆσαι παρεσκεύασεν· ἀλλ' ἔτι χαμαὶ συρόμενοι προτιμῶμεν τὰ γήϊνα τῶν οὐρανίων, τὰ πρόσκαιρα τῶν μενόντων, τὰ πρὶν ἢ φανῆναι ἀφιπτάμενα τῶν διαιωνιζόντων, καὶ τὴν πρόσκαιρον ἡδονὴν τῆς διηνεκοῦς, καὶ τὴν βραχεῖαν εὐημερίαν ταύτην τοῦ παρόντος βίου τῶν ἀτελευτήτων αἰώνων ἐκείνων. οἶδα ὅτι δάκνει τὴν ἀκοὴν ταῦτα τὰ ῥήματα, ἀλλὰ σύγγνωτε. ἐπιθυμῶν γὰρ ὑμῶν τὴν σωτηρίαν ταῦτα φθέγγομαι, καὶ βουλόμενος ἐνταῦθα μικρὸν ὑμᾶς δηχθέντας τὴν αἰώνιον κόλασιν διαφυγεῖν, ἢ πρὸς ὀλίγον ψυχαγωγηθέντας διηνεκῆ τὴν τιμωρίαν ὑπέχειν. Εἰ γὰρ αἴσθησθε τῶν ἐμῶν λόγων, καὶ τὴν προλαβοῦσαν" ἀθυμίαν" ἀπώσησθε, καὶ μάλιστα νῦν, ὡς ἔτι ὁ βραχὺς οὗτος καιρὸς τῆς ἁγίας ὑμῖν ὑπολέλειπται τεσσαρακοστῆς, δυνήσεσθε καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι καὶ πολλὴν παρὰ τοῦ θεοῦ τὴν φιλανθρωπίαν ἐπισπάσασθαι. οὐδὲ γὰρ πολλῶν ἡμερῶν δεῖ-

ται

* τὸ

" γρ. τῶν ὀφθαλμῶν

ἴσ. ῥᾳθυμίαν

γρ. ἀπώσασθε

παι ὁ δεσπότης οὐδὲ χρόνου, ἀλλ' ἐὰν θελήσωμεν, καὶ ἐν ταῖς δυσὶ ταύταις ἑβδομάσι πολλὴν τὴν διόρθωσιν τῶν ἐπταισμένων "ἡμῖν ποιησώμεθα. Εἰ γὰρ τοὺς Νινευΐτας, ἐπὶ τριῶν ἡμερῶν μετάνοιαν ἐπεδείξαντο, τοσαύτης ἠξίωσε φιλανθρωπίας, πολλῷ δὴ μᾶλλον ἡμᾶς οὐ παρόψεται, μόνον ἐὰν τὴν ἀληθῆ μετάνοιαν ἐπιδειξώμεθα, καὶ τῆς κακίας ἀποστάντες ἁψώμεθα τῆς ἐπὶ τὴν ἀρετὴν φερούσης ὁδοῦ. καὶ γὰρ περὶ ἐκείνων, τῶν Νινευΐτων λέγω, μαρτυροῦσα ἡ θεία γραφὴ "ταῦτά φησι, Ὅτι εἶδεν ὁ θεὸς ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. ἐὰν τοίνυν καὶ ἡμᾶς ἴδῃ μεταταξαμένους πρὸς τὴν ἀρετὴν, καὶ ἐκκλίνοντας μὲν ἀπὸ τῆς κακίας, ἐπὶ δὲ τὴν τῶν ἀγαθῶν ἐργασίαν σπεύδοντας, δέξεται καὶ ἡμῶν τὴν ἐπιστροφὴν, καὶ τῶν φορτίων ἐλευθερώσας τῶν ἁμαρτημάτων παρέξει τὰς παρ' ἑαυτοῦ δωρεάς. οὐ γὰρ ἡμεῖς οὕτω τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἐπιθυμοῦμεν, καὶ σωτηρίας ἐφιέμεθα, ὡς αὐτὸς σπεύδει καὶ ἐπείγεται κἀκείνων ἡμῖν τὴν ἀπαλλαγὴν δωρήσασθαι, καὶ τῆς σωτηρίας τὴν ἀπόλαυσιν παρασχεῖν. Διὰ τοῦτο, παρακαλῶ, διεγείρωμεν ἑαυτῶν τὸν λογισμὸν, καὶ ἕκαστος ἐξεταστὴς ἑαυτῷ γινέσθω, εἰ " τι πλέον αὐτῷ κατώρθωται ἐν τῷ παρελθόντι χρόνῳ, εἴ τι ἐκαρπώσατο εἰς τὴν τοῦ πλησίον κατάστασιν, εἴ τινα τῶν ἐλαττωμάτων διώρθωσε τῶν ἑαυτοῦ, εἴ τινα πρὸς φιλοσοφίαν προτροπὴν ἐδέξατο ἐκ τῆς καθημερινῆς ἡμῶν παραινέσεως· καὶ τοῖς μὲν ἤδη κατορθωμένοις προσθήκην ἐπινοείτω, καὶ μηδέποτε παυέσθω τῆς καλῆς ταύτης ἐργασίας. Εἰ δέ τις ἔτι ὑπὸ τῆς συνηθείας τῆς περὶ αὐτὸν κεκρατημένος ὁρᾷ ἑαυτὸν τοῖς αὐτοῖς ἐπιμένοντα, βιασάσθω ἑαυτοῦ τὸν λογισμὸν, "δίκην ἀπαιτήσῃ τῆς τοσαύτης ῥαθυμίας, μήτε ἀνάσχηται περαιτέρω προελθεῖν, ἀλλὰ μέχρι τούτου στήσας τὰ τῆς "πονηρᾶς συνηθείας, "ἐγκοπτέτω τὴν ὁρμὴν, ἀναχαιτιζέτω τὸν λογισμὸν, εἰς ἔννοιαν ἑαυτὸν ἀγέτω τῆς φοβερᾶς ἐκείνης ἡμέρας, ἀναλογιζέσθω τῆς φρικτῆς ταύτης τραπέζης τὴν ἀπόλαυσιν, καὶ τοῦ ἐντεῦθεν ἐκπηδῶντος πυρὸς τήν τε φαιδρότητα καὶ τὴν καυστικὴν δύναμιν, καὶ οἵαν ἀπαιτεῖ τοῦ προσιόντος εἶναι τὴν διάνοιαν, παντὸς ῥύπου, πάσης κηλῖδος καθαρεύουσαν, καὶ τῶν ἀτόπων λογισμῶν τὴν συνουσίαν ἐκτρεπομένην· ἵν' οὕτως ἑαυτοὺς εὐτρεπίσαντες ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις, δυνηθῶμεν, καθ' ὅσον οἷόν τε, ἐκκαθάραντες ἑαυτοὺς, καὶ τῆς ἐντεῦθεν ἀπολαύσεως μετασχεῖν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὑμῶν ποιή-
σ.

Ἰων. γ. ι.

τοῦτο

. εἴ τινα ὄνη-
ν ἔχειν ἐκ τῆς
ως ταύ-
ς διδασκα-
ίας,

. ὡς δίκην
ἀπαιτηθῇ

. τοὺς τῆς π.
. ὁρμάς,
. ἐκκοπτέτω

Λόγ. κε. ΝΩΕ ΔΕ ΗΝ ΕΤΩΝ ΕΞΑΚΟΣΙΩΝ, ΚΑΙ Ο κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.

Τῆς ὑποθέσεως βούλομαι πάλιν ἅψασθαι, περὶ ἧς πρῴην ὑμῶν διελέχθην τῇ ἀγάπῃ, καὶ τὴν κατὰ τὸν δίκαιον Νῶε πάλιν ἱστορίαν εἰς μέσον ἀγαγεῖν. πολὺς γὰρ ὁ τῆς ἀρετῆς τοῦ δικαίου τούτου πλοῦτος, καὶ προσήκει ἡμᾶς κατὰ δύναμιν τὴν ἡμετέραν πάντα κατὰ μικρὸν διερευνησαμένους πολλὴν ὑμῖν τὴν εὐπορίαν ἐντεῦθεν παρασχεῖν. ἀλλὰ συντείνατέ μοι, παρακαλῶ, τὴν διάνοιαν, ἵνα μηδὲν ὑμᾶς διαφύγῃ τῶν ἐγκειμένων νοημάτων. ἀναγκαῖον δὲ πρότερον ὑπομνῆσαι ὑμῶν τὴν ἀγάπην μέχρι τίνος ἡμῖν πρῴην ἔληξε τὰ τῆς διδασκαλίας, ἵν' ἐκεῖθεν πάλιν ἀναλαβόντες σήμερον τὸν λόγον, οὕτω προσυφάνωμεν τοῖς εἰ-

ρημένοις καὶ τὰ νῦν μέλλοντα ῥηθήσεσθαι. οὕτω γὰρ ὑμῖν εὐσύνοπτα ἔσται καὶ τὰ νῦν λεγόμενα. Ποῦ οὖν τὸ τέλος ἔσχεν ἡμῖν τὰ τῆς διδασκαλίας; εἶπε, φησι, κύριος ὁ θεὸς πρὸς Νῶε, εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτὸν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ· ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτὰ, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο. ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους. καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός. μέχρι τούτου στήσαντες τὸν λόγον ἐνταῦθα κατεπαυσάμεθα τὴν διδασκαλίαν. μέμνησθε γὰρ ἴσως καὶ αὐτοὶ, ὅτε τὴν αἰτίαν εἰρήκαμεν ὑμῶν τῇ ἀγάπῃ, τίνος ἕνεκεν ἀπὸ μὲν τῶν καθαρῶν ἑπτὰ ἑπτὰ προσέταξεν εἰσαχθῆναι, ἀπὸ δὲ τῶν ἀκαθάρτων δύο δύο. φέρε οὖν λοιπὸν σήμερον τοῖς ἑξῆς ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν, καὶ ἴδωμεν τί διηγεῖται ἡμῖν ἡ θεία γραφὴ μετὰ τὴν εἴσοδον τοῦ Νῶε τὴν εἰς τὴν κιβωτόν. νῦν γὰρ, εἰ καί ποτε ἄλλοτε, μάλιστα πολλὴν ἡμῖν ἐπιδείκνυσθαι προσήκει τὴν σπουδὴν, ὅτε διὰ τὸν τῆς νηστείας καιρὸν καὶ τῆς ἡδίστης ὑμῶν συντυχίας συνεχῶς ἀπολαύομεν, καὶ τῆς περὶ τὴν τρυφὴν ἀδδηφαγίας ἀπηλλάγμεθα, καὶ διεγηγερμένον ἔχοντες τὸν λογισμὸν δυνάμεθα μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις. πόθεν οὖν ἡμῖν ἡ ἀρχὴ γέγονε τῶν σήμερον ἀναγνωσθέντων, ἀναγκαῖον εἰπεῖν.

κ. ἡμῶν.

6 Νῶε δὲ ἦν ἐτῶν χ', φησί, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.

Προσέχετε, παρακαλῶ, καὶ μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον. ἔχει γάρ τινα πλοῦτον ἐγκεκρυμμένον ταυτὶ τὰ βραχέα ῥήματα· καὶ ἐὰν συντείνωμεν ἡμῶν τὴν διάνοιαν, καὶ ἐξ αὐτοῦ τούτου δυνησόμεθα καταμαθεῖν τῆς τε φιλανθρωπίας τοῦ δεσπότου τὴν ὑπερβολὴν, καὶ τῆς τῶν τότε ἀνθρώπων κακίας τὴν πολλὴν ἐπίτασιν. Νῶε δὲ ἦν ἐτῶν, φησιν, ἑξακοσίων. οὐχ ἁπλῶς ἡμᾶς τὸν ἀριθμὸν ἐδίδαξεν ἡ θεία γραφὴ τῶν ἐτῶν τοῦ δικαίου, οὐδὲ ἵνα αὐτὸ τοῦτο μάθωμεν, πόσων ἦν ἐτῶν ὁ δίκαιος· ἀλλ' ἐπειδὴ προλαβοῦσα ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφὴ ἤδη εἰποῦσα, ὅτι Νῶε δὲ ἦν ἐτῶν πεντακοσίων, καὶ μετὰ τὸ γνώριμον ἡμῖν ποιῆσαι τῶν ἐτῶν τὸν ἀριθμὸν, τότε διηγήσατο τῶν ἀνθρώπων τὴν πολλὴν περὶ τὴν κακίαν ῥοπὴν, καὶ ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος· διό φησιν ὁ θεὸς, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, προμηνύων αὐτοῖς τῆς ἀγανακτήσεως αὐτοῦ τὴν ὑπερβολήν· εἶτα ἵνα δῷ αὐτοῖς καιρὸν ἀρκοῦντα πρὸς τὸ μεταβαλέσθαι, καὶ τὴν πεῖραν διαφυγεῖν τῆς ἀγανακτήσεως, φησιν, ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ρκ', ἀντὶ τοῦ μακροθυμήσω ἔτι μετὰ τὰ πεντακόσια ἔτη. οὐδὲ γὰρ ἐπαύσατο ὁ δίκαιος οὗτος ἐν τοῖς πεντακοσίοις ἔτεσι διὰ τῆς οἰκείας προσηγορίας πάντας αὐτοὺς ὑπομιμνήσκων καὶ ἐνάγων, εἴπερ ἐβούλοντο προσέχειν, ὥστε καὶ τῆς κακίας ἀποστῆναι, καὶ πρὸς τὴν ἀρετὴν μεταταξάσθαι. ἀλλ' ὅμως φησὶ, καὶ νῦν ἔτι ρκ' ἐτῶν ἀριθμὸν ὑπισχνοῦμαι μακροθυμήσειν, ἵνα τῷ μεταξὺ χρόνῳ εἰς δέον χρησάμενοι, καὶ τὴν κακίαν φύγωσι, καὶ τῆς ἀρετῆς ἀντιλάβωνται. καὶ οὐ μόνον τῇ ὑποσχέσει τῶν ρκ' ἐτῶν ἠρκέσθη, ἀλλὰ καὶ τῷ δικαίῳ προσέτατει κιβωτὸν τεκτήνασθαι, ἵνα καὶ αὐτὴ ἡ ὄψις τῆς κιβωτοῦ πάλιν ἀρκοῦσα αὐτοῖς ὑπόμνησιν παράσχῃ, καὶ μηδεὶς ἀγνοήσῃ τῆς μελλούσης τιμωρίας ἐπάγεσθαι τὸ μέγεθος. αὐτὸ γὰρ τοῦτο, τὸ τὸν δίκαιον ἐκεῖνον καὶ εἰς τὴν ἄκραν τῆς κορυφῆς φθάσαντα, τοσαύτην ποιεῖσθαι σπουδὴν περὶ τὴν τῆς κιβωτοῦ κατασκευὴν, ἱκανὸν πάντας τοὺς νοῦν ἔχοντας εἰς ἀγωνίαν καὶ φόβον ἐμβαλεῖν, καὶ πεῖσαι ἐξευμενίσασθαι τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον δεσπότην. εἰ γὰρ οἱ βάρβαροι ἐκεῖνοι, οἱ Νινευῖται λέγω· πάλιν γὰρ αὐτοὺς εἰς μέσον ἀναγκαῖον ἀγαγεῖν, ἵνα ταύτῃ καὶ μᾶλλον δειχθῇ καὶ τούτων ἡ ὑπερβάλλουσα κακία, κἀκείνων ἡ πολλὴ εὐγνωμοσύνη. καὶ γὰρ καὶ ὁ δεσπότης ἡμῶν τότε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, τῇ τῆς κρίσεως λέγω, δούλους καὶ δούλους εἰς μέσον ἄγων οὕτω τὴν κατάκρισιν ἐργάζεται, ὅταν δειχθῶσιν οἱ τῶν αὐτῶν ἀπολαύσαντες, καὶ τῶν αὐτῶν μετασχόντες, μὴ τὴν αὐτὴν ἀρετὴν μετελθόντες. πολλάκις δὲ καὶ ἐξ ἀνίσων ποιεῖται τὰς συγκρίσεις, ἵνα πλείονα τὴν κατάκρισιν τοῖς ἐρρᾳθυμηκόσιν ἐπαγάγῃ. διὰ τοῦτο καὶ ἐν τοῖς εὐαγγελίοις ἔλεγεν, Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε· μονονουχὶ λέγων, ὅτι οἱ βάρβαροι, οἱ μηδεμιᾶς ἐπιμελείας ἀπολαύσαντες, οἱ μὴ προφητικῶν διδαγμάτων ἀκούσαντες, οἱ σημεῖα μὴ θεασάμενοι, οἱ θαύματα μὴ ἰδόντες, ἀλλ᾽ ἑνὸς ἀνθρώπου ἐκ ναυαγίου διασωθέντος ῥήματα ἀκούσαντες, πολλὴν αὐτοῖς τὴν ἀπόγνωσιν παρέχειν δυνάμενα, καὶ εἰς ἀμηχανίαν ἐμβαλεῖν, ὡς καὶ ὑπεριδεῖν τῶν παρ᾽ αὐτοῦ λεγομένων, οὐ μόνον οὐ κατεφρόνησαν τῶν τοῦ προφήτου ῥημάτων, ἀλλὰ καὶ εἰς τριῶν ἡμερῶν στενοχωρίαν "ἀπολειφθέντες, οὕτως ἀκριβῆ καὶ συντεταμένην τὴν μετάνοιαν ἐπεδείξαντο, ὥστε τὴν ἀπόφασιν ἀνακαλέσασθαι τοῦ δεσπότου. οὗτοι οὖν, φησι, κατακρινοῦσι ταύτην τὴν γενεάν, τὴν τοσαύτης ἀπολαύσασαν ἐπιμελείας, τὴν προφητικαῖς ἐντραφεῖσαν βίβλοις, τὴν σημεῖα καὶ τέρατα καθ᾽ ἑκάστην ἡμέραν "θεωμένην. εἶτα ἵνα καὶ τούτων τῆς ἀπιστίας δείξῃ τὴν ὑπερβολήν, κἀκείνων τὴν ἄφατον εὐγνωμοσύνην ἐπήγαγεν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. ἐκεῖνοι μέν, φησιν, εὐτελῆ ἄνθρωπον θεασάμενον τὸν Ἰωνᾶν, καὶ ἐδέξαντο τὸ παρ᾽ αὐτοῦ κήρυγμα, καὶ ἀκριβεστάτην ἐπεδείξαντο τὴν μετάνοιαν· οὗτοι δὲ οἱ πολλῷ πλείω τοῦ Ἰωνᾶ, καὶ αὐτὸν τὸν τῶν ὅλων δημιουργὸν ὁρῶντες σὺν αὐτοῖς συναναστρεφόμενον, καὶ τοσαῦτα καὶ τοιαῦτα θαύματα ἐφ᾽ ἑκάστης ἐργαζόμενον, λεπροὺς καθαίροντα, νεκροὺς ἐγείροντα, τὰ πηρώματα τῆς φύσεως διορθούμενον, δαίμονας ἐλαύνοντα, "νοσοῦντας ἰώμενον, μετ᾽ ἐξουσίας πολλῆς ἁμαρτημάτων ἄφεσιν χαριζόμενον, οὐδὲ τὴν αὐτὴν τοῖς βαρβάροις πίστιν ἐπεδείξαντο. ἀλλ᾽ ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου, ἵνα εἰδῇς καὶ τούτων τῆς ἀγνωμοσύνης τὴν ἐπίτασιν, καὶ ἐκείνων τῆς εὐγνωμοσύνης τὸ ἐπίπονον, καὶ ὅτι κἀκεῖνοι μὲν ἐν τρισὶν ἡμέραις στενοχωρηθέντες, οὐδὲ οὕτως ἀπηγόρευσαν ἑαυτῶν τὴν σωτηρίαν, ἀλλ᾽ ἐπὶ τὴν μετάνοιαν σπεύσαντες, καὶ τὰ ἁμαρτήματα ἀπενίψαντο, καὶ τῆς φιλανθρωπίας τοῦ δεσπότου ἀξίους ἑαυτοὺς κατέστησαν· οὗτοι δὲ αὐτοὶ ρκʹ ἐτῶν προθεσμίαν λαβόντες πρὸς μετάνοιαν, οὐδὲ οὕτως ἀπώναντό τι πλέον. διὸ καὶ ὁ δεσπότης ὁρῶν αὐτῶν τῆς κακίας τὴν ὑπερβολήν, καὶ ἐπειδὴ εἶδεν εἰς πολλὴν κακίαν ἐξοκείλαντας, ταχεῖαν αὐτοῖς ἐπάγει τὴν διόρθωσιν, τῆς κακῆς αὐτῶν ζύμης τὴν πονηρίαν ἀφανίσας καὶ ἐκποδὼν [ταύτην] ποιήσας. διά τοῦτό φησι, Νῶε δὲ ἦν ἐτῶν χʹ, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. τέως ἐμάθομεν ὅτι ἡνίκα μὲν ἡ ἀγανάκτησις γέγονε τοῦ δεσπότου, καὶ ἡ πρόρρησις, πεντακοσίων ἦν ἐτῶν· ὅτε καὶ ἐπήχθη ὁ κατακλυσμός, χʹ, ὡς ρʹ ἔτη ἐν τῷ μέσῳ γενέσθαι καὶ μηδὲ ἐν τοῖς ρʹ ἔτεσι κερδᾶναι αὐτούς τι πλέον, τοσαύτης ἀπολαύοντας διδασκαλίας ἐκ τῆς κατασκευαζομένης ὑπὸ τοῦ Νῶε κιβωτοῦ. ἀλλ᾽ ἴσως ἄν τις μαθεῖν ἐπιζητήσειε, τίνος ἕνεκεν εἰπών, ρκʹ ἔτη ἔσονται αἱ ἡμέραι αὐτῶν, καὶ ἐπαγγειλάμενος τοσαῦτα μακροθυμήσειν, πρὸ τῆς τούτων συμπληρώσεως τὴν πανωλεθρίαν ἐπήγαγε. καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας μέγιστον ἂν εἴη δεῖγμα. ἐπειδὴ γὰρ εἶδε καθ᾽ ἑκάστην ἡμέραν ἀνίατα ἁμαρτάνοντας, καὶ οὐ μόνον οὐδὲν κερδαίνοντας ἐκ τῆς ἀφάτου μακροθυμίας, ἀλλὰ καὶ ἐπι-

Ματθ. ιβ. μα.
Λουκ. ια. λβ.

ἀποληφθέν-
ες,

θεασαμένην.

νόσους

κε ζ. ζ.

τείνοντας τὰ ἕλκη, διὰ τοῦτο συνέτεμε τὸν χρόνον, ὥστε μὴ μείζονι τιμωρίᾳ ὑπευθύνους αὐτοὺς καταστῆναι. καὶ ποία, φησί, ταύτης ἡ μείζων τιμωρία; ἔστιν, ἀγαπητέ, καὶ μείζων καὶ φοβερωτέρα καὶ διαρκής, ἡ κατὰ τὸν μέλλοντα αἰῶνα. ὅτι γάρ, κἂν ἐνταῦθα δίκην τινὲς ὑπόσχωσιν, οὐδὲ τὴν ἐκεῖ τιμωρίαν διαφεύξονται, ἀλλὰ κουφοτέραν ὑποστήσονται, διὰ τῶν ἐνταῦθα συμβάντων τὸ μέγεθος τῶν ἐκεῖ κολαστηρίων ὑποτεμνόμενοι, ἄκουε τοῦ Χριστοῦ λέγοντος καὶ ταλανίζοντος τὴν Βηθσαϊδά· Οὐαί σοι Χωραζείν, φησιν, οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. διὸ λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν. ὁρᾷς, ἀγαπητέ, πῶς τὸ εἰπεῖν ἀνεκτότερον ἔδειξεν ὅτι καὶ οἱ τοσαύτην ἐνταῦθα δίκην δόντες, καὶ τὸν ἐμπρησμὸν ἐκεῖνον τὸν καινὸν καὶ ξένον ὑπομείναντες, κἀκεῖ τινα τιμωρίαν ὑποστήσονται, κουφοτέραν δὲ ὅμως, διὰ τὸ προλαβόντας ἐνταῦθα τοσαύτης πειραθῆναι τῆς ἀγανακτήσεως. ἵν' οὖν μὴ καὶ οὗτοι ἐπιτείνοντες τὰ ἁμαρτήματα μείζονος τιμωρίας ἑαυτοὺς ὑπευθύνους καταστήσωσιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης, ὁρῶν αὐτῶν τὸ ἀμετανόητον, ὃν ὑπέσχετο μακροθυμήσειν χρόνον, συνέτεμεν. ὥσπερ γὰρ ἐπὶ τῶν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνυμένων διὰ τὴν προσοῦσαν αὐτῷ ἀγαθότητα ἀνακαλεῖται τὰς παρ' αὐτοῦ ἀποφάσεις, καὶ μεταβαλλομένους προσίεται, καὶ τῆς ἐπικειμένης ἀπαλλάττει τιμωρίας, οὕτω πάλιν ἐπειδὰν ἐπαγγέληται ἢ ἀγαθά τινα παρέξειν ἢ προθεσμίαν μετανοίας, ἴδῃ δὲ ἀναξίους γενομένους, καὶ τότε πάλιν ἀνακαλεῖται αὐτοῦ τὰς ὑποσχέσεις. διὰ τοῦτο καὶ διὰ τοῦ προφήτου ἔλεγε, Πέρας λαλήσω ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας τοῦ ἀπολλύειν καὶ κατασκάπτειν· καὶ ἐὰν μετανοήσωσι, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι. καὶ πάλιν, πέρας λαλήσω ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας τοῦ ἀνοικοδομεῖν, καὶ ἐὰν ἁμάρτωσι, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. εἶδες πῶς παρ' ἡμῶν τὰς ἀφορμὰς λαμβάνει καὶ τῆς φιλανθρωπίας, ἣν περὶ ἡμᾶς ἐπιδείκνυται, καὶ τῆς ἀγανακτήσεως. διά τοι τοῦτο καὶ νῦν, ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσαντο τῇ τοῦ χρόνου παρατάσει, συντέμνει [καὶ αὐτὸν] τὸν καιρόν. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγε πρὸς τοὺς ἀναλγήτως διακειμένους, καὶ τὴν διὰ τῆς μετανοίας δεδομένην ἡμῖν σωτηρίαν οὐ προσιεμένους· Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ. εἶδες πῶς καὶ ὁ θαυμάσιος οὗτος τῆς οἰκουμένης διδάσκαλος σαφῶς ἡμᾶς ἐδίδαξεν, ὅτι οἱ τῇ μακροθυμίᾳ τοῦ θεοῦ τῇ πρὸς μετάνοιαν ἡμῖν παρασχεθείσῃ μὴ χρώμενοι εἰς δέον, μείζονι δίκῃ καὶ τιμωρίᾳ ἑαυτοὺς ὑπευθύνους καθιστῶσι. διὰ τοῦτο καὶ νῦν ὁ φιλάνθρωπος * θεὸς μονονουχὶ ἀπολογούμενος καὶ δεικνὺς τὴν αἰτίαν, δι' ἣν καὶ πρὸ τῆς τῶν καιρῶν συμπληρώσεως ἐπήγαγε τὸν κατακλυσμόν, ἐπισημαίνεται ἡμῖν τῶν ἐτῶν τοῦ δικαίου τὸν ἀριθμόν, καί φησι· Νῶε δὲ ἦν ἐτῶν χ'. οἱ γὰρ ἐν τοῖς ρ' ἔτεσι μεταβαλέσθαι μὴ βουληθέντες, τί πλέον ἂν ἐκέρδανον ἀπὸ τῶν κ' ἐτῶν, ἢ τὸ πλείονα τὴν προσθήκην τιμωρίας ἐργάσασθαι; δεικνὺς γὰρ αὐτοῦ τῆς ἀφάτου φιλανθρωπίας καὶ ἀγαθότητος τὴν ὑπερβολήν, καὶ πρὸ ἑπτὰ ἡμερῶν μηνῦσαι αὐτοῖς τὴν ἐπαγωγὴν τοῦ κατακλυσμοῦ οὐ παρῃτήσατο, ἵνα κἂν τῇ στενοχωρίᾳ τοῦ καιροῦ συσταλέντες τινὰ μεταβολὴν ἐπιδείξωνται. καὶ ὅρα φιλανθρωπίαν δεσπότου, πῶς διαφόρως, καθάπερ ἰατρὸς ἄριστος μεθοδεύει αὐτῶν τὴν χαλεπὴν ταύτην νόσον. ἐπειδὴ γὰρ ἀνίατα ἦν αὐτῶν τὰ τραύματα, τοσοῦτον μῆκος αὐτοῖς προθεσμίας παρέσχετο,

Ματθ. ια. κα.

Λουκ. ι. ιβ.

ἴσ. τῷ

γρ. μαχίας

Ιερ. ιη. ζ.

Ρω. β. δ.

γρ. μακρόθυ

* λυσιπῶς ἴσ

παρέχετο, βουλόμενος κἂν διὰ τοῦ πλήθους τοῦ χρόνου εἰς αἴσθησιν αὐτοὺς ἐλθόντας ἀνακαλέσασθαι αὐτοῦ τῆς ἀγανακτήσεως τὴν ἀπόφασιν. ἔθος γὰρ αὐτῷ ἀεί, ἐπειδὰν κήδεται τῆς σωτηρίας τῆς ἡμετέρας, προλέγειν ἃς μέλλει ἐπάγειν τιμωρίας, διὰ τοῦτο μόνον, ἵνα μὴ ἐπαγάγῃ (ὡς εἴγε ἐπαγαγεῖν ἐβούλετο, οὐκ ἂν εἶπεν) ἀλλ᾽ ἐπιτηδὲς προλέγει, ἵνα ἡμεῖς μαθόντες, καὶ τῷ φόβῳ σωφρονισθέντες, μεταβαλώμεθα αὐτοῦ τὴν ἀγανάκτησιν, καὶ τὰς ἀποφάσεις αὐτοῦ ἀκύρους καταστήσωμεν. οὐδὲν γὰρ οὕτως αὐτὸν εὐφραίνει, ὡς ἡ ἐπιστροφὴ ἡ ἡμετέρα, καὶ ἡ ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀρετὴν ἐπάνοδος. σκόπει οὖν πῶς καὶ τούτων τὴν νόσον ἐμεθόδευσε· πρότερον μὲν τὸ τοσοῦτον δοῦναι χρόνον προθεσμίας πρὸς μετάνοιαν, ἔπειτα δὲ ἐπειδὴ εἶδεν αὐτοὺς ἀναισθήτως διακειμένους, καὶ οὐδὲν ἀπὸ τοῦ πλήθους τοῦ χρόνου κερδάναντας, καὶ πρὸς αὐταῖς ταῖς θύραις, ὡς εἰπεῖν, τοῦ κατακλυσμοῦ, προλέγει, οὐ πρὸ τριῶν ἡμερῶν, καθάπερ ἐπὶ τῶν Νινευιτῶν, ἀλλὰ πρὸ ἑπτά. καὶ γὰρ θαῤῥῶν ἂν εἴποιμι, διὰ τὸ εἰδέναι τοῦ δεσπότου τοῦ ἡμετέρου τῆς φιλανθρωπίας τὴν ὑπερβολὴν, ὅτι καὶ ἐν ταῖς ἑπτὰ ἡμέραις εἰ ἐβουλήθησαν ἀκριβῆ τὴν μετάνοιαν ἐπιδείξασθαι, διέφυγον ἂν τοῦ κατακλυσμοῦ τὴν πεῖραν. ἐπεὶ οὖν οὔτε ἡ παράτασις τοῦ τοσούτου χρόνου, οὔτε ἡ στενοχωρία τοῦ καιροῦ καθικέσθαι αὐτῶν τῆς κακίας ἠδυνήθη, ἐπήγαγε κατακλυσμὸν ἐν τῷ χ' ἔτει τοῦ Νῶε. Νῶε δέ, φησιν, ἦν ἐτῶν χ', καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. εἴδετε, ἀγαπητοί, πόσης ἡμῖν ὠφελείας ὑπόθεσις γέγονε, τὸ γνῶναι τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου, καὶ ὅσων ἐτῶν ἦν ἡνίκα ὁ κατακλυσμὸς ἐπῆλθε. φέρε δὴ καὶ τοῖς ἀκολούθως εἰρημένοις ἐπεξέλθωμεν. ἐπειδὴ γὰρ ἤρξατο ὁ κατακλυσμός, φησιν,

7 Εισῆλθε δὲ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ εἰς τὴν κιβωτόν, διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. 8 Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν· καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἀπὸ τῶν ἑρπετῶν. 9 Δύο δύο ἀπὸ πάντων εἰσῆλθε πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Νῶε.

Ουχ ἁπλῶς προσέθηκε, τὸ καθὰ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Νῶε, ἀλλ᾽ ἵνα πάλιν αὐξήσῃ τοῦ δικαίου τὸν ἔπαινον, καὶ ὅτι πάντα οὕτως ἐπλήρωσε, καθάπερ διετάξατο ὁ δεσπότης, καὶ οὐδὲν παρέλιπε τῶν παρ᾽ αὐτοῦ εἰρημένων αὐτῷ.

10 Καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας, καθάπερ ὑπέσχετο, φησιν, ὁ δεσπότης, καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς· 11 Ἐν τῇ ζωῇ τοῦ Νῶε τοῦ δευτέρου μηνός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

Ὅρα τῆς γραφῆς τὴν ἀκρίβειαν, πῶς οὐ μόνον τὸν ἐνιαυτὸν ἡμᾶς ἐδίδαξε, καθ᾽ ὃν ὁ κατακλυσμὸς γέγονεν, ἀλλὰ καὶ τὸν μῆνα κατάδηλον ἐποίησεν. εἶτα ἵνα τῇ διηγήσει αὐτοὺς μετὰ ταῦτα σωφρονεστέρους ἐργάσηται, καὶ τὸν φόβον αὐξήσῃ τῶν γεγενημένων, φησίν,

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν. 12 Καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

Ὅρα πόσῃ κέχρηται καὶ νῦν ἡ ἁγία γραφὴ τῇ συγκαταβάσει, καὶ πρὸς τὴν συνήθειαν τὴν ἀνθρωπίνην πάντα διαλέγεται, οὐκ ἐπειδὴ καταῤῥάκται εἰσὶν ἐν τῷ οὐρανῷ, ἀλλ᾽ ἀπὸ τῶν συντρόφων ἡμῖν ὀνομάτων ἅπαντα διαλέγεται, μονονουχὶ λέγουσα, ὅτι προσέταξε μόνον ὁ δεσπότης, καὶ εὐθέως ἡ τῶν ὑδάτων φύσις ὑπήκουσε τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ, καὶ πάντοθεν συῤῥεύσασα πάντα τὸν κόσμον ἐπέκλυσε. καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις καὶ νυξὶν ἐπαγαγεῖν τὸν κατακλυσμόν, καὶ τοῦτο πάλιν μέγιστον εἶδος ρος τῆς αὐτοῦ φιλανθρωπίας. ἐβούλετο γὰρ διὰ πολλὴν ἀγαθότητα κἂν ἐνίους ἐξ αὐτῶν σωφρονισθέντας διαφυγεῖν τὴν παντελῆ ἀπώλειαν, ὁρῶντας ἐν ὀφθαλμοῖς καὶ τῶν ὁμογενῶν τὴν ἀπώλειαν, καὶ τὴν μέλλουσαν αὐτοὺς καταλήψεσθαι πανωλεθρίαν. εἰκὸς γὰρ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ φανερόν τι μέρος ἐπικλυσθῆναι, καὶ ἐν τῇ δευτέρᾳ προσθήκην τινὰ γενέσθαι· ὡσαύτως καὶ ἐν τῇ τρίτῃ καὶ ἐφεξῆς. καὶ διὰ τοῦτο εἰς τεσσαράκοντα ἡμέρας παρέτεινε καὶ τεσσαράκοντα νύκτας, ἵνα πᾶσαν αὐτῶν πρόφασιν ἀπολογίας περικόψῃ. εἰ γὰρ ἐβούλετο καὶ προσέταξεν, ἠδύνατο καὶ ἐν μιᾷ ῥοπῇ τὰ πάντα ἐπικλύσαι· ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ τῇ τοσαύτῃ παρατάσει τῶν ἡμερῶν ἐχρήσατο. εἶτά φησιν,

γρ. ἐξάλειψιν

γρ. [illegible]

13 Ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτὸν, καὶ Σὴμ καὶ Χὰμ καὶ Ἰάφεθ, καὶ ἡ γυνὴ Νῶε, καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ, 14 Καὶ πάντα τὰ θηρία κατὰ γένος,

16 Καθάπερ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Νῶε.

Ὅτε, φησὶν, ἀρχὴν ἔλαβε τὰ τοῦ κατακλυσμοῦ, κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου, εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν μετὰ τῶν υἱῶν αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν γυναικῶν τῶν υἱῶν αὐτοῦ, καὶ πάντα τὰ θηρία κατὰ γένος.

Καὶ ἔκλεισε, φησὶ, κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν.

Σκόπει μοι καὶ ἐνταῦθα * λέξεως συγκατάβασιν. ἔκλεισε, φησὶν, ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτὸν, ἵνα διδάξῃ ἡμᾶς ὅτι ἐν ἀσφαλείᾳ πολλῇ κατέστησε τὸν δίκαιον. τῷ δὲ ἔκλεισε, διὰ τοῦτο προσέθηκε καὶ ἔξωθεν, ὥστε μὴ ἐξεῖναι τῷ δικαίῳ ὁρᾶν τὴν πανωλεθρίαν ἐκείνην γινομένην, καὶ πλείονα καὶ αὐτὸν τὴν συντριβὴν ὑπομένειν. εἰ γὰρ καὶ ἀναλογιζόμενος ἐν διανοίᾳ τὸ χαλεπὸν ἐκεῖνο κλυδώνιον, καὶ ὑπογράφων τῷ λογισμῷ τὴν ἀπώλειαν τοῦ τῶν ἀνθρώπων γένους, τῶν ἀλόγων ἁπάντων τὴν κοινὴν τελευτὴν, καὶ ἀνθρώπων καὶ κτηνῶν καὶ αὐτῆς τῆς γῆς, ὡς εἰπεῖν, τὸν ἀφανισμὸν, συνεχεῖτο καὶ διεταράττετο (εἰ γὰρ καὶ πονηροὶ ἦσαν οἱ ἀπολλύμενοι, ἀλλ' αἱ τῶν δικαίων ψυχαὶ πολλὴν εἰώθασι τὴν συμπάθειαν ἐπιδείκνυσθαι, ἐπειδὰν ἴδωσι τιμωρουμένους τοὺς ἀνθρώπους· καὶ εὑρήσεις ἕκαστον τῶν δικαίων καὶ τῶν προφητῶν πολλὴν ὑπὲρ αὐτῶν τὴν ἱκετηρίαν τιθεμένους, καθάπερ ὁ πατριάρχης πεποίηκε ἐπὶ τῶν Σοδόμων, καθάπερ οἱ προφῆται πάντες ποιοῦντες διετέλεσαν. καὶ γὰρ ὁ μὲν ἔλεγεν, Οἴμοι, κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; ἕτερος δέ φησι, Ποιήσεις τοὺς ἀνθρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης οὐκ ἔχοντας ἡγούμενον;) ἐπεὶ οὖν καὶ ἄνευ τούτου ὁ δίκαιος σφόδρα διεταράττετο τὸν λογισμὸν καὶ συνεχεῖτο τὴν διάνοιαν, ἵνα μὴ καὶ ἡ ὄψις καὶ ἡ θέα εἰς πλείονα αὐτὸν ἐμβάλλῃ συντριβὴν, καθάπερ ἐν δεσμωτηρίῳ κατακλείει αὐτὸν ἐν τῇ κιβωτῷ, ὥστε μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν τὰ γινόμενα, μηδὲ εἰς δειλίαν καταστῆναι. εἰκὸς γὰρ ἦν αὐτὸν ὁρῶντα τῶν ὑδάτων τὴν πλημμύραν ἀγωνιάσαι, μὴ καὶ αὐτὸς ὑποβρύχιος γένηται. κηδόμενος τοίνυν αὐτοῦ ὁ φιλάνθρωπος θεὸς, οὐ συνεχώρει οὔτε θεάσασθαι τῶν ὑδάτων τὴν φορὰν, οὔτε ἰδεῖν τὴν γινομένην ἀπώλειαν καὶ τὴν τῆς οἰκουμένης πανωλεθρίαν. ἐγὼ δὲ ὅταν λογίσωμαι τὴν ἐν τῇ κιβωτῷ τοῦ δικαίου τούτου διαγωγὴν, ἐκπλήττομαι καὶ θαυμάζω, καὶ πάλιν τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ τὸ πᾶν λογίζομαι. εἰ μὴ γὰρ ἐκείνη ἦν ἡ νευροῦσα αὐτοῦ τὸν λογισμὸν, καὶ τὰ δύσκολα εὔκολα ἐργαζομένη, πῶς ἂν, εἰπέ μοι, ἐνεγκεῖν ἠδυνήθη, καθάπερ ἐν εἱρκτῇ τινι καὶ δεσμωτηρίῳ χαλεπῷ, οὕτως αὐτόθι ἐγκεκλεισμένος; πῶς δὲ ἴσχυσεν, εἰπέ μοι, ἀντισχεῖν πρὸς τὸν τοσοῦτον πάταγον τῶν κυμάτων; εἰ γὰρ ἐν πλοίῳ τυγχάνοντες ἄνθρωποι, καὶ ἱστίῳ κεχρημένοι, καὶ τὸν κυβερνήτην ὁρῶντες ἐπὶ τῶν οἰάκων καθήμενον, καὶ τῇ οἰκείᾳ τέχνῃ πρὸς

τὴν

* ἐμφατικ.

Γεν. ιθ. κθ.

Ιεζ. θ. η.

Αβακ. α. ιδ.

τὴν τῶν ἀνέμων ῥύμην ἱστάμενον, ἐπειδὰν ἴδωσι κυμάτων σφοδρότητα, ἀποθνήσκουσι τῷ δέει, καὶ περὶ αὐτῆς τῆς σωτηρίας, ὡς εἰπεῖν, δεδοίκασι, τί ἂν εἴποι τις περὶ τοῦ δικαίου τούτου; καθάπερ γὰρ ἐν δεσμωτηρίῳ, ὡς ἔφθην εἰπών, τυγχάνων ἐν τῇ κιβωτῷ, ὧδε κἀκεῖσε περιεφέρετο, οὐ τὸν οὐρανὸν ἰδεῖν δυνάμενος, οὐχ ἑτέρωθί που τοὺς ὀφθαλμοὺς ἀνατεῖναι, ἀλλ' ἔνδον συνεχόμενος καὶ οὐδὲν ὅλως ἰδεῖν ἔχων, ὃ παραμυθίαν αὐτῷ τινα φέρειν ἠδύνατο. ἐπὶ μὲν γὰρ τῶν τὴν θάλατταν πλεόντων, κἂν τὰ κύματα κορυφωθῇ, ἔξεστι καὶ εἰς τὸν οὐρανὸν ἀναβλέποντα, πολλάκις καὶ κορυφὴν ὄρους θεασάμενον, καὶ πόλιν μακρὰν καταπλεύσαντα, μικράν τινα "παραψυχὴν λαβεῖν. εἰ δὲ καὶ πολὺς καὶ ἀφόρητος ὁ χειμὼν γένοιτο, ἐν δέκα ἢ ὀλίγῳ πλείοσιν ἡμέραις, καὶ μετὰ τοὺς πολλοὺς χειμῶνας ἐκείνους καὶ τοὺς κινδύνους εἰς τὴν γῆν ἐκριφέντες, καὶ μικρὸν ἀνέντες, πάντων ἐκείνων τῶν λυπηρῶν λήθην λαμβάνουσιν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλ' ἐπὶ ἐνιαυτὸν ὁλόκληρον τὸ καινὸν καὶ ξένον ᾤκει δεσμωτήριον, οὐδὲ τὸν ἀέρα ἀναπνεῦσαι δυνάμενος. πῶς γάρ, πανταχόθεν ἠσφαλισμένης τῆς κιβωτοῦ; πῶς ἀντέσχεν, εἰπέ μοι; πῶς διήρκεσεν; εἰ γὰρ καὶ ἀπὸ σιδήρου καὶ ἀδάμαντος αὐτοῖς συνειστήκει τὰ σώματα, πῶς ἂν ἠδυνήθησαν, μήτε ἀέρος ἀπολαύοντες, μήτε "ἀνέμου, οἳ τοῦ ἀέρος οὐκ ἔλαττον τὰ ἡμέτερα σώματα ἀνακτήσασθαι πεφύκασι, μήτε τοὺς ὀφθαλμοὺς ἑστιᾶσαι ἔχοντες πρὸς τὴν τοῦ οὐρανοῦ θέαν, ἢ πρὸς τὴν τῶν ἀνθῶν τῶν ἀπὸ τῆς γῆς ποικιλίαν; πῶς δὲ οὐχὶ καὶ ἀπετυφλώθησαν τὰς ὄψεις, ἐπὶ τοσοῦτον οὕτω διάγοντες; πλὴν καὶ εἰ ἀνθρωπίνοις λογισμοῖς ταῦτα "βουληθείημεν καταλαβεῖν, κἀκεῖνο δεῖ ἐννοῆσαι, πόθεν ὕδατος ποτίμου χορηγίαν εἶχον ἐν τῇ κιβωτῷ διάγοντες; καὶ ἵνα ταῦτα παρῶ, πῶς ἠδυνήθη ὁ δίκαιος οὗτος μετὰ τῶν υἱῶν καὶ τῶν γυναικῶν τὴν μετὰ τῶν ἀλόγων καὶ τῶν θηρίων καὶ τῶν λοιπῶν κτηνῶν ἀνασχέσθαι διαγωγήν; πῶς ἤνεγκε τὴν δυσωδίαν; πῶς ἠνέσχετο τὴν σὺν αὐτοῖς "οἴκησιν; καὶ τί ταῦτα λέγω; πῶς αὐτὰ τὰ ἄλογα ἠδυνήθη ἀντισχεῖν, καὶ μὴ διαφθαρῆναι, ἐν τοσούτῳ μήκει χρόνου μήτε ἀέρος "ἀποσπάσαι δυνάμενα, μήτε κινούμενα, ἀλλ' ἐν ἑνὶ τόπῳ καθειργμένα; ἴστε γάρ, ἴστε ὅτι καὶ ἐπὶ τῆς ἡμετέρας φύσεως, καὶ ἐπὶ τῆς τῶν ἀλόγων, κἂν ἀέρος "ἀπολαύωμεν, κἂν τῶν ἄλλων ἁπάντων, διηνεκῶς δὲ ἐν ἑνὶ τόπῳ ὦμεν συγκεκλεισμένοι, οὐδὲν τὸ κωλῦον ἀπολέσθαι καὶ διαφθαρῆναι. πόθεν οὖν ἠδυνήθη ὁ δίκαιος οὗτος μετὰ πάντων τῶν ἐν τῇ κιβωτῷ τοσοῦτον διαρκέσαι χρόνον; οὐδαμόθεν ἑτέρωθεν, ἢ ἀπὸ τῆς ἄνωθεν ῥοπῆς τῆς πάντα δυναμούσης καὶ δυναμένης. αὐτὸ γὰρ τὸ τὴν κιβωτὸν ὧδε κἀκεῖσε περιφερομένην μὴ καταποντισθῆναι ὑπὸ τῆς τοσαύτης τῶν ὑδάτων φορᾶς, οὐδενὸς ὄντος τοῦ "κυβερνῶντος, οὐ τῆς ἄνωθεν γέγονε ῥοπῆς; οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὅτι ἐν πλοίου σχήματι ἦν, ὡς δύνασθαι τέχνῃ τινὶ ἡνιοχεῖν αὐτῆς τὴν πορείαν. κιβωτὸς ἦν πάντοθεν πεφραγμένη· καὶ διὰ τὸ πρόσταγμα τοῦ δημιουργοῦ οὐ μόνον οὐδὲν αὐτὴν ἐλυμήνατο ἡ τῶν ὑδάτων φορά, ἀλλὰ καὶ ὑψηλοτέρα γινομένη ἐν πολλῇ ἀσφαλείᾳ καθίστη τοὺς ἐνοικοῦντας. ὅταν οὖν ὁ θεὸς ἐργάσηταί τι, ἀγαπητέ, μὴ βούλου λογισμοῖς ἀνθρωπίνοις ἐξετάζειν τὰ παρ' αὐτοῦ γινόμενα. ὑπερβαίνει γὰρ τὴν ἔννοιαν τὴν ἡμετέραν, καὶ οὐκ ἄν ποτε δυνηθῇ ἀνθρωπίνη διάνοια ἐφικέσθαι καὶ καταλαβεῖν τὸν λόγον τῶν ὑπ' αὐτοῦ δημιουργουμένων. διὸ προσήκει ἀκούοντας ἡμᾶς, ὅτι ὁ θεὸς προσέταξε, πείθεσθαι καὶ εἴκειν τοῖς παρ' αὐτοῦ λεγομένοις. δημιουργὸς γὰρ ὢν τῆς φύσεως κατὰ τὸ αὐτῷ δοκοῦν ἅπαντα μεταρρυθμίζει καὶ μεταπλάττει. καὶ ἔκλεισε κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν. πολλὴ τοῦ δικαίου τούτου ἡ ἀρετὴ καὶ τῆς πίστεως ἡ ὑπερβολή. αὕτη γάρ, αὕτη καὶ τεκτήνασθαι τὴν κιβωτὸν παρεσκεύασε, καὶ τὴν οἴκησιν πράως ἐνεγκεῖν, καὶ τῆς στενοχωρίας ἀνασχέσθαι,

ραμυθι-

ἀνέμων,

συνιδεῖν
βαλλομεν,

συνοίκησιν;

σπάσαι ἀλ.
πολαῦσαι

ἀπολαύου-
μεν,

κυβερνῶν-
τος,

ἀνασχέσθαι, καὶ τῆς μετὰ τῶν θηρίων διαγωγῆς καὶ τῶν ἀλόγων ἁπάντων. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος εἰς μνήμην αὐτοῦ ἐλθὼν, καὶ ἀνακηρύττων αὐτὸν ἐβόα λέγων· Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι᾽ ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος. εἶδες πῶς ἡ πίστις ἡ εἰς τὸν θεὸν, καθάπερ ἄγκυρά τις ἀσφαλὴς, παρεσκεύασεν αὐτὸν καὶ τῆς κιβωτοῦ τὴν κατασκευὴν ποιήσασθαι, καὶ τῆς οἰκήσεως ἀνασχέσθαι. αὕτη γὰρ αὐτῷ καὶ τῆς σωτηρίας ὑπόθεσις γέγονε, δι᾽ ἧς φησι, κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος· οὐκ ἐπειδὴ αὐτὸς ἔκρινεν, ἀλλ᾽ ἐπειδὴ ὁ δεσπότης ἀπὸ τῆς συγκρίσεως τὴν κατάκρισιν ἐπάγει. τῶν γὰρ αὐτῶν ἀπολαύσαντες τῷ δικαίῳ, οὐ τὴν αὐτὴν αὐτῷ μετῆλθον τῆς ἀρετῆς ὁδόν. διὰ ″ τῆς πίστεως μὲν οὖν, ἣν ἐπεδείξατο, κατέκρινεν ἐκείνους τοὺς πολλὴν τὴν ἀπιστίαν ἐπιδειξαμένους, καὶ μὴ πιστεύσαντας τῇ προρρήσει. ἐγὼ δὲ μετὰ πάντων καὶ τοῦ δικαίου ἐκπλήττομαι τὴν ἀρετὴν, καὶ τοῦ δεσπότου τὴν ἀγαθότητα καὶ τὴν ἄφατον φιλανθρωπίαν, ὅταν ἐννοήσω πῶς ἠδυνήθη μεταξὺ τῶν θηρίων διάγειν, τῶν λεόντων λέγω, καὶ τῶν παρδάλεων, καὶ τῶν ″ ἄρκτων καὶ τῶν λοιπῶν τῶν ἀγρίων καὶ ἀτιθάσων. ἀναμνήσθητί μοι ἐνταῦθα, ἀγαπητὲ, τῆς ἀξίας, ἧς ἀπήλαυσεν ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς, καὶ λογίζου τοῦ θεοῦ τὴν ἀγαθότητα. ἐπειδὴ γὰρ ἡ παράβασις ἐκείνου ἠκρωτηρίασε τὴν δεδομένην ἐξουσίαν, εὗρε δὲ ὁ ἀγαθὸς δεσπότης ἕτερον ἄνδρα δυνάμενον ἀνακαλέσασθαι τὴν ἀρχαίαν εἰκόνα, καὶ διασώζοντα τῆς ἀρετῆς τοὺς χαρακτῆρας, καὶ πολλὴν περὶ τὰς ἐντολὰς τὴν ὑπακοὴν ἐπιδεικνύμενον, πάλιν εἰς τὴν ἀρχαίαν τιμὴν αὐτὸν ἀνάγει, μονονουχὶ διδάσκων ἡμᾶς δι᾽ αὐτῶν τῶν πραγμάτων τῆς ἐξουσίας τοῦ Ἀδὰμ τὸ μέγεθος, ἣν εἶχε πρὸ τῆς παρακοῆς. ἡ ἀρετὴ τοίνυν τοῦ δικαίου ἐπιλαβομένη τῆς τοῦ θεοῦ φιλανθρωπίας ἀνεκαλέσατο τὴν προτέραν ἀρχὴν, καὶ πάλιν τὰ θηρία τὴν ὑποταγὴν ἐπεγίνωσκον. ἔνθα γὰρ ἂν ἴδῃ θηρία δίκαιον, ἐπιλανθάνεται τῆς οἰκείας φύσεως, μᾶλλον δὲ οὐ τῆς φύσεως, ἀλλὰ τῆς θηριωδίας, καὶ μένοντα ἐν τῇ φύσει τὴν θηριωδίαν εἰς ἡμερότητα μεταβάλλει. καὶ ὅρα τοῦτο ἐπὶ τοῦ Δανιὴλ γινόμενον. ὑπὸ γὰρ τῶν λεόντων κυκλούμενος, ὥσπερ ὑπὸ προβάτων δορυφορούμενος, οὕτως ἀδεῶς διῆγεν. ἡ γὰρ τοῦ δικαίου παρρησία ἐχαλίνου τῶν θηρίων τὴν φύσιν, καὶ οὐκ εἴα τὰ τῶν θηρίων αὐτοὺς ἐπιδείκνυσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θαυμάσιος οὗτος τὴν μετὰ τῶν θηρίων διαγωγὴν μετ᾽ εὐκολίας ἔφερε, καὶ οὔτε ἡ στενοχωρία, οὔτε ἡ τοῦ χρόνου παράτασις, οὔτε τὸ οὕτως ἐγκεκλεῖσθαι, καὶ μηδὲ τὸν ἀέρα ἀναπνεῖν, ναρκῆσαι αὐτὸν παρεσκεύασεν, ἀλλὰ τῇ πίστει τῇ εἰς τὸν θεὸν ἅπαντα κοῦφα αὐτῷ ἐφαίνετο, καὶ οὕτω διῆγεν ἐν τῷ χαλεπῷ ἐκείνῳ δεσμωτηρίῳ, ὡσανεὶ ἡμεῖς ἐν λειμῶσι, καὶ δενδρικοῖς τόποις. τὸ γὰρ ἐπίταγμα τοῦ δεσπότου τὰ δυσχερῆ ῥᾴδια ὑποφαίνεσθαι παρεσκεύασε. τοιοῦτον γὰρ τῶν δικαίων τὸ ἔθος· ὅταν τι δι᾽ αὐτὸν ὑπομένουσιν, οὐ τῇ ὄψει τῶν γινομένων προσέχουσιν, ἀλλὰ τὴν ὑπόθεσιν λογιζόμενοι μετ᾽ εὐκολίας ἅπαντα φέρουσιν. ἐπεὶ καὶ Παῦλος, ὁ τῶν ἐθνῶν διδάσκαλος, τὰ δεσμωτήρια, τὰς ἀπαγωγὰς, τοὺς καθημερινοὺς κινδύνους, τὰς πολλὰς ἐκείνας καὶ ἀφορήτους θλίψεις, ἐλαφρὰς ἐκάλει· οὐκ ἐπειδὴ ἐν τῇ φύσει τοιαῦται ἦσαν, ἀλλ᾽ ἐπειδὴ ἡ ὑπόθεσις τῶν γινομένων τοιαύτην αὐτῷ τὴν γνώμην κατεσκεύαζεν, ὡς μηδὲ ἐπιστρέφεσθαι πρὸς τὰ ἐπιόντα δεινά. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν [εἰς ὑπερβολὴν] αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. ἡ προσδοκία, φησὶ, τῆς μελλούσης καταλήψεσθαι δόξης, καὶ τῆς διηνε-

κοῦς

Ἑβρ. ια. ζ.

γ. διὰ τὴν διὰ τῆς πίστεως, ἣν

γ. ἐρήμων

Δαν. ϛ.

β. Κορ. δ. ιζ.

χους ἐκείνης ἀνέσεως, κούφως ἡμᾶς ποιεῖ φέρειν τὰς ἐπαλλήλους ταύτας θλίψεις, καὶ ἐλαφρὰς αὐτὰς ἡγεῖσθαι. Εἶδες ὅπως ὑποτέμνεται ὁ πρὸς τὸν θεὸν πόθος τῶν δεινῶν τὴν ἐπίτασιν, καὶ οὐδὲ αἴσθησιν συγχωρεῖ λαβεῖν τῶν ἐπιόντων. διά τοι τοῦτο καὶ ὁ μακάριος οὗτος πάντα πρᾴως ἔφερε, τῇ πίστει τῇ εἰς τὸν θεὸν καὶ τῇ ἐλπίδι τρεφόμενος.

Καὶ ἔκλεισε, φησι, κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν, 17 Καὶ ἐγένετο ὁ κατακλυσμὸς μ΄ ἡμέρας καὶ μ΄ νύκτας ἐπὶ τῆς γῆς, καὶ ἐπεφέρετο ἡ κιβωτός.

Σκόπει πάλιν πῶς τῇ διηγήσει αὔξει τὸν φόβον καὶ ἐξογκοῖ τὸ γεγενημένον.

Ἐγένετο γάρ, φησιν, ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἐπληθύνθη τὸ ὕδωρ καὶ ἐπῆρε τὴν κιβωτὸν καὶ ὑψώθη ἀπὸ τῆς γῆς, 18 Καὶ ἐπεκράτει τὸ ὕδωρ, καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς, καὶ ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος. 19 Τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφοδρῶς ἐπὶ τῆς γῆς.

Ὅρα πῶς ἀκριβῶς ἡμῖν διηγεῖται τὴν πολλὴν τῶν ὑδάτων φοράν, καὶ ὅτι ἐφ᾽ ἑκάστης αὔξησιν ἐλάμβανεν ἡ πλημμύρα τῶν ὑδάτων.

Ἐπεκράτει γὰρ τὸ ὕδωρ, φησί, σφόδρα σφοδρῶς, καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ. 20 Πεντεκαίδεκα πήχεις ″ἐπάνω ὑψώθη τὸ ὕδωρ, καὶ ″ἐπέκλυζεν ἅπαντα τὰ ὄρη.

ὑπεράνω
ἐπεκάλυψε

Εἰκότως ᾠκονόμησεν ὁ φιλάνθρωπος δεσπότης κλεισθῆναι τὴν κιβωτόν, ὥστε μὴ ὁρᾶν τὸν δίκαιον τὰ γινόμενα. Εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον ἐτῶν ἀριθμὸν καὶ μετὰ τοσαύτας γενεὰς ἀκούοντες μόνον τῆς γραφῆς τὴν διήγησιν, συστελλόμεθα καὶ ἐν ἀμηχανίᾳ γινόμεθα, τί εἰκὸς ἂν ἦν τὸν δίκαιον ἐκεῖνον παθεῖν, εἴγε τοῖς ὀφθαλμοῖς ἑώρα τὴν ἄβυσσον ἐκείνην τὴν ἀφόρητον; πῶς γὰρ ἂν ἠδυνήθη κἂν πρὸς βραχὺ ἀντισχεῖν; οὐχὶ δὲ εὐθέως ἐκ πρώτης ὄψεως ἂν ἐξέστη, τῆς ψυχῆς ἀποπτάσης καὶ μηκέτι δυνηθείσης ἐνεγκεῖν τῶν τοσούτων δεινῶν τὴν θέαν; ἐννόει γάρ μοι, ἀγαπητέ, πῶς νῦν μικρᾶς ἐπομβρίας γενομένης ἐναγώνιοι γινόμεθα, περὶ τοῦ παντὸς δεδοίκαμεν, περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ζωῆς ἀπαγορεύομεν. τί τοίνυν εἰκὸς ἦν τὸν δίκαιον ἐκεῖνον τότε παθεῖν πρὸς τοσοῦτον ὕψος ὁρῶντα τὰ ὕδατα κορυφούμενα; ἐπάνω γάρ, φησι, τῶν ὀρέων πεντεκαίδεκα πήχεις ὑψώθη τὸ ὕδωρ. ἀναμνήσθητί μοι ἐνταῦθα, ἀγαπητέ, τῶν παρὰ τοῦ δεσπότου ῥηθέντων ὅτε ἔλεγεν, Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Καὶ πάλιν, Ἐφθάρη ἡ γῆ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας, καὶ εἶδε κύριος τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. ἐπεὶ τοίνυν ὁλοκλήρου καθαρσίου ἐδεῖτο ἡ οἰκουμένη, καὶ ἐχρῆν αὐτὴν ἅπαντα τὸν ῥύπον ἀποκαθάρασθαι, καὶ τὴν ζύμην ἅπασαν τῆς προλαβούσης πονηρίας ἀναιρεθῆναι, καὶ μηδὲ ἴχνος τῆς κακίας ἀπολειφθῆναι, ἀλλ᾽ ὥσπερ ἀναστοιχείωσίν τινα γενέσθαι· καθάπερ τεχνίτης ἄριστος ἐπειδὰν λάβῃ σκεῦος ὑπὸ τοῦ χρόνου παλαιωθὲν καὶ καταδαπανηθέν, ὡς εἰπεῖν, ὑπὸ τοῦ ἰοῦ, [καὶ] εἰς τὸ πῦρ ἐμβαλών, καὶ ″παρασκευάσας πάντα τὸν ἰὸν ἀποθέσθαι, μεταπλάττει καὶ μετασκευάζει καὶ εἰς τὴν ἀρχαίαν εὐμορφίαν ἐπανάγει· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος ἅπασαν τὴν οἰκουμένην διὰ τοῦ * κατακλυσμοῦ ″καθάρας, καὶ ὡς εἰπεῖν, ἐλευθερώσας τῆς κακίας τῶν ἀνθρώπων, καὶ τοῦ μολυσμοῦ, καὶ τῆς φθορᾶς τῆς πολλῆς, λαμπροτέραν αὐτὴν ἀπειργάσατο, ἄνωθεν ἡμῖν δείξας αὐτῆς φαιδρὸν τὸ πρόσωπον, καὶ οὐ συγχωρήσας οὐδὲ ἴχνος τῆς προτέρας ἀμορφίας καταλειφθῆναι. ὑψώθη γάρ, φησιν, ἐπάνω τῶν ὀρέων πεντεκαίδεκα πήχεις τὸ ὕδωρ. οὐχ ἁπλῶς ἡμῖν ταῦτα διηγεῖται ἡ θεία γραφή, ἀλλ᾽ ἵνα μάθωμεν ὅτι οὐ μόνον ἄνθρωποι καὶ κτήνη καὶ τετράποδα καὶ ἑρπε-

κατασκ-
καθαρίσεως

τὰ ὑποβρύχια γέγονεν, ἀλλὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὅσα ἐν τοῖς ὄρεσι διῃτᾶτο, θηρία λέγω καὶ ἕτερα ἄλογα ζῶα. διὰ τοῦτό φησι, καὶ ὑψώθη τὸ ὕδωρ ἐπάνω τῶν ὀρέων ιέ πήχεις, ἵνα μάθῃς ὅτι τὰ τῆς ἀποφάσεως τοῦ δεσπότου εἰς ἔργον ἐξῆλθεν. ἔλεγε γὰρ ὅτι ἔτι ἑπτὰ ἡμέραι, καὶ ἐπάγω κατακλυσμὸν ἐπὶ τὴν γῆν, καὶ ἐξαλείψω ἅπασαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ. οὐχ ἵνα τοίνυν ἁπλῶς τὴν εἰς ὕψος τῶν ὑδάτων κορυφὴν ἡμᾶς διδάξῃ ἡ θεία γραφή, ταῦτα διηγεῖται, ἀλλ᾽ ἵνα μετὰ τούτου συνιδεῖν δυνηθῶμεν, ὅτι οὐδὲν ὅλως, οὐ τῶν ἀλόγων, οὐ τῶν θηρίων, οὐ τῶν κτηνῶν ὑπελείφθη, ἀλλὰ πάντα ἐξαλείφθη μετὰ τοῦ τῶν ἀνθρώπων γένους. ἐπειδὴ γὰρ δι᾽ αὐτὸν ἅπαντα ταῦτα παρήχθη, τούτου μέλλοντος ἀφανίζεσθαι, εἰκότως καὶ ταῦτα συναπολαύει τῆς ἀπωλείας. εἶτα ἐπειδὴ ἐδίδαξεν ἡμᾶς εἰς ὅσον ὕψος ἐκορυφώθη τῶν ὑδάτων ἡ φύσις, καὶ ὅτι ὑπερέβη τὰς κορυφὰς τῶν ὀρέων ἑτέροις ιέ πήχεις, τὴν ἑαυτῆς ἀκρίβειαν μιμουμένη ἡ θεία γραφὴ πάλιν φησί·

21 Καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς, 22 Καὶ πᾶς ἄνθρωπος, καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς, καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν.

Οὐχ ἁπλῶς ᾐνίξατο ἡ θεία γραφὴ λέγουσα, καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν, ἀλλ᾽ ἵνα σε διδάξῃ, ὅτι πάντες μὲν ἀπολώλασιν, ὁ δὲ δίκαιος μόνος μετὰ τῶν ἐν τῇ κιβωτῷ πάντων διεσώθη. ἐκεῖνοι γὰρ προλαβόντες κατὰ τὴν τοῦ θεοῦ διαταγὴν καταλιπόντες τὴν ξηράν, τὴν κιβωτὸν κατέλαβον.

23 Καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς.

Ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις τὴν πανωλεθρίαν διδάσκει τὴν γεγενημένην, καὶ ὅτι οὐδὲν τῶν ὄντων διέφυγεν, ἀλλὰ πάντες ὑπὸ τῶν ὑδάτων ἀπεπνίγησαν, καὶ τὸ τῶν ἀνθρώπων γένος, καὶ τὸ τῶν ἀλόγων.

Καὶ κατελείφθη, φησί, μόνος Νῶε καὶ οἱ μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ, 24 Καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ρν΄ ἡμέρας.

Ἐπὶ τοσαύταις, φησίν, ἡμέραις ἔμεινε κορυφούμενον εἰς ὕψος τὸ ὕδωρ. ἐννόει μοι πάλιν ἐνταῦθα τοῦ δικαίου τὴν μεγαλοψυχίαν καὶ τῆς ἀνδρείας αὐτοῦ τὴν ὑπερβολήν. τί γὰρ οὐκ ἂν ἔπαθεν, ὑπογράφων τῇ διανοίᾳ, καὶ ὁρῶν, ὡς εἰπεῖν, τῷ λογισμῷ τὰ σώματα τὰ ἀνθρώπινα καὶ τὰ τῶν κτηνῶν τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων τὸν κοινὸν θάνατον ὑπομείναντα, καὶ ὁμοῦ πεφυρμένα, καὶ οὐδεμίαν διαφορὰν γινομένην; καὶ μετὰ τοῦτο πάλιν, ἐπειδὰν τὰ καθ᾽ ἑαυτὸν ἀναλογιζόμενος, τὴν μόνωσιν, τὴν ἐρημίαν, τὴν διαγωγὴν ἐκείνην τὴν ὀδυνηρὰν καὶ οὐδεμίαν οὐδαμόθεν ἔχουσαν παραμυθίαν, οὐκ ἀπὸ συντυχίας, οὐκ ἀπὸ θέας, ἀλλ᾽ οὐδὲ τὸν χρόνον " εἰδότα ἀκριβῶς, πόσον ἤμελλεν ἀνέχεσθαι τῆς ἐν τῷ δεσμωτηρίῳ ἐκείνῳ διαγωγῆς; ἕως γὰρ ὁ κτύπος τῶν ὑδάτων καὶ ὁ πάταγος ἦν, καθ᾽ ἑκάστην ἡμέραν ἀκμάζοντα αὐτῷ τὸν φόβον " εἰργάζετο. τί γὰρ ἦν εἰκὸς αὐτὸν χρηστὸν ὑποπτεῦσαι, ὁρῶντα ἐπὶ ρν΄ ἡμέρας ἐπὶ τῆς ταυτότητος τὰ ὕδατα μένοντα, καὶ εἰς ὕψος ἐγειρόμενα, καὶ οὐδὲ τὸ τυχὸν λήγοντα; ἀλλ᾽ ὅμως ἔφερε γενναίως, εἰδὼς τοῦ δεσπότου τὸ εὐμήχανον, καὶ ὅτι δημιουργὸς ὢν τῆς φύσεως ἅπαντα ποιεῖ καὶ μετασκευάζει πρὸς " ὃ βούλεται, καὶ οὐκ ἐδυσχέραινε πρὸς τὴν ἐκεῖσε διαγωγήν. ἡ γὰρ τοῦ θεοῦ ῥοπὴ συνεφαπτομένη ἔνδοθεν αὐτοῦ τὴν προθυμίαν, καὶ ἀρκοῦσαν παρεῖχε τὴν παραμυθίαν, οὐκ ἀφιεῖσα καταπεσεῖν τοὺς " λογισμούς, οὐδὲ ἀγεννές τι παθεῖν καὶ ἄνανδρον λογίσασθαι. ἐπειδὴ γὰρ προλαβὼν

ἴσ. εἰδὼς

γρ. ἀπαγ

γρ. ἃ

γρ. τοῖς λογι-
σμοῖς,

τὰ παρ' ἑαυτοῦ παρέσχε, τῆς ἀρετῆς τὴν ἀκρίβειαν, τῆς δικαιοσύνης τὴν ἐπίτασιν, τῆς πίστεως τὴν ὑπερβολήν, καὶ τὰ παρὰ τοῦ δεσπότου μετὰ δαψιλείας λοιπὸν αὐτῷ ἐχορηγεῖτο, ἡ ὑπομονή, ἡ ἀνδρεία, τὸ πράως ἅπαντα φέρειν, τὸ ἀνασχέσθαι τῆς οἰκήσεως τῆς ἐν τῇ κιβωτῷ, τὸ μηδεμίαν λύμην ἐκεῖθεν δέξασθαι, τὸ μὴ διαφθαρῆναι, μηδὲ δυσχερᾶναι τὴν μετὰ τῶν ἀλόγων " διαγωγήν.

ΗΘΙΚΟΝ

Τοῦτον οὖν, παρακαλῶ, τὸν δίκαιον καὶ ἡμεῖς μιμώμεθα, καὶ τὰ παρ' ἑαυτῶν σπουδάζωμεν εἰσφέρειν, ἵνα ἀξίους ἑαυτοὺς κατασκευάσωμεν τῶν παρὰ τοῦ θεοῦ δωρεῶν. διὰ τοῦτο γὰρ ἀναμένει τὰς παρ' ἡμῶν ἀφορμάς, ἵνα πολλὴν ἐπιδείξηται τὴν φιλοτιμίαν. μὴ τοίνυν διὰ ῥαθυμίαν ἀποστερῶμεν ἑαυτοὺς τῶν παρ' αὐτοῦ δωρεῶν, ἀλλὰ σπεύδωμεν καὶ ἐπειγώμεθα τῆς ἀρχῆς ἐπιλαβέσθαι, καὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὴν ἀρετὴν ἅψασθαι, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες καὶ πρὸς τὸ τέλος φθάσαι δυνηθῶμεν. οὐδὲ γὰρ οἷόν τέ τι χρηστὸν ἡμᾶς ποτε κατορθῶσαι, μὴ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαντας. καθάπερ γὰρ εἰς ἄγκυραν ἀσφαλῆ καὶ βεβαίαν ἐξαρτήσαντες ἑαυτοὺς τῆς εἰς τὸν θεὸν ἐλπίδος, οὕτως ἅπασιν ἐγχειρῶμεν, καὶ μὴ πρὸς τὸν πόνον βλέπωμεν τῆς ἀρετῆς, ἀλλὰ τὴν μετὰ τῶν πόνων ἀμοιβὴν λογιζόμενοι κούφως ἅπαντα φέρωμεν. ἐπεὶ καὶ ἔμπορος ἐπειδὰν τὸν λιμένα ἐκβαίνῃ καὶ τοῦ πελάγους ἐν μέσῳ γένηται, οὐ τοὺς πειρατάς, καὶ τὰ ναυάγια, καὶ τὰ θηρία τὰ κατὰ θάλασσαν, καὶ τὰς τῶν ἀνέμων ἐμβολάς, καὶ τοὺς ἐπαλλήλους χειμῶνας καὶ ἀποτυχίας λογίζεται μόνον, ἀλλὰ καὶ τά, μετὰ τὸ διαφυγεῖν ταῦτα, τὰ προσγινόμενα κέρδη, καὶ τῇ ἐλπίδι τρεφόμενος ἅπαντα μετ' εὐκολίας καταδέχεται τὰ " παρόντα μοχθηρά, ἵνα πλείονα περιβάλληται χρήματα, καὶ οὕτως οἴκαδε ἐπανέλθῃ. καὶ ὁ γηπόνος δὲ οὐ τοὺς κατὰ τὴν γεωργίαν μόχθους ἐννοεῖ μόνον, καὶ τὰς ἐπομβρίας, καὶ τῆς γῆς τὴν ἀποτυχίαν, καὶ τῆς ἐρυσίβης τὴν ἔφοδον, καὶ τῶν ἀκρίδων τὴν λύμην, ἀλλὰ καὶ τὴν ἅλω καὶ τὰ δράγματα ὑπογράφων τοῖς λογισμοῖς, ἅπαντα φέρει γενναίως, οὐδεμίαν τῶν πόνων αἴσθησιν λαμβάνων διὰ τὴν τῶν χρηστῶν προσδοκίαν· καίτοι ἀδήλου τῆς ἐλπίδος οὔσης, ἀλλ' ὅμως ταῖς χρηστοτέραις ἐλπίσι τρεφόμενος, οὐκ ἀπαγορεύει πρὸς τοὺς πόνους, ἀλλὰ πάντα τὰ παρ' ἑαυτοῦ εἰσφέρει, ἀναμένων τῶν πόνων λαβεῖν τὰς ἀμοιβάς. καὶ ὁ στρατιώτης δὲ πάλιν ὅπλα περιτίθεται, καὶ εἰς πόλεμον ἔξεισι, καὶ οὐκ ἐννοεῖ μόνον τὰ τραύματα, καὶ τὰς σφαγάς, καὶ τὰς τῶν πολεμίων ἐφόδους, καὶ τὰς ἄλλας ταλαιπωρίας, ἀλλὰ τὴν νίκην καὶ τὰ τρόπαια ἑαυτῷ ὑπογράφων, οὕτω τὴν τῶν ὅπλων παντευχίαν περιβάλλεται, " καὶ τῆς ἀδηλίας πολλῆς οὔσης καὶ ἀποτυχίας, πάντα τοῦτον ἀπωσάμενος λογισμόν, καὶ χρηστὰς ἐλπίδας ἑαυτῷ ὑπογράφων, πάντα ὄκνον ἀποτίθεται, καὶ λαβὼν τὰ ὅπλα πρὸς τὴν τῶν πολεμίων " ἔφοδον ὁρμᾷ. εἰ τοίνυν, ἀγαπητοί, καὶ ἔμπορος, καὶ γηπόνος, καὶ στρατιώτης, ἔνθα καὶ ἄδηλος ἡ ἐλπίς, καὶ αἱ ἀποτυχίαι πλείους, καὶ τὰ κωλύματα, καθάπερ ἠκούσατε, πολλὰ καὶ διάφορα, καὶ ὅμως οὐδεὶς τούτων ἀπαγορεύων πρὸς τοὺς πόνους ἀφίσταται τῆς χρηστοτέρας ἐλπίδος, ποίας ἂν ἡμεῖς συγγνώμης τύχοιμεν, ἀποκνοῦντες πρὸς τὴν ἀρετήν, καὶ οὐχὶ πάντα πόνον αὐτομάτως καὶ προθύμως καταδεχόμενοι, οὕτως ἀσφαλοῦς οὔσης τῆς ἐλπίδος, καὶ τοσούτων ἀποκειμένων ἡμῖν τῶν ἀγαθῶν, καὶ μετὰ πολλῆς τῆς περιουσίας νικώσης τῆς ἀμοιβῆς πάντα τὰ παρ' ἡμῶν γινόμενα; ἄκουε τοίνυν τοῦ μακαρίου Παύλου λέγοντος μετὰ τοσαύτας καὶ τηλικαύτας θλίψεις, καὶ τὰς ἀπαγωγάς, καὶ τὰ δεσμωτήρια, καὶ τοὺς θανάτους τοὺς καθημερινούς, Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ρωμ. η. ιη. κἂν καθ' ἑκάστην ἡμέραν, φησί, θανάτοις ἑαυτοὺς ἐκδῶμεν, ὅπερ ἡ φύσις οὐ δέχεται, ἀλλ' εἰ καὶ ἡ γνώμη νικῶσα τὴν φύσιν διὰ τὴν τοῦ δεσπότου " φιλανθρωπίαν στεφαίνεται, οὐδὲν ἄξιον ὑπομένομεν τῶν μελλόντων ἡμᾶς, φησι, διαδέχεσθαι ἀγαθῶν, καὶ τῆς δόξης τῆς μελλούσης ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. ὅρα πόσον τῆς δόξης τὸ μέγεθος, ἧς ἀπολαύουσιν οἱ τὴν ἀρετὴν μεταδιώκοντες, ὡς νικᾷν αὐτὴν πάντα ὅσαπερ ἄν τις ἐπιδείξασθαι δυνηθῇ. κἂν γὰρ εἰς αὐτὴν τὴν κορυφὴν φθάσῃ, καὶ οὕτω λείπεται. τί γὰρ τοσοῦτον ἄνθρωπος ἐπιδείξασθαι δύναται, ὡς ἐπαξίως ἀθλῆσαι τῆς τοῦ δεσπότου φιλοτιμίας; εἰ δὲ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος ἔλεγεν, Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, ὁ λέγων, Καθ᾽ ἡμέραν ἀποθνήσκω, (α. Κορ. ιε. λα.) καὶ πάλιν, Περισσότερον πάντων ἐκοπίασα, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ μηδὲ τὸν τυχόντα κάματον ὑπὲρ τῆς ἀρετῆς ἀναδέξασθαι βουλόμενοι, ἀλλ᾽ ἀεὶ τὴν ἄνεσιν μεταδιώκοντες καὶ τοῦτο περισκοποῦντες, ὅπως μηδεμίαν πεῖραν λάβωμεν τῶν λυπηρῶν, καὶ ταῦτα εἰδότες, ὅτι οὐχ οἷόν τε ἑτέρως τῆς ἐκεῖ τυχεῖν ἀνέσεως, μὴ πρότερον ἐνταῦθα τὸν διὰ τῆς "ἀθλήσεως" ποθήσαντες βίον; (γρ. θλίψεως. ἴσ. ποθήσαντας) αἱ γὰρ θλίψεις αὗται πρόξενοι γίνονται τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, καὶ τὸ μικρὸν ἐνταῦθα κάμνειν πολλὴν ἡμῖν ἐκεῖ τὴν παρρησίαν χαρίζεται, μόνον ἐὰν βουλώμεθα κατὰ τὴν συμβουλὴν τούτου τοῦ τῆς οἰκουμένης διδασκάλου πορεύεσθαι. ἐννόει, ἀγαπητέ, ὅτι κἂν λυπηρὰ ᾖ τὰ συμπίπτοντα, ἀλλὰ πρόσκαιρα· τὰ μέντοι ἐκεῖ διαδεξόμενα ἡμᾶς ἀγαθά, ἀθάνατα καὶ αἰώνια. Τὰ γὰρ βλεπόμενα, φησι, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. (β. Κορ. δ. ιη.) ἐνέγκωμεν τοίνυν γενναίως τὰ πρόσκαιρα, καὶ μὴ ἀποκάμωμεν πρὸς τοὺς τῆς ἀρετῆς πόνους, ἵνα τῶν αἰωνίων ἀπολαύσωμεν, καὶ ἀεὶ μενόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. κϛ. ΚΑΙ ΕΜΝΗΣΘΗ Ο ΘΕΟΣ ΤΟΥ ΝΩΕ, ΚΑΙ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ. καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ.

Μεγάλη καὶ ἄφατος ἐν τοῖς πρόσφατον ἀναγνωσθεῖσι δείκνυται ἡ τοῦ θεοῦ φιλανθρωπία, καὶ τῆς ἀγαθότητος αὐτοῦ ἡ ὑπερβολή, ἣν οὐ μόνον περὶ τὸ λογικὸν τοῦτο ζῶον ἐπιδείκνυται, τὸν ἄνθρωπον λέγω, ἀλλὰ καὶ περὶ τὴν τῶν ἀλόγων ζώων φύσιν. δημιουργὸς γὰρ τῶν ἁπάντων τυγχάνων, εἰς πάντα τὰ ὑπ᾽ αὐτοῦ δημιουργηθέντα τὴν οἰκείαν ἐκτείνει ἀγαθότητα, διὰ πάντων ἡμῖν ἐνδεικνύμενος, ὅσην ποιεῖται πρόνοιαν τοῦ τῶν ἀνθρώπων γένους, καὶ ὅτι πάντα ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπραγματεύσατο διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. κἂν κολάζῃ τοίνυν, κἂν τιμωρῆται, ἀπὸ τῆς αὐτῆς "ἀγαθότητος καὶ ταῦτα κἀκεῖνα ποιεῖ. οὐδὲ γὰρ πάθει καὶ ὀργῇ τὰς τιμωρίας ἐπάγει, ἀλλὰ τὴν κακίαν "ἐγκόψαι βουλόμενος, (γρ. ἀγάπης. γρ. ἐκκόψαι) καὶ ὥστε μὴ πάνυ αὐτὴν προβῆναι. ἐπεὶ καὶ νῦν, ὡς ἀκούετε, κατακλυσμὸν δι᾽ οὐδὲν ἕτερον ἐπήγαγεν, ἀλλὰ κηδόμενος τῶν πρὸς τοσαύτην κακίαν ἑαυτοὺς ἐκδεδωκότων. καὶ ποία, φησί, κηδεμονία, τὸ πάντας ὑπὸ τῶν ὑδάτων ἀναιρεθῆναι; μὴ ἀπερισκέπτως φθέγγου, ἄνθρωπε, ἀλλ᾽ εὐγνώμονι διανοίᾳ τὰ παρὰ τοῦ δεσπότου γινόμενα δέχου, καὶ τότε γνώσῃ ὅσης καὶ τοῦτο μάλιστα κηδεμονίας. τὸ γὰρ τοὺς τὰ ἀνήκεστα ἁμαρτάνοντας, καὶ καθ᾽ ἑκάστην ἡμέραν τὰ

τραύματα ἐπιτείνοντας καὶ τὰ ἕλκη ἀνίατα ἐργαζομένους, ἐκ τῆς κακίας ἀπαλλάττειν, οὐχὶ κηδεμονίας ἦν τῆς μεγίστης; καὶ αὐτὸς δὲ ὁ τῆς τιμωρίας τρόπος, οὐ πάσης γέμει φιλανθρωπίας; τὸ γὰρ τοὺς καὶ ἄνευ τούτου μέλλοντας τὸ τῆς φύσεως χρέος ἐκτίνειν οὕτως ἀλύπως ἐν μέρει τιμωρίας τὴν ζωὴν ἀποθέσθαι, καὶ μήτε αἴσθησιν τοῦ γεγενημένου λαβεῖν, ἀλλ' ἀνωδύνως καὶ ἀναλγητὶ τὴν τιμωρίαν δέξασθαι, πόσης οὐκ ἂν εἴη σοφίας καὶ ἀγαθότητος; καὶ αὐτὸ γὰρ πάλιν εἴ τις εὐσεβεῖ λογισμῷ καταμάθοι τὸ γεγενημένον, ὅτι οὐκ εἰς τοὺς τιμωρηθέντας μόνον τὰ τῆς ″ εὐεργεσίας γέγονεν, ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς μέλλοντες ἔσεσθαι δύο ″ τὰ μέγιστα ἐντεῦθεν ἐκαρπώσαντο ἀγαθά, πόσην οὐκ ὤφειλον τῷ θεῷ χάριν ὑπὲρ τούτων ὁμολογεῖν, ὅτι καὶ τῇ τιμωρίᾳ ἐκείνων καὶ τῷ δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν, σωφρονέστεροι γεγόνασιν οἱ μετὰ ταῦτα, καὶ τῷ ἁπάσης τῆς κακίας καὶ πονηρίας τὴν ″ ζύμην ἀναιρεθῆναι, καὶ μηδένα καταλειφθῆναι διδάσκαλον αὐτοῖς τῆς κακίας καὶ τῆς πονηρίας; εἶδες πῶς καὶ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι, εὐεργεσίαι μᾶλλόν εἰσι, καὶ τὴν πρόνοιαν αὐτοῦ μάλιστα [τὴν] περὶ τὴν τῶν ἀνθρώπων φύσιν δεικνύουσι. καὶ εἴ τις βουληθείη ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα ἀπαριθμήσασθαι, εὑρήσει ἀπὸ τοῦ αὐτοῦ σκοποῦ ἁπάσας τὰς τιμωρίας ″ ἐπάγοντος τοῖς ἡμαρτηκόσιν· ἐπεὶ καὶ τὸν Ἀδάμ, ἡνίκα παρέβη, οὐ κολάζων μόνον, ἀλλὰ καὶ εὐεργετῶν ἐξέβαλε τοῦ παραδείσου. καὶ ποία, φησίν, εὐεργεσία τὸ ἐκπεσεῖν τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς; μὴ ἁπλῶς τοῖς γινομένοις πρόσεχε, ἀγαπητέ, μηδὲ παρέργως τὰ παρὰ τοῦ θεοῦ γινόμενα καταμάνθανε, ἀλλὰ πρὸς τὸ βάθος κατόπτευε τῆς πολλῆς αὐτοῦ ἀγαθότητος, καὶ εὑρήσεις ἅπαντα διὰ τοῦτο παρ' αὐτοῦ γινόμενα. εἰπὲ γάρ μοι, εἰ καὶ μετὰ τὴν παράβασιν τῶν αὐτῶν ἀπήλαυσεν ὁ Ἀδάμ, ποῦ οὐκ ἂν ἐξεκυλίσθη; εἰ γὰρ μετὰ τοσαύτας παραγγελίας ἀνασχέσθαι κατεδέξατο τῆς ἀπάτης τοῦ ὄφεως, καὶ τὴν ἐπιβουλὴν δέξασθαι τοῦ διαβόλου, ὃν δι' αὐτοῦ προσήγαγε τῇ τῆς ἰσοθεΐας ἐλπίδι φυσήσας αὐτούς, καὶ εἰς τὴν τῆς παραβάσεως ἁμαρτίαν ἐμβαλών, εἰ καὶ μετὰ ταῦτα ἐπὶ τῆς αὐτῆς ἔμεινεν ἀξίας καὶ διαγωγῆς, πῶς οὐκ ἂν πολλῷ μᾶλλον ἀξιοπιστότερον ἡγήσατο τὸν πονηρὸν ἐκεῖνον δαίμονα τοῦ τῶν ὅλων δημιουργοῦ, καὶ μείζονα τῆς οἰκείας ἀξίας πάλιν ἐφαντάσθη; καὶ γὰρ τοιαύτη τῶν ἀνθρώπων ἡ φύσις· ὅταν ἁμαρτάνουσα μὴ ἀναχαιτίζηται, ἀλλ' ἀδείας ἀπολαύει, περαιτέρω προϊοῦσα κατὰ κρημνῶν ἄπεισιν. ἄλλως δὲ καὶ ἑτέρωθεν ἔχω δεῖξαι, ὅτι φιλανθρωπίαν τὴν ἑαυτοῦ ἐπιδεικνύμενος καὶ ἐξελθεῖν αὐτὸν τοῦ παραδείσου προσέταξε, καὶ τῷ τοῦ θανάτου ἐπιτιμίῳ ὑπεύθυνον κατέστησε, τῇ μὲν ἐκβολῇ, καὶ τῷ πλησίον ″ κατοικῆσαι σωφρονέστερον ἐργαζόμενος καὶ εἰς τὸ ἑξῆς ἀσφαλέστερον, καὶ διὰ τῶν ἔργων αὐτὸν διδάσκων τοῦ ἀπατεῶνος τὴν ″ ἐπιβουλήν· τὸ δὲ τοῦ θανάτου ἐπιτίμιον πάλιν διὰ τοῦτο ἐπήγαγεν, ἵνα μὴ λοιπὸν διὰ τῆς παρακοῆς τῇ ἁμαρτίᾳ ὑπεύθυνος γεγονὼς ἀθάνατα ἁμαρτάνῃ. οὐ δοκεῖ δή σοι ταῦτα πάντα τῆς μεγίστης εἶναι φιλανθρωπίας, καὶ τὸ ἐκβαλεῖν τοῦ παραδείσου, καὶ τὸ τιμωρήσασθαι τῷ τοῦ θανάτου ἐπιτιμίῳ; ἔχω δὲ καὶ ἕτερον τι προσθεῖναι. ποῖον δὴ τοῦτο; ὅτι καὶ ταύτην αὐτῷ τὴν ἀγανάκτησιν ἐπήγαγεν, οὐκ εἰς αὐτὸν μόνον περιιστῶν τὰ τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοὺς ἑξῆς βουλόμενος διὰ τῶν εἰς ἐκεῖνον γεγενημένων σωφρονίσασθαι. εἰ γὰρ καὶ τούτων γινομένων ὁ ἐξ αὐτοῦ τεχθείς, ὁ Κάϊν λέγω, ὁρῶν ἐν ὀφθαλμοῖς τοῦ πατρὸς τὴν ἐκ τοῦ παραδείσου ἐκβολήν, τῆς δόξης ἐκείνης τῆς ἀφάτου τὴν ἔκπτωσιν, τῆς κατάρας ἐκείνης τὸ μέγεθος τῆς λεγούσης, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, οὐδὲ οὕτως ἐσωφρονίσθη, ἀλλὰ μείζοσι κακοῖς ἑαυτὸν περιέπειρεν, εἰ μὴ εἶδε τὰ εἰς τὸν πατέρα γεγενη-

εσίαις
αῦτα
ημίαν
ἐπάγοντα
ατοικίσαι
ἐπιβολήν

μένα, ποῦ οὐκ ἂν μανίας ἤλασε; καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ αὐτὸν τὸν τὰ τοιαῦτα ἡμαρτηκότα, καὶ τῷ ἐναγεῖ φόνῳ τὴν δεξιὰν μολύναντα τιμωρούμενος, φιλανθρωπίᾳ τὴν τιμωρίαν ἐκέρασε. καὶ ἵνα μάθῃς ἐκ τῶν εἰς τοῦτον γεγενημένων τῆς ἀγαθότητος τοῦ θεοῦ τὸ μέγεθος, ἡνίκα μὲν εἰς αὐτὸν ὕβρισε καὶ τὴν θυσίαν μέλλων ʺ προσάγειν πολλὴν τὴν καταφρόνησιν ἐπεδείξατο οὐκ ὀρθῶς διελὼν, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχε τὴν προσαγωγὴν ποιησάμενος, οὐδὲν πρὸς αὐτὸν εἶπε βαρὺ οὐδὲ ἐπαχθές. καίτοιγε τὸ ἁμαρτηθὲν οὐ τὸ τυχὸν ἦν, ἀλλὰ καὶ σφόδρα μέγα. εἰ γὰρ ἄνθρωποι τοὺς ὁμογενεῖς ὅταν τιμᾶν βουλόμενοι, τῶν πρωτείων καὶ τῶν ἐξαιρέτων αὐτοῖς παραχωροῦσι, κἀκεῖνα προσάγειν σπουδάζουσιν, ἃ μάλιστα πάντων αὐτοῖς τιμιώτερα εἶναι δοκεῖ· ἄνθρωπον δὲ ὄντα καὶ θεῷ προσάγοντα πῶς οὐκ ἔχρην τὰ τιμιώτερα καὶ ἐξαίρετα προσάγειν; τοσοῦτον τοίνυν αὐτοῦ ἁμαρτόντος, καὶ τοσαύτην ἐπιδειξαμένου τὴν καταφρόνησιν, οὐκ ἀπῄτησε δίκην, οὐδὲ τιμωρίαν ὑπὲρ τῶν γεγενημένων εἰσεπράξατο, ἀλλ' ὡσανεὶ φίλος φίλῳ μετὰ πάσης ἡμερότητος διαλεγόμενος οὕτω διελέχθη, λέγων· ἥμαρτες, ἡσύχασον. μόνον τὸ ἁμαρτηθὲν αὐτῷ ἔδειξε, καὶ συνεβούλευσε μὴ περαιτέρω προβῆναι. εἶδες ὑπερβολὴν ἀγαθότητος. ἀλλ' ἐπειδὴ ἐκεῖνος οὐ μόνον οὐκ ἐκέρδανέ τι ἐκ τῆς τοσαύτης ἀνεξικακίας, ἀλλὰ καὶ τοῖς προλαβοῦσι μείζονα προσέθηκε, καὶ ἐπὶ τὴν σφαγὴν ἠπείχθη τοῦ ἀδελφοῦ, καὶ οὕτω μὲν πολλὴν εἰς αὐτὸν ἐπιδείκνυται τὴν μακροθυμίαν, πυνθανόμενος πρότερον, καὶ διδοὺς αὐτῷ τόπον ἀπολογίας. ἐπειδὴ δὲ ἐνέμεινεν ἀναισχυντῶν, τότε τὴν τιμωρίαν ἐπάγει σωφρονισμοῦ ἕνεκεν, πολλὴν καὶ αὐτὴν ἔχουσαν μεμιγμένην τὴν παρ' αὐτοῦ φιλανθρωπίαν. ὁρᾷς πῶς, ἡνίκα μὲν εἰς αὐτὸν ἥμαρτε, καὶ ἁμαρτίαν οὐ τὴν τυχοῦσαν, ἀπεπέμψατο· ὅτε δὲ κατὰ τοῦ ἀδελφοῦ τὴν δεξιὰν ὥπλισε, τότε καὶ τὴν ἐπιτίμησιν καὶ τὴν κατάραν ἐδέξατο. οὕτω νῦν καὶ ἡμεῖς ποιῶμεν καὶ μιμώμεθα τὸν δεσπότην τὸν ἡμέτερον· καὶ τὰ μὲν εἰς ἡμᾶς ἁμαρτήματα παραπέμπωμεν, καὶ συγχωρῶμεν τοῖς εἰς ἡμᾶς πλημμελοῦσιν, ὅταν δὲ εἰς τὸν θεὸν συντείνῃ, τότε δίκας ἀπαιτῶμεν. ἀλλ' οὐκ οἶδ' ὅπως ἀπεναντίας ἅπαντα διαπραττόμεθα, καὶ τὰ μὲν εἰς τὸν θεὸν διαβαίνοντα ἁμαρτήματα οὐδὲ ὅλως ἐκδικεῖν σπουδάζομεν, ἂν δέ τι τῶν τυχόντων εἰς ἡμᾶς ἁμαρτηθείη, τούτου σφοδροὶ γινόμεθα ἐξετασταὶ καὶ κατήγοροι, οὐκ εἰδότες ὅτι ταύτῃ καὶ μειζόνως καθ' ἡμῶν [μᾶλλον] παροξύνομεν τὸν φιλάνθρωπον δεσπότην. ὅτι γὰρ ἔθος τῷ θεῷ τὰ μὲν εἰς αὐτὸν πολλάκις ἀποπέμπεσθαι, τὰ δὲ εἰς τοὺς πλησίον γινόμενα ἁμαρτήματα ταῦτα μετὰ πολλῆς ἐκδικεῖν τῆς σφοδρότητος, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· Εἴ τις γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. εἶδες πόση ἡ συγκατάβασις. κἂν Ἕλλην ᾖ, φησι, κἂν ἄπιστος, καταδέχεται δὲ τὸ συνοικέσιον, μὴ παραιτήσῃ. καὶ πάλιν, κἂν ἐθνικὴ τυγχάνῃ ἡ γυνὴ, κἂν ἄπιστος, βούλεται δὲ συνοικεῖν, μὴ ἀπώσῃ. Τί γὰρ, φησιν, οἶδας ὦ γύναι, εἰ τὸν ἄνδρα σώσεις, ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ὅρα πῶς οὐ κωλύει τὸν ἀπιστοῦντα αὐτῷ, ἢ τὴν ἀπιστοῦσαν καταδέχεσθαι εἰς τὸν τοῦ συνοικεσίου νόμον. ἄκουε δὲ πάλιν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· Λέγω γὰρ ὑμῖν, ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. πολλὴ τῆς φιλανθρωπίας ἡ ὑπερβολή. κἂν ἄπιστος ᾖ, φησιν, ἡ ἐθνικὴ, καταδέχεται δὲ, κατέχε· ἂν δὲ εἰς σὲ ἁμάρτῃ, καὶ τῶν συνθηκῶν ἐπιλάθηται, καὶ τὴν ἑτέρων κοινωνίαν προτιμήσῃ, ἔξεστί σοι ἐκβαλεῖν καὶ ἀπώσασθαι. ταῦτα λογιζόμενοι σπουδάζωμεν καὶ ἡμεῖς ἀμείβεσθαι τὸν δε-

ʺ γρ. προσάγειν

α. Κορ. ζ. ιβ.

Ματθ. ε. λβ.

σπουδὴν τῆς εἰς ἡμᾶς εὐνοίας, καὶ ὥσπερ αὐτὸς τὰ μὲν εἰς αὐτὸν ἀποπέμπεσθαι καταδέχεται, τὰ δὲ ἡμέτερα ἐκδικεῖ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος, τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτοὶ ποιῶμεν· καὶ ὅσα μὲν εἰς ἡμᾶς ἁμαρτάνουσιν οἱ πλησίον συγχωρῶμεν, ὅσα δὲ εἰς τὸν θεὸν συντείνει, ταῦτα μετὰ πολλῆς τῆς σπουδῆς ἐκδικεῖν σπουδάζωμεν. τοῦτο γὰρ καὶ ἡμᾶς ὠφελήσει τὰ μέγιστα, καὶ τοὺς τὴν διόρθωσιν δεχομένους οὐ τὰ τυχόντα ὀνήσει. τάχα εἰς πολὺ μῆκος ἡμῖν ἐξετάθη σήμερον τὰ προοίμια, καὶ τί πάθω; οὐχ ἑκὼν τοῦτο ὑπέμεινα, ἀλλ' ὑπὸ τῆς ἀκολουθίας τοῦ λόγου παρασυρείς. ἐπειδὴ δὲ περὶ τοῦ κατακλυσμοῦ πᾶς ὁ λόγος ἐκινήθη ἡμῖν, ἀνάγκην ἔχομεν δεῖξαι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι καὶ αἱ τιμωρίαι αἱ παρὰ τοῦ θεοῦ, φιλανθρωπίαι μᾶλλόν εἰσιν ἢ τιμωρίαι, ὥσπερ οὖν καὶ αὐτὸς ὁ κατακλυσμός. καθάπερ γὰρ πατὴρ φιλόστοργος, κηδεμονίᾳ τῇ περὶ τὴν ἡμετέραν φύσιν" πάντα διαπράττεται. ἵνα δὲ καὶ ἐκ τῶν νῦν ἡμῖν προκειμένων, καὶ ἐκ τῶν σήμερον ἀναγνωσθέντων μάθητε αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος, ἀκούσωμεν αὐτῶν τῶν τῆς θείας γραφῆς ῥημάτων. ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς λέγων, ὅτι ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ρν' (μέχρι γὰρ τούτου ἡμῖν ἐπληρώθη τὰ τῆς διδασκαλίας) σήμερόν φησι,

ύσιν χαμ-
μος, ὕπως
τα πάντα
ραπῆ.

Καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. κεφ. η.

Θέα μοι πάλιν τῆς θείας γραφῆς τὴν συγκατάβασιν. καὶ ἐμνήσθη, φησίν, ὁ θεός. θεοπρεπῶς νοῶμεν, ἀγαπητοί, τὰ λεγόμενα, καὶ μὴ τῇ ἀσθενείᾳ τῆς ἡμετέρας φύσεως λογιζώμεθα τῶν λέξεων τὴν παχύτητα. ὅσον γὰρ πρὸς τὴν ἄρρητον φύσιν ἐκείνην, ἀνάξιον τὸ ῥῆμα· ὅσον δὲ πρὸς τὴν ἡμετέραν ἀσθένειαν, ἀκολούθως εἴρηται. ἐμνήσθη, φησίν, ὁ θεὸς τοῦ Νῶε. ἐπειδὴ γὰρ διηγήσατο ἡμῖν ἐν τοῖς ἤδη ῥηθεῖσι, καθάπερ προλαβόντες ἐδιδάξαμεν ὑμῶν τὴν ἀγάπην, ὅτι ἐν ταῖς τεσσαράκοντα ἡμέραις καὶ τοσαύταις νυξὶν ὁ ὑετὸς γέγονε, καὶ ἐν ρν' ἡμέραις ἐπὶ τῆς ταυτότητος διέμεινεν ιε' πήχεις ὑψούμενον ἐπάνω τῶν ὀρέων, καὶ ὅτι τούτων γινομένων ὁ δίκαιος ἐν τῇ κιβωτῷ ἐτύγχανεν, οὐδὲ τὸν ἀέρα ἀναπνεῖν δυνάμενος, συνόντων αὐτῷ καὶ τῶν ἀλόγων ἁπάντων, διὰ τοῦτό φησι, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε. τί ἐστιν ἐμνήσθη; ᾤκτειρέ, φησιν, ὁ θεὸς τὸν δίκαιον ἐν τῇ κιβωτῷ διάγοντα, ἠλέησεν αὐτὸν ἐν τοσαύτῃ στενοχωρίᾳ τυγχάνοντα, καὶ ἐν ἀμηχανίᾳ καθεστῶτα, καὶ οὐκ εἰδότα μέχρι τίνος στήσεται τὰ δεινά. ἐννόει γάρ μοι ποίους ἀνεκίνει καθ' ἑαυτὸν λογισμοὺς μετὰ τὰς μ' ἡμέρας καὶ τὰς μ' νύκτας, ἃς ἡ τῶν ὑδάτων φορὰ κατεφέρετο, ὁρῶν ἐπὶ ρν' ἡμέρας ἐπὶ τοῦ αὐτοῦ μέτρου τὰ ὕδατα μένοντα, καὶ οὐδὲ ὅλως λήγοντα, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ αὐτοῖς ὀφθαλμοῖς εἶχεν ἰδεῖν τὰ γεγενημένα, ἀλλ' ἐγκεκλεισμένος, καὶ οὐ δυνάμενός ποθεν τῇ ὄψει ὑποβαλεῖν τὰ κατειληφότα δεινά, μείζονα τὴν ὀδύνην ὑπέμενε καὶ βαρύτερα καθ' ἑκάστην ἀνελογίζετο. ἐγὼ δὲ καὶ θαυμάζω πῶς ὑπὸ τῆς ἀθυμίας αὐτῆς οὐ κατεπόθη, εἰς ἔννοιαν ἐρχόμενος καὶ τῆς ἀπωλείας τοῦ τῶν ἀνθρώπων γένους, καὶ τῆς μονώσεως τῆς οἰκείας, καὶ τῆς χαλεπῆς ἐκείνης διαγωγῆς. ἀλλ' ἡ αἰτία πάντων [αὐτῷ] τῶν ἀγαθῶν, ἡ πίστις ἦν ἡ εἰς τὸν θεόν, δι' ἣν καὶ ἀντεῖχε, καὶ πάντα γενναίως ἔφερε, καὶ τῇ ἐλπίδι τρεφόμενος οὐδενὸς ἐπῄσθετο τῶν λυπηρῶν. ἐπεὶ οὖν τὰ παρ' ἑαυτοῦ παρέσχε, καὶ τὴν ὑπομονὴν ἐπεδείξατο, καὶ δαψιλῆ τὴν πίστιν εἰσενήνεγκε πολλὴν τὴν καρτερίαν ἐπιδειξάμενος, σκόπει τοῦ ἀγαθοῦ θεοῦ τὴν πολλὴν περὶ αὐτὸν φιλανθρωπίαν. καὶ ἐμνήσθη, φησίν, ὁ θεὸς τοῦ Νῶε. οὐχ ἁπλῶς εἶπε, καὶ ἐμνήσθη· ἀλλ' ἐπειδὴ προλαβοῦσα ἡ θεία γραφὴ τὴν μαρτυρίαν τὴν παρὰ τοῦ θεοῦ δήλην ἡμῖν ἐποίησε περὶ τοῦ δικαίου" λέγοντος, εἴσελθε εἰς τὴν κιβωτόν, ὅτι

λέγουσα,

σε εἶδον δίκαιον ἐν τῇ γενεᾷ ταύτῃ, διὰ τοῦτο νῦν φησι, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε, τουτέστι, τῆς μαρτυρίας ἣν περὶ αὐτοῦ ἐποιήσατο ἀνεμνήσθη, καὶ οὐ περιεῖδεν ἐπὶ πολὺ τὸν δίκαιον, ἀλλὰ μέχρι τοσούτου μακροθυμήσας μέχρις ὅτε ἀντισχεῖν ἠδύνατο, τότε λοιπὸν τὴν παρ᾽ ἑαυτοῦ δωρεῖται χάριν. Εἰδὼς γὰρ ἡμῶν τῆς φύσεως τὴν ἀσθένειαν, ἐπειδὰν συγχωρήσῃ πειρασμόν τινα ἐπενεχθῆναι, μέχρι τοσούτου ἀφίησι, μέχρις ὅτε οἶδε δυναμένους ὑπενεγκεῖν· ἵνα καὶ ἡμῖν τῆς καρτερίας ἀρκοῦσαν τὴν ἀμοιβὴν παράσχηται, καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται· καθάπερ καὶ Παῦλός φησι, Πιστὸς ἐστὶν ὁ θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ″ ἡμᾶς ὑπενεγκεῖν. ἐπεὶ οὖν καὶ ὁ δίκαιος οὗτος τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν ἐπεδείξατο, πίστει τῇ εἰς τὸν θεὸν τὴν ἐν τῇ κιβωτῷ οἴκησιν ἀναδεξάμενος, καὶ ἐμνήσθη, φησὶν, ὁ θεὸς τοῦ Νῶε. εἶτα ἵνα μάθῃς αὐτοῦ τῆς φιλανθρωπίας τὴν ἄβυσσον, προσέθηκεν ἡ θεία γραφή, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ. ὅρα πῶς ἅπαντα διὰ τὴν εἰς τὸν ἄνθρωπον τιμὴν ἐργάζεται. καθάπερ γὰρ ἐπὶ τῶν ἀπολωλότων ὑπὸ τοῦ κατακλυσμοῦ ἀνθρώπων, μετ᾽ ἐκείνων καὶ τὴν τῶν ἀλόγων ζώων φύσιν ἅπασαν διέφθειρεν, οὕτω καὶ ἐνταῦθα μέλλων τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείκνυσθαι περὶ τὸν δίκαιον, διὰ τὴν εἰς αὐτὸν τιμὴν, καὶ περὶ τὴν τῶν ἀλόγων φύσιν, καὶ τὰ θηρία, καὶ τὰ πετεινὰ, καὶ τὰ ἑρπετὰ ἐκτείνει αὐτοῦ τὴν ἀγαθότητα. καὶ ἐμνήσθη, φησὶν, ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ τῶν ἑρπετῶν, καὶ ὅσα ἦν μετ᾽ αὐτοῦ ἐν τῇ κιβωτῷ.

α. Κορ. ι. ιγ.

γρ. ὑμᾶς

Καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ.

Μνησθείς, φησι, τοῦ Νῶε καὶ τῶν μετ᾽ αὐτοῦ ὄντων ἐν τῇ κιβωτῷ προσέταξεν ἐπισχεθῆναι τῶν ὑδάτων τὴν φοράν, ἵνα κατὰ μικρὸν τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ λοιπὸν τὸν δίκαιον ἀναπνεῦσαι ποιήσῃ, καὶ τῆς τῶν λογισμῶν ταραχῆς ἐλευθερώσας εἰς γαλήνην αὐτὸν καταστήσῃ, χαρισάμενος καὶ τοῦ φωτὸς τὴν ἀπόλαυσιν καὶ τοῦ ἀέρος τὴν ἀναπνοήν. καὶ ἐπήγαγεν ὁ θεός, φησι, πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ,

2 Καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ.

Ὅρα πῶς ἀνθρωπίνως ἡμῖν ἅπαντα διαλέγεται. ἐπεκαλύφθησαν γάρ, φησιν, αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ,

Καὶ συνεσχέθη ὁ ὑετὸς τοῦ οὐρανοῦ,

Μονονουχὶ λέγουσα, ὅτι ἔδοξε τῷ δεσπότῃ, καὶ πάλιν ἐπὶ τῆς οἰκείας χώρας τὰ ὕδατα ἔμενε, καὶ οὐκ ἔτι πλεονασμὸς ἐγίνετο, ἀλλὰ κατὰ μικρὸν ἔληγε.

3 Καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς, καὶ ἠλαττοῦτο τὸ ὕδωρ μετὰ ρν´ ἡμέρας.

Ποῖος λογισμὸς ταῦτα καταλαβεῖν ἂν δυνηθείη ποτέ; ἔστω, ὁ ὑετὸς ἐπεσχέθη, αἱ πηγαὶ οὐκέτι πλεονασμὸν εἰργάσαντο, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ ἐπεσχέθησαν. τὸ ὕδωρ τὸ τοσοῦτον πῶς ἔληξε; πάντα ἄβυσσος ἦν. ″ πῶς οὖν ἡ τοσαύτη τῶν ὑδάτων ῥύμη ἀθρόον ἐλάττων ἐγίνετο; τίς ἂν τοῦτο ἀνθρωπίνῳ λογισμῷ εὑρεῖν δυνηθείη ποτέ; τί οὖν ἐστιν [εἰπεῖν;] τὸ τοῦ θεοῦ πρόσταγμα ἦν, τὸ ἐργαζόμενον τὰ πάντα. μὴ τοίνυν ἡμεῖς περιεργαζώμεθα τὸ πῶς, ἀλλὰ τοῦτο μόνον πιστεύωμεν, ὅτι ἐκέλευσε, καὶ ὑψώθη ἡ ἄβυσσος· προσέταξε, καὶ πάλιν τὴν οἰκείαν ἐπέσχε φοράν, καὶ πρὸς τὸν οἰκεῖον τόπον ὑπενεχώρησεν, ὃν αὐτὸς οἶδε μόνος ὁ δημιουργήσας αὐτὴν δεσπότης.

γρ. τί

4 Καὶ ἐκάθισε, φησιν, ἡ κιβωτὸς ἐν τῷ ἑβδόμῳ μηνὶ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός,

νός, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. 5 Τὸ δὲ ὕδωρ ἠλαττοῦτο, ἕως τοῦ δεκάτου μηνός. καὶ ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων ἐν τῷ δεκάτῳ μηνὶ, τῇ πρώτῃ τοῦ μηνός.

Σκόπει πῶς ἀθρόον ἡ μεταβολὴ γέγονε, καὶ πόσον ἔληξεν ἡ τῶν ὑδάτων φύσις, ὡς ἐπὶ τὰ ὄρη τὴν κιβωτὸν καθίσαι. ἀνωτέρω γὰρ εἰποῦσα ἡ γραφὴ, ὅτι ιε΄ πήχεις ἐπάνω τῶν ὀρέων ὑψώθη τὸ ὕδωρ, νῦν φησιν, ὅτι ἐκάθισεν ἡ κιβωτὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ, καὶ κατὰ μικρὸν λοιπὸν μέχρι τοῦ δεκάτου μηνὸς ἠλαττοῦτο, καὶ τότε τῷ δεκάτῳ μηνὶ ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. ἐννόει μοι τοῦ δικαίου τὴν εὐτονίαν, πῶς διήρκεσεν ἐν τοσούτοις μησὶ καθάπερ ἐν σκότῳ " κατακεκλεισμένος.

καταχεί-
ος, ὑπὸ δι-
ν.

6 Καὶ ἐγένετο, φησι, μετὰ τὰς τεσσαράκοντα ἡμέρας, καὶ ἀνέῳξε Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, ἣν ἐποίησε, 7 Καὶ ἀπέστειλε τὸν κόρακα ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ.

Ὅρα τὸν δίκαιον οὐδέπω τολμῶντα κατοπτεῦσαι δι' ἑαυτοῦ, ἀλλὰ τὸν κόρακα ἀπέστειλε, δι' ἐκείνου μαθεῖν βουλόμενος, εἴ τινα ἔστι προσδοκῆσαι χρηστὴν μεταβολήν.

Καὶ ἐξελθὼν, φησιν, οὐκ ἀνέστρεψεν, ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς.

Οὐκ, ἐπειδὴ μετὰ ταῦτα ἀνέστρεψε, τὸ ἕως προσέθηκεν ἡ θεία γραφή· ἀλλ' ἰδίωμα τοῦτο ἐστὶ τῆς θείας γραφῆς, καὶ πολλαχοῦ ἄν τις εὕροι ταύτην τὴν συνήθειαν. καὶ ἐνῆν μὲν πολλὰ τοιαῦτα εὑρεῖν καὶ παραγαγεῖν εἰς μέσον, ἀλλ' ἵνα μὴ πάντα παρ' ἡμῶν μανθάνοντες ῥαθυμότεροι γίνησθε, ὑμῖν καταλιμπάνομεν διερευνᾶσθαι τὴν γραφὴν, καὶ εὑρεῖν ὅπου τοῖς ἰδιώμασι τούτοις κέχρηται· τέως δὲ ἡμᾶς ἀναγκαῖον εἰπεῖν τὴν αἰτίαν, δι' ἣν οὐκ ἀνέστρεψε τὸ ὄρνεον [ὁ κόραξ.] ἴσως ληξάντων τῶν ὑδάτων ἀκάθαρτον ὂν " τὸ ὄρνεον, καὶ σώμασιν ἐντυχὸν τοῖς τε ἀνθρωπίνοις, τοῖς τε τῶν ἀλόγων, καὶ τὴν κατάλληλον εὑρὸν ἑαυτῷ τροφὴν, ἐναπέμεινεν· ὅπερ καὶ αὐτὸ οὐ μικρὸν ἐγένετο τῷ δικαίῳ τεκμήριον τῆς χρηστῆς ἐλπίδος. εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ εὗρε μακρὰν τινα παραμυθίαν, ὑπέστρεψεν ἄν. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἐντεῦθεν λοιπὸν τὴν χρηστὴν προσδοκίαν ἐσχηκὼς ὁ δίκαιος ἐκπέμπει τὴν περιστερὰν, ὄρνεον ἥμερον καὶ φιλοσύνηθες καὶ πολλὴν εὐγνωμοσύνην ἐπιδεικνύμενον, καὶ οὐκ ἀνεχόμενον ἑτέρῳ τινὶ σιτεῖσθαι ἢ σπέρματι. τῶν γὰρ καθαρῶν τυγχάνει.

ζῶον,

8 Καὶ ἀπέστειλε τὴν περιστερὰν, φησι, παρ' αὐτοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς, 9 Καὶ μὴ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς ὑπέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτὸν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς.

Ἄξιον ἐνταῦθα διερευνήσασθαι πῶς ἀνωτέρω εἰποῦσα ἡ ἁγία γραφὴ, ὅτι αἱ κεφαλαὶ τῶν ὀρέων ὤφθησαν, νῦν φησιν, ὅτι οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν ὑπέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτὸν, ὅτι τὸ ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. μετὰ ἀκριβείας ἀναγνῶμεν τὸ εἰρημένον καὶ εἰσόμεθα τὴν αἰτίαν. οὐ γὰρ εἶπεν ἁπλῶς, οὐχ εὑροῦσα ἀνάπαυσιν, ἀλλὰ τοῖς ποσὶν αὐτῆς προσέθηκεν, ἵνα διδάξῃ ἡμᾶς, ὅτι εἰ καὶ ἔληξεν ἐκ μέρους τὰ ὕδατα καὶ αἱ κεφαλαὶ τῶν ὀρέων ὤφθησαν, ἀλλ' ἔτι ἀπὸ τῆς πλησμονῆς τῶν ὑδάτων καὶ αὗται τῶν ὀρέων αἱ " κεφαλαὶ βορβορώδεις, ἢ πελματώδους ἰλύος ἦσαν πεπληρωμέναι. διὰ τοῦτο οὐδὲ στῆναί που ἰσχύσασα ἡ περιστερὰ, οὐδὲ τροφὴν κατάλληλον εὑρεῖν δυναμένη, ὑπέστρεψε, διὰ τῆς ἐπανόδου διδάσκουσα τὸν δίκαιον, ὡς ἔτι πολλὴ τῶν ὑδάτων ἐστὶν ἡ φορά.

κορυφαὶ

Καὶ ἐκτείνας, φησὶ, τὴν χεῖρα ἔλαβεν αὐτὴν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν.

Εἶδες πόση τοῦ ὄρνεου ἡ εὐγνωμοσύνη, πῶς ἐπιμελοῦσα διὰ τῆς παρουσίας ἐδίδασκε τὸν δίκαιον ἔτι τινὰ μικρὰν μακροθυμίαν ″ ἐνδείξασθαι.

10 Διὸ καὶ ἐπισχὼν, φησὶν, ἔτι ἑπτὰ ἡμέρας ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ. 11 Καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ πρὸς ἑσπέραν, καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς.

γρ. [illegible]

Οὐχ ἁπλῶς ἐνταῦθα οὐδὲ εἰκῆ κεῖται, τὸ πρὸς ἑσπέραν, ἀλλ᾽ ἵνα μάθωμεν ὅτι διὰ πάσης τῆς ἡμέρας διατρίψασα, καὶ εὑροῦσα τινὰ κατάλληλον δίαιταν, κατὰ τὴν ἑσπέραν ἐπανῆλθεν ἐπὶ τοῦ στόματος φέρουσα κάρφος ἐλαίας. Τοιοῦτον γὰρ τὸ ζῶον, ἥμερον, καὶ ἀεὶ τὴν συνήθειαν ἐπιζητοῦν. διὰ τοι τοῦτο καὶ ὑπέστρεψε, καὶ διὰ τοῦ κάρφους τῆς ἐλαίας πολλὴν παραμυθίαν ἐκόμισε τῷ δικαίῳ. ἀλλ᾽ ἴσως ἄν τις εἴποι, καὶ πόθεν εὗρε τὸ φύλλον τῆς ἐλαίας; τὸ μὲν πᾶν ἐγίνετο τῆς τοῦ θεοῦ οἰκονομίας, καὶ τὸ εὑρεθῆναι, καὶ τὸ τὴν περιστερὰν λαβοῦσαν ἐπὶ τοῦ στόματος ἐπανελθεῖν πάλιν πρὸς τὸν δίκαιον· ἄλλως δὲ καὶ τὸ δένδρον ἀειθαλές ἐστι, καὶ εἰκὸς τῶν ὑδάτων ὑπονοστησάντων, ἔτι τὸ δένδρον τὴν τῶν φύλλων ἔχειν κόμην.

12 Καὶ ἐπισχὼν, φησὶν, ἔτι ζʹ ἡμέρας ἑτέρας ἐξαπέστειλε τὴν περιστερὰν, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι.

Ὅρα διὰ πάντων τὸν δίκαιον ἱκανὴν παραμυθίαν λαμβάνοντα. ὥσπερ γὰρ ἐπανελθούσης αὐτῆς καὶ ἐπὶ τοῦ στόματος φερούσης τὸ ″ φύλλον τῆς ἐλαίας χρηστὰς εἶχε τὰς ἐλπίδας, οὕτω καὶ νῦν τὸ ἐξελθοῦσαν μὴ ὑποστρέψαι πάλιν, δεῖγμα μέγιστον αὐτῷ παρεῖχε τοῦ πολλὴν αὐτὴν εὑρηκέναι τὴν ἄνεσιν, καὶ λῆξιν γεγενῆσθαι τῶν ὑδάτων παντελῆ. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἄκουσον τῶν ἑξῆς.

γρ. κάρφος

13 Καὶ ἐγένετο, φησὶ, τῷ ἑνὶ καὶ χʹ ἔτει, ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνὸς, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς.

Πάλιν ἐνταῦθα ἔπεισί μοι θαυμάζειν καὶ ἐκπλήττεσθαι καὶ τοῦ δικαίου τὴν ἀρετὴν, καὶ τοῦ θεοῦ τὴν φιλανθρωπίαν. πῶς γὰρ, εἰπέ μοι, μετὰ τοσοῦτον χρόνον προσβαλὼν τῷ ἀέρι, καὶ τὰς ὄψεις ἀνατείνας εἰς τὴν τοῦ οὐρανοῦ θέαν οὐκ ″ ἀπετυφλώθη, καὶ ἐπηρώθη τὰς ὄψεις; ἴστε γὰρ, ἴστε, ὅτι μάλιστα τοῦτο πάσχειν ἔθος ″ τοῖς ἀνθρώποις, κἂν πρὸς βραχὺ μέρος τῆς ἡμέρας ἐν σκοτεινοῖς τόποις καὶ ζοφωδεστέροις διάγοντες πρὸς τὴν τοῦ φωτὸς ἀθρόον αὐγὴν ″ ἀτενίσαι βουληθῶσιν. ἀλλ᾽ ὁ δίκαιος οὗτος ἐν ἐνιαυτῷ ὁλοκλήρῳ καὶ ἐν τοσούτοις μησὶ, καθάπερ ἐν σκότῳ, διάγων ἐν τῇ κιβωτῷ, καὶ νῦν ἀθρόον πρὸς τὴν τοῦ φωτὸς αὐγὴν ″ ἐπιδὼν, οὐδὲν τοιοῦτον ἔπαθεν. ἡ γὰρ τοῦ θεοῦ χάρις ἦν μετὰ τῆς παρασχεθείσης αὐτῷ ὑπομονῆς, ἡ καὶ τοῦ σώματος τὰς αἰσθήσεις ἰσχυρὰς ἀπεργαζομένη, καὶ ἀνωτέρας τῶν σωματικῶν ἀναγκῶν [ταύτας ποιοῦσα].

γρ. κατεπηρώθη,
γρ. τοὺς ἀνθρώπους
γρ. [illegible]
γρ. ἰδὼν,

14 Ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

Οὐχ ἁπλῶς τὴν τοσαύτην ἀκρίβειαν ποιεῖται ἡ θεία γραφὴ, ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι μέχρι μιᾶς ἡμέρας τοῦ ἐνιαυτοῦ ἐκείνου ἡ συμπλήρωσις γεγένηται, καθ᾽ ὃν τοῦ δικαίου ἐδείχθη ἡ ὑπομονὴ, καὶ τῆς οἰκουμένης ἁπάσης τὸ καθάρσιον γέγονεν. Εἶτα ἐπειδὴ καθάπερ τινὰ ῥύπον ἀπεπλύνατο ἡ κτίσις ἅπασα, ἀποθεμένη τὴν ἅπασαν κηλῖδα, ἣν ἡ τῶν ἀνθρώπων κακία ἐν αὐτῇ κατεσκεύασε, καὶ φαιδρὸν αὐτῆς γέγονε τὸ πρόσωπον, τότε λοιπὸν προστάττει τὸν δίκαιον ἐξελθεῖν ἐκ τῆς κιβωτοῦ, καὶ ἐλευθεροῖ αὐτὸν τοῦ χαλεποῦ ἐκείνου δεσμωτηρίου, καί φησιν·

15 Εἶπε κύριος ὁ θεὸς τῷ Νῶε, 16 Ἔξελθε σὺ, καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου,

καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ, 17 Καὶ πάντα τὰ θηρία, ὅσα ἐστὶ μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ. καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς

Σκόπει θεοῦ ἀγαθότητα, πῶς διὰ πάντων παραμυθεῖται τὸν δίκαιον. ἐπειδὴ γὰρ προσέταξεν αὐτὸν ἐξελθεῖν ἐκ τῆς κιβωτοῦ, καὶ τοὺς υἱοὺς, καὶ τὴν γυναῖκα, καὶ τὰς γυναῖκας τῶν υἱῶν αὐτοῦ, καὶ τὰ θηρία πάντα, ἵνα μὴ καὶ αὐτὸ τοῦτο πάλιν πολλὴν αὐτῷ" κατασκεδάσῃ τὴν ἀθυμίαν, καὶ ἐναγώνιον αὐτὸν καταστήσῃ λογιζόμενον, ὡς ἐν ἐρημίᾳ ἔσται, ἐν τοσούτῳ πλάτει τῆς γῆς μόνος οἰκῶν, οὐδενὸς ὄντος ἑτέρου, εἰπὼν, ἔξελθε ἐκ τῆς κιβωτοῦ καὶ ἐξάγαγε ἅπαντα μετὰ σεαυτοῦ, προσέθηκε, καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. ὅρα πῶς πάλιν ἄνωθεν ὁ δίκαιος οὗτος ἐκείνην δέχεται τὴν εὐλογίαν, ἣν πρὸ τῆς παραβάσεως ὁ Ἀδὰμ ἐδέξατο. ὥσπερ γὰρ ἡνίκα ἐκεῖνος ἐδημιουργήθη, ἤκουσε· καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ κατακυριεύσατε τῆς γῆς, οὕτω καὶ οὗτος νῦν, αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. ὥσπερ γὰρ ἐκεῖνος ἀρχὴ καὶ ῥίζα γέγονε πάντων τῶν γεγονότων πρὸ τοῦ κατακλυσμοῦ, οὕτω καὶ ὁ δίκαιος οὗτος ζύμη τις καὶ ἀρχὴ καὶ ῥίζα γίνεται πάντων τῶν μετὰ τὸν κατακλυσμόν. καὶ ἐντεῦθεν λοιπὸν τὰ τῆς τῶν ἀνθρώπων συστάσεως ἀρχὴν λαμβάνει, καὶ ἡ κτίσις ἅπασα τὸν οἰκεῖον ἀπολαμβάνει κόσμον, ἥ τε γῆ πρὸς καρποφορίαν διεγειρομένη, καὶ τὰ ἄλλα πάντα, ὅσα διὰ τὴν τοῦ ἀνθρώπου ὑπηρεσίαν ἐδημιουργήθη.

18 Καὶ ἐξῆλθε Νῶε, φησὶ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ. 19 Καὶ πάντα τὰ θηρία, καὶ πάντα τὰ κτήνη, καὶ πᾶν πετεινὸν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν ἐξῆλθον ἐκ τῆς κιβωτοῦ.

Κατὰ δὲ τοῦ δεσπότου, φησὶ, πρόσταγμα δεξάμενος τὴν εὐλογίαν τὴν λέγουσαν, αὐξάνεσθε καὶ πληθύνεσθε, ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ μετὰ τῶν ἄλλων ἁπάντων. καὶ ἦν λοιπὸν ἐν πάσῃ τῇ γῇ ὁ δίκαιος μόνος διάγων μετὰ τῆς γυναικὸς καὶ τῶν" παιδίων καὶ τῶν τούτων γυναικῶν. καὶ εὐθέως ἐξελθὼν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ ὑπέρ τε τῶν παρεληλυθότων, ὑπέρ τε τῶν μελλόντων τὰς εὐχαριστίας ἀναφέρει τῷ ἑαυτοῦ δεσπότῃ. ἀλλ' εἰ δοκεῖ, ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ κατὰ τὴν εὐγνωμοσύνην τοῦ δικαίου, μέχρι τούτου στήσαντες τὸν λόγον, καὶ παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην διηνεκῶς τοῦτον τὸν μακάριον ἐν διανοίᾳ περιστρέφειν, καὶ τῆς ἀρετῆς αὐτοῦ μετὰ ἀκριβείας τὴν εὐμορφίαν καταμανθάνειν, καὶ ζηλωτὰς αὐτοῦ γίνεσθαι. σκόπει γάρ μοι πόσος αὐτοῦ τῆς ἀρετῆς ὁ πλοῦτος, ὅτι σήμερον ἐν τοσαύταις ἡμέραις τὰ κατ' αὐτὸν διηγούμενοι οὐδέπω καὶ νῦν τέλος ἐπιθεῖναι ἰσχύσαμεν τῇ κατ' αὐτὸν ὑποθέσει. καὶ τί λέγω τέλος ἐπιθεῖναι; ὅσα ἂν εἴπωμεν, οὐ δυνάμεθα ἐφικέσθαι, ἀλλὰ κἂν ἡμεῖς πολλὰ δυνηθῶμεν εἰπεῖν, κἂν οἱ μεθ' ἡμᾶς, οὐδὲ οὕτω πρὸς τὸ τέλος φθάσαι δυνησόμεθα· τοσοῦτόν ἐστιν ἀρετή. ἐὰν γὰρ βουληθῶμεν, ἅπασαν ἡμῶν τὴν φύσιν οὗτος" παιδεῦσαι δυνήσεται καὶ πρὸς τὸν τῆς ἀρετῆς ζῆλον ἐναγαγεῖν. ὅταν γὰρ καὶ μεταξὺ τοσούτων πονηρῶν ἀναστρεφόμενος [οὗτος ὁ δίκαιος] καὶ μηδένα ἔχων εὑρεῖν ὁμότροπον, πρὸς τοσοῦτον μέτρον εὑρέθη φθάνων τῆς ἀρετῆς, τίς ἡμῖν ἔσται ἀπολογία, τοῖς μηδὲ τοσαῦτα κωλύματα ἔχουσι, καὶ ῥᾳθυμοῦσι πρὸς τὴν ταύτης κατόρθωσιν; μὴ γάρ μοι τὴν ἐν τοῖς πεντακοσίοις ἔτεσι διαγωγὴν λέγε μόνον, "ὅτι κωμῳδούμενος, χλευαζόμενος διετέλει ὑπὸ τῶν τὴν κακίαν μετιόντων, ἀλλὰ καὶ τὴν ἐν τῇ κιβωτῷ διατριβήν. ὁ γὰρ ἐνιαυτὸς ἐκεῖνος ἀντίρροπος εἶναί μοι δοκεῖ τοῦ παντὸς χρόνου. τοσαύτην ἐκεῖ τὴν θλίψιν ὑπομένειν ὁ δίκαιος ἠναγκάζετο, ἐν

στενοχωρίᾳ

κατασκε-

παίδων

οὗτοι παι-
δεῦσαι δυνη-
σόμεθα

ὅτε κω. καὶ
λά.

στενοχωρίᾳ τοιαύτῃ τυγχάνων, καὶ μηδὲ ἀναπνεῖν δυνάμενος, καὶ τῆς μετὰ τῶν θηρίων καὶ τῶν ἀλόγων διαγωγῆς ἀνεχόμενος, καὶ διὰ πάντων δεικνὺς αὐτοῦ τῆς γνώμης τὸ στεῤῥὸν, καὶ τὸ ἀκλινὲς τῆς προαιρέσεως, καὶ τὴν πίστιν, ἣν περὶ τὸν θεὸν ἐπεδείκνυτο, δι' ἣν πάντα πρᾴως καὶ κούφως ἔφερε. διά τοι τοῦτο, ἐπειδὴ τὰ παρ' αὐτοῦ πάντα εἰσήνεγκε, καὶ τῶν παρὰ τοῦ θεοῦ μετὰ δαψιλείας ἀπήλαυσεν. εἰ γὰρ καὶ στενοχωρίαν πολλὴν ὑπέμεινεν ἐν τῇ διαγωγῇ τῆς κιβωτοῦ, ἀλλ' ὅμως τὸν κλυδώνιον τὸν φοβερὸν, καὶ τὴν πανωλεθρίαν ἐκείνην διέφυγε, καὶ διὰ τοῦτο μετὰ τὴν στενοχωρίαν ἐκείνην καὶ τὴν ἀφόρητον εἱρκτὴν καὶ ἀδείας καὶ ἀνέσεως ἀπήλαυε, καὶ τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἠξιοῦτο, καὶ πάλιν τὴν οἰκείαν εὐγνωμοσύνην διὰ τῶν ἔργων ἐπλήρου· καὶ πανταχοῦ εὑρήσεις τὰς ἀρχὰς παρ' αὐτοῦ εἰσφερομένας. ὥσπερ γὰρ τὴν πρώτην ἅπασαν ἡλικίαν τὴν ἀρετὴν μεταδιώξας, καὶ τῆς κακίας ἐκείνων ἐκτὸς γεγονὼς, οὐ συναπήλαυσεν αὐτοῖς τῆς τιμωρίας, ἀλλὰ πάντων ὑποβρυχίων γινομένων αὐτὸς μόνος διεσώζετο, οὕτω πάλιν ἐπειδὴ πολλὴν τὴν πίστιν εἰσήνεγκε, καὶ μετ' εὐχαριστίας τῆς ἐν τῇ κιβωτῷ οἰκήσεως ἠνέσχετο, πάλιν τὰ παρὰ τοῦ θεοῦ ἠκολούθησε μετὰ πολλῆς τῆς φιλοτιμίας· καὶ ἐξενεχθεὶς τῆς κιβωτοῦ, καὶ εἰς τὴν προτέραν διαγωγὴν ἀποκατασταθεὶς, εὐθέως εὐλογίας ἀξιοῦται. καὶ πάλιν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος καὶ τὴν κατὰ δύναμιν εὐχαριστίαν ποιησάμενος, καὶ οὕτω μειζόνων ἀξιοῦται παρὰ τοῦ φιλανθρώπου θεοῦ. καὶ γὰρ ἔθος τοῦτο τῷ θεῷ, ἐπειδὰν μικρὰ καὶ εὐτελῆ παρ' ἡμῶν εἰσενεχθῇ, ὅμως δ' οὖν εἰσενεχθῇ, πολλὴν ἡμῖν τὴν παρ' αὐτοῦ δωρεῖσθαι φιλοτιμίαν. καὶ ἵνα μάθῃς καὶ τῆς ἀνθρωπίνης εὐτελείας τὴν ὑπερβολὴν, καὶ τοῦ δεσπότου σου τὴν φιλοτιμίαν, σκόπει μοι ἐνταῦθα. κἂν γὰρ βουληθῶμέν τι εἰσενεγκεῖν, τί τοσοῦτον δυνησόμεθα, ἢ ὅσον τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἐπιδείξασθαι; τὰ μέν τοι παρ' αὐτοῦ διὰ τῶν ἔργων εἰς ἡμᾶς ἐκπληροῦται. πῶς οὖν ἂν ἴσον γένοιτο, ἔργα καὶ λόγοι; ἀνενδεὴς γὰρ ὢν [ἡμῶν] ὁ δεσπότης, οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν, εἰ μὴ τῶν ῥημάτων μόνον. καὶ αὐτὴν δὲ τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἀπαιτεῖ, οὐχ ὡς ταύτης χρῄζων αὐτὸς, ἀλλ' ἵνα ἡμᾶς παιδεύσῃ εὐγνώμονας εἶναι, καὶ ἐπιγινώσκειν τὸν τῶν ἀγαθῶν χορηγόν. διὰ τοῦτο καὶ Παῦλος γράφων ἔλεγεν, Εὐχάριστοι γίνεσθε. οὐδὲν γὰρ οὕτως ἐπιζητεῖ παρ' ἡμῶν ὁ δεσπότης, ὡς τοῦτο τὸ κατόρθωμα. Κολ. γ. ιε.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἀγνώμονες γινόμεθα, μηδὲ δι' ἔργων εὐεργετούμενοι [αὐτοὶ], ὀκνῶμεν τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ. πάλιν γὰρ εἰς ἡμᾶς τὸ κέρδος περιΐσταται. ἐὰν γὰρ ἐπὶ τοῖς φθάσασιν εὐχάριστοι γενώμεθα, καὶ πρὸς τὸ τῶν μειζόνων τυχεῖν ἑαυτοῖς πολλὴν προευτρεπίζομεν τὴν παῤῥησίαν. μόνον παρακαλῶ, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν, εἰ οἷόν τε, ἀναλογιζώμεθα καθ' ἑαυτοὺς μὴ τὰς κοινὰς μόνον εὐεργεσίας, ἃς πάσῃ τῇ φύσει ὁ τῶν ὅλων δημιουργὸς κεχάρισται, ἀλλὰ καὶ τὰς ἰδίᾳ καὶ καθ' ἕκαστον ἡμῖν παρεχομένας. καὶ τί λέγω τὰς ἰδίᾳ καὶ καθ' ἕκαστον παρεχομένας; καὶ ὑπὲρ ὧν ἀγνοοῦντες εὐεργετούμεθα, καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν. ἐπειδὴ γὰρ κήδεται τῆς ἡμετέρας σωτηρίας, πολλὰ καὶ μὴ εἰδότας ἡμᾶς εὐεργετεῖ, καὶ πολλάκις καὶ κινδύνων ἐξαρπάζει, καὶ ἑτέρας εὐεργεσίας εἰς ἡμᾶς κατατίθεται. πηγὴ γάρ ἐστι φιλανθρωπίας, καὶ οὐδέποτε παύεται τὰ ἐκεῖθεν νάματα τῇ τῶν ἀνθρώπων φύσει παρέχουσα. ἂν τοίνυν ταῦτα λογιζώμεθα καὶ σπουδάζωμεν καὶ ὑπὲρ τῶν φθασάντων τὰς εὐχαριστίας ἀναφέρειν τῷ δεσπότῃ, καὶ ὑπὲρ τῶν ἑξῆς τοιούτους ἑαυτοὺς κατασκευάζειν, ὥστε μὴ ἀναξίους φανῆναι τῶν παρ' αὐτοῦ εὐεργεσιῶν, δυνησόμεθα καὶ πολιτείαν ἀρίστην ἐπιδείξασθαι, καὶ τῆς κακίας τὴν πεῖραν διαφυγεῖν. ἡ γὰρ μνήμη τῶν εὐεργεσιῶν ἱκανὴ διδάσκαλος ἡμῖν ἔσται τῆς κατ' ἀρετὴν πολιτείας, οὐκ ἀφιεῖσα ποτε εἰς ῥαθυμίαν ἐμπε-

σόντας καὶ λήθην, πρὸς τὴν κακίαν αὐτομολῆσαι. ἡ γὰρ νήφουσα καὶ ἐγρηγορυῖα ψυχὴ οὐ τότε μόνον, ἐπειδὰν κατὰ ῥοῦν φέρηται τὰ πράγματα, εὐγνωμοσύνην ἐπιδείκνυται, ἀλλὰ κἂν ἐναντία τις πραγμάτων περίστασις παρακολουθήσῃ, καὶ τότε τὴν ἴσην εὐχαριστίαν ἀναφέρει, οὐδὲν ἀπὸ τῆς τῶν πραγμάτων μεταβολῆς χαυνουμένη, ἀλλὰ ταύτῃ μᾶλλον νευρουμένη, καὶ τὴν ἄφατον τοῦ θεοῦ κηδεμονίαν λογιζομένη, καὶ ὡς εὔπορος ὢν καὶ εὐμήχανος δύναται καὶ διὰ ἐναντίων πραγμάτων, εἰ καὶ ἡμεῖς τὴν ἀκριβῆ κατάληψιν μὴ ἰσχύωμεν συνιδεῖν, τὴν ἑαυτοῦ κηδεμονίαν ἐπιδείξασθαι. οὕτω τοίνυν ἅπαντα τὰ καθ' ἡμᾶς παραχωροῦντες, ὅπως ἂν φέρηται τὰ πράγματα, ἡμεῖς ἓν μόνον ἔργον ἔχωμεν, τὸ διηνεκῶς αὐτῷ εὐχαριστεῖν ὑπὲρ ἁπάντων. διὰ γὰρ τοῦτο λογικοί τινες γεγόναμεν, καὶ ταύτῃ τῶν ἀλόγων διεστήκαμεν, ἵνα τὰς εὐφημίας, καὶ τοὺς ὕμνους, καὶ διηνεκεῖς δοξολογίας ἀναφέρωμεν τῷ τῶν ὅλων δημιουργῷ. διὰ τοῦτο καὶ ψυχὴν ἡμῖν ἐνέπνευσε, καὶ γλῶσσαν ἐχαρίσατο, ἵνα τῶν παρ' αὐτοῦ εἰς ἡμᾶς εὐεργεσιῶν εἰς αἴσθησιν ἐρχόμενοι, καὶ τὴν δεσποτείαν ἐπιγινώσκωμεν, καὶ τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα, καὶ τὴν κατὰ δύναμιν εὐχαριστίαν ἀναφέρωμεν τῷ δεσπότῃ. εἰ γὰρ ἄνθρωποι οἱ τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοῦντες μικράν τινα πολλάκις καὶ εὐτελῆ εἰς ἡμᾶς εὐεργεσίαν καταθέμενοι ἀπαιτοῦσι τὴν ὑπὲρ ὧν πεπόνθαμεν εὐχαριστίαν, οὐ διὰ τὴν ἡμετέραν εὐγνωμοσύνην, ἀλλ' ἵνα καὶ αὐτοὶ ἐντεῦθεν λαμπρότεροι φαίνωνται· πολλῷ μᾶλλον ἐπὶ τοῦ φιλανθρώπου θεοῦ τοῦτο [πλείω] ποιεῖν ἡμᾶς χρή, τοῦ διὰ τὴν ἡμετέραν ὠφέλειαν μόνον τοῦτο γίνεσθαι βουλομένου. ὥσπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων ἡ γινομένη εὐχαριστία εἰς τοὺς εὐεργετηκότας, ἐκείνους λαμπροτέρους ἐργάζεται, οὕτως ἐπὶ τοῦ φιλανθρώπου θεοῦ ὅταν τοῦτο ποιῶμεν, ἑαυτοὺς λαμπροτέρους ἀπεργαζόμεθα· ἐπεὶ οὐχὶ τῆς παρ' ἡμῶν δεόμενος εὐφημίας τοῦτο βούλεται γίνεσθαι, ἀλλ' ἵνα πάλιν εἰς ἡμᾶς περιστῇ τὸ κέρδος, καὶ μείζονος συμμαχίας ἑαυτοὺς ἀξίους καταστήσωμεν. εἰ γὰρ καὶ μὴ δυνάμεθα κατ' ἀξίαν ποτὲ τοῦτο ποιῆσαι (πῶς γάρ, τοσαύτῃ ἀσθενείᾳ φύσεως συνδεδεμένοι; καὶ τί λέγω τὴν ἀνθρωπίνην φύσιν; ἀλλ' οὐδὲ αὐταὶ αἱ ἀσώματοι καὶ ἀόρατοι δυνάμεις καὶ αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφεὶμ τὴν κατ' ἀξίαν δοξολογίαν ἀναφέρειν [εὐχαριστοῦντες] δυνήσονται) ἀλλ' ὅμως τὴν κατὰ δύναμιν ἀνενεγκεῖν εὐχαριστίαν δίκαιον ἂν εἴη, καὶ διηνεκῶς δοξάζειν τὸν ἡμέτερον δεσπότην καὶ διὰ τῆς τῶν λόγων εὐφημίας, καὶ διὰ τῆς ἀρίστης πολιτείας. αὕτη γὰρ μάλιστα καὶ λαμπροτέρα γένοιτο ἡ εὐφημία, ὅταν διὰ μυρίων γλωσσῶν τὴν δοξολογίαν ἀναφέρωμεν. ὁ γὰρ ἐνάρετος ἕκαστον τῶν εἰς αὐτὸν ὁρώντων παρασκευάζει τὸν αὐτοῦ δεσπότην ἀνυμνεῖν· καὶ ἡ παρ' ἐκείνων δοξολογία πολλὴν καὶ ἄφατον τῷ τὴν αἰτίαν παρέχοντι χαρίζεται τὴν παρὰ τοῦ δεσπότου εὔνοιαν. τί οὖν ἂν ἡμῶν μακαριώτερον γένοιτο, εἰ μέλλοιμεν μὴ μόνον αὐτοὶ διὰ τῆς οἰκείας γλώττης δοξάζειν τὸν ἀγαθὸν θεόν, ἀλλὰ καὶ πάντας τοὺς ὁμογενεῖς διεγείρειν εἰς τὴν ὑπὲρ ἡμῶν δοξολογίαν; τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὡς μυρίοις στόματι δύνασθαι τὸν δημιουργὸν ἀνυμνεῖν. οὐδὲν γὰρ ἀρίστης πολιτείας ἴσον [γένοιτο,] ἀγαπητέ. διὰ τοῦτο καὶ ὁ κύριος ἔλεγε, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Mat. 5: 16. εἶδες πῶς καθάπερ τὸ φῶς φανὲν ἀπελαύνει τὸ σκότος, οὕτω καὶ ἀρετὴ ὀφθεῖσα καὶ τὴν κακίαν φυγαδεύει, καὶ τῆς πλάνης τὸ σκότος ἀπελάσασα πρὸς δοξολογίαν κινεῖ τῶν ὁρώντων τὴν διάνοιαν. οὕτω τοίνυν σπουδάζωμεν ἡμῶν λάμπειν τὰ ἔργα, ὡς τὸν ἡμέτερον δοξάζεσθαι δεσπότην. ταῦτα δὲ ἔλεγεν ὁ Χριστός, οὐχ ἵνα πρὸς ἐπίδειξίν τι πράττωμεν (μὴ γένοιτο) ἀλλ' ἵνα μετὰ ἀκριβείας καὶ κατὰ τὸ αὐτῷ δοκοῦν πολιτευόμενοι μήτε βλασ-

φημία

φημίᾳ τινὶ χώραν παρέχωμεν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πράξεως παρασκευάζωμεν τοὺς ὁρῶντας δοξάζειν τὸν τῶν ὅλων θεόν. τότε γάρ, τότε καὶ τὴν παρ' αὐτοῦ εὔνοιαν μειζόνως ἐπισπασόμεθα, καὶ τὴν κόλασιν διαφυγεῖν δυνησόμεθα, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κζ. ΚΑΙ ΩΚΟΔΟΜΗΣΕ ΝΩΕ ΘΥΣΙΑΣΤΗΡΙΟΝ τῷ κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀνήνεγκεν ὁλοκάρπωσιν εἰς τὸ θυσιαστήριον.

Εἴδετε χθὲς τοῦ φιλανθρώπου δεσπότου τὴν ἀγαθότητα, ὅπως τὸν δίκαιον ἐξήγαγεν ἐκ τῆς κιβωτοῦ, ἐλευθερώσας καὶ τῆς ἐκεῖ διαγωγῆς, καὶ ἀπαλλάξας τοῦ χαλεποῦ ἐκείνου καὶ ξένου δεσμωτηρίου, καὶ τῆς ὑπομονῆς αὐτῷ τὰς ἀμοιβὰς ἀποδέδωκεν εἰπών, αὐξάνεσθε καὶ πληθύνεσθε. μάθωμεν σήμερον τοῦ Νῶε τὴν εὐγνωμοσύνην, καὶ τὴν εὐχάριστον ψυχήν, δι' ἧς πάλιν πλείονα καὶ πολλῷ μείζονα ἐξεκαλέσατο τοῦ θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν. καὶ γὰρ τοιοῦτος ὁ θεός. ἐπειδὰν ἴδῃ ἐπὶ τοῖς φθάσασιν εὐγνώμονας γεγενημένους, ἐπιδαψιλεύεται τὰς παρ' ἑαυτοῦ δωρεάς. σπουδάζωμεν τοίνυν καὶ ἡμεῖς τὴν κατὰ δύναμιν εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ ὑπὲρ τῶν ὑπαρξάντων ἡμῖν παρ' αὐτοῦ ἀγαθῶν, ἵνα καὶ μειζόνων ἀξιωθῶμεν, καὶ μηδέποτε ἐπιλανθανώμεθα τῶν παρὰ τοῦ θεοῦ εὐεργεσιῶν εἰς ἡμᾶς γεγενημένων, ἀλλὰ ἀεὶ ταῦτα στρέφωμεν ἐπὶ τῆς διανοίας τῆς ἡμετέρας, ἵνα ὑπὸ τῆς μνήμης συνωθούμενοι διηνεκῆ τὴν εὐχαριστίαν ποιώμεθα· εἰ καὶ τοσαῦται τὸ πλῆθός εἰσιν, ὡς μηδὲ ἀρκεῖν τὸν λογισμὸν τὸν ἡμέτερον ἐξαριθμήσασθαι τὴν εἰς ἡμᾶς φιλοτιμίαν αὐτοῦ γεγενημένην. τίς γὰρ ἄν τις λογίσαιτο τὰ ἤδη εἰς ἡμᾶς γεγενημένα, τὰ ἐπηγγελμένα, τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα; ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, ὅτι καὶ σῶμα καὶ ψυχὴν ἐχαρίσατο, ὅτι λογικοὺς ἡμᾶς ἐδημιούργησεν, ὅτι τὸν ἀέρα τοῦτον ἀναπνεῖν ἐχαρίσατο, ὅτι τὴν κτίσιν ἅπασαν διὰ τὴν ἀνθρωπίνην φύσιν παρήγαγεν, ὅτι αὐτὸς μὲν ἐβουλήθη ἐκ προοιμίων τῆς τοῦ παραδείσου διαίτης ἀπολαύειν τὸν ἄνθρωπον, καὶ ἀνώδυνον βίον ἔχειν, καὶ μόχθου παντὸς ἀπηλλαγμένον, καὶ μηδὲν ἔλαττον ἔχειν τῶν ἀγγέλων καὶ τῶν ἀσωμάτων ἐκείνων δυνάμεων ἐν σώματι τυγχάνοντα, ἀλλὰ καὶ ἀνώτερον εἶναι τῶν σωματικῶν ἀναγκῶν. εἶτα ἐπειδὴ διὰ ῥαθυμίαν ὑπήχθη τῇ ἀπάτῃ τοῦ διαβόλου τῇ διὰ τοῦ ὄφεως προσαχθείσῃ, οὐδὲ οὕτω διέλιπε, τὸν ἡμαρτηκότα, τὸν παραβεβηκότα εὐεργετῶν, ἀλλὰ καὶ δι' ὧν ἐτιμωρήσατο (καθάπερ καὶ χθὲς ἐλέγομεν) τῆς οἰκείας φιλανθρωπίας τὴν ὑπερβολὴν ἐπεδείξατο, καὶ πολλὰ ἕτερα καὶ ἀναρίθμητα εὐεργεσιῶν εἴδη εἰς αὐτὸν κατέθετο, καὶ λοιπὸν τοῦ χρόνου προϊόντος, καὶ τοῦ γένους αὐξανομένου καὶ εἰς κακίαν ἀποκλίναντος, ἐπειδὴ ἑώρα ἀνίατα γινόμενα τὰ τραύματα, καθάπερ ζύμην τινὰ πονηράν, τοὺς τῆς κακίας ἐργάτας ἠφάνισε, καταλιπὼν τὸν δίκαιον τοῦτον, ῥίζαν καὶ ἀρχὴν γενέσθαι τοῦ τῶν ἀνθρώπων γένους. καὶ πάλιν σκόπει πόσην περὶ αὐτὸν ἐπιδείκνυται τὴν φιλοτιμίαν. ἀπὸ τοῦ δικαίου τούτου καὶ τῶν τούτου υἱῶν ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν εἰς τοσοῦτον πλῆθος ἐπιδιδόναι παρεσκεύασε· καὶ κατὰ μικρὸν τοὺς δι-

γρ. ποιῶν

γρ. ἀεὶ

καίους ἐκλεξάμενος, τοὺς πατριάρχας λέγω, διδασκάλους ἐπέστησε τῷ λοιπῷ τῶν ἀνθρώπων γένει, διὰ τῆς οἰκείας ἀρετῆς ἅπαντας ἐναγαγεῖν δυναμένους· καὶ καθάπερ ἰατρούς, τοὺς νενοσηκότας θεραπεύειν δυναμένους, ποτὲ μὲν εἰς τὴν Παλαιστίνην, ποτὲ δὲ εἰς Αἴγυπτον κατάγει, ὁμοῦ καὶ τῶν αὐτοῦ δούλων ἐγγυμνάζων τὴν ὑπομονήν, καὶ τὴν οἰκείαν δύναμιν περιφανεστέραν δεικνύς. καὶ διηνεκῶς οὕτω διετέλεσε φροντίζων τῆς τῶν ἀνθρώπων σωτηρίας, προφήτας ἀναδεικνύς, καὶ σημεῖα καὶ θαύματα δι᾽ αὐτῶν ἐπιτελεῖσθαι ποιῶν. Εἶτα, ἵνα συντεμὼν εἴπω· καθάπερ γὰρ τῆς θαλάττης τὰ κύματα, κἂν μυριάκις βιασώμεθα, οὐκ ἄν ποτε δυνηθείημεν ἐξαριθμήσασθαι, οὕτως οὐδὲ τὸ ποικίλον τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ὧν περὶ τὴν ἡμετέραν φύσιν ἐπεδείξατο. τὸ δὲ τελευταῖον, ἐπειδὴ εἶδε μετὰ τοσαύτην πρόνοιαν, ἔτι πολλῆς καὶ ἀφάτου φιλανθρωπίας δεομένην τὴν τῶν ἀνθρώπων φύσιν, καὶ οὐδὲν πλέον ἰσχύσαντας, οὐ τοὺς πατριάρχας, οὐ τοὺς προφήτας, οὐ τὰ θαύματα ἐκεῖνα τὰ παράδοξα, οὐ τὰς τιμωρίας καὶ τὰς νουθεσίας τὰς καθ᾽ ἕκαστον ἐπαγομένας, καὶ τὰς αἰχμαλωσίας ἐκείνας τὰς ἐπαλλήλους, ὥσπερ οἰκτείρας τὸ γένος τὸ ἡμέτερον, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρόν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἐκ τῶν κόλπων ἀναστήσας, ὡς εἰπεῖν, τῶν πατρικῶν, δούλου μορφὴν ἀναλαβόντα παρεσκεύασεν ἐκ παρθένου τεχθῆναι, καὶ συνὼν ἡμῖν ἀναστραφῆναι, καὶ πάντα ὑπομεῖναι τὰ ἡμέτερα, ἵνα τὴν ἡμετέραν φύσιν κάτω που κειμένην ὑπὸ τοῦ τῶν ἁμαρτημάτων πλήθους, ἀναγαγεῖν δυνηθῇ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν. καὶ τοῦτο ἐκπληττόμενος ὁ τῆς βροντῆς υἱός, καὶ ἐννοῶν τῆς ἀγάπης τοῦ θεοῦ τὴν ὑπερβολήν, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπεδείξατο, ἐβόα καὶ ἔλεγεν· Οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον. Ιω. γ. ις. ὅρα πόσου θαύματος γέμει ἡ λέξις· οὕτω φησί, τὸ μέγεθος ἀναλογιζόμενος, ὅπερ ἤμελλεν ἐρεῖν· διὰ τοῦτο οὕτως ἤρξατο. Εἰπὲ οὖν ἡμῖν ὦ μακάριε Ἰωάννη· οὕτω, πῶς; εἰπὲ τὸ μέτρον, εἰπὲ τὸ μέγεθος, δίδαξον ἡμᾶς τὴν ὑπερβολήν. οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Εἶδες τὴν αἰτίαν τῆς τοῦ υἱοῦ παρουσίας ταύτην οὖσαν, ὥστε τοὺς μέλλοντας ἀπόλλυσθαι σωτηρίας ἀφορμὴν εὑρεῖν διὰ τῆς εἰς αὐτὸν πίστεως. Τί ἄν τις λογίσαιτο, εἰς ἔννοιαν ἐλθὼν τῆς φιλοτιμίας ἐκείνης τῆς μεγάλης καὶ θαυμαστῆς καὶ πάντα νικώσης λόγον, ἣν ἐχαρίσατο τῇ φύσει τῇ ἡμετέρᾳ διὰ τῆς τοῦ βαπτίσματος δωρεᾶς, πάντων ἡμῖν τῶν πλημμελημάτων τὴν ἀπαλλαγὴν " δωρησάμενος; ἀλλὰ τί εἴπω; οὔτε ἡ διάνοια ἐξαρκεῖ, οὐδὲ λόγος ἐξισχύει τὰ λοιπὰ ἐξαριθμήσασθαι. ὅσα γὰρ ἂν εἴπω, τοσαῦτά ἐστι τὰ " λείποντα, ὡς νικᾶν τῶν ἤδη ῥηθέντων τὴν ὑπερβολήν. τί οὖν ἄν τις ἐννοήσειε τῆς μετανοίας τὴν ὁδόν, ἣν ἐχαρίσατο διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν τῷ ἡμετέρῳ γένει, καὶ μετὰ τὴν τοῦ βαπτίσματος δωρεὰν τὰς ἐντολὰς τὰς θαυμαστάς, δι᾽ ὧν, εἰ βουληθείημεν, δυνησόμεθα τὴν παρ᾽ αὐτοῦ ῥοπὴν ἐπισπάσασθαι; εἶδες, ἀγαπητέ, ἄβυσσον εὐεργεσιῶν, εἶδες πόσας ἀπηριθμησάμενοι*, οὐδέπω οὐδὲ τὸ πολλοστὸν εἰπεῖν ἠδυνήθημεν. πῶς γὰρ ἀνθρωπίνη γλῶττα δυνήσεται τὰ παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς γεγενημένα λόγῳ διελθεῖν; τούτων τοίνυν τοσούτων καὶ τηλικούτων ὄντων, πάλιν πολλῷ μείζους καὶ ἀπορρητότεραί εἰσιν αἱ εὐεργεσίαι, ἃς μετὰ τὴν ἐντεῦθεν μετάστασιν ἐν τῷ μέλλοντι αἰῶνι ἐπηγγείλατο τοῖς τὴν ὁδὸν τῆς ἀρετῆς βαδίζουσι. καὶ ἵνα δι᾽ ὀλίγων ῥημάτων τὸ μέγεθος αὐτῶν τὴν ὑπερβολὴν ἡμῖν παραστήσῃ, φησὶν ὁ μακάριος Παῦλος· Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. α Κορ. β. θ. εἶδες δωρεῶν ὑπερβολήν, εἶδες πᾶσαν ἔννοιαν ἀνθρωπίνην ὑπερβαινούσας αὐτοῦ τὰς εὐεργεσίας. ἐπὶ καρδίαν γάρ,

χαρισά-
νος;

.λειπόμενα,

ως,

φησιν, ἀνθρώπου οὐκ ἀνέβη. ἐὰν τοίνυν βουλώμεθα ταύτας ἀναλογίζεσθαι, καὶ τὴν κατὰ δύναμιν τὴν ἡμετέραν εὐχαριστίαν ποιῆσαι, δυνησόμεθα τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπὶ πλέον ἐπισπάσασθαι, καὶ πρὸς τὴν ἀρετὴν μᾶλλον διεγερθῆναι. ἡ γὰρ τῶν εὐεργεσιῶν μνήμη ἱκανὴ προτρέψασθαι πρὸς τοὺς τῆς ἀρετῆς πόνους, καὶ παρασκευάσαι πάντων ὑπεριδεῖν τῶν παρόντων, καὶ πρὸς τὸν τοσαῦτα εὐεργετηκότα κεχηνέναι, καὶ τὸν περὶ αὐτὸν πόθον ἀκμάζοντα καθ' ἑκάστην ἡμέραν ἐπιδείκνυσθαι. ἐντεῦθεν γὰρ καὶ ὁ δίκαιος οὗτος τοσαύτης ἀπήλαυσε τῆς ἄνωθεν εὐνοίας καὶ τῆς τιμῆς, ἐπειδὴ πολλὴν ὑπὲρ τῶν φθασάντων τὴν εὐγνωμοσύνην ἐπεδείξατο. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, αὐτὴν τὴν ἀρχὴν τῶν σήμερον ἀνεγνωσμένων ἀναγκαῖον παραθεῖναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἐπειδὴ γὰρ ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου μετὰ τῶν υἱῶν, καὶ τῆς ἑαυτοῦ γυναικὸς, καὶ τῶν γυναικῶν τῶν παίδων, καὶ πάντων τῶν θηρίων καὶ τῶν πετεινῶν, καὶ ἐδέξατο παρὰ τοῦ θεοῦ μετὰ τῆς ἐξόδου καὶ τὴν εὐλογίαν ἐκείνην τὴν πολλὴν αὐτῷ παραμυθίαν κομίζουσαν, τὴν λέγουσαν, αὐξάνεσθε καὶ πληθύνεσθε, διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ τοῦ δικαίου τὴν εὐγνωμοσύνην φησί·

20 Καὶ ᾠκοδόμησεν Νῶε θυσιαστήριον τῷ κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀνήνεγκεν ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον.

Σκόπει μετὰ ἀκριβείας, ἀγαπητὲ, ἐκ τῶν νῦν ῥημάτων πάλιν, πῶς ἐν αὐτῇ τῇ φύσει ὁ τῶν ἁπάντων δημιουργὸς ἐναπέθετο τὴν γνῶσιν ἡμῖν ἀκριβῆ τῆς ἀρετῆς. πόθεν γὰρ, εἰπέ μοι, τοῦτο τῷ δικαίῳ ἐπῆλθεν; οὐδεὶς ἦν ἕτερος, πρὸς ὃν ἰδεῖν εἶχεν. ἀλλὰ καθάπερ ἐν ἀρχῇ ὁ ὑπὸ τοῦ πρωτοπλάστου τεχθεὶς, Ἄβελ λέγω, οἴκοθεν κινούμενος τὴν προσαγωγὴν ἐποιήσατο μετὰ πολλῆς τῆς ἀκριβείας· οὕτω δὴ καὶ νῦν ὁ δίκαιος οὗτος ἐξ οἰκείας γνώμης καὶ προαιρέσεως ὑγιοῦς κατὰ τὴν ἀνθρωπίνην δύναμιν, ὡς ἐνόμισε, διὰ τῶν θυσιῶν τὰς εὐχαριστίας ἀναφέρει τῷ δεσπότῃ. καὶ ὅρα αὐτὸν μετὰ πολλῆς φιλοσοφίας ἅπαντα διαπραττόμενον. οὔτε γὰρ οἰκοδομῆς αὐτῷ ἐδέησε λαμπρᾶς, οὐ ναοῦ, οὐκ οἴκου τινὸς θαυμαστοῦ, οὐκ ἄλλου οὐδενός. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι γνώμην ἐπιζητεῖ μόνον ὁ δεσπότης. καὶ ἐσχεδιασμένον οἰκοδομήσας τὸ θυσιαστήριον, καὶ λαβὼν ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, τὰς ὁλοκαρπώσεις ἀνήνεγκε, καὶ, ὅσον εἶχε δυνάμεως, τῆς οἰκείας προαιρέσεως τὴν εὐγνωμοσύνην ἐπεδείξατο· ἣν ἀποδεξάμενος ὁ φιλάνθρωπος θεὸς καὶ τὴν γνώμην ἐστεφάνωσε, καὶ τὴν περὶ ἑαυτοῦ πάλιν φιλοτιμίαν ἐπιδείκνυται. φησὶ γὰρ ἡ γραφή·

21 Καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας.

Ὅρα πῶς ἡ γνώμη τοῦ προσαγαγόντος τὸν καπνὸν, καὶ τὴν " κνίσσαν, καὶ πᾶσαν τὴν ἐντεῦθεν τικτομένην ἀηδίαν πολλῆς τῆς εὐωδίας ἐνέπλησε. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε γράφων· Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. Β. Κορ. β. 15. ὀσμὴν εὐωδίας. καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. μὴ τῇ παχύτητι [δὲ] τῆς λέξεως προσπταίης, ἀλλὰ τῇ σαυτοῦ ἀσθενείᾳ τὴν τῶν ῥημάτων συγκατάβασιν λογισάμενος νόει ἐντεῦθεν, ὅτι δεκτὴ γέγονεν ἡ προσαγωγὴ τοῦ δικαίου. ἵνα γὰρ καὶ δι' αὐτῶν τῶν πραγμάτων εἰδέναι ἔχωμεν τὸ ἀνενδεὲς τοῦ δεσπότου, καὶ ὅτι δι' οὐδὲν ἕτερον ταῦτα γίνεσθαι συνεχώρησεν, ἀλλ' ἵνα εἰς εὐγνωμοσύνην " ἀγάγῃ τοὺς ἀνθρώπους· διὰ τοῦτο ἀφίησιν αὐτὰς τῷ πυρὶ καταναλίσκεσθαι, ἵνα καὶ αὐτοὶ οἱ προσάγοντες μάθωσιν ἐκ τῶν γινομένων, ὡς διὰ τὴν αὐτῶν ὠφέλειαν ἅπαντα γίνεται. τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ ὅλως συγχωρεῖ ταῦτα γίνεσθαι; καὶ τοῦτο πάλιν συγκαταβαίνων τῇ ἀσθενείᾳ τῇ ἀνθρωπίνῃ. ἐπειδὴ γὰρ ἔμελλον κατὰ μικρὸν οἱ ἄνθρωποι εἰς ῥᾳθυμίαν ἀποκλίνοντες καὶ θεοὺς ἑαυτοῖς ἐπιφημίζειν, καὶ τούτοις τὰς θυσίας ἐπιτελεῖν, προλαβὼν καταδέχεται ἑαυτῷ ταῦτα προσάγεσθαι, ἵνα οὕπω γοῦν ἀποστήσῃ τῆς ὀλεθρίας πλάνης τοὺς μέλλοντας ὑποσύρεσθαι. καὶ ὅτι διὰ συγκατάβασιν πάντα ταῦτα παρ' αὐτοῦ συνεχωρήθη, σκόπει τοῦ χρόνου προϊόντος ὅτι καὶ περιτομὴν″ νομοθετεῖσθαι κατεδέξατο, οὐχ ὡς πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν συντελέσαι τι ταύτης δυναμένης, ἀλλ' ἵνα ὥσπερ σημεῖόν τι καὶ σφραγῖδα περιφέρωσι, δεῖγμα τῆς οἰκείας εὐγνωμοσύνης, οἱ τῶν Ἰουδαίων παῖδες, καὶ μὴ ἐξῇ αὐτοῖς συναναφύρεσθαι ταῖς τῶν ἐθνῶν ἐπιμιξίαις. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος σημεῖον αὐτὸ καλεῖ λέγων· Καὶ σημεῖον ἔδωκε″ περιτομῆς, σφραγῖδα. ὅτι γὰρ πρὸς τὴν δικαιοσύνην οὐδὲν αὐτὴ συντελεῖ, ἰδοὺ καὶ οὗτος ὁ δίκαιος μηδέπω τῆς περιτομῆς νομοθετηθείσης πρὸς τοσαύτην ἔφθασεν ἀρετήν. καὶ τί λέγω; αὐτὸς ὁ πατριάρχης Ἀβραάμ, πρὶν ἢ τὴν περιτομὴν δέξασθαι, ἀπὸ τῆς πίστεως μόνης ἐδικαιώθη. Πρὸ γὰρ τῆς περιτομῆς, φησί, καὶ ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τί τοίνυν μέγα φρονεῖς ὦ Ἰουδαῖε ἐπὶ τῇ περιτομῇ; μάνθανε ὅτι πρὸ ταύτης πολλοὶ δίκαιοι γεγόνασι. καὶ γὰρ ὁ Ἄβελ ἐκ πίστεως τὴν προσαγωγὴν ἐποιήσατο, καθάπερ καὶ Παῦλός φησι· Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε″ τῷ θεῷ, καὶ Ἐνὼχ μετετέθη, καὶ ὁ Νῶε κατὰ τὴν πολλὴν δικαιοσύνην τὸν κλυδώνιον ἐκεῖνον τὸν χαλεπὸν διέφυγε, καὶ ὁ Ἀβραὰμ πρὸ ταύτης ἀπὸ τῆς εἰς τὸν θεὸν πίστεως ἀνεκηρύχθη. οὕτως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπὸ πίστεως τὸ τῶν ἀνθρώπων γένος τῆς σωτηρίας ἐπέτυχε. διά τοι τοῦτο καὶ τὰς θυσίας συνεχώρησεν ὁ φιλάνθρωπος δεσπότης αὐτῷ προσάγεσθαι, ἵνα ἐπειδὴ ἔτι ἀτελέστερον διέκειτο ἡ φύσις ἡ″ ἡμετέρα, ὁμοῦ καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἔχῃ ἐπιδείκνυσθαι, καὶ τῆς πρὸς τὰ εἴδωλα θεραπείας πάντη διαφύγῃ τὴν λύμην. εἰ γὰρ καὶ τοσαύτης γενομένης συγκαταβάσεως ὅμως οἱ πολλοὶ οὐ διέφυγον τὸν ὄλισθον, εἰ μὴ τοῦτο γέγονε, πῶς ἄν τις τὴν ἐκεῖθεν διέφυγε″ βλάβην; καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. ἀλλ' οὐκ ἐπὶ τῶν ἀγνωμόνων Ἰουδαίων οὕτως· ἀλλὰ τί; ἄκουε τοῦ προφήτου λέγοντος, Θυμίαμα εἰς βδέλυγμά μοί ἐστι, μονονουχὶ δεικνύοντος τῆς προαιρέσεως τῶν προσαγόντων τὴν μοχθηρίαν. καθάπερ γὰρ ἐνταῦθα ἡ τοῦ δικαίου ἀρετὴ τὸν καπνὸν καὶ τὴν κνίσαν, ὀσμὴν εὐωδίας εἰργάσατο, οὕτως ἐπ' ἐκείνων ἡ τῶν προσαγόντων πονηρία τὸ θυμίαμα τὸ εὐῶδες εἰς βδέλυγμα ὀσφρανθῆναι παρεσκεύασε. πανταχοῦ τοίνυν σπουδάζωμεν, παρακαλῶ, γνώμην ὑγιῆ ἐπιδείκνυσθαι. αὕτη γὰρ αἰτία γίνεται πάντων τῶν ἀγαθῶν. ὁ γὰρ ἀγαθὸς δεσπότης οὐ τοῖς παρ' ἡμῶν γινομένοις προσέχειν εἴωθεν, ὡς τῇ ἔνδοθεν διανοίᾳ, ἀφ' ἧς ὁρμώμενοι ταῦτα διαπραττόμεθα, καὶ πρὸς ἐκείνην βλέπων ἢ προσίεται τὰ ὑφ' ἡμῶν γινόμενα, ἢ ἀποστρέφεται. κἄν τε οὖν εὐχώμεθα, κἄν τε νηστεύωμεν, κἄν τε ἐλεημοσύνην ἐργαζώμεθα, (αὗται γὰρ ἡμῶν εἰσιν αἱ πνευματικαὶ θυσίαι) κἄν τε ἕτερόν τι πνευματικὸν ἔργον ἐπιτελῶμεν, ἀπὸ γνώμης ὑγιοῦς ὁρμώμενοι τοῦτο διαπραττώμεθα, ἵνα καὶ τῶν καμάτων ἄξιον τὸν″ στέφανον κομισώμεθα. καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων τὸν μὲν πόνον ἡμᾶς ὑπομένειν, τῆς δὲ ἀμοιβῆς ἀποστερεῖσθαι, ὅταν μὴ κατὰ τοὺς ὑπ' αὐτοῦ δοθέντας νόμους τὴν ἀρετὴν μετίωμεν. ἔστι γάρ, ἔστι διὰ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν καὶ τὸ ἔργον μὴ ἐπιτελέσαντας, ἀπὸ τῆς γνώμης″ μόνον τὸν στέφανον κομίσασθαι. καὶ ἵνα μάθῃς, σκόπει μοι τοῦτο ἐπὶ τῆς ἐλεημοσύνης. ὅταν γὰρ ἴδῃς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένον καὶ ἐσχάτῃ πενίᾳ κατεχόμενον καὶ συναλγήσῃς, τείνας τε τὴν διάνοιαν εἰς τὸν οὐρανόν, εὐχαριστήσῃς τῷ δεσπότῃ καὶ ὑπὲρ τῶν κατὰ σαυτόν, καὶ ὑπὲρ τῆς

νομοθετη-

περιτομὴν

προσέφερε

ἡ ἀνθρωπί-

λύμης;

μηδὲν

μόνης

Ρωμ. δ. ια.

Ρωμ. δ. γ.

Εβρ. ια. δ.

Ησ. α. ιγ.

ὑπομονῆς τοῦ πένητος, κἂν μὴ δυνάμενος ἐπαρκέσαι καὶ λῦσαι τὸν λιμόν, ἀπὸ τῆς γνώμης ἀπηρτισμένον ἔλαβες τὸν μισθόν. διὰ γὰρ τοῦτο καὶ ὁ δεσπότης ἔλεγεν· Ὃς ἐὰν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. (Ματθ. ι. μϛ.) μή τι ψυχροῦ ποτηρίου εὐτελέστερον; ἀλλ' ἡ γνώμη τὸν μισθὸν [αὐτῷ] προεξένησε. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐναντίου εὑρήσομεν. ἀλλ' ἀναγκαῖον γοῦν ταῦτα κινεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἵνα τούτων τὴν ἀκρίβειαν εἰδότες πολλὴν τῆς εὐγνωμοσύνης ποιῆσθε τὴν ἀσφάλειαν. ἄκουε γὰρ τί φησιν ὁ Χριστός· Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. (Ματθ. ε. κη.) ὁρᾷς καὶ ἐνταῦθα πάλιν ἀπὸ τῆς μοχθηρᾶς γνώμης καὶ τὴν κατάκρισιν ἑπομένην, καὶ διὰ τὴν ἀπερίσκεπτον ὄψιν, ὡς εἰς ἔργον τῆς μοιχείας ἐξελθούσης αὐτῷ, τὴν κόλασιν ἐπηρτημένην. ταῦτα τοίνυν ἐννοοῦντες πανταχοῦ τὴν γνώμην ἡμῶν ἀσφαλισώμεθα, ἵνα αὕτη τὰ παρ' ἡμῶν γινόμενα παρασκευάσῃ εὐπρόσδεκτα γενέσθαι. εἰ γὰρ τὸν καπνὸν καὶ τὴν κνίσαν ὀσμὴν εὐωδίας ἐποίησε, τί οὐκ ἂν ἐργάσηται τὰς πνευματικὰς ἡμῶν ταύτας λατρείας, καὶ πόσης ἡμᾶς οὐ παρασκευάσῃ ἀπολαῦσαι τῆς ἄνωθεν εὐνοίας; καὶ ὠσφράνθη, φησί, κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. εἶδες τὰ παρὰ τοῦ δικαίου γεγενημένα, πῶς, ὅσον μὲν πρὸς τὴν ὄψιν τῶν γεγονότων, εὐτελῆ τυγχάνει, ἀπὸ δὲ τῆς ὑγιοῦς αὐτοῦ γνώμης καὶ πάνυ μεγάλα δείκνυται. σκόπει μοι λοιπὸν τοῦ φιλανθρώπου δεσπότου τὴν ἄπειρον ἀγαθότητα.

Καὶ εἶπε κύριος ὁ θεὸς διανοηθείς, οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. οὐ προσθήσω οὖν πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα, ἐπὶ πάσας τὰς ἡμέρας τῆς γῆς.

Πολὺς τῆς εὐεργεσίας ὁ ὄγκος, καὶ πολὺ τῆς φιλανθρωπίας τὸ μέγεθος, καὶ ἄφατος τῆς ἀνεξικακίας ἡ ὑπερβολή. καὶ εἶπε κύριος ὁ θεὸς διανοηθείς. τὸ διανοηθείς, πάλιν ἀνθρωπίνως, καὶ ὡς πρὸς τὴν ἡμετέραν φύσιν. οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων. καὶ γὰρ ἐπὶ τοῦ πρωτοπλάστου κατηράσατο εἰπών, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· καὶ ἐπὶ τοῦ Κάϊν πάλιν ὁμοίως. ἐπεὶ οὖν καινὴν τὴν τοσαύτην πανωλεθρίαν ἐπήγαγεν, ἵνα παραμυθήσηται τὸν δίκαιον, καὶ θαρρεῖν παρασκευάσῃ, καὶ μὴ μέλλῃ λογίζεσθαι καθ' ἑαυτόν, τί τὸ κέρδος τῆς γεγενημένης εὐλογίας, καὶ τοῦ εἰπεῖν, αὐξάνεσθε καὶ πληθύνεσθε, εἰ μέλλοιμεν πάλιν εἰς πλῆθος ἐπιδιδόντες ἀπόλλυσθαι. καὶ γὰρ καὶ ἤδη εἶπεν ἐπὶ τοῦ Ἀδάμ, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ ἐπήγαγε κατακλυσμόν. ἵνα οὖν μὴ ταῦτα λογιζόμενος καὶ στρέφων ἐν τῇ διανοίᾳ διηνεκῶς τὴν ἀγωνίαν ἔχῃ, ὅρα φιλανθρωπίαν δεσπότου. οὐ προσθήσω, φησίν, ἔτι καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων. ὅρα πῶς ἐπεσημήνατο, ὅτι διὰ τὴν τούτων μοχθηρίαν τὴν κατάραν ἐπήγαγε τῇ γῇ. εἶτα ἵνα μὴ νομίσωμεν, ὅτι ἐπειδὴ ἐπὶ τὸ βέλτιον μετεβάλοντο, διὰ τοῦτο αὐτὸς ταύτην ἐποιήσατο τὴν ὑπόσχεσιν, φησίν· ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. ξένον φιλανθρωπίας εἶδος. ἐπειδὴ ἔγκειται, φησίν, ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, διὰ τοῦτο οὐκέτι προσθήσω τοῦ καταράσασθαι τὴν γῆν. ἐγὼ μὲν γάρ, φησί, τὰ παρ' ἐμαυτοῦ καὶ ἅπαξ καὶ δεύτερον ἐπεδειξάμην· ἐπειδὴ δὲ ὁρῶ τὴν κακίαν αὐξανομένην, ἐπαγγέλλομαι μηκέτι καταράσασθαι τὴν γῆν. εἶτα δεικνὺς αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος ἐπήγαγεν, οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα, πάσας τὰς ἡμέρας. ὅρα μοι πῶς διὰ πάντων μεγίστην χαρίζεται

ται τῷ δικαίῳ τὴν παραμυθίαν, μᾶλλον δὲ οὐ τῷ δικαίῳ, ἀλλὰ διὰ τὴν οἰκείαν ἀγαθότητα καὶ πάσῃ τῇ μελλούσῃ [συνίστασθαι] τῶν ἀνθρώπων φύσει. τὸ γὰρ, οὐ προσθήσω ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καὶ τὸ, καθὼς ἐποίησα, καὶ τὸ, πάσας τὰς ἡμέρας, τοῦτό ἐστιν ἐνδεικνυμένου, ὅτι οὐκέτι τοιοῦτον ἔσται κλυδώνιον, οὐδὲ τοσαύτη πανωλεθρία καταλήψεται τὴν οἰκουμένην. Εἶτα καὶ τῆς εὐεργεσίας αὐτοῦ τὸ διηνεκές· ἐν πάσαις, φησὶ, ταῖς ἡμέραις, τουτέστι, παρὰ τὸν αἰῶνα ἐπαγγελλόμενος μηκέτι τοσαύτην ἐπιδείξασθαι τὴν ἀγανάκτησιν, οὐδὲ οὕτω σύγχυσιν ἐργάσασθαι τῆς τῶν ὡρῶν κράσεως καὶ τῆς τῶν στοιχείων θέσεως. διὸ καὶ ἐπήγαγε,

22 Σπέρμα καὶ θερισμὸς, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσιν.

Ἀκίνητός, φησιν, ἔσται αὕτη ἡ διάταξις, καὶ οὔτε ἡ γῆ διαλείψει ποτὲ τὰ παρ' ἑαυτῆς τῷ τῶν ἀνθρώπων γένει χορηγοῦσα, καὶ τῶν καμάτων καὶ τῆς γεωργίας ἀποδιδοῦσα τὰς ἀμοιβὰς, οὔτε αἱ τροπαὶ μετακινηθήσονται, ἀλλὰ ψῦχος καὶ καῦμα, καὶ θέρος καὶ ἔαρ καθ' ἕκαστον τοῦ ἐνιαυτοῦ κύκλον ἔσται. ἐπειδὴ γὰρ κατὰ τὸν τοῦ κατακλυσμοῦ καιρὸν ταύτης ὅλης τῆς διατάξεως σύγχυσίς τις γέγονε, καὶ καθάπερ ἐν μιᾷ νυκτὶ, οὕτως ἐν παντὶ τῷ χρόνῳ ἐν τῇ κιβωτῷ διῆγεν ὁ δίκαιος οὗτος, διὰ τοῦτό φησι, νῦν οὔτε ἡ ἡμέρα οὔτε ἡ νὺξ τὸν οἰκεῖον ἐλλείψει δρόμον, ἀλλὰ μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀκίνητος ἔσται τούτων ἡ λειτουργία. Εἶδες παράκλησιν ἀρκοῦσαν καὶ δυναμένην ἀναστῆσαι τοῦ δικαίου τὸ φρόνημα· Εἶδες τῆς εὐγνωμοσύνης οἵαν δέχεται τὴν ἀμοιβήν. ἄκουε καὶ ἐκ τῶν ἐπαγγελμένων πάλιν τὴν ἄφατον φιλοτιμίαν.

κεφ. θ.

1 Καὶ εὐλόγησε, φησιν, ὁ θεὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ. καὶ εἶπεν αὐτοῖς, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. 2 Καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης. ὑπὸ χεῖρας ὑμῖν πάντα δέδωκα. 3 Καὶ πᾶν ἑρπετὸν ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. 4 Πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε.

Ἄξιον ἐνταῦθα θαυμάσαι τοῦ δεσπότου τὴν ὑπερβάλλουσαν ἀγαθότητα. ὅρα γάρ μοι πάλιν τὸν δίκαιον τοῦτον τῆς αὐτῆς εὐλογίας ἀξιούμενον τῷ Ἀδὰμ, καὶ τὴν ἀφαιρεθεῖσαν ἀρχὴν ἀνακαλεσάμενον διὰ τῆς οἰκείας ἀρετῆς, μᾶλλον δὲ διὰ τὴν ἄφατον τοῦ δεσπότου φιλανθρωπίαν. ὥσπερ γὰρ ἐπ' ἐκείνου ἔλεγεν, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν ἑρπετῶν, καὶ πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων τῆς γῆς, οὕτω νῦν φησι· καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ ἐπὶ πάντα τὰ ὄρνεα, καὶ πᾶν ἑρπετὸν ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. ὅρα τὸν αὐτὸν κανόνα ἑτέρως διασωζόμενον, τὸν ἐπὶ τοῦ πρωτοπλάστου. καθάπερ γὰρ ἐκεῖ μετὰ τὸ πάντων ἐγχειρείσαι τὴν ἀρχὴν, καὶ τῶν ἐν τῷ παραδείσῳ παρασχεῖν τὴν ἀπόλαυσιν, ἑνὸς ξύλου μόνον ἀπέχεσθαι ἐκέλευσεν· οὕτω δὴ καὶ ἐνταῦθα μετὰ τὴν εὐλογίαν, καὶ τὸ φοβερὸν αὐτὸν καταστῆσαι τοῖς θηρίοις, καὶ πάντα τὰ πετεινὰ καὶ τὰ ὄρνεα ὑπὸ χεῖρα ποιῆσαι, φησι, πᾶν ἑρπετὸν ζῶν ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου ὑμῖν δέδωκα τὰ πάντα. ἐντεῦθεν ἀρχὴ κρεωφαγίας γίνεται, οὐχ ἵνα εἰς γαστριμαργίαν αὐτοὺς ἀλείψῃ, ἀλλ' ἐπειδὴ ἤμελλον ἐξ αὐτῶν θυσίας ἀναφέρειν οἱ ἄνθρωποι, καὶ εὐχαριστίας ποιεῖσθαι τῷ δεσπότῃ, ἵνα μὴ δόξωσιν ὡς ἀφιερωμένων ἀπέχεσθαι, διὰ τοῦτο τῆς βρώσεως τὴν ἐξουσίαν χαρίζεται, καὶ πολλὴν τὴν ἄδειαν παρέχει. ὡς λάχανα χόρτου, φησὶ, δέδωκα ὑμῖν τὰ πάντα. Εἶτα καθάπερ ἐπὶ τοῦ Ἀδὰμ τοῦ ἑνὸς ξύλου ἐνετείλατο μετὰ τὴν πάντων ἀπόλαυσιν ἀπέχεσθαι, οὕτω καὶ ἐνταῦθα, μετὰ τὸ πάντων ἀδεῶς ἐπιτρέψαι τὴν ἑστίασιν, φησὶ, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. Τί οὖν βούλεται τὸ εἰρημένον; τί ʺ ἔσαι κρέας ἐν αἵματι ψυχῆς; τουτ' ἔστι, πνικτόν. τοῦ γὰρ ἀλόγου ἡ ψυχὴ τὸ αἷμα τυγχάνει. ἐπεὶ οὖν τὰς θυσίας ἤμελλον ἐπιτελεῖν τὰς διὰ τῶν ἀλόγων, μονονουχὶ διδάσκει αὐτοὺς λέγων, ὅτι τὸ μὲν αἷμα ἐμοὶ ʺ ἀφορίσατε, τὸ δὲ κρέας ὑμῖν. Ταῦτα δὲ ποιεῖ, ἄνωθεν περιστέλλων αὐτῶν τὴν ὁρμὴν τὴν περὶ τὴν ἀνδροφονίαν. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, καὶ εὐλαβεστέρους αὐτοὺς ἐντεῦθεν ποιῆσαι βουλόμενος ταῦτα ʺ διαπάττεται, ἄκουε τῶν ἑξῆς. ἴσ. τὸ γ. ἀφιερώσατε, γ. διατάττεται,

5 Καὶ γὰρ τὸ ὑμέτερον αἷμα, φησὶ, τῶν ψυχῶν ὑμῶν ἐκζητήσω αὐτὸ ἐκ χειρὸς πάντων τῶν θηρίων, καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου.

Τί οὖν; ἡ ψυχὴ τοῦ ἀνθρώπου [τὸ] αἷμα τυγχάνει; οὐ τοῦτο λέγει (μὴ γένοιτο) ἀλλὰ τῇ συνηθείᾳ τῇ ἀνθρωπίνῃ κέχρηται· ὡς ἄν τις εἴποι τινὶ, τὸ αἷμά σου βαστάζω ἐν ταῖς χερσί μου, ἀντὶ τοῦ, τὴν ἐξουσίαν ἔχω τῆς ἀναιρέσεώς σου. ὅτι γὰρ οὐ τὸ αἷμα ἐστὶ τοῦ ἀνθρώπου ἡ ψυχὴ, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Ματθ. ι. κη. Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. καὶ ὅρα τὴν διαφορὰν ὅσην ἐποιήσατο.

6 Ὁ ἐκχέων, φησὶν, αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ τὸ αὐτοῦ ἐκχυθήσεται· ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον.

Ἐννόησόν μοι, ὅσον τὸν φόβον διὰ τοῦ ῥήματος ἐπετείχισεν. Εἰ καὶ τὸ ὁμογενὲς, φησὶ, μὴ γίνεταί σοι κώλυμα, οὐδὲ ἡ κοινωνία τῆς φύσεως ἀφίστησί σε τῆς κακῆς ἐπιχειρήσεως, ἀλλὰ καὶ τὴν συμπάθειαν τὴν ἀδελφικὴν ἀπωσάμενος, ὅλος γίνῃ τοῦ μιαροῦ τούτου τολμήματος, ἐννόει ὅτι κατ' εἰκόνα θεοῦ δεδημιούργηται, καὶ ὅσης ἠξίωται παρὰ τοῦ θεοῦ τῆς προεδρίας, καὶ ὅτι πάσης τῆς κτίσεως τὴν ἐξουσίαν ἀναδέδεκται, καὶ παῦσαι τῆς μοχθηρᾶς γνώμης. τί οὖν φησιν; ἐὰν μυρίους τις ἐργάσηται φόνους, καὶ τοσαῦτα αἵματα ἐκχέῃ, πῶς τὴν ἀξίαν δώσει δίκην, τοῦ αἵματος αὐτοῦ μόνου ἐκχυθέντος; μὴ τοῦτο λογίζου ἄνθρωπε, ἀλλ' ἐννόει ὅτι τοιοῦτον μετ' οὐ πολὺ δέξεται σῶμα ἄφθαρτον, τὸ δυνάμενον διηνεκῆ καὶ αἰώνιον κόλασιν ὑπέχειν. κἀκεῖνο δὲ σκόπει, πῶς μετὰ ἀκριβείας διετάξατο. ἐπὶ μὲν γὰρ τοῦ ἀνθρώπου φησὶ, μὴ ἐκχέῃς αἷμα. ἐπὶ δὲ τῶν ἀλόγων οὐκ εἶπε, μὴ ἐκχέῃς, ἀλλὰ, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. ἐκεῖ μὴ ἐκχέῃς, ἐνταῦθα μὴ φάγῃς. Εἶδες ὅσον τὸ ἀνεπαχθὲς ἔχουσιν αὐτοῦ αἱ νομοθεσίαι, πῶς κοῦφαι καὶ ῥᾴδιαι αἱ ἐντολαὶ, πῶς οὐδὲν βαρὺ οὐδὲ φορτικὸν ἐπιζητεῖ παρὰ τῆς ἡμετέρας φύσεως. λέγουσι γὰρ τινες βαρὺ καὶ γεῶδες καὶ νοσοποιὸν εἶναι τὸ τῶν ἀλόγων αἷμα. ἀλλ' ἡμεῖς μὴ διὰ ἐκεῖνον τὸν φιλοσοφώτερον λόγον, ἀλλὰ διὰ τὴν τοῦ δεσπότου νομοθεσίαν τὴν φυλακὴν ὀφείλομεν ἐπιδείκνυσθαι. Εἶτα ἵνα μάθωμεν ἀκριβῶς τίνος ἕνεκεν τοσαύτην ταύτης τῆς ἐντολῆς τὴν ἀκρίβειαν ἐποιήσατο, καὶ ὅτι ἀναχαιτίζων τῶν ἀνθρώπων τὴν φονικὴν γνώμην φησὶν, ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς. οὐκ ἁπλῶς εἶπεν ὑμεῖς δὲ, ἀλλὰ μονονουχὶ λέγων, ὑμεῖς οἱ ὀλίγοι, οἱ εὐαρίθμητοι πᾶσαν τὴν γῆν πληρώσατε, καὶ κατακυριεύσατε αὐτῆς· τουτ' ἔστι, τὴν ἀρχὴν ἔχετε καὶ τὴν ἐξουσίαν καὶ τὴν ἀπόλαυσιν. ὅρα μοι θεοῦ φιλανθρωπίαν, πῶς πρότερον μεγάλας τὰς εὐεργεσίας δωρούμενος, τότε καὶ νόμον καὶ ἐντολὴν δίδωσι. καὶ καθάπερ

περ ἐπὶ τοῦ Ἀδὰμ μετὰ τὸ ἐγκατοικῆσαι ἐν τῷ παραδείσῳ καὶ τὴν τοσαύτην ἀπόλαυσιν καρπώσασθαι, τότε τὴν ἀποχὴν τοῦ ξύλου ἐνετείλατο· οὕτω καὶ ἐνταῦθα μετὰ τὸ ὑποσχέσθαι μηκέτι τοιαύτην ἐπάξειν πανωλεθρίαν, μηδὲ ἀγανάκτησιν τοιαύτην ἐπιδείξασθαι, ἀλλὰ ἀκίνητα μέχρι τῆς συντελείας ἐᾶν ἅπαντα τὰ στοιχεῖα διαμένειν, ἕκαστον τὸν οἰκεῖον δρόμον καὶ τὴν οἰκείαν τάξιν ἀποπληροῦντα, καὶ εὐλογίας αὐτοὺς ἀξιῶσαι, καὶ τὴν ἀρχαίαν ἐξουσίαν δωρήσασθαι τὴν κατὰ τῶν ἀλόγων ἁπάντων, καὶ τῆς κρεωφαγίας τὴν ἄδειαν παρασχεῖν, τότε φησὶ, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. Εἶδες πῶς πρότερον εὐεργετεῖ καὶ τὴν φιλοτιμίαν ἄφατον ἐπιδείκνυται, καὶ τότε ἐπιτάττει. καί τοι γε ἐπ' ἀνθρώπων οὐκ ἄν ποτε τοῦτο γένοιτο. οἱ γὰρ ἄνθρωποι πρότερον βούλονται τὰ παρ' ἑαυτῶν ἐπιταττόμενα εἰς ἔργον ἐκβῆναι, καὶ πολλὴν ἐπιδείξασθαι τὴν εὔνοιαν τοὺς τὰ ἐπιτάγματα δεχομένους, καὶ τὴν τούτων ἐκπλήρωσιν ποιουμένους, καὶ τότε ἄρα ἀμείβεσθαι τοὺς πολλὴν τὴν ὑπακοὴν ἐπιδειξαμένους. ἐπὶ δὲ τοῦ κοινοῦ πάντων δεσπότου τὸ ἐναντίον· πρότερον εὐεργετεῖ καὶ τῷ πλήθει τῶν εὐεργεσιῶν ἐφέλκεται τὴν ἡμετέραν φύσιν, καὶ τότε κοῦφα καὶ ῥᾴδια ἐπιτάττει, ἵνα καὶ τῇ εὐκολίᾳ τῶν ἐπιταγμάτων καὶ ταῖς προλαβούσαις εὐεργεσίαις διεγηγερμένοι, πρὸς τὴν τούτων ἐπειχθῶμεν ἐκπλήρωσιν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ῥᾳθυμῶμεν, ἀγαπητοὶ, μηδὲ ὀκνηρότεροι γινώμεθα περὶ τὴν ὑπακοὴν τῶν ἐπιταχθέντων, καὶ τὰς προλαβούσας εὐεργεσίας λογιζόμενοι, καὶ τῶν ἐπιταγμάτων τὴν εὐκολίαν, καὶ τῶν ἐπαγγελιῶν τῶν μετὰ τὴν ἐκπλήρωσιν ἡμῖν τεταμιευμένων. ἀλλὰ νήφωμεν, καὶ περὶ τὴν ἐργασίαν σπεύδωμεν τῶν παρὰ τοῦ θεοῦ δεδομένων ἡμῖν ἐντολῶν, καὶ τὰς ὁδοὺς, ἃς ἐχαρίσατο τῇ ἡμετέρᾳ φύσει πρὸς τὴν τῶν ψυχῶν ἡμῶν συντελούσας σωτηρίαν, μὴ ἀποπεμψώμεθα, ἀλλὰ τῷ ὑπολειπομένῳ τῆς ζωῆς ἡμῶν χρόνῳ εἰς δέον χρησάμενοι, καὶ τὰ ἡμαρτημένα ἀπονιψώμεθα, καὶ πολλὴν ἑαυτοῖς τὴν παῤῥησίαν προαποθώμεθα, καὶ μάλιστα νῦν, ὡς ἔτι ἐνέστηκε τὸ λειπόμενον τῆς ἁγίας τεσσαρακοστῆς μέρος. οὐδὲ γὰρ ὀλίγος ἐστὶν ὁ τῶν ἡμερῶν ἀριθμὸς ὁ ὑπολειπόμενος, εἰ βουληθείημεν μικρὸν ἀνανήψαι. τοῦτο δὲ εἶπον, οὐκ ἐπειδὴ τοσούτου χρόνου μόνον δεῖται τῶν ἡμαρτημένων ἡμῖν ἡ διόρθωσις, ἀλλ' ἐπειδὴ δεσπότην ἔχομεν φιλάνθρωπον καὶ ἥμερον, καὶ οὐ δεῖται χρόνου πολλοῦ· μόνον ἐὰν μετὰ πολλῆς τῆς θερμότητος καὶ τῆς νήψεως αὐτῷ προσίωμεν, ἀποστήσαντες ἑαυτοὺς τῶν βεβιωμένων ἁπάντων, καὶ προσηλώσαντες τῇ ἄνωθεν ῥοπῇ. καὶ γὰρ οἱ Νινευῖται τοσούτῳ πλήθει ἁμαρτιῶν βεβαρημένοι, ἐπειδὴ πολλῇ καὶ ἀκριβεῖ τῇ μετανοίᾳ ἐχρήσαντο, οὐκ ἐδεήθησαν πλέον ἢ τριῶν ἡμερῶν πρὸς τὸ ἐκκαλέσασθαι τοῦ θεοῦ τὴν ἀγαθότητα, καὶ τὴν κατ' αὐτῶν ἐξενεχθεῖσαν ἀπόφασιν ἄκυρον ἀποφῆναι. καὶ τί λέγω, οἱ Νινευῖται; ὁ λῃστὴς ὁ ἐπὶ τοῦ σταυροῦ οὐδὲ μιᾶς ἡμέρας ἐδεήθη. καὶ τί λέγω μιᾶς ἡμέρας; οὐδὲ βραχείας ὥρας. τοσαύτη ἐστὶν ἡ περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπία. ἐπειδὰν γὰρ ἴδῃ τὸν τόνον τῆς ἡμετέρας γνώμης, καὶ πόθῳ ζέοντι προσιόντας ἡμᾶς, οὐ μέλλει οὐδὲ ἀναβάλλεται, ἀλλὰ ταχεῖαν παρέχει τὴν παρ' ἑαυτοῦ φιλοτιμίαν, καὶ λέγει· Ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. ἂν τοίνυν βουληθῶμεν καὶ ἡμεῖς ἐν ταῖς ὀλίγαις ἡμέραις ταύταις σπουδήν τινα ἐπιδείξασθαι, καὶ τῇ συμμαχίᾳ τῇ ἀπὸ τῆς νηστείας εἰς δέον χρήσασθαι, καὶ τὴν ῥᾳθυμίαν ἀποτιναξάμενοι εὐχὰς ἐκτενεῖς ποιήσασθαι πρὸς τὸν δεσπότην, δάκρυα θερμὰ προχέειν, κατηγορεῖν συνεχῶς τῶν ἡμῖν πεπλημμελημένων, προστιθέναι καθάπερ ἰατρῷ τὰ ἡμέτερα τραύματα, καὶ τὰ τῆς ψυχῆς ἕλκη δεικνύναι, καὶ τὴν παρ' αὐτοῦ ἰατρείαν ἐπιζητεῖν, καὶ τὰ ἄλλα τὰ παρ' ἑαυτῶν εἰσφέρειν, συντριβὴν διανοίας,

Ησ. ξε. κδ.

κατάνυξιν

Ματθ. ιη. κδ.

κατάνυξιν ἀκριβῆ, ἐλεημοσύνην δαψιλῆ, τὰ λοιπὰ πάθη, τὰ διαταράττοντα ἡμῶν τὸν λογισμὸν, χαλινοῦν, καὶ ἐξορίζειν τῆς ἡμετέρας ψυχῆς, καὶ μήτε ὑπὸ τῆς τῶν χρημάτων ἐπιθυμίας πολιορκεῖσθαι, μήτε μνησικακεῖν πρὸς τὸν πλησίον, καὶ ἐχθρωδῶς διακεῖσθαι πρὸς τοὺς ὁμογενεῖς. οὐδὲν γὰρ, οὐδὲν οὕτως ὁ θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς τὸν μνησικακοῦντα ἄνθρωπον καὶ τὴν ἔχθραν τὴν πρὸς τὸν πλησίον ἐπὶ τῆς ψυχῆς διηνεκῶς φυλάττοντα. τοσαύτη γὰρ ταύτης ἐστὶ τῆς ἁμαρτίας ἡ λύμη, ὅτι καὶ φιλανθρωπίαν θεοῦ ἀνεκαλέσατο. καὶ ἵνα μάθητε, ὑπομνῆσαι ὑμᾶς βούλομαι τῆς παραβολῆς τῆς ἐν τῷ εὐαγγελίῳ κειμένης, ὅπως ἐκεῖνος ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος παρὰ τοῦ δεσπότου, ἐπειδὴ προσέπεσε καὶ ἐδεήθη καὶ ἱκέτευσε. Σπλαγχνισθεὶς γὰρ, φησιν, ὁ κύριος αὐτοῦ ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον συνεχώρησεν αὐτῷ. Εἶδες εὐσπλαγχνίαν δεσπότου. ἐκεῖνος προσέπιπτεν ἱκετεύων προθεσμίαν αὐτῷ δοθῆναι. Μακροθύμησον γὰρ ἐπ᾽ ἐμοί, φησι, καὶ πάντα σοι ἀποδώσω. ἀλλ᾽ ὁ ἀγαθὸς δεσπότης, ὁ κηδεμὼν καὶ φιλάνθρωπος, ἐπικαμφθεὶς τῷ ἱκέτῃ, οὐχ ὅσον ᾔτησε, τοσοῦτον παρέσχεν, ἀλλ᾽ ὅσον οὐδὲ ἐνενόησε. τοιοῦτον γὰρ αὐτῷ ἔθος ἀεὶ νικᾷν καὶ προφθάνειν τὰς ἡμετέρας αἰτήσεις. ἐκείνου τοίνυν ἐνδοθῆναι παρακαλέσαντος καὶ ὑποσχομένου πᾶσαν ποιήσασθαι τὴν ἔκτισιν, ὁ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα σπλαγχνισθεὶς λοιπὸν ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Εἶδες τί μὲν ὁ δοῦλος ᾐτήσατο, ὅσον δὲ ὁ δεσπότης ἐχαρίσατο. ὅρα πάλιν αὐτοῦ τούτου τὴν ἀπόνοιαν. δέον γὰρ κατὰ τὴν τοσαύτην φιλανθρωπίαν καὶ τὴν ἄφατον εὐεργεσίαν τὴν εἰς αὐτὸν γεγενημένην συμπαθέστατον αὐτὸν καταστῆναι περὶ τοὺς ὁμογενεῖς, ὁ δὲ τὸ ἐναντίον ἐπιδείκνυται. Ἐξελθὼν γὰρ, φησιν, οὗτος αὐτὸς, ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος (ἀκούετε, παρακαλῶ, μετὰ ἀκριβείας. τὰ γὰρ τούτῳ συμβάντα ἱκανὰ καθικέσθαι τῆς ἡμετέρας ψυχῆς, καὶ πεῖσαι τὸ χαλεπὸν τοῦτο νόσημα ἐξορίσαι τῆς διανοίας τῆς ἡμετέρας) οὗτος τοίνυν ἐξελθὼν εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ρʹ δηνάρια. σκόπει πόσον τὸ μέσον. ὧδε σύνδουλος ὁ ὀφείλων ρʹ δηνάρια, ἐκεῖ δεσπότης ὁ ἀπαιτῶν, καὶ μυρία ἦν τάλαντα· καὶ ὅμως ἐπειδὴ εἶδεν ἱκετεύοντα καὶ παρακαλοῦντα, συνεχώρησεν· οὗτος δὲ κρατήσας αὐτὸν ἔπνιγε λέγων, ἀπόδος μοι εἴ τι ὀφείλεις. τί οὖν; πεσὼν, φησιν, ὁ σύνδουλος αὐτοῦ. ὅρα πῶς συνεχῶς στρέφει τὸ ῥῆμα τοῦτο ὁ εὐαγγελιστὴς, ὁ σύνδουλος αὐτοῦ· οὐχ ἁπλῶς, ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι οὐδὲν μεταξὺ αὐτῶν τὸ μέσον, καὶ ὅμως τὴν αὐτὴν ἱκετηρίαν πρὸς αὐτὸν ἐποιήσατο, ἣν καὶ οὗτος πρὸς τὸν δεσπότην λέγων, μακροθύμησον ἐπ᾽ ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω. ὁ δέ, φησιν, ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς τὴν φυλακὴν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. ὢ τῆς ἀγνωμοσύνης ὑπερβολή. ἔναυλον ἔχων τὴν μνήμην τῆς τοσαύτης [γενομένης] φιλοτιμίας, οὐδὲ οὕτως ἠνέσχετο συμπαθές τι λογίσασθαι· ἀλλὰ πρότερον μὲν ἔπνιγε, νῦν δὲ καὶ εἰς δεσμωτήριον ἐνέβαλεν. ἀλλ᾽ ὅρα τί γίνεται. ἰδόντες δέ, φησιν, οἱ σύνδουλοι αὐτοῦ ἐλυπήθησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γινόμενα· οὐκ ἐκεῖνος ὁ πεπονθὼς (πῶς γὰρ, καθειργμένος ἐν τῷ δεσμωτηρίῳ;) ἀλλ᾽ οἱ σύνδουλοι, οἱ μηδὲν ἠδικημένοι, ὡς ἀδικηθέντες οὕτως ἠνιάθησαν, καὶ ἐλθόντες ἅπαντα ἐμήνυσαν. ἀλλ᾽ ὅρα τοῦ δεσπότου λοιπὸν τὴν ἀγανάκτησιν. τότε προσκαλεσάμενος αὐτὸν, φησι, λέγει, δοῦλε πονηρέ. ἀληθῶς ἐντεῦθέν ἐστιν ἰδεῖν ὅσος τῆς μνησικακίας ὁ ὄλεθρος. ἡνίκα γὰρ τὰ μυρία τάλαντα ἐμεθόδευεν, οὐκ ἐκάλεσεν αὐτὸν πονηρὸν, ἀλλὰ νῦν ὅτε περὶ τὸν σύνδουλον γέγονεν ἀπηνὴς, πονηρὲ δοῦλε, φησιν, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. ὅρα πῶς δείκνυσιν αὐτοῦ τῆς κακίας τὴν ὑπερβολήν. μὴ γὰρ πλέον τι ἐπεδείξω φησίν; οὐχὶ ῥήματα ψιλὰ ἐποιήσω; καὶ δεξάμενός σου τὴν ἱκετείαν, πᾶν ἐκεῖνο τὴν μεγάλην καὶ ἀπόρρητον ὀφειλὴν συνεχώρησα; οὐκ ἔδει καί σε ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; ποίας ἂν εἴης ἄξιος συγγνώμης, εἰ ἐγὼ μὲν ὁ δεσπότης σου τοσοῦτον ὄγκον ὀφειλημάτων διὰ τὰ ψιλὰ ἐκεῖνα ῥήματα συνεχώρησά σοι, σὺ δὲ τὸν σύνδουλόν σου τὸν ὁμογενῆ οὐκ ἠλέησας, οὐδὲ ἐπεκάμφθης, οὐδὲ εἰς μνήμην ἐλθὼν τῶν ὑπαρξάντων σοι παρ' ἐμοῦ, ἐπεδείξω τινὰ περὶ αὐτὸν συμπάθειαν, ἀλλ' ἀνελεὴς ἐγένου καὶ ὠμός, καὶ ἐλεῆσαι τὸν σύνδουλόν σου οὐκ ἠθέλησας; διὰ τοῦτο ἐντεῦθα μαθήσῃ διὰ τῆς πείρας ὅσων κακῶν ἑαυτῷ αἴτιος κατέστης. καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς. ὅρα καὶ νῦν αὐτὸν ὀργιζόμενον διὰ τὴν εἰς τὸν σύνδουλον ἀπανθρωπίαν, καὶ τοῖς βασανισταῖς παραδιδόντα. καὶ ὅπερ πρότερον οὐκ ἐποίησεν, ἡνίκα τοσούτοις τοῖς ὀφειλήμασιν ὑπεύθυνος ἦν, νῦν κελεύει γίνεσθαι. παρέδωκε γὰρ αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. ἕως οὗ, φησι, τὰ μυρία τάλαντα, ὧν τὴν συγχώρησιν ἤδη λαβὼν ἀπῆλθε, ταῦτα καταβάλλῃ. μεγίστη καὶ ἄφατος ἡ τοῦ θεοῦ φιλανθρωπία. ἡνίκα μὲν γὰρ αὐτὸς ἐμεθόδευεν, ἐπειδὴ τὴν ἱκεσίαν ἐποιήσατο, συνεχώρησεν· ἐπειδὴ δὲ εἶδεν αὐτὸν περὶ τὸν σύνδουλον ὠμὸν καὶ ἀπάνθρωπον γεγονότα, τότε λοιπὸν τὴν οἰκείαν ἀνακαλεῖται φιλοτιμίαν, δεικνὺς αὐτῷ διὰ τῶν πραγμάτων αὐτῶν, ὡς οὐ τοσοῦτον ἐκεῖνον ἠδίκησεν, ὅσον ἑαυτόν. καὶ καθάπερ ἐκεῖνος εἰς φυλακὴν ἔβαλεν ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον, οὕτω καὶ αὐτὸς τοῖς βασανισταῖς παραδέδωκεν, ἕως οὗ ἅπασαν καταθῇ τὴν ὀφειλήν. ταῦτα δὲ οὐ περὶ ταλάντων καὶ περὶ δηναρίων ἁπλῶς εἴρηκεν, ἀλλὰ περὶ ἁμαρτιῶν ὁ λόγος καὶ μεγέθους πλημμελημάτων, ἵνα μάθωμεν ὅτι ἡμεῖς μὲν μυρίων πλημμελημάτων δίκας ὀφείλοντες τῷ δεσπότῃ, διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν συγχώρησιν παρ' αὐτοῦ δεχόμεθα. ἐὰν δὲ περὶ τοὺς ὁμοδούλους καὶ τοὺς ὁμογενεῖς καὶ τοὺς τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοῦντας ὠμοὶ καὶ ἀπάνθρωποι γινώμεθα, καὶ τὰ εἰς ἡμᾶς πλημμελούμενα μὴ διαλύσωμεν, ἀλλ' ὑπὲρ τῶν εὐτελῶν τούτων πονηρευώμεθα (ὅσον γὰρ ρʹ δηνάρια πρὸς μυρία τάλαντα, τοσοῦτον τὸ μέσον τῶν ἡμετέρων πρὸς τὸν δεσπότην πλημμελημάτων, καὶ τῶν εἰς ἡμᾶς γινομένων παρὰ τῶν ὁμογενῶν) τότε καὶ τὴν ἀγανάκτησιν ἐπισπασόμεθα τοῦ δεσπότου, καὶ ὧν πρότερον τὴν συγχώρησιν ἐδεξάμεθα, τούτων πάλιν τὴν ὀφείλησιν μετὰ βασάνων ἀπαιτεῖσθαι κελευόμεθα. ἵνα γὰρ μάθωμεν ἀκριβῶς ὅτι πρὸς ὠφέλειαν τῶν ψυχῶν τῶν ἡμετέρων τὴν παραβολὴν ταύτην παρήγαγεν ὁ δεσπότης, ἄκουε τοῦ ἐπαγομένου· Οὕτω καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος ποιήσει ὑμῖν, φησιν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. μέγα τῆς παραβολῆς τὸ κέρδος, μόνον ἐὰν προσέχειν βουλώμεθα. τί γὰρ τοσοῦτον ἀφεῖναι δυνάμεθα, ὅσον ἀφίεται ἡμῖν παρὰ τοῦ δεσπότου; καὶ ἡμεῖς μὲν, ἐὰν οὕτω βουληθῶμεν, ὁμοδούλοις ἀφίεμεν· αὐτοὶ δὲ παρὰ τοῦ δεσπότου τὴν συγχώρησιν δεχόμεθα. καὶ ὅρα καὶ τὴν ἀκρίβειαν τῶν εἰρημένων. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ ἡμαρτημένα, ἀλλὰ τί; ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. σκόπει πῶς βούλεται αὐτὴν ἡμῶν τὴν καρδίαν ἐν γαλήνῃ καὶ ἡσυχίᾳ τυγχάνειν, καὶ τὸν λογισμὸν ἡμῶν ἀτάραχον, καὶ παντὸς ἀπηλλάχθαι πάθους, καὶ πολλὴν τὴν πρὸς τὸν πλησίον ἡμᾶς ἐπιδείκνυσθαι τὴν φιλαγαθοσύνην. καὶ ἀλλαχοῦ δὲ πάλιν ἔστιν αὐτοῦ ἀκοῦσαι λέγοντος· Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. Ματθ. ς. ιδ. μὴ τοίνυν νομίσωμεν ἕτερον εὐεργετεῖν, ὅταν τοῦτο ποιῶμεν, ἢ μεγάλην τινὰ εἰς ἐκεῖνον κατατίθεσθαι χάριν. αὐτοὶ γάρ ἐσμεν οἱ τῆς εὐεργεσίας ἀπολαύοντες, καὶ πολὺ τὸ κέρδος

δος ἑαυτοῖς ἐντεῦθεν προξενοῦντες· ὥσπερ ἐὰν μὴ τοῦτο ποιῶμεν, πάλιν ἐκείνους μὲν οὐδ' ὅλως ἀδικῆσαί τι δυνησόμεθα, ἑαυτοῖς δὲ τὴν ἀφόρητον τῆς γεέννης κόλασιν προευτρεπίζομεν. Διὸ παρακαλῶ, ταῦτα λογιζόμενοι μηδέποτε ἀνεχώμεθα τοῖς λελυπηκόσιν ἡμᾶς, ἢ ἑτέρως πως ἀδικήσασι μνησικακεῖν, ἢ ἐχθρωδῶς πρὸς αὐτοὺς διακεῖσθαι, ἀλλ' ἐννοοῦντες ὅσης ἡμῖν εὐεργεσίας πρόξενοι καὶ παρρησίας παρὰ τῷ δεσπότῃ γίνονται, καὶ πρὸ πάντων ὅτι δαπάνη τυγχάνει τῶν ἡμετέρων ἁμαρτημάτων ἡ πρὸς τοὺς λυπήσαντας καταλλαγή, σπεύδωμεν καὶ ἐπειγώμεθα, καὶ τὸ ἐκ τούτου κέρδος ἐννοοῦντες τοσαύτην ἐπιδειξώμεθα περὶ τοὺς ἠδικηκότας θεραπείαν, ὡσανεὶ πρὸς εὐεργέτας ἀληθῶς. ἐὰν γὰρ νήφωμεν, οὐχ οὕτως οἱ γνησίως περὶ ἡμᾶς διακείμενοι καὶ παντὶ τρόπῳ θεραπεύειν σπουδάζοντες ὠφελῆσαι ἡμᾶς δυνήσονται, ὡς ἡ περὶ τούτους θεραπεία, ἀξίους ἡμᾶς τῆς ἄνωθεν εὐνοίας ἀπεργαζομένη, καὶ τοῦ φορτίου τῶν ἡμαρτημένων ἡμῖν ἐπικουφίζουσα. ἐννόησον γάρ μοι, ἀγαπητέ, ὅσον τῆς ἀρετῆς τὸ μέγεθος ταύτης ἀπὸ τῶν ἐπάθλων, ὧν ἐπηγγείλατο τοῖς ταύτην κατορθωκόσιν ὁ τῶν ὅλων θεός. Εἰπὼν γάρ, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐπειδὴ μεγάλα ἦν τὰ ἐπιτάγματα καὶ τῆς ἄκρας αὐτῆς ἁπτόμενα κορυφῆς, φησίν, Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Εἶδες κατὰ δύναμιν ἀνθρωπίνην τινὶ παρόμοιος γίνεται ὁ μὴ μόνον μὴ ἀμυνόμενος τοὺς λελυπηκότας, ἀλλὰ καὶ προσεύχεσθαι ὑπὲρ αὐτῶν σπουδάζων. μὴ τοίνυν ἀποστερῶμεν ἑαυτοὺς διὰ ῥαθυμίαν τοιούτων δωρεῶν καὶ τῶν ἐπάθλων τῶν πάντα λόγον ὑπερβαινόντων, ἀλλὰ παντὶ τρόπῳ τοῦτο κατορθῶσαι σπουδάζωμεν, καὶ βιασάμενοι τὸν λογισμὸν ″ παιδεύσωμεν εἴκειν τῷ τοῦ θεοῦ ἐπιτάγματι. διὰ γὰρ τοῦτο κἀγὼ νῦν ἐποιησάμην ταύτην τὴν παραίνεσιν, καὶ τὴν παραβολὴν εἰς μέσον ἤγαγον, καὶ τοῦ κατορθώματος ἔδειξα τὸ μέγεθος, καὶ ὅσον ἡμῖν ἐκ τούτου κέρδος γίνεται, ἵνα, ὡς ἔτι καιρός, ἕκαστος ἡμῶν εἴ τινα ἔχοι ἐχθρωδῶς πρὸς αὐτὸν διακείμενον, σπουδὴν ποιήσηται διὰ τῆς πολλῆς θεραπείας καταλλάξαι αὐτὸν ἑαυτῷ. καὶ μή μοι λεγέτω τις, ὅτι καὶ ἅπαξ καὶ δεύτερον παρεκάλεσα, καὶ οὐ προσήκατο· εἰ ἀπὸ εἰλικρινείας τοῦτο πράττομεν, μὴ πρότερον παυσώμεθα μέχρις ἂν τῇ πολλῇ προσεδρίᾳ νικήσαντες ἐφελκυσώμεθα αὐτόν, καὶ ἀποστήσωμεν τῆς πρὸς ἡμᾶς ἀπεχθείας. μὴ γὰρ ἐκείνῳ τι χαριζόμεθα; εἰς ἡμᾶς διαβαίνει τὰ τῆς εὐεργεσίας. τοῦ θεοῦ τὴν εὔνοιαν ″ ἐπισπασόμεθα, τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἑαυτοῖς προαποτιθέμεθα, παρρησίαν πολλὴν πρὸς τὸν δεσπότην ἐκ τούτου λαμβάνομεν. ἂν τοῦτο κατορθώσωμεν, δυνησόμεθα μετὰ καθαροῦ συνειδότος καὶ τῇ ἱερᾷ ταύτῃ καὶ φρικτῇ τραπέζῃ προσελθεῖν, καὶ τὰ ῥήματα ἐκεῖνα τὰ τῇ εὐχῇ συνεζευγμένα μετὰ παρρησίας φθέγξασθαι. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. διὸ τῷ ἑκάστου συνειδότι καταλιμπάνω εἰδέναι, πῶς μὲν κατορθωκότες τὴν ἐντολὴν μετὰ παρρησίας προΐεσθαι ταῦτα δυνάμεθα κατὰ τὸν καιρὸν ἐκεῖνον τὸν φοβερόν· εἰ δὲ ῥαθυμήσαιμεν, πόσης ἡμῖν οὐκ ἂν γένοιτο κατακρίσεως αἴτιον ἐναντία τοῖς ῥήμασι διαπραττομένοις, τολμᾶν ἁπλῶς καὶ εἰκῇ προφέρειν τὰ τῆς εὐχῆς ῥήματα, καὶ μεῖζον ἑαυτοῖς ἐπισωρεύειν τὸ πῦρ, καὶ τὴν ἀγανάκτησιν ἐκκαλεῖσθαι τοῦ δεσπότου; χαίρω καὶ εὐφραίνομαι ὁρῶν ὑμᾶς μεθ' ἡδονῆς ἀκούοντας τὰ λεγόμενα, καὶ διὰ τοῦ κρότου δεικνύντας, ὅτι ἕτοιμοι γενέσθαι σπουδάζετε καὶ εἰς ἔργον ἀγαγεῖν τὴν δεσποτικὴν ταύτην παραίνεσιν. τοῦτο γάρ ἐστι τὸ ἰατρεῖον τῶν ἡμετέρων ψυχῶν, τοῦτο φάρμακον τοῖς ἡμετέροις τραύμασιν, αὕτη ἀρίστη ὁδὸς τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, τοῦτο μέγιστον δεῖγμα φιλοθέου ψυχῆς, τὸ διὰ τὸν τοῦ δεσπότου νόμον

Ματθ. ε. μδ.

πάντα καταδέχεσθαι καὶ μὴ ὑποσύρεσθαι ὑπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, ἀλλ' ἀνωτέρους γίνεσθαι τῶν παθῶν, ἐννοοῦντας τὰς ἐφ' ἑκάστης ἡμέρας παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς εὐεργεσίας "γεγενημένας. καὶ "ὅσῳ γὰρ ἂν ἐπιδειξώμεθα, οὐδὲ τὸ πολλοστὸν φθάσαι μέρος δυνησόμεθα τῶν τε ἤδη παρασχεθέντων ἡμῖν, τῶν τε καθ' ἑκάστην ἡμέραν εἰς ἡμᾶς γινομένων καὶ τῶν τεταμιευμένων ἡμῖν ἀγαθῶν, εἰ βουληθείημεν εἰς ἔργον ἀγαγεῖν τὰ παρ' αὐτοῦ προστεταγμένα. ἕκαστος τοίνυν ἐντεῦθεν ἐξιὼν, ἔργον τοῦτο ποιησάσθω, καὶ ὡς ἐπὶ θησαυρὸν μέγιστον σπευδέτω, καὶ μηδὲ τὸ τυχὸν ἀναβαλλέσθω. κἂν κάμνειν δέῃ, κἂν ζητῆσαι, κἂν μακρὰν ὁδὸν ἀπελθεῖν, κἂν δυσκολίαι τινὲς ὦσι, πάντα ταῦτα τὰ κωλύματα ἀνέλωμεν. ἑνὸς μόνου "γινώμεθα, πῶς τὸ παρὰ τοῦ δεσπότου ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν "δυνηθῶμεν, καὶ τῆς ὑπακοῆς τὸν μισθὸν κομίσασθαι. μὴ γὰρ οὐκ οἶδα ὅτι βαρὺ καὶ ἐπαχθὲς φαίνεται, τὸ πρὸς τὸν ἐχθρωδῶς διακείμενον καὶ πολεμίως, ἀπελθεῖν καὶ στῆναι καὶ διαλεχθῆναι; ἀλλ' ἐὰν ἐννοήσῃς τοῦ ἐπαγγέλματος τὸ ἀξίωμα, καὶ τῆς ἀμοιβῆς τὸ μέγεθος, καὶ ὅτι οὐκ εἰς ἐκεῖνον, ἀλλ' εἰς σὲ ἀνατρέχει τὰ τῆς εὐεργεσίας, πάντα σοι κοῦφα καὶ ῥᾴδια φανεῖται. ταῦτα τοίνυν στρέφοντες ἐν τοῖς λογισμοῖς τοῖς ἡμετέροις περιγινώμεθα τῆς συνηθείας, καὶ εὐσεβεῖ λογισμῷ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ πληρωταὶ γινώμεθα, ἵνα καὶ τῶν παρ' αὐτοῦ ἀμοιβῶν ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ "τῆς αὐτοῦ ἀγαθότητος, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ * πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. κη. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ ΤΩ ΝΩΕ ΚΑΙ ΤΟΙΣ υἱοῖς αὐτοῦ μετ' αὐτοῦ, λέγων· καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπό τε ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς.

ΤΗν εὐλογίαν εἰς τὸ μέσον προθέντες χθὲς, ἧς ὁ Νῶε ἠξιώθη παρὰ τοῦ δεσπότου μετὰ τὴν ἔξοδον τὴν ἀπὸ τῆς κιβωτοῦ θυσιαστήριον οἰκοδομήσας, καὶ τὰς εὐχαριστηρίους θυσίας ἀναγαγὼν, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, καὶ πάντα ἐπεξελθεῖν τῷ ἀναγνώσματι, καὶ δεῖξαι τοῦ φιλανθρώπου θεοῦ τὴν συγκατάβασιν καὶ τὴν κηδεμονίαν, ἣν περὶ τὸν δίκαιον ἐπεδείξατο. ἐπειδὴ γὰρ εἰς πολὺ μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, ταχέως αὐτὸν συνεστείλαμεν, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὴν μνήμην ὑμῶν, μηδὲ "τοῖς μετὰ ταῦτα λεγομένοις λυμήνασθαι τοῖς ἤδη ῥηθεῖσιν. οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἐσπουδάσαμεν μόνον, τὸ πολλὰ εἰπεῖν, ἀλλὰ τοσαῦτα βουλόμεθα λέγειν, ὅσα δυνατὸν καὶ ὑμᾶς τῇ μνήμῃ παρακατασχεῖν, καὶ κερδάναντας ἐντεῦθεν ἀπελθεῖν. εἰ γὰρ δὴ μέλλομεν καὶ ἡμεῖς πλείονα τοῦ δέοντος λέγειν, καὶ ὑμεῖς μηδὲν ἐκ τῶν λεγομένων καρποῦσθαι, τί τὸ ὄφελος; εἰδότες τοίνυν, ὅτι διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν τοῦτον ἀνεδεξάμεθα τὸν κάματον, καὶ αὐταρκοῦσαν ἀμοιβὴν εἰληφέναι νομίζομεν, εἰ τὴν ὑμετέραν θεασοίμεθα προκοπὴν μετὰ ἀκριβείας κατέχουσαν τὰ λεγόμενα, καὶ ἐν τοῖς κόλποις τῆς ὑμετέρας διανοίας ἐναπόθεσθε συνεχῶς ταῦτα κινοῦντες καὶ "ἀναμηρυκώμενοι. ἡ γὰρ μνήμη τῶν ἤδη ῥηθέντων παρασκευάσει μετὰ πλείονος εὐκολίας ὑμᾶς δέχεσθαι καὶ τὰ μέλλοντα ῥηθήσεσθαι, καὶ οὕτω τοῦ χρόνου προϊόντος καὶ ἑτέροις διδάσκαλοι γενήσεσθε. τοῦτο γὰρ ἡμῶν ἡ πᾶσα ἀγρυπνία καὶ ἡ σπουδὴ, ὥστε πάντας ὑμᾶς τελείους καὶ ἀπηρτισμένους γενέσθαι.

γενέσθαι, καὶ μηδὲν ὑμᾶς λανθάνειν τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων. ἡ γὰρ τούτων γνῶσις, εἰ βουληθείημεν νήφειν καὶ ἐγρηγορέναι, καὶ πρὸς τὴν ἀρίστην πολιτείαν τὰ μέγιστα ἡμῖν συμβαλεῖται, καὶ προθυμοτέρους ἐργάσεται πρὸς τοὺς τῆς ἀρετῆς πόνους. ὅταν γὰρ παιδευθῶμεν ὅτι ἕκαστος τῶν δικαίων τῶν πολλὴν παρρησίαν πρὸς τὸν θεὸν ″κτησαμένων, διὰ πειρασμῶν καὶ θλίψεων ὁδεύσας ἅπαντα τὸν βίον, καὶ πολλὴν τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν ἐπιδειξάμενος, οὕτω τῶν ἀμοιβῶν ἠξιώθη, πῶς οὐχὶ καὶ αὐτοὶ ″σπουδάσωμεν τὴν αὐτὴν αὐτοῖς ὁδὸν ἐλθεῖν, ἵνα καὶ τῶν αὐτῶν αὐτοῖς τύχωμεν ἀμοιβῶν; διὸ παρακαλῶ καθ' ἑκάστην ἡμέραν προσθήκην τινὰ ἐργάζεσθαι, καὶ αὔξειν ὑμῶν τὴν κατὰ θεὸν οἰκοδομὴν*, καὶ τὰ μὲν ἤδη κατορθωθέντα μετὰ ἀσφαλείας καὶ πολλῆς τῆς φυλακῆς διατηρεῖν, τὰ δὲ λείποντα προστιθέναι, ἵνα οὕτως εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς φθάσητε εἰς καύχημα ἡμέτερον, εἰς οἰκοδομὴν τῆς ἐκκλησίας, εἰς δόξαν Χριστοῦ. καὶ γὰρ ὁρῶν ὑμῶν τὸ ἀκόρεστον περὶ τὴν πνευματικὴν διδασκαλίαν, οὐ παύομαι καθ' ἑκάστην ἡμέραν, καίτοι πενίαν πολλὴν ἐμαυτῷ συνειδὼς, τὴν ἑστίασιν ὑμῖν τὴν ἀπὸ τῶν θείων γραφῶν παρατιθεὶς, καὶ ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις διὰ τὴν οἰκείαν φιλανθρωπίαν, καὶ διὰ τὴν ὑμετέραν ὠφέλειαν χορηγήσῃ, ταῦτα ταῖς ὑμετέραις ἀκοαῖς παρατιθέμενος. Φέρε οὖν καὶ σήμερον δείξωμεν ὑμῶν τῇ ἀγάπῃ τῆς τοῦ θεοῦ φιλανθρωπίας τὴν ὑπερβολὴν, ἣν περὶ τὴν ἀνθρωπίνην φύσιν ἐπιδείκνυται, αὐτὰ τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα τῷ Νῶε εἰς μέσον προτιθέντες.

″ κεκτημέν

″ ἴσ. σπεύ
μεν

* σπουδ

8 Καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ.

Μετὰ τὸ εὐλογῆσαι αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἰπεῖν, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ τὴν ἀρχὴν τὴν κατὰ τῶν ἀλόγων ἁπάντων ἐγχειρίσαι, καὶ τὴν ἐξουσίαν δοῦναι τοῦ, ὡς λάχανα χόρτου, οὕτω τούτων ποιεῖσθαι τὴν μετάληψιν, καὶ ἐντείλασθαι ὥστε κρέα ἐν αἵματι μὴ φαγεῖν, κηδόμενος ἔτι καὶ τοῦ δικαίου καὶ τῶν μετὰ ταῦτα μελλόντων ἔσεσθαι, καὶ φιλοτιμούμενος ἀεὶ ταῖς εὐεργεσίαις τὴν ἡμετέραν φύσιν, προστίθησι πάλιν εὐεργεσίας μείζους καί φησι·

Καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ, λέγων· 9 Ἰδοὺ ἐγὼ ἀνιστῶ
τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς, 10 Καὶ πάσῃ ψυχῇ
ζώσῃ μεθ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ' ὑμῶν,
ἀπὸ πάντων τῶν ἐξελθόντων ἀπὸ τῆς κιβωτοῦ. 11 Καὶ στήσω τὴν διαθήκην μου
πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ. καὶ
οὐκ ἔτι ἔσται κατακλυσμὸς ὕδατος, καταφθεῖραι πᾶσαν τὴν γῆν.

Ἐπειδὴ εἰκὸς ἦν τὸν δίκαιον ἔτι ἐναγώνιον εἶναι, καὶ τῷ δέει καταβεβλῆσθαι αὐτοῦ τὴν διάνοιαν, καὶ εἴ ποτε συμβαίη μικρὰν τινὰ ἐπομβρίαν γενέσθαι, ἔμελλεν ἂν ἀλύειν καὶ ″ἀναχαιτίζειν, ὡς πάλιν τοιούτου κλυδωνίου τὴν οἰκουμένην καταλαμβάνοντος, ἵνα καὶ αὐτὸς ἔχῃ θαρρεῖν καὶ οἱ εἰς τὸ ἑξῆς ἅπαντες, ὁ ἀγαθὸς δεσπότης εἰδὼς, ὅτι καὶ τὸ τυχὸν αὐτὸν λυποῦν θορυβῆσαι δυνήσεται (ἡ γὰρ πεῖρα τῶν παρελθόντων ἱκανὴ πολλὴν δειλίαν ἐμβαλεῖν) ἐπεὶ οὖν εἰκὸς ἦν τὸν μακάριον τοῦτον καὶ ἀπὸ τοῦ τυχόντος ὑετοῦ καταπλαγῆναι καὶ δειλιάσαι, διὰ τοῦτο ὁ ἀγαθὸς θεὸς μονονουχὶ θαρρεῖν αὐτὸν παρασκευάζων, καὶ πάντος δέους αὐτὸν ἀπαλλάττων, καὶ ἐν ἀδείᾳ πολλῇ καὶ ″εὐθυμίᾳ καθιστὰς ὑπισχνεῖται) αὐτῷ μηκέτι τοιαύτην τιμωρίαν ἐπάγειν. καὶ τοῦτο μὲν ἤδη καὶ περὶ τῆς εὐλογίας ὑπέσχετο λέγων, καθάπερ ἠκούσατε, ὅτι οὐ προσθήσω καταράσασθαι τὴν γῆν. εἰ καὶ οἱ ἄνθρωποι τὰ τῆς κακίας ἐπιτείνουσιν, ἀλλ' ὅμως ἐγὼ οὐκέτι τοιούτῳ ἐπιτιμίῳ ὑποβάλλω τὸ τῶν ἀνθρώπων γένος. δεικνὺς γὰρ αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ πάλιν τοῦτο

ὑπισχνεῖται

γρ. [illegible]
πεῖν, ἀλ
μονεῖν,

γρ. εὐθυμ

ὑπισχνεῖται, ἵνα θαῤῥεῖν ἔχῃ ὁ δίκαιος, καὶ μὴ λογίζεσθαι καθ' ἑαυτὸν καὶ λέγειν, καὶ ἤδη εὐλογίας ἀξιώσας τὸ γένος τὸ ἡμέτερον, καὶ εἰς πλῆθος ἐπιδιδόναι παρασκευάσας, τὴν πανωλεθρίαν ταύτην ἐπήγαγεν. ἵν' οὖν πάντα θόρυβον ἐκβάλῃ ἐκ τῶν αὐτοῦ λογισμῶν, καὶ πληροφορηθῇ, ὡς οὐκέτι ἔσται τοῦτο· ὥσπερ γάρ, φησι, τὸν κατακλυσμὸν διὰ φιλανθρωπίαν ἐπήγαγον, ὥστε τὴν κακίαν ἐγκόψαι καὶ μὴ περαιτέρω αὐτοὺς προβῆναι, οὕτω καὶ νῦν διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν ἐπαγγέλλομαι μηκέτι τοῦτο ποιήσειν, ἵνα πάσης ἀθυμίας ἐκτὸς διάγοντες οὕτω τὴν παροῦσαν ζωὴν διανύητε. διὰ τοῦτο, φησιν, ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου, τουτέστι συνθήκας ποιοῦμαι. καθάπερ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπειδὰν τις ἐπαγγέλληταί τι, συντίθεται καὶ πολλὴν παρέχει τὴν πληροφορίαν· οὕτω καὶ ὁ ἀγαθὸς δεσπότης φησίν· ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου. καὶ καλῶς εἶπεν ἀνίστημι, ἀντὶ τοῦ, ἰδοὺ ἐγὼ ἀνανεῶ τὴν ὑπὸ τῶν παραπτωμάτων πανωλεθρίαν αὐτῶν γεγενημένην, καὶ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς. ὅρα φιλανθρωπίαν δεσπότου. οὐ μόνον μέχρις ὑμῶν, φησιν, ἵστημι τὰς συνθήκας, ἀλλὰ καὶ πρὸς τοὺς μεθ' ὑμᾶς γινομένους ταύτας βεβαίας ἀποφαίνω. εἶτα ἵνα τὴν οἰκείαν ἐπιδείξηται φιλοτιμίαν φησί, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ' ὑμῶν, ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ. καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ. καὶ οὐκέτι ἔσται κατακλυσμὸς ὕδατος, καταφθεῖραι πᾶσαν τὴν γῆν. εἶδες συνθηκῶν μέγεθος, εἶδες ὑποσχέσεων ἄφατον φιλοτιμίαν. σκόπει πῶς πάλιν ἐκτείνει αὐτοῦ τὴν * φιλανθρωπίαν καὶ μέχρι τῶν ἀλόγων καὶ τῶν θηρίων, καὶ εἰκότως. ὅπερ γὰρ πολλάκις εἶπον, τοῦτο καὶ νῦν φημι. ἐπειδὴ γὰρ διὰ τὸν ἄνθρωπον ταῦτα παρήχθη, διὰ τοῦτο καὶ ταῦτα κοινωνεῖ νῦν τῆς εὐεργεσίας τῆς εἰς τὸν ἄνθρωπον γινομένης. καὶ δοκεῖ μὲν κοινὴ γενέσθαι ἡ διαθήκη καὶ πρὸς αὐτόν, καὶ πρὸς τὰ ἄλογα, οὐκ ἔστι δὲ τοῦτο. καὶ γὰρ καὶ τοῦτο διὰ τὴν αὐτοῦ παραμυθίαν γίνεται, ἵνα εἰδέναι ἔχῃ πόσης ἀπολαύει τιμῆς, οὐ μόνον μέχρις αὐτοῦ τῆς εὐεργεσίας ἱσταμένης, ἀλλὰ δι' αὐτὸν καὶ τούτων ἁπάντων συναπολαυόντων τῆς φιλοτιμίας τοῦ δεσπότου. καὶ οὐκ ἀποθανεῖται, φησι, πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ οὐκέτι ἔσται κατακλυσμός, καταφθεῖραι πᾶσαν τὴν γῆν. εἶδες πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις ὑπισχνεῖται τοιαύτην μηκέτι ἐπάξειν πανωλεθρίαν, ἵνα τὸν θόρυβον τῶν λογισμῶν ἐκβάλῃ τοῦ δικαίου, καὶ παρασκευάσῃ θαῤῥεῖν ὑπὲρ τῶν μελλόντων. εἶτα οὐ πρὸς τὴν οἰκείαν φύσιν ἀφορῶν, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν, οὐκ ἀρκεῖται τῇ διὰ τῶν λόγων ὑποσχέσει, ἀλλὰ τὴν περὶ ἡμᾶς συγκατάβασιν ἐπιδεικνύμενος, καὶ σημεῖον παρέχει τὸ δυνάμενον παντὶ τῷ αἰῶνι συμπαρεκτεινόμενον τοῦ τοιούτου δέους ἀπαλλάσσειν τὸ τῶν ἀνθρώπων γένος· ἵνα κἂν πολὺς ὑετὸς κατενεχθῇ, κἂν σφοδρότερος ὁ χειμὼν γένηται, ἢ καὶ ἐὰν ἡ πλημμύρα τῶν ὑδάτων εἰς πλῆθος ἐπιδιδῷ, μηδὲ οὕτως ἔχωμεν δεδοικέναι, ἀλλὰ θαῤῥεῖν πρὸς τὸ δοθὲν σημεῖον ἀφορῶντες.

φατον

12 Καὶ εἶπε κύριος ὁ θεὸς τῷ Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καί σου.

Ὅρα πόση τιμὴ περὶ τὸν δίκαιον κέχρηται. ὡσανεὶ γὰρ ἄνθρωπος ἀνθρώπῳ διαλεγόμενος, οὕτω καὶ πρὸς αὐτὸν ποιεῖται τὰς" συνθήκας, καί φησι· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καί σου, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ' ὑμῶν εἰς γενεὰς αἰωνίους. εἶδες πάσῃ τῇ ζωῇ τὸ μέλλον δίδοσθαι σημεῖον παρεκτεινόμενον εἰς γενεὰς αἰωνίους. οὐ μόνον κοινῇ πᾶσι τοῖς ζῶσι τὸ σημεῖον δίδωσιν, ἀλλὰ καὶ

ὑποκρίσεις,

διηνεκὲς καὶ διαιωνίζον τῇ τοῦ κόσμου συστάσει. τί οὖν ἐστι τὸ σημεῖον;

13 Τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς.

Ἰδοὺ μετὰ τῆς ὑποσχέσεως τῆς διὰ τῶν λόγων καὶ τοῦτο δίδωμι τὸ σημεῖον, τὴν ἶριν λέγω, ἣν τινές φασι γίνεσθαι τοῦ ἡλίου πρὸς τὰ νέφη τὰς ἀκτῖνας ἀφιέντος. εἰ ὁ λόγος μου, φησὶν, οὐκ ἀρκεῖ, ἰδοὺ καὶ σημεῖον δίδωμι τοῦ μηκέτι τιμωρίαν τοιαύτην ἐπάξειν. τοῦτο τοίνυν ὁρῶντες τὸ σημεῖον τοῦ δέους ἀπαλλάττεσθε.

14 Καὶ ἔσται ἐν τῷ συννεφεῖν με, φησὶν, νεφέλας ἐπὶ τῆς γῆς, καὶ ὀφθήσεται * τὸ τόξον μου ἐν τῇ νεφέλῃ, 15 Καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί.

Τί λέγεις, ὦ μακάριε προφῆτα; ἀναμνησθήσομαι, φησὶ, τῆς διαθήκης μου, τουτέστι, τῆς συνθήκης μου, τῆς ἐπαγγελίας, τῆς ὑποσχέσεως· οὐκ ἐπειδὴ αὐτὸς δεῖται ἀναμνήσεως, ἀλλ' ἵνα ἡμεῖς πρὸς ἐκεῖνο τὸ δοθὲν σημεῖον βλέποντες, μηδὲν ὑποπτεύωμεν χαλεπὸν, ἀλλ' εὐθέως εἰς ὑπόμνησιν ἐρχόμενοι τῆς τοῦ θεοῦ ἐπαγγελίας, θαρρῶμεν ὡς οὐδὲν τοιοῦτο πεισόμεθα. εἶδες θεοῦ συγκατάβασιν, ὅσην ποιεῖται κηδεμονίαν τοῦ γένους τοῦ ἡμετέρου, πόσον μέγεθος φιλανθρωπίας ἐπεδείξατο· οὐκ ἐπειδὴ εἶδε τὴν τῶν ἀνθρώπων μεταβολὴν, ἀλλ' ἵνα διὰ πάντων ἡμᾶς διδάξῃ τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολήν.

Καὶ οὐκ ἔσται ἔτι ὕδωρ εἰς κατακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα.

Τοιοῦτος ὄμβρος οὐκέτι ἔσται. ἐπειδὴ οἶδε τοῦτο δεδοικυῖαν τὴν ἀνθρωπίνην φύσιν, ὅρα πῶς συνεχῶς ποιεῖται τὴν ὑπόσχεσιν, μονονουχὶ λέγων· κἂν ἴδητε πολλὴν τῶν ὄμβρων τὴν φορὰν, μηδὲ οὕτω χαλεπόν τι ὑποπτεύσητε. οὐ γὰρ ἔσται τὸ ὕδωρ εἰς κατακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα. τοιοῦτος ὄμβρος οὐκέτι ἔσται, τοιαύτης ἀγανακτήσεως οὐκέτι πειραθήσεται ἡ τῶν ἀνθρώπων φύσις.

16 Καὶ ἔσται, φησὶ, τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ ὄψομαι, τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον τοῦ θεοῦ, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί.

Σκόπει πῶς βουλόμενος εἰς θάρσος καὶ εἰς πληροφορίαν ἀγαγεῖν τὴν ἀνθρωπίνην φύσιν, πόσῃ ταπεινότητι τῶν λόγων κέχρηται. καὶ ὄψομαι, φησὶ, τοῦ μνησθῆναι διαθήκης μου. ἡ ὄψις οὖν εἰς μνήμην αὐτὸν ἄγει; οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν (μὴ γένοιτο) * ἀλλ' ἵνα ὅταν ἴδωμεν τὸ σημεῖον τοῦτο, θαρρεῖν ἔχωμεν τῇ τοῦ θεοῦ ἐπαγγελίᾳ, καὶ ὡς οὐχ οἷόν τε διαπεσεῖν τὰς τοῦ θεοῦ ὑποσχέσεις. καὶ εἶπεν ὁ θεὸς, φησὶ, τῷ Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον πάσης σαρκὸς, ἥ ἐστιν ἐπὶ τῆς γῆς. ἔλαβες, φησὶ, τὸ σημεῖον, ὅπερ δέδωκα μεταξὺ ἐμοῦ καὶ πάσης σαρκὸς τῆς οὔσης ἐπὶ τῆς γῆς. μηκέτι ταράττου τὴν διάνοιαν, μηδὲ θορυβοῦ Ⓐ λογισμὸν, ἀλλὰ πρὸς τοῦτο βλέπων καὶ αὐτὸς ἔχε χρηστὰς τὰς ἐλπίδας, καὶ ⓐ μετὰ σὲ πάντες τῆς ἐντεῦθεν παραμυθίας ἀπολαυέτωσαν, καὶ ἡ ὄψις τοῦ σημείου παρεχέτω θάρρος, ὡς οὐκέτι τοιοῦτον κλυδώνιον τὴν οἰκουμένην καταλήψεται. κἂν γὰρ ἐπιτείνηται τῶν ἀνθρώπων τὰ ἁμαρτήματα, ἀλλ' ἐγὼ ἅπερ ὑπεσχόμην ταῦτα πληρώσω, καὶ οὐκέτι τοιαύτην κατὰ πάντων ἀγανάκτησιν ποιήσομαι. εἴδετε ἀγαθότητος ὑπερβολὴν, εἴδετε συγκαταβάσεως μέγεθος, εἴδετε κηδεμονίας ἐπίτασιν, εἴδετε φιλοτιμίας ἐπαγγελίαν. οὐ γὰρ μέχρι δύο καὶ τριῶν καὶ δέκα γενεῶν ἐξέτεινεν αὐτοῦ τὴν εὐεργεσίαν, ἀλλὰ τῇ συστάσει τοῦ κόσμου ταύτην παρεκταθῆναι ὑπέσχετο, ἵνα ἐξ ἑκατέρων σωφρονιζώμεθα, καὶ ἐξ ὧν ἐκεῖνοι διὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος τοιαύτην ἐπεδέξανπο τιμωρίαν, καὶ ἐξ ὧν ἡμεῖς διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν τοιαύτης ἠξιώθημεν ἀποφάσεως. οὐ γὰρ νόμον ἔχοντας καὶ αἱ εὐεργεσίαι μᾶλλον ἢ αἱ τιμωρίαι ἐφέλκονται πρὸς τὴν ὑπακοὴν τῶν ἐπιταγμάτων. μὴ τοίνυν ἀγνώμονες γινώμεθα. εἰ γὰρ καὶ πρὶν ἤ τι ἀγαθὸν ἡμᾶς ἐπιδείξασθαι, μᾶλλον δὲ καὶ κολάσεως ἄξια ἐργαζομένους τοσαύτης ἠξίωσε τῆς εὐεργεσίας, εἰ εὐγνώμονες γενοίμεθα, καὶ τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξόμεθα, καὶ πολλὴν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ποιησόμεθα, πόσης οὐκ ἂν πάλιν ἡμᾶς ἀξιώσῃ τῆς παρ' αὐτοῦ φιλοτιμίας; εἰ γὰρ ἀναξίους ὄντας εὐεργετεῖ καὶ ἡμαρτηκότας φιλανθρωπεύεται, εἰ τῆς κακίας ἀποστάντες τὴν ἀρετὴν μεταδιώξομεν, τίνων οὐκ ἐπιτευξόμεθα; διὰ γὰρ τοῦτο προλαμβάνων πολλὰς εἰς ἡμᾶς τὰς εὐεργεσίας κατατίθεται, καὶ ἡμαρτηκότας πάλιν ἀξιοῖ συγγνώμης, καὶ τὰς τιμωρίας παραπόδας οὐκ ἐπάγει, ἵνα διὰ πάντων ἡμᾶς ἐφελκύσηται, καὶ δι' ὧν εὐεργετεῖ, καὶ δι' ὧν μακροθυμεῖ. πολλάκις δὲ καὶ δι' ὧν ἐνίους κολάζει, ἑτέρους ἐνάγειν βούλεται, ἵνα τῷ ἐκείνων φόβῳ σωφρονισθέντες τῆς τιμωρίας τὴν πεῖραν διαφύγωσιν. εἶδες εὐμήχανον″ αὐτοῦ φιλανθρωπίαν, πῶς πάντα τὰ παρ' αὐτοῦ γινόμενα δι' ἓν τοῦτο μόνον γίνεται, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. ταῦτα τοίνυν ἐννοοῦντες μὴ ῥαθυμῶμεν, μηδὲ ἀμελῶμεν ἀρετῆς, μηδὲ τοὺς παρ' αὐτοῦ τεθέντας νόμους παρατρέχωμεν. ἐὰν γὰρ ἴδῃ ἐπιστρέφοντας ἡμᾶς, καὶ ἡσυχάζοντας, καὶ ὅλως ἀρχήν τινα ποιουμένους, καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ συνεισφέρει, κοῦφα καὶ ῥᾴδια ἡμῖν ἅπαντα κατασκευάζων, καὶ οὐκ ἀφιεὶς οὐδὲ αἴσθησιν λαβεῖν τῶν τῆς ἀρετῆς πόνων. ὅταν γὰρ ψυχὴ πρὸς τὸν θεὸν τείνῃ τὴν διάνοιαν, οὐκ ἔτι λοιπὸν ἀπατηθῆναι δύναται ὑπὸ τῆς ὄψεως τῶν ὁρωμένων, ἀλλὰ πάντα παρατρέχουσα, ἀκριβέστερον″ τούτων τῶν πρὸ τῶν ὀφθαλμῶν ἡμῶν κειμένων ἐκεῖνα φαντάζεται τὰ μὴ βλεπόμενα τοῖς σωματικοῖς ὀφθαλμοῖς, καὶ μεταβολὴν οὐκ ἐπιστάμενα, ἀλλὰ διηνεκῶς μένοντα καὶ πεπηγότα καὶ ἀκίνητα τυγχάνοντα. τοιοῦτοι γὰρ οἱ τῆς διανοίας ὀφθαλμοί. πρὸς τὴν ἐκείνων θέαν διηνεκῶς ἀφορῶσι, καὶ ταῖς ἐκεῖθεν μαρμαρυγαῖς καταυγαζόμενοι πάντα τὰ τοῦ παρόντος βίου, ὡς ὄναρ καὶ σκιὰν, παρατρέχουσιν, οὐκέτι ἀπάτην ὑπομένοντες, οὐδὲ παραλογισθῆναι δυνάμενοι· ἀλλὰ κἂν πλοῦτον ἴδωσιν, εὐθέως καταγελῶσιν,″ εἰδότες ὅτι δραπέτου παντὸς ἀγνωμονέστερον ἀπὸ τούτου εἰς ἐκεῖνον μεταπηδᾷ, καὶ οὐδέποτε ἵσταται, ἀλλὰ καὶ μυρία κακὰ τοὺς κεκτημένους διατίθησι, καὶ εἰς αὐτὸν, ὡς εἰπεῖν, τῆς κακίας τὸν κρημνὸν αὐτοὺς ὥσπερ καταβάλλει. κἂν σώματος εὐμορφίαν θεάσωνται, πάλιν οὐκ ἐπιστρέφονται, λογιζόμενοι τὸ ἐπίκηρον, τὸ εὐμετάβλητον, καὶ ὅτι ἀθρόον νόσος ἐπελθοῦσα πᾶσαν ἐκείνην τὴν εὐμορφίαν ἠφάνισε, καὶ πρὸ τῆς νόσου γῆρας καταλαβὸν ἀηδῆ καὶ ἀτερπῆ τὴν πρὸ τούτου εὔμορφον ὄψιν ἀπειργάσατο, καὶ θάνατος δὲ ἐπελθὼν ἅπασαν τὴν τοῦ σώματος ὥραν διέφθειρε. κἂν δόξαν ἴδωσί τινα περιβεβλημένον, κἂν δυναστείαν, κἂν εἰς αὐτὴν τῶν ἀξιωμάτων τὴν κορυφὴν ἀνεληλυθότα, καὶ πάσης εὐημερίας ἀπολαύοντα, καὶ τοῦτον παρατρέχουσιν ὡς οὐδὲν βέβαιον ἔχοντα οὐδὲ ἀκίνητον, ἀλλ' ἐπ' ἐκείνοις μέγα φρονοῦντα τοῖς ποταμίων ῥευμάτων μᾶλλον παρατρέχουσι. τί γὰρ τῆς δόξης ἁπάσης τοῦ παρόντος βίου εὐτελέστερον, ὅταν τῷ ἄνθει τοῦ χόρτου παραβάλληται; Πᾶσα γὰρ δόξα ἀνθρώπου, φησὶν, ὡς ἄνθος χόρτου. εἴδετε, ἀγαπητοὶ, πῶς μετὰ ἀκριβείας ὁρῶσιν οἱ τῆς πίστεως ὀφθαλμοὶ, ἐπειδὰν πρὸς τὸν θεὸν ᾖ τεταμένη ἡ διάνοια. εἴδετε πῶς ὑπ' οὐδενὸς τῶν ὁρωμένων παραλογισθῆναι δύνανται, ἀλλὰ τὴν ὀρθὴν τῶν πραγμάτων ἔχουσι κρίσιν, οὐδεμίαν ἀπάτην ὑπομένοντες. ἀλλ' εἰ δοκεῖ πάλιν ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ὀλίγα προσθέντες καταπαύσωμεν τὴν διδασκαλίαν,

δὲ

α. Πετ. α. κδ.

λίαν, ὥστε καὶ τὴν μνήμην τῶν εἰρημένων ἐντεθῆναι ὑμῶν τῇ διανοίᾳ. ἐπειδὴ γὰρ ἐτέλεσεν ἡ θεία γραφὴ τὴν περὶ τοῦ θείου σημείου διήγησιν, βούλεται πάλιν διδάξαι ἡμᾶς τὰ κατὰ τὸν δίκαιον καὶ τοὺς τούτου υἱοὺς, καί φησιν·

18 Ἦσαν δὲ οἱ υἱοὶ τοῦ Νῶε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ. Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. 19 Τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε. ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.

Ἄξιον ἐνταῦθα ζητῆσαι τίνος ἕνεκεν τῶν τριῶν υἱῶν τοῦ Νῶε μνημονεύσασα ἡ θεία γραφὴ ἐπήγαγε, Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. μὴ νομίσητε, παρακαλῶ, ἁπλῶς τοῦτο προσερρίφθαι· οὐδὲν γάρ ἐστι τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ὃ μὴ μετά τινος εἴρηται λόγου, πολλὴν τὴν ὠφέλειαν ἐγκεκρυμμένην ἔχοντος. τίνος οὖν ἕνεκεν ἐπεσημήνατο καὶ προσέθηκεν, ὅτι Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν; βούλεται διὰ τούτου αἰνίξασθαι ἡμῖν τῆς ἀκρασίας αὐτοῦ τὴν ὑπερβολὴν, καὶ ὅτι οὐδὲ τῆς συμφορᾶς τὸ μέγεθος συστεῖλαι αὐτὸν πεποίηκεν, οὐδὲ ἡ τοσαύτη ἐν τῇ κιβωτῷ στενοχωρία, ἀλλὰ καίτοι τοῦ "πρεσβύτου οὐδέπω καὶ νῦν τεκνοποιήσαντος, οὗτος τῇ ἀκρασίᾳ ἑαυτὸν ἐκδοὺς ἐν καιρῷ τοσαύτης ἀγανακτήσεως καὶ πανωλεθρίας τὴν οἰκουμένην καταλαβούσης, περὶ συνουσίαν ἠσχολεῖτο, καὶ τὸ ἀχαλίνωτον τῆς ἐπιθυμίας οὐ κατέστελλεν, ἀλλ' ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδείκνυ τῆς γνώμης αὐτοῦ τὸ μοχθηρόν. ἐπεὶ οὖν μετ' οὐ πολὺ διὰ τὴν ὕβριν τὴν εἰς τὸν γεγεννηκότα "μέλλει τὴν κατάραν δέχεσθαι ὁ Χαναὰν ὁ τούτου παῖς, διὰ τοῦτο ἤδη προλαβοῦσα ἡ θεία γραφὴ ἐπεσημήνατο, καὶ τοῦ παιδὸς ἡμῖν τὴν προσηγορίαν δήλην ἐποίησεν, ὁμοῦ καὶ τοῦ γεγεννηκότος τὸ ἀκρατὲς· ἵν' ὅταν μετὰ ταῦτα ἴδῃς αὐτὸν πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξάμενον πρὸς τὸν γεγεννηκότα, εἰδέναι ἔχῃς, ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς τοιοῦτος ἦν, ὥς γε οὐδὲ ὑπὸ τῆς συμφορᾶς συνεστάλη. ἱκανὴ γὰρ ἡ τοσαύτη ἀθυμία πᾶσαν σβέσαι ἡδονήν· καὶ οὐδὲν οὕτω ταύτην τὴν φλόγα καὶ τὴν μανίαν καταστεῖλαι δύναται, ὡς ἀθυμίας ἐπίτασις καὶ συμφορᾶς ὑπερβολή. ὁ τοίνυν ἐν τοσούτῳ μεγέθει τῶν κακῶν τοσαύτην ἐπιδειξάμενος τὴν λύσσαν καὶ μανίαν περὶ τὴν παιδοποιΐαν, ποίας ἂν εἴη συγγνώμης ἄξιος; ἀλλ' ἐντεῦθεν ἡμῖν πάλιν ἕτερον τίκτεται ζήτημα, τὸ πολυθρύλλητον ἐκεῖνο καὶ πανταχοῦ περιφερόμενον, τίνος ἕνεκεν τοῦ πατρὸς ἁμαρτόντος ὁ υἱὸς τὴν κατάραν δέχεται; ἀλλ' ἵνα μὴ νῦν μακρὸν ποιῶμεν τὸν λόγον, τοῦτο ταμιευσόμεθα πρὸς τὸ παρὸν, ἵν' ἐπειδὰν εἰς αὐτὸν τὸν τόπον ἀφικώμεθα, τότε καὶ τὴν λύσιν ἐπαγάγωμεν, ἣν ἂν ὁ θεὸς παράσχῃ. οὐδὲν γὰρ, καθάπερ ἔφθην εἰπὼν, τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἄνευ λόγου τινὸς καὶ αἰτίας ἐστὶν εὑρεῖν ἐγγεγραμμένον. τέως οὖν τοῦτο ἔγνωμεν, ὅτι οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, τῆς προσηγορίας τοῦ υἱοῦ ἐμνημόνευσεν ὁ Μωϋσῆς εἰπὼν, Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. τρεῖς εἰσιν οὗτοι υἱοί, φησι, Νῶε, καὶ ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, μηδὲ τὸ νῦν ῥηθὲν, ἀλλ' ἐννοήσωμεν καὶ ἐξ αὐτοῦ τούτου τῆς δυνάμεως τοῦ θεοῦ τὸ μέγεθος. τρεῖς, φησιν, ἦσαν οὗτοι υἱοὶ Νῶε, καὶ ἐκ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν. πῶς ἀπὸ τῶν τριῶν τοσοῦτον πλῆθος ἐπέδωκε; πῶς ἠδυνήθησαν διαρκέσαι; πῶς ἐκ τῶν ὀλίγων τούτων ἅπας ὁ κόσμος συνέστη; πῶς αὐτοῖς τὰ σώματα διέμεινεν; οὐκ ἰατρὸς ἦν ὁ θεραπείαν προσάγων, οὐκ ἄλλη τις ἐπιμέλεια. οὐδέπω γὰρ οὐδὲ πόλεις ἦσαν "δειμάμενοι, ἀλλὰ μετὰ τὴν τοσαύτην ταλαιπωρίαν, καὶ τὴν ἐν τῇ κιβωτῷ διαγωγὴν ὡς τεταριχευμένοι καὶ κατειργασμένοι ἐξῆλθον, καὶ ἐν τοσαύτῃ μονώσει τυγχάνοντες καὶ ἐρημίᾳ ἀφάτῳ πῶς οὐ διεφθάρησαν; πῶς οὐκ ἀπώλοντο;

ἴσ. πρεσβυτέρου

γρ. ἔμελλε

γρ. διασωζόμενοι,

ἀπώλοντο; ὁ γὰρ φόβος, εἰπέ μοι, καὶ ἡ ἀγωνία" οὐ κατέσειεν αὐτῶν τὴν διάνοιαν, καὶ "διετάραξε τὸν λογισμόν; μὴ ξενιαθῇς, ἀγαπητέ. θεὸς γὰρ ἦν ὁ πάντα ἐργαζόμενος, καὶ ὁ τῆς φύσεως δημιουργὸς ἦν ὁ πάντα ταῦτα τὰ κωλύματα ἀναιρῶν, καὶ τὸ πρόσταγμα αὐτοῦ ἐκεῖνο τὸ λέγον, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, "αὐτοῖς καὶ τὴν ἐπίδοσιν ἐχαρίσατο. ἐπεὶ καὶ οἱ Ἰσραηλῖται ἡνίκα εἰς Αἴγυπτον τῇ πλινθείᾳ καὶ τῷ πηλῷ κατειργάσθησαν, ταύτῃ πολλῷ μᾶλλον εἰς πλῆθος ἐπέδωκαν, καὶ οὔτε τὸ ἀπηνὲς ἐκεῖνο καὶ ὠμὸν ἐπίταγμα τοῦ Φαραὼ, τὸ κελεῦον τὰ ἄρρενα εἰς τὸν ποταμὸν ῥίπτεσθαι, οὐδὲ ἡ λοιπὴ κακουχία, ἣν ὑπὸ τῶν ἐργοδιωκτῶν ὑπέμενον, ἴσχυσεν ἐλαττῶσαι αὐτῶν τὸ πλῆθος, ἀλλὰ καὶ μᾶλλον εἰς πλῆθος ἐπεδίδου. ἡ γὰρ ἄνωθεν ῥοπὴ ἦν ἡ διὰ τῶν ἐναντίων ἅπαντα ἐργαζομένη*. ὅταν τοίνυν ὁ θεὸς κελεύῃ, μὴ ζήτει κατὰ ἀκολουθίαν ἀνθρωπίνην διερευνᾶσθαι τὰ πράγματα. ἀνώτερος γὰρ ὢν τῆς φύσεως οὐ δεῖται τῆς ἀκολουθίας τῆς φύσεως, ἀλλὰ καὶ δι' αὐτῶν τῶν κωλυόντων τὰ πράγματα αὐξάνεσθαι παρασκευάσει. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, ἀπὸ τῶν τριῶν τούτων τὴν οἰκουμένην ἅπασαν ἀνεπλήρωσεν. ἀπὸ τούτων γάρ, φησι, τῶν τριῶν διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.

γρ. ὃς ἦν ἱκανὸς κατασεῖσαι
γρ. διαταράξαι
γρ. αὐτῷ
πάντα

ἨΘΙΚΟΝ

Εἶδες θεοῦ δύναμιν, εἶδες πῶς, κἂν πολλὰ ἦν τὰ κωλύματα, οὐδέν ἐστι τὸ διακόπτον αὐτοῦ τὸ βούλημα. τὸ αὐτὸ καὶ ἐπὶ τῆς πίστεώς ἐστιν ἰδεῖν γινόμενον. τοιούτων γὰρ ὄντων τῶν πολεμούντων, τοσούτων ὄντων τῶν ἐπιβουλευόντων, καὶ βασιλέων καὶ τυράννων καὶ δήμων κατεξανισταμένων, καὶ πάντα ποιούντων ὥστε σβέσαι τὸν σπινθῆρα τῆς πίστεως, δι' αὐτῶν τῶν ἐπιβουλευόντων, διὰ τῶν κωλύειν βουλομένων τοσαύτη ἤρθη τῆς εὐσεβείας ἡ φλὸξ, ὡς ἅπασαν καταλαβεῖν τὴν οἰκουμένην, καὶ τὴν ἀοίκητον. κἂν πρὸς Ἰνδοὺς γὰρ ἀπέλθῃς, κἂν πρὸς Σκύθας, κἂν πρὸς αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, κἂν εἰς αὐτὸν τὸν ὠκεανὸν, πανταχοῦ εὑρήσεις τοῦ Χριστοῦ τὴν διδασκαλίαν καταυγάζουσαν τὰς ἁπάντων ψυχάς. τὸ γὰρ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτὰ τὰ βάρβαρα ἔθνη μετερρύθμισεν ὁ τῆς εὐσεβείας λόγος, καὶ φιλοσοφεῖν ἔμαθον, καὶ τῆς παλαιᾶς συνηθείας ἀποστάντες πρὸς τὴν εὐσέβειαν μετετάξαντο. καὶ καθάπερ διὰ τῶν τριῶν τούτων τὸ τῶν ἀνθρώπων πλῆθος ἐπιδοῦναι παρεσκεύασεν ὁ τῶν ὅλων δημιουργὸς· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς πίστεως διὰ τῶν ἕνδεκα, * τῶν ἁλιέων, τῶν ἀγραμμάτων, τῶν ἰδιωτῶν, τῶν μηδὲ διᾶραι τὸ στόμα τολμώντων, ἅπασαν ἐπεσπάσατο τὴν οἰκουμένην. καὶ οἱ ἀγράμματοι οὗτοι, καὶ οἱ ἰδιῶται, καὶ οἱ ἁλιεῖς τῶν φιλοσόφων ἀπέφραξαν τὰ στόματα, καὶ καθάπερ ὑπόπτεροι, οὕτω τὴν οἰκουμένην ἅπασαν διέδραμον κατασπείραντες τὸν τῆς εὐσεβείας λόγον, καὶ τὰς ἀκάνθας ἐκτέμνοντες, καὶ τὰ παλαιὰ ἀνασπῶντες ἔθη, καὶ τοὺς τοῦ Χριστοῦ νόμους πανταχοῦ καταφυτεύοντες. καὶ οὔτε τὸ ὀλίγους αὐτοὺς εἶναι, οὔτε ἡ ἰδιωτεία, οὔτε τὸ αὐστηρὸν τῶν ἐπιταγμάτων, οὔτε τὸ παλαιᾷ συνηθείᾳ προκατειλῆφθαι ἅπαν τὸ τῶν ἀνθρώπων γένος, ἴσχυσε κώλυμα αὐτοῖς γενέσθαι· ἀλλὰ ταῦτα πάντα διῄρει προοδοποιοῦσα ἡ χάρις, καὶ μετ' εὐκολίας ἅπαντα εἰργάζοντο, δι' αὐτῶν τῶν κωλυμάτων μείζονα δεχόμενοι τὴν προθυμίαν. καὶ γάρ ποτε μὲν μαστιζόμενοι ἀνεχώρουν χαίροντες, οὐ διὰ τὰς μάστιγας ἁπλῶς, ἀλλ' ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι· ἄλλοτε δὲ εἰς δεσμωτήριον ἐμβληθέντες, ἐπειδὴ ὑπὸ ἀγγέλου ἐξηνέχθησαν, πάλιν τῶν αὐτῶν εἴχοντο, καὶ εἰς τὸ ἱερὸν ἀφικνούμενοι τὸν τῆς διδασκαλίας λόγον κατέβαλλον, σαγηνεύοντες τὰ πλήθη εἰς τὴν εὐσέβειαν. καὶ πάλιν κατεχόμενοι, οὐ μόνον οὐδὲ ἐντεῦθεν ὀκνηρότεροι ἐγίνοντο, ἀλλὰ καὶ πλείονα τὴν παρρησίαν ἐπεδείκνυντο, ἐν μέσῳ μαινομένου δήμου καὶ τοὺς ὀδόντας τρίζοντος

* αὐτοῦ μαθητῶν,

Πράξ. ε. μα.

ἐρωτῶντες καὶ λέγοντες, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. Εἶδες παρρησίας μέγεθος, εἶδες τοὺς ἰδιώτας, τοὺς ἁλιεῖς ὑπερορῶντας τοσούτων δήμων μαινομένων, καὶ πρὸς φόνους καὶ σφαγὰς ἑτοίμων. ἀλλὰ σὺ ταῦτα ἀκούων, ἀγαπητέ, μὴ τούτοις λογίζου τὰ γινόμενα, ἀλλὰ τῇ ἄνωθεν χάριτι τῇ νευρούσῃ καὶ ἀλειφούσῃ αὐτῶν τὴν προθυμίαν. ἐπεὶ καὶ αὐτὸς οὗτος ὁ μακάριος Πέτρος, ἡνίκα τὸν ἐκ κοιλίας μητρὸς χωλεύοντα ὄρθιον ἀπεκατέστησε, πάντων ἐκπληττομένων καὶ θαυμαζόντων αὐτοῦ, ἐπιδεικνύμενος τὴν οἰκείαν εὐγνωμοσύνην φησίν· Ἄνδρες, τί ἀτενίζετε ἡμῖν, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; τίνος ἕνεκεν, φησιν, οὕτω καταπεπλάγητε καὶ ἐκπεπληγμένοι ἐστὲ ἐπὶ τῷ γεγονότι; μὴ γὰρ ἡμεῖς ἐσμεν οἱ τοῦτο ἐργασάμενοι, ἢ ἰδίᾳ δυνάμει πρὸς ὑγείαν αὐτὸν ἐπαναγαγόντες, καὶ βαδίζειν παρασκευάσαντες; τί ἡμῖν ἀτενίζετε; οὐδὲν πλέον ἡμεῖς εἰσηνέγκαμεν, ἢ ὅτι τὴν γλῶτταν ἐδανείσαμεν. ὁ δὲ τὸ πᾶν ἐργασάμενος, ὁ δεσπότης ἐστὶ καὶ δημιουργὸς τῆς φύσεως. ἐκεῖνος ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὓς πατριάρχας ἐπιγράφεσθε, ἐκεῖνος ὃν ὑμεῖς παραδεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν, ἐκεῖνός ἐστιν ὁ ταῦτα ἐργασάμενος· ὃν ὑμεῖς, τὸν ἅγιον καὶ δίκαιον, ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς κατεκρίνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν, καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ἀπέναντι πάντων ὑμῶν. πολλὴ τῆς παρρησίας ἡ ὑπερβολή· μεγάλη καὶ ἄφατος τῆς ἄνωθεν αὐτοῖς παρασχεθείσης χάριτος ἡ δύναμις· σαφεστάτη τῆς ἀναστάσεως ἡ ἀπόδειξις, ἡ τοῦ μακαρίου τούτου παρρησία γένοιτ' ἄν. τί γὰρ ἂν τούτου μεῖζον σημεῖον ἐπιζητήσειεν ἄν τις λαβεῖν, ὅταν ὁ πρὸ τοῦ σταυροῦ καὶ κόρης εὐτελοῦς ἀπειλὴν μὴ δυνηθεὶς ἐνεγκεῖν, νῦν οὕτω κατεξανίσταται τοῦ τῶν ἰουδαίων δήμου, καὶ τοσαύτῃ παρρησίᾳ καὶ πρὸς τοσοῦτον πλῆθος μόνος ὢν οὕτως ἀγρίως μεμηνὸς ἐπαποδύεται, καὶ τοιαῦτα φθέγγεται, ἃ τὴν μανίαν αὐτῶν ἐπὶ πλεῖον διεγείρειν δύναται; Εἶδες, ἀγαπητέ, πῶς, ὅπερ ἐν προοιμίοις ἔλεγον, τοῦτο καὶ νῦν δείκνυται. ἐπειδὰν γάρ τις πυρωθῇ τῷ πρὸς τὸν θεὸν πόθῳ, οὐκέτι λοιπὸν ὁρᾷν ἀνέχεται τὰ τοῖς ὀφθαλμοῖς τούτοις τοῖς σωματικοῖς ὑποπίπτοντα, ἀλλ' ἑτέρους ὀφθαλμοὺς κτησάμενος, τοὺς τῆς πίστεως λέγω, ἐκεῖνα διὰ παντὸς φαντάζεται, καὶ πρὸς ἐκεῖνα τὴν διάνοιαν ἔχει τεταμένην, καὶ ἐν γῇ βαδίζων ὡς ἐν οὐρανοῖς τὸ πολίτευμα ἔχων, οὕτω πάντα διαπράττεται, ὑπ' οὐδενὸς τῶν ἀνθρωπίνων ἐμποδιζόμενος πρὸς τὸν κατ' ἀρετὴν δρόμον. ὁ γὰρ τοιοῦτος οὔτε τὰ λαμπρὰ τοῦ βίου λοιπὸν ὁρᾷ, οὔτε τὰ δυσχερῆ καὶ ἐναντία, ἀλλὰ πάντα παρατρέχει, πρὸς τὴν ἑαυτοῦ πατρίδα ἐπειγόμενος. καὶ καθάπερ ὁ μετὰ πολλοῦ τοῦ τόνου τὸν σωματικὸν τοῦτον δρόμον τρέχων οὐδένα τῶν ἀπαντώντων ὁρᾷ, κἂν μυριάκις αὐτῷ προσπταίσῃ, ἀλλὰ πρὸς τὸν δρόμον ἔχων τεταμένον αὐτοῦ τὸν λογισμὸν εὐκόλως ἅπαντα παραδραμὼν ἐπείγεται πρὸς τὸν προκείμενον αὐτῷ σκοπόν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τὸν κατ' ἀρετὴν δρόμον τρέχειν σπουδάζων, καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ἀνελθεῖν ἐπιθυμῶν, πάντα τὰ ὁρώμενα κάτω ἀφίησι, καὶ ὅλως τοῦ δρόμου γίνεται, καὶ οὐ πρότερον ἵσταται οὐδὲ κατέχεται ὑπό τινος τῶν ὁρωμένων, μέχρις ἂν εἰς αὐτὴν ἀνελθεῖν δυνηθῇ τὴν κορυφήν. τῷ γὰρ οὕτω διακειμένῳ καὶ τὰ δοκοῦντα εἶναι φοβερὰ κατὰ τὸν παρόντα βίον, εὐκαταφρόνητα γίνεται, καὶ ὁ τοιοῦτος οὔτε ξίφος δέδοικεν, οὔτε κρημνόν, οὔτε θηρίων ὀδόντας, οὐ βασάνους, οὐ δημίων χεῖρας, οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον λυπηρῶν· ἀλλὰ κἂν ἄνθρακας ἴδῃ ὑπεστορεσμένους, ὡς λειμῶνας ὁρῶν καὶ παραδείσους, οὕτως ἐπιπηδᾷ· κἂν ἕτερόν τι τῶν κολαστηρίων εἶδος ἐπαγόμενον θεάσηται, οὐ

Πράξ. γ. ιβ.

γ. [illegible]

γ. [illegible]

νάρκα πρὸς τὴν ὄψιν, οὐδὲ ἐπιστρέφεται. ὁ γὰρ τῶν μελλόντων πόθος μετέστησεν αὐτοῦ τὴν διάνοιαν, καὶ ὡς ἁπλῶς καὶ εἰκῆ τὸ σῶμα περικείμενος, οὕτως ἀνώτερος γίνεται τῶν παθῶν, καὶ τῇ ἄνωθεν χάριτι φρουρούμενος οὐδὲ αἴσθησιν λαμβάνει τῶν ἀλγηδόνων τῶν σωματικῶν. διὸ παρακαλῶ, ἵν' εὐκόλως τοὺς κατὰ τὴν ἀρετὴν πόνους ἐνεγκεῖν δυνηθῶμεν, πολὺν τὸν περὶ τὸν θεὸν ἐπιδειξώμεθα πόθον, καὶ ἐκεῖ τὴν διάνοιαν ἡμῶν τείναντες ὑπὸ μηδενὸς τῶν ἐν τῷ παρόντι βίῳ πρὸς τὸν ἐκεῖσε δρόμον ὑποσκελιζώμεθα, ἀλλὰ τῶν μελλόντων ἀγαθῶν τὴν διηνεκῆ ἀπόλαυσιν λογιζόμενοι, πάντα τὰ ἀλγεινὰ τοῦ παρόντος βίου πράως φέρωμεν, καὶ μήτε ἀδοξία ἡμᾶς λυπείτω, μήτε πενία πιεζέτω, μήτε νόσος σώματος τῆς ψυχῆς τὸ φρόνημα χαυνούτω, μήτε τὸ καταφρονεῖσθαι παρὰ τῶν πολλῶν καὶ ἐξευτελίζεσθαι ὀκνηροτέρους περὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν ἀπεργαζέσθω· ἀλλὰ πάντα ταῦτα, ὥσπερ κόνιν, ἀποτιναξάμενοι, καὶ γενναῖον καὶ ὑψηλὸν φρόνημα ἀναλαβόντες, οὕτω πρὸς ἅπαντα πολλὴν τὴν ἀνδρείαν ἐπιδειξώμεθα, καὶ καθάπερ χθὲς παρεκάλεσα τὴν ὑμετέραν ἀγάπην, τὰς πρὸς τοὺς ἐχθροὺς καταλλαγὰς μετὰ πολλῆς τῆς σπουδῆς ποιώμεθα, καὶ τὰ λοιπὰ τῆς ψυχῆς πάθη ἐξορίσωμεν τῆς ἡμετέρας. κἂν ἐπιθυμία ἄτοπος ἐνοχλῇ, ταύτην φυγαδεύωμεν· κἂν θυμὸς πρὸς ὀργὴν διεγείρῃ, καταστέλλωμεν τὴν φλεγμονὴν τῇ ᾠδῇ τῶν πνευματικῶν παραινέσεων, δεικνύντες τοῦ πάθους ″ τὸν ὄλεθρον. Ἀνὴρ γάρ, φησι, θυμώδης, οὐκ εὐσχήμων. Παροιμια. κθ. καὶ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. Ματθ. ε. κϐ. κἂν χρημάτων ἐπιθυμία ταράσσῃ τὸν λογισμόν, φεύγειν σπουδάζωμεν τὴν ὀλεθρίαν ταύτην λύμην, καὶ καθάπερ ῥίζαν τῶν κακῶν ἁπάντων ἐκτέμνωμεν. καὶ ἕκαστον δὲ τῶν ἐνοχλούντων ἡμῖν παθῶν διορθοῦν σπουδάζωμεν, ἵνα καὶ τῶν βλαβερῶν ἀπεχόμενοι, καὶ τὰς ἀγαθὰς πράξεις μεταδιώκοντες, δυνηθῶμεν κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. κθ. ΚΑΙ ΗΡΞΑΤΟ ΝΩΕ ΑΝΘΡΩΠΟΣ ΓΕΩΡΓΟΣ γῆς. καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Πρὸς τὸ τέλος λοιπὸν ἐφθάσαμεν τῆς κατὰ τὸν δίκαιον ὑποθέσεως, διὸ παρακαλῶ, συντείνατέ μοι τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς λεγομένοις. οὐδὲ γὰρ μικρά, οὐδὲ τὰ τυχόντα ἔστι καρπώσασθαι καὶ ἐκ τῶν σήμερον ἀνεγνωσμένων. τὰ γὰρ τοῖς * παλαιοῖς συμβεβηκότα, εἰ βουλοίμεθα ″ νήφειν, μεγίστης ἡμῖν διδασκαλίας ὑπόθεσις ″ γίνεται. διὰ γὰρ τοῦτο οὐ μόνον τὰ κατορθώματα τῶν ἁγίων γέγραπται, ἀλλὰ καὶ τὰ ἁμαρτήματα, ἵνα τὰ μὲν φεύγωμεν, τὰ δὲ ζηλώσωμεν· καὶ οὐ τοῦτο * μόνον, ἀλλὰ δείκνυσι καὶ ἡ θεία γραφὴ καὶ δικαίους πολλάκις σφαλέντας, καὶ ἁμαρτωλοὺς πολλὴν μεταβολὴν ἐπιδειξαμένους, ἵνα ἑκατέρωθεν ἀρκοῦσαν δεξώμεθα τὴν ἀσφάλειαν, καὶ μήτε ὁ ἑστὼς θαρρῇ ὁρῶν καὶ δικαίους καταπεσόντας, μήτε ὁ ἐν ἁμαρτήμασιν ὢν ἀπαγορεύῃ, ἰδὼν * πολλοὺς ἀνενεγκόντας καὶ πρὸς αὐτὴν τὴν ἄκραν κορυφὴν φθάσαι δυνηθέντας. μηδεὶς τοίνυν, παρακαλῶ, κἂν πολλὰ κατορθώματα ἑαυτῷ συνειδὼς ᾖ, θαρρείτω, ἀλλ' ἐναγώνιος ἔστω, καὶ ἀκουέτω τοῦ μακαρίου Παύλου λέγοντος καὶ παραινοῦντος, Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω α. Κορ. ι. ιβ.

μὴ πέσῃ· μήτε ὁ πρὸς αὐτὸν τὸν πυθμένα τῆς κακίας κατελθὼν ἀπελπιζέτω ἑαυτοῦ τὴν σωτηρίαν, ἀλλ' ἐννοῶν τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν ἀκουέτω πάλιν τοῦ θεοῦ διὰ τοῦ προφήτου λέγοντος· Ἱερ. η. δ. Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; Ἰεζ. η. κγ. καὶ πάλιν, Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Εἶδες, ἀγαπητέ, πῶς ἕκαστον τῶν ἐν τῇ θείᾳ γραφῇ ἐγγεγραμμένων δι' οὐδὲν ἕτερον μνήμῃ παρεδόθη, ἀλλ' ἢ διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν καὶ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους. Ταῦτα δὴ λογιζόμενοι ἕκαστος ἡμῶν τὰ κατάλληλα φάρμακα ἐντεῦθεν ἑαυτῷ ἐπιτιθέτω. διὰ γὰρ τοῦτο πᾶσιν ἐπ' ἀδείας πρόκειται, καὶ ἔξεστι τῷ βουλομένῳ τὸ ἁρμόδιον τῷ ἐνοχλοῦντι πάθει φάρμακον ἐπιτιθέναι, καὶ ταχέως τὴν ὑγίειαν δέξασθαι, μόνον ἐὰν μὴ ἀποσείσηταί τις τὴν ἀπὸ τῆς ἰατρείας θεραπείαν, ἀλλὰ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται. οὐδὲν γάρ ἐστι τῶν τὴν ἀνθρωπίνην φύσιν συνεχόντων οὔτε ψυχικὸν οὔτε σωματικὸν πάθος, ὃ μὴ τὴν ἐντεῦθεν ἰατρείαν δέξασθαι δύναται. τί γάρ, εἰπέ μοι; εἰσέρχεταί τις ἐνταῦθα λύπῃ καὶ πραγμάτων περιστάσει πιεζόμενος, καὶ διὰ τοῦτο καταχώννυται τῇ ἀθυμίᾳ; εἰσελθὼν καὶ εὐθέως ἀκούσας χ. τίποτ Ψαλ. μα. ζ. τοῦ προφήτου λέγοντος· Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ θεός μου· ἱκανὴν λαβὼν παραμυθίαν ἄπεισι, πᾶσαν ἐκείνην τὴν ἀθυμίαν ἀποσεισάμενος. ἕτερος πάλιν πενίᾳ πιεζόμενος ἐσχάτῃ δυσχεραίνει, καὶ ἀλύει ὁρῶν ἑτέρους πλούτῳ περιρρεομένους, καὶ μέγα φυσῶντας, καὶ πολλὴν τὴν φαντασίαν περιβεβλημένους. ἀκούει χ. μεγάλα Ψαλ. ιδ. κβ. καὶ οὗτος πάλιν τοῦ αὐτοῦ προφήτου λέγοντος· Ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, Ψαλ. μη. ιζ. καὶ αὐτός σε διαθρέψει. καὶ πάλιν, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. ἕτερος πάλιν ἐπιβουλὰς καὶ συκοφαντίας ὑπομένων δυσχεραίνει καὶ ἀβίωτον ἡγεῖται τὸν βίον, οὐδαμόθεν ἀνθρωπίνην βοήθειαν εὑρεῖν δυνάμενος. διδάσκεται δὲ καὶ οὗτος ὑπὸ τοῦ μακαρίου τούτου προφήτου ἐν ταῖς τοιαύταις περιστάσεσι μὴ ἐπ' ἀνθρωπίνην συμ- Ψαλ. ρη. γ. μαχίαν καταφεύγειν. ἀκούει γὰρ αὐτοῦ λέγοντος, Αὐτοὶ ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Εἶδες ὅθεν τὴν συμμαχίαν ἐπιζητεῖ. ἕτεροι, φησί, δόλους ῥάπτουσι καὶ συκοφαντίας καὶ ἐπιβουλάς· ἐγὼ δὲ ἐπὶ τὸ τεῖχος τὸ ἀκαταμάχητον καταφεύγω, ἐπὶ τὴν ἄγκυραν τὴν ἀσφαλῆ, ἐπὶ τὸν λιμένα τὸν ἀκύμαντον, ἐπὶ τὴν εὐχήν, δι' ἧς πάντα μοι τὰ δυσχερῆ, κοῦφα καὶ ῥᾴδια γίνεται. ἕτερος πάλιν ὑπὸ τῶν πρότερον θεραπευόντων καταφρονεῖται καὶ περιορᾶται, καὶ ὑπὸ τῶν φίλων καταλιμπάνεται, καὶ τοῦτο αὐτοῦ μάλιστα συγχεῖ καὶ ταράσσει τὸν λογισμόν. ἀλλὰ καὶ οὗτος, εἰ βουληθείη, ἐνταῦθα πα- Ψαλ. λζ. ια. ραγενόμενος ἀκούσει τοῦ μακαρίου τούτου λέγοντος· Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μου ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Εἶδες μέχρις αὐτοῦ τοῦ θανάτου τὰς ἐπιβουλὰς ῥάπτοντας, καὶ διηνεκῆ τὸν πόλεμον ἐπιδεικνυμένους. τὸ γάρ, ὅλην τὴν ἡμέραν, τοῦτο δηλοῖ, ὅτι διὰ πάσης τῆς ζωῆς. τί οὖν αὐτὸς ἐκείνων ταῦτα ἐπιβουλευόντων καὶ κατασκευαζόντων ἔπραττεν; ἐγὼ δέ, φησίν, ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Εἶδες φιλοσοφίας ὑπερβολήν, πῶς διὰ τῶν ἐναντίων ὁδῶν οὗτος περιεγίνετο. ἐκεῖνοι δόλους ἔρραπτον, αὐτὸς καὶ τὰς ἀκοὰς ἔφραττεν ὡς μηδὲ ἀκούειν· ἐκεῖνοι πάντα τὸν χρόνον οὐκ ἐπαύοντο καὶ τὴν γλῶτταν ἀκονοῦντες, καὶ ματαιότητας

Ψαλ. λζ. 15.

καὶ ἀθλιότητας φθεγγόμενοι· οὗτος δὲ τῇ σιγῇ τὴν μανίαν ἐκείνων κατέστελλε. καὶ τίνος ἕνεκεν οὕτως ἑαυτὸν διετίθει καίτοι ἐκείνων ταῦτα κατασκευαζόντων, καὶ ὡσεὶ κωφὸς καὶ ἄλαλος καὶ μήτε ἀκοὰς ἔχων μήτε γλῶτταν οὕτω διέκειτο; ἄκουε αὐτοῦ λέγοντος τὴν αἰτίαν τῆς τοιαύτης φιλοσοφίας· Ὅτι ἐπὶ σοὶ ἤλπισα κύριε. ἐπειδὴ ἐμαυτὸν ἐξήρτησα, φησί, τῆς εἰς σὲ ἐλπίδος, οὐδείς μοι λόγος τῶν παρὰ τούτων γινομένων. ἡ γὰρ σὴ ῥοπὴ ἱκανὴ πάντα διασκεδάσαι, καὶ ἀκύρους αὐτῶν ποιῆσαι καὶ τὰς ἐπιβουλὰς καὶ τὰς μηχανάς, καὶ μηδὲν ἀφεῖναι τῶν ὑπ᾽ αὐτῶν κατασκευαζομένων εἰς ἔργον ἐλθεῖν. ἴδετε πῶς δυνατὸν ἑκάστης συμφορᾶς τῆς συνεχούσης τὴν ἀνθρωπίνην φύσιν κατάλληλον ἐντεῦθεν φάρμακον λαβόντα ἀπελθεῖν, καὶ πᾶσαν ἀπώσασθαι ἀθυμίαν βιωτικήν, καὶ ὑπὸ μηδενὸς συστέλλεσθαι τῶν συμπιπτόντων. διὰ τοῦτο παρακαλῶ καὶ συνεχῶς ἐνταῦθα βαδίζειν, καὶ μετὰ ἀκριβείας προσέχειν τῇ τῶν θείων γραφῶν ἀναγνώσει, μὴ μόνον ἐπειδὰν ἐνταῦθα παραγίνεσθε, ἀλλὰ καὶ οἴκαδε μετὰ χεῖρας λαμβάνειν τὰ θεῖα βιβλία, καὶ μετ᾽ ἐπιμελείας δέχεσθαι τὴν ἐγκειμένην ὠφέλειαν. πολὺ γὰρ τὸ ἐντεῦθεν τικτόμενον κέρδος· πρῶτον μὲν αὐτὸ τοῦτο, τὴν γλῶτταν ἀναπλάττεσθαι ποιεῖ διὰ τῆς ἀναγνώσεως. ἔπειτα, καὶ ἡ ψυχὴ πτεροῦται καὶ μετάρσιος γίνεται, τῷ φωτὶ τοῦ τῆς δικαιοσύνης ἡλίου καταυγαζομένη, κατ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν τῆς τῶν πονηρῶν λογισμῶν λύμης ἀπαλλαττομένη, καὶ γαλήνης ἀπολαύουσα πολλῆς καὶ ἡσυχίας. καὶ ὅπερ ἡ σωματικὴ τροφὴ πρὸς τὴν σύστασιν τῆς ἡμετέρας ἰσχύος, τοῦτο ἡ ἀνάγνωσις τῇ ψυχῇ γίνεται. τροφὴ γάρ ἐστι πνευματική, καὶ νευροῖ τὸν λογισμόν, καὶ ἰσχυρὰν ἐργάζεται τὴν ψυχὴν καὶ εὐτονωτέραν καὶ φιλοσοφωτέραν, οὐκ ἀφιεῖσα λοιπὸν ἁλίσκεσθαι τοῖς ἀλόγοις πάθεσιν, ἀλλὰ καὶ κοῦφον αὐτῇ τὸ πτερὸν ἐργαζομένη, καὶ πρὸς αὐτόν, ὡς εἰπεῖν, τὸν οὐρανὸν μεθιστῶσα. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, τοῦ τοσούτου κέρδους, ἀλλὰ καὶ ἐπὶ οἰκίας σπουδάζωμεν τῇ ἀναγνώσει τῶν θείων προσέχειν γραφῶν, καὶ ἐνταῦθα παραγινόμενοι μὴ εἰς φλυαρίας καὶ ἀνονήτους ὁμιλίας τὸν καιρὸν καταδαπανῶμεν, ἀλλὰ δι᾽ ὃ παραγεγόναμεν, οὕτω συντείνωμεν ἑαυτούς, καὶ προσέχωμεν τοῖς ἀναγινωσκομένοις, ἵνα καρπωσάμενοί τι πλέον οὕτως ἐντεῦθεν ἐξέλθητε. εἰ δὲ μέλλοιτε εἰσελθόντες ἐνταῦθα πάλιν εἰς ὁμιλίας ἀκαίρους καὶ ἀνωφελεῖς τὸν καιρὸν καταναλίσκειν, καὶ μηδὲν πλέον εἰς ὠφέλειαν λόγων δεξάμενοι ἐπανιέναι, τί τὸ ὄφελος; πῶς γὰρ οὐκ ἄτοπον, εἰς μὲν πανήγυριν βιωτικὴν ἀπιόντας σπουδάζειν πάντα τὰ ἐκ τῆς πανηγύρεως λαβόντας ἐπανελθεῖν οἴκαδε, καὶ ταῦτα χρήματα κατατιθέντας· ἐνταῦθα δὲ εἰς τὴν πανήγυριν ταύτην τὴν πνευματικὴν ἐρχομένους, μὴ πᾶσαν ποιεῖσθαι σπουδὴν λαβόντας τι τῶν χρησίμων, καὶ εἰς τὴν ψυχὴν ἐναποθεμένους οὕτως ἐπανιέναι, καὶ μάλιστα ὅτε οὐδὲ χρημάτων δαπάνην ἐργάσασθαι δεῖ, ἀλλὰ προθυμίαν μόνον εἰσενεγκεῖν, καὶ γνώμην συντεταμένην; ἵνα οὖν μὴ χείρους γινώμεθα τῶν ταῖς βιωτικαῖς πανηγύρεσιν ἐμβαλλόντων, σπουδάζωμεν πολλὴν ἐπιδείκνυσθαι τὴν φροντίδα καὶ τὴν ἀγρυπνίαν, ἵν᾽ ἔχωμεν ἐντεῦθεν ἐξελθόντες ἐφόδια, ὥστε μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις ἐπιχορηγεῖν, καὶ δύνασθαι καὶ τὴν γυναῖκα διορθοῦν, καὶ τοὺς οἰκέτας καὶ τοὺς γείτονας καὶ τὸν φίλον καὶ τὸν ἐχθρὸν αὐτόν. τοιαῦτα γὰρ τὰ πνευματικὰ διδάγματα, ὡς κοινὰ πᾶσι προκεῖσθαι, καὶ μηδεμίαν εἶναι ἐν αὐτοῖς διαφοράν, πλὴν εἰ μή πού τις γνώμην συντεταμένην εἰσενέγκας καὶ προθυμίαν ζέουσαν ὑπερηκόντισε τὸν πλησίον. ἐπεὶ οὖν καὶ τῶν ἐνταῦθα διδαγμάτων τοσοῦτον τὸ κέρδος, φέρε, σήμερον τὰ ἀναγνωσθέντα εἰς μέσον προθῶμεν, καὶ τὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν.

…παύτης
…σαι

…τῆ ἡ
…ματα χαλι-
…γνεῖται
…τῆς ἀναγ-

…τὶ χρὴ τὴν
…γνωσιν τῶν
…ίων γραφῶν,

…καίρους ἀλί-
…

20 Καὶ ἤρξατο, φησί, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα,
21 Καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Σκόπει πόσης ἡμῖν ὠφελείας ὑπόθεσις γίνεται αὐτὸ τῆς ἀναγνώσεως τὸ προοίμιον. ὅταν γὰρ ἀκούσωμεν, ὅτι ὁ δίκαιος, ὁ τέλειος, ὁ τὴν ἄνωθεν μαρτυρίαν δεξάμενος ἔπιε καὶ ἐμεθύσθη, πῶς ἡμεῖς λοιπὸν οἱ τοσούτοις καὶ ἑτέροις ἁμαρτήμασι καταβεβαπτισμένοι οὐχὶ μετὰ πολλοῦ τοῦ ″τόνου σπουδάσομεν φυγεῖν τὴν ἐκ τῆς μέθης λύμην; καί τοι γε οὐχ ὅμοιόν ἐστι τὸ ″τὸν δίκαιον τοῦτον ἁλῶναι τῷ πάθει, καὶ ἡμᾶς τῷ αὐτῷ περιπεσεῖν. πολλὰ γάρ ἐστιν, ἃ τὸν δίκαιον τοῦτον συγγνώμης ἄξιον ἀποφαίνει. καὶ ταῦτα λέγω οὐ τὸν ὑπὲρ τῆς μέθης λόγον ποιούμενος, ἀλλὰ δεικνὺς ὅτι οὐκ ἐξ ἀκρασίας ὁ δίκαιος ὑπεσκελίσθη, ἀλλ' ὑπὸ ἀγνοίας μᾶλλον. καὶ ὅτι οὐχ ἁπλῶς εὗρε τὴν ″οἰνοποσίαν, ἄκουε αὐτῆς τῆς γραφῆς λεγούσης καὶ τὴν ἀπολογίαν ποιουμένης, δι' ὧν φθέγγεται· καὶ ἤρξατο, φησί, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. αὐτὸ τοῦτο τὸ εἰπεῖν, ἤρξατο, δείκνυσιν ὅτι αὐτὸς τὴν ἀρχὴν εὗρε τῆς οἰνοποσίας, καὶ διὰ πολλὴν ἄγνοιαν καὶ διὰ τὸ μὴ εἰδέναι τῆς μεταλήψεως τὰ μέτρα εἰς τὴν μέθην ἐξεκυλίσθη. καὶ οὐ τοῦτο μόνον ἐστίν, * ἀλλ' ὅτι καὶ ἀθυμίᾳ πολλῇ κατεχόμενος ἐβουλήθη τὴν ἐντεῦθεν παραμυθίαν ἑαυτῷ ἐπινοῆσαι, καθάπερ καί τίς φησι σοφός· Δότε οἶνον τοῖς ἐν λύπαις, καὶ μέθην τοῖς ἐν ὀδύναις, δεικνὺς ὅτι οὐδὲν οὕτως ἀθυμίας φάρμακον γενέσθαι δύναται, ὡς ἡ τούτου χρῆσις· μόνον εἰ μή που ἡ ἀμετρία λυμαίνηται τὴν ἐξ αὐτοῦ ὠφέλειαν. ὅτι δὲ ἐν λύπῃ ἦν καὶ ἀθυμίᾳ ὁ δίκαιος δῆλον· ὁρῶν ἑαυτὸν ἐν ἐρημίᾳ τοσαύτῃ, καὶ περὶ τοὺς ὀφθαλμοὺς ἐκείνῳ τὰ σώματα τῶν ἀνθρώπων ἐρριμμένα, καὶ μετὰ τῶν κτηνῶν καὶ τῶν ἀλόγων, καὶ τάφον κοινὸν ἅπασι γεγενημένον, τίς ἀντερεῖ; ἔθος γὰρ * τοῖς προφήταις καὶ τοῖς δικαίοις ἅπασι μὴ μόνον ὑπὲρ τῶν καθ' ἑαυτοὺς ἀλγεῖν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν ἀνθρώπων. καὶ εἴ τις ἐξαριθμήσασθαι βούλοιτο, εὑρήσει πάντας ταύτην τὴν συμπάθειαν ἐπιδεικνυμένους, καὶ ἀκούσει τοῦ μὲν Ἡσαΐου λέγοντος· Μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τοῦ συντρίμματος τῆς θυγατρὸς τοῦ γένους μου· τοῦ δὲ Ἱερεμίου, Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ″ὀφθαλμοῖς μου πηγὴν δακρύων; τοῦ δὲ Ἰεζεκιήλ, Οἴμοι κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; καὶ τοῦ Δανιὴλ θρηνοῦντος καὶ λέγοντος, ὅτι Ὀλιγοστοὺς ἡμᾶς ἐποίησας παρὰ πάντα τὰ ἔθνη· καὶ τοῦ Ἀμώς, Μετανόησον, κύριε, ἐπὶ τούτῳ· καὶ τοῦ Ἀββακούμ, Ἵνα τί ἔδειξάς μοι κόπους καὶ μόχθους; καὶ πάλιν, Καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης; καὶ τοῦ μακαρίου δὲ [αὐτοῦ] τούτου Μωϋσέως ἀκούσει λέγοντος, Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ″εἰ δὲ μή, κἀμὲ ἐξάλειψον· καὶ πάλιν ἐπαγγελλομένου τοῦ θεοῦ μείζονος ἔθνους ἡγεμονίαν αὐτῷ ἐγχειρίσαι, καὶ εἰπόντος, Ἄφες με, καὶ ἐξαλείψω τοὺς ἀνθρώπους τούτους, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, οὐδὲ τοῦτο ἑλέσθαι, ἀλλὰ τὴν προστασίαν αὐτῶν προτιμοτέραν ἡγήσασθαι. καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ μακάριος Παῦλος, ἔλεγεν· Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. ἴδετε πῶς ἕκαστος τῶν δικαίων πολλὴν τὴν συμπάθειαν περὶ τοὺς ὁμογενεῖς ἐπεδείκνυτο. ἐννοεῖτε λοιπὸν καὶ τὰ κατὰ τοῦτον τὸν δίκαιον, πόσα εἰκὸς ἦν πάσχειν, καὶ πῶς ὑπὸ τῆς ἀθυμίας κατεργάζεσθαι, ὁρῶντα καὶ τῆς τοσαύτης ἐρημίας τὴν ἐπίτασιν, καὶ αὐτὴν τὴν γῆν, τὴν πρότερον κομῶσαν τοῖς πολλοῖς ″φυτοῖς, καὶ τοῖς ἄνθεσι καλλωπιζομένην, ἀθρόον ὥσπερ ἀποκειραμένην τὴν κόμην, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον τυγχάνουσαν. ἐπεὶ οὖν τοσαύτη τῆς ἀθυμίας ἦν ἡ ἐπίτασις, μικράν τινα ἑαυτῷ παραμυθίαν ἐντεῦθεν ἐπινοῶν ἐπὶ τὴν τῆς γῆς ἐργασίαν ἑαυτὸν ἐξέδωκε. διὰ τοῦτο, φησί, καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς

Παρ. λα. ϛ.
Ἡσ. κβ. δ.
Ἱερ. θ. α.
Ἰεζ. θ. η.
Δαν. θ.
Ἀμ. ζ. γ. ϛ.
Ἀββακ. γ. ιδ.
Ἐξο. λβ. λα.
Ἐξοδ. λβ. θ.
Ρωμ. θ. γ.

ἴσ. πιέπις
γρ. σπουδάσωμεν
γρ. τούτῳ
γρ. ὀνομασίαν
* εἰπεῖν,
* ἀεὶ
γρ. βλεφάροις
γρ. ἐπεὶ κἀμὲ
γρ. φύλλοις,

γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα. Ἀλλ᾽ ἄξιον ζητῆσαι, εἰ νῦν αὐτὸς ἐξεῦρε τὸ φυτὸν, ἢ ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦν παραχθέν. εἰκὸς μὲν τοῦτο ἄνωθεν καὶ ἐξ ἀρχῆς κατὰ τὴν ἕκτην ἡμέραν δεδημιουργῆσθαι, ἡνίκα εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν (κατέπαυσε γὰρ, φησιν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε) μὴ μήν τοι γνώριμον εἶναι τοῦ φυτοῦ τὴν χρῆσιν.. εἰ γὰρ ἦν ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ φυτὸν γνώριμον γεγονὸς, ἢ ὁ ἐξ αὐτοῦ καρπὸς κατάδηλος, πάντως ἂν καὶ οἱ περὶ τὸν Ἄβελ τὰς θυσίας ἀνάγοντες καὶ οἶνον ἔσπεισαν, ἀλλ᾽ ἐπειδὴ ἠγνόουν ἔτι τοῦ καρποῦ τὴν χρῆσιν, οὐκ ἐχρήσαντο τῷ φυτῷ. οὗτος δὲ φιλότεχνος ὢν περὶ τὴν γεωργίαν, καὶ πολλῇ τῇ ἐπιμελείᾳ χρησάμενος, ἴσως καὶ τοῦ καρποῦ ἐγεύσατο, καὶ τοὺς βότρυας ἀποθλίψας, καὶ τὸν οἶνον ποιήσας, μετέλαβε τῆς χρήσεως. καὶ ἐπειδὴ μήτε αὐτὸς ἐγεύσατο πρότερον, μήτε ἕτερον εἶδε μετειληφότα, οὐκ εἰδὼς πόσῳ δεῖ χρήσασθαι μέτρῳ, οὔτε ὅπως αὐτοῦ τῆς μεταλήψεως προσήκει μετασχεῖν, ὑπ᾽ ἀγνοίας εἰς τὴν μέθην ἐξωλίσθεν. ἄλλως δὲ, ἐπειδὴ ἡ κρεωφαγία εἰσηνέχθη εἰς τὸν βίον, λοιπὸν καὶ ἡ οἰνοποσία. ὅρα δέ μοι κατὰ μικρὸν, ἀγαπητὲ, πῶς ἡ τοῦ κόσμου σύστασις οἰκονομεῖται, καὶ ἕκαστος ὑπὸ τῆς παρὰ θεοῦ σοφίας ἐγκειμένης τῇ φύσει, εὑρετὴς ἐκ προοιμίων τέχνης τινὸς γέγονε, καὶ οὕτως εἰς τὸν βίον εἰσήνεγκε τὰ τῶν τεχνῶν ἐπιτηδεύματα. ὁ γὰρ πρῶτος τὴν ἐργασίαν εὗρε τῆς γῆς, καὶ ὁ μετ᾽ αὐτὸν τὴν ποιμαντικὴν, ἕτερος τὴν κτηνοτροφίαν, καὶ ἄλλος τὴν μουσικὴν, ἕτερος τὴν χαλκευτικήν· οὕτω δὲ ὁ δίκαιος τὴν ἀμπελουργικὴν ἀπὸ τῆς ἐγκειμένης τῇ φύσει διδασκαλίας ἐπενόησε. καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. σκόπει πῶς τὸ τῆς ἀθυμίας φάρμακον, τὸ τῆς ὑγιείας ποιητικὸν, ἐπειδὴ εἰς ἀμετρίαν ὑπερέβη διὰ τὴν ἄγνοιαν, οὐ μόνον [δὲ] οὐδὲν ὠφέλησεν αὐτὸν, ἀλλὰ καὶ ἐλυμήνατο αὐτοῦ τῇ καταστάσει. ἀλλ᾽ ἴσως εἴποι τις ἂν, καὶ τίνος ἕνεκεν τοσούτων γέμον κακῶν φυτὸν εἰς τὸν βίον εἰσηνέχθη; μὴ ἁπλῶς τὰ ἐπιόντα φθέγγου, ἄνθρωπε. οὐ γὰρ τὸ φυτὸν κακὸν, οὔτε ὁ οἶνος πονηρὸν, ἀλλ᾽ ἡ παρὰ τὸ δέον χρῆσις. ὅτι γὰρ οὐ παρὰ τὸν οἶνον τὰ ἁμαρτήματα τὰ ὀλέθρια τίκτεται, ἀλλὰ παρὰ τὴν διεφθαρμένην γνώμην, καὶ τῷ τῇ ἀμετρίᾳ λυμαίνεσθαι τὴν ἐκ τούτου ἐγγινομένην ὠφέλειαν, διὰ τοῦτο νῦν μετὰ τὸν κατακλυσμὸν δείκνυσί σοι τοῦ οἴνου τὴν χρῆσιν, ἵνα μάθῃς ὅτι καὶ πρὸ τῆς τοῦ οἴνου χρήσεως, καὶ εἰς ἀσέλγειαν ὑπερβάλλουσαν ἐξώκειλεν ἡ τῶν ἀνθρώπων φύσις, καὶ πολλὴν τῶν ἁμαρτημάτων τὴν ἐπίτασιν ἐπεδείξατο· καὶ ταῦτα οἴνου μηδαμοῦ φαινομένου, ἵνα καὶ ὅταν ἴδῃς τὴν τοῦ οἴνου χρῆσιν, μὴ τῷ οἴνῳ τὸ πᾶν λογίσῃ, ἀλλὰ τῇ προαιρέσει τῇ διεφθαρμένῃ καὶ πρὸς τὴν κακίαν αὐτομολησάσῃ. ἄλλως δὲ, καὶ ἐννόησον ποῦ χρήσιμος γέγονεν ὁ οἶνος, καὶ φρίξον, ἄνθρωπε. ἡ γὰρ ὑπόθεσις τῆς σωτηρίας ἡμῶν τῶν ἀγαθῶν διὰ τούτου τελεῖται. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. καὶ ἤρξατο Νῶε, φησιν, ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

Δεινὸν γὰρ, δεινὸν, ἀγαπητὲ, ἡ μέθη, καὶ ἱκανὴ πηρῶσαι τὰς αἰσθήσεις, καὶ καταβαπτίσαι τὸν λογισμόν. τὸν γὰρ λογικὸν ἄνθρωπον, καὶ τὴν κατὰ πάντων ἀρχὴν ἀναδεδεγμένον, καθάπερ νεκρὸν καὶ ἀνενέργητον, δεσμοῖς τισιν ἀλύτοις πεδήσασα κεῖσθαι παρασκευάζει· μᾶλλον δὲ καὶ νεκροῦ χεῖρον. ὁ μὲν γὰρ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος τυγχάνει· οὗτος δὲ πρὸς μὲν τὰ καλὰ ἀνενέργητος, πρὸς δὲ τὰ κακὰ μᾶλλον ἐνεργεῖ, καὶ κοινὸς πᾶσι γέλως πρόκειται, καὶ τῇ γυναικὶ, καὶ τοῖς παιδίοις, καὶ αὐτοῖς τοῖς οἰκέταις. οἱ μὲν γὰρ φίλοι οἰκείαν τὴν αἰσχύνην λογιζόμενοι ἐγκαλύπτονται

πτονται

πονται καὶ αἰσχύνονται, οἱ δὲ ἐχθροὶ ἐφήδονται καὶ κωμῳδοῦσι καὶ ἐπιτωθῶνται, μονονουχὶ ταῦτα λέγοντες τὰ ῥήματα· τοῦτον δεῖ ὅλως ζῆν, τοῦτον δεῖ ἀναπνεῖν τὸν ἀέρα; τὸ βόσκημα, τὸν χοῖρον, καὶ ἔτι τούτων χαλεπώτερα φθειρόμενοι. τῶν γὰρ ἀπὸ τῶν πολέμων ἐπανελθόντων, καὶ τὰς χεῖρας ᾑμαγμένας ἐχόντων, καὶ φοράδην ἀγομένων χεῖρον οὗτοι διάκεινται. ἐκείνους μὲν γὰρ ἴσως καὶ ἐγκωμιάζουσιν οἱ πολλοὶ διὰ τὰ τρόπαια, διὰ τὰς νίκας, διὰ τὰ τραύματα καὶ τὰς σφαγάς· τούτους δὲ ταλανίζουσιν, ἀθλίους ἀποκαλοῦσι, μυρία αὐτοῖς ἐπαρῶνται κακά. τί γὰρ ἂν εἴη ἀθλιώτερον τοῦ τῇ μέθῃ προσηλωμένου, καὶ καθ' ἑκάστην ἡμέραν τὸν ἄκρατον ἐκχεομένου, καὶ τὸν λογισμὸν τὸ κριτήριον διαφθείροντος; διὰ τοῦτο καὶ σοφός τις παραινεῖ λέγων· Ἀρχὴ ζωῆς ἀνθρώπου ἄρτος, καὶ ὕδωρ, καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων ἀσχημοσύνην, ἵνα κἂν ἁλῷ τις ὑπὸ τῆς μέθης, μὴ ἐκπομπεύηται, μηδὲ δημοσιεύηται, ἀλλὰ καὶ ὑπὸ τῶν οἰκείων περιστέλληται, καὶ μὴ προκέηται πᾶσι γέλωτος καὶ ἀσχημοσύνης ὑπόθεσις. καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. τὸ τῆς μέθης ὄνομα, ἀγαπητέ, ἐπὶ τῆς ἁγίας γραφῆς οὐ πανταχοῦ ἐπὶ τούτου εἴρηται, ἀλλὰ καὶ ἐπὶ πλησμονῆς. τοῦτο οὖν ἄν τις εἴποι περὶ τοῦ δικαίου τούτου, ὅτι οὐ δι' ἀκρασίαν εἰς τὴν μέθην κατέπεσεν, ἀλλ' ἡ πλησμονὴ τοῦτο αὐτῷ εἰργάσατο. ἄκουε γὰρ τοῦ Δαβὶδ λέγοντος, Μεθυσθήσονται ἀπὸ τῆς πιότητος τοῦ οἴκου σου, ἀντὶ τοῦ πλησθήσονται. ἄλλως δὲ οἱ τῇ μέθῃ ἑαυτοὺς ἐκδιδόντες οὐδέποτε κόρον λαμβάνουσιν, ἀλλ' ὅσῳ ἂν ἐγχέωσιν ἑαυτοῖς τὸν ἄκρατον, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται, καὶ ἡ μετάληψις ἀεὶ ὑπέκκαυμα γίνεται τοῦ δίψους. καὶ τὰ μὲν τῆς ἡδονῆς ἠμαύρωται λοιπόν, τὸ δὲ δίψος ἀκατάπαυστον γεγονὸς εἰς αὐτὸν τὸν κρημνὸν τῆς μέθης κατάγει τοὺς ὑπ' αὐτῆς αἰχμαλώτους γεγενημένους. καὶ ἐφύτευσε, φησιν, ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. ὅρα αὐτὸν οὐκ ἔξω που τοῦτο πάσχοντα, ἀλλ' ἐν τῷ οἴκῳ αὐτοῦ. διὰ γὰρ τοῦτο ἐπεσημήνατο ἡ θεία γραφὴ ὅτι ἐν τῷ οἴκῳ αὐτοῦ, ἵνα ἐκ τῶν ἐπαγομένων τὴν ἐπίτασιν ἴδῃς τῆς πονηρίας τοῦ τὴν γύμνωσιν ἐκπομπεύσαντος.

γρ. ζ.
γρ. ζ.
ἴσ. ἐγχεομέ-
νου,
Σειρ. κθ. κα.
Ψαλ. λε. θ.

22 Καὶ εἶδε, φησι, Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω.

Τάχα εἰ καί τινες ἕτεροι ἦσαν, κἀκείνοις ἂν ἐμήνυσε τὴν τοῦ πατρὸς ἀσχημοσύνην. τοσαύτη ἦν τοῦ παιδὸς ἡ μοχθηρία. διὰ γὰρ τοῦτο, ἵνα μάθῃς ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς διεφθαρμένος ἦν τὴν γνώμην, οὐχ ἁπλῶς εἶπεν ἡ γραφή, ὅτι εἶδε Χὰμ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ τί; καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναάν. τίνος ἕνεκεν, εἰπέ μοι, καὶ ἐνταῦθα τοῦ υἱοῦ λέγει τὴν προσηγορίαν; ἵνα μάθῃς ὅτι ἀκρατής τις ἦν καὶ ἀκόλαστος, καὶ ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς ἐν τοσαύτῃ καταστάσει παιδοποιεῖν ἠνέσχετο, ἀπὸ τῆς αὐτῆς καὶ νῦν εἰς τὸν γεγεννηκότα ἐξύβρισε. καὶ ἐξελθών, φησιν, ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. ὅρα μοι ἐνταῦθα, ἀγαπητέ, πῶς οὐκ ἐν τῇ φύσει τὰ τῆς κακίας ἔγκειται, ἀλλ' ἐν τῇ γνώμῃ καὶ ἐν τῇ προαιρέσει. ἰδοὺ γάρ, ἀμφότεροι τῆς αὐτῆς φύσεως, καὶ ἀδελφοί, τὸν αὐτὸν ἔσχον πατέρα, τῶν αὐτῶν ἀπήλαυσαν ὠδίνων, τῆς αὐτῆς ἐπιμελείας ἔτυχον, ἀλλ' οὐ τὴν αὐτὴν προαίρεσιν ἐπεδείξαντο· ἀλλ' ὁ μὲν πρὸς τὴν κακίαν ἐξώλισθεν, οἱ δὲ τὴν ὀφειλομένην τῷ πατρὶ τιμὴν ἀπένειμαν. ἴσως δὲ καὶ ἐπεμβαίνων τῇ τοῦ πατρὸς ἀσχημοσύνῃ καὶ κωμῳδῶν, τὸ γεγονὸς ἐξήγγειλε, καὶ οὐκ ἤκουσε σοφοῦ τινος λέγοντος· Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου. ἀλλ' οἱ ἀδελφοὶ οὐχ οὕτως. ἀλλὰ τί; ταῦτα ἀκούσαντες,

γρ. ἀκαστασ
γρ. ἔχοντες
Σειρ. γ. ι.

Λαβόντες

23 Λαβόντες, φησί, Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς, καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν. καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

Εἶδες εὐγνωμοσύνην παίδων· ὁ μὲν καὶ ἐξεπόμπευσεν, οὗτοι δὲ οὐδὲ ἰδεῖν ἀνέχονται, ἀλλ' ὀπισθοφανῶς βαδίζουσιν, ἵνα μὴ ὀρθῶς βαδίσαντες συγκαλύψωσι τοῦ πατρὸς τὴν γύμνωσιν. καὶ ὅρα αὐτῶν μετὰ τῆς πολλῆς εὐγνωμοσύνης καὶ τὴν ἐπιείκειαν. οὔτε γὰρ ἐπιτιμῶσιν οὔτε ἐπιπλήττουσι τῷ ἀδελφῷ, ἀλλ' ἀκούσαντες, ἑνὸς μόνου γίνονται, τοῦ τὴν διόρθωσιν ταχεῖαν ποιήσασθαι, καὶ τὰ εἰς τιμὴν τοῦ γεγεννηκότος συντείνοντα ἐπιδείξασθαι. καὶ τὸ πρόσωπον αὐτῶν, φησιν, ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. πολλὴ τῶν παίδων ἡ εὐλάβεια. καὶ ταύτην ἡμῖν δείκνυσιν οὐ τὸ σκεπάσαι μόνον, ἀλλὰ καὶ μὴ τὸ ἀνέχεσθαι ἰδεῖν, παιδευθῶμεν τοίνυν καὶ ἐντεῦθεν, καὶ ἐξ ἀμφοτέρων κερδαίνωμεν, καὶ τούτους μὲν μιμώμεθα, ἐκείνου δὲ τὸν ζῆλον φεύγωμεν. εἰ γὰρ γύμνωσιν αἰσθητὴν ὁ ἐκπομπεύσας, κατάρας ἑαυτὸν ὑπεύθυνον κατέστησε, καὶ τῆς ὁμοτιμίας τῶν ἀδελφῶν ἐκπεσὼν δουλεύειν αὐτοῖς κατεδικάσθη, εἰ καὶ μὴ αὐτὸς ἐκεῖνος, ἀλλ' οἱ ἐξ αὐτοῦ φύντες, τί πείσονται οἱ τὰ ἁμαρτήματα τῶν ἀδελφῶν ἐκπομπεύοντες, καὶ οὐ μόνον οὐ παραστέλλοντες, ἀλλὰ καὶ μειζόνως αὐτὰ ποιοῦντες κατάδηλα, καὶ πολλὰ ἐκ τούτου ἐργαζόμενοι τὰ ἁμαρτήματα; ὅταν γὰρ δημοσιεύσῃς τοῦ ἀδελφοῦ τὸ πταῖσμα, οὐ μόνον ἐκεῖνον ἀναισχυντότερον καὶ ὀκνηρότερον εἰργάσω ἴσως πρὸς τὴν ἐπάνοδον τῆς ἀρετῆς, ἀλλὰ καὶ τὸν ἀκούοντα ῥαθυμότερον κατέστησας, καὶ πρὸς ἀπόνοιαν ἤλειψας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ βλασφημεῖσθαι τὸν θεὸν παρεσκεύασας. τοῦτο δὲ ὅσην προξενεῖ τὴν κόλασιν τοῖς τὴν αἰτίαν παρέχουσιν, οὐδεὶς ἀγνοεῖ. φύγωμεν τοίνυν, παρακαλῶ, τοῦ Χὰμ τὸν ζῆλον, μιμησώμεθα δὲ τῶν εὐγνωμόνων τούτων παίδων τὴν αἰδῶ, ἣν περὶ τὴν γύμνωσιν τοῦ πατρὸς ἐπεδείξαντο· καὶ οὕτω τὰ τῶν ἀδελφῶν συσκιάζωμεν ἁμαρτήματα, οὐχ ἵνα εἰς ῥαθυμίαν αὐτοὺς παιδοτριβήσωμεν, ἀλλ' ἵνα ταύτῃ μάλιστα πλείονα αὐτοῖς ἀφορμὴν παράσχωμεν τοῦ ταχέως τῆς λύμης ἐκείνης ἀπαλλαγῆναι, καὶ πρὸς τὸν τῆς ἀρετῆς δρόμον ἐπανελθεῖν. ὥσπερ γὰρ τὸ μὴ πολλοὺς ἔχειν μάρτυρας τῶν οἰκείων πλημμελημάτων, εὐκολωτέραν κατασκευάζει τῷ νήφοντι τὴν ἐπάνοδον· οὕτως ἐπειδὰν ἀπερυθριάσῃ ψυχή, καὶ ἴδῃ, ὅτι οὐδένα λέληθε τὰ πονηρὰ διαπραττομένη, οὐκ εὐκόλως ἀποστῆναι ἀνέχεται, ἀλλὰ καθάπερ εἰς ὕλην τινὰ καὶ βυθὸν ἐμπεσοῦσα, καὶ ὑπὸ μυρίων κυμάτων κάτω παρελκομένη δυσκόλως ἂν ἀνανεῦσαι δυνήσεται, εἰς ἀπόγνωσιν λοιπὸν ἐμπεσοῦσα καὶ πρὸς τὴν ἐπάνοδον ἀπαγορεύσασα. διὰ τοῦτο παρακαλῶ, μήτε ἐκπομπεύωμεν τὰ τῶν πλησίον σφάλματα, καὶ ἐπειδὰν παρ' ἑτέρων ταῦτα μάθωμεν, μὴ ἐπειγώμεθα ὥστε τὴν γύμνωσιν ἰδεῖν· ἀλλὰ καθάπερ οὗτοι οἱ εὐγνώμονες παῖδες, συγκαλύπτωμεν, συσκιάζωμεν, τῇ παραινέσει, ταῖς συμβουλαῖς καταπεπτωκυῖαν τὴν ψυχὴν ἀνορθοῦν σπουδάζωμεν, τῆς φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος διδάσκοντες, τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολήν, τῆς εὐσπλαγχνίας τὸ ἄμετρον· ἵνα μείζονος, ἤπερ οὗτοι, εὐλογίας ἀπολαύσωμεν παρὰ τοῦ τῶν ὅλων θεοῦ, τοῦ βουλομένου Πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, Τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καὶ τὴν γύμνωσιν, φησι, τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. ὅρα πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα ἐν τῷ νόμῳ τῷ γραπτῷ πρὸς διδασκαλίαν τοῦ τῶν ἀνθρώπων γένους νενομοθετημένα προλαβόντες ἀπὸ τοῦ ἐν τῇ φύσει κειμένου νόμου ἐπλήρουν, καὶ ὅπερ ὁ νόμος ἔλεγε (τίμα τὸν πατέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω)

α. Τιμ. β. δ.
Ιεζ. ιη. κγ.

τοῦτο ἤδη διὰ τῶν ἔργων ἐπληροῦτο. εἶδες πῶς παραλαβοῦσα ἡ φύσις ἀρκοῦσαν εἶχε διδασκαλίαν.

24 Ἐξένηψε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

Ἐξένηψε δέ, φησιν. ἀκουέτωσαν οἱ ἐν τοῖς συμποσίοις διημερεύοντες τοῦ ὀλέθρου τὸ μέγεθος, καὶ φευγέτωσαν τὴν ἐκ τῆς μέθης" λύμην. ἐξένηψε δέ, φησιν. τί ἐστιν ἐξένηψεν; ὅπερ ἡμῖν ἔθος περὶ τῶν μεμηνότων λέγειν, ἐπειδὰν ἐν ἐκστάσει γένωνται, ὅτι ὁ δεῖνα ἐξένηψεν ἀπὸ τοῦ δαίμονος καὶ ἀπηλλάγη τῆς ἐκείνου τυραννίδος, τοῦτο καὶ ἐνταῦθα ἔφησεν ἡ γραφή. ἀληθῶς γὰρ ἡ μέθη αὐθαίρετός ἐστι δαίμων, καὶ χαλεπώτερον ἐκείνου σκοτοῖ τὸν λογισμόν, καὶ πάσης" εὐγνωμοσύνης ἀποστερεῖ τὸν ἁλόντα. τὸν μὲν γὰρ δαιμονιῶντα πολλάκις ὁρῶντες καὶ ἐλεοῦμεν καὶ συναλγοῦμεν καὶ πολλὴν περὶ αὐτὸν τὴν συμπάθειαν ἐπιδεικνύμεθα· ἐπὶ δὲ τοῦ μεθύσου τὸ ἐναντίον ἐργαζόμεθα. ἀγανακτοῦμεν, δυσχεραίνομεν, μυρία ἐπαρώμεθα. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ἐκεῖνος μὲν ὑπὸ τοῦ πονηροῦ δαίμονος" ἐλαυνόμενος ἄκων διαπράττεται, ἅπερ ἂν διαπράξηται. κἂν λακτίσῃ, κἂν διαρρήξῃ χιτωνίσκον, κἂν αἰσχρά τινα φθέγξηται, συγγνώμης ἀξιοῦται· ὁ δὲ μεθύων, καὶ ὅπερ ἂν ἐπιδείξηται, οὐκ ἂν ἔσται συγγνώμης ἄξιος, ἀλλὰ καὶ οἰκείους, καὶ φίλους, καὶ γείτονας, καὶ πάντας ἔχει σφοδροὺς κατηγόρους, ἐπειδὴ οἴκοθεν" ἐκ προαιρέσεως τὴν κακίαν μετελήλυθε, καὶ τῇ τυραννίδι τῆς μέθης ἑαυτὸν ἐξέδωκε. καὶ ταῦτα λέγω, οὐχ ἵνα τοῦ δικαίου κατηγορήσω. πολλὰ γάρ ἐστι τὰ τὴν συγγνώμην αὐτῷ παρέχοντα· καὶ μετὰ τῶν ἄλλων ἁπάντων τὸ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, ὅπερ μέγιστον ἂν εἴη δεῖγμα καὶ τοῦ προτέρου ἁμαρτήματος, ὅτι ἐξ ἀγνοίας, ἀλλ' οὐχ ὑπὸ ῥᾳθυμίας τοῦτο ὑπέμεινεν. εἰ γὰρ ἀπὸ ῥᾳθυμίας τοῦτο ὑπέμεινεν, ἐχρῆν ἄρα καὶ πάλιν αὐτὸν ἁλῶναι τῷ πάθει. ἀλλ' οὐκέτι τοῦτο πέπονθεν. εἰ γὰρ καὶ πάλιν τὸ αὐτὸ ὑπέμεινεν, οὐκ ἂν ἡ γραφὴ παρεσιώπησεν, ἀλλ' ἐγνώρισεν ἂν ἡμῖν. εἷς γάρ ἐστι σκοπὸς καὶ εἷς ὅρος τῆς θείας γραφῆς, τὸ μηδὲν παραλιπεῖν τῶν γεγονότων, ἀλλὰ μετὰ ἀληθείας ἡμᾶς διδάσκειν. οὔτε γὰρ φθόνῳ τινὶ τὰς ἀρετὰς τῶν δικαίων παρατρέχει, οὔτε χάριτι πάλιν τὰ ἁμαρτήματα συσκιάζει, ἀλλ' ἅπαντα εἰς μέσον ἡμῖν προτίθησιν, ἵν' ὑπογραμμόν τινα καὶ διδασκαλίαν ἔχωμεν, καὶ ἐπειδὰν καὶ ἡμεῖς διὰ ῥᾳθυμίαν ἁλῶμέν τινι πταίσματι, ἀσφαλιζώμεθα μὴ πάλιν τῷ αὐτῷ περιπεσεῖν. οὐ γὰρ οὕτω τὸ ἁμαρτεῖν χαλεπόν, ὡς τὸ τῷ ἁμαρτήματι ἐπιμένειν. μὴ τοίνυν τοῦτο ἴδῃς ὅτι ἐμεθύσθη ὁ δίκαιος, ἀλλ' ὅτι οὐκ ἔτι τοῦτο πέπονθεν. ἀλλ' ἐννόει μοι τοὺς καθ' ἑκάστην ἡμέραν ἐν ταῖς οἰνοφλυγίαις καταδαπανωμένους, καὶ ἐφ' ἑκάστης σχεδὸν εἰπεῖν ἀποθνήσκοντας· καὶ ἐπειδὰν εἰς αἴσθησιν ἔλθωσιν, οὐδὲ οὕτω φεύγοντας τὴν ἐκεῖθεν λύμην, ἀλλ' ὡς ἔργον τι τοῦτο καὶ ἀνδρείαν μεταδιώκοντας. πάλιν δὲ κἀκεῖνο ἄν τις ἐννοήσειεν, ὅτι ὁ δίκαιος οὗτος, εἰ καὶ ὑπὸ τῆς ἀπειρίας, καὶ τοῦ μὴ εἰδέναι τὰ μέτρα τῆς μεταλήψεως πιὼν ἐμεθύσθη, ἀλλ' ὅμως δίκαιος ὢν καὶ πολλὰ ἔχων κατορθώματα, συσκιάζειν ἠδύνατο τὸ συμβὰν ἁμάρτημα· ἡμεῖς δὲ ὅταν καὶ ὑφ' ἑτέρων μυρίων ὦμεν πολιορκούμενοι παθῶν, καὶ μετ' ἐκείνων καὶ ὑπὸ τῆς μέθης ἑαυτοὺς καταβαπτίζωμεν, ποίαν ἕξομεν παραμυθίαν εἰπέ μοι; τίς δὲ ἡμᾶς ἀξιώσει συγγνώμης οὐδὲ ὑπὸ τῆς πείρας αὐτῆς σωφρονιζομένους; ἐξένηψε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. πόθεν ἔγνω; ἴσως οἱ ἀδελφοὶ ἐγνώρισαν, οὐχὶ τὸν ἀδελφὸν διαβαλεῖν βουλόμενοι, ἀλλὰ τὸ πρᾶγμα ὡς ἐγένετο διδάσκοντες, ἵνα κατάλληλον ἐκεῖνος τῷ τραύματι τὴν βοήθειαν δέξηται. καὶ ἔγνω, φησί, Νῶε ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

τερος. τί ἐστιν, ὅσα ἐποίησεν; ἀντὶ τοῦ, μέγα καὶ ἀφόρητον. ἐννόησον γὰρ ὅτι ἔσω ἐν τῇ οἰκίᾳ θεασάμενος τὴν ἀσχημοσύνην, δέον συγκαλύψαι, ὁ δὲ ἐξελθὼν ἐξεπόμπευσε καὶ εἰς κωμῳδίαν καὶ εἰς χλευασίαν τὸν πατέρα, ὅσον τὸ ἐπ' ἑαυτῷ ἧκον, ἐνέβαλε, καὶ ἐβούλετο καὶ τοὺς ἀδελφοὺς κοινωνοὺς λαβεῖν τῆς μοχθηρᾶς προαιρέσεως. καὶ δέον μέλλοντα ἀπαγγέλλειν κἂν ἔσω ἐπὶ τῆς οἰκίας αὐτοὺς καλέσαι, καὶ οὕτως ἐξειπεῖν τὴν γύμνωσιν, ὁ δὲ ἐξῆλθεν ἔξω, ἐξεῖπε τὴν γύμνωσιν· ὡς εἰ καὶ πλῆθος ἑτέρων παρῆν, κἀκείνους μάρτυρας ἂν ἐποιήσατο τῆς ἀσχημοσύνης τοῦ πατρός. διὰ τοῦτό φησιν, ὅσα ἐποίησεν· τουτέστι τὴν ὕβριν εἰς τὸν πατέρα ἐπεδείξατο, ἐπελάθετο τῆς ὀφειλομένης τιμῆς παρὰ τῶν παίδων γίνεσθαι εἰς τοὺς γεγεννηκότας, ἐξεπόμπευσε τὰ ἁμαρτήματα, τοὺς ἀδελφοὺς ἠθέλησεν ὑποσύραι καὶ κοινωνοὺς λαβεῖν τῆς ὕβρεως. ὅσα ἐποίησεν αὐτῷ, φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. καὶ μὴν οὐχ οὕτως ἦν ὁ νεώτερος. δεύτερος γὰρ ἦν, καὶ πρότερος τοῦ Ἰάφεθ. ἀλλ' εἰ καὶ τὴν ἡλικίαν ἦν πρότερος ἐκείνου, ἀλλὰ τῇ γνώμῃ νεώτερος, καὶ ἡ περιπέτεια αὐτὸν ἐξέβαλεν. ἐπειδὴ γὰρ οὐκ ἐβούλετο εἴσω τῶν οἰκείων ὅρων μεῖναι, ἀπώλεσε τὴν παρὰ τῆς φύσεως αὐτῷ δεδομένην τιμήν. καὶ ὥσπερ οὗτος, ὅπερ εἶχεν ἀπὸ τῆς φύσεως, προὔδωκεν τῇ μοχθηρίᾳ τῆς προαιρέσεως, οὕτως ὁ Ἰάφεθ, ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τοῦτο προσέλαβεν ἀπὸ τῆς ὑγιοῦς γνώμης. εἶδες πῶς οὐδὲν ἁπλῶς οὐδὲ ὡς ἔτυχέν ἐστιν εὑρεῖν κείμενον ἐν τῇ θείᾳ γραφῇ. ὅσα ἐποίησεν αὐτῷ φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

25 Καὶ εἶπεν, ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

Ἰδοὺ ἐφθάσαμεν εἰς τὸ ζήτημα τὸ πανταχοῦ περιφερόμενον. πολλῶν γάρ ἐστιν ἀκοῦσαι λεγόντων, τίνος ἕνεκεν, τοῦ πατρὸς ἡμαρτηκότος καὶ τὴν γύμνωσιν ἐξαγγείλαντος, ὁ παῖς τὴν κατάραν δέχεται; διὸ παρακαλῶ, μετὰ ἀκριβείας ἀκούσατε, καὶ δέχεσθε τὴν τούτου λύσιν. ἐκεῖνα γὰρ ἐροῦμεν, ἅπερ ἂν ἡ θεία χάρις παράσχῃ διὰ τὴν ὑμετέραν ὠφέλειαν. καὶ εἶπεν, ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦ παιδὸς ἐμνημόνευσεν, ἀλλὰ διά τινα λόγον ἐγκεκρυμμένον. βουλόμενος γὰρ ὁμοῦ καὶ καθάψασθαι αὐτοῦ διὰ τὸ πλημμεληθὲν, καὶ τὴν ὕβριν, ἣν εἰς αὐτὸν ἐπεδείξατο, καὶ μήτε τῇ παρὰ τοῦ θεοῦ ἤδη γεγενημένῃ εὐλογίᾳ λυμήνασθαι (εὐλόγησε γάρ, φησὶν, ὁ θεὸς τὸν Νῶε ἡνίκα ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ) ἵνα οὖν μὴ δόξῃ τὸν ἅπαξ ὑπὸ τοῦ θεοῦ τῆς εὐλογίας τυχόντα καταράσασθαι, ἐκεῖνον μὲν τέως τὸν ὑβρικότα ἀφίησι, τῷ δὲ υἱῷ τὴν κατάραν ἐπάγει. ναὶ, ἀλλὰ καὶ τοῦτο μὲν, φησι, δείκνυσιν ὅτι διὰ τοῦτο οὐ κατηράσατο τὸν Χάμ, ἐπειδὴ τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἀπήλαυσε· τίνος δὲ ἕνεκεν ἐκείνου ἁμαρτόντος οὗτος δίκην δίδωσιν; οὐδὲ τοῦτο ἁπλῶς γίνεται. καὶ γὰρ οὐκ ἔλαττον τοῦ παιδὸς ὁ Χὰμ τὴν κόλασιν ὑπέμενε, καὶ τῆς τιμωρίας τὴν αἴσθησιν ἐλάμβανεν. ἴστε γὰρ, ἴστε πῶς πολλάκις ηὔξαντο πατέρες ὑπὲρ παίδων τιμωρίαν ὑποσχεῖν, καὶ ὅπως βαρύτερον αὐτοῖς ἐστιν εἰς κολάσεως λόγον, τὸ τοὺς παῖδας ὁρᾶν τιμωρουμένους, ἢ ἑαυτοὺς ὑπευθύνους γεγονότας. ἐγένετο τοίνυν τοῦτο ἵνα καὶ οὗτος διὰ τὴν φυσικὴν φιλοστοργίαν πλείονα τὴν ὀδύνην ὑπομείνῃ, καὶ ἡ τοῦ θεοῦ εὐλογία ἀκέραιος διαμείνῃ, καὶ ὁ τὴν κατάραν δεξάμενος παῖς οἰκείων ἁμαρτημάτων τίνῃ δίκας. εἰ γὰρ καὶ διὰ τὸ ἁμάρτημα τοῦ πατρὸς νῦν τὴν κατάραν λαμβάνει, ἀλλ' ὅμως εἰκὸς ἦν δι' οἰκεῖα πλημμελήματα διδόναι δίκην. οὐ γὰρ διὰ τὸ ἁμάρτημα τοῦ πατρὸς μόνον τὴν κατάραν ἐδέξατο, ἀλλ' ἢ ἄρα ἵνα καὶ δι' αὐτοῦ ἐκεῖνος μείζονα δῷ τὴν τιμωρίαν. ὅτι γὰρ οὔτε πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ πατέρων δίκην διδόασιν, ἀλλ' ἕκαστος ὑπὲρ ὧν ἐπλημμέλησε τὰς εὐθύνας ὑπέχει, πολλαχοῦ ἐστιν εὑρεῖν παρὰ τῷ προφήτῃ τοῦτο εἰρημένον. ὥσπερ ὅταν λέγωσι, Τοῦ φαγόντος τὴν Ἱερ. λα. κ.

Ιεζ. ιη. κ.
Δευτ. κδ. ιϛ.

ὄμφακα οἱ ὀδόντες αἱμωδιάσουσι· καὶ Ἡ ψυχὴ ἡ ἁμαρτοῦσα, αὐτὴ καὶ ἀποθανεῖται. καὶ πάλιν, Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ πατέρων. μηδεὶς τοίνυν ὑμῶν, παρακαλῶ, ἀγνοῶν τὸν τῆς θείας γραφῆς τὸν σκοπὸν, τολμάτω μέμφεσθαι τοῖς ἐγγεγραμμένοις, ἀλλ' εὐγνώμονι διανοίᾳ δεχέσθω τὰ λεγόμενα, καὶ θαυμαζέτω τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, καὶ λογιζέσθω ὅσον ἁμαρτία κακόν. ἰδοὺ γὰρ τὸν ἀδελφὸν, τὸν τῶν αὐτῶν ὠδίνων κοινωνήσαντα, τὸν ἐκ τῆς αὐτῆς νηδύος ἐξελθόντα, τοῦτον ἐπεισελθοῦσα ἡ ἁμαρτία δοῦλον εἰργάσατο, καὶ τὴν ἐλευθερίαν ἀφελομένη εἰς τὴν ὑποταγὴν ἤγαγε. καὶ γὰρ ἐντεῦθεν τὰ τῆς δουλείας ἀρχὴν ἐλάμβανε λοιπόν. οὐδὲ γὰρ ἦν πρὸ τούτου ἡ βλακεία αὕτη, καὶ τὸ οὕτω διαθρύπτεσθαι, καὶ ἑτέρων δεῖσθαι τῶν διακονουμένων, ἀλλ' ἕκαστος αὐτὸς ἑαυτῷ διηκονεῖτο, καὶ πολλὴ ἦν ἡ ὁμοτιμία, καὶ πᾶσα ἀνωμαλία ἐκποδὼν ἦν. ἐπειδὴ δὲ εἰσῆλθεν ἡ ἁμαρτία, ἐλυμήνατο τὴν ἐλευθερίαν, καὶ διέφθειρε τὴν ἀπὸ τῆς φύσεως δεδομένην "ἀξίαν, καὶ τὴν δουλείαν ἐπεισήγαγεν, ἵνα διηνεκὴς ᾖ διδάσκαλος καὶ νουθεσία τῷ τῶν ἀνθρώπων γένει, ὥστε φεύγειν μὲν τῆς ἁμαρτίας τὴν δουλείαν, πρὸς δὲ τὴν ἐλευθερίαν τῆς ἀρετῆς ἐπανιέναι. ὅτι γὰρ καὶ ὁ δοῦλος καὶ ὁ δεσπότης διηνεκῆ ἔχουσι τὴν ἐντεῦθεν ἐγγινομένην ὠφέλειαν, εἰ βούλοιντο, ἐννοείτωσαν, ὁ μὲν δοῦλος, ὅτι διὰ τοῦτο εἴληφε τὴν δουλείαν, ἐπειδὴ ὁ Χὰμ εἰς τοσαύτην προπέτειαν ἐξώκειλε· καὶ ὁ δεσπότης πάλιν λογιζέσθω, ὅτι οὐχ ἑτέρωθεν ἡ ὑποταγὴ γέγονε καὶ ἡ δουλεία, ἀλλ' ἢ ἀπὸ τοῦ μοχθηρὰν ἐκεῖνον ἐπιδείξασθαι γνώμην, καὶ τῆς ἰσοτιμίας τῶν ἀδελφῶν ἐκπεσεῖν. ἀλλ' ἐὰν νήφωμεν, ταῦτα τὰ διὰ τὰ ἁμαρτήματα τῶν προγόνων τῶν ἡμετέρων εἰσενεχθέντα εἰς τὸν βίον οὐδὲν ἡμᾶς λυμήνασθαι δύναται), μέχρι τῶν ὀνομάτων μόνον ἱστάμενα. ἐπεὶ καὶ ὁ πρωτόπλαστος διὰ τὴν παράβασιν τοῦ θανάτου τὸ ἐπιτίμιον εἰσήγαγε, καὶ τὸ ἐν λύπαις καὶ μόχθοις τὴν ζωὴν καταδαπανᾶσθαι, καὶ οὕτω τὴν δουλείαν· ἀλλὰ παραγενόμενος ὁ δεσπότης Χριστὸς ταῦτα πάντα μέχρι τῶν ὀνομάτων [αὐτῶν] ἀφῆκεν εἶναι μόνον, ἐὰν βουλώμεθα. οὔτε γὰρ ὁ θάνατος, θάνατός ἐστι λοιπὸν, ἀλλὰ ὄνομα μόνον ἔχει θανάτου· μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὄνομα ἀφῃρέθη. οὐκέτι γὰρ οὐδὲ θάνατον αὐτὸν προσαγορεύομεν, ἀλλὰ κοίμησιν καὶ ὕπνον. διὸ καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε, Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. καὶ ὁ Παῦλος γράφων Θεσσαλονικεῦσί φησι, Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί. καὶ ἡ δουλεία πάλιν ὁμοίως ὄνομά ἐστιν. ἐκεῖνος γάρ ἐστι δοῦλος ὁ τὴν ἁμαρτίαν ἐργαζόμενος. καὶ ὅτι καὶ ταύτην ἐξεῖλεν ὁ Χριστὸς παραγενόμενος, καὶ μέχρις ὀνόματος αὐτὴν ἀφῆκεν εἶναι, μᾶλλον δὲ καὶ τὴν προσηγορίαν αὐτὴν ἐξήλειψεν, ἄκουε τοῦ Παύλου λέγοντος· Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν. ὁρᾷς πῶς ἐπεισελθοῦσα ἡ ἀρετὴ, εἰς τὴν τῆς ἀδελφότητος συγγένειαν ἤγαγε τοὺς πρότερον τῷ ὀνόματι τῆς δουλείας ὑπευθύνους ὄντας. καὶ ἔσται, φησὶ, Χαναὰν παῖς, οἰκέτης τοῖς ἀδελφοῖς αὐτοῦ. οὐκ ἐχρήσω, φησὶ, εἰς δέον τῇ τιμῇ, οὐδὲ ἤνεγκας τὴν εὐπραγίαν τὴν ἀπὸ τῆς ἰσοτιμίας. διὰ τοῦτο * τῇ ὑποταγῇ σωφρονισθῆναί σε βούλομαι. τοῦτο καὶ ἐξ ἀρχῆς ἐπὶ τῆς γυναικὸς γέγονεν. ἐπειδὴ γὰρ ὁμότιμος τῷ ἀνδρὶ γενομένη, οὐ καλῶς ἐχρήσατο τῇ δεδομένῃ τιμῇ, διὰ τοῦτο ἀφῃρέθη τὴν ἐξουσίαν, καὶ ἤκουσε· Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπειδὴ οὐκ οἶσθα, φησι, καλῶς κεχρῆσθαι τῇ ἀρχῇ, μάθε καλῶς ἄρχεσθαι, ἢ κακῶς ἄρχειν. διά τοι τοῦτο καὶ οὗτος νῦν σωφρονισμοῦ ἕνεκεν δέχεται τὸ ἐπιτίμιον, καὶ διὰ τοῦ παιδὸς αὐτὸς τὴν κόλασιν ὑπομένει, ἵνα μάθης, "ὅτι κἂν γηραλέος λοιπὸν ἦν, ἀλλ' ἡ τιμωρία εἰς τὸν υἱὸν διαβήσεται· ὅπερ πικρὰν καὶ ὀδυνηρὰν αὐτῷ τὴν ζωὴν εἰργάζετο ἐννοοῦντι, ὅτι καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ὁ παῖς ἤμελλε δίκας τίνειν ὑπὲρ τῶν

Ιω. ια. ια.
α. Θεσ. δ. ιγ.
α. Τιμ. ϛ. β.
Γεν. γ. ιϛ.

γρ. ἀξίωσιν,

* οὐ

γρ. ὅτι εἰ καὶ εἰς αὐτὸν τὰ τῆς δίκης οὐ [illegible] τῶν αὐτῷ πεπραγμένων. ὅτι γὰρ καὶ ὁ παῖς οἴκοθεν μοχθηρὸς ὑπῆρχε, καὶ οἱ ἐξ ἐκείνου πάντες βδελυκτοὶ γεγόνασι πρὸς κακίαν ἀποκλίναντες, ἄκουε τῆς γραφῆς λεγούσης ἐν τάξει κατάρας· Ὁ Πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. καὶ πάλιν, Ἕτερός τις ὀνειδίζων, σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα. ἀλλὰ γὰρ ἄξιον λοιπὸν ἀκοῦσαι μετὰ τὴν ἐπιτίμησιν, ἣν ἐδέξατο ὁ τὴν γύμνωσιν τοῦ πατρὸς ἐκπομπεύσας, τίνων ἀξιοῦνται τῶν ἀμοιβῶν οἱ τὴν τοσαύτην αἰδῶ καὶ τὴν τιμὴν ἀπονείμαντες τῷ πατρί.

Ἰεζ. ιϛ. μδ.

Σουσάν. α. νϛ.

26 Καὶ εἶπε, φησιν, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς αὐτοῦ.

Τοῦτο ἴσως ἄν τις εἴποι, οὐκ ἔστι τὸν Σὴμ εὐλογῆσαι. καὶ σφόδρα μὲν εὐλόγησεν αὐτόν. ὅταν γὰρ ὁ θεὸς εὐχαριστεῖται καὶ εὐλογεῖται διὰ τῶν ἀνθρώπων, τότε δαψιλεστέραν τὴν παρ' ἑαυτοῦ εὐλογίαν εἴωθε χορηγεῖν ἐκείνοις, δι' οὓς αὐτὸς εὐλογεῖται. εὐλογήσας τοίνυν τὸν θεόν, ὀφειλέτην αὐτὸν κατέστησε μείζονος εὐλογίας, καὶ αἴτιος γέγονε τῷ Σὴμ πλείονος ἀμοιβῆς, ″ἧς αὐτὸς αὐτόν, εἰ δι' ἑαυτοῦ εὐλόγησεν. ὥσπερ γὰρ ὅταν εὐλογῆται δι' ἡμᾶς, πολλῆς ἡμᾶς ἀξιοῖ τῆς παρ' αὐτοῦ″ εὐνοίας, οὕτω πάλιν ἐπειδὰν δι' ἡμᾶς ἕτεροι αὐτὸν βλασφημῶσι, μείζων ἐντεῦθεν ἡμῖν ἡ κατάκρισις γίνεται τοῖς τὴν αἰτίαν παρεχομένοις. σπουδάζωμεν τοίνυν, παρακαλῶ, οὕτω βιοῦν καὶ τοσαύτην ἐπιδείκνυσθαι τῆς ἀρετῆς τὴν ἐπίτασιν, ὡς τοὺς εἰς ἡμᾶς ὁρῶντας, εὐλογίας ὕμνους ἀναφέρειν τῷ δεσπότῃ θεῷ. βούλεται γὰρ ἀγαθὸς ὢν καὶ φιλάνθρωπος δοξάζεσθαι δι' ἡμῶν, οὐκ ἐπειδὴ αὐτός τι προσλαμβάνει εἰς τὴν οἰκείαν δόξαν, (ἀνενδεὴς γάρ ἐστιν) ἀλλ' ἵνα ἀφορμὰς αὐτῷ παρέχωμεν τοῦ πλείονος ἡμᾶς ἀξιοῦν τῆς παρ' αὐτοῦ εὐνοίας. εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς αὐτοῦ. ὁρᾷς πῶς πατρικὴν ἐπιδείκνυται τὴν τιμωρίαν, σωφρονισμὸν οὖσαν μᾶλλον ἢ τιμωρίαν. πατὴρ γάρ ἦν, καὶ πατὴρ φιλόστοργος, καὶ οὐ τὴν ἀξίαν ἐβούλετο δίκην ἐπαγαγεῖν, ἀλλ' ὥστε τὴν εἰς τὸ πρόσω κακίαν ″ἐγκόψαι· διὰ τοῦτό, φησι, Δουλείᾳ σε καταδικάζω, ἵνα διηνεκῆ καὶ ἀνεξάλειπτον ἔχῃς τὴν ὑπόμνησιν. εἶτά φησι,

...ἧς εἰ αὐτὸς
αὐτὸν δι' ἑαυτοῦ
...
...εὐλογίας,

ἀλ. ἐκκόψαι.

27 Πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ, καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ.

Μεγίστη πάλιν αὕτη ἡ εὐλογία, τάχα τινὰ κεκρυμμένον ἔχουσα θησαυρόν. πλατύναι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰάφεθ. οὐκ ἄν τις ἁμάρτοι εἰπὼν προφητείαν εἶναι τὰς εὐλογίας τοῦ δικαίου. εἰ γὰρ ὁ πατὴρ αὐτοῦ οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τὴν προσηγορίαν αὐτῷ ἐπέθηκεν, ἀλλὰ προφητεύων διὰ τοῦ ὀνόματος τὸ μέλλον ἔσεσθαι κλυδώνιον, πολλῷ μᾶλλον ὁ δίκαιος οὗτος οὐκ [ἂν] ἁπλῶς οὐδὲ μάτην τὰς εὐλογίας ἐποιήσατο. διὰ γὰρ τῶν εὐλογιῶν τούτων, τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ, τῶν δύο λαῶν αἰνίττεσθαι αὐτὸν οἶμαι τὴν κλῆσιν· καὶ διὰ μὲν τοῦ Σήμ, τοὺς Ἰουδαίους (ἐξ ἐκείνου γὰρ ὁ πατριάρχης Ἀβραάμ, καὶ τὸ τῶν Ἰουδαίων ἐπιδέδωκε γένος) διὰ δὲ τοῦ Ἰάφεθ, τὴν τῶν ἐθνῶν κλῆσιν. ὅρα γὰρ καὶ ταύτην τὴν εὐλογίαν τοῦτο προμηνύουσαν. πλατύναι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ. τοῦτο ἐπὶ τῶν ἐθνῶν εἰς ἔργον ἐκβεβηκὸς ὁρῶμεν. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, πλατύναι, τὰ ἔθνη πάντα ᾐνίξατο· διὰ δὲ τοῦ εἰπεῖν, κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ, ὅτι τῶν τοῖς Ἰουδαίοις εὐτρεπισθέντων καὶ ἐκείνοις παρασκευασθέντων τὰ ἔθνη τὴν ἀπόλαυσιν ἕξει. καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. εἶδες οἵας ἔλαβον καὶ οὗτοι τῆς εὐγνωμοσύνης τὰς ἀμοιβάς, καὶ πόσην ἐκεῖνος διὰ τῆς προπετείας ἑαυτοῦ″ κατεσκέδασε τὴν ἀτιμίαν. ταῦτα διηνεκῶς ἔχωμεν ἐπιγεγραμμένα τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, ἵνα τῶν μὲν μιμηταὶ καὶ ζηλωταὶ γενέσθαι δυνηθῶμεν, τοῦ δὲ φύγωμεν τὸ μοχθηρὸν τῆς γνώμης, καὶ τῆς προπετείας τὴν ὑπερβολήν.

ἀλ. κατεσκέδα...

Καὶ

Κεφ. ι.

Καὶ ἔζησε, φησὶ, Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν'. 28 Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια ν' ἔτη, καὶ ἀπέθανε.

Μὴ νομίσῃς δὲ τοῦτο ἁπλῶς ἐπισημαίνεσθαι τὴν θείαν γραφήν, ἀλλ' ὅρα καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἐγκράτειαν, ὅτι οὔτε ἀδείας καὶ ἀνέσεως ἀπολαύσας, καὶ τοσοῦτον ἀριθμὸν ἐτῶν ἐπιζήσας, μετὰ τὴν ἀπὸ τῆς κιβωτοῦ ἔξοδον, παιδοποιίας ἀντείχετο λοιπόν. οὐδὲ γὰρ ἐμνημόνευσεν ἡ γραφή, ὅτι ἑτέρους ἔσχε παῖδας, πλὴν τούτων τῶν τριῶν. ἐντεῦθεν πάλιν λογίζου τοῦ Χὰμ τὴν πολλὴν ταύτην ἀκολασίαν, ὅτι οὔτε τὸν πατέρα ὁρῶν τοσαύτην ἐπιδεικνύμενον ἐγκράτειαν ἐσωφρονίζετο, ἀλλ' ἀπ' ἐναντίας τῷ γεγεννηκότι ἅπαντα διεπράττετο. διὸ καὶ εἰκότως ἅπαν τὸ ἐξ αὐτοῦ γένος τῇ δουλείᾳ κατεδικάζετο, ἵνα χαλινὸν ἔχῃ τῆς μοχθηρᾶς προαιρέσεως. Εἶτα ἐντεῦθεν διηγουμένη ἡ θεία γραφὴ τοὺς ἐκ ''τῶν παίδων τεχθέντας φησί·

κ. τοῦ χάμ

Κεφ. ι.

6 Χὰμ δὲ ἐγέννησε τὸν Χοῦς. Καὶ πάλιν, 8 Χοῦς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. 9 Οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου.

Καί τινες μέν φασι τὸ ἐναντίον κυρίου, ἀντὶ τοῦ ἐναντιούμενος τῷ θεῷ· ἐγὼ δὲ οὐχ ἡγοῦμαι τοῦτο αἰνίττεσθαι τὴν θείαν γραφήν, ἀλλ' ὅτι ἰσχυρός τις ἦν καὶ ἀνδρεῖος. τὸ δὲ ἀπέναντι κυρίου τοῦ θεοῦ, ἀντὶ τοῦ, ὑπ' αὐτοῦ παραχθεὶς, ὑπ' αὐτοῦ δεξάμενος τοῦ θεοῦ τὴν ''εὐλογίαν, ἢ ὅτι ἠθέλησεν ὁ θεὸς δι' αὐτοῦ θαυμάζεσθαι, ὡς τοιοῦτον παραγαγὼν καὶ δείξας ἐπὶ τῆς γῆς. ἀλλὰ καὶ οὗτος πάλιν μιμούμενος τὸν πρόγονον, καὶ οὐκ εἰς δέον χρησάμενος τοῖς τῆς φύσεως προτερήμασιν, ἕτερον δουλείας ἐφεῦρε τρόπον, καὶ ἄρχων καὶ βασιλεὺς γενέσθαι ἐπεχείρησε. βασιλεὺς γὰρ οὐκ ἂν γένοιτό ποτε μὴ ὄντων τῶν ἀρχομένων. αὕτη δὲ δοκεῖ μὲν μᾶλλον ἐλευθερία εἶναι· δουλεία δέ ἐστι χαλεπωτάτη ἐν ἐλευθερίας τάξει, ὅσῳ καὶ τῶν ἐλευθέρων κρατεῖ. καὶ ὅρα τὴν πλεονεξίαν, ὅσα ποιεῖ· ὅρα τοῦ σώματος τὴν ἰσχὺν οὐ μένουσαν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλ' ἀεὶ τοῦ πλείονος ἐφιεμένην, καὶ τῆς δόξης ὀρεγομένην. οὐ γὰρ, ὡς προϊσάμενος αὐτῶν, ὑπέταττεν, ἀλλὰ καὶ πόλεις ᾠκοδόμει, ἵνα ἄρχῃ τῶν πολεμίων.

κ. εὐλογιῶν

11 Ἐκεῖθεν γάρ, φησιν, ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν ὁ Ἀσσούρ, καὶ ᾠκοδόμησε τὴν Νινευΐ.

Σκόπει μοι πάλιν ἐνταῦθα, πῶς οὐδὲν λυμαίνεται τὴν ἡμετέραν φύσιν ἡ κακία τῶν προγόνων. οὗτοι γὰρ οἱ Νινευῗται, οἱ τὴν τοῦ θεοῦ φιλανθρωπίαν διὰ τῆς μετανοίας ἐπισπασάμενοι, καὶ τὴν ἀπόφασιν τοῦ δεσπότου ἀνακαλεσάμενοι, οὗτοι μὲν πρότερον ἔσχον προπάτορα τὸν Χὰμ, τὸν πατραλοίαν ἐκεῖνον· ἔπειτα τὸν Νεβρώδ, ἄνθρωπον τύραννον καὶ αὐθάδη, ἔγγονον ἐσχηκότα τὸν Ἀσσούρ. λέγονται δὲ ἴσως καὶ ἕτεροι γεγενῆσθαι ἐν αὐτοῖς βλᾶκες καὶ διατεθρυμμένοι καὶ τὸν ὑγρὸν καὶ διαρρέοντα ζῶντες βίον, μέθῃ καὶ γέλωτι καὶ κώμοις καὶ χλευασίαις ἑαυτοὺς ἐκδεδωκότες· ἀλλ' ἐπειδὴ ἠβουλήθησαν ἀκριβῆ τὴν μετάνοιαν ἐπιδείξασθαι, οὐδὲν αὐτοὺς ἐλυμήνατο τῶν προγόνων ἡ κακία, ἀλλὰ τοσαύτην ἐφειλκύσαντο τὴν ἄνωθεν ῥοπὴν, ὡς μέχρι τοῦ νῦν ᾄδεσθαι αὐτῶν τὸ τῆς μετανοίας κατόρθωμα.

ΗΘΙΚΟΝ

Τούτους τοίνυν καὶ ἡμεῖς μιμησώμεθα, καὶ μαθόντες ὡς οὔτε κακία προγόνων ἡμᾶς λυμαίνεται, ἐὰν νήφειν βουλώμεθα, οὔτε ἀρετὴ προγόνων ὠφελῆσαι ἡμᾶς τι δύναται, ἐὰν ῥαθυμῶμεν, πολλὴν σπουδὴν ποιώμεθα τῆς ἀρετῆς ἀντέχεσθαι, καὶ εὐγνώμονα προαίρεσιν ἐπιδειξώμεθα, ἵνα τῆς αὐτῆς εὐλογίας τῷ Σὴμ καὶ τῷ Ἰάφεθ ἀπολαύσωμεν, καὶ τῆς κατάρας καὶ τῆς δουλείας ἣν ὁ Χαναὰν ἐδέξατο ἐλευθερωθῶμεν, καὶ μὴ γενώμεθα δοῦλοι τῆς ἁμαρτίας, ἀλλὰ τὴν ἀληθῆ ἐλευθερίαν κτησάμενοι, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. λ. ΚΑΙ ΗΝ ΠΑΣΑ Η ΓΗ ΧΕΙΛΟΣ ΕΝ ΚΑΙ ΦΩνὴ μία πᾶσιν.

ΙΔοὺ πρὸς τὸ τέλος ἐφθάσαμεν λοιπὸν τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῆς νηστείας διηνύσαμεν τὸν πλοῦν, καὶ πρὸς τὸν λιμένα λοιπὸν τῇ τοῦ θεοῦ χάριτι κατηντήσαμεν. ἀλλὰ μὴ διὰ τοῦτο ῥᾳθυμήσωμεν, ἀλλὰ ταύτῃ μᾶλλον πολλῷ πλείονα τὴν σπουδὴν καὶ τὴν ἀγρυπνίαν ἐπιδειξώμεθα. ἐπεὶ καὶ οἱ κυβερνῆται, ἐπειδὰν μυρία διαβάντες πελάγη, πεπληρωμένων αὐτοῖς τῶν ἱστίων, καὶ τῶν φορτίων εἰς ὕψος ἐγκειμένων, εἰς τὸν λιμένα εἰσιέναι μέλλωσι, τότε μάλιστα πολὺν τὸν ἀγῶνα καὶ τὴν φροντίδα ἔχουσι, μήπου σκοπέλῳ τινὶ, ἢ πέτρᾳ προσαράξαν τινὶ τὸ πλοῖον ἀνόνητον αὐτοῖς τὸν προλαβόντα πόνον γενέσθαι παρασκευάσῃ. οὕτω καὶ οἱ δρομεῖς ποιοῦσιν· ὅταν πρὸς τὸ τέλος τῶν σταδίων φθάσωσι, τότε μᾶλλον εὐτονώτερον τὸν δρόμον ἐπιδείκνυνται, ὥστε τοῦ τέλους ἐπιτυχεῖν, καὶ τῶν βραβείων ἀξιωθῆναι. καὶ ἀθληταὶ δὲ μετὰ μυρία παλαίσματα καὶ τὰς νίκας, ὅταν τὴν περὶ τοῦ στεφάνου παλαίωσι πάλην, πλείονα τὸν ἀγῶνα ἐπιδείκνυνται, ἵνα τὸν στέφανον λαβόντες οὕτως ἐξέλθωσι. καθάπερ οὖν κυβερνῆται καὶ δρομεῖς καὶ ἀθληταὶ τότε μᾶλλον τούτων ἕκαστος τὴν σπουδὴν ἐπιτείνει καὶ τὴν ἀγρυπνίαν, ὅταν πρὸς τῷ τέλει γένωνται· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς προσήκει, ἐπειδὴ εἰς τὴν μεγάλην ταύτην ἑβδομάδα ἐφθάσαμεν τῇ τοῦ θεοῦ χάριτι, νῦν μάλιστα καὶ τῆς νηστείας τὸν δρόμον ἐπιτεῖναι, καὶ τὰς εὐχὰς εὐτονωτέρας ποιεῖσθαι, καὶ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξομολόγησιν τῶν ἡμαρτημένων ἐπιδείξασθαι, καὶ τὴν περὶ τὰς ἀγαθὰς πράξεις ἐργασίαν, ἐλεημοσύνην δαψιλῆ, ἐπιείκειαν, πρᾳότητα, τὴν ἄλλην ἅπασαν ἀρετήν, ἵνα μετὰ τούτων τῶν κατορθωμάτων εἰς τὴν κυρίαν φθάσαντες ἡμέραν τῆς παρὰ τοῦ δεσπότου φιλοτιμίας ἀπολαύσωμεν. μεγάλην δὲ καλοῦμεν τὴν ἑβδομάδα, οὐκ ἐπειδὴ πλέον ἔχει τὸ μῆκος τῶν ὡρῶν (καὶ γάρ εἰσιν ἕτεραι πολλῷ μείζους ὥρας ἔχουσαι) οὐδὲ ἐπειδὴ πλείους ἡμέρας ἔχει· καὶ γὰρ ὁ αὐτὸς ἀριθμὸς καὶ ταύτῃ καὶ ταῖς ἄλλαις πάσαις. τίνος οὖν ἕνεκεν μεγάλην ταύτην καλοῦμεν; ἐπειδὴ μεγάλα τινὰ καὶ ἀπόρρητα τυγχάνει τὰ ὑπάρξαντα ἡμῖν ἐν αὐτῇ ἀγαθά. ἐν γὰρ ταύτῃ ὁ χρόνιος ἐλύθη πόλεμος, θάνατος ἐσβέσθη, κατάρα ἀνῃρέθη, τοῦ διαβόλου ἡ τυραννὶς κατελύθη, τὰ σκεύη αὐτοῦ διηρπάγη, θεοῦ καταλλαγὴ πρὸς ἀνθρώπους γέγονεν, οὐρανὸς βάσιμος γέγονεν, ἄνθρωποι τοῖς ἀγγέλοις συνεμίγησαν, τὰ διεστῶτα συνήφθη, ὁ φραγμὸς περιῃρέθη, τὸ κλεῖθρον ἀνῃρέθη, ὁ τῆς εἰρήνης θεὸς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ ἐπὶ τῆς γῆς. διὰ τοῦτο τοίνυν μεγάλην τὴν ἑβδομάδα καλοῦμεν, ἐπειδὴ τοσοῦτον πλῆθος δωρεῶν ἡμῖν ἐν αὐτῇ κεχάρισται ὁ δεσπότης. διὰ τοῦτο πολλοὶ καὶ τὴν νηστείαν ἐπιτείνουσι, καὶ ἀγρυπνίας καὶ παννυχίδας ἱερὰς καὶ ἐλεημοσύνας ἐπιδείκνυνται, δεικνύντες δι' ὧν πράττουσι τὴν τιμήν, ἣν περὶ τὴν ἑβδομάδα ἔχουσιν. εἰ γὰρ ὁ δεσπότης τοσαῦτα ἐν αὐτῇ ἡμῖν ἀγαθὰ ἐδωρήσατο, πῶς οὐχὶ καὶ ἡμᾶς προσήκει, δι' ὧν δυνάμεθα, τὴν αἰδῶ καὶ τὴν τιμὴν ἐπιδείκνυσθαι; καὶ γὰρ καὶ οἱ βασιλεῖς, δι' ὧν ποιοῦσι καὶ αὐτοὶ, " δηλοῦσιν ὅσον ἔχουσι τὸ θαῦμα τούτων τῶν σεπτῶν ἡμερῶν, κελεύσαντες ἐκεχειρίαν ἀπάντας ἔχειν τοὺς τὰ πολιτικὰ οἰκονομοῦντας πράγματα, καὶ τῶν δικαστηρίων τὰς θύρας ″ἀποκλείειν, καὶ πᾶν εἶδος μάχης καὶ φιλονεικίας ἐλαύνεσθαι, ἵνα μετὰ πολλῆς ἡσυχίας καὶ γαλήνης ἐξῇ πρὸς τὴν τῶν πνευματικῶν κατόρθωσιν ἐπείγεσθαι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέραν φιλοτιμίαν ἐπιδείκνυνται. τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφιᾶσι τῶν δεσμῶν, καὶ κατὰ δύναμιν ἀνθρωπίνην μιμοῦνται τὸν ἑαυτῶν δεσπότην. καθάπερ γὰρ αὐτός φησι, τοῦ χαλεποῦ δεσμωτηρίου τῶν ἁμαρτημάτων ἡμᾶς ἀνίησι, καὶ τῶν μυρίων ἀγαθῶν παρέχει τὴν ἀπόλαυσιν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς, φησι, προσήκει οἷς δυνάμεθα μιμητὰς γίνεσθαι τῆς τοῦ δεσπότου φιλανθρωπίας. ἴδετε πῶς διὰ πάντων ἕκαστος ἡμῶν δείκνυσι τὴν αἰδῶ καὶ τὴν τιμὴν, ἣν περὶ τὰς ἡμέρας ἔχομεν τὰς τῶν τοσούτων ἀγαθῶν προξένους ἡμῖν γεγενημένας. διὰ τοῦτο παρακαλῶ, νῦν, [μᾶλλον] εἰ καί ποτε ἄλλοτε, πάντα λογισμὸν βιωτικὸν ἀπωσάμενοι, καὶ τὸ τῆς διανοίας ὄμμα καθαρὸν καὶ διεγηγερμένον ἔχοντες, οὕτως ἐνταῦθα παραγινώμεθα, καὶ μηδεὶς εἰσιὼν εἰς τὴν ἐκκλησίαν βιωτικὰς ἐπισυρέσθω φροντίδας, ἵνα ἀξίαν τῶν πόνων τὴν ἀμοιβὴν λαβὼν, οὕτως οἴκαδε ἐπανέλθῃ. φέρε οὖν πάλιν τὴν συνήθη τράπεζαν ὑμῖν παραθῶμεν, καὶ ἐκ τῶν πρόσφατον ἀναγνωσθέντων παρὰ τοῦ μακαρίου Μωυσέως ἑστιάσωμεν ὑμῶν τὴν ἀγάπην, αὐτὰ τὰ ἀνεγνωσμένα εἰς μέσον ὑμῖν προθέντες, καὶ δεικνύντες τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ τέλος ἐπέθηκε τῇ διηγήσει τῇ κατὰ τὸν Νῶε, ἐκ τοῦ Σὴμ λοιπὸν ἤρξατο τῆς γενεαλογίας, καί φησι,

21 Καὶ τῷ Σὴμ ἐγεννήθησαν καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν Ἔβερ, ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος υἱοῦ.

Εἶτα τὸν κατάλογον τῶν ὀνομάτων ποιησάμενός φησι,

25 Καὶ τῷ Ἔβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλὲκ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ.

Σκόπει πῶς τῇ προσηγορίᾳ τοῦ τεχθέντος ἐναπέθετο τοῦ μέλλοντος ἔσεσθαι μετ' οὐ πολὺ σημείου τὴν πρόγνωσιν· ἵν' ὅταν ἴδῃς εἰς ἔργον τὸ πρᾶγμα ἐξελθὸν, μηκέτι ξενισθῇς ὁρῶν ἄνωθεν τοῦτο τὴν προσηγορίαν τοῦ παιδὸς προμηνύουσαν. μετὰ γὰρ τὸ ποιήσασθαι τῶν ἑξῆς γεγενημένων ἐκ τούτων τὸν κατάλογον, φησιν·

κεφ. ια.

1 Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν, καὶ φωνὴ μία πᾶσιν·

Οὐ περὶ τῆς γῆς λέγουσα, ἀλλὰ περὶ τοῦ τῶν ἀνθρώπων γένους, ἵνα ἡμᾶς διδάξῃ ὅτι μίαν γλῶσσαν ἅπασα ἡ τῶν ἀνθρώπων εἶχε φύσις. καὶ ἦν πᾶσα ἡ γῆ, φησι, χεῖλος ἓν, καὶ φωνὴ μία πᾶσι. χεῖλος ἓν, τὴν λαλιάν φησι, καὶ φωνὴν πάλιν τὸ αὐτό· ἵνα εἴπῃ ὅτι ὁμόφωνοι καὶ ὁμόγλωσσοι πάντες ἦσαν. καὶ ὅτι περὶ λαλιᾶς εἴρηται τὸ, καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν, ἄκουε τῆς γραφῆς ἀλλαχοῦ λεγούσης· Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. οὕτως οἶδεν ἡ γραφὴ τῷ τοῦ χείλους ὀνόματι τὴν λαλιὰν προσαγορεύειν. Ψαλ. ρλθ. γ.

2 Καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ.

Ὅρα πῶς ἡ ἀνθρωπίνη φύσις οὐκ ἀνέχεται ἵστασθαι ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλ' ἀεὶ τοῦ πλείονος ἐφιεμένη ὀρέγεται τῶν μειζόνων. καὶ τοῦτο ἐστὶν ὃ μάλιστα ἀπόλλυσι τὸ ἀνθρώπινον γένος, τὸ μὴ βούλεσθαι τῆς οἰκείας φύσεως ἐπιγινώσκειν τὰ μέτρα, ἀλλ' ἀεὶ τῶν μειζόνων ἐφίεσθαι, καὶ τὰ ὑπὲρ τὴν ἀξίαν φαντάζεσθαι. ἐντεῦθεν καὶ οἱ περὶ τὰ τοῦ κόσμου ἐπτοημένοι πράγματα, ἐπειδὰν πολὺν περιβάλλωνται) πλοῦτον καὶ δυναστείαν, ὥσπερ ἐπιλανθανόμενοι τῆς οἰκείας φύσεως μέχρι τοσούτου ″εἰς ὕψος ἐπαίρεσθαι βούλονται), γρ. ὕψει μέχρις ἂν εἰς αὐτὸν τὸν πυθμένα κατενεχθῶσι. καὶ τοῦτο ἴδοι τις ἂν ἐφ ἑκάστης συμβαῖνον ἡμέρας, καὶ οὐδὲ ταύτῃ τοὺς λοιποὺς σωφρονιζομένους, ἀλλὰ πρὸς βραχὺ μὲν συστελλομένους, ἀθρόον δὲ πάντων λήθην ποιουμένους, καὶ πάλιν τὴν αὐτὴν ἐκείνοις βαδίζοντας ὁδὸν, καὶ εἰς αὐτὸν τὸν κρημνὸν καταφερομένους· ὅπερ καὶ νῦν ἐστιν ἰδεῖν ἐπὶ τούτων γεγονός. Καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναάρ, καὶ κατῴκησαν ἐκεῖ. ὅρα πῶς κατὰ μικρὸν ἡμᾶς διδάσκει τῆς γνώμης αὐτῶν τὸ ἄστατον. ἐπειδὴ εἶδον, φησί, τὸ πεδίον, μεταναστάντες καὶ καταλιπόντες τὴν προτέραν οἴκησιν, ἐκεῖ κατῴκησαν. εἶτά φησιν,

3 Εἶπεν ἕκαστος τῷ πλησίον αὐτοῦ· δεῦτε, πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί. Καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. 4 Καὶ εἶπον, δεῦτε, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ. καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ πάσης τῆς γῆς.

Ὅρα πῶς οὐκ εἰς δέον ἐκέχρηντο τῇ ὁμοφωνίᾳ, καὶ ὅτι ἡ ματαία τοῦ βίου τούτου βουλὴ γίνεται τῶν κακῶν ὑπόθεσις. δεῦτέ, φησι, ποιήσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. σκόπει πόσην ἀσφάλειαν ἐπινοῆσαι βούλονται τῇ οἰκοδομῇ, οὐκ εἰδότες ὅτι, Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. Ψαλ. ρκς. α. καὶ οἰκοδομήσωμεν, φησιν, ἑαυτοῖς πόλιν, οὐχ ὅτι θεῷ, ἀλλ' ἑαυτοῖς. ὅρα πόση τῆς κακίας ἡ ἐπίτασις. ἔναυλον ἔχοντες τὴν μνήμην τῆς πανωλεθρίας ἐκείνης, ἐπὶ τοσαύτην μανίαν ἐξώκειλαν. καὶ οἰκοδομήσωμεν, φησιν, ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ. τῷ ὀνόματι τοῦ οὐρανοῦ ἡ θεία γραφὴ τῆς τόλμης αὐτῶν τὴν ὑπερβολὴν ἡμῖν παραστῆσαι ἐβουλήθη. καὶ ποιήσωμεν, φησιν, ἑαυτοῖς ὄνομα. εἶδες τὴν ῥίζαν τῆς κακίας, ἵνα, φησί, μνήμης διηνεκοῦς ἀπολαύσωμεν, ἵνα εἰς τὸ διηνεκὲς ἔχωμεν μνημονεύεσθαι. τοιαύτη ἡμῶν ἔσται ἡ πρᾶξις καὶ τὸ ἔργον, ὡς μηδέποτε λήθῃ παραπεμφθῆναι. καὶ τοῦτο ποιήσωμεν πρὸ τοῦ διασπαρῆναι ἐπὶ προσώπου πάσης τῆς γῆς. ὡς ἔτι, φησί, κατὰ ταυτόν ἐσμεν, εἰς ἔργον ἀγάγωμεν τὸ δόξαν ἡμῖν, ἵνα ἀδιάλειπτον μνήμην καταλίπωμεν ταῖς εἰς τὸ ἑξῆς γενεαῖς. εἰσὶ πολλοὶ καὶ νῦν τούτους μιμούμενοι, καὶ ἀπὸ τοιούτων πράξεων μνημονεύεσθαι βουλόμενοι, οἱ τὰς λαμπρὰς οἰκοδομοῦντες οἰκίας, καὶ τὰ λουτρὰ, καὶ τὰς στοὰς, καὶ τοὺς περιπάτους. ἐὰν γὰρ καὶ τούτων ἕκαστον ἐρωτήσῃς τίνος ἕνεκεν πονεῖ καὶ ταλαιπωρεῖται καὶ τοσαύτην ἐπιδείκνυται χρημάτων δαπάνην εἰς οὐδὲν δέον, οὐδὲν ἕτερον ἀκούσῃ, ἢ ταῦτα τὰ ῥήματα, ὥστε τὴν μνήμην διηνεκῶς σώζεσθαι, καὶ ἀκούειν ὅτι τοῦ δεῖνος ἡ οἰκία, καὶ τοῦ δεῖνος ὁ ἀγρός. ἀλλὰ τοῦτο οὐκ ἔστι μνήμης ἀξιοῦσθαι, ἀλλὰ μᾶλλον κατηγορίας. εὐθέως γὰρ τοῖς λόγοις τούτοις ἐπεισέρχεται καὶ τὰ μυρίων κατηγοριῶν ἄξια ῥήματα, τοῦ δεῖνος τοῦ πλεονέκτου, τοῦ ἅρπαγος, τοῦ χήρας καὶ ὀρφανοὺς γυμνώσαντος. οὐκ ἔστι τοίνυν τοῦτο μνήμης ἀπολαύειν, ἀλλὰ κατηγορίαις διηνεκέσι βάλλεσθαι, καὶ μετὰ θάνατον στηλιτεύεσθαι, καὶ τὰς τῶν ὁρώντων γλώττας ἀκονᾷν εἰς βλασφημίαν καὶ κατηγορίαν τοῦ ταῦτα κτησαμένου. εἰ δὲ ὅλως μνήμης ἐρᾷς διηνεκοῦς, ἐγώ σοι ὑποδείξω ὁδὸν, δι' ἧς δυνήσῃ καὶ μνημονεύεσθαι διαπαντὸς, καὶ μετ' εὐφημίας πολλῆς καὶ πολλήν σοι τὴν παρρησίαν ἐν τῷ μέλλοντι καιρῷ παρέξεις. πῶς οὖν δυνήσῃ καὶ μνημονεύεσθαι καθ' ἑκάστην ἡμέραν, καὶ τοῖς ἐγκωμίοις βάλλεσθαι καὶ μετὰ τὴν τῆς ζωῆς μετάστασιν; εἰ ταυτὶ τὰ χρήματα εἰς τὰς τῶν πενήτων διανείμῃς χεῖρας, ἀφεὶς τοὺς λίθους καὶ τὰς μεγάλας οἰκοδομὰς, καὶ τοὺς ἀγροὺς καὶ τὰ βαλανεῖα. αὕτη ἡ μνήμη ἀθάνατος, αὕτη ἡ μνήμη μυρίων σοι θησαυρῶν πρόξενος γίνεται, αὕτη ἡ μνήμη τοῦ φορτίου τῶν ἁμαρτημάτων κουφίζουσα, πολλήν σοι τὴν παρρησίαν προξενεῖ παρὰ τῷ δεσπότῃ. ἐννόησον γάρ μοι καὶ αὐτὰ τὰ ῥήματα, ἅπερ ἕκαστος μέλλει λέγειν, τὸν ἐλεήμονα καὶ φιλάνθρωπον, τὸν ἐπιεικῆ, τὸν χρηστόν, τὸν μετὰ πολλῆς δαψιλείας διανείμαντα. Ἐσκόρπισε γάρ, φησιν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. τοιοῦτον γὰρ ὁ τῶν χρημάτων πλοῦτος, σκορπιζόμενος μᾶλλον παραμένει· συνεχόμενος δὲ καὶ ἔνδον ἀποκλειόμενος καὶ τοὺς κατέχοντας συναπόλλυσιν. ἐσκόρπισε γάρ, φησιν, ἔδωκε τοῖς πένησιν. ἀλλ᾽ ἄκουε καὶ τὸ ἑξῆς. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα [τοῦ αἰῶνος.] ἐν μιᾷ ἡμέρᾳ τὸν πλοῦτον ἐσκόρπισε, καὶ ἡ δικαιοσύνη αὐτοῦ εἰς πάντα τὸν αἰῶνα διαμένει, καὶ τὴν μνήμην ἀθάνατον" ἐργάζεται. εἶδες μνήμην παντὶ τῷ αἰῶνι παρεκτεινομένην· εἶδες μνήμην μεγάλων καὶ ἀπορρήτων γέμουσαν ἀγαθῶν· διὰ τοιούτων οἰκοδομημάτων μνημονεύεσθαι σπουδάζωμεν. αἱ γὰρ διὰ τῶν λίθων οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελῆσαι δύνανται, ἀλλὰ καὶ ἀντὶ στήλης διηνεκοῦς ἡμῶν λαμπρᾷ τῇ φωνῇ καταβοῶσι. καὶ τὰ μὲν ἐκ τούτων ἁμαρτήματα αὐτοὶ ἔχοντες ἄπιμεν, αὐτὰ δὲ καταλιπόντες ἐνταῦθα οὐδὲ τῆς ψυχρᾶς ἐκείνης καὶ ἀνονήτου παρ᾽ αὐτῶν μνήμης ἀξιούμεθα· ἀλλὰ ταῖς μὲν κατηγορίαις βαλλόμεθα, ἡ δὲ προσηγορία μεθίσταται εὐθέως εἰς ἕτερον. καὶ γὰρ οὕτως ἔχει· ἀπὸ τούτου εἰς ἕτερον μεταβαίνει, καὶ ἀπ᾽ ἐκείνου εἰς ἄλλον πάλιν· καὶ σήμερον μὲν ἡ οἰκία ἐλέγετο τοῦ δεῖνος, αὔριον δὲ τοῦ δεῖνος, καὶ μετὰ τὴν ἑξῆς, πάλιν ἑτέρου. καὶ ἀπατώμεθα ἑκόντες ἑαυτούς, νομίζοντες δεσποτείαν τινὰ κεκτῆσθαι, οὐκ εἰδότες ὅτι μόνον τῆς χρήσεως ἀπολαύομεν, καὶ ἑκόντες καὶ ἄκοντες ἑτέροις τούτων παραχωροῦμεν· ὅτι γὰρ καὶ οἷς οὐ βουλόμεθα, τοῦτο τέως παρίημι. ὅλως δὲ εἰ μνήμης ἐπιθυμεῖς, καὶ τοῦτό σοι περισπούδαστον, ἄκουε πῶς αἱ χῆραι ἐμέμνηντο τῆς Ταβιθᾶς, καὶ πῶς τὸν Πέτρον Περιεστήκεισαν κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. εἶδες οἰκοδομὰς ἐμψύχους φωνὰς ἀφιείσας, καὶ τοσαύτην ἰσχὺν ἐχούσας, ὡς καὶ ἀπὸ θανάτου εἰς ζωὴν ἐπαναγαγεῖν. ἐπειδὴ γὰρ περιέστησαν τὸν Πέτρον, καὶ τὰ δάκρυα θερμὰ ἐξέχεαν τὴν τροφὴν καὶ τὴν χορηγίαν ἐπιζητοῦσαι, ἐκβαλὼν πάντας, φησίν, ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἀναστήσας αὐτὴν ἐφώνησε τοὺς ἁγίους καὶ τὰς χήρας, καὶ παρέστησεν αὐτὴν ζῶσαν. εἰ βούλει μνημονεύεσθαι, καὶ εἰ δόξης ἀληθοῦς ἐρᾷς, ταύτην μίμησαι καὶ τοιαύτας οἰκοδομὰς ἐργάζου, μὴ περὶ τὴν ἄψυχον ὕλην καταδαπανώμενος, ἀλλὰ περὶ τοὺς ὁμογενεῖς πολλὴν τὴν φιλοτιμίαν ἐπιδεικνύμενος. αὕτη ἡ μνήμη ἐπαινετὴ καὶ πολὺ τὸ κέρδος φέρουσα. ἀλλὰ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, καὶ ἴδωμεν τῶν τότε ἀνδρῶν τὴν τόλμαν. τὰ γὰρ ἐκείνων πάθη ἡμῖν, εἰ βουλοίμεθα νήφειν, σωφρονισμὸς γενήσεται. καὶ οἰκοδομήσωμεν ἑαυτοῖς, φησί, πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἐπὶ τῆς γῆς. ὁρᾷς πῶς πανταχοῦ τῆς ἑαυτῶν γνώμης τὴν διαφθορὰν" ἐπιδεικνύουσι. καὶ οἰκοδομήσωμεν, φησιν, ἑαυτοῖς πόλιν. καὶ πάλιν, ποιήσωμεν ἑαυτοῖς ὄνομα. ἀλλ᾽ ὅρα καὶ μετὰ τοσαύτην πανωλεθρίαν πάλιν πῶς οὐκ ἐλάττοσι κακοῖς ἐπιχειροῦσι. τί οὖν ἵνα" γένηται; πῶς [ἵνα] ἀναχαιτισθῶσι τῆς μανίας; ὑπέσχετο μηκέτι ποιήσειν κατακλυσμὸν τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, οὗτοι δὲ οὐδὲ ταῖς τιμωρίαις ἐσωφρονίσθησαν, οὔτε ταῖς εὐεργεσίαις βελτίους ἐγένοντο. διὸ ἄκουε τὸ ἑξῆς, ἵνα μάθῃς τῆς ἀφάτου φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος.

Ψαλ. ρια. η.

Πράξ. θ. λθ.

γρ. ἀπεργάζ.

γρ. περὶ

γρ. μάταιοι;

5 Καὶ κατέβη, φησί, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμουν οἱ υἱοὶ τῶν ἀνθρώπων.

Ὅρα πῶς ἀνθρωπίνως ἡ γραφὴ διαλέγεται. καὶ κατέβη, φησί, κύριος ὁ θεός. οὐχ ἵνα ἀνθρωπίνως νοήσωμεν, ἀλλ᾽ ἵνα διὰ τούτου παιδευώμεθα" μηδέποτε καταψηφίζεσθαι

γρ. παιδευθῶμεν

ζεσθαι ἁπλῶς τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε ἐξ ἀκοῆς καταδικάζειν, ἐὰν μὴ πρότερον πολλὴν δεξώμεθα τὴν πληροφορίαν. πάντα γὰρ τὰ παρὰ τοῦ θεοῦ διὰ τοῦτο γίνεται, καὶ τοσαύτῃ κέχρηται τῇ συγκαταβάσει πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως. καὶ κατέβη, φησὶ, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον. ὅρα αὐτὸν οὐκ ἐκ προοιμίων ἀναστέλλοντα αὐτῶν τὴν μανίαν, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ κεχρημένον, καὶ ἀναμένοντα εἰς ἔργον αὐτοὺς ἀγαγεῖν τὴν πονηρίαν ἅπασαν, καὶ τότε ἐκκόψαι τὴν ἐπιχείρησιν. ἵνα γὰρ μή τινι ἐξῇ λέγειν, ὅτι ἐβουλεύσαντο μὲν, οὐκ ἤγαγον δὲ εἰς ἔργον τὰ δόξαντα, ἀναμένει πληρῶσαι αὐτοὺς τὰ βουληθέντα, καὶ τότε δεῖξαι αὐτοῖς ὡς ἀνοήτοις ἐπιχειροῦσι. καὶ κατέβη, φησὶ, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. ὅρα φιλανθρωπίας ὑπερβολήν. συνεχώρησε καμεῖν αὐτοὺς καὶ ταλαιπωρηθῆναι, ἵνα τῶν πραγμάτων ἡ πεῖρα διδάσκαλος αὐτοῖς γένηται. καὶ ἐπειδὴ εἶδεν ἀκμάζουσαν τὴν κακίαν, καὶ τὴν νόσον ἐπιτεινομένην, οὐκ εἰς τέλος ἀφίησιν, ἀλλὰ τὴν οἰκείαν ἐνδεικνύμενος ἀγαθότητα, καθάπερ ἰατρὸς ἄριστος, ὁρῶν αὐτῶν αὐξανομένην τὴν νόσον, καὶ τὸ ἕλκος ἀνίατον γινόμενον, ταχεῖαν ποιεῖται τὴν τομὴν, ἵνα παντελῶς ἀφανίσῃ τὴν αἰτίαν τῆς νόσου.

6 Καὶ εἶπε, φησι, κύριος ὁ θεός· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων,

Ἀντὶ τοῦ, φωνὴ μία καὶ γλῶσσα μία.

Καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν, ὅσα ἂν ἐπιθῶνται ποιεῖν.

Ὅρα δεσπότου φιλανθρωπίαν. ἐπειδὴ μέλλει τὴν ὁρμὴν αὐτῶν ἐκκόπτειν, ἀπολογίαν πρότερον συντίθησι, καὶ μονονουχὶ δείκνυσιν αὐτῶν τῆς ἁμαρτίας τὸ μέγεθος, καὶ τῆς ἀγνωμοσύνης τὴν ὑπερβολὴν, καὶ ὅτι τῇ συμφωνίᾳ οὐκ εἰς δέον ἐχρήσαντο. ἰδοὺ γάρ, φησι, γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. τοῦτο γὰρ ἔθος αὐτῷ, ἐπειδὰν μέλλῃ τιμωρίαν ἐπάγειν, πρότερον δεικνύναι τῶν ἡμαρτημένων τὸ μέγεθος, καὶ ὥσπερ ἀπολογίαν τινὰ συντιθέναι, καὶ τότε ποιεῖσθαι τὴν διόρθωσιν. καὶ γὰρ ἐπὶ τοῦ κατακλυσμοῦ, ἡνίκα ἤμελλε τὴν ἀπειλὴν ἐκείνην τὴν φοβερὰν ποιεῖσθαι, φησὶν ἡ γραφή· ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. εἶδες πῶς πρότερον ἔδειξε τῆς κακίας αὐτῶν τὴν ὑπερβολὴν, καὶ τότε φησὶν, ἀπαλείψω τὸν ἄνθρωπον. οὕτω καὶ νῦν· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξαντο ποιῆσαι. εἰ ὁμονοίας τοσαύτης ἀπολαύοντες καὶ ὁμοφωνίας πρὸς τοσαύτην ἐξώκειλαν μανίαν, τοῦ χρόνου προϊόντος πῶς οὐχὶ χείρονα διαπράξονται; οὐκ ἐκλείψει γάρ, φησιν, ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. οὐδὲν αὐτῶν τὴν ὁρμὴν ἐπισχεῖν δυνήσεται, ἀλλὰ πάντα τὰ βουληθέντα αὐτοῖς εἰς ἔργον ἀγαγεῖν σπουδάσουσιν, εἰ μὴ ταχέως ὑπὲρ τῶν ἤδη τολμηθέντων δίκην δώσωσι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πρωτοπλάστου γεγονὸς εὑρήσει τις. καὶ γὰρ ἐκεῖ, ἡνίκα ἤμελλεν ἐκβάλλειν τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, φησι, τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ; καὶ πάλιν, ἰδοὺ γέγονεν Ἀδὰμ, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα, καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου. καὶ νῦν φησιν, ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν.

7 Δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον.

Ὅρα πάλιν τῶν λέξεων τὴν συγκατάβασιν. δεῦτε, φησι, καὶ καταβάντες. τί βούλεται ταῦτα τὰ ῥήματα; συνεργείας δεῖται ὁ δεσπότης πρὸς τὴν διόρθωσιν; ἀλλὰ συμμαχίας πρὸς τὴν τούτων καθαίρεσιν; οὐχί, μὴ γένοιτο. ἀλλὰ καθάπερ ἤδη εἶπεν ἡ γραφή, κατέβη κύριος, διδάσκουσα ἡμᾶς διὰ τούτου, ὅτι μετὰ ἀκριβείας αὐτῶν εἶδε τῆς κακίας τὴν ὑπερβολήν, οὕτω καὶ ἐνταῦθά φησι, δεῦτε, καὶ καταβάντες. ὡς πρὸς ὁμοτίμους δὲ πάντως ἐστὶ τουτὶ τὸ εἰρημένον, δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον. καθάπερ [φησὶ] στήλην τινὰ διηνεκῆ, τοιαύτην αὐτοῖς ἐπιτίθημι τὴν τιμωρίαν, καὶ ἵνα παντὶ τῷ αἰῶνι συμπαρεκτείνηται, καὶ μηδεὶς χρόνος λήθην αὐτοῖς ἐμποιήσῃ. ἐπειδὴ γὰρ οὐ δεόντως ἐχρήσαντο τῇ ὁμοφωνίᾳ, διὰ τῆς ἑτεροφωνίας αὐτοὺς σωφρονισθῆναι βούλομαι. καὶ γὰρ οὕτως ἑκάστοτε εἴωθε ποιεῖν ὁ δεσπότης. τοῦτο ἐξ ἀρχῆς καὶ ἐπὶ τῆς γυναικὸς ἐποίησεν. οὐκ εἰς δέον ἐχρήσατο τῇ δοθείσῃ τιμῇ, καὶ διὰ τοῦτο ὑπέταξεν αὐτὴν τῷ ἀνδρί. καὶ πάλιν ἐπὶ τοῦ Ἀδάμ, ἐπειδὴ μὴ ἐκέρδανέ τι ἐκ τῆς πολλῆς ἀνέσεως, καὶ τῆς ἐν τῷ παραδείσῳ διαίτης, ἀλλὰ διὰ τῆς παραβάσεως τῷ ἐπιτιμίῳ ἑαυτὸν ὑπεύθυνον κατέστησεν, ἐξέβαλεν αὐτὸν ἐκ τοῦ παραδείσου, καὶ τὴν τιμωρίαν αὐτῷ ἐπέθηκε διηνεκῆ, λέγων· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ. καὶ οὗτοι τοίνυν ἐπειδὴ τιμηθέντες τῇ ὁμοφωνίᾳ, εἰς κακίαν ἐχρήσαντο τῇ δοθείσῃ τιμῇ, διὰ τῆς ἑτεροφωνίας ἵστησιν αὐτῶν τῆς κακίας τὴν φοράν. καὶ συγχέωμεν αὐτῶν, φησι, τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον. ἵνα ὥσπερ ἡ ὁμοφωνία τὴν συνοίκησιν εἰργάζετο, οὕτως ἡ διαίρεσις τῆς φωνῆς τὴν διασπορὰν αὐτοῖς κατασκευάσῃ. οἱ γὰρ μὴ τὴν αὐτὴν ἔχοντες φωνὴν καὶ διάλεξιν, πῶς ἂν ἠδύναντο κατὰ ταὐτὸν οἰκεῖν;

8 Καὶ διέσπειρεν αὐτοὺς, φησι, κύριος ὁ θεὸς ἐκεῖθεν ἐπὶ ″ προσώπου πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον.

Ὅρα δεσπότου φιλανθρωπίαν, εἰς ὅσην αὐτοὺς ἐνέβαλεν ἀμηχανίαν. καὶ γὰρ μαινομένοις λοιπὸν ″ ἐοίκασιν. ὁ μὲν ἐπέταττεν ἕτερον, ὁ δὲ ἕτερον ἐπεδίδου· καὶ ἀνόνητος αὐτοῖς λοιπὸν ἦν πᾶσα ἡ ἐπιχείρησις. διὸ καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον.

9 Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς, σύγχυσις· ὅτι ἐκεῖ συνέχεε κύριος ὁ θεὸς τὰ χείλη πάσης τῆς γῆς. καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς ἐπὶ πάσης τῆς γῆς.

Σκόπει πόσα γίνεται, ὥστε τὴν μνήμην παντὶ τῷ αἰῶνι συμπαρεκτείνεσθαι. πρότερον μὲν ἡ τῶν γλωσσῶν διαίρεσις, μᾶλλον δὲ καὶ πρὸ τούτου ἡ τοῦ ὀνόματος προσηγορία. τὸ Φαλὲκ γὰρ ὄνομα, ὅπερ ὁ Ἕβερ ἐπέθηκε τῷ παιδί, ″ μερισμὸν σημαίνει. ἔπειτα ἡ τοῦ τόπου προσηγορία. σύγχυσις γὰρ ὁ τόπος ὠνομάσθη, ὅπερ ἐστὶ Βαβυλών. ἔπειτα αὐτὸς ὁ Ἕβερ ἔμεινε τὴν αὐτὴν ἔχων διάλεξιν, ἥνπερ καὶ πρότερον, ἵνα καὶ τοῦτο σημεῖον ἐναργὲς γένηται τῆς διαιρέσεως. εἶδες διὰ πόσων ἠβουλήθη διηνεκῆ τὴν μνήμην διασώζεσθαι, καὶ μηδέποτε λήθῃ παραδοθῆναι τὸ τότε γεγενημένον. καὶ γὰρ ἐξ ἐκείνου λοιπὸν πατὴρ παιδὶ ἀνάγκην εἶχε τὴν αἰτίαν λέγειν τῆς ἑτεροφωνίας, καὶ παῖς παρὰ πατρὸς μανθάνειν ἐζήτει τῆς τοῦ τόπου προσηγορίας τὴν αἰτίαν. Βαβυλὼν γὰρ διὰ τοῦτο ὁ τόπος ὠνομάσθη, ὅπερ ἐστὶ σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος ὁ θεὸς τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτούς. ἀμφότερα ἡ τοῦ τόπου προσηγορία σημαίνειν μοι δοκεῖ, καὶ ὅτι τὰς γλώττας συνέχεε, καὶ αὐτόθεν τὴν διασπορὰν ὑπέμειναν.

ΗΘΙΚΟΝ

Ἠκούσατε, ἀγαπητοί, πόθεν αὐτοῖς ἡ τῆς διασπορᾶς ὑπόθεσις γέγονε, καὶ τῶν γλωττῶν ἡ διαίρεσις. φύγωμεν, παρακαλῶ, τὴν μίμησιν, καὶ τοῖς παρὰ τοῦ θεοῦ

παρασχεθεῖσιν

παραχεθεῖσιν ἡμῖν εἰς δέον χρησώμεθα, καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην ἐννοοῦντες οὕτω βουλευώμεθα, ὡς εἰκὸς ἀνθρώποις βουλεύσασθαι θνητοὺς τυγχάνοντας. καὶ λογιζόμενοι τοῦ παρόντος βίου τὸ ἐπίκηρον, καὶ ὡς βραχὺς ὁ τῆς ζωῆς ἡμῶν χρόνος, πολλὴν ἑαυτοῖς παρρησίαν προαποθώμεθα διὰ τῆς τῶν ἀγαθῶν πράξεων ἐργασίας· καὶ μὴ μόνον τῆς νηστείας τὴν ἐπίτασιν κατὰ τὰς ἡμέρας ταύτας ἐπιδειξώμεθα, ἀλλὰ καὶ ἐλεημοσύνης δαψίλειαν καὶ προσευχὰς ἐκτενεῖς. καὶ γὰρ τῇ νηστείᾳ τὴν προσευχὴν ἀεὶ συνεζεῦχθαι δεῖ. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. καὶ πάλιν ἐπὶ τῶν ἀποστόλων, Προσευξάμενοι γάρ, φησι, καὶ νηστεύσαντες παρέθεντο αὐτοὺς τῷ κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν. καὶ πάλιν ὁ ἀπόστολος, Μὴ ἀποστερεῖτε, φησιν, ἀλλήλους, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. εἶδες πῶς δεῖται τῆς ἐντεῦθεν συμμαχίας ἡ νηστεία. τότε γὰρ μάλιστα καὶ μετὰ νήψεως αἱ προσευχαὶ γίνονται, κουφοτέρας τῆς διανοίας τυγχανούσης, καὶ οὐδενὶ * βαρουμένης, οὐδὲ ὑπὸ τοῦ πονηροῦ τῆς τρυφῆς φορτίου πιεζομένης. μέγα γὰρ ὅπλον ἡ εὐχή, μεγάλη ἀσφάλεια, μέγας θησαυρός, μέγας λιμήν, ἄσυλον χωρίον· μόνον ἐὰν νήφοντες προσίωμεν τῷ δεσπότῃ, καὶ πανταχόθεν συνάγοντες ἑαυτῶν τὴν διάνοιαν, οὕτω τὴν πρόσοδον ποιώμεθα, μηδεμίαν παρείσδυσιν διδόντες τῷ ἐχθρῷ τῆς σωτηρίας τῆς ἡμετέρας. ἐπεὶ γὰρ οἶδεν, ὅτι κατὰ τὸν καιρὸν ἐκεῖνον δυνάμεθα περὶ τῶν συνεχόντων ἡμᾶς διαλεχθέντες, καὶ τὰ ἡμαρτημένα ἐξαγορεύσαντες, καὶ τὰ τραύματα τῷ ἰατρῷ δείξαντες, πολλῆς ἐπιτυχεῖν τῆς θεραπείας, τότε μάλιστα ἐφίσταται καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἐκκροῦσαι ἡμᾶς καὶ εἰς ῥᾳθυμίαν ἐμβαλεῖν. διὸ νήφωμεν, παρακαλῶ, καὶ εἰδότες αὐτοῦ τὰς ἐπιβουλάς, μάλιστα κατὰ τὸν καιρὸν ἐκεῖνον σπουδάζωμεν, ὡσανεὶ παρόντα καὶ παρὰ τῶν ὀφθαλμῶν ἡμῶν ἑστῶτα ὁρῶντες, οὕτως αὐτὸν διακρούεσθαι, καὶ πάντα λογισμὸν διαταράττοντα ἡμῶν τὴν διάνοιαν ἀπωθεῖσθαι, καὶ ὅλους ἑαυτοὺς συντείνειν, καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἔντευξιν, ἵνα μὴ μόνον ἡ γλῶττα φθέγγηται, ἀλλὰ καὶ ἡ διάνοια συμβαίνῃ τοῖς λεγομένοις. ἐὰν γὰρ ἡ γλῶττα μὲν προφέρῃ τὰ ῥήματα, ἡ δὲ διάνοια ἔξω ῥέμβηται, τὰ κατὰ τὴν οἰκίαν περισκοποῦσα, τὰ κατὰ τὴν ἀγορὰν φανταζομένη, οὐδὲν ἡμῖν ὄφελος ἔσται· τάχα δὲ καὶ πλείων ἡ κατάκρισις. εἰ γὰρ ἀνθρώπῳ προσιόντες, τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὡς μηδὲ τοὺς πλησίον παρεστῶτας πολλάκις ὁρᾶν, ἀλλὰ συντείνειν ἑαυτῶν τὴν διάνοιαν, κἀκεῖνον μόνον φαντάζεσθαι, ᾧ προσίωμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ τοῦτο ποιεῖν ἡμᾶς χρή, καὶ συνεχῶς καὶ ἀδιαλείπτως ταῖς προσευχαῖς προσκαρτερεῖν. διὰ γὰρ τοῦτο καὶ Παῦλος γράφων ἔλεγε, Προσευχόμενοι ἐν παντὶ καιρῷ, προσεύχεσθε καὶ ἐν πνεύματι· μὴ γλώσσῃ μόνον [καὶ μετὰ ἀγρυπνίας διηνεκοῦς, φησιν], ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ψυχῇ, ἐν πνεύματι. πνευματικὰ γάρ, φησιν, ἔστω ὑμῶν τὰ αἰτήματα, νηφέτω ὁ λογισμός, συντεινέσθω ἡ διάνοια τοῖς λεγομένοις, τοιαῦτα αἰτεῖσθε, οἷα εἰκὸς παρὰ τοῦ θεοῦ αἰτεῖν, ἵνα καὶ τῶν αἰτουμένων ἐπιτύχητε καὶ εἰς αὐτὸ ἀγρυπνῆτε διεγηγερμένοι, νήφοντες, ἐγρηγορότες τὴν διάνοιαν, μὴ χασμώμενοι, καὶ κνώμενοι, * καὶ ὧδε κἀκεῖσε τὸν λογισμὸν περιαγόμενοι, ἀλλὰ μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. μακάριος γάρ, φησιν, ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν. μέγα ἀγαθὸν ἡ εὐχή. εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ἐναρέτῳ οὐ μικρὰν ἐξ αὐτοῦ καρποῦται τὴν ὠφέλειαν, ὁ θεῷ διαλέγεσθαι καταξιωθεὶς πόσων οὐκ ἀπολαύσεται τῶν ἀγαθῶν; ἡ γὰρ εὐχὴ διάλεξίς ἐστι πρὸς τὸν θεόν. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος, Ἡδυνθείη τῷ θεῷ ἡ διαλογή μου, τουτέστιν, ἡ διάλεξίς μου ἡδεῖα φανείη τῷ θεῷ. μὴ γὰρ καὶ πρὶν αἰτήσωμεν, οὐκ ἠδύνατο παρασχεῖν; ἀλλὰ διὰ τοῦτο ἀναμένει, ἵνα ἀφορμὴν λάβῃ παρ' ἡμῶν τοῦ δικαίως ἡμᾶς ἀξιοῦν τῆς παρ' αὐτοῦ προ-

Ματ. ιζ. κα.
Μαρ. θ. κθ.
Πραξ. ιγ. γ.
α. Κορ. ζ. ε.
Εφεσ. ϛ. ιη.
Ψαλ. ργ. λδ.

ἀποστερῆτε

ογχέον-
βαρυνο-
μένης,

ἀγρυπνοῦν-
τες

νοίας. κἂν ἐπιτύχωμεν τοίνυν τῶν αἰτηθέντων, κἂν μὴ ἐπιτύχωμεν, παραμένωμεν τῇ αἰτήσει, καὶ μὴ μόνον ἐπιτυγχάνοντες εὐχαριστῶμεν, ἀλλὰ καὶ ἀποτυγχάνοντες. τὸ γὰρ ἀποτυχεῖν, ὅταν ὁ θεὸς βούλεται, οὐκ ἔλαττόν ἐστι τοῦ ἐπιτυχεῖν. οὐδὲ γὰρ ἴσμεν ἡμεῖς τὰ συμφέροντα ἡμῖν οὕτως, ὡς αὐτὸς ἐπίσταται. ὥστε οὖν, κἂν ἐπιτύχωμεν, κἂν ἀποτύχωμεν, εὐχαριστεῖν ὀφείλομεν. καὶ τί θαυμάζεις εἰ ἡμεῖς οὐκ ἴσμεν τὰ συμφέροντα; Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τῶν ἀποῤῥήτων ἐκείνων ἀξιωθεὶς ἠγνόει, τὰ μὴ συμφέροντα αἰτῶν. ἐπειδὴ γὰρ ἑώρα ἑαυτὸν κυκλούμενον ὑπὸ τῶν δεινῶν καὶ τῶν ἐπαλλήλων πειρασμῶν, ηὔξατο τούτων ἀπαλλαγῆναι, καὶ οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πολλάκις. Τρίτον γὰρ, φησι, τὸν κύριον παρεκάλεσα. τὸ δὲ τρίτον, πολλάκις παρεκάλεσε, καὶ οὐκ ἐπέτυχεν. ἴδωμεν οὖν πῶς διετέθη. ἆρα μὴ ἐδυσχέρανεν; ἆρα ὀκνηρότερος γέγονεν; ἆρα ἐνάρκησεν; οὐχί. ἀλλὰ τί φησιν; εἶπεν, ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. οὐ μόνον οὐκ ἠλευθέρωσεν αὐτὸν τῶν ἐπικειμένων λυπηρῶν, ἀλλὰ καὶ ἐναπομένειν αὐτὸν εἴασε. ναὶ, ἀλλὰ πόθεν δῆλον ὅτι οὐκ ἐδυσχέρανεν; ἄκουε Παύλου λέγοντος, ἐπειδὴ ἔμαθε τὰ δοκοῦντα τῷ δεσπότῃ· ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. οὐ μόνον, φησὶ, λοιπὸν ἀπαλλαγῆναι οὐκ ἐπιζητῶ, ἀλλὰ καὶ μετὰ πλείονος τῆς ἡδονῆς καυχήσομαι ἐπὶ τούτοις. εἶδες εὐγνώμονα ψυχὴν, εἶδες πόθον τὸν περὶ τὸν θεόν. ἄκουσον αὐτοῦ λέγοντος· Τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν. * οὐχ οἷόν τε, φησιν, ἀνθρώπους ἡμᾶς ὄντας εἰδέναι πάντα ἀκριβῶς. δεῖ οὖν παραχωρεῖν τῷ δημιουργῷ τῆς ἡμετέρας φύσεως, κἀκεῖνα μετὰ χαρᾶς δέχεσθαι καὶ πολλῆς τῆς ἡδονῆς, ἅπερ αὐτὸς δοκιμάσει, καὶ μὴ πρὸς τὴν ὄψιν τῶν γινομένων ὁρᾶν, ἀλλὰ πρὸς τὰ δοκοῦντα τῷ δεσπότῃ. ὁ γὰρ εἰδὼς τὸ συμφέρον μᾶλλον ἡμῶν, αὐτὸς οἶδε καὶ ὅπως δεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν μεθοδεῦσαι. ἡμῶν τοίνυν ἓν ἔργον ἔστω, τὸ διηνεκῶς ταῖς προσευχαῖς προσκαρτερεῖν, καὶ μὴ ἀσχάλλειν πρὸς τὴν βραδυτῆτα, ἀλλὰ πολλὴν τὴν μακροθυμίαν ἐπιδείκνυσθαι. οὐδὲ γὰρ ἀναδυόμενος ἡμῶν πρὸς τὰς αἰτήσεις ὑπερτίθεται, ἀλλὰ σοφιζόμενος ἡμῶν τὴν προσεδρίαν, καὶ βουλόμενος ἡμᾶς διηνεκῶς πρὸς ἑαυτὸν ἐφέλκεσθαι. ἐπεὶ καὶ πατὴρ φιλόστοργος αἰτούμενος πολλάκις παρὰ τοῦ παιδὸς οὐκ ἐπινεύει, οὐχὶ μὴ βουλόμενος δοῦναι, ἀλλὰ τοῦ παιδὸς τὴν προσεδρίαν διὰ τούτου ἐπισπώμενος. ταῦτα δὲ γινώσκοντες, μηδέποτε ἀπαγορεύωμεν, μηδὲ διαλείπωμεν προσιόντες καὶ τὰς ἱκετηρίας ποιούμενοι. εἰ γὰρ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπηνῆ δικαστὴν, καὶ μήτε τὸν θεὸν φοβούμενον ἡ προσεδρία τῆς γυναικὸς ἐξεβιάσατο καὶ ἐξεκαλέσατο εἰς τὴν ἑαυτοῦ ἀντίληψιν· πόσῳ μᾶλλον ἡμεῖς, εἰ βουληθείημεν ἐκείνην μιμήσασθαι τὴν γυναῖκα, τὸν ἥμερον καὶ φιλάνθρωπον ἡμῶν δεσπότην, τὸν εὔσπλαγχνον, καὶ ἐπιτρέχοντα ἡμῶν τῇ σωτηρίᾳ ἐκκαλεσόμεθα πρὸς τὴν οἰκείαν ἀντίληψιν; παιδεύσωμεν τοίνυν ἑαυτοὺς δυσαποσπάστως ἔχειν, καὶ διηνεκῶς ταῖς προσευχαῖς προσηλῶσθαι, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, καὶ μᾶλλον ἐν νυκτὶ, ὅτε οὐδεὶς ὁ ἐνοχλῶν, ὅτε πολλὴ τῶν λογισμῶν ἡ γαλήνη, ὅτε πολλὴ ἡ ἡσυχία, καὶ ταραχῆς ἐκτὸς τὸ δωμάτιον, οὐδενὸς ὄντος τοῦ ἐκκροῦσαι δυναμένου καὶ ἀποστῆσαι τῆς προσόδου, ὅτε συνηρμένη τυγχάνουσα ἡ διάνοια πάντα μετὰ ἀκριβείας ἀναθέσθαι δύναται τῷ τῶν ψυχῶν ἰατρῷ. εἰ γὰρ ὁ μακάριος Δαβὶδ, ὁ βασιλεὺς ὁμοῦ καὶ προφήτης, ὑπὸ τοσούτων ὀχλούμενος πραγμάτων, καὶ ἀλουργίδα καὶ διάδημα περικείμενος ἔλεγε, Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα βίον μετιόντες, καὶ μηδὲ τὰ αὐτὰ ἐκείνῳ ποιοῦντες; ἐπειδὴ γὰρ ἐν ἡμέρᾳ πολλὰ εἶχεν αὐτὸν τὰ περισπῶντα, καὶ πολὺς ἦν ὁ τῶν πραγμάτων ὄχλος, καὶ πολλὴ ἡ ταραχὴ, καὶ καιρὸν οὐχ ηὕρισκεν ἐπιτήδειον ἑαυτῷ πρὸς τὴν τοιαύτην πρόσοδον, τὸν

τῆς

β. Κορ. ιβ. η.

Ρωμ. η. κϛ.

Λυκ. ιη. β.

Ψαλ. ριη. ξβ.

γ. αὐτῷ

* ἴσ. οὐκ οἴδαμεν, αὐτὸ τὸ,

γ. τὸ δοκοῦν

γ. τῇ σωτη

γ. συγκεχ

τῆς ἀνέσεως καιρὸν, ὃν ἕτεροι ὕπνου ποιοῦνται καιρὸν ἐπὶ τῶν ἁπαλῶν στρωμάτων κατακεκλιμένοι, καὶ ὧδε κἀκεῖσε περιστρεφόμενοι, ὁ βασιλεὺς, ὁ τοσαύτην ἀναδεδεγμένος φροντίδα, προσόδου καιρὸν ἐποιεῖτο, κατ' ἰδίαν τῷ θεῷ διαλεγόμενος, καὶ εἰλικρινεῖς καὶ συντεταμένας τὰς εὐχὰς ποιούμενος, ἤνυεν ἅπερ ἤθελε· καὶ διὰ τῶν προσευχῶν τούτων τοὺς πολέμους κατώρθου, τρόπαιον ἱστὰς, καὶ νίκας νίκαις συνάπτων. εἶχε γὰρ ὅπλον ἀχείρωτον, τὴν ἄνωθεν συμμαχίαν, οὐ πρὸς τοὺς παρὰ τῶν ἀνθρώπων πολέμους ἀρκέσαι δυναμένην μόνον, ἀλλὰ καὶ πρὸς τὰς τῶν δαιμόνων φάλαγγας. τοῦτον τοίνυν καὶ ἡμεῖς μιμησώμεθα, οἱ ἰδιῶται τὸν βασιλέα, οἱ τὸν ἀπράγμονα καὶ ἡσύχιον βίον μετιόντες, τὸν ἐν ἁλουργίδι καὶ διαδήματι τὸν τῶν μοναχῶν βίον ὑπερακοντίσαντα. ἄκουε γὰρ πάλιν αὐτοῦ ἀλλαχοῦ λέγοντος, Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός. (ψαλ. μα. γ.) εἶδες ψυχὴν ἐν διηνεκεῖ κατανύξει τυγχάνουσαν. ἡ τροφή μου, φησὶν, ὁ ἄρτος μου, ἡ ἑστίασίς μου οὐδὲν ἕτερον ἦν, ἢ τὰ δάκρυά μου ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. καὶ πάλιν, Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου. (Ψαλ. ϛ. ϛ.) τί ἐροῦμεν ἡμεῖς; ἢ τί ἀπολογησόμεθα, οὐδὲ τὴν ἴσην τῷ βασιλεῖ τῷ ὑπὸ τοσούτων πραγμάτων περισπωμένῳ κατάνυξιν ἐπιδείξασθαι βουλόμενοι; τί γὰρ, εἰπέ μοι, τῶν ὀφθαλμῶν ἐκείνων ὡραιότερον τῶν ὑπὸ τῆς συνεχείας τῶν δακρύων, καθάπερ ὑπὸ μαργαριτῶν τινων, κεκαλλωπισμένων; εἶδες τὸν βασιλέα καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ δακρύοις καὶ εὐχαῖς ἑαυτὸν ἐκδεδωκότα· ὅρα καὶ τὸν τῆς οἰκουμένης διδάσκαλον ἐν δεσμωτηρίῳ καθειργμένον, καὶ τοὺς πόδας ἔχοντα ἐν τῷ ξύλῳ προσδεδεμένους ἅμα τῷ Σίλᾳ, καὶ διὰ πάσης τῆς νυκτὸς προσευχόμενον, οὔτε ὑπὸ τῆς ὀδύνης, οὔτε ὑπὸ τῶν δεσμῶν κωλυόμενον, ἀλλὰ ταύτῃ μᾶλλον πολὺν καὶ θερμότερον τὸν πόθον ἐπιδεικνύμενον τὸν περὶ τὸν δεσπότην. Παῦλος γὰρ, φησὶ, καὶ Σίλας κατὰ τὸ μεσονύκτιον προσευχόμενοι ὕμνουν τὸν θεόν. (Πραξ. ιϛ. κε.) ὁ Δαβὶδ ἐν βασιλείᾳ καὶ διαδήματι δακρύοις καὶ εὐχαῖς ἅπαντα τὸν βίον κατανήλισκεν· ὁ ἀπόστολος, ὁ εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς, ὁ τῶν ἀπορρήτων ἀξιωθεὶς μυστηρίων, ἐν δεσμοῖς τυγχάνων κατὰ τὸ μέσον τῆς νυκτὸς προσευχὰς καὶ ὕμνους ἀνέφερε τῷ δεσπότῃ· καὶ ὁ βασιλεὺς μεσονύκτιον ἐξεγειρόμενος ἐξωμολογεῖτο, καὶ οἱ ἀπόστολοι κατὰ τὸ μεσονύκτιον ἐκτενεῖς τὰς προσευχὰς καὶ τοὺς ὕμνους ἐποιοῦντο. τούτους μιμησώμεθα καὶ ἡμεῖς, καὶ τῇ συνεχείᾳ τῶν προσευχῶν τειχίζωμεν ἡμῶν τὴν ζωὴν, καὶ μηδὲν ἡμῖν ποτε κώλυμα γινέσθω. οὐδὲν γάρ ἐστιν ἡμῖν τὸ δυνάμενον ἐμποδίσαι, ἐὰν νήφωμεν. μὴ γὰρ τόπου χρῄζομεν, ἢ καιροῦ; πᾶς τόπος, πᾶς καιρὸς ἐπιτήδειος ἡμῖν πρὸς τὴν τοιαύτην πρόσοδον. ἄκουε γὰρ πάλιν αὐτοῦ τοῦ διδασκάλου τῆς οἰκουμένης λέγοντος, Ἐν παντὶ τόπῳ ἐπαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. (α. Τιμ. β. η.) ἂν τὴν διάνοιαν ἔχῃς καθαρεύουσαν τῶν ἀτόπων παθῶν, κἂν ἐν ἀγορᾷ ᾖς, κἂν ἐν οἰκίᾳ, κἂν ἐν ὁδῷ, κἂν ἐν δικαστηρίῳ παρεστὼς, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πανδοχείῳ, κἂν ἐπ' ἐργαστηρίῳ ᾖς ἑστηκὼς, κἂν ὅπου περ ἂν ᾖς, δυνήσῃ τὸν θεὸν καλέσας ἐπιτυχεῖν τῆς αἰτήσεως. ὅπερ εἰδότες, παρακαλῶ, μετὰ τῆς νηστείας καὶ τῆς προσευχῆς τὴν ἀκρίβειαν ἐπιδειξώμεθα, καὶ τὴν ἐντεῦθεν συμμαχίαν ἑαυτοῖς κατασκευάσωμεν· ἵνα τῆς παρ' αὐτοῦ ῥοπῆς ἀξιούμενοι, καὶ τὸν παρόντα βίον εὐαρέστως αὐτῷ διανύσωμεν, καὶ ἐν τῷ μέλλοντι φιλανθρωπίας τινὸς ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λόγ. λα.

ΚΑΙ ΕΛΑΒΕ ΘΑΡΡΑ ΤΟΝ ΑΒΡΑΜ ΚΑΙ ΤΟΝ Ναχὼρ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὸν Λὼτ τὸν υἱὸν Ἀρρὰν, υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα δὲ Ἄβραμ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων, πορευθῆναι εἰς γῆν τῶν Χαναναίων. καὶ ἦλθεν ἕως Χαρρὰν, καὶ κατῴκησεν ἐκεῖ.

Πολλάς ὑμῖν ἔχω χάριτας, ὅτι τε μεθ' ἡδονῆς ἐδέξασθε χθὲς τοὺς περὶ τῆς εὐχῆς ″λόγους, καὶ ὅτι μετὰ τοσαύτης σπουδῆς συντρέχετε περὶ τὴν ἀκρόασιν. τοῦτο γὰρ καὶ ἡμᾶς προθυμοτέρους ἀπεργάζεται, καὶ παρασκευάζει δαψιλεστέραν ὑμῖν παρατιθέναι τὴν ἑστίασιν ταύτην τὴν πνευματικήν. ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν ἴδῃ τὴν ἄρουραν καὶ τὰ καταβαλλόμενα σπέρματα πολλαπλάσια δεικνύουσαν, καὶ κομῶντα τὰ λήϊα, οὐ παύεται τὰ παρ' ἑαυτοῦ καθ' ἑκάστην εἰσφέρων, καὶ τὴν προσήκουσαν ἐπιμέλειαν ποιούμενος, καὶ περισκοπῶν καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, μή πού τι λυμήνηται τοῖς πόνοις αὐτοῦ· τὸν αὐτὸν δὴ τρόπον κἀγὼ ὁρῶν ὑμῶν τὴν ἄρουραν ταύτην τὴν πνευματικὴν οὕτω θάλλουσαν, καὶ τὸν ″θεῖον σπόρον τοῖς τῆς διανοίας κόλποις παρακατατιθέμενον, ὁμοῦ καὶ χαίρω καὶ εὐφραίνομαι, καὶ πολὺν ἔχω τὸν ἀγῶνα, εἰδὼς τοῦ ἐχθροῦ καὶ ἐπιβούλου τῆς σωτηρίας τῆς ἡμετέρας τὴν πονηρίαν. καθάπερ γὰρ οἱ κατὰ θάλατταν πειραταὶ, ἐπειδὰν ἴδωσι ναῦν πολλῶν φορτίων πεπληρωμένην, καὶ πλοῦτον ἄφατον ἐπαγομένην, τότε μάλιστα πολλὴν τὴν ἐπιβουλὴν ἐπιδείκνυνται, ὥστε πάντα καταδῦσαι τὸν φόρτον, καὶ γυμνοὺς καὶ ἐρήμους τοὺς ἐμπλέοντας καταστῆσαι· οὕτω δὲ καὶ ὁ διάβολος, ὅταν ἴδῃ πολὺν πλοῦτον συνηγμένον πνευματικόν, καὶ προθυμίαν ζέουσαν, καὶ διάνοιαν διεγηγερμένην, καὶ καθ' ἑκάστην ἡμέραν τὸν πλοῦτον αὐξανόμενον, δάκνεται καὶ ″τρίζει τοὺς ὀδόντας, καὶ καθάπερ πειρατὴς, οὕτω περιέρχεται μυρίας ἐπινοῶν μηχανὰς, ὥστε βραχεῖαν γοῦν τινα εὑρεῖν εἴσοδον, καὶ γυμνοὺς καὶ ἐρήμους ἡμᾶς ἀποφῆναι, καὶ συλῆσαι πάντα τὸν πλοῦτον ἡμῶν τὸν πνευματικόν. διά τοι τοῦτο νήφωμεν, παρακαλῶ, καὶ ὅσῳ ἂν τὰ τῆς περιουσίας ἡμῖν αὔξηται τῆς πνευματικῆς, τοσούτῳ καὶ τὰ τῆς ἀγρυπνίας ἐπιτεινέσθω, καὶ πανταχόθεν ἀποτειχίζωμεν αὐτοῦ τὰς ἐφόδους, καὶ διὰ τῆς ἀρίστης πολιτείας τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασάμενοι δυνατωτέρους ἑαυτοὺς καταστήσωμεν τῶν τοῦ διαβόλου βελῶν. πονηρὸν γάρ ἐστι τὸ θηρίον, καὶ πολυπλόκους ἔχει τὰς μηχανάς. καὶ ἐπειδὰν μὴ δυνηθῇ ἐξ εὐθείας πρὸς τὴν κακίαν ἡμᾶς ὑποσῦραι, καὶ διὰ τῆς ἀπάτης δελεάσαι (οὐδὲ γὰρ βιάζεται οὐδὲ ἀναγκάζει, μὴ γένοιτο, ἀλλ' ἀπατᾷ μόνον, καὶ ἐπειδὰν ἴδῃ ῥαθυμοῦντας, ὑποσκελίζει) ὅταν οὖν μὴ δι' αὐτῆς τῆς κακίας προφανῶς δυνηθῇ τῇ ἡμετέρᾳ σωτηρίᾳ λυμήνασθαι, πολλάκις δι' αὐτῶν τῶν τῆς ἀρετῆς ἔργων, ὧν ″μετίωμεν, τὸ δέλεαρ ἐμβαλὼν λανθανόντως ἅπαντα τὸν πλοῦτον κατέδυσε. τί οὖν ἐστιν, ὅ φημι; ἀναγκαῖον γὰρ αὐτὸ σαφέστερον εἰπεῖν, ἵνα διδαχθέντες αὐτοῦ τὰς ἐπιβουλὰς, διαφύγωμεν τὴν ἐντεῦθεν βλάβην. ὅταν ἴδῃ μὴ εὐκόλως ἡμᾶς καταδεχομένους γυμνὴν τὴν κακίαν, ἀλλὰ φεύγοντας μὲν τὴν ἀσέλγειαν, τὴν δὲ σωφροσύνην ἀσπαζομένους, καὶ πάλιν τὴν πλεονεξίαν ἀποστρεφομένους, καὶ μισοῦντας τὴν ἀδικίαν, καὶ τῆς τρυφῆς καταγελῶντας, καὶ νηστείαις καὶ προσευχαῖς ἑαυτοὺς ἐκδεδωκότας, καὶ περὶ τὴν ἐλεημοσύνην ἐσπουδακότας· τότε λοιπὸν μεθοδεύει ἑτέραν μηχανὴν, δι' ἧς ἡμῶν τὴν εὐπορίαν ἅπασαν ″συλῆσαι δυνήσεται, καὶ τοσαῦτα κατορθώματα ἀνόνητα

γρ. λογισμῶν,
γρ. πνευματικὸν τοῦτον.
γρ. τρίζων
ἴσ. μετίωμεν,
γρ. λυμαίνεσθαι

μέλλοντα ἡμῖν ἀποδεῖξαι. τοὺς γὰρ μετὰ πολλοῦ τοῦ πόνου περιγεγονότας αὐτοῦ τῶν μηχανῶν παρασκευάζει μέγα φρονεῖν ἐπὶ τοῖς κατορθώμασι, καὶ πρὸς τὴν τῶν ἀνθρώπων ἀποβλέπειν δόξαν, ἵνα τῆς ἀληθοῦς δόξης ἐκπεσεῖν ποιήσῃ. ὁ γὰρ μετιών τι τῶν πνευματικῶν, καὶ πρὸς ἀνθρωπίνην ἀφορῶν δόξαν, ἀπέχει τὸν μισθὸν αὐτοῦ ἐντεῦθεν ἤδη, καὶ οὐκ ἔτι λοιπὸν ὀφειλέτην ἔχει τὸν θεόν. παρ᾽ ὧν γὰρ ἐπεζήτησε δοξασθῆναι, ἀπήλαυσε τῶν ἐπαίνων, κἀκείνων τῶν ἐπηγγελμένων παρὰ τοῦ δεσπότου ἀπεστέρησεν ἑαυτὸν, προτιμήσας τὴν πρόσκαιρον εὐφημίαν, καὶ τὴν παρὰ τῶν ὁμογενῶν τοῦ παρὰ τῶν πάντων δημιουργοῦ. καὶ τοῦτο προλαβὼν αὐτὸς καὶ ἐπὶ προσευχῆς καὶ ἐπὶ ἐλεημοσύνης καὶ ἐπὶ νηστείας ἐδίδαξεν, οὕτω λέγων· Ὅταν νηστεύῃς, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι. καὶ πάλιν, Ὅταν δὲ ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς φησὶν, ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. εἶδες πῶς ὁ ταύτην τὴν δόξαν ἐπιζητῶν ἐκείνης ἀπεστέρηται, ὁ δὲ διὰ τοῦτο τὴν ἀρετὴν μετερχόμενος, καὶ λανθάνειν βουλόμενος τοὺς ἀνθρώπους, κατ᾽ ἐκείνην τὴν ἡμέραν τὴν φοβερὰν ἐν τῷ φανερῷ λήψεται παρὰ τοῦ δεσπότου τὰς ἀμοιβάς. ὁ γὰρ πατήρ σου, φησιν, ὁ ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. μὴ τοῦτο ἐννόει, φησὶν, ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἐπήνεσέ σε, καὶ ὅτι λανθάνων μετέρχῃ τὴν ἀρετήν· ἀλλ᾽ ἐκεῖνο λογίζου, ὅτι τοσαύτη τοῦ δεσπότου ἐστὶν ἡ φιλοτιμία μετ᾽ οὐ πολὺ, ὡς μὴ λανθανόντως μηδ᾽ ἐν ἀποκρύφῳ, ἀλλὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους τοῦ ἀπὸ Ἀδὰμ μέχρι τῆς συντελείας παρόντος, ἀνακηρύξει σε καὶ στεφανώσει, καὶ τῶν πόνων τῆς ἀρετῆς τὰς ἀμοιβὰς ἀποδώσει. ποίας οὖν ἂν εἶεν ἀπολογίας ἄξιοι, οἱ καὶ τὸν πόνον τῆς ἀρετῆς ὑπομένοντες, καὶ διὰ τὴν πρόσκαιρον καὶ εὐτελῆ καὶ ματαίαν δόξαν τὴν παρὰ τῶν ὁμογενῶν τῆς ἄνωθεν τιμῆς ἑαυτοὺς ἀποστεροῦντες; ἀσφαλιζώμεθα τοίνυν, παρακαλῶ, καὶ ὅταν ἂν καταξιωθῶμεν ἔργον πνευματικὸν μετιέναι, τοῦτο παντὶ τρόπῳ πανταχόθεν ἐν τοῖς ταμιείοις τῆς διανοίας τῆς ἡμετέρας κρύπτειν σπουδάζωμεν· ἵνα ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμὸν ἔχωμεν ἐπαινέτην, καὶ μὴ διὰ τὴν τῶν ἀνθρώπων εὐφημίαν, καὶ τοὺς πρὸς χάριν πολλάκις γινομένους ἐπαίνους, τῆς παρὰ τοῦ δεσπότου εὐφημίας ἑαυτοὺς ἀναξίους καταστήσωμεν. καὶ γὰρ ἀμφότερα ὀλέθρια, καὶ λύμη τῆς ἡμετέρας σωτηρίας, καὶ τὸ πρὸς δόξαν ἀνθρωπίνην ἀφορῶντά τι διαπράττεσθαι τῶν πνευματικῶν, καὶ τὸ μέγα φρονεῖν ἐφ᾽ οἷς ἂν κατορθῶσαι δυνηθῇ. διὸ νήφειν χρὴ καὶ ἐγρηγορέναι, καὶ *ἀπὸ τῆς θείας γραφῆς φάρμακα ἐπιτιθέναι συνεχῶς ἑαυτοῖς, ὥστε μὴ ἁλῶναι τοῖς ὀλεθρίοις τούτοις πάθεσι. κἂν γὰρ μυρία τις κατωρθωκὼς ᾖ, καὶ ἅπασαν τὴν ἀρετὴν διανύσας, μέγα δὲ φρονῇ, πάντων ἐλεεινότερος ἂν γένοιτο καὶ ἀθλιώτερος. καὶ τοῦτο δῆλον ἡμῖν γεγένηται, ἐξ ὧν ὁ φαρισαῖος ἐκεῖνος ὑπέμεινε, μεγάλα φρονήσας κατὰ τοῦ τελώνου, καὶ ἐλάττων τοῦ τελώνου ἀθρόον γεγονὼς καὶ διὰ τῆς οἰκείας γλώττης πάντα αὐτοῦ τὸν πλοῦτον τῆς ἀρετῆς ἐκχέας, καὶ γυμνὸν καὶ ἔρημον ἑαυτὸν καταστήσας, καὶ ξένον καὶ καινὸν ναυάγιον ὑπομείνας. Εἰς αὐτὸν γὰρ ἐλθὼν τὸν λιμένα ἅπαντα τὸν φόρτον αὐτοῦ κατέδυσε. τὸ γὰρ ἀπ᾽ εὐχῆς τῆς οὐ δεόντως γεγενημένης τοῦτο παθεῖν, ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ μέσῳ τῷ λιμένι ναυάγιον ὑπομεῖναι. διά τοι τοῦτο καὶ ὁ Χριστὸς παραγγέλλων τοῖς μαθηταῖς ἔλεγεν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, ἀσφαλιζόμενος αὐτοὺς, καὶ ἐκ πολλοῦ τοῦ διαστήματος βουλόμενος τοῦ ὀλεθρίου τούτου πάθους ἐκτὸς αὐτοὺς γενέσθαι. Εἴδετε, ἀγαπητοί,

Matθ.ς.ις.

Λυκ. ιη.

Λυκ. ιζ. ι.

πῶς οὔτε ὁ πρὸς δόξαν ἀνθρωπίνην κεχηνώς, καὶ διὰ ταύτην τὰ τῆς ἀρετῆς ἔργα μετιών, ἔχει τινὰ ὄνησιν, καὶ ὅτι καὶ μετὰ τὸ κατορθῶσαι πάντα τὰ τῆς ἀρετῆς, εἰ δόξει μέγα φρονεῖν ἐπὶ τούτοις, πάντων ἔρημος γίνεται καὶ γυμνός. Φεύγωμεν τοίνυν, παρακαλῶ, ταῦτα τὰ ὀλέθρια πάθη, καὶ πρὸς ἐκεῖνον μόνον ὁρῶμεν τὸν ἀκοίμητον ὀφθαλμόν, καὶ μηδὲν κοινὸν ἔχωμεν πρὸς τοὺς ὁμογενεῖς, μηδὲ ἐπιζητῶμεν τὸν παρὰ τούτων ἔπαινον, ἀλλ᾽ ἀρκώμεθα τῷ παρὰ τοῦ δεσπότου· Οὗ ὁ ἔπαινος γάρ, φησιν, οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ* θεοῦ· καὶ ὅσῳ ἂν πρὸς μείζονα ἐπιδιδῶμεν ἀρετήν, τοσούτῳ μᾶλλον ἑαυτοὺς μετριάζειν παρασκευάζωμεν καὶ συνεστάλθαι. κἂν γὰρ πρὸς αὐτὴν φθάσωμεν τῆς ἀρετῆς τὴν κορυφήν, ἐὰν ἀναμνησθῶμεν τὰς παρὰ τοῦ δεσπότου εὐεργεσίας μετὰ πολλῆς εὐγνωμοσύνης, τότε καλῶς ὀψόμεθα, ὅτι οὐδὲ τὸ πολλοστὸν μέρος τῶν παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς ὑπηργμένων εἰσηνέγκαμεν. καὶ γὰρ ἕκαστος τῶν ἁγίων ἐντεῦθεν ηὐδοκίμησε. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ τῆς οἰκουμένης διδασκάλου, τῆς οὐρανομήκους ἐκείνης ψυχῆς, πῶς μετὰ τοσαῦτα κατορθώματα, μετὰ τὴν τοσαύτην ἄνωθεν μαρτυρίαν (Σκεῦος γάρ, φησιν, ἐκλογῆς ἐστί μοι οὗτος) οὐκ ἐπιλανθάνεται τῶν οἰκείων πλημμελημάτων, ἀλλ᾽ ἀμφοῖν ταῦτα περιστρέφει· καὶ ὑπὲρ ὧν μάλιστα πεπληροφόρητο, ὅτι τὴν συγχώρησιν ἐδέξατο διὰ τοῦ βαπτίσματος, οὐδὲ τούτων ἐπιλανθάνεσθαι ἀνέχεται· ἀλλὰ βοᾷ καὶ λέγει· Ὅτι ἐλάχιστός εἰμι τῶν ἀποστόλων, καὶ οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος· εἶτα ἵνα τὴν ὑπερβολὴν αὐτοῦ παιδευθῶμεν τῆς ταπεινοφροσύνης, προσέθηκε, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Χριστοῦ. τί ποιεῖς, ὦ Παῦλε; ὁ δεσπότης διὰ τὴν οἰκείαν φιλοτιμίαν συνεχώρησε καὶ ἀπήλειψεν ἅπαντα τὰ ἡμαρτημένα σοι, καὶ σὺ ταῦτα στρέφεις; ναὶ οἶδα, φησι, καὶ οὐκ ἀγνοῶ τοῦ δεσπότου τοῦ ἐμοῦ τὴν λύσιν. ἀλλ᾽ ὅταν ἐννοήσω τὰ ἐμοὶ εἰργασμένα, καὶ ἴδω τὸ πέλαγος τῆς τοῦ θεοῦ φιλανθρωπίας, τότε μανθάνω καλῶς, Ὅτι χάριτι αὐτοῦ* εἰμι ὅ εἰμι. εἰπὼν γὰρ ὅτι οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐπήγαγε· χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι. ἐγὼ μέν, φησι, τοσαύτην ἐπεδειξάμην τὴν μανίαν· ἡ δὲ ἄφατος αὐτοῦ ἀγαθότης καὶ χάρις τὴν συγχώρησιν ἐχαρίσατο. Εἶδες ψυχὴν συντετριμμένην, καὶ τῶν πρὸ τοῦ βαπτίσματος ἡμαρτημένων διηνεκῶς τὴν μνήμην περιστρέφουσαν. Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα. καὶ τὰ μετὰ τὸ βάπτισμα ἡμῖν ἡμαρτημένα ταῦτα καθ᾽ ἑκάστην ἡμέραν μιμνησκόμενοι, καὶ διηνεκῶς ἐν τῇ διανοίᾳ περιστρέφοντες, μηδέποτε συγχωρῶμεν εἰς λήθην ἡμᾶς αὐτῶν ἐμπεσεῖν. ἱκανὸς γὰρ ἡμῖν χαλινὸς τοῦτο γενήσεται πρὸς τὸ συνεστάλθαι καὶ μετριάζειν. καὶ τί λέγω Παῦλον, τὸν τοσοῦτον καὶ τηλικοῦτον; θέλεις ἰδεῖν καὶ τοὺς ἐν τῇ παλαιᾷ ἐντεῦθεν μάλιστα ″εὐδοκιμήσαντας, ἀπὸ τοῦ μετριάζειν μετὰ μυρία κατορθώματα καὶ τὴν ἄφατον παρρησίαν; ἄκουε τοῦ πατριάρχου λέγοντος μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τὸν θεόν, μετὰ τὴν ἐπαγγελίαν τὴν εἰς αὐτὸν γεγενημένην· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἀλλ᾽ ἐπειδὴ τοῦ πατριάρχου ἐμνήσθην, εἰ δοκεῖ, τὰ σήμερον ἀναγνωσθέντα προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἵνα ταῦτα ἀναπτύξαντες ἴδωμεν τῆς ἀρετῆς τοῦ ἀνδρὸς τὴν ὑπερβολήν.

31 Καὶ ἔλαβε* Θάρρα τὸν Ἄβραμ καὶ τὸν Ναχὼρ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα δὲ Ἄβραμ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων, πορευθῆναι εἰς τὴν γῆν τῶν Χαναναίων. καὶ ἦλθεν ἕως Χαρρὰν καὶ κατῴκησεν ἐκεῖ. 32 Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάρρα ἐν Χαρρὰν ἔτη διακόσια πέντε, καὶ ἀπέθανεν ἐν Χαρράν.

Μετὰ ἀκριβείας προσέχωμεν, παρακαλῶ, τοῖς ἀναγνωσθεῖσιν, ἵνα δυνηθῶμεν καταλαβεῖν

Ρωμ. β. κθ.

* τοῦ

Πραξ. θ. ιε.

α. Κορ. ιε. θ.

α. Κορ. ιε. ι.

* καὶ φιλανθρωπίας

γρ. εὐδοκιμήσαντας,

Γεν. ιη. κζ.

* φησί,

ταλαβεῖν τὸν νοῦν τῶν ἐγγεγραμμένων. ἰδοὺ γὰρ ἐν προοιμίοις δοκεῖ ζήτημα εἶναι ἐν τοῖς εἰρημένοις. τοῦ γὰρ μακαρίου τούτου προφήτου, τοῦ Μωϋσέως λέγω, εἰπόντος ὅτι ἔλαβε Θάῤῥα τὸν Ἄβραμ καὶ τὸν Νάχωρ, καὶ ἐξήγαγεν ἐκ γῆς Χαλδαίων, * καὶ ἦλθεν ἕως Χαῤῥὰν, καὶ κατῴκησεν ἐκεῖ· ὁ μακάριος Στέφανος ἐγκωμιάζων τοὺς Ἰουδαίους φησίν· Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥὰν, κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτόν. τί οὖν ἐστιν; ἐναντιοῦται ἑαυτῇ ἡ θεία γραφή; μὴ γένοιτο. ἀλλὰ συνιδεῖν ἐκ τούτου προσήκει, ὅτι θεοφιλοῦς ὄντος τοῦ παιδὸς ὀφθεὶς αὐτῷ ὁ θεὸς προσέταξε μεταναστῆναι ἐκεῖθεν. καὶ τοῦτο γνοὺς ὁ Θάῤῥα ὁ τούτου πατὴρ, εἰ καὶ ἄπιστος ἐτύγχανεν, ἀλλ' ὅμως ὑπὸ τοῦ πρὸς τὸν παῖδα φίλτρου κοινωνῆσαι αὐτῷ κατεδέξατο τῆς ἀποδημίας, καὶ ἐλθὼν εἰς τὴν Χαῤῥὰν, κἀκεῖ κατοικήσας οὕτω μετήλλαξε τὸν βίον· καὶ τότε κελεύσαντος τοῦ θεοῦ μετανίσταται εἰς τὴν Χαναναίαν ὁ πατριάρχης. ἀμέλει οὐ πρότερον αὐτὸν ὁ θεὸς ἐκεῖθεν ἀνέστησε, μέχρις ὅτε Θάῤῥα ἐτελεύτησε. τότε γὰρ μετὰ τὴν ἐκείνου τελευτὴν, φησί,

1 Καὶ εἶπε κύριος τῷ Ἄβραμ· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω· 2 Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. 3 Καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

Ἕκαστον τῶν εἰρημένων μετὰ ἀκριβείας διερευνησώμεθα, ἵνα ἴδωμεν τῆς γνώμης τοῦ πατριάρχου τὸ φιλόθεον. μὴ γὰρ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον, ἀλλ' ἐννοήσωμεν ὅσος τοῦ ἐπιτάγματος ὁ ὄγκος. ἔξελθε, φησίν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω· κατάλιπε, φησί, τὰ δῆλα καὶ τὰ ὡμολογημένα, καὶ προτίμησον τὰ ἄδηλα καὶ τὰ μὴ φαινόμενα. σκόπει πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐγυμνάζετο ὁ δίκαιος τὰ μὴ φαινόμενα τῶν φαινομένων προτιμᾷν, καὶ τὰ μέλλοντα τῶν ἐν χερσὶν ὄντων. οὐδὲ γὰρ τὸ τυχὸν ἦν ὅπερ ἐπετάττετο ποιῆσαι· καταλιπεῖν τὴν γῆν, ἔνθα τοσοῦτον ᾤκησε χρόνον, καὶ τὴν συγγένειαν ἅπασαν, καὶ πάντα τοῦ πατρὸς τὸν οἶκον, καὶ ἐλθεῖν ἔνθα μὴ ᾔδει μηδὲ ἠπίστατο. οὐδὲ γὰρ εἶπεν εἰς ποίαν αὐτὸν χώραν βούλεται μεταστῆσαι, ἀλλὰ τῷ ἀδιορίστῳ τοῦ ἐπιτάγματος ἐγύμναζε τοῦ πατριάρχου τὸ φιλόθεον. δεῦρο γὰρ, φησίν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. ἐννόησόν μοι, ἀγαπητὲ, ὅπως ὑψηλῆς ἐδεῖτο γνώμης τὸ ἐπίταγμα, καὶ μηδεμιᾷ προσπαθείᾳ ἢ συνηθείᾳ κατεχομένης. εἰ γὰρ νῦν μετὰ τὸ ἐπιδοῦναι τὴν εὐσέβειαν οὕτως εἰσὶ πολλοὶ [τῇ] συνηθείᾳ προσδεδεμένοι, ὡς καὶ μυριάκις ἂν ἕλοιντο, κἂν ἀνάγκη κατεπείγῃ, πάντα [ἕτερα λυπηρὰ] ὑπομεῖναι, ἢ τῶν τόπων μεταστῆναι, ἔνθα πρότερον τὴν οἴκησιν εἶχον, καὶ ταῦτα οὐκ ἐπὶ τῶν τυχόντων μόνον ἀνδρῶν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν φυγόντων τοὺς ἐν μέσῳ θορύβους, καὶ τὸν τῶν μοναχῶν ἑλομένων βίον· πολλῷ δὴ μᾶλλον τότε τὸν δίκαιον τοῦτον εἰκὸς ἦν δυσχερᾶναι πρὸς τὸ ἐπίταγμα, καὶ ὀκνηρότερον καταστῆναι. ἔξελθε, φησί, καὶ κατάλιπε τοὺς συγγενεῖς, τὸν οἶκον τὸν πατρικὸν, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. τίνα ἂν οὐκ ἐθορύβησε ταυτὶ τὰ ῥήματα; οὔτε τὸν τόπον, οὔτε τὴν χώραν δήλην αὐτῷ ποιεῖ, ἀλλὰ τῷ ἀδήλῳ βασανίζει τοῦ δικαίου τὴν γνώμην. εἰ γὰρ ἕτερός τις ἦν ὁ κελευσθεὶς, καὶ εἷς τῶν πολλῶν, εἶπεν ἄν, ἔστω, κελεύεις με καταλιπεῖν τὴν γῆν ἔνθα νῦν οἰκῶ, τὴν συγγένειαν, τὸν οἶκον τὸν πατρικόν· τίνος ἕνεκεν, οὐχὶ καὶ τὸν τόπον, ἔνθα ἀφικέσθαι με προστάττεις, δῆλον ποιεῖς,

Πραξ. ζ. β.

κεφ. ιβ.

ἵνα εἰδέναι ἔχω κἂν τοῦ διαστήματος τὸ μέγεθος; πόθεν μοι γὰρ ἐκεῖνο γνώριμον ἂν γένοιτο, ὅτι ταύτης, ἧς καταλιμπάνω, βελτίων ὀφθήσεται ἐκείνη μᾶλλον καὶ εὐπορωτέρα; ἀλλ᾽ ὁ δίκαιος οὐδὲν τούτων οὐδὲ εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλὰ πρὸς τὸ τῶν ἐπιτεταγμένων μέγεθος ἀπιδὼν, τὰ ἄδηλα τῶν ἐν χερσὶ προετίθει.. καί τοι εἰ μὴ ὑψηλὸν εἶχε φρόνημα, καὶ φιλόσοφον γνώμην, καὶ πεπαίδευτο πάντα πείθεσθαι τῷ θεῷ, καὶ ἕτερον οὐ μικρὸν εἶχεν ἂν κώλυμα, αὐτὴν τοῦ πατρὸς τὴν τελευτήν. ἴστε γὰρ ὅτι πολλοὶ πολλάκις διὰ τοὺς τάφους τῶν προσηκόντων εἵλοντο τοῖς τόποις ἐκείνοις ἐναποθανεῖν, ἔνθα τὸν βίον κατέλυσαν οἱ γονεῖς. εἰκὸς τοίνυν ἦν καὶ τὸν δίκαιον τοῦτον, εἴγε μὴ ἦν σφόδρα φιλόθεος, καὶ τοῦτο λογίσασθαι· ὅτι ὁ μὲν πατὴρ διὰ τὸ περὶ ἐμὲ φίλτρον οἴκοθεν ἐξανέστη, καὶ συνηθείας παλαιᾶς ὑπερεῖδε, καὶ πάντων ἀνώτερος γεγονὼς μέχρι τούτου παρεγένετο, καὶ σχεδὸν εἰπεῖν δι᾽ ἐμὲ ἐν ἀλλοτρίᾳ τὸν βίον [ταύτῃ] κατέλυσεν· ἐγὼ δὲ οὐδὲ μετὰ τὸν θάνατον τὴν ἴσην αὐτῷ ἀμοιβὴν ἀποδοῦναι σπουδάζω, ἀλλὰ καταλιπὼν μετὰ τῆς συγγενείας τοῦ πατρὸς [καὶ] τὸν [αὐτοῦ] τάφον, ἀπελεύσομαι. ἀλλ᾽ ὅμως οὐδὲν τούτων αὐτοῦ ἀποθέσθαι τὴν ὁρμὴν ἴσχυσεν· ἀλλὰ πάντα εὔκολα αὐτῷ καὶ ῥᾴδια φαίνεσθαι ἐποίει τὸ περὶ τὸν θεὸν φίλτρον. ἐπεὶ κἀκεῖνο ἂν ἐνενόησεν, εἴγε ἀνθρωπίνοις λογισμοῖς τὰ καθ᾽ ἑαυτὸν ἐπιτρέψαι ἐβούλετο· ἐν ἡλικίᾳ [λέγων] τοιαύτῃ καὶ λοιπὸν πρὸς γῆρας ἔσχατον ἐλαύνων ποῦ ἀπελεύσομαι; οὐ τὸν ἀδελφὸν ἐπιφερόμενος, οὐ τοὺς συγγενεῖς ἔχων μεθ᾽ ἑαυτοῦ· ἀλλὰ πάντων τῶν πρὸς γένος διαφερόντων [μοι] κεχωρισμένος, πῶς ἔρημος καὶ ξένος οὕτω τὴν ἀλλοτρίαν καταλήψομαι, οὐδὲ εἰδὼς ὅπου στήσομαι τῆς πλάνης; εἰ δὲ καὶ κατὰ μέσην τὴν ὁδὸν συμβῇ με καταλῦσαι τὸν βίον, τί τὸ ὄφελος τῆς τοιαύτης ταλαιπωρίας; τίς με περιστελεῖ τὸν γέροντα, τὸν ξένον, τὸν ἄπολιν, τὸν ἄοικον; ἴσως ἡ γυνὴ τοὺς γείτονας παρακαλέσει συμπάθειάν τινα ἐπιδείξασθαι, καὶ ἐξ ἐράνου τινὸς καὶ συνεισφορᾶς τὰ καθήκοντα πληρώσει. καὶ πόσῳ βέλτιον αὐτὸν τὸν βραχὺν χρόνον τὸν ὑπολειπόμενον ἡμῖν εἰς ζωὴν καθεζόμενον ἐνταῦθα καταλῦσαί με τὸν βίον, ἢ μετὰ γῆρας ὧδε κἀκεῖσε περιέλκεσθαι, καὶ τὰ παρὰ πάντων ὑπομένειν σκώμματα, ὡς οὐδὲ ἐν ἡλικίᾳ τοιαύτῃ δυνηθέντα ἐν ἡσυχίᾳ διάγειν, ἀλλὰ τόπους ἐκ τόπων ἀμείβειν, καὶ μηδαμοῦ ἵστασθαι. ἀλλὰ τούτων μηδὲν ὑπολογισάμενος ὁ δίκαιος οὕτως ὑπακούειν ἔσπευδε τῷ ἐπιτάγματι. ἀλλ᾽ ἴσως εἴποι τις ἄν, ὅτι ἱκανὸν ἦν αὐτῷ εἰς προτροπὴν τὸ λέγειν· δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε. τοῦτο τοίνυν αὐτὸ μάλιστα, εἰ μὴ φιλόθεος ἦν, ἤρκει ὀκνηρότερον αὐτὸν περὶ τὴν ὑπακοὴν ἐργάσασθαι. ἠδύνατο γὰρ εἰπεῖν, εἰ τῶν πολλῶν τις ἦν, ὅτι τίνος ἕνεκεν εἰς τὴν ξένην με ἀπάγεις, καὶ τὴν ἀλλοτρίαν με καταλαβεῖν κελεύεις; διὰ τί γὰρ με ἐνταῦθα, εἴπερ βούλει μέγαν ποιῆσαι, οὐ ποιεῖς; διὰ τί * ἐπὶ τῆς οἰκίας τῆς πατρῴας διάγοντα οὐκ ἀξιοῖς τῆς σῆς εὐλογίας; ὡς εἰ συμβαίη με, πρὶν ἢ φθάσαι εἰς τὸν τόπον ἔνθα κελεύεις, κατεργασθέντα ὑπὸ τῶν κατὰ τὴν ὁδοιπορίαν καμάτων καὶ διαφθαρῆναι καὶ τὸν βίον καταλῦσαι, τί μοι τὸ ὄφελος τῶν ἐπαγγελλομένων; ἀλλ᾽ οὐδὲν τούτων οὐδὲ εἰς ἔννοιαν λαβεῖν κατεδέξατο· ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης, τῷ ἐπιτάγματι μόνον ὑπήκουεν, οὐ περιεργαζόμενος οὐδὲ πολυπραγμονῶν, ἀλλ᾽ ἐπείθετο καὶ πεπληροφορημένος ἐτύγχανεν, ὅτι ἀψευδεῖς ἦσαν αἱ τοῦ θεοῦ ἐπαγγελίαι· καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. μέγας τῆς ὑποσχέσεως ὁ ὄγκος. ποιήσω σε, φησίν, εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου. οὐ μόνον ἔθνει σε μεγάλῳ ἐπιστήσω, καὶ τὸ ὄνομά σου μέγα ἀπεργάσομαι, ἀλλὰ καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. μὴ νομίσῃς, ἀγαπητέ, ταυτολογίαν

χ. ἐπιτεταγμένον

χ. ἢ μετὰ τὸν θάνατον αὐτὸν τιμῆς μετὰ τῆς ἴσης

χ. ἴσ. γένος

χ. ἐπαΐειν

* ἢ

ἐπὶ τὸ εἰρημένον τό, καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. τοσαύτης* σε, φησιν, εὐλογίας ἀξιώσω, ὡς παντὶ τῷ αἰῶνι παρεκτείνεσθαι [αὐτήν]. ἔσῃ γὰρ εὐλογημένος, ὡς ἕκαστον ἀντὶ μεγίστης τιμῆς σπουδὴν ποιεῖσθαι " εἰσαχθῆναι αὐτὸν εἰς τὴν πρὸς σὲ οἰκειότητα. ὅρα πῶς ἄνωθεν καὶ ἐκ προοιμίων αὐτῷ προλέγει τὴν περιφάνειαν, ἐν ᾗ καταστήσειν αὐτὸν ἔμελλε. ποιήσω σε, φησιν, εἰς ἔθνος μέγα, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. διὰ τοῦτο καὶ οἱ ἰουδαῖοι μέγα φρονοῦντες ἐπὶ τῷ πατριάρχῃ ἐβούλοντο εἰς τὴν τούτου συγγένειαν ἑαυτοὺς " εἰσαχθῆναι, καὶ ἔλεγον· τέκνα τοῦ Ἀβραάμ ἐσμεν· ἀλλ' ἵνα μάθωσιν ὅτι ἀπὸ τῆς τῶν τρόπων κακίας ἀνάξιοι τυγχάνουσι τῆς συγγενείας, φησὶ πρὸς αὐτοὺς ὁ Χριστός, Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. καὶ Ἰωάννης δὲ ὁ τοῦ Ζαχαρίου, ἡνίκα συνέρρεον εἰς τὸν Ἰορδάνην οἱ βαπτισθῆναι σπεύδοντες, ἔλεγε πρὸς αὐτούς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν, [ὅτι] πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. εἶδες πῶς μέγα αὐτοῦ τὸ ὄνομα παρὰ πᾶσιν ἦν. ἀλλὰ τέως πρὸ τῆς ἐκβάσεως τὸ φιλόθεον τοῦ δικαίου δείκνυται, πῶς τοῖς παρὰ τοῦ θεοῦ ῥηθεῖσιν ἐπίστευσε, καὶ ἅπαντα τὰ δοκοῦντα εἶναι φορτικὰ μετ' εὐκολίας " κατεδέχετο. καὶ εὐλογήσω, φησί, τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ὅρα θεοῦ συγκατάβασιν, καὶ πόσης αὐτῷ φιλίας δείκνυσι τεκμήριον. ἐκείνους, φησί, φίλους ποιήσομαι, τοὺς πρὸς σὲ γνησίως διακειμένους, καὶ ἐκείνους ἐχθρούς, τοὺς ἐναντίως πρὸς σὲ ἔχοντας· ὅπερ σχεδὸν οὐδὲ παῖδες πρὸς " πατέρας ἐπιδεῖξαι ἀνέχονται, τὸ τοὺς αὐτοὺς ποιεῖσθαι αὐτοῖς καὶ φίλους καὶ ἐχθρούς. μεγίστη οὖν, ἀγαπητέ, ἡ περὶ τὸν πατριάρχην τοῦ θεοῦ εὔνοια. ἐκείνους, φησίν, εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ ἐκείνους καταράσομαι τοὺς καταρωμένους σε· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἰδοὺ προσθήκη καὶ ἑτέρας φιλοτιμίας. πᾶσαι, φησιν, αἱ φυλαὶ τῆς γῆς ἐπὶ τῷ σῷ ὀνόματι ἐνευλογεῖσθαι σπουδάσουσι, καὶ ἀπὸ τῆς σῆς προσηγορίας σεμνότερα τὰ καθ' ἑαυτοὺς ἐγκαταστήσουσιν. ἠκούσατε, ἀγαπητοί, οἷα ἐπέταξεν ὁ δεσπότης τῷ Χαλδαίῳ, τῷ γέροντι, τῷ μήτε νόμον ἀνεγνωκότι, μήτε " προφήταις ἐντυχόντι, μήτε ἑτέρας διδασκαλίας τινὸς ἀπολαύσαντι. εἴδετε ὅσος τῶν ἐπιταγμάτων ὁ ὄγκος, πῶς ὑψηλῆς τινος καὶ νεανικῆς δεόμενος ψυχῆς πρὸς τὴν τούτων ἐκπλήρωσιν. βλέπετε λοιπὸν καὶ τοῦ πατριάρχου τὴν εὐγνωμοσύνην, ὅπως ἡμῖν ἡ γραφὴ φανερὰν αὐτὴν καθίστησι.

Ιωαν. η. λθ.

Ματθ. γ. ζ.

4 Καὶ ἐπορεύθη, φησίν, Ἀβραμ καθὰ ἐλάλησεν αὐτῷ κύριος ὁ θεός, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ.

Οὐχ ἁπλῶς εἶπεν ἐπορεύθη Ἀβραμ, ἀλλὰ καθάπερ ἐλάλησεν αὐτῷ κύριος ὁ θεός, ἀκόλουθα, φησί, τῷ ἐπιτάγματι ἅπαντα διεπράξατο. εἶπεν ἀφεῖναι πάντα, καὶ συγγένειαν καὶ οἶκον, καὶ ἀφῆκεν. εἶπεν ἐλθεῖν εἰς γῆν, ἣν οὐκ ᾔδει· κατεδέξατο. ἐπηγγείλατο ποιήσειν εἰς ἔθνος μέγα καὶ εὐλογήσειν· ἐπίστευσεν ὅτι ἔσται καὶ τοῦτο. [καὶ] καθάπερ ἐλάλησεν αὐτῷ κύριος ὁ θεός, οὕτως ἐπορεύθη· ἀντὶ τοῦ, ἐπίστευσε τοῖς παρ' αὐτοῦ ῥηθεῖσιν οὐδὲν ἐνδοιάσας οὐδὲ ἀμφιβάλλων, ἀλλ' ἐστηριγμένην ἔχων τὴν διάνοιαν καὶ τὸν λογισμόν, οὕτως ἐπορεύθη. διὸ καὶ πολλῆς εὐνοίας ἀπήλαυσε παρὰ τοῦ δεσπότου. καὶ ᾤχετο, φησι, καὶ Λὼτ μετ' αὐτοῦ. τίνος ἕνεκεν, εἰπόντος τοῦ θεοῦ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, τοῦτον ἐπεφέρετο; οὐχὶ παρακούων τοῦ δεσπότου, ἀλλ' ἴσως ἐπειδὴ νέος ἦν, καὶ πατρὸς χώραν αὐτῷ ἐπεῖχε, κἀκεῖνος διὰ φιλοστοργίαν, καὶ

τὴν

καὶ τὴν τῶν τρόπων ἐπιείκειαν δυσαποσπάστως εἶχε τοῦ δικαίου, ταύτης ἕνεκεν τῆς αἰτίας οὐκ ἀνέχεται αὐτὸν καταλιπεῖν. λοιπὸν δὲ καὶ ἐν τάξει παιδὸς αὐτὸν εἶχεν, ἐν ἡλικίᾳ τοιαύτῃ παῖδας ἔχειν μὴ δυνηθεὶς διὰ τὴν τῆς Σάρρας στείρωσιν. ἄλλως δὲ καὶ ὁ τρόπος τοῦ νέου οὐ πολὺ ἀπέδει τοῦ δικαίου. αὐτὸ γὰρ τοῦτο τὸ, προκειμένων τῶν δύο ἀδελφῶν προσνεῖμαι ἑαυτὸν τῷ δικαίῳ, πόσης ἦν συνέσεως; τὸ διακρῖναι καὶ δοκιμάσαι τίνι τῶν θείων δέοι τὰ καθ᾽ ἑαυτὸν ἐπιτρέψαι, καὶ τὸ ἑλέσθαι τὴν ἀποδημίαν, καὶ αὐτὸ πάλιν δεῖγμα τῆς τῶν τρόπων ἦν κοσμιότητος. εἰ γὰρ καὶ τὸ τελευταῖον ἔν τισιν ἔδοξε διαμαρτάνειν, ἡνίκα τοῖς πρωτείοις ἐπεπήδησεν, ἀλλ᾽ ὅμως κατ᾽ ἴχνος τοῦ δικαίου ἐσπούδαζε πορεύεσθαι, καὶ διὰ τοῦτο καὶ ὁ δίκαιος κοινωνὸν ἐλάμβανε τῆς ὁδοιπορίας, κἀκεῖνος μετὰ προθυμίας τῆς οἴκοι διατριβῆς τὴν ξένην προετίμησεν. εἶτα ἵνα μάθωμεν ὅτι οὐ νεανίσκῳ ὄντι τῷ πατριάρχῃ ταῦτα ἐπέταττεν ὁ δεσπότης, ἀλλ᾽ ἤδη πρὸς γῆρας ἐλαύνοντι, ὅτε καὶ ὀκνηρότερον λοιπὸν οἱ πλείους τῶν ἀνθρώπων πρὸς τὰς ἀποδημίας διάκεινται, φησιν,

Ἄβραμ δὲ ἦν ἐτῶν οε΄, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν.

Εἶδες πῶς οὔτε ἡ ἡλικία, οὔτε ἕτερόν τι τῶν δυναμένων αὐτὸν ἐπισπάσασθαι πρὸς τὴν οἴκοι παραμονὴν κώλυμα αὐτῷ γέγονεν, ἀλλὰ πάντων ἀνώτερος ἐγίνετο ὁ τοῦ θεοῦ πόθος. ὅταν γὰρ ἡ ψυχὴ διεγηγερμένη καὶ νήφουσα ᾖ, πάντα διατέμνει τὰ κωλύματα, καὶ ὅλη γίνεται τοῦ ποθουμένου, καὶ ὑπ᾽ οὐδενὸς τῶν ἐν μέσῳ φαινομένων δυσχερῶν διακόπτεται, ἀλλὰ πάντα παρατρέχει, καὶ οὐ πρότερον ἵσταται, μέχρις ἂν ἐπιτύχῃ τοῦ σπουδαζομένου. διά τοι τοῦτο καὶ ὁ δίκαιος οὗτος καὶ ὑπὸ τοῦ γήρως καὶ ὑπὸ ἑτέρων πλειόνων κωλύεσθαι δυνάμενος, πάντα διαῤῥήξας τὰ δεσμὰ, καθάπερ νέος καὶ σφριγῶν καὶ ὑπὸ μηδενὸς κωλυόμενος, οὕτως ἔσπευδε καὶ ἠπείγετο εἰς ἔργον ἀγαγεῖν τοῦ δεσπότου τὸ ἐπίταγμα. οὐδὲ γὰρ οἷόν τέ ποτε βουληθέντα τινὰ γενναῖόν τι καὶ ἀνδρεῖον ἐπιδείξασθαι, ἑτέρως τοῦτο εἰς ἔργον ἀγαγεῖν, μὴ πρότερον αὐτὸν πρὸς ἅπαντα τὰ μέλλοντα αὐτῷ πρὸς τὴν τοιαύτην ἐγχείρησιν ἐμποδὼν ἵστασθαι παραταξάμενον. τοῦτο δὴ σαφῶς καὶ ὁ δίκαιος οὗτος ἐπιστάμενος, πάντα παραδραμὼν, καὶ μήτε συνήθειαν, μήτε συγγένειαν, μήτε οἰκίαν πατρικὴν, μήτε τάφον, μήτε τὸ γῆρας αὐτὸ λογισάμενος, εἰς ἐκεῖνο μόνον ἔτεινεν αὐτοῦ τὴν διάνοιαν, ὅπως δυνηθῇ πληρῶσαι τὸ προσταχθὲν παρὰ τοῦ δεσπότου. καὶ ἦν ἰδεῖν πρᾶγμα πολλοῦ θαύματος γέμον, ἄνθρωπον ἐν γήρᾳ βαθυτάτῳ μετὰ γυναικὸς καὶ αὐτῆς προβεβηκυίας λοιπὸν καὶ πλήθους οἰκετῶν μετανιστάμενον, καὶ οὐδὲ, ὅπου λήξει αὐτῷ τὰ τῆς πλάνης, εἰδότα. εἰ δέ τις κἀκεῖνο συνετῶς λογίσαιτο, πόση καὶ ἐκεῖνον τὸν καιρὸν* ὁδῶν ἡ δυσκολία ἦν (οὐδὲ γὰρ καθάπερ νῦν μετ᾽ ἀδείας ἐξῆν ἐπιμίγνυσθαί [τισι] καὶ οὕτως εὐκόλως τὰς ἀποδημίας ποιεῖσθαι, τῆς ἀρχῆς κατὰ τόπους [οὔσης] διῃρημένης, καὶ ἀναγκαζομένων τῶν ὁδευόντων ἀπὸ ἀρχόντων εἰς ἄρχοντας μεταπηδᾶν, καὶ καθ᾽ ἑκάστην σχεδὸν ἀπὸ βασιλείας εἰς βασιλείαν μεταβαίνειν) καὶ τοῦτο γὰρ ″πάντως ἱκανὸν ἦν κώλυμα τῷ δικαίῳ, εἴγε μὴ πολὺν εἶχε τὸν πόθον, καὶ τὴν ἐκ τοῦ ἐπιτάγματος ὑπακοήν. ἀλλ᾽ [οὗτος] καθάπερ ἀράχνην, ταῦτα πάντα διασπάσας τὰ κωλύματα, καὶ τῇ πίστει νευρωθεὶς τὸν λογισμὸν, καὶ τῷ ἀξιώματι τοῦ ἐπαγγειλαμένου πεποιθὼς, ἥπτετο τῆς ὁδοιπορίας.

5 Καὶ ἔλαβε, φησιν, Ἄβραμ Σάρραν τὴν γυναῖκα αὐτοῦ, καὶ Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο ἐν Χαῤῥὰν, καὶ ἐξῆλθον πορευθῆναι εἰς* Χαναάν.

Ὅρα τῆς γραφῆς τὴν ἀκρίβειαν, πῶς ἡμῖν ἅπαντα διηγεῖται, ἵνα διὰ πάντων μάθωμεν

* τῶν

γρ. πάνυ

* γῆν

θωμεν τοῦ δικαίου τὸ φιλόθεον. καὶ ἔλαβέ, φησι, Σάραν τὴν γυναῖκα αὐτοῦ, καὶ Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα ὅσα ἐκτήσαντο ἐν Χαρράν. οὐχ ἁπλῶς εἶπε πάντα ὅσα ἐκτήσαντο ἐν Χαρράν, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐδὲν τῶν ἀπὸ τῶν Χαλδαίων ἐπηγάγετο ὁ πατριάρχης, ἀλλὰ πάντων ἐκείνων τῶν πατρῴων παραχωρήσας τῷ ἀδελφῷ οὕτως ἐξῄει, ἐκεῖνα μόνα ἐπιφερόμενος, ὅσα εἰς τὴν Χαρὰν ἠδυνήθη κτήσασθαι. καὶ τοῦτο δὲ ἐποίει ὁ θαυμάσιος οὗτος οὐχὶ περὶ πολλοῦ ποιούμενος ταῦτα, οὐδὲ ὡς φιλοχρήματος τυγχάνων, ἀλλ' ἵνα πᾶσιν ἔχῃ δεικνύναι διὰ τῆς περιουσίας αὐτοῦ τοῦ θεοῦ τὴν περὶ αὐτὸν πρόνοιαν. ὁ γὰρ ἐκ τῆς Χαλδαίων γῆς αὐτὸν ἀναστήσας, καὶ πάλιν ἐντεῦθεν μετοικισθῆναι παρασκευάσας, αὐτὸς ἦν ὁ καὶ τὴν περιουσίαν αὐτῷ αὔξων ἐφ' ἑκάστης, καὶ ἅπασαν δυσκολίαν ἀναιρῶν· ὥστε καὶ τοῦτο αὐτὸ δεῖγμα τῆς φιλοθέου αὐτοῦ γνώμης ἐτύγχανε, τὸ τοσαῦτα ἐπιφερόμενον οὕτω διὰ πάσης ἰέναι τῆς ὁδοῦ. ἕκαστος γὰρ τῶν ὁρώντων εἰκότως τὴν αἰτίαν μανθάνειν ἐβούλετο τῆς τοῦ δικαίου ἀποδημίας. εἶτα πυνθανόμενος, ὅτι τοῦ θεοῦ κελεύσαντος ἐπὶ τὴν ἀλλοτρίαν μεθίστατο τὰ οἰκεῖα καταλιπὼν, δι' αὐτῶν τῶν ἔργων ἐδιδάσκετο, καὶ τῆς τε ὑπακοῆς τοῦ δικαίου τὸ φιλόθεον ἐμάνθανε, καὶ τῆς περὶ αὐτὸν προνοίας τοῦ θεοῦ τὴν ὑπερβολήν. καὶ ἐξῆλθέ, φησι, πορευθῆναι εἰς γῆν Χαναάν. πόθεν ᾔδει, ὅτι εἰς τὴν Χαναναίων γῆν λήξει αὐτῷ τὰ τῆς ἀποδημίας, καίτοι τοῦ ἐπιτάγματος οὕτως ἔχοντος, ὅτι δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω; ἴσως ὁ θεὸς αὐτῷ καὶ τοῦτο ἐμήνυσεν, ὑποδείξας αὐτοῦ τῇ διανοίᾳ τὴν γῆν, εἰς ἣν ἐβούλετο αὐτὸν κατοικῆσαι. διὰ γὰρ τοῦτο ἡνίκα αὐτῷ ἐπέταττεν, ἀδιορίστως ἔλεγε, δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω, ἵνα ἡμῖν ἐκκαλύψῃ τοῦ δικαίου τὴν ἀρετήν. εἶτα ἐπειδὴ τὰ παρ' ἑαυτοῦ μετὰ πολλῆς τῆς δαψιλείας εἰσήνεγκε, ταχέως καὶ αὐτὸς τὴν γνῶσιν αὐτῷ ἐνέθηκε τῆς γῆς, εἰς ἣν ἐβούλετο αὐτὸν τὴν οἴκησιν ποιήσασθαι. ἐπειδὴ γὰρ προεώρα τῆς ἀρετῆς τοῦ δικαίου τὸ μέγεθος, διὰ τοῦτο καὶ οἴκοθεν αὐτὸν ἀνέστησε, καὶ οὔτε τὸν ἀδελφὸν λαβεῖν ἐπέταξεν, ἐπειδὴ ἐβούλετο τοῦτον διδάσκαλον νῦν μὲν τοῖς κατὰ τὴν Παλαιστίνην ἅπασι γενέσθαι, μετὰ βραχὺ δὲ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον. εἶδες πῶς οὐκ ἐν τῇ φύσει, ἀλλ' ἐν τῇ προαιρέσει τῆς γνώμης τῆς ἡμετέρας κεῖται καὶ τὰ τῆς ἀρετῆς, καὶ τὰ τῆς κακίας. ἰδοὺ γὰρ κατὰ μὲν τὴν φύσιν ἀδελφοὶ ἐτύγχανον ὅ, τε πατριάρχης, καὶ ὁ Ναχώρ, κατὰ δὲ τὴν προαίρησιν οὐκ ἔτι. ἀλλ' ἐκεῖνος μὲν καίτοι τοῦ ἀδελφοῦ πρὸς τοσαύτην ἀρετὴν φθάσαντος, ἔτι τῇ πλάνῃ προσκατείλεκτο· οὗτος δὲ καθ' ἑκάστην ἡμέραν ἐδείκνυ δι' αὐτῶν τῶν πραγμάτων ἅπασι τῆς κατὰ θεὸν αὐτοῦ ἀρετῆς τὴν ἐπίδοσιν.

6 Καὶ ἦλθε, φησιν, εἰς γῆν Χαναάν, καὶ διώδευσεν Ἄβραμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, ἕως τοῦ τόπου τοῦ Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν.

Διδάσκει ἡμᾶς ἡ γραφὴ τὸ μέρος τῆς χώρας, εἰς ὃ νῦν τὴν κατοίκησιν ποιεῖται ὁ δίκαιος. εἶτα, ἵνα μάθωμεν ὅπως διέκειτο ἔτι τὰ αὐτόθι, φησίν,

Οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τὴν γῆν.

Οὐχ ἁπλῶς τοῦτο ἐπεσημήνατο πάλιν ὁ μακάριος Μωυσῆς, ἀλλ' ἵνα μάθωμεν καὶ ἐντεῦθεν τὴν φιλόσοφον γνώμην τοῦ πατριάρχου, ὅτι τῶν τόπων ἔτι προκατειλημμένων ὑπὸ τῶν Χαναναίων, ἠναγκάζετο, καθάπερ ἀλήτης καὶ ξένος καὶ ὡς εἷς τῶν εὐτελῶν καὶ ἀπερριμμένων, ὡς ἔτυχε καταλύειν, οὐδὲ καταγωγίου ἴσως εὐπορῶν. καὶ ὅμως οὐδὲ οὕτως ἐδυσχέραινεν, οὐδὲ εἶπε, τί τοῦτο; ὁ μετὰ τοσαύτης τιμῆς καὶ θεραπείας διάγων ἐν τῇ Χαρρᾷ, νῦν ἀναγκάζομαι, ὡς ἄπολις καὶ ξένος καὶ ἔπηλυς, ἐν χάριτος μέρει περιιέναι, καὶ καταγωγίου εὐτελοῦς ἐπιζητεῖν ἀνάπαυσιν, καὶ οὐδὲ οὕτως ἐπιτυχεῖν δύναμαι αὐτοῦ· ἀλλ' ἐν σκηναῖς καὶ καλύβαις [με] διάγειν ἀνάγκη, καὶ τὰς ἄλλας ἁπάσας φέρειν ταλαιπωρίας.

πορείας. τοῦτο ἐστὶν ὅλον ὃ ἔλεγε, δεῦρο καὶ ποιήσω σε εἰς ἔθνος μέγα· τέως μοι καλὰ τὰ προοίμια. τί χρηστὸν ἐστὶ προσδοκῆσαι λοιπόν; ἀλλ' οὐδὲ οὕτως ἠνέσχετό τι τοιοῦτον εἰπεῖν ὁ δίκαιος, οὐδὲ ἐνδοιάσαι· ἀλλ' ὁλοκλήρῳ τῇ διανοίᾳ καὶ τελείᾳ τῇ πίστει θαῤῥήσας ταῖς τοῦ θεοῦ ὑποσχέσεσιν ἀκλινῆ διηνεκῶς εἶχε τὸν λογισμόν· διὸ καὶ ταχέως ἠξιώθη τῆς ἄνωθεν ″ εὐνοίας.

γ. εὐδαιμονίας

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, ἐνταῦθα στήσαντες καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μιμήσασθαι τοῦ δικαίου τούτου τὴν γνώμην. καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων, εἰ ὁ μὲν δίκαιος οὗτος ἀπὸ γῆς εἰς γῆν καλούμενος τοσαύτην ἐπεδείξατο τὴν ὑπακοήν, καὶ οὔτε τὸ γῆρας, οὔτε τὰ ἄλλα, ἅπερ ἀπηριθμησάμεθα, κωλύματα, οὔτε ἡ τῶν καιρῶν δυσκολία, οὔτε ἄλλο τι τῶν ἐπισχεῖν αὐτὸν δυναμένων ἴσχυσεν ὀκνηρότερον αὐτὸν περὶ τὴν ὑπακοὴν καταστῆσαι, ἀλλὰ πάντα διαῤῥήξας τὰ δεσμὰ ἔτρεχε καὶ ἠπείγετο ὁ γέρων, καθάπερ νέος σφριγῶν, μετὰ τῆς γυναικὸς καὶ τοῦ ἀδελφιδοῦ καὶ τῶν οἰκετῶν εἰς ἔργον ἀγαγεῖν τὸ παρὰ τοῦ θεοῦ ἐπιταχθέν· ἡμεῖς δὲ οὐκ ἀπὸ γῆς εἰς γῆν καλούμενοι, ἀλλ' ἀπὸ γῆς εἰς τὸν οὐρανόν, οὐδὲ τὴν αὐτὴν τῷ δικαίῳ προθυμίαν περὶ τὴν ὑπακοὴν ἐπιδειξόμεθα, ἀλλὰ ψυχρὰς πολλάκις καὶ ἀνοήτους προβαλλόμεθα αἰτίας. καὶ οὔτε τὸ μέγεθος τῶν ἐπαγγελιῶν, οὔτε τὸ εὐτελὲς τῶν ὁρωμένων, ὅτι γήϊνα καὶ πρόσκαιρα, οὔτε τὸ τοῦ καλοῦντος ἀξίωμα ἐφέλκεται ἡμᾶς· ἀλλὰ τοσαύτην ἐπιδεικνύμεθα τὴν ῥαθυμίαν, ὡς προτιμᾶν τῶν ἀεὶ μενόντων τὰ πρόσκαιρα, καὶ τὴν γῆν τοῦ οὐρανοῦ, καὶ τὰ μηδέποτε τέλος λαβεῖν δυνάμενα τῶν πρὶν ἢ φανῆναι ἀφιπταμένων. μέχρι γὰρ πότε, εἰπέ μοι, οὕτως ἂν ″ μεμήναιμεν περὶ τὴν τῶν χρημάτων συλλογήν; τίς ἡ λύσσα τὸ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς χαλεπῆς ἐπιθυμίας πολιορκεῖσθαι, καὶ μηδέποτε κόρον λαμβάνειν, ἀλλὰ καὶ τῶν μεθυόντων χαλεπώτερον διακεῖσθαι; καθάπερ γὰρ ἐκεῖνοι, ὅσῳ ἂν πλείονα ″ πίνωσι τὸν ἄκρατον, τοσούτῳ μᾶλλον ἐκκαίονται πρὸς τὸ δίψος, καὶ χαλεπωτέραν τὴν κάμινον ἀνάπτουσιν· οὕτω δὴ καὶ οὗτοι τῇ τυραννίδι τῆς τῶν χρημάτων ἐπιθυμίας ἑαυτοὺς ἐκδεδωκότες οὐδέποτε ἵστανται τῆς ἐπιθυμίας· ἀλλ' ὅσῳ ἂν πλείονα περιβάλλωνται, τοσούτῳ μᾶλλον αἴρεται ἡ φλόξ, καὶ σφοδροτέρα ἡ κάμινος ἀνάπτεται. οὐχ ὁρῶμεν τοὺς πρὸ ἡμῶν, ὅτι, μετὰ τὸ ἅπασαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην περιβαλέσθαι, γυμνοὶ καὶ ἔρημοι ἐντεῦθεν ἀνηρπάσθησαν, τοσοῦτον μόνον ἀπολαύσαντες, ὅσον δίκας ἐκεῖ καὶ εὐθύνας ὑπὲρ ἁπάντων ἀπαιτεῖσθαι; καὶ τὰ μὲν τῆς οὐσίας πολλάκις διενείμαντο διάφοροι· τὰ δὲ ὑπὲρ τούτων ἁμαρτήματα αὐτὸς μόνος ἐπιφερόμενος, ἄπεισι, τὰς ὑπὲρ τούτων κολάσεις μετὰ πολλῆς τῆς ἀγανακτήσεως ὑπέχων, καὶ οὐδεμίαν οὐδαμόθεν παραμυθίαν εὑρεῖν δυνάμενος. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, οὕτως ἀμελῶς πρὸς τὴν ἑαυτῶν σωτηρίαν διακείμεθα, καὶ ὡς περὶ ἀλλοτρίας οὕτω βουλευόμεθα περὶ τῆς ἑαυτῶν ψυχῆς; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, Τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; καὶ πάλιν, Τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; μὴ γὰρ ἔχεις τι ταύτης ἀντάξιον; κἂν τὴν οἰκουμένην ὅλην εἴπῃς, οὐδὲν ἐρεῖς. τί γὰρ ὄφελος, καθάπερ ὁ Χριστὸς εἶπε, Πάντα τὸν κόσμον κερδᾶναι, τὴν δὲ ψυχὴν ζημιωθῆναι, ἧς ἡμῖν οἰκειότερον οὐδέν; ταύτην οὖν τὴν οὕτω τιμίαν, τὴν οὕτως ὀφείλουσαν ἡμῖν εἶναι περισπούδαστον, ταύτην οὕτω περιορῶμεν καθ' ἑκάστην ἡμέραν σπαραττομένην, καὶ ποτὲ μὲν ὑπὸ τῆς τῶν χρημάτων ἐπιθυμίας πολιορκουμένην, ποτὲ δὲ ὑπὸ ἀσελγείας καταξαινομένην, ἄλλοτε δὲ ὑπὸ θυμοῦ καταιθαλουμένην, καὶ διαφόρως ὑφ' ἑκάστου τῶν παθῶν κατατεινομένην, καὶ οὐδεμίαν ὀψέ γοῦν ποτε περὶ αὐτὴν πρόνοιαν ποιούμεθα; καὶ τίς ἀξιώσει ἡμᾶς λοι-

πὸν

ἴσ. μεμήνοιμε

γ. πίνουσι

Ματ. ις. κς.

Ματ. ις. κς.

πον συγγνώμης, ἢ ἐξαιρήσεται τῆς ἐπικειμένης κολάσεως; διὸ, παρακαλῶ, ὡς ἔτι καιρὸν ἔχομεν, ἀποσμήξωμεν αὐτῆς τὸν ῥύπον διὰ δαψιλοῦς ἐλεημοσύνης, καὶ σβέσωμεν διὰ ταύτης τὴν πυρὰν τῶν ἡμετέρων ἁμαρτημάτων. Πῦρ γὰρ, φησι, φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρτίαι. οὐδὲν γὰρ, οὐδὲν ἕτερον οὕτως ἐξελέσθαι ἡμᾶς δυνήσεται τῆς τοῦ πυρὸς γεέννης, ὡς ἡ περὶ ταύτην δαψίλεια. ἂν ταύτην ἐπιδειξώμεθα κατὰ τοὺς ὑπ' αὐτοῦ δοθέντας νόμους, μηδὲν πρὸς ἐπίδειξιν διαπραττόμενοι, ἀλλὰ διὰ τὸν περὶ τὸν θεὸν πόθον, δυνησόμεθα καὶ τὸν τῶν ἡμαρτημένων ἡμῖν τὸν ῥύπον ἀπονίψασθαι, καὶ τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ αὐτῷ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ * πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. γ. λγ.

Λογ. λϛ. ΚΑΙ ὨΦΘΗ ΚΥΡΙΟΣ ΤΩ ΑΒΡΑΜ, ΚΑΙ ΕΙΠΕΝ αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

ΠΟλὺς ὁ θησαυρὸς καὶ ἄφατος, ἀγαπητοὶ, ἐν τοῖς προσφάτως ἀναγνωσθεῖσι· καὶ δεῖ συντεταμένης διανοίας καὶ λογισμοῦ νήφοντος καὶ διεγηγερμένου, ὥστε μηδὲν ἡμᾶς παραδραμεῖν τῶν ἐγκεκρυμμένων τοῖς βραχέσι τούτοις ῥήμασι. διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς οὐκ αὐτόθεν καὶ ἐκ ψιλῆς ἀναγνώσεως πάντα τὰ ἐν ταῖς γραφαῖς κείμενα, εὐσύνοπτα καὶ δῆλα ἡμῖν τυγχάνειν συνεχώρησεν, ἵνα τὴν νωθείαν ἡμῶν διεγείρῃ, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδειξάμενοι οὕτω τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπωσώμεθα. εἴωθε γάρ πως τὰ μὲν μετὰ πόνου καὶ ζητήσεως εὑρισκόμενα μᾶλλον ἐμπήγνυσθαι ἡμῶν τῇ διανοίᾳ· τὰ δὲ μετ' εὐκολίας, θᾶττον ἀφίπτασθαι τῆς καρδίας τῆς ἡμετέρας. μὴ τοίνυν ῥαθυμῶμεν, παρακαλῶ· ἀλλὰ διεγείρωμεν ἡμῶν τὸν λογισμὸν, καὶ πρὸς τὸ βάθος αὐτὸ τῶν γεγραμμένων [ὁλοσχερῶς] καταπλεύσωμεν, ἵνα δυνηθῶμεν κερδάναντές τι πλέον ἐντεῦθεν, οὕτως οἴκαδε ἐπανελθεῖν. καὶ γὰρ πανήγυρις ἐστὶ πνευματικὴ τοῦ θεοῦ ἡ ἐκκλησία, καὶ ἰατρεῖον ἐστὶ ψυχῶν· καὶ δεῖ καθάπερ εἰς πανήγυριν παραγινομένους, πολλὴν τὴν εὐπορίαν ἐντεῦθεν συλλέξαντας οὕτως ἐπανιέναι· καὶ καθάπερ εἰς ἰατρεῖον ἀπαντῶντας τὰ κατάλληλα τοῖς ἐπικειμένοις πάθεσι φάρμακα λαβόντας ἐξιέναι. οὐ γὰρ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συνεδρεύομεν, ἵνα τὰς πρὸς ἀλλήλους συντυχίας ἁπλῶς ποιησάμενοι, οὕτως ἅπαντες διαλυθῶμεν· ἀλλ' ἵνα ἕκαστός τι τῶν χρησίμων μαθὼν, καὶ πρὸς τὸ ἐνοχλοῦν πάθος τὴν ἰατρείαν δεξάμενος, οὕτως ἐντεῦθεν ἀναχωρήσῃ. πῶς γὰρ οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων τὰ μὲν παιδία τὰ ἡμέτερα εἰς διδασκαλεῖον ἀποστέλλοντας, καθ' ἑκάστην ἡμέραν ἀπαιτεῖν παρ' αὐτῶν προσθήκην τινὰ τῶν μαθημάτων, καὶ οὐκ ἄν ποτε ἀνασχοίμεθα ἁπλῶς καὶ εἰκῆ ταῦτα βαδίζειν ἐκεῖσε, εἰ μὴ ἴδοιμεν καρπούμενά τι πλέον· ἡμᾶς δὲ τοὺς εἰς μέτρον ἡλικίας φθάσαντας, καὶ εἰς τὸ πνευματικὸν τοῦτο διδασκαλεῖον παραγινομένους, μὴ τὴν ἴσην ἐκείνοις σπουδὴν ἐπιδείκνυσθαι; καὶ ταῦτα ἔνθα εἰς τὴν τῆς ψυχῆς σωτηρίαν τὸ κέρδος διαβαίνει. ἕκαστος τοίνυν ἡμῶν, παρακαλῶ, ἑαυτὸν καθ' ἑκάστην ἡμέραν διερευνάσθω, τί μὲν ἐκ τῆς ἡμερινῆς ἐκέρδανε διαλέξεως, τί δὲ ἐκ τῆς ἐπιούσης, ἵνα μὴ δόξωμεν καὶ ἡμεῖς εἰκῆ καὶ ἁπλῶς ἐνταῦθα παραγίνεσθαι. ὅτι δὲ τοῦτο ἡμᾶς μὲν πάσης αἰτίας ἀφίησι (τὰ γὰρ καθ' ἑαυτοὺς ἅπαντα εἰσφέρομεν, καὶ οὐδὲν τῶν εἰς δύ-

ναμιν παραλιμπανόμεθα) τοῖς δὲ ἀγανακτοῦσι, καὶ μετὰ ἀκριβείας μὴ προσέχουσι, τὸ καρποῦσθαί τι πλέον μὴ βουλομένοις μείζονος αἴτιον κατακρίσεως γίνεται· ἄκουσον τοῦ Ματ. κε. κϛ. Χριστοῦ λέγοντος πρὸς μὲν τὸν καταχώσαντα τὸ ἀργύριον· Πονηρὲ δοῦλε, ἔδει σε γρ. πλατ τὸ ἀργύριόν μου καταβαλεῖν ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἂν ἐλθὼν ἀπῄτησα αὐτὸ Ιωαν. ιε. κβ. μετὰ τόκου· περὶ δὲ τῶν Ἰουδαίων, Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν. ἀλλὰ νῦν ἡμεῖς οὐ τοῦτο σκοπῶμεν, εἰ ἔξω τῶν ἐγκλημάτων γρ. σκοποῦμεν, ἐσμέν, ἀλλὰ τὴν ὑμετέραν ἐπιποθοῦμεν προκοπήν, καὶ ἀκρωτηριάζεσθαι ἡμῖν γρ. ἐπιθυμοῦμεν ἡγούμεθα τὰ τῆς εὐφροσύνης, κἂν μυριάκις αὐτοὶ ὦμεν ἀνεύθυνοι, εἰ μὴ καὶ ὑμεῖς ἀξίαν τῶν πόνων τῶν ἡμετέρων τὴν σπουδὴν ἐπιδείξεσθε. αὕτη γὰρ ἡμῶν τῆς εὐφροσύνης ἡ ὑπόθεσις, τὸ ὁρᾶν ὑμῶν τὴν ἐν τοῖς πνευματικοῖς ἐπίδοσιν. καὶ οἶδα μὲν ὅτι διὰ τὴν τοῦ θεοῦ χάριν συνέσεως πεπληρωμένοι ὄντες, δυνήσεσθε καὶ ἄλλους νουθετεῖν. ἀλλὰ κατὰ τὸν μακάριον Παῦλον ἐπαναμιμνήσκων ὑμᾶς, καὶ διεγείρων ὑμῶν τὸν ζῆλον καὶ τὴν προθυμίαν, ταῦτα συνεχῶς παραινῶ, βουλόμενος ὑμᾶς τελείους καὶ ἀπηρτισμένους γενέσθαι. οὐ μικρὸν γὰρ καὶ τοῦτο αὐτὸ δεῖγμα ποιοῦμαι τῆς κατὰ θεὸν ὑμῶν προκοπῆς, τὸ μετὰ τοσαύτης προθυμίας καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγίνεσθαι, καὶ ἀκορέστως ἔχειν περὶ τὴν πνευματικὴν διδασκαλίαν. ὥσπερ γὰρ ἡ περὶ τὴν σωματικὴν τροφὴν ὄρεξις, ὑγιείας ἂν εἴη μεγίστης σημεῖον· οὕτως ἡ περὶ τὴν πνευματικὴν διδασκαλίαν ἐπιθυμία, τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἂν εἴη ἐναργέστατον. διὰ τοῦτο κἀγὼ εἰδὼς ὑμῶν τὸν πόθον, καὶ ὅτι κἂν μυριάκις παρατείνω τὴν διδασκαλίαν, οὐδὲ οὕτως ἐμπλῆσαι ὑμῶν δυνάμαι τὴν ἐπιθυμίαν, καὶ κόρον ἐμποιῆσαι τῆς τροφῆς ταύτης τῆς πνευματικῆς, οὐ παύσομαι κατὰ δύναμιν τὴν ἐμὴν, ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις παρέχῃ, εἰς ὠφέλειαν ὑμετέραν ταῦτα ἐφ' ἑκάστης ὑμῖν παρατιθεὶς, καὶ τὰ ἀπὸ τῶν θείων γραφῶν διδάγματα ἐναποτιθέμενος ταῖς ὑμετέραις διανοίαις. φέρε οὖν καὶ σήμερον τὸν φιλάνθρωπον δεσπότην παρακαλέσαντες ὁδηγῆσαι ἡμῶν τὴν γλῶσσαν πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν, τὴν συνήθη παραθῶμεν ὑμῖν διδασκαλίαν, αὐτὰ πρότερον τὰ ἀναγνωσθέντα προθέντες ἐπὶ τῆς ὑμετέρας ἀγάπης·

7 Καὶ ὤφθη, φησὶ, κύριος ὁ θεὸς τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ.

Οὐ καλῶς ἔλεγον ἐξ ἀρχῆς ὅτι πολὺς ὁ θησαυρὸς ἐναπόκειται τοῖς βραχέσι τούτοις ῥήμασιν; ἰδοὺ γὰρ εὐθέως ξένον τι καὶ καινὸν τὸ προοίμιον τῶν εἰρημένων. καὶ ὤφθη κύριος ὁ θεὸς τῷ Ἄβραμ. πρῶτον τοῦτο εὑρίσκομεν ἐν τῇ γραφῇ νῦν τὸ ῥηθὲν, ὅτι ὤφθη. οὔτε γὰρ ἐπὶ τοῦ Ἀδὰμ, οὔτε ἐπὶ τοῦ Ἄβελ, οὔτε ἐπὶ τοῦ Νῶε, οὔτε ἐπ' ἄλλου τινὸς ταύτῃ ἐχρήσατο τῇ λέξει ἡ θεία γραφή. τί οὖν ἐστι τὸ εἰρημένον, καὶ ὤφθη, φησί; καὶ πῶς ἑτέρωθι λέγει, Εξο. λγ. κ. Οὐδεὶς ὄψεται τὸν θεὸν, καὶ ζήσεται; τί οὖν ἂν εἴποιμεν νῦν τῆς γραφῆς λεγούσης ὅτι ὤφθη; πῶς ὤφθη τῷ δικαίῳ; ἆρα αὐτὴν τὴν οὐσίαν εἶδεν; οὐχί. μὴ γένοιτο. ἀλλὰ τί; οὕτως ὤφθη, ὡς αὐτὸς οἶδε μόνος, καὶ ὡς ἐκείνῳ δυνατὸν ἦν ἰδεῖν. εὐμήχανος γὰρ ὢν ὁ σοφὸς καὶ φιλάνθρωπος ἡμῶν δεσπότης καὶ συγκαταβαίνων τῇ ἀνθρωπίνῃ φύσει καταλλήλως ἑκάστῳ τὴν παρ' ἑαυτοῦ ἐμφαίνει ῥοπήν· καὶ τοῦτο δείκνυσι διὰ τοῦ Ωσ. ιβ. ι. προφήτου λέγων, Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. ἐπεὶ Ησ. ϛ. ι. καὶ Ἡσαΐας εἶδεν αὐτὸν καθήμενον. τοῦτο δὲ ἀνάξιον θεοῦ. θεὸς γὰρ οὐ κάθηται. πῶς γὰρ Δαν. ζ. κ. ἡ ἀσώματος ἐκείνη καὶ ἀνώλεθρος φύσις; καὶ ὁ Δανιὴλ πάλιν εἶδεν αὐτὸν ὡς παλαιὸν ἡμερῶν. καὶ ὁ Ζαχαρίας ἑτέρως αὐτὸν ἐθεάσατο, καὶ Ἰεζεκιὴλ πάλιν ἄλλως. διὰ τοῦτο οὖν ἔλεγεν, ἐγὼ ὁράσεις ἐπλήθυνα, ἀντὶ τοῦ, πρὸς τὴν ἑκάστου ἀξίαν οὕτως ὤφθην. καὶ νῦν οὖν ἐπειδὴ ἀνέστησε τὸν δίκαιον οἴκοθεν, καὶ προσέταξεν εἰς τὴν ἀλλοτρίαν ἐλθεῖν, παραμυθούμενος γενόμενος δέ, καθάπερ ἀλήτης καὶ ξένος, οὕτω περιῄει, τῶν Χαναναίων ἔτι κατοικούντων, ἐπιζητῶν ὅπου τὴν κατοίκησιν αὐτὸν ποιήσασθαι προσῆκεν· ὁ ἀγαθὸς δεσπότης παραμυθήσασθαι αὐτὸν βουλόμενος, καὶ νευρῶσαι αὐτοῦ τὴν προθυμίαν, ὥστε μὴ ναρκῆσαι μηδὲ ἐνδοιάσαι πρὸς τὴν ἐπαγγελίαν τὴν ἤδη γεγενημένην πρὸς αὐτόν, ὅτι δεῦρο καὶ ποιήσω σε εἰς ἔθνος μέγα (καὶ γὰρ ἐναντία τῇ ἐπαγγελίᾳ ἑώρα τὰ γινόμενα ὁ δίκαιος, καὶ ὡς ἕνα τῶν εὐτελῶν καὶ ἀπερριμμένων καὶ ἀπροστατεύτων ἑαυτὸν περιιόντα, καὶ οὐδὲ ὅπου καταστῆναι ἔχοντα) ἵν' οὕτω διεγείρῃ αὐτοῦ τὸν λογισμόν, φησί, καὶ ὤφθη κύριος τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ·

Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην.

Τέως ἡ ὑπόσχεσις μεγάλη, καὶ ἀκόλουθος τῇ ἐπαγγελίᾳ, δι' ἧς οἴκοθεν αὐτὸν ἀνέστησεν. Εἶπε γάρ, μεγαλυνῶ τὸ ὄνομά σου. διὰ τοῦτο νῦν φησι πάλιν, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ἐπειδὴ γὰρ ἐν γήρᾳ τυγχάνων ὁ δίκαιος ἄπαις ἦν, διὰ τὴν τῆς Σάρρας στείρωσιν, ἐπαγγέλλεται αὐτῷ, τῷ ἐξ αὐτοῦ τικτομένῳ τὴν γῆν παρασχεῖν. καὶ σκόπει μοι θεοῦ φιλανθρωπίαν, πῶς προειδὼς τὴν τοῦ δικαίου τὴν ἀρετήν, βούλεται πᾶσι κατάδηλον αὐτὴν ποιῆσαι, καὶ καθάπερ μαργαρίτην τινὰ κρυπτόμενον οὕτω φανερὸν ἀπεργάσασθαι. καὶ ἐπαγγελίας ἐπαγγελίαις συνάψας, καὶ μεγάλας τὰς ὑποσχέσεις ποιησάμενος, πάλιν μικρὸν διαναβάλλεται, ἵνα ταύτῃ μάλιστα δειχθῇ τοῦ πατριάρχου τὸ φιλόθεον, ὅτι καὶ ἐναντία ταῖς ὑποσχέσεσιν ὁρῶν τέως ἐκβαίνοντα τὰ πράγματα, [ὁ μακάριος] οὐκ ἐθορυβεῖτο οὐδὲ διεταράττετο, ἀλλ' ἀκίνητον εἶχε τὸν λογισμόν, πεπεισμένος ὅτι δὴ τὰ παρὰ τοῦ θεοῦ ἅπαξ [αὐτῷ] ἐπαγγελθέντα, βέβαια καὶ πάγια τυγχάνει. ἀλλὰ κατὰ μικρὸν ἅπαντα διερευνησώμεθα, ἵν' οὕτω μάθωμεν καὶ τοῦ ἀγαθοῦ θεοῦ τὴν εὐμήχανον σοφίαν καὶ τὴν κηδεμονίαν, ἣν περὶ τὸν δίκαιον ἐπεδείκνυτο, καὶ τοῦ πατριάρχου τὸ φίλτρον τὸ περὶ τὸν δεσπότην. καὶ ὤφθη, φησί, κύριος ὁ θεὸς τῷ Ἄβραμ. πῶς ὤφθη; ὡς αὐτὸς ὁ θεὸς μόνος οἶδε, καὶ ὡς ἐκεῖνος ἰδεῖν ἠδύνατο (οὐ γὰρ παύομαι τοῦτο λέγων) τὸν δὲ τρόπον ἀγνοῶ, ἀκούω δὲ μόνον τῆς γραφῆς λεγούσης, ὅτι ὤφθη κύριος ὁ θεὸς τῷ Ἄβραμ. καὶ εἶπεν αὐτῷ, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ἀκριβῶς μνημονεύητε τῶν παρὰ τοῦ θεοῦ ὑποσχέσεων γινομένων, ἵν' ὅταν ἴδητε διαφόροις περιστάσεσι τὸν δίκαιον περιπίπτοντα, μάθητε αὐτοῦ τῆς φιλοσοφίας τὴν ὑπερβολήν, καὶ τῆς ἀνδρείας τὸ στερρόν, καὶ τὸ περὶ τὸν θεὸν φίλτρον τὸ βέβαιον καὶ ἀκίνητον, καὶ ἐκ τῶν τῷ δικαίῳ τούτῳ συμβάντων παιδευθῆτε, μηδέποτε νομίζειν ἔργον θεοῦ ἐγκαταλείψεως εἶναι, ἐπειδὰν ἴδητέ τινα τῶν ἐναρέτων πειρασμοῖς, ἢ ἑτέραις τισὶ θλίψεσι βιωτικαῖς περιπεπτωκότα· ἀλλ' ἐννοοῦντες τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν διάφορον, παραχωρῆτε τὰ πάντα αὐτοῦ τῇ ἀκαταλήπτῳ προνοίᾳ. εἰ γὰρ καὶ τὸν δίκαιον τοῦτον οὕτω φιλόθεον ὄντα, καὶ τοσαύτην ὑπακοὴν ἐπιδειξάμενον συγχωρεῖ τοιούτων πειραθῆναι, ὧν αὐτίκα μάλα εἴσεσθε, οὐχὶ περιορῶν τὸν αὐτοῦ θεράποντα, ἀλλὰ τοῖς ἄλλοις ἅπασι βουλόμενος αὐτοῦ τὴν ἀρετὴν ἐκκαλύψαι (καὶ γὰρ ἔθος αὐτῷ τοῦτο ἐφ' ἑκάστῳ τῶν δικαίων ποιεῖν· καὶ ὅσοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε φιλότεχνοι, δυνήσεσθε ἄνωθεν καὶ ἐξ ἀρχῆς καταμανθάνοντες, οὕτως εὑρεῖν αὐτὸν οἰκονομοῦντα τῶν αὐτοῦ δούλων τὴν ζωήν) πῶς οὐκ ἂν εἴη ἐσχάτης ἀγνωμοσύνης τὸ νομίζειν ἐγκαταλείψεως εἶναι τὴν τοιαύτην συγχώρησιν, οὐ πολλῆς δὲ μᾶλλον κηδεμονίας καὶ τῆς ἀφάτου φιλανθρωπίας τοῦτο μέγιστον ποιεῖσθαι σημεῖον; δεικνὺς τοίνυν τὴν ὑπερβάλλουσαν δύναμιν αὐτοῦ, δύο ταῦτα ἐντεῦθεν κατασκευάζει, καὶ τῶν δούλων αὐτοῦ τὴν ὑπομονὴν καὶ τὴν ἀνδρείαν ἅπασι φανερὰν καθίστησι, καὶ τῆς προνοίας αὐτοῦ τὸ εὐμήχανον· καὶ μεταξὺ τῶν δεινῶν αὐτῶν, καὶ μετὰ τὸ ἀπογνωσθῆναι σχεδὸν τὰ πράγματα, τότε πρὸς ὃ βούλεται) μεθίστησιν ἅπαντα, οὐδὲν ὑπὸ τῆς ἐν μέσῳ δυσκολίας γινομένης ἐμποδιζόμενος. καὶ ὤφθη κύριος ὁ θεὸς τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. μεγάλη ἡ ὑπόσχεσις καὶ ποθεινὴ μάλιστα τῷ δικαίῳ. ἴστε γὰρ ὅπως οἱ ἐν γήρᾳ φθάσαντες, μάλιστα καὶ ἐν ἀπαιδίᾳ τὸν ἅπαντα διάγοντες χρόνον, ἐπιθυμοῦσι παίδων. τῆς ὑπακοῆς τοίνυν αὐτῷ τὴν ἀμοιβὴν διδοὺς ὁ δεσπότης, καὶ ὅτι ἀκούσας, ἔξελθε ἐκ τῆς γῆς σου, οὐχ ὑπερέθετο, οὐκ ἀνεβάλλετο, ἀλλ' ὑπήκουσε τῷ ἐπιτάγματι, καὶ εἰς ἔργον ἤγαγε τὸ προσταχθέν, φησί, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. σκόπει πῶς διὰ τοῦ ῥήματος ἀνέστησεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἀρκοῦσαν αὐτῷ τῶν καμάτων παρέσχε τὴν ἀντίδοσιν. διά τοι τοῦτο καὶ ὁ δίκαιος τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνύμενος εὐθέως ἐπὶ εὐχαριστίαν τρέπεται,

Καὶ ᾠκοδόμησεν ἐκεῖ, φησί, θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

Ὅρα φιλοθέου γνώμης τεκμήριον· καὶ αὐτὸν τὸν τόπον, ἔνθα τῆς ὁμιλίας ἠξιώθη τῆς παρὰ τοῦ θεοῦ, ἀφιέρωσε, καὶ τὴν εὐχαριστίαν τὴν κατὰ δύναμιν ἐπεδείξατο. τοῦτο γάρ ἐστιν, ᾠκοδόμησε θυσιαστήριον, ἀντὶ τοῦ, εὐχαρίστησεν ὑπὲρ τῶν ἐπαγγελθέντων. καὶ καθάπερ ἄνθρωποι πολλάκις ὑπὸ φίλτρου κινούμενοι καὶ οἰκίας οἰκοδομοῦσιν, ἔνθα ἂν τοῖς γνησίως περὶ αὐτοὺς διακειμένοις συντυγχάνωσι, πολλάκις δὲ πολλοὶ καὶ πόλεις ἔστησαν, καὶ τὰς ἐπονομασίας αὐταῖς ἐκ τῆς τῶν ἐπιτηδείων συντυχίας ἐπέθηκαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἔνθα τῆς ὀπτασίας τῆς τοῦ θεοῦ ἠξιώθη, τὸ θυσιαστήριον ᾠκοδόμησε κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

8 Καὶ ἀπέστη, φησίν, ἐκεῖθεν.

Τί ἐστι καὶ ἀπέστη ἐκεῖθεν; ὡς ἱερωμένου λοιπὸν τοῦ τόπου καὶ τῷ θεῷ ἀνατεθέντος, ἀνεχώρησεν ἐκεῖθεν, καὶ μετῆλθεν εἰς ἕτερον τόπον, φησίν,

Εἰς τὸ ὄρος κατὰ ἀνατολὰς Βεθήλ, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ.

Ἐσχεδιασμένην, φησί, τὴν οἴκησιν ἐποιήσατο. Ὅρα πῶς ἦν ἀπέριττος, πῶς ἦν εὔζωνος, ὡς μετά τε γυναικὸς καὶ οἰκετῶν οὕτως εὐκόλως μετανίστασθαι. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες. καὶ γὰρ πολλάκις εἰς ἀγρὸν ἐξιέναι δεόμενοι, μυρίας '' ἐπινοοῦμεν μηχανάς, καὶ πολλὰ καὶ διάφορα πραγματευόμεθα, διὰ τὸ πολλὰ ἐπισύρεσθαι καὶ μὴ τῆς χρείας γίνεσθαι μᾶλλον, ἀλλὰ τὰ περιττὰ καὶ ἀνόητα καὶ φαντασίας ἕνεκεν ἡμῖν ἐσπουδασμένα, ταῦτα μεθ' ἑαυτῶν ἄγειν καὶ περιάγειν. ἀλλ' οὐχ ὁ δίκαιος οὗτος. ἀλλὰ τί; ἐπειδὴ ἀξιωθεὶς τῆς παρὰ τοῦ θεοῦ ὁμιλίας τὸν τόπον ἀφιέρωσε, καὶ θυσιαστήριον ᾠκοδόμησε, μετέστη μετὰ πάσης εὐκολίας ἑτέρωθι, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ,

'' χ. δεόμεθα μηχανῆς,

Ἐν Βεθὴλ κατὰ θάλασσαν, καὶ Ἀγγαὶ κατὰ ἀνατολάς· καὶ ᾠκοδόμησε κἀκεῖ θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου.

Ὅρα πῶς διὰ πάντων δείκνυσιν ἑαυτοῦ τὴν φιλόθεον γνώμην. ἐκεῖ μὲν γὰρ διὰ τὴν παρὰ τοῦ θεοῦ γεγενημένην αὐτῷ ὑπόσχεσιν τὸ θυσιαστήριον ᾠκοδόμησε, καὶ τὸν τόπον ἀφιερώσας ἀνεχώρησεν. ἐνταῦθα δὲ ἐπειδὴ τὴν σκηνὴν ἐπήξατο, πάλιν ᾠκοδόμησε, φησί, θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου. εἶδες γνώμην φιλόσοφον, εἶδες ὅπερ γράφων παρῄνεσεν ὁ θαυμαστὸς τῆς οἰκουμένης διδάσκαλος * λέγων, Ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, τοῦτο προλαβὼν ὁ πατριάρχης διὰ τῶν ἔργων ἐπλήρου καθ' ἕκαστον τόπον θυσιαστήριον οἰκοδομῶν, καὶ τὰς εὐχαριστίας ἀναφέρων τῷ δεσπότη. ᾔδει γάρ, ᾔδει σαφῶς, ὡς οὐδὲν ἕτερον ἐπιζητεῖ παρὰ τῆς ἀνθρωπίνης φύσεως ὁ τῶν ὅλων θεὸς μετὰ τὰς μυρίας καὶ ἀφάτους αὐτοῦ εὐεργεσίας, ὡς εὐχάριστον γνώμην,

α. Τιμ. β. η.

* ὁ μακάριος Παῦλος

μην, καὶ τὸ εἰδέναι χάριν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων. ἀλλ' ἴδωμεν πάλιν, πῶς καὶ ἐντεῦθεν ὁ δίκαιος μετανίσταται.

9 Καὶ ἀπῆρε, φησιν, Ἄβραμ, καὶ πορευθεὶς ἐστρατοπέδευσεν ἐν γῇ ἐρήμῳ.

Ὅρα πάλιν τὴν φιλόθεον αὐτοῦ γνώμην, καὶ τὴν φιλοσοφίαν τὴν πολλήν. πάλιν φησίν, ἐντεῦθεν ἀνεχώρησε, καὶ ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. τίνος ἕνεκεν ἀπῆρεν ἐκεῖθεν; ἴσως ὁρῶν τινας τῶν οἰκητόρων οὐκ ἀρεσκομένους αὐτοῦ τῇ παρουσίᾳ. διά τοι τοῦτο δεικνὺς αὐτοῦ τῆς πρᾳότητος τὴν ὑπερβολήν, καὶ ὅπως περὶ πολλοῦ ποιεῖται τὴν ἡσυχίαν, καὶ τὸ πρὸς μηδένα τι ἔχειν κοινόν, τὴν ἐρημίαν καταλαμβάνει· καὶ πορευθείς, φησιν, ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. ξένῃ λέξει ἐχρήσατο ἡ θεία γραφή. καθάπερ γὰρ ἐπὶ τῶν πολέμων ἔθος ἐστὶ λέγειν, οὕτω καὶ νῦν εἶπεν ἐπὶ τοῦ δικαίου, ὅτι ἐστρατοπέδευσεν· ἵνα δείξῃ τὸ εὔζωνον τοῦ πατριάρχου, ὅτι καθάπερ οἱ στρατιῶται μετ' εὐκολίας νῦν μὲν ἐνταῦθα, νῦν δὲ ἐκεῖσε στρατοπεδεύονται, οὕτω δὴ καὶ ὁ δίκαιος οὗτος, καί τοι γυναῖκα ἐπιφερόμενος, καὶ τὸν ἀδελφιδοῦν, καὶ τοσούτων οἰκετῶν πλῆθος, μετὰ πλείονος τῆς εὐκολίας τὰς μεταναστάσεις ἐποιεῖτο. εἶδες βίον ἐν γήρᾳ μετὰ γυναικὸς καὶ οἰκετῶν τοσούτων εὔζωνον. ἐμοὶ δὲ θαυμάσαι ἔπεισι μάλιστα τῆς γυναικὸς τὴν ἀνδρείαν. ὅταν γὰρ ἐννοήσω τῆς φύσεως τῆς γυναικείας τὴν ἀσθένειαν, καὶ λογίσωμαι ὅπως μετ' εὐκολίας ἅμα τῷ δικαίῳ τὰς μεταναστάσεις ἐποίει, οὔτε αὐτὴ δυσχεραίνουσα, οὔτε τῷ δικαίῳ κώλυμα γινομένη, ἐκπλήττομαι καὶ λογίζομαι, ὅτι οὐκ ἔλαττον τοῦ δικαίου καὶ αὐτὴ φρόνημα ὑψηλὸν καὶ ἀνδρεῖον ἐκέκλητο. καὶ τοῦτο μάλιστα εἰσόμεθα, ἐπιόντες τὰ ἑξῆς τῶν ἀναγνωσμένων. εἶδες ὅτι μετὰ τὸ ἀκοῦσαι, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, πῶς οὐχ ἡσύχασεν ὁ δίκαιος, ἀλλ' ἐντεῦθεν ἐκεῖσε μετέβαινε, καὶ πάλιν ἐκεῖθεν ἑτέρωθι. ἀλλ' ὅρα καὶ ἀπὸ τῆς ἐρημίας αὐτὸν πάλιν ἐλαυνόμενον, οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ' ὑπὸ τῆς ἀνάγκης τοῦ λιμοῦ.

10 Καὶ ἐγένετο, φησι, λιμὸς ἐπὶ τῆς γῆς.

Ἀκουέτωσαν οἱ ἁπλῶς ἀπαραφυλάκτως φθεγγόμενοι, καὶ οἰωνιζόμενοι [καὶ] λέγοντες ὅτι [ἐπειδὴ ὁ δεῖνα παρεγένετο, λιμὸς γέγονε. καὶ] ἐπειδὴ ὁ δεῖνα ἦλθε, τὸ δὲ συνέβη. ἰδοὺ καὶ ἐπὶ τῆς τοῦ δικαίου παρουσίας, λιμός· καὶ λιμὸς βαρύς, καὶ οὐ θορυβεῖται ὁ δίκαιος, οὐδὲ πάσχει τι ἀνθρώπινον, καὶ τῇ ἑαυτοῦ παρουσίᾳ λογίζεται τοῦ λιμοῦ τὴν αἰτίαν· ἀλλ' ἐπειδὴ εἶδε τὴν φύσιν ἐλεγχομένην, καὶ ἐπεκράτησεν ὁ λιμός,

Κατέβη, φησίν, εἰς Αἴγυπτον Ἄβραμ παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς.

Σκόπει πῶς μακρότερα τὰ σκάμματα τῷ δικαίῳ ἐγίνετο. ᾠκονόμει γὰρ ὁ δεσπότης μὴ μόνον τοῖς τὴν Παλαιστίνην οἰκοῦσιν, ἀλλὰ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον διδάσκαλον αὐτὸν γενέσθαι, καὶ τὸ φῶς τῆς οἰκείας ἀρετῆς πᾶσι κατάδηλον ποιῆσαι. καθάπερ γὰρ φωστῆρά τινα λανθάνοντα καὶ κεκρυμμένον εἰς τὴν Χαλδαίων, ἐκεῖθεν ἀνέστησεν, ἵνα τοὺς ἐν τῷ σκότει τῆς πλάνης καθημένους χειραγωγήσῃ πρὸς τὴν τῆς ἀληθείας ὁδόν. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τίνος ἕνεκεν οὐ τοὺς ἐν τῇ Χαλδαίων χώρᾳ παρεσκεύασε δι' αὐτοῦ πρὸς τὴν εὐσέβειαν ἀναχθῆναι; εἰκὸς γὰρ ἐστι καὶ τῆς ἐκείνων σωτηρίας δι' ἑτέρων γενέσθαι τὴν πρόνοιαν. ὅμως δὲ ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ ἰδίᾳ πατρίδι. Mat. ιγ. νζ. ἵνα οὖν τὴν ἐπαγγελίαν εἰς ἔργον ἀγάγῃ τὴν αὐτοῦ, ἣν ἐποιήσατο λέγων, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, διὰ τοῦτο καὶ τὸν λιμὸν συγχωρεῖ γενέσθαι, καὶ διὰ τὴν τούτου ἀνάγκην εἰς τὴν Αἴγυπτον αὐτὸν ἀφικέσθαι, ἵνα μάθωσι καὶ οἱ αὐτόθι, ὅση τοῦ ἀνδρός ἐστιν ἡ ἀρετή. καθάπερ γάρ τις δήμιος δεσμὰ περιβαλών, οὕτως αὐτοὺς ὁ λιμὸς ἀπὸ τῆς ἐρημίας ἀναστήσας ἐπὶ τὴν Αἴγυπτον εἷλκεν. ἀλλ' ἴδωμεν λοιπὸν τὰ ἐντεῦθεν, καὶ ὅσῃ περιστάσει ὁ δίκαιος περιπέπτωκεν, ἵνα καὶ αὐτοῦ τὴν ἀνδρείαν μάθωμεν, καὶ τῆς γυναικὸς τὴν φιλόσοφον γνώμην. ἐπειδὴ γὰρ πολὺ τῆς ὁδοῦ προῆλθον, καὶ γεγόνασι λοιπὸν πλησίον τῆς Αἰγύπτου, ἐναγώνιος γέγονεν ὁ δίκαιος, καὶ περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ζωῆς δεδοικὼς καὶ τρέμων διαλέγεται τῇ γυναικί.

11 Ἐγένετο γάρ, φησιν, ἡνίκα ἤγγισεν Ἀβραὰμ εἰσελθεῖν εἰς Αἴγυπτον, εἶπε Σάρᾳ τῇ γυναικὶ αὐτοῦ· γινώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ. 12 Ἔσται οὖν, ὅταν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. 13 Εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμί, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ.

Εἶδες ἐκ τῶν ῥημάτων εἰς ὅσον ἀγῶνα καὶ δειλίαν ὁ δίκαιος κατέστη· καὶ οὐδαμοῦ τὸν λογισμὸν ἐταράττετο, οὐδὲ ἐθορυβεῖτο τὴν γνώμην, οὐδὲ ἐνενόει καὶ ἔλεγε· τί τοῦτο; ἆρα ἐγκατελείφθημεν; ἆρα ἠπατήθημεν; ἆρα μὴ ἐρήμους ἡμᾶς κατέλειπε τῆς αὐτοῦ προνοίας ὁ δεσπότης; ὁ εἰπών, μεγαλυνῶ σε, καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, οὕτως ἡμᾶς ἀφίησι νῦν περὶ τῶν ἐσχάτων αὐτῶν δεδοικέναι καὶ εἰς προφανῆ κίνδυνον ἐμπεσεῖν; οὐδὲν τούτων οὐδὲ ἐν διανοίᾳ λαβεῖν ὁ δίκαιος κατεδέξατο, ἀλλ' ἑνὸς νῦν ἐγίνετο μόνου, ὅπως δυνηθῇ σοφισάμενός τινα μηχανήν, καὶ τοῦ λιμοῦ παραμυθίαν εὑρεῖν, καὶ τῶν Αἰγυπτίων τὰς χεῖρας διαφυγεῖν. γινώσκω, φησίν, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ὅρα πόση τῆς γυναικὸς ἦν ἡ εὐμορφία, ὅτι καὶ εἰς γῆρας αὐτῶν ἐλασάντων λοιπόν, καὶ μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ἔτι ἔμενεν ἀκμάζουσα, τοῦ κάλλους τὴν ὥραν ἐπὶ τῆς ὄψεως φέρουσα, καὶ ταῦτα μετὰ τὴν τοσαύτην ταλαιπωρίαν καὶ κακουχίαν, ἣν κατὰ τὰς ὁδοὺς ὑπέμενεν ἀπὸ τόπων εἰς τόπον μετανισταμένη, καὶ ἀπὸ μὲν τῆς Χαλδαίων χώρας εἰς τὴν Χαῤῥὰν μετανισταμένη, κἀκεῖθεν εἰς τὴν Χαναάν, καὶ πάλιν ἐντεῦθεν ἐκεῖ ἐν τῇ Χαναναίᾳ κἀκεῖθεν ὧδε, καὶ νῦν πάλιν εἰς τὴν Αἴγυπτον. τίνα οὖν οὐκ ἂν καὶ τῶν σφριγώντων ἀνδρῶν αἱ οὕτω συνεχεῖς ἀποδημίαι κατειργάσαντο; ἀλλ' ἡ θαυμασία αὕτη, καὶ μετὰ τὴν τοσαύτην ταλαιπωρίαν ἔτι λάμπουσα τῷ τῆς ὄψεως κάλλει, πολὺ καὶ σφοδρὸν τὸ δέος ἐνεποίει τῷ δικαίῳ. διὸ καὶ ἔλεγε· γινώσκω ἐγώ, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη· καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. σκόπει πῶς ἐθάρρει τῷ τρόπῳ τῆς γυναικός, καὶ οὐκ ἔδεισε μήποτε τοῖς ἐπαίνοις χαυνωθῇ, ἀλλὰ καὶ τοιαύτην εἰσάγει τὴν συμβουλήν, λέγων· ἵνα μὴ ἐμὲ μὲν ἀποκτείνωσι, σὲ δὲ περιποιήσωνται, εἰπὲ οὖν ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. ἐπειδὴ οὐ τὸ τυχὸν ἦν ὅπερ ἐπέταττε, διὰ τοῦτο διὰ τῶν ἐπαγομένων ῥημάτων ἐφελκύσασθαι αὐτὴν ἠβουλήθη, ὥστε καὶ εἰς οἶκτον αὐτὴν ἐπικάμψαι, καὶ πεῖσαι μετὰ προθυμίας ὑποκρίνασθαι τὸ δρᾶμα. ἔσται οὖν, φησιν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. οὐκ εἶπε, σὲ καθυβρίσουσι. τέως οὐ βούλεται, οὐ βούλεται αὐτὴν καταπλῆξαι διὰ τῶν ῥημάτων, ἄλλωστε καὶ δέδοικεν ὑπὲρ τῆς ἐπαγγελίας τοῦ θεοῦ. διὰ τοῦτό φησι, σὲ δὲ περιποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι. ἐννόει μοι ἐν οἵᾳ καταστάσει τυγχάνειν εἰκὸς ἦν τοῦ δικαίου τὴν διάνοιαν, ἡνίκα ταῦτα συνεβούλευσε τῇ γυναικί. ἴστε γάρ, ἴστε πῶς οὐδὲν τούτου βαρύτερόν ἐστι τοῖς ἀνδράσιν ἢ τὸ κἂν εἰς ὑποψίαν τοιαύτην τὴν γαμετὴν ἐλθεῖν. ἰσ. ιϛ ὁ μέντοι δίκαιος καὶ σπουδάζει καὶ πάντα ποιεῖ, ὥστε εἰς ἔργον τὴν μοιχείαν ἐκβῆναι. ἀλλὰ μὴ ἁπλῶς, ἀγαπητέ, καταψηφίσῃ τοῦ δικαίου· ἀλλὰ καὶ ἐκ τούτου μάλιστα κα-

τάμαθε αὐτοῦ καὶ τὴν σύνεσιν τὴν πολλὴν, καὶ τὴν ἀνδρείαν· τὴν ἀνδρείαν μὲν, ὅτι οὕτω γενναίως ἀντεῖχε
καὶ περιεγένετο τῆς τῶν λογισμῶν ταραχῆς, ὡς καὶ τοιαῦτα συμβουλεῦσαι. ὅτι γὰρ
οὐδέν ἐστι τούτου ἀφορητότερον, ἄκουε Σολομῶντος λέγοντος· Μεστὸς γὰρ ζήλου θυμὸς Παρ. ς. λδ.
ἀνδρὸς αὐτῆς· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐδὲ ἀνταλλάξεται πολλῶν δώρων τὴν ἔχθραν.
καὶ πάλιν, Σκληρὸς ὡς ᾅδης ζῆλος. ὁρῶμεν δὲ πολλοὺς, ὅτι εἰς τοσαύτην μανίαν Ασμ. η. ς.
ἐξηνέχθησαν, ὡς μηδὲ αὐτῶν φείσασθαι τῶν γυναικῶν, ἀλλὰ καὶ αὐτὸν τὸν μοιχὸν πολλάκις
συγκατέσφαξαν, καὶ ἑαυτούς. τοσαύτη τοῦ πράγματός ἐστιν ἡ μανία, καὶ οὕτως
ἀκάθεκτός ἐστιν ὁ ζῆλος, ὡς παρασκευάζειν καὶ τῆς οἰκείας σωτηρίας ὑπεριδεῖν τὸν ἅπαξ
ἁλόντα τῷ πάθει. καὶ τὴν μὲν ἀνδρείαν ἐκεῖθέν ἐστι καταμαθεῖν τοῦ δικαίου· τὴν δὲ
σύνεσιν αὐτοῦ τὴν πολλὴν, ὅτι ἐν ἀμηχανίᾳ τοσαύτῃ καὶ ὥσπερ ἐν δικτύοις ἀποληφθεὶς,
ἴσχυσε ταύτην εὑρεῖν τὴν ὁδὸν, δι' ἧς ἔλαττον ἂν γένοιτο τὸ κακόν. εἰ μὲν γὰρ εἶπεν,
ὅτι γυνὴ αὐτοῦ ἦν, καὶ μὴ ὑπεκρίνατο τὸ δρᾶμα καὶ τῷ τῆς ἀδελφῆς ὀνόματι ἐχρήσατο,
καὶ αὐτὴ μὲν ἀφῃρέθη τοῦ δικαίου, τοῦ κάλλους τῆς εὐμορφίας ἐπισπωμένου τὴν Αἰγυπτίων
τὴν ἀκόλαστον γνώμην, καὶ ὁ δίκαιος ἂν ἐσφάγη, ὥστε μὴ εἶναι τὸν ἔλεγχον τῆς παρανομίας.
ἵνα οὖν, τῶν δύο τούτων χαλεπῶν μελλόντων πάντως ἐκβαίνειν διὰ τὴν ἀκρασίαν
τῶν ἀνδρῶν, καὶ τοῦ βασιλέως τὴν τυραννίδα, δυνηθῶσιν ἐν ἀπορίᾳ πολλῇ μικράν
τινα παραμυθίαν εὑρεῖν, φησιν, Εἰπὲ ὅτι ἀδελφὴ αὐτοῦ εἰμι. τοῦτο γὰρ ἐμὲ ἴσως ἐλευθερώσει
τῶν κινδύνων. τὸ γὰρ σὸν, κἄντε ἀδελφὴν εἴπῃς σαυτὴν, κἄντε γυναῖκα, οὐδεὶς
Σάρκας ἀντερεῖ· ὅτι πάντως ἐκβήσεται, καὶ ἐπιδραμοῦσι τῇ ἀφαιρέσει διὰ τὴν τῆς σαρκὸς
εὐμορφίαν· ἐμὲ δὲ εἰκὸς διαφυγεῖν τὴν ἐπιβουλὴν, εἰ τῷ τῆς ἀδελφῆς ὀνόματι χρήσαιο.
εἶδες σύνεσιν τοῦ δικαίου, πῶς ἀποληφθεὶς ὁδόν τινα ἴσχυσεν εὑρεῖν, δι' ἧς ἐβουλεύετο,
πῶς ἂν δυνηθείη τῆς τῶν Αἰγυπτίων ἐπιβουλῆς ἀνώτερος γενέσθαι. πάλιν ἀναλογίζου μοι
κἀνταῦθα καὶ τοῦ δικαίου τὴν ὑπομονὴν, καὶ τῆς γυναικὸς τὸ φιλάγαθον· τοῦ μὲν δικαίου,
ὅτι οὐ κατέπληξε καὶ εἶπε· τίνος δὲ ἕνεκεν ταύτην ἐπάγομαι, αἰτίαν μοι γινομένην
τοσούτου κλυδωνίου; τί γάρ μοι τὸ ὄφελος ἀπὸ τῆς συνουσίας, ὅταν μέλλω δι' αὐτὴν
περὶ τῶν ἐσχάτων κινδυνεύειν; τί δὲ κέρδος, ὅταν μὴ μόνον μηδεμίαν μοι εἰσάγῃ παραμυθίαν,
ἀλλὰ καὶ αὐτὸν τὸν θάνατόν μοι τίκτῃ διὰ τῆς οἰκείας εὐμορφίας; οὐδὲν τούτων
οὔτε εἶπεν, οὔτε ἐνενόησεν· ἀλλὰ πάντα τοιοῦτον λογισμὸν ἀπωσάμενος, καὶ οὔτε πρὸς
δικαίους, τὴν ἐπαγγελίαν τοῦ θεοῦ διστάσας, ἑνὸς μόνου δὴ ἐγίνετο, τοῦ πῶς δυνηθῇ διαφυγεῖν
τὸν προορώμενον κίνδυνον. ἐννόει μοι γὰρ ἐνταῦθα, ἀγαπητὲ, τοῦ θεοῦ τὴν ἄφατον
μακροθυμίαν, πῶς οὐδαμοῦ ἐφίσταται, οὐδὲ παραμυθεῖται τὸν δίκαιον, ἀλλὰ ἀναμένει
κορυφωθῆναι τὰ δεινὰ καὶ αὐξηθῆναι καὶ εἰς ἀπόγνωσιν ἐλθεῖν, καὶ τότε τὴν οἰκείαν
πρόνοιαν ἐπιδείκνυται. Εἰπὲ οὖν, φησιν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται
διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. οὐχ ὡς μελλούσης τῆς αὐτοῦ ψυχῆς ἀποθνήσκειν,
ταῦτα εἴρηκεν ὁ δίκαιος (Μὴ φοβηθῆτε γάρ, φησιν, ἀπὸ τῶν ἀποκτεινόντων Ματθ. ι. κη.
τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι) ἀλλ' ἁπλῶς κατὰ τὴν συνήθειαν
ἐφθέγξατο τοῦτο πρὸς τὴν γυναῖκα. ὅπως ἂν εὖ μοί, φησι, γένηται διὰ σέ, καὶ ζήσεται
ἡ ψυχή μου ἕνεκεν σοῦ, μονονουχὶ λέγων πρὸς αὐτήν· Εἰπὲ ὅτι ἀδελφὴ αὐτοῦ εἰμι,
ἵνα μὴ διὰ τὸν λιμὸν φυγόντα τὴν Χαναναίαν ἔργον με ποιήσῃς γενέσθαι τῶν Αἰγυπτιακῶν
χειρῶν. γενοῦ μοι οὖν τῆς σωτηρίας αἰτία, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ. ἐλεεινὰ
τὰ ῥήματα, πολὺς ἦν ὁ φόβος διά τε τὴν μανίαν τὴν Αἰγυπτιακὴν, καὶ ὅτι οὔπω ἦν
καταλυθεῖσα τοῦ θανάτου ἡ τυραννίς. διὰ τοῦτο καὶ τῇ μοιχείᾳ τῆς γυναικὸς αἱρεῖται
κοινωνῆσαι ὁ δίκαιος, καὶ μονονουχὶ ὑπηρετήσασθαι τῷ μοιχῷ εἰς τὴν τῆς γυναικὸς

ὕβριν, ἵνα τὸν θάνατον διαφύγῃ. ἔτι γὰρ φοβερὸν ἦν αὐτοῦ τὸ πρόσωπον. οὐδέπω ἦσαν αἱ χαλκαῖ πύλαι κλασθεῖσαι, οὐδέπω ἦν τὸ κέντρον αὐτοῦ σβεσθέν. Εἶδες σύνδεσμον ἀγάπης ἀνδρὸς καὶ γυναικός; Εἶδες καὶ ἄνδρα οἷα ἐθάρρησεν ὑποθέσθαι τῇ γυναικὶ, καὶ γυναῖκα οἵαν δέχεται τὴν συμβουλὴν, καὶ οὐκ ἀνανεύει οὐδὲ δυσχεραίνει, ἀλλὰ πάντα ποιεῖ, ὥστε τὸ δρᾶμα λαθεῖν. ἀκουέτωσαν ἄνδρες καὶ γυναῖκες, καὶ μιμείσθωσαν τούτων τὴν ὁμόνοιαν, τῆς ἀγάπης τὸν σύνδεσμον, τῆς εὐσεβείας τὴν ἐπίτασιν, καὶ ζηλούτωσαν τῆς Σάρρας τὴν σωφροσύνην· ὅτι καὶ ἐν γήρᾳ οὕτω κάλλει διαλάμπουσα, μέχρι τότε διέμεινεν ἁμιλλωμένη ταῖς τοῦ δικαίου ἀρεταῖς· δι᾽ ὃ καὶ τοσαύτης ἠξιώθη τῆς παρὰ τοῦ θεοῦ προνοίας καὶ τῆς ἄνωθεν ἀμοιβῆς. μηδεὶς τοίνυν αἰτιάσθω τοῦ κάλλους τὴν εὐμορφίαν, μηδὲ λεγέτω ἐκεῖνα τὰ ἀνόητα ῥήματα, ὅτι τὴν δεῖνα τὸ κάλλος ἀπώλεσε· καὶ τῇ δεῖνι τὸ κάλλος γέγονεν ὀλέθρου αἴτιον. οὐ τὸ κάλλος αἴτιον, μὴ γένοιτο (ἔργον γάρ ἐστι καὶ τοῦτο τοῦ θεοῦ) ἀλλ᾽ ἡ προαίρεσις ἡ διεφθαρμένη αἰτία πάντων τῶν κακῶν ἐστιν. Εἶδες τὴν θαυμασίαν ταύτην γυναῖκα ἑκατέρωθεν διαλάμπουσαν, καὶ ἀπὸ τοῦ τῆς ψυχῆς κάλλους, καὶ ἀπὸ τοῦ τῆς ὄψεως, καὶ κατ᾽ ἴχνος τοῦ δικαίου πορευομένην. ταύτην μιμείσθωσαν αἱ γυναῖκες. ἰδοὺ γὰρ καὶ ὥρας εὐμορφία, καὶ στείρωσις, καὶ χρόνος τοσοῦτος, καὶ παρουσία πολλὴ, καὶ μετανάστασις τοσαύτη, καὶ ἀποδημία, καὶ πειρασμοὶ συνεχεῖς καὶ ἐπάλληλοι, καὶ οὐδὲν τούτων αὐτῆς τὸν λογισμὸν παρεσάλευσεν, ἀλλ᾽ ἔμενεν ἀπερίτρεπτος. διά τοι τοῦτο καὶ τῆς ὑπομονῆς ἀξίαν τὴν ἀμοιβὴν ἐκομίσατο, ἐν ἐσχάτῳ γήρᾳ ἀπὸ μήτρας πεπηρωμένης καὶ νηδύος νενεκρωμένης τεκεῖν δυνηθεῖσα. ὅπως ἄν, φησιν, εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. οὐδέν, φησιν, ἕτερον ὑπολέλειπταί μοι εἰς σωτηρίαν, ἢ τό σε βουληθῆναι εἰπεῖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι. ἴσως γὰρ διαφεύξομαι τὸν προσδοκώμενον κίνδυνον, καὶ διὰ σὲ λοιπὸν ζήσομαι, καί σοι τὴν μετὰ ταῦτα ζωὴν ἐπιγράψομαι. ἱκανὰ τὰ ῥήματα ἐφελκύσασθαι τὴν γυναῖκα, καὶ εἰς συμπάθειαν ἀγαγεῖν. τοῦτο ἀληθῶς συνοικέσιον, τὸ μὴ μόνον ἐν ἀνέσει, ἀλλὰ καὶ ἐν τοῖς κινδύνοις ἑαυτοῖς συμπεριφέρεσθαι· τοῦτο ἀγάπης γνησίας τεκμήριον· τοῦτο φιλίας ἀκριβεστάτης γνώρισμα. οὐχ οὕτω διάδημα ἐπὶ τῆς κεφαλῆς κείμενον λαμπρὸν δείκνυσι τὸν βασιλέα, ὡς τὴν μακαρίαν ταύτην περιφανῆ καὶ λαμπρὰν ἀπέδειξεν ἡ ὑπακοὴ αὕτη [εἰς] ἣν περὶ τὴν συμβουλὴν τοῦ δικαίου ἐπεδείξατο. τίς γὰρ ἂν κατ᾽ ἀξίαν ταύτην ἐπαινέσειεν, ἥτις μετὰ τοσαύτην σωφροσύνην, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ ὑπὲρ τοῦ τὸν δίκαιον διασῶσαι, ὅσον εἰς τὴν οἰκείαν γνώμην, καὶ εἰς μοιχείαν ἑαυτὴν ἐξέδωκε, καὶ συνουσίας ἠνέσχετο βαρβαρικῆς; ἀλλὰ μικρὸν ἀνάμεινον, καὶ ὄψει τοῦ θεοῦ τὴν εὐμήχανον πρόνοιαν. διὰ γὰρ τοῦτο τὴν πολλὴν ταύτην ἐπεδείξατο μακροθυμίαν, ἵνα καὶ τὸν δίκαιον περιφανέστερον ἐργάζηται, καὶ διὰ τῶν ἐκεῖ γινομένων, μὴ μόνον οἱ κατὰ τὴν Αἴγυπτον, ἀλλὰ καὶ οἱ κατὰ Παλαιστίνην παιδευθῶσιν, ὅσης εὐνοίας ἀπολαύει ὁ πατριάρχης παρὰ τοῦ πάντων δεσπότου.

χ. νῦν

14 Ἐγένετο γάρ, φησιν, ἡνίκα εἰσῆλθεν Ἄβραμ εἰς Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα ὅτι καλὴ ἦν σφόδρα· 15 Καὶ εἶδον αὐτὴν οἱ ἄρχοντες Φαραώ, καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ, 16 Καὶ τῷ Ἄβραμ εὖ ἐχρήσαντο δι᾽ αὐτήν. καὶ ἐγένετο αὐτῷ πρόβατα, καὶ μόσχοι, καὶ ὄνοι, καὶ παῖδες, καὶ παιδίσκαι, καὶ ἡμίονοι, καὶ κάμηλοι.

Ὅρα πῶς ἅπερ προλαβὼν ὑπείδετο ὁ δίκαιος, ταῦτα εἰς ἔργον ἐξέβη. ὡς γὰρ εἰσῆλθεν εἰς Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα ὅτι καλὴ ἦν σφόδρα· οὐχ ἁπλῶς καλὴ, ἀλλὰ μεθ᾽ ὑπερβολῆς, ἅπαντας ἐπισπωμένην τοὺς ὁρῶντας. καὶ ἰδόντες

αὐτὴν

κεφ. ιβ.

αὐτὴν οἱ ἄρχοντες Φαραώ, ἐπῄνεσαν αὐτὴν ἔμπροσθεν Φαραώ. μὴ ἁπλῶς παραδράμῃς, ἀγαπητέ, τὸ εἰρημένον, ἀλλὰ θαύμασον, πῶς οὐδεὶς τῶν Αἰγυπτίων ἐπεχείρησε τὴν γυναῖκα, ὡς ξένην καὶ ἀπὸ γῆς ἀλλοτρίας ἐπιδημήσασαν, οὐδὲ κατεφρόνησαν τοῦ ἀνδρός, ἀλλ᾽ εἰσελθόντες τῷ βασιλεῖ κατάδηλον πεποιήκασι. τοῦτο δὲ ἐγένετο, ἵνα φανερώτερον τὸ πρᾶγμα γένηται, καὶ μὴ εἰς τὸν τυχόντα, ἀλλ᾽ εἰς αὐτὸν τὸν βασιλεύοντα τῆς " ἐκδικήσεως γινομένης, πανταχοῦ διαδοθῆναι τὸ γεγονός. Καὶ εἰσήγαγον αὐτὴν πρὸς Φαραώ. εὐθέως ἀφῃρέθη τῆς γυναικὸς ὁ δίκαιος, καὶ εἰσάγεται πρὸς τὸν Φαραὼ [αὕτη]. σκόπει πόση τοῦ θεοῦ ἡ μακροθυμία· πῶς οὐκ ἐξ ἀρχῆς οὐδὲ ἐκ προοιμίων τὴν ἰδίαν ἐπιδείκνυται πρόνοιαν, ἀλλὰ ἀφίησι πάντα γενέσθαι, καὶ εἰς αὐτὸν σχεδὸν τὸν φάρυγγα τοῦ θηρίου ἐμπεσεῖν τὴν γυναῖκα, καὶ τότε τὴν ἑαυτοῦ δύναμιν πᾶσι ποιεῖ κατάδηλον. καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ. * ἐν οἵᾳ καταστάσει ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον τῆς γυναικὸς ἡ διάνοια; πῶς αὐτῆς ὁ λογισμὸς διεταράττετο; πῶς ἐκορυφοῦτο τὰ κύματα; πῶς ναυάγιον οὐχ ὑπέμενεν, ἀλλ᾽ ἔμενε καθάπερ πέτρα τις ἀκίνητος, πρὸς τὴν ἄνωθεν ῥοπὴν ἀποβλέπουσα; τί δὲ λέγω τὴν γυναῖκα; τὸν δίκαιον ὁποίαν εἰκὸς ἔχειν ψυχήν, ἐκείνης εἰς τὸν οἶκον Φαραὼ εἰσαγομένης; καὶ τὸν Ἄβραμ εὖ ἐχρήσαντο δι᾽ αὐτήν, ὡς ἀδελφῷ δηλονότι. καὶ ἐγένοντο αὐτῷ πρόβατα, καὶ μόσχοι, καὶ ὄνοι, καὶ παῖδες, καὶ παιδίσκαι, καὶ κάμηλοι, καὶ ἡμίονοι. ταῦτα δὲ αὐτῷ, ἃ " τρυφῆς ἕνεκεν καὶ θεραπείας ἐδίδοτο, πόσην οὐκ ἀνῆπτεν ἐν αὐτῷ τὴν πυράν; πῶς δὲ αὐτοῦ οὐ κατέφλεγε τὴν διάνοιαν, καὶ ἀνεπίμπρα τὸν λογισμόν, ἐννοοῦντι τῶν δώρων τὴν ὑπόθεσιν; εἶδες πρὸς αὐτὸ τὸ τέλος σχεδὸν ἥκοντα τὰ δεινά· εἶδες πῶς οὐδεμία λοιπὸν κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἐλπὶς διορθώσεως ὑπελείπετο· εἶδες πῶς ἀπέγνωστο τὰ πράγματα κατὰ ἀνθρωπίνην ὑπόληψιν· εἶδες πῶς εἰς αὐτὸν τὸν λαιμὸν τοῦ θηρίου ἐνέπεσεν ἡ γυνή. ὅρα λοιπὸν ἐνταῦθα τὴν ἀπόρρητον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ ἐκπλάγηθι τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν.

17 Καὶ ἤτασε, φησίν, ὁ θεὸς τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς, καὶ τὸν οἶκον αὐτοῦ, περὶ Σάρας τῆς γυναικὸς Ἄβραμ.

Τί ἐστιν ἤτασε; δίκην, φησίν, ἀπῄτησε τοῦ τολμήματος καὶ τῆς ἐπιχειρήσεως τῆς μοχθηρᾶς. ἐτασμοῖς μεγάλοις· οὐχ ἁπλῶς ἤτασε τὸν βασιλέα, ἀλλ᾽ ἐτασμοῖς μεγάλοις. ἐπειδὴ καὶ τὸ τόλμημα οὐ τὸ τυχὸν ἦν, ἀλλὰ καὶ σφόδρα μέγα, διὰ τοῦτο καὶ ἡ τιμωρία μεγάλη. καὶ τὸν οἶκον αὐτοῦ, φησίν. οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τὸν οἶκον αὐτοῦ. καὶ τίνος ἕνεκεν τοῦ βασιλέως ἁμαρτήσαντος μόνου, καὶ οἱ τοῦ οἴκου πάντες τῆς τιμωρίας μετέχουσιν; οὐχ ἁπλῶς οὐδὲ τοῦτο γέγονεν, ἀλλ᾽ ἵνα καὶ διὰ τούτου καθίκηται τῆς τοῦ βασιλέως μανίας. ἐδεῖτο γὰρ σφοδροτέρας τῆς πληγῆς, ὥστε καταπλαγέντα ἀποστῆναι τοῦ μύσους. καὶ ποῦ, φασί, τοῦτο δίκαιον, δι᾽ ἐκεῖνον καὶ τούτους τιμωρεῖσθαι; οὐ δι᾽ ἐκεῖνον μόνον τὴν τιμωρίαν ὑπέμενον, ἀλλ᾽ εἰκὸς ἦν καὶ αὐτοὺς συμπρᾶξαι καὶ συνεργῆσαι τῇ μελλούσῃ γίνεσθαι παρανομίᾳ. ἤκουσας γὰρ ἀνωτέρω τῆς γραφῆς λεγούσης, ὅτι ἰδόντες αὐτὴν οἱ ἄρχοντες Φαραὼ ἐπῄνεσαν καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ. εἶδες αὐτοὺς προαγωγῶν ἔργον πεποιηκότας τῇ πρὸς τὸν βασιλέα χάριτι εἰς τὴν τοῦ δικαίου γυναῖκα. διά τοι τοῦτο οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ οἱ προσήκοντες αὐτῷ πάντες τῆς τιμωρίας συμμετέχουσιν· ἵνα μάθωσιν, ὅτι οὐκ εἰς ξένον ἁπλῶς τὴν παροινίαν ἐπεδείξαντο, οὐδὲ εἰς τὸν τυχόντα ἄνθρωπον, ἀλλ᾽ εἰς ἄνδρα τὸν τῷ θεῷ περισπούδαστον, καὶ τοσαύτης παρ᾽ αὐτοῦ φροντίδος ἀξιούμενον. διὰ τοῦτο οὖν τῇ πολλῇ σφοδρότητι τῆς τιμωρίας κατέσεισεν αὐτοῦ τὴν διάνοιαν, ἀπέστησεν αὐτὸν τῆς μιαρᾶς τόλμης, ἀνεχαίτισεν αὐτὸν τῆς ὁρμῆς τῆς ἀλογίστου, ἐπέσχεν αὐτοῦ τὴν ἀκόλαστον γνώμην, ἐπέδησεν αὐτοῦ τὴν ἐπιθυμίαν, τὴν ἀκάθεκτον τοῦ θυμοῦ τὴν μανίαν ἐχαλίνωσε. διὰ τοῦτο λοιπὸν ὅρα αὐτόν, μεθ' ὅσης ἐπιεικείας διαλέγεται, ὁ βασιλεύς, ὁ τύραννος τῷ ξένῳ, τῷ καθάπερ ἀλήτῃ περιϊόντι, οὗ καὶ τὴν γυναῖκα ἀφελέσθαι ἐτόλμησε. καὶ καλῶς εἶπεν, ὅτι ἤτασε τὸν Φαραὼ καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάρας τῆς γυναικὸς Ἄβραμ. ἅμα τῇ τιμωρίᾳ λαμβάνει, ὅτι γυνὴ ἦν τοῦ δικαίου. καὶ γὰρ καὶ εἰς τὸν οἶκον εἰσενεχθεῖσα τοῦ Φαραώ, ἔμενε γυνὴ τοῦ δικαίου τυγχάνουσα.

18 Καλέσας δέ, φησι, Φαραὼ τὸν Ἄβραμ, εἶπεν αὐτῷ, τί τοῦτο ἐποίησάς μοι;

Ὅρα τὰ ῥήματα, οἷα ὁ βασιλεὺς προΐεται. τί τοῦτο ἐποίησάς μοι; ἐγώ σοι ἐποίησα, ὁ ξένος, ὁ μηδενὶ γνώριμος, ὁ διὰ λιμὸν παραγενόμενος, τῷ βασιλεῖ, τῷ τυράννῳ, τῷ κρατοῦντι τῆς Αἰγύπτου, τί ἐποίησά σοι; σὺ ἀφείλου μου τὴν γυναῖκα, καθάπερ ξένου ὑπερεῖδες, κατεφρόνησας, οὐδένα λόγον ἐποιήσω. ὅλως τῆς ἀκολάστου ἐπιθυμίας γέγονας, καὶ ἐβουλήθης εἰς ἔργον ἀγαγεῖν τὰ σοι δόξαντα. τί οὖν ἐποίησά σοι; μεγάλα μοί, φησιν, ἐποίησας, καὶ δεινὰ εἰς ἐμὲ διεπράξω. ὅρα πόση τῶν πραγμάτων ἡ μεταβολή. ὁ βασιλεὺς τῷ ἰδιώτῃ λέγει, τί ἐποίησάς μοι; τὸν θεόν μοι, φησιν, ἐξεπολέμωσας, παρ' αὐτοῦ ὀργήν μοι ἐπήγαγες, τῇ τιμωρίᾳ ὑπεύθυνόν με κατέστησας, δίκην παρεσκευάσάς με δοῦναι μετὰ τοῦ οἴκου μου παντὸς τῶν εἰς σὲ τολμηθέντων.

Τί τοῦτο ἐποίησάς μοι, ὅτι οὐκ" ἀνήγγειλάς μοι, ὅτι γυνή σού ἐστι; 19 Καὶ ἔλαβον αὐτὴν ἐμαυτῷ γυναῖκα.

γρ. ἀπήγγ.

Ἐγώ, φησιν, ὡς ἀδελφήν σου" ἐβουλόμην ἀγαγέσθαι. καὶ πόθεν ἔμαθες ὅτι γυνή ἐστι τοῦ δικαίου; ναί, φησι, καὶ σαφῶς ἔμαθον. ὁ γὰρ τῆς παρανομίας ταύτης ἔκδικος, ἐκεῖνός μοι τοῦτο γνώριμον ἐποίησε. τί οὖν ἐποίησάς μοι τοῦτο; καὶ οὐκ ἀπήγγειλάς μοι, ὅτι γυνή σού ἐστι, καὶ" ἔλαβον αὐτὴν ἐμαυτῷ γυναῖκα, μέλλων ἐξαμαρτεῖν. ὡς εἰς ἀδελφὴν σήν, συγγινόμενος τοῦτο ποιεῖν ἐπεχείρησα· σκόπει πῶς τῆς τιμωρίας ἡ σφοδρότης κατέσεισεν αὐτοῦ τὸν λογισμόν, ὡς καὶ ἀπολογεῖσθαι τῷ δικαίῳ, καὶ ἅπασαν περὶ αὐτὸν θεραπείαν ἐπιδείκνυσθαι. καί τοι εἰ μὴ ἡ τοῦ θεοῦ ῥοπὴ ἦν ἡ τὴν διάνοιαν αὐτοῦ μαλάξασα, καὶ εἰς φόβον αὐτὸν καταστήσασα, ἀκόλουθον ἦν καὶ εἰς πλείονα θυμὸν αὐτὸν ἐξενεχθῆναι, καὶ ὡς ἀπατήσαντα ἀμύνασθαι τὸν δίκαιον, καὶ δίκην εἰσπράξασθαι, καὶ εἰς τὸν περὶ τῶν ἐσχάτων κίνδυνον ἀγαγεῖν. ἀλλ' οὐδὲν τούτων ἐποίησεν. ὁ γὰρ τῆς τιμωρίας φόβος κατέστελλεν αὐτοῦ τὴν φλεγμονήν, καὶ ἑνὸς μόνου ἐγίνετο, τοῦ τὴν περὶ τὸν δίκαιον θεραπείαν ἐπιδείξασθαι. ᾔδει γὰρ λοιπὸν ὅτι οὐχ οἷόν τε τὸν τυχόντα εἶναι ἄνδρα τὸν τοσαύτης ἀπολαύοντα τῆς ἄνωθεν εὐνοίας.

γρ. ἠβουλόμην

γρ. καὶ οὐκ ἂν ἔλαβον

Καὶ νῦν ἰδοὺ ἡ γυνή σου" ἐνώπιόν σου. λαβὼν ἀπότρεχε.

γρ. ἐναντίον

Νῦν, φησιν, ἐπειδὴ ἔγνων ὅτι οὐκ ἀδελφή σου ἐστίν, ἀλλὰ γυνή σου, ἰδοὺ ἔχεις αὐτήν. οὐδὲν γὰρ ἐλυμηνάμην τῆς συζυγίας τῆς ὑμετέρας, οὐδὲ ἀπεστέρησά σε τῆς γυναικός σου. ἀλλ' ἰδοὺ ἡ γυνή σου ἐναντίον σου· λαβὼν αὐτὴν ἀπότρεχε. ποία διάνοια δυνήσεται πρὸς ἀξίαν θαυμάσαι τὰ γεγενημένα, ἢ ποία γλῶττα ἐξειπεῖν ἰσχύσειε τὸ θαῦμα; γυνὴ λάμπουσα τῇ ὥρᾳ ἀνδρὶ αἰγυπτίῳ καὶ βασιλεῖ καὶ τυράννῳ καὶ οὕτω μαινομένῳ καὶ ἀκολάστως διακειμένῳ συγκατακλιθεῖσα ἀνέπαφος ἐξῄει, * τὴν οἰκείαν σωφροσύνην ἀκέραιον διατηρήσασα. τοιαῦτα γάρ, καθάπερ ἔφθην εἰπών, ἀεὶ τὰ παρὰ τοῦ θεοῦ οἰκονομούμενα, θαυμαστὰ καὶ παράδοξα. καὶ ὅταν παρὰ τῶν ἀνθρώπων ἀπογνωσθῇ τὰ πράγματα, τότε αὐτὸς δείκνυσιν αὐτοῦ τὴν ἄμαχον ἐν ἅπασι δύναμιν. ὥσπερ γὰρ θαυμαστὸν ἦν καὶ παράδοξον, τὸν ἄνδρα τῶν ἐπιθυμιῶν ἰδεῖν ἐν μέσῳ τῶν θηρίων ἐκείνων κυκλούμενον,

* οὐ

κυκλούμενον, καὶ μηδὲν πάσχοντα, ἀλλὰ καθάπερ ὑπὸ προβάτων στοιχιζόμενον οὕτως ἀσινῆ ἐκ τοῦ λάκκου ἀνιόντα, καὶ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ καθάπερ ἐν λειμῶνι καὶ παραδείσῳ διατρίβοντας, καὶ μηδὲν ὑπὸ τοῦ πυρὸς βλαπτομένους, ἀλλὰ καθάπερ ἀνδριάντας οὕτως ἐκεῖθεν ἐξελθόντας· τὸν αὐτὸν δὴ τρόπον θαυμάσαι ἄξιον καὶ τὸ νῦν γεγονός, ὅτι ἡ τοῦ δικαίου γυνὴ οὐδεμίαν ὕβριν ὑπομείνασα παρὰ τοῦ βασιλέως τοῦ αἰγυπτίου, τοῦ τυράννου, τοῦ ἀκολάστου, ἐξῄει σώα. θεὸς γὰρ ἦν ὁ τὰ πάντα ἐργαζόμενος, ὁ καὶ ἐν ἀπόροις πόρον διδοὺς, καὶ τὰ πράγματα ἐξ ἀπεγνωσμένων εἰς ἐλπίδα χρηστὴν ἄγειν ἀεὶ δυνάμενος. καὶ νῦν ἰδοὺ ἡ γυνή σου ἐναντίον σου, λαβὼν ἀπότρεχε. μὴ νομίσῃς, φησὶν, ἠδικῆσθαί [σε] παρ' ἡμῶν. εἰ γὰρ καὶ ἐξ ἀγνοίας τὰ τῆς ἐπιχειρήσεως ἡμῖν γέγονεν, ἀλλ' ἰδοὺ νῦν ἐγνώσαμεν, οἷον ἔχεις προστάτην, καὶ ἡ ἀγανάκτησις ἡ καθ' ἡμῶν γενομένη ἐδίδαξεν ἡμᾶς, ὅσης ἀπολαύεις παρὰ τοῦ τῶν ἁπάντων θεοῦ τῆς εὐνοίας. λαβὼν οὖν τὴν γυναῖκά σου ἀπότρεχε. φοβερὸς λοιπὸν ἦν αὐτοῖς ὁ δίκαιος, διὸ καὶ μετὰ πολλῆς τῆς θεραπείας αὐτὸν προπέμψαι ἐπείγονται, διὰ τῶν εἰς αὐτὸν γινομένων τὸν αὐτοῦ δεσπότην ἐξευμενιζόμενοι. εἶδες, ἀγαπητὲ, ὅσον ἐστὶν ὑπομονὴ καὶ καρτερία. ἐνταῦθά μοι ἀναμιμνήσκου τῶν ῥημάτων ἐκείνων, ὧν, ὅτε ἔμελλον πλησιάζειν τῇ Αἰγύπτῳ, ὁ πατριάρχης ἔλεγε· γινώσκω ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ αἰγύπτιοι, ἐμὲ ἀποκτενοῦσι, σὲ δὲ περιποιήσονται· ἐκεῖνα τοίνυν ἐν διανοίᾳ λαβὼν σκόπει τὰ νῦν γινόμενα, καὶ θαύμαζε καὶ τοῦ δικαίου τὴν ὑπομονὴν, καὶ τοῦ φιλανθρώπου θεοῦ τὴν δύναμιν, μεθ' ὅσης δόξης ἐπανελθεῖν παρασκευάζει τὸν δίκαιον τὸν μετὰ τοσούτου φόβου καὶ δέους ἐλθόντα.

ἔχετε

άμην ὅτε
μελλον

20 Καὶ ἐνετείλατο, φησὶ, Φαραὼ ἀνδράσι περὶ Ἄβραμ, συμπροπέμψαι αὐτὸν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ πάντα ὅσα ἦν αὐτῷ, καὶ τὸν Λὼτ μετ' αὐτοῦ.

Μετὰ περιφανείας λοιπὸν ἁπάσης ὁ δίκαιος ἐπάνεισι, καὶ περιουσίας πολλῆς, καὶ γίνεται οὐ μόνον τῶν ἐν Αἰγύπτῳ διδάσκαλος διὰ τῶν συμβεβηκότων, ἀλλὰ καὶ τοῖς κατὰ τὴν ὁδὸν ἅπασι, καὶ τοῖς εἰς τὴν Παλαιστίνην οἰκοῦσιν. οἱ γὰρ ἰδόντες αὐτὸν, ἡνίκα κατῄει διὰ τὴν τοῦ λιμοῦ ἀνάγκην, μετὰ φόβου καὶ τρόμου κατιόντα, καὶ νῦν πάλιν ἐν τοσαύτῃ περιφανείᾳ καὶ περιουσίᾳ καὶ πλούτῳ, ἐμάνθανον τῆς περὶ αὐτὸν τοῦ θεοῦ προνοίας τὴν δύναμιν. τίς εἶδέ ποτε; τίς ἤκουσεν; ἀπῆλθε λιμοῦ παραμυθίαν εὑρέσθαι, καὶ πλοῦτον περιβαλλόμενος καὶ δόξαν ἄφατον, οὕτως ἐπανέρχεται. μὴ ξενισθῇς, ἀγαπητὲ, μηδὲ θαυμάσῃς ἐπὶ τῷ γεγονότι· μᾶλλον δὲ καὶ θαύμασον καὶ ἐκπλάγηθι καὶ δόξαζε τοῦ κοινοῦ πάντων ἡμῶν δεσπότου τὴν δύναμιν. καὶ ὅρα καὶ τοὺς τούτου ἀπογόνους κατὰ τὸν αὐτὸν τρόπον κατιόντας μὲν εἰς Αἴγυπτον πάλιν διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ, κἀκεῖθεν πάλιν μετὰ πολλὴν δουλείαν καὶ ταλαιπωρίαν μετ' εὐπορίας ἀνιόντας. τοιοῦτος γὰρ εὐμήχανος ὁ δεσπότης ὁ ἡμέτερος. ὅταν συγχωρήσῃ κορυφωθῆναι καὶ αὐξηθῆναι τὰ δεινὰ, τότε πάλιν διασκεδάσας τὸν χειμῶνα, γαλήνην ἐργάζεται, καὶ πολλὴν τῶν πραγμάτων τὴν μεταβολὴν, διδάσκων ἡμᾶς τῆς αὐτοῦ δυνάμεως τὸ μέγεθος.

1 Ἀνέβη δὲ Ἄβραμ ἐξ Αἰγύπτου αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ, καὶ πάντα τὰ αὐτοῦ, καὶ Λὼτ μετ' αὐτοῦ εἰς τὴν ἔρημον. κεφ. ιγ.

Εὐκαίρως ἄν τις ἁρμόσειε τῷ δικαίῳ τούτῳ ἐκεῖνα τὰ ῥήματα, ἅπερ ὁ μακάριος Δαβὶδ τοῖς ἀπὸ τῆς ἐν Βαβυλῶνι αἰχμαλωσίας ἐπανελθοῦσιν ἔλεγεν· Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν, ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν. εἶδες κάθοδον ἀγῶνος καὶ δέους πεπληρωμένην, καὶ περὶ αὐτοῦ τοῦ θανάτου τὸν φόβον ἔχουσαν ἐπικείμενον· ὅρα πάλιν ἄνοδον περιφανείας πολλῆς γέμουσαν καὶ λαμπρότητος.

Ψαλ. ρκε. ε.

γρ. φέροντες

πᾶσι γὰρ λοιπὸν αἰδέσιμος ἦν ὁ δίκαιος καὶ τοῖς ἐν Αἰγύπτῳ, καὶ τοῖς ἐν Παλαιστίνῃ. τίς γὰρ οὐκ ἂν ἠδέσθη τὸν οὕτως ὑπὸ τοῦ θεοῦ φρουρούμενον, καὶ τοσαύτης ἀξιούμενον προνοίας; οὐδένα γὰρ ἴσως ἔλαθε τὰ εἰς τὸν βασιλέα γεγονότα καὶ τὸν οἶκον αὐτοῦ. πάντα γὰρ διὰ τοῦτο συνεχωρήθη. καὶ διὰ τοῦτο μέχρι τοσούτου προῆλθε τὰ τῶν πειρασμῶν τοῦ δικαίου, ἵνα καὶ αὐτοῦ ἡ ὑπομονὴ λαμπροτέρα γένηται, καὶ τὰ περὶ αὐτοῦ εἰς ἅπασαν ἐξενεχθῇ τὴν οἰκουμένην, καὶ μηδεὶς ἀνήκοος γένηται τῆς ἀρετῆς τοῦ δικαίου.

ΗΘΙΚΟΝ

Εἴδετε, ἀγαπητοί, ὅσον τῶν πειρασμῶν τὸ κέρδος· εἴδετε ὅση τῆς ὑπομονῆς ἡ ἀμοιβή· εἴδετε καὶ ἄνδρα καὶ γυναῖκα καὶ γέροντα καὶ πρεσβεβηκυῖαν, ὅσην ἐπεδείξαντο τὴν φιλοσοφίαν, ὅσην τὴν ἀνδρείαν, ὅσην τὴν περὶ ἀλλήλους φιλοστοργίαν, ὅσον τῆς ἀγάπης τὸν σύνδεσμον. τοῦτον ἅπαντες μιμησώμεθα, καὶ μηδέποτε ἀσχάλλωμεν, μηδὲ νομίζωμεν ἐγκαταλείψεως εἶναι τοῦ θεοῦ καὶ τοῦ περιορᾶσθαι τεκμήριον τὴν [εἴς τινα ἡμῶν] τῶν πειρασμῶν ἐπαγωγήν, ἀλλὰ τοῦτο μέγιστον ποιώμεθα μᾶλλον δεῖγμα τῆς περὶ ἡμᾶς τοῦ θεοῦ κηδεμονίας. ἄν τε γὰρ ἁμαρτήματα ἔχωμεν ἐπικείμενα ἡμῖν φορτία, δυνησόμεθα πολλὴν τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν" ἐπιδειξάμενοι κουφότερα ταῦτα ἐργάσασθαι· ἄν τε μὴ πολλὰ ἔχωμεν ἁμαρτήματα, πάλιν καὶ οὕτω πλείονος ἀπολαυσόμεθα τῆς ἄνωθεν εὐνοίας, εἰ εὐχαρίστως" ἐνέγκοιμεν. φιλότιμος γὰρ ὢν ὁ δεσπότης ὁ ἡμέτερος, καὶ τῆς ἡμετέρας κηδόμενος σωτηρίας, διὰ τοῦτο καθάπερ γυμνάσιόν τι καὶ ἀγῶνας προτίθησιν ἡμῖν ἀντὶ σκαμμάτων πολλάκις τὴν τῶν πειρασμῶν ἐπαγωγήν, ἵνα τὰ παρ' ἑαυτῶν καὶ ἡμεῖς ἐπιδειξάμενοι, δαψιλοῦς ἀπολαύσωμεν τῆς παρ' αὐτοῦ προνοίας. ὅπερ εἰδότες μὴ ναρκῶμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ δυσχεραίνωμεν ἐν ταῖς θλίψεσιν, ἀλλὰ καὶ χαίρωμεν κατὰ τὸν μακάριον Παῦλον· Νῦν γάρ, φησι, χαίρω ἐν ταῖς θλίψεσί μου. εἶδες ψυχὴν εὐγνώμονα. εἰ γὰρ ἐν ταῖς θλίψεσιν ἔχαιρε, πότε ἠδύνατο οὕτως ἐν λύπῃ γενέσθαι; εἰ τὰ ἐπὶ τῶν ἄλλων λυποῦντα ἐκείνῳ εὐφροσύνης ὑπόθεσιν ἔτικτεν, ἐννόει μοι τῆς ψυχῆς αὐτοῦ τὴν κατάστασιν. καὶ ἵνα μάθῃς ὅτι οὐχ οἷόν τε ἑτέρως τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτυχεῖν, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, εἰ μὴ διὰ θλίψεως ὁδεύσαιμεν τὸν παρόντα βίον, ἄκουε τῶν ἀποστόλων λεγόντων πρὸς τοὺς ἄρτι τῇ πίστει προσιόντας· Καὶ μαθητεύσαντες, φησιν, ἱκανούς, ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, καὶ παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ποία οὖν ἀπολογία ἔσται ἡμῖν, μὴ βουλομένοις γενναίως καὶ ἀνδρείως καὶ εὐχαρίστως πάντα" φέρειν τὰ ἐπαγόμενα, ὅταν ἴδωμεν, ὅτι οὐδὲ δυνατὸν ἑτέρως ἡμᾶς τῆς σωτηρίας ἐπιτυχεῖν μὴ ταύτην" διοδεύσαντας τὴν ὁδόν; ὅτι γὰρ οὐδὲν ξένον καὶ καινὸν οὐδεὶς τῶν δικαίων ὑπέμεινε διὰ θλίψεως τὴν παροῦσαν ὁδεῦσαι ζωήν, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε. ἵνα γὰρ μὴ καταπέσωσι τοῦτο ἀκούσαντες, εὐθέως τὸ θάρσος αὐτοῖς ἐνέθηκε καὶ τὴν παρ' ἑαυτοῦ ῥοπὴν ὑπέσχετο. ἀλλὰ θαρσεῖτε, ἐγώ, φησι, νενίκηκα τὸν κόσμον. ἔχεις, φησί, τὸν τὰ λυπηρὰ ἐπικουφίζοντα, τὸν οὐκ ἀφιέντα σε καταβαπτισθῆναι ὑπὸ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς, τὸν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν παρέχοντα, καὶ οὐ συγχωροῦντα ὑπὲρ τὴν ἡμετέραν ἰσχὺν ἐπαχθῆναι τὰ χαλεπά. τί ἀσχάλλεις; τί ἀλύεις; τί δυσανασχετεῖς; τί μικροψύχως διάκεισαι; μὴ γάρ, ἐὰν τὰ εἰς δύναμιν τὴν ἡμετέραν εἰσενέγκωμεν, τὴν ὑπομονὴν λέγω καὶ τὴν καρτερίαν καὶ τὴν εὐχάριστον γνώμην, συγχωρεῖ περιοφθῆναι ἡμᾶς ποτε; μὴ γάρ, κἂν εἰς ἀπόγνωσιν ἔλθῃ τὰ πράγματα, νικᾷ τὴν σοφίαν τοῦ ἡμετέρου

Κολ. α. κδ.

Πραξ. ιδ. κα.

Ιωαν. ιϛ. λγ.

α Κορ. ι. ιγ.

γρ. ἐπιδεικνύμενοι

γρ. ἐνέγκωμεν

γρ. φέροντες

γρ. οὐδ' ἐνῆν

ἡμετέρου δεσπότου; ἡμεῖς τὰ παρ' ἑαυτῶν ἐπιδειξώμεθα, καὶ εἰλικρινῆ τὴν πίστιν ἔχωμεν, εἰδότες τὸ εὐμήχανον τοῦ προστάτου τῶν ἡμετέρων ψυχῶν. καὶ πάντως ὁ μᾶλλον ἡμῶν εἰδὼς τὸ συμφέρον, οὕτως αὐτὸ δεόντως οἰκονομήσει, ὡς καὶ αὐτῷ πρέπον ἐστὶ, καὶ ἡμῖν συμφέρον, ἵνα καὶ τῆς ὑπομονῆς τὸν μισθὸν κομισώμεθα, καὶ τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Λογ. λγ. ΑΒΡΑΜ ΔΕ ΗΝ ΠΛΟΥΣΙΟΣ ΣΦΟΔΡΑ ΚΤΗνεσι καὶ ἀργυρίῳ καὶ χρυσίῳ, καὶ ἐπορεύθη, ὅθεν ἦλθεν, εἰς τὴν ἔρημον ἕως Βεθὴλ, ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον ἀνὰ μέσον Βεθὴλ καὶ ἀνὰ μέσον Ἀγγαὶ, εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν.

Ὁρῶν ὑμῶν σήμερον τὴν μετὰ προθυμίας ἐνταῦθα σύναξιν καὶ τὸν περὶ τὴν ἀκρόασιν πόθον, βούλομαι χρέος ὑμῖν καταθεῖναι, ὅπερ ὀφείλομεν τῇ ὑμετέρᾳ ἀγάπῃ. καὶ οἶδα ὅτι αὐτοὶ μὲν ἴσως ἐπιλέλησθε, διὰ τὸ πολλὰς ἐν τῷ μεταξὺ παρελθεῖν ἡμέρας, καὶ ἐφ' ἕτερα ἡμῖν ἐξελκυσθῆναι τὴν διάλεξιν. ἡ γὰρ τῆς ἁγίας ἑορτῆς παρουσία τὴν ἀκολουθίαν ἡμῖν διέκοψεν. οὐδὲ γὰρ ἦν εὔλογον τὸν σταυρὸν ἡμᾶς ἑορτάζοντας τοῦ δεσπότου, περὶ ἕτερα ἡμῖν τὴν διδασκαλίαν γίνεσθαι· ἀλλ' ἐχρῆν καθ' ἕκαστον καιρὸν τὴν ἁρμόττουσαν ὑμῖν παρατιθέναι τράπεζαν. διά τοι τοῦτο ἡνίκα ἡ τῆς προδόσεως ἔφθασεν ἡμέρα, τὴν ἀκολουθίαν διατεμόντες τῆς διδασκαλίας, τοῦ κατεπείγοντος γινόμενοι, ἐπὶ τὸν προδότην τὴν γλῶτταν ἐπαφήκαμεν, καὶ πάλιν μετὰ τοῦτο τὸν σταυρὸν ὑμῖν εἰς μέσον προεθήκαμεν. εἶτα ἀναστάσεως ἡμέρας καταλαβούσης ἀναγκαῖον ἦν τὰ περὶ τῆς ἀναστάσεως τοῦ δεσπότου διδάξαι τὴν ὑμετέραν ἀγάπην, καὶ πάλιν ἐν ταῖς ἐφεξῆς ἡμέραις τῆς ἀναστάσεως τὴν ἀπόδειξιν ὑμῖν παραγαγεῖν διὰ τῶν μετὰ ταῦτα γεγενημένων θαυμάτων, ὅτε καὶ τῶν πράξεων τῶν ἀποστολικῶν ἐπιλαβόμενοι ἐκεῖθεν ὑμῖν συνεχῆ τὴν ἑστίασιν παρεθήκαμεν, πολλὴν τὴν παραίνεσιν καθ' ἑκάστην πρὸς τοὺς νεωστὶ τῆς χάριτος ἀξιωθέντας ποιησάμενοι. νῦν οὖν ἀναγκαῖον τοῦ χρέους ὑμᾶς ὑπομνῆσαι, καὶ τότε τὴν ἔκτισιν ποιήσασθαι. εἰ γὰρ καὶ αὐτοὶ διὰ τὸ ὑπὸ πολλῶν περιέλκεσθαι φροντίδων οὐδὲ ἴστε τοῦ χρέους τὴν φύσιν, ἅτε καὶ γυναικὸς φροντίδα ἔχοντες, καὶ παίδων ἐπιμελούμενοι, καὶ ὑπὲρ τῆς καθημερινῆς τροφῆς σπουδάζοντες, καὶ ἑτέραις πολλαῖς βιωτικαῖς περιελκόμενοι φροντίσιν· ἀλλ' ἡμεῖς ὑπ' οὐδενὸς τούτων ὀχλούμενοι καὶ τοῦ χρέους ὑμᾶς ὑπομιμνήσκομεν, καὶ πρὸς τὴν ἀπόδοσιν παρασκευαζόμεθα. καὶ μὴ θαυμάσητε, εἰ τοσαύτην εὐγνωμοσύνην ἐπιδεικνύμεθα. ἀπ' ἐναντίας γὰρ τοῖς αἰσθητοῖς χρήμασίν ἐστι τούτου τοῦ χρέους ἡ φύσις. ἐκεῖ μὲν γὰρ οὐκ ἄν ποτε ταχέως ὁ ὀφείλων τοσαύτην εὐγνωμοσύνην ἐπιδείξηται, εἰδὼς ὅτι τὸ καταθεῖναι τὰ ὀφειλόμενα αὐτῷ μὲν ἐλαττοῖ τὴν οὐσίαν, τῷ δὲ λαμβάνοντι αὔξει τὴν περιουσίαν· ἐπὶ δὲ τοῦ χρέους τούτου τοῦ πνευματικοῦ τοιοῦτον οὐδέν· ἀλλὰ ταύτῃ μᾶλλον καὶ ὁ ὀφείλων καταθεὶς πολλῷ πλέον εὐπορώτερος ἔσται, καὶ τοῖς λαμβάνουσι μείζων ἡ εὐπορία. διὰ τοῦτο ἐπ' ἐκείνων μὲν πολλὴ ἡ ἀγνωμοσύνη γίνεται· ἐνταῦθα δὲ ἑκατέροις πολὺ τὸ κέρδος, καὶ τῷ κατατιθέντι, καὶ τοῖς ὑποδεχομένοις. ὅπερ καὶ ἐπὶ τῆς ἀγά-

πᾶσι γὰρ λοιπὸν αἰδέσιμος ἦν ὁ δίκαιος καὶ τοῖς ἐν Αἰγύπτῳ, καὶ τοῖς ἐν Παλαιστίνῃ. τίς γὰρ οὐκ ἂν ᾐδέσθη τὸν οὕτως ὑπὸ τοῦ θεοῦ φρουρούμενον, καὶ τοσαύτης ἀξιούμενον προνοίας; οὐδένα γὰρ ἴσως ἔλαθε τὰ εἰς τὸν βασιλέα γεγονότα καὶ τὸν οἶκον αὐτοῦ. πάντα γὰρ διὰ τοῦτο συνεχωρήθη. καὶ διὰ τοῦτο μέχρι τοσούτου προῆλθε τὰ τῶν πειρασμῶν τῷ δικαίῳ, ἵνα καὶ αὐτοῦ ἡ ὑπομονὴ λαμπροτέρα γένηται, καὶ τὰ περὶ αὐτοῦ εἰς ἅπασαν ἐξενεχθῇ τὴν οἰκουμένην, καὶ μηδεὶς ἀνήκοος γένηται τῆς ἀρετῆς τοῦ δικαίου.

ΗΘΙΚΟΝ

Εἴδετε, ἀγαπητοί, ὅσον τῶν πειρασμῶν τὸ κέρδος· εἴδετε ὅση τῆς ὑπομονῆς ἡ ἀμοιβή· εἴδετε καὶ ἄνδρα καὶ γυναῖκα καὶ γέροντα καὶ προβεβηκυῖαν, ὅσην ἐπεδείξαντο τὴν φιλοσοφίαν, ὅσην τὴν ἀνδρείαν, ὅσην τὴν περὶ ἀλλήλους φιλοστοργίαν, ὅσον τῆς ἀγάπης τὸν σύνδεσμον. τοῦτον ἅπαντες μιμησώμεθα, καὶ μηδέποτε ἀσχάλλωμεν, μηδὲ νομίζωμεν ἐγκαταλείψεως εἶναι τοῦ θεοῦ καὶ τοῦ περιορᾶσθαι τεκμήριον τὴν [εἰς τινα ἡμῶν] τῶν πειρασμῶν ἐπαγωγήν, ἀλλὰ τοῦτο μέγιστον ποιώμεθα μᾶλλον δεῖγμα τῆς περὶ ἡμᾶς τοῦ θεοῦ κηδεμονίας. ἄν τε γὰρ ἁμαρτημάτων ἔχωμεν ἐπικείμενα ἡμῖν φορτία, δυνησόμεθα πολλὴν τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν " ἐπιδειξάμενοι κουφότερα ταῦτα ἐργάσασθαι· ἄν τε μὴ πολλὰ ἔχωμεν ἁμαρτήματα, πάλιν καὶ οὕτω πλείονος ἀπολαυσόμεθα τῆς ἄνωθεν εὐνοίας, εἰ εὐχαρίστως " ἐνέγκοιμεν. φιλότιμος γὰρ ὢν ὁ δεσπότης ὁ ἡμέτερος, καὶ τῆς ἡμετέρας κηδόμενος σωτηρίας, διὰ τοῦτο καθάπερ γυμνάσιόν τι καὶ ἀγῶνας προτίθησιν ἡμῖν ἀντὶ σκαμμάτων πολλάκις τὴν τῶν πειρασμῶν ἐπαγωγήν, ἵνα τὰ παρ' ἑαυτῶν καὶ ἡμεῖς ἐπιδειξάμενοι, δαψιλοῦς ἀπολαύσωμεν τῆς παρ' αὐτοῦ προνοίας. ὅπερ εἰδότες μὴ ναρκῶμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ δυσχεραίνωμεν ἐν ταῖς θλίψεσιν, ἀλλὰ καὶ χαίρωμεν κατὰ τὸν μακάριον Παῦλον· Νῦν γάρ, φησι, χαίρω ἐν ταῖς θλίψεσί μου. εἶδες ψυχὴν εὐγνώμονα. εἰ γὰρ ἐν ταῖς θλίψεσιν ἔχαιρε, πότε ἠδύνατο οὕτως ἐν λύπῃ γενέσθαι; εἰ τὰ ἐπὶ τῶν ἄλλων λυποῦντα ἐκείνῳ εὐφροσύνης ὑπόθεσιν ἔτικτεν, ἐννόει μοι τῆς ψυχῆς αὐτοῦ τὴν κατάστασιν. καὶ ἵνα μάθῃς ὅτι οὐχ οἷόν τε ἑτέρως τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτυχεῖν, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, εἰ μὴ διὰ θλίψεως ὁδεύσαιμεν τὸν παρόντα βίον, ἄκουε τῶν ἀποστόλων λεγόντων πρὸς τοὺς ἄρτι τῇ πίστει προσιόντας· Καὶ μαθητεύσαντες, φησιν, ἱκανούς, ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, καὶ παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ποία οὖν ἀπολογία ἔσται ἡμῖν, μὴ βουλομένοις γενναίως καὶ ἀνδρείως καὶ εὐχαρίστως πάντα " φέρειν τὰ ἐπαγόμενα, ὅταν ἴδωμεν, ὅτι οὐδὲ δυνατὸν ἑτέρως ἡμᾶς τῆς σωτηρίας ἐπιτυχεῖν μὴ ταύτην " διοδεύσαντας τὴν ὁδόν; ὅτι γὰρ οὐδὲν ξένον καὶ καινὸν οὐδεὶς τῶν δικαίων ὑπέμεινε διὰ θλίψεως τὴν παροῦσαν ὁδεύσας ζωήν, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε. ἵνα γὰρ μὴ καταπέσωσι τοῦτο ἀκούσαντες, εὐθέως τὸ θάρσος αὐτοῖς ἐνέθηκε καὶ τὴν παρ' ἑαυτοῦ ῥοπὴν ὑπέσχετο. ἀλλὰ θαρσεῖτε, ἐγώ, φησι, νενίκηκα τὸν κόσμον. ἔχεις, φησί, τὸν τὰ λυπηρὰ ἐπικουφίζοντα, τὸν οὐκ ἀφιέντα σε καταβαπτισθῆναι ὑπὸ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς, τὸν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν παρέχοντα, καὶ οὐ συγχωροῦντα ὑπὲρ τὴν ἡμετέραν ἰσχὺν ἐπαχθῆναι τὰ χαλεπά. τί ἀσχάλλεις; τί ἀλύεις; τί δυσανασχετεῖς; τί μικροψύχως διάκεισαι; μὴ γάρ, ἐὰν τὰ εἰς δύναμιν τὴν ἡμετέραν εἰσενέγκωμεν, τὴν ὑπομονὴν λέγω καὶ τὴν καρτερίαν καὶ τὴν εὐχάριστον γνώμην, συγχωρεῖ περιοφθῆναι ἡμᾶς ποτε; μὴ γάρ, κἂν εἰς ἀπόγνωσιν ἔλθῃ τὰ πράγματα, νικᾷ τὴν σοφίαν τοῦ ἡμετέρου

Κολ. α. κδ.

Πράξ. ιδ. κα.

Ἰωαν. ις. λγ.

α Κορ. ι. ιγ.

γρ. ἐπιδεικνύμενοι

γρ. ἐνέγκωμεν

γρ. φέροντας

γρ. ἐλθόντας

ἡμετέρου δεσπότου; ἡμεῖς τὰ παρ' ἑαυτῶν ἐπιδειξώμεθα, καὶ εἰλικρινῆ τὴν πίστιν ἔχωμεν, εἰδότες τὸ εὐμήχανον τοῦ προστάτου τῶν ἡμετέρων ψυχῶν. καὶ πάντως ὁ μᾶλλον ἡμῶν εἰδὼς τὸ συμφέρον, οὕτως αὐτὸ δεόντως οἰκονομήσει, ὡς καὶ αὐτῷ πρέπον ἐστί, καὶ ἡμῖν συμφέρον, ἵνα καὶ τῆς ὑπομονῆς τὸν μισθὸν κομισώμεθα, καὶ τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Λόγ. λγ. ΑΒΡΑΜ ΔΕ ΗΝ ΠΛΟΥΣΙΟΣ ΣΦΟΔΡΑ ΚΤΗΝΕΣΙ καὶ ἀργυρίῳ καὶ χρυσίῳ, καὶ ἐπορεύθη, ὅθεν ἦλθεν, εἰς τὴν ἔρημον ἕως Βεθήλ, ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον ἀνὰ μέσον Βεθὴλ καὶ ἀνὰ μέσον Ἀγγαί, εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν.

Ὁρῶν ὑμῶν σήμερον τὴν μετὰ προθυμίας ἐνταῦθα σύναξιν καὶ τὸν περὶ τὴν ἀκρόασιν πόθον, βούλομαι χρέος ὑμῖν καταθεῖναι, ὅπερ ὀφείλομεν τῇ ὑμετέρᾳ ἀγάπῃ. καὶ οἶδα ὅτι αὐτοὶ μὲν ἴσως ἐπιλέλησθε, διὰ τὸ πολλὰς ἐν τῷ μεταξὺ παρελθεῖν ἡμέρας, καὶ ἐφ' ἕτερα ἡμῖν ἐξελκυσθῆναι τὴν διάλεξιν. ἡ γὰρ τῆς ἁγίας ἑορτῆς παρουσία τὴν ἀκολουθίαν ἡμῖν διέκοψεν. οὐδὲ γὰρ ἦν εὔλογον τὸν σταυρὸν ἡμᾶς ἑορτάζοντας τοῦ δεσπότου, περὶ ἕτερα ἡμῖν τὴν διδασκαλίαν γίνεσθαι· ἀλλ' ἐχρῆν καθ' ἕκαστον καιρὸν τὴν ἁρμόττουσαν ὑμῖν παρατιθέναι τράπεζαν. διά τοι τοῦτο ἡνίκα ἡ τῆς παραδόσεως ἔφθασεν ἡμέρα, τὴν ἀκολουθίαν διατεμόντες τῆς διδασκαλίας, τοῦ κατεπείγοντος ἀγόμενοι, ἐπὶ τὸν προδότην τὴν γλῶτταν ἐπαφήκαμεν, καὶ πάλιν τὰ κατὰ τὸν σταυρὸν ὑμῖν εἰς μέσον προτεθήκαμεν. εἶτα ἀναστάσεως ἡμέρας καταλαβούσης ἀναγκαῖον ἦν τὰ περὶ τῆς ἀναστάσεως τοῦ δεσπότου διδάξαι τὴν ὑμετέραν ἀγάπην, καὶ πάλιν ἐν ταῖς ἐφεξῆς ἡμέραις τῆς ἀναστάσεως τὴν ἀπόδειξιν ὑμῖν παρασχεῖν διὰ τῶν μετὰ ταῦτα γεγενημένων θαυμάτων, ὅτε καὶ τῶν πράξεων τῶν ἀποστολικῶν ἐπιλαβόμενοι ἐκεῖθεν ὑμῖν συνεχῆ τὴν ἑστίασιν παρεθήκαμεν, πολλὴν τὴν παραίνεσιν καθ' ἑκάστην πρὸς τοὺς νεωστὶ τῆς χάριτος ἀξιωθέντας ποιησάμενοι. νῦν δὲ ἀναγκαῖον τοῦ χρέους ὑμᾶς ὑπομνῆσαι, καὶ τότε τὴν ἔκτισιν ποιήσασθαι. εἰ γὰρ καὶ αὐτοὶ διὰ τὸ ὑπὸ πολλῶν περιέλκεσθαι φροντίδων οὐδὲ ἴστε τοῦ χρέους τὴν φύσιν, ἅτε καὶ γυναικὸς φροντίδα ἔχοντες, καὶ παίδων ἐπιμελόμενοι, καὶ ὑπὲρ τῆς καθημερινῆς τροφῆς σπουδάζοντες, καὶ ἑτέραις πολλαῖς βιωτικαῖς περιελκόμενοι φροντίσιν· ἀλλ' ἡμεῖς ὑπ' οὐδενὸς τούτων ὀχλούμενοι καὶ τοῦ χρέους ὑμᾶς ὑπομιμνήσκομεν, καὶ πρὸς τὴν ἀπόδοσιν παρασκευαζόμεθα. καὶ μὴ θαυμάσητε, εἰ τοσαύτην εὐγνωμοσύνην ἐπιδεικνύμεθα. ἀπ' ἐναντίας γὰρ τοῖς αἰσθητοῖς χρήμασίν ἐστι τούτου τοῦ χρέους ἡ φύσις. ἐκεῖ μὲν γὰρ οὐκ ἄν ποτε ταχέως ὁ ὀφείλων τοσαύτην εὐγνωμοσύνην ἐπιδείξηται, εἰδὼς ὅτι τὸ καταθεῖναι τὰ ὀφειλόμενα αὐτῷ μὲν ἐλαττοῖ τὴν οὐσίαν, τῷ δὲ λαμβάνοντι αὔξει τὴν περιουσίαν· ἐπὶ δὲ τοῦ χρέους τούτου τοῦ πνευματικοῦ τοιοῦτον οὐδέν· ἀλλὰ ταύτῃ μᾶλλον καὶ ὁ ὀφείλων καταθεὶς πολλῷ πλέον εὐπορώτερος ἔσται, καὶ τοῖς λαμβάνουσι μείζων ἡ εὐπορία. διὰ τοῦτο ἐπ' ἐκείνων μὲν πολλὴ ἡ ἀγνωμοσύνη γίνεται· ἐνταῦθα δὲ ἑκατέροις πολὺ τὸ κέρδος, καὶ τῷ καταπιθέντι, καὶ τοῖς ὑποδεχομένοις. ὅπερ καὶ ἐπὶ τῆς ἀγά-

Ρω. ιγ. η. πῆς παραίνεσιν ὁ μακάριος Παῦλος λέγων, Μηδενὶ μηδὲν ὀφείλητε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν· δεικνὺς ὅτι τοῦτο τὸ χρέος ἀεὶ μὲν καταβάλλεσθαι λέγεται), μηδέποτε δὲ παύεσθαι. μήτε ὑμᾶς ἀμελεῖν δεῖ πρὸς τὴν ὑποδοχὴν παρασκευαζομένους. τοῦτο γὰρ καὶ ἡμᾶς τοὺς καταβάλλοντας εὐπορωτέρους καθίστησι, καὶ ὑμῖν πλείονος ὠφελείας ὑπόθεσις γενήσεται. ἐπεὶ οὖν τοιαύτη τούτου τοῦ χρέους ἡ φύσις, καὶ ὅσῳ ἂν καταβάλλωμεν, τοσούτῳ μᾶλλον τῇ πλείονι καταβολῇ τὴν ἑαυτῶν περιουσίαν αὔξομεν, φέρε δὴ λοιπὸν διδάξωμεν ὑμᾶς καὶ τοῦ χρέους τὴν ὑπόθεσιν, ἵνα καὶ αὐτοὶ προθυμότερον ὑποδέξησθε τὰ λεγόμενα, καὶ τὴν ἡμετέραν εὐγνωμοσύνην ἀποδεξάμενοι ἀμείψησθε ἡμᾶς τῷ μετὰ σπουδῆς προσέχειν τοῖς λεγομένοις. τίς οὖν ἐστι τοῦ χρέους ἡ ὑπόθεσις; ἴστε καὶ μέμνησθε ὅτι τὰ κατὰ τὸν πατριάρχην εἰς μέσον ἀγαγόντες, καὶ τὴν διὰ τὸν λιμὸν γενομένην αὐτῷ κάθοδον εἰς Αἴγυπτον, καὶ τῆς Σάρρας τὴν ἁρπαγὴν τὴν ὑπὸ τοῦ Φαραὼ γεγενημένην, καὶ τὴν τοῦ θεοῦ κατ' αὐτοῦ ἀγανάκτησιν, ἣν διὰ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐποιήσατο καὶ κατ' αὐτοῦ καὶ κατὰ παντὸς τοῦ οἴκου αὐτοῦ, παρασκευάσας μετὰ πολλῆς τῆς περιφανείας τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον ποιήσασθαι τὸν πατριάρχην (ἐνετείλατο γάρ, φησι, Φαραὼ ἀνδράσι περὶ Ἄβραμ συμπροπέμψαι αὐτὸν, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ. ἀνέβη δὲ Ἄβραμ ἐξ Αἰγύπτου, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ πάντα τὰ αὐτοῦ, καὶ Λὼτ μετ' αὐτοῦ εἰς τὴν ἔρημον) ἐνταῦθα τὸν λόγον καταλύσαντες, τὰς μεταξὺ πάσας ἡμέρας εἰς τὴν περὶ τῶν κατεπειγόντων διδασκαλίαν τὸν λόγον καταπαύσαντες μετηγάγομεν. διόπερ σήμερον ἀναγκαῖον τῆς ἀκολουθίας ἅψασθαι, καὶ καθάπερ σῶμα ἓν συνάψαι καὶ τὰ μέλλοντα ῥηθήσεσθαι τοῖς ἤδη λεχθεῖσιν. οὕτω γὰρ εὐσύνοπτος ὑμῖν γενήσεται ὁ τῆς διδασκαλίας λόγος. ἀλλ' ἵνα σαφέστερα ὑμῖν γένηται τὰ λεγόμενα, ἀκόλουθον ἂν εἴη καὶ αὐτὴν τὴν ἀρχὴν τῶν σήμερον ἀναγνωσθέντων προθεῖναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης.

2 Ἄβραμ δέ, φησιν, ἦν πλούσιος σφόδρα κτήνεσιν, ἀργυρείῳ, καὶ χρυσίῳ. 3 Καὶ ἐπορεύθη ὅθεν ἦλθεν εἰς τὴν ἔρημον ἕως Βεθήλ, ἕως τοῦ τόπου οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον ἀνὰ μέσον Βεθὴλ, καὶ ἀνὰ μέσον Ἀγγαί, 4 Εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν· καὶ ἐπεκαλέσατο ἐκεῖ Ἄβραμ τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

Μὴ ἁπλῶς παραδράμωμεν τὰ ἀνεγνωσμένα, ἀλλὰ καταμάθωμεν σαφῶς τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲν ἡμῖν παρέργως διηγεῖται. Ἄβραμ δέ, φησιν, ἦν πλούσιος σφόδρα. σκόπει πρῶτον αὐτὸ τοῦτο, ὅτι οὐχ ἁπλῶς ἐπεσημήνατο, οὐδὲ μάτην οὐδὲ εἰκῆ νῦν πλούσιον αὐτὸν καλεῖ. οὐδαμοῦ γὰρ ἑτέρωθι ἐμνημόνευσεν, ὅτι πλούσιος ἦν, ἀλλὰ νῦν πρῶτον. τίνος ἕνεκεν καὶ διὰ τί; ἵνα μάθῃς τῆς τοῦ θεοῦ σοφίας τὸ εὐμήχανον, καὶ τῆς προνοίας ἣν περὶ τὸν δίκαιον ἐποιεῖτο τὴν ὑπερβάλλουσαν δύναμιν. ὁ γὰρ διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ τὴν ἀποδημίαν ποιησάμενος τὴν εἰς Αἴγυπτον, καὶ διὰ τὸ μὴ φέρειν τὴν ἐν τῇ Χαναναίᾳ στενοχωρίαν, ἀθρόον πλούσιος γέγονε, καὶ πλούσιος οὐχ ἁπλῶς, ἀλλὰ σφόδρα, καὶ οὐ κτήνεσι μόνον, ἀλλὰ καὶ ἀργυρείῳ καὶ χρυσίῳ. εἶδες ὅση τοῦ θεοῦ ἡ πρόνοια. ἀπῆλθε λιμοῦ παραμυθίαν εὑρέσθαι, καὶ ἐπανῆλθεν οὐ τὸν λιμὸν μόνον παραμυθησάμενος, ἀλλὰ καὶ πλοῦτον πολὺν περιβαλλόμενος καὶ δόξαν ἄφατον, καὶ πᾶσι κατάδηλος γεγονώς, ὅστις ἦν. καὶ λοιπὸν καὶ οἱ τὴν Χαναναίαν οἰκοῦντες ἀκριβέστερον ἐμάνθανον τοῦ δικαίου τὴν ἀρετήν, ὁρῶντες οὕτως ἀθρόαν γεγενημένην τὴν μεταβολὴν, καὶ τοσούτῳ πλούτῳ περιρρεόμενον τὸν ξένον, τὸν καθάπερ φυγάδα καὶ ἀλήτην εἰς τὴν Αἴγυπτον κατελθόντα. καὶ ὅρα αὐτὸν οὐδὲ ὑπὸ τῆς πολλῆς εὐημερίας καὶ τῆς τοῦ πλούτου περιουσίας χαυνότερον γεγονότα, οὐδὲ ῥαθυμότερον,

τερον, ἀλλὰ πάλιν εἰς ἐκεῖνον τὸν τόπον ἐπειγόμενον, ἔνθα καὶ πρότερον ἦν, πρὶν ἢ τὴν Αἴγυπτον καταλαβεῖν. ἦλθε γάρ, φησιν, εἰς τὴν ἔρημον ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον, εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν, καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου τοῦ θεοῦ. ἐννόει μοι πῶς ἦν ἡσυχίας ἐραστὴς καὶ ἀπραγμοσύνης, καὶ διηνεκῶς ἀνακείμενος τῇ πρὸς τὸ θεῖον θεραπείᾳ. ἐκεῖνον γάρ, φησι, τὸν τόπον κατέλαβεν, ἔνθα ἦν πρότερον τὸ θυσιαστήριον οἰκοδομῆσαι, καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ θεοῦ, ὡς παραλαβὼν ἤδη ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπλήρου τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον· ὅτι Ἐξελεξάμην [τὸ] παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. ἡ γὰρ ἐρημία διὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος * τοῦ θεοῦ προτιμοτέρα αὐτῷ ἐτύγχανε τῶν πόλεων. ἤδει γάρ, ἤδει ὅτι πόλεως μέγεθος οὐκ οἰκοδομημάτων ποιεῖ κάλλος, οὐδὲ οἰκητόρων πλῆθος, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετή, δι' ἣν καὶ ἡ ἔρημος τῶν πόλεων τιμιωτέρα ἐτύγχανεν ὑπὸ τῆς τοῦ δικαίου ἀρετῆς κοσμουμένη, καὶ λαμπροτέρα τῆς οἰκουμένης φαινομένη.

Ψαλ. πγ. ια.

5 Καὶ Λώτ, φησι, τῷ συμπορευομένῳ μετὰ Ἄβραμ ἦν πρόβατα καὶ βόες καὶ κτήνη,

6 Καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά, καὶ οὐκ ἠδύναντο κατοικεῖν ἅμα.

Οὐ μόνον τῷ πατριάρχῃ τὰ τῆς περιουσίας ηὔξετο, ἀλλὰ καὶ τῷ Λὼτ ἦν, φησι, πρόβατα καὶ βόες καὶ κτήνη. ἴσως τὰ μὲν αὐτὸς φιλότιμος ὢν ἐδωρεῖτο τῷ ἀδελφιδῷ, τὰ δὲ καὶ ἑτέρωθι αὐτῷ προσῆγον διὰ τὴν εἰς τὸν πατριάρχην τιμήν. καὶ οὐκ ἐχώρει αὐτούς, φησιν, ἡ γῆ, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά. ὅρα τὸ πλῆθος τῆς περιουσίας εὐθέως διαστάσεως αἴτιον γινόμενον, καὶ τὴν διαίρεσιν ἐργαζόμενον, καὶ τὴν ὁμόνοιαν διακόπτον, καὶ τῆς συγγενείας τὸν σύνδεσμον διαιροῦν.

7 Καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Ἄβραμ, καὶ ἀνὰ μέσον τῶν ποιμένων τοῦ Λώτ. οἱ δὲ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν.

Σκόπει πῶς οἱ προσήκοντες τὴν ἀρχὴν τῆς διαστάσεως ἐργάζονται. ἐντεῦθεν γὰρ ἀεὶ πάντα φύεται τὰ κακὰ ἀπὸ τῆς τῶν οἰκείων μοχθηρίας. ἐγένετο γάρ, φησι, μάχη ἀνὰ μέσον τῶν ποιμένων. οὗτοί εἰσιν οἱ τῆς διαιρέσεως τὴν ἀφορμὴν παρέχοντες, οἱ τὴν ὁμόνοιαν διασπῶντες, οἱ πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδεικνύμενοι. οἱ δὲ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν. τίνος ἕνεκεν ἡμῖν τοῦτο ἐπεσημήνατο; ἐπειδὴ εἶπεν, ὅτι οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, τὴν αἰτίαν ἡμᾶς διδάξαι ἠθέλησεν ἡ θεία γραφή, ὅτι διὰ τοῦτο αὐτοὺς οὐκ ἐχώρει, ἐπειδὴ ἔτι προκατείχετο ὑπὸ τούτων τῶν ἐθνῶν. ἀλλ' ἴδωμεν τοῦ πατριάρχου τὴν φιλόθεον γνώμην, ὅπως καταστέλλει τὴν μέλλουσαν ἐξάπτεσθαι πυρὰν διὰ τῆς οἰκείας ἐπιεικείας.

8 Εἶπε δέ, φησιν, Ἄβραμ τῷ Λώτ, μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καί σου, καὶ ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἀδελφοὶ ἡμεῖς ἐσμεν.

Ὅρα ταπεινοφροσύνης ὑπερβολήν, ὅρα φιλοσοφίας ὕψος. ὁ γέρων, ὁ πρεσβύτης, τὸν νέον, τὸν ἀδελφιδοῦν ἀδελφὸν προσαγορεύει, καὶ εἰς τὴν αὐτὴν αὐτῷ τιμὴν ἄγει, καὶ οὐδὲν ἑαυτῷ πλέον νέμει· ἀλλά φησι, μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καί σου, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου. οὐδὲ γὰρ ἂν εἴη, φησίν, εὔλογον τοῦτο γενέσθαι, ἐπειδὴ ἀδελφοί ἐσμεν. Εἶδες ἀποστολικὸν νόμον αὐτὸν πληροῦντα τὸν λέγοντα, Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ

α. Κορ. ς. α.

ταῦτα ἀδελφούς. ταῦτα πάντα διὰ τῶν ἔργων πληρῶν ὁ πατριάρχης φησί, μὴ ἔστω μάχη* ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. τί ταύτης τῆς ψυχῆς εἰρηνικώτερον γένοιτ᾽ ἄν; ἄρα οὐ μάτην οὐδὲ εἰκῆ ἐν προοιμίοις ἔλεγον, ὅτι διὰ τὸ ἡσυχίας ἐρᾶν καὶ ἀπραγμοσύνης, διὰ τοῦτο τὴν ἐρημίαν τῆς οἰκουμένης προετίμα. ὅρα γὰρ αὐτὸν καὶ νῦν, ἐπειδὴ ὅλως εἶδε τοὺς ποιμένας διαπληκτιζομένους, πῶς ἐξ ἀρχῆς εὐθέως πειρᾶται καταστεῖλαι τὴν μέλλουσαν ἐξάπτεσθαι πυράν, καὶ παύει τὴν φιλονεικίαν. ἔδει γὰρ αὐτὸν πᾶσι τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διδάσκαλον φιλοσοφίας ἀφιγμένον μηδεμίαν παρέχειν ἀφορμήν, μηδὲ λαβὴν δοῦναι· ἀλλὰ διὰ τῆς τῶν τρόπων ἐπιεικείας σάλπιγγος λαμπρότερον πάντας αὐτοὺς παιδεῦσαι, καὶ μιμητὰς καταστῆσαι τῆς οἰκείας ἀρετῆς. μὴ ἔστω, φησί, μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. πολλὴ τῶν ῥημάτων ἡ ἐπιείκεια. ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. σκόπει πῶς ἐξ ἰσοτιμίας αὐτῷ διαλέγεται, καίτοι τὰ τῆς μάχης οὐχ ἑτέρωθεν οἶμαι τὴν ἀρχὴν εἰληφέναι, ἢ ἀπὸ τοῦ τοὺς ποιμένας τοῦ πατριάρχου μὴ συγχωρεῖν ἐκείνοις τῆς αὐτῆς αὐτοῖς ἀδείας ἀπολαύειν. ἀλλ᾽ ὁ δίκαιος δεικνὺς τῆς οἰκείας φιλοσοφίας τὴν ὑπερβολήν, καὶ παιδεύων οὐ τοὺς τότε παρόντας μόνον, ἀλλὰ καὶ πάντας τοὺς ἑξῆς μηδέποτε πρὸς τοὺς πλησίον διαπληκτίζεσθαι τοὺς ἡμῖν διαφέροντας. ἡ γὰρ ἐκείνων φιλονεικία ἡμῖν πολλὴν περιτρίβεται τὴν ἀδοξίαν, καὶ " οὐδὲν ἐκείνοις λογίζεται τὰ γινόμενα, ἀλλ᾽ εἰς ἡμᾶς ἀνατρέχει τὰ τῆς μέμψεως. ποῦ δ᾽ οὖν εὔλογον ἀνθρώπους ἀδελφοὺς ὄντας, καὶ τῆς αὐτῆς φύσεως τυγχάνοντας, καὶ τῆς αὐτῆς συγγενείας, καὶ παροικεῖν ἐνταῦθα μέλλοντας, εἰς τοσαύτην ἐκπίπτειν φιλονεικίαν, ὀφείλοντας ἐπιεικείας καὶ πραότητος καὶ φιλοσοφίας ἁπάσης διδασκάλους καθίστασθαι τούτοις πᾶσιν; ἀκουέτωσαν ταῦτα οἱ νομίζοντες " ἐξ ὧν τυγχάνειν ἐγκλημάτων, ἐπειδὰν τοὺς αὐτοῖς προσήκοντας περιορῶσι διὰ τὴν πρὸς αὐτοὺς οἰκειότητα ἁρπάζοντας, πλεονεκτοῦντας, μυρία κακὰ διατιθέντας καὶ ἐν πόλεσι καὶ ἐν ἀγροῖς τοὺς αὐτοῖς γειτνιῶντας, καὶ περισπωμένους τοῦ μὲν τὸν ἀγρόν, τοῦ δὲ τὴν οἰκίαν, καὶ ταύτῃ πλείονα μᾶλλον τὴν εὔνοιαν περὶ αὐτοὺς ἐπιδεικνύμενοι. εἰ γὰρ καὶ ἑτέρου τὸ τῆς ἀδικίας ἔργον ἦν, ἀλλ᾽ αὐτοὶ ἐκοινώνησαν τοῦ πράγματος, οὐ μόνον τῷ ἐφησθῆναι τῷ γενομένῳ, καὶ νομίζειν ἐκ τούτου σοι τὴν οὐσίαν αὔξεσθαι καὶ τὴν περιουσίαν πλείονα γίνεσθαι, ἀλλὰ καὶ τῷ μὴ κωλῦσαι μέλλουσαν τὴν ἀδικίαν εἰς ἔργον ἐκβαίνειν. ὁ γὰρ δυνάμενος κωλῦσαι τὸν ἀδικοῦντα, καὶ μὴ τοῦτο ποιῶν, οὐκ ἔλαττον τοῦ ἀδικοῦντος τὰς εὐθύνας ὑφέξει. μὴ τοίνυν ἀπατῶμεν ἑαυτούς, παρακαλῶ, ἀλλὰ καὶ αὐτοὶ φεύγωμεν τὰς ἁρπαγάς, τὰς πλεονεξίας, καὶ τὸ ἐκ τῶν τοιούτων αὔξειν ἡμῖν τὴν περιουσίαν, καὶ τοὺς ἡμῖν προσήκοντας παιδεύωμεν μηδὲν τοιοῦτο ἐργάζεσθαι. οὐδὲ γὰρ ἀνευθύνους ἡμᾶς τοῦτο ἀφίησιν, ἀλλὰ πλείονα τὴν κατάκρισιν ἐργάζεται. πρὸς γὰρ τὴν ἡμετέραν ἀρέσκειαν ἐκεῖνοι τὴν ἑαυτῶν προδιδόντες σωτηρίαν τὴν ἀδικίαν τολμῶσι, μετὰ τῆς ἑαυτῶν ἀπωλείας καὶ ἡμᾶς συγκατασπῶντες. εἰ δὲ βουλώμεθα νήφειν, καὶ αὐτοὶ τῆς ἐντεῦθεν λύμης ἀπαλλαγησόμεθα, κἀκείνους ἀποστήσομεν τῆς κακῆς ἐπιχειρήσεως. καὶ μή μοι λέγε τὰ ψυχρὰ ἐκεῖνα ῥήματα, οὐδέν μοι μέλει· μὴ γὰρ ἐγὼ παρεσπασάμην; οὐδὲν οἶδα. ἕτερος εἰργάσατο, οὐκ ἐκοινώνησα τῆς ἀδικίας. σκῆψις ταῦτα καὶ πρόφασις. εἰ βούλει δεῖξαι ὅτι οὐκ ἐκοινώνησας τῆς ἀδικίας, καὶ οὐ συνέπραξας, καὶ τῆς πλεονεξίας οὐ γέγονας ἐργάτης, διόρθωσαι τὸ γεγονός, παραμύθησαι τὸν ἠδικημένον, ἀπόδος τὰ ἀφαιρεθέντα. οὕτω γὰρ καὶ σαυτὸν ἐλευθερώσεις ἐγκλημάτων, καὶ τὸν ἠδικηκότα διορθώσῃ, δείξας ὡς οὐ κατὰ γνώμην

* ἀνὰ μέσον ἐμοῦ καὶ σο

ἴσ. οὐδεὶς

ἴσ. ἐκτὸς

σου τὰ παρ' αὐτοῦ πέπρακται, καὶ τὸν πένητα παρακαλέσας οὐκ ἀφήσεις ὑπὸ τῆς ἀθυμίας καταποθῆναι, ἣν διὰ τὴν ἀφαίρεσιν ὑφίστασθαι ἔμελλε. μὴ ἔστω, φησὶ, μάχη ἀνὰ μέσον ἐμοῦ καί σου, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμέν. εἶδες πραότητα, εἶδες ἐπιείκειαν· ἄκουε καὶ τῶν ἑξῆς, ἵνα μάθῃς αὐτοῦ τῆς φιλοσοφίας τὴν ὑπερβολήν. πῶς οὖν τὰ τῆς μάχης λύσιν λάβῃ, καὶ σβεσθῇ τὰ τῆς φιλονεικίας;

9 Ιδοὺ πᾶσα ἡ γῆ, φησιν, ἐναντίον σού ἐστι. διαχωρίσθητι ἀπ' ἐμοῦ· εἰ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά.

Σκόπει τοῦ δικαίου τὴν φιλοσοφίαν, καὶ τῆς ταπεινοφροσύνης τὴν ἐπίτασιν. πρὸ δὲ τούτων ἐννόει μοι, ἀγαπητὲ, ὅση τοῦ πλούτου ἡ λύμη, καὶ τῆς περιουσίας τῆς πολλῆς ἡ διαφθορά. ηὐξήθη τὰ ποίμνια, προσεγένετο πλοῦτος πολὺς, καὶ εὐθέως διακόπτεται ἡ ὁμόνοια· καὶ ἔνθα ἦν ἡ εἰρήνη καὶ ὁ σύνδεσμος τῆς ἀγάπης, ἐκεῖ μάχη καὶ φιλονεικία. ὅπου γὰρ τὸ ἐμὸν καὶ τὸ σὸν, ἐκεῖ πᾶσα μάχης ἰδέα καὶ φιλονεικίας ὑπόθεσις. ἔνθα γὰρ τοῦτο μὴ ᾖ, τὰ τῆς ὁμονοίας καὶ τὰ τῆς εἰρήνης μετὰ πάσης ἀκριβείας πολιτεύεται. καὶ ἵνα μάθῃς, ἄκουε τί φησιν ὁ μακάριος Λουκᾶς περὶ τῶν ἐξ ἀρχῆς τῇ πίστει προσιόντων· Ἦν, φησὶ, πάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία· οὐκ ἐπειδὴ ψυχὴν μίαν εἶχον πάντες· (πῶς γὰρ ἐν διαφόροις σώμασιν ὄντες;) ἀλλὰ τὴν ἐπιτεταμένην ὁμόνοιαν ἡμῖν δείκνυσι. καὶ εἰ μὴ σφόδρα μακρόθυμός τις ἦν ὁ δίκαιος καὶ φιλοσοφεῖν εἰδὼς, καὶ ἐχαλέπηνεν ἂν καὶ εἶπε πρὸς αὐτόν· τίς ἡ τοσαύτη παράνοια; ὅλως γὰρ ἐτόλμησαν οἱ προσήκοντές σοι διᾶραι στόμα πρὸς τοὺς ἐμοὶ διαφέροντας, καὶ οὐκ ἐνενόησαν ὅσον τὸ μέσον ἐστὶ μεταξὺ ἡμῶν. πόθεν γάρ σοι τὰ τῆς εὐπορίας ταύτης γεγένηται; οὐκ ἐκ τῆς ἐμῆς κηδεμονίας; τίς δέ σε εἰς ἀνθρώπους ὀφθῆναι πεποίηκεν; οὐκ ἐγὼ ἀντὶ πατρός σοι γεγονὼς, καὶ τὴν πατρός σοι χρείαν διὰ πάντων ἐπιδειξάμενος; ταύτας μοι τὰς ἀμοιβὰς ἀποδίδως τῆς πολλῆς περὶ σὲ θεραπείας; ταῦτα ἐλπίζων πανταχοῦ σε μετ' ἐμοῦ περιῆγον; ἔσω· οὐδὲν τῶν ὑπηργμένων σοι παρ' ἐμοῦ εἰς ἔννοιαν ἔλαβες· κἂν μου γοῦν τὸ γῆρας αἰδεσθῆναί σε οὐκ ἐχρῆν, καὶ τιμῆσαι τὰς πολιὰς τὰς ἐμάς; ἀλλὰ περιεῖδες τοὺς ποιμένας τοὺς σοὺς ἐμπαροινοῦντας τοῖς ἐμοῖς ποιμέσιν, οὐκ εἰδὼς ὅτι ὥσπερ ἡ εἰς ἐκείνους ὕβρις εἰς ἐμὲ διαβαίνει, οὕτω καὶ ἡ ἐκείνων περιπέτεια εἰς σὲ τὴν ἀναφορὰν ἔχει. ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος οὔτε εἰς διάνοιαν λαβεῖν κατεδέξατο, ἀλλὰ πάντα τοιοῦτον λογισμὸν ἀπωσάμενος ἑνὸς γέγονε μόνου, ὅπως καὶ τὴν μέλλουσαν ἐξάπτεσθαι φιλονεικίαν κατασβέσῃ, καὶ τὸν χωρισμὸν ἀλύπως ἐπινοήσας πάσης ταραχῆς ἐκτὸς ποιήσῃ τὴν οἰκίαν. οὐκ ἰδοὺ, φησιν, πᾶσα ἡ γῆ ἐναντίον σού ἐστι; διαχωρίσθητι ἀπ' ἐμοῦ. εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά· εἰ δὲ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά. ὅρα τὴν ἐπιείκειαν τοῦ δικαίου. δείκνυσι γὰρ αὐτῷ διὰ τῶν πραγμάτων, ὅτι οὐχ ἑκὼν τοῦτο ποιεῖ οὐδὲ βουλόμενος αὐτὸν χωρισθῆναι, ἀλλὰ διὰ τὴν τῆς φιλονεικίας ἀνάγκην, καὶ ὥστε μὴ διηνεκῆ τὸν πόλεμον εἶναι ἐν τῇ οἰκίᾳ, σκόπει πῶς διὰ τῶν λόγων καταπραΰνει αὐτοῦ τὴν φλεγμονὴν, καὶ αὐτῷ πᾶσαν τὴν ἐξουσίαν δίδωσι τῆς ἐκλογῆς, καὶ προτίθησιν αὐτῷ τὴν γῆν ἅπασαν, καί φησιν· οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου; ἣν ἂν βούλῃ, ἑλοῦ, κἀγὼ ἐκείνην καταδέξομαι μετὰ πολλῆς τῆς ἡδονῆς, ἣν ἂν αὐτὸς καταλίπῃς. μεγάλη τοῦ δικαίου ἡ φιλοσοφία. διὰ πάντων ἀνεπαχθὴς βούλεται γενέσθαι τῷ ἀδελφιδῷ. ἐπειδὴ γὰρ, φησιν, ὅπερ οὐκ ἐβουλόμην, τοῦτο γέγονε, καὶ ἵνα τὰ τῆς φιλονεικίας παυθῇ, τὸν χωρισμὸν ἀνάγκη συμβῆναι. διὰ τοῦτό σε κύριον καθίστημι τῆς αἱρέσεως, καὶ τὴν ἐξουσίαν σοι πᾶσαν δίδωμι, ἵνα ἣν ἂν νομίσῃς εἶναι τιμιωτέραν γῆν, ἐκείνην ἑλόμενος, τὴν λοιπὴν ἐμοὶ καταλίπῃς. ἆρα αὖ

Πρ. δ. λβ.

τοῦτο ποιῆσαί ποτέ τις κατεδέξατο πρὸς ὁμήλικα ἀδελφὸν, ὅπερ ὁ πατριάρχης πρὸς τὸν ἀδελφιδοῦν ἐπεδείξατο; εἰ γὰρ καὶ αὐτὸς προλαβὼν τὴν ἐκλογὴν ποιησάμενος, καὶ τὰ δεύτερα λαβὼν παρεχώρησεν ἐκείνῳ τὰ ὑπολειφθέντα, οὐχὶ καὶ οὕτω μέγα ἦν τὸ παρ' αὐτοῦ γινόμενον; ἀλλ' ὅμως βουλόμενος καὶ τῆς οἰκείας ἀρετῆς δεῖξαι τὴν ὑπερβολὴν, καὶ τὴν τοῦ νέου τὴν ἐπιθυμίαν ἐμπλῆσαι, ὥστε μηδεμίαν ἀπὸ τοῦ χωρισμοῦ γενέσθαι λύπης ἀφορμὴν, αὐτῷ προθεὶς ἅπασαν τὴν ἐξουσίαν φησὶν, ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου· διαχωρίσθητι ἀπ' ἐμοῦ, καὶ οἵαν ἂν βούλῃ, ἑλοῦ. δέον τοίνυν τὸν ἀδελφιδοῦν τοσαύτης ἐπιεικείας πειραθέντα ἀντιτιμῆσαι τὸν πατριάρχην, καὶ μᾶλλον αὐτὸν αὐτῷ παραχωρῆσαι τῆς αἱρέσεως τὴν ἐκλογὴν (εἰώθαμεν γάρ πως ἅπαντες οἱ ἄνθρωποι, ἐπειδὰν ἀντιτείνοντας μὲν ἴδωμεν τοὺς μέλλοντας πρὸς ἡμᾶς τι διερευνᾶσθαι καὶ φιλονεικοῦντας, τοῖς πρωτείοις ἐπιπηδᾶν, μὴ ἀνέχεσθαι ἐλαττοῦσθαι· ὅταν δὲ παραχωροῦντας θεασώμεθα καὶ καθυφειμένοις ῥήμασι τὴν ἐξουσίαν ἅπασαν ἡμῖν ἐπιτρέποντας, ὥσπερ αἰδούμενοι τὴν πολλὴν ἐπιείκειαν, καὶ τῆς φιλονεικίας ἀφιστάμεθα, καὶ πάλιν ἀντιστρέφοντες πᾶσαν τὴν ἐξουσίαν παραχωροῦμεν, κἂν ἐλάττων εἶναι δοκῇ ὁ πρὸς ἡμᾶς διαφερόμενος) ὀφείλων τοίνυν καὶ ὁ Λὼτ ἐπὶ τοῦ πατριάρχου τοῦτο διαπράξασθαι, καθάπερ ″νεοστὸς καὶ ὑπὸ τῆς τοῦ πλείονος ἐπιθυμίας ἐξελκόμενος τοῖς πρωτείοις ἐπιπηδᾷ, ὡς ἐνόμιζε, καὶ τὴν ἐκλογὴν ποιεῖται. ἄλ. νέος ὢν

10 Καὶ ἐπάρας, φησὶ, Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη πρὸ τοῦ καταστρέψαι τὸν θεὸν Σόδομα καὶ Γόμορρα, ὡς ὁ παράδεισος τοῦ θεοῦ, καὶ ὡς ἡ γῆ Αἰγύπτου, ἕως ἐλθεῖν εἰς Ζώγορα. 11 Καὶ ἐξελέξατο ἑαυτῷ Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἀπῆρε Λὼτ ἀπὸ ἀνατολῶν, καὶ διεχωρίσθησαν ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ.

Εἶδες τῆς ἀρετῆς τοῦ δικαίου τὴν ὑπερβολὴν, ὅπως οὐ συνεχώρησεν οὐδὲ βλαστῆσαι τὴν ῥίζαν τῆς κακίας, ἀλλ' εὐθέως καὶ τὰ μέλλοντα φύεσθαι κάτωθεν ἐξέτεμε καὶ ἠφάνισε, πολλῇ τῇ ἐπιεικείᾳ χρησάμενος, καὶ δι' ἀρετὴν τῶν ἄλλων ὑπεροψίαν ἄφατον ἐπιδειξάμενος, καὶ δεικνὺς ἅπασιν ὅπως πάσης αὐτῷ περιουσίας προτιμοτέρα τυγχάνει ἡ εἰρήνη, καὶ τὸ φιλονεικίας ἀπηλλάχθαι. ἵνα γὰρ μή τις καταγνῷ τοῦ δικαίου ὡς ἀγνώμονος γενομένου περὶ τὸν Λὼτ, καὶ ὅτι οἴκοθεν αὐτὸν ἀναστήσας, καὶ ἀγαγὼν ἐπὶ τῆς ἀλλοτρίας ἐκβάλλει τῆς οἰκίας, μηδὲ νομίσῃ τις ἀπεχθείας αὐτὸν ἕνεκεν ταῦτα ἐργάζεσθαι, ἀλλὰ μάθωμεν πάντες, ὅτι εἰρήνης ἀντεχόμενος ταῦτα ποιεῖ, διὰ τοῦτο καὶ τὴν ἐκλογὴν αὐτῷ παρεχώρησε, καὶ τὰ πρωτεῖα ἐκείνου ἑλομένου οὐκ ἐδυσχέραινεν, ἵνα πάντες εἰδέναι ἔχωμεν τῆς τοῦ δικαίου γνώμης τὸ φιλάγαθον, καὶ τῆς εἰρηνικῆς αὐτοῦ ψυχῆς τὸν σκοπόν. ἄλλως δὲ καὶ ἕτερόν τι μυστήριον ἦν προοικονομούμενον, ὥστε πολλὰ κατ' αὐτὸν γενέσθαι, καὶ τὸν Λὼτ διὰ τῶν πραγμάτων παιδευθῆναι, ὡς οὐ δεόντως τὴν ἐκλογὴν ἐποιήσατο, καὶ τοὺς ἐν Σοδόμοις μαθεῖν τοῦ Λὼτ τὴν ἀρετὴν, καὶ τοῦ χωρισμοῦ δὲ γενομένου, τὴν ἐπαγγελίαν τὴν εἰς τὸν πατριάρχην γεγενημένην εἰς ἔργον ἐκβῆναι τὴν λέγουσαν, σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. καὶ ταῦτα κατὰ μικρὸν προϊόντες ὀψόμεθα, τῆς θείας γραφῆς ἡμῖν ἅπαντα κατάδηλα ποιούσης.

12 Καὶ Ἄβραμ, φησὶ, παρῴκησεν ἐν γῇ Χαναάν· Λὼτ δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων, καὶ ″ᾤκησεν ἐν Σοδόμοις. 13 Οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ θεοῦ σφόδρα. γρ. ἐσκήνωσεν

Ὅρα τὸν Λὼτ πρὸς τὴν τῆς γῆς φύσιν μόνον ἀπιδόντα, καὶ οὐ σκοπούμενον τῶν ἐνοικούντων τὴν πονηρίαν. τί γὰρ ὄφελος, εἰπέ μοι, γῆς ἐπιτηδειότης καὶ καρπῶν εὐφορία, εία, ὅταν οἱ ἐνοικοῦντες ὦσι μοχθηροὶ τὸν τρόπον; τί δὲ βλάβος ἀπὸ ἐρημίας ἂν γένοιτο τῆς γῆς φαυλοτάτης, ὅταν οἱ ἐνοικοῦντες ὦσιν ἐπιεικέστεροι; τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν ἡ τῶν ἐνοικούντων ἐστὶν εὐγνωμοσύνη. ἀλλ' ὁ Λὼτ πρὸς ἓν μόνον εἶδε, τῆς γῆς τὴν εὐφορίαν. διὰ τοῦτο ἡ γραφὴ σημᾶναι ἡμῖν βουλομένη τῶν αὐτόθι οἰκούντων τὴν πονηρίαν φησίν, Οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ θεοῦ σφόδρα. οὐ μόνον, φησί, πονηροί, ἀλλὰ καὶ ἁμαρτωλοί, καὶ οὐχ ἁπλῶς ἁμαρτωλοί, ἀλλὰ καὶ ἐναντίον τοῦ θεοῦ, τοῦτ' ἔστι, πολλὴ τῶν ἁμαρτημάτων αὐτῶν ἡ ἐπίτασις, καὶ ὑπερβάλλουσα αὐτῶν ἡ πονηρία. διὸ καὶ ἐπήγαγεν, ἐναντίον τοῦ θεοῦ σφόδρα. Εἶδες κακίας μέγεθος, εἶδες ὅσον ἐστὶ κακὸν τὸ τοῖς πρωτείοις ἐπιπηδᾶν, καὶ μὴ τὸ συμφέρον σκοπεῖν, εἶδες ὅσον ἐστὶν ἐπιείκεια καὶ τὸ τῶν πρωτείων παραχωρεῖν καὶ ἐλαττοῦσθαι. ἰδοὺ γὰρ προϊούσης τῆς διδασκαλίας ὀψόμεθα τὸν μὲν τὰ πρῶτα ἐκλεξάμενον, ὅπως οὐδεμίαν ἐκεῖθεν ὄνησιν προσλαμβάνει· τὸν δὲ ἐλάττονα ἑλόμενον, περιφανέστερον καθεκάστην γινόμενον, καὶ διὰ πάντων αὐξανομένην αὐτοῦ τὴν εὐπορίαν, καὶ πᾶσι περίβλεπτον καθιστάμενον.

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, μέχρι τούτου στήσαντες τὸν λόγον εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ λειπόμενα, ἐκεῖνο παρακαλέσαντες ὑμᾶς, ὥστε ζηλῶσαι τὸν πατριάρχην, καὶ μηδέποτε τῶν πρωτείων ἐφίεσθαι, ἀλλὰ πείθεσθαι τῷ μακαρίῳ Παύλῳ λέγοντι, Τῇ τιμῇ ἀλλήλους προηγούμενοι ὑπερέχοντας ἑαυτῶν, καὶ σπουδάζειν ἐν ἅπασιν ἐλαττοῦσθαι. τοῦτο γάρ ἐστι τὸ τὰ πρωτεῖα ἔχειν, καθάπερ καὶ ὁ Χριστός φησιν, Ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται. τί οὖν ἂν εἴη τούτου ἴσον, ὅταν, δι' ὧν ἑτέροις τῶν πρωτείων παραχωροῦμεν, αὐτοὶ μείζονος ἀπολαύωμεν τῆς τιμῆς, καὶ δι' ὧν ἑτέρους προτιμῶμεν, ἑαυτοὺς εἰς τὴν ἀνωτάτω τιμὴν ἀνάγωμεν; τοῦτο τοίνυν, παρακαλῶ, σπουδάζωμεν, ὥστε μιμεῖσθαι τοῦ πατριάρχου τὴν ταπεινοφροσύνην, καὶ κατ' ἴχνος τούτου τοῦ πρὸ τοῦ νόμου τὴν τοιαύτην ἐπιδειξαμένου φιλοσοφίαν ἡμεῖς οἱ ἐν τῇ χάριτι πορευώμεθα. ταπεινοφροσύνη γὰρ ἀληθῶς αὕτη ἐστίν, ἥνπερ ὁ θαυμάσιος οὗτος ἀνὴρ ἐπεδείξατο περὶ τὸν πολὺ αὐτοῦ λειπόμενον, οὐ κατὰ τὸν τῆς ἀρετῆς λόγον μόνον, ἀλλὰ καὶ κατὰ τὴν ἡλικίαν, καὶ τὰ ἄλλα πάντα. ἐννόησον γάρ, ὅτι ὁ πρεσβύτης τῷ νέῳ παρεχώρησε, καὶ ὁ θεῖος τῷ ἀδελφιδῷ, καὶ ὁ τοσαύτης ἀπολαύων παρὰ τοῦ θεοῦ εὐνοίας τῷ μηδὲν μηδέπω μέγα τι ἐπιδειξαμένῳ· καὶ ἅπερ ἐχρῆν ἐκεῖνον εἰπεῖν, ὡς νέον πρὸς πρεσβύτην καὶ θεῖον ἑαυτοῦ, ταῦτα ὁ πατριάρχης πρὸς τὸν νέον ἔλεγε. καὶ ἡμεῖς τοίνυν μὴ περὶ τοὺς ὑπερβεβηκότας ἡμᾶς, ἢ τοὺς ἐξ ἴσης ἡμῖν τυγχάνοντας μόνον τὰ τῆς τιμῆς ἐπιδειξώμεθα. τοῦτο γὰρ οὐκ ἂν εἴη ταπεινοφροσύνη. ὅταν γάρ τις τὸ ἐξ ἀνάγκης ὀφειλόμενον ποιῇ, οὐ ταπεινοφροσύνη τοῦτό ἐστιν, ἀλλ' ὀφειλή. ἡ δὲ ἀληθὴς ταπεινοφροσύνη, ὅταν τοῖς ἐλάττοσιν εἶναι δοκοῦσι παραχωρῶμεν, καὶ ἐκείνους προτιμῶμεν τοὺς πολὺ καταδεεστέρους εἶναι νομιζομένους. ἂν δὲ νήφωμεν, οὐδὲ ἐλάττους ἡμῶν εἶναί τινας νομίσομεν, ἀλλὰ πάντας ἀνθρώπους ὑπερβαίνειν ἡμᾶς. καὶ τοῦτο λέγω, οὐ περὶ ἡμῶν τῶν μυρίοις ἁμαρτήμασι βεβαπτισμένων, ἀλλὰ κἂν μυρία τις ᾖ κατορθώματα ἑαυτῷ συνειδώς, μὴ τοῦτο δὲ λογίζοιτο καθ' ἑαυτόν, ὅτι πάντων ἐστὶν ἔσχατος, οὐδὲν αὐτῷ ὄφελος ἂν γένοιτο τῶν τοσούτων κατορθωμάτων. τοῦτο γάρ ἐστι ταπεινοφροσύνη, ὅταν τις ἀφορμὰς ἔχων τοῦ ἐπαίρεσθαι, καταστέλλῃ ἑαυτὸν καὶ ταπεινοῖ καὶ μετριάζῃ. τότε γὰρ καὶ εἰς τὸ ἀληθὲς ὕψος ἀναχθήσεται κατὰ τὴν τοῦ κυρίου ὑπόσχεσιν τὴν λέγουσαν, Ὅτι ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. σπουδάσωμεν τοίνυν, παρακαλῶ, πάντες τοῦ ὕψους ἐπιτυχεῖν τοῦ διὰ τῆς ταπεινοφροσύνης, ἵνα τῆς αὐτῆς

τῶ

Ρω. ιβ. ι.

Λυ. ιδ. ια.

Λυ. ιη. ιδ.

ἐνοικούντων

παραχωρῶμεν

ταπεινοφροσύνη

τῷ δικαίῳ εὐνοίας ἀπολαύσωμεν παρὰ τοῦ δεσπότου, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λδ. ΕΙΠΕ ΔΕ ΚΥΡΙΟΣ ΤΩ ΑΒΡΑΜ ΜΕΤΑ ΤΟ χωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ νῦν εἶ, πρὸς Βορρᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτήν.

Κατεμάθετε χθὲς, ἀγαπητοὶ, τοῦ πατριάρχου τὴν ὑπερβάλλουσαν ταπεινοφροσύνην, εἴδετε ἐπιεικείας ὑπερβολήν. οὐδὲ γὰρ ἦν ὃ τυχὸν [τὸ] τὸν πρεσβύτην, τὸν τοσαῦτα εὐεργετηκότα, τὸν τοσαύτης ἀπολαύοντα τῆς εὐνοίας παρὰ τοῦ πάντων δεσπότου, τοσαύτην ἐπιδείξασθαι περὶ τὸν νέον, τὸν ἀδελφιδοῦν τὴν ἰσοτιμίαν, ὥστε καὶ τῶν πρωτείων αὐτῷ παραχωρῆσαι, καὶ τὰ ἐλάττονα ἑλέσθαι, καὶ πάντα καταδέξασθαι ὑπὲρ τοῦ τὸν πόλεμον ἀναστεῖλαι, καὶ τὴν τῆς φιλονεικίας ὑπόθεσιν ἐκποδὼν ποιῆσαι. τοῦτον πάντες ζηλοῦν σπουδάζωμεν, καὶ μηδέποτε κατὰ τῶν πλησίον ἐπαιρώμεθα, μηδὲ μέγα φρονῶμεν, ἀλλὰ πολλὴν τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενοι παραχωρῶμεν, καὶ ἐλαττοῦσθαι μᾶλλον σπεύδωμεν ἐν πράγμασι καὶ ἐν ῥήμασι, καὶ μήτε πρὸς τοὺς ἀδικοῦντας ἀπεχθανώμεθα, κἂν εὐεργετημένοι τύχωσι παρ' ἡμῶν ὄντες (τοῦτο γὰρ ἀρίστη φιλοσοφία) μήτε πρὸς τὰς ὕβρεις ἀγριαίνωμεν, κἂν ὑποδεέστεροι εἶεν οἱ πρὸς ἡμᾶς διαπληκτιζόμενοι, ἀλλὰ τῇ ἐπιεικείᾳ καὶ τῇ πρᾳότητι τὸν θυμὸν καταστέλλωμεν. οὐδὲν γὰρ ταύτης ἰσχυρότερον, οὐδὲν ταύτης δυνατώτερον. αὕτη τὴν ἡμετέραν ψυχὴν ἐν διηνεκεῖ καθίστησι τῇ γαλήνῃ, καθάπερ ἐν λιμένι αὐτὴν ὁρμίζεσθαι παρασκευάζουσα, καὶ πάσης ἀναπαύσεως ὑπόθεσις ἡμῖν γινομένη. Ματθ. ιζ. κζ. διὰ τοῦτο καὶ ὁ Χριστὸς τὴν θείαν ἐκείνην διδασκαλίαν ποιούμενος ἔλεγε· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι τῇ καρδίᾳ" καὶ ταπεινὸς, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. γρ. καὶ ταπειν... τῇ καρδίᾳ. οὐδὲν γὰρ οὕτω τὴν ψυχὴν ἐν ἀναπαύσει καθίστησι καὶ πολλῇ τῇ ἡσυχίᾳ, ὡς πρᾳότης καὶ ταπεινοφροσύνη. τοῦτο παντὸς διαδήματος τιμιώτερον ἂν γένοιτο τῷ ταύτην κεκτημένῳ, τοῦτο πάσης περιφανείας καὶ δόξης λυσιτελέστερον. τί γὰρ ἂν γένοιτο" μακαριώτερον τοῦ ἀπηλλαγμένου τοῦ ἔνδοθεν τικτομένου πολέμου; κἂν γὰρ" μυριάκις εἰρήνης ἔξωθεν ἀπολαύωμεν καὶ θεραπείας, ἔνδοθεν δὲ τίκτηται ἡμῖν ἐκ τῆς τῶν λογισμῶν ταραχῆς θόρυβος καὶ ζάλη, οὐδὲν ὄφελος τῆς ἔξωθεν εἰρήνης· γρ. μακαριώτερον γρ. μυρίας ὥσπερ οὐδὲ πόλεώς τι ἐλεεινότερον * κἂν μυρία [τις] τείχη καὶ χαρακώματα αὐτὴν περιβάλλῃ, ἐκ δὲ τῶν ἔνδοθεν ἐνοικούντων τὴν προδοσίαν ὑπομένῃ. * γένοιτο τοῦτο τοίνυν πρὸ πάντων σπουδάζωμεν, ἀτάραχον ἔχειν τὴν ψυχὴν, ἐν ἡσυχίᾳ αὐτὴν καθιστάναι, πάσης ἀηδίας ἀπηλλάχθαι, ἵνα καὶ αὐτοὶ πολλῆς τῆς ἀναπαύσεως ἀπολαύωμεν, καὶ τοῖς συγγινομένοις ἡμῖν προσηνεῖς γινώμεθα." ταῦτα γὰρ μάλιστα γνωρίσματα ἀνθρώπου τοῦ λόγῳ τετιμημένου, γρ. τοῦτο γὰρ γνώρισμα τὸ ἥμερον, τὸ ἐπιεικὲς, τὸ πρᾷον, τὸ ταπεινὸν, τὸ ἥσυχον, τὸ μὴ καθάπερ ἀνδράποδον οὕτως ἕλκεσθαι καὶ σύρεσθαι ἢ ὑπὸ ὀργῆς, ἢ ὑπὸ τῶν ἄλλων παθῶν, ἀλλὰ τῷ λογισμῷ περιγίνεσθαι τῶν ἔνδοθεν σκιρτημάτων, καὶ τὴν οἰκείαν διασώζειν εὐγένειαν, καὶ μὴ διὰ ῥᾳθυμίας εἰς τὴν τῶν ἀλόγων ἐκπίπτειν θηριωδίαν. καὶ ἵνα

μάθῃς ὅση τῆς πραότητος καὶ τῆς ἐπιεικείας ἡ ἰσχὺς, καὶ ὡς ἤρκεσεν αὐτὴ μόνη ἡ ἀρετὴ τὸν αὐτὴν μετὰ ἀκριβείας κατωρθωκότα τῶν ἀπορρήτων ἐκείνων ἐπαίνων ἀξιῶσαι, ἄκουε τοῦ μακαρίου Μωϋσέως τὴν ἀνακήρυξιν ἐντεῦθεν γινομένην, καὶ στέφανον αὐτῷ ἐκ ταύτης οὕτω πλεκόμενον. Καὶ Μωϋσῆς ἦν, φησι, πραότατος πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. Ἀριθ. ιβ. γ. Εἶδες ἐγκωμίου μέγεθος, ὃ πάσης αὐτὸν τῆς ἀνθρωπίνης φύσεως ἰσοστάσιον ἀπέφηνε, μᾶλλον δὲ παντὸς τοῦ τῶν ἀνθρώπων γένους προέκρινε. καὶ πάλιν περὶ τοῦ Δαβὶδ φησιν ἡ γραφὴ, Μνήσθητι, κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ψαλ. ρλβ. α. ἐντεῦθεν καὶ ὁ πατριάρχης πολλῷ πλείονα τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσατο, καὶ τὰ παρ' ἑαυτοῦ εἰσενεγκὼν, τῶν μειζόνων ἠξιώθη παρὰ τοῦ φιλανθρώπου θεοῦ. καὶ τοῦτο εἴσεσθε, ἐπειδὰν εἰς μέσον προθῶμεν ὑμῖν τὰ ἀκόλουθα τῶν χθὲς εἰρημένων, καὶ τὰ πρότερον ἀναγνωσθέντα ἀναπτύξωμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἐπειδὴ γὰρ πολλὴν ἐπιδειξάμενος τὴν ἐπιείκειαν παρεχώρησε τῷ Λὼτ τῶν πρωτείων, καὶ τῆς ἐκλογῆς αὐτῷ τὴν ἐξουσίαν δεδωκὼς, εἵλετο προθύμως τὴν ἐλάττονα μερίδα, ὑπὲρ τοῦ πᾶσαν ἐκποδὼν γενέσθαι φιλονεικίαν, ὅρα ὅσης ἀπολαύει παραχρῆμα παρὰ τοῦ θεοῦ τῆς ἀμοιβῆς, καὶ ὅπως ἐκ πολλῆς τῆς περιουσίας μείζονος ἀξιοῖ τῆς ἀντιδόσεως τὸν πατριάρχην [ὁ αὐτοῦ κηδεμών.] τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ μικρόν τι εἰσενεγκόντα ἡμᾶς, *τοσαύτην ἐπιδείκνυται τὴν φιλοτιμίαν, ὡς πολλῷ τῷ μέτρῳ ὑπερακοντίσαι τὰ παρ' ἡμῶν γεγονότα. καὶ τοῦτο ἐφ' ἑκάστῳ τῶν παρ' ἡμῶν ἐπιτελουμένων εὑρήσει τις παρ' αὐτοῦ γινόμενον. τί γὰρ, εἰπέ μοι, δύο ὀβολῶν ἂν γένοιτο εὐτελέστερον; ἀλλ' ὅμως τὴν χήραν ἐκείνην τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν ἐξ ἐκείνου μέχρι τοῦ παρόντος εἰς πᾶσαν τὴν οἰκουμένην ἀνακηρύττεσθαι πεποίηκε. Λουκ. κα. γ. καὶ τί λέγω δύο ὀβολούς; Κἂν ποτήριον" ψυχροῦ τις δῷ, καὶ ὑπὲρ τούτου μεγάλας ὁρίζει τὰς ἀμοιβάς, ἀπὸ τῆς γνώμης ἀεὶ στεφανῶν τοὺς τὴν ἀρετὴν κατορθοῦντας. καὶ ἐπὶ τῆς προσεδρίας δὲ τῶν εὐχῶν οὕτως ἴδοι τις ἂν παρ' αὐτοῦ γινόμενον. ἐὰν γὰρ ἴδῃ μετὰ θερμότητός τινα προσιόντα, εὐθέως ἐρεῖ πρὸς αὐτόν· Ἔτι λαλοῦντός σου ἰδοὺ πάρειμι. Ἡσ. ξε. κδ. εἰ δὲ πλείονα τὴν προσεδρίαν ἐπιδείξεται, καὶ μετὰ πολλοῦ τοῦ πόθου καὶ ζεούσης τῆς προθυμίας τὰ τῆς αἰτήσεως φιλοτιμεῖται, καὶ περὶ τῆς αἰτήσεως ἀνακηρύττει καὶ στεφανοῖ, ὅπερ καὶ ἐπὶ τῆς Χαναναίας πεποίηκεν. ἐπειδὴ γὰρ εἶδεν αὐτῆς τὸν τόνον καὶ τὴν πολλὴν ἔνστασιν, πρότερον ἀνακηρύξας καὶ στεφανώσας, ὡς εἰπεῖν, διὰ τῶν ἐγκωμίων, καὶ πάσῃ τῇ οἰκουμένῃ κατάδηλον αὐτὴν ποιήσας, τότε καὶ τὰ τῆς αἰτήσεως ἐφιλοτιμήσατο μετὰ πολλῆς τῆς δαψιλείας. Εἰπὼν γὰρ, Ὦ γύναι, μεγάλη σου ἡ πίστις, τότε ἐπήγαγε, γενηθήτω σοι ὡς θέλεις. Ματθ. ιε. κη. καὶ εἰ βουλοίμεθα ἕκαστον τῶν ἐν ταῖς θείαις γραφαῖς ἐκλέγειν, πολλαχοῦ πολλὴν ὀψόμεθα τὴν φιλοτιμίαν τοῦ δεσπότου. ὅπερ ἀκριβῶς ὁ πατριάρχης ἐπιστάμενος, καὶ εἰδὼς ὅτι ὁ τῶν ἐλαττόνων παραχωρήσας μειζόνων "ἐπιτύχῃ, καθάπερ χθὲς ἠκούσατε, παρεχώρησε τῷ Λὼτ καὶ εἵλετο τὴν εὐτελεστέραν χώραν, ἵνα καὶ τῆς φιλονεικίας τὰς ἀφορμὰς περιέλῃ, καὶ τὴν οἰκείαν ἀρετὴν ἐπιδείξηται, καὶ ἐν εἰρήνῃ καταστήσῃ τὴν οἰκίαν ἅπασαν. ἀλλ' ἴδωμεν ἐκ τῶν προσφάτως ἀνεγνωσμένων, τίνας λαμβάνει τὰς ἀμοιβὰς παρὰ τοῦ δεσπότου ὑπὲρ τῆς τοσαύτης ἐπιεικείας.

* ἀφειδῶς ἡμῖν παρέχει τὰς παρ' ἑαυτοῦ ἀμοιβάς, καὶ

" ψυχροῦ

" ἐπέτυχε,

14 Καὶ εἶπε, φησιν, ὁ θεὸς πρὸς Ἀβραὰμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σὺ εἶ, πρὸς Βορρᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν· 15 Ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος.

Ὅρα τὸ τάχος τῆς τοῦ θεοῦ προνοίας καὶ τῆς ἀμοιβῆς, ἣν περὶ τὸν δίκαιον ἐπιδείκνυται. βου-

λομένη

λουθήσῃ γὰρ ἡμᾶς διδάξαι ἡ θεία γραφὴ, ὅσης ἀποδοχῆς ἠξιώθη παρὰ τοῦ φιλανθρώπου θεοῦ ὁ πατριάρχης ἐπὶ τῇ τοσαύτῃ ταπεινοφροσύνῃ, εἰποῦσα ὅτι διεχωρίσθη ὁ Λὼτ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν, ἣν εἵλετο ὡς καλλιστεύουσαν, εὐθέως ἐπήγαγε· καὶ εἶπε κύριος ὁ θεὸς τῷ Ἄβραμ. εἶτα ἵνα μάθωμεν μετὰ ἀκριβείας, ὅτι ὑπὲρ τῶν εἰς τὸν Λὼτ γεγενημένων ἀμειβόμενος αὐτὸν ταῦτά φησι, προσέθηκε τῷ, καὶ εἶπεν ὁ θεὸς τῷ Ἄβραμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ· μονονουχὶ ταυτὶ πρὸς αὐτὸν φανερῶς λέγων τὰ ῥήματα· παρεχώρησας διὰ πολλὴν ἐπιείκειαν τῆς καλλιστευομένης χώρας τῷ ἀδελφιδῷ, καὶ τὴν ἄκραν ἐπεδείξω ταπεινοφροσύνην, καὶ τοσαύτης ἐποιήσω τῆς εἰρήνης τὴν πρόνοιαν, ὡς πάντα καταδέξασθαι ὑπὲρ τοῦ μηδεμίαν εἶναι ὑμῶν μεταξὺ φιλονεικίαν· διὰ τοῦτο λάμβανε παρ' ἐμοῦ δαψιλεῖς τὰς ἀμοιβάς. ἀνάβλεψας γὰρ τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σὺ εἶ, πρὸς Βοῤῥᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. εἶδες ἀνταπόδοσιν πολλῷ τῷ μέτρῳ ὑπερβαίνουσαν τὰ παρ' αὐτοῦ γενόμενα. δι' αὐτῶν τῶν ῥημάτων ἔρχεται ὁ φιλάνθρωπος δεσπότης, δι' ὧν καὶ ὁ πατριάρχης τὴν παραχώρησιν ἐποιήσατο. καθάπερ γὰρ ἐκεῖνος ἔλεγεν, οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου; διαχωρίσθητι ἀπ' ἐμοῦ· Εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά· εἰ δὲ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά· οὕτω καὶ ὁ δεσπότης φησίν· ἀνάβλεψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ εἶ νῦν, ὅτι πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ δώσω καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. ἐνταῦθά μοι σκόπει τῆς φιλοτιμίας τὴν ὑπερβολήν. σὺ μὲν γάρ, φησιν, αἵρεσιν δοὺς τὴν τῆς ἐκλογῆς, τὴν μὲν παρεχώρησας, ἥνπερ ἑλέσθαι ἐβουλήθη· τὴν δὲ ὑπολειφθεῖσαν, αὐτὸς κατεδέξω· ἐγὼ δὲ τοσαύτην ποιοῦμαι τὴν φιλοτιμίαν, ὡς πᾶσαν τὴν γῆν τὴν ὑποπίπτουσαν " τῇ τῶν σῶν ὀφθαλμῶν θέᾳ ἐξ ἑκατέρων τῶν μερῶν, ἀπὸ ἄρκτου καὶ ἀπὸ μεσημβρίας, καὶ ἀπὸ ἀνατολῆς καὶ δυσμῶν, πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ παραχωρήσειν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. Εἶδες ἀξίαν τῆς τοῦ θεοῦ ἀγαθότητος τὴν φιλοτιμίαν· Εἶδες ὅσων παραχωρήσας, ὅσων ἠξιώθη. ἐντεῦθεν παιδευώμεθα πολλὴν ἐπιδείκνυσθαι δαψίλειαν περὶ τὴν ἐλεημοσύνην, ἵνα μικρὰ δόντες μεγάλων ἀξιωθῶμεν. ποῦ γὰρ ἴσον, εἰπέ μοι, ἀργύριον βραχὺ δοῦναι, καὶ συγχώρησιν ἁμαρτημάτων κομίσασθαι; θρέψαι πεινῶντα, καὶ παῤῥησίας ἀξιωθῆναι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ, καὶ ἀκοῦσαι τὰ τῆς βασιλείας ἀντάξια ῥήματα, Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν; μὴ γὰρ ὁ σοὶ παραχωρῶν τὴν τοσαύτην δαψίλειαν, οὐκ ἠδύνατο κἀκείνου τὴν ἔνδειαν παραμυθήσασθαι; ἀλλὰ διὰ τοῦτο ἀφίησιν αὐτὸν τῇ πενίᾳ στρεύχεσθαι, ἵνα κἀκεῖνος τῆς ὑπομονῆς πολὺν κομίζηται τὸν μισθὸν, καὶ σὺ τὴν ἀπὸ τῆς ἐλεημοσύνης σαυτῷ προαποθῇ τὴν παῤῥησίαν. εἶδες φιλανθρωπίαν δεσπότου, πῶς ἅπαντα διὰ τὴν ἡμετέραν σωτηρίαν οἰκονομεῖ. ὅταν οὖν ἐννοήσῃς, ὅτι διὰ σὲ, καὶ τὴν σὴν ὠφέλειαν ἐκεῖνος τῇ πενίᾳ προσπαλαίων λιμῷ διαφθείρεται, μὴ παρέλθῃς ἀνηλεῶς, ἀλλὰ γενοῦ πιστὸς οἰκονόμος τῶν παρὰ τοῦ δεσπότου σοι παρασχεθέντων, ἵνα τὴν ἐκείνου ἔνδειαν παραμυθησάμενος, πολλὴν ἐπισπάσῃ τὴν ἄνωθεν εὔνοιαν· καὶ δόξασόν σου τὸν δεσπότην, ὅτι διὰ σὲ καὶ τὴν σὴν σωτηρίαν συνεχώρησεν ἐκεῖνον ἐν πενίᾳ διάγειν, ἵνα σὺ δυνηθῇς ὁδὸν εὑρεῖν, δι' ἧς δυνήσῃ καὶ τὰ ἁμαρτήματα ἀπονίψασθαι, καὶ τὰ παρὰ τοῦ δεσπότου σοι παρασχεθέντα καλῶς οἰκονομήσας, τῶν ἐπαίνων ἐκείνων ἀξιωθῆναι τῶν πάντα λόγον καὶ διάνοιαν ὑπερβαινόντων. ἀκούσῃ γὰρ, Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπ' ὀλίγων ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Ταῦτα ἐννοοῦντες, καθάπερ εὐεργέτας καὶ τῆς σωτηρίας ἡμῖν τὰς ἀφορμὰς παρέχειν δυναμένους οὕτως ὁρῶμεν τοὺς πένητας, καὶ μετὰ δαψιλείας καὶ

Ματθ. κε. λε.

Ματθ. κε. κβ.

γρ. τὴν τῶν σῶ ὀφθαλμῶν ὄψιν

ἱλαρᾶς τῆς προθυμίας παρέχωμεν, μηδέποτε λυμαίνοντες * τὴν δόσιν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας διαλεγόμενοι καὶ πραότητα πολλὴν δεικνύμενοι. Κλῖνον γὰρ πτωχῷ τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι, ἵνα καὶ πρὸ τῆς δόσεως τῇ προσηνείᾳ τῶν ῥημάτων τὴν καταβεβλημένην αὐτοῦ ψυχὴν ὑπὸ τῆς πολλῆς ἐνδείας διαναστήσῃς. Κρεῖσσον γάρ, φησι, λόγος ἢ δόσις. οὕτως οἶδε καὶ ῥῆμα νευρῶσαι ψυχὴν, καὶ πολλὴν εἰσαγαγεῖν τὴν παραμυθίαν. μὴ τοίνυν πρὸς τὸν λαμβάνοντα μόνον ὁρῶντες τὴν περὶ τὴν ἐλεημοσύνην φιλοτιμίαν ποιώμεθα, ἀλλὰ λογιζόμενοι τίς ἐστιν ὁ οἰκειούμενος τὰ εἰς τοὺς πένητας γινόμενα, καὶ τὴν ὑπὲρ τῶν διδομένων ἔκτισιν ὑποσχόμενος, οὕτω πρὸς ἐκεῖνον τείνοντες τὴν διάνοιαν μετὰ πάσης προθυμίας παρέχειν σπουδάζωμεν, καὶ σπείρωμεν, ὡς ἔτι καιρός, μετὰ δαψιλείας, ἵνα καὶ μετὰ δαψιλείας θερίσωμεν. ὁ σπείρων γάρ, φησι, φειδομένως, φειδομένως καὶ θερίσει. ἀφειδεῖ τοίνυν τῇ χειρὶ καταβάλλωμεν τὰ καλὰ ταῦτα σπέρματα, ἵνα ἐν καιρῷ μετὰ δαψιλείας θερίσωμεν. νῦν μὲν γάρ ἐστιν ὁ τοῦ σπόρου καιρός, ὃν μὴ παραδράμωμεν, παρακαλῶ, ἵνα ἐν τῇ τῆς ἀνταποδόσεως τῶν ἐνταῦθα σπαρέντων ἡμέρᾳ τοὺς καρποὺς ἀποδρεψώμεθα, καὶ τῆς παρὰ τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν. οὐδὲν γάρ, οὐδὲν ἕτερον τῶν κατορθωμάτων οὕτω δυνήσεται σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυράν, ὡς ἡ τῆς ἐλεημοσύνης δαψίλεια. αὕτη καὶ τῆς ἀφέσεως τῶν ἡμαρτημένων ἡμῖν πρόξενος γίνεται, καὶ τῶν ἀπορρήτων ἐκείνων τὴν ἀπόλαυσιν προευτρεπίζει. ἀλλὰ ταῦτα μὲν ἱκανῶς εἴρηται πρὸς τὴν ὑμετέραν προτροπήν, καὶ πρὸς τὸ δεῖξαι, ὅτι μικρὰ διδόντες μεγάλων ἀξιούμεθα παρὰ τοῦ δεσπότου. ἐντεῦθεν γὰρ ἡμῖν καὶ ὁ λόγος πρὸς τὴν τῆς ἐλεημοσύνης παραίνεσιν ἐξεκυλίσθη. ἐπειδὴ γὰρ ἐλέγομεν, ὅτι μικρᾶς γῆς παραχωρήσας ὁ πατριάρχης, καὶ τὸ κάλλιστον τῆς χώρας προέμενος τῷ Λώτ, καὶ τὴν φαυλοτέραν γῆν ἑλόμενος ἑαυτῷ τοσαύτης ἠξιώθη τῆς παρὰ τοῦ θεοῦ φιλοτιμίας, ὡς ὑπερβαίνειν πάντα νοῦν καὶ διάνοιαν τὴν ὑπόσχεσιν τὴν παρὰ τοῦ θεοῦ εἰς αὐτὸν γεγενημένην. ἀναβλέψας γάρ, φησι, τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ εἶ νῦν, πρὸς Βορρᾶν καὶ Λίβα, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. μέρος γῆς, φησι, παρεχώρησας τῷ ἀδελφιδῷ· ἰδοὺ ἐγὼ ὁλόκληρόν σοι [σχεδὸν] τὴν γῆν ὑπισχνοῦμαι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματί σου παρέξειν ἐπαγγέλλομαι αὐτὴν, καὶ ἕως αἰῶνος, τοῦτ᾽ ἔστι διηνεκῶς. εἶδες πῶς φιλοτιμεῖται ἐν ταῖς εὐεργεσίαις. ἐπειδὴ γὰρ ᾔδει ὅτι τούτου μάλιστα ἐπεθύμει ὁ πατριάρχης, καὶ οὐδὲν αὐτοῦ τὴν προθυμίαν οὕτω νευρώσει, φησὶ, καὶ τοῦτό σοι παρέξω, ὥστε καὶ τοὺς ἀπὸ σοῦ τικτομένους διαδέξασθαι τῆς γῆς τὴν ἀπόλαυσιν, καὶ διηνεκῆ ταύτης ἔχειν τὴν ἐξουσίαν. εἶτα ἵνα μὴ πρὸς τὴν οἰκείαν [μόνον] φύσιν, καὶ πρὸς τὸ γῆρας τὸ ἑαυτοῦ καὶ τὴν τῆς Σάρρας στείρωσιν ἀπιδὼν ναρκήσῃ πρὸς τὴν ὑπόσχεσιν, ἀλλὰ θαρρήσῃ τῇ τοῦ ὑποσχομένου δυνάμει, φησὶ,

Σειρ. ζ. λβ.
Σειρ. ιη. 15.
β. Κορ. θ. 5.

16 Καὶ ποιήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς γῆς. εἰ δυνήσεταί τις τὴν ἄμμον τῆς γῆς ἐξαριθμῆσαι, καὶ τὸ σπέρμα σου ἀριθμηθήσεται.

Ἀληθῶς ὑπὲρ φύσιν ἀνθρωπίνην ἦν ἡ ὑπόσχεσις. οὐ μόνον γὰρ πατέρα αὐτὸν ποιήσειν ὑπέσχετο, τοσούτων ὄντων τῶν κωλυμάτων, ἀλλὰ καὶ εἰς πλῆθος τοσοῦτον ἐπιδώσειν, ὡς τῇ ἄμμῳ τῆς γῆς παρισωθῆναι, καὶ ἀνώτερον ἀριθμοῦ τὸ πλῆθος γενέσθαι, τὴν ἐπίτασιν τῆς ὑπερβολῆς διὰ τοῦ παραδείγματος ἐμφῆναι βουλόμενος. σκόπει πῶς ὁ φιλάνθρωπος δεσπότης κατὰ μικρὸν γυμνάζει τοῦ δικαίου τὴν ἀρετήν. εἰπὼν γὰρ ἀνωτέρω, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, νῦν πάλιν φησὶ, καὶ τῷ σπέρματί σου δώσω ἕως αἰῶνος, καὶ ποιήσω αὐτὸ ὡς τὴν ἄμμον τῆς γῆς. καὶ τέως μέχρι λόγων τὰ τῆς ὑποσχέσεως, καὶ πολὺς ἐν μέσῳ παραγίνεται χρόνος, ἵνα καὶ τῆς γνώμης τοῦ πατριάρχου μάθωμεν τὸ φιλόθεον, καὶ τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν δύναμιν. ἐπιτηδὲς γὰρ μέλλει καὶ ἀναβάλλεται, ἵνα εἰς βαθὺ γῆρας ἐλάσαντες, καὶ τὴν ὑπόσχεσιν δεξάμενοι, καὶ ἀπογνόντες, ὡς εἰπεῖν, [πέως] κατὰ ἀνθρωπίνην ἀκολουθίαν, τότε καὶ τῆς οἰκείας ἀσθενείας τὴν πεῖραν, καὶ τῆς ἀφάτου δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολὴν ἴδωσιν. ἐννόει δέ μοι ἐκ τῆς παρατάσεως τοῦ ἐν μέσῳ χρόνου τὸ στερρὸν τῆς τοῦ πατριάρχου γνώμης, πῶς πάντα τὰ ἀνθρώπινα παρατρέχων, πρὸς τὸ δυνατὸν τοῦ ὑποσχομένου τείνας τὴν διάνοιαν, οὐκ ἐθορυβεῖτο οὐδὲ ἐταράττετο. ἴστε γὰρ πολλάκις, ὅτι ἐπειδὰν τις ἅπαξ καὶ δεύτερον ὑποσχόμενος μηδέπω εἰς ἔργον ἀγάγῃ τὰ ἐπαγγελθέντα, πῶς ὀκνηρότεροι γινόμεθα πρὸς τὸ πάλιν αὐτῷ πιστεῦσαι ὑπισχνουμένῳ. ἀλλ' ἐπὶ μὲν ἀνθρώπου εἰκότως ἂν τοῦτο γένοιτο· ἐπὶ δὲ τοῦ θεοῦ τοῦ μετὰ πολλῆς σοφίας τὰ ἡμέτερα οἰκονομοῦντος, ἐπειδὰν ἅπαξ ἐπαγγείληται, κἂν μυρία ἐν τῷ μέσῳ κωλύματα παρεμπίπτοι, πρὸς τὸ μέγεθος τῆς τοῦ θεοῦ δυνάμεως ὁρῶντας θαρρεῖν χρή, καὶ ἐστηριγμένον ἔχειν τὸν λογισμόν, καὶ εἰδέναι ὡς πάντως εἰς ἔργον ἐκβῆναι δεῖ τὰ παρ' αὐτοῦ εἰρημένα. οὐδὲν γάρ ἐστιν, ὃ δυνήσεταί ποτε διακόψαι τὰ παρ' αὐτοῦ ἐπηγγελμένα. θεὸς γάρ ἐστιν, ᾧ πάντα δυνατά· καὶ διὰ τοῦτο, πρὸς ὃ βούλεται, μεθίστησι τὰ πράγματα, καὶ πόρους ἐξ ἀπόρων εὑρεῖν δυνάμενος, καὶ μετὰ τὴν ἀπόγνωσιν τὴν ἡμετέραν εἰς χρηστὰς ἐλπίδας ἄγων, ἵν' οὕτω σαφέστερον αὐτοῦ μανθάνωμεν τῆς εὐμηχάνου σοφίας τὴν ὑπερβολήν.

17 Ἀναστάς, φησι, διόδευσον τὴν γῆν, εἴς τε τὸ μῆκος αὐτῆς, καὶ εἰς τὸ πλάτος, ὅτι σοὶ δώσω αὐτήν.

Ὅρα πῶς διὰ πάντων πολλὴν βούλεται πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ. ἀναστάς, φησι, περίελθε, καὶ κατάμαθε καὶ τὸ μῆκος καὶ τὸ πλάτος, ἵνα εἰδέναι ἔχῃς καὶ τὸ μέγεθος τῆς γῆς, ἧς ἀπολαύειν μέλλεις, καὶ περὶ τῆς ἀπολαύσεως τῇ ἐλπίδι τρεφόμενος πολλὴν ἔχῃς τὴν εὐθυμίαν. ὅσην γὰρ ἂν περιέλθῃς γῆν, σοὶ δώσω αὐτήν, ἵνα μάθῃς ὅτι οὐ τοσαῦτα παρεχώρησας, ὅσα νῦν λαμβάνειν μέλλῃς. μὴ τοίνυν νομίσῃς τὴν ἐλάττονα εἰληφέναι, ἐπειδὴ ἐκεῖνος τοῖς πρωτείοις φαινομένοις ἐπεπήδησεν. εἴσῃ δὲ μετ' οὐ πολὺ δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ λυσιτελὴς ἦν αὐτῷ τῶν πρωτείων ἡ ἐκλογή· καὶ αὐτὸς δὲ ἐκεῖνος μαθήσεται, ὅσον ἐστὶ κακὸν τὸ τῶν πρωτείων ἐρᾶν. τέως δὲ αὐτὸς κομίζου τῆς ταπεινοφροσύνης καὶ τῆς ἐπιεικείας, ἣν περὶ αὐτὸν ἐπεδείξω, τὰς ἀμοιβάς, καὶ δέχου τὴν ὑπόσχεσιν, καὶ ἤδη καταμάνθανε τὴν γῆν ἅπασαν, ἧς κύριος εἶ* μετ' οὐ πολὺ καὶ αὐτὸς καὶ τὸ σπέρμα τὸ σὸν εἰς τὸ διηνεκές.

*ἢ

Καὶ τῷ σπέρματί σου γάρ, φησιν, ἕως τοῦ αἰῶνος.

Πολὺ τῆς ἐπαγγελίας τὸ μέγεθος, πολλὴ τῆς φιλοτιμίας ἡ δαψίλεια, πολλὴ τῆς ἀμοιβῆς ἡ ὑπερβολή. ταῦτα ἀκούσας ὁ πατριάρχης καὶ ἐκπλαγεὶς τὴν ἄφατον τοῦ θεοῦ ἀγαθότητα,

18 Ἀποσκηνώσας, φησίν, ἐλθὼν κατῴκησε παρὰ τὴν δρῦν τὴν Μαμβρῆ τὴν ἐν Χεβρών.

Μετὰ* τὸ δέξασθαι, φησι, τὴν ἐπαγγελίαν, καὶ τὸν χωρισμὸν γενέσθαι τοῦ Λώτ, τὴν σκηνὴν αὐτοῦ μετῴκισε παρὰ τὴν δρῦν τὴν Μαμβρῆ. ὅρα φιλόσοφον γνώμην, ὅρα φρονήματος ὕψος· πῶς μετ' εὐκολίας μετανίσταται, καὶ οὐ δυσχεραίνει πρὸς τὸ τόπους ἐκ τόπων ἀμείβειν. καὶ γὰρ εὑρήσεις αὐτὸν οὐ συνηθείᾳ τινὶ προκατειλημμένον καὶ προσεστηκότα, ὃ πολλοὶ πολλάκις ὑπομένουσι καὶ τῶν δοκούντων φιλοσοφεῖν καὶ τῶν ἐν μέσῳ θορύβων ἀπηλλάχθαι. καὶ εἴποτε χρεὼς ″ καλῇ μεταναστῆναι καὶ εἰς τὴν ἀλλοτρίαν ἀπελθεῖν,

*

γρ. καλοίη

θεῖν, πολλάκις καὶ πνευματικοῦ πράγματος ἕνεκα, δυσχεραίνονται, ἀλύοντας, βαρέως φέροντας τὴν μετάστασιν εὕροις ἂν αὐτούς, διὰ τὸ τῇ συνηθείᾳ προσειλῆφθαι. ἀλλ' οὐχ ὁ δίκαιος οὗτος· ἀλλ' ἄνωθεν καὶ ἐκ προοιμίων ἐφιλοσόφει· καθάπερ ξένος καὶ παρεπίδημος, οὕτως ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετοικισάμενος, καὶ πανταχοῦ τὴν φιλόθεον αὐτοῦ γνώμην διὰ τῶν ἔργων ἐσπούδαζεν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ κατεσκήνωσε παρὰ τὴν δρῦν τὴν Μαμβρῆ, εὐθέως ἐκεῖ θυσιαστήριον ᾠκοδόμησε τῷ κυρίῳ. Εἶδες εὐχάριστον γνώμην. ἐπειδὴ γὰρ τὴν σκηνὴν ἐπήξατο, εὐθέως ὑπὲρ τῆς γενομένης αὐτῷ ἐπαγγελίας τὰς εὐχαριστίας ἀνέφερε τῷ δεσπότῃ. καὶ καθ' ἕκαστον τόπον, ἔνθα κατεσκήνου, εὑρήσεις αὐτὸν τούτου πρὸ πάντων ἐπιμελούμενον, καὶ θυσιαστήριον οἰκοδομοῦντα, καὶ τὰς εὐχὰς ἀναφέροντα, καὶ ἀποστολικὸν νόμον πληροῦντα τὸν κελεύοντα· Ἐν παντὶ τόπῳ εὔχεσθαι, ἐπαίροντας ὁσίους χεῖρας. Εἶδες ψυχὴν ἐπτερωμένην πρὸς τὸν τοῦ θεοῦ πόθον, καὶ ὑπὲρ ἁπάντων εὐχάριστον γινομένην. οὐδὲ γὰρ ἀνέμενεν εἰς ἔργον ἐλθεῖν τὰ ἐπαγγελθέντα, ἀλλὰ καὶ ὑπὲρ τῆς ὑποσχέσεως εὐχαριστεῖ, καὶ τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται, ἵνα τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐγνωμοσύνην ἐπιδειξάμενος καὶ περὶ τὴν ἐκπλήρωσιν τῶν ἐπαγγελιῶν ἐκκαλέσηται τὸν ἑαυτοῦ δεσπότην.

α. Τιμ. β. η.

ΗΘΙΚΟΝ

Τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, καὶ θαρρῶμεν ταῖς τοῦ θεοῦ ὑποσχέσεσι, καὶ μήτε ὁ χρόνος ἀμαυρούτω τὴν προθυμίαν, μήτε τὰ ἐν μέσῳ κωλύματα, ἂν συμβαίη, χαυνούτω ἡμῶν τὸν λογισμόν· ἀλλὰ τῇ τοῦ θεοῦ δυνάμει θαρροῦντες, ὡς ἤδη πρὸ τῶν ὀφθαλμῶν ὁρῶντες τὰς ὑποσχέσεις ἐκβεβηκυίας, οὕτω τὴν πίστιν εἰλικρινῆ ἐπιδειξώμεθα. καὶ γὰρ καὶ ἡμῖν μεγάλα καὶ ὑπέρογκα ἐπηγγείλατο ὁ δεσπότης, καὶ ὑπερβαίνοντα τὸν ἡμέτερον λογισμόν, τῆς βασιλείας λέγω τὴν ἀπόλαυσιν, τῶν ἀπορρήτων ἀγαθῶν τὴν μετουσίαν, τὴν μετὰ ἀγγέλων διαγωγήν, τὴν τῆς γεέννης ἀπαλλαγήν. ἀλλ' ὅμως μηδὲν ἀπιστῶμεν, ἐπειδὴ μὴ ὁρᾶται τοῖς σωματικοῖς ὀφθαλμοῖς· ἀλλὰ τὸ ἀψευδὲς ἐννοοῦντες τοῦ ἐπαγγειλαμένου, καὶ τῆς δυνάμεως αὐτοῦ τὸ μέγεθος, τοῖς τῆς πίστεως ὀφθαλμοῖς αὐτὰ κατοπτεύωμεν, καὶ ἐκ τῶν ἤδη παρασχεθέντων καὶ περὶ τῶν μελλόντων χρηστὰς ἔχωμεν τὰς ἐλπίδας. διὰ γὰρ τοῦτο καὶ ἐνταῦθα πολλὰ ἡμῖν ἐδωρήσατο, ἵνα ἐκ τούτων ὁδηγούμενοι καὶ περὶ ἐκείνων θαρρεῖν ἔχωμεν. ὁ γὰρ τὸν ἑαυτοῦ υἱὸν ἐκδοὺς διὰ τὴν περὶ ἡμᾶς ἀγάπην, πῶς οὐχὶ πάντα ἡμῖν τὰ λοιπὰ χαριεῖται; καθάπερ καὶ Παῦλός φησιν· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; εἰ τὸν υἱὸν αὐτοῦ ἐξέδωκεν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, εἰ τοῦ βαπτίσματος τὴν δωρεὰν ἐχαρίσατο, εἰ τῶν προλαβόντων ἁμαρτημάτων τὴν ἄφεσιν ἐδωρήσατο, εἰ μετανοίας ὁδὸν ἡμῖν ἔτεμεν, εἰ μυρία ἕτερα πρὸς τὴν σωτηρίαν ἡμετέραν ἐπραγματεύσατο, δηλονότι καὶ τὰ ἐν τῷ μέλλοντι ἡμῖν ταμιευόμενα ἀγαθὰ παρέξει. ὁ γὰρ πρὸ τῆς εἰς τὸ εἶναι ἡμᾶς παρόδου ταῦτα προευτρεπίσας διὰ οἰκείαν ἀγαθότητα, πῶς οὐχὶ καὶ τὴν ἀπόλαυσιν χαριεῖται; ὅτι γὰρ προλαβὼν ταῦτα ἡμῖν ἡτοίμασε τὰ ἀγαθά, ἄκουε αὐτοῦ λέγοντος πρὸς τοὺς ἐκ δεξιῶν ἑστῶτας· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. Εἶδες ἀγαθότητος ὑπερβολήν, πόσην περὶ τὸ ἡμέτερον γένος κέχρηται τῇ φιλανθρωπίᾳ, ὡς καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἡμῖν τῆς βασιλείας προευτρεπίσαι τὴν ἀπόλαυσιν. μὴ τοίνυν ἀγνώμονες γινώμεθα, παρακαλῶ, μηδὲ ἀναξίους ἑαυτοὺς καταστήσωμεν τῶν τοσούτων δωρεῶν· ἀλλ' ἀγαπήσωμεν, ὡς δεῖ, τὸν ἡμέτερον δεσπότην, καὶ μηδὲν διαπραττώμεθα τῶν διακοπτόντων τὴν πρὸς ἡμᾶς αὐτοῦ εὔνοιαν. μὴ γὰρ αὐτοὶ προκατάρχομεν τοῦ πράγματος; αὐτὸς προλαβὼν πολλὴν καὶ ἄφατον τὴν πε-

Ρω. η. λβ.

Ματ. κε. λδ.

εἰ ἡμᾶς ἀγάπην ἐπεδείξατο. πῶς οὖν οὐκ ἄτοπον τὸν οὕτως ἀγαπήσαντα μὴ καὶ ἡμᾶς, ὅσον ἔχομεν δυνάμεως, ἀγαπᾷν; αὐτὸς γὰρ διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην πάντα μετ' ἡδονῆς ὑπέμεινε, καὶ ἐξ αὐτῶν τῶν κόλπων τῶν πατρικῶν ἀλλόμενος, ὡς εἰπεῖν, δούλου μορφὴν ἀναλαβεῖν κατεδέξατο, καὶ διὰ πάντων τῶν ἀνθρωπίνων ἐλθεῖν, καὶ τὰς παρὰ Ἰουδαίων ὕβρεις καὶ ἀτιμίας ὑπομεῖναι, καὶ τὸ τελευταῖον σταυρὸν κατεδέξατο καὶ θάνατον τὸν ἐπονείδιστον, ἵνα ἡμᾶς τοὺς χαμαὶ συρομένους, καὶ μυρίοις φορτίοις ἁμαρτημάτων βαρυνομένους, διὰ τῆς εἰς αὐτὸν πίστεως ἐλευθερώσῃ. Ταῦτα γὰρ ἅπαντα ἐννοῶν ὁ μακάριος Παῦλος, ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην περιτρέχων ἅπασαν, ὁ ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπιδείκνυσθαι σπουδάζων, ἐβόα λέγων· β. Κορ. ε. ιδ. Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς. ὅρα εὐγνωμοσύνην, ὅρα ἀρετῆς ὑπερβολήν, ὅρα πόθον ζέοντα. ἡ ἀγάπη, φησί, τοῦ Χριστοῦ συνέχει ἡμᾶς· τοῦτ' ἔστιν ὠθεῖ, καταναγκάζει, κατεπείγει. Εἶτα ἑρμηνεῦσαι βουλόμενος τὸ παρ' ἑαυτοῦ ῥηθέν, φησί· κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ ἁπάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἶδες πῶς εἰκότως ἔλεγεν, ὅτι συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ Χριστοῦ. εἰ γὰρ ὑπὲρ ἡμῶν, φησί, πάντων ἀπέθανε, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμεῖς οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶμεν, ἀλλ' ἐκείνῳ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. δεχώμεθα τοίνυν τὴν παραίνεσιν τὴν ἀποστολικήν, καὶ μὴ ἑαυτοῖς ζῶμεν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. καὶ πῶς, φησί, δυνησόμεθα μὴ ἑαυτοῖς ζῆν; ἄκουε τοῦ μακαρίου τούτου πάλιν λέγοντος· Γαλ. β. κ. Ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὅρα πῶς ἐπὶ γῆς βαδίζων καὶ σαρκὶ συμπεπλεγμένος, καθάπερ τὸν οὐρανὸν οἰκῶν, καὶ ταῖς ἀσωμάτοις συναναστρεφόμενος δυνάμεσιν, Γαλ. ε. κδ. οὕτω διέκειτο. διὰ τοῦτο ἀλλαχοῦ πάλιν ἔλεγεν· Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. τοῦτο τοίνυν ἐστὶ τὸ μὴ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, ὅταν καθάπερ νεκροὶ ὦμεν τοῦ παρόντος βίου, καὶ πρὸς μηδὲν τῶν ὁρωμένων ὦμεν ἐπτοημένοι. διὰ γὰρ τοῦτο ὁ δεσπότης ἡμῶν ἐσταυρώθη, ἵνα ἀντὶ ταύτης τῆς ζωῆς ἐκείνην ἀνταλλαξώμεθα· μᾶλλον δέ, ἵνα διὰ ταύτης ἐκείνην ἑαυτοῖς πραγματευσώμεθα. ἡ γὰρ παροῦσα ζωή, ἐὰν βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, πρὸς τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς ἡμᾶς ὁδηγεῖ· καὶ δυνησόμεθα, εἰ βουληθείημεν μικρὸν διεγερθῆναι καὶ διανοῖξαι τὸ τῆς διανοίας ὄμμα, τῆς ἐκεῖ λήξεως τὴν ἔννοιαν διὰ παντὸς στρέφειν πρὸς ἑαυτοῖς, καὶ οὕτω τὰ μὲν ὁρώμενα παρατρέχειν καὶ ὑπερεωρᾶσθαι, πρὸς δὲ τὰ μέλλοντα καὶ διαιωνίζοντα τείνειν τὸν λογισμόν· Γαλ. β. κ. καθάπερ καὶ ὁ μακάριος οὗτος παιδεύων ἡμᾶς ἔλεγεν, Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. ὅρα ψυχὴν πεπυρωμένην, ὅρα λογισμὸν ἐπτερωμένον, ὅρα διάνοιαν ἐκκαιομένην τῷ πρὸς τὸν θεὸν πόθῳ. ὃ νῦν ζῶ, φησίν, ἐν πίστει ζῶ. μὴ * νομίσητέ με, φησί, συντελεῖν τι εἰς τὰ τοῦ παρόντος βίου πράγματα. *ὡς εἰ γὰρ καὶ σάρκα περίκειμαι, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως προσδέδεμαι, ἀλλ' ἐν πίστει ζῶ τῇ εἰς Χριστόν, πάντων ὑπερορῶν τῶν παρόντων, τῇ ἐλπίδι τῇ εἰς αὐτὸν πάντα παρατρέχων, ἐκτεταμένην ἔχω τὴν διάνοιαν πρὸς αὐτόν. Εἶτα ἵνα μάθῃς αὐτοῦ τοῦ φίλτρου τὴν ὑπερβολήν, φησίν, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. σκόπει πόσης τῆς εὐγνωμοσύνης ἡ ὑπερβολή. τί λέγεις, ὦ μακάριε Παῦλε; πρὸ μικροῦ ἔλεγες, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν· καὶ νῦν λέγεις τοῦ ἀγαπήσαντός με, καὶ ἰδιοποιῇ τὴν κοινὴν εὐεργεσίαν

κεφ. ιδ.

γεσίαν; ναί φησιν. Εἰ γὰρ καὶ ὑπὲρ παντὸς τοῦ τῶν ἀνθρώπων γένους ἡ θυσία προσενήνεκται παρ' αὐτοῦ, ἀλλὰ διὰ τὸ περὶ αὐτὸν φίλτρον [μου] ἐγὼ ἰδιοποιοῦμαι τὸ γεγονός. οὕτω καὶ τοῖς προφήταις ἔθος ποιεῖν καὶ λέγειν, ὁ θεὸς ὁ θεός μου, καίτοι τῆς οἰκουμένης ἐστὶ θεός. ἀλλ' ἴδιον τοῦ πόθου, τὰ κοινὰ ἰδιοποιεῖσθαι. τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, φησι, τοῦ ἀγαπήσαντός με. τί λέγεις; σὲ μόνον ἠγάπησε; πᾶσαν μὲν, φησι, τὴν τῶν ἀνθρώπων φύσιν, ἀλλ' ἐγὼ ὡς μόνος ἀγαπηθεὶς, οὕτως αὐτῷ χάριτας ὀφείλω. καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. τί οὖν; ὑπὲρ σοῦ μόνον ἐσταυρώθη; οὐκ αὐτὸς λέγει, Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν; οὐ σὺ αὐτὸς εἶπας, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν ἑαυτόν; ναί φησιν· οὐκ ἐναντιούμενος ἑαυτῷ ταῦτά φημι, ἀλλὰ τὸν ἐμαυτοῦ πόθον παραμυθούμενος. καὶ ὅρα πάλιν καὶ ἕτερόν τι διὰ τῶν εἰρημένων ἡμᾶς διδάσκοντα. ἀνωτέρω γὰρ εἰπὼν περὶ τοῦ πατρὸς, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, ἐνταῦθα λέγει ἑαυτὸν παρέδωκεν· ἐκεῖ μὲν, ἵνα τὴν ὁμόνοιαν δείξῃ καὶ τὴν ὁμοτιμίαν πατρὸς καὶ υἱοῦ, καὶ τὴν οἰκονομίαν αἰνίξηται, ἐπεὶ καὶ ἀλλαχοῦ φησι, γενόμενος ὑπήκοος μέχρι θανάτου, πανταχοῦ τὴν οἰκονομίαν πιστούμενος· ἐνταῦθα δὲ τὸ παρέδωκεν ἑαυτὸν τέθεικεν, ἵνα δείξῃ, ὅτι ἑκὼν τὸ πάθος κατεδέξατο, καὶ οὐκ ἀνάγκῃ οὐδὲ βίᾳ, ἀλλὰ βουλόμενος καὶ θέλων παντὶ τῷ τῶν ἀνθρώπων γένει τὴν σωτηρίαν πραγματεύσασθαι, τὸν σταυρὸν ὑπέμεινε. ποίαν οὖν καὶ ἀξίαν ἀγάπην ἐπιδείξασθαι δυνησόμεθα, πρὸς τὸν οὕτω πλουσίαν τὴν περὶ ἡμᾶς ἀγάπην ἐπιδειξάμενον; κἂν γὰρ αὐτὴν τὴν ψυχὴν προέσθαι καταδεξώμεθα ὑπέρ τε τῶν αὐτοῦ νόμων καὶ τῆς φυλακῆς τῶν ἐντολῶν τῶν παρ' αὐτοῦ δοθεισῶν, οὐδὲ οὕτω πρὸς τὸ μέτρον φθάσαι δυνησόμεθα τῆς ἀγάπης, ἣν περὶ τὴν ἡμετέραν ἐπεδείξατο φύσιν. αὐτὸς μὲν γὰρ θεὸς ὢν ὑπὲρ ἀνθρώπων τοῦτο κατεδέξατο, καὶ δεσπότης τυγχάνων ὑπὲρ δούλων, καὶ οὐχ ὑπὲρ δούλων ἁπλῶς, ἀλλὰ καὶ ἀγνωμόνων, καὶ πολλὴν καὶ ἄσπονδον τὴν ἔχθραν ἐπιδεικνυμένων. καὶ αὐτὸς μὲν προλαβὼν εἰς ἀναξίους καὶ μυρία ἐπταικότας τὴν τοσαύτην εὐεργεσίαν ἐπεδείξατο· ἡμεῖς δὲ, ὅπερ ἂν ἐπιδείξασθαι δυνηθῶμεν, οὐδὲν μέγα "ποιῶμεν τὸν προφθάσαντα ταῖς τοσαύταις εὐεργεσίαις ἡμᾶς φιλοτιμήσασθαι ἀμείβεσθαι σπουδάζοντες. τὰ γὰρ παρ' ἡμῶν, ἂν ἄρα ἀκολουθῶσιν, ἀμοιβή τίς ἐστι καὶ ὀφειλή· τὰ δὲ παρ' αὐτοῦ, χάρις καὶ εὐεργεσίαι καὶ δωρεᾶς μέγεθος. ταῦτα τοίνυν ἅπαντα λογιζόμενοι, ἀγαπήσωμεν τὸν Χριστὸν καθάπερ Παῦλος αὐτὸν ἠγάπησε, καὶ μηδεὶς ἡμῖν τῶν παρόντων ἔστω * λόγος, ἀλλὰ διηνεκῶς τὸν "αὐτὸν πόθον ἔχωμεν ἱδρυμένον ἡμῶν τῇ ψυχῇ. οὕτω γὰρ ἂν καὶ πάντων καταγελασώμεθα τῶν τοῦ παρόντος βίου, "οὕτω καὶ τὴν γῆν καθάπερ τὸν οὐρανὸν οἰκήσωμεν, οὔτε ὑπὸ τῶν χρηστῶν ἐνταῦθα χαυνούμενοι, οὔτε ὑπὸ τῶν λυπηρῶν συστελλόμενοι· ἀλλὰ πάντα παρατρέχοντες, πρὸς τὸν ποθούμενον ἡμῶν δεσπότην ἐντεῦθεν ἐπειχθησόμεθα· καὶ μήτε πρὸς αὐτὴν τὴν μέλλησιν δυσχεραίνωμεν, ἀλλ' ἐροῦμεν κατὰ τὸν μακάριον τοῦτον καὶ ἡμεῖς, ὅτι ὃ νῦν ζῶμεν ἐν σαρκὶ, ἐν πίστει ζῶμεν τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντος ἡμᾶς, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαῦσαι καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰωαν. ιβ. λβ.

…ποιῶμεν

γρ. αὐτοῦ

γρ. καὶ … γῆν οὕτω … οὐρανόν

Λογ. λε. ΕΓΕΝΕΤΟ ΔΕ ΕΝ ΤΗ ΒΑΣΙΛΕΙΑ ΑΜΑΡΦΑΘ

κεφ. ιδ.

βασιλέως Σενναὰρ, Ἀριὼχ βασιλεὺς Ἀλασὰρ καὶ Χοδολλογομὸρ βασιλεὺς Ἐλὰμ καὶ Θαρθὰλ βασιλεὺς τῶν ἐθνῶν ἐποίησαν πόλεμον μετὰ τοῦ βασιλέως τῶν Σοδόμων.

Μέγα ἀγαθόν, ἀγαπητοί, τῶν θείων γραφῶν" ἀνάγνωσις. τοῦτο τὴν ψυχὴν φιλόσοφον ἀπεργάζεται, τοῦτο εὐχάριστον κατασκευάζει τὸν ἄνθρωπον, τοῦτο ποιεῖ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, τοῦτο διηνεκῶς ἐκεῖ ποιεῖ διαιτᾶσθαι τὸν λογισμὸν τὸν ἡμέτερον, καὶ πρὸς τὴν τοῦ δεσπότου ἀμοιβὴν ὁρῶντας ἅπαντα ἡμᾶς διαπράττεσθαι, καὶ πρὸς τοὺς τῆς ἀρετῆς πόνους μετὰ πολλῆς ἐγχειρεῖν τῆς προθυμίας. ἐντεῦθεν γάρ ἐστι μαθεῖν ἀκριβῶς τῆς ταχείας ἀντιλήψεως τοῦ θεοῦ τὴν περίνοιαν, τῶν δικαίων τὴν ἀνδρείαν, τοῦ δεσπότου τὴν ἀγαθότητα, καὶ τῶν ἀμοιβῶν τὸ μέγεθος. ἐντεῦθέν ἐστιν εἰς ζῆλον καὶ μίμησιν διεγερθῆναι τῆς φιλοσοφίας τῶν γενναίων ἀνδρῶν, καὶ μὴ ναρκᾶν πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας, ἀλλὰ θαῤῥεῖν καὶ πρὸ τῆς ἐκβάσεως ταῖς παρὰ τοῦ θεοῦ ὑποσχέσεσι. διό, παρακαλῶ, μετὰ πολλῆς σπουδῆς τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ποιώμεθα. οὕτω γὰρ καὶ τῆς γνώσεως ἐπιτευξόμεθα, εἰ συνεχῶς ἐπιῶμεν τὰ ἐγκείμενα. οὐδὲ γάρ ἐστι τὸν μετὰ σπουδῆς καὶ πολλοῦ πόθου τοῖς θείοις ἐντυγχάνοντα περιοφθῆναί ποτε, ἀλλὰ κἂν ἄνθρωπος ἡμῖν μὴ γένηται διδάσκαλος, αὐτὸς ὁ δεσπότης ἄνωθεν ἐμβατεύων ταῖς καρδίαις ταῖς ἡμετέραις φωτίζει τὴν διάνοιαν, καταυγάζει τὸν λογισμόν, ἐκκαλύπτει τὰ λανθάνοντα, διδάσκαλος ἡμῖν γίνεται τῶν ἀγνοουμένων· μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέρειν βουλώμεθα. Μὴ καλέσητε γάρ, φησι, διδάσκαλον ἐπὶ τῆς γῆς. ἐπειδὰν οὖν λάβωμεν μετὰ χεῖρας βιβλίον πνευματικόν, συντείναντες ἑαυτῶν τὴν διάνοιαν, καὶ συναγαγόντες τὸν λογισμόν, καὶ πᾶσαν βιωτικὴν ἔννοιαν" ἀποθέμενοι, οὕτω τὴν ἀνάγνωσιν ποιώμεθα μετὰ πολλῆς τῆς εὐλαβείας, μετὰ πολλῆς τῆς προσοχῆς, ἵνα δυνηθῶμεν ὑπὸ τοῦ ἁγίου πνεύματος ὁδηγηθῆναι ἐπὶ τὴν κατανόησιν τῶν" γεγραμμένων, καὶ πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν καρπώσασθαι. καὶ γὰρ ὁ Εὐνοῦχος ἐκεῖνος ὁ βάρβαρος ὁ τῆς βασιλίσσης αἰθιόπων, ἐν τοσαύτῃ τυγχάνων περιφανείᾳ, καὶ ἐπὶ τοῦ ὀχήματος φερόμενος οὐδὲ ἐν ἐκείνῳ τῷ καιρῷ τῆς ἀναγνώσεως ἠμέλει, ἀλλὰ τὸν προφήτην ἔχων μετὰ χεῖρας πολλὴν ἐποιεῖτο τὴν σπουδὴν" τὰ κατὰ τὴν ἀνάγνωσιν, καὶ ταῦτα οὐκ εἰδὼς τὰ ἐγκείμενα· ἀλλ' ὅμως ἐπειδὴ τὰ παρ' ἑαυτοῦ πάντα εἰσήνεγκε, τὴν σπουδήν, τὴν προσοχήν, ἐπέτυχε τοῦ καθοδηγήσαντος. ἐννόησον γάρ μοι ὅσον ἦν μήτε ὁδοιποροῦντα ἀμελῆσαι τῆς ἀναγνώσεως, καὶ ταῦτα ἐπ' ὀχήματος καθήμενον. ἀκουέτωσαν οἱ μηδὲ ἐπὶ τῆς οἰκίας τοῦτο ποιῆσαι καταδεχόμενοι, ἀλλὰ νομίζοντες πάρεργον εἶναι τὴν τούτων ἀνάγνωσιν· καὶ διὰ τὸ γυναιξὶ συνοικεῖν, καὶ στρατείᾳ κατειλῆφθαι, καὶ παιδίων φροντίζειν, καὶ οἰκετῶν ἐπιμελεῖσθαι, καὶ ἑτέρων πραγμάτων ἔχειν φροντίδα, μὴ προσήκειν αὐτοῖς περὶ τὴν τῶν θείων γραφῶν ἀνάγνωσιν ἔχειν σπουδήν. ἰδοὺ γὰρ εὐνοῦχος, ἄνθρωπος βάρβαρος, ἀμφότερα ἱκανὰ εἰς πολλὴν ῥᾳθυμίαν ἐμβαλεῖν, καὶ μετὰ τούτων ἡ πολλὴ περιφάνεια, τοῦ πλούτου ἡ περιουσία, αὐτὸ τὸ ἐν ὁδοιπορίᾳ εἶναι, καὶ ἐπ' ὀχήματος φέρεσθαι (οὐδὲ γὰρ ῥᾴδιον ἀναγνώσει προσέχειν τῷ οὕτως ὁδοιποροῦντι, ἀλλὰ καὶ σφόδρα δυσχερές) ἀλλ' ὅμως ὁ πόθος καὶ ἡ πολλὴ σπουδὴ πάντα τὰ κωλύματα ἐκποδὼν ἐποιεῖτο, καὶ εἴχετο τῆς ἀναγνώσεως, καὶ οὐκ ἔλεγε ταῦτα, ἃ νῦν πολλοὶ λέγουσιν· οὐ νοῶ τὰ ἐγκείμενα· οὐ δύναμαι συνιέναι τὸ βάθος τῶν γεγραμμένων· τίνος ἕνεκεν ἁπλῶς καὶ εἰκῇ τὸν κάματον ὑπομένω, ἀναγινώσκων καὶ οὐκ ἔχων τὸν ὁδηγῆσαι δυνάμενον; οὐδὲν τούτων ἐλογίσατο ὁ βάρβαρος μὲν τὴν γλῶσσαν, φιλόσοφος δὲ τὴν διάνοιαν· ἀλλ' ἐννοήσας, ὡς οὐ περιοφθήσεται, ἀλλὰ ταχέως ἀπολαύσει τῆς ἄνωθεν ῥοπῆς, εἰ τὰ παρ' ἑαυτοῦ καὶ τὰ εἰς

δύναμιν

γρ. ἡ γνῶσις.

Ματθ. κγ. η.

γρ. ἀποθέμενοι,

γρ. ἐγγεγραμμένων

Πρ. η. κη.

γρ. σπουδὴν μετὰ τὴν ἀνάγνωσιν,

δύναμιν ἐπιδείξαιτο, εἴχετο τῆς ἀναγνώσεως. διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης ὁρῶν αὐτοῦ τὸν πόθον οὐ περιεῖδεν, οὐ κατέλιπεν ἀπερινόητον, ἀλλ' εὐθέως αὐτῷ τὸν διδάσκαλον ἔπεμψε. σὺ δέ μοι σκόπει τὴν τοῦ θεοῦ σοφίαν, πῶς ἔμελλεν ἐκεῖνον πρότερον τὰ παρ' ἑαυτοῦ εἰσενεγκεῖν, καὶ τότε τὴν οἰκείαν ἀντίληψιν ἐπιδείκνυται. ἐπεὶ οὖν τὰ παρ' ἑαυτοῦ πάντα ἀπήρτισε, λοιπὸν ὤφθη ὁ ἄγγελος κυρίου λέγων τῷ Φιλίππῳ, ἀναστὰς πορεύου ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν (αὕτη ἐστὶν ἔρημος) καὶ ἰδοὺ ἀνὴρ αἰθίοψ δυνάστης εὐνοῦχος Κανδάκης τῆς βασιλίσσης αἰθιόπων, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς ὑπέστρεψε καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν. ὅρα πῶς ἀκριβῶς ἡμῖν διηγήσατο ὁ τὴν βίβλον γράψας εἰπών, ὅτι αἰθίοψ· ἵνα γνῶμεν ὅτι βάρβαρος ἦν. εἶτά φησιν, ὅτι δυνάστης, ὅτι ἐν ἀξιώματι μεγίστῳ καὶ περιφανείᾳ ἐτύγχανεν. ὃς ἐληλύθει, φησί, προσκυνήσων εἰς Ἱερουσαλήμ. ὅρα καὶ τὴν πρόφασιν αὐτοῦ τῆς ἀποδημίας, ἱκανὴν οὖσαν δεῖξαι τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης. ἰδοὺ γὰρ πόσην ὁδὸν στέλλεται, ὥστε τὴν προσκύνησιν ἀποδοῦναι τῷ δεσπότῃ. ἔτι γὰρ ἐνόμιζον ἐν ἑνὶ τόπῳ συγκεκλεῖσθαι τὴν λατρείαν, καὶ διὰ τοῦτο πολλὴν ὁδὸν στελλόμενοι ἐκεῖ τὰς εὐχὰς ἀνέφερον. διά τοι τοῦτο καὶ αὐτὸς παρεγίνετο, ἔνθα ὁ ναὸς ἦν καὶ ἡ λατρεία ἡ ἰουδαϊκή, ἵνα τὴν προσκύνησιν ἀποδῷ τῷ δεσπότῃ. καὶ ἐπειδὴ ἐπλήρωσε τὸ ποθούμενον, ὑποστρέφων, φησι, καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ ἀνεγίνωσκεν. εἶτα ἐπιστὰς ὁ Φίλιππος φησὶ πρὸς αὐτόν, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; εἶδες ψυχὴν μεμεριμνημένην, οὐκ εἰδυῖαν μὲν τὰ ἐγκείμενα, ἐρωμένην δὲ τῆς ἀναγνώσεως, καὶ ποθοῦσαν ἐπιτυχεῖν τοῦ ὁδηγοῦντος διδασκάλου· καὶ [γὰρ] εὐθέως ὁ ἀπόστολος διὰ τῆς ἐρωτήσεως διεγείρει αὐτοῦ τὸν πόθον. ὅτι γὰρ ἄξιος ἦν τυχεῖν τοῦ ὁδηγοῦντος πρὸς τὴν τῶν ἐγκειμένων κατανόησιν, αὐτὴ ἡ ἀπόκρισις τοῦ ἀνδρὸς δηλοῖ. τοῦ γὰρ ἀποστόλου εἰπόντος, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις, καὶ μετὰ εὐτελοῦς σχήματος προσιόντος, οὐκ ἐδυσχέρανεν, οὐκ ἠγανάκτησεν, οὐκ ἐνόμισεν ὑβρίσθαι, ὃ πολλοὶ τῶν ἀνοήτων πάσχουσι, καὶ πολλάκις αἱροῦνται ἐν διηνεκεῖ ἀγνοίᾳ τυγχάνειν, αἰσχυνόμενοι τὴν ἄγνοιαν ὁμολογῆσαι, καὶ παρὰ τῶν διδάξαι δυναμένων μαθεῖν. ἀλλ' οὗτος οὐδὲν τούτων πέπονθεν· ἀλλὰ μετὰ πάσης ἐπιεικείας καὶ εὐλαβείας τὴν ἀπόκρισιν ποιεῖται, δεικνὺς αὐτοῦ τῆς ψυχῆς τὴν κατάστασιν. καί φησι· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; καὶ οὐ μόνον ἀπεκρίνατο μὲν μετ' ἐπιεικείας, παρέδραμε δέ, ἀλλὰ μᾶλλον τῶν οἰκείων τρόπων ἐνδεικνύμενος ἡμῖν τὴν ἀρετήν, ταῦτα εἰπὼν παρεκάλεσεν ὁ δυνάστης, ὁ βάρβαρος, ὁ ἐπ' ὀχήματος φερόμενος τὸν εὐτελῆ φαινόμενον, τὸν ἀπὸ τῆς ἐσθῆτος εὐκαταφρόνητον, ἀναβάντα καθίσαι σὺν αὐτῷ. εἶδες ψυχῆς προθυμίαν, εἶδες εὐλαβείας ἐπίτασιν, εἶδες βαρβάρου γνώμην φιλόθεον, πῶς ἐπλήρου ἐκεῖνο τὸ παρὰ σοφοῦ τινος εἰρημένον· Ἐὰν ἴδῃς συνετόν, ὄρθριζε πρὸς αὐτόν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου. Σειρ. ς. λζ. εἶδες πῶς δικαίως οὐ περιεώφθη, εἶδες πῶς δικαίως ἀπήλαυσε τῆς ἄνωθεν ῥοπῆς, εἶδες πῶς οὐδὲν ἐνέλιπε τῶν ὀφειλόντων παρ' αὐτοῦ εἰσενεχθῆναι. διὰ τοῦτο λοιπὸν ἐπιτυχὼν τοῦ διδασκάλου, ἐμάνθανε μετὰ ἀκριβείας καὶ τῶν ἐγκειμένων τὴν δύναμιν, καὶ ἐφωτίζετο τὴν διάνοιαν. ἴδετε ὅσον ἐστὶν ἀγαθὸν μετὰ προσοχῆς καὶ σπουδῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι τῶν θείων γραφῶν. διὰ γὰρ τοῦτο καὶ τὴν κατὰ τὸν βάρβαρον τοῦτον ἱστορίαν εἰς μέσον ἤγαγον, ἵνα μὴ ἐπαισχυνθῶμεν ἅπαντες ζηλωταὶ γενέσθαι τοῦ αἰθίοπος, τοῦ εὐνούχου, τοῦ μηδὲ ἐν ὁδοιπορίᾳ τῆς ἀναγνώσεως ἀμελοῦντος. ἱκανὸς γὰρ αὐτὸς ὁ βάρβαρος ἅπασιν ἡμῖν διδάσκαλος γενέσθαι, καὶ τοῖς τὸν ἰδιωτικὸν βίον ἐπανῃρημένοις, καὶ τοῖς ἐν στρατιᾷ κατειλεγμένοις, καὶ ἐν περιφανείᾳ τυγχάνουσι, καὶ πᾶσιν ἁπαξα-

πλῶς οὐκ ἀνδράσι, ἀλλὰ καὶ γυναιξὶν, ὅσῳ καὶ διηνεκῶς οἴκοι διατρίβουσιν, ἀλλὰ καὶ τοῖς τὸν μοναχικὸν βίον ἐπανῃρημένοις, ἵνα μανθάνωσι πάντες, ὡς οὐδεὶς καιρὸς κώλυμα γίνεται πρὸς τὴν τῶν θείων λογίων ἀνάγνωσιν· ἀλλὰ δυνατὸν μὴ μόνον ἐπὶ οἰκίας, ἀλλὰ καὶ ἐπ' ἀγορᾶς βαδίζοντας, καὶ ὁδοιπορίαν ποιουμένους, καὶ ἐν συνουσίᾳ πλειόνων τυγχάνοντας, καὶ πράγμασι συμπλεκομένους τῆς τούτων ἔχεσθαι σπουδῆς, ἵνα τὰ παρ' ἑαυτῶν εἰσφέροντες, ταχέως καὶ τοῦ ὁδηγοῦντος ἐπιτύχωμεν. ὁρῶν γὰρ ἡμῶν ὁ δεσπότης τὴν περὶ τὰ πνευματικὰ ἐπιθυμίαν οὐ περιόψεται, ἀλλὰ παρέξει τὴν ἄνωθεν ἔλλαμψιν, καὶ φωτιεῖ ἡμῶν τὴν διάνοιαν. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, τῆς ἀναγνώσεως, ἀλλὰ κἄν τε εἰδῶμεν τῶν ἐγκειμένων τὴν δύναμιν, κἄν τε ἀγνοῶμεν, συνεχῶς "ταῦτα ἐπίωμεν. ἡ γὰρ διηνεκὴς μελέτη ἀνεξάλειπτον ἐργάζεται τὴν μνήμην· καὶ πολλάκις ὅπερ σήμερον εὑρεῖν οὐκ ἰσχύσαμεν ἀναγνόντες, τοῦτο πάλιν αὔριον ἐπελθόντες ἀθρόον εὕρομεν, τοῦ φιλανθρώπου θεοῦ ἀοράτως ἡμῶν τὴν διάνοιαν φωτίζοντος. ἀλλὰ ταῦτα μὲν νῦν πρὸς τὸ συνεχῆ ποιεῖσθαι τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν, [ἁρμοζόντως] εἰρήκαμεν. ἵνα δὲ μάθητε ὅτι καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τοῦτο τῷ δεσπότῃ ἔθος, ἐπειδὰν τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, μετὰ δαψιλείας τὰ παρ' ἑαυτοῦ χορηγεῖν [καὶ αὐτὸν], καὶ ὅπερ ἐπὶ τῆς ἀναγνώσεως πεποίηκε μετὰ πολλῆς τῆς ταχύτητος πέμψας τὸν διδάσκαλον τῷ βαρβάρῳ, τοῦτο καὶ ἐπὶ τῶν τὴν ἀρετὴν μετιόντων ἐργάζεται, ἄκουσον τῶν νῦν λεγομένων. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γίνηται οὗτος, ἀκόλουθον ἂν εἴη πάλιν τὰ κατὰ τὸν πατριάρχην εἰς μέσον ἀγαγεῖν, καὶ τῆς ἀκολουθίας τῶν χθὲς ἡμῖν εἰρημένων νῦν ἐπιλαβέσθαι. καὶ γὰρ ἔγνωτε ἐκ τῶν ἤδη ῥηθέντων, πῶς τῆς πολλῆς ἐκείνης ταπεινοφροσύνης, ἣν περὶ τὸν Λὼτ ἐπεδείξατο παραχωρήσας αὐτῷ τῶν πρωτείων, πολλῆς ἀπήλαυσε τῆς ἄνωθεν ἀμοιβῆς, ὑπόσχεσιν δεξάμενος πολλῷ τῷ μέτρῳ ὑπερβαίνουσαν τὰ παρ' αὐτοῦ γεγενημένα. ἴδωμεν δὲ λοιπὸν καὶ ἐκ τῶν σήμερον ἀνεγνωσμένων πάλιν τοῦ δικαίου τὴν ἀρετὴν, ἵν' οὕτω προϊόντες, καταμάθωμεν τὴν ἄφατον τοῦ θεοῦ περὶ αὐτὸν γεγενημένην κηδεμονίαν. παιδεύων γὰρ ἅπαντας ἡμᾶς διὰ τῆς τοῦ πατριάρχου [τούτου] φιλοσοφίας, ἀφίησιν αὐτὸν καθ' ἕκαστον καιρὸν πρότερον ἐπιδείκνυσθαι τῆς οἰκείας γνώμης τὸ φιλόθεον, καὶ τότε τὴν παρ' ἑαυτοῦ ἀμοιβὴν εἰσφέρει· ἵνα σπουδάσωμεν καὶ αὐτοὶ μιμούμενοι τὸν πατριάρχην πρότερον ἐγχειρεῖν πρὸς τοὺς τῆς ἀρετῆς πόνους, καὶ οὕτως ἀναμένειν τῶν παρ' αὐτοῦ ἀμοιβῶν τὴν ἀντίδοσιν. ἀλλ' ὥρα λοιπὸν αὐτὰ ὑμῖν παραθεῖναι τὰ σήμερον ἀνεγνωσμένα. οὐδὲ γὰρ ἑρμηνείας δεῖται σχεδὸν, ἀλλὰ καὶ αὐτὴ ἡ ἀνάγνωσις ἱκανὴ δεῖξαι τῆς τοῦ δικαίου ἀρετῆς τὴν ὑπερβολήν.

γρ. αὐτὰ

κεφ. ιδ.

1 Ἐγένετο δέ, φησιν, ἐν τῇ βασιλείᾳ τῇ Ἀμαρφὰθ βασιλέως Σενναάρ, Ἀριὼχ βασιλεὺς Ἀλασάρ, καὶ Χοδολλογόμορ βασιλεὺς Ἐλὰμ, καὶ Θαρθὰκ βασιλεὺς ἐθνῶν 2 Ἐποιήσαντο πόλεμον μετὰ Βαλλὰκ βασιλέως Σοδόμων καὶ μετὰ Βαρσὰκ βασιλέως Γομόρρας καὶ μετὰ Σενναὰρ βασιλέως Ἀδαμὰ καὶ Σύμορβα βασιλέως Σεβοεὶμ καὶ βασιλέως Βαλλάκ· αὕτη ἐστὶ Σιγώρ. 3 Πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν. αὕτη ἡ θάλασσα τῶν ἁλῶν.

Σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν, ὅπως καὶ τῶν "ὀνομάτων τῶν βασιλέων ἐμνημόνευσε, καὶ [τῶν ὀνομάτων] τῶν ἐθνῶν, οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς ἐκ τῆς τούτων προσηγορίας τὴν βάρβαρον αὐτῶν γνώμην. οὗτοι γάρ, φησι, πρὸς τὸν Σοδόμων βασιλέα καὶ τοὺς λοιποὺς ἐποίησαν πόλεμον. Εἶτα καὶ τὴν αἰτίαν διδάσκει τοῦ πολέμου, ὅθεν τὴν ἀρχὴν ἔσχεν.

γρ. τὰ ὀνόματα

4 Δώδεκα γὰρ ἔτη, φησὶν, ἐδούλευον τῷ Χοδολλογόμορ βασιλεῖ Ἐλάμ· τῷ δὲ τρισκαιδε-

κάτῳ ἔτει ἀπέστησαν. 5 Ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἦλθε Χοδολλαγόμορ καὶ οἱ βασιλεῖς οἱ μετ᾿ αὐτοῦ, καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσαρὼθ καὶ ″Ἀρνασῆ καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς, καὶ τοὺς Ὀμμαίους ἐν αὐτῇ τῇ πόλει, 6 Καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς ὄρεσι Σηὶρ, ἕως τῆς ″Τερεμίνθου τῆς Φαρὰμ, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ. 7 Καὶ ἀναστρέψαντες ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως. αὕτη ἐστὶ Κάδης. καὶ κατέκοψαν πάντας τοὺς ἄρχοντας Ἀμαλὴκ, καὶ τοὺς Ἀμορραίους τοὺς κατοικοῦντας ἐν Ἀσασονθαμάρ.

γρ. Καρναεὶν

γρ. [illegible]

Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα, μηδὲ νομίσωμεν ἀνωφελῆ εἶναι τὴν διήγησιν. ἐπιτηδὲς γὰρ ἡ θεία γραφὴ μετὰ ἀκριβείας ἅπαντα ἡμῖν διηγήσατο, ἵνα μάθωμεν τῶν βαρβάρων τούτων τὴν ἰσχὺν, καὶ ὅσην τὴν ἀνδρείαν ἐπεδείξαντο, καὶ μετὰ πόσης σφοδρότητος πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς καὶ τοὺς γίγαντας, τουτ᾿ ἔστι τοὺς ἰσχυροὺς κατὰ τὴν τοῦ σώματος ἕξιν, καταγωνίσασθαι, καὶ πάντα τὰ ἐκεῖσε οἰκοῦντα ἔθνη τροπώσασθαι. καθάπερ γὰρ χειμάρρους σφοδρῶς ἐπελθὼν ἅπαντα παρασύρει καὶ ἀπόλλυσι, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι οἱ βάρβαροι πᾶσι τούτοις τοῖς ἔθνεσιν ἐπελθόντες, πάντας ἄρδην ἀπώλεσαν, ὡς καὶ τοὺς ἄρχοντας τῶν Ἀμαληκιτῶν καὶ τοὺς ἄλλους ἅπαντας τροπώσασθαι. ἀλλ᾿ ἴσως εἴποι τις ἄν, καὶ τί μοι ὄφελος ἀπὸ τοῦ γνῶναι τῶν βαρβάρων τὴν ἰσχύν; οὐχ ἁπλῶς οὐδὲ εἰκῆ ἡ γραφὴ ταῦτα τῇ διηγήσει ἐγκατέμιξεν, οὐδὲ μάτην ἡμεῖς νῦν παραλαβόντες παρεγγυῶμεν ὑμῖν μεμνῆσθαι τῆς τούτων ἀνδρείας· ἀλλ᾿ ἵνα περιούσης τῆς διδασκαλίας μάθητε καὶ τῆς τοῦ θεοῦ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τοῦ πατριάρχου τὴν ἀρετήν. πρὸς τούτους οὖν, φησι, τοὺς τοσαύτην δύναμιν κεκτημένους, καὶ τοσαῦτα ἔθνη τροπωσαμένους

8 Ἐξῆλθε παρατάξασθαι ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας καὶ Σεβοεὶμ καὶ Βαλὰκ (αὕτη ἐστὶ Σιγώρ) καὶ παρετάξαντο αὐτοῖς ἐν τῇ κοιλάδι τῇ ἁλυκῇ εἰς πόλεμον· 9 Πρὸς Χοδολλαγόμορ, καὶ Θαρθὰκ, καὶ Ἀμαρφὰθ, καὶ Ἀριώχ. οἱ τέσσαρες βασιλεῖς πρὸς τοὺς πέντε. 10 Ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ, φρέατα ἀσφάλτου.

Εἶτα ἵνα μάθωμεν, πῶς καταπλαγέντες αὐτῶν τὴν ἀνδρείαν καὶ τῆς δυνάμεως τὴν ἰσχὺν, εἰς φυγὴν ἐτράπησαν, φησιν ἡ γραφή·

Καὶ ἔφυγεν ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας, καὶ ἐνέπεσον ἐκεῖ, ἔνθα τὰ φρέατα. οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν ἔφυγον.

Εἶδες πόση τῶν ἀνδρῶν ἡ ἰσχὺς, πῶς καὶ ἐξ αὐτῆς τῆς προσόψεως καταπλαγῆναι αὐτοὺς παρεσκεύασαν καὶ εἰς φυγὴν τραπῆναι πεποιήκασιν. ὅρα λοιπὸν πῶς μετὰ πάσης εὐκολίας, φυγάδων ἁπάντων γεγενημένων, τὰ αὐτῶν ἅπαντα λαβόντες ἐκεῖνοι ἐπανῄεσαν.

11 Ἔλαβον γάρ, φησι, [καὶ τὴν ὀρεινὴν καὶ] πᾶσαν τὴν ἵππον Σοδόμων καὶ Γομόρρας, καὶ πάντα τὰ βρώματα αὐτῶν, καὶ ἀπῆλθον. 12 Ἔλαβον δὲ καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ Ἄβραμ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ, καὶ ἀπῴχοντο. ἦν γὰρ κατοικῶν ἐν Σοδόμοις.

Ἰδοὺ ὅπερ χθὲς ἔλεγον, εἰς ἔργον ἐξέβη νῦν· ὅτι οὐδὲν ἀπώνατο ὁ Λὼτ ἀπὸ τῆς τῶν πρωτείων ἐκλογῆς, ἀλλὰ δι᾿ αὐτῶν τῶν πραγμάτων ἐπαιδεύετο τῶν πρωτείων μὴ ἐρᾶν. οὐ μόνον γὰρ αὐτῷ ἐκ τούτου οὐδὲν ὄφελος γέγονεν, ἀλλ᾿ ἰδοὺ καὶ αἰχμάλωτος ἀπήχθη, καὶ ἐμάνθανε διὰ τῶν ἔργων, ὅτι πολλῷ βέλτιον ἦν αὐτῷ τῆς τοῦ δικαίου συνουσίας ἀπολαύειν, ἢ χωρισθέντι καὶ ἐν ἐλευθερίᾳ γενομένῳ τοσούτων πειραθῆναι τῶν συμφορῶν. ἰδοὺ γὰρ ἐχωρίσθη τοῦ πατριάρχου, καὶ ἐνόμισεν ἐν πλείονι εἶναι ἀδείᾳ καὶ τῶν πρωτείων ἐπιτετυχηκέναι, καὶ ἐν πολλῇ τυγχάνειν τῇ εὐπορίᾳ, καὶ ἀθρόον αἰχμάλωτος, ἄοικος, ἀνέστιος γίνεται· ἵνα μάθῃς ὅσον ἐστὶ κακὸν ἡ διαίρεσις, καὶ ὅσον ἐστὶν ἀγαθὸν ἡ ὁμόνοια· καὶ ὅτι προσήκει μὴ ἐπιπηδᾷν τοῖς μείζοσιν, ἀλλ' ἀγαπᾷν ἐλαττοῦσθαι μᾶλλον. ἔλαβον γάρ, φησι, τὸν Λώτ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ. πόσῳ μᾶλλον βέλτιον ἦν συνεῖναι τῷ πατριάρχῃ, καὶ πάντα καταδέχεσθαι ὑπὲρ τοῦ μὴ διασπασθῆναι τὴν μεταξὺ ὁμόνοιαν, ἢ χωρισθέντα καὶ τὰ πρωτεῖα ἐκλεξάμενον, εὐθέως τοσούτοις κινδύνοις περιβληθῆναι, καὶ ὑπὸ βαρβάροις γενέσθαι;

13 Παραγενόμενος δέ τις, φησὶν, τῶν ἀνασωθέντων ἀπήγγειλε τῷ Ἄβραμ τῷ περάτῃ. αὐτὸς δὲ κατῴκει πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ Ὀμορῦ, τοῦ ἀδελφοῦ Ἐσχὼλ, καὶ ἀδελφοῦ Αὐνᾶν, οἳ ἦσαν συνωμόται τῷ Ἄβραμ.

Πῶς τοσούτου πολέμου συγκροτηθέντος οὐκ ἔγνω ὁ πατριάρχης; ἴσως πολὺ τὸ ἐν μέσῳ διάστημα ἐτύγχανε, δι' ὃ καὶ ἠγνόησεν. ἐλθὼν δέ τις ἀπήγγειλε τῷ Ἄβραμ τῷ περάτῃ, ἵνα ἡμᾶς ἀναμνήσῃ, ὅτι ἀπὸ τῆς Χαλδαίας ἐπανεληλυθόντι. ἐπειδὴ γὰρ πέραν τοῦ Εὐφράτου τὴν κατοίκησιν εἶχε, διὰ τοῦτο καὶ περάτης ἐλέγετο. καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς οἱ γονεῖς * τὸ ὄνομα αὐτῷ ἐπέθεσαν, προμηνύοντες αὐτῷ τὴν ἐκεῖθεν αὐτοῦ μετανάστασιν. ἐπειδὴ γὰρ περᾷν ἔμελλε τὸν Εὐφράτην, καὶ ἐπὶ τὴν Παλαιστίνην ἔρχεσθαι, διὰ τοῦτο καὶ Ἄβραμ ἐκαλεῖτο. σκόπει πῶς καὶ ἄπιστοι ὄντες οἱ γονεῖς οὐκ εἰδότες, ἀλλ' ὑπὸ τῆς εὐμηχάνου θεοῦ σοφίας ὁδηγούμενοι τὸ ὄνομα ἐπέθεσαν τῷ παιδὶ, καθάπερ καὶ ὁ Λάμεχ τῷ Νῶε. καὶ τοῦτο γὰρ τῆς τοῦ θεοῦ φιλανθρωπίας, τὸ καὶ διὰ ἀπίστων πολλάκις προμηνύειν τὰ μετὰ πολὺν ἐσόμενα χρόνον. ἀπήγγειλεν οὖν ἐλθών, φησί, τις τῷ περάτῃ τὰ γεγονότα, τοῦ ἀδελφιδοῦ τὴν αἰχμαλωσίαν, καὶ τῶν βασιλέων ἐκείνων τὴν πολλὴν δυναστείαν, καὶ τὴν ἐν Σοδόμοις πόρθησιν, καὶ τὴν μετ' αἰσχύνης φυγήν. αὐτὸς δὲ κατῴκει παρὰ τῇ δρυῒ τῇ Μαμβρῇ " Ὀμορῦ τοῦ ἀδελφοῦ Ἐσχὼλ καὶ Αὐνᾶν, οἳ ἦσαν συνωμόται τῷ Ἄβραμ. ἀλλ' ἴσως ἐνταῦθα ἄν τις ζητήσειε, τίνος ἕνεκεν μόνος τῶν ἐν Σοδόμοις πεφευγότων ὁ δίκαιος Λὼτ εἰς τὴν αἰχμαλωσίαν ἀπάγεται. οὐχ ἁπλῶς οὐδὲ τοῦτο, οὐδὲ εἰκῆ, ἀλλ' ἵνα μάθῃ δι' αὐτῶν τῶν πραγμάτων ὁ Λὼτ καὶ τοῦ πατριάρχου τὴν ἀρετὴν, καὶ δι' αὐτοῦ καὶ ἕτεροι διασωθῶσι, καὶ ἵνα παιδευθῇ μὴ τῶν πρωτείων ἐφίεσθαι, ἀλλὰ παραχωρεῖν τῶν μειζόνων. ἀκούσωμεν δὲ λοιπὸν τῶν ἑξῆς, ἵνα μάθωμεν καὶ τοῦ δικαίου τὴν ἀρετὴν, καὶ τοῦ θεοῦ τὴν ἄφατον συμμαχίαν. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας τοῖς λεγομένοις, καὶ συντείνατε ὑμῶν τὴν διάνοιαν. πολλὰ γάρ ἐστι κατὰ ταυτὸν ἐντεῦθεν κερδᾶναι, καὶ ἐκ τῶν τῷ Λὼτ συμβάντων ἐκεῖθεν παιδευθῆναι μηδέποτε διαπορεῖν, εἴποτε δίκαιοι μὲν πειρασμοῖς περιπέσοιεν, φαῦλοι δὲ καὶ πονηροὶ διαφύγοιεν, μήτε ἐκ παντὸς τρόπου τὰ πρωτεῖα ἐπιζητεῖν, μήτε τῆς μετὰ τῶν δικαίων συνουσίας ἕτερόν τι προτιμότερον ἡγεῖσθαι, ἀλλὰ κἂν δουλεύειν δέοι, συνεῖναι δὲ ἐναρέτοις ἀνδράσι, τοῦ ἐν ἐλευθερίᾳ εἶναι τοῦτο λυσιτελέστερον εἶναι νομίζειν. καὶ μετὰ τούτων δὲ καὶ τοῦ πατριάρχου μαθεῖν ἐντεῦθεν ἐστὶ τὴν πολλὴν ἀνεξικακίαν, τῆς φιλοστοργίας τὴν ὑπερβολὴν, τῆς ἀνδρείας τὸ μέγεθος, τῶν χρημάτων τὴν ὑπεροψίαν, τῆς περὶ αὐτὸν τοῦ θεοῦ βοηθείας τὴν ἄφατον δύναμιν.

* ἢ

γρ. Ὀμορὲ

14 Ἀκούσας δέ, φησιν, Ἄβραμ ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς τριακοσίους δέκα καὶ ὀκτώ, 15 Καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δὰν, καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς ἕως Χωβὰλ, ἥ ἐστιν " ἀριστερὰ Δαμασκοῦ. 16 Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχον-

γρ. ἐν ἀριστερᾷ

τα αὐτοῦ, καὶ τὸν λαὸν καὶ τὰς γυναῖκας.

Ἐννόει μοι ἐνταῦθα, ἀγαπητὲ, τῆς τοῦ δικαίου ἀνδρείας τὴν μεγαλοψυχίαν, ὅπως θαῤῥήσας τῇ τοῦ θεοῦ δυνάμει οὐ κατεπλάγη τῶν ἀνδρῶν τὴν ἰσχὺν, μαθὼν τὴν τροπὴν ἣν ἐποιήσαντο, πρότερον μὲν κατὰ τῶν ἐθνῶν ἁπάντων ὁρμήσαντες, καὶ τοὺς Ἀμαληκίτας καὶ τοὺς λοιποὺς ἅπαντας καταγωνισάμενοι, ἔπειτα δὲ πρὸς τοὺς ἐν Σοδόμοις συμβαλόντες καὶ εἰς φυγὴν αὐτοὺς τρέψαντες καὶ πᾶσαν αὐτῶν ἀφελόμενοι τὴν ὕπαρξιν. διὰ γὰρ τοῦτο προλαβοῦσα ἡ θεία γραφὴ πάντα ταῦτα ἡμῖν διηγήσατο, καὶ ὅσα διὰ τῆς αὐτῶν ἀνδρείας κατώρθωσαν, ἵνα μάθῃς ὡς οὐ σωματικῇ ἰσχύϊ ὁ πατριάρχης τούτους κατηγωνίσατο, ἀλλὰ τῇ πίστει τῇ εἰς τὸν θεὸν καὶ τῇ ἄνωθεν βοηθείᾳ τειχιζόμενος πάντα ταῦτα κατώρθωσεν, οὐχ ὅπλα κινήσας, καὶ τόξα καὶ βέλη καὶ δόρατα τείνας, καὶ ἀσπίδας προβαλλόμενος, ἀλλὰ μετὰ τῶν ″ ὁμογενῶν. καὶ τίνος ἕνεκεν, φησὶν, ἠρίθμησε τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς; ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς ἅπαντας ἔλαβεν, ἀλλὰ τοὺς οἰκογενεῖς τοὺς ″ συνανατραφέντας τῷ Λὼτ, ἵνα μετὰ πολλῆς εὐνοίας τὴν ἐκδίκησιν ποιήσωνται, ὡς ὑπὲρ οἰκείου δεσπότου λοιπὸν ἀγωνιζόμενοι. καὶ θέα μοι τῆς δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολὴν, μεθ᾽ ὅσης ταχύτητος τὰ τῆς νίκης γένηται. ἐπέπεσε γὰρ αὐτοῖς, φησὶ, τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς, καὶ ἐδίωξεν αὐτούς. ἡ γὰρ ἄνωθεν χεὶρ ἦν συνεφαπτομένη καὶ συστρατηγοῦσα τοῖς γινομένοις. διὸ οὐδὲ ὅπλων αὐτοῖς ἐδέησεν οὐδὲ μηχανημάτων, ἀλλὰ μόνον φανεὶς μετὰ τῶν οἰκετῶν τοὺς μὲν ἐπάταξε, τοὺς δὲ εἰς φυγὴν ὁρμῆσαι παρεσκεύασε, καὶ ἑκάτερον [ἐποίησε] μετὰ ἀδείας ἁπάσης οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος. τήν τε ἵππον τοῦ βασιλέως Σοδόμων ἀπέστρεψε, καὶ τὸν Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα, καὶ τὰς γυναῖκας. ὁρᾷς διὰ τί συνεχωρήθη τῶν ἄλλων πεφευγότων ὁ Λὼτ μόνος αἰχμάλωτος γενέσθαι, ἵνα καὶ τοῦ πατριάρχου κατάδηλος γένηται ἡ ἀρετὴ, καὶ [ἵνα καὶ] δι᾽ αὐτὸν καὶ ἕτεροι πολλοὶ τῆς σωτηρίας ἐπιτύχωσι. καὶ ἐπανῄει λοιπὸν μέγα καὶ λαμπρὸν τρόπαιον ἐπαγόμενος, μετὰ τοῦ Λὼτ καὶ τὴν ἵππον καὶ τὰς γυναῖκας καὶ τὰ ὑπάρχοντα ἐπιφερόμενος, καὶ πᾶσι λαμπρᾷ τῇ φωνῇ κηρύττων καὶ σάλπιγγος ″ μεγαλοφωνότερον βοῶν, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει οὐδὲ ἰσχύϊ σωμάτων τὴν τροπὴν εἰργάσατο, καὶ τὴν νίκην ἤρατο, ἀλλὰ τῆς ἄνωθεν χειρὸς πάντα ἐργαζομένης. εἶδες διὰ πάντων τὸν δίκαιον περιφανέστερον γινόμενον, καὶ καθ᾽ ἕκαστον καιρὸν πᾶσι δεικνύντα τὴν περὶ αὐτὸν τοῦ θεοῦ πρόνοιαν. ὅρα αὐτὸν λοιπὸν καὶ διδάσκαλον θεοσεβείας γενέσθαι σπουδάζοντα τοῖς ἐν Σοδόμοις.

γρ. οἰκογενῶν.

γρ. συναναστραφέντας

γρ. νίκην

17 Ἐξῆλθε γὰρ, φησὶν, ὁ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ μετὰ τὸ ἀναστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλαγόμορ καὶ τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ.

Σκόπει πόσον ἐστὶν ἡ ἀρετὴ, καὶ τὸ τῆς παρὰ τοῦ θεοῦ συμμαχίας ἀπολαύειν. ὁ βασιλεὺς τῷ ξένῳ, τῷ πρεσβύτῃ εἰς συνάντησιν ἔξεισι, καὶ πᾶσαν ἀπονέμει τιμήν. ἐμάνθανε γὰρ ὡς οὐδὲν αὐτῷ τῆς βασιλείας ὄφελος τῆς ἄνωθεν συμμαχίας ἠρημωμένῳ, καὶ ὡς οὐδὲν ἂν γένοιτο δυνατώτερον τοῦ ὑπὸ τῆς τοῦ θεοῦ χειρὸς βοηθουμένου.

18 Καὶ Μελχισεδὲκ, φησὶ, βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου.

Τί βούλεται ἡμῖν αὕτη ἡ παρατήρησις, βασιλεὺς Σαλὴμ, καὶ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου; βασιλεὺς μὲν ἦν, φησὶ, τῆς Σαλήμ. τοῦτον γὰρ καὶ ὁ μακάριος Παῦλος πρὸς τοὺς ἐξ Ἑβραίων πεπιστευκότας ἐπιστέλλων εἰς μέσον ″ παράγων, καὶ τὸ ὄνομα αὐτοῦ περιστρέφων καὶ πόλιν, ὁμοῦ ἑρμηνεύει τοῦ ὀνόματος τὴν σημασίαν, καὶ ἐτυμολογίᾳ τινὶ κέχρηται λέγων, Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης. καὶ γὰρ κατὰ τὴν Ἑβραϊκὴν γλῶτ- Ἑβ. ζ.

γρ. προάγων

τὴν τὸ μὲν Μελχὶ βασιλείαν σημαίνει, τὸ δὲ σεδὲκ δικαιοσύνην. εἶτα καὶ εἰς τὸ ὄνομα τῆς πόλεως ἐλθών φησι, βασιλεὺς εἰρήνης. τὸ γὰρ Σαλὴμ εἰρήνην ἐμφαίνει. ἱερεὺς δὲ ἦν ἴσως αὐτοχειροτόνητος (οὕτω γὰρ ἦσαν τότε οἱ ἱερεῖς) ἤτοι οὖν διὰ τὸ τῇ ἡλικίᾳ προβῆναι οἱ προσήκοντες αὐτῷ ἀπονενεμήκασι τὴν τιμήν, ἢ καὶ αὐτὸς ἱερατεύειν ἐπετήδευσε, καθάπερ ὁ Νῶε, καθάπερ ὁ Ἄβελ, καθάπερ ὁ Ἀβραάμ, ἡνίκα τὰς θυσίας προσῆγεν. ἄλλως δὲ καὶ τύπος ἔμελλεν εἶναι τοῦ Χριστοῦ διὰ τοῦτο, καὶ Παῦλος οὕτως αὐτὸν ἐκλαμβάνει λέγων· Ἑβρ. ζ. γ. Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἔχων ἡμερῶν, μήτε ζωῆς τέλος· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. καὶ πῶς, φησιν, οἷόν τε ἂν ἄνθρωπον ὄντα ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν ἡμερῶν ἔχειν, μήτε ζωῆς τέλος; ἤκουσας ὅτι τύπος ἦν. μὴ τοίνυν ξενίζου, μηδὲ πάντα ἀπαίτει ἐν τῷ τύπῳ. οὐδὲ γὰρ ἂν εἴη τύπος, εἰ μέλλοι πάντα ἔχειν τὰ τῇ ἀληθείᾳ συμβαίνοντα. τί οὖν ἐστι τὸ εἰρημένον; ὥσπερ οὗτος, φησι, διὰ τὸ μὴ μνημονευθῆναι τοὺς γεγεννηκότας αὐτόν, ἀπάτωρ λέγεται καὶ ἀμήτωρ, καὶ διὰ τὸ μὴ γενεαλογηθῆναι, ἀγενεαλόγητος· οὕτω καὶ ὁ Χριστός, διὰ τὸ μὴ ἐσχηκέναι μήτε ἐν οὐρανοῖς μητέρα, μήτε ἐπὶ τῆς γῆς πατέρα, ἀγενεαλόγητος λέγεται καί ἐστι. καὶ ὅρα διὰ τῆς εἰς τὸν πατριάρχην τιμῆς, ὅπως μυστήριόν τι ἡμῖν δι' αὐτῆς αἰνίττεται. ἐξήνεγκε γὰρ ἄρτους καὶ οἶνον. ὁρῶν τὸν τύπον νόει μοι τὴν ἀλήθειαν, καὶ θαύμαζε τῆς θείας γραφῆς τὴν δύναμιν, πῶς ἄνωθεν καὶ ἐκ προοιμίων τὰ μέλλοντα ἔσεσθαι προεμήνυε.

19 Καὶ εὐλόγησε, φησι, τὸν Ἀβραὰμ καὶ εἶπεν· εὐλογητὸς Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· 20 Καὶ εὐλογητὸς ὁ θεός, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι.

Οὐ μόνον αὐτὸν εὐλόγησεν, ἀλλὰ καὶ τὸν θεὸν ἐδόξασεν. εἰπὼν γάρ, εὐλογητὸς Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἀπὸ τῶν δημιουργημάτων τοῦ θεοῦ τὴν δύναμιν ἡμῖν ἀνέφηνεν. εἰ γὰρ αὐτός ἐστι θεός, ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν παραγαγών, οἱ ὑπὸ τῶν ἀνθρώπων θεραπευόμενοι οὐκ ἂν εἶεν [πάντων] θεοί. Ἱερ. ι. ια. Θεοὶ γάρ, φησιν, οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. εὐλογητὸς ὁ θεός, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. θέα μοι πῶς οὐ μόνον τὸν δίκαιον ἀνακηρύττει, ἀλλὰ καὶ τοῦ θεοῦ τὴν συμμαχίαν ἐπιγινώσκει. οὐδὲ γὰρ ἂν ἄνευ τῆς ἐκεῖθεν ῥοπῆς ἠδυνήθη τῶν τοσαύτην δυναστείαν περιβεβλημένων περιγενέσθαι. ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου· αὐτός ἐστιν ὁ τὸ πᾶν ἐργασάμενος, αὐτός ἐστιν ὁ τοὺς ἰσχυροὺς ἀσθενεῖς καταστήσας, αὐτός ἐστιν ὁ διὰ τῶν ἀόπλων τοὺς ὡπλισμένους ″ κατενεγκών, ἐκεῖθέν ἐστιν ἡ ῥοπὴ ἡ τοσαύτην σοι τὴν δύναμιν παρασχομένη. ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. ὁρᾷς πῶς δείκνυσιν αὐτοῦ τὴν ὁμόνοιαν καὶ τὴν φιλοστοργίαν τὴν περὶ τὸν Λώτ, καὶ πῶς ἐμφαίνει, ὅτι καὶ ὁ Ἀβραὰμ οἰκείους αὐτοὺς ἐχθροὺς ἡγεῖτο διὰ τὰ εἰς τὸν ἀδελφιδοῦν γεγενημένα.

Καὶ ἔδωκεν αὐτῷ, φησι, δεκάτην ἀπὸ πάντων.

Ἑβρ. ζ. δ. Τοῦτο καὶ Παῦλός φησι· Θεωρεῖτε δέ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. δηλονότι ἐκ τῆς δαψιλείας, ἧς ἐπήγετο, ἠμείψατο ″ τὸν Μελχισεδέκ, καὶ δεκάτην αὐτῷ ἀφώρισεν ἀπὸ πάντων ὧν ἐπεφέρετο, ἐντεῦθεν ἤδη διδάσκαλος ἅπασι γινόμενος πολλὴν ἐπιδείκνυσθαι εὐγνωμοσύνην, καὶ τὰς ἀπαρχὰς προσάγειν τῶν παρὰ τοῦ θεοῦ ἡμῖν παρασχεθέντων. εἶτα ἐκπλαγεὶς τοῦ πατριάρχου τὴν μεγαλοψυχίαν,

21 Ὁ βασιλεὺς Σοδόμων φησὶ πρὸς αὐτόν· δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ.

"Καλὴ τοῦ βασιλέως ἡ εὐγνωμοσύνη. ἀλλ᾽ ὅρα τοῦ δικαίου τὴν φιλοσοφίαν.

22 Εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν βασιλέα Σοδόμων· ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, 23 Εἰ ἀπὸ σπαρτίου ἕως "σφυρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς, ὅτι ἐγὼ πεπλούτικα τὸν Ἀβραάμ.

Πολλὴ τοῦ πατριάρχου ἡ περὶ τὰ χρήματα ὑπεροψία. καὶ τίνος ἕνεκεν μεθ᾽ ὅρκου τὴν ἀπαγόρευσιν ποιεῖται, καί φησιν, ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν; ἀμφότερα βούλεται παιδεῦσαι τὸν τῶν Σοδόμων βασιλέα, καὶ ὅτι κρείττων ἐστὶ τῶν παρ᾽ αὐτοῦ δεδομένων, καὶ πολλὴν ἐπιδείκνυται τὴν φιλοσοφίαν, καὶ θεοσεβείας αὐτῷ διδάσκαλος γενέσθαι σπουδάζει, μονονουχὶ διδάσκων αὐτὸν, ὅτι ἐκεῖνόν σοι παρέχω μάρτυρα, ὅτι οὐδὲν τῶν παρὰ σοῦ λήψομαι, τὸν ἁπάντων δημιουργὸν, ἵνα εἰδέναι ἔχοις τὸν ἐπὶ πάντων θεὸν, καὶ μὴ νομίσῃς εἶναι θεοὺς τὰ ὑπὸ χειρῶν ἀνθρώπων κατασκευαζόμενα. οὗτος γάρ ὁ οὐρανοῦ καὶ γῆς ποιητής· αὐτὸς καὶ τὸν πόλεμον τοῦτον ἐτροπώσατο, καὶ τῆς νίκης αἴτιος κατέστη. μὴ τοίνυν προσδοκήσῃς ἐμὲ ἀνέξεσθαί τι λαβεῖν τῶν παρὰ σοῦ διδομένων. οὐδὲ γὰρ ἐπὶ μισθῷ τὴν ἐκδικίαν ἐποιησάμην· ἀλλὰ πρότερον μὲν διὰ τὴν περὶ τὸν ἀδελφιδοῦν φιλοστοργίαν, ἔπειτα δὲ καὶ δι᾽ αὐτὴν τοῦ δικαίου τὴν φύσιν, ὥστε τοὺς ἀδίκως ἀπηγμένους ἐξαρπάσαι τῶν βαρβαρικῶν χειρῶν. Εἰ ἀπὸ σπαρτίου, φησὶν, ἕως "σφυρωτῆρος λήψομαι ἀπὸ πάντων τῶν σῶν, τουτέστιν, οὐδὲ τὸ τυχὸν οὐδὲ τὸ εὐτελὲς οὐδὲ τὸ εὐκαταφρόνητον νομιζόμενον. καὶ γὰρ "σφυρωτῆρα εἰώθασι λέγειν τὸ ἄκρον τοῦ ὑποδήματος τὸ εἰς ὀξὺ λῆγον. τοιούτοις γὰρ ἔθος ἔχουσι κεχρῆσθαι οἱ βάρβαροι. εἶτα καὶ τὴν αἰτίαν τῆς παραιτήσεώς φησιν, ἵνα μὴ εἴπῃς, ἐγὼ πεπλούτικα τὸν Ἀβραάμ. ἔχω τὸν χορηγὸν τῶν μυρίων ἀγαθῶν, πολλῆς ἀπολαύω τῆς ἄνωθεν ῥοπῆς, οὐ δέομαι τοῦ παρὰ σοῦ πλούτου, οὐ χρῄζω ἀνθρωπίνης εὐπορίας, ἀρκοῦμαι τῇ παρὰ τοῦ θεοῦ εἰς ἐμὲ φιλοτιμίᾳ, οἶδα αὐτοῦ τὸ δαψιλὲς τῶν δωρεῶν. τῶν μικρῶν καὶ εὐτελῶν παραχωρήσας τῷ Λὼτ, μεγάλων καὶ ἀπορρήτων ἠξιώθην ὑποσχέσεων· καὶ νῦν μείζονα πλοῦτον ἑαυτῷ πραγματευόμενος, καὶ πλείονα παρ᾽ αὐτοῦ εὔνοιαν ἐπισπώμενος, τὸν παρὰ σοῦ πλοῦτον οὐ προσίεμαι. διὰ τοῦτο δὲ ὡς οἶμαι καὶ τὸν ὅρκον προσέθηκε καὶ εἶπεν, ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ἵνα μὴ νομίσῃ ἁπλῶς αὐτὸν σχηματίζεσθαι, οἷα συμβαίνειν εἰκὸς, ἀλλ᾽ ἵνα μάθῃ ὅτι τοῦτο αὐτῷ δέδοκται, τὸ μηδὲ τὸ τυχὸν ἐκεῖθεν νοσφίσασθαι. καὶ ἐπλήρου τὸ παράγγελμα ἐκεῖνο τὸ παρὰ τοῦ Χριστοῦ τοῖς μαθηταῖς εἰρημένον· Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ γὰρ ἐγώ τι πλεῖον, φησιν, εἰσήνεγκα εἰς τὴν τοῦ πολέμου ὑπόθεσιν, ἢ μόνον τὴν γνώμην καὶ τὴν προθυμίαν; τὴν δὲ νίκην καὶ τὸ τρόπαιον καὶ τὰ ἄλλα πάντα αὐτὸς εἰργάσατο τῇ ἀοράτῳ δυνάμει. εἶτα ἵνα μὴ νομίσῃ ὁ βασιλεὺς, ὅτι δι᾽ ὑπεροψίαν καὶ καταφρόνησιν οὐ προσίεται τὰ παρ᾽ αὐτοῦ διδόμενα, δείκνυσι αὐτοῦ καὶ ἐν τούτῳ τὸ ἥμερον καὶ τῆς γνώμης τὸ φιλόσοφον, φησίν·

Ματθ. ι. η.

24 Οὐ λήψομαι πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ᾽ ἐμοῦ, Εσχὼλ, Αὐνὰν, Μαμβρῆ. οὗτοι λήψονται μερίδα.

Τούτοις, φησὶ, συγχώρησον λαβεῖν τινα μερίδα, ἐπειδὴ πολλῆς φιλίας τεκμήρια ἐπεδείξαντο. οὗτοι γὰρ συνωμόται τῷ Ἀβραὰμ, τουτέστιν εἰς φιλίαν συνημμένοι, καὶ τοῦτο δείκνυσι τὸ ἑλέσθαι αὐτοὺς κοινωνῆσαι αὐτῷ τῶν κινδύνων. διὰ τοῦτο καὶ αὐτὸς ἀμειβόμενος "αὐτοὺς παρασκευάζει μερίδα τινὰ λαβεῖν, καὶ ἐν τούτῳ πάλιν τὸν ἀποστολικὸν νόμον πληρῶν τὸν λέγοντα, Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οὐδὲ γάρ τι πλέον τῆς

Ματθ. ι. ι.

χρείας αὐτοῦ λαβεῖν ἀφίησι. πλὴν γάρ, φησιν, ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν συμπορευθέντων μετ' ἐμοῦ, Ἐσχὼλ, Αὐνὰν, Μαμβρῆ. οὗτοι λήψονται μερίδα. ἴδετε τῆς ἀρετῆς τοῦ πατριάρχου τὴν ἀκρίβειαν, πῶς καὶ τὴν φιλοσοφίαν ἐπεδείξατο τὴν περὶ τὴν ὑπεροψίαν τῶν χρημάτων, καὶ τὴν ταπεινοφροσύνην, καὶ πάντα ποιεῖ, ὥστε μὴ δόξαι ἀλαζονείᾳ τινὶ καὶ καταφρονήσει τοῦτο πεποιηκέναι, καὶ διὰ τοῦτο μέγα φρονεῖν ἐπὶ τῇ νίκῃ τῇ γεγενημένῃ.

ΗΘΙΚΟΝ Τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, παρακαλῶ, καὶ σπουδάζωμεν ἀλλήλοις ἑαυτοὺς φυλάττειν, καὶ μήτε προφάσει τῆς ἀρετῆς ἀπονοίας ἑαυτοῖς περιτιθέναι δόξαν, μηδὲ προφάσει ταπεινοφροσύνης τῆς ἀρετῆς καταμελεῖν· ἀλλὰ πανταχοῦ τὸ μέτρον διασώζειν, καὶ τοῖς κατορθώμασι τοῖς ὑφ' ὑμῶν γινομένοις καθάπερ θεμέλιόν τινα καὶ ὑποβάθραν τὴν ταπεινοφροσύνην ὑποτιθέναι, ἵνα μετ' ἀσφαλείας ἡμῖν οἰκοδομῆται τὰ τῆς ἀρετῆς. τοῦτο γὰρ ἀρετή, ὅταν ἔχῃ ταύτην συνεζευγμένην. ὁ γὰρ τοῦτον μετ' ἀσφαλείας τὸν θεμέλιον καταβαλὼν δυνήσεται πρὸς ὅσον βούλεται ὕψος ἐγεῖραι τὴν οἰκοδομήν. αὕτη μεγίστη ἀσφάλεια, αὕτη τεῖχος ἀρραγές, αὕτη πύργος ἀκαταμάχητος, αὕτη πᾶσαν συσφίγγει τὴν οἰκοδομήν, οὐκ ἀφιεῖσα οὔτε ὑπὸ ἀνέμων σφοδρότητος, οὔτε ὑπὸ τῆς τῶν ὄμβρων φορᾶς, οὔτε ὑπὸ τῆς τῶν πνευμάτων βίας αὐτὴν καταπεσεῖν, ἀλλ' ἀνωτέραν καθίστησι πάσης ἐπιβουλῆς, καὶ καθάπερ ἐξ ἀδάμαντός τινος κατεσκευασμένην, οὕτως αὐτὴν ἀχείρωτον ἐργάζεται, καὶ μεγάλας ἡμῖν ἀμοιβὰς παρὰ τοῦ φιλανθρώπου Θεοῦ δωρεᾶς ἐφέλκεται· δι' ἧς ὁ πατριάρχης τοσούτων τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ τὸ μέγεθος ἐδέξατο. εἴσεσθε γὰρ τοῦ θεοῦ ἐπιτρέποντος καὶ ἐκ τῆς ἀκολουθίας τῶν ἑξῆς μελλόντων ῥηθήσεσθαι, πῶς καὶ νῦν ὑπεριδὼν τῶν παρὰ τοῦ βασιλέως Σοδόμων αὐτῷ διδομένων, μεγάλων καὶ ἀφάτων ἠξιώθη τῶν τοῦ θεοῦ δωρεῶν. διὰ ταύτης οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τῶν ἄλλων δικαίων ἕκαστος εὐδοκίμησε. καὶ τοῦτο, ὅσοι φιλότεχνοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε, δυνήσεσθε καταμαθεῖν πανταχοῦ γινόμενον. ὁ γὰρ φιλάνθρωπος ἡμῶν δεσπότης, ὅταν ἴδῃ ὑπερορῶντας ἡμᾶς τῶν παρόντων, μετὰ δαψιλείας καὶ ταῦτα παρέχει, καὶ τῶν μελλόντων ἡμῖν ἀγαθῶν τὴν ἀπόλαυσιν ταμιεύεται. καὶ τοῦτο καὶ ἐπὶ χρημάτων, καὶ ἐπὶ τῆς δόξης τοῦ παρόντος βίου, καὶ ἐπὶ πάντων τῶν ἐπικήρων πραγμάτων ἐστὶν ἰδεῖν γινόμενον. καταφρονῶμεν τοίνυν τοῦ παρόντος πλούτου, ἵνα τὸν ἀληθῆ πλοῦτον εὑρεῖν δυνηθῶμεν· ὑπερίδωμεν τῆς κενῆς ταύτης δόξης, ἵνα τῆς ἀληθοῦς ἐκείνης καὶ βεβαίας ἀπολαύσωμεν· καταγελάσωμεν τῆς παρούσης εὐημερίας, ἵνα τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν· μηδὲν ἡγώμεθα τὰ παρόντα, ἵνα πρὸς τὸν τῶν μελλόντων πόθον διεγερθῆναι δυνηθῶμεν. οὐδὲ γὰρ οἷόν τε τὸν τοῖς παροῦσι προσηλωμένον, ἐκείνων τῶν ἀπορρήτων ἀγαθῶν τὸν πόθον καταδέξασθαί ποτε, καθάπερ λήμης τινὸς τοῖς ὀφθαλμοῖς τοῦ σώματος ἐπικειμένης, οὕτω τῆς τῶν παρόντων ἐπιθυμίας σκοτούσης τὸν λογισμόν, καὶ οὐκ ἀφιείσης συνιδεῖν τι τῶν δεόντων. οὐδ' αὖ πάλιν δυνατὸν τὸν περὶ ἐκεῖνα τὰ ἀκίνητα καὶ βέβαια ἀγαθὰ τὸν πόθον ἔχοντα, τούτων τῶν ἐπικήρων καὶ, πρὶν ἢ φανῆναι, ἀφιπταμένων καὶ μαραινομένων ἐπιθυμίαν τινὰ λαβεῖν. ὁ γὰρ τρωθεὶς τῷ πρὸς τὸν θεὸν πόθῳ, καὶ τὴν τῶν μελλόντων ἐπιθυμίαν κτησάμενος, ἑτέροις ὀφθαλμοῖς ὁρᾷ τῶν παρόντων τὴν κατάστασιν, καὶ οἶδεν ὅτι σχῆμα ἅπας ὁ παρὼν βίος, καὶ ἀπάτη, καὶ ὀνειράτων οὐδὲν διενήνοχε. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγε α. Κορ. ζ. λα. γράφων, Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου, δεικνὺς ὅτι ἕκαστον τῶν ἀνθρωπίνων, ἐν σχήματι μόνον ἐστί, καὶ καθάπερ σκιὰ καὶ ὄναρ παρατρέχει, οὐδὲν ἀληθές, οὐδὲν βέβαιον ἔχον. πῶς οὖν οὐκ ἂν εἴη παιδικῆς διανοίας περὶ τὰς σκιὰς ἐπτοῆσθαι, καὶ ἐπὶ ὀνείρασι μέγα φρονεῖν, καὶ τούτοις προστετηκέναι τοῖς μικρὸν ὕστερον παρερχομένοις; παράγει γάρ, φησι, τὸ σχῆμα τοῦ κόσμου τούτου. ὅταν ἀκούσῃς ὅτι παράγει, τί λοιπὸν πλέον ζητεῖς; ὅταν ἀκούσῃς ὅτι σχῆμα μόνον ἐστὶ πάντα τὰ ἀνθρώπινα, ἀληθείας ἔρημα τυγχάνοντα, τίνος ἕνεκεν ἑκὼν τὴν ἀπάτην ὑπομένεις, καὶ οὐκ ἐννοεῖς τὸ εὐμετάβλητον, τὸ ἀβέβαιον, ταῦτα μὲν [οὖν] παρατρέχεις, περὶ ἐκεῖνα δὲ τὴν ἐπιθυμίαν μετάγεις τὰ διαιωνίζοντα, τὰ ἀκίνητα, τὰ βέβαια, τὰ μεταβολὴν οὐκ ἐπιδεχόμενα; ἵνα γὰρ μάθῃς τὴν σύνεσιν τοῦ διδασκάλου τῆς οἰκουμένης, ὅρα αὐτὸν ἀλλαχοῦ πάλιν βουλόμενον δεῖξαι πάντων τῶν ἐν τῷ παρόντι βίῳ φαιδρῶν τὸ οὐδαμινόν, οἵᾳ λέξει ἐχρήσατο εἰπών· Τὰ γὰρ βλεπόμενα, κἂν τὴν τοῦ πλούτου περιουσίαν εἴπῃς, κἂν τὴν δόξαν, κἂν τὴν περιφάνειαν, καὶ τὴν ἀρχὴν καὶ τὴν δυναστείαν, κἂν αὐτὴν τὴν βασιλείαν, καὶ τὸ διάδημα τὸ περικείμενον, καὶ τὸν θρόνον τὸν ἀνωτάτω, πάντα ταῦτα τὰ βλεπόμενα [ὄντα] πρόσκαιρα, ἐν βραχεῖ χρόνῳ τὴν διαμονὴν ἐπιδεικνύμενα, οὐ μέχρι πολλοῦ τὴν ἀπόλαυσιν ἡμῖν ἐμπαρέχοντα. ἵνα οὖν ἡμᾶς [ὦ μακάριε Παῦλε] βούλει ἐπιζητεῖν, εἰ πάντα ταῦτα τὰ βλεπόμενα πρόσκαιρα τυγχάνει; ἐκεῖνά, φησι, τὰ μὴ βλεπόμενα, μὴ ταῦτα τὰ βλεπόμενα, ἀλλ᾽ ἐκεῖνα ἅπερ τούτοις τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς οὐχ ὁρᾶται. καὶ τίς ἄν, φησι, τοῦτο συμβουλεύσειεν, ὥστε τὰ ὁρώμενα παρατρέχειν, καὶ τὰ μὴ ὁρώμενα ἐπιζητεῖν; αὐτή, φησι, διδασκέτω ὑμᾶς τῶν πραγμάτων ἡ φύσις, ὅτι ταῦτα μέν, εἰ καὶ ὁρᾶται, ἀλλὰ ταχέως παραρρεῖ· ἐκεῖνα δέ, εἰ καὶ μὴ νῦν ὁρᾶν δυνάμεθα, ἀλλ᾽ αἰώνια τυγχάνει καὶ διηνεκῆ τὴν διαμονὴν ἔχει, πέρας οὐκ ἐπίσταται, τέλος οὐκ ἐπιδέχεται, μεταβολὴν οὐκ οἶδε, πάγια μένει καὶ ἀκίνητα. Τάχα λοιπὸν καὶ ἐπαχθὴς εἶναι δοκῶ καθ᾽ ἑκάστην ἡμέραν μάτην συμβουλεύων. ἀλλὰ τί πάθω; πολλὴ τῆς κακίας ἡ λύμη, τῆς ἀρετῆς πολλὴ ἡ σπάνις, πολλὴ τῶν χρημάτων ἡ τυραννίς. διὰ τοῦτο βούλομαι κἂν τῇ συνεχείᾳ τῆς παραινέσεως περιγενέσθαι τῆς νόσου, καὶ πρὸς τελείαν ὑγίειαν ἀγαγεῖν τοὺς ἐνταῦθα συνιόντας. διὰ γὰρ τοῦτο καὶ τῶν γραφῶν τὰς ἐξηγήσεις ποιεῖσθαι σπουδάζομεν, καὶ τῶν δικαίων τὰς ἀρετὰς εἰς τὸ μέσον παράγομεν, καὶ τὰ αὐτὰ ἐνηχεῖν οὐ παραιτούμεθα, ἵνα διὰ πάντων ἐναγαγεῖν ὑμᾶς δυνηθῶμεν εἰς τὸν τῶν δικαίων ζῆλον, καὶ ὀψέ γοῦν ποτε τῆς οἰκείας σωτηρίας πρόνοιαν ποιησώμεθα, καὶ τῷ καιρῷ τῷ δεδομένῳ ἡμῖν εἰς προθεσμίαν ζωῆς δεόντως χρησώμεθα, καὶ ὡς ἔτι καιρός, πρὸς μετάνοιαν καὶ διόρθωσιν τῶν ἐπταισμένων ἐπειχθῶμεν, καὶ τῇ τῶν χρημάτων περιουσίᾳ εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν ἀποχρησώμεθα, καὶ τὰ περιττὰ τοῖς δεομένοις ἀναλίσκωμεν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, συγχωρεῖς ὑπὸ τοῦ ἰοῦ καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον καταναλίσκεσθαι, δέον εἰς τὰς τῶν πενήτων γαστέρας αὐτὸ κενοῦν, ἵνα εἰς ἀσφαλὲς αὐτὸ ταμεῖον ἀποθέμενος ἐν καιρῷ τῷ δέοντι, ὅτε μάλιστα χρῄζεις τῆς ἀπ᾽ αὐτοῦ παραμυθίας, ἀπολαύσῃς τῆς ἐντεῦθεν βοηθείας, καὶ οἱ ἐνταῦθα τραφέντες ὑπὸ σοῦ κατ᾽ ἐκείνην τὴν ἡμέραν τὰς θύρας σοι τῆς παρρησίας ἀνοίξωσι, καὶ δέξωνταί σε εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς; ἀλλὰ μηδὲ τὰ ἱμάτια ἐῶμεν σητόβρωτα γενέσθαι καὶ εἰκῇ ἐν τοῖς κιβωτίοις κατασήπεσθαι, τοσούτων ὄντων τῶν δεομένων καὶ γυμνῶν περιιόντων, ἀλλὰ προτιμῶμεν τῶν σητῶν γυμνητεύοντα τὸν Χριστόν, καὶ ἐνδύωμεν τὸν δι᾽ ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν γυμνὸν περιιόντα, ἵνα ἡμεῖς καταξιωθέντες αὐτὸν ἐνδῦσαι, ἀκούσωμεν κατὰ τὴν ἡμέραν ἐκείνην, Γυμνὸς ἤμην, καὶ περιεβάλλετέ με. μὴ γὰρ φορτικά ἐστι τὰ ἐπιτάγματα, μὴ γὰρ ὑπέρογκα; τὰ ἀπολλύμενά, φησι, τὰ σηπόμενα, τὰ εἰκῇ καὶ μάτην δαπανώμενα, ταῦτα χρησίμως διανεμηθῆναι σπούδασον, ἵνα καὶ τὴν ἐκ τῆς ζημίας βλάβην διαφύγῃς, καὶ τὸ ἀπ᾽ αὐτῶν κέρδος μέγιστον ἑαυτῷ προξενήσῃς. πολλῆς γὰρ καὶ ὑπερβαλλούσης ἀπανθρω-

β. Κορ. δ. ιη.

Ματθ. κε. α.

πίας μετὰ τοσαύτην ἀπόλαυσιν κιβωτίοις καὶ τοίχοις ἐναποκλείειν τὰ περιττὰ, καὶ μὴ ἀνέχεσθαι τῶν ὁμογενῶν τὴν ἔνδειαν παραμυθεῖσθαι, ἀλλ' αἱρεῖσθαι μᾶλλον ὑπὸ ἰοῦ καὶ σητῶν διαφθείρεσθαι, καὶ ταῖς τῶν λῃστῶν χερσὶ προκεῖσθαι, καὶ τὰς ὑπὲρ τούτων εὐθύνας διδόναι, ἢ δεόντως οἰκονομήσαντα, τὴν ὑπὲρ τούτων ἀμοιβὴν κομίζεσθαι. μὴ δὴ, παρακαλῶ, οὕτως ἀμελῶς διατεθῶμεν περὶ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ τὰ περιττὰ κενώσαντες τοῖς δεομένοις, πολλὴν ἑαυτοῖς προαποθώμεθα τὴν παῤῥησίαν, ἵνα τῶν ἀποῤῥήτων ἀγαθῶν ἀπολαῦσαι καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λϛ. ΜΕΤΑ ΔΕ ΤΑ ΡΗΜΑΤΑ ΤΑΥΤΑ, ΕΓΕΝΗθη ῥῆμα κυρίου πρὸς Ἀβραὰμ λέγων ἐν ὁράματι τῆς νυκτὸς, μὴ φοβοῦ Ἀβραὰμ, ἐγὼ ὑπερασπίζω σου. ὁ μισθός σου πολὺς ἔσται σφόδρα.

ΘΗσαυρῷ τινι προσέοικεν ἡ τῶν δικαίων ἀρετὴ πολὺν καὶ ἄφατον τὸν πλοῦτον ἔχοντι. καθάπερ γὰρ ἐκεῖθεν κἂν βραχύ τι μέρος λαβεῖν τις δυνηθῇ, πολλὴν ἑαυτῷ τὴν εὐπορίαν κατασκευάζει· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀρετῆς τοῦ πατριάρχου εὑρήσει τις γινόμενον. ἰδοὺ γὰρ σχεδὸν ἐφ' ἑκάστης ἡμέρας ἐκ τῆς κατ' αὐτὸν ἱστορίας προθέντες ὑμῖν τὴν διδασκαλίαν, καὶ μετὰ πολλῆς τῆς δαψιλείας τὴν ἑστίασιν ὑμῖν παρεχόμενοι, οὐδέπω καὶ νῦν οὐδὲ βραχύ τι μέρος τῶν ″τούτῳ κατορθωμένων ἐξειπεῖν ἠδυνήθημεν. τοσαύτη ἐστὶν αὐτοῦ τῆς περιουσίας ἡ ἀρετή. καὶ καθάπερ ἀπὸ τῆς ″πηγῆς δαψιλῆ προχεούσης τὰ νάματα κἂν ἅπαντες ἀρύωνται, οὐ μόνον οὐκ ἐλαττοῦσι τὰ ἐκεῖθεν προϊόντα νάματα, ἀλλ' ὅσῳ ἂν πλείους ὦσιν οἱ ἐξαντλοῦντες, τοσούτῳ μᾶλλον ἀναβλύζει τῶν ὑδάτων ἡ φύσις· τὸ αὐτὸ δὴ καὶ ἐπὶ τοῦ θαυμασίου τούτου πατριάρχου γινόμενον ὁρῶμεν. πόσοι γὰρ ἐξ οὗ γέγονε μέχρι τοῦ παρόντος ἐκ τῆς πηγῆς τῶν τούτου κατορθωμάτων ἀρύονται, καὶ οὐ μόνον οὐκ ἐκένωσαν τὰ νάματα, ἀλλ' ἐπὶ πλεῖον ἀναβλύζει τῶν τούτου κατορθωμάτων ἡ περιουσία; ὥσπερ γὰρ σειρά τις χρυσῆ, οὕτως ἡρμοσμένην εὑρήσομεν τὴν κατ' αὐτὸν διήγησιν ἐπὶ τῆς θείας γραφῆς κειμένην· καὶ καθ' ἕκαστον καιρὸν πρότερον μὲν αὐτὸν ἐπιδεικνύμενον τὰ τῆς οἰκείας φιλοσοφίας, ἑπομένην δὲ παραχρῆμα καὶ τὴν τοῦ θεοῦ ἀμοιβήν. καὶ ἵνα μάθητε ὅτι οὕτως ἔχει, ἀναγκαῖον ἄνωθεν ὑμῖν μετὰ συντομίας τὰ κατ' αὐτὸν διηγήσασθαι, ἵνα εἰδῆτε καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν πίστιν, ἣν περὶ τὰς ὑποσχέσεις τοῦ Θεοῦ ἐπιδείκνυται, καὶ τοῦ φιλανθρώπου Θεοῦ μετὰ δαψιλείας τὰς ἀμοιβὰς αὐτῷ ″παρεχομένου. ἱκανὸς γὰρ ὁ δίκαιος οὗτος ἅπαντας ἡμᾶς παιδεῦσαι, πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας μετὰ προθυμίας ἀποδύεσθαι θαῤῥοῦντας ταῖς ἄνωθεν ἀμοιβαῖς, καὶ εἰδότας τοῦ ἡμετέρου δεσπότου τὴν φιλοτιμίαν, πάντα τὰ δυσχερῆ νομιζόμενα κατὰ τὸν παρόντα βίον μετ' εὐκολίας καταδέχεσθαι, τῇ ἐλπίδι τῶν ἀντιδόσεων τρεφομένους. προσέχετε δὴ, παρακαλῶ, ὅπως ἐκ προοιμίων (ἐπειδὴ τὰ παρ' ἑαυτοῦ οἴκοθεν εἰσήνεγκεν ἐκ τῆς ἐγκειμένης τῇ ἡμετέρᾳ φύσει γνώσεως οὐδένα ἔξωθεν ἐσχηκὼς διδάσκαλον, ἀλλὰ καὶ ὑπὸ ἀπίστοις γονεῦσι τρεφόμενος) ἐπειδὴ μηδὲν κατὰ τὴν πρώτην ἡλικίαν τῇ πλάνῃ τοῦ πατρὸς κατηκολούθησεν, ἀλλὰ τὴν πρὸς τὸν θεὸν θεραπείαν ἐπεδείκνυτο, καὶ τῆς ἄνωθεν ἐπισκοπῆς ταχέως ἐπέτυχεν ἔτι ἐπὶ τῆς Χαλδαίας ὤν. τοῦτο γὰρ ἡμῖν σαφέστερον ἐκτίθεται ὁ μακάριος Στέφανος οὕτω λέγων· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ,

χ. τοιούτων

χ. γῆς

ἴσ. παρεχομένῳ

Πρ. ζ. β.

ταμία, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. Εἶδες πῶς ἡ ὄψις αὐτὸν ἐκεῖθεν ἀνέστησεν. Εἰκὸς γὰρ ὅτι μετὰ τῆς περὶ τὸν θεὸν θεραπείας, καὶ τὴν περὶ τοὺς γεγεννηκότας αἰδῶ ἐπιδεικνύμενος, καὶ εἰς πολὺ φίλτρον ἐπισπασάμενος τὸν πατέρα, αὐτὸς [ἴσως] αὐτῷ αἴτιος γέγονε τῆς ἐκεῖθεν ἐξόδου· καὶ διὰ τὸν πόθον τοῦ παιδὸς ἠνέσχετο καταλιπεῖν τὴν οἰκείαν πατρίδα καὶ τὴν ἀλλοτρίαν οἰκῆσαι. ἀλλ' ὅρα μοι μετὰ ἀκριβείας, πῶς καὶ αὕτη ἡ παρὰ τοῦ θεοῦ γινομένη διὰ τὴν προλαβοῦσαν ἀρετὴν εἰς αὐτὸν ἐπίσκεψις, πάλιν αὐτοῦ τὴν ἀρετὴν περιφανεστέραν ἐργάζεται. Εἵλετο γὰρ τὴν χώραν τὴν πατρικὴν καταλιπεῖν, καὶ τὴν ἀλλοτρίαν οἰκῆσαι, ἵνα τὸ παρὰ τοῦ θεοῦ προσταχθὲν εἰς ἔργον ἀγάγῃ. καὶ ἕτοιμος ἦν, ὡς ἐμοὶ δοκεῖ, καὶ ἄνευ τῶν προσηκόντων καὶ καθ' ἑαυτὸν τὴν ἀποδημίαν στείλασθαι· ἀλλ' ὅπερ ἔφθην εἰπὼν, ἡ τοῦ ἀνδρὸς ἀρετὴ καὶ ἡ πολλὴ θεραπεία ἡ περὶ τοὺς τεκόντας συνοδοιπόρον γενέσθαι καὶ τὸν πατέρα παρεσκεύασεν. εἶτα ἐπειδὴ τὴν Χαῤῥὰν κατέλαβον, ἐκεῖ τὴν οἴκησιν ἐπήξαντο. καὶ τελευτήσαντος τοῦ Θάῤῥα (τοῦτο γὰρ ἦν ὄνομα τῷ πατρί) πάλιν προστάττεται παρὰ τοῦ θεοῦ ἐξελθεῖν ἐκεῖθεν. ἔξελθε γάρ, φησιν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. ἐπειδὴ γὰρ μετὰ πάσης τῆς οἰκίας εἰς τὴν Χαῤῥὰν μετέστησαν, διὰ τοῦτο ἐνταῦθα προστάττων αὐτῷ ἐξελθεῖν προσέθηκεν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, δηλῶν αὐτῷ, ὅτι αὐτὸν μόνον καθ' ἑαυτὸν βούλεται τὴν ἀποδημίαν ποιήσασθαι, καὶ μήτε τὸν ἀδελφὸν, τὸν Ναχὼρ λέγω, μήτε ἕτερόν τινα ἐπισύρεσθαι. ἐκ τῆς γῆς σου δὲ ἔλεγεν, ἐπειδὴ χρόνον οὐκ ὀλίγον ἐκεῖ οἰκήσαντες, ὡς ἐν ἰδίᾳ λοιπὸν πατρίδι τὴν οἴκησιν ἐποιοῦντο ἐν αὐτῇ. καίτοι τοῦ πένθους τῶν ἑαυτοῦ γονέων ἀκμάζοντος ἔτι, καὶ πολλῆς οὔσης τότε δυσχερείας τε καὶ ἀνοδίας κατὰ τὰς ἀποδημίας, ἀλλ' ὅμως μετὰ πάσης προθυμίας τὸ ἐπίταγμα τὸ παρὰ τοῦ δεσπότου ἤνυε, καὶ ταῦτα οὐκ εἰδὼς ὅπου στήσεται αὐτῷ τὰ τῆς πλάνης. δεῦρο γάρ, φησιν, οὐκ εἰς τήνδε τὴν γῆν, ἢ τήνδε, ἀλλ' εἰς ἣν ἄν σοι δείξω. καὶ ὅμως οὕτως ὄντος ἀορίστου τοῦ ἐπιτάγματος, οὐδὲν περιεργαζόμενος τὸ προσταχθὲν εἰς ἔργον ἦγε, καὶ τὸν ἀδελφιδοῦν δὲ ἐπήγετο, καὶ διὰ τούτου τὴν οἰκείαν ἀρετὴν δεικνύς. ἐπειδὴ γὰρ νέον αὐτὸν προσλαβόμενος κατὰ μικρὸν μιμητὴν κατεσκεύαζε τῆς οἰκείας ἀρετῆς, οὐκ ἠνέσχετο τοῦτον καταλιπεῖν, ἀλλὰ κοινωνὸν αὐτὸν ἐλάμβανε τῆς ἀποδημίας. Εἰ γὰρ ὁ πατήρ, φησιν, ἄπιστος ὢν διὰ τὸ περὶ ἐμὲ φίλτρον τὴν οἰκίαν τὴν πατρῴαν, ἔνθα ἐτέχθημεν καὶ ηὐξήθημεν, καταλιπεῖν κατεδέξατο, καὶ ἀκολουθῆσαί μοι, καὶ ἐπὶ τῆς ἀλλοτρίας τὸν βίον κατέλυσε, πολλῷ μᾶλλον ἐγὼ πρὸς τὸν τοῦ ἀδελφοῦ παῖδα, τὸν νέον, τὸν ἐκ προοιμίων δεικνύντα ὡς κατὰ μικρὸν ἐπιδώσει πρὸς ἀρετὴν, οὐκ ἂν ἀνασχοίμην ἐνταῦθα ἀφεῖναι. ἐπεὶ οὖν διὰ πάντων δεικνὺς αὐτοῦ τὸ φιλόθεον καὶ ταύτην ἐποιήσατο τὴν ἀποδημίαν, ἡνίκα κατέλαβε τὴν Παλαιστίνην, καὶ τῶν ὅρων ἐπέβη τῶν Χαναναίων, ὀφθεὶς αὐτῷ ὁ Θεὸς καὶ νευρῶσαι αὐτοῦ βουλόμενος τὴν προθυμίαν, καὶ χεῖρα ὀρέξαι, φησὶ πρὸς αὐτόν· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὅπερ ἐπεθύμει καὶ ἐπόθει (παίδων λέγω τὴν διαδοχὴν) τοῦτο αὐτῷ εὐθέως ὑπισχνεῖται, ἀμοιβὴν αὐτῷ τῶν τοσούτων πόνων διδούς. ἐπειδὴ γὰρ ἀπὸ τῆς φύσεως ἀπεστέρητο, καὶ ἡ ἡλικία λοιπὸν ἀπαγορεύειν ἔπειθε, τῇ ὑποσχέσει διανίστησι τὸν ἀθλητὴν, καὶ προθυμότερον ἀπεργάζεται καὶ νεάζειν αὐτὸν κατασκευάζει πρὸς τοὺς ἑξῆς ἀγῶνας. ὅρα τοίνυν μετὰ τὴν ὑπόσχεσιν ταύτην, ἑτέραν πάλιν τὴν ἄθλησιν τὸν δίκαιον τοῦτον δεχόμενον. λιμοῦ γὰρ καταλαβόντος καὶ πολλῆς οὔσης τῆς στενοχωρίας ἐν τῇ Χαναναίᾳ, ἐπὶ τὴν Αἴγυπτον ἔσπευδε· καὶ λιμοῦ παραμυθίαν εὑρεῖν βουλόμενος, μείζοσι περιέβαλεν ἑαυτὸν κινδύνοις. ἡ γὰρ εὐμορφία τῆς γυναικὸς, καὶ τὸ κάλλος τῆς Σάῤῥας μονονουχὶ τὸν θάνατον αὐτῷ πρὸ τῶν ὀφθαλμῶν ἐδείκνυ. διὸ καὶ πλησίον γενόμενος τῆς εἰς Αἴγυπτον εἰσόδου, φησὶ πρὸς αὐτήν, γινώσκω ὅτι εὐπρόσωπος εἶ· οἶδά σου τὸ κάλλος τῆς ὥρας, καὶ δέδοικα τῶν Αἰγυπτίων τὴν ἀκολασίαν. ἐὰν οὖν ἴδωσί σε, καὶ γνῶσιν ὅτι καθάπερ γυναῖκα περιάγω σέ, σὲ μὲν ἴσως περιποιήσονται ὥστε εἰς ἔργον ἀγαγεῖν τῆς μανίας αὐτῶν τὸν οἶστρον, ἐμὲ δὲ ἀποκτενοῦσιν, ἵνα μετὰ ἀδείας αὐτοῖς ἐξῇ τὴν παρανομίαν ἐργάσασθαι, οὐκ ὄντος τοῦ τὴν μοιχείαν κατάδηλον ποιεῖν δυναμένου· εἰπὲ οὖν, ὅτι ἀδελφός σου εἰμί. ὅρα ἀδαμαντίνην ψυχήν, ὅρα γνώμην σιδήρου στερροτέραν. οὐδὲ γὰρ παρεσάλευσεν αὐτοῦ τὸν λογισμὸν ἡ προσδοκωμένη συμφορά, οὐδὲ ἐνενόησεν οὐδὲ εἶπε πρὸς ἑαυτόν, διὰ τοῦτο τὴν οἰκείαν καταλιπὼν πατρίδα καὶ τοσαύτην ἐπιδειξάμενος ὑπακοὴν ἦλθον εἰς τὴν ἀλλοτρίαν, ἵνα τούτοις περιβληθῶ τοῖς κακοῖς; οὐ πρὸ μικροῦ ὑπέσχετό μοι, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην; ἰδοὺ καὶ μοιχείας καὶ θανάτου φόβος κατασείει ἡμῶν τὴν ψυχήν. ἀλλ' οὐδὲν τούτων οὐδὲ ἐν διανοίᾳ λαβεῖν κατεδέξατο· ἀλλ' ἑνὸς γίνεται μόνου, πῶς δυνηθῇ τὸ πονηρὸν τοῦτο δρᾶμα ὑποκρινάμενος [C] τῶν δύο τούτων κινδύνων ἐπικειμένων τὸν ἕνα γοῦν διαφυγεῖν. καὶ ἐπειδὴ καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε μετ' ἀνδρείας τὴν συμβουλὴν ποιησάμενος, καὶ ἡ γυνὴ πολλὴν τὴν περὶ τὸν ἄνδρα φιλοστοργίαν καὶ ὑπακοὴν ἐπιδεικνυμένη συνέπραξε, καὶ τοῖς δόξασιν ὑπηρετήσατο· καὶ ἐπειδὴ τὰ παρ' ἑαυτῶν ἀπήρτισαν, καὶ ὅσον κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἀπέγνωστο, καὶ εἰς ἔργον ἐκβεβήκει σχεδὸν τὰ τῆς παρανομίας, τότε πολλὴ περὶ αὐτὸν ἡ τοῦ θεοῦ δείκνυται πρόνοια. οὐ μόνον γὰρ τὴν γυναῖκα ὁ θεὸς τῆς ὕβρεως ἐξήρπασε διὰ τῆς ἀγανακτήσεως, ἣν κατὰ τοῦ βασιλέως καὶ παντὸς τοῦ οἴκου αὐτοῦ ἐποιήσατο, ἀλλὰ καὶ τὸν πατριάρχην μετὰ πολλῆς τῆς περιφανείας ἀπὸ τῆς Αἰγύπτου ἐπὶ τὴν Παλαιστίνην ἐπανελθεῖν πεποίηκε. σκόπει πῶς μεταξὺ τῶν πειρασμῶν τὴν παρ' αὐτοῦ ῥοπὴν εἰσφέρων ὁ φιλάνθρωπος δεσπότης, ἀκμάζοντα τὸν ἀθλητὴν πρὸς τοὺς ἑξῆς πάλιν ἀγῶνας ἀπεργάζεται, οὐκ ἀφιεὶς ἔρημον τῆς ἑαυτοῦ βοηθείας, ἀλλὰ διὰ πάντων φανερῶς οἰκονομῶν αὐτῷ δείκνυσθαι, ὅτι μικρὰ εἰσφέρων αὐτός, μεγάλων καὶ σφόδρα μεγάλων ἀξιοῦται καὶ νικώντων τὴν ἀνθρωπίνην φύσιν. εἶδες τοίνυν τοῦ δικαίου τὴν ὑπομονήν. ὅρα πάλιν μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον, τῆς ταπεινοφροσύνης αὐτοῦ τὸ μέγεθος καὶ τὴν ἐπιείκειαν τὴν πολλήν. ἐπειδὴ γὰρ ἐπανῆλθεν ἀπὸ τῆς Αἰγύπτου εὐπορίαν πολλὴν κτησάμενος (οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ ἀδελφιδοῦς ἠκολούθει) οὐκ ἐχώρει, φησίν, αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά. ὅθεν καὶ μάχη συνέβη γενέσθαι μεταξὺ τῶν ποιμένων τοῦ Λὼτ καὶ τοῦ Ἀβραάμ. ἀλλ' ὁ δίκαιος ἐντεῦθεν δεικνὺς αὐτοῦ τὸ ἥμερον τῆς ψυχῆς καὶ τῆς φιλοσοφίας τὴν ὑπερβολήν, καλέσας τὸν Λώτ φησι πρὸς αὐτόν· μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν, μονονουχὶ λέγων πρὸς αὐτόν· οὐδὲν εἰρήνης ἴσον· οὐδὲν φιλονεικίας βαρύτερον. ἵν' οὖν πᾶσαν μάχης ὑπόθεσιν ἐκποδὼν ποιησώμεθα, ἑλοῦ ἣν ἂν βουληθῇς χώραν· κατάλιπε δέ μοι τὴν λειπομένην, ὑπὲρ τοῦ πάσης ἡμᾶς ἔριδος καὶ φιλονεικίας ἐκτὸς γενέσθαι. εἶδες ἀνδρὸς ἀρετήν. παρεχώρησε τῷ νέῳ τῶν πρωτείων τὴν ἐκλογήν, καὶ ἔστερξε τὴν φαυλοτάτην χώραν. ἀλλ' ὅρα πάλιν, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, πόσης ἀπολαύει τῆς ἀμοιβῆς. εὐθέως γὰρ τοῦ χωρισμοῦ γενομένου, φησὶ πρὸς αὐτὸν ὁ θεὸς μετὰ τὸ διαχωρισθῆναι τὸν Λώτ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἴδε πᾶσαν τὴν γῆν ἐξ ἑκατέρου τοῦ μέρους, ὅτι πᾶσαν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. σκόπει πόσης ἀξιοῦται τῆς φιλοτιμίας διὰ τὴν ταπεινοφροσύνην, ἣν ἐπεδείξατο πρὸς τὸν ἀδελφιδοῦν· καὶ αὐτὸς μὲν μικρῶν παραχωρήσας, πολὺ μειζόνων

γρ. καταδεξάμενος ἑνὸς

γρ. ἐκφυγεῖν

ἴσ. ἑαυτῷ

γρ. ἐκείνου μέρο

ζόντων ἠξιώθη, ἐκεῖνος δὲ τοῖς πρωτείοις ἐπιπηδήσας μετ᾽ οὐ πολὺ εἰς κινδύνους ἐνέπεσε· καὶ οὐ μόνον οὐδὲν ἀπώνατο τῆς ἐκλογῆς, ἀλλὰ καὶ αἰχμάλωτος καὶ ἄοικος καὶ ἀνέστιος ἀθρόον ἐγένετο, καὶ δι᾽ αὐτῶν τῶν πραγμάτων ἐδιδάσκετο καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν ἀρετὴν, καὶ αὐτὸς ἐπαιδεύετο λοιπὸν μηδὲν τοιουτόν ποτε διαπράττεσθαι. ἐπειδὴ γὰρ τὴν ἐν Σοδόμοις οἴκησιν ἐποιήσατο ὁ Λὼτ, εὐθέως πόλεμος ἀνεῤῥιπίσθη χαλεπὸς, καὶ οἱ τῶν προσοικούντων ἐθνῶν βασιλεῖς ἐπιστάντες μετὰ πολλῆς τῆς δυνάμεως πᾶσαν τὴν χώραν ἄρδην ἀπώλεσαν, τούς τε γίγαντας ἀνελόντες καὶ τοὺς Ἀμαληκίτας ἀπωσάμενοι καὶ τὸν τῶν Σοδόμων βασιλέα καὶ Γομόῤῥας εἰς φυγὴν τρέψαι παρεσκεύασαν, καὶ πᾶσαν κατέσχον τὴν ὀρεινὴν, καὶ τὴν ἵππον τοῦ βασιλέως Σοδόμων ἀναλαβόντες καὶ τὸν Λὼτ αἰχμαλωτεύσαντες μετὰ πάσης τῆς ἀποσκευῆς, καὶ τὰς γυναῖκας ἁπάσας, οὕτως ἐπανήεσαν. ἀλλ᾽ ὅρα πάλιν θεοῦ κηδεμονίαν πολλήν. ὁμοῦ γὰρ καὶ τὸν Λὼτ τῆς αἰχμαλωσίας ἐλευθερῶσαι βουλόμενος, καὶ τὸν πατριάρχην περιφανέστερον ἐργάσασθαι, διεγείρει τὸν δίκαιον πρὸς ἀντίληψιν τοῦ ἀδελφιδοῦ. πυθόμενος γὰρ ὁ γενναῖος, μετὰ τῶν οἰκογενῶν ὁρμήσας ἐπὶ τοὺς βασιλεῖς ἐκείνους, αὐτούς τε μετὰ πολλῆς εὐκολίας ἐπάταξε, καὶ τὸν Λὼτ καὶ τὰς γυναῖκας καὶ τὴν ἵππον πᾶσαν τοῦ βασιλέως ἐπανήγαγε, λαμπρὰ * τρόπαια ἐργασάμενος, καὶ πᾶσι κατάδηλον ποιῶν τὴν περὶ αὐτὸν τοῦ θεοῦ εὔνοιαν, καὶ ὅτι οὐκ οἰκείᾳ δυνάμει τὴν τοσαύτην εἰργάσατο τροπὴν, ἀλλὰ τῇ ἄνωθεν βοηθείᾳ τειχιζόμενος. καὶ λοιπὸν ἔσπευδε δι᾽ αὐτῶν τῶν πραγμάτων διδάσκαλος θεοσεβείας γενέσθαι πᾶσι τοῖς ἐν Σοδόμοις διὰ τῆς πρὸς τὸν βασιλέα διαλέξεως. ἐπειδὴ γὰρ συναντήσας ὁ βασιλεὺς καὶ χάριτας ὑπὲρ τῶν γεγενημένων ὁμολογήσας τὴν μὲν ἵππον παραχωρήσειν πᾶσαν ἔλεγε, τοὺς δὲ ἀνθρώπους λήψεσθαι, ὅρα πάλιν τοῦ δικαίου τὴν μεγαλοψυχίαν, πῶς ὁμοῦ καὶ τὴν οἰκείαν φιλοσοφίαν ἐκδιδάσκει, ὡς κρείττων ἐστὶ τῶν παρ᾽ αὐτοῦ δεδομένων, καὶ εἰς τὴν τῆς θεοσεβείας γνῶσιν αὐτὸν ἐνάγει. οὐδὲ γὰρ ἁπλῶς εἶπεν αὐτῷ, ὅτι οὐκ ἀνέξομαι λαβεῖν τι παρὰ σοῦ, οὐδὲ ὅτι οὐδενὸς δέομαι τοιούτου μισθοῦ, ἀλλὰ τί; ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, μονονουχὶ διδάσκων αὐτὸν, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ ὑπὸ σοῦ θεραπευόμενοι, ἀλλὰ λίθοι καὶ ξύλα. εἷς γάρ ἐστιν ὁ ἐπὶ πάντων Θεὸς, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. ὅτι οὐ λήψομαι παρὰ σοῦ ἀπὸ σπαρτίου ἕως ″σφυρωτῆρος, ἵνα μὴ νομίσῃς ὅτι τούτων ἕνεκεν τὴν ἐκδίκησιν ἐποιησάμην· ἵνα μὴ λέγειν ἔχῃς, ὅτι αὐτός μοι τῆς περιουσίας αἴτιος γέγονας. ὁ γὰρ τὴν νίκην παρασχὼν καὶ τὸ τρόπαιον μετ᾽ ἐμοῦ στήσας, αὐτός ἐστιν ὁ καὶ τοῦ πλούτου τὴν χορηγίαν μοι παρεχόμενος. ὅρα πῶς, εἴγε ἐβούλετο, κερδαίνειν ἐδύνατο ὁ βασιλεὺς ἐκ τῶν τοῦ πατριάρχου λεγομένων. ἐδιδάσκετο γὰρ μὴ τῇ οἰκείᾳ δυνάμει λοιπὸν θαῤῥεῖν, ἀλλ᾽ εἰδέναι τὸν πάντων αἴτιον, καὶ καταγελᾶν τῶν χειροποιήτων θεῶν, καὶ παιδεύεσθαι τὸν ἐπὶ πάντων θεὸν, τὸν τῶν ὅλων δημιουργὸν, τὴν πηγὴν τῶν ἀγαθῶν. καὶ γὰρ ἐμάνθανε διὰ πάντων τοῦ πατριάρχου τὴν ἀρετήν. ἵνα γὰρ μὴ νομίσῃ δι᾽ ἀπόνοιαν αὐτὸν καὶ μεγαλοφροσύνην ὑπερεωρακέναι τῶν παρ᾽ αὐτοῦ διδομένων, διὰ τοῦτό φησι πρὸς αὐτόν· ἐγὼ μὲν οὐδὲν λήψομαι (οὐδὲ γὰρ δέομαι οὐδὲ χρήζω παρ᾽ ἑτέρου μοι αὔξεσθαι τὴν περιουσίαν) τοὺς δὲ τῶν κινδύνων μοι κοινωνήσαντας συγχωρήσω λαβεῖν μερίδας, ἵνα μικράν τινα τῶν πόνων παραμυθίαν ἔχειν δοκῶσι. καὶ πρὸς μὲν τὸν τῶν Σοδόμων βασιλέα ταῦτα ὁ δίκαιος ἀποκρίνεται. ἐπειδὴ δὲ καὶ Μελχισεδὲκ ὁ βασιλεὺς Σαλὴμ ἄρτους καὶ οἶνον αὐτῷ ἐξενέγκας προσέφερεν (ἦν γὰρ ἱερεὺς, φησί, τοῦ Θεοῦ τοῦ ὑψίστου) παρ᾽ ἐκείνου δέχεται τὰ προσενεχθέντα, καὶ τὴν εὐλογίαν τὴν παρ᾽ αὐτοῦ εἰς αὐτὸν γεγενημένην ἀμειβόμενος καὶ τὴν εἰς τὸν Θεὸν δοξολογίαν (εἶπε γὰρ, φησιν, εὐλογημένος Ἄβραμ τῷ θεῷ τῷ ὑψίστῳ, καὶ εὐλογητὸς ὁ θεὸς, ὃς παρέδωκεφ. ιε. κε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι) δεκάτην αὐτῷ δίδωσιν ἀπὸ πάντων ὧν ἐπεκομίζετο λαφύρων. Εἶδες τοῦ δικαίου τὸ φιλόθεον διὰ πάντων δεικνύμενον, καὶ πῶς παρὰ μὲν τοῦ βασιλέως Σοδόμων ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος λαβεῖν οὐκ ἠνέσχετο, τὰ δὲ τοῦ Μελχισεδὲκ προσενεχθέντα ἔλαβεν, ἀντιδίδωσι καὶ τὰ παρ᾽ ἑαυτοῦ, διδάσκων ἡμᾶς πολλὴν τὴν διάκρισιν ἐπιδείκνυσθαι, καὶ μὴ ἁπλῶς καὶ ἀδεῶς παρὰ πάντων δέχεσθαι. ἐπειδὴ γὰρ ἐκεῖνος περὶ μὲν τὴν δόσιν εὐγνώμων γέγονεν, ἐν δὲ τοῖς ἄλλοις ἄπιστος ἐτύγχανε καὶ πολλῆς ἐδεῖτο διδασκαλίας, διὰ τοῦτο ἐκείνων μὲν ὑπερεῖδε· πᾶσαν δὲ σπουδὴν ἐποιήσατο, καὶ δι᾽ ὧν λαβεῖν παρῃτήσατο, καὶ δι᾽ ὧν διελέχθη, πρὸς θεοσέβειαν αὐτὸν χειραγωγῆσαι· παρὰ δὲ τοῦ Μελχισεδὲκ εἰκότως λαμβάνει· διὰ γὰρ τοῦτο ἐπεσημήνατο ἡ θεία γραφὴ τοῦ ἀνδρὸς τὴν ἀρετὴν λέγουσα, ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου· ἄλλως δὲ καὶ τύπος ἦν τὰ γινόμενα τοῦ Χριστοῦ, καὶ αὐτὰ δὲ τὰ προσενεχθέντα μυστήριόν τι προεμήνυε. δι᾽ ὃ καὶ προσήκατο, καὶ λαβὼν κἀκεῖνος διὰ τῆς παρ᾽ ἑαυτοῦ ἀμοιβῆς τῆς οἰκείας ἀρετῆς ἐδίδασκε τὸ μέγεθος. δεκάτην γὰρ αὐτῷ δέδωκε τὸν φιλόθεον αὐτοῦ σκοπὸν κἀντεῦθεν ἐμφαίνων. τάχα εἰς πολὺ μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, ἀλλ᾽ οὐ μάτην οὐδὲ εἰκῇ. ἐγνώκειμεν μὲν γὰρ δηλῶσαι διὰ βραχέων τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς μέχρι τῶν σήμερον προκειμένων ἡμῖν τοῦ δικαίου τὴν ἀνδρείαν, τὴν μεγαλοψυχίαν, τὴν πίστιν τὴν ὑπερβάλλουσαν, τὴν φιλόσοφον γνώμην, τῆς ταπεινοφροσύνης τὸ μέγεθος, τῆς τῶν χρημάτων ὑπεροψίας τὴν ὑπερβολήν, τὴν παρὰ τοῦ θεοῦ εἰς αὐτὸν εὐνοίας τὴν διηνεκῆ πρόνοιαν καὶ ὅπως διὰ πάντων περιφανέστερον καὶ λαμπρότερον ἐδείκνυ τὸν δίκαιον ἡ καθ᾽ ἕκαστον καιρὸν εἰς αὐτὸν ἀντίληψις γινομένη. ἀλλ᾽ εἰ βούλεσθε καὶ μὴ ἀπεκάμετε, ἁψώμεθα καὶ τῶν προσφάτως ἀνεγνωσμένων, καὶ ὀλίγα προσθέντες καταπαύσωμεν τὸν λόγον, ἵνα μάθητε πόσης πάλιν ἀξιοῦται ἀμοιβῆς διὰ τὸ ὑπεριδεῖν τῶν παρὰ τοῦ βασιλέως Σοδόμων αὐτῷ δεδομένων. τί γάρ φησι; μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἄβραμ. τίνος ἕνεκεν οὕτως ἤρξατο, μετὰ δὲ τὰ ῥήματα ταῦτα; ποῖα ῥήματα, εἰπέ μοι; ἢ δηλονότι ἅπερ πρὸς τὸν βασιλέα τῶν Σοδόμων ἐποιήσατο. μετὰ τὴν ὑπεροψίαν, φησίν, ἐκείνην, μετὰ τὸ ἀποσείσασθαι τὰ παρ᾽ αὐτοῦ διδόμενα, μετὰ τὴν διδασκαλίαν, ἣν διὰ τῆς τῶν δεδομένων αὐτῷ παραιτήσεως ἐποιήσατο, πρὸς θεοσέβειαν αὐτὸν χειραγωγῶν καὶ ἐπίγνωσιν τοῦ τῶν ὅλων δημιουργοῦ, μετὰ δὲ τὰ ῥήματα ταῦτα, μετὰ τὸ τὴν δεκάτην τῷ Μελχισεδὲκ παρασχεῖν, ὅτε, φησίν, ἅπαντα τὰ παρ᾽ ἑαυτοῦ ἐπλήρωσε, τότε

κεφ. ιε. 1 Μετὰ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἄβραμ λέγων ἐν ὁράματι τῆς νυκτός· μὴ φοβοῦ Ἄβραμ, ἐγὼ ὑπερασπίζω σου· ὁ μισθός σου πολὺς ἔσται σφόδρα.

Ὅρα φιλανθρωπίαν δεσπότου, πῶς εὐθέως παρακολουθεῖ ταῖς εὐεργεσίαις ἀμειβόμενος, καὶ τὸν ἑαυτοῦ ἀθλητὴν ἀλείφων καὶ νεαρὸν ἐργαζόμενος. ἐγενήθη ῥῆμα κυρίου ἐν ὁράματι τῆς νυκτός. διὰ τί ἐν νυκτί; ἵνα μεθ᾽ ἡσυχίας δέξηται τὰ λεγόμενα. καί φησι πρὸς αὐτόν, μὴ φοβοῦ Ἄβραμ. σκόπει κηδεμονίας ὑπερβολήν. τίνος ἕνεκεν ἔλεγε, μὴ φοβοῦ; ἐπειδὴ τοσούτου πλούτου κατεφρόνησεν ἔλαττον φροντίσας τῶν παρὰ τοῦ βασιλέως διδομένων, φησὶ πρὸς αὐτὸν ὁ θεός, μὴ φοβηθῇς ὅτι ὑπερεῖδες τοσούτων δωρεῶν, μηδὲ ἀγωνιάσῃς ὡς ἐλαττουμένης σοι τῆς περιουσίας. μὴ φοβοῦ. εἶτα ἵνα διεγείρῃ μᾶλλον αὐτοῦ τὴν ψυχήν, προστίθησι τῷ ῥήματι καὶ τὴν προσηγορίαν, καί φησι· μὴ φοβοῦ Ἄβραμ. οὐ μικρὸν γὰρ καὶ τοῦτο τυγχάνει πρὸς τὸ διαναστῆσαι, τὸ τὴν προσηγορίαν εἰπεῖν τοῦ καλουμένου. εἶτά φησιν, ἐγὼ ὑπερασπιῶ σου. πολλὴν ἔχει καὶ αὕτη ἡ λέξις τὴν ἔμφασιν. ἐγὼ ὁ ἀπὸ τῶν Χαλδαίων σε ἀναστήσας, ἐγὼ ὁ ἐνταῦθά σε ἀγαγών, ἐγὼ ὁ τῶν κινδύνων τῶν ἐν Αἰγύπτῳ ἐλευθερώσας, ἐγὼ ὁ καὶ ἅπαξ καὶ δεύτερον ὑποσχόμενός σοι καὶ τῷ σπέρματί σου δώσειν τὴν γῆν ταύτην, ἐγώ σου ὑπερασπίζω, ἐγὼ ὁ καθ' ἑκάστην ἡμέραν περιφανεστέραν πᾶσιν ἀποδεικνύς σε, ἐγὼ ὑπερασπίζω σου, τοῦτ' ἔστιν ἐγὼ ὑπεραγωνίζομαι, ἐγὼ ὑπέρμαχος γίνομαι, ἐγὼ φροντίζω, ἐγὼ πάντα τὰ δυσχερῆ εὔκολά σοι καθίστημι. ἐγὼ ὑπερασπίζω σου. ὁ μισθός σου πολὺς ἔσται σφόδρα. οὐκ ἠβουλήθης μισθὸν λαβεῖν ὑπὲρ τῶν καμάτων ὧν ὑπέμεινας τοσούτοις κινδύνοις ἑαυτὸν περιβαλών, ἀλλ' ὑπερεῖδες καὶ τοῦ βασιλέως καὶ τῶν παρ' αὐτοῦ σοι δεδομένων. ἐγώ σοι παρέξω τὸν μισθόν, οὐ τοσοῦτον ὅσον λαμβάνειν ἔμελλες, ἀλλὰ πολὺν καὶ σφόδρα πολύν. ὁ μισθός σου γάρ, φησι, πολὺς ἔσται σφόδρα. Εἶδες φιλοτιμίαν δεσπότου, εἶδες ῥημάτων ὄγκον, εἶδες πῶς διανέστησε τὸν τῆς εὐσεβείας ἀθλητήν, εἶδες πῶς αὐτοῦ τὴν ψυχὴν ἐνεύρωσεν. ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος ᾔδει ὅτι ἔχρηζεν ὁ δίκαιος τῆς ἀπὸ τῶν ῥημάτων παρακλήσεως. ὅρα γὰρ τί φησιν, ἐπειδὴ παῤῥησίαν ἔλαβε διὰ τῶν ῥημάτων.

2 Εἶπε δὲ Ἄβραμ, δέσποτα, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος.

Ἐπειδὴ μισθὸν αὐτῷ ἐπηγγείλατο, καὶ πολὺν μισθὸν καὶ σφόδρα πολύν, ἐμφαίνων ἑαυτοῦ τῆς ψυχῆς τὴν ὀδύνην, καὶ τὴν ἐν διηνεκεῖ τῷ χρόνῳ ἐγγινομένην αὐτῷ ἀθυμίαν τῆς ἀπαιδίας ἕνεκεν, φησι, δέσποτα, τί τοιοῦτόν μοι δώσεις; ἰδοὺ γὰρ λοιπὸν εἰς γῆρας ἔσχατον ἐλαύνων ἄτεκνος ἀπολύομαι. ὅρα πῶς ἐκ προοιμίων ὁ δίκαιος ἐφιλοσόφει, ἀπόλυσιν καλῶν τὴν ἐντεῦθεν ἔξοδον. οἱ γὰρ μετὰ ἀκριβείας τὴν ἀρετὴν μετιόντες, ἐπειδὰν τῆς ἐντεῦθεν ζωῆς μεταστῶσιν, ἀληθῶς ὥσπερ ἀπολύονται τῶν ἀγώνων, καὶ τῶν δεσμῶν ἀφίενται. καὶ γὰρ μετάστασίς τίς ἐστι τοῖς ἐναρέτως βιοῦσιν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω, ἀπὸ τῆς προσκαίρου ζωῆς ἐπὶ τὴν διηνεκῆ καὶ ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν. ἐγὼ δέ, φησιν, ἀπολύομαι ἄτεκνος. καὶ ἵνα τὸν εὔσπλαγχνον δεσπότην ἐπισπάσηται, οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ τί φησιν;

Ὁ δὲ υἱὸς τῆς οἰκογενοῦς μου, 3 Ἐπειδὴ οὐκ ἔδωκάς μοι σπέρμα, οὗτός με κληρονομήσει.

Πολλὴν ἐπίτασιν ὀδύνης τῆς ἐν τῇ ψυχῇ ἐμφαίνει ταυτὶ τὰ ῥήματα. μονονουχὶ γάρ φησι πρὸς τὸν θεόν, οὐδὲ τῶν αὐτῶν ἠξιώθην, ὧν ὁ οἰκογενής, ἀλλ' ἐγὼ μὲν ἄγονος καὶ ἄτεκνος ἀπελεύσομαι, οὗτος δὲ ὁ οἰκογενής μου κληρονομήσει τὰ παρὰ σοῦ μοι δωρηθέντα, καὶ ταῦτα ἅπαξ καὶ δεύτερον ὑπόσχεσίν μου δεξαμένου παρὰ σοῦ, ὅτι τῷ σπέρματί σου δώσεις τὴν γῆν ταύτην. σκόπει μοι καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἀρετήν· ὅτι καὶ τοὺς λογισμοὺς τούτους στρέφων ἐν τῇ διανοίᾳ, οὐδέποτε ἐδυσχέρανεν, οὐδέποτε βαρύ τι ἐφθέγξατο· ἀλλὰ καὶ νῦν προτραπεὶς ἐκ τῶν πρὸς αὐτὸν ῥημάτων, παῤῥησιάζεται πρὸς τὸν δεσπότην καὶ τῶν ἔνδοθεν λογισμῶν τὴν ταραχὴν κατάδηλον ποιεῖ, καὶ δείκνυσι τῆς ψυχῆς αὐτοῦ τὸ ἕλκος· διὸ καὶ ταχεῖαν τὴν ἰατρείαν ἐδέξατο.

ιφθονον,

4 Καὶ εὐθέως, φησί, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτόν.

Ὅρα τῆς γραφῆς τὴν παρατήρησιν. εὐθέως φησίν. οὐ συνεχώρησεν οὐδὲ μικρὸν δυσχερᾶναι τὸν δίκαιον, ἀλλὰ ταχεῖαν εἰσάγει τὴν παραμυθίαν, καὶ τῆς λύπης τὸ μέγεθος διασκεδάζει διὰ τῶν πρὸς αὐτὸν ῥημάτων.

Καὶ εὐθύς, φησι, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτὸν λέγουσα, οὐ κληρονομήσει σε οὗτος; ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε.

Τοῦτό, φησι, δέδοικας, τοῦτό σου τὸν λογισμὸν ταράττει, τοῦτό σου τὴν ἀθυμίαν ἐπιτείνει. μάνθανε τοίνυν ὅτι οὐ κληρονομήσει σε οὗτος· ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. μὴ πρὸς τὴν φύσιν τοίνυν ἴδῃς τὴν ἀνθρωπίνην, μηδὲ πρὸς τὸ γῆρας ἐννόει τὸ σὸν, μήτε τῆς Σάρρας τὴν στείρωσιν· ἀλλὰ τῇ δυνάμει ἐμοῦ τοῦ ἐπαγγειλαμένου πεποιθὼς τῆς μὲν ἀθυμίας ἐκτὸς γίνου, δέχου δὲ ἰσχυρὰν τὴν παράκλησιν, καὶ πεῖσον σαυτὸν, ὡς ἕξεις κληρονόμον τὸν ἐκ σοῦ μέλλοντα τίκτεσθαι. Εἶτα ἐπειδὴ ὑπὲρ φύσιν ἦν ἡ ἐπαγγελία, καὶ ἠνίκα λογισμὸν ἀνθρώπινον (πολλὴν γὰρ αὐτοῖς ἐνεποίει τὴν ζάλην τὰ τῆς φύσεως κωλύματα, τὸ γῆρας τὸ αὐτοῦ, τῆς Σάρρας ἡ στείρωσις, τῆς μήτρας ἡ νέκρωσις) ἐπιτείνει τῆς ἐπαγγελίας τὸ μέγεθος, ἵνα πρὸς τὴν τοῦ ἐπαγγειλαμένου φιλοτιμίαν ἀφορῶν θαῤῥεῖν ὁ δίκαιος ἔχῃ.

5 Ἐξήγαγε δὲ αὐτὸν ἔξω, φησὶ, καὶ εἶπεν αὐτῷ· ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν, οὕτως ἔσται τὸ σπέρμα σου. 6 Καὶ ἐπίστευσεν Ἄβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Τίνος ἕνεκα ἐπεσημειώσατο, ὅτι ἐξήγαγεν αὐτὸν ἔξω; ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν, ὅτι ἐν ὁράματι τῆς νυκτὸς ὀφθεὶς αὐτῷ τὰ πρὸς αὐτὸν ἐποιήσατο ῥήματα, βούλεται δὲ νῦν αὐτῷ δεῖξαι τῶν ἀστέρων τῶν ἐν τῷ οὐρανῷ τὸ ἀναρίθμητον, φησὶν, ἐξήγαγεν αὐτὸν ἔξω καὶ εἶπεν· ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἴδε τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν· οὕτως ἔσται τὸ σπέρμα σου. μέγα τὸ ἐπάγγελμα, πολὺ τὸ μέγεθος τῆς ὑποσχέσεως. ἀλλ᾽ ἐὰν τὴν δύναμιν τοῦ ὑπισχνουμένου ἐννοήσωμεν, οὐδὲν ἡμῖν φανεῖται μέγα. ὁ γὰρ ἀπὸ γῆς σῶμα διαπλάσας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, καὶ δημιουργήσας ἅπαντα τὰ ὁρώμενα, οὗτος καὶ τὰ ὑπὲρ φύσιν χαρίσασθαι δυνήσεται. εἶδες δεσπότου φιλοτιμίαν. ἐπειδὴ εἶπεν, ἀπολύομαι ἄτεκνος, καὶ ὡσανεὶ περὶ αὐτὰς τοῦ θανάτου τὰς θύρας τυγχάνων, καὶ οὐκ ἔτι λοιπὸν ἐνεργῆσαι δυνάμενος πρὸς παιδοποιΐαν, οὕτω τὰ ῥήματα ἐκεῖνα προήκατο λέγων, ὅτι ὁ υἱὸς τῆς οἰκογενοῦς μου κληρονομήσει με· διὰ τοῦτο ἀναστῆσαι αὐτοῦ βουλόμενος τὸ φρόνημα καὶ ἀκμάζοντα τὸν λογισμὸν ἐργάσασθαι, καὶ τοῦ δέους αὐτὸν ἀπαλλάττει τοῦ ἐπικειμένου καὶ τῇ ὑποσχέσει ἀνορθοῖ αὐτοῦ τὴν διάνοιαν, καὶ τῷ μεγέθει τῆς δωρεᾶς καὶ τῷ ὑποδεῖξαι τῶν ἀστέρων τὸ πλῆθος, καὶ ἐξ ἴσης τούτων ἐπαγγείλασθαι γενήσεσθαι τοὺς τικτομένους, εἰς χρηστὰς ἤγαγεν * ἐλπίδας. ὁρῶν γὰρ τοῦ δεσπότου τὴν ἐπαγγελίαν, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀποσεισάμενος, καὶ οὔτε πρὸς ἑαυτὸν ἰδὼν, οὔτε πρὸς τὴν Σάρραν πλείονα κωλύματα ἔχουσαν, ἀλλὰ τὰ ἀνθρώπινα πάντα ἐξ ἑαυτοῦ ἀποῤῥίψαμενος, καὶ εἰδὼς ὅτι δυνατὸς ὁ θεὸς καὶ τὰ ὑπὲρ φύσιν δωρήσασθαι, ἐθάῤῥησε τοῖς εἰρημένοις καὶ οὐδεμίαν ἀμφιβολίαν ἐδέξατο, οὐδὲ ἐδίστασε πρὸς τὰ ῥηθέντα. τοῦτο γὰρ ἀληθῶς πίστεως, ὅταν, μὴ κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν γινομένης τῆς ἐπαγγελίας, ἡμεῖς θαῤῥῶμεν τῇ τοῦ ὑπισχνουμένου δυνάμει. πίστις γάρ ἐστι, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν, Ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. καὶ πάλιν, Ὃ γὰρ βλέπει τὶς, τί καὶ ἐλπίζει; ἐκεῖνο τοίνυν ἐστὶ πίστις, ὅταν ἐκείνοις πιστεύωμεν τοῖς μὴ βλεπομένοις, πρὸς τὴν ἀξιοπιστίαν τοῦ ἐπαγγειλαμένου τὴν διάνοιαν τείναντες. ὃ δὲ καὶ ὁ δίκαιος οὗτος πεποίηκε, πολλὴν καὶ γνησίαν πίστιν ἐπιδειξάμενος περὶ τὰ ἐπαγγελθέντα. δι᾽ ὃ καὶ ἀνακηρύττεται ὑπὸ τῆς θείας γραφῆς. ἐπήγαγε γὰρ εὐθέως, καὶ ἐπίστευσεν Ἄβραμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. εἶδες πῶς καὶ πρὸ τῆς ἐκβάσεως τῶν ἐπαγγελθέντων, ἐπ᾽ αὐτῷ τῷ πιστεῦσαι ἀρκοῦσαν τὴν ἀμοιβὴν ἐδέξατο. εἰς γὰρ δικαιοσύνην αὐτῷ ἐλογίσθη τὸ πιστεῦσαι τῇ παρὰ τοῦ θεοῦ ἐπαγγελίᾳ, καὶ μὴ λογισμοῖς ἀνθρωπίνοις περιεργάσασθαι τὰ παρὰ τοῦ θεοῦ αὐτῷ εἰρημένα.

γρ. ἀριθμῆσαι

* αὐτὸν

γρ. ὑπερβὰς καὶ

Ἑβ. ια. α.

Παιδευώμεθα,

ΗΘΙΚΟΝ

Παιδευώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς παρὰ τοῦ πατριάρχου πιστεύειν τοῖς παρὰ τοῦ θεοῦ εἰρημένοις καὶ ταῖς ὑποσχέσεσιν αὐτοῦ θαῤῥεῖν, καὶ μὴ τοῖς οἰκείοις λογισμοῖς κατακολουθεῖν, καὶ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι. τοῦτο γὰρ ἡμᾶς καὶ δικαίους ἀποφῆναι δυνήσεται, καὶ ταχέως παρασκευάσει τῶν παρ' αὐτοῦ ἐπηγγελμένων ἐπιτυχεῖν. ἀλλὰ τῷ μὲν Ἀβραὰμ ἐπηγγείλατο ἐκ τοῦ σπέρματος αὐτοῦ ὁλόκληρον πλῆθος γενήσεσθαι, καὶ ὑπὲρ φύσιν καὶ ἀκολουθίαν ἀνθρωπίνην τὰ τῆς ἐπαγγελίας ἦν (διὸ καὶ ἡ πίστις ἡ περὶ αὐτὸν τὴν δικαιοσύνην αὐτῷ ἐκόμισεν) ἡμῖν δὲ, ἐὰν νήφωμεν, πολλῷ μείζονα ὑπέσχετο καὶ πολλῷ τῷ μέτρῳ τοὺς ἀνθρωπίνους λογισμοὺς ὑπερακοντίσαι δυνάμενα· μόνον ἐὰν πιστεύσωμεν τῇ τοῦ ὑποσχομένου δυνάμει, ἵνα καὶ τὴν ἐκ πίστεως δικαιοσύνην κομισώμεθα, καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν. τὰ γὰρ ἡμῖν μάλιστα ἐπαγγελθέντα λογισμὸν ἀνθρώπινον νικᾷ, καὶ πᾶσαν διάνοιαν ὑπερβαίνει. τοσοῦτον τῶν ὑποσχέσεών ἐστι τὸ μέγεθος. οὐδὲ γὰρ τὰ ἐν τῷ παρόντι μόνον ὑπέσχετο, καὶ τῆς ἐνταῦθα ζωῆς τὴν σύστασιν, καὶ τὴν ἀπόλαυσιν τῶν ὁρωμένων, ἀλλὰ καὶ μετὰ τὴν ἐντεῦθεν ἔξοδον καὶ τὴν τῶν σωμάτων φθορὰν, ἐπειδὰν εἰς κόνιν καὶ τέφραν διαλυθῇ ἡμῶν τὰ σώματα, τότε ἀναστήσειν αὐτὰ ἐπηγγείλατο, καὶ ἐν μείζονι δόξῃ. Δεῖ γὰρ, φησὶν ὁ μακάριος Παῦλος, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. καὶ μετὰ τὴν τῶν σωμάτων ἀνάστασιν τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν δωρεῖσθαι ὑπέσχετο, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγὴν, καὶ τὴν ἐν διηνεκεῖ αἰῶνι ἀπόλαυσιν, καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ, Ἃ ὀφθαλμὸς οὐκ εἶδε, * οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Εἶδες πόση [ἐστὶ] τῶν ὑποσχέσεων ἡ ὑπερβολή· εἶδες δωρεῶν μέγεθος. Ταῦτα ἐννοοῦντες, καὶ εἰδότες τὸ ἀψευδὲς τοῦ ἐπαγγειλαμένου μετὰ προθυμίας πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀποδυώμεθα, ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαῦσαι δυνηθῶμεν· καὶ μὴ προτιμῶμεν τῆς ἡμετέρας σωτηρίας καὶ τῶν τοσούτων ἀγαθῶν τῆς ἀπολαύσεως τὰ πρόσκαιρα, μηδὲ τοὺς πόνους τῆς ἀρετῆς λογιζώμεθα, ἀλλὰ τὰς ἀντιδόσεις ἐννοῶμεν· μηδὲ τῶν χρημάτων τὴν δαπάνην ὁρᾶν βουλώμεθα, ἐπειδὰν δέῃ ταῦτα τοῖς πένησι δοῦναι, ἀλλὰ τὴν ἐνταῦθα γινομένην πρόσοδον. διὰ γὰρ τοῦτο τῷ σπόρῳ τὴν ἐλεημοσύνην παρείκασεν ἡ θεία γραφὴ, ἵνα μετὰ χαρᾶς καὶ πολλῆς τῆς προθυμίας αὐτὴν ἐργαζώμεθα. Εἰ γὰρ οἱ τῇ γῇ τὰ σπέρματα παρακατατιθέμενοι, καὶ τὰ συνηγμένα καὶ ἔνδον ἀποκείμενα σκορπίζοντες μετὰ χαρᾶς τοῦτο διαπράττονται, καὶ ταῖς χρησταῖς ἐλπίσι τρεφόμενοι ἤδη τὰ δράγματα καὶ τὴν ἅλω πεπληρωμένην τοῖς λογισμοῖς ὑπογράφουσι· πολλῷ δὴ μᾶλλον τοὺς τὸν σπόρον τοῦτον τὸν πνευματικὸν καταξιουμένους σπείρειν, χαίρειν καὶ γεγηθέναι προσήκει· ὅτι ἐπὶ γῆς σπείροντες, ἐν οὐρανῷ θερίζειν μέλλουσι, καὶ ἀργύρια καταβάλλοντες ἁμαρτημάτων συγχώρησιν δέχονται, καὶ παῤῥησίας ἀφορμὴν εὑρίσκουσι, προξενοῦντες ἑαυτοῖς διὰ τῶν ἐνταῦθα διδομένων τὴν διηνεκῆ ἀνάπαυσιν, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγήν. κἂν σωφροσύνῃ ἡδώμεθα, μὴ τοῦτο σκοπῶμεν ὅτι πόνον ἔχει ἡ ἀρετή· μηδὲ ὅτι ἡ παρθενία πολὺν ἔχει τὸν ἀγῶνα, ἀλλὰ τὴν διαδεξομένην λῆξιν διαλογιζόμενοι, τὰς ἐπιθυμίας τὰς πονηρὰς χαλινώσωμεν τὴν λύτταν περιγινώμεθα τῶν τῆς σαρκὸς σκιρτημάτων, καὶ τῇ τῶν ἀμοιβῶν ἀντιδόσει τὴν δυσχέρειαν τῶν πόνων ὑποτεμνώμεθα. ἱκανὴ γὰρ ἡ τῶν χρηστῶν ἐλπὶς καὶ κινδύνων παρασκευάσαι καταττολμᾶν, μή τί γε δὴ τῆς ἀρετῆς τοὺς πόνους γενναίως ὑπενεγκεῖν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι πρὸς βραχὺν ἀγωνισάμενος χρόνον, καὶ τῆς παρθενίας τὴν λαμπάδα φαιδρὰν διατηρήσας ἐκείνης ἀξιωθήσῃ τῆς μακαρίας διαγωγῆς, καὶ τῷ νυμφίῳ συνεισελθεῖν δυνήσῃ, εἰ τὰς λαμπάδας ἔχοις ἡμμένας καὶ ἀρκοῦν ἐχούσας ἔλαιον (τοῦτ' ἔστι τὴν ἀπὸ τῶν

α. Κορ. ιε. ν γ.

α. Κορ. β. θ.

ἀγαθῶν

β. Κορ. ιγ. ια.

Ματθ. ε. ς.

ἀγαθῶν πράξεων ἐργασίαν) πῶς οὐχὶ μετὰ πάσης εὐκολίας ἅπαντα τὰ δυσχερῆ διαδραμεῖν δυνήσῃ, ἐννοῶν ἐκεῖνο τὸ παρὰ τοῦ μακαρίου Παύλου εἰρημένον· Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον; Εἶδες πῶς τῇ ἁγιωσύνῃ τὴν εἰρήνην συνέζευξεν, ἵνα μάθωμεν ὅτι οὐ μόνον ἁγνείαν σώματος ἐπιζητεῖ, ἀλλὰ καὶ εἰρήνην, ἑκατέρωθεν ἡμᾶς ὀρθοῦν παιδεύων ἑαυτοὺς ἐπί τε τῆς διαγωγῆς, καὶ ἐν τῇ τῶν λογισμῶν καταστάσει, ὥστε μηδεμίαν εἶναι ταραχὴν ἢ θόρυβον ἐν ἡμῖν, ἀλλ' ἐν γαλήνῃ καὶ ἡσυχίᾳ διάγειν, καὶ μετὰ πάντων εἰρηνικῶς διακεῖσθαι, καὶ ἥμερον εἶναι καὶ πρᾶον καὶ ἐπιεικῆ, ὥστε πάντα τῆς ἀρετῆς τὰ χρώματα ἐπανθεῖν ἡμῶν τῷ προσώπῳ. οὕτω γὰρ λοιπὸν καὶ δόξης τοῦ παρόντος βίου ὑπερορᾶν δυνησόμεθα τὴν ἀληθῆ δόξαν προτιμῶντες, καὶ τῆς ταπεινοφροσύνης πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελᾶν, ἵνα τῆς ἀληθοῦς καὶ βεβαίας εὐημερίας ἀπολαύσωμεν, καὶ τὸν κύριον ἰδεῖν καταξιωθῶμεν. Μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται). καθαρίσωμεν τοίνυν ἡμῶν τὸ συνειδὸς καὶ μετὰ ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, ἵνα τὴν παροῦσαν ζωὴν μετὰ πάσης ἀρετῆς ὁδεύσαντες, τῶν ἐνταῦθα πόνων τὰς ἀμοιβὰς λαβεῖν καταξιωθῶμεν ἐν τῷ μέλλοντι αἰῶνι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ* πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* καὶ ζωοποιῷ

Λόγ. λζ. ΕΙΠΕ ΚΥΡΙΟΣ ΠΡΟΣ ΑΒΡΑΜ· ΕΓΩ ΕΙΜΙ Ο Θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν, καὶ τὰ ἑξῆς.

Ἰωαν. ε. λθ.

Μεγάλη τῆς θείας γραφῆς ἡ δύναμις, καὶ πολὺς ὁ τοῖς ῥήμασιν ἐγκεκρυμμένος πλοῦτος τῶν νοημάτων. διὸ προσήκει μετὰ ἀκριβείας ἡμᾶς προσέχοντας πολλὴν ποιεῖσθαι τὴν ἔρευναν, ἵνα δαψιλῆ τὴν ὠφέλειαν ἐντεῦθεν καρπωσώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς παρήγγειλε λέγων, Ἐρευνᾶτε τὰς γραφάς· ἵνα μὴ ἁπλῶς ψιλῇ προσέχωμεν τῇ ἀναγνώσει, ἀλλὰ τὸ βάθος ἀνιχνεύοντες τὸν ἀληθῆ τῆς γραφῆς νοῦν καταλαβεῖν δυνηθῶμεν. τοιοῦτον γὰρ τῆς γραφῆς τὸ ἔθος· ἐν βραχέσι ῥήμασίν ἐστι πολλάκις εὑρεῖν πολὺ πλῆθος νοημάτων. θεῖα γάρ ἐστι τὰ διδάγματα [καὶ] οὐκ ἀνθρώπινα. καὶ διὰ τοῦτο ἀπεναντίας τῇ σοφίᾳ τῇ ἀνθρωπίνῃ πᾶσαν αὐτὴν ἐστὶν ἰδεῖν συγκειμένην. καὶ ὅπως, ἐγὼ λέγω. ἐκεῖ μὲν γάρ, ἐπὶ τῆς ἀνθρωπίνης σοφίας λέγω, πᾶσα αὐτοῖς ἡ σπουδὴ περὶ τὴν τῶν λέξεων συνθήκην ἐπινενόηται· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν· οὐδεὶς τῇ γραφῇ λόγος περὶ κάλλους ῥημάτων ἢ συνθήκης. ἔχει γὰρ οἴκοθεν τὴν θείαν χάριν ἐπανθοῦσαν καὶ τὸ κάλλος τὰ λεγόμενα. κἀκεῖ μὲν μετὰ πολλὴν καὶ ἄφατον φλυαρίαν τότε τῶν νοημάτων ἐστὶ περιδράξασθαι· ἐνταῦθα δέ, ὡς ἴστε, καὶ βραχεῖα λέξις πολλάκις ἤρκεσεν ἡμῖν πᾶσαν ὑφᾶναι τὴν διδασκαλίαν. διά τοι τοῦτο χθὲς προθέντες ὑμῖν τὰ ἀνεγνωσμένα, καὶ τῶν προοιμίων ἁψάμενοι, ἐπειδὴ πολὺ εὕρομεν τῶν νοημάτων τὸν πλοῦτον, οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὴν μνήμην ὑμῶν καὶ λυμήνασθαι" καὶ τὰ ἤδη ῥηθέντα. βούλομαι οὖν νῦν συνάψαι τοῖς χθὲς εἰρημένοις καὶ τὰ μέλλοντα ῥηθήσεσθαι, ἵν' οὕτω πᾶσαν τοῦ ἀναγνώσματος ποιησάμενοι τὴν ἐξήγησιν, οὕτως ὑμᾶς ἐντεῦθεν ἀποπέμψωμεν. ἀλλὰ προσέχετε, παρακαλῶ, ἀκριβῶς τοῖς λεγομένοις. εἰ γὰρ καὶ ὁ πόνος

" γρ. τοῖς ἤδη ῥηθεῖσι. διὸ τῆς αὐτῆς ἀκολουθίας ἅψασθαι βουλόμενοι, καὶ συνάψαι.

ἡμέτερος, ἀλλὰ τὸ κέρδος ὑμέτερον, μᾶλλον δὲ κοινόν. τί δὲ λέγω ὁ πόνος ἡμέτερος; οὐχὶ ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτός ἐστιν ἡ δωρεά. μετὰ προσοχῆς τοίνυν ὑποδεχώμεθα καὶ ἡμεῖς τὰ παρὰ τοῦ Θεοῦ δωρούμενα, ἵνα κερδάναντές τι εἰς τὴν κατὰ ψυχὴν σωτηρίαν, οὕτως ἐντεῦθεν ἀπίωμεν. διὰ γὰρ τοῦτο καθ' ἑκάστην τὴν πνευματικὴν ταύτην παρατίθεμεν ὑμῖν τράπεζαν, ἵνα τῇ συνεχείᾳ τῆς παραινέσεως, καὶ τῇ πολλῇ τῶν θείων μελέτῃ πᾶσαν ἀποτειχίσωμεν τῷ πονηρῷ δαίμονι τὴν ἐπιβουλήν. ὅταν γὰρ ἴδῃ πολλὴν ἡμᾶς περὶ τὰ πνευματικὰ τὴν σπουδὴν τιθεμένους, οὐ μόνον οὐκ ἐπιθήσεται, ἀλλ' οὐδὲ ἀντιβλέψαι" δυνήσεται, εἰδὼς ὅτι ἀνόνητα ἐπιχειρήσει * κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τὴν τόλμαν" ἐπιδειξάμενος. Φέρε οὖν τῶν χθὲς εἰρημένων τὴν ἀκολουθίαν ἀναλαβόντες, τῶν λειπομένων τὴν ἐξήγησιν ποιησώμεθα. τί δὲ ἦν ἡμῖν χθὲς τὸ λεγόμενον; τὴν ἐπαγγελίαν τὴν πρὸς τὸν Ἀβραὰμ περιεγράφομεν, ἔνθα προσέταττεν αὐτῷ ἀναβλέψαι εἰς τὸν οὐρανὸν καὶ τὸ πλῆθος τῶν ἀστέρων ἰδεῖν. ἀρίθμησον γάρ, φησι, τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν, οὕτως ἔσται τὸ σπέρμα σου. εἶτα δεικνύουσα ἡμῖν ἡ θεία γραφὴ τῆς γνώμης τοῦ πατριάρχου τὸ φιλόθεον, καὶ ὅτι πρὸς τὸν ἐπαγγειλάμενον ὁρῶν, καὶ τὴν δύναμιν τοῦ ὑποσχομένου ἐννοῶν ἐπίστευσε τοῖς εἰρημένοις, φησί, καὶ ἐπίστευσε δὲ Ἄβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. μέχρι τούτου χθὲς εἰπόντες οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, διὸ ἀναγκαῖον τὰ ἑξῆς ἐπαγαγεῖν. τί γάρ φησιν;

7 Εἶπε δὲ κύριος πρὸς Ἄβραμ· Ἐγώ εἰμι ὁ Θεὸς ὁ ἐξαγαγών σε ἐκ τῆς χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν.

Ὅρα Θεοῦ συγκατάβασιν, πῶς αὐτοῦ βούλεται τὴν πίστιν βεβαιῶσαι, καὶ ποιῆσαι πολλὴν ἔχειν τὴν πληροφορίαν περὶ τῶν ἐπηγγελμένων, μονονουχὶ λέγων· μνήσθητι ὅτι ἐγώ σε οἴκοθεν ἀνέστησα. ἰδοὺ τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα κατὰ τὸν πατριάρχην σύμφωνα δείκνυται τοῖς παρὰ τοῦ μακαρίου Στεφάνου εἰρημένοις, ὅτι καὶ οἴκοθεν καὶ ἐξ αὐτῆς τῆς Χαλδαίας τοῦ δεσπότου τὸ πρόσταγμα αὐτὸν ἀναστῆναι παρεσκεύασε· καὶ τῇ τούτου γνώμῃ ἑπόμενος ὁ πατήρ, καθάπερ καὶ φθάσαντες εἴπομεν, εἰ καὶ ἄπιστος ἦν, ἀλλ' οὖν μεγάλην ὑπόθεσιν δεσμοῦ τὸ φίλτρον ἔχων τὸ περὶ αὐτόν, ἠκολούθει καὶ ἐξῄει. ὑπομιμνήσκει τοίνυν αὐτὸν ἐπὶ τοῦ παρόντος, ὅσην ἐκ προοιμίων ἐποιήσατο περὶ αὐτὸν τὴν πρόνοιαν, δηλῶν αὐτῷ, ὅτι μεγάλα τινὰ περὶ αὐτοῦ βουλευόμενος, καὶ ταύτας θέλων τὰς ὑποσχέσεις πρὸς αὐτὸν ποιήσασθαι καὶ εἰς ἔργον ἀγαγεῖν, τοσαύτην ὁδὸν διανύσαι ἐποίησεν. ἐγώ εἰμι ὁ ἐξαγαγών σε ἐκ τῆς χώρας τῶν Χαλδαίων, δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν. μὴ γὰρ ἁπλῶς σε ἐκεῖθεν ἀνέστησα; μὴ γὰρ εἰκῇ καὶ μάτην ἐντεῦθέν σε ἤγαγον; διὰ τοῦτό σε καταλαβεῖν τὴν Παλαιστίνην" ἐβουλόμην καὶ ἀφεῖναι τὴν πατρῴαν οἰκίαν καὶ ἐλθεῖν εἰς τὴν γῆν ταύτην, ἵνα κληρονομήσῃς αὐτήν. λογιζόμενος τοίνυν ὅσης ἀπήλαυσας παρ' ἐμοῦ προνοίας, ἐξ ὅτου τὴν Χαλδαίαν κατέλιπες μέχρι τοῦ παρόντος, καὶ ὅπως περιφανὴς γέγονας καθ' ἑκάστην λαμπρότερος δεικνύμενος ἐκ τῆς ἐμῆς συμμαχίας καὶ τῆς περὶ σὲ κηδεμονίας, θάρσησον καὶ τοῖς παρ' ἐμοῦ λεγομένοις. εἶδες φιλανθρωπίας ὑπερβολήν, εἶδες συγκαταβάσεως μέγεθος· πῶς αὐτοῦ στηρίξαι βούλεται τὴν ψυχὴν καὶ βεβαιοτέραν αὐτοῦ τὴν πίστιν ἐργάσασθαι, ἵνα μὴ ἔχῃ λοιπὸν ὁρᾶν πρὸς τὰ τῆς φύσεως κωλύματα, ἀλλὰ τὴν δύναμιν ἐννοῶν τοῦ ἐπαγγειλαμένου, ὡς ἤδη τῶν ὑποσχέσεων εἰς ἔργον ἐκβεβηκυιῶν, οὕτω θαρρεῖν ἔχῃ. ἀλλ' ὅρα πάλιν τὸν πατριάρχην, ἐπειδὴ παρρησίαν ἔλαβεν ἐκ τῶν εἰρημένων, πῶς πλείονα πληροφορίαν ἐπιζητεῖ.

8 Φησὶ γάρ, δέσποτα κύριε, κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν;

Πρ. ζ. β.

Εἰ καὶ προλαβοῦσα ἡ θεία γραφὴ ἐμαρτύρησεν αὐτῷ, ὅτι ἐπίστευσε τοῖς παρὰ τοῦ Θεοῦ ῥηθεῖσι, δι᾽ ὃ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἀλλ᾽ ὅμως ἐπειδὴ ἤκουσεν, ὅτι διὰ τοῦτο ἐξήγαγόν σε ἐκ γῆς Χαλδαίας, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν, φησι, τοῖς μὲν παρὰ σοῦ λεγομένοις οὐχ οἷόν τέ με διαπιστῆσαι· ἀλλ᾽ ὅμως ἐβουλόμην καὶ τὸν τρόπον μαθεῖν, πῶς αὐτὴν μέλλω κληρονομεῖν. ὁρῶ γὰρ καὶ ἐμαυτὸν λοιπὸν πρὸς γῆρας ἐληλακότα, καὶ μέχρι τοῦ παρόντος ὡς ἀλήτην ἐνταῦθα περιιόντα· καὶ οὐ δύναμαι ἀνθρωπίνῳ λογισμῷ καταλαβεῖν τὸ ἐσόμενον. Εἰ καὶ ὅτι προλαβών, φησιν, ἐπίστευσα τοῖς εἰρημένοις, ἅτε δὴ ὡς παρὰ σοῦ λεχθεῖσι τοῦ δυναμένου καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, καὶ πάντα ποιοῦντος καὶ μετασκευάζοντος οὐ νῦν ἀπιστῶν τοῦτο ἐρωτῶ· ἀλλ᾽ ἐπειδὴ πάλιν τῆς κληρονομίας ὑπέμνησας, ἤθελον καὶ παχύτερόν τι σημεῖον καὶ ἐναργὲς δέξασθαι τὸ δυνάμενόν μου τῶν λογισμῶν τὴν ἀσθένειαν ἐπιρρῶσαι. τί οὖν; ὁ ἀγαθὸς δεσπότης συγκαταβαίνων τῷ οἰκείῳ θεράποντι, καὶ βουλόμενος αὐτοῦ νευρῶσαι τὴν ψυχήν, ἐπειδὴ εἶδεν ὁμολογοῦντα τὴν οἰκείαν ἀσθένειαν, καὶ πιστεύοντα μὲν τῇ ὑποσχέσει, βουλόμενον δὲ πληροφορίαν τινὰ δέξασθαι, φησι πρὸς αὐτόν·

γρ. πάνυ

9 Λαβέ μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ τρυγόνα καὶ περιστεράν.

Ὅρα πῶς ἀνθρωπίνως ποιεῖται πρὸς αὐτὸν τὰς συνθήκας. καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων ὅταν τινὶ ὑποσχώμεθα, βουλόμενοι πεῖσαι τὸν τὴν ὑπόσχεσιν δεχόμενον, ὥστε μὴ ἀμφιβάλλειν περὶ τῶν ἐπαγγελθέντων, σημεῖόν τι παρέχομεν καὶ ἐνέχυρον, ἵνα πρὸς ἐκεῖνο ὁρῶν εἰδέναι ἔχῃ, ὡς πάντως εἰς ἔργον ἐκβήσεται τὰ ἐπηγγελμένα· οὕτω καὶ ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ εἶπε, κατὰ τί γνώσομαι; φησίν, ἰδοὺ καὶ τοῦτό σοι παρέχω· λαβέ μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα καὶ περιστεράν. θέα μοι εἰς πόσην παχύτητα κατελθεῖν καταδέχεται ὁ ἀγαθὸς δεσπότης διὰ τὴν πληροφορίαν τοῦ πατριάρχου. ἐπειδὴ γὰρ τὸ παλαιὸν οὕτως ἦν αὐτοῖς ἔθος συνθήκας ποιεῖσθαι, καὶ διὰ τούτων αὐτὰς βεβαιοῦν, ταύτην καὶ αὐτὸς ἔρχεται τὴν ὁδόν.

10 Καὶ ἔλαβε, φησι, καὶ διεῖλεν αὐτὰ μέσα.

Παρατηρητέον πῶς οὐ μάτην οὐδὲ εἰκῇ καὶ τὸν χρόνον ἐπεσημήνατο. τριετίζοντα γὰρ λαβεῖν προσέταξε, τουτ᾽ ἔστι τέλεια, ἀπηρτισμένα.

Καὶ διεῖλεν αὐτὰ μέσα καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσωπα ἀλλήλοις, τὰ δὲ ὄρνεα οὐ διεῖλε. καὶ καθεζόμενος ἐπετήρει, ὥστε μὴ λυμήνασθαι τοῖς διχοτομήμασι τὰ ἐφιπτάμενα ὄρνεα, καὶ διὰ πάσης ἡμέρας τοῦτο ποιῶν διετέλει. 11 Κατέβη δὲ ἕτερα ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομηθέντα, καὶ συνεκάθισεν αὐτοῖς Ἄβραμ. 12 Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἄβραμ. καὶ ἰδοὺ φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ.

Τίνος ἕνεκεν περὶ ἡλίου δυσμάς, ὅτε λοιπὸν πρὸς ἑσπέραν ἡ ἡμέρα; διὰ πάντων προσεκτικώτερον αὐτὸν βούλεται ἐργάσασθαι. διὰ τοῦτο καὶ ἔκστασις καὶ φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ, ἵνα διὰ τῶν γινομένων εἰς αἴσθησιν ἔλθῃ τῆς τοῦ θεοῦ ὀπτασίας. οὕτω γὰρ ἑκάστοτε τῷ θεῷ ποιεῖν ἔθος. καὶ γὰρ ἡνίκα μετὰ ταῦτα τῷ Μωϋσεῖ ἐν τῷ Σιναίῳ ὄρει ἔμελλε διδόναι τὸν νόμον καὶ τὰς ἐντολάς, σκότος, φησί, καὶ θύελλα ἦν, καὶ τὸ ὄρος καπνίζον. διὰ τοῦτο καὶ ἡ γραφή φησιν, Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. ἐπειδὴ γὰρ τῶν ἀσωμάτων τι ἰδεῖν οὐχ οἷόν τε διὰ τῶν αἰσθητῶν τούτων ὀφθαλμῶν, τὴν οἰκείαν ἡμῖν ἐνέργειαν.

γρ. [illegible]

ψαλ. ργ. λγ.

ἐνέργειαν σημαίνειν βούλεται. ἐπειδὴ τοίνυν κατεπλάγη ὁ δίκαιος ἐκεῖνος, καὶ κατέσεισεν αὐτοῦ τὴν διάνοιαν ὁ φόβος καὶ ἡ γεγενημένη ἔκστασις, ἐῤῥέθη, φησὶ, πρὸς αὐτόν· Εἶπες, φησι, κατὰ τί γνώσομαι; καὶ σημεῖον ἐβουλήθης λαβεῖν πῶς μέλλεις κληρονομεῖν τὴν γῆν. ἰδοὺ δίδωμί σοι σημεῖον. πολλῆς γὰρ δεῖ σε τῆς πίστεως, ἵνα μάθῃς, ὅτι καὶ ἐξ ἀπεγνωσμένων δύναμαι τὰ πράγματα εἰς χρηστὰς ἐλπίδας ἀγαγεῖν.

13 Καὶ ἐῤῥέθη πρὸς Ἄβραμ, γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσι καὶ ταπεινώσουσιν ἔτη υ'. 14 Τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.

Μεγάλα τὰ εἰρημένα, καὶ ψυχῆς νεανικῆς δεόμενα καὶ ὑπεραναβαινούσης καὶ ἀφιείσης κάτω πάντα τὰ ἀνθρώπινα. εἰ μὴ γὰρ γενναίαν τινα καὶ ἀνδρείαν καὶ φιλόσοφον εἶχε ψυχὴν ὁ πατριάρχης, ταῦτα καὶ θορυβῆσαι αὐτὸν ἱκανὰ ἦν. γινώσκων γάρ, φησι, γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσι καὶ κακώσουσι καὶ ταπεινώσουσιν αὐτοὺς ἔτη υ'. Τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. μὴ θαυμάσῃς, φησί, πρὸς ἑαυτὸν ὁρῶν καὶ τὸ γῆρας τὸ σὸν, καὶ τὴν τῆς Σάῤῥας στείρωσιν, καὶ τὴν τῆς μήτρας νέκρωσιν, καὶ νομίσῃς με μέγα τι εἰρηκέναι, ὅτι εἶπον, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. οὐ μόνον γὰρ τοῦτό σοι προλέγω, ἀλλ' ὅτι καὶ αὐτὸ τὸ σπέρμα σου εἰς ἀλλοτρίαν γῆν ἀπενεχθήσεται. καὶ οὐκ εἶπεν εἰς Αἴγυπτον, οὐδὲ ὠνόμασε τῆς γῆς τὴν προσηγορίαν, ἀλλά φησιν, ἐν γῇ οὐκ ἰδίᾳ. καὶ δουλείαν ὑπομενοῦσι καὶ ταλαιπωρίαν, καὶ ὀδυνήσονται οὐ πρὸς βραχὺν χρόνον, οὐδὲ πρὸς ὀλίγων ἐτῶν ἀριθμὸν, ἀλλὰ μέχρι τετρακοσίων ἐτῶν. τὴν μέντοι ἐκδικίαν αὐτῶν ἐγὼ ποιήσομαι, καὶ τὸ ἔθνος ἐκεῖνο τὸ καταδουλωσόμενον αὐτὸ ἐγὼ κρινῶ, καὶ οὕτως αὐτοὺς μετὰ πολλῆς ἀποσκευῆς ἐπανελθεῖν ἐνταῦθα ποιήσω· ὁμοῦ καὶ προλέγων αὐτῷ τὰ μετὰ ταῦτα ἐσόμενα μετ' ἀκριβείας, καὶ τὴν δουλείαν δηλῶν καὶ τὴν εἰς Αἴγυπτον κάθοδον, καὶ τὴν ἀγανάκτησιν ἣν δι' αὐτοὺς μέλλουσι πειρᾶσθαι οἱ Αἰγύπτιοι, καὶ τὴν μετὰ περιφανείας αὐτῶν ἐπάνοδον. καὶ δείκνυσιν αὐτῷ, ὅτι οὐκ ἐπ' αὐτῷ μόνον τὰ ὑπὲρ φύσιν ἔσται, καὶ μετὰ τοσαῦτα κωλύματα τὰ ὑπὸ τοῦ Θεοῦ ἐπαγγελθέντα εἰς πέρας ἀχθήσεται, ἀλλὰ καὶ ἐπὶ παντὸς τοῦ σπέρματος αὐτοῦ τοῦτο συμβήσεται. ταῦτα δέ, φησιν, ἤδη σοι εἶπον, ἵνα πρὶν ἢ τὸν βίον καταλύσῃς, εἰδέναι ἔχῃς τὰ καὶ τοὺς σοὺς ἐκγόνους διαδεξόμενα.

15 Σὺ δέ, φησιν, ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, *ταφεὶς ἐν γήρει καλῷ.

Οὐκ εἶπεν ἀποθανῇ, ἀλλ' ἀπελεύσῃ, ὡς ἀποδημεῖν αὐτοῦ μέλλοντος καὶ μεθίστασθαι ἀπὸ πατρίδος εἰς πατρίδα. ἀπελεύσῃ, φησὶ, πρὸς τοὺς πατέρας σου, οὐ τοὺς κατὰ σάρκα λέγων. πῶς γάρ, ἐπεὶ ἄπιστος ἦν ὁ τούτου πατήρ; καὶ οὐχ οἷόν τε ἦν τὸν πιστὸν πατριάρχην εἰς τὸν αὐτὸν ἐκείνῳ χῶρον ἀπελθεῖν. Χάσμα γὰρ μέγα ἐστί, φησι, μεταξὺ ἡμῶν τε καὶ ὑμῶν. τίνος οὖν ἕνεκεν εἴρηκε πρὸς τοὺς πατέρας σου; τοὺς δικαίους αἰνιττόμενος, τοὺς περὶ τὸν Ἄβελ, τοὺς περὶ τὸν Νῶε, τοὺς περὶ τὸν Ἐνώχ. ταφεὶς ἐν γήρει καλῷ. ἴσως ἂν εἴποι τις, καὶ ποῖον ἂν εἴη τούτου καλὸν γῆρας, τὸ διὰ τοσούτων θλίψεων ἅπαντα τὸν βίον παρελθεῖν; ἀλλὰ μὴ οὕτω ἴδῃς ἄνθρωπε· ἀλλὰ ἀναλογίζου καὶ τὴν καθ' ἕκαστον καιρὸν περιφάνειαν, καὶ ὅπως ἐπίδοξος γέγονεν ὁ ξένος, ὁ ἄπολις, ὁ ἀνέστιος, καὶ ὅσης διὰ παντὸς τοῦ χρόνου ἀπήλαυσε τῆς τοῦ Θεοῦ ἀντιλήψεως. μὴ τοίνυν κατὰ τὴν νῦν ὑπόληψιν κρίνε τὰ πράγματα, μηδὲ νόμιζε ἐκεῖνο εἶναι γῆρας καλὸν, τὸ ἐν τρυφῇ καὶ ἀδδηφαγίᾳ διάγειν, καὶ πλούτου κεκτῆσθαι κακίαν, καὶ οἰκετῶν πλῆθος καὶ ἀνδραπόδων ἀγέλας. ταῦτα γὰρ

Λυ. 15. κς.

οὐκ ἂν ποιήσειε γῆρας καλὸν, ἀλλὰ καὶ πολλὴν κατάγνωσιν ἂν ἐνέγκοι τῷ μηδὲ ἐν γήρᾳ σωφρονιζομένῳ, μηδὲ πρὸς αὐτὰς τὰς ἐσχάτας ἀναπνοάς τι τῶν δεόντων βουλευομένῳ, ἀλλὰ καθ' ἑκάστην ἡμέραν γαστριζομένῳ, καὶ συμπόσια καὶ μέθας μεταδιώκοντι, καὶ μετ' οὐ πολὺ τούτων ἁπάντων εὐθύνας ἀπαιτεῖσθαι μέλλοντι. ὁ μέντοι μετὰ τοσαύτης ἀρετῆς ὁδεύσας τὸν βίον, οὗτος ἀληθῶς ταφεὶς ἐν γήρᾳ καλῷ καταλύει τὴν ζωὴν, καὶ τῶν ἐνταῦθα πόνων εὑρίσκει λοιπὸν τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις. διὰ τοῦτό φησι, τοὺς μὲν σοὺς ἐκγόνους ταῦτα διαδέξεται· σὺ δὲ ἀπελεύσῃ ταφεὶς ἐν γήρει καλῷ. σκόπει πάλιν ἐνταῦθα, εἰ μὴ πολλὴ τοῦ δικαίου ἦν ἡ ἀνδρεία, καὶ τῆς φιλοσοφίας ἡ ὑπερβολὴ, πῶς καὶ αὐτὰ ταῦτα ἱκανὰ ἦν αὐτοῦ διαταράξαι τὸν λογισμόν. εἶπε γὰρ ἂν, εἰ τῶν πολλῶν τις ἦν· τίνος ἕνεκεν ἐπαγγέλλῃ μοι τοσοῦτον ἐξ ἐμοῦ σπέρμα ποιήσειν ἐκταθῆναι, εἰ " μέλλοι τοσούτοις περιβάλλεσθαι κακοῖς, καὶ ἐπὶ τοσούτων ἐτῶν ἀριθμὸν δουλείαν ὑπομένειν; τί μοι τὸ ὄφελος; ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος ἐλογίσατο· ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης τὰ παρὰ τοῦ Θεοῦ ἅπαντα ἔστεργε, καὶ τὰ αὐτῷ δοκοῦντα τῶν ἑαυτοῦ λογισμῶν προετίμα. εἶτα καὶ τὸν καιρὸν αὐτῷ μηνύει τῆς ἐπανόδου τῆς ἀπὸ τῆς δουλείας. εἰπὼν γὰρ τῶν ἐτῶν ἀριθμόν, φησιν, ἔτη υʹ· τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. ἀλλ' ἐνταῦθα ἄν τις διαπορήσειε, πῶς υʹ ἔτη ἔφη δουλεύειν αὐτοὺς, καίτοι οὐδὲ τὰ ἡμίση τούτων πεποιηκότων αὐτῶν εἰς τὴν Αἴγυπτον. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι εἰς τὴν Αἴγυπτον ποιήσουσιν ἔτη υʹ, ἀλλ' ἐν γῇ οὐκ ἰδίᾳ, ὥστε δυνηθῆναι τοῖς ἔτεσιν, οἷς κατὰ τὴν Αἴγυπτον ἐποίησαν, συναριθμεῖσθαι καὶ τὸν χρόνον τοῦ πατριάρχου, καθ' ὃν ἐκ τῆς Χαρρὰν ἐξελθεῖν προσετάχθη. ἐξ ἐκείνου γὰρ ἡμῖν καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν αὐτοῦ κατάδηλον ἐποίησεν ἡ γραφὴ εἰποῦσα, ὅτι ἑβδομηκονταπέντε ἐτῶν ἦν ἡνίκα ἐξῆλθεν ἐκ Χαρράν. ἐξ ἐκείνου τοίνυν μέχρι τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου, εἰ βουληθείη τις ἀριθμῆσαι, εὑρήσει σωζόμενον τὸν ἀριθμόν. καὶ ἕτερον δὲ ἔστιν εἰπεῖν, ὅτι φιλάνθρωπος ὢν ὁ δεσπότης καὶ συμμετρῶν ἀεὶ τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ καὶ τὰς τιμωρίας, ἐπειδὴ εἶδεν αὐτοὺς πεπονηκότας, καὶ τοὺς Αἰγυπτίους πολλὴν περὶ αὐτοὺς τὴν ὠμότητα ἐπιδεικνυμένους, πρὸ τοῦ ὡρισμένου καιροῦ τὴν ἐκδίκησιν ἐποιήσατο, καὶ πρὸς τὴν ἐλευθερίαν αὐτοὺς ἐπανήγαγεν. ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτον, ἐπειδὴ διὰ πάντων τὴν ἡμετέραν σωτηρίαν πραγματεύεται, κἂν ἀπειλήσῃ τιμωρεῖσθαι, βουληθῶμεν δὲ ἡμεῖς πολλὴν ἐπιδείξασθαι τὴν ἐπιστροφὴν, ἀνακαλεῖσθαι αὐτοῦ τὰς ἀποφάσεις· καὶ τοὐναντίον πάλιν κἂν ὑπόσχηταί τι χρηστὸν ἡμῖν παρέξειν, ἡμεῖς δὲ μὴ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οὐδὲ αὐτὸς εἰς πέρας ἄγει τὰ ἐπαγγελθέντα, ὥστε μὴ χείρους ἡμᾶς καὶ ταύτῃ γενέσθαι. καὶ ταῦτα ἅπαντα, ὅσοι φιλότεχνοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε, εὑρεῖν δυνήσεσθε.

γρ. μέλλοιμι

16 Τετάρτη δέ, φησι, γενεᾷ ἀποστραφήσονται ὧδε. οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν.

Τότε, φησί, καιρὸς ἔσται τοῦ καὶ ἐκείνους πρὸς τὴν ἐλευθερίαν ἐπαναχθῆναι, καὶ τούτους δίκην δοῦναι ὑπὲρ τοῦ πλήθους τῶν ἡμαρτημένων, καὶ τῆς γῆς ἐξωσθῆναι. ἀμφότερα τοίνυν κατὰ τὸν δέοντα καιρὸν γενήσεται, κἀκείνων ἡ ἀποκατάστασις, καὶ τούτων ἡ ἐκβολή. οὔπω γὰρ αὐτῶν, φησιν, ἀναπεπλήρωνται αἱ ἁμαρτίαι· ὡς ἂν εἴποι τις, οὐδέπω τοσοῦτον εἰργάσαντο πλῆθος πλημμελημάτων, ὡς τοιαύτην ὑποσχεῖν δίκην. φιλάνθρωπος γὰρ ὢν οὐ μόνον τῶν ἐπλημμελημένων μείζους οὐκ ἐπάγει τὰς τιμωρίας, ἀλλὰ καὶ σφόδρα ἐλάττους. διὰ τοῦτο καὶ περὶ τούτους πολλὴν " ἐπιδείκνυται [νῦν] τὴν μακροθυμίαν, ἵνα καθ' ἑαυτῶν ἐπισπασάμενοι τὴν τιμωρίαν μηδεμίαν ἔχωσι λοιπὸν ἀπολογίαν. εἴδετε πῶς ἅπαντα μετὰ ἀκριβείας ἐγνώρισε τῷ πατριάρχῃ, ἵνα πανταχόθεν αὐτοῦ νευρώσῃ τὴν

γρ. ἐπιδείκνυσιν

πίστιν, καὶ ἐκ τῶν πρὸς αὐτὸν εἰρημένων ἔχῃ θαῤῥεῖν, ὅτι καὶ τὰ εἰς τοὺς ἐκγόνους πάντως ἐκβήσεται· καὶ ἐκ τῶν περὶ τῶν προειρημένων πάλιν βεβαίαν κτήσηται τὴν πίστιν, ὥστε καὶ τὰ κατ' αὐτὸν ἤδη εἰς ἔργον ἐλθεῖν ἀνάγκη. εἶτα ἐπειδὴ ἐπλήρωσε τὴν πρόῤῥησιν, καὶ ἐδέξατο σημεῖον ἱκανὸν τῶν πρὸς αὐτὸν γεγενημένων.

17 Ἐπειδὴ ἐγένετο ὁ ἥλιος πρὸς δυσμάς, φησι, φλὸξ ἐγένετο, καὶ ἰδοὺ κλίβανος καπνιζόμενος, καὶ λαμπάδες πυρὸς, καὶ διῆλθον ἀνὰ μέσον τῶν διχοτομημάτων.

Καὶ ἡ φλὸξ καὶ ὁ κλίβανος καὶ αἱ λαμπάδες ἐγίνοντο πρὸς τὸ γνωρίσαι τῷ δικαίῳ τῶν συνθηκῶν τὸ βέβαιον, καὶ τῆς τοῦ Θεοῦ ἐνεργείας τὴν παρουσίαν. εἶτα ἐπειδὴ ἐπληρώθη ἅπαντα καὶ ἀπηρτίσθη, τοῦ πυρὸς ἀναλώσαντος τὰ προκείμενα,

18 Διέθετο, φησι, κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ Ἀβραὰμ διαθήκην λέγων· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου καὶ ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου, 19 Τοὺς Κιναίους, καὶ τοὺς Κενεζαίους, καὶ τοὺς Κεδμωναίους, 20 Καὶ τοὺς Χετταίους, καὶ τοὺς Φερεζαίους, καὶ τοὺς Ῥαφαεὶμ, 21 Καὶ τοὺς Ἀμορραίους, καὶ τοὺς Χαναναίους, καὶ τοὺς Γεργεσαίους.

Ὅρα πῶς πάλιν τῇ συνεχείᾳ βεβαιοῖ τὴν εἰς αὐτὸν ἐπαγγελίαν. διέθετο γάρ, φησι, διαθήκην λέγων, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. εἶτα ἵνα ἐκ τοῦ πλάτους τῆς γῆς καὶ ἐκ τοῦ μεγέθους τῶν ὁρίων εἰδέναι ἔχῃ ὁ δίκαιος, ὅσον ἐκταθήσεται αὐτοῦ τὸ σπέρμα, φησίν, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου τοσοῦτον ἔσται, φησί, τὸ σπέρμα σου. σκόπει πῶς διὰ πάντων τοῦ πλήθους αὐτῷ τὴν ὑπερβολὴν ἐμφᾶναι βούλεται. ἀνωτέρω γὰρ εἰπὼν κατὰ τὸ τῶν ἄστρων πλῆθος, οὕτως ἀναρίθμητον αὐτὸ ποιήσειν, ἐνταῦθα καὶ τὸ μῆκος τῶν ὁρίων δῆλον ἐποίησεν, ἵνα καὶ ἐντεῦθεν μάθῃ τοῦ μέλλοντος ἔσεσθαι πλήθους τὴν ἔκτασιν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κατ' εἶδος τῶν ἐθνῶν μνημονεύει, ὧν ἔμελλε τὴν κατάσχεσιν παρέξειν αὐτοῦ τῷ σπέρματι, ἵνα πολλὴν διὰ πάντων πληροφορίαν παράσχῃ τῷ δικαίῳ. καὶ τοσούτων ἐπαγγελιῶν γεγενημένων ἔτι ἔμενεν ἄγονος ἡ Σάῤῥα, καὶ τὸ γῆρας αὐτοῖς ἐπετείνετο, ἵνα τῆς πίστεως αὐτῶν μέγιστον τεκμήριον ἐξενέγκαντες, τότε καὶ τῆς ἀνθρωπίνης φύσεως ἴδωσι τὴν ἀσθένειαν, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως τὸ μέγεθος.

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ πάλιν εἰς πολὺ μῆκος τὴν διδασκαλίαν ἐκτείνωμεν, μέχρι τούτου τὰ τῆς ὑποθέσεως στήσαντες καταπαύσωμεν τὸν λόγον, παρακαλέσαντες ὑμᾶς, ζηλωτὰς γενέσθαι τοῦ πατριάρχου. ἐννόησόν μοι γάρ, ἀγαπητέ, διὰ τὰ ῥήματα ἐκεῖνα, ἃ πρὸς τὸν βασιλέα Σοδόμων ἐποιήσατο, μᾶλλον δὲ καὶ διὰ τὴν ἄλλην ἅπασαν ἀρετὴν, ἣν διὰ πάσης ἐπεδείκνυτο τῆς ζωῆς, πόσης ἠξιώθη τῆς ἀμοιβῆς, καὶ πόσην περὶ αὐτὸν τὴν συγκατάβασιν ὁ δεσπότης ἐπεδείξατο, δεικνὺς διὰ τῶν εἰς τὸν πατριάρχην γεγενημένων ἅπασιν ἡμῖν τῆς φιλοτιμίας αὐτοῦ τὴν ὑπερβολὴν, καὶ ὅτι, κἂν βραχύ τι προλαβόντες ἐπιδείξασθαι δυνηθῶμεν, οὐδὲ τὸ τυχὸν ὑπερτιθέμενος, μεγάλαις ἡμᾶς ἀμείβεται ταῖς δωρεαῖς, μόνον ἐὰν εἰλικρινῆ τὴν πίστιν ἐπεδειξώμεθα, καθάπερ ὁ δίκαιος οὗτος, καὶ μηδέποτε σαλευώμεθα τὸν λογισμόν, ἀλλ' ἐρηρεισμένην ἔχωμεν τὴν γνώμην. ἐντεῦθεν γὰρ καὶ οὗτος εὐδοκίμησεν. ἄκουε γοῦν τοῦ μακαρίου Παύλου ἀνακηρύττοντος αὐτοῦ τὴν πίστιν, ἣν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπεδείξατο. φησὶ γάρ, Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἔμελλε λαμβάνειν, καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται, ἐκεῖνο ἡμῖν αἰνιττόμενος τὸ παρὰ τοῦ Θεοῦ εἰρημένον· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. εἶδες πίστιν βεβαίαν, εἶδες γνώμην εἰλικρινῆ. τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ ἐξέλθωμεν τῇ γνώμῃ καὶ τῇ

Ἑβ. ια. η.

προθυμίᾳ ἐκ τῶν τοῦ παρόντος βίου πραγμάτων, καὶ ὁδεύσωμεν εἰς τὸν οὐρανόν. δυνατὸν γάρ, ἐὰν ἐθέλωμεν, καὶ ἐνταῦθα διάγοντες, τῆς ἐκεῖ ὁδοῦ ἔχεσθαι, ὅταν ἄξια τῶν οὐρανῶν διαπραττώμεθα· ὅταν μὴ περὶ τὰ τοῦ κόσμου ὦμεν ἐπτοημένοι· ὅταν μὴ τὴν δόξαν τὴν κενὴν τοῦ βίου τούτου ἐπιζητῶμεν· ἀλλὰ ταύτης ὑπερορῶντες, ἐκείνης ἐφίεσθαι σπουδάζωμεν τῆς ἀληθοῦς καὶ ἀεὶ μενούσης· ὅταν μὴ περὶ τὴν τῆς ἐσθῆτος πολυτέλειαν ἀπασχολώμεθα, μηδὲ τὸ σῶμα καλλωπίζειν σπουδάζωμεν, ἀλλὰ πάντα τοῦτον τὸν ἔξωθεν κόσμον μετάγωμεν εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν, καὶ μὴ ἀνεχώμεθα γυμνὴν αὐτὴν καὶ ἔρημον ταύτης τῆς ἀρετῆς τῶν ἐνδυμάτων περιορᾶν· "ὅταν καταγελῶμεν πλούτου· ὅταν μὴ τὰ συμπόσια καὶ τὰ δεῖπνα μεταδιώκωμεν· ἀλλὰ τῆς αὐταρκείας ἐχώμεθα κατὰ τὴν ἀποστολικὴν παραίνεσιν τὴν λέγουσαν· Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησώμεθα. τί γὰρ ὄφελος, εἰπέ μοι, τῶν περιττῶν καὶ τοῦ τὴν γαστέρα διαρρήγνυσθαι ὑπὸ τῆς πολλῆς ἀδηφαγίας, ἢ τοῦ λογισμοῦ τὸ κριτήριον ἡμῖν διαφθείρεσθαι ἀπὸ τῆς ἀμέτρου οἰνοποσίας; ἢ οὐχὶ ἐντεῦθεν καὶ τῷ σώματι καὶ τῇ ψυχῇ πάντα τίκτεται τὰ κακά; πόθεν γὰρ αἱ νόσοι αἱ παντοδαπαί, καὶ τῶν μελῶν αἱ διαστροφαί; οὐχὶ ἐντεῦθεν ἀπὸ τοῦ τὴν χρείαν ἡμᾶς ὑπερβαίνοντας βαρὺ φορτίον ἐπιτιθέναι τῇ γαστρί; πόθεν δὲ αἱ μοιχεῖαι, αἱ πορνεῖαι, αἱ πλεονεξίαι, αἱ ἁρπαγαί, οἱ φόνοι, αἱ λῃστεῖαι, καὶ πᾶσα τῆς ψυχῆς ἡ διαφθορά; οὐ διὰ τὸ τοῦ πλείονος ἐφίεσθαι τῆς συμμετρείας; ὥσπερ γὰρ ῥίζαν τῶν κακῶν ἁπάντων τὴν φιλαργυρίαν ὁ Παῦλος ἐκάλεσεν, οὕτως οὐκ ἄν τις ἁμάρτοι πηγὴν τῶν κακῶν ἁπάντων προσκαλῶν τὴν ἀμετρείαν, καὶ τὸ τὴν χρείαν ἐφ' ἑκάστου βούλεσθαι ἡμᾶς ὑπερβαίνειν. εἰ γὰρ ἐβουλόμεθα καὶ ἐν τῇ τροφῇ καὶ ἐν τοῖς ἐνδύμασι καὶ ἐν τοῖς οἰκήμασι καὶ ἐν ταῖς χρείαις ταῖς ἄλλαις ταῖς σωματικαῖς μὴ αὐτῶν ἐφίεσθαι, ἀλλὰ τὰ ἀναγκαῖα μόνον ἐπιζητεῖν, πολλῆς ἂν" λύμης ἀπήλλακτο τὸ τῶν ἀνθρώπων γένος. ἀλλ' οὐκ οἶδ' ὅπως ἕκαστος ἡμῶν κατὰ τὴν ἑαυτοῦ δύναμιν τὸ τῆς πλεονεξίας νόσημα δεξάμενος φιλονεικεῖ μηδέποτε εἴσω τῶν τῆς χρείας ὅρων γίνεσθαι, ἀλλ' ἀπεναντίας τῇ ἀποστολικῇ παραινέσει τῇ λεγούσῃ, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, οὕτως ἡμεῖς ἅπαντα πράττομεν, οὐκ εἰδότες, ὡς πάντων τῶν ὑπὲρ τὴν χρείαν τὴν ἀναγκαίαν εὐθύνας καὶ λόγον ὑφέξομεν, ὡς οὐ δεόντως κεχρημένοι τοῖς παρὰ τοῦ δεσπότου ἡμῖν παρασχεθεῖσιν. οὐ γὰρ ἵνα εἰς ἀπόλαυσιν ἡμετέραν μόνον ἀποχρησώμεθα, ταῦτα ἡμῖν παρείχετο, ἀλλ' ἵνα καὶ τῶν ὁμογενῶν τὴν ἔνδειαν παραμυθησώμεθα. ποίας ἂν οὖν εἶεν συγγνώμης ἄξιοι οἱ καὶ ἐν ἐσθήματι πολλὴν τὴν βλακείαν ἐπιδεικνύμενοι, καὶ τὰ τῶν σκωλήκων νήματα περιβάλλεσθαι σπουδάζοντες, τὸ δὲ χαλεπώτατον, καὶ ἐπὶ τούτοις μέγα φρονοῦντες, δέον ἐγκαλύπτεσθαι καὶ δεδοικέναι καὶ τρέμειν, ὅτι αὐτὸς μὲν εἰς οὐδὲν δέον οὐδὲ χρείας ἕνεκεν, ἀλλὰ βλακείας καὶ κενοδοξίας χάριν, καὶ ὥστε ὑπὸ τῶν ἀγοραίων θαυμασθῆναι, τοιαῦτα περίκεισαι· ὁ δὲ τῆς αὐτῆς σοι φύσεως τυγχάνων γυμνὸς περίεισιν, οὐδὲ ἁδρὸν ἱμάτιον περιβαλέσθαι ἔχων· καὶ οὔτε ἡ φύσις αὐτὴ εἰς συμπάθειάν σε ἕλκει, οὐδὲ τὸ συνειδὸς διεγείρει πρὸς τὴν ἀντίληψιν τοῦ ὁμογενοῦς, οὔτε ἡ ἔννοια τῆς φοβερᾶς ἡμέρας ἐκείνης, οὔτε τῆς γεέννης ὁ φόβος, οὔτε τῶν ἐπαγγελιῶν τὸ μέγεθος, οὔτε τὸ αὐτὸν τὸν κοινὸν ἡμῶν δεσπότην ἁπάντων οἰκειοῦσθαι τὰ εἰς τοὺς ὁμογενεῖς γινόμενα· ἀλλὰ καθάπερ λιθίνην καρδίαν ἔχοντες καὶ ἔξω τῆς φύσεως ὄντες, οὕτω νομίζουσι" λοιπὸν διὰ τὴν τῶν ἱματίων περιβολὴν καὶ ἀνώτεροι τῆς ἀνθρωπίνης φύσεως εἶναι, οὐκ ἐννοοῦντες "ὅσον ὑπευθύνους ἑαυτοὺς καθιστᾶσι, κακῶς οἰκονομοῦντες τὰ παρὰ τοῦ δεσπότου αὐτοῖς ἐμπιστευθέντα, καὶ οὐ βουλόμενοι τοῖς συνδούλοις διδόναι τὸ μέτρον, ἀλλ' ἡδέως ἀφέντες ὑπὸ τῶν

σητῶν

α. Τιμ. ϛ. η.

α. Τιμ. ϛ. ι.

γρ. ὅταν
γελῶμεν
φῆς· ὅταν
[illegible]
γαῖμεν· ὅταν
μὴ τὰ συμπ.

γρ. λύπης

γρ. ἐν πολλοῖ

ἴσ. ὅσου

σητῶν αὐτὰ καταναλίσκεσθαι, δαψιλέστερον αὐτοῖς τὸ τῆς γεέννης πῦρ ἤδη εὐτρεπίζοντες; Εἰ γὰρ καὶ πάντα τὰ ἔνδον ἀποκείμενα διένειμαν τοῖς δεομένοις οἱ πλουτοῦντες, καὶ οὕτως οὐκ ἂν τὴν κόλασιν διέφυγον ὑπὲρ ὧν τρυφῶντες καὶ ἐν τοῖς ἐσθήμασι καὶ ἐν ταῖς ἑστιάσεσι διετέλουν. πόσης γὰρ οὐκ ἂν εἴη κολάσεως ἄξιον, τὸ τὸν μὲν σηρικὰ περιβεβλῆσθαι πολλάκις ἱμάτια, καὶ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς, καὶ τὰ μὲν χρυσίῳ καθυφασμένα περικεῖσθαι, τὰ δὲ καὶ ἄλλως πῶς πεποικίλθαι, τὸν δὲ Χριστὸν περιϊέναι γυμνόν, καὶ μηδὲ τῆς ἀναγκαίας εὐπορεῖν τροφῆς; μάλιστα γάρ μοι πρὸς τὰς γυναῖκας οὗτος ἂν ὁ λόγος ἁρμόσειε. πλείονα γὰρ παρ' αὐταῖς ἐστιν εὑρεῖν τὴν φιλοκοσμίαν καὶ τὴν ἀσωτίαν, καὶ τὸ μετὰ τῶν διαχρύσων ἱματίων καὶ τὰ χρυσία αὐτὰ περικεῖσθαι ἐπί τε τῆς κεφαλῆς, ἐπί τε τοῦ τραχήλου, καὶ τοῦ λοιποῦ σώματος, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις. πόσων, εἰπέ μοι, πενήτων γαστέρας ἠδύνατο παραμυθήσασθαι, καὶ πόσα σώματα γυμνητεύοντα σκεπάσαι τὰ ἐπὶ τῶν ὤτων μόνον ἐκκρεμάμενα μάτην καὶ εἰκῇ, καὶ ἐπ' οὐδενὶ κέρδει, ἀλλ' ἢ μόνον ἐπὶ βλάβῃ καὶ λύμῃ ψυχῆς; διὰ τοῦτο καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος εἰπὼν (Ἔχοντες διατροφὰς καὶ σκεπάσματα) μετήγαγε πάλιν ἐπὶ τὰς γυναῖκας τὸν λόγον καί φησι, Μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς. ὅρα πῶς οὐ βούλεται τούτοις κοσμεῖσθαι, οὐδὲ χρυσία περικεῖσθαι οὐδὲ μαργαρίτας καὶ ἱμάτια πολυτελῆ· ἀλλὰ τὸν ἀληθῆ κόσμον ἐπὶ τὴν ψυχὴν μετάγειν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πράξεως τὸ κάλλος τῆς ψυχῆς φαιδρύνειν, καὶ μὴ περὶ ταῦτα ἐπτοημένην περιορᾶν ἐκείνην ῥυπῶσαν, αὐχμῶσαν, ῥάκια περιβεβλημένην, λιμῷ τηκομένην, ὑπὸ τοῦ κρυμοῦ πηγνυμένην. ἡ γὰρ σπουδὴ αὕτη καὶ ὁ περὶ τὸ σῶμα καλλωπισμὸς ἐκείνης δείκνυσι τὴν ἀμορφίαν, καὶ ἡ τούτου τρυφὴ ἐκείνης τὸν λιμὸν φανερὸν καθίστησι, καὶ ἡ περὶ τὴν ἐσθῆτα πολυτέλεια ἐκείνης τὴν γυμνότητα ἐκφαίνει. οὐδὲ γὰρ οἷόν τέ τινα ψυχῆς ἐπιμελούμενον, καὶ τὴν εὐμορφίαν ἐκείνης καὶ τὸ κάλλος περὶ πολλοῦ ποιούμενον, πρὸς τὸν ἔξω κόσμον ἐπτοῆσθαι· ὥσπερ πάλιν ἀδύνατόν τινα πρὸς τὴν φαντασίαν τὴν ἔξωθεν ἐσχολακότα καὶ τῆς ἐσθῆτος τὸν καλλωπισμὸν καὶ τὸν ἀπὸ τῶν χρυσίων κόσμον, ἐκείνης ἥντινα οὖν ποιεῖσθαι φροντίδα. πότε γὰρ ἀνέξεται ἡ τοιαύτη ψυχὴ τῶν δεόντων τι συνιδεῖν, ἢ εἰς ἔννοιαν πνευματικῶν πραγμάτων εἰσελθεῖν, ἅπαξ περὶ τὰ γήϊνα ἑαυτὴν ἐκδεδωκυῖα, καὶ χαμαί, ὡς εἰπεῖν, συρομένη, καὶ οὐδέποτε ἀναπνεῦσαι δυναμένη, ἀλλὰ συγκεκυφυῖα καὶ μυρίοις φορτίοις ἁμαρτημάτων ἑαυτὴν βαρύνουσα; ὅσας γὰρ ἐντεῦθεν αἱ ἀηδίας τίκτονται, οὐ δυνατὸν νῦν παραστῆσαι τῷ λόγῳ· ἀλλ' ἀρκεῖ τῷ συνειδότι καταλιπεῖν τῶν περὶ ταῦτα ἐσχολακότων, ὅσας καθ' ἑκάστην ἡμέραν ἐντεῦθεν δέχονται τὰς ἀθυμίας. ἢ γὰρ διέπεσέ τι τῶν χρυσίων, καὶ πολὺς ὁ χειμὼν καὶ ὁ θόρυβος κατέλαβεν ἅπασαν τὴν οἰκίαν· ἢ οἰκέτης ὑφείλετο, καὶ πᾶσι μάστιγες καὶ πληγαὶ καὶ δεσμωτήρια· ἢ βάσκανοί τινες ἐπεβούλευσαν καὶ ἐξαίφνης ἐγύμνωσαν τῶν ὄντων, καὶ πολλὴ καὶ ἀφόρητος ἡ ἀθυμία· ἢ πραγμάτων περίστασις ἐμπεσοῦσα εἰς ἐσχάτην πενίαν κατήνεγκε, καὶ βαρυτέραν θανάτου τὴν ζωὴν αὐτοῖς κατέστησεν· ἢ ἕτερόν τι πάλιν παρεμπεσὸν πολλὴν τὴν ἀηδίαν παρεξένησε. καὶ ἁπλῶς οὐκ ἔστι ποτὲ ταραχῆς ἐκτὸς εὑρεῖν τὴν ἐν τούτοις ἐσχολακυῖαν ψυχήν, ἀλλ' ὥσπερ τὰ τῆς θαλάττης κύματα οὐχ οἷόν τε ἐπιλιπεῖν, οὐδὲ ἀριθμῷ ὑποβληθῆναι διὰ τὴν πολλὴν συνέχειαν, τὸν αὐτὸν δὴ τρόπον καὶ τὰς ἐντεῦθεν τικτομένας ταραχὰς οὐχ οἷόν τε πάσας ἐξαριθμήσασθαι. διὸ παρακαλῶ, φύγωμεν ἐν ἅπασι τοῖς πράγμασι τὴν πλεονεξίαν καὶ τὸ τὴν χρείαν ὑπερβαίνειν. ὁ γὰρ ἀληθὴς πλοῦτος, ἡ ἀνάλωτος περιουσία αὕτη τυγχάνει, τὸ τῆς χρείας ἐφίεσθαι, καὶ τὰ ὑπὲρ τὴν χρείαν δεόντως διατιθέναι. ὁ γὰρ τοιοῦτος οὔτε πενίαν δεῖσαί ποτε δυνήσεται, οὔτε ἐπή-

α. Τιμ. ς. η.

α. Τιμ. β. θ.

ρείαν ὑπομένῃ, οὔτε ταραχῆς πειραθήσεται· ἀλλὰ καὶ συκοφαντίας ἐκτὸς ἔσται, καὶ τῶν ἐπιβουλευόντων ἐλευθερωθήσεται, καὶ, ἁπλῶς εἰπεῖν, ἐν διηνεκεῖ ἔσται γαλήνῃ, ἡσυχίας καὶ ἀπραγμοσύνης ἀπολαύων· καὶ τὸ δὴ μεῖζον ἁπάντων καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, ὁ τοιοῦτος καὶ τὸν θεὸν ἵλεων ἕξει καὶ πολλῆς ἀπολαύσει τῆς ἄνωθεν ῥοπῆς, ἅτε δὴ οἰκονόμος πιστὸς * τῶν τοῦ δεσπότου χρημάτων. Μακάριος γὰρ, φησιν, ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει οὕτω ποιοῦντα, οὕτω διανέμοντα τοῖς συνδούλοις, καὶ μὴ θύραις καὶ μοχλοῖς ἐναποκλείοντα, καὶ τοῖς σκώληξι τροφὴν συγχωροῦντα γίνεσθαι, ἀλλὰ τῶν πενήτων τὴν ἔνδειαν παραμυθούμενον, καὶ καλὸν καὶ πιστὸν οἰκονόμον γινόμενον τῶν παρὰ τοῦ δεσπότου χορηγηθέντων, ἵνα καὶ τῆς καλῆς ταύτης διανομῆς μέγαν τὸν μισθὸν κομίσηται, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν καταξιωθῇ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιβ. μγ.

* γνήσιος

Λογ. λη. ΣΑΡΑ ΔΕ Η ΓΥΝΗ ΑΒΡΑΜ ΟΥΚ ΕΤΙΚΤΕΝ αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ.

Πάλιν τὰ σήμερον ἀναγνωσθέντα ἐπὶ τὴν ὑπόθεσιν τὴν κατὰ τὸν πατριάρχην τὴν ἡμετέραν καλεῖ γλῶτταν. καὶ μὴ θαυμάσητε, εἰ ἐπὶ τοσαύταις ἡμέραις τὴν κατ' αὐτὸν ἱστορίαν εἰς μέσον παράγοντες, οὐδέπω καὶ τήμερον αὐτὴν ἀπαρτίσαι δεδυνήμεθα. πολλὴ γὰρ ἡ περιουσία τῆς τοῦ δικαίου ἀρετῆς, καὶ τῶν τούτου κατορθωμάτων τὸ μέγεθος ἅπασαν ἀνθρωπίνην νικᾷ γλῶτταν. ὃν γὰρ ὁ θεὸς ἄνωθεν ἐστεφάνωσε καὶ ἀνεκήρυξε, τίς ἀνθρώπων κατ' ἀξίαν ἐπαινέσαι δυνήσεται; ἀλλ' ὅμως εἰ καὶ τῆς ἀξίας πολλῷ τῷ μέτρῳ ἀπολειπόμεθα, ἀλλ' οὖν γε εἰς δύναμιν ἡμετέραν τὰ κατ' αὐτὸν εἰς μέσον προθέντες εἰς ζῆλον ὑμᾶς καὶ μίμησιν τῆς τούτου ἀρετῆς ἐναγαγεῖν " βουλόμεθα. ἱκανὴ γὰρ τοῦ ἀνδρὸς ἡ φιλοσοφία πᾶσαν τῶν ἀνθρώπων παιδεῦσαι τὴν φύσιν, καὶ τοὺς προσέχειν βουλομένους πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν ἐφελκύσασθαι. ἀλλὰ προσέχετε, παρακαλῶ, τοῖς λεγομένοις, ἵνα καὶ ἐκ τῶν προσφάτως ἀνεγνωσμένων καταμάθωμεν τοῦ δικαίου τὴν φιλοσοφίαν. ἱκανὸν γὰρ τοῦτο τὸ χωρίον παιδεῦσαι καὶ ἄνδρας καὶ γυναῖκας, ὥστε πολλὴν περὶ ἀλλήλους ἐπιδείκνυσθαι τὴν ὁμόνοιαν, καὶ τῆς συζυγίας τὸν σύνδεσμον ἀρραγῆ διαφυλάττειν· καὶ μήτε τὸν ἄνδρα τῆς γυναικὸς κατεξανίστασθαι, ἀλλ' ὡς ἀσθενεστέρῳ σκεύει πολλὴν ἀπονέμειν τὴν συγγνώμην, μήτε τὴν γυναῖκα πρὸς τὸν ἄνδρα διχοστατεῖν, ἀλλ' ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ τὴν οἰκείαν εἰρήνην πάντων ἡγεῖσθαι προτιμοτέραν. ἀναγκαῖον δὲ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων, ἵνα σαφεστέρα ὑμῖν γένηται ἡ διδασκαλία.

" γ. βουλοίμεθα

γεν. ις.

1 Σάρα δὲ, φησιν, ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ.

Σκόπει μοι ἐντεῦθεν, ἀγαπητὲ, τοῦ θεοῦ τὴν ἄφατον μακροθυμίαν, καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν πίστιν καὶ τὴν εὐγνωμοσύνην, ἣν περὶ τὰς ἐπαγγελίας ἐπεδείκνυτο τὰς εἰς αὐτὸν γεγενημένας. τοσαυτάκις γὰρ ὑποσχομένου τοῦ θεοῦ τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν, καὶ ὅτι εἰς τοσοῦτον πλῆθος ἐκταθήσεται, ὡς πρὸς τῶν ἄστρων πλῆθος παρισωθῆναι, ὁρῶν οὐδὲν τῶν ἐπαγγελθέντων εἰς ἔργον ἐκβαῖνον, ἀλλ' ἔτι μέχρι λόγων τὰ τῶν ὑποσχέσεων τυγχάνοντα, οὐκ ἐταράττετο τὸν λογισμὸν, οὐκ ἐσαλεύετο τὴν γνώμην, ἀλλ᾽ ἔμενεν ἀκλινὴς πιστεύων τῇ δυνάμει τοῦ ἐπαγγειλαμένου. διὰ γὰρ τοῦτο καὶ νῦν ἐπεσημήνατο ἡ θεία γραφὴ λέγουσα· Σάρρα δὲ ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ· μονονουχὶ τοῦτο ἡμῖν ἐμφαίνουσα, ὅτι μετὰ ταῦτα ἅπαντα, μετὰ τὰς συνθήκας τὰς πρὸς αὐτὸν γεγενημένας, μετὰ τὸ ὑποσχέσθαι ἀναρίθμητον ἐξ αὐτοῦ γενήσεσθαι πλῆθος, οὐκ ἤσχαλλεν οὐκ ἐνεδοίαζεν ὁρῶν οὐδὲν τῶν εἰρημένων εἰς ἔργον ἐκβαῖνον, ἀλλὰ πάντα τὰ ἐναντία. διὰ τοῦτο φησι μετ᾽ ἐκεῖνα ἅπαντα, Σάρρα δὲ ἡ γυνὴ αὐτοῦ οὐκ ἔτικτεν αὐτῷ, ἵνα μάθῃς ὅτι οὐδὲν αὐτῷ πλέον γέγονε μετὰ τὰς τοσαύτας ὑποσχέσεις, ἀλλ᾽ ἔτι καὶ ἡ στείρωσις τῆς Σάρρας, καὶ τῆς μήτρας ἡ νέκρωσις πολλὴν τὴν ἀπορίαν ἐμποιῆσαι ἦν ἱκανὴ τῷ δικαίῳ. ἀλλ᾽ ὁ πατριάρχης οὐ πρὸς τὰ ἀπὸ τῆς φύσεως κωλύματα ἑώρα λοιπόν· ἀλλ᾽ εἰδὼς τὸ εὐμήχανον τοῦ δεσπότου, καὶ ὅτι δημιουργὸς ὢν τῆς φύσεως καὶ ἐξ ἀπόρων πόρους εὑρεῖν δύναται, καθάπερ εὐγνώμων οἰκέτης, οὐ περιειργάζετο τὸν τρόπον τῶν γινομένων, ἀλλὰ παραχωρεῖ τῇ ἀκαταλήπτῳ αὐτοῦ προνοίᾳ, καὶ ἐπίστευσε τοῖς εἰρημένοις. διὰ τοῦτό φησι, Σάρρα δὲ μετὰ τὰς τοσαύτας ὑποσχέσεις οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. οὐχ ἁπλῶς ἡμῖν οὐδὲ ἐνταῦθα τῆς παιδίσκης τὴν μνήμην ἐποιήσατο ἡ θεία γραφὴ, ἀλλ᾽ ἵνα μάθωμεν πόθεν αὐτὴν εἶχε. διὰ γὰρ τοῦτο προσέθηκεν * Αἰγυπτία, ἵνα ἐπὶ τὴν ἱστορίαν ἀναδράμωμεν ἐκείνην· καὶ ὅτι ἐκ τῶν παρὰ τοῦ Φαραὼ παρασχεθέντων αὐτῇ ἦν, ἡνίκα τοσαύτης ἀπήλαυσεν ἐκδικίας παρὰ τοῦ τῶν ὅλων θεοῦ, καὶ ταύτην λαβοῦσα ἐπανῆλθεν, ἐπιτηδὲς ἡμῖν αὐτῆς καὶ τὸ ὄνομα καὶ τὸ ἔθνος ἐγνώρισεν ἡ θεία γραφή. ἀλλ᾽ ὅρα λοιπὸν ἐνταῦθα τῆς Σάρρας τὴν φιλόσοφον γνώμην, καὶ τῆς σωφροσύνης τὴν ὑπερβολὴν, καὶ τοῦ πατριάρχου τὴν ἄφατον πειθὼ καὶ τὴν ὑπακοήν.

2 Εἶπε δὲ Σάρρα, φησὶ, πρὸς Ἄβραμ ἐν γῇ Χαναάν· ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τεκεῖν. εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς.

Σκόπει τὴν εὐγνωμοσύνην γυναικός. οὐδὲν τοιοῦτον εἶπεν, οἷον μετὰ ταῦτα ἡ Ραχὴλ φησὶ πρὸς τὸν Ἰακὼβ, Δός μοι τέκνα· εἰ δὲ μὴ, ἀποθνήσκω ἐγώ. ἀλλὰ τί φησιν; ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τεκεῖν. ἐπειδὴ, φησιν, ἄγονόν με κατέστησεν ὁ τῆς φύσεως δημιουργὸς, καὶ ἀπεστέρησε τῆς τῶν παίδων γονῆς, ἵνα μὴ οὖν διὰ τὴν ἐμὴν στείρωσιν αὐτὸς εἰς βαθὺ γῆρας ἐλάσας λοιπὸν ἄπαις διαμείνῃς, εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. πολλὴ καὶ ἄφατος ἡ φιλοσοφία τῆς γυναικός. τίς γὰρ ἂν ἕλοιτο * πώποτε γυνὴ τοῦτο ποιῆσαι, ἢ συμβουλεῦσαι τῷ ἀνδρὶ τοῦτο, ἢ τῇ παιδίσκῃ τῆς εὐνῆς παραχωρῆσαι; εἶδες πῶς παντὸς πάθους ἐκτὸς ἦσαν, καὶ εἷς ἦν αὐτοῖς μόνον σκοπὸς, τὸ μὴ ἄπαιδας τελευτῆσαι. ἀλλ᾽ ἐσκόπουν ὅπως καὶ τὴν ἐντεῦθεν παραμυθίαν κτήσωνται, καὶ τῆς εἰρήνης τὸν σύνδεσμον ἀρραγῆ διατηρήσωσιν. ἐννόει γάρ μοι τοῦ πατριάρχου ἐνταῦθα τὴν πολλὴν σωφροσύνην, καὶ τὴν ὑπερβάλλουσαν ἐπιείκειαν. οὔτε γὰρ, καθάπερ τινὲς τῶν ἀνοήτων, ἐδυσχέραινε πρὸς τὴν γαμετὴν διὰ τὴν ἀπαιδίαν, οὔτε τὸν περὶ αὐτὴν πόθον ἠλάττωσεν. ἴστε γὰρ, ἴστε πῶς τοῖς πλείοσι τῶν ἀνθρώπων τοῦτο μάλιστα αἴτιον γίνεται τῆς κατὰ τῶν γυναικῶν ὑπεροψίας· ὥσπερ αὖ πάλιν καὶ φίλτρου πλείονος ὑπόθεσιν τὸ ἐναντίον ποιοῦνται, σφόδρα κούφως καὶ ἀνοήτως ταῖς γυναιξὶ λογιζόμενοι καὶ τὴν ἀπαιδίαν καὶ τὴν εὐπαιδίαν, οὐκ εἰδότες ὅτι τοῦ τῆς φύσεώς ἐστι δημιουργοῦ τὸ πᾶν· καὶ οὔτε ἡ συνουσία, οὔτε ἕτερόν τι ἐστὶ τὸ δυνάμενον συντελέσαι πρὸς τὴν τῶν παίδων διαδοχὴν, μὴ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, καὶ τὴν φύσιν διεγειρούσης πρὸς τὸν τόκον· ὅπερ ἀκριβῶς ὁ δίκαιος οὗτος ἐπιστάμενος, οὔτε τῇ γυναικὶ ἐλογίζετο τὴν ἀ-

Γεν. λ. α.

ἀπαιδίαν, καὶ τὴν προσήκουσαν αὐτῇ τιμὴν διὰ πάντων ἀπένειμε. διά τοι τοῦτο καὶ αὐτὴ φιλοτιμουμένη, καὶ βουλομένη δεῖξαι ὅσην ποιεῖται περὶ τὸν δίκαιον φιλοστοργίαν, οὐ τὸ ἑαυτῆς σκοποῦσα, ἀλλ' ὅπως ἂν ἐκείνῳ παραμυθίαν τινὰ τῆς ἀπαιδίας ἐπινοήσειε, μονονουχὶ ταῖς οἰκείαις χερσὶ λαβοῦσα τὴν παιδίσκην τὴν Αἰγυπτίαν ἐπὶ τὴν ἰδίαν εὐνὴν ἀνήγαγεν· ἀλλὰ καὶ διὰ τῶν ῥημάτων δεικνύουσα τὸν σκοπὸν, δι' ὃν τοῦτο ποιῆσαι κατεδέξατο, φησιν, ἐπειδὴ ἐγὼ ἄχρηστος ὤφθην καὶ ἀνεπιτήδειος πρὸς γονήν. Συνέκλεισε γάρ με ὁ κύριος τοῦ μὴ τεκεῖν. ὅρα ψυχῆς εὐγνωμοσύνην, πῶς οὐδὲν δυσχερὲς φθέγγεται, οὐδὲ ἀποδύρεται διὰ τὴν στείρωσιν, ἀλλὰ μόνον τοῦτο ἡμῖν ἐμφῆναι βούλεται, ὅτι τῷ δημιουργῷ τῆς φύσεως τοῦτο λογιζομένη πράως καὶ γενναίως ἔφερε, προτιμῶσα τὸ τῷ Θεῷ δοκοῦν τῆς οἰκείας ἐπιθυμίας, καὶ ἐσκόπει ὅπως τὸν ἄνδρα παραμυθήσηται. ἐπειδὴ οὖν φησιν, ἐμὲ συνέκλεισεν ὁ κύριος τοῦ μὴ τεκεῖν. πόση καὶ αὐτοῦ τοῦ ῥήματος ἡ ἔμφασις; πῶς δείκνυσι τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ τὴν ἄφατον δύναμιν; καθάπερ γὰρ ἡμεῖς, φησιν, ἐπὶ τῆς οἰκίας κλείομεν καὶ ἀνοίγομεν, οὕτω καὶ ὁ δεσπότης ἐπὶ τῆς φύσεως ἐργάζεται· καὶ τῷ οἰκείῳ προστάγματι καὶ τὰς κλεῖς ἐπάγει, καὶ πάλιν ἡνίκα ἂν βουληθῇ ἀνοίγει, καὶ κελεύει τῇ φύσει τὰ ἑαυτῆς ἐργάζεσθαι. ἐπεὶ οὖν συνέκλεισέ με, φησιν, ὁ κύριος τοῦ μὴ τεκεῖν, εἴσελθε πρὸς τὴν παιδίσκην μου ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. οἶδα ὅτι ἐγώ εἰμι ἡ αἰτία τῆς ἀπαιδίας· διὰ τοῦτο οὐ βούλομαί σε ἀποστερῆσαι τῆς ἐντεῦθεν παραμυθίας. ἴσως δὲ καὶ ὑπώπτευεν ἡ Σάρρα μὴ παρ' αὐτὴν μόνην εἶναι τὰ τῆς ἀπαιδίας, ἀλλὰ καὶ παρὰ τὸν πατριάρχην. διὰ τοῦτο βουλομένη δι' αὐτῶν τῶν ἔργων πληροφορηθῆναι, παραχωρεῖ τῇ παιδίσκῃ, καὶ εἰς τὴν εὐνὴν αὐτὴν ἄγει, ἵνα μάθῃ δι' αὐτῶν τῶν πραγμάτων, ὡς ἑαυτῇ τὸ πᾶν ὀφείλει λογίζεσθαι.

γρ. τὴν φύσιν

3 Ὑπήκουσε δέ, φησιν, Ἀβραὰμ τῆς φωνῆς Σάρρας.

Πολλὴ τοῦ δικαίου ἡ φιλοσοφία. ὅπερ γὰρ ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι οὔτε πρότερον τοῦτο ἐβουλεύσατο, καί τοι ἐν ἐσχάτῳ γήρᾳ λοιπὸν ὢν, καὶ νῦν τὴν προτροπὴν παρὰ τῆς Σάρρας δεξάμενος ἑτοίμως ὑπήκουσε, δεικνὺς ὅτι οὐκ ἐπιθυμίας ἕνεκεν ἁπλῶς, οὐδὲ πάθει κατακολουθῶν τὴν συνουσίαν ὑπεδέχετο, ἀλλ' ὥστε σπέρματος διαδοχὴν καταλιπεῖν.

γρ. ὑπηρετὴν

Καὶ λαβοῦσα Σάρρα ἡ γυνὴ Ἀβραὰμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς ἐν τῇ Χαναναίᾳ, ἔδωκεν Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς αὐτὴν γυναῖκα.

Σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν. ἵνα γὰρ μάθωμεν ὅτι οὐδὲ μετὰ τὰ ῥήματα ταῦτα, ἅπερ ἡ Σάρρα πρὸς αὐτὸν ἐποιήσατο, ἐπεπήδησε τῷ πράγματι, διὰ τοῦτό φησι, καὶ ἔλαβε Σάρρα ἡ γυνὴ Ἀβραὰμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μονονουχὶ δεικνύουσα ἡμῖν ἡ γραφὴ, ὅτι τὴν γαμετὴν παραμυθούμενος, καὶ ὑπακοῦσαι ταύτῃ βουλόμενος τὸ πρᾶγμα κατεδέξατο. ἵνα γὰρ μάθῃς μετὰ ἀκριβείας τοῦ πατριάρχου τὴν σωφροσύνην, καὶ τὴν ὑπερβάλλουσαν ἐγκράτειαν, φησι μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς ἐν τῇ Χαναναίᾳ. οὐχ ἁπλῶς γὰρ τὸν χρόνον ἐπεσημήνατο, ἀλλ' ἵνα εἰδέναι ἔχωμεν, ἐν πόσοις ἔτεσιν ὁ δίκαιος ἐκαρτέρησε καὶ γενναίως τὴν ἀπαιδίαν ἤνεγκε, καὶ ἀνώτερος παντὸς πάθους τυγχάνων, πολλὴν τὴν σωφροσύνην ἐπεδείξατο· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ ἕτερόν τι ἐκ τούτου μάθωμεν. διὰ γὰρ τοῦτο προσέθηκε μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς ἐν γῇ Χαναάν. οὐ γὰρ πάντα τὸν χρόνον τοῦ συνοικεσίου νῦν ἡμῖν ἐγνώρισεν, ἀλλὰ τὸν ἐν τῇ Χαναὰν χρόνον αὐτοῖς ἀναλωθέντα. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ γὰρ εὐθέως ἐπιστάντι τῇ Χαναναίᾳ ἐπηγγείλατο ὁ φιλάνθρωπος δεσπότης λέγων, τῷ σπέρματί σου τὴν γῆν ταύτην δώσω, καὶ πάλιν μετὰ ταῦτα καὶ ἅπαξ καὶ δεύτερον τὰς ὑποσχέσεις πρὸς

γρ. προστάγμα

γρ. γῇ Χανα

γρ. οὐδ

αὐτὸν ἐποιήσατο, ἵνα γνῷς, ἀγαπητέ, ἐν πόσοις ἔτεσι διαναβαλλομένου τοῦ δεσπότου, καὶ μηδὲν τῶν ἐπαγγελθέντων εἰς ἔργον ἄγοντος, ὁ δίκαιος οὗτος οὐκ ἐταράττετο τὴν γνώμην, ἀλλὰ τῶν οἰκείων λογισμῶν προετίμα τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα. διὰ τοῦτό, φησι, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι αὐτοὺς ἐν γῇ Χαναάν. εἶδες ψυχῆς ἀνδρείαν, εἶδες γυμνάσιον φιλοσοφίας, πῶς περιφανέστερον αὐτὸν ποιῆσαι βουλόμενος ὁ δεσπότης, μέλλει καὶ ἀναβάλλεται. ἐπειδὴ γὰρ κήδεται τῶν αὐτοῦ θεραπόντων, οὐχ ἁπλῶς εἰς αὐτοὺς τὰς εὐεργεσίας βούλεται κατατίθεσθαι, ἀλλὰ καὶ περιφανεῖς αὐτοὺς δεικνύναι, καὶ τὴν πίστιν αὐτῶν ἅπασι κατάδηλον ποιεῖν γίνεσθαι. εἰ γὰρ εὐθέως ἐπαγγειλάμενος τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν, διήνοιξε τῆς Σάρρας τὴν μήτραν, καὶ τὴν τῶν παίδων διαδοχὴν αὐτῷ ἐχαρίσατο, οὔτε τὸ θαῦμα οὕτως ἐδείκνυτο μέγα, οὔτε ἡ τοῦ δικαίου πίστις πᾶσι περιφανὴς καθίστατο. ἡ μὲν γὰρ τοῦ θεοῦ δύναμις καὶ τότε δήλη ἂν ἦν (νεκρωθὲν γὰρ τὸ ἐργαστήριον τῆς φύσεως καὶ ἄχρηστον γεγονὸς πρὸς παιδοποιΐαν [πάντως αὐτὸς] τῷ οἰκείῳ προστάγματι πάλιν καὶ οὕτως ἐζωογόνει) ἀλλ᾽ οὐκ ἂν οὕτω τὸν στέφανον ἀνεδήσατο ὁ πατριάρχης, ὥσπερ νῦν ἐν τοσούτῳ μήκει χρόνου τῆς ἀρετῆς αὐτοῦ βασανιζομένης, καὶ καθ᾽ ἑκάστην ἡμέραν λαμπροτέρας γινομένης. καὶ ἵνα μάθῃς ὅτι οὐ μόνον εὐεργετεῖν βούλεται, καὶ τὰς παρ᾽ ἑαυτοῦ δωρεὰς παρέχειν, ἀλλ᾽ ἔθος αὐτῷ τοῦτο καὶ τοὺς ταύτας δεχομένους περιφανεστέρους ἐθέλειν ποιεῖν, ὅρα αὐτὸν καὶ ἐπὶ τῆς Χαναναίας τοῦτο διαπραξάμενον, καὶ διὰ τοῦτο μέλλοντα καὶ ὑπερτιθέμενον, ἵνα μὴ μόνον τὴν αἴτησιν αὐτῇ παράσχῃ, ἀλλὰ καὶ αὐτὴν εἰς πᾶσαν τὴν οἰκουμένην κατάδηλον ἐργάζηται. ἐπειδὴ γὰρ προσῆλθεν ἱκετεύουσα καὶ λέγουσα, ἐλέησόν με κύριε, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται· οὔτε ἀποκρίσεως αὐτὴν ἠξίωσεν ὁ εὔσπλαγχνος καὶ φιλάνθρωπος, καὶ ἀεὶ τὰς αἰτήσεις ἡμῶν προφθάνων. καὶ οἱ μὲν μαθηταὶ οὐκ εἰδότες τὸ μέλλον ἔσεσθαι, καὶ ὅτι κηδόμενος τῆς γυναικὸς, καὶ οὐ βουλόμενος αὐτῆς τὸν θησαυρὸν κεκρύφθαι διὰ τοῦτο οὐκ ἀποκρίνεται, ὡς δῆθεν συμπαθέστεροι, προσελθόντες παρεκάλουν αὐτὸν λέγοντες, ἀπόλυσον αὐτὴν ὅτι κράζει ὄπισθεν ἡμῶν· μονονουχὶ δεικνύντες ὅτι οὐκ ἔτι φέρουσιν αὐτῆς τὴν ἐπάχθειαν. ἀπόλυσον γὰρ αὐτὴν, οὐκ ἐπειδὴ κατώδυνός ἐστιν, οὐδὲ ἐπειδὴ ἡ αἴτησις αὐτῆς εὔλογος, ἀλλ᾽ ὅτι κράζει ὄπισθεν ἡμῶν. τί οὖν; ὁ δεσπότης βουλόμενος κἀκείνης τὸν θησαυρὸν κατὰ μικρὸν ἐκκαλύψαι, καὶ τούτους διδάξαι ὅσον λείπονται τῆς αὐτοῦ φιλανθρωπίας, ἀπόκρισιν ποιεῖται ἱκανὴν οὖσαν κἀκείνης πηρῶσαι τὸν λογισμὸν, εἰ μὴ συντεταμένην εἶχε τὴν διάνοιαν, καὶ ζέοντα τὸν πόθον, καὶ τὴν προθυμίαν ἀκμάζουσαν, κἀκείνους ἀποστῆσαι τῆς ὑπὲρ αὐτῆς ἱκετηρίας. οὐκ ἀπεστάλην γάρ, φησιν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. τοῦτο ἐκείνους μὲν ἀπέστησε τοῦ παρακαλεῖν ὑπὲρ τῆς γυναικὸς, ἐκείνην δὲ ὀκνηροτέραν οὐκ εἰργάσατο, ἀλλὰ καὶ μᾶλλον ἐπικεῖσθαι παρεσκεύασε. τοιοῦτον γὰρ ἡ ὀδυνωμένη ψυχή, καὶ μετὰ θερμῆς τῆς διαθέσεως προσιοῦσα· πρὸς οὐδὲν ἐπιστρέφεται τῶν λεγομένων, ἀλλ᾽ ἓν μόνον σκοπεῖ, ὅπως ἐπιτύχῃ τῶν σπουδαζομένων, ὅπερ καὶ αὕτη πεποίηκεν. ἀκούσασα γὰρ ταῦτα, πάλιν φησὶ, προσεκύνησεν αὐτὸν λέγουσα· ἐλέησόν με κύριε. ᾔδει τοῦ δεσπότου τὴν εὐσπλαγχνίαν, καὶ διὰ τοῦτο πολλῇ κέχρηται τῇ προσεδρίᾳ. ἀλλ᾽ ὅρα πάλιν τὸ σοφὸν καὶ εὐμήχανον. οὐδὲ οὕτως ἐπινεύει, ἀλλὰ καὶ σφοδροτέραν καὶ τραχυτέραν ποιεῖται τὴν ἀπόκρισιν. ᾔδει γὰρ τὴν ἀνδρείαν τῆς γυναικὸς, καὶ ἐβούλετο μὴ λανθάνουσαν αὐτὴν δέξασθαι τὴν εὐεργεσίαν, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐκ τῆς ἐκβάσεως μαθεῖν τῆς μακροθυμίας αὐτοῦ τὴν αἰτίαν, καὶ τοὺς ἄλλους ἅπαντας παιδευθῆναι, ὅση τῆς προσεδρίας ἡ ἰσχὺς, καὶ τῆς γυναικὸς ἡ ἀρετή. φησὶ γὰρ, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἐνταῦθά μοι σκόπει

Ματθ. 15.

πει τῆς γυναικὸς τὸν τόνον, πῶς τῷ θερμῷ τῆς προθυμίας πεπυρωμένη, καὶ τῇ πίστει τῇ εἰς τὸν Θεὸν ἐστερεωμένη, καὶ τὰ σπλάγχνα αὐτά, ὡς εἰπεῖν, διακοπτομένη, καὶ πολλὴν πρὸς τὴν θυγατέρα τὴν συμπάθειαν ἔχουσα, οὐδὲ ἀποστρέφεται τοῦ ῥήματος τὴν ὕβριν, ἀλλὰ κυνάριον ἀκούσασα καταδέχεται, καὶ ὁμολογεῖ κυνάριον εἶναι, ἵνα ἀπαλλαγῇ τῆς τῶν κυνῶν ἀλογίας, καὶ εἰς τὴν τῶν υἱῶν τάξιν ἀθρόον ἐναρίθμιος γένηται. ἄκουσον λοιπὸν τὰ παρὰ τῆς γυναικός, ἵνα μάθῃς ὅσον τῆς τοῦ θεοῦ μακροθυμίας τὸ κέρδος γέγονεν. οὐ μόνον γὰρ οὐκ ἀπέστησε τὸ γύναιον ἡ τῶν εἰρημένων πρὸς αὐτὴν σφοδρότης, ἀλλὰ καὶ πρὸς πλείονα προθυμίαν διήγειρεν. ἐπειδὴ γὰρ ἤκουσε ταυτὶ τὰ ῥήματα, φησι, ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Εἶδες τίνος ἕνεκεν μέχρι τοῦ παρόντος τὴν μακροθυμίαν ἐπεδείξατο, ἵνα διὰ τῶν ῥημάτων τῆς γυναικὸς μάθωμεν αὐτῆς τῆς πίστεως τὴν ὑπερβολήν. ὅρα γὰρ πῶς εὐθέως αὐτὴν ἀνεκήρυξεν ὁ δεσπότης, καὶ ἐστεφάνωσε λέγων· ὦ γύναι, μεγάλη σου ἡ πίστις. μετὰ θαυμασμοῦ καὶ ἐγκωμίων ἀπέπεμψε τὴν οὐδὲ ἀποκρίσεως παρ' αὐτοῦ ἐν προοιμίοις ἀξιωθεῖσαν. μεγάλη σου, φησιν, ἡ πίστις. καὶ γὰρ ἦν ὄντως μεγάλη, διὰ τὸ καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις ὁρῶσαν ἀναδυόμενον πρὸς τὴν αἴτησιν, μὴ ναρκῆσαι, μηδὲ ἀποπηδῆσαι, ἀλλὰ τῷ τόνῳ τῆς προσεδρίας ἐκκαλέσασθαι καὶ παρασκευάσαι εἰς πέρας ἀγαγεῖν τὰ αἰτηθέντα. γενηθήτω γάρ σοι, φησιν, ὡς θέλεις. Εἶδες, ὁ πρότερον μηδὲ ἀποκρίσεως αὐτὴν ἀξιῶν, πῶς νῦν φιλοτιμεῖται ταῖς δωρεαῖς. οὐδὲ γὰρ ἁπλῶς αὐτῇ παρέσχε τὴν αἴτησιν, ἀλλὰ ἀνεκήρυξε καὶ ἐστεφάνωσε· καὶ τῷ εἰπεῖν, ὦ γύναι, ἔδειξεν ὅπως αὐτοῦ τὴν πίστιν ἐξεπλάγη· καὶ τῷ εἰπεῖν, μεγάλη σου ἡ πίστις, κατάδηλον ἡμῖν ἐποίησε τῆς γυναικὸς τὸν πλοῦτον. εἶτά φησι, γενηθήτω σοι ὡς θέλεις. ὅσον βούλει, ὅσον θέλεις, τοσοῦτον παρέχω. ἡ γὰρ τοσαύτη προσεδρία ἀξίαν σε ἀποφαίνει τῆς αἰτήσεως. εἴδετε τῆς γυναικὸς τὴν εὐτονίαν, εἴδετε τῆς τοῦ θεοῦ μακροθυμίας τὴν αἰτίαν, καὶ ὅτι περιφανεστέραν αὐτὴν ἐργάσασθαι βουλόμενος, διὰ τοῦτο ἀνεβάλλετο. ἐπανέλθωμεν δέ, εἰ δοκεῖ, ἐπὶ τὴν προκειμένην ἱστορίαν, ἵνα μάθωμεν ὅτι δι' οὐδὲν ἕτερον ἐν τοσούτοις ἔτεσι τὰς ἐπαγγελίας τὰς κατὰ τὸν πατριάρχην γεγενημένας εἰς ἔργον οὐκ ἤγαγεν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς περιφανείας ταύτας αὐτῷ παράσχῃ, καὶ πᾶσι τοῦ δικαίου τὴν πίστιν κατάδηλον ἐργάζηται. διὰ τοῦτό φησι, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι αὐτοὺς ἐν γῇ Χαναάν, ἵνα μάθῃς ὅσος παρῆλθε χρόνος ἐξ οὗ τὰ τῆς ἐπαγγελίας ἐδέξατο. εὐθὺς γὰρ ἐπιστὰς τῇ Χαναναίᾳ, ἤκουσεν ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, καὶ ἐν τοσούτῳ μήκει χρόνου καὶ αὐτὸς ἄπαις διέμεινε, καὶ τῆς Σάρρας ἡ στείρωσις ἐπετείνετο. καὶ ἔδωκε τὴν Ἄγαρ, φησίν, Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς εἰς γυναῖκα. ὅρα πόση τὸ παλαιὸν ἐπολιτεύετο παρ' αὐτοῖς ἡ φιλοσοφία· πῶς καὶ οἱ ἄνδρες ἦσαν ἐγκρατεῖς καὶ τῆς σωφροσύνης πολλὴν ποιούμενοι λόγον, καὶ αἱ γυναῖκες ζηλοτυπίας ἐκτὸς ἐτύγχανον. ἐπίτηδες γὰρ ἡ γραφὴ συνεχῶς λέγει, καὶ λαβοῦσα Σάρρα Ἄγαρ τὴν παιδίσκην· καὶ πάλιν, ἔδωκεν αὐτὴν εἰς γυναῖκα, ἵνα μάθῃς ὅπως ἀπαθῶς τὸ πρᾶγμα μετεχείριζε, καὶ πόση παρ' αὐτοῖς ἦν ἡ φιλοσοφία.

4 Καὶ εἰσῆλθε, φησι, πρὸς Ἄγαρ, καὶ συνέλαβεν.

Ὅρα πῶς μανθάνει ἡ Σάρρα, ὅτι οὐ παρὰ τὸν δίκαιον ἐν ἀπαιδίᾳ ἐτύγχανεν, ἀλλὰ παρὰ τὴν στείρωσιν τὴν ἑαυτῆς. εὐθέως γὰρ ἡ συνουσία τὴν σύλληψιν εἰργάσατο. ἀλλ' ὅρα πάλιν τῆς παιδίσκης τὴν ἀγνωμοσύνην καὶ τῆς γυναικείας φύσεως τὴν ἀσθένειαν, ἵνα μάθῃς καὶ ἐντεῦθεν τοῦ πατριάρχου τὴν πολλὴν ἐπιείκειαν.

Καὶ εἶδε, φησιν, ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς.

Τοιοῦτον γὰρ τῶν οἰκετῶν τὸ ἦθος· ἂν μικρᾶς εὐημερίας ἐπιλάβωνται, οὐκ ἀνέχονται μένειν εἴσω τῶν οἰκείων ὅρων, ἀλλ᾽ εὐθέως ἐπιλανθάνονται τῆς οἰκείας τάξεως, καὶ πρὸς ἀγνωμοσύνην ἐπείγονται, ὅπερ καὶ αὕτη ἡ παιδίσκη πέπονθεν. ἐπειδὴ γὰρ εἶδε τῆς γαστρὸς τὸν ὄγκον, οὐκ ἐννοοῦσα, οὔτε τῆς δεσποίνης τὴν ἄφατον φιλοσοφίαν, οὔτε τῆς οἰκείας ἀξίας τὴν εὐτέλειαν, ἀλλ᾽ ἐπαρθεῖσα καὶ μέγα φρονήσασα ὑπερορᾷ τῆς δεσποίνης τῆς τοσαύτην περὶ αὐτὴν ἐπιδειξαμένης τὴν κηδεμονίαν, ὡς καὶ ἐπὶ τὴν εὐνὴν αὐτὴν ἀγαγεῖν τοῦ ἀνδρός. τί οὖν ἡ Σάρρα;

5 Εἶπε, φησι, πρὸς Ἀβραάμ· ἀδικοῦμαι ἐκ σοῦ. ἰδοὺ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου. ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σου.

Ἐνταῦθά μοι σκόπει τοῦ δικαίου τὴν ἄφατον μακροθυμίαν, καὶ τὴν αἰδῶ, ἣν περὶ τὴν Σάρραν ἐπιδείκνυται, συγγνώμην αὐτὴν αἰτῶν τῆς ἀλόγου ταύτης αἰτίας. ἡ γὰρ ταῖς χερσὶ παραδοῦσα τὴν παιδίσκην τῷ ἀνδρί, ἡ εἰποῦσα εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἡ οἴκοθεν καὶ ἀφ᾽ ἑαυτῆς πρὸς τὴν συνουσίαν αὐτὸν προτρεψαμένη, αὕτη νῦν μεταβαλλομένη φησίν, ἀδικοῦμαι ἐκ σοῦ. μὴ γὰρ αὐτὸς ἐπέδραμεν, ὦ γύναι, τῇ τῆς παιδίσκης συνουσίᾳ; μὴ γὰρ ἐξ ἀσελγείας ὁρμηθεὶς τῷ πράγματι ἐπεπήδησε; σοὶ πειθόμενος καὶ τῷ σῷ ἐπιτάγματι τοῦτο πεποίηκε. τί οὖν ἠδίκησαι παρὰ τοῦ ἀνδρός; ἰδοὺ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου. εἰ τοίνυν ὁμολογεῖς, ὅτι αὐτὴ δέδωκας, καὶ οὐκ ἀφ᾽ ἑαυτοῦ ταύτην ἔλαβε, τίνος ἕνεκεν ἀδικίαν ἐγκαλεῖς; ναί φησιν· εἰ γὰρ καὶ ἐγὼ δέδωκα, ἀλλ᾽ ὁρῶν αὐτῆς τὴν προπέτειαν ὤφειλες ἐπισχεῖν αὐτῆς τὴν ἀκόλαστον γνώμην. ἰδοῦσα γὰρ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σου. γυναικὸς ἀληθῶς ταῦτα τὰ ῥήματα καὶ τῆς ἀσθενείας ταύτης τῆς φύσεως. μονονουχὶ γὰρ ταῦτά φησι πρὸς αὐτόν· ἐγὼ μὲν τὴν ἀπαιδίαν βουλομένη παραμυθήσασθαι τὴν σήν, τοσαύτην ἐπεδειξάμην τὴν κηδεμονίαν, ὡς καὶ τὴν ἐμὴν παιδίσκην καὶ ταῖς ἐμαυτῆς σοι χερσὶ παραδοῦναι, καὶ πρὸς τὴν συνουσίαν προτρέψασθαι· ὁρῶν δὲ αὐτὸς ἐντεῦθεν αὐτὴν γινομένην προπετεστέραν διὰ τὸν τῆς γαστρὸς ὄγκον, καὶ φρονήματος ἐμπεπλησμένην, δέον ἀναστεῖλαι καὶ ἐκδικῆσαί σε τὰς ὕβρεις τὰς εἰς ἐμὲ γινομένας, οὐκ ἐποίησας· ἀλλ᾽ ὡσανεὶ πάντων τῶν προτέρων ἐπιλαθόμενος, περιορᾶσθαι ἐμὲ καταδέχῃ, τὴν ἐν τοσούτοις ἔτεσι συνοικήσασαν, ὑπὸ τῆς Αἰγυπτίας τῆς παιδίσκης τῆς ἐμῆς ἀτιμαζομένην. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σου. ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, καὶ εἰ μὴ φιλόσοφός τις ἦν ὁ πατριάρχης, καὶ πολλὴν τὴν αἰδῶ περὶ τὴν Σάρραν ἐπεδείκνυτο, καὶ ἐδυσχέρανεν ἂν πρὸς τὰ ῥήματα, καὶ ἤλγησεν ἐπὶ τῇ βαρύτητι τῶν λεχθέντων. ἀλλ᾽ ὁ θαυμάσιος οὗτος πρὸς τὸ τῆς φύσεως ἀσθενὲς ἀφορῶν, πᾶσαν ἔδωκεν αὐτῇ συγγνώμην. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σου. ἐννόησόν, φησι, πόσον πρᾶγμα κατεδεξάμην διὰ τὴν σὴν παραμυθίαν, βουλομένη σε κἂν γοῦν ἐν γήρᾳ πατέρα κληθῆναι, καὶ τὴν παιδίσκην τὴν ἐμὴν εἰς τὴν ἀξίαν τὴν ἐμαυτῆς ἀνήγαγον. σὺ δὲ ὁρῶν ἀγνωμόνως αὐτὴν ἐντεῦθεν διατεθεῖσαν, οὐκ ἤμυνας, οὐκ ἠμείψω με τῆς γνώμης, ἣν περὶ σὲ ἐπεδειξάμην. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σου. ἐκεῖνος, φησιν, ὁ τὰ ἀπόρρητα ἑκάστου ἐπιστάμενος τῆς διανοίας, αὐτὸς ἔσται κριτὴς μεταξὺ ἡμῶν, καὶ πῶς ἐγὼ μὲν παντὸς πάθους ἀνωτέρα γενομένη προετίμησα ἐμαυτῆς τὴν παραμυθίαν τὴν σήν, καὶ εἰς τὴν εὐνὴν τὴν ἐμήν, τὴν παιδίσκην ἀνήγαγον· αὐτὸς δὲ οὐδὲν τῶν παρ᾽ ἐμοῦ γινομένων ἐν διανοίᾳ λαβών, συγχωρεῖς ἐκείνην κατεξανίστασθαι τῆς ἐμῆς ἐπιεικείας, καὶ οὐκ ἀναστέλλεις τὴν τόλμαν, οὐδὲ σωφρονίζεις τὴν ἀγνώμονα. τί οὖν;

ὁ ἀδάμας, ὁ γενναῖος ἀθλητὴς τοῦ Θεοῦ, ὁ πανταχόθεν ἑαυτῷ πλέκων τοὺς στεφάνους, δεικνὺς καὶ διὰ τούτου τὴν οἰκείαν ἀρετήν, ὅρα τί φησι πρὸς αὐτήν.

6 Ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου. χρῶ αὐτῇ, ὡς ἐάν σοι ἀρεστὸν ᾖ.

Μεγάλη τοῦ δικαίου ἡ φιλοσοφία· πολλὴ τῆς μακροθυμίας ἡ ὑπερβολή. οὐ μόνον γὰρ οὐκ ἐδυσχέραινε πρὸς τὰ παρὰ τῆς Σάρρας εἰρημένα, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας ποιεῖται τὴν ἀπόκρισιν, καί φησιν· ὑποπτεύεις με αἴτιον γεγενῆσθαι τῶν εἰς σὲ ὕβρεων, καὶ νομίζεις με ἥδεσθαι τοῖς παρὰ τῆς παιδίσκης γινομένοις, ἐπειδὴ ἅπαξ ἐκοινώνησέ μοι τῆς εὐνῆς. μάνθανε ὅτι καὶ πρότερον, εἰ μή σοι ὑπακοῦσαι βουλόμενος τοῦτο κατεδεξάμην, οὐκ ἄν ποτε ἠνεσχόμην τὴν παιδίσκην εἰς τὴν εὐνὴν ἀναγαγεῖν τὴν σήν, καὶ νῦν ἵνα διὰ τῶν πραγμάτων πληροφορηθῇς, ἰδοὺ ὑπὸ τὰς χεῖράς σου ἐστί. χρῶ αὐτῇ, ὡς ἄν σοι ἀρεστὸν ᾖ. μὴ γὰρ ὑπετέμετό σου τις τὴν ἐξουσίαν; μὴ γὰρ ἀφῃρέθης αὐτῆς τὴν δεσποτείαν; εἰ γὰρ καὶ τὴν πρὸς αὐτὴν συνουσίαν κατεδεξάμην, ἀλλ᾽ ἔχεις αὐτῆς τὴν ἐξουσίαν, καὶ ὑπὸ τὰς χεῖράς σου ἐστί. κόλαζε, σωφρόνιζε, ἐπιτίμα. ὃ βούλει, καὶ ὡς ἀρέσκει σοι, οὕτω διαπράττου τὰ εἰς αὐτήν· μόνον μὴ δυσχέραινε, μόνον μὴ ἐμοὶ ἐπίγραφε τὰ παρ᾽ αὐτῆς προπετῶς γεγενημένα. οὐδὲ γὰρ ἀπὸ πάθους οἰκείου κινούμενος τῆς πρὸς αὐτὴν ἠνεσχόμην συνουσίας [ἀλυπιποιήσασθαι], ἵνα καὶ προσπαθῶς ἐντεῦθεν κινούμενος ἄλογον αὐτῇ προστασίαν δῶ. οἶδα τὴν ὀφειλομένην σοι τιμήν. οὐκ ἀγνοῶ τῶν οἰκετῶν τὴν ἀγνωμοσύνην. οὐδείς μοι ταύτης λόγος, οὐδεμία φροντίς. ἕν ἐστί μοι μόνον τὸ σπουδαζόμενον, τό σε ἄλυπον, ἀτάραχον ἐν τιμῇ πάσῃ καθεστάναι παντὸς ἀπηλλαγμένην λυπηροῦ. τοῦτο ″ ἀληθὲς συνοικέσιον, τοῦτ᾽ ἀνήρ, ὅταν μὴ ἀκριβολογῆται πρὸς τὰ τῆς γυναικὸς ῥήματα, ἀλλὰ τῇ ἀσθενείᾳ τῆς φύσεως πολλὴν νέμων τὴν συγγνώμην μίαν ποιῆται σπουδήν, ὥστε τὴν λύπην ἐκποδὼν ποιῆσαι, καὶ τὰ τῆς εἰρήνης καὶ τῆς ὁμονοίας συσφίγγειν. ἀκουέτωσαν ἄνδρες, καὶ μιμείσθωσαν τοῦ δικαίου τὴν ἐπιείκειαν, καὶ τοσαύτην αἰδῶ καὶ τιμὴν ταῖς γυναιξὶν ἀπονεμέτωσαν, καὶ ὡς ἀσθενεστέρῳ σκεύει φειδέσθωσαν, ἵνα ὁ τῆς ὁμονοίας σύνδεσμος ἐπιτείνηται. τοῦτο γὰρ ὁ ἀληθὴς πλοῦτος, αὕτη ἡ μεγίστη περιουσία, ὅταν ἀνὴρ μετὰ γυναικὸς μὴ διχονοῇ, ἀλλὰ καθάπερ σῶμα ἓν οὕτως ὦσι συνημμένοι. Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. οἱ τοιοῦτοι κἂν ἐν πενίᾳ ὦσι, κἂν ἐν εὐτελείᾳ, πάντων ἂν εἶεν μακαριώτεροι, τὴν ἀληθῆ ἡδονὴν καρπούμενοι, καὶ ἐν διηνεκεῖ γαλήνῃ καθεστῶτες. ὡς οἵ γε ταύτης μὴ ἀπολαύοντες, ἀλλὰ ζηλοτύπως διακείμενοι, καὶ τὸ τῆς εἰρήνης καλὸν διαφθείροντες, κἂν πολλῷ περιρρέωνται πλούτῳ, κἂν πολυτελεῖς ἔχωσι τὰς τραπέζας, κἂν ἐν περιφανείᾳ τύχωσιν ὄντες, πάντων ἐλεεινότερον ζῶσι βίον, κύματα καὶ ταραχὰς καθ᾽ ἑκάστην ἡμέραν ἑαυτοῖς ἐπινοοῦντες, καὶ ἀλλήλους ὑποπτεύοντες, καὶ οὐδεμίαν ἡδονὴν ἔχειν δυνάμενοι, τοῦ ἔνδοθεν πολέμου πάντα συγχέοντος, καὶ πολλὴν ἐν αὐτοῖς τὴν ἀηδίαν ἐργαζομένου. ἀλλ᾽ ἐνταῦθα οὐδὲν τοιοῦτον· ἀλλὰ διὰ τῆς οἰκείας ἐπιεικείας ὁ πατριάρχης τόν τε θυμὸν κατεμάλαξε τῆς δεσποίνης, καὶ δοὺς αὐτῇ τὴν ἐξουσίαν ἅπασαν τὴν κατὰ τῆς παιδίσκης, εἰρήνης πολλῆς ἐνέπλησεν ἑαυτοῦ τὴν οἰκίαν.

Γεν. β. κδ.

Καὶ ἐκάκωσεν αὐτήν, φησι, Σάρρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς.

Ἐπειδὴ γὰρ ἴσως ἐκόλασεν αὐτῆς τὴν προπέτειαν, εἰς φυγὴν ἐτράπη ἡ παιδίσκη. τοιοῦτον γὰρ τῶν οἰκετῶν τὸ ″ ἦθος. ἐπειδὰν μὴ ἐξῇ αὐτοῖς τῷ οἰκείῳ τρόπῳ κεχρῆσθαι, ἀλλ᾽ ἐγκόπτηται αὐτῶν τὰ τῆς ἐπιχειρήσεως, εὐθέως ἀφηνιάζουσι τῶν δεσποτῶν, καὶ πρὸς φυγὴν ὁρμῶσιν. ἀλλ᾽ ὅρα πάλιν ἐνταῦθα πόσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς καὶ ἡ παιδίσκη διὰ τὴν εἰς τὸν δίκαιον τιμήν. ἐπειδὴ γὰρ περιέφερε μεθ᾽ ἑαυτῆς τοῦ δικαίου τὸ σπέρμα, διὰ τοῦτο καὶ τῆς ὀπτασίας ἀξιοῦται τῆς παρὰ τοῦ ἀγγέλου.

7 Εὗρε γὰρ αὐτὴν, φησὶν, ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐν τῇ ὁδῷ Σούρ.

Σκόπει φιλανθρωπίαν δεσπότου, πῶς οὐδένα παρορᾷ, ἀλλὰ κἂν οἰκέτης ᾖ, κἂν παιδίσκη, αὐτὸς ἐν πᾶσι τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν, οὐ πρὸς τὴν τῶν ἀξιωμάτων ὁρῶν διαφορὰν, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς διάθεσιν. ἐνταῦθα δὲ οὐ διὰ τὴν τῆς παιδίσκης ἀξίαν ὁ ἄγγελος ἐφίσταται, ἀλλὰ διὰ τὴν πρὸς τὸν δίκαιον τιμήν. καθάπερ γὰρ ἔφθην εἰπὼν, ἐχρῆν αὐτὴν πολλῆς ἀξιωθῆναι προνοίας, διὰ τὸ ἀξίαν γενέσθαι ὑποδέξασθαι τὸ τοῦ δικαίου σπέρμα.

8 Καὶ εὑρὼν αὐτὴν, φησὶν, ὁ ἄγγελος εἶπεν αὐτῇ· Ἄγαρ παιδίσκη Σάρρας, πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ;

Ὅρα πῶς καὶ τὰ παρὰ τοῦ ἀγγέλου εἰς ὑπόμνησιν αὐτὴν ἦγε τῆς οἰκείας ἀξίας. ἵνα γὰρ προσεκτικωτέραν αὐτὴν ποιήσῃ, εὐθέως τὴν προσηγορίαν αὐτῆς εἰς μέσον ἤγαγε, καί φησιν, Ἄγαρ. εἰώθαμεν γάρ πως ἐκείνοις προσέχειν μᾶλλον τοῖς ἐξ ὀνόματος ἡμᾶς καλοῦσιν. εἶτά φησι, παιδίσκη Σάρρας. ὑπομιμνήσκει αὐτὴν τῆς δεσποίνης, ἵνα εἰδέναι ἔχῃ, ὅτι κἂν μυριάκις τῆς δεσποτικῆς εὐνοίας ἐκοινώνησεν, ἀλλ' ὅμως καὶ δεσπότιν ὀφείλει ἐπιγράφεσθαι τὴν Σάρραν. ὅρα τοίνυν τὸν ἄγγελον πυνθανόμενον, ἵνα εἰς ἀνάγκην αὐτὴν ἀγάγῃ τῆς ἀποκρίσεως. πόθεν, φησὶ, νῦν εἰς τὴν ἔρημον ταύτην παραγέγονας; καὶ ποῦ τὴν ὁρμὴν ἔχεις; διὰ γὰρ τοῦτο καὶ εἰς αὐτὴν τὴν ἔρημον αὐτῇ γενομένῃ φαίνεται ὁ ἄγγελος, ἵνα μὴ νομίσῃ ἁπλῶς τινα τῶν παριόντων εἶναι τὸν ″ πυνθανόμενον. ἐρημία γὰρ ἦν, καὶ οὐδεὶς * παρῆν. ἵνα οὖν εἰδέναι ἔχῃ, ὅτι οὐχ ἁπλῶς ἐστιν οὐδὲ ὁ τυχὼν, ὁ πρὸς αὐτὴν διαλεγόμενος, διὰ τοῦτο ἐν τῇ ἐρήμῳ φανεὶς πυνθάνεται αὐτῆς·

Καί φησιν ἐκείνη, ἀπὸ προσώπου Σάρρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω.

Ὁρᾷς πῶς οὐκ ἀρνεῖται τὴν δεσποτείαν, ἀλλ' ὁμολογεῖ μετ' ἀληθείας ἅπαντα. οὐκ ἔστι, φησὶν, ἄνθρωπος ὁ πυνθανόμενος, ἵνα δυνηθῶ παρακρούσασθαι. προλαβὼν καὶ τὴν προσηγορίαν εἶπε τὴν ἐμὴν, καὶ τῆς δεσποίνης ἐμνήσθη. προσήκει τοίνυν κἀμὲ μετ' ἀληθείας ἅπαντα εἰπεῖν. ἀπὸ προσώπου, φησὶ, Σάρρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. ὅρα πῶς ἀνεπαχθῶς τὴν μνήμην ἐποιήσατο. οὐ γὰρ εἶπεν, ὅτι δεινά με διέθηκεν· οὐκ εἶπεν, ὅτι ἐκάκωσέ με, καὶ διὰ τὸ μὴ φέρειν τὴν πολλὴν ἐπάχθειαν εἰς φυγὴν ἐτράπην· οὐδὲν δυσχερὲς ἐφθέγξατο, ἀλλὰ μόνον ἑαυτῆς κατηγόρησεν ὡς ἀποδρασάσης. εἶδες αὐτῆς τὴν εὐγνωμοσύνην. ὅρα πάλιν τὰ παρὰ τοῦ ἀγγέλου εἰρημένα πρὸς αὐτήν.

9 Εἶπε δὲ αὐτῇ ὁ ἄγγελος κυρίου, ἀποστράφηθι πρὸς τὴν κυρίαν σου, καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς.

Πρὸς μὲν τὸ εἰπεῖν, ἀπὸ προσώπου τῆς κυρίας μου ἀποδιδράσκω, φησὶν ἀποστράφηθι, ἐπανελθὲ, μὴ ἀγνωμόνως διάκεισο περὶ τὴν τοσαῦτά σε εὐεργετήσασαν. εἶτα ἐπειδὴ ἐξ ἀλαζονείας καὶ φρονήματος ὑψηλοῦ πρὸς ὀργὴν διήγειρε τὴν ἑαυτῆς δέσποιναν, φησὶ, καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς, ὑποτάττου αὐτῇ (τοῦτο γάρ σοι λυσιτελές) ἐπιγίνωσκε τὴν δουλείαν, μὴ ἀγνόει τὴν δεσποτείαν, μηδὲν ὑψηλὸν φρόνει, μὴ τὰ ὑπὲρ σαυτὴν φαντάζου· ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς, πολλὴν ἐπίδειξαι τὴν ὑποταγήν. ἱκανῶς αὐτῆς τὴν ψυχὴν κατεμάλαξε τὰ παρὰ τοῦ ἀγγέλου εἰρημένα, κατέστειλεν αὐτῆς τὸ φρόνημα, ἐχαλίνωσεν αὐτῆς τὸν θυμὸν, πολλὴν εἰργάσατο γαλήνην ἐν τοῖς λογισμοῖς. εἶτα ἵνα μὴ νομίσῃ ἁπλῶς καὶ εἰκῇ τοσαύτης ἠξιῶσθαι προνοίας, ἀλλὰ μάθῃ ὅτι διὰ τὸ τοῦ δικαίου σπέρμα τοιαύτης ἀπολαύει τῆς κηδεμονίας, ὅρα πῶς αὐτὴν παραμυθεῖται, καὶ ἀνίστησιν αὐτῆς τὴν ψυχήν, καὶ ἀρκοῦσαν αὐτῇ χαρίζεται τὴν παράκλησιν διὰ τῶν ἐπαγγελιῶν.

10 Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου, πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους.

Καὶ τοῦτό σοί, φησι, προλέγω, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς μηδὲ ἀριθμῷ ὑποβάλλεσθαι. μὴ τοίνυν ἀθύμει, μηδὲ καταπίπτε, μηδὲ ταράττου τοῖς λογισμοῖς, ἀλλὰ πᾶσαν ἐπίδειξαι τὴν ὑποταγήν.

11 Ἰδοὺ γὰρ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ.

Διὰ γὰρ τοῦτό σοί, φησι, καὶ τὸν τόκον προλέγω, καὶ τὸ ὄνομα ἤδη ἐπιτίθημι τῷ παιδὶ τῷ τικτομένῳ, ἵνα πλείονα τὴν πληροφορίαν δεξαμένη οὕτω ποιήσῃς τὴν ἐπάνοδον, καὶ τὰ ἤδη ἐπταισμένα διορθώσῃς.

Ὅτι ἐπήκουσε, φησι, κύριος τῇ ταπεινώσει σου.

Ἐντεῦθεν μανθάνωμεν ὅσον τῆς θλίψεως τὸ κέρδος, ὅση τῆς συμφορᾶς ἡ ὠφέλεια. ἐπειδὴ γὰρ ἀνεχώρησε, καὶ τὰ τῆς ὀδύνης ηὐξήθη, καὶ πολλὴν ὑπέστη τὴν θλίψιν τὴν περίστασιν, ἐν μονώσει, ἐν ἐρημίᾳ, ἐν ξενοχωρίᾳ διάγουσα, μετὰ τὴν τοσαύτην εὐημερίαν, καὶ τὸ εἰς τὸ αὐτὸ τῇ δεσποίνῃ πρέπον ἀξίωμα ἀνενεχθῆναι, διὰ τοῦτο ταχείας ἀπήλαυσε τῆς ἀντιλήψεως. ταῦτα γάρ σοι ἔσται, φησίν, ἅπερ ὑπεσχόμην, καὶ τέξῃ υἱόν, καὶ τὸ σπέρμα σου ἀριθμοῦ κρεῖττον ἔσται, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου. μὴ τοίνυν μηδὲ ἡμεῖς ἀσχάλλωμεν, ἐπειδὰν ἀπό τινος περιστάσεως τῶν πραγμάτων ταπεινωθῶμεν. οὐδὲν γὰρ ἡμῶν τῇ φύσει οὕτω συμβάλλεται, ὡς τὸ συστέλλεσθαι καὶ ταπεινοῦσθαι ἡμῶν τὸ φρόνημα, καὶ τὸ φύσημα τῆς ψυχῆς καταστέλλεσθαι. τότε γὰρ ἡμῶν μᾶλλον ὁ δεσπότης ὑπακούει, ὅταν μετὰ ὀδυνωμένης ψυχῆς καὶ συντετριμμένης τῆς καρδίας αὐτὸν καλῶμεν, πολλὴν τὴν προσεδρείαν περὶ τὰς ἱκετείας ποιούμενοι· ὅτι ἐπήκουσε, φησι, κύριος τῇ ταπεινώσει σου.

Εἶτα προλέγει τοῦ μέλλοντος τίκτεσθαι παιδὸς τὸ ἐπιτήδευμα.

12 Οὗτος ἔσται, φησίν, ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν. καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει.

Προμηνύει αὐτῇ ὅτι ἀνδρεῖος ἔσται, ὅτι πολέμιος, ὅτι περὶ τὴν τῆς γῆς ἐπιμέλειαν πολὺν τὸν πόνον ἐπιδείξεται. εἶδες διὰ τὴν εἰς τὴν παιδίσκην γεγενημένην τὴν εἰς τὸν πατριάρχην τιμήν. ἡ γὰρ περὶ ταύτην πρόνοια δείκνυσι τὴν εὔνοιαν τοῦ δεσπότου, ἣν περὶ τὸν δίκαιον ἐπιδείκνυται. ταῦτα συμβουλεύσας ὁ ἄγγελος καὶ εὐαγγελισάμενος τῇ Ἄγαρ ἀνεχώρησεν. ἀλλ' ὅρα πάλιν τῆς παιδίσκης τὴν εὐγνωμοσύνην.

13 Καὶ ἐκάλεσε, φησι, τὸ ὄνομα κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν, σὺ ὁ Θεός, ὁ ἐπιδών με. ὅτι εἶπε, καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι. 14 Ἕνεκεν τούτου ἐκάλεσε τὸ φρέαρ, φρέαρ οὗ ἐνώπιον εἶδον, ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Βαράχ.

Σκόπει πῶς καὶ αὐτὴ βούλεται διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας. ἐκάλεσε γάρ, φησι, τὸν τόπον, φρέαρ οὗ ἐνώπιον εἶδον. εἶδες τὴν παιδίσκην κατὰ μικρὸν ἐκ τῆς περιεχούσης αὐτὴν θλίψεως φιλοσοφωτέραν γινομένην, καὶ πολλὴν εὐγνωμοσύνην περὶ τὴν γεγενημένην εἰς αὐτὴν εὐεργεσίαν ἐπιδεικνυμένην, καὶ οἷς ἐνόμισεν, ἀμειβομένην τὴν τοσαύτης αὐτὴν ἀξιώσασαν κηδεμονίας.

Καὶ

15 Καὶ ἔτεκε, φησιν, Ἄγαρ τῷ Ἀβραὰμ υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Ἄγαρ, Ισμαήλ.

Ἐντεῦθεν μανθάνομεν ὅσον ἐστὶν ἀγαθὸν ἐπιείκεια, ὅσον ἐστὶ κέρδος καὶ ἀπὸ τῶν θλίψεων καρπώσασθαι. καὶ τὴν μὲν ἐπιείκειαν, ἐξ ὧν ὁ πατριάρχης ἐπεδείξατο καταπραΰνας τῆς Σάρρας τὴν ἀγανάκτησιν, καὶ τὴν ἐξουσίαν τῆς παιδίσκης αὐτῇ δεδωκὼς, καὶ διὰ τούτου εἰρήνης ἐμπλήσας τὴν οἰκίαν· τὸ δὲ κέρδος τῶν θλίψεων ἐκ τῶν κατὰ τὴν παιδίσκην ἐστὶν ἰδεῖν. ἐπειδὴ γὰρ κακωθεῖσα ὑπὸ τῆς δεσποίνης ἀπέδρα, καὶ πολλὴν ὑπέμεινε τὴν ταλαιπωρίαν, καὶ μετὰ ὀδυνωμένης ψυχῆς ἐκάλεσε τὸν δεσπότην, εὐθέως τῆς ἄνωθεν ἐπισκοπῆς ἠξιώθη. ἵνα γὰρ μάθῃ, ὅτι διὰ τὸ ταπεινωθῆναι καὶ συσταλῆναι, τῆς τοσαύτης ἀξιοῦται κηδεμονίας, φησὶν ὁ ἄγγελος πρὸς αὐτὴν, ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ισμαὴλ, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου.

ΗΘΙΚΟΝ

Εἰδότες τοίνυν, ἀγαπητοὶ, ὅτι ἐὰν νήφωμεν, αἱ θλίψεις μᾶλλον ἡμᾶς οἰκειοῦσι τῷ δεσπότῃ, καὶ τότε δυνησόμεθα τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπάσασθαι, ὅταν μετ' ὀδυνωμένης ψυχῆς καὶ θερμῶν δακρύων αὐτῷ προσίωμεν, μὴ ἀλγῶμεν ἐπὶ ταῖς θλίψεσιν, ἀλλὰ τὸ ἐκ τῶν θλίψεων κέρδος λογιζόμενοι πάντα πράως φέρωμεν τὰ συμπίπτοντα, καὶ παιδευώμεθα ἐπιεικεῖς εἶναι καὶ ἥμεροι πρὸς πάντας μὲν, μάλιστα δὲ περὶ τὰς ἑαυτῶν γυναῖκας, καὶ πολλὴν ποιεῖσθαι σπουδὴν, ὥστε, κἂν δικαίως, κἂν ἀδίκως μέμφωνται, μὴ ἀκριβολογεῖσθαι, ἀλλ' ἑνὸς μόνου γίνεσθαι, τοῦ τὰ τῆς λύπης αἴτια ἐκποδὼν ποιεῖν, καὶ βαθεῖαν εἰρήνην κατασκευάζειν τῇ οἰκίᾳ, ἵνα καὶ ἐκείνη ἔχῃ πρὸς τὸν ἄνδρα τὴν ἐπιστροφὴν, καὶ ὁ ἀνὴρ ὡς εἰς λιμένα εἰς αὐτὴν ἔχῃ καταφεύγειν ἐκ τῶν ἔξωθεν ταραχῶν καὶ τῶν θορύβων, καὶ πᾶσαν ἐκεῖθεν εὑρίσκειν τὴν παραμυθίαν. πρὸς βοήθειαν γὰρ ἡ γυνὴ ἐδόθη, ἵνα ἀρκούμενος τῇ ταύτης παρακλήσει ἀντέχειν ὁ ἀνὴρ δυνήσηται πρὸς τὰ ἐπιόντα αὐτῷ. ἐὰν ἡ κοσμία καὶ ἐπιεικὴς, οὐ μόνον τὴν ἀπὸ τῆς κοινωνίας παραμυθίαν παρέξει τῷ ἀνδρὶ, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι πολλὴν τὴν ἑαυτῆς χρείαν ἐπιδείξεται, πάντα αὐτῷ κοῦφα καὶ ῥᾴδια κατασκευάζουσα, καὶ οὐκ ἀφιεῖσα πεῖραν λαβεῖν οὔτε τῶν ἔξωθεν, οὔτε μὴν τῶν κατὰ τὴν οἰκίαν συμπιπτόντων καθ' ἑκάστην ἡμέραν λυπηρῶν· ἀλλὰ καθάπερ κυβερνήτης ἄριστος, οὕτως αὐτῷ τὸν χειμῶνα τῆς ψυχῆς διὰ τῆς οἰκείας σοφίας εἰς γαλήνην καταστήσει, καὶ τῇ παρ' ἑαυτῆς συνέσει πολλὴν αὐτῷ παρέξει τὴν παραμυθίαν. τῶν γὰρ οὕτω συνδεδεμένων οὐδὲν λοιπὸν τῶν ἐν τῷ παρόντι βίῳ λυπῆσαι δυνήσεται, οὐδὲ τὴν ἡδονὴν αὐτῶν λυμήνασθαι. ὅταν γὰρ ὁμόνοια ᾖ καὶ εἰρήνη καὶ σύνδεσμος ἀγάπης μεταξὺ γυναικὸς καὶ ἀνδρὸς, ἐκεῖ πάντα συῤῥεῖ τὰ ἀγαθὰ, καὶ ἀνάλωτοι πάσης ἐπιβουλῆς γενήσονται, μεγάλῳ καὶ ἀχειρώτῳ τείχει τινὶ πεφραγμένοι, τουτέστι, τῇ κατὰ Θεὸν ὁμονοίᾳ. τοῦτο ἀδάμαντος αὐτοὺς ἰσχυροτέρους ἀπεργάσεται, τοῦτο σιδήρου στεῤῥοτέρους καταστήσει, τοῦτο παντὸς πλούτου καὶ περιουσίας αὐτοῖς συμβαλεῖται πλέον, τοῦτο εἰς τὴν ἀνωτάτω περιφάνειαν αὐτοὺς ἀνάξει, τοῦτο καὶ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν αὐτοῖς προξενήσει μετὰ πολλῆς τῆς δαψιλείας. μὴ τοίνυν, παρακαλῶ, τούτου προτιμότερόν τι ἡγώμεθα, ἀλλὰ πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε γαλήνην καὶ εἰρήνην εἶναι μεταξὺ τῆς συνοικήσεως. τότε γὰρ καὶ οἱ τικτόμενοι παῖδες τῇ τῶν γεγεννηκότων ἀρετῇ κατακολουθήσουσι, καὶ οἱ οἰκέται τούτοις ἕψονται, καὶ πανταχόθεν τὰ τῆς οἰκίας πρὸς ἀρετὴν ἐπιδώσει, καὶ πολλὴ τῶν πραγμάτων ἔσται ἡ εὐημερία. ὅταν γὰρ τὰ τοῦ θεοῦ προτιμῶμεν, τὰ ἄλλα πάντα κατὰ ῥοῦν ἥξει ἡμῖν, καὶ οὐδενὸς αἴσθησιν ληψόμεθα λυπηροῦ, τῆς τοῦ Θεοῦ ἀγαθότητος μετὰ δαψιλείας ἡμῖν ἅπαντα χορηγούσης. ἵνα οὖν καὶ αὐτοὶ ἀλύπως τὸν παρόντα βίον διάγωμεν, καὶ τὴν παρὰ τοῦ δεσπότου εὔνοιαν ἐπὶ πλέον ἐπισπασώμεθα,

καὶ αὐτοῦ

κεφ. ιϛ.

ἀντεχώμεθα τῆς ἀρετῆς, τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην εἰς τὴν οἰκίαν εἰσάγειν σπουδάζωμεν τὴν ἑαυτῶν, τῆς τῶν τέκνων εὐκοσμίας ἐπιμελώμεθα, φροντίζωμεν τοῦ τρόπου τῶν οἰκετῶν, ἵνα ὑπὲρ ἁπάντων δαψιλεῖς τὰς ἀμοιβὰς κομισάμενοι καταξιωθῶμεν καὶ τῶν ἐπαγγελιῶν τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λθ. ΗΝΙΚΑ ΔΕ ΕΓΕΝΕΤΟ Ο ΑΒΡΑΜ ΕΝΝΕΝΗκοντα ἐννέα ἐτῶν, ὤφθη αὐτῷ ὁ Θεός.

Εἴδετε, ἀγαπητοὶ, πῶς οὐδὲν ἀργὸν τῶν παρὰ τῇ θείᾳ γραφῇ κειμένων· εἴδετε χθὲς πῶς τὰ κατὰ τὴν Ἄγαρ εἰς μέσον παραγαγόντες καὶ τὴν ταύτης ἀναχώρησιν, πολλὴν ὠφέλειαν ἐκεῖθεν ἐκαρπωσάμεθα. ἐμάθομεν γὰρ τοῦ πατριάρχου τὴν πολλὴν ἐπιείκειαν, τῆς σωφροσύνης τὴν ὑπερβολὴν, τὴν αἰδῶ, ἣν ἀπένειμε τῇ Σάρᾳ, τὴν πρὸς αὐτὴν ὁμόνοιαν πάντων ἡγούμενος προτιμοτέραν. εἴδομεν τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, ὅπως διὰ τὴν εἰς τὸν δίκαιον τιμὴν οὐ μόνον ἐπανήγαγε τὴν Ἄγαρ κατὰ τὴν ἔρημον πλανωμένην, καὶ διὰ τὸν τῆς δεσποίνης φόβον ἀποδράσασαν, ἀλλὰ καὶ τοῦ Ἰσμαὴλ τὸν τόκον ἐχαρίσατο, πολλὴν ἐντεῦθεν τῷ δικαίῳ τὴν παραμυθίαν ἐπινοῶν, καὶ τῆς τοσαύτης ὑπομονῆς ἀποδιδοὺς αὐτῷ τὰς ἀμοιβάς. καὶ ἐπειδὴ ἐτέχθη ὁ Ἰσμαὴλ, βουλομένη διδάξαι ἡμᾶς ἡ θεία γραφὴ τὸν χρόνον τοῦ πατριάρχου, καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν ἡμῖν ἐπεσημήνατο εἰποῦσα, ὅτι,

16 Ἡνίκα ἐτέχθη ὁ Ἰσμαὴλ, ἐτῶν ὀγδοηκονταὲξ ἦν ὁ Ἄβραμ.

Ἴδωμεν δὲ λοιπὸν τὰ ἐντεῦθεν, ἵνα καὶ ἐκ τῶν ἑξῆς μάθωμεν πάλιν καὶ τοῦ δικαίου τὴν πολλὴν ὑπομονὴν, καὶ τοῦ δεσπότου τὴν ἄφατον καὶ ὑπερβάλλουσαν φιλανθρωπίαν. εἰσόμεθα δὲ μετὰ ἀκριβείας, ἐὰν πάλιν τοὺς χρόνους τῆς ζωῆς τοῦ δικαίου καταμαθεῖν δυνηθῶμεν, καὶ ὅπως ὁ ἀγαθὸς Θεὸς τὰ κατ' αὐτὸν ᾠκονόμει, καθ' ἕκαστον καιρὸν δοκιμὴν τοῦ ἰδίου θεράποντος λαμβάνων, καὶ τὸ θεοφιλὲς αὐτοῦ τῆς γνώμης ἐκκαλύπτων. αὐτὸς μὲν γὰρ προῄδει σαφῶς τοῦ ἰδίου οἰκέτου τὴν εὐγνωμοσύνην, καὶ τῆς ψυχῆς αὐτοῦ τὸ κάλλος ἠπίστατο, καὶ τὸν μαργαρίτην ἀκριβῶς ἐγίνωσκεν. ἀλλ' ἐπειδὴ ἐβούλετο καὶ πᾶσι τοῖς τότε παροῦσι κατάδηλον αὐτὸν ποιῆσαι, ἵνα καὶ εἰς τὰς μετὰ ταῦτα γενεὰς ἡ τοῦ δικαίου ἀρετὴ πρὸς ζῆλον καὶ μίμησιν ἐφέλκηται τοὺς βουλομένους, διὰ τοῦτο κατὰ μικρὸν ἐκκαλύπτει τὸν πλοῦτον τῆς τοῦ δικαίου γνώμης, ἵνα παιδευώμεθα καὶ ἡμεῖς μηδέποτε διαπιστεῖν ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις, μηδὲ δυσχεραίνειν πρὸς τὴν ἀναβολήν· ἀλλὰ μᾶλλον τῶν ὁρωμένων καὶ τῶν ἐν χερσὶ τοῖς μὴ βλεπομένοις θαῤῥεῖν, ἐπειδὰν ὁ πάντων δεσπότης ὑπόσχηται, καὶ εἰδέναι ὡς οὐχ οἷόν τέ ποτε διαπεσεῖν τὰ παρὰ τοῦ Θεοῦ ἐπαγγελθέντα, ἀλλὰ κἂν χρόνου πολλοῦ παραδραμόντος ἐναντία ταῖς τοῦ Θεοῦ ὑποσχέσεσι γίνηται, μηδὲ οὕτω σαλεύεσθαι τὸν λογισμὸν, ἀλλ' εἰδέναι τοῦ ἐπαγγειλαμένου τὸ εὐμήχανον καὶ τὴν ἄμαχον δύναμιν, καὶ ὅτι ἐπειδὰν βουληθῇ εἰς ἔργον ἀγαγεῖν τὰ δεδογμένα, πάντα εἴκει καὶ παραχωρεῖ. ἐπειδὴ γὰρ κύριός ἐστι τῆς φύσεως καὶ δημιουργὸς, δυνατὸν αὐτῷ καὶ τὰ ὑπὲρ τὴν φύσιν δωρήσασθαι. μὴ τοίνυν πρὸς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες πολυπραγμονῶμεν τὰ παρὰ τοῦ Θεοῦ γινόμενα, μηδὲ πρὸς τὴν φυσικὴν ἀκολουθίαν ἀποβλέποντες χίζωμεν τὸν λογισμόν, ἀλλὰ καθάπερ εὐγνώμονες οἰκέται εἰδότες τοῦ ἡμετέρου δεσπότου τὴν ὑπερβάλλουσαν δύναμιν, πιστεύωμεν αὐτοῦ ταῖς ὑποσχέσεσι, καὶ ἀνώτεροι γινώμεθα τῆς φυσικῆς ἀσθενείας, ἵνα καὶ τῶν ἐπαγγελθέντων ἐπιτευξώμεθα, καὶ τῆς παρ' αὐτοῦ ἀπολαύσωμεν εὐνοίας, καὶ κατὰ δύναμιν ἡμετέραν τιμήσωμεν τὸν Θεόν. μεγίστη γὰρ αὕτη τιμὴ παρ' ἡμῶν εἰς αὐτόν, τὸ θαρρεῖν αὐτοῦ τῇ δυνάμει, κἂν ἐναντία ᾖ τὰ τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς ὁρώμενα. καὶ τί θαυμάζεις, εἰ ἐπὶ Θεοῦ μεγίστη ἐστὶ τιμή, τὸ μὴ ἀμφιβάλλειν; καὶ ἐπὶ τῶν ὁμογενῶν, ἐπειδὰν ἡμῖν ὑπόσχωνταί τι τῶν ἐπικήρων τούτων καὶ φθαρτῶν πραγμάτων, ἂν μὴ ἀμφιβάλλωμεν, ἀλλὰ θαρρήσωμεν τῷ ὑποσχομένῳ, πᾶς τις αὐτῶν μεγίστην ταύτην ἡγεῖται τετιμῆσθαι τιμήν, τὸ μὴ ἐνδοιάσαι δηλονότι ἡμᾶς, ἀλλὰ θαρρῆσαι αὐτοῦ ταῖς ὑποσχέσεσιν. Εἰ τοίνυν καὶ ἐπ' ἀνθρώπων τοῦτό ἐστι τῶν καὶ μεταβαλλομένων πολλάκις, ἢ δι' ἀσθένειαν [τῆς φύσεως] μὴ δυναμένων εἰς ἔργον ἀγαγεῖν τὰ δόξαντα, πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων Θεοῦ, ᾧ πάντα δυνατὰ καὶ εὔκολα καὶ ὑπήκοα. Ταῦτα δέ μοι νῦν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα (ὅταν ἔλθωμεν ἐπὶ τὴν ἀρχὴν τῶν σήμερον ἡμῖν προτεθέντων, ὅπως ὁ φιλάνθρωπος Θεὸς βουλόμενος ἅπασιν ἐπίσημον ποιῆσαι τὸν πατριάρχην, ἐπὶ τοσούτων ἐτῶν ἀριθμὸν τὴν οἰκείαν ἐπιδείκνυται μακροθυμίαν, καὶ ὁ δίκαιος οὐ δυσχεραίνει, οὐ ναρκᾷ πρὸς τὸ μῆκος, οὐκ ἀπαγορεύει, ἀλλὰ ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος τὴν φιλόθεον αὐτοῦ γνώμην διὰ πάντων ἐπιδείκνυται) ἐκπλαγῶμεν αὐτοῦ τὸ φιλόθεον καὶ καρτερικόν. Εἰσόμεθα δὲ ἀκριβῶς ἅπασαν τοῦ πατριάρχου τὴν ἀρετήν, ἐὰν μάθωμεν πόσος μεταξὺ διαγέγονε χρόνος. πάντα γὰρ ἡμᾶς ταῦτα σαφῶς διδάξει ὁ μακάριος Μωϋσῆς ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ἐνηχούμενος. τί οὖν οὗτός φησιν; ἡνίκα ὑπήκουσε τῷ προστάγματι τοῦ Θεοῦ, καὶ ἀναστὰς ἀπὸ τῆς Χαρρὰν ἐπὶ τὴν Χαναναίαν ὥρμησεν, ἐτῶν ἦν ἑβδομηκονταπέντε· καὶ εὐθὺς καταλαβόντι τὴν Χαναναίαν ὑπέσχετο αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν πᾶσαν τὴν γῆν, καὶ εἰς τοσοῦτον πλῆθος ποιῆσαι ἐπιδώσειν, ὡς ἀναρίθμητον εἶναι, καθάπερ τὴν ἄμμον καὶ τοὺς ἀστέρας. καὶ μετὰ τὴν ἐπαγγελίαν ταύτην πολλὰ ἐν τῷ μέσῳ συνέβη τῷ δικαίῳ, ἡ κάθοδος ἡ ἐν Αἰγύπτῳ διὰ τὸν λιμόν, ἡ ἁρπαγὴ τῆς Σάρρας, καὶ εὐθὺς ἡ παρὰ τοῦ Θεοῦ πρόνοια. καὶ πάλιν μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον ἡ παρὰ τοῦ βασιλέως τῶν Γεράρων περὶ τὴν Σάρραν ἐπήρεια, καὶ παραχρῆμα ἡ παρὰ τοῦ Θεοῦ ἀντίληψις. καὶ ταῦτα ἅπαντα ὁρῶν ὁ δίκαιος μετὰ τὴν ὑπόσχεσιν ἐκείνην αὐτῷ συμβαίνοντα, οὐκ ἐσαλεύετο τὸν λογισμόν, οὐδὲ περιειργάζετο, τίνος ἕνεκεν ὁ τοιαύτην ἐπαγγελίαν δεξάμενος τοσούτοις καὶ τοιούτοις πειρασμοῖς καθ' ἑκάστην περιέπιπτε, καὶ ἐν τοσούτῳ χρόνῳ ἐν ἀπαιδίᾳ διαμένει· ἀλλὰ φιλόθεος ὢν καὶ οὐκ ἀνεχόμενος τῇ ἀσθενείᾳ τῶν οἰκείων λογισμῶν ὑποβάλλειν τὰ παρὰ τοῦ Θεοῦ γινόμενα, καὶ ἔστεργε, καὶ μεθ' ἡδονῆς ἐδέχετο τὰ τῷ Θεῷ δοκοῦντα, καὶ μετὰ δέκατον ἐνιαυτὸν λαμβάνει τὸν Ἰσμαὴλ τὸν ἀπὸ τῆς παιδίσκης, καὶ εἰς τοῦτον ἐνόμιζεν αὐτῷ λοιπὸν τὰ τῆς ἐπαγγελίας πεπληρῶσθαι. ἦν γὰρ ὁ πατριάρχης, φησίν, ἡνίκα ἐτέχθη ὁ Ἰσμαήλ, ἐτῶν ὀγδοήκοντα ἕξ. ἀλλὰ πάλιν ἑτέρων τρισκαίδεκα ἐτῶν ἀριθμὸν γυμνάσας ὁ φιλάνθρωπος Θεὸς τοῦ δικαίου τὴν ὑπομονήν, τότε τὴν οἰκείαν ὑπόσχεσιν εἰς ἔργον ἄγει. ἐπειδὴ γὰρ εἶδε καλῶς, καθάπερ ἐν χωνευτηρίῳ διὰ τοῦ μήκους τοῦ χρόνου τὸ χρυσίον ἐκκαθαρθέν, καὶ λαμπροτέραν καὶ φαιδροτέραν τοῦ δικαίου τὴν ἀρετὴν ἀναφανεῖσαν, ἡνίκα, φησίν, ἐγένετο Ἄβραμ ἐτῶν ἐνενηκονταεννέα, ὤφθη αὐτῷ πάλιν ὁ Θεός. καὶ τίνος ἕνεκεν τοσοῦτον *ἐμακροθύμησεν; οὐχ ἵνα τοῦ δικαίου μόνον τὴν ὑπομονήν, καὶ τὴν πολλὴν ἀρετὴν καταμάθωμεν, ἀλλ' ἵνα καὶ τῆς αὐτοῦ δυνάμεως τὴν ὑπερβολὴν ἴδωμεν. ἡνίκα γὰρ ἀπηγόρευσεν ἡ φύσις, καὶ πρὸς τὴν παιδοποιΐαν λοιπὸν ἄχρη-

* χρόνον

σος ἦν καταμαρανθέντων αὐτοῦ τῶν μελῶν καὶ * κατεψυγμένων ὑπὸ τοῦ γήρως, τότε καὶ τοῦ δικαίου τὴν ἀρετὴν ἐκκαλύπτων, καὶ τὴν οἰκείαν δεικνὺς δύναμιν τὰ τῆς ἐπαγγελίας εἰς ἔργον ἄγει. ἀλλ᾽ ἀναγκαῖον ἀκοῦσαι καὶ αὐτῶν τῶν παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντων.

κ. κατεψυγμένου.

Κεφ. ιζ.

1 Γενομένῳ, φησίν, αὐτῷ ἐτῶν ἐννενηκονταεννέα, ὤφθη αὐτῷ ὁ Θεός, καὶ εἶπεν αὐτῷ.

Ὅταν δὲ ἀκούσῃς, ὤφθη, μηδὲν ταπεινὸν ὑπόπτευε, μηδὲ νομίσῃς ὀφθαλμοῖς σαρκὸς ὁρᾶσθαι τὴν θείαν * καὶ ἄφθαρτον δύναμιν, ἀλλ᾽ εὐσεβῶς ἅπαντα νόει. ὤφθη οὖν αὐτῷ ὁ Θεός, ἀντὶ τοῦ, τῆς παρ᾽ αὐτοῦ [δηλονότι] ἐπισκέψεως αὐτὸν ἠξίωσε. καὶ ἄξιον αὐτὸν ἡγησάμενος τῆς παρ᾽ ἑαυτοῦ προνοίας, πολλῇ κεχρημένος τῇ συγκαταβάσει καὶ διαλέγεται καί φησιν,

* ἀκάλυτον

Ἐγώ εἰμι ὁ Θεός σου. εὐαρέστει ἐνώπιόν μου, καὶ γίνου ἄμεμπτος, 2 Καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σου, καὶ πληθυνῶ σε σφόδρα. 3 Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ.

Πολλὴ τοῦ δικαίου ἡ εὐγνωμοσύνη, ὑπερβάλλουσα τοῦ ἀγαθοῦ Θεοῦ ἡ περὶ αὐτὸν φιλανθρωπία. ἐγὼ γάρ εἰμι, φησίν, ὁ Θεός σου· μονονουχὶ λέγων, ὁ μέχρι τοῦ παρόντος τὰ κατὰ σὲ διαφόρως οἰκονομήσας ἐγώ εἰμι, ὁ ἀναστήσας σε οἴκοθεν καὶ ἐνταῦθα ἀγαγὼν ἐγώ εἰμι, ὁ καθ᾽ ἕκαστον καιρὸν ὑπέρμαχός σοι γενόμενος καὶ τῶν ἐπιβουλευόντων * ἀνώτερον πεποιηκὼς ἐγώ εἰμι. καὶ οὐκ εἶπεν, ἐγώ εἰμι ὁ Θεός, ἀλλ᾽ ἐγώ εἰμι ὁ Θεός σου. Ὅρα τὴν πολλὴν ἀγαθότητα, πῶς καὶ διὰ τῆς προσθήκης ταύτης τὸ φίλτρον τὸ περὶ τὸν δίκαιον ἐπιδείκνυται. ὁ γὰρ τῆς οἰκουμένης ἁπάσης Θεός, ὁ τῶν ὅλων δημιουργός, ὁ οὐρανοῦ καὶ γῆς ποιητής φησιν, ἐγώ εἰμι ὁ Θεός σου. μέγας ὁ ὄγκος τῆς τιμῆς τῆς εἰς τὸν δίκαιον. καὶ ὥσπερ αὐτὸς κοινὸς ὢν ἁπάντων δεσπότης ἀπὸ τοῦ δούλου καλεῖσθαι καταδέχεται, καὶ εὑρήσομεν αὐτὸν μετὰ ταῦτα λέγοντα, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὕτω καὶ οἱ προφῆται εἰώθασι λέγειν, ὁ Θεὸς ὁ Θεός μου, οὐ περικλείοντες αὐτοῦ εἰς ἑαυτοὺς τὴν δεσποτείαν, ἀλλὰ καὶ αὐτοὶ τὸν πόθον ἀκάθεκτον ἐνδεικνύμενοι. ἀλλὰ τὸ μὲν ἀνθρώπους οὕτω ποιεῖν οὐδὲν θαυμαστόν· ὅταν δὲ αὐτὸς ἐπ᾽ ἀνθρώπων οὕτω ποιῇ, τοῦτό ἐστι τὸ καινὸν καὶ παράδοξον. ἀλλὰ μὴ θαυμάζωμεν, ἀγαπητοί, ἀλλ᾽ ἀκούωμεν τοῦ προφήτου λέγοντος, Κρεῖσσον εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι· καὶ πάλιν τοῦ μακαρίου Παύλου λέγοντος, Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. οὕτως ὁ μὲν προφήτης μυρίων παρανόμων τὸν ἕνα τὸν ποιοῦντα τὸ θέλημα κυρίου κρείττονα ἀπέφηνεν· ὁ δὲ μακάριος Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος μνημονεύσας τῶν δικαίων ἁπάντων τῶν ἐν θλίψεσι, τῶν ἐν στενοχωρίᾳ διαγόντων φησίν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. πάντα τὸν κόσμον εἰπών, τούτους τοὺς ἐλαυνομένους, τοὺς θλιβομένους ἀντέστησεν, ἵνα μάθῃς ὅσον τῆς ἀρετῆς τὸ μέγεθος. διὰ τοῦτο καὶ ὁ τῶν ἁπάντων δημιουργός φησι πρὸς τὸν πατριάρχην, ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιον ἐμοῦ, καὶ γίνου ἄμεμπτος. οὐδὲ γὰρ παρόψομαι τῆς τοιαύτης σου ἀρετῆς τοὺς ἱδρῶτας, ἀλλὰ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ πληθυνῶ σε σφόδρα· οὐχ ἁπλῶς εἰς πλῆθος ἐπιδιδόναι παρασκευάσω, ἀλλὰ καὶ σφόδρα, τὴν πολλὴν ἐπίτασιν δηλῶν· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν εἰπών, ὡς τὴν ἄμμον καὶ τοὺς ἀστέρας, τοῦτο ἐνταῦθα διὰ τοῦ σφόδρα ἐδήλωσεν. ἀλλ᾽ ὁ εὐγνώμων καὶ φιλόθεος οἰκέτης ὁρῶν τοῦ Θεοῦ τὴν τοσαύτην συγκατάβασιν, καὶ τὴν περὶ τὸν αὐτοῦ θεράποντα κηδεμονίαν, καταπλαγεὶς καὶ εἰς ἔννοιαν ἐλθὼν τῆς τε οἰκείας φύσεως, τῆς τε τοῦ Θεοῦ ἀγαθότητος, καὶ τῆς ἀπείρου δυνάμεως, ἔπεσε, φησίν, ἐπὶ πρόσωπον αὐτοῦ,

* π

Σειρ. ιϛ. γ.

Ἑβρ. ια. λζ.

δεικνὺς διὰ τοῦ σχήματος τὴν οἰκείαν εὐγνωμοσύνην. οὐ μόνον γὰρ οὐκ ἀπενοήθη, οὐδὲ μέγα ἐφρόνησεν ἐπὶ τῇ εὐνοίᾳ τῇ εἰς αὐτὸν γεγενημένῃ, ἀλλὰ καὶ πολλῷ μᾶλλον συνεστάλη, καὶ ἔπεσε, φησιν, ἐπὶ πρόσωπον. τοιοῦτον γὰρ ἡ εὐγνώμων ψυχὴ, ἐπειδὰν πλείονος ἀπολαύσῃ τῆς παῤῥησίας, τότε μᾶλλον πολλὴν ἐπιδείκνυται τὴν περὶ τὸν Θεὸν εὐλάβειαν. ἔπεσε γὰρ, φησιν, ἐπὶ πρόσωπον αὐτοῦ. καὶ ἐπειδὴ μετὰ τὴν τοσαύτην παῤῥησίαν εἰς ἑαυτὸν ὁρῶν ὁ δίκαιος καὶ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, οὐδὲ ἀνανεῦσαι ἐτόλμα, ἀλλὰ κάτω κύπτων πολλὴν ἐπεδείκνυτο τὴν εὐλάβειαν, ὅρα πάλιν τοῦ ἀγαθοῦ Θεοῦ τὴν ἄφατον φιλοτιμίαν.

Ελάλησε γὰρ αὐτῷ, φησιν, ὁ Θεὸς λέγων· 4 Ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ, καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν, 5 Καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἄβραμ, ἀλλὰ ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, 6 Καὶ αὐξανῶ σε καὶ θήσω σε εἰς ἔθνος, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται.

Σκόπησον, ἀγαπητὲ, πῶς προλέγει τῷ δικαίῳ καὶ νῦν ἅπαντα σαφῶς. καὶ ἵνα πλείονα αὐτῷ τὴν πληροφορίαν ποιήσῃ, καὶ τοῦ στοιχείου τὴν προσθήκην τῇ προσηγορίᾳ αὐτοῦ ἐναποτίθεται, καί φησιν, ἔσῃ πατὴρ πλήθους ἐθνῶν. οὐ κληθήσεται γὰρ τὸ ὄνομά σου Ἄβραμ, ἀλλὰ Ἀβραάμ, ἐπειδὴ πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. ὥσπερ γὰρ τὸ πρότερον ὄνομα τὴν ἀπὸ τοῦ πέραν ἐνταῦθα ἐπήλυσιν ἐσήμαινεν (Ἄβραμ γὰρ περάτης ἑρμηνεύεται κατὰ τὴν Ἑβραίων γλῶτταν· καὶ τοῦτο ἴσασιν, ὅσοι τῆς γλώττης ἐκείνης εἰσὶν ἔμπειροι) ἐπεὶ οὖν ἔμελλεν ἀπὸ τοῦ πέραν εἰς τὴν Χαναναίαν ἔρχεσθαι, διὰ τοῦτο οἱ γονεῖς αὐτῷ τὸ ὄνομα ἐπιτιθέασιν. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ εἰ ἄπιστοι ἐτύγχανον οἱ τοῦτον γεγεννηκότες, πόθεν αὐτοῖς ἡ πρόγνωσις αὕτη, ὥστε τῇ προσηγορίᾳ ἐναποθέσθαι τὸ μέλλον μετὰ πολὺν ἔσεσθαι χρόνον; καὶ τοῦτο τῆς τοῦ Θεοῦ εὐμηχάνου σοφίας, τὸ καὶ διὰ τῶν ἀπίστων πολλάκις τοιαῦτα οἰκονομεῖν. καὶ πολλὰ τοιαῦτα εὑρήσομεν καὶ ἐφ' ἑτέρων γεγενημένα. εὐθέως γὰρ ἐπεισέρχεται ἡμῖν καὶ ἡ τοῦ Νῶε προσηγορία. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ ὡς ἔτυχε καὶ τούτῳ τὴν προσηγορίαν ἐπέθηκαν, ἀλλὰ προμηνύοντες τὸν μετὰ πεντακόσια ἔτη μέλλοντα γενήσεσθαι κατακλυσμόν. ὅτι γὰρ καὶ ὁ τούτου πατὴρ, οὐ διὰ τὸ ἐνάρετος εἶναι, ταύτην τὴν προσηγορίαν ἐπέθηκε τῷ παιδὶ, ἄκουε τῆς γραφῆς σαφῶς λεγούσης· Ὅτι Νῶε μόνος εὑρέθη δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. Γεν. ϛ. ϛ. οὐκ ἂν δὲ παρεσιώπησεν ἡ γραφὴ, οὐδὲ εἶπε Νῶε δίκαιος μόνος ὢν, εἰ καὶ Λάμεχ ὁ τούτου πατὴρ ζηλωτὴς ἦν τῆς τοῦ δικαίου ἀρετῆς. μέλλων τοίνυν τὴν προσηγορίαν ἐπιτιθέναι τῷ παιδὶ, φησὶ, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ Νῶε. οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν " λυπηρῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ Θεός. πόθεν, εἰπέ μοι, ἐκείνῳ ἡ γνῶσις τῶν μελλόντων γίνεσθαι μετὰ τοσαύτας γενεάς; κληθήσεται γὰρ, φησὶ, Νῶε. οὗτος γὰρ διαναπαύσει ἡμᾶς. τὸ Νῶε τῇ Ἑβραίων διαλέκτῳ ἀνάπαυσις λέγεται. ἐπεὶ οὖν οὗτος ἔμελλε τοῦ ναυαγίου ἐκείνου καταλαμβάνοντος τὴν οἰκουμένην μόνος διασώζεσθαι, καὶ τῇ μετὰ ταῦτα γενεᾷ ἀρχὴν ἵνα παρασχεῖν τῆς συστάσεως, διὰ τοῦτό φησιν, οὗτος διαναπαύσει ἡμᾶς, ἀνάπαυσιν τὸν κατακλυσμὸν καλῶν. καθάπερ γὰρ κεκμηκυῖαν τὴν γῆν πᾶσαν ἐκ τῆς τῶν ἐνοικούντων πονηρίας, καὶ πολλὴν τὴν λύμην δεχομένην ἐλθὼν ὁ κατακλυσμὸς διὰ τῆς τῶν ὑδάτων φορᾶς, καὶ στήσας τῶν μοχθηρῶν ἀνδρῶν ἐκείνων τὴν πονηρίαν, τήν τε γῆν ἐξεκάθηρεν ἀκάθαρτον γεγενημένην διὰ τὴν τῶν ἐνοικούντων μοχθηρίαν, κἀκείνους διὰ τῆς τιμωρίας ἀνέπαυσε. θάνατος γὰρ, φησιν, ἀνδρὶ ἀνάπαυσις. εἶδες ὅπως καὶ διὰ τῶν ἀπίστων πολλάκις τὰ μέλλοντα προμηνύεσθαι παρασκευάζει. τὸν αὐτὸν δὴ τρόπον καὶ τῷ πατριἀρχῆς τὸ ὄνομα αὐτῷ οἱ γονεῖς ἐπέθεσαν, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων δηλοῦντες, ὅτι μεταναστήσεται καὶ περάσας τὸν ποταμὸν ἐπὶ τὴν ἀλλοτρίαν ἥξει. ἐπεὶ τοίνυν, φησὶ, τὸ μὲν παρὰ τῶν γονέων ἐπιτεθὲν ὄνομα ἐκεῖνό σοι παρεμήνυε τὸ ἐκ τῶν ἐκεῖσε ἐνταῦθα διαπεράσαι, δέχου καὶ τὴν τοῦ στοιχείου προσθήκην, ἵνα μάθῃς ὅτι τοῦτό σοι μηνύει, ὅτι πολλῶν ἐθνῶν ἔσῃ πατήρ. καὶ ὅρα τὴν ἀκρίβειαν τῶν ῥημάτων. οὐκ εἶπε, πάντων τῶν ἐθνῶν, ἀλλὰ πολλῶν ἐθνῶν. ἐπειδὴ γὰρ ἦν ἔθνη καὶ ἕτερα, ἅπερ ἔμελλεν * ″ἐξεῦσθαι, ἵνα τοῦ δικαίου τὸ σπέρμα δέξηται τὴν κληρονομίαν, διὰ τοῦτό φησι, πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. εἰδώς σου τῆς ἀρετῆς τὸ μέγεθος, πολλῶν ἐθνῶν διδάσκαλόν σε ἀπεργάσομαι, καὶ αὐξανῶ σε καὶ πληθυνῶ σε σφόδρα σφόδρως, καὶ θήσω σε εἰς ″ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα. ἂν γὰρ ἐννοήσωμεν τοῦ πατριάρχου τὴν ἡλικίαν, καὶ ὅτι ἐν ἐσχάτῳ γήρᾳ ταῦτα ἤκουσεν, ἐκπλαγησόμεθα τήν τε τοῦ δικαίου πίστιν, καὶ τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν δύναμιν, ὅτι ἐξ ἀνθρώπου λοιπὸν νεκρωθέντος, ὡς εἰπεῖν, καὶ τὰ μέλη διαλελυμένου, καὶ καθ᾽ ἑκάστην ἡμέραν τὴν τελευτὴν φανταζομένου, ἐπὶ τοσοῦτον αὐξάνεσθαι τὸ σπέρμα ἐσήμαινεν, ὡς καὶ εἰς ἔθνη πολλὰ γενήσεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ βασιλεῖς, φησιν, ἐκ σοῦ ἐξελεύσονται. εἶδες ἐπίτασιν ἐπαγγελίας. αὐξανῶ σέ, φησι, σφόδρα σφόδρως. οὐχ ἁπλῶς τὸν διπλασιασμὸν ἐπέθηκεν, ἀλλ᾽ ἵνα σημάνῃ τῷ δικαίῳ τοῦ πλήθους τὴν ὑπερβολήν. ἐπειδὴ γὰρ διὰ τῆς τοῦ στοιχείου προσθήκης καθάπερ ἐν στήλῃ τινὶ ἀνεξάλειπτον αὐτῷ τῆς ὑποσχέσεως τῶν ἐπαγγελιῶν ἐπέγραψε, πάλιν φησί,

* ἐκεῖθεν ἴσ. ἐξιοῦσθαι

κ. ἔθν.

7 Καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεός.

Οὐ μόνον περὶ σέ, φησι, πολλὴν ἐπιδείξομαι τὴν κηδεμονίαν, ἀλλὰ καὶ εἰς τὸ σπέρμα τὸ σὸν καὶ μετὰ τὴν σὴν ἔξοδον. ὅρα πῶς ἀνακτᾶται τοῦ δικαίου τὴν ψυχὴν ὑπισχνούμενος αὐτῷ, ὅτι καὶ τῷ σπέρματι αὐτοῦ πολλὴν παρέξει τὴν πρόνοιαν. καὶ τίς ἡ δύναμις τῆς διαθήκης;

Ὥστε εἶναί σου Θεός, φησι, καὶ τοῦ σπέρματός σου μετὰ σέ.

Τοῦτο γάρ σοι ἔσται τὸ κεφάλαιον τῶν ἀγαθῶν, σοί τε καὶ τῷ σπέρματί σου.

8 Καὶ δώσω σοι καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναάν, εἰς κατάσχεσιν αἰώνιον· καὶ Θεὸς ἔσομαι αὐτῶν.

Διὰ τὴν σὴν ἀρετὴν καὶ οἱ ἔκγονοι οἱ σοὶ ἀπολαύσουσι τῆς ἐμῆς προνοίας, καὶ δώσω αὐτοῖς εἰς κατάσχεσιν αἰώνιον τὴν γῆν Χαναάν, καὶ ἔσομαι αὐτῶν Θεός. τί ἐστι, καὶ ἔσομαι αὐτῶν Θεός; ἀντὶ τοῦ, πολλὴν ἐπιδείξομαι τὴν κηδεμονίαν, πολλὴν τὴν πρόνοιαν, ἐν ἅπασιν αὐτοῖς τὴν παρ᾽ ἐμοῦ συμμαχίαν παρέξομαι· μόνον σὺ τὴν διαθήκην μου διατήρησον, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. οὐδὲν ἕτερον παρ᾽ ὑμῶν ἐπιζητῶ, ἢ τὴν ὑπακοὴν καὶ τὴν εὐγνωμοσύνην, κἀγὼ πάντα ἅπερ ὑπεσχόμην εἰς ἔργον ἄξω. εἶτα λοιπὸν βουλόμενος ἰδιοποιήσασθαι τοὺς ἐξ αὐτοῦ τικτομένους, καὶ οἰκεῖον ἑαυτοῦ τὸν λαὸν ἀπεργάσασθαι, καὶ ἵνα λοιπὸν τὸ πλῆθος ἐκτεινόμενον μὴ συναναμιγνύηται τοῖς ἔθνεσιν ἐκείνοις, ὧν τὴν γῆν ἔμελλον κληρονομεῖν, ἄλλως δὲ καὶ ἐπειδὴ μετὰ ταῦτα ἔμελλον κατὰ τὴν αὐτοῦ πρόρρησιν ὑπομένειν τὴν ἐν Αἰγύπτῳ δουλείαν, ἵνα μὴ καὶ ἐν αὐτῇ γενόμενοι συναναφυρῶσι τοῖς ἔθνεσι τοῖς ἐν Αἰγύπτῳ, σημείου χάριν τὴν περιτομὴν τῷ δικαίῳ διατάττεται, καί φησιν·

18 Αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. 19 Περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν.

Εἶτα ἵνα διδάξῃ κἀκείνους καὶ πάντας ἡμᾶς τίνος ἕνεκεν τοῦτο ἐπέταξε, καὶ ὅτι οὐδενὸς ἑτέρου χάριν τοῦτο βούλεται γίνεσθαι, ἀλλ' ἢ ὥστε ἐπίσημον λοιπὸν εἶναι τὸν λαὸν τὸν αὐτῷ ἀνακείμενον, φησί·

Καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ.

Καὶ λοιπὸν καὶ τὸν καιρὸν διατάττεται, καθ' ὃν προσήκει τοῦτο γίνεσθαι.

12 Παιδίον, φησὶν, ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, καὶ ὁ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος, καὶ πάντες οἱ συνόντες ὑμῖν τὸ σημεῖον τοῦτο δέξονται. 14 Καὶ ὅστις οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ διατεταγμένῃ, ἐξολοθρευθήσεται, ὅτι τὴν διαθήκην διεσκέδασεν.

Ὅτι παρέβη, φησὶ, τὸ προσταχθέν. ὅρα σοφίαν δεσπότου, πῶς εἰδὼς τῶν μελλόντων ἔσεσθαι τὸ ἀτελὲς τῆς γνώμης, καθάπερ χαλινόν τινα ἐπιτιθεὶς οὕτω τὸ σημεῖον τοῦτο τῆς περιτομῆς *ἔδωκε, τὴν ὁρμὴν αὐτῶν τὴν ἀκάθεκτον ἐκκόπτων, ὥστε μὴ τοῖς ἔθνεσι συναναμίγνυσθαι. ἐπειδὴ γὰρ ᾔδει αὐτῶν τὸ λάγνον, καὶ ὅτι οὐκ ἀνέξονται, κἂν ὦσι μυριάκις ἐνεχόμενοι, ἀποσχέσθαι τῆς ἀλόγου ὁρμῆς, διὰ τοῦτο διηνεκῆ ὑπόμνησιν αὐτοῖς διδοὺς καθάπερ δεσμῷ τινι περιέβαλλε τῷ σημείῳ τῆς περιτομῆς, ὅρους αὐτοῖς καὶ κανόνας διδοὺς μὴ περαιτέρω προβαίνειν, ἀλλὰ μέχρι τοῦ οἰκείου ἔθνους ἵστασθαι, καὶ μηδεμίαν ἐπιμιξίαν ποιεῖσθαι πρὸς τούτους, ἀλλὰ τοῦ πατριάρχου τὸ σπέρμα διασώζειν ἀμιγές, ἵν' οὕτω καὶ τὰ τῆς ἐπαγγελίας εἰς αὐτοὺς ἐκβῆναι δυνηθῇ. καὶ καθάπερ τις ἀνὴρ σώφρων καὶ ἐπιεικὴς παιδίσκην ἔχων ἀκόλαστον ὅρους αὐτῇ καὶ κανόνας τίθησι, μηδέποτε ἔξω φαίνεσθαι τῶν προθύρων τῆς οἰκίας μηδὲ τοῖς παριοῦσι φαίνεσθαι, ἀλλὰ πολλάκις καὶ τοῖς ποσὶ δεσμὰ περιτίθησιν, ἵν' οὕτω περιστέλλεσθαι δυνηθῇ τῆς πολλῆς ἀκολασίας· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ φιλάνθρωπος δεσπότης, καθάπερ δεσμὰ ποσὶν, οὕτω τὸ σημεῖον τῆς περιτομῆς τῇ σαρκὶ ἐναπέθετο, ἵνα οἴκοθεν ἔχοντες ὑπόμνησιν, μηκέτι μηδὲ τῆς παρ' ἑτέρων δέωνται διδασκαλίας.

ΗΘΙΚΟΝ

Ἀλλ' οἱ ἀγνώμονες καὶ ἀνόητοι Ἰουδαῖοι καὶ παρὰ καιρὸν νῦν τὴν περιτομὴν φυλάττειν βούλονται, καὶ παιδικὴν ἐπιδείκνυνται γνώμην. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, νῦν περιτέμνεσθαι βούλονται; τότε μὲν γὰρ, ἵνα μὴ τοῖς παρανόμοις ἐκείνοις ἔθνεσι συναναφυρῶσι, τοῦτο προσετάγησαν· νυνὶ δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν πάντων πρὸς τὴν ἀλήθειαν τοῦ φωτὸς χειραγωγηθέντων, ποῖον τῆς περιτομῆς ὄφελος; μὴ γὰρ πρὸς τὴν τῆς ψυχῆς ἐλευθερίαν τι συμβάλλεται ἡ τῆς σαρκὸς ἀπόθεσις; οὐκ ἤκουσαν σαφῶς τοῦ Θεοῦ λέγοντος, καὶ ἔσται ἐν σημείῳ διαθήκης, μονονουχὶ δεικνύντος, ὅτι διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην τοῦ σημείου ἐδεήθησαν; οὕτω γὰρ καὶ ἐπὶ τῶν ἀνθρωπίνων πολλάκις γίνεται πραγμάτων. ἐπειδὰν μὴ θαῤῥῶμέν τισι, σημεῖον ἐνεχύρου χάριν λαμβάνειν παρ' αὐτῶν σπουδάζομεν, οὕτω καὶ ὁ τῶν ὅλων Θεὸς, εἰδὼς αὐτῶν τῆς γνώμης τὴν δυσκολίαν, τὸ σημεῖον τοῦτο παρ' αὐτῶν ἀπαιτῆσαι κατεδέξατο, οὐχ ἵνα διηνεκῶς μένῃ τὸ σημεῖον τοῦτο, ἀλλ' ἵνα τῶν τότε τέλος λαμβανόντων καὶ ἡ τοῦ σημείου χρεία περιαιρεθῇ. ὥσπερ γὰρ ὅταν σημεῖόν τινες ἀπαιτῶσι καὶ ἐνέχυρον βούλωνται λαμβάνειν, ἐπειδὰν τοῦ πράγματος ἡ ὑπόθεσις τέλος λάβῃ, καὶ τὸ σημεῖον λοιπὸν αἴρεται, οὕτω δὴ καὶ ἐνταῦθα. ἐπειδὴ διὰ τὸ φανερὸν εἶναι τὸ τοῦ Ἀβραὰμ σπέρμα, καὶ μὴ συμφυρῆναι τοῖς ἔθνεσι, τὸ σημεῖον τοῦτο παρ' ὑμῶν εἰσηνέχθη, ἐχρῆν, τῶν ἐθνῶν ἐκείνων, δι' οὓς, τὸ σημεῖον ἐδέξασθε, τῶν μὲν ἄρδην ἀφανισθέντων, τῶν δὲ μετ' ἐκείνους τῷ τῆς ἀληθείας φωτὶ προσδραμόντων, μηκέτι τὸν ἔλεγχον τῆς οἰκείας ἀγνωμοσύνης περιφέρειν, ἀλλ' ἀπαλλάττεσθαι καὶ εἰς τὴν προτέραν εὐγένειαν ἀνατρέχειν. ἐννόησον γάρ μοι, ὅτι ὁ θαυμάσιος ἐκεῖνος, ὁ πατριάρχης λέγω, πρὶν ἢ τῆς περιτομῆς δέξασθαι τὴν ἐντολὴν (ἐνενήκοντα γὰρ καὶ ἐννέα ἐτῶν ἦν, ἡνίκα τοῦτο ἐπετάττετο) καὶ εὐάρεστος τῷ Θεῷ γέγονε, καὶ μυριάκις ἀνεκηρύχθη παρὰ τοῦ δεσπότου. καὶ ἐπειδὴ λοιπὸν εἰς ἔργον ἔμελλεν ἐκβαίνειν τὰ τῆς ἐπαγγελίας, καὶ τίκτεσθαι ἔμελλεν ὁ Ἰσαὰκ, καὶ αὐξάνεσθαι τὸ γένος, καὶ ὁ πατριάρχης [δὲ] μεθίστασθαι τῆς ζωῆς, τότε δέχεται τὴν ἐντολὴν τῆς περιτομῆς, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ περιτέμνεται, ἵνα τοῖς ἑξῆς ἅπασι νόμος τις καὶ κανὼν γένηται τὰ παρὰ τοῦ πατριάρχου γεγενημένα. καὶ ἵνα μάθητε ἀκριβῶς, ἀγαπητοὶ, ὅτι οὐδὲν τοῦτο πρὸς τὴν τῆς ψυχῆς ἀρετὴν λυσιτελεῖ, ἐξ αὐτῶν τῶν γινομένων συνιδεῖν δυνατόν. τί γάρ φησιν; ὀκτὼ ἡμερῶν παιδίον περιτμηθήσεται. τὸν δὲ χρόνον οἶμαι τοῦτον ὡρίσθαι παρὰ τοῦ φιλανθρώπου Θεοῦ, δύο τούτων ἕνεκεν· ἑνὸς μὲν, ἵνα ἐν τῇ ἀώρῳ ἡλικίᾳ κουφότερον ἐνεγκεῖν τὸν πόνον δυνηθῇ τῆς περιτομῆς τῆς σαρκός· δευτέρου δὲ, ἵνα δι᾽ αὐτῶν τῶν ἔργων παιδευθῶσιν, ὡς οὐκ εἰς ψυχήν τι συντελεῖ τὸ γινόμενον, ἀλλὰ σημείου χάριν τοῦτο γίνεται. τὸ γὰρ ἄωρον παιδίον, τὸ μὴ γινώσκον τὰ γινόμενα, μηδὲ αἴσθησίν τινα ἔχον, ποίαν ὠφέλειαν εἰς τὴν ψυχὴν ἐκ τούτου δέξασθαι δυνήσεται; ἐκεῖνα γάρ ἐστι τῆς ψυχῆς ἰδικῶς κατορθώματα, τὰ ἐκ προαιρέσεως γινόμενα. ψυχῆς γάρ ἐστι κατόρθωμα, τὸ ἀρετὴν ἑλέσθαι, καὶ κακίαν φυγεῖν· ψυχῆς κατόρθωμα, τὸ μὴ τῶν πλειόνων μόνον μὴ ἐφίεσθαι, ἀλλὰ καὶ τὰ ὄντα προέσθαι τοῖς δεομένοις· ψυχῆς κατόρθωμα, τὸ μὴ τοῖς παροῦσι προσεστηκέναι, ἀλλὰ τούτων μὲν ὑπερορᾶν, τὰ μέλλοντα δὲ καθ᾽ ἑκάστην ἡμέραν φαντάζεσθαι. τὸ δὲ σημεῖον ἐπὶ τῆς σαρκὸς δέξασθαι, ποῖον ἂν εἴη κατόρθωμα; ἀλλ᾽ οἱ ἀγνώμονες καὶ ἀναίσθητοι Ἰουδαῖοι τῆς ἀληθείας φανείσης ἔτι τῇ σκιᾷ παρακαθήμενοι, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος, καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς πανταχοῦ ἀφιέντος, ἔτι τῷ λυχναίῳ φωτὶ προσηλωμένοι, καὶ μετὰ τὸν καιρὸν τῆς στερεᾶς τροφῆς ἔτι τοῦ γάλακτος τρεφόμενοι, οὐδὲ τοῦ μακαρίου Παύλου ἀκούειν ἀνέχονται βοῶντος καὶ λέγοντος περὶ τοῦ πατριάρχου· Καὶ σημεῖον ἔλαβε περιτομὴν, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν ἀκροβυστίᾳ. ὅρα πῶς ἀμφότερα ἡμᾶς ἐνταῦθα ἐδίδαξε, καὶ ὅτι σημείου χάριν τὴν περιτομὴν ἐδέξατο, καὶ ὅτι ἡνίκα ἀκρόβυστος ἦν, τὴν δικαιοσύνην τὴν ἐκ τῆς πίστεως ἐπεδείξατο. ἵνα γὰρ μὴ ἀναισχυντῇ ὁ Ἰουδαῖος καὶ λέγῃ, ὅτι οὐχὶ ἡ περιτομὴ τὴν δικαιοσύνην αὐτῷ προεξένησε; διὰ τοῦτο ὁ μακάριος οὗτος ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ μαθητευθεὶς, ὁ κατ᾽ ἀκρίβειαν τὸν νόμον παιδευθεὶς, φησὶ, μὴ νομίσητε, ὦ ἀναίσχυντοι Ἰουδαῖοι, ὅτι ἡ περιτομή τι εἰς δικαιοσύνην αὐτῷ συνετέλεσε. καὶ γὰρ ἐν τῷ καιρῷ τῆς ἀκροβυστίας τὴν πίστιν ἐπιδειξάμενος ἤκουσεν, ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. γενόμενος οὖν ἐν τῇ δικαιοσύνῃ διὰ τὴν εἰς τὸν Θεὸν πίστιν, τότε δέχεται σημείου χάριν τὴν περιτομὴν, καὶ ὁμοῦ καὶ τῷ ὀνόματι αὐτοῦ τὸ στοιχεῖον ἐπιτίθησι, καὶ μετὰ ταῦτα τὴν περιτομὴν ἐπιτάττει· ἵνα δείξῃ ὅτι διὰ τὴν πολλὴν ἀρετὴν λοιπὸν τὸν δίκαιον ᾠκειώσατο, καὶ δι᾽ ἐκεῖνον καὶ τοὺς ἐξ αὐτοῦ ἐσομένους. καὶ καθάπερ τις οἰκέτην κτησάμενος πολλάκις καὶ τὸ ὄνομα αὐτοῦ μετατίθησι, καὶ τὸ σχῆμα, καὶ πάντα ποιεῖ ὥστε κατάδηλον αὐτὸν ποιῆσαι, ἵνα διὰ πάντων κηρύττῃ τὴν δεσποτείαν· οὕτω δὴ καὶ ὁ τῶν ὅλων Θεὸς, ὥσπερ αὐτὸν χωρίσαι λοιπὸν τῶν ἄλλων ἀνθρώπων βουλόμενος, διὰ μὲν τῆς προσθήκης τοῦ στοιχείου, ὅτι πολλῶν ἐθνῶν πατὴρ ἔσται, ἐμήνυσε· διὰ δὲ τῆς περιτομῆς, ὅτι ἐξαίρετος ἔσται αὐτοῦ λαὸς, καὶ τῶν λοιπῶν ἐθνῶν κεχωρισμένον ἐξ αὐτοῦ μέλλον τίκτεσθαι σπέρμα. ἀλλ᾽ εἰ καὶ ἐκεῖνοι διὰ τὴν οἰκείαν πώρωσιν ἔτι τὴν περιτομὴν τῆς σαρκὸς φυλάττειν βούλονται, οὐκ ἀκούοντες Παύλου λέγοντος· Ἐὰν γὰρ περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει (διὰ γὰρ τούτου

Ῥωμ. δ. ια.

Γαλ. ε. β.

παρεγένετο ὁ δεσπότης, ἵνα ταῦτα πάντα ἀνέλῃ, καὶ διὰ τοῦτο πάντα τὸν νόμον ἐπλήρωσεν, ἵνα στήσῃ λοιπὸν τοῦ νόμου τὴν παρατήρησιν. διὰ τοῦτο * ἐβόα ὁ μακάριος Παῦλος, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε) ἀλλ' ἡμεῖς πειθώμεθα τῷ μακαρίῳ Παύλῳ, καὶ τὴν ἀχειροποίητον περιτομὴν καταδεχώμεθα. Ἐν ᾧ γάρ, φησι, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. εἶτα διδάσκων ἡμᾶς ἀκριβέστερον τίς ἐστιν ἡ τοιαύτη περιτομή, ἐπήγαγε· Συνταφέντες αὐτῷ διὰ τοῦ βαπτίσματος. καθάπερ γὰρ ἐκείνους τὸ τῆς περιτομῆς σημεῖον ἐχώριζε τῶν λοιπῶν ἐθνῶν, καὶ ἐδείκνυ τὴν οἰκείωσιν αὐτῶν τὴν πρὸς τὸν Θεόν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐφ' ἡμῶν ἡ διὰ τοῦ βαπτίσματος περιτομὴ τὸν χωρισμὸν ἀκριβέστερον καθίστησι, καὶ τὴν διαίρεσιν τῶν πιστῶν καὶ τῶν οὐ τοιούτων. ἐν ᾧ γάρ, φησι, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τῶν ἁμαρτιῶν τῆς σαρκός. ὅπερ γὰρ ἐκεῖ ἐργάζεται ἡ περιτομὴ εἰς τὴν τῆς σαρκὸς ἀπόθεσιν, τοῦτο ἐνταῦθα τὸ βάπτισμα εἰς τὴν τῶν ἁμαρτημάτων ἀπόθεσιν. ἀπεκδυσάμενοι τοίνυν ἅπαξ τὰς τῆς σαρκὸς ἁμαρτίας, καὶ καθαρὸν τὸ ἔνδυμα δεξάμενοι μένωμεν, ἀγαπητοί, ἐπὶ τῆς καθαρότητος, καὶ τῶν παθῶν τῆς σαρκὸς ἀνώτεροι γινόμενοι τῆς ἀρετῆς ἐπιλαβώμεθα, καὶ τὸν ἐν τῇ χάριτι τὸν ἐν τῷ νόμῳ, μᾶλλον δὲ καὶ πρὸ τοῦ νόμου, ζηλώσωμεν, ἵνα κατ' ἴχνος ἐκείνου τὴν ἑαυτῶν ζωὴν οἰκονομήσαντες, καταξιωθῶμεν εἰς τοὺς ἐκείνου κόλπους καταλυτῆσαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ * πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γαλ. ε. δ.

Κολ. β. ια.

Λογ. μ. ΚΑΙ ΕΙΠΕΝ Ο ΘΕΟΣ ΤΩ ΑΒΡΑΑΜ· ΣΑΡΑ ἡ γυνή σου οὐ κληθήσεται Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς.

Φέρε τὰ λείψανα τῆς χθεσινῆς τραπέζης ὑμῖν παραθῶμεν, καὶ τέλος ἐπιθῶμεν σήμερον τῷ λόγῳ, μᾶλλον δὲ τῇ εὐλογίᾳ καὶ τῇ ὑποσχέσει, ἣν ὁ τῶν ὅλων Θεὸς ἐποιήσατο πρὸς τὸν πατριάρχην. ἀλλὰ λείψανα τραπέζης ἀκούων, μηδὲν αἰσθητὸν ὑποπτεύσῃς. οὔτε γὰρ οἷα τὰ τῶν ἐδεσμάτων λείψανα, τοιαῦτά εἰσι καὶ τὰ πνευματικά. ἐκεῖνα μὲν γὰρ ἕωλα γινόμενα οὐ τὴν αὐτὴν παρέχει ἡδονὴν τοῖς ἑστιωμένοις· εἰ δὲ καὶ μίαν καὶ δευτέραν ἡμέραν καταληφθείη, ἄχρηστα λοιπὸν πάντη γίνεται· ταῦτα δὲ τὰ λείψανα οὐ μίαν καὶ δευτέραν ἡμέραν, ἀλλὰ κἂν διηνεκεῖ τῷ αἰῶνι καταλείπηται, τὴν ἴσην ὠφέλειαν παρέχεται, καὶ τὴν ἡδονὴν οὐκ ἀπόλλυσι. θεῖα γάρ ἐστι καὶ πνευματικά, καὶ οὐδεμίαν ὑπὸ τοῦ χρόνου βλάβην ὑφίσταται, ἀλλὰ καθ' ἑκάστην ἡμέραν νεαρὰν δείκνυσι τὴν χάριν, καὶ πολλῆς ἐμπίπλησι τῆς εὐφροσύνης τοὺς ἀπολαύειν τούτων βουλομένους. ἐπεὶ οὖν τοιαύτη τούτων τῶν λειψάνων ἡ δύναμις· φέρε, μετὰ προθυμίας καὶ ὑμεῖς τῆς ἀπὸ τούτων ἀπολαύσεως ἐμφορήθητε, καὶ ἡμεῖς θαῤῥοῦντες αὐτῶν τῇ δυνάμει παραθῶμεν αὐτὰ τῇ ὑμετέρᾳ ἀγάπῃ. ἀλλ' ἵνα δόξῃ σαφέστερος ὑμῖν γίνεσθαι ὁ λόγος, ἀναγκαῖον τοῦ τέλους τῶν χθὲς εἰρημένων ὑπομνησθῆναι, ἵν' οὕτω τῆς ἀκολουθίας ἐπιλαβόμενοι, τῆς διδασκαλίας ἁψώμεθα. τὴν περὶ τῆς περιτομῆς ἐντολὴν εἰς μέσον παραγαγόντες, καὶ ὅτι εἶπεν ὁ Θεὸς τῷ πατριάρχῃ, περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικόν, καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ, καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται· καὶ ὃς οὐ περιτμηθήσεται, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη, ὅτι τὴν διαθήκην μου διεσκέδασεν, ἐνταῦθα εἰς τὸν τῆς περιτομῆς λόγον τὴν διδασκαλίαν κατελύσαμεν, καὶ ἵνα μὴ τῷ πλήθει καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, περαιτέρω προελθεῖν οὐκ ἠνεσχόμεθα. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶν ἡμῖν τὸ σπουδαζόμενον, τὸ πολλὰ εἰπεῖν καὶ ἀναχωρῆσαι, ἀλλὰ συμμετρεῖν βουλόμεθα τῇ δυνάμει τῇ ὑμετέρᾳ τοῦ λόγου τὴν διδασκαλίαν, ἵνα καρπωσάμενοί τι ἐκ τῶν λεγομένων ὠφελείας, οὕτως οἴκαδε ἀναχωρήσητε. Φέρε οὖν τὰ λειπόμενα προσθῶμεν τοῖς εἰρημένοις, καὶ ἴδωμεν μετὰ τὴν τῆς περιτομῆς ἐντολὴν, τί προσθεὶς ὁ φιλάνθρωπος Θεὸς διαλέγεται τῷ πατριάρχῃ.

15 Καὶ εἶπε, φησὶν, ὁ Θεὸς τῷ Ἀβραὰμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς.

Ὥσπερ σοί, φησι, τὸ στοιχεῖον προσθεὶς ἐμήνυσα, ὅτι πατὴρ ἔσῃ πολλῶν ἐθνῶν, οὕτω καὶ τῇ Σάρᾳ ὁμοίως προστίθημι τὸ στοιχεῖον, ἵνα μάθης ὅτι νῦν ὁ καιρὸς ἥκει τοῦ εἰς ἔργον ἐλθεῖν τὰ πάλαι παρ᾽ ἐμοῦ ἐπαγγελθέντα. ἔσται οὖν, φησι, τὸ ὄνομα αὐτῆς Σάῤῥα.

16 Εὐλογήσω δὲ αὐτὴν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνος, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται.

Διὰ τοῦτο προσλαβὼν τοῦ στοιχείου τὴν προσθήκην ἐποιησάμην, ἵνα μάθῃς ὅτι πάντως ἔσται τὰ παρ᾽ ἐμοῦ λεγόμενα, μηδὲ πρὸς τὴν ἀσθένειαν τῆς φύσεως ἀφορῶν καταπέσῃς· ἀλλὰ πρὸς τὸ μέγεθος τῆς δυνάμεως τῆς ἐμῆς ἀποβλέπων, θάρσησον τοῖς παρ᾽ ἐμοῦ λεγομένοις. εὐλογήσω γὰρ αὐτὴν καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται. ὑπὲρ φύσιν ἀνθρωπίνην τὰ ἐπαγγελθέντα, καὶ ὅμοιον ἦν ὡς ἂν εἰ ὑπέσχετο ἀπὸ λίθων ἀνθρώπους ποιῆσαι. οὐδὲν γὰρ λίθων ἦσαν διενηνοχότες, ὅσον πρὸς τὸ τεκεῖν, καὶ ὁ πατριάρχης ὑπὸ τοῦ γήρως λοιπὸν ἀνενέργητος ὢν, καὶ πρὸς παιδοποιΐαν ἄχρηστος, καὶ ἡ Σάῤῥα μετὰ τῆς στειρώσεως ἔχουσα καὶ τὴν ἀπὸ τῆς ἡλικίας καὶ τοῦ γήρως προσθήκην. ἀλλ᾽ ὁ δίκαιος ταῦτα ἀκούων καὶ νομίζων τὴν πάλαι γεγενημένην παρὰ τοῦ Θεοῦ ἐπαγγελίαν ἐκβεβηκέναι εἰς τὸν Ἰσμαὴλ (ἐπειδὴ γὰρ εἶπε, σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, οὐ διέκρινε δὲ ὅτι περὶ τοῦ ἀπὸ τῆς Σάῤῥας τικτομένου φησὶ, ἐλογίζετο καθ᾽ ἑαυτὸν ὅτι τὰ τῆς ὑποσχέσεως ἐκβέβηκε) νῦν ἰδὲ ἀκούων Κυρίου τοῦ Θεοῦ λέγοντος, ὅτι εὐλογήσω τὴν Σάῤῥαν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνη, καὶ πάλιν, ἐξ ἐκείνου βασιλεῖς ἐθνῶν ἐξελεύσονται, οὐκ ἔχων ὅ, τι εἴπῃ (οὔτε γὰρ ἀπιστεῖν ἠδύνατο τοῖς παρὰ τοῦ Θεοῦ λεγομένοις φιλόθεος ὢν) καὶ πρὸς τὴν ἡλικίαν ὁρῶν τὴν ἑαυτοῦ, καὶ πρὸς τὴν τῆς Σάῤῥας στείρωσιν τὴν μέχρις ἐκείνης ἡλικίας γεγενημένην, ἐν ἀμηχανίᾳ γεγονὼς, καὶ καταπλαγεὶς τοῦ Θεοῦ τὴν ὑπόσχεσιν,

17 Ἔπεσε, φησὶν, ἐπὶ πρόσωπον, καὶ ἐγέλασεν.

Εἶδε τὴν ὑπερβολὴν τῆς ὑποσχέσεως, καὶ τῆς δυνάμεως τοῦ ἐπαγγειλαμένου τὸ μέγεθος ἐννοήσας, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐγέλασεν, ἀντὶ τοῦ, περιχαρὴς ἐγένετο, καὶ κατὰ τοὺς τῆς διανοίας λογισμοὺς ἐνενόει, πῶς ἂν κατὰ ἀνθρωπίνην ἀκολουθίαν τοῦτο γένοιτό ποτε,

Καὶ εἰ τῷ ἑκατονταέτει παιδίον γενήσεται, καὶ εἰ ἡ στεῖρα,

Καὶ μέχρις ἐννενήκοντα ἐτῶν ἄγονος διαμείνασα ἐξαίφνης δυνήσεται πρὸς τεκνογονίαν διεγερθῆναι. καὶ ταῦτα κατὰ τὴν διάνοιαν λογισάμενος, οὐκ ἐτόλμησέ τι τοιοῦτον διὰ τῆς γλώττης προενεγκεῖν, ἀλλὰ δεικνὺς ἑαυτοῦ τὴν εὐγνωμοσύνην, παράκλησιν προσάγει περὶ τοῦ Ἰσμαὴλ μονονουχὶ λέγων, δέσποτα, ἀρκούντως με παρεμυθήσω καὶ τὴν ἐκ τῆς ἀπαιδίας ἀθυμίαν, τῇ δόσει τοῦ Ἰσμαὴλ εἰς εὐφροσύνην μετέβαλες. οὐδὲ γὰρ τούτου τεχθέντος, φησί, λοιπὸν κἂν ἐν διανοίᾳ ἔλαβον ἢ ἐνενόησά ποτε, ὅτι ἐκ τῆς Σάῤῥας ἔσται μοι παῖς, ἀλλ' οὐδὲ αὐτὴ τοῦτο προσεδόκησε· διὸ καὶ τὴν Ἄγαρ μοι παρέδωκεν, ἀπαγορεύσασα τὰ καθ' ἑαυτήν. ἱκανὴν τοίνυν ἀμφότεροι τὴν παραμυθίαν ἐσχήκαμεν τεχθέντος τοῦ Ἰσμαήλ. οὗτος οὖν ὁ παρὰ σοῦ δοθεὶς ἡμῖν ζήτω ἐνώπιόν σου, καὶ ἀρκοῦσαν ἔχομεν τὴν παράκλησιν, καὶ τὸ γῆρας τὸ ἡμέτερον ἡ τούτου ζωὴ παραμυθήσεται. τί οὖν ὁ φιλάνθρωπος δεσπότης; ἐπειδὴ ἱκανῶς καὶ τοῦ δικαίου τῆς γνώμης τὸ φιλόθεον διὰ τῆς τοῦ χρόνου παρατάσεως ἐβασάνισε, καὶ εἶδεν ἀμφοτέρους ἀπαγορεύσαντας, καὶ τὸν μὲν διὰ τὸ γῆρας, τὴν δὲ μετὰ τῆς ἡλικίας καὶ διὰ τὴν στείρωσιν, φησὶ νῦν· ἐπειδὴ παντελῶς ὑμῖν ἀδύνατον τοῦτο εἶναι φαίνεται (διὰ γὰρ τοῦτο κἀγὼ τὴν τοσαύτην μακροθυμίαν ἐπεδειξάμην, ἵνα δείξω ὅτι ὑπὲρ φύσιν ἀνθρωπίνην ἐστὶν ἡ δωρεὰ ἡ παρ' ἐμοῦ παρεχομένη) καὶ ἵνα καὶ ὑμεῖς καὶ οἱ ἄλλοι πάντες δι' αὐτῶν μάθωσι τῶν πραγμάτων, ὅτι καὶ τῆς φύσεώς εἰμι δεσπότης, καὶ πρὸς ὃ βούλομαι αὐτὴ ὑπακούει, καὶ εἴκει τοῖς ἐμοῖς ἐπιτάγμασιν (εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος αὐτὴν παρήγαγον, πολλῷ μᾶλλον αὐτὴν λυομένην τὴν φύσιν καὶ χωλεύουσαν διορθῶσαι δυνήσομαι) ἵνα τοίνυν θαῤῥεῖν ἔχῃς, ἄκουε καὶ διεγέρθητι, καὶ τοὺς ἐν τῇ διανοίᾳ λογισμούς σου κινηθέντας παρωσάμενος, δέχου ἱκανὴν πληροφορίαν ἐκ τῶν παρ' ἐμοῦ λεγομένων. ἰδοὺ γὰρ Σάῤῥα ἡ γυνή σου, ἣν νομίζεις διά τε τὴν στείρωσιν, διά τε τὸ γῆρας ἀδύνατον λοιπὸν τεκεῖν, αὐτὴ τέξεταί σοι υἱόν. καὶ ἵνα μηδὲ ἀμφιβάλλειν ἔχῃς, ἰδού, σοι καὶ τὴν προσηγορίαν τοῦ τικτομένου προμηνύω. τὸν γὰρ τικτόμενον καλέσεις Ἰσαάκ. πρὸς γὰρ ἐκεῖνον στήσω τὴν διαθήκην μου εἰς διαθήκην αἰώνιον, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. οὗτος γάρ ἐστιν, ὃν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων σοι ὑπεσχόμην, καὶ εἰς τοῦτον τὰ τῆς ἐπαγγελίας τῆς ἐμῆς πληρωθήσεται. διὸ καὶ πάντα σοι προλέγω, οὐχ ὅτι τέξεται μόνον, ἀλλὰ καὶ ὅπως αὐτὸν καλέσεις, καὶ ὅτι πρὸς αὐτὸν τὴν διαθήκην μου θήσομαι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. εἶτα ὁ φιλότιμος ἀεὶ ταῖς δωρεαῖς καὶ τὰς αἰτήσεις ἡμῶν ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαλλόμενος, ἐπειδὴ διανέστησε τοῦ δικαίου τὸ φρόνημα, καὶ σχεδὸν εἰπεῖν, δι' ὧν ὑπέσχετο νέον ἐκ γέροντος τὸν πρεσβύτην εἰργάσατο, καὶ τὸν νεκρόν, ὡς εἰπεῖν, ὄντα διὰ τῶν ῥημάτων ἐζωογόνησεν, ἐπιδαψιλευόμενος ταῖς εὐεργεσίαις φησί, καὶ ταῦτα ἅπερ ὑπεσχόμην εἰς ἔργον ἄξω, καὶ μετὰ τούτου καὶ τὴν περὶ τὸν Ἰσμαὴλ παράκλησιν δεξάμενος. ἐπήκουσα γάρ σου τῆς δεήσεως, καὶ εὐλόγηκα αὐτόν. αὐξήσω αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα. δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. ἐπειδὴ γάρ, φησί, σὸν σπέρμα ἐστίν, οὕτως αὐτὸν αὐξήσω καὶ πληθυνῶ σφόδρα, ὡς δώδεκα ἔθνη ἐξ αὐτοῦ διαδοθῆναι· τὰ μέντοι τῆς διαθήκης τῆς ἐμῆς στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ. ὅρα μοι ἐνταῦθα, ἀγαπητέ, ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ ὁ δίκαιος παντὸς τοῦ χρόνου τὰς ἀμοιβὰς ἐκομίσατο, καὶ ἐπληροῦτο ἐκεῖνο τὸ παρὰ τοῦ Χριστοῦ τοῖς μαθηταῖς εἰρημένον· Ὅτι ὅστις ἂν καταλίπῃ πατέρα ἢ μητέρα ἢ οἰκίας ἢ ἀδελφοὺς διὰ τὸ ὄνομά μου, καὶ ἐνταῦθα ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἐννόησον γάρ μοι τὸν δίκαιον τοῦτον. ἐπειδὴ ἑτοίμως ὑπήκουσε τῷ προστάγματι τοῦ δεσπότου, καὶ καταλιπὼν τὴν οἰκείαν πατρίδα προετίμησε τὴν ἀλλοτρίαν τῆς ἐνεγκούσης, ὅπως κατὰ μικρὸν πολλὴν τὴν ὑπομονὴν ἐπιδειξάμενος, καὶ εἰς ἄκραν ἀρετῆς κορυφὴν ἀνελθών, οὕτω περίβλεπτος γέγονε καὶ περιφανής, ὡς τῷ πλήθει τῶν ἄστρων τοὺς ἐξ αὐτοῦ τεχθέντας παρισωθῆναι. τά-

Ματθ. ιθ. κθ.

χα εἴ τις εὐγνωμόνως βουληθείη συνιδεῖν, οὐ μόνον εἰσὶν ἑκατονταπλασίονα, ἃ ὁ δίκαιος οὗτος ἐκομίσατο ἐνταῦθα, ἀλλὰ καὶ μυριοπλασίονα. εἰ δὲ ἐνταῦθα τοσούτων ἠξιώθη, τίς ἂν λόγος παραστῆσαι δυνήσεται τῆς ἐκεῖ ἀπολαύσεως τὴν λῆξιν; μᾶλλον δὲ, ὡς οἷόν τε, καὶ τοῦτο ὁ λόγος δεῖξαι δυνήσεται. ὅταν γὰρ ἀκούσης, ὅτι πάντες οἱ δίκαιοι ἐξ ἐκείνου μέχρι νῦν καὶ μέχρι τῆς συντελείας αὐτῆς, εὐχῆς ἔργον ποιοῦνται εἰς τοὺς κόλπους τοῦ πατριάρχου καταντῆσαι, ποίαν ἑτέραν μείζονα ταύτης τιμὴν παραστῆσαι δυνήσῃ; εἶδες οἷόν ἐστιν ὑπομονὴ, ὅσον ἐστὶν ἀρετὴ, ὅσον ἐστὶ τὸ εἶναι φιλόθεον, καὶ πολλὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι περὶ τὰς τοῦ δεσπότου εὐεργεσίας. ἐπειδὴ γὰρ κατὰ καιρὸν τὰ παρ' ἑαυτοῦ εἰσέφερεν, εὐχαρίστως πάντα δεχόμενος, καὶ τὰ χρηστὰ καὶ τὰ ἐναντία, διὰ τοῦτο ὁ φιλάνθρωπος Θεὸς τελευταῖον ἁπάντων τὸ κεφάλαιον τῶν ἀγαθῶν, καὶ ὅπερ μάλιστα ὁ δίκαιος ἐπεθύμει, τοῦτο αὐτῷ ἐχαρίσατο. σκόπει γὰρ πῶς ἐν εἰκοσιτέσσαρσιν ἔτεσιν ἐβασάνιζε τοῦ δικαίου τὴν ἀρετήν. ἡνίκα γὰρ ἐξῆλθεν ἀπὸ τῆς Χαῤῥὰν ὑπακούσας τῷ τοῦ δεσπότου προστάγματι, ἑβδομήκοντα πέντε ἦν ἐτῶν φησί· νυνὶ δὲ, ὅτε ταῦτα ἤκουσεν, ἑκατοστοῦ λοιπὸν ἦν ἔτους ἐπιβάς.

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες, ἀγαπητοὶ, παιδευώμεθα πολλὴν τὴν ὑπομονὴν ἐπιδείκνυσθαι, καὶ μηδέποτε ἀλύειν μηδὲ ναρκᾷν πρὸς τοὺς τῆς ἀρετῆς ἱδρῶτας, ἀλλ' εἰδέναι ὅτι φιλότιμος ὢν καὶ μεγαλόδωρος ὁ δεσπότης ὁ ἡμέτερος, ἀντὶ μικρῶν πόνων μεγάλας ἡμῖν ἀποδίδωσι τὰς ἀμοιβὰς, καὶ οὐ μόνον ἐν τῷ μέλλοντι τὰ ἀθάνατα ἀγαθὰ ταμιευόμενος, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον παραμυθούμενος ἡμῶν τῆς φύσεως τὴν ἀσθένειαν, πολλὰς φιλοτιμεῖται τὰς δωρεάς· ἐπεὶ καὶ ὁ πατριάρχης οὗτος οὐκ ὀλίγα ἐν τῷ μεταξὺ χρόνῳ ὑπέμεινε τὰ λυπηρὰ, εἰ καὶ ὅτι ἑκάστοτε ἀνεμίγνυτο τοῖς λυπηροῖς καὶ χρηστά. κηδόμενος γὰρ ἡμῶν τῆς ἀσθενείας ὁ τῶν ὅλων Θεὸς οὔτε ἀεὶ τοῖς λυπηροῖς ἀφίησιν ἡμᾶς ἐναπομένειν, ἵνα μὴ ἐλέγχηται ἡμῶν ἡ ἀσθένεια, ἀλλὰ ταχεῖαν καὶ αὐτὸς παρέχει τὴν ἀντίληψιν, ῥωννὺς ἡμῶν τὴν προθυμίαν, καὶ τὸν λογισμὸν διεγείρων· οὔτε ἀεὶ ἐν ἀνέσει εἶναι καταλιμπάνει, ἵνα μὴ ῥαθυμότεροι γινόμενοι πρὸς τὴν κακίαν αὐτομολήσωμεν. ἡ γὰρ φύσις ἡ ἀνθρωπεία, ἐπειδὰν πολλῆς ἀνέσεως ἐπιλάβηται, ἐπιλανθάνεται τῆς οἰκείας εὐγενείας, καὶ οὐχ ἵσταται ἐπὶ τῶν οἰκείων ὅρων· διό, καθάπερ πατὴρ φιλόστοργος, ποτὲ μὲν ἡμᾶς ἀνίησι, ποτὲ δὲ σωφρονίζει, ἵν' οὕτως ἡμῶν μεθοδεύσῃ τῆς ψυχῆς τὴν ὑγίειαν. ἐπεὶ καὶ ἰατρὸς ἐπειδὰν ἄρρωστον θεραπεύῃ, οὔτε ἀεὶ κατατείνει τῇ ἀσιτίᾳ, οὔτε ἀεὶ ἀδεῶς ἀπολαύειν ἐπιτρέπει τῆς τραπέζης, ἵνα μὴ ἡ ἀδηφαγία πυρετὸν τεκοῦσα, ἐπιτείνῃ τὴν ἀρρωστίαν, " μηδὲ τῇ ἀσιτίᾳ ἀεὶ κατατείνων ἀσθενέστερον ἐργάσηται, ἀλλὰ καταστοχαζόμενος τῆς δυνάμεως, οὕτω τὰ παρ' ἑαυτοῦ παρατίθεται. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ φιλάνθρωπος Θεὸς εἰδὼς τὸ ἑκάστῳ ἡμῶν συμφέρον, ποτὲ μὲν ἀνέσεως ἡμᾶς ἀπολαύειν συγχωρεῖ, ποτὲ δὲ καὶ γυμνασίας ἕνεκεν πειρασμοῖς περιβάλλει. εἴτε γὰρ ἐνάρετοί τινες εἶεν, διὰ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς λαμπρότεροι δεικνύμενοι πλείονα τὴν ἄνωθεν εὐμένειαν ἐπισπάσονται, εἴτε καθ' ἡμᾶς ἁμαρτωλοὶ τυγχάνοιεν, εὐχαρίστως δεχόμενοι τῶν πειρασμῶν τὴν ἐπαγωγὴν, τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποθήσονται φορτίον, καὶ πολλῆς καὶ αὐτοὶ συγγνώμης " ἀπολαύσωσι. διὸ παρακαλῶ, εἰδότες τὸ εὐμήχανον καὶ σοφὸν τοῦ ἰατροῦ τῶν ψυχῶν τῶν ἡμετέρων, μηδέποτε περιεργαζώμεθα αὐτοῦ τὰς οἰκονομίας. κἂν γὰρ ἡ διάνοια ἡ ἡμετέρα ταῦτα καταλαμβάνειν μὴ δύνηται, ταύτῃ μᾶλλον ἐκπληττώμεθα τοῦ Θεοῦ τὰς οἰκονομίας, καὶ δοξάζωμεν αὐτὸν ὑπὲρ ἁπάντων, ὅτι τοιοῦτον ἔχομεν δεσπότην, οὗ μηδὲ χωρῆσαι δύναται ἡ διάνοια ἡ ἡμετέρα, καὶ ὁ τῆς ἀνθρωπίνης φύσεως λογισμὸς τὰς οἰκονομίας. οὐδὲ γὰρ οὕτως ἡμεῖς ἴσμεν τὸ συμφέρον ἡμῖν, ὡς αὐ-

γρ. ὅτι ἀεὶ
κατατείνων τ
ἀσιτίᾳ, ἵνα μ
ἐσθ.

ς. ἀπολαύ-
σουσι.

τὸς ἐπίσταται· οὐχ οὕτως ἡμεῖς κηδόμεθα ἑαυτῶν, ὡς αὐτὸς κήδεται ἡμῶν τῆς σωτηρίας, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πρὸς τὴν ἀρετὴν ἡμᾶς χειραγωγῆσαι, καὶ ἐξαρπάσαι τῶν τοῦ διαβόλου χειρῶν. καὶ ὅταν ἴδῃ μηδὲν δυναμένους κερδαίνειν ἀπὸ τῆς εὐημερίας, καθάπερ ἰατρὸς ἄριστος, ἐπειδὰν θεάσηται ἀπὸ πολλῆς λαιμαργίας εἰς πολυσαρκίαν ἐξιόντα, διὰ τῆς ἐγκρατείας πρὸς ὑγίειαν ἐπανάγει, οὕτω δὴ καὶ ὁ θαυμάσιος τῶν ἡμετέρων ψυχῶν ἰατρὸς ἀφίησι μικρὸν διὰ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς εἰς αἴσθησιν ἐλθεῖν τῆς βλάβης, ἣν ἐκ τῆς εὐημερίας ὑπεμείναμεν, καὶ ὅταν ἴδῃ καλῶς τὰ τῆς ὑγείας κατορθωθέντα, τότε λοιπὸν διὰ τῆς οἰκείας ἀντιλήψεως καὶ τῶν πειρασμῶν χαρίζεται τὴν ἀπαλλαγήν, καὶ τὴν περὶ ἑαυτοῦ πρόνοιαν ἐπιδείκνυται μετὰ πολλῆς τῆς δαψιλείας. Εἴτε οὖν ἐν ἀρετῇ ὄντες τινὲς πειρασμοῖς περιπέσοιεν, μὴ θορυβείσθωσαν, ἀλλὰ ταύτῃ μᾶλλον ταῖς χρησταῖς ἐλπίσι τρεφέσθωσαν, ὅτι ἡ τῶν πειρασμῶν ἐπαγωγή, στεφάνων ὑπόθεσις αὐτοῖς γίνεται καὶ βραβείων· εἴτε ἐν ἁμαρτήμασι γεγονότες τοῖς λυπηροῖς ἐναφίενται, μηδὲ οὕτω δυσαναχετείτωσαν, εἰδότες ὅτι καθάρσιον τῶν ἁμαρτηθέντων ἐν παντὶ τῷ χρόνῳ γενήσεται ἡ τούτων ἐπαγωγή, ἐπειδὰν μετ' εὐχαριστίας πάντα τὰ ἐπιόντα δεχώμεθα. τοῦτο γὰρ εὐγνώμονος οἰκέτου, τὸ μὴ μόνον, ἡνίκα ἀδείας ἀπολαύῃ, εὐχαριστεῖν τῷ δεσπότῃ, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις τὴν αὐτὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι. οὕτω γὰρ καὶ ὁ πατριάρχης οὗτος εὐδοκίμησε, καὶ τοσαύτης παρὰ τῷ Θεῷ τυχὼν παρρησίας, καὶ δωρεὰς ἐδέχετο νικώσας τὴν φύσιν τὴν ἀνθρωπίνην. ἀναγκαῖον δὲ πάλιν ἐπὶ τὴν ἀκολουθίαν ἐπανελθεῖν τοῦ λόγου, καὶ ἰδεῖν τοῦ δικαίου τὴν ὑπακοήν, καὶ ὅπως εἰς ἔργον ἤγαγε τὰ παρὰ τοῦ Θεοῦ ἐπιταττόμενα, οὐ ζητῶν τὸν λόγον, οὐδὲ εὐθύνας ἀπαιτῶν, καθάπερ οἱ πολλοὶ τῶν ἀνοήτων ποιοῦσι περιεργαζόμενοι τὰ παρὰ τοῦ Θεοῦ γινόμενα, καὶ λέγοντες, εἰς τί τοῦτο; εἰς τί ἐκεῖνο; καὶ τί δὲ ὄφελος ἀπὸ τοῦ τόδε γενέσθαι, ἢ τόδε; ἀλλ' οὐχ ὁ δίκαιος οὕτως. ἀλλὰ καθάπερ οἰκέτης φιλοδέσποτος οὕτως, ἅπερ ἂν ἐπετάγη, εἰς ἔργον ἀγαγεῖν ἔσπευδε, μὴ περιεργαζόμενος. καὶ ἵνα μάθῃς, ἄκουε τῶν ἑξῆς. ἐπειδὴ γὰρ τὴν ὑπόσχεσιν ἐποιήσατο πρὸς αὐτὸν ὁ δεσπότης, καὶ ἐτέλεσε τὴν πρὸς αὐτὸν διάλεξιν, εὐθέως ὁ δίκαιος τὰ κελευσθέντα ἐπλήρου, καὶ τὸ σημεῖον τὸ παρὰ τοῦ Θεοῦ κελευσθὲν ἐπετίθει τῷ Ἰσμαήλ, τὴν περιτομὴν λέγω, καὶ πᾶσι τοῖς οἰκογενέσι, καὶ τοῖς ἀργυρωνήτοις, καθὰ ἐλάλησεν αὐτῷ ὁ Θεός. περιετέμετο δὲ καὶ αὐτός. ἐννενήκοντα γὰρ καὶ ἐννέα ἐτῶν ἦν, φησιν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. Ἰσμαὴλ δὲ ἦν ἐτῶν τρισκαίδεκα. μὴ νομίσῃς ἁπλῶς ἡμῖν τῶν ἐτῶν τὸν ἀριθμὸν τὴν γραφὴν ἐπισημήνασθαι, ἀλλ' ἵνα καὶ ἐκ τούτου μάθῃς τοῦ δικαίου τὴν πολλὴν ὑπακοήν, ὅτι ἐν ἐσχάτῳ γήρᾳ ὢν πράως ἤνεγκε τὴν ὀδύνην διὰ τὸ τοῦ Θεοῦ ἐπίταγμα, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ Ἰσμαὴλ καὶ πάντες οἱ οἰκογενεῖς. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν, ἀγαπητέ, ὑγιαίνουσαν σάρκα ἀποτεμεῖν. εἰ γὰρ καὶ ἰατρῶν παῖδες μέλος ἀρρωστῆσαν ἀποτέμνουσιν, ἀλλ' οὐκ ἴση γίνεται τότε ἡ ὀδύνη. νεκρωθὲν γάρ, ὡς εἰπεῖν, λοιπὸν καὶ τῆς ζωτικῆς δυνάμεως ἀποστερηθὲν ἐκτέμνουσιν. ἐνταῦθα δὲ γέρων καὶ πρεσβύτης (ἑκατὸν γὰρ ἐτῶν ἐτύγχανε) πράως ἤνεγκε τὴν ὀδύνην, ὁμοῦ καὶ τοῦ Θεοῦ τὸ ἐπίταγμα εἰς ἔργον ἀγαγεῖν σπεύδων, καὶ τὸν υἱὸν καὶ τοὺς οἰκογενεῖς ἅπαντας προθυμοτέρους ἐργαζόμενος, ὥστε μὴ ἐνδοιάσαι, ἀλλὰ μετὰ πολλοῦ τοῦ τάχους τὸ παρὰ τοῦ Θεοῦ προσταχθὲν ἐπιτελέσαι. εἶδες ὅσον ἐστὶν ἀνὴρ ἐνάρετος, ὅπως καὶ τοὺς ὑπηρετουμένους ἅπαντας ἐπαίδευσε κατ' ἴχνος αὐτοῦ βαίνειν. ὅπερ γὰρ χθὲς ἔλεγον, τοῦτο πάλιν καὶ νῦν ἐρῶ. ὅτι διὰ τοῦτο λοιπὸν ἐξ ἐκείνου πρόσταγμα γέγονε παρὰ τοῦ Θεοῦ, ὥστε ἐν ἀώρῳ τῇ ἡλικίᾳ τοῦτο ὑπομένειν τοὺς παῖδας, ἵνα ἐν ἀναισθησίᾳ τὴν ἐκτομὴν τῆς σαρκὸς ὑπομένοντες μηδεμίαν τῆς ὀδύνης πεῖραν λάβωσιν. ἀλλὰ σκόπει μοι, ἀγαπητὲ, τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν ἄφατον περὶ ἡμᾶς εὐεργεσίαν. ἐκεῖ καὶ ὀδύνη καὶ πόνος ἐκ τοῦ γινομένου, καὶ οὐδὲν ἕτερον ἐκ τῆς περιτομῆς ὄφελος ἦν, ἢ τοῦτο μόνον, τὸ διὰ τοῦ σημείου τούτου γνωρίμους αὐτοὺς εἶναι, καὶ τῶν λοιπῶν ἐθνῶν κεχωρίσθαι. ἡ δὲ ἡμετέρα περιτομὴ, ἡ τοῦ βαπτίσματος λέγω χάρις, ἀνώδυνον ἔχει τὴν ἰατρείαν, καὶ μυρίων ἀγαθῶν πρόξενος γίνεται ἡμῖν, καὶ τῆς τοῦ πνεύματος ἡμᾶς ἐμπίπλησι χάριτος, καὶ οὐδὲ ὡρισμένον ἔχει καιρὸν, καθάπερ ἐκεῖ, ἀλλ' ἔξεστι καὶ ἐν ἀώρῳ ἡλικίᾳ, καὶ ἐν μέσῃ, καὶ ἐν αὐτῷ τῷ γήρᾳ γινόμενόν τινα, ταύτην δέξασθαι τὴν ἀχειροποίητον περιτομὴν, ἐν ᾗ οὐκ ἔστι πόνον ὑπομεῖναι, ἀλλ' ἁμαρτημάτων φορτία ἀποθέσθαι, καὶ τῶν ἐν παντὶ χρόνῳ πλημμελημάτων τὴν συγχώρησιν εὑρέσθαι. ἐπειδὴ γὰρ εἶδεν ὁ φιλάνθρωπος Θεὸς τῆς ἀσθενείας ἡμῶν τὴν ὑπερβολὴν, καὶ ὅτι ἀνίατα νοσοῦντες μεγάλης δεόμεθα τῆς ἰατρείας, καὶ ἀφάτου τῆς φιλανθρωπίας, οἰκονομῶν τὴν ἡμετέραν σωτηρίαν ἐχαρίσατο ἡμῖν τὴν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀναγέννησιν, ἵνα ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὰς πράξεις τὰς πονηρὰς, καὶ ἐνδυσάμενοι τὸν νέον, ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν βαδίζωμεν. ἀλλὰ παρακαλῶ, μὴ τῶν ἀγνωμόνων, τῶν ἀναισθήτων χείρους γενώμεθα Ἰουδαίων. ἐκεῖνοι μὲν γὰρ δεξάμενοι τὸ σημεῖον τοῦτο τῆς περιτομῆς, εἶχον ἱκανὴν ἀσφάλειαν πρὸς τὸ μηκέτι συναναμίγνυσθαι τοῖς ἔθνεσι κατὰ τὸν τῆς κοινωνίας λόγον. κατὰ γὰρ τὴν ἀσέβειαν πολλάκις καὶ αὐτοὺς ὑπερέβαλλον καὶ ὑπερηκόντισαν ἀγνώμονες γεγονότες. ἀλλ' ἡμεῖς ἅπαξ δεξάμενοι τὴν διὰ τοῦ βαπτίσματος περιτομὴν, μετὰ ἀσφαλείας τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, οὐ λέγω ἵνα μὴ συναναμιγνυώμεθα τοῖς ἔθνεσιν, ἀλλ' ἵνα ἐπὶ τῆς οἰκείας ἀρετῆς μένοντες, καὶ ἐκείνοις συναναμιγνύμενοι ἕλκωμεν αὐτοὺς εἰς τὴν εὐσέβειαν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πολιτείας, διδασκαλίας αὐτοῖς ὑπόθεσις γινώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ κοινὸς ἁπάντων δεσπότης συνεχώρησεν ἀναμεμίχθαι καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς, καὶ τοὺς εὐσεβεῖς καὶ τοὺς ἀσεβεῖς, ἵνα οἱ πονηροὶ κερδαίνωσιν ἀπὸ τῶν ἀγαθῶν, καὶ οἱ ἐν ἀσεβείᾳ ἔτι κατεχόμενοι χειραγωγῶνται πρὸς τὴν εὐσέβειαν. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς σωτηρία ψυχῆς. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, μήτε ἑαυτῶν, μήτε τῶν πλησίον· ἑαυτῶν μὲν, ἵν' οὕτω λάμπωμεν ἐν ἀρετῇ, ὥστε καὶ σιγώντων ἡμῶν ἱκανὴν ἔχειν διδασκαλίαν τοὺς εἰς ἡμᾶς ὁρῶντας. ὥσπερ οὖν ἐνάρετοι ὄντες τὰ μέγιστα καὶ αὐτοὶ κερδαίνομεν, καὶ τοὺς ἀπίστους ὠφελήσομεν, οὕτως, εἰ ῥᾳθυμήσαιμεν, καὶ αὐτοὶ πολλὴν ὑποστησόμεθα τὴν κόλασιν, καὶ ἑτέροις σκανδάλου ὑπόθεσις γενησόμεθα. καθάπερ γὰρ τὴν ἀρετὴν μετιόντες διπλῆ τὸν μισθὸν παρὰ τοῦ Θεοῦ καρπούμεθα, καὶ ὑπὲρ ὧν αὐτοὶ ταύτην μετίωμεν, καὶ ὑπὲρ ὧν τοὺς πλησίον ἐφελκώμεθα εἰς τὴν τῆς ἀρετῆς κοινωνίαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς κακίας, οὐχ ὑπὲρ ὧν ἡμαρτήκαμεν κολαζόμεθα μόνον, ἀλλ' ὑπὲρ ὧν καὶ ἑτέρους ὑποσκελίζομεν. ἀλλὰ μὴ γένοιτο τῶν ἐνταῦθά τινα συνιόντων τοιοῦτον γενέσθαι, ἀλλὰ πάντας ἡμᾶς πρὸς οἰκοδομὴν τῶν ὁρώντων τὸν ἑαυτῶν βίον ἰθύνειν, ἵνα δυνηθῶμεν μετὰ παρρησίας στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐφε. δ. λ. ιδ.

Λόγ.

Λογ. μα. ΩΦΘΗ ΔΕ Ο ΘΕΟΣ ΤΩ ΑΒΡΑΑΜ ΠΡΟΣ τῇ δρυῒ τῇ Μαμβρῆ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας.

ΟΚνῶ καὶ ἀναδύομαι σήμερον πρὸς τὴν τῆς διδασκαλίας ἐξήγησιν. ὅταν γὰρ ἐννοήσω, ὅτι καθ' ἑκάστην ἡμέραν ἡμῶν ἐνηχούντων, παραινούντων, παρατιθέντων ὑμῖν τὴν πνευματικὴν ταύτην ἑστίασιν, πολλοὶ τῶν ἐνταῦθα παραγινομένων, καὶ μετεχόντων τῆς πνευματικῆς ταύτης διδασκαλίας, καὶ τῆς φρικτῆς καὶ φοβερᾶς τραπέζης, ἐπὶ τὰς ἱπποδρομίας διημερεύουσι, καὶ οὐδὲν αὐτοῖς πλέον ἀπὸ τῆς ἡμετέρας γεγένηται σπουδῆς· ἀλλὰ καθάπερ συνηθείᾳ τινὶ δουλεύοντες, ἐπειδὰν νεύσῃ μόνον ὁ διάβολος, αὐτόματοι σπεύδουσιν ἐπὶ τὰ παράνομα ἐκεῖνα θέατρα, καὶ ἑαυτοὺς ἑκόντες τοῖς δικτύοις ὑποβάλλουσι τοῦ πονηροῦ δαίμονος, καὶ οὔτε ἡ ἡμετέρα νουθεσία, οὔτε ἡ πεῖρα αὐτή, καὶ τὸ ἀνόνητον τῆς ἐκεῖ διατριβῆς, διδασκαλίας αὐτοῖς ὑπόθεσις γέγονε, ποία λοιπὸν προθυμίᾳ τὰ τῆς διδασκαλίας ποιήσαιμι πρὸς ἄνδρας οὐδὲν κερδαίνειν βουλομένους ἐκ τῶν παρ' ἡμῶν λεγομένων; ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν ἴδῃ μετὰ πόνους πολλοὺς καὶ ταλαιπωρίας ἄγονον γενομένην τὴν γῆν, καὶ οὐκ ἀξίαν τῶν πόνων τὴν ἀμοιβὴν παρεχομένην, ὀκνηρότερος γίνεται περὶ τὴν τῶν σπερμάτων καταβολήν, καὶ οὐκ ἔτι μετὰ τῆς αὐτῆς προθυμίας τῆς γεωργίας καθάπτεται· καὶ ἰατρὸς δέ, ἐπειδὰν ἴδῃ τὸν ἄρρωστον μὴ πειθόμενον αὐτοῦ τοῖς ἐπιτάγμασιν, ἀλλὰ τὴν νόσον αὔξειν καθ' ἑκάστην ἐπιτηδεύοντα, πολλάκις ἀφίησιν ἐναπομεῖναι τῇ νόσῳ, ἵνα αὐτὴ ἡ πεῖρα διδάσκαλος αὐτῷ γένηται τῶν συμφερόντων· καὶ οἱ τὰ μαθήματα δὲ τοὺς παῖδας ἐκπαιδεύοντες, ἐπειδὰν ἴδωσι τὰ πρότερα ἀποπλύνοντας, καὶ τὴν μνήμην τῶν ἤδη δοθέντων ἀποβάλλοντας, πολλάκις ἐπιστρέφουσι τὴν ῥαθυμίαν διορθούμενοι, καὶ πρὸς σπουδὴν πλείονα ἐπαλείφοντες. ἀλλ' ὁ μὲν γηπόνος εἰκότως ὀκνηρότερος γίνεται, * ἐπειδὴ οἶδεν ὅτι τὰ τῆς ζημίας αὐτῷ ἐπιτείνεται, ὅταν τὸν μὲν πόνον καὶ τὴν δαπάνην ὑπομένῃ, τῶν δὲ καρπῶν ἀποστερῆται· καὶ ἰατρὸς δὲ οὐκ ἀπεικότως καταλείπει πολλάκις τὸν ἄρρωστον (σῶμα γάρ ἐστι τὸ θεραπευόμενον, καὶ διὰ τοῦτο ἀφίησιν, ἵνα ἡ τῆς ὀδύνης ἐπίτασις παρασκευάσῃ εἰς αἴσθησιν τῆς νόσου ἐλθεῖν, καὶ οὕτω τὴν ἰατρείαν καταδέξασθαι) καὶ ὁ τῶν παίδων διδάσκαλος διὰ τὸ ἀτελὲς τῆς ἡλικίας συμφερόντως πολλάκις τὰς πληγὰς ἐπανατείνεται τοῖς παισίν. ἀλλ' ἡμεῖς σήμερον τούτους ἅπαντας ὑπερβαλλόμενοι παρασκευαζόμεθα πατρικὴν φιλοστοργίαν περὶ τοὺς ἐπταικότας ἐπιδείξασθαι, καὶ διδάξαι αὐτοὺς ὅτι, εἰ ἐπιμένοιεν [ἐν] τῇ αὐτῇ ῥαθυμίᾳ, τοῦτο αὐτὸ μείζονος αὐτοῖς κατακρίσεως ὑπόθεσις ἔσται. ὁ μὲν γὰρ γηπόνος οὐ μετὰ τῆς αὐτῆς προθυμίας καταβάλλει τὰ σπέρματα, τὴν δαπάνην ἐννοῶν τὴν εἰκῇ καὶ μάτην ἤδη γεγενημένην· ἡμεῖς δὲ ταύτης ἀπαλλαγησόμεθα τῆς ἀγωνίας. κἂν γὰρ καταβαλόντες τὸν σπόρον τοῦτον τὸν πνευματικόν, διὰ τὴν ῥαθυμίαν τῶν ἀκουόντων τὸν καρπὸν μὴ δεξώμεθα, ἡμῖν ἀπηρτισμένος ὁ μισθὸς ἔσται. τὸ γὰρ ἐμπιστευθὲν ἀργύριον κατεβάλομεν, καὶ τὸ ἐπιταχθὲν παρὰ τοῦ δεσπότου εἰς ἔργον ἠγάγομεν. λοιπὸν τοῖς ἀκηκοόσιν ὁ λόγος πρὸς ἐκεῖνόν ἐστι τὸν μέλλοντα μετὰ τόκων ἀπαιτεῖν τὰ καταβαλλόμενα. ἀλλ' οὐ τοῦτο σκοποῦμεν, ὅτι ἡμεῖς ἐκτός ἐσμεν τῆς ζημίας, καὶ τὸ ἑαυτῶν πεπληρώκαμεν, ἀλλὰ βουλόμεθα καὶ ὑμᾶς πολλὴν τῶν καταβληθέντων τὴν πραγματείαν ποιήσασθαι, ἵνα μὴ τῇ τιμωρίᾳ ἐκείνῃ ὑπεύθυνοι γένησθε, τὴν

* πολλάκις

Ματθ. κε. λ.

ὑπέμεινεν ἐκεῖνος ὁ τὸ τάλαντον καταχώσας, καὶ τὸ δεσποτικὸν ἀργύριον οὐ μόνον οὐ πολυπλασιάσας, ἀλλὰ καὶ κατορύξας. τοιοῦτοί εἰσιν οἱ τὸν λόγον τῆς διδασκαλίας δεχόμενοι (τάλαντον γὰρ καὶ ἀργύριον τοῦτο καλεῖ) καὶ οὐ σπουδάζοντες καρποφορῆσαι καὶ πολλὴν τὴν πραγματείαν ποιήσασθαι. ἀλλ' ἴσως εἴποι τις ἂν τὴν παραβολὴν ταύτην τὴν τῶν ταλάντων περὶ τῶν διδασκάλων εἰρῆσθαι. κἀγὼ τοῦτό φημι. ἀλλ' ἐὰν ἐπέλθωμεν αὐτὴν ἀκριβῶς, εἴσεσθε ὅτι οἱ μὲν διδάσκαλοι τῆς καταβολῆς μόνον ὑπεύθυνοι τυγχάνουσιν· ὑμεῖς δὲ οὐ μόνον τῆς φυλακῆς τῶν καταβληθέντων, ἀλλὰ καὶ τῆς πραγματείας. καὶ ἵνα μάθῃς, ἀναγκαῖον αὐτὴν εἰς μέσον ἀγαγεῖν.

Ματθ. κε. ιδ.

Οἰκοδεσπότης τις, φησίν, ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ ἔδωκεν ᾧ μὲν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν. μετὰ δὲ χρόνον παραγενομένου αὐτοῦ ἦλθον οἱ δοῦλοι· καὶ ὁ τὰ πέντε τάλαντα λαβὼν προσῆλθε λέγων, κύριε, πέντε τάλαντά μοι ἔδωκας, ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. πολλὴ τοῦ οἰκέτου ἡ εὐγνωμοσύνη, δαψιλὴς ἡ τοῦ δεσπότου φιλανθρωπία. τί γάρ φησιν; εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. ἐπειδή, φησι, πολλὴν ἔδειξας ἐν τοῖς ἤδη πιστευθεῖσι τὴν εὐγνωμοσύνην, ἄξιος εἶ καὶ πλείονα ἐγχειρισθῆναι. προσῆλθε δὲ καὶ ὁ τὰ δύο τάλαντα εἰληφὼς λέγων, οὐχὶ δύο τάλαντά μοι παρέδωκας; ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. πολλὴ καὶ τούτου ἡ περὶ τὰ δεσποτικὰ χρήματα εὔνοια. διὸ καὶ τῶν αὐτῶν ἀξιοῦται τῷ προτέρῳ. καὶ τίνος ἕνεκεν δύο προσενεγκὼν τάλαντα τῆς αὐτῆς ἐκείνῳ τῷ τὰ πέντε προσαγαγόντι ἀξιοῦται εὐφημίας; εἰκότως. τὸν μὲν γὰρ πλεονασμὸν καὶ τὴν ἐλάττωσιν οὐχ ἡ τούτου σπουδή, οὐδὲ ἡ ἐκείνου ῥᾳθυμία πεποίηκεν, ἀλλ' ἡ τῶν ἐμπιστευθέντων ποσότης. τὰ μέντοι τῆς σπουδῆς ἴσα καὶ παρὰ τούτου καὶ παρ' ἐκείνου εἰσήνεκται. διὰ τοῦτο καὶ τῆς ἀμοιβῆς τῆς αὐτῆς ἀπήλαυσαν. ἀλλ' ὁ ἕτερος οὐδὲν τοιοῦτον διεπράξατο. ἀλλὰ τί; προσῆλθε λέγων, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντον ἐν τῇ γῇ. ἰδού, ἔχεις τὸ σόν. ὢ κακία οἰκέτου· ὢ ἀγνωμοσύνης ὑπερβολή, οὐ μόνον ὅτι οὐδὲν εἰργάσατο ἐπὶ τῷ δοθέντι αὐτῷ ταλάντῳ, ἀλλ' ὅτι καὶ ἀντὶ ταλάντου κατηγορίαν προσήνεγκε. τοιοῦτον γὰρ ἡ πονηρία. σκοτοῖ τὸν λογισμὸν, καὶ κατὰ κρημνῶν ποιεῖ φέρεσθαι τὸν ἅπαξ τῆς εὐθείας ἐκτραπέντα ὁδοῦ. ταῦτα ἅπαντα περὶ τῶν διδασκάλων εἴρηται, ὥστε μὴ ἀποκρύπτεσθαι τὰ ἐμπιστευθέντα, ἀλλὰ μετὰ πάσης σπουδῆς παρατιθέναι τοῖς μαθητευομένοις. ἀλλ' ἄκουε λοιπὸν, ἀγαπητέ, ἐκ τῆς πρὸς ἐκεῖνον ἀγανακτήσεως, ὅπως καὶ οἱ μαθητευόμενοι ὑπεύθυνοι γίνονται, καὶ οὐκ ἐκεῖνα μόνον ἀπαιτοῦνται τὰ καταβληθέντα, ἀλλὰ καὶ μετὰ τοῦ τόκου τὴν μέθοδον ὑπομένουσι. τί οὖν φησι πρὸς αὐτὸν ὁ δεσπότης; πονηρὲ δοῦλε. φοβερὰ ἡ ἀγανάκτησις, ἱκανὴ καταπλῆξαι ἡ ἀπειλή. εἰ ᾔδεις, φησίν, ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅπου οὐ διεσκόρπισα, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἐλθὼν μετὰ τόκου ἀπῄτησα ἂν αὐτό, ἀργύριον λέγων τὰ λόγια τὰ τίμια, τραπεζίτας δὲ ὑμᾶς καλῶν τοὺς ὑποδεχομένους. σὸν μὲν ἦν, φησι, καταβαλεῖν μόνον, ἐμὸν δὲ ἦν τὸ παρ' ἐκείνων ἀπαιτῆσαι, μὴ μόνον τὰ καταβληθέντα, ἀλλὰ καὶ τὸν ὑπὲρ τούτων τόκον. ὁρᾶτε, ἀγαπητοί, πῶς πολὺς ὁ φόβος τῶν εἰρημένων. τί ἂν οὖν εἴποιεν οἱ καὶ τῆς φυλακῆς τῶν καταβληθέντων ἀμελοῦντες, ὅταν καὶ τὸν ὑπὲρ τούτων τόκον μεθοδεύωνται; καὶ ὅρα φιλανθρωπίαν δεσπότου. ἐπὶ μὲν τῶν χρημάτων τῶν αἰσθητῶν ἀπηγόρευσε τὸ τόκον λαμβάνειν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ἑκάτερος αὐτῶν πολλὴν ἐντεῦθεν ὑπομένει τὴν βλάβην. τὸν μὲν γὰρ ἡ πενία ἐπιτρίβεται, ὁ δὲ μετὰ τοῦ πλεονασμοῦ τῶν χρημάτων καὶ ἁμαρτημάτων πλῆθος ἑαυτῷ ἐπισωρεύει. διὰ τοῦτο ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων Ἰουδαίοις τοῖς παχυτέρον διακειμένοις ταύτην τὴν ἐντολὴν ἐνομοθέτησε λέγων, Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου καὶ τῷ πλησίον σου. ποίας οὖν ἂν εἶεν ἀπολογίας ἄξιοι, οἱ καὶ τῶν Ἰουδαίων ὠμότεροι γινόμενοι, καὶ μετὰ τὴν χάριν καὶ τὴν τοσαύτην παρὰ τοῦ δεσπότου φιλανθρωπίαν τῶν ἐν τῷ νόμῳ ἐλάττους εὑρισκόμενοι, μᾶλλον δὲ καὶ χείρους; ἐπὶ μέντοι τῶν πνευματικῶν αὐτὸς ἀπαιτεῖν ὑπισχνεῖται τοὺς τόκους. διὰ τί; ἐπειδὴ ἀπ' ἐναντίως τοῖς αἰσθητοῖς χρήμασιν οὗτος ἐστὶν ὁ τόκος ὁ πνευματικός. ἐκεῖ μὲν γὰρ ὁ μεθοδευθεὶς εἰς ἐσχάτην πενίαν ἀθρόον καταφέρεται· ἐνταῦθα δὲ ὁ μεθοδευόμενος, ὅταν πολλὴν εὐγνωμοσύνην ἐπιδείξηται, ὅσῳ ἂν πλείονα τόκον εἰσενέγκῃ, τοσούτῳ δαψιλεστέρας ἀπολαύει τῆς ἄνωθεν ἀμοιβῆς. ἕκαστος τοίνυν ὑμῶν, ἀγαπητοί, ἐπειδὰν καταβάλλωμεν ἡμεῖς τὰ ἐμπιστευθέντα, διπλοῦν ὀφείλει τὸν πόνον καὶ τὴν ἀγρυπνίαν ἐπιδείκνυσθαι, τὸν μὲν τῆς φυλακῆς τῶν καταβληθέντων, ὥστε πάγια ταῦτα μένειν· τὸν δὲ τῆς ἐργασίας, ὥστε καὶ ἑτέροις μεταδιδόναι, καὶ πολλοὺς ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγεῖν, ἵνα διπλῆ πάλιν ὑμῖν τὸ κέρδος αὔξηται, ὑπέρ τε τῆς οἰκείας σωτηρίας, ὑπέρ τε τῆς τῶν ἄλλων ὠφελείας. ἐὰν γὰρ τοῦτο ποιῆτε, καὶ ἡμᾶς μακαρίους ἀποδείξετε (Μακάριος γάρ, φησιν, ὁ λέγων εἰς ὦτα ἀκουόντων) καὶ παρασκευάσετε δαψιλεστέραν ὑμῖν παραθεῖναι τὴν πνευματικὴν ταύτην τράπεζαν. μὴ τοίνυν ἀμελῆτε τῶν ἀδελφῶν τῶν ὑμετέρων, μηδὲ τὰ καθ' ἑαυτοὺς μόνον σκοπῆτε, ἀλλ' ἕκαστος σπουδαζέτω τὸν πλησίον ἐξαρπάζειν τοῦ τοῦ διαβόλου φάρυγγος, καὶ τῶν παρανόμων ἐκείνων θεαμάτων, καὶ εἰς τὴν ἐκκλησίαν ἐπαναγαγεῖν, δεικνύντα αὐτῷ μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ τῆς πρᾳότητος, καὶ τῆς λύμης τὴν ὑπερβολήν, καὶ τῶν ἐνταῦθα ἀγαθῶν τὸ μέγεθος. καὶ μὴ μόνον ἅπαξ καὶ δεύτερον τοῦτο ποιῆτε, ἀλλὰ καὶ διηνεκῶς. κἂν γὰρ σήμερον μὴ πείθηται τοῖς παρὰ σοῦ λεγομένοις, τῇ ἑξῆς πεισθήσεται· κἂν μὴ τῇ ἑξῆς, πάλιν ὁρῶν σε ἐπικείμενον, ἴσως ἐντραπήσεται, καὶ αἰδεσθεὶς σου τὴν κηδεμονίαν, ἀποστήσεται τῶν βλαπτόντων. καὶ μηδέποτε λέγε, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις εἶπον, καὶ οὐδὲν ἤνυσα. μὴ παύσῃ λέγων. ὅσῳ γὰρ ἂν ἐπιμένῃς, τοσούτῳ σου καὶ ὁ μισθὸς αὔξεται. οὐχ ὁρᾶτε πόσης ἀπολαύομεν μακροθυμίας παρὰ τοῦ τῶν ὅλων Θεοῦ, καὶ πῶς καθ' ἑκάστην ἡμέραν παρακούομεν αὐτοῦ τῶν προσταγμάτων, καὶ οὐκ ἀφίσταται τῆς περὶ ἡμᾶς κηδεμονίας, ἀλλὰ καὶ τὰ παρ' ἑαυτοῦ πάντα χορηγεῖ, τὸν ἥλιον ἀνατέλλων, τοὺς ὑετοὺς διδοὺς, τὰ ἄλλα πάντα; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πολλὴν ποιώμεθα τὴν σπουδήν, καὶ ἀντιπαλαιώμεθα τῷ πονηρῷ δαίμονι ἐκείνῳ, ἵνα ἄκυρα αὐτοῦ ποιῶμεν τὰ μηχανήματα. ἐὰν γὰρ ἕκαστος τῶν ἐνταῦθα συνιόντων ἕνα κερδᾶναι δυνηθῇ, ἐννόησον ὅπως ἡμῖν καὶ ἡ ἐκκλησία ἐπὶ τῷ πλήθει τῶν οἰκείων τέκνων πολλὴν δέξεται τὴν εὐφροσύνην, καὶ ὁ διάβολος καταισχυνθήσεται ὁρῶν εἰκῇ καὶ μάτην αὐτοῦ τὰ δίκτυα τεταμένα. ἐὰν γὰρ τοῦτο ποιῆτε, ἀκούσεσθε καὶ ὑμεῖς κατὰ τὴν ἡμέραν ἐκείνην, εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. ἀλλ' ὅτι μὲν τοῦτο ποιήσετε, σφόδρα πέπεισμαι. ὁρῶ γὰρ ὑμῶν καὶ τὰ πρόσωπα, καὶ στοχάζομαι ὅπως μεθ' ἡδονῆς ἐδέξασθε τὴν παρ' ἡμῶν νουθεσίαν, καὶ διὰ τοῦτο ἐλπίζω καὶ τὰ παρ' ὑμῶν εἰσενεχθήσεσθαι. διὸ τὴν μὲν περὶ τούτου παραίνεσιν ἐνταῦθα στήσωμεν· παραθήσομεν δὲ ὑμῖν τὴν πενιχρὰν ἡμῶν καὶ εὐτελῆ τράπεζαν, ἵνα τῆς συνήθους ἀπολαύσαντες διδασκαλίας οὕτως οἴκαδε ἐπανέλθητε. ἀναγκαῖον γὰρ καὶ σήμερον τὸν πατριάρχην Ἀβραὰμ εἰς μέσον ἀγαγεῖν, ἵνα μάθητε οἵας ἐδέξατο τῆς φιλοξενίας παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς.

Δευτ. κγ. ιθ.

Σειρ. κε. θ.

Ὤφθη

1 Ὤφθη δὲ αὐτῷ, φησιν, ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας.

Ἕκαστον τῶν ῥημάτων μετ' ἀκριβείας ἐξετάσωμεν, καὶ ἀναπτύξωμεν τὸν θησαυρὸν, καὶ ἅπαντα τὸν ἐναποκείμενον πλοῦτον [νῦν] καταμάθωμεν. ὤφθη δὲ αὐτῷ, φησὶν, ὁ Θεός. τίνος ἕνεκεν οὕτως ἤρξατο, ὤφθη δὲ αὐτῷ ὁ Θεός; ὅρα δεσπότου φιλανθρωπίαν, καὶ σκόπει μοι οἰκέτου εὐγνωμοσύνην. ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσιν ὀφθεὶς αὐτῷ μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν περὶ τῆς περιτομῆς αὐτῷ ἐντολὴν διετάξατο, ὁ δὲ θαυμαστὸς οὗτος ἀεὶ τὰ παρὰ τοῦ Θεοῦ κελευόμενα εἰς ἔργον ἐλθεῖν σπεύδων, εὐθέως οὐδὲ τὸ τυχὸν ἀναβαλλόμενος αὐτός τε περιετέμνετο, τὸ παρὰ τοῦ Θεοῦ προσταχθὲν πληρῶν, καὶ τὸν Ἰσμαὴλ περιέτεμε καὶ τοὺς οἰκογενεῖς ἅπαντας, καὶ ἔδειξεν αὐτοῦ τὴν πολλὴν ὑπακοήν, πάλιν αὐτῷ [ὁ φιλόδωρος] ἐπιφαίνεται. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος. ἐπειδὰν τοῖς ἤδη φθάσασιν εὐγνώμονας γινομένους ἴδῃ, ἐπιδαψιλεύεται καὶ οὐδέποτε ἵσταται τῆς εὐεργεσίας, ἀμειβόμενος τὴν τῶν ὑπακουόντων εὐγνωμοσύνην. διὰ τοῦτο οὖν ἐπειδὴ ὑπήκουσε, φησι, πάλιν ὤφθη αὐτῷ. ταύτης τοίνυν ἕνεκα τῆς αἰτίας οὕτως ἤρξατο ὁ μακάριος Μωϋσῆς λέγων, ὤφθη δὲ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. σκόπει μοι ἐνταῦθα τοῦ δικαίου τὴν ἀρετήν. καθημένου, φησὶν, ἐπὶ τῆς σκηνῆς. οὕτως ἔργον ἐποιεῖτο τὴν φιλοξενίαν, ὡς μηδὲ ἀνασχέσθαι ἑτέρῳ τινὶ τῶν προσηκόντων ἐπιτρέψαι τὴν τούτων θήραν· ἀλλὰ τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων, ἄνθρωπος πρεσβύτης, καὶ εἰς βαθὺ γῆρας ἐλάσας (ἑκατονταέτης γὰρ ἐτύγχανε) παρὰ τὴν θύραν ἐκαθέζετο. καὶ οὗτος μὲν τοῦτο ἔργον ἐποιεῖτο, καὶ οὐδὲ τὸ γῆρας αὐτῷ κώλυμα ἐγίνετο, οὐδὲ τῆς οἰκείας ἀναπαύσεως ἦν, οὐδὲ ἔσω ἐπὶ τῆς κλίνης ἦν ἀνακείμενος· ἀλλὰ παρὰ τὴν θύραν ἐκαθέζετο. ἕτεροι δὲ πολλάκις οὐ μόνον ταύτην οὐ ποιοῦνται τὴν σπουδήν, ἀλλὰ καὶ τὸ ἐναντίον, καὶ ἐκκλίνειν ἐπιχειροῦσι τῶν ἐπιδημούντων τὰς συντυχίας, ὡς ἂν μὴ καὶ ἄκοντες ἀναγκασθεῖεν ὑποδέξασθαι. ἀλλ' οὐχ ὁ δίκαιος οὗτος, ἀλλὰ παρὰ τὴν θύραν τῆς σκηνῆς ἐκαθέζετο μεσημβρίας. τοῦτο γὰρ ἴσ. οὕτως; ἡ πολλὴ τῆς φιλοξενίας ἐπίτασις, καὶ τῆς ἀρετῆς τοῦ δικαίου ἡ ὑπερβολή, ὅτι καὶ ἐν μεσημβρίᾳ τοῦτο διεπράττετο. Εἰκότως. ἐπειδὴ γὰρ ᾔδει τοὺς ὁδοιποροῦντας ἀναγκαζομένους κατ' ἐκεῖνον τὸν καιρὸν μάλιστα δεομένους πολλῆς τῆς θεραπείας, διὰ τοῦτο ὡς ἐπιτήδειον καιρὸν τοῦτον ἐξελέγετο, καὶ καθήμενος ἐθήρα τοὺς παριόντας, οἰκείαν ἀνάπαυσιν κρίνων τὴν τῶν ὁδιτῶν θεραπείαν, καὶ τοὺς ὑπὸ τοῦ καύσωνος φλεγομένους ὑπὸ τὴν σκέπην εἰσάγειν ἐσπούδαζεν, οὐ περιεργαζόμενος τοὺς παριόντας, οὐδὲ ἐξετάζων εἰ γνώριμοι, ἢ ἀγνώριστοι εἶεν (τοῦτο γὰρ οὐ φιλοξενία τὸ τὰ τοιαῦτα περιεργάζεσθαι) ἀλλὰ πᾶσι τοῖς παριοῦσι τῆς οἰκείας μετεδίδου φιλοφροσύνης. καὶ ἐπειδὴ ἥπλωσε τῆς φιλοξενίας τὴν σαγήνην, κατηξιώθη καὶ τὸν τῶν ὅλων δεσπότην ὑποδέξασθαι μετὰ τῶν ἀγγέλων. Ἑβ. ιγ. β. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους, τὸν πατριάρχην πάντως αἰνιττόμενος. Ματθ. κα. με. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ὃς ἂν δέξηται ἕνα τούτων τῶν ἐλαχίστων ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ἀκούωμεν, ἀγαπητοί, καὶ μηδέποτε περιεργαζώμεθα, τίς, καὶ πόθεν. εἰ γὰρ τοῦτο περιειργάσατο ὁ πατριάρχης, ἴσως ἂν διήμαρτεν. ἀλλ' ἔγνω, φησί, τῶν παραγινομένων τὴν ἀξίαν. πόθεν δῆλον; καὶ οὐχ οὕτω θαυμαστὸν ἂν ἦν τὸ τῆς φιλοξενίας αὐτοῦ, ὡς νῦν, ὅτε ἀγνοοῦν τινες ④ παραγινόμενοι, μετὰ τοσαύτης προθυμίας καὶ τιμῆς προσέσεισι, καθάπερ οἰκέτης δεσπότας, μονονουχὶ δεσμὰ διὰ τῶν λόγων αὐτοῖς περιβάλλων, καὶ ἱκεσίαν πρὸς αὐτοὺς ποιούμενος, ὥστε μὴ ἀνανεῦσαι, μηδὲ ζημίᾳ τῇ μεγίστῃ περιβαλεῖν.

βαλεῖν. ᾔδει γὰρ ὅπερ ἔπραττε· διὰ τοῦτο καὶ μετὰ πολλῆς θερμότητος τὴν ἐντεῦθεν ἐκαρποῦτο περιουσίαν. ἀλλ᾽ ἀκούσωμεν αὐτοῦ τοῦ συγγραφέως τῶν ῥημάτων, ἵν᾽ εἰδῇς ἐν βαθυτάτῳ γήρᾳ νεάζουσαν προθυμίαν, καὶ τὸν γέροντα νεάζοντα καὶ μονονουχὶ περιχαρῆ γινόμενον, καὶ νομίζοντα θησαυρὸν εὑρηκέναι τῶν παραγινομένων τὴν παρουσίαν.

2 Ἀναβλέψας γάρ, φησι, τοῖς ὀφθαλμοῖς εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ, καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ.

Τρέχει καὶ ἵπταται ὁ γέρων. εἶδε γὰρ τὴν θήραν, καὶ οὐδένα τῆς ἀσθενείας λόγον ποιησάμενος ἐπὶ τὴν ἄγραν ἔδραμε. καὶ οὐκ ἐκάλεσεν οἰκέτας, οὐκ ἐπέταξε παιδί, οὐδὲν βάναυσον, οὐδὲ ῥᾴθυμον ἐπεδείξατο, ἀλλὰ δι᾽ ἑαυτοῦ ἔδραμε μονονουχὶ λέγων, μέγας θησαυρός, μεγάλη πραγματεία· δι᾽ ἐμαυτοῦ ταύτην ὀφείλω ἐμπορεύσασθαι, μὴ παραδράμῃ με τὸ τοσοῦτο κέρδος. καὶ ταῦτα ἐποίει ὁ δίκαιος, ἀνθρώποις ἀγνῶτας ὁδίτας νομίζων ὑποδέχεσθαι. μάθωμεν, καὶ ζηλώσωμεν τοῦ δικαίου τὴν ἀρετήν. ἐὰν γὰρ οὕτω ποιῶμεν, εἰκὸς καὶ ἡμᾶς ποτε ἐπιτυχεῖν τοιαύτης θήρας, μᾶλλον δὲ καὶ ἀεὶ ἐπιτυγχάνομεν, εἰ βουλοίμεθα. διὰ γὰρ τοῦτο ὁ φιλάνθρωπος δεσπότης, ἵνα μὴ ὀκνῶμεν πρὸς τὴν τοιαύτην φιλοφροσύνην, μηδὲ περιεργαζώμεθα τοὺς παριόντας, φησίν, Ὃς ἂν δέξηται ἕνα τῶν ἐλαχίστων τούτων ἐν τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται. μὴ τοίνυν πρὸς τὴν εὐτέλειαν τοῦ παρόντος ὅρα, μηδὲ ἐξευτελίσῃς αὐτὸν ἐκ τῶν ὁρωμένων, ἀλλ᾽ ἐννόησον ὅτι τὸν δεσπότην ὑποδέχῃ τὸν σὸν διὰ τούτου. ὅταν γὰρ διὰ τὸ αὐτοῦ ὄνομα τὴν εἰς ἐκεῖνον θεραπείαν ἐπιδείξῃ, ὡσανεὶ ἐκεῖνον ὑποδεξάμενος, οὕτω λήψῃ τὸν μισθόν. κἂν ῥᾴθυμος τοίνυν ᾖ καὶ ἠμελημένος ὁ τῆς παρὰ σοῦ φιλοφροσύνης ἀπολαύων, μηδείς σοι λόγος τούτου ἔστω. ἀπηρτισμένος γάρ σοι ὁ μισθὸς δοθήσεται, διὰ τὴν εἰς τὸν δεσπότην τιμὴν τοῦτο ποιοῦντι, καὶ ζηλοῦντι τοῦ πατριάρχου τούτου τὴν ἀρετήν. καὶ ἰδών, φησι, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς. καλῶς καὶ τὸ προσέδραμε πρόσκειται, ἵνα μάθῃς ὅτι ὡς ἀγνῶτες παρήεσαν, καὶ οὐκ ἂν αὐτόματοι ἦλθον ἐπὶ τὴν σκηνήν. διὰ τοῦτο ἵνα μὴ διαφύγῃ αὐτὸν τὸ πνευματικὸν τοῦτο κέρδος, ὁ γεγηρακώς, ὁ πεπολιωμένος, ὁ ἑκατονταέτης προστρέχει, καὶ διὰ τοῦ δρόμου τὴν προθυμίαν ἐπιδείκνυται.

Ματθ. κε. μα.

Καὶ θεασάμενος προσεκύνησεν ἐπὶ τὴν γῆν, 3 Καὶ εἶπε, κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου. 4 Ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον, 5 Καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ τοῦτο παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν.

Πολλὴ τῶν τοῦ δικαίου ῥημάτων ἡ ὑπερβολή. οὐ γάρ, ὅτι ὑπεδέξατο, θαῦμα τοσοῦτον τῆς προθυμίας, ἀλλ᾽ ὅτι μετὰ τοσαύτης σπουδῆς, καὶ οὔτε πρὸς τὴν ἑαυτοῦ ἡλικίαν ἀπιδών, οὔτε πρὸς τοὺς παριόντας (ἴσως γὰρ νέοι τινὲς αὐτῷ κατεφαίνοντο) οὐδὲ νομίσας ἀρκεῖν τὴν διὰ τῶν λόγων μόνον προτροπήν, προσεκύνησε, φησιν, ἐπὶ τὴν γῆν, μονονουχὶ καθικετεύων, καὶ σφοδρὰν τὴν παράκλησιν προσάγων, ἵνα μὴ νομισθῇ ἁπλῶς ἀφοσιώσει προτρέπεσθαι. διὰ δὴ τοῦτο καὶ ἡ θεία γραφὴ δεικνύουσα τοῦ δικαίου τὴν πολλὴν καὶ ἄφατον ἀρετήν, φησι, προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῶν ῥημάτων πολλὴν τὴν θερμότητα ἐπιδεικνύμενος, πολλὴν τὴν ταπεινοφροσύνην, μεγίστην τὴν φιλοξενίαν, ἄφατον τὴν κηδεμονίαν. καὶ προσκυνήσας, φησίν, εἶπε· κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου. τί ἂν τις κατ' ἀξίαν εἴποι τοῦ δικαίου τούτου; ἢ πῶς ἄν τις αὐτὸν μυρίοις στόμασιν ἐγκωμιάσειε; τὸ μὲν γὰρ εἰπεῖν, κύριε, τῶν ἐγχωρούντων ἐστί· τὸ δὲ λέγειν, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, τοῦτο ἐστι τὸ παράδοξον. χάριν, φησὶ, διδοὺς, οὐ λαμβάνεις. τοιοῦτον γὰρ ἀληθῶς ἡ φιλοξενία. μᾶλλον λαμβάνει, ἢ δίδωσιν ὁ μετὰ προθυμίας " αὐτὴν ἐπιδεικνύμενος. ἀλλὰ μηδεὶς τῶν ταῦτα ἀκουόντων ὑποτεμνέσθω τοῦ δικαίου τὴν ἀρετὴν, καὶ νομιζέτω ὅτι εἰδὼς τίνες ἦσαν παραγεγονότες, ταῦτα ἐφθέγγετο. οὐδὲ γὰρ ἂν, καθὼς καὶ πολλάκις εἴρηται, μέγα τι τοῦτο ἦν, εἰ εἰδὼς ταῦτα ἔλεγεν· ἀλλὰ τὸ θαυμαστὸν καὶ παράδοξον τοῦτο ἐστιν, ὅτι ὡς ἀνθρώποις προσφερόμενος, τοιαῦτα ἐφθέγγετο ῥήματα. τὸ δὲ λέγειν, κύριε, ἴσως διὰ τὸ τῶν συνόντων αὐτῷ φαίνεσθαι ἐπιδοξότερον τὸν ἕνα, πρὸς ἐκεῖνον ἀποτεινόμενος τὴν παράκλησιν ποιεῖται, καὶ προϊὼν κοινοποιεῖ τὸν λόγον, καί φησι, ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν· καὶ πάλιν, καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ φάγεσθε ἄρτον, καὶ μετὰ τοῦτο παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. ὁρᾷς πῶς οὐκ εἰδὼς τίνες εἰσὶ, καθάπερ ἀνθρώποις διαλεγόμενος παροῦσιν, οὕτω κοινὴν πρὸς αὐτοὺς ποιεῖται τὴν προτροπὴν, καὶ ἅπαξ καὶ δεύτερον παῖδα ἑαυτὸν αὐτῶν " καλῶν. καὶ ὅρα πῶς καὶ προλέγει τῆς τραπέζης αὐτοῦ τὴν εὐτέλειαν. ληφθήτω δὴ ὕδωρ, φησὶ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. ἐπειδὴ γὰρ, φησι, κεκμήκατε, καὶ πολὺν τὸν καύσωνα ὑπεμείνατε, διὰ τοῦτο ἀξιῶ μὴ παρελθεῖν τὸν παῖδα ὑμῶν. μὴ γὰρ μέγα τί ἐστι τὸ παρ' ἐμοῦ γινόμενον; ὕδωρ ἔχω παρασχεῖν μόνον ὑπὲρ τοῦ νιψαμένους, ὑπὸ τὸ δένδρον τὸν πολὺν ὑμᾶς κάματον ἀποθέσθαι. εἶτα καὶ τῆς τραπέζης λέγει τὴν ἰδέαν. μὴ νομίσητε πολυτελές τι παραθήσειν ὑμῖν, ἢ καρυκευμάτων ποικιλίαν, ἢ ὄψων διαφοράν. ἄρτον φάγεσθε, καὶ * παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. εἶδες πῶς διαφόροις κέχρηται τρόποις, βουλόμενος δυσωπῆσαι τοὺς " παρόντας, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῶν ῥημάτων, καὶ διὰ πάντων ἐπισπάσασθαι αὐτοὺς θέλων. πρῶτον μὲν γὰρ, φησι, προσεκύνησεν, εἶτα κυρίους καλεῖ, καὶ ἑαυτὸν παῖδα. εἶτα λέγει τὸ μέλλον ὑπ' αὐτοῦ γίνεσθαι εἰς αὐτοὺς, ἐξευτελίζων καὶ δεικνὺς οὐδὲν μέγα ὄν. ὕδωρ γὰρ, φησι, τὸ πᾶσιν ἀνειμένον ἔχω παρασχεῖν εἰς τοὺς πόδας ὑμῶν, καὶ ἄρτον, καὶ τὴν ἀπὸ τῆς δρυὸς σκέπην. μὴ δὴ ἐξευτελίσητέ μου τὴν σκηνὴν, μὴ ὑπερίδητέ μου τὸ γῆρας, μὴ ἀνανεύσητε πρὸς τὴν ἐμὴν παράκλησιν. οἶδα ὅσην ὑπεμείνατε ταλαιπωρίαν, στοχάζομαι τοῦ καύσωνος τὴν φλόγα, διὰ τοῦτο ἀνεθῆναι μικρὸν ὑμᾶς βούλομαι. ποῖος πατὴρ φιλόστοργος πρὸς παῖδα τοσαύτην ἂν ἐπεδείξατο φιλοφροσύνην, ὅσην οὗτος πρὸς τοὺς ἀγνῶτας καὶ ξένους, καὶ οὐδαμόθεν αὐτῷ τέως γνωρίμους; ἀλλ' ἐπειδὴ μετὰ σπουδῆς προσῆλθε καὶ πολλοῦ τοῦ τόνου, ἐπέτυχε τῆς ἄγρας, καὶ τὴν θήραν εἴσω τῶν δικτύων λαβεῖν ἠδυνήθη.

χ. ταύτην

χ. ἀποκαλῶν

* οὕτως

ἴσ. παριόντας,

Καὶ εἶπαν, φησιν, οὕτω " ποιήσομεν, καθὰ εἴρηκας.

χ. ποίησον,

Ἀνεζωπύρησεν ὁ πρεσβύτης. ἐν χερσί, φησιν, ἔχω τὸν θησαυρὸν, τοῦ πλούτου ἐπελαβόμην, ἐπελαθόμην λοιπὸν τοῦ γήρως. καὶ ὅρα αὐτὸν πάνυ γαννύμενον τῷ πράγματι, καὶ μονονουχὶ σκιρτῶντα, καὶ, καθάπερ τὰ μυρία ἀγαθὰ ἐν ταῖς χερσὶν ἐπιφερόμενον, οὕτως ἡδόμενον.

6 Καὶ ἔσπευσεν Ἀβραάμ, φησιν, ἐπὶ τὴν σκηνήν.

Ὥσπερ ἡνίκα ἐπὶ τὴν θήραν αὐτῶν ἐπείγετο, ἐμήνυσεν αὐτοῦ τὸν τόνον καὶ τὴν προθυμίαν ἡ θεία γραφὴ, εἰποῦσα, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς· οὕτω καὶ νῦν ἐπειδὴ εἶδε τοὺς ἄνδρας, καὶ κατώρθωσεν ὅπερ ἐπεθύμει, οὐδὲ οὕτως ἵστησι τὴν προθυμίαν, ἀλλὰ θερμότερον πάλιν ἐπιδείκνυσι τὸν ἔρωτα. οὐδὲ ἐπειδὴ ἐν ἀσφαλείᾳ γέγονε, λοιπὸν ῥᾳθυμότερος κατέστη, ὅπερ πολλάκις ἡμεῖς ὑπομένομεν, καὶ παρὰ μὲν τὴν ἀρχὴν ἐνίοτε πολλὴν ἐπιδεικνύμεθα τὴν σπουδήν, ἐπειδὰν δὲ τοῦ πράγματος ἐντὸς γενώμεθα, οὐ τὸν ἴσον πόνον εἰσφέρομεν· ἀλλ' οὐχ ὁ δίκαιος οὗτος, ἀλλὰ τί; πάλιν σπεύδει καὶ ἐπείγεται καὶ τρέχει ὁ γεγηρακὼς

Ἐπὶ τὴν σκηνὴν πρὸς Σάῤῥαν, καὶ εἶπεν αὐτῇ, σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως.

Σκόπει πῶς καὶ τὴν Σάῤῥαν κοινωνὸν λαμβάνει τῆς θήρας, καὶ πῶς αὐτὴν ἐξεπαίδευσε ζηλοῦν αὐτοῦ τὴν ἀρετήν. καὶ γὰρ κἀκείνην παρορμᾷ μὴ ῥᾳθύμως τῇ χρείᾳ προσελθεῖν, ἀλλὰ σπεῦσον, φησί. τῆς μεγάλης ἐπετύχομεν πραγματείας· μὴ ἀπολέσωμεν τὸν θησαυρόν, ἀλλὰ σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως. ἐπειδὴ γὰρ ᾔδει τοῦ κατορθώματος τὸ μέγεθος, ἐβούλετο κοινωνὸν τῶν μισθῶν λαμβάνειν καὶ τῶν ἀντιδόσεων [καὶ] τὴν τοῦ βίου γενομένην αὐτῷ κοινωνόν. διατί γάρ, εἰπέ μοι, οὐδενὶ τῶν παιδισκῶν τοῦτο ἐπέταξεν, ἀλλὰ τῇ γυναικὶ τῇ προβεβηκυίᾳ; ἐνενήκοντα γὰρ ἐτῶν ἐτύγχανεν οὖσα· καὶ οὐκ ἀναδύεται ἡ Σάῤῥα πρὸς τὸ ἐπίταγμα, ἀλλὰ τὴν ἴσην καὶ αὐτὴ προθυμίαν εἰσφέρει. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες· ἄνδρες μὲν οὖν, ἵνα οὕτω τὰς ἑαυτῶν συνοίκους ἐκπαιδεύωσιν, ἐπειδὰν πνευματικόν τι κέρδος παρεμπέσῃ, μὴ διὰ τῶν οἰκετῶν τοῦτο πληροῦν, ἀλλὰ δι' ἑαυτῶν ἅπαντα διαπράττεσθαι· γυναῖκες δέ, ἵνα σπεύδωσι κοινωνεῖν τοῖς ἀνδράσι τῶν τοιούτων κατορθωμάτων, καὶ μὴ ἐπαισχύνωνται τὴν φιλοξενίαν, καὶ τὴν εἰς τούτους θεραπείαν, ἀλλὰ μιμείσθωσαν τὴν Σάῤῥαν, τὴν πρεσβῦτιν, τὴν ἐν ἡλικίᾳ τοιαύτῃ πόνους καταδεχομένην, καὶ τὰ τῶν παιδισκῶν ἔργα ἐπιτελοῦσαν. ἀλλ' οἶδα ὅτι οὐδεὶς ἀνέξεται τῶν παρ' ἡμῶν λεγομένων. νῦν γὰρ ἡμῖν ἀπ' ἐναντίας ἐκείνῃ πάντες βαδίζειν ἐπείγονται, καὶ πολλὴ ἡ βλακεία ταῖς γυναιξί, καὶ ἡ σπουδὴ πρὸς τὸν κόσμον τῶν ἱματίων, περὶ τὰ χρυσία, καὶ τὰ περιδέῤῥαια, καὶ τὸν ἔξωθεν καλλωπισμόν, καὶ τῆς ψυχῆς οὐδεμία πρόνοια. καὶ οὐδὲ Παῦλος αὐτῶν καθικνεῖται βοῶν καὶ λέγων, Μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. ὅρα τὴν οὐρανομήκη ταύτην ψυχήν, πῶς οὐκ ἐνόμισεν αἰσχρὸν αὐτῷ εἶναι μέχρι τούτου τὸν λόγον ποιήσασθαι, καὶ ἐπὶ ἐμπλεγμάτων παραινέσαι· εἰκότως. πᾶσα γὰρ αὐτῷ ἡ σπουδὴ περὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἦν. ἐπεὶ οὖν οἶδεν, ὅτι ταῦτα μάλιστα τῆς ψυχῆς τὸν ὄλεθρον ἐργάζεται, διὰ τοῦτο οὐδὲν παρῃτήσατο τῶν προσηκόντων εἰς διδασκαλίαν ταῖς ταῦτα νοσούσαις. ἀλλά, φησιν, εἰ βούλει κοσμεῖσθαι, τὸν ἀληθῆ κόσμου κόσμον, ὃν πρέπει γυναιξὶν εὐσεβέσι, τοῖς ἀγαθοῖς ἔργοις κοσμοῦ. οὗτος τῆς ψυχῆς ὁ κόσμος, οὗτος οὐδεμίαν παρὰ τῶν ἔξωθεν κατάγνωσιν δέχεται, τοῦτον οὐδεὶς ἀποσυλῆσαι δυνήσεται, οὗτος ἀνάλωτος μένει διηνεκῶς. ἀπὸ γὰρ τοῦ κόσμου τούτου τοῦ ἔξωθεν μυρία τίκτεται κακά· καὶ οὔπω λέγω τὴν τῆς ψυχῆς λύμην, τὴν ἐντεῦθεν φυομένην ἀλαζονείαν, τὴν ὑπεροψίαν, τὴν κατὰ τῶν πλησίον τοῦ φρονήματος τὴν ἀπόνοιαν, τῆς ψυχῆς τὴν διαφθοράν, τῶν ἡδονῶν τῶν ἀτόπων τὸν ἑσμόν· ἀλλ' ὅτι καὶ ἁλωτὸς ὁ κόσμος οὗτος καὶ οἰκετῶν κακουργίαις, καὶ λῃστῶν ἐφόδῳ, καὶ συκοφαντῶν ἐπιβουλαῖς. καὶ μυρία ἄν τις εὕροι ἐντεῦθεν φυόμενα κακά, καὶ ἀηδίας διηνεκεῖς. ἀλλ' οὐχ ἡ Σάῤῥα τοιαύτη· ἀλλὰ τὸν ἀληθῆ κόσμον ἐκέκτητο, δι' ὃ καὶ ἀξία τοῦ πατριάρχου ἦν, καὶ καθάπερ ἐκεῖνος ἔσπευσε καὶ ἐπὶ τὴν σκηνὴν ἔδραμεν, οὕτω καὶ ἐκείνη μετὰ σπουδῆς τὸ ἐπιταχθὲν ἐπλήρου, καὶ ἔφυρα τρία μέτρα σεμιδάλεως. ἐπειδὴ γὰρ τρεῖς ἦσαν οἱ παραγεγονότες, τρία μέτρα ἐκέλευσε φυραθῆναι, ὥστε θᾶττον φθάσαι τοὺς ἄρτους.

α. Τιμ. β. θ.

7 Καὶ τοῦτο διαταξάμενος εἰς τὰς βοῦς πάλιν αὐτὸς ἔδραμεν.

Ὢ γέροντος νεότης, ὢ ψυχῆς τόνος. τρέχει ἐπὶ τὰς βοῦς, καὶ οὐκ ἀφίησί τινα τῶν οἰκετῶν ἀπελθεῖν, διὰ πάντων δεικνὺς τοῖς παραγενομένοις, ὅσης ἡδονῆς ἐπληρώθη, καὶ ὅπως μέγα τι ἡγεῖται τὴν αὐτῶν παρουσίαν, καὶ ὅτι θησαυρὸν εἶναι τὸ πρᾶγμα νομίζει.

Καὶ ἔλαβέ, φησι, μοσχάριον ἁπαλὸν καὶ καλόν.

Αὐτὸς δι᾽ ἑαυτοῦ τὴν ἐκλογὴν ἐποιήσατο, καὶ τὸ κάλλιστον τῶν ὄντων λαβὼν δίδωσι τῷ παιδί, κἀκεῖνον κατεπείγων μὴ μελλῆσαι, ἀλλὰ πολλὴν τὴν σπουδὴν ἐπιδείξασθαι. σκόπει πῶς πάντα μετὰ τάχους, μετὰ προθυμίας ζεούσης, μετὰ ἱλαρότητος, μετὰ χαρᾶς, μετὰ πολλῆς τῆς θυμηδίας γίνεται.

Καὶ ἐτάχυνεν ὁ παῖς τοῦτο ποιῆσαι, φησί.

Καὶ οὐδὲ οὕτως ἠρεμεῖ ὁ γέρων, ἀλλὰ πάλιν ἐν τάξει ὑπηρέτου ἵσταται, καὶ λαβὼν βούτυρον καὶ γάλα καὶ τὸ μοσχάριον, ὃ ἐποίησε, παρέθηκεν αὐτοῖς. αὐτὸς δι᾽ ἑαυτοῦ πάντα ποιεῖ καὶ παρατίθησι, καὶ οὐδὲ ἄξιον ἑαυτὸν ἐνόμισε τοῦ συγκαθεσθῆναι αὐτοῖς, ἀλλ᾽ ἐκείνων ἐσθιόντων παρειστήκει αὐτὸς ὑπὸ τὸ δένδρον. ὢ φιλοξενίας μέγεθος, ὢ ταπεινοφροσύνης ὑπερβολή, ὢ φιλοθέου γνώμης ἐπίτασις. παρειστήκει ὁ ἑκατονταέτης οὗτος ἄνθρωπος ἐσθιόντων αὐτῶν. ἐμοὶ δοκεῖ ὑπὸ τοῦ πόθου πολλοῦ καὶ τῆς προθυμίας, καὶ τῆς ἀσθενείας ἀνώτερον αὐτὸν τότε γεγενῆσθαι, καὶ ἰσχύν τινα προσλαβεῖν. εἴωθε γὰρ πολλάκις ἡ τῆς ψυχῆς προθυμία, ἐπειδὰν ἐρρωμένη ᾖ, νικᾶν τοῦ σώματος τὴν ἀσθένειαν. εἱστήκει τοίνυν ὁ πατριάρχης, καθάπερ οἰκέτης, μεγίστην τιμὴν ταύτην ἡγούμενος, τοῦ καταξιωθῆναι ὑπηρετήσασθαι τοῖς παροῦσι, καὶ τὸν ἀπὸ τῆς ὁδοιπορίας κάματον αὐτῶν παραμυθήσασθαι. εἶδες ὅση τοῦ δικαίου φιλοξενία. μὴ γὰρ δὴ τοῦτο σκόπει, ὅτι ἄρτους παρέθηκε καὶ τὸ μοσχάριον, ἀλλ᾽ ἐκεῖνο λογίζου, μεθ᾽ ὅσης τιμῆς, μεθ᾽ ὅσης ταπεινοφροσύνης τὰ τῆς φιλοξενίας ἐπεδείκνυτο· οὐ καθάπερ οἱ πολλοί, κἂν ποιήσωσί ποτέ τι τοιοῦτον, μέγα φρονοῦσι κατὰ τῶν ὑποδεχθέντων, καὶ πολλάκις καὶ ὑπερορῶσιν αὐτῶν διὰ τὴν φθάσασαν εἰς αὐτοὺς θεραπείαν. τοῦτο δὲ ὅμοιόν ἐστι τοῦ τινα ἐκ τῶν χειρῶν ἅπαντα ῥίψαι τὰ συλλεγέντα. ὁ γὰρ μετὰ ἀπονοίας τι ἐργαζόμενος, καὶ οὕτω ποιῶν ὡς παρέχων μᾶλλον ἢ λαμβάνων, οὐκ οἶδεν ὃ διαπράττεται. διὰ τοῦτο ἀπόλλυσι καὶ τὸν ἐκ τούτου μισθόν. ἀλλ᾽ οὗτος εἰδὼς ὅπερ εἰργάζετο, διὰ τῶν γινομένων ἁπάντων ἐδείκνυ τῆς ψυχῆς τὴν προθυμίαν. καὶ ἐπειδὴ μετὰ δαψιλείας καὶ πολλῆς τῆς ἱλαρότητος ἔσπειρε τὴν φιλοξενίαν, παραχρῆμα δαψιλεῖ τῇ χειρὶ τὰ δράγματα ἐδέχετο. ἐπειδὴ γὰρ ἅπαντα τὰ παρ᾽ ἑαυτοῦ ἐπλήρωσε, καὶ οὐδὲν ἐγκατέλειπεν, ἀλλὰ τέλος ἔλαβε τὰ τῆς φιλοξενίας, καὶ ἐδείχθη τοῦ δικαίου ἡ ἀρετή, τότε λοιπόν, ἵνα μάθῃ ὁ δίκαιος οἵων ἐπέτυχε, καὶ ὅσων αὐτῷ τῶν ἀγαθῶν αἰτία γεγένηται ἡ τῆς φιλοξενίας ὑπόθεσις, ἐκκαλύπτει ἑαυτὸν ὁ παραγενόμενος, καὶ κατὰ μικρὸν ὑποδείκνυσι τῷ δικαίῳ τῆς οἰκείας δυνάμεως τὸ μέγεθος. ἰδὼν γὰρ αὐτὸν παρεστῶτα παρὰ τὴν δρῦν, καὶ διὰ τῆς στάσεως τὴν πολλὴν τιμήν, καὶ τὴν θεραπείαν ἐπιδεικνύμενον, φησὶ πρὸς αὐτόν· ποῦ Σάῤῥα ἡ γυνή σου; εὐθέως διὰ τῆς ἐρωτήσεως παρῄνιξεν αὐτῷ, δεικνὺς ὡς οὐχ ὁ τυχών ἐστιν ὁ παραγενόμενος, εἴγε καὶ τῆς γυναικὸς αὐτοῦ τὴν προσηγορίαν ἠπίστατο. ὁ δέ φησιν, ἰδοὺ ἐν τῇ σκηνῇ. καὶ ἐπεὶ ἔμελλε λοιπόν, ὡς Θεός, ὑπισχνεῖσθαι αὐτῷ τὰ ὑπὲρ φύσιν, διὰ τοῦτο καὶ τῷ εἰπεῖν τὴν προσηγορίαν τῆς Σάῤῥας ἐσήμανεν, ὅτι ὑπὲρ ἄνθρωπόν ἐστιν ὁ εἰς τὴν σκηνὴν αὐτοῦ καταχθείς.

γρ. ὁ δὲ δίκαιος οὗτος

γρ. ἐγκατέλιπεν,

γρ. παραγινόμενος,

10 Ἐπαναστρέφων γάρ, φησιν, ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου.

Ἰδοὺ τῆς φιλοξενίας οἱ καρποί, ἰδοὺ τῆς προθυμίας τῆς ἐπιτεταμένης ὁ μισθός, ἰδοὺ τῶν καμάτων τῆς Σάῤῥας αἱ ἀμοιβαί.

Ἐκείνη δέ, φησιν, ἤκουσε παρὰ τὴν θύραν τῆς σκηνῆς ἑστῶσα ὄπισθεν, 12 Καὶ τοῦτο ἀκούσασα ἐγέλασε καθ' ἑαυτὴν λέγουσα· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτης.

Καὶ ἵνα ἀπολογήσηται ἡ θεία γραφὴ ὑπὲρ τῆς Σάῤῥας, προλαβοῦσα ἐπεσημήνατο, ὅτι

11 Ἀβραὰμ δὲ καὶ Σάῤῥα προβεβηκότες ἡμερῶν.

Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλά φησιν,

Ἐξέλιπε δὲ Σάῤῥα γίνεσθαι τὰ γυναικεῖα.

Ἐξηραμμένη ἦν, φησιν, ἡ πηγή, πετύφλωτο ὁ ὀφθαλμός, αὐτὸ δὲ ἐργαστήριον ἦν πεπηρωμένον. διὸ ἀφορῶσα πρὸς ταῦτα ἡ Σάῤῥα πρὸς ἑαυτὴν ἐλογίζετο τήν τε ἑαυτῆς ἡλικίαν, τό τε γῆρας τοῦ πατριάρχου. ἀλλ' ἐκείνης κατὰ τὴν σκηνὴν ταῦτα λογιζομένης, ὁ τὰ ἀπόῤῥητα τῆς διανοίας ἐπιστάμενος δεῖξαι βουλόμενος καὶ τῆς οἰκείας δυνάμεως τὴν ὑπερβολήν, καὶ ὅτι οὐδὲν αὐτὸν λανθάνει τῶν ἀποῤῥήτων,

13 Φησὶ πρὸς τὸν Ἀβραάμ· τί ὅτι ἐγέλασε Σάῤῥα ἐν ἑαυτῇ λέγουσα, ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα.

Ταῦτα γὰρ ἐκείνη ἐν ἑαυτῇ ἐλογίζετο.

14 Μὴ ἀδυνατεῖ, φησι, παρὰ τῷ Θεῷ ῥῆμα;

Ἰδοὺ φανερῶς ἑαυτὸν ἐξεκάλυψεν. οὐκ ἴστε, φησίν, ὅτι τῆς φύσεως ὢν δεσπότης πάντα δύναμαι, ἅπερ ἂν βουληθῶ; καὶ τὴν νεκρωθεῖσαν μήτραν ζωογονῆσαι καὶ ἐπιτηδείαν κατασκευάσαι; μὴ ἀδυνατεῖ, φησιν, ἀδύνατόν τι τῷ Θεῷ; οὐχὶ πάντα ποιῶ, καὶ μετασκευάζω; οὐχὶ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχω; μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα; οὐ φθάσας ὑπεσχόμην δὴ τοῦτο; μὴ ἐγχωρεῖ τὸ παρ' ἐμοῦ ῥηθὲν μὴ εἰς ἔργον ἐλθεῖν; ἄκουε τοίνυν, ὅτι,

Εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός.

Ἐπειδὰν, φησιν, ἀναστρέψω κατὰ τὸν καιρὸν τοῦτον, τότε γνώσεται διὰ τῶν πραγμάτων ἡ Σάῤῥα, ὅτι οὔτε τὸ γῆρας αὐτῆς κώλυμα γενήσεται, οὔτε ἡ στείρωσις· ἀλλὰ τὸ ῥῆμα τὸ ἐμὸν ἀπαράβατον ἔσται, καὶ ὁ τόκος αὐτὴν διδάξει τῶν παρ' ἐμοῦ ῥηθέντων τὴν δύναμιν. Εἶτα ἐκείνη ἀκούσασα, ὅτι οὔτε τὰ ἐν τῇ διανοίᾳ αὐτῆς κινηθέντα ἔλαθε τὸν παρόντα,

15 Ἠρνήσατο λέγουσα, οὐκ ἐγέλασα.

Ὁ γὰρ φόβος κατέσεισεν αὐτῆς τὴν διάνοιαν. διὰ τοῦτο τῇ ἀσθενείᾳ αὐτῆς ἡ γραφὴ τὸ πᾶν λογιζομένη φησίν, ἐφοβήθη γάρ. ἀλλ' ὁ πατριάρχης φησὶ πρὸς αὐτήν, οὐχί, ἀλλὰ ἐγέλασας. μὴ νομίσῃς, φησίν, εἰ καὶ ἐν διανοίᾳ ταῦτα ἐβουλεύσω, καὶ κατὰ τὸ λεληθὸς γέλωτα ἐποιήσω, ὅτι τοῦ παραγινομένου τὴν δύναμιν λαθεῖν εἶχες. μὴ τοίνυν ἀρνοῦ τὸ γεγονός, μηδὲ προσθήκην ἐργάζου τῷ ἁμαρτήματι. μεγάλα γὰρ ἡμᾶς σήμερον διαδέξεται ἀγαθά, τῆς φιλοξενίας ἡμῖν τούτων πάντων αἰτίας γινομένης.

ΗΘΙΚΟΝ

Τοῦτον ἅπαντες μιμησώμεθα, καὶ τοσαύτην περὶ τὴν φιλοξενίαν τὴν σπουδὴν ποιώμεθα, οὐχ ἵνα τὴν ἐπικήρων τούτων καὶ φθειρομένων λάβωμεν τὴν ἀντίδοσιν μόνον, ἀλλ' ἵνα καὶ τῶν ἀθανάτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτοῖς ἀποθώμεθα. ἐὰν γὰρ τοῦτο ποιῶμεν, ὑποδεξόμεθα καὶ ἡμεῖς ἐνταῦθα τὸν Χριστόν, καὶ ὑποδέξεται καὶ ἡμᾶς αὐτὸς ἐν ταῖς μοναῖς ἐκείναις ταῖς ἡτοιμασμέναις τοῖς ἀγαπῶσιν αὐτόν, καὶ ἀκουσόμεθα παρ' αὐτοῦ, Ματθ. κε. λδ. Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. τί τούτων ἀνεπαχθέστερον; μὴ γὰρ ἐπέταξεν ἡμῖν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν τοὺς παρ' ἡμᾶς μέλλοντας θεραπεύεσθαι; σὺ δὲ σαυτοῦ, φησίν, ἐπίδειξαι, κἂν εὐτελὴς ᾖ, κἂν ἀπερριμμένος κατὰ τὸ φαινόμενον. ταῦτα γὰρ μάλιστα ἐγὼ οἰκειοῦμαι τὰ εἰς τούτους γινόμενα. διὰ τοῦτο προσέθηκεν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. μὴ δὴ παραχωρῶμεν, ἀγαπητοί, τοσοῦτον ἐᾶν κέρδος, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ποθήσωμεν τὴν φιλοξενίαν. ὁ γὰρ δεσπότης προθυμίας δαψίλειαν, οὐ βρωμάτων ὄγκον ἀπαιτεῖ, οὐ τράπεζαν πολυτελῆ, ἀλλὰ γνώμην ἱλαράν, οὐ θεραπείαν ἁπλῶς τὴν διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ καρδίας καὶ εἰλικρινοῦς διανοίας ἀγάπην. Σειρ. ιη. ιε. διὰ τοῦτο καί τις σοφὸς ἔλεγε, Κρεῖσσον λόγος, ἢ δόσις. πολλάκις γὰρ λόγου θεραπεία πλέον τῆς δόσεως ἀνεκτήσατο τὸν δεόμενον. ταῦτα εἰδότες μηδέποτε δυσχεραίνωμεν πρὸς τοὺς προσιόντας, ἀλλ' ἂν μὲν δυνηθῶμεν παραμυθεῖσθαι αὐτῶν τὴν πενίαν, τοῦτο ποιῶμεν μετὰ χαρᾶς καὶ πολλῆς τῆς εὐφροσύνης, οὐχ ὡς παρέχοντες, ἀλλ' ὡς τὰ μέγιστα κερδαίνοντες· εἰ δὲ μὴ δυνώμεθα, μὴ τραχυνώμεθα πρὸς αὐτούς· ἀλλὰ κἂν τὴν διὰ τοῦ λόγου θεραπείαν παρέχωμεν, καὶ μετ' ἐπιεικείας αὐτοῖς ἀποκρινώμεθα. τίνος γὰρ ἕνεκεν τραχέως αὐτῷ προσφέρῃ; μὴ γὰρ ἀναγκάζει; μὴ γὰρ βιάζεται; ἀξιοῖ, ἱκετεύει, παρακαλεῖ· ὁ δὲ ταῦτα ποιῶν οὐχ ὕβρεως ἄξιος. τί λέγω ἀξιοῖ, καὶ παρακαλεῖ; μυρία [ἐκδυσωπεῖ, μυρία] ἐπεύχεται, καὶ πάντα ταῦτα ποιεῖ ὑπὲρ ἑνὸς ὀβολοῦ, καὶ οὐδὲ τοῦτον προϊέμεθα. καὶ ποίας ἂν τύχωμεν συγγνώμης, ποίαν δὲ σχοίημεν ἀπολογίαν, αὐτοὶ μὲν οὕτω καθ' ἑκάστην ἡμέραν δαψιλῆ τράπεζαν παρατιθέμενοι, καὶ πολλάκις καὶ τὴν χρείαν ὑπερβαίνοντες, ἐκείνοις δὲ μηδὲ τοῦ τυχόντος μεταδιδόντες, καὶ ταῦτα μυρία ἀγαθὰ διὰ τούτου κομιζόμενοι; ἀλλ' ὢ τῆς πολλῆς ῥαθυμίας· ὅσον κέρδος προϊέμεθα ἐκ τῶν ἡμετέρων χειρῶν, καὶ τὴν ὑπόθεσιν τῆς σωτηρίας ἡμῶν τὴν παρὰ τοῦ Θεοῦ ἡμῖν παρασχεθεῖσαν ἀποπεμπόμεθα, οὐκ ἐννοοῦντες οὔτε τῆς ἀρετῆς ταύτης τὴν κορυφήν, οὔτε τῶν διδομένων τὸ εὐτελές, οὔτε τὴν ὑπὲρ τῶν τοιούτων ἀμοιβῶν ὑπερβολήν; ἀλλὰ πάντα τοῖς κιβωτίοις ἐναποκλείομεν, καὶ τὸ μὲν χρυσίον ὑπὸ τοῦ ἰοῦ δαπανᾶσθαι συγχωροῦμεν, μᾶλλον δὲ ταῖς τῶν κλεπτῶν χερσὶ προτίθεμεν· τὰ δὲ ἱμάτια τὰ ποικίλα ὑπὸ τοῦ σητὸς ἀναλίσκεσθαι ἀφίεμεν, καὶ οὐκ ἀνεχόμεθα τὰ ἁπλῶς κείμενα δεόντως οἰκονομῆσαι, ἵνα πάλιν ἡμῖν διαφυλάττηται διὰ τούτων, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἀξιωθῆναι δυνηθῶμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μβ΄ ΕΞΑΝΑΣΤΑΝΤΕΣ ΔΕ ΟΙ ΑΝΔΡΕΣ ΕΠΕβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας.

Ἐμάθομεν ἐκ τῶν χθὲς ἀνεγνωσμένων, ἀγαπητοί, τὴν ὑπερβολὴν τῆς τοῦ δικαίου φιλοξενίας. φέρε καὶ σήμερον τὰ ἑξῆς ἐπελθόντες, πάλιν καταμάθωμεν τοῦ πατριάρχου τὸ φιλόστοργον καὶ συμπαθές. ἑκάστην γὰρ τῶν ἀρετῶν μεθ' ὑπερβολῆς ὁ δίκαιος οὗτος ἐκέκτητο. οὐδὲ γὰρ μόνον φιλόστοργος, οὐδὲ φιλόξενος ἦν καὶ συμπαθής, ἀλλὰ καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας μετὰ δαψιλείας

λείας ἐπεδείκνυτο. ἄν τε γὰρ ὑπομονὴν δέῃ ἐπιδείξασθαι, εὑρήσεις αὐτὸν εἰς αὐτὴν τὴν ἄκραν κορυφὴν ἀναβεβηκότα· ἄν τε ταπεινοφροσύνην, πάλιν καὶ ἐν ταύτῃ οὐδενὶ παραχωροῦντα, ἀλλὰ πάντας ὑπερακοντίζοντα· κἂν πίστιν ἐπιδείξασθαι δέῃ, καὶ ἐν τούτῳ πάλιν μᾶλλον εὑρεθήσεται τῶν ἄλλων ἁπάντων εὐδοκιμῶν. καθάπερ γὰρ εἰκών τις ἔμψυχός ἐστιν ἡ τούτου ψυχή, τὰ διάφορα τῆς ἀρετῆς χρώματα ἐν ἑαυτῇ δεικνῦσα. ποία οὖν ἡμῖν ὑπολείπεται λοιπὸν ἀπολογία, ὅταν ἑνὸς ἀνθρώπου πάσας τὰς ἀρετὰς ἐν ἑαυτῷ περιφέροντος, ἡμεῖς οὕτως ἔρημοι τυγχάνωμεν, ὡς μηδεμίαν ἀρετὴν βούλεσθαι κατορθοῦν; ὅτι γὰρ οὐ παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι ἔρημοι πάντων ἐσμὲν τῶν ἀγαθῶν, σαφὴς ἀπόδειξις, τὸ πολλοὺς τῶν ὁμογενῶν ἡμῖν εὑρεῖν διαλάμποντας ἐν ἀρετῇ. καὶ αὐτὸ γὰρ τοῦτο, τὸ τὸν πατριάρχην καὶ πρὸ τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου γεγονότα, οἴκοθεν καὶ ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης γνώσεως εἰς τοσοῦτον μέγεθος ἀρετῆς ἐλθεῖν, πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται. ἀλλ' ἴσως ἐροῦσί τινες, ὅτι πολλῆς ἀπέλαυσε τῆς παρὰ τοῦ Θεοῦ κηδεμονίας ὁ ἀνήρ, καὶ πολλὴν ἐπεδείξατο τὴν περὶ αὐτὸν πρόνοιαν ὁ τῶν ὅλων Θεός. ναί, ὁμολογῶ· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ ἐπεδείκνυτο, καὶ διὰ τοῦτο καὶ τῶν παρὰ τοῦ δεσπότου ἀπήλαυε. μὴ τοίνυν τοῦτο μόνον ὅρα, ἀλλὰ καθ' ἕκαστον ἐξετάζων καταμάνθανε, πῶς πρότερον τῆς οἰκείας ἀρετῆς ἐν πᾶσι τὴν βάσανον παρεσχηκώς, οὕτως ἠξιοῦτο τῆς παρὰ τοῦ Θεοῦ συμμαχίας. καὶ ταῦτα πολλάκις ὑμῖν ἐδείξαμεν, ἡνίκα τὰ κατὰ τὴν μετάστασιν αὐτοῦ τὴν ἐκ γῆς τῆς πατρῴας ἐποιεῖτο, ὅπως οὐδὲ ἀπὸ προγόνων σπέρματα εὐσεβείας δεξάμενος, οἴκοθεν καὶ παρ' ἑαυτοῦ πολὺ τὸ φιλόθεον ἐπεδείκνυτο, καὶ ἄνθρωπος ἄρτι τῆς Χαλδαίας μεταναστάς, ἀθρόον κελευόμενος τὴν ἀλλοτρίαν τῆς οἰκείας ἀνταλλάξασθαι, οὐκ ἐνεδοίασεν, οὐκ ἀνεβάλλετο, ἀλλ' εὐθέως ἐπλήρου τὸ ἐπιταχθέν, καὶ ταῦτα οὐκ εἰδὼς ὅπου στήσεται αὐτῷ τὰ τῆς πλάνης, καὶ ἔσπευδε καὶ ἠπείγετο ὡς ἐπὶ ὡμολογημένοις, τοῖς ἀδήλοις, τὸ τοῦ Θεοῦ πρόσταγμα πάντων προτιμότερον ἡγούμενος. Εἶδες πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τὰ παρ' ἑαυτοῦ εἰσέφερε, καὶ διὰ τοῦτο καὶ τὰ παρὰ τοῦ Θεοῦ καθ' ἑκάστην ἐκαρποῦτο μετὰ πολλῆς τῆς δαψιλείας. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἀγαπητοί, εἰ βουλοίμεθα τῆς ἄνωθεν ἀπολαύειν εὐνοίας, ζηλώσωμεν τὸν πατριάρχην, καὶ μὴ ἀναδυώμεθα πρὸς τὴν ἀρετήν, ἀλλ' ἑκάστην ἀπολαβόντες, οὕτω ταύτην μετὰ σπουδῆς μετερχώμεθα, ὡς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ἐπισπάσασθαι πρὸς τὴν τῆς ἀμοιβῆς ἀντίδοσιν. ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν ἐπιστάμενος, ἐπειδὰν ἴδῃ ὑγιῆ γνώμην ἐπιδεικνυμένους, καὶ πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀποδύεσθαι ἐσπουδακότας, παραχρῆμα καὶ τὴν παρ' ἑαυτοῦ παρέχει ῥοπήν, ὁμοῦ καὶ τοὺς πόνους ἡμῖν ἐπικουφίζων, καὶ τὸ ἀσθενὲς τῆς ἡμετέρας φύσεως ἐπιρρωννύς, καὶ δαψιλεῖς τὰς ἀμοιβὰς χορηγῶν. καὶ ἐπὶ μὲν τῶν ὀλυμπιακῶν ἀγώνων οὐκ ἄν ποτε εὕροις τι τοιοῦτον γινόμενον· ἀλλ' ἕστηκεν ὁ παιδοτρίβης, θεατὴς μόνον γινόμενος τῶν ἀγωνιζομένων, καὶ οὐδὲν ἕτερον συνεισενεγκεῖν δυνάμενος, ἀλλ' ἀναμένων τὴν νίκην γενέσθαι· ὁ δὲ δεσπότης ὁ ἡμέτερος οὐχ οὕτως, ἀλλὰ καὶ συναγωνίζεται, καὶ χεῖρα ὀρέγει, καὶ συνεφάπτεται, καὶ μονονουχὶ πανταχόθεν τὸν ἀντίπαλον ὑποτεταγμένον ἡμῖν παραδίδωσι, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε δυνηθῆναι ἡμᾶς καταγωνίσασθαι, καὶ τὴν νίκην ἄρασθαι, ἵνα τὸν ἀμαράντινον στέφανον ἐπιθῇ τῇ ἡμετέρᾳ κεφαλῇ. Στέφανον γάρ, φησι, χαρίτων δέξῃ σῇ κορυφῇ. Παρ. α. θ. καὶ ἐν μὲν τοῖς ὀλυμπιακοῖς τούτοις ἀγῶσιν ὁ στέφανος μετὰ τὴν νίκην οὐδὲν ἕτερόν ἐστιν, ἢ φύλλα δάφνης, καὶ κρότος καὶ βοὴ παρὰ τοῦ δήμου γινομένη, ἅπερ ἅπαντα, τῆς ἑσπέρας καταλαβούσης, κατεμαράνθη καὶ ἀπώλετο· ὁ δὲ ὑπὲρ τῆς ἀρετῆς καὶ τῶν ταύτης ἱδρώτων στέφανος οὐδὲν αἰαθητὸν ἔχει, οὐδὲ [ἐν] τῷ αἰῶνι τούτῳ συγκαταλυόμενον, ἀλλὰ διηνεκής, ἀθάνατος, ἅπασι τοῖς αἰῶσι συμπαρεκτεινόμενος. καὶ ὁ μὲν πόνος πρὸς χρόνον βραχύν, ἡ δὲ ὑπὲρ τῶν πόνων ἀμοιβὴ τέλος οὐκ οἶδεν, οὐδὲ εἴκει τῷ χρόνῳ, οὐδὲ μαραίνεται. καὶ ἵνα μάθητε, ἰδοὺ πόσα ἔτη διελήλυθε, καὶ πόσαι γενεαί, ἐξ οὗ πατριάρχης οὗτος γέγονε· καὶ ὡς χθὲς καὶ σήμερον οὕτω διαλάμπουσιν ″αὐτοῦ οἱ ὑπὲρ τῆς ἀρετῆς στέφανοι, καὶ μέχρι τῆς συντελείας αὐτῆς πᾶσι τοῖς εὖ φρονοῦσι διδασκαλίας ὑπόθεσις γίνεται. ἐπεὶ οὖν τοιαύτη τοῦ δικαίου τούτου ἡ ἀρετή, εἰς ζῆλον τούτου διεγερθῶμεν, καὶ ὀψὲ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνόντες εὐγένειαν, τὸν πατριάρχην μιμησώμεθα, καὶ ἔννοιάν τινα λάβωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ πολλὴν ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ τὸ σῶμα μόνον ὑγιαίνειν, ἀλλὰ καὶ τῆς ψυχῆς τὰ διάφορα νοσήματα ἰατρεύειν. ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, τῶν τοῦ σώματος παθῶν εὐκολώτερον τὰ τῆς ψυχῆς ἰασόμεθα νοσήματα. οἷον γὰρ ἂν ἐνοχλῇ ἡμῖν πάθος, ἐὰν ἐθέλωμεν εὐσεβῆ λογισμὸν ἀναλαβεῖν, καὶ τὸ κριτήριον τῆς φοβερᾶς ἐκείνης ἡμέρας, καὶ μὴ πρὸς τὸ παρὸν ἡδὺ ἀπιδεῖν, ἀλλὰ τὴν μετὰ ταῦτα ὀδύνην ἐγγινομένην ἡμῖν, παραχρῆμα ἀφίπταται καὶ ἀποπηδᾷ τῆς ἡμετέρας ψυχῆς. μὴ τοίνυν ῥᾳθυμῶμεν, ἀλλ' εἰδότες ὅτι ἀγών ἐστι, καὶ παλαίσματα, καὶ δεῖ παρατετάχθαι πρὸς τὴν μάχην καθ' ἑκάστην ἡμέραν, ἡμῶν τὸν λογισμὸν ἀκμάζοντα καὶ νεαρὸν ἔχωμεν, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, τοῦ πονηροῦ τούτου θηρίου, τοῦ ἐπιβούλου λέγω τῆς σωτηρίας τῆς ἡμετέρας, τὴν κεφαλὴν συντρῖψαι δυνηθῶμεν. αὐτὸς γὰρ ἡμῖν ὁ δεσπότης ἐπήγγελται λέγων, Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ″ἐχθροῦ. νήφωμεν τοίνυν, παρακαλῶ, ἵνα κατ' ἴχνος τοῦ πατριάρχου τούτου τὴν ἀρετὴν μετιόντες, τῶν αὐτῶν ἐκείνῳ στεφάνων ἀξιωθῆναι δυνηθῶμεν, καὶ εἰς τοὺς τούτου καταλυτῆσαι κόλπους, καὶ διαφυγεῖν τὴν ἐν τῇ γεέννῃ κόλασιν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι. ἀλλ' ἵνα πλείονα ζῆλον [ἐν] ὑμῖν ἐργαζώμεθα, καὶ πρὸς τὴν τοῦ δικαίου τούτου μίμησιν ὑμᾶς διεγείρωμεν, φέρε πάλιν ἐκ τῆς ″κατ' αὐτὸν ἱστορίας διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐπελθόντες τὴν ἑξῆς ἀκολουθίαν. μετὰ γὰρ τὴν δαψιλῆ φιλοξενίαν ἐκείνην, οὐ τῇ ποιότητι, ἢ ποσότητι τῶν ἐδεσμάτων κρινομένην, ἀλλὰ τῇ προθυμίᾳ, τὸ δαψιλὲς τῆς γνώμης δεξάμενος παραχρῆμα τῆς φιλοξενίας τὰς ἀμοιβὰς ἐχαρίσατο. καὶ μαθὼν τίς τε εἴη ὁ παραγεγονώς, καὶ πόση ἡ τούτου δύναμις, μέλλουσιν ἐκεῖθεν ἐπὶ τὴν Σοδόμων καταστροφὴν ὁρμᾶν ἠκολούθησεν ὁ πατριάρχης συμπροπέμπων, φησίν. ὅρα δεσπότου φιλανθρωπίαν, ὅση συγκαταβάσει κέχρηται, ὁμοῦ καὶ τὴν εἰς τὸν δίκαιον τιμὴν δεικνύς, καὶ ἐκκαλύψαι βουλόμενος τὴν ἀρετὴν τὴν ἐναποκειμένην αὐτοῦ τῇ ψυχῇ.

Λουκ. ι. ιθ.

γ. αὐτῷ

γ. αὐτὸ μιμώμεθα

γ. κατὰ τὸν δίκαιον τοῦτον

16 Ἐξαναστάντες, φησίν, οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας,

Τοὺς ἀγγέλους φησίν. ἐνταῦθα μὲν γὰρ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ καὶ οἱ ἄγγελοι καὶ ὁ τούτων δεσπότης κατὰ ταυτὸν ὤφθησαν· λοιπὸν δὲ οἱ μὲν ὡς ὑπηρέται ἀπεστέλλοντο ἐπὶ τὴν καταστροφὴν τῶν πόλεων ἐκείνων, ὁ δὲ ἔμενε, καθάπερ φίλος φίλῳ, μονονουχὶ κοινολογούμενος τῷ δικαίῳ, ἅπερ ἔμελλε ποιεῖν. ἀπελθόντων τοίνυν ἐκείνων

17 Εἶπε, φησιν, ὁ κύριος· οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ.

Μεγίστη τοῦ Θεοῦ ἡ συγκατάβασις, καὶ πάντα λόγον ὑπερβαίνουσα *ἡ εἰς τὸν δίκαιον τιμή. ὅρα γὰρ πῶς πρὸς αὐτὸν διαλέγεται, ὡσανεὶ ἄνθρωπος ἀνθρώπῳ διαλεξόμενος, δεικ-

γ. ἡ ὑπερβάλλουσα

νὺς

νὰς ἡμῖν ὅσης οἱ ἐνάρετοι ἀξιοῦνται τῆς παρὰ τοῦ Θεοῦ τιμῆς. καὶ ἵνα μὴ νομίσῃς τῆς τοῦ Θεοῦ μόνον εἶναι ἀγαθότητος τὴν τοσαύτην εἰς τὸν δίκαιον τιμήν, ὅρα πῶς ἡ θεία γραφὴ διδάσκει ἡμᾶς, ὅτι αὐτὸς ἑαυτῷ ταύτης τῆς τιμῆς αἴτιος κατέστη, μετὰ πολλῆς τῆς ὑπακοῆς τοῖς παρὰ τοῦ Θεοῦ πειθόμενος ἐπιτάγμασιν. Εἰπὼν γάρ, οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ, οὐκ εὐθέως λέγει τὸ μέλλον ἔσεσθαι. ἀκόλουθον γὰρ ἦν ἐπαγαγεῖν καὶ εἰπεῖν, ὅτι μέλλει τὰ Σόδομα "ἐμπιπρᾶν. ἀλλ' ἄξιον μηδὲ ἐκεῖνο παραδραμεῖν· οὐδὲ γὰρ συλλαβὴν οὐδὲ κεραίαν παρατρέχειν χρὴ τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων. πόσης γὰρ οἴει τιμῆς εἶναι τὸ τοῦτο αὐτὸ τὸ λέγειν, Ἀβραὰμ τοῦ παιδός μου, πόσου φίλτρου, πόσης διαθέσεως; τοῦτο γὰρ μάλιστα δείκνυσι τὸ ἐξαίρετον καὶ τὴν εἰς τὸν δίκαιον τιμήν. εἶτα ὅπερ ἔλεγον, εἰπὼν οὐ μὴ κρύψω, οὐκ εὐθέως ἐπάγει τὸ γινόμενον, ἀλλὰ τί; ἵνα μάθωμεν ὅτι οὐκ ἁπλῶς οὐδὲ εἰκῇ τοσαύτην περὶ αὐτὸν "δείκνυται τὴν κηδεμονίαν, φησίν·

18 Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. 19 Ἤδειν γὰρ ὅτι "συντάσσει τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν. καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου τοῦ Θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα, ἃ ἐλάλησε πρὸς αὐτόν.

Ὢ τῆς τοῦ δεσπότου φιλανθρωπίας τὸ μέγεθος. ἐπειδὴ μέλλει μετὰ ταῦτα ἐπάγειν τὰ κατὰ τὴν καταστροφὴν Σοδόμων, προλαβὼν νῦν παραθαρρύνει τὸν πατριάρχην, ὁμοῦ καὶ τὴν μεγίστην εὐλογίαν αὐτῷ ἐπαγγελλόμενος, καὶ ὅτι εἰς πλῆθος ἔσται μέγα, καὶ διδάσκων αὐτὸν ὅτι ἀμοιβὴν ταύτην λαμβάνει τῆς φιλοθέου αὐτοῦ γνώμης. ἐννόησον γὰρ ὅση ἐστὶν ἡ τοῦ πατριάρχου ἀρετή, ὅταν ὁ Θεὸς λέγῃ, ᾔδειν γὰρ ὅτι συντάσσει τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. πολλὴ τῆς ἀρετῆς ἡ ἐπίτασις. οὐ γὰρ μόνον ὑπὲρ ὧν αὐτὸς μέτεισι τὴν ἀρετήν, τὰς ἀμοιβὰς δέχεται, ἀλλὰ καὶ ὑπὲρ ὧν διετάξατο τοῖς ἐξ αὐτοῦ τεχθεῖσι, δαψιλοῦς ἀξιοῦται τῆς ἀντιδόσεως· εἰκότως. αὐτὸς γὰρ λοιπὸν ἅπασι διδάσκαλος γέγονεν. ὁ γὰρ τὴν ἀρχὴν καὶ τὰ προοίμια παρέχων, οὗτος καὶ τῶν μετὰ ταῦτα γινομένων αἴτιος ἂν εἴη. καὶ ὅρα τοῦ δεσπότου τὴν ἀγαθότητα. οὐ μόνον ὑπὲρ τῆς ἐν τῷ παρελθόντι ἀρετῆς ἀμείβεται τὸν δίκαιον, ἀλλὰ καὶ ὑπὲρ τῆς μελλούσης. ᾔδειν γάρ, φησιν, ὅτι συντάσσει τοῖς υἱοῖς αὐτοῦ. ἐπειδή, φησι, προγινώσκω τοῦ δικαίου τὴν γνώμην, διὰ τοῦτο προλαμβάνω ταῖς ἀμοιβαῖς. οἶδε γὰρ τὰ ἀπόρρητα τῶν διανοιῶν ἡμῶν, καὶ ὅταν θεάσηται τὰ δέοντα βουλευομένους, καὶ ὑγιῆ τὴν γνώμην ἐπιδεικνυμένους, καὶ χεῖρα ὀρέγει καὶ πρὸ τῶν πόνων ἀμείβεται, προθυμοτέρους ταύτῃ κατασκευάζων. καὶ τοῦτο ἂν εὕροις ἐπὶ τῶν δικαίων ἁπάντων γινόμενον. εἰδὼς γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὥστε μὴ ἀπαγορεῦσαι πρὸς τὰ δυσχερῆ, μεταξὺ τῶν πόνων πολλάκις τὴν παρ' ἑαυτοῦ ἀντίληψιν καὶ τὰς ἀμοιβὰς παρέχει, ὥστε καὶ τῶν πόνων ἐπικουφίσαι, καὶ τὴν ὁρμὴν "ἐπιτεῖναι. ᾔδειν γάρ, φησιν, ὅτι συντάσσει τοῖς υἱοῖς αὐτοῦ, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. οὐ μόνον περὶ αὐτοῦ προλέγει ὅτι συντάσσει, ἀλλὰ καὶ περὶ τῶν υἱῶν αὐτοῦ, ὅτι φυλάξουσι τὰς ὁδοὺς κυρίου, τὸν Ἰσαάκ, τὸν Ἰακὼβ αἰνιττόμενος. τὰς ὁδοὺς κυρίου, τουτέστι τὰ προστάγματα, τὰς ἐντολάς. ποιεῖν γάρ, φησι, δικαιοσύνην καὶ κρίσιν· μηδὲν τοῦ δικαίου προτιμᾶν, ἐκτὸς γίνεσθαι πάσης ἀδικίας. τοῦτο γὰρ ἡ μεγίστη ἀρετή. διά τοι τοῦτο πάντα εἰς ἔργον ἐκβήσεται, ὅσα ἐλάλησε κύριος πρὸς αὐτόν. οἶμαι δὲ καὶ ἕτερόν τι αἰνίττεσθαι αὐτὸν διὰ τοῦ λέγειν, Ἀβραὰμ δὲ γινόμενος εἰς ἔθνος μέγα καὶ πολύ, ἀντὶ τοῦ, σὺ μὲν ὁ τὴν ἀρετὴν ἑλόμενος, * καὶ τὴν ὑπακοὴν ἐπιδεικνύμενος, εἰς ἔθνος

συντάξει

καὶ τοῖς ἐμοῖς
τάγμασι

αθητὸν ἔχει, οὐδὲ [ἐν] τῷ αἰῶνι τούτῳ συγκαταλυόμενον, ἀλλὰ διηνεκής, ἀθάνατος, ἅπασι τοῖς αἰῶσι συμπαρεκτεινόμενος. καὶ ὁ μὲν πόνος πρὸς χρόνον βραχύν, ἡ δὲ ὑπὲρ τῶν πόνων ἀμοιβὴ τέλος οὐκ οἶδεν, οὐδὲ εἴκει τῷ χρόνῳ, οὐδὲ μαραίνεται. καὶ ἵνα μάθητε, ἰδοὺ πόσα ἔτη διελήλυθε, καὶ πόσαι γενεαί, ἐξ οὗ πατριάρχης οὗτος γέγονε· καὶ ὡς χθὲς καὶ σήμερον οὕτω διαλάμπουσιν" αὐτοῦ οἱ ὑπὲρ τῆς ἀρετῆς στέφανοι, καὶ μέχρι τῆς συντελείας αὐτῆς πᾶσι τοῖς εὖ φρονοῦσι διδασκαλίας ὑπόθεσις γίνεται. ἐπεὶ οὖν τοιαύτη τοῦ δικαίου τούτου ἡ ἀρετή, εἰς ζῆλον τούτου διεγερθῶμεν, καὶ ὀψέ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνόντες εὐγένειαν, τὸν πατριάρχην μιμησώμεθα, καὶ ἔννοιάν τινα λάβωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ πολλὴν ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ τὸ σῶμα μόνον ὑγιαίνειν, ἀλλὰ καὶ τῆς ψυχῆς τὰ διάφορα νοσήματα ἰατρεύειν. ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, τῶν τοῦ σώματος παθῶν εὐκολώτερον τὰ τῆς ψυχῆς ἰασόμεθα νοσήματα. οἷον γὰρ ἂν ἐνοχλῇ ἡμῖν πάθος, ἐὰν ἐθέλωμεν εὐσεβῆ λογισμὸν ἀναλαβεῖν, καὶ τὸ κριτήριον τῆς φοβερᾶς ἐκείνης ἡμέρας, καὶ μὴ πρὸς τὸ παρὸν ἡδὺ ἀπιδεῖν, ἀλλὰ τὴν μετὰ ταῦτα ὀδύνην ἐγγινομένην ἡμῖν, παραχρῆμα ἀφίπταται καὶ ἀποπηδᾷ τῆς ἡμετέρας ψυχῆς. μὴ τοίνυν ῥαθυμῶμεν, ἀλλ' εἰδότες ὅτι ἀγών ἐστι, καὶ παλαίσματα, καὶ δεῖ παρατετάχθαι πρὸς τὴν μάχην καθ' ἑκάστην ἡμέραν, ἡμεῖς τὸν λογισμὸν ἀκμάζοντα καὶ νεαρὸν ἔχωμεν, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, τοῦ πονηροῦ τούτου θηρίου, τοῦ ἐπιβούλου λέγω τῆς σωτηρίας τῆς ἡμετέρας, τὴν κεφαλὴν συντρίψαι δυνηθῶμεν. αὐτὸς γὰρ ἡμῖν ὁ δεσπότης ἐπήγγελται λέγων, Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ" ἐχθροῦ. νήφωμεν τοίνυν, παρακαλῶ, ἵνα κατ' ἴχνος τοῦ πατριάρχου τούτου τὴν ἀρετὴν μετιόντες, τῶν αὐτῶν ἐκείνῳ στεφάνων ἀξιωθῆναι δυνηθῶμεν, καὶ εἰς τοὺς τούτου καταντῆσαι κόλπους, καὶ διαφυγεῖν τὴν ἐν τῇ γεέννῃ κόλασιν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι. ἀλλ' ἵνα πλείονα ζῆλον [ἐν] ὑμῖν ἐργαζώμεθα, καὶ πρὸς τὴν τοῦ δικαίου τούτου μίμησιν ὑμᾶς διεγείρωμεν, φέρε πάλιν ἐκ τῆς " κατ' αὐτὸν ἱστορίας διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐπελθόντες τῶν ἑξῆς τὴν ἀκολουθίαν. μετὰ γὰρ τὴν δαψιλῆ φιλοξενίαν ἐκείνην, οὐ τῇ ποιότητι, ἢ ποσότητι τῶν ἐδεσμάτων κρινομένην, ἀλλὰ τῇ προθυμίᾳ, τὸ δαψιλὲς τῆς γνώμης δεξάμενος παραχρῆμα τῆς φιλοξενίας τὰς ἀμοιβὰς ἐχαρίσατο. καὶ μαθὼν τίς τε εἴη ὁ παραγεγονώς, καὶ πόση ἡ τούτου δύναμις, μέλλουσιν ἐκεῖθεν ἐπὶ τὴν Σοδόμων καταστροφὴν ὁρμᾶν ἠκολούθησεν ὁ πατριάρχης συμπροπέμπων, φησίν. ὅρα δεσπότου φιλανθρωπίαν, ὅση συγκαταβάσει κέχρηται, ὁμοῦ καὶ τὴν εἰς τὸν δίκαιον τιμὴν δεικνὺς, καὶ ἐκκαλύψαι βουλόμενος τὴν ἀρετὴν τὴν ἐναποκειμένην αὐτοῦ τῇ ψυχῇ.

γρ. αὐτοῦ

Λουκ. ι. ιθ.

γρ. αἰτουμεθ

γρ. κατὰ τὸν δίκαιον τοῦτον

16 Ἐξαναστάντες, φησίν, οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας,

Τοὺς ἀγγέλους φησίν. ἐνταῦθα μὲν γὰρ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ καὶ οἱ ἄγγελοι καὶ ὁ τούτων δεσπότης κατὰ ταυτὸν ὤφθησαν· λοιπὸν δὲ οἱ μὲν ὡς ὑπηρέται ἀπεστέλλοντο ἐπὶ τὴν καταστροφὴν τῶν πόλεων ἐκείνων, ὁ δὲ ἔμενε, καθάπερ φίλος φίλῳ, μονονουχὶ κοινολογούμενος τῷ δικαίῳ, ἅπερ ἔμελλε ποιεῖν. ἀπελθόντων τοίνυν ἐκείνων

17 Εἶπε, φησιν, ὁ κύριος· οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ.

Μεγίστη τοῦ Θεοῦ ἡ συγκατάβασις, καὶ πάντα λόγον ὑπερβαίνουσα* ἡ εἰς τὸν δίκαιον τιμή. ὅρα γὰρ πῶς πρὸς αὐτὸν διαλέγεται, ὡσανεὶ ἄνθρωπος ἀνθρώπῳ διαλεξόμενος, δεικ-

* καὶ ὑπερβάλλουσα

νὺς ἡμῖν ὅσης οἱ ἐνάρετοι ἀξιοῦνται τῆς παρὰ τοῦ Θεοῦ τιμῆς. καὶ ἵνα μὴ νομίσῃς τῆς τοῦ Θεοῦ μόνον εἶναι ἀγαθότητος τὴν τοσαύτην εἰς τὸν δίκαιον τιμήν, ὅρα πῶς ἡ θεία γραφὴ διδάσκει ἡμᾶς, ὅτι αὐτὸς ἑαυτῷ ταύτης τῆς τιμῆς αἴτιος κατέστη, μετὰ πολλῆς τῆς ὑπακοῆς τοῖς παρὰ τοῦ Θεοῦ πειθόμενος ἐπιτάγμασιν. εἰπὼν γάρ, οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ, οὐκ εὐθέως λέγει τὸ μέλλον ἔσεσθαι. ἀκόλουθον γὰρ ἦν ἐπαγαγεῖν καὶ εἰπεῖν, ὅτι μέλλει τὰ Σόδομα" ἐμπιπρᾶν. ἀλλ᾽ ἄξιον μηδὲ ἐκεῖνο παραδραμεῖν· οὐδὲ γὰρ συλλαβὴν οὐδὲ κεραίαν παρατρέχειν χρὴ τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων. πόσης γὰρ οἴει τιμῆς εἶναι τοῦτο αὐτὸ τὸ λέγειν, Ἀβραὰμ τοῦ παιδός μου, πόσου φίλτρου, πόσης διαθέσεως; τοῦτο γὰρ μάλιστα δείκνυσι τὸ ἐξαίρετον καὶ τὴν εἰς τὸν δίκαιον τιμήν. εἶτα ὅπερ ἔλεγον, εἰπὼν οὐ μὴ κρύψω, οὐκ εὐθέως ἐπάγει τὸ γινόμενον, ἀλλὰ τί; ἵνα μάθωμεν ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοσαύτην περὶ αὐτὸν" δείκνυται τὴν κηδεμονίαν, φησίν·

18 Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. 19 Ἤδειν γὰρ ὅτι" συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ᾽ αὐτόν. καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου τοῦ Θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα, ἃ ἐλάλησε πρὸς αὐτόν.

Ὢ τῆς τοῦ δεσπότου φιλανθρωπίας τὸ μέγεθος. ἐπειδὴ μέλλει μετὰ ταῦτα ἐπάγειν τὰ κατὰ τὴν καταστροφὴν Σοδόμων, προλαβὼν νῦν παραθαρρύνει τὸν πατριάρχην, ὁμοῦ καὶ τὴν μεγίστην εὐλογίαν αὐτῷ ἐπαγγελλόμενος, καὶ ὅτι εἰς πλῆθος ἔσται μέγα, καὶ διδάσκων αὐτὸν ὅτι ἀμοιβὴν ταύτην λαμβάνει τῆς φιλοθέου αὐτοῦ γνώμης. ἐννόησον γὰρ ὅση ἐστὶν ἡ τοῦ πατριάρχου ἀρετή, ὅταν ὁ Θεὸς λέγῃ, ἤδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ μετ᾽ αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. πολλὴ τῆς ἀρετῆς ἡ ἐπίτασις. οὐ γὰρ μόνον ὑπὲρ ὧν αὐτὸς μέτεισι τὴν ἀρετήν, τὰς ἀμοιβὰς δέχεται, ἀλλὰ καὶ ὑπὲρ ὧν διετάξατο τοῖς ἐξ αὐτοῦ τεχθεῖσι, δαψιλοῦς ἀξιοῦται τῆς ἀντιδόσεως· εἰκότως. αὐτὸς γὰρ λοιπὸν ἅπασι διδάσκαλος γέγονεν. ὁ γὰρ τὴν ἀρχὴν καὶ τὰ προοίμια παρασχών, οὗτος καὶ τῶν μετὰ ταῦτα γινομένων αἴτιος ἂν εἴη. καὶ ὅρα τοῦ δεσπότου τὴν ἀγαθότητα. οὐ μόνον ὑπὲρ τῆς ἐν τῷ παρελθόντι ἀρετῆς ἀμείβεται τὸν δίκαιον, ἀλλὰ καὶ ὑπὲρ τῆς μελλούσης. ἤδειν γάρ, φησιν, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ. ἐπειδή, φησι, προγινώσκω τοῦ δικαίου τὴν γνώμην, διὰ τοῦτο προλαμβάνω ταῖς ἀμοιβαῖς. οἶδε γὰρ τὰ ἀπόρρητα τῶν διανοιῶν ἡμῶν, καὶ ὅταν θεάσηται τὰ δέοντα βουλευομένους, καὶ ὑγιῆ τὴν γνώμην ἐπιδεικνυμένους, καὶ χεῖρα ὀρέγει καὶ πρὸ τῶν πόνων ἀμείβεται, προθυμοτέρους ταύτῃ κατασκευάζων. καὶ τοῦτο ἂν εὕροις ἐπὶ τῶν δικαίων ἁπάντων γινόμενον. εἰδὼς γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὥστε μὴ ἀπαγορεῦσαι πρὸς τὰ δυσχερῆ, μεταξὺ τῶν πόνων πολλάκις τὴν παρ᾽ ἑαυτοῦ ἀντίληψιν καὶ τὰς ἀμοιβὰς παρέχει, ὥστε καὶ τῶν πόνων ἐπικουφίσαι, καὶ τὴν ὁρμὴν" ἐπιθῆναι. ἤδειν γάρ, φησιν, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. οὐ μόνον περὶ αὐτοῦ προλέγει ὅτι συντάξει, ἀλλὰ καὶ περὶ τῶν υἱῶν αὐτοῦ, ὅτι φυλάξουσι τὰς ὁδοὺς κυρίου, τὸν Ἰσαάκ, τὸν Ἰακὼβ αἰνιττόμενος. τὰς ὁδοὺς κυρίου, τουτέστι τὰ προστάγματα, τὰς ἐντολάς. ποιεῖν γάρ, φησι, δικαιοσύνην καὶ κρίσιν· μηδὲν τοῦ δικαίου προτιμᾶν, ἐκτὸς γίνεσθαι πάσης ἀδικίας. τοῦτο γὰρ ἡ μεγίστη ἀρετή. διά τοι τοῦτο πάντα εἰς ἔργον ἐκβήσεται, ὅσα ἐλάλησε κύριος πρὸς αὐτόν. οἶμαι δὲ καὶ ἕτερόν τι αἰνίττεσθαι αὐτὸν διὰ τοῦ λέγειν, Ἀβραὰμ δὲ γινόμενος εἰς ἔθνος μέγα καὶ πολύ, ἀντὶ τοῦ, σὺ μὲν ὁ τὴν ἀρετὴν ἑλόμενος, * καὶ τὴν ὑπακοὴν ἐπιδεικνύμενος, εἰς ἔθνος

μέγα καὶ πολὺ γενήσῃ· οἱ δὲ παράνομοι οὗτοι οἱ κατὰ τὴν τῶν Σοδόμων χώραν οἰκοῦντες ἀφανισθήσονται. ὥσπερ γὰρ ἡ ἀρετὴ σωτηρίας ὑπόθεσις γίνεται τοῖς ταύτην μετιοῦσιν, οὕτως ἡ πονηρία ἀφανισμοῦ αἰτία καθίσταται. Εἶτα ἐπειδὴ καὶ διὰ τῆς εὐλογίας καὶ διὰ τῶν ἐπαίνων εἰς πλείονα παρρησίαν ἤγαγε τὸν δίκαιον, ἄρχεται τῆς ὑποθέσεως, καί φησι,

20 Κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. 21 Καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ.

Φοβερὰ τὰ εἰρημένα. κραυγὴ Σοδόμων, φησί, καὶ Γομόῤῥας. καίτοι καὶ ἕτεραι πόλεις μετ' αὐτῶν ἠφανίσθησαν, ἀλλ' ἐπειδὴ αὗται ἦσαν περιφανέστεραι, τούτων ἐμνημόνευσεν. πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. ὅρα τῶν κακῶν τὴν ἐπίτασιν. οὐ μόνον πολὺ τὸ πλῆθος τῆς κραυγῆς, ἀλλὰ καὶ τῆς ἀδικίας. τὸ γὰρ κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται οἶμαι σημαίνειν, ὅτι μετὰ τῆς παρανομίας ἐκείνης τῆς ἀφάτου καὶ πάσης συγγνώμης ἀπεστερημένης, καὶ ἑτέρας ἀδικίας πολλὰς ἐπεδείκνυντο, οἱ δυνατώτεροι κατεξανιστάμενοι τῶν ἀσθενεστέρων, οἱ πλούσιοι τῶν πενήτων. οὐ μόνον τοίνυν φησί, πολὺ τῆς κραυγῆς τὸ πάθος ἦν, ἀλλὰ καὶ αἱ ἁμαρτίαι αὐτῶν οὐχ αἱ τυχοῦσαί εἰσιν, ἀλλὰ καὶ μεγάλαι, καὶ σφόδρα μεγάλαι. ξένον γὰρ τρόπον παρανομίας ἐπενόησαν, καὶ ἀλλοκότους καὶ ἀθέσμους τῶν μίξεων νόμους ἐφεῦρον, καὶ τοσαύτη τῆς κακίας ἡ φορά, ὡς ἅπαντας τῆς λύμης ἀναπλησθῆναι πάσης, καὶ μηδεμίαν λοιπὸν διόρθωσιν αὐτοὺς ἐπιδέχεσθαι, ἀλλ' ἀφανισμοῦ δεῖσθαι παντελοῦς. οὐδὲ γὰρ ἰατρείαν λοιπὸν ἐπιδέχεται τὰ τούτων πάθη ἀνίατα γεγονότα. Εἶτα παιδεύων ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν, κἂν μεγάλα ᾖ σφόδρα τὰ ἁμαρτήματα καὶ ὡμολογημένα, μὴ πρότερον τὰς ψήφους ἐκφέρειν, πρὶν ἂν ἐναργεῖς ἀποδείξεις γένωνται, φησι, καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται τὴν ἐρχομένην πρός με· εἰ δὲ μή, ἵνα γνῶ. τί βούλεται τῆς λέξεως ἡ συγκατάβασις; καταβάς, φησιν, ὄψομαι. τόπον γὰρ ἐκ τόπου μεταβαίνει ὁ τῶν ὅλων Θεός; οὐχί, μὴ γένοιτο. οὐ τοῦτο λέγει, ἀλλ' ὅπερ πολλάκις ἔφην, τῇ παχύτητι τῆς λέξεως ἡμᾶς παιδεῦσαι βούλεται, ὅτι δεῖ πολλῇ τῇ ἀκριβείᾳ κεχρῆσθαι, καὶ μήτε ἀπὸ ἀκοῆς καταδικάζειν τοὺς ἡμαρτηκότας, μήτε ἄνευ ἀποδείξεως τὰς ψήφους ἐκφέρειν. ἀκούωμεν ταῦτα ἅπαντες. οὐ γὰρ μόνον οἱ τῶν δικαστικῶν θρόνων ἐπέχοντες, τοῦτον διαφυλάττειν ὀφείλουσι τὸν νόμον, ἀλλὰ καὶ ἡμῶν ἕκαστος μηδέποτε ἀπὸ ψιλῆς διαβολῆς κατακρίνειν τὸν πλησίον. διὰ γὰρ τοῦτο καὶ μετὰ ταῦτα ὁ μακάριος οὗτος Μωϋσῆς ἐνηχούμενος ὑπὸ τοῦ πνεύματος" προήγγειλε λέγων, Ἀκοὴν ματαίαν μὴ παραδέξῃ. καὶ ὁ μακάριος δὲ Παῦλος γράφων ἐβόα, Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; καὶ ὁ Χριστὸς δὲ διαταττόμενος τοῖς μαθηταῖς, καὶ διδάσκων τῶν Ἰουδαίων τὸ πλῆθος, τοὺς γραμματέας αὐτῶν καὶ Φαρισαίους, ἔλεγε, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. τί γάρ, φησι, πρὸ καιροῦ ἁρπάζεις τὸ τοῦ δικαστοῦ ἀξίωμα; τί προλαμβάνεις τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; βούλει κριτὴς εἶναι; σαυτοῦ γίνου, καὶ τῶν σοι πεπλημμελημένων. οὐδεὶς ὁ κωλύων. οὕτω γὰρ καὶ τὰ ἡμαρτημένα σοι διορθώσῃ, καὶ οὐδεμίαν ἐκ τοῦ πράγματος ὑποστήσῃ βλάβην. ἐὰν δὲ τὰ κατὰ σαυτὸν καταλιπὼν ἑτέρους καθέζῃ κρίνων, μείζονα σαυτῷ τὰ φορτία τῶν ἁμαρτημάτων συλλέγων οὐκ αἰσθάνῃ. διό, παρακαλῶ, φεύγωμεν πάντη τὸ καταδικάζειν τοὺς πλησίον. εἰ γὰρ καὶ τῆς ἐξουσίας τῆς δικαστικῆς οὐ μετέχεις, ἀλλὰ τῇ γνώμῃ κατέκρινας, καὶ ὑπεύθυνον τῷ ἁμαρτήματι πεποίηκας οὐδεμίαν ἀπόδειξιν δεξάμενος, ἀλλὰ πολλάκις ἐξ ὑποψίας

γρ. παρήνει

Ἐξο. κγ. α.
Ῥω. β. α.
Ματθ. ζ. α.

ψίας καὶ διαβολῆς ψιλῆς. διὰ γὰρ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἐβόα λέγων, Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Εἶδες ἀρετῆς ὑπερβολήν. οὐ μόνον οὐ παρεδέχετο αὐτὸς τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνε τὸν τοῦ ἀδελφοῦ καταλαλεῖν βουλόμενον. ἐὰν τοίνυν βουλώμεθα καὶ ἡμεῖς ἐλαττοῦν τὰ ἑαυτοῖς ἐπταισμένα, τοῦτο μάλιστα πάντων φυλαττώμεθα, μήτε καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε τοὺς καταλαλεῖν ἐπιχειροῦντας προσίεσθαι, μᾶλλον δὲ κατὰ τὸν προφήτην ἀπελαύνειν καὶ πάντη ἀποστρέφεσθαι. τοῦτο γὰρ οἶμαι καὶ τὸν προφήτην Μωϋσῆν δηλοῦν διὰ τοῦ λέγειν, ἀκοὴν ματαίαν μὴ παραδέξῃ. διά τοι τοῦτο καὶ νῦν ὁ τῶν ὅλων δεσπότης τοσαύτῃ παχύτητι λέξεως ἐχρήσατο πρὸς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, καί φησι, καταβὰς ὄψομαι. τί γάρ; οὐκ ἠπίστατο, οὐκ ᾔδει τὸ μέγεθος τῶν ἁμαρτημάτων; οὐκ ἐγίνωσκε τὸ ἀδιόρθωτον τῶν ἐπταισμένων; ἀλλ' ὥσπερ ἀπολογίαν ἵνα συντιθεὶς τοῖς μετὰ ταῦτα ἀναισχύντως ἐγκαλεῖν βουλομένοις, καὶ δεικνὺς αὐτῶν τὸ ἀκάθεκτον, καὶ τὴν πολλὴν σπάνιν τῆς ἀρετῆς, τοσαύτῃ κέχρηται τῇ μακροθυμίᾳ. τάχα δὲ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὥστε καὶ τῷ δικαίῳ ἀφορμὴν παρασχεῖν δεῖξαι τῆς γνώμης αὐτοῦ τὸ συμπαθὲς καὶ τὸ φιλόστοργον.

22 Οἱ μὲν οὖν ἄγγελοι, καθάπερ ἔφθην εἰπών, ἀπῆλθον εἰς τὰ Σόδομα· ὁ δὲ πατριάρχης εἱστήκει ἐνώπιον κυρίου. 23 Καὶ ἐγγίσας, φησίν, Ἀβραὰμ εἶπε, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής;

Ὢ τῆς τοῦ δικαίου παρρησίας, μᾶλλον δὲ ὢ ψυχῆς συμπάθεια· ὅπως τῇ τῆς συμπαθείας μέθῃ καρωθεὶς οὐδὲ ὃ λέγει συνίησι. καὶ δεικνῦσα ἡ θεία γραφὴ ὅτι μετὰ φόβου πολλοῦ καὶ τρόμου τὴν ἱκεσίαν ποιεῖται, φησίν· ἐγγίσας Ἀβραὰμ εἶπε, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς; τί ποιεῖς, ὦ μακάριε πατριάρχα; τῆς παρὰ σοῦ δεῖται παρακλήσεως ὁ δεσπότης, ὥστε μὴ τοῦτο ποιῆσαι; ἀλλὰ μὴ τοῦτο νοήσωμεν. οὐδὲ γὰρ ὡς τοῦ δεσπότου τοῦτο ποιεῖν μέλλοντος [τοῦτο] λέγει [αὐτός,] ἀλλ' ἐπειδὴ ἐξ εὐθείας διὰ τὸν ἀδελφιδοῦν εἰπεῖν οὐκ ἐθάρρει, κοινὴν ὑπὲρ ἁπάντων ποιεῖται τὴν ἱκεσίαν, βουλόμενος μετὰ τῶν ἄλλων καὶ τοῦτον διασῶσαι, καὶ μετὰ τούτου καὶ τοὺς ἄλλους ἐξαρπάσαι. καὶ ἄρχεται τῆς παρακλήσεως, καί φησιν·

24 Ἐὰν ὦσι ν' δίκαιοι ἐν τῇ πόλει, ἀπολέσεις αὐτούς; οὐκ ἀνήσεις ἅπαντα τὸν τόπον ἕνεκεν τῶν ν' δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; 25 Μηδαμῶς. οὐ ποιήσεις τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς. ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν;

Ὅρα πῶς καὶ ἐν τῇ ἱκεσίᾳ δείκνυσιν αὐτοῦ τῆς γνώμης τὸ φιλόθεον. καὶ κριτὴν πάσης τῆς γῆς ὁμολογεῖ, καὶ ἀξιοῖ μὴ συναπολέσαι δίκαιον μετὰ ἀσεβοῦς. εἶτα ὁ ἥμερος καὶ φιλάνθρωπος Θεὸς ἐπινεύει τῇ αἰτήσει, καί φησι, ποιῶ ὅπερ εἴρηκας, καὶ δέχομαί σου τὴν παράκλησιν.

26 Ἐὰν εὑρεθῶσι ν' δίκαιοι ἐν τῇ πόλει, δι' ἐκείνους ἀφήσω πάντα τὸν τόπον.

Χαρίζομαι, φησί, τοῖς ν' δικαίοις, ἐὰν εὑρεθεῖεν, τῶν λοιπῶν τὴν σωτηρίαν, καὶ τὴν αἴτησιν τὴν σὴν εἰς ἔργον ἀνάγω. ἀλλ' ἴδωμεν τὸν δίκαιον τοῦτον, ὅπως παρρησίας ἐπιλαβόμενος, καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν εἰδώς, πάλιν δευτέραν αἴτησιν προσάγει, καί φησι.

27 Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός.

Μὴ νομίσῃς, φησί, δέσποτα, ἀγνοεῖν με ἐμαυτόν, καὶ ὑπερβαίνειν με τὸ μέτρον, καὶ τοσαύτῃ κεχρῆσθαι τῇ παρρησίᾳ. οἶδα γὰρ ὅτι γῆ εἰμι καὶ σποδός. ἀλλ' ὥσπερ τοῦτο οἶδα

Ψαλ. ρ. ε.

ἄλλ. ἁμαρτωλῶν,

καὶ σαφῶς ἐπίσταμαι, οὕτως οὐδὲ ἐκεῖνο ἀγνοῶ, ὅτι πολὺ τὸ μέγεθος τῆς σῆς φιλανθρωπίας, καὶ ὅτι πηγάζεις ἐν ἀγαθότητι, καὶ βούλει πάντας ἀνθρώπους σωθῆναι. ὁ γὰρ ἐκ τοῦ μὴ ὄντος παραγαγὼν, πῶς ἄν ποτε γενομένους ἀπολέσῃς, εἰ μὴ πολλὴ τῶν ἁμαρτημάτων ἦν ἡ ″φορά; διὸ δέομαι πάλιν καὶ ἀξιῶ, γρ. φθορά;

28 Ἐὰν ἐλάττους τῶν ν' εὑρεθῶσι, καὶ μὲ ὦσιν ἐν τῇ πόλει δίκαιοι, οὐ σώσεις τὴν πόλιν; καὶ εἶπεν, ἐὰν εὑρεθῶσι μέ, οὐ μὴ ἀπολέσω.

Τίς ἂν κατ' ἀξίαν τὸν τῶν ὅλων Θεὸν ὑμνήσειε τῆς τοσαύτης μακροθυμίας καὶ συγκαταβάσεως, ἢ τὸν δίκαιον μακαρίσειε τοσαύτης ἀπολαύσαντα παῤῥησίας;

29 Καὶ προσέθηκέ, φησιν, ἔτι λαλῆσαι, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ μ'. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν μ'.

Εἶτα λοιπὸν ὥσπερ αἰδεσθεὶς τοῦ Θεοῦ τὴν ἄφατον μακροθυμίαν ὁ δίκαιος, καὶ δεδιὼς μήποτε [καὶ]″ δίξῃ ὑπερβαίνειν, καὶ πέρα τοῦ μέτρου τὴν ἱκεσίαν ποιεῖσθαι, φησι, γρ. δόξῃ

30 Μή τι κύριε ἐὰν λαλήσω; ἐὰν εὑρεθῶσιν ἐκεῖ λ'.

Ἐπειδὴ εἶδεν ἕτοιμον πρὸς φιλανθρωπίαν, οὐκ ἔτι κατὰ μικρὸν καθυφίησιν, οὐδὲ πέντε δικαίους παραλιπὼν, ἀλλὰ ι', οὕτω προσάγει τὴν παράκλησιν, καί φησιν· ἐὰν εὑρεθῶσιν ἐκεῖ λ'.

Καὶ εἶπεν, οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ λ'.

Σκόπει πόση τοῦ δικαίου ἡ εὐτονία. καθάπερ αὐτὸς μέλλων ὑπεύθυνος τῇ ψήφῳ γίνεσθαι, οὕτω πολλὴν τίθεται τὴν σπουδὴν ἐξαρπάσαι τῆς μελλούσης ἐπάγεσθαι τιμωρίας τὸ τῶν Σοδομιτῶν ἔθνος.

31 Καὶ εἶπεν, ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ κ'. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν κ'.

Πάντα λόγον ὑπερβαίνει καὶ πᾶσαν ἔννοιαν ἡ τοῦ δεσπότου ἀγαθότης. τίς γὰρ ἡμῶν τῶν ἐν μέσῳ μυρίων κακῶν στρεφομένων εἵλετό ποτε κατὰ τῶν ὁμογενῶν ψῆφον ἐκφέρων τοσαύτῃ χρήσασθαι συγκαταβάσει καὶ φιλανθρωπίᾳ; ἀλλ' ὅμως ὁ δίκαιος τοσοῦτον ὁρῶν τὸν πλοῦτον τῆς τοῦ Θεοῦ φιλανθρωπίας οὐχ ἵσταται, ἀλλὰ πάλιν φησί·

32 Μή τι κύριε ἐὰν λαλήσω ἔτι ἅπαξ;

Ἐπειδὴ γὰρ ἄφατος ἦν ἡ μακροθυμία, διὰ τοῦτο δεδοικὼς μὴ καὶ εἰς ἀγανάκτησιν τὴν κατ' αὐτοῦ κινήσειε τὸν παρακαλούμενον, φησι· μή τι κύριε; μὴ προπετές τι ποιῶ; μὴ ἀναισχυντόν τι ἐπιδείκνυμαι; μὴ καταγνώσεως ἄξιον πρᾶγμα διαπράττομαι, ἐὰν λαλήσω ἔτι ἅπαξ; μετὰ τῆς πολλῆς ἐκείνης ἀγαθότητος ἔτι μίαν ἱκεσίαν δέξαι παρ' ἐμοῦ.

Ἐὰν εὑρεθῶσιν ἐκεῖ ι'. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν ι'.

Καὶ ἐπειδὴ προλαβὼν εἶπεν, ἔτι ἅπαξ λαλήσω,

33 Ἀπῆλθε, φησι, κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ὑπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Εἴδετε τοῦ δεσπότου τὴν συγκατάβασιν· εἴδετε τοῦ δικαίου τὴν φιλοστοργίαν· ἐμάθετε ὅση ἡ ἰσχὺς τῶν τὴν ἀρετὴν μετιόντων. ἐὰν γὰρ εὑρεθῶσι, φησι, ι' δίκαιοι, δι' ἐκείνους πᾶσι τὴν συγχώρησιν τῶν ἡμαρτημένων δωροῦμαι. οὐ καλῶς ἔλεγον, ὅτι ταῦτα πάντα ἐγένετο, ἵνα μηδεμία καταλίπηται τοῖς μετὰ ταῦτα ἀναισχυντοῦσιν ἀντιλογίας ἀφορμή. εἰσὶ γὰρ πολλοὶ τῶν μεμηνότων ἀκόλαστον γλῶτταν ἔχοντες, καὶ αἰτιᾶσθαι βουλόμενοι καὶ λέγοντες, τίνος ἕνεκεν ἐνεπρήσθη τὰ Σόδομα; εἰ μακροθυμίας ἀπήλαυσαν, ἴσως ἂν μετενόησαν. διὰ τοῦτο δείκνυσί σοι τῆς κακίας τὴν ἐπίτασιν, καὶ ὅτι ἐν τοσούτῳ πλήθει τοσαύτη ἦν σπάνις ἀρετῆς, ὡς ἑτέρου κλυδωνίου τοιούτου δεῖσθαι, οἷον πρότερον κατέλαβε τὴν οἰκουμένην. ἀλλ' ἐπειδὴ ὑπόσχεσίς ἐστι τοῦ Θεοῦ, ὥστε μηκέτι τοιαύτην ἐπενεχθῆναι τιμωρίαν, διὰ τοῦτο ἕτερον τρόπον τιμωρίας ἐπάγει, ὁμοῦ κἀκείνους ὑπὸ τὴν τιμωρίαν ἄγων, καὶ τοῖς ἑξῆς ἅπασι διηνεκῆ τὴν διδασκαλίαν παρεχόμενος. ἐπειδὴ γὰρ ἀνέτρεψαν τοὺς τῆς φύσεως νόμους, καὶ ξένας καὶ παρανόμους ἐπενόησαν μίξεις, διὰ τοῦτο ξένον τιμωρίας τὸν τρόπον ἐπήγαγε, διὰ τὴν ἐκείνων παρανομίαν, καὶ τῆς γῆς τὴν γαστέρα πηρώσας, καὶ καταλιπὼν ὑπόμνημα διηνεκὲς ταῖς μετὰ ταῦτα γενεαῖς, ὥστε μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. καὶ ἔξεστι τῷ βουλομένῳ εἰς τοὺς τόπους ἀφικνεῖσθαι ἐκείνους καὶ ὁρᾷν αὐτὴν, ὡς εἰπεῖν, τὴν γῆν βοῶσαν καὶ δεικνύουσαν τῆς τιμωρίας τὰ ἴχνη, καὶ μετὰ τοσούτων ἐτῶν ἀριθμὸν, ὡς χθὲς καὶ πρώην ἐπαχθείσης τῆς τιμωρίας, οὕτω καταφανὴς ἡ ἀγανάκτησις δείκνυται. διὸ, παρακαλῶ, ἐξ ὧν ἕτεροι τὴν δίκην ἐδόθησαν, ἡμεῖς σωφρονιζώμεθα. ἀλλ' ἴσως εἴποι τις ἂν, τί οὖν; ἐπειδὴ ἐκεῖνοι οὕτως ἐκολάσθησαν, οὐκ εἰσὶ καὶ νῦν πολλοὶ τὰ αὐτὰ ἐκείνοις παρανομοῦντες, καὶ μὴ κολαζόμενοι; ναί. ἀλλὰ τοῦτο μᾶλλον πλείονα ἡμῖν τὴν ἀγωνίαν ἐμποιῆσαι δυνήσεται. ὅταν γὰρ μήτε ἐκ τῶν εἰς ἐκείνους συμβεβηκότων σωφρονιζώμεθα, μήτε ἀπὸ τῆς μακροθυμίας τοῦ Θεοῦ κερδαίνωμέν τι, ἐννόησον οἵα ἡμᾶς διαδέξεται κόλασις, τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ ἀκοίμητος. ἄλλως δὲ, καὶ ἐπειδὴ πολλοὶ διὰ τὴν τοῦ Θεοῦ χάριν εἰσὶ νῦν ἐνάρετοι, εἰ καὶ ἡμεῖς ἐκ τῶν καθ' ἑαυτοὺς σκοποῦντες, καὶ πρὸς τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν ὁρῶντες, νομίζομεν πολλὴν εἶναι τὴν σπάνιν [τῆς ἀρετῆς]· ἀλλ' ὅμως εἰ καὶ λανθάνουσι, πολλοί εἰσιν οἱ τὸν δεσπότην δυσωπεῖν δυνάμενοι, καθάπερ τότε ὁ μακάριος πατριάρχης, καὶ διὰ τὴν ἐκείνων ἀρετὴν τὴν περὶ τούτους μακροθυμίαν ἐπιδείκνυται. καὶ ἵνα μάθῃς ὅτι ἡ τῶν τοιούτων παρρησία τῆς μακροθυμίας ἡμῖν πρόξενος γίνεται, ἄκουσον ἐξ αὐτῆς ταύτης τῆς ἱστορίας, τί φησι πρὸς τὸν πατριάρχην· ὅτι ἐὰν ι' δικαίους εὕρω, οὐ μὴ ἀπολέσω τὰς πόλεις. καὶ τί λέγω ι' δικαίους; οὐδεὶς εὑρέθη ἐκεῖ τῆς παρανομίας ἐκτὸς, εἰ μὴ μόνος Λὼτ ὁ δίκαιος, καὶ αἱ τούτου δύο θυγατέρες. ἡ γὰρ γυνὴ δι' αὐτὸν ἴσως τὴν ἐν τῇ πόλει τιμωρίαν διαφυγοῦσα, ὕστερον τὴν δίκην ἔδωκε δι' οἰκείαν ῥᾳθυμίαν. νυνὶ δὲ διὰ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, ἐπειδὴ ἐπέδωκε τὰ τῆς εὐσεβείας, πολλοὶ καὶ ἐν μέσαις ταῖς πόλεσι λανθάνοντές εἰσι δυνάμενοι δυσωπεῖν τὸν Θεὸν, καὶ ἐν ὄρεσι καὶ σπηλαίοις ἕτεροι, καὶ ἡ τῶν ὀλίγων τούτων ἀρετὴ τὴν τῶν πολλῶν κακίαν ἀποκρύψαι δύναται, ἐπειδὴ πολλὴ τοῦ δεσπότου ἡ ἀγαθότης, καὶ πολλάκις οἶδε δι' ὀλίγους δικαίους τῶν πολλῶν χαρίζεσθαι τὴν σωτηρίαν. καὶ τί λέγω δι' ὀλίγους δικαίους; πολλάκις ὅταν μὴ εὑρεθῇ ἐν τῷ παρόντι βίῳ δίκαιος, διὰ τὴν τῶν τετελευτηκότων ἀρετὴν τῶν ζώντων κήδεται, καὶ βοᾷ λέγων, Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. Δ.Βασ.ιθ.λδ. εἰ καὶ αὐτοί, φησιν, ἀνάξιοί εἰσι * σώζεσθαι, καὶ οὐδεμίαν ἀφορμὴν ἔχουσι σωτηρίας, ἀλλ' ἐπειδὴ τὸ φιλανθρωπεύεσθαι συνήθες ἐμοὶ, καὶ περὶ τὸ ἐλεεῖν εἰμι ἕτοιμος, καὶ ἐξαρπάζειν τῶν δεινῶν, δι' ἐμαυτὸν ποιήσω καὶ διὰ τὸν παῖδά μου Δαβὶδ ὑπερασπισμόν· καὶ ὁ πρὸ τοσούτων ἐτῶν τοῦ βίου μεταστὰς, οὗτος αἴτιος τῆς σωτηρίας γίνεται τοῖς ὑπὸ τῆς οἰκείας ῥᾳθυμίας προδεδομένοις. εἶδες φιλανθρωπίαν δεσπότου, πῶς τιμᾷ τοὺς ἐν ἀρετῇ διαλάμποντας, πῶς αὐτοὺς προτίθησι, καὶ ἀνταξίους δείκνυσι παντὸς τοῦ πλήθους. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, Ἑβ. ια. λζ. ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. οὗτος ἅπας, φησὶν, ὁ κόσμος, ὁ κατὰ τὴν οἰκουμένην ἅπασαν, οὐκ ἂν εἴη ἰσοστάσιος τούτων τῶν ἐν θλίψεσι, τῶν ἐν κακουχίαις, τῶν γυμνητευόντων, τῶν περιϊόντων καὶ ἐν σπηλαίοις διαγόντων διὰ τὸν Θεόν. ὅταν οὖν ἴδῃς, ἀγαπητὲ, ἄνδρα εὐτελὲς μὲν σχῆμα ἔξωθεν περικείμενον,

ἀρετὴν δὲ ἔνδοθεν περιβεβλημένον, μὴ διευτελίσῃς τοῦτον διὰ τὸ φαινόμενον, ἀλλὰ τὸν
τῆς ψυχῆς πλοῦτον καταμάνθανε, καὶ τὴν ἔνδον περιφάνειαν, καὶ τότε ὄψει πανταχόθεν
τὴν ἀρετὴν λάμπουσαν. τοιοῦτος * ἦν ὁ μακάριος Ἠλίας. μηλωτὴν μόνον εἶχε,
καὶ ὁ τὴν πορφυρίδα περιβεβλημένος Ἀχαὰβ τῆς ἐκείνου μηλωτῆς ἐδεῖτο. εἶδες
γ. Βασ. ιζ. α. τοῦ μὲν Ἀχαὰβ τὴν πενίαν, τοῦ δὲ Ἠλία τὸν πλοῦτον. ὅρα καὶ τῆς δυνάμεως ὅσον τὸ μέσον.
ἡ μηλωτὴ τούτου τὸν οὐρανὸν ἀπέκλεισε, τῶν ὑετῶν ἔστησε τὴν φορὰν, καὶ ἡ γλῶσσα
τοῦ προφήτου χαλινὸς ἐγένετο τῷ οὐρανῷ, καὶ ἐπὶ τρία ἔτη καὶ μῆνας ἓξ ὑετὸς οὐκ
ἐγένετο· καὶ ὁ τὴν ἁλουργίδα καὶ τὸ διάδημα περικείμενος, περιῄει τὸν προφήτην ἐπιζητῶν,
καὶ οὐδὲν δυνάμενος κερδᾶναι ἐκ τῆς τοσαύτης δυναστείας. ἀλλ' ὅρα δεσπότου
φιλανθρωπίαν. ἐπειδὴ εἶδεν ἀπὸ ζήλου καὶ πολλῆς θερμότητος τὸν προφήτην κινηθέντα,
καὶ τὴν μεγάλην ταύτην τιμωρίαν ἐπαγαγόντα κατὰ πάσης τῆς γῆς, ὥστε μὴ καὶ
αὐτὸν συναπολαῦσαι τῆς τιμωρίας, καὶ ὁμοίως τῇ ἐκείνων πονηρίᾳ κολάζεσθαι, φησὶ
γ. Βασ. ιζ. θ. πρὸς αὐτόν· Ἐγερθεὶς πορεύθητι εἰς Σάρεπτα τῆς Σιδωνίας. ἐκεῖ γὰρ ἐντέλλομαι γυναικὶ
χήρᾳ τοῦ διατρέφειν σε. καὶ ἀναστὰς ἐπορεύθη. ὅρα τοῦ πνεύματος τὴν χάριν, ἀγαπητέ.
καὶ γὰρ καὶ χθὲς εἰς φιλοξενίαν ἡμῖν ὁ λόγος ἅπας κατέληξε, καὶ σήμερον ἰδοὺ ἡ φιλόξενος
αὕτη χήρα εἰς τέλος ἡμῖν ἄγειν τὸν λόγον μέλλει. καὶ παρεγένετο, φησὶ, πρὸς τὴν χήραν,
καὶ εὗρεν αὐτὴν συλλέγουσαν ξύλα, καί φησι πρὸς αὐτήν· δός μοι μικρὸν ὕδωρ, καὶ
πίομαι. ἡ δὲ ὑπήκουσε. καί φησι πρὸς αὐτὴν πάλιν, ποίησόν μοι ἐγκρυφίας, καὶ
φάγομαι. ἡ δὲ λοιπὸν ἐκκαλύπτει αὐτῆς τὴν ὑπερβάλλουσαν πενίαν, μᾶλλον δὲ
τὸν ἄφατον πλοῦτον. ἡ γὰρ τῆς πενίας ἐπίτασις ἐδείκνυ τοῦ πλούτου τὸ μέγεθος. ἡ δέ
φησιν, οὐκ ἔστι τῇ δούλῃ σου, εἰ μὴ δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ,
καὶ φαγόμεθα, ἐγώ τε καὶ τὰ παιδία, καὶ ἀποθανούμεθα. ἐλεεινὰ τὰ ῥήματα, καὶ αὐτὰ λιθίνην
ψυχὴν ἱκανὰ ἐπικάμψαι. οὐδεμία λοιπόν, φησιν, ἔσται ἐλπὶς σωτηρίας. ἐπὶ θύραις
τὰ τοῦ θανάτου. τοῦτο μόνον ἡμῖν ὑπολέλειπται πρὸς ζωὴν, ὃ μόλις ἀρκέσει ἐμοὶ καὶ
τοῖς παιδίοις. ὅπερ ἦν μοι δυνατὸν πεποίηκα· τοῦ ὕδατος μετέδωκα. ἀλλ' ἵνα μάθωμεν
καὶ τῆς γυναικὸς τὸ φιλόξενον, καὶ τοῦ δικαίου τὴν πολλὴν παῤῥησίαν, ὅρα τί γίνεται,
ἐπειδὴ ἔμαθεν ὁ προφήτης πάντα μετὰ ἀκριβείας, ἵνα ἐκκαλύψῃ ἡμῖν τὴν ἀρετὴν τῆς
γυναικός. ὁ γὰρ Θεὸς ὁ εἰπὼν, ὅτι ἐντέταλμαι γυναικὶ τοῦ διατρέφειν σε, αὐτὸς
ἦν ὁ διὰ τοῦ προφήτου ἐνεργῶν, καί φησι πρὸς αὐτήν· ποίησον ἐμοὶ πρῶτον, καὶ φάγομαι·
καὶ τότε τοῖς τέκνοις σου. ἀκούετε γυναῖκες αἱ πλούτῳ περιῤῥεόμεναι, καὶ εἰς μυρία
ἀνόητα καταναλίσκουσαι τὴν οἰκείαν περιουσίαν, καὶ οὐδὲ μετὰ τὴν οἰκείαν ἀπόλαυσιν
πολλάκις καταδεχόμεναι ὀβολοὺς δύο προέσθαι τοῖς δεομένοις, ἢ ἀνδρί τινι τῶν
ἐναρέτων διὰ τὸν Θεὸν πενομένῳ. αὕτη δὲ οὐδὲν ἕτερον κεκτημένη, ἢ τὴν δράκα τοῦ ἀλεύρου,
καὶ μέλλουσα κατὰ μικρὸν, ὅσον κατὰ τὸν ἑαυτῆς λογισμὸν, τῶν παίδων τὸν θάνατον
ὁρᾷν, ἀκούσασα παρὰ τοῦ προφήτου, ὅτι ἐμοὶ πρῶτον ποίησον, καὶ τότε σοὶ καὶ τοῖς παιδίοις
σου, οὐκ ἐδυσχέρανεν, οὐκ ἠμέλλησεν, ἀλλ' ἐποίει τὸ ἐπιταχθὲν, παιδεύουσα πάντας
ἡμᾶς προτιμᾷν τῆς οἰκείας ἀναπαύσεως τοὺς τοῦ Θεοῦ δούλους, καὶ μὴ ἁπλῶς παρατρέχειν
τὰ τοιαῦτα κέρδη, ἀλλ' εἰδέναι ὅτι πολλὴ ἡ ὑπὲρ τούτων ἡμῖν ἀντίδοσις ἔσται.
ὅρα γοῦν ταύτην τὴν χήραν, ἀντὶ μιᾶς δρακὸς ἀλεύρου καὶ ὀλίγου ἐλαίου πῶς διηνεκῆ
γ. Βασ. ιζ. ιδ. ἅλωνα ἐκτήσατο. μέγα γὰρ τὸ τραφῆναι τὸν προφήτην. Οὔτε ἡ δρὰξ τοῦ ἀλεύρου
* ἐπέλειπεν, οὔτε ὁ καμψάκης τοῦ ἐλαίου, πάσης τῆς γῆς λιμῷ διαφθειρομένης. καὶ τὸ
δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐδὲ μόχθων ἐδεῖτο λοιπὸν, ἀλλ' εἶχεν ἕτοιμον διηνεκῶς
τὸ ἄλευρον καὶ τὸ ἔλαιον, καὶ οὔτε γεωργίας ἔχρῃζεν, οὔτε τῆς τῶν βοῶν συνεργίας, οὔτε ἑ-

ἑτέρας τινὸς ἐπιμελείας, ἀλλὰ παρὰ φύσιν ἦν ἰδεῖν ἅπαντα συμβαίνοντα· καὶ τοῦ βασιλέως τοῦ τότε διάδημα περικειμένου ἐν ἀμηχανίᾳ ὄντος, καὶ λιμῷ διαφθειρομένου, ἡ χήρα ἡ πενιχρὰ, ἡ πάντων ἐστερημένη, ἐπειδὴ τὸν προφήτην ὑπεδέξατο, ἐν εὐπορίᾳ ἐτύγχανε διηνεκεῖ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. εἴδετε χθὲς οἵων ὁ πατριάρχης ἠξιώθη, δαψιλῆ τὴν φιλοξενίαν ἐπιδειξάμενος καὶ μετὰ πολλῆς τῆς θερμότητος. ὅρα καὶ νῦν ταύτην τὴν Σιδώνιον ἀθρόον πλοῦτον ἄφατον κτησαμένην. ἡ γὰρ γλῶσσα τοῦ προφήτου ἡ τοῦ οὐρανοῦ τὰς ἡνίας ἐπέχουσα, αὕτη τοῦ ἀλεύρου τὴν δράκα πηγάσαι ἐποίησε, καὶ τοῦ ἐλαίου τὴν καμψάκην. ταύτην πάντες μιμείσθωσαν, καὶ ἄνδρες καὶ γυναῖκες.

Ματθ. ι. μα.

ΗΘΙΚΟΝ

Ἐγὼ μὲν γὰρ ἐβουλόμην εἰς τὸν τοῦ προφήτου ζῆλον ὑμᾶς ἐναγαγεῖν καὶ τῆς ἀρετῆς τούτου τὴν μίμησιν. ἀλλ' ἐπειδὴ τοῦτο ὑπέρογκον ὑμῖν δοκεῖ εἶναι, καίτοι κἀκεῖνος ἄνθρωπος ἦν καὶ σάρκα περιέκειτο καθὼς καὶ ἡμεῖς, καὶ τῆς αὐτῆς ἡμῖν μετεῖχε φύσεως, ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτοῦ μετὰ δαψιλείας εἰσήνεγκε καὶ τὴν ἀρετὴν εἵλετο, ἠξιώθη καὶ τῆς ἄνωθεν χάριτος· ἀλλὰ τέως κἂν τὴν γυναῖκα ταύτην μιμησώμεθα, καὶ τότε κατὰ μικρὸν ἥξομεν καὶ ἐπὶ τὴν τοῦ προφήτου μίμησιν. μιμησώμεθα τοίνυν τὴν ταύτης φιλοξενίαν, καὶ μηδεὶς λοιπὸν πενίαν προβαλλέσθω. οἷος γὰρ ἂν ᾖ πένης, οὐκ ἂν εἴη ταύτης πενέστερος, ἣ πρὸς μίαν ἡμέραν μόνον ἐκέκτητο τροφὴν, καὶ οὐδὲ οὕτως ὀκνηροτέρα γέγονε περὶ τὴν τοῦ δικαίου αἴτησιν, ἀλλὰ πολλῇ τῇ προθυμίᾳ χρησαμένη ταχεῖαν τὴν ἀμοιβὴν ἐκομίσατο. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ Θεοῦ. ἀντὶ μικρῶν ἔθος αὐτῷ μεγάλα δωρεῖσθαι. τί γὰρ, εἰπέ μοι, τοσοῦτον εἰσήνεγκεν, ὅσον ἐκομίσατο; ἀλλ' ὁ δεσπότης ὁ ἡμέτερος οὐ τῇ ποσότητι προσέχειν εἴωθεν, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης, καὶ ἀπὸ ταύτης καὶ τὰ μικρὰ μεγάλα γίνεται, καὶ τὰ μεγάλα πολλάκις ἐξευτελίζεται, ὅταν μὴ ἱλαρᾷ τῇ προθυμίᾳ ἐπιτελῆται τὰ γινόμενα. διὰ τοῦτο καὶ ἡ χήρα ἐκείνη ἡ ἐν τῷ εὐαγγελίῳ, πολλῶν πολλὰ βαλόντων ἐν τῷ γαζοφυλακίῳ δύο λεπτὰ βαλοῦσα πάντας ὑπερηκόντισεν, οὐκ ἐπειδὴ πλείονα τῶν ἄλλων ἔβαλεν, ἀλλ' ὅτι δαψιλῆ τὴν γνώμην ἐπεδείξατο. οἱ μὲν γὰρ ἄλλοι, φησὶν, ἐκ τοῦ * περισσεύματος αὐτοῖς τοῦτο ἐποίουν· αὕτη δὲ ἅπαντα ὅσα ἐκέκτητο ἔβαλεν. ὅλον γὰρ τὸν βίον αὐτῆς ἔδωκεν. κἂν τὰς γυναῖκας μιμησώμεθα οἱ ἄνδρες, καὶ μὴ ἐλάττους αὐτῶν ὀφθῶμεν, ἀλλὰ σπουδάζωμεν μὴ μόνον πρὸς τὴν οἰκείαν ἀπόλαυσιν πᾶσαν τὴν οὐσίαν καταναλίσκειν, ἀλλὰ καὶ τῶν δεομένων πολλὴν ποιεῖσθαι πρόνοιαν, καὶ μετὰ προθυμίας καὶ φαιδρότητος τοῦτο ποιεῖν. καὶ γὰρ ὁ γεωργὸς εἰς τὴν γῆν καταβάλλων τὰ σπέρματα, οὐ μετὰ στυγνότητος τοῦτο ἐργάζεται, ἀλλὰ χαίρων καὶ γεγηθὼς, καὶ ἤδη τῇ προσδοκίᾳ τὰ δράγματα βλέπειν νομίζων, οὕτως εἰς τὴν γῆν ἀφίησι τὰ σπέρματα. καὶ σὺ τοίνυν, ἀγαπητὲ, μὴ πρὸς τὸν λαμβάνοντα ὅρα μόνον, μηδὲ πρὸς τὴν δαπάνην τὴν γινομένην, ἀλλ' ἐννόει ὅτι οὗτος μέν ἐστιν ὁ ὁρώμενος ὁ παρὰ σοῦ δεχόμενος· ἕτερος δὲ ὁ τὰ εἰς ἐκεῖνον γινόμενα οἰκειούμενος, καὶ οὐχ ὁ τυχὼν, ἀλλ' ὁ τῶν ὅλων δεσπότης, ὁ τῶν ἁπάντων κύριος, ὁ οὐρανοῦ καὶ γῆς ποιητής· καὶ ὅτι ἡ δαπάνη αὕτη πρόσοδος γίνεται, καὶ οὐ μόνον οὐκ ἐλαττοῖ σου τὴν οὐσίαν, ἀλλὰ καὶ πλεονάζει μᾶλλον, ἐὰν σὺ μετὰ πίστεως τοῦτο ἐργάζῃ καὶ ἱλαρᾶς τῆς προθυμίας. εἴπω τὸ κεφάλαιον τῶν ἀγαθῶν; μετὰ τῆς προσόδου τῆς ἀπὸ τῆς δαπάνης ταύτης γινομένης καὶ ἁμαρτημάτων συγχωρήσεώς σοι πρόξενος γίνεται, οὗ οὐδὲν ἂν ἡμῖν ἴσον γένοιτο. εἰ τοίνυν ″βουλόμεθα εἰδέναι πλουτεῖν τὸν ἀληθῆ πλοῦτον, καὶ μετὰ τοῦ πλούτου καὶ τῶν ἁμαρτημάτων τὴν συγχώρησιν″ εὑρέσθαι, ἐκχέωμεν τὰ ὄντα εἰς τὰς τῶν δεομένων χεῖρας, προαποστείλωμεν

Λυ. κα. γ.

* περισσεύ-

ουλόμεθα

αβέσθαι,

μεν αὐτὰ εἰς τὸν οὐρανόν, ἔνθα οὐδὲ κλέπτης, οὐδὲ λῃστής, οὐ τοιχωρύχος, οὐκ οἰκέτου κακουργία, οὐκ ἄλλο οὐδὲν λυμήνασθαι δυνήσεται τὸν πλοῦτον τὸν ἡμέτερον. τὸ γὰρ χωρίον ἐκεῖνο πάσης τοιαύτης βλάβης ἀνώτερον· μόνον μὴ μετὰ κενοδοξίας τοῦτο ποιῶμεν, ἀλλὰ κατὰ τοὺς ὑπ' αὐτοῦ δεδομένους νόμους, ὥστε μὴ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον καρπώσασθαι, ἀλλὰ τὸν παρὰ τοῦ κοινοῦ πάντων δεσπότου, ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομείνωμεν, καὶ τοῦ κέρδους ἀποστερηθῶμεν. ὥσπερ γὰρ πάσαις ταῖς ἄλλαις ἐπιβουλαῖς ἀνάλωτός ἐστιν ὁ πλοῦτος, ὁ ἐκεῖ μετατιθέμενος διὰ τῆς τῶν πενήτων χειρός, οὕτω κενοδοξίᾳ μόνῃ ἀναλίσκεται, καὶ ὅπερ ἐστὶν ἐνταῦθα ὁ σὴς, καὶ ὁ σκώληξ πρὸς τὴν τῆς ἐσθῆτος διαφθοράν, τοῦτο κενοδοξία τῷ πλούτῳ τῷ ἀπὸ τῆς ἐλεημοσύνης συλλεγομένῳ. διὸ παρακαλῶ, μὴ μόνον ποιῶμεν τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ μετὰ ἀσφαλείας ταύτην ἐργαζώμεθα, ἵνα ἀντὶ μικρῶν μεγάλα καρπωσώμεθα ἀγαθά, καὶ ἀντὶ τῶν ἐπικήρων τὰ ἄφθαρτα, καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, καὶ μετὰ τούτων ἁπάντων καὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων τυχεῖν δυνηθῶμεν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ * πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ς.

Λογ. μγ. ΗΛΘΟΝ ΔΕ ΦΗΣΙΝ ΟΙ ΔΥΟ ΑΓΓΕΛΟΙ εἰς Σόδομα ἑσπέρας.

Καθάπερ λειμών τις εὐανθὴς διάφορα καὶ ποικίλα τὰ ἄνθη ἐν ἑαυτῷ δεικνύς, οὕτω ἡ θεία γραφὴ τῶν δικαίων τὰς ἀρετὰς ἡμῖν ″δείκνυσιν, οὐχ ἵνα καθάπερ ἐπὶ τῶν ἀνθῶν πρὸς βραχὺ μόνον ἀπολαύσωμεν τῆς εὐωδίας, ἀλλ' ἵνα διηνεκῆ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσώμεθα. ἐκεῖ μὲν γὰρ μόνον ἐδεξάμεθα τῇ χειρὶ τὰ ἄνθη, καὶ μετ' ὀλίγον αὐτὰ μαρανθέντα τὴν οἰκείαν χάριν ἠμαύρωσεν· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ἐπειδὰν δεξώμεθα διὰ τῆς ἀκοῆς τὰς ἀρετὰς τῶν δικαίων, καὶ εἰς τοὺς κόλπους τῆς διανοίας ἡμῶν [αὐτὰς] ἐναποθώμεθα, διὰ παντὸς τοῦ χρόνου τῆς τούτων εὐωδίας ἀπολαύειν δυνάμεθα, ἐὰν θέλωμεν. φέρε οὖν, ἐπειδὴ τοιαύτη τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἁγίων ἡ εὐωδία, σήμερον τοῦ Λὼτ τὴν εὐωδίαν καταμάθωμεν, ἵνα γνῶμεν ἀκριβῶς, ὅπως εἰς ἄκραν τῆς ἀρετῆς τὴν κορυφὴν ἡ τοῦ πατριάρχου συνουσία τὸν δίκαιον τοῦτον ἀνήγαγε, καὶ κατ' ἴχνος ″ αὐτοῦ καὶ αὐτὸς τὴν οἰκείαν φιλοξενίαν διὰ τῶν ἔργων ἐπιδείκνυται. ἀλλ' ἵνα σαφέστερος ὁ λόγος ἡμῖν γίνηται, ἄξιον αὐτῶν τῆς γραφῆς ἐπακοῦσαι τῶν ῥημάτων.

κεφ. ιθ. 1 Ἦλθον δέ, φησιν, οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας.

Τίνος ἕνεκεν οὕτως ἤρξατο, ἦλθον δὲ οἱ δύο ἄγγελοι; ἐπειδὴ μετὰ τὸ ἐπιξενωθῆναι τῷ πατριάρχῃ, ἐξελασάντων αὐτῶν ἐκεῖθεν, ὁ μὲν κηδεμὼν καὶ φιλάνθρωπος Θεὸς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καὶ σχήματι ἀνθρώπου τότε ὀφθεὶς περιέμεινε τῷ πατριάρχῃ διαλεγόμενος, καθάπερ χθὲς ἠκούσατε, βουλόμενος ἅπαντας ἡμᾶς διδάξαι καὶ τῆς ἑαυτοῦ μακροθυμίας τὴν ὑπερβολήν, καὶ τοῦ πατριάρχου τὸ φιλόστοργον, οἱ δὲ ἄγγελοι ὥρμησαν ἐπὶ τὰ Σόδομα, τὴν ἀκολουθίαν διατηροῦσα ἡμῖν ἡ θεία γραφὴ νῦν φησιν, ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας, τὸ ἐπιταχθὲν ″ πληρώσοντες. καὶ ὅρα ἀκρίβειαν καὶ παρατήρησιν τῆς θείας γραφῆς, πῶς καὶ τὸν καιρὸν ἡμῖν ἐσήμηνε, καθ' ὃν παρεγένοντο (ἑσπέρας γάρ φησι) καὶ τίνος ἕνεκεν τὸν καιρὸν ἐδήλωσε, καὶ διὰ τί κατὰ τὴν ἑσπέραν παρεγένοντο; ἵνα τὴν πολλὴν ἡμῖν ἐπίτασιν δείξῃ τῆς τοῦ

Λὼτ φιλοξενίας. καθάπερ γὰρ ὁ πατριάρχης κατὰ τὸν τῆς μεσημβρίας καιρὸν καθήμενος ἐπετήρει τοὺς παριόντας, καὶ ἔργον ἐποιεῖτο τὴν τούτων θήραν, καὶ ἐπέτρεχε, καὶ μετὰ περιχαρείας τοὺς ὁδίτας ὑπεδέχετο· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἐπειδὴ ᾔδει τὴν κακίαν τῶν ἐν Σοδόμοις οἰκούντων τὴν πονηρίαν, οὐδὲ τὸν τῆς ἑσπέρας καιρὸν παρεπέμπετο, ἀλλὰ μέχρι τούτου παρέμενε, μήπου θησαυρός τις αὐτῷ παρεμπέσῃ, καὶ τὸν ἀπὸ τῆς φιλοξενίας καρπὸν δρέψασθαι δυνηθῇ. ἀληθῶς θαυμάσαι ἐστὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅτι ἐν μέσῳ τοιούτων παρανόμων ἀναστρεφόμενος, οὐ μόνον οὐ γέγονε ῥαθυμότερος, ἀλλὰ καὶ πολλῷ πλείονα τὴν ἀρετὴν ἐπεδείκνυτο, καὶ πάντων, ὡς εἰπεῖν, κατὰ κρημνῶν φερομένων, οὗτος μόνος ἐν τοσούτῳ πλήθει τὴν εὐθεῖαν ὥδευεν ὁδόν. ποῦ νῦν εἰσιν οἱ λέγοντες, ὅτι οὐχ οἷόν τε ἐν μέσῃ πόλει στρεφόμενόν τινα διασῶσαι τὴν ἀρετήν, ἀλλ' ἀναχωρήσεως δεῖ, καὶ τῆς ἐν τοῖς ὄρεσι διατριβῆς, καὶ οὐ δυνατὸν τὸν οἰκίας προεστῶτα, καὶ γυναῖκα ἔχοντα, καὶ παίδων ἐπιμελούμενον καὶ οἰκετῶν, ἐνάρετον εἶναι; ὁράτωσαν τοίνυν τὸν δίκαιον τοῦτον μετὰ γυναικὸς καὶ παιδίων καὶ οἰκετῶν καὶ ἐν πόλει διάγοντα, καὶ μεταξὺ τοσούτων πονηρῶν καὶ παρανόμων διατρίβοντα, καὶ καθάπερ σπινθῆρά τινα ἐν μέσῳ πελάγει διαλάμποντα, καὶ οὐ μόνον οὐ σβεννύμενον, ἀλλὰ καὶ λαμπρότερον τὸ φῶς δεικνύοντα. καὶ ταῦτα λέγω, οὐ κωλύων τὴν ἀναχώρησιν τὴν ἀπὸ τῶν πόλεων, καὶ τὴν ἐν τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις διατριβὴν ἀπαγορεύων, ἀλλὰ δεικνὺς ὅτι τῷ βουλομένῳ νήφειν καὶ ἐγρηγορέναι οὐδὲν τούτων κώλυμα γίνεται. ὥσπερ γὰρ τὸν ῥᾴθυμον καὶ ἀναπεπτωκότα οὐδὲ ἡ ἔρημος ὠφελῆσαί τι δύναται (οὐδὲ γὰρ ὁ τόπος ἐστὶν ὁ τὴν ἀρετὴν κατορθῶν, ἀλλ' ἡ γνώμη καὶ ὁ τρόπος) οὕτω τὸν νήφοντα καὶ διεγηγερμένον οὔτε τὸ ἐν μέσῃ τῇ πόλει διατρίβειν καταβλάψαι τι δυνήσεται. καὶ διὰ τοῦτο ἐβουλόμην, καθάπερ τὸν μακάριον τοῦτον, οὕτω τοὺς ἐναρέτους μάλιστα ἐν μέσῳ τῶν πόλεων εἶναι, ἵνα καθάπερ ζύμη τοῖς ἄλλοις γινόμενοι, πολλοὺς εἰς τὸν οἰκεῖον ζῆλον ἐνάγωσιν. ἀλλ' ἐπειδὴ δυσχερὲς τοῦτο καταφαίνεται εἶναι, κἂν ἐκεῖνο γινέσθω. παράγει γὰρ λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ βραχὺς ὁ παρὼν βίος. καὶ εἰ μὴ νῦν, ὡς ἔτι ἐν τοῖς σκάμμασι ἑστήκαμεν, τῶν πόνων τῆς ἀρετῆς ἁψώμεθα, καὶ τὰ δίκτυα τῆς κακίας διαφύγωμεν, ὕστερον μάτην ἂν ἑαυτοὺς αἰτιασόμεθα, ὅτε οὐδὲν ὄφελος τῆς μεταγνώσεως. ἕως μὲν γὰρ ἂν ὦμεν ἐν τῇ παρούσῃ ζωῇ, δυνατὸν μεταγνόντας τοῦ ἐντεῦθεν ἀπόνασθαι κέρδους, καὶ τὰ πρότερα ἀπονιψαμένους ἁμαρτήματα τῆς τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῆναι. εἰ δὲ τὸν παρόντα καιρὸν προϊέμενοι ἀθρόον προαναρπασθείημεν, μετανοήσομεν μὲν καὶ τότε, οὐδεμίαν δὲ ὄνησιν ἐκ τούτου ἕξομεν. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος, Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; καὶ πάλιν, Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐδείς, φησιν, ἔσται ἐκεῖ λοιπὸν ὁ ἐξαιρούμενος τὸν ὑπὸ τῆς οἰκείας ῥᾳθυμίας προδεδομένον, οὔτε ἂν ἀδελφὸς ᾖ, οὔτε ἂν συγγενής, οὔτε ἂν πατήρ. καὶ τί λέγω ἀδελφὸς καὶ πατὴρ καὶ μήτηρ; οὔτε αὐτοὶ οἱ δίκαιοι οἱ παρρησίαν πολλὴν κεκτημένοι τότε συμβαλέσθαι τι δυνήσονται ἡμῖν, εἰ νῦν ῥαθυμήσαιμεν. Ἐὰν στῇ γάρ, φησι, Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν οὐ μὴ ἐξέλωνται. καὶ ὅρα τῆς ἀπειλῆς τὸ μέγεθος, οἵους δικαίους εἰς μέσον παρήγαγεν. ἐπειδὴ γὰρ οὗτοι κατὰ καιρὸν καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γεγόνασιν (ὅ, τε γὰρ Νῶε, τοῦ φοβεροῦ κλυδωνίου ἐκείνου τὴν οἰκουμένην κατειληφότος, καὶ τὴν γυναῖκα καὶ τοὺς υἱοὺς ἔσωσε· καὶ ὁ Ἰὼβ ὁμοίως καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γέγονε· καὶ ὁ Δανιὴλ δὲ πολλοὺς ἐξήρπασε θανάτου, ἡνίκα ὁ βάρβαρος ἐκεῖνος ἐπιζητῶν τὰ ὑπὲρ ἀνθρωπίνην φύσιν τυγχάνοντα ἀνελεῖν ἐπεχείρει τοὺς Χαλδαίους καὶ τοὺς μάγους καὶ τοὺς Γαζαρηνούς) ἵνα μὴ νομίσωμεν, ὅτι καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἔσται

Ψαλ. ϛ. ϛ.
Ψαλ. μη. ζ.
Ιεζ. ιδ. κ.

τινὰ τοιαῦτα, καὶ οἱ ἐνάρετοι καὶ παῤῥησίαν ἔχοντες τοὺς μετὰ ῥαθυμίας ἐνταῦθα διάγοντας ἐλευθερῶσαι τῆς ἐκεῖ τιμωρίας δυνήσονται τοῖς αὐτῶν ἐπιτηδείοις, διὰ τοῦτο τοὺς δικαίους τούτους παρήγαγεν ἡμῖν, τὸν φόβον ἡμῖν ἀνατεινόμενος καὶ παιδεύων ἐν τοῖς οἰκείοις κατορθώμασι μετὰ τὴν ἄνωθεν χάριν τὰς ἐλπίδας τῆς σωτηρίας ἡμῶν ἔχειν, καὶ μήτε ἐπὶ προγόνων ἀρετῇ μέγα φρονεῖν, εἰ αὐτοὶ ἐν κακίᾳ τυγχάνομεν ὄντες, μήτε ἐπ' ἄλλῳ τινὶ, ἀλλ' ἓν τοῦτο μόνον σπουδάζειν, κἂν προγόνους ὦμεν ἐναρέτους ἐσχηκότες, μιμεῖσθαι αὐτῶν τὴν ἀρετήν· κἂν τὸ ἐναντίον πάλιν συμβαίνῃ, καὶ φαύλων ὦμεν προγόνων, μὴ νομίζειν ἐκ τούτου τι παραβλάπτεσθαι, ἀλλὰ πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἐπαποδύεσθαι. οὐδὲν γὰρ ἡμῖν ἐκ τούτου βλάβος ἔσται. ἕκαστος γὰρ, ἐξ ὧν διεπράξατο, ἢ στεφανοῦται ἢ κατακρίνεται, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησιν, Ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. καὶ πάλιν, Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἅπερ ἅπαντα εἰδότες καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξάμενοι πολλὴν τῆς ἀρετῆς ποιησώμεθα λόγον, καὶ ὡς ἔτι ἐν τῷ σκάμματί ἐσμεν, πρὶν ἢ διαλυθῆναι τὸ θέατρον, φροντίσωμεν ἡμῶν τῆς σωτηρίας, ἵνα ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ τὴν ἀρετὴν μετελθόντες, ἐν τῷ διηνεκεῖ αἰῶνι τὰς ὑπὲρ ταύτης ἀμοιβὰς κομισώμεθα. καθάπερ καὶ ὁ δίκαιος οὗτος ὁ μεταξὺ τοσούτων πονηρῶν οἰκῶν, καὶ οὐδένα ἔχων ζηλωτὴν αὐτοῦ τῆς ἀρετῆς, ἀλλὰ καὶ πάντας ὁρῶν χλευάζοντας, κωμῳδοῦντας, οὐ μόνον ὀκνηρότερος οὐκ ἐγένετο, ἀλλὰ καὶ οὕτω διέλαμψεν, ὡς καταξιωθῆναι καὶ ἀγγέλους ὑποδέξασθαι, καὶ πάντων ἄρδην ἀπολλυμένων αὐτὸς διέφυγε τὴν ἐπενεχθεῖσαν δίκην. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν. ἦλθον δέ, φησιν, οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας. ὁ καιρὸς μάλιστα δείκνυσιν ἡμῖν τοῦ δικαίου τούτου τὴν ἀρετὴν τὴν ὑπερβάλλουσαν, ὅτι καὶ ἑσπέρας καταλαβούσης παρέμενε καὶ οὐκ ἀφίστατο. ἐπειδὴ γὰρ ᾔδει τὸ ἐντεῦθεν αὐτῷ τικτόμενον κέρδος, διὰ τοῦτο ἐπιθυμῶν ἐπιτυχεῖν τοῦ πλούτου, πολλῇ τῇ προσεδρίᾳ ἐκέχρητο, καὶ τῆς ἡμέρας πληρωθείσης οὐκ ἀνεχώρει. τοιοῦτον γὰρ ψυχὴ ζέουσα καὶ διεγηγερμένη. οὔτε ὑπὸ καιροῦ τινος κωλύεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπιπλέον αἴρεται, καὶ μείζονα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτει.

γρ. ἀφανι-νόμενος

β. Κορ. ε. ι.

Ρω. β. ϛ.

Ἰδὼν δέ, φησι, Λὼτ ἐξανέστη ἐναντίον αὐτοῖς.

γρ. εἰς συνάντησιν αὐτοῖς.

Ἀκουέτωσαν οἱ καὶ παραγινομένους πολλάκις, καὶ καθικετεύοντας, καὶ πολλὴν τὴν προσεδρίαν ἐπιδεικνυμένους διακρουόμενοι, καὶ πολλὴν τὴν ἀπανθρωπίαν ἐπιδεικνύμενοι. ὅρα γὰρ τὸν δίκαιον τοῦτον, ὅπως οὐκ ἀνέμενε παραγενέσθαι πρὸς αὐτὸν, ἀλλὰ καθάπερ ὁ πατριάρχης, οὐκ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ἀλλ' ὁδίτας τινὰς αὐτοὺς εἶναι ὑπολαμβάνων, θεασάμενος μονονουχὶ ἐσκίρτησε, καὶ περιχαρὴς γέγονεν, ὡς ἐπιτυχὼν τῆς θήρας, καὶ μὴ διαμαρτὼν τοῦ σπουδαζομένου.

Ἰδὼν γάρ, φησίν, ἐξανέστη εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν.

Ηὐχαρίστησε τῷ Θεῷ, ὅτι κατηξίωσεν αὐτὸν ὑποδέξασθαι τοὺς παρόντας. σκόπει ψυχῆς ἀρετήν. μεγάλην εὐεργεσίαν παρὰ τοῦ Θεοῦ ταύτην ἡγήσατο, τὸ ἐπιτυχεῖν τῶν ἀνδρῶν, καὶ διὰ τῆς εἰς τούτους δεξιώσεως τὸν οἰκεῖον πόθον ἀποπληρῶσαι. μὴ γάρ μοι λέγε, ὅτι ἄγγελοι ἦσαν· ἀλλ' ἐκεῖνο λογίζου, ὅτι ὁ δίκαιος τέως οὐδέπω τοῦτο ἠπίστατο, ἀλλ' ὡς ἀνθρώπους ἀγνῶτας παροδεύοντας ὑποδεχόμενος, οὕτω διέκειτο, καὶ εἶπε,

2 Ἰδοὺ κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νί-

ψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν.

Ἱκανὰ τὰ ῥήματα ταῦτα τὴν ἐναποκειμένην ἀρετὴν τῇ τοῦ δικαίου ψυχῇ ἐκκαλύψαι. τί γὰρ ἄν τις ἐκπλαγείη τὴν ταπεινοφροσύνην ὑπερβάλλουσαν, τὴν θερμότητα, ἣν περὶ τὴν φιλοξενίαν ἐπεδείκνυτο; ἰδού, φησι, κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν. κἀκείνους κυρίους καλεῖ, καὶ ἑαυτὸν παῖδα αὐτῶν ὀνομάζει. ἀκούσωμεν, ἀγαπητοί, τῶν ῥημάτων τούτων μετὰ ἀκριβείας, καὶ παιδευθῶμεν καὶ ἡμεῖς τὰ ὅμοια διαπράττεσθαι. ὁ ἐπίδοξος, ὁ περιφανής, ὁ ἐν τοσαύτῃ περιουσίᾳ τυγχάνων, ὁ οἰκοδεσπότης, τοὺς ὁδίτας, τοὺς ξένους, τοὺς ἀγνῶτας, τοὺς εὐτελεῖς τὸ φαινόμενον, τοὺς παριόντας, τοὺς οὐδαμόθεν αὐτῷ προσήκοντας κυρίους ὀνομάζει, καί φησιν· ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ καταλύσατε. ἑσπέρα γάρ, φησι, κατέλαβε. πείσθητέ μοι, καὶ τὸν κάματον τῆς ἡμέρας παραμυθήσασθε, εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καταλύσαντες. μὴ γάρ, φησι, μέγα τι ὑμῖν ἐπαγγέλλομαι; νίψασθε τοὺς πόδας ὑμῶν τοὺς ἀπὸ τῆς ὁδοιπορίας κεκμηκότας, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε τὴν ὁδὸν ὑμῶν. χαρίσασθε οὖν μοι ταύτην τὴν χάριν, καὶ μὴ ἀνανεύσητέ μου πρὸς τὴν παράκλησιν.

Καὶ εἶπον, φησιν, οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν.

Καὶ μετὰ τοσαύτην παράκλησιν ἰδὼν αὐτοὺς ἀναδυόντας οὐκ ἐνάρκησεν, οὐκ ἀπέστη τοῦ σπουδαζομένου, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον ἡμεῖς πολλάκις ποιοῦμεν· καὶ ἐὰν ἄρα ποτέ τινα προτρέψασθαι βουληθείημεν, πρὸς ὀλίγον ἀναδυόντα ἰδόντες, ἐπεὶ οὐ πόθῳ οὐδὲ θερμότητι τοῦτο ποιοῦμεν, ἀφιστάμεθα καὶ νομίζομεν ἀρκοῦσαν ἀπολογίαν ἔχειν τὸ λέγειν, ὅτι τό γε ἑαυτῶν πεποιήκαμεν. τί λέγεις, ὅτι τὸ σαυτοῦ πεποίηκας; ἀπώλεσας τὴν θήραν, διήμαρτες τοῦ θησαυροῦ, καὶ τὸ σεαυτοῦ πεποίηκας; τότε ἂν ἦς τὸ σαυτοῦ πεποιηκώς, εἰ μὴ ἔρριψας ἀπὸ τῶν χειρῶν τὸν θησαυρόν, εἰ μὴ παρέδραμες τὴν ἄγραν, εἰ μὴ ἀφοσιώσει τῇ μέχρι ῥημάτων τὴν φιλοξενίαν ἐπεδείξω. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως. ἀλλὰ τί; ὁρῶν ἀντιτείνοντας καὶ εἰς τὴν πλατεῖαν καταλῦσαι βουλομένους (τοῦτο δὲ ἐποίουν ἐπὶ πλέον ἐκκαλύψαι τὴν ἀρετὴν βουλόμενοι τοῦ δικαίου, καὶ παιδεῦσαι πάντας, * ὅση αὐτοῦ ἡ φιλοξενία) λοιπὸν αὐτὸς οὐκ ἔτι ἀνέχεται διὰ λόγων τὴν παράκλησιν ποιεῖσθαι, ἀλλὰ βίαν ἐπιτίθησι. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, Βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν. ἔνθα γὰρ ἂν πνευματικὸν πρόκειται κέρδος, εὔκαιρος ἡ ἀνάγκη καὶ ἡ βία ἐπαινετή. Matth. 11. 12.

3 Καὶ κατεβιάζετο, φησιν, αὐτούς.

Ἐμοὶ δοκεῖ καὶ ἄκοντας αὐτοὺς ἕλκειν. εἶτα ἐπειδὴ εἶδον τὸν δίκαιον ἔργον τοῦτο τιθέμενον, καὶ οὐ πρότερον ἀφιστάμενον, εἰ μὴ τὸ σπουδαζόμενον αὐτῷ εἰς ἔργον ἀγάγοι,

Ἐξέκλιναν, φησι, πρὸς αὐτόν, καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐποίησεν αὐτοῖς πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον. 4 Πρὸ τοῦ κοιμηθῆναι.

Εἶδες καὶ ἐνταῦθα οὐκ ἐν τῇ πολυτελείᾳ τῆς τραπέζης τὴν φιλοξενίαν δεικνυμένην, ἀλλ' ἐν τῇ δαψιλείᾳ τῆς γνώμης. ἐπειδὴ γὰρ ἴσχυσεν αὐτοὺς εἰσαγαγεῖν εἰς τὸν οἶκον αὐτοῦ, εὐθέως τὰ τῆς φιλοξενίας ἐπεδείκνυτο. καὶ ἐκεῖνος μὲν πρὸς τὴν θεραπείαν αὐτῶν παρεσκευάζετο, καὶ τὰ τῆς ἑστιάσεως παρεῖχε, καὶ πᾶσαν ἐπεδείκνυτο τιμὴν καὶ θεραπείαν πρὸς τοὺς παραγινομένους, ἀνθρώπους αὐτούς τινας ὁδίτας εἶναι νομίζων.

Οἱ δὲ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πᾶς ὁ λαὸς ἅμα. 5 Καὶ ἐξεκαλοῦντο τὸν Λώτ, καὶ ἔλεγον πρὸς αὐτόν· Ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς.

Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα, μηδὲ μόνον τούτων ἴδωμεν τὴν μανίαν τὴν πάσης συγγνώμης ἀπεστερημένην, ἀλλ' ἐννοήσωμεν, πῶς ὁ δίκαιος ἐν μέσῳ τοιούτων θηρίων οὕτως ἀλλοκότων οἰκῶν, οὕτω διέλαμψε καὶ τοσαύτης ἀρετῆς ὑπερβολὴν ἐπεδείξατο· πῶς ἐνεγκεῖν ἠδυνήθη, πῶς οὐκ ἔφυγε τὴν αὐτόθι οἴκησιν, πῶς τῆς πρὸς αὐτοὺς διαλέξεως ἠνείχετο. πῶς, ἐγὼ λέγω. προειδὼς ὁ τῶν ὅλων δεσπότης τὴν ὑπερβάλλουσαν αὐτῶν πονηρίαν ᾠκονόμησε τὸν δίκαιον τοῦτον αὐτόθι κατοικῆσαι, ἵνα καθάπερ ἰατρὸς ἄριστος τῶν ἀρρωστημάτων αὐτῶν περιγενέσθαι δυνηθῇ. ἀλλ' ὁρῶν αὐτοὺς ἀνίατα νοσοῦντας, καὶ μηδεμίαν θεραπείαν ἐπιδέξασθαι βουλομένους, οὐδὲ οὕτως ἀφίσταται. τοιοῦτον γάρ ὁ ἰατρὸς, κἂν ἴδῃ τὰ πάθη νικῶντα τὴν τέχνην, οὐ παύεται τὰ παρ' ἑαυτοῦ πληρῶν, ἵνα, ἂν μὲν τῷ χρόνῳ περιγένηται, ἀνακτήσασθαι δυνηθῇ τὸν κάμνοντα· εἰ δὲ μηδὲν πλέον αὐτῷ, ἔχῃ τὴν μεγίστην ἀπολογίαν, ὅτι οὐδὲν τῶν προσηκόντων εἰς αὐτὸν παρέλιπεν, ὃ δὴ καὶ ἐνταῦθα γεγένηται. ὁ μὲν γὰρ δίκαιος οὗτος ἐπὶ πλέον οὕτως ἀνεδείκνυτο πολλὴν τὴν καρτερίαν ἐπιδεικνύμενος· ἐκεῖνοι δὲ καὶ διὰ τοῦτο ἦσαν πάσης συγγνώμης ἀπεστερημένοι, ὅτι οὐ μόνον οὐκ ἔληξαν τῆς κακίας, ἀλλὰ καὶ μᾶλλον αὐτὴν ἐπέτειναν. ὅρα γὰρ, περιεκύκλωσαν, φησι, τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβύτου, ὁ λαὸς ἅμα. μεγίστη τῆς πονηρίας ἡ συμφωνία, πολλὴ τῆς κακίας ἡ φορὰ, ἄφατος τῆς παρανομίας ἡ ὑπερβολὴ, ἀσύγγνωστος ἡ ἐπιχείρησις. ἀπὸ νεανίσκου, φησὶν, ἕως πρεσβύτου. οὐ μόνον ἡ νεότης, φησὶν, ἦν ἡ τὰ παράνομα ταῦτα ἐπιζητοῦσα, ἀλλὰ καὶ οἱ πρεσβῦται τὴν ἡλικίαν, καὶ πᾶς ὁ λαὸς ἅμα· καὶ οὔτε τὴν τόλμαν τὴν ἀναιδῆ καὶ ἀναίσχυντον ταύτην ᾐδοῦντο, οὔτε τὸν ἀκοίμητον ὀφθαλμὸν εἰς ἔννοιαν ἐλάμβανον, οὔτε τὸν δίκαιον ᾐσχύνοντο, οὔτε τῶν ξένων νομιζομένων, καὶ ἐπὶ τὴν τοῦ δικαίου φιλοξενίαν αὐτόθι καταλυσάντων ἐφείδοντο, ἀλλ' ἀπηρυθριωμένως καὶ γυμνῇ, ὡς εἰπεῖν, τῇ κεφαλῇ τὰ τῆς ἀσελγείας ἐκεῖνα ῥήματα λέγοντες προσίασι. καὶ καλέσαντες τὸν δίκαιον ἔλεγον πρὸς αὐτόν, ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς ὑμᾶς; ἐξάγαγε αὐτοὺς, ἵνα συγγενώμεθα αὐτοῖς. διὰ ταύτην αὐτῶν οἶμαι τὴν ἐπιχείρησιν, καὶ τὴν παράνομον πονηρίαν, καὶ τὸν δίκαιον μέχρι τῆς ἑσπέρας παρακαθῆσθαι, ὥστε μηδενὶ συγχωρῆσαι τῶν ὁδιτῶν ἀγνοοῦντι περιπεσεῖν ταῖς ἐκείνων πάγαις. καὶ ὁ μὲν δίκαιος μετὰ τῆς φιλοξενίας, καὶ τῆς σωφροσύνης τῆς οἰκείας ἐπιδεικνύμενος τὴν ὑπερβολὴν, ταύτην ἐποιεῖτο τὴν σπουδήν· οἱ δὲ οὐκ ἀγγέλους τέως, ἀλλ' ὡς ἀνθρώπους ἐνόμιζον, καὶ ὁ δίκαιος, καὶ οἱ παράνομοι ἐκεῖνοι. διὰ τοῦτο ἐβούλοντο εἰς τὴν πλατεῖαν καταλῦσαι, ἵνα παράσχωσι τῷ δικαίῳ ἀφορμὴν ἐπιδείξασθαι τὴν περὶ αὐτοὺς φιλοξενίαν, καὶ δείξωσιν αὐτῷ διὰ τῶν ἔργων, ὡς ἀξίαν μέλλουσιν ὑφίστασθαι τὴν τιμωρίαν, οὕτω τὴν παρανομίαν μεθ' ὑπερβολῆς ἐπιδεικνύμενοι. ἀλλ' ἴδωμεν λοιπὸν τοῦ δικαίου τῆς ἀρετῆς τὸ μέγεθος.

6 Ἐξελθὼν, φησι, πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν μὲν θύραν προσέῳξεν, εἶπε δὲ πρὸς αὐτούς.

Ὅρα πῶς δέδοικεν ὁ δίκαιος καὶ τρέμει ὑπὲρ τῆς τῶν ξένων ἀσφαλείας. οὐδὲ γὰρ ἁπλῶς τὴν θύραν προσέῳξεν ὀπίσω αὐτοῦ, ἀλλ' εἰδὼς αὐτῶν τὴν μανίαν καὶ τὸ τολμηρὸν, καὶ ὑφορώμενος αὐτῶν τὴν προπέτειαν, εἶτά φησι πρὸς αὐτούς,

Μηδαμῶς ἀδελφοί.

Ὢ τῆς τοῦ δικαίου μακροθυμίας, ὢ ταπεινοφροσύνης ὑπερβολῆς. τοῦτο ἀληθῶς ἀρετὴ, τὸ μετ' ἐπιεικείας τοῖς τοιούτοις προσφέρεσθαι. οὐδεὶς γὰρ τὸν νοσοῦντα θεραπεῦσαι βουλόμενος, καὶ τὸν μαινόμενον σωφρονίσαι, θυμούμενος καὶ μετὰ ἀπονοίας τοῦτο ποιεῖ. σκόπει γὰρ, πῶς τοὺς τὰ τοιαῦτα παρανομεῖν βουλομένους, ἀδελφοὺς καλεῖ, ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ καθικέσθαι αὐτῶν τῆς συνειδήσεως, καὶ ἀποστῆσαι αὐτοὺς τῆς ἐπιχειρήσεως τῆς μιαρᾶς.

7 Μηδαμῶς, φησιν, ἀδελφοί. μὴ πονηρεύσησθε.

Μηδέν, φησι, τοιοῦτον λογίσησθε, μὴ τὴν πονηρὰν ταύτην πρᾶξιν ἐννοήσητε, μηδὲ τὴν φύσιν αὐτὴν παραδειγματίσητε, μηδὲ ἀθέσμους ἐπινοήσητε μίξεις. ἀλλ' εἰ καὶ βούλεσθε τῆς μανίας ὑμῶν τὸν οἶστρον παραμυθήσασθαι, ἐγὼ τοῦτο παρέξω, ὥστε κουφότερον ὑμῶν γενέσθαι τὸ τόλμημα.

8 Εἰσί μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρας.

Ἔτι, φησὶν, ἄπειροί εἰσι γαμικῆς συνουσίας, ἀνέπαφοι τυγχάνουσιν, ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας εἰσί, λάμπουσαι τῇ ὥρᾳ. ταύτας ὑμῖν ἐκδότους δίδωμι, καὶ χρᾶσθε αὐταῖς ὡς ἀρέσκει ὑμῖν. λαβόντες αὐτάς, φησι, πληρώσατε ὑμῶν εἰς αὐτὰς τὴν ἀσέλγειαν, καὶ ἐμφορήθητε τῆς ἐπιθυμίας ὑμῶν τῆς πονηρᾶς·

Μόνον εἰς τοὺς ἄνδρας τούτους μηδὲν ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου.

Ἐπειδὴ ἐβιασάμην, φησὶν, αὐτοὺς, καὶ εἰσήγαγον ὑπὸ τὰς δοκούς μου, ἵνα μὴ ἐμοὶ ἐπιγραφῇ ἡ εἰς αὐτοὺς γινομένη παρανομία, καὶ ἐγὼ αὐτοῖς αἴτιος τῆς ὕβρεως ταύτης γένωμαι, διὰ τοῦτο ὑπὲρ αὐτῶν τὰς δύο μου θυγατέρας δίδωμι, ὥστε τούτους ἐλευθερῶσαι τῶν ὑμετέρων χειρῶν. πόση τοῦ δικαίου ἡ ἀρετή; πᾶσαν ἀρετὴν φιλοξενίας ἐνίκησε. τί γὰρ ἄν τις εἴποι κατ' ἀξίαν τῆς τοῦ δικαίου τούτου φιλοφροσύνης, ὃς οὐδὲ τῶν θυγατέρων φείσασθαι ἠνέσχετο, ἵνα τὴν εἰς τοὺς ξένους τιμὴν ἐπιδείξηται, καὶ ἐλευθερώσῃ τῆς παρανομίας τῶν Σοδομιτῶν; καὶ οὗτος μὲν καὶ τὰς θυγατέρας τὰς ἑαυτοῦ ἐκδίδωσιν, ἵνα τοὺς ξένους, τοὺς ὁδίτας (πάλιν γὰρ τὰ αὐτὰ λέγω) τοὺς μηδαμόθεν αὐτῷ γνωρίμους ἐξαρπάσῃ τῆς τῶν παρανόμων ὕβρεως· ἡμεῖς δὲ ὁρῶντες πολλάκις τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους εἰς αὐτὸ τῆς ἀσεβείας τὸ βάραθρον, καί, σχεδὸν εἰπεῖν, ὑπὸ τὴν φάρυγγα τοῦ διαβόλου γινομένους, οὐδὲ λόγου μεταδοῦναι ἀνεχόμεθα, οὐδὲ συμβουλεῦσαι, καὶ τὴν διὰ τῶν λόγων παραίνεσιν εἰσενεγκεῖν, καὶ ἐξαρπάσαι τῆς κακίας, καὶ πρὸς τὴν ἀρετὴν χειραγωγῆσαι. ποίαν οὖν ἕξομεν ἀπολογίαν, τοῦ μὲν δικαίου μηδὲ τῶν θυγατέρων φεισαμένου διὰ τὴν εἰς τοὺς ξένους κηδεμονίαν, ἡμῶν δὲ οὕτως ἀνηλεῶς περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους διακειμένων, καὶ πολλάκις τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀλογίας γέμοντα ῥήματα" προϊεμένων· τί γὰρ κοινὸν ἔχω, φησί, πρὸς αὐτόν; οὐδέν μοι μέλει, οὐδὲν πρᾶγμα ἔχω. τί λέγεις, ἄνθρωπε; οὐδὲν κοινὸν ἔχεις πρὸς αὐτόν; ἀδελφός σού ἐστι· τῆς αὐτῆς σοι μετέχει φύσεως· ὑπὸ τὸν αὐτόν ἐστε δεσπότην· πολλάκις δὲ καὶ τῆς αὐτῆς μετέχετε τραπέζης, τῆς πνευματικῆς λέγω καὶ φρικτῆς, καὶ λέγεις οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, καὶ ἀνηλεῶς παρατρέχεις, καὶ οὐκ ὀρέγεις χεῖρα κειμένῳ; καὶ Ἰουδαίοις μὲν ὁ νόμος προσέταττε μηδὲ τῶν ἐχθρῶν τὰ ὑποζύγια παρορᾶν πεπτωκότα· σὺ δὲ τὸν ἀδελφὸν ὑπὸ τοῦ διαβόλου πολλάκις τετρωμένον καὶ κείμενον ὁρῶν, οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' εἰς τὸ τῆς ἁμαρτίας βάραθρον, οὐκ ἀνασπᾷς διὰ τῆς παραινέσεως, καὶ τὴν νουθεσίαν εἰσάγεις τὴν παρὰ σαυτοῦ, καὶ σπουδάζεις καὶ ἑτέρους, εἰ οἷόν τε, εἰς συμμαχίαν λαβεῖν, ἵνα τῆς φάρυγγος τοῦ θηρίου τὸ μέλος τὸ σὸν ἐλευθερῶσαι δυνηθῇς, καὶ πρὸς τὴν οἰκείαν ἐπαναγαγεῖν εὐγένειαν, ἵνα καὶ αὐτός, εἴ ποτε περιπέσῃς, ὃ μὴ γένοιτο, τοῖς δικτύοις τοῦ πονηροῦ δαίμονος ἐκείνου, δυνηθῇς ἔχειν τοὺς ἀμύναι δυναμένους, καὶ ἐλευθερῶσαι τῶν τοῦ διαβόλου μηχανῶν; οὕτω καὶ Παῦλος διεγείρειν βουλόμενος Γαλάτας εἰς τὴν τῶν οἰκείων μελῶν πρόνοιαν, φησι, Σκοπῶν σεαυ-

Ἐξ. κγ. ι.

Γαλ. ς. α.

τὸν, μὴ καὶ σὺ πειρασθῇς· μονονουχὶ λέγων, ἐὰν ἀσυμπαθῶς καὶ ἀνηλεῶς παραδράμῃς τὸν ἀδελφὸν, ἴσως καί σε παραπεπλωκότα ἕτερος οὕτω παραδραμεῖται. Εἰ τοίνυν βούλει μὴ παροφθῆναι, εἴποτε περιπέσοις, μήτε αὐτὸς παρίδῃς, ἀλλὰ πολλὴν ἐπίδειξαι τὴν φιλοστοργίαν, καὶ θησαυρὸν ἡγοῦ μέγιστον, τὸ δυνηθῆναι διασῶσαι τὸν ἀδελφόν. οὐδὲν γὰρ τούτου ἴσον γένοιτ᾽ ἂν ποτε εἰς ἀρετῆς λόγον. ἐὰν γὰρ ἐννοήσῃς μόνον, ὅτι οὗτος, ὃν παρορᾷς καὶ παρατρέχεις, ὑπὸ τοῦ δεσπότου σου τοσαύτης ἠξίωται τῆς τιμῆς, ὡς δι᾽ αὐτὸν μὴ παραιτήσασθαι καὶ τὸ αἷμα ἐκχέειν τὸ ἑαυτοῦ (καθὼς καὶ Παῦλός φησι, Καὶ ἀπόλλυται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι᾽ ὃν Χριστὸς ἀπέθανεν) εἰ τοίνυν δι᾽ αὐτὸν ὁ Χριστὸς καὶ τὸ αἷμα ἐξέχεε, τί μέγα ποιήσεις, ἐὰν τὴν παρὰ σαυτοῦ φιλοστοργίαν ἐπιδείξῃ, καὶ τῇ διὰ τῶν λόγων προτροπῇ διαναστήσῃς κείμενον, καὶ τὴν αὐτοῦ ψυχὴν βεβαπτισμένην ἴσως καὶ ὑποβρύχιον γεγενημένην ἀνενέγκῃς ἐκ τοῦ τῆς κακίας βυθοῦ, καὶ παρασκευάσῃς ἰδεῖν τῆς ἀρετῆς τὸ φῶς, καὶ μὴ παλινδρομῆσαι ἐπὶ τὸν τῆς κακίας ζόφον; μιμησώμεθα τοίνυν, παρακαλῶ, τὸν δίκαιον τοῦτον, καὶ εἰ δέοι καὶ κίνδυνόν τινα ὑπομεῖναι ὑπὲρ τοῦ τὴν σωτηρίαν τοῦ πλησίον πραγματεύσασθαι, μηδὲ τοῦτο παραιτησώμεθα. ὁ γὰρ τοιοῦτος κίνδυνος σωτηρίας ἡμῖν ὑπόθεσις γίνεται, καὶ πολλῆς παρρησίας πρόξενος. ἐννόησον γάρ μοι τὸν δίκαιον τοῦτον, ὅπως πρὸς δῆμον ὁλόκληρον τοσαύτην περὶ τὴν κακίαν τὴν συμφωνίαν ἐπιδειξάμενον παρετάξατο, καὶ μετ᾽ ἐπιεικείας πολλῆς καὶ τὴν ἀνδρείαν ἄφατον ἐπεδείκνυτο, εἰ καὶ οὐδὲ οὕτω καθικέσθαι ἠδυνήθη τῆς ἀκαθέκτου αὐτῶν μανίας. μετὰ γὰρ τὰ ῥήματα ἐκεῖνα, καὶ τὴν ἐπιείκειαν τὴν ὑπερβάλλουσαν, καὶ τὸ μονονουχὶ ταῖς χερσὶν ἐκδοῦναι διὰ τῶν λόγων τὰς θυγατέρας, τί φασι πρὸς αὐτόν;

α. Κορ. η. ια.

χ. [illegible]

9 Ἀπόστα ἐκεῖ.

Ὢ μέθης ὑπερβολή, ὢ παραφροσύνης ἐπίτασις. τοιοῦτον γὰρ ἡ πονηρὰ αὕτη καὶ ἀκόλαστος ἐπιθυμία· ἐπειδὰν περιγένηται τοῦ λογισμοῦ, οὐκ ἀφίησι συνιδεῖν οὐδὲν τῶν δεόντων, ἀλλὰ καθάπερ ἐν σκότῳ καὶ νυκτομαχίᾳ τινὶ, οὕτως ἅπαντα διαπράττεται.

Ἀπόστα, φησὶν, ἐκεῖ. Εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σε κακώσομεν μᾶλλον, ἢ ἐκείνους.

Ὅρα πῶς μὲν ὁ δίκαιος ἐπιεικῶς αὐτοῖς διαλέγεται, οἱ δὲ πόσῃ κέχρηνται τῇ θρασύτητι. ὥσπερ ἐκβακχευθέντες λοιπὸν ὑπὸ τοῦ διαβόλου, καὶ ὡς ὑπ᾽ ἐκείνου στρατηγούμενοι, οὕτω κατεξανίστανται τοῦ δικαίου, καί φασιν, Εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; πάροικόν σε, φησιν, ἐδεξάμεθα· μὴ γὰρ καὶ κριτὴς ἡμῶν κατέστης; ὢ ἀγνωμοσύνης ὑπερβολή. δέον ἐντραπῆναι, δέον αἰδεσθῆναι τὴν συμβουλὴν τοῦ δικαίου, οἱ δὲ, καθάπερ οἱ μαινόμενοι καὶ τὸν ἰατρὸν συγκόψαι ἐπιχειροῦσιν, οὕτω καὶ οὗτοί, σέ, φησι, κακώσομεν μᾶλλον, ἢ ἐκείνους. Εἰ μὴ βούλει, φησὶν, ἡσυχάσαι, μαθήσῃ ὡς οὐδέν σοι πλέον ἔσται τῆς εἰς ἐκείνους προστασίας, ἢ τὸ ἐκείνους μὲν διαφυγεῖν τὸν κίνδυνον, σὲ δὲ τούτῳ περιβληθῆναι.

Παρεβιάζοντο δὲ τὸν Λὼτ σφόδρα.

Ὅρα τὸν δίκαιον τοῦτον καὶ ἀνδρείαν ἐπιδεικνύμενον, καὶ τοσούτῳ πλήθει ἀντιπαρατάττεσθαι ἐπιχειροῦντα.

Καὶ ἤγγισαν, φησι, συντρίψαι τὴν θύραν.

Ἐπειδὴ γὰρ μέλλων ἐξιέναι, καὶ τὴν τούτων μανίαν προορῶν προσέῳξεν αὐτοῦ ὄπισθεν τὴν θύραν, οὐκ ἀνασχόμενοι οἱ μιαροὶ οὗτοι καὶ παράνομοι τῆς τοῦ δικαίου παραινέσεως, αὐτόν τε ἐβιάζοντο καὶ τὴν θύραν συντρίψαι ἐπεχείρουν. ἀλλ' ἐπειδὴ διὰ τῶν πραγμάτων ἐδείκνυτο καὶ ἡ τοῦ δικαίου ἀρετὴ καὶ ἡ πρὸς τοὺς ξένους νομιζομένους κηδεμονία, καὶ τοῦ πλήθους ἐκείνου παντὸς ἡ περὶ τὴν κακίαν συμφωνία, τότε λοιπὸν ἐκκαλύπτουσιν ἑαυτοὺς οἱ παραγεγονότες. καὶ ἐπειδὴ εἶδον τὸν δίκαιον πάντα τὰ παρ' ἑαυτοῦ πεπληρωκότα, τὴν οἰκείαν ἐπιδείκνυνται δύναμιν, καὶ ἐπαμύνουσι τῷ δικαίῳ καταδυναστευομένῳ ὑπὸ τῆς ἐκείνων μανίας.

10 Ἐκτείναντες γάρ, φησιν, οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· 11 Τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν.

Ὁρᾷς πῶς καὶ ὁ δίκαιος αὐτὸς παραχρῆμα τῆς φιλοξενίας κομίζεται τὰς ἀμοιβάς, καὶ οἱ παράνομοι ἐκεῖνοι ἀξίαν τίνουσι δίκην. Εἰσεσπάσαντο γάρ, φησι, τὸν Λὼτ εἰς τὸν οἶκον, καὶ τὴν θύραν ἀπέκλεισαν, τοὺς δὲ ἄνδρας ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. ἐπειδὴ τὸ τῆς διανοίας αὐτῶν ὄμμα πεπήρωτο, διὰ τοῦτο καὶ τῆς ὁράσεως τὴν τύφλωσιν ὑπομένουσιν, ἵνα μάθωσιν ὡς οὐδὲν αὐτῶν ὄφελος τῶν σωματικῶν ὀφθαλμῶν, τῶν τῆς διανοίας ὀμμάτων πεπηρωμένων. καὶ ἐπειδὴ σύμφωνον τὴν κακίαν ἐπεδείκνυντο, καὶ οὔτε οἱ νέοι, οὔτε οἱ πρεσβῦται ἀπείχοντο τῆς πονηρᾶς ἐπιχειρήσεως, διὰ τοῦτο πάντες, φησιν, ἀπετυφλώθησαν, καὶ οὐ μόνον τὴν πήρωσιν ἐδέχοντο, ἀλλὰ καὶ τὰ τῆς ἰσχύος αὐτοῖς τοῦ σώματος διελύετο. ἐπειδὴ γὰρ τὸ κυριώτερον μέρος τὴν ψυχὴν ἦσαν διαλελυμένοι, διὰ τοῦτο καὶ τοῦ σώματος τὴν ἰσχὺν παρελύθησαν. καὶ οἱ πρότερον συντρίψαι τὴν θύραν ἐπιχειροῦντες, καὶ μετὰ πολλῆς ἀπειλῆς τῷ δικαίῳ διαλεγόμενοι, ἀθρόον εἱστήκεισαν παραλελυμένοι, καὶ πρὸ τῶν ὀφθαλμῶν κειμένην τὴν θύραν οὐχ ὁρῶντες. τότε λοιπὸν ἀνέπνευσεν ὁ δίκαιος, ὁρῶν τίνες ἦσαν οἱ παραγεγονότες, καὶ ὅτι μεγάλη τις αὐτῶν ἡ δύναμίς ἐστι.

12 Καὶ γὰρ εἶπον πρὸς αὐτὸν οἱ ἄνδρες· ἔστι τίς σοι ὧδε γαμβρός, ἢ υἱοί, ἢ θυγατέρες, ἢ εἴ τίς σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει;

Ὅρα πῶς τῆς φιλοξενίας ἀμείβονται τὸν δίκαιον, καὶ πῶς αὐτῷ χαρίσασθαι βούλονται τῶν οἰκείων πάντων τὴν σωτηρίαν. εἴ τίς σοί, φησιν, ἐν τῇ πόλει, εἴ τινος ἀντέχῃ, εἴ τινα οἶδας ἐκτὸς γεγονότα τῆς τούτων παρανομίας,

Ἐξάγαγε ἐκ τοῦ τόπου τούτου,
Καὶ ἐκ τῆς γῆς, καὶ πάντας τούς σοι προσήκοντας ἐξάγαγε.

13 Ἀπόλλυμεν γὰρ ἡμεῖς τὸν τόπον *.

Εἶτα καὶ τὴν αἰτίαν ἐπάγουσι, διδάσκοντες τὸν δίκαιον ἅπαντα μετὰ ἀκριβείας·

Ὅτι ὑψώθη, φησίν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς * ἐκτρίψαι αὐτούς.

Τοῦτο ἦν ὅπερ ἔλεγε τῷ πατριάρχῃ, ὅτι κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με. ὑψώθη, φησίν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου. πολὺ τῆς παρανομίας αὐτῶν τὸ μέγεθος. καὶ διὰ τοῦτο ἐπειδὴ ἀνίατός ἐστιν ἡ νόσος, καὶ τὸ τραῦμα οὐδεμίαν θεραπείαν ἐπιδέχεται, ἀπέστειλε κύριος ἡμᾶς ἐκτρίψαι αὐτήν. τοῦτο ἔστιν ὃ ἔλεγε [καὶ] ὁ μακάριος Δαβίδ, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ἐπειδὴ ἀφανίσαι, φησί, παραγεγόναμεν πᾶσαν ταύτην τὴν περίχωρον (διὰ γὰρ τὴν πονηρίαν τῶν ἐνοικούντων καὶ ἡ γῆ τὴν τιμωρίαν δέξεται) ἔξελθε ἐντεῦθεν. Ταῦτα ἀκούσας ὁ δίκαιος, καὶ μαθὼν τὴν αἰτίαν, δι' ἣν παραγεγόνασιν ἄνδρες μὲν φαινόμενοι,

Ψαλ. ρδ'.

μενοι, ἄγγελοι δὲ τυγχάνοντες, καὶ ὑπηρέται τοῦ τῶν ὅλων Θεοῦ,

14 Ἐξελθὼν ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ.

Καὶ μὴν ἄνω ἔλεγε τοῖς παρανόμοις ἐκείνοις, ὅτι ἰδοὺ δύο θυγατέρας ἔχω, αἵτινες οὐκ ἔγνωσαν ἄνδρας. πῶς οὖν ἐνταῦθά φησι, πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ; μὴ νομίσῃς ἐναντία εἶναι ταῦτα τοῖς πρότερον παρὰ τοῦ δικαίου ῥηθεῖσιν. ἔθος γὰρ τοῦτο ἦν τοῖς παλαιοῖς πρὸ πολλοῦ τοῦ χρόνου τὰς μνηστείας ποιεῖσθαι, καὶ πολλάκις καὶ συνοικεῖν ταῖς μνηστευθείσαις, καὶ ἅμα τοῖς γονεῦσι διατρίβειν· ὃ καὶ νῦν ἔστιν ἰδεῖν πολλαχοῦ γινόμενον. ἐπεὶ οὖν ἤδη τὰ τῆς μνηστείας ἐγεγόνει, διὰ τοῦτο καὶ γαμβροὺς αὐτοὺς ὀνομάζει, καί φησι τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ. τῇ γνώμῃ γὰρ καὶ τῇ συγκαταθέσει εἰληφότες ἦσαν.

Καί φησιν, ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν.

15 Ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ.

Ὅρα πῶς ἐκ τῆς ζύμης *ἦσαν τῆς πονηρᾶς οὗτοι, καὶ διὰ τοῦτο βουλόμενος ὁ Θεὸς ταχέως ἐλευθερῶσαι τὸν δίκαιον τῆς πρὸς ἐκείνους συγγενείας, οὐ συνεχώρησεν οὐδὲ μιγῆναι αὐτοῖς τὰς θυγατέρας τοῦ δικαίου, ἀλλὰ προανήρπασε μετὰ τῶν πονηρῶν καὶ τούτους, ἵνα ἐξελθὼν ὁ δίκαιος μετὰ τῶν θυγατέρων διαφύγῃ τὴν πρὸς ἐκείνους συγγένειαν. ἀκούσαντες τοίνυν παρὰ τοῦ δικαίου τὴν φοβερὰν ταύτην ἀπειλήν, μονονουχὶ διεχλεύαζον καὶ ἐνόμιζον ληρωδίαν εἶναι τὰ παρ' αὐτοῦ λεγόμενα. ἀλλ' ὅμως ὁ δίκαιος τὰ παρ' ἑαυτοῦ ἐπλήρου, καὶ ἐπειδὴ ἅπαξ ἐμνηστεύσαντο αὐτοῦ τὰς θυγατέρας, ἐβουλήθη ἐξαρπάσαι αὐτοὺς τῆς τιμωρίας. ἀλλ' ἐκεῖνοι οὐδὲ οὕτως ἠνέσχοντο, ἀλλ' ἐπέμενον τῷ οἰκείῳ τρόπῳ, καὶ ἐμάνθανον λοιπὸν δι' αὐτῶν τῶν ἔργων, ὡς οὐ συμφερόντως αὐτοῖς τοῦ δικαίου τὴν συμβουλὴν ἀπεπέμψαντο.

*ἐκείνης

Ἡνίκα δέ, φησιν, ὄρθρος ἐγίνετο, ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες, ἀναστὰς λαβὲ τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως, 16 Καὶ ἐταράχθησαν.

Μὴ μέλλε, φησί. δεῖ γὰρ ἤδη τὸν ὄλεθρον τούτοις ἐπιστῆναι. σαυτὸν οὖν καὶ τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας διάσωσον. ἐκεῖνοι γὰρ οἱ μὴ θελήσαντες πεισθῆναί σου τῇ παραινέσει, οὐκ εἰς μακρὰν τῆς ἀπωλείας κοινωνήσουσι τοῖς λοιποῖς. μὴ τοίνυν μέλλε, ἵνα μὴ καὶ αὐτὸς τῇ ἀπωλείᾳ τῶν παρανόμων τούτων κοινωνήσῃς. καὶ ἐταράχθησαν ταῦτα ἀκούσαντες οἱ περὶ τὸν Λὼτ καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας. ἐταράχθησαν, ἔμφοβοί, φησι, γεγόνασιν, εἰς πολλὴν δειλίαν κατέστησαν, ἠγωνίασαν τὴν ἀπειλήν. διὸ κηδόμενοι τοῦ δικαίου οἱ ἄγγελοι, ἐκράτησαν, φησι, τῆς χειρὸς αὐτοῦ. οὐκ ἔτι λοιπὸν ὡς περὶ ἀνδρῶν διαλέγεται ἡ γραφή, ἀλλ' ἐπειδὴ μέλλουσιν ἐπάγειν τὴν τιμωρίαν, ἀγγέλους αὐτοὺς ὀνομάζει, καί φησιν·

Ἐκράτησαν τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι αὐτοῦ κύριον.

Παρεθάρρυνον αὐτοὺς διὰ τῆς ἁφῆς τῆς χειρός, καὶ ἐνεύρωσαν αὐτῶν τὴν προθυμίαν, ἵνα μὴ ὁ φόβος διαλύσῃ αὐτῶν τὴν ἰσχύν. διὰ τοῦτο ἐπήγαγεν, ἐν τῷ φείσασθαι αὐτοῦ κύριον. ἐπειδὴ γάρ, φησι, σωτηρίας αὐτὸν ἄξιον ἔκρινεν ὁ κύριος, διὰ τοῦτο καὶ οἱ ἄγγελοι βουλόμενοι νευρῶσαι αὐτῶν τὴν προθυμίαν, τῆς χειρὸς αὐτῶν κρατοῦσι,

17 Καὶ ἐξαγαγόντες αὐτοὺς ἔξω εἶπον· σῶζε τὴν σεαυτοῦ ψυχήν. μὴ περι-

βλέψῃς εἰς τὰ ὀπίσω· μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς.

Ἐπειδή, φησι, λοιπὸν ἀπηλλάξαμέν σε τῶν παρανόμων τούτων, μηκέτι περιβλέψῃ εἰς τὰ ὀπίσω, μήτε θελήσῃς ἰδεῖν τὰ τούτοις συμβησόμενα, ἀλλὰ σπεῦσον καὶ μακρὰν γενοῦ, ἵνα διαφυγεῖν δυνηθῇς τὴν ἐπαγομένην τούτοις τιμωρίαν. Εἶτα δεδοικὼς ὁ δίκαιος, μήποτε οὐ δυνηθῇ καταλαβεῖν τὸν ὑπ' αὐτῶν ἀφορισθέντα τόπον, καὶ εἰς τὸ ὄρος φθάσαι, φησί,

18 Δέομαι κύριε, 19 Εἰ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς εἰς ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακά, καὶ ἀποθάνω. 20 Ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἣ μικρά ἐστιν· ἐκεῖ σωθήσομαι, καὶ ζήσεται ἡ ψυχή μου.

Ἐπειδὴ ἅπαξ, φησίν, ἐκρίνατε τὴν σωτηρίαν χαρίσασθαί μοι, ὑπερβαίνει δέ μου τὴν ἰσχὺν τὸ φθάσαι τὴν τοῦ ὄρους κορυφήν, πλείονα περὶ ἐμὲ τὴν φιλανθρωπίαν ἐπιδείξασθε, καὶ κουφότερόν μοι τὸν κάματον ποιήσατε, μήποτε καταληφθῶ ὑπὸ τῆς ἐπαγομένης τιμωρίας, καὶ κοινωνήσω τῆς δίκης τούτοις, καὶ τὴν πόλιν ταύτην τὴν πλησίον ἀφορίσατέ μοι. Εἰ γὰρ καὶ εὐτελής ἐστι καὶ μικρά, ἀλλ' ἐκεῖ διασωθεὶς δυνήσομαι ἐν ἀσφαλείᾳ εἶναι λοιπόν.

21 Καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας.

Ἐδεξάμην σου τὴν ἱκεσίαν, φησί, καὶ ποιήσω καὶ τοῦτο, καὶ παρέξω σοι τὸ αἰτηθέν, καὶ διὰ σὲ καὶ τῆς πόλεως φείσομαι. 22 Σπεῦσον οὖν, καὶ κατάλαβε τὸν τόπον, καὶ σώζου· Οὐδὲ γὰρ ποιήσω τι μέχρι τοῦ παραγενέσθαι σε ἐκεῖ.

Οὐ γὰρ δυνήσομαι, φησι, [τοῦ] ποιῆσαι πρᾶγμα, ἕως τοῦ εἰσελθεῖν σε ἐκεῖ.

Ἐπειδὴ κήδομαί σου τῆς σωτηρίας, ἀναμένω τὴν ἐκεῖ σου ἄφιξιν, καὶ τότε τούτοις ἐπάγω τὴν τιμωρίαν.

23 Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σιγώρ.

Περὶ τὴν τοῦ ἡλίου ἀνατολὴν ἔφθασε τὴν πόλιν· καὶ εὐθέως ἐκείνου ἐντὸς τῆς πόλεως γενομένου, οὗτοι τὴν τιμωρίαν ἐδέχοντο.

24 Ἔβρεξε γάρ, φησι, κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, 25 Καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ πᾶν ἀνατέλλον ἐκ τῆς γῆς.

Μὴ ξενιζέτω σε, ἀγαπητέ, τῶν ῥημάτων ἡ συνθήκη. ἰδίωμα γὰρ τοῦτο ἐστὶ τῆς γραφῆς, καὶ ἀδιαφόρως οὕτω πολλάκις τίθησι τὰ ῥήματα· ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν. ἔβρεξε γάρ, φησι, κύριος θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, ἵνα εἴπῃ, ὅτι κύριος τὴν τιμωρίαν ἐπήγαγε, καὶ οὐ μόνον τὰς πόλεις κατέστρεψε, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας, ἀλλὰ καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς ἠφάνισεν. ἐπειδὴ γὰρ οἱ ταύτην οἰκοῦντες ἄνθρωποι πολὺν τῆς πονηρίας τὸν καρπὸν ἐπεδείξαντο, διὰ τοῦτο καὶ τῆς γῆς, φησι, τοὺς καρποὺς ἀχρήστους ἐργάζομαι, ἵνα καὶ ἐκείνων ἀφανισθέντων αὕτη διηνεκὲς ὑπόμνημα γένηται ταῖς μετὰ ταῦτα γενεαῖς, διὰ τῆς οἰκείας ἀκαρπίας πάντας διδάσκουσα τῶν ἐνοικησάντων αὐτῇ τὴν πονηρίαν. Εἶδες ὅσον ἐστὶν ἀρετή, καὶ ὅσον κακία, καὶ πῶς ὁ μὲν δίκαιος ἐσώθη, αὐτοὶ δὲ ἀξίαν τὴν τιμωρίαν ἔδοσαν τῆς πονηρίας. καὶ ὥσπερ ὁ δίκαιος διὰ τὴν οἰκείαν ἀρετὴν καὶ τὰς θυγατέρας διέσωσε, καὶ τῆς πόλεως ἐκείνης τὴν καταστροφὴν διεκώλυσεν, οὕτω καὶ οὗτοι διὰ τὴν ὑπερβολὴν τῆς οἰκείας πονηρίας οὐ μόνον αὐτοὶ ἀπώλοντο καὶ διεφθάρησαν, ἀλλὰ καὶ τὴν γῆν ἄκαρπον εἰς τὸ ἑξῆς γενέσθαι παρεσκεύασαν.

26 Καὶ ἐπέβλεψεν ἡ γυνή, φησιν, εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.

Ἐπειδὴ γὰρ ἀκούσασα παρὰ τῶν ἀγγέλων τὸ διαταττόμενον τῷ δικαίῳ, ὥστε μὴ προσέχειν εἰς τὰ ὀπίσω, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπείξεως τὴν ἀναχώρησιν ποιήσασθαι, παρήκουσεν [αὕτη] τῶν ῥηθέντων, καὶ τὸ παραγγελθὲν οὐκ ἐφύλαξε, διὰ τοῦτο τῆς οἰκείας ῥᾳθυμίας δίδωσι δίκην.

ΗΘΙΚΟΝ

Ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες πολλὴν τῆς οἰκείας σωτηρίας τὴν πρόνοιαν ποιησώμεθα, καὶ τῆς μὲν ἐκείνων παρανομίας φύγωμεν τὴν μίμησιν, τοῦ δὲ δικαίου τούτου τὴν φιλοξενίαν ζηλώσωμεν, καὶ τὴν ἄλλην ἀρετήν, ἵνα δυνηθῶμεν καὶ τὴν ἄνωθεν ὀργὴν ἀποκρούσασθαι. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν μετὰ σπουδῆς ταύτην μετιόντα, μὴ πολλὴν ἐντεῦθεν κομίσασθαι τὸν θησαυρόν. καὶ γὰρ οἱ δίκαιοι οὗτοι οὕτω τῆς ἄνωθεν ῥοπῆς ἠξιώθησαν, καὶ ὁ πατριάρχης καὶ ὁ Λώτ, καὶ ἀνθρώπους νομίζοντες ὑποδέχεσθαι, κατηξιώθησαν καὶ ἀγγέλους ὑποδέξασθαι, καὶ τὸν τῶν ἀγγέλων δεσπότην. ἔξεστι καὶ ἡμῖν, ἐὰν βουλώμεθα, καὶ νῦν αὐτὸν ὑποδέξασθαι. αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς, Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. *Λυκ. θ. δ.* Οὕτω τοίνυν τοὺς ξένους ὑποδεχώμεθα, καὶ μὴ πρὸς τὴν τῶν φαινομένων εὐτέλειαν ἀπίδωμέν ποτε. ἐνίοτε γάρ, εἰ τοιαύτῃ γνώμῃ τὰ τῆς φιλοξενίας ἐπιδεικνυώμεθα, [καὶ] καταξιωθησόμεθα καὶ ἡμεῖς τοιούτους ὑποδέχεσθαι, ἄνδρας μὲν νομιζομένους, τῶν ἀγγέλων δὲ τὴν ἀρετὴν μετιόντας· μόνον μὴ περιεργαζώμεθα μηδὲ πολυπραγμονῶμεν, ἵνα μὴ διαμάρτωμεν τοῦ θησαυροῦ. ἐπεὶ καὶ ὁ μακάριος Παῦλος τούτους τοὺς δικαίους αἰνιττόμενος, καὶ διδάσκων ἡμᾶς πῶς ἐπέτυχον τοιαύτης ὑποδοχῆς φησι, *Ἑβ. ιγ. α.* Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. τοῦτο γὰρ αὐτοὺς μάλιστα θαυμαστοὺς καὶ μεγάλους ἀπέδειξεν, ὅτι οὐκ εἰδότες αὐτούς, τὴν θεραπείαν ἐπεδείκνυντο. καὶ ἡμεῖς τοίνυν πίστει καὶ εὐλαβείᾳ τὸ πρᾶγμα μετίωμεν, ἵνα καὶ τοῦ θησαυροῦ ἐπιτυχεῖν δυνηθῶμεν· οὗ γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μδ´. ΩΡΘΡΙΣΕ ΔΕ ΑΒΡΑΑΜ ΤΩ ΠΡΩΙ ΕΙΣ ΤΟΝ τόπον, οὗ εἱστήκει ἐνώπιον τοῦ Θεοῦ.

Η κατὰ τὴν Σαμαρεῖτιν ὑπόθεσις ἱκανῶς ἡμᾶς χθὲς ἐδίδαξε καὶ τοῦ δεσπότου τὴν ἄφατον μακροθυμίαν, καὶ ὑπερβάλλουσαν περὶ αὐτοῦ κηδεμονίαν, καὶ ἐκείνης τὴν εὐγνωμοσύνην. Εἴδετε πῶς ὕδωρ αἰσθητὸν ὑδρεύσασθαι παραγενομένη, ἐκ τῆς νοητῆς πηγῆς τὰ θεῖα νάματα ἀρυσαμένη [ὅπως] οἴκαδε ἐπανῆλθε, πληρώσασα τὸ παρὰ τοῦ δεσπότου εἰρημένον· *Ιωαν. δ. ιδ.* Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. ἐμφορηθεῖσα γὰρ αὕτη τῆς θείας ἐκείνης καὶ πνευματικῆς πηγῆς, οὐ κατέσχεν εἴσω τὰ νάματα, ἀλλ' ὑπερβλύζουσα, ὡς εἰπεῖν, ἐκχέει καὶ εἰς τοὺς τὴν πόλιν οἰκοῦντας τῆς παρασχεθείσης αὐτῇ δωρεᾶς τὸ χάρισμα, καὶ κῆρυξ ἐγένετο ἀθρόον ἡ γυνή, ἡ Σαμαρεῖτις, ἡ ἀλλόφυλος. εἴδετε ὅσον ἐστὶν * εὐγνωμοσύνη, εἴδετε δεσπότου φιλανθρωπίαν, ὅπως οὐδενὸς ὑπερορᾷ, ἀλλά, κἂν ἐν γυναικί, κἂν ἐν πενίᾳ, κἂν ὅπου δήποτε εὕρῃ διεγηγερμένην ψυχὴν καὶ ζέουσαν, παραχρῆμα τὴν παρ' ἑαυτοῦ χάριν ἐπαφίησι. μιμησώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς τὴν γυναῖκα ταύτην, καὶ μετὰ πολλῆς * προσοχῆς δεχώμεθα τὰ παρὰ τοῦ πνεύματος διδάγματα. οὐδὲ γὰρ ἡμέτερά ἐστι τὰ λεγόμενα, οὐδὲ ἐξ οἰκείας γλώττης φθεγγόμεθα, ἅπερ ἂν εἴπωμεν, ἀλλ' ἐκ τῆς τοῦ δεσπότου φιλανθρωπίας ὁδηγούμενοι, διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν καὶ τὴν οἰκοδομὴν τῆς τοῦ Θεοῦ ἐκκλησίας. μὴ τοίνυν πρὸς ἐμὲ τὸν λέγοντα ἀπίδῃς, ἀγαπητέ, μηδὲ πρὸς τὴν εὐτέλειαν τὴν ἐμήν, ἀλλ' ὅτι τὰ παρὰ τοῦ δεσπότου διακομίζω, καὶ πρὸς τὸν ἀποστείλαντα ἔχων τὴν διάνοιαν τεταμένην, οὕτω μετὰ νήψεως δέχου τὰ λεγόμενα. ἐπεὶ καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐπειδὰν ὁ βασιλεύς, ὁ τὸ διάδημα περικείμενος, γράμματα διαπέμψηται, ὁ μὲν ἐπιφερόμενος ταῦτα καθ' ἑαυτὸν μὲν οὐδενὸς λόγου ἄξιος τυγχάνει, ἀλλ' εὐτελής τίς ἐστι, καὶ πολλάκις οὐδὲ προγόνους ἀριθμεῖν ἔχων, ἀλλ' ἀνώνυμος καὶ ἐξ ἀνωνύμων· ἀλλ' οὐκ ἐκείνῳ προσέχουσιν οἱ ταῦτα δέχεσθαι μέλλοντες, ἀλλὰ διὰ τὰ τοῦ βασιλέως γράμματα πολλὴν κἀκείνῳ τιμὴν ἀπονέμουσι, καὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ φόβου καὶ πολλῆς τῆς ἡσυχίας δέχονται. εἰ τοίνυν ἐκεῖνος ἀνθρώπου ἐπαγόμενος γράμματα, καὶ χάρτην ἁπλῶς ἐπιφερόμενος, ἐστὶν οὕτω περίβλεπτος, πολλῷ μᾶλλον ὑμεῖς ἂν εἴητε δίκαιοι τὰ παρὰ τοῦ πνεύματος δι' ἡμῶν ὑμῖν πεμφθέντα λόγια μετὰ πολλῆς τῆς προσοχῆς ὑποδέχεσθαι, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν κομίσησθε τὴν ἀμοιβήν. ἐὰν γὰρ ἴδῃ ὁ τῶν ὅλων δεσπότης τῆς ψυχῆς ὑμῶν τὴν προθυμίαν, καὶ ἡμῖν δαψιλεστέραν παρέξει τὴν χορηγίαν διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, καὶ ὑμῖν πλείονα δωρήσεται τὴν σύνεσιν, ὥστε συνιέναι τὰ λεγόμενα. δαψιλὴς γὰρ ἡ τοῦ πνεύματος χάρις καὶ εἰς πάντας ἐκχεομένη οὐδένα μερισμὸν ὑπομένει, ἀλλὰ τῇ διανομῇ μᾶλλον αὔξεται, καὶ ὅσῳ ἂν πλείους ὦσιν οἱ ταύτης μετέχοντες, τοσούτῳ καὶ τὰ τῆς χάριτος ἐπὶ πλέον ἐκτείνεται. φέρε οὖν, εἰ δοκεῖ, καὶ σήμερον τῆς ἀκολουθίας τῶν πρῴην ἡμῖν εἰρημένων ἐπιλαβώμεθα, καὶ ἴδωμεν ὅπου τὸν λόγον κατελύσαμεν, καὶ ὅθεν αὐτὸν ἀναλαβεῖν σήμερον προσῆκε. ποῦ οὖν τὸν λόγον πρῴην τελέσαντες, οὕτω τῆς διδασκαλίας ἐπαυσάμεθα; τὰ κατὰ τὸν Λὼτ ὑμῖν διηγούμενοι, καὶ τὸν τῶν Σοδόμων ἐμπρησμόν, μέχρι τούτου τὸν λόγον ἐστήσαμεν, ὅπου ὁ δίκαιος εἰς τὴν Σιγὼρ διεσώθη. ὁ ἥλιος γὰρ ἐξῆλθεν ἐπὶ″ τῆς γῆς, φησί, καὶ Λὼτ εἰσῆλθεν εἰς Σιγώρ, καὶ τότε ἡ θεήλατος ἐκείνη ὀργὴ τούς τε ἐν Σοδόμοις κατέλαβε, καὶ τῆς γῆς τὸν ἀφανισμὸν εἰργάσατο, ὅτε καὶ ἡ γυνὴ τοῦ δικαίου ἐπιλαθομένη τῶν ῥηθέντων παρὰ τῶν ἀγγέλων, ἐπιβλέψασα εἰς τὰ ὀπίσω, ἐγένετο στήλη ἁλός, διηνεκὲς ὑπόμνημα ταῖς μετὰ ταῦτα γενεαῖς τῆς οἰκείας ῥᾳθυμίας παρεχομένη. ἀναγκαῖον οὖν σήμερον τὰ ἑξῆς ἐπελθόντας μικρά τινα διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, ἵνα πάλιν εἰδῆτε τοῦ πατριάρχου τὸ συμπαθὲς καὶ φιλόστοργον, καὶ τοῦ Θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν. ἐπεὶ γὰρ τῆς ἀνατολῆς τοῦ ἡλίου γινομένης ὁ μὲν δίκαιος Λὼτ εἰς τὴν Σιγὼρ διεσώθη, οἱ δὲ τὰ Σόδομα κατοικοῦντες ὑπὸ τὴν δίκην γεγόνασιν, ὁ πατριάρχης ὁμοῦ κἀκείνους οἰκτείρων τῆς ἀπωλείας, ἣν διὰ τὴν οἰκείαν παρανομίαν ὑπέμειναν, καὶ περὶ τοῦ δικαίου σφόδρα φροντίζων, ὀρθρίσας, φησί, περιεσκόπει τὰ″ γινόμενα.

27 Ὤρθρισε γάρ, φησιν, Ἀβραὰμ τὸ πρωῒ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον τοῦ Θεοῦ, 28 Καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον τῆς περιχώρου Σοδόμων, καὶ εἶδε, καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου.

Ἐν ἐκείνῳ, φησί, τῷ τόπῳ γεγονώς, ἔνθα τὴν διάλεξιν πρὸς τὸν δεσπότην ἐποιήσατο, καὶ τὴν περὶ τῶν ἐν Σοδόμοις παράκλησιν, ἑώρα τῆς φοβερᾶς ἐκείνης τιμωρίας τὰ ἴχνη, καὶ τοῦ δικαίου ἕνεκεν μαθεῖν ἐπεθύμει. τοιοῦτον γὰρ τῶν ἁγίων τὸ″ ἔθος φιλόστοργον καὶ συμπαθητικόν. καὶ ἵνα διδάξῃ ἡμᾶς ἡ θεία γραφή, ὅτι εὐθέως αὐτῷ τούτου τὴν γνῶσιν ἐνέθηκεν ἡ τοῦ πνεύματος χάρις, ἵνα τῆς περὶ τοῦ δικαίου φροντίδος ἀπαλλάξῃ αὐτόν, φησιν,

29 Ἐν τῷ ἐκτρίψαι κύριον τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ, καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς.

Τί ἐστιν ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ; τῆς παρακλήσεως, φησιν, ἧς ἐποιήσατο λέγων, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς. τί οὖν, ἂν εἴποι τις, διὰ τὴν παράκλησιν τοῦ πατριάρχου ὁ δίκαιος διεσώθη, καὶ οὐχὶ διὰ τὴν ἰδίαν δικαιοσύνην; ναί, καὶ διὰ τὴν παράκλησιν τοῦ πατριάρχου. ὅταν γὰρ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν, καὶ ἡ παρὰ τῶν δικαίων πρεσβεία τὰ μέγιστα ἡμᾶς ὀνίνησιν. ἐπεὶ ἐὰν αὐτοὶ μὲν ῥαθυμῶμεν, τὰς δὲ ἐλπίδας τῆς ἡμετέρας σωτηρίας ἐπ' ἐκείνοις μόνοις ποιώμεθα, οὐδὲν ἡμῖν ἔσται πλέον· οὐκ ἐπειδὴ ἀσθενεῖς οἱ δίκαιοι, ἀλλ' ἐπειδὴ ἡμεῖς διὰ τῆς οἰκείας ῥαθυμίας ἑαυτοὺς προδίδομεν. καὶ ἵνα μάθῃς ὅτι, ὅταν ἀμελῶμεν, κἂν δίκαιοι ὦσιν οἱ ὑπὲρ ἡμῶν παρακαλοῦντες, κἂν προφῆται, οὐδὲν ἡμῖν ἐκ τούτου ὄφελος γίνεται (ἐκεῖνοι μὲν γὰρ τὴν ἑαυτῶν ἀρετὴν καὶ διὰ τούτων ἐπιδείκνυνται, ἡμῖν δὲ οὐδεμία ἔσται ὄνησις διὰ τὸν οἰκεῖον τρόπον) ἄκουσον τοῦ τῶν ὅλων Θεοῦ πρὸς τὸν ἐκ κοιλίας ἁγιασθέντα Ιερ. ζ. ιϛ. Ἱερεμίαν τὸν προφήτην λέγοντα, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. ὅρα δεσπότου φιλανθρωπίαν. προλέγει τῷ προφήτῃ, ἵνα μὴ μετὰ τὸ προσεύξασθαι παρακουσθεὶς, νομίσῃ ὅτι διὰ τὴν παρ' αὐτοῦ αἰτίαν τοῦτο γεγένηται· διὰ τοῦτο ἤδη προμηνύει αὐτῷ τὴν κακίαν τοῦ λαοῦ, καὶ διαστέλλεται μὴ προσεύξασθαι, ἵνα καὶ αὐτὸς εἰδέναι ἔχῃ τῆς πονηρίας ἐκείνων τὴν ἐπίτασιν, κἀκεῖνοι μάθωσιν ὡς οὐδὲν αὐτοῖς ὁ προφήτης συμβάλλεται, εἰ μὴ καὶ αὐτοὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν βουληθῶσιν. ὅπερ εἰδότες, ἀγαπητοί, καταφεύγωμεν μὲν ἐπὶ τὰς τῶν ἁγίων πρεσβείας, καὶ παρακαλῶμεν ὥστε ὑπὲρ ἡμῶν δεηθῆναι, ἀλλὰ μὴ ταῖς ἐκείνων πρεσβείαις μόνον θαρρῶμεν, ἀλλὰ καὶ αὐτοὶ τὰ καθ' ἑαυτοὺς δεόντως οἰκονομῶμεν, καὶ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς ἐχώμεθα, ἵνα χώραν δῶμεν τῇ πρεσβείᾳ τῇ ὑπὲρ ἡμῶν γινομένῃ. Ιερ. ζ. ιζ. τοῦτο καὶ πρὸς ἕτερον προφήτην φησὶν ὁ τῶν ἁπάντων δεσπότης· οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι; θυμιῶσι στέαρ, καὶ χαυῶνας ποιοῦσι τῇ στρατιᾷ τοῦ οὐρανοῦ· μονονουχὶ λέγων πρὸς αὐτόν, ὑπὲρ τούτων με παρακαλεῖς τῶν οὐχ ἱσταμένων τῆς πονηρίας, τῶν οὐδεμίαν αἴσθησιν λαμβανόντων τῆς νόσου ἐν ᾗ κατέχονται, ἀλλ' οὕτως ἀναλγήτως διακειμένων; οὐχ ὁρᾷς αὐτῶν τὴν ὑπερβάλλουσαν καταφρόνησιν; οὐ βλέπεις αὐτῶν τὴν μανίαν τὴν πολλήν; πῶς οὐδέπω κόρον εἰλήφασι τῆς ἀσεβείας, ἀλλὰ καθάπερ ὗς ἐν βορβόρῳ, οὕτως ἐγκαλινδοῦνται ταῖς οἰκείαις παρανομίαις; μὴ γὰρ, εἰ ἐβούλοντο ἐπιστρέφειν, παρακληθῆναι ἀνέμενον; οὐκ ἐγώ εἰμι ὁ διὰ τῶν προφητῶν βοῶν καὶ λέγων, καὶ Ιερ. θ. ιγ. εἶπον μετὰ τὸ πορνεῦσαι αὐτήν, μετὰ ταῦτα πάντα πρός με ἀνάστρεψον, Καὶ οὐκ ἀνέστρεψε; μὴ γὰρ ἕτερόν τι ζητῶ, ἢ παύσασθαι τῆς πονηρίας μόνον, καὶ στῆναι τῶν κακῶν; μὴ γὰρ ὑπὲρ τῶν παρελθόντων εὐθύνας ἀπαιτῶ, ἐὰν ἴδω μεταβάλλεσθαι βουλομένους; οὐ καθ' Ιεζ. ιη. λγ. ἑκάστην ἡμέραν βοῶ καὶ λέγω, Οὐ θελῆσαι θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν; οὐ διὰ τοῦτο πάντα ποιῶ, ἵνα τῆς ἀπωλείας ἐξαρπάσω τοὺς ἐπὶ τῇ πλάνῃ προκατειλημμένους; μὴ γὰρ, ἐὰν ἴδω μεταβαλλομένους, ὑπερτίθεμαι; οὐκ ἐγώ εἰμι ὁ λέγων, ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι; μὴ γὰρ οὕτως αὐτοὶ ἐπι- α. Τιμ. β. δ. θυμοῦσι τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐμοὶ περισπούδαστόν ἐστιν ἅπαντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; μὴ γὰρ διὰ τοῦτό σε ἀπὸ τοῦ μὴ ὄντος παρήγαγον, ἵνα ἀπολέσω; μὴ γὰρ εἰκῇ τὴν βασιλείαν καὶ τὰ μυρία καὶ ἀπόρρητα ἀγαθὰ θαὶ ἢ ὑπερέπιπτα; οὐχὶ διὰ τοῦτο καὶ γέενναν ἠπείλησα, ἵνα εἰς τὴν βασιλείαν ἅπαντας καὶ διὰ τούτου δραμεῖν παρασκευάσω; μὴ τοίνυν, ὦ μακάριε προφῆτα, ἐκείνους καταλιμπάνων, ἐμοὶ πρόσαγε τὴν παράκλησιν, ἀλλ' ἐν σοὶ τοῦτο διὰ σπουδῆς ἔστω, ὥστε τῆς ἐκείνων νόσου περιγενέσθαι, καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῆς ἀρρωστίας, καὶ πρὸς ὑγείαν ἐπαναγαγεῖν, καὶ τὰ παρ' ἐμοῦ πάντως ἕψεται. οὐ γὰρ μέλλω, οὐδὲ ″ διαναβάλλομαι, ἐπειδὰν ἴδω ψυχὴν εὐγνώμονα. ἓν γὰρ μόνον ἐπιζητῶ, ὁμολογίαν τῶν ἐπταισμένων, καὶ οὐκ ἔτι τὴν ἐπὶ τοῖς ἐπταισμένοις δίκην ἐπάγω. μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς τὸ παρ' ἐμοῦ προτεινόμενον; εἰ μὴ ἤθελον χείρους γινομένους, καὶ μὴ ὁμολογοῦντας τὰ πρότερα ἁμαρτήματα τῆς παρ' ἐμαυτοῦ αὖ προνοίας ἠξίουν· ἀλλ' ἐπειδὴ οἶδα τὸ τῶν ἀνθρώπων γένος μᾶλλον πρὸς κακίαν ῥέπον, διὰ τοῦτο βούλομαι τὰ πρότερα ὁμολογῆσαι ἁμαρτήματα, ἵνα ἡ ὁμολογία κώλυμα αὐτοῖς γένηται ″ πρὸς τὸ τοῖς αὐτοῖς μὴ περιπεσεῖν. ταῦτα τοίνυν, ἀγαπητοί, ἀναλογιζόμενοι καὶ ἐννοοῦντες τοῦ ἡμετέρου δεσπότου τὴν φιλανθρωπίαν, μὴ ῥαθυμῶμεν, ἀλλὰ πρότεροι πολλὴν ἑαυτῶν τὴν ἐπιμέλειαν ποιώμεθα, καὶ τὸν ῥύπον τὸν ἀπὸ τῶν ἁμαρτημάτων ἐκκαθαίρωμεν, καὶ οὕτω ἐπὶ τὰς πρεσβείας τῶν ἁγίων σπεύδωμεν. ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, καὶ δι' ἑαυτῶν παρακαλοῦντες τὰ μέγιστα ″ ὀνησόμεθα. ἐπειδὴ γὰρ φιλάνθρωπός ἐστιν ὁ δεσπότης ὁ ἡμέτερος, οὐχ οὕτω δι' ἑτέρων παρακαλούμενος ὑπὲρ ἡμῶν ἐπινεύει, ὡς δι' ἡμῶν αὐτῶν. ὅρα ἀγαθότητος ὑπερβολήν. ἐὰν ἴδῃ τοὺς προσκεκρουκότας ἡμᾶς, τοὺς ἠτιμωμένους, τοὺς μηδεμίαν παρρησίαν ἔχοντας, μικρὸν διεγερθέντας, καὶ ἐπὶ τὸν πλοῦτον τῆς φιλανθρωπίας αὐτοῦ καταφυγεῖν ἐθελήσαντας, εὐθέως ἐπινεύει ταῖς αἰτήσεσι, καὶ χεῖρα ὀρέγει κειμένοις, καὶ διανίστησι πεπτωκότας, καὶ βοᾷ λέγων· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἀλλ' ἵνα μάθητε καὶ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι πολλοὶ δι' ἑαυτῶν μᾶλλον παρακαλέσαντες ἴσχυσαν ἐπιτυχεῖν τῶν σπουδαζομένων, ἢ δι' ἑτέρων, ἀναγκαῖόν ἐστι τοὺς ἐπιτυχόντας εἰς μέσον παραγαγεῖν, ἵνα καὶ ἡμεῖς μιμησώμεθα, καὶ εἰς ζῆλον διεγερθῶμεν. ἀκούσωμεν τοίνυν πῶς ἡ Χαναναία ἐκείνη γυνὴ κατώδυνος οὖσα τὴν ψυχὴν καὶ ἀλλόφυλος, ἐπειδὴ εἶδε τὸν τῶν ψυχῶν ἰατρὸν, καὶ τὸν ἥλιον τῆς δικαιοσύνης ἀνατείλαντα τοῖς ἐν σκότει καθημένοις, ὅπως μετὰ θερμῆς καὶ ζεούσης προθυμίας τὴν πρόσοδον ἐποιήσατο, καὶ οὔτε τὸ γυναῖκα αὐτὴν εἶναι, οὔτε τὸ ἀλλόφυλον, ὀκνηροτέραν γενέσθαι παρεσκεύασεν, ἀλλὰ πάντα τὰ κωλύματα ταῦτα παρωσαμένη, προσελθοῦσά φησιν· Ἐλέησόν με, κύριε, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἀλλ' ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος σιγᾷ καὶ οὐκ ἀποκρίνεται, οὐ λόγου μεταδίδωσιν, οὐδὲ οἰκτείρει τὸ γύναιον, ὁρῶν μετὰ τοσαύτης οἰμωγῆς προσελθοῦσαν, ἀλλὰ μακροθυμεῖ βουλόμενος τὸν λανθάνοντα θησαυρὸν ἐν τῇ γυναικὶ κατάδηλον ἅπασι ποιῆσαι. ᾔδει γὰρ τὸν κρυπτόμενον μαργαρίτην, ὃν οὐκ ἐβούλετο λαθεῖν, καὶ διὰ τοῦτο ἀναβάλλεται, καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῖ, ἵνα ἡ πολλὴ τῆς γυναικὸς προσεδρία, διδασκαλία πᾶσι γένηται τοῖς μετὰ ταῦτα. καὶ ὅρα τοῦ Θεοῦ τὴν ἄφατον ἀγαθότητα. αὐτὸς μὲν, φησιν, οὐκ ἀπεκρίνατο αὐτῇ, οἱ δὲ μαθηταὶ συμπαθέστεροι καὶ φιλανθρωπότεροι νομίζοντες εἶναι, οὐ τολμῶσι φανερῶς εἰπεῖν, παράσχου αὐτῇ τὴν αἴτησιν, ἐλέησον αὐτὴν, σπλαγχνίσθητι ἐπ' αὐτῇ· ἀλλὰ τί; ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν, μονονουχὶ λέγοντες, ἐλευθέρωσον ἡμᾶς τῆς ἐπαχθείας· ἀπάλλαξον ἡμᾶς τῆς κραυγῆς τῆς παρ' αὐτῆς γινομένης. τί οὖν ὁ δεσπότης; νομίζετέ με, φησιν, εἰκῇ σεσιγηκέναι, καὶ μὴ ἀξιῶσαι αὐτὴν ἀποκρίσεως; ἀκούετε· οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. οὐκ ἴστε, φησὶν, ὅτι ἀλλόφυλος ἐστὶν ἡ γυνή; οὐκ ἴστε ὅτι καὶ ὑμῖν ἤδη παρηγγύησα εἰς ὁδὸν ἐθνῶν μὴ ἀ-

Ιερ. η. δ.

Ματθ. ιε. κβ.

ἀπελθεῖν; τίνος οὖν ἕνεκεν οὕτως ἀνεξετάστως τὴν συμπάθειαν ἐπιδείκνυσθε; σκόπει τὸ ἀμήχανον τοῦ Θεοῦ σοφίαν. πῶς καὶ, ὅτε ἔδοξεν ἀποκρίνεσθαι, τῆς σιγῆς βαρύτερον καθικνεῖτο τῆς γυναικὸς, καὶ μονονουχὶ καιρίαν αὐτῇ δέδωκε τὴν πληγὴν, καὶ μετὰ μικρὸν αὐτὴν διεγεῖραι βουλόμενος, ἵνα μάθωσιν ἀγνοοῦντες οἱ μαθηταὶ τὴν ἐγκεκρυμμένην ἐν αὐτῇ πίστιν. ἀλλ' οὐδὲ οὕτως ἐνάρκησεν, οὐδὲ ὀκνηροτέρα γέγονε θεασαμένη καὶ τοὺς μαθητὰς οὐδὲν πλέον ἀνύσαντας· καὶ οὐκ εἶπε πρὸς ἑαυτὴν, εἰ μηδὲ οὗτοι ἴσχυσαν δυσωπῆσαι τὸν ὑπὲρ ἐμοῦ ἱκεσίαν ποιησάμενοι, τίνος ἕνεκεν εἰκῆ καὶ μάτην προσεδρεύω· ἀλλὰ καθάπερ ὑπὸ πυρὸς φλεγομένη, καὶ ἐμπιπραμένη τὸν λογισμὸν, καὶ τὰ σπλάγχνα διακοπτομένη, πρόσεισι προσκυνοῦσα καὶ λέγουσα, κύριε, βοήθει μοι. καὶ οὐδὲ οὕτως ἐπινεύει τῇ γυναικὶ, ἀλλ' ἀπόκρισιν ποιεῖται τῆς προτέρας βαρυτέραν. οὐκ ἔστι, φησὶ, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἐννόησον, ἀγαπητὲ, καὶ θαύμασον ἐνταῦθα τῆς ψυχῆς αὐτῆς τὸν πόθον καὶ τὴν πίστιν τὴν ὑπερβάλλουσαν, ὅτι κυνάριον ἀκούσασα οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεπήδησεν, ἀλλὰ μετὰ πολλῆς εὐγνωμοσύνης φησὶ, ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ὁμολογῶ, φησι, κυνάριον εἶναι. ὡς κυνάριον οὖν, με ἀξίωσον τῶν ψιχίων τῆς τραπέζης. εἶδες γυναικὸς πίστιν καὶ εὐγνωμοσύνην. κατεδέξατο τὸ εἰρημένον, καὶ παραχρῆμα ἐπέτυχε τοῦ σπουδαζομένου, καὶ ἐπέτυχε μετὰ πολλῶν τῶν ἐγκωμίων. τί γάρ φησιν ὁ Χριστός; ὦ γύναι, μεγάλη σου ἡ πίστις. γενηθήτω σοι ὡς θέλεις. ὦ γύναι. θαυμασμοῦ τὸ ῥῆμα, ἐπαίνου πολλοῦ γέμει τὸ εἰρημένον. μεγάλην, φησὶν, ἐπεδείξω τὴν πίστιν· διὰ τοῦτο τοσαῦτά σοι ὑπάρξει, ὅσα ἂν θελήσῃς. ὅρα φιλοτιμίας δαψίλειαν, καὶ θαύμασον τοῦ δεσπότου τὴν σοφίαν. ἆρα οὐκ ἐν προοιμίοις ἐνομίζομεν ἀσυμπαθῆ τινα αὐτὸν εἶναι, οὕτω διακρουόμενον καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῦντα τὸ γύναιον; μετὰ δὲ ταῦτα καὶ διὰ τῆς προτέρας καὶ διὰ τῆς δευτέρας ἀποκρίσεως μονονουχὶ ἀπελαύνοντα, καὶ τὴν μετὰ τοσούτου πόθου προσελθοῦσαν ἀποσοβοῦντα; ἀλλ' ἐκ τοῦ τέλους κατάμαθε τοῦ Θεοῦ τὴν ἀγαθότητα, ὅτι βουλόμενος αὐτὴν περιφανεστέραν ἐργάσασθαι, διὰ τοῦτο τῇ μακροθυμίᾳ ἐχρήσατο. εἰ μὲν γὰρ εὐθέως ἐπένευσεν, οὐκ ἂν ἔγνωμεν ἡμεῖς τῆς γυναικὸς τὴν ἀρετήν. ἐπειδὴ δὲ μικρὸν ἀνεβάλλετο, καὶ τοῦ δεσπότου ἔγνωμεν τὴν ἄφατον φιλανθρωπίαν, κἀκείνης τὴν πίστιν τὴν ὑπερβάλλουσαν. ταύτην δὲ πᾶσαν τὴν ἱστορίαν εἰς μέσον παραγαγεῖν ἠναγκάσθημεν, ἵνα μάθωμεν, ὅτι οὐχ οὕτω δι' ἑτέρων παρακαλοῦντες ἀνυόμεθα, ὡς αὐτοὶ δι' ἑαυτῶν, ἐπειδὰν μετὰ θερμότητος προσίωμεν καὶ διεγηγερμένης διανοίας. ἰδοὺ γὰρ αὕτη καὶ τοὺς μαθητὰς ἔχουσα ὑπὲρ αὐτῆς ἱκετεύοντας οὐδὲν πλέον" ὀνῆσαι ἠδυνήθη, μέχρις ὅτε αὐτὴ δι' ἑαυτῆς παραμείνασα τὴν φιλανθρωπίαν ἐπεσπάσατο τοῦ δεσπότου. καὶ τῇ παραβολῇ δὲ ἐκείνῃ τοῦ φίλου τοῦ ἀωρὶ τῆς νυκτὸς παραγινομένου, καὶ τοὺς τρεῖς ἄρτους αἰτήσαντος ὁ δεσπότης τὸ αὐτὸ αἰνίττεται. Εἰ γὰρ καὶ μὴ διὰ τὸ φίλος αὐτοῦ εἶναι, φησιν, ὑπακούσῃ αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει. εἰδότες τοίνυν τὴν ἄφατον φιλανθρωπίαν τοῦ ἡμετέρου δεσπότου προσίωμεν αὐτῷ, δεικνῦντες καὶ μονονουχὶ πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων προτιθέντες κατ' εἶδος ἕκαστον τῶν ἡμῖν πεπλημμελημένων, καὶ τὴν ὑπὲρ τῶν παρελθόντων συγχώρησιν αἰτοῦντες, εἰς τὸ ἑξῆς πολλὴν τὴν ἀκρίβειαν ἐπιδειξώμεθα, ἵνα καὶ πλείονα τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα. ἀλλ' ἐπανέλθωμεν, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τοῦ ἀναγνώσματος.

Λουκ. ια. η.

30 Ἀνέβη δὲ, φησι, Λὼτ" εἰς Σιγὼρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, καὶ αἱ δύο θυγατέρες

αὐτοῦ μετ' αὐτοῦ. ἐφοβήθησαν γὰρ οἰκῆσαι ἐν Σηγώρ. καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς, καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ.

Ἐναχμάζοντα ἔχων ἔτι τὸν φόβον τῆς τιμωρίας τῆς ἐπαχθείσης τοῖς κατὰ τὰ Σόδομα, πόῤῥωθεν ἄπεισιν ὁ δίκαιος, καὶ εἰς τὸ ὄρος, φησὶ, κατοικεῖ μετὰ τῶν θυγατέρων, καὶ ἐν ἐρημίᾳ ἐσχάτῃ καὶ μονώσει λοιπὸν ἐτύγχανεν ἐκεῖσε οἰκῶν.

31 Εἶπε δὲ, φησιν, ἡ πρεσβυτέρα, ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. 32 Δεῦρο, καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον, καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν σπέρμα ἐκ τοῦ πατρὸς ἡμῶν.

Μετ' εὐλαβείας καὶ φόβου πολλοῦ ἀκούωμεν, ἀγαπητοὶ, τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων. οὐδὲν γὰρ ἁπλῶς καὶ εἰκῇ γέγραπται, ἀλλὰ πάντα συμφερόντως καὶ πρὸς ὠφέλειαν ἡμετέραν, κἂν ἡμεῖς ἔνια ἀγνοῶμεν. οὐ γὰρ πάντων δυνάμεθα μετὰ ἀκριβείας εἰδέναι τὴν αἰτίαν, ἀλλ' ὅμως ἔχει τινὰ ἐγκεκρυμμένον θησαυρόν. καὶ νῦν ἄκουε τῆς γραφῆς, ὅπως πάντα σαφῶς διηγησαμένη, καὶ τὸν σκοπὸν ἡμῖν γνωρίσασα τῶν τοῦ δικαίου θυγατέρων, ἀρκοῦσαν ἀπολογίαν ὑπὲρ αὐτῶν ἐποιήσατο, ἵνα μηδεὶς πρὸς τὸ γεγονὸς ἀφορῶν καταγνοίη τοῦ δικαίου, ἢ τῶν τούτου θυγατέρων, ὡς δι' ἀσέλγειαν τῆς μίξεως γεγενημένης. σκόπει γὰρ, ὅπως νῦν μὲν ὑπὲρ τῶν θυγατέρων ἀπολογεῖται ἡ ἁγία γραφὴ, μετὰ δὲ ταῦτα ὑπὲρ τοῦ δικαίου. πῶς οὖν ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου ἀπολογεῖται; Εἶπε, φησιν, ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. ὅρα τὸν σκοπὸν μετὰ ἀκριβείας, καὶ παντὸς αὐτὰς ἀπαλλάξεις ἐγκλήματος. ἐνόμισαν πανωλεθρίαν γεγενῆσθαι, καὶ μηδένα ἔτι καταλειφθῆναι. εἶτα καὶ τοῦ πατρὸς ἑώρων τὸ γῆρας. ἵν' οὖν, φησι, μὴ ἀφανισθῇ τὸ γένος, καὶ ἀνώνυμοι γενώμεθα (τοῦτο γὰρ ἦν τὸ παλαιὸν περισπούδαστον, ὥστε διὰ τῆς τῶν ἐκγόνων διαδοχῆς ἐκτείνεσθαι αὐτῶν τὸ γένος) ἵνα οὖν, φησι, μὴ παντελῆ καὶ ἡμεῖς ἀφανισμὸν ὑπομείνωμεν, τοῦ μὲν πατρὸς πρὸς γῆρας ἐλάσαντος, οὐδενὸς δὲ εὑρισκομένου ἀνδρὸς, ᾧ συγγενόμεναι δυνησόμεθα ἐκταθῆναι, καὶ καταλιπεῖν τοῦ σπέρματος διαδοχὴν, δεῦρο, φησιν, ἵνα μὴ τοῦτο γένηται, ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον. ἐπεὶ οὐκ ἄν ποτέ, φησιν, ἀνάσχοιτο οὐδὲ ἀκοῇ τοῦτο παραδέξασθαι ὁ πατὴρ, διὰ τοῦ οἴνου τὴν ἀπάτην ἐργασώμεθα.

33 Ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν, καὶ ἀναστῆναι.

Εἶδες πῶς καὶ ὑπὲρ τοῦ δικαίου ἀπελογήσατο ἡ θεία γραφὴ, οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον. πρότερον μὲν γὰρ ἐξ ὧν αἱ θυγατέρες τὴν διὰ τοῦ οἴνου ἀπάτην εἰργάσαντο, ἔδειξεν ὡς οὐκ ἂν ἑτέρως ἠδυνήθησαν πεῖσαι τὸν πατέρα τοῦτο καταδέξασθαι· νυνὶ δὲ λοιπὸν οἶμαι καὶ οἰκονομίας εἶναι τῆς ἄνωθεν τὸ γεγονὸς, ὥστε τοσοῦτον αὐτῷ κάρον ἐγγενέσθαι, ὡς πάντη ἀγνοῆσαι, ἵνα ἀνεύθυνος γένηται τῶν ἐγκλημάτων. τὰ γὰρ ἁμαρτήματα ἐκεῖνα ἡμᾶς κατακρίνει καὶ καταδικάζει, ἅπερ ἂν εἰδότες καὶ ἑκόντες ἁμαρτάνωμεν. ὁρᾷς δὲ τὴν γραφὴν μαρτυροῦσαν τῷ δικαίῳ, ὅτι ὅλως οὐκ ᾔδει τὸ γεγονός. ἀλλὰ πάλιν ἕτερον ἀνακόπτει τὸ τῆς μέθης. δεῖ γὰρ πάντα διερευνᾶσθαι, ὥστε μηδεμίαν καταλιπεῖν τοῖς ἀγνώμοσι καὶ ἀναισχύντοις ἀφορμήν. τί οὖν καὶ περὶ τούτου εἴπωμεν; ὅτι οὐ τοσοῦτον ἐξ ἀκρασίας τὰ τῆς μέθης αὐτῷ γέγονεν, ὅσον ἀπὸ ἀθυμίας. μηδεὶς τοίνυν τολμάτω ἢ τοῦ δικαίου ποτὲ καταψηφίσασθαι, ἢ τῶν τούτου θυγατέρων. πῶς γὰρ οὐκ ἂν εἴη μανίας ἐσχάτης καὶ παραφροσύνης, οὓς ἡ θεία γραφὴ παντὸς ἀπήλλαξεν ἐγκλήματος, μᾶλλον δὲ ὑπὲρ ὧν τοσαύτην ἀπολογίαν συνέθηκεν, ἡμᾶς τοῖς μυρίοις ἁμαρτημάτων φορτίοις πεπληρωμένους καταδικάζειν, καὶ μὴ ἀκούειν Παύλου λέγοντος, Εἰ Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γέγονεν, ἀλλ' ἡ ὑπερβολὴ τῆς ἀθυμίας μετὰ τῆς τοῦ οἴνου προσθήκης οὐδεμίαν αὐτῷ αἴσθησιν συνεχώρησεν ἐγγενέσθαι, ἄκουσον τί φησιν. 34 Ἐγένετο δὲ τῇ ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ἰδοὺ, ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν. ποτίσωμεν οὖν αὐτὸν οἶνον καὶ τὴν νύκτα ταύτην, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. Ὁρᾷς πῶς ἐξ ὀρθῆς γνώμης τοῦτο ἐποίουν. ἐπειδὴ γὰρ ἠδυνήθην, φησὶν, ἐγὼ τὸ σπουδαζόμενόν μοι πληρῶσαι, ἀναγκαῖον καί σε τὸ αὐτὸ διαπράξασθαι. ἴσως γὰρ εἰς ἔργον ἡμῖν ἐκβήσεται τὰ τῆς προσδοκίας, καὶ οὐκ εἰς τέλος τὸ γένος ἡμῶν ἀφανισθήσεται. 35 Ἐπότισαν δὲ καὶ τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς. καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν, καὶ ἀναστῆναι.

Ρωμ. η. λγ.

Σκόπησον, ἀγαπητὲ, ὅτι τὸ πᾶν τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν ἔργον τὸ γεγονός. ὥσπερ γὰρ ἐπὶ τοῦ πρωτοπλάστου, καθάπερ ἐκεῖ καθεύδοντος αὐτοῦ ἐκ τῆς πλευρᾶς μέρος λαβὼν οὐδεμίαν αἴσθησιν αὐτῷ συνεχώρησε γενέσθαι, ἀλλὰ τὴν πλευρὰν ἐκείνην εἰς γυναῖκα διαπλάσας παρέστησε τῷ Ἀδάμ· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν. εἰ γὰρ ἡ τῆς πλευρᾶς ἀφαίρεσις, ἐπειδὴ τὴν ἔκστασιν αὐτῷ ὁ Θεὸς ἐπήγαγεν, ἀνεπαισθήτως γέγονε, πολλῷ μᾶλλον νῦν τοῦτο ἂν ἐγένετο. ὅπερ γὰρ εἶπεν ἐκεῖ ἡ θεία γραφὴ, ὅτι ἐπέβαλεν ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε, τοῦτο ἐνταῦθα ἐσήμανε διὰ τοῦ εἰπεῖν, ὅτι οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι, καὶ ἀναστῆναι. 36 Καὶ συνέλαβον, φησιν, ἐκ τοῦ πατρὸς αὐτῶν, 37 Καὶ ἔτεκεν ἡ πρεσβυτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ, λέγουσα, ἐκ τοῦ πατρός μου. οὗτος πατὴρ Μωαβιτῶν. 38 Ἔτεκε δὲ καὶ ἡ νεωτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῷ Ἀμμὰν, λέγουσα, υἱὸς τοῦ γένους μου. οὗτος πατὴρ Ἀμμανιτῶν.

Ὁρᾷς πῶς οὐκ ἀσελγείας ἦν τὸ γεγονός, ὅτι παραχρῆμα καὶ τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπετίθεσαν μηνύουσαι τὸ γεγενημένον, καὶ μονονουχὶ καθάπερ ἐν στήλῃ τινὶ τοῖς τῶν παιδίων ὀνόμασιν ἐναποτιθέμεναι τοῦ γεγονότος τὴν μνήμην, καὶ ἤδη ″ προλέγουσαι, ὅτι ἔθνη ἐξ αὐτῶν ἔσται, καὶ εἰς πλῆθος ἐκταθήσεται τῶν τεχθέντων τὸ γένος. ὁ μὲν γάρ, φησιν, ἔσται πατὴρ Μωαβιτῶν, ὁ δὲ, πατὴρ Ἀμμανιτῶν. ἀλλὰ τότε μὲν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, καὶ διὰ τῆς τοῦ γένους διαδοχῆς τὴν μνήμην αὐτοῖς ἐβούλοντο διατηρεῖσθαι, τοσαύτην σπουδὴν τοῦ δικαίου αἱ θυγατέρες ἐποιήσαντο·

γρ. προμαντεύουσαι,

ΗΘΙΚΟΝ

α. Κορ. ζ. λα.

Νυνὶ δὲ, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν τὰ τῆς εὐσεβείας ἐπιδέδωκε, καὶ κατὰ τὸν μακάριον Παῦλον, Παράγει λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου, τὴν διὰ τῆς τῶν ἀγαθῶν πράξεως ἔργων μνήμην ἑαυτοῖς καταλιμπάνωμεν, ἵνα καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ἡ τῆς ἀρίστης ἡμῶν πολιτείας ἀκρίβεια, ὑπόμνησις καὶ διδασκαλία γένηται τοῖς εἰς ἡμᾶς ὁρῶσιν. οἱ γὰρ ἐνάρετοι, καὶ τὸν σώφρονα βίον μετιόντες οὐκ ἐν τῇ ζωῇ ταύτῃ μόνον τυγχάνοντες, τὰ μέγιστα τοὺς εἰς αὐτοὺς ὁρῶντας ὠφελεῖν δύνανται, ἀλλὰ καὶ μετὰ τὴν τοῦ βίου πάροδον. καὶ ἵνα μάθῃς, ὅρα μοι πόσος ἐτῶν ἀριθμὸς παρῆλθε μέχρι τῆς σήμερον, καὶ ὁσάκις ἂν βουληθείημεν εἰς τὸν τῆς σωφροσύνης ζῆλόν τινας ἐνάγειν, τὸν Ἰωσὴφ εἰς μέσον ἄγοντες, τὸν εὐειδῆ, τὸν καλὸν, τὸν νέον, τὸν ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας τοσαύτην ἀνδρείαν περὶ τὴν σωφροσύνην ἐπιδειξάμενον, οὕτω πρὸς τὴν μίμησιν τοῦ δικαίου τοὺς ἀκούοντας διεγείρειν σπουδάζομεν. τίς γὰρ ἂν, εἰπέ μοι, κατ' ἀξίαν θαυμάσειε τὸν μακάριον τοῦτον, ὅτι ἐν δουλείᾳ τυγχάνων, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, ὅτε καὶ μάλιστα ἡ κάμινος ἐπὶ πλέον ἐξάπτεται τῶν ἐπιθυμιῶν, ὁρῶν τὴν αὐτοῦ δέσποιναν ἐπιπηδῶσαν αὐτῷ καὶ μαινομένην, τοσαύτην ἐπεδείξατο τὴν ἀνδρείαν, καὶ οὕτω πρὸς τοὺς τῆς σωφροσύνης ἀγῶνας ἀπεδύσατο, ὡς τῆς ἀκολάστου γυναικὸς ἐκείνης γυμνὸς μὲν τῶν ἱματίων ἀποπηδῆσαι, τὸ δὲ τῆς σωφροσύνης ἔνδυμα περιβαλέσθαι; καὶ ἦν ἰδεῖν πρᾶγμα καινὸν καὶ παράδοξον, ἀρνίον ταῖς τοῦ λύκου χερσὶν ἐμπεσὸν, μᾶλλον δὲ τῆς λεαίνης, καὶ διασωθῆναι δυνηθὲν, καὶ καθάπερ περιστερὰν τοῦ ἱέρακος διαφυγοῦσαν τὴν βλάβην, οὕτω τὸν δίκαιον τῶν ἐκείνης διαρπαγέντα χειρῶν. οὐχ οὕτω θαυμαστὸν εἶναί μοι δοκεῖ, τὸ τοὺς τρεῖς παῖδας ἐκείνους ἐν μέσῃ τῇ καμίνῳ τῇ Βαβυλωνίᾳ ἐκείνῃ τοῦ πυρὸς ἀνωτέρους γενέσθαι, καὶ μηδὲν πλέον τὰ σώματα αὐτῶν παθεῖν, ὡς θαυμαστὸν καὶ παράδοξον τὸν δίκαιον τοῦτον εἰς τὴν κάμινον ταύτην τὴν τῆς Βαβυλωνίας χαλεπωτέραν ἐμπεπτωκότα, τὴν ἀσέλγειαν λέγω τῆς Αἰγυπτίας, ἀνέπαφον διαμεῖναι, καὶ καθαρὸν τῆς σωφροσύνης τὸ ἔνδυμα διατηρήσαντα οὕτως ἐξελθεῖν. καὶ μὴ θαυμάσῃς, ἀγαπητέ. ἐπειδὴ γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκεν, εἶχε καὶ τὴν ἄνωθεν ῥοπὴν αὐτῷ συμπαροῦσαν, καὶ τὴν πυρὰν ἐκείνην κατασβεννύουσαν, καὶ ἐν μέσῃ τῇ καμίνῳ τὴν δρόσον τὴν παρὰ τοῦ πνεύματος χαριζομένην. Εἴδετε πῶς ἐνάρετοι καὶ ἐνταῦθα παρόντες, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν ὠφελείας ἡμῖν ὑπόθεσις γίνονται. διὰ γὰρ τοῦτο τὸν δίκαιον τοῦτον εἰς μέσον νῦν παρηγάγομεν, ἵνα τούτῳ πάντες ἑπώμεθα. τοῦτον οὖν ἅπαντες ζηλώσωμεν, καὶ ἀνώτεροι τῶν ἡδονῶν γενώμεθα, καὶ εἰδότες, Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, οὕτως ἑαυτοὺς καθοπλίζωμεν· καὶ ἐννοοῦντες ὅτι σῶμα περικείμενοι, πρὸς ἀσωμάτους δυνάμεις παλαίειν ἀναγκαζόμεθα, φραττώμεθα τοῖς ὅπλοις τοῦ πνεύματος. διὰ γὰρ τοῦτο ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ σάρκα περικείμενοι πρὸς τὰς ἀοράτους δυνάμεις τὴν πάλην ἔχομεν, καὶ τὰ ὅπλα ἡμῶν ἀόρατα κατεσκεύασεν, ἵνα τῇ δυνάμει τῶν ὅπλων περιγενώμεθα τῆς φύσεως τῶν ἀντιπάλων. θαῤῥοῦντες τοίνυν τῇ τῶν ὅπλων δυνάμει, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ δυνησόμεθα τῇ πανοπλίᾳ ταύτῃ τῇ πνευματικῇ φραττόμενοι, αὐτὴν τοῦ διαβόλου συγκόψαι τὴν ὄψιν. οὐδὲ γὰρ ἐνεγκεῖν δύναται τὴν ἐντεῦθεν ἀστραπὴν, ἀλλὰ, κἂν ἐπιχειρήσῃ στῆναι ἐξ ἐναντίας, εὐθέως ἀποτυφλοῦται τὰς ὄψεις. ἔνθα γὰρ ἂν ᾖ σωφροσύνη, καὶ σεμνότης, καὶ πολλὴ τῶν ἄλλων ἀρετῶν ἡ συνῳδὸς, ἐκεῖ καὶ ἡ τοῦ πνεύματος χάρις μετὰ δαψιλείας ἐφίσταται. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν. ἐκκαθάρωμεν τοίνυν ἑαυτῶν, παρακαλῶ, τὸ συνειδὸς, καὶ ἀποσμήξωμεν ἡμῶν τὸν λογισμὸν, ἵνα πάσης ῥυπαρᾶς ἐννοίας ἀπηλλαγμένοι τοῦ πνεύματος τὴν χάριν * ἐπισπασώμεθα, καὶ τῶν τοῦ διαβόλου περιγενώμεθα μηχανημάτων, καὶ καταξιωθῶμεν τῶν ἀποῤῥήτων ἐκείνων ἀπολαύσεων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Εφ. ϛ. ιβ.

Ρωμ. ιβ. ιη.
Εβ. ιβ. ιδ.

* μετ' ἀφελείας

Λογ. με.

ΚΑΙ ΕΚΙΝΗΣΕΝ ΕΚΕΙΘΕΝ ΑΒΡΑΑΜ ΕΙΣ γῆν πρὸς λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης, καὶ ἀνὰ μέσον Σοὺρ, καὶ παρῴκησεν ἐν Γεράροις.

ΧΑίρω ὁρῶν ὑμᾶς συντρέχοντας περὶ τὴν ἀκρόασιν, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς δεχομένους τὴν παρ' ἡμῶν διδασκαλίαν, καὶ διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας καθ' ἑκάστην ἡμέραν ὑμῖν τὴν πτωχὴν ἡμῶν ταύτην καὶ εὐτελῆ τράπεζαν παρατιθέναι σπουδάζω. ἡ γὰρ ἐπιτεταμένη ὑμῶν ὄρεξις ἀποκρύπτει τῆς τραπέζης τὴν εὐτέλειαν, καὶ τὰ μικρὰ μεγάλα ποιεῖ φαίνεσθαι. τοῦτο καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων ἐστὶν ἰδεῖν. ὥσπερ γὰρ ὁ κεκορεσμένους λαβὼν τοὺς δαιτυμόνας, κἂν μεγάλα καὶ πολυτελῆ παραθῇ τὰ ἐδέσματα, ὁ τῶν ἑστιωμένων κόρος λυμαίνεται τῶν παρατεθέντων τὴν πολυτέλειαν, καὶ τὰ μεγάλα πολλάκις οὐδενὸς ἄξια λόγου φαίνεται, διὰ τὸ μὴ μεθ' ἡδονῆς προσβάλλειν αὐτοῖς τοὺς ἑστιωμένους· οὕτως ὁ πεινῶντας καὶ ὄρεξιν ἔχοντας παραλαβὼν τοὺς ἑστιᾶσθαι μέλλοντας, κἂν εὐτελῆ παραθῇ τὴν τράπεζαν, μεγάλη αὐτὴ φανεῖται διὰ τῆς προθυμίας τῶν ἑστιωμένων, μετὰ πολλῆς ἡδονῆς καταναλισκόντων τὰ παρατιθέμενα. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς θαρροῦντες ὑμῶν τῇ ὀρέξει τῇ πνευματικῇ οὐκ ὀκνοῦμεν, κἂν εὐτελῆ [ὦμεν] καὶ πτωχὴν ἔχοντες τράπεζαν, ταύτην παρατιθέναι συνεχῶς τῇ ὑμετέρᾳ ἀγάπῃ. τοῦτο καὶ σοφός τις ἔλεγε, Κρείσσων ξενισμὸς λαχάνων μετὰ ἀγάπης, ἢ βοὸς ἀπὸ φάτνης μετ' ἔχθρας· δεικνὺς ὅτι ἡ ἀγάπη ἑτέρως ὁρᾷ τὰ παρατιθέμενα, καὶ τοῖς ἐκείνης ὀφθαλμοῖς καὶ τὰ εὐτελῆ, πολυτελῆ δείκνυται, καὶ τὰ μικρὰ, μεγάλα. τί οὖν ἂν εἴη μακαριστότερον ἡμῶν ἐπὶ τοσούτων γνησίων διαλεγομένων, οὕτω θερμὴν καὶ διεγηγερμένην κεκτημένων ἀγάπην; οὐδενὸς γὰρ οὕτω μάλιστα δεῖ τῷ λέγοντι, ὡς εὐνοίας ἀκροατοῦ. ὅταν γὰρ ἴδῃ τὴν προθυμίαν ζέουσαν τῶν ἀκροατῶν, νευροῦται καὶ αὐτὸς καὶ πολλὴν, ὡς εἰπεῖν, τὴν ἰσχὺν προσλαμβάνει, εἰδὼς ὅτι ὅσῳ ἂν πλείονα παραθῇ τὴν τράπεζαν ταύτην τὴν πνευματικὴν, τοσούτῳ τὰ τῆς εὐπορίας αὐτῷ αὔξεται. ἀπ' ἐναντίας γὰρ τοῖς αἰσθητοῖς τὰ πνευματικά. ἐκεῖ μὲν γὰρ ἡ δαψίλεια τῆς τραπέζης δαπάνην ἐργάζεται, καὶ τὴν οὐσίαν ἐλαττοῖ τοῦ ἑστιάτορος· ἐνταῦθα δὲ ἅπαν τοὐναντίον, ὅσῳ ἂν πλείους ὦσιν οἱ μετέχοντες, τοσούτῳ αὔξεται ἡμῖν τὰ τῆς περιουσίας. οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ πνεύματος χάρις διὰ τὴν οἰκείαν φιλανθρωπίαν, καὶ τὴν ὑμετέραν οἰκοδομὴν χορηγήσῃ. Φέρε οὖν, ἐπειδὴ μετὰ τοσαύτης ἡδονῆς καὶ προθυμίας τῇ ἀκροάσει παραβάλλετε, πάλιν τῶν προσφάτως ἡμῖν ἀναγνωσθέντων ἔρευναν ποιήσωμεν, ἵνα δὲ ἐντεῦθεν κέρδος καρπωσώμεθα, τοῦ Χριστοῦ λέγοντος, Ἐρευνᾶτε τὰς γραφάς. ἐπειδὴ γὰρ θησαυρός ἐστιν αὐταῖς πολὺς ἐναποκείμενος, καὶ ἐν τῷ βάθει κρυπτόμενος, διὰ τοῦτο ἐρεύνης χρεία, ἵνα τὴν δύναμιν τῶν ἐν τῷ βάθει κρυπτομένων καταμαθόντες πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν εὑρεῖν δυνηθῶμεν. διὰ γὰρ τοῦτο καὶ τὰς ἀρετὰς τῶν δικαίων ἁπάντων ἡ τοῦ πνεύματος χάρις γραφῇ παραδοθῆναι ᾠκονόμησεν, ἵνα ἡμεῖς ἔχωμεν διηνεκῆ διδασκαλίαν, καὶ πρὸς ζῆλον καὶ μίμησιν τῶν δικαίων τὸν ἑαυτῶν βίον οἰκονομῶμεν. ἀκούσωμεν τοίνυν τῆς θείας γραφῆς, τί καὶ σήμερον ἡμῖν περὶ τοῦ πατριάρχου διηγήσασθαι βούλεται.

γρ. τὴν προ-θυμίαν

Παρ. ιε. ιζ.

γρ. ἀκροατῶν

γρ. Χριστοῦ

Ἰωαν. ε. λθ.

γεν. κ. 1 Καὶ ἐκίνησε, φησιν, ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σούρ, καὶ παρῴκησεν ἐν Γεράροις.

Πόθεν ἐκίνησεν; ἀπὸ τοῦ τόπου ἔνθα ἦν ἐνσκηνούμενος, ὅπου καὶ τὸν τῶν ἁπάντων δεσπότην μετὰ τῶν ἀγγέλων ὑποδέξασθαι κατηξιώθη. ἐκεῖθέν, φησι, κινήσας παρῴκησεν ἐν Γεράροις. ὅρα τῶν δικαίων τὴν διαγωγὴν, ὅπως ἦν συνεσταλμένη καὶ ἀπέεκτος, ὅπως μετ᾽ εὐκολίας τὰς μεταναστάσεις ἐποιοῦντο, καὶ καθάπερ πάροικοι καὶ παρεπίδημοι, οὕτω τὸν ἑαυτῶν βίον ᾠκονόμουν, καὶ ποτὲ μὲν ὧδε, ποτὲ δὲ ἐκεῖ τὰς σκηνὰς ἐπήγνυντο, καθάπερ ἐν ξένῃ διάγοντες· οὐ καθάπερ ἡμεῖς ποιοῦμεν, τὴν ξένην ὡς πατρίδα οἰκοῦντες, καὶ οἰκίας οἰκοδομοῦντες λαμπράς, καὶ στοὰς καὶ περιπάτους, καὶ ἀγροὺς κεκτημένοι, καὶ λουτρὰ κατασκευάζοντες, καὶ ἕτερα μυρία. ἀλλ᾽ ὅρα τὸν δίκαιον καὶ ἐν τοῖς οἰκογενέσι μόνοις καὶ τοῖς ποιμνίοις τὴν οὐσίαν ἅπασαν κεκτημένον, καὶ οὐδαμοῦ ἱστάμενον, ἀλλὰ ποτὲ μὲν εἰς τὴν Βεθὴλ τὴν σκηνὴν πηγνύντα, ποτὲ δὲ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ, καὶ ποτὲ μὲν εἰς Αἴγυπτον κατιόντα, νυνὶ δὲ ἐν Γεράροις κατασκηνοῦντα, καὶ πάντα μετ᾽ εὐκολίας ὑπομένοντα, καὶ τὴν εὐγνωμοσύνην τὴν πρὸς τὸν οἰκεῖον δεσπότην διὰ πάντων ἐπιδεικνύμενον. καὶ μετὰ τοσαύτας ὑποσχέσεις καὶ ἐπαγγελίας τὰς παρὰ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένας, ὁρῶν ἑαυτὸν τοσαύταις περιστάσεσι κυκλούμενον, καὶ ποικίλοις τε καὶ διαφόροις πειρασμοῖς ἐμπίπτοντα, καθάπερ ἀδάμας τις ἀπερίτρεπτος, εἱστήκει τὴν φιλόθεον αὐτοῦ γνώμην δεικνύς, καὶ οὐδενὶ τῶν ἐν τῷ μέσῳ κωλυμάτων νωθρότερος γινόμενος. ὅρα γὰρ καὶ νῦν, ἀγαπητέ, οἷος αὐτὸν πειρασμὸς εἰς τὰ Γέραρα καταλαμβάνει, καὶ θαύμασον τοῦ δικαίου τῆς ἀρετῆς τὴν ἀνδρείαν, ὅπως τὸ πᾶσιν ἀφόρητον, καὶ ὃ οὐδὲ ἀκοῇ τις παραδέξασθαι ἀνάσχοιτο, τοῦτο οὗτος ὑπέμεινεν, οὐ δυσχεραίνων, οὐδὲ ἀπαιτῶν εὐθύνας τῶν γινομένων τὸν δεσπότην, καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ποιοῦσι, καὶ ταῦτα μυρίοις ἁμαρτημάτων φορτίοις πιεζόμενοι, ἐπειδὰν δυσχερέσι τισὶ περιπέσωσιν, εὐθέως πολυπραγμονοῦντες καὶ περιεργαζόμενοι λέγουσι, διὰ τί τὸ καὶ τὸ συνέβη; καὶ τίνος ἕνεκεν τόδε συνεχωρήθη; ἀλλ᾽ οὐχ ὁ δίκαιος οὗτος· διὸ καὶ πλείονος ἀπήλαυσε τῆς ἄνωθεν ῥοπῆς. τοῦτο γὰρ ἀληθῶς εὐγνώμονος οἰκέτου, μηδὲν τῶν ὑπὸ τοῦ δεσπότου γινομένων πολυπραγμονεῖν, ἀλλὰ σιγῇ πάντα καταδέχεσθαι, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας. καὶ σκόπει πῶς καὶ δι᾽ αὐτῶν τῶν παρακολουθούντων πειρασμῶν ἡ τοῦ δικαίου ἀρετὴ μᾶλλον ἐξέλαμπε, τοῦ Θεοῦ φανερὸν αὐτὸν διὰ πάντων δεικνύντος. ὥσπερ γὰρ εἰς τὴν Αἴγυπτον κατῆλθεν, ὡς ἄγνωστος καὶ ξένος καὶ οὐδενὶ γνώριμος, καὶ ἀθρόον μετὰ πολλῆς τῆς τιμῆς ἐκεῖθεν ἐπανῄει· οὕτω καὶ νῦν παροικήσας ἐν Γεράροις, ἐν μὲν τοῖς προοιμίοις τὰ παρ᾽ ἑαυτοῦ ἐπιδείκνυται· μετὰ δὲ ταῦτα τοσαύτης ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ συμμαχίας, ὡς καὶ τὸν βασιλέα, καὶ τοὺς αὐτόθι πάντας οἰκοῦντας περὶ τὴν θεραπείαν τοῦ δικαίου πᾶσαν ἐπιδείκνυσθαι σπουδήν.

2 Εἶπε δέ, φησιν, Ἀβραὰμ περὶ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μού ἐστιν. ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μού ἐστι, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι᾽ αὐτήν.

Ὅρα πῶς ὑπὸ τυραννικωτάτων παθῶν ἐπολιορκεῖτο ἡ τοῦ δικαίου ψυχή, καὶ φόβος αὐτὸν ἐξωθεῖτο. ἀλλὰ καίτοι σφόδρα χαλεπὸν ὄντα τὸν πρότερον φόβον, τὸν τῆς προδοσίας τῆς γυναικός, παρωθεῖτο ὁ τοῦ θανάτου φόβος. ἵνα γὰρ τοῦτον διαφύγῃ, ὑπέμεινεν ὁρᾶν τοῖς οἰκείοις ὀφθαλμοῖς τὴν κοινωνὸν αὐτῷ τοῦ βίου ὑπὸ ταῖς τοῦ βασιλέως χερσὶ γινομένην. ὅσον δὲ τοῦτό ἐστιν ἀφόρητον, ἴσασιν ὅσοι γυναῖκας ἔχουσι. διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, Μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν τὴν οὐδενὶ εἴκουσαν. ὅρα λοιπὸν τὸν δίκαιον διὰ τὸν τοῦ θανάτου φόβον τοῦτο τὸ βαρὺ καὶ πάνυ ἀφόρητον γενναίως ἐνεγκόντα. τοῦτο δὲ καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαίνειν ἔθος. ἐπειδὰν γὰρ δύο κατὰ ταυτὸ πάθη πολιορκῇ τὸ σῶμα τὸ ἡμέτερον, ἡ τοῦ ἑνὸς ἐπίτασις ἀποκρύπτει τὸ ἕτερον, καὶ ὅλοι τῆς ὀδύνης ἐκείνης γινόμεθα, καὶ πολλάκις οὐδὲ αἴσθησιν τοῦ ἑτέρου λαμβάνομεν, τῆς πολλῆς ὀδύ-

Παρ. ϛ λδ.

νης περιστώσης ἡμᾶς, καὶ οὐκ ἀφιείσης τοῦ ἐλάττονος πεῖραν λαβεῖν. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος νῦν ὁρῶν τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, πάντα τὰ λοιπὰ φορητὰ ἡγεῖτο. ἀλλὰ ταῦτα * ἀκούων, ἀγαπητέ, μὴ καταγνῷς τοῦ δικαίου μικροψυχίαν, εἰ τὸν θάνατον ἐδεδοίκει· ἀλλὰ θαύμασον τοῦ πάντων ἡμῶν δεσπότου τὴν ὑπερβάλλουσαν περὶ ἡμᾶς φιλανθρωπίαν, ὅτι τὸν θάνατον τὸν τοῖς δικαίοις ἐκείνοις καὶ ἁγίοις τότε φοβερὸν, τοῦτον νῦν εὐκαταφρόνητον εἰργάσατο ὁ Χριστὸς, καὶ ὃν ἐδεδοίκεισαν οἱ ἐνάρετοι ἐκεῖνοι καὶ τοσαύτην παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότες, τοῦτον νῦν καταγελῶσι καὶ νέοι καὶ κόραι ἁπαλαί. οὐδὲ γὰρ θάνατός ἐστι λοιπὸν, ἀλλ᾽ ὕπνος καὶ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω. ὁ γὰρ θάνατος τοῦ δεσπότου τὴν ἀθανασίαν ἡμῖν ἐδωρήσατο, καὶ κατελθὼν εἰς " τὸν ᾅδην ἐξέλυσεν αὐτοῦ τὰ νεῦρα, καὶ τὴν ἰσχὺν αὐτοῦ καθεῖλε, καὶ τὸν φοβερὸν πρὸ τούτου καὶ ἀμείλικτον, τοῦτον οὕτως εὐκαταφρόνητον εἰργάσατο, ὡς καὶ ἐπιπηδᾶν καὶ ἐπείγεσθαι πρὸς τὴν ἐντεῦθεν μετάστασιν. διὰ τοῦτο καὶ Παῦλος βοᾷ λέγων, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. ἀλλὰ ταῦτα νῦν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, μετὰ τὸ συγκλασθῆναι τὰς πύλας τὰς χαλκᾶς, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης τὸν ἥλιον τῆς δικαιοσύνης ἐκλάμψαι. τότε δὲ ἔτι φοβερὰν εἶχε τὴν πρόσοψιν, καὶ κατέσειε τῶν δικαίων ἐκείνων ἀνδρῶν τὴν διάνοιαν. διὸ καὶ πάντα τὰ ἄλλα κούφως ἔφερον, κἂν ἀφόρητα ἐτύγχανεν ὄντα. διὰ τοῦτο καὶ ὁ δίκαιος οὗτος φοβούμενος τῶν ἐν Γεράροις οἰκούντων τὴν ἐπιβουλὴν, οὐχ ὡς γυναῖκα, ἀλλ᾽ ὡς ἀδελφὴν ἐπαγόμενος, οὕτω τὴν ἐνταῦθα παροίκησιν ποιεῖται. καὶ καθάπερ εἰς τὴν Αἴγυπτον κατελθεῖν αὐτὸν συνεχώρησεν ὁ Θεός, βουλόμενος καὶ τοὺς ἀγνώμονας ἐκείνους καὶ δυσμαθήτους τοῦ δικαίου " γνωρίσαι τὴν ἀρετὴν, οὕτω καὶ ἐνταῦθα τὴν οἰκείαν μακροθυμίαν ἐπιδείκνυται ὁ δεσπότης, ἵνα καὶ τοῦ δικαίου ἡ ὑπομονὴ διὰ πάντων ἐκλάμψῃ, καὶ ἡ τοῦ Θεοῦ περὶ αὐτὸν εὔνοια πᾶσι κατάδηλος γένηται.

Φιλ. α. κγ.

* ποίων

γρ. ἐν τῷ ᾅδ

γρ. μαθεῖν

Ἀπέστειλε δὲ Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων λαβεῖν τὴν Σάρραν.

Ἐννόησόν μοι τὸν χειμῶνα τῶν λογισμῶν, ὧν ὑπέμενεν ὁ δίκαιος ὁρῶν αὐτοῦ τὴν γυναῖκα ἀπαγομένην, καὶ οὐδὲν δυνάμενος ἐπαμῦναι. σιγῇ γὰρ ἅπαντα ἔφερεν, εἰδὼς ὅτι οὐ περιόψεται αὐτὸν ὁ δεσπότης, ἀλλὰ ταχεῖαν παρέξει τὴν συμμαχίαν. καὶ τῆς Σάρρας δὲ θαυμάσαι ἐστὶ τὴν πολλὴν φιλοστοργίαν. ἵνα γὰρ τοῦ κινδύνου τοῦ θανάτου τὸν δίκαιον ἐξαρπάσῃ (ἐξῆν γὰρ αὐτὴν ἐκκαλύψασαν τὸ δρᾶμα διαφυγεῖν τὴν ὁμολογουμένην ὕβριν) ἀλλ᾽ αὐτὴ ὑπέμεινεν ἅπαντα γενναίως, ἵνα τῷ δικαίῳ τὴν σωτηρίαν πραγματεύσηται, καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, Ὅτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὥσπερ γὰρ μία σὰρξ ὄντες, οὕτω τῆς ἀλλήλων σωτηρίας ἐκήδοντο, καὶ τοσαύτην ἐπεδείκνυντο τὴν ὁμόνοιαν, ὡς ἓν σῶμα τυγχάνοντες καὶ μία ψυχή. ταῦτα ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες. γυναῖκες, ἵνα τοσαύτην περὶ τοὺς ἄνδρας τὴν φιλοστοργίαν ἐπιδεικνύωσι, καὶ μηδὲν ἕτερον προτιμῶσι τῆς ἐκείνων σωτηρίας· καὶ ἄνδρες, ἵν᾽ οὕτω πολλὴν τὴν περὶ αὐτὰς εὔνοιαν ἔχωσι, καὶ ὡς μίαν ψυχὴν κεκλημένοι, καὶ ἓν σῶμα ὄντες, οὕτω πάντα διαπράττωνται. τοῦτο γὰρ " ἀληθῶς συνοικέσιον, ὅταν τοσαύτη ἐν αὐτοῖς πολιτεύηται συμφωνία, ὅταν τοσοῦτος ᾖ ὁ σύνδεσμος, ὅταν οὕτως ὦσι τῇ ἀγάπῃ συνεσφιγμένοι. καθάπερ γὰρ σῶμα πρὸς ἑαυτὸ οὐκ ἄν ποτε διαστασιάσειεν, οὐδὲ ψυχὴ πρὸς ἑαυτὴν, οὕτως ἄνδρα καὶ γυναῖκα ἡνῶσθαι χρή. τότε γὰρ καὶ τὰ μυρία αὐτοῖς ἀγαθὰ ἐπιρρεῦσαι δυνήσεται. ὅπου γὰρ ὁμόνοια τοσαύτη, ἐκεῖ πάντων τῶν ἀγαθῶν ἡ σύνοδος, ἐκεῖ ἡ εἰρήνη, ἐκεῖ ἡ ἀγάπη, ἐκεῖ ἡ εὐφροσύνη [ἡ πνευματική]· οὐδαμοῦ πόλεμος, οὐδαμοῦ μάχη, οὐδαμοῦ ἔχθρα καὶ φιλονεικία· ἀλλὰ

Γεν. β. κδ.

γρ. [illegible]

ταῦτα πάντα ἐκποδὼν γίνεται, τῆς ῥίζης τῶν ἀγαθῶν, τῆς ὁμονοίας λέγω, ταῦτα * ἀφανιζούσης.

Ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάῤῥαν. 3 Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ τὴν νύκτα, καὶ εἶπεν, ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς, ἧς ἔλαβες. αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί.

Ὅρα Θεοῦ φιλανθρωπίαν. ἐπειδὴ εἶδε τὸν δίκαιον διὰ τὸν τοῦ θανάτου φόβον γενναίως ἐνεγκόντα τὴν Σάῤῥας τὴν ἀφαίρεσιν, καὶ τὸν βασιλέα ὡς ἀδελφὴν τοῦ δικαίου οὕτως αὐτὴν ἀγόμενον, λοιπὸν τὴν οἰκείαν πρόνοιαν ἐπιδείκνυται, ὁμοῦ καὶ τὸν δίκαιον περιφανέστερον ἀποδεικνὺς, καὶ τὴν Σάῤῥαν τῆς ὕβρεως ἐλευθερῶν, καὶ τὸν βασιλέα ἀπαλλάττων τῆς παρανομίας. Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ τὴν νύκτα. κατ᾽ αὐτόν, φησι, τὸν καιρὸν ἐξαρπάσαι αὐτὸν βουλόμενος τῆς παρανομίας, ἐνέθηκεν αὐτοῦ τῇ διανοίᾳ τὴν γνῶσιν, καὶ τὰ λανθάνοντα αὐτῷ εἰς φῶς ἤγαγε, καὶ πολὺν τὸν φόβον αὐτῷ ἐπέτεινε, τὸν θάνατον ἀπειλήσας. ἀποθνήσκεις γάρ, φησι, περὶ τῆς γυναικὸς, ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί.

4 Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς. Ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα ἡ τοῦ Θεοῦ ἐπαγγελία ἡ εἰς τὸν πατριάρχην εἰς ἔργον ἐξέλθῃ. ἐπειδὴ γὰρ πρὸ βραχέως ὑπέσχετο αὐτῷ τὸν Ἰσαὰκ τεχθήσεσθαι, ἐγγὺς δὲ λοιπὸν ὁ καιρὸς ἦν, ἵν᾽ οὖν μὴ λυμήνηταί τι τῇ τοῦ Θεοῦ ἐπαγγελίᾳ, τοσοῦτον φόβον τῷ Ἀβιμέλεχ ἐπιτίθησιν, ὡς καταπληχθέντα αὐτὸν μὴ τολμῆσαι ἐφάψασθαι τῆς Σάῤῥας. διὰ γὰρ τοῦτο προσέθηκεν ἡ θεία γραφὴ, ὅτι Ἀβιμέλεχ οὐχ ἥψατο αὐτῆς. ἀλλὰ καὶ ἀπολογεῖται ὑπὲρ τοῦ τολμήματος, καί φησι, Κύριε, ἔθνος δίκαιον καὶ ἀγνοοῦν ἀπολεῖς;

Μὴ γὰρ αὐτοῦ εἰδώς, φησι, γυναῖκα οὖσαν αὐτὴν, τοῦτο πεποίηκα; μὴ γὰρ ἀδικῆσαι βουλόμενος τὸν ξένον; μὴ γὰρ ὡς γυναῖκα ἀφαιρούμενος; ὡς ἀδελφὴν μέλλων λαμβάνειν τοῦτο διεπραξάμην, νομίζων καὶ ταύτῃ τιμήσειν αὐτόν. ἔθνος οὖν ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς; μετὰ τοῦ δικαίου, φησὶ, πεποιηκότα με τὸ ἐπιχείρημα ἀπολεῖς; εἶτα σαφέστερον ποιῶν, ὅπερ ἔλεγέ, φησιν,

5 Οὐκ αὐτός μοι εἶπεν, ὅτι ἀδελφή μου ἐστι, καὶ αὕτη μοι εἶπεν, ὅτι ἀδελφός μου ἐστι; Σκόπει πῶς ἔφερον τὴν ὁμόνοιαν καὶ τὴν συμφωνίαν. καὶ αὐτός, φησι, τοῦτό μοι εἶπε, καὶ αὕτη συνέθετο τοῖς παρ᾽ αὐτοῦ λεγομένοις.

Ἐν καθαρᾷ καρδίᾳ, καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο, φησιν,

Οὐχ ὥσπερ παράνομόν τι μέλλων διαπράττεσθαι, ἀλλ᾽ ὡς νενομισμένον καὶ ἀκόλουθον, καὶ οὐδεμίαν ἔχον μέμψιν τοῦτο πεποίηκα. τί οὖν ὁ φιλάνθρωπος δεσπότης;

6 Εἶπε δὲ αὐτῷ ὁ Θεὸς καθ᾽ ὕπνον. Ὅρα πόσῃ συγκαταβάσει κέχρηται τὴν οἰκείαν ἀγαθότητα διὰ πάντων ἐπιδεικνύμενος. Κἀγὼ ἔγνων, φησίν, ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο. Οἶδα ὅτι αὐτοὶ τοῦτο τὸ δρᾶμα κατεσκεύασαν, καὶ ὅτι ἀπατηθεὶς τοῖς παρ᾽ αὐτῶν λεγομένοις τοῦτο πεποίηκας. καὶ διὰ τοῦτο, ἵνα μὴ διὰ τὴν ἀπάτην ἐκείνων ἁμάρτῃς,

Ἐφεισάμην τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ.

Πολλὴ τοῦ ῥήματος ἡ συγκατάβασις, μεγίστη τοῦ δεσπότου ἡ φιλανθρωπία. Εἰς ἐμέ, φησιν, ἔμελλεν ἀνατρέχειν τὸ ἁμάρτημα. καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ὅταν τις εἴς τινα τῶν οἰκετῶν πολλῆς ἀπολαύοντα τῆς τιμῆς παρὰ τοῦ δεσπότου ὑβριστικῶς διατεθῇ, οἰκείαν ἡγεῖται τὴν ὕβριν ὁ δεσπότης, καί φησιν, ἐμὲ ὕβρισας, δι᾽ ὧν τὸν ἐμὸν οἰκέτην οὕτω διέθηκας (καὶ γὰρ τὰ εἰς ἐκεῖνον γενόμενα εἰς ἐμὲ διαβαίνει) τὸν αὐτὸν τρόπον καὶ ὁ ἀγαθὸς δεσπότης

σπότης

ἀπάτης, ἐφεισάμην σου, φησί, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. ἐμοί, φησιν, οἰκέται τυγχάνουσι, καὶ οὕτως αὐτῶν ποιοῦμαι πολλὴν τὴν κηδεμονίαν, ὅτι οἰκειοῦμαι τὰ εἰς αὐτοὺς γινόμενα, κἄντε ἀγαθὰ ᾖ, κἄντε ἐναντία.

Ἕνεκεν τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς. Ἐπειδὴ πολὺ″ αὐτῶν κήδομαι, τοῦτο εἰδὼς ὅτι ἐξ ἀγνοίας μέλλεις τὴν ὕβριν αὐτοῖς ταύτην ἐπαγαγεῖν, ἐφεισάμην σου, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. μὴ δὴ ἁπλῶς ὡς ἑνὶ τῶν τυχόντων πρόσεχε τῷ ἀνδρί, ἀλλὰ μάνθανε, ὅτι τῶν ἐμοὶ περισπουδάστων ἐστί, καὶ τῶν πολλὴν ἐχόντων πρὸς ἐμὲ τὴν οἰκείωσιν. 7 Ἀπόδος τοίνυν τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ.

γρ. αὐτὸς κηδόμενος,

Ὅρα πῶς τὴν ἀρετὴν τοῦ δικαίου ἐκκαλύπτει· καὶ προφήτην αὐτὸν καλεῖ, καὶ μονονουχὶ παρασκευάζει τὸν βασιλέα ἱκέτην αὐτοῦ γενέσθαι. προσεύξεται γὰρ περὶ σοῦ, καὶ ζήσῃ, φησίν. ἐκεῖνος μὲν οὖν δεδοικὼς τὸν παρὰ σοῦ θάνατον τὸ δρᾶμα τοῦτο κατεσκεύασε, καὶ μονονουχὶ συνέπραξε πρὸς τὴν τῆς Σάρρας ὕβριν· γίνωσκε δὲ ὅτι αἱ παρ᾽ ἐκείνου προσευχαὶ τὴν ζωήν σοι παρέξουσιν. Εἶτα ἵνα μὴ τῇ ἐπιθυμίᾳ φλεγόμενος, καὶ τοῦ κάλλους τῆς Σάρρας ὅλως γενόμενος ἔλαττον φροντίσῃ, ἐπιτείνει τὸν φόβον, καὶ τὴν τιμωρίαν ἐπαγγέλλεται μείζονα ἐπάξειν.

Εἰ γὰρ μὴ ἀποδίδως, φησί, γνῶθι, ὅτι ἀποθανῇ σύ τε, καὶ πάντα τὰ σά.

Οὐ μόνον αὐτὸς τῆς παρακοῆς, φησιν, ὑφέξεις τὴν τιμωρίαν, ἀλλὰ καὶ πάντα τὰ σὰ διὰ σὲ θάνατος καταλήψεται. διὰ τοῦτο δὲ κατὰ τὸν τῆς νυκτὸς καιρὸν ταῦτα ἅπαντα ὁ Θεὸς αὐτῷ διελέγετο, ἵνα μετὰ ἡσυχίας δεξάμενος τὴν παραίνεσιν, μετὰ πολλοῦ τοῦ φόβου τὸ προσταχθὲν εἰς ἔργον ἀγάγῃ.

8 Εὐθέως γὰρ ὀρθρίσας Ἀβιμέλεχ, φησίν, ἐκάλεσε τοὺς παῖδας αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν.

″Ὅρα πῶς κῆρυξ γίνεται λοιπὸν ὁ βασιλεὺς τῆς τοῦ δικαίου ἀρετῆς, καὶ πᾶσιν αὐτὸν κατάδηλον ποιεῖ. καλέσας γάρ, φησι, πάντας τοὺς παῖδας αὐτοῦ διηγήσατο πάντα τὰ πρὸς αὐτὸν παρὰ τοῦ Θεοῦ δηλωθέντα, ἵνα πάντες γνῶσι καὶ τοῦ Θεοῦ πρὸς αὐτὸν τὴν εὔνοιαν, καὶ τῆς προνοίας, ἧς ἀξιοῦται παρὰ τοῦ δεσπότου διὰ τὴν τῶν τρόπων ἀρετήν. Ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα.

γρ. ὁρᾷς

Εἶδες πῶς οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τὰς μεταναστάσεις ἐποιεῖτο ὁ δίκαιος. εἰ γὰρ ἐπὶ τῆς σκηνῆς τῆς προτέρας ἔμενε, πόθεν εἶχον ἅπαντες οἱ ἐν Γεράροις γνῶναι, ὅσης ὁ δίκαιος ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ″ προνοίας; ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα· πολὺς αὐτῶν φόβος κατεσκεδάσθη, περὶ τοῦ παντὸς ἠγωνίασαν.

γρ. παῤῥησίας

9 Εἶτα ἐκάλεσε, φησιν, Ἀβιμέλεχ τὸν Ἀβραάμ. Ἐννόει μοι μεθ᾽ ὅσης λοιπὸν τῆς περιφανείας ὁ δίκαιος εἰσάγεται πρὸς τὸν βασιλέα. ὁ πρὸ μικροῦ παρ᾽ αὐτοῖς εὐκαταφρόνητος νομιζόμενος, καὶ καθάπερ ἀλήτης καὶ ξένος, ἀθρόον πάντων συνδραμόντων καλεῖται ὁ πατριάρχης οὐδὲν τούτων εἰδὼς τέως, καὶ ἐμάνθανε λοιπὸν παρ᾽ αὐτοῦ τοῦ βασιλέως τὰ παρὰ τοῦ Θεοῦ δι᾽ αὐτὸν εἰς ἐκεῖνον γεγενημένα.

Εἶπε γὰρ αὐτῷ· τί τοῦτο ἐποίησας ἡμῖν; τί ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ᾽ ἐμέ, καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον, ὃ οὐδεὶς ποιήσει, ἐποίησας ἡμῖν.

10 Τί ἐνιδὼν ἐποίησας τοῦτο; Διὰ τί, φησι, τοσαύτῃ με περιβαλεῖν ἁμαρτίᾳ ἠβουλήθης; τίνος ἕνεκεν, καὶ τί ἐννοήσας τοῦτο πεποίηκας; ὅρα πῶς διὰ τῶν οἰκείων ῥημάτων δείκνυσι τὴν παρὰ τοῦ Θεοῦ ἀπειλὴν τὴν εἰς αὐτὸν γεγενημένην. ἐπεὶ γὰρ εἶπεν αὐτῷ, ὅτι εἰ μὴ ἀποδίδως, ἀποθανῇ σύ, καὶ πάντα τὰ σά, τοῦτο αὐτῷ ἑρμηνεύων ὁ Ἀ-

βιμέλεχ

Ἀβιμέλεχ φησὶ, τί ἥμαρτον εἰς σὲ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; μὴ γὰρ μέχρις ἐμοῦ εἶχε στῆναι τὰ τῆς τιμωρίας; πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι ἐκ τῆς ἀπάτης τῆς παρὰ σοῦ γεγενημένης. Τί οὖν ἐνιδὼν ἐποίησας τοῦτο; σκόπει ἐνταῦθα, ἀγαπητὲ, τοῦ δικαίου τὸ φρόνημα, ὅπως ἐν τάξει ἀπολογίας διδασκαλίαν αὐτοῖς θεογνωσίας εἰσάγει.

11 Εἶπα γὰρ, φησὶ, μήποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου. Ἐναγώνιος, φησὶ, γέγονα, μήποτε, διὰ τὸ ἐπὶ τῇ πλάνῃ ὑμᾶς κατέχεσθαι, οὐδεμίαν τοῦ δικαίου πρόνοιαν ποιῆσθε, καὶ διὰ τοῦτο ὑμῶν φειδόμενος, μὴ μαθόντες αὐτὴν γυναῖκά μου γεγενῆσθαι διὰ τὴν περὶ ταύτην ἐπιθυμίαν ἐμὲ ἀνελεῖν ἐπιχειρήσετε, τοῦτο ἐποίησα. ὅρα πῶς διὰ τῶν ὀλίγων τούτων ῥημάτων ὁμοῦ καὶ καθήψατο αὐτῶν, καὶ ἐδίδαξεν, ὅτι δεῖ τὸν ἐπὶ πάντων Θεὸν ἐν νῷ λαμβάνοντα μηδὲν τῶν παρανόμων διαπράττεσθαι ἡμᾶς, ἀλλὰ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν δεδοικέναι, καὶ διὰ τὴν ἐκεῖθεν ἐπηρτημένην δίκην πολλὴν τοῦ δικαίου ποιεῖσθαι τὴν πρόνοιαν. εἶτα βουλόμενος τὴν ὑπὲρ ἑαυτοῦ ἀπολογίαν ποιῆσαι, φησὶ, μὴ νομίσητέ με καὶ οὕτως ἐψεῦσθαι. 12 Καὶ γὰρ ἀδελφή μού ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα. Τὸν αὐτόν μοι πατέρα ἐπιγράφεται, διὸ καὶ ἀδελφὴν αὐτὴν ἐκάλεσα. μὴ τοίνυν καταγνῶτέ μου. εἰ γὰρ καὶ ὁ φόβος τοῦ θανάτου εἰς τὴν ἀνάγκην με ταύτην κατέστησε, καὶ τὸ δεδοικέναι μήποτε διὰ ταύτην ἐμὲ μὲν ἀποκτείνητε, ταύτην δὲ περιποιήσησθε· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐστὶ ψευδὲς τὸ παρ' ἐμοῦ εἰρημένον. ὅρα πόσην ποιεῖται τὴν σπουδὴν ὁ δίκαιος, ὥστε δεῖξαι μηδὲ ἐν τούτῳ ἑαυτὸν ψευσάμενον. καὶ ἵνα πάντα μετὰ ἀκριβείας μάθητε, παρ' ἐμοῦ ἀκούσατε καὶ τὴν βουλὴν, ἣν μεταξὺ ἀλλήλων ἐθήκαμεν, ἡνίκα ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου. θέα μοι ἐνταῦθα τὴν πολλὴν τοῦ δικαίου σοφίαν, πῶς ἐν τάξει διηγήσεως διδάσκει αὐτοὺς, ὡς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τῶν ᾠκειωμένων ἐστὶ τῷ Θεῷ, καὶ ὅτι αὐτὸς καὶ οἴκοθεν αὐτὸν ἀνέστησε καὶ ἐκεῖσε ἤγαγεν, ἵνα μάθῃ ὁ βασιλεὺς ὅτι τῶν πολλὴν ἐχόντων ἐστὶ πρὸς τὸν Θεὸν παῤῥησίαν. 13 Ἡνίκα, φησὶν, ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου πατρός μου, εἶπον αὐτῇ, ταύτην τὴν δικαιοσύνην ποιήσεις ἐπ' ἐμέ· εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν, ἐκεῖ εἰπὲ, ὅτι ἀδελφός μού ἐστιν.

Ἐπειδὴ γὰρ δριμύτερον εἶπεν, εἶπα γὰρ, μήποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, καὶ ἐδόκει πολὺ αὐτῶν καθάπτεσθαι, βουλόμενος τὸ σφοδρὸν τοῦ ῥήματος ὑπεκλῦσαι, ἐνταῦθά φησιν, ὅτι μὴ νομίσητε ὅτι ὑμῶν ἕνεκεν μόνον τοῦτο πεποιηκέναι ἐπέγνωμεν. εὐθέως γὰρ ἡνίκα ἐξήγαγέ με κύριος ἐκ τοῦ οἴκου τοῦ πατρός μου, εἶπον αὐτῇ, ταύτην τὴν δικαιοσύνην ποιήσεις εἰς ἐμὲ εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν. πρὸ πάντων τῶν τὴν γῆν, φησιν, ταύτην οἰκούντων τὴν παραγγελίαν πρὸς αὐτὴν ἐποιησάμην· καὶ ὅτι καὶ οὕτως ἐκτὸς ψεύδους ἐστὶν ἡ ὑπόκρισις. ὁ γὰρ τοῦ θανάτου φόβος εἰς τοῦτο ἡμᾶς ἐλθεῖν κατηνάγκασε. Ταῦτα εἰπὼν ὁ δίκαιος, καὶ τὸν θυμὸν αὐτῶν κατεμάλαξε, καὶ τὴν οἰκείαν ἀρετὴν ἐξεκάλυψε, καὶ ἀρκοῦσαν αὐτοῖς διδασκαλίαν ἐνέθηκε θεοσεβείας. αἰδεσθεὶς τοίνυν ὁ βασιλεὺς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, τῇ οἰκείᾳ φιλοτιμίᾳ ἀμείβεται τὸν πατριάρχην. 14 Ἔλαβε γὰρ, φησιν, Ἀβιμέλεχ χίλια δίδραγμα καὶ πρόβατα καὶ μόσχους καὶ παῖδας καὶ παιδίσκας, καὶ ἀποδέδωκεν αὐτῷ, καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ. Εἶδες, ἀγαπητὲ, τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν. ὁ γὰρ περὶ τοῦ θανάτου δεδοικὼς καὶ πάντα ποιῶν ὥστε δυνηθῆναι τοῦτον διαφυγεῖν, οὐ μόνον τὸν θάνατον διέφυγεν, ἀλλὰ καὶ τοσαύτης ἀξιοῦται παῤῥησίας, καὶ περιφανὴς ἀθέον γίνεται. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ Θεοῦ. οὐ μόνον τῶν λυπηρῶν ἐλευθεροῖ τοὺς γενναίως ἀντέχειν πρὸς τοὺς ἐπιόντας πειρασμοὺς σπουδάζοντας, ἀλλὰ καὶ τοσαύτην ἐν αὐτοῖς τοῖς λυπηροῖς παρέχει τὴν εὐφροσύνην, ὡς καὶ λήθην ἡμᾶς ἔχειν παντελῆ, καὶ ἐν πολλῇ γίνεσθαι τῶν ἀγαθῶν περιουσίᾳ. καὶ ὅρα λοιπὸν τοῦ βασιλέως τὴν πρὸς τὸν δίκαιον θεραπείαν. οὐ μόνον γὰρ τοῖς τοσούτοις αὐτὸν δώροις τιμᾷ, ἀλλὰ καὶ τὴν ἐξουσίαν αὐτῷ δίδωσι τῆς ἐν τῇ γῇ κατοικήσεως.

15 Ἰδοὺ γάρ, φησιν, ἡ γῆ μου ἐναντίον σου ἐστίν. οὗ ἐάν σοι ἀρέσκῃ, κατοίκει.

Ἐπειδὴ γὰρ ἔμαθεν ὅτι δι' ἐκεῖνον, καὶ διὰ τὰς ἐκείνου προσευχὰς ἡ ζωὴ αὐτῷ κεχάρισται, ὡς εὐεργέτην λοιπὸν καὶ προστάτην, τὸν ξένον, τὸν ἀλήτην, τὸν οὐδαμόθεν γνώριμον οὕτω θεραπεύειν ἐπείγεται. 16 Τῇ δὲ Σάρρᾳ, φησίν, εἶπεν, ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου.

Ὅρα πῶς δεξάμενος τὴν παρὰ τοῦ δικαίου διδασκαλίαν, καὶ πιστεύσας τοῖς παρ' αὐτοῦ εἰρημένοις, καὶ αὐτὸς ἀδελφὸν αὐτῆς αὐτὸν καλεῖ.

Ἅπερ δέδωκά σοί, φησιν, ἔσται εἰς τιμὴν τοῦ προσώπου σου· καὶ πάντα ἀλήθευσον.

Τί ἐστιν, εἰς τιμὴν τοῦ προσώπου σου, καὶ πάντα ἀλήθευσον; ὑπὲρ ὧν δι' ἄγνοιαν ἐπεχείρησα γαμετήν σε οὖσαν τοῦ δικαίου εἰς τὴν οἰκίαν τὴν ἐμὴν ἀγαγεῖν, ὑπὲρ τούτου μόνου, ὑπὲρ οὗ ὕβρεώς σοι αἴτιος γέγονα, τὰ χίλια δέδωκα δίδραχμα, θεραπεύων τὰ παρ' ἐμοῦ γεγενημένα εἰς σέ. ἀλλὰ πάντα ἀλήθευσον. τί ἐστι, πάντα ἀλήθευσον; πάντες, φησί, παρὰ σοῦ μανθανέτωσαν, ὅτι οὐδὲν γέγονε παρ' ἐμοῦ παράνομον, ὅτι ἀνέπαφος ἐξῆλθες ἐκ τῆς οἰκίας τῆς ἐμῆς. δίδαξον, φησι, τὸν ἄνδρα τὸν σόν, ὅτι ἀθῷός εἰμι τῆς ἁμαρτίας. μανθανέτω παρὰ σοῦ, ὡς οὐδὲν εἴργασαί μοι. τίνος δὲ ἕνεκεν ταῦτα λέγει; ἵνα μαθὼν παρ' αὐτῆς ὁ δίκαιος καὶ πληροφορηθεὶς τὰς ὑπὲρ αὐτοῦ προσευχὰς ἀνενέγκῃ τῷ δεσπότῃ. ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνος, ὅτι πάντα ἀλήθευσον, ἀντὶ τοῦ, δίδαξόν σου τὸν ἄνδρα τὰ γεγενημένα, εὐθέως ἐπήγαγεν ἡ γραφή,

17 Καὶ προσηύξατο Ἀβραὰμ πρὸς τὸν Θεόν, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτικτον· 18 ὅτι συνέκλεισεν ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Ἀβιμέλεχ ἕνεκεν Σάρρας τῆς γυναικὸς Ἀβραάμ.

Ὅρα πῶς διὰ πάντων περιφανέστερον τὸν δίκαιον ποιῆσαι βουλόμενος ὁ δεσπότης, ταῖς προσευχαῖς αὐτοῦ τὴν σωτηρίαν τοῦ βασιλέως καὶ πάντων τῶν ἐν τῷ οἴκῳ αὐτοῦ χαρίζεται. προσηύξατο γάρ, φησιν, Ἀβραὰμ πρὸς τὸν Θεόν, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτικτον· ὅτι συγκλείων συνέκλεισε κύριος ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Ἀβιμέλεχ. διὰ τοῦτο καίτοι τῆς ἁμαρτίας ἐκτὸς ταύτης γενομένου τοῦ βασιλέως τὴν τιμωρίαν ταύτην αὐτῷ ἐπήγαγεν ὁ ἀγαθὸς δεσπότης, ἵνα ταῖς προσευχαῖς τοῦ δικαίου ἐπινεύσας, οὕτω τὴν λύσιν ἐπαγάγῃ, καὶ περιφανέστερον καὶ λαμπρότερον τὸν δίκαιον ἀπεργάσηται. πάντα γὰρ ἀεὶ ποιεῖ καὶ πραγματεύεται, καὶ οὕτως ἕκαστον οἰκονομεῖ, ὥστε τοὺς αὐτῷ δουλεύοντας, καθάπερ φωστῆρας, οὕτω διαλάμπειν, καὶ τὴν τούτων ἀρετὴν πανταχοῦ κατάδηλον γίνεσθαι. καὶ ὅρα μοι λοιπόν, ἀγαπητέ, μετὰ τὴν τῶν λυπηρῶν ἀπαλλαγήν, πῶς πάλιν διαδέχεται τὸν δίκαιον ἡ κορωνὶς τῶν ἀγαθῶν, ἡ τῆς ἐπαγγελίας ὑπόσχεσις, καὶ εἰς ἔργον λοιπὸν ἐξῄει τὰ πάλαι παρὰ τοῦ Θεοῦ ἐπαγγελθέντα αὐτῷ.

κεφ. κα.

1 Καὶ κύριος, φησιν, ἐπεσκέψατο τὴν Σάρραν, καθὰ εἶπε, καὶ ἐποίησε τῇ Σάρρᾳ, καθ' ἃ ἐλάλησε, 2 Καὶ συλλαβοῦσα ἔτεκε Σάρρα τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρόν, καθὰ ἐλάλησεν αὐτῷ κύριος.

Τί ἐστι, καθὰ ἐλάλησε καὶ καθὰ εἶπε; καθάπερ, φησὶν, ὑπέσχετο, ἡνίκα ἐπεξενώθη μετὰ τῶν ἀγγέλων εἰς τὴν δρῦν τὴν Μαμβρῆ, εἰρηκὼς ὅτι εἰς τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ ὑός. Ταῦτα τοίνυν εἰς ἔργον ἐξῆλθε, καὶ τὰ τῇ φύσει ἀπηγορευμένα, ταῦτα ἑώρων εἰς ἔργον ἐκβεβηκότα, οὐ κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν, ἀλλὰ κατὰ θείαν χάριν.

3 Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ ὑοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, Ισαάκ.

Οὐχ ἁπλῶς ἐπεσημήνατο ἡ θεία γραφὴ τὸ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐκάλεσε τὸ ὄνομα τοῦ ὑοῦ αὐτοῦ, ἀλλὰ προσέθηκεν, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, τουτέστιν ἡ στεῖρα, ἡ ἄγονος, ἡ γεγηρακυῖα. 4 Καὶ περιέτεμεν αὐτὸν, φησὶ, τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο κύριος. Οὕτω γὰρ ἦν διαταξάμενος, ὥστε τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτέμνεσθαι λοιπὸν τὰ τικτόμενα. Εἶτα ἵνα μάθωμεν λοιπὸν τὴν ἄφατον δύναμιν τοῦ Θεοῦ, ὅτι καὶ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρ' αὐτῷ δυνατὰ, διὰ τοῦτο καὶ τὸν χρόνον ἡμῖν πάλιν ἐπισημαίνεται ἡ θεία γραφὴ, καὶ μετὰ τὸν τόκον διδάσκει ἡμᾶς λέγουσα, 5 Ἀβραὰμ δὲ ἦν ἐτῶν ἑκατὸν, ἡνίκα ἐγένετο αὐτῷ Ισαὰκ ὁ ὑὸς αὐτοῦ. 6 Εἶπε δὲ Σάῤῥα, γέλωτά μοι ἐποίησεν ὁ κύριος. ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι.

Τί ἐστι, γέλωτά μοι ἐποίησεν ὁ κύριος; εὐφροσύνης ὑπόθεσίς μοι ὁ τόκος ἐστίν. καὶ τί θαυμαστὸν, εἰ ἐμοί; καὶ πάντας τοὺς ἀκούοντας συνηδομένους ἕξω, οὐκ ἐπειδὴ ἔτεκον, ἀλλ' ἐπειδὴ οὕτως ἔτεκον. τὸ γὰρ παράδοξον τοῦ γινομένου πάντας εἰς θαῦμα καταστήσει, καὶ πλείονα πᾶσι παρέξει τὴν ἡδονὴν, ὅταν μάθωσιν ὅτι ἐγὼ ἡ τῶν νεκρῶν οὐδὲν ἄμεινον διακειμένη, ἀθρόον μήτηρ γέγονα, καὶ ἀπὸ κατεψυγμένης μήτρας παιδίον ἔτεκον. καὶ μὴν θηλάζειν δύναμαι, καὶ πηγὰς γάλακτος ἀφιέναι ἡ μηδεμίαν ἐλπίδα λοιπὸν τεκνογονίας ἔχουσα. 7 Καὶ εἶπε, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; Διὰ γὰρ τοῦτο καὶ τοῦ γάλακτος αἱ πηγαὶ παρεσχέθησαν, ἵνα τὸν τόκον ἐγγυήσωνται, καὶ μή τις "ὑπόβλητον εἶναι νομίσῃ τὸ παιδίον. αἱ γὰρ πηγαὶ τοῦ γάλακτος πᾶσιν ἐκήρυττον παρ' ἅπασαν ἀνθρωπίνην προσδοκίαν τὸ γεγεννημένον. τίς ἀναγγελεῖ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον ὑὸν ἐν γήρᾳ μου, ὅτι ἐγὼ ἡ γεγηρακυῖα τεκεῖν ἠδυνήθην, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ παιδίον τρέφειν δύναμαι;

γρ. ὑποβολιμαῖον

8 Καὶ ηὐξήθη, φησὶ, τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη ὁ ὑὸς αὐτοῦ. καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη ὁ ὑὸς αὐτοῦ.

Εἶδες τοῦ Θεοῦ τὴν ἄφατον σοφίαν, ὅπως διὰ πάντων τὴν ὑπομονὴν τοῦ δικαίου βασανίσας, ὅτε ἀπαγορεύειν ἔδοξε καὶ αὐτὸς καὶ πάντες οἱ εἰς αὐτὸν ὁρῶντες, τῇ ἀνθρωπείᾳ φύσει κατακολουθοῦντες, τότε τὴν οἰκείαν ὑπόσχεσιν εἰς ἔργον ἤγαγε.

ΗΘΙΚΟΝ

Καὶ ἡμεῖς τοίνυν, ἀγαπητοὶ, τὴν αὐτὴν τῷ δικαίῳ ὑπομονὴν ἐπιδεικνυώμεθα, καὶ μηδέποτε ναρκῶμεν, ἀλλὰ ταῖς χρησταῖς ἐλπίσι τρεφώμεθα, εἰδότες ὅτι οὔτε δυσκολία πραγμάτων, οὔτε ἕτερόν τι τῶν ἀνθρωπίνων ἱκανὸν κώλυμα ἡμῖν γενέσθαι, ἐπειδὰν ἡ τοῦ Θεοῦ χάρις τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι βουληθῇ. ὅταν γὰρ ἐκεῖνος νεύσῃ, πάντα ἐκποδὼν παραχωρεῖ, καὶ τὰ δύσκολα εὔκολα γίνεται, καὶ τὰ ἀδύνατα δυνατά· μόνον ἐὰν ἡμεῖς στεῤῥὰν τὴν εἰς αὐτὸν πίστιν ἐπιδεικνυώμεθα, καὶ πρὸς τὸ μέγεθος αὐτοῦ ἀφορῶντες, ἀνώτεροι γινώμεθα τῶν ἀνθρωπίνων ἁπάντων. ὁ γὰρ τὰ μέλλοντα ἀγαθὰ, καὶ τὰ ἀπόῤῥητα ἐκεῖνα ὑποσχόμενος τοῖς μετ' ἀρετῆς τὴν ἐνταῦθα ζωὴν διανύουσιν, οὐ πολλῷ μᾶλλον καὶ τὰ ἐνταῦθα παρέξει; καὶ μάλιστα, ἐὰν ἡμεῖς ἐκείνων ἐφιέμενοι, τῶν παρόντων ὑπερορῶμεν. τότε γὰρ αὐτῶν μάλιστα ἀπολαύσομεν μετὰ δαψιλείας, ὅὁδὸν αὐτῶν παριδεῖν βουληθῶμεν. οὕτω γὰρ γινώσκοντες, ἐκεῖνα ποθῶμεν τὰ μέλλοντα, τὰ ἀκίνητα ἀγαθὰ, τὰ τέλος οὐκ ἐπιστάμενα· ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, κἀκείνων ἐπιτυχεῖν δυνηθῶμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μς. ΚΑΙ ΕΙΠΕ ΣΑΡΡΑ, ΤΙΣ ΑΝΑΓΓΕΛΕΙ ΤΩ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;

ΦΕρε καὶ σήμερον, ἀγαπητοὶ, τὴν ἀκολουθίαν τῶν χθὲς εἰρημένων ἀναλαβόντες, οὕτω τὴν ἑστίασιν ὑμῖν παραθῶμεν ταύτην τὴν πνευματικήν· ἵνα μάθωμεν πάλιν, καθάπερ χθὲς ἠκούσατε, τοῦ ἀγαθοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν καὶ συγκατάβασιν, καὶ τοῦ πατριάρχου τὴν πολλὴν ὑπακοὴν καὶ εὐγνωμοσύνην. Εἴδετε ὅπως ἡ τοῦ Ἰσαὰκ γέννησις περιχαρῆ τὴν Σάῤῥαν ἐποίησεν. Εἶπε γάρ, φησι, γέλωτά μοι ἐποίησεν ὁ Θεός. ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. ἕκαστόν, φησι, τῶν ἀκουόντων εἰς κοινωνίαν τῆς χαρᾶς ἐπισπάσομαι. μεγάλη γάρ ἐστιν ἡ παρὰ τοῦ Θεοῦ παρασχεθεῖσά μοι δωρεὰ, καὶ ὑπερβαίνουσα τὴν ἀνθρωπίνην ἀσθένειαν. τίς γάρ, φησιν, οὐκ ἂν ἐκπλαγείη ὁρῶν ἐμὲ γαλακτοτροφοῦσαν καὶ τιθηνουμένην, τὴν ἐν ἐσχάτῳ γήρᾳ καὶ μέχρι τοῦ παρόντος ἐν ἀπαιδίᾳ γεγενημένην; καὶ ὡσανεὶ θαυμάζουσα καὶ ἐκπληττομένη τὸ γεγονός, ἐπήγαγε, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου; ἐπειδὴ γὰρ ὑπὲρ φύσιν ἐστὶ τὸ γεγονός, διὰ τοῦτό φησι, τίς ἀναγγελεῖ; ἀντὶ τοῦ, τίς ἀναλογίσεται; τίς ἂν ἐνθυμηθείη; ποία διάνοια καταλαβεῖν δυνήσεται; ποῖος λογισμὸς εὑρεῖν ἱκανὸς τοῦ γεγενημένου τὴν ἀκρίβειαν; οὐχ οὕτω θαυμαστὸν ἦν, τὸ ἐκ τῆς πέτρας κατὰ τὴν ἔρημον ἀναβλύσαι τὰς πηγὰς τῶν ὑδάτων, ἡνίκα τῇ ῥάβδῳ Μωϋσῆς ταύτην διέῤῥηξεν, ὡς τοῦτο τὸ ἀπὸ μήτρας ἤδη νενεκρωμένης παιδίον τεχθῆναι, καὶ γάλακτος πηγὰς ἀναβλύσαι. ἵνα γὰρ πᾶσιν ὁ τόκος κατάδηλος γένηται, καὶ πάντας, καὶ τοὺς τότε παρόντας καὶ τοὺς μετὰ ταῦτα ἀκούοντας εἰς πίστιν τοῦ θαύματος ἐναγάγῃ, διὰ τοῦτο καὶ αὐτὴ τρέφει παιδίον καὶ τῆς γαλακτοτροφίας ἀνέχεται. καί φησι, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; τοῦτο τὸ καινὸν, καὶ παράδοξον, καὶ παρ' ἐλπίδα ἐμοὶ παρασχεθὲν, ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου; τί ἐστιν, ὅτι ἔτεκον υἱὸν ἐν γήρει μου; ὅτε καὶ αὐτὸς τῆς στειρώσεως ἱκανὸς ἦν, φησι, καὶ ὁ τῆς ἡλικίας χρόνος ἀπαγορεῦσαι τὸν τόκον, τότε πάντα τὰ κωλύματα ὁ δεσπότης ἐκποδὼν ποιησάμενος, καὶ τὸν τοῦ παιδὸς τὸν τόκον ἐμοὶ κεχάρισται, καὶ τοῦ γάλακτος τὰς πηγάς. ἀλλ' ἴδωμεν λοιπὸν τὰ ἑξῆς. ἐπειδὴ γὰρ ἀπήρτισε τὰ τῆς γαλακτοτροφίας,

9 Εἶδε, φησι, Σάῤῥα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραὰμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς. 10 Καὶ εἶπε τῷ Ἀβραὰμ, ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς. οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. 11 Σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ.

Ὅρα μοι, ἀγαπητὲ, ἐνταῦθα τὴν Σάῤῥαν πάλιν οὐ φέρουσαν τοῦ Ἰσμαὴλ τὴν πολλὴν παῤῥησίαν, οὐδὲ ἀνεκτῶς ἐνεγκεῖν δυναμένην τὸν τῆς παιδίσκης υἱὸν μετὰ τοῦ Ἰσαὰκ ἀναστρεφόμενον. ἀλλὰ καθάπερ πρώην καταστεῖλαι τῆς Ἄγαρ τὸ φρόνημα βουλομένη, διὰ τῆς σφοδρᾶς ἀγανακτήσεως εἰς φυγὴν αὐτὴν τραπῆναι παρεσκεύασεν, οὕτω καὶ νῦν βουλομένη ἐκ προοιμίων ἀναστεῖλαι τοῦ Ἰσμαὴλ τὴν προπέτειαν, καὶ μὴ φέρουσα ὁρᾶν τὸν ἐκ χάριτος τεχθέντα υἱὸν καὶ ἐξ αὐτῆς τοῦ Θεοῦ τῆς δωρεᾶς μετὰ τοῦ τῆς παιδίσκης τῆς Αἰγυπτίας συναναστρεφόμενον, φησὶ πρὸς τὸν Ἀβραάμ, ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς. οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου. ἐπειδὴ ᾔδει ὅτι καὶ αὐτὴ ἐν ἐσχάτῳ γήρᾳ τυγχάνει, καὶ τὸν πατριάρχην ἑώρα * προβεβηκότα (ἦσαν γὰρ ἀμφότεροι προβεβηκότες ἡμερῶν) ὑφορῶσα μήποτε ἀθρόον αὐτῶν τελευτησάντων ὁ Ἰσμαὴλ, διὰ τὸ ἐκ τῆς τοῦ πατριάρχου συνουσίας τεχθῆναι, ἐπιχειρήσει εἰς τὸν κλῆρον ἑαυτὸν τοῦ παιδὸς εἰσαγαγεῖν, καὶ κοινωνὸς γενέσθαι τῷ Ἰσαάκ, διὰ τοῦτό φησιν, ἔκβαλε τὴν παιδίσκην ἐντεῦθεν, καὶ τὸν υἱὸν αὐτῆς. μανθανέτω, φησὶν, ἤδη ὅτι οὐδὲν ἕξει ὁ τῆς παιδίσκης υἱὸς μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. οὐδὲ γὰρ εὔλογον τὸν τῆς δούλης υἱὸν μετὰ τοῦ υἱοῦ τοῦ ἐμοῦ τῆς δεσποίνης συναναστρέφεσθαι. ἀλλ' ἡ μὲν Σάῤῥα οὐκ ἀπεικὸς πρᾶγμα πέπονθεν, ἀλλὰ καὶ σφόδρα ἀκόλουθον, καὶ οὕτως ἀκόλουθον, ὡς καὶ τὸν Θεὸν συναινέσαι τοῖς παρ' αὐτῆς εἰρημένοις. ὁ δὲ πατριάρχης φιλόστοργος ὢν, καὶ συμπαθῶς διακείμενος πρὸς τὸν Ἰσμαὴλ, ἐπαχθῶς ἐδέξατο τὰ παρὰ τῆς Σάῤῥας εἰρημένα. σκληρὸν γάρ, φησιν, ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ. οὐδὲ γὰρ τῆς Ἄγαρ ἐποιήσατο λόγον, ἀλλὰ συμπαθῶς πρὸς τὸν παῖδα διέκειτο, ἅτε δὴ λοιπὸν ἐν ἡλικίᾳ γεγονότα. ἀλλὰ σκόπει μοι ἐνταῦθα τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν συγκατάβασιν. ἐπειδὴ γὰρ εἶδε καὶ τὴν Σάῤῥαν κατὰ τὸ εἰκὸς παθοῦσάν τι ἀνθρώπινον, καὶ δυσχεραίνουσαν ἐπὶ τῇ ὁμοτιμίᾳ τῶν παίδων, καὶ τὸν Ἀβραὰμ οὐ φέροντα πρᾴως τὴν ἐκβολὴν τοῦ Ἰσμαὴλ καὶ τῆς παιδίσκης (εἰ γὰρ καὶ μὴ ἀντέτεινε " τὴν Σάῤῥαν διὰ πολλὴν τὴν ἐπιείκειαν, ἀλλ' ὅμως σκληρὸν αὐτῷ κατεφαίνετο, ἀντὶ τοῦ βαρύ, φησι, καὶ ἐπαχθὲς καὶ φορτικόν) τότε λοιπὸν τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος ὁ δεσπότης, καὶ τῆς ὁμονοίας τὸν σύνδεσμον αὐτῶν συσφίγγων, 12 Φησὶ πρὸς τὸν Ἀβραάμ, μὴ σκληρὸν ἔστω ἐναντίον σου τὸ ῥῆμα περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. πάντα ὅσα ἂν εἴπῃ σοι Σάῤῥα, ἄκουσον τῆς φωνῆς αὐτῆς.

" τῆς Σάῤῥας

Μὴ δέξῃ, φησὶ, βαρέως τὸ παρ' αὐτῆς ῥηθέν σοι, ἀλλὰ πάντα ὅσα ἂν εἴποι σοι Σάῤῥα, ἄκουσον τῆς φωνῆς αὐτῆς. ταῦτα πάντα, φησὶν, ἅπερ σοι διαλέγεται περὶ τοῦ Ἰσμαὴλ καὶ τῆς Ἄγαρ καταδέξαι καὶ ὑπάκουσον τῆς φωνῆς αὐτῆς· μὴ θελήσῃς λυπῆσαι τὴν ἐν παντὶ τῷ χρόνῳ τοσαύτην περὶ σὲ τὴν φιλοστοργίαν ἐπιδειξαμένην, τὴν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον, ἵνα τοῦ θανάτου σε ἐξαρπάσῃ, ἑαυτὴν ἐκδεδωκυῖαν ὑπὲρ τῆς σῆς σωτηρίας, καὶ ὑπόθεσίν σοι γενομένην τοσαύτης περιφανείας· καὶ πρότερον μὲν μετὰ τοσούτου πλούτου ἀπὸ τῆς Αἰγύπτου ἐπανελθεῖν πεποιηκυῖαν· μετὰ ταῦτα δὲ τοσαύτης τιμῆς ποιήσασαν ἀξιωθῆναί σε ὑπὸ τοῦ Ἀβιμέλεχ. μὴ τοίνυν ἀνάσχῃ ἐναντία τοῖς παρ' αὐτῆς λεγομένοις βουλεύσασθαι. καὶ γὰρ οὐδὲ ἄλλως ἔσται.

Ἐν γὰρ τῷ Ἰσαὰκ τῷ παρ' αὐτῆς τεχθέντι τὸ σπέρμα σοι κληθήσεται,
Καὶ οὗτος ἔσται σου κληρονόμος, 13 Καὶ τὸν υἱὸν δὲ τοῦτον τῆς παιδίσκης αὐξηθῆναι παρασκευάσω, καὶ εἰς ἔθνος μέγα ποιήσω αὐτὸν, ἐπειδὴ σπέρμα σόν ἐστι.

Ποίει οὖν τὰ παρ' αὐτῆς σοι λεγόμενα, καὶ ὑπάκουε τῆς φωνῆς αὐτῆς. ἐννόησόν μοι λοιπὸν, ὅση ἀθρόον ἡ εἰρήνη καὶ ἡ ὁμόνοια εἰς τὸ συνοικέσιον αὐτῶν ἐπολιτεύετο, τῆς τοῦ Θεοῦ ἀγαθότητος τὸν σύνδεσμον αὐτῶν συσφιγγούσης.

14 Ἀνέστη γάρ, φησι, τῷ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν.

Ὅρα μοι πάλιν τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην, καὶ ὅπως διὰ πάντων τὸν φιλόθεον αὐτοῦ σκοπὸν δείκνυσιν. ὅτε μὲν γὰρ ἤκουσε τῆς Σάῤῥας λεγούσης, ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, πονηρὸν αὐτῷ ἐφάνη, ἐπειδὴ φιλοστόργως πρὸς τὸν Ἰσμαὴλ διέκειτο· ἐπειδὴ δὲ ὁ δεσπότης ἐκέλευσεν, εὐθέως ἐποίει τὸ ἐπιταχθέν. ὅταν γάρ, φησιν, αὐτὸς ἐπιτάττῃ, σχολαζέτω πάντα τὰ πάθη. ὁ γὰρ τῆς φύσεως ἐστὶ δεσπότης ὁ κελεύων.

Λαβοῦσα τοίνυν ἡ παιδίσκη, φησί, τοὺς ἄρτους καὶ τὸν ἀσκὸν τοῦ ὕδατος, ἐξῄει μετὰ τοῦ παιδίου.

Ἀλλ᾽ ὅρα μοι πάλιν διὰ τὴν πρὸς τὸν δίκαιον εὔνοιαν, πῶς καὶ αὐτὴ ἀξιοῦται τῆς κηδεμονίας τῆς ἄνωθεν. ἀπελθοῦσα τοίνυν ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ τοῦ ὕδατος ἀναλωθέντος, καὶ οὐδεμίαν οὐδαμόθεν εὑρίσκουσα παραμυθίαν,

15 Ἔρριψε, φησι, τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης, Καὶ διακοπτομένη τὰ σπλάγχνα, καὶ ὑπὸ τῆς ὀδύνης συνεχομένη καὶ τῆς πρὸς τὸ παιδίον φιλοστοργίας

16 Ἐκάθητο, φησιν, ἀπέναντι αὐτοῦ, ὡσεὶ τόξου βολήν. Εἶπε γάρ, οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἀναβοῆσαν τὸ παιδίον ἔκλαυσεν.

Ἀλλ᾽ ὁ ἐλεήμων καὶ φιλάνθρωπος Θεός, καὶ πατρὸς καὶ μητρὸς φιλοστοργίαν εἰς τὴν περὶ ἡμᾶς κηδεμονίαν ὑπερακοντίζων, εἰσήκουσε τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν, ᾤκτειρε τὸ παιδίον, ἠλέησε τὴν συμφορὰν τῆς Ἄγαρ· συνεχώρησεν αἴσθησιν αὐτὴν λαβεῖν τῆς ἐρημίας, καὶ εὐθέως τὴν παρ᾽ ἑαυτοῦ ἀντίληψιν ἐχαρίσατο.

17 Καὶ ἐκάλεσε, φησιν, ἄγγελος τοῦ Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν αὐτῇ, τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ. ἐπακήκοε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἐστιν. 18 Ἀνάστηθι, λάβε τὸ παιδίον, καὶ κράτησον τῆς χειρὸς αὐτοῦ. εἰς γὰρ ἔθνος μέγα ποιήσω" αὐτό. γρ. αὐτήν.

Ὢ φιλανθρωπίας δεσπότου. οὐκ ἐπειδὴ παιδίσκη ἦν, ὑπερεῖδεν αὐτήν, ἀλλ᾽ ἐπειδὴ ἐπαγγελίαν ἐποιήσατο πρὸς τὸν πατριάρχην, καὶ ἐπειδὴ ἐκείνου τὸ σπέρμα ἐτύγχανε, τοσαύτης προνοίας καὶ αὐτὴν ἀξιοῖ, καί φησι, τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ. ἐπήκουσε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου. ἀνάστηθι καὶ λάβε αὐτό, καὶ κράτησον" τῆς χειρὸς αὐτοῦ. γρ. τῇ χειρί σε αὐτό. * μὴ ἀθύμει, φησί, διὰ τὸ ἐκβληθῆναί σε τῆς οἰκίας· τοσαύτης γὰρ ἀπολαύσεται τῆς παρ᾽ ἐμοῦ προνοίας, ὡς καὶ εἰς ἔθνος μέγα γενέσθαι καὶ αὐτό. * εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό.

19 Καὶ ἤνοιξε, φησι, τοὺς ὀφθαλμοὺς αὐτῆς· Οὐκ ἐπειδὴ πρὸ τούτου οὐχ ἑώρα, ἀλλ᾽ ἐπειδὴ καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδὲν αὐτῇ ὄφελος ἐγένετο παρὰ τῆς ἄνωθεν ἐπισκοπῆς. διὰ τοῦτο ὅτε ἐβουλήθη τὴν παρ᾽ ἑαυτοῦ κηδεμονίαν ἐπιδείξασθαι, φησιν, ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτῆς, ἀντὶ τοῦ, ὑπέδειξεν αὐτῇ ἀγνοούσῃ, τὴν διάνοιαν αὐτῆς διήγειρεν, ὡδήγησεν αὐτήν, ὥστε ἰδεῖν τὸν τόπον τὸν ἀναβλύζοντα τοῦ ὕδατος τὰς πηγάς.

Καὶ εἶδε, φησι, φρέαρ ὕδατος ζῶντος, καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκόν, καὶ ἐπότισε τὸ παιδίον. Ἐν ἀπόροις πόρον ἐχαρίσατο ὁ κύριος, καὶ ἐν ἀμηχανίᾳ "τοιαύτῃ τυγχανούσῃ καὶ οὐδεμίαν ἐλπίδα σωτηρίας ἐχούσῃ τὴν οἰκείαν φιλοτιμίαν εἰς αὐτὴν ἐπεδείξατο, ὁμοῦ καὶ αὐτὴν παραμυθησάμενος, καὶ τοῦ παιδίου τὴν πρόνοιαν ποιησάμενος. γρ. αὐτῇ. οὕτως ὅταν βούληται ὁ Θεός, κἂν ἐν ἐρημίᾳ ὦμεν, κἂν ἐν αὐτοῖς τοῖς ἐσχάτοις κακοῖς, κἂν μηδεμίαν ἐλπίδα σωτηρίας ἔχωμεν, οὐδενὸς ἑτέρου δεησόμεθα, τῆς τοῦ Θεοῦ ῥοπῆς πάντα ἡμῖν γινομένης. ἐὰν γὰρ τὴν παρ᾽ αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα, οὐδεὶς ἡμῶν περιέσται, ἀλλὰ πάντων ἐσόμεθα μακαριώτεροι.

20 Καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου, φησί, καὶ ηὐξήθη, καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ.

Οὕτως, ὅταν εὐμενῆ τὸν Θεὸν ἔχωμεν, κἂν ἐν ἐρήμῳ ὦμεν, τῶν ἐν ταῖς πόλεσι διαγόντων ἀσφαλέστεροι διατρίψομεν. μεγίστη γὰρ ἀσφάλεια καὶ τεῖχος ἀκαταγώνιστον ἡ παρὰ τοῦ Θεοῦ ῥοπή. καὶ ἵνα μάθῃς ὅπως ὁ ἐν ἐρήμῳ τυγχάνων τοῦ ἐν μέσαις ταῖς πόλεσι διατρίβοντος, καὶ πολλῆς τῆς ἀνθρωπίνης συμμαχίας ἀπολαύοντος καὶ ἀσφαλέστερος καὶ δυνατώτερος καθέστηκεν, ἴδωμεν πῶς ὁ μὲν Δαβὶδ τόπους ἐκ τόπων ἀμείβων, καὶ καθάπερ ἀλήτης διάγων, ὑπὸ τῆς ἄνωθεν χειρὸς ἐτειχίζετο· ὁ δὲ Σαοὺλ ἐν μέσαις ταῖς πόλεσι τυγχάνων, καὶ στρατόπεδα τοσαῦτα ἑπόμενα καὶ δορυφόρους καὶ ὑπασπιστὰς ἔχων, καθ᾿ ἑκάστην ἡμέραν ἐδεδοίκει καὶ ἔτρεμε τῶν πολεμίων τὴν ἔφοδον. καὶ ὁ μὲν μόνος ὢν καὶ οὐδένα ἔχων μεθ᾿ ἑαυτοῦ ἕτερον, οὐκ ἐδεῖτο τῆς παρὰ τῶν ἀνθρώπων συμμαχίας· ὁ δὲ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα ἔχων, τῆς παρὰ τούτου βοηθείας ἔχρῃζεν· ὁ βασιλεὺς τοῦ ποιμένος ἐδεῖτο, καὶ ὁ τὸ διάδημα περικείμενος τοῦ ἰδιώτου. ἀλλ᾿, εἰ βούλεσθε, ἀνωτέρω ἀναγάγωμεν τὴν ἀκολουθίαν τοῦ λόγου, ἵνα πᾶσαν αὐτοῦ τὴν ἱστορίαν εἰς μέσον παραγαγόντες, μάθωμεν ὡς οὐδὲν ἰσχυρότερον τοῦ πεφραγμένου τῇ ἄνωθεν συμμαχίᾳ, καὶ οὐδὲν ἀσθενέστερον τοῦ ταύτης ἐρήμου τυγχάνοντος, κἂν ὑπὸ μυρίων στρατοπέδων κυκλούμενος ᾖ. οὗτος οὖν νέος ὢν κομιδῇ, καὶ διὰ τὸ τῆς ἡλικίας ἄωρον ἐν τῇ οἰκίᾳ τῇ πατρικῇ διάγων, ἐπειδή ποτε καιρὸς ἐκάλει, προτραπεὶς ὑπὸ τοῦ πατρὸς ἐπισκέψασθαι τοὺς ἑαυτοῦ ἀδελφούς, ὑπήκουσε καὶ ἀπεστέλλετο πρὸς αὐτούς. παραγενόμενος οὖν εἰς τὴν τούτων ἐπίσκεψιν, ἐπειδὴ εἶδε τὸν πόλεμον συνεστῶτα τὸν τοῦ ἀλλοφύλου Γολιὰθ, καὶ πάντα τὸν λαὸν καταπεπληχότα τὸν μετὰ τοῦ Σαούλ, καὶ αὐτὸν τὸν βασιλέα εἰς τὸν περὶ τοῦ παντὸς κίνδυνον καθεστῶτα, τέως θεατὴς ἐβούλετο γενέσθαι, καὶ ἀπῄει ἰδεῖν τὸ καινὸν καὶ παράδοξον, ὅτι εἷς ἄνθρωπος τοσούτων μυριάδων κατεξανίσατο. ἀλλ᾿ Ⓓ ἀδελφοὶ τοῦ φρονήματος αὐτοῦ οὐκ ἐνεγκόντες τὴν ἀνδρείαν, καὶ εἰς φθόνον διηγέρθησαν, καί φασι πρὸς αὐτόν, δι᾿ οὐδὲν ἕτερον ἐλήλυθας, ἢ ἵνα τὸν πόλεμον ἴδῃς; οὐδὲ γὰρ διὰ τὴν ἐπίσκεψιν τὴν ἡμετέραν παραγέγονας. ἀλλ᾿ ὅρα τούτου τὴν σύνεσιν καὶ τὴν πολλὴν ἐπιείκειαν. οὐδὲν ἀπρεπὲς πρὸς αὐτοὺς φθέγγεται, οὐδὲν τραχύ, ἀλλὰ καταστέλλων αὐτῶν τὴν φλόγα, καὶ τὸν φθόνον καταπραΰνων, φησίν, οὐχὶ ῥῆμά ἐστι; μὴ γὰρ ὅπλα με εἴδετε μεταχειριζόμενον; μὴ γὰρ παραταττόμενον ἐθεάσασθε; ἁπλῶς ἰδεῖν ἐβουλήθην, καὶ πυθέσθαι πόθεν αὐτῷ τῆς τοσαύτης μανίας ἡ ὑπερβολή. τίς γάρ ἐστιν ὁ ἀλλόφυλος, ὁ ὀνειδίζων παράταξιν Θεοῦ ζῶντος; εἶτα ἀκούων κἀκείνου τὴν πολλὴν μεγαλορρημοσύνην, καὶ τῶν μετὰ τοῦ Σαοὺλ ἀφιγμένων τὴν ἄφατον δειλίαν, φησί, τί ἔσται τῷ ἀνθρώπῳ τῷ τούτου τὴν κεφαλὴν ἐκτέμνοντι; καὶ πολλὴν τῆς ψυχῆς τὴν ἀνδρείαν ἐδείκνυ διὰ τῶν ῥημάτων πάντας εἰς ἔκπληξιν ἀγαγών. ταῦτα γνοὺς ὁ Σαοὺλ μεταπέμπεται τὸν νέον τὸν τῆς ποιμενικῆς πλέον εἰδότα οὐδέν, καὶ ἰδὼν αὐτοῦ τὴν ἡλικίαν ἐξευτέλισεν. εἶτα μαθὼν παρ᾿ αὐτοῦ, ὅπως τοῖς ἄρκοις ἐκέχρητο, ἡνίκα ἐπῄεσαν τοῖς ποιμνίοις (ἠναγκάσθη γὰρ ταῦτα διηγήσασθαι ὁ θαυμάσιος ἐκεῖνος, οὐ κενοδοξῆσαι βουλόμενος, ἀλλ᾿ εἰς ἀνάγκην καταστάς, ὥστε ἐκείνῳ θάρσος ἐνθεῖναι, καὶ μὴ πρὸς τὴν εὐτέλειαν τοῦ φαινομένου ἰδεῖν, ἀλλὰ πρὸς τὴν πίστιν τὴν ἔνδοθεν κρυπτομένην, καὶ τὴν συμμαχίαν τὴν ἄνωθεν, δι᾿ ἣν ὁ νέος τῶν ἀνδρῶν ἦν ἰσχυρότερος, καὶ ὁ ἄοπλος τῶν ὡπλισμένων, καὶ ὁ ποιμὴν τῶν στρατιωτῶν) εἶτα ἰδὼν αὐτοῦ τὸ παράστημα τῆς γνώμης, τὰ οἰκεῖα ὅπλα ἐνδύειν αὐτὸν ἐβούλετο. ὁ δὲ ταῦτα περιθέμενος οὐδὲ ἐνεγκεῖν αὐτὰ ἴσχυσε. τοῦτο δὲ ἐγίνετο, ἵνα γυμνὴ δειχθῇ ἡ τοῦ Θεοῦ δύναμις ἡ δι᾿ αὐτοῦ ἐνεργοῦσα, καὶ μὴ τοῖς ὅπλοις λογίσωνται τὰ γινόμενα. ἐπειδὴ γὰρ μετὰ τὸ ἐνδύσασθαι ταῦτα ἐχώλευεν, ἀπέθετο τὰ ὅπλα, καὶ τὴν ῥάβδον τὴν ποιμενικὴν λαβὼν καὶ τὰς βώλους, οὕτως ἐπὶ τὸν σαρκινὸν ἐκεῖνον πύργον ἐξῄει. ἀλλ᾿ ὅρα πάλιν καὶ τὸν ἀλλόφυλον πρὸς τὸ εὐτελὲς τῆς ἡλικίας ὁρῶντα, καὶ ἐντεῦθεν ἐξευτελίζοντα Ⓔ τὸν δίκαιον, καὶ καθάπερ παιδίου εὐτελοῦς κατεξανισάμενον διὰ τῶν

α Βασ. ιζ.

ῥημάτων. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν μετὰ τῆς κάδδου τῆς ποιμενικῆς ἐπ' αὐτὸν ὁρμήσαντα, καὶ τὰς βώλους μόνας ἐπιφερόμενον, μονονουχὶ πρὸς αὐτὸν ἔλεγε, ἐνόμισας σὺ πάλιν προβάτοις ἐφεστάναι, καὶ κύνας τινὰς ἐκδιώκειν, καὶ διὰ τοῦτο καθάπερ κύνα τινὰ ἐλαύνων, οὕτω μετὰ τῶν ὀργάνων ἐκείνων ἐπὶ τὴν πρὸς ἐμὲ μάχην ὥρμησας. ἄρτι σε ἡ πεῖρα διδάξει, ὡς οὐ πρὸς τὸν τυχόντα σοι ὁ πόλεμος. καὶ πολλῇ τῇ μεγαλορρημοσύνῃ χρησάμενος ἔσπευδε καὶ ἠπείγετο, καὶ τὴν πανοπλίαν ἐκίνει καὶ τὰ ὅπλα ἐξέτεινεν. ἀλλ' ὁ μὲν τῇ δυνάμει τῶν ὅπλων πεποιθὼς ἠπείγετο πρὸς τὴν μάχην· ὁ δὲ τῇ πίστει καὶ τῇ ἄνωθεν συμμαχίᾳ συμφράξας ἑαυτόν, καὶ πρότερον διὰ τῶν ῥημάτων τοῦ ἀλλοφύλου τὸ φρύαγμα κατενεγκών, καὶ εἰπὼν πρὸς αὐτόν, σὺ μὲν ἔρχῃ πρός με ἐν ὅπλῳ καὶ δόρατι, καὶ τῇ οἰκείᾳ ἰσχύϊ νομίζεις περιγενέσθαι· ἐγὼ δὲ ἐν ὀνόματι κυρίου τοῦ Θεοῦ. καὶ ταῦτα εἰπὼν καὶ αἰρόμενος ἐκ τῆς κάδδου τῆς ποιμενικῆς μίαν βῶλον, καθάπερ ὄντως κύνα τινὰ μέλλων ἀπελαύνειν ἐπιόντα τῇ ποίμνῃ, οὕτω τῇ σφενδόνῃ ἐξακοντίσας, παραχρῆμα κατὰ τοῦ μετώπου πλήξας τὸν ἀλλόφυλον κατήνεγκε, καὶ σπεύσας καὶ ἀφελὼν αὐτοῦ τὸ ξίφος, δι' ἐκείνου τὴν κεφαλὴν ἀποτεμών, οὕτως ἤνεγκε τῷ βασιλεῖ, καὶ τέλος τῷ πολέμῳ δέδωκε. καὶ δι' ἐκείνου καὶ ὁ βασιλεὺς τὴν σωτηρίαν εὕρατο, καὶ πᾶς ὁ τούτου στρατὸς ἀνέπνευσε. καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, τὸν ὡπλισμένον ὑπὸ τοῦ ἀόπλου κατενηνεγμένον, καὶ τὸν τὰ πολεμικὰ ἔμπειρον ὑπὸ τοῦ τῆς ποιμενικῆς πλέον εἰδότος μηδέν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ὁ μὲν τὴν ἄνωθεν εἶχε συμμαχίαν συνεφαπτομένην αὐτῷ· ὁ δὲ ταύτης ἔρημος ὢν ὑπὸ ταῖς τούτου χερσὶν ἐγένετο. ἀλλ' ὅρα λοιπὸν ἐνταῦθα τὸ πάθος τοῦ φθόνου ὅσην εἰργάσατο τὴν ἀτοπίαν. ἐπειδὴ γὰρ εἶδεν ὁ βασιλεὺς εὐφημίας πολλῆς ἀπολαύσαντα τὸν δίκαιον τοῦτον, καὶ τὰς χορευούσας λεγούσας, ἐνίκησε Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν, οὐκ ἐνεγκὼν πράως τὰ παρ' αὐτῶν ῥηθέντα (καίτοι κατὰ τὸν τοῦ δικαίου λόγον αὐτῷ μᾶλλον ἐχαρίσαντο, ἢ τῷ Δαβὶδ) ἡττηθεὶς ὑπὸ τοῦ φθόνου τὸν εὐεργέτην τοῖς ἐναντίοις λοιπὸν ἠμείβετο, καὶ ὃν ἐχρῆν σωτῆρα καὶ εὐεργέτην ἐπιγράφεσθαι, τοῦτον ἀνελεῖν ἐπεχείρει. ὢ μανίας ὑπερβολή, ὢ παραπληξίας ἐπίτασις. τὸν τὴν ζωὴν αὐτῷ χαρισάμενον, καὶ πάντα τὸν στρατὸν αὐτοῦ ἐλευθερώσαντα τῆς τοῦ ἀλλοφύλου μανίας, τοῦτον ὡς πολέμιον λοιπὸν ὑφεωρᾶτο, καὶ οὐδὲ ἔναυλος οὖσα ἡ εὐεργεσία περιεγίνετο τοῦ πάθους, ἀλλὰ καθάπερ ὑπὸ μέθης τινός, ὑπὸ τοῦ φθόνου σκοτωθεὶς τὸν τῆς διανοίας λογισμόν, τὸν εὐεργέτην ὡς πολέμιον ἑώρα. τοιοῦτον γὰρ ἡ κακία τοῦ πάθους τούτου· αὐτῷ πρότερον λυμαίνεται τῷ τοῦτο τίκτοντι. καὶ καθάπερ σκώληξ ὑπὸ τοῦ ξύλου τικτόμενος αὐτὸ πρότερον τὸ ξύλον καταναλίσκει, οὕτω καὶ ὁ φθόνος ἐκείνην πρότερον διαφθείρει τὴν τεκοῦσαν αὐτὸν ψυχὴν [καταναλίσκουσαν ἑαυτήν,] καὶ τὸ ἐναντίον ἢ βούλεται τὸν φθονούμενον διατίθησι. μὴ γάρ μοι τὰ προοίμια σκόπει ἐπὶ τῶν φθονουμένων, ἀλλὰ πρὸς τὸ τέλος ἀφόρα, καὶ ἐννόει ὅτι αὐτὴ ἡ κακία τῶν φθονούντων εἰς μείζονα περιφάνειαν ἄγει τοὺς φθονουμένους. οἱ μὲν γὰρ καὶ τὸν Θεὸν ἐφέλκονται εἰς συμμαχίαν, καὶ τῆς ἄνωθεν ἀπολαύουσι ῥοπῆς· ὁ δὲ ταύτης ἔρημος, πᾶσιν εὐεπιχείρητος γίνεται, καὶ πρὸ τῶν ἔξωθεν πολεμίων ὑπ' αὐτοῦ τοῦ πάθους πολιορκούμενος μονονουχὶ καταναλίσκεται, καὶ ὥσπερ ἀδήλοις γνάθοις κατεσθιόμενος, οὕτω δαπανώμενος ὑποβρύχιος, ὡς εἰπεῖν, γίνεται.

γρ. [illegible]

ΗΘΙΚΟΝ

Ὅπερ εἰδότες φεύγωμεν, παρακαλῶ, τὴν λύμην τοῦ πάθους, καὶ πάσῃ δυνάμει ἐξορίζωμεν τοῦτο τῆς ἑαυτῶν ψυχῆς. πάντων γὰρ τῶν παθῶν τοῦτο ὀλεθριώτερον, καὶ αὐτῇ ἡμῶν τῇ σωτηρίᾳ λυμαινόμενον. τοῦ γὰρ πονηροῦ διαβόλου ἐστὶν εὕρημα. διὸ καί

Σοφία β. κδ.

τις ἔλεγε, Φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. τί ἐστι φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον; ἐπειδὴ γὰρ εἶδε τὸ πονηρὸν τοῦτο θηρίον ἀθάνατον γενόμενον τὸν πρωτόπλαστον, διὰ τῆς οἰκείας πονηρίας εἰς τὴν τῆς ἐντολῆς παρακοὴν αὐτὸν ἤγαγε, καὶ δι᾽ ἐκείνης τοῦ θανάτου τὴν τιμωρίαν παρεσκεύασεν αὐτὸν ἐπισπάσασθαι. ὁ φθόνος τοίνυν τὴν ἀπάτην εἰργάσατο, ἡ ἀπάτη τὴν παρακοήν, ἡ παρακοὴ τὸν θάνατον. διὰ τοῦτό φησι, φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. εἶδες πόση τοῦ πάθους ἡ λύμη· τὸν ἀθανασίᾳ τιμηθέντα θανάτῳ ὑποκεῖσθαι πεποίηκεν. ἀλλ᾽ ὁ μὲν ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας τὸν οἰκεῖον φθόνον κινήσας, ὄντα ἀθάνατον τὸν πρωτόπλαστον θανάτῳ καταδικασθῆναι πεποίηκεν· ὁ δὲ κηδεμὼν καὶ φιλάνθρωπος διὰ τοῦ θανάτου τοῦ οἰκείου πάλιν τὴν ἀθανασίαν ἡμῖν ἐχαρίσατο, καὶ μείζονα ὧν ἀπωλέσαμεν, εὕραμεν. παραδείσου ἐκεῖνος ἐξήγαγε, καὶ εἰς τὸν οὐρανὸν οὗτος ἀνήγαγε· θανάτῳ καταδικασθῆναι ἐκεῖνος πεποίηκε, καὶ τὴν ἀθανασίαν ἡμῖν οὗτος ἐχαρίσατο· τῆς ἐν παραδείσῳ τρυφῆς ἀπεστέρησεν ἐκεῖνος, καὶ βασιλείαν ἡμῖν οὐρανῶν εὐτρέπισεν οὗτος. εἶδες τοῦ δεσπότου σου τὸ εὐμήχανον, καὶ ὅπως τὰ παρὰ τῆς βασκανίας ὅπλα τοῦ διαβόλου κατὰ τῆς ἡμετέρας σωτηρίας γεγυμνημένα, ἐκεῖνα αὐτὰ περιέτρεψεν εἰς τὴν αὐτοῦ κεφαλήν. οὐ μόνον γὰρ ἡμᾶς μειζόνων ἠξίωσεν, ἀλλὰ καὶ ἐκεῖνον ἡμῖν ὑποχείριον ἔδωκεν εἰπών, Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. ταῦτα τοίνυν ἅπαντα λογιζόμενοι καὶ τὸν φθόνον τῆς ἑαυτῶν ψυχῆς ἐξορίζωμεν, καὶ τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ ἐπισπασώμεθα. τοῦτο γὰρ ἡμῖν τὸ ὅπλον τὸ ἀκαταγώνιστον· τοῦτο ἡμῖν ἡ μεγίστη περιουσία. διὰ τοῦτο καὶ ὁ Ἰσμαὴλ καίτοι νέος καὶ ἐν ἐρημίᾳ ὢν καὶ πολλῇ ἀπορίᾳ, ἀθρόον ηὐξήθη καὶ εἰς ἔθνος μέγα ἐπέδωκεν· ἐπειδὴ ὁ Θεὸς ἦν, φησι, μετὰ τοῦ παιδίου. ἐντεῦθεν γὰρ ἡμῖν καὶ ὁ λόγος ἅπας ἐξεκυλίσθη. ὑπερίδωμεν οὖν, παρακαλῶ, τῶν παρόντων, ποθήσωμεν τὰ μέλλοντα, τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ πάντων προτιμῶμεν, καὶ διὰ τῆς ἀρίστης πολιτείας ἑαυτοῖς πολλὴν προαποθώμεθα τὴν παρρησίαν, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι δυνηθῶμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ι. ιθ.

Λογ. μζ. ΚΑΙ ΕΓΕΝΕΤΟ ΜΕΤΑ ΤΑ ΡΗΜΑΤΑ ΤΑΥΤΑ, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ.

Πολὺ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων τὸ κέρδος, καὶ ἄφατος ὁ θησαυρὸς ὁ τοῖς βραχέσι τούτοις ῥήμασιν ἐγκεκρυμμένος. τοιαῦτα γὰρ τὰ θεῖα λόγια· οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τῇ συντομίᾳ τῶν λόγων πολὺν ἐναποκείμενον ἔχει τὸν πλοῦτον. φέρε οὖν, ἀναπτύξωμεν τὰ εἰρημένα, καὶ καταμάθωμεν ἀκριβῶς τῶν σήμερον ἀναγνωσθέντων τὴν δύναμιν. οὕτω γὰρ πάλιν εἰσόμεθα καὶ τοῦ πατριάρχου τὴν πολλὴν ἀρετήν, καὶ τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν.

κεφ. κβ.

1 Καὶ ἐγένετο, φησι, μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ.

Τί βούλεται ταυτὶ τὰ ῥήματα, καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ; τί ἐστι καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα; σκόπει μοι τὴν θείαν γραφήν, πῶς ἐντεῦθεν ἤδη βούλεται ἐκκαλύψαι ἡμῖν τοῦ δικαίου τὴν ἀρετήν. καὶ ἐπειδὴ μέλλει διηγεῖσθαι τὴν πεῖραν τὴν παρὰ τοῦ Θεοῦ ἐπαγομένην τῷ Ἀβραάμ, πρότερον ἡμᾶς βούλεται τὸν καιρὸν διδάξαι, καθ᾽ ὃν ταῦτα ὁ πατριάρχης ἐπετάττετο, καὶ πότε τὸν Ἰσαὰκ ἀνενεγκεῖν ἐκελεύετο, ἵνα μάθῃς τὴν πολλὴν τοῦ πατριάρχου ὑπακοήν, καὶ ὅπως τῶν τῷ Θεῷ δοκούντων οὐδὲν προτιμῶν ἠνέχετο. τί οὖν ἐστιν, ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα; ἐπειδὴ γὰρ μετὰ τὸν τοῦ Ἰσαὰκ τόκον, ἡνίκα ἐθεάσατο ἡ Σάῤῥα τὸν Ἰσμαὴλ συναναστρεφόμενον τῷ Ἰσαάκ, καθάπερ χθὲς πρὸς ὑμᾶς διελέχθημεν, δυσχεράνασα πρὸς τοῦτο ἡ Σάῤῥα ἔλεγε πρὸς τὸν Ἀβραάμ· ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς (οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου) ἐφάνη δὲ τοῦτο σκληρὸν τῷ πατριάρχῃ, βουλόμενος ὁ Θεὸς παραμυθήσασθαι τὸν δίκαιον, φησίν, ὑπάκουσον Σάῤῥας τῆς γυναικός σου, καὶ ποίει τὸ παρ᾽ αὐτῆς λεχθέν· καὶ μὴ σκληρὸν σοι φαινέσθω τὸ περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. ἐν γὰρ τῷ Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· καὶ τοῦτον δὲ ποιήσω εἰς ἔθνος μέγα, ἐπειδὴ σπέρμα σόν ἐστι. καὶ πᾶσα ἡ ὑπόσχεσις αὐτῷ καὶ ἡ παρὰ τοῦ Θεοῦ ἐπαγγελία αὕτη ἦν, ὥστε εἰς πολὺ πλῆθος ἐκτείνεσθαι τοὺς ἐκ τοῦ Ἰσαὰκ "τικτομένους, καὶ ταύταις ταῖς ἐλπίσι τρεφόμενος ὁ δίκαιος διετέλει, καὶ ὡς τῶν τοσούτων καὶ ἐπαλλήλων θλίψεων καὶ πειρασμῶν τὰς ἀμοιβὰς κομισάμενος, καὶ ἐν ἀσφαλείᾳ λοιπὸν γεγονώς, καὶ ὁρῶν ἐν ὀφθαλμοῖς τὸν μέλλοντα διαδέχεσθαι αὐτοῦ τὸν κλῆρον, οὕτω μετὰ ἀδείας καθειστήκει μεγίστην ἐντεῦθεν παραμυθίαν καρπούμενος. ἀλλ᾽ ὁ τὰ ἀπόῤῥητα τῆς διανοίας ἐπιστάμενος, βουλόμενος [ἡμῖν] ἐκκαλύψαι τοῦ δικαίου τὴν ἀρετήν, καὶ τὸν πολὺν πόθον, ὃν περὶ "αὐτὸν ἐπιδείκνυται, μετὰ τὰς τοσαύτας ὑποσχέσεις, καὶ ταύτην τὴν πρόσφατον γεγενημένην, ἧς τὴν μνήμην ἔναυλον εἶχεν, ὅτε λοιπὸν ἐν ἡλικίᾳ γέγονεν ὁ Ἰσαάκ, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ἐτύγχανε, καὶ τὸν πόθον τοῦ πατρὸς τὸν περὶ αὐτὸν ἦν ἰδεῖν αὐξανόμενον, τότε μετὰ τὰ ῥήματα ταῦτα τῆς ἐπαγγελίας, καὶ μετὰ τὸ εἰπεῖν, ὅτι ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα, καὶ αὐτὸς ἔσται σου διάδοχος, μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ. τί ἐστιν, ἐπείραζεν; οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ "προσῆγεν αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες καὶ οἱ ἐξ ἐκείνου μέχρι τοῦ παρόντος παιδεύωνται τὸν αὐτοῦ πόθον τῷ πατριάρχῃ καὶ τὴν ὑπακοὴν ἐπιδείκνυσθαι περὶ τὰ τοῦ δεσπότου προστάγματα.

Καὶ εἶπέ, φησι, πρὸς αὐτόν, Ἀβραάμ, Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ.

Τί βούλεται ὁ τοῦ ὀνόματος διπλασιασμός; τῆς πολλῆς εὐνοίας τῆς περὶ τὸν πατριάρχην σημεῖόν ἐστι, καὶ ἐδείκνυ αὐτῷ καὶ διὰ τῆς κλήσεως, ὅτι μέλλει τι τῶν ἀναγκαίων αὐτῷ ἐπιτάττειν. παρασκευάζων τοίνυν αὐτὸν συντεῖναι ἑαυτὸν καὶ μετὰ σπουδῆς προσέχειν τοῖς παρ᾽ αὐτοῦ λεγομένοις, τῷ διπλασιασμῷ τῆς κλήσεως ἐχρήσατο, καί φησιν· Ἀβραάμ, Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. 2 Καὶ εἶπε, λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλήν, καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκαύτωσιν ἐφ᾽ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω.

Μέγας ὁ ὄγκος τοῦ ἐπιτάγματος, καὶ ὑπερβαῖνον ἀνθρωπίνην φύσιν τὸ πρόσταγμα. λαβὲ τὸν υἱόν σου, τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ. ὅρα πῶς δι᾽ αὐτῶν τῶν ῥημάτων μείζονα τὴν πυρὰν ἀνάπτει, καὶ τὴν κάμινον τῆς φιλοστοργίας τοῦ δικαίου, ἣν περὶ τὸν Ἰσαὰκ ἐκέκτητο, σφοδρότερον διεγείρει. λαβὲ τὸν υἱόν σου, τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ. ἕκαστον καθ᾽ ἑαυτὸ ἱκανὸν καθικέσθαι τῆς τοῦ δικαίου ψυχῆς. οὐ γὰρ ἁπλῶς εἶπε τὸν Ἰσαάκ, ἀλλὰ προσέθηκε τὸν υἱόν σου, ὃν παρὰ * προσδοκίαν ἐκτήσω, καὶ ἐν αὐτῷ τῷ γήρᾳ χαίρειν ἠδυνήθης, τὸν ἀγαπητόν, τὸν περιπόθητόν σου, ὃν μεθ᾽ ὑπερβολῆς ἀγαπᾷς, τὸν Ἰσαὰκ, ὃν διάδοχον ἕξειν προσδοκᾷς, δι' οὗ καὶ τὸ σπέρμα σου αὔξεσθαι ἐπηγγειλάμην, καὶ τοσοῦτον αὔξεσθαι, ὡς τῷ πλήθει τῶν ἄστρων, καὶ τῇ ἄμμῳ τῇ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἐξισωθῆναι. τοῦτον οὖν αὐτὸν λαβὲ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. θαυμάσαι μοι ἔπεισι, πῶς καὶ τὴν ἀκοὴν ἤνεγκεν ὁ δίκαιος. τοῦτον γὰρ αὐτὸν, φησι, τὸν οὕτω σοι περιπόθητον, ἀνένεγκέ μοι εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων. τί οὖν ὁ δίκαιος; οὐκ ἐταράχθη τὸν λογισμὸν, οὐ συνεχύθη τὴν διάνοιαν, οὐκ ἠπόρησε πρὸς τὸ ξένον τοῦ ἐπιτάγματος, οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο πρὸς ἑαυτὸν τοῦτο· * ὁ παρὰ πᾶσαν προσδοκίαν χαρισάμενος, ὁ διὰ τὴν οἰκείαν φιλανθρωπίαν τὴν μήτραν τῆς Σάρρας ζωογονήσας νεκρωθεῖσαν, λοιπὸν μετὰ τὸ γαλακτοτροφηθῆναι καὶ αὐξηθῆναι καὶ λοιπὸν ἐν ἡλικίᾳ γενέσθαι, σφαγιάσαι τὸ τεχθέν μοι κελεύει, καὶ εἰς ὁλοκαύτωσιν ἀνενεχθῆναι. ὁ πρὸ βραχέως εἰπὼν, ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα, νῦν τὰ ἐναντία ἐπιτάττει. καὶ πῶς ἂν εἰς ἔργον ἐξέλθοι ποτὲ τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα; πῶς γὰρ οἷόν τε τῆς ῥίζης ἐκτεμνομένης, τοὺς κλάδους φῦναί ποτε, ἢ τοῦ δένδρου ἐκκοπτομένου τὸν καρπὸν ἐνεχθῆναι, ἢ τῆς πηγῆς ξηρανθείσης ποταμοὺς ἀναδοθῆναι; κατὰ μὲν ἀνθρωπίνην ἀκολουθίαν ταῦτα γενέσθαι ἀμήχανον· Θεοῦ δὲ βουληθέντος ταῦτα πάντα γενέσθαι, δυνατόν. ἀλλὰ τούτων μὲν οὐδὲν ἐλογίσατο ὁ δίκαιος οὗτος, ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης, πάντα λογισμὸν ἀνθρώπινον παρωσάμενος, ἑνὸς μόνου ἐγίνετο, τοῦ τὸ ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν, καὶ ὥσπερ ἐκτὸς γεγονὼς τῆς ἀνθρωπείας φύσεως, καὶ πᾶσαν συμπάθειαν καὶ πατρικὴν φιλοστοργίαν δευτέραν ἡγησάμενος, τῶν τοῦ Θεοῦ προσταγμάτων ἐπὶ τὴν ἐκπλήρωσιν ἔσπευδε.

3 Καὶ ἀναστὰς, φησιν, Ἀβραὰμ τῷ πρωῒ ἐπέσαξε τὴν ὄνον αὐτοῦ. παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀναστὰς ἐπορεύθη, καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς, τῇ ἡμέρᾳ τῇ τρίτῃ.

Ὅρα πῶς καὶ ἐν τῷ διαστήματι βασανίζει τοῦ δικαίου τὴν ἀρετὴν ὁ φιλάνθρωπος δεσπότης. ἐννόησον γὰρ τί ὑπέμενεν ἐν τρισὶ νυξὶν ὁ δίκαιος ἐκεῖνος καθ' ἑαυτὸν ἀναλογιζόμενος, καὶ οὐδενὶ ἑτέρῳ ἔχων κοινώσασθαι, καὶ ἐννοῶν ὅτι αὐτὸς μέλλει ταῖς οἰκείαις χερσὶ τὸν οὕτω περιπόθητον σφάζειν. καὶ σκόπει τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ ᾔδει τὸ μέγεθος τοῦ ἐπιτάγματος, οὐδενὶ ὅλως τοῦτο γνώριμον ποιεῖ, οὔτε τοῖς παισὶν, οὔτε αὐτῷ τῷ Ἰσαὰκ, ἀλλὰ μόνος καθ' ἑαυτὸν τὸν ἀγῶνα τοῦτον ἠγωνίζετο, καὶ καθάπερ ἀδάμας τις οὕτως ἀκαταγώνιστος ἔμενε, τὴν ἀνδρείαν τῶν λογισμῶν ἐπιδεικνύμενος, οὐδὲ πολυπραγμονῶν, ἀλλ' εἴκων μετὰ πολλοῦ τοῦ πόθου τῷ τοῦ Θεοῦ νεύματι.

4 Καὶ ἐπειδὴ πρὸς τὸν τόπον ἔφθασεν, ἀναβλέψας, φησὶν, Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν, 5 Καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου.

Ὅρα καὶ ἐνταῦθα τοῦ δικαίου τὴν πολλὴν σύνεσιν· καὶ τοὺς παῖδας λαθεῖν ἐβούλετο, διὰ πάντων δεικνὺς, ὅτι μετὰ προθυμίας ζεούσης καὶ ἐπιτεταμένου πόθου πληρῶσαι ἐβούλετο τὸ τῷ Θεῷ δοκοῦν. ἐπειδὴ γὰρ ᾔδει ὅτι καινὸν καὶ παράδοξον ἦν, καὶ οὐ πρότερον ὑφ' ἑτέρου γεγονὸς, τὸ παρ' αὐτοῦ μέλλον γίνεσθαι, κρύπτει τοὺς παῖδας, καὶ καταλιπὼν αὐτοὺς μετὰ τῆς ὄνου, φησὶν, ἐνταῦθα ἀναμείνατε.

Ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες ἀνακάμψομεν πρὸς ὑμᾶς. Οὐκ εἰδὼς, ὅτι τοῦτο ἔσται, ἔλεγεν, ἀλλὰ καὶ προεφήτευσε μὲν, ἴσως τοῦτο ἀγνοῶν, ἔλεγε δὲ τοῖς παισὶν ὥστε δόξαι ἀπατᾶν αὐτοὺς, καὶ παρασκευάζειν αὐτόθι μένειν. καὶ λοιπὸν ἦν ὁ πατριάρχης μετὰ τοῦ παιδός.

6 Ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαυτώσεως, καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ. ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα.

Ὢ ψυχῆς ἀνδρεία, ὢ φρονήματος στεῤῥότης. ἐπέθηκέ, φησι, τῷ Ἰσαὰκ τὰ ξύλα τῆς ὁλοκαυτώσεως· αὐτὸς δὲ τὴν μάχαιραν καὶ τὸ πῦρ ἔλαβε, καὶ ἐπορεύοντο οἱ δύο ἅμα. ποίοις ὀφθαλμοῖς ἑώρα τὸ παιδίον τὰ ξύλα ἐπιφερόμενον, οἷς ἔμελλεν αὐτὸν μετ' οὐ πολὺ ἐπιθύσειν; πῶς ἡ χεὶρ φέρειν ἠδύνατο τὸ πῦρ καὶ τὴν μάχαιραν; καὶ ἡ μὲν χεὶρ ἐπεφέρετο τὸ πῦρ τὸ αἰσθητὸν, τὸ δὲ ἔνδοθεν πῦρ κατέφλεγεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἐδαπάνα τὸν λογισμόν. ἀλλ' ἐνίκα ὁ πρὸς τὸν Θεὸν πόθος, καὶ ἐλογίζετο ὅτι ὁ ἤδη παρασχὼν, καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην αὐτὸν γεννηθῆναι παρασκευάσας, δυνήσεται καὶ νῦν τὰ ὑπερβαίνοντα τὸν ἀνθρώπινον λογισμὸν ἐργάσασθαι. ἀλλ' ὅρα μοι λοιπὸν παρὰ τοῦ αἰσθητοῦ πυρὸς τὴν ἔνδοθεν κατὰ μικρὸν ἐξαπτομένην κάμινον καὶ φλέγουσαν τοῦ δικαίου τὴν ψυχήν.

7 Εἶπε δέ, φησιν, Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ.

Ἱκανὸν τὸ ῥῆμα τῶν σπλάγχνων αὐτῶν τοῦ δικαίου καθάψασθαι.

Ὁ δὲ εἶπε, τί ἐστι τέκνον; Πατέρα καλεῖς τὸν μετὰ μικρὸν ἄπαιδα ἐσόμενον, κἀγὼ τέκνον προσαγορεύω τὸν μετ' οὐ πολὺ μέλλοντα ἐπὶ τὸν βωμὸν ἀνιέναι, καὶ ὃν ταῖς οἰκείαις χερσὶ μέλλω σφάζειν. Εἶτα ὁ παῖς φησιν,

Ἰδοὺ τὸ πῦρ ἐπιφέρῃ, κἀγὼ τὰ ξύλα. ποῦ ἐστι τὸ θῦμα τὸ μέλλον προσάγεσθαι; ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς τὴν ὁλοκάρπωσιν; Ἐννόει μοι ἐνταῦθα τοῦ δικαίου τὴν βάσανον, πῶς ἤνεγκε τὴν ἀκοήν· πῶς ἴσχυσεν ἀποκρίνασθαι τῷ παιδί· πῶς οὐ συνεχύθη· πῶς ἤνεγκε ταμιεύσασθαι, καὶ μὴ κατάδηλον ποιῆσαι τῷ παιδὶ τὸ μέλλον ἔσεσθαι. ἀλλά φησι γενναίῳ φρονήματι καὶ ἀνδρείᾳ τῇ ψυχῇ,

8 Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον.

Ὅρα καὶ ἐνταῦθα πῶς οὐκ εἰδὼς πάλιν μηνύει τὸ μέλλον ἔσεσθαι. ἔδοξε γὰρ διὰ τῆς ἀποκρίσεως παραλογίζεσθαι τὸν Ἰσαὰκ, ἀλλ' ἐκεῖνον μὲν διὰ τῶν ῥημάτων πρὸς τὸ παρὸν ἔπεισεν, αὐτὸς δὲ μείζονα τὴν ὀδύνην καὶ ἐπιτεταμένην ὑπέμενε, τὰ ῥήματα αὐτὰ στρέφων ἐν τῇ διανοίᾳ, καὶ ἐννοῶν τοῦ παιδὸς τὴν εὐμορφίαν τὴν ἔξωθεν, τῆς ψυχῆς τὸ κάλλος, τὸ πειθήνιον, τὸ ἐπέραστον, αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος. 9 Πορευθέντες δὲ ἀμφότεροι ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός. Παρεγένοντο, φησιν, ἐπὶ τὸ ὄρος τὸ ὑψηλὸν, ὅπερ αὐτῷ ὁ Θεὸς ἐγνώρισε, Καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον. Πάλιν ἐκπλήττομαι τοῦ δικαίου τὴν ἀνδρείαν, πῶς ἠδυνήθη τὸ θυσιαστήριον οἰκοδομῆσαι, πῶς ἴσχυσε, πῶς οὐ διελύθη ὑπὸ τῆς ἀγωνίας. ἀλλὰ καὶ τὸ θυσιαστήριον ᾠκοδόμησε,

Καὶ ἐπέθηκε τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν *ἐπὶ τὸ θυσιαστήριον, 10 Καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα, ἀλλ' ἐννοήσωμεν πῶς οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχὴ, πῶς ἤνεγκε ταῖς οἰκείαις χερσὶ συμποδίσαι, καὶ τοῖς ξύλοις ἐπιθεῖναι τὸν ἀγαπητὸν, τὸν ἐπέραστον, τὸν μονογενῆ. καὶ ἐξέτεινέ, φησιν, Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. ὢ φιλοθέου ψυχῆς, ὢ γνώμης ἀνδρείας, ὢ πόθου ἐπιτεταμένου, ὢ λογισμοῦ νικῶντος ἀνθρωπίνην φύσιν. ἔλαβέ, φησι, τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. τίνα θαυμάσω καὶ ἐκπλαγῶ; τοῦ πατριάρχου τὸ ἀνδρεῖον φρόνημα, ἢ τοῦ παιδὸς τὴν ὑπακοήν; ὅτι οὐκ ἀπεσκίρτησεν, οὐδὲ ἐδυσχέρανε πρὸς τὸ γινόμενον, ἀλλ' ἐπείθετο, καὶ εἶκε τοῖς ὑπὸ τοῦ πατρὸς γινομένοις, καὶ καθάπερ ἀρνίον μεθ' ἡσυχίας τῷ βωμῷ ἐπέκειτο, ἀναμένων τοῦ πατρὸς τὴν δεξιάν; ἀλλ' ἐπειδὴ τὰ τῆς γνώμης ἅπαντα ἀπηρτίσθη, καὶ οὐδὲν λοιπὸν ἐνέλιπε, δεικνὺς ὁ ἀγαθὸς δεσπότης ὅτι οὐ σφαγῆναι τὸν παῖδα βουλόμενος ταῦτα ἐπέταξεν, ἀλλὰ τοῦ δικαίου θέλων ἐκκαλύψαι τὴν ἀρετήν, ἀπὸ τῆς γνώμης στεφανώσας τὸν δίκαιον, καὶ ἀπὸ τῆς προαιρέσεως τοῦ πατριάρχου τὴν ἀπηρτισμένην θυσίαν δεξάμενος, λοιπὸν τὴν οἰκείαν ἐπιδείκνυται φιλανθρωπίαν.

11 Καὶ ἐκάλεσεν αὐτόν, φησιν, ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν, Ἀβραάμ, Ἀβραάμ. Ἐπειδὴ γὰρ ἑώρα συντεταμένον τὸν δίκαιον, καὶ ἕτοιμον ὄντα πρὸς τὴν σφαγήν, καὶ τὸ ἐπίταγμα πληρῶσαι βουλόμενον, διὰ τοῦτο καλεῖ αὐτὸν ἐκ τοῦ οὐρανοῦ, καί φησιν, Ἀβραάμ, Ἀβραάμ. καλῶς καὶ ἐνταῦθα τῷ διπλασιασμῷ ἐχρήσατο, ἵνα περιελκύνηται τῆς ὁρμῆς τοῦ δικαίου, καὶ μονονουχὶ διὰ τῆς φωνῆς κατάσχῃ τοῦ πατριάρχου τὴν δεξιὰν ἐπειγομένην πρὸς τὴν τοῦ παιδὸς σφαγήν.

Καὶ εἶπεν, ἰδοὺ ἐγώ. 12 Καὶ εἶπε, μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων, ὅτι φοβῇ τὸν Θεόν σύ, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ.

Μὴ ἐπιβάλλῃς, φησί, τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον. οὐ τὸ ἔργον γενέσθαι βουλόμενος τοῦτο ἐπέταξα, οὐδὲ σφαγῆναι θέλων τὸν παῖδα τὸν σόν, ἀλλὰ τὴν ὑπακοὴν τὴν σὴν ἅπασι κατάδηλον ποιῆσαι. μὴ τοίνυν ποιήσῃς αὐτῷ μηδέν· ἀρκοῦμαι γὰρ τῇ γνώμῃ τῇ σῇ, καὶ ἐντεῦθεν στεφανῶ καὶ ἀνακηρύττω σε. νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν. ὅρα λέξεως συγκατάβασιν. τί οὖν; πρὸ τούτου ἠγνόει τοῦ δικαίου τὴν ἀρετήν, καὶ νῦν ἔγνω ὁ τῶν ὅλων δεσπότης; οὐ τοῦτό φησιν, ὅτι αὐτὸς νῦν ἔγνω· ἀλλὰ τί; νῦν, φησιν, ἅπασιν " ἐγνώρισα, ὅπως εἰλικρινῆ τὸν φόβον ἔχεις τὸν πρὸς τὸν Θεόν. ἐγὼ μὲν γὰρ ᾔδειν τὸν ἐμὸν θεράποντα· τὰ δὲ νῦν παρὰ σοῦ γενόμενα τοῖς τε νῦν οὖσι, ταῖς τε μετὰ ταῦτα γενεαῖς διδασκαλίας ὑπόθεσις γενήσεται." ἐγνώρισα γὰρ νῦν ἅπασιν, ὅπως φοβῇ τὸν Θεόν, καὶ τὰ προσταττόμενα εἰς ἔργον ἀγαγεῖν σπεύδεις, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, τοῦ σφόδρα σοι περιποθήτου, καὶ γνησίως ὑπὸ σοῦ ἀγαπωμένου οὐκ ἐφείσω δι' ἐμέ, διὰ τὸ πρόσταγμα τὸ ἐμόν, διὰ τὸ ἐπίταγμα τὸ παρ' ἐμοῦ· ἀλλὰ προετίμησας τὸ παρ' ἐμοῦ κελευσθὲν τοῦ παιδὸς τοῦ σοῦ. διὰ τοῦτο καὶ τὸν παῖδα δέχου τὸν σὸν (ἐκ γὰρ τούτου σοι ἐπηγγειλάμην τὸ σπέρμα τὸ σὸν ἐκταθήσεσθαι) καὶ τὸν ἐπὶ " τῇ ὑπακοῇ στέφανον ἀναδησάμενος ἄπιθι. ἐγὼ γὰρ τὴν προαίρεσιν οἶδα στεφανοῦν, καὶ ἀπὸ τῆς γνώμης τὰ βραβεῖα παρέχειν. εἰς ἔργον γὰρ ἐκβῆναι προσήκει τὰ παρὰ σοῦ ῥηθέντα καὶ τοῖς παισὶ τοῖς σοῖς καὶ τῷ Ἰσαάκ. ἐκείνοις γὰρ ἐπηγγείλω, ὅτι προσκυνήσαντες ἀναστρεψόμεθα, καὶ τοῦτο ἤδη ἔσται· καὶ τῷ παιδὶ πυνθανομένῳ, ποῦ ἐστι τὸ πρόβατον, ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, εἶπας. ἰδοὺ οὖν ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ὅρα τὸ προρρηθὲν παρὰ σοῦ πρόβατον, ὅπερ ἀντὶ τοῦ παιδὸς ὁλοκαρπώσεις.

13 Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος τῶν κεράτων ἐν φυτῷ σαβέκ. καὶ ἐπορεύθη Ἀβραάμ, καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ.

Εἰδώς σου, φησι, τῆς γνώμης τὸ φιλόθεον, ἰδοὺ ὅπερ προλαβὼν εἶπες τῷ παιδί, τοῦτό σοι παρεσκεύασα. καὶ ἔλαβε καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. εἶδες Θεοῦ φιλανθρωπίαν. καὶ ἡ θυσία ἀπηρτίσθη, καὶ ὁ πατριάρχης τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης ἐπεδείξατο, καὶ ἀπὸ τῆς προαιρέσεως τὸν στέφανον ἐκομίσατο, καὶ τὸν Ἰσαὰκ λαβὼν ἐπανῄει μετὰ μυρίων στεφάνων. ταῦτα δὲ πάντα τύπος ἐγίνετο τοῦ σταυροῦ. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἔλεγεν, Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη. πῶς εἶδεν ὁ πρὸ τοσούτων γεγενημένος χρόνων;

Ιωα. η. νϛ.]

χρόνων; διὰ τοῦ τύπου, διὰ τῆς σκιᾶς. καθάπερ γὰρ ἐνταῦθα τὸ πρόβατον προσηνέχθη ἀντὶ τοῦ Ἰσαάκ, οὕτως ὁ λογικὸς ἀμνὸς προσηνέχθη ὑπὲρ τῆς οἰκουμένης. ἔδει γὰρ ἐν τῇ σκιᾷ προδιαγραφῆναι τὴν ἀλήθειαν. ὅρα μοι γάρ, ἀγαπητέ, πῶς ἅπαντα διὰ τῆς σκιᾶς προετυποῦτο· μονογενὴς ἐκεῖ, καὶ μονογενὴς ἐνταῦθα· ἀγαπητὸς ἐκεῖ καὶ γνήσιος, Ματθ. ιζ. ε. ἀγαπητὸς καὶ ἐνταῦθα καὶ γνήσιος. Οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, φησιν. ὑπὸ τοῦ πατρὸς ἐκεῖνος εἰς ὁλοκαύτωσιν ἀνεφέρετο, καὶ τοῦτον ὁ πατὴρ ἐξέδωκε. καὶ βοᾷ Παῦ- Ῥωμ. η. λβ. λος λέγων, Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. μέχρι τούτου ἡ σκιά, λοιπὸν δὲ τῶν πραγμάτων ἡ ἀλήθεια πολὺ τὸ ὑπερέχον ἐπιδείκνυται. ὁ γὰρ ἀμνὸς οὗτος ὁ λογικὸς ὑπὲρ ἁπάσης τῆς οἰκουμένης προσεφέρετο, οὗτος τὴν οἰκουμένην ἅπασαν ἐξεκάθηρεν, οὗτος τοὺς ἀνθρώπους τῆς πλάνης ἠλευθέρωσε, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήγαγεν, οὗτος τὴν γῆν οὐρανὸν ἐποίησεν, οὐ τῶν στοιχείων ἐναλλάξας τὴν φύσιν, ἀλλὰ τὴν ἐν τοῖς οὐρανοῖς πολιτείαν εἰς τοὺς ἐπὶ γῆς ἀνθρώπους μεταστήσας. διὰ τοῦτο πᾶσα ἡ τῶν δαιμόνων θεραπεία λέλυται, διὰ τοῦτο οὐκ ἔτι λίθοις καὶ ξύλοις προσκυνοῦσιν ἄνθρωποι, οὐδὲ οἱ λόγῳ τετιμημένοι τοῖς ἀναισθήτοις ὑποκύπτουσιν, ἀλλὰ πᾶσα ἀπελήλαται πλάνη, καὶ τὸ τῆς ἀληθείας φῶς τὴν οἰκουμένην κατηύγασεν. εἶδες τῆς ἀληθείας τὴν ὑπεροχήν· εἶδες τί μὲν ἡ σκιά, τί δὲ ἡ ἀλήθεια.

14 Καὶ ἐκάλεσε, φησιν, Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει κύριος ὤφθη.

Ὅρα τοῦ δικαίου τὴν φιλόθεον γνώμην, πῶς ἑκάστοτε ἐκ τῶν συμβαινόντων τὰς προσηγορίας τοῖς τόποις ἐπιτίθησι. τὴν γὰρ παρὰ τοῦ Θεοῦ γενομένην ἐπίσκεψιν βουλόμενος, καθάπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας, φησί, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, κύριος εἶδεν. ἤρκει μὲν οὖν πρὸς ἀμοιβὴν τῷ δικαίῳ καὶ τὸ ζῶντα ἐπαναγαγεῖν τὸν Ἰσαάκ, καὶ τὸ ἀξιωθῆναι τῶν ἐγκωμίων ἐκείνων τῶν ″ μεγάλων, τὸ νῦν ἔγνων ὅτι φοβῇ τὸν Θεόν σύ· ἀλλ' ὁ φιλότιμος ταῖς δωρεαῖς ἀεὶ νι- γρ. μακάρων κῶν καὶ ταῖς εὐεργεσίαις τὴν ἔννοιαν τὴν ἡμετέραν, ἐπιδαψιλεύεται καὶ νῦν τοῦ δικαίου τὴν γνώμην, καὶ ἀμειβόμενός φησι πάλιν πρὸς αὐτόν·

15 Καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ, 16 Λέγων, κατ' ἐμαυτοῦ ὤμοσα λέγει κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, 17 Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων,

18 Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Ἐπειδὴ ἐπλήρωσας, φησι, τὸ ἐπίταγμα τὸ ἐμόν, καὶ τὴν οἰκείαν ὑπακοὴν διὰ πάντων ἐπεδείξω, διὰ τοῦτο ἄκουε, ὅτι κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος. ὅρα Θεοῦ συγκατάβασιν. κατ' ἐμαυτοῦ, φησιν, ὤμοσα, ἵνα θαῤῥεῖν ἔχῃ ὅτι πάντως ἔσται τὰ παρ' αὐτοῦ εἰρημένα. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι ἐπὰν δὴ ὅρκον ἐπιθῶσι τοῖς ἐπαγγελθεῖσι, τότε ὡς βεβαίαν τὴν ὑπόσχεσιν δεξάμενοι, οὕτω διάκεινται οἱ τὴν ἐπαγγελίαν ἐσχηκότες· διὰ τοῦτο καὶ ὁ δεσπότης τῇ ἀνθρωπίνῃ συνηθείᾳ χρησάμενος, φησι, κατ' ἐμαυτοῦ ὤμοσα, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. σκόπει μοι φιλανθρωπίαν δεσπότου. οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. καὶ μὴν ζῶντα αὐτὸν ἐπανάγει. ἀλλὰ μὴ τῷ τέλει προσσχῇς, ἀγαπητέ, ἀλλὰ τῇ γνώμῃ καὶ ὅσον τὸ ἀπὸ τῆς οἰκείας προαιρέσεως ἤμαξε τὴν δεξιὰν ὁ πατριάρχης, καὶ κατὰ τῆς δέρρας τοῦ παιδὸς ἐπαφῆκε τὸ ξίφος, καὶ ἀπηρτισμένην ἀπειργάσατο τὴν θυσίαν. διὸ καὶ ὁ δεσπότης, ὡς εἰς ἔργον τῆς θυσίας ἐνεχθείσης, οὕτω τὸν ἔπαινον τοῦ δικαίου συντίθησι, καί φησιν, ὅτι οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. σὺ μὲν οὐκ ἐφείσω διὰ τὸ ἐμὸν πρόσταγμα, ἐγὼ δὲ ἐφεισάμην διὰ τὴν σὴν ὑπακοήν. ἕνεκεν οὖν τῆς ὑπακοῆς ταύτης ἀμειβόμενός σε εὐλογήσω καὶ πληθύνων πληθυνῶ σε. ὅρα εὐλογίας ἐπίτασιν, ἀντὶ τοῦ, ἐπὶ πλέον πληθυνῶ τὸ σπέρμα σου. οὗτος γὰρ ὁ τῇ γνώμῃ σου σφαγιασθεὶς οὕτως εἰς πλῆθος ἐκτεινόμενον ἕξει τὸ σπέρμα, ὡς τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι, καὶ πάντα τὰ ἔθνη ἐνευλογηθῆναι ἐν τῷ σπέρματί σου, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς. ταῦτα δέ σοι, φησιν, ἅπαντα ἔσται διὰ τὴν πολλὴν ὑπακοήν.

ΗΘΙΚΟΝ

Ἆρα τῶν μυρίων ἡμῖν ἀγαθῶν πρόξενος γίνεται τὸ ὑπακούειν τῷ δεσπότῃ, καὶ πείθεσθαι αὐτοῦ τοῖς προστάγμασι, καὶ ὁμοίως τῷ πατριάρχῃ τούτῳ μὴ περιεργάζεσθαι τὰ παρ' αὐτοῦ ἐπιταττόμενα· ἀλλὰ καθάπερ εὐγνώμονας οἰκέτας πληροῦν τὰ διατεταγμένα, καὶ περὶ τούτων λόγον παραχωρεῖν τῷ δεσπότῃ. ἐὰν οὖν οὕτω παιδεύσωμεν ἑαυτούς, δυνησόμεθα καὶ τὴν αὐτὴν ὑπακοὴν τῷ δικαίῳ ἐπιδείξασθαι, καὶ τῶν αὐτῶν στεφάνων ἐπιτυχεῖν. πῶς δὲ ὑπακούσωμεν; ἐὰν τὰς ἐντολὰς αὐτοῦ διὰ τῶν ἔργων πληρῶμεν. Οὐ γὰρ οἱ ἀκροαταί, φησι, τοῦ νόμου δικαιωθήσονται, ἀλλ' οἱ ποιηταί. Ρω. β. ιγ. τί γὰρ ὄφελος, ἐὰν καθ' ἑκάστην μὲν ἀκούωμεν, ἀμελῶμεν δὲ τῆς τούτων ἐργασίας; διὸ παρακαλῶ, ἐπὶ τὴν ἐργασίαν [αὐτῶν] τῶν ἔργων σπεύσωμεν (οὐδὲ γὰρ ἄλλως σωθῆναι δυνατόν) ἵνα καὶ τὰ ἡμαρτημένα ἀπονιψώμεθα, καὶ τῆς παρ' αὐτοῦ τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μη. ΑΠΕΚΡΙΘΗΣΑΝ ΔΕ ΟΙ ΥΙΟΙ ΤΟΥ ΧΕΤ

πρὸς Ἀβραάμ, καὶ εἶπον, βασιλεὺς παρὰ Θεοῦ εἶ σὺ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου.

ΕἼδετε χθές, ἀγαπητοί, τοῦ πατριάρχου τὴν ἀνδρείαν· εἴδετε ψυχὴν ἀδάμαντος στερροτέραν, πῶς τὸ ἦκεν εἰς αὐτὸν διὰ τὸν περὶ τὸν Θεὸν πόθον ἱερεὺς τοῦ παιδὸς ἐγένετο, καὶ τῇ μὲν γνώμῃ ἤμαξε τὴν δεξιάν, καὶ τὸ ἱερεῖον προσήνεγκε· διὰ δὲ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν σῶον καὶ ὑγιῆ τὸν παῖδα λαβὼν ἐπανήει, καὶ ἀπὸ τῆς προαιρέσεως ἀνεκηρύττετο ὁ πατριάρχης, καὶ τὸν στέφανον λαμπρὸν ἀνεδήσατο, καὶ τοῦτον τελευταῖον ἀγῶνα ἠγωνίσατο, ἵνα διὰ πάντων τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης ἅπασι γένηται κατάδηλον. ἴδωμεν καὶ σήμερον τοῦ δικαίου τούτου τὸ φιλόστοργον, ὅπως ποιεῖται τοῦ παιδὸς τὴν κηδεμονίαν. ἐπειδὴ γὰρ μετὰ τὸ ἀπὸ τῆς θυσίας ταύτης ἐπανελθεῖν τῆς καινῆς καὶ παραδόξου διεδέξατο αὐτὸν τῆς Σάρρας τὸ πένθος, αἰτήσας παρὰ τῶν υἱῶν Χὲτ κτῆσιν τάφου, καὶ πριάμενος τὸν τόπον ἀπέθετο τὸν νεκρόν, καὶ ταύτην πρώτην ἀρχὴν κτήσεως ποιεῖται ὁ πατριάρχης διὰ τὴν τῆς Σάρρας τελευτήν. δεικνῦσα γὰρ ἡμῖν ἡ θεία γραφὴ διὰ πάντων τοῦ δικαίου τὴν ἀρετήν, καὶ ὅτι ὡς πάροικος καὶ παρεπίδημος ἅπαντα διῆγε τὸν χρόνον, καὶ τοῦτο ἐπεσημήνατο, ἵνα μάθωμεν ὅτι ὁ τοσαύτης ἀπολαύων τῆς ἄνωθεν συμμαχίας, καὶ οὕτω περιφανὴς γεγονώς, καὶ ἐπὶ το-

Γεν. κγ. σοῦτον πλῆθος ἐκταθεὶς οἰκετῶν, οὐκ ἐκτήσατο, καθάπερ νῦν ποιοῦσιν, ἀγροὺς καὶ κώμας καὶ πολλήν τινα καὶ ἄφατον περιουσίαν. εἶχε γὰρ ἀρκοῦντα πλοῦτον τὸν ἀπὸ τῆς γνώμης, καὶ οὐδεμίαν περὶ ταῦτα ἐποιεῖτο τὴν σπουδήν. ἀκουέτωσαν οἱ ἀθρόον καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ τὰ πάντων περιβαλλόμενοι, καὶ πανταχοῦ, ὡς εἰπεῖν, τῆς οἰκείας πλεονεξίας τὴν ἐπιθυμίαν ἐκτείνοντες, καὶ μιμείσθωσαν τὸν πατριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τῆς Σάῤῥας τὸ λείψανον ἐσχηκότα, μέχρις ὅτε καὶ ὑπ' αὐτῆς τῆς ἀνάγκης ὠθούμενος, ὠνήσατο τὸν ἀγρὸν καὶ τὸ σπήλαιον παρὰ τῶν υἱῶν Χέτ. ὅτι γὰρ περίβλεπτος ἦν παρὰ τοῖς τὴν Χαναναίαν οἰκοῦσιν, ἄκουε τῶν υἱῶν Χὲτ πρὸς αὐτὸν λεγόντων.

Γεν. κγ. 6 Βασιλεὺς παρὰ Θεοῦ σὺ εἶ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσῃ τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ.

Ἀλλ' ὅρα τὸν δίκαιον, ὅπως κἀκείνους παιδεύει δι' αὐτῶν τῶν ἔργων τὴν οἰκείαν φιλοσοφίαν, καὶ οὐ πρότερον ἀνέχεται λαβεῖν τὸ μνημεῖον, πρὶν ἂν τὴν δικαίαν καταβάλλῃ τιμήν. εἰ γὰρ καὶ ὑμεῖς, φησιν, οὕτω περὶ ἐμὲ εὐγνώμονες γεγόνατε, ἀλλ' ἐγὼ οὐκ ἀνέξομαι, εἰ μὴ πρότερον τὴν δέουσαν τιμὴν καταβάλλοιμι, λαβὼν παρ' ὑμῶν τὸ μνημεῖον. 19 Καὶ δοὺς, φησι, τὸ ἀργύριον ἔλαβε τὸ μνημεῖον, καὶ ἔθαψε Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ. Καὶ ὁ οὕτω περιφανὴς καὶ περίβλεπτος, καὶ τοσαύτην παῤῥησίαν παρὰ τῷ Θεῷ ἔχων, καὶ παρὰ πάντων, ὡς εἰπεῖν, τῶν αὐτόθι τοσαύτης ἀπολαύων θεραπείας, ὡς καὶ τοὺς υἱοὺς Χὲτ βασιλέα αὐτὸν ὀνομάζειν, οὐδὲ βῆμα ποδὸς ἐκέκτητο. διὰ τοῦτο

Ἑβ. ια. θ. καὶ ὁ μακάριος Παῦλος ἀνακηρύττων τοῦ δικαίου τούτου τὴν ἀρετὴν γράφων ἔλεγε, Πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. εἶτα διδάσκων ἡμᾶς πῶς πίστει παρῴκησεν, ἐπήγαγεν, ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. τῇ ἐλπίδι, φησὶ, τῶν μελλόντων ὑπερεώρα τῶν παρόντων, καὶ τῇ προσδοκίᾳ τῶν μειζόνων ἔλαττον ἐφρόντιζε τούτων τῶν ἐν τῷ παρόντι βίῳ, καὶ ταῦτα πρὸ τοῦ νόμου, πρὸ τῆς χάριτος. ποίαν οὖν ἕξομεν ἡμεῖς ἀπολογίαν, εἰπέ μοι, οἱ μετὰ τοσαύτας ἐπαγγελίας καὶ τὰς ὑποσχέσεις τῶν ἀποῤῥήτων ἀγαθῶν πρὸς τὰ παρόντα ἐπτοημένοι, καὶ ὠνούμενοι ἀγροὺς, καὶ πανταχοῦ φαιδρύνεσθαι σπουδάζοντες, καὶ ἀπὸ πλεονεξίας καὶ ἁρπαγῆς ταῦτα ἅπαντα συλλέγοντες, καὶ ὅπερ ὁ μακά-

Ησ. ε. η. ριος προφήτης θρηνῶν ἔλεγε, τοῦτο διὰ τῶν ἔργων πληροῦντες, Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι; ἢ οὐχὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ὁρῶμεν γινόμενα, καὶ χήρας μὲν ἁρπαζομένας, ὀρφανοὺς δὲ ἀποδυομένους, καὶ τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατωτέρων πιεζομένους; ἀλλ' οὐχ ὁ δίκαιος οὗτος· ἀλλὰ καὶ μνημεῖον ὠνήσασθαι βουληθεὶς, ἐπειδὴ εἶδεν ἑτοίμους διαδοῦναι βουλομένους τοὺς αἰτηθέντας, οὐ πρότερον ἠνέσχετο, πρὶν ἢ τὴν δικαίαν κατέβαλε τιμήν. ἅπερ ἐννοοῦντες, ἀγαπητοὶ, μιμησώμεθα οἱ ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μὴ περὶ τὴν τῶν πλειόνων ἐπιθυμίαν ἐκκαιόμενοι, μεῖζον ἑαυτοῖς καὶ σφοδρότερον ἐπισωρεύωμεν τὸ πῦρ τὸ ἄσβεστον, τὴν φλόγα τὴν ἀφόρητον. ἀκουσόμεθα γὰρ, εἰ ἐπιμείνοιμεν ταῖς τοιαύταις

Λουκ. ιβ. κ. ἁρπαγαῖς καὶ πλεονεξίαις, τὰ πρὸς τὸν πλούσιον ἐκεῖνον εἰρημένα, Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; τίνος γὰρ ἕνεκεν, ἀγαπητὲ, τοσαῦτα συλλέγειν σπουδάζεις, ἅπερ μετ' οὐ πολὺ μέλλων ἐντεῦθεν ἀφαρπάζεσθαι καταλείψεις ἐνταῦθα, οὐ μόνον οὐδὲν ἀπ' αὐτῶν καρπώσασθαι δυνηθεὶς, ἀλλὰ καὶ τὸ φορτίον τῶν ἁμαρτημάτων ἐπὶ τῶν οἰκείων ὤμων ἐπιφερόμενος,

κεφ. κδ.

καὶ ἃ πέπρακται λοιπὸν μεταγινώσκων. καὶ τὰ μὲν παρὰ σοῦ μετὰ πλεονεξίας συλλεγέντα πολλάκις καὶ εἰς τὰς τῶν ἐχθρῶν χεῖρας ″ἐλεύσεται· αὐτὸς δὲ τὴν ἐπὶ τούτοις δίκην ἀπαιτηθήσῃ. ποίας οὖν οὐκ ἂν εἴη τοῦτο παραφροσύνης, τὸ ἑτέροις πονεῖσθαι, καὶ αὐτὸς τὴν ἐπὶ τούτοις δίκην διδόναι; ἀλλ' εἰ καὶ πρότερον οὕτω τὰ καθ' ἑαυτοὺς ῥαθύμως διεθήκαμεν, νῦν γοῦν τὸ δέον βουλευσώμεθα, καὶ μὴ * ἁπλῶς περιβάλλεσθαι σπουδάζωμεν πολλὴν τὴν περιουσίαν, ἀλλὰ πολλὴν τοῦ δικαίου ποιώμεθα πρόνοιαν. οὐδὲ γὰρ μέχρι τοῦ παρόντος στήσεται τὰ ἡμέτερα, οὐδὲ ἐπὶ τῆς ξένης διὰ παντὸς ἐσόμεθα, ἀλλὰ μετ' οὐ πολὺ εἰς τὴν οἰκείαν ἐπανήξομεν πατρίδα. πάντα οὖν ποιῶμεν, ὥστε μὴ ἐκεῖ ἐν ἐνδείᾳ ἡμᾶς γενέσθαι. τί γὰρ ὄφελος ἐν ξένῃ μὲν πολὺν τὸν πλοῦτον καταλιπεῖν, ἐν δὲ τῇ οἰκείᾳ πατρίδι μηδὲ τῶν ἀναγκαίων τὴν χρείαν ἔχειν; σπεύσωμεν οὖν, παρακαλῶ, ὡς ἔτι καιρὸς, καὶ ″τὰ ἐπὶ τῆς ξένης ἐκεῖ μεταθῶμεν. εἰ γὰρ καὶ πολὺ τὸ διάστημα, ἀλλὰ σφόδρα εὔκολος ἡ μετακομιδή. καὶ γὰρ οἱ μετακομίζοντες ἕτοιμοι, καὶ μετὰ ἀσφαλείας ἐκεῖσε βαδίζοντες, καὶ ἐν ἀσύλῳ θησαυρῷ ἀποτιθέμενοι, ἅπερ ἂν δι' αὐτῶν παραποστεῖλαι δυνηθῶμεν. αἱ γὰρ τῶν πενήτων χεῖρες εἰς τὰ ταμιεῖα τῶν οὐρανῶν ἀποτίθενται τὰ παρ' ἡμῶν διδόμενα. ὅταν οὖν καὶ ἡ εὐκολία ᾖ τοσαύτη καὶ ἀσφάλεια, τίνος ἕνεκεν ἀναδυόμεθα, οὐχὶ δὲ μετὰ πάσης σπουδῆς τοῦτο διαπραττόμεθα, ἵνα ἐκεῖ ταῦτα εὕρωμεν, ἔνθα μάλιστα αὐτῶν χρῄζομεν; διὰ τοῦτο καὶ ὁ πατριάρχης οὗτος, ὡς ἀλλοτρίαν, κατῴκει τὴν Χαναναίαν, ἐπειδὴ ἐκείνην ἐξεδέχετο τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. ἐὰν τοίνυν βουληθῶμεν τὸν δίκαιον τοῦτον μιμήσασθαι, καὶ ἡμεῖς εἰς ἐκείνην καταντήσωμεν ἄν, καὶ εἰς τοὺς κόλπους τοῦ πατριάρχου φθάσωμεν. ἡ γὰρ κοινωνία τῶν πράξεων, καὶ τῆς ἀπολαύσεως τὴν κοινωνίαν ἡμῖν χαρίζεται. ἀλλ', εἰ δοκεῖ, ἐπανέλθωμεν λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ἴδωμεν μετὰ τὸν τῆς Σάῤῥας θάνατον, ὅσην ὁ δίκαιος ποιεῖται φροντίδα τοῦ παιδὸς, τοῦ Ἰσαὰκ λέγω. ἀκούσωμεν τοίνυν τῆς θείας γραφῆς διηγουμένης ἡμῖν.

1 Καὶ Ἀβραάμ, φησιν, ἦν πρεσβύτερος, προβεβηκὼς ἡμερῶν, καὶ κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα. κεφ. κδ.

Τίνος ἕνεκεν τοῦτο ἡμῖν ἐπεσημήνατο; ἐπειδὴ μέλλει φροντίδα ποιεῖσθαι τοῦ Ἰσαὰκ καὶ σπουδὴν, ὥστε νύμφην αὐτῷ ἀγαγέσθαι, διὰ τοῦτο ἐσήμανεν ἡμῖν τὴν ἡλικίαν τοῦ πατριάρχου. ἡνίκα γὰρ, φησι, πρὸς ἔσχατον γῆρας ἤλασε, βουλόμενος τὸν Ἰσαὰκ τῆς τῶν Χαναναίων″ συγγενείας ἀπαλλάξαι, ἵνα μὴ ἐκεῖθεν ἀγάγηται γυναῖκα, καλέσας, φησὶ, τῶν οἰκετῶν τὸν εὐνούστερον, ἐντέλλεται αὐτῷ περὶ τούτου, καί φησι·

2 Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου.

Τῇ μὲν Ἑλλάδι γλώττῃ οὕτω γέγραπται, ὑπὸ τὸν μηρόν μου· ἐν δὲ τῇ Ἑβραΐδι φασὶν, ὑπὸ τὴν ὀσφύν. καὶ τίνος ἕνεκεν τοῦτο ποιεῖ; ἐπειδὴ ἐντεῦθεν ἡ ἀρχὴ τῆς γεννήσεως τοῦ Ἰσαὰκ γέγονεν. ἰδίωμα γὰρ τοῦτο τῶν παλαιῶν ἀνδρῶν. καὶ ἵνα μάθῃς ὅτι συνηθείας τινὸς ἦν τὸ γινόμενον, ὅρα αὐτὸν ἐπιτάττοντα τὴν μὲν χεῖρα αὐτόθι ἐπιθεῖναι, εὐθέως δὲ ἐπάγοντα,

3 Καὶ ἐξορκιῶ σε κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ, καὶ τὸν Θεὸν τῆς γῆς.

Ὅρα πῶς καὶ τὸν οἰκέτην διδάσκει εἰδέναι τὸν τῶν ἁπάντων δημιουργόν. εἰπὼν γὰρ, Θεὸν οὐρανοῦ καὶ Θεὸν γῆς, ἅπασαν τὴν κτίσιν συμπεριέλαβε. καὶ τίς ὁ ὅρκος;

Ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων Χαναναίων, μεθ' ὧν ἐγὼ κατοικῶ ἐν αὐτοῖς· 4 Ἀλλ' εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν.

Εἶδες τὴν ἐντολὴν τοῦ πατριάρχου τὴν πρὸς τὸν οἰκέτην γενομένην. μὴ ἁπλῶς γὰρ παραδράμῃς τὰ εἰρημένα, ἀλλ' ἐννόησον τὸν σκοπὸν τοῦ δικαίου, καὶ λόγισαι ὅπως τὸ παλαιὸν ἐποιοῦντο σπουδήν, οὐ χρημάτων ἐπιζητοῦντες περιουσίαν, οὐ πολὺν πλοῦτον, καὶ ἀνδράποδα καὶ πλέθρα γῆς τόσα καὶ τόσα, οὐ τὸ ἔξωθεν κάλλος τῆς εὐμορφίας, ἀλλὰ τῆς ψυχῆς τὸ κάλλος ἐπεζήτουν, καὶ τρόπων εὐγένειαν. ἐπειδὴ γὰρ εἶδε τῶν ἐν τῇ Χαναναίᾳ οἰκούντων τὴν πονηρίαν, εἰδὼς ὅσον ἐστὶν ἀγαθὸν ὁμότροπον ἔχειν σύζυγον, διατάττεται τῷ παιδί, καὶ ὅρκον προστίθησιν, ὥστε ἐκ τῆς συγγενείας αὐτοῦ ἀγαγέσθαι τῷ Ἰσαὰκ γυναῖκα. καὶ οὔτε τὸ διάστημα ″ τοῦ τόπου, οὔτε αἱ ἄλλαι δυσκολίαι ὀκνηρότερον αὐτὸν περὶ τοῦτο πεποιήκασιν· ἀλλ' εἰδὼς τοῦ πράγματος τὸ ἀναγκαῖον, πᾶσαν ποιεῖται τὴν σπουδήν, καὶ ἀποστέλλει τὸν οἰκέτην. ἀλλ' ὁ μὲν πατριάρχης ἐπιμελόμενος τῆς κατὰ ψυχὴν ἀρετῆς τοῦ Ἰσαάκ, καὶ φεύγων τῶν ἐγχωρίων τὴν πονηρίαν, τοῦτο ποιεῖ· οἱ δὲ νῦν ἅπαντες οὐκ ἄν ποτε ἀνάσχοιντο τοιοῦτόν τι ἐννοῆσαι, ἀλλὰ κἂν μυρίων ᾖ κακῶν ἀνάμεστος ὁ νυμφίος, ἢ καὶ ἡ κόρη, ἓν μόνον ἐπιζητοῦσι, τῶν χρημάτων τὴν περιουσίαν, καὶ πάντα τὰ ἄλλα δεύτερα αὐτοῖς νενόμισται· οὐκ εἰδότες ὅτι γνώμης διεφθαρμένης οὔσης, κἂν ἄφατος ἐπιρρέῃ πλοῦτος, θᾶττόν τις εἰς ἐσχάτην πενίαν ἥξει, καὶ οὐδὲν ὄφελος ἔσται τῆς περιουσίας, οὐκ οὔσης τῆς οἰκονομεῖν ταῦτα δυναμένης δεόντως ψυχῆς. ἀλλ' ὁ μὲν πατριάρχης ἀρκοῦσαν τῷ παιδὶ τὴν ἐντολὴν ἐποιήσατο, καὶ ὅρκοις αὐτὸν συνέδησεν. ἴδωμεν δὲ λοιπὸν τὴν εὐγνωμοσύνην τοῦ οἰκέτου, ὅπως ἐζήλου τοῦ δεσπότου τὸ φιλόθεον. ἐπειδὴ γὰρ εἶδε μετὰ πολλῆς σφοδρότητος ἐντελλόμενον τὸν δίκαιον,

γρ. τῆς πόλεως,

5 Φησὶ πρὸς αὐτόν· ἐὰν μὴ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, βούλει τὸν υἱόν σου ἀποστρέψω εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν; Ἵνα μή, φησι, δυσκολίας τινὸς παρεμπεσούσης ἐκβαίνειν δόξω τὰς ἐντολάς ″ σου, διὰ τοῦτο πυνθάνομαι, τί δέοι με ″ διαφυλάξασθαι, καὶ εἰ ἀρεστόν σοι τὸν Ἰσαὰκ ἐκεῖ ἀπελθεῖν, ὥστε λαβόντα τὴν γαμετὴν οὕτως ἐπανελθεῖν, εἰ μὴ ἀνάσχοιτο, καθάπερ ἐνετείλω, ἡ κόρη μεθ' ἑαυτοῦ παραγενέσθαι. τί οὖν ὁ δίκαιος; ἀπαγορεύει τοῦτο αὐτῷ, καί φησι·

γρ. πύσομαι,

γρ. διαφυλάττεσθαι,

6 Πρόσεχε σεαυτῷ· μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. Οὐ χρεία σοι γενήσεται τούτου, φησίν. ὁ γὰρ τὴν ἐπαγγελίαν πρὸς μὲ ποιησάμενος, καὶ ἐπὶ τοσοῦτον αὐξηθῆναι τὸ σπέρμα αὐτοῦ ὑποσχόμενος, αὐτός σοι καὶ τοῦτο εὐοδώσει. μὴ τοίνυν ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. 7 Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ Θεὸς τῆς γῆς.

Ὅρα πῶς καὶ ἀνωτέρω ὁρκῶν τὸν παῖδα, τὸν δημιουργὸν τῶν ὅλων αὐτὸν ἐκπαιδεύει· καὶ νῦν μέλλων ἐπεύχεσθαι, τὰ αὐτὰ ῥήματά φησι, διὰ πάντων παιδεύων τὸν οἰκέτην ἐπ' ἐκεῖνον τὴν πεποίθησιν ἔχοντα, οὕτω τῆς ὁδοιπορίας ἅψασθαι, καὶ θαρρεῖν καὶ ὑπὲρ τοῦ τέλους. διδάσκει γὰρ αὐτὸν ὅσης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπήλαυσε τῆς παρὰ τοῦ τῶν ὅλων Θεοῦ ″ προνοίας, καὶ ὅτι αὐτὸς οὗτος, ὁ καὶ ἐκ τῆς οἰκείας πατρίδος ἀναστήσας, καὶ μέχρι νῦν τὰ κατ' αὐτὸν οὕτως οἰκονομήσας, καὶ ἐν αὐτῷ τῷ γήρᾳ τοῦ Ἰσαὰκ τὸν τόκον χαρισάμενος, αὐτὸς καὶ τὰ προκείμενα αὐτῷ κατευοδώσει.

γρ. εὐνοίας.

Κύριος ὁ Θεός, φησι, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς ἧς ἐγενήθην, αὐτός ἐστιν, ὃς ἐλάλησέ μοι, λέγων, σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, Οὗτος ὁ τοσαύτην περὶ ἐμὲ τὴν κηδεμονίαν ἐπιδειξάμενος, Αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. Θαρρῶν, φησιν, ἄπιθι. πέπεισμαι γάρ, ὅτι ὁ τοσαύτην περὶ ἐμὲ τὴν εὐεργεσίαν ἐπιδειξάμενος, καὶ ταύτην προσθήσει ταῖς προλαβούσαις, καὶ ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. αὐτός σοι προοδοποιήσει ἅπάντα, αὐτός σοι καὶ τὴν γυναῖκα γνώριμον ποιήσει, καὶ λαβὼν αὐτὴν ἥξεις.

8 Ἐὰν δὲ γένηται, ὃ μὴ γένοιτο, καὶ ἀντιτείνῃ ἡ γυνὴ τοῦ μὴ πορευθῆναι, ἀλλότριος ἔσῃ ἀπὸ τῆς ἀρᾶς τοῦ ὅρκου. τὸν μέντοι υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. Οὐκ ἀμφιβάλλω γὰρ ὅτι κατευοδώσει σοι κύριος. Καὶ δεικνὺς ὅπως ἐπεποίθει τῇ τοῦ Θεοῦ δυνάμει, ἀπαγορεύει τῷ παιδὶ τὸν Ἰσαὰκ ἐκεῖσε ἀπαγαγεῖν. Εἶτα ἐπειδὴ μετὰ ἀκριβείας "διετείλατο τῷ παιδὶ, καὶ ἀπήλλαξεν αὐτὸν τῆς φροντίδος (ἐδεδοίκει γὰρ ὁ παῖς, μὴ ἐπιορκήσας ἁλῷ τὸ προσταχθὲν μὴ πληρώσας) 9 Θείς, φησι, τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν, ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου, Ὥστε μὴ τὸν Ἰσαὰκ ἐκεῖ ἀπαγαγεῖν. Εἶδες πῶς ἐκ προοιμίων ἔδειξεν ὁ οἰκέτης τὴν εὔνοιαν τὴν περὶ τὸν δεσπότην· ὅρα λοιπὸν αὐτὸν ἐκ τῆς τοῦ πατριάρχου διδασκαλίας βελτίω γινόμενον καὶ μιμούμενον τοῦ δικαίου τὸ φιλόθεον. 10 Λαβὼν γάρ, φησιν, ὁ παῖς τὰς καμήλους καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ, ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ, 11 Καὶ ἐκοίμισε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψὲ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι,

"διεστείλατο

12 Καὶ εἶπε· κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ.

Ὅρα τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην. τὸν τῆς οἰκουμένης δεσπότην ἀπὸ τοῦ πατριάρχου ὀνομάζει. κύριε γὰρ ὁ Θεός, φησι, τοῦ κυρίου μου Ἀβραάμ, ὁ τοσαύτας περὶ αὐτὸν εὐεργεσίας ἐπιδειξάμενος. καὶ τί θαυμάζεις, εἰ ὁ οἰκέτης αὐτὸν οὕτω καλεῖ Θεὸν Ἀβραάμ; αὐτὸς ὁ τῶν ὅλων Θεὸς δεικνὺς, ὅπως τῶν δικαίων τὴν ἀρετὴν περὶ πολλοῦ ποιεῖται, φησιν, ἐγώ εἰμι ὁ Θεὸς Ἰακὼβ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἀβραάμ.

Κύριε, φησιν, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ εὐόδωσον ἐναντίον μου σήμερον, καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. Πλήρωσόν, φησι, καὶ εἰς ἔργον ἐλθεῖν ποίησον τὰ δόξαντα αὐτῷ· ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ, τὴν ἐπιθυμίαν αὐτοῦ πλήρωσον. Εἶτα, φησιν, 13 Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ. 14 Καὶ ἔσται ἡ παρθένος, ἣ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου ἵνα πίω, καὶ εἴπῃ μοι, πίε, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ.

Ἐξοδ. γ. ς.

Ὅρα τοῦ οἰκέτου τὴν σύνεσιν. ἐπειδὴ γὰρ ᾔδει τοῦ πατριάρχου τὸ φιλόξενον, καὶ ὅτι τὴν κόρην τὴν ἐκεῖσε μέλλουσαν ἀπάγεσθαι, ὁμότροπον εἶναι προσήκει τῷ δικαίῳ, οὐδὲν ἕτερον τεκμήριον ἐπιζητεῖ, ἀλλ' [ἢ] ἀπὸ τῆς γνώμης τὴν φιλοξενίαν χαρακτηρίσαι βούλεται τῆς κόρης, καί φησιν· ἐὰν ἐμοῦ αἰτήσαντος παρ' αὐτῆς τὸ ὕδωρ, ἐπικλίνῃ μοι τὴν ὑδρίαν, καὶ μὴ μόνον τὸ αἰτηθὲν ποιήσῃ, ἀλλὰ καὶ τὴν δαψίλειαν τῆς οἰκείας γνώμης ἐπιδείξηται καὶ εἴπῃ, καὶ ταῖς καμήλοις σου ἐφυδρεύσομαι, ἀρκοῦσαν ἀπόδειξιν παρέχει διὰ τῆς τοῦ ὕδατος παροχῆς τῆς τῶν τρόπων ἐπιεικείας. ἐννόησον γάρ μοι, ἀγαπητέ, ὅσοι ἦν κόρην ἁπαλὴν ὑδρευομένην οὐ μόνον μὴ ἀναδύεσθαι πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ καθεῖναι τὴν ὑδρίαν ἀπὸ τῶν ὤμων, καὶ παρασχεῖν ἐμφορηθῆναι τῷ αἰτοῦντι, καὶ ταῦτα ξένῳ ὄντι καὶ οὐδαμόθεν γνωρίμῳ, καὶ οὐ μόνον τούτῳ, ἀλλὰ καὶ ταῖς καμήλοις ἁπάσαις ὑδρεύσασθαι, καὶ δεῖξαι διὰ τῶν γινομένων τῆς ἐν τῇ ψυχῇ εὐγενείας τὰ τεκμήρια. ἢ οὐκ ἴστε ὅτι πολλοὶ καὶ ἄνδρες ὄντες ἀναδύουσι πολλάκις πρὸς τὰς τοιαύτας αἰτήσεις; καὶ τί λέγω ὕδατος "παροχήν; ἐνίοτε δᾷδας κατέχοντες, καὶ ὑπὸ τῶν παριόντων παρακαλούμενοι, ὥστε παρασχεῖν βραχὺ ἀναμεῖναι, ἵνα λύχνον ἀνάψωσιν, οὐδὲ τοῦτο ποιῆσαι ἀνέχονται, καὶ ταῦτα οὐ πυρὸς οὐδὲ μίαν ἐλάττωσιν ὑπομένοντος, κἂν μυρίοι ὦσιν οἱ μέλ-

"παρέχειν;

λοντες ἀπελθεῖν. ἐνταῦθα δὲ καὶ γυνὴ καὶ κόρη καὶ ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσα, οὐ μόνον οὐκ ἐδυσχέρανε πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ αἰτήσει, καὶ τὸ ποτὸν παρέχει, καὶ ἐξ οἰκείας γνώμης καὶ ταῖς καμήλοις ὑδρεύσασθαι ἐπείγεται. ὁ γὰρ φιλάνθρωπος Θεὸς ἐπινεύσας ταῖς τοῦ πατριάρχου προσευχαῖς, καὶ τὸν ἄγγελον αὐτοῦ προπέμψας ἅπαντα ταῦτα ᾠκονόμησε γενέσθαι, καὶ καθάπερ ᾔτησεν ὁ παῖς, οὕτως ἅπαντα εἰς ἔργον ἦλθεν. εἶτα ἐπειδὴ εἶδε διὰ τῶν ἔργων τὴν ἐνέργειαν τῆς εὐχῆς τοῦ πατριάρχου, καὶ ἐπέτυχε καθάπερ ἐπεθύμει τῆς κόρης, καὶ εἶδεν αὐτῆς τὴν ὑπερβάλλουσαν ταπεινοφροσύνην,

20 Εσπευσε γάρ, φησι, καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις.

Ὅρα τὴν προθυμίαν ἐπιτεταμένην. τὸ γὰρ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρείαν καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ, δείκνυσι τῆς κόρης τὴν ἄφατον προθυμίαν, ὅτι οὔτε ὡς ξένην ἀπέφυγεν, οὔτε προφάσει τῆς σωφροσύνης ἀνένευσε πρὸς τὴν αἴτησιν, ἀλλὰ μετὰ πολλῆς ἐπιεικείας φησί, πίε, κύριε. ἐννόησόν μοι ἐν ἡλικίᾳ τοιαύτῃ πόση καὶ σωφροσύνης ἦν αὐτῇ ἀκρίβεια, καὶ ταπεινοφροσύνης ὑπερβολή, καὶ φιλοξενίας ἐπίτασις. πόσου πλούτου χρυσίων οὐκ ἂν εἴη ταῦτα τιμιώτερα; πόσων θησαυρῶν ταῦτα οὐκ ἂν προτιμότερά τις ἡγήσατο; τοῦτο ἡ μεγίστη προίξ, τοῦτο τὰ μυρία ἀγαθά, ὁ θησαυρὸς ὁ μηδέποτε δαπανώμενος. ὁρῶν τοίνυν λοιπὸν ὁ εὐγνώμων οἰκέτης ἐναργῆ τοῦ Θεοῦ τὴν πρόνοιαν,

21 Κατεμάνθανεν αὐτήν, φησι, καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ.

Τί ἐστι, κατεμάνθανεν αὐτήν; αὐτὰ τὰ ῥήματα τῆς κόρης περιεσκόπει, κατενόει τὸ βλέμμα, τὴν βάδισιν, τὸ σχῆμα, τὰ ἄλλα ἅπαντα, καὶ ἀνέμενεν ἰδεῖν, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. τὰ μὲν γὰρ ἤδη γεγενημένα, φησί, πολλὴν δείκνυσι τῆς κόρης καὶ ὑπερβάλλουσαν τὴν ἀρετήν. διὸ καὶ ἀμειβόμενος αὐτὴν τῆς ὑπακοῆς καὶ τῆς τοῦ ὕδατος παροχῆς, περιτίθησιν αὐτῇ ἐνώτια χρυσᾶ καὶ δύο ψέλλια, καὶ περιειργάζετο μετὰ ἀκριβείας τὰ κατ' αὐτήν,

23 Καὶ ἠρώτα, τίνος θυγάτηρ εἶ; καὶ εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν καταλῦσαι; Σκόπει καὶ ἐνταῦθα τῆς κόρης τὴν ἀπόκρισιν. καθάπερ γὰρ ἐπὶ τοῦ ὕδατος οὐ μόνον τὸ αἰτηθὲν παρέσχεν, ἀλλὰ μετὰ τὸ πιεῖν αὐτὸν καὶ ταῖς καμήλοις ὑδρεύσατο, οὕτω καὶ ἐνταῦθα πυθομένου τοῦ παιδός, εἰ ἔστι μόνον τόπος, καὶ τίνος ἦν θυγάτηρ,

24 Φησὶν ἡ κόρη, θυγάτηρ εἰμὶ Βαθουὴλ τοῦ Μελχᾶς, ὃν ἔτεκεν αὐτῷ Ναχώρ.

Λέγει καὶ τὸν πατέρα καὶ τὸν πάππον, ἵνα γνωρίσας ἐκεῖνος προθυμότερος γένηται. ὅρα εὐγνωμοσύνην τῆς παιδός. περὶ τοῦ πατρὸς ἐρωτηθεῖσα οὐ μόνον τοῦτο καταμηνύει, ἀλλὰ καὶ τοῦ πατρὸς τὸν πατέρα. καὶ πυθομένου, εἰ ἔστι τόπος μόνον καταλῦσαι, φησὶν οὐ μόνον τόπος, ἀλλὰ 25 Καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν.

Ταῦτα ἀκούσας ὁ οἰκέτης καὶ θαυμάσας τὴν παῖδα τῆς δαψιλοῦς φιλοξενίας, καὶ μαθὼν ὡς οὐ πρὸς ἀγνῶτάς τινας παραγέγονεν, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχώρ, ὃς ἀδελφὸς ἦν τοῦ πατριάρχου, 26 Εὐδοκήσας, φησίν, ὁ ἄνθρωπος προσεκύνησε τῷ κυρίῳ.

Ἡσθείς, φησιν, *ἐπὶ τοῖς εἰρημένοις παρὰ τῆς παιδός, προσεκύνησε τῷ κυρίῳ, τὴν εὐχαριστίαν ἀπήνεγκε τῷ δεσπότῃ τῷ διὰ τὴν πρὸς τὸν πατέρα εὔνοιαν τοσαύτην καὶ περὶ αὐτὸν ἐπιδειξαμένῳ τὴν κηδεμονίαν, καὶ οὕτω πάντα μετ' εὐκολίας αὐτῷ κατευοδώσαντι· 27 Καί φησιν, εὐλογητὸς κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ τοῦ κυρίου μου.

Ἐπειδὴ εἶδε τῆς παιδὸς τὴν εὐγνωμοσύνην, καὶ ἔμαθεν ἅπαντα σαφῶς παρ' αὐτῆς, λοιπὸν καὶ αὐτὸς γνωρίζει τῇ κόρῃ, ὅστις ἐστὶ, καὶ διὰ τῆς εὐχαριστίας τῆς εἰς τὸν Θεὸν καταδῆλον αὐτῇ ποιεῖ, ὅτι οὐκ ἐξ ἀλλοτρίας οἰκίας παραγέγονεν, ἀλλὰ καὶ ἀδελφὸς τοῦ Ναχὼρ ἐστὶν ὁ τοῦτον διαπεμψάμενος. Ταῦτα πυθομένη ἡ παῖς μετὰ πολλῆς τῆς περιχαρείας δραμοῦσα, φησίν. ὅρα πῶς δι' ἑκάστου τῶν παρ' αὐτῆς γινομένων δείκνυσι τὸ πρόθυμον τὸ περὶ τὴν φιλοξενίαν, διὰ τοῦ δρόμου, διὰ τῶν ῥημάτων, διὰ τῆς ἐπιεικείας.

28 Ἔδραμε γάρ, φησι, καὶ ἀπήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. Πάντα ἅπερ ἤκουσε παρὰ τοῦ παιδὸς, ἐγνώρισε τοῖς γονεῦσι.

29 Καὶ ἔδραμε, φησι, Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν. Ὅρα καὶ τοῦτον διὰ τοῦ δρόμου δεικνύντα τὸν πόθον. 30 Καὶ ἰδὼν τὸν ἄνθρωπον ἑστῶτα ἐπὶ τῆς πηγῆς μετὰ τῶν καμήλων, εἶπεν αὐτῷ· 31 Δεῦρο εἴσελθε· εὐλογητὸς κύριος. ἵνα τί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμακα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. Ὅρα καὶ τοῦτον εὐλογοῦντα τὸν κύριον ἐπὶ τῇ παρουσίᾳ τοῦ ξένου, καὶ πρὸ τῶν διὰ τῶν ἔργων φιλοξενίας πολλὴν τὴν προτροπὴν ἐπιδεικνύμενον. δεῦρο, φησιν, εἴσελθε· προλαβὼν ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. 32 Εἶτα εἰσελθόντος αὐτοῦ, φησιν, ἀπέσαξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ. Ὅρα πῶς καὶ ἔτι τῆς πλάνης ἐχόμενοι περὶ τὴν φιλοξενίαν ἦσαν πολλὴν τὴν σπουδὴν ἐπιδεικνύμενοι. καὶ ἔδωκε νίψασθαι τοῖς ποσὶν αὐτοῦ,

Καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ. 33 Καὶ παρέθηκεν αὐτοῖς ἄρτον φαγεῖν.

Ἀλλ' ἐνταῦθα σκόπει μοι τοῦ οἰκέτου τὴν πολλὴν σύνεσιν. Τί γάρ φησιν;

Οὐ μὴ φάγω, ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά μου. Ὑμεῖς μὲν, φησιν, ἐπεδείξασθε τὰ παρ' ἑαυτῶν· ἐγὼ δὲ οὐ πρότερον τῆς ἐμῆς ἀναπαύσεως λόγον τινὰ ποιήσομαι, μέχρις ἂν τὴν αἰτίαν ὑμᾶς διδάξω, δι' ἣν ἐστειλάμην τὴν τοσαύτην ὁδὸν, καὶ τίνος ἕνεκεν ἀπὸ τῆς Χαλδαίας ἐνταῦθα παραγέγονα, καὶ πῶς εἰς τὸν οἶκον τὸν ὑμέτερον ὡδηγήθην, ἵνα πάντα μαθόντες οὕτω καὶ ὑμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξησθε πρὸς τὸν ἐμὸν δεσπότην. καὶ ἀρξάμενος διηγεῖσθαι, φησί,

34 Παῖς Ἀβραὰμ ἐγώ εἰμι· 35 Κύριος δὲ ὁ Θεὸς εὐλόγησε τὸν κύριόν μου σφόδρα, καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους, καὶ χρυσίον καὶ ἀργύριον, καὶ παῖδας καὶ παιδίσκας, καὶ καμήλους καὶ ὄνους. 36 Καὶ ἔτεκε Σάῤῥα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτὸν, καὶ ἔδωκεν αὐτῷ πάντα, ὅσα ἦν αὐτῷ.

Ὅρα πῶς μετὰ ἀκριβείας ἅπαντα αὐτοῖς διηγεῖται. ἐκείνου εἰμὶ παῖς, φησιν, Ἀβραὰμ, ὃν ἴστε. μανθάνετε τοίνυν ὅτι τοσαύτης εὐλογίας ἀπήλαυσε παρὰ τοῦ τῶν ἁπάντων δεσπότου, ὡς ἐν πλούτῳ γενέσθαι αὐτὸν πολλῷ. εἶτα διδάσκων καὶ τοῦ πλούτου τὴν περιουσίαν, φησὶ, πρόβατα καὶ μόσχους, ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους αὐτῷ γεγενῆσθαι. ἀκούετε οἱ πλούσιοι, οἱ πλέθρα γῆς τόσα καὶ τόσα καθ' ἑκάστην ἡμέραν ὠνούμενοι, καὶ λουτρὰ καὶ περιπάτους καὶ οἰκοδομὰς λαμπρὰς οἰκοδομούμενοι, ὁρᾶτε ἐν τίσιν ἦν τοῦ δικαίου ἡ περιουσία. οὐδαμοῦ ἀγρὸς, οὐδαμοῦ οἰκοδομὴ, καὶ ἡ περιττὴ πολυτέλεια· ἀλλὰ πρόβατα καὶ μόσχοι καὶ κάμηλοι καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι. καὶ ἵνα μάθῃς τῶν οἰκετῶν τὸ πλῆθος πόθεν αὐτῷ ἐγεγόνει, ἐπήγαγεν ἑτέρωθι, ὅτι οἰκογενεῖς ἅπαντες ἦσαν. οὗτος οὖν ὁ δεσπότης ὁ ἐμὸς ἐν τοσαύτῃ περιουσίᾳ γεγονὼς, καὶ πολλῆς ἀπολαύσας τῆς ἄνωθεν ῥοπῆς, ἡνίκα εἰς γῆρας ἤλασεν, ἡ Σάῤῥα υἱὸν ἔτεκεν αὐτῷ· τοῦτον ἔχων τὸν μονογενῆ, πάντων αὐτὸν κληρονόμον ἤδη κατέστησε. πάντα γὰρ ἔδωκεν αὐτῷ, ὅσα ἦν αὐτῷ. Εἶτα ἐπὶ τούτοις διηγήσατο τοῦ δεσπότου τὴν παραφυλακὴν, τοῦ Ἰσαὰκ τὸν τόκει, λέγει λοιπὸν τὰς ἐντολάς, ἃς λαβὼν παρὰ τοῦ δεσπότου * εἰς τὴν Χαῤῥὰν παραγέγονε. 37 Καὶ ὥρκωσέ με, φησιν, ὁ κύριός μου, λέγων, οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ, ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ παροικῶ, 38 Ἀλλ' ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. Καὶ αὐτὸς μὲν ταῦτα ἐνετείλατο· ἐγὼ δὲ τὰς δυσκολίας ἐννοῶν, καὶ τοῦ πράγματος τὸ δυσχερὲς λογιζόμενος, ἐπυθόμην τοῦ κυρίου μου, εἰ μὴ βούλοιτο ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, 40 Καὶ εἶπέ μοι, κύριος ὁ Θεὸς, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ, καὶ εὐοδώσει τὴν ὁδόν σου, καὶ λήψῃ τῷ υἱῷ μου γυναῖκα ἐκ τῆς φυλῆς μου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐὰν μὴ πείθηται ἡ γυνὴ τοῦ μὴ πορευθῆναι μετὰ σοῦ ἐνταῦθα, 41 Τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου. Ὁ μὲν δεσπότης, φησὶ, ταῦτα ἐντειλάμενος, καὶ ταύταις με ταῖς προσευχαῖς ἐφοδιάσας οὕτως ἐξέπεμψεν· ἐγὼ δὲ θαῤῥήσας ταῖς ἐκείνου προσευχαῖς, ἡνίκα παρεγενόμην ἐπὶ τὴν πηγὴν, ταῦτα τὰ ῥήματα ἐφθεγξάμην, 42 Καὶ εἶπον· κύριε, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδὸν, ἣν ἐγὼ πορεύομαι, 43 Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐξελεύσονται ὑδρεύσασθαι ὕδωρ· καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου, 44 Καὶ εἴπῃ μοι, καὶ σὺ πίε, καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνὴ, ἣν ἡτοίμασας τῷ θεράποντί σου Ἰσαὰκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. Ταῦτα μὲν ἐγὼ κατ' ἐμαυτὸν εὐχόμενος τὸν Θεὸν καθικέτευσα· οὔπω δὲ τέλος εἰλήφει τὰ παρ' ἐμοῦ ῥηθέντα, καὶ παραχρῆμα εἰς ἔργον ἐξῄει, καὶ τὰ ῥήματα πράγματα ἐγένετο.

*αὐτῶ

45 Πρὸ τοῦ γὰρ συντελέσαι με λαλοῦντα, ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο τὴν ὑδρίαν ἔχουσα ἐπὶ τῶν ὤμων αὐτῆς. Εἶπον δὲ αὐτῇ, πότισόν με, 46 Καὶ σπεύσασα ″καθῆκε τὴν ὑδρίαν αὐτῆς, καὶ εἶπέ μοι, πίε καὶ σὺ, καὶ τὰς καμήλους σου ποτιῶ.

κ. καθεῖλε

Καὶ θεασάμενος λοιπὸν ἐναργῆ τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην πρόνοιαν, ἐπηρώτων τίνος εἴη θυγάτηρ· καὶ μαθὼν, ἐξ ὧν αὐτὴ μόνον εἶπεν, ὅτι οὐ πρὸς ξένους ἀφικόμην, ἀλλ' εἰς τὴν οἰκίαν Ναχὼρ τοῦ ἀδελφοῦ τοῦ κυρίου μου, θαρσήσας

47 Περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια, 48 Καὶ εὐδοκήσας προσεκύνησα τῷ κυρίῳ, καὶ εὐλόγησα τὸν Θεὸν τοῦ κυρίου μου Ἀβραὰμ, ὅτι εὐώδωσέ μοι λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. Ἀλλὰ τὰ μὲν παρὰ τοῦ Θεοῦ οὕτως ἐναργῶς ᾠκονομήθη. αἱ γὰρ προσευχαὶ ἐληλύθεισαν αἱ γενόμεναι παρὰ τοῦ δεσπότου μου. ὑμεῖς δὲ λοιπὸν, εἰ τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθε, 49 Ποιεῖτε ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου. εἰ δὲ μὴ, ἀπαγγείλατέ μοι. Ἤδη μοί, φησι, γνωρίσατε, ἵνα εἰδέναι ἔχω ὅ, τι δέοι με διαπράξασθαι. εἰ δὲ μήγε, ἵνα ἑτέρωθι τὴν ὁδὸν ποιήσωμαι,

Καὶ ἐπιστρέψω ἢ εἰς δεξιὰ, ἢ εἰς ἀριστερά.

Εἶτα ἐπειδὴ ὁ Θεὸς ἦν ὁ τὰ πάντα ἐξευμαρίζων διὰ τὰς τοῦ πατριάρχου προσευχάς, φησι πρὸς αὐτὸν ὁ πατὴρ τῆς κόρης καὶ ὁ ἀδελφός·

50 Παρὰ κυρίου ἐξῆλθε τὸ ῥῆμα τοῦτο. οὐ δυνησόμεθα ἀντειπεῖν κακὸν, ἢ καλόν.

Ἡ διήγησίς σου, φησι, δείκνυσιν ὅλον τῆς τοῦ Θεοῦ οἰκονομίας γεγενημένον. μὴ τοίνυν νομίσῃς ἡμᾶς ἐναντιοῦσθαι τοῖς παρὰ Θεῷ δόξασιν. οὐδὲ γὰρ οἷόν τε τοῦτο παρ' ἡμῶν γενέσθαι.

51 Ἰδοὺ ἔχεις τὴν κόρην. λαβὼν ἀπότρεχε, καὶ ἔσται γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησε κύριος.

Εἴδετε ὅπως τὸ παλαιὸν ἐσπούδαζον γυναῖκας ἄγεσθαι τοῖς ἑαυτῶν παισίν, ὅπως περὶ τῶν χρημάτων ψυχῆς εὐγένειαν ἐπεζήτουν. μήπου γραμματεῖα; μήπου συνθῆκαι καὶ τὰ ἄλλα τὰ καταγέλαστα, ἃ νῦν γίνεται; καὶ αἱ αἱρέσεις ἐκεῖναι αἱ τοῖς γραμματείοις ἐντεθειμέναι, ἐὰν ἄπαις, φησί, τελευτήσῃ, ἐὰν τόδε καὶ τόδε καὶ τόδε συμβῇ, ἀλλὰ παρ' ἐκείνοις οὐδὲν τοιοῦτον· ἀλλὰ τὸ μέγιστον καὶ ἀσφαλὲς γραμματεῖον, τῆς κόρης ὁ τρόπος. οὐδαμοῦ κύμβαλα καὶ χορεῖαι. καὶ τοῦτο εἴσῃ, ἐπειδὰν πρὸς τὸν νυμφίον τὴν κόρην ἴδῃς ἐπαναχθεῖσαν. 52 Ἀκούσας γὰρ ὁ παῖς ταῦτα παρὰ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, προσεκύνησε τῷ κυρίῳ ἐπὶ τὴν γῆν. Ὅρα πῶς καθ' ἕκαστον τῶν γινομένων τῷ δεσπότῃ τῶν ὅλων τὴν εὐχαριστίαν ἀναφέρει. αὐτὸς γὰρ ἦν ὁ πάντα προοδοποιῶν, καὶ κατὰ τὸ ῥῆμα τοῦ πατριάρχου ἄγγελον προαποστείλας ἔμπροσθεν αὐτοῦ τὰ πάντα αὐτῷ ἐξευμαρίζοντα. καὶ λοιπὸν μαθὼν ὡς τέλος αὐτῷ τὸ σπουδαζόμενον ἔσχεν,

53 Ἐξενέγκας σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμόν, ἔδωκε τῇ Ῥεβέκκᾳ.

Λοιπὸν μετὰ παρρησίας αὐτὴν θεραπεύει, ὡς ἤδη διὰ τῶν ῥημάτων ἐγγυηθεῖσαν τῷ Ἰσαάκ. τιμᾷ δὲ δωρεαῖς καὶ τὸν ἀδελφὸν καὶ τὴν μητέρα. καὶ ὅτε εἰς ἔργον εἶδεν ἐκβᾶσαν τὴν παρὰ τοῦ δεσπότου ἐντολήν, τότε λοιπὸν τῆς οἰκείας ἀναπαύσεως γίνεται.

54 Ἔφαγον γάρ, φησι, καὶ ἔπιον, αὐτός, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς τὸ πρωῒ εἶπεν, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.

Ἐπειδὴ πάντα μοι οὕτω κατευωδώθη, φησί, καὶ οὐδέν ἐστι λοιπὸν τὸ ἐλλεῖπον, ἀλλὰ καὶ ὑμῖν τοῦτο ἀρεστὸν ἐφάνη, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.

55 Εἶπαν δέ, φησιν, οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ, μεινάτω ἡ παρθένος μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε. 56 Ὁ δὲ εἶπε πρὸς αὐτούς, μὴ κατέχετέ με, καὶ κύριος εὐώδωσε τὴν ὁδόν μου. ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. Τίνος ἕνεκεν, φησιν, ὑπερτίθεσθε καὶ διαναβάλλεσθε, τοῦ Θεοῦ τοσαύτην εὐκολίαν ἐν ἅπασί μοι παρεσχηκότος; ἀπολύσατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. 57 Οἱ δέ, φησιν, εἶπον, καλέσωμεν τὴν παῖδα, καὶ ἐρωτήσωμεν αὐτήν. καὶ ἐκάλεσαν, καὶ εἶπαν αὐτῇ· πορεύσῃ μετὰ τοῦ ἀνθρώπου; 58 Ἡ δὲ εἶπε, πορεύσομαι. 59 Καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ' αὐτοῦ, 60 Καὶ εὐλόγησαν Ῥεβέκκαν καὶ εἶπον αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ, γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων.

Ὅρα πῶς καὶ οὗτοι ἀγνοοῦντες σημαίνουσι τῇ κόρῃ τὰ μέλλοντα ἔσεσθαι, τοῦ Θεοῦ τὴν διάνοιαν αὐτῶν πρὸς τοῦτο κατευοδώσαντος. ἀμφότερα γὰρ αὐτῇ προμηνύουσιν, ὅτι καὶ εἰς χιλιάδας μυριάδων ἔσται, καὶ ὅτι κληρονομήσει τὸ σπέρμα αὐτῆς τὰς πόλεις τῶν ὑπεναντίων. Εἶδες διὰ πάντων δεικνυμένην ἐναργῆ τοῦ Θεοῦ τὴν πρόνοιαν, πῶς καὶ διὰ τῶν ἀπίστων προμηνύεσθαι τὰ μέλλοντα οἰκονομεῖ ὁ τῶν ἁπάντων δεσπότης.

61 Καὶ ἀναστᾶσα, φησι, Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους. Εἶδες οἵαν ἄγεται νύμφην ὁ πατριάρχης, ὑδρευομένην, καὶ τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσαν, καὶ νῦν πάλιν ἐπιβᾶσαν ἐπὶ τὰς καμήλους. οὐδαμοῦ ἡμίονοι ἀργύρῳ περιλαμπόμεναι τοὺς τραχήλους, οὐδὲ οἰκετῶν ἑσμός, οὐδὲ ἡ πολλὴ βλακεία ἡ νῦν γινομένη, ἀλλὰ τοσαύτη ἦν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς καὶ ἐπὶ τὰς καμήλους αὐτὰς ἐπιβαίνειν, καὶ οὕτως ὁδοιπορεῖν.

Καὶ ἐπορεύθησαν, φησι, μετὰ τοῦ ἀνθρώπου. 63 Ὁ δὲ Ἰσαὰκ ἐξῄει ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὰς καμήλους ἐρχομέ-

ίας. Εἰς τὸ πεδίον, φησίν, ὁ Ἰσαὰκ διατρίβων ἐθεάσατο τὰς καμήλους·

64 Ἡ δὲ Ῥεβέκκα ἰδοῦσα τὸν Ἰσαάκ, κατεπήδησεν ἀπὸ τῆς καμήλου, 65 Καὶ εἶπε τῷ παιδί, τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῶν; Ὅρα τῆς κόρης τὴν εὐγένειαν. ἐπειδὴ εἶδε τὸν Ἰσαάκ, ἐπυνθάνετο τίς εἴη. καὶ μαθοῦσα ὅτι αὐτός ἐστιν ὁ μέλλων αὐτὴν ἀγαγέσθαι, περιεβάλλετο, φησί, τὸ θέριστρον, καὶ παραγενόμενος ὁ παῖς διηγήσατο πάντα μετὰ ἀκριβείας τῷ Ἰσαάκ. ἐνταῦθα σκόπει μοι, ἀγαπητέ, πῶς οὐδαμοῦ τὰ περιττὰ ταῦτα καὶ ἀνόητα, οὐδαμοῦ πομπὴ διαβολική, οὐδαμοῦ κύμβαλα καὶ αὐλοὶ καὶ χορεῖαι, καὶ τὰ σατανικὰ ἐκεῖνα συμπόσια, καὶ αἱ λοιδορίαι αἱ πάσης ἀσχημοσύνης γέμουσαι, ἀλλὰ πᾶσα σοφία, πᾶσα σεμνότης, πᾶσα ἐπιείκεια. 67 Εἰσῆλθε δέ, φησιν, Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ, καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτῷ γυνή, καὶ ἠγάπησεν αὐτήν, καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάῤῥας τῆς μητρὸς αὐτοῦ.

ΗΘΙΚΟΝ

Ταύτην μιμείσθωσαν αἱ γυναῖκες· τοῦτον ζηλούτωσαν ἄνδρες· οὕτω τὰς νύμφας ἀγαγέσθαι σπουδαζέτωσαν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων κηλίδων πληρῶσαι συγχωρεῖς τῆς κόρης τὰς ἀκοὰς διὰ τῶν αἰσχρῶν ᾀσμάτων, διὰ τῆς ἀκαίρου πομπῆς ἐκείνης; οὐκ οἶσθα ὅπως ἡ νεότης εὐκόλως πρὸς ὄλισθον; τί τὰ σεμνὰ τοῦ γάμου ἐκπομπεύεις μυστήρια; δέον ἅπαντα ταῦτα ἀπελαύνειν, καὶ τὴν αἰδῶ ἐκ προοιμίων ἐκπαιδεύειν τὴν κόρην, καὶ ἱερέας καλεῖν, καὶ διὰ εὐχῶν καὶ εὐλογιῶν τὴν ὁμόνοιαν τοῦ συνοικεσίου συσφίγγειν, ἵνα καὶ ὁ πόθος τοῦ νυμφίου αὔξηται, καὶ τῆς κόρης ἡ σωφροσύνη ἐπιτείνηται. καὶ διὰ πάντων τὰ τῆς ἀρετῆς ἔργα εἰσελεύσεται εἰς τὴν οἰκίαν ἐκείνην, καὶ πᾶσαι τοῦ διαβόλου αἱ μηχαναὶ ἐκποδὼν ἔσονται, καὶ αὐτοὶ μεθ᾽ ἡδονῆς τὸν βίον διάξουσιν, ὑπὸ τῆς τοῦ Θεοῦ ῥοπῆς συγκροτούμενοι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μθ. ΑΥΤΑΙ ΔΕ ΑΙ ΓΕΝΕΣΕΙΣ, φησιν, ΙΣΑΑΚ τοῦ υἱοῦ Ἀβραάμ.

Πάλιν ὑμᾶς ἐπὶ τὴν συνήθη τράπεζαν ἀναγαγεῖν βούλομαι, καὶ ἐκ τῶν παρὰ τοῦ Μωϋσέως ῥημάτων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι, μᾶλλον δὲ τῶν τοῦ πνεύματος. οὐδὲ γὰρ ἀφ᾽ ἑαυτοῦ Μωϋσῆς ταῦτα ἡμῖν ἐξέθετο, ἀλλ᾽ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνηχούμενος. ἴδωμεν οὖν τί καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ εἰκῆ τοὺς βίους ἡμῖν τῶν δικαίων ἐκτίθεται, ἀλλ᾽ ἵνα ζηλώσωμεν τούτων τὴν ἀρετήν, καὶ μιμηταὶ γενώμεθα τῶν ἐκείνοις κατορθωμένων. ἐπειδὴ γὰρ ἡμῖν τὰ κατὰ τὸν πατριάρχην ἀκριβῶς διηγησάμενος, καὶ τὸν τελευταῖον αὐτοῦ ἆθλον τὸν ἐπὶ τῇ τοῦ μονογενοῦς σφαγῇ, διδάξας ἡμᾶς πῶς ἂν τῷ Θεῷ αὐτὸν καλλιέρημα, εἰ καὶ μὴ αὐτῷ ἔργῳ, ἀλλὰ τῇ προθυμίᾳ εἰργάσατο, τέλος ἐπέθηκεν ἐκείνοις τοῖς διηγήμασι, νῦν ἡμῖν ἐκτίθεται τὰ κατὰ τὸν Ἰσαάκ, τὸν σφαγέντα καὶ μὴ σφαγέντα. αἰνίγματι γὰρ ἔοικε τὸ γεγονός. ἄκουσον γὰρ Παύλου λέγοντος, Πίστει προσενήνοχε τὸν Ἰσαὰκ Ἀβραὰμ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. εἶτα ἵνα μάθωμεν ἀκριβῶς πῶς πίστει ταῦτα πάντα διεπράττετο, καὶ ἐναι-

Ἑβ. ια. ιζ.

τία

πία τῇ ὑποσχέσει ὁρῶν τὰ ὑπ' αὐτοῦ γίνεσθαι κελευόμενα οὐκ ἐταράττετο, φησιν, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. τί ἐστιν, ἐν παραβολῇ ἐκομίσατο; ἐπειδὴ γὰρ αὐτὸν εἰς θυσίαν ἀνήνεγκε καὶ ἀπηρτισμένην τὴν γνώμην ἐπεδείξατο, αὐτός γε τὸν στέφανον ἀνεδήσατο, καὶ τὸν παῖδα λαβὼν ἐπανῄει, καὶ ἡ θυσία διὰ προβάτου ἐπληροῦτο, καὶ ἐδείκνυ διὰ πάντων ὁ τῶν ὅλων Θεὸς τῆς οἰκείας φιλανθρωπίας τὴν ὑπερβολήν, καὶ ὅτι οὐ σφαγῆναι τὸν Ἰσαὰκ βουλόμενος τοῦτο ἐπέταττεν, ἀλλὰ τοῦ δικαίου γυμνάζων τὴν ὑπακοήν. ἀλλ' ὥσπερ εἴδομεν τοῦ πατριάρχου τὴν ἀρετὴν διὰ πάντων λάμπουσαν, φέρε δὴ τὰ κατὰ τὸν Ἰσαὰκ σήμερον εἰς μέσον προθέντες, ἴδωμεν ὅπως καὶ αὐτὸς τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης διὰ πάντων ἐπιδείκνυται. ἄξιον δὲ καὶ αὐτῶν ἐπακοῦσαι τῶν τῆς γραφῆς ῥημάτων.

19 Αὗται δὲ αἱ γενέσεις Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. 20 Ἦν δὲ Ἰσαὰκ ἐτῶν μ΄, ὅτε ἔλαβε Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας, ἀδελφὴν δὲ Λάβαν, ἑαυτῷ εἰς γυναῖκα. κεφ. κε.

Σκόπει μοι, ἀγαπητέ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲν παρέργως τίθησι. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν χρόνον τοῦ Ἰσαὰκ ἐπισημαίνεται, καί φησιν, ἦν δὲ Ἰσαὰκ ἐτῶν μ΄, ὅτε ἔλαβε τὴν Ῥεβέκκαν; οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ. ἀλλ' ἐπειδὴ μέλλει μετὰ ταῦτα τῆς Ῥεβέκκας ἡμῖν διηγεῖσθαι τὴν στείρωσιν, καὶ ὅτι ἐξ εὐχῆς τοῦ δικαίου τὰ τῆς παιδοποιΐας αὐτῇ γέγονε, βούλεται διδάξαι ἡμᾶς τὸ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαάκ, καὶ σημᾶναι τὸν χρόνον ἀκριβῶς, ὅσον ἐν ἀπαιδίᾳ γέγονεν· ἵνα καὶ ἡμεῖς ζηλοῦντες τὸν δίκαιον, οὕτω προσεδρεύωμεν ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις, ἐπειδὰν αἰτῶμέν τι παρ' αὐτοῦ. εἰ γὰρ ὁ δίκαιος οὗτος ἐνάρετος ὤν, καὶ τοσαύτης εὐνοίας ἀπολαύων παρὰ τοῦ Θεοῦ, τοσαύτην ἐπεδείκνυτο σπουδὴν καὶ εὐτονίαν, τὸν Θεὸν διηνεκῶς παρακαλῶν ὥστε λῦσαι τῆς Ῥεβέκκας τὴν στείρωσιν, τί ἂν εἴποιμεν ἡμεῖς τὰ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ μηδὲ τὸ πολλοστὸν τοῦ δικαίου τούτου μέρος ἐπιδεικνύμενοι, ἀλλὰ κἂν πρὸς ὀλίγον σπουδήν τινα ἐπιδειξώμεθα, ναρκῶντες καὶ ἀποπηδῶντές [ἐσμεν], εἰ μὴ θᾶττον εἰσακουσθείημεν; διὰ τοῦτο, παρακαλῶ, ἐκ τῶν τῷ δικαίῳ τούτῳ συμβάντων παιδευόμενοι, μηδέποτε παυώμεθα τὸν Θεὸν παρακαλοῦντες ὑπὲρ τῆς συγχωρήσεως τῶν οἰκείων πλημμελημάτων, ἀλλὰ θερμὴν καὶ ζέουσαν προθυμίαν ἐπιδεικνυώμεθα, καὶ μὴ ἀσχάλωμεν, μηδὲ ὀκνηρότεροι γινώμεθα, εἰ μὴ θᾶττον εἰσακουσθείημεν. ἴσως γάρ, ἴσως σοφιζόμενος ἡμῶν τὴν διηνεκῆ προσεδρίαν ὁ δεσπότης, διαναβάλλεται, βουλόμενος καὶ τῆς ὑπομονῆς ἡμᾶς κομίσασθαι τὸν μισθόν, καὶ τὸν καιρὸν εἰδώς, καθ' ὃν λυσιτελές ἐστιν ἡμῖν τῶν σπουδαζομένων ἐπιτυχεῖν. οὐδὲ γὰρ οὕτως ἡμεῖς ἴσμεν τὸ συμφέρον ἑαυτοῖς, ὡς αὐτὸς ἀκριβῶς ἐπίσταται, ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἑκάστου ἐπιστάμενος. διὸ προσήκει μηδὲν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν τῶν παρὰ τοῦ Θεοῦ γινομένων, ἀλλὰ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ θαυμάζειν τῶν δικαίων τὰς ἀρετάς. ἐπειδὴ τοίνυν εἶπεν ἡμῖν ἡ θεία γραφή, ὅσων ἐτῶν ἦν Ἰσαάκ, λέγει καὶ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. θέα μοι τοῦ δικαίου τὸ φιλόθεον. ἐπειδὴ γὰρ εἶδε κωλύουσαν τὴν φύσιν, ἐπὶ τὸν τῆς φύσεως δημιουργὸν ἔδραμε, καὶ τὰ δεσμὰ τῆς φύσεως διὰ τῆς εὐχῆς λύειν ἠπείγετο.

21 Ἐδέετο γάρ, φησιν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν.

Ἓν τοῦτο πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν (ἐπεὶ τοιούτου βίου ἦν θαυμαστοῦ καὶ αὐτή, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ πολλῆς τῆς σωφροσύνης ἀμφότεροι ἐπεμελοῦντο, καὶ οὐκ ἔχομεν ἐπιλαβέσθαι αὐτῶν τῆς ζωῆς, καὶ εἰπεῖν ὅτι τῶν ἁμαρτιῶν ἦν ἔργον) εἶχε ταύτην ἡ στείρωσις. καὶ ἵνα μάθῃς τὸ θαυμαστόν, ὅτι οὐκ αὐτὴ μόνον στεῖρα ἦν.

ἦν, ἀλλὰ καὶ ἡ μήτηρ τοῦ δικαίου ἡ Σάῤῥα· καὶ οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ νύμφη, τοῦ Ἰακὼβ ἡ γυνὴ ἡ Ῥαχήλ· λέγω τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός. πάντες δίκαιοι, πάντες ἐνάρετοι, πάντες ὑπὸ Θεοῦ μαρτυρούμενοι. περὶ γὰρ αὐτῶν ἔλεγεν, Ἐξ. γ. ϛ. Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ. καὶ ὁ μακάριος δὲ Παῦλός φησι, Ἑβρ. ια. Διὸ οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν. πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ καινῇ, πολλοὶ καὶ ἔπαινοι ἐν τῇ παλαιᾷ, πανταχόθεν λαμπροὶ καὶ ἐπίσημοι, καὶ πάντες στείρας ἔσχον γυναῖκας, καὶ ἐν ἀπαιδίᾳ ἦσαν μέχρι πολλοῦ τοῦ χρόνου. ὅταν οὖν ἴδῃς ἄνδρα καὶ γυναῖκα ἐν ἀρετῇ ζῶντας, καὶ ἐν ἀπαιδίᾳ τυγχάνοντας, ὅταν ἴδῃς θεοσεβεῖς ὄντας, καὶ εὐλαβείας ἐπιμελουμένους, ἄπαιδας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι ἔργα. πολλοὶ γὰρ τοῦ Θεοῦ τῆς οἰκονομίας καὶ λόγοι καὶ ἡμῖν ἀπόῤῥητοι, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ, καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐ τοὺς παιδία μὴ κεκτημένους. πολλὰ γὰρ πολλάκις ὁ Θεὸς συμφερόντως οἰκονομεῖ, ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γενομένων οὐκ ἴσμεν. διὰ τοῦτο πανταχοῦ θαυμάζειν αὐτοῦ τὴν σοφίαν χρή, καὶ δοξάζειν αὐτοῦ τὴν φιλανθρωπίαν τὴν ἄφατον. ἀλλὰ ταῦτα μὲν πρὸς ὠφέλειαν ἡμῖν εἴρηται τὴν ὑμετέραν, ὥστε πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ μὴ περιεργάζεσθαι τοῦ Θεοῦ τὰς οἰκονομίας· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ἦσαν ἐκεῖναι στεῖραι αἱ γυναῖκες. τίς οὖν ἐστιν ἡ αἰτία; ἵνα ὅταν ἴδῃς τὴν παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν δεσπότην, μὴ ἀπιστήσῃς. γύμνασόν σου ἐνταῦθα τὴν διάνοιαν, φησιν, ἐν τῇ μήτρᾳ τῶν στειρῶν, ἵν' ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην μήτραν, πρὸς παιδοποιΐαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. μᾶλλον δὲ θαύμασον καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. ὅταν οὖν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτόν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; δύο γὰρ κωλύματα τότε ἦν, τό, τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς παρθένου ἓν κώλυμα ἦν, τὸ μὴ μετασχεῖν αὐτὴν γάμου. προοδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο στεῖραι προέλαβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον ἀπὸ τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς τὴν παρθένον εἰρημένων. Λουκ. α. ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, Συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, ἐξεπλάγη καὶ ἐθαύμασε καὶ εἶπε, πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; τί οὖν ὁ ἄγγελος; πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. μὴ ζήτει, φησί, φύσεως ἀκολουθίαν, ὅταν ὑπὲρ φύσιν ᾖ τὰ γινόμενα. μὴ περιβλέπου γάμων ὠδῖνας, ὅταν μείζων γάμου τῆς γεννήσεως ὁ τρόπος ᾖ. καὶ πῶς ἔσται τοῦτο, φησιν, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ μὴν διὰ τοῦτο ἔσται, ἐπειδὴ ἄνδρα οὐ γινώσκεις. εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ ταύτῃ. ὥστε δι' ὃ ἀπιστεῖς, δι' αὐτὸ πίστευε. οὐκ ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ' ἐπειδὴ κρείττων ἡ παρθενία· τὴν δὲ τοῦ κοινοῦ πάντων δεσπότου εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέρας. βασιλικὴ γὰρ ἦν ἡ εἴσοδος. ἔδει κοινωνεῖν ἡμῖν τῆς γεννήσεως, καὶ ἐξηλλάχθαι τῆς ἡμετέρας. καὶ ἀμφότερα ταῦτα γέγονε, καὶ ὅπως ἄκουε. τὸ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι κοινὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμων γενέσθαι μεῖζον, ἢ καθ' ἡμᾶς. καὶ τὸ μὲν ἐν γαστρὶ σχεῖν σε, τῆς φύσεως τῆς ἀνθρωπείας· τὸ δὲ χωρὶς μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς ἀνθρωπίνης φύσεως, ἵνα καὶ τὴν ὑπεροχὴν καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς. καὶ σκόπει τὴν σοφίαν τῶν γινομένων. οὔτε ἡ ὑπεροχὴ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν καὶ συγγένειαν ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπεροχὴν ἠμαύρωσεν, ἀλλ' ἑκάτερα ἐδείκνυτο διὰ τῶν πραγμάτων, καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα,

τερα, τὰ δὲ ἐνηλλαγμένα πρὸς ἡμᾶς. ἀλλ', ὅπερ ἔλεγον, διὰ τοῦτο αἱ στεῖραι αὗται, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἵνα αὕτη χειραγωγηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως. ἄκουσον γὰρ τί φησιν ὁ ἄγγελος πρὸς αὐτήν· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. οὕτω, φησίν, ἔχεις τεκεῖν, καὶ τῆς ἐνεργείας τοῦ πνεύματος τὸ πᾶν ἔσται. μὴ τοίνυν βλέπε πρὸς τὴν γῆν, ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. τοῦ πνεύματός ἐστι χάρις τὸ γινόμενον. μὴ ζήτει φύσεως ἀκολουθίαν, μὴ κατὰ νόμους καὶ γάμον. ἀλλ' ἐπειδὴ μείζονα ταῦτα ἦν ἐκείνης τὰ ῥήματα, βούλεται καὶ ″ἑτέρωθεν αὐτῇ παρασχεῖν ἀπόδειξιν. σὺ δέ μοι σκόπει, ἀγαπητέ, πῶς ἡ στεῖρα αὐτὴν ″χειραγωγῇ πρὸς τὴν πίστιν τοῦ τόκου. ἐπειδὴ γὰρ ἡ προτέρα ἀπόδειξις μείζων ἦν τῆς διανοίας τῆς παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. καὶ ἰδού, φησιν, Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς. καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. διὰ τὴν παρθένον πάντως παρήγαγε καὶ τὴν στεῖραν. ἐπεὶ τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενοῦς, καὶ τίνος ἕνεκεν ἔλεγε τῇ καλουμένῃ στείρᾳ; διὰ πάντων χειραγωγῶν αὐτὴν πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως. διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τῆς κυήσεως. οὐ γὰρ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἑξαμηνιαίου διελθόντος χρόνου, ἵνα ὁ τῆς γαστρὸς ὄγκος τὴν κύησιν ἐγγυησάμενος σαφῆ τὴν ἀπόδειξιν παράσχῃ τῆς συλλήψεως. καὶ θέα μοι τοῦ Γαβριὴλ τὴν σύνεσιν. οὐκ ἀνέμνησεν αὐτὴν τῆς Σάρρας, οὐδὲ τῆς Ῥεβέκκας, οὐδὲ τῆς Ῥαχήλ. τίνος ἕνεκεν καὶ διὰ τί; καὶ αὗται γὰρ στεῖραι ἦσαν, καὶ γεγηρακυῖαι, καὶ πολὺ καὶ ἐν αὐταῖς τὸ θαῦμα ἦν. ἀλλ' ἐπειδὴ πάντα ταῦτα παλαιὰ ἦν τὰ διηγήματα, ἐπὶ τὸ πρόσφατον αὐτὴν ἄγει, ἵνα διαναστήσῃ αὐτῆς τὴν διάνοιαν. ἀλλ' ἀναγκαῖον ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀναγαγεῖν, καὶ γνωρίσαι τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅπως διὰ τῆς εὐχῆς τὴν στείρωσιν τῆς Ῥεβέκκας ἔλυσε, καὶ τῶν δεσμῶν τῆς φύσεως περιεγίνετο. ἐδέετο γάρ, φησιν, Ισαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ ὅτι στεῖρα ἦν, Καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός. Μὴ ἐπειδὴ εὐθέως οὕτω γέγραπται, νομίσῃς καὶ παραχρῆμα αὐτὸν τετυχηκέναι τοῦ σπουδαζομένου. καὶ γὰρ κ' ἐτῶν ἀριθμὸν διέμενε δεόμενος καὶ παρακαλῶν τὸν Θεόν, καὶ τότε ἐπέτυχε τοῦ ποθουμένου. καὶ πόθεν εἰσόμεθα τοῦτο; ἐὰν μετὰ ἀκριβείας ″ἐπανέλθωμεν τὰ ἐν τῇ θείᾳ γραφῇ κείμενα. οὐδὲ γὰρ τὸν χρόνον ἡμᾶς ἀπέκρυψεν, ἀλλ' ἐσήμανε μέν, λανθανόντως δέ, ὥστε διεγεῖραι ἡμῶν τὴν προθυμίαν, καὶ πρὸς ζήτησιν παρορμῆσαι. ὥσπερ γὰρ ἐδίδαξεν ἡμᾶς τῶν ἐτῶν τὸν ἀριθμὸν ὅσον ἦν, ἡνίκα τὴν Ῥεβέκκαν ἠγάγετο, οὕτω καὶ τοῦτο ἡμῖν δῆλον καθίστησιν. ἦν γάρ, φησιν, Ισαὰκ ἐτῶν μ', ἡνίκα ἔλαβε Ῥεβέκκαν τὴν θυγατέρα Βαθουὴλ τοῦ Σύρου. ἔμαθες ἀκριβῶς τὸν χρόνον. εἶτα εἰπὼν ὅτι ἐδέετο Ισαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ ὅτι στεῖρα ἦν, ἵνα μάθωμεν τῶν ἐτῶν τὸν ἀριθμόν, σημαίνει ἡμῖν πόσων ἐτῶν ἦν ὁ Ισαάκ, ἡνίκα ἐτέχθησαν αὐτῷ οἱ παῖδες παρὰ τῆς Ῥεβέκκας.

ρέχειν

χειραγωγεῖ

ἐπεξέλθωμεν

26 Ἦν γὰρ Ισαάκ, φησιν, ἐτῶν ξ', ἡνίκα ἔτεκε Ῥεβέκκα.

Εἰ τοίνυν μ' ἐτῶν ἦν ὅτε ἠγάγετο αὐτήν, ξ' δὲ ἐτῶν ὅτε ἔτεκεν ἡ γυνή, δηλονότι ἐν τοῖς κ' ἔτεσι δεόμενος τοῦ Θεοῦ διέμενεν, καὶ οὕτω τὴν πήρωσιν τῆς μήτρας τῆς Ῥεβέκκας εἰς παιδοποιίαν διήγειρεν.

ΗΘΙΚΟΝ

Ἴδετε εὐχῆς δύναμιν, πῶς καὶ αὐτῆς περιγενέσθαι τῆς φύσεως ἴσχυσε. Τοῦτον καὶ ἡμεῖς πάντες μιμώμεθα, καὶ οὕτω ταῖς εὐχαῖς προσεδρεύωμεν μετὰ νηφούσης ψυχῆς, μετὰ κατεσταλμένης διανοίας· καὶ ἀκούσωμεν Παύλου παραινοῦντος καὶ λέγοντος, Ἐπαίροντες

α. Τιμ. β. η.

ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ, καὶ σπουδάσωμεν πάντοτε μὲν ἀπηλλάχθαι ταραχῆς καὶ ἐν γαλήνῃ ἔχειν τὸν λογισμόν, μάλιστα δὲ κατὰ τὸν καιρὸν τῆς εὐχῆς, ὅτε πολλῆς ἡμῖν χρεία τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας. ἐὰν γὰρ ἴδῃ κατὰ τοὺς ὑπ' αὐτοῦ κειμένους νόμους ταύτην ἡμᾶς ποιουμένους, ταχεῖαν ἡμῖν τὴν παρ' ἑαυτοῦ δωρεὰν χαρίζεται τὴν φιλοτιμίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ν. ΕΝ ΓΑΣΤΡΙ ΔΕ ΕΛΑΒΕΝ Η ΡΕΒΕΚΚΑ, ΚΑΙ ἐσκίρτων τὰ παιδία, φησὶν, ἐν αὐτῇ.

Βούλεσθε σήμερον τὰ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων ἀποδῶμεν ὑμῶν τῇ ἀγάπῃ; οὐδὲ γὰρ ἅπασαν τὴν ὑπόθεσιν εἰς τέλος ἀγαγεῖν ἠδυνήθημεν· ἀλλ' ὅτι διὰ τῆς οἰκείας εὐχῆς καὶ τῆς πολλῆς προσεδρίας ἴσχυσεν ὁ Ἰσαὰκ τὴν μήτραν τῆς Ῥεβέκκας πρὸς παιδοποιΐαν διεγεῖραι, καὶ τὴν φύσιν αὐτῆς πεπηρωμένην, ὡς εἰπεῖν, διανοῖξαι, ταῦτα ἅπαντα χθὲς ἱκανῶς ὑμᾶς ἐδιδάξαμεν. δείξαντες * τὸν τῶν ἐτῶν ἀριθμὸν, ὃν δεόμενος καὶ ἱκετεύων τὸν Θεὸν διετέλεσεν ὑπὲρ τούτου ὁ μακάριος ἐκεῖνος, καὶ εἰς τὸν περὶ τῶν στειρῶν λόγον ἐξελθόντες, καὶ τὴν αἰτίαν ὑμῖν εἰπόντες, δι' ἣν αἱ τῶν δικαίων ἐκείνων γαμεταὶ στεῖραι γεγόνασιν, ἐνταῦθα κατελύσαμεν τὸν λόγον. δεῖ δὲ σήμερον ἡμᾶς μαθεῖν καὶ τῆς Ῥεβέκκας τὸ φιλόθεον, ἵνα μὴ μόνον ἀπὸ τῆς τοῦ δικαίου ἀρετῆς κερδαίνωμεν, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τὴν Ῥεβέκκαν διηγήσεως εἰς ζῆλον διεγεῖραι δυνηθῶμεν τοὺς ἀκούοντας. ἐπειδὴ γὰρ ἤκουσεν ὁ Θεὸς τῆς τοῦ δικαίου προσευχῆς, 22 Καὶ ἐν γαστρὶ ἔλαβεν ἡ Ῥεβέκκα, ἐσκίρτων, φησὶ, τὰ " παιδία ἐν αὐτῇ, Καὶ πολὺν αὐτῇ πόνον αἱ ὠδῖνες παρεῖχον. Εἶπε γὰρ, φησιν, εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο;

* πολ

" γ. παιδί

Οὐδὲ γὰρ εἷς ἦν ὁ μέλλων τίκτεσθαι, ἀλλὰ δύο κατ' αὐτὸ ἐν τῇ γαστρὶ παιδία περιέφερε, καὶ ἡ στενοχωρία πολλὴν αὐτῇ τὴν ὀδύνην κατεσκεύαζεν. ἀλλ' ὅρα μοι ἐντεῦθεν τῆς γυναικὸς τὸ φιλόθεον. οὐ, καθάπερ πολλαὶ τῶν νῦν γυναικῶν τῶν ῥαθύμως ζῆν βουλομένων διαπράττονται, ἐπὶ ἀνθρωπίνην τινὰ συμμαχίαν ἔδραμεν, οὐδὲ πρὸς τοὺς τὰ τοιαῦτα στοχασμοῖς τισι καὶ παρατηρήσεσι διὰ τῶν οἰκείων λογισμῶν κρίνειν βουλομένους, οὐδὲ τῇ ἀπάτῃ τῶν περιέργων καὶ τὰ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐπαγγέλλεσθαι βουλομένων ἑαυτὴν ἐξέδωκεν, ἀλλ' ὅτι Ἐπορεύθη πυθέσθαι παρὰ κυρίου. Ὅρα γυναικὸς σύνεσιν. ἐπειδὴ εἶδεν ὅτι ὁ τῆς φύσεως δεσπότης ἦν ὁ τὴν μήτραν αὐτῆς διανοίξας, καὶ τὴν ἄγονον γαστέρα ἀθρόον οὕτω γόνιμον ἀπεργασάμενος, καὶ ἑώρα τῆς γαστρὸς τὸν ὄγκον μεγάλα τινὰ αὐτῇ ἐγκυώμενον, ἐπορεύθη, φησὶ, πυθέσθαι παρὰ κυρίου. τί ἐστιν, ἐπορεύθη πυθέσθαι παρὰ κυρίου; ἔδραμεν ἐπὶ τὴν ἀληθῆ γνῶσιν, καὶ ἐπὶ τὸν ἱερέα τὸν τοῦ θείου θεραπευτὴν, σπεύσασα διὰ τούτων λανθανόντως μαθεῖν τὴν γνῶσιν, καὶ διηγησαμένη πάντα τὰ καθ' ἑαυτὴν, ἐμάνθανεν ἅπαντα μετὰ ἀκριβείας, τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς τοῦ ἱερέως γλώττης ἐκκαλύπτοντος αὐτῇ ἅπαντα σαφῶς, καὶ ταύτῃ προθυμοτέραν αὐτὴν ἐργαζομένου. καὶ ἵνα μάθῃς ὅσον ἦν τότε τῶν ἱερέων τὸ ἀξίωμα, οὐδαμοῦ φησιν, ὅτι ὁ ἱερεὺς ταῦτα ἀπεκρίνατο. ἀλλ' ἐπειδὴ εἶπεν, ἐπορεύθη πυθέσθαι παρὰ κυρίου, ἐπήγαγε,

Καὶ

23 Καὶ εἶπε κύριος αὐτῇ διὰ τοῦ ἱερέως, δύο ἔθνη ἐν τῇ γαστρί σου περιέχεις.

Καὶ γὰρ καὶ ἑτέρωθι ἄγγελον καλεῖ τὸν ἱερέα ἡ θεία γραφή, δεικνῦσα ὅτι ἐκεῖνα φθέγγεται ἅπερ ἐνηχήσει ἡ τοῦ πνεύματος χάρις. Εἶπεν οὖν κύριος αὐτῇ διὰ τοῦ ἱερέως, Δύο ἔθνη ἐν τῇ γαστρί σού ἐστι, καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάττονι. Ὅρα πρόρρησιν ἅπαντα σαφῶς αὐτῇ μηνύουσαν τὰ μέλλοντα γενήσεσθαι. ἀλλόμενοι γὰρ οἱ παῖδες ἐν τῇ γαστρὶ καὶ σκιρτῶντες, ἤδη προανεφώνουν ἅπαντα μετὰ ἀκριβείας. καὶ λοιπὸν ἐμάνθανεν ἡ γυνή, οὐχ ὅτι δύο μόνον τέξεται παῖδας, ἀλλ' ὅτι καὶ εἰς ἔθνη οὗτοι ἐκταθήσονται, καὶ ὅτι ὁ ἐλάττων κυριεύσει τοῦ μείζονος. 24 Καὶ ὅτε, φησίν, ἤγγισεν ὁ καιρὸς τοῦ τόκου, 25 Ἐξῆλθεν ὁ πρωτότοκος πυῤῥάκης, ὡσεὶ δορὰ δασύς, 26 Καὶ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἡσαῦ· Μονονουχὶ ἤδη καὶ ἐκ προοιμίων δεικνύντος τοῦ Θεοῦ, ὅτι περιέσται κατὰ τὰ ῥηθέντα ὁ ἐλάττων τοῦ μείζονος. κατεῖχε γάρ, φησι, τῇ χειρὶ τὴν πτέρναν Ἡσαῦ, ὅπερ ἦν σημεῖον καταγωνιζομένου τὸν ἰσχυρὸν εἶναι δοκοῦντα. καὶ σκόπει μοι τὴν θείαν γραφήν, ὅπως διὰ τὰ μέλλοντα ὕστερον συμβήσεσθαι ἤδη προαναφωνεῖ, καὶ δείκνυσιν ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἑκάστου τὸ ἐπιτήδευμα· 27 Καὶ ὅτι ὁ μὲν περὶ τὸ κυνηγεῖν ἠσχολεῖτο, ὁ δὲ ἄγροικος ἦν δὲ ἄνθρωπος, ἄπλαστος, οἰκίαν οἰκῶν. 28 Διὸ ἡ μὲν Ῥεβέκκα ἠγάπα τὸν Ἰακώβ, ὁ δὲ Ἰσαὰκ τὸν Ἡσαῦ. ἐπειδὴ ἡ θήρα αὐτοῦ, φησι, βρῶσις ἦν αὐτῷ.

Ὅρα πῶς τοὺς παῖδας διενείμαντο, καὶ ἡ μὲν διὰ τὸ ἐπὶ τῆς οἰκίας διατρίβειν ὁρῶσα τοῦ παιδὸς τὸ ἄπλαστον, πλείονα τὴν εὔνοιαν περὶ αὐτὸν ἐπεδείκνυτο· ὁ δὲ πατὴρ διά τε τὸ πρωτότοκον ἐκεῖνον γεγενῆσθαι, καὶ διὰ τὴν θήραν ἠγάπα τὸν Ἡσαῦ. ἀλλ' οὗτοι μὲν τῇ φυσικῇ φιλοστοργίᾳ κατακολουθοῦντες ταῦτα ἐποίουν· ἡ δὲ πρόῤῥησις κατὰ μικρὸν εἰς ἔργον ἐξῄει ἡ λέγουσα, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάττονι. ὅρα γὰρ εὐθέως.

29 Ἥψησε, φησιν, Ἰακὼβ ἕψημα. Ἦλθε δὲ Ἡσαῦ ἐκλείπων, 31 Καὶ εἶπεν Ἰακώβ, ἀπόδου μοι τὰ πρωτοτόκια. 32 Ὁ δέ φησι, τί μοι τοῦτον ὄφελος, τῆς τελευτῆς ἤδη με καταλαμβανούσης, εἰ μὴ μετάσχοιμι τῆς τροφῆς; 33 Ὁ δὲ καὶ τὸν ὅρκον ἀπαιτεῖ, ὥστε βεβαίαν αὐτῷ γενέσθαι τούτων τὴν παραχώρησιν. καὶ ὤμοσε, φησιν, Ἡσαῦ.

Ἰδοὺ λοιπὸν ἐντεῦθεν ἀντεστράφη ἡ τάξις, καὶ τὸ τοῦ πρωτοτόκου ἀξίωμα μετῆλθεν ἐπὶ τὸν τῇ ἀρετῇ τῆς ψυχῆς διαλάμποντα. Καὶ ἀπέδοτό, φησιν, Ἡσαῦ τὰ πρωτοτόκια, Ἀντὶ τοῦ, πέπρακε τῆς τροφῆς ἕνεκα τὸ ἀξίωμα τὸ παρὰ τῆς φύσεως αὐτῷ δωρηθέν. διὸ ἐπήγαγε, 34 Καὶ ἐφαύλισεν Ἡσαῦ τὰ πρωτοτόκια. Ἀγνώμων γέγονε περὶ τὴν "κατασχεθεῖσαν αὐτῷ ἐξ αὐτῆς τῆς φύσεως προεδρίαν. τοῦτο δὲ ὅλον ἐγίγνετο, ἵνα κἀκείνου δειχθῇ ἡ ἀγνωμοσύνη, καὶ ἡ τοῦ Θεοῦ πρόῤῥησις εἰς ἔργον ἐξέλθῃ.

ΗΘΙΚΟΝ

Ταῦτα δὲ ἀκούοντες παιδευώμεθα μηδέποτε τῶν παρὰ τοῦ Θεοῦ δωρεῶν ἀμελεῖν, μηδὲ μικρῶν ἕνεκα καὶ εὐτελῶν τὰ μεγάλα προΐεσθαι. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασιλείας οὐρανῶν προκειμένης καὶ τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν, περὶ τὴν τῶν χρημάτων ἐπιθυμίαν μεμήναμεν, καὶ τὰ πρόσκαιρα, καὶ πολλάκις οὐδὲ μέχρις τῆς ἑσπέρας ἡμῖν παραμένοντα τῶν διηνεκῶν καὶ ἀεὶ παραμενόντων προτιμῶμεν; καὶ τί τῆς ἀνοίας ταύτης χεῖρον γένοιτ' ἄν, ὅταν κἀκείνων ἀποστερώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν, καὶ μηδὲ τούτων ἀπολαύειν καθαρῶς δεδυνήμεθα; τί γὰρ ὄφελος, εἰπέ μοι, τῆς πολλῆς περιουσίας; ἢ οὐκ ἴστε ὅτι ἡ πολλὴ προσθήκη τῶν χρημάτων οὐδὲν ἕτερον ἡμῖν ἐργάζεται, ἢ φροντίδων προσθήκην καὶ περισπασμὸν καὶ ἀγρυπνίαν; οὐχ ὁρᾶτε ὅτι οὗτοι μάλιστά εἰσιν οἱ πάντων, ὡς εἰπεῖν, δοῦλοι, καὶ τὰ πλείονα περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν τὰς σκιὰς αὐτὰς δεδοικότες; ἐντεῦθεν γὰρ τίκτονται αἱ ἐπιβουλαί, αἱ βασκανίαι, ὁ φθόνος ὁ πολύς, τὰ μυρία ἄλλα κακά. καὶ πολλάκις ἂν ἴδοις τῶν μυρία τάλαντα χρυσίου ἐχόντων ἀποκείμενα μακαρίζοντα τὸν ἐπ' ἐργαστηρίου ἑστηκότα, καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας τὴν τροφὴν ποριζόμενον. ποία οὖν ἡδονή, ἢ ποῖον κέρδος, ὅταν μήτε τούτων ἀπολαύωμεν, καὶ διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν καὶ τῶν μειζόνων ἀποστερώμεθα; τί δὲ λέγω τῶν μειζόνων; ὅταν μετὰ τῶν ἐνταῦθα κακῶν, καὶ τὴν ἔκπτωσιν τῶν ἐκεῖ ἀγαθῶν, καὶ πρὸς τὴν γέενναν αὐτὴν ἀποπεμπώμεθα. καὶ οὔπω λέγω τὰ μυρία ἁμαρτήματα τὰ ἐντεῦθεν συλλεγόμενα, τοὺς δόλους, τὰς συκοφαντίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας. ἀλλὰ κἂν ἁπάντων τούτων ἐλεύθερος ᾖ τις, ὅπερ ἂν εἴη τῶν ἀδυνάτων, τοσαῦτα δὲ εἴη περιβεβλημένος χρήματα, καὶ τῆς οἰκείας μόνης ἀπολαύσεως γινόμενος, καὶ μὴ προϊέμενος τοῖς ἐν χρείᾳ οὖσι μετὰ δαψιλείας, τὸ τῆς γεέννης πῦρ καὶ τὸν τοιοῦτον ἐκδέξεται. καὶ τοῦτο διδάσκει ἡμᾶς σαφῶς ἡ παραβολὴ ἡ ἐν τῷ εὐαγγελίῳ κειμένη, ἡνίκα τοὺς μὲν ἐκ δεξιῶν ἔστησε, τοὺς δὲ ἐξ εὐωνύμων· καὶ τοῖς μὲν τὴν βασιλείαν εἶπεν ἡτοιμάσθαι διὰ τὴν περὶ τοὺς δεομένους ἐπιμέλειαν. Ματθ. κε. λγ. δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν. μέγας τοῦ ῥήματος ὁ ὄγκος. ὁ δεσπότης τῶν ἁπάντων καὶ δημιουργός φησιν, ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. ποίας οὐκ ἂν καθίκοιτο τοῦτο ψυχῆς, κἂν αὐτολιθίνη τυγχάνῃ; ὁ δεσπότης σου πεινῶν περιέρχεται, καὶ σὺ τρυφᾷς; καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ἀλλ' ὅτι καὶ τρυφῶν περιορᾶν αὐτὸν ἀνέχῃ, καὶ ταῦτα οὐδὲ πολλοῦ τινος δεόμενον, ἀλλ' ἄρτου μόνον ἑνός, ὥστε τὸν λιμὸν παραμυθήσασθαι. ἀλλ' αὐτὸς μὲν τῷ κρυμῷ πηγνύμενος περιέρχεται, σὺ δὲ τὰ τῶν σηρῶν νήματα περικείμενος οὐκ ἐπιστρέφῃ, οὐδὲ τὴν συμπάθειαν ἐπιδείκνυσαι, ἀλλ' ἀνηλεῶς παρατρέχεις. καὶ ποίας ταῦτα ἂν εἴη συγγνώμης ἄξια; μὴ τοίνυν τοῦτο σπουδάζωμεν, τὸ πάντων ἐκ παντὸς τρόπου πλείονα περιβάλλεσθαι, ἀλλ' ἐκεῖνο σκοπῶμεν ὅπως καὶ ταῦτα καλῶς διαθῶμεν, καὶ τὴν τῶν ἐν χρείᾳ τυγχανόντων ἔνδειαν παραμυθησώμεθα, κἀκείνων μὴ ἐκπέσωμεν τῶν ἀεὶ μενόντων, τῶν οὐδεμίαν μεταβολὴν ἐπιδεχομένων. διὰ γὰρ τοῦτο καὶ τῆς ἡμέρας ἡμῶν τὴν τελευτὴν ἄδηλον ἡμῖν ἐποίησεν ὁ δεσπότης, ἵνα ἡμᾶς παρασκευάσῃ διηνεκῶς νήφειν καὶ ἐγρηγορέναι, καὶ ταύτῃ μᾶλλον διεγείρῃ πρὸς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν. Μαρ. ιγ. λγ. Γρηγορεῖτε γάρ, φησιν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν. ἀλλ' ἡμεῖς τὸ ἐναντίον πράττομεν, καὶ δι' ὅλου καθεύδομεν ὕπνον τούτου τοῦ φυσικοῦ βαρύτερον. ὁ μὲν γὰρ τοῦτον καθεύδων τὸν ὕπνον καὶ πρὸς τὰ κακὰ καὶ πρὸς τὰ καλὰ ἀνενέργητος τυγχάνει· ἡμεῖς δὲ ἕτερον ὕπνον καθεύδομεν, πρὸς μὲν τὰ τῆς ἀρετῆς ἔργα καθεύδοντες, πρὸς δὲ τὰ τῆς κακίας ἐγρηγορότες· κἀκεῖνα μὲν ἀόκνως διαπραττόμενοι, ἐν δὲ τούτοις πολλὴν τὴν ῥαθυμίαν καὶ τὸν ὕπνον ἐπιδεικνύμενοι, καὶ ταῦτα ὁρῶντες καθ' ἑκάστην ἡμέραν τοὺς μὲν ἐντεῦθεν ἀπαγομένους, τοὺς δὲ καὶ ἐν τῷ παρόντι βίῳ πολλὴν τὴν μεταβολὴν ὑπομένοντας. καὶ οὐδὲ αὕτη ἡ ἀνωμαλία παιδεῦσαι ἡμᾶς ἱκανὴ καὶ εἰς πόθον τῆς ἀρετῆς ἀναγαγεῖν, καὶ παρασκευάσαι ὑπεριδεῖν τῶν παρόντων, καὶ ποθῆσαι τὰ μέλλοντα, καὶ προτιμῆσαι τῆς σκιᾶς καὶ τῶν ὀνειράτων τὴν ἀλήθειαν. σκιᾶς γὰρ καὶ ὀνειράτων οὐδὲν τὰ παρόντα διενήνοχε. μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν, μηδὲ τὰς σκιὰς μεταδιώκωμεν· ἀλλ' ὀψὲ γοῦν ποτε τῆς οἰκείας σωτηρίας φροντίδα ποιησώμεθα, καὶ τὰ χρήματα κενώσωμεν εἰς τοὺς δεομένους, ἵνα τῆς ἐπὶ τούτοις ἀμοιβῆς ἀξιωθῶμεν παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. να. ΕΓΕΝΕΤΟ ΔΕ ΛΙΜΟΣ ΕΠΙ ΤΗΣ ΓΗΣ, ΧΩρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ.

Πάλιν ἐκ τῆς ἀκολουθίας τῶν πρῴην ἡμῖν εἰρημένων βούλομαι τῆς πρὸς ὑμᾶς ἅψασθαι διδασκαλίας. ὥστε δὲ εἰδέναι ὑμᾶς σαφῶς ποῦ τὸν λόγον πρῴην κατελύσαμεν, καὶ ὅθεν αὐτὸν προσήκει σήμερον ἀναλαβεῖν, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην. εἰ γὰρ καὶ αὐτοὶ διὰ τὸ πολλαῖς φροντίσι περιέλκεσθαι ἴσως ἐπιλέλησθε, ἀλλ' ἐμοὶ προσήκει εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν, ἵνα διὰ τῆς μνήμης σαφέστερος ὑμῖν ὁ λόγος γένηται ὁ μέλλων σήμερον ῥηθήσεσθαι. ἴστε ὅτι πρότερον τῆς Ῥεβέκκας τὸ φιλόθεον διηγούμενοι, κἀκεῖθεν ἐπὶ τὸν Ἠσαῦ καὶ τὸν Ἰακὼβ ἐλθόντες ἐκεῖ κατηντήσαμεν, ἔνθα τὰ πρωτοτόκια ἀπέδοτο τῷ Ἰακὼβ ὁ Ἠσαῦ, τοῦ ἑψήματος ἀπολαύσας, καὶ διὰ τὴν τῆς τροφῆς ἐπιθυμίαν τῆς προεδρίας ἑαυτὸν ἀπεστέρησε. τοῦτο δὲ ἐγίνετο οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἡ τοῦ Θεοῦ πρόρρησις διὰ τῶν ἔργων πληρωθῇ ἡ λέγουσα, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα. ἐπειδὴ γὰρ ὡς Θεὸς τὰ μέλλοντα προῄδει, προανεφώνησε καὶ τούτου τὴν ἀρετήν, κἀκείνου τῆς γνώμης τὴν μοχθηρίαν. τί δέ ἐστι τοῦτο τὸ τῶν πρωτοτοκίων, εἰ καὶ μὴ τότε ὁ καιρὸς ἐπέτρεπεν εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἀναγκαῖον νῦν ὑμᾶς διδάξαι. μεγίστη γὰρ εἶναι τιμὴ τὸ παλαιὸν ἐνομίζετο. ἔσχε δὲ τῆς τιμῆς τὴν ὑπόθεσιν ἐντεῦθεν. ἡνίκα τὸ τῶν Ἰσραηλιτῶν ἔθνος τῆς Αἰγύπτου ἀπαλλάξαι ἐβούλετο ὁ τῶν ὅλων Θεός, καὶ τῆς τυραννίδος ἐλευθερῶσαι τοῦ Φαραὼ διὰ τὴν πρὸς τοὺς πατριάρχας ἐπαγγελίαν, ἀντιτείνοντος καὶ κατέχειν βουλομένου τότε τοῦ Αἰγυπτίου, μετὰ τὰς διαφόρους πληγὰς ταύτην ἐπαγαγὼν τὴν πληγὴν ὁ δεσπότης τελευταίαν, μονονουχὶ ταῖς οἰκείαις χερσὶ παρεσκεύασε τοὺς Αἰγυπτίους ἐξῶσαι τὸ τῶν Ἰσραηλιτῶν ἔθνος. ἀθρόον γὰρ πάντων τῶν Αἰγυπτίων τὰ πρωτότοκα ἀναιρεθῆναι προσέταξε, καὶ ἦν ἰδεῖν καθ' ἑκάστην οἰκίαν οἰμωγὰς καὶ δάκρυα, καὶ οὐδὲ μέχρι τούτου στῆναι ἐνόμιζον τὴν ἀπειλήν, ἀλλ' ἐκ τούτου προσεδόκων καὶ ἐπὶ πάντας ὁδῷ βαδίζοντα ἐλεύσεσθαι τὸν θάνατον. ἐπεὶ οὖν τῶν ἐν Αἰγύπτῳ πάντων τῶν γεννωμένων πρωτοτόκων ἀθρόον ὁ θάνατος γέγονεν, οἱ δὲ Ἰσραηλῖται τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες ἀβλαβεῖς διέμενον, δεικνὺς καὶ διὰ τούτου τὴν περὶ αὐτοὺς εὔνοιαν ὁ τῶν ὅλων Θεός, ἀντὶ τῆς ἀναιρέσεως τῶν πρωτοτόκων ἐκείνων, τὰ πρωτότοκα τῶν Ἰουδαίων αὐτῷ ἀνατιθέναι λοιπὸν προσέταξεν. ἐντεῦθεν καὶ ἡ Λευῒ φυλὴ εἰς ἱερουργίαν ἀφωρίσθη, καὶ ἐξ ἐκείνου οὐ μόνον τῶν ἀνθρώπων τὰ πρωτότοκα ἀνετίθεντο τῷ Θεῷ, ἀλλὰ καὶ τῶν ἀλόγων, καὶ πάντων ἁπαξαπλῶς. καὶ πρόσταγμα ἦν τὸ κελεῦον ὑπέρ τε τῶν ἀνθρώπων, ὑπέρ τε τῶν ἀκαθάρτων ζώων τὴν τιμὴν καταπιθέναι. ἀλλ' εἰ καὶ ὕστερον αὕτη ἡ νομοθεσία γέγονεν ἡ περὶ τῶν πρωτοτόκων, ἀλλ' ὅμως ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδόκουν πλέον τι ἔχειν προτέρημα οἱ τὴν νηδὺν τῆς μητρὸς διανοίξαντες. ταύτην οὖν τὴν τιμήν, ἣν καὶ ἐκ φύσεως εἶχεν ὁ Ἠσαῦ, μετήγαγε διὰ τὴν οἰκείαν ἀκρασίαν ἐπὶ τὸν ἀδελφόν. καὶ ὁ μὲν καὶ τὸ παρὰ τῆς φύσεως αὐτῷ δοθὲν ἀπώλεσεν· ὁ δέ, καὶ ὅπερ οὐκ εἶχεν ἐκ φύσεως, αὐτὸ προσέλαβε. καὶ ἐπειδὴ ἄνωθεν αὐτῷ ἦν κεχρησμῳδημένον, διὰ τοῦτο καὶ ἡ Ῥεβέκκα τὴν προσηγορίαν αὐτῷ ἐπιθεῖσα, Ἰακὼβ αὐτὸν ἐκάλεσεν, ὅπερ πτερ-

Μαλ. α. γ.

νισμὸς ἑρμηνεύεται, καθάπερ καὶ ὁ Ἡσαῦ μετὰ τὰς τοῦ παιδὸς εἰς αὐτὸν εὐλογίας γεγενημένας ἀποδυρόμενος ἔλεγε, "δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ. ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο, τότε τὰ πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου. σκόπει πόση τῶν παλαιῶν ἦν ἡ σύνεσις, μᾶλλον δὲ πόση τοῦ Θεοῦ ἡ σοφία, ὡς καὶ τὰς γυναῖκας παρασκευάζειν μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπιτιθέναι, ἀλλ' ἐναποτίθεσθαι τῇ τοῦ παιδίου προσηγορίᾳ τῶν μελλόντων ἔσεσθαι τὴν προαναφώνησιν. καὶ σπανίως εὑρήσεις ὁμωνύμους τοῖς γεννησαμένοις τοὺς τεχθέντας καλουμένους, ἢ τάχα που οὐδαμοῦ· ἀλλὰ κἂν ὁ πατὴρ τὴν προσηγορίαν τῷ παιδὶ μέλλῃ ἐπιτιθέναι, ξένην τινὰ καὶ καινὴν ἐπιτίθησιν, ὥστε δι' αὐτῆς προμηνῦσαί τινα τῶν μελλόντων ἔσεσθαι· καὶ ἡ μήτηρ πάλιν ὁμοίως. οὕτω καὶ ὁ Λάμεχ τὸν υἱὸν προσαγορεύων, Νῶε ἐκάλεσε, καὶ ἐπήγαγε λέγων, οὗτος διαναπαύσει ἡμᾶς. οὕτω καὶ ἑκάστην προσηγορίαν διερευνώμενος μετὰ ἀκριβείας εὑρήσεις πάντως τι αἰνιττομένην, οὐ καθάπερ νῦν ποιοῦσιν, ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπὸ τῶν γεννησαμένων σπουδάζοντες τὰς προσηγορίας ὀνομάζειν, ἀλλὰ πᾶς ὁ σκοπὸς αὐτοῖς ἦν, ὥστε διηνεκῆ ὑπόμνησιν ἐναποτιθέναι διὰ τῆς προσηγορίας τῷ τεχθέντι. ἀλλ' ἴδωμεν λοιπὸν μετὰ τὴν τῶν πρωτοτοκίων ἐναλλαγὴν, τί πάλιν ἡμῖν διηγεῖται ὁ μακάριος Μωϋσῆς περὶ τοῦ παιδὸς τούτων, καὶ ὅπως καθάπερ ἐπὶ τοῦ πατριάρχου, καὶ ἐνταῦθα λιμοῦ καταλαβόντος πολλῆς ἀξιοῦται τῆς ἄνωθεν κηδεμονίας διά τε τὴν οἰκείαν ἀρετὴν, διά τε τὴν εἰς τὸν πατριάρχην γεγενημένην ἐπαγγελίαν. 1 Ἐγένετο δέ, φησι, λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ.

γρ. καλῶς

κεφ. κϛ.

Ἵνα μὴ νομίσῃς περὶ ἐκείνου τοῦ λιμοῦ αὐτὸν διαλέγεσθαι, διὰ τοῦτο ἐπήγαγε, χωρὶς τοῦ λιμοῦ τοῦ πατριάρχου, ἀντὶ τοῦ, ἕτερος τοιοῦτος νῦν κατέλαβε λιμὸς τὴν γῆν ἐπὶ τοῦ Ἰσαὰκ, οἷος καὶ ἐπὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἡ τῶν ἀναγκαίων σπάνις πάντας ἐν θορύβῳ μεγίστῳ καθίστα, καὶ ἐκ τῶν οἰκείων μετοικίσασθαι κατήπειγε, καὶ πρὸς ἐκείνους τοὺς τόπους χωρεῖν, ἔνθα τῶν ἐπιτηδείων τὴν εὐπορίαν ἦν εὑρεῖν. ὅθεν καὶ ὁ δίκαιος οὗτος θεασάμενος τὸν λιμὸν, Ἐπορεύθη, φησὶ, πρὸς Ἀβιμέλεχ εἰς Γέραρα.

Ἐνταῦθα γὰρ καὶ ὁ Ἀβραὰμ μετὰ τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον πάλιν ἀπῆλθεν. εἰκὸς δὲ καὶ τοῦτον διὰ τοῦτο ἐκεῖ ἀπεληλυθέναι, ὡς ἐκεῖθεν ὁρμῆσαι βουλόμενον ἐπὶ τὴν Αἴγυπτον. καὶ ὅτι τοῦτο ἐστὶν, ἄκουσον τὴν ἄφατον τοῦ Θεοῦ "εὐσπλαγχνίαν. 2 Ὤφθη γὰρ αὐτῷ, φησιν, ὁ Θεὸς, καὶ εἶπε, μὴ καταβῇς εἰς Αἴγυπτον.

γρ. φιλανθρωπίαν.

Οὐ βούλομαί σε, φησι, τὴν μακρὰν ἐκείνην στείλασθαι ὁδὸν, ἀλλ' ἐνταῦθα μένειν. ἀλλ' οὐδὲ ἀφίημί σε πεῖραν τῆς στενοχωρίας λαβεῖν, ἀλλὰ τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα σου εἰς ἔργον ἄξω, καὶ τὰ ἐκείνῳ ἐπηγγελμένα εἰς σὲ ἐκβήσεται, καὶ σὺ τῶν πρὸς ἐκεῖνον ὑποσχέσεων τὸ πέρας δέξῃ. μὴ καταβῇς εἰς Αἴγυπτον.

Κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἐάν σοι εἴπω, 3 Καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ. Ἵνα μὴ νομίσῃ ὁ δίκαιος ὅτι βουλόμενος αὐτὸν τῆς στενοχωρίας τῆς ἀπὸ τοῦ λιμοῦ πεῖραν λαβεῖν, τοῦτο ἐπιτάττει, καὶ οὐ συγχωρεῖ εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, φησι, μὴ ἀγωνία, μηδὲ φρόντιζε, ἀλλ' ἐνταῦθα μένε. Ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ.

Τὸν χορηγὸν ἁπάντων τῶν ἀγαθῶν ἔχων, μὴ φρόντιζε μηδενός. ἐγὼ γὰρ ὁ πάντων δεσπότης ἔσομαι μετὰ σοῦ, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ Καὶ εὐλογήσω σε,

Ἀντὶ τοῦ, ἐπίδοξόν σε ποιήσω, καὶ τὴν παρ' ἐμοῦ σοι εὐλογίαν παρέξω. τί ἂν εἴη τούτου "μακαριώτερον τοῦ δικαίου τοῦ τοσαύτην" εὐλογίαν παρὰ τοῦ Θεοῦ δεξαμένου, ὅτι ἔσομαι μετὰ σοῦ, καὶ εὐλογήσω σε; τοῦτό σε πάντων εὐπορώτερον ἀποδείξει, τοῦτό σε ἐν πολλῇ περιουσίᾳ εἶναι παρασκευάσει, τοῦτό σοι ἡ μεγίστη δόξα, τοῦτο ἡ ἄφατος περιφάνεια, τοῦτο

γρ. μακαριώτερον

γρ. ἐπαγγελίαν

ἡ

ἡ ἀσφάλεια, τοῦτο τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ ἐμὲ εἶναι μετὰ σοῦ, καὶ εὐλογῆσαί σε. πῶς δέ σε εὐλογήσω; Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην.

Ὡς ξένος καὶ ἀλήτης νομίζεις ἐπιχωριάζειν τοῖς μέρεσι τούτοις· ἴσθι ὅτι σοὶ καὶ τῷ σπέρματί σου πᾶσα αὕτη δοθήσεται ἡ γῆ. καὶ ἵνα θαῤῥεῖν ἔχῃς, μάνθανε ὅτι τὸν ὅρκον, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου, τοῦτον ἐπὶ σοὶ στήσω. ὅρα συγκατάβασιν Θεοῦ. οὐκ εἶπεν ἁπλῶς τὰς συνθήκας, ἃς ἐποιησάμην πρὸς τὸν πατέρα τὸν σὸν, οὔτε τὰς ἐπαγγελίας, ἃς ὑπεσχόμην. ἀλλὰ τί; τὸν ὅρκον ὃν ὤμοσα. ὅρκῳ αὐτὸν ἐπιστωσάμην, φησὶ, καὶ ὀφείλω εἰς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸν ὅρκον τὸν ἐμόν. ὁρᾷς Θεοῦ φιλανθρωπίαν. οὐ πρὸς τὴν οἰκείαν ἀξίαν ὁρῶν φθέγγεται, ἀλλὰ πρὸς τὴν ἀσθένειαν συγκαταβαίνων τὴν ἡμετέραν. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖνα εἰς ἔργον ἀγαγεῖν σπουδάζουσιν, οὐχ ἅπερ ἂν ἁπλῶς ὑπόσχωνταί τισιν, ἀλλ᾽ ὅσα ἂν μεθ᾽ ὅρκου ἐπαγγέλωνται· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς πληροφορῶν τὸν δίκαιον, ὅτι πάντως ἔσται τὰ παρ᾽ αὐτοῦ λεγόμενα, φησιν, ἴσθι ὅτι τὰ παρ᾽ ἐμοῦ ὀμνυθέντα εἰς ἔργον ἀχθῆναι δεῖ. τί δαί φησιν; ὁ Θεὸς ὤμοσε. καὶ κατὰ τίνος ὀμόσαι ἠδύνατο; ὁρᾷς ὅτι συγκαταβάσεως ἦν τὸ εἰρημένον. τὴν γὰρ βεβαίωσιν τῆς ὑποσχέσεως ὅρκον ἐκάλεσε. Καὶ στήσω, φησὶ, τὸν ὅρκον μου, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου. Εἶτα διδάσκει αὐτὸν καὶ τίνα ἐστὶν ἃ ὑπέσχετο, καὶ περὶ τίνων αὐτῷ διεβεβαιώσατο.

4 Καὶ πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. Τοῦτο γὰρ καὶ τῷ πατριάρχῃ ἔλεγον, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς καὶ τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι. Καὶ δώσω, φησὶν, τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Διὰ τοῦτον τὰς ὑποσχέσεις τὰς εἰς ἐκεῖνον γεγενημένας εἰς σὲ πληρώσω,

5 Ἀνθ᾽ ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου. Ὅρα Θεοῦ σοφίαν, ὅπως διεγείρει τοῦ δικαίου τὴν διάνοιαν, καὶ προθυμότερον ἐργάζεται καὶ παρασκευάζει μιμητὴν οὗτον τοῦ οἰκείου πατρὸς καταστῆναι. εἰ γὰρ ἐκεῖνος, ἐπειδὴ, φησιν, ὑπήκουσε τῆς ἐμῆς φωνῆς, ταύτης ἠξιώθη τῆς ὑποσχέσεως, καὶ διὰ τὴν ἐκείνου ἀρετὴν εἰς σὲ τὰ ἐξ αὐτοῦ τεχθέντα ταῦτα πληροῦν μέλλω, εἰ καὶ σὺ αὐτὸς ἐκείνου ζηλωτὴς καταστάίης, καὶ τὴν ἐκείνου ὁδὸν ἔλθοις, ἐννόησον ὅσης ἀπολαύσεις τῆς παρ᾽ ἐμοῦ εὐνοίας, καὶ πόσης προνοίας ἀξιωθήσῃ. ὁ γὰρ διὰ τὴν ἑτέρου ἀρετὴν μέλλων εὖ πάσχειν, εἰ καὶ αὐτὸς ἐνάρετος γένοιτο, πολλῷ πλείονος ἀξιωθήσεται κηδεμονίας. τί δέ ἐστιν, ἀνθ᾽ ὧν ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰς ἐντολάς μου, καὶ τὰ δικαιώματά μου; εἶπον αὐτῷ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ κατέλειπε τὰ ἐν χερσὶ, καὶ τὰ ἄδηλα ἐδίωκε, καὶ οὐκ ἐνεδοίασεν, οὐδὲ ἐμέλλησεν, ἀλλὰ μετὰ πάσης προθυμίας τὸ ἐπίταγμα πληρῶν ὑπήκουσε τῆς ἐμῆς φωνῆς. πάλιν τὰ ὑπὲρ τὴν φύσιν αὐτῷ ἐπηγγειλάμην, καὶ μετὰ τὸ τὴν ἡλικίαν ἀπαγορεῦσαι, καὶ μηκέτι μήτε αὐτὸν, μήτε τὴν μητέρα τὴν σὴν πρὸς τεκνογονίαν ἔχειν τινὰ ἐπιτηδειότητα, ἀκούων παρ᾽ ἐμοῦ, ὅτι τὸ ἐξ αὐτοῦ σπέρμα εἰς τοσοῦτον ἐκταθήσεται, ὡς πᾶσαν πληρῶσαι τὴν γῆν, οὐδὲ τότε διεταράχθη τὸν λογισμὸν, ἀλλ᾽ ἐπίστευσε· διὸ καὶ δικαιοσύνη αὐτῷ ἐλογίσθη, ὅτι τῇ δυνάμει τῇ ἐμῇ πιστεύσας, καὶ ταῖς ὑποσχέσεσι θαῤῥήσας ταῖς ἐμαῖς, ἀνώτερος γέγονε τῆς ἀσθενείας τῆς ἀνθρωπίνης. καὶ μετὰ τό σε τεχθῆναι, τῆς μητρὸς τῆς σῆς δυσχεραινούσης πρὸς τὸν Ἰσμαὴλ τὸν ἐκ τῆς παιδίσκης τεχθέντα, καὶ βουλομένης αὐτὸν ἀπελάσαι τῆς οἰκίας μετὰ τῆς Ἄγαρ, ὥστε μηδὲν κοινὸν ἔχειν πρὸς σὲ, τοῦ πατριάρχου διὰ τὴν πατρικὴν φιλο-

στοργίαν

στοργὴν ἤδη σχεδὸν ἴσως καὶ πρὸς ἐκεῖνον ἔχοντος, ἀκούσας παρ' ἐμοῦ ὅτι, τὸ δοκοῦν" ποίει τῇ Σάρρᾳ, ἐπελάθετο τῆς φυσικῆς φιλοστοργίας, καὶ ἐξέβαλε τὸν Ἰσμαὴλ μετὰ τῆς παιδίσκης, καὶ πανταχοῦ ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου. καὶ γὰρ τὸ τελευταῖον προσταχθεὶς ὑπ' ἐμοῦ εἰς θυσίαν ἀνενεγκεῖν τὸν ἐν τῷ γήρει αὐτῷ δοθέντα, τὸν οὔπω περιπόθητον, οὐ περιειργάσατο τὸ πρόσταγμα, οὐ διεταράχθη τὸν λογισμόν, οὐδὲ ἀνεκοινώσατο τῇ μητρὶ τῇ σῇ, οὐ τοῖς παισίν, οὐ σοὶ αὐτῷ τὸ μέλλον ὑπ' αὐτοῦ πραχθήσεσθαι κατάδηλον ἐποίησεν, ἀλλ' ἐρρωμένῳ τῷ λογισμῷ καὶ συντεταμένῃ τῇ προθυμίᾳ εἰς ἔργον ἄγειν τὸ ἐπίταγμα ἠπείγετο τὸ ἐμόν. διὰ τὴν γνώμην αὐτοῦ στεφανώσας τὸ ἔργον ἐκώλυσα γενέσθαι. ἐπεὶ οὖν διὰ πάντων πολλὴν ἐπεδείξατο τὴν ὑπακοὴν καὶ τὴν φυλακὴν τῶν ἐμῶν προσταγμάτων, διὰ τοῦτό σοι, τὸν ἐξ ἐκείνου τεχθέντα, τῶν ὑποσχέσεων τῶν εἰς αὐτὸν γεγενημένων ποιῶ κληρονόμον. μίμησαι τοίνυν ἐκείνου τὴν ὑπακοήν, καὶ τοῖς παρ' ἐμοῦ λεγομένοις πίστευε, ἵνα πολυπλασίονος τῆς ἀμοιβῆς ἀξιωθῇς ὑπέρ τε τῆς τοῦ πατρὸς ἀρετῆς, ὑπέρ τε τῆς οἰκείας ὑπακοῆς, καὶ μὴ καταβῇς εἰς Αἴγυπτον, ἀλλ' ἐνταῦθα μένε. εἶδες Θεοῦ φιλανθρωπίαν, ὅπως διὰ τῆς μνήμης τῆς ἀρετῆς τοῦ πατρός, τούτου τὸν λογισμὸν ἐνεύρωσε. 6 Κατῴκησε δέ, φησιν, Ἰσαὰκ ἐν Γεράροις.

γρ. ποιῶν

Ὅρα τοῖς αὐτοῖς καὶ τοῦτον περιπίπτοντα σχεδόν, οἷς ὁ πατὴρ περιέπεσεν. ἐπειδὴ γὰρ τὴν κατοίκησιν ἐποιήσατο ἐν Γεράροις, 7 Ἐπηρώτησαν, φησιν, οἱ ἄνδρες τοῦ τόπου περὶ τῆς Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. καὶ εἶπεν, ἀδελφή μού ἐστιν.

Ἐφοβήθη γάρ, μήποτε ἀποκτείνωσιν αὐτόν, ἡττώμενοι τοῦ κάλλους τῆς γυναικός.

Μήποτε γάρ, φησιν, ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. 8 Ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ. παρακύψας δὲ Ἀβιμέλεχ εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, 9 Καὶ ἐκάλεσεν αὐτόν, καὶ εἶπεν αὐτῷ, ἆρά γε γυνή σού ἐστιν; τί ὅτι εἶπες, ἀδελφή μού ἐστιν;

Ἐπειδὴ ἐκ τῶν τεκμηρίων ἐφωράθη ὁ δίκαιος, οὐκέτι λοιπὸν ἀρνεῖται, ἀλλ' ὁμολογεῖ, καὶ τὴν αἰτίαν φανερὰν καθίστησι, δι' ἣν ἀδελφὴν καλέσαι κατεδέξατο. εἶπε γάρ, φησι, μήποτε ἀποθάνω δι' αὐτήν. ὁ τοῦ θανάτου φόβος εἰς τοῦτό με ἐλθεῖν κατηνάγκασεν. ἴσως δὲ μεμαθηκὼς ἦν, ὅτι καὶ ὁ πατὴρ τοῦτο τὸ δρᾶμα κατασκευάσας διέσωσεν ἑαυτόν, καὶ διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἦλθε τὴν ὁδόν. ἀλλ' ὁ βασιλεὺς ἔναυλον ἔχων τὴν μνήμην, ὧν πέπονθεν ἐπὶ τοῦ πατριάρχου τὴν Σάρραν ἀφελόμενος, " παραχρῆμα ὑπὸ τῆς ἄνωθεν ἐπιτιμήσεως ἑαυτὸν ὑπεύθυνον καταστήσας, φησὶ πρὸς αὐτόν,

γρ. καὶ [illegible] τ. ἀ. ἐ. [illegible] τὸν ἐ. [illegible] τοῦτο.

10 Τί τοῦτο ἐποίησας; μικροῦ ἐκοιμήθη τις τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. Ταύτην, φησί, τὴν ἀπάτην καὶ ἤδη ὑπέστημεν ὑπὸ τοῦ πατρὸς τοῦ σοῦ, καὶ νῦν εἰ μὴ ταχέως συνείδομεν, τὰ αὐτὰ ἂν ἐμέλλομεν ὑπομένειν, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. καὶ γὰρ καὶ τότε δι' ἄγνοιαν ἁμαρτάνειν ἐμέλλομεν, καὶ νῦν ὑπὸ τῆς ἀγνοίας μικροῦ δεῖν ἡμᾶς ἁμαρτίᾳ περιπεσεῖν παρεσκεύασας. 11 Συνέταξε δέ, φησιν, Ἀβιμέλεχ τῷ λαῷ αὐτοῦ λέγων, πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου, ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτου ἔνοχος ἔσται.

Ὅρα Θεοῦ πρόνοιαν, ὅρα κηδεμονίαν ἄφατον. ὁ γὰρ εἰπὼν αὐτῷ, μὴ καταβῇς εἰς Αἴγυπτον, καὶ κατοίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, οὗτος ἦν ὁ ταῦτα πάντα οἰκονομῶν, καὶ τὸν δίκαιον ἐν τοσαύτῃ ἀσφαλείᾳ καθιστάς. σκόπει γὰρ τὸν βασιλέα ἔργον τοῦτο ποιούμενον, ὥστε ἐν ἀδείᾳ διάγειν αὐτόν, καὶ πάσης ἀπηλλάχθαι φροντίδος. θάνατον γάρ, φησιν, ἠπείλησεν ἅπασιν, εἴ τις ἅψαιτο αὐτοῦ, ἢ τῆς γυναικὸς αὐτοῦ. ἐπειδὴ γὰρ οὗτος ἦν ὁ φόβος, ὁ τοῦ θανάτου λέγω, κατασείων τοῦ δικαίου τὴν διάνοιαν, διὰ τοῦτο καὶ τοῦτον ἐκβληθῆναι πεποίηκεν ὁ φιλάνθρωπος δεσπότης, καὶ ἐν πάσῃ ἀσφαλείᾳ αὐτὸν λοιπὸν διάγειν. καὶ ὅρα τὸ θαυμαστὸν καὶ παράδοξον, πῶς εὐμήχανος ὢν καὶ σοφὸς καὶ πάντα κατὰ τὸ βούλημα τὸ οἰκεῖον μετασκευάζων, καὶ ἐν ἀπόροις πόρον εὑρίσκων, διὰ τῶν ἐναντίων [αὐτῶν] καὶ πολεμίων εἶναι νομίζεσθαι, διὰ τούτων τὴν ἀσφάλειαν τοῖς ἰδίοις θεράπουσι γίνεσθαι παρεσκεύασε. πόθεν γάρ, εἰπέ μοι, ὁ βασιλεὺς οὗτος τοσαύτην τοῦ δικαίου ποιεῖται τὴν πρόνοιαν, μονονουχὶ ἀνακηρύττων αὐτὸν ἅπασι τοῖς τὴν πόλιν οἰκοῦσι, καὶ περιφανῆ δεικνὺς καὶ περισπούδαστον αὐτόν; οὕτω καὶ ὁ Ναβουχοδονόσορ μετὰ τὸ βαλεῖν εἰς τὴν κάμινον τοὺς παῖδας τοὺς τρεῖς, καὶ διὰ τῶν πραγμάτων μαθεῖν τῶν νέων, τῶν αἰχμαλώτων τὴν ἀρετήν, τότε ἀνακηρύττειν αὐτοὺς ἤρξατο, καὶ πανταχοῦ διὰ τῆς οἰκείας γλώττης περιφανεῖς καθιστᾶν. τοῦτο γάρ ἐστι μάλιστα τῆς περιουσίας τῆς τοῦ Θεοῦ δυνάμεως, ὅταν διὰ τῶν ἐχθρῶν ἀνακηρύττεσθαι τοὺς αὐτοῦ δούλους παρασκευάζῃ. καὶ ὁ μετὰ θυμοῦ τὴν κάμινον ἐκείνην ἐξαφθῆναι ποιήσας, ἐπειδὴ εἶδεν ὅτι διὰ τῆς ἄνωθεν συμμαχίας καὶ τῆς τοῦ πυρὸς ἐνεργείας περιεγίνετο ἡ τῶν παίδων ἀρετή, ἀθρόον μεταβαλλόμενος ἐκραύγασε λέγων, Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου. ὅρα μὴ μόνον αὐτοὺς ἀνακηρύττοντα, ἀλλὰ καὶ τὸν δεσπότην τῶν ὅλων. Οἱ δοῦλοι γὰρ τοῦ Θεοῦ, φησι, τοῦ ὑψίστου ἐξέλθετε. τί γέγονεν; οὐ σὺ τῇ τιμωρίᾳ παρέδωκας; οὐ σὺ ἐπὶ τοσοῦτον ἐκκαυθῆναι τὴν κάμινον προσέταξας; ναί, φησιν, ἀλλὰ νῦν ὁρῶ ξένα καὶ παράδοξα πράγματα. τὸ γὰρ στοιχεῖον τοῦτο τῆς οἰκείας ἐνεργείας ἐπιλαθόμενον, ὥσπερ δεσμοῖς τισι πεδηθέν, τοσαύτην ἐπεδείξατο τὴν ὑπακοήν, ὡς μηδὲ τῶν τριχῶν ἐφάψασθαι αὐτῶν. ὅθεν ἐστὶ συνιδεῖν, ὅτι ὑπὲρ ἀνθρωπίνην φύσιν ἐστὶ τὸ γεγονός, καὶ ἀπόρρητός τις καὶ θεία δύναμίς ἐστιν ἡ ταῦτα ἐργαζομένη, καὶ τῶν παίδων τούτων τοσαύτην ποιουμένη τὴν πρόνοιαν. εἶδες Θεοῦ φιλανθρωπίαν, ὅπως οὐκ ἐγκαταλιμπάνων τοὺς ἰδίους θεράποντας συνεχώρησεν εἰς τὴν κάμινον εἰσενεχθῆναι, ἀλλὰ καὶ αὐτοὺς βουλόμενος λαμπροτέρους ἐργάσασθαι, καὶ τὴν οἰκείαν δύναμιν ἐνδεικνύμενος, καὶ τοῦ βαρβάρου κατεμάλαξε τὴν διάνοιαν, καὶ τὴν τοσαύτην μακροθυμίαν ἐπεδείξατο. οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν, εἰ παρὰ τὴν ἀρχὴν ἐκώλυσεν αὐτοὺς εἰς τὴν κάμινον ἐμβληθῆναι, ὡς νῦν θαυμαστότερον γέγονε, καὶ πολὺ τὸ παράδοξον, ὅτι καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας οὐδὲν ἀηδὲς παθεῖν συνεχώρησεν. ὅταν γὰρ αὐτὸς βούληται, καὶ τοὺς ἐν μέσοις τοῖς δεινοῖς γεγενημένους ἀνωτέρους καθίστησι, καὶ τοὺς πάσχοντας τῶν ποιούντων δυνατωτέρους ἀπεργάζεται. οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐγένετο. Οἱ ἔχοντες γὰρ αὐτοὺς ἀπειλημμένους ἐν τῷ μέσῳ, καὶ μονονουχὶ τοὺς ὀδόντας θήγοντες κατ' αὐτῶν, πρὸς ἀλλήλους ἔλεγον, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὑποχειρίους αὐτοὺς ἔχοντες, ἐν ἀπορίᾳ καθειστήκεισαν. τοσοῦτόν ἐστιν ἡ ἀρετὴ ἰσχυρόν, καὶ οὕτως ἡ κακία ἀσθενές, ὡς ἐκείνην μὲν καὶ ἐν τῷ πάσχειν περιγίνεσθαι, ταύτην δὲ καὶ ἐν τῷ ποιεῖν τὴν οἰκείαν ἀσθένειαν ἐπιδείκνυσθαι.

Δαν. γ. κη.

Πραξ. δ. ιϛ.

ΗΘΙΚΟΝ

Ὅπερ εἰδότες, ἀγαπητοί, πολλὴν τῆς ἀρετῆς ποιώμεθα λόγον, καὶ φεύγωμεν τὴν κακίαν. οὕτω γὰρ καὶ τὴν ἄνωθεν ἐπισπασόμεθα ῥοπήν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νβ. ΕΣΠΕΙΡΕ ΔΕ ΙΣΑΑΚ ΕΝ ΤΗ ΓΗ ΕΚΕΙΝΗ,

καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

ΤΑ λείψανα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τοῦ λόγου τὴν ἀκολουθίαν ἀναλαβόντας ἰδεῖν πάλιν τὸν δίκαιον Ἰσαάκ, ὅσης ἀπολαύει τῆς ἄνωθεν κηδεμονίας. ὁ γὰρ τὴν εἰς Αἴγυπτον κάθοδον αὐτοῦ διακωλύσας, καὶ εἰπών, παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, οὕτως αὐτὸν διὰ πάντων περιφανῆ κατέστησεν, ὡς μετ' οὐ πολὺ ἐπίφθονον αὐτὸν γενέσθαι παρὰ τῷ βασιλεῖ Γεράρων. ὁρῶντες γὰρ αὐτοῦ καθ' ἑκάστην ἡμέραν αὐξανομένην τὴν εὐπορίαν, ἐδεδοίκεισαν λοιπὸν τοῦ ἀνδρὸς τὴν αὐτόθι κατοίκησιν, καὶ μεταστῆναι ἐκεῖθεν καταναγκάζουσιν. ἄξιον δὲ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων τῆς θείας γραφῆς, ἵνα διὰ πάντων θεασώμεθα τοῦ Θεοῦ τὴν εὔνοιαν, ἣν περὶ τοὺς αὐτοῦ οἰκέτας ἐπιδείκνυται. 12 Ἔσπειρε δέ, φησιν, Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. Σκόπει μοι τοῦ Θεοῦ τὴν σοφίαν· ἵνα δείξῃ τῷ δικαίῳ ὅτι δημιουργὸς ὢν τῆς φύσεως, καὶ ἐξ ἀπόρων πόρον παρασχεῖν δύναται, καὶ ὅτι καὶ ἐξ ἀρχῆς αὐτὸς τὴν γῆν τῷ οἰκείῳ προστάγματι διήγειρε πρὸς τὴν τῶν καρπῶν βλάστην, ″παρασκευάσας τὸν δίκαιον ἑκατονταπλασίονα τῶν ὑπ' αὐτοῦ σπαρέντων″ ἐπὶ τῆς γῆς κομίσασθαι τὰ δράγματα, ὁμοῦ καὶ αὐτὸν ἐν πλείονι καταστὰς εὐπορίᾳ τῷ μηδενὸς ἐν χρείᾳ γενέσθαι, κἀκείνους διὰ τῶν ἔργων διδάσκων ὅσης ὁ δίκαιος ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς. εὐμήχανος γὰρ ὢν καὶ σοφός, διὰ τῶν αὐτῶν πολλάκις πραγμάτων καὶ τοὺς οἰκείους εὐεργετεῖ, καὶ τοὺς ἔτι πεπλανημένους διδάσκεσθαι παρασκευάζει τῆς οἰκείας προνοίας τὴν δύναμιν. τοῦτο καὶ μετὰ ταῦτα κατὰ τὴν Αἴγυπτον εἰργάσατο, ἐκείνοις μὲν τὰς τιμωρίας ἐπαγαγών, τὸν δὲ λαὸν τῶν Ἰσραηλιτῶν ἀπαθῆ διαφυλάττων. ἐμάνθανον γὰρ οὐ μόνον διὰ τῆς κατ' αὐτῶν ἀγανακτήσεως τοῦ τῶν ὅλων Θεοῦ καὶ δημιουργοῦ τὴν δύναμιν, ἀλλὰ καὶ διὰ τῆς προνοίας τῆς εἰς ἐκείνους· καὶ οὗτοι πάλιν οὐκ ἐκ τῆς εἰς αὐτοὺς προνοίας καὶ κηδεμονίας μόνον ἐδιδάσκοντο τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν περὶ αὐτοὺς φιλανθρωπίαν, ἀλλὰ καὶ δι' ὧν ἐκείνους ἑώρων καθ' ἑκάστην ἡμέραν τὰς πληγὰς δεχομένους. καὶ διὰ τῶν αὐτῶν πραγμάτων καὶ τοῖς οἰκείοις καὶ τοῖς ἐναντίοις ἐδείκνυ τῆς οἰκείας δυνάμεως τὴν ὑπερβολήν. καὶ γὰρ αὐτὰ τὰ στοιχεῖα τὴν παρ' ἑαυτῶν διακονίαν καὶ τὴν ὑπακοὴν ἐπιδείκνυνται τοῖς ὁμοδούλοις, ὅταν ὁ δεσπότης εὐνοϊκῶς πρὸς αὐτοὺς ″διάκειται. καὶ τοῦτο δ' ἄν τις θεάσοιτο γενόμενον ἐπὶ τοῦ δικαίου τούτου. ὅπερ ἄλλοτε ἡ φύσις τῆς γῆς οὐκ ἐπεδείξατο, τοῦτο διὰ τὸ πρόσταγμα τοῦ τῶν ὅλων Θεοῦ νῦν ἐπιδείκνυται, καὶ τοσαύτην συνήνεγκε τὴν φοράν, ὡς ἀθρόον ἐν περιουσίᾳ πολλῇ καταστῆναι τὸν Ἰσαάκ.

ἴσ. περιεκδ-ασι γρ. παρὰ

ἴσ. διακινεῖ

Εὐλόγησε γὰρ αὐτὸν ὁ Θεός, 13 Καὶ ὑψώθη ὁ ἄνθρωπος, καὶ προβαίνων μείζων ἐγένετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα. Ἐπειδὴ γὰρ τότε ἐν τούτοις ἦσαν τὰ τῆς εὐπορίας τοῖς δικαίοις, ἐν τῇ τῆς γῆς εὐετηρίᾳ, ἐν τῷ τῶν θρεμμάτων πλήθει, διὰ τοῦτο φησιν, εὐλόγησεν αὐτὸν ὁ Θεός, καὶ ὑψώθη ὁ ἄνθρωπος, ἀντὶ τοῦ, εὔπορος ἐγένετο· καὶ οὐχ ἁπλῶς εὔπορος, ἀλλὰ καὶ μείζων, φησιν, ἐγένετο σφόδρα. ἐννόησον γὰρ ὅσον ἦν ἑκατονταπλασίονα τῶν παρ' αὐτοῦ καταβαλλομένων ὑποδέχεσθαι. εἰ δὲ τοῦτό σοι μέγα φαίνεται, σκόπει τὴν ἐπίτασιν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἣν τοῦ χρόνου προϊόντος περὶ ἡμᾶς ἐπεδείξατο. τοῖς γὰρ μετὰ τὴν αὐτοῦ παρουσίαν τὴν ἀρετὴν μετιοῦσιν οὐ μόνον ἑκατονταπλασίονα ἐνταῦθα παρέχειν ὑπισχνεῖται, ἀλλὰ καὶ τὴν αἰώνιον ζωὴν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς ἀπόλαυσιν. Εἶδες φιλοτιμίαν δεσπότου, εἶδες ἐπίτασιν εὐεργεσίας, εἶδες πόσον ἡμῖν κεχάρισται ἡ τοῦ μονογενοῦς παρουσία, ὅπως ἄφατον τῶν πραγμάτων τὴν ἐνάργειαν εἰργάσατο. Ταῦτα τοίνυν ἕκαστος καθ' ἑαυτὸν λογιζόμενος, καὶ ὁρῶν τὴν διαφορὰν, καὶ τίνα μὲν ἦν, ἃ τοῖς πρὸ τῆς χάριτος παρέχειν ὑπισχνεῖται, τίνα δὲ μετὰ τὴν χάριν, δοξαζέτω κἂν τούτῳ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν, καὶ μὴ τῇ τῶν καιρῶν ἐναλλαγῇ τὸ πᾶν ἐπιγραφέτω. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανελθεῖν δίκαιον, καὶ ἰδεῖν ὅπως οἱ ἐν Γεράροις ὁρῶντες τοῦ δικαίου τὴν πολλὴν εὐπορίαν, εἰς ζῆλον διηγέρθησαν, καὶ ἀπελαύνειν αὐτὸν ἐκεῖθεν ἐπεχείρουν.

Ἐζήλωσαν γὰρ, φησιν, αὐτὸν οἱ Φυλιστιείμ. Εἶτα δεῖξαι βουλομένη ἡ θεία γραφὴ ἐν τίνι τὸν ζῆλον ἐπεδείκνυντο, ἐπήγαγε, 15 Καὶ πάντα ἃ ὤρυξαν φρέατα οἱ παῖδες ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ, καὶ ἐνέπλησαν γῆς.

Σκόπει πόση τῶν αὐτόθι ἡ κακία, ὡς τῶν ὑδάτων φθονῆσαι τῷ δικαίῳ. καὶ οὐδὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ περιουσίᾳ καθεστὼς κατασχεῖν τὸν φθόνον ἴσχυσεν, ἀλλά φησιν, ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. πολλὴ ἡ ἀγνωμοσύνη. τίνος γὰρ ἕνεκεν ἀπελαύνεις τὸν δίκαιον; μὴ γὰρ ἐλυμήνατό τι τοῖς σοῖς; μὴ γὰρ ἠδίκησέ τι; ἀλλὰ τοιοῦτον ὁ φθόνος· οὐδὲν μετὰ λογισμοῦ διαπράττεται. δέον γὰρ αὐτὸν θεασάμενον τοσαύτης εὐνοίας ἀπολαύοντα τὸν δίκαιον παρὰ τοῦ τῶν ὅλων Θεοῦ, μᾶλλον περιέπειν, μᾶλλον θεραπεύειν, ἵνα διὰ τῆς εἰς ἐκεῖνον τιμῆς ἐπισπάσηται καὶ αὐτὸς τὴν ἄνωθεν ῥοπήν· ὁ δὲ οὐ μόνον τοῦτο οὐ ποιεῖ, ἀλλὰ καὶ ἀπελαύνειν ἐπιχειρεῖ, 16 Καὶ φησιν, ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. Τοιοῦτον γὰρ ἡ βασκανία. οὐκ ἀνέχεται πρᾴως ὁρᾷν τὴν ἑτέρων εὐπραγίαν, ἀλλὰ τὴν τοῦ πλησίον εὐημερίαν, οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τοῦ πλησίον ἀγαθοῖς. ὃ δὴ καὶ ἐνταῦθα γέγονεν. ὁ γὰρ βασιλεὺς, ὁ τῆς πόλεως ἁπάσης τὴν ἐξουσίαν ἔχων, καὶ πάντας ὑπὸ τὴν ἀπειλὴν τὴν ἑαυτοῦ ἔχων, τῷ ξένῳ, τῷ ἀλήτῃ, καὶ ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετανισταμένῳ φησὶν, ἄπελθε ἀπ' ἐμοῦ, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. ποῦ τοίνυν ἀπελαύνεις τὸν δίκαιον; οὐκ οἶσθα ὅτι, ὅπου ἂν αὐτὸν ἀπελθεῖν συμβαίνῃ, ἐν τοῖς τοῦ δεσπότου τοῦ ἑαυτοῦ εἶναι αὐτὸν ἀνάγκη; οὐκ ἐπαίδευσέ σε τῶν πραγμάτων ἡ πεῖρα, ὅτι ἡ τοῦ Θεοῦ χείρ ἐστιν, ἡ περιφανῆ τὸν δίκαιον καθιστῶσα; τίνος οὖν ἕνεκεν, δι' ὧν τὸν δίκαιον ἀπελαύνεις, τὴν πρὸς τὸν αὐτοῦ δεσπότην ἀγνωμοσύνην ἐπιδείκνυσαι, καὶ οὐδὲ ἡ πολλὴ τοῦ ἀνδρὸς ἐπιείκεια περιγενέσθαι ἠδυνήθη τῆς βασκανίας τῆς σῆς, ἀλλ' ἡττηθεὶς ὑπὸ τοῦ πάθους εἰς ἔργον ἀγαγεῖν σπεύδεις τὸν φθόνον, καὶ πάλιν μετανάστην γενέσθαι παρασκευάζεις τὸν οὐδέν σε ἠδικηκότα; οὐκ οἶδας ὅτι κἂν εἰς αὐτὴν τὴν ἔρημον ἀπελθεῖν καταναγκάσῃς, οὕτως εὐμήχανον ἔχει δεσπότην, ὡς κἀκεῖ γενόμενον πολλῷ πλέον περιφανέστερον αὐτὸν ἀποδεῖξαι; οὐδὲν γὰρ ἰσχυρότερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος, ὥσπερ οὐδὲν ἀσθενέστερον τοῦ τῆς ἐκεῖθεν βοηθείας ἠρημωμένου. Εἶδες, ἀγαπητὲ, καὶ τοῦ βασιλέως Γεράρων καὶ πάντων τῶν αὐτόθι οἰκούντων τῆς γνώμης τὴν μοχθηρίαν. ὅρα καὶ τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, πῶς οὐκ ἐφρόνησε μέγα, οὐδὲ ὁρῶν διὰ τῶν πραγμάτων πολλὴν τὴν τοῦ Θεοῦ τὴν ῥοπὴν περὶ αὐτὸν γινομένην, κατεξανέστη τοῦ βασιλέως, τῇ τοῦ συμμαχοῦντος αὐτῷ δυνάμει πεποιθὼς, ἀλλὰ καθάπερ τις ἀνὴρ καὶ ἀπροστάτευτος καὶ οὐδαμόθεν οὐδεμιᾶς ἀπολαύων βοηθείας, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας, οὐδὲ μέχρι λόγων ἀντιτείνας τῷ βασιλεῖ, ἐποίει τὸ παρ' αὐτοῦ κελευόμενον, καὶ εὐθέως ἐκεῖθεν ἀπανίστατο, καὶ πορρωτέρω γενόμενος, κατέστελλε τοῦ πάθους τὴν φλόγα, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἐπιείκειαν ἐνδεικνύμενος, κἀκείνου τὸ πάθος παραμυθούμενος.

17 Καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ κατῴκησεν ἐν τῇ φάραγγι Γεράρων.

Ματθ. ι. κγ. Καὶ ὅπερ ὁ Χριστὸς παραινούμενος τοῖς μαθηταῖς ἐνετέλλετο λέγων, Ὅταν διώκωσιν ὑμᾶς, φεύγετε ἑτέρωθι, τοῦτο καὶ οὗτος ἤδη διὰ τῶν ἔργων ἐπλήρου. καὶ καθάπερ Δαβὶδ τοῦ Σαοὺλ τὸν πολὺν φθόνον καταστέλλων, διὰ τῆς ἀναχωρήσεως ἑαυτὸν ὑπεξάγων ἐκείνου τὴν πολλὴν παρεμυθεῖτο φλεγμονήν, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος ἐπλήρου τὸ Ρωμ. ιβ. ιθ. ἀποστολικὸν ἐκεῖνο λόγιον, Δότε τόπον τῇ ὀργῇ. καὶ καταλιπὼν τὴν πόλιν ἐξῆλθέ, φησιν, ἐν τῇ φάραγγι. ἀλλ' ὅρα αὐτὸν κἀκεῖ μετὰ πολλῆς τῆς ἐπιεικείας τὴν ἔνστασιν ἐνδεικνύμενον. οὐδὲ γὰρ μέχρι τούτου ἔστη τὰ δεινά, ἀλλὰ κἀκεῖ γινομένῳ καὶ τὰ φρέατα ἀνορύξαι βουλομένῳ μάχεσθαι ἐπεχείρουν. 18 Ὤρυξε γάρ, φησι, τὰ φρέατα, ἅπερ ἦσαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ πεποιηκότες, καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ, καὶ ἐπέθηκεν αὖθις τὰ ὀνόματα, ἅπερ ἦν ὁ πατὴρ ἐπιθείς. 19 Καὶ ὤρυξαν, φησιν, οἱ παῖδες Ἰσαὰκ, καὶ εὗρον φρέαρ ὕδατος ζῶντος, Ἀντὶ τοῦ, κάτωθεν ἀναβλύζοντος. 20 Καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ. Καὶ οὐδὲ ἐνταῦθα φιλονεικεῖ ὁ δίκαιος, οὐδὲ ἀντιτείνει, ἀλλὰ καὶ τοῖς ποιμέσι παραχωρεῖ. τοῦτο γὰρ ἀληθῶς ἐπιείκεια, οὐχ ὅταν τις παρὰ τῶν ἐν δυναστείᾳ ἀδικούμενος φέρῃ πράως, ἀλλ' ὅταν καὶ ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ. ἐνταῦθα μὲν γὰρ τῇ ἐπιεικείᾳ ἄν τις τὸ πλέον λογίσαιτο τοῦ ἐπηρεαζομένου, ἐκεῖ δὲ ἴσως τις εἴποι, διὰ τὸ μὴ δύνασθαι ἀντιτείνειν τῇ δυναστείᾳ τοῦ ἠδικηκότος, τὴν ἐπιείκειαν ἐπιδείκνυσθαι. ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἐπὶ τοῦ βασιλέως οὐ διὰ τὴν ἐκείνου δυναστείαν ἐπεδείξατο τὴν ἐπιείκειαν, ἀλλὰ διὰ τὸν οἰκεῖον τρόπον, ὅρα αὐτὸν καὶ ἐπὶ τῶν ποιμένων τὸ αὐτὸ ποιοῦντα. καὶ καθάπερ ἐκεῖνος ἔλεγεν, Ἄπελθε ἀφ' ἡμῶν, καὶ εὐθέως καθάπερ ἐπίταγμα δεχόμενος ὑπανεχώρει· οὕτω καὶ νῦν τῶν ποιμένων ἐπηρεάζειν ἐπιχειρούντων, καὶ τὸ φρέαρ οἰκειουμένων παραχωρεῖ. καὶ ἵνα διηνεκὴς ᾖ τοῖς μετὰ ταῦτα ἡ γνῶσις τῆς ἀδικίας, ὄνομα ἐπιτίθησι τῷ φρέατι ἐκ τοῦ συμβεβηκότος. ἐπειδὴ γὰρ φανερὰν ἐπεδείξαντο τὴν ἀδικίαν, Ἐκάλεσε, φησι, τὸ ὄνομα τοῦ φρέατος, [τόπου] ἀδικία.

Καὶ ἦν λοιπὸν καθάπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομα τοῦ τόπου διδασκαλία τοῖς ἑξῆς καὶ τῆς τοῦ δικαίου ἐπιεικείας, καὶ τῆς ἐκείνων ἀγνωμοσύνης. τὸ γὰρ ὄνομα τοῦ τόπου ἕκαστον παρεσκεύαζε τὴν αἰτίαν τῆς προσηγορίας μανθάνοντα γινώσκειν τοῦ μὲν τὴν ἀρετήν, τοῦ δὲ τῆς κακίας τὴν ὑπερβολήν. καὶ σκόπει πῶς καὶ οὗτος ἐπιτείνει τὴν οἰκείαν ἀρετήν, διὰ πάντων ἐπιδεικνὺς ἑαυτοῦ τὴν ἐπιείκειαν, κἀκεῖνοι τῇ ὑπερβολῇ τῆς κακίας λαμπρότερον καὶ ἄκοντες πειρῶνται τὸν δίκαιον ἀποφαίνειν. οὐδὲ γὰρ ἀρκεσθέντες, πάλιν ἑτέρῳ ὀρύξαντι φρέαρ ἐπιτίθενται. 21 Ἀπάρας γάρ, φησιν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον. ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου. καὶ ἐπωνόμασεν αὐτό, ἐχθρία. Σκόπει πάλιν τοῦ δικαίου τὴν σύνεσιν. ἐνταῦθα οὐ πάντη ὡς ἔοικε τὸ φρέαρ ἀφείλοντο, ἀλλὰ διαμαχεσάμενοι, καὶ πρὸς τὸ προφανὲς τῆς ἀδικίας ὁρῶντες ἀπέστησαν. διὰ τοῦτο ἐχθρίαν αὐτὸ προσηγόρευσεν, ἐπειδὴ ἔχθρας ὑπόθεσις κατέστη. καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ὑπὸ τῶν ἐγχωρίων τοιαῦτα ὑπομένων οὐκ ἐδυσχέραινεν, οὐδὲ μικρόψυχόν τι ἐπεδείξατο, οὐδὲ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ μέχρι φρεάτων ἀπολαύειν εἰμὶ κύριος. ἆρα μὴ ἔρημος γέγονα τῆς ἄνωθεν ῥοπῆς; ἆρα μὴ τῆς προνοίας ἐστέρημαι τῆς παρὰ τοῦ δεσπότου; οὐδὲν τούτων οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο, ἀλλὰ μετ' ἐπιεικείας ἁπάσης ἅπαντα ἔφερε. διὰ τοῦτο καὶ πλείονος ἀπήλαυε τῆς ἄνωθεν συμμαχίας. ταῦτα γάρ, ὡς εἶπον, τὰ συμβαίνοντα γυμνασία τις ἦν τῆς τοῦ δικαίου ἀρετῆς.

22 Ἀπάρας γάρ, φησιν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ,

τοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Εὐρυχωρία, λέγων, διότι νῦν ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. Ὅρα εὐγνωμοσύνην τοῦ δικαίου. ἡνίκα μὲν τὰ πρότερα φρέατα ἐκεῖνοι διασπάσασθαι ἐπεχείρησαν, οὐκ ἐδυσχέρανεν, οὐκ ἀντέτεινεν, ἀλλὰ μόνον τῇ προσηγορίᾳ τῶν φρεάτων ἀνεξάλειπτον τὴν μνήμην τῆς ἐκείνων κακίας ἐναπετίθει· ἐνταῦθα δὲ πάλιν, ἐπειδὴ οὐδεὶς ἐμποδὼν γέγονεν, ἀλλὰ μετ᾽ ἀδείας πάσης τῶν οἰκείων πόνων ἀπήλαυε, τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ. ἐκάλεσε γὰρ αὐτὸ, Εὐρυχωρίαν. Εἶτα ἑρμηνεύει αὐτὴν τὴν προσηγορίαν· διὰ τοῦτο, φησὶν, εὐρυχωρίαν τοῦτο καλῶ, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. Εἶδες γνώμην φιλόθεον, πῶς τῶν ἐν μέσῳ δυσχερῶν οὐδεμίαν μνήμην ποιησάμενος, τῶν χρηστῶν μόνον μεμνημένος, ὑπὲρ ἐκείνου τὴν εὐχαριστίαν ἀναφέρει, καί φησιν, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ἀποδέχεται, ὡς ψυχὴν εὐγνώμονα καὶ εὐχάριστον, καὶ μυρία καθ᾽ ἑκάστην ἡμέραν * εὐεργετῶν καὶ ἑκόντας καὶ ἄκοντας καὶ ἀγνοοῦντας, οὐδὲν ἕτερον παρ᾽ ἡμῶν ἐπιζητεῖ, ἢ τὸ χάριτας εἰδέναι αὐτῷ ὑπὲρ τῶν εἰς ἡμᾶς γεγενημένων, ἵνα καὶ ὑπὲρ τούτου αὐτοῦ πάλιν πλείονα τὴν ἀμοιβὴν ἡμῖν παράσχῃ. καὶ ἵνα μάθῃς, ὅρα τὸν δίκαιον τοῦτον διὰ τὴν πολλὴν αὐτοῦ εὐγνωμοσύνην πάλιν τῆς ἄνωθεν ἐπιφανείας ἀξιούμενον. ἐπειδὴ γὰρ ἀρκοῦσαν βάσανον τῆς οἰκείας ἀρετῆς ἐπεδείξατο ἐπί τε τῶν ἐν Γεράροις, ἐπί τε τοῦ βασιλέως ἀπωθουμένου αὐτὸν, ἐπί τε τῶν ποιμένων παρασπώντων τὰ φρέατα, ὥσπερ νευρῶσαι βουλόμενος αὐτοῦ τὴν προθυμίαν ὁ φιλάνθρωπος δεσπότης, καὶ τῆς ἐπιεικείας αὐτὸν ἀποδεχόμενος τῆς πολλῆς, 23 Ἐπειδὴ ἀνέβη ἄνωθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, 24 Ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπε· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου.

Ὤφθη αὐτῷ, φησὶν, ἐν τῇ νυκτὶ ἐκείνῃ. σκόπει Θεοῦ κηδεμονίαν. ἵνα γὰρ αὐτὸν ἀνακτήσηται, καὶ θαρρεῖν παρασκευάσῃ, ἐπιφαίνεται αὐτῷ, καί φησιν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, ὁ τὸν πατέρα τὸν σὸν ἐπίδοξον πεποιηκὼς, καὶ ἐν τοσαύτῃ περιφανείᾳ καταστήσας, καὶ ξένον ὄντα περιφανέστερον τῶν ἐγχωρίων ἀπεργασάμενος. ἐγώ εἰμι ἐκεῖνος ὁ ἐκεῖνον οὕτως αὐξηθῆναι παρασκευάσας, καὶ μεγάλην διὰ πάντων τὴν περὶ αὐτὸν πρόνοιαν ἐπιδειξάμενος ἐγώ εἰμι. μὴ τοίνυν φοβοῦ. τί ἐστι, μὴ φοβοῦ; μή σε ταῦτα ξενιζέτω, τὸ παρὰ τοῦ Ἀβιμέλεχ ἐλαθῆναι, τὸ παρὰ τῶν ποιμένων ἀδικηθῆναι. πολλὰ τοιαῦτα καὶ ὁ πατὴρ ὁ σὸς πέπονθε, καὶ διὰ τούτων λαμπρότερος ἀνεδείχθη. μὴ τοίνυν ταῦτά σε φοβείτω. μετὰ σοῦ γάρ εἰμι. διὰ τοῦτο ταῦτα γίνεσθαι συγχωρῶ, ὁμοῦ καί σε βουλόμενος διὰ τῆς ἐπιεικείας ἐνδείξασθαι τὴν οἰκείαν ἀρετὴν, κἀκείνων τῆς γνώμης τὴν μοχθηρίαν κατάδηλον ἅπασι γενέσθαι, ἵνα σε καὶ ὑπὲρ τούτων στεφανώσω. μετὰ σοῦ γάρ εἰμι. δι᾽ ὃ καὶ ἀχείρωτος ἔσῃ, καὶ τῶν πολεμούντων δυνατώτερος, καὶ τῶν ἐπηρεαζόντων ἰσχυρότερος. καὶ ἡ μὲν παρ᾽ ἐμοῦ πρόνοια καὶ ἐπίφθονόν σε ἐργάσεται. μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. σκόπει Θεοῦ φιλανθρωπίαν. Εἰπὼν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ δείξας ὅπως ᾠκειώσατο τὸν πατριάρχην, ὡς καταξιῶσαι Θεὸν ἑαυτὸν καλεῖν Ἀβραὰμ, καὶ ὁ τῆς οἰκουμένης δεσπότης καὶ δημιουργὸς ἑνὸς ἀνθρώπου φάσκειν εἶναι Θεὸς, οὐ συγκλείων μέχρι τοῦ πατριάρχου τὴν οἰκείαν δεσποτείαν, ἀλλὰ τὴν πολλὴν περὶ αὐτὸν εὔνοιαν δεικνὺς, οὕτω, φησὶν, αὐτὸν ᾠκειωσάμην, ὡς πάντων τῶν ἄλλων ἀντάξιον ἐκεῖνον ἐμοὶ νομισθῆναι. δι᾽ ὃ καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. πολλὰς ὀφείλω τὰς ἀμοιβὰς ἐκείνῳ τῆς εἰς ἐμὲ ὑπακοῆς· δι᾽ ἐκεῖνον οὖν πληθυνῶ τὸ σπέρμα σου. ὁμοῦ καὶ παρεθάῤῥυνε τὸν δίκαιον, καὶ διὰ τῆς μνήμης τοῦ πατρὸς εἰς ζῆλον αὐτὸν διήγειρε τοῦ τὴν ὁμοίαν ἐκείνῳ ἀρετὴν ἐπιδείξασθαι. Εἶτα ἐπειδὴ τοσαῦτα αὐτῷ ἀγαθὰ ὑπέσχετο, 25 Ὠκοδόμησεν ἐκεῖ, φησὶ, θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου, καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ. Τί ἐστιν ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον; τὰς εὐχαριστίας, φησὶν, ἐκεῖ ἀνήνεγκε τῷ δεσπότῃ, ὑπὲρ ὧν τοσαύτην περὶ αὐτὸν κηδεμονίαν ἐπεδείξατο. καὶ ὤρυξαν ἐκεῖ οἱ παῖδες Ἰσαὰκ φρέαρ. ἐν ἀδείᾳ λοιπὸν ὁ δίκαιος γίνεται. ὁ γὰρ εἰπὼν, μετὰ σοῦ εἰμι καὶ εὐλογήσω σε καὶ πληθυνῶ τὸ σπέρμα σου, οὗτος ἀδεὲς αὐτῷ καὶ τὴν περιφάνειαν ἐχαρίσατο, καὶ πᾶσιν αὐτὸν περίβλεπτον γίνεσθαι πεποίηκεν. ὅρα γοῦν τὸν Ἀβιμέλεχ ἐκεῖνον τὸν ἐλάσαι ἐπιχειρήσαντα καὶ εἰπόντα, ἄπελθε ἀφ' ἡμῶν, νῦν πρὸς αὐτὸν ἐρχόμενον. 26 Ἐπορεύθη γὰρ, φησὶν, Ἀβιμέλεχ, καὶ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ ὁ ἀρχιστράτηγος· 27 Καὶ εἶπεν αὐτοῖς Ἰσαὰκ, ἵνα τί ἤλθετε πρὸς μέ; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν.

Θέα μοι πόση τοῦ δικαίου ἡ πραότης. ὁρῶν τοὺς ἀπελάσαντας καὶ τοσοῦτον περὶ αὐτὸν τὸ μῖσος ἐπιδειξαμένους, νῦν ἐν τάξει ἱκετῶν πρὸς αὐτὸν παραγινομένους, οὐκ ἐφρόνησε μέγα κατ' αὐτῶν, οὐδὲ ἐπήρθη τὴν διάνοιαν, ἔναυλον ἔχων τὴν μνήμην τῶν παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντων, οὐδὲ τῇ δυνάμει τοῦ δεσπότου πεποιθὼς κατεξανίσταται τοῦ βασιλέως, ἀλλὰ πάλιν τὴν συνήθη ἐπιείκειαν ἐπιδεικνύμενος μετὰ πολλῆς πραότητος φησὶ πρὸς αὐτοὺς, ἵνα τί ἤλθετε πρὸς μέ; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν. τίνος ἕνεκεν, φησὶ, παραγενέσθαι πρὸς μὲ κατεδέξασθε, τὸν ἐλαθέντα, τὸν μισηθέντα;

28 Καὶ εἶπον, ἰδόντες ἑωράκαμεν ὅτι κύριος μετὰ σοῦ, καὶ εἴπαμεν, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σου, καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, 29 Μὴ ποιήσειν μεθ' ἡμῶν κακὸν, καθότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν εὐλογημένος σὺ ὑπὸ κυρίου. Ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχὺς, καὶ ὅση τῆς ἀρετῆς ἡ δύναμις. οἱ γὰρ πρώην ἐλάσαντες, νῦν παραγινόμενοι πρὸς τὸν ξένον, πρὸς τὸν ἀπόλιδα, πρὸς τὸν ἀλήτην, οὐ μόνον ἀπολογοῦνται ὑπὲρ τῶν ἤδη γεγενημένων, καὶ συγγνώμην αἰτοῦσιν ὑπὲρ τῶν ἡμαρτημένων, ἀλλὰ καὶ ἀνακηρύττουσι τὸν δίκαιον, καὶ δεικνύουσι τὸν ἐπιτεθέντα αὐτοῖς φόβον, καὶ ὁμολογοῦσι καὶ τὴν οἰκείαν ἀσθένειαν, καὶ τῷ δικαίῳ μεγάλην μαρτυροῦσι τὴν δύναμιν. τί γὰρ ἂν εἴη τούτου ἰσχυρότερον τοῦ μεθ' ἑαυτοῦ τὸν Θεὸν ἔχοντος; ἰδόντες, φησὶν, ὅτι κύριος μετὰ σοῦ. πόθεν ὑμῖν ἡ τοιαύτη γνῶσις; ναί, φησιν, αὐτὰ ἡμῖν τὰ πράγματα ἀντὶ διδασκαλίας γέγονεν. εἴδομεν γὰρ ὅτι ἐλαυνόμενος τῶν ἐλαυνόντων ἰσχυρότερος γέγονας, καὶ ἐπηρεαζόμενος τῶν ἐπηρεαζόντων περιγέγονας, καὶ ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας συνείδομεν, ὅτι πολλῆς ἀπολαύεις τῆς ἄνωθεν ῥοπῆς. τοῦτο δὲ καὶ τῆς τοῦ Θεοῦ οἰκονομίας ἔργον, τὸ τὴν διάνοιαν αὐτῶν ποιῆσαι καταπλαγῆναι τὸν δίκαιον, καὶ γνῶσιν ἐνθεῖναι τοιαύτην. ἐπεὶ οὖν, φησιν, ἔγνωμεν ὅτι κύριος μετὰ σοῦ, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν. ὅρα πῶς ὑπὸ τοῦ συνειδότος ὠθούμενοι, καὶ οὐδενὸς ἑτέρου καταναγκάζοντος, οὐδὲ τὰ γεγενημένα ἐξαγγέλλοντος, αὐτοὶ ἑαυτοὺς ἐλέγχειν ἐπείγονται. εἰ γὰρ μὴ ἠδικήσατε, φησὶ, τίνος ἕνεκεν καὶ συνθήκας ἀπαιτεῖτε παρὰ τοῦ δικαίου; ἀλλὰ τοιοῦτόν ἐστιν ἡ ἀδικία. καθ' ἑκάστην ἡμέραν καταξαίνει τὸ συνειδὸς, καὶ σιγῶντος τοῦ ἠδικημένου οἱ τὴν ἀδικίαν ἐργασάμενοι τὴν δίκην ἐφεστάναι νομίζοντες, ἐφ' ἑκάστης ἡμέρας ἐναγώνιοι γίνονται, καὶ μονονουχὶ ὑπογράφουσιν ἑαυτοῖς τὴν ἐκδίκησιν τῶν ἡμαρτημένων. ὃ δὴ καὶ οὗτοι μαθόντες, γενέσθω, φησὶν, ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σου. Εἶτα λέγουσιν, ὁποίαν βούλον-

ται γενέσθαι τὸ ἀρεστόν. καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν, διότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε. ὅρα πῶς ἐναντία ἑαυτοῖς ὑπὸ τοῦ θορύβου καὶ τῆς ἀγωνίας φθέγγονται, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν. τίνος ἕνεκεν οὕτω φοβεῖσθε τὸν δίκαιον, ὁρῶντες καὶ πρὸς τοὺς ἐπηρεάζοντας τοσαύτην τὴν ἐπιείκειαν ἐπιδεικνύμενον; ἀλλ' ὁ ἀδέκαστος δικαστής, τὸ συνειδὸς, αὐτοὺς διήγειρε, καὶ εἰς ἔννοιαν ἤρχοντο, ὅσην περὶ τὸν δίκαιον τὴν ἀγνωμοσύνην ἐπεδείξαντο, καὶ διὰ τοῦτο ὑπὸ τοῦ φόβου καὶ τῆς δειλίας οὐ συνορῶσιν, ὅπως ἐναντία λέγουσι. μὴ ποιήσειν, φησὶ, κακὸν μεθ' ἡμῶν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα. τίνος οὖν ἕνεκεν ἀπηλάσατε; ἀλλ' ὁ δίκαιος οὐκ ἀπαιτεῖ εὐθύνας, οὐδὲ ἐλέγχει τὰ παρ' αὐτῶν εἰρημένα. καὶ ὃν τρόπον, φησὶν, ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν σὺ εὐλογημένος ὑπὸ κυρίου. ὁρᾷς ὅτι τὴν ἄνωθεν δίκην ἐδεδίεσαν. ᾔδεισαν γὰρ ὅτι, καὶ εἰ αὐτὸς διὰ τὴν ἐπιείκειαν μὴ ἀμύνηται τὰ εἰς αὐτὸν γεγενημένα, ἀλλ' ὁ τοσαύτην περὶ αὐτὸν πρόνοιαν ἐπιδεικνύμενος, εὐθύνας αὐτοὺς ἀπαιτήσει τῶν εἰς τὸν δίκαιον γεγενημένων. διὰ τοῦτο ἐξευμενίζοντες τὸν δίκαιον καὶ συνθήκας ἀπαιτεῖν ἐπείγονται, ὁμοῦ καὶ ὑπὲρ τῶν ἤδη γεγενημένων ἀπολογούμενοι, καὶ ὑπὲρ τῶν ἑξῆς τὴν ἀσφάλειαν ἑαυτοῖς περιποιούμενοι.

30 Καὶ ἐποίησεν αὐτοῖς, φησι, δοχὴν, καὶ ἔφαγον καὶ ἔπιον, 31 Καὶ ἀναστάντες τὸ πρωῒ ὤμοσεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς Ἰσαὰκ, καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας. Ὅρα τοῦ δικαίου τὴν φιλοφροσύνην, πῶς ἀμνησικάκως αὐτοῖς διελέχθη, καὶ οὐ μόνον λήθην ἐποιήσατο τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ πολλὴν περὶ αὐτοὺς τὴν φιλοξενίαν ἐπιδείκνυται. ἐποίησε γάρ, φησιν, αὐτοῖς δοχὴν, καὶ ἔφαγον καὶ ἔπιον. διὰ τῆς ἑστιάσεως πληροφορῆσαι αὐτοὺς βούλεται, ὡς οὐδεμίαν μνήμην ποιεῖται τῶν εἰς αὐτὸν εἰργασμένων [παρὰ αὐτῶν.] καὶ ἐξαπέστειλεν αὐτοὺς, φησι, καὶ ἀπῴχοντο μετὰ σωτηρίας. ᾐνίξατο διὰ τούτου ἡ θεία γραφὴ, ὅτι μετὰ πολλοῦ τοῦ φόβου τὸν κίνδυνον προσδοκῶντες παρεγένοντο, καὶ περὶ τοῦ παντὸς, ὡς εἰπεῖν, ἀγωνιῶντες τὴν πρὸς τὸν δίκαιον ἀπολογίαν ἔσπευσαν ποιήσασθαι. Εἶδες πῶς οὐδὲν ἰσχυρότερον ἀρετῆς, οὐδὲ δυνατώτερον, πῶς οὐδὲν ἀσφαλέστερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος. Εἶτα 32 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, φησὶν, ἀπελθόντες οἱ παῖδες τοῦ Ἰσαὰκ ὤρυξαν φρέαρ, καὶ εἶπαν, οὐχ εὕρομεν ὕδωρ. 33 Καὶ ἐκάλεσεν αὐτὸ, ὅρκον. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῇ πόλει, φρέαρ ὅρκου, ἕως τῆς σήμερον ἡμέρας. Ὅρα καὶ ἐνταῦθα ἐκ τῶν γεγενημένων τὴν προσηγορίαν αὐτὸν ἐπιτιθέντα τῷ τόπῳ. ἐπειδὴ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸ φρέαρ ὀρύξαντες οὐδὲν εὗρον, ἐν ᾗ τοὺς ὅρκους ἐποιήσαντο πρὸς ἀλλήλους, φρέαρ ὅρκου ἐπέθηκεν ὄνομα τῷ τόπῳ, ἵνα ὑπόμνησις ᾖ τῶν γεγενημένων. Εἶδες πῶς οὔτε τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν ἔχων ὁ δίκαιος οὗτος, οὔτε πρὸς ἕτερόν τινα ἰδεῖν ἔχων, ἀλλὰ τῷ πατρὶ κατακολουθήσας, καὶ ἀπὸ τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ συνειδότι διδασκάλου ὁδηγούμενος, τοσαύτην φιλοσοφίαν ἐπεδείκνυτο. τὰ γὰρ γεγενημένα οὐ μόνον τὴν ἐπιείκειαν ἐδείκνυ τοῦ δικαίου τούτου, ἀλλὰ καὶ τὰ τοῦ Χριστοῦ παραγγέλματα δι' αὐτῶν τῶν ἔργων αὐτὸν πληροῦν ἀπέφηνε. καὶ ὅπερ ὁ Χριστὸς ἔλεγε διαταττόμενος τοῖς μαθηταῖς, καὶ παραινῶν οὐ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾶν, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι, τοῦτο οὗτος ἄνωθεν ἐπλήρου, καὶ πρὸς τοὺς τοσοῦτον μῖσος περὶ αὐτὸν ἐσχηκότας τοσαύτην ἐπεδείκνυτο τὴν φιλοξενίαν, καὶ τὸ τῆς μνησικακίας πάθος ἐξώριζε τῆς ἑαυτοῦ ψυχῆς.

Ματθ. ε μθ.

ΗΘΙΚΟΝ

Τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἡμεῖς οἱ μετὰ τὴν χάριν, καὶ τὴν τοσαύτην διδασκαλίαν, καὶ τὰ τοῦ σωτῆρος παραγγέλματα, οὐδὲ τὸ αὐτὸ μέτρον τῷ δικαίῳ τούτῳ φθάσαι δυνάμενοι; καὶ τί λέγω τὸ αὐτὸ μέτρον; ἀλλὰ μηδὲ ἐγγὺς εἶναι ἰσχύοντες; τοσαύτη γὰρ νῦν ἐπεπόλασε τῆς κακίας ἡ ὑπερβολή, ὡς σπάνιον εἶναι καὶ τοὺς ἀγαπῶντας ἀγαπᾷν. πόθεν οὖν ἡμῖν ἔσται σωτηρίας ἐλπίς, εἰ μέλλοιμεν καὶ τῶν τελωνῶν χείρους γίνεσθαι, καθώς φησιν ὁ Χριστὸς λέγων, Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; (Ματθ. ε. μς:) καὶ ὁ μὲν Χριστὸς βουλόμενος ἡμᾶς εἰς τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς ἀνελθεῖν, ἐκείνων ἀνωτέρους εἶναι βούλεται· ἡμεῖς δὲ κἀκείνων ἐλάττους εἶναι σπεύδομεν. καὶ τί λέγω τελωνῶν; χείρους καὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων καὶ τῶν ἀνδροφόνων. καὶ γὰρ τούτων ἕκαστος τὸν πρὸς αὐτὸν ἀγαπητικῶς διακείμενον ἀγαπᾷ, καὶ πολλάκις καὶ κινδυνεύειν ὑπὲρ τοῦ ἀγαπητοῦ καταδέχεται. τί οὖν ἂν εἴη ἡμῶν ἐλεεινότερον, ὅταν οἱ τοσαύτης ἀξιωθέντες παρὰ τοῦ Θεοῦ φιλανθρωπίας, τῶν μυρία ἐργασαμένων κακὰ εὑρισκώμεθα χείρους; ἐννοοῦντες τοίνυν, παρακαλῶ, καὶ τῆς τιμωρίας τῆς ἐκεῖ γινομένης τὸ μέγεθος, καὶ τῆς αἰσχύνης τῆς ἐνταῦθα τὴν ὑπερβολήν, ὀψέ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνῶμεν εὐγένειαν, καὶ πειθώμεθα τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπῶμεν γνησίως, πᾶσαν βασκανίαν καὶ φθόνον ἐξορίζοντες τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ κἂν ἐχθρωδῶς τινες ὦσι πρὸς ἡμᾶς διακείμενοι, καὶ τούτους ἀγαπᾷν σπουδάζωμεν (καὶ γὰρ οὐδὲ ἑτέρως σωθῆναι δυνατὸν ἡμᾶς μὴ ταύτην ἐλθόντας τὴν ὁδόν) καὶ μᾶλλον τῶν ἀγαπώντων ἡμᾶς τούτους ἀγαπᾷν σπουδάζωμεν, ἅτε δὴ μυρίων ἡμῖν τῶν ἀγαθῶν προξένους γινομένους. οὕτω γὰρ καὶ τῶν ἡμαρτημένων ἡμῖν τὴν συγχώρησιν εὑρέσθαι δυνησόμεθα, καὶ μετὰ κατεσταλμένης διανοίας καὶ συντετριμμένης ψυχῆς τὰς πρὸς τὸν Θεὸν ἱκεσίας ποιεῖσθαι· ὅταν γὰρ ψυχὴ ἐκτὸς γένηται πάσης ἀπεχθείας, καὶ τὸν λογισμὸν ἐν γαλήνῃ ἱδρυμένον ἔχῃ, μετὰ πολλῆς τῆς νήψεως τὸν δεσπότην καλοῦσα, πολλὴν ἐπισπᾶται τὴν ἄνωθεν ῥοπήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νγ. ΗΝ ΔΕ ΗΣΑΥ ΕΤΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ, καὶ ἔλαβε τὴν Ἰουδεὶμ θυγατέρα Βαιὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ.

Φέρε καὶ σήμερον, εἰ δοκεῖ, τὰ ἑξῆς τῶν χθὲς εἰρημένων ἐπελθόντες κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀναπτύξωμεν ἕκαστον τῶν γεγραμμένων, ἵνα τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. ἴδωμεν τοίνυν τὴν ἀρχὴν τῶν ἀνεγνωσμένων. 34 Ἦν δὲ Ἡσαῦ, φησιν, ἐτῶν μ', καὶ ἔλαβε τὴν Ἰουδεὶμ θυγατέρα Βαιὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, 35 Καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ.

Ὅρα πόσα ἐκ τῶν ὀλίγων τούτων ῥημάτων ἔστι καταμαθεῖν. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἡσαῦ ἐσήμανεν; οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἐντεῦθεν καταμάθωμεν τοῦ Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν προβεβηκὼς ἦν. ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν εἰρημένων, καὶ ὅτι ἡνίκα μὲν ἔλαβε τὴν Ρεβέκκαν, καὶ αὐτὸς μ' ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ξ' ἐτῶν ἦν, εἰσόμεθα, ὅτι νῦν ρ' λοιπὸν ἔτους ἐπιβὰς ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. ἐπειδὴ γὰρ μέλλει μετὰ ταῦτα διηγεῖσθαι ἡμῖν, ὡς ὑπὸ τοῦ γήρως ἀμβλυτέρας εἶχε τὰς ὄψεις, διὰ τοῦτο τὸν τῶν ἐτῶν τοῦ Ἠσαῦ τὸν ἀριθμὸν ἐσήμανεν, ἵνα ἐντεῦθεν εἰδέναι ἔχωμεν ἀκριβῶς τοῦ Ἰσαὰκ τὸν χρόνον. διὰ τοῦτο ἔλεγεν, ἦν δὲ Ἠσαῦ ἐτῶν μ΄. εἶτα ἵνα μάθωμεν τοῦ παιδὸς τὴν προπέτειαν, καὶ ὅτι παρὰ τῶν ἐθνῶν, ὧν οὐκ ἐχρῆν, τὰς γαμετὰς ἠγάγετο, ἐδήλωσεν ἡμῖν ὅτι ἡ μὲν ἐκ τοῦ γένους τῶν Χετταίων ἦν, ἡ δὲ ἐκ τῶν Εὐαίων. καί τοι γε ἐχρῆν αὐτὸν μαθόντα, ὅσην σπουδὴν ὁ πατριάρχης ἐποιήσατο διατελλόμενος τῷ παιδὶ τῷ ἑαυτοῦ, ὥστε ἐκ τῆς φυλῆς αὐτοῦ γαμετὴν τῷ Ἰσαὰκ ἐνέγκαι, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἡ Ῥεβέκκα ἐκ τῆς Χαῤῥὰν ὥρμᾶτο, μηδὲν τοιοῦτον βουλεύσασθαι. ἀλλ' ἵνα ἐκ προοιμίων δείξῃ τῶν οἰκείων τρόπων τὸ ἄτακτον, προλαβὼν ἐκείνας ἠγάγετο. καὶ ἵνα μάθωμεν τῶν γυναικῶν τὸ δύστροπον, φησὶν ἡ γραφή, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. καὶ τί ἂν εἴη ταύτης τῆς μοχθηρίας χαλεπώτερον; ὅταν αἱ πᾶσαν τιμὴν ἀπονέμειν ὀφείλουσαι, μὴ μόνον τοῦτο μὴ ποιῶσιν, ἀλλὰ καὶ πρὸς φιλονεικίαν παρασκευάζωνται. ταῦτα δὲ πάντα οὐχ ἁπλῶς ἡμῖν ἡ ἱστορία σημαίνει, ἀλλ' ἵνα μετὰ ταῦτα ἐπειδὰν ἴδῃς τὴν Ῥεβέκκαν πρὸς τὸν Ἰακὼβ πολλὴν τὴν εὔνοιαν ἐπιδεικνυμένην, μάθῃς ὡς οὐκ ἀπεικὸς πρᾶγμα διεπράττετο. τέως δὲ ἵνα μὴ τὴν ἀκολουθίαν προφθάσωμεν, αὐτοῖς ἑπώμεθα τοῖς γεγραμμένοις.

1 Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαάκ, καὶ ἠμβλυώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾷν. γεν. κζ. Οὐκ ἔτι γάρ, φησιν, ὑπὸ τοῦ γήρως ὁρᾷν ἠδύνατο. Καὶ ἐκάλεσεν Ἠσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ, υἱέ μου, 2 Ἰδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. 3 Νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον, 4 Καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἢ ἀποθανεῖν με. Ἐνταῦθά μοι σκόπει, ἀγαπητέ, τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν, καὶ ὅπως ὁ μὲν πατήρ, τὴν φυσικὴν φιλοστοργίαν ἐπιδεικνύμενος, ταῦτα διετάξατο τῷ Ἠσαῦ· ὁ δὲ σοφὸς καὶ εὐμήχανος δεσπότης διὰ τῆς Ῥεβέκκας τὴν οἰκείαν πρόῤῥησιν εἰς ἔργον ἐξενεχθῆναι παρασκευάζει, διδάσκων ἡμᾶς ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς καὶ τῆς τῶν τρόπων ἐπιεικείας. καὶ γὰρ ἐκεῖνος μὲν καὶ ἀπὸ τῶν πρωτοτοκίων, καὶ ἀπὸ τῆς τοῦ πατρὸς περὶ αὐτὸν διαθέσεως τὰ πρωτεῖα ἔχειν νομίζων, ἀθρόον ἁπάντων ἔρημος ηὑρίσκετο, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσενεγκεῖν οὐκ ἠβουλήθη· οὗτος δὲ ἐπειδὴ οἴκοθεν ἦν ἐνάρετος, καὶ τὴν ἄνωθεν εἶχε ῥοπὴν συμμαχοῦσαν αὐτῷ, καὶ ἄκοντος τοῦ πατρὸς τὴν παρ' αὐτοῦ εὐλογίαν ἐπισπᾶται. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ παρὰ τῆς δεξιᾶς ἐκείνης βοηθουμένου. ὅρα γοῦν ἀκριβῶς ἅπαντα, ἵνα μάθῃς τῆς οἰκονομίας τὴν ὑπερβολήν, καὶ πῶς ὁ μὲν τῆς ἐκεῖθεν ἀπολαύων ῥοπῆς, πολλῆς ἐν ἅπασιν ἀξιοῦται τῆς συνεργίας, ὥστε τὴν τοῦ πατρὸς εὐλογίαν εἰς αὐτὸν μετενεχθῆναι· ὁ δὲ πάντων διαμαρτάνει, προδεδομένος οἴκοθεν διὰ τὴν τῶν τρόπων μοχθηρίαν. 5 Ῥεβέκκα δέ, φησιν, ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἠσαῦ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ἠσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ. 6 Εἶπε δὲ Ῥεβέκκα πρὸς τὸν υἱὸν αὐτῆς τὸν ἐλάττω. Διὰ τί προσέθηκε τὸν ἐλάττω; ἐπειδὴ ἀνωτέρω εἶπεν, ὅτι ἐκάλεσεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, ἵνα μάθωμεν τίνι νῦν διαλέγεται ἡ Ῥεβέκκα, φησὶ πρὸς τὸν ἐλάττω, τουτέστι τὸν Ἰακώβ. Ἰδὲ ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἠσαῦ τὸν ἀδελφόν σου, καὶ λέγοντος, 7 Ἔνεγκέ μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. Ταῦτα μὲν ἤκουσα τοῦ πατρός σου πρὸς τὸν ἀδελφόν σου τὸν Ἠσαῦ διαλεγομένου.

8 Νῦν οὖν υἱὲ ἄκουέ μου καθά σοι ἐγὼ ἐντέλλομαι, 9 Καὶ πορευθεὶς εἰς τὰ

τούτῳ φθάσαι δυνάμενοι; καὶ τί λέγω τὸ αὐτὸ μέτρον; ἀλλὰ μηδὲ ἐγγὺς εἶναι ἰσχύοντες; τοσαύτη γὰρ νῦν ἐπεπόλασε τῆς κακίας ἡ ὑπερβολή, ὡς σπάνιον εἶναι καὶ τοὺς ἀγαπῶντας ἀγαπᾷν. πόθεν οὖν ἡμῖν ἔσται σωτηρίας ἐλπίς, εἰ μέλλοιμεν καὶ τῶν τελωνῶν χείρους γίνεσθαι, καθώς φησιν ὁ Χριστὸς λέγων, Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; (Ματθ. ε. μϛ.) καὶ ὁ μὲν Χριστὸς βουλόμενος ἡμᾶς εἰς τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς ἀνελθεῖν, ἐκείνων ἀνωτέρους εἶναι βούλεται· ἡμεῖς δὲ κἀκείνων ἐλάττους εἶναι σπεύδομεν. καὶ τί λέγω τελωνῶν; χείρους καὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων καὶ τῶν ἀνδροφόνων. καὶ γὰρ τούτων ἕκαστος τὸν πρὸς αὐτὸν ἀγαπητικῶς διακείμενον ἀγαπᾷ, καὶ πολλάκις καὶ κινδυνεύειν ὑπὲρ τοῦ ἀγαπητοῦ καταδέχεται. τί οὖν ἂν εἴη ἡμῶν ἐλεεινότερον, ὅταν οἱ τοσαύτης ἀξιωθέντες παρὰ τοῦ Θεοῦ φιλανθρωπίας, τῶν μυρία ἐργασαμένων κακὰ εὑρισκώμεθα χείρους; ἐννοοῦντες τοίνυν, παρακαλῶ, καὶ τῆς τιμωρίας τῆς ἐκεῖ γινομένης τὸ μέγεθος, καὶ τῆς αἰσχύνης τῆς ἐνταῦθα τὴν ὑπερβολήν, ὀψέ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνῶμεν εὐγένειαν, καὶ πειθώμεθα τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπῶμεν γνησίως, πᾶσαν βασκανίαν καὶ φθόνον ἐκριζοῦντες τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ κἂν ἐχθρωδῶς τινες ὦσι πρὸς ἡμᾶς διακείμενοι, καὶ τούτους ἀγαπᾷν σπουδάζωμεν (καὶ γὰρ οὐδὲ ἑτέρως σωθῆναι δυνατὸν ἡμᾶς μὴ ταύτην ἐλθόντας τὴν ὁδόν) καὶ μᾶλλον τῶν ἀγαπώντων ἡμᾶς τούτους ἀγαπᾷν σπουδάζωμεν, ἅτε δὴ μυρίων ἡμῖν τῶν ἀγαθῶν προξένους γινομένους. οὕτω γὰρ καὶ τῶν ἡμαρτημένων ἡμῖν τὴν συγχώρησιν εὑρέσθαι δυνησόμεθα, καὶ μετὰ κατεσταλμένης διανοίας καὶ συντετριμμένης ψυχῆς τὰς πρὸς τὸν Θεὸν ἱκεσίας ποιεῖσθαι· ὅταν γὰρ ψυχὴ ἐκτὸς γένηται πάσης ἀπεχθείας, καὶ τὸν λογισμὸν ἐν γαλήνῃ ἱδρυμένον ἔχῃ, μετὰ πολλῆς τῆς νήψεως τὸν δεσπότην καλοῦσα, πολλὴν ἐπισπᾶται τὴν ἄνωθεν ῥοπήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νγ. ΗΝ ΔΕ ΗΣΑΥ ΕΤΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ,

καὶ ἔλαβε τὴν Ἰουδεὶμ θυγατέρα Βαιὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ. (ς. Ἰουδὶθ)

Φέρε καὶ σήμερον, εἰ δοκεῖ, τὰ ἑξῆς τῶν χθὲς εἰρημένων ἐπελθόντες κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀναπτύξωμεν ἕκαστον τῶν γεγραμμένων, ἵνα τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. ἴδωμεν τοίνυν τὴν ἀρχὴν τῶν ἀνεγνωσμένων. 34 Ἦν δὲ Ἠσαῦ, φησιν, ἐτῶν μ', καὶ ἔλαβε τὴν Ἰουδεὶμ θυγατέρα Βαιὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, (ς. Ἰουδὶθ) 35 Καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ.

Ὅρα πόσα ἐκ τῶν ὀλίγων τούτων ῥημάτων ἔστι καταμαθεῖν. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἠσαῦ ἐσήμανεν; οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἐντεῦθεν καταμάθωμεν τοῦ Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν προβεβηκὼς ἦν. ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν εἰρημένων, καὶ ὅτι ἡνίκα μὲν ἔλαβε τὴν Ῥεβέκκαν, καὶ αὐτὸς μ' ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ξ' ἐτῶν ἦν, εἰσόμεθα, ὅτι νῦν ρ' λοιπὸν ἔτους ἐπιβὰς ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. ἐπειδὴ γὰρ μέλλει μετὰ ταῦτα διηγεῖσθαι ἡμῖν, ὡς ὑπὸ τοῦ γήρως ἀμβλυτέρας εἶχε τὰς ὄψεις, διὰ τοῦτο τῶν ἐτῶν τοῦ Ἠσαῦ τὸν ἀριθμὸν ἐσήμανεν, ἵνα ἐντεῦθεν εἰδέναι ἔχωμεν ἀκριβῶς τοῦ Ἰσαὰκ τὸν χρόνον. διὰ τοῦτο ἔλεγεν, ἦν δὲ Ἠσαῦ ἐτῶν μ΄. εἶτα ἵνα μάθωμεν τοῦ παιδὸς τὴν περιπέτειαν, καὶ ὅτι παρὰ τῶν ἐθνῶν, ὧν οὐκ ἐχρῆν, τὰς γαμετὰς ἠγάγετο, ἐδήλωσεν ἡμῖν ὅτι ἡ μὲν ἐκ τοῦ γένους τῶν Χετταίων ἦν, ἡ δὲ ἐκ τῶν Εὐαίων. καίτοι γε ἐχρῆν αὐτὸν μαθόντα, ὅσην σπουδὴν ὁ πατριάρχης ἐποιήσατο διαστελλόμενος τῷ παιδὶ τῷ ἑαυτοῦ, ὥστε ἐκ τῆς φυλῆς αὐτοῦ γαμετὴν τῷ Ἰσαὰκ ἐνέγκαι, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἡ Ῥεβέκκα ἐκ τῆς Χαῤῥὰν ὡρμᾶτο, μηδὲν τοιοῦτον βουλεύσασθαι. ἀλλ᾽ ἵνα ἐκ προοιμίων δείξῃ τῶν οἰκείων τρόπων τὸ ἄτακτον, προλαβὼν ἐκείνας ἠγάγετο. καὶ ἵνα μάθωμεν τῶν γυναικῶν τὸ δύστροπον, φησὶν ἡ γραφὴ, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. καὶ τί ἂν εἴη ταύτης τῆς μοχθηρίας χαλεπώτερον; ὅταν αἱ πᾶσαν τιμὴν ἀπονέμειν ὀφείλουσαι, μὴ μόνον τοῦτο μὴ ποιῶσιν, ἀλλὰ καὶ πρὸς φιλονεικίαν παρασκευάζωνται. ταῦτα δὲ πάντα οὐχ ἁπλῶς ἡμῖν ἡ ἱστορία σημαίνει, ἀλλ᾽ ἵνα μετὰ ταῦτα ἐπειδὰν ἴδῃς τὴν Ῥεβέκκαν πρὸς τὸν Ἰακὼβ πολλὴν τὴν εὔνοιαν ἐπιδεικνυμένην, μάθῃς ὡς οὐκ ἀπεικὸς πρᾶγμα διεπράττετο. τέως δὲ ἵνα μὴ τὴν ἀκολουθίαν προφθάσωμεν, αὖθις ἑπώμεθα τοῖς γεγραμμένοις.

κεφ. κζ.

1 Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαὰκ, καὶ ἠμβλυώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν. Οὐκ ἔτι γὰρ, φησὶν, ὑπὸ τοῦ γήρως ὁρᾶν ἠδύνατο. Καὶ ἐκάλεσεν Ἠσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ, υἱέ μου, 2 Ἰδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. 3 Νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον, 4 Καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγὼ, καὶ ἔνεγκέ μοι ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἢ ἀποθανεῖν με. Ἐνταῦθά μοι σκόπει, ἀγαπητὲ, τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν, καὶ ὅπως ὁ μὲν πατὴρ, τὴν φυσικὴν φιλοστοργίαν ἐπιδεικνύμενος, ταῦτα διετάξατο τῷ Ἠσαῦ· ὁ δὲ σοφὸς καὶ εὐμήχανος δεσπότης διὰ τῆς Ῥεβέκκας τὴν οἰκείαν πρόῤῥησιν εἰς ἔργον ἐξενεχθῆναι παρασκευάζει, διδάσκων ἡμᾶς ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς καὶ τῆς τῶν τρόπων ἐπιεικείας. καὶ γὰρ ἐκεῖνος μὲν καὶ ἀπὸ τῶν πρωτοτοκίων, καὶ ἀπὸ τῆς τοῦ πατρὸς περὶ αὐτὸν διαθέσεως τὰ πρωτεῖα ἔχειν νομίζων, ἀθρόον ἁπάντων ἔρημος ηὑρίσκετο, ἐπειδὴ τὰ παρ᾽ ἑαυτοῦ εἰσενεγκεῖν οὐκ ἠβουλήθη· οὗτος δὲ ἐπειδὴ οἴκοθεν ἦν ἐνάρετος, καὶ τὴν ἄνωθεν εἶχε ῥοπὴν συμμαχοῦσαν αὐτῷ, καὶ ἄκοντος τοῦ πατρὸς τὴν παρ᾽ αὐτοῦ εὐλογίαν ἐπισπᾶται. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ παρὰ τῆς δεξιᾶς ἐκείνης βοηθουμένου. ὅρα γοῦν ἀκριβῶς ἅπαντα, ἵνα μάθῃς τῆς οἰκονομίας τὴν ὑπερβολὴν, καὶ πῶς ὁ μὲν τῆς ἐκεῖθεν ἀπολαύων ῥοπῆς, πολλῆς ἐν ἅπασιν ἀξιοῦται τῆς "συνεργίας, ὥστε τὴν τοῦ πατρὸς εὐλογίαν εἰς αὐτὸν μετενεχθῆναι· ὁ δὲ πάντων διαμαρτάνει, προδεδομένος οἴκοθεν διὰ τὴν τῶν τρόπων μοχθηρίαν. 5 Ῥεβέκκα δὲ, φησὶν, ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἠσαῦ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ἠσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ. 6 Εἶπε δὲ Ῥεβέκκα πρὸς τὸν υἱὸν αὐτῆς τὸν ἐλάττω. Διὰ τί προσέθηκε τὸν ἐλάττω; ἐπειδὴ ἀνωτέρω εἶπεν, ὅτι ἐκάλεσεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, ἵνα μάθωμεν τίνι νῦν διαλέγεται ἡ Ῥεβέκκα, φησὶ πρὸς τὸν ἐλάττω, τουτέστι τὸν Ἰακώβ. -- Ἴδε ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἠσαῦ τὸν ἀδελφόν σου, καὶ λέγοντος, 7 Ἔνεγκέ μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. ταῦτα μὲν ἤκουσα τοῦ πατρός σου πρὸς τὸν ἀδελφόν σου τὸν Ἠσαῦ διαλεγομένου.

8 Νῦν οὖν υἱὲ "ἄκουέ μου καθά σοι ἐγὼ ἐντέλλομαι, 9 Καὶ πορευθεὶς εἰς τὰ

πρόβατα λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ, 10 Καὶ εἰσοίσεις τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. Ὅρα μητρὸς φιλοστοργίαν, μᾶλλον δὲ Θεοῦ οἰκονομίαν. αὐτὸς γὰρ ἦν ὁ καὶ ταύτην πρὸς τὴν συμβουλὴν διεγείρων, καὶ τὸ πᾶν κατορθωθῆναι ποιῶν. εἶδες τῆς μητρὸς τὴν ἀρίστην συμβουλήν. ὅρα καὶ τοῦ Ἰακὼβ τὸ περιεσκεμμένον, καὶ ὅπως διὰ τῆς ἀποκρίσεως τῶν οἰκείων τρόπων δείκνυσι τὴν ἐπιείκειαν.

11 Εἶπε γάρ, φησι, πρὸς τὴν μητέρα αὐτοῦ· ἔστιν ὁ ἀδελφός μου Ἡσαῦ ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. 12 Μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐμαυτῷ κατάραν, καὶ οὐκ εὐλογίαν.

Πολλὴ τοῦ παιδὸς ἡ εὐγνωμοσύνη, καὶ ἡ πρὸς τὸν πατέρα αἰδώς. δέδοικα, φησι, μὴ εἰς τὸ ἐναντίον μοι τὰ τῆς σπουδῆς ἐπέλθοι, μὴ δόξω ἐναντιοῦσθαι τῇ τοῦ πατρὸς γνώμῃ, καὶ ἀντὶ τῆς εὐλογίας κατάραν ἐπισπάσωμαι. τί οὖν ἡ Ῥεβέκκα ἡ θαυμασία καὶ φιλόστοργος; ἐπειδὴ οὐκ ἐξ οἰκείας γνώμης μόνον τοῦτο διεπράττετο, ἀλλὰ καὶ τῇ ἄνωθεν ὑπηρετεῖτο προρρήσει, πᾶσαν σπουδὴν ποιεῖται τὸν φόβον ἐξελεῖν τοῦ παιδός, καὶ θάρσος ἐνθεῖναι, ὥστε τὴν συμβουλὴν εἰς ἔργον ἀγαγεῖν. καὶ οὐχ ὑπισχνεῖται αὐτῷ ὅτι δυνήσεται παρακρούσασθαι τὸν πατέρα καὶ λαθεῖν, ἀλλὰ τί;

13 Ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον· μόνον ὑπάκουσον τῆς φωνῆς μου, καὶ πορευθεὶς ἔνεγκέ μοι. Κἂν γένηται τοιοῦτόν τι, φησιν, οὐδὲν αὐτὸς παραβλαβήσῃ. μὴ τοίνυν δείσῃς, ἀλλὰ θαρρῶν ὑπάκουσόν μου τῆς φωνῆς, καὶ ποίει τὰ παρ' ἐμοῦ σοι συμβουλευθέντα. τοῦτο ἀληθῶς φιλοστοργία μητρός, τὸ ὑπὲρ τοῦ παιδὸς ἑτοίμως ἅπαντα καταδέχεσθαι. ταῦτα εἰποῦσα ἴσχυσεν ἐξελεῖν τοῦ παιδὸς τὸν φόβον. 14 Καὶ πορευθεὶς ἔλαβε καὶ ἤνεγκε τῇ μητρὶ αὐτοῦ, καὶ ἐποίησεν ἐδέσματα καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ.

15 Καὶ λαβοῦσα, φησιν, ἡ Ῥεβέκκα τὴν στολὴν τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ' αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον,

16 Καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκε περὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ, 17 Καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ. Θέα μοι ἐνταῦθα τῆς Ῥεβέκκας μετὰ τῆς φιλοστοργίας καὶ τὴν πολλὴν σοφίαν. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ὁ μὲν ἦν δασύς, ὁ δὲ λεῖος, τὴν στολήν, φησιν, ἐνέδυσεν αὐτὸν τοῦ Ἡσαῦ, καὶ τὰ δέρματα περιέθηκεν αὐτῷ, καὶ πανταχόθεν σχηματίσασα αὐτόν, ὡς τὴν ἀπάτην εἰς ἔργον ἐλθεῖν, δοῦσα τὰ ἐδέσματα καὶ τοὺς ἄρτους εἰς τὰς χεῖρας, παρεσκεύασε προσαγαγεῖν τῷ πατρί. σκόπει μοι πάλιν ἐνταῦθα πῶς τῆς ἄνωθεν χάριτος ἦν τὸ πᾶν. ὅταν γὰρ ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, δαψιλῶς ἀπολαυσόμεθα καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργίας. ἵνα γὰρ μὴ ῥαθυμῶμεν, μηδὲ ἀναπεπτωκότες ὦμεν, βούλεται καὶ ἡμᾶς τι συνεισφέρειν, ἵν' οὕτω καὶ τὰ παρ' ἑαυτοῦ ἐπιδείξηται· καὶ οὔτε τὸ πᾶν τῆς ἄνωθεν γίνεται βοηθείας, ἀλλὰ δεῖ καὶ ἡμᾶς τι συνεισενεγκεῖν, οὔτε παρ' ἡμῶν πάλιν ἀπαιτεῖ τὸ πᾶν, εἰδὼς τῆς ἡμετέρας ἀσθενείας τὴν ὑπερβολήν, ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ βουλόμενος ἀφορμήν τινα λαβεῖν, ὥστε τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι, ἀναμένει τὰ παρ' ἡμῶν εἰσενεχθῆναι. ὅπερ καὶ νῦν γεγένηται. ἐπειδὴ γὰρ καὶ ὁ Ἰακὼβ καὶ ἡ Ῥεβέκκα, ἅπερ ἐχρῆν ἀφ' ἑαυτῶν γενέσθαι, πεποιήκασι, καὶ ὁ μὲν ὑπήκουσε τῆς συμβουλῆς τῆς μητρός, ἡ δὲ τὰ παρ' ἑαυτῆς πάντα ἐπλήρωσε, τότε λοιπὸν καὶ ὁ ἀγαθὸς δεσπότης τὸ πάντων δυσχερέστερον τοῦτο μετ' εὐκολίας ἀνυσθῆναι πεποίηκε, τὸ μὴ γενέσθαι κατάδηλον τῆς ἀπάτης τὸ δρᾶμα τῷ Ἰσαάκ. ἐπειδὴ γὰρ προσήνεγκε τὰ ἐδέσματα

τῷ πατρί, 19 Εἶπε, τίς εἶ σὺ τέκνον; καὶ εἶπεν Ἰακὼβ τῷ πατρὶ αὐτοῦ, ἐγώ εἰμι Ἡσαῦ ὁ υἱός σου ὁ πρωτότοκος. πεποίηκά σοι, καθὰ λελάληκάς μοι. ἀναστὰς κάθισον, καὶ φάγε ἐκ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. Ἐννόει μοι μετὰ ὅσης ἀγωνίας ταῦτα ἐφθέγγετο ὁ Ἰακώβ. ὁ γὰρ ἐν προοιμίοις εἰπὼν τῇ μητρί, φοβοῦμαι μὴ ἐπάξω ἐμαυτῷ κατάραν καὶ οὐκ εὐλογίαν, νῦν ἐν ὅσῳ φόβῳ καθειστήκει τοσοῦτον δρᾶμα ὑποκρινόμενος; ἀλλ' ἐπειδὴ Θεὸς ἦν ὁ συνεργῶν τοῖς γινομένοις, ἅπαντα εἰς ἔργον ἐξῄει. τί οὖν, ἄν εἴποι τις, καὶ τῷ ψεύδει τῷ τοιούτῳ Θεὸς συνήργησε; μὴ ἁπλῶς ἐξέταζε τὸ γινόμενον, ἀγαπητέ, ἀλλὰ τὸν σκοπὸν καταμάνθανε, καὶ ὅτι οὐ βιωτικῆς ἕνεκεν τινος πλεονεξίας τοῦτο ἐγίνετο, ἀλλὰ τοῦ πατρὸς τὴν εὐλογίαν ἐπισπάσασθαι ἐσπούδαζεν. ἄλλως δὲ εἰ μέλλοις ἁπλῶς τὰ γινόμενα ἐξετάζειν, καὶ μὴ τὸν σκοπὸν πανταχοῦ ἐπιζητεῖν, ὥρα σοι καὶ τὸν πατριάρχην παιδοκτόνον ὀνομάζειν, καὶ τὸν Φινεὲς ἀνδροφόνον. ἀλλ' οὔτε ἐκεῖνος παιδοκτόνος, ἀλλὰ καὶ λίαν φιλόστοργος, εἴ καί τις ἄλλος, οὔτε οὗτος ἀνδροφόνος, ἀλλὰ τὸ μᾶλλον καὶ ἄγαν ζηλωτής. ἑκάτερος γὰρ αὐτῶν τὸ δοκοῦν τῷ Θεῷ διεπράττετο. διόπερ ὁ μὲν διὰ τὴν ὑπακοὴν πολλῆς ἀξιοῦται τῆς ἄνωθεν ἀμοιβῆς· ὁ δὲ διὰ τὸν ζῆλον ἀνακηρύττεται. Ἔστη γάρ, φησι, Φινεές, καὶ ἐξιλάσατο. εἰ τοίνυν φόνος εὐδοκίμησε, καὶ παιδοκτονία ἐν ἐκείνοις, ἐπειδὴ κατὰ Θεοῦ γνώμην ἐγένοντο, καὶ οὐ τοῖς γεγονόσι προσέχομεν, ἀλλὰ τῷ σκοπῷ τῶν γινομένων, καὶ τῇ τῶν πεποιηκότων γνώμῃ, πολλῷ μᾶλλον καὶ ἐνταῦθα τοῦτο λογίζεσθαι χρή. μὴ τοίνυν τοῦτο σκόπει, ὅτι ψευδῆ ἦν τὰ λεγόμενα παρὰ τοῦ Ἰακώβ, ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι βουλόμενος ὁ Θεὸς εἰς ἔργον τὴν πρόῤῥησιν αὐτοῦ ἀγαγεῖν, ἅπαντα οὕτως ᾠκονόμησε γενέσθαι. καὶ ἵνα μάθῃς ὅτι ὁ Θεὸς ἦν ὁ πάντα ἐξευμαρίζων, καὶ τὰ δύσκολα εὔκολα ποιῶν, ὅρα πῶς ὁ δίκαιος οὐκ ἠδυνήθη συνιδεῖν τὴν ἀπάτην, ἀλλὰ καὶ πείθεται τοῖς παρὰ τοῦ Ἰακὼβ ῥηθεῖσι, καὶ ἀπολαύσας τῶν ἐδεσμάτων ἀμείβεται αὐτὸν ταῖς εὐλογίαις· καὶ οὐ πρότερον παραγίνεται ἀπὸ τῆς θήρας ὁ Ἡσαῦ, μέχρις ὅτε πάντα τέλος ἔλαβεν, ἵνα διὰ πάντων γνῶμεν ὅτι κατὰ Θεοῦ γνώμην τὸ γινόμενον ἦν. 20 Εἶπε δέ, φησιν, Ἰσαάκ, τί τοῦτο ὅτι ταχὺ εὗρες ὦ τέκνον; ὁ δὲ εἶπεν, ὃ παρέδωκε κύριος ὁ Θεός σου ἐναντίον ἐμοῦ.

Ψαλ. ρε. λ'.

Ἔτι ἐναγώνιος εἱστήκει ὁ Ἰακὼβ καὶ ηὔξετο αὐτῷ τὰ τοῦ φόβου, καὶ πάντα ἐγίνετο, ἵνα μάθωμεν δι' αὐτῶν ὅτι ὁ φιλάνθρωπος δεσπότης οὐχ ἁπλῶς τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν, ἂν μὴ πολλὴν ἴδῃ καὶ τὴν παρ' ἡμῶν θερμότητα γινομένην. μὴ γάρ μοι παραδράμῃς, ἀγαπητέ, τοῦτον νῦν τὸν ἀγῶνα, ἀλλὰ σκόπει ὅτι περὶ τοῦ παντὸς ἦν αὐτῷ ὁ κίνδυνος, καὶ ἐδεδοίκει καὶ ἔτρεμε μὴ ἀντὶ εὐλογίας κατάρας ὑπεύθυνος γένηται. Εἶτά φησιν, 21 Εἶπε δὲ Ἰσαάκ, ἔγγισόν μοι καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ. Ἀπὸ γὰρ τῆς φωνῆς ἠρέμα πως ἐνεδοίαζεν ὁ δίκαιος. ἀλλ' ἐπειδὴ ἔχρην τὴν οἰκονομίαν εἰς ἔργον ἐξελθεῖν, οὐ συνεχωρήθη συνιδεῖν τὴν ἀπάτην. 22 Ἤγγισε δέ, φησιν, Ἰακώβ, καὶ ἐψηλάφησεν αὐτόν, καὶ εἶπεν, ἡ μὲν φωνή, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἡσαῦ. καὶ οὐκ ἐπέγνω αὐτόν. Ὅρα πῶς δείκνυται ὅτι τῆς τοῦ Θεοῦ χάριτος ἦν τὸ πᾶν, τῆς παρασκευαζούσης καὶ αὐτὸν μηδὲν τῶν γινομένων συνιδεῖν, καὶ τὸν Ἰακὼβ ἀπολαῦσαι τῆς πατρικῆς εὐλογίας, 23 Καὶ οὐκ ἐπέγνω αὐτόν, φησιν. ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ἡσαῦ. καὶ εἶπεν, 24 Εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; Ὅρα πάλιν πῶς δείκνυσιν ἡ θεία γραφή, ὅτι ἐδίσταζεν ὁ δίκαιος· εἶπε γάρ, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; ἵνα καὶ ἐκ τούτου πάλιν γνῶμεν, ὅτι ὁ πατὴρ μὲν ἡττηθεὶς τῇ φυσικῇ φιλοστοργίᾳ ἅπαντα διεπράττετο· ὁ δὲ Θεὸς ὁ τὰ μέλλοντα προορῶν, καὶ ἀπὸ τῆς τῶν τρόπων ἀρετῆς χαρακτηρίζων καὶ δεικνὺς τοὺς ἑαυτοῦ θεράποντας, οὕτως ἅπάντα οἰκονομεῖ. Καὶ εἶπε, φησιν, ἐγώ. Ἐπειδὴ γὰρ εἶπεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; καὶ εἶπεν, ἐγώ, 25 Εἶπε, προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. Μόλις ποτὲ τῆς ἀγωνίας λοιπὸν ἀπηλλάγη ὁ Ἰακώβ, Καὶ προσήνεγκε τῷ πατρὶ τὰ ἐδέσματα, καὶ εἰσήνεγκεν οἶνον, καὶ ἔπιε, 26 Καὶ εἶπεν αὐτῷ, ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον.

27 Καὶ ἐγγίσας ἐφίλησεν αὐτόν, καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπεν.

Ὅρα τῆς θείας γραφῆς τὴν παρατήρησιν. ἐπειδὴ ἠρώτησεν, εἰ σὺ εἶ Ἠσαῦ; καὶ εἶπεν, ἐγώ, καὶ πάλιν ἐψηλάφησεν αὐτόν, καὶ ἠρέμα πως ἐνεδοίαζεν ὑπὸ τῆς φωνῆς εἰς ὑπόκρισιν τινὰ ἐμπεσών, καὶ πάλιν ἠρώτησεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; καὶ εἶπεν, ἐγώ, εἶτα προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· τότε, φησίν, ἐφίλησεν αὐτὸν καὶ εὐλόγησεν αὐτόν. ἵνα μὴ νομίσῃ τις ὅτι εἰς τὸ τοῦ Ἠσαῦ πρόσωπον τὴν εὐλογίαν ἐποιήσατο, ἀλλ' εἰς ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα, διὰ τοῦτο ἐμνημόνευσεν ἡ θεία γραφή, ὅτι καὶ ἐφίλησε, καὶ ηὐλόγησεν ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα. ὠσφράνθη δέ, φησιν, τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπεν. Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν ηὐλόγησε κύριος· 28 Καὶ δώσει σοι κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου. Δώσει, φησί, σοι τῷ τὰ ἐδέσματα προσενεγκόντι, τῷ παρ' ἐμοῦ φιληθέντι. 29 Καὶ δουλευσάτωσάν σοι ἔθνη. Ὅρα πῶς τὴν τῶν ἀναγκαίων ἀφθονίαν αὐτῷ ἐπηύξατο, εἶτα τὴν ἀρχὴν τῶν ἐθνῶν, προμηνύων ἤδη τὴν μέλλουσαν αὐτῷ ἔσεσθαι εὐημερίαν, καὶ τὴν ἐξ αὐτοῦ τικτομένων τὴν ἐπίδοσιν. Καὶ προσκυνησάτωσάν σοι ἄρχοντες.

Οὐ μόνον τὴν τῶν ἐθνῶν ὑποταγὴν αὐτῷ ἐπεύχεται, ἀλλὰ καὶ τῶν ἀρχόντων.

Καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου. Ὅρα πῶς ὑπηρετεῖται καὶ ἀγνοῶν ὁ δίκαιος τῇ τοῦ Θεοῦ γνώμῃ. καὶ ἅπαντα ταῦτα διὰ τοῦτο ᾠκονομεῖτο, ἵνα οὗτος ὁ διὰ τὴν ἀρετὴν ἄξιος, αὐτὸς καρπώσηται τὴν εὐλογίαν. Καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Υἱοὺς εἴωθεν ἡ γραφὴ καλεῖν πᾶσαν τὴν συγγένειαν, ὡς καὶ ἐνταῦθα, τουτέστιν υἱοὺς τοῦ πατρός σου, ὡς ἂν εἴποι τις, τοὺς ἐκ τοῦ σπέρματος τοῦ Ἠσαῦ ἔσεσθαι μέλλοντας. οὐδὲ γὰρ ἕτερον παῖδα εἶχεν ὁ Ἰσαάκ, ἀλλ' ἢ τούτους μόνους.

Ὁ καταρώμενός σε, ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε, εὐλογημένος. Ἰδοὺ ἡ κορωνὶς τῆς εὐλογίας, ἰδοὺ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, τὸ εὐλογημένον εἶναι. Εἶδες Θεοῦ φιλανθρωπίαν. ὁ δεδοικὼς μὴ κατάραν ἐπισπάσηται ἀντὶ εὐλογίας, οὐ μόνον μετὰ τοσαύτης δαψιλείας τὰς εὐλογίας κομίζεται παρὰ τοῦ πατρός, ἀλλὰ καὶ ἐκείνοις ἀρᾶται τοῖς ἐπιχειροῦσιν αὐτὸν καταρᾶσθαι. ἐντεῦθεν μανθάνομεν ὅτι ἐπειδάν τις κατὰ τὰ τῷ Θεῷ δοκοῦντα τὰ καθ' ἑαυτὸν οἰκονομεῖν βούληται, τοσαύτης ἀπολαύει τῆς ἄνωθεν συνεργίας, ὡς αὐτῆς τῶν πραγμάτων τῆς πείρας αἴσθησιν λαβεῖν. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τοῦ Θεοῦ τὴν ἄφατον οἰκονομίαν, ὅτι οὐ πρότερον ὁ Ἠσαῦ ἀπὸ τῆς θήρας παραγέγονε, μέχρις ὅτε πέρας ἔλαβεν ἡ τοῦ δράματος ὑπόθεσις, κἀκεῖνος δεξάμενος τὰς εὐλογίας παρὰ τοῦ πατρὸς ἀνεχώρησε; τοῦτο γὰρ ἡμᾶς διδάξαι βουλόμενος ὁ μακάριος Μωϋσῆς ἐπήγαγε, 30 Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι τὸν Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὡς ἐξῆλθεν ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ ἰδοὺ Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας.

Ὅρα πῶς μετὰ τὴν τούτου ἔξοδον ἐκεῖνος εὐθέως παρεγένετο· οὐχ ἁπλῶς οὐδὲ εἰκῆ, ἀλλ' ἵνα ἀγνοῶν προσαγάγῃ καὶ αὐτὸς τὰ ἐδέσματα, καὶ παρὰ τοῦ πατρὸς μάθῃ ἅπασαν τοῦ πράγματος τὴν ὑπόθεσιν. Εἰ γὰρ ἔφθη καταλαβεῖν τὸν ἀδελφὸν, ἴσως ἂν αὐτὸν καὶ διεχειρίσατο ἡττώμενος ὑπὸ τοῦ θυμοῦ. ὁ γὰρ μετὰ ταῦτα τοῦτο βουλευσάμενος, πολλῷ μᾶλλον ἐν ἀκμῇ τοῦ πράγματος τοῦτο ἂν εἰργάσατο. ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἡ τὸν παῖδα διασώζουσα, καὶ τοῦτον μὲν ἄξιον τῆς εὐλογίας ἀπεργασαμένη, ἐκεῖνον δὲ ἀποστερήσασα καὶ τῆς εὐλογίας καὶ τῶν πρωτοτοκίων. παραγενόμενος δέ φησιν,

31 Ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ, καὶ εἶπεν, ἀναστήτω ὁ πατήρ μου, καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

Ὅρα μοι πάλιν τὸν δίκαιον ἐν θορύβῳ γινόμενον καὶ διαταραττόμενον τὸν λογισμόν.

32 Ἀκούσας γάρ, φησιν, εἶπεν, τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ. Ὅρα πῶς μεγαλοφρονῶν ἐπὶ τῷ πράγματι οὐκ ἠρκέσθη τῷ εἰπεῖν, ἐγώ εἰμι Ἡσαῦ, ἀλλὰ προσέθηκεν, ὁ πρωτότοκος. 33 Ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν, καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔστω;

Ὅρα πῶς καὶ εἰς ἀπορίαν γεγονὼς ὁ δίκαιος, καὶ διηγούμενος αὐτῷ τὸ συμβὰν, ὅμως προσέθηκε, καιρίαν ἐκείνῳ διδοὺς τὴν πληγήν, τὸ καὶ εὐλόγηκα αὐτόν, καὶ εὐλογημένος ἔστω. τοῦτο δὲ ἐποίει ὁ δίκαιος τῆς τοῦ Θεοῦ σοφίας ὁδηγούσης αὐτοῦ τὴν γλῶτταν, ἵνα πάντα μετὰ ἀκριβείας ἐκεῖνος μαθὼν εἰδέναι ἔχῃ, ὡς οὐδὲν αὐτῷ πλέον ἔσται οὔτε ἀπὸ τῶν πρωτοτόκων, οὔτε ἀπὸ τῆς θήρας. 34 Ἀκούσας δέ, φησιν, Ἡσαῦ ἀνεβόησε φωνὴν μεγάλην σφόδρα καὶ πικράν. Τί ἐστι, φωνὴν μεγάλην σφόδρα καὶ πικράν; τὸν θυμὸν ἠνίξατο διὰ τοῦ ῥήματος, καὶ τῆς ὀργῆς, ἧς ἐπλήσθη ταῦτα μαθὼν, τὴν ὑπερβολήν. καὶ εἶπεν, εὐλόγησον δὴ κἀμέ πάτερ. 35 Εἶπε δὲ αὐτῷ, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου. Προλαβών, φησιν, ὁ ἀδελφός σου τὴν εὐλογίαν πᾶσαν ἐπεσπάσατο μετὰ πολλῆς τῆς δαψιλείας. καὶ ἵνα γνῷς ὅτι ἡ ἄνωθεν χάρις ἦν, ἡ τὸν δίκαιον ἀπατηθῆναι συνεργήσασα, ὅρα πῶς αὐτὸς τοῦτο ὁμολογεῖ λέγων, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, μονονουχὶ ἀπολογούμενος τῷ παιδὶ, καὶ διδάσκων αὐτὸν, ὅτι ἀγνοῶν ἐπ' ἐκεῖνον τὰς εὐλογίας ἐποιησάμην, καὶ ὅτι εἰς σὲ ταύτας ἕτοιμος ἤμην ποιήσασθαι· ἀλλ' ἐκεῖνος ἐλθὼν μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου, τὰ σοὶ παρασκευασθέντα ἐκεῖνος ἐδέξατο· οὐ παρὰ τὴν ἐμὴν δὲ αἰτίαν γέγονε. 36 Καὶ εἶπε, φησιν, Ἡσαῦ· δικαίως ἐπεκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου.

Οὐ μάτην, φησί, τῆς προσηγορίας ταύτης ἠξιώθη. πτερνισμὸς γὰρ ἑρμηνεύεται τὸ ὄνομα αὐτοῦ, ὅπερ οὗτος εἰς ἐμὲ ἐπεδείξατο, καὶ τῶν πρωτοτοκίων ἀποστερήσας καὶ τῆς εὐλογίας. τί οὖν ὁ Ἡσαῦ πρὸς Ἰσαάκ; Οὐχ ὑπελίπου μοι εὐλογίαν πάτερ; 37 Ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπεν αὐτῷ, Μάνθανε, φησιν, ὅτι πάσας εἰς αὐτὸν ἐξέχεα τὰς εὐλογίας, Εἰ κύριον αὐτὸν ἐποίησά σου. Ὅρα πῶς εὐθέως ἀπὸ τούτου ἄρχεται, καὶ οὐδὲν ἕτερον λέγει, ἀλλὰ τὴν δουλείαν αὐτῷ σημαίνει καὶ τὴν ὑποταγήν.

Καί φησιν, Εἰ κύριον αὐτὸν ἐποίησά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν, σοὶ δὲ τί ποιήσω τέκνον; Οὐδὲν ἕτερον λοιπὸν ὑπολέλειπται. Εἰ δεσπότην αὐτὸν ἐποίησά σου, καὶ πάντας αὐτοῦ οἰκέτας τοὺς ἀδελφούς, καὶ τῶν ἀναγκαίων αὐτῷ τὴν ἀφθονίαν ἐπηυξάμην, τί λοιπὸν ἕτερον λείπεται;

38 Εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ, μὴ εὐλογία μία σοί ἐστι πάτερ; εὐλόγησον δὴ κἀμέ. Ἐπειδὴ ἤκουσε τοῦ πατρὸς εἰπόντος, καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔσται, εἶτα καὶ τὴν εὐλογίαν αὐτοῦ πᾶσαν δήλην ἐποίησε, τότε φησί, εὐλόγησον

δή

δὴ κἀμὲ πάτερ. μὴ γὰρ μία σοί ἐστιν εὐλογία; μὴ γὰρ οὐχ ἱκανὸς σὺ κἀμὲ ἀξιῶσαι τῆς παρὰ σοῦ εὐλογίας, τὸν οὕτω παρὰ σοῦ ἀγαπώμενον, τὸν πρεσβύτερον, τὸν διὰ τὴν θήραν παρὰ σοῦ ἀποσταλέντα; Συνέχεε διὰ τῶν ῥημάτων τὸν πατέρα.

39 Κατανυχθέντος γάρ, φησιν, Ἰσαὰκ, ἀνεβόησε φωνῇ Ἠσαῦ, καὶ ἔκλαυσεν.

Εἶδε τὸν πατέρα ἐν ἀμηχανίᾳ ὑπάρχοντα, καὶ οὐ δυνάμενον οὐδὲ ἀνεχόμενον ἀνατρέψαι τὰ ἤδη γεγονότα. καὶ ὁ μὲν τῇ βοῇ καὶ κλαυθμὸν προσέθηκεν, εἰς πλείονα συμπάθειαν ἀγαγεῖν τὸν πατέρα βουλόμενος. οἰκτείρας δὲ αὐτὸν

Ὁ Ἰσαὰκ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, 40 Καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου.

Ἐπειδή, φησι, καὶ αὐτὸς τῆς παρ' ἐμοῦ εὐλογίας ἀπολαῦσαι ἐπιθυμεῖς, μάνθανε ὅτι οὐχ οἷόν τέ με ἐναντία τῇ τοῦ Θεοῦ γνώμῃ διαπράξασθαι· ἀλλὰ καί σοι μὲν ἐπεύχομαι τὴν ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἀπόλαυσιν. ἴσθι δὲ μέλλων πολεμικὸν ἀναδέξασθαι βίον. ἐπὶ τῇ μαχαίρᾳ γάρ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἀλλὰ μηδεὶς ἀκούων ταῦτα ξενιζέσθω, ὁρῶν μετὰ ταῦτα τὸν ἀδελφὸν ἀλήτην γινόμενον διὰ τὸν παρὰ τούτου φόβον καὶ εἰς τὴν ἀλλοτρίαν ἐπειγόμενον, μηδὲ τοῖς προοιμίοις προσέχων, νομιζέτω διαπίπτειν τὴν πρόῤῥησιν. ὅταν γὰρ ὁ δεσπότης τι ὑπόσχηται, κἂν ἐναντία τῶν ὑποσχέσεων ἴδωμεν ἐν τοῖς προοιμίοις ἐκβαίνοντα, μὴ θορυβώμεθα. οὐ γὰρ οἷόν τε ποτὲ μέχρι τέλους διαμαρτεῖν. τοῦτο δὲ γίνεται, ἵνα λαμπρότεροι διὰ πάντων οἱ δίκαιοι δεικνύμενοι, τὴν περιουσίαν τῆς τοῦ Θεοῦ δυνάμεως κατάδηλον ἡμῖν ἅπασι γενέσθαι παρασκευάσωσι. καὶ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο εὑρήσεις, εἰ βουληθείης ἁπάσας μετὰ ἀκριβείας κατιδεῖν τὰς ἱστορίας, ὃ δὴ καὶ νῦν γεγένηται. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι νῦν εὐθέως φυγὰς ἐγένετο, ἀλλὰ τὴν μετὰ ταῦτα περιφάνειαν λογίζου, καὶ ὅτι τοῦ χρόνου παραδραμόντος αὐτὸς οὗτος ὁ φοβερὸς αὐτῷ γεγονὼς τοσαύτην περὶ αὐτὸν ἐπιδείκνυται τὴν αἰδῶ, καὶ ὅτι εἰς τοσαύτην ἦλθε δόξαν μετὰ τὴν ἐπὶ τῆς ξένης ταλαιπωρίαν, ὡς καὶ τοὺς ἐξ αὐτοῦ τεχθέντας εἰς ἄπειρον πλῆθος ἐκταθῆναι, καὶ διὰ τῆς τούτου προσηγορίας ἅπαν τὸ ἔθνος χαρακτηρίζεσθαι. νυνὶ δὲ διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ τοῦ ἀδελφοῦ τὸν θυμὸν, καὶ ὅτι πρὸς φόνον ἀπέβλεπε, φησί, 41 Καὶ ἐνεκότει Ἠσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς ηὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ.

γρ. ἔτι

Καὶ ἵνα μάθωμεν ὅτι οὐχ ἁπλῶς ὀργὴ ἦν πρόσκαιρος τοῦτο, διὰ τῆς λέξεως ἐσήμανεν ἡμῖν τῆς κακίας αὐτοῦ τὴν ὑπερβολήν. ἐνεκότει γάρ φησιν, ἀντὶ τοῦ, ἐνέκειτο, ἐπέμενεν, ὡς καὶ διὰ τῶν ῥημάτων τὴν ἐν τῷ βάθει κρυπτομένην γνώμην φανερὰν καταστῆσαι. Εἶπε γάρ, φησιν, ἐν τῇ διανοίᾳ, ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου.

ΗΘΙΚΟΝ

Ὄντως ἄρα καὶ τῶν μαινομένων αὐτῶν οὐκ ἔλαττον ὁ θυμούμενος παραπαίει. σκόπει γὰρ, ὅπως καθάπερ τοὺς μαινομένους ὁ δαίμων ἐκεῖνος ἐπεισελθὼν ἔκφρονας ἐργάζεται, καὶ ἐναντία τοῖς ὁρωμένοις διαπράττεσθαι ἀναπείθει. οὐ γὰρ ὁρῶσιν ὑγιῶς, οὔτε ἐπεόν τι διαπράττονται τῶν χρησίμων, ἀλλὰ καθάπερ τὰς αἰσθήσεις πεπηρωμένοι, καὶ τὸ διακριτικὸν διαφθείραντες, οὕτως ἅπαντα ἐργάζονται· οὕτω καὶ οἱ θυμούμενοι, οὐ τοὺς προσήκοντας ἐπιγινώσκουσιν, οὐ συγγενείας μέμνηνται, οὐ φιλίας, οὐ συνηθείας, οὐκ ἀξιώματος, οὐκ ἄλλου τινὸς ἔννοιαν λαμβάνουσιν, ἀλλ' ὅλοι ὑπὸ τοῦ θυμοῦ τυραννούμενοι κατὰ κρημνῶν φέρονται. τί οὖν ἂν εἴη τῶν τοιούτων ἐλεεινότερον, ὅταν ἁλόντες ὑπὸ τοῦ πάθους, καὶ αἰχμάλωτοι γινόμενοι, καὶ πρὸς φόνον ἐπείγονται; διὰ τοῦτο ὁ μακάριος Παῦ-

γρ. φθονοῦντες

λος τὴν ῥίζαν ἀποσπάσαι βουλόμενος τοῦ κακοῦ, γράφων παραινεῖ οὕτω λέγων, Πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ. οὐ μόνον, φησί, θυμοῦσθαι ὑμᾶς οὐ βούλομαι, οὐδὲ μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ μετὰ κραυγῆς τοῖς πλησίον διαλέγεσθαι, κραυγὴν ἐνταῦθα λέγων τὴν ὑπὸ τοῦ θυμοῦ γινομένην. ὅταν γὰρ τὸ πάθος ἔνδοθεν διεγείρηται, καὶ ἡ καρδία οἰδαίνῃ, οὐκ ἔτι λοιπὸν ἡ γλῶσσα ἠρέμα φθέγγεσθαι ἀνέχεται, ἀλλὰ τὴν διάθεσιν τῆς καρδίας ἐμφαίνουσα, μετὰ κραυγῆς τοῖς πλησίον διαλέγεσθαι παρασκευάζει. βουλόμενος οὖν ἐν γαλήνῃ διάγειν διηνεκεῖ τοὺς αὐτῷ πειθομένους ὁ μακάριος οὗτος, εἰπὼν πᾶσα ὀργή, ἔδειξε τί ἐστι πᾶσα ὀργή, ἡ ἀφ᾽ οἵου δήποτε πράγματος κινουμένη, καὶ πᾶς θυμὸς καὶ πᾶσα κραυγὴ ἀρθήτω ἀφ᾽ ὑμῶν· εἶτα αὐτὴν τὴν ῥίζαν τῆς κακίας ξηρᾶναι βουλόμενος καὶ ἄκαρπον ἐργάσασθαι, φησί, σὺν πάσῃ κακίᾳ. ὁ γὰρ οὕτω διακείμενος διηνεκῶς ἐν λιμένι κάθηται, τῶν ἀπὸ τῆς γῆς κυμάτων ἀπηλλαγμένος, καὶ οὔτε χειμῶνα δέδοικεν, οὔτε ναυάγιον, ἀλλὰ καθάπερ ἐν γαλήνῃ πλέων, ἢ ἐν εὐδίῳ λιμένι καθήμενος, οὕτως ἕλκει τὸν παρόντα βίον πάσης ταραχῆς ἐκτὸς ὤν, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τῶν ἀθανάτων καὶ ἀπορρήτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτῷ διὰ πάντων προξενεῖ· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εφ. δ. λα.

Λογ. νδ. ΚΑΛΕΣΑΣΑ ΔΕ ΡΕΒΕΚΚΑ ΤΟΝ ΥΙΟΝ ΑΥτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ.

Εἴδετε χθὲς καὶ τοῦ τελώνου τὴν πολλὴν εὐγνωμοσύνην, καὶ τοῦ δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, καὶ τῶν Ἰουδαίων τὴν ὑπερβάλλουσαν ἀναισθησίαν. εἴδετε πῶς ἅπαντας ἡμᾶς ἐπαίδευσεν ὁ μακάριος Ματθαῖος, δι᾽ ὧν οὕτω ταχέως ὑπήκουσε, δι᾽ ὧν τοσαύτην ἐπεδείξατο τὴν μεταβολήν, ὅτι ἐν τῇ προαιρέσει κεῖται τῇ ἡμετέρᾳ μετὰ τὴν ἄνωθεν χάριν τὰ τῆς ἀρετῆς, καὶ τῆς κακίας· καὶ ὅτι καὶ σπουδάσαντες δυνάμεθα γενέσθαι ἐνάρετοι, καὶ ῥαθυμήσαντες πάλιν εἰς τὸν τῆς ἁμαρτίας κρημνὸν καταφερόμεθα. τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διεστήκαμεν, τὸ λόγῳ τετιμῆσθαι ἡμᾶς παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ ἐναποκεῖσθαι τὴν γνῶσιν τοῦ καλοῦ, καὶ τοῦ πονηροῦ. μηδεὶς τοίνυν προφασιζέσθω ὡς δι᾽ ἄγνοιαν ἀρετῆς ἀμελῶν, ἢ διὰ τὸ μὴ ἔχειν τὸν ὑποδεικνῦντα τὴν ταύτης ὁδόν. ἀρκοῦντα γὰρ ἔχομεν διδάσκαλον, τὸ συνειδός, καὶ οὐχ οἷόν τε τινὰ ἀπεστερῆσθαι τῆς ἐκεῖθεν βοηθείας. καὶ γὰρ ἅμα τῇ πλάσει τοῦ ἀνθρώπου καὶ ἡ γνῶσις τῶν πρακτέων αὐτῷ ἐναπετέθη, ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, καθάπερ ἐν παλαίστρᾳ τινί, τῷ παρόντι βίῳ ἐγγυμνασάμενος πρὸς τοὺς τῆς ἀρετῆς πόνους, τὰ ὑπὲρ τῆς ἀρετῆς βραβεῖα κομίσηται, καὶ ἐν βραχεῖ χρόνῳ πονήσας, ἐν διηνεκεῖ τῷ αἰῶνι τῶν στεφάνων ἀξιωθείη, καὶ ἐν τῷ ἐπικήρῳ τούτῳ αἰῶνι τὴν ἀρετὴν ἑλόμενος, ἐν τοῖς ἀπείροις καὶ ἀϊδίοις αἰῶσι τῶν ἀθανάτων ἀγαθῶν ἀπολαύῃ. ὅπερ εἰδότες, ἀγαπητοί, μὴ προδῶμεν ἡμῶν τὴν εὐγένειαν, μὴ ἀγνώμονες περὶ τὴν τοσαύτην εὐεργεσίαν γενώμεθα, μηδὲ τὸ πρόσκαιρον τῆς δοκούσης ἡδονῆς μεταδιώξαντες, διηνεκῆ τὴν ὀδύνην ἑαυτοῖς κατασκευάσωμεν· ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὸν τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενον διηνεκῶς προορώμενοι, οὕτως ἅπαντα τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν, καὶ τοῖς

ὅπλοις τοῦ πνεύματος φραξάμενοι, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενοι, ἐπισπασώμεθα τὴν ἄνωθεν ῥοπήν, ἵνα τῆς ἐκεῖθεν ἀπολαύοντες συμμαχίας, καὶ τοῦ ἐχθροῦ τοῦ πολεμίου περιγενόμενοι, καὶ ἄκυρα αὐτοῦ καταστήσαντες τὰ μηχανήματα, τῶν ἀγαθῶν ἐκείνων ἀπολαῦσαι δυνηθῶμεν, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν ὁ κύριος. μὴ τοίνυν πρὸς τὸν πόνον τις ὁράτω τῆς ἀρετῆς, ἀλλὰ τὸ ἐντεῦθεν κέρδος λογιζόμενος ἑτοίμως τοὺς ὑπὲρ ταύτης πόνους καταδεχέσθω. Εἰ γὰρ οἱ περὶ τὰ βιωτικὰ στρεφόμενοι, καὶ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες, ἅπαντα προθύμως καταδέχονται, καὶ τοὺς κατὰ θάλατταν κινδύνους, καὶ τὰ ναυάγια, καὶ τὰς τῶν πειρατῶν ἐφόδους προορῶντες, οὐδὲ οὕτως ὀκνηρότεροι γίνονται, καὶ ταῦτα οὐδὲ θαῤῥεῖν περὶ τοῦ τέλους δυνάμενοι· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν τῶν ἀθανάτων ἐκείνων ἕνεκεν πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας μὴ πάσῃ σπουδῇ καὶ προθυμίᾳ ἀποδυόμενοι; τίνος ἕνεκεν οὕτως ἀγνώμονες περὶ τὸν εὐεργέτην γινόμεθα, καὶ οὔτε τὰ ἤδη δωρηθέντα λογιζόμεθα, οὔτε τὰ ἐπαγγελθέντα ἐννοοῦμεν, ἀλλὰ πάντων, ὡς εἰπεῖν, λήθην ποιησάμενοι, ἁπλῶς καὶ εἰκῇ βοσκημάτων δίκην ἅπαντα περιτρέχομεν, καὶ τῆς μὲν ψυχῆς οὐδεμίαν ἐπιμέλειαν ποιούμεθα, τὴν δὲ γαστέρα μόνην διαῤῥηγνύντες, καὶ πολλὴν διὰ ταύτης τῷ ταλαιπώρῳ τούτῳ σώματι τὴν λύμην κατασκευάζοντες; τοῦτο μὲν διὰ τῆς ἀμετρίας, καὶ τῆς πολλῆς ἀδηφαγίας μυρία πράγματα κατασκευάζειν ἡμῖν παρασκευάζομεν, τὴν δὲ ψυχὴν λιμῷ τήκεσθαι συγχωροῦμεν. καίτοι ψυχὴ σώματος κυριώτερον, καὶ ἐκείνης ἀπειρηκυίας νεκρὸν τοῦτο καταλείπεται. δέον οὖν κἀκείνῃ τὴν κατάλληλον καὶ ἁρμόττουσαν παρέχειν τροφὴν ἡμᾶς, ἑκατέροις λυμαινόμεθα, ἀμετρίαν καὶ ἐνταῦθα κἀκεῖ πολλὴν ἐπιδεικνύμενοι, καὶ τὸ μὲν ὑπὲρ τὴν χρείαν πιαίνοντες, τὴν δὲ ὑπὸ λιμοῦ διαφθείρεσθαι καταναγκάζοντες. καὶ ὅπερ ὁ τῶν ὅλων δεσπότης ἐν τάξει μεγίστης ἀγανακτήσεως ἠπείλησέ ποτε τῷ τῶν Ἰουδαίων δήμῳ, λέγων, Δώσω ὑμῖν οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου, διδάσκων ἡμᾶς ὅτι ἐκεῖνος μὲν ὁ λιμὸς τὸ σῶμα καταπείνειν δύναται, οὗτος δὲ ὁ λιμὸς αὐτῆς καθικνεῖται τῆς ψυχῆς· τοῦτ᾽ αὐτὸ νῦν, ὅπερ αἰτὶ τιμωρίας ἐκείνοις ἐπάγειν τότε ἠπείλησεν ὁ δεσπότης, ἡμεῖς ἑκόντες ἐπισπώμεθα, καὶ ταῦτα τοῦ Θεοῦ τοσαύτην περὶ ἡμᾶς κηδεμονίαν ἐπιδειξαμένου, καὶ οἰκονομήσαντος μετὰ τῆς ἀπὸ τῶν γραφῶν ἀναγνώσεως, ἔχειν ἡμᾶς καὶ τὴν ἀπὸ τῶν διδασκάλων νουθεσίαν. διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι, καὶ διεγερθῆναι μικρόν, καὶ πᾶσαν τὴν σπουδὴν μεταθεῖναι ἐπὶ τὴν τῆς ψυχῆς σωτηρίαν. οὕτω γὰρ ἂν καὶ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν μετὰ δαψιλείας ἐπισπάσησθε, καὶ ἡμεῖς προθυμότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιησώμεθα, ὁρῶντες εἰς ἔργον ἡμῖν ἐκβαίνουσαν τὴν συμβουλήν. ἐπεὶ καὶ γεωργός, ἐπειδὰν ἴδῃ τῆς γῆς τὴν ἐπιτηδειότητα πολλὴν παρέχουσαν αὐτῷ τῶν καρπῶν τὴν φορὰν, καὶ αὐτὸς μετὰ πλείονος τῆς σπουδῆς πρὸς τοὺς τῆς γεωργίας πόνους ἐπαποδύεται· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἂν θεασοίμεθα τὴν κατὰ Θεὸν ὑμῶν προκοπήν, καὶ ὅτι τὰ παρ᾽ ἡμῶν λεγόμενα διὰ τῶν ἔργων ἐνδείκνυσθαι σπουδάζετε, πλείονα καὶ αὐτοὶ τὸν πόνον τὸν διδασκαλικὸν ἐπιδειξόμεθα· ἅτε εἰδότες ὅτι οὐ κατὰ πετρῶν σπείρομεν, ἀλλ᾽ εἰς λιπαρὰν καὶ βαθύγεων καταβάλλομεν τὰ σπέρματα. διὰ γὰρ τοῦτο καθ᾽ ἑκάστην ἡμέραν τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, ἵνα καὶ ὑμεῖς κερδάναντές τι χρήσιμον ἐντεῦθεν ἀπέλθητε, καὶ τὰ τῆς ἀρετῆς ὑμῖν αὐξάνηται, καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὴν προκοπὴν εὐφραινώμεθα. μὴ γὰρ ἁπλῶς καὶ εἰκῇ λέγειν βουλόμεθα, ὥστε τὸν παρ᾽ ὑμῶν ἔπαινον καρπώσασθαι, καὶ ἵνα κροτήσαντες ὑμεῖς ἀναχωρήσητε; οὐ διὰ τοῦτο (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν.

Ἀμ. η. ια.

γρ. τὴν.

γρ. ἐπιδείκνυσθαι.

ἐμοὶ μέγιστος ἔπαινος καὶ ἀρκετὸς, εἴ τις ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀρετὴν μεταβάλλοιτο, εἴ τις περὶ τοῦτο ῥάθυμος ὢν, σπουδαῖος ἐκ τῆς παρ' ἡμῶν ὑπομνήσεως γένηται. τοῦτο καὶ ἐμοὶ μέγιστον φέρει τὸν ἔπαινον καὶ τὴν παραμυθίαν, καὶ ὑμῖν πολὺ τὸ κέρδος καὶ τὸν πλοῦτον τὸν πνευματικόν. ἀλλὰ καὶ ὅτι μὲν πολλὴν ἐπιδείξεσθε τὴν σπουδὴν, οὐκ ἀμφιβάλλω. οἶδα γὰρ ὅτι θεοδίδακτοί ἐστε, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. διὰ τοῦτο ἐνταῦθα στήσας τὴν περὶ τούτου συμβουλὴν, τῆς συνήθους ἅψομαι διδασκαλίας, ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ῥημάτων, μᾶλλον δὲ τῶν παρὰ τοῦ ἁγίου πνεύματος δι' αὐτοῦ ἡμῖν εἰρημένων, μικρά τινα εἰς τὸ μέσον προθεὶς, ἐκεῖθεν ὑμῖν σήμερον τὴν ἑστίασιν παραθήσομαι. ἠκούσατε πρῴην ὅπως κατὰ τὴν συμβουλὴν τῆς Ρεβέκκας ἅπαντα διαπραξάμενος ὁ Ιακὼβ, τὴν παρὰ τοῦ πατρὸς εὐλογίαν ἐπεσπάσατο, τὴν ἐπαινετὴν ἐκείνην κλοπὴν ἐπιδειξάμενος. δι' ὃ καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργίας ἀπήλαυσε, καὶ εἰς ἔργον ἐξῆλθεν αὐτῷ τὸ σπουδαζόμενον. ἀλλ' ἐπειδὴ ἐντεῦθεν αὐτῷ πολὺς ὁ φθόνος ἐτίκτετο παρὰ τοῦ Ησαῦ, καὶ πρὸς φόνον λοιπὸν παρεσκευάζετο ὁ ἀδελφός. τοιοῦτον γάρ τουτὶ τὸ ὀλέθριον πάθος· οὐ πρότερον ἵσταται, μέχρις ἂν τὸν ὑπὸ τοῦ πάθους ἁλόντα κατὰ κρημνῶν ἐνεχθῆναι παρασκευάσῃ, καὶ πρὸς τὴν τοῦ φόνου παρανομίαν δραμεῖν. ῥίζα γὰρ τοῦ φόνου ὁ φθόνος. οὕτω καὶ ἐξ ἀρχῆς ἐπὶ τοῦ Κάϊν καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. οὐδὲν γὰρ ἔχων οὐδὲ ἐκεῖνος, οὐ μικρὸν, οὐ μέγα ἐγκαλέσαι τῷ ἀδελφῷ, ἐπειδὴ εἶδεν εὐδοκιμοῦντα παρὰ τῷ δεσπότῃ τῶν ὅλων ἀπὸ τῆς προσκομιδῆς τῶν δώρων, καὶ ἑαυτὸν ἀπόβλητον γεγενημένον διὰ τὴν οἰκείαν ῥαθυμίαν, εἰς φθόνον εὐθὺς διηγείρετο, καὶ τὴν ῥίζαν τοῦ φόνου τεκὼν ἐν τῇ διανοίᾳ, παραχρῆμα καὶ τὸν καρπὸν ἐκεῖνον τὸν ὀλέθριον ἐπεδείξατο, καὶ τὸν φόνον εἰς ἔργον ἤγαγεν. οὕτω δὴ καὶ νῦν ὁ Ησαῦ ἰδὼν τὸν ἀδελφὸν τὰς εὐλογίας παρὰ τοῦ πατρὸς δεξάμενον, καὶ ὑπὸ τοῦ θυμοῦ καὶ τῆς βασκανίας εἰς φθόνον ἐξενεχθεὶς, ἐμελέτα τοῦ ἀδελφοῦ τὴν ἀναίρεσιν. ἀλλ' ἡ θαυμασία μήτηρ τοῦτο αἰσθομένη, πάλιν τὴν μητρικὴν φιλοστοργίαν περὶ τὸν παῖδα ἐπιδείκνυται, καὶ συμβουλὴν εἰσάγει τὴν δυναμένην αὐτὸν ἐξαρπάσαι τῶν τοῦ ἀδελφοῦ χειρῶν. 42 Καλέσασα γὰρ, φησὶ, τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ, ἰδοὺ Ησαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι ἀποκτεῖναί σε. 43 Νῦν οὖν ἄκουσόν μου τῆς φωνῆς. Ἡ πεῖρά σε διδασκέτω, φησὶν, ὅτι λυσιτελῆ σοι συμβουλεύω, καὶ καθάπερ ἤδη τῆς ἐμῆς φωνῆς ἀκούσας, τὰς μεγάλας ἐκείνας εὐλογίας ἐπεσπάσω παρὰ τοῦ πατρὸς, οὕτω δὴ καὶ νῦν ἄκουσόν μου τῆς φωνῆς, ἵνα διαφυγεῖν δυνηθῇς τοῦ ἀδελφοῦ τὰς χεῖρας. οὕτω γὰρ ἑαυτὸν ἐλευθερώσεις τῶν κινδύνων, κἀμὲ τοῦ πένθους. εἰκὸς γὰρ ἐκεῖνον, εἰ τοῦτο τολμήσειε, [σε μὴ τὸν ἐν φόνῳ] δίκην ἀπαιτηθῆναι, καὶ πανταχόθεν ἐμοὶ τῆς ὀδύνης " τὴν ἐπίτασιν αὔξεσθαι. Ἄκουσον οὖν μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι πρὸς τὸν ἀδελφόν μου Λάβαν εἰς Χαῤῥὰν,

44 Καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινὰς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, 45 Καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ, καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ " ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

Ἄπιθι, φησὶ, πρὸς τὸν ἀδελφόν μου Λάβαν, καὶ οἴκει ἐκεῖ μετ' αὐτοῦ. εἰκὸς γὰρ καὶ τὸν χωρισμὸν, καὶ τὸν ἐν μέσῳ χρόνον ἰσχῦσαί τι πλέον καὶ παραμυθήσασθαι τὸ πάθος, καὶ τὴν βασκανίαν λωφῆσαι, καὶ λήθην αὐτῷ γενέσθαι τῶν ὑπὸ σοῦ γεγενημένων περὶ τὴν τῆς εὐλογίας κλοπήν. καὶ ἐπιλάθηταί, φησιν, ἃ πεποίηκας αὐτῷ. εἰκότως, φησὶν, ὀργίζεται, δι' ὃ προσήκει ἐκκλῖναι αὐτοῦ τὴν ὁρμὴν, ὅπως ἀπὸ τοῦ χρόνου λήθης ἐγγενομένης αὐτῷ, μετὰ ἀσφαλείας λοιπὸν δυνηθῇς τὴν ἐνταῦθα οἴκησιν ποιήσασθαι. καὶ ἵνα μὴ δυσχεράνῃ ὁ παῖς ἐπὶ τὴν ἀλλοτρίαν ἀπιέναι καταναγκαζόμενος, ὅρα πῶς παγέν. κη.

παραμυθεῖται τὸν νέον τὴν ψυχήν, πρότερον μὲν εἰποῦσα, ἄπιθι πρὸς Λάβαν τὸν ἀδελφόν μου. μὴ γὰρ πρὸς ξένον τινά, φησί, κατεπείγω σε ἀπελθεῖν; πρὸς τὸν ἀδελφὸν τὸν ἐμόν, καὶ οἴκει μετ' αὐτοῦ ἡμέρας τινάς. βραχύν, φησί, χρόνον, ὀλίγας ἡμέρας, ἕως τοῦ παύσασθαι τὴν ὀργήν. νῦν γὰρ καὶ ἀκμάζει αὐτῷ, φησίν, ὁ θυμός, καὶ οὔτε τοῦ πατρὸς αἰδῶ τινα ποιεῖται, καθάπαξ τυραννούμενος ὑπὸ τοῦ πάθους, οὔτε τὴν ἀδελφικὴν στοργὴν ἐν διανοίᾳ λαμβάνει· ἀλλ' ἑνὸς μόνου γίνεται, τοῦ τὸν θυμὸν ἀποπληρῶσαι. καὶ ἀποστείλασα μεταπέμψομαί σε ταχέως, φησίν, ἐκεῖθεν. σὲ ἐπανάξω. ἄπιθι τοίνυν θαρρῶν, ὅτι ἀποστείλασα μεταπέμψομαί σε. περὶ γὰρ τοῦ παντός ἐστί μοι ὁ ἀγών, καὶ περὶ ἀμφοτέρων δέδοικα, μήποτε ἀποστερηθῶ ἀμφοτέρων. ὅρα σύνεσιν μητρός· πῶς οἴκοθεν κινουμένη, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ προρρήσει καὶ νῦν ὑπηρετουμένη, ἐκεῖνα συμβουλεύει τῷ παιδί, ἅπερ ὁ Χριστὸς παρῄνει τοῖς μαθηταῖς, συμβουλεύων μὴ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, ἀλλὰ διὰ τῆς ἀναχωρήσεως παραμυθεῖσθαι τοῦ πάθους τὴν μανίαν. τοῦτο τοίνυν καὶ αὕτη εἰσηγουμένη τῷ παιδί, πρότερον αὐτῷ συμβουλεύσασα καὶ παραθαρρύνασα αὐτοῦ τὸν λογισμόν, ὥστε μὴ δυσχερᾶναι πρὸς τὸν χωρισμόν, τότε λοιπὸν καὶ ἀφορμὴν εὔλογον τῇ ἀποδημίᾳ περιθεῖναι βούλεται, ὥστε μὴ προφανῶς δόξαι διὰ τὴν τοῦ ἀδελφοῦ βασκανίαν ἀναχωρεῖν, μηδὲ τὸν πατέρα γνῶναι τὴν ἀληθῆ τῆς ἀποδημίας αἰτίαν, μήτε τοῦ Ἡσαῦ τὴν κατ' αὐτοῦ ἀγανάκτησιν. 46 Καὶ εἰσελθοῦσα, φησί, πρὸς τὸν Ἰσαὰκ ἡ Ῥεβέκκα εἶπε, προσώχθισα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ. εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν; Σκόπει πῶς εὐπρόσωπον εὗρε πρόφασιν. ὅταν γὰρ ἡμῖν ἡ ἄνωθεν συμπαρέστη δεξιά, καὶ τὰ δυσχερῆ εὔκολα γίνεται, καὶ τὰ δύσκολα ῥᾴδια. ἐπεὶ οὖν καὶ αὕτη εἶχε τὸν τῶν ὅλων Θεὸν συναινοῦντα αὐτῆς τῇ γνώμῃ, πάντα τὰ δυνάμενα συντελεῖν τῇ οἰκονομίᾳ τῇ μηνυθείσῃ, καὶ τοῦ παιδὸς τῇ σωτηρίᾳ ὑπέβαλεν αὐτῆς τῇ διανοίᾳ. προσώχθισα, φησί, τῇ ζωῇ διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ. εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν; ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τῶν γυναικῶν τοῦ Ἡσαῦ τὸ δύστροπον, καὶ ὅτι πολλῆς ἀηδίας αὐτοῖς ὑπόθεσις γεγόνασι. καὶ γὰρ ἀνωτέρω διηγήσατο ἡμῖν ἡ θεία γραφή, ὅτι ἔλαβεν ἀπὸ τῶν Χετταίων καὶ ἀπὸ τῶν Εὐαίων γυναῖκας ὁ Ἡσαῦ, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. τοῦτο οὖν αὐτὸ ὑπομνῆσαι αὐτὸν βουλομένη μονονουχὶ ταῦτά φησι πρὸς αὐτόν, οἶδας ὅπως μοι τὴν ζωὴν πικρὰν πεποιήκασιν αἱ γαμεταὶ τοῦ Ἡσαῦ, καὶ ὅπως διὰ τὴν τούτων μοχθηρίαν λοιπὸν πρὸς πάσας ἀπεχθῶς ἔχω τὰς θυγατέρας τῶν υἱῶν Χέτ, καὶ ἅπαν τὸ ἔθνος δι' ἐκείνας μεμίσηκα. εἰ τοίνυν συμβαίη καὶ τὸν Ἰακὼβ ἐκ τούτων ἀγαγέσθαι γυναῖκα, ποία μοι λοιπὸν ἔσται σωτηρίας ἐλπίς; ἵνα τί γάρ μοι τὸ ζῆν; εἰ γὰρ ἐκείνας ἐνεγκεῖν οὐκ ἰσχύομεν, εἰ καὶ οὗτος φθάσει ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης λαβεῖν γυναῖκα, τὰ τῆς ζωῆς ἡμῖν οἴχεται. ἀκούσας δὲ ταῦτα ὁ Ἰσαάκ, καὶ εἰς ὑπόμνησιν ἐλθὼν τῆς ἐκείνων κακίας,

γέν. κη.

1 Προσκαλεσάμενος τὸν Ἰακὼβ εὐλόγησέ, φησιν, αὐτόν, καὶ ἐνετείλατο αὐτῷ λέγων, οὐ λήψῃ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων· 2 Ἀλλ' ἀναστὰς πορεύου εἰς τὴν Μεσοποταμίαν εἰς τὸν οἶκον τοῦ πατρὸς τῆς μητρός σου, καὶ λαβὲ σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων τοῦ ἀδελφοῦ τῆς μητρός σου.

Καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ βουλόμενος προθυμότερον αὐτὸν ἐργάσασθαι περὶ τὴν ἀποδημίαν, καὶ τὰς παρ' αὐτοῦ εὐλογίας πάλιν προστίθησι, καί φησιν· 3 Ὁ δὲ Θεός μου εὐλογήσαι σε καὶ αὐξήσαι σε καὶ πληθύναι σε, καὶ ἔσῃ εἰς συναγωγὴν ἐθνῶν, 4 Καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σὲ κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ Θεὸς τῷ Ἀβραάμ.

Ὅρα τὸν δίκαιον τοῦτον, ὅπως προαναφωνεῖ αὐτῷ ἅπαντα, καὶ ἱκανὰ αὐτῷ ἐφόδια πρὸς παραμυθίαν δίδωσι, προμηνύων αὐτῷ καὶ τὴν ἐπάνοδον καὶ τῆς γῆς τὴν κληρονομίαν, καὶ ὅτι οὐ μόνον εἰς πλῆθος ἐπιδώσει, ἀλλὰ καὶ συναγωγὰς ἐθνῶν ἐκ τοῦ σπέρματος αὐτοῦ ἐξελεύσεσθαι. Ταῦτα ἀκούσας ὁ παῖς ἐπλήρου τὰ δόξαντα τῷ πατρί, καὶ ἐπορεύετο εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν τῆς μητρὸς ἀδελφόν. ἀλλὰ πάλιν ὁ Ἡσαῦ τοῦτο μαθών, καὶ ὅτι εὐλογηθεὶς παρὰ τοῦ πατρὸς ὁ Ἰακώβ, ἐντολὰς ἔλαβε, μὴ λαβεῖν γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ᾽ ὥρμησεν εἰς τὴν Μεσοποταμίαν, ὥσπερ διορθῶσαι βουλόμενος τὸ οἰκεῖον πταῖσμα, καὶ ἐξευμενίσασθαι τὸν πατέρα, 9 Πορευθείς, φησιν, ἔλαβε γυναῖκα πρὸς ταῖς γυναιξὶν αὐτοῦ, θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ. Εἶδες, ἀγαπητέ, μεθ᾽ ὅσης συνέσεως ἡ φιλόστοργος αὕτη μήτηρ ἐξήρπασε τῶν κινδύνων τὸν Ἰακώβ, πρέπον σχῆμα ἐπιθεῖσα τῇ ἀποδημίᾳ, καὶ οὔτε τοῦ Ἡσαῦ τὴν κακίαν ἐξεφώνει, οὔτε τῷ πατρὶ τὴν αἰτίαν δήλην ἐποίησεν, ἀλλὰ καὶ πρὸς τὸν παῖδα κατάλληλον ἐποιήσατο τὴν συμβουλήν, ἵνα προτρέψασθαι δυνηθῇ διὰ τοῦ φόβου καταδέξασθαι τὰ παρ᾽ αὐτῆς λεγόμενα, καὶ τῷ πατρὶ ἁρμόζουσαν γνώμην εἰσηγήσατο. ὅθεν καὶ ἐπιδραμὼν ὁ δίκαιος τοῖς ῥηθεῖσι παρ᾽ αὐτῆς, ἐφοδιάσας ταῖς παρ᾽ ἑαυτοῦ εὐλογίαις τὸν Ἰακὼβ ἐξέπεμψεν. ἀλλ᾽ εἰ δοκεῖ, καὶ μὴ ἀπεκάμετε, ἴδωμεν ὅπως τὴν ἀποδημίαν ποιεῖται ὁ Ἰακώβ. οὐ μικρὰ γὰρ καὶ ἐντεῦθεν καρπώσασθαι δυνησόμεθα, ἐὰν προσέχωμεν. καὶ γὰρ φιλοσοφίας ἁπάσης διδασκαλίαν περιέχει τῶν δικαίων ἡ διαγωγή. ὅρα γοῦν ἐνταῦθα τὸν νέον τοῦτον, τὸν ἐπὶ τῆς οἰκίας τραφέντα, τὸν οὐχ ὁδοιπορίας πεῖραν εἰληφότα ποτέ, οὐ τῆς ἐν ξένῃ διατριβῆς, οὐχ ἑτέρας τινὸς κακουχίας, ὅπως ἅπτεται τῆς ὁδοιπορίας, καὶ μάνθανε τῆς φιλοσοφίας τὴν ὑπερβολήν.

10 Ἐξῆλθε, φησιν, Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥάν,

11 Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ. ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ.

Εἶδες ἄφατον φιλοσοφίαν· εἶδες πῶς οἱ παλαιοὶ τὰς ὁδοιπορίας ἐποιοῦντο. ὁ γὰρ ἐν οἰκίᾳ τραφεὶς (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) τοσαύτης ἀπολαύσας θεραπείας (ἄπλαστος γάρ, φησιν, οἰκῶν οἰκίαν) ἀποδημεῖν μέλλων, οὐχ ὑποζυγίων ἐδεήθη, οὐκ ἀκολούθων, οὐκ ἐφοδίων· ἀλλ᾽ ἀποστολικὸν ἤδη μιμούμενος τρόπον, οὕτως ἥπτετο τῆς ὁδοῦ. * ὁ ἥλιος, φησιν, ἦν πρὸς δυσμάς, καὶ ἔνθα κατελήφθη, ἐκεῖ ἐκάθευδε. λαβών, φησι, λίθον ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ. ὅρα τοῦ παιδὸς τὴν ἀνδρείαν. τῷ λίθῳ ἀντὶ προσκεφαλαίου ἐχρήσατο, καὶ ἐπὶ τοῦ ἐδάφους ἐκάθευδε. διὰ τοῦτο, ἐπειδὴ φιλόσοφον εἶχε ψυχήν, καὶ φρόνημα ἀνδρεῖον, καὶ πάσης φαντασίας βιωτικῆς ἀπήλλακτο, καὶ τῆς ὄψεως ἠξιώθη ἐκείνης τῆς θαυμαστῆς. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ ψυχὴν εὐγνώμονα, καὶ τῶν παρόντων οὐ πολὺν ποιουμένην λόγον, πολλὴν περὶ αὐτὴν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν. ὅρα τοίνυν τὸν δίκαιον τοῦτον ἐπὶ τοῦ ἐδάφους κείμενον, καὶ ὀπτασίαν ὁρῶντα, μᾶλλον δὲ τῆς τοῦ Θεοῦ ὀπτασίας ἀξιούμενον. Ἐνυπνιάσθη γάρ, φησι, 12 Καὶ ἰδοὺ κλίμαξ ἦν ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον ἐπ᾽ αὐτῆς. — 13 Ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς, καὶ εἶπεν, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ.

Θέα μοι ἐνταῦθα τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν κηδεμονίαν. ἐπειδὴ γὰρ ἑώρα κατὰ τὴν συμβουλὴν τῆς μητρὸς διὰ τὸν τοῦ ἀδελφοῦ φόβον τὴν ἀποδημίαν καταδεξάμενον, καὶ καθάπερ ἀλήτην τινὰ οὕτω τὴν ″ὁδοιπορίαν ποιούμενον, * καὶ οὐδαμόθεν ″οὐδεμίαν ἔχοντα παραμυθίαν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὴν ἄνωθεν συμμαχίαν ἐπιρρίψαντα, εὐθὺς ἐν προοιμίοις τῆς ὁδοῦ νευρῶσαι αὐτοῦ τὴν προθυμίαν βουλόμενος ἐπιφαίνεται αὐτῷ, καί φησιν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ τοῦ πατρός σου. ἐγὼ καὶ τὸν πατριάρχην καὶ τὸν πατέρα τὸν σὸν εἰς τοσαύτην αὐξηθῆναι περιφάνειαν πεποίηκα. μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε ὅτι ἐγὼ, ὁ ἐκείνοις τὰς ὑποσχέσεις πληρώσας, καί σε τῆς ἐμῆς ἀξιώσω προνοίας. μὴ οὖν φοβοῦ, ἀλλὰ θάρσει, καὶ πᾶσαν δειλίαν ἀποστάμενος πίστευε τοῖς παρ' ἐμοῦ σοι λεγομένοις. Καὶ γὰρ τὴν γῆν, ἐφ' ἧς σὺ καθεύδεις, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου, 14 Καὶ ἔσται τὸ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς θαλάσσης. Μὴ νομίσῃς, φησὶν, ἐπειδὴ ἐπὶ τῆς ἀλλοτρίας νῦν πορεύῃ, ″ἀπεστερῆσθαι τῆς γῆς ταύτης, ἔνθα ἐτέχθης, ἔνθα ἐτράφης, ἔνθα ηὐξήθης. καὶ γάρ σοι αὐτὴν παρέξω, καὶ τῷ σπέρματί σου, ὅπερ ὡς τὴν ἄμμον τῆς θαλάσσης αὐξηθῆναι παρασκευάσω, Καὶ πλατυνθήσεται πρὸς θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἀνατολάς,

Ἀντὶ τοῦ, πανταχοῦ ἐκταθήσεται, Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Ὅρα πῶς ἤδη πάντα αὐτῷ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον μηνύει. οὕτω γὰρ ἔθος τῷ τῶν ὅλων δεσπότῃ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο ποιεῖν· ὑπισχνεῖσθαι μὲν, μὴ παραχρῆμα δὲ τὰς ὑποσχέσεις εἰς ἔργον ἄγειν, ἀλλὰ γυμνάζειν τῶν δικαίων τὴν ὑπακοὴν καὶ τὴν πολλὴν ὑπομονὴν, καὶ οὕτω μετὰ πολλῆς τῆς δαψιλείας πληροῦν τὰ ἐπαγγελθέντα. Εἶτα ἐπειδὴ ὑπέσχετο αὐτῷ τὰ μέλλοντα μετὰ ταῦτα γενήσεσθαι, ἐδεῖτο δὲ ὁ δίκαιος οὐ τῆς τυχούσης παρακλήσεως καὶ ἐν τοῖς αὐτῷ μάλιστα προκειμένοις, ὅρα τὸν ἀγαθὸν δεσπότην, πῶς καὶ τὰ μέλλοντα ὑπισχνεῖται, καὶ δι' ὧν νῦν πρὸς αὐτὸν ἐπιδείκνυται περὶ ἐκείνων θαρρεῖν παρασκευάζει. μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ὅτι ταῦτα μόνα σοι ὑπισχνοῦμαι, 15 Ἀλλὰ καὶ νῦν μετὰ σοῦ εἰμι διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς. Μὴ τοίνυν νομίσῃς μόνος τὴν ὁδοιπορίαν ποιεῖσθαι· ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ, πάντα σοι τὰ δυσχερῆ ἐξευμαρίζοντα, καὶ τὰ δύσκολα εὔκολα κατασκευάζοντα. Εἶτα ἐπιτείνων αὐτῷ τὴν παραμυθίαν, ἤδη προμηνύει αὐτῷ καὶ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον. Καὶ ἀποστρέψω σε, φησὶν, εἰς τὴν γῆν ταύτην. Μὴ δείσῃς ὡς ἐπὶ τῆς ἀλλοτρίας λοιπὸν διάξων. καὶ γὰρ ἐπανάξω σε εἰς ταύτην τὴν γῆν, Καὶ οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι.

Οὐ περιόψομαί σε, φησὶν, ἀλλὰ ταῦτα πάντα, ἅπερ ὑπεσχόμην, εἰς ἔργον ἐλθεῖν παρασκευάσω. πῶς ἄν τις κατ' ἀξίαν ἐκπλαγείη τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν ὑπερβάλλουσαν συγκατάβασιν; ὅρα πόσον ὄγκον ὑποσχέσεων ἐποιήσατο πρὸς τὸν δίκαιον, καὶ ὅπως αὐτοῦ τὸ φρόνημα διανέστησε. καὶ ἐπειδὰν θαυμάσῃς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἐννόει καὶ τοῦ δικαίου τούτου τὴν εὐγνωμοσύνην, καὶ ὅτι μετὰ τοσαύτας ὑποσχέσεις εἴκοσιν ἐτῶν ἀριθμὸν ταλαιπωρηθεὶς παρὰ τῷ Λάβαν οὐκ ἐδυσχέρανεν, οὐκ ἐνάρκησε πρὸς τὸ μῆκος τοῦ χρόνου· ἀλλὰ πάντα γενναίως ἔφερεν, ἀναμένων τῶν ὑποσχέσεων τὸ τέλος, καὶ εἰδὼς ὡς οὐχ οἷόν τε τὰ παρὰ τοῦ Θεοῦ ″ῥηθέντα διαπεσεῖν, καὶ μάλιστα ἐπειδὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδάζωμεν, τὴν πίστιν, τὴν ὑπομονὴν, τὸ τοῖς μήπω γεγονόσιν, ἐπειδὰν ὁ δεσπότης ὑπόσχηται, ὡς ἤδη εἰς ἔργον ἐξελθοῦσι θαρρεῖν. τοῦτο γὰρ ἀληθῶς πίστις, τὸ μὴ τοῖς ὁρωμένοις προσέχειν, κἂν ἐναντία ᾖ τὰ γινόμενα τῇ ὑποσχέσει, ἀλλὰ θαρρεῖν τῇ δυνάμει τοῦ ἐπαγγειλαμένου. τέως δὲ ἴδωμεν τοῦ δικαίου τούτου τὴν εὐγνωμοσύνην. 16 Καὶ ἐξηγέρθη, φησὶν, Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, ὅτι ἐστὶ κύριος ἐν τῷ τόπῳ τού-

γρ. ὁδὸν
″ καὶ μόνον ἀπειλημμένον
γρ. οὐδαμοῦ

γρ. [illegible]

γρ. [illegible]

τῳ. ἐγὼ δὲ οὐκ ᾔδειν· 17 Καὶ ἐφοβήθη καὶ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. Καταπλαγείς, φησιν, ὁ δίκαιος τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐφοβήθη, καὶ εἶπεν, οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος τοῦ Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. οὗτος ὁ τόπος λοιπὸν ἐμοὶ οἶκος τοῦ Θεοῦ νενόμισται. τοσαύτης οὖν ἐπιφανείας ἀξιωθεὶς, καὶ αὐτὴν, ὡς εἰπεῖν, τὴν πύλην τοῦ οὐρανοῦ θεασάμενος, δίκαιος ἂν εἴη τὴν ὀφειλομένην εὐχαριστίαν ἀνενεγκεῖν ἐνταῦθα τῷ δεσπότῃ. 18 Καὶ ἀνέστη Ἰακὼβ, καὶ ἔλαβε τὸν λίθον, ὃν εἶχε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς, 19 Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, οἶκος Θεοῦ. Ἕτερον γὰρ ἦν ὄνομα τῇ πόλει τὸ πρότερον. ἐπειδὴ τῶν μεγάλων ἠξιώθη διὰ τῆς ὀπτασίας, τῇ προσηγορίᾳ τὴν μνήμην ἐναποτίθεσθαι βούλεται τῷ τόπῳ, καὶ ἐπίσημον εἰς τὸ ἑξῆς ἐργάσασθαι. καὶ τὸν λίθον ἀντὶ τῆς στήλης στήσας, καὶ τὸ ἔλαιον ἐπιχέας (τοῦτο γὰρ αὐτὸν μόνον εἰκὸς ἐπιφέρεσθαι, ἅτε οὕτως ὁδοιποροῦντα) εὐχὴν προσάγει τῷ φιλανθρώπῳ Θεῷ πάσης γέμουσαν φιλοσοφίας. καὶ εἰ βούλεσθε, καὶ αὐτῶν ἐπακούσωμεν τῶν ῥημάτων.

20 Ηὔξατο γὰρ, φησιν, εὐχὴν λέγων, ἐὰν ᾖ κύριος ὁ Θεὸς μετ' ἐμοῦ, καὶ φυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι. Ἐπειδὴ εἶπεν, ὅτι ἐγώ εἰμι μετὰ σοῦ, καὶ διαφυλάξω σε ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύῃ, διὰ τοῦτο καὶ αὐτός φησιν, εἰ ἐκεῖνά μοι ὑπάρξει, ἅπερ μοι ὑπέσχου. εἶτα καὶ αἴτησιν οἴκοθεν προσφέρει, λέγων,

Ἐὰν δῷ μοι κύριος ἄρτον καὶ ἱμάτιον περιβαλέσθαι. Οὐ πλοῦτον, οὐ περιουσίαν ᾔτησεν, ἀλλ' ἄρτον καὶ ἱμάτιον, τὸ μὲν εἰς τὴν τοῦ σώματος περιβολὴν, τὸ δὲ εἰς τροφὴν τῆς χρείας. σκόπει πῶς ἀποστολικὸν χαρακτῆρα διὰ τῆς αἰτήσεως ἡμῖν ᾐνίξατο. οὕτω πολλῆς ἔγεμε τῆς φιλοσοφίας τοῦ δικαίου τὸ φρόνημα. ὅπερ γὰρ ὁ Χριστὸς ἔλεγε, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἀργύριον, μηδὲ δύο χιτῶνας, τοῦτο οὗτος οὐδέπω παρ' οὐδενὸς διδαχθεὶς, ἀλλ' οἴκοθεν καὶ ἐκ τοῦ ἐγκειμένου τῇ φύσει τῇ ἡμετέρᾳ διδασκάλου ταῦτα μαθὼν, ἐπεζήτει παρὰ τοῦ δεσπότου αὐτῷ παρασχεθῆναι, ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. ἐὰν ταῦτά μοι, φησιν, ὑπάρξῃ ἐπὶ τῆς ἀλλοτρίας, 21 Καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, Καθάπερ ὑπέσχετο,

Ματθ. ι. θ.

Καὶ ἔσται κύριος ἐμοὶ εἰς Θεὸν, 22 Καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ, καὶ πάντων ὧν ἄν μοι δῷς δεκάτην ἀποδεκατώσω αὐτά σοι.

Ὅρα τοῦ δικαίου τὴν εὐγνωμοσύνην. τὴν αἴτησιν μὲν αἰτούμενος, οὐδὲν πολυτελὲς αἰτῆσαι κατεδέξατο, ἀλλ' ἄρτον καὶ ἱμάτιον· ὑπισχνούμενος δὲ τὰ παρ' ἑαυτοῦ τῷ δεσπότῃ, εἰδὼς αὐτοῦ τὸ φιλότιμον ἐν ταῖς δωρεαῖς, καὶ ὅτι ὑπερβαίνει ταῖς ἀντιδόσεσι τὰς ἐννοίας τὰς ἡμετέρας, φησὶ, καὶ τὴν στήλην ταύτην εἰς οἶκον Θεοῦ ἕξω, καὶ πάντων τῶν παρὰ σοῦ μοι χορηγουμένων τὰς δεκάτας ἀποδεκατώσω. εἶδες γνώμην φιλόθεον. οὔπω οὐδὲν ἔλαβε, καὶ ὑπισχνεῖται τῶν μελλόντων αὐτῷ δίδοσθαι τὰς δεκάτας τῷ Θεῷ προσοίσειν.

ΗΘΙΚΟΝ

Μὴ ἁπλῶς, ἀγαπητοὶ, παρατρέχωμεν τὰ εἰρημένα, ἀλλὰ ζηλώσωμεν ἅπαντες τοῦτον τὸν δίκαιον, τὸν ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μηδὲν βιωτικὸν αἰτῶμεν παρὰ τοῦ δεσπότου. οὐδὲ γὰρ περιμένει τὴν παρ' ἡμῶν ὑπόμνησιν, ἀλλὰ κἂν μὴ αἰτῶμεν, ἡμῖν τὰ πρὸς τὴν χρείαν δωρεῖται. Ἀνατέλλει γὰρ τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ πειθώμεθα αὐτῷ παραινοῦντι καὶ λέγοντι, Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ὁρᾷς ὅτι αὐτὸς ἐκεῖνα ἡμῖν ἡτοίμασε παρασχεῖν, καὶ ταῦτα ἐν προσθήκης μέρει δοῦναι ἐπαγγέλλεται. μὴ τοίνυν ἅπερ ἐν προσθήκης μέρει λαμβάνειν μέλλεις, ταῦτα ὡς προηγούμενα αἴτει·

Ματθ. ε. με.

Ματθ. ϛ. λγ.

μηδὲ ἀντιστρέψωμεν τὴν τάξιν, ἀλλὰ ζητῶμεν ἐκεῖνα, καθὼς ἐπέταξεν, ἵνα κἀκείνων καὶ τούτων ἐν ἀπολαύσει γενώμεθα. διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς τῆς εὐχῆς ῥήμασιν ὅρους ἡμῖν τῆς κοινωνίας τιθεὶς, μέχρι τίνος δεῖ τὴν περὶ τῶν βιωτικῶν αἴτησιν ποιεῖσθαι, τὰ ῥήματα ἐκεῖνα λέγειν ἡμᾶς ἐκέλευσε, τὰ πάσης φιλοσοφίας γέμοντα, Ματθ. ϛ. ια. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, ἀντὶ τοῦ, τὴν τῆς ἡμέρας τροφήν· ὅπερ ὁ δίκαιος οὗτος οὐδὲν τούτων ἀκηκοὼς ηὔχετο λέγων, ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. μὴ τοίνυν ἕτερόν τι τῶν βιωτικῶν αἰτῶμεν παρ' αὐτοῦ. ἀνάξιον γὰρ σφόδρα παρὰ τοῦ οὕτω φιλοτίμου καὶ τοσαύτην δυνάμεως περιουσίαν κεκτημένου ταῦτα αἰτεῖν, ἃ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ πολλὴν ἔχει τὴν μεταβολὴν καὶ τὴν μετάπτωσιν. τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν δόξαν ἀνθρωπίνην· ἀλλ' αἰτῶμεν τὰ [ἀμείνω καὶ] ἀεὶ μένοντα, τὰ διαρκῆ καὶ μεταβολὴν οὐκ ἐπιστάμενα. καὶ εἰδότες τοῦ ἡμετέρου δεσπότου τὴν ἀγαθότητα, μηδένα ποιώμεθα λόγον τῶν παρόντων, ἀλλὰ πᾶσαν ἡμῶν τὴν σπουδὴν εἰς τὸν τῶν ἐπουρανίων πόθον μεταστήσωμεν. εἰ γὰρ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, πολλῷ μᾶλλον τοὺς ἀπεχομένους τῆς πονηρίας, καὶ τὴν ἀδικίαν φεύγοντας οὐ περιόψεται, ἀλλὰ πολλῆς ἀξιώσει τῆς προνοίας, καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐν ἅπασι παρέξει. ὅπερ εἰδότες, ἀγαπητοὶ, μὴ ἀπιστῶμεν ταῖς τοῦ Θεοῦ ὑποσχέσεσι, μηδὲ ἐναντία ὧν ἐκέλευσε διαπραττώμεθα. τὰ γὰρ νῦν παρ' ἡμῶν γινόμενα οὐδὲν ἀπιστούντων διενήνοχεν. ὅταν γὰρ αὐτὸς μὲν ἐπαγγέλληται τὰ μέλλοντα, ἡμεῖς δὲ μὴ βουλοίμεθα θαῤῥεῖν ἐκείνοις, ἀλλὰ τοῖς παροῦσιν ὦμεν προσηλωμένοι, ποῖον ἕτερον δεῖγμα ἀπιστίας λοιπόν τις ἐπιζητήσειε, τῶν πραγμάτων αὐτῶν λαμπρὰν ἀφιέντων φωνήν; καὶ πάλιν αὐτοῦ κελεύοντος μηδὲν ἡμᾶς ζητεῖν παρ' αὐτοῦ τῶν ἐπικήρων τούτων καὶ βιωτικῶν, ἀλλ' ἐκείνων μᾶλλον, ἡμεῖς ἀπ' ἐναντίας αὐτῷ ἐρχόμενοι, ἅπερ εἶπε μὴ ζητεῖν, ἐκεῖνα ζητοῦμεν, καὶ ἅπερ εἶπε ζητεῖν, ἐκεῖνα οὐ ζητοῦμεν, καὶ ταῦτα διαπραττόμενοι, καὶ οὕτω ῥαθύμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες, καὶ παροργίζοντες τὸν ἥμερον καὶ πρᾶον δεσπότην, ὥσπερ ἐπιλαθόμενοι τῶν παρ' ἡμῶν γινομένων, τὴν αἰτίαν ζητοῦμεν τῆς καθ' ἡμῶν ἀγανακτήσεως, καὶ τίνος ἕνεκεν ἡμᾶς πολλάκις περιορᾷ ποικίλοις πειρασμοῖς περιπίπτοντας· καὶ οὐκ ἐννοοῦμεν τὸ μέγεθος τῶν ἡμῖν ἡμαρτημένων, ἀλλ' ἑκόντες ἑαυτοὺς παραλογιζόμεθα. διὸ, παρακαλῶ, πάντα ταῦτα ἀποσεισάμενοι, μηδὲν ἕτερον τῆς οἰκείας σωτηρίας προτιμῶμεν. Ματθ. ιϛ. κϛ. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν μὲν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; καὶ τὰ περιττὰ τῶν χρημάτων ἤδη κενώσωμεν εἰς τοὺς δεομένους, καὶ πολλὴν ἐν ἅπασι τὴν φιλοσοφίαν ἐπιδειξώμεθα τῆς ματαίας δόξης καταφρονοῦντες, τὸν ἀνθρώπινον τῦφον καταπατοῦντες, καὶ πολλὴν τὴν ἀγάπην πρὸς ἀλλήλους ἐπιδεικνύμενοι· ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαῦσαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νε. ΚΑΙ ΕΙΠΕ ΛΑΒΑΝ ΤΩ ΙΑΚΩΒ, ΑΔΕΛΦΟΣ ΜΟΥ εἶ σύ· οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου.

Ἱκανῶς ἡμᾶς χθὲς τὰ προοίμια τῆς ἀποδημίας τοῦ δικαίου τῆς φιλοσοφίας αὐτοῦ τὸ μέγεθος ἐπαίδευσε, δι' ἣν αἰτίαν τοσαύτης τῆς ὑποσχέσεως ἠξιώθη παρὰ τοῦ Θεοῦ. θαρσήσας πάλιν, διὰ τῆς αἰτήσεως καὶ τῆς εὐχῆς, ἣν ἐποιήσατο πρὸς τὸν τῶν ὅλων Θεόν, ἀρκοῦσαν ἡμῖν ἅπασι διδασκαλίαν παρεῖχεν, εἰ βουληθείημεν πρὸς μίμησιν διεγερθῆναι τῆς ἀρετῆς τοῦ δικαίου. καὶ γὰρ θαυμάσαι ἄξιον ὅπως καὶ τὴν δύναμιν εἰδὼς τοῦ ὑποσχομένου, καὶ τῶν ἐπαγγελθέντων αὐτῷ τὸ μέγεθος ἀκηκοώς, οὐδὲ οὕτω μέγα τι καὶ ὑπέρογκον αἰτῆσαι κατεδέξατο, ἀλλ' ἐκεῖνα μόνον αἰτήσας, ἅπερ χθὲς ἠκούσατε, ὅσα πρὸς τὴν ἐφήμερον αὐτῷ τροφὴν ἀρκεῖν ἠδύνατο, καὶ τὴν τοῦ σώματος περιβολὴν παρέχειν, ὑπισχνεῖται, εἰ τὴν ἐπάνοδον αὐτῷ τὴν εἰς τὰ οἰκεῖα χαρίσαιτο, καθάπερ ὑπέσχετο, πάντων αὐτῷ δεκάτας δώσειν, ὧν ἂν λάβοι παρ' αὐτοῦ· διὰ πάντων δεικνὺς αὐτοῦ τὸ φιλόθεον, καὶ αὐτὸν ἐπιγραφόμενος τῶν ἁπάντων χορηγόν, καὶ διδάσκων ἡμᾶς μόνῳ αὐτῷ πάντων εἰδέναι χάριν. ἤδει γὰρ ὁ δίκαιος, εἰδὼς τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὴν ὑπερβολήν, καὶ ἐννοῶν τοῦτο ἐξ ὧν εἰς τὸν αὐτοῦ πατέρα ἐπεδείξατο, ὅτι καὶ αὐτὸν ἐν πολλῇ καταστήσει τῇ περιουσίᾳ. καὶ τούτων μὲν αὐτὸς οὐδὲν αἰτεῖ παρὰ τοῦ δεσπότου, οὐδὲ ἀνέχεται περὶ τούτων ἱκεσίαν προσαγαγεῖν, ἀλλὰ δι' ὧν ὑπέσχετο τὰς δεκάτας δώσειν, ἔδειξεν ὅπως ἐν ἅπασι θαρρεῖ τῇ τοῦ ὑποσχομένου δυνάμει. διὰ γὰρ τοῦτο καὶ αὐτός, ἡνίκα αὐτῷ διελέγετο, ἔλεγεν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ Ἰσαὰκ τοῦ πατρός σου. μὴ φοβοῦ. ἐννόησον, φησιν, ὅτι καὶ ὁ πατριάρχης, καθάπερ ξένος καὶ ἄγνωστος, εἰς τὴν γῆν ταύτην παραγεγονὼς εἰς τοσαύτην ἦλθε περιφάνειαν, ὡς ἐν τοῖς ἁπάντων εἶναι στόμασι. καὶ τὸν πατέρα δὲ τὸν σὸν λογίζου, ὅτι ἐν ἐσχάτῳ γήρᾳ τῷ πατρὶ τεχθείς, οὕτως ηὐξήθη, ὡς ἐπίφθονον γενέσθαι τοῖς ἐγχωρίοις αὐτόν. ταῦτα οὖν καὶ αὐτὸς προσδοκῶν, πάντα φόβον καὶ ἀγωνίαν ἀποσεισάμενος ἔχου τῆς ἀποδημίας. ταῦτα ὁ δίκαιος λογισάμενος, καὶ οὐ πρὸς τὴν ἐν τῷ παρόντι κατάστασιν ἀπιδὼν (οὐδὲν γὰρ ὅλως ἐπεφέρετο· πῶς γὰρ μόνος ὢν καὶ ὁδοιπορεῖν ἀναγκαζόμενος;) ἀλλ' ἤδη τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὴν μετ' οὐ πολὺ μέλλουσαν αὐτῷ ἔσεσθαι εὐπορίαν προορῶν, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ μηδέπω λαβὼν ὑπισχνεῖται, ἀξιοπιστοτέραν αὐτῆς τῆς πείρας τῶν πραγμάτων εἶναι νομίζων τὴν ἐπαγγελίαν τοῦ δεσπότου. οὐδὲ γὰρ οὕτω τοῖς ὁρωμένοις καὶ ἐν χερσὶ κρατουμένοις θαρρεῖν ὀφείλομεν, ὡς ταῖς παρὰ τοῦ Θεοῦ ὑποσχέσεσι, κἂν μὴ παρ' αὐτὸν τὸν καιρὸν εἰς ἔργον ἐκβῶσι. θάρσος τοίνυν μέγιστον λαβὼν ἐκ τῶν παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντων ὁ δίκαιος, εἴχετο τῆς ἀποδημίας. πῶς γὰρ οὐκ ἔμελλε θαρρεῖν ἀκούσας, ὅτι ἰδοὺ ἐγὼ μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ πάσῃ οὗ ἐὰν πορεύσῃ, καὶ πληθυνῶ τὸ σπέρμα σου, καὶ ἀποστρέψω σε πάλιν εἰς τὴν γῆν ταύτην, καὶ οὐ μή σε ἐγκαταλίπω, ἕως οὗ πάντα εὐδοκήσω εἰς ἔργον ἀγαγεῖν τὰ ἐπαγγελθέντα; ἀλλ' ὅπερ χθὲς ἔλεγον, ἐννόει καὶ τοῦ Θεοῦ τὴν εὐμήχανον σοφίαν, καὶ τοῦ δικαίου τούτου τὴν πολλὴν ὑπομονὴν καὶ εὐγνωμοσύνην. μετὰ γὰρ ταύτας τὰς ὑποσχέσεις ἀναστάς, ὥρμησεν ἐπὶ τὴν Χαρράν, καὶ πάλιν ἀλήτου καὶ ξένου τρόπον ποιεῖται τὴν ἀποδημίαν, καὶ διὰ πάντων ἀπολαύει τῆς ἄνωθεν εὐνοίας, τοῦ φιλανθρώπου Θεοῦ ἅπαντα αὐτῷ προοδοποιοῦντος, καὶ τὴν οἰκείαν ὑπόσχεσιν διὰ τῶν ἔργων ἐπιδεικνυμένου. ὁ γὰρ εἰπών, ὅτι μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ, οὗ ἐὰν πορεύσῃ, οὗτος ὡδήγησε καὶ ἤγαγε τὸν δίκαιον ἐπὶ τὸ φρέαρ τοῦ ὕδατος, ἔνθα ἐπότιζον τὰ ποίμνια οἱ ἐγχώριοι· παρ' ὧν πυθόμενος τὰ περὶ τοῦ Λάβαν τοῦ ἀδελ-

φοῦ τῆς μητρὸς αὐτοῦ, καὶ μαθὼν τὰ κατ' αὐτὸν ἅπαντα, εἶτα καὶ τὴν τούτου θυγατέρα καὶ τὰ ποίμνια θεασάμενος, ὁρῶν τε τοὺς ἐγχωρίους οὐ δυναμένους αὐτοὺς ἀρκέσαι πρὸς τὸ μετακινῆσαι τὸν λίθον τοῦ φρέατος, καὶ ποτίσαι τὰ πρόβατα, ἐπιδραμὼν οὗτος, ὅπερ ἐκεῖνοι ποιῆσαι οὐκ ἴσχυον, αὐτὸς ἀπὸ τῆς ἄνωθεν συμμαχίας δυναμούμενος, προφθάνει ταῖς εὐεργεσίαις τὸν Λάβαν, καὶ μετακινήσας τὸν λίθον ποτίζει τὰ πρόβατα, ἅπερ ἔνεμεν ἡ Ῥαχήλ. Εἶτα ἀσπασάμενος τὴν κόρην, καὶ γνωρίσας τίς τε εἴη, καὶ πόθεν παραγέγονεν, ἔμενεν ἐφ' ἑαυτοῦ. ἀλλ' ἐπειδὴ Θεὸς ἦν ὁ ἅπαντα τῷ δικαίῳ προοδοποιῶν, οὗτος καὶ τὴν κόρην διήγειρε μετὰ πολλοῦ τοῦ τάχους δραμεῖν καὶ ἀναγγεῖλαι ταῦτα τῷ πατρὶ, ὃς ἀδελφὸς ἐτύγχανε τῆς τούτου μητρὸς, καὶ διηγήσασθαι τήν τε εὐεργεσίαν τὴν παρ' αὐτοῦ γενομένην εἴς τε αὐτὴν καὶ τὰ πόμνια, καὶ ὅτι οὐ ξένος τίς ἐστιν οὐδὲ ἄγνωστος, ἀλλὰ τῆς ἀδελφῆς υἱός. σκόπει μοι, ἀγαπητὲ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως ἡμῖν ἅπαντα σαφῶς διηγεῖται, παιδεύουσα ἡμᾶς τῶν παλαιῶν τοὺς τρόπους, καὶ ὅσην ἐπεδείκνυντο τὴν προθυμίαν περὶ τὴν φιλοξενίαν. ἵνα γὰρ δείξῃ καὶ τῆς κόρης τὸ πρόθυμον, οὐχ ἁπλῶς εἶπεν, ὅτι ἀπῆλθε, καὶ ἀπήγγειλε τὰ γεγενημένα, ἀλλὰ δραμοῦσα, ἀντὶ τοῦ, μετὰ πολλῆς τῆς περιχαρείας. Εἶτα καὶ περὶ τοῦ Λάβαν, ὃς πατὴρ αὐτῆς ἐτύγχανε, φησὶν, ὅτι ταῦτα ἀκούσας παρὰ τῆς κόρης, ἔδραμε καὶ αὐτὸς εἰς συνάντησιν τοῦ Ἰακὼβ, καὶ ἀσπασάμενος αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ μαθὼν ὁ Λάβαν ἅπαντα παρ' αὐτοῦ μετὰ ἀκριβείας, γεν. κθ. 14 Εἶπε, φησὶν, αὐτῷ, ἐκ τῶν ὀστέων μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. Τῆς ἀδελφῆς, φησὶ, τῆς ἐμῆς τυγχάνων υἱὸς, οὐδὲν ἕτερον, ἢ σὰρξ ἡμετέρα τυγχάνεις, καὶ ἀδελφὸς ἡμέτερος. 15 Καὶ ἦν μετ' αὐτοῦ, φησὶ, μῆνα ἡμερῶν.

Λοιπὸν ὡς ἐν οἰκίᾳ ἰδίᾳ οὕτω διῆγεν ὁ δίκαιος, ἐν ἀδείᾳ τυγχάνων καὶ πάσης ἀπηλλαγμένος φροντίδος. ἀλλ' ἐπειδὴ Θεὸς ἦν ὁ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν τῷ δικαίῳ τούτῳ, καὶ ἐν ἅπασιν αὐτῷ τὴν παρ' ἑαυτοῦ συνεργίαν χαριζόμενος, οὗτος καὶ τοῦ Λάβαν τὴν προθυμίαν διήγειρε. καὶ ὁρῶν τοῦ ἀνδρὸς τὴν ἐπιείκειαν, φησὶ πρὸς αὐτὸν, Ὅτι γὰρ ἀδελφός μου εἶ σὺ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου ἐστίν. Ὅρα πῶς μὲν αὐτὸς ἐπεζήτησεν οὐδὲν, ὁ δὲ Λάβαν μόνον ἀφ' ἑαυτοῦ τοῦτο προτίθησι τῷ δικαίῳ. καὶ σκόπει μοι πῶς, ἐπειδὰν ἀπὸ τῆς ἄνωθεν χειρός τις βοηθῆται, πάντα αὐτῷ κατὰ ῥοῦν πρόεισιν. οὐ δουλεύσεις μοί, φησὶ, δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου ἐστί. καί τοι ἀγαπητῶς εἶχεν ὁ μακάριος οὗτος καὶ τὸ ἁπλῶς τῆς ἐφημέρου τροφῆς ἀπολαύειν, καὶ πολλὴν καὶ ὑπὲρ τούτου ἤθελεν αὐτῷ χάριν ἔχειν. ἀλλ' ἐπειδὴ αὐτὸς πολλὴν τὴν ἐπιείκειαν ἐπεδείξατο, προλαβὼν ὁ Λάβαν μισθὸν αὐτῷ τελέσειν ὑπισχνεῖται, ὃν ἂν αὐτὸς προθῇ. τί οὖν ὁ δίκαιος; ὅρα μοι καὶ ἐνταῦθα τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολὴν, καὶ πῶς οὐδεμίαν ἔχει περὶ χρημάτων συλλογῆς ἐπιθυμίαν, οὐδὲ καθάπερ μισθωτός τις ἀκριβολογεῖται πρὸς τὸν Λάβαν, καὶ ἕτερόν τι ἀπαιτεῖ, ἀλλὰ μεμνημένος τῆς μητρὸς, καὶ τῶν ἐντολῶν τοῦ πατρὸς, καὶ τῆς οἰκείας σωφροσύνης δεικνὺς τὴν ὑπερβολὴν, φησὶ πρὸς τὸν Λάβαν, 18 Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας. Ταύτην γὰρ ἐξ ἀρχῆς θεασάμενος ἐπὶ τοῦ φρέατος ἠγάπησα. καὶ ὅρα εὐγνωμοσύνην ἀνδρός. ἑαυτῷ καὶ τὸν χρόνον ὁρίζει, καὶ διὰ τοῦ χρόνου τῶν ἐτῶν ἱκανὴν βάσανον τῆς οἰκείας σωφροσύνης παρέχει. καὶ τί θαυμάζεις, ἀγαπητὲ, ἀκούων ὅτι ἑπτὰ ἔτη δουλεύειν ὑπέσχετο ὑπὲρ τῆς ἀγαπωμένης κόρης; ἵνα γὰρ δείξῃ ἡ θεία γραφὴ, ὅπως ὁ πόθος ὁ πολὺς ἐπετέμετο καὶ τὸν κάματον αὐτῷ καὶ τοῦ χρόνου τὸ μῆκος, φησὶ, 20 Καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη, καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾷν αὐτὸν αὐτήν. Ὁ τῶν ἑπτά, φησιν, ἐτῶν ἀριθμὸς ὀλίγαι ἡμέραι ἐνομίζοντο διὰ τὴν ἀγάπην τὴν ὑπερβάλλουσαν τὴν περὶ τὴν κόρην. ὅταν γὰρ τρωθῇ τις τῷ πόθῳ τῆς ἀγάπης, οὐδὲν ὁρᾷ τῶν δυσχερῶν, ἀλλ' ἅπερ ἂν ᾖ κινδύνων μεστά, καὶ πολλῆς ἑτέρας ταλαιπωρίας, πάντα κούφως φέρει, πρὸς ἓν ὁρῶν μόνον, ὥστε τὸν οἰκεῖον ἀποπληρῶσαι πόθον.

ΗΘΙΚΟΝ

Ἀκούωμεν οἱ ῥάθυμοι καὶ ἀναπεπτωκότες, οἱ πολλὴν περὶ τὸν δεσπότην ἀγνωμοσύνην ἐπιδεικνύμενοι. Εἰ γὰρ ὁ δίκαιος οὗτος διὰ τὸν τῆς κόρης πόθον ἑπτὰ ἐτῶν ἀριθμὸν δουλεῦσαι κατεδέξατο, καὶ τὴν ἀπὸ τῆς ποιμενικῆς ταλαιπωρίαν ὑπομεῖναι, καὶ οὐδὲ αἴσθησιν ἐλάμβανεν οὐ τῶν πόνων, οὐ τοῦ μήκους τοῦ χρόνου, ἀλλὰ πάντα αὐτῷ κοῦφα καὶ ῥᾴδια ἐφαίνετο, καὶ τῇ προσδοκίᾳ τῆς ἀπολαύσεως τρεφόμενος, ὡς ἡμέρας ὀλίγας τὸν πολὺν ἐκεῖνον τῶν ἐτῶν χρόνον ἐνόμιζε· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν μηδὲ τὸν ὅμοιον πόθον περὶ τὸν δεσπότην τὸν ἡμέτερον, τὸν εὐεργέτην, τὸν κηδεμόνα, τὸν πάντα ἡμῖν γινόμενον ἐπιδεικνύμενοι; ἀλλ' ἂν μὲν βιωτικὸν κέρδος " πρόκειται, πάντα προθύμως ὑπομένειν αἱρούμεθα, κἂν κάματον ἔχῃ, κἂν ἄλλην τινὰ ταλαιπωρίαν, κἂν αἰκίαν, κἂν κόλασιν τὴν ἐν τῷ παρόντι, τὴν ἐν τῷ μέλλοντι· διὰ δὲ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὑπὲρ τοῦ τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν, χαῦνοι καὶ ἀναπεπτωκότες καὶ διαλελυμένοι φαινόμεθα. καὶ ποία ἡμῖν ἔσται συγγνώμη, τίς δὲ ἀπολογία οὕτω ῥαθύμως διακειμένοις, καὶ οὐδὲ ὅσον ὁ μακάριος οὗτος περὶ " κόρην τὸν πόθον ἐπεδείξατο, τοσαύτην ἀγάπην περὶ τὸν Θεὸν ἐπιδείξασθαι βουλομένοις, καὶ ταῦτα τοσαύτας ἔχοντες ἀριθμεῖν εὐεργεσίας εἰς ἡμᾶς γεγενημένας, καὶ καθ' ἑκάστην ἡμέραν γινομένας; ἀλλ' εἰ καὶ ἡμεῖς οὕτως ἀγνώμονες, ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ὁ τοσοῦτον ζέων τῷ πνεύματι, καὶ πεπυρωμένος εἰς τὸν περὶ τὸν Θεὸν πόθον, ὡς ἐκεῖνα τὰ τῆς ψυχῆς αὐτοῦ ἄξια φθέγξασθαι ῥήματα καὶ ἀναβοῆσαι καὶ εἰπεῖν, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; ὅρα λέξεως ἔμφασιν. ὅρα πόθου τυραννικοῦ μανίαν. ὅρα ἀγάπην πεπυρωμένην. τίς ἡμᾶς χωρίσει; τί, φησίν, ἐστιν, ὃ δύναται τῆς ἀγάπης ἡμᾶς ἀποστερῆσαι τῆς πρὸς τὸν Θεόν; τί τῶν ὁρωμένων; εἶτα βουλόμενος καὶ κατ' εἶδος ἅπαντα ἀπαριθμήσασθαι, καὶ πᾶσιν ἡμῖν κατάδηλον ποιήσασθαι τὸν πόθον τὸν ἀκάθεκτον, ὃν περὶ τὸν δεσπότην ἐκέκτητο, ἐπήγαγε λέγων, θλίψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὢ ψυχῆς μαινομένης μανίαν σωφροσύνης μητέρα. τί, φησι, τῶν ἐπαγομένων ἡμῖν δυνήσεται ἡμᾶς ἀποστῆσαι τῆς πρὸς τὸν Θεὸν ἀγάπης; αἱ θλίψεις αἱ καθημεριναί; οὐδαμῶς. ἀλλ' αἱ στενοχωρίαι; οὐδὲ αὗται. ἀλλ' οἱ διωγμοί; οὐδόλως. ἀλλὰ τί; λιμός; οὐδὲ τοῦτο. ἀλλὰ κίνδυνοι; καὶ τί λέγω λιμὸν καὶ γυμνότητα καὶ κινδύνους; ἀλλὰ μάχαιρα; αὐτός, φησιν, ὁ θάνατος ἐπαγόμενος τοῦτο ἰσχῦσαι οὐ δυνήσεται. ἀμήχανον γὰρ καὶ πάντα ἀδύνατον. οὐδεὶς ἕτερος οὕτως ἀγαπῆσαι κατηξιώθη τὸν δεσπότην, ὡς ἡ μακαρία αὕτη ψυχή. καθάπερ γὰρ ἀπαλλαγεὶς τοῦ σώματος, καὶ μετάρσιος, ὡς εἰπεῖν, γεγονώς, καὶ οὐδὲ ἐπὶ τῆς γῆς βαδίζειν νομίζων, οὕτως ἅπαντα φθέγγεται. ὁ γὰρ περὶ τὸν Θεὸν πόθος, καὶ ἡ πεπυρωμένη ἀγάπη μετέστησεν αὐτοῦ τὸν λογισμὸν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά, καὶ ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα, καὶ ἀπὸ τῶν βλεπομένων ἐπὶ τὰ μὴ ὁρώμενα. τοιοῦτον γὰρ ἡ πίστις, καὶ ἡ περὶ τὸν Θεὸν ἀγάπη. καὶ ἵνα μάθῃς αὐτοῦ τὴν πολλὴν εὐγνωμοσύνην, ὅρα τὸν οὕτως ἀγαπῶντα τὸν δεσπότην καὶ ἐκκαιόμενον εἰς τὸν περὶ αὐτὸν πόθον, ἐλαυνόμενον, διωκόμενον, μαστιζόμενον, μυρία δεινὰ ὑπομένοντα, καὶ λέγοντα, Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις, ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐραβδίσθην· ἅπαξ ἐλιθάσθην· νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα·

ἰ. προκέηται,

γρ. κύριον

Ρω. η. λθ.

β. Κορ. ια. κγ.

καὶ ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ
καὶ μόχθῳ· καὶ τοσαῦτα πάσχων ἔχαιρε καὶ ἠγαλλιᾶτο. ᾔδει γὰρ καὶ πεπληροφόρητο, ὅτι οἱ
πρὸς τὸ παρὸν πόνοι τῶν μεγίστων αὐτῷ βραβείων πρόξενοι γίνονται, καὶ οἱ κίνδυνοι στεφάνους
ἔτικτον. Εἰ γὰρ ὁ Ἰακὼβ διὰ τὸν περὶ τὴν Ῥαχὴλ πόθον ὡς ἡμέρας ὀλίγας τῶν
ἑπτὰ ἐτῶν ἀριθμὸν ἐνόμιζε, πολλῷ μᾶλλον ὁ μακάριος οὗτος οὐδὲν ἅπαντα ἡγεῖτο πυρωθεὶς
ἅπαξ τῷ περὶ τὸν Θεὸν πόθῳ, καὶ διὰ τὸν ἀγαπώμενον Χριστὸν ἅπαντα ὑπομένων.
σπουδάσωμεν τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς ἀγαπῆσαι τὸν Χριστόν. οὐδὲν γὰρ
Ματθ. κβ. λζ. ἕτερον, φησιν, ὁ Χριστὸς ζητεῖ παρὰ σοῦ, Ἢ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ
ποιεῖν τὰς ἐντολὰς αὐτοῦ. ὁ γὰρ ἀγαπῶν αὐτὸν, καθ' ὃν δεῖ τρόπον ἀγαπᾶν, δηλονότι καὶ
τὰς αὐτοῦ ἐπείγεται ἐντολὰς ποιεῖν. ὅταν γάρ τις περὶ τινα γνησίως διάκειται, πάντα
πράττειν σπουδάζει, ἃ τὸν ἀγαπώμενον ἐφελκύσασθαι δύναται εἰς τὸν περὶ αὐτὸν πόθον.
καὶ ἡμεῖς τοίνυν, ἐὰν ἀγαπήσωμεν γνησίως τὸν δεσπότην, καὶ τὰς ἐντολὰς αὐτοῦ πληρῶσαι
δυνησόμεθα, καὶ μηδὲν πράττειν ἐκείνων τῶν παροξῦναι δυναμένων τὸν ἀγαπώμενον.
τοῦτο ἡ βασιλεία τῶν οὐρανῶν· τοῦτο ἡ ἀπόλαυσις τῶν ἀγαθῶν· τοῦτο τὰ μυρία ἀγαθὰ, τὸ
καταξιωθῆναι γνησίως, καὶ καθ' ὃν χρὴ δὴ τρόπον αὐτὸν ἀγαπᾶν. ἀγαπήσομεν δὲ αὐτὸν
γνησίως, ἐὰν διὰ τὴν περὶ αὐτὸν ἀγάπην, καὶ περὶ τοὺς ὁμοδούλους πολλὴν ἐπιδειξώμεθα τὴν
Ματθ. κβ. μ. ἀγάπην. Ἐν ταύταις γάρ, φησι, ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται
κρέμανται, ἐν τῷ ἀγαπῆσαι κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς
ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου, ὡς σεαυτόν. τοῦτο τῶν ἀρετῶν τὸ
κεφάλαιον, τοῦτο πασῶν τῶν τοῦ Θεοῦ ἐντολῶν ὁ θεμέλιος. τῇ γὰρ ἀγάπῃ τῇ περὶ τὸν Θεὸν
συνεισέρχεται καὶ ἡ περὶ τὸν πλησίον ἀγάπη. ὁ γὰρ ἀγαπῶν τὸν Θεὸν οὐ περιόψεται τὸν ἀδελφόν,
οὐδὲ τὰ χρήματα τῶν οἰκείων μελῶν προτιμήσει, ἀλλὰ πολλὴν περὶ αὐτὸν ἐπιδείξεται
Ματθ. κε. μ. τὴν φιλοτιμίαν, μεμνημένος τοῦ εἰρηκότος, Ὅτι ὁ ποιήσας ἑνὶ τούτων τῶν ἀδελφῶν
μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε· καὶ ἐννοῶν, ὅτι διὰ τῆς εἰς τὸν ὁμόδουλον θεραπείας
αὐτός ἐστιν ὁ τὰ γινόμενα οἰκειούμενος ὁ τῶν ἁπάντων δεσπότης, μετὰ πολλῆς τῆς
προθυμίας ἅπαντα ἐργάσεται, καὶ πολλὴν τὴν δαψίλειαν περὶ τὴν ἐλεημοσύνην
ἐπιδείξεται, οὐ πρὸς τὴν εὐτέλειαν ὁρῶν τοῦ φαινομένου, ἀλλὰ πρὸς τὸ μέγεθος τοῦ
οἰκειοῦσθαι ἐπαγγειλαμένου τὰ εἰς τοὺς πένητας γινόμενα. μὴ δὴ παρατρέχωμεν ἁπλῶς,
παρακαλῶ, τὸ κέρδος τῶν ἡμετέρων ψυχῶν, τὸ φάρμακον τῶν ἡμετέρων τραυμάτων.
τοῦτο γὰρ, τοῦτο μάλιστα τὸ φάρμακον τοσαύτην ἡμῖν παρέξει τὴν θεραπείαν, καὶ οὕτως ἀφανίσει
τὰ ἕλκη τῶν ἡμετέρων ψυχῶν, ὡς μηδὲ ἴχνος μηδὲ οὐλὴν καταλειφθῆναι, ὅπερ ἐπὶ
τῶν σωματικῶν τραυμάτων οὐχ οἷόν τε γενέσθαι. κἂν γὰρ μυριάκις τις τὰ φάρμακα τῷ
οἰκείῳ τραύματι ἐπιθῇ τὰ παρὰ τῶν ἰατρῶν κατασκευαζόμενα, ἀνάγκη τὴν οὐλὴν ἐν
τῷ σώματι ἐναπομένειν [καὶ] εἰκότως. σῶμα γάρ ἐστι τὸ θεραπευόμενον. ἐνταῦθα δὲ
ἐπεὶ ψυχή ἐστιν [ἡ θεραπευομένη,] ἐπειδὰν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται, πολλὴν
δέχεται τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, καὶ οὕτως ἅπαντα φυγαδεύεται τὰ ἕλκη, ὡς ἂν
κονιορτὸς ἀνέμου σφοδροῦ διεγερθέντος. καὶ τούτων ἁπάντων τῶν ὑποδειγμάτων ὑπερπλήρεις ἡμῖν αἱ γραφαί. γρ. [illegible]
Πρ. θ. οὕτως ὁ μακάριος Παῦλος ἀπόστολος γέγονεν ἀπὸ διώκτου, καὶ ὁ πρότερον
πορθῶν τὴν ἐκκλησίαν, ὕστερον αὐτὸς αὐτῆς γέγονε νυμφαγωγός. Εἶδες ἄκραν τὴν
μεταβολήν, εἶδες ἄφατον τὴν μετάστασιν. οὕτω καὶ ὁ λῃστὴς μυρίους ἐργασάμενος φόνους, ἐν
μιᾷ καιροῦ ῥοπῇ διὰ τῶν ὀλίγων ἐκείνων ῥημάτων οὕτως ἅπαντα ἀπενίψατο τὰ ἁμαρτήματα,
Λουκ. κγ. μγ. ὡς ἀκοῦσαι παρὰ τοῦ δεσπότου, Ὅτι σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.
Λουκ. ιη. ιγ. Οὕτω καὶ ὁ τελώνης τὸ στῆθος πλήξας, καὶ τὰ οἰκεῖα ἁμαρτήματα ὁμολογήσας κατῆλθε δεδικαιωμένος

δικαιωμένος τοῦ τῶν Φαρισαίων. ἀλλὰ τούτων μὲν ἕκαστος ψυχῆς εὐγνωμοσύνην ἐπιδειξάμενος, καὶ τὰ πρότερα ὁμολογήσας πταίσματα, οὕτω τῆς συγχωρήσεως ἀπήλαυσεν. ἴδωμεν δὲ ταύτης τῆς ἐντολῆς τὴν ἰσχὺν, καὶ ὅσην περιουσίας δύναμιν κέκτηται ἡ δαψιλὴς ἐλεημοσύνη, ἵνα μαθόντες τὸ ἐξ αὐτῆς ἡμῖν ἐγγινόμενον κέρδος, προθύμως αὐτὴν μετέλθωμεν. τάχα γὰρ τοσαύτη αὐτῆς ἡ περιουσία, ὡς μὴ μόνον ἁμαρτήματα ἐκκαθαίρειν, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον φυγαδεύειν. καὶ λέγω τὸν τρόπον. καὶ πῶς, φησιν, ἐλεημοσύνην ἐπιδειξάμενος τοῦ θανάτου κρείττων γέγονε; καὶ μὴν ἅπαντας ὁρῶμεν ὑπὸ τὴν τυραννίδα τοῦ θανάτου γινομένους. μὴ θορυβηθῇς, ἀγαπητὲ, ἀλλὰ μάθε δι' αὐτῶν τῶν πραγμάτων, ὅπως ἡ τῆς ἐλεημοσύνης δύναμις ἐνίκησε καὶ τούτου τὴν τυραννίδα. Ταβιθά τις ἐγένετο γυνὴ, ἥτις διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἔργον ἐποιεῖτο καθ' ἑκάστην ἡμέραν τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐποιΐαν συλλέγειν ἑαυτῇ, καὶ ἐνεδίδυσκε, φησι, τὰς χήρας, καὶ τὴν ἄλλην ἅπασαν εὐποιΐαν αὐταῖς παρεῖχεν. ἐγένετο δὲ ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. ἀλλὰ βλέπε μοι ἐνταῦθα, ἀγαπητὲ, πῶς αἱ τῆς θεραπείας ἀπολαύουσαι, καὶ τὰ σώματα σκεπόμεναι ἀπ' αὐτῆς, ἐν καιρῷ τὴν εὐεργέτιν ἀμειβόμεναι, περιεστῶσαι τὸν ἀπόστολον, ἐπεδείκνυον, φησι, τὰ ἱμάτια, καὶ ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς, καὶ τὴν τροφὸν ἐπεζήτουν, καὶ δάκρυα ἴσως προσέχεον, καὶ εἰς πολὺν οἶκτον τὸν ἀπόστολον ἐφείλκοντο. τί οὖν ὁ μακάριος Πέτρος; τὰ γόνατα θείς, φησι, προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε, Ταβιθὰ, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτὴν, καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. εἶδες δύναμιν τοῦ ἀποστόλου, μᾶλλον δὲ τοῦ ἐνεργοῦντος ἐν αὐτῷ δεσπότου. εἶδες ὅση τῆς εἰς τὰς χήρας εὐποιΐας ἀμοιβὴ καὶ ἐν τῷ παρόντι καιρῷ γέγονε. τί γὰρ τοσοῦτον, εἰπέ μοι, παρέσχεν αὕτη ταῖς χήραις, ὅσον αὗται αὐτὴν ἠμείψαντο; ἱμάτια παρέσχε καὶ τροφὰς αὐταῖς, ἀλλ' αὗται πρὸς ζωὴν αὐτὴν ἐπανήγαγον, καὶ τὸν θάνατον ἐξ αὐτῆς δραπετεῦσαι ἐποίησαν· μᾶλλον δὲ οὐχ αὗται, ἀλλὰ διὰ τὴν εἰς ταύτας θεραπείαν ὁ φιλάνθρωπος ἡμῶν δεσπότης. εἴδετε φαρμάκου δύναμιν, ἀγαπητοί. τοῦτο πάντες ἑαυτοῖς κατασκευάσωμεν. οὐδὲ γὰρ πολυτελές ἐστι, καί τοι γε τοσαύτην ἔχον τὴν δύναμιν, ἀλλὰ καὶ σφόδρα εὔωνον, καὶ οὔτε δαπάνης δεῖται πολλῆς. τὸ γὰρ τῆς ἐλεημοσύνης μέγεθος οὐκ ἐν τῷ πλήθει τῶν χρημάτων κρίνεται, ἀλλ' ἐν τῇ προθυμίᾳ τῶν διδόντων. διὰ τοῦτο καὶ ὁ ποτήριον ψυχροῦ δοὺς ἀπόδεκτος γέγονε, καὶ ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα, ἵνα μάθωμεν ὅτι πανταχοῦ γνώμην ὀρθὴν ἐπιζητεῖ ὁ τῶν ἁπάντων δεσπότης. ἔστι πολλάκις καὶ ὀλίγα ἔχοντα πολλὴν τὴν δαψίλειαν τῆς ἐλεημοσύνης ἐπιδείξασθαι, ὅταν ᾖ ἡ προθυμία ἐρρωμένη· καὶ πάλιν τὸ ἐναντίον ἐστὶ καὶ πολλὰ κεκτημένον ἐλάττονα ὀφθῆναι τῶν ὀλίγα ἐχόντων διὰ τὴν τῆς ἰδίας γνώμης μικρολογίαν. ἐκχέωμεν οὖν, παρακαλῶ, τὰ ὄντα εἰς τοὺς ἐν χρείᾳ ὄντας μετὰ δαψιλοῦς γνώμης, ἐξ ὧν ὁ δεσπότης ἡμῖν κεχάρισται, καὶ αὐτὰ τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα αὐτῷ πάλιν ἡμεῖς δῶμεν, ἵνα οὕτω πάλιν μετὰ πολλῆς προσθήκης ἡμέτερα γένηται. τοσαύτη γὰρ αὐτοῦ ἡ φιλοτιμία, ὅτι καὶ ἀφ' ὧν ἔδωκε λαμβάνων, οὐχ ἡγεῖται τὰ ἴδια λαμβάνειν, ἀλλὰ μετὰ πολλῆς ἡμῖν αὐτὰ τῆς φιλοτιμίας ἀποδιδόναι ὑπισχνεῖται· μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι βουληθῶμεν, καὶ καθάπερ τῇ τοῦ Θεοῦ χειρὶ ταῦτα παρακατατιθέμενοι, οὕτως αὐτὰ τοῖς πένησι χορηγῶμεν, εἰδότες ὅτι ἅπερ ἂν ἡ χεὶρ ἐκείνη δέξηται, οὐκ ἐκεῖνα μόνον ἀποδίδωσιν, ἀλλὰ καὶ πολυπλασίονα τὰ δοθέντα οὕτος ἡμῖν αὐτὰ πάλιν χαρίζεται, τὴν οἰκείαν φιλοτιμίαν διὰ πάντων ἐπιδεικνύμενος. καὶ τί λέγω, ὅτι αὐτὰ πάλιν πολυπλασιάζει; ἡ χεὶρ ἐκείνη δίδωσιν

Πρ. θ. λϛ

Ματθ. ι. μβ.

Λουκ. κα. β.

δίδωσιν οὐκ αὐτὰ μόνον, ἀλλὰ μετὰ τούτων καὶ τὴν βασιλείαν τῶν οὐρανῶν δωρεῖται, καὶ ἀνακηρύττει καὶ στεφανοῖ, καὶ τὰ μυρία ἀγαθὰ χαρίζεται, ἐὰν ἐκ τῶν παρ' αὐτοῦ δοθέντων μικρόν τι εἰσενεγκεῖν βουληθῶμεν. μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν αἰτεῖ; τὰ περιττὰ τῆς χρείας βούλεται ἀναγκαῖα ἡμᾶς ποιήσασθαι, καὶ ἅπερ εἰκῇ καὶ μάτην ἐν τοῖς ταμιείοις ἐναπόκειται, ταῦτα βούλεται ὑφ' ἡμῶν αὐτῶν καλῶς διανεμηθῆναι, ἵνα ἀφορμὴν λαβὼν ἐντεῦθεν λαμπρῶς ἡμᾶς στεφανώσῃ. σπεύδει γὰρ καὶ ἐπείγεται καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἀξιῶσαι ἡμᾶς ὧν καὶ ἐπηγγείλατο. μὴ τοίνυν ἑαυτοὺς ἀποστερήσωμεν, παρακαλῶ, τῶν τοσούτων ἀγαθῶν. εἰ γὰρ οἱ περὶ τὴν γῆν πονούμενοι καὶ ταλαιπωροῦντες, τὰς ἑαυτῶν ἀποθήκας κενοῦντες εἰς τὴν γῆν καταβάλλουσι τὰ σπέρματα, καὶ τὰ πάλαι συνηγμένα σκορπίζουσι, καὶ μεθ' ἡδονῆς τοῦτο ποιοῦσι, τῇ ἐλπίδι τοῦ πλείονος ἑαυτοὺς παραμυθούμενοι, καὶ ταῦτα εἰδότες ὡς καὶ ἀέρων ἀνωμαλίαι πολλάκις, καὶ γῆς ἀκαρπία, καὶ ἕτεραι πολλαὶ περιστάσεις, ἢ ἀκρίδων, ἢ ἐρυσίβης ὁ φόβος, καὶ ἡ ἔφοδος τῆς προσδοκίας διαμαρτεῖν τοῦ τέλους ἐποίησε, καὶ ὅμως ταῖς χρηστοτέραις ἐλπίσιν ἑαυτοὺς τρέφοντες, τὰ ἐν τοῖς ταμιείοις συνηγμένα τῇ γῇ παρακατατίθενται· πολλῷ μᾶλλον ἡμᾶς τὰ ἁπλῶς ἀποκείμενα σκορπίζειν εἰς τὴν τῶν πενήτων διατροφὴν προσῆκεν, ἔνθα οὐκ ἔνι ποτὲ διαμαρτεῖν τοῦ τέλους, οὐδὲ δεῖσαι τὴν ἀποτυχίαν τὴν ἐπὶ τῆς γῆς γινομένην. Ἐσκόρπισε γάρ, φησιν, ἔδωκε τοῖς πένησιν. ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὢ θαυμαστοῦ σκορπισμοῦ. ἐν βραχεῖ τῷ χρόνῳ τὴν διανομὴν ἐποιήσατο, καὶ ἐν διηνεκεῖ τῷ αἰῶνι ἡ δικαιοσύνη αὐτοῦ διαμένει. τί τούτου μακαριστότερον γένοιτ' ἄν ποτε; διὰ τοῦτο, παρακαλῶ, τὴν διὰ τῆς ἐλεημοσύνης δικαιοσύνην ἑαυτοῖς ἐπισπασώμεθα, ἵν' ᾖ καὶ περὶ ἡμῶν τοῦτο λέγεσθαι ἄξιον, ὅτι ἐσκόρπισαν, ἔδωκαν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῶν μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐπειδὴ γὰρ εἶπεν, ἐσκόρπισεν, ἔδωκεν, ἵνα μὴ νομίσῃς ὅτι τὰ σκορπισθέντα ἀπώλετο, διὰ τοῦτο ταχέως ἐπήγαγεν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐκείνων, φησί, τῶν σκορπισθέντων ἡ δικαιοσύνη ἀνάλωτος μένει, παντὶ τῷ αἰῶνι παρεκτεινομένη καὶ μηδέποτε πέρας λαμβάνουσα. καὶ μετὰ τῆς ἐλεημοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πολλὴν τὴν ἐπιμέλειαν ποιησώμεθα, καὶ τὰ πάθη τῆς σαρκὸς καταστέλλωμεν, καὶ ἐξορίσωμεν ἐκ τῆς ἑαυτῶν ψυχῆς πᾶσαν ἐπιθυμίαν ἄτοπον, πάντα πονηρὸν λογισμόν, ὀργήν, θυμόν, βασκανίαν, καὶ τὴν εὐμορφίαν τῆς ψυχῆς διὰ πάντων καλλωπίζωμεν, ἵνα φαιδρὸν αὐτῆς καὶ λαμπρὸν τὸ κάλλος κατασκευάσαντες ἐπισπασώμεθα ἑαυτοῖς τὸν τῶν οὐρανῶν δεσπότην, καὶ μονὴν παρ' ἡμῖν καταξιώσῃ ποιῆσαι. ἔνθα γὰρ ἂν ἴδῃ ψυχῆς εὐμορφίαν, εὐθέως ἐκεῖ ἐφίπταται. αὐτὸς γὰρ εἴρηκεν, Ὅτι ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ ταπεινόν, καὶ τρέμοντά μου τοὺς λόγους; εἶδες πῶς ἡμᾶς ἐδίδαξεν ἅπαντα τὰ πνευματικὰ χρώματα τὰ δυνάμενα τῆς ψυχῆς τὴν εὐμορφίαν φαιδρὰν ἀπεργάσασθαι, καὶ τῷ κάλλει σφοδρῶς ἐξαστράπτειν. ἐπὶ τὸν πρᾶον, φησι, καὶ ἡσύχιον καὶ ταπεινόν. εἶτα τὸ πάντων κατασκευαστικὸν ἐπήγαγε, καὶ τρέμοντά μου τοὺς λόγους. τί ἐστι δέ, καὶ τρέμοντά μου τοὺς λόγους; τὴν ὑπακοὴν τῶν τοῦ Θεοῦ προσταγμάτων δι' αὐτῶν τῶν ἔργων πληροῦντα, καθάπερ καὶ ἀλλαχοῦ φησι, Μακάριος ὃς καταπλήσει πάντα δι' εὐλάβειαν. καὶ ἐνταῦθα γὰρ τὸ αὐτὸ τοῦτο ἡμῖν ἐσήμανεν ἡ θεία γραφή, τὸ τρέμειν τοὺς τοῦ Θεοῦ λόγους. εἰ γὰρ ἡμεῖς, ἐπειδὰν ἴδωμεν οἰκέτην ἡμέτερον μετ' ἐπιμελείας πολλῆς τὰ ἐπιτάγματα πληροῦντα τὰ ἡμέτερα, καὶ πολλοῦ τοῦ φόβου καὶ τοῦ τρόμου, πλείονα τὴν πρὸς ἑαυτὸν εὔνοιαν καὶ συμπάθειαν εἰς αὐτὸν ἐπιδεικνύμεθα, πολλῷ μᾶλλον ἂν ὁ ἀγαθὸς δεσπότης εἰς ἡμᾶς τοῦτο ἐπιδείξῃ. διὰ τοῦτο τοίνυν ἔλεγεν, ἐπ' ἐκεῖνον ἐπιβλέψω τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους.

γρ. ἐπιζητεῖ

γρ. χρη

Ψαλμ. ρια. θ.

Ἡσαΐ. ξϛ. β.

Ματθ. κε. ιδ.

λόγοις. τρέμωμεν τοίνυν, παρακαλῶ, καὶ μετὰ πολλοῦ φόβου πληρῶμεν αὐτοῦ τοὺς λόγους (αὐτοῦ γὰρ εἰσι λόγοι τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα προστάγματα) καὶ μαθόντες τίσιν ἀρέσκεται, καὶ τίνα προσίεται, ἐκεῖνα μετίωμεν, καὶ τοιοῦτοι γενέσθαι σπουδάζωμεν, ἡσυχίαν, πρᾳότητα, ταπείνωσιν πολλὴν ἐπιδεικνύμενοι, καὶ πάντα τὰ παρ' αὐτοῦ ἐπιτάγματα μετ' εὐλαβείας πολλῆς μετερχόμενοι καὶ φόβου πολλοῦ, ἵνα τὴν διάθεσιν τῆς γνώμης τῆς ἡμετέρας ἀποδεξάμενος ὁ τῶν ἁπάντων δεσπότης, καὶ ἀρκεσθεὶς ἡμῶν τῇ ὑπακοῇ, ἐπιβλέψαι ἐφ' ἡμᾶς καταξιώσῃ. ἐὰν γὰρ τοῦτο ποιῆσαι καταδέξηται, ἐν πάσῃ ἀσφαλείᾳ ἡμᾶς καταστήσει. ἐπιβλέψω γάρ, φησιν, ἀντὶ τοῦ, προνοίας ἀξιώσω, χεῖρα ὀρέξω, ἐν ἅπασιν ἀντιλήψομαι, τὰ παρ' ἐμαυτοῦ φιλοτιμίας μετὰ δαψιλείας παρέξω. ταῦτα οὖν ἅπαντα μετίωμεν, παρακαλῶ, ἵνα ἐπιβλέψῃ καὶ ἐφ' ἡμᾶς ὁ δεσπότης, καὶ δυνηθείημεν καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι, καὶ τῶν μελλόντων ἀπορρήτων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ [καὶ ἀγαθῷ] καὶ ζωοποιῷ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νϛ. ΕΙΠΕ ΔΕ ΙΑΚΩΒ ΠΡΟΣ ΛΑΒΑΝ, ΑΠΟΔΟΣ μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι) ὅπως εἰσέλθω πρὸς αὐτήν.

ΑΠὸ τῆς ἀγάπης τοῦ Ἰακώβ, ἣν περὶ τὴν Ῥαχὴλ ἐπεδείξατο, εἰς τὴν Παύλου ἀγάπην μεταστάντες χθές, καὶ τὸ μέγεθος τοῦ περὶ τὸν Χριστὸν πόθου αὐτοῦ καταμαθόντες, καθάπερ ὑπὸ ῥύμης τινὸς σφοδροτέρας ἐξενεχθέντες, οὐκ ἔτι ἰσχύσαμεν ἐπὶ τὴν ἀκολουθίαν ἐπανελθεῖν τοῦ λόγου. διόπερ, εἰ δοκεῖ, σήμερον τοῖς ἑξῆς ἐπεξελθόντες, τὰ λειφθέντα ἀναπληρώσωμεν, ἵνα καὶ ἐκ τῶν σήμερον λεγομένων ἀρκοῦσαν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. ἐπειδὴ γὰρ ἐπληρώθη ὁ τῶν ἑπτὰ ἐτῶν ἀριθμός, καὶ ἦσαν, φησιν, ἐνώπιον Ἰακὼβ ὡς ἡμέραι ὀλίγαι ὁ τοσοῦτος χρόνος διὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν, 21 Εἶπε πρὸς Λάβαν, ἀπόδος μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι μου) ὅπως εἰσέλθω πρὸς αὐτήν.

22 Συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου, καὶ ἐποίησε τὸν γάμον,

23 Καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λάβαν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγεν αὐτὴν πρὸς Ἰακώβ. Εἶδες τὸ παλαιὸν μεθ' ὅσης σεμνότητος τοὺς γάμους ἐπετέλουν: ἀκούσατε οἱ περὶ τὰς σατανικὰς πομπὰς ἐπτοημένοι, καὶ ἐξ αὐτῶν τῶν προοιμίων τὰ σεμνὰ τοῦ γάμου καταισχύνοντες. μήπου αὐλοί; μήπου κύμβαλα; μήπου χορεῖαι σατανικαί; τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοσαύτην λύμην εὐθέως ἐπεισάγεις εἰς τὴν οἰκίαν, καὶ τοὺς ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας καλεῖς; ἵνα μετὰ τῆς ἀκαίρου δαπάνης καὶ τὴν τῆς κόρης λυμήνῃ σωφροσύνην, καὶ τὸν νέον ἀναισχυντότερον ἐργάσῃ; ἀγαπητὸν γάρ, καὶ ἄνευ τούτων τῶν ὑπεκκαυμάτων, ἐκείνην τὴν ἡλικίαν δυνηθῆναι πρᾴως ἐνεγκεῖν τὸν χειμῶνα τῶν παθῶν· ὅταν δὲ καὶ τοσαῦτα ᾖ τὰ διὰ τῆς ὄψεως καὶ διὰ τῆς ἀκοῆς δαψιλεστέραν ἀνάπτοντα τὴν πυράν, καὶ τὴν κάμινον τῶν παθῶν φλογωδεστέραν ἐργαζόμενα, πῶς οὐχὶ ὑποβρύχιος ἡ τοῦ νέου ψυχὴ γενήσεται; ἐντεῦθεν γὰρ ἅπαντα ἀπόλωλε καὶ διέφθαρται, ἀπὸ τοῦ τὴν σωφροσύνην ἐξ ἀρχῆς διαθρύπτεσθαι τῶν μελλόντων ἀλλήλοις συνιέναι· καὶ πολλάκις ἐκ πρώτης ἡμέρας καὶ ὁ νέος ἐδέξατο βέλος σα-

Γεν. κθ.

Γεν. β. κδ.

Ἐφ. ε. λβ.

τολμικὸν ἐν τῇ ψυχῇ ἀκολάστοις ἰδὼν ὀφθαλμοῖς, καὶ ἡ κόρη καὶ διὰ τῆς ἀκοῆς καὶ διὰ τῆς ὄψεως αἰχμάλωτος γέγονε, καὶ ταῦτα ἐξ ἐκείνης λοιπὸν τῆς ἡμέρας τὰ τραύματα αὐξανόμενα μεῖζον ἐργάζεται τὸ κακόν. καὶ γὰρ πρότερον μὲν τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμόνοιαν διαθρύπτει, καὶ τὸν πόθον καταμαραίνει. ὅταν γὰρ πρὸς ἑτέραν ἐκεῖνος προσχῇ τῇ διανοίᾳ, ὧδε κἀκεῖσε μεριζόμενος τὸν λογισμόν, καὶ ὑπὸ τοῦ διαβόλου αὐτοῦ στρατηγούμενος, πολλῆς ἀηδίας πληρώσει τὴν οἰκίαν. εἰ δὲ κἀκείνη εὑρεθείη τοιοῦτόν τι παθοῦσα, ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν βάθρων ἅπαντα ἀνατρέπεται, καὶ λοιπὸν ἀλλήλους κρύπτοντες, ὁ μὲν δι᾽ ὑποψίας ἔχει τὴν γαμετήν, ἡ δὲ τὸν ἄνδρα. καὶ ἔνθα ἐχρῆν ὁμόνοιαν εἶναι καὶ σύνδεσμον, καὶ οἱ ὀφείλοντες σάρξ εἶναι μία (Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν) οὗτοι ἐν τοσαύτῃ διαιρέσει τυγχάνουσιν, ὡς εἰ καὶ κατατετμημένοι ἦσαν. ἐπεισελθὼν γὰρ ὁ διάβολος τοσαύτην ἐν αὐτοῖς ἐργάζεται τὴν λύμην, ὡς πολέμους καὶ μάχας καθημερινὰς τίκτεσθαι, καὶ μηδέποτε ἀνάπαυλαν ἔχειν τῶν κακῶν. τί γὰρ ἄν τις εἴποι λοιπὸν τῶν οἰκετῶν τὰς καταφρονήσεις, τῶν πλησίον οἰκούντων τὸν γέλωτα, τὰς ἀσχημοσύνας; καθάπερ γὰρ τῶν κυβερνητῶν στασιαζόντων, καὶ οἱ ἐμπλέοντες τῶν κινδύνων συναπολαύουσι, καὶ αὔτανδρον ἀνάγκη τὴν ναῦν καταποντισθῆναι· οὕτω δὴ καὶ ἐνταῦθα τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς ἀλλήλους διαστασιαζόντων, καὶ τοὺς ἄλλους ἅπαντας συναπολαύειν τῶν κακῶν εἰκός. διὰ τοῦτο παρακαλῶ ταῦτα ἅπαντα προορωμένους μὴ τῇ συνηθείᾳ κατακολουθεῖν. οἶδα γὰρ ὅτι πολλοὶ ταύτην ἡμῖν προβαλλόμενοι οὐδὲ ἀνέχονται τῶν παρ᾽ ἡμῶν λεγομένων· ἀλλ᾽ ὅμως ἡμᾶς ἀνάγκη τὰ λυσιτελῆ, καὶ τὰ τῆς μελλούσης κολάσεως ἐξαρπάζοντα λέγειν. ὅπου γὰρ λύμη τοσαύτη ψυχῆς, τίνος ἕνεκέν μοι συνήθειαν βούλει προβάλλεσθαι; ἰδοὺ κἀγὼ συνήθειάν σοι προβάλλομαι βελτίονα, ᾗ οἱ ἐξ ἀρχῆς ἐκέχρηντο, ὅτε οὐδέπω τοσαύτη γνῶσις ἦν τῆς εὐσεβείας. καὶ μή μοι τὸν δίκαιον ἐνταῦθα λογίζου, τὸν Ἰακὼβ λέγω, ἀλλὰ τὸν Λάβαν ἐννόει ἄνδρα ἔτι τοῖς εἰδώλοις προσανέχοντα, καὶ οὐδεμίαν γνῶσιν ἔχοντα τῆς εὐσεβείας, καὶ τοσαύτην φιλοσοφίαν ἐπιδεικνύμενον. τοῦτο γὰρ οὐ τοῦ μέλλοντος ἦν ἄγεσθαι τὴν κόρην τὸ κατόρθωμα, ἀλλὰ τοῦ πατρὸς τοῦ τὴν κόρην ἐκδιδόντος. διὸ καὶ τοῦτον ἐκίνησα τὸν λόγον, οὐχὶ πρὸς τοὺς νυμφίους τοσοῦτον ἀποτεινόμενος, ὅσον πρὸς τοὺς γεγεννηκότας, πρὸς τὸν πατέρα τοῦ νυμφίου, καὶ πρὸς τὸν τὴν κόρην ἐκδιδόντα φημί. πῶς γὰρ οὐκ ἄτοπον ἡμᾶς τοὺς τοσαύτης ἀπολαύσαντας φιλανθρωπίας, καὶ τῶν φρικτῶν καὶ ἀπορρήτων μυστηρίων ἀξιωθέντας, ἐλάττους κατὰ τοῦτο γίνεσθαι τοῦ Λάβαν, τοῦ ἔτι εἴδωλα θεραπεύοντος; ἢ οὐκ ἀκούεις Παύλου λέγοντος, Ὅτι μυστήριόν ἐστιν ὁ γάμος, καὶ εἰκών ἐστι τῆς ἀγάπης τοῦ Χριστοῦ, ἣν περὶ τὴν ἐκκλησίαν ἐπεδείξατο; μὴ τοίνυν καταισχύνωμεν ἑαυτούς, καὶ τὰ σεμνὰ τοῦ γάμου διαφθείρωμεν. εἰ μὲν γὰρ καλόν ἐστι τὸ τῆς συμβουλῆς καὶ ἐπωφελές, κἂν μὴ συνήθεια ᾖ, γινέσθω· εἰ δὲ βλάβην ἔχον καὶ πολλὴν τὸν ὄλεθρον τὸ νῦν παρ᾽ ὑμῶν ἐπιτελούμενον, κἂν συνήθεια ᾖ, ἐγκοπτέσθω. ἐπεὶ εἰ τοῦτο συγχωρήσαιμεν, καὶ ὁ κλέπτων, καὶ ὁ πορνεύων, καὶ ὁ τὴν ἄλλην ἅπασαν κακίαν ἐπιδεικνύμενος, τὴν συνήθειαν ἡμῖν προβαλεῖται. ἀλλ᾽ οὐδὲν ἀπὸ τούτου κέρδος αὐτῷ ἔσται, οὐδὲ συγγνώμη, ἀλλὰ καὶ πολλὴ ἡ κατηγορία, ὅτι οὐκ ἴσχυσε συνηθείας περιγενέσθαι πονηρᾶς. ἐὰν γὰρ βουλώμεθα νήφειν, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας ποιεῖσθαι τὴν φροντίδα, δυνησόμεθα καὶ τῆς κακῆς συνηθείας ἀποστῆναι, καὶ εἰς καλὴν συνήθειαν ἑαυτοὺς ἀγαγεῖν. καὶ οὕτω καὶ τοῖς μεθ᾽ ἡμᾶς οὐ μικρὰν παρέξομεν ἀφορμὴν τοῦ τὰ αὐτὰ ζηλοῦν, καὶ τῶν ὑπ᾽ ἐκείνων κατορθουμένων ἡμεῖς ληψόμεθα τὸν μισθόν. ὁ γὰρ τὴν ἀρχὴν παραδοὺς τῆς καλῆς ὁδοῦ, οὗτος καὶ τῶν ὑφ' ἑτέρων γινομένων αἴτιος ἔσται, καὶ διπλοῦν κομιεῖται τὸν μισθὸν, ὑπὲρ ὧν τε αὐτὸς κατορθοῖ, ὑπὲρ ὧν τε ἑτέρους ἐπάγει εἰς τὴν ἀρίστην ταύτην φιλοσοφίαν. μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα προβάλλεσθε, λέγοντες, νόμιμά τινα εἶναι ταῦτα, καὶ διὰ τοῦτο πληροῦσθαι χρή. οὐ ταῦτα γὰρ νόμιμον ποιεῖ συνοικέσιον, ἀλλὰ τὸ κατὰ τοὺς τοῦ Θεοῦ νόμους μετὰ σωφροσύνης καὶ σεμνότητος τὴν συνέλευσιν γίνεσθαι, καὶ τῇ ὁμονοίᾳ συμπεπλέχθαι τοὺς ἀλλήλοις συνιόντας. τοῦτο καὶ οἱ ἔξωθεν ἴσασι νόμοι, καὶ ἀκούσῃ τῶν περὶ ταῦτα ἐσχολακότων λεγόντων, ὅτι συνοικέσιον οὐδὲν ἕτερον συνίστησιν, ἢ συνήθεια. μὴ τοίνυν καὶ τοὺς τοῦ Θεοῦ νόμους παραβαίνωμεν μετὰ τῶν ἀνθρωπίνων, καὶ προτιμῶμεν τοὺς διαβολικοὺς νόμους, καὶ τὴν ὀλεθρίαν ταύτην συνήθειαν. ἐκείνου γάρ ἐστι νόμος ταῦτα, τοῦ χαίροντος ἀεὶ τῇ ἀπωλείᾳ τῇ ἡμετέρᾳ. τί οὖν ἂν γένοιτο καταγελαστότερον τῆς συνηθείας ταύτης, ὅταν ὑπὸ οἰκετῶν καὶ τριωβολιμαίων ἀνθρώπων σκώμματα καὶ λοιδορίας ἀπείρους δέχονται καὶ ὁ ἀνὴρ καὶ ἡ γυνὴ, καὶ οὐδεὶς ἦν ὁ ἐπιτιμῶν, ἀλλ' ἔξεστι τῷ βουλομένῳ ἀδεῶς κατὰ τὴν ἑσπέραν ἅπαντα φθέγγεσθαι, καὶ βάλλειν τοῖς σκώμμασι καὶ τὸν νυμφίον καὶ τὴν νύμφην; καὶ ἐν ἑτέρᾳ μὲν ἡμέρᾳ ἐάν τις ἐπιχειρήσῃ λοιδορήσασθαι, δικαστήρια αὐτῷ, καὶ ἀπαγωγαὶ, καὶ κίνδυνοι· τότε δὲ ὅτε μάλιστα πολλὴν ἐχρῆν εἶναι τὴν αἰδῶ, πολλὴν τὴν κοσμιότητα, πολλὴν τὴν ἁγνείαν, τοσαύτης ἅπαντα πληροῦνται τῆς ἀσχημοσύνης, ὡς εἰκὸς τὸν διάβολον στρατηγοῦντα ταῦτα ἅπαντα ἐπιδείκνυσθαι. ἀλλὰ μὴ δυσχεραίνετε, παρακαλῶ. οὐδὲ γὰρ ἁπλῶς εἰς τοῦτον ἐξέβην τὸν λόγον, ἀλλὰ κηδόμενος ὑμῶν καὶ τῆς σωτηρίας καὶ τῆς εὐκοσμίας, καὶ βουλόμενος ὑμᾶς τὴν ἀρίστην ταύτην μεταβολὴν ἐπιδείξασθαι, καὶ τῆς καλῆς ταύτης συνηθείας ἀρχηγοὺς καταστῆναι. ἐὰν γὰρ μόνον ἀρχὴ καὶ ὁδὸς γένηται τοῦ πράγματος, κατὰ μικρὸν εἰς τὸν ἕνα ζηλοῦντες τὸν καλὸν τοῦτον καὶ ἐπαινετὸν ζῆλον, πολλοὺς ἐπαινέτας ἕξετε, καὶ οὐ μόνον οἱ τὴν πόλιν οἰκοῦντες μιμήσονται τὴν καλλίστην ταύτην μεταβολὴν, ἀλλὰ καὶ τοὺς πόῤῥωθεν οἰκοῦντας ἐπισπάσεσθε, καὶ ζηλωτὰς ὑμετέρους καταστήσετε, καὶ πολυπλασίονα τὸν παρὰ τοῦ Θεοῦ κομιεῖσθε στέφανον, ὅτι διὰ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὴν παρ' αὐτοῦ ἐντολὴν τῆς σατανικῆς ταύτης περιεγένατε συνηθείας. ἀλλ' ὅτι μὲν δέξεσθε μετὰ προθυμίας ταύτην ἡμῶν τὴν συμβουλὴν, καὶ εἰς ἔργον αὐτὴν ἄξετε, σφόδρα πέπεισμαι. ὁρῶν γὰρ ὑμᾶς μετὰ τοσαύτης ἡδονῆς ἀκούοντας τῶν λεγομένων, ἀπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων στοχάζομαι, ὅτι καὶ πρὸς τὴν διὰ τῶν ἔργων κατόρθωσιν ἐπειχθήσεσθε. διὸ ἀρκεσθεὶς τοῖς εἰρημένοις ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανήξω. Καὶ ἐγένετο, φησὶν, ἑσπέρα, καὶ ἔλαβε Λάβαν τὴν Λείαν τὴν θυγατέρα αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὴν πρὸς τὸν Ἰακώβ. μὴ ἁπλῶς μηδὲ τοῦτο παραδράμωμεν. ἔστι γὰρ καὶ ἐκ τούτου πολλὰ συνιδεῖν· ἓν μὲν τοῦ Ἰακὼβ τὸ ἄπλαστον, καὶ ὅπως πάσης πονηρίας ἐκτὸς ὢν παρεκρούσθη· δεύτερον δὲ, ὅτι μετὰ τοσαύτης εὐκοσμίας ἅπαντα ἐγίνετο, καὶ οὐδαμοῦ λαμπάδες, καὶ χορεῖαι, καὶ φῶτα τὴν χρείαν ὑπερβαίνοντα, ὡς καὶ τὴν ἀπάτην τοῦ Λάβαν εἰς ἔργον ἐλθεῖν. ἔστι δὲ καὶ τοῦ Λάβαν ἐντεῦθεν καταλαβεῖν τὴν περὶ τὸν Ἰακὼβ φιλοστοργίαν. τοῦτο γὰρ ἐμηχανήσατο, βουλόμενος ἐπὶ πλεῖον κατέχειν παρ' ἑαυτῷ τὸν δίκαιον. ἐπειδὴ γὰρ ᾔδει, ὅτι ἐκείνης "περιεκαίετο, καὶ εἰ τοῦ σπουδαζομένου ἐπέτυχεν, οὐκ ἂν εἵλετο λοιπὸν τῆς Λείας ἕνεκεν τὴν δουλείαν ὑποστῆναι, οὐδὲ τὴν μετ' αὐτοῦ συνοίκησιν, διὰ τοῦτο θεασάμενος ὁ Λάβαν τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ ἐννοῶν ὡς οὐκ ἂν ἑτέρως αὐτοῦ περιγένοιτο καὶ πείσειεν, τὴν ἀπάτην ταύτην εἰργάσατο, καὶ δίδωσιν αὐτῷ τὴν Λείαν μετὰ Ζελφᾶς τῆς παιδίσκης. εἶτα ἐγκαλούμενος ὑπὸ τοῦ δικαίου, τίνος ἕνεκεν τὰ τῆς ἀπάτης εἰργάσατο, εὐπρόσωπον ἀπολογίαν ἐποιήσατο. ἐπειδὴ γὰρ εἶπεν ὁ Ἰακώβ,

ὑπεκαίετο,

25 Τίνος ἕνεκεν τοῦτό μοι ἐποίησας; οὐ περὶ τῆς Ῥαχὴλ ἐδούλευσά σοι; καὶ ἵνα τί παρελογίσω με; 26 Τί φησιν ὁ Λάβαν; οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ τούτῳ δοῦναι τὴν νεωτέραν, πρὶν ἢ τὴν πρεσβυτέραν. 27 Συντέλεσον οὖν καὶ ταύτης τὰ ἕβδομα, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργάσῃ παρ' ἐμοὶ ἔτι ζ΄ ἔτη.

Ὁρᾷς ὅτι τοῦτο αὐτὸ μηχανώμενος ἅπαντα κατεσκεύασεν. ἐπειδὴ γὰρ εἶδε τὸν ἔρωτα ὃν περὶ τὴν κόρην ἐκέκτητο, φησί, μὴ νομίσῃς ἠδικῆσθαί σε. ἐπειδὴ γὰρ ἐστὶ παρ' ἡμῖν ὁ νόμος, ὥστε πρότερον τὴν πρεσβυτέραν ἐκδιδόναι ἀνδρί· διὰ τοῦτο μὲν τοῦτο γεγένηται· λήψῃ δὲ καὶ ταύτην ἣν ποθεῖς, ἐὰν τὰ ὅμοια ἔτη καὶ ὑπὲρ αὐτῆς δουλεύσῃς. ταῦτα ἀκούσας ὁ δίκαιος ἑτοίμως ἅπαντα κατεδέξατο, 28 Καὶ μετὰ ταῦτα ἕτερα ἑπτὰ ἔτη ἔδωκέ, φησιν, αὐτῷ τὴν θυγατέρα αὐτοῦ Ῥαχὴλ γυναῖκα. Ὁρᾷς πάλιν ὅτι τὰ τῶν γάμων γίνεται μετὰ πάσης κοσμιότητος. ἀλλ' ἀκούων ὅτι ἔλαβε τὴν πρεσβυτέραν, καὶ πάλιν τὴν νεωτέραν μὴ ταραχθῇς, μηδὲ πρὸς τὴν νῦν κατάστασιν τὰ τότε κρίναι πράγματα. τότε μὲν γάρ, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, συνεχωρεῖτο καὶ δυσὶ καὶ τρισὶ γυναιξὶ καὶ πλείοσι μίγνυσθαι, ὥστε τὸ γένος ἐκταθῆναι· νυνὶ δέ, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ τὸ τῶν ἀνθρώπων γένος ἐπὶ πολὺ πλῆθος ἐκτέταται, καὶ τὰ τῆς ἀρετῆς ἐπίδοσιν ἔσχε. παραγενόμενος γὰρ ὁ Χριστός, καὶ τὴν ἀρετὴν καταφυτεύσας ἐν τοῖς ἀνθρώποις, καὶ ἀγγέλους, ὡς εἰπεῖν, ἐξ ἀνθρώπων αὐτοὺς ἐργασάμενος, ἅπασαν ταύτην τὴν παλαιὰν συνήθειαν ἐξέκοψεν. ὁρᾷς πῶς οὐ δεῖ συνήθειαν προβάλλεσθαι, ἀλλὰ τὸ χρήσιμον πανταχοῦ ἐπιζητεῖν. ἰδοὺ γάρ· ἐπειδὴ κακὴ ἦν αὕτη ἡ συνήθεια, ὅρα πῶς ἐξεκόπη, καὶ οὐκ ἔξεστι νῦν οὐδενὶ ταύτην προβάλλεσθαι τὴν συνήθειαν. μηδαμοῦ τοίνυν, παρακαλῶ, συνήθειαν ἐπιζήτει, ἀλλὰ τὸ χρήσιμον ζήτει, καὶ μὴ τὸ ψυχοβλαβές. καὶ εἴ τι τυγχάνει καλόν, κἂν μὴ ᾖ συνήθεια, γινέσθω παρ' ἡμῶν· ἂν δέ τι βλαβερόν, κἂν ἐν συνηθείᾳ ᾖ, φεύγωμεν καὶ ἀποστρεφώμεθα.

Καὶ ἔδωκέ, φησιν, Ιακὼβ Ῥαχὴλ μετὰ Βάλλας τῆς παιδίσκης. Εἶδες πόση ἡ φιλοσοφία. μή που ἀνδραπόδων ἀγέλαι; μή που γραμματεῖα καὶ συνθῆκαι καὶ αἱρέσεις ἐκεῖναι αἱ καταγέλαστοι, ἐὰν τόδε γένηται, καὶ ἐὰν τόδε συμβῇ; καὶ εὐθέως πρὶν ἢ συνελθεῖν, τὸν οὐκ εἰδότες οὐδ' εἰ μέχρι τῆς ἑσπέρας διαμενοῦσι, τὰ μετὰ πολὺν ἐσόμενα χρόνον ἐν τοῖς γραμματείοις συντιθέασιν· ἐὰν ἄτεκνος, φησί, τελευτήσῃ, ἐὰν παιδία ἐσχηκώς, καὶ ὅσα τοιαῦτα. ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον, ἀλλὰ παιδίσκην μίαν ἑκάστῃ δοὺς ὁ πατήρ, οὕτω τὰς θυγατέρας ἐξεδίδου. 29 Ἠγάπησε δέ, φησι, Ῥαχὴλ μᾶλλον, ἢ Λείαν, καὶ ἐδούλευσεν αὐτῷ ζ΄ ἔτη ἕτερα.

Ἐπειδὴ γὰρ ἐξ ἀρχῆς διὰ τὴν εὐμορφίαν ἠράσθη τῆς κόρης, μάλιστα δὲ τυχεῖν ποτε ἠδυνήθη τοῦ σπουδαζομένου, ἐκείνην, φησί, πλέον ἠγάπα, ἤπερ τὴν Λείαν. καὶ γὰρ ἡ ταύτης εὐμορφία, φησίν, ἐφείλκετο αὐτὸν εἰς τὸν περὶ αὐτὴν πόθον. ἀλλ' ὅρα μοι ἐνταῦθα λοιπὸν τοῦ δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, καὶ πῶς τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα κατὰ μικρὸν εἰς ἔργον ἄγει. ὁ γὰρ εἰπών, ὅτι ἔσομαι μετὰ σοῦ διαφυλάττων σε ἐν πάσῃ ὁδῷ, ᾗ ἐὰν πορευθῇς, καὶ ὅτι αὐξανῶ σε καὶ πληθυνῶ, αὐτὸς καὶ νῦν ἅπαντα οἰκονομεῖ. καὶ ἵνα μάθῃς, ἄκουε καὶ αὐτῆς τῆς θείας γραφῆς τοῦτο σαφῶς λεγούσης.

30 Ἰδὼν δὲ κύριος ὁ Θεός, φησιν, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. 31 Καὶ συνέλαβε Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ. Ὅρα τοῦ εὐμηχάνου Θεοῦ τὴν σοφίαν. ἐπειδὴ ἡ μὲν ἀπὸ τῆς εὐμορφίας τὴν εὔνοιαν ἐπεσπάσατο τοῦ ἀνδρός, ἡ δὲ ταύτης ἀπεστερημένη μισεῖσθαι ἐδόκει, ταύτην μὲν διεγείρει πρὸς γονήν, ἐκείνης δὲ πηροῖ τὴν μήτραν, ἀμφότερα διὰ τὴν οἰκείαν φιλανθρωπίαν οἰκονομῶν,

νομῶν,

νομένη, ἵνα καὶ αὕτη διὰ τῶν ἐξ αὐτῆς τικτομένων σχῇ τινα παραμυθίαν ἐφελκομένη εἰς τὸν περὶ αὐτὴν πόθον τὸν ἄνδρα, κἀκείνη μὴ διὰ τὸ κάλλος καὶ τὴν εὐμορφίαν κατεξανίστηται τῆς ἀδελφῆς. καὶ διήνοιξέ, φησι, τὴν μήτραν αὐτῆς. μάνθανε ἐντεῦθεν, ἀγαπητέ, ὅτι ὁ τῶν ἁπάντων δημιουργός ἐστιν ὁ τὰ πάντα οἰκονομῶν, καὶ τὴν φύσιν αὐτὴν διεγείρων πρὸς γονήν, καὶ ὅτι οὐδὲν τῆς συνουσίας ὄφελος μὴ τῆς ἄνωθεν συμμαχίας γινομένης. διὰ γὰρ τοῦτο εἶπεν, ὅτι διήνοιξε τὴν μήτραν αὐτῆς, ἵνα γνῶμεν ὅτι αὐτὸς ὁ δεσπότης ἠβουλήθη τὴν Λείαν πρὸς τεκνογονίαν διεγεῖραι, ὥστε αὐτῆς τὴν ἀθυμίαν παραμυθήσασθαι. αὐτὸς γάρ ἐστιν ὁ καὶ ἐν τῇ μήτρᾳ διαπλάττων τὰ βρέφη καὶ ζωογονῶν, καθάπερ καὶ Δαβίδ φησιν, Ἀντελάβου μου ἐκ τῆς γαστρὸς μητρός μου. καὶ ὅρα πῶς δείκνυσιν ἡμῖν ἡ θεία γραφὴ τὸν τῆς φύσεως δημιουργὸν ἑκάτερα τῇ οἰκείᾳ δυνάμει ἐργαζόμενον, καὶ τῆς μὲν τὴν μήτραν διεγείροντα, τῆς δὲ Ῥαχὴλ ἐπέχοντα. δεσπότης γὰρ ὢν τῆς φύσεως μετ' εὐκολίας ἅπαντα ἐργάζεται. Καὶ συνέλαβέ, φησι, Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ. ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβήν, λέγουσα, ὅτι εἶδέ μου κύριος τὴν ταπείνωσιν. νῦν ἀγαπήσει με ὁ ἀνήρ μου. Ὅρα πῶς εὐγνώμων ἡ γυνή. θεασάμενος, φησι, τὴν ταπείνωσίν μου ὁ δεσπότης, παρέσχε μοι τὸν τόκον, ἵνα διὰ τούτου ἀγαπηθῆναι δυνηθῶ. καὶ θέα μοι τοῦ φιλανθρώπου Θεοῦ τὴν φιλοτιμίαν, πῶς ἐπιδαψιλεύεται, ὁμοῦ καὶ τὸ τοῦ δικαίου σπέρμα αὐξῆσαι βουλόμενος, καὶ ταύτην νῦν ποθεινοτέραν καταστῆσαι τῷ Ἰακώβ. 32 Καὶ συνέλαβέ, φησι, πάλιν, καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ, καὶ εἶπεν, ὅτι ἤκουσε κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. Σκόπει πῶς ἐφ' ἑκάστου τῶν παίδων εὐχαριστεῖ τῷ δεσπότῃ, καὶ εὐγνώμων γίνεται περὶ τὴν εὐεργεσίαν. ἤκουσέ, φησι, γὰρ ὁ κύριος, ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον, καὶ διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. εἶδες πῶς οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ τὰς ὀνομασίας τοῖς τικτομένοις ἐπετίθει. ἐκάλεσε γὰρ αὐτὸν Συμεών, ἐπειδὴ ἤκουσε κύριος. τοῦτο γὰρ ἑρμηνεύεται τὸ ὄνομα τῇ Ἑβραϊκῇ διαλέκτῳ, ὅτι ἠκούσθη. 33 Καὶ συνέλαβεν ἔτι καὶ ἕτερον υἱόν, καὶ εἶπεν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λευΐ.

Δοκεῖ μοι ἐνταῦθα αἰνίττεσθαι, ὅτι καὶ τῶν δύο τεχθέντων οὐδέπω ἴσχυσεν εἰς τὴν περὶ αὐτὴν διάθεσιν ἐφελκύσασθαι τὸν ἄνδρα, ἀλλ' ἔτι ὅλως ἦν πρὸς τὴν Ῥαχὴλ νενευκώς. διὰ τοῦτό, φησιν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τάχα, φησί, κἂν ἡ προσθήκη τοῦ τρίτου παρασκευάσῃ τὸν ἄνδρα εὐνοϊκῶς περὶ ἐμὲ διατεθῆναι. ἰδοὺ γάρ αὐτῷ τέτοκα τρεῖς υἱούς. 34 Καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱόν, καὶ εἶπε, νῦν ἔτι τοῦτο ἐξομολογήσομαι τῷ κυρίῳ. Τὸ ἐξομολογήσομαι ἐνταῦθα, εὐχαριστήσω καὶ δοξάσω αὐτόν, ὅτι καὶ τέταρτον προσέθηκέ μοι υἱόν, καὶ τοσαύτην μοι τὴν εὐπορίαν ἐχαρίσατο, καὶ ὅπερ ἀπὸ τῆς τοῦ σώματος ἀμορφίας εἰς τὴν παρὰ τοῦ ἀνδρὸς εὔνοιαν ἔμελλον καταβλάπτεσθαι, τοῦτο ἡ τῶν τέκνων παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας χαρισθέντων μοι γονὴ διωρθώσατο, καὶ τῆς ἀθυμίας τὴν ὑπερβολὴν διεσκέδασε. τὴν γὰρ διὰ τὴν ἀμορφίαν μισουμένην με πρίν, νῦν αὐτὸς ἐσεῖται παραμυθησάμενος, καὶ μεταστήσας τὸ μῖσος εἰς τὴν ἀδελφὴν τὴν ἐμήν. Τεκοῦσα δέ, φησι, τὸν Ἰούδαν, ἔστη τοῦ τίκτειν.

1 Ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, ἐζήλωσε τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ, δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. κεφ. λ.

Ἀπερίσκεπτος ἡ αἴτησις καὶ γυναικώδης, καὶ ψυχῆς ὑπὸ τῆς ζηλοτυπίας πολιορκουμένης, δός μοι τέκνα. οὐκ ἤκουσας ὅτι οὐχ ἡ τοῦ ἀνδρὸς συνουσία ἐκείνη τὸν τόκον παρέχει, ἀλλὰ κύριος ὁ Θεός, ὁ ἰδών, φησιν, ὅτι μισεῖται, ἤνοιξε τὴν μήτραν αὐτῆς; τίνος οὖν

Ψαλ. ρλη. ιβ.

ἕνεκεν τὰ ὑπὲρ τὴν φύσιν ἀπαιτεῖς παρὰ τοῦ ἀνδρός, καὶ καταλιποῦσα τὸν τῆς φύσεως δεσπότην τῷ ἀνδρὶ ἐγκαλεῖς τῷ μηδὲν πρὸς τοῦτο συμβάλλεσθαί σοι δυναμένῳ; δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. δεινὸν ἡ ζηλοτυπία κακόν. καὶ γὰρ εἰς ἀφροσύνην ἐκπίπτει, ὃ δὴ καὶ αὕτη πέπονθεν. ὁρῶσα γὰρ τῶν τέκνων τῆς ἀδελφῆς τὸν χορόν, καὶ τὴν οἰκείαν ἐρημίαν λογιζομένη, οὐκ ἔφερε τὴν ἐπήρειαν, οὐδὲ κατασχεῖν ἠδυνήθη τοῦ ταράττοντος αὐτὴν λογισμοῦ, ἀλλ' ἐκεῖνα τὰ ἀνοίας ἀνάμεστα φθέγγεται ῥήματα, καί φησι, δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. ἴσως εἶδε τοῦ ἀνδρὸς τὸν περὶ αὐτὴν πόθον, καὶ νομίζουσα παρὰ τὴν ἐκείνου αἰτίαν κἀκείνην τοσούτους ἐσχηκέναι παῖδας, καὶ ταύτην μηδέπω τετοκέναι, φησί, δός μοι τέκνα. εἶτα φοβῆσαι βουλομένη τὸν ἄνδρα, ἐπάγει, εἰ δὲ μή, τελευτήσω ἐγώ. Τί οὖν ὁ φιλόθεος Ἰακώβ; 2 Ἐθυμώθη, φησί, πρὸς τὰ ῥηθέντα, καὶ εἶπεν αὐτῇ· μὴ ἀντὶ Θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρποῦ κοιλίας; Τί, φησι, καταλιποῦσα τὸν δεσπότην τῆς φύσεως, τὴν μέμψιν ἐμοὶ ἐπάγεις; ἐκεῖνός ἐστιν ὁ ἀποστερήσας σε τοῦ καρποῦ τῆς κοιλίας. διατί μὴ παρ' ἐκείνου ζητεῖς τοῦ δυναμένου διανοῖξαι τῆς φύσεως τὸ ἐργαστήριον, καὶ διεγεῖραι τὴν μήτραν πρὸς γονήν; μάνθανε τοίνυν, ὅτι ἐκεῖνος ὁ σε στερήσας τοῦ καρποῦ τῆς κοιλίας, καὶ τῇ ἀδελφῇ τῇ σῇ τὴν τοσαύτην εὐπορίαν ἐχαρίσατο. μὴ τοίνυν παρ' ἐμοῦ ζήτει, ἃ μὴ δύναμαι παρασχεῖν, καὶ ὧν οὐκ εἰμὶ κύριος. εἰ γὰρ ἐπ' ἐμοὶ τοῦτο ἦν, πάντως ἄν σε τῆς ἀδελφῆς προετίμησα, τὴν πλείονα εὔνοιαν περὶ σὲ κεκτημένος. ἐπειδὴ δέ, κἂν μυριάκις εὐνοϊκῶς περὶ σὲ διακείμενος, οὐδέν σε πρὸς τοῦτο συμβάλλεσθαι δυνήσομαι, παρ' ἐκείνου ζήτει τοῦ καὶ τὴν στείρωσιν ἐπάγοντος, καὶ ταύτην λῦσαι δυναμένου. ὅρα τοῦ δικαίου τὴν σύνεσιν, ὅπως καὶ εἰς θυμὸν ἐξενεχθεὶς ἐκ τῶν παρ' αὐτῆς ῥηθέντων, μετὰ πολλῆς τῆς σοφίας τὴν πρὸς αὐτὴν ἀπόκρισιν ποιεῖται, μετὰ ἀκριβείας αὐτὴν πάντα διδάσκων, καὶ τὴν αἰτίαν αὐτῇ δήλην ποιῶν, ἵνα μὴ καταλιποῦσα τὸν δεσπότην, παρ' ἑτέρου ζητῇ, ἅπερ ἐκεῖνος μόνος παρασχεῖν δύναται. μαθοῦσα τοίνυν ὅτι παρὰ τοῦ Θεοῦ τὸ τίκτειν ἀπεστέρηται, καὶ ὁρῶσα τὴν ἀδελφὴν κομῶσαν τοῖς τέκνοις, μετεῖσι γοῦν παραμυθίαν ποριζομένη, φησὶ τῷ Ἰακώβ· ἐπειδὴ νῦν με ἐδίδαξας, ὅτι οὐ παρὰ τὴν σὴν αἰτίαν ἄτεκνος ἐγὼ τυγχάνω, κἂν τὴν παιδίσκην μου λαβὼν τεκνοποίησον ἐξ αὐτῆς, ἵνα κἂν βραχεῖαν παραμυθίαν εὑρεῖν δυνηθῶ, τὰ παρ' αὐτῆς τικτόμενα οἰκειουμένη.

4 Καὶ ἔδωκεν αὐτῷ, φησι, Βάλλαν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ συνέλαβε, καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν, 5 Καὶ εἶπε Ῥαχήλ, ἔκρινέ μοι ὁ Θεός, καὶ ἐπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν. Βραχεῖαν γοῦν ἔσχε παράκλησιν τεκούσης τῆς παιδίσκης. διὸ καὶ αὐτὴ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδί, καὶ εὐχαριστεῖ τῷ δεσπότῃ ὑπὲρ τοῦ τεχθέντος. 6 Καὶ συνέλαβέ, φησιν, ἔτι Βάλλα, καὶ ἔτεκε, 7 Καὶ εἶπε Ῥαχήλ, συναντελάβετό μου ὁ Θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνήθην. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλείμ. Καὶ ἐμάνθανε λοιπὸν διὰ τῆς παιδίσκης σαφῶς, ὅτι οὐχ ὁ Ἰακὼβ αἴτιος αὐτῇ τῆς ἀτεκνίας ἐγένετο. διὸ καὶ τοὺς τεχθέντας ὡς οἰκείους παῖδας ἀνατρέφει, καὶ τὰς προσηγορίας ἐπιτίθησι, μεγίστην ἑαυτῇ παραμυθίαν ἐντεῦθεν ἐπινοήσασα. 8 Ἰδοῦσα δέ, φησι, Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ αὐτὴ τὴν παιδίσκην τὴν Ζέλφαν ἔδωκε τῷ Ἰακὼβ εἰς γυναῖκα. 9 Καὶ συνέλαβε καὶ ἔτεκε, καὶ εἶπε Λεία, 10 Τετύχηκα, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ·

Ἀντὶ τοῦ, ἐπέτυχον τοῦ σκοποῦ. καὶ ἐπειδὴ εἰς ἔργον ἐξῆλθεν αὐτῇ τὸ σπουδασθέν, ἐπωνόμασεν αὐτόν, φησι, Γάδ. 11 Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν ἕτερον, 12 Καὶ εἶπε Λεία, μακαρία ἐγώ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ. Εἶδες καὶ ταύτην τοὺς παρὰ τῆς παιδίσκης τεχθέντας πῶς ᾠκειώσατο, καὶ μακαρίαν ἑαυτὴν εἶναι λέγει, καὶ μακαρισμοῦ ἀξίαν ἐπὶ τῷ τόκῳ τῶν παίδων. ἀλλ' ὅρα μοι πάλιν τὰ μετὰ ταῦτα, ἵνα μάθῃς ὅπως τὸ τῆς ζηλοτυπίας πάθος ἐντεῦθεν ἐκεῖσε, κἀκεῖθεν ὧδε μετέβαινε, καὶ ποτὲ μὲν ἐκείνη τούτῳ ἐπολιορκεῖτο, ποτὲ δὲ αὕτη. 13 Ἐπορεύθη δέ, φησι, Ῥουβὴν ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ τῇ μητρὶ αὐτοῦ. 14 Καὶ εἶπε Ῥαχὴλ τῇ Λείᾳ, δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. 15 Εἶπε δὲ Λεία, οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ;

Ὁρᾷς πῶς τὸ πάθος τῆς ψυχῆς διὰ τῶν ῥημάτων κατάδηλον ποιεῖ. οὐχ ἱκανόν σοί, φησιν, ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ;

Εἶπε δὲ Ῥαχήλ, οὐχ οὕτω. κοιμηθήτω δὴ μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου, καὶ λαβὲ μετὰ σοῦ τὸν ἄνδρα. Ὁρᾷς πῶς δείκνυται ὅλως τῇ εὐνοίᾳ τῆς Ῥαχὴλ προσκείμενος. εἰ γὰρ καὶ τοσούτων παίδων χορὸν τικτούσης τῆς Λείας, ἔτι πρὸς τὴν Ῥαχὴλ ἦν προσκείμενος τῇ εὐνοίᾳ, εἰ μὴ τοῦτο ἐγεγόνει, πῶς ἂν ἐνεγκεῖν ἡ Λεία ἠδυνήθη τὴν μετὰ τῆς ἀδελφῆς συνοίκησιν; ὡς γὰρ ἐξουσίαν ἅπασαν ἔχουσα τοῦ ἀνδρός, οὕτω προΐεται τῶν μανδραγορῶν τὸν ἄνδρα, καί φησι, κοιμηθήτω σήμερον μετὰ σοῦ ἀντὶ τῶν μανδραγορῶν. πλήρωσόν μου, φησι, τὴν ἐπιθυμίαν τὴν ἐπὶ τοῖς μανδραγόραις, καὶ δέχου τὸν ἄνδρα. 16 Παραγινομένου δὲ τοῦ Ἰακώβ, ἐξελθοῦσα εἰς συνάντησιν ἡ Λεία εἶπε, πρὸς ἐμὲ εἰσελεύσῃ σήμερον. μεμίσθωμαι γάρ σε σήμερον ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου. καὶ ἐκοιμήθη, φησί, μετ' αὐτῆς τὴν νύκτα ἐκείνην,

17 Καὶ ἐπήκουσεν ὁ Θεὸς Λείας, καὶ συλλαβοῦσα ἔτεκε τὸν πέμπτον υἱόν,

18 Καὶ εἶπε Λεία, ἔδωκέ μοι ὁ Θεὸς τὸν μισθόν μου ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσαχάρ, ὅ ἐστι μισθός.

Ἐπήκουσέ, φησιν, ὁ Θεὸς τῆς Λείας. ἐπειδὴ ἑώρα κατώδυνον αὐτὴν οὖσαν καὶ παρευδοκιμουμένην, ἐπήκουσεν αὐτῆς ὁ Θεός, καὶ ἔτεκε καὶ εἶπεν, ἐκομισάμην μισθὸν ὑπὲρ ὧν ἔδωκα τὴν παιδίσκην μου. διὰ τοῦτο ἐκάλεσε αὐτὸν Ἰσαχάρ.

19 Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱὸν ἕκτον,

20 Καὶ εἶπε Λεία, δεδώρηταί μοι ὁ Θεὸς δῶρον καλόν. ἐν τῷ νῦν καιρῷ αἱρετιεῖ με ὁ ἀνήρ μου. τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. Λοιπόν, φησιν, ἐπέραστος ἔσομαι κἀγὼ τῷ ἀνδρί μου· ἔτεκον γὰρ ἓξ υἱούς. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. 21 Ἔτεκε δὲ καὶ θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δεῖνα. 22 Ἐμνήσθη δὲ ὁ Θεός, φησι, τῆς Ῥαχήλ, καὶ ἐπήκουσεν αὐτῆς, καὶ ἤνοιξεν αὐτῆς τὴν μήτραν, 23 Καὶ συνέλαβε καὶ ἔτεκε Ἰακὼβ υἱόν. Εἶπε δὲ Ῥαχήλ, ἀφεῖλέ μου ὁ Θεὸς τὸ ὄνειδος. 24 Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσήφ, λέγουσα, προσέθετό μοι ὁ Θεὸς υἱὸν ἕτερον. Ἀφεῖλέ μου, φησιν, ὁ Θεὸς τὸ ὄνειδος, ἔλυσε τὴν στείρωσιν, κατηλλάγη, καὶ διήγειρέ μου πρὸς παιδοποιΐαν τὴν μήτραν, καὶ ἠλευθέρωσέ με τοῦ ὀνειδισμοῦ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσήφ, λέγουσα, προσέθετό μοι ὁ Θεὸς υἱὸν ἕτερον. ὁρᾷς πῶς αἱ τοῦ Θεοῦ ὑποσχέσεις κατὰ μικρὸν εἰς ἔργον ἐξήεσαν. ἰδοὺ γὰρ ἀθρόον πόσων παίδων χορὸν ὁ δίκαιος ἔσχε διὰ τὴν τοῦ Θεοῦ περὶ αὐτὸν πρόνοιαν. ἐπειδὴ γὰρ πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο ἐν δεκατέσσαρσιν ἔτεσι τὴν δουλείαν ἀσπαζόμενος, διὰ τοῦτο καὶ ὁ τῶν ὅλων Θεὸς ἀμειβόμενος τοῦ δικαίου τὸ φιλόθεον, εἰς τοσοῦτον αὐτὸν αὐξηθῆναι παρεσκεύασεν, ὡς ἐπίφθονον γενέσθαι λοιπόν, ὡς ἐκ

τῶν ἑξῆς μαθησόμεθα, οἷς ἐβουλόμην ἐπεξελθεῖν.

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνοντες παρενοχλεῖν δόξωμεν τῇ ὑμετέρᾳ ἀγάπῃ, εἰ δοκεῖ, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευσάμενοι, τὸν λόγον ἐνταῦθα καταπαύσωμεν, ἐκεῖνο παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ, μεμνῆσθαι τῶν εἰρημένων, ζηλοῦν τῶν παλαιῶν τὴν ἀρετήν, οὕτω τοὺς παῖδας ἑαυτῶν ἐκδιδόναι, οὕτω τὰς θυγατέρας τοῖς νυμφίοις παραδιδόναι, οὕτω διὰ τῆς οἰκείας ἀρετῆς τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν ἐπισπάσασθαι. ὅταν γὰρ ἐκεῖνος ἡμῖν εὐμενὴς ᾖ, κἂν ἐπ' ἀλλοτρίας ὦμεν, κἂν πάντων ἔρημοι, κἂν μηδενὶ γνώριμοι, πάντων ἐσόμεθα περιφανέστεροι. οὐδὲν γὰρ μακαριώτερον ἀνδρὸς ὑπὸ τῆς ἄνωθεν χειρὸς βοηθουμένου. ἐκείνης γοῦν ἀπολαύων τῆς συμμαχίας καὶ ὁ μακάριος Ιακὼβ ἐπὶ τοσαύτην κατὰ μικρὸν ηὐξήθη περιφάνειαν, ὡς καὶ αὐτοῖς τοῖς ὑποδεξαμένοις ἐπίφθονος γενέσθαι. τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάζωμεν, ὥστε τῆς ἐκεῖθεν ἀξιοῦσθαι βοηθείας, καὶ μὴ πρὸς τὰς ἀνθρωπίνας καταφεύγωμεν δυναστείας, μηδὲ τὴν τούτων προστασίαν διώκωμεν. οὐδὲν γὰρ ταύτης ἐπισφαλέστερον, καὶ τοῦτο ἡ πεῖρα τῶν πραγμάτων ἡμᾶς ἱκανὴ διδάξαι. καὶ γὰρ ὁρῶμεν καθ' ἑκάστην ἡμέραν ὀξυρρόπους τὰς μεταβολάς, καὶ εἰς τὸ ἐναντίον ἅπαντα περιτρεπόμενα, καὶ τὸν ἐν τῇ ἀνωτάτω εὐημερίᾳ πρὸ μικροῦ τυγχάνοντα, ἀθρόον εἰς ἐσχάτην δυσπραγίαν καταφερόμενον, καὶ τὰ τῶν καταδίκων πολλάκις ὑπομένοντα. ποίας οὖν ἂν εἴη παρανοίας τούτων μεταδιώκειν τὴν προστασίαν, τῶν ἐν τοσαύτῃ ἀδηλίᾳ τυγχανόντων, καὶ οὐδὲ τὰ καθ' ἑαυτοὺς ἱκανῶν ὄντων μετὰ ἀσφαλείας διαθεῖναι; διὸ πάσης μὲν ἀνθρωπίνης προστασίας ἑαυτοὺς ἀποστήσωμεν, μεμνημένοι καὶ τοῦ προφήτου λέγοντος, Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον. ὁρᾷς ὅτι ὁ τοιοῦτος οὐ μόνον ἀνόητος, ἀλλὰ καὶ ἐπικατάρατος, ἅτε δὴ καταλιπὼν τὸν τῶν ἁπάντων δεσπότην, καὶ πρὸς τὸν ὁμόδουλον τρέχων, τὸν οὐδὲ ἑαυτῷ ἀρκέσαι δυνάμενον. φεύγωμεν τοίνυν τὴν κατάραν ταύτην παρακαλῶ, καὶ τὴν ἐλπίδα πᾶσαν ἐπὶ τὸν Θεὸν μεταστήσωμεν. αὕτη γὰρ βεβαία καὶ ἀκίνητος καὶ μεταβολὴν οὐκ ἐπιδεχομένη, καθάπερ ἡ ἐπὶ τῶν ἀνθρώπων. ἢ γὰρ θάνατος ἐνταῦθα διέκοψε τὴν προστασίαν, καὶ γυμνοὺς καὶ ἐρήμους γενέσθαι παρεσκεύασε τοὺς ἐπὶ τοῦτον καταφυγόντας, ἢ καὶ πρὸ τοῦ θανάτου μεταβολὴ πραγμάτων ἐπελθοῦσα, ἅπαντα ἄκυρα ἀμφοῖν πεποίηκε. καὶ τούτων τῶν παραδειγμάτων πᾶς γέμει ὁ βίος. διὸ οὐδὲ συγγνώμης εἰσὶν ἄξιοι, οἱ μετὰ τὴν τοσαύτην πεῖραν ἔτι τῇ ἀνθρωπίνῃ προστασίᾳ προστετηκότες, καὶ πολλάκις ὑπ' αὐτῶν τῶν δοκούντων εἶναι προστατῶν τὰ μυρία δεινὰ ὑπομένοντες. τοσαύτη γὰρ τῆς κακίας ἡ ὑπερβολή, ὡς καὶ τοὺς θεραπεύοντας τοῖς ἐναντίοις ἀμείβεσθαι. ἐπὶ δὲ τοῦ τῶν ὅλων Θεοῦ ἅπαν τοὐναντίον. καὶ ἀγνωμονοῦντας ἡμᾶς ἑκάστοτε εὐεργετεῖ, καὶ τὴν οἰκείαν ἀπονέμει προστασίαν, οὐ πρὸς τὴν ἡμετέραν ὁρῶν ἀγνωμοσύνην, ἀλλὰ τὴν οἰκείαν ἐν ἅπασι φιλανθρωπίαν, * ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιερ. ιζ. α.

* μεμψόμ

Λογ. νζ. ΕΓΕΝΕΤΟ ΔΕ ΩΣ ΕΤΕΚΕ ΡΑΧΗΛ ΤΟΝ ΙΩΣΗΦ, εἶπεν ὁ Ιακὼβ τῷ Λάβαν, ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου,

ΤΑ

Τὰ λειπόμενα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα καὶ ἐκ τῶν νῦν λεγομένων καὶ τὴν τοῦ Θεοῦ κηδεμονίαν, ἣν περὶ τὸν Ἰακὼβ ἐπεδείκνυτο, καὶ τὸ τοῦ δικαίου φιλόθεον καταμαθόντες ζηλώσωμεν τοῦ ἀνδρὸς τὴν ἀρετήν. οὐδὲ γὰρ ἁπλῶς ἡμῖν τὰς ἱστορίας ταύτας ἀναγράπτους ἡ τοῦ πνεύματος χάρις γενέσθαι παρεσκεύασεν, ἀλλ' ἵνα πρὸς μίμησιν ἡμᾶς διεγείρῃ καὶ ζῆλον τῶν ἐναρέτων ἀνδρῶν. ὅταν γὰρ ἀκούσωμεν τοῦ μὲν τὴν ὑπομονήν, τοῦ δὲ τὴν σωφροσύνην, ἑτέρου δὲ περὶ τὴν φιλοξενίαν ἕτοιμον, καὶ ἑκάστου τὴν πολλὴν ἀρετήν, καὶ ὅπως τούτων ἕκαστος διέλαμψε καὶ περιφανέστερος γέγονεν, εἰς τὸν ὅμοιον διεγειρόμεθα ζῆλον. φέρε οὖν καὶ τὰ λειπόμενα τῆς κατὰ τὸν δίκαιον τοῦτον ἱστορίας σήμερον ἐπελθόντες, τέλος ἐπιθῶμεν τῷ λόγῳ. 25 Ἐγένετο δέ, φησιν, ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου, καὶ εἰς τὴν γῆν μου. 26 Ἀπόδος μοι τὰς γυναῖκάς, καὶ τὰ παιδία μου, περὶ ὧν δεδούλευκά σοι. Ὅρα τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην, πῶς ὁρῶν ἐναργῆ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν περὶ αὐτόν, οὐδὲν μέγα ἐφρόνησε κατὰ τοῦ Λάβαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας φησίν, ἀπόστειλόν με, ἵνα ἀπέλθω. ἀληθῶς οὐδὲν ἐπιεικείας ἰσχυρότερον, καὶ οὐδὲν ταύτης δυνατώτερον. ὅρα γοῦν, ἐπειδὴ προσλαβὼν τῇ ἐπιεικείᾳ ἐχρήσατο, ὅπως καὶ τὸν Λάβαν παρεσκεύασε μετὰ πολλῆς τῆς εὐγνωμοσύνης τὴν πρὸς αὐτὸν ἀπόκρισιν ποιήσασθαι. 27 Εἶπε γὰρ αὐτῷ, φησι, Λάβαν, εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν. εὐλόγησε γάρ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ.

28 Διάστειλον τὸν μισθόν σου πρὸς μέ, καὶ δώσω.

Οὐκ ἀγνοῶ, φησιν, ὅτι μετὰ τὴν σὴν παρουσίαν πλουσίως ἀπήλαυσα τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας. ἐπεὶ οὖν αἰσθάνομαι τῆς εὐεργεσίας, ἧς διὰ τὴν σὴν παρουσίαν ἔτυχον, ὃν βούλει μισθὸν πρότεινον, κἀγὼ ἑτοίμως παρέξω. σκόπει πόσον ἐστὶν ἐπιείκεια, καὶ μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον· ἀλλ' ἐννόησον ὅτι οὐδὲ μνήμην ποιησαμένου τοῦ δικαίου, οὐδὲ ἐπιζητήσαντος τὸν μισθὸν τῶν καμάτων, ἀλλὰ τοῦτο μόνον εἰρηκότος, ὅτι ἀπόδος μοι τὰς γυναῖκάς καὶ τὰ παιδία, ὑπὲρ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω, ἐκεῖνος αἰδεσθεὶς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, φησιν, εἰπὲ τίνα βούλει μισθὸν παρ' ἐμοῦ σοι δοθῆναι, καὶ τοῦτον προθύμως δώσω. μὴ γὰρ οὐ σὺν αὐτῷ ἦσαν αἱ γυναῖκες καὶ τὰ παιδία; τίνος οὖν ἕνεκεν ἔλεγεν, ἀπόδος μοι τὰς γυναῖκάς καὶ τὰ παιδία; τὴν προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμων, καὶ τὸν οἰκεῖον τρόπον διὰ πάντων ἐμφαίνων, καὶ μετ' ἐλευθερίας τὴν ἀναχώρησιν ποιήσασθαι βουλόμενος. ὅρα γοῦν ἐκ τῶν ῥημάτων τούτων ὅπως ἐφειλκύσατο τὸν Λάβαν, ὡς καὶ μισθὸν ἐπαγγείλασθαι προθεῖναι, καὶ τούτῳ αὐτῷ ἐπιτρέψαι τὴν αἵρεσιν. τί οὖν ὁ δίκαιος; ὅρα πάλιν τῆς αὐτοῦ ἐπιεικείας τὴν ὑπερβολήν, καὶ ὅπως οὐδὲ οὕτως ἐπαχθὴς γίνεται καὶ φορτικὸς τῷ Λάβαν. ἀλλὰ τί; πάλιν αὐτὸν μάρτυρα καλεῖ τῆς εὐγνωμοσύνης αὐτοῦ, καὶ τῆς ἐν τῷ χρόνῳ παντὶ γενομένης παρ' αὐτοῦ εὐνοίας περὶ τὴν δουλείαν.

29 Σὺ γινώσκεις, φησίν, ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ.

30 Μικρὰ γὰρ ἦν ὅσα σοι ἐναντίον ἐμοῦ. καὶ ηὐξήθη εἰς πλῆθος, καὶ εὐλόγησέ σε κύριος ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;

Σὲ μάρτυρα, φησι, καλῶ τῶν καμάτων τῶν ἐμῶν. οἶδας γὰρ πῶς μετ' εὐνοίας τὰ παρ' ἐμαυτοῦ ἅπαντα ἐπεδειξάμην, καὶ ὅπως εὐαρίθμητα λαβὼν τὰ θρέμματά σου, τῇ ἐπιμελείᾳ τῇ ἐμαυτοῦ καὶ τῇ ἀγρυπνίᾳ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι πεποίηκα. εἶτα ἐπιδεικνὺς ἑαυτοῦ τὸ φιλόθεον, φησὶν, εὐλόγησε γάρ σε κύριος ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον; οἶδας καὶ αὐτὸς, ὅτι μετὰ τὴν ἐμὴν παρουσίαν ἡ ἄνωθεν χάρις ηὔξησέ σου τὴν περιουσίαν. νῦν οὖν ἐπειδὴ κἀγὼ τὰ παρ' ἐμαυτοῦ πάντα ἐπεδειξάμην μετὰ πάσης εὐνοίας τὴν ὑπηρεσίαν ἀποπληρώσας, καὶ ἡ παρὰ τοῦ Θεοῦ ῥοπὴ δήλη γέγονε, δίκαιον κἀμὲ ἐμαυτῷ ποιῆσαι οἶκον. τί δέ ἐστι ποιῆσαι ἐμαυτῷ οἶκον; ἀντὶ τοῦ, ἐν ἐλευθερίᾳ λοιπὸν διάγειν, καὶ οἰκίας φροντίδα ἰδίας ποιήσασθαι. Ταῦτα ἀκούσας ὁ Λάβαν, 31 Εἶπεν αὐτῷ, τί σοι δώσω; Ἢ τί βούλει παρ' ἐμοῦ σοι δοθῆναι, εἰπέ· ὁμολογῶ γὰρ κἀγὼ, καὶ οὐκ ἀρνηθείην. οἶδα γὰρ ὅσα μοι ὑπῆρξε παρὰ τοῦ Θεοῦ, καὶ ὅτι εὐλόγησέ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. Εἶπε δέ, φησιν, αὐτῷ Ἰακώβ, οὐ δώσεις μοι οὐδέν. ἐὰν δὲ ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου. Οὐδέν, φησι, βούλομαι παρὰ σοῦ μισθῶν ἕνεκα κομίσασθαι, ἀλλὰ τοῦτο μόνον ὃ λέγω καταδέξασθαι, καὶ πάλιν ποιμανῶ τὰ πρόβατά σου. ὃ δὲ βούλομαι, ἐστὶ τοῦτο. ὅρα τὸν δίκαιον, ἐπειδὴ ἐπεποίθει τῇ περὶ αὐτὸν τοῦ Θεοῦ ῥοπῇ, οἵαν πρότασιν τῷ Λάβαν προτίθησι. 32 Παρελθέτω, φησὶ, τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἄρνασι, καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξὶν, ἔσται μοι μισθός. 33 Καὶ ἐπακούσεταί μου ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ αὔριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου. πᾶν ὃ ἂν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ, καὶ φαιὸν ἐν τοῖς ἄρνασι, κεκλεμμένον ἔσται μοι. Σκόπει τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ ᾔδει ὅσης ἀξιοῦται τῆς ἄνωθεν εὐνοίας, καὶ ἐδόκει κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν τοῦτο ἢ δυσχερὲς εἶναι, ἢ καὶ πάντη ἀδύνατον (σπάνιον ἦν γάρ ποτε τοῦτο, ἐνηλλαγμένην εἶναι τὴν χροιὰν τῶν τικτομένων) ταῦτα αἰτεῖται παρ' αὐτοῦ. ὅθεν καὶ ταχέως ἐπέδραμεν ὁ Λάβαν τῇ αἰτήσει, 34 Καί φησιν, ἔστω κατὰ τὸ ῥῆμά σου. 35 Καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ διαλεύκους, καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους, καὶ πᾶν ὃ ἦν λευκὸν ἐπ' αὐτοῖς, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι. καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ, 36 Καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ. Χωρίσας, φησὶ, τὰ " πρόβατα κατὰ τὴν τοῦ Ἰακὼβ πρότασιν, ἔδωκε τοῖς υἱοῖς αὐτοῦ. Ἰακὼβ δὲ ἐποίμανε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα. ποῖα δὴ ταῦτα; τὰ μηδεμίαν ἔχοντα ἐν τῇ χροιᾷ διαφοράν. τοῦτο δὲ πᾶν ἐγένετο, ἵνα καὶ ὁ δίκαιος διὰ τῶν πραγμάτων μάθῃ τοῦ Θεοῦ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ ὁ Λάβαν ἴδῃ ὅσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς ὁ Ἰακώβ.

γρ. οἰκίας φροντίδας ποιεῖ.

γρ. ποίμνια

37 Ἔλαβε δέ, φησιν, ἑαυτῷ ὁ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν, καὶ καρυΐνην, καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς ὁ Ἰακὼβ λεπίσματα λευκά. 38 Περισύρας τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ ταῖς ῥάβδοις τὸ λευκὸν, ὃ ἐλέπισε, ποικίλον. 39 Καὶ προσέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν, ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. 40 Καὶ ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους. καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά.

Ταῦτα ποιεῖ ὁ δίκαιος, οὐκ οἴκοθεν ὁρμώμενος, ἀλλὰ τῆς ἄνωθεν χάριτος ἐνηχούσης αὐτοῦ τῇ διανοίᾳ. οὐδὲ γὰρ ἦν κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενον, ἀλλὰ πολὺ τὸ παράδοξον καὶ ὑπερβαῖνον τὴν φυσικὴν ἀκολουθίαν ἦν. καὶ τοὺς ἀμνοὺς διέστειλε, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον, καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς, καὶ διεχώρισεν ἑαυτῷ ποίμνιον καθ' ἑαυτὸν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν. ἐπειδὴ λοιπὸν τοσαῦτα ἦν τὰ τικτόμενα, ἅπαντα ὅσα προσέθηκε, 41 Διεχώρισεν αὐ-

τά,

κεφ. λα.

τά, φησι, καὶ ἐποίησεν ἑαυτῷ ποίμνιον κατὰ μόνας. 42 Ἐγένετο δὲ ἐν τῷ καιρῷ, ἐν ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων, τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους. 43 Ἡνίκα δ' ἂν ἔτικτε τὰ πρόβατα, οὐκ ἐτίθει. ἐγένετο δὲ τὰ ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ. 44 Καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφοδρῶς.

Τί βούλεται ὁ διπλασιασμός; τὴν πολλὴν περιουσίαν ἐστὶν ἐμφαίνων, καὶ ὅτι οὐχ ἁπλῶς σφόδρα ἐπλούτησεν, ἀλλὰ πολὺ σφόδρα. Ἐγένετο γὰρ αὐτῷ, φησι, κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι. Ἀλλ' ὅρα μοι πάλιν τὸν φθόνον τὸν ἐντεῦθεν τικτόμενον τῷ δικαίῳ.

κεφ. λα.

1 Ἤκουσε γὰρ τὰ ῥήματα τῶν υἱῶν Λάβαν λεγόντων, Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην.

Ὅρα πῶς ἡ βασκανία εἰς ἀγνωμοσύνην αὐτοὺς ἐνήγαγε, καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν Λάβαν. 2 Εἶδε γάρ, φησιν, Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτόν, ὡς χθὲς καὶ τρίτην ἡμέραν. Τὰ γὰρ ῥήματα τῶν παίδων διεσάλευσεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἐπιλαθέσθαι πεποίηκεν ὧν πρώην διαλεγόμενος τῷ Ἰακὼβ ἐφθέγξατο, εἰπών, εὐλόγησέ με ὁ Θεὸς * τῇ σῇ εἰσόδῳ. καὶ ὁ εὐεργετήσας τῷ δεσπότῃ, ὅτι διὰ τὴν τοῦ δικαίου παρουσίαν αὐξηθῆναι αὐτοῦ τὴν περιουσίαν πεποίηκε, νῦν παρατραπεὶς τὴν διάνοιαν ὑπὸ τῶν παίδων, καὶ εἰς βασκανίαν " ἐξαφθεὶς ἴσως, ἐπειδὴ ἑώρα ἐν πολλῇ περιουσίᾳ τὸν δίκαιον τυγχάνοντα, οὐχ ὁμοίως αὐτῷ προσφέρεσθαι ἐβούλετο. Εἶδε γάρ, φησιν, Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτόν, ὡς χθὲς καὶ τρίτην ἡμέραν. Εἶδες τὴν μὲν δικαίου τὴν πολλὴν ἐπιείκειαν, ἐκείνων δὲ τὴν ἀγνωμοσύνην· καὶ ὅπως οὐ φέροντες κατέχειν τῆς βασκανίας, καὶ τοῦ πατρὸς τὴν γνώμην διεσάλευσαν. ὅρα λοιπὸν τοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν, καὶ ὅσῃ συγκαταβάσει κέχρηται, ἐπειδὰν ἴδῃ τὰ παρ' ἑαυτῶν εἰσφέροντας ἡμᾶς. ὁρῶν γὰρ τὸν δίκαιον ὑπ' αὐτῶν βασκαινόμενον, 3 Φησὶ πρὸς τὸν Ἰακώβ, Ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ. Ἀρκέσθητι, φησί, τῇ ἐπὶ τῆς ξένης διαγωγῇ. ἅπερ ὑπεσχόμην σοι πρώην λέγων, ἀποστρέψω σε εἰς τὴν γῆν σου, ταῦτα νῦν εἰς ἔργον ἀγαγεῖν βούλομαι. ἐπάνιθι τοίνυν μηδὲν δεδοικώς. ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ. ἵνα γὰρ μὴ ὀκνηρότερος γένηται ὁ δίκαιος περὶ τὴν ἀποδημίαν, ἀλλὰ μετὰ τοῦ θαῤῥεῖν ἅψηται τῆς ἐπανόδου, διὰ τοῦτό φησιν, ἐγὼ ἔσομαι μετὰ σοῦ· ὁ μέχρι τοῦ παρόντος τὰ κατὰ σὲ οἰκονομήσας, καὶ αὐξηθῆναί σου τὸ σπέρμα ποιήσας, ἐγὼ καὶ εἰς τὸ ἑξῆς ἔσομαι μετὰ σοῦ. Ταῦτα ἀκούσας ὁ δίκαιος παρὰ τοῦ Θεοῦ οὐκ ἠμέλλησεν, ἀλλ' ἤδη πρὸς τοῦτο παρεσκευάζετο. 4 Ἀποστείλας γάρ, φησιν, ἐκάλεσε Ῥαχὴλ καὶ Λείαν εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια ἐποίμαινεν, καὶ εἶπεν αὐταῖς. Προθεῖναι βούλεται ταῖς γυναιξὶ τὴν περὶ τῆς ἀποδημίας διάσκεψιν, καὶ γνωρίσαι τό τε τοῦ Θεοῦ πρόσταγμα, τήν τε τοῦ πατρὸς περὶ αὐτὸν βασκανίαν. Εἶπε γάρ, φησιν, αὐταῖς· 5 Ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρός με, ὡς χθὲς καὶ τρίτην ἡμέραν. ὁ δὲ Θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ. 6 Αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. 7 Ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν. καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με. 8 Ἐὰν γὰρ οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σοι μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα. ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σοι μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα λευκά. 9 Καὶ ἀφείλετο ὁ Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν.

ἐξαχθεὶς

ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά. Ὅρα πῶς ἀμφότερα αὐταῖς διδάσκει, καὶ τοῦ πατρὸς τὴν ἀγνωμοσύνην τὴν περὶ αὐτὸν, καὶ τὴν οἰκείαν εὔνοιαν, ἣν περὶ τὴν δουλείαν ἐπεδείξατο. οἴδατε γάρ, φησιν, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. καὶ τὴν παρὰ τοῦ Θεοῦ περὶ αὐτὸν ἐναργῆ κηδεμονίαν καταδήλην ποιεῖ, δεικνὺς ὅτι ἡ ἄνωθεν συμμαχία ἦν ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὴν περιουσίαν τοῦ Λάβαν εἰς αὐτὸν μεθιστῶσα. ἀφείλετο γάρ, φησιν, ὁ Θεὸς τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά.

10 Ἐγένετο δὲ ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς καὶ ῥαντοί. 11 Καὶ εἶπέ μοι ὁ ἄγγελος καθ᾽ ὕπνον, Ἰακώβ. ἐγὼ δὲ εἶπον, τί ἐστι; 12 Καὶ εἶπεν, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους, ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ.

Ὁρᾷς ὅτι ἡ ἄνωθεν ἐνέργεια ἦν ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὸν δίκαιον τῶν καμάτων ἀμειβομένη. ἐπειδὴ γὰρ ἐκεῖνος ἀγνώμων περὶ αὐτὸν ἐγένετο, ὁ φιλότιμος δεσπότης μετὰ δαψιλείας ἀμείβεται τὸν δίκαιον. ἑώρακα γάρ, φησιν, ὅσα σοι Λάβαν ποιεῖ. ἐντεῦθεν μανθάνομεν, ὅτι ἐπειδὰν ἀδικούμενοι παρ᾽ ὁτινοσοῦν ἐπιεικῶς καὶ πράως ἐνέγκωμεν, μείζονος καὶ δαψιλεστέρας ἀπολαύομεν τῆς ἄνωθεν συμμαχίας. μὴ τοίνυν ἀντιτείνωμεν πρὸς τοὺς ἐπηρεάζειν βουλομένους, ἀλλὰ φέρωμεν γενναίως, εἰδότες ὡς ὁ τῶν ἁπάντων δεσπότης οὐ περιόψεται ἡμᾶς, μόνον ἐὰν ἡμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξώμεθα. Ἐμοὶ γάρ, φησιν, ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει κύριος. Διὰ τοῦτο καὶ ὁ Ἰακὼβ ἔλεγεν, οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με. ἐπειδὴ γὰρ αὐτὸς ἀποστερῆσαί, φησί, με ἐβουλήθη τῶν ὑπὲρ τῶν καμάτων μισθῶν, ὁ δεσπότης μετὰ τοσαύτης περιουσίας τὴν εἰς ἡμᾶς κηδεμονίαν ἐπεδείξατο, ὡς πᾶσαν αὐτοῦ τὴν οὐσίαν μεταστῆσαι εἰς ἡμᾶς, καὶ εἰδὼς ὡς ἐγὼ μὲν μετ᾽ εὐνοίας τὴν δουλείαν ἐποιησάμην, ἐκεῖνος δὲ οὐ προσηκόντως μοι προσηνέχθη, τοσαύτην ἐποιήσατο ἡμῶν τὴν πρόνοιαν. καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα λέγω, οὐδὲ εἰκῇ καὶ μάτην κατηγορεῖν αὐτοῦ βουλόμενος, καὶ τὸν Θεὸν ἔχω μάρτυρα τοῖς παρὰ τοῦ πατρὸς ὑμῶν εἰς ἐμὲ γενομένοις. ἑώρακα γάρ, φησιν, ὅσα σοι Λάβαν ποιεῖ, ὅτι οὐ τοῦ μισθοῦ σε μόνον ἀπεστέρησεν, ἀλλ᾽ ὅτι καὶ οὐχ ὁμοίως νῦν πρὸς σὲ διάκειται, ὡς καὶ πρότερον· ἀλλὰ διέφθαρται τὴν γνώμην.

Ρωμ. ιβ.

χ. τινῶν

13 Ἐγώ εἰμι ὁ Θεός σου, ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην.

Εἰς ὑπόμνησιν αὐτὸν ἀγαγεῖν βούλεται, ὧν αὐτῷ τότε ὑπέσχετο, εἰπών, εἰς πλῆθός σε αὐξηθῆναι ποιήσω, καὶ ὅτι διαφυλάξω σε εἰς τὴν γῆν σου. ἐγὼ οὖν ὁ τότε ὀφθείς σοι καὶ τὰς ὑποσχέσεις πρὸς σὲ ποιησάμενος, ἐγὼ καὶ νῦν, ἐπειδὴ καιρὸς ἥκει, τὰ τότε παρ᾽ ἐμοῦ σοι ἐπαγγελθέντα εἰς ἔργον ἄγω, καὶ ἀπελθεῖν σε κελεύω ἄνευ *ἀγωνίας. μετὰ σοῦ γὰρ ἔσομαι. ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ, οὗ ἤλειψάς μοι στήλην,

* πάσης

Καὶ ηὔξω μοι εὐχήν. Ὑπομιμνήσκει αὐτὸν τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας, ἧς ἐποιήσατο. τίς δὲ ἦν ἡ εὐχή; ὅτι ὧν ἄν μοι δῷς, ἀποδεκατώσω αὐτά σοι. ἐπειδὴ γὰρ τότε μηδὲν ὅλως ἐπιφερόμενος, ἀλλὰ καθάπερ φυγὰς τὴν ὁδοιπορίαν ποιούμενος ταῦτα ηὔξατο, διὰ τοῦτό φησιν, ἡνίκα σοι ὤφθην, ηὔξω εὐχήν, λέγων, ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι· διὰ τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας τὴν δύναμιν τὴν ἐμὴν προμηνύων, καὶ τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὴν μέλλουσαν εὐπορίαν ἔσεσθαί σοι. νῦν οὖν ὅτε εἰς ἔργον τὰ παρ᾽ ἐμοῦ λεχθέντα δεῖ ἐλθεῖν, καὶ καιρὸς ἥκει καλῶν τὴν εὐχὴν τὴν σὴν πληρωθῆναι, ἐπάνιθι. Νῦν οὖν, φησιν, ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ.

Ἐγώ σοι πανταχοῦ συνέσομαι, καὶ ἐγώ σοι τὴν ὁδοιπορίαν εὔκολον καταστήσω, καὶ οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσῃ βλάβην, τῆς ἐμῆς δεξιᾶς ἀντὶ σκέπης πανταχοῦ γινομένης σοι. 14 Ταῦτα ἀκούσασαι αἱ περὶ τὴν Ῥαχὴλ εἶπον αὐτῷ· μή ἐστιν ἡμῖν μερὶς, ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; 15 Οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν,

16 Καὶ πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, σοὶ ἔδωκε. νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ Θεός σου, ποίει. Ὅρα καὶ ταύτας ἑπομένας τῇ τοῦ Θεοῦ γνώμῃ, καὶ λογισμὸν ἀναντίῤῥητον εἰσαγούσας. μὴ γάρ, φησιν, ἔτι τί κοινὸν ἡμῖν πρὸς τὸν πατέρα ἡμῶν; ἅπαξ γὰρ ἀπέδοτο ἡμᾶς. τὸν μέντοι πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, καὶ ἔδωκέ σοι, ἡμεῖς ἔχομεν, καὶ τὰ τέκνα ἡμῶν. μὴ μέλλε οὖν, μηδὲ διαναβάλλου· ἀλλὰ ποίει τὰ παρὰ τοῦ Θεοῦ σοι ἐπιταχθέντα. νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ Θεός σου, ποίει. Ταῦτα ἀκούσας 17 Ὁ Ἰακὼβ ἀναστὰς ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία, καὶ ἀνεβίβασεν αὐτὰς ἐπὶ τὰς καμήλους,

18 Καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὴν ἀποσκευὴν, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ, ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ. Σκόπει μοι τοῦ δικαίου τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ὅπως πάντα φόβον καὶ ἀγωνίαν παρωσάμενος ἐπείθετο τῷ τοῦ δεσπότου ἐπιτάγματι. ἐπειδὴ γὰρ εἶδε τὸν Λάβαν οὐχ ὑγιῆ τὴν γνώμην, οὐκ ἔτι καθάπερ πρότερον πυθέσθαι αὐτὸν κατεδέξατο, ἀλλὰ τὸ προσταχθὲν παρὰ τοῦ δεσπότου ἐπλήρου, καὶ λαβὼν τὰς γυναῖκας καὶ τὰ παιδία ἥπτετο τῆς ὁδοῦ. 19 Λάβαν δέ, φησιν, ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς.

Οὐχ ἁπλῶς οὐδὲ τοῦτο πρόσκειται, ἀλλ' ἵνα γνῶμεν, πῶς ἔτι τῆς πατρικῆς εἴχοντο συνηθείας, καὶ πολλὴν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπεδείκνυντο. ἐννόησον γὰρ, ὅσην αὕτη σπουδὴν ἐποιήσατο, ὡς μηδὲν ἕτερον ὑφελέσθαι τῶν τοῦ πατρὸς, ἀλλὰ τὰ εἴδωλα μόνα. καὶ τοῦτο ἐποίει καὶ τὸν ἄνδρα λανθάνουσα. οὐδὲ γὰρ ἂν ἐκεῖνος συνεχώρησε ταῦτα γενέσθαι. 20 Ἔκρυψε δέ, φησιν, Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει. 21 Καὶ ἀπέδρα αὐτὸς, καὶ πάντα τὰ αὐτοῦ, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ. Θέα μοι τὴν πολλὴν τοῦ Θεοῦ καὶ ἐνταῦθα πρόνοιαν, ὅπως, μέχρις ὅτε πόῤῥωθεν γέγονεν ὁ δίκαιος, οὐ συνεχώρησε τῷ Λάβαν εἰς γνῶσιν ἐλθεῖν τὴν ἀναχώρησιν τοῦ Ἰακώβ. τριῶν γὰρ ἡμερῶν, φησι, παρελθουσῶν τῷ Λάβαν ἐγνώσθη. 23 Καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ζʹ, καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γαλαάδ. Σκόπει πάλιν τὴν ἄφατον τοῦ Θεοῦ κηδεμονίαν. ὁ γὰρ εἰπὼν, ἀπόστρεφε εἰς τὴν γῆν σου, καὶ ἔσομαι μετὰ σοῦ, οὗτος καὶ νῦν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν. ἐπειδὴ γὰρ εἶδε τὸν Λάβαν μετὰ πολλῆς ἀγανακτήσεως καταδιώκοντα τὸν δίκαιον, καὶ δίκην, ὡς εἰπεῖν, εἰσπράξασθαι βουλόμενον τῆς ἀναχωρήσεως, ἐπιφαίνεται τῷ Λάβαν καθ' ὕπνον τὴν νύκτα. 24 Ἦλθε δέ, φησιν, ὁ Θεὸς πρὸς Λάβαν τὸν Σύρον τὴν νύκτα, καὶ εἶπεν αὐτῷ. Ὅρα Θεοῦ συγκατάβασιν, καὶ ὅπως διὰ τὴν περὶ τὸν δίκαιον κηδεμονίαν καὶ τῷ Λάβαν διαλέγεται, ἵνα κατασείσας αὐτοῦ τὴν διάνοιαν ἀποστήσῃ τῆς κατὰ τοῦ Ἰακὼβ ὁρμῆς. Φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς μετὰ τοῦ Ἰακὼβ πονηρά. Πολλὴ τοῦ δεσπότου ἡ ἀγαθότης. ἐπειδὴ ἑώρα αὐτὸν πρὸς μάχην ἐπειγόμενον καὶ κατεξαναστῆναι τοῦ δικαίου βουλόμενον, μονονουχὶ διὰ τοῦ ῥήματος καθέλκει αὐτοῦ τὸν λογισμὸν, καί φησι, φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά. μηδὲ μέχρι ῥημάτων, φησὶν, ἐπιχειρήσῃς λυπῆσαι τὸν Ἰακὼβ, ἀλλὰ φύλαξαι σεαυτόν. ἐπίσχες σου τὴν κακὴν ταύτην ὁρμὴν, ″ κατάστειλαι τὸν θυμὸν, ἀναχαίτισόν σου θυμουμένην τὴν διάνοιαν, καὶ μηδὲ μέχρι ῥήματος λυπῆσαι αὐτὸν ἀνάσχῃ. καὶ σκόπει μοι Θεοῦ φιλανθρωπίαν. οὐ προσέταξε τῷ Λάβαν εἰς τὰ οἰκεῖα ὑποστρέψαι, ἀλλὰ μόνον παρεκελεύσατο μηδὲν φορτικὸν, μηδὲ ἐπαχθὲς διαλεχθῆναι τῷ δικαίῳ. τίνος ἕνεκεν καὶ διὰ τί; ἵνα μάθῃ καὶ διὰ τῶν ἔργων αὐτῶν ὁ δίκαιος καὶ διὰ τῶν πραγμάτων, ὅσης ἀξιοῦται παρὰ τοῦ Θεοῦ τῆς κηδεμονίας. εἰ γὰρ ὑπέστρεψεν ὁ Λάβαν, πόθεν ἂν τοῦτο ἔγνω ὁ Ἰακὼβ, ἢ αἱ τούτου γυναῖκες; καὶ διὰ τοῦτο συγχωρεῖ αὐτὸν ἀπελθεῖν, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογῆσαι τὰ παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντα, ἵνα καὶ ὁ δίκαιος πλείονα τὴν προθυμίαν κτήσηται περὶ τὴν ἀποδημίαν, καὶ θάρσος προσλάβῃ, καὶ αἱ τούτου ″ γυναῖκες μαθοῦσαι ὅσης ἀξιοῦται ὁ Ἰακὼβ παρὰ τοῦ τῶν ὅλων Θεοῦ τῆς κηδεμονίας, ἀποσείσωνται τὴν πατρικὴν πλάνην καὶ ζηλώσωσι τὸν δίκαιον, καὶ θεογνωσίας ἐντεῦθεν ἀρκοῦσαν διδασκαλίαν δέξωνται. οὐδὲ γὰρ οὕτως ἦν τὰ παρὰ τοῦ Ἰακὼβ ἀξιόπιστα, ὡς τὰ παρὰ τοῦ Λάβαν λεγόμενα, τοῦ ἔτι περὶ τὰ εἴδωλα ἐπτοημένου. αἱ γὰρ παρὰ τῶν ἀπίστων μαρτυρίαι καὶ τῶν ἐχθρῶν τῆς εὐσεβείας ἀεὶ πολὺ τὸ ἀξιόπιστον ἔχουσι. καὶ τοῦτο γὰρ τῆς εὐμηχάνου τοῦ Θεοῦ σοφίας, ὅταν καὶ τοὺς ἐχθροὺς τῆς ἀληθείας αὐτοὺς μάρτυρας ποιῇ γενέσθαι τῆς ἀληθείας, καὶ διὰ τῆς οἰκείας γλώττης ″ τὰ αὐτὰ συναγωνίζωνται.

γρ. κατάστειλον

γρ. θυγατέρες

γρ. ταῦτα

Κατέλαβε δὲ Λάβαν τὸν Ἰακώβ. 25 Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλαάδ.

26 Καὶ εἶπε Λάβαν τῷ Ἰακὼβ, τί τοῦτο ἐποίησας;

Ὅρα πῶς τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα τὴν πολλὴν αὐτοῦ φλεγμονὴν κατέστειλε, καὶ τὸν θυμὸν ἐχαλίνωσε. διὰ τοῦτο μετὰ πολλῆς ἡμερότητος τοὺς πρὸς αὐτὸν ποιεῖται λόγους, μονονουχὶ ἀπολογούμενος καὶ πατρικὴν φιλοστοργίαν περὶ αὐτὸν ἐπιδεικνύμενος. ὅταν γὰρ τῆς ἄνωθεν ἀπολαύωμεν προνοίας, οὐ μόνον τῶν ἀνθρώπων τῶν πονηρῶν διαφυγεῖν δυνάμεθα τὰς ἐπιβουλὰς, ἀλλὰ καὶ θηρίοις ἀνημέροις ἐὰν περιπέσωμεν, οὐδὲν ὑποστησόμεθα δεινόν. ὁ γὰρ τῶν ἁπάντων δεσπότης τῆς οἰκείας δυνάμεως τὴν ″ περιουσίαν ἐπιδεικνύμενος, καὶ τῶν θηρίων μεταβάλλει τὴν φύσιν, καὶ εἰς προβάτων ἡμερότητα αὐτὰ μεθίστησιν, οὐχὶ τῆς θηριωδίας αὐτὰ μεθιστὰς, ἀλλ' ἐν ″ αὐτῇ τῇ φύσει καταλιμπάνων, τὰ τῶν προβάτων ἐπιδείκνυσθαι παρασκευάζει. καὶ οὐκ ἐπὶ τῶν θηρίων μόνον τοῦτο ἴδοι τις ἂν, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν στοιχείων. ὅταν γὰρ αὐτὸς βούληται, καὶ τὰ στοιχεῖα αὐτὰ τῆς οἰκείας ἐνεργείας ἐπιλανθάνεται, καὶ οὐδὲ πῦρ τὰ πυρὸς ἐπιδείκνυται. καὶ τοῦτό τις καταμάθοι ἐπί τε τῶν τριῶν παίδων, ἐπί τε τοῦ Δανιήλ. ὁ μὲν ὑπὸ [θηρίων σωμάτων] λεόντων περιστατούμενος, ὡς ὑπὸ προβάτων κυκλούμενος, οὐδὲν ἔπαθεν ἀηδὲς, τῆς ἄνωθεν ῥοπῆς τὴν ἐκείνων ἀγριότητα ἀναχαιτιζούσης. οἱ γὰρ θῆρες ὄντες ἔμενον τὰ τῆς θηριωδίας μὴ ἐπιδεικνύμενοι, δι' ″ αὐτῶν τῶν πραγμάτων ἔγνωσαν τῶν ἀλόγων θηρίων ὄντες ἀγριώτεροι. καὶ τοῦτο δὲ ἐγίνετο πρὸς μείζονα κατηγορίαν ἐκείνων, ὅτι ὄντες λόγῳ τετιμημένοι τὰ ἄλογα θηρία ὑπερηκόντισαν τῇ ὠμότητι. καὶ ἐμάνθανον διὰ τῶν πραγμάτων, ὅπως διὰ τὴν τοῦ δεσπότου πρόνοιαν, τὸν μὲν δίκαιον καὶ τὰ θηρία ᾐδέσθη, καὶ οὐκ ἐτόλμησαν ἐφάψασθαι τοῦ σώματος, αὐτοὶ δὲ τὰ τῶν θηρίων αὐτῷ χεῖρον διέθηκαν. καὶ ἵνα μὴ νομίσωσι φαντασίαν τινὰ γεγενῆσθαι, διὰ τῶν μετὰ ταῦτα βληθέντων εἰς τὸν λάκκον ἐπεγίνωσκον, ὅτι ἐπὶ μὲν τοῦ δικαίου τὴν προβάτων ἐμιμοῦντο τὴν ἡμερότητα, καὶ τῆς φύσεως ἐπελανθάνοντο, ἐπὶ δὲ τῶν μετὰ ταῦτα βληθέντων τὰ

Δαν. γ.

γρ. ὑπερβολὴν

γρ. ταύτῃ

γρ. διὰ τῶν πραγ. ἐγνώρισαν,

κεφ. λα.

Δαν. γ. κθ.

τῆς θηριωδίας ἐπιδεδείκνυντο. οὕτω καὶ ἐπὶ τῆς καμίνου τοῦ πυρὸς γέγονε. τοὺς μὲν ἔνδον ὄντας καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας ᾐδεῖτο τὸ στοιχεῖον, καὶ οὐκ ἐνήργει τὰ τοῦ πυρός, ἀλλὰ καθάπερ πεδηθείσης τῆς ἐνεργείας, οὕτως ἀβλαβῆ τῶν παίδων τούτων διεφύλαττε τὰ σώματα, καὶ οὐδὲ αὐτῶν τῶν τριχῶν ἐφάψασθαι ἐτόλμησε, καθάπερ ὑπὸ προστάγματός τινος τὸ στοιχεῖον τὴν οἰκείαν ἐνέργειαν ἐπιδείξασθαι κωλυόμενον· τοὺς δὲ ἔξω τῆς καμίνου διάγοντας κατηνάλωσε, δι' ἀμφοτέρων πολλὴν τῆς τοῦ Θεοῦ δυνάμεως τὴν περιουσίαν ἐμφαῖνον, καὶ δι' ὧν τοὺς ἔσω τυγχάνοντας ἀβλαβεῖς διεφύλαττε, καὶ δι' ὧν τούτους διέφθειρεν. οὕτως ὅταν τῆς ἄνωθεν ἀπολαύωμεν ῥοπῆς, οὐ μόνον τῶν πρὸς ἡμᾶς πολεμίως ἐχόντων διαφεύγομεν τὰς ἐπιβουλάς, ἀλλὰ κἂν αὐτοῖς τοῖς θηρίοις περιπέσωμεν, οὐδὲν πεισόμεθα δεινόν. ἡ γὰρ τοῦ Θεοῦ χεὶρ ἡ πάντων δυνατωτέρα, αὕτη πολλὴν ἡμῖν πανταχόθεν περιτίθησι τὴν ἀσφάλειαν, καὶ ἀχειρώτους ἐργάζεται· ὅπερ καὶ ἐπὶ τοῦ δικαίου τούτου γέγονεν. ὁ γὰρ μετὰ τοσαύτης ὁρμῆς καταλαβεῖν βουλόμενος τὸν Ιακώβ, καὶ δίκην ἀπαιτῆσαι τῆς πάντων ἀναχωρήσεως, οὐ μόνον οὐδὲν πρὸς αὐτὸν τραχύ, οὐδὲ ἐπαχθὲς φθέγγεται, ἀλλὰ καθάπερ πατὴρ διαλεγόμενος πρὸς παῖδα, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτὸν ποιεῖται τὰ ῥήματα, καί φησι, Τί ἐποίησας τοῦτο; τί κρυφῇ ἀπέδρας; Ὅρα πόση ἡ μεταβολή· ὅρα πῶς ὁ καθάπερ θηρίον μεμηνὼς προβάτων μιμεῖται ἡμερότητα. ἵνα τί κρυφῇ ἀπέδρας, Καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ;

Τίνος ἕνεκεν, φησι, τοῦτο πεποίηκας; τί σοι ἔδοξε; διατί οὕτω λανθανόντως ἐποιήσω τὴν ἀποδημίαν; Εἰ γὰρ ἀνήγγειλάς μοι, μετὰ πολλῆς τῆς πομπῆς καὶ τῆς εὐφροσύνης ἐξαπέστειλα ἄν σε. καὶ γὰρ εἰ τοῦτο ἔγνων, φησί, μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας προέπεμψα ἄν σε. οὐκ ἠξιώθην φιλῆσαι τὰς θυγατέρας μου. νῦν δὲ ἀφρόνως ἔπραξας. ὁρᾷς πῶς λοιπὸν ἑαυτὸν ἐλέγχει, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογεῖ, ὅτι αὐτὸς μὲν κακῶς παρεσκευάζετο διαφθεῖραι τὸν δίκαιον, ἡ δὲ τοῦ Θεοῦ πρόνοια τῆς ὁρμῆς αὐτὸν ἐνέκοψεν. 29 Ισχύει, φησίν, ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ Θεὸς τοῦ πατρός σου ἐχθὲς εἶπε πρὸς μέ, λέγων, φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς πρὸς Ιακὼβ πονηρά. Ἐννόει μοι πόσης τῷ δικαίῳ παρακλήσεως γέγονε ταυτὶ τὰ ῥήματα. καὶ σκόπει πῶς οὗτος καὶ τὰ βουλευθέντα αὐτῷ ἐξέφηνε, καὶ [ὅτι] ἐπὶ ποίοις τὴν κατάληψιν ποιήσασθαι ἐβούλετο, καὶ ὅτι ὁ τοῦ Θεοῦ φόβος αὐτὸν ἐπέσχεν εἰς ἔργον ἀγαγεῖν τὰ κακῶς αὐτῷ βουλευθέντα. ὁ δὲ Θεὸς τοῦ πατρός σου, φησιν. ὅρα πῶς καὶ αὐτὸς ὁ Λάβαν οὐ μικρὰν ἐντεῦθεν ὠφέλειαν ἐκαρποῦτο, μεγίστην τῆς τοῦ Θεοῦ δυνάμεως ἀπόδειξιν λαμβάνων ἐκ τῶν πρὸς αὐτὸν λεχθέντων. ἀλλ' ἐπειδὴ καὶ σύ, φησι, τοῦτο ἐβουλεύσω, καὶ ὁ Θεός ἐστιν ὁ τοσαύτην σου ποιούμενος κηδεμονίαν, 30 Νῦν οὖν πεπόρευσαι. ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου. ἵνα τί ἔκλεψας τοὺς θεούς μου; Ἔστω, φησί. τοῦτό σοι δεδογμένον ἦν, καὶ ἔκρινας ἐπανελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου. ἵνα τί τοὺς θεούς μου ἔκλεψας; ὢ ἀνοίας ὑπερβολή· καὶ τοιοῦτοί εἰσιν οἱ θεοί σου, ὡς καὶ κλαπῆναι; οὐκ αἰσχύνῃ λέγων, ἵνα τί ἔκλεψας τοὺς θεούς μου; ὅρα πόση ἦν ἡ ὑπερβολὴ τῆς πλάνης, ὡς τοὺς λόγῳ τετιμημένους ξύλα καὶ λίθους θεραπεύειν. καὶ οἱ μὲν θεοὶ οἱ σοί, ὦ Λάβαν, οὐδὲ κλέπτεσθαι μέλλοντες ἑαυτοῖς ἀμῦναι ἴσχυσαν. πῶς γὰρ οἱ ἀπὸ λίθου [ὄντες] συγκείμενοι; ὁ δὲ τοῦ δικαίου Θεὸς καὶ ἀγνοοῦντος τοῦ δικαίου τὴν σὴν ὁρμὴν ἐπέσχε. καὶ οὐκ ἐννοεῖς τὸ μέγεθος τῆς πλάνης, ἀλλὰ καὶ τῷ δικαίῳ κλοπὴν ἐγκαλεῖς; τίνος γὰρ ἕνεκεν ὁ δίκαιος ἐκείνους ὑφελέσθαι ἂν κατεδέξατο, οὓς ἐβδελύττετο, μᾶλλον δὲ οὓς ᾔδει λίθους ὄντας ἀναισθήτους; ἀλλὰ ταῦτα ἀκούσας ὁ Ιακὼβ μετὰ πολλῆς ἐπιεικείας πρῶτον μὲν ἀπολογεῖται πρὸς τὰ προλαβόντα ἐγκλήματα, καὶ τότε περὶ τῶν θεῶν προτρέπεται ποιήσασθαι τὴν ἔρευναν.

31 Εἶπα γάρ, φησι, μήποτε ἀφέλῃ τὰς θυγατέρας σου ἀπ᾽ ἐμοῦ, καὶ πάντα τὰ ἐμά. Ἐπειδή, φησιν, ἑώρων σε οὐχ ὑγιῶς πρὸς μὲ διακείμενον, ἐναγώνιος γέγονα, μήποτε ἐπιχειρήσῃς ἀφελέσθαι τὰς θυγατέρας σου, καὶ τὰ ὑπάρχοντά μου, καὶ ἀποστερῆσαί με τῶν ἐμῶν, καθάπερ ἤδη πεποίηκας. αὕτη τοίνυν ἡ αἰτία καὶ ὁ φόβος παρεσκεύασέ με λανθανόντως τὴν ἀποδημίαν ποιήσασθαι. 32 Παρ᾽ ᾧ δ᾽ ἂν εὕρῃς τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. Ὁρᾷς ὅτι ἠγνόει ὁ Ἰακὼβ τὴν παρὰ τῆς Ῥαχὴλ κλοπὴν γεγενημένην. ὅρα γὰρ μεθ᾽ ὅσης σφοδρότητος τὸ ἐπιτίμιον ὁρίζει τῷ τὴν κλοπὴν ἐργασαμένῳ. παρ᾽ ᾧ ἄν, φησιν, εὑρεθῶσιν, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. οὐκ ἐπὶ τούτου μόνον, φησίν, ὑφείλετο, ἀλλ᾽ ὅτι διὰ τῆς κλοπῆς δεῖγμα ἐναργὲς ὁ τοιοῦτος ἐκφέρει τῆς οἰκείας πλάνης. Ἐπίγνωθι, εἴ τί ἐστι τῶν σῶν παρ᾽ ἐμοί, καὶ λαβέ. Ἐρεύνησόν, φησιν, εἴ τι τῶν μὴ προσηκόντων ἀφειλόμην. οὐδὲν ἕτερόν μοι ἔχεις ἐγκαλέσαι, ἢ ὅτι λάθρα τὴν ἀποδημίαν ἐποιησάμην. καὶ τοῦτο οὐχ ἑκὼν πέπονθα, ἀλλ᾽ ὑφορώμενος τὴν ἀδικίαν, καὶ δεδοικὼς μὴ βουληθῇς καὶ τὰς θυγατέρας σου ἀφελέσθαι, τοῦτο μαθὼν, καὶ τὴν ἄλλην μου περιουσίαν.

Καὶ οὐκ ἐπέγνω, φησί, παρ᾽ αὐτῷ οὐθέν. οὐκ ᾔδει δὲ Ἰακὼβ, ὅτι Ῥαχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς. 33 Εἰσελθὼν δὲ Λάβαν ἠρεύνησε τὸν οἶκον Λείας, καὶ οὐχ εὗρεν. 34 Εἰσῆλθε δὲ καὶ εἰς τὸν οἶκον Ῥαχήλ. Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα, καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς, καὶ εἶπε τῷ πατρὶ αὐτῆς,

35 Μὴ βαρέως φέρε, κύριέ μου· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾽ ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν. ἠρεύνησε δὲ Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ αὐτῆς, καὶ οὐχ εὗρε.

Πολλὴ τῆς Ῥαχὴλ ἡ σύνεσις. καὶ ὅπως τὸν Λάβαν διακρούσασθαι ἴσχυσεν, ἀκουέτωσαν οἱ ἔτι τῇ πλάνῃ προσεστηκότες, καὶ τῶν εἰδώλων τὴν θεραπείαν περὶ πολλοῦ ποιούμενοι. ἔθηκεν αὐτούς, φησιν, ὑπὸ τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς. τί τούτων καταγελαστότερον, τί τούτου ἀνοητότερον; οἱ λόγῳ τετιμημένοι, καὶ τοσαύτης ἀξιωθέντες προεδρίας παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, λίθους ἀναισθήτους θεραπεύειν καταδέχονται, καὶ οὐκ ἐγκαλύπτονται, οὐδὲ λαμβάνουσιν ἔννοιάν τινα τῆς τοσαύτης ἀτοπίας, ἀλλὰ καθάπερ βοσκήματα, οὕτω τῇ συνηθείᾳ ἀπάγονται; διὰ τοῦτο καὶ Παῦλος ἔλεγε γράφων, Οἴδατε ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε ἐπαγόμενοι. καὶ καλῶς εἶπε τὰ ἄφωνα. οἱ φωνὴν ἔχοντες καὶ ἀκοῆς καὶ λόγου μετέχοντες, πρὸς τὰ μηδεμίαν αἴσθησιν ἔχοντα, ὡς ἄλογα, ἀπάγεσθε. καὶ ποίας ἂν οἱ τοιοῦτοι συγγνώμης τύχοιεν; ἀλλ᾽ ἴδωμεν ὅπως ὁ δίκαιος λοιπὸν θαῤῥήσας ἔκ τε τῶν παρὰ τοῦ Λάβαν ὁμολογηθέντων, καὶ ἐξ ὧν οὐδεμίαν εὔλογον αἰτίαν εὗρε τῆς κατ᾽ αὐτοῦ μέμψεως, τί φησιν. 36 Ὠργίσθη δὲ Ἰακὼβ, καὶ ἐμαχήσατο τῷ Λάβαν, καὶ εἶπεν.

α. Κορ. ιβ. β.

Ὅρα πῶς καὶ διὰ τῆς μάχης τῆς οἰκείας ψυχῆς ἐκκαλύπτει τὴν ἀρετήν.

Τί τὸ ἀδίκημά μου, φησιν; ἢ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου;

Τίνος ἕνεκεν, φησι, μετὰ τοσαύτης ὁρμῆς κατεδίωξάς με; ποῖον ἀδίκημα ἐγκαλεῖν ἔχων, ποῖον ἁμάρτημα; καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τοσαύτην ὕβριν ἡμῖν ἐπήγαγες, ὥστε καὶ ἐρευνῆσαι πάντα τὰ ἐν τῷ οἴκῳ μου. 37 Τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θὲς ὧδε ἐναντίον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν. Τοσαύτην, φησίν, ἔρευναν ποιησάμενος, ἆρα ἠδυνήθης τι εὑρεῖν τῶν μὴ προσηκόντων μοι, ἢ τῶν σοι διαφερόντων; εἰ εὗρες, ἐν τῷ μέσῳ παράγαγε, ἵνα οἱ συνόντες μοι καὶ οἱ μετὰ σοῦ παραγενόμενοι τὴν διάκρισιν ποιήσωνται. ἐπειδὴ εἶδεν ἀνεύθυνον ἑαυτὸν ἐν ἅπασι γεγενημένον, πολλὴν λοιπὸν παῤῥησίαν προσλαβὼν ἀπαριθμεῖται τὴν εὔνοιαν, ἣν περὶ αὐτὸν ἐν πολλῷ τῷ χρόνῳ ἐπεδείξατο, καί φησι,

38 Ταῦτά μοι εἴκοσιν ἔτη, Μετὰ τὸν κάματον τῶν τοσούτων ἐτῶν τούτων ἤμην ἄξιος ταύτης τῆς ὕβρεως; ταῦτά μοι εἴκοσιν ἔτη. σήμερον εἴκοσιν ἐτῶν ἀριθμὸν ἔχω ἐν τῷ οἴκῳ τῷ σῷ.

Τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν. κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. θηριάλωτον οὐκ ἐνήνοχά σοι. 39 Ἐγὼ ἀπετίννυον παρ᾽ ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός. 40 Ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου.

Ἐπελάθου, φησὶ, τῶν καμάτων τῶν ἐμῶν, ὧν ἐπεδειξάμην ποιμαίνων τὰ πρόβατά σου καὶ τὰς αἶγας; μὴ ἔχεις ἐγκαλέσαι ὅτι ποτὲ τὰ πρόβατα, ἢ αἱ αἶγες ἠτεκνώθησαν; ὅρα πόσην δείκνυσι τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν γεγενημένην εἰς τὸν οἶκον τοῦ Λάβαν διὰ τὴν αὐτοῦ παρουσίαν. τοῦτο γάρ ἐστιν, ὅπερ καὶ ἄνω ἔλεγεν, εὐλόγησέ σε ὁ Θεὸς ἐπὶ τῷ ποδί μου. τοῦτο γὰρ οὐδεὶς ἂν παρὰ ποιμένος ἀπαιτήσειεν. οὐδὲ γάρ τῆς ποιμενικῆς τοῦτο ἔργον· φύσεως γάρ ἐστι. διὰ τοῦτο περὶ πάντων τοῦτο προστίθησι, καὶ πολλὴν [καὶ πολλὴν] δείκνυσι τὴν ἄνωθεν γεγενημένην πρόνοιαν περὶ τὰ ποίμνια. κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. μὴ δύνασαι εἰπεῖν, φησιν, ὅτι ποτὲ κατέφαγον κριὸν ἐκ τῶν προβάτων σου, ὃ πολλοὺς τῶν ποιμένων ποιεῖν ἔθος; θηριάλωτον οὐκ ἐνήνοχά σοι. οὔτε αὐτός, φησί, ποτε κατέφαγον, οὔτε θηρίον ἴσχυσέ ποτε ἀφελέσθαι. μὴ ἐνήνοχά σοι θηριάλωτον; ἢ οὐχὶ καθ᾽ ἑκάστην ἡμέραν τοὺς τὰ ποίμνια ἐγχειριζομένους ὁρᾷς θηριάλωτα τοῖς δεσπόταις προσάγοντας; ἀλλὰ σὺ οὐδὲν τοιοῦτον ἐγκαλέσαι δυνήσῃ, ἢ δεῖξαι γεγενημένον ἐν τοῖς εἴκοσιν ἔτεσι. καὶ τί λέγω θηριάλωτον; ἀλλ᾽ οὐδὲ εἰ ἐκλάπη ποτὲ, οἷα συμβαίνειν εἰκὸς, εἰς τὴν σὴν γνῶσιν οὐκ ἐλθεῖν πεποίηκα, ἀλλ᾽ ἐγὼ καὶ κλέμματα κλεπτόμενα ἀπετίννυον, τά τε ἐν ἡμέρᾳ, τά τε ἐν νυκτὶ γινόμενα, καὶ διηνεκῶς καὶ τὸν τοῦ καύματος καύσωνα ἔφερον γενναίως, καὶ τὸν "κρυμὸν τὸν ἀπὸ τῆς νυκτὸς, ὑπὲρ τοῦ ἀβλαβῆ σοι τὰ ποίμνια" διασώσασθαι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ ὕπνος διὰ τὴν πολλὴν φροντίδα ἀφίστατο ἀπ᾽ ἐμοῦ. εἶδες ποιμένος ἀγρυπνίαν, εἶδες σπουδὴν ἐπιτεταμένην. ποίαν ἂν ἔχοιεν ἀπολογίαν οἱ τὰ λογικὰ ποίμνια ἐγκεχειρισμένοι, καὶ πολλὴν τὴν ῥᾳθυμίαν ἐπιδεικνύμενοι, καὶ καθ᾽ ἑκάστην ἡμέραν, κατὰ τὸν προφήτην, τὰ μὲν κατασφάττοντες, τὰ δὲ ὁρῶντες θηριόβρωτα γινόμενα, τὰ δὲ ὑφ᾽ ἑτέρων συλώμενα, καὶ οὐδεμίαν κηδεμονίαν αὐτῶν ποιεῖσθαι βουλόμενοι; καί τοι γε ἐνταῦθα ἐλάττων ὁ πόνος, καὶ εὔκολος ἡ ἐπιμέλεια. ψυχὴ γάρ ἐστιν ἡ παιδευομένη. ἐκεῖ δὲ πολὺς καὶ τῷ σώματι καὶ τῇ ψυχῇ ὁ πόνος. ὅρα γὰρ τί φησιν· ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπ᾽ ἐμοῦ. τίς ἂν τοῦτο νῦν δυνηθῇ εἰπεῖν, ὅτι διὰ τὴν σωτηρίαν τῶν ὑπ᾽ αὐτοῦ ποιμαινομένων κινδύνους ἀνεδέξατο καὶ ταλαιπωρίας; τῶν μὲν νῦν οὐδεὶς ἂν τοῦτο εἰπεῖν τολμήσειε. Παύλῳ δὲ μόνῳ ἔξεστι ταῦτα μετὰ παῤῥησίας λέγειν, καὶ τούτων μείζονα, τῷ διδασκάλῳ τῆς οἰκουμένης. καὶ ποῦ, φησι, Παῦλος ταῦτα ὑπέμενεν; ἄκουε αὐτοῦ λέγοντος, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὢ ποιμένος φιλοστοργία. τὰ ἑτέρων, φησὶ, πτώματα ἐμοὶ ἐπιτείνει τὰς ἀλγηδόνας· τὰ ἑτέρων σκάνδαλα ἐμοὶ τὴν κάμινον τῆς ὀδύνης ἀνάπτει. τοῦτον ἅπαντες ζηλούτωσαν οἱ τὴν τῶν λογικῶν προβάτων ἐγκεχειρισμένοι προστασίαν, καὶ μὴ χείρους γινέσθωσαν τοῦ περὶ τὴν τῶν ἀλόγων πρόνοιαν τοσαύ-

γρ. κρυμὸν.
γρ. διασῶσαι.

Ιεζ. λδ.

β. Κορ. ια. κθ.

τὴν ἀγρυπνίαν ἐπιδειξάμενος, καὶ ἐπὶ τοσοῦτον ἐπὶ τὸν ἀριθμόν. ἐκεῖ μὲν γὰρ κἂν ῥαθυμία τις γένηται, οὐδὲν τὸ βλάβος· ἐνταῦθα δὲ κἂν ἓν πρόβατον λογικὸν ἀπόληται, ἢ θηριάλωτον γένηται, πολλὴ ἡ ζημία, μεγίστη ἡ βλάβη, ἄφατος ἡ κόλασις. εἰ γὰρ ὁ δεσπότης ὁ ἡμέτερος τὸ αἷμα τὸ ἴδιον ἐκχέαι ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, ποίας ἂν εἴη ὁ τοιοῦτος συγγνώμης ἄξιος, ὁ τὰ οὕτω τιμηθέντα παρὰ τοῦ δεσπότου περιορᾷν ἀνεχόμενος, καὶ μὴ τὰ παρ' ἑαυτοῦ πάντα πληρῶν εἰς τὴν τοῦ προβάτου ἐπιμέλειαν; ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν. 41 Ταῦτά μοί, φησιν, εἴκοσιν ἔτη εἰμὶ ἐν τῇ οἰκίᾳ σου. ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου. καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάδας. 42 Εἰ μὴ ὁ Θεὸς τοῦ πατρός μου Ἀβραάμ, καὶ ὁ φόβος Ἰσαὰκ ἦν μετ' ἐμοῦ, νῦν ἂν με κενὸν ἐξαπέστειλας. τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ Θεός, καὶ ἤλεγξέ σε ἐχθές. Ὅρα πῶς τὰ παρὰ τοῦ Λάβαν ὁμολογηθέντα παρεθάῤῥυνε τὸν δίκαιον, καὶ μετὰ παῤῥησίας τὸν ἔλεγχον ποιεῖται. οἶδας, φησιν, ὅπως τῶν εἴκοσιν ἐτῶν τὸν ἀριθμὸν ἐδούλευσά σοι, ὑπὲρ τῶν θυγατέρων σου τὰ δεκατέσσαρα ἔτη, ἐν δὲ τοῖς προβάτοις τὰ ὑπόλοιπα. καὶ ὅμως ἀποστερῆσαί με κατεδέξω τὸν μισθόν, καὶ οὐδὲν ὑπὲρ τούτου ἐνεκάλεσα. τοῦτο δέ, ἐξ ὧν αὐτὸς ὡμολόγησας, οἶδας, ὅτι εἰ μὴ ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ ἦν μοι βοηθός, νῦν ἂν με κενὸν ἐξαπέστειλας, ἔρημον, καὶ πάντα ἂν ἀφείλω ἀπ' ἐμοῦ, καὶ τὴν ἀδικίαν, ἣν προέθου, εἰς ἔργον ἂν ἤγαγες. ἀλλ' ὁ Θεὸς ὁ εἰδὼς τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου. τί ἐστι, τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου; ἐπειδὴ ᾔδει ὁ Θεός, ὅπως μὲν ἐγὼ μετὰ πολλῆς τῆς εὐνοίας τὴν δουλείαν ἐποιησάμην, καὶ τὸν κόπον ὅσον ὑπέμεινα ποιμαίνων τὰ πρόβατα, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φροντίζων διετέλουν, πρὸς ἐκεῖνα ἰδὼν ὁ φιλάνθρωπος δεσπότης χθὲς ἤλεγξέ σε, ἐπέσχε τῆς κατ' ἐμοῦ ἀδικίας καὶ τῆς ἀλογίστου ὁρμῆς. ἱκανῶς ἐν τάξει ἀπολογίας καθίκετο τοῦ Λάβαν, καὶ μετὰ τὸ ἐλέγξαι τὴν εἰς αὐτὸν ἀδικίαν, καὶ τὰς παρ' αὐτοῦ εἰς αὐτὸν εὐεργεσίας ἀπηριθμήσατο. διὸ αἰδεσθεὶς ἐκεῖνος τὰ παρ' αὐτοῦ εἰρημένα, λοιπὸν καὶ εἰς δειλίαν καθίσταται, καὶ συνθήκας ἀπαιτῆσαι βούλεται παρὰ τοῦ δικαίου. ὅρα Θεοῦ κηδεμονίαν. ὁ οὕτω παρεσκευασμένος, καὶ μετὰ τοσαύτης ὁρμῆς τὴν καταδίωξιν ποιησάμενος, εἰς τοσαύτην κατέστη δειλίαν, ὡς τὰς παρ' αὐτοῦ συνθήκας ἐπιζητεῖν. 43 Ἀποκριθεὶς γὰρ Λάβαν, φησίν, εἶπε τῷ Ἰακώβ, αἱ θυγατέρες σου, θυγατέρες μου, καὶ οἱ υἱοί σου, υἱοί μου, καὶ τὰ κτήνη σου, κτήνη μου, καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου. τί ποιήσω ταύταις σήμερον, ἢ τοῖς τέκνοις αὐτῶν τοῖς τεχθεῖσιν; Οἶδα ὅτι καὶ αἱ θυγατέρες, φησίν, ἐμαί εἰσι, καὶ πάντα ὅσα σοί ἐστιν, ἐκ τῆς ὑπάρξεως τῆς ἐμῆς προσεγένετό σοι. τί οὖν ποιήσω ταύταις σήμερον, ἢ τοῖς ὑπ' αὐτῶν τεχθεῖσι; 44 Νῦν οὖν δεῦρο, διαθώμεθα διαθήκην, ἐγώ τε καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ τε καὶ σοῦ.

Συνθήκας, φησί, ποιησώμεθα, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, εἰς ἔλεγχον, εἰς ἀπόδειξιν. εἶπε δὲ αὐτῷ, εἴ τις παραβαίνειν τὰ νῦν παρ' ἡμῶν προσταχθέντα ἐπιχειρήσειεν. Ἰδοὺ οὐδεὶς μεθ' ἡμῶν· ὁ δὲ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

Σκόπει πῶς κατὰ μικρὸν ὁ Λάβαν καὶ εἰς θεογνωσίαν ἐνάγεται. ὁ γὰρ τὴν κλοπὴν περὶ τούτου τῶν θεῶν αὐτοῦ ἐπιφέρων τῷ δικαίῳ, καὶ τοσαύτην ἔρευναν ποιησάμενος, νῦν φησιν, ἐπειδὴ οὐδείς ἐστι μεταξὺ ἡμῶν ὁ δυνάμενος, εἴ τι μετὰ ταῦτα γένηται, μαρτυρῆσαι τοῖς νῦν παρ' ἡμῶν γινομένοις, ὁ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ἐκεῖνος πάρεστιν, ὁ τὰ πάντα ὁρῶν, ὃν οὐδὲν λαθεῖν δύναται, ὁ τὴν ἑκάστου γνώμην ἐπιστάμενος.

45 Λαβὼν δέ, φησιν, Ἰακὼβ ἔστησε στήλην, 46 Καὶ ἐποίησε βουνόν, καὶ ἔφαγον ἐπὶ τοῦ

βουνοῦ. 47 Εἶτα εἶπεν αὐτῷ Λάβαν, ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καί σου. Τί ἐστιν, ὁ βουνὸς οὗτος; ἀντὶ τοῦ, τὰ ῥήματα τὰ ἐνταῦθα γινόμενα ἐν τῷ βουνῷ τούτῳ ὑπόμνησις ἡμῖν ἔσται διηνεκῶς. Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, βουνὸς μαρτυρεῖ. Εἶτά φησιν, 49 Ἐπίδοι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καί σου. Σκόπει πῶς πάλιν τὴν παρὰ τοῦ Θεοῦ δίκην ἐπικαλεῖται ὁ Λάβαν. ἐπίδοι γάρ, φησιν, ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καί σου, Ὅτι ἀποστησόμεθα ἕτερος τοῦ ἑτέρου. Νῦν, φησι, χωρισθησόμεθα, καὶ σὺ μὲν ἀπελεύσῃ εἰς τὴν οἰκείαν γῆν, ἐγὼ δὲ ἐπανελεύσομαι εἰς τὸν οἶκον τὸν ἐμόν. 50 Εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λάβοις γυναῖκας πρὸς ταῖς θυγατράσι μου. ὅρα, οὐδεὶς μεθ' ἡμῶν ἐστιν ὁ ὁρῶν, Θεὸς μάρτυς. Σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις τὸν Θεὸν καλεῖ μάρτυρα. ἐπεὶ γὰρ ἡ πρόνοια ἡ περὶ τὸν Ἰακὼβ γεγενημένη ἐπαίδευσεν αὐτόν, ὅση τοῦ δεσπότου ἡ δύναμις, καὶ ὡς οὐχ οἷόν τέ τι λαθεῖν τὸν ἀκοίμητον ὀφθαλμόν. διὰ τοῦτό φησι, κἂν διαχωρισθῶμεν, κἂν μηδεὶς ἕτερος ὁ μαρτυρῆσαι δυνάμενος, αὐτὸς ἔσται μάρτυς ὁ πανταχοῦ παρών. δι' ἑκάστου τῶν ῥημάτων ἐνέφηνεν, ὅτι τῆς πανταχοῦ γῆς ἐστι δεσπότης.

51 Καὶ εἶπεν Ἰακώβ, ἰδοὺ ἡ στήλη αὕτη μαρτυρεῖ. 52 Εἶτα πάλιν ὁ Λάβαν φησίν, ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σέ, μήτε σὺ διαβῇς πρὸς ἐμὲ τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ, 53 Ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν. Θέα πῶς μετὰ τοῦ πατρὸς καὶ τὸν πάππον τὸν ἑαυτοῦ συνῆψεν, ἀδελφὸν μὲν τοῦ πατριάρχου τυγχάνοντα, ἑαυτοῦ δὲ πάππον. ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν. Καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, 54 Καὶ ἔθυσε θυσίαν ἐν τῷ ὄρει, καὶ ἐκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. Ἔθυσε θυσίαν ἐν τῷ ὄρει, ηὐχαρίστησε, φησι, τῷ Θεῷ ἐπὶ τοῖς γεγονόσι, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. 55 Ἀναστὰς δὲ Λάβαν τὸ πρωῒ κατεφίλησε τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ εὐλόγησεν αὐτούς, καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

Εἶδες, ἀγαπητέ, πόση τοῦ Θεοῦ ἡ σοφία, ὅπως κατὰ ταυτὸν καὶ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐπεδείξατο, κἀκεῖνον ἀπέστησε τῆς κατ' αὐτοῦ ἀδικίας, καὶ δι' ὧν αὐτῷ παρεγγύησε μὴ λαλῆσαι πονηρὰ κατὰ τοῦ Ἰακώβ, εἰς τὴν τῆς θεογνωσίας ὁδὸν κατὰ μικρὸν αὐτὸν ἐνῆγε. καὶ ὁ καθάπερ θηρίον ἐπιτρέχων, καὶ φθάσαι βουλόμενος καὶ ἀνελεῖν, ἀπολογησάμενος καὶ καταφιλήσας τὰς θυγατέρας καὶ τοὺς υἱοὺς αὐτῶν οὕτως οἴκαδε ὑπέστρεψε.

ΗΘΙΚΟΝ

Τάχα εἰς πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν. ἀλλὰ σύγγνωτε· οὐχ ἑκόντες τοῦτο πεπόνθαμεν, ἀλλὰ τῆς ἱστορίας εἰς τὴν ἀνάγκην ἡμᾶς ταύτην καταστησάσης. διόπερ ἐνταῦθα στήσαντες τὸν λόγον, ἐκεῖνο παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην, ὥστε πάντα ποιεῖν καὶ πραγματεύεσθαι, ἵνα τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. ἐὰν γὰρ ἐκεῖνον ἔχωμεν εὐμενῆ, πάντα ἡμῖν ῥᾴδια ἔσται καὶ εὔκολα, καὶ οὐδὲν ἡμᾶς τῶν ἐν τῷ παρόντι βίῳ λυπῆσαι δυνήσεται, κἂν λυπηρὸν εἶναι δοκῇ. τοσαύτη γὰρ τῆς αὐτοῦ δυνάμεως ἡ ὑπερβολή, ὡς καὶ αὐτὰ τὰ λυπηρὰ εἰς τὸ ἐναντίον περιτρέπειν, ὅταν βούληται. οὕτω καὶ Παῦλος ἐν θλίψεσιν ὢν ἔχαιρε καὶ ἠγάλλετο τῇ προσδοκίᾳ τῶν ἀποκειμένων ἀμοιβῶν πληρούμενος. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, Ἐν θλίψει ἐπλάτυνάς μοι, διδάσκων ἡμᾶς, ὅτι ἐν αὐτῇ τῇ θλίψει τυγχάνοντα ἀδείας καὶ ἀνέσεως αὐτὸν ἀπολαύειν παρεσκεύαζεν ὁ Θεός. τοιοῦτον τοίνυν ἔχοντες δεσπότην, οὕτω δυνατόν, οὕτως εὐμήχανον καὶ σοφόν, οὕτω φιλάνθρωπον, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ τῆς ἀρετῆς πολλὴν ποιώμεθα λόγον, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χά-

β. Κορ. ια. κθ.
ψαλ. δ. α.

ριτι

ειν καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νη. ΚΑΙ ΑΝΑΒΛΕΨΑΣ ΙΑΚΩΒ ΕΙΔΕ ΠΑΡΕΜΒΟλὴν Θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ. εἶπε δὲ Ἰακώβ, ἡνίκα εἶδεν αὐτούς, παρεμβολὴ Θεοῦ αὕτη, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί.

Οἶδα ὅτι κεκμήκατε χθὲς εἰς πολὺ μῆκος τοῦ λόγου προελθόντος ἡμῖν. ἀλλὰ καὶ θαρσεῖτε· ὁ κόπος ὑμῶν οὐκ ἔστι κενός. ἐν κυρίῳ γάρ ἐστι γινόμενος, δι' ὃν καὶ ὁ πρὸς βραχὺ πόνος ἡμῶν μεγάλων μισθῶν πρόξενος γίνεται. εἰ γὰρ καὶ τὸ σῶμα κέκμηκεν, ἀλλ' ἡ ψυχὴ πλέον ἐρρώννυτο. διὸ καὶ αὐτὸς ὁρῶν ὑμῶν ἀκμάζοντα τὸν πόθον, καὶ τὴν ἐπιθυμίαν διεγηγερμένην, βουλόμενος συστεῖλαι τὴν διδασκαλίαν, οὐκ ἠβουλήθην πρὸ τοῦ τέλους εἰς σιγὴν καταλῦσαι τὸν λόγον, εἰδὼς ὡς ταύτῃ μᾶλλον ὑμῖν χαριοῦμαι. τὸ γὰρ πλῆθος τῶν εἰρημένων μάλιστα ἐδείκνυ τῆς ὑμετέρας φιληκοΐας τὴν πολλὴν σπουδὴν καὶ τὸν ἀκόρεστον πόθον. διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος προθυμίας τῆς πρὸς ὑμᾶς ἅπτομαι διδασκαλίας, ὁρῶν ὑμῶν καθ' ἑκάστην ἡμέραν τὴν ὄρεξιν ἐπιτεινομένην. Φέρε οὖν καὶ σήμερον τὰ ἑξῆς τῶν χθὲς εἰρημένων κατὰ δύναμιν ἐπελθόντες, τὴν συνήθη ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ ἴδωμεν μετὰ τὴν τοῦ Λάβαν ἀναχώρησιν, ὅπως ὁ δίκαιος τῆς ὁδοιπορίας ἅπτεται. Οὐδὲν γὰρ ἀργὸν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἐστίν, ἀλλὰ πάντα τὰ ὑπὸ τῶν δικαίων γινόμενα μεγίστης γέμει τῆς ὠφελείας. Ἐπειδὴ γὰρ τὸν τῶν ὅλων δεσπότην εἶχον διηνεκῶς αὐτοῖς συμπαρόντα, καὶ τοὺς κατὰ τὴν ὁδοιπορίαν πόνους ἐπικουφίζοντα, πολλὴν καὶ ἀπὸ τῆς ψιλῆς αὐτῶν ὁδοιπορίας ἔστι τὴν ὠφέλειαν καρπώσασθαι. ἀπελθόντος, φησί, τοῦ Λάβαν εἰς τὸν οἶκον αὐτοῦ,

κεφ. λβ. 1 Καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδόν, καὶ ἀναβλέψας εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ παυσαμένου τοῦ φόβου τοῦ Λάβαν καὶ τέλος εἰληφότος, διεδέχετο λοιπὸν ὁ φόβος τοῦ ἀδελφοῦ, διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης παραθαρρῦναι τὸν δίκαιον βουλόμενος, καὶ πᾶσαν αὐτοῦ τὴν δειλίαν ἀποσκεδάσαι, παρεσκεύασεν αὐτὸν τῶν ἀγγέλων τὴν παρεμβολὴν ἰδεῖν. Συνήντησαν γὰρ αὐτῷ, φησιν, οἱ ἄγγελοι τοῦ Θεοῦ, 2 Καὶ εἶπεν Ἰακώβ, παρεμβολὴ Θεοῦ αὕτη, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί,

Ὥστε ἐκ τῆς προσηγορίας διηνεκῆ τὴν ὑπόμνησιν εἶναι τῆς γεγενημένης αὐτῷ ἐκεῖσε ὀπτασίας. Εἶτα μετὰ τὴν ὀπτασίαν ταύτην 3 Ἀπέστειλε, φησιν, ἔμπροσθεν αὐτοῦ ἀγγέλους πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐνετείλατο λέγων, οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἡσαῦ. Ὅρα καὶ μετὰ τὴν ὄψιν πόσος ἔτι ὁ φόβος ἐπέκειτο τῷ δικαίῳ. ἐδεδοίκει γὰρ τοῦ ἀδελφοῦ τὴν ὁρμήν, καὶ ἠγωνία, μὴ ἡ μνήμη τῶν πρὶν ὑπ' αὐτοῦ γεγενημένων εἰς τὴν κατ' αὐτοῦ ἔφοδον αὐτὸν παρορμήσῃ. 4 Εἴπατε, φησι, τῷ κυρίῳ μου Ἡσαῦ, οὕτω λέγει ὁ παῖς σου Ἰακώβ· μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν, 5 Καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι, καὶ ἀπέστειλα τῷ κυρίῳ μου, ἵνα εὕρῃ ὁ παῖς σου ἐναντίον σου χάριν.

Σκόπει πῶς δέδοικε τὸν ἀδελφόν, καὶ διὰ τοῦτο ἐξευμενίσασθαι αὐτὸν βουλόμενος, προαποστέλλει μηνύων αὐτῷ τήν τε οἰκείαν ἐπάνοδον, τήν τε γεγενημένην αὐτῷ περιουσίαν, καὶ ὅπου τὸν ἅπαντα διετέλεσε χρόνον· ἵνα μαλάξας αὐτοῦ τὸν θυμόν, ἥμερον αὐτὸν καταστῆσαι δυνηθῇ, ὃ δὴ καὶ γεγένηται, τοῦ Θεοῦ κατευνάσαντος αὐτοῦ τὴν καρδίαν, καὶ σβέσαντος τὴν ὀργὴν αὐτοῦ, καὶ ἥμερον αὐτὸν καταστήσαντος. Εἰ γὰρ τὸν Λάβαν [αὐτὸν] τὸν μετὰ τοσαύτης ὁρμῆς καταδιώξαντα ἐν τοσούτῳ φόβῳ γενέσθαι παρεσκεύασε δι᾽ ὧν πρὸς αὐτὸν εἶπε, πολλῷ μᾶλλον τὸν ἀδελφὸν ἡμερώτερον ἂν γενέσθαι παρεσκεύαζε πρὸς τὸν δίκαιον. 6 Ἀνέστρεψαν δέ, φησι, λέγοντες, ἀπήλθομεν πρὸς τὸν ἀδελφόν σου, καὶ ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. Ὅρα πῶς καὶ * τοῦτο ἐπέτεινε τῷ δικαίῳ τὸν φόβον. οὐδὲ γὰρ ᾔδει τὸν σκοπὸν τοῦ ἀδελφοῦ μετὰ ἀκριβείας, ἀλλὰ μαθὼν τὸ πλῆθος τῶν συνόντων αὐτῷ ἐδεδοίκει, ὑφορώμενος μὴ ὡς πρὸς πόλεμον παρεσκευασμένος, οὕτω τὴν ὑπάντησιν ποιήσασθαι βούληται. 7 Ἐφοβήθη γάρ, φησιν, Ἰακώβ, καὶ διηπορεῖτο.

Ὁ φόβος αὐτοῦ τὴν διάνοιαν διετάραττε, καὶ οὐκ ᾔδει τὸ τί πράξει, ἀλλ᾽ ἐν ἀπορίᾳ ἐγεγόνει. διὸ ὡς περὶ τοῦ παντὸς δεδοικώς, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχων,

Διαιρεῖ εἰς δύο παρεμβολὰς πάντα τὸν λαὸν τὸν μετ᾽ αὐτοῦ. 8 Εἶπε γάρ, φησιν, ἐὰν ἔλθῃ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἡ δευτέρα ἔσται εἰς τὸ σώζεσθαι.

Ταῦτα μὲν ὁ φόβος ὑπηγόρευσε καὶ ἡ πολλὴ δειλία. ὁρῶν δὲ ἑαυτὸν ὡς ἐν δικτύοις ἀπειλημμένον, ἐπὶ τὸν ἄμαχον [λιμένα τὸν] δεσπότην καταφεύγει, καὶ τὰς ὑποσχέσεις τὰς εἰς αὐτὸν γεγενημένας ἀπαιτεῖ παρὰ τοῦ τῶν ὅλων Θεοῦ, μονονουχὶ λέγων πρὸς αὐτόν· νῦν ἥκει καιρός, ἐν ᾧ καὶ διὰ τὴν τῶν προγόνων ἀρετήν, καὶ διὰ τὴν παρὰ σοῦ γεγενημένην ὑπόσχεσιν δίκαιος ἂν εἴην ἁπάσης ἀπολαῦσαι συμμαχίας.

9 Εἶπε γάρ, φησιν, Ἰακώβ, ὁ Θεὸς τοῦ πατρός μου Ἀβραάμ, καὶ ὁ Θεὸς τοῦ πατρός μου Ἰσαάκ, σύ, φησιν, ὁ Θεός, ὁ εἰπών μοι, ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου.

Ὁ ἀναστήσας με, φησιν, ἀπὸ τῆς ξένης, καὶ προστάξας ἐπανελθεῖν πρὸς τὸν πατέρα τὸν ἴδιον καὶ εἰς τὴν γῆν τῆς γενέσεως. 10 Ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. Ἀρκείσθω, φησί, πρὸς τὴν ἐπὶ τοῦ παρόντος καιροῦ συμμαχίαν. ὁ γὰρ μέχρι τοῦ παρόντος τοσαύτην ἐπιδειξάμενος περὶ ἐμὲ κηδεμονίαν, δυνατὸς εἶ καὶ νῦν ἐξαρπάσαι με τῶν ἐπικειμένων μοι κινδύνων. οὐδὲ γὰρ ἀγνοῶ, Ὅτι ἐν τῇ ῥάβδῳ μου ταύτῃ διῆλθον τὸν Ἰορδάνην τοῦτον·

Νυνὶ δὲ διὰ τὴν σὴν περὶ ἐμὲ πρόνοιαν ὁ τὴν βακτηρίαν μόνην ἐπιφερόμενος, ἡνίκα εἰς τὴν ἀλλοτρίαν ἀπῄειν, Νῦν μετὰ δύο παρεμβολῶν παραγέγονα.

Σὺ οὖν, δέσποτα, ὁ ταύτην μοι τὴν εὐπορίαν χαρισάμενος, ὁ εἰς τοσοῦτόν με αὐξηθῆναι παρασκευάσας, 11 Σὺ νῦν ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου Ἠσαῦ, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μήποτε πατάξῃ με, καὶ μητέρα ἐπὶ τέκνοις.

12 Σὺ εἶπας, εὖ σε ποιήσω, καὶ θήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους. Ὅρα τοῦ δικαίου τὸ φιλόθεον καὶ τὴν πολλὴν εὐγνωμοσύνην, πῶς οὐδὲν ἕτερον ἀξιοῖ τὸν δεσπότην, ἢ τὰς οἰκείας ὑποσχέσεις πληρῶσαι. καὶ ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξάμενος, καὶ ὁμολογήσας ὅτι γυμνὸν ὄντα καὶ ἀπερριμμένον εἰς τοσαύτην περιουσίαν κατέστησεν, ἱκετεύει τοῦ κινδύνου αὐτὸν ἐξαρπάσαι. Εἶπας γάρ, φησιν, ὅτι θήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἐξαριθμηθήσεται. ποιησάμενος δὲ τὴν πρὸς τὸν δεσπότην παράκλησιν, καὶ τὴν ἱκετηρίαν τῆς προσευχῆς ἀνενέγκας τῷ δεσπότῃ, καὶ τὰ παρ᾽ ἑαυτοῦ προστίθησι,

13 Καὶ λαβών, φησι, δῶρα, ἐξ ὧν ἐπεφέρετο, ἀπέστειλε τῷ ἀδελφῷ,

Διελὼν τὰ ἀποσταλέντα, καὶ ἐντολὰς δεδωκώς, ὥστε καὶ διὰ τῶν λόγων ἐξευμενίσασθαι, καὶ μειῶσαι τὴν ἑαυτοῦ παρουσίαν. 20 Εἴπατε γάρ, φησιν, ὅτι ἰδοὺ ὁ παῖς σου παραγίνεται ὀπίσω ἡμῶν. Ὥστε πρότερον ἐξευμενίσασθαι, καὶ τότε τὴν κατὰ πρόσωπον

σωπον αὐτοῦ γενέσθαι συντυχίαν. Μετὰ τοῦτο γάρ, φησιν, ὄψομαι τὸ πρόσωπον αὐτοῦ. ἴσως γάρ, φησι, προσδέξεται τὸ πρόσωπόν μου. 21 Καὶ προεπορεύετο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ. Ἀλλ᾽ ὅρα μοι ἐνταῦθα πάλιν τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ ὅπως ἀεὶ καταλλήλως τὴν οἰκείαν πρόνοιαν ἐνδείκνυται. ἐπὶ μὲν γὰρ τοῦ Λάβαν, ἐπειδὴ ὁ δίκαιος οὐδὲν τοιοῦτον ὑπώπτευεν, οὐδὲ ᾔδει ὅτι πάντως αὐτὸν καταλήψεται ὁ Λάβαν μετὰ πολλῆς τῆς ὁρμῆς ἐπὶ τὸ ἀμύνασθαι τὸν δίκαιον τῆς λάθρα γενομένης ἀναχωρήσεως ἕνεκα, τῷ Λάβαν ἐπιφανεὶς καταστέλλει αὐτοῦ τὴν ὁρμὴν, καὶ ἐντέλλεται μηδὲν τῷ Ἰακὼβ, μηδὲ ἐν ῥήμασι λυπηρὸν ἀποκρίνασθαι. μὴ λαλήσῃς γάρ, φησι, μετὰ Ἰακὼβ πονηρόν. καὶ τοῦτο ᾠκονόμει διὰ τῆς ἐκείνου γλώττης γνώριμον γενέσθαι τῷ δικαίῳ, ἵνα μαθὼν τὴν περὶ αὐτὸν γεγενημένην οἰκονομίαν θαρσαλεώτερον καταστῇ. νυνὶ δὲ ἐπειδὴ ὁ ἀδελφὸς μὲν ὑπὸ τοῦ μήκους τοῦ χρόνου λωφήσας ἦν, καὶ τὸν θυμὸν καὶ τὴν ἀγανάκτησιν παύσας τὴν κατὰ τοῦ Ἰακὼβ, οὗτος δὲ ἐναγώνιος ἦν, δεδοικὼς καὶ τρέμων τοῦ ἀδελφοῦ τὴν συντυχίαν, ὁ ἀγαθὸς δεσπότης οὐκ ἔτι τῷ Ἡσαῦ ἐντέλλεται (οὐδὲ γὰρ ἐβουλεύετό τι κατὰ τοῦ ἀδελφοῦ) ἀλλὰ τὸν δίκαιον παραμυθεῖται. 22 Μετὰ γὰρ τὸ ἀποστεῖλαι, φησι, τοὺς τὰ δῶρα ἀποκομίζοντας, καθευδήσας, φησὶ, καὶ ἀναστὰς ἐν τῇ νυκτὶ ἐκείνῃ διήγαγε τὰς δύο γυναῖκας, καὶ τὰ παιδία τὴν διάβασιν τοῦ Ἰαβώχ. 23 Καὶ ἔλαβεν αὐτοὺς, καὶ διέβη τὸν χειμάῤῥουν. ὑπελείφθη δὲ Ἰακὼβ μόνος, 24 Καὶ ἐπάλαιεν ἄνθρωπος μετ᾽ αὐτοῦ.

Μεγάλη ἡ τοῦ δεσπότου φιλανθρωπία. ἐπειδὴ γὰρ ἔμελλε τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι, ἵνα μάθῃ διὰ τῶν πραγμάτων, ὅτι οὐδὲν ἀηδὲς ὑποστήσεται, ἐν σχήματι ἀνθρώπου παλαίειν μετὰ τοῦ δικαίου καταδέχεται. Εἶτα ὁρῶν ἑαυτὸν ἡττώμενον ὑπὸ ὁ Ἰακὼβ, 25 Ἐκράτησέ, φησι, τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ.

Ὅλον δὲ τοῦτο συγκαταβάσεως ἕνεκεν ἐγίγνετο, ἵνα τὴν δειλίαν ἐξέληται τῆς τοῦ δικαίου ψυχῆς, καὶ πείσῃ ἐκτὸς πάσης ἀγωνίας τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι. κρατήσαντος γάρ, φησι, τοῦ Ἰακὼβ τὸ πλάτος τοῦ μηροῦ, Ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ. Εἶτα ἵνα μάθῃ ὁ Ἰακὼβ τὴν δύναμιν τοῦ πρὸς αὐτὸν παλαίειν νομιζομένου, 26 Φησὶ πρὸς αὐτὸν, ἀπόστειλόν με. ἀνέβη γὰρ ὁ ὄρθρος. Αἰσθόμενος τοίνυν ὁ δίκαιος τὸ μέγεθος τῆς δυνάμεως τοῦ ταῦτα εἰρηκότος, Φησὶν, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς.

Μεγάλων ἠξιώθην, φησὶ, καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἐμαυτοῦ. οὐ πρότερον τοίνυν σε ἐάσω, μέχρις ἂν τῆς εὐλογίας ἀπολαύσω τῆς παρὰ σοῦ. 27 Εἶτά φησι, τί τὸ ὄνομά σού ἐστιν; Ὅρα πάλιν συγκατάβασιν. Εἰ γὰρ μὴ ἠρώτησεν, οὐκ ᾔδει τοῦ δικαίου τὴν προσηγορίαν; ᾔδει πάντως, ἀλλὰ βούλεται αὐτὸν πιστώσασθαι διὰ τῆς ἐρωτήσεως, καὶ διδάξαι, τίς ἐστιν ὁ πρὸς αὐτὸν διαλεγόμενος.

Καὶ ἐπειδὴ εἶπεν, Ἰακὼβ, 28 Φησιν, οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ᾽ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. Εἶδες πῶς ἔδειξε τὴν αἰτίαν ἅπασαν, δι᾽ ἣν τὴν τοσαύτην συγκατάβασιν ἐπεδείξατο. καὶ ὁμοῦ διδάσκει τὸν δίκαιον διὰ τῆς ἐπιτεθείσης αὐτῷ προσηγορίας, τίς ἐστιν ὃν εἶδε καὶ καταχεῖν κατηξιώθη. οὐκ ἔτι γὰρ κληθήσεταί, φησιν, Ἰακὼβ τὸ ὄνομά σου, ἀλλ᾽ Ἰσραήλ. Ἰσραὴλ δὲ ἑρμηνεύεται, νοῦς ὁρῶν Θεόν. ἐπειδὴ, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν, ἰδεῖν κατηξιώθης Θεὸν, διὰ τοῦτο καὶ τὴν προσηγορίαν σοι ταύτην ἐπιτίθημι, ἵνα πᾶσι τοῖς ἑξῆς κατάδηλον γένηται, οἵας ἠξίωθης ὀπτασίας. καὶ ἐπήγαγεν, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. μηδὲν λοιπὸν δέδιθι, μηδὲ βλάβην τινὰ

προσδοκήσῃς παρά τινος ὑπομένειν. ὁ γὰρ τοσαύτην ἰσχὺν προσλαβών, ὡς καὶ μετὰ Θεοῦ δυνηθῆναι παλαῖσαί σε, πολλῷ μᾶλλον τῶν ἀνθρώπων περιέσῃ, καὶ ἀχείρωτος ἅπασι γενήσῃ. Ταῦτα ἀκούων ὁ δίκαιος, καὶ καταπλαγεὶς τοῦ πρὸς αὐτὸν διαλεγομένου τὸ μέγεθος, 29 Φησίν, ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν, ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου; καὶ εὐλόγησεν αὐτόν. Ἔσω, φησί, τῶν οἰκείων ὅρων μένε, καὶ μὴ ὑπερβαίνε σου τὰ μέτρα. εὐλογίας βούλει ἀπολαῦσαι τῆς παρ' ἐμοῦ; ἰδού, ταύτην σοι δωροῦμαι. εὐλόγησε γάρ, φησιν, αὐτόν. 30 Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ. Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. Ὁρᾷς πόσον αὐτῷ θάρσος γέγονε ἀπὸ τῆς ὀπτασίας τῆς γεγενημένης. ἐσώθη γάρ μου, φησιν, ἡ ψυχή, ἡ σχεδὸν ἀποτεθνηκυῖα ὑπὸ τοῦ δέους. ἐπειδὴ ἰδεῖν κατηξιώθην πρόσωπον πρὸς πρόσωπον τὸν Θεόν, ἐσώθη μου ἡ ψυχή.

31 Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ Εἶδος τοῦ Θεοῦ. Εἶδες πῶς τῇ ἀσθενείᾳ τῇ ἀνθρωπίνῃ συγκαταβαίνων ὁ δεσπότης πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξασθαι. καὶ μὴ ξενισθῇς, ἀγαπητέ, πρὸς τὸ τῆς συγκαταβάσεως μέγεθος, ἀλλ' ἐννόησον ὅτι καὶ ἐπὶ τοῦ πατριάρχου, ἡνίκα παρὰ τὴν δρῦν ἐκαθέζετο, ἐν ἀνθρώπου σχήματι μετὰ τῶν ἀγγέλων ἐπεξενώθη τῷ δικαίῳ, προμηνύων ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι μέλλει ἀνθρωπίνην μορφὴν λαμβάνων, οὕτω πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἐκ τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθεροῦν, καὶ πρὸς τὴν σωτηρίαν ἐπανάγειν. ἀλλὰ τότε μέν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, ἐν σχήματι φαντασίας ἑκάστῳ αὐτῶν [καὶ] ἐφαίνετο, καθάπερ καὶ αὐτὸς διὰ τοῦ προφήτου φησίν, Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. ὅτε δὲ κατηξίωσε τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, καὶ τὴν ἀπαρχὴν τὴν ἡμετέραν ἀναδέξασθαι, οὐ φαντασίᾳ, οὐδὲ δοκήσει τὴν σάρκα ὑπέδυ, ἀλλ' ἀληθείᾳ, καὶ διὰ τοῦτο διὰ πάντων τῶν ἡμετέρων ἐλθεῖν κατεδέξατο, καὶ ἐκ γυναικὸς τεχθῆναι, καὶ βρέφος γενέσθαι, καὶ σπαργανωθῆναι, καὶ γαλακτοτροφηθῆναι, καὶ πάντα τὰ ἄλλα ὑποστῆναι, ἵνα πιστώσηται τῆς οἰκονομίας τὴν ἀλήθειαν, καὶ ἀποῤῥάψῃ τῶν αἱρετικῶν τὰ στόματα. διὰ τοῦτο καὶ καθεύδει ἐπὶ τοῦ πλοίου, καὶ ὁδοιπορεῖ, καὶ κοπιᾷ, καὶ πάντα τὰ ἀνθρώπινα ὑπομένει, ἵνα διὰ τῶν πραγμάτων πάντας πληροφορῆσαι δυνηθῇ. διὰ τοῦτο καὶ δικαστηρίῳ παρίσταται, καὶ σταυροῦται, καὶ θάνατον ὑπομένει τὸν ἐπονείδιστον, καὶ ἐν μνημείῳ τίθεται, ἵνα τὰ τῆς οἰκονομίας διὰ πάντων κατάδηλα γένηται. εἰ γὰρ μὴ κατὰ ἀλήθειαν τὴν σάρκα τὴν ἡμετέραν ἀνέλαβεν, οὐδὲ ἐσταυρώθη, οὐδὲ ἀπέθανεν, οὐδὲ ἐτάφη, οὐδὲ ἀνέστη. εἰ δὲ μὴ ἀνέστη, πᾶς ὁ τῆς οἰκονομίας λόγος ἀνατέτραπται. ὁρᾷς εἰς ὅσην ἀτοπίαν ἐκπίπτουσιν οἱ μὴ βουλόμενοι τῷ τῆς θείας γραφῆς κατακολουθεῖν κανόνι, ἀλλὰ τοῖς οἰκείοις λογισμοῖς ἅπαντα ἐπιτρέποντες. ἀλλ' ὥσπερ ἐνταῦθα ἀλήθειά ἐστι προφανής, οὕτως ἐπὶ τοῦ δικαίου τούτου φαντασία τις ἦν, δι' ἧς ἐχρῆν πληροφορηθῆναι τὸν δίκαιον, ὅσης ἀπολαύει τῆς παρ' αὐτοῦ προνοίας, καὶ ὅτι ἀχείρωτος ἔσται πᾶσι τοῖς ἐπιβουλεύειν ἐπιχειροῦσιν. Εἶτα ἵνα μηδένα τῶν εἰς τὸ ἑξῆς λάθῃ ἡ γεγενημένη αὐτῷ ὀπτασία, Ἐπέσκαζε, φησι, τῷ μηρῷ αὐτοῦ. 32 Ἕνεκα τούτου οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ ἕως τῆς ἡμέρας ταύτης, ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ἰακώβ, ὃ καὶ ἐνάρκησεν.

Οσ. ιβ. ι.

Ἐπειδὴ γὰρ ὁ μὲν δίκαιος ἔμελλε πληρώσας τῆς ζωῆς αὐτοῦ τοὺς χρόνους μεθίστασθαι τοῦ βίου, ἐχρῆν δὲ τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην εἰς αὐτὸν κηδεμονίαν, καὶ τὴν τοσαύτην συγκατάβασιν παντὶ τῷ γένει τῶν ἀνθρώπων γνώριμον γενέσθαι, διὰ τοῦτό φησιν, οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον τοῦ πλάτους τοῦ μηροῦ, ὃ ἐνάρκησεν. Εἰδὼς αὐ-

τῶν

τὴν πολλὴν ἀγνωμοσύνην, καὶ ὅπως ἐπιλανθάνονται τῶν παρὰ τοῦ Θεοῦ εὐεργεσιῶν, διὰ τοῦτο σοφιζόμενος διηνεκῆ αὐτοὺς ἔχειν τὴν μνήμην τῶν περὶ αὐτοὺς γεγενημένων εὐεργεσιῶν, τὰ ὑπομνήματα φυλάττεσθαι αὐτοῖς ἐμηχανήσατο διὰ τῶν τοιούτων παρατηρήσεων· καὶ τοῦτο διὰ πάσης τῆς γραφῆς ἐστιν εὑρεῖν. αὕτη γὰρ μάλιστά ἐστιν ἡ αἰτία τῶν πλειόνων παρατηρήσεων, ὅτι βούλεσθαι αὐτοὺς ἀδιαλείπτως τὰς ἐξῆς γενεὰς μελετᾶν τοῦ Θεοῦ τὰς εὐεργεσίας, καὶ μὴ λήθην τούτων ποιησαμένους ἐπὶ τὴν οἰκείαν πλάνην πάλιν ἀνατρέχειν. μάλιστα γὰρ τοῦτο ἔθος ἦν τῶν Ἰουδαίων γένει. εἰ γὰρ καὶ περὶ αὐτὰς τὰς εὐεργεσίας πολλάκις τὴν οἰκείαν ἀγνωμοσύνην ἐπιδεικνύμενοι, πολλῷ μᾶλλον, εἰ μὴ τοῦτο ἐγένετο, πάντα ἂν τὰ παρὰ τοῦ Θεοῦ εἰς αὐτοὺς γεγενημένα ἐξέβαλον τῆς οἰκείας διανοίας. ἀλλ' ἴδωμεν λοιπὸν, πῶς τὰ τῆς συντυχίας γίνεται τοῦ Ἰακὼβ πρὸς τὸν ἀδελφόν. ἐπειδὴ γὰρ ἀρκοῦσαν ἔλαβε παράκλησιν ἐκ τῶν γεγενημένων, καὶ ὑπόσχεσιν ἐδέξατο ὅτι ἰσχυρὸς ἔσται, καὶ μετὰ ἀνθρώπων δυνατός,

κεφ. λγ.

1 Ἀναβλέψας, φησὶν, εἶδε, καὶ ἰδοὺ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. καὶ διεῖλεν Ἰακὼβ τὰ παιδία ἐπὶ Λείαν καὶ Ῥαχὴλ, καὶ τὰς δύο παιδίσκας.

2 Καὶ ἔθετο τὰς δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ Λείαν καὶ τὰ παιδία αὐτῆς ʺ ὀπίσω, καὶ Ῥαχὴλ καὶ τὸν Ἰωσὴφ ʺ ἐν ἐσχάτοις. 3 Αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως ἤγγικε τοῦ ἀδελφοῦ αὐτοῦ. Ὅρα πῶς τὴν διαίρεσιν ποιησάμενος, αὐτὸς πρὸ πάντων τὴν συντυχίαν ποιεῖται. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως οὗ ἤγγισε τοῦ ἀδελφοῦ αὐτοῦ, ἐφελκόμενος καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῆς προσκυνήσεως τὸν ἀδελφὸν εἰς τὴν περὶ αὐτὸν εὔνοιαν, ὃ δὴ καὶ γέγονε. 4 Προσδραμὼν γὰρ, φησιν, Ἡσαῦ καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσαν ἀμφότεροι. Ὅρα Θεοῦ οἰκονομίαν. ὅπερ γὰρ χθὲς ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ. ὅτι ὅταν βούληται ὁ τῶν ὅλων δεσπότης τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐπιδείξασθαι, καὶ τοὺς ἀνημέρως πρὸς ἡμᾶς διακειμένους προβάτων ἡμερωτέρους ἐργάζεται. σκόπει τοίνυν, ὅσην μεταβολὴν ἐπιδείκνυται ὁ Ἡσαῦ. προσέδραμε γὰρ, φησιν, εἰς συνάντησιν αὐτοῦ, καὶ περιλαβὼν ἐφίλησε, καὶ ἔκλαυσαν ἀμφότεροι. μόλις ποτὲ ὁ δίκαιος ἀνέπνευσε, καὶ τὸν φόβον ἀπεσείσατο, καὶ τῆς δειλίας ἐλευθερωθεὶς θαρσαλεώτερος γέγονεν.

γρ. ἐν πρώτοις
γρ. ἐσχάτοις

5 Ἀναβλέψας δέ, φησιν, Ἡσαῦ εἶδε τὰς γυναῖκας καὶ τὰ παιδία, καὶ εἶπε, τί ταῦτά σοί ἐστιν; Ὁρῶν γὰρ τοῦ ἀδελφοῦ τὴν περιουσίαν ἐξενίζετο καὶ ἐθαύμαζε· διὸ καὶ ἐρωτᾶν ἐβούλετο. τί οὖν ὁ δίκαιος; Τὰ παιδία, φησὶν, οἷς ἠλέησεν ὁ Θεὸς τὸν παῖδά σου. Ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχὺς, καὶ ὅπως διὰ τῆς τῶν ῥημάτων ταπεινοφροσύνης ἐκείνου τὸν θυμὸν κατεπράϋνε. 6 Καὶ προσήγγισαν, φησιν, αἱ παιδίσκαι, καὶ τὰ τέκνα, 7 Καὶ προσεκύνησαν ἡ Λεία καὶ ἡ Ῥαχήλ.

8 Καὶ εἶπε· τί ταῦτά σοί ἐστι, πᾶσαι αἱ παρεμβολαὶ αὗται, αἷς ἀπήντηκα; ὁ δὲ εἶπεν, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου. Θέα μοι πῶς τῇ ὑπερβολῇ τῆς ταπεινοφροσύνης κατεδουλώσατο τὸν ἀδελφὸν, καὶ ὃν ἐνόμιζεν ἀγρίως πρὸς αὐτὸν διακεῖσθαι, οὕτως εὗρεν ἥμερον, ὡς βούλεσθαι πρὸς θεραπείαν αὐτοῦ πάντα τὰ περὶ ἑαυτοῦ ἐπιδείξασθαι. 9 Εἶπε γάρ, φησιν, ἔστι μοι πολλά, ἀδελφέ, ἔστω σοι τὰ σά.

Ἀλλ' οὐδὲ οὕτως ἠνέσχετο ὁ Ἰακὼβ, ἀλλὰ δεικνὺς ὅσην ποιεῖται σπουδὴν τοῦ εὐμενῆ αὐτὸν ἔχειν, φησὶν, 10 Εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα ἐκ τῶν χειρῶν μου. ἕνεκεν γὰρ τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον Θεοῦ.

Δέξαι, φησὶ, τὰ παρ' ἐμοῦ σοι δῶρα προσαγόμενα. μετὰ τοσαύτης γὰρ περιχαρείας

εἶδον

εἶδόν σου τὸ πρόσωπον, μεθ' ὅσης ἄν τις ἴδοι Θεοῦ πρόσωπον. τοῦτο θεραπείας πολλῆς ἕνεκα ἐρρέθη παρὰ τοῦ δικαίου, ὥστε αὐτὸν καταμαλάξαι, καὶ πρὸς τὴν ἀδελφικὴν εὔνοιαν ἀγαγεῖν. 11 Καὶ εὐδοκήσεις με, Ἀντὶ τοῦ, τὸ ἀρέσκον μοι ποιήσεις.

Λάβε τοίνυν τὰς εὐλογίας, ἃς ἐνήνοχά σοι. ὅτι ἠλέησέ με ὁ Θεός, καί ἐστί μοι [δι' αὐτοῦ] πάντα. Μὴ παραιτήσῃ, φησί, λαβεῖν. ταῦτα γὰρ πάντα παρὰ τοῦ Θεοῦ μοι δεδώρηται, καὶ αὐτός μοι τούτων ἁπάντων χορηγὸς γεγένηται. διὰ τούτων ἠρέμα κἀκεῖνον ἐπεδίδασκεν, ὅσης ἀξιοῦται τῆς παρὰ τοῦ Θεοῦ προνοίας, καὶ παρεσκεύαζε πολλὴν τὴν περὶ αὐτὸν αἰδῶ ἐπιδείκνυσθαι. 12 Καὶ παρεβιάσατο αὐτόν, καὶ ἔλαβεν.

Ὅρα λοιπὸν τὴν μεταβολήν. Καὶ εἶπε, φησίν, ἀπάραντες πορευσώμεθα ἐπ' εὐθεῖαν, Ἀντὶ τοῦ, λοιπὸν κοινὴν ποιησώμεθα τὴν ὁδοιπορίαν. ὁ δὲ καρτερεῖν αἰτεῖ, πρόφασιν εὔλογον εὑρηκώς. 13 Ὁ κύριός μου, φησί, γινώσκει, ὅτι τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται. ἐὰν οὖν καταδιώξω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται. Οὐ δύναμαι, φησί, συντομώτερον ποιήσασθαι τὴν ἀποδημίαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀναγκάζομαι ὁδοιπορεῖν διά τε τὰ παιδία καὶ τὰ ποίμνια, ὥστε μὴ διαφθαρῆναι τῷ πλείστῳ καμάτῳ. πορεύου οὖν, φησίν, αὐτός, ἐγὼ δὲ κατὰ μέρος ὑποτεμνόμενος τῶν παιδίων τὸν κάματον καὶ τῶν ποιμνίων, οὕτω καταλήψομαί σε εἰς τὴν Σηείρ. Ταῦτα ἀκούσας ὁ ἀδελφός, Εἰ βούλει, φησί,

15 Καταλείπω τινὰς τῶν σὺν ἐμοὶ μετὰ σοῦ, Πολλῆς τιμῆς καὶ θεραπείας καὶ τοῦτο δεῖγμα ποιούμενος. ὁ δὲ οὐδὲ τοῦτο καταδέχεται. ἀρκεῖ μοί, φησιν, ὅτι ὅλως εὗρον χάριν ἐναντίον σου. τοῦτό μοι ἦν περισπούδαστον, τὸ εὐμενῆ σε εὑρεῖν. ἐπεὶ οὖν τούτου ἐπέτυχον, οὐδενὸς ἑτέρου δέομαι. 17 Καὶ ἀπάρας, φησίν, Ἰακὼβ ἐποίησεν ἑαυτῷ σκηνὰς καὶ τοῖς κτήνεσιν αὐτοῦ. διὰ τοῦτο ἐκάλεσε τὸν τόπον, σκηναί.

ΗΘΙΚΟΝ

Ταῦτα δὲ ἀκούοντες μιμώμεθα τὸν δίκαιον τοῦτον, καὶ τοσαύτην ἐπιδεικνυώμεθα ταπεινοφροσύνην. καὶ ἐπειδὰν ὦσί τινες πρὸς ἡμᾶς ἀηδῶς διακείμενοι, μὴ ἐπὶ πλέον ἐξάπτωμεν τὸν θυμόν, ἀλλὰ τῇ πολλῇ ἐπιεικείᾳ καὶ τῇ ταπεινοφροσύνῃ, τῇ διὰ ῥημάτων, τῇ διὰ πραγμάτων καταστέλλωμεν αὐτῶν τὴν ἔχθραν, καὶ ἰατρεύωμεν αὐτῶν τὴν ψυχὴν κεκακωμένην. ὅρα γὰρ τὴν σοφίαν τούτου τοῦ δικαίου, ὅπως τῇ πολλῇ εὐτονίᾳ τῶν ῥημάτων οὕτω τὸν Ἡσαῦ κατεμάλαξεν, ὡς καὶ πρὸς θεραπείαν αὐτοῦ ἐπείγεσθαι, καὶ πάντα πρὸς τὴν τούτου τιμὴν βούλεσθαι ποιεῖν. τοῦτο ἀληθῶς μεγίστης ἐστὶν ἀρετῆς, οὐχ ὅταν τοὺς γνησίως πρὸς ἡμᾶς διακειμένους ἀγαπᾶν σπουδάζωμεν, καὶ θεραπεύωμεν παντὶ τῷ τρόπῳ, ἀλλὰ καὶ ὅταν τοὺς ἐπηρεάζειν ἡμῖν βουλομένους διὰ τῆς πολλῆς προσηνείας ἐπισπώμεθα. οὐδὲν γὰρ ἐπιεικείας σφοδρότερον. ὥσπερ γὰρ τὴν πυρὰν σφοδρῶς πολλάκις ἐκκαιομένην ὕδωρ ἐπιβληθὲν κατέσβεσεν, οὕτω καὶ τὸν θυμὸν καμίνου σφοδρότερον ἐξαπτόμενον λόγος μετ' ἐπιεικείας προϊὼν κατασβέννυσι· καὶ διπλοῦν ἡμῖν τὸ κέρδος γίνεται, παρ' ὧν τε αὐτοὶ τὴν ἐπιείκειαν ἐπιδεικνύμεθα, καὶ παρ' ὧν τοῦ ἀδελφοῦ τὸν θυμὸν καταπαύσαντες, τὸν λογισμὸν αὐτοῦ ταραχῆς ἐλευθεροῦμεν. τί γάρ εἰπέ μοι; οὐχὶ μέμφῃ καὶ κατηγορεῖς τοῦ ἀδελφοῦ θυμουμένου, καὶ ἐχθρῶς πρὸς σὲ διακειμένου; τίνος οὖν ἕνεκεν, οὐχὶ διὰ τῶν ἐναντίων αὐτὸς ἔρχεσθαι σπουδάζεις, ἀλλὰ θυμοῦσθαι καὶ αὐτὸς ἐπὶ πλεῖον βούλει; μὴ γὰρ δυνατὸν πῦρ πυρὶ σβέννυσθαι; οὐκ ἔχει φύσιν τὸ γενόμενον οὕτως, οὐδὲ θυμὸν ἑτέρῳ θυμῷ καταπραΰνεσθαι δυνατὸν ἂν γένοιτό ποτε. ὅπερ γάρ ἐστι τῷ πυρὶ τὸ ὕδωρ, τοῦτο τῷ θυμῷ ἐπιείκεια καὶ πρᾳότης. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, Ἐὰν τοὺς ἀγαπῶντας ὑμᾶς ἀγαπᾶτε, τίνα μισθὸν ἔχετε; εἶτα ἐντρέψαι βουλόμενος τῇ ἐπαγωγῇ, καὶ καθι-

Ματθ. ε. μϛ.

κέσθαι τῶν ῥαθυμεῖν βουλομένων, φησὶν, οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ἵνα γὰρ μὴ λάβῃς τὴν ῥαθυμίαν, οὐχὶ τοῦτο διαπράττεται; καὶ αὐτοὶ οἱ τελῶναι οὐχὶ τοῦτο διὰ σπουδῆς ἔχουσι; τί γὰρ τελώνου χεῖρον; καὶ ὅμως τοῦτο παντὶ τρόπῳ εὑρήσεις παρ' αὐτοῖς πληρούμενον, καὶ οὐχ οἷόν τε τὸν ἀγαπώμενον μὴ καὶ ἀγαπᾶν. ἐγὼ δὲ, ἐπειδὴ ὑψηλοτέρους ὑμᾶς εἶναι βούλομαι, καὶ ἔχειν τι τούτων πλέον, οὐ τοῦτο παραινῶ, ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν. ὅπερ ὁ μακάριος οὗτος πρὸ τοῦ νόμου, πρὸ τῆς διδασκαλίας τῆς παρ' ἑτέρων, οἴκοθεν κινούμενος, διὰ τῆς ὑπερβαλλούσης ἐπιεικείας πρότερον μὲν τοῦ Λάβαν περιγέγονε, νυνὶ δὲ καὶ τοῦ ἀδελφοῦ. εἰ γὰρ καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσεν, ἀλλ' ὅμως καὶ τὰ παρ' ἑαυτοῦ προεπεδείκνυτο. ἐπεὶ καὶ ἡμεῖς κἂν μυριάκις σπουδάζωμεν, οὐδὲν οὐδέποτε κατορθῶσαι δυνησόμεθα, εἰ μὴ καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαιμεν. ὥσπερ" γὰρ, εἰ μὴ τῆς ἐκεῖθεν συμμαχίας" ἀπολαύσωμεν, οὐδὲν ἰσχύομέν ποτε τῶν δεόντων κατορθῶσαι· οὕτω πάλιν, εἰ μὴ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οὐ δυνησόμεθα τῆς ἄνωθεν ἀξιοῦσθαι ῥοπῆς. διὸ σπουδάζωμεν καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ τὴν ἄνωθεν κηδεμονίαν ἐφέλκεσθαι, ἵνα καὶ ἐκ τῆς ἡμετέρας σπουδῆς, καὶ ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὰ τῆς ἀρετῆς ἡμῖν καθ' ἑκάστην ἡμέραν ἐπιτείνηται, καὶ πολλῆς ἀπολαύσωμεν τῆς ἄνωθεν χάριτος, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. δ,
κ. ἀπολαύσωμεν,

Λογ. νθ

ΚΑΙ ΗΛΘΕΝ ΙΑΚΩΒ ΕΙΣ *ΠΟΛΙΝ "ΣΙΚΗμων, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμῶρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν, καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ.

* Σαλήμ.
κ. Σικίμων,

Εἴδετε χθὲς καὶ τοῦ κοινοῦ τῶν ἁπάντων δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῶν μαθητῶν τὴν φιλοσοφίαν, καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην. εἴδετε μεθ' ὅσης ἀνεξικακίας ἐπεστόμισεν αὐτῶν τὴν ἀναίσχυντον τόλμαν, τὴν ὑπὲρ τῶν μαθητῶν ἀπολογίαν ποιούμενος, καὶ δεικνὺς ὅτι αὐτοὶ οἱ τὸν νόμον ἐκδικεῖν ἐθέλοντες, ἀγνοοῦσι τοῦ νόμου τὸ βούλημα, καὶ ὅτι τῆς ἀληθείας φανείσης ἔτι τῇ σκιᾷ παρακαθῆσθαι ἤθελον. εἴδετε πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς τὰς παρατηρήσεις τὰς νομικὰς ἀνελεῖν ἐσπούδαζε, διδάσκων αὐτοὺς ὅτι τοῦ ἡλίου τῆς δικαιοσύνης φανέντος οὐκ ἔτι δυνατὸν τὸ λυχνιαῖον ἐνεργεῖν φῶς. ἡ γὰρ αὐγὴ τοῦ φωτὸς τοῦ ἡλιακοῦ προσβάλλουσα ἀποκρύπτει τούτου τὴν χρείαν. ἐμάθετε πῶς δυνατὸν δὴ καὶ ἑορτάζειν, καὶ ἀπηλλάχθαι τῆς τῶν καιρῶν παρατηρήσεως. διὰ γὰρ τοῦτο παρεγένετο ὁ δεσπότης ὁ ἡμέτερος, ἵνα ἡμᾶς ἐλευθερώσῃ τῆς τῶν καιρῶν ἀνάγκης, καὶ παρασκευάσῃ ὑψηλότερα" πέπασθαι, καὶ ἐν οὐρανῷ λοιπὸν ἔχειν τὸ πολίτευμα, καὶ ἀνθρώπους ὄντας τὴν τῶν ἀγγέλων μιμεῖσθαι πολιτείαν, καὶ καταγελᾶν πάντων τῶν ἀνθρωπίνων πραγμάτων. Φέρε δὴ σήμερον, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τῶν πρῴην ἡμῖν εἰρημένων ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ῥημάτων ἐπανελθόντες, ἐκεῖθεν ὑμῖν παραθῶμεν τὴν ἑστίασιν. ἴστε γὰρ ὅτι ἐπανελθόντος ἐκ Μεσοποταμίας τοῦ Ἰακὼβ, καὶ τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιησαμένου, καὶ μετὰ τοῦτο διαχωρισθέντος, καὶ ἐκείνου μὲν εἰς τὴν Σηεὶρ ὁρμήσαντος, τοῦ δὲ Ἰακὼβ τὰς σκηνὰς πηξαμένου, καὶ τὸν τόπον ἀπὸ τοῦ συμβάντος ὀνομάσαν-

κ. πέπαυται,

τος σκηνάς, ἐνταῦθα τὸν λόγον κατελύσαμεν. διὸ χρὴ τὰ ἑξῆς ἐπελθόντας κατὰ δύναμιν τὴν ἡμετέραν τὴν διδασκαλίαν ὑμῖν παραθεῖναι τὴν πνευματικήν. ἐν ἀδείᾳ γὰρ λοιπὸν γενόμενος ὁ δίκαιος, καὶ ἐλευθερωθεὶς πάσης ἀγωνίας, 18 Ἦλθε, φησιν, εἰς * πόλιν "Σικήμων, 19 Καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμμὼρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνάδων. 20 Καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ. Μὴ ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. Εἰ γὰρ οἱ τὰ ψήγματα τοῦ χρυσίου ἐκ τῆς γῆς ἀνορύττοντες, πάντα πόνον ὑπομένουσι, καὶ πάντων ἀνέχονται τῶν δυσχερῶν, ὥστε δυνηθῆναι τῆς γῆς χωρίσαι τὸ χρυσίον· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον ἂν εἴη τὰ λόγια τοῦ πνεύματος διερευνᾶσθαι, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπωσαμένους οὕτως ἐντεῦθεν ἐξιέναι. ἐννόει μοι τοίνυν τοῦ θαυμαστοῦ τούτου ἀνδρὸς τὴν φιλοσοφίαν, ὅπως τοσαύτης ἀπολαύων τῆς ἄνωθεν ῥοπῆς, καὶ ὁρῶν ἑαυτοῦ τὴν περιουσίαν "αὐξομένην, τὴν τῶν θρεμμάτων λέγω, καὶ τοσούτων παίδων χορὸν αὐτῷ περιεστῶτα, οὐ περὶ οἰκοδομὰς λαμπρὰς ἑαυτὸν ἐξέδωκεν, οὐδὲ ἀγροὺς καὶ κώμας ὠνήσασθαι ἐσπούδασε δυναμένους ἀρκέσαι πρὸς τὴν διανομὴν τῶν παίδων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα οἱ νῦν ἡμῖν προβάλλονται, καὶ ἕνα πολλάκις τις ἐσχηκὼς υἱὸν μυρία τάλαντα χρυσίου συλλέγειν σπουδάζει, καὶ ἀγροὺς ὠνήσασθαι, καὶ οἰκοδομὰς περιφανεῖς κατασκευάζειν. καὶ εἴθε ἐκ δικαίων πόνων, καὶ ἄνευ ἀδικίας τούτων τὴν περιουσίαν συνέλεγεν· ἀλλὰ τὸ βαρὺ καὶ πάντων δεινότερον, ὅτι ἑτέρους ἁρπάζων καὶ πλεονεκτῶν καὶ πράγματα συρράπτων, οὕτω τὰς ἑτέρων οὐσίας εἰς ἑαυτὸν μεθίστησι. καὶ ἐὰν τις ἔρηται, τίνος ἕνεκεν ἡ τοσαύτη τῶν χρημάτων μανία, εὐθέως τὸν παῖδα προβάλλεται, καὶ διὰ τὴν περὶ ἐκεῖνον εὔνοιαν ταῦτά φησι διαπράττεσθαι. καὶ οὗτος μὲν κἂν παῖδα προβαλλόμενος ταῦτα ἀφοσιοῦται, εἰκῆ καὶ μάτην. εἰσὶ δὲ, οἳ μηδὲ παῖδας ἔχοντες μεμήνασι περὶ τὴν τῶν χρημάτων συλλογήν, καὶ μυριάκις ἂν ἕλοιντο τὰ ἀνήκεστα "ὑπομένειν, ἢ ἕνα ὀβολὸν προέσθαι τινὶ τῶν δεομένων. ἀλλ' ὁ δίκαιος οὗτος οὐδὲν τοιοῦτον ἐβουλεύσατο, οὐδὲ ἐνενόησεν, ἀλλὰ καὶ ἡνίκα ἔδει βραχὺν ἀγρὸν ὠνήσασθαι, ἑκατὸν ἀμνοὺς δοὺς, οὕτω τοῦ ἀγροῦ τὴν μερίδα ὠνήσατο παρὰ Ἐμμὼρ τοῦ πατρὸς Συχέμ. καὶ ὅρα τοῦ ἀνδρὸς τὸ φιλόθεον, καὶ τίνος ἕνεκεν ἀγρὸν λαβεῖν ἐσπούδασε. καὶ ἔστησεν ἐκεῖ, φησι, θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν τοῦ Ἰσραήλ· καὶ τοῦ ἀγροῦ τὴν μερίδα δι' οὐδὲν ἕτερον ὠνήσατο, ἢ ἵνα τὰς εὐχαριστίας ἀνενέγκῃ τῷ κοινῷ πάντων δεσπότῃ. τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν, τοὺς ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μὴ οὕτω μαίνεσθαι περὶ τὴν τῶν χρημάτων συλλογήν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καὶ ἑαυτῷ τοσαῦτα φορτία ἀκανθῶν συνάγεις, καὶ τοῖς παιδίοις τοῖς σοῖς ὕλην κακίας καὶ ὑπόθεσιν καταλιμπάνεις; οὐκ αἰσθάνῃ, οὐκ οἶδας ὅτι σου μᾶλλον κήδεται ὁ δεσπότης τοῦ σοῦ παιδός; ἀλλ' ὡς πλείονα τὴν περὶ αὐτὸν ἐπιδεικνύμενος πρόνοιαν, ἀφορμὰς αὐτῷ καταλιπεῖν σπουδάζεις τὰς δυναμένας ὑποβρύχιον αὐτοῦ τὴν ψυχὴν ἐργάσασθαι. ἢ οὐκ οἶσθα, ὅτι ἡ νεότης καὶ καθ' ἑαυτὴν μὲν εὐόλισθόν ἐστι πρᾶγμα καὶ ὀξύρροπον πρὸς κακίαν; ὅταν δὲ καὶ χρημάτων περιουσία προστεθῇ, καθάπερ πῦρ ὕλην προσλαβὸν, σφοδροτέραν ἀνάπτει τὴν φλόγα· οὕτω καὶ ἡ νεότης καθάπερ πυρὰν τὴν ὕλην τῶν χρημάτων δεξαμένη, τοσαύτην ἀνάπτει τὴν κάμινον, ὡς ὁλόκληρον ἐμπρῆσαι τοῦ νέου τὴν ψυχήν. πότε γὰρ ὁ τοιοῦτος δυνήσεται σωφροσύνης ἐπιμελήσασθαι, καὶ ἀκολασίαν φυγεῖν, καὶ τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους ἀναδέξασθαι, ἢ τι ἕτερον πνευματικόν; ἢ οὐκ ἀκούεις τοῦ Χριστοῦ, ὅτι Ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν "λογισμὸν, καὶ ἄκαρπος γίνεται; ταῦτα γὰρ ἀκάνθας ὠνόμασεν, εἰπὼν τὸ ἐν μέσῳ τοῦ σπόρου εἰς τὰς ἀκάνθας ἐμπεπλωκέναι.

Ματθ. ιγ. κβ.

πεπληρωκέναι. Εἶτα ἑρμηνεύων τοῖς μαθηταῖς τίνες εἰσὶν αἱ ἄκανθαι, φησίν, ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται: καὶ καλῶς ἀκάνθαις παρείκασε τὴν μέριμναν τοῦ αἰῶνος τούτου. καθάπερ γὰρ αἱ ἄκανθαι οὐκ ἐῶσι προκύψαι τὸν σπόρον, ἀλλὰ τῇ πυκνότητι συμπνίγουσι τὸ καταβληθέν· οὕτω καὶ αἱ μέριμναι αἱ βιωτικαὶ τὸν σπόρον τὸν πνευματικόν, ἐπειδὰν εἰς τὴν ψυχὴν καταβληθῇ, οὐκ ἀφιᾶσι καρπὸν ἐνεγκεῖν, ἀλλὰ συγχέουσαι καὶ συμπνίγουσαι, καθάπερ αἱ ἄκανθαι, οὐκ ἐῶσι προκύψαι τὸν σπόρον τὸν πνευματικόν. καὶ ἡ ἀπάτη, φησί, τοῦ πλούτου. καλῶς εἶπεν ἀπάτην τοῦ πλούτου. καὶ γὰρ ὄντως ἀπάτη ἐστί. τί γὰρ ὄφελος τῶν τοσούτων ταλάντων, καὶ τῆς τοσαύτης τῶν χρημάτων περιβολῆς; ναί φησιν, πολλὴν τὴν εὐφροσύνην παρέχει τῷ κεκτημένῳ. ποίαν εὐφροσύνην; καὶ τί λέγω εὐφροσύνην; οὐχὶ τοῦτο μάλιστα τὰς ἀκαίρους ἀθυμίας, τὰς πολλὰς ἀηδίας τίκτειν παρασκευάζει; καὶ οὔπω λέγω τὴν διὰ ταῦτα κόλασιν ἐπηρτημένην, ἀλλ' ἁπλῶς τὰ ἐν τῷ παρόντι βίῳ, ὅτι οὐδὲ ἡδονὴν τὸ πρᾶγμα ἔχειν δύναται, ἀλλὰ καθημερινὰς ταραχὰς, καὶ ἀηδίας. καὶ οὐχ οὕτω τὴν θάλατταν ἔστιν ἰδεῖν πρὸς τὰ κύματα κορυφουμένην, ὡς τὴν τοιαύτην ψυχὴν ὑπὸ τῶν λογισμῶν καὶ τῶν παθῶν πολιορκουμένην, καὶ πρὸς ἅπαντας καὶ οἰκείους καὶ ἀλλοτρίους ἀηδῶς διακειμένην. καὶ ἐὰν ποτε κἂν μέρος τι τούτων ὑφέληταί τις (πολλὰ γὰρ τὰ συμπίπτοντα, καὶ πολλοὶ οἱ ἐφεδρεύοντες, καὶ οἰκετῶν κακουργίαι, καὶ δυναστευόντων ἐπήρειαι) τότε δὴ, τότε εὑρήσεις αὐτοὺς τοιούτους ἀβίωτον τὸν βίον ἡγουμένους. ποίων οὖν οὐκ ἂν εἶεν θρήνων οἱ τοιοῦτοι ἄξιοι, οἱ καθ' ἑαυτῶν ἅπαντα πράττειν σπουδάζοντες, καὶ ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς ταῦτα συλλέγειν βουλόμενοι; ἀλλ', εἰ δοκεῖ, τούτους καταλιπόντες, ἐπὶ τὴν κατὰ τὸν δίκαιον ἱστορίαν ἐπανέλθωμεν, καὶ ἴδωμεν τὴν ἑξῆς τὴν ἀκολουθίαν. ἔστησε, φησι, θυσιαστήριον ἐν τῇ μερίδι τοῦ ἀγροῦ, καὶ ἐπεκαλέσατο τὸν Θεὸν Ισραὴλ, καὶ λοιπὸν ἐν "Σικήμοις τὴν οἴκησιν ἐβουλεύσατο ποιήσασθαι. ἀλλ' ὅρα * πάλιν, ὅπως ὁ δίκαιος καὶ ἐνταῦθα τὴν οἰκείαν ἐπιείκειαν ἐπιδείκνυται. τί γάρ;

γρ. Σικίμοις

* καὶ

κεφ. λδ.

1 Ἐξῆλθε, φησι, Δεῖνα ἡ θυγάτηρ Λείας ἰδεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων.

2 Καὶ ἰδὼν αὐτὴν Συχὲμ ὁ υἱὸς Ἐμμὼρ ἐκοιμήθη μετ' αὐτῆς, 3 Καὶ ἠγάπησε, φησι, τὴν παρθένον, καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου. Εἶδες ὅσον ἐστὶν ἡ νεότης κακόν, "ἐπειδ' ἂν μὴ ἔχῃ χαλινὸν, τὸν εὐσεβῆ λογισμόν. Εἶδε γάρ, φησι, τὴν κόρην, καὶ ὅλος ὑπὸ τῆς ὄψεως ἔρωτος γεγονώς, τὴν ἐπιθυμίαν εἰς ἔργον ἐξήγαγε. καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου. τί ἐστι, κατὰ τὴν διάνοιαν τῆς παρθένου; ἐπειδὴ νέα ἦν ἡ κόρη, ἐκεῖνα, φησιν, αὐτῇ διελέχθη, ἃ ἦν ἱκανὰ ἐπισπάσασθαι καὶ ἑλεῖν αὐτήν.

γρ. ἐπειδὰν

4 Καί φησι πρὸς τὸν πατέρα, λάβε μοι τὴν παιδίσκην ταύτην εἰς γυναῖκα. Ἤκουσε δὲ Ιακὼβ τὸ γεγονὸς, καὶ τέως πρᾴως ἔφερεν, ἀναμένων τῶν ἀδελφῶν αὐτῆς τὴν παρουσίαν. ἦσαν γὰρ ἐν τοῖς ποιμνίοις. 5 Καὶ παρεσιώπησε, φησιν, Ιακὼβ ἕως τοῦ ἐλθεῖν αὐτούς. 7 Παραγενομένου δὲ τοῦ Ἐμμὼρ πρὸς τὸν Ιακὼβ, ἦλθον καὶ οἱ ἀδελφοὶ τῆς Δείνας. καὶ ἀκούσαντες τὰ γεγενημένα εἰς τὴν ἀδελφὴν αὐτῶν, κατενύγησαν. Τί ἐστι, κατενύγησαν; ἐλυπήθησαν, οὐκ ἀνεκτὸν αὐτοῖς ὤφθη, ἀλλὰ καὶ πάνυ χαλεπὸν, καὶ λύπης αὐτοῖς ὑπόθεσις γέγονε. Λυπηρὸν γάρ, φησιν, ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν Ισραὴλ Συχὲμ, κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ιακώβ. Ὁρᾷς τῶν παίδων τὴν σωφροσύνην; μεγίστην ὕβριν τὸ πρᾶγμα ἐλογίσαντο. Εἶδες πῶς μὲν ὁ δίκαιος τοὺς ἑαυτοῦ παῖδας ἐπαίδευσεν εἰς τὴν ἀρετήν; πῶς δὲ ὁ τοῦ Ἐμμὼρ υἱὸς εἰς ἔργον ἀγαγὼν αὐτοῦ τὴν ἐπιθυμίαν, τῷ πατρὶ καὶ πάσῃ τῇ πόλει ὀλέθρου ὑπόθεσις γίνεται;

ται; ἀλλὰ πρότερον ἀκούσωμεν τὰ παρὰ τοῦ Ἐμὼρ πρὸς αὐτοὺς λεγόμενα, καὶ μετὰ ταῦτα εἴσεσθε τῶν ἀδελφῶν τῆς Δείνας τὴν πανουργίαν, καὶ ὅπως ἐκδικῆσαι τὰ εἰς τὴν ἀδελφὴν γεγενημένα σπουδὴν ἐποιήσαντο. 8 Καὶ ἐλάλησε, φησὶν, αὐτοῖς Ἐμὼρ λέγων· Συχὲμ ὁ υἱός μου "προείλετο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν.

Ὅρα πῶς ἤδη τὸν μέλλοντα καταλήψεσθαι αὐτὸν ὄλεθρον μηνύει. "Προείλετο, φησὶ, τῇ ψυχῇ, ἀντὶ τοῦ, τὴν ψυχὴν αὐτοῦ ἐξέδωκεν ὑπὲρ τῆς θυγατρὸς ὑμῶν. Ἐκεῖνος μὲν ἔλεγε, τὴν ἐπιθυμίαν αὐτοῦ τὴν ἐπὶ τὴν κόρην δηλῶν· μετὰ βραχὺ δὲ ἐμάνθανεν, ὅτι τῆς ἀπωλείας καὶ ἑαυτοῦ καὶ πάντων τῶν αὐτόθι τοῦτο ἔσται ὑπόθεσις. Ἐπεὶ οὖν, φησὶν, οὕτως ἐκκαίεται τῆς κόρης, Δότε αὐτὴν αὐτῷ γυναῖκα, 9 Καὶ ἐπιγαμβρεύσητε ἡμῖν. Τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν· καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν, 10 Καὶ ἐν ἡμῖν κατοικεῖτε. Καὶ ἰδοὺ ἡ γῆ πλατεῖα ἐναντίον ὑμῶν. Κατοικεῖτε, καὶ ἐμπορεύεσθε ἐπ' αὐτῆς καὶ "κτήσασθε ἐν αὐτῇ. Ὅρα τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα φιλοστοργίαν ὅσην ποιεῖται πρὸς τοὺς ξένους τὴν φιλοφροσύνην, καὶ ὅπως αὐτοὺς ἐφελκύσασθαι βούλεται, πάσης αὐτοῖς τῆς χώρας τὴν ἐξουσίαν διδούς. Καὶ ταῦτα μὲν ὁ πατήρ· ὁ δὲ παῖς θεασάμενος τοῦ πατρὸς τὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ ὅπως πάντα ποιεῖν ἕτοιμος ἦν, ὥστε αὐτῷ εἰς ἔργον ἀγαγεῖν τὸ σπουδασθὲν, προστίθησι καὶ παρ' ἑαυτοῦ,

11 Καὶ φησὶ πρὸς Ἰακὼβ, καὶ πρὸς τοὺς ἀδελφοὺς τῆς κόρης, Εὕροιμι χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν. 12 Πληθύνατε τὴν φερνὴν, καὶ δώσω καθ' ὅ, τι ἂν εἴπητέ μοι. Καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα.

Εἶδες καὶ τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα κηδεμονίαν πολλὴν τὴν παράκλησιν ποιούμενον, καὶ τὸν νέον ἑτοίμως ἅπαντα προϊέμενον ὑπὲρ τοῦ τῆς κόρης ἐπιτυχεῖν. Τοῦτο γὰρ, τοῦτο τὸ ὀλέθριον πάθος πάντα πείθει τὸν ἁλόντα καταδέξασθαι, μέχρις ἂν [αὐτὸν] εἰς αὐτὸν ἀγάγῃ τοῦ ᾅδου τὸν πυθμένα. Καὶ θέα μοι· ὁ μὲν πρεσβύτης Ἰακὼβ ταῦτα ἀκούων σιγᾷ, καὶ τὴν οἰκείαν ἐπιείκειαν μιμούμενος οὐδὲν φθέγγεται, ἀλλὰ πράως φέρει τὴν εἰς τὴν θυγατέρα γεγενημένην ἐπήρειαν.

13 Οἱ δὲ υἱοὶ Ἰακὼβ εἶπον, φησὶ, τῷ Συχὲμ, καὶ Ἐμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου, καὶ "ἐλάλησαν αὐτοῖς, ὅτι ἐμόλυναν τὴν ἀδελφὴν αὐτῶν.

Σκόπει μοι διὰ τὴν τοῦ ἑνὸς λαγνείαν πῶς ἅπαντες οἱ τὴν πόλιν οἰκοῦντες συναπολαύουσι τῶν κακῶν. Καθάπερ γὰρ πυρὸς ἀναφθείσης καὶ οἱ πλησίον οἰκοῦντες τοῦ κινδύνου μετέχουσι, τοῦ πυρὸς ἅπαντα ἐπινεμομένου, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ἡ τοῦ νέου ἀκολασία οὐ μόνον τὸν πατέρα, ἀλλὰ καὶ πάντας τοὺς τῆς πόλεως ἄρδην ἠφάνισε. Τί οὖν οἱ παῖδες τοῦ Ἰακώβ; μετὰ δόλου πρὸς αὐτοὺς ἀποκρίνονται. Ἄξιον ἀκοῦσαι, ἵνα μάθητε ὅπως ὑπερήλγησαν τῆς ἀδελφῆς. Εἶπον γὰρ, φησὶ, Συμεὼν καὶ Λευῒ ἀδελφοὶ Δείνας, υἱοὶ δὲ Λείας· 14 Οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς ἔχει ἀκροβυστίαν. 15 Ἐὰν οὖν περιτέμνησθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, 16 Δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν, καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν ληψόμεθα, καὶ ἐσόμεθα ὡς γένος ἕν.

Τὰ μὲν τῆς προτάσεως εὔλογα καὶ ἀκόλουθα· ἀλλὰ μετὰ δόλου, φησὶ, διελέχθησαν. 17 Καὶ ἐὰν μὴ βούλησθε, φησὶ, τοῦτο ποιῆσαι, λαβόντες τὴν θυγατέρα ἡμῶν ἀπελευσόμεθα. Ταῦτα μὲν οἱ περὶ τὸν Συμεῶνα καὶ τὸν Λευῒ τὸν κατὰ πάντων φόνον μελετῶντες προέτειναν. Ἐκεῖνοι δὲ πρὸς τὸ σπουδαζόμενον ὁρῶντες, καὶ τὴν κόρην λαβεῖν ἐπιθυμοῦντες κατεδέξαντο τὰ εἰρημένα, καὶ ἠρέσθησαν τοῖς προταθεῖσιν.

18 Ἤρεσε γὰρ, φησὶν, ὁ λόγος ἐναντίον αὐτῶν, 19 Καὶ οὐκ ἠμέλλησε

τοῦ πληρῶσαι τὰ ῥηθέντα ὁ νεανίσκος. ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ἰακώβ.

Ὅλος, φησὶν, ἦν τῇ ἐπιθυμίᾳ τῆς κόρης ἐκδεδομένος.

20 Καὶ ἐλθόντες αὐτός τε καὶ ὁ πατὴρ πρὸς τὴν πύλην,* φησὶ, διελέχθησαν πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι, Καὶ συνεβουλεύσαντο τὴν περιτομὴν καταδέξασθαι κατὰ τὴν ἐκείνων πρότασιν, καὶ δέξασθαι αὐτοὺς πρὸς τὴν συνοίκησιν. καὶ ἐπλήρωσαν ἐκεῖνοι τὰ παραγγέλματα τὰ παρὰ τοῦ Ἐμμὼρ καὶ τοῦ Συχὲμ λεχθέντα. καὶ πάντες ἀθρόον τὸ σημεῖον τῆς περιτομῆς ἐπὶ τὸ σῶμα ἐδέχοντο. ἀλλὰ τοῦτο μαθόντες οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ εἰς ἔργον ἀγαγεῖν ἐπείγονται τὰ ἤδη βουλευθέντα αὐτοῖς, καὶ λαβόντες ἕκαστος τὴν μάχαιραν αὐτοῦ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς. καίτοι δύο μόνοι ὄντες, πρὸς τοσοῦτον πλῆθος παρετάττοντο· ἀλλὰ πολλὴν αὐτοῖς τὴν ἀσφάλειαν παρεξένει τὸ πάντας ἐκείνους καθάπερ τραυματίας κεῖσθαι. ἵνα γὰρ τοῦτο ἡμῖν δῆλον ποιήσῃ ἡ θεία γραφή, φησιν,

* τῶν πυλῶν

25 Ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ.

Τοῦτο ἐκείνοις τὴν ἀσφάλειαν κατεσκεύαζε, καὶ τοὺς δύο ἰσχυροτέρους τῶν πολλῶν εἰργάζετο. καὶ ἀπέκτειναν, φησι, πᾶν ἀρσενικὸν, ἀντὶ τοῦ, πάντας τοὺς ἄνδρας τοὺς διὰ τὸ περιτετμῆσθαι κειμένους, ὡς εἰπεῖν, πρὸς τὴν σφαγὴν ἑτοίμους ὄντας. καὶ μετὰ τῶν ἄλλων καὶ τὸν νέον, τὸν εἰς τὴν ἀδελφὴν αὐτῶν ὑβρίσαντα, ἐπεξῆλθον. καὶ οὐκ ἀρκεσθέντες τῇ τοσαύτῃ τιμωρίᾳ, καὶ τὰ πρόβατα, φησιν, αὐτῶν, καὶ πάντα τὰ κτήνη, καὶ πάντα τὰ σώματα αἰχμαλωτίσαντες οὕτως ἐπανῆλθον, καὶ αὔτανδρον ἀνεῖλον τὴν πόλιν. Εἶδες, ἀγαπητὲ, ὅσον εἰργάσατο κακὸν ἑνὸς νέου προπέτεια, εἶδες ὅσον ἤνεγκεν ὄλεθρον πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι. Ταῦτα δὴ μανθάνοντες ἀναχαιτίζωμεν τῶν ἡμετέρων παίδων τὰς ὁρμὰς, καὶ πολὺν τῇ νεότητι τὸν χαλινὸν κατασκευάζωμεν, τὸν ἀπὸ τοῦ φόβου, τὸν ἀπὸ τῆς νουθεσίας· καὶ ἐπιμελώμεθα τῆς αὐτῶν σωφροσύνης, καὶ πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε τὴν ἡλικίαν τῆς νεότητος δυνηθῆναι διαφυγεῖν τὰς ἀτόπους ἐπιθυμίας. διὰ γὰρ τοῦτο καὶ ὁ κοινὸς ἡμῶν δεσπότης ἰδὼν τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, τὸν γάμον ἐνομοθέτησεν, ὥστε τῆς παρανόμου ἡμᾶς μίξεως ἀπαγαγεῖν. μὴ τοίνυν ἀμελῶμεν τῶν νέων, ἀλλ᾽ ἰδόντες τῆς καμίνου τὴν πυρὰν, πρὶν ἢ εἰς ''ἀσέλγειαν ἐγκυλισθῆναι, σπουδάζωμεν κατὰ τὸν τοῦ Θεοῦ νόμον αὐτοὺς συνάπτειν πρὸς γάμον· ἵνα καὶ τὰ τῆς σωφροσύνης αὐτοῖς διατηρῆται, καὶ μηδεμίαν λύμην δέξωνται ἐξ ἀκολασίας, ἔχοντες ἀρκοῦσαν παραμυθίαν, καὶ δυναμένην τῆς σαρκὸς τὰ σκιρτήματα καταστέλλειν, καὶ κολάσεως ἐκτὸς εἶναι. ἀλλ᾽ ἴδωμεν ὅπως τὰ παρὰ τῶν παίδων γεγενημένα διέθηκε τὸν πρεσβύτην.

γρ. λαγνείαν

29 Εἶπε γὰρ, φησιν, Ἰακώβ· Συμεὼν καὶ Λευὶ, μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν. Τίνος ἕνεκεν, φησι, τοσαύτην ἐπεδείξασθε τὴν ἄμυναν; τὰ γὰρ παρ᾽ ὑμῶν γεγενημένα μῖσος ἐμοὶ μέγιστον προξενήσει παρὰ πάντων τῶν κατοικούντων τὴν γῆν. Εἶτα δεικνὺς τὴν δειλίαν, ἐν ᾗ κατέστη,

Φησὶν, ἐγὼ δὲ εἰμὶ ὀλιγοστὸς, καὶ συναχθέντες ἐπ᾽ ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι· Μονονουχὶ λέγων, οὐκ ἴστε ὅτι ὀλίγοι ὄντες εὐκόλως τὰ αὐτὰ καὶ ἡμεῖς πεισόμεθα, ὥσπερ ὑμεῖς τούτους διαθεῖναι ἠβουλήθητε. καὶ καθάπερ ὁ Συχὲμ τῷ πατρὶ καὶ πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι τούτου τοῦ ὀλέθρου γέγονεν αἴτιος, οὕτω καὶ ὑμεῖς ἐμοί. διὰ γὰρ ὑμᾶς καὶ αὐτὸς μισητὸς ἔσομαι, καὶ οὐδὲν τὸ κωλῦον ἐκτριβῆναί με διὰ τὴν ὑμετέραν τόλμαν. 30 Οἱ δὲ, φησιν, εἶπον, ἀλλ᾽ ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν;

Ὅρα τοὺς παῖδας σωφροσύνης ἕνεκεν τὴν ἄμυναν ἐπιδειξαμένους. ἀπολογοῦνται γὰρ τῷ πατρὶ, καί φασι, κατῄσχυναν ἡμᾶς, ὡς εἰπεῖν, ὡσεὶ πόρνῃ ἐχρήσαντο τῇ ἀδελφῇ ἡμῶν. καὶ διὰ τοῦτο, τοῦτο ποιῆσαι κατηναγκάσθημεν, ἵνα καὶ τοῖς εἰς τὸ ἑξῆς διδασκαλία γένηται, μὴ τοιαῦτα τολμᾶν. ἀλλ᾽ ὅρα μοι λοιπὸν ἐνταῦθα τὴν ἄφατον τοῦ Θεοῦ κηδεμονίαν τὴν περὶ τὸν δίκαιον. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν δεδοικότα διὰ τὰ ὑπὸ τῶν παίδων γεγενημένα τὴν αὐτόθι οἴκησιν,

1 Εἶπε, φησιν, ὁ Θεός· ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ οἴκει ἐκεῖ. κεφ. λε.

Ἐπειδὴ δέδοικας τοὺς ἐνταῦθα, ἀναχώρει, φησὶν, ἐντεῦθεν, καὶ οἴκει εἰς τὴν Βαιθήλ. Καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι σοι ἐν τῷ σε ἀποδιδράσκειν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου. 2 Καὶ εἶπεν Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μετ᾽ αὐτοῦ· ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν. 3 Καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ᾽ ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην. Σκόπει τοῦ δικαίου πάλιν τὴν ὑπακοὴν καὶ τὸ φιλόθεον. ἐπειδὴ ἤκουσεν, ὅτι ἀνάβηθι εἰς Βαιθήλ, καὶ ποίησον θυσιαστήριον, καλέσας πάντας τοὺς αὐτοῦ εἶπεν· ἄρατε τοὺς θεούς. ποίους ἄν τις εἴποι θεούς; οὐδαμοῦ γάρ ἐστιν ἰδεῖν θεοὺς αὐτοῦ ἑστηκότα. ἄνωθεν γὰρ καὶ ἐξ ἀρχῆς φιλόθεος ἦν ὁ δίκαιος· ἀλλ᾽ αἰνιττόμενος ἴσως τοὺς θεοὺς τοὺς τοῦ Λάβαν, οὓς ἡ Ῥαχὴλ ἦν ὑφελομένη, διὰ τοῦτό φησιν· ἐπειδὴ μέλλομεν τῷ ἀληθινῷ Θεῷ, τῷ ἀεί μοι τὴν παρ᾽ αὐτοῦ προστασίαν νείμαντι, τὰς εὐχαριστίας ἀναφέρειν, ἐξάρατε, εἴ τινά ἐστιν ὑμῖν εἴδωλα, καὶ καθαρίσασθε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ οὕτως ἐπὶ τὴν πόλιν ὁρμήσωμεν, καὶ ἔξωθεν καὶ ἔσωθεν ἑαυτοὺς καθάραντες οὕτω συνέλθετε. μὴ μόνον τῇ τῶν ἱματίων φαιδρότητι τὴν καθαρότητα δεικνύντες, ἀλλὰ καὶ τῇ τῶν εἰδώλων ἀφαιρέσει τοὺς λογισμοὺς τῆς διανοίας ἐκκαθάραντες, οὕτως ἀνέλθωμεν ἐπὶ τὴν Βαιθήλ.

4 Καὶ ἔδωκαν, φησί, τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους (οὐ γὰρ ἦσαν αὐτῶν) καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν.

Ἴσως γὰρ καὶ ταῦτα σύμβολά τινα ἦν τῶν εἰδώλων ἐκείνων. διὸ καὶ αὐτὰ μετὰ τῶν θεῶν προσφέρουσι τῷ Ἰακώβ. Καὶ ἔκρυψεν αὐτά, φησιν, ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σηκίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας. Ἔκρυψε, φησιν, αὐτά, καὶ ἀπώλεσεν, ὥστε καὶ αὐτοὺς τοὺς τῆς πλάνης δούλους τὴν πλάνην διαφυγεῖν, καὶ μηδένα ἕτερον τὴν ἐξ αὐτῶν λύμην δέξασθαι. καὶ ταῦτα ἅπαντα διαπραξάμενος ὁ δίκαιος,

5 Ἐξῆρε, φησιν, ἐκ Σηκίμων, καὶ ἐποιεῖτο τὴν ὁρμὴν εἰς τὴν Βαιθήλ. Ἀλλ᾽ ὅρα μοι πάλιν τοῦ Θεοῦ τὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ πῶς ἡμᾶς διδάσκει ἡ γραφὴ ἅπαντα σαφῶς. Ἐξελθόντος γάρ, φησι, τοῦ δικαίου ἐκ Σηκίμων, ἐγένετο φόβος Θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ.

Εἶδες πόση ἡ πρόνοια, καὶ πῶς ἐναργὴς ἡ παρ᾽ αὐτοῦ ἀντίληψις ἐγένετο. ἐπέπεσε γὰρ ἐπ᾽ αὐτοὺς φόβος, καὶ οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. ἐπειδὴ γὰρ τοῦτο ἐδεδοίκει ὁ δίκαιος, καὶ ἔλεγεν, ὀλιγοστός εἰμι, καὶ ἐκτριβήσομαι, διὰ τοῦτό φησιν, φόβου αὐτοῖς ἐπιπεσόντος οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. ὅταν γὰρ αὐτὸς βούληται τὴν ῥοπὴν τὴν παρ᾽ ἑαυτοῦ εἰσενεγκεῖν, καὶ τοὺς ἀσθενεῖς ἰσχυροτέρους τῶν δυνατῶν ἀπεργάζεται, καὶ τοὺς ὀλίγους τῶν πλειόνων δυνατωτέρους, καὶ οὐδὲν ἂν γένοιτο μακαριώτερον τοῦ τὴν ἄνωθεν ἐπισπασαμένου ῥοπήν. 6 Καὶ ἀπῆλθε, φησιν, Ἰακὼβ εἰς Λοῦζαν, ἥ ἐστιν ἐν γῇ Χαναάν, ἥ ἐστι Βαιθήλ, καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ. 7 Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. Παραγενόμενος, φησιν, εἰς τὴν Βαιθήλ, ἐποίησε τὸ προσταχθέν, καὶ τὸ θυσιαστήριον οἰκοδομήσας ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. 8 Ἀπέθανε δέ, φησι, Δεβόῤῥα ἡ τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη κατώτερον Βαιθὴλ ὑπὸ τὴν βάλανον. καὶ ἐκάλεσεν Ιακὼβ τὸ ὄνομα αὐτῆς, βάλανος πένθους. Ὁρᾷς πῶς ἀεὶ ἀπὸ τῶν συμβαινόντων τοὺς τόπους ὠνόμαζεν, ὥστε διηνεκῆ διασώζεσθαι τὴν μνήμην. καὶ πῶς, ἄν τις εἴποι, ἡ τροφὸς τῆς Ῥεβέκκας συνῆν τῷ Ιακὼβ πρόσφατον ἀπὸ τῆς Μεσοποταμίας παραγινομένῳ, καὶ μηδέπω τὴν πρὸς τὸν πατέρα συντυχίαν ποιησαμένῳ; ἢ τάχα τοῦτο ἂν εἴποιμεν, ὅτι, ἡνίκα ἀπὸ τοῦ Λάβαν ἐπανῄει, συνελθεῖν τῷ Ιακὼβ ἐπεθύμησεν, ὥστε διὰ μακροῦ τοῦ χρόνου τὴν Ῥεβέκκαν θεάσασθαι· καὶ πρὶν ἢ τὰ τῆς συντυχίας γενέσθαι, ἐκεῖ τὸν βίον κατέλυσεν.

ΗΘΙΚΟΝ

Ἀλλ' εἰ βούλεσθε, καὶ ἡμεῖς ἐνταῦθα στήσωμεν τὸν λόγον ἀρκεσθέντες τοῖς εἰρημένοις, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε καὶ αὐτοὺς πολλὴν τῆς ἀρετῆς ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ τῆς τῶν νέων σωφροσύνης ἐπιμελεῖσθαι. ἐντεῦθεν γάρ, ὡς εἰπεῖν, ἅπαντα τίκτεται τὰ κακά. ἡ γὰρ συνήθεια τῆς πονηρίας τῷ χρόνῳ προϊοῦσα τοσαύτην ἐργάζεται τὴν λύμην, ὡς μηδεμίαν λοιπὸν παραίνεσιν δύνασθαι περιγενέσθαι τῶν ἅπαξ ὑπὸ τῆς πονηρίας προδιδομένων, καὶ καθάπερ αἰχμαλώτων ἀγομένων, ἢ ἂν ὁ διάβολος κελεύῃ. ἐκεῖνος γάρ ἐστι λοιπὸν ὁ ἐπιτάττων, καὶ τὰ ὀλέθρια ἐκεῖνα κελεύων ἐπιτάγματα, ἅπερ μεθ' ἡδονῆς πληροῦσιν οἱ νέοι, τὸ παρὸν μόνον ἡδὺ ὁρῶντες, καὶ τὴν μετὰ ταῦτα ὀδύνην οὐ λογιζόμενοι. διὸ παρακαλῶ χεῖρα ὀρέγειν τοῖς παισὶ τοῖς ὑμετέροις, ἵνα μὴ ὑπὲρ τῶν ὑπ' ἐκείνων πραττομένων καὶ αὐτοὶ τὰς εὐθύνας ὑπόσχωμεν. ἢ οὐκ ἴστε, τί ὁ πρεσβύτης Ἠλεὶ πέπονθεν, οὐ προσηκόντως διορθούμενος τῶν παίδων τὰ ἐλαττώματα; ὅταν γὰρ ᾖ πάθος τομῆς δεόμενον, εἰ μέλλοι ὁ ἰατρὸς τοῦτο κατ' εὐνοίας λόγον μὴ θεραπεύειν, ταχέως ἀνίατον ἐργάζεται τὸ πάθος, οὐ τὴν ἁρμόττουσαν ἐπάγων ἰατρείαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης ἐκεῖνος ὀφείλων ἄξια τῶν πλημμελημάτων εἰσπράξασθαι τοὺς ἑαυτοῦ παῖδας, πολλῇ τῇ ἐπιεικείᾳ χρησάμενος τῆς τιμωρίας αὐτοῖς καὶ αὐτὸς ἐκοινώνησε. φοβηθέντες οὖν, παρακαλῶ, τὸ ὑπόδειγμα, καὶ οἱ παῖδας ἔχοντες προνοῶμεν τῆς τούτων ἀναστροφῆς, καὶ ἁπλῶς ἕκαστος τῶν συνοικούντων τισὶν ἐπιμέλειαν ποιείσθω, καὶ κέρδος μέγιστον κρινέτω τὴν τοῦ πλησίον ὠφέλειαν· ἵνα τὰ πρὸς ἀρετὴν ἕκαστος πεπαιδευμένος καὶ τῆς κακίας τὴν πεῖραν διαφυγεῖν δυνηθῇ, καὶ τὴν ἀρετὴν ἑλόμενος πολλὴν ἐπισπάσηται τὴν ἄνωθεν ῥοπήν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Βασ. δ. ιη.

Λογ. ξ. ΚΑΙ ΟΙΚΟΔΟΜΗΣΑΣ ΘΥΣΙΑΣΤΗΡΙΟΝ Ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ.

Φέρε δὴ σήμερον, εἰ βούλεσθε, τὴν ἀκολουθίαν τῶν πρῴην ἡμῖν εἰρημένων ἀναλαβόντες, οὕτω πάλιν ἐκ τῶν ἑξῆς τὴν διδασκαλίαν πρὸς ὑμᾶς ποιησώμεθα. ἔτι γὰρ ἡμᾶς ἡ κατὰ τὸν Ιακὼβ ἱστορία καὶ σήμερον ἱκανὴ παιδεῦσαι τὴν πολλὴν περὶ αὐτὸν τοῦ Θεοῦ πρόνοιαν, καὶ ὅπως ταῖς οἰκείαις αὐτὸν ὑποσχέσεσι πάλιν ἐπέῤῥωσεν ἀμειβόμενος αὐτοῦ τὴν εὐγνωμοσύνην. ἐπειδὴ γὰρ ἐν τοῖς παρελθοῦσι διηγήσατο ἡμῖν, ὅπως κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα καταλιπὼν τὴν Σίκιμα διὰ τὰ ὑπὸ τῶν παίδων αὐτοῦ γεγενημένα, εἰς τὴν Λουζὰν ἠπείγετο, καὶ οἰκοδομήσας θυσιαστήριον ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ τοῦτο προστάξας τῷ δικαίῳ, καὶ ἀπαλλάξας αὐτὸν τοῦ φόβου, ὃν κατείχετο διὰ τὴν τῶν Σικιμιτῶν ἀναίρεσιν, τοῖς τὰς πόλεις ἐκείνας οἰκοῦσιν ἐπέβαλε, φησι, φόβον, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτοῦ. ὅρα τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ ὅση κέχρηται κηδεμονίᾳ περὶ τὸν Ἰακώβ. κατέσεισέ, φησι, τῷ φόβῳ τὰς ψυχὰς τῶν τὰς πόλεις ἐκείνας οἰκούντων, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτῶν. ἐβούλοντο γὰρ ἴσως ἐπαμῦναι τοῖς Σικιμίταις. ἀλλ' ἐπειδὴ καὶ παρὰ γνώμην τοῦ δικαίου γέγονε τὰ γεγενημένα, καὶ οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευΐ τῆς ἀδελφῆς τὴν σωφροσύνην ἐκδικοῦντες ἐκεῖνα εἰργάσαντο, οὐ μόνον αὐτὸν καὶ τοὺς αὐτοῦ παῖδας τῆς ἀγωνίας τοῦ φόβου ἀπαλλάττει, ἀλλὰ κἀκείνοις δειλίαν ἐνθεὶς ἀπέστησε τῆς κατ' αὐτῶν ὁρμῆς. ἴδετε πόσον ἐστὶν ἀπολαύειν τῆς ἄνωθεν ῥοπῆς. ὅταν γὰρ αὐτὸς ᾖ εὐνοϊκῶς περὶ ἡμᾶς διακείμενος, πάντα ἐκποδὼν γίνεται τὰ λυπηρά. ὥσπερ γὰρ τῷ δικαίῳ θάρσος ἐνέθηκεν, οὕτως ἐκείνοις φόβον ἐπέσεισε. δεσπότης γὰρ ὢν πάντα πρὸς ὃ βούλεται μετασκευάζει, καὶ τὴν εὐμήχανον αὐτοῦ σοφίαν διὰ πάντων ἐπιδείκνυται. καὶ οὐδὲν ἰσχυρότερον ἂν γένοιτό ποτε τοῦ τὴν ἄνωθεν συμμαχίαν ἐπισπωμένου, ὥσπερ οὖν οὐδὲ ἀσθενέστερον τοῦ ταύτης ἠρημωμένου. ἰδοὺ γοῦν οὗτος ὁ δίκαιος εὐαρίθμητος ὢν καὶ σφόδρα ὀλιγοστὸς, ἐπειδὴ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς ἐφρουρεῖτο, καὶ θάρσος ἐλάμβανε, καὶ τὴν ἐπιβουλὴν διέφυγεν. ἐκεῖνοι δὲ καὶ εἰς πλῆθος πολὺ συντείνοντες, καὶ κατὰ ταὐτὸν τὴν συμφωνίαν ἐπιδεικνύμενοι, οὐδὲ οὕτως ἴσχυόν τι τῶν βουληθέντων εἰς ἔργον ἀγαγεῖν. ἐγένετο γάρ, φησι, φόβος Θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν. ἐπειδὴ τοίνυν ἀπηλλάγη τοῦ φόβου καὶ τῶν ἐγχωρίων ὁ δίκαιος, ὅρα πάλιν τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, ἣν περὶ αὐτὸν ἐπιδείκνυται. 9 Ὤφθη γὰρ αὐτῷ, φησιν, ὁ Θεὸς ἔτι [ὄντι] ἐν Λουζᾷ.

Τίνος ἕνεκεν πρόσκειται τὸ ἔτι; οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἤδη ἐν τῷ τόπῳ τούτῳ ὤφθη αὐτῷ πρότερον, ἡνίκα φεύγων τὸν ἀδελφὸν ἐπὶ τὴν Μεσοποταμίαν ἐποιεῖτο τὴν ὁρμήν. καὶ νῦν οὖν, φησι, καθάπερ τότε ὤφθη αὐτῷ ἀπιόντι, οὕτω καὶ νῦν ἐπανερχομένῳ ἐν τῷ αὐτῷ τόπῳ ἐπιφαίνεται, καὶ βεβαιοῖ τὰς ὑποσχέσεις, ἃς ἡνίκα ἀπῄει πρὸς αὐτὸν ἐποιήσατο, παρασκευάζων τὸν δίκαιον θαρρῆσαι τοῖς ἐπηγγελμένοις, καὶ μὴ διὰ τὸν ἐν μέσῳ χρόνον ἐνδυάσαι. Καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ, 10 Τὸ ὄνομά σου οὐ κληθήσεται ἔτι Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου. Καίτοι καὶ ἤδη τὴν προσηγορίαν αὐτῷ ἦν ἐπιθεὶς, ἡνίκα τὴν διάβασιν ἐποιήσατο τοῦ Ἰαβὼχ, ἀλλὰ πλείονα πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ βουλόμενος, καὶ νῦν τὴν αὐτὴν ποιεῖται πρὸς αὐτὸν εὐλογίαν, καί φησιν, 11 Ἰσραὴλ κληθήσεται τὸ ὄνομά σου, καὶ αὐξάνου καὶ πληθύνου, καὶ ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται.

Ὅρα μέγεθος εὐλογίας· οὐ μόνον εἰς πλῆθος αὐτὸν ἐκταθήσεσθαί φησιν, ἀλλὰ καὶ ἐπίδοξον γενήσεσθαι τὸ ἐξ αὐτοῦ σπέρμα· βασιλεῖς γὰρ ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται, προμηνύων αὐτῷ ἐντεῦθεν ἤδη τῶν ἐξ αὐτοῦ τικτομένων τὴν περιφάνειαν. 12 Καὶ τὴν γῆν, φησιν, ἣν τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ δέδωκα, σοὶ δέδωκα αὐτὴν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην. Ἐπειδὴ διὰ τὰ γεγενημένα ἐν Σικίμοις ὑπὸ τοῦ Συμεὼν καὶ Λευΐ ἔλεγεν, ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου, καὶ διὰ πάντων ἐδείκνυ καὶ τὴν ὀλιγοψυχίαν καὶ τὴν πολλὴν δειλίαν, ἐν ᾗ κατείχετο· διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης νῦν φησι πρὸς αὐτόν· ἐπειδὴ εἶπες, ὀλιγοστός εἰμι, μάνθανε ὅτι καὶ αὐξηθήσῃ καὶ πληθυνθήσεταί σου τὸ

σπέρ-

γρ. αὐτοῦ.

γρ. τοῦ φόβου τῆς ἀγωνίας

γρ. καὶ τοῦ αὐτῶν

γρ. ἐνδοιάσαι.

σπέρμα, καὶ οὕτως ἔσται ἐπίδοξον, ὡς συναγωγὰς ἐθνῶν καὶ βασιλεῖς ἐξ αὐτῶν γενέσθαι. καὶ οὐ μόνον οὐκ ἐκπεσήσῃ, ἀλλὰ σὺ καὶ τὸ σπέρμα τὸ σὸν πᾶσαν τὴν γῆν ταύτην κληρονομήσει. καὶ ταύτας πρὸς αὐτὸν τὰς ὑποσχέσεις ποιησάμενος" ἀνέβη ὁ Θεὸς ἀπ᾽ αὐτοῦ, φησιν, ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ᾽ αὐτοῦ. ὅρα πόση ἡ συγκατάβασις τῶν λέξεων τῆς θείας γραφῆς. 13 Ἀνέβη, φησὶν, ὁ Θεὸς ἀπ᾽ αὐτοῦ, Οὐχ ἵνα ἐν τόπῳ νομίσωμεν περικεκλεῖσθαι τὸ θεῖον, ἀλλ᾽ ἵνα καὶ διὰ τούτου μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, ὅτι τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγκαταβαίνουσα ἡ τοῦ πνεύματος χάρις, οὕτως ἅπαντα διηγεῖται. τὸ γὰρ ἀνέβη καὶ κατέβη, ἀνάξιον Θεοῦ. ἀλλ᾽ ἐπειδὴ τοῦτο μάλιστα τεκμήριον τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας, τὸ διὰ τὴν ἡμετέραν διδασκαλίαν καὶ τῆς παχύτητος τῶν τοιούτων ῥημάτων ἀνέχεσθαι, διὰ τοῦτο ἀνθρωπίναις λέξεσι κέχρηται, ἐπειδὴ οὐδὲ δυνατὸν ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην ἐνεγκεῖν τῶν λεγομένων τὸ ὕψος, εἰ πρὸς τὴν ἀξίαν τοῦ δεσπότου ἡμῖν διελέγετο. ὅπερ ἐννοοῦντες μηδέποτε τῇ ταπεινότητι τῶν λέξεων ἐναπομένωμεν, ἀλλὰ καὶ διὰ τοῦτο θαυμάζωμεν αὐτοῦ τὴν ἄφατον ἀγαθότητα, ὅτι τοσαύτῃ συγκαταβάσει κέχρηται, οὐ παραιτεῖται διὰ τὸ ἀσθενὲς τῆς φύσεως τῆς ἡμετέρας. ἀλλ᾽ ὅρα πάλιν τὸν δίκαιον τοῦτον τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνύμενον. 14 Ἔστησε γάρ, φησιν, Ἰακὼβ στήλην λιθίνην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ᾽ αὐτοῦ ὁ Θεὸς, καὶ ἔσπεισεν ἐπ᾽ αὐτὴν σπονδὴν, καὶ ἐπέχεεν ἔλαιον,

χ. αὐτῷ

15 Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησε μετ᾽ αὐτοῦ, Βαιθήλ.

Σκόπει πῶς ἀεὶ ταῖς προσηγορίαις τῶν τόπων * ὁ δίκαιος οὗτος τὴν μνήμην ἐναποτίθεται, ὥστε καὶ ταῖς μετὰ ταῦτα γενεαῖς κατάδηλον γίνεσθαι τὴν αὐτόθι γεγενημένην ὀπτασίαν τῷ δικαίῳ. 16 Καὶ ἐπάρας, φησὶν, Ἰακὼβ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδήρ. Περαιτέρω πάλιν ἀναχωρεῖ ὁ δίκαιος, ἐπειγόμενος κατὰ μικρὸν φθάσαι τὸν τόπον, ἔνθα κατῴκει ὁ Ἰσαάκ. Εἶτα, φησιν,

* ἀφίησι

Ὅτε ἤγγισε τοῦ εἰσελθεῖν εἰς Ἐφραθᾶ, ἡ Ῥαχὴλ ἐδυστόκησεν ἐν τῷ" τόκῳ.

χ. τίκτειν.

17 Καὶ ἐγένετο ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα, θάρσει. καὶ γὰρ οὗτός σοί ἐστιν υἱός. Μὴ ἀγωνία, φησί. τέξῃ γὰρ υἱόν. εἰ γὰρ καὶ διακόπτουσί σε αἱ ὠδῖνες, ἀλλ᾽ ὅμως ἕξεις υἱόν. 18 Ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχὴν, ἀπέθνησκε γὰρ, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, υἱὸς ὀδύνης μου. ὁ δὲ πατὴρ αὐτοῦ ἐκάλεσεν αὐτὸν Βενιαμίν. Ἐκείνη μὲν ἐκ τοῦ συμβεβηκότος αὐτῇ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδὶ, ὁ δὲ πατὴρ Βενιαμὶν αὐτὸν ἐκάλεσε. καὶ μετὰ τὸ τεκεῖν, φησιν,

19 Ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ.

20 Καὶ ἔστησεν Ἰακὼβ στήλην ἐπὶ τοῦ μνημείου.

Τὴν ἀθυμίαν τὴν ἐπὶ τῇ τελευτῇ τῆς Ῥαχὴλ παρεμυθεῖτο ὁ τεχθεὶς, καὶ παρεσκεύαζε πράως φέρειν τὸν δίκαιον τὴν ἀποβολὴν τῆς Ῥαχήλ. ἐντεῦθεν λοιπὸν διαδέχεται τοῦ "Ῥουβεὶμ ἡ προπέτεια. 22 Πορευθεὶς γάρ, φησιν, ἐκοιμήθη μετὰ Βάλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ. καὶ ἤκουσεν Ἰσραὴλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ.

χ. Ῥουβὶμ

Καὶ γὰρ ἦν παράνομον σφόδρα τὸ γεγονός. διὰ τοῦτο καὶ μετὰ ταῦτα νομοθετῶν Μωϋσῆς ἀπηγόρευεν υἱὸν καὶ πατέρα τῇ αὐτῇ ἐπιμίγνυσθαι. ἵνα γὰρ μὴ ὁδῷ προβαίνοντες συνήθειαν τὸ πρᾶγμα ἐργάσωνται, ὁ νομοθέτης προαναστέλλει, τιμωρίᾳ ὑπεύθυνον εἶναι τὸ τοιοῦτο διαπραττομένων. ἀλλ᾽ ὅμως καὶ οὕτω νῦν μὲν πράως ἔφερεν ὁ Ἰακὼβ τῇ φυσικῇ φιλοστοργίᾳ νικώμενος. μετὰ δὲ ταῦτα μέλλων ἐξιέναι τοῦ βίου, στηλιτεύει τὸν παῖδα, ἀνάγραπτον αὐτοῦ τὴν παρανομίαν ποιούμενος, καὶ ἀρώμενος αὐτῷ, ἵνα διὰ τῶν εἰς ἐκεῖνον γεγενημένων, καὶ οἱ εἰς τὸ ἑξῆς σωφρονίζωνται. ἐντεῦθεν ἡμῖν λοιπὸν ἀπαριθμεῖται τοὺς παῖδας τοῦ Ἰακὼβ ὁ μακάριος Μωϋσῆς, καὶ διδάσκει ἡμᾶς, ἐξ ὧν διηγεῖται, τοῦ δικαίου τὴν ἀρετήν. ἵνα γὰρ μὴ νομίσῃς ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὸν τὴν συνουσίαν ποιήσασθαι τὴν πρὸς τὴν Ῥαχὴλ καὶ τὴν Λείαν καὶ τὰς δύο παιδίσκας, δεικνὺς ὅτι οἰκονομίᾳ τινὶ ὑπηρετούμενος τῆς πρὸς αὐτὰς ὁμιλίας ἠνέχετο, καὶ ὥστε τὰς δώδεκα φυλὰς ἐξ αὐτοῦ τεχθῆναι, διά τοι τοῦτο οὐκ ἔτι μνημονεύει ἡ γραφὴ ὡς ἑτέρου γενομένου αὐτῷ παιδὸς, ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο γεγένηται.

Ἦσαν δέ, φησιν, υἱοὶ τοῦ Ἰακὼβ δώδεκα. Καὶ διαιρεῖ λοιπὸν τοὺς τῆς Λείας καὶ τῆς Ῥαχὴλ, καὶ τότε καὶ τοὺς τῶν παιδισκῶν ἀπαριθμεῖται, καί φησιν, 26 Οὗτοι υἱοὶ Ἰακὼβ, οἳ ἐγένοντο αὐτῷ ἐν τῇ Μεσοποταμίᾳ. Καὶ μὴν ὁ Βενιαμὶν νῦν ἐτέχθη, ἡνίκα περὶ τὴν Βηθλεὲμ ἔφθασε. τίνος οὖν ἕνεκεν οὕτως εἶπε; ″ Vide notas.

27 Καὶ ἦλθε, φησιν, Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ. Σκόπει μοι πάλιν ἐνταῦθα, πῶς ἐν ἅπασι πληροφορεῖν ἐβούλετο τοὺς δικαίους ὁ φιλάνθρωπος Θεός. ἐπειδὴ γὰρ παρεγένετο μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ὁ Ἰακὼβ πρὸς τὸν πατέρα, καὶ μεγίστη γέγονεν ἑκατέροις ἡ παράκλησις, καὶ τῷ παιδὶ ἐκ τῆς τοῦ πατρὸς θέας, καὶ τῷ πατρὶ θεασαμένῳ τοῦ παιδὸς τὴν παρουσίαν, καὶ τὸν χορὸν τῶν ὑπ' αὐτοῦ τεχθέντων·

29 Τότε, φησὶν, ἐτελεύτησεν ὁ Ἰσαὰκ πρεσβύτης καὶ πλήρης ἡμερῶν.

Εἰ γὰρ ἡνίκα τῆς εὐλογίας τὴν κλοπὴν ἐποιεῖτο ὁ Ἰακὼβ, ἠμβλυώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, φησιν, ὅθεν καὶ τὰ τῆς ἀπάτης αὐτῷ προεχώρησεν, ἐννόησον μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ὅπως ἦν γεγηρακώς. Καὶ ἔθαψαν αὐτόν, φησιν, Ἡσαῦ καὶ Ἰακώβ.

Ἀλλὰ λοιπὸν τῆς τελευτῆς τοῦ πατρὸς γενομένης, λαβών, φησι, τὰς γυναῖκας αὐτοῦ Ἡσαῦ, καὶ τοὺς υἱοὺς, καὶ πάντας τοὺς αὐτοῦ, καὶ πάντα ὅσα ἐκτήσατο, ἐπορεύθη ἐν γῇ Χαναάν.

7 Οὐκ ἠδύνατο γάρ, φησιν, ἡ γῆ τῆς παροικήσεως φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν ὑπαρχόντων. κεφ. λς. 8 Καὶ ᾤκησε λοιπὸν ἐν τῷ ὄρει Σηείρ. Καὶ διηγησαμένη ἡμῖν ἡ θεία γραφὴ τοὺς ἐκ τοῦ Ἡσαῦ τεχθέντας καὶ τὰ ἔθνη τὰ ὑπ' αὐτοῦ γεγενημένα, φησὶ, παρῴκησε δὲ Ἰακὼβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χαναάν.

ΗΘΙΚΟΝ

Ἀλλ' ἐντεῦθεν λοιπὸν πάλιν διαδέχεται ἡμᾶς ἑτέρα πραγματεία ἡ κατὰ τὸν θαυμάσιον Ἰωσήφ. ἀλλ' εἰ βούλεσθε, ἐνταῦθα στήσαντες τὸν λόγον εἰς ἑτέραν ἀρχὴν ταμιευσώμεθα τὴν κατὰ τὸν παῖδα τοῦ Ἰακὼβ ἱστορίαν, ἐκεῖνο″ παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ ἐξ ἑκάστου τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων μεγίστην καρποῦσθαι τὴν ὠφέλειαν, καὶ μηδὲν ἁπλῶς παρατρέχειν. θησαυρὸς γάρ ἐστι πνευματικὸς, τὰ θεῖα λόγια. καὶ καθάπερ ἀπὸ τοῦ αἰσθητοῦ θησαυροῦ καὶ λίθον ἕνα πολλάκις ὑφελόμενός τις πολὺν ἑαυτῷ ἐργάζεται τὸν πλοῦτον, οὕτω καὶ ἐνταῦθα αἱ τῶν δικαίων ἀρεταὶ, εἰ προσέχειν βουλοίμεθα, τοσαύτην ἡμῖν τὴν ὠφέλειαν παρέχειν δυνήσονται, ὡς καὶ πρὸς τὸ ὅμοιον αὐτοῖς διεγερθῆναι ζῆλον. οὕτω γὰρ δυνησόμεθα καὶ ἡμεῖς τῆς αὐτῆς τοῖς δικαίοις ἀπολαῦσαι παρὰ τοῦ Θεοῦ εὐνοίας. οὐδὲ γὰρ προσωπολήπτης ἐστὶν ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. ὥστε, εἰ βουλοίμεθα, οὐδὲν τὸ κωλῦον τοσαύτης, ἢ καὶ πλείονος ἡμᾶς ἀπολαῦσαι τῆς ἄνωθεν ῥοπῆς. ἐὰν γὰρ μόνον ἡμᾶς ἴδῃ τὰ παρ' ἑαυτῶν εἰσφέροντας καὶ τὰ αὐτῷ δοκοῦντα προτιμῶντας τῶν ἀνθρωπίνων, τοσαύτην καὶ αὐτὸς ἐπιδείξεται τὴν κηδεμονίαν, ὡς ἐν ἅπασιν ἀχειρώτους ἡμᾶς ἐργάσασθαι. καὶ γὰρ πολέμιον ἔχομεν διηνεκῆ καὶ ἄσπονδον τὴν πρὸς ἡμᾶς ἔχθραν κεκτημένον. διὸ πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, ὥστε περιγενέσθαι αὐτοῦ δυνηθῆναι τῆς μηχανῆς, καὶ ἀνωτέρους καταστῆναι τῶν τούτου βελων· οὐχ ἑτέρως δὲ περιεσόμεθα, ἢ διὰ τῆς ἀρίστης πολιτείας ἐπισπάσασθαι δυνηθέντες τὴν ἄνωθεν συμμαχίαν. ἀρίστη δέ ἐστι πολιτεία, βίος καθαρός. τοῦτο γὰρ ὁ θεμέλιος καὶ ἡ κρηπὶς τῆς ἀρετῆς. ὁ γὰρ τοῦτον ἀσφαλῶς καταβαλλόμενος εὐκολώτερον τῶν ἄλλων ἁπάντων περιέσται. οὔτε γὰρ χρημάτων ἐπιθυμία τὸν τοιοῦτον περιεγλυνήσεται, οὔτε δόξης ἔρως, οὔτε βασκανία, οὔτε ἕτερόν τι τῶν παθῶν. καὶ πῶς; ἐγὼ λέγω. ὅταν γάρ τις καθαρὸν ἔχῃ τὸ συνειδὸς, καὶ παντὸς ῥύπου ἀπηλλαγμένον, δυνήσεται καὶ τὸν ἁπάντων δεσπότην ἔνοικον ἔχειν. Μακάριοι γὰρ οἱ καθαροί, φησι, τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. ὅταν δὲ ἐκεῖνον ἔνοικον ἔχειν καταξιωθῇ, ὡς ἁπλῶς καὶ εἰκῇ τὸ σῶμα περικείμενος, οὕτω λοιπὸν διακείσεται, καὶ πάντων τῶν ἀνθρωπίνων πολλὴν ἐπιδείξεται τὴν ὑπεροψίαν. ἅπαντα γὰρ τὰ ὁρώμενα σκιὰ καὶ ὄναρ τῷ τοιούτῳ φαίνεται, καὶ καθάπερ ἐν τῷ οὐρανῷ τὸ πολίτευμα ἔχων, οὕτως οὐδενὸς τῶν παρόντων ἐπιθυμήσει. τοιοῦτος ἦν Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος. διὸ καὶ ἐβόα λέγων, Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; καὶ πάλιν, Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ πάλιν, Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ. εἶδες ἄνδρα σῶμα περικείμενον, καὶ ὡς ἐν ἀσωμάτῳ λήξει αὐτὸν τυγχάνοντα, οὕτω πάντα φθεγγόμενον. τοῦτον ἅπαντες ζηλώσωμεν, καὶ νεκρώσωμεν ἡμῶν τὰ μέλη τῆς σαρκὸς, καὶ πρὸς τὴν ἁμαρτίαν ἀνενέργητα αὐτὰ ἐργασώμεθα. οὕτω γὰρ μάλιστα αὐτὰ δυνησόμεθα παραστῆσαι τῷ Θεῷ θυσίαν εὐάρεστον. εἶδες τὸ καινὸν καὶ παράδοξον τῆς θυσίας ταύτης. ὅταν νεκρὰ γένηται τὰ μέλη, τότε μᾶλλον εὐπρόσδεκτα τῇ θυσίᾳ γίνεται. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ πνευματική ἐστιν ἡ θυσία, καὶ οὐδὲν αἰσθητὸν ἔχει. ἐπὶ μὲν γὰρ τῆς θυσίας τῆς αἰσθητῆς οὐ μόνον τὸ νεκρόν ἐστιν ἀπόβλητον, ἀλλὰ καὶ τὸ ζῶν, εἰ λώβην τινὰ ἔχοι, οὐδὲ τοῦτο εἰς θυσίαν δεκτὸν ἂν γένοιτό ποτε. καὶ τοῦτο ἐξ ἀρχῆς ἐνομοθετεῖτο οὐχ ἁπλῶς, ἀλλ᾽ ἵνα διὰ τῆς τῶν ἀλόγων παρατηρήσεως κατὰ μικρὸν ἐναχθῶμεν μετὰ τῆς τοσαύτης φυλακῆς τὴν πνευματικὴν ταύτην καὶ λογικὴν θυσίαν προσάγειν. ὃ γάρ ἐστιν ἐκεῖ λώβη, καὶ τὸ ὠτότμητον, καὶ κολοβόκερων, τοῦτο ἐνταῦθα πονηρία, ἐπιθυμία, ἀσέλγεια, χρημάτων ἔρως, καὶ πᾶσα ἁμαρτία· καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ὑγιὲς καὶ τὸ παντὸς μώμου ἀπηλλαγμένον, τοῦτο ἐνταῦθα τὸ νεκρὸν τῷ κόσμῳ πάντη γεγονότα οὕτω πρὸς τὴν θυσίαν τὴν πνευματικὴν ἐπιτήδειον ἑαυτὸν καταστῆσαι. ταῦτα μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλ᾽ ἐμπηγνῦντες αὐτὰ τῇ ἑαυτῶν διανοίᾳ, σπουδάσωμεν μὴ ἐλάττους ὀφθῆναι τῶν Ἰουδαίων τῶν ἐν τῇ σκιᾷ τοσαύτην ἐπιδεικνυμένων παρατήρησιν. ὥσπερ γὰρ ἐκεῖνοι ἔτι τῷ λύχνῳ παρακαθήμενοι τοσαύτην ἐποιοῦντο τὴν φυλακὴν, οὕτως ἡμεῖς, ἐπειδὴ ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης καταυγασθῆναι κατηξιώθημεν, καὶ τὴν σκιὰν καταλιπόντες πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, τὴν ὁμοίαν φυλακὴν ἐπιδειξώμεθα περὶ τὴν πνευματικὴν ταύτην θυσίαν. καὶ μηδὲ τὰ μικρὰ ἁμαρτήματα νομιζόμενα ἁπλῶς παρατρέχωμεν, ἀλλὰ καθ᾽ ἑκάστην ἡμέραν ἑαυτῶν εὐθύνας ἀπαιτῶμεν καὶ ῥημάτων καὶ βλεμμάτων, καὶ δίκας ἑαυτοὺς εἰσπραττώμεθα, ἵνα τῆς ἐκεῖθεν κολάσεως ἑαυτοὺς ἐλευθερώσωμεν. διὰ γὰρ τοῦτο καὶ Παῦλός φησιν, Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. ὥστε ἐὰν ἑαυτοὺς ἐνταῦθα κατακρίνωμεν ἐπὶ τοῖς καθ᾽ ἑκάστην ἡμέραν ὑφ᾽ ἡμῶν ἁμαρτανομένοις, ὑποτεμνόμεθα τῆς ἐκεῖ κρίσεως τὴν σφοδρότητα. εἰ δὲ ῥαθυμήσαιμεν, κρινόμενοι, φησιν, ὑπὸ Κυρίου παιδευόμεθα. προλαβόντες τοίνυν ἑαυτῶν καταδικάσωμεν μετὰ πολλῆς τῆς εὐγνωμοσύνης, καὶ μηδενὸς εἰδότος τὸ δικαστήριον τοῦ συνειδότος καθίσαντες, οὕτω βασανίσωμεν ἑαυτῶν τοὺς λογισμούς, καὶ ὀρθὴν τὴν κρίσιν ἐκφέρωμεν, ἵνα τὸν ἐπηρτημένον φόβον δεδοικὼς ὁ λογισμὸς μηκέτι ἀνέχηται ὑποσύρεσθαι, ἀλλὰ τὴν ὁρμὴν ἀναχαιτίζῃ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν προορώμενος ἀπο-

Ματθ. ε. η.

β. Κορ. ιγ. γ.

Γαλ. β. κ.

α. Κορ. ια. λγ.

τειχίζῃ τῷ διαβόλῳ τὴν εἴσοδον. ὅτι γὰρ ἀπὸ ῥᾳθυμίας ἅπαντα ὑπομένομεν, αὐτὴ βοᾷ τῶν πραγμάτων ἡ πεῖρα. ὥσπερ γὰρ ἐὰν μικρὸν διεγερθῆναι βουληθῶμεν, καθάπερ κονιορτὸν, οὕτω ταύτας τὰς ἐπιβουλὰς ἀποτιναξόμεθα· οὕτως ἐπειδάν ποτε ὑποσκελισθῶμεν, οὐ παρὰ τὴν ἐκείνου τυραννίδα τοῦτο ὑπομένομεν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν. οὐδὲ γὰρ βία ἡμῖν προσγίνεται καὶ ἀνάγκη, ἀλλ' ἀπάτη μόνον. τοῦ δὲ μὴ ἀπατηθῆναι, εἰ θελήσομεν μικρὸν διεγερθῆναι καὶ νῆψαι, ἡμεῖς κύριοι· οὐκ ἐπειδὴ καθ' ἑαυτοὺς τοσαύτην ἔχομεν τὴν ἰσχὺν, ἀλλ' ἐπειδὴ τότε καὶ τῆς ἄνωθεν ἀξιούμεθα ῥοπῆς. ὅταν γὰρ τὰ παρ' ἑαυτῶν ἐπιδειξώμεθα, καὶ τὰ παρὰ τοῦ δεσπότου πάντως ἕπεται. νήψωμεν οὖν, παρακαλῶ, καὶ εἰδότες τοῦ πονηροῦ τὰς μηχανὰς διηνεκῶς γρηγορῶμεν, καὶ τὸν Θεὸν παρακαλῶμεν συνεφάψασθαι ἡμῖν τῆς πρὸς αὐτὸν πάλης. οὕτω γὰρ καὶ ἡμεῖς ἀχείρωτοι γενησώμεθα, καὶ τὰς ἐκείνου διαφευξώμεθα μηχανὰς, καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν, καὶ τῶν αἰωνίων μετάσχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξα. ΑΥΤΑΙ ΔΕ ΑΙ ΓΕΝΕΣΕΙΣ ΙΑΚΩΒ. ΙΩΣΗΦ δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα.

Πάλιν ἐπὶ τὴν συνήθη τράπεζαν ὑμᾶς ἀγαγεῖν βούλομαι, καὶ τῆς ἀκολουθίας τῶν πρῴην ἡμῖν εἰρημένων λαβόμενος, ἐκ τῶν πρόσφατον ἀναγνωσθέντων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι ταύτην τὴν πνευματικήν. ἱκανὰ γὰρ τὰ σήμερον ἀναγνωσθέντα διδάξαι πάντας ἡμᾶς, ὅση τῆς βασκανίας ἐστὶν ἡ λύμη, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὸ τοῦ φθόνου καὶ μέχρι τῆς συγγενείας αὐτῆς ἐκταθὲν τὴν οἰκείαν ἰσχὺν ἐπεδείξατο. ἀλλ' ἵνα δόξῃ κατὰ ἀκολουθίαν ὁ λόγος προϊέναι, ἀναγκαῖον αὐτῆς ἅψασθαι τῆς ἀρχῆς τοῦ ἀναγνώσματος.

44 Αὗται δέ, φησιν, αἱ γενέσεις Ἰακώβ. Ὅρα τὸν θαυμαστὸν τοῦτον προφήτην, ὅπως ἐπαγγειλάμενος ἡμῖν διηγεῖσθαι τοῦ Ἰακὼβ τὴν γενεαλογίαν, εὐθέως ἐπὶ τὴν ἱστορίαν τοῦ παιδὸς ἀνέδραμε· καὶ εἰπὼν, αὗται αἱ γενέσεις Ἰακὼβ, καὶ καταλιπὼν διηγεῖσθαι ἡμῖν ἀκολούθως τούς τε ἐξ αὐτοῦ τεχθέντας, τούς τε ἐξ ἐκείνων πάλιν γενομένους (καθάπερ καὶ ἐπὶ τοῦ Ἡσαῦ τοῦτο πεποίηκεν) ἐπὶ τὸν Ἰωσὴφ εὐθέως ἔσπευσε, τὸν νέον, τὸν πάντων τῶν ἀδελφῶν, ὡς εἰπεῖν, ἔσχατον· καί φησιν,

1 Ἰωσὴφ δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα. κεφ. λζ.

Τίνος ἕνεκεν καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν ἡμῖν σημαίνει; ἵνα μάθῃς ὡς οὐδὲν ἡ νεότης κώλυμα γίνεται πρὸς ἀρετὴν, καὶ ἵνα ἐκ περιουσίας γνῷς καὶ τοῦ νέου τὴν πρὸς τὸν πατέρα ὑπακοὴν, καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς ὁμόνοιαν, κἀκείνων τὸ ἀνήμερον· καὶ πῶς οὐδὲ πρὸς τὸν οὕτω περὶ αὐτοὺς διακείμενον, καὶ ἀπὸ τῆς ἡλικίας αὐτῆς εἰς συμπάθειαν αὐτοὺς ἐφελκύσασθαι δυνάμενον διαφυλάξασθαι τὴν ἀγάπην ἠβουλήθησαν· ἀλλ' ἐξ αὐτῶν τῶν προοιμίων ὁρῶντες καὶ τοῦ παιδὸς τὸ πρὸς τὴν ἀρετὴν ἐπιῤῥεπὲς, καὶ τοῦ πατρὸς τὴν περὶ αὐτὸν εὔνοιαν, εἰς τὴν κατ' αὐτοῦ βασκανίαν διηγείροντο.

Κατήνεγκαν γὰρ Ἰωσὴφ ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν.

Ὅρα κακίας ὑπερβολήν. καὶ τὴν τοῦ πατρὸς ἀγάπην διασαλεῦσαι ἐπεχείρουν, καὶ τὰ μὴ ὄντα πλάττονται κατὰ τοῦ ἀδελφοῦ, τοσοῦτο μόνον ἀνύοντες, ὅσον τὸν οἰκεῖον φθόνον κατάδηλον ποιῆσαι. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο μόνον ἐκέρδαινον, τὸ φανερὰν ἑαυτῶν ποιῆσαι τὴν λανθάνουσαν γνώμην, ὅρα τὸν πατέρα καὶ μετὰ τὴν παρ' αὐτῶν διαβολὴν ἐξεχόμενον τοῦ παιδός, καὶ πάντων αὐτὸν προκρίνοντα.

2 Ἰακὼβ γάρ, φησιν, ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ. ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον. Τί ἐστιν, ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ; ὅτι υἱὸς γήρως ἦν αὐτῷ; ἐπειδὴ πρὸς τῷ τέλει, φησί, καὶ ἐν αὐτῷ τῷ γήρᾳ ἦν τεχθείς, διὰ τοῦτο μᾶλλον ἁπάντων αὐτὸν ἠγάπα. καὶ γὰρ ποθεινά πως εἶναι δοκεῖ τὰ παιδία τὰ πρὸς αὐτῷ τῷ γήρᾳ τικτόμενα, καὶ μᾶλλον ἐπισπάσασθαι δύνανται τὴν πατρικὴν εὔνοιαν. ἀλλ' ἵνα μάθωμεν ὅτι οὐ τοῦτο μόνον ἦν τὸ τὸν πατέρα ἐπισπώμενον, προτιμᾷν τε αὐτὸν τῶν λοιπῶν ἀδελφῶν παρασκευάζον, διδάσκει ἡμᾶς ἡ θεία γραφή, ὅτι καὶ μετὰ τοῦτον ἕτερος ἐτέχθη· καὶ εἰ κατὰ τὴν φυσικὴν ἀκολουθίαν τὰ τῆς ἀγάπης ἐγίνετο, ἐκεῖνος ἂν μᾶλλον ἠγαπήθη, ἅτε δὴ ἀληθῶς υἱὸς γήρως ὤν, καὶ τότε τεχθείς, ἡνίκα πρὸς ἔσχατον γῆρας ἤλασεν ὁ δίκαιος. Τί οὖν ἐστιν εἰπεῖν; ὅτι χάρις τις ἦν ἄνωθεν ἡ τὸν νέον ἐπέραστον ποιοῦσα, καὶ διὰ τὴν τῆς ψυχῆς ἀρετὴν πάντων αὐτὸν προτιμότερον ἐργαζομένη. Ταύτην δὲ προσῆκον κεῖσθαι τὴν αἰτίαν ἐν τῇ γραφῇ, ὅτι ἐπειδὴ υἱὸς γήρως ἦν αὐτῷ, διὰ τοῦτο αὐτὸν ἠγάπα πλέον, ἵνα μὴ φανερῶς αὐξήσῃ τῶν ἀδελφῶν τὸν φθόνον. δεινὸν γὰρ τουτὶ τὸ πάθος· καὶ ἐπειδὰν ἐπιλάβηται ψυχῆς, οὐ πρότερον αὐτὴν ἀνίησι, μέχρις ἂν εἰς ἐσχάτην αὐτὴν ἀτοπίαν ἀγάγῃ, καὶ λυμαινόμενον τὴν τεκοῦσαν αὐτὸν ψυχήν, τὸ ἐναντίον ἢ βούλεται τὸν φθονούμενον διατίθησι, λαμπρότερον, ἐνδοξότερον, περιφανέστερον, ὅπερ πάλιν ἑτέρα πληγὴ βαρυτέρα τῷ βασκάνῳ γίνεται. σκόπει γοῦν ἐνταῦθα, πῶς ὁ μὲν θαυμάσιος οὗτος οὐδὲν τῶν γινομένων εἰδώς, ἅτε δὴ καθάπερ ἀδελφοῖς καὶ τὰς αὐτὰς ὠδῖνας αὐτῷ λύσασιν οὕτω προσφέρεται, θαρρῶν ἅπαντα καὶ διαλεγόμενος μετὰ πολλῆς τῆς ἁπλότητος· ἐκεῖνοι δὲ ὑπὸ τοῦ τῆς βασκανίας πάθους ἁλόντες, μισεῖν αὐτὸν παρεσκευάζοντο. 3 Ἰδόντες γάρ, φησιν, οἱ ἀδελφοί, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτόν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.

Ὅρα πῶς τὸν οὐδὲν ἠδικηκότα μισεῖν ἐπεχείρουν. καὶ οὐδέν, φησιν, ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν. Τί ἐστιν, οὐδὲν ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν; ἐπειδὴ γὰρ ἐκυρίευσεν αὐτῶν τὸ πάθος, καὶ τὸ μῖσος ηὔξετο καθ' ἑκάστην ἡμέραν, καθάπερ αἰχμάλωτοι γινόμενοι καὶ τυραννούμενοι ὑπὸ τοῦ πάθους, μετὰ δόλου προσεφέροντο, οὐδὲν εἰρηνικὸν αὐτῷ λαλεῖν δυνάμενοι. καὶ σκόπει πῶς τὴν αἰτίαν ταύτην ἐσήμανε τοῦ μίσους, ὅτι ἀπὸ τοῦ φθόνου τὴν ἀρχὴν ἐλάμβανεν. ἰδόντες γὰρ οἱ ἀδελφοὶ αὐτοῦ, φησιν, ὅτι ὁ πατὴρ αὐτὸν φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ. τὸ φίλτρον τοῦ πατρὸς τὸν φθόνον αὐτοῖς ἔτεκεν· ἀλλὰ τὴν τοῦ πατρὸς εὔνοιαν ἡ ἀρετὴ τοῦ παιδὸς ἐπεσπάσατο. δέον τοίνυν ἐκείνους μιμήσασθαι τὸν ἀδελφὸν καὶ ζηλῶσαι τὸν τρόπον, ἵν' οὕτω καὶ αὐτοὶ τὸν πατέρα ἐπισπάσωνται, τοῦτο μὲν οὐδὲ εἰς ἔννοιαν λαμβάνουσιν, ἀλλὰ κοινὸν μῖσος περὶ τὸν ὑπὸ τοῦ πατρὸς ἀγαπώμενον ἐπεδείκνυντο. καὶ ἐκεῖνοι μέν, καθάπερ ἐκπολεμούμενοι, οὕτω λανθάνουσαν ἔσωθεν τὴν πονηρίαν τίκτοντες, οὐδὲν εἰρηνικὸν αὐτῷ διελέγοντο, ἀλλὰ μετὰ δόλου προσεφέροντο. ὁ δὲ θαυμάσιος οὗτος τὴν ἀδελφικὴν εὔνοιαν πρὸς αὐτοὺς ἀποσώζων, καὶ οὐδὲν ὑπιδόμενος, ἅτε δὴ ὡς ἀδελφοῖς ἐθάρρει, καὶ τὰ καθ' ἑαυτὸν ἅπαντα ἀνετίθετο. τοῦτο τὸ πάθος καὶ ἐξ ἀρχῆς τὸν Καῒν εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ὁρμῆσαι παρεσκεύασε. καὶ καθάπερ οὗτοι διὰ τὴν εὔνοιαν τοῦ πατρός, ἣν περὶ τὸν παῖδα ἐπεδείκνυτο, μισεῖν αὐτὸν παρεσκευάζοντο, καὶ πολεμεῖν ἐπεχείρουν, καὶ καθ' ἑκάστην ἡμέραν ὤδινον τὴν κατ' αὐτοῦ σφαγήν· τὸν

γρ. ἐκπολεμούμενοι,

αὐτὸν δὴ τρόπον κἀκεῖνος θεασάμενος ὅτι τὰ παρὰ τοῦ ἀδελφοῦ δῶρα μᾶλλον δεκτὰ γέγονεν, εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ἐκινήθη, καί φησιν, διέλθωμεν εἰς τὸ πεδίον. ὁρᾷς καὶ τοῦτον μηδὲν ὑφορώμενον, ἀλλ' οἷα δὴ ἀδελφῷ πειθόμενον, κατεξιόντα καὶ πάρεργον γενόμενον τῆς μιαρᾶς ἐκείνης δεξιᾶς. οὕτω δὴ καὶ ὁ θαυμάσιος Ἰωσήφ, οὐκ εἰδὼς τὴν κακὴν τῶν ἀδελφῶν ὁμόνοιαν, ὡς ἀδελφοῖς προσεφέρετο, καὶ τὰ ἐνύπνια, ἅπερ αὐτῷ ὁ Θεὸς ἀπεκάλυπτε προμηνύων αὐτῷ τὴν περιφάνειαν, ἐν ᾗ γίνεσθαι ἔμελλε, καὶ τῶν ἀδελφῶν τὴν ὑποταγὴν, εἰς μέσον προετίθει. 4 Ἐνυπνιασθεὶς γάρ, φησιν, ἐνύπνιον ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ. 5 Καὶ εἶπεν αὐτοῖς· ἀκούσατέ [μου] τοῦ ἐνυπνίου τούτου. 6 Ὤμην" ὑμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ἀνωρθώθη. περιστραφέντα δὲ τὰ ὑμέτερα δράγματα προσεκύνησαν τὸ ἐμὸν δράγμα. 7 Εἶπον δὲ αὐτῷ οἱ ἀδελφοί, μὴ βασιλεύων" βασιλεύσῃς ἐφ' ἡμᾶς, ἢ κυριεύων" κυριεύσῃς ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ καὶ τῶν ῥημάτων αὐτοῦ. Διὰ τοῦτο καὶ προέλαβε καὶ ἐδίδασκεν ἡμᾶς, ὅτι ἄνωθεν τὸ μῖσος τὸ πρὸς αὐτὸν ἐπεδείκνυντο, ἵνα μὴ νομίσωμεν ἐντεῦθεν ἀρχὴν αὐτοὺς εἰληφέναι τοῦ κατ' αὐτὸν πολέμου. προσέθεντο γὰρ ἔτι μισεῖν αὐτόν, ἀντὶ τοῦ, πολλῷ πλέον ηὔξανε τὸ μῖσος καὶ τὴν ἔχθραν τὴν κατ' αὐτοῦ. καὶ ὅρα τῆς πηρώσεως τὴν ὑπερβολήν. αὐτοὶ τὸ ὄναρ διακρίνουσιν. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι δι' ἄγνοιαν τῶν μελλόντων ἔσεσθαι ἐφθόνουν κατ' αὐτοῦ· ἀλλὰ μαθόντες ἐκ τῶν ὀνειράτων τὰ ἐσόμενα, προσθήκην τοῦ μίσους εἰργάζοντο. ὢ ἀνοίας ὑπερβολή. δέον τοῦτο γνόντας μᾶλλον εὔνοιαν περὶ αὐτὸν ἐπιδείξασθαι, καὶ ἐκποδὼν ποιῆσαι τοῦ μίσους τὴν αἰτίαν, καὶ τὸ βασκανίας τὸ πάθος ἐξορίσαι, σκοτωθέντες τὸν λογισμὸν καὶ οὐ (συνορῶντες ὅτι καθ' ἑαυτῶν ἅπαντα διαπράττονται), ἐπὶ πλέον ηὔξανον τὸ κατ' αὐτοῦ μῖσος. τίνος ἕνεκεν, ὦ ἄθλιοι καὶ ταλαίπωροι, τοσαύτην ἐπιδείκνυσθε τὴν βασκανίαν, οὐκ ἀγνοοῦντες οὔτε τὴν ἀδελφικὴν σχέσιν, οὔτε ὅτι ἡ τῶν ἐνυπνίων ἀποκάλυψις φανερὰν δείκνυσι τοῦ Θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν; μὴ γὰρ δὴ νομίσητε λοιπὸν τὰ παρὰ τοῦ Θεοῦ μηνυθέντα αὐτῷ δυνατὸν εἶναι ἀνατραπῆναι. καθάπερ γὰρ τοῦ ὀνείρου τὴν διάκρισιν ἐποιήσασθε, οὕτως ἔσται μετ' οὐ πολύ, κἂν μυρία ἐπινοῆσαι βουληθῆτε. εὐμήχανος γὰρ ὢν καὶ σοφὸς ὁ τῶν ἁπάντων δεσπότης, καὶ τῆς οἰκείας δυνάμεως δεικνὺς τὴν περιουσίαν, πολλάκις ἀφίησιν ἐν τῷ μεταξὺ κωλύματα γενέσθαι, ἵν' οὕτω τὰ πάλαι αὐτῷ δόξαντα εἰς ἔργον ἀγαγών, μεγίστην ἀποφήνῃ τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν. ἀλλὰ τοιοῦτον ἡ βασκανία. οὐδὲν τούτων λογίζεσθαι δύναται, ἀλλ' ὅλως, ὡς εἰπεῖν, αἰχμάλωτος γεγονὼς κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα διαπράττεται. καὶ οὗτοι μὲν προσθήκην μίσους εἰργάζοντο διὰ τὴν τοῦ ἐνυπνίου διήγησιν· ὁ δὲ θαυμάσιος Ἰωσὴφ καὶ ἕτερον ἐνύπνιον θεασάμενος οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τῷ πατρὶ διηγεῖται. 8 Καί φησιν, ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. 9 Καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τί τὸ ἐνύπνιον τοῦτο ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; 10 Ἐζήλωσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ· ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα. Εἰδὼς τὸν τικτόμενον αὐτῷ φθόνον παρὰ τῶν ἀδελφῶν ὁ πατήρ, διὰ τοῦτο ἐπετίμησε τῷ παιδί, καὶ διακρίνει καὶ αὐτὸς τὸ ὄναρ, καὶ στοχαζόμενος παρὰ τοῦ Θεοῦ τὴν ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι, διετήρει τὸ ῥῆμα. ἀλλ' οὐχ οἱ ἀδελφοὶ οὕτως. ἀλλὰ τί; πάλιν πολλῷ πλέον ἐζήλωσαν. τί μεμήνατε; τί ἐξεστηκότων πράγματα διαπράττεσθε; οὐχ ὁρᾶτε ὅτι ἡ τῶν ἐνυπνίων δευτέρωσις οὐχ ἁπλῶς οὐδὲ εἰκῇ γεγένηται, ἀλλ' ἵνα μαθόντες ὅτι πάντως ἔσται τὰ προμηνυθέντα, παύσησθε τῆς φονικῆς ὁρμῆς, ἐννοήσαντες ὅτι ἀδυνάτοις ἐπιχειρεῖτε. ἐχρῆν μὲν οὖν τὴν ἀδελφικὴν σχέσιν καὶ ὁμόνοιαν ἀναλαβόντας, καὶ οἰκείαν κρίνειν εὐδοκίμησιν τὴν τοῦ ἀδελφοῦ μέλλουσαν ἔσεσθαι περιφάνειαν. ἐπειδὴ δὲ ταύτης ὑμῖν οὐδεὶς λόγος, κἂν ἐκεῖνο λογίσασθαι τὸ ἀκόλουθον, ὅτι οὐ πρὸς αὐτὸν ὑμῖν ὁ πόλεμος, ἀλλὰ πρὸς τὸν ἁπάντων δεσπότην τὸν ταῦτα αὐτῷ ἤδη ἐκκαλύψαντα. ἀλλ' οὗτοι μὲν, καθάπερ ἔφθην εἰπὼν, οὐδὲ τὴν φύσιν αὐτὴν αἰδούμενοι, οὔτε τὴν ἄνωθεν γενομένην περὶ αὐτὸν εὔνοιαν ἐν νῷ λαβόντες, τὸ μῖσος καθ' ἑκάστην ἡμέραν ἐπέτεινον, καὶ λανθανόντως τὴν πυρὰν παρ' ἑαυτοῖς ἀνῆπτον, οὐδὲν οὔτε τοῦ πατρὸς, οὔτε τοῦ νέου τοιοῦτόν τι ὑποπτεύοντος, οὐδ' ὅτι πρὸς τοσαύτην μανίαν ἐλαύνειν ἔμελλον.

11 Διὸ καὶ πορευθέντων τῶν ἀδελφῶν εἰς τὰ ποίμνια, εἶπεν ὁ πατὴρ τῷ Ἰωσήφ, 12 Οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπε δὲ αὐτῷ, ἰδοὺ ἐγώ. Εἶδες πατρὸς πρὸς ″παῖδα φιλοστοργίαν· εἶδες παιδὸς ὑπακοήν. ἴσ. παῖδας 13 Εἶπε δὲ αὐτῷ, πορευθεὶς ἴδε εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου, καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. Ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα καὶ τοῦ Ἰωσὴφ δειχθῇ ἡ περὶ τοὺς ἀδελφοὺς εὔνοια, κἀκείνων κατάδηλος γένηται ἡ φονικὴ γνώμη. ἐγίνετο δὲ καὶ τύπος τῶν ἔσεσθαι μελλόντων, καὶ ἐν τῇ σκιᾷ προδιεγράφετο τὰ τῆς ἀληθείας πράγματα. καὶ ὥσπερ ὁ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς ἀπῄει ἐπισκεψόμενος αὐτούς, κἀκεῖνοι οὐκ αἰδεσθέντες οὔτε τὴν ἀδελφότητα, οὔτε τὴν αἰτίαν τῆς παρουσίας, πρότερον μὲν ἀνελεῖν ἐβουλεύοντο, ἔπειτα δὲ καὶ ἐπιπράσκουσι τοῖς βαρβάροις· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, παραγέγονεν ἐπισκεψόμενος τὸ τῶν ἀνθρώπων γένος, καὶ τὴν ὁμογενῆ ἡμῖν σάρκα ἀναλαβὼν, καὶ ἀδελφὸς ἡμῶν γενέσθαι καταξιώσας οὕτω παραγέγονε. καὶ βοᾷ Παῦλος λέγων, Ἑβρ. β. ιϛ. Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἀλλ' οἱ ἀγνώμονες Ἰουδαῖοι τὸν τῶν σωμάτων καὶ τὸν τῶν ψυχῶν ἰατρὸν, τὸν μυρία θαύματα καθ' ἑκάστην ἡμέραν ἐργαζόμενον ἀνελεῖν ἐπεχείρουν, καὶ εἰς ἔργον ἤγαγον τὴν φονικὴν αὐτῶν γνώμην, καὶ ἐσταύρωσαν τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν καταδεξάμενον. ἀλλ' οὗτοι μὲν καὶ ἐπεχείρησαν, καὶ σταυρῷ παραδόντες ἀνεῖλον· ἐκεῖνοι δὲ ἐβουλεύσαντο μὲν, οὐκ ἤγαγον δὲ εἰς ἔργον τὰ βουλευθέντα. ἔδει δὲ τὸν τύπον ἔλαττον ἔχειν τῆς ἀληθείας, ἐπεὶ οὐκ ἂν εἴη ἐκεῖνα τύπος τῶν μετὰ ταῦτα ἐσομένων. διὰ τοῦτο ἐκεῖ μὲν ὥσπερ ἐν σκιᾷ προεγράφη. καὶ ἐννόησον τὸ θαῦμα. οὐκ ἀνεῖλον, ἀλλὰ πεπράκασι, καὶ τὸν χιτῶνα τῷ αἵματι τοῦ ἐρίφου μολύναντες ἤγαγον τῷ πατρὶ, πεῖσαι βουλόμενοι ὅτι ἀνῃρέθη ὁ παῖς. ὁρᾷς ὅτι ἅπαντα ταῦτα ἐγίνετο, ἵνα καθάπερ ἐν σκιᾷ οὕτως ἡ εἰκὼν μόνη τῶν πραγμάτων γένηται, καὶ ἡ ἀλήθεια φυλάττηται. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου τὸ λοιπὸν ἐπανέλθωμεν. 14 Ἀπέστειλεν αὐτόν, φησιν, ὁ πατὴρ αὐτοῦ, καὶ ἦλθεν εἰς Συχέμ, καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, λέγων, τί ζητεῖς; 15 Ὁ δὲ εἶπε, τοὺς ἀδελφούς μου ζητῶ. ἀνάγγειλόν μοι, ποῦ βόσκουσι. Σκόπει πῶς οὗτος μὲν μετὰ σπουδῆς ποιεῖται τῶν ἀδελφῶν τὴν ἐπιζήτησιν, καὶ περιεργάζεται καὶ πολυπραγμονεῖ καὶ πάντα ποιεῖ, ὥστε αὐτοὺς ἰδεῖν. 16 Εἶπε δὲ αὐτῷ, φησιν, ἤκουσα αὐτῶν λεγόντων, πορευθῶμεν εἰς ″Δομεθαείμ. ἴσ. Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ, καὶ εὗρεν αὐτούς. 17 Προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν, καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν.

Ἐννόει μοι ἐνταῦθα τοῦ Θεοῦ τὴν εὐμήχανον σοφίαν, ὅπως οὗτοι μὲν εἰς τὸν κατ' αὐτοῦ φόνον εἶχον τὴν ὁρμήν· ὁ δὲ τὰ πάντα ποιῶν καὶ μετασκευάζων συγχωρεῖ τὰ ἐν μέσῳ πάντα κωλύματα γίνεσθαι, ἵνα τὸν οἰκεῖον ἀθλητὴν λαμπρότερον ἀποδείξας ὕστερον ἐπαγάγῃ τῶν ὀνειράτων τὴν ἔκβασιν. Προεῖδον, φησὶν, αὐτὸν, καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. 18 Εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ἰδοὺ, ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται. 19 Νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν, θηρίον πονηρὸν κατέφαγεν αὐτὸν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ.

Εἶδες ὅτι τῶν ἐνυπνίων τὴν ἔκβασιν προσδοκῶντες, ἀνελεῖν αὐτὸν ἐπεχείρουν. ἀλλ᾽ ἵνα μάθωσιν, ὅτι οὐχ οἷόν τε τὰ παρὰ τοῦ Θεοῦ προαγορευθέντα μὴ εἰς ἔργον ἐλθεῖν, καὶ βουλεύονται καὶ ἐπιχειροῦσι, καὶ τὰ τῆς οἰκείας πονηρίας ἐπιδείκνυνται, καὶ ὁ σοφὸς καὶ εὐμήχανος Θεὸς αὐτοὺς τοὺς ἐπιβουλεύοντας ὑπηρετήσασθαι καὶ ἄκοντας παρασκευάζει πρὸς τὴν οἰκονομίαν τῶν μελλόντων ἔσεσθαι. ἐπειδὴ γὰρ συνεφώνησαν πρὸς τὸν κατ᾽ αὐτοῦ φόνον, καὶ τῇ γνώμῃ τὴν σφαγὴν ἤδη ἐπεδείξαντο,

20 Ἀκούσας, φησὶ, Ῥουβεὶμ ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ εἶπεν,

21 Οὐ πατάξωμεν αὐτὸν εἰς ψυχὴν, μὴ ἐκχέητε αἷμα. ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον τοῦτον τὸν ἐν τῇ ἐρήμῳ· χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ, ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ. Ὅρα καὶ τοῦτον πῶς οὐ τολμᾷ φανερῶς ἐξελέσθαι τὸν ἀδελφὸν, ἀλλὰ τέως τὴν φονικὴν αὐτῶν ὁρμὴν ἀναχαιτίσαι βουλόμενος, φησὶ, μὴ ἐκχέητε αἷμα, ἀλλ᾽ ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον. Καὶ διδάξαι ἡμᾶς βουλομένη ἡ θεία γραφὴ τὸν σκοπὸν τοῦ Ῥουβεὶμ, φησὶ, ταῦτα δὲ ἐποίει ὅπως ἐξέληται αὐτὸν, καὶ ἀποδῷ τῷ πατρὶ αὐτοῦ. καὶ τούτων ταῦτα βουλευομένων οὐδέπω ὁ Ἰωσὴφ ἦν παραγεγονώς, ἀλλὰ μετὰ τὸ πληρωθῆναι ταύτην αὐτῶν τὴν διάλεξιν,

22 Ἦλθε, φησὶν, Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ.

Δέον τοίνυν ἐκείνους προσδραμεῖν τῷ ἀδελφῷ καὶ περιπτύξασθαι καὶ μαθεῖν τὰ παρὰ τοῦ πατρὸς αὐτοῖς δηλωθέντα, οἱ δὲ καθάπερ τινὲς ἄγριοι θῆρες ἀρνίον θεασάμενοι ἐπιπηδῶσι, Καὶ ἐξέδυσαν, φησὶ, τὸν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον,

23 Καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν λάκκον. ὁ δὲ λάκκος ἦν κενὸς, ὕδωρ οὐκ ἔχων. Καθάπερ συνεβούλευσεν ὁ Ῥουβεὶμ, οὕτως ἐποίησαν. Καὶ ῥίψαντες αὐτὸν,

24 Ἐκάθισαν τοῦ φαγεῖν ἄρτον. Ὢ τῆς ὠμότητος, ὢ τῆς ἀπανθρωπίας. ἐκεῖνος μὲν τοσαύτην ὁδὸν διήνυσε, καὶ μετὰ τοσαύτης σπουδῆς τὴν ἐπιζήτησιν αὐτῶν ἐποιήσατο, ὥστε καὶ ἰδεῖν καὶ ἀπαγγεῖλαι τῷ πατρὶ τὰ κατ᾽ αὐτούς· ἐκεῖνοι δὲ καθάπερ βάρβαροί τινες καὶ ἀνήμεροι, ἐπειδὴ συνεβουλεύθησαν ὑπὸ τοῦ Ῥουβεὶμ μὴ ἐκχέειν τοῦ ἀδελφοῦ τὸ αἷμα, τὸν διὰ τοῦ λιμοῦ θάνατον αὐτῷ κατεσκεύαζον. ἀλλ᾽ ὁ φιλάνθρωπος Θεὸς ταχέως αὐτὸν ἐρρύσατο τῆς τῶν ἀδελφῶν μανίας. Καθίσαντες γὰρ, φησὶ, φαγεῖν ἄρτον, εἶδον ὁδοιπόρους Ἰσμαηλίτας ἐρχομένους, καὶ ἐπὶ τὴν Αἴγυπτον τὴν ὁρμὴν ἔχοντας.

25 Καὶ εἶπεν Ἰούδας, τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν, καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ; 26 Δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ᾽ αὐτὸν, ὅτι ὁ ἀδελφὸς ἡμῶν, καὶ σὰρξ ἡμῶν ἐστιν.

Ὅρα πῶς καὶ πρότερον ὁ Ῥουβεὶμ ἐλάττονι κακῷ τὸ μεῖζον ἐκώλυσε· καὶ νῦν πάλιν ὁ Ἰούδας πραθῆναι συμβουλεύει τὸν ἀδελφὸν, ὥστε τῆς σφαγῆς αὐτὸν ἐξαρπάσαι. τοῦτο δὲ ὅλον ἐγίνετο, ἵνα πληρωθῇ καὶ ἀκόντων αὐτῶν τὰ παρὰ τοῦ Θεοῦ προρρηθέντα, καὶ ὑπηρετοῦνται τῇ οἰκονομίᾳ. καὶ δεξάμενοι, φησὶ, τὴν συμβουλὴν τοῦ Ἰούδα,

27 Ἀναβιβάσαντες αὐτὸν ἀπὸ τοῦ λάκκου, ἀπέδοντο αὐτὸν τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν. Ὢ συναλλάγματος παρανόμου, ὢ κέρδους ὀλεθρίου, ὢ πράσεως ἀδικωτάτης. τὸν τὰς αὐτὰς ὑμῖν ὠδῖνας λύσαντα, τὸν οὕτω τῷ πατρὶ περιπόθητον, τὸν

εἰς ἐπίσκεψιν ὑμετέραν παραγινόμενον, τὸν οὐ μικρὸν, οὐ μέγα ποτὲ ὑμᾶς ἀδικήσαντα πιπράσκειν ἐπιχειρεῖτε, καὶ πιπράσκειν βαρβάροις ἀνθρώποις, καὶ εἰς τὴν Αἴγυπτον κατιοῦσι; τίς ἡ τοσαύτη μανία; τίς ὁ φθόνος; τίς ἡ βασκανία; εἰ μὲν τὰ ὀνείρατα δεδοικότες τοῦτο ποιεῖτε, ὡς πεπεισμένοι ὅτι δεῖ πάντως ἔσται, τίνος ἕνεκεν ἀδυνάτοις ἐπιχειρεῖτε, καὶ διὰ τῶν παρ' ὑμῶν γινομένων τὸν πρὸς τὸν Θεὸν πόλεμον ἐπιδείκνυσθε τὸν ταῦτα αὐτῷ προαγορεύσαντα; εἰ δὲ οὐδὲν ἡγεῖσθε τὰ ὀνείρατα, ἀλλὰ λῆρον αὐτὰ εἶναι νομίζετε, διὰ τί ταῦτα διαπράττεσθε, ἃ διηνεκῆ ὑμῖν τὴν κηλῖδα προξενήσει, καὶ πένθος ἀδιάλειπτον ἀπεργάσεται τῷ πατρί; ἀλλ' ὢ τῆς ὑπερβολῆς τοῦ πάθους, μᾶλλον δὲ τῆς μιαιφόνου γνώμης. ὅταν γὰρ τις ἐκδῷ ἑαυτὸν κατά τινα ἄτοπον πρᾶξιν, καὶ ὑποβρύχιος γένηται ὑπὸ τῆς τῶν λογισμῶν ἀτοπίας, οὐ τὸν ἀκοίμητον λαμβάνει πρὸ ὀφθαλμῶν ὀφθαλμὸν, οὐ τὴν φύσιν αὐτὴν αἰδεῖται, οὐχ ἕτερόν τι τῶν δυναμένων αὐτὸν εἰς συμπάθειαν ἀγαγεῖν, ὅπερ καὶ οὗτοι πεπόνθασιν· οὐχ ὅτι ἀδελφὸς ἦν, οὐχ ὅτι νέος, οὐχ ὅτι περιπόθητος τῷ πατρὶ, οὐχ ὅτι ἄπειρος ὢν τῆς ἐν ξένῃ διαγωγῆς, καὶ τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς, τοσαύτην μέλλει χώραν διαβαίνειν, καὶ βαρβάροις συνοικεῖν· ἀλλὰ πάντα σώφρονα λογισμὸν ἀπωσάμενοι, ἑνὸς μόνου ἐγίνοντο, τοῦ τὸν οἰκεῖον φθόνον, ὡς ἐνόμιζον, τέως εἰς ἔργον ἀγαγεῖν. καὶ ἐκεῖνοι μὲν τῇ γνώμῃ ἀδελφοκτόνοι γεγόνασιν· ὁ δὲ ταῦτα παθὼν ὑπ' αὐτῶν ἅπαντα γενναίως ὑπέμενεν. ἡ γὰρ ἄνωθεν χεὶρ ἦν αὐτὸν ἡ φρουροῦσα, καὶ πάντα τὰ δυσχερῆ ῥᾴδια καὶ εὔκολα ἐργαζομένη. ὅταν γὰρ τῆς ἄνωθεν εὐνοίας ἀπολαύωμεν, κἂν ἐν μέσῳ βαρβάρων ὦμεν, κἂν ἐπ' ἀλλοτρίας, τῶν οἴκοι διατριβόντων καὶ πάσης ἀπολαυόντων θεραπείας ἄμεινον διάγειν δυνάμεθα· ὥσπερ κἂν ἐπὶ τῆς οἰκίας διατρίβωμεν, κἂν πάσης ἀνέσεως ἀπολαύειν δοκῶμεν, ἔρημοι δὲ ὦμεν τῆς ἄνωθεν βοηθείας, πάντων ἐσμὲν ἐλεεινότεροι. πολλὴ γὰρ καὶ τῆς ἀρετῆς ἡ ἰσχὺς, καὶ τῆς κακίας ἡ ἀσθένεια. καὶ τοῦτο μάλιστα δείκνυσιν ἡμῖν αὕτη ἡ ἐν χερσὶν ἱστορία. τίνας γὰρ, εἰπέ μοι, ἐλεεινοὺς, καὶ μυρίων δακρύων ἀξίους κρίνεις, τοὺς τοσαῦτα κακὰ ἐργασαμένους τὸν ἀδελφὸν, ἢ τὸν ὑπὸ τῇ δουλείᾳ τῶν βαρβάρων γεγενημένον; δηλονότι τούτους. ἐννόει γάρ μοι λοιπὸν τὸν θαυμάσιον ἐκεῖνον, τὸν μετὰ τοσαύτης δορυφορίας ἀνατραφέντα, καὶ ὑπὸ ταῖς ἀγκάλαις ταῖς πατρικαῖς διηνεκῶς γεγενημένον, ἀθρόον ἀναγκαζόμενον δουλείαν χαλεπὴν ὑφίστασθαι, καὶ δουλεύειν παρὰ βαρβάροις ἀνδράσι, καὶ θηρίων οὐδὲν ἄμεινον διακειμένοις. ἀλλ' ὁ τῶν ἁπάντων δεσπότης ἦν ὁ καὶ ἐκείνους ἡμέρους ἐργαζόμενος, κἀκείνῳ πολλὴν διδοὺς τὴν ὑπομονήν. καὶ ἀποδόμενοι τὸν ἀδελφὸν, ὡς εἰς τέλος ἀγαγόντες τὸν οἰκεῖον σκοπὸν, οὕτω λοιπὸν διέκειντο ἐκποδὼν ποιησάμενοι τὸν ὑπ' αὐτῶν φθονούμενον.

28 Ἀνέστρεψε δέ, φησι, Ῥουβεὶμ ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσήφ. καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἀνέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ εἶπε,

29 Τὸ παιδάριον οὐκ ἔστιν. ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι; Ἐπειδὴ γὰρ ἐδίδαξεν ἀνωτέρω ἡ θεία γραφὴ, ὅτι διὰ τοῦτο συνεβούλευσε Ῥουβεὶμ εἰς τὸν λάκκον τὸν αὐτοῦ ἀδελφὸν ἐμβληθῆναι, ὥστε καὶ τῶν χειρῶν αὐτῶν ἐξελέσθαι τῶν φονικῶν, καὶ ἀποδοῦναι τῷ πατρί· νῦν, φησιν, ἰδὼν ὅτι διήμαρτε τοῦ σκοποῦ, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπε, τὸ παιδάριον οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι; ποίαν, φησὶν, ἕξομεν ἀπολογίαν, καὶ μάλιστα ὁ δοκῶν ὑμῶν πρεσβεύειν ἐγώ; ἐνόμιζε γὰρ αὐτὸν ἀνῃρῆσθαι. ἀλλ' ἐπειδὴ τὸ σπουδαζόμενον αὐτοῖς ἐγεγόνει, καὶ τὸν μισούμενον εἰς τὴν ἀλλοτρίαν ἐξέπεμψαν γῆν, καὶ τὸν φθόνον τὸν οἰκεῖον οὕτως ἠδυνήθησαν παραμυθήσασθαι, λοιπὸν πᾶσαν μηχανὴν ἐπιδείκνυνται, ὥστε παρακρούσασθαι τὸν πατέρα, καὶ μὴ κατάδηλον αὐτῷ γενέσθαι τὴν κακὴν συμφωνίαν. 30 Καὶ σφάξαντες, φησιν, ἔριφον αἰγῶν, καὶ μολύναντες τὸν

χιτῶνα τῷ αἵματι, εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν, καὶ εἶπον,

31 Ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σου ἐστὶν, ἢ οὔ. Τί ἀπατᾶτε ἑαυτοὺς, ὦ ἀνόητοι; κἂν γὰρ τὸν πατέρα δυνηθῆτε παρακρούσασθαι, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσεσθε, ὃν μάλιστα πάντων δεδοικέναι ἐχρῆν. ἀλλὰ τοιοῦτον ἡ ἀνθρωπίνη φύσις, μᾶλλον δὲ τοιοῦτον ἡ ῥᾳθυμία τῶν πολλῶν. τὸν παρὰ τῶν ἀνθρώπων φόβον, καὶ τὴν τούτων αἰσχύνην τὴν πρὸς τὸ παρὸν μόνον περὶ πολλοῦ ποιούμενοι, οὐ λαμβάνουσιν ἔννοιαν τοῦ δικαστηρίου ἐκείνου τοῦ φοβεροῦ, καὶ τῆς κολάσεως τῆς ἀφορήτου· ἀλλ' ἑνὸς μόνου γίνονται, πῶς τὴν παρὰ τῶν ἀνθρώπων μέμψιν διαφυγεῖν δυνηθῶσιν. ὃ δὴ καὶ οὗτοι πεπόνθασι, καὶ τὸν πατέρα ἀπατᾶν ἐπιχειροῦσιν. 32 Ἐπέγνω γάρ, φησι, τὸν χιτῶνα ὁ πατὴρ, καὶ εἶπε, χιτὼν τοῦ υἱοῦ μού ἐστι. θηρίον πονηρὸν κατέφαγεν αὐτόν. θηρίον ἥρπασε τὸν Ἰωσήφ. Καὶ γὰρ ἀληθῶς, καθάπερ θηρίοις πονηροῖς περιπεσὼν, οὕτως ἀνηλεῶς ἅπαντα ὑπέμεινε. 33 Διέῤῥηξε δὲ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς.

Πόσων ἂν εἶεν οὗτοι δακρύων ἄξιοι, οὐχ ὅτι τὸν ἀδελφὸν τοῖς βαρβάροις πεπράκασι μόνον, ἀλλ' ὅτι καὶ τὸν πατέρα ἐν ἐσχάτῳ γήρᾳ λοιπὸν ὄντα τοσούτῳ πένθει περιέβαλον;

34 Συνήχθησαν δέ, φησιν, υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες παρακαλέσαι αὐτὸν, καὶ οὐκ ἤθελε, λέγων, ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου.

Οἶμαι δὲ τοῦτο πληγὴν ἑτέραν ἐκείνοις γεγενῆσθαι. ἑώρων γὰρ ὅτι καὶ πρὸς τὸν μὴ παρόντα, μᾶλλον δὲ καὶ νομιζόμενον ὑπὸ θηρίων ἀνῃρῆσθαι, οὕτως ἀκμάζοντα τὸν πόθον ἐπιδείκνυται, καὶ πλέον ὑπὸ τοῦ φθόνου κατετήκοντο. ἀλλ' οὗτοι μὲν καὶ πρὸς τὸν ἀδελφὸν καὶ πρὸς τὸν πατέρα ὠμοὶ γεγονότες οὐδεμιᾶς ἂν εἶεν συγγνώμης ἄξιοι· οἱ δὲ Μαδιηναῖοι καὶ αὐτοὶ πάλιν ὑπηρετοῦσι τῇ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ πάλιν

35 Ἀποδίδονται τὸν Ἰωσὴφ Πετεφρῇ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραώ.

Εἶδες πῶς ὁδῷ κατὰ μικρὸν πρόεισι, καὶ διὰ πάντων τὴν οἰκείαν ἀρετὴν καὶ τὴν ὑπομονὴν ἐπιδείκνυται, ἵν' οὕτω καθάπερ ἀθλητὴς γενναίως ἀγωνισάμενος ἀναδήσηται τῆς βασιλείας τὸν στέφανον, καὶ τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐξελθοῦσα, δι' αὐτῆς τῆς πείρας διδάξῃ τοὺς πεπρακότας, ὡς οὐδὲν αὐτοῖς ὄφελος γέγονε τῆς τοσαύτης μηχανῆς.

ΗΘΙΚΟΝ

Τοσαύτην γὰρ ἡ ἀρετὴ ἔχει τὴν ἰσχὺν, ὡς καὶ πολεμουμένην αὐτὴν συμβαίνειν ἐπὶ πλέον περιφανεστέραν γίνεσθαι. οὐδὲν γὰρ ταύτης ἰσχυρότερον, οὐδὲν αὐτῆς δυνατώτερον. οὐκ ἐπειδὴ αὐτὴ καθ' ἑαυτὴν τοσαύτην ἔχει τὴν ἰσχὺν, ἀλλ' ἐπειδὴ ὁ ταύτην κεκτημένος καὶ τῆς ἄνωθεν ἀπολαύει ῥοπῆς· τῆς δὲ ἄνωθεν ἀπολαύων ῥοπῆς, καὶ τῆς ἐκεῖθεν ἀξιούμενος συμμαχίας, πάντων ἂν εἴη δυνατώτερος, καὶ ἀχείρωτος, καὶ ἀνάλωτος οὐκ ἀνθρώπων μόνον ἐπιβουλαῖς, ἀλλὰ καὶ ταῖς τῶν δαιμόνων μηχαναῖς. ὅπερ εἰδότες μὴ φεύγωμεν τὸ κακῶς πάσχειν, ἀλλὰ τὸ κακῶς ποιεῖν. τοῦτο γάρ ἐστι τὸ κακῶς πάσχειν. ὁ γὰρ τὸν πλησίον κακῶς διαθεῖναι ἐπιχειρῶν, ἐκεῖνον μὲν οὐδὲ ὅλως κατέβλαψεν. εἰ γὰρ καὶ πρὸς ὀλίγον κατέβλαψεν, ἐν τῷ παρόντι αἰῶνι τοῦτο πεποίηκεν· ἑαυτῷ δὲ τὰς ἀθανάτους κολάσεις ταμιεύεται, καὶ τὰς τιμωρίας τὰς ἀφορήτους, ἃς οὐκ ἂν ἑτέρως διαφυγεῖν δυνηθείημεν, εἰ μὴ παρασκευάσαιμεν ἑαυτοὺς ἑτοίμους πρὸς τὸ πάσχειν κακῶς, καὶ κατὰ τὴν διδαχὴν τοῦ δεσπότου εὐχόμεθα ὑπὲρ τῶν ταῦτα ἡμῖν διατιθέντων. τοῦτο γὰρ ἡμῖν πολὺν προξενήσει τὸν μισθὸν, καὶ παρασκευάσει τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξβ. 2 ΚΑΙ ΕΙΔΕΝ ΙΟΥΔΑΣ ΘΥΓΑΤΕΡΑ ΑΝΘΡΩπου Χαναναίου, ᾗ ὄνομα Σαυά, καὶ ἔλαβεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτήν, 3 Καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἤρ.

Ἱκανῶς ἡμᾶς πρώην ἡ κατὰ τὸν Ἰωσὴφ ἱστορία ἐδίδαξε τοῦ φθόνου τὴν λύμην, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὴν τίκτουσαν αὐτὸ ψυχὴν πρότερον διαφθείρει. καὶ εἴδετε ὅπως ὑπὸ τούτου τοῦ πάθους συσχεθέντες οἱ ἀδελφοὶ τοῦ Ἰωσήφ, καὶ τῆς συγγενείας ἐπελάθοντο, καὶ θηρίων ἀγρίων ὠμότητα πρὸς τὸν οὐδὲν ἠδικηκότα ἐπεδείξαντο, τὴν μὲν ἑαυτῶν κακίαν ἔκδηλον πεποιηκότες, τὸν δὲ ἀδελφὸν οὐδὲν τοσοῦτον καταβλάψαντες, ὅσον ἑαυτοὺς αἰσχύνῃ περιέβαλλον. εἰ γὰρ καὶ βαρβάροις αὐτὸν πεπράκασι, κἀκεῖνοι πάλιν ἀπέδοντο τῷ τοῦ Φαραὼ ἀρχιμαγείρῳ· ἀλλ' ὅμως ἐπειδὴ εἶχε τὴν ἄνωθεν αὐτῷ ῥοπὴν ἐν ἅπασιν ἐπαρκοῦσαν, πάντα κοῦφα καὶ ῥᾴδια αὐτῷ ἐφαίνετο. καὶ ἐβουλόμην μὲν καὶ σήμερον τῆς αὐτῆς ἱστορίας ἅψασθαι, καὶ ἐντεῦθεν ὑμῖν ὑφᾶναι τὴν διδασκαλίαν. ἀλλ' ἐν μέσῳ ἑτέρα τις διήγησις παρέγκειται, ἣν οὐκ ἄξιον παραδραμεῖν, ἀλλὰ καὶ αὐτήν, ὡς οἷόν τε, διερευνησαμένους, τότε πάλιν ἐπὶ τὴν κατὰ τὸν Ἰωσὴφ ὑπόθεσιν ἐξελθεῖν. τίς οὖν ἐστιν ἡ ἐν μέσῳ κειμένη διήγησις; ἡ κατὰ τὸν Ἰούδαν. Οὗτος γὰρ θυγατέρα Χαναναίου λαβὼν γυναῖκα τὴν Σαυάν, καὶ ἐγγηκὼς ἐξ αὐτῆς τρεῖς παῖδας, ἔλαβε, φησί, τῷ πρωτοτόκῳ Ἢρ τὴν Θάμαρ γυναῖκα. ἐπειδὴ δὲ πονηρὸς ἐφάνη ἐναντίον κυρίου, ἀπέκτεινεν αὐτὸν ὁ Θεός, καὶ ἐπέτρεψε τῷ Αὐνὰν λαβόντι τὴν τοῦ ἀδελφοῦ γυναῖκα ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ. τοῦτο γὰρ ὁ νόμος ἐκέλευεν, ἀτέκνου ἀποθανόντος ἀδελφοῦ τὸν ἀδελφὸν λαβόντα τὴν γυναῖκα, ἀνιστᾷν τῷ ἀδελφῷ σπέρμα.

Δευτ. κε. ε.
Ματθ. κβ. κδ.

7 Ἀλλὰ καὶ τοῦτον πονηρὸν φανέντα ἐθανάτωσεν ὁ Θεός.

Τοῦτο τὸν Ἰούδαν εἰς φόβον κατέστησε, τὴν δύο παίδων τὴν ἀναίρεσιν οὕτω ταχεῖαν θεασάμενον. καὶ βουλόμενος τὴν Θάμαρ παραμυθήσασθαι, ὑπέσχετο καὶ τὸν ἕτερον υἱὸν δώσειν αὐτῇ, καὶ οὐκ ἐπλήρου τὰ ἐπαγγελθέντα, δεδιὼς μὴ καὶ αὐτὸς ὁμοίως τοῖς ἀδελφοῖς τὴν τιμωρίαν δέξηται. Ταύταις οὖν ταῖς ὑποσχέσεσι τρεφομένη ἡ Θάμαρ ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς, φησίν, ἐκαθέζετο, ἀναμένουσα εἰς ἔργον ἐλθεῖν τοῦ πενθεροῦ τὴν ὑπόσχεσιν· καὶ ὁρῶσα τὸν Ἰούδαν οὐ βουλόμενον τὰ ἐπαγγελθέντα πληροῦν, τέως πρᾴως ἔφερεν οὐκ ἀνεχομένη τὴν πρὸς ἕτερον συνουσίαν, ἀλλὰ στέργουσα τὴν χηρείαν, καὶ καιρὸν ἐπιτήδειον ἀναμένουσα. ἐσπούδαζε γὰρ ἐκ τοῦ πενθεροῦ τεκνοποιῆσαι. καὶ ἐπειδὴ εἶδε τὴν πενθερὰν τελευτήσασαν, καὶ τὸν Ἰούδαν εἰς Θάμνα παραγινόμενον, ὥστε κεῖραι τὰ ποίμνια, κλέψαι βουλομένη τὴν συνουσίαν τοῦ πενθεροῦ, καὶ ἐξ ἐκείνου ἐπιθυμοῦσα τεκνοποιῆσαι, οὐ δι' ἀσέλγειαν (μὴ γένοιτο) ἀλλὰ διὰ τὸ μὴ δόξαι ἀνώνυμός τις εἶναι· ἄλλως δὲ καὶ οἰκονομία ἦν τὸ γινόμενον, ὅθεν καὶ εἰς ἔργον ἐξελθεῖν τὰ βουληθέντα αὐτῇ ἐγένετο. 14 Περιελομένη γάρ, φησί, τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς, καὶ περιβαλλομένη θέριστρον καὶ καλλωπισαμένη ἐκάθισε πρὸς ταῖς πύλαις.

Εἶτα ὥσπερ ἀπολογουμένη ὑπὲρ αὐτῆς ἡ θεία γραφή, φησίν, Εἶδε γὰρ ὅτι μέγας γέγονε Σηλώμ· αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα· Καὶ διὰ τοῦτο ἐπὶ ταύτην ὥρμησε τὴν ἀπάτην. 15 Ὁ μέντοι Ἰούδας νομίσας αὐτὴν πόρ-

νην

ἐστὶ) (κατεκαλύψατο γὰρ ἐκείνη τὸ πρόσωπον, ὥστε μὴ κατάδηλος γενέσθαι)

16 Ἐξέκλινε πρὸς αὐτήν. ἡ δὲ εἶπε, τί μοι δώσεις; 17 Ὁ δὲ ὑπέσχετο ἔριφον αἰγῶν ἀποστελεῖν. ἡ δὲ εἶπεν, ἐὰν δῷς ἀρραβῶνα, ἕως τοῦ ἀποστεῖλαί σε.

18 Καὶ ἔδωκε τὸν δακτύλιον, καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ. Ἀλλὰ μηδεὶς ταῦτα ἀκούων καταγινωσκέτω τῆς Θάμαρ. ὡς γὰρ ἔφθην εἰπὼν, οἰκονομίᾳ ὑπηρετεῖτο, καὶ διὰ τοῦτο οὔτε αὐτὴ μέμψιν ὑπέμεινεν, οὔτε ὁ Ἰούδας ἐγκλήμασιν ὑπεύθυνος γέγονε. καὶ γὰρ ἐντεῦθεν ὁδῷ προβαίνων εὑρήσεις ἐκ τῶν παίδων τῶν τούτῳ τεχθέντων τὸν Χριστὸν κατάγοντα τὸ γένος· ἄλλως δὲ καὶ τὰ δύο παιδία " κατ' αὐτὸν τικτόμενα τῶν δύο λαῶν ἦν τύπος, καὶ προαναφώνησις τῆς πολιτείας τῆς Ἰουδαϊκῆς καὶ τῆς πνευματικῆς. ἀλλὰ τέως ἴδωμεν μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰούδα, ὅπως χρόνου μικροῦ παραδραμόντος, καὶ τοῦ πράγματος εἰς φανερὸν ἐλθόντος, ὁ Ἰούδας ἑαυτῷ δικάζει, ἐκείνην ἀπαλλάττων ἐγκλημάτων. ἐπειδὴ τοίνυν ἐπλήρωσεν, ὅπερ ἐβούλετο ἡ Θάμαρ, πάλιν ἀμείψασα τὸ σχῆμα, φησὶν, ἐκεῖθεν μὲν ἀνεχώρησεν, ἀπῆλθε δὲ εἰς τὸν οἶκον αὐτῆς. ὁ μέντοι Ἰούδας τούτων οὐδὲν ἐπιστάμενος τὴν ὑπόσχεσιν ἐπλήρου, καὶ τὸν ἔριφον ἀπέστειλεν, ἵνα τὸν ἀρραβῶνα τὸν παρ' αὐτοῦ δοθέντα ἀναλάβῃ. ἀλλ' οὐδαμοῦ τῆς γυναικὸς εὑρεθείσης ἐπανῆλθεν ὁ παῖς μηνύων τῷ Ἰούδᾳ, ὡς οὐδαμοῦ ἐπιστῆναι τῇ γυναικὶ δεδύνηται. ταῦτα μαθὼν ὁ Ἰούδας εἶπε, φησὶ, μήποτε καταγνωσθῶμεν, ὡς ἀγνώμονες νομισθέντες; οὐδὲ γὰρ ᾔδει τὸ γεγενημένον. ἀλλὰ τριῶν μηνῶν διελθόντων, καὶ τοῦ ὄγκου τῆς γαστρὸς μηνύοντος τὸν τόκον, καὶ οὐδενὸς ἑτέρου ἐπισταμένου τὴν κλοπὴν τῆς συνουσίας, 24 Ἀπηγγέλη, φησὶ, τῷ Ἰούδᾳ, ὅτι ἐν γαστρὶ ἔχει ἐκ πορνείας. καὶ μαθὼν εἶπεν, ἐξαγάγετε αὐτὴν, καὶ κατακαυθήτω. Μεγάλη ἡ ἀγανάκτησις, ἀφόρητος ἡ τιμωρία, ἐπειδὴ καὶ τὸ ἁμάρτημα μέγα εἶναι ἐδόκει. τί οὖν ἡ Θάμαρ; ἐξαποστείλασα ἅπερ ἀρραβῶνος ἕνεκεν εἰλήφει, φησὶν, οὗτινος ταῦτά ἐστι, παρ' ἐκείνου τῆς γαστρὸς τὸν ὄγκον ἐδεξάμην. σκόπει πῶς σιγῶσα ἀξιοπίστους μάρτυρας ἐπάγεται φωνὴν ἀφιέντας, καὶ ἱκανοὺς ἀθῶον ταύτην ἀποδεῖξαι τοῦ ἐγκλήματος. ἐπειδὴ γὰρ τριῶν ἔδει μαρτύρων περὶ τῆς τοιαύτης ὑποθέσεως ἐγκαλουμένην, διὰ τοῦτο καὶ αὐτὴ ὡσανεὶ λαμπρὰν φωνὴν ἀφιέντα οὕτω διαπέμπεται τὰ τρία εἴδη τοῦ ἀρραβῶνος, τὸν δακτύλιον, τὸν ὁρμίσκον, τὴν ῥάβδον, καὶ οἴκοι καθημένη καὶ σιγῶσα τὴν νίκην ἤρατο. 26 Ἐπιγνοὺς γὰρ ὁ Ἰούδας εἶπε, δεδικαίωται αὐτὴ, ἢ ἐγὼ, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. Τουτέστιν, ἐκείνη μὲν ἀνεύθυνος, ἐγὼ δὲ ἑαυτὸν καταδικάζω, καὶ μηδενὸς ἐλέγχοντος ἐμαυτὸν ἐκκαλύπτω· μᾶλλον δὲ ἀρκοῦντα ἔλεγχον ἔχω, τὸν ἀρραβῶνα τὸν παρ' ἐμοῦ δοθέντα. Εἶτα ἀπολογίαν πάλιν ὑπὲρ τῆς αὐτῆς Θάμαρ συντιθεὶς, φησὶν, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. τάχα δὲ τοῦτο γέγονε καὶ δι' ἣν μέλλω ἐρεῖν αἰτίαν. ἐπειδὴ γὰρ ἐνόμιζεν ὁ Ἰούδας παρὰ τὴν ἐκείνης αἰτίαν τὸν θάνατον ἐπενηνέχθαι τῷ Ἢρ καὶ τῷ Αὐνὰν, καὶ τοῦτο δεδοικὼς τὸν Σηλὼμ αὐτῇ οὐ δέδωκε, καὶ ταῦτα ὑποσχόμενος· ἵνα γνῷ δι' αὐτῶν τῶν πραγμάτων ὡς οὐκ ἐκείνη αἰτία τοῦ θανάτου ἐκείνοις γεγένηται, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν τὰς τιμωρίας ἐδέχοντο (ἀπέκτεινε γὰρ αὐτὸν, φησὶν, ὁ Θεὸς, καὶ πάλιν, ἐθανάτωσεν αὐτὸν, περὶ τοῦ δευτέρου) διὰ τοῦτο αὐτὸς μίγνυται ἀγνοῶν τῇ οἰκείᾳ νύμφῃ, καὶ μανθάνει διὰ τῶν ἔργων ὅτι οὐχ ἡ ταύτης αἰτία, ἀλλ' ἡ ἐκείνων κακία ὑπευθύνους αὐτοὺς τῇ τιμωρίᾳ γενέσθαι πεποίηκε. καὶ ἐξομολογησάμενος τὸ οἰκεῖον ἁμάρτημα, κἀκείνην τῆς τιμωρίας ἀπαλλάξας, Οὐ προσέθετο, φησὶν, ἔτι τοῦ γνῶναι αὐτήν· Δεικνὺς ὅτι οὐδ' ἂν τὸ πρότερον αὐτῇ συνεγένετο, εἰ μὴ ἀγνοίᾳ τὴν μίξιν εἰργάσατο. Εἶτα ἐπειδὴ διηγή-

γρ. περὶ αὐτὸν

σατο

ατο ἡμῖν ἡ θεία γραφὴ μετὰ ἀκριβείας τὴν γεγενημένην ἀπάτην ὑπὸ τῆς Θάμαρ, λοιπὸν διδάσκει ἡμᾶς, καὶ τίνα ἐστὶ τὰ παρ' αὐτῆς τικτόμενα παιδία.

27 Ἐγένετο γάρ, φησιν, ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς.

28 Ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτήν, ὁ εἷς προεξήνεγκε τὴν χεῖρα. λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα, οὗτος ἐξελεύσεται πρότερος.

Ὅρα μοι ἐνταῦθα μυστήριον καὶ προαναφώνησιν τῶν μελλόντων ἔσεσθαι. μετὰ γὰρ τὸ δῆσαι τὴν μαῖαν εἰς τὴν χεῖρα τὸ κόκκινον, ὥστε καταδῆλον αὐτὸν γενέσθαι,

29 Τότε ἐπισυνήγαγε τὴν χεῖρα, καὶ ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ.

Παρεχώρησε, φησι, τῷ ἀδελφῷ τὴν πρόοδον, καὶ ὁ τελευταῖος νομιζόμενος πρῶτος ἐξῄει, καὶ ὁ πρῶτος νομιζόμενος μετ' ἐκεῖνον προῄει. Καὶ εἶπεν ἡ μαῖα, τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές.

Διακοπὴ γὰρ ἑρμηνεύεται τὸ ὄνομα καὶ μερισμός, ὡς ἂν εἴποι τις.

30 Καὶ μετὰ τοῦτον ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ ὁ τὸ σημεῖον ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς δεξάμενος, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρά, ὃ ἑρμηνεύεται ἀνατολή. καὶ οὐχ ἁπλῶς ταῦτα γεγένηται, ἀλλὰ τύπος ἦν τῶν μελλόντων ἔσεσθαι, αὐτὰ δηλοῖ τὰ πράγματα. οὐδὲ γὰρ κατὰ φύσεως ἀκολουθίαν ἦν τὸ γεγονός. πῶς γὰρ ἠδύνατο, μετὰ τὸ δεθῆναι τὴν χεῖρα τῷ κοκκίνῳ, πάλιν συσταλῆναι καὶ δοῦναι πρόοδον τῷ μετὰ ταῦτα, εἰ μὴ θεία τις ἦν δύναμις ἡ ταῦτα προοικονομοῦσα, καὶ καθάπερ ἐν σκιᾷ τινι προδιετυποῦτο, ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ὁ Ζαρά, ὅπερ ἐστὶν ἀνατολὴ (οὗτος γὰρ ὁ τύπος τῆς ἐκκλησίας) ἤρξατο προκύπτειν· καὶ μικρὸν προελθόντος αὐτοῦ καὶ ὑποχωρήσαντος, ἡ νομικὴ παρατήρησις ἡ διὰ τοῦ Φαρὲς μηνυομένη ἐπεισῆλθε, καὶ χρόνῳ πολλῷ κρατοῦσα, πάλιν τοῦ προτέρου ὑποχωρήσαντος, τοῦ Ζαρᾶ λέγω, προελθόντος, παρεχώρησε πάλιν τῇ ἐκκλησίᾳ πᾶσα ἡ Ἰουδαϊκὴ πολιτεία. ἀλλὰ τάχα νῦν ἀναγκαῖον συντομώτερον πάλιν αὐτὰ καὶ σαφέστερον εἰπεῖν. ἤρξαντο, καθάπερ ὁ Ζαρὰ τὴν χεῖρα προεξήνεγκεν, ὁ Ἄβελ καὶ ὁ Ἐνὼχ καὶ ὁ Νῶε καὶ ὁ Μελχισεδὲκ καὶ ὁ Ἀβραὰμ τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως πολλὴν ποιεῖσθαι λόγον. εἶτα ἐπειδὴ εἰς πλῆθος ἐκταθέντες πολλὰ φορτία ἁμαρτημάτων συνελέξαντο, ἔδει δὲ μικρᾶς τινος αὐτοῖς παραμυθίας ἀπολαύειν, ὡς σκιά τις ὁ νόμος ἐδόθη, οὐχ ὅτι ἁμαρτήματα ἀναιρῶν, ἀλλὰ ταῦτα ἀποδεικνὺς καὶ φανερὰ αὐτοῖς ἐργαζόμενος· ἵνα καθάπερ τὰ ἀτελῆ παιδία γάλακτι τρεφόμενα εἰς ἀκμὴν ἡλικίας ἐλθεῖν δυνηθῇ. ἀλλ' ἐπειδὴ οὐδὲ οὕτως ἀπώναντό τι, ἀλλὰ καί τοι ὑποδεικνύοντος τοῦ νόμου τῶν ἁμαρτημάτων τὸ μέγεθος, οὗτοι πάλιν τούτοις ἀνεφύροντο, παραγενόμενος ὁ κοινὸς δεσπότης τὴν πνευματικὴν ταύτην καὶ ἐνάρετον πολιτείαν τῷ τῶν ἀνθρώπων ἐχαρίσατο γένει, ἧς τύπον ὁ Ζαρὰ ἐπλήρου. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς μέμνηται καὶ τῆς Θάμαρ καὶ τῶν ἐξ αὐτῆς τεχθέντων, καί φησιν, Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ. Ματθ. α. μὴ τοίνυν ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα, μηδὲ ἐξ ἐπιπολῆς τοῖς λεγομένοις προσέχωμεν, ἀλλ' εἰς τὸ βάθος ἑαυτοὺς καθέντες, καὶ τὸν ἐναποκείμενον πλοῦτον καταμαθόντες, δοξάζωμεν τὸν ἡμέτερον δεσπότην τὸν μετὰ τοσαύτης σοφίας ἅπαντα οἰκονομοῦντα. εἰ γὰρ μὴ τὸν σκοπὸν καὶ τὴν αἰτίαν ἑκάστου τῶν γινομένων ἐξετάζειν βουλοίμεθα, οὐ μόνον ταύτης κατηγορήσομεν ὡς τῷ πενθερῷ αὐτῆς μιγείσης, ἀλλὰ καὶ τὸν Ἀβραὰμ αἰτιασόμεθα, ὡς παιδοκτόνον τῇ γνώμῃ γεγενημένον, καὶ τὸν Φινεές, ὡς κατ' αὐτὸν δύο φόνους ἐργασάμενον. ἐὰν δὲ ἑκάστου τὴν αἰτίαν ἀκριβῶς καταμάθωμεν, κἀκείνους μέμψεως ἀπαλλάξομεν, καὶ αὐτοὶ πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν καρπωσόμεθα. ἀλλὰ τὰ μὲν κατὰ τὴν ἱστορίαν ταύτην, ὡς ἡμῖν οἷόν τε ἦν, διεξεληλύθαμεν ἐπὶ τῆς ὑμετέρας ἀγά-

πης. Εἰ δὲ μὴ ἀπεκάμετε, καὶ βούλεσθε, καὶ τῶν ἑξῆς ἐφαψόμεθα, καὶ πάλιν ἐπὶ τὴν κατὰ τὸν θαυμαστὸν Ἰωσὴφ διήγησιν ἥξομεν, ἵνα μάθητε καὶ ἐκ τῶν σήμερον λεγομένων, ὅσα ὁ γενναῖος οὗτος ἀθλητὴς μετὰ τὰ ὀνείρατα ἐκεῖνα, τὰ τὴν βασιλείαν αὐτῷ μηνύοντα καὶ τὴν κατὰ τῶν ἀδελφῶν ἀρχὴν, ὑπέμεινε, καὶ ὅπως ἀπὸ ἀγώνων ἀγῶνες αὐτὸν διεδέχοντο, καὶ πειρασμοῖς πειρασμοὶ συνήπτοντο, καὶ ἐπάλληλα ἦν τὰ ναυάγια, καὶ ὁ κυβερνήτης οὐ κατεποντίζετο, καὶ σφοδροτέρου τοῦ χειμῶνος ἐπανισταμένου, καθάπερ ἐπὶ τῶν οἰάκων καθήμενος, οὕτω τὴν ναῦν ἴθυνεν. ἄξιον δὲ ἀκοῦσαι καὶ αὐτῶν τῶν ῥημάτων, ἵνα πάντα μετὰ ἀκριβείας μαθεῖν δυνηθῶμεν.

1 Ἰωσὴφ δέ, φησι, κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν ὁ ἀρχιμάγειρος Φαραὼ ἐκ χειρὸς Ἰσμαηλιτῶν. Εἶτα ἐπειδὴ καὶ οἱ παρὰ τῶν ἀδελφῶν αὐτὸν ὠνησάμενοι, βάρβαροί τινες καὶ ἀλλόκοτοι ἦσαν τὸ ἦθος, καὶ πάλιν αὐτοὶ τῷ Αἰγυπτίῳ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραὼ αὐτὸν ἀπέδοντο, καὶ διαφόρους ἤμειβε δεσπότας ὁ ἐν ταῖς ἀγκάλαις τοῦ πατρὸς ἀνατραφείς· ἵνα μὴ ξενιζώμεθα πῶς ἤνεγκε τὴν μοχθηρὰν ἐκείνην δουλείαν νέος ὤν, καὶ πάσης τοιαύτης σκληραγωγίας ἄπειρος, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς τῆς πατρικῆς φιλοστοργίας ἀνατραφεὶς, ἐπήγαγεν ἡ γραφὴ λέγουσα,

2 Καὶ ἦν κύριος μετὰ Ἰωσὴφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων.

Τί ἐστι, καὶ ἦν κύριος μετὰ Ἰωσήφ; συμπαρῆν αὐτῷ, φησιν, ἡ ἄνωθεν χάρις, καὶ αὐτὴ αὐτῷ πάντα τὰ δυσχερῆ ἐξευμάριζεν. αὕτη πάντα τὰ κατ' αὐτὸν ᾠκονόμει. αὕτη καὶ τοὺς ἐμπόρους ἐκείνους ἡμερωτέρους αὐτῷ κατέστησε, καὶ ἀποδόσθαι τῷ ἀρχιμαγείρῳ κατηνάγκασεν, ἵνα ὁδῷ προβαίνων οὕτω κατὰ μικρὸν, καὶ διὰ τῶν πειρασμῶν τούτων ὁδεύων ἐπὶ τὸν τῆς βασιλείας θρόνον ἀνελθεῖν δυνηθῇ. ἀλλὰ σὺ, ἀγαπητὲ, ἀκούων, ὅτι ὑπέμεινε τὴν δουλείαν τὴν παρὰ τοῖς ἐμπόροις, εἶτα διεδέξατο ἡ δουλεία ἡ παρὰ τοῦ ἀρχιμαγείρου, λογίζου πῶς οὐκ ἐταράττετο, οὐδὲ διελογίζετο καθ' ἑαυτὸν, καὶ ἠπόρει, καὶ ἔλεγε, τίς ἡ τῶν ὀνειράτων ἐκείνων ἀπάτη ἡ τοσαύτην τὴν προεδρίαν μοι μηνύουσα; ἰδοὺ γὰρ μετὰ τὰ ὀνείρατα ἐκεῖνα δουλεία, καὶ δουλεία χαλεπὴ, καὶ δεσπότας ἀμείβω, ἀπὸ τούτου πρὸς ἐκεῖνον, καὶ ἀπ' ἐκείνου πρὸς τοῦτον, καὶ ἀναγκάζομαι ἔθεσιν ἀλλοκότοις συναναμίγνυσθαι. ἆρα μὴ ἐγκατελείφθημεν; ἆρα μὴ παρώφθημεν παρὰ τῆς ἄνωθεν ῥοπῆς; οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἔφερε πάντα πράως καὶ γενναίως. ἦν γὰρ κύριος μετὰ Ἰωσὴφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων. Τί ἐστιν, ἐπιτυγχάνων; πάντα αὐτῷ κατευώδου, πανταχοῦ προωδοποίει αὐτῷ ἡ ἄνωθεν χάρις, καὶ οὕτω φανερὰ ἦν ἡ ἐπανθοῦσα αὐτῷ χάρις, ὡς καὶ τῷ δεσπότῃ αὐτοῦ τῷ ἀρχιμαγείρῳ κατάδηλον τοῦτο γενέσθαι.

τῷ ἀρχιμαγείρῳ,

3 Ἤδει γὰρ, φησιν, ὁ κύριος αὐτοῦ, ὅτι κύριος ἦν μετ' αὐτοῦ, καὶ πάντα ὅσα ἂν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. 4 Εὗρε δὲ Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ, ἔδωκε διὰ χειρὸς Ἰωσήφ.

Εἶδες ὅσον ἐστὶν ὑπὸ τῆς ἄνωθεν βοηθεῖσθαι δεξιᾶς. ἰδοὺ γὰρ καὶ νέος, καὶ ξένος, καὶ αἰχμάλωτος, καὶ δοῦλος, καὶ πᾶσαν ἐγχειρίζεται παρὰ τοῦ δεσπότου τὴν οἰκίαν, καὶ πάντα διὰ χειρὸς αὐτοῦ δέδωκέ, φησι. Διὰ τί; ἐπειδὴ μετὰ τῆς ἄνωθεν συνεργίας καὶ τὸν οἰκεῖον τρόπον εἰσήνεγκεν. εὐηρέστει γὰρ αὐτῷ, φησιν, ἀντὶ τοῦ, μετὰ πολλῆς εὐνοίας ἅπαντα διεπράττετο. Εἶτα βουλόμενος αὐτὸν ὁ φιλάνθρωπος Θεὸς ἐν πλείονι καταστῆσαι ἀδείᾳ, οὐκ ἀπήλλαξε τῆς δουλείας, οὐδὲ ἐν ἐλευθερίᾳ παρεσκεύασεν εἶναι. τοῦτο γὰρ αὐτῷ ἔθος ἀεὶ τοὺς ἐναρέτους ἄνδρας οὐκ ἀπαλλάττειν τῶν κινδύνων, οὐδὲ ἐλευθεροῦν τῶν πειρασμῶν, ἀλλ' ἐν αὐτοῖς τοῖς πειρασμοῖς τοσαύτην ἐπιδείκνυσθαι τὴν οἰκείαν ῥοπὴν, πλὴν, ὡς αὐτοὺς τοὺς πειρασμοὺς ὑπόθεσιν αὐτῷ τῆς ἀρετῆς γίνεσθαι. διὰ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἔλεγεν, Ἐν θλίψει ἐπλάτυνάς με. Ψαλ. δ. α. οὐχὶ τὴν θλῖψιν ἀπήλασας, φησὶν, οὐδὲ ταύτης ἀπαλλάξας ἐν ἀνέσει με εἶναι πεποίηκας, ἀλλ' ὅπερ ἐστὶ θαυμαστὸν καὶ παράδοξον, ἐν μέσῳ τῶν θλίψεων τυγχάνοντα ἐν ἀδείᾳ εἶναι παρεσκεύασας. οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ φιλάνθρωπος δεσπότης. 5 Εὐλόγησε γὰρ τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ τὸν Ἰωσήφ. Καὶ ἐμάνθανε λοιπὸν καὶ ὁ βάρβαρος, ὅτι τῶν ᾠκειωμένων ἐστὶ τῷ Θεῷ ὁ νομιζόμενος οἰκέτης. Καὶ ἐπέτρεψε, φησὶν, ἅπαντα, ὅσα ἦν αὐτῷ, διὰ χειρὸς Ἰωσήφ.

6 Καὶ οὐκ ᾔδει οὐδὲν, πλὴν τοῦ ἄρτου, οὗ ἤσθιε. Μονονουχὶ δεσπότην αὐτὸν κατέστησε πάσης τῆς ἑαυτοῦ οἰκίας. καὶ ἦν ὁ δοῦλος, ὁ αἰχμάλωτος, ὑπὸ τὴν ἑαυτοῦ χεῖρα ἔχων πάντα τὰ τοῦ δεσπότου. τοιοῦτόν ἐστιν ἀρετή. ὅπου γὰρ ἂν αὕτη φανῇ, πάντων περιγίνεται καὶ κρατεῖ. ὥσπερ γὰρ τοῦ φωτὸς ἀνατείλαντος ἀπελαύνεται τὸ σκότος, οὕτω καὶ νῦν τῆς ἀρετῆς φανείσης, ἐκποδὼν πᾶσα κακία γίνεται. ἀλλὰ τὸ πονηρὸν θηρίον, ὁ διάβολος θεασάμενος τοῦ δικαίου τὴν εὐδοκίμησιν, καὶ ὅτι δι' αὐτῶν τῶν νομιζομένων λυπηρῶν περιφανέστερος ἐγίνετο, τρίζων τοὺς ὀδόντας καὶ μεμηνώς, καὶ οὐδὲ φέρων ὁρᾶν τὸν δίκαιον οὕτω καθ' ἑκάστην ἡμέραν λαμπρότερον γινόμενον, βόθρον αὐτῷ ἀνορύττει βαθὺν, καὶ κρημνὸν, ὡς ἐνόμιζε, μέγιστον αὐτῷ [illegible] τὸν ὄλεθρον, καὶ χειμῶνα κατασκευάζει σφοδρὸν αὐτῷ τὸ ναυάγιον ἐργάσασθαι δυνάμενον. ἀλλ' ἐμάνθανεν οὐκ εἰς μακρὰν, ὅτι πρὸς κέντρα λακτίζει, καὶ κατὰ τῆς οἰκείας κεφαλῆς ἅπαντα διαπράττεται. Καὶ ἦν Ἰωσήφ, φησὶ, καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. Τίνος ἕνεκεν ἡμῖν τὴν εὐμορφίαν τοῦ σώματος διηγεῖται; ἵνα μάθωμεν ὅτι οὐ μόνον τῇ κατὰ ψυχὴν εὐμορφίᾳ ἦν καλὸς, ἀλλὰ καὶ τῷ σώματι. ἐν αὐτῷ γὰρ τῷ ἄνθει τῆς ἡλικίας νέος ἦν, καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ταῦτα δὲ προλαβοῦσα διηγεῖται περὶ αὐτοῦ ἡ θεία γραφὴ, ἵνα διδάξῃ ἡμᾶς, ὡς ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου ἡ Αἰγυπτία πρὸς τὴν παράνομον ἐκείνην μῖξιν αὐτὸν ἐκάλει.

7 Καὶ ἐγένετο, φησὶ, μετὰ ταῦτα. Τί ἐστι, μετὰ ταῦτα; μετὰ τὸ πάσης τῆς οἰκίας τὴν ἐξουσίαν αὐτὸν ἐμπιστευθῆναι, καὶ μετὰ τὸ ἐν τοσαύτῃ εἶναι τιμῇ ἀξιωθῆναι παρὰ τοῦ δεσπότου, Ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ τὸν Ἰωσήφ.

Ὅρα τὴν ἀναίδειαν τῆς ἀκολάστου γυναικός. οὐχ ὅτι δέσποινα εἶναι ἐνομίζετο ἐν διανοίᾳ ἔλαβεν, οὐχ ὅτι οἰκέτης ἦν ἐκεῖνος, ἀλλ' ὑπὸ τῆς εὐμορφίας ἁλοῦσα, καὶ τὸν ἐμπρησμὸν τὸν σατανικὸν δεξαμένη, ἐπιπηδᾶν ἐπεχείρει λοιπὸν τῷ νεανίσκῳ, καὶ τὸν πονηρὸν τοῦτον λογισμὸν ἐν τῇ διανοίᾳ συνέχουσα, καιρὸν ἐπεζήτει καὶ ἐρημίαν τὴν δυναμένην αὐτῇ συμπρᾶξαι πρὸς τὴν παράνομον ταύτην ἐπιχείρησιν. ὁ δέ, φησιν, οὐκ ἤθελεν, οὐκ ἐπείθετο, οὐδὲ κατεδέχετο τὰ παρ' ἐκείνης ῥήματα. ᾔδει γὰρ πολὺν αὐτῷ φέροντα τὸν ὄλεθρον. καὶ οὐ μόνον τὰ καθ' ἑαυτὸν ἐσκόπει, ἀλλὰ σπουδὴν ἐποιεῖτο κἀκείνην, καθ' ὅσον οἷόν τε, ἀπαλλάξαι τῆς μανίας καὶ τῆς ἀτόπου ταύτης ἐπιθυμίας. καὶ συμβουλὴν αὐτῇ εἰσάγει ἱκανὴν αὐτὴν καταιδέσαι, καὶ ποιῆσαι τὸ συμφέρον ἐπιγνῶναι.

8 Εἶπε γὰρ, φησὶ, τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ. Ἡ δέσποινα παρὰ τοῦ δούλου συμβουλὴν δέχεται. Εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀλλὰ πάντα ὅσα ἐστὶν αὐτῷ, δέδωκεν εἰς τὰς χεῖράς μου.

Ὢ εὐγνωμοσύνης ἀνδρός. ὅρα πῶς ἀπαριθμεῖται τοῦ δεσπότου τὰς εὐεργεσίας, ἵνα δείξῃ ὅσῃ τῇ ἀγνωμοσύνῃ ἐκείνη κέχρηται πρὸς τὸν ὁμόζυγον. Εἰ γὰρ ἐγώ, φησιν, ὁ οἰκέτης, ὁ ξένος, ὁ αἰχμάλωτος, τοσαύτης ἀπήλαυσα παρ' αὐτοῦ ἀδείας, ὡς ἅπαντα ὑπὸ τὴν χεῖρα εἶναι τὴν ἐμὴν, καὶ οὐδέν ἐστιν, ὃ ὑπεξαιρεῖται τῆς χειρός μου, πλὴν σοῦ, ἀλλὰ πᾶσι μὲν αὐτὸς ἐπίκειμαι, μόνη δέ σοι ὑποτέταγμαι, καὶ ἔξω τυγχάνεις τῆς ἐμῆς ἐξουσίας. Εἶτα ἵνα καιρίαν δῷ τὴν πληγὴν, καὶ ὑπομνήσῃ τῆς εὐνοίας τοῦ ἀνδρὸς, καὶ πείσῃ αὐτὴν μὴ ἀγνώμονα περὶ τὸν σύνοικον γενέσθαι, 9 Φησὶ, καὶ σὺ διὰ τοῦτο ἔξω τῆς ἐξουσίας τῆς ἐμῆς τυγχάνεις, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι. Εἰ τοίνυν γυνὴ αὐτοῦ τυγχάνεις, πῶς οὖν ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; Ἐπειδὴ γὰρ ἐκείνη τὴν ἐρημίαν ἐζήτει, καὶ καιρὸν ἀνέμενε, λαθεῖν σπουδάζουσα τὸν ἄνδρα, τοὺς οἰκέτας τοὺς ἐπὶ τῆς οἰκίας ἅπαντας, φησὶν οὗτος, πῶς δυνήσομαι ποιῆσαι τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; τί γὰρ νομίζεις; κἂν πάντας λαθεῖν δυνηθῶμεν, τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ δυνάμεθα λαθεῖν. ἐκεῖνον μόνον δεδοικέναι δεῖ, καὶ ἀγωνιᾷν, καὶ τρέμειν, ὥστε μὴ ὑπὸ τοῖς ἐκείνου ὀφθαλμοῖς παράνομόν τι διαπράξασθαι. καὶ ἵνα μάθωμεν τὴν ὑπερβάλλουσαν τοῦ δικαίου ἀρετὴν, καὶ ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις τὸν ἀγῶνα τοῦτον ὑπέμεινε, καὶ τῆς λέξεως ταύτης ἠνέχετο, καὶ συμβουλεύων οὐκ ἐπαύσατο, φησὶν ἡ γραφή· 10 Ἡνίκα δὲ ἐλάλει ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουσεν αὐτῆς, Ἐπιτηρήσασα τὰ ἐπὶ τῆς οἰκίας διαπραττόμενα ἐπιπηδᾷ τῷ νεανίσκῳ, καθάπερ θηρίον ἄγριον τοὺς ὀδόντας, καὶ ἐπισπασαμένη τῶν ἱματίων κατεῖχε. μὴ ἁπλῶς τοῦτο παραδράμωμεν, ἀλλ' ἐννοήσωμεν ὅσον ὑπέμεινε τὸν ἀγῶνα ὁ δίκαιος ἐκεῖνος. οὐ γὰρ οὕτω θαυμαστὸν ἦν, ὡς ἐμοί γε δοκεῖ, ἐν μέσῃ τῇ Βαβυλωνίᾳ καμίνῳ τοὺς τρεῖς παῖδας ὄντας ἀβλαβεῖς διαμεῖναι, καὶ μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν, ὡς θαυμαστὸν ἐγένετο καὶ παράδοξον τὸν θαυμαστὸν τοῦτον νεανίσκον κατασχεθέντα τῶν ἱματίων ὑπὸ τῆς μιαρᾶς ταύτης καὶ ἀκολάστου μὴ ἐνδοῦναι, ἀλλὰ καὶ τὰ ἱμάτια ἀφέντα ἐν ταῖς ἐκείνης χερσὶν, οὕτως ἀποπηδῆσαι. ὥσπερ γὰρ Ⓐ τρεῖς παῖδες ἐκεῖνοι διὰ τὴν οἰκείαν ἀρετὴν τῆς ἄνωθεν ἀπολαύσαντες ῥοπῆς, τοῦ πυρὸς κρείττους ὤφθησαν· οὕτω καὶ οὗτος, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσέφερε, καὶ τῆς σωφροσύνης τοὺς ἀγῶνας μετὰ πολλοῦ τοῦ τόνου ἐπεδείκνυτο, πολλῆς καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσε, τῆς τοῦ Θεοῦ δεξιᾶς συμπραττούσης αὐτῷ τοσοῦτον ἆθλον νικῆσαι, καὶ ἔξω τῶν δικτύων τῆς ἀσελγοῦς ἐκείνης καταστῆναι. καὶ ἦν ἰδεῖν λοιπὸν τότε τὸν θαυμάσιον τοῦτον γυμνὸν μὲν ἐξιόντα ἱματίων, ἐνδεδυμένον δὲ τὸ τῆς σωφροσύνης ἔνδυμα, καὶ καθάπερ ἀπό τινος πυρᾶς καὶ καμίνου ἀβλαβῆ διαφυγεῖν, καὶ οὐ μόνον οὐ κατακαυθέντα, ἀλλὰ καὶ λαμπρότερον καὶ φαιδρότερον γεγενημένον. ἀλλ' ὅρα μετὰ τοσαύτην νίκην, μετὰ τοσαύτην ἀνδρείαν, ὑπὲρ ὧν ἐχρῆν αὐτὸν στεφανωθῆναι, ὑπὲρ ὧν ἐχρῆν αὐτὸν ἀνακηρυχθῆναι, πάλιν ὡσανεὶ ὑπεύθυνον τὰ μυρία ὑπομένοντα δεινά. ἡ γὰρ Αἰγυπτία ἐκείνη οὐ φέρουσα λοιπὸν τὴν αἰσχύνην καὶ τὸ ὄνειδος, ᾗ περιέβαλλεν ἑαυτὴν ἀδυνάτοις ἐπιχειρήσασα, πρότερον μὲν τοὺς ἐπὶ τῆς οἰκίας συγκαλεσαμένη κατηγορεῖ τοῦ νεανίσκου, καὶ τὰ παρ' αὐτῆς μανικῶς πραχθέντα, ὡς παρ' ἐκείνου εἰρημένα φήσασα, οὕτως ἀπατᾷν ἅπαντας ἐπεχείρει. τοιοῦτον γὰρ ἔθος τῇ κακίᾳ, ἀεὶ πρὸς τὴν ἀρετὴν ἀγωνιζομένην τὰ ἑαυτῆς ἐλαττώματα ἐκείνῃ ἐπιχειρεῖν προστρίβεσθαι· ὃ δὴ καὶ αὕτη τότε ἐποίει, Ⓑ νεανίσκον ὡς ἀκόλαστον διαβάλλουσα, καὶ ἑαυτῇ προσωπεῖον σωφροσύνης περιτιθεῖσα, καὶ λέγουσα διὰ τοῦτο κἀκεῖνον τὰ ἱμάτια καταλελοιπέναι, καὶ ταύτην ταῦτα κατεσχηκέναι. καὶ ὁ φιλάνθρωπος Θεὸς ἐμακροθύμει καὶ ἠνείχετο, ἵνα διὰ πάντων τὸν ἑαυτοῦ οἰκέτην λαμπρότερον ἀποφήνῃ. ταῦτα γὰρ ἅπαντα ἐλθόντι τῷ ἀνδρὶ μετὰ πολλῆς τῆς κακουργίας εἰποῦσα καὶ κατηγορήσασα τοῦ νεανίσκου ἔλεγεν, 17 Εἰσῆλθε πρός με, *ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί" μοι. Ἀθλία καὶ ταλαίπωρε, οὐκ" αὐτὸς εἰσήγαγεν, ὥστε ἐμπαῖξαί" σε, ἀλλ' ὁ διάβολός σε εἰσήγαγεν, ὥστε μὴ μόνον μοιχαλίδα γενέσθαι, ἀλλὰ τὸ ἧκον εἰς σὲ, καὶ φόνον ἐργάσασθαι. καὶ ἐδείκνυ λοιπὸν εἰς ἀπόδειξιν τῶν παρ' αὐτῆς λεγομένων τὰ ἱ-

Δαν. γ.

μάτια τοῦ νεανίσκου. ἐννόει μοι ἐνταῦθα τοῦ κοινοῦ πάντων ἀνθρώπων δεσπότου τὴν φιλανθρωπίαν. ὥσπερ γὰρ τῶν ἀδελφῶν αὐτὸν ἐξείλετο βουλομένων αὐτὸν ἀνελεῖν, καὶ παρεσκεύασε πρότερον μὲν κατὰ τὴν συμβουλὴν τοῦ Ῥουβεὶμ εἰς τὸν λάκκον ἐμβληθῆναι, καὶ μετὰ ταῦτα πάλιν κατὰ τὴν συμβουλὴν τοῦ Ἰούδα τοῖς ἐμπόροις διαπραθῆναι, ἵνα τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐλθοῦσα πείσῃ τὸν δίκαιον, ὡς οὐ μάτην οὐδὲ εἰκῆ ἐκεῖνα αὐτῷ προεμηνύετο· οὕτω καὶ νῦν ἡ ἄνωθεν χεὶρ ἦν ἡ τὸν βάρβαρον ἐκεῖνον κατέχουσα, καὶ μὴ συγχωρήσασα εὐθέως ἐπὶ τὴν σφαγὴν ὁρμῆσαι τοῦ νεανίσκου. τί γὰρ ἦν τὸ κωλῦον μαθόντα ὡς εἰς αὐτὴν τὴν εὐνὴν ἀδικῆσαι αὐτὸν ἐπεχείρησε, μὴ τοῦτο ποιῆσαι; ἀλλ' ὁ εὐμήχανος Θεὸς τοσαύτην παρεσκεύασεν αὐτὸν ἐπιδείξασθαι τὴν πραότητα, ἵνα ἐμβληθεὶς τῷ δεσμωτηρίῳ, καὶ πάλιν ἐκ τῆς οἰκείας ἐπιδειξάμενος ἀρετήν, οὕτως ἐπὶ τὴν ἀρχὴν τῆς βασιλείας παραγένηται. 19 Ἐθυμώθη γάρ, φησιν, ὁ κύριος αὐτοῦ, 20 Καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, ὅπου οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται. Εἰ μὲν γὰρ μὴ ἐπίστευσε, οὐκ ἐχρῆν αὐτὸν ἐμβαλεῖν ἐν τῷ δεσμωτηρίῳ. Εἰ δὲ ἐπίστευσε πάλιν ἀληθὲς εἶναι τὸ παρὰ τῆς Αἰγυπτίας λεγόμενον, οὐδὲ οὕτω δεσμωτηρίου ἄξιος ἦν, ἀλλὰ ἀποτμηθῆναι, καὶ δίκην δοῦναι τὴν ἐσχάτην. ἀλλ' ὅταν ἡ ἄνωθεν δεξιὰ τὴν ἑαυτῆς πρόνοιαν ἐπιδείκνυται, πάντα εὔκολα καὶ ῥᾴδια γίνεται, καὶ οἱ ἄγριοι ἡμερώτεροι καθίστανται. τότε δὲ καὶ ἡ ἄνωθεν ῥοπὴ μετὰ δαψιλείας ἡμῖν παραγίνεται, ὅταν πολλὴν καὶ ἡμεῖς τὴν ἀρετὴν ἐπιδειξώμεθα. ἐπειδὴ γὰρ μεγάλως οὕτως ἠγωνίσατο, διὰ τοῦτο καὶ μεγάλων ἀπολαύει τῶν ἀμοιβῶν. καὶ μετὰ τὴν τοσαύτην ἀνδρείαν ἀπήγετο εἰς τὸ δεσμωτήριον, καὶ σιγῇ πάντα ὑπέμενεν. ἴστε γὰρ ὅπως οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν, ἐπειδὰν ὡς ὑπεύθυνοι καταδικάζονται, πόσῃ κέχρηνται πολλάκις τῇ παρρησίᾳ καὶ τῇ ἐλευθεροστομίᾳ, κατεξανιστάμενοι καὶ μεγαλοφρονοῦντες κατὰ τῶν τὴν δίκην αὐτοῖς ἀνευθύνοις οὖσιν ἐπαγόντων. ἀλλ' οὗτος οὐχ οὕτως· ἀλλὰ καὶ σιγᾷ, καὶ πάντα πρᾴως δέχεται, καὶ ἀνέμενε μετὰ πολλῆς τῆς ὑπομονῆς τὴν τοῦ Θεοῦ ῥοπήν. ὅρα γὰρ πῶς καὶ ἐν τῷ δεσμωτηρίῳ ὢν πάλιν τὴν ἀρχὴν ἅπασαν αὐτὸς ἐδέχετο παρὰ τοῦ δεσμοφύλακος. Εἰκότως.

21 Ἦν γάρ, φησι, κύριος μετὰ Ἰωσήφ, καὶ κατέχεεν αὐτοῦ ἔλεος. Τί ἐστι τὸ κατέχεεν αὐτοῦ ἔλεος; πρὸς οἶκτον ἐπέκαμψε τὸν ἀρχιδεσμοφύλακα, καὶ πολλὴν περὶ αὐτὸν τὴν εὔνοιαν ἐπιδείξασθαι παρεσκεύασεν. Ἔδωκε γὰρ αὐτῷ χάριν ἐναντίον αὐτοῦ. Ἀληθῶς οὐδὲν μακαριστότερον τοῦ τῆς ἄνωθεν εὐνοίας ἀπολαύοντος.

22 Ἔδωκε γάρ, φησιν, ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς τῷ Ἰωσήφ. Ὅρα πῶς ὑπεξίσταται ὁ δεσμοφύλαξ καὶ παραχωρεῖ, καὶ αὐτῷ τὴν αὐθεντίαν ἐπιτρέπει, καὶ πάντας τοὺς ἐν τῷ δεσμωτηρίῳ ὑπὸ τὴν ἐκείνου ἐξουσίαν εἶναι ἐκέλευσε.

23 Καὶ οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ γινώσκων οὐδέν. πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ τὸν κύριον μετ' αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ. Σκόπει πῶς συμπαρῆν αὐτῷ διηνεκῶς ἡ χάρις ἡ ἄνωθεν, καὶ πάντα ἅπερ ἔπραττε χάριτος ἦν πεπληρωμένα.

ΗΘΙΚΟΝ

Τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάσωμεν, ἵνα μεθ' ἑαυτῶν ἔχωμεν ἀεὶ τὸν κύριον, καὶ ἵνα τὰ παρ' ἡμῶν γινόμενα ὑπ' ἐκείνου κατευοδῶται. ὁ γὰρ ταύτης ἀξιωθεὶς τῆς ῥοπῆς, κἂν ἐν μέσοις τοῖς δεινοῖς ὢν τυγχάνῃ, καταγελάσεται πάντων, καὶ οὐδὲν αὐτὰ ἡγήσεται, τοῦ δεσπότου τῶν ὅλων, τοῦ πάντα ποιοῦντος καὶ μετασκευάζοντος, κατευοδοῦντος αὐτῷ ἅπαντα, καὶ τὰ δυσχερῆ ῥᾴδια ἀπεργαζομένου. πῶς δὲ δυνησόμεθα μεθ' ἑαυτῶν ἔχειν τὸν κύριον, καὶ ὑπ' αὐτοῦ κατευοδοῦσθαι ἐν ἅπασιν; ἐὰν νήφοντες ὦμεν καὶ ἐγρηγορότες, καὶ μιμησώμεθα τοῦ νέου τούτου τὴν σωφροσύνην, καὶ τὴν ἄλλην ἀρετὴν, καὶ τὸ φρόνημα τὸ γενναῖον, καὶ ἴδωμεν ὅτι οὕτω χρὴ μετὰ ἀκριβείας ἅπαντα διαπράττεσθαι, ὡς μηδέποτε ὑπὸ τοῦ δεσπότου καταγνωσθῆναι, ἀλλ', ὅτι οὐχ οἷόν τέ τινα λαθεῖν ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμὸν, εἰδέναι, ἀλλ' ἀνάγκη πάντως τὸν ἁμαρτάνοντα ταῖς τιμωρίαις ὑπεύθυνον γενέσθαι. ʺ καὶ μὴ περιττότερον ἡγώμεθα τὸν τῶν ἀνθρώπων φόβον τῆς τοῦ Θεοῦ ἀγανακτήσεως, ἀλλὰ μνημονεύωμεν διαπαντὸς τῶν ῥημάτων τοῦ Ἰωσὴφ λέγοντος, πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; ὅταν τις οὖν λογισμὸς ἡμᾶς διαπαράττῃ, τοῦτο ἐν τῇ διανοίᾳ στρέφωμεν τὸ ῥῆμα, καὶ παραχρῆμα ʺ φυγαδεύεται πᾶσα ἄτοπος ἐπιθυμία. Εἴτε οὖν σωμάτων ἐπιθυμίᾳ τις ἁλῷ, εἴτε χρημάτων ἔρωτι, εἴτε ἄλλῃ τινὶ ἀτόπῳ ʺ ἡδονῇ, εὐθέως τοῦτο λογιζέσθω, ὅτι ἐκεῖνος ἡμῖν ἐστιν ὁ δικάζων, ὃν οὐχ οἷόν τε λαθεῖν οὐδὲ τὰ ἐν τῇ διανοίᾳ βουλευόμενα, καὶ πάντως διαφευξόμεθα καὶ τὰς τοῦ διαβόλου μηχανὰς, καὶ ἀπολαύσομεν πολλῆς τῆς ἄνωθεν συμμαχίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

...δὲν οὖν ἡ-
...γώμεθα τ. τ.
...θ. φόβον
...ὸ τῆς τοῦ θ.
...γανακτ.
γρ. φυγαδεύ-
...ται
γρ. ἐπιθυμία,

Λογ. ξγ. ΚΑΙ ΟΥΚ ΗΝ ΓΙΝΩΣΚΩΝ ΟΥΔΕΝ Ο ΑΡΧΙΔΕΣΜΟΦΥΛΑΞ διὰ Ἰωσήφ.

ΤΑ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων βουλόμεθα σήμερον ἀποδοῦναι τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τῆς κατὰ τὸν Ἰωσὴφ πάλιν ἱστορίας ἅψασθαι. ἴστε γὰρ ὅτι χθὲς εἰς μῆκος * ἐκταθέντος τοῦ λόγου οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρις ἐκείνου τὸν λόγον ἐστήσαμεν, ἡνίκα διὰ τὴν τῆς Αἰγυπτίας συκοφαντίαν ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. διὸ σήμερον ἀναγκαῖον διδάξαι τὴν ὑμετέραν ἀγάπην τὰ κατὰ τὸ δεσμωτήριον αὐτῷ συμβεβηκότα. ἐπειδὴ γὰρ ἐνεβλήθη εἰς τὸ ὀχύρωμα, καὶ παρεδόθη τῷ ἀρχιδεσμοφύλακι, κἀκεῖ τοσαύτη γέγονεν εἰς αὐτὸν ἡ παρὰ τοῦ Θεοῦ ῥοπὴ, ὡς πᾶσαν τὴν ἀρχὴν τοῦ δεσμωτηρίου αὐτὸν ἐμπιστευθῆναι παρὰ τοῦ ἀρχιδεσμοφύλακος. Καὶ οὐκ ἦν γινώσκων, φησὶν, οὐδὲν ὁ ἀρχιδεσμοφύλαξ διὰ Ἰωσήφ. Εἶδες πῶς ἐν αὐταῖς ταῖς θλίψεσι γινόμενος οὐδεμίαν αἴσθησιν ἐλάμβανε τῶν λυπηρῶν, ἀλλ' ἡ εὐμήχανος τοῦ Θεοῦ σοφία πάντα μετέβαλλε τὰ λυπηρά. καὶ καθάπερ τὸν μαργαρίτην κἂν ἐν βορβόρῳ τις καταχώσειε, τὸ οἰκεῖον κάλλος ἐπιδείκνυται), οὕτω καὶ ἡ ἀρετὴ, ὅπου δ' ἂν αὐτὴν ἐμβάλῃς, τὴν οἰκείαν δύναμιν ἐπιδείκνυται, κἂν ἐν δουλείᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ἐν θλίψει, κἂν ἐν ἀνέσει. ἐπεὶ οὖν καὶ ἐν τῷ δεσμωτηρίῳ ἐμβληθεὶς εἷλε τὸν ἀρχιδεσμοφύλακα, καὶ πάντων τῶν αὐτόθι τὴν ἐξουσίαν ἐδέξατο παρ' αὐτοῦ, ἴδωμεν καὶ ἐνταῦθα ὅπως τῆς προσούσης αὐτῷ χάριτος ἐκκαλύπτει τὴν ἰσχύν.

1 Ἐγένετο γάρ, φησι, μετὰ τὰ ῥήματα ταῦτα. Ποῖα; ἅπερ διηγήσατο, μετὰ τὸ συκοφαντηθῆναι, μετὰ τὸ καταδικασθῆναι τὸ δεσμωτήριον οἰκεῖν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετὰ τὸ γνωρίσαι ἡμῖν, ὅτι κύριος ἦν μετ' αὐτοῦ, καὶ ὅτι ὁ ἀρχιδεσμοφύλαξ διὰ χειρὸς αὐτοῦ πάντα τὰ αὐτόθι ἐπέτρεψεν οἰκονομεῖσθαι. ἐγένετο οὖν μετὰ τὰ ῥήματα ταῦτα, μετὰ τὸ βληθῆναι αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, ἁμαρτόντα τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν καταδικασθῆναι ὑπὸ τοῦ βασιλέως τὸ δεσμωτήριον οἰκεῖν. καὶ δεξάμενος αὐτοὺς ὁ ἀρχιδεσμοφύλαξ συνέστησεν ʺ αὐτοὺς τῷ Ἰωσήφ. οὐδὲ γὰρ ὡς δεσμώτῃ

κεφ. μ.

γρ. αὐτοῖς τὸν
Ἰωσήφ.

λοιπὸν αὐτῷ ἐνεχείρητο, ἀλλ' ὡς κοινωνὸς τῆς φροντίδος, μᾶλλον δὲ καὶ ὡς ἱκανὸς ἐπικουφίζειν τὰς συμφορὰς τοῖς αὐτόθι καθειργμένοις. 4 Καὶ παρέστη αὐτοῖς, φησί.

Τί ἐστι δὲ παρέστη αὐτοῖς; ἀντὶ τοῦ, παρεμυθεῖτο, ἐνεύρου αὐτῶν τὸν λογισμόν, διήγειρεν αὐτῶν τὴν διάνοιαν, οὐ συνεχώρει καταποθῆναι ὑπὸ τῆς ἀθυμίας. Ἦσαν δὲ ἡμέρας πολλὰς ἐν τῇ φυλακῇ, 5 Καὶ εἶδον ἀμφότεροι ἐνύπνιον ἐν μιᾷ νυκτὶ ὅ, τε ἀρχιοινοχόος, καὶ ὁ ἀρχισιτοποιός. Ἀλλ' ὁ θαυμάσιος οὗτος ἔργον ποιούμενος τὴν τούτων παράκλησιν, ἰδὼν αὐτοὺς ὑπὸ τῆς ὄψεως τῶν ὀνειράτων τεταραγμένους καὶ συγκεχυμένους τὴν διάνοιαν, φησι, 7 Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον;

Ἐδείκνυ γὰρ ἡ τοῦ προσώπου κατάστασις τὴν ἔνδον ταραχήν. διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, Καρδίας εὐφραινομένης θάλλει πρόσωπον· ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει. ἐπεὶ οὖν εἶδεν αὐτοὺς ἐν κατηφείᾳ τυγχάνοντας διὰ τὴν τῶν ὀνειράτων ὄψιν, ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν βουλόμενος. ὅρα πῶς καὶ ἐν δεσμωτηρίῳ τυγχάνων τὴν οἰκείαν ἀρετὴν ἐπεδείκνυτο, καὶ τὰς ἀθυμίας ἑτέροις ἐπικουφίζειν ἐσπούδαζε. τί οὖν ἐκεῖνοι; 8 Ἐνύπνιον, εἶπον, εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό.

Παροι. 15. 13.

Ἠγνόουν τοῦ πρὸς αὐτοὺς διαλεγομένου τὴν σοφίαν. ὡς ἑνὶ τῶν πολλῶν αὐτῷ προσεῖχον. διὰ τοῦτο οὐδὲ τὸ ἐνύπνιον λέγουσιν, ἀλλ' ὅτι μόνον εἶδον. καί φασιν, οὐδείς ἐστιν ὁ συγκρίνων αὐτό. Ἀλλ' ὁ θαυμάσιος ἀνὴρ φησι πρὸς αὐτούς· Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; διηγήσασθε οὖν μοι. Μὴ γὰρ οἴκοθεν ἐπαγγέλλομαί τι ὑμῖν ἐρεῖν; Θεός ἐστιν ὁ ἀποκαλύπτων. διηγήσασθε οὖν μοι. ὅρα σύνεσιν καὶ ταπεινοφροσύνης ὑπερβολήν. οὐκ εἶπεν, ὅτι ἐγὼ ὑμῖν διακρινῶ, ἐγὼ ὑμῖν λέγω τῶν ὀνειράτων τὴν ″ἔκβασιν, ἀλλὰ τί; διηγήσασθε οὖν μοι. Θεὸς γάρ ἐστι μόνος ὁ τὰ τοιαῦτα ἀποκαλύπτων. 9 Καὶ διηγήσατο ὁ ἀρχιοινοχόος. 12 Καὶ ἀκούσας ὁ Ἰωσὴφ φησι, τοῦτο ἡ σύγκρισις αὐτοῦ. Οἱ τρεῖς πυθμένες, τρεῖς ἡμέραι εἰσίν.

γρ. σύγκρισιν,

13 Ἔτι τρεῖς ἡμέραι, καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχιοινοχοΐας σου, καὶ ἀποκαταστήσει σε, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν. 14 Ἀλλὰ ἀναμνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιήσεις ″ἐπ' ἐμὲ ἔλεος, καὶ μνήσθητι περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου, 15 Ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, καὶ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον.

γρ. εἰς

Ἐπειδὴ προεμήνυσεν αὐτῷ τὰ μέλλοντα αὐτῷ χρηστὰ συμβήσεσθαι, καὶ τὴν καταλλαγὴν τοῦ βασιλέως, φησί, μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν ἀπολάβῃς σου τὴν ὑπηρεσίαν. μνήμην ποίησαι τοῦ σοι ταῦτα προμηνύσαντος, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος. τοῦτο ἀκούων, ἀγαπητέ, μὴ μικροψυχίαν καταγνῷς τοῦ δικαίου, ἀλλὰ ταύτῃ μάλιστα ἐκπλάγηθι, ὅτι τοσοῦτον δυσχεραίνων τὴν αὐτόθι οἴκησιν γενναίως καὶ εὐχαρίστως ἔφερεν. εἰ γὰρ καὶ πολλάκις τὴν παρὰ τοῦ ἀρχιδεσμοφύλακος ἐξουσίαν εἰλήφει, ἀλλ' ὅμως ἐβαρύνετο τὸ κατακεκλεῖσθαι, καὶ μετὰ τῶν ″αὐχμώντων καὶ ῥυπώντων εἶναι. ὅρα γὰρ αὐτοῦ καὶ ἐκ τούτου τὴν φιλόσοφον γνώμην· ὅπως μετὰ ἀνδρείας ἔφερεν ἅπαντα, διὰ πάντων πολλὴν τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος. καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου. ἐννόει μοι ἐνταῦθα, πῶς οὐδὲν λέγει κατὰ τῆς μιαρᾶς ἐκείνης μοιχαλίδος, οὐδὲ αἰτιᾶται τὸν δεσπότην, οὐδὲ τὴν τῶν ἀδελφῶν περὶ αὐτὸν ἀπανθρωπίαν διηγεῖται, ἀλλὰ συγκαλύψας πάντα, φησί, μνήσθητί μου, καὶ ποίησον ἐξενεχθῆναί με ἐκ τοῦ ὀχυρώματος τούτου· ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν

γρ. αὐχμώντων ἢ ῥυπώντων

με εἰς τὸν λάκκον τοῦτον. μὴ ἁπλῶς τοῦτο παραδράμωμεν, ἀλλ' ἐννοήσωμεν τῆς ψυχῆς αὐτοῦ τὴν φιλοσοφίαν, καὶ ὅπως καιρὸν εὑρηκὼς τοιοῦτον, καὶ εἰδὼς ὅτι δυνήσεται ἅπαντα ὁ ἀρχιοινοχόος ἐν εὐημερίᾳ γενόμενος γνωρίσαι τῷ βασιλεῖ τὰ κατ' αὐτὸν, οὐ τὴν Αἰγυπτίαν διαβάλλει (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) οὐ τὸν δεσπότην ἄγει εἰς μέσον, οὐδὲ τοὺς ἀδελφούς. οὐ λέγει τὴν αἰτίαν, δι' ἣν τὸ δεσμωτήριον οἰκεῖν κατεδικάσθη, οὐδὲ σπουδάζει δεῖξαι τὴν παρανομίαν τὴν εἰς αὐτὸν γεγενημένην· ἀλλ' ἑνὸς μόνου γίνεται, οὐ τοῦ ἐκείνων δηλαδὴ κατηγορῆσαι, ἀλλὰ τοῦ ὑπὲρ ἑαυτοῦ μόνον εἰπεῖν. καὶ τὰ μὲν παρὰ τῶν ἀδελφῶν συνεσκίασεν εἰπὼν, ἐκλάπην ἐκ γῆς Ἑβραίων· τὰ δὲ παρὰ τῆς Αἰγυπτίας ἐκείνης τῆς ἀκολάστου οὐδὲ εἰς μέσον ἄγει, οὐδὲ τὴν παρὰ τοῦ δεσπότου ἄδικον καὶ αὐτοῦ ἀγανάκτησιν. ἀλλὰ τί φησιν; ὧδε οὐκ ἐποίησα οὐδὲν, ἀλλ' ἐνέβαλλόν με εἰς τὸν λάκκον τοῦτον. Ταῦτα ἀκούοντες παιδευώμεθα, ἐπειδὰν ἐπὶ τοιούτοις περιπέσωμεν, μὴ ἐκείνοις σπουδάζειν περιβάλλειν λοιδορίαις, καὶ τὴν γλῶτταν ἀκονᾷν κατὰ τῆς ἑτέρων κατηγορίας, ἀλλὰ μόνον πράως καὶ ἡμέρως ἑαυτοὺς ἀνευθύνους δεικνύναι, καὶ μιμεῖσθαι τὸν θαυμάσιον τοῦτον, ὅτι οὐδὲ ἐν συμφορᾷ ὢν κατεδέξατο κἂν μέχρι ῥημάτων ἐκπομπεῦσαι τῆς Αἰγυπτίας τὴν ἀσέλγειαν. ἴστε γὰρ ὅτι πολλοὶ πολλάκις καὶ ὑπεύθυνοι ὄντες ἐγκλήμασι, πολλῇ τῇ ἀναισχυντίᾳ κεχρημένοι τὰ ἑαυτῶν πλημμελήματα ἑτέροις περιάπτειν ἐπιχειροῦσιν. οὗτος δὲ τοῦ ἡλίου φανώτερος τυγχάνων, καὶ δυνάμενος ἅπαντα μετὰ ἀληθείας εἰπεῖν, κἀκείνης τὴν μανίαν κατάδηλον ποιῆσαι, καὶ ἑαυτὸν περιφανέστερον ἀποδεῖξαι, οὐδὲν ἐκείνων εἰς μέσον ἄγει. οὐδὲ γὰρ τὴν παρὰ τῶν ἀνθρώπων ἐθήρατο δόξαν, ἀλλ' ἤρκειτο τῇ ἄνωθεν εὐνοίᾳ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον μόνον ὀφθαλμὸν ἐβούλετο ἐπαινέτην ἔχειν τῶν γινομένων. διὸ καὶ σιγῶντος αὐτοῦ καὶ πάντα κρύπτειν ἐπιχειροῦντος, ὁ φιλάνθρωπος δεσπότης εἰς τοσαύτην αὐτὸν περιφάνειαν ἤγαγεν, ὅτε καλῶς εἶδε τὸν ἀθλητὴν ἀγωνισάμενον. τέως δὲ μάθωμεν καὶ ἐκ τῶν μετὰ ταῦτα γινομένων τὴν ὑπομονὴν τοῦ ἀνδρὸς, καὶ ὅπως πρὸς τὴν μέλλησιν οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀπεδυσπέτησεν· ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα φέρων, ηὐχαρίστει τῷ ταῦτα συγχωροῦντι γίνεσθαι δεσπότῃ.. Ταῦτα ἀκούσας ὁ ἀρχισιτοποιὸς, καὶ νομίσας καὶ τὸ αὐτοῦ ὄναρ χρηστόν τι αὐτῷ προμηνύειν, διηγεῖται αὐτῷ τὴν τοῦ ὀνείρου ὄψιν. ἀλλ' ἀκούσας ὁ Ἰωσὴφ, καὶ ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως καὶ τὴν [περὶ] τούτου σύγκρισιν δεξάμενος, προμηνύει αὐτῷ τὸν μέλλοντα αὐτὸν καταλήψεσθαι ὄλεθρον, καί φησιν,

19 Ἔτι τρεῖς ἡμέραι, καὶ ἀφαιρεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου ἀπὸ σοῦ. Διὰ τοῦτο προλαβὼν εἶπον, φησιν, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα ὑμῖν προμηνύω, ἀλλ' ἅπερ ἂν ὁ Θεὸς ἀποκαλύψῃ· ἵνα κἂν χρηστόν τι ὑποφαίνῃ τῶν ὀνειράτων ἡ ὄψις, κἂν τὸ ἐναντίον, μὴ ἐμοὶ λογίσησθε. οὐ γὰρ οἴκοθεν ταῦτα φθέγγομαι, ἀλλ' ἐκεῖνα ὑμῖν διασαφῶ, ἅπερ ἂν ἡ ἄνωθεν χάρις κατάδηλα ποιήσῃ. Ἀλλὰ τῆς προθεσμίας ἐπιστάσης εἰς ἔργον ἐξῄει τὰ παρὰ τοῦ Ἰωσὴφ εἰρημένα, καὶ καθὰ αὐτὸς συνέκρινεν, οὕτω γέγονεν ἀμφοτέροις. καὶ ὁ μὲν εἰς τὴν προτέραν ἐπανῆλθεν εὐημερίαν, ὁ δὲ τὴν τιμωρίαν ἐδέξατο. 23 Ἀλλ' ὁ ἀρχιοινοχόος, ὁ τοσαῦτα παρακληθεὶς,

Οὐκ ἐμνήσθη, φησὶ, τοῦ Ἰωσὴφ, ἀλλ' ἐπελάθετο αὐτοῦ. Ὅρα πάλιν τὸν δίκαιον, καθάπερ ἐν γυμνασίᾳ τινὶ καὶ παλαίστρᾳ ἀγωνιζόμενον, καὶ τῆς οἰκείας ἀρετῆς ἀπόδειξιν παρεχόμενον, καὶ οὐδεμίαν ταραχὴν ὑπομένοντα, οὐδὲ θορυβούμενον καὶ δυσανασχετοῦντα. Εἶπε γὰρ ἂν ἄλλος πρὸς ἑαυτὸν ἴσως, εἰ τῶν πολλῶν τις εἷς ἦν· τί τοῦτο; ὁ μὲν ἀρχιοινοχόος, καθὰ συνέκρινα αὐτῷ τοῦ ὀνείρου τὴν ὄψιν, ἀπέλαβε μετὰ τοσαύτης ταχύτητος τὴν προτέραν εὐημερίαν, καὶ οὐδὲ μνήμην ἐποιήσατο ἐμοῦ τοῦ προμηνύσαντος. ἀλλ' ἐκεῖνος μέν ἐστιν ἐν ἀνέσει τοσαύτῃ· ἐγὼ δὲ ὁ μηδὲν χαλεπὸν ἐργασάμενος ἐνταῦθα κατακέκλεισμαι μετὰ ἀνδροφόνων, μετὰ τυμβωρύχων, μετὰ λῃστῶν, μετὰ τῶν μυρία ἐργασαμένων κακά. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν. ᾔδει γάρ, ὅτι καὶ τὰ σκάμματα αὐτῷ μακρότερα ἐγίνετο, ἵνα νομίμως ἀγωνισάμενος λαμπρὸν ἀναδήσηται τὸν στέφανον. σκόπει γάρ μοι, μετὰ τὴν ἀποκατάστασιν ἐκείνου, φησί, δύο ἔτη παρῆλθον ἡμερῶν. ἔδει γὰρ ἀναμεῖναι τὸν καιρὸν τὸν ἐπιτήδειον, ὥστε μετὰ περιφανείας αὐτῷ γενέσθαι τὴν ἐκεῖθεν ἔξοδον. εἰ μὴ γὰρ πρὸ τῶν ὀνειράτων τοῦ Φαραὼ ὑπομνησθεὶς ὁ ἀρχιοινοχόος διὰ τῆς οἰκείας προστασίας αὐτὸν ἠλευθέρωσε τοῦ δεσμωτηρίου, ἴσως οὐδὲ κατάδηλος ἔμελλεν αὐτοῦ γίνεσθαι τοῖς πολλοῖς ἡ ἀρετή. νυνὶ δὲ εἰδὼς ὁ εὐμήχανος καὶ σοφὸς δεσπότης, καθάπερ τεχνίτης ἄριστος, ὅσον προσήκει χρόνον τὸ χρυσίον ὁμιλῆσαι τῷ πυρί, καὶ πότε αὐτὸ χρὴ ἐκεῖθεν ἀνελέσθαι, συγχωρεῖ τὸν χρόνον τῶν δύο ἐτῶν λήθην ἐγγενέσθαι τῷ ἀρχιοινοχόῳ, ἵνα καὶ ὁ καιρὸς τῶν ὀνειράτων τοῦ Φαραὼ φθάσῃ, καὶ τῆς ἀνάγκης αὐτῆς συνελαυνούσης πάσῃ τῇ βασιλείᾳ τοῦ Φαραὼ γνώριμος γένηται ὁ δίκαιος.

κεφ. μα.

1 Μετὰ γὰρ τὰ δύο ἔτη εἶδε, φησί, τὰ ὀνείρατα ὁ Φαραώ. 8 Καὶ ἐγένετο πρωΐ, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ. καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγητὰς τῆς Αἰγύπτου, καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραὼ τὸ ἐνύπνιον, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραώ. Ὅρα τὴν πολλὴν τοῦ Θεοῦ οἰκονομίαν. πρότερον συγχωρεῖ πάντων τῶν αὐτόθι νομιζομένων σοφῶν πεῖραν αὐτὸν λαβεῖν, ἵνα ὅταν δειχθῇ ἡ ἐκείνων ἄγνοια, τότε οὗτος ὁ δεσμώτης, ὁ αἰχμάλωτος, ὁ δοῦλος, ὁ Ἑβραῖος, εἰς μέσον ἀχθείς, καὶ τὰ τοὺς πολλοὺς λανθάνοντα γνώριμα καταστήσας, περίδηλον ἅπασι κατασκευάσῃ γενέσθαι τὴν ἄνωθεν αὐτῷ ἐπακολουθοῦσαν χάριν. ὅτε οὖν ἅπαντες οἱ σοφοὶ παραγινόμενοι οὐδὲν εἰπεῖν ἠδυνήθησαν, οὐδὲ διᾶραι τὸ στόμα ἴσχυσαν, τότε ὁ ἀρχιοινοχόος εἰς μνήμην ἐλθὼν ὑπομιμνήσκει τὸν Φαραὼ τῶν εἰς ἑαυτὸν συμβεβηκότων, καί φησι, 9 Τὴν ἁμαρτίαν μου ἀναμιμνήσκω σήμερον. Καὶ διηγεῖται αὐτίκα, ὅπως ἡνίκα εἰς τὸ δεσμωτήριον ἐνεβλήθη αὐτός, καὶ ὁ ἀρχισιτοποιός, καὶ ἐθεάσαντο τὰ ὀνείρατα, καὶ τὴν σύγκρισιν ἐδέξαντο παρὰ τοῦ Ἰωσήφ· ὅτι κατὰ τὴν ἐκείνου προαγόρευσιν ἅπαντα αὐτοῖς εἰς ἔργον ἐξῆλθε.

14 Ταῦτα ἀκούσας ὁ βασιλεὺς μετεπέμψατο τὸν Ἰωσήφ, καὶ ἐξήγαγον αὐτὸν ἐκ τοῦ ὀχυρώματος, καὶ ἐξύρησαν αὐτόν, καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ, καὶ εἰσῆλθε πρὸς Φαραώ. Ὅρα εὐθέως καὶ ἐκ προοιμίων λοιπὸν πόση ἡ τιμή, ἐπειδὴ ἐκαθαρίσθη καλῶς διὰ τῆς ὑπομονῆς, καὶ καθάπερ χρυσίον φαιδρυνόμενον ἐξῄει ἐκ τοῦ δεσμωτηρίου, καὶ ἤγετο πρὸς Φαραώ. Εἶδες πόσον ἐστὶ τὸ ὑπὸ τῆς ἄνωθεν φρουρεῖσθαι ῥοπῆς. ὅρα πόσα ᾠκονομήθη, ἵνα τὰ κατὰ τὸν Ἰωσὴφ εἰς ἔργον ἐξέλθῃ. ἐπειδὴ γὰρ τὸν μέγιστον ἐκεῖνον ἆθλον ἠγωνίσατο τῆς μιαρᾶς ἐκείνης Αἰγυπτίας τὰ δίκτυα διαφυγών, καὶ εἰς τὸ δεσμωτήριον ἐνεβλήθη, συνεχωρήθη τὸν ἀρχιοινοχόον καὶ τὸν ἀρχισιτοποιὸν τοῦ Φαραὼ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκεῖ ἐμβληθῆναι, καὶ διὰ τῆς συγκρίσεως τῶν ὀνειράτων μαθεῖν τοῦ ἀνδρὸς τὴν σοφίαν, ἵνα νῦν ἐν καιρῷ μνήμην αὐτοῦ ποιησάμενος εἰς μέσον αὐτὸν ἀγάγῃ. 15 Εἶπε δέ, φησι, Φαραὼ πρὸς τὸν Ἰωσήφ· ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρίνειν αὐτά. Ὅρα πῶς αἰσχυνόμενος ὁ Φαραὼ οὐ λέγει φανερῶς, ὅτι οὐδεὶς τῶν παρ' ἐμοὶ σοφῶν ἴσχυσε διακρῖναι τὰ ὀνείρατα. ἀλλὰ τί; ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων

οὐκ ἔστιν αὐτό. ἀκήκοα δὲ περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρίνειν αὐτά. σκόπει μοι καὶ ἐνταῦθα τοῦ Ἰωσὴφ τὴν σύνεσιν καὶ τὴν πολλὴν εὐλάβειαν, ὅπως ἀποκρίνεται τῷ Φαραώ. μὴ ὑποπτεύσῃς, φησίν, ἐμέ τι οἴκοθεν φθέγγεσθαι, ἢ ἀπὸ ἀνθρωπίνης σοφίας ταῦτα διακρίνειν. οὐδὲ γάρ οἷόν τε ἄνευ τῆς ἄνωθεν ἀποκαλύψεως τὴν γνῶσιν τούτων καταλαβεῖν. ἴσθι τοίνυν ὅτι ἄνευ τοῦ Θεοῦ οὐχ οἷόν τέ με ἀποκριθῆναί σοι.

16 Ἄνευ γάρ, φησι, τοῦ Θεοῦ οὐκ ἀποκριθήσεται τὸ σωτήριον τοῦ Φαραώ.

Μαθὼν τοίνυν, ὡς ὁ τῶν ἁπάντων δεσπότης ἐστὶν ὁ ταῦτα ἀποκαλύπτων, μὴ παρὰ ἀνθρώπων ζήτει ταῦτα, ἃ μόνου, φησί, τοῦ Θεοῦ ἐστιν εἰς φανερὸν ἄγειν. ὅρα πῶς διὰ τῆς ἀποκρίσεως παιδεύει τὸν Φαραὼ εἰδέναι καὶ τῶν παρ' αὐτοῦ σοφῶν τὴν ἀσθένειαν, καὶ τοῦ δεσπότου τὴν δύναμιν. ἐπεὶ οὖν ἔγνως παρ' ἐμοῦ, ὅτι οὐκ ἀπὸ σοφίας ἀνθρωπίνης ταῦτα φθέγγομαι, οὐδὲ ἐξ οἰκείων λογισμῶν, λέγε τὰ παρὰ τοῦ Θεοῦ σοι μηνυθέντα. ταῦτα ἀκούσας ὁ Φαραὼ διηγεῖται τὰ ἐνύπνια, καὶ τὸ πρῶτον, καὶ τὸ δεύτερον. καί φησιν,

24 Εἶπα τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι. Οὐκ ἤκουσας, φησι, καὶ παρ' ἐμοῦ, ὅτι οὐκ ἔστι τὸ ταῦτα γνωρίζειν τῆς ἀνθρωπίνης σοφίας; μὴ τοίνυν ἐκείνοις καταμέμφου· οὐδὲ γὰρ ἂν ἴσχυσάν ποτε ταῦτα καταλαβεῖν, ἃ τῆς ἄνωθεν δεῖται ἀποκαλύψεως. 25 Καὶ εἶπε, φησιν, Ἰωσήφ· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι.

γ. ἵνα δὲ π-
στεύσῃς ὅ. ἀ. ἔ.
τὸ π. τ. θ. σ.
μηνυθέν, δεύ-
[illegible]
τὸ αὐτὸ
[illegible]
θαι, καὶ ὅτι τα-
χυνεῖ ὁ Θεός

32 Περὶ δὲ τοῦ δεύτερόν σε ταῦτα θεάσασθαι, ἵνα πιστεύσῃς ὅτι ἀληθὲς ἔσται τὸ παρὰ τοῦ Θεοῦ σοι μηνυθέν, καὶ ὅτι ταχυνεῖ ὁ Θεὸς τοῦ ποιῆσαι αὐτό.

Ἡ δευτέρωσις, φησι, βεβαίωσίς ἐστι τῶν φανέντων, καὶ πληροφορία, ὅτι πάντως ταῦτα γενήσεται. καὶ ἐπειδὴ διέκρινε τὸν ἀριθμὸν τῶν ἑπτὰ βοῶν καὶ τῶν ἑπτὰ σταχύων, εἰπὼν εὐθηνίαν μεγάλην ἔσεσθαι, καὶ ταύτην λιμὸν διαδέξεσθαι χαλεπόν, λοιπὸν καὶ συμβουλὴν εἰσάγει ἀρίστην, καί φησι· κατάστησον ἄνδρα ἐπὶ τῆς Αἰγύπτου, ὃς δυνήσεται τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας τὰ γεννήματα συναγαγὼν οὕτως οἰκονομῆσαι, ὡς δυνηθῆναι ἐν τῷ καιρῷ τοῦ λιμοῦ παραμυθίαν εὑρέσθαι, καὶ μὴ παντελῆ γενέσθαι τὸν ἀφανισμόν.

37 Ἤρεσε ταῦτα τῷ Φαραώ, καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ.

Καὶ λοιπὸν ὑπηρετεῖ ὁ Φαραὼ τῇ ἐκβάσει τῶν ὀνειράτων τοῦ Ἰωσήφ, ὧν ἐθεάσατο ἡνίκα παρὰ τῷ πατρὶ διῆγε. καὶ αὐτὸς μὲν τὰ ὀνείρατα τοῦ Φαραὼ διακρίνει· ὁ δὲ Φαραὼ εἰς τέλος ἦγε τῶν ὀνειράτων τὴν ἔκβασιν ἀγνοῶν. ἀκούσας γὰρ ταῦτά φησιν,

38 Εἶπε τοῖς παισὶν αὐτοῦ, μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον, ὃς ἔχει πνεῦμα Θεοῦ ἐν ἑαυτῷ;

Εἶδες πῶς ἔγνω καὶ αὐτὸς ὅτι ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως αὐτῷ ταῦτα κατάδηλα γέγονε. τίνα γάρ, φησιν, εὑρήσομεν, ὃς τοιαύτης ἠξίωται χάριτος, ὡς πνεῦμα Θεοῦ ἔχειν ἐν ἑαυτῷ; 39 Καὶ εἶπε τῷ Ἰωσήφ· ἐπειδὴ ἔδειξέ σοι ὁ Θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου. Σκόπει ἐνταῦθα πῶς, ὅταν βούληται ὁ εὐμήχανος Θεὸς εἰς ἔργον ἀγαγεῖν τὰ αὐτῷ δόξαντα, οὐδὲν τῶν ἐν τῷ μέσῳ συμβαινόντων κώλυμα γενέσθαι δύναται. ἰδοὺ γάρ· καὶ σφαγὴ σχεδόν, ὡς εἰπεῖν, ὑπὸ τῶν ἀδελφῶν γέγονε, καὶ πρᾶσις, καὶ κατηγορία περὶ αὐτὸν ἔσχατον ἐπάγουσα κίνδυνον, καὶ δεσμωτήριον ἐπὶ τοσοῦτον χρόνον, καὶ μετὰ ταῦτα ἅπαντα εἰς αὐτὸν ἀνηνέχθη, σχεδὸν εἰπεῖν, τὸν θρόνον τὸν βασιλικόν. Ἐπειδὴ ἔδειξέ σοι ὁ Θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου καὶ συνετώτερος. 40 Σὺ οὖν ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ στόματί σου ἐπακούσεται πᾶς ὁ λαός, πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ.

Ὅρα πῶς ἀθρόον ὁ δεσμώτης βασιλεὺς καθίσταται πάσης τῆς Αἰγύπτου, καὶ ὁ ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον εἰσαχθείς, ὑπὸ τοῦ βασιλέως εἰς αὐτὴν ἀνάγεται τὴν ἀνωτάτω "τιμήν· καὶ ὁ γενόμενος αὐτοῦ δεσπότης ἐξαίφνης ἑώρα, ὃν ὡς μοιχὸν εἰς τὸ δεσμωτήριον ἐμβεβλήκει, τὴν ἀρχὴν πάσης Αἰγύπτου δεξάμενον. εἶδες πόσον ἐστὶ τὸ φέρειν εὐχαρίστως τοὺς πειρασμούς. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· Ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ὅρα οὖν. τὰς θλίψεις μεθ' ὑπομονῆς ἤνεγκεν· ἡ ὑπομονὴ δοκιμὸν αὐτὸν ἀπειργάσατο· δοκιμὸς γενόμενος ἐλπίζων διετέλει· ἡ ἐλπὶς οὐ κατῄσχυνεν.

γρ. ἀρχήν.

Ῥωμ. ε. δ.

41 Εἶπε δὲ πρὸς αὐτόν· ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πᾶσαν γῆν Αἰγύπτου.

42 Καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ, περιέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ἰωσήφ, καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσίνην, καὶ περιέθηκε κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ, 43 Καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ "δεύτερον αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κήρυξ, καὶ κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς Αἰγύπτου. Ἐπειδὴ γὰρ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ, οὗτος αὐτῷ ταῦτα πάντα προηυτρέπισε καὶ εἰς τὴν περιφάνειαν αὐτὴν ταύτην ἀνήγαγεν. 44 Εἶπε δὲ Φαραώ, ἄνευ σου οὐδεὶς "ἐξαρῇ τὴν χεῖρα αὐτοῦ ἐπὶ "πάσῃ γῇ Αἰγύπτου.

γρ. δεύτερον αὐτοῦ,

45 Καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσήφ, "Ψομθονφανή, Διὰ τῆς προσηγορίας τοῦ ὀνόματος διηνεκῆ τὴν μνήμην βουλόμενος ἐναποθέσθαι τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας. τοῦτο γὰρ ἑρμηνεύει, τῶν κρυπτῶν γνώστης. ἐπειδὴ γὰρ τὰ πᾶσιν ἄγνωστα εἰς φανερὸν ἤγαγε, "σημαίνων τοῦτο αὐτὸ ὁ Φαραὼ τὴν προσηγορίαν αὐτῷ ἐπιτίθησι, καὶ ἐπιδαψιλευόμενος τῇ τιμῇ Δίδωσιν αὐτῷ καὶ τὴν θυγατέρα Πετεφρῆ εἰς γυναῖκα. Εἶτα ἐπειδὴ ὁμώνυμος ἦν οὗτος τῷ γενομένῳ αὐτοῦ δεσπότῃ, φησὶ τοῦ ἱερέως Ἡλιουπόλεως. καὶ ἵνα μάθωμεν λοιπὸν οἵαν ἄγων τὴν ἡλικίαν ὁ θαυμάσιος οὗτος τοσαύτης ἠξιοῦτο τῆς ἀμοιβῆς, καὶ τοσούτους ἐπεδείξατο τοὺς ἄθλους,

γρ. ἐξαρεῖ
γρ. πάσης γῆς
γρ. Ψομθομφανήχ,

γρ. διὰ τὴν [illegible]

46 Φησὶν, Ἰωσὴφ δὲ ἦν τριάκοντα ἐτῶν, ὅτε ἔστη ἐναντίον Φαραώ. Μὴ ἁπλῶς νομίσωμεν τῶν ἐτῶν τὸν χρόνον ἐγκεῖσθαι, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐκ ἔστιν οὐδενὶ ἀμελοῦντι τῆς ἀρετῆς ἀπολογία, οὐδὲ ἔξεστί τινι προβαλέσθαι νεότητα, ἔνθα ἀρετὴν ἐπιδείξασθαι δεῖ. ἰδοὺ γὰρ οὗτος οὐ μόνον νέος ἦν, ἀλλὰ καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ἔστι γὰρ καὶ νέον ὄντα μὴ κεκτῆσθαι τὴν τοῦ σώματος εὐμορφίαν. οὗτος δὲ μετὰ τῆς νεότητος καὶ καλὸς ἦν τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει, καὶ σχεδὸν ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τυγχάνων, δοῦλος καὶ αἰχμάλωτος ἐγένετο. δεκαεπτὰ ἐτῶν γὰρ ἦν, φησιν, ἡνίκα κατῆλθεν εἰς Αἴγυπτον. Εἶτα ἐν αὐτῇ τῇ καμίνῳ τῆς νεότητος γεγενημένῳ ἐπιτίθεται ἡ ἀκόλαστος Αἰγυπτία, ἡ δέσποινα αὐτοῦ γεγενημένη· καὶ οὐδὲ οὕτω περιεγένετο τῆς ἀνδρείας τοῦ δικαίου. εἶτα τὸ δεσμωτήριον, καὶ ἡ ἐπὶ τοσοῦτον χρόνον ἐκεῖ ταλαιπωρία. καὶ ἔμενε καθάπερ ἀδάμας, οὐ μόνον οὐ γενόμενος ἀσθενέστερος, ἀλλὰ καὶ πλείονα ἰσχὺν προσλαμβάνων. εἶχε γὰρ νευροῦσαν αὐτὸν τὴν ἄνωθεν χάριν. καὶ ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, διὰ τοῦτο ἀπὸ τοῦ δεσμωτηρίου ἐπὶ τὴν ἀρχὴν πάσης ἐκαλεῖτο τῆς Αἰγύπτου.

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες μηδέποτε ἐν ταῖς θλίψεσιν ἀπαγορεύωμεν, μηδὲ τοῖς οἰκείοις λογισμοῖς κατακολουθοῦντες δυσανασχετῶμεν· ἀλλὰ πολλὴν τὴν ὑπομονὴν ἐπιδεικνύμενοι τῇ ἐλπίδι τρεφώμεθα, εἰδότες τοῦ δεσπότου ἡμῶν τὸ εὐμήχανον, καὶ ὅτι οὐ περιορῶν ἡμᾶς καταλιμπάνει πεῖραν λαβεῖν τῶν λυπηρῶν, ἀλλὰ βουλόμενος ἡμᾶς ἀγωνισαμένους λαμπρὸν ἀναδήσασθαι τὸν στέφανον. οὕτω πάντες οἱ ἅγιοι εὐδοκίμησαν. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἔλεγον, Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε.

Πραξ. ιδ. κβ.
Ιωαν. ιϛ. λγ.

μὴ τοίνυν ἀσχάλλωμεν πρὸς τὰς θλίψεις, ἀλλ' ἀκούωμεν Παύλου λέγοντος, Ὅτι οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. καὶ μὴ ξενιζώμεθα, μηδὲ δυσχεραίνωμεν, ἀλλὰ μετὰ πάσης ἀνδρείας καὶ ὑπομονῆς τὰ ἐπαγόμενα φέρωμεν, μὴ πρὸς τὰς θλίψεις ἀφορῶντες, ἀλλὰ πρὸς τὸ κέρδος τὸ ἡμῖν ἐντεῦθεν συλλεγόμενον. ἐμπορεία γάρ ἐστιν αὕτη πνευματική. καὶ καθάπερ οἱ τὰ χρήματα συλλέγειν βουλόμενοι, καὶ τὴν ἐμπορείαν ταύτην τὴν βιωτικὴν μετιόντες, οὐκ ἂν ἑτέρως δυνηθεῖεν αὐξῆσαι τὴν οἰκείαν περιουσίαν, εἰ μὴ πολλοὺς κινδύνους ὑπομένοιεν κατὰ γῆν καὶ κατὰ θάλασσαν (καὶ γὰρ λῃστῶν ἐφόδους, καὶ πειρατῶν ἐπιβουλὰς ἀνάγκη ὑποστῆναι) καὶ ὅμως πάντα μετὰ πολλῆς τῆς προθυμίας καταδέχεσθαι ἑτοιμάζονται, τῇ προσδοκίᾳ τοῦ κέρδους οὐδεμίαν τῶν λυπηρῶν αἴσθησιν λαμβάνοντες· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς ἐννοοῦντας τὸν ἐντεῦθεν ἡμῖν συλλεγόμενον πλοῦτον καὶ τὴν πνευματικὴν ἐμπορείαν, προσήκει χαίρειν καὶ ἀγάλλεσθαι, καὶ μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα, καθάπερ ὁ Παῦλος παραινεῖ λέγων, Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα. τοῦτο γὰρ πίστις, ὅταν μὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀρκώμεθα μόνον, ἀλλὰ τοῖς τῆς διανοίας ὄμμασι φανταζώμεθα τὰ μὴ ὁρώμενα. ἐκεῖνα γὰρ μάλιστα τῶν διὰ τῶν σωματικῶν ὀφθαλμῶν ὁρωμένων ἀξιοπιστότερα ἡμᾶς ἡγεῖσθαι δεῖ. οὕτως ὁ πατριάρχης εὐδοκίμησε, πιστεύσας τῇ τοῦ Θεοῦ ὑποσχέσει, καὶ ἀνώτερος τῆς φύσεως γενόμενος καὶ τῶν ἀνθρωπίνων λογισμῶν. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἐννόησον ὅτι δικαιοσύνη ἐστὶ τὸ πιστεύειν τοῖς παρὰ τοῦ Θεοῦ λεγομένοις. ὅταν γὰρ ἐκεῖνος ὑπόσχηταί τι, μή μοι κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἀπαίτει τὰ πράγματα, ἀλλ' ἀνώτερος τῶν τοιούτων γενόμενος λογισμῶν, θάρσει τῇ τοῦ ὑποσχομένου δυνάμει. οὕτως ἕκαστος τῶν δικαίων εὐδοκίμησεν, οὕτω καὶ ὁ θαυμάσιος οὗτος Ἰωσήφ, τοσούτων μετὰ τὰ ὀνείρατα ἐν μέσῳ κωλυμάτων γινομένων, οὐκ ἐταράχθη τὸν λογισμόν, οὐκ ἐθορυβήθη, ἀλλ' ἐρρωμένῳ τῷ φρονήματι πάντα γενναίως ἔφερεν, εἰδὼς ὡς οὐχ οἷόν τε διαπεσεῖν τὰ τῷ Θεῷ δόξαντα. διὸ καὶ μετὰ δουλείαν καὶ μετὰ δεσμωτήριον καὶ συκοφαντίαν τοσαύτην, τὴν ἀρχὴν ἐδέχετο πάσης τῆς Αἰγύπτου. Ταῦτα δὴ πάντα λογιζόμενοι ἀντέχωμεν γενναίως πρὸς τὰ ἐπαγόμενα, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ φιλανθρώπῳ Θεῷ, καὶ τὴν παρ' αὐτοῦ ἀναμένοντες ἀντίληψιν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β. Τιμ. γ. ιβ.

β. Κορ. δ. ιη.

Ρωμ. δ. γ.

Λογ. ξδ'. ΕΞΗΛΘΕ ΔΕ ΙΩΣΗΦ ΑΠΟ ΠΡΟΣΩΠΟΥ

Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου. καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα, καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης.

Βούλεσθε καὶ σήμερον τῇ κατὰ τὸν Ἰωσὴφ ἱστορίᾳ ἐπέλθωμεν, καὶ ἴδωμεν πῶς τὴν ἀρχὴν τῆς Αἰγύπτου πάσης δεξάμενος ὁ θαυμάσιος οὗτος, διὰ τῆς προσούσης αὐτῷ συνέσεως ἅπαντας παρεμυθήσατο. 47 Ἐξῆλθε γάρ, φησιν, ἀπὸ προσώπου Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου. καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα· 49 Καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης. Παραλαβὼν παρὰ τοῦ βασιλέως τὴν ἐξουσίαν

ουσίαν ἅπασαν, συνήγαγέ, φησι, τὰ γεννήματα, καὶ ἐν ταῖς πόλεσιν "ἀπετίθετο, προπαρασκευάζων ἱκανὴν παραμυθίαν τῇ μελλούσῃ γίνεσθαι ἐνδείᾳ. Εἶδες οἵας ἀμοιβὰς τῆς καρτερίας καὶ τῆς ὑπομονῆς καὶ τῆς ἄλλης ἀρετῆς καὶ ἐνταῦθα ἐδέξατο ὁ δίκαιος, ἀπὸ δεσμωτηρίου εἰς τὰ βασίλεια ἀνελθών. 50 Ἐγένοντο δὲ αὐτῷ, φησι, δύο υἱοὶ, πρὶν ἢ παραγενέσθαι τὰ ἔτη τῆς ἐνδείας, 51 Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ πρωτοτόκου Μανασσῆ, ὅτι ἐπιλαθέσθαι μέ, φησιν, ἐποίησεν ὁ Θεὸς πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου. Σκόπει τοῦ ἀνδρὸς τὸ φιλόθεον, ὅπως τῇ προσηγορίᾳ τοῦ παιδὸς ἐναποτίθεται τὴν "μνήμην ἁπάντων, ὥστε διηνεκῆ αὐτὸν ποιῆσαι τὴν εὐεργεσίαν· ἵνα καὶ ὁ ἐξ αὐτοῦ γεννηθεὶς διὰ τῆς οἰκείας προσηγορίας εἰδέναι ἔχῃ τοὺς "πειρασμοὺς καὶ τὴν ὑπομονὴν, ἣν ἐπιδειξάμενος ὁ δίκαιος εἰς τοσαύτην ἀνῆλθε περιφάνειαν. ὅτι ἐπιλαθέσθαι με ἐποίησε πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου. τί ἐστι, πάντων τῶν πόνων μου; ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τήν τε προτέραν δουλείαν καὶ τὴν δευτέραν, καὶ τὴν ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίαν· καὶ πάντων τῶν τοῦ πατρός μου· τὸν χωρισμόν, ὃν ὑπέμεινεν ἔξω τῶν ἀγκαλῶν γενόμενος τῶν πατρικῶν, ὅτι ἐν ἀώρῳ ἡλικίᾳ μετὰ τοσαύτης ἀνατραφεὶς ἐπιμελείας δουλείαν ἀντὶ τῆς ἐλευθερίας ἤλλαξαν.

52 Καὶ τὸ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐφραΐμ, ὅτι ηὔξησέ με, φησιν, ὁ Θεὸς ἐν γῇ ταπεινώσεώς μου. Ὅρα καὶ τὴν τούτου προσηγορίαν εὐχαριστίας πεπληρωμένην. οὐ μόνον γάρ, φησι, τῶν λυπηρῶν λήθην ἐποιησάμην, ἀλλὰ καὶ ηὐξήθην ἐν τῇ γῇ, ἐν ᾗ τοσαύτην ὑπέμεινα τὴν "ταπείνωσιν, ὡς ἐν τοῖς ἐσχάτοις γενέσθαι, καὶ τὸν περὶ τοῦ ζῆν ἐπικρεμασθῆναί μοι κίνδυνον. ἀλλὰ λοιπὸν ἄξιον ἀκοῦσαι τῶν ἑπομένων. μετὰ γὰρ τὴν εὐθηνίαν τῶν ἑπτὰ ἐτῶν ἔφθασε καὶ τὰ ἔτη τοῦ λιμοῦ κατὰ τὴν πρόρρησιν τοῦ Ἰωσήφ. ἡ γὰρ τῶν πραγμάτων ἔκβασις λοιπὸν "ἅπαντας ἐπαίδευσε τὴν προσοῦσαν τῷ ἀνδρὶ σοφίαν, καὶ πάντας ὑποκύπτειν αὐτῷ παρεσκεύαζε. καὶ λιμοῦ σφοδροῦ γενομένου τέως ἐν προοιμίοις οὐδεμίαν αὐτοὺς αἴσθησιν λαβεῖν τῆς ἐνδείας συνεχώρησεν. ἐν πάσῃ γάρ, φησι, τῇ Αἰγύπτῳ ἦσαν ἄρτοι. ἀλλὰ τῆς στενοχωρίας ἐπιταθείσης ἔκραξεν ὁ λαὸς πρὸς Φαραὼ οὐ φέροντες τὴν ἔνδειαν τὴν πολλήν. ὑπὸ τοῦ λιμοῦ κατηναγκαζόμενοι ἐπὶ τὸν βασιλέα ἔτρεχον. ἀλλ᾽ ὅρα τούτου τὴν εὐγνωμοσύνην.

56 Εἶπε δὲ Φαραὼ τοῖς Αἰγυπτίοις, "πορεύεσθε πρὸς τὸν Ἰωσήφ· καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιήσατε· Μονονουχὶ λέγων, τί πρὸς ἐμὲ κεχήνατε; οὐχ ὁρᾶτε ὅτι ἐγὼ μὲν ἁπλῶς τὸ σχῆμα περίκειμαι, ἐκεῖνος δέ ἐστιν ὁ τῆς σωτηρίας ἅπασιν ἡμῖν αἴτιος γενόμενος; μὴ τοίνυν ἐκεῖνον καταλιμπάνοντες ἐπ᾽ ἐμὲ τρέχετε, ἀλλ᾽ ἄπιτε πρὸς ἐκεῖνον· καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιεῖτε. 57 Ἀνέῳξε δὲ Ἰωσὴφ τοὺς σιτοβολῶνας, καὶ ἐπώλει τοῖς Αἰγυπτίοις. Καὶ ἐπὶ πάντας ἐπενέμετο τοῦ λιμοῦ ἡ ἀνάγκη,

58 Πᾶσαί, φησιν, αἱ χῶραι ἦλθον εἰς Αἴγυπτον ἀγοράζειν σῖτον. ἐπεκράτει γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ. Ὅρα μοι κατὰ μικρὸν "ἀρχὴν λαμβάνουσαν τῶν ὀνειράτων τοῦ Ἰωσὴφ τὴν ἔκβασιν. ἐπικρατήσαντος γὰρ τοῦ λιμοῦ, καὶ καταλαβόντος καὶ τὴν Χαναάν, ἔνθα κατῴκει ὁ Ἰακὼβ ὁ τούτου πατήρ,

κεφ. μβ.

1 Μαθὼν ὅτι ἐστὶ πρᾶσις σίτου ἐν Αἰγύπτῳ, εἶπε, φησι, τοῖς παισὶν αὐτοῦ· ἵνα τί ῥαθυμεῖτε; 2 Ἰδοὺ ἀκήκοα, ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ. κατάβητε πρίασθαι ἡμῖν μικρὰ βρώματα, ἵνα ζῶμεν, καὶ μὴ ἀποθάνωμεν. Τί, φησιν, ἐνταῦθα κάθησθε; ἄπιτε εἰς τὴν Αἴγυπτον, καὶ τὰ πρὸς διατροφὴν ἡμῖν κομίζετε. ταῦτα δὲ ἅπαντα ἐγίνετο, ἵνα τῇ ὄψει παραβάλλωσιν ἅπαντα οἱ τοῦ Ἰωσὴφ ἀδελφοί, καὶ τὴν σύγκρισιν τοῦ ἐνυπνίου, ἣν αὐτοῖς συνέκρινεν, ἡνίκα ἤκουσαν τοῦ Ἰωσὴφ τὸ ὅραμα διηγουμένου, εἰς

ἔργον ἀγάγωσι. 3 Κατέβησαν γάρ, φησιν, οἱ δέκα ἀδελφοί, 4 Καὶ
τὸν Βενιαμὶν οὐκ ἔλαβον, ὃς ἦν ἀδελφὸς τοῦ Ιωσὴφ ὁμομήτριος. Εἶπε γὰρ ὁ πατὴρ
αὐτοῦ, μήποτε συμβῇ αὐτῷ μαλακία. Διὰ δὲ ἄωρον τῆς ἡλικίας ἐφείσατο τοῦ
παιδός. 7 Ἐλθόντες δέ, Καθάπερ ἄρχοντα τῆς Αἰγύπτου,
Προσεκύνησαν τὸν Ιωσὴφ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. Καὶ νῦν μὲν τέως
ἀγνοοῦντες ἅπαντα ταῦτα ποιοῦσιν. ἐπειδὴ γὰρ οὐκ ὀλίγος γέγονεν ὁ μεταξὺ χρόνος, οὐκέτι
τὸν χαρακτῆρα τοῦ ἀδελφοῦ ἐπεγίνωσκον. Εἰκὸς γὰρ ἐν ἡλικίᾳ αὐτὸν γενόμενον ἐναλλαγήν
τινα τοῦ χαρακτῆρος ἐργάσασθαι. τὸ δὲ ὅλον οἶμαι καὶ οἰκονομίας εἶναι τοῦ τῶν ἁπάντων
Θεοῦ, ὥστε μὴ δυνηθῆναι αὐτοὺς μήτε ἐκ τῆς διαλέξεως, μήτε ἐκ τῆς θέας
ἐπιγνῶναι τὸν ἀδελφόν. πόθεν γὰρ ἄν ποτε καὶ εἰς νοῦν τοῦτο ἐβάλλοντο; καὶ γὰρ ἐνόμιζον
αὐτὸν παρὰ τοῖς Ισμαηλίταις οἰκέτην γενόμενον λοιπὸν τὴν παρὰ τοῖς βαρβάροις
δουλείαν ὑπομένειν. καὶ αὐτοὶ μὲν οὐδὲν τοιοῦτον οὐδὲ εἰς διάνοιαν λαβεῖν δυνηθέντες
οὐκ ἐπεγίνωσκον τὸν Ιωσήφ. αὐτὸς δὲ παραχρῆμα θεασάμενος αὐτοὺς ἐπέγνω, καὶ λανθάνειν
ἐσπούδαζε, καὶ ὡς ἀλλοτρίοις αὐτοῖς προσφέρεσθαι ἐβούλετο.
Ηλλοτριοῦτο γάρ, φησιν, ἀπ' αὐτῶν, καὶ ἐλάλησεν αὐτοῖς σκληρά. καὶ εἶπε, πόθεν
ἥκατε; Προσποιεῖται παντελῆ ἄγνοιαν, ἵνα πάντα μετὰ ἀκριβείας παρ' αὐτῶν
μαθεῖν δυνηθῇ. ἐπεθύμει γὰρ γνῶναι τὰ κατὰ τὸν πατέρα, καὶ τὰ κατὰ τὸν ἀδελφόν. καὶ τέως
μὲν πυνθάνεται ἐκ ποίας χώρας τυγχάνουσι. Καί φασιν ἐκ τῆς Χαναὰν ἐλθεῖν
ἀγοράσαι βρώματα. Η τοῦ λιμοῦ, φασιν, ἀνάγκη τῆς ὁδοιπορίας ἡμᾶς ταύτης
ἀναδέξασθαι πεποίηκε, καὶ διὰ τοῦτο καταλιπόντες τὰ οἰκεῖα ἐνταῦθα παραγεγόναμεν.
9 Καὶ ἐμνήσθη, φησίν, Ιωσὴφ τῶν ἐνυπνίων, ὧν εἶδεν αὐτός. Εἰς ἔννοιαν ἐλθὼν
τῶν ὀνειράτων καὶ εὑρὼν τὴν ἔκβασιν εἰς ἔργον ἐληλυθυῖαν ἐβούλετο μετὰ ἀκριβείας
ἅπαντα μαθεῖν. διὸ καὶ μετὰ πολλῆς αὐτοῖς τῆς σφοδρότητος εὐθέως ἀποκρίνεται,
Καί φησι, κατάσκοποί ἐστε, καὶ κατανοῆσαι τὰ ἴχνη τῆς γῆς ἥκατε.
Οὐχ ὑγιεῖ, φησι, γνώμῃ παραγεγόνατε. ἐοίκατε τέχνῃ τινὶ καὶ κακουργίᾳ τὴν ἐνταῦθα
ἄφιξιν πεποιηκέναι. οἱ δὲ ἐναγώνιοι γενόμενοί φασιν, 10 Οὐχί, κύριε.
Καὶ ὅπερ μαθεῖν ἐσπούδαζεν ὁ Ιωσήφ, τοῦτο οἴκοθεν αὐτὸν διδάσκουσι· καί φασιν,
Οἱ παῖδές σου ἤλθομεν πρίασθαι βρώματα. 11 Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου.
Εἰρηνικοί ἐσμεν. οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι. Ἔτι περὶ ἑαυτῶν
μόνον ἀπολογούμενοι, καὶ ὑπὸ τοῦ φόβου κατασεισθέντες τὴν διάνοιαν, οὐδέπω τὰ τῷ
Ιωσὴφ σπουδαζόμενα εἰρήκασι. διὸ ἐπέμενε λέγων· 12 Οὐχί, ἀλλὰ τὰ ἴχνη
τῆς γῆς ἤλθετε ἰδεῖν. Περιττῶς, φησι, ταῦτά μοι λέγετε. καὶ γὰρ αὐτὸ τὸ σχῆμα τῆς
παρουσίας ὑμῶν δείκνυσιν, ὅτι κακουργίᾳ τινὶ χρώμενοι ἐνταῦθα παραγεγόνατε. οἱ δὲ
ὑπὸ τῆς ἀνάγκης αὐτῆς συνελαυνόμενοι, καὶ βουλόμενοι εἰς οἶκτον αὐτὸν ἐπικάμψαι,
φασί· 13 Δώδεκά ἐσμεν οἱ παῖδές σου.
Ὢ τῆς τῶν ῥημάτων ἀπάτης. καὶ τοῖς ἐμπόροις παρ' αὐτῶν διαπραθέντα τῷ ἀριθμῷ
συνῆψαν· καὶ οὐ λέγουσι, δώδεκα ἦμεν, ἀλλὰ δώδεκά ἐσμεν ἀδελφοί.
Καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν. Τοῦτο γὰρ ἦν αὐτῷ τὸ σπουδαζόμενον
γνῶναι, εἰ μὴ καὶ τὸν ἀδελφὸν τὰ αὐτὰ διατεθείκασιν. ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ
πατρὸς ἡμῶν· ------ Ὁ δὲ ἕτερος οὐχ ὑπάρχει. — Καὶ οὐ λέγουσι τὴν αἰτίαν σαφῶς,
ἀλλ' ἁπλῶς, οὐχ ὑπάρχει. ἐκ τούτου εἰς ὑποψίαν ἐλθών, μήποτε καὶ [εἰς]
τὸν Βενιαμὶν τὰ ὅμοια εἰργάσαντο, φησί· 14 Τοῦτό ἐστιν, ὃ εἴρηκα ὑμῖν, ὅτι κατάσκοποί
ἐστε. 15 Οὐ γὰρ μὴ ἐξέλθητε ἐντεῦθεν, ἕως οὗ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώ-

τερος

περος ἔλθῃ ὧδε. Ἐκεῖνον ἰδεῖν βούλομαι· ἐπιθυμῶ θεάσασθαι τὸν τὰς αὐτάς μο λύσαντα ὠδῖνας. ὑφορῶμαι γὰρ ὑμῶν ἐκ τῶν κατ᾽ ἐμὲ γινομένων τὴν μισάδελφο γνώμην. εἰ τοίνυν βούλεσθε, 16 Ἀποστείλατε ἕνα ἐξ ὑμῶν, καὶ ἀγάγετε αὐτόν·

Ὑμεῖς δὲ οἰκεῖτε τὸ δεσμωτήριον, ἕως ἂν ἐκεῖνος παραγένηται. ἐκεῖνος γὰρ παραγεγονὼς διδάξει, εἰ ἀληθῆ τὰ παρ᾽ ὑμῶν λεγόμενα, καὶ ἐλευθερώσει ὑμᾶς πάσης ὑποψίας. εἰ γὰρ μὴ τοῦτο γένηται, δῆλόν ἐστιν ὅτι κατάσκοποί ἐστε, καὶ διὰ τοῦτο ἐνταῦθα παραγεγόνατε. καὶ ταῦτα εἰρηκώς, 17 Ἔθετο αὐτοὺς ἐν τῇ φυλακῇ.

Ὅρα πῶς αὐτῶν βασανίζει τὰς γνώμας, καὶ δι᾽ ὧν εἰς τούτους ἐπιδείκνυται, τὴν φιλοστοργίαν δείκνυσι τὴν πρὸς τὸν ἀδελφόν. μετὰ δὲ τρεῖς ἡμέρας καλέσας αὐτοὺς εἶπε· 18 Τοῦτο ποιήσατε, καὶ ζήσεσθε. τὸν γὰρ Θεὸν ἐγὼ φοβοῦμαι. 19 Εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν εἷς κατασχεθήτω ἐν τῇ φυλακῇ· αὐτοὶ δὲ βαδίσατε καὶ ἀπάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν, 20 Καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρὸς μέ, καὶ πιστευθήσονται τὰ ῥήματα ὑμῶν. εἰ δὲ μή, ἀποθανεῖσθε.

Σκόπει σύνεσιν. βουλόμενος καὶ τὴν περὶ τούτους εὔνοιαν ἐπιδείξασθαι, καὶ τοῦ πατρὸς τὴν ἔνδειαν παραμυθήσασθαι, καὶ περὶ τοῦ ἀδελφοῦ μαθεῖν τὸ ἀληθές, ἕνα κατασχεθῆναι προστάξας, τοὺς ἄλλους ἀπελθεῖν ἐκέλευσεν. ἀλλ᾽ ὅρα μοι λοιπὸν ἐνταῦθα τὸν ἀδέκαστον δικαστήν, τὸ συνειδὸς αὐτῶν κατεξανιστάμενον, καὶ οὐδενὸς ἐλέγχοντος, οὐδὲ εἰς μέσον ἄγοντος αὐτοὺς ἑαυτῶν κατηγόρους γινομένους.

Εἶπε γάρ, φησιν, ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· 21 Ναί. ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ. ἕνεκεν οὖν τούτου ἐπῆλθεν ἡμῖν πᾶσα ἡ θλῖψις αὕτη.

Τοιοῦτον γὰρ ἡ ἁμαρτία. ἐπειδὰν τελεσθῇ καὶ εἰς ἔργον ἔλθῃ, τότε τῆς οἰκείας ἀτοπίας δείκνυσι τὴν ὑπερβολήν. καὶ καθάπερ ὁ μεθύων, ὅταν μὲν πολὺν τὸν ἄκρατον ἐγχέῃ, οὐδεμίαν αἴσθησιν λαμβάνει τῆς ἐκ τοῦ οἴνου γινομένης λύμης, μετὰ δὲ ταῦτα διὰ τῆς πείρας αὐτῆς μανθάνει τῆς βλάβης τὸ μέγεθος· οὕτω καὶ ἡ ἁμαρτία. μέχρι μὲν ἂν τελεσθῇ, σκοτοῖ τὸν λογισμόν, καὶ καθάπερ νεφέλη πυκνή, οὕτω περιέχει τὴν διάνοιαν· ὕστερον δὲ τὸ συνειδὸς κατεξανιστάμενον παντὸς κατηγόρου σφοδρότερον καταξαίνει τὴν διάνοιαν, καὶ δείκνυσι τῶν γεγενημένων τὴν ἀτοπίαν. ὅρα γὰρ καὶ τούτους νῦν εἰς αἴσθησιν ἐρχομένους, καὶ ὅτε περὶ τοῦ παντὸς εἶδον ἑαυτοῖς ἐπικρεμάμενον τὸν κίνδυνον, τότε ἐξομολογουμένους τὰ ὑπ᾽ αὐτῶν γεγενημένα, καὶ λέγοντας· ναί. ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ. οὐχ ἁπλῶς οὐδὲ μάτην, φησί, ταῦτα ὑπομένομεν, ἀλλὰ δικαίως, καὶ σφόδρα δικαίως. δίκας γὰρ δίδομεν τῆς ἀπανθρωπίας καὶ τῆς ὠμότητος, ἧς περὶ τὸν ἀδελφὸν ἐπεδειξάμεθα· ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ. ἐπειδή, φησιν, ἀσυμπαθεῖς γεγόναμεν, καὶ πολλὴν ἐπεδειξάμεθα τὴν ὠμότητα, διὰ τοῦτο καὶ ἡμεῖς νῦν τῶν αὐτῶν πειρώμεθα. ἕνεκεν γὰρ τούτου ἐπῆλθεν ἐφ᾽ ἡμᾶς ἡ θλῖψις αὕτη. καὶ ταῦτα μὲν πρὸς ἀλλήλους διελέγοντο, νομίζοντες μηδενὸς τούτων ἐπακούειν τὸν Ἰωσήφ. ὡς γὰρ ἀγνοῶν καὶ οὐκ εἰδὼς αὐτῶν τὴν γλῶτταν, παρεσκεύασεν ἑρμηνέα μεταξὺ ἀμφοτέρων ἑστάναι, καὶ τὰ παρ᾽ αὐτοῦ διασαφεῖν ἐκείνοις, καὶ τὰ παρ᾽ ἐκείνων αὐτῷ ἑρμηνεύειν. 22 Ταῦτα ἀκούων ὁ Ῥουβεὶμ εἶπε πρὸς αὐτούς, οὐκ ἐλάλησα ὑμῖν, λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου; καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται. Οὐ συνεβούλευσά, φησι, τότε; οὐ παρεκάλεσα, ὥστε μηδεμίαν ἀδικίαν περὶ αὐτὸν ἐπιδείξασθαι; διὰ τοῦτο νῦν τὸ αἷμα αὐτοῦ ἐκζητεῖται. τῇ γὰρ γνώμῃ αὐτὸν ἀνείλετε. εἰ γὰρ καὶ μὴ διὰ τοῦ λαιμοῦ τὸ ξίφος ὤσατε, ἀλλὰ ροις ἀνδράσιν αὐτὸν πεπράκατε, καὶ χαλεπωτέραν θανάτου δουλείαν αὐτῷ ἐπενοήσατε. διὰ τοῦτο τὸ αἷμα αὐτοῦ ἐκζητεῖται νῦν. ἐννόησον ὅσον ἐστὶν ὑπὸ τοῦ συνειδότος κατηγορεῖσθαι, καὶ τοῦτον τὸν κατήγορον διηνεκῶς ἔχειν ἐπικείμενον, καταβοῶντα καὶ τὴν παρανομίαν″ ὑπομιμνήσκοντα. 23 Καὶ ταῦτα ἤκουε μὲν Ἰωσήφ· αὐτοὶ δὲ οὐκ ᾔδεισαν, διὰ τὸ τὸν ἑρμηνέα μεταξὺ ἑστάναι. Ἀλλ' οὐκ ἔτι λοιπὸν φέρειν ἠδύνατο, τῆς φύσεως τῆς ἀδελφικῆς καὶ τῆς συμπαθείας αὐτὸν ἐλεγχούσης. 24 Καὶ ἀποστραφεὶς, φησὶν, ἀπ' αὐτῶν ἔκλαυσεν, ὥστε μὴ κατάδηλος αὐτοῖς γενέσθαι. Καὶ πάλιν προσῆλθε πρὸς αὐτοὺς, καὶ εἶπεν αὐτοῖς· 25 Καὶ ἔλαβε τὸν Συμεῶνα, καὶ ἔδησεν αὐτὸν ἐναντίον πάντων. Ὅρα πῶς πάντα ποιεῖ, ὥστε εἰς φόβον αὐτοὺς ἐμβαλεῖν, ἵνα ὁρῶντες τὰ δεσμὰ τοῦ Συμεὼν, δήλους ἑαυτοὺς ποιήσωσιν, εἴ τινα περὶ τὸν ἀδελφὸν συμπάθειαν ἐπιδείκνυνται. πάντα γὰρ ταῦτα ποιεῖ βασανίζων αὐτῶν τὴν γνώμην, καὶ γνῶναι βουλόμενος, εἰ μὴ καὶ πρὸς τὸν Βενιαμὶν τοιοῦτοι γεγόνασι. διὰ τοῦτο καὶ τὸν Συμεῶνα ἐνώπιον αὐτοῦ δεσμεῖσθαι κελεύει, ἵνα βασανίσῃ αὐτοὺς μετὰ ἀκριβείας, καὶ ἴδῃ εἴ τινα φιλοστοργίαν περὶ αὐτὸν ἐνδείκνυνται. ἡ γὰρ περὶ τοῦτον φειδὼ παρεσκεύαζεν ἐπιταχῦναι τὴν τοῦ Βενιαμὶν παρουσίαν, ὅπερ ἐβούλετο γενέσθαι, ὥστε πληροφορίαν λαβεῖν ἐκ τῆς τοῦ ἀδελφοῦ παρουσίας. Καὶ ἐνετείλατο, φησὶν, ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου, καὶ ἀποδοῦναι τὸ ἀργύριον ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ, καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. 26 Καὶ ἐπιθέντες τοῖς ὄνοις αὐτῶν ἀπῆλθον.

Ὅρα πόσην φιλοτιμίαν ἐπιδείκνυται. καὶ ἄκοντας αὐτοὺς εὐεργετεῖ, οὐ τὸν σῖτον μόνον δεδωκὼς, ἀλλὰ καὶ τὰ ἀργύρια. 27 Λύσας δὲ εἷς ἐξ αὐτῶν τὸν μάρσιππον αὐτοῦ, ὥστε δοῦναι χορτάσματα τοῖς ὄνοις, 28 Ὁρᾷ τὸ ἀργύριον, καὶ εἶπε τοῖς ἀδελφοῖς αὐτοῦ. ἐπὶ τούτῳ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν εἰς ἀλλήλους λέγοντες, τί τοῦτο ἐποίησεν ἡμῖν ὁ Θεός; Ἐναγώνιοι πάλιν γεγόνασιν, ὑφορώμενοι μὴ καὶ τοῦτο προσθήκη ἐγκλημάτων αὐτοῖς γένηται, καὶ τὴν″ ἀπὸ τοῦ συνειδότος ἔχοντες κατηγορίαν, πάντα ἐπέγραφον τῇ ἁμαρτίᾳ τῇ εἰς τὸν Ἰωσὴφ ὑπ' αὐτῶν γεγενημένῃ. παραγενόμενοι δὲ πρὸς τὸν πατέρα, καὶ ἅπαντα μετὰ ἀκριβείας αὐτῷ″ ἀπαγγείλαντες, διηγήσαντο τὴν ἀγανάκτησιν τὴν κατ' αὐτῶν γεγενημένην παρὰ τοῦ ἄρχοντος τῆς Αἰγύπτου, καὶ ὅτι ἔθετο αὐτοὺς ἐν φυλακῇ, ὡς κατασκόπους. 31 Εἴπαμεν δὲ αὐτῷ, φασὶν, ὅτι εἰρηνικοί ἐσμεν, 32 Καὶ ὅτι δώδεκά ἐσμεν ἀδελφοί· καὶ ὁ μὲν εἷς οὐχ ὑπάρχει, ὁ δὲ μικρότερος μετὰ τοῦ πατρὸς ἡμῶν. 33 Εἶπε δὲ ἡμῖν, ἐν τούτῳ″ φανεῖσθε, ὅτι εἰρηνικοί ἐστε. ἀδελφὸν ἕνα ἄφετε ὧδε, 34 Καὶ ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον, καὶ γνώσομαι ὅτι οὐκ ἐστὲ κατάσκοποι. Ταῦτα πάλιν αὔξανε τοῦ δικαίου τὰς ἀθυμίας. μετὰ γὰρ τῆς διηγήσεως ταύτης τῆς λυπηρᾶς καὶ τοὺς ἑαυτῶν μαρσίππους κενώσαντες, ηὕρισκον ἕκαστος τὸ ἀργύριον, καὶ ἐφοβήθησαν αὐτοί τε καὶ ὁ πατὴρ αὐτῶν. ἀλλ' ὅρα μοι πάλιν ἐνταῦθα τὸν πρεσβύτην ἀποδυρόμενον. τί γάρ φησι πρὸς αὐτούς;

36 Ἐμὲ ἠτεκνώσατε· Ἰωσὴφ οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένοντο ταῦτα πάντα. Οὐκ ἤρκει μοί, φησι, τὸ πένθος τοῦ Ἰωσὴφ, ἀλλὰ προσεθήκατε τούτῳ καὶ τὸν Συμεών; καὶ οὐδὲ μέχρι τούτου ἵσταταί μοι τὰ δεινὰ, ἀλλὰ καὶ τὸν Βενιαμὶν λαβεῖν βούλεσθε. ἐπ' ἐμὲ ἐγένοντο ταῦτα πάντα. ἱκανὰ τὰ ῥήματα δεῖξαι τοῦ πατρὸς διακοπτόμενα τὰ σπλάγχνα. καὶ γὰρ ὥσπερ τὰ κατὰ τὸν Ἰωσὴφ αὐτῷ ἀπηγόρευτο (ἐνόμιζε γὰρ θηρῶν κατάβρωμα γεγενῆσθαι) οὕτω καὶ τὰ κατὰ τὸν Συμεῶνα ἀπηγόρευσε. λοιπὸν δὲ καὶ περὶ τοῦ Βενιαμὶν ἐδεδοίκει. ἀλλ' ὅμως ἀντεῖχεν ἔτι, καὶ οὐκ ἐδίδου τὸν παῖδα.

37 Εἶπε δὲ αὐτῷ Ῥουβεὶμ ὁ πρωτότοκος αὐτοῦ· τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ

κεφ. μγ.

ἀγάγω αὐτὸν πρὸς σέ. δὸς αὐτὸν εἰς τὰς χεῖράς μου, κἀγὼ ἄξω αὐτὸν πρὸς σέ. Ἐμοὶ αὐτόν, φησι, πίστευσον, ἐμοὶ παράδος· ἐγώ σοι αὐτὸν ἐπανάξω. Τοῦτο δὲ ἐποίει Ῥουβείμ, ἐννοῶν ὡς οὐχ οἷόν τε, μὴ τοῦ παιδὸς συγκατιόντος αὐτοῖς, πάλιν εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, καὶ τὰ πρὸς διατροφὴν ὠνήσασθαι. ἀλλ' οὐκ ἐνδίδωσιν ὁ πατήρ· ἀλλά φησιν, 38 Οὐ καταβήσεται ὁ υἱός μου μεθ' ὑμῶν. Εἶτα καὶ τὴν αἰτίαν λέγει, ὥσπερ ἀπολογούμενος τοῖς παισίν· Ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται. καὶ συμβήσεται ὡς νέον κομιδῇ μαλακισθῆναι ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. Δέδοικα, φησι, τὸ νέον αὐτοῦ τῆς ἡλικίας, καὶ ὑφορῶμαι μὴ καὶ τῆς τούτου παραμυθίας ἀποστερηθεὶς μετ' ὀδύνης τὸν βίον καταλύσω. μέχρι γὰρ ὅτε οὗτος σύνεστί μοι, δοκῶ μικράν τινα ἔχειν παραμυθίαν· καὶ ἡ τούτου συνουσία ὑποτέμνεται τὴν ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ ἀθυμίαν. ἀλλ' ὁ μὲν πόθος ὁ περὶ τὸν Βενιαμὶν οὐ συνεχώρει τῷ πατρὶ τοῦτον προέσθαι·

κεφ. μγ.

1 Ὁ δὲ λιμὸς σφοδρότερος ἐγένετο. καὶ ἐπέλιπεν αὐτοῖς τὰ βρώματα,

2 Καί φησιν ὁ πατήρ, ἀπελθόντες πάλιν κομίσατε ἡμῖν μικρὰ βρώματα.

3 Εἶπε δὲ αὐτῷ Ἰούδας· διαμαρτυρίᾳ διεμαρτύρατο ἡμᾶς ὁ ἄνθρωπος, λέγων· οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ νεώτερος ὑμῶν ἀδελφὸς μεθ' ὑμῶν ᾖ.

4 Εἰ μὲν οὖν ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν, καταβησόμεθα, καὶ ἀγοράσομέν σοι βρώματα. 5 Εἰ δὲ μὴ ἀποστέλλεις, οὐ πορευσόμεθα. ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν, ὅτι οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ᾖ μεθ' ὑμῶν.

Μὴ νομίσῃς, φησίν, ἡμᾶς δύνασθαι ἄνευ τοῦ ἀδελφοῦ ἐκεῖ καταβῆναι. εἰ γὰρ βούλει καὶ ἄπρακτον ἡμῶν γενέσθαι τὴν κάθοδον, καὶ πάντας ἡμᾶς κινδύνῳ περιβληθῆναι, ἀπίωμεν. ἴσθι δὲ ὅτι διεμαρτύρατο ἡμᾶς, ὡς οὐκ ὀψόμεθα αὐτοῦ τὸ πρόσωπον, εἰ μὴ ὁ ἀδελφὸς ἡμῶν μεθ' ἡμῶν παραγένηται. στενὰ πάντοθεν ἦν τῷ Ἰακώβ. διὸ καὶ ἀποδυρόμενός φησι πρὸς αὐτούς· 6 Τί ἐκακοποιήσατέ με, ἀπαγγείλαντες τῷ ἀνθρώπῳ, ὅτι ἐστὶν ὑμῖν ἀδελφός; Τί ἐκακοποιήσατέ με; διατί, φησιν, ἐμοὶ τούτων τῶν κακῶν αἴτιοι γεγένησθε; εἰ γὰρ μὴ τοῦτο ἐγνωρίσατε, οὐκ ἂν τοῦ Συμεὼν ἀπεστερήθην, οὐκ ἂν τοῦτον ἐπεζήτησεν. 7 Οἱ δὲ εἶπον, ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος, εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ, καὶ εἰ ἔστιν ὑμῖν ἀδελφός. καὶ ἀπηγγείλαμεν αὐτῷ. μὴ ᾔδειμεν, ὅτι ἐρεῖ ἡμῖν, 8 Ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν; Μὴ νομίσῃς, φησίν, ἡμᾶς ἑκόντας ὡμολογηκέναι τῷ ἀνδρὶ τὰ καθ' ἡμᾶς. ἐπειδὴ γάρ, ὡς κατασκόπους ἡμᾶς ὑπωπτεύσας κατεῖχεν, ἐπηρώτα δὲ μετὰ ἀκριβείας τὰ καθ' ἡμᾶς, διατοῦτο βουλόμενοι μετὰ ἀληθείας πάντα αὐτὸν διδάξαι, ταῦτα εἰρήκαμεν.

Εἶπε δὲ πάλιν Ἰούδας πρὸς τὸν πατέρα αὐτοῦ· ἀπόστειλον τὸ παιδάριον μετ' ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν.

Ἐμοί, φησιν, αὐτὸν ἐμπίστευσον, ἵνα ἤδη ἁψώμεθα τῆς ὁδοῦ. οὐδὲ γὰρ ἔτι ἔσται ἡμῖν σωτηρίας ἐλπὶς τῶν βρωμάτων ἀναλωθέντων, καὶ οὐδαμόθεν ἑτέρωθεν εὑρισκόντων παραμυθίαν. 9 Ἐγὼ δὲ δέχομαι αὐτὸν παρὰ σοῦ. ἐὰν μὴ ἀγάγω αὐτόν, καὶ στήσω ἐνώπιόν σου, ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας. 10 Εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς. Ἡ περὶ τὸν παῖδα, φησι, συμπάθεια πᾶσιν ἡμῖν τὸν ὄλεθρον μέλλει προξενεῖν. φθάνομεν γὰρ ὑπὸ τοῦ λιμοῦ καταναλωθῆναι, εἰ μὴ βουληθῇς ἀπολύσας αὐτὸν ἐκπέμψαι ἡμᾶς. βλέπε λοιπὸν ἐνταῦθα, ἀγαπητέ, πῶς ἡ τοῦ λιμοῦ ἀνάγκη ἐνίκησε τὴν φιλοστοργίαν τοῦ πατρός. ὁρῶν γὰρ οὐδεμίαν αὐτοὺς εὑρίσκοντας παραμυθίαν ἑτέραν, καὶ τὸν λιμὸν ἐπιτεινόμενον, φησιν·

11 Εἰ οὕτως ἐστί, Καὶ τοῦτο δεῖ πάντως γενέσθαι, καὶ οὐχ οἷόν τε ὑμᾶς καταλιπεῖν,

πελθεῖν, εἰ μὴ καὶ τοῦτον λάβοιτε, ὀφείλετε καὶ δῶρα ἀποκομίσαι τῷ ἀνδρί. καὶ τὸ ἀργύριον δὲ, ὅπερ ἐν τοῖς μαρσίπποις ὑμῶν εὑρήκατε, ἀπαγάγετε, καὶ ἕτερον ἀργύριον, ὥστε πρίασθαι. 13 Καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀναστάντες καταβῆτε πρὸς τὸν ἄνθρωπον. 14 Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν Βενιαμίν. ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι. Ὅρα πῶς τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἐπιδείκνυται, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο. ἵνα γὰρ μή τις νομίσῃ περὶ τοῦ Βενιαμὶν, ἢ περὶ τοῦ Συμεὼν εἰρῆσθαι, τὸ ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι, διὰ τοῦτο προλαβών φησιν, ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν Βενιαμίν. [εἰ καὶ ὅτι], φησὶ, κἂν οὗτοι διασωθῶσιν, ἀλλ᾽ ἐγὼ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι. ἐννόει πῶς ὅλως τῇ εὐνοίᾳ τῷ Ἰωσὴφ ἦν προσκείμενος. ὁρῶν γὰρ τοσοῦτον χορὸν παίδων αὐτῷ παρεστῶτα, ἄτεκνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἐπειδὴ ἐκείνου ἀπεστερεῖτο. 15 Καὶ λαβόντες, φησὶν, οἱ ἄνδρες τὰ δῶρα, καὶ τὸ ἀργύριον διπλοῦν, καὶ τὸν Βενιαμὶν, κατέβησαν εἰς Αἴγυπτον, καὶ ἔστησαν ἐναντίον Ἰωσήφ. 16 Εἶδε δὲ αὐτοὺς ὁ Ἰωσὴφ, καὶ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ.

Ὅπερ ἐπεθύμει, ἐθεάσατο τὸν αὐτῷ περιπόθητον. εἶδεν εἰς ἔργον ἐξελθοῦσαν αὐτῷ τὴν σπουδήν. Καὶ εἶπε, φησὶ, τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· εἰσάγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν, καὶ σφάξον θύματα. μετ᾽ ἐμοῦ γὰρ φάγονται οἱ ἄνθρωποι. 18 Ἰδόντες δὲ ὅτι εἰσηνέχθησαν εἰς τὸν οἶκον τοῦ Ἰωσὴφ, εἶπον, διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ἡμῶν τὴν ἀρχὴν, ἡμεῖς εἰσαγόμεθα, τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν, τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας, [ἡμᾶς τε] καὶ τοὺς ὄνους ἡμῶν. Ὁ μὲν Ἰωσὴφ τὴν περὶ αὐτοὺς φιλοφροσύνην ἐπιδεικνύμενος ἅπαντα διετάττετο· ἐκεῖνοι δὲ καὶ οὕτως ἐναγώνιοι γίνονται, ὑφορώμενοι μὴ τῶν ἀργυρίων ἕνεκα δίκας εἰσπραχθῶσιν, ὡς καὶ ἐν τούτῳ κακουργήσαντες. καὶ διὰ τοῦτο προσελθόντες τὴν αἰτίαν τοῦ ἀγῶνος κατάδηλον ποιοῦσι τῷ ἐπὶ τῆς οἰκίας, καὶ διηγοῦνται, ὅπως τὰ ἀργύρια ἐν τοῖς μαρσίπποις εὗρον, καί φασιν, ὅτι διὰ τοῦτο διπλοῦν νῦν ἐκομισάμεθα μεθ᾽ ἑαυτῶν τὸ ἀργύριον, ὡς καὶ τὰ πρότερα ἀποδοῦναι, καὶ πρίασθαι βρώματα. ὅρα πῶς αἱ συμφοραὶ κατελέαναν αὐτῶν τὸν λογισμὸν, καὶ ἐποίησαν αὐτοὺς ἐπιεικεστέρους.

23 Εἶπε δὲ αὐτοῖς· ἵλεως ὑμῖν, μὴ φοβεῖσθε, ὁ Θεὸς ὑμῶν. καὶ ὁ Θεὸς τοῦ πατρὸς ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν. τὸ γὰρ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. Μὴ δειλιᾶτε, φησι, μηδὲ τούτου ἕνεκεν ἀγωνιᾶτε. οὐδεὶς ὑμῖν ταύτης ἕνεκεν τῆς αἰτίας ἔγκλημα περιάψει. καὶ γὰρ τοῦ ἀργυρίου πεπληρώμεθα· τοῦ δὲ Θεοῦ ἡγεῖσθε καὶ τοῦτο γεγενῆσθαι, καὶ θησαυροὺς ὑμῖν δεῖξαι ἐν τοῖς μαρσίπποις ὑμῶν.

24 Καὶ ταῦτα εἰρηκὼς ἐξήγαγε τὸν Συμεῶνα, καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν, καὶ χορτάσματα ἔδωκε τοῖς ὄνοις αὐτῶν.

Ὅρα πῶς ἡ εὐχὴ τοῦ πατρὸς πάντα αὐτοῖς κατευώδου· καὶ καθάπερ ἐκεῖνος αὐτοῖς ἐπηύξατο εἰπὼν, ὁ Θεὸς τοῦ πατρὸς μου χάριν ὑμῖν δῴη, οὕτως ἅπαντα ἐγίνετο· καὶ πᾶσαν φιλοφροσύνην περὶ αὐτοὺς ἐπεδείκνυτο καὶ πρὸ τῆς παρουσίας τοῦ Ἰωσὴφ ὁ τὴν οἰκίαν πεπιστευμένος. 25 Ἡτοίμασαν δὲ τὰ δῶρα τῷ Ἰωσήφ, 26 Καὶ εἰσελθόντι αὐτῷ προσήνεγκαν, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν. 27 Καὶ πάλιν πυνθάνεται αὐτῶν, εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν, ὁ πρεσβύτης, ὃν εἴπατε, ἔτι ζῇ;

28 Οἱ δὲ εἶπον, ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν. καὶ εἶπεν, εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ. καὶ κύψαντες προσεκύνησαν. 29 Εἶδε δὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπεν· οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρὸς με

ἀγαγεῖν; καὶ εἶπεν, ὁ Θεὸς ἐλεήσαι σε τέκνον. Σκόπει πόσην καρτερίαν ἐπιδείκνυται· καὶ ἔτι ἄγνοιαν προσποιεῖται, ἵνα διὰ τῶν ἑξῆς γινομένων δοκιμὴν αὐτῶν τῆς γνώμης λαβεῖν δυνηθῇ, ὅπως περὶ τὸν Βενιαμὶν διάκεινται. καὶ ἐπὶ πλεῖον ὑπὸ τῆς φύσεως αὐτῆς ἐνικᾶτο, 30 Συνεστρέφετο αὐτοῦ, φησι, τὰ σπλάγχνα, καὶ ἐζήτει κλαῦσαι. Εἰσελθὼν δὲ εἰς τὸ ταμιεῖον ἔκλαυσεν ἐκεῖ. 31 Καὶ νιψάμενος τὸ πρόσωπον ἐξῆλθε, Καὶ λοιπὸν τὴν παρ' ἑαυτοῦ ἐπιδείκνυται φιλοφροσύνην, καί φησι,

Παράθετε ἄρτους. 32 Καὶ παρέθηκαν αὐτῷ μόνῳ (ἅτε δὴ ὡς βασιλεῖ καὶ ἄρχοντι πάσης Αἰγύπτου) κἀκείνοις καθ' ἑαυτοὺς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι μετ' αὐτοῦ καθ' ἑαυτούς. οὐδὲ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Ἑβραίων. βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις. 33 Ἐκάθισε δὲ ἐναντίον αὐτοῦ ὁ πρῶτος κατὰ τὰ πρεσβεῖα αὐτοῦ, καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ. Τοῦτο ἐκείνους εἰς ἔκπληξιν ἦγε, καὶ ἐν ἀπορίᾳ καθίσταντο, πόθεν αὐτῷ ἡ γνῶσις ἐγένετο τῆς διαφορᾶς τῶν ἡλικιῶν. καὶ πᾶσι δοὺς μερίδας, τῷ Βενιαμὶν πενταπλάσιον δίδωσι. καὶ οὐδὲ οὕτως αἰσθάνονται τῶν γινομένων, ἀλλ' ἐνόμισαν ἁπλῶς συντυχίᾳ τινὶ γίνεσθαι ταῦτα παρ' αὐτοῦ, [ὡς] ἅτε δὴ περὶ νέον. καὶ τέλος λαβούσης τῆς ἑστιάσεως,

κεφ. μδ.

1 Κάλεσας, φησὶν, ὁ Ἰωσὴφ τὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ ἐνετείλατο αὐτῷ, λέγων· πλῆσον τοὺς μαρσίππους τῶν ἀνθρώπων βρωμάτων, ὅσα ἂν δύνανται ἆραι, καὶ τὸ ἀργύριον ὡσαύτως ἑκάστου εἰς τὸν μάρσιππον αὐτοῦ, 2 Καὶ τὸ κόνδυ τὸ ἀργυροῦν ἔμβαλε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου. Ὅρα πάλιν οἵαν μηχανὴν ἐξευρίσκει, ὥστε δοκιμὴν ἀκριβεστάτην λαβεῖν τῆς τῶν ἀδελφῶν γνώμης, ἣν περὶ τὸν Βενιαμὶν ἐπεδείκνυντο. καὶ τούτων γινομένων ἀπέλυσεν αὐτούς. καὶ ἐπειδὴ ἥψαντο τῆς ὁδοῦ,

4 Εἶπε, φησι, τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· ἀναστὰς ἐπιδίωξον ὀπίσω αὐτῶν, καὶ ἐρεῖς, τί ὅτι ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν; 5 Ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνίζεται ἐν αὐτῷ. πονηρὰ συντετέλεσται, ἃ πεποιήκατε. Εὑρὼν δὲ αὐτοὺς, φησιν, εἶπεν αὐτοῖς· τί τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψασθε; διὰ τί τὴν οἰκείαν πονηρίαν καὶ μέχρι τοῦ τοσαύτην περὶ ὑμᾶς τὴν φιλοφροσύνην ἐπιδειξαμένου ἐξετείνατε; διὰ τί οὐκ ᾐδέσθητε τοῦ ἀνδρὸς τὴν περὶ ὑμᾶς μεγαλοψυχίαν; τίς ἡ τοσαύτη κακουργία; τίς ἡ μανία, ἣν ἐμάνητε; οὐκ ἴστε ὅτι τοῦτό ἐστι τὸ σκεῦος, ἐν ᾧ ὁ κύριός μου οἰωνίζεται; πονηρὰ ὑμῶν ἡ πρᾶξις· ὀλεθρία ἡ γνώμη· ἀσύγγνωστος ἡ ἐπιχείρησις· μεγάλη ἡ τόλμα, πᾶσαν πονηρίαν ὑπερακοντίζουσα. 7 Οἱ δὲ εἶπον αὐτῷ· ἵνα τί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα; Τίνος ἕνεκεν ἐπιφέρεις ἡμῖν ἔγκλημα, οὗ πάντη ἐσμὲν ἀνεύθυνοι; Μὴ γένοιτο τοῖς παισί σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο. Μὴ ἡμῖν ποτε τοῦτο γένοιτο" διαπράξεσθαι. 8 Οἱ γὰρ τὸ ἀργύριον διπλοῦν ἀπενεγκάμενοι, πῶς ἂν ὑφειλόμεθα ἀργύριον, ἢ χρυσίον; Εἰ δὲ τοῦτο νομίζεις,

ἴσ. διαπράξεσθαι.

9 Παρ' ᾧ ἂν εὑρεθῇ τὸ σκεῦος, ὅπερ ἐπιζητεῖς, αὐτὸς μὲν ἀποθνησκέτω, ὡς "τοσοῦτον δράσας τολμηρόν· ἡμεῖς δὲ δοῦλοι ἐσόμεθα. Ἡ γὰρ ἀπὸ τοῦ συνειδότος παρρησία παρεσκεύαζεν αὐτοὺς μετὰ τοῦ θάρρους ταῦτα διαλέγεσθαι. 10 Ὁ δέ, φησιν, εἶπε, καὶ νῦν, ὡς λέγετε, οὕτως ἔσται. παρ' ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, ἐκεῖνος ἔσται μου παῖς μόνος· ὑμεῖς δὲ ἀπολυθήσεσθε. Καὶ ταῦτα εἰπόντες ἐπέτρεπον αὐτῷ τὴν ἔρευναν ποιήσασθαι. 12 Καὶ ἠρεύνα ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος, ἕως ἦλθεν εἰς τὸν Βενιαμίν. καὶ τὸν ἐκείνου μάρσιππον ἀνοίξας εὑρίσκει τὸ κόνδυ.

γρ. πώπο

Τοῦτο ἐσκότωσεν αὐτῶν τὸν λογισμόν. 13 Καὶ διέρρηξαν, φησι, τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν πάλιν τοὺς μαρσίππους αὐτῶν, καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν.

14 Καὶ εἰσελθὼν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς τὸν Ἰωσὴφ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν. Ὅρα ποσάκις τὴν προσκύνησιν ποιοῦνται. 15 Εἶπε δὲ αὐτοῖς Ἰωσήφ· τί τοῦτο πεποιήκατε; οὐκ οἴδατε ὅτι οἰωνισμῷ οἰωνίζομαι ἐν αὐτῷ;

16 Εἶπε δέ, φησιν, Ἰούδας, τί ἀντεροῦμεν, ἢ τί λαλήσομεν τῷ κυρίῳ, ἢ τί δικαιωθῶμεν; ὁ δὲ Θεὸς εὗρε τὴν ἀδικίαν τῶν παίδων σου. Πάλιν ἑαυτοὺς ἀναμιμνήσκουσι τῶν ἤδη εἰς αὐτὸν παρ' αὐτῶν γεγενημένων. Ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν καὶ ἡμεῖς, καὶ παρ' ᾧ εὑρέθη τὸ κόνδυ. Τέως πολλὴν ἐπιδείκνυνται τὴν εὐγνωμοσύνην, καὶ ἑαυτοὺς ἅμα τῷ ἀδελφῷ τῇ δουλείᾳ ὑποτάττουσιν. 17 Εἶπε δέ, φησιν, Ἰωσήφ· μή μοι γένοιτο ποιῆσαι τοῦτο. ὁ ἄνθρωπος, παρ' ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς· ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν.

Ὅρα πῶς, ὅπερ ἐδεδοίκει ὁ πατήρ, τοῦτο αὖθις συμβέβηκε. καὶ θόρυβον ὑπομένουσι καὶ ταραχήν, οὐκ εἰδότες ὅ, τι καὶ πράξωσιν. 18 Ἐγγίσας δέ, φησιν, Ἰούδας εἶπεν. Ἐπειδὴ γὰρ καὶ αὐτὸς ἦν ὁ παρὰ τοῦ πατρὸς αὐτὸν δεξάμενος καὶ εἰπών, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ, ἔσομαι ἡμαρτηκὼς ἐναντίον σου πάσας τὰς ἡμέρας, διὰ τοῦτο πλησίον γενόμενος διηγεῖται ἅπαντα μετὰ ἀκριβείας αὐτῷ, ἵνα εἰς συμπάθειαν αὐτὸν ἐφελκυσάμενος παρασκευάσῃ ἀφεῖναι τὸν παῖδα. ἐγγίσας δὲ αὐτῷ Ἰούδας εἶπε· Δέομαι κύριε, λαλησάτω ὁ παῖς σου. Σκόπει πῶς δι' ὅλου ὡς δεσπότῃ δοῦλος διαλέγεται· καὶ μνημόνευέ μοι τῶν ὀνειράτων, τῶν δραγμάτων, ἐξ ὧν καὶ μείζονα τὸν κατ' αὐτοῦ φθόνον ἠκόνησαν, καὶ ἐκπλήττου τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν, ὅπως τοσούτων κωλυμάτων ἐν μέσῳ γενομένων εἰς ἔργον ἅπαντα ἐξῄει.

Λαλησάτω, φησίν, ὁ παῖς σου ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, κύριε.

19 Σὺ ἠρώτησας τοὺς παῖδάς σου, λέγων· εἰ ἔχετε πατέρα, ἢ ἀδελφόν;

20 Καὶ εἴπαμεν τῷ κυρίῳ, ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρως νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν. Ἐννόει μοι ἐνταῦθα, τίς ἦν ταῦτα ἀκούων ὁ Ἰωσήφ. Αὐτὸς δὲ μόνος ὑπολέλειπται τῇ μητρὶ αὐτοῦ· ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησε. Τίνος ἕνεκεν καὶ ἐνταῦθα ψεύδεται οὕτω λέγων, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καί τοι τοῖς ἐμπόροις αὐτὸν ἀπέδοντο; ἀλλ' ἐπειδὴ οὕτω τὸν πατέρα διέθηκαν, ὡς ἀναιρεθέντος αὐτοῦ καὶ ὑπὸ θηρίων βρωθέντος, ἄλλως δὲ καὶ ἐνόμισαν οὐ φέροντα τὴν δουλείαν τὴν παρὰ τοῖς βαρβάροις ἤδη τεθνηκέναι, διὰ τοῦτό φησι, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν. 21 Εἶπας δὲ τοῖς παισί σου, καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμελοῦμαι αὐτοῦ. 23 Καὶ εἶπας, ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν μεθ' ὑμῶν, οὐ προσθήσεσθε ἰδεῖν τὸ πρόσωπόν μου. 24 Ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου, πατέρα δὲ ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου.

25 Εἶπε δὲ ὁ πατὴρ ἡμῶν ἡμῖν· βαδίσατε πάλιν, ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. 26 Ἡμεῖς δὲ εἴπαμεν αὐτῷ, οὐ δυνησόμεθα καταβῆναι, ἐὰν μὴ ὁ ἀδελφὸς ἡμῶν καταβῇ μεθ' ἡμῶν. 27 Εἶπε δὲ ὁ παῖς σου ὁ πατὴρ ἡμῶν· ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή, 28 Καὶ ἐξῆλθεν ὁ εἷς ἀπ' ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονε.

Σκόπει πῶς διὰ τῆς ἀπολογίας τοῦ Ἰούδα πάντα μετὰ ἀκριβείας μανθάνει ὁ Ἰωσὴφ τὰ μετὰ τὴν αὐτοῦ πρᾶσιν ἐν τῇ οἰκίᾳ γεγονότα, καὶ ὅπως τὸν πατέρα διέθηκαν, καὶ τίνα περὶ αὐτοῦ εἰρήκασι. 29 Νῦν οὖν ἐὰν καὶ τοῦτον λάβητε, καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. Οὕτω τοίνυν τοῦ πατρὸς

ἡμῶν διακειμένου πρὸς τὸ παιδάριον, πῶς δυνησόμεθα ἰδεῖν αὐτοῦ τὸ πρόσωπον, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; 30 Ἐκκρέμαται γὰρ αὐτοῦ ἡ ψυχὴ ἐκ τῆς τούτου ψυχῆς. 31 Καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου πατρὸς ἡμῶν μετὰ λύπης εἰς ᾅδου. 32 Ὁ γὰρ παῖς σου ἐκδέδεκται τὸ παιδάριον παρὰ τοῦ πατρὸς, λέγων· ἐὰν μὴ ἀγάγω αὐτὸ πρὸς σὲ, ἡμαρτηκὼς ἔσομαι ἐναντίον σου πάσας τὰς ἡμέρας. Ἐπεὶ οὖν ταύτας τὰς ὑποσχέσεις ἐποιησάμην πρὸς τὸν πατέρα ὑπὲρ τοῦ καὶ τὸν παῖδα δυνηθῆναι ἀγαγεῖν, καὶ πληρῶσαι τά σοι δόξαντα, καὶ δεῖξαι ὡς ἀληθῶς εἰρήκαμεν, καὶ οὐδὲν ψεῦδος τῶν παρ' ἡμῶν λεχθέντων·

33 Νῦν οὖν παραμενῶ παῖς ἀντὶ τοῦ παιδὸς οἰκέτης τοῦ κυρίου. τὸ δὲ παιδάριον ἀναβήτω μετὰ τῶν ἀδελφῶν. 34 Πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν πατέρα, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακὰ, ἃ εὑρήσει τὸν πατέρα μου.

Συνέχεε ταῦτα τὸν Ἰωσὴφ, καὶ ἱκανὴν αὐτῷ παρέσχεν ἀπόδειξιν καὶ τῆς εἰς τὸν πατέρα τιμῆς, καὶ τῆς περὶ τὸν ἀδελφὸν φιλοστοργίας.

κεφ. με.

1 Καὶ οὐκέτι ἠδύνατο φέρειν, οὐδὲ ἀνέχεσθαι τῶν παρεστηκότων αὐτῷ. Ἀλλὰ πάντας ἀπωσάμενος, καὶ μόνος μεταξὺ αὐτῶν ἀπολειφθεὶς, ἀφεὶς φωνὴν μετὰ κλαυθμοῦ ἀναγνωρίζεται τοῖς ἀδελφοῖς. καὶ τοῦτο γνωστὸν ἐγένετο ἐν πάσῃ τῇ βασιλείᾳ, καὶ εἰς τὸν οἶκον Φαραώ. 3 Καί φησι πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐγώ εἰμι Ἰωσήφ. ἔτι ὁ πατήρ μου ζῇ; Θαυμάσαι μοι ἔπεισιν ἐνταῦθα καὶ τοῦ μακαρίου τούτου τὴν τοσαύτην εὐτονίαν, καὶ ὅτι ἠνέγκε μέχρι τούτου σχηματίσασθαι, καὶ μὴ γνωρίσαι τὰ καθ' ἑαυτὸν, κἀκείνους μάλιστα ἐκπλαγῆναι, ὅπως ἠδυνήθησαν στῆναι καὶ διαφέρει λοιπὸν τὸ σῶμα, πῶς οὐκ ἀπέπτη ἀπ' αὐτῶν ἡ ψυχὴ, πῶς οὐκ ἐξέστη αὐτῶν ἡ διάνοια, πῶς οὐ κατέδυσαν εἰς τὴν γῆν. Οὐκ ἠδύναντο, φησιν, οἱ ἀδελφοὶ αὐτοῦ ἀποκριθῆναι αὐτῷ. ἐταράχθησαν γάρ· Εἰκότως. ἐννοοῦντες ἵνα μὲν αὐτοὶ αὐτὸν διέθηκαν, οἷος δὲ αὐτὸς περὶ αὐτοὺς γέγονε, καὶ λογιζόμενοι τὴν περιφάνειαν ἐν ᾗ καθειστήκει, περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς σωτηρίας ἠγωνίων. διὰ τοῦτο βουλόμενος αὐτοὺς παραθαῤῥῦναι, φησιν· 4 Ἐγγίσατε πρός με. Μὴ μακρυνῆτε ἑαυτοὺς μὴ νομίζετε, φησιν, οἰκείᾳ γνώμῃ τὰ κατ' ἐμὲ ὑμᾶς πεπρᾶχθαι. οὐ τοσοῦτον τῆς ὑμετέρας ἐγένετο περὶ ἐμὲ πονηρίας, ὅσον τῆς τοῦ Θεοῦ σοφίας, καὶ τῆς ἀφάτου φιλανθρωπίας, ἵνα ἐνταῦθα παραγενόμενος, νῦν ἐν καιρῷ καὶ ὑμῖν τὰ πρὸς διατροφὴν χορηγῆσαι δυνηθῶ, καὶ πάσῃ τῇ χώρᾳ. Καὶ εἶπε, φησιν, ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον. 5 Νῦν οὖν μὴ λυπεῖσθε. Μὴ ὑμᾶς, φησι, τοῦτο ταραττέτω, μηδὲ σκληρὸν ὑμῖν λογισθῇ τὸ γεγενημένον. Θεοῦ γὰρ οἰκονομία τὰ γινόμενα. εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν. τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὸν πέντε ἔτη, ἐν οἷς οὐκ ἔσται ἀροτρίασις, οὐδὲ ἀμητός. ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς. νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ' ὁ Θεός. ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον παραμυθεῖται αὐτοὺς, λέγων μὴ ἑαυτοῖς ἐπιγράφειν τὴν αἰτίαν, καὶ τὴν εἰς Αἴγυπτον αὐτοῦ κάθοδον, ἀλλὰ τὸν Θεὸν τοῦτο πεποιηκέναι, ὥστε εἰς ταύτην αὐτὸν ἐλθεῖν τὴν περιφάνειαν. 8 Ὁ Θεὸς, φησιν, ἀπέστειλέ με, καὶ ἐποίησέ με ὡς πατέρα Φαραὼ, καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς Αἰγύπτου.

Ἐκείνη, φησιν, ἡ δουλεία ταύτην μοι τὴν ἀρχὴν προεξένησεν, ἐκείνη ἡ πρᾶσις εἰς ταύτην με τὴν περιφάνειαν ἤγαγεν, ἐκείνη ἡ θλίψις ταύτης μοι τῆς εὐδοκιμήσεως ὑπόθεσις γέγονεν, ἐκεῖνος ὁ φθόνος ταύτην μοι τὴν δόξαν ἔτεκε. Ταῦτα μὴ

μόνον αἰσχυνώμεθα, ἀλλὰ καὶ μιμώμεθα, καὶ οὕτω τοὺς κακῶς ἡμᾶς διαθέντας παραμυθώμεθα, ἀλλοτριοῦντες ἀπ' αὐτῶν τὰ καθ' ἡμῶν γενόμενα, καὶ μετὰ πολλῆς εὐγνωμοσύνης ἅπαντα φέροντες, καθάπερ ὁ θαυμάσιος οὗτος. ἐπεὶ οὖν, φησὶν, ἐπείσθητε περὶ ἐμοῦ, ὅτι οὐχ ὑμῖν ἐπιγράφω τὰ εἰς ἐμὲ παρ' ὑμῶν γεγενημένα, ἀλλ' ὑμᾶς μὲν ἀπαλλάττω τῶν ἐγκλημάτων, τῷ δὲ Θεῷ τὸ πᾶν λογίζομαι ″ τῷ ἐκεῖνα πάντα οἰκονομήσαντι, ἵνα μοι τὸ τῆς παρούσης δόξης προσγένηται· 9 Σπεύσαντες οὖν, ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ. Τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· ἐποίησέ με ὁ Θεὸς κύριον πάσης γῆς Αἰγύπτου. κατάβηθι οὖν πρὸς μὲ, καὶ μὴ ἀναμείνῃς, 10 Καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ, καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, καὶ τὰ πρόβατα, καὶ οἱ βόες, καὶ ὅσα σοί ἐστιν, 11 Καὶ ἐκθρέψω σε (ἔτι γὰρ πέντε ἔτη λιμὸς) ἵνα μὴ ἐκτριβῇς σὺ, καὶ οἱ υἱοί σου, καὶ πάντα τὰ ὑπάρχοντά σου. 12 Ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι, καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς. 13 Ἀπαγγείλατε τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ, καὶ ὅσα ἴδετε, καὶ ταχύναντες καταγάγετε αὐτόν. Ταῦτα ἅπαντα διαλεχθεὶς, καὶ ἀρκούντως αὐτοὺς παραμυθησάμενος, καὶ ἐντειλάμενος εἰπεῖν τὰ περὶ αὐτοῦ τῷ πατρὶ, καὶ ταχέως αὐτὸν ἐπαναγαγεῖν, ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον τοῦ Βενιαμὶν ἔκλαυσεν (ἐκεῖνος γὰρ ἦν αὐτῷ ὁμομήτριος) κἀκεῖνος πάλιν ἔκλαυσεν ἐπ' αὐτῷ. καὶ κατεφίλησε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔκλαυσεν ἐπ' αὐτοῖς. καὶ τότε μετὰ τὴν τοσαύτην διάλεξιν καὶ τὰ δάκρυα καὶ τὴν συμβουλὴν, ἣν πρὸς αὐτοὺς ἐποιήσατο, μόλις ἠδυνήθησαν λαλῆσαι πρὸς αὐτόν. 15 Μετὰ ταῦτα γὰρ, φησὶν, ἐλάλησαν πρὸς αὐτόν. 16 Ταῦτα δὲ διεβοήθη εἰς τὸν οἶκον Φαραὼ, καὶ ἐχάρη, καὶ πάντες οἱ ἐν τῷ οἴκῳ. Ἐχαροποίησε, φησὶ, πάντας ὁ ἀναγνωρισμὸς τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. 17 Καὶ εἶπε, φησὶν, ὁ βασιλεὺς τῷ Ἰωσήφ· Εἶπον τοῖς ἀδελφοῖς ″ αὐτοῦ, τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν σίτου, καὶ ἀπέλθετε. 18 Καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν ″ ἥκατε πρὸς μὲ, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου. 19 Σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοὺς ἁμάξας τοῖς παιδίοις καὶ ταῖς γυναιξίν. Ὅρα καὶ τὸν βασιλέα, πῶς ἤδη φροντίζει περὶ τῆς τοῦ Ἰακὼβ ἐπανόδου. Καὶ ἀναλαβόντες, φησὶ, τὸν πατέρα ὑμῶν παραγίνεσθε, 20 Καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν. πάντα γὰρ τὰ ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται. 21 Ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ. ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰς ἐντολὰς τοῦ βασιλέως. 22 Καὶ πᾶσι μὲν ἔδωκε δισσὰς στολὰς, τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς, καὶ πέντε ἐξαλλασσούσας στολάς, 23 Καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλεν ὁμοίως· καὶ δέκα ὄνους αἴροντας ἀπὸ τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἴροντας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς τὴν ὁδόν. 24 Καὶ ταῦτα ἅπαντα δοὺς ἐξαπέστειλε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς, μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ. Ὅρα γνώμην φιλόσοφον· οὐ μόνον αὐτὸς πᾶσαν αὐτοῖς ἀφῆκε τὴν ὀργὴν, καὶ τῶν ἐγκλημάτων αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ αὐτοῖς παραινεῖ μὴ ὀργίζεσθαι κατὰ τὴν ὁδὸν, μηδὲ ″ ὑπὲρ τῶν γεγενημένων ἀλλήλοις ἐγκαλεῖν. Εἰ γὰρ ἡνίκα εἱστήκεισαν πρότερον ἐπὶ τοῦ Ἰωσήφ, ἔλεγον πρὸς ἑαυτούς· ναὶ, ἐν ἁμαρτίαις ἐσμὲν περὶ τοῦ Ἰωσὴφ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν αὐτοῦ τὴν θλῖψιν· καὶ ἐπιστὰς ὁ Ῥουβεὶμ ἔλεγεν, οὐκ εἶπον ὑμῖν, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου· πολλῷ μᾶλλον εἰκὸς ἦν αὐτοὺς κατεξανίστασθαι αὐτῶν. καὶ διὰ τοῦτο καταστέλλων αὐτῶν τὸν θυμὸν, καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, φησὶ, μὴ ὀργίζεσθε

γρ. τῷ διὰ τὴν [illegible] τοῦ παρόν- [illegible] [illegible] ἐκείνα [illegible] συγχω- [illegible] αὐτ. σωτη- [illegible]

γρ. σου,

γρ. ἐνέγκατε ἄλλ. ἥκατε

[illegible]

ζεσθε ἐν τῇ ὁδῷ, ἀλλ' ἐννοήσαντες ὅτι οὐδεμίαν ὑμῖν αἰτίαν ἐπήγαγον ὑπὲρ τῶν εἰς ἐμὲ γεγενημένων, καὶ αὐτοὶ πρὸς ἀλλήλους εὐνοϊκῶς διατεθῆτε.

ΗΘΙΚΟΝ

Τίς ἂν κατ' ἀξίαν τὴν ἀρετὴν τοῦ δικαίου τούτου θαυμάσειεν, ὃς τὴν ἐν τῇ καινῇ φιλοσοφίαν μετὰ πολλῆς τῆς διαφιλείας ἀπεπλήρωσε, καὶ ὅπερ ὁ Χριστὸς παραινεῖ λέγων τοῖς ἀποστόλοις, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, τοῦτο οὗτος καὶ πολλῷ πλέον ἐποίησεν. (Ματθ. ε. μδ.) οὐδὲ γὰρ μόνον τοσαύτην ἀγάπην ἐπεδείξατο περὶ τοὺς ἀνελόντας αὐτόν; τό γε εἰς αὐτοὺς ἧκον, ἀλλὰ πάντα ποιεῖ, ὥστε διδάξαι αὐτοὺς, ὅτι οὐδὲ ἥμαρτόν τι εἰς αὐτόν. ὢ φιλοσοφίας ὑπερβολὴ, ὢ εὐγνωμοσύνης ἐπίτασις, καὶ τῆς πρὸς Θεὸν ἀγάπης διαφίλεια. μὴ γὰρ ὑμεῖς, φησιν, εἰς ἐμὲ ταῦτα διεπράξατε· ἡ τοῦ Θεοῦ περὶ ἐμὲ κηδεμονία ταῦτα γενέσθαι συνεχώρησεν, ἵνα καὶ ἐμοὶ τῶν ὀνειράτων τὴν ἔκβασιν παραδείξηται, καὶ ὑμῖν ἀρκοῦσα σωτηρίας ὑπόθεσις γένωμαι. τὸ ἐν θλίψεσιν οὖν, ἢ πειρασμοῖς" περιπείρεσθαι, πολλῆς τῆς περὶ ἡμᾶς τοῦ φιλανθρώπου Θεοῦ κηδεμονίας καὶ προνοίας ἐστὶ τεκμήριον. μὴ τοίνυν ἐκ παντὸς τρόπου τὴν ἄνεσιν καὶ τὴν ἄδειαν ἐπιζητῶμεν, ἀλλὰ καὶ ἐν ἀνέσει τυγχάνοντες, καὶ ἐν θλίψεσι γινόμενοι, ὁμοίως τὴν εὐχαριστίαν ἀναπέμπωμεν τῷ δεσπότῃ· ἵνα τὴν εὐγνωμοσύνην θεασάμενος, διαφιλεστέραν τὴν περὶ ἡμᾶς ἐπιδείξηται κηδεμονίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. [illegible]

Λογ. ξε. ΚΑΙ ΑΝΕΒΗΣΑΝ, φησιν, ΕΞ ΑΙΓΥΠΤΟΥ, καὶ ἦλθον εἰς τὴν Χαναναίαν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, καὶ ἀνήγγειλαν αὐτῷ, λέγοντες· ὅτι ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη Ἰακὼβ τῇ διανοίᾳ. οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.

Εἴδετε ἐκ τῶν χθὲς ἡμῖν εἰρημένων τοῦ Ἰωσὴφ τὴν φιλοσοφίαν καὶ τὴν ἄφατον ἀνεξικακίαν, ἣν περὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς ἐπεδείξατο, οὐ μόνον οὐδεμίαν μνήμην τῶν εἰς αὐτὸν γεγενημένων ποιησάμενος, ἀλλὰ καὶ αὐτοῖς μέλλουσιν ἐπανιέναι πρὸς τὸν πατέρα τοῦτο αὐτὸ παραινέσας καὶ συμβουλὴν εἰσαγαγὼν, ὥστε μὴ ἀλλήλους αἰτιᾶσθαι ὑπὲρ τῶν εἰς αὐτὸν αὐτοῖς εἰργασμένων, ἀλλὰ πᾶσαν ὀργὴν ἀπελάσαντας μετὰ ὁμονοίας τὴν ὁδοιπορίαν ποιεῖσθαι. ἀναγκαῖον δὲ λοιπὸν σήμερον τὰ ἑξῆς ἀποπληρῶσαι, ἵνα ἴδωμεν καὶ τὴν τούτων ἐπάνοδον τὴν πρὸς τὸν πατέρα, καὶ τοῦ Ἰακὼβ τὴν εἰς Αἴγυπτον κάθοδον· καὶ ὅπως αὐτὸν" ἀναθάλλει πεποίηκε τὰ κατὰ τὸν Ἰωσὴφ γνωρισθέντα αὐτῷ, καὶ σχεδὸν εἰπεῖν, νέον ἐκ γέροντος αὐτὸν εἰργάσατο. τίς γὰρ ἂν δυνηθείη τῷ λόγῳ παραστῆσαι τὴν ἡδονὴν, ἐν ᾗ τότε γέγονε, πυθόμενος ζῆν τὸν Ἰωσὴφ, καὶ ἐν τοσαύτῃ περιφανείᾳ τυγχάνειν; ἴστε γὰρ μάλιστα, ὅτι τὰ ἀπροσδόκητα τῶν ἀγαθῶν πολλὴν ἐπίτασιν τῆς ἡδονῆς ἐνεργάζεσθαι πέφυκεν. ὃν γὰρ ἐνόμιζε πρὸ τοσούτων ἐτῶν κατάβρωμα τῶν θηρίων γεγενῆσθαι, [καὶ] μαθὼν πάλιν τὴν ἀρχὴν τῆς Αἰγύπτου πᾶσαν κατέχειν αὐτὸν, πῶς οὐκ ἂν ὑπὸ τοῦ μεγέθους τῆς ἡδονῆς ἐξέστη τῇ διανοίᾳ; ὅπερ γὰρ ὑπερβάλλουσα ἀθυμία ἐργάζεται, τοῦτο πολλάκις καὶ ἐπιτεταμένη χαρά. καὶ ἔστιν ἰδεῖν πολλοὺς καὶ δάκρυα προχέοντας ἀπὸ χαρᾶς ὑπερβαλλούσης, ἑτέρους δὲ πολλάκις καὶ ἀποπλήκτους γινομένους, ὅταν ἃ μηδὲ προσεδόκησαν, ἴδωσι γεγενημένα, καὶ οὓς τεθνηκέναι νενομίκασιν," ἐξαίφνης ζῶντας θεάσωνται. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, αὐτῶν ἐπακούσωμεν τῶν ἀναγνωσθέντων.

γρ. ἀναθάλλει

γρ. ἐξαίφνης θεάσονται ἐν [illegible] [illegible] γρ. [illegible]

25 Καὶ ἀνέβησαν, φησὶν, ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, 26 Καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες· ὅτι υἱός σου ὁ Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης" τῆς Αἰγύπτου. καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ. οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. Ὁρᾷς, ὅπερ ἔλεγον, ὅτι ἄπιστον αὐτῷ ἔδοξεν εἶναι τὸ περὶ τοῦ Ἰωσὴφ, ὡς καὶ τὴν διάνοιαν αὐτοῦ παρασαλευθῆναι, καὶ ἐνόμιζεν ἀπάτην εἶναι τὰ παρὰ τῶν ἀδελφῶν λεγόμενα. οἱ γὰρ τότε τὸν χιτῶνα εἰσαγαγόντες τῷ αἵματι τοῦ ἐρίφου μολυνθέντα, καὶ εἰς πίστιν ἀγαγόντες τὸν πατέρα, ὅτι κατάβρωμα θηρίων γέγονε, νῦν φασὶν ὅτι ζῇ, καὶ ἄρχει πάσης τῆς Αἰγύπτου. καὶ ταραττόμενος τὴν διάνοιαν ἐλογίζετο πρὸς ἑαυτὸν, πῶς ἂν ἔχοι τοῦτο λόγον; εἰ γὰρ τὸ πρότερον ἀληθὲς, τοῦτο οὐχ οἷόν τε εἶναι πιστόν. εἰ δὲ τοῦτο πιστὸν καὶ ἀληθὲς, ἐκεῖνο ψεῦδος ἂν εἴη. ἐτάραττε δὲ αὐτὸν μάλιστα τὸ παρὰ τῶν υἱῶν τὰ πρότερα ἀκηκοέναι, καὶ" ἕτερα νῦν παρὰ τῶν αὐτῶν μανθάνειν. ὁρῶντες τοίνυν τοῦ πατρὸς τὴν ταραχὴν, καὶ βουλόμενοι αὐτὸν εἰς πίστιν ἀγαγεῖν καὶ πληροφορίαν, ὅτι ἀληθῆ τὰ παρ' αὐτῶν λεγόμενα τυγχάνει, 27 Ἐλάλησαν αὐτῷ πάντα τὰ ῥηθέντα παρὰ τοῦ Ἰωσὴφ, καὶ ὅσα εἶπεν αὐτοῖς. Καὶ μετὰ τῶν ῥημάτων καὶ τὰ ἀποσταλέντα προσενέγκαντες, τὰς ἁμάξας καὶ τὰ δῶρα τὰ παρὰ τοῦ Ἰωσὴφ πεμφθέντα, μόλις ἔδοξαν πείθειν τὸν πατέρα, ὅτι οὐκ ἔστιν ψεῦδος τὰ παρ' αὐτῶν λεγόμενα.

Ὁρῶν γὰρ τὰς ἁμάξας τὰς ἀποσταλείσας, ὥστε καταβῆναι αὐτὸν εἰς Αἴγυπτον, ἀνεζωπύρησέ, φησιν. Ὁ γέρων, ὁ πρεσβύτης, ὁ συγκεκυφὼς, ἀθρόον ἐνέαζε τῇ προθυμίᾳ. ἀνεζωπύρησε γάρ, φησι. τί ἐστιν, ἀνεζωπύρησε; καθάπερ τὸ λυχνιαῖον πῦρ, ἐπειδὰν ἐπιλίπῃ ἡ τοῦ ἐλαίου τροφὴ, καὶ μέλλῃ σβέννυσθαι, εἰ μικρόν τις" ἐπιστάσειεν αὐτῷ" ἔλαιον, ἀθρόον τὸ σβέννυσθαι μέλλον λαμπρότερον δείκνυσι τὸ φῶς· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης οὗτος, μονονουχὶ σβέννυσθαι μέλλων ὑπὸ τῆς ἀθυμίας (οὐκ ἠθέλησε γάρ, φησι, παρακληθῆναι, λέγων, ὅτι καταβήσομαι πενθῶν εἰς ᾅδου) μαθὼν πάλιν, ὅτι ζῇ καὶ ὅτι ἄρχει τῆς Αἰγύπτου, καὶ ὁρῶν τὰς ἁμάξας, ἀνεζωπύρησέ, φησι, νέος ἐκ γέροντος γέγονεν, ἀπέθετο τῆς ἀθυμίας τὸ νέφος, τὴν ζάλην τῶν λογισμῶν ἀποκρουσάμενος, ἐν γαλήνῃ λοιπὸν ἐτύγχανε, τοῦ Θεοῦ ταῦτα ἅπαντα οἰκονομοῦντος, ὥστε τῶν τοσούτων πόνων τὴν παραμυθίαν εὑρέσθαι τὸν δίκαιον, καὶ κοινωνῆσαι τῷ παιδὶ τῆς εὐημερίας· ἄλλως δὲ, ἵνα καὶ τὸ ὄναρ πληρωθῇ, ὅπερ αὐτὸς διέκρινεν, εἰπών· ἆρά γε ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοὶ προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; καὶ πιστεύσας τοῖς εἰρημένοις καὶ τοῖς ὁρωμένοις,

28 Εἶπε, φησι, μεγάλα μοί ἐστιν, εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου ζῇ. πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με. Μεγάλα μοί ἐστι, καὶ ὑπερβαίνει πάντα λογισμὸν, καὶ ἀποκρύπτει πᾶσαν ἐν ἀνθρώποις εὐφροσύνην, εἰ ἔτι ὁ υἱός μου ζῇ. πορευθεὶς οὖν ὄψομαι αὐτόν." ἐπειχθῶμεν τοίνυν λοιπὸν, ὥστε καὶ τὰ τῆς συντυχίας μοι ὑπάρξαι, πρὶν ἢ ἀποθανεῖν με. νῦν μὲν γὰρ ἡ ἀκοὴ διανέστησέ μου τὴν διάνοιαν, καὶ τὴν τοῦ γήρως ἀσθένειαν ἐφυγάδευσε, καὶ ἀνέρρωσέ μου τὸν λογισμόν. εἰ δὲ καὶ συντυχία μοι γένοιτο, τελείας ἀπολαύσας τῆς εὐφροσύνης, οὕτω καταλύσω τὸν βίον. καὶ μηδὲν μελλήσας ὁ δίκαιος ἥπτετο τῆς ὁδοιπορίας, σπεύδων καὶ ἐπειγόμενος τὸν αὐτῷ περιπόθητον ἰδεῖν, καὶ τὸν πρὸ τοσούτων ἐτῶν τεθνηκότα καὶ θηρίων κατάβρωμα γενόμενον, ὡς ἐνόμιζε, θεάσασθαι νῦν βασιλέα τῆς Αἰγύπτου γεγενημένον.

κεφ. μϛ.

1 Καὶ γενόμενος ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, εὐχαριστηρίους εὐχὰς ἀναπέμψας τῷ δεσπότῃ, ἔθυσε, φησι, θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. Ταῦτα ἀκούοντες παιδευώμεθα, ὅπερ ἂν μέλλοιμεν διαπράττεσθαι, κἂν πράγματί τινι ἐγχειρήσωμεν, κἂν ἀποδημίας ἁπτώμεθα, πρότερον τὴν διὰ τῆς εὐχῆς θυσίαν ἀναφέρειν τῷ δεσπότῃ·

σούτῃ, καὶ τὴν ἐκείνου συμμαχίαν καλοῦντα, οὕτως ἅπτεσθαι τῶν προκειμένων, καὶ μιμεῖσθαι τῶν δικαίων τούτων τὸ φιλόθεον. ἔθυσε, φησι, θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ· ″ἵνα μάθῃς ὅτι κατ' ἴχνος τοῦ πατρὸς ἐπορεύετο, καὶ οὕτω τὴν περὶ τὸ θεῖον θεραπείαν ἐπεδείκνυτο, καθάπερ ὁ Ἰσαάκ. καὶ ἐπειδὴ τὴν οἰκείαν εὐγνωμοσύνην προλαβὼν διὰ τῆς εὐχαριστίας ἐπεδείξατο, εὐθέως ἐπηκολούθησε καὶ τὰ παρὰ τῆς ἄνωθεν ῥοπῆς. ἐπειδὴ γὰρ καὶ τὸ διάστημα τῆς ὁδοῦ περιορῶν, καὶ πρὸς τὸ γῆρας ἀποβλέπων ἐδεδοίκει, μὴ * πρὸ τῆς συντυχίας ἐπιστὰς ὁ θάνατος ἀποστερήσῃ τῆς τοῦ παιδὸς ὄψεως, εὐχὰς ποιεῖται πρὸς τὸν δεσπότην ἐπιμετρῆσαι αὐτῷ ζωήν, ὥστε τελείας ἀπολαῦσαι τῆς ἡδονῆς. ἀλλ' ὅρα πῶς ὁ ἀγαθὸς Θεὸς πληροφορεῖ τὸν δίκαιον. 2 Εἶπε γάρ, φησιν, ὁ Θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτός· Ἰακώβ, Ἰακώβ· 3 Ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σου. μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον. εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ. 4 Ἐγὼ καταβήσομαι μετὰ σοῦ, κἀγὼ ἀναβιβάσω σε εἰς τέλος. καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμούς σου. Ὅρα πῶς ἅπερ ὁ δίκαιος ἐπεθύμει, ταῦτα αὐτῷ ὁ δεσπότης ὑπισχνεῖται, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. φιλότιμος γὰρ ὢν ὑπερβαίνει τὰς ἡμετέρας αἰτήσεις, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος. μὴ φοβοῦ, φησι, καταβῆναι εἰς Αἴγυπτον. ἐπειδὴ ἠγωνία πρὸς τὸ μῆκος τῆς ὁδοῦ, διὰ τοῦτό φησι, μὴ πρὸς τὴν τοῦ γήρως ἀσθένειαν ἀπίδῃς. εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ, καὶ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον. ἐγώ σοι συνέσομαι, καὶ πάντα σοι εὐμαρῆ καταστήσω. σκόπει συγκατάβασιν ῥημάτων. καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον. τί τούτου μακαριστότερον γένοιτ' ἄν, τοῦ τὸν Θεὸν ἔχειν συνοδοιπόρον; εἶτα ἡ παραμυθία, ἧς μάλιστα ἐδεῖτο ὁ πρεσβύτης· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. ἐκεῖνος ὁ περιπόθητος, αὐτός σε περιστελεῖ, καὶ τὰς χεῖρας ἐπιβαλεῖ τοῖς ὀφθαλμοῖς σου. χαίρων οὖν καὶ πάσης ἀγωνίας ἐκτὸς γεγονώς, οὕτως ἔχου τῆς ὁδοῦ. ἐννόει μοι λοιπὸν τὸν δίκαιον μεθ' ὅσης εὐθυμίας ″ποιεῖται τὴν ὁδοιπορίαν, τοσαύτην ἐκ τῆς τοῦ Θεοῦ ὑποσχέσεως λαβὼν τὴν πληροφορίαν. 5 Ἀνέστη γάρ, φησιν, Ἰακώβ, καὶ οἱ υἱοὶ αὐτοῦ, 6 Καὶ ἔλαβον πᾶσαν τὴν κτῆσιν αὐτῶν, καὶ ἦλθον εἰς Αἴγυπτον. 27 Ἐν ἑξήκοντα ἓξ ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον.

28 Καὶ Ἰωσὴφ μετὰ τῶν υἱῶν αὐτοῦ τῶν γενομένων αὐτῷ ἔννατος ἐτύγχανεν ὤν· ὡς εἶναι μετὰ τοῦ Ἰωσὴφ τὰς πάσας ψυχάς, ἑβδομήκοντα πέντε. Τίνος ἕνεκεν τὸν ἀριθμὸν ἡμῖν μετὰ ἀκριβείας ἐπεσημήνατο ἡ θεία γραφή; ἵνα εἰδέναι ἔχωμεν, ὅπως εἰς ἔργον ἔξεισιν ἡ τοῦ Θεοῦ πρόρρησις ἡ λέγουσα, ὅτι εἰς ἔθνος μέγα ποιήσω σε ἐκεῖ. ἀπὸ γὰρ τούτων τῶν ἑβδομήκοντα πέντε ψυχῶν εἰς ἑξακοσίας χιλιάδας ἐξετάθη τὸ γένος τοῦ Ἰσραήλ. εἶδες πῶς οὐ μάτην οὐδὲ εἰκῆ τὸν ἀριθμὸν τῶν κατελθόντων εἰς τὴν Αἴγυπτον ἐδίδαξεν ἡμᾶς, ἀλλ' ἵνα ἰδεῖν ἔχωμεν ἐξ ὅσων πόσοι γεγόνασι, καὶ μὴ διαπιστῶμεν ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις. ὅταν γὰρ ἐννοήσῃς, ὅτι μετὰ τὴν τοῦ Ἰακὼβ τελευτὴν καὶ τοῦ Ἰωσήφ, τοσαύτῃ ″μηχανῇ χρησάμενος ὁ τῶν Αἰγυπτίων βασιλεύς, ὥστε εἰς εὐαριθμήτους αὐτοὺς περιστῆσαι καὶ μὴ ἐκταθῆναι αὐτῶν τὸ πλῆθος, οὐδὲ οὕτως ἴσχυσεν, ἀλλὰ ταύτῃ μᾶλλον ἐπεδίδου καὶ ηὔξετο, θαύμαζε καὶ ἐκπλήττου τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ ὅτι οὐχ οἷόν τέ ποτε διαπεσεῖν τὰ αὐτῷ δόξαντα, κἂν μυρία ἕτεροι μηχανῶνται. ἀλλ' ἴδωμεν τὴν ἀκολουθίαν ἅπασαν, ἵνα μάθωμεν ὅπως τὰ τῆς συντυχίας γέγονε τῷ Ἰακώβ.

29 Ἡνίκα, φησίν, ἤγγισε τῇ Αἰγύπτῳ, ἀπέστειλε τὸν Ἰούδαν ἔμπροσθεν αὐτοῦ πρὸς τὸν Ἰωσήφ, ὥστε μηνῦσαι αὐτῷ τοῦ πατρὸς τὴν παρουσίαν. 30 Μαθὼν τοίνυν ὁ Ἰωσήφ, καὶ ζεύξας τὰ ἅρματα ἀνέβη εἰς συνάντησιν τῷ πατρὶ αὐτοῦ, καὶ ὀφθεὶς αὐτῷ

ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πλείονι. Τοῦτο ἐστὶν ὅπερ ἐν παροιμίαις ἔλεγον, ὅτι πολλάκις καὶ ἡδονὴ ὑπερβάλλουσα δάκρυα προχέειν παρασκευάζει. ἐπιπεσών, φησιν, ἐπὶ τὸν τράχηλον αὐτοῦ ἔκλαυσεν, οὐχ ἁπλῶς, ἀλλὰ κλαυθμῷ πλείονι. εὐθέως γὰρ εἰς ἔννοιαν ἐλθών, ὧν πέπονθεν αὐτός, ὧν ὑπέμεινεν ὁ πατὴρ δι' αὐτὸν, καὶ τοῦ χρόνου τὸ μῆκος λογισάμενος τοῦ μεταξὺ γενομένου, καὶ ὅτι παρὰ πᾶσαν προσδοκίαν καὶ αὐτὸς τὸν πατέρα ἑώρα, καὶ ὁ πατὴρ τὸν παῖδα ἐθεάσατο, πηγὰς ἠφίει δακρύων, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν ἡδονὴν δεικνύμενος, καὶ εὐχαριστῶν τῷ δεσπότῃ ὑπὲρ τῶν γεγενημένων. 31 Καὶ εἶπε, φησι, πρὸς Ἰωσήφ· ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου. ἔτι γὰρ σὺ ζῇς. Ἀπήλαυσα, φησιν, ὧν ἐπεθύμουν· ἐπέτυχον, ὧν οὐδέποτε προσεδόκησα· ὑπῆρξέ μοι τὰ μηδέποτε ἐλπισθέντα· τὸ λοιπὸν ἀρκοῦμαι τῇ ζωῇ. εἶδον γὰρ ὃν ἐπεπόθουν, καὶ ἀρκεῖ μοι πρὸς πᾶσαν εὐφροσύνην τὸ θεάσασθαι, ὅτι ἔτι σὺ ζῇς, ὁ πάλαι νομισθεὶς τεθνηκέναι, καὶ θηρίων κατάβρωμα γεγενῆσθαι. πατρικὴ ἡ φωνὴ, καὶ φιλοστοργίας γέμουσα, καὶ ἱκανὴ τὴν διάθεσιν τὴν ἐναποκειμένην τῇ ψυχῇ κατάδηλον ποιῆσαι. 32 Εἶπε δέ, φησιν, Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἀναβὰς ἀπαγγελῶ τῷ Φαραώ, καὶ ἐρῶ αὐτῷ· οἱ ἀδελφοί μου ἥκασιν. 33 Οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες κτηνοτρόφοι εἰσί, καὶ τὰ κτήνη καὶ τοὺς βόας αὐτῶν ἀγηόχασιν.

34 Ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραώ, καὶ εἴπῃ, τί τὸ ἔργον ὑμῶν; 35 Εἴπατε, ὅτι κτηνοτρόφοι ἐσμέν. βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων.

Ὅρα σύνεσιν, οἵαν συμβουλὴν πρὸς αὐτοὺς ποιεῖται, οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ταῦτα εἰσηγούμενος, ἀλλ' ὁμοῦ βουλόμενος καὶ ἐν πλείονι ἀδείᾳ αὐτοὺς καταστῆσαι, καὶ μὴ συγχωρεῖν συναναμίγνυσθαι τοῖς Αἰγυπτίοις. ἐπειδὴ γὰρ ἐκεῖνοι ἐβδελύττοντο καὶ ἐξευτέλιζον τοὺς τὴν ποιμαντικὴν ἠσκηκότας, ἅτε δὴ αὐτοὶ περὶ τὴν σοφίαν τὴν Αἰγυπτιακὴν ἐσχολακότες, διὰ τοῦτο παραινεῖ τὸ ἐπιτήδευμα αὐτῶν προβαλέσθαι, ἵνα μετὰ προφάσεως εὐλόγου τὴν καλλιστεύουσαν αὐτοῖς γῆν ἀφορίσας παρασκευάσῃ μετὰ πολλῆς διάγειν τῆς ἀδείας.

2 Καὶ παραλαβὼν πέντε τῶν ἀδελφῶν αὐτοῦ εἰσήγαγεν αὐτοὺς πρὸς Φαραώ, καὶ ἐπηρώτησεν αὐτούς, τί τὸ ἔργον ὑμῶν; 3 Καὶ εἶπον, κτηνοτρόφοι ἐσμέν. κεφ. μζ.

4 Νῦν οὖν κατοικήσωμεν ἐν γῇ Γεσέμ. 6 Εἶπε δὲ Φαραώ, κατοικείτωσαν. εἰ δὲ ἐπίστῃ, ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. Καθάπερ συνεβούλευσεν ὁ Ἰωσήφ, τὴν ἀπόκρισιν ποιησάμενοι οἱ ἀδελφοὶ τῷ Φαραώ, ἐπετράπησαν κατοικεῖν τὴν Γεσέμ. ἀλλὰ τὴν περὶ τὸν Ἰωσὴφ δεικνὺς ὁ Φαραὼ εὔνοιαν, φησιν, εἰ οἶδας τινὰς ἐν αὐτοῖς δυνατούς, καὶ τῶν ἐμῶν κτηνῶν ἄρχοντας κατάστησον. 7 Εἰσήγαγε δὲ καὶ τὸν πατέρα πρὸς τὸν Φαραώ,

8 Καὶ εἶπε Φαραὼ τῷ Ἰακώβ· πόσα ἔτη τῶν ἡμερῶν τῆς ζωῆς σου;

Ἐπειδὴ εἶδε τὸν πρεσβύτην ἐν βαθυτάτῃ πολιᾷ τυγχάνοντα, πυνθάνεται τῶν ἐτῶν τὸν ἀριθμόν. 9 Καὶ φησιν ὁ Ἰακώβ, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ.

Ὅρα πῶς ἕκαστος τῶν δικαίων, ὡς ἐν ξένῃ διάγων ἐν τῷ βίῳ τούτῳ, οὕτω διέκειτο. ἀκούσῃ γὰρ καὶ τοῦ Δαβὶδ μετὰ ταῦτα λέγοντος, Ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος. (Ψαλ. λη. ιγ.) καὶ οὗτός φησιν, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε περὶ τῶν δικαίων τούτων· Ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. (Εβ. ια. ιγ.) Αἱ ἡμέραι, φησίν, τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη. μικραὶ καὶ πονηραὶ γεγόνασι, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου. Ἃς ἡμέρας παρῴκησα, φησι, μικραὶ καὶ πονηραὶ γεγόνασιν.

αἰνίττεται ἐνταῦθα τὰ ἔτη τῆς δουλείας, ἧς ὑπέμεινε παρὰ τῷ Λάβαν, διὰ τὴν φυγήν, ἣν διὰ τὸν ἀδελφὸν ἐποιήσατο· εἶτα μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον τὸ πένθος τὸ ἐν τοσούτῳ χρόνῳ, ὃ εἶχε διά τε τὸν τοῦ Ἰωσὴφ θάνατον, καὶ τὰς ἄλλας τὰς ἐν τῷ μέσῳ ταλαιπωρίας. πόσον γὰρ οἴει τὸν φόβον αὐτὸν ἐσχηκέναι, ἡνίκα διὰ τὴν ἀδελφὴν οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευῒ αὔτανδρον πόλιν ἀνεῖλον, καὶ πάντας τοὺς ἐν Σηκίμοις αἰχμαλώτους ἔλαβον; ἔλεγε γὰρ καὶ τότε, δεικνὺς τὴν ἀγωνίαν ἐν ᾗ κατέστη· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι ἐν τοῖς κατοικοῦσι τὴν γῆν. ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ· καὶ συναχθέντες ἐπ᾽ ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου. διὰ τοῦτό φησι, μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου.

11 Καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς " κατάσχεσιν ἐν γῇ Αἰγύπτῳ, ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ῥαμεσσῆ, καθὰ προσέταξε Φαραώ. 12 Καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα. Τοῦτο ἦν ὅπερ ἔλεγε τοῖς ἀδελφοῖς, ὅτι ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὥστε ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς· καὶ ὅτι εἰς ζωὴν ἐξαπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν. ἐσιτομέτρει, φησίν, αὐτοῖς κατὰ σῶμα. τί ἐστι κατὰ σῶμα; τὸ ἀρκοῦν ἑκάστῳ. ἔθος γὰρ τῇ γραφῇ ποτὲ μὲν ἀπὸ τῆς ψυχῆς τὸν πάντα ἄνθρωπον καλεῖν, ποτὲ δὲ ἀπὸ τοῦ σώματος. καὶ καθάπερ ἀνωτέρω ἔλεγεν, ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον, ἵνα εἴπῃ ἑβδομήκοντα πέντε ἄνδρας καὶ γυναῖκας· οὕτω καὶ ἐνταῦθα, κατὰ σῶμα, ἀντὶ τοῦ, καθ᾽ ἕκαστον ἄνθρωπον. καὶ πάσης τῆς Αἰγύπτου καὶ Χαναὰν λιμῷ διαφθειρομένης, οὗτοι ἐν εὐετηρίᾳ ἐτύγχανον, καθάπερ ἐκ πηγῶν ἔχοντες ἐπιρρέοντα τὸν σῖτον.

13 Σῖτος γάρ, φησιν, οὐκ ἦν ἐν πάσῃ τῇ γῇ. ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα. ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου, καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ. Ὅρα τοῦ Θεοῦ τὴν ἄφατον κηδεμονίαν, ὅπως πρὸ τῆς ἐπιτάσεως τοῦ λιμοῦ τὸν δίκαιον εἰς τὴν Αἴγυπτον κατήγαγεν, ἵνα μηδεμίαν αἴσθησιν λάβῃ τῆς στενοχωρίας τῆς μελλούσης καταλαμβάνειν τὴν Χαναάν. καὶ πάντων ἐκεῖσε κατατρεχόντων, 14 Συνήγαγε, φησιν, Ἰωσὴφ ἅπαν τὸ ἀργύριον τό τε ἐν Αἰγύπτῳ καὶ τὸ ἐν τῇ Χαναάν, Καὶ οὕτω τὸν σῖτον αὐτοῖς ἐχορήγει. 15 Καὶ ἐξέλιπε λοιπὸν τὸ ἀργύριον. εἰσήγαγε γὰρ ἅπαν εἰς τὸν οἶκον Φαραώ. ἐλθόντες δὲ πάντες οἱ Αἰγύπτιοι ἔλεγον, δὸς ἡμῖν ἄρτους. καὶ ἵνα τί ἀποθνήσκομεν ἐναντίον σου; ἐξέλιπε γὰρ τὸ ἀργύριον. Οὐκ ἔτι, φησίν, ἔχομεν ἀργύρια, ὥστε ὠνήσασθαι, καὶ διὰ τοῦτο ὑπὸ τοῦ λιμοῦ ἀπολλύμεθα. μὴ τοίνυν περιίδῃς ἡμᾶς ὑπὸ τοῦ θανάτου πολιορκουμένους, ἀλλὰ παράσχου ἡμῖν ἄρτους, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν. 16 Εἶπε δὲ αὐτοῖς Ἰωσήφ· φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους.

Εἰ γὰρ μὴ εὐπορεῖτε, φησιν, ἀργυρίου, δέχομαι τὰ κτήνη. εἰ ἐξέλιπε τὸ ἀργύριον, τὰ θρέμματα ὑμῶν κομίσατε, καὶ λήψεσθε ἄρτους. 17 Ἤγαγον δὲ τὰ κτήνη. καὶ ἔδωκεν αὐτοῖς ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν προβάτων καὶ ἀντὶ τῶν βοῶν καὶ τῶν ὄνων, καὶ ἐξέθρεψεν αὐτοὺς ἀντὶ τῶν κτηνῶν αὐτῶν. 18 Ἦλθον δὲ πρὸς αὐτὸν καὶ τῷ ἔτει τῷ δευτέρῳ, καὶ εἶπον αὐτῷ· μήποτε ἐκτριβῶμεν, Μήτε ἀργυρίου εὐποροῦντες, μήτε κτηνῶν; Πάντα γὰρ πρὸς σὲ τὸν κύριον ἡμῶν ἐστιν. οὐδὲν " οὖν ἡμῖν ἕτερον ὑπολέλειπται, ἢ τὸ ἴδιον σῶμα, καὶ ἡ γῆ ἡμῶν. 19 Ἵνα οὖν μὴ ἀποθάνωμεν, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ τῶν ἄρτων, καὶ ἐσόμεθα καὶ ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ. δὸς σπέρμα ἵνα σπείρωμεν καὶ ζῶμεν καὶ μὴ ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται.

Ἑαυτοὺς κατεδουλώσαντο, καὶ τὴν γῆν ἀπέδοντο, ὥστε δυνηθῆναι διατραφῆναι.

ταύτῃ τοῦ λιμοῦ γέγονεν ἡ ἀνάγκη. 20 Καὶ ἐκτήσατο Ἰωσὴφ τὴν γῆν τῶν Αἰγυπτίων τῷ Φαραώ. Ἀπέδοντο γὰρ αὐτὴν διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ.

21 Καὶ ἐγένετο ἡ γῆ τῷ Φαραώ, καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας ἀπ' ἄκρων ὁρίων Αἰγύπτου ἕως ἄκρων, 22 Χωρὶς τῆς γῆς τῶν ἱερέων. ἐκείνοις γὰρ ἔδωκε Φαραὼ "βρώματα, καὶ ἤσθιον. διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν.

Ὅρα πόση ἡ σύνεσις καὶ σοφία τοῦ Ἰωσὴφ γέγονεν. οὔτε τοῦ λιμοῦ συνεχώρησεν αἴσθησιν αὐτοῖς γενέσθαι, καὶ πᾶσαν τὴν γῆν τῷ Φαραὼ προσεκτήσατο μετὰ καὶ τὸ τοὺς Αἰγυπτίους ἅπαντας καταδουλώσασθαι. ἀλλὰ σκόπει μοι ἐνταῦθα πάλιν τὴν ὑπερβάλλουσαν αὐτοῦ κηδεμονίαν, ἣν περὶ αὐτοὺς ἐπιδείκνυται. 23 Εἶπε γὰρ τοῖς Αἰγυπτίοις· ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ Φαραώ. λάβετε οὖν ἑαυτοῖς σπέρματα, καὶ σπείρατε τὴν γῆν. καὶ ἐὰν "ἔσται τὰ γεννήματα αὐτῆς. 24 "Δότε τὸ πέμπτον μέρος τῷ Φαραώ, τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ γῇ, καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς ἐν τοῖς οἴκοις ὑμῶν. Πολλὴ ἡ φιλοτιμία, πολλὴ ἡ πρόνοια, ἄφατος ἡ κηδεμονία. διὸ κἀκεῖνοι αἴσθησιν λαβόντες τῆς εὐεργεσίας, φασί· 25 Σέσωκας ἡμᾶς. εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν· καὶ ἐσόμεθα παῖδες τῷ Φαραώ. Εἶδες φιλοτιμίαν. ἐπειδὴ ἑώρα αὐτοὺς κατειργασμένους ὑπὸ τῆς ἐνδείας, λογιζόμενος ὅσον μέλλουσιν ὑπομένειν κάματον γεωργοῦντες καὶ ταλαιπωρούμενοι, φησί, τὸ μὲν σπέρμα ὑμῖν ἐγὼ χορηγήσω· ὑμεῖς δὲ τὴν ἐπιμέλειαν τὴν ἄλλην ἅπασαν ἐπιδείκνυσθε. καὶ ἐπὰν γένηται τὰ γεννήματα, δώσετε μέρος ἕν· τὰ δὲ τέσσαρα ὑμῖν ἔσται καὶ μισθὸς τῶν πόνων, καὶ πρὸς διατροφὴν αὐτάρκεια. 26 Καὶ τοῦτο δὲ ἔθετο αὐτοῖς τὸ πρόσταγμα Ἰωσήφ, ὥστε ἀποπεμπτοῦν τῷ Φαραώ, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνης. Ἀκουέτωσαν οἱ νῦν, ὅσην τοῖς ἱερεῦσι τῶν εἰδώλων προνομίαν παρέσχον τὸ παλαιόν· καὶ παιδευέσθωσαν κἂν γοῦν τὴν ἴσην παρέχειν τιμὴν τοῖς τοῦ τῶν ὅλων Θεοῦ τὴν λειτουργίαν ἐγκεχειρισμένοις." εἰ γὰρ ἐκεῖνοι πλανώμενοι, καὶ τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπιδεικνύμενοι, ὅτι ἐνόμιζον διὰ τούτου μάλιστα πλείονα "τὴν ἀμοιβὴν ἀπονέμειν τοῖς εἰδώλοις, τοσαύτης ἠξίουν τιμῆς τοὺς τούτων θεραπευτάς, πόσης οὐκ ἂν εἶεν καταγνώσεως ἄξιοι, οἱ νῦν τὴν εἰς τούτους θεραπείαν "παρατεμνόμενοι; ἢ οὐκ ἴστε, ὅτι εἰς τὸν τῶν ὅλων δεσπότην ἡ τιμὴ διαβαίνει; μὴ τοίνυν πρὸς τὸν τὴν τιμὴν δεχόμενον ἀφόρα. οὐ γὰρ διὰ τοῦτον ὀφείλεις ποιεῖν τὰ παρὰ σαυτοῦ, ἀλλὰ δι' ἐκεῖνον ᾧ ἱερᾶται· ἵνα καὶ παρ' ἐκείνου τὰς ἀμοιβὰς μετὰ δαψιλείας κομίσῃ. διὰ τοῦτο καὶ ἔλεγεν, Ὁ ποιήσας ἑνὶ τούτων, ἐμοὶ ἐποίησε· καὶ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. (Ματθ. ι.) μὴ γὰρ ἀπὸ τῆς ἀξίας, ἢ ἀπὸ τῆς εὐτελείας τῶν θεραπευομένων τὰς ἀμοιβάς σοι παρέχει ὁ δεσπότης; ἀπὸ τῆς προθυμίας τῆς σῆς ἢ στεφανοῖ, ἢ κατακρίνει. καὶ ὥσπερ ἡ τιμὴ ἡ δι' αὐτῶν γινομένη πολλὴν προξενεῖ τὴν παρρησίαν (οἰκειοῦται γὰρ τὰ εἰς τοὺς αὐτοῦ θεράποντας γινόμενα) οὕτω καὶ ἡ ὑπεροψία ἡ εἰς τούτους πολλὴν οἴσει τὴν ἄνωθεν δίκην. ὥσπερ γὰρ τὰ τῆς τιμῆς οἰκειοῦται, οὕτω καὶ τὰ τῆς καταφρονήσεως. ὅπερ εἰδότες μηδέποτε ἀμελῶμεν τῆς θεραπείας τῶν τοῦ Θεοῦ ἱερέων. καὶ ταῦτα λέγω, οὐχὶ ἐκείνων τοσοῦτον ἀντεχόμενος, ὅσον τῆς ὑμετέρας ἀγάπης, καὶ βουλόμενος ὑμᾶς διὰ πάντων κερδαίνειν. τί γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις παρὰ τοῦ δεσπότου; πόσην θεραπείαν εἰσάγεις; ἀλλ' ὅμως καὶ ὑπὲρ ἐκείνης τῆς εὐτελοῦς καὶ [ἐν] τῷ παρόντι βίῳ συγκαταλυομένης ἀθανάτους κομίσῃ ἀμοιβάς, καὶ τὰ ἀπόρρητα ἀγαθά. ἅπερ λογιζόμενοι ἐπιτρέχωμεν ταῖς τοιαύταις διακονίαις. μὴ τὴν δαπάνην" λογιζόμενοι, ἀλλὰ τὸ κέρδος καὶ τὴν πρόσοδον τὴν ἐντεῦθεν τικτομένην.

μένην. Εἰ γὰρ αἱ θεράποντί τινι τῶν ὑπερεχόντων ἐν ἀξιώμασι βιωτικοῖς οἰκειούμενόν τινα θεασαίμεθα, πᾶσαν θεραπείαν εἰς αὐτὸν ἐπιδείκνυσθαι σπουδάζομεν, ἐννοοῦντες ὅτι τὰ εἰς ἐκεῖνον γινόμενα εἰς τὸν προστάτην διαβήσεται τὸν αὐτοῦ, καὶ ὅτι ἐκεῖνος γνωρίσας ἐκείνῳ, ὃν προστάτην ἐπιγράφεται, πλείονος ἡμῖν ἀπολαῦσαι παρασκευάσει τῆς παρ᾽ αὐτοῦ εὐνοίας· πολλῷ μᾶλλον ἐπὶ τοῦ δεσπότου τῶν ὅλων τοῦτο ἔσται. Εἰ γὰρ, καὶ ἐπὶ τῶν τυχόντων καὶ ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένων εἰ ἐπεδείξατό τις τινα φιλοφροσύνην καὶ συμπάθειαν, οἰκειούμενος τὰ γινόμενα ὁ δεσπότης, ἐπαγγέλλεται εἰς τὴν βασιλείαν εἰσάγειν τοὺς ἀγαθόν τι εἰς ἐκείνους εἰργασμένους, καὶ ἐρεῖν· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· πολλῷ μᾶλλον τοὺς διὰ τὸν Θεὸν θλιβομένους, καὶ ἱερωσύνῃ τετιμημένους εἰ θεραπεύσειέ τις, οὐ τῆς τοσαύτης ἀπολαύσεται τῆς ἀμοιβῆς, ἀλλὰ πολυπλασίονος, τοῦ φιλανθρώπου Θεοῦ ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος ἀεὶ τὰ παρ᾽ ἡμῶν γινόμενα. μὴ τοίνυν γινώμεθα χείρους τῶν ἀπίστων, τῶν διὰ τὴν περὶ τὰ εἴδωλα πλάνην ἔτι καὶ τοσαύτην θεραπείαν ἐπιδεικνυμένων περὶ τοὺς τούτων θεραπευτάς· ἀλλ᾽ ὅση ἡ διαφορὰ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, καὶ τῶν ἐκείνων ἱερέων πρὸς τοὺς τοῦ Θεοῦ ἱερεῖς, τοσαύτην διαφορὰν καὶ περὶ τὴν τιμὴν ἐπιδειξώμεθα, ἵνα πολυπλασίους τὰς ἄνωθεν ἀμοιβὰς κομίσασθαι δυνηθῶμεν.

Ματθ. κε. λδ.

γρ. μειζόνως

27 Κατῴκησε δέ, φησιν, Ιακὼβ ἐν Αἰγύπτῳ, καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα. Αὕτη γὰρ ἦν καὶ τοῦ Θεοῦ ἡ ὑπόσχεσις πρὸς αὐτὸν γεγενημένη, ὅτι ποιήσω σε εἰς ἔθνος μέγα.

γρ. πολυπλασίους

28 Καὶ ἐπέζησεν Ιακὼβ δεκαεπτὰ ἔτη. καὶ ἐγένοντο αἱ ἡμέραι Ιακὼβ, ἑκατὸν τεσσαράκοντα ἑπτὰ ἔτη. Διὰ τοῦτο τῆς ζωῆς αὐτῷ τὸν χρόνον τοῦτον ἐπεμέτρησεν ὁ Θεός, ἵνα τῆς ταλαιπωρίας, ἧς ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς ὑπέμεινεν, ἀρκοῦσαν παραμυθίαν κομισάμενος, οὕτω τὸν βίον καταλύσῃ.

ΗΘΙΚΟΝ

Ἀλλ᾽ εἰ βούλεσθε, ἵνα μὴ τῷ πλήθει τῶν εἰρημένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευσάμενοι, ἐνταῦθα καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε μετ᾽ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ τὴν μνήμην διηνεκῆ τούτων κεκτῆσθαι, καὶ ταῦτα διηνεκῶς στρέφειν ἐπὶ τῆς διανοίας, καὶ λογίζεσθαι τὴν ὑπομονήν, ἣν οἱ δίκαιοι οὗτοι ὑπέμενον, τὴν μακροθυμίαν, τὴν πίστιν, ἣν ἐπεδείκνυντο περὶ τὰς τοῦ Θεοῦ ὑποσχέσεις, οὐ παρασαλευόμενοι τῷ λογισμῷ διὰ τὰ μετὰ τὴν ὑπόσχεσιν συμπίπτοντα, ἀλλὰ θαρροῦντες τῇ τοῦ ἐπαγγειλαμένου δυνάμει, οὕτως ἅπαντα πράως ἔφερον, καὶ διὰ τούτων εὐδοκίμουν. ἰδοὺ γὰρ καὶ ὁ δίκαιος οὗτος μετὰ τὸ ἐν ἔτεσι τοσούτοις πενθῆσαι τὸν Ιωσὴφ ὡς ἀποτεθνηκότα, εἶδεν αὐτὸν τὴν βασιλείαν τῆς Αἰγύπτου κατέχοντα. καὶ ὁ θαυμάσιος Ιωσὴφ μετὰ τὴν δουλείαν, μετὰ τὸ δεσμωτήριον, μετὰ τὰ ἄλλα πάντα, ἅπερ ὑπέμεινε, τὴν ἀρχὴν ἅπασαν ἐδέχετο τῆς χώρας. καὶ εἰ βουλοίμεθα ἐπιέναι πάσας τὰς ἐν τῇ γραφῇ κειμένας ἱστορίας, εὑρήσομεν τοὺς ἐπ᾽ ἀρετῇ ἅπαντας διὰ πειρασμῶν ὁδεύσαντας, καὶ οὕτω δυνηθέντας πολλὴν τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν. Εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς τῆς εὐνοίας ἀξιωθῆναι τῆς παρὰ τοῦ Θεοῦ, μὴ ἀσχάλλωμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ δυσχεραίνωμεν πρὸς τὰ ἐπιόντα· ἀλλὰ μᾶλλον χαίρωμεν καὶ εὐφραινώμεθα τῇ πίστει νευρούμενοι, εἰδότες ὅτι ταύτῃ μάλιστα πολλῆς ἀπολαυσόμεθα τῆς προνοίας, εἰ μετ᾽ εὐχαριστίας ἅπαντα φέρειν μελετήσωμεν. γένοιτο δὲ πάντας ἡμᾶς καὶ τὸν παρόντα βίον ἐν ἀρετῇ διάγοντας καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀγάπην

γρ. μεγαλοψύχως

γρ. διάγειν

Λογ. ξϛ. ΗΓΓΙΣΑΝ ΔΕ, φησι, ΑΙ ΗΜΕΡΑΙ ΙΣΡΑΗΛ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐνώπιόν σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ᾽ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ, ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν, ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου. εἶπε δὲ, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

Φέρε καὶ σήμερον τὸ τέλος ἐπιθῶμεν τῇ κατὰ τὸν Ἰακὼβ διηγήσει, καὶ ἴδωμεν τίνα ἐστὶν, ἃ μέλλων καταλύειν τὸν βίον, διατάττεται. ἀλλὰ μηδεὶς πρὸς τὴν νῦν τῶν πραγμάτων κατάστασιν ἀφορῶν ταῦτα ἀπαιτείτω παρὰ τῶν τότε δικαίων, ἅπερ νῦν τοὺς πιστοὺς φιλοσοφεῖν προσήκεν· ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰ πράγματα κρινέτω. ταῦτα δὲ ἐπιτηδὲς ἐπροοιμιασάμην διὰ τὰ μέλλοντα ὑπὸ τοῦ πατριάρχου τῷ Ἰωσὴφ λέγεσθαι. ἵνα δέ ἐστιν, ἀκούσωμεν.

29 Ἤγγισαν δέ, φησὶν, αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσῃς ἐπ᾽ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ, 30 Ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπε, ποιήσω κατὰ τὸ ῥῆμά σου. 31 Εἶπε δὲ, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

Πολλοὶ τῶν μικροψύχων, ἐπειδὰν παραινῶμεν αὐτοῖς μὴ πολλὴν ποιεῖσθαι λόγον περὶ ταφῆς, μηδὲ περισπούδαστον πρᾶγμα ἡγεῖσθαι, τὸ ἀπὸ τῆς ἀλλοτρίας ἐπὶ τὴν οἰκείαν πατρίδα τῶν τετελευτηκότων τὰ λείψανα ἐπανάγειν, ταύτην ἡμῖν προβάλλονται τὴν ἱστορίαν, φάσκοντες καὶ τὸν πατριάρχην τοσαύτην ὑπὲρ τούτου πεποιῆσθαι τὴν φροντίδα. ἀλλὰ πρῶτον μὲν, ὅπερ ἔφθην εἰπὼν, τοῦτο δεῖ λογίζεσθαι, ὅτι οὐ τοσαύτην τότε τὴν φιλοσοφίαν ἀπῃτοῦντο, ὅσην τὰ νῦν. ἔπειτα ὅτι καὶ τοῦτο αὐτὸ οὐχ ἁπλῶς ὁ δίκαιος ἐβουλήθη γενέσθαι, ἀλλ᾽ ἐλπίδας αὐτοῖς χρηστὰς ὑποφαίνων, ὡς καὶ αὐτοὶ ὀψέ ποτε ἐπανήξουσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ ὅτι ταύτης ἕνεκεν τῆς αἰτίας τοῦτο διετάξατο, φανερώτερον ἡμᾶς διδάσκει ὁ τούτου παῖς φάσκων· Ἐπισκοπῇ ἐπισκέψεται ὁ Θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν. ὅτι γὰρ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὰ μέλλοντα ἐφαντάζοντο, ἄκουε αὐτοῦ ἤδη κοίμησιν τὸν θάνατον λέγοντος. φησὶ γὰρ, κοιμηθήσομαι μετὰ τῶν πατέρων μου. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. πῶς; τοῖς τῆς πίστεως ὀφθαλμοῖς. μηδεὶς τοίνυν νομιζέτω μικροψυχίας εἶναι τὴν διάταξιν, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ προορᾶν τὴν μέλλουσαν αὐτῶν ἔσεσθαι ἐπάνοδον, πάσης αἰτίας ἀπολυέτω τὸν δίκαιον. νῦν μὲν γὰρ, ἐπειδὴ τὰ τῆς φιλοσοφίας ἐπετάθη μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, εἰκότως ἄν τις μέμψοιτο τῷ τὰ τοιαῦτα ἐπισκήπτοντι· καὶ μὴ ταλανιζέτω τὸν ἐπ᾽ ἀλλοτρίας τὸν βίον καταλύσαντα, μηδὲ τὸν ἐπ᾽ ἐρημίας τῆς παρούσης ζωῆς μεθιστάμενον. οὐδὲ γὰρ ὁ τοιοῦτος ταλανισμοῦ ἄξιος, ἀλλ᾽ ὁ ἐν ἁμαρτίαις τεθνηκὼς, κἂν ἐπὶ τῆς κλίνης, κἂν ἐπὶ τῆς οἰκίας, κἂν τῶν ἐπιτηδεί-

Γεν. ν. κδ.

Εβ. ια. ιγ.

ὢν παρόντων τὸν βίον καταλύσῃ. καὶ μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα καὶ ἀνοίας μεστὰ λεγέτω τις· ὅτι ὁ δεῖνα κυνὸς ἀτιμότερον τετελεύτηκεν, οὐδενὸς τῶν γνωρίμων αὐτῷ παρόντος, οὐδὲ τὰ τῆς ταφῆς αὐτῷ παρασχεῖν δυνηθέντος, ἀλλ' ἐξ ἐράνου καὶ πολλῶν τινων συνεισενεγκόντων, οὕτω τὰ πρὸς τὴν κηδείαν αὐτῷ παρεσχέθη. οὐ τοῦτό ἐστιν, ἄνθρωπε, κυνὸς ἀτιμότερον τετελευτηκέναι. τί γὰρ ὁ τοιοῦτος παρεβλάβη, μόνον εἰ τὸ τῆς ἀρετῆς ἔνδυμα μὴ εἶχε περιστέλλον αὐτόν; ὅτι γὰρ οὐδὲν τοῦτο λυμαίνεται τὸν ἐνάρετον, μάνθανε ὅτι οἱ πλείους τῶν δικαίων, τῶν προφητῶν λέγω καὶ τῶν ἀποστόλων, πλὴν ὀλίγων, οὐδὲ ἴσμεν ὅπου κατετέθησαν. οἱ μὲν γὰρ τὴν κεφαλὴν ἀπετμήθησαν, οἱ δὲ καταλευσθέντες οὕτω τοῦ βίου μετέστησαν, καὶ ἕτεροι ″μυρίοις καὶ διαφόροις τιμωρίαις ἑαυτοὺς ἐκδόντες διὰ τὴν εὐσέβειαν, ″πάντες ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν. καὶ οὐδεὶς ἂν τολμήσειε περὶ τῶν τοιούτων εἰπεῖν, ὅτι ἄτιμος αὐτῶν γέγονεν ὁ θάνατος, ἀλλὰ ἀκολουθήσει τῇ θείᾳ γραφῇ λεγούσῃ, Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. καὶ ὥσπερ τὸν τῶν ὁσίων θάνατον τίμιον ἐκάλεσεν, οὕτως ἄκουε καὶ τὸν τῶν ἁμαρτωλῶν πονηρὸν καλοῦντος τὸν θάνατον. θάνατος γάρ, φησιν, ἁμαρτωλῶν πονηρός. ὥστε κἂν ἐπὶ τῆς οἰκίας τις καταλύσῃ τὸν βίον, καὶ γυναικὸς καὶ παιδίων παρόντων, καὶ ἐπιτηδείων καὶ γνωρίμων παρεστώτων, ἀρετῆς δὲ ἔρημος τυγχάνῃ, πονηρὸς ἂν εἴη ὁ τούτου θάνατος. οὕτω, κἂν ἐπ' ἀλλοτρίας, κἂν ἐπὶ τοῦ ἐδάφους ″κείμενος (καὶ τί λέγω ἐπ' ἀλλοτρίας, καὶ τοῦ ἐδάφους;) κἂν λῃσταῖς περιπέσῃ, κἂν θηρίων κατάβρωμα γένηται ὁ τὴν ἀρετὴν κεκτημένος, τίμιος ἂν εἴη ὁ θάνατος τούτου. εἰπὲ γάρ μοι· ὁ τοῦ Ζαχαρίου παῖς οὐ τὴν κεφαλὴν ἀπετμήθη; Στέφανος δὲ ὁ ″πρῶτος τοῦ μαρτυρίου τὸν στέφανον ἀναδησάμενος, οὐχὶ καταλευσθεὶς οὕτω τὸν βίον κατέλυσε; Παῦλος δὲ καὶ Πέτρος οὐχὶ ὁ μὲν ἀποτμηθείς, ὁ δὲ ἀπ' ἐναντίας τῷ δεσπότῃ τοῦ σταυροῦ τὴν τιμωρίαν δεξάμενος, οὕτω μετέστη τῆς παρούσης ζωῆς; οὐχὶ διὰ τοῦτο μάλιστα πανταχοῦ τῆς οἰκουμένης ᾄδονται καὶ ἀνακηρύττονται; ταῦτα δὲ ἅπαντα ἀναλογιζόμενοι μήτε τοὺς ἐπὶ τῆς ξένης τελευτῶντας ταλανίζωμεν, μήτε τοὺς ἐπὶ τῆς οἰκίας καταλύοντας τὸν βίον μακαρίζωμεν· ἀλλὰ τῷ τῆς θείας γραφῆς κανόνι κατακολουθοῦντες, καὶ τοὺς ἐν ἀρετῇ βεβιωκότας, καὶ οὕτω μεθισταμένους, μακαρίζωμεν, καὶ τοὺς ἐν ἁμαρτίαις τελευτῶντας ταλανίζωμεν. ὥσπερ γὰρ ὁ ἐνάρετος εἰς βελτίονα ζωὴν μεθίσταται τῶν πόνων τὰς ἀμοιβὰς κομιζόμενος, οὕτως ὁ ταύτης ἔρημος ὤν, ἀρχὰς καὶ προοίμια τῶν τιμωριῶν ἤδη δεχόμενος, καὶ τὰς εὐθύνας τῶν πεπραγμένων ἀπαιτούμενος, ἀνηκέστοις περιβάλλεται κακοῖς. διὸ χρὴ ταῦτα ἐννοοῦντας ἀρετῆς ἐπιμελεῖσθαι, καὶ καθάπερ ἐν παλαίστρᾳ ἐπὶ τοῦ παρόντος βίου ἀγωνίζεσθαι, ἵνα μετὰ τὸ λυθῆναι τὸ θέατρον, λαμπρὸν ἀναδήσασθαι δυνηθῶμεν τὸν στέφανον, καὶ μὴ ἀνόνητα ″μεταμελώμεθα. ἕως γὰρ ″οὔπω ἐνέστηκεν ὁ ἀγών, δυνατόν ἐστιν, εἰ βουληθείημεν, καὶ τὴν ῥᾳθυμίαν ἀποτινάξασθαι, καὶ τῆς ἀρετῆς ἀντέχεσθαι, ″ἵνα καὶ τῶν ἀποκειμένων στεφάνων ἐπιτυχεῖν δυνηθῶμεν. ἀλλ' εἰ δοκεῖ λοιπόν, ἐπανέλθωμεν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου. ἐπειδὴ γὰρ ἐπέσκηψε τῷ παιδὶ περὶ τῆς ταφῆς, καὶ εἶπεν Ἰωσήφ· ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου, ″φησιν, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ὅρα τὸν γέροντα, τὸν πρεσβύτην, τὸν πατριάρχην διὰ τῆς προσκυνήσεως τὴν εἰς τὸν Ἰωσὴφ τιμὴν ἐπιδεικνύμενον, καὶ διὰ τῶν ἔργων αὐτῶν πληροῦντα νῦν τοῦ ″ὁράματος τὴν ἔκβασιν. ἡνίκα γὰρ διηγήσατο αὐτῷ ὁ Ἰωσὴφ τὸ ὅραμα, εἶπε, φησιν, ἆρά γε ἐλθόντες ἐγώ τε καὶ ἡ μήτηρ σου προσκυνήσομέν σοι ἐπὶ τὴν γῆν; ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ πῶς ἐξέβη τὸ ὄναρ τῆς μητρὸς προαπελθούσης, καὶ μὴ προσκυνησάσης τὸν παῖδα; ἔθος ἀεὶ τῇ γραφῇ ἀπὸ τοῦ κυριωτέρου τὸ πᾶν δηλοῦν. ἐπεὶ οὖν κεφαλὴ τῆς γυναικός ὁ ἀνήρ, καὶ

Ψαλ. ριε. ϛ

ἴσ. μυρίαις

γρ. καὶ πάντες, ὅτι ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν.

γρ. κατακείμενος.

γρ. πρωτομάρτυς

γρ. μεταμελώμεθα οἱ ἀρετῶμεν.

γρ. ὅτε

γρ. περὶ τὸ τῆς ἀρετῆς στάδιον [illegible]

γρ. εἶτα προστίθησι,

γρ. ῥήματος

Ἔσονται,

Γεν. β. κδ.

Ἔσονταί, φησιν, οἱ δύο εἰς σάρκα μίαν, τῆς κεφαλῆς προσκυνησάσης δηλονότι καὶ τὸ σῶμα ἅπαν ταύτῃ εἵπετο. εἰ γὰρ ὁ πατὴρ τοῦτο πεποίηκε, πολλῷ μᾶλλον κἀκείνη, εἰ μὴ τῆς ζωῆς προεξηρπάσθη, τοῦτο πεποίηκεν ἄν. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. (Εβ. ια. κα.) ὁρᾷς ὅτι καὶ τοῦτο αὐτὸ πίστει ἐποίει, προορῶν ὅτι βασιλικοῦ γένους γενήσεται ὁ ἐκ τοῦ σπέρματος αὐτοῦ τεχθείς. ἐπεὶ οὖν ἐπέταξεν, ἅπερ ἐβούλετο, τῷ παιδί, μετ᾽ οὐ πολύ, φησι, μαθὼν Ἰωσὴφ, ὅτι ἐνοχλεῖται ὁ πατὴρ αὐτοῦ, ὅτι ἐπὶ θύραις ἐστὶ τοῦ θανάτου, ὅτι ἤγγισαν τῆς τελευτῆς αἱ ἡμέραι,

κεφ. μη.

1 Λαβὼν τοὺς δύο υἱοὺς αὐτοῦ ἦλθε πρὸς Ἰακώβ. 2 Ἀπηγγέλη δὲ τοῦτο τῷ Ἰακὼβ, καὶ ἐνισχύσας Ἰσραὴλ ἐκάθισεν ἐπὶ τὴν κλίνην. Ὅρα πῶς ἡ περὶ τὸν παῖδα φιλοστοργία τὸν πρεσβύτην ἐνεύρου, καὶ ἡ προθυμία ἐνίκα τὴν ἀσθένειαν. ἀκούσας γὰρ αὐτοῦ τὴν παρουσίαν, φησίν, ἐκάθισεν ἐπὶ τὴν κλίνην, καὶ ἰδὼν αὐτὸν τὴν πατρικὴν φιλοστοργίαν περὶ αὐτὸν ἐπιδείκνυται. καὶ ἐπειδὴ ἔμελλε τελευτᾶν, τῇ εὐλογίᾳ τῇ παρ᾽ αὐτοῦ τειχίζει τοὺς παῖδας, μεγίστην αὐτοῖς ταύτην περιουσίαν καταλιμπάνων, καὶ πλοῦτον μηδέποτε δαπανηθῆναι δυνάμενον. καὶ ὅρα πῶς ἄρχεται. πρῶτον διηγεῖται τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην εἰς αὐτὸν εὔνοιαν, καὶ τότε τὰς εἰς τοὺς παῖδας εὐλογίας ποιεῖται. 3 Καί φησιν, ὁ Θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χαναὰν, καὶ εὐλόγησέ με, καὶ εἶπέ μοι· 4 Ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον. Ἐπήγγελταί μοι, φησιν, ὁ Θεὸς, ἡνίκα ἐν Λουζᾷ ὤφθη μοι, τοσοῦτον πληθῦναί μοι τὸ σπέρμα, ὡς συναγωγὰς ἐθνῶν γενέσθαι ἐξ αὐτοῦ, καὶ τὴν γῆν δὲ ταύτην ἐμοὶ καὶ τῷ σπέρματί μου δώσειν ὑπέσχετο. 5 Νῦν οὖν οὗτοι οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ ἐμοί εἰσιν. Ἐφραῒμ καὶ Μανασσῆς, ὡς Ῥουβεὶμ καὶ Συμεὼν, ἔσονταί μοι. Τούτους, φησίν, οὓς ἔσχες πρὸ τῆς παρουσίας τῆς ἐμῆς, ἐγὼ εἰς τὸν τῶν ἐμῶν τέκνων ἀριθμὸν εἰσποιοῦμαι, καὶ ὁμοίως τοῖς ἐξ ἐμοῦ τεχθεῖσι τῆς παρ᾽ ἐμοῦ εὐλογίας ἀπολαύσουσι. 6 Τὰ δὲ εἰς τὸ ἑξῆς ἔκγονα, ὅσα ἂν γεννήσῃς μετὰ ταῦτα, σοὶ ἔσονται. ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν κληθήσονται ἐν τοῖς ἐκείνων κλήροις.

7 Ἴσθι δὲ ὅτι καὶ ἡ μήτηρ σου Ῥαχὴλ, ἡνίκα ἤγγισα εἰς τὴν Βηθλεέμ, ἀπέθανε, καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου. 8 Καὶ ἰδὼν τοὺς υἱοὺς Ἰωσὴφ εἶπε· Τίνες σοι οὗτοι; καὶ εἶπεν, 9 Υἱοί μου, οὓς ἔδωκέ μοι ὁ Θεός. καὶ εἶπεν Ἰακὼβ, προσάγαγέ μοι αὐτοὺς, ἵνα εὐλογήσω αὐτούς. 10 Καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτὸν, καὶ ἐφίλησεν αὐτοὺς, καὶ περιέλαβεν αὐτούς. Ὅρα μοι τὸν πρεσβύτην, ὅπως σπεύδει καὶ ἐπείγεται εὐλογῆσαι τοὺς παῖδας τοῦ Ἰωσήφ. καὶ ἤγγισεν αὐτοὺς, φησι, πρὸς αὐτὸν, καὶ ἐφίλησεν αὐτοὺς, καὶ περιέλαβεν αὐτούς. 11 Καὶ εἶπε πρὸς Ἰωσήφ· ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ Θεὸς καὶ τὸ σπέρμα σου.

Μεγάλα μοί, φησι, παρέσχεν ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ πλέον, ἢ προσεδόκησα· μᾶλλον δὲ ἅπερ οὐδέποτε προσεδόκησα. οὐ γὰρ μόνον τοῦ προσώπου οὐκ ἐστερήθην, ἀλλ᾽ ἰδοὺ καὶ τοὺς ἐκ σοῦ τεχθέντας ἐθεασάμην. 12 Καὶ ἐξήγαγεν αὐτοὺς, φησιν, Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς.

Ὅρα καὶ τοὺς παῖδας πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπαίδευσε τὴν ὀφειλομένην τιμὴν ἀπονέμειν τῷ πρεσβύτῃ. καὶ λαβών, φησιν, Ἰωσὴφ κατὰ τὴν τῶν πρωτοτόκων προεδρίαν προσήγαγε τὸν Μανασσῆ, καὶ τότε τὸν Ἐφραΐμ. ἐνταῦθά μοι ὅρα τὸν δίκαιον τοὺς

μὲν τοῦ σώματος ὀφθαλμοὺς ἤδη ὑπὸ τοῦ γήρως λοιπὸν ἀσθενεῖς κεκτημένον (ἐβαρυώπησαν γὰρ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύναντο βλέπειν) τοὺς δὲ τῆς διανοίας ὀφθαλμοὺς ἐρρωμένους ἔχοντα, καὶ τῇ πίστει τὰ μέλλοντα ἤδη προορῶντα. οὐδὲ γὰρ ἀνασχόμενος τοῦ Ἰωσήφ, ἀλλὰ ἐναλλάξας τὰς χεῖρας, εὐλογῶν τὴν προεδρίαν εἰς τὸν νέον ἐποιήσατο, προτάξας τὸν Ἐφραῒμ τοῦ Μανασσῆ. 15 Καί φησιν, ὁ Θεὸς ᾧ εὐηρέστησαν οἱ πατέρες μου. Σκόπει ταπεινοφροσύνην τοῦ πατριάρχου, ὅρα ψυχὴν φιλόθεον. οὐκ ἐτόλμησεν εἰπεῖν, ὁ Θεὸς ᾧ εὐηρέστησα, ἀλλὰ τί; ᾧ εὐηρέστησαν οἱ πατέρες μου. εἶδες εὐγνώμονα ψυχήν. καίτοι πρὸ μικροῦ διηγούμενος ἔλεγεν, ὅτι ἐν Λουζᾷ ὤφθη μοι, καὶ ὑπέσχετο δώσειν ἐμοὶ καὶ τῷ σπέρματί μου πᾶσαν τὴν γῆν, καὶ εἰς συναγωγὰς ἐθνῶν ποιήσειν τὸ σπέρμα μου. καὶ οὕτως ἐναργῆ ἔχων τὰ δείγματα τῆς περὶ αὐτὸν τοῦ Θεοῦ εὐνοίας, ἔτι κατεσταλμένην εἶχε τὴν διάνοιαν, καί φησιν·

Ὁ Θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ, Ἀβραὰμ καὶ Ἰσαάκ. Εἶτα πάλιν, Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου. Σκόπει καὶ διὰ τούτου πάλιν τῆς εὐγνωμοσύνης αὐτοῦ τὴν ὑπερβολήν. οὐ λέγει τὴν οἰκείαν ἀρετήν, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένα διηγεῖται, καί φησιν· ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης. αὐτὸς γάρ ἐστιν ὁ ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τὰ κατ' ἐμὲ οἰκονομήσας. οὕτω καὶ πρώην ἔλεγεν· ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην, καὶ ἰδού, νῦν γέγονα εἰς δύο παρεμβολάς. καὶ νῦν τὸ αὐτὸ πάλιν ἑτέροις ῥήμασί φησιν,

Ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης, 16 Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. Εὐχάριστος γνώμη, φιλόθεος ψυχή· πῶς ἔναυλον ἔχει τὴν γνῶσιν τῶν τοῦ Θεοῦ εὐεργεσιῶν; ἐκεῖνός, φησιν, ᾧ οἱ πατέρες μου εὐηρέστησαν, ὁ ἐμὲ διαθρέψας ἐκ νεότητος ἕως τοῦ παρόντος, ὁ ἐξ ἀρχῆς πάντων με τῶν κακῶν ῥυσάμενος, ὁ τοσαύτην περὶ ἐμὲ κηδεμονίαν ἐπιδειξάμενος, Αὐτὸς εὐλογήσει τὰ παιδία ταῦτα, καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου, καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς. Εἶδες ὁμοῦ καὶ σύνεσιν καὶ ταπεινοφροσύνην· σύνεσιν μέν, ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὸν Ἐφραῒμ προέταξε τοῦ Μανασσῆ· ταπεινοφροσύνην δέ, ὅτι οὐδαμοῦ τῆς οἰκείας ἀρετῆς μνήμην ἐποιήσατο, ἀλλ' ἀπὸ τῆς τῶν πατέρων εὐαρεστήσεως, καὶ ἀπὸ τῶν εἰς αὐτὸν γεγενημένων εὐεργεσιῶν τὴν εὐχὴν καὶ τὴν εὐλογίαν αὐτοῖς ἐπηύξατο. ἀλλ' ὁ μὲν Ἰακὼβ προορῶν τὰ μέλλοντα οὕτω τὴν εἰς αὐτοὺς εὐλογίαν πεποίηται, 17 Ὁ δὲ Ἰωσὴφ ὁρῶν τὸν νεώτερον προκριθέντα τοῦ πρωτοτόκου, καὶ βαρὺ αὐτὸ λογισάμενος, 18 Εἶπε, φησιν· οὗτος ὁ πρωτότοκος. ἐπίθες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. 19 Καὶ οὐκ ἠθέλησεν, ἀλλ' εἶπεν· οἶδα τέκνον, οἶδα. καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν.

Μὴ νομίσῃς με, φησιν, ἁπλῶς συντυχίᾳ τινὶ τοῦτο πεποιηκέναι, μηδὲ δι' ἄγνοιαν. οἶδα γάρ, καὶ προορῶν τὰ ὕστερον ἐσόμενα, οὕτω τὴν εἰς αὐτὸν εὐλογίαν ἐποιησάμην. εἰ γὰρ καὶ ἀπὸ τῆς φύσεως ἔχει τὴν προεδρίαν ὁ Μανασσῆς, ἀλλ' ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ εἰς πλῆθος ἐθνῶν. τοῦτο δὲ ὅλον ἐγίνετο, ἐπειδὴ ἐντεῦθεν ἔμελλεν ἡ βασιλεία ἀναδείκνυσθαι. διὰ τοῦτο ἤδη προαναφωνῶν τὰ μέλλοντα, οὕτω τὴν εἰς αὐτὸν εὐλογίαν ἐποιήσατο. 20 Καὶ εὐλόγησεν αὐτοὺς λέγων, ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγοντες, ποιήσαι σε ὁ Θεός, ὡς Ἐφραῒμ, καὶ Μανασσῆ. καὶ ἔθηκε τὸν Ἐφραῒμ ἔμπροσθεν τοῦ Μανασσῆ. Οὕτως ἔσονται, φησι, περιφανεῖς ἀμφότεροι, ὡς πάντας εὐχῆς ἔργον ποιεῖσθαι εἰς τὴν τούτων ἐλθεῖν περιφάνειαν· ὅμως ὁ Ἐφραῒμ προπρότερος ἔσται τοῦ Μανασσῆ. ὁρᾷς πῶς ἡ τοῦ Θεοῦ χάρις προεμήνυεν αὐτῷ, καὶ προφητικῷ κινούμενος πνεύματι, οὕτω τοὺς παῖδας τοῦ Ἰωσὴφ εὐλόγει, τὰ μετὰ τοσοῦτον ἐσόμενα χρόνον, ὡς ἤδη παρόντα, καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς ὁρώμενα, οὕτω προβλέπων. τοιοῦτον γὰρ ἡ προφητεία. καὶ καθάπερ οἱ τοῦ σώματος ὀφθαλμοὶ οὐδὲν πλέον τῶν ὁρωμένων φαντασθῆναι δύνανται, οὕτω καὶ οἱ τῆς πίστεως οὐ τὰ ὁρώμενα βλέπουσιν, ἀλλ' ἐκεῖνα φαντάζονται, ἃ μετὰ πολλὰς ὕστερον γενεὰς ἔσεσθαι μέλλει. καὶ τοῦτο ἀκριβέστερον εἴσεσθε ἐκ τῶν εὐλογιῶν, ὧν εἰς τοὺς οἰκείους ποιεῖται παῖδας.

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, καὶ πολὺν ὑμῖν τὸν κόπον παρέχωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις εἰς τὴν ἑξῆς τὴν πρὸς τοὺς παῖδας εὐλογίαν ταμιευσώμεθα, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ζηλοῦν τὸν δίκαιον τοῦτον, καὶ τοιαύτας κληρονομίας τοῖς παισὶ καταλιμπάνειν τοῖς ἑαυτῶν, αἳ μηδέποτε παρά τινος βλάβην δέξασθαι δύνανται. αἱ γὰρ τῶν χρημάτων πολλάκις καὶ ὄλεθρον ἔτεκον τοῖς διαδεξαμένοις, καὶ ἐπιβουλάς, καὶ πολὺν τὸν κίνδυνον. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαί ποτε. θησαυρὸς γάρ ἐστι δαπανηθῆναι μὴ δυνάμενος, θησαυρός ἐστιν ἀνάλωτος, θησαυρός ἐστιν οὐκ ἀνθρώπων ἐπιβουλαῖς, οὐ λῃστῶν ἐφόδῳ, οὐκ οἰκετῶν κακουργίᾳ, οὐκ ἄλλῳ τοιούτῳ τινὶ ἐλαττωθῆναι δυνάμενος· ἀλλὰ διηνεκῶς μένει. πνευματικὸς γάρ ἐστι, καὶ οὐκ εἴκων ταῖς ἀνθρωπίναις ἐπιβουλαῖς. ἀλλ' ἐὰν οἱ δεξάμενοι νήφειν βούλωνται, καὶ εἰς τὴν μέλλουσαν συναποδημεῖ ζωήν, καὶ τὰς αἰωνίους προευτρεπίζει σκηνάς. μὴ τοίνυν χρήματα συλλέγειν σπουδάζωμεν, καὶ ταῦτα τοῖς παισὶ καταλιμπάνειν, ἀλλ' ἀρετὴν αὐτοὺς παιδεύωμεν, καὶ τὴν παρὰ τοῦ Θεοῦ εὐλογίαν αὐτοῖς ἐπευχώμεθα. αὕτη γάρ, αὕτη ἡ μεγίστη περιουσία, οὗτος ὁ ἄφατος πλοῦτος, ὁ ἀδαπάνητος, ὁ καθ' ἑκάστην ἡμέραν τὴν περιουσίαν πλείονα ἐργαζόμενος. οὐδὲν γὰρ ἀρετῆς ἴσον, οὐδὲν ταύτης ἰσχυρότερον. κἂν αὐτήν μοι τὴν βασιλείαν εἴποις, καὶ τὸ διάδημα περικείμενον, εἰ μὴ ταύτην ἔχοι, παντὸς πένητος ῥάκια περιβεβλημένου ἀθλιώτερος ἔσται. τί γὰρ αὐτὸν τὸ διάδημα ὀνήσεται, ἢ ἡ πορφυρίς, ὑπὸ τῆς οἰκείας ῥᾳθυμίας προδεδομένον; μὴ γὰρ ἀξιωμάτων τῶν ἔξωθεν οἶδε διαφορὰν ὁ δεσπότης; μὴ γὰρ προσώπων δυσωπεῖται περιφανείᾳ; ἕν ἐστιν ἐκεῖνο τὸ ζητούμενον. ἀπὸ τῆς εὐεργεσίας τῆς ἀρετῆς τὰς θύρας ἐστὶν εὑρεῖν ἠνεῳγμένας τῆς πρὸς αὐτὸν παρρησίας. ὡς ὅ γε μὴ ἐντεῦθεν τὴν παρρησίαν κτησάμενος, ἐν τοῖς ἠτιμωμένοις καὶ ἀπαρρησιάστοις γενήσεται. τοῦτο οὖν ἅπαντες σκοπῶμεν, καὶ τοὺς ἡμετέρους παῖδας διδάσκωμεν ταύτην πάντων προτιμᾶν, καὶ μηδὲν [τοσοῦτον] ἡγεῖσθαι τὴν τῶν χρημάτων περιουσίαν. αὕτη γάρ, αὕτη πολλάκις καὶ κώλυμα πρὸς τὴν ἀρετὴν γίνεται, ὅταν μὴ εἰδῇ τοῖς χρήμασιν ὁ νέος εἰς δέον χρῆσθαι. καὶ καθάπερ τὰ παιδία τὰ μικρά, ἐπειδὰν μαχαίρας ἐπιλάβηται, ἢ ξίφους, διὰ τὸ μὴ εἰδέναι δεόντως κεχρῆσθαι, πολλάκις εἰς προῦπτον ἑαυτὰ κίνδυνον ἐμβάλλει (ὅθεν οὐδὲ ἀφιᾶσιν αἱ μητέρες ἀδεῶς τῶν τοιούτων ἐφάπτεσθαι) οὕτω δὴ καὶ οἱ νέοι, ἐπειδὰν χρημάτων περιουσίαν διαδέξωνται, διὰ τὸ μὴ θέλειν αὐτοῖς δεόντως κεχρῆσθαι, εἰς προφανῆ κίνδυνον ἑαυτοὺς περιπείρουσι, τὸν φόρτον τῶν ἁμαρτημάτων ἐντεῦθεν ἑαυτοῖς συλλέγοντες. αἱ γὰρ τρυφαί, καὶ αἱ ἄτοποι ἡδοναί, καὶ τὰ μυρία κακὰ ἐντεῦθεν τίκτεται· οὐχ ἁπλῶς ἀπὸ χρημάτων λέγω, ἀλλ' ἀπὸ τοῦ μὴ εἰδέναι προσηκόντως αὐτοῖς κεχρῆσθαι τοὺς ταῦτα διαδεξαμένους. διὰ τοῦτο καὶ σοφός τις ἔλεγεν, ἀγαθὸς ὁ πλοῦτος, ᾧ μή ἐστιν ἁμαρτία. ἐπεὶ καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν, καὶ ὁ Ἰὼβ πλούσιος ἦν. καὶ οὐ μόνον οὐδὲν ἀπὸ τοῦ πλούτου παρεβλάβησαν, ἀλλὰ καὶ μειζόνως εὐδοκίμησαν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι οὐκ εἰς οἰκείαν ἀπόλαυσιν μόνον τούτῳ ἐκέχρηντο, ἀλλὰ

γρ. ἐφόδοις,

γρ. δυνήσεται ὠφελῆσαι,

τῆς ἐργασίας
γρ. ἔχει

γρ. Ἰὼβ

πρὸς τὴν τῶν ἄλλων παραμυθίαν, καὶ τὰς τῶν δεομένων " διορθούμενοι πενίας, καὶ ἡ οἰκία αὐτῶν παντὶ ξένῳ ἦν ἀνεῳγμένη. ἄκουε γὰρ ἑνὸς αὐτῶν λέγοντος· Εἰ δὲ καὶ ἐξῆλθέ τις ἐκ τοῦ οἴκου μου κόλπῳ κενῷ, καὶ ἀδύνατοι δὲ, εἴ ποτε εἶχον χρείαν, οὐκ ἀπέτυχον. καὶ οὐ μόνον τὴν διὰ χρημάτων ἐπικουρίαν εἰς τοὺς δεομένους ἐπεδείκνυντο, ἀλλὰ καὶ τὴν διὰ τῆς προστασίας πρόνοιαν. Ἐγὼ γὰρ ἤμην, φησὶ, ποὺς χωλῶν, ὀφθαλμὸς δὲ τυφλῶν, καὶ ἐκ μέσου ὀδόντων ἐξέσπασα ἅρπαγμα. ὁρᾷς αὐτὸν καὶ προνοοῦντα τῶν ἀδικουμένων, καὶ ἀντὶ τῶν πεπηρωμένων μελῶν ἅπασι γινόμενον. τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν, τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος τοσαύτην φιλοσοφίαν ἐπιδειξάμενον· καὶ ταῦτα οὐδὲ διδάσκαλον ἐσχηκότα, οὔτε προγόνους ἐναρέτους, ἀλλ' οἴκοθεν καὶ ἀπὸ γνώμης ὀρθῆς ἐπὶ τὴν χρηστὴν ταύτην πολιτείαν ἐλθόντα. καὶ γὰρ ἕκαστος ἡμῶν ἐν αὐτῇ τῇ φύσει ἐναποκειμένην ἔχει τὴν γνῶσιν τῆς ἀρετῆς. καὶ εἰ μή τις βουληθῇ ἀπὸ ῥᾳθυμίας τὴν οἰκείαν προδοῦναι εὐγένειαν, οὐκ ἄν ποτε ταύτης " ἀμοιρήσειε. γένοιτο δὲ πάντας ἡμᾶς ταύτην ἑλομένους, καὶ μετὰ ἀκριβείας ταύτην κατορθώσαντας [καὶ] " τῶν ἐν ἐπαγγελίαις κειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰὼβ κθ. ιε.

γρ. διορθοῦν

γρ. ἀμοιρήσει

γρ. τῶν ἐπηγγελμένων τῶν ἀγαθῶν

Λογ. ξζ

ΕΙΠΕ ΔΕ, φησιν, ΙΣΡΑΗΛ ΤΩ ΙΩΣΗΦ· ΙΔΟΥ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν. ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ.

Πρώην ἐπαγγειλάμενος τέλος ἐπιθεῖναι τῇ κατὰ τὸν Ἰακὼβ ὑποθέσει, εἰς μῆκος ἡμῖν ἐκταθέντος τοῦ λόγου, τὴν ὑπόσχεσιν πᾶσαν εἰς πέρας ἀγαγεῖν οὐκ ἰσχύσαμεν. διὸ βούλομαι σήμερον τὰ πρώην ἡμῖν ἐκεῖθεν ὑπολειφθέντα εἰς μέσον προθεῖναι, ἵνα οὕτω καὶ νῦν τοῦ Θεοῦ διδόντος τὸ τέλος ἐπιθῶμεν. ἀναγκαῖον δὲ πρότερον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην* μέχρι τινὸς τότε τὸν λόγον στήσαντες, οὕτω τὴν διδασκαλίαν κατελύσαμεν. ἴστε δήπου καὶ μέμνησθε, ὅτι (ἡνίκα τοὺς τοῦ Ἰωσὴφ παῖδας μέλλων ὁ δίκαιος εὐλογεῖν, τὸν Ἐφραῒμ τοῦ Μανασσῆ προέθηκε, καὶ ταῦτα τοῦ πατρὸς δυσχεραίνοντος, πρὸς ὃν καὶ εἶπεν, οἶδα τέκνον· καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν, καὶ εὐλόγησεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγοντες, ποιήσαι σε ὁ Θεὸς, ὡς Ἐφραῒμ καὶ Μανασσῆ, καὶ ἔθηκε τὸν Ἐφραῒμ ἔμπροσθεν τοῦ Μανασσῆ) μέχρι τούτου γενόμενοι, ὥστε μὴ τῷ πλήθει καταχῶσαι ὑμῶν τὴν μνήμην, ἐπαυσάμεθα τῆς διδασκαλίας. ἀλλ' εἰ δοκεῖ, σήμερον ἴδωμεν τὰ ἑξῆς. 21 Εἶπε γάρ, φησιν, Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων " μου. 22 Ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. Ἐπειδὴ τοὺς υἱοὺς εὐλόγησε, καὶ τὰ μέλλοντα προορῶν προέθηκε τὸν νεώτερον τοῦ πρεσβυτέρου, βουλόμενος πεῖσαι τὸν Ἰωσήφ, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο πεποίηκεν, ἀλλὰ προφητεύων τὰ

* γρ. λέξω

γρ. ὑμῶν

μέλλοντα ἔσεσθαι, προλέγει αὐτῷ καὶ τὴν οἰκείαν τελευτὴν, καὶ ὅτι ἐπανήξουσιν ἐκ τῆς ἀλλοτρίας εἰς τὴν Χαναὰν εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, καὶ χρηστὰς αὐτοῖς ἐλπίδας ὑποτείνει, ὥστε τῇ προσδοκίᾳ κουφίζεσθαι. ἡ γὰρ τῶν χρηστῶν ἐλπὶς ὑποτέμνεται ἀεὶ τοὺς ἐν τῷ παρόντι βίῳ πόνους. καὶ δεικνὺς λοιπὸν καὶ ἐν τῷ τῆς τελευτῆς καιρῷ τὴν φιλοστοργίαν, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο, φησὶ πρὸς αὐτόν· ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου· μονονουχὶ διὰ τούτου δηλῶν, ὅτι οὕτω πάντως ἔσται τοῦτο, καὶ κατὰ τὴν ἐμὴν πρόῤῥησιν ἐπανελεύσεσθε, καὶ κληρονομήσετε τὴν γῆν τῶν πατέρων ὑμῶν, ὅτι καὶ τὴν Σικίμων πόλιν σοὶ δίδωμι κληρονομίαν ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμοῤῥαίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ. τί δή ποτέ ἐστι; τὰ παρὰ τοῦ Συμεὼν καὶ Λευῒ γεγενημένα εἰς τοὺς ἐν Σικίμοις οἰκειοῦται, καὶ διὰ τοῦτο λέγει· ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. ἀλλ' ἐνταῦθα εὐκαίρως ζητήσειεν ἄν τις, τίνος ἕνεκεν οἰκειωσάμενος τὸ γεγενημένον, μετὰ ταῦτα μέλλων διατάττεσθαι, ἀνάγραπτον τὴν κατ' αὐτῶν ποιεῖται κατηγορίαν; οὐχ ἑαυτῷ ἐναντιούμενος ὁ δίκαιος, ἀλλὰ δεικνὺς τὸ ἥμερον αὐτοῦ τῆς γνώμης, καὶ ὅτι παρὰ τὴν αὐτοῦ γνώμην τοῦτο διεπράττετο. οὐ γὰρ μόνον οὐκ ἠρέσθη τοῖς γινομένοις, ἀλλὰ καὶ ἐμέμψατο, ἐπειδὴ γέγονε. διὰ τοῦτο θέλων δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ φιλοστοργίαν, αὐτῷ παραχωρεῖ τὰ Σίκιμα, καί φησιν· ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. εἰ γὰρ καὶ ἐκείνων τὸ ἔργον γέγονεν, ἀλλ' ἐν τῇ ἐμῇ κεῖται ἐξουσίᾳ. εἰ γὰρ τῶν παίδων δεσπότης ὁ πατὴρ, πολλῷ μᾶλλον τῶν ὑπ' αὐτῶν κληθέντων κύριος ἂν εἴη. εἰ δὲ κύριος, καὶ ὃ βούλεται, διανέμειν ἂν δύναιτο. ἐπεὶ οὖν ἐβούλετο δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ εὔνοιαν, οὐ μόνον διὰ τῆς τοῦ Ἐφραῒμ καὶ τοῦ Μανασσῆ εὐλογίας τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τοῦ τὴν Σίκιμα ἐξαίρετον κληρονομίαν καταλιπεῖν τῷ παιδί.

1 Καὶ ἐκάλεσε, φησὶ, τοὺς υἱοὺς αὐτοῦ Ἰακὼβ, καὶ εἶπε· Συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν. κεφ. μθ. 2 Ἀθροίσθητε, καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν. Ὅρα τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ προῄδει τῆς τελευτῆς τὸν καιρὸν, καλεῖ τοὺς παῖδας πρὸς ἑαυτὸν, καί φησι· Συνάχθητε, ἵνα ὑμῖν ἤδη προαναφωνήσω τί ὑμῖν ἀπαντήσεται ἐπ' ἐσχάτων τῶν ἡμερῶν. ἀθροίσθητε, καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν. δεῦτε, φησὶ, καὶ μάθετε παρ' ἐμοῦ, οὐ τὰ παρόντα, οὐ τὰ μετὰ βραχὺν ἐσόμενα χρόνον, ἀλλὰ τὰ ἐν ἐσχάταις ἡμέραις γενησόμενα. καὶ ταῦτα ὑμῖν οὐκ ἀπ' ἐμαυτοῦ μηνύω, ἀλλ' ὑπὸ τοῦ πνεύματος ἐνηχούμενος. διὰ τοῦτο καὶ τὰ μετὰ πολλὰς ὕστερον ἐσόμενα γενεὰς ἤδη προαναφωνῶ. καὶ γὰρ μέλλων τὴν ζωὴν ταύτην καταλύειν, βούλομαι ἑκάστῳ ὑμῶν, ὥσπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τὴν μνήμην. σκόπει δὲ τὸν δίκαιον, πῶς συναχθέντων τῶν παίδων τῇ τάξει χρησάμενος τῆς ἔξω γενέσεως, οὕτω τὴν ἁρμόττουσαν πρὸς ἕκαστον ποιεῖται ἢ κατάραν, ἢ εὐλογίαν, κἀν τούτῳ δεικνὺς τῆς οἰκείας ἀρετῆς τὴν ὑπερβολήν. καὶ ἄρχεται ἀπὸ τοῦ πρώτου.

3 Ῥουβεὶμ, φησὶν, ὁ πρωτότοκος, ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης. Ὅρα πόση ἡ σοφία τοῦ δικαίου. μείζονα γὰρ τὴν κατ' αὐτοῦ κατηγορίαν αὐξῆσαι βουλόμενος, πρότερον εἶπε τὰ ἀπὸ τῆς φύσεως αὐτῷ ἐνυπάρχοντα προτερήματα, καὶ τὴν προεδρίαν, ἧς ἀπήλαυσεν αὐτὸς, ἀρχὴ τέκνων γενόμενος, καὶ τῆς ἀξίας τῆς τοῦ πρωτοτόκου ἀπολαύων· καὶ τότε τὰ ἀπὸ τῆς προαιρέσεως ἁμαρτήματα, ὥσπερ ἐν στήλῃ χαλκῇ ἐναποτίθεται, δεικνὺς ὅτι οὐδὲν ὄφελος τῶν φυσικῶν ἡμῖν ἐνυπαρχόντων, μὴ τῶν ἀπὸ τῆς προαιρέσεως κατορθωμάτων ἑπομένων. ταῦτα γάρ ἐστι τὰ καὶ ἔπαινον φέροντα καὶ ψόγον προστριβόμενα. σκληρὸς, φησὶ, φέρεσθαι, καὶ σκληρὸς

αὐθάδης. τὴν ἀπὸ τῆς φύσεως ἀξίαν σοί, φησι, δεδομένην προέδωκας διὰ τῆς οἰκείας προπετείας. εἶτα καὶ αὐτὸ τὸ εἶδος τοῦ ἁμαρτήματος ἀνάγραπτον καταλείπει, ὥστε καὶ τοῖς ἑξῆς διδασκαλίαν εἶναι μεγίστην πρὸς τὸ μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν, τὴν κατ' αὐτοῦ κατηγορίαν γεγενημένην. 4 Ἐξύβρισας, ὡς ὕδωρ, μὴ ἐκζέσῃς. ἀνέβης γάρ, φησιν, ἐπὶ τὴν κοίτην τοῦ πατρός σου. τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης. Τὴν μετὰ τῆς Βάλλας γεγενημένην αὐτῷ συνουσίαν αἰνίττεται. ὅρα πῶς διὰ τῆς συνέσεως τῆς ὑπὸ τοῦ πνεύματος αὐτῷ χαρισθείσης προλαβών, ὅπερ ἔμελλε Μωϋσῆς νομοθετεῖν, ὥστε μὴ ἐξεῖναι τῇ αὐτῇ μίγνυσθαι γυναικὶ πατέρα καὶ παιδίον, τοῦτο αὐτὸς ἤδη, δι' ὧν ἐπετίμησε τῷ παιδί, ἀπαγορεύει. καί φησι, ἐμίανας τὴν στρωμνήν, ἀνελθὼν ἐπὶ τὴν κοίτην τοῦ πατρός σου. πρᾶγμα παράνομον εἰργάσω, φησί. διὰ τοῦτο, ἐπειδὴ οὕτως ἐξύβρισας, ὡς ὕδωρ μὴ ἐκζέσῃς. ἀνόνητός σοί, φησιν, ἔσται ἡ τοιαύτη ἐπιχείρησις, ὅτι οὐδὲ τοῦ πατρὸς αἰδῶ τινα λαβών, μιᾶναι αὐτοῦ τὴν κοίτην ἐτόλμησας. ἵνα οὖν ἤδη ἐν ταῖς ἑξῆς γενεαῖς τὴν τοιαύτην μίμησιν φυγεῖν ἔχωσι, διὰ τοῦτο ἐναποθέσθαι τοῖς γράμμασι τὸ πνεῦμα τὸ ἅγιον τὴν κατηγορίαν ταύτην ᾠκονόμησεν, ὥστε πάντας ἀκούοντας παιδεύεσθαι καὶ εἰδέναι σαφῶς, ὡς οὐδὲν αὐτοῖς ὄφελος τῆς ἀπὸ τῆς φύσεως προεδρίας κεχαρισμένης, εἰ μὴ καὶ τὰ τῆς προαιρέσεως ἕποιτο. εἶτα ἐπειδὴ ἀρκούντως τοῦτον ἐστηλίτευσε τὴν μιαρὰν ταύτην πρᾶξιν, ἔρχεται ἐπὶ τὸν Συμεὼν καὶ Λευΐ. 5 Συμεὼν καὶ Λευῒ συνετέλεσαν ἀδικίαν ἐξαιρέσεως αὐτῶν.

Ἡ φιλονεικία αὐτῶν, φησιν, ἣν ὑπὲρ τῆς ἀδελφῆς ἐπεδείξαντο, εἰς τὴν ἀδικίαν ἐκείνην αὐτοὺς παρώρμησεν. εἶτα δηλῶν ὅτι λαθόντες αὐτόν, τὴν ἑαυτῶν γνώμην εἰς ἔργον ἤγαγον, φησιν· 6 Εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρείσῃ τὰ ἥπατά μου. Μὴ γένοιτό μοι, φησι, κοινωνῆσαι αὐτοῖς τῆς γνώμης, ἢ συγκατατίθεσθαι τοῖς ὑπ' αὐτῶν ἀδίκως γεγενημένοις.

Ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους. Ἀλόγιστος αὐτῶν, φησι, γέγονεν ὁ θυμός. εἰ γὰρ καὶ ἥμαρτε Συχέμ, ἀλλὰ κατὰ πάντων οὐκ ἐχρῆν τοσαύτην ἐπιδείξασθαι μιαιφονίαν. Καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον.

Τὸν υἱὸν τοῦ Ἐμμὼρ ἐνταῦθα αἰνίττεται, διὰ τὸ ἀκμάζον τῆς ἡλικίας ταῦρον αὐτὸν ὀνομάσας. εἶτα εἰπὼν τὰ εἰργασμένα αὐτοῖς, καὶ ἀρὰν προστίθησι, καί φησι,

7 Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης· καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρώθη.

Τὸν λόγον αἰνίττεται, ὃν πρὸς αὐτοὺς ἐποιήσαντο ἀπατήσαντες αὐτούς, καὶ μετὰ δόλου αὐτοῖς ἐπιθέμενοι. αὐθάδης γάρ, φησιν, ὁ θυμὸς αὐτῶν, προπετής, ἀλόγιστος. καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρώθη. ὅτε γὰρ ἐνόμισαν οἱ Σικιμῖται πολλὴν τὴν περὶ αὐτοὺς εὔνοιαν ἐπιδεδεῖχθαι, τότε βαρεῖαν τὴν μῆνιν ἐπιδειξάμενοι, τὰ τῶν πολεμίων αὐτοὺς διέθηκαν. καὶ εἰπὼν τὸ γεγενημένον αὐτοῖς ἁμάρτημα, προμηνύει καὶ τὴν ὑπὲρ τούτου διαδεξομένην αὐτοὺς τιμωρίαν. Διαμεριῶ αὐτοὺς ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ. Πανταχοῦ, φησιν, ἐσπαρμένοι ἔσονται, ἵνα τοῦτο αὐτὸ πᾶσι κατάδηλον γένηται, ὅτι διὰ τὸ τόλμημα τὸ γεγενημένον, τοῦτο οὗτοι ὑπομεμενήκασιν. 8 Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου. Ἡ εἰς τὸν Ἰούδαν γεγενημένη εὐλογία μυστική τίς ἐστι, προμηνύουσα ἡμῖν τὰ κατὰ τὸν Χριστὸν ἅπαντα. Ἰούδα γάρ, φησί, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου. ἐπειδὴ γὰρ ἐντεῦθεν ἔμελλεν ἐκ τῆς τούτου φυλῆς ἀναφαίνεσθαι κατὰ τὸν τῆς οἰκονομίας λόγον, διὰ τοῦτο ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ἤδη κινούμενος, προμηνύει διὰ τῶν εἰς τὸν Ἰούδαν λεγομένων, οὐ μόνον τὴν εἰς ἀνθρώπους κάθοδον τοῦ δεσπότου, ἀλλὰ καὶ τὸ μυστήριον τοῦ θανάτου, καὶ τὸν σταυρόν, καὶ τὴν ταφήν,

φὴν, καὶ τὴν ἀνάστασιν, καὶ πάντα ἁπαξαπλῶς. Ἰούδα γάρ, φησί, σε αἰνέσαισαν οἱ ἀδελφοί σου.
Αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ
τοῦ πατρός σου, Τὴν ὑποταγὴν δηλῶν, ἣν μέλλουσιν ὑποτάττεσθαι.
9 Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. Τὴν βασιλείαν αὐτοῦ
προλέγει. ἔθος γὰρ ἀεὶ τῇ γραφῇ διὰ τῆς εἰκόνος τούτου τοῦ ζώου τὴν βασιλικὴν αὐθεντείαν αἰνίττεσθαι. Ἀναπεσὼν ἐκοιμήθης, ὡς λέων, καὶ ὡς σκύμνος. Τίς ἐγερεῖ αὐτόν; Τὸν σταυρὸν καὶ τὴν ταφὴν ἐνταῦθα αἰνίττεται. Τίς ἐγερεῖ αὐτόν; καθάπερ γὰρ τὸν λέοντα, ἢ τὸν σκύμνον καθεύδοντα οὐδεὶς ἂν τολμήσειεν ἐξαναστῆσαι, οὕτω, φησίν, ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος. τίς ἐγερεῖ αὐτόν; αὐτὸς γάρ ἐστιν ὁ λέγων, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Εἶτα καὶ Ιωαν. ι. ιη.
τὸν καιρὸν σαφῶς μηνύει, καθ᾽ ὃν ἐπιστήσεσθαι ἔμελλεν ὁ Χριστὸς κατὰ τὸν τῆς οἰκονομίας λόγον.
10 Οὐκ ἐκλείψει, φησίν, ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ὃ ἀπόκειται. καὶ αὐτὸς προσδοκία ἐθνῶν.

Μέχρι τότε διαρκέσει, φησί, τὰ Ἰουδαϊκά, καὶ οἱ ἄρχοντες οἱ ἐξ Ἰουδαίων, ἕως ἂν ἐκεῖνος παραγένηται. καὶ καλῶς εἶπεν, ἕως ἂν ἔλθῃ, ὃ ἀπόκειται. ἐκείνῳ, φησίν, ᾧ προητοιμασμένη ἡ βασιλεία. διότι αὐτός ἐστιν ἡ προσδοκία τῶν ἐθνῶν. ὅρα πῶς ἤδη λέγει καὶ τὴν μέλλουσαν τῶν ἐθνῶν ἔσεσθαι σωτηρίαν. καὶ αὐτὸς ἔσται, φησί, σωτηρία τῶν ἐθνῶν. τὴν τούτου παρουσίαν τὰ ἔθνη προσδοκᾷ.

11 Δεσμεύων, φησί, πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ·
Διὰ τοῦ πώλου πάλιν τὴν τῶν ἐθνῶν προμηνύων προσαγωγήν. ἐπειδὴ γὰρ ἀκάθαρτον ζῶον ὁ ὄνος, διὰ τοῦτό φησιν, ἐκεῖνα τὰ ἀκάθαρτα ἔθνη μετὰ τοσαύτης εὐκολίας ἐνάξει, ὡς ἄν τις τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον προσδήσῃ, τῆς ἐξουσίας τὴν ὑπερβολὴν αἰνιττόμενος, καὶ τῶν ἐθνῶν τὴν πολλὴν ὑπακοήν. πολλῆς γάρ ἐστι [τῆς] ἡμερότητος τοῦ ὄνου, τὸ ἀνέχεσθαι τῇ ἕλικι τῆς ἀμπέλου προσδεθῆναι.
τῇ ἀμπέλῳ δὲ παρείκασε τὴν οἰκείαν διδασκαλίαν. Ἐγὼ γάρ εἰμι, φησιν, ἡ ἄμπε- Ιωαν. ιε. α.
λος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν. ἕλικας δὲ ἐκάλεσε τὸ ἁπαλὸν τῶν προσταγμάτων καὶ τῶν νομοθεσιῶν τὸ εὔκολον· ἵνα ἤδη προμηνύσῃ, ὅτι τὰ ἔθνη εὐπειθέστερα τούτων γενήσεται.
Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.
Ὅρα. πῶς ἅπαν ἡμῖν τὸ μυστήριον ἐνταῦθα ᾐνίξατο. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, στολήν, οἶμαι, τὸ σῶμα λέγων, ὃ διὰ τὴν οἰκονομίαν φορέσαι κατηξίωσεν. Εἶτα ἵνα μάθῃς ἀκριβῶς οἶνον τί προσηγόρευσεν, ἐπήγαγε, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. Ὅρα πῶς τῷ τοῦ αἵματος ὀνόματι τὴν σφαγὴν ἡμῖν καὶ τὸν σταυρὸν ᾐνίξατο, καὶ πᾶσαν τῶν μυστηρίων τὴν οἰκονομίαν.
12 Χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.
Ἐνταῦθα τὸ φαιδρὸν ἡμῖν ἐνδείξασθαι βούλεται διὰ τῆς μεταφορᾶς τοῦ οἴνου καὶ τῶν ὀφθαλμῶν. καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα· τὸ δίκαιον καὶ τὸ λαμπρὸν τοῦ κριτοῦ. διὰ γὰρ τῶν ὀδόντων καὶ τοῦ γάλακτος οὐδὲν ἕτερον ἡμῖν σημαίνειν ἠβουλήθη, ἢ ὅτι οὕτως ἔσται λευκὸν καὶ περιφανὲς τὸ κριτήριον, καθάπερ ἡ τοῦ γάλακτος καὶ τῶν ὀδόντων ποιότης.
13 Ζαβουλὼν, φησί, παράλιος κατοικήσει, καὶ αὐτὸς παρ᾽ ὅρμον πλοίων, καὶ παρατενεῖ ἕως Σιδῶνος. — Ὅρα πῶς καὶ τούτῳ προμηνύει, ἔνθα τὴν οἴκησιν ἕξει, καὶ ὅτι μέχρι Σιδῶνος ἐκταθήσεται.
14 Ἰσαχὰρ τὸ καλὸν ἐπεθύμησεν, ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων.
15 Καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλή, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν, καὶ

ἐγένετο ἀνὴρ γεωργός. Ἐπαινεῖ τοῦτον, ὡς τὴν τῆς γῆς ἐργασίαν ἑλόμενον, καὶ τὸ περὶ τὴν γῆν πονεῖσθαι πάντων* προτετιμηκότα. 16 Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ. 17 Καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου. καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσθια, 18 Τὴν σωτηρίαν περιμένων κυρίου. Θαυμάσαι ἄξιον καὶ ἐκπλαγῆναι τὸν δίκαιον τοῦτον, ὅπως τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς ἅπαντα προορῶν τοῖς παισὶ προεμήνυσε, καὶ τὰ ἑκάστῳ συμβησόμενα προέλεγε. Δάν, φησι, κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μία φυλή. τὰ γὰρ μετὰ πολὺν ἐσόμενα χρόνον ἤδη προαναφωνεῖ. 19 Γάδ, πειρατήριον πειρατεύσει αὐτόν. αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας. 20 Ἀσήρ, πίων αὐτοῦ ὁ ἄρτος, καὶ αὐτὸς δώσει τρυφὴν ἄρχουσι.

21 Νεφθαλείμ, στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος.

Καὶ ἐπειδὴ ἐν συντόμῳ παρέδραμε τούτους, ἔρχεται λοιπὸν ἐπὶ τὸν Ἰωσήφ, καί φησι·

22 Ἰωσὴφ υἱὸς ηὐξημένος, ζηλωτός· Ἰωσὴφ υἱὸς ηὐξημένος, υἱός μου νεώτερος.

Ἐπίφθονος γέγονας, φησιν, ἐξ αὐτῶν τῶν προοιμίων. Εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν· τὴν ἀδελφῶν τὴν κατ' αὐτοῦ συμφωνίαν αἰνίττεται· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν ἡ γραφή, ὅτι ψόγον πονηρὸν κατήνεγκαν Ἰωσὴφ πρὸς τὸν πατέρα αὐτοῦ, τοῦτο ἐστὶν ἐνταῦθά φησιν· 23 Εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν. καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων, Τὴν φονικὴν αὐτῶν αἰνιττόμενος γνώμην. 24 Καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν. Ὅρα πῶς, ἐπειδὴ εἶπε τὰ παρ' αὐτῶν κατὰ τοῦ Ἰωσὴφ τολμηθέντα, λέγει καὶ τὰ αὖθις συμβεβηκότα. Συνετρίβη γάρ, φησι, τὰ τόξα αὐτῶν,

Καὶ ἐξελύθη τὰ νεῦρα βραχιόνων χειρῶν αὐτῶν.

Αὐτοὶ μὲν ἀνελεῖν ἐπεχείρησαν, καὶ τόγε ἧκον εἰς αὐτούς, εἰς ἔργον τὴν γνώμην ἐξήγαγον. ἀλλὰ καὶ τὰ τόξα αὐτῶν συνετρίβη, καὶ ἐξελύθη αὐτῶν τὰ νεῦρα. πῶς γὰρ οὐχὶ τοῦτο πεπόνθασιν, ὅτε ἤκουον τοῦ Ἰωσὴφ λέγοντος, ἐγώ εἰμι ὁ ἀδελφὸς ὑμῶν Ἰωσήφ, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον; τότε γὰρ μάλιστα, τότε ἐξελύθη αὐτῶν τὰ νεῦρα,

Διὰ χεῖρα δυνάστου Ἰακώβ. 25 Ἐκεῖθεν* κατισχύσας Ἰσραὴλ παρὰ Θεοῦ τοῦ πατρός σου, καὶ ἐβοήθησέ σοι ὁ Θεὸς ὁ ἐμός. Ὁ δὲ ἐκλύσας αὐτῶν τὰ νεῦρα, φησίν, ὡς δυνάστης ἐστίν. αὐτὸς γὰρ ἐβοήθησέ σοι, ὁ Θεὸς ὁ ἐμός. ὅρα τοῦ δικαίου τὸ γνήσιον περὶ τὸν δεσπότην φίλτρον, ὅπως τὸν τῆς οἰκουμένης δεσπότην αὐτοῦ μόνου λέγει εἶναι Θεόν, οὐχὶ συγκλείων αὐτοῦ τὴν δεσποτείαν, οὐδὲ ἀποστερῶν αὐτὸν τῆς ἐξουσίας τῆς οἰκουμένης· ἀλλὰ τὸν οἰκεῖον ἐμφαίνων πόθον. Καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν. Οὐ μόνον, φησίν, ἐβοήθησεν, ἀλλὰ Καὶ εὐλόγησέ σε εὐλογίαν γῆς ἐχούσης πάντα. ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, 26 Εὐλογίας πατρός σου καὶ μητρός σου. ὑπερίσχυσεν ἐπ' εὐλογίαις ὀρέων μονίμων, καὶ ἐπιθυμίαις θινῶν αἰωνίων. Τὴν δόξαν καὶ τὴν περιφάνειαν ἐνταῦθα αἰνίττεται καὶ τὴν βασιλείαν τῆς Αἰγύπτου, διὰ τῶν ὀρέων καὶ τῶν θινῶν τὸ ὑψηλόν τε καὶ ἰσχυρὸν ἐμφαίνων, ὡς καὶ εἰς αὐτὴν τὴν ἀνωτάτω κορυφὴν τῆς ἀρχῆς ἀνενεχθῆναι. Αὗται, φησιν, αἱ εὐλογίαι ἐπὶ τὴν κεφαλὴν ἔσονται Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν. Αὗται, φησιν, αἱ εὐλογίαι ἐπὶ τὴν κεφαλὴν ἔσονται τὴν σήν. 27 Βενιαμὶν λύκος ἅρπαξ. τὸ πρωϊνὸν ἔδεται, καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν. Καὶ ἐνταῦθα προμηνύει αὐτῷ τὰ μετὰ μακρὸν ἐσόμενα χρόνον, καὶ ὅτι καθάπερ λύκος, οὗτος ἐπιβήσεται ἁρπάζων, ἀναιρῶν, καὶ μυρία κακὰ διατιθείς. ἐπειδὴ δὲ πᾶσι τοῖς υἱοῖς καταλλήλους τὰς εὐλογίας προεμήνυσε, 28 Καὶ εὐλόγησε, φησιν, ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ, ἣν εὐλόγησεν αὐτούς· Ἀντὶ τοῦ, ἅπερ ἐχρῆν ἑκάστῳ προεμήνυσε, καὶ τὰ ἐφ' ἑκάστης φυλῆς συμβησόμενα προανεφώνησεν· ἐπειδὴ διετάξατο τὰ ὑπὸ τοῦ πνεύματος αὐτῷ προμηνυθέντα, φησὶ πρὸς αὐτούς· 29 Ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν, καὶ θάψετέ με μετὰ τῶν πατέρων μου. Ὅρα πῶς διὰ τῆς ἐπισκήψεως ταύτης μεγίστην αὐτοῖς παραμυθίαν χαρίζεται. ἐνενόουν γάρ, ὅτι οὐκ ἂν ὁ δίκαιος τοῦτο διετείλατο, εἰ μὴ πάντως ᾔδει τὴν ἄνοδον αὐτῶν ἐσομένην, καὶ τῆς δουλείας τῆς ἐν Αἰγύπτῳ τὴν ἀπαλλαγήν. Εἶτα καὶ τὸν τόπον λέγει·

Ἐν τῷ σπηλαίῳ, φησίν, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου. 32 Καὶ ταῦτα εἰπὼν κατέπαυσε, φησιν, ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ. καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην, ἐξέλιπε, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Ὅρα καὶ τὴν τελευτὴν τοῦ δικαίου πολλοῦ θαύματος γέμουσαν. Διαταξάμενος γάρ, φησι, τοῖς παισὶν αὐτοῦ, ἐξάρας τοὺς πόδας ἐπὶ τὴν κλίνην, ὥσπερ μεθ' ἡδονῆς τὸ πρᾶγμα καταδεξάμενος, οὕτω μετὰ τὸ πάντα διαπράξασθαι, τοὺς πόδας ἐξάρας, ἀντὶ τοῦ ἐφαπλώσας, ἢ τείνας ὡς ἂν εἴποι τις, ἐξέλιπε, τουτέστι, κατέλυσε τὴν ζωήν, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

κεφ. ν.

1 Καὶ ἐπιπεσών, φησιν, Ἰωσὴφ ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ κατεφίλησεν αὐτόν. Εἶδες παιδὸς φιλοστοργίαν, εἶδες πεπυρωμένην ἀγάπην. καὶ μετὰ τὴν τῆς ψυχῆς ἀναχώρησιν ἐπιπεσὼν ἐπὶ τὸ πρόσωπον, καὶ καταφιλήσας, ἔκλαυσεν ἐπ' αὐτῷ. καὶ τούτου γινομένου Ἰωσὴφ τὰ παρὰ τοῦ πατρὸς ἐνταλθέντα εἰς ἔργον λοιπὸν ἐσπούδαζεν ἀγαγεῖν. τέως δὲ προσέταξε τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ. καὶ αὐτὸς μὲν τεσσαράκοντα ἡμέρας τὰς τῆς ταφῆς, ἡ δὲ Αἴγυπτος ἑβδομήκοντα [ἡμέρας] αὐτὸν ἐπένθησε. καὶ ἐπειδὴ τὰ νενομισμένα ἅπαντα γεγένητο, λοιπὸν γνωρίζει τῷ Φαραὼ καὶ τοῖς μετ' αὐτοῦ τὰ ὑπὸ τοῦ πατρὸς κελευσθέντα, καί φησιν, 5 Ὥρκωσέ με ὁ πατήρ μου, λέγων· ἐν τῷ μνημείῳ, ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις. νῦν οὖν ἀναβὰς θάψω τὸν πατέρα μου, καὶ ἐπανελεύσομαι.

Προσῆκόν ἐστι, φησί, τὰ παρ' αὐτοῦ διαταχθέντα πληρωθῆναι παρ' ἐμοῦ. ποιήσας οὖν τὰ δόξαντα αὐτῷ ἐπανελεύσομαι. Ταῦτα ἀκούσας ἐπέτρεψεν ὁ Φαραώ.

7 Καὶ ἀνέβη, φησίν, Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ. καὶ συνανέβησαν μετ' αὐτοῦ πάντες οἱ παῖδες Φαραώ. 8 Καὶ τὴν συγγένειαν καὶ τοὺς βόας καὶ τὰ πρόβατα ὑπελείπετο. 9 Καὶ συνανέβησαν μετ' αὐτοῦ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα. Ὅρα διὰ τὴν εἰς τὸν Ἰωσὴφ τιμήν, πόσην ἐπιδείκνυνται σπουδὴν οἱ Αἰγύπτιοι, καὶ συνανέρχονται τῷ Ἰωσήφ, ὥστε γενέσθαι αὐτοὺς παρεμβολὴν μεγάλην. 10 Καὶ παραγινόμενοι ἔν τινι τόπῳ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα. καὶ ἐποίησε τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας.

11 Καὶ εἶδον οἱ κατοικοῦντες Χαναάν, καὶ εἶπον, πένθος μέγα ἐστὶ τοῖς Αἰγυπτίοις. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου.

Ἀλλὰ σὺ ταῦτα ἀκούων, ἀγαπητέ, μὴ ἁπλῶς παράτρεχε, ἀλλὰ τὸν καιρὸν ἐννόει, καθ' ὃν ἐγένετο, πάσης αἰτίας ἀπάλλαττε τὸν Ἰωσήφ. οὐδέπω γὰρ ἦσαν τοῦ ᾅδου αἱ πύλαι συγκλασθεῖσαι, οὐδὲ τοῦ θανάτου τὰ δεσμὰ διαλυθέντα, οὐδὲ κοίμησις ὁ θάνατος λεγόμενος ἦν. διὰ τοῦτο ἐπειδὴ ἐδεδοίκεισαν τὸν θάνατον, ταῦτα ἐποίουν· νυνὶ δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ ὕπνος ὁ θάνατος γέγονε, καὶ κοίμησις ἡ τελευτή, καὶ πολλὴ τῆς ἀναστάσεως ἡ πληροφορία, ὡς ἀπὸ ζωῆς εἰς ζωὴν μεθιστάμενοι, οὕτως ἀγαλλόμεθα καὶ εὐφραινόμεθα. καὶ τί λέγω ἀπὸ ζωῆς εἰς ζωήν; ἀπὸ τῆς χείρονος ἐπὶ τὴν βελτίονα, ἀπὸ τῆς προσκαίρου ἐπὶ τὴν αἰώνιον, ἀπὸ τῆς ἐπιγείου ἐπὶ τὴν ἐπουράνιον. καὶ πληρώσας πάντα, φησὶν, 14 Ἰωσὴφ ὑπέστρεψεν εἰς Αἴγυπτον αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ συναναβάντες μετ' αὐτοῦ. Ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ τὴν δειλίαν, καὶ τὸν φόβον τὸν κατασείοντα αὐτῶν τὴν διάνοιαν.

15 Ἰδόντες γὰρ, φησιν, οἱ ἀδελφοὶ Ἰωσὴφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν, εἶπον, μήποτε μνησικακήσῃ ἡμῖν Ἰωσὴφ, καὶ ἀνταπόδομα ἀνταποδῷ ἡμῖν, πάντα τὰ κακὰ ἃ ἐνεδειξάμεθα αὐτῷ. ''Γενναίως αὐτῶν ὁ φόβος ἐπάραττε τὴν διάνοιαν, καὶ ὑπὸ τοῦ συνειδότος κεντούμενοι οὐκ εἶχον ὅ,τι πράξωσι. διὰ τοῦτό, φησι, θεασάμενοι τοῦ πατρὸς τὴν τελευτὴν, καὶ ὑπιδόμενοι, μὴ τὴν ἀξίαν αὐτοὺς εἰσπράξηται δίκην ὁ Ἰωσὴφ ὑπὲρ τῶν εἰς αὐτὸν εἰργασμένων, Παραγινόμενοί, φησι, πρὸς αὐτὸν εἶπον· 16 Ὁ πατήρ σου ''ὥρκωσε πρὸ τοῦ τελευτῆσαι αὐτὸν, λέγων·

γρ. μεγάλως

γρ. ὥρκισε

17 Εἴπατε Ἰωσὴφ, ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν.

Ὅρα πάλιν, πῶς αὐτοὶ ἑαυτῶν κατήγοροι γίνονται· *ὅσον ἐστὶν ὁ τοῦ συνειδότος ἔλεγχος. *ὅλως ἴστε, ὅτι ἀδικίαν καὶ ἁμαρτίαν εἰργάσασθε, Ὅτι πονηρὰ ''ἐνεδείξασθε. καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ Θεοῦ τοῦ πατρός σου.

* βλέπε

* καὶ

γρ. ἐνεδείξαντο

Εἶδες πῶς, οὐδενὸς ἀναγκάζοντος, αὐτοὶ ἑαυτῶν κατήγοροι γίνονται, καί φασιν· εἶπεν ὁ πατήρ σου, ἄφες αὐτοῖς, ὅτι πονηρά σοι ἐνεδείξαντο, καὶ δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ Θεοῦ τοῦ πατρός σου. ἀλλ' ὁ θαυμαστὸς οὗτος καὶ πανάρετος τοσοῦτον ἀπεῖχε τοῦ μνήμην τινὰ ποιήσασθαι τῶν εἰς αὐτὸν εἰργασμένων, ὅτι καὶ πρὸς τὰ ῥήματα αὐτῶν συνεχύθη. Καὶ ἔκλαυσέ, φησιν, Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν.

18 Καὶ ἐλθόντες εἶπον, ἴδε, ἡμεῖς σοι οἰκέται. Ὅρα πόσον ἐστὶν ἀρετὴ, πῶς ἰσχυρὸν καὶ ἄμαχον, καὶ ὅση τῆς κακίας ἡ ἀσθένεια. ἰδοὺ γὰρ, ὁ μὲν τοσαῦτα πεπονθὼς βασιλεύει, οἱ δὲ ταῦτα διαθέντες τὸν ἀδελφὸν, οἰκέται εἶναι παρακαλοῦσι τοῦ παρ' αὐτῶν εἰς δουλείαν ἐκδοθέντος. ἀλλ' ἄκουε τοῦ Ἰωσὴφ τὴν περὶ τοὺς ἀδελφοὺς ἀνεξικακίαν, καὶ ὅπως διὰ πάντων αὐτοὺς παραμυθήσασθαι βούλεται, καὶ πεῖσαι, ὡς οὐδὲν εἰς αὐτὸν ἡμαρτήκασι. 19 Καὶ φησι, μὴ φοβεῖσθε. τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ.

20 Ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ πονηρά· ὁ δὲ Θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθὰ, ὅπως ἂν γενηθῇ ὡς σήμερον, ἵνα διατραφῇ λαὸς πολύς. Μὴ δειλιάσητέ, φησι, μηδὲ ἐναγώνιοι γίνεσθε. τοῦ Θεοῦ γάρ εἰμι ἐγὼ, καὶ τὸν δεσπότην τὸν ἐμὸν μιμοῦμαι, καὶ εὐεργεσίαις ἀμείβεσθαι σπουδάζω τοὺς τὰ ἀνήκεστά με ''διαθέντας. τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ. εἶτα δεικνὺς ὅσης ἀπολαύει παρὰ τοῦ Θεοῦ εὐνοίας, φησὶν, ὑμεῖς πονηρᾷ γνώμῃ τὰ κατ' ἐμὲ εἰργάσασθε, ὁ δὲ Θεὸς εἰς ἀγαθά μοι πάντα περιέστησε. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. πάντα φησί. Τί ἐστι πάντα; καὶ τὰ ἐναντία, καὶ τὰ ''λυπεῖν δοκοῦντα, καὶ ταῦτα εἰς ἀγαθὸν μεθίστησιν. ὃ δὴ καὶ ἐπὶ τοῦ θαυμασίου τούτου γεγένηται. τὰ γὰρ παρὰ τῶν ἀδελφῶν γεγενημένα, ταῦτα μάλιστα αὐτῷ τὴν βασιλείαν προεξένησε, τῆς εὐμηχάνου τοῦ Θεοῦ σοφίας πάντα τὰ πονηρὰ εἰς ἀγαθὰ μεταβαλλούσης. ἵνα διατραφῇ, φησι, λαὸς πολύς. οὐ μόνον ὑμῶν ἕνεκεν ταῦτα εἰς ἀγαθὸν μετέβαλεν, ἀλλ' ἵνα καὶ πᾶς οὗτος ὁ λαὸς διατραφῆναι δυνηθῇ.

γρ. ἀπηχθηκότας.

Ῥωμ. η. κη.

γρ. κωλύειν

21 Καὶ εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε. ἐγὼ διαθρέψω ὑμᾶς, καὶ τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν. Τί τοίνυν δεδοίκατε; ἐγὼ ὑμῖν χορηγήσω τὰ πρὸς τὴν τροφὴν καὶ πᾶσι τοῖς μεθ' ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν. οὐχ ἁπλῶς αὐτοὺς παρεκάλεσεν, ἀλλὰ τοσαύτῃ ἐχρήσατο τῇ σπουδῇ, ὥστε

πᾶσαν αὐτῶν τὴν ἀθυμίαν ἐξάγειν. 22 Καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. 23 Καὶ εἶδεν Ἰωσὴφ παιδία ἕως τρίτης γενεᾶς. 24 Καὶ εἶπεν Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων, ἐγὼ ἀποθνήσκω. ἐπισκοπῇ δὲ ἐπισκέψεται ὑμᾶς ὁ Θεός, 25 Καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν. Ὅρα καὶ τοῦτον ὁμοίως τῷ πατρὶ ἐπισκήπτοντα τοῦ μετακομισθῆναι αὐτοῦ τὰ ὀστᾶ. καὶ ὅρα πῶς πάλιν βουλόμενος ἀναῤῥῶσαι αὐτῶν τὸν λογισμὸν, καὶ χρηστὰς ἐλπίδας ἔχειν περὶ τῆς ἐπανόδου, πρότερον τοῦτο ″προεμήνυσεν, ὅτι ἐπανελεύσονται, καὶ τότε φησὶ, συνανοίσετε. ἀνιόντες, φησὶν, ὑμεῖς συνανοίσετε τὰ ὀστᾶ μου. τοῦτο δὲ ἐποίει οὐχ ἁπλῶς οὐδὲ μάτην, ἀλλὰ δύο ταῦτα οἰκονομῶν· ἓν μὲν, ἵνα μὴ οἱ Αἰγύπτιοι μεμνημένοι τῶν τοσούτων αὐτοῦ εὐεργεσιῶν, καὶ ″εὐκόλως ἐξ ἀνθρώπων θεοὺς προσαγορεύοντες, ὑπόθεσιν ἀσεβείας ἔχωσι τὸ τοῦ δικαίου τὸ σῶμα· ἕτερον δὲ, ἵνα ὦσι πεπληροφορημένοι, ὅτι πάντως ἐπανήξουσιν. Εἰ γὰρ μὴ τοῦτο ἦν ὡμολογημένον, οὐκ ἂν οὕτω διεστείλατο, ὥστε μετ' αὐτῶν ἀναγαγεῖν τὰ ὀστᾶ. καὶ ἦν ἰδεῖν λοιπὸν πρᾶγμα καινὸν καὶ παράδοξον, τὸν ἐπὶ τῆς Αἰγύπτου πάντα τὸν Ἰσραὴλ διατρέφοντα, τοῦτον καὶ τῆς ἐπανόδου ἡγούμενον, καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας αὐτοὺς εἰσάγοντα.

26 Καὶ ἐτελεύτησε, φησιν, Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα. Τίνος ἕνεκεν καὶ τούτου τὰ ἔτη ἡμῖν ἐσήμανεν; ἵνα μάθῃς ὅσων ἐτῶν τῆς Αἰγύπτου τὴν ἡγεμονίαν ἐνεχειρίσθη. ἑπτακαίδεκα ἐτῶν γενόμενος κατέβη εἰς τὴν Αἴγυπτον· καὶ τριάκοντα ἐτῶν γεγονὼς ὤφθη τῷ Φαραὼ, καὶ διέκρινε τὰ ἐνύπνια. ὀγδοήκοντα δὲ λοιπὸν ἔτεσι κατέσχε πάσης τῆς Αἰγύπτου ἀρχήν. εἶδες πῶς μείζους τῶν πόνων αἱ ἀμοιβαὶ, καὶ πολυπλασίους αἱ ἀντιδόσεις. ἐν δέκα καὶ τρισὶν ἔτεσιν ἐπάλαισε τοῖς πειρασμοῖς, τὴν δουλείαν ὑπομένων, τὴν κατηγορίαν ἐκείνην τὴν παράνομον, τὴν ἐν τῷ δεσμωτηρίῳ κακουχίαν. καὶ ἐπειδὴ γενναίως* μετ' εὐχαριστίας ἅπαντα ἤνεγκε, διὰ τοῦτο καὶ διπλᾶς ἐκομίσατο τὰς ἀμοιβὰς καὶ ἐπὶ τοῦ παρόντος βίου. ἐννόησον γάρ μοι, ὅτι ὑπὲρ τοῦ βραχέος ἐκείνου χρόνου, ὃν τὴν δουλείαν καὶ τὸ δεσμωτήριον ὑπέμεινεν, ″ἐν ὀγδοήκοντα ἔτεσι τὴν βασιλείαν διεῖπε. καὶ ὅτι πίστει πάντα ″διέπραττε, καὶ διὰ τοῦτο καὶ περὶ τῆς τῶν ὀστῶν μετακομιδῆς ἐνετείλατο, ἄκουε τοῦ Παύλου λέγοντος· Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε. καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἵνα μάθῃς τὴν αἰτίαν, δι' ἣν ἐπέσκηψε τῶν ὀστῶν τὴν κομιδὴν γενέσθαι, φησὶ, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. Eb. 11. 22.

ΗΘΙΚΟΝ

Τάχα πλείονα τὰ εἰρημένα, ἀλλὰ σύγγνωτε. πρὸς γὰρ τὸ τέλος τοῦ βιβλίου φθάσαντες ἐβουλήθημεν ἅπαν σήμερον τελέσαντες τὸ βιβλίον, οὕτω καταπαῦσαι τὸν λόγον, καὶ τὴν συνήθη παράκλησιν ὑμῖν προσαγαγεῖν, ὥστε μεμνῆσθαι τῶν εἰρημένων, καὶ ζηλοῦν τῶν δικαίων τούτων τὴν ἀρετὴν, τὴν περὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν, τὴν περὶ τοὺς ἐπηρεάζοντας μακροθυμίαν, τὴν σωφροσύνην τὴν ὑπερβάλλουσαν. ἐντεῦθεν γὰρ καὶ ὁ δίκαιος οὗτος τοσαύτην ἐπεσπάσατο παρὰ τοῦ Θεοῦ τὴν εὔνοιαν. Εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς τὴν ἄνωθεν ″ἐπισπάσασθαι ῥοπὴν, πολλὴν τῆς ἀρετῆς ποιώμεθα λόγον.
οὕτω γὰρ καὶ τοῦ πνεύματος ἐπισπασόμεθα τὴν χάριν, καὶ τὸν παρόντα βίον ἀλύπως
διανυσόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας
ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ,
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τῶν εἰς τὴν Γένεσιν λόγων τέλος.

ΣΥΝΑΓΩΓΗ ΤΩΝ ΘΕΟΠΝΕΥΣΤΩΝ ΨΑΛΜΩΝ

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΑΙ ΑΓΙΟΥ ΔΑΒΙΔ, ΩΝ ΕΞΗγήσατο καὶ ἡρμήνευσεν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ μέγας Χρυσόστομος· ἀπέκρυψε δὲ, ἢ ἀπώλεσεν ὅ, τε χρόνος καὶ φθόνος τῶν ἀνοήτων ἀνθρώπων. ἐπ' ἐσχάτων δὲ τούτων ἀνερευνήσας φιλόθεός τις ἀνὴρ, καὶ φιλόχριστος, καὶ Θεὸν ἐρανισάμενος, ὄντας σποράδην τοὺς περιόντας μόνους συλλέξας, εἰς μίαν συνήγαγε βίβλον· ὃς νῦν εἰς κοινὴν τράπεζαν παραθεὶς τοῖς ἐρασταῖς τῶν πνευματικῶν αὐτοῦ καὶ θείων λογίων, ἀφθόνως ἐπεντρυφᾶν συγκαλεῖ.

Ψαλμὸς δ'.
Ψαλ. ε'.
Ψαλ. ς'.
Ψαλ. ζ'.
Ψαλ. η'.
Ψαλ. θ'.
Ψαλ. ι'.
Ψαλ. ια'.
Ψαλ. ιβ'. ἀτελής.
Ψαλ. μα'.
Ψαλ. μγ'.
Ψαλ. μδ'.
Ψαλ. με'.
Ψαλ. μς'.
Ψαλ. μζ'.
Ψαλ. μη'.
Ψαλ. μθ'.
Ψαλ. ρη'.
Ψαλ. ρθ'.
Ψαλ. ρι'.
Ψαλ. ρια'.
Ψαλ. ριβ'.
Ψαλ. ριγ'.
Ψαλ. ριδ'.
Ψαλ. ριε'.
Ψαλ. ρις'.
Ψαλ. ριζ'.
Ψαλ. ριθ'.
Ψαλ. ρκ'.
Ψαλ. ρκα'.
Ψαλ. ρκβ'.
Ψαλ. ρκγ'.
Ψαλ. ρκδ'.
Ψαλ. ρκε'.
Ψαλ. ρκς'.
Ψαλ. ρκζ'.
Ψαλ. ρκη'.
Ψαλ. ρκθ'.
Ψαλ. ρλ'.
Ψαλ. ρλα'.
Ψαλ. ρλβ.
Ψαλ. ρλγ'.
Ψαλ. ρλδ'.
Ψαλ. ρλε'.
Ψαλ. ρλς'.
Ψαλ. ρλζ'.
Ψαλ. ρλη'.
Ψαλ. ρλθ'.
Ψαλ. ρμ'.
Ψαλ. ρμα'.
Ψαλ. ρμβ'.
Ψαλ. ρμγ'.
Ψαλ. ρμδ'.
Ψαλ. ρμε'.
Ψαλ. ρμς'.
Ψαλ. ρμζ'.
Ψαλ. ρμη'.
Ψαλ. ρμθ'.
Ψαλ. ρν'.

EX BIBLIOTHECA COLLEGII CORPORIS CHRISTI OXONII.

Προσετέθησαν δὲ ἐξ ἄλλων ἀντιγράφων ἄλλαι τινὲς ἐξηγήσεις, οὐ πᾶσαι, ὡς οἶμαι, γνησίαι.

Εἰς Ψαλ. γ'. ἀτελής.
Ψαλ. ν'. λόγοι δύο.
Ψαλ. να'.
Ψαλ. ξε'.
Ψαλ. ρ'.
Ψαλ. ρα'.
Ψαλ. ρβ'.
Ψαλ. ργ'.
Ψαλ. ρδ'.
Ψαλ. ρε'.
Ψαλ. ρς'.
Ψαλ. ρζ.
Ψαλ. ρη'.

Ψαλ. γ. ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ, ΟΠΟΤΕ ΑΠΕΔΙΔΡΑσκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

Ἐπινικίους μὲν ἀνδριάντας οἱ βασιλεῖς τοῖς στρατηγοῖς νικήσασιν ἀνατιθέασι· νικηφόρους δέ τινας στήλας ἐπεγείρουσιν ἄρχοντες ἡνιόχοις καὶ ἀθληταῖς, καὶ τὰ ἐπιγράμματα ὡς στέμματα κήρυκα τῆς νίκης τὴν ὕλην ἐργάζονται. ἄλλοι πάλιν ἐν βίβλοις καὶ γράμμασι τοὺς ἐπαίνους τοῖς νικηταῖς γράφουσι, τὴν αὐτῶν ἐν τῷ ἐπαινεῖν δύναμιν ἰσχυροτέραν τῶν ἐπαινουμένων δεῖξαι θέλοντες. Καὶ λογογράφοι, καὶ ζωγράφοι, καὶ λιθογλύπται, καὶ δῆμοι, καὶ ἄρχοντες, καὶ πόλεις, καὶ χῶραι τοὺς νικητὰς θαυμάζουσιν· οὐδεὶς δὲ φεύγοντος καὶ μὴ πολεμήσαντος εἰκόνας ἔγραψεν. * * * λοιπά. * * *

Ψαλ. δ. α ΕΝ ΤΩ ΕΠΙΚΑΛΕΙΣΘΑΙ ΜΕ, ΕΙΣΗΚΟΥσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Οὐχ ἵνα ἁπλῶς μάθωμεν ὅτι ἠκούσθη, ταῦτα φθέγγεται ὁ προφήτης, ἀλλ' ἵνα παιδευθῶμεν πῶς καὶ αὐτοὶ καλοῦντες τὸν Θεὸν ἀκουσθῆναι δυνησόμεθα ταχέως, καὶ περὶ τοῦ τέλους τῆς εὐχῆς τὴν αἴτησιν λαβεῖν. οὐ γὰρ εἶπε, μετὰ τὸ ἐπικαλέσασθαί με, εἰσήκουσέ μου· ἀλλ' ἐν τῷ ἐπικαλεῖσθαί με. καὶ γὰρ καὶ αὐτοῦ τοῦ Θεοῦ τοιαύτη τίς ἐστιν ὑπόσχεσις λέγοντός που πρὸς τὸν ἐπικαλούμενον· Ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. Ησ. νη. θ. οὐ γὰρ δὴ ῥημάτων πλῆθος πείθειν τὸν Θεὸν εἴωθεν, ἀλλὰ καθαρὰ ψυχὴ, καὶ ἔργων ἀγαθῶν ἐπίδειξις. πρὸς γοῦν τοὺς ἐν πονηρίᾳ μὲν ζῶντας, προσδοκῶντας δὲ τῷ μήκει τῶν ῥημάτων δυσωπεῖν αὐτὸν, ὅρα τί φησιν· Ησ. α. ιε. Ὅταν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· ἐὰν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. ἄρα περὶ τῶν ἄλλων ἁπάντων παρρησίαν δεῖ τὸν εὐχόμενον ἔχειν, καὶ πάντως ἕψεται τὰ τῆς αἰτήσεως. διά τοι τοῦτο καὶ ὁ προφήτης οὐκ εἶπεν, εἰσήκουσεν ἐμοῦ, ἀλλὰ τῆς δικαιοσύνης μου, τὴν πρὸς τὸν Θεὸν ″αὐτοῦ παρρησίαν δεικνὺς, καὶ ὡς μετὰ ταύτης αὐτῷ προσῄει διὰ παντός. μηδεὶς δὲ αὐτὸν μεγαληγορεῖν ἡγείσθω ταῦτα λέγοντα. οὐ γὰρ ἑαυτὸν ἐπᾶραι βουλόμενος ταῦτά φησιν, ἀλλὰ διδασκαλίαν τινὰ καὶ παραίνεσιν [κοινὴν] πολὺ κέρδος ἔχουσαν εἰσάγων. ἵνα γὰρ μή τις λέγῃ, ὅτι ἐκεῖνος ἠκούσθη, ἐπειδὴ Δαβὶδ ἦν, ἐγὼ δὲ οὐκ εἰσακούομαι, ἐπειδὴ μικρὸς καὶ εὐτελής εἰμι, δείκνυσιν ὅτι οὔτε ἐκείνου ἁπλῶς ἀκούει, οὔτε σου παρακούει εἰκῇ καὶ ὡς ἔτυχεν· ἀλλὰ πανταχοῦ τῶν πραγμάτων ἐστὶν ἀκριβὴς θεωρός. κἂν ταῦτα ἔχῃς τὰ δυνάμενά σοι συνηγορῆσαι, ἀκουσθήσῃ πάντως· ὥσπερ ἂν μὴ ἔχῃς, οὐδ' ἂν Δαβὶδ ᾖς, πεῖσαι δυνήσῃ τὸν Θεόν. καὶ καθάπερ οἱ φιλοχρήματοι, οὔτε πρὸς ἀξίαν, οὔτε πρὸς ἕτερον οὐδὲν βλέπουσιν, ἀλλ' ἢ τοὺς ἀργύριον ἔχοντας, καὶ ὡς πάντα ″ἀνύσαντες ἀπίασι πρὸς αὐτούς· οὕτω καὶ ὁ Θεὸς ″ἐπεὶ δικαιοσύνης ἐστὶν ἐραστὴς, ὃς ἂν μετ' αὐτῆς ἔλθῃ πρὸς αὐτὸν, οὐκ ἀπελεύσεται κενός· ὥσπερ ὁ ταύτης χωρὶς, καὶ τοῖς ἐναντίοις ἐμπεφυρμένος, κἂν μυρία παρακαλῇ, πλέον οὐδὲν ἐργάσεται, τὸ ″πείθειν οὐκ ἔχων μεθ' ἑαυτοῦ.

ὥστε εἰ βούλει τι παρὰ Θεοῦ ἀνύειν, ταύτην προσλαβὼν ἄπιθι. δικαιοσύνην δὲ ἐνταῦθα, μὴ μέρος ἀρετῆς εἶναι νόμιζε, ἀλλ᾽ ὁλόκληρον καὶ καθολικήν. οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν, πᾶσαν ἀρετὴν ἔχων ἀνθρωπίνην· οὐ τούτου μὲν ἀπεχόμενος τοῦ πονηροῦ, ἑτέρου δὲ ἀντεχόμενος. (Ἰὼβ α. α.) οὕτω καὶ ἡμεῖς δίκαιον σταθμίον τοῦτο λέγομεν, ὃ πανταχοῦ ἴσον· οὐκ ἐὰν χρυσὸν μὲν ἐξ ἴσου ἱστᾶν δύνηται, μόλυβδον δὲ ἐναντίως· ἀλλὰ τὸ ἐν ἁπάσαις ὕλαις τὴν ἰσότητα παρεχόμενον· καὶ μεῖζον πάλιν, ὃ πανταχοῦ ἴσον. οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν, πανταχοῦ ἴσος ὤν. οὐδὲ γὰρ ἐν χρήμασι τὴν ἰσότητα ταύτην ἐφύλαττε μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οὐδαμοῦ τὸ μέτρον ὑπερβαίνων. οὐδ᾽ ἂν ἔχοι τις εἰπεῖν, ὅτι ἐν χρήμασι μὲν τὴν ἰσοτιμίαν ἔστεργεν, ἐν δὲ τῇ πρὸς τὸν πλησίον ὁμιλίᾳ τὸ μέτρον ὑπερέβαινεν, ἀλαζών τις καὶ ὑπεροπτικὸς ὤν. καὶ γὰρ καὶ τοῦτο ἐκ πολλῆς τῆς ἐπιμελείας ἔφευγε. διὸ καὶ ἔλεγεν· Εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου, ἢ θεραπαίνης, ἢ οὐχ ὡς ἐγὼ ἐγενόμην, καὶ αὐτοὶ ἐγένοντο. (Ἰὼβ λα. ιγ.) ἔστι γὰρ καὶ τοῦτο ἀδικία, τὸ ἀλαζόνα εἶναι καὶ πλεονεκτικόν. ὥσπερ γὰρ πλεονέκτην λέγομεν τὸν τὰ τῶν ἄλλων βουλόμενον λαβεῖν, καὶ τοῖς οἰκείοις οὐκ ἀρκούμενον· οὕτω καὶ ἀλαζονικόν, ὅταν πλέον ἀπαιτῇ τῶν ὀφειλομένων ἀνθρώπῳ παρὰ τοῦ πλησίον· ὅταν τις ἑαυτὸν μὲν ἐν πάσῃ καθιστᾷ τιμῇ, ἕτερον δὲ ἀτιμάζῃ. τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν γίνεται, ἢ ἐξ ἀδικίας. ὅτι γὰρ ἀδικία τοῦτο, σκόπει ἐντεῦθεν. καί σε ὁ Θεὸς κἀκεῖνον ἐποίησε· καὶ πάντα σοι κοινὰ καὶ ἴσα δέδωκε πρὸς αὐτόν· πῶς οὖν αὐτὸν ἐκβάλλεις, καὶ ἀποστερεῖς τῆς τιμῆς, ἧσπερ ἔδωκεν ὁ Θεός, καὶ οὐκ ἀφίης εἶναι κοινωνόν, ἀλλὰ τὸ πᾶν σὸν ποιεῖς, οὐκ ἐν χρήμασι μόνον, ἀλλὰ καὶ ἐν δόξῃ ποιεῖς αὐτὸν πένητα; μίαν ἑκατέροις οὐσίαν ὁ Θεὸς ἐχαρίσατο· τῆς αὐτῆς ἠξίωσε προεδρίας, τῆς ἴσης πλάσεως. Τὸ γάρ, ποιήσωμεν ἄνθρωπον, κοινὸν τοῦ γένους παντός. (Γέν. α. κα.) πῶς οὖν αὐτὸν τῆς πατρῴας ἐκβάλλεις οὐσίας, εἰς ἐσχάτην εὐτέλειαν κατάγων, καὶ τὸ κοινὸν ἰδιοποιούμενος; ἀλλ᾽ οὐχ ὁ μακάριος προφήτης τοιοῦτος. διὸ καὶ μετὰ παρρησίας ἔλεγεν, Εἰσήκουσέ τῆς δικαιοσύνης μου. οὕτω καὶ Παῦλος παράγει πολλάκις ἑαυτὸν εἰς τὸ μέσον, οὐκ ἐπαίρων, οὐδὲ φυσῶν, ἀλλὰ τοῖς ἄλλοις ὑπόδειγμα γινόμενος· ὡς ὅταν λέγῃ, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν. (α. Κορ. ζ. ζ.) οὕτω καὶ ὁ Δαβὶδ ἐν καιρῷ καλοῦντι, τὴν ἀνδρείαν τὴν ἑαυτοῦ τὴν ἐκ τῆς τοῦ Θεοῦ γενομένην ῥοπῆς εἰς μέσον ἄγει, λέγων, Ὅτι καὶ ἄρκτους ἔπνιγε, (α. Βασ. ιζ. λδ.) καὶ λέοντας ἠγκαλίζετο· οὐκ ἐπαίρων ἑαυτὸν οὐδὲ οὗτος (μὴ γένοιτο) ἀλλ᾽ οἰκονομῶν ἑαυτῷ ἐντεῦθεν τὸ ἀξίωμα. καὶ εἰ ἔχω δικαιοσύνην, [φησὶν] ἴσως ἐρεῖ τις, τίς χρεία εὐχῆς, ἀρκοῦντος τοῦ πράγματος ἅπαντα κατορθοῦν, καὶ τοῦ μέλλοντος διδόναι εἰδότος ὧν δεόμεθα; ὅτι οὐ μικρὸς σύνδεσμος τῆς πρὸς Θεὸν ἀγάπης ἡ εὐχή, συνήθειαν ἡμῖν ἐμποιοῦσα τῆς πρὸς αὐτὸν ὁμιλίας, καὶ εἰς φιλοσοφίαν ἄγουσα. εἰ γὰρ ἀνθρώπῳ τις συγγινόμενος θαυμαστῷ, πολλὰ καρποῦται ἐκ τῆς συνουσίας, πολλῷ μᾶλλον ὁ Θεῷ διηνεκῶς ὁμιλῶν. ἀλλ᾽ οὐκ ἴσμεν τῆς εὐχῆς τὸ κέρδος ὡς χρή, ἐπεὶ μηδὲ προσέχομεν αὐτῇ μετὰ ἀκριβείας, μηδὲ χρώμεθα κατὰ τοὺς τοῦ Θεοῦ νόμους. ἀλλ᾽ ἀνθρώποις μὲν μέλλοντες διαλέγεσθαί τισι τῶν ὑπὲρ ἡμᾶς, καὶ σχῆμα, καὶ βάδισμα, καὶ στολήν, καὶ πάντα ῥυθμίσαντες εἰς τὸ δέον, οὕτω διαλεγόμεθα· Θεῷ δὲ προσιόντες χασμώμεθα, κνώμεθα, περιστρεφόμεθα, ῥαθυμοῦμεν· τῶν γονάτων χαμαὶ κειμένων, ἐπὶ τῆς ἀγορᾶς πλανώμεθα. εἰ δὲ μετὰ τῆς προσηκούσης εὐλαβείας, καὶ ὡς Θεῷ διαλέξεσθαι μέλλοντες, οὕτω προσῄειμεν· τότε ἂν ἔγνωμεν, καὶ πρὸ τοῦ λαβεῖν ἅπερ ᾐτοῦμεν, ἡλίκον κέρδος καρπούμεθα. ἄνθρωπος γὰρ Θεῷ παιδευθεὶς διαλέγεσθαι, ὡς εἰκὸς τὸν τῷ Θεῷ διαλεγόμενον, ἄγγελος ἔσται λοιπόν. οὕτως ἀπολύεται τῶν δεσμῶν τοῦ σώματος ἡ ψυχή· οὕτω μετάρσιος αὐτῷ γίνεται ὁ λογισμός· οὕτω μετοικίζεται πρὸς τὸν οὐρανόν· οὕτως ὑπερορᾷ τῶν βιω-

τικῶν·

ἀντὶ τοῦ
ὑπερήφανον.

πικήν· οὕτω πρὸς αὐτὸν ἵσταται τὸν θρόνον, κἂν πένης ᾖ, κἂν οἰκέτης, κἂν ἰδιώτης, κἂν ἀμαθής. οὐ γὰρ γλώττης ζητεῖ κάλλος ὁ Θεός, οὐδὲ ῥημάτων συνθήκην, ἀλλὰ ψυχῆς ὥραν. κἂν ἐκείνη φθέγγηται τὰ αὐτῷ δοκοῦντα, τὸ πᾶν ἀνύσασα ἄπεισιν. ὁρᾷς πόση εὐκολία. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τὸν προσιόντα τινὶ καὶ ῥητορικὸν εἶναι χρή, καὶ κολακεῦσαι τοὺς περὶ τὸν ἄρχοντα πολλάκις ἱκανόν, καὶ πολλὰ ἕτερα ἐπινοῆσαι, ὥστε γενέσθαι εὐπαράδεκτον. ἐνταῦθα δὲ οὐδενὸς δεῖται, ἀλλὰ γνώμης μόνης νηφούσης· καὶ οὐδὲν τὸ κωλύον εἶναι ἐγγὺς τοῦ Θεοῦ. Ἱερεμ. κγ. κγ. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν. ὥστε τὸ μακρὰν γενέσθαι, ἀφ' ἡμῶν γίνεται. αὐτὸς γὰρ ἀεὶ πλησίον ἐστί. καὶ τί λέγω ὅτι ῥητορείας οὐ δεόμεθα; πολλάκις οὐδὲ φωνῆς δεόμεθα. κἂν γὰρ ἐν τῇ καρδίᾳ φθέγξῃ, καὶ καλέσῃς Ἐξοδ. ιδ. ιε. α. Βασ. α. ιγ. αὐτὸν ὡς χρή, ῥᾳδίως ἐπινεύει καὶ τότε. οὕτω καὶ Μωϋσέως ἤκουσεν· οὕτω καὶ Ἄννης. οὐ παρέστηκε στρατιώτης ἀποσοβῶν· οὐ δορυφόρος τὸν καιρὸν διακόπτων· οὐκ ἔστιν εἰπεῖν, νῦν οὐ δυνατὸν προσελθεῖν, μετὰ ταῦτα παραγενοῦ· ἀλλ' ὅταν ἔλθῃς, ἕστηκεν ἀκούων, κἂν ἐν καιρῷ ἀρίστου, κἂν ἐν καιρῷ δείπνου, κἂν ἐν αὐτῇ τῇ ἀωρίᾳ, κἂν ἐν ἀγορᾷ, κἂν ἐν ὁδῷ, κἂν ἐν θαλάμῳ· κἂν ἔνδον ἐν δικαστηρίῳ ἄρχοντι παραστῇς, καὶ καλέσῃς αὐτόν, τὸ κωλύον οὐδὲν ἐπινεῦσαι τῇ αἰτήσει, ἂν ὡς χρὴ καλέσῃς. οὐκ ἔστιν εἰπεῖν, δέδοικα προσελθεῖν, καὶ δεηθῆναι· ὁ ἐχθρός μου παρέστηκεν. ἀλλὰ καὶ τοῦτο ἀνῄρηται τὸ κώλυμα. οὔτε γὰρ ἐχθρῷ προσέχει, καὶ διακόπτει σου τὴν αἴτησιν· ἀλλ' ἀεὶ καὶ διηνεκῶς ἐντυγχάνειν δύνασαι, καὶ δυσκολία οὐδεμία πρόσεστιν. οὔτε γὰρ χρεία τῶν προσαγόντων θυρωρῶν, οἰκονόμων, ἐπιτρόπων, φυλάκων, ἢ φίλων· ἀλλ' ὅταν αὐτὸς δι' ἑαυτοῦ προσέλθῃς, τότε μάλιστα ἀκούσεταί σου, τότε, ὅταν μηδενὸς δεηθῇς. οὐχ οὕτως οὖν αὐτὸν δυσωποῦμεν δι' ἑτέρων ἀξιοῦντες, ὡς δι' ἡμῶν αὐτῶν. ἐπειδὴ γὰρ τῆς ἡμετέρας ἐρᾷ φιλίας, καὶ πάντα ποιεῖ, ὥστε ἡμᾶς αὐτῷ θαρρεῖν· ὅταν ἴδῃ δι' ἑαυτῶν τοῦτο ποιοῦντας, τότε μάλιστα ἐπινεύει. Ματθ. ιε. κβ. οὕτω καὶ ἐπὶ τῆς Χαναναίας ἐποίησε. καὶ Πέτρου μὲν καὶ Ἰακώβου προσιόντων, οὐκ ἐπένευσεν· ἐπιμενούσης δὲ ταύτης, τὸ αἰτηθὲν ταχέως ἔδωκεν. εἰ γὰρ καὶ μικρὸν ἔδοξεν ἀναβάλλεσθαι, οὐχ ἵνα ὑπερθῆται τὸ γύναιον, ἀλλ' ἵνα μειζόνως στεφανώσῃ, καὶ μᾶλλον αὐτῆς οἰκειώσηται τὴν προσεδρίαν. μελετήσωμεν τοίνυν καὶ ἡμεῖς ἐντυγχάνειν Θεῷ· μάθωμεν, πῶς δεῖ ταύτην ποιεῖσθαι τὴν ἐντυχίαν. οὐκ εἰς μουσεῖον ἀπιέναι δεῖ, οὐδὲ χρήματα ἀναλίσκειν, οὐδὲ παιδαγωγοὺς μισθοῦσθαι, καὶ ῥήτορας καὶ σοφιστάς, οὐδὲ χρόνον πολὺν δαπανᾶν, ὥστε μαθεῖν τὴν ῥητορείαν ταύτην· ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ τὰ τῆς τέχνης ἀπήρτισαι. καὶ οὐχ ὑπὲρ σεαυτοῦ δυνήσῃ μόνον ἐν τῷ δικαστηρίῳ τούτῳ λέγειν, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων πολλῶν. καὶ τίς ὁ τῆς δικανικῆς ταύτης σκοπός; ὁ τῆς εὐχῆς τρόπος. τὸ νηφούσῃ διανοίᾳ, τὸ συντετριμμένῃ ψυχῇ, τὸ μετὰ πηγῶν δακρύων αὐτῷ προσιέναι, τὸ μηδὲν αἰτεῖν βιωτικόν, τὸ τῶν μελλόντων ἐρᾶν, τὸ ὑπὲρ τῶν πνευματικῶν ποιεῖσθαι τὴν ἔντευξιν, τὸ μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, τὸ μηδενὶ μνησικακεῖν, τὸ πάντα ἐκβάλλειν ἀπὸ τῆς ψυχῆς τὰ πάθη, τὸ συντρίβοντα τὴν καρδίαν οὕτω προσιέναι, τὸ συνεστάλθαι, τὸ πολλὴν τὴν ἐπιείκειαν μελετᾶν καὶ τὴν γλῶτταν πρὸς εὐφημίαν τρέπειν, τὸ μηδενὶ τῶν πονηρῶν συνίστασθαι πραγμάτων, τὸ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν, λέγω δὴ τὸν διάβολον. τὸν γὰρ ὑπὲρ ἑτέρων λέγοντα βασιλεῖ, καὶ τοῖς ἐχθροῖς ἐκείνου κοινολογούμενον καὶ οἱ ἔξωθεν νόμοι τιμωροῦσι. καὶ σὺ τοίνυν, εἰ βούλει καὶ ὑπὲρ σεαυτοῦ καὶ ὑπὲρ ἑτέρων λέγειν, τοῦτο δὴ μάλιστα κατόρθωσον, τὸ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν. οὕτω γὰρ ἔσῃ δίκαιος· καὶ δίκαιος ὤν, ἀκουσθήσῃ, τοιαύτην ἔχων * συνήγορον.

Ἐν θλίψει ἐπλάτυνάς μοι.

Οὐκ εἶπε, παρήγαγες τὰς θλίψεις, οὐδέ, ἀνεῖλες τοὺς πειρασμούς, ἀλλ' ἀφῆκας

ἑστάναι,

εἰπεῖν,

ὅπου δεῖ

στᾶναι, καὶ ἐπλάτυνάς μοι. τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ καὶ τὸ εὔπορον ἐντεῦθεν μάλιστα δείκνυται, οὐκ ἐν τῷ παρενεγκεῖν τὰς θλίψεις μόνον, ἀλλὰ καὶ ἐν τῷ μενουσῶν αὐτῶν πολλὴν παρέχειν τὴν ῥᾳστώνην. τοῦτο καὶ τοῦ Θεοῦ δείκνυσι τὴν ἰσχὺν, καὶ τοὺς ἐμπίπτοντας φιλοσοφωτέρους ἐργάζεται, ὅταν καὶ εὐρυχωρία ᾖ παραμυθουμένη τὴν θλιβομένην ψυχὴν, καὶ ἡ θλίψις μὴ καταλύηται σφίγγουσα ταύτην ῥᾳθυμοῦσαν, καὶ πάσης ἀπαλλάττουσα ὀλιγωρίας. καὶ πῶς, φησὶν, ἐν θλίψει γένοιτ' ἂν πλατυσμός; ὡς ἐν τῇ καμίνῳ τῶν τριῶν παίδων, ὡς ἐν τῷ λάκκῳ τῶν λεόντων. οὐ γὰρ ἔσβεσε τὴν φλόγα, καὶ τότε ἐποίησεν αὐτοὺς ἐν εὐρυχωρίᾳ εἶναι· οὐδὲ ἀπέκτεινε τοὺς λέοντας, καὶ τὸ τηνικαῦτα αὐτὸν κατέστησεν ἐν ἀδείᾳ· ἀλλὰ κἀκεῖ τῆς καμίνου σφοδρῶς ἀναπτομένης, καὶ ἐνταῦθα τῶν θηρίων παραμενόντων, οἱ δίκαιοι πολλῆς ἀπέλαυον τῆς ῥᾳστώνης. ἔστι δὲ καὶ ἑτέρως εὐρυχωρίαν εἰπεῖν· οἷον ὅταν ὑπὸ τῶν πειρασμῶν ἡ ψυχὴ θλιβομένη τῶν παθῶν ἀπαλλάττηται, καὶ τῶν νοσημάτων τῶν πολλῶν. τότε γὰρ μάλιστα τῆς εὐρυχωρίας ἀπολαύει. πολλοὶ γὰρ ἐν εὐημερίᾳ μένοντες ἔρωτας ἔχουσιν ἀτοπωτάτους, θλίβοντας αὐτῶν τὴν ψυχὴν, καὶ χρημάτων, καὶ σωμάτων, καὶ ἑτέρων τοιούτων ἀτόπων· εἰς θλίψιν δὲ ἐμπεσόντες, πάντων ἐλευθεροῦνται ἐκείνων, καὶ γίνονται ἐν εὐρυχωρίᾳ. καὶ καθάπερ οἱ ἐν πυρετοῖς ὄντες, ἕως μὲν ἀπολαύουσι τῶν ἐπιθυμιῶν τῶν ἀκαίρων, τραπέζης λέγω πληθούσης, καὶ ἀκράτου, καὶ τοιούτων ἑτέρων, μειζόνως στενοχωροῦνται· εἰ δὲ βουληθεῖεν ἑαυτοὺς ὀλίγον θλίψαντες καρτερῆσαι, πολλῆς ἀπολαύουσι τῆς εὐρυχωρίας, καὶ τὸ πνῖγον ἀποθέμενοι καθαρᾶς λοιπὸν ἐντρυφῶσιν ὑγείας. οὕτω καὶ ἐπὶ τῶν πραγμάτων συμβαίνει. οὐδὲν γὰρ οὕτω ποιεῖν ἄνεσιν εἴωθεν, ὡς θλίψις, τῶν βιωτικῶν ἀπάγουσα πάντων. πῶς οἴει τοὺς Ἰουδαίους γεγενῆσθαι ἐν θλίψει, καὶ ὅτε ἦσαν ἐν εὐημερίᾳ; ἢ οὐχὶ πυρεττούσης ταῦτα ψυχῆς καὶ ἀλυούσης καὶ ῥιπταζομένης, τὸ λέγειν, Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ; ἢ οὐχὶ ἐκεῖνα φιλοσοφούσης ψυχῆς καὶ ἀναπνεούσης ἐκ τῶν βιωτικῶν παθῶν τὰ ῥήματα, ὅτε τοσαύτην ἐπεδείξαντο τὴν εὐχὴν θλιβόμενοι, ὡς αὐτὴν ἐπισπάσασθαι τοῦ Θεοῦ τὴν ῥοπήν; αὐτὸς δὲ ὁ προφήτης οὗτος, ὅτε ἦν ἐν ἀνέσει, πῶς ἐθλίβη ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας στενοχωρούμενος καὶ σπαρασσόμενος; ὅτε δὲ ἐν θλίψει γέγονεν, ἴστε πῶς γέγονεν ἐν ἀνέσει. οὔτε γὰρ ἥπτετο αὐτοῦ τὸ πῦρ, ἀλλὰ καὶ ἡ φλὸξ ἅπασα κατεσβέσθη. οὐδὲν γὰρ οὕτω ποιεῖ θλίψιν, ὡς τὸ πολιορκεῖσθαι τὴν ψυχὴν ὑπὸ τῶν παθῶν. αἱ μὲν γὰρ ἄλλαι, ἔξωθεν προσπίπτουσιν· αὗται δὲ, ἔνδοθεν φύονται· καὶ αὕτη μάλιστά ἐστιν ἡ πολλὴ θλίψις. κἂν ὁ κόσμος ἡμᾶς λυπῇ, ἡμεῖς δὲ ἑαυτοὺς μὴ λυπῶμεν, οὐδὲν ἔστιν ἡμῖν δεινόν. ἄρα ἐν ἡμῖν τὸ θλίβεσθαι, καὶ μὴ θλίβεσθαι. ἵνα δὲ μάθῃς καὶ ἀπὸ τῆς ἀποστολικῆς φωνῆς, πόση ἀπὸ τῆς θλίψεως εὐρυχωρία γίνεται, ἄκουσον αὐτοῦ Παύλου τὸν καρπὸν λέγοντος τῆς θλίψεως· Ἡ δὲ θλίψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. εἶδες εὐρυχωρίαν ἄφατον· εἶδες λιμένα εὐφροσύνης· ὑπομονὴν, φησὶν, ἡ θλίψις κατεργάζεται. τί γὰρ ἀνδρὸς καρτερικωτάτου, καὶ πάντα δυναμένου ῥᾳδίως φέρειν, ἀνεκτότερον; τί δὲ δοκίμου γένοιτ' ἂν ἰσχυρότερον; τί δὲ τῆς ἐντεῦθεν τρυφῆς ἴσον; τρεῖς γὰρ ἡμῖν ἡδονὰς ἐντεῦθεν λέγει τικτομένας, τὴν ὑπομονὴν, τὴν δοκιμὴν, καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν. περὶ τούτων νῦν φιλοσοφῶν ὁ προφήτης ἔλεγεν· ἐν θλίψει ἐπλάτυνάς μοι. ἐπειδὴ γὰρ εἶπεν, εἰσήκουσέ μου ὁ Θεὸς, λέγει ἐν ποίῳ τρόπῳ εἰσήκουσεν· οὐκ ἐν χρήμασιν (οὐδὲν γὰρ ἐζήτει τοιοῦτον) οὐχ ἵνα ἐχθρῶν κρατήσῃ (οὐδὲ γὰρ ταῦτα ᾔτει) ἀλλ' ἐν ἀνέσει τῇ ἐν μέσῳ τῆς θλίψεως γινομένῃ.

Δαν. γ. κδ.
καὶ ς. κβ.

Ἐξοδ. λβ. α.

Ρω. ε. γ.

2 Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Τί λέγεις; ἄνω δικαιοσύνης μέμνησαι, ἐνταῦθα οἰκτιρμοῦ καὶ ἐλέου· καὶ πῶς ταῦτα ἀκολουθίαν ἔχοι; πολλὴν μὲν οὖν, καὶ σφόδρα τοῖς προτέροις συνημμένην. κἂν γὰρ μυρία κατορθώσωμεν, ἀπὸ οἰκτιρμῶν ἀκουόμεθα καὶ φιλανθρωπίας. κἂν πρὸς αὐτὴν ἀνέλθωμεν τῆς ἀρετῆς τὴν κορυφὴν, ἀπὸ ἐλέους σωζόμεθα. ἐντεῦθεν μανθάνομεν ὅτι μετὰ τῆς δικαιοσύνης, χρεία καὶ γνώμης συντετριμμένης. κἂν γὰρ ἁμαρτωλός τις ὢν μετὰ ταπεινοφροσύνης εὔξηται, ὅπερ ἐστὶ μέρος ἀρετῆς, μεγάλα λῦσαι δυνήσεται. κἂν δίκαιος ὢν μετὰ ἀλαζονείας προσίῃ, πάντων ἐκπεσεῖται τῶν ἀγαθῶν." ἀμφότερα τὰ ὑποδείγματα ὁ τελώνης καὶ ὁ φαρισαῖος" ἐδίδαξαν. δεῖ τοίνυν καὶ τρόπον εὐχῆς εἰδέναι. τίς δὲ τρόπος τῆς εὐχῆς; μάθε ἀπὸ τοῦ τελώνου· καὶ μὴ αἰσχυνθῇς τοῦτον λαβεῖν διδάσκαλον, τὸν οὕτω τοῦτο κατορθώσαντα, ὡς ἀπὸ ψιλῶν ῥημάτων τὸ πᾶν λῦσαι. ἐπειδὴ γὰρ ἡ διάνοια αὐτῷ καλῶς παρεσκευασμένη ἦν, ἤρκεσε καὶ ῥῆμα ἓν ἀνοῖξαι αὐτῷ τὸν οὐρανόν. πῶς δὲ ἦν παρεσκευασμένη; ἐταλάνιζεν ἑαυτὸν, τὸ στῆθος ἔτυπτεν, οὐδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν ἠνείχετο. ἂν οὕτω καὶ σὺ μέλλῃς εὔχεσθαι, πτερῶν κουφοτέραν ἐργάσῃ τὴν εὐχήν. εἰ γὰρ ὁ ἁμαρτωλὸς δίκαιος γέγονεν ἀπὸ τῆς εὐχῆς, ἐννόησον ὁ δίκαιος ἡλίκος ἔσται, εἰ τοιαύτην προσάγειν μάθοι δέησιν. διὰ δὴ τοῦτο οὐδὲ ἐνταῦθα ἁπλῶς ἑαυτὸν τίθησιν, ἀλλὰ τὴν προσευχὴν αὐτοῦ· ἄνω τὴν δικαιοσύνην, ἐνταῦθα τὴν προσευχὴν, [λέγων, οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου]. οὕτω καὶ Κορνήλιος ἠκούσθη, ἐπειδὴ ταύτην εἶχε συνήγορον. Αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου, φησὶν, ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ· εἰκότως. τὰ γὰρ ἔργα ἐστὶ τὰ ἀκουόμενα, καὶ τὰ κατορθώματα· οὐχ ἁπλῶς δὲ αἱ εὐχαὶ, ἀλλ᾽ αἱ κατὰ νόμον τοῦ Θεοῦ γινόμεναι εὐχαί. καὶ τίνες εἰσὶν αὗται; αἱ ταῦτα αἰτοῦσαι, ἃ τῷ Θεῷ πρέπει διδόναι, αἱ μὴ τἀναντία τοῖς αὐτοῦ νόμοις αὐτὸν παρακαλοῦσαι. καὶ τίς οὕτω τολμηρὸς, φησὶν, ὡς τὸν Θεὸν ἀξιοῦν τἀναντία τοῖς αὐτοῦ νόμοις" ποιεῖν; ὁ κατὰ τῶν ἐχθρῶν αὐτὸν παρακαλῶν. τοῦτο γὰρ παρὰ τὸν νόμον τὸν ὑπ᾽ αὐτοῦ κείμενον. αὐτὸς γάρ φησιν, "Ἀφίετε τοῖς ὀφειλέταις ὑμῶν· σὺ δὲ αὐτὸν τὸν" κελεύοντά σοι συγχωρῆσαι, κατὰ τῶν ἐχθρῶν καλεῖς; καὶ τί γένοιτ᾽ ἂν τῆς ἀνοίας ταύτης χεῖρον; ἱκέτου σχῆμα καὶ γνώμην καὶ φρόνημα τὸν εὐχόμενον ἔχειν δεῖ. τί τοίνυν ἕτερον προσωπεῖον σεαυτῷ περιτίθης, τὸ τῆς κατηγορίας; πῶς γὰρ δυνήσῃ τῶν οἰκείων ἁμαρτημάτων λαβεῖν συγγνώμην, ὅταν τῶν τοῖς ἑτέροις πεπλημμελημένων τιμωρὸν τὸν Θεὸν ἀξιοῖς εἶναι; ἔστω τοίνυν ἡ εὐχὴ ἥμερος, γαληνὴ, χαρίεν ἔχουσα πρόσωπον, ἁπαλόν. τοιαύτη γὰρ ἡ μετὰ πρᾳότητος, καὶ μὴ κατ᾽ ἐχθρῶν γινομένη· ὡς ἥ γε ἐναντία μεθυούσῃ τινὶ καὶ παραπαιούσῃ ἔοικε γυναικὶ, συώδει τινὶ καὶ ἀγρείᾳ. διὸ καὶ ἄβατος αὐτῇ ὁ οὐρανός. ἀλλ᾽ οὐχ ἡ μετὰ πρᾳότητος τοιαύτη· ἀλλ᾽ ἔχει τι λιγυρὸν, καὶ προσηνὲς, καὶ βασιλικῶν ἄξιον ἀκοῶν, ἡδὺ καὶ παναρμόνιον καὶ ἐμμελές. διὸ δὴ οὐκ ἐκβάλλεται τοῦ θεάτρου ἔξω, ἀλλ᾽ ἐστεφανωμένη ἄπεισι. καὶ γὰρ χρυσῆν ἔχει κιθάραν, χρυσῆν τὴν στολήν. διὸ καὶ τέρπει τὸν δικαστὴν, καὶ τῷ σχήματι, καὶ τῷ βλέμματι, καὶ τῇ φωνῇ. διὰ ταῦτα οὐδεὶς αὐτὴν ἀπελαύνει τῶν οὐρανίων ἁψίδων. ἅπαν γὰρ ἐκεῖνο τὸ θέατρον ἀνίστησι τῇ εὐφροσύνῃ. αὕτη τῶν οὐρανῶν ἀξία ἡ εὐχή· αὕτη τῶν ἀγγέλων ἡ γλῶττα, ὅταν μηδὲν πικρὸν, πάνυ δὲ προσηνὲς φθέγγηται. ὅταν γὰρ ὑπὲρ τῶν ἀδικούντων καὶ ἐπηρεαζόντων προσέρχηται τὴν ἱκετηρίαν ποιουμένη, τότε καὶ οἱ ἄγγελοι παρεστήκασι μετὰ πολλῆς ἀκούοντες τῆς σιγῆς, καὶ μετὰ τὸ παύσασθαι, κροτοῦντες αὐτὴν, ἐπαινοῦντες, θαυμάζοντες. τοιαύτην καὶ ἡμεῖς προσαγάγωμεν εὐχὴν, καὶ πάντως ἀκουσθησόμεθα. καὶ ὅταν προσίωμεν τῷ Θεῷ, μὴ νομίσωμεν εἶναι θέατρον τοιοῦτον, ἀλλ᾽ ἐκ τῆς οἰκουμένης ἁπάσης, μᾶλλον δὲ καὶ ἐκ τῶν ἄνω δήμων τῶν οὐρανίων συνειλεγμένον, καὶ ἐν

μέσῳ

Πράξ. ι. δ.

Ματθ. ς. ιβ.

[illegible]

χ. διδόναι

χ. ἀφίετε

χ. καλεῖ[illegible]

μέσῳ τὸν βασιλέα καθῆσθαι, βουλόμενον ἡμῶν ἐπακοῦσαι τῆς εὐχῆς· καὶ ἐπίδειξιν τὸ πρᾶγμα ποιησώμεθα. μηδεὶς ἔστω κιθαριστής, μηδὲ λυρῳδὸς οὕτως ἐναγώνιος, μέλλων ἐν σκηναῖς εἰσιέναι, καὶ δεδοικὼς μή τι ἀπηχὲς ἀνακρούσηται, ὡς ἡμεῖς μέλλοντες εἰσιέναι εἰς τὸ τῶν ἀγγέλων θέατρον. πλῆκτρον δὲ ἡμῖν ἔστω ἡ γλῶττα, μηδὲν ἀηδὲς φθεγγομένη, ἀλλ' ἐμμελὲς καὶ πολυαρμόνιον μετὰ διανοίας τῆς προσηκούσης· καὶ προσιόντες τῷ Θεῷ, καὶ παρακαλοῦντες καὶ δεόμενοι, ὑπὲρ τῶν ἐχθρῶν ἀνακρουώμεθα τὴν προφητικὴν νευράν. οὕτω γὰρ ὑπὲρ ἡμῶν αὐτῶν ἀκουσθησόμεθα. αὕτη ἡ φωνὴ καταισχύνει δαίμονας· αὕτη παρρησίαν ἡμῖν δίδωσιν· αὕτη καταισχύνει τὸν διάβολον, καὶ ἀναχωρεῖν ποιεῖ. οὐ γὰρ οὕτως ἄνθρωπον φρίττει ὁ δαίμων τὸν ἐκβάλλοντα αὐτὸν καὶ ἐλαύνοντα ἐξ ἑτέρου ἀνθρώπου, ὡς ἄνθρωπον ὀργῆς κρατοῦντα, καὶ θυμοῦ περιγινόμενον· ἐπεὶ καὶ τοῦτο δαίμων ἐστὶ χαλεπός, καὶ τούτους μᾶλλον, ἢ τοὺς δαιμονῶντας ταλανίζειν χρή. τὸ μὲν γὰρ δαιμονᾶν, εἰς γέενναν οὐκ ἐμβάλλει· τὸ δὲ ὀργίζεσθαι καὶ μνησικακεῖν, αὐτῆς ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. ἂν οὕτω ῥυθμίσωμεν τὴν εὐχήν, δυνησόμεθα μετὰ παρρησίας λέγειν καὶ ἡμεῖς τῷ Θεῷ, εἰσάκουσον τῆς προσευχῆς μου. ὥστε οὐχ ἑαυτὸν ὠφελήσεις μόνον, καὶ προσοδοποιήσεις σου τῇ ἱκετηρίᾳ, ἀλλὰ καὶ τὸν ἀκούοντα Θεὸν εὐφρανεῖς, ἄξιόν τι τῶν ἐπιταγμάτων αὐτοῦ αὐτῷ. διὸ καὶ ῥᾳδίως ἐπινεύσει. τοῦτο ἄξιον τῆς υἱοθεσίας ἐκείνης· τοῦτο μάλιστα τὸν χαρακτῆρα ἐκεῖνον δείκνυσι. Γίνεσθε, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς· καὶ πάλιν, Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. τί τοίνυν ταύτης τῆς εὐχῆς ἴσον; αὕτη οὐκ ἀγγέλοις, οὔτε ἀρχαγγέλοις, ἀλλ' αὐτῷ τῷ βασιλεῖ ὅμοιον ποιεῖ. ὁ δὲ τῷ βασιλεῖ ὅμοιος γινόμενος κατὰ τὸ ἐγχωροῦν, ἐννόησον ὅσης ἀπολαύσεται τῆς παρρησίας ἐν ταῖς εὐχαῖς.

Λουκ. ϛ. λϛ.

Ματθ. ε. με.

3 Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Πρὸς τίνας ἀποτείνει τὸν λόγον, καὶ ποιεῖται τὴν ἐπιτίμησιν, καὶ ἐπάγει τὴν συμβουλήν; τίνας υἱοὺς ἀνθρώπων καλεῖ; τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς πρὸς κακίαν ἐπιρρεπεῖς. τί δή ποτε; ἡμεῖς γὰρ οὐχ υἱοὶ ἀνθρώπων; τῇ φύσει μὲν ἀνθρώπων υἱοί, τῇ χάριτι δὲ οὐκ ἔτι, ἀλλ' υἱοὶ Θεοῦ. εἰ γοῦν καὶ τὴν εἰκόνα τὴν καὶ ἀρετὴν τὴν πρὸς αὐτὸν διατηρήσαιμεν, ἀκέραιον ἡμῖν ἔσται τὸ δῶρον. τοὺς γὰρ γινομένους υἱοὺς Θεοῦ διά τε τῆς χάριτος, καὶ διὰ τῆς πολιτείας ταύτην δεῖ χαρακτηρίζειν τὴν εἰκόνα. ὅτι δὲ τοὺς βιωτικωτέρους καὶ πρὸς κακίαν ῥέποντας, υἱοὺς ἀνθρώπων καλεῖ, ἄκουσον. Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων. καὶ μὴν τὸ ἐναντίον, φησίν, εἴρηκας. οὐδαμῶς. υἱοὺς γὰρ Θεοῦ ἐνταῦθα ἐκάλεσε, τοὺς πρὸ τούτου ἐξ ἐναρέτων ὄντας ἀνδρῶν, καὶ τῆς τοῦ Θεοῦ τιμῆς ἀπολελαυκότας· εἶτα μεταβαλλομένους, καὶ γεγονότας χείρους, καὶ προδεδωκότας αὐτῶν τὴν τιμήν. ὥστε γὰρ αὐξῆσαι αὐτῶν τὴν κατηγορίαν, ἀνεμνήσθη αὐτῶν τῆς τιμῆς, μέγιστον εἰς ἐγκλήματος ὑπόθεσιν δεικνὺς ὄν, τὸ τοιούτους ὄντας καὶ ἐκ τοιούτων πρὸς τοιαύτην κατενεχθῆναι κακίαν. καὶ πάλιν ὁ Θεός· Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε. καὶ θέα τοῦ προφήτου τὴν σύνεσιν. δείξας * πρότερον τοῦ Θεοῦ τὴν ἰσχύν, καὶ τὸ εὔπορον, καὶ τὸ εὐμήχανον, καὶ τὸ χρηστόν, καὶ τὸ φιλάνθρωπον, ὅτι ἐν θλίψει πλατύνει, ὅτι ἐλεῶν ἐπινεύει· εἶτα ἐννοῶν τὴν κεχυμένην ἐν ἀνθρώποις κακίαν, καὶ τῆς ἀσεβείας τὴν τυραννίδα, καθάπερ ἀποπνιγόμενος ἀπὸ τῆς ἀθυμίας, τρέπει τὸν λόγον πρὸς τοὺς ἐν πονηρίᾳ ζῶντας, μονονουχὶ λέγων· ὅτι τοιοῦτον ἔχοντες Θεόν, οὕτω χρηστόν, οὕτω φιλάνθρωπον, οὕτω δυνατόν, πῶς πρὸς ἀσέβειαν ἐξεκλίνατε; καὶ ὅρα τὴν παραίνεσιν, πόσης μετὰ τοῦ θυμοῦ γέμει καὶ τῆς προσηνείας, πόσης τῆς φιλοσοφίας. τί γάρ, φησιν; υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἐν-

Γεν. ϛ. β.

Ψαλ. πα. ϛ.

ταῦθα

ταῦτα γὰρ σφόδρα ἐστὶ καθαπτομένου καὶ ἀπὸ τοῦ χρόνου. Εἰ γὰρ τὸ ἐξ ἀρχῆς μὴ συνιδεῖν τοῦ Θεοῦ τὴν εὐεργεσίαν, ἔγκλημα· ποίαν ἕξει συγγνώμην, τὸ μέχρι τοσούτου πρὸς τὴν ἀλήθειαν τυφλώττειν; τί δέ ἐστι βαρυκάρδιοι; παχυκάρδιοι, σαρκικοὶ, τῇ γῇ προσηλωμένοι, κακίαν διώκοντες, πονηρίαν μετιόντες, ταῖς ἡδυπαθείαις κατασπώμενοι. τοιοῦτος γὰρ ὁ σαρκικὸς ἄνθρωπος. καὶ διαβάλλων αὐτῶν τὸν βίον, δείκνυσι τὴν πηγὴν τῆς ἀσεβείας, δηλῶν ὅτι τοῦτο μάλιστά ἐστι τὸ πρὸς τὰ δόγματα αὐτοῖς ἐμποδίζον τὰ ὑψηλά. οὐδὲν γὰρ οὕτω βαρεῖαν καρδίαν ποιεῖ, ὡς ἐπιθυμία πονηρὰ, καὶ ἡ πρὸς τὰ βιωτικὰ συμπάθεια, καὶ τὸ προσηλῶσθαι τῇ γῇ. τὴν τοιαύτην οὐκ ἄν τις ἁμάρτοι πηλίνην καρδίαν προσειπών. διὸ καὶ βαρεῖαν αὐτὴν ἐκάλεσε· καὶ τὴν κακίαν αἴτιον τοῦτο ἔφησεν εἶναι, ὅτι ἡνιόχου τάξιν ἐπέχουσα, οὐ μόνον οὐ κατέχει τὸν ἵππον, ἀλλὰ καὶ αὐτὴ καταφέρεται συρομένη· καὶ δέον πτεροῦν τὴν σάρκα, καὶ μετάρσιον ἐργάζεσθαι, καὶ πρὸς τὸν οὐρανὸν ἀνάγειν, ἡ δὲ συγκαθέλκεται τῷ βαρυτάτῳ τῶν νοσημάτων φορτίῳ. ὅταν οὖν ὁ ἡνίοχος τοιοῦτος ᾖ, ἢ ὁ κυβερνήτης, ποία σωτηρίας ἐλπίς; ὥσπερ ὅταν λέγῃ, Εἰ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον; ὅταν ὁ κυβερνήτης μεθύῃ, καὶ τῶν κυμάτων καὶ τῶν πνευμάτων τὸ ἄτακτον μιμῆται, πῶς σωθήσεται ἡ ναῦς; τί οὖν δύναται κούφην τὴν ψυχὴν ποιεῖν; βίος θαυμαστὸς, τὸ πρὸς μηδὲν τῶν ἐνταῦθα κεχηνέναι, μηδὲ τοῖς ποσὶν αὐτοῦ προσδεσμεῖν τὰ κάτω φερόμενά τε καὶ φέροντα. τῶν μὲν γὰρ σωμάτων τὰ μὲν κάτω φέρεσθαι εἴωθεν, οἷον λίθοι, καὶ ξύλα, καὶ πάντα τὰ τοιαῦτα· τὰ δὲ ἄνω, οἷον πῦρ, καὶ πνεῦμα, καὶ πτερῶν φύσις κούφων. ἂν οὖν τι τῶν κάτω φερόντων τῷ κούφῳ προσδήσῃς, οὐδὲν τῶν πτερῶν ὄφελος, οὐδὲ τοῦ πνεύματος, τοῦ βάρους ὑπερβαίνοντος τὴν συμμετρίαν, καὶ νικῶντος καὶ περιγινομένου. οὕτω καὶ πόδας ἂν ἔχῃ τις βεβαρημένους, ἢ χυμοῦ πονηροῦ ἐπεισρέοντος, ἢ ἑτέρου τινὸς νοσήματος, οὐδὲν ὄφελος αὐτῷ τοῦ λοιποῦ σώματος ὄντος κούφου. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ καρδίας. μὴ τοίνυν ποιῶμεν αὐτὴν βαρεῖαν, ἵνα μὴ κατὰ τὰ πλοῖα τὰ πολλὴν ἔχοντα τὴν ψάμμον καταποντίζηται. ἐν ἡμῖν γὰρ τοῦτο. οὐ γὰρ τῇ φύσει τοιαύτη ἐστὶν, ἀλλὰ τῇ φύσει γέγονε κούφη καὶ ἀνωφερὴς, ἡμεῖς δὲ αὐτὴν παρὰ φύσιν βαρεῖαν ποιοῦμεν. διὸ καὶ ὁ προφήτης ἐγκαλεῖ. Εἰ δὲ φυσικὸν ἦν, οὐκ ἂν ἐνεκάλεσεν. ὥσπερ οὖν κατὰ φύσιν ἡμῖν τὸ βαδίζειν, ἂν δὲ βαρῶμεν τὰ γόνατα, παρὰ φύσιν γίνεται τὸ πρᾶγμα, πεπεδημένων ἡμῶν· οὕτω καὶ ἐπὶ τῶν ποδῶν τῆς διανοίας, λέγω δὴ τῶν λογισμῶν, συμβαίνειν εἴωθεν.

Ματθ. ϛ. κγ.

γρ. ἐπι[illegible]

Ινα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Ἐνταῦθα καὶ τὰ εἰδωλικά μοι δοκεῖ λέγειν, καὶ τὸν ἐν πονηρίᾳ βίον. μάταιον γὰρ ἐκεῖνο λέγεται τὸ κενὸν, ὅταν ὄνομα μὲν ᾖ, πρᾶγμα δὲ μὴ ᾖ. οὕτω παρὰ τοῖς Ἕλλησιν ὀνόματα μὲν θεῶν πολλὰ, πράγματα δὲ οὐδαμοῦ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὄνομα πλούτου, πρᾶγμα δὲ οὐδαμοῦ· καὶ ὄνομα δόξης, πρᾶγμα δὲ οὐδαμοῦ· ὄνομα δυναστείας, καὶ μένει ψιλὸν τὸ ὄνομα. τίς οὖν οὕτως ἀνόητος, ὡς ὀνόματα ζητεῖν πραγμάτων ἔρημα, καὶ τὰ διάκενα διώκειν, ἃ φεύγειν δεῖ; ἢ οὐ τοιαῦται καὶ αἱ ἡδοναὶ τοῦ βίου, καὶ αἱ εὐπραγίαι; οὐ πάντα ψεύδεται καὶ ἀπατᾷ; κἂν δόξαν εἴπῃς, κἂν πλοῦτον, κἂν δυναστείαν, πάντα ματαιότης. διὸ καὶ ὁ ἐκκλησιαστὴς ἔλεγε, Ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης. διὰ δὴ ταῦτα ὀδυνᾶται ὁ προφήτης, τοσαύτην ἀλογίαν ὁρῶν ἐν τῷ βίῳ. ὥσπερ γὰρ ἂν εἴ τις ἰδών τινα φεύγοντα φῶς, διώκοντα δὲ σκότος, λέγῃ· ἵνα τί τοῦτο ποιεῖς τὸ παράλογον; οὕτω καὶ αὐτός· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Ἐκκλησ. α. β.

4 Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ. Ἕτερος ἑρμηνευτής φησιν, Ἀλλὰ γνῶτε ὅτι ἐθαυμάστωσεν.

Εἶδες σοφίαν προφήτου, πόθεν αὐτοὺς ἀνάγει πρὸς τὴν θεογνωσίαν; ἀπὸ σαφε-

σάτου

ςα τοῦ μέρους τινὸς καὶ τόπου γνωριμωτέρου, ἑαυτὸν εἰς μέσον παραθείς· ἐγὼ δοῦλός εἰμί, φησι, τοῦ Θεοῦ τοῦ ἀληθοῦς· ἀπ' ἐμοῦ τοίνυν μάθετε αὐτοῦ τὴν δύναμιν, τὴν ἰσχύν, τὴν κηδεμονίαν. οὐ μικρὸν γὰρ τοῦτο κεφάλαιον εἰς θεογνωσίαν ἄγον. ποιεῖ μὲν γὰρ τοῦτο φανερὸν καὶ ἀπὸ τῶν κτισμάτων ὁ προφήτης, ὅταν περὶ τῆς προνοίας αὐτοῦ διαλέγηται, ἐπὶ τὸν ἥλιον καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν ἀέρα φερόμενος, καὶ ἀπὸ τῆς ἐν τοῖς ὁρωμένοις εὐταξίας τὸν δημιουργὸν ἀνακηρύττων· κινεῖ δὲ καὶ τὸν ἀπὸ τῶν δούλων αὐτοῦ λόγον, καὶ τῶν ἀπ' αὐτοῦ συμβαινόντων· ὃ δὴ καὶ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. ἔλεγον γὰρ αὐτῷ, Οἴδαμεν ὅτι ἀπὸ τοῦ Θεοῦ ἡμῖν ἥκεις βασιλεύς. πόθεν οἴδατε; ἀπὸ τῆς νίκης, ἀπὸ τῶν τροπαίων, ἀπὸ τῶν πολέμων. τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων συνέβη. τὰ γὰρ θαύματα τὰ ὑπὲρ αὐτῶν γενόμενα, πᾶσαν τὴν γῆν εἰς φόβον ἐνέβαλεν· ὅπερ καὶ ἡ πόρνη τότε ἡ Ἱεριχουντία ἔλεγεν· Ὅτι ἐπέπεσεν ἐφ' ἡμᾶς ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος. μία τοίνυν ὁδὸς ἡ διὰ τῶν κτισμάτων· ἑτέρα καὶ σαφεστέρα, ἡ διὰ τῶν δούλων· καὶ ταύτην ἄνωθεν ὁ Θεὸς κατέσπειρε καθ' ἑκάστην γενεάν. τοὺς γοῦν Αἰγυπτίους ἐπαίδευσεν ἀπὸ τοῦ Ἀβραάμ, τοὺς Πέρσας ἀπὸ τοῦ αὐτοῦ· πάλιν τοὺς Ἰσμαηλίτας ἀπὸ τῶν ἐκγόνων, καὶ ἑτέρους μυρίους· καὶ διὰ τοῦ Ἰακὼβ ἑτέρους, τοὺς ἐν τῇ μέσῃ τῶν ποταμῶν. εἶδες ἅπασαν τὴν οἰκουμένην παιδευομένην, εἴ γε ἤθελον, ἀπὸ τῶν ἁγίων. καὶ πρὸ τούτων δὲ ὁ κατακλυσμός, ἡ τῶν γλωσσῶν διάχυσις, ἱκανὰ διαναστῆσαι αὐτῶν τὴν διάνοιαν. ἵνα γὰρ μὴ διὰ τὸν χρόνον εἰς λήθην ἐμπέσῃ τὸ συμβάν, ὁ τόπος λαμβάνει τὴν προσηγορίαν, καὶ Βαβυλὼν ἐντεῦθεν λέγεται, ἀπὸ τῆς συγχύσεως τῶν γλωττῶν· ἵνα ὁ ἀκροατὴς ἀπὸ τῆς προσηγορίας ὁδηγούμενος, ἐπὶ τὴν ἀρχὴν ἔλθῃ τῶν συμβάντων, καὶ μάθῃ τοῦ Θεοῦ τὴν ἰσχύν. οὕτω δὲ καὶ τὴν δύσιν οἰκοῦντες πάντες πάντα ἐμάνθανον, κατ' ἐμπορίαν Αἰγυπτίοις συγγινόμενοι. ἄλλως δέ, ἐν ἀρχαῖς καὶ ἐν προοιμίοις οὐδὲ πολλὰ ἔθνη κατὰ τὸ μέρος ἐκεῖνο ἦν· ἀλλ' ἡ πολυανθρωπία καὶ ἡ πολυοχλία ἐν τοῖς μέρεσι τοῖς κατὰ τὴν ἀνατολὴν συνειστήκει. καὶ γὰρ ὁ Ἀδὰμ ἐκεῖθεν ἐξῆλθε, καὶ τὰ γένη τοῦ Νῶε ἐκεῖ διέτριβε, καὶ μετὰ τὸν πύργον ἐκεῖ ἦσαν, καὶ ἀνεστρέφοντο ἐπὶ τὸ πλεῖον κατὰ ἀνατολάς. ἀλλ' ὅμως καθ' ἑκάστην γενεὰν διδασκάλους αὐτοῖς κατέστησεν ὁ Θεός, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Μελχισεδέκ. διὸ καὶ ὁ προφήτης οὗτος ἀπὸ τῶν εἰς τοὺς ἁγίους γενομένων ἀνάγει τοὺς ἐν πονηρίᾳ ζῶντας, λέγων· γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ. τί ἐστιν ἐθαυμάστωσε; θαυμαστὸν ἐποίησεν, * ἐπίσημον, λαμπρόν, περιφανῆ τὸν ἀνακείμενον αὐτῷ. ἀπὸ τοῦ δούλου τοίνυν καὶ τῶν εἰς αὐτὸν συμβαινόντων μάθετε τοῦ δεσπότου τὴν δύναμιν. οὐκ εἶπε, δέδωκεν ἀγαθὸν μόνον, ἀλλ' ἐθαυμάστωσε, δηλῶν ὅτι δέδωκε μετὰ πολλοῦ τοῦ θαύματος, μετὰ πολλῆς τῆς παραδοξοποιΐας. οὕτω δὲ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. οὐ γὰρ μόνον τὴν γυναῖκα ἔδωκεν ἀνέπαφον, ἀλλὰ καὶ θαυμαστὸν αὐτὸν παρεσκεύασεν· ὡς μὴ μόνον ἐν τῷ μὴ παθεῖν τι δεινὸν εἶναι αὐτῷ τὴν δωρεάν, ἀλλὰ καὶ ἐν τῷ λαμπρὸν γενέσθαι κατὰ τὴν Αἴγυπτον. τὸ μὲν γὰρ διὰ τὴν αὐτοῦ δικαιοσύνην ἐγένετο, τὸ μηδὲν ἀηδὲς παθεῖν· τὸ δὲ διὰ τὴν ἐκείνων ὠφέλειαν, τὸ μετὰ παραδοξοποιΐας ἐκεῖθεν ἐπανελθεῖν. τοῦτο ἐπὶ τῶν τριῶν παίδων, τοῦτο ἐπὶ τῶν λεόντων συνέβη, τοῦτο ἐπὶ τοῦ κήτους· καὶ πανταχοῦ μετὰ θαύματος σώζει, οὐχ ἁπλῶς, ἀλλὰ τὸν ὅσιον. εἶδες πῶς, μετὰ τῆς θεογνωσίας, καὶ βίου ἀκριβοῦς παραίνεσιν ποιεῖται, παιδεύων μὴ μόνον ἐν τῇ χρηστότητι τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων ἔργων ἀρετῇ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας.

Γεν. κγ. ϛ.

Ἰησοῦ Ναυῆ β. θ.

* παράδοξον,

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Εἰπὼν ὅτι ἐθαυμάστωσεν, οὐχ ἵσταται μέχρι τούτων, ἀλλὰ καὶ ἕτερον εὐημερίας εἶδος λέγει. ποῖον δὴ τοῦτο; τὸ διηνεκῶς ἔχειν τὸν Θεὸν σύμμαχον καὶ βοηθόν, καὶ πανταχοῦ παριστάμενον. οὐ γὰρ ἅπαξ τοῦτο ποιεῖ καὶ δὶς καὶ τρὶς, ἀλλὰ διηνεκῶς, φησιν, ἐὰν αὐτὸν καλῶμεν. καὶ ὅρα πάλιν κἀνταῦθα τὸ τάχος. ὥσπερ γὰρ ἄνω ἔλεγεν, ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου τῆς δικαιοσύνης· οὕτω καὶ ἐνταῦθα, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. πῶς οὖν οὐκ ἀκούονται πολλοί, φησι; διὰ τὸ ἀσύμφορα αἰτεῖν. ἐνταῦθα γὰρ τὸ μὴ ἀκουσθῆναι βέλτιον. ὥστε κἂν ἀκουώμεθα, μὴ διὰ τοῦτο χαίρωμεν· ἀλλὰ καὶ ὅταν μὴ ἀκουώμεθα, καὶ διὰ τοῦτο δοξάζωμεν. ἢ γὰρ ἀσύμφορα αἰτοῦντες οὐκ ἀκουόμεθα, καὶ τῷ μὴ λαβεῖν κερδαίνομεν· ἢ ῥαθύμως αἰτοῦμεν, καὶ τῇ μελλήσει τῆς δόσεως τὴν προσεδρίαν ἡμῖν ὁ Θεὸς σοφίζεται. καὶ τοῦτο δὲ οὐ μικρὸν κέρδος. Εἰ γὰρ ὑμεῖς, φησιν, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πολλῷ μᾶλλον ὁ Θεὸς ἡμῶν, ἐπιστάμενος τὸ δοῦναι, καὶ τὸ πότε δοῦναι, καὶ τὸ τί δοῦναι. ἐπεὶ καὶ Παῦλος ᾔτησε, καὶ οὐκ ἔλαβεν (ἀσυμφόρως γὰρ ᾔτει) καὶ Μωϋσῆς, καὶ οὐδὲ ἐκείνῳ ἐπένευσεν ὁ Θεός. μὴ τοίνυν ἀποστῶμεν ὅταν μὴ ἀκουώμεθα, μηδὲ ἀλύωμεν καὶ ναρκῶμεν, ἀλλ᾽ ἐπιμένωμεν. πάντα γὰρ συμφερόντως ὁ Θεὸς ἐργάζεται. 5 Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Ματθ. ζ. ια.
β. Κορ. ιβ. η.
Δευτ. γ. κς.

Ὅπερ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν λέγω. ἐπειδὴ γὰρ πρὸς θεογνωσίαν αὐτοὺς μέλλει χειραγωγεῖν, ἀπαλλάττει τὴν ψυχὴν τῶν νοσημάτων. οἶδε γὰρ, * ὅτι βίος διεφθαρμένος, κώλυμα τῆς τῶν ὑψηλῶν δογμάτων ἀκριβείας γίνεται. ὅπερ οὖν καὶ Παῦλος αἰνιττόμενος ἔλεγεν· Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ· γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. καὶ πάλιν· Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, ἐπεὶ νωθροί ἐστε τὴν ἀκοήν. καὶ ὁ Ἡσαΐας, Γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς καὶ κρίσιν Θεοῦ μὴ ἐγκαταλελοιπώς. καὶ Ὡσηέ· Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, φωτίσατε φῶς γνώσεως. καὶ ὁ Χριστός· Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. καὶ πάλιν· Πῶς δύνασθε πιστεύειν δόξαν παρ᾽ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες. καὶ πάλιν· Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. καὶ πάλιν· Πολλοὶ δὲ ἐπίστευσαν εἰς αὐτὸν, καὶ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν. καὶ πανταχοῦ ἴδοι τις ἂν τὸν διεφθαρμένον βίον πρὸς δογμάτων ἀκρίβειαν ἐμπόδιον γινόμενον. ὥσπερ γὰρ λήμη τῇ τῶν ὀφθαλμῶν διειδεῖ κόρῃ προσιζάνουσα ἐπισκοτεῖ καὶ θολοῖ τὸ φωτίζον· οὕτω δὴ καὶ λογισμὸς ὑπὸ πονηρίας κατειλημμένος. διὸ καὶ ὁ προφήτης τοῦτο εἰδὼς, λέγει· ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. οὐ γὰρ τὴν ὀργὴν ἀναιρεῖ (χρήσιμον γάρ) οὐδὲ τὸν θυμὸν ἐκκόπτει (καὶ γὰρ ὠφέλιμος κατὰ τῶν ἀδικούντων γινόμενος καὶ κατὰ τῶν ῥαθύμων) ἀλλὰ διὰ τὴν ἄδικον ὀργὴν, τὸν ἄλογον θυμόν. καὶ καθάπερ ὁ Μωϋσῆς εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, ἀπὸ τούτου πρῶτον τῆς νομοθεσίας τὴν ἀρχὴν ποιεῖται, λέγων, οὐ φονεύσεις, οὕτω δὴ καὶ οὗτος· ἀλλὰ πλέον οὗτος, ὅσῳ καὶ μᾶλλον τὰ τῆς εὐσεβείας γνωριμώτερα ἦν. ὁ μὲν γὰρ τὸν φόνον ἐκκόπτει· οὗτος δὲ καὶ τὴν μητέρα τοῦ φόνου, τὴν ὀργὴν, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγήν. διὸ καὶ ὁ Χριστὸς καταστέλλων τὴν ὀργὴν, ἔλεγεν· Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. εἶδες πανταχοῦ μέτρα· ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ὁ ὀργιζόμενος εἰκῇ. ἔστι γὰρ καὶ δικαίως ὀργίζεσθαι. ἐπεὶ καὶ Παῦλος ὠργίσθη τῷ Ἐλύμᾳ, καὶ Πέτρος τῇ Σαπφείρᾳ. ἀλλ᾽ οὐκ ἂν εἴποιμι τοῦτο ὀργὴν ἁπλῶς, ἀλλὰ φιλοσοφίαν, καὶ κηδεμονίαν, καὶ οἰκονομίαν. ὀργίζεται καὶ πατὴρ υἱῷ, ἀλλὰ κηδόμενος. ἐκεῖνός ἐστιν ὁ ὀργιζόμενος εἰκῇ, ὁ ἑαυτὸν ἐκδικῶν· ὁ δὲ τὰ ἑτέρων διορθῶν, οὗτος πάντων ἐστὶν ἡμερώτερος. ἐπειδὴ καὶ ὁ Θεὸς, ἐπὰν λέγηται ὀργίζεσθαι, οὐχ ἑαυτῷ ἀμύνων ὀργίζεται,

ἀλλ᾽

α. Κορ. γ. α.
Εβρ. ε. ια.
Ησ. νη. β.
Ωσ. ι. ιβ.
Ιω. γ. κ.
Ιω. ε. μδ.
Ιω. θ. κβ.
Ιω. ιβ. μβ.
Ματθ. ε. κβ.
Πραξ. ιγ.
Πραξ. ε.

ἀλλ᾽ ἡμᾶς διορθούμενος. τοῦτον τοίνυν καὶ ἡμεῖς μιμώμεθα. τὸ μὲν γὰρ οὕτως ἐπεξιέναι, θεῖον· τὸ δὲ ἑτέρως, ἀνθρώπινον. ἀλλ᾽ ὁ Θεὸς οὐ ταύτῃ ἡμῶν διέστηκε μόνον, ᾗ δικαίως ὀργίζεται, ἀλλ᾽ ὅτι οὐδὲ πάθος περὶ Θεόν ἐστιν ἡ ὀργή. μὴ τοίνυν μηδὲ ἡμεῖς ὀργιζώμεθα εἰκῆ. καὶ γὰρ διὰ τοῦτο ἐνετέθη ἡμῖν ἡ ὀργή, οὐχ ἵνα καὶ ἡμεῖς ἁμαρτάνωμεν, ἀλλ᾽ ἵνα ἑτέρους ἁμαρτάνοντας κωλύωμεν· οὐχ ἵνα πάθος καὶ νόσημα γένηται, ἀλλ᾽ ἵνα παθῶν φάρμακον. ἐννόησον τοίνυν κακίας ὑπερβολήν, ὅταν τὸ φάρμακον δηλητήριον γένηται, ὅταν δι᾽ οὗ τὰ ἑτέρων τραύματα διορθοῦν χρή, διὰ τούτου τραύματα ἐργαζώμεθα· ὥσπερ ἂν εἴ τις σίδηρον λαβών, ἵνα τὰς ἑτέρων σηπεδόνας ἐκκόπτῃ, ἑαυτὸν εἰκῆ κατακόπτῃ, πολλαχῆ τοῦ σώματος ἕλκη ποιῶν· ἢ κυβερνήτης ὢν διὰ τῶν οἰάκων καταδύῃ τὸ σκάφος, δι᾽ ὧν τῶν ἀτάκτων πνευμάτων τὴν ῥύμην ἐκκόπτειν ἔδει. τοιοῦτόν τι καὶ ἡ ὀργή ἐστιν, ὄργανον χρήσιμον, ἵνα τὸ ὑπνηλὸν ὑμῶν διεγείρῃ· ἵνα τόνον ἐντιθῇ τῇ ψυχῇ· ἵνα σφοδροτέρους ἐργάζηται πρὸς τὰς ὑπὲρ τῶν ἀδικουμένων ἀγανακτήσεις· ἵνα τιμωροὺς ποιῇ τοῖς ἐπιβούλοις. διὰ δὴ τοῦτό φησιν, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. εἰ δὲ μὴ ἦν δυνατὸν τοῦτο, οὐκ ἂν ἐπέταξε. τὰ γὰρ ἀδύνατα οὐδεὶς ἐπιτάττει. εἰσάγων τοίνυν νόμον ἀποστολικόν, καὶ φιλοσοφίαν εὐαγγελικήν, καὶ τὰ αὐτὰ εἰπὼν ἅπερ καὶ ὁ Χριστός, ἑτέραν προστίθησι παραίνεσιν οὕτω λέγων·

Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Τί ἐστι τὸ εἰρημένον; δοκεῖ γὰρ ἀσαφὲς εἶναι. ἐν τῷ καιρῷ τῷ μετὰ τὰ δεῖπνα, φησίν, ἡνίκα ἂν πρὸς ὕπνον ἀπίητε, ἡνίκα ἂν μέλλητε κατακλίνεσθαι, καὶ μηδενὸς παρόντος πολλὴ ἡ ἡσυχία, βαθεῖα ἡ γαλήνη μηδενὸς διενοχλοῦντος, τὸ δικαστήριον ἔγειρον τοῦ συνειδότος, εὐθύνας * ἀπαίτησον αὐτό· καὶ ἃ μεθ᾽ ἡμέραν ἐβουλεύσω πονηρά, ἢ δόλους ῥάπτων, ἢ τὸν πλησίον ὑποσκελίζων, ἢ ἐπιθυμίας δεχόμενος διεφθαρμένας, ταῦτα ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης εἰς μέσον ἀγαγών, καὶ τὸ συνειδὸς ἐπιστήσας τοῖς ἀτόποις τούτοις λογισμοῖς, κατάξαινε αὐτοῦ, καὶ δίκην ἀπαίτει· κατάτεινε τὴν ἁμαρτοῦσαν διάνοιαν. τοῦτο γάρ ἐστι τό, κατανύγητε· ἀντὶ τοῦ νύξατε, κεντήσατε. ἅπερ εἴπατε ἐν ταῖς καρδίαις ὑμῶν μεθ᾽ ἡμέραν, τουτέστιν, ἃ ἐλογίσασθε πονηρὰ βουλεύματα, ταῦτα ἐν ταῖς κοίταις ὑμῶν, ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης κολάσατε, τιμωρήσασθε. ὅταν μήτε φίλος ἐνοχλῇ, μήτε οἰκέτης παροξύνῃ, μήτε πραγμάτων ὄχλος ἐπείγῃ, τότε τῶν μεθ᾽ ἡμέραν βεβιωμένων ποιεῖσθε λόγον. καὶ διὰ τί μὴ εἶπε ῥημάτων καὶ ἔργων, ἀλλ᾽ ἐνθυμημάτων πονηρῶν; ἐκ περιουσίας τοῦτο παιδεύων. εἰ γὰρ τὰ πονηρὰ βουλεύματα δεῖ κολάζειν, ὥστε μὴ εἰς ἔργον ἐξιέναι· πολλῷ μᾶλλον ὑπὲρ τῶν ἔργων καὶ τῶν ῥημάτων ἐπιστύφειν δεῖ τὴν ψυχήν. τοῦτο καθ᾽ ἑκάστην γινέσθω τὴν ἡμέραν· καὶ μὴ πρότερον καθυπνώσῃς ἄνθρωπε, ἕως ἂν ἀναλογίσῃ τὰ μεθ᾽ ἡμέραν σοι πεπλημμελημένα· καὶ πάντως ὀκνηρότερος ἔσῃ τῇ ἐπιούσῃ πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι. καὶ ὅπερ ἐπὶ τῶν ἀργυρείων ποιεῖς, καὶ οὐκ ἀνέχῃ δύο παρελθεῖν ἡμέρας, καὶ μὴ θεῖναι πρὸς τὸν οἰκέτην λόγον, ὥστε μὴ σύγχυσιν γενέσθαι τῇ λήθῃ· τοῦτο καὶ ἐπὶ τῶν πράξεων ποίει καθ᾽ ἑκάστην ἡμέραν. ἐν ἑσπέρᾳ λογοθέσιον ἀπαίτει τὴν ψυχήν, καὶ καταδίκαζε τὸν ἡμαρτηκότα λογισμόν, ἀνάρτησον ὡς ἐπὶ ξύλου, καὶ βασάνισον, καὶ παράγγελλε μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν. εἶδες ἰατρείαν ἀρίστην, πῶς καὶ προφυλακτικοῖς καὶ διορθωτικοῖς κέχρηται φαρμάκοις. τὸ μὲν γὰρ παραγγέλλειν μὴ περιπίπτειν εἰς ἁμαρτήματα, προφυλακτικοῦ φαρμάκου χώραν ἐπέχει· οἷον ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. τὸ δέ, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε, διορθωτικοῦ. μετὰ γὰρ τὸ ἁμαρτεῖν, πάλιν ἐπάγει φάρμακα, παρ᾽ αὐτοῦ τοῦ ἁμαρτόντος τὴν ἰατρείαν εἰσάγων. ποιώμεθα τοίνυν τὴν ἰατρείαν ταύτην, οὐδεμίαν δυσκολίαν ἔχουσα. εἰ δὲ οὐκ ἀνέχεται ἡ ψυχὴ μεμνῆσθαι τῶν πλημμελημάτων, αἰσχυνομένη καὶ ἐρυθριῶσα, εἰπὲ πρὸς αὐτήν· οὐδέν σοι κέρδος ἀπὸ τοῦ μὴ μνημονεύειν, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. ἐὰν γὰρ μὴ μνημονεύσῃς κατὰ σαυτὸν νῦν, τότε πρὸ τῶν ἁπάντων ὀφθαλμῶν κείσεταί σοι τὰ ἁμαρτήματα. ἂν δὲ νῦν ἀναλογίσῃ ταῦτα, κἀκείνων ἀπαλλαγήσῃ ταχέως, καὶ ἑτέροις οὐ περιπεσῇ ῥᾳδίως. ἡ γὰρ ψυχὴ δεδοικυῖα τὴν ἑσπερινὴν δίκην, μὴ πάλιν ὑπὸ τὴν αὐτὴν ἀλῷ ψῆφον, καὶ κατατείνηται καὶ μαστιχθῇ, ὀκνηροτέρα γίνεται πρὸς τὴν ἁμαρτίαν. καὶ τοσοῦτον τὸ κέρδος τοῦ πράγματος, ὅτι μῆνα μόνον ἂν συνεχῶς αὐτὸ ποιήσωμεν, ἐν ἕξει λοιπὸν ἀρετῆς ἑαυτοὺς καταστήσομεν. μὴ δὴ περιίδωμεν τοσοῦτον καλόν. ὁ γὰρ τοῦτο ἐνταῦθα καθίσας τὸ δικαστήριον, οὐ δώσει πικρὰς εὐθύνας ἐκεῖ. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, φησιν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ἵν' οὖν μὴ κατακριθῶμεν, τοῦτο ἐργαζώμεθα.

α. Κορ. ια. λα.

6 Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.

Εἶδες ἀκολουθίαν συμβουλῆς ἀρίστης· εἶδες παραίνεσιν ἀπηρτισμένην. κατανύξας γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι, καὶ ποιήσας ὀκνηροτέρους πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πάλιν, καὶ τὸ δικαστήριον ἀναστήσας τὸ ἀδέκαστον, καὶ τῶν ″ βεβιωμένων εὐθύνας ἀπαιτήσας, οὕτως ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἄγει. οὐδὲ γὰρ ἀρκεῖ μόνον ἡ ἀποχὴ τῶν κακῶν, ἀλλὰ δεῖ προσεῖναι καὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν. διὸ καὶ προϊὼν παραινεῖ λέγων, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ γὰρ ἡ ἀργία τῆς ἀρετῆς, κόλασιν οἶδε προξενεῖν, οὐχ ἡ ἐργασία τῆς πονηρίας μόνον. ἐπεὶ κἀκεῖνοι οἱ πεινῶντα μὴ θρέψαντες, μηδὲ διψῶντα ποτίσαντες, μηδὲ γυμνὸν περιβαλόντες, οὐχ ἥρπασαν, οὐκ ἐπλεονέκτησαν, οὐ τὰ ἀλλότρια ἔλαβον· ἀλλ' ἐπειδὴ ἐλεημοσύνην οὐκ εἰργάσαντο, διὰ τοῦτο τῇ ἀθανάτῳ παραδίδονται κολάσει, καὶ τιμωρίᾳ πέρας οὐκ ἐχούσῃ. ὅθεν μανθάνομεν, ὅτι οὐ τὸ ἀπέχεσθαι κακῶν ″ ἀρχὴ σωτηρίας ἡμῖν, ἐὰν μὴ προσῇ καὶ τῶν ἀγαθῶν ἡ κτῆσις, καὶ τῆς ἀρετῆς ἡ ἐργασία. διά τοι τοῦτο καὶ ὁ προφήτης ἀπαγαγὼν τῆς πονηρίας διὰ τῆς κατανύξεως, καὶ ποιήσας ἐπιτηδειότερον πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ τὸ σκληρὸν τῆς διανοίας καταμαλάξας, ἁπαλήν τε αὐτὴν ἀπὸ τῆς κατανύξεως ἐργασάμενος, τὸν περὶ δικαιοσύνης εἰσάγει λόγον, καί φησι, Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. τί ἐστι θύσατε θυσίαν δικαιοσύνης; δικαιοσύνην μετέρχεσθε, δικαιοσύνην προσφέρετε. τοῦτο μέγιστον τῷ Θεῷ δῶρον, αὕτη θυσία δεκτή, αὕτη προσφορὰ πολλὴν ἔχουσα τὴν ἀρέσκειαν, οὐ τὸ πρόβατα θύειν, καὶ μόσχους, ἀλλὰ τὸ δίκαια πράττειν. ὁρᾷς τῆς ἐκκλησίας τὴν πολιτείαν ἄνωθεν προδιαγραφομένην, καὶ ἀντὶ τῶν αἰσθητῶν ἐκείνων τὰ νοητὰ ζητούμενα. δικαιοσύνην δὲ ἐνταῦθα (καθάπερ ἔμπροσθεν εἶπον) οὐ τὴν μερικὴν ἀρετήν φησιν, ἀλλὰ τὴν καθόλου· καθὸ καὶ δίκαιον ἄνθρωπον καλοῦμεν, τὸν ἅπασαν ἐν ἑαυτῷ ἔχοντα τὴν ἀρετήν. αὕτη ἡ θυσία οὐ χρημάτων δεῖται, οὐ μαχαίρας, οὐ θυσιαστηρίου, οὐ πυρός· οὐκ εἰς καπνὸν διαλύεται καὶ τέφραν καὶ κνίσαν, ἀλλ' ἀρκεῖται τῇ γνώμῃ τοῦ προσάγοντος αὐτήν. ταύτῃ οὔτε πενία κώλυμα γίνεται, οὔτε πτωχεία ἐμπόδιον, οὐ τόπος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ὅπουπερ ἂν ᾖς, θύειν αὐτὴν δυνήσῃ, αὐτὸς καὶ ἱερεὺς καὶ θυσιαστήριον καὶ μάχαιρα καὶ ἱερεῖον γινόμενος. τοιαῦτα γὰρ τὰ νοερὰ καὶ πνευματικά· πλείονα ἔχει τὴν εὐκολίαν, οὐδεμιᾶς δεόμενα τῆς ἔξωθεν ἐργωδίας. Καὶ ἐλπίσατε ἐπὶ Κύριον. Ἕτερός φησι, Καὶ πεποίθετε τῷ Κυρίῳ. Ὁ γὰρ διὰ τῆς δικαίας πολιτείας ἵλεων αὐτὸν κτησάμενος καὶ εὐμενῆ, μεγίστην ἔχει συμμαχίαν, ἀχείρωτον τὴν βοήθειαν, πολλὴν ἐκεῖθεν τὴν ῥοπήν. Εἶδες τῆς θυσίας τὸν καρπὸν παράδοξον ὄντα· εἶδες εὐθέως βλαστάνοντα ἀ-

γρ. [illegible]

ἴσ. ἀρχὴ [illegible] σωτηρίας,

θρόον

θερόν τῶν ἀγαθῶν τὸν θησαυρόν. ὁ γὰρ τὸν Θεὸν ἔχων σύμμαχον, τίνα φοβηθήσεται λοιπόν; οὐδένα. καὶ τοῦτο δὲ οὐ μικρὰ ἀρετή, τὸ ἐπ᾽ αὐτῷ θαρρεῖν, καὶ ἐπ᾽ αὐτῷ πεποιθέναι. μετὰ γὰρ τῆς δικαιοσύνης καὶ ταύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἀρετήν, τὸ ἐπ᾽ αὐτῷ ἐλπίζειν, τὸ μηδενὶ τῶν βιωτικῶν θαρρεῖν· ἀλλὰ πάντων ἑαυτὸν ἀποστήσαντα, ἐκείνῳ προσηλοῦν τὴν διάνοιαν. τὰ μὲν γὰρ τοῦ παρόντος βίου πράγματα ὀνείρασιν ἔοικε καὶ σκιαῖς, καὶ τούτων ἐστὶν ἀδρανέστερα, ὁμοῦ τε φαινόμενα καὶ ἀφιπτάμενα, καὶ ἐν αὐτῷ τῷ παρεῖναι πολλοὺς ἐμποιοῦντα τοὺς θορύβους τοῖς ἔχουσιν· ἡ δὲ ἐπὶ Θεὸν ἐλπίς, ἀθάνατος, ἄτρεπτος, ἀκίνητος, μεταβολὴν οὐ δεχομένη, ἐν ἀσφαλείᾳ πάσῃ καθιστῶσα καὶ ἄμαχον ποιοῦσα τὸν αὐτῇ μετὰ ἀκριβείας καὶ τῆς προσηκούσης διαθέσεως χρώμενον.

Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; 7 Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. Ἀπαρτίσας τὴν περὶ τῶν ἠθῶν παραίνεσιν, καὶ τῇ θεογνωσίᾳ προσαγαγών, καὶ πάντα κινήσας τρόπον τὸν δυνάμενον διαναστῆσαι τῶν πεπλανημένων τὴν διάνοιαν, καὶ μάλιστα ἀπὸ τῶν ἀνακειμένων αὐτῷ, καὶ τῆς εἰς αὐτοὺς προνοίας, δείξας αὐτοῦ τὴν κηδεμονίαν, ἀντίθεσίν τινα παρὰ τῶν ἀσθενεστέρων καὶ παχυτέρων εἰσαγομένην τίθησι, καὶ λέγει· πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; οὐχ οἱ ὀλίγοι, οἱ γνήσιοι καὶ δόκιμοι καὶ φιλοσοφεῖν εἰδότες ταῦτα λέγουσιν, ἀλλὰ τὸ κεχυμένον πλῆθος, τὸ ἀδιάκριτον, τὸ ἀνοίᾳ προσηλωμένον. τί δέ ἐστιν, ὅ φησι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; εἰσί τινες οἱ λέγοντες, οἱ μὲν τοῦ Θεοῦ διαβάλλοντες τὴν πρόνοιαν, οἱ δὲ ἡδονῆς ὄντες ἐρασταί, ἀνέσεως καὶ πλούτου, δόξης καὶ δυναστείας, οἳ καὶ ἐρῶντες αὐτῶν τοιαῦτά φασι· ποῦ τὰ ἀγαθὰ τοῦ Θεοῦ; ἐγὼ ἐν πτωχείᾳ καὶ νόσῳ καὶ ταλαιπωρίᾳ καὶ τοῖς ἐσχάτοις δεινοῖς καὶ ἐπηρείαις καὶ συκοφαντίαις· ἕτερος δὲ ἐν εὐημερίᾳ καὶ τρυφῇ καὶ δυναστείᾳ καὶ δόξῃ καὶ πλούτῳ. καὶ οἱ μὲν ταῦτα μόνον ζητοῦσι τὰ ἀγαθά, τὰ ὄντως ἀγαθὰ παρατρέχοντες, ἀρετὴν λέγω καὶ φιλοσοφίαν· οἱ δὲ (ὅπερ ἔφθην εἰπών) καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἐντεῦθεν διαβάλλουσι, λέγοντες· ποῦ ἡ τοῦ Θεοῦ πρόνοια, τοσαύτης συγχύσεως ἐν τῷ βίῳ γινομένης, καὶ τῶν πλειόνων ἐν πτωχείᾳ καὶ πενίᾳ καὶ τοῖς ἐσχάτοις ὄντων κακοῖς; τί τεκμήριον αὐτοῦ τῆς κηδεμονίας; ταὐτὸν γὰρ ποιοῦσιν οἱ ταῦτα λέγοντες, ὥσπερ ἂν εἴ τις ἐν σταθερᾷ μεσημβρίᾳ τὸν ἥλιον ἰδεῖν ἐπιζητοίη, καὶ ἀμφιβάλλοι περὶ τοῦ φωτός. ὅπερ δεικνὺς ὁ προφήτης, καὶ ταχίστην ἐπάγων τὴν λύσιν, ἔλεγεν, ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. οὐκ εἶπεν, ἐφάνη, οὐκ εἶπεν, ἔλαμψεν, ἀλλ᾽ ἐσημειώθη, δηλῶν ὅτι ὥσπερ τὸ ἐν μετώπῳ σεσημειωμένον πᾶσι κατάδηλόν ἐστι, καὶ οὐκ ἔστιν οὐδένα αὐτὸ λαθεῖν, οὐδὲ ὄψιν φωτὸς γέμουσαν καὶ ἀφιεῖσαν ἀκτῖνας δύναταί τις ἀγνοῆσαι· οὕτω, φησίν, οὐδὲ τὴν πρόνοιαν τὴν σήν. ὥσπερ γὰρ φῶς σεσημειωμένον, τουτέστιν, ἐντετυπωμένον καὶ ἐγκεχαραγμένον ἐν προσώπῳ, πᾶσίν ἐστι κατάδηλον· οὕτω καὶ ἡ πρόνοια τῆς φιλανθρωπίας τῆς σῆς. φῶς γὰρ ἐνταῦθα, τὴν ἀντίληψίν φησι, τὴν κηδεμονίαν, τὴν συμμαχίαν, τὴν πρόνοιαν. εἶτα ἀποφηνάμενος τοῦτο, καὶ ἀπόδειξιν ἐπάγει. ποίαν δὴ ταύτην;

Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Διαβαλὼν τὸ ἀλόγιστον πλῆθος, ἀπὸ τῶν νοῦν ἐχόντων καὶ ὑγιαινόντων τὴν ἀπόδειξιν ποιεῖται τῆς τοῦ Θεοῦ προνοίας, καί* φησιν, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· τουτέστι, φιλοσοφεῖν με ἐπαίδευσας, ὑπερορᾶν τῶν βιωτικῶν πραγμάτων, εἰδέναι τὰ ἀληθῆ καὶ μένοντα· χρησταῖς *″ ἐμὲ πτερώσας ἐλπίσι· πρὸς τὴν μέλλουσαν ζωὴν ἐχειραγώγησας· περὶ τῆς ἀπολαύσεως τῶν ἀγαθῶν, τῇ προσδοκίᾳ τῶν ἀγαθῶν ἀνεπλήρωσας. καλῶς οὕτως εἶπεν. εἰ γὰρ κληρονομεῖν τις μέλλων χρήματα, ἢ καὶ εἰς ἀρχὴν ἰέναι μεγίστην, οὐ κατὰ τὸν καιρὸν τῆς ἀπο-

* διὰ τοῦτο,

″ ἡμᾶς ἀνεπτέρωσας

λαύσεως μόνον, ἀλλὰ καὶ περὶ τῆς πείρας ὀρθοῦται τῇ προσδοκίᾳ, πάντα τὸν χρόνον τρυφῶν ὑπὸ τῆς ἐλπίδος· ἐννόησον οἷον εἰκὸς εἶναι τὴν βασιλείαν προσδοκῶντα ζῶσαν καὶ ἀθάνατον, καὶ τὰ ἀγαθὰ ἐκεῖνα, Ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. διὰ τοῦτό φησιν· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. ὅπερ μεγίστης προνοίας ἦν, " τὸ ἑτοιμάσαι ἐκεῖνα καὶ εὐτρεπίσαι. εἰ δὲ οἱ παχύτεροι, καὶ σάρξ ὄντες, καὶ τῇ γῇ προσηλωμένοι, τούτοις οὐ προσέχουσιν, οὐ παρὰ τὸν ὑποσχόμενον, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀγνωμοσύνην ἡ ταραχὴ καὶ ὁ θόρυβος γέγονε. " καὶ οὐκ εἶπεν ἁπλῶς, ἔδωκας εὐφροσύνην, ἀλλ', εἰς τὴν καρδίαν μου, δεικνὺς ὅτι οὐκ ἐν τοῖς ἔξωθεν ἡ εὐφροσύνη, οὔτε ἐν ἀνδραπόδοις, οὔτε ἐν χρυσῷ καὶ ἀργύρῳ, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τραπέζῃ πληθούσῃ, οὔτε ἐν δυναστείας μεγέθει, οὔτε ἐν οἰκίας μέτρῳ. αὕτη γὰρ ἡ εὐφροσύνη, οὐ καρδίας, ἀλλ' ὀφθαλμῶν μόνων. πολλοὶ γοῦν τῶν ταῦτα κεκτημένων, ἀβίωτον τὸν βίον εἶναι νομίζουσι, καὶ κάμινον ἀθυμίας ἐν τῇ ψυχῇ περιφέρουσιν, ὑπὸ τοῦ πλήθους τῶν φροντίδων περιαντλούμενοι, καὶ τοῖς συνεχέσι πιεζόμενοι φόβοις. ἀλλ' ἐμοί, φησιν, οὐκ ἐν τούτοις ἡ εὐφροσύνη, ἀλλ' ἐν τῇ καρδίᾳ τῇ νοερᾷ, ἐν τῇ διανοίᾳ τῇ ἀσωμάτῳ, καὶ τὰ ἀσώματα φανταζομένῃ. ὥστε εἰ τὰ παρόντα σε εὐφραίνει, καὶ ἀπὸ τούτων τὴν πρόνοιαν μανθάνεις τοῦ Θεοῦ· πολλῷ μᾶλλον ἀπὸ τῶν μελλόντων καταμάνθανε, ὅσῳ * καὶ ἀμείνω ἐκεῖνα, καὶ μονιμώτερα, καὶ ἀναφαίρετα. εἰ γὰρ τὸ ἐν πλούτῳ σε εἶναι καὶ εὐημερίᾳ πείθει εἶναι τοῦ Θεοῦ τὴν πρόνοιαν· πολλῷ μᾶλλον τὸ ἐν οὐρανῷ πλουτεῖν, εἰς ταύτην σε ἐναγέτω τὴν πειθώ. εἰ δὲ λέγοις, καὶ τίνος ἕνεκεν ἐν ἐλπίσι ταῦτα ἀπόκειται καὶ ἔστιν ἀφανῆ; ἐκεῖνο ἂν εἴποιμι· ὅτι μάλιστα μὲν ἡμεῖς οἱ πιστοὶ τῶν φανερῶν τούτων φανερώτερα εἶναι νομίζομεν τὰ ἐν ἐλπίσι. τοιαύτη γὰρ τῆς πίστεως ἡ πληροφορία. εἰ δὲ λέγοις πάλιν, τίνος ἕνεκεν ἐνταῦθα οὐκ ἀπολαμβάνομεν; ἐκεῖνο ἂν εἴποιμι· ὅτι οὗτος μὲν ὁ τῶν σκαμμάτων καιρὸς καὶ τῶν ἀγώνων, ἐκεῖνος δὲ τῶν στεφάνων καὶ τῶν βραβείων. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον, τὸ τοὺς μὲν πόνους καὶ τοὺς ἱδρῶτας τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ συγκληρῶσαι βίῳ· τὰ δὲ βραβεῖα καὶ τοὺς στεφάνους τῷ ἀθανάτῳ καὶ ἀγήρῳ " παρεκτεῖναι αἰῶνι. ἄλλως δέ, καὶ ἡνίκα μὲν ἀσθενέστερον οἱ πολλοὶ διέκειντο, καὶ τὰ αἰσθητὰ ταῦτα ἔδωκεν αὐτοῖς ἀγαθά. τῶν γοῦν Ἰουδαίων τὸν δῆμον διὰ τοιαύτης ἦγε πολιτείας. καὶ γὰρ πλοῦτος αὐτοῖς ἐπέρρει, καὶ πρὸς γῆρας ἐξετείνετο ἡ ζωή, καὶ πᾶν νόσημα ἐκποδὼν ἦν· καὶ πολεμίων ἀναίρεσις, καὶ εἰρήνη βαθεῖα, καὶ τρόπαια καὶ νῖκαι, καὶ εὐπαιδία καὶ πολυπαιδία πειθομένοις τῷ Θεῷ, καὶ πάντα τὰ τοιαῦτα προσῆν. ἐπειδὴ δὲ παρεγένετο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, εἰς τὸν οὐρανὸν ἡμᾶς καλῶν, καὶ τῶν ἐνταῦθα πείθων καταφρονεῖν, καὶ " τὸν ἐκείνων ἔρωτα ἐναποτιθέμενος, καὶ ἀποσχίζων ἡμᾶς τῶν βιωτικῶν· εἰκότως ταῦτα συνέσταλται, ἐν δὲ ἐκείνοις ἅπας ὁ πλοῦτος, ἅτε τελείων ἡμῶν γινομένων. ἐπεὶ καὶ ἐπὶ τῶν παιδίων, τοῖς μὲν μικροτέροις ἔτι τοιαῦτα οἱ πατέρες παρέχουσιν, ὑποδήματα καὶ ἱμάτια καὶ χρυσία καὶ ψέλλια· ἐπειδὰν δὲ αὐξηθῶσι, ταῦτα ἀφελόντες αὐτῶν, ἕτερα μείζονα διδόασι, τὴν ἐπὶ τοῦ βήματος εὐδοκίμησιν, τὴν ἐν τῇ πόλει λαμπρότητα, τὴν ἐν ταῖς βασιλικαῖς αὐλαῖς παρρησίαν, ἀρχὰς καὶ δυναστείας, πάσης αὐτοὺς ἀπάγοντες τῆς παιδικῆς φιλοτιμίας. οὕτω δὴ καὶ ὁ Θεὸς ἐποίησε· τῶν μικρῶν ἐκείνων καὶ παιδικῶν ἡμᾶς " ἀπαγαγών, τὰ ἀπὸ τῶν οὐρανῶν ἐπηγγείλατο. οὐκοῦν μὴ πρὸς ταῦτα ἐπτόησο τὰ ῥέοντα καὶ παρατρέχοντα, μηδὲ μικροψύχει. οὐδὲ τούτων ἄμοιρόν σε ἀφῆκεν. ἐπειδὴ γὰρ τοὺς σάρκα περικειμένους, καὶ σώματι συστρεφομένους οὐδὲ τούτων ἐκτὸς εἶναι ἔδει, καὶ ταῦτα πλουσίως ἡμῖν χορηγεῖ. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης κινήσας * τῆς προνοίας ἐκεῖνο τὸ εἶδος τὸ ὑψηλὸν καὶ φιλόσοφον, καὶ εἰπών, ἔδωκας εὐφροσύνην

α. Κορ. β. θ.

ἴσ. τῇ γῇ

δίᾳ δὲ ἐκεῖ

* μείζω

ἴσ. συμπαρατεῖναι

ἴσ. τῶν ἐκεῖ. ἢ τὸν ἐκείνων

ἴσ. ἀπάγων

* ἐκεῖνο τὸ μέρος καὶ

σύνην εἰς τὴν καρδίαν μου· ἐπάγει καὶ τοῦτο λέγων, 8 Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Τοῦτο δὲ εἰπὼν οὐ μικρὸν μέρος αὐτὸς τῆς προνοίας ἐντεῦθεν κινεῖ, τῆς καὶ ἐν τοῖς ὁρωμένοις φαινομένης. ὅταν γὰρ εἴπῃ σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ τὴν ἐν τούτοις ἀφθονίαν· καὶ ὑετοὺς λέγει, καὶ ὡρῶν εὐκρασίαν, καὶ γῆς λαγόνας, καὶ ὠδῖνας, καὶ τόκον, καὶ ἀέρος χύσιν, καὶ ἡλίου δρόμον, καὶ σελήνης περιόδους, καὶ ἄστρων χορείαν, καὶ θέρος καὶ χειμῶνα, καὶ μετόπωρον καὶ ἔαρ, καὶ γεωργικὴν τέχνην, καὶ ὀργάνων ἐπιτηδειότητα, καὶ ἑτέρων τεχνῶν ἑσμόν. ἂν μὴ γὰρ ταῦτα ἅπαντα συνδράμῃ, οὐχ οἷόν τε τοὺς καρποὺς τελεσφορηθῆναι, οὔτε εἰς ἀκμὴν ἐλθεῖν. ὅταν οὖν εἴπῃ, σῖτον καὶ οἶνον καὶ ἔλαιον, δίδωσι τῷ σοφῷ ἀφορμὴν καὶ ἀπὸ μέρους τὸ πᾶν νοεῖν, πέλαγος ἀναπετάσας τῆς ἐν τοῖς φαινομένοις τοῦ Θεοῦ προνοίας. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος δημηγορῶν ποτε, καὶ περὶ τῆς προνοίας αὐτοῦ διαλεγόμενος, ἐντεῦθεν ἐκίνει τὸν λόγον λέγων· Διδοὺς ὑετοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. ἐπειδὴ δὲ ἀπέριττός ἐστιν ὁ προφήτης, παρεὶς ἅπαντα τὰ ἄλλα εἰπεῖν, ὀπώρας, ἀκρόδρυα, γένη φυτῶν, γένη σπερμάτων, γένη βοτανῶν, λειμώνων, ἀνθῶν, παραδείσων, καὶ ὅσα ἄλλα ἐστὶ, τὰ συνεκτικὰ τίθησι καὶ πρὸς τὴν ζωὴν ἡμῖν ἀναγκαῖα, ἀπὸ τούτων κἀκεῖνα ποιῶν κατάδηλα. ἅπερ οὐδὲ ἁπλῶς ἡμῖν δίδωσιν, ἀλλὰ μετὰ πλήθους, καὶ καθ᾽ ἕκαστον ἐνιαυτόν. εἰ δέ ποτε καὶ συστέλλει, καὶ ἐν τούτῳ πάλιν τὴν πρόνοιαν ἑαυτοῦ δείκνυσιν, ἀφυπνίζων τὴν ῥᾳθυμίαν τῶν πολλῶν, καὶ διεγείρων αὐτοὺς πρὸς τὸ ἐπιζητῆσαι παρ᾽ αὐτοῦ ταῦτα τὰ ἀγαθά. εἰ δέ τινες λέγοιεν, ὅτι οὐ τοῦ Θεοῦ τὸ διδόναι ὑετὸν, ἀλλὰ τῶν εἰδώλων· ἐρώμεθα αὐτοὺς, πόθεν τοῦτο δῆλον; ὅτι οἱ ποιηταί, φησιν, εἰρήκασιν, ὅτι ὁ Ζεύς ἐστιν ὁ ὕων. ἀλλ᾽ οὗτοι αὐτοὶ εἰρήκασιν, ὅτι καὶ μοιχός ἐστι, καὶ παίδων φθορεὺς, καὶ πατραλοίας, καὶ ἕτερα τούτων οὐκ ἐλάττονα ἐγκλήματα. ἀλλ᾽ οὐκ ἔστι, φησὶν, ἀληθῆ. οὐκοῦν οὐδὲ τὸ ὕειν. εἰ γὰρ τοῦτο δέχῃ, κἀκεῖνά σε ἀνάγκη δέξασθαι. εἰ δὲ ἐκεῖνα ἐκβάλλεις, καὶ τοῦτο μετ᾽ ἐκείνων. ἡμεῖς γὰρ, ἐπειδὰν παρεχώμεθα μάρτυρας τῆς τοῦ Θεοῦ δυνάμεως, πάντα τὰ ὑπ᾽ αὐτῶν λεγόμενα περὶ αὐτοῦ δεχόμεθα. οὐκοῦν ἀνάγκη σε καὶ μοιχὸν αὐτὸν καταδέξασθαι, καὶ ἐκ τούτου μανθάνειν, ὅτι πόρρω θείας δυνάμεως τὰ τοιαῦτα ἐγκλήματα, καὶ οὐκ ἂν εἴη Θεὸς ὁ τοιοῦτος. ἀλλ᾽ ὁ μῦθος αὐτὸς ἑαυτῷ περιπίπτει, καὶ τὸ ψεῦδος ὑφ᾽ ἑαυτοῦ ἐλέγχεται καὶ μὴ βουλομένων ὑμῶν, καὶ καθόλου τοὺς ποιητὰς ἐκβάλλει. ὅτι δὲ ἐκβληθέντων ἐκείνων, πάντα οἰχήσεται τὰ ὑμέτερα, δῆλον. καὶ γὰρ τὰ ὀνόματα αὐτῶν ἐκεῖνοι εὑρήκασι καὶ ἐπέθηκαν· ὃ καί τις τῶν παρ᾽ ὑμῖν φιλοσόφων εἴρηκεν. εἰ δὲ ἀφεὶς ἐκείνους, ἐπὶ τὰς ἀλληγορίας δράμοις, ἐκεῖνό σε ἐρήσομαι· τί ποτέ ἐστιν ὁ Ζεύς; ἡ ζέουσα, φησιν, οὐσία, καὶ τὸ ὑπὲρ τὸν ἀέρα μέρος, καὶ ὃ αἰθέρα καλοῦσι παρὰ τὸ ζέον καὶ καῖον. οὐκοῦν οὐκ ἔστι λογική τις καὶ διακριτικὴ, ἀλλ᾽ ἄλογος. ὅτι γὰρ ἡ τοῦ ἀέρος φύσις οὔτε λόγον ἔχει, οὔτε λογισμὸν, παντί που δῆλόν ἐστι, καὶ πᾶς τοῦτο οἶδε, κἂν λίθων ἀναισθητότερος ᾖ. ὥστε ἀνῄρηται τέως ὁ Ζεὺς, καὶ ἡ οὐσία αὐτοῦ ἠφάνισται. εἰ γὰρ ἀήρ ἐστιν ὁ Ζεὺς, ὁ δὲ ἀὴρ τοῦτο ἐστιν ὅπερ εἰρήκαμεν, κἀντεῦθεν ὁ μῦθος οἰχήσεται. εἰ δὲ ἀὴρ, οὔτε πατὴρ ἐγένετό τινος, οὔτε ἔτεκέ τινα οὐσίαν, οἵαν ἀναπλάττουσι τὸν ἥλιον, ὃν καὶ Ἀπόλλωνα καλοῦσι, καὶ υἱὸν αὐτοῦ λέγουσιν εἶναι. οὔτε γὰρ ἥλιος λογισμόν τινα ἔχει, οὔτε διάνοιαν καὶ νοῦν, ἀλλὰ καὶ αὐτὸ φυσικόν ἐστιν ἔργον, ἀγόμενον καὶ περιφερόμενον τῷ νόμῳ, ᾧ παρὰ τὴν ἀρχὴν αὐτῷ ἔταξεν ὁ Θεός. ἄλλως δὲ οὐδὲ τὸ ὕειν τοῦ αἰθέρος ἐστὶν, ἀλλὰ τῶν νεφελῶν δεχομένων τὸ ὕδωρ ἀπὸ τῆς θαλάσσης, ἢ τῶν ὑδάτων τῶν ὑπὲρ οὐρανὸν ἄνωθεν φερομένων, καθάπερ οἱ προφῆταί φασιν. εἰ δὲ ἀπιστεῖς τοῖς προφήταις, σημεῖα φανερὰ καὶ δῆλα παρεχόμεθα, ἃ μάλιστα δείκνυσιν αὐτοὺς θεοπνεύστους γενομένους, καὶ οὐδὲ οἴκοθεν διαλεχθέντας ἡμῖν, ἀλλ᾽ ἀπὸ τῆς θείας ἐκείνης καὶ

ὑπερουρανίου

Πραξ. ιδ. ιζ.

ὑπερουρανίου χάριτος ἐμπνευσθέντας. πάντα γὰρ τὰ ὑπ' αὐτῶν εἰρημένα τέλος ἔχει, καὶ πάντα πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξέβη, ἄν τε τὰ παλαιὰ, ἄν τε τὰ καινὰ βούλει μεταχειρίζειν. τά τε γὰρ περὶ Ἰουδαίων εἰρημένα τοῖς προφήταις, ἅπαντα τέλος ἔλαβεν, ὧν καὶ ἡ ἔκβασις ἅπασι δήλη γέγονε· τά τε περὶ τοῦ Χριστοῦ ἐν τῇ καινῇ, ἃ μάλιστα δείκνυσι θείαν ἑκατέραν οὖσαν τὴν γραφήν. Εἰ δὲ θεία, καὶ τὰ ἐν αὐτῇ περὶ Θεοῦ εἰρημένα ἀληθῆ πάντα. μὴ τοίνυν ἀμφίβαλλε περὶ τῆς τοῦ Θεοῦ προνοίας, ἀλλὰ θαύμαζε αὐτοῦ τὴν κηδεμονίαν· ὅτι καίτοι πονηρῶν ὄντων καὶ ἀγαθῶν, τὴν οἰκουμένην καὶ τὸν ἥλιον πᾶσιν ἀνῆκε, καὶ τοὺς ὑετοὺς δίδωσιν. Εἰ δέ τινας ἀφίησιν εἶναι ἐν πτωχείᾳ καὶ πενίᾳ, διορθῶν αὐτῶν τὴν ψυχὴν ἀφίησι, φιλοσοφωτέραν τὴν γνώμην ἐργαζόμενος. ἴστε γὰρ, ἴστε σαφῶς, ὅτι ὁ μὲν πλοῦτος τοῖς μὴ προσέχουσι, πονηρίας ἐστὶν ὑπηρέτης· ἡ δὲ πενία, φιλοσοφίας ἐστὶ μήτηρ· καὶ ταῦτα δείκνυσι καθ' ἑκάστην ἡμέραν τὰ πράγματα. πόσοι τῶν πενήτων τῶν πλουτούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι, καὶ τὰ σώματα ὑγιεινότεροι, τῆς πενίας αὐτοῖς καὶ τὴν σάρκα καὶ τὴν ψυχὴν διορθουμένης;

9 Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, 10 Ὅτι σὺ Κύριε
κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ἰδοὺ καὶ ἄλλο προνοίας εἶδος οὐ μικρὸν, τὸ εἰρήνης ἀπολαύειν τοὺς ἀνακειμένους Θεῷ. Εἰρήνη γὰρ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. (Ψαλ. ριη. ρξδ.) οὐδὲν γὰρ οὕτως εἰρήνην ποιεῖν εἴωθεν, ὡς ἡ τοῦ Θεοῦ γνῶσις καὶ ἡ τῆς ἀρετῆς κτῆσις, τὸν ἔνδοθεν τῶν παθῶν ἐξοικίζουσα πόλεμον, καὶ οὐκ ἀφιεῖσα αὐτὸν πρὸς ἑαυτὸν διαστασιάζειν τὸν ἄνθρωπον. ὡς εἴγε μὴ ταύτης ἀπολαύοι τῆς εἰρήνης, κἂν ἐν βαθυτάτῃ εἰρήνῃ ᾖ ἔξωθεν, κἂν μηδεὶς πολέμιος αὐτὸν βάλλῃ, τῶν ὑπὸ τὴν οἰκουμένην πάντων ἐστὶν ἀθλιώτερος. οὐ γὰρ οὕτω Σκῦθαι, οὐδὲ Θρᾷκες, οὐ Σαυρομάται καὶ Ἰνδοὶ καὶ Μαῦροι, καὶ ὅσα ἄγρια ἔθνη, πολεμεῖν εἰώθασιν, ὡς λογισμὸς ἀτοπώτατος ἐνδομυχῶν τῇ ψυχῇ, καὶ ἐπιθυμία ἀκόλαστος, καὶ χρημάτων ἔρως, καὶ δυναστείας πόθος, καὶ τῶν βιωτικῶν πραγμάτων ἡ προσπάθεια· καὶ εἰκότως. ἐκεῖνος μὲν γὰρ ἔξωθεν ὁ πόλεμος, αὕτη δὲ ἔνδον ἐστὶν ἡ μάχη. ὅτι δὲ τὰ ἔνδοθεν τικτόμενα τῶν ἔξωθεν προσβαλλόντων ἐστὶ χαλεπώτερα, καὶ μᾶλλον διαφθείρειν εἴωθε, τοῦτο ἐπὶ πάντων ἐστὶν ἰδεῖν. καὶ γὰρ καὶ ξύλου φύσιν σκώληξ ἔνδον τικτόμενος μᾶλλον διαφθείρει· καὶ σώματος δύναμιν καὶ ὑγείαν τῶν ἔξωθεν φυομένων τὰ ἔνδοθεν βλαστάνοντα νοσήματα μειζόνως λυμαίνεται· καὶ πόλεις οὐχ οὕτως οἱ ἔξωθεν πολέμιοι, ὡς οἱ ἐμφύλιοι καταλύουσιν. οὕτω δὴ καὶ ψυχὴν οὐχ οὕτω τὰ ἔξωθεν προσιόντα μηχανήματα, ὡς τὰ ἔνδοθεν τικτόμενα νοσήματα λυμαίνεσθαι πέφυκεν. ἀλλ' ἐάν τις τὸν φόβον τοῦ Θεοῦ ἔχων, μετὰ ἀκριβείας τοῦτον καταλύσῃ τὸν πόλεμον, καὶ κοιμήσῃ τὰ πάθη, καὶ τὰ θηρία τὰ ποικίλα ἐκεῖνα τῶν ἀτόπων λογισμῶν ἀποπνίξας, μὴ ἐμφωλεύειν παρασκευάσῃ, οὗτος καθαρωτάτης ἀπολαύσεται εἰρήνης. ταύτην τὴν εἰρήνην ἐλθὼν ὁ Χριστὸς ἐχαρίσατο· ταύτην καὶ ὁ Παῦλος τοῖς πιστοῖς ἐπηύχετο, καθ' ἑκάστην ἐπιστολὴν λέγων· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. ὁ γὰρ τὴν εἰρήνην ταύτην ἔχων, οὐ μόνον βάρβαρον καὶ πολέμιον, ἀλλ' οὐδὲ αὐτὸν τὸν διάβολον δέδοικεν· ἀλλὰ πάσης τῆς τῶν δαιμόνων φάλαγγος καταγελᾷ, καὶ πάντων ἀνθρώπων ἐστὶν εὐθυμότερος· οὐ πενίᾳ πιεζόμενος, οὐ νόσῳ καὶ ἀρρωστίᾳ βαρούμενος, οὐκ ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων τῶν ἀδοκήτως προσπιπτόντων θορυβούμενος· διὰ τὸ τὴν ψυχὴν, τὴν δυναμένην ταῦτα μετὰ ἀκριβείας διαθεῖναι καὶ εὐκολίας ἁπάσης, ἐρρωμένην καὶ ὑγιαίνουσαν ἔχειν. καὶ ἵνα μάθητε ὅτι τοῦτο ἐστιν ἀληθές· ἔστω τις βάσκανος, καὶ μηδεὶς αὐτῷ πολεμείτω· τί δὲ ὄφελος; αὐτὸς γὰρ ἑαυτῷ πολεμεῖ, παντὸς ξίφους ὀξυτέροις ὀξυτέρους καθ' ἑαυτοῦ θήγων λογισμούς, πᾶσι τοῖς ὁρωμένοις προσπταίων, καὶ καθ' ἕκαστον τῶν ἐντυγχανόντων ἀνθρώπων τιτρώσκων ἑαυτόν, πρὸς οὐδένα ἡδέως ἔχων, ἀλλὰ κοινοὺς πολεμίους πάντας ὁρῶν. τί οὖν ὄφελος τῆς ἔξωθεν εἰρήνης τούτῳ, ὅταν αὐτὸς λυττῶν καὶ μαινόμενος, καὶ κοινὸς τῆς φύσεως ὢν ἐχθρὸς περιέρχηται τοσοῦτον ἔνδοθεν φέρων πόλεμον, καὶ μυρία τόξα καὶ βέλη, μᾶλλον δὲ μυρίους θανάτους δεχόμενος, ἢ ἰδεῖν τινα τῶν ὁμογενῶν εὐδοκιμοῦντα καὶ εὐημερίας ἀπολαύοντα; πάλιν ἕτερος ὑπὸ χρημάτων ἐπιθυμίας κατεχόμενος, μυρίους πολέμους καὶ μάχας καὶ στάσεις εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν, καὶ ἐν θορύβῳ καὶ ταραχῇ ὤν, οὐδὲ μικρὸν ἀναπνεῦσαι δύναται. ἀλλ' οὐχ ὁ τούτων ἀπηλλαγμένος τῶν παθῶν οὕτω διάκειται, ἀλλ' ἐν γαλήνῃ κάθηται λιμένι, ἐντρυφῶν τῇ φιλοσοφίᾳ, καὶ οὐδεμίαν ὑπομένων ἀηδίαν τοιαύτην. διὸ δὴ καὶ ταύτης ἀπολαύων τῆς προνοίας ὁ προφήτης ἔλεγεν· ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω· δηλῶν, ὅτι τῷ μὴ ταύτην ἔχοντι τὴν εἰρήνην, οὐδὲ ὁ κοινὸς λιμὴν ἅπας ἀνέῳκται, ἀλλὰ καὶ αὐτοῦ προσκέχωσται, ὁ τοῦ ὕπνου καὶ τῆς νυκτός. τὰ γὰρ πάθη ταῦτα καὶ τὴν ἀπὸ τῆς φύσεως ἄδειαν διδομένην διαφθείρει, ἑτέρᾳ τυραννίδι χαλεπωτέρᾳ τοῦ ὕπνου τὴν τυραννίδα παντελῶς παρωθούμενα. οἱ γὰρ φθονεροὶ καὶ βάσκανοι καὶ πλεονέκται καὶ ἅρπαγες τοῦτον τὸν πόλεμον πανταχοῦ περιφέροντες, καὶ τοὺς πολεμίους ἔνδον ἔχοντες ἐγκαθημένους, ὅπουπερ ἂν ἀπέλθωσι, φυγεῖν οὐ δύνανται τὴν μάχην· ἀλλὰ κἂν οἴκοι μένωσι, κἂν ἐπὶ κλίνης κέωνται, νέφη βελῶν, καὶ θορύβους κυμάτων βιαιοτέρους, καὶ σφαγάς, καὶ κραυγάς, καὶ οἰμωγάς, καὶ ἕτερα πολλῷ τῶν ἐν τοῖς πολεμίοις συμβαινόντων χαλεπώτερα ὑπομένουσιν. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· ἀλλὰ καὶ ἐγρηγορὼς τρυφᾷ, καὶ ἐν καιρῷ τῆς νυκτὸς μετὰ πολλῆς τῆς ἡδονῆς τὸν ὕπνον δέχεται. τί δέ ἐστιν, ἐπὶ τὸ αὐτό; συνηγμένος πρὸς ἑαυτόν, φησι, καὶ συνεστραμμένος· οὐ σχιζόμενος εἰς μυρίας φροντίδας, οὐδὲ τὰ τοῦ δεῖνος μεριμνῶν, οὐδὲ εἰς τὴν οἰκουμένην διατεμνόμενος ταῖς φροντίσιν· ἀλλὰ τὰ ἐμαυτοῦ λογιζόμενος, καὶ τὰ ἐμοὶ διαφέροντα, ἃ καὶ μάλιστά ἐστιν ἀνθρώπῳ προσήκοντα. Ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· τῇ τῶν μελλόντων ἐλπίδι καὶ τῇ προσδοκίᾳ τῇ εἰς σὲ πάντα μου τὰ πάθη κατέστειλα. καθάπερ καὶ Παῦλός φησι· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὐ γάρ ἐστιν οὐδὲν φορτικὸν πρᾶγμα, ὃ μὴ γίνεται ῥᾷστον τῇ ἐλπίδι τῆς εὐδοκιμήσεως τῆς κατὰ Θεόν. διὰ τοῦτό φησιν· ἐπ' ἐλπίδι κατῴκισάς με. καὶ τὸ κατὰ μόνας δέ, οὐ μικρᾶς διδασκαλίας ἀρετή. τί δέ ἐστι, κατὰ μόνας; τῶν πονηρῶν χωρίς. τὴν γὰρ εἰρήνην ταύτην κατώρθωσα, φησι, πρὸς σέ, καὶ κατὰ μόνας οἰκῶ φεύγων τοὺς διεφθαρμένους. καὶ μάλα εἰκότως. καθάπερ γὰρ σώματα πολλάκις ἀπὸ τῆς τῶν ἀέρων τῶν διεφθαρμένων λύμης ἀπόλλυνται· οὕτω δὴ καὶ ψυχὴ πολλάκις ἐδέξατο βλάβην ἀπὸ τῆς τῶν πονηρῶν συνουσίας. καὶ καθάπερ ὀφθαλμὸς ὑγιαίνων, ὅταν νοσοῦντα ἴδῃ, πλήττεται, καὶ ὁ ψώρας ἐμπεπλησμένος μεταδίδωσι καὶ τοῖς ὑγιαίνουσιν· οὕτω δὴ συμβαίνει πολλάκις καὶ ἐπὶ τῆς συνουσίας τῶν πονηρῶν ἀνθρώπων. διὰ τοῦτο καὶ ὁ Χριστὸς παραινεῖ οὐ μόνον φεύγειν τοὺς τοιούτους, ἀλλὰ καὶ ἐκτέμνειν, οὕτω λέγων· Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ· οὐ περὶ ὀφθαλμοῦ λέγων (τί γὰρ ἂν ἀδικήσειεν ὀφθαλμὸς διανοίας ὑγιαινούσης;) ἀλλὰ περὶ φίλων ἀναγκαίων καὶ ἐν τάξει τῶν μελῶν τούτων ἡμῖν ὄντων καὶ βλαπτόντων ἡμᾶς, ταῦτα ἐνομοθέτησε, κελεύων καὶ τὴν φιλίαν τῶν τοιούτων ἀτιμάζειν, ὥστε τὴν σωτηρίαν τὴν ἑαυτῶν ἀσφαλεστέραν ποιεῖν. διὸ καὶ αὐτὸς πάλιν προϊὼν λέγει· οὐκ ἐκάθισα

β. Κορ. δ. ιζ.

Ματθ. ε. κθ.

μετὰ

Θρήν. γ. κζ.

Ματθ. ε. κη.

μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. καὶ ὁ Ἱερεμίας μακαρίζει τὸν κατὰ μόνας καθεζόμενον, καὶ αἴροντα τὸν ζυγὸν ἐκ νεότητος. καὶ αἱ παροιμίαι πολὺν ὑπὲρ τούτου ποιοῦνται λόγον, πᾶσι παραινοῦσαι καὶ λέγουσαι μὴ μόνον ἐκκλίνειν, ἀλλὰ καὶ ἀποπηδᾶν ἀπὸ τῶν πονηρὰ συμβουλευόντων, καὶ μηδὲ ἐγχρονίζειν αὐτοῖς. εἰ γὰρ τὰ φυσικὰ μεταβάλλεται πολλάκις ἡμῖν ἀπὸ κακῆς ὁμιλίας· πόσῳ μᾶλλον τὰ τῆς προαιρέσεως; τό, τε γὰρ χρῶμα κατὰ φύσιν ἡμῖν πρόσεσι, καὶ τὸ ὑγιαίνειν· ἀλλ᾽ ἔστιν ὅτε διαφθείρεται ταῦτα ἐξ ἑτέρας ἕξεως ἐναντίας. καὶ τὸ ὀρέγεσθαι πάλιν σιτίων· καὶ τοῦτο πολλάκις ἀπωλέσαμεν ἀπὸ κακίας νοσημάτων· καὶ ἄλλα πολλὰ τοιαῦτά ἐστιν ἰδεῖν συμβαίνοντα. εἰ δὲ τὰ τῆς φύσεως κινεῖται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως, ὅσῳ καὶ εὐκολωτέραν ἔχει τὴν ἐπὶ θάτερα μεταβολήν. μὴ δὴ μικρὸν εἶναι νομίζωμεν τὴν τῶν κακῶν συνουσίαν εἰς βλάβην, ἀλλὰ παρὰ τῶν ἄλλων ἁπάντων φεύγωμεν τούτους, κἂν γυναῖκες ὦσι, κἂν φίλοι, κἂν ὁστισοῦν. ἐπεὶ καὶ τοὺς μεγάλους ἐκείνους οὕτω ἀπώλεσε, Σολομῶντα λέγω, τὸν Σαμψών· καὶ ἔθνος δὲ ὁλόκληρον τὸ Ἰουδαϊκὸν οὕτω διεφθείρετο. οὐ γὰρ οὕτω θηρία πλήττειν εἴωθεν, ὡς πονηρία ἀνθρώπων. ἐκεῖνα μὲν γὰρ φανερὸν ἔχει τὸν ἰόν· οὗτοι δὲ ἀνεπαισθήτως καὶ ἀψοφητὶ καθ᾽ ἑκάστην ἡμέραν ἐνιᾶσι τὴν λύμην, κατὰ μικρὸν ὑποσύροντες τὸν εὔτονον τῆς ἀρετῆς. διὰ τοῦτο καὶ τὴν ἀκόλαστον ὄψιν ὁ Θεὸς ἀποτειχίζει, λέγων· Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, διὰ τὸ εὔκολον καὶ εὐπαρείσατον τῆς ἀπωλείας. σὺ δὲ εἰ μὲν πόλιν μέλλεις οἰκεῖν, πολλὰ περὶ ἀέρων πολυπραγμονεῖς, εἰ μὴ νοσώδεις, εἰ μὴ δύσκρατοι, εἰ μὴ αὐχμηροί· ψυχῆς δὲ μέλλων ποιεῖσθαι λόγον, οὐ περιεργάζῃ τὴν συνουσίαν τῶν μελλόντων ὁμιλεῖν αὐτῇ· ἀλλ᾽ ἁπλῶς καὶ ὡς ἔτυχε πᾶσιν αὐτὴν ἐπιτρέπεις. καὶ ποίας τεύξῃ συγγνώμης, εἰπέ μοι, οὕτως αὐτῆς ὑπερορῶν; πόθεν γὰρ οἴει τούτους τὰς ἐρήμους κατειληφότας θαυμαστοὺς τινὰς καὶ λαμπροὺς γίνεσθαι; οὐκ ἐπειδὴ θορύβους καὶ ἀγορὰς φεύγουσι, καὶ τοῦ καπνοῦ τοῦ ἐν τῷ μέσῳ μακρὰν ἑαυτοὺς ἐσκήνωσαν; τούτους καὶ αὐτὸς ζήλωσον, ἐπὶ μέσης πόλεως ἐρημίας διώκων. πῶς δὲ ἔσται τοῦτο; ἐὰν τοὺς πονηροὺς φεύγῃς, ἐὰν τοὺς ἀγαθοὺς διώκῃς. οὕτω γὰρ πλείονα καρπώσῃ τῶν ἐν ταῖς ἐρήμοις ἀσφάλειαν, οὐκ ἐν τῇ τῶν βλαπτόντων φυγῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν ὠφελούντων κοινωνίᾳ. ἂν γὰρ φεύγῃς μὲν τοὺς πονηρούς, διώκῃς δὲ τοὺς ἀγαθούς, ἑκατέρωθέν σοι τὰ τῆς ἀρετῆς αὐξηθήσεται, καὶ τὰ τῆς κακίας οἰχήσεται. ἵν᾽ οὖν τοῦτο γένηται, ταῦτα ποιῶμεν, πειθόμενοι τῷ Ψαλμῳδῷ λέγοντι· ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με.*

Ψαλ. ε. ΕΙΣ ΤΟ ΤΕΛΩΣ ΥΠΕΡ ΤΗΣ ΚΛΗΡΟΝΟΜΟΥσης, ψαλμὸς τῷ Δαβίδ.

Πρότερον ἴδωμεν τίς ἡ κληρονομία, καὶ εἰ αὕτη καὶ ἡμῖν ἐπιβάλλει· ἔπειτα τὸν χρόνον καθ᾽ ὃν δίδοται. καὶ γὰρ ἄτοπον, διαθήκης μὲν χρημάτων ἡμῖν ἀπαγγελθείσης, προσήκοντος ἡμῖν τοῦ κλήρου, περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, καὶ τὰ γράμματα ἐπιζητεῖν, καὶ ἀργύριον καταβάλλειν, καὶ χαρτίοις προσιέναι, καὶ ἀντιγράφειν τὰ ἐγγεγραμμένα, καὶ πᾶσαν ἐπιδείκνυσθαι σπουδήν· ἐνταῦθα δὲ τῶν διαθηκῶν εἰς μέσον προκειμένων, καὶ τῶν βίβλων πασῶν ἀνεῳγμένων, ῥαθυμεῖν καὶ ἀναπεπτωκέναι, καὶ ταῦτα τῆς κληρονομίας οὐκ οὔσης αἰσθητῆς. προσίωμεν τοίνυν, καὶ ἀνοίγωμεν τὰ γράμματα, καὶ ἐγκύπτωμεν τοῖς ἐγγεγραμμένοις, καὶ ἴδωμεν ἐπὶ τίσιν ἡμῖν ὁ κλῆρος οὗτος καταλέλειπται, καὶ τίς ἡ τοῦ κλήρου φύσις. οὐ γὰρ ἁπλῶς κατέλιπεν ἡμῖν τὸν κλῆρον, ἀλλ' αἱρέσει τινί. ποία δὴ ταύτη; Ὁ ἀγαπῶν με, φησι, τὰς ἐντολάς μου τηρήσει. καὶ πάλιν, Ὃς οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου· καὶ ἕτερα πλείονα, ἅπερ τῇ διαθήκῃ ἐγγέγραπται. μάθωμεν δὲ καὶ τὸν χρόνον, καθ' ὃν μέλλομεν ταῦτα ἀπολαμβάνειν. οὐ γὰρ ὁ παρών ἐστιν, ἀλλ' ὁ μέλλων· μᾶλλον δὲ καὶ ὁ παρὼν καὶ ὁ μέλλων. Ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· τὸ δὲ ὁλόκληρον τότε. ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐπίκηρος, καὶ ἀτελέστερον ἔτι διακείμεθα. ὅπερ ποιοῦσιν οἱ ἔξωθεν νομοθέται, καὶ τελείοις γενομένοις ἐγχειρίζουσι τὴν πατρῴαν οὐσίαν, τοῦτο καὶ ὁ Θεὸς ἐργάζεται. ἐπειδὰν εἰς ἄνδρα τέλειον καὶ μέτρον ἡλικίας καταντήσωμεν, καὶ πρὸς τὸν ἀκήρατον μεταστῶμεν βίον, τότε ἡμῖν ἐγχειρίζει τὸν κλῆρον ἐκεῖνον. τέως δὲ διέθετο, καὶ τὰ γράμματα ἡμῖν κατέλιπε, καὶ τίνα πράττοντες ἐπιτευξόμεθα τῆς κληρονομίας εἶπεν, ὥστε μὴ ἐκπεσεῖν, μηδὲ ἀποκληρονόμους γενέσθαι. Εἰ δέ τινας θορυβεῖ τὸ μηδέπω τελείους ἡμᾶς εἶναι, καὶ ὑποπτεύει τὰ εἰρημένα, ἄκουε τοῦ Παύλου λέγοντος· Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου, περὶ τοῦ παρόντος καὶ τοῦ μέλλοντος αἰῶνος διαλεγόμενος. καὶ πάλιν, Μέχρις οὗ καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας. ἐν μὲν γὰρ τῷ παρόντι, καθάπερ παρὰ τροφῷ τινι, τῇ κλίσει ταύτῃ ἀνατρεφόμεθα· ἐπειδὰν δὲ μέλλωμεν εἰς τὴν δεσποτικὴν ἄγεσθαι οἰκίαν, τὰ ἱμάτια ἀπαμφιεννύμενοι τῆς φθορᾶς, καὶ ἀφθαρσίαν ἀναλαβόντες, πρὸς ἑτέραν μεθιστάμεθα λῆξιν. αὕτη ἡ διαθήκη· καὶ ἀποκληρώσεις πολλοῖς ἠπείλησε ποιεῖν, ἐὰν ἀνάξιοι γένωνται τῶν αἱρέσεων τῶν ἐγγεγραμμένων. ἀλλ' ἴδωμεν καὶ τίς ἐστιν ὁ κλῆρος λοιπόν. Ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. πῶς τοίνυν ἐμέλλομεν τὴν χρῆσιν τούτων λαμβάνειν ἐν τῷ παρόντι βίῳ, ὧν καὶ ἡ γνῶσις ὑπερβαίνει τὴν διάνοιαν τὴν ἡμετέραν; διὰ τοῦτο ἡμῖν ἐκεῖ τεταμίευται. καὶ ὅρα τὴν κηδεμονίαν. τοὺς μὲν πόνους τῇ παρούσῃ συνεκλήρωσε ζωῇ, ὥστε τῇ βραχύτητι συγκαταλυθῆναι τὸ ἐπίμοχθον· τὰ δὲ ἀγαθὰ ἐν τῷ μέλλοντι ἐταμιεύσατο αἰῶνι, ὥστε τῷ ἀγήρῳ συμπαρεκτείνεσθαι τὰς ἀμοιβάς. ἐκείνην τὴν λῆξιν καὶ βασιλείαν καλεῖ. εἰ γὰρ καὶ ὑπερβαίνει λόγον, ἀλλ' ὅμως κατὰ τὸ ἐγχωροῦν ἡμῖν ἀκοῦσαι, παρῃνίξατο τὰ μέλλοντα, νῦν μὲν (ὅπερ ἔφθην εἰπὼν) βασιλείαν καλῶν, νῦν δὲ γάμον, νῦν δὲ ἀρχὴν (ἀπὸ τῶν φαιδρῶν τῶν παρ' ἡμῖν ὀνομάτων παρανοίγων ἡμῖν τὴν περὶ ἐκείνων ἔννοιαν) τὴν αἰώνιον δόξαν, τὴν ἀκήρατον μακαριότητα, τὴν μετὰ Χριστοῦ διαγωγήν, ἧς οὐδὲν ἂν γένοιτο ἴσον. τίνες δὲ καὶ αἱ αἱρέσεις; οὐδὲν φορτικὸν ἔχουσαι. Ἃ θέλετε ἵνα, φησί, ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. ὁρᾷς πῶς οὐδὲν ξένον ἐπεισήγαγεν, ἀλλ' ἃ προλαβοῦσα ἡ φύσις ἐνομοθέτησεν. ἅπερ αὐτός, φησι, γενέσθαι θέλεις παρὰ τῶν πλησίον εἰς σέ, ταῦτα καὶ αὐτὸς ἐργάσαι. θέλεις ἐπαινεῖσθαι; ἐπαίνει. θέλεις μὴ ἁρπάζεσθαι; μὴ ἅρπαζε. θέλεις τιμᾶσθαι; τίμα. θέλεις ἐλεεῖσθαι; ἐλέει. θέλεις φιλεῖσθαι; φίλει. θέλεις μὴ ἀκούειν κακῶς; μηδὲ σὺ εἴπῃς. καὶ ὅρα τὴν ἀκρίβειαν. οὐκ εἶπεν, ὅσα οὐ θέλετε ἵνα ποιῶσι, μηδὲ ὑμεῖς ποιεῖτε, ἀλλ' ἃ θέλετε. ἐπειδὴ γὰρ δύο εἰσὶν ὁδοὶ πρὸς ἀρετὴν ἄγουσαι, μία μὲν ἡ ἀπαλλαγὴ τῆς κακίας, ἑτέρα δὲ ἡ ἐργασία τῶν ἀρετῶν, ταύτην προστίθησι, διὰ ταύτης κἀκείνην δήλην ποιῶν. καὶ τὴν μὲν ᾐνίξατο τῷ λέγειν, Ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς· τὴν δέ, Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. ἔστι καὶ ἄλλη αἵρεσις. ποία δὲ αὕτη; τὸ ἀγαπᾷν τὸν πλησίον, ὡς ἑαυτόν. τί τούτου γένοιτ' ἂν εὐκολώτερον; τὸ γὰρ μισεῖν, ἐπαχθὲς καὶ θορύβους ἐμποιοῦν· τὸ δὲ φιλεῖν, εὔκολον καὶ ῥᾴδιον. καὶ γὰρ

Εἰ

Ἰω. ιδ. κγ.
Ματθ. ι. λη.
Λουκ. ιβ. λα.
α. Κορ. ιγ. ια.
Ἐφ. δ. ιγ.
α. Κορ. β. θ.
Ματθ. ζ. ιβ.
Ματθ. ζ. ιβ. καὶ κεφ. κβ. λθ.

εἰ μὲν εἶπεν, ἄνθρωποι ὄντες φιλεῖτε θηρία, δύσκολον ἦν τὸ ἐπίταγμα· εἰ δὲ ἀνθρώπους
ὄντας ἀνθρώπους φιλεῖν ἐκέλευσεν, ἔνθα καὶ τὸ ὁμοούσιον καὶ συγγενὲς πολλὴν εἰσφέρει
ῥοπήν, καὶ παρὰ τῆς φύσεως ἡ παραίνεσις, ποίαν ἂν ἔχοι δυσκολίαν; ὅπερ καὶ ἐπὶ
λεόντων καὶ λύκων γίνεται. καὶ γὰρ καὶ ἐκεῖ τὸ συγγενὲς τῆς φύσεως, ἀγωγὸν εἰς φιλίαν
ἐστί. ποίαν οὖν σχοίημεν ἀπολογίαν, λέοντας μὲν ἡμεροῦντες καὶ ἑαυτοῖς συνοικίζοντες,
τὸ δὲ ὁμογενὲς μὴ ἐπισπώμενοι; οὐχ ὁρᾶτε, ὅτι πολλοὶ διὰ κληρονομίαν γέροντας περιίασιν
ἀγρυπνοῦντες, καὶ πάντων τοῦ γήρως ἀνέχονται κακῶν νέοι ὄντες καὶ σφριγῶντες, ποδαλγίας,
τῶν ἄλλων τῶν ἐν τῷ γήρᾳ νοσημάτων, καὶ κορύζης, διὰ τοῦ προσεδρεύειν διηνεκῶς;
καίτοι χρήματά ἐστιν ἐκεῖ, καὶ ἄδηλος ἐλπίς· ἐνταῦθα δέ, οὐρανός, καὶ πρὸ τοῦ
οὐρανοῦ, τὸ εὐαρεστῆσαι Θεῷ. τίς δὲ ἡ κληρονομοῦσα; (ὑπὲρ τῆς κληρονομούσης γάρ φησιν
β. Κορ. ια. β. ἡ προγραφή) ἡ ἐκκλησία, καὶ τὸ πλήρωμα αὐτῆς· περὶ ἧς λέγει Παῦλος· Ἡρμοσάμην
Ἰω. γ. κθ. ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. καὶ ὁ Ἰωάννης· Ὁ ἔχων
τὴν νύμφην, νυμφίος ἐστίν. ἀλλ' ὁ μὲν νυμφίος μετὰ τὰς πρώτας ἡμέρας καταλύει τὸ
σφοδρὸν τοῦ ἔρωτος· ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἡμᾶς ἀγαπῶν, καὶ ἐπιτείνων
τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης νυμφίον καλεῖ, ὅτε ἀκμάζοντες οἱ πόθοι. οὐ διὰ τοῦτο
δὲ μόνον νυμφίον ἐκάλεσεν, ἀλλ' ὅτι καὶ πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχὴν
κατὰ τὸν τῆς ἀρετῆς λόγον καὶ τῆς ἀγάπης· καὶ ὅτι καθάπερ ἡ νύμφη πάντα ποιεῖ πρὸς
ἀρέσκειαν τοῦ ἀνδρός, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρή. οἵα ἡ νύμφη
κατὰ τὴν ἡμέραν ἐκείνην ἐπὶ τῶν παστάδων καθέζεται, ἓν μεριμνῶσα μόνον ὅπως
ἀρέσκῃ τῷ νυμφίῳ· οὕτω δὴ καὶ ἡμεῖς ἐπὶ τοῦ βίου τούτου παρακαθήμενοι ἓν σκοπῶμεν,
τοῦ νυμφίου τὴν ἀρετήν, καὶ τὴν τῆς νύμφης εὐταξίαν διατηρῶμεν. Ταύτης τῆς
Ψαλ. μδ. στίχ. ια. ιβ. νύμφης καὶ Δαβὶδ μέμνηται λέγων· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ
διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη ἐν κροσσωτοῖς χρυσοῖς. θέλεις αὐτῆς καὶ τὰ
Ἐφ. ς. ιε. ὑποδήματα ἰδεῖν; ἄκουσον Παύλου τοῦ νυμφαγωγοῦ λέγοντος· Ὑποδησάμενοι τοὺς
πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. θέλεις αὐτῆς ἰδεῖν καὶ τὴν ζώνην,
ὡς καὶ ἀπὸ ἀληθείας σύγκειται; ὁ αὐτός σε διδάξει· Περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν
Ἐφ. ε. κζ. ἀληθείᾳ. θέλεις ἰδεῖν αὐτῆς καὶ τὸ κάλλος; καὶ τοῦτο μαθήσῃ παρ' αὐτοῦ· Μὴ ἔχουσα σπίλον
Ἀσμ. δ. ζ. ἢ ῥυτίδα. ἄκουε καὶ ὁ ἐκκλησιαστὴς τί περὶ ταύτης λέγει· Ὅλη καλὴ εἶ ἡ πλησίον μου,
Ῥω. ι. ιε. καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. θέλεις ἰδεῖν καὶ τοὺς πόδας; Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων
τὴν εἰρήνην, ὁ Παῦλός φησι. καὶ κατασχήσας αὐτοὺς οὕτως οὐκ ἦλθε τὴν δόξαν
αὐτοῦ ἐπιδεικνύμενος, ἵνα μὴ τῇ ὑπερβολῇ τοῦ κάλλους ἐκπλήξῃ αὐτὴν καὶ παράφρονα
ἐργάσηται), ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος, οἷον ἡ νύμφη· καὶ οὐκ αὐτὸς αὐτὴν
ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται), τηρῶν κἀνταῦθα τοῦ νυμφίου τὸν νόμον
Γεν. β. κδ. τὸν πρὸς τὴν νύμφην αὐτὸν ἄγοντα. ὅπερ καὶ ὁ Μωϋσῆς ἔλεγεν· Ἀντὶ τούτου καταλείψει
ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν
Ἐφ. ε. λβ. γυναῖκα αὐτοῦ. καὶ ὁ Παῦλος· Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν
καὶ εἰς τὴν ἐκκλησίαν. ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς, καὶ εὑρὼν ῥυπῶσαν,
αὐχμῶσαν, γυμνήν, πεφυρμένην αἵματι, ἔλουσεν, ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν
ἱμάτιον, οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι, αὐτὸς αὐτῇ γινόμενος περιβολή, καὶ λαβὼν αὐτὴν
οὕτως ἀνάγει. Ταύτῃ ἡ κληρονομία ἡτοίμασται. τί οὖν ὑπὲρ αὐτῆς φησιν ὁ προφήτης;
πολλά. Σύνηθες γάρ ἐστι, καὶ τὰ πλείονα τῶν αὐτῇ συμβησομένων προεῖπε καὶ
προανεφώνησεν· οἷον περὶ τοῦ νυμφίου, περὶ τῆς νυμφαγωγίας, περὶ τῶν ἀγαθῶν τῶν
διαδεξομένων αὐτήν. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα ὑπὲρ αὐτῆς ποιεῖται τὸν λόγον, καὶ

ἀρχόμενος,

προερχόμενος, καθάπερ οἱ συνήγοροι οὗτοι οἱ ῥήτορες, λέγει ὑπὲρ τίνος ποιεῖται τὴν δικαιολογίαν, ὅτι ὑπὲρ τῆς κληρονομούσης. καὶ τί αἰτεῖ ἡ κληρονομοῦσα, ἀκούσωμεν.

1 Τὰ ῥήματά μου ἐνώτισαι Κύριε. Τὸν νυμφίον Κύριον καλεῖ. καὶ γὰρ τοῦτο νύμφης εὐγνώμονος ἔργον. εἰ γὰρ ἐπὶ τῶν ὁμουσίων τοῦτο συμβαίνει, καὶ κύριον τὸν ἄνδρα καλεῖ ἡ γυνή· πολλῷ μᾶλλον ἐπὶ τῆς ἐκκλησίας καὶ τοῦ Χριστοῦ, ὅπου καὶ φύσει Κύριός ἐστιν. οὕτω γοῦν αὐτὸν οὐχ ὡς νυμφίον καλεῖ Κύριον μόνον, ἀλλὰ καὶ ὡς δεσπότην, καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν δέησιν. ἐπειδὴ γὰρ κληρονομία αὐτῇ προσήκει (ἡ κληρονομία δὲ αὕτη, εἰ κατορθώσειε τὰ ἐπιταχθέντα, εἰς ἔργον ἐκβαίνει) παρακαλεῖ καὶ δεῖται σύμμαχον αὐτῇ γενέσθαι, ὥστε λῦσαι τὰ προκείμενα, καὶ μὴ ἐκπεσεῖν τοῦ κλήρου. διὸ καί φησι· τὰ ῥήματά μου ἐνώτισαι Κύριε. καὶ μετὰ παρρησίας λέγει τοῦτο; ἐπειδὴ τοιαῦτα αἰτεῖ, ἅπερ καὶ αὐτὸς διδόναι βούλεται. ὡς ἐάν τις τοιαῦτα αἰτῇ ἀνάξια τοῦ παρέχοντος, οὐ δύναται ταύτην αἰτεῖν τὴν χάριν· ὅταν κατ' ἐχθρῶν εὔχηται, ὅταν κατὰ τῶν λελυπηκότων. ταῦτα οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ διαβόλου τὰ ῥήματα. εἰ γὰρ τὸ ὀμνύναι ἐκ τοῦ διαβόλου ἐστὶ (καὶ γὰρ τὸ περιττὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν) εὔδηλον ὅτι καὶ τὸ κατ' ἐχθρῶν εὔχεσθαι. ἐὰν τοίνυν λέγῃς· τὰ ῥήματα ἐνώτισαι, ἐκεῖνα φθέγγου, ἃ ἀνθρώπου ῥήματά ἐστιν ἡμέρου καὶ φιλανθρώπου καὶ οὐδὲν ἔχοντος διαβολικόν.

Ματθ. ε. λζ.

Σύνες τῇ κραυγῇ μου. Κραυγὴν ἐνταῦθα, οὐ τὸν τόνον φησὶ τῆς φωνῆς, ἀλλὰ τῆς διανοίας τὴν διάθεσιν. ἐπεὶ καὶ τῷ Μωϋσεῖ σιγῶντι ἔλεγε, τί βοᾷς πρός με; οὐκ εἶπε, τί εὔχῃ πρός με; ἀλλά, τί βοᾷς πρός με; ἐπειδὴ μετὰ σφοδρᾶς διαθέσεως αὐτῷ προσῄει. ἵνα γοῦν μάθῃς ὅτι καὶ ἐνταῦθα οὐ τὴν κραυγὴν λέγει, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας, καὶ τὴν σπουδὴν τὴν συντεταμένην, οὐκ εἶπεν, ἄκουσον τῆς κραυγῆς μου, ἀλλὰ τί; σύνες· τουτέστι, κατάμαθε. εἰ γὰρ καὶ ἀνθρωπίνοις κέχρηται ῥήμασιν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀνθρωπίνοις τὸ αὐτῷ παρισάμενον δηλοῖ.

2 Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Πάλιν τὴν ἔνδον λέγει φωνήν. οὕτω καὶ Ἄννα ἐβόα. καὶ οὐχ ἁπλῶς εἶπε, πρόσχες τῇ φωνῇ τῆς εὐχῆς μου, ἀλλὰ τῆς δεήσεώς μου. τὸν γὰρ εὐχόμενον ἱκέτου δεῖ περικεῖσθαι σχῆμα καὶ γνώμην. ὁ γὰρ ἱκέτης οὐ κατηγόρου ῥήματα ἀναλαμβάνει· ὁ δὲ ἐχθροῦ κατευχόμενος, κατήγορος μᾶλλόν ἐστιν, ἢ ἱκέτης. εἶδες πῶς περιέστησε τὴν εὐχήν, ἐπειδὴ ἀξίαν αὐτὴν ἐποιεῖτο τοῦ ἀκουσθῆναι. οὕτω καὶ ἡμεῖς, ὅταν εὐχώμεθα καὶ βουλώμεθα ἀκούεσθαι, πρότερον αὐτὴν καθιστῶμεν, ἵνα ᾖ εὐχή, καὶ μὴ κατηγορία γένηται, καὶ κατὰ τοὺς νόμους τοὺς ἐκείνου, οὕτως αὐτὴν εἰσάγωμεν.

Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. Ὅπερ ὁ προφήτης συνεχῶς λέγει, μᾶλλον δὲ ὅπερ ἐξαίρετον τῷ Ἀβραὰμ ἦν (καθὼς ὁ Παῦλός φησι· Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν) τοῦτο αὐτὴ διείληφε, καὶ τῷ πόθῳ κατώρθωσεν. οὐ γὰρ εἶπεν ἁπλῶς, βασιλεύς, ἀλλ' ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, τὸν ἔρωτα ἐνδεικνυμένη τὸν αὐτῆς. εἶτα καὶ τὰς αἰτίας τίθησι, δι' ἃς ἀξιοῖ αὐτὴν ἀκουσθῆναι. ποῖαι δέ εἰσιν αὗται;

Ἑβρ. ια. ιϛ.

3 Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε. Τίς, φησιν, οὐχὶ τῷ Θεῷ προσεύχεται; πολλοὶ δοκοῦσι μὲν τῷ Θεῷ προσεύχεσθαι· πρὸς δὲ ἀνθρώπων ἐπίδειξιν τοῦτο ποιοῦσιν. ἀλλ' οὐχ αὕτη· ἀλλὰ πρὸς Θεὸν αὐτὸν ἀνετείνετο, τὰ ἀνθρώπινα πάντα ἀφεῖσα. Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. Ὁρᾷς σπουδὴν καὶ κατανενυγμένην ψυχήν· ἐκ προοιμίων τῆς ἡμέρας, φησί, τοῦτο ἔργον ποιοῦμαι. ἀκουέτωσαν οἱ μετὰ μυρία ἔργα τότε ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι. ἀλλ' οὐχ αὕτη· ἀλλ' ἐκ προοιμίων τῆς ἡμέρας τὰς ἀπαρχὰς ἐδίδου τῷ Θεῷ. δεῖ γάρ, φησι, φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι. σὺ δὲ ἐπὶ μὲν βασι-

Σοφ. ιϛ. κη.

λέως οὐκ ἂν ἀνάξιον τὸν ἐλάττονα περὶ σοῦ προσκυνῆσαι. νυνὶ δὲ ἡλίου προσκυνοῦντος καθεύδεις αὐτός, καὶ ἀναχωρεῖς τῇ κτίσει τῆς προεδρίας, καὶ οὐ φθάνεις ἅπασαν τὴν κτίσιν τὴν διά σε γινομένην, οὐδὲ ἀποδίδως αὐτῷ τὰ εὐχαριστήρια· ἀλλ' ἀναστάμενος καὶ ὄψιν περικλύζεις καὶ χεῖρας, τὴν δὲ ψυχὴν περιορᾷς ἀκάθαρτον. οὐκ οἶσθα, ὅτι καθάπερ ὕδατι σῶμα, οὕτω δι' εὐχῆς ἡ ψυχὴ καθαίρεται; νίψον τοίνυν πρὸ τοῦ σώματος τὴν ψυχήν. πολλαὶ λῆμαι προσίστανται αὐτῇ κακίας· ταύτας ἀποθώμεθα διὰ τῆς δεήσεως. ἂν γὰρ οὕτω τὸ στόμα τειχίσωμεν, καλὸν θεμέλιον τῆς καθημερινῆς πράξεως καταβαλοῦμεν. 4 Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι. Παραστήσομαί σοι, οὐ τόπῳ, φησίν, ἀλλ' ἔργοις. ὁ γὰρ τοιοῦτος ἐγγὺς γενέσθαι δύναται. τὸ γὰρ ἐγγὺς καὶ τὸ μακρὰν ἐντεῦθεν συμβαίνει. ὁ γὰρ Θεὸς πανταχοῦ ἐστι. παραστήσομαί σοι, καὶ ἐπόψομαι.

Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Ἕτερος ἑρμηνευτής φησι· Καὶ σκοπήσω, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ, 5 Οὐδὲ παροικήσει σοι πονηρευόμενος. Ἐνταῦθα τὰ εἴδωλα αἰνίττεται· ὅτι τούτοις ἔχαιρον, καὶ παρανομίᾳ πάσῃ καὶ τοῖς ἄλλοις τοῖς ἐν πονηρίᾳ πράγμασιν. οὐδὲ παροικήσει σοι πονηρευόμενος. οὐκ ἔσται σοί, φησι, φίλος, οὐκ ἔσται σοι πλησίον. Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Τὸ μισοπόνηρον τοῦ Θεοῦ ἐνταῦθα δείκνυσι, διδάσκων τοὺς ἐγγὺς αὐτοῦ γινομένους τοιούτους ἑαυτοὺς κατασκευάζειν, ὡς οὐκ ἐνὸν ἄλλως γενέσθαι ἐγγύς. Εἰ γὰρ ἀνθρώπῳ χρηστῷ οὐκ ἄν τις δύναιτο γενέσθαι πλησίον τοῖς τρόποις διεστηκώς, πολλῷ μᾶλλον τούτῳ. ὅτι γὰρ οὐ δύνανται ἐναρέτων ἀνδρῶν ἐγγὺς γενέσθαι οἱ πονηροί, ἄκουσον τί φησι περὶ τοῦ δικαίου· Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος. οὕτω καὶ Ἰωάννης τὸ δεσμωτήριον οἰκῶν καὶ μὴ ὁρώμενος ἐλύπει τὴν Ἡρωδιάδα, καί τοι τοσοῦτον αὐτοῦ ἀφεστήκει. μετὰ δὲ τὴν τελευτήν, καὶ τοῦ τυράννου τότε ἐκείνου τὸ συνειδὸς κατέσειε. μηδεὶς τοίνυν τῶν ἐν ἀρετῇ ζώντων ἡγείσθω τι πάσχειν δεινόν, κἂν ἐπιβουλεύηται παρὰ τῶν ἐχθρῶν. οἱ γὰρ πάσχοντες, οἱ ποιοῦντές εἰσιν.

Σοφ. β. ιε.

6 Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· 7 Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

χ. ὁδῷ τῶν πονηρῶν.

Ταῦτα λέγεται, οὐχ ἵνα ἀκούσωμεν μόνον, ἀλλ' ἵνα καὶ παιδευώμεθα ταῦτα συνεχῶς ἀκούοντες καὶ τὸν τρόπον τοῦ νυμφίου ἁρμόζεσθαι, καὶ πλησίον αὐτοῦ γίνεσθαι· ὡς ἂν μὴ ταῦτα ᾖ, ἐρημούμεθα τῆς ἄνωθεν ῥοπῆς, οὗ οὐδὲν ἂν γένοιτο χεῖρον. ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· κἂν δοῦλος ᾖ, φησι, κἂν ἐλεύθερος, κἂν βασιλεύς, κἂν ὁστισοῦν. οὐ γὰρ ἀπὸ τῶν ἀξιωμάτων, ἀλλ' ἀπὸ τῆς ἀρετῆς τοὺς φίλους ἐκρίνειν ὁ Θεὸς εἴωθεν. ἀλλ' ἐπειδὴ πολλοὶ τῶν παχυτέρων οὐδὲν ἡγοῦνται τὸ μῖσος εἶναι), ἄκουσον πῶς ἐπήγαγε καὶ κολάσεως φόβον, εἰπών· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἐπὶ τὸ παχύτερον τῶν ἀκροωμένων τὸν λόγον μετατιθείς. οὐ γὰρ μέχρι τοῦ μίσους στήσεται τὰ τῆς τιμωρίας (καί τοι καὶ τοῦτο ἄφατος κόλασις) ἀλλὰ καὶ πάντας ἀπολεῖς τοὺς λαλοῦντας τὸ ψεῦδος. καί τοι καὶ τὸ πρότερον χαλεπόν, καὶ γεέννης χεῖρον· ἀλλὰ πρὸς μὲν τοὺς συνιέναι δυναμένους ἐκεῖνο ἔθηκε· πρὸς δὲ τοὺς παχυτέρους, καὶ τοῦτο προσέθηκε. μὴ τοίνυν θορυβηθῇς ἄνθρωπε, μηδὲ ταράττου, ἐπειδὰν ἴδῃς τινὰς ψευδομένους, ἁρπάζοντας, πλεονεκτοῦντας, καὶ μηδὲν πάσχοντας δεινόν. ἔσται γὰρ πάντως τοῦτο. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φύσις· ἀποστρέφεται πονηρίαν, μισεῖ τε αὐτὴν ἀεί, καὶ ἀπεχθάνεται. τοὺς δὲ λαλοῦντας τὸ ψεῦδος ἐνταῦθα λέγει, τοὺς ἐν πονηρίᾳ βιοῦντας, τοὺς τὰ ψευδῆ πράγματα διώκοντας, τοὺς περὶ ἡδονάς, τοὺς περὶ γαστριμαργίαν, τοὺς περὶ πλεονεξίαν ἐπτοημένους. οἶδε γὰρ πάντα ταῦτα ψευδῆ καλεῖν. ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. τῶν φονι-

χ. ἀπολεῖ

πὸν ἐνταῦθά φησι, τὸν ἐπιβουλεύοντα, τὸν ὕπουλον, τὸν ἄλλα μὲν ἐπὶ στόματος φέροντα, ἕτερα δὲ ἐπὶ τῆς διανοίας· τὸν περικείμενον προσωπεῖον ἐπιεικείας, τὰ δὲ λύκων ἐπιδεικνύμενον, οὗ χεῖρον οὐκ ἂν γένοιτο οὐδέν. ὁ μὲν γὰρ δῆλος ἐχθρὸς, καὶ εὐφύλακτος γένοιτ' ἄν· ὁ δὲ συγκαλύπτων τὴν πονηρίαν καὶ χρώμενος τῇ κακίᾳ, δυσφώρατος ὢν πολλὰ ἐργάζεται τὰ δεινά. διὰ τοῦτο καὶ Χριστὸς, ἡνίκα ἂν παραγίνοιντο, νήφειν ἐκέλευσεν. Ἔρχονται γὰρ πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

Ματθ. ζ. ιε.

8 Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου.

Ἐπειδὴ ἀπὸ τοιούτων ἡ ἐκκλησία συνείλεκτο, Ἑλλήνων, μάγων, ἀνδροφόνων, γοήτων, ψευστῶν, ὑπούλων, εἶπε δὲ ὅτι μισεῖς καὶ ἀποστρέφῃ, δεικνῦσα ὅτι οὐχ αὕτη κατὰ δικαιοσύνην καὶ κατορθώματα, ἀλλὰ κατὰ φιλανθρωπίαν ἀπαλλαγεῖσα ἐκείνων εἰς τὰ ἐνδότατα εἰσήγετο, ἐπήγαγεν· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. ἵνα γὰρ μή τις λέγῃ· πῶς οὖν σὺ ἡ τὰ καὶ τὰ ἐργασαμένη ἐσώθης; εἶπε τὸν τρόπον τῆς σωτηρίας· ὅτι διὰ τὴν πολλὴν φιλανθρωπίαν, διὰ τὴν ἄφατον ἀγαθότητα ἐσώθην. ἀλλ' εἰσί τινες, οἳ οὐδὲ ἔλεον προσίενται, ἀνίατα νοσοῦντες, οἷοι ἦσαν οἱ Ἰουδαῖοι. ἡ γὰρ χάρις καὶ ὁ ἔλεος, κἂν χάρις ᾖ καὶ ἔλεος, ἀλλὰ τοὺς βουλομένους καὶ χάριν ἔχοντας σώζει, οὐ τοὺς ἀφηνιάζοντας καὶ μὴ βουλομένους δέξασθαι τὴν δωρεὰν, οἷοι γεγόνασιν οἱ Ἰουδαῖοι· περὶ ὧν καὶ Παῦλος ἔλεγεν, Ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. εἶτα ἐπειδὴ εἶπε τὰ τοῦ Θεοῦ, λέγει καὶ τὰ παρ' ἑαυτῆς· Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Ὅταν γὰρ χάριτος ἀπολαύσω, καὶ τὰ παρ' ἐμαυτῆς εἰσενέγκω, ταύτην εἰσοίσω σοι τὴν θυσίαν, φησί· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου· οὐ καθάπερ οἱ πολλοὶ τῶν εὐχομένων, κνώμενοι, χασμώμενοι, ναρκῶντες, ἀλλὰ μετὰ φόβου καὶ τρόμου, φησίν. ὁ γὰρ οὕτως εὐχόμενος, πᾶσαν κακίαν ἀποτίθεται, πρὸς πᾶσαν ἀρετὴν χειραγωγεῖται, τὸν Θεὸν ἵλεων καθίστησιν '' ἑαυτῷ.

Ρω. ι. γ.

ι. ἑαυτῆ.

9 Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου. Εἶπε τοὺς ὕμνους τοῦ Θεοῦ, τὸ μισοπόνηρον, τὸ φιλάνθρωπον, τὸ κηδεμονικὸν, εἶπε τὴν ἑαυτῆς σωτηρίαν, εἶπε τὸν τρόπον καθ' ὃν ἐσώθη, εἶπε τίνα μετὰ τὸ σωθῆναι αὐτὴ εἰσήγαγεν· ἀπέστρεψε κακίας, ἐχειραγώγησε πρὸς ἀρετὴν χρηστὰς ὑπέφηνεν ἐλπίδας καὶ τοῖς ἐν πονηρίᾳ ζῶσιν, εἴγε βουληθῶσι μεταβληθῆναι, ὡς ἐλέους δυναμένους τυχεῖν· πρέπει τὸν λόγον εἰς αἴτησιν λοιπὸν λέγουσα· Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, διὰ τούτων παιδεύουσα τὸν ἀκροατὴν πρότερον ὕμνους ἀναφέρειν εἰς τὸν Θεὸν, καὶ εὐχαριστεῖν ἐφ' οἷς εὖ πέπονθε· καὶ τότε ἅπερ βούλεται αἰτεῖν· καὶ πάλιν εὐχαριστεῖν, ἐφ' οἷς ἂν λάβοι. ἀλλ' ἴδωμεν καὶ τίνα ἐστὶν ἃ αἰτεῖ. μὴ γάρ τι βιωτικόν; μή τι ἐπίκηρον; μή τι τῶν παραρρεόντων; μὴ περὶ πλούτου διαλέγεται; μὴ περὶ δόξης; μὴ περὶ δυναστείας; μὴ περὶ τιμωρίας ἐχθρῶν; οὐδὲν τούτων. ἀλλὰ τί; Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου. ὁρᾷς πῶς οὐδὲν ἐπίκηρον αἰτεῖ, καὶ πῶς δεῖται τῆς ἄνωθεν συμμαχίας. οἱ γὰρ ταύτην ὁδεύοντες τὴν ὁδὸν, ἐκείνης μάλιστα δέονται τῆς ῥοπῆς. δικαιοσύνην δὲ ἐνταῦθα, τὴν καθολικήν φησιν ἀρετήν. καὶ καλῶς εἶπεν, ἐν τῇ δικαιοσύνῃ σου. ἔστι γὰρ καὶ ἀνθρώπων δικαιοσύνη, ἡ ἀπὸ τῶν νόμων τῶν ἔξωθεν, ἀλλ' εὐτελὴς καὶ οὐκ ἔχουσα τὸ τέλειον καὶ ἀπηρτισμένον, καὶ ἐξ ἀνθρωπίνων συγκειμένη λογισμῶν. ἐγὼ δὲ τὴν σὴν αἰτῶ δικαιοσύνην, τὴν ἀπὸ σοῦ κατεννηνεγμένην, τὴν εἰς τὸν οὐρανὸν χειραγωγοῦσαν, καὶ τὴν συμμαχίαν, ὥστε ταύτην ἐπισπᾶσθαι τὴν δικαιοσύνην. καλῶς δὲ εἶπε καὶ τὸ, ὁδήγησον. ὁδὸς γὰρ ὁ παρὼν βίος, δεόμενος τῆς ἄνωθεν χειραγωγίας. εἰ γὰρ εἰς

πόλιν μέλλοντες εἰσιέναι, δεόμεθα τοῦ γνωρίζοντος ἡμῖν τὴν ὁδόν· πολλῷ μᾶλλον εἰς τὸν οὐρανὸν ἀποδημεῖν μέλλοντες, χρείαν ἔχομεν τῆς ἄνωθεν ῥοπῆς, ἵνα καὶ δείξῃ καὶ στηρίξῃ καὶ χειραγωγήσῃ. πολλαὶ γὰρ ἀτραποὶ αἱ ἐκτρέπουσαι. διὰ τοῦτο ἐχόμεθα τῆς δεξιᾶς τοῦ Θεοῦ. Ἕνεκα τῶν ἐχθρῶν μου. πολλοὶ συνέστησάν, φησι, πολέμιοι βουλόμενοί με παρεκκλῖναι τὰ διαβήματα, καὶ πλανῆσαι, καὶ πρὸς ἑτέραν ὁδὸν ἀγαγεῖν. ἐπεὶ οὖν τοιαῦται αἱ ἐπιβουλαί, τοιαῦται αἱ ἔφοδοι, ὁδήγησόν με αὐτός. τῆς γὰρ παρὰ σοῦ χρείαν ἔχω συμμαχίας. ἀλλὰ τὸ μὲν ὁδηγηθῆναι, αὐτοῦ γίνεται· τὸ δὲ ἄξιον εἶναι τοῦ κρατηθῆναι ὑπὸ τῆς χειρὸς ἐκείνης, τῆς ἡμετέρας γινέσθω σπουδῆς. ἂν γὰρ ᾖς ἀκάθαρτος, οὐ κατέχει σε ἡ χεὶρ ἐκείνη· ἂν ᾖς πλεονέκτης, ἂν ἑτέραν τινὰ κηλῖδα ἔχων.

Κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Τοῦτ' ἔστι, δήλην μοι ποίησον, σαφῆ, γνώριμον· ὀρθοτόμησον αὐτὴν πρὸς ἐμοί. ἕτερος δὲ ἑρμηνευτὴς εἶπεν· Ὁμάλισον ἔμπροσθέν μου τὴν ὁδόν σου. τοῦτ' ἔστι, ῥᾳδίαν ποίησον, εὔκολον.

10 Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

Ἐμοὶ δοκεῖ καὶ περὶ τῶν ἐν πλάνῃ διαγόντων ταῦτα λέγειν (τό, τε στόμα διαβάλλουσα, καὶ τὴν διάνοιαν ὡς ἐρήμην πάντος ἀγαθοῦ) καὶ περὶ τῶν ἐν πονηρίᾳ ζώντων.

11 Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. Ἤτοι τὸ φονικὸν ἐνταῦθα λέγει, ἢ τὸ νεκρὰ προσφέρειν δόγματα, καὶ δυσώδη. οὐκ ἂν τις ἁμάρτοι, καὶ τῶν αἰσχρὰ φθεγγομένων ῥήματα τὰ στόματα οὕτω καλέσας, τάφον. πολὺ γὰρ τῆς αἰσθητῆς δυσωδίας ἐκείνη χαλεπωτέρα, ἀπὸ σηπεδόνος τικτομένη ψυχῆς. καὶ τῶν πλεονεκτῶν τὰ στόματα τοιαῦτα· ὅταν μηδὲν ὑγιὲς ″ προσφέρωσιν, ἀλλὰ φόνους καὶ ἁρπαγάς. μὴ τοίνυν ἔστω τάφος τὸ στόμα σου, ἀλλὰ θησαυρός. πολὺ γὰρ οἱ θησαυροὶ διεστήκασι τῶν τάφων· ὅτι ἐκεῖνοι μὲν φθείρουσιν ὅπερ ἂν λάβωσιν, οὗτοι δὲ διατηροῦσιν. ἔχε τοίνυν καὶ σὺ πλοῦτον φιλοσοφίας ἀεὶ μένοντα, ἀλλὰ μὴ δυσωδίαν τινὰ καὶ σηπεδόνα. καὶ οὐχ ἁπλῶς εἶπε, τάφον, ἀλλ' ἀνεῳγμένον, ὥστε καὶ πλείονα δηλῶσαι τὴν βδελυγμίαν γίνεσθαι. δέον γὰρ κρύπτειν τὰ τοιαῦτα ῥήματα, οἱ δὲ καὶ ἐκφέρουσιν, ὥστε μᾶλλον αὐτῶν τὴν νόσον ἐνδείκνυσθαι. καὶ ἐπὶ μὲν τῶν νεκρῶν σωμάτων τὸ ἐναντίον ποιοῦντες, τῇ γῇ παραδίδομεν· οὗτοι δὲ ἐπὶ τῶν ῥημάτων τούτων τὸ ἐναντίον ἐργάζονται, καί, ὃ δέον κατακρύπτειν κάτω, ἐκφέροντες, καὶ πολλοὺς παραβλάπτοντες, καὶ προστιθέντες πᾶσιν ὁρᾶν. ἀλλ' ἐλαύνωμεν τοιούτους. εἰ γὰρ τὰ νεκρὰ σώματα ἔξω τῆς πόλεως καταθάπτομεν· πολλῷ μᾶλλον τοὺς τὰ νεκρὰ ῥήματα, καὶ τοὺς τὰ τοιαῦτα ἐκφέροντας, καὶ οὐδὲ συσκιάσαι βουλομένους πόρρω που κατοικίζειν χρή· ἐπειδὴ κοινὴ τῆς πόλεως λύμη, τὰ τοιαῦτα στόματά ἐστι. Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Εἶδες ἕτερον κακίας εἶδος. οἱ μὲν ἐν τῇ διανοίᾳ κατακρύπτουσι τὸν δόλον, ῥήματα προσηνῆ προσφέροντες· οἱ δὲ τοσαύτῃ κέχρηνται τῇ δεινότητι, ὡς ἐν αὐτοῖς τοῖς ῥήμασι συσκιάζειν τὴν πονηρίαν, καὶ ῥάπτειν δόλους καὶ ἐπιβουλάς. Κρῖνον αὐτοὺς ὁ Θεός, 12 Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν. Ὅρα κἀνταῦθα τὴν ἡμερότητα τῆς εὐχῆς. οὐ γὰρ εἶπε, κόλασον, ἀλλὰ κρῖνον αὐτοὺς καὶ παῦσον τῆς πονηρίας· ἀνόνητα αὐτῶν ποίησον τὰ μηχανήματα. ὅπερ καὶ ὑπὲρ αὐτῶν εὔχεσθαί ἐστι, τοῦ μηκέτι προσιέναι τῆς κακίας αὐτοῖς. Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε Κύριε. Τουτέστιν, οὐδέν μοι μέλει τῶν εἰς ἐμὲ γινομένων, ἀλλ' ὑπὲρ τῶν σῶν ἀλγῶ. τοῦτο γὰρ μάλιστα φιλοσόφου ψυχῆς, ὑπὲρ μὲν τῶν οἰκείων μὴ ἀμύνεσθαι· ὑπὲρ δὲ τῶν εἰς Θεὸν γινομένων σφόδρα ἐπεξιέναι. τούτων τἀναντία πολλοὶ ποιοῦσι, τὰ μὲν τοῦ Θεοῦ παρορῶντες, τὰ δὲ ἑαυτῶν μετὰ πολλῆς ἐκδικοῦντες τῆς σφοδρότητος. ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως, ἀλ-

λά

γὰρ σφοδροὶ τιμωροὶ τῶν εἰς Θεὸν γινομένων ἦσαν, τὰ δὲ ἑαυτῶν παρεώρων.

13 Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ. Ὅρα τῆς εὐχῆς τὸ κέρδος. κἀκεῖνοι βελτίους ἔσονται, καὶ στήσονται τῆς πονηρίας· καὶ ἕτεροι πολλῆς ἀπολαύσονται τῆς ἡδονῆς, τήν τε ἐκείνων μεταβολὴν ὁρῶντες, καὶ τὴν εἰς τὸ βέλτιον μετάθεσιν, καὶ ἑτέρους σπουδαιοτέρους ταύτῃ γινομένους. Εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Αὕτη γὰρ μάλιστα ἡ χαρὰ διηνεκής. ὡς αἵ γε ἄλλαι, τῶν ποταμίων ῥευμάτων οὐδὲν ἄμεινον διάκεινται ὁμοῦ τε φαινόμεναι καὶ παραρρέουσαι· ἡ δὲ κατὰ Θεὸν εὐφροσύνη μένει καὶ πέπηγε, διαρκής τέ ἐστι καὶ μόνιμος, οὐδεμιᾷ τῶν ἀδοκήτων περιστάσεων διακοπτομένη, ἀλλ' ὑψηλοτέρα γινομένη δι' αὐτῶν τῶν κωλυόντων. ἐπεὶ καὶ οἱ ἀπόστολοι ἐμαστίζοντο, καὶ ἔχαιρον· καὶ ὁ Παῦλος ἐθλίβετο, καὶ ἐσκίρτα· τελευτᾶν ἔμελλε, καὶ κοινωνοὺς ἐκάλει τῆς ἡδονῆς, λέγων· Ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. τοῖς οὕτως ἡδομένοις ὁ Θεὸς συνοικεῖ. διὸ καὶ αὐτὴ οὕτω φησίν· Εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. τοῦτο αὐτὸ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγε, τὸ ἀκατάλυτον τῆς ἡδονῆς ἐμφαίνων· Πάλιν ὄψομαι ὑμᾶς, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει. καὶ Παῦλος πάλιν· Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε. 14 Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

Φιλιππ. β. ιζ.

Ιω. 15. κβ.

α. Θεσ. ε. ι.

Τούτοις γὰρ μάλιστά ἐστι καυχᾶσθαι μόνοις, τούτοις χαίρειν, τούτοις εὐφραίνεσθαι. ὡς ὅ γε ἐπὶ τοῖς βιωτικοῖς καλλωπιζόμενος, οὐδὲν διενήνοχε τῶν ἐν ὀνείρῳ τρυφώντων. τί γάρ, εἰπέ μοι, τῶν ἀνθρωπίνων οἷόν τε ἔχειν καυχᾶσθαι; ῥώμη σώματος; ἀλλ' οὐκ ἔστι προαιρέσεως τὸ κατόρθωμα, διὸ καὶ τοῦ καυχᾶσθαι ἐστέρηται· ἄλλως δέ, καὶ μαραίνεται καὶ διαπίπτει, πολλάκις δὲ καὶ τὸν ἔχοντα ἔβλαψεν, οὐκ εἰς δέον ταύτῃ χρησάμενον. τοῦτο καὶ ἐπὶ ὥρας καὶ ἐπὶ εὐμορφίας ἐστὶν εἰπεῖν, καὶ ἐπὶ πλούτου, καὶ ἐπὶ δυναστείας, καὶ ἐπὶ τρυφῆς, καὶ ἐπὶ πάντων τῶν βιωτικῶν. τὸ δὲ ἐπὶ τῷ Θεῷ καυχᾶσθαι, καὶ τῇ ἀγάπῃ τῇ εἰς αὐτόν, κόσμος ἁπάντων μείζων, καὶ λαμπρότης ὑπερβαίνουσα μυρία διαδήματα, κἂν δεσμώτης ὁ καυχώμενος ᾖ. οὗτος ὁ κόσμος, οὐ νόσῳ, οὐ γήρᾳ, οὐ πραγμάτων περιστάσει, οὐκ ἀνωμαλίᾳ καιρῶν, οὐκ αὐτῷ διατέμνεται τῷ θανάτῳ, ἀλλὰ καὶ τότε διαλάμπει μειζόνως.

Ὅτι σὺ εὐλογήσεις δίκαιον. Ἐπειδὴ πολλοὶ τῶν οὕτω διακειμένων παρὰ ἀνθρώπων κακίζονται καὶ καταγελῶνται, καὶ μάλιστα οἱ ἀρετὴν μετιόντες· ἵνα μηδεὶς τῶν παχυτέρων ἐκ τούτων καταπίπτῃ, ὅρα πῶς ἀνέχει τὴν διάνοιαν αὐτοῦ, λέγων· ὅτι σὺ εὐλογήσεις δίκαιον. τί γὰρ βλάβος ἀνθρώπων καταφρονούντων καὶ τῆς οἰκουμένης ἁπάσης, ὅταν ὁ τῶν ἀγγέλων δεσπότης ἐπαινῇ καὶ ἀνακηρύττῃ; ὥσπερ οὖν αὐτοῦ μὴ εὐλογοῦντος, κἂν ἅπαντες ἐπαινῶσιν οἱ γῆν οἰκοῦντες καὶ θάλασσαν, οὐδὲν ὄφελος. τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν, ὅπως αὐτὸς ἡμᾶς ἀνακηρύξῃ, ὅπως αὐτὸς στεφανώσῃ. κἂν τοῦτο ᾖ, πάντων ἐσμὲν ὑψηλότεροι, κἂν ἐν πενίᾳ, κἂν ἐν νόσῳ, κἂν τοῖς ἐσχάτοις ὦμεν κακοῖς. ἐπεὶ καὶ ὁ μακάριος Ἰὼβ ἐν κοπρίᾳ καθήμενος, καὶ τῷ ἰχῶρι τῶν τραυμάτων ἡλκωμένος, καὶ μυρίας βρύων πηγὰς σκωλήκων, καὶ τὰ ἀνήκεστα πάσχων ἐκεῖνα, καὶ παρὰ οἰκετῶν ἐμπτυόμενος, καὶ παρὰ φίλων, καὶ παρὰ ἐχθρῶν, καὶ παρὰ γυναικὸς ἐπιβουλευόμενος, καὶ εἰς πενίαν, καὶ εἰς λιμόν, καὶ εἰς ἀρρωστίαν τὴν ἀνήκεστον ἐκείνην κατενεχθείς, πάντων μακαριώτερος ἦν, ἐπειδὴ ὁ Θεὸς αὐτὸν ηὐλόγει λέγων· Ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. 15 Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ιωβ. α. α.

Πάλιν εἰς εὐχαριστίαν κατέληξεν, εὐχαριστηρίους ὕμνους ἀναφέρων τῷ Θεῷ. τί δέ ἐστιν ὅπλον εὐδοκίας; ὅπλον ἄριστον, ὅπλον κατὰ γνώμην Θεοῦ, ὅπλον κάλλιστον. ὁ δὲ λέγει τοιοῦτόν ἐστι· συμμαχίᾳ καλλίστῃ ἡμᾶς ἐτείχισας. ἕτερος δὲ λέγων ἑρμηνευτής, στεφανώσεις αὐτὸν, περὶ τοῦ δικαίου εἰρῆσθαι τοῦτο διδάσκει· ὅτι στεφανώσεις αὐτὸν τὸν δίκαιον, τουτέστιν, ἡ σὴ εὐαρέστησις ἀντὶ ὅπλου γίνεται, καὶ ὅπλου καλλίστου· ἢ ἐκεῖνο· ὅτι συμμαχίᾳ καλλίστῃ τειχίζεις τὸν δίκαιον. καὶ οὔτε τὸ κάλλος αὐτοῦ ἀσφαλείας ἐστέρηται, οὔτε ἡ ἀσφάλεια αὐτοῦ δόξης ἐστὶν ἔρημος. τί γὰρ ἰσχυρότερον ἀνδρὸς, τί δὲ ὡραιότερον τοῦ ὑπὸ τῆς ἄνω δεξιᾶς τειχιζομένου; οὗτος ὁ στέφανος καὶ ἀπὸ ἐλέους πλέκεται, καθάπερ ὁ αὐτὸς Δαβὶδ ἀλλαχοῦ φησι· Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ἔστι καὶ ἀπὸ δικαιοσύνης, καθάπερ ὁ Παῦλος· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ἔστι καὶ χάριτος στέφανος, ὥσπερ ἕτερος λέγει· Στεφάνῳ δὲ χαρίτων ὑπερασπίσει σου. ἔστι δὲ καὶ στέφανος δόξης, καθάπερ Ἡσαΐας, Ἔσται, λέγων, ὁ στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς δόξης. πάντα γὰρ ταῦτα ὁ στέφανος ἔχει, φιλανθρωπίαν, δικαιοσύνην, χάριν, δόξαν, εὐπρέπειαν. Θεοῦ γάρ ἐστι τὸ δῶρον, ποικίλην περιφέρον τὴν χάριν. ἔστι καὶ ἀφθαρσίας, καθάπερ φησὶ Παῦλος· Ἵνα ἐκεῖνοι φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. ὁ τοίνυν ἐνταῦθα λέγει, τοῦτό ἐστιν· ἀσφαλείᾳ καὶ δόξῃ ἡμᾶς περιέβαλες. τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ δῶρα, ἰσχυρὰ καὶ εὐπρεπείας γέμοντα· τοιοῦτοι οἱ στέφανοι. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οὐκ ἔνι τοῦτο· ἀλλ' ὁ μὲν ἐν δόξῃ, οὐκ ἀσφαλὴς πάντως· ὁ δὲ ἐν ἀσφαλείᾳ, οὐκ ἐν δόξῃ πάντως, οὐδὲ ῥᾳδίως ἂν συμβαίη ταῦτα· εἰ δὲ καὶ συμβαίη, ταχέως ἀποστέρεται. οἷόν τι λέγω. οἱ ἐν δυναστείαις ὄντες, λαμπροὶ μὲν καὶ περιφανεῖς, οὐκ ἐν ἀσφαλείᾳ δέ· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ἐπισφαλεῖ χωρίῳ καθεστήκασι, διὰ τὸ μέγεθος τῆς δόξης. οἱ ἀπερριμμένοι καὶ εὐκαταφρόνητοι, ἐν ἀσφαλείᾳ μὲν διὰ τὸ μὴ γνωρίζεσθαι, οὐκ ἐν τιμῇ δέ· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ἀτιμίᾳ, διὰ τὸ ἐν ἀσφαλείᾳ εἶναι. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο· ἀλλ' ἀμφότερα μετὰ πολλῆς συντρέχει τῆς περιβολῆς. ἐννοήσαντες τοίνυν τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ περί γε πάντων τὸ ἀρέσκειν Θεῷ, ὅπερ καὶ ὅπλον καὶ δόξα καὶ ἀσφάλεια καὶ τὰ μυρία ἀγαθὰ, μεθ' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, καὶ μὴ ἀναπέσωμέν ποτε, μηδὲ γυμνοὶ τῶν ὅπλων φανῶμεν. τοῦτο γὰρ τοῦ πολέμου τούτου τὸ εἶδος οὐκ ἀνέχεται ἄοπλον στρατιώτην ἰδεῖν. ἀλλὰ τότε λύεται ἡ παρασκευὴ, ὅταν λυθῇ τὸ θέατρον· λύεται δὲ τὸ θέατρον, ὅταν ἀπολύηται τοῦ σώματος ἡ ψυχή. ὥστε ἕως ἂν ἐνταῦθα ὦμεν, πυκτεύειν ἀνάγκη καὶ οἴκοι καθημένους, καὶ εἰς ἀγορὰν ἐμβάλλοντας, καὶ ἀριστοποιουμένους, καὶ νοσοῦντας, καὶ ὑγιαίνοντας. καὶ γὰρ ἐν τῷ καιρῷ τῆς νόσου μάλιστα τῆς μάχης ταύτης ὁ καιρὸς, ὅταν ὀδύναι πάντοθεν θορυβῶσι τὴν ψυχὴν, ὅταν ἀλγηδόνες πολιορκῶσιν, ὅταν ὁ διάβολος ἐφεστήκῃ παροξύνων εἰπεῖν τι ῥῆμα πικρόν· τότε δὴ μάλιστα ἀσφαλίζεσθαι δεῖ, φράττεσθαι τῷ θώρακι, τῇ ἀσπίδι, τῷ κράνει, τοῖς ἄλλοις ὅπλοις, καὶ διηνεκῶς εὐχαριστεῖν τῷ Θεῷ. ταῦτα χαλεπὰ κατὰ τοῦ διαβόλου βέλη, αὕτη καιρία κατὰ τοῦ δαίμονος πληγή, τότε μάλιστα λαμπροὶ οἱ στέφανοι. ἐπεὶ καὶ τὸν μακάριον Ἰὼβ (οὐδὲν γὰρ κωλύει πάλιν εἰς αὐτὸν καταφυγεῖν) τοῦτο μάλιστα λαμπρὸν ἀπέφηνε, τοῦτο ἀνεκήρυξε, τοῦτο ἐστεφάνωσε, τὸ ἐν καιρῷ πειρασμοῦ καὶ νόσου καὶ πενίας ἀπερίτρεπτον φανῆναι τὴν γνώμην, ἄσειστον τὴν διάνοιαν, τὸ εὐχαριστήρια τῷ Θεῷ ἀνενεγκεῖν ῥήματα, καὶ τὴν πνευματικὴν ἐκείνην θυσίαν. θυσία γὰρ ἦν τὰ ῥήματα αὐτοῦ, ἅπερ ἔλεγεν· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ὃ δὴ καὶ ἡμεῖς ἀ-

Ψαλ. ρβ. δ.

β. Τιμ. δ. η.
Παροιμ. α. θ.
καὶ Σειρ. λβ. γ.

Ἡσ. κη. ε.

α. Κορ. θ. κε.

Ἰωβ. α. κα.

εἰ ποιῶμεν ἐν πειρασμοῖς, ἐν περιστάσεσιν, ἐν ἐπιβουλαῖς, δοξάζοντες τὸν Θεὸν καὶ ὐλογοῦντες διηνεκῶς· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ς. 1 ΚΥΡΙΕ, ΜΗ ΤΩ ΘΥΜΩ ΣΟΥ ΕΛΕΓΞΗΣ ΜΕ, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅταν ἀκούσῃς θυμὸν καὶ ὀργήν, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. συγκαταβάσεως γάρ ἐστι τὰ ῥήματα. καὶ γὰρ τὸ θεῖον ἁπάντων τούτων ἀπήλλακται. διαλέγεται δέ, ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας. ἐπεὶ καὶ ἡμεῖς, ὅταν βαρβάροις διαλεγώμεθα, τῇ ἐκείνων χρώμεθα γλώττῃ· κἂν πρὸς παιδίον φθεγγώμεθα, συμψελλίζομεν, κἂν μυριάκις ὦμεν σοφοί, πρὸς τὴν ἐκείνου συγκαταβαίνομεν ταπεινότητα. καὶ τί θαυμαστόν, εἰ ἐν ῥήμασι τοῦτο ποιοῦμεν, ὅπου γε καὶ ἐν πράγμασι, καὶ χεῖρας δάκνοντες, καὶ θυμὸν ὑποκρινόμενοι, ὥστε διορθῶσαι τὸ παιδίον; οὕτω δὴ καὶ ὁ Θεὸς καθάψασθαι βουλόμενος, τοιούτοις κέχρηται ῥήμασιν. οὐ γὰρ πρὸς τὴν ἀξίαν τὴν ἑαυτοῦ φθέγγεσθαι ἐσπούδακεν, ἀλλὰ πρὸς τὴν ὠφέλειαν τῶν ἀκουόντων. ἐπεὶ καὶ τὸ ἀόργητον ἀλλαχοῦ πάλιν δεικνύς, ἔλεγε· Μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν, οὐχὶ δὲ ἑαυτούς; σὺ δὲ πῶς ἐβούλου αὐτὸν διαλέγεσθαι τοῖς Ἰουδαίοις; ὅτι οὐκ ὀργίζεται, οὐδὲ μισεῖ τοὺς πονηρούς; καὶ γὰρ τὸ μῖσος πάθος ἐστίν. οὐδὲ ἐφορᾷ τὰ ἀνθρώπινα; καὶ γὰρ τὸ ὁρᾷν ἀπὸ τῶν σωμάτων εἴληπται. οὐδὲ ἀκούει; καὶ γὰρ καὶ τοῦτο ἀπὸ τῆς σαρκός. ἀλλ᾽ ἀπὸ τούτου πονηρὸν ἂν δόγμα ἐπήχθη ἕτερον, τὸ ἀπρονόητα εἶναι τὰ πάντα· καὶ φεύγοντες τὰ τοιαῦτα ἀκούειν περὶ Θεοῦ, καὶ τὸ ὅλως εἶναι Θεὸν πολλοὶ ἂν τῶν τότε ἠγνόησαν. τούτου δὲ ἀγνοηθέντος, πάντα τὰ ἀπολώλει· ἐκείνου δὲ τοῦ δόγματος εἰσαχθέντος, ταχέως καὶ διόρθωσις ἐπεγίνετο. ὁ μὲν γὰρ πεισθεὶς ὅτι ἐστὶ Θεός, κἂν μὴ τὴν ἀξίαν ἔχῃ περὶ αὐτοῦ ὑπόνοιαν, ἀλλὰ παχύτερόν τι ὑποπτεύῃ, τῷ χρόνῳ πεισθήσεται, ὅτι οὐδὲν τοιοῦτον περὶ Θεόν· ὁ δὲ πεισθεὶς ὅτι οὐ προνοεῖ, οὐδὲ μέλει αὐτῷ τῶν ὄντων, οὐδ᾽ ὅτι ἐστί, τί κερδανεῖ ἀπὸ τοῦ τῆς ἀπαθείας λόγου; διὰ δὴ τοῦτο, ἐκεῖνο αὐτοῖς διαλεχθεὶς πρότερον, ἐπειδὴ ἐναπέθετο αὐτοῖς τὴν περὶ τοῦ εἶναι αὐτὸν δόξαν, διακαθαίρει πάλιν κατὰ μικρὸν αὐτούς, ἀνάγων ἐπὶ τοῦτο τὸ δόγμα, τὰ ὑψηλότερα περὶ αὐτοῦ φθεγγόμενος, καὶ τὸν περὶ τῆς ἀπαθείας αὐτοῦ κινῶν λόγον. καὶ γάρ φησιν· Οὐ πεινάσει, οὐδὲ κοπιάσει. καὶ ὁ εἰπὼν οὖν, ὅτι ὀργίζεται, αὐτὸς πάλιν δεικνύς, ὅτι ἀπαθὲς τὸ θεῖον, ἐπάγει· μὴ ἐμὲ παροργίζουσιν, οὐχὶ δὲ ἑαυτούς; καὶ ὁ εἰπών, Ὅτι ἐν τῷ ναῷ ἐστιν, ὁ αὐτὸς πάλιν φησίν· Ὅτι οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, τουτέστιν, οὐ περιέχομαι τόπῳ. εἰ δὲ μὴ πᾶσιν ἐπεξῆλθε, τῷ συνετωτέρῳ ἔδωκε νοῆσαι ἀπὸ τῶν εἰρημένων, ὅτι ὁ τῶν τυραννικῶν παθῶν ἀπηλλαγμένος καὶ ὧν ἄνευ ζῆν οὐκ ἔστι, πολλῷ μᾶλλον τῶν ἄλλων ἠλευθέρωται. διὸ καί φησι, Μὴ ἔσῃ ὡς ἄνθρωπος ὑπνῶν; καὶ πανταχοῦ τὸν περὶ ἀπαθείας ἀνακινεῖ λόγον. ὥστε κἀνταῦθα, ὅταν ἀκούσῃς θυμόν, μὴ πάθος νόμιζε. εἰ γὰρ ἄνθρωποι φιλοσοφεῖν μέλλοντες, κατὰ τὸ ἐγχωροῦν ἀόργητοι διαμένουσι, πολλῷ μᾶλλον ἡ ἀνώλεθρος οὐσία ἐκείνη καὶ ἄφθαρτος καὶ ἄρρητος καὶ ἀκατάληπτος. οὐχ ὁρᾷς, ὅτι καὶ ἰατροὶ τέμνοντες ἢ καίοντες, οὐ θυμῷ τοῦτο ποιοῦσιν, ἀλλὰ σκοπῷ τῆς διορθώσεως; οὐκ ὀργιζόμενοι τοῖς κάμνουσιν, ἀλλ᾽ ἐλεοῦντες αὐτούς, καὶ τῶν νοσημάτων ἀπαλλάττοντες; ὅταν οὖν εἴπῃ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τοῦτο λέγει· μὴ ἀπαιτήσῃς με δίκην τῶν ἡμαρτημένων, μηδὲ ἐπεξέλθῃς τοῖς πεπλημμελημένοις.

Ἱερεμ. ζ. ιθ.

Ἡσ. μ. κη.

Ψαλμ. ι. δ. καὶ Ἀββακ. β. κ. Ὡσ. ια. θ.

Ἱερ. ιδ. θ.

2 Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. Ταύτης πάντες δεόμεθα τῆς φωνῆς, κἂν μυριάκις ὦμεν μυρία κατωρθωκότες, κἂν πρὸς ἄκραν ἥκοντες δικαιοσύνην. διὸ καὶ αὐτὸς προϊὼν πάλιν φησίν· Οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. καὶ τό· Ἐὰν ἀνομίας παρατηρήσῃ, τίς ὑποστήσεται; καὶ ὁ Παῦλος· Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. καὶ ἕτερος· Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου; πάντες τοίνυν ἐλέους δεόμεθα, ἀλλ' οὐ πάντες ἄξιοί ἐσμεν τοῦ ἐλεεῖσθαι. καὶ γὰρ εἰ καὶ ἔλεός ἐστιν, ὅμως τὸν ἄξιον ἐπιζητεῖ· καθάπερ αὐτὸς πρὸς Μωϋσῆν ἔφη, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ὁ μὲν οὖν ἄξιόν τι τοῦ ἐλεηθῆναι ποιήσας, ἐρεῖ, ἐλέησόν με· ὁ δὲ ἐκβαλὼν ἑαυτὸν τοῦ ταύτης τυχεῖν τῆς συγγνώμης, μάτην ἐρεῖ, τό, ἐλέησον. εἰ γὰρ ἐφ' ἅπαντας ἔμελλεν ὁ ἔλεος ἔρχεσθαι, οὐδεὶς ἂν ἐκολάσθη. ἀλλὰ καὶ οὗτος ἔχει τινὰ κρίσιν, καὶ τὸν ἄξιον ἐπιζητεῖ, καὶ τὸν ἐπιτήδειον, ὥστε αὐτοῦ ἀπολαῦσαι. πολλοὶ γοῦν πολλάκις τοῖς αὐτοῖς ἁμαρτήμασιν ὑπεύθυνοι γεγόνασι, καὶ οὐ τὴν αὐτὴν ἔδωσαν δίκην, ἑτέρας ἔχοντες αἰτίας προϊσταμένας αὐτῶν. καὶ εἰ βούλεσθε, τούτῳ νῦν ἐνδιατρίψωμεν τῷ λόγῳ. ἥμαρτον Ἰουδαῖοι πάντες, καὶ εἰδωλολάτρησαν· ἀλλ' οὐ πάντες τὴν αὐτὴν ἔδωσαν δίκην. ἀλλ' οἱ μὲν ἔπεσον, οἱ δὲ συγγνώμης ἀπέλαυον. ἐν γὰρ τοῖς ἁμαρτήμασιν οὐχ ἡ φύσις ζητεῖται μόνον τοῦ γεγενημένου, ἀλλὰ καὶ ἡ γνώμη, καὶ ὁ καιρὸς, καὶ ἡ αἰτία, καὶ τὰ μετὰ τὴν ἁμαρτίαν· εἰ οἱ μὲν ἐνέμειναν, οἱ δὲ μετενόησαν, καὶ εἰ ἐκ περιστάσεως, καὶ εἰ κατὰ ἀπάτην, καὶ εἰ κατὰ μελέτην. καὶ πολλά ἐστι τὰ ζητούμενα, καὶ καιροῦ διαφορὰ, καὶ πολιτείας κατάστασις. οἷόν τι λέγω. ἥμαρτον οἱ ἐν τῇ παλαιᾷ, ἁμαρτάνουσι καὶ οἱ ἐν τῇ καινῇ. οὐ τὴν αὐτὴν δὲ διδόασιν ἀμφότεροι δίκην, ἀλλ' οὗτοι χαλεπωτέραν. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; ὅταν δὲ εἴπῃ, πόσῳ, ἐπιτεταμένην δείκνυσι τὴν κόλασιν. ἥμαρτον οἱ πρὸ τοῦ νόμου, καὶ οἱ ἐν τῷ νόμῳ. πάλιν οἱ πρότεροι ἡμερωτέραν διδόασι δίκην· καὶ τοῦτο δηλῶν ἔλεγεν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. τὸ ἀνόμως, οὐχὶ χαλεπώτερον, ἀλλ' ἡμερώτερον. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. τί δή ποτε; ὅτι οἱ μὲν τὴν φύσιν ἔχουσι κατήγορον· οἱ δὲ μετὰ τῆς φύσεως τὸν νόμον. καὶ ὅσῳ πλείονος ἀπέλαυσαν τῆς διδασκαλίας, τοσούτῳ μείζονα ὑποστήσονται κόλασιν. πάλιν καὶ ἀπὸ τῶν ἀξιωμάτων τὸ αὐτό ἐστιν ἰδεῖν συμβαῖνον. καὶ δῆλον ἀπὸ τῆς θυσίας. ὑπὲρ παντὸς γοῦν τοῦ λαοῦ τοσαύτη προσεφέρετο θυσία ἁμαρτόντος, ὅση ὑπὲρ τοῦ ἱερέως μόνου· δηλοῦντος τοῦ λόγου, ὅτι ὅσῳ μεῖζον τὸ ἀξίωμα, τοσούτῳ χαλεπωτέρα καὶ ἡ κόλασις ἐν οἷς ἁμαρτάνουσι. διὰ δὴ τοῦτο ἡ μὲν ἁπλῶς πορνεύσασα, ἀνῃρεῖτο· ἡ δὲ τοῦ ἱερέως θυγάτηρ κατεκαίετο. ἔστι καὶ ἑτέρωθεν ἰδεῖν συγγνώμην καὶ ἐπίτασιν τιμωρίας γινομένην. οἷον, ὅταν τις ἁμαρτὼν, ἐνταῦθα δῷ δίκην, ἕτερος δὲ τρυφῆς ἀπολαύσῃ. ὁ μὲν γὰρ μείζονα ἐκεῖ, ὁ δὲ ἐλάττονα ὑποστήσεται τιμωρίαν, ἐὰν μὴ ἐνταῦθα πάντα ἀπολύσηται. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς εἰσάγει τὸν Ἀβραὰμ λέγοντα τῷ πλουσίῳ· Ἀπέλαβες τὰ ἀγαθά σου, οὗτος δὲ τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ἀλλ' οὗτος μὲν ὁλόκληρον ἀπέθετο τὴν τιμωρίαν, δι' ἃ ἔπαθε κακῶς· ἕτεροι δὲ οὐχ ὁλόκληρον, ἀλλ' ἐκ μέρους. διὸ καὶ ἡμερώτερον κολάζονται. ἴδοι δὲ ἄν τις καὶ ἀπὸ συνέσεως ἐπιτεταμένης καὶ ἀπὸ ἀφελείας διαφορὰν γινομένην κολάσεως, ὅταν λέγῃ· Ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς, μηδὲ ποιήσας, δαρήσεται ὀλίγας. καὶ πολλὰ ἕτερα εὕροι

Ψαλ. ρμβ. β.
Ψαλ. ρκθ. γ.
α. Κορ. δ. δ.
Παροιμ. κ. θ.
Ἐξοδ. λγ. ιθ.
Ἑβρ. ι. κη.
Ρω. β. ιβ.
Λουκ. ιϛ. κε.
Λουκ. ιβ. μζ.

ὺς μὲν τὰ ποιοῦντα διαφορὰν κολάσεως, καὶ διαφορὰν ἐλέους καὶ φιλανθρωπίας. σκόπει δὲ καὶ ἐπὶ τοῦ πρωτοπλάστου. ἥμαρτεν ἡ Εὔα· ἥμαρτε καὶ ὁ Ἀδάμ, καὶ τὸ ἁμάρτημα ἕν. ἀμφότεροι γὰρ ἔφαγον ἀπὸ τοῦ ξύλου. οὐκ ἀμφότεροι δὲ τὴν αὐτὴν ἔδωσαν δίκην. ἔσφαξεν ὁ Κάϊν, καὶ ἔσφαξεν ὁ Λάμεχ· καὶ ὁ μὲν ἠλεεῖτο, ὁ δὲ ἐκολάζετο. συνέλεξέ τις ἐν σαββάτῳ ξύλα, καὶ οὐδεμιᾶς ἔτυχε συγγνώμης· ὁ Δαβὶδ ἐφόνευσε καὶ ἐμοίχευσε, καὶ ἀπέλαυσε φιλανθρωπίας. ἐνδιατρίψωμεν τοίνυν τῷ ζητεῖν. πολλῷ γὰρ βέλτιον ταῦτα ἀναζητεῖν, ἢ φλυαρίαις καὶ συλλόγοις τοῖς ἐν ἀγοραῖς προσηλῶσθαι. οὐ γὰρ τὸ εὑρεῖν μόνον τὰ τοιαῦτα, ἀλλὰ καὶ τὸ ζητεῖν μέγα κέρδος ἐστί, κἂν μὴ εὕρωμεν. ἀναγκασθησόμεθα γὰρ ἐν τούτοις ἀπασχολεῖσθαι, καὶ τὸν καιρὸν πάντα ἐν αὐτοῖς δαπανᾶν. τίνος οὖν ἕνεκεν (δεῖ γὰρ ἐπὶ τὸν πρότερον ἀναδραμεῖν λόγον) μοσχοποιησάντων ἁπάντων τῶν Ἰουδαίων, οἱ μὲν ἐκολάζοντο, οἱ δὲ οὐκ ἐκολάζοντο; ὅτι οἱ μὲν μετενόησαν, καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν διὰ τὴν εὐλάβειαν· οἱ δὲ ἐνέμενον. ὥστε τὸ μὲν ἁμάρτημα, ἴσον· τὰ δὲ μετὰ ταῦτα, οὐκ ἴσα. τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας οὐχ ἡ αὐτὴ τιμωρία, εἰ καὶ αὐτὴ ἡ ἁμαρτία; ὅτι οὐκ ἦν ἴσον τὸ ὑπὸ γυναικὸς ἀπατηθῆναι, καὶ ὑπὸ ὄφεως. διόπερ ἐκεῖνο ἀπάτην ὁ Παῦλος ἐκάλεσε, λέγων· Ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. τίνος δὲ ἕνεκεν καὶ ὁ τὰ ξύλα συλλέξας οὐκ ἔτυχε φιλανθρωπίας; ὅτι πολλῆς παρανομίας ἦν, τὸ ἐκ προοιμίων εὐθέως παραβῆναι τὸ πρόσταγμα· καὶ ἔδει καὶ τοῖς ἄλλοις φόβον ἐντεθῆναι πολύν. τοῦτο καὶ ἐπὶ τῆς Σαπφείρας καὶ Ἀνανίου γέγονε. καὶ ἡμεῖς τοίνυν ὅταν ἁμαρτάνωμεν, σκοπῶμεν, εἰ ἄξιοι ἐλέους ἐσμέν· εἰ ἐποιήσαμέν τι ὥστε ἐλεηθῆναι· εἰ μετενοήσαμεν· εἰ βελτίους ἐγενόμεθα· εἰ ἀπέστημεν. καὶ γὰρ τὸ τὸν μετανοήσαντα σωθῆναι, ἐξ ἐλέους ἐστὶ σωθῆναι. οὕτω γοῦν καὶ οὗτος ἀξιοῖ ἐντεῦθεν σωθῆναι, ἀπὸ τῶν δακρύων, ἀπὸ τῶν θρήνων. λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. τουτέστιν ἀπὸ τῆς κατανύξεως ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. οὐκ εὐθέως αὐτὰ λέγει, ἀλλ' ἐπὶ τὸ εὐόλισθον τῆς φύσεως καταφεύγει, λέγων· ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. οὕτως εἶπε, δεικνὺς ὅτι οὐκ ἀρκεῖ μόνον τοῦτο. εἰ γὰρ ἤρκει, πάντες ἂν ἐντεῦθεν ἐσώθημεν. πάντες γάρ ἐσμεν ἄνθρωποι. ἐμοὶ δὲ (εἰ δεῖ ἀκριβέστερόν τι περὶ τούτου εἰπεῖν) τάχα οὐδὲ τοῦτο λέγειν δοκεῖ· ἀλλὰ τὴν ἀσθένειαν τὴν ἐκ τῶν πειρασμῶν ἐγγινομένην αἰνίττεται, οὐ μικρὸν καὶ τοῦτο δικαίωμα εἰς τὸ τυχεῖν ἐλέους καὶ φιλανθρωπίας προβαλλόμενος. τοῦτο γοῦν καὶ προϊὼν ἠνίξατο λέγων· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. οἶδε γὰρ καὶ θλῖψις μετ' εὐχαριστίας φερομένη, πολλῆς φιλανθρωπίας ὑπόθεσιν παρέχειν, καὶ ἵλεω τὸν Θεὸν ποιεῖν. ταύτην τοίνυν μοι δοκεῖ καὶ ἐνταῦθα αἰνίττεσθαι, λέγων·

ἀπασχολ.

α. Τιμ. β. ιδ.

Πραξ. ε.

Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. Οὐκ εἶπεν, ἄνες μοι, οὐδὲ ἔνδος μοι, ἀλλ' ἴασαι. τὰ γὰρ πρότερα ἀξιοῖ τραύματα ἀφανισθῆναι. ὀστᾶ δὲ ἐνταῦθα, τὴν ἰσχὺν ἅπασαν λέγει· ταραχὴν δέ, τὴν πληγήν, τὴν κόλασιν, τὴν τιμωρίαν. ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. ὥσπερ οὖν ἐπὶ τῶν ἰατρῶν τρία ταῦτά ἐστι, μᾶλλον δὲ τέσσαρα, ἢ καὶ πέντε, ὁ ἰατρός, ἡ τέχνη, ὁ κάμνων, τὸ νόσημα, τῶν φαρμάκων ἡ δύναμις, καὶ παράταξίς τις γίνεται καὶ μάχη (ἂν μὲν γὰρ μετὰ τοῦ ἰατροῦ καὶ τῆς τέχνης καὶ τῶν φαρμάκων καὶ ἡ προαίρεσις ᾖ τοῦ κάμνοντος, ἐκράτησαν τοῦ νοσήματος· ἂν δὲ ἀφῇ τὸ μετ' ἐκείνων παρατάξασθαι, πρὸς τὴν ἀρρωστίαν ἑαυτὸν ἐξάγει· ἢ κἂν μὴ μετ' ἐκείνης παρατάξηται πρὸς τὴν τέχνην, ἀπήνεγκεν ἑαυτόν) οὕτω δὴ καὶ ἐφ' ἡμῶν συμβαίνει· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ παραδοξότερον. ἐπὶ μὲν γὰρ τῶν ἰατρῶν πολλάκις καὶ μετὰ τοῦ νοσήματος, καὶ μετὰ τῆς τέχνης, καὶ μετὰ τῶν φαρμάκων ὁ κάμνων ἴαται, καὶ οὐδὲν ὤνησε, τῆς φύσεως ἀσθενησάσης, καὶ τῆς τέχνης ἀπορησάσης, καὶ τῆς δυνάμεως δραπετευσάσης ἔκ τινος ἐπηρείας· ἐπὶ δὲ τοῦ Θεοῦ, οὐκ ἔνι τοῦτο, ἀλλ' ἐὰν στῇς μετὰ τοῦ ἰατροῦ, πάντως δεῖ θεραπευθῆναι τὸ ἕλκος. οὐ γάρ ἐστιν ἀνθρωπίνη τέχνη, ἵνα ἀπορήσῃ, ἀλλὰ θεία δύναμις, ἡ καὶ φύσεων καὶ νοσημάτων καὶ πονηρίας καὶ πάσης περιγινομένη κακίας. διὰ δὴ τοῦτο καὶ οὗτος ὥσπερ ἰατρῷ τῷ Θεῷ προσελθὼν καὶ ἀποδυρόμενος, ἔλεγεν· ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. τινὲς δέ φασιν ἐνταῦθα ταραχὴν ἐκείνην λέγειν, τὴν ἐκ τῆς ἁμαρτίας γινομένην. καθάπερ γὰρ ὅταν πνεύματα ῥαγδαῖα εἰς πέλαγος ἐμπέσῃ, πάντα ταράττει, καὶ ἡ βυθία ἄνω φέρεται ψάμμος, καὶ οἱ πλέοντες ἐν κινδύνῳ· οὕτω δὴ καὶ ἐφ' ἡμῶν ταράττεται ἡ ψυχή, κινεῖται τὸ σῶμα, πάντα πληροῦται τοῦ χειμῶνος, καὶ μέσον ἡμῶν τὸ σκάφος λοιπὸν ταραχῆς, καὶ σκότος πολύ, καὶ πάντα οἴχεται ἀπολιμπάνοντα τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. τοῦτο μάλιστα καὶ ἐν ἐπιθυμίαις ἀσελγείας συμβαίνειν εἴωθε· τοῦτο καὶ ἐν θυμῷ καὶ ἐν συμφοραῖς. πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν· ἀλλ' ὥσπερ ἡνιόχου θορυβηθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται· οὕτω τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, πάντα διαστρέφεται καὶ τὴν ἰδίαν ὁδὸν ἀπόλλυσι. πῶς δὲ αὕτη γίνεται ἡ ταραχή, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. οὐ γὰρ ὥσπερ ἐν θαλάττῃ παρὰ τὴν τῶν πνευμάτων ἐμβολήν, οὕτω καὶ ἐν τῇ ψυχῇ παρά τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν συμβαίνει. καὶ γὰρ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι ἡμεῖς κύριοι. οἷόν τι λέγω. τῆς ἐπιθυμίας ἐγειρομένης, ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐκ αἴρεται ἡ κάμινος, ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ· οὐκ ἀνάπτεται δὲ ἡ κάμινος, ἂν μὴ τὰς εὐμόρφους ὄψεις περιεργάσῃ, ἂν μὴ τὰ ἄλλα κάλλη πολυπραγμονήσῃς, ἂν μὴ εἰς θέατρα παρανομίας ἀναβαίνῃς. ἂν γὰρ μὴ πιάνῃς τρυφῇ τὴν σάρκα, ἂν μὴ καταποντίσῃς οἴνῳ τὸν λογισμόν, οὐκ αἴρεται ἡ φλόξ, οὐκ ἀνάπτεται ἡ κάμινος, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων τῆς διανοίας τὸ καθαρόν. ἀρκεῖ οὖν ταῦτα, φησιν; οὐκ ἀρκεῖ ταῦτα καὶ μόνα· ἀλλὰ καὶ ἕτερα δεῖ προστεθῆναι, εὐχὰς διηνεκεῖς, ἁγίων συνουσίαν, τὴν νηστείαν τὴν σύμμετρον, δίαιταν λιτήν, ἀσχολίας ἀναγκαίας, πρὸ τῶν ἄλλων ἁπάντων τοῦ Θεοῦ τὸν φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν. διὰ τούτων ἁπάντων δυνάσαι χαλινῶσαι τὴν λυττῶσαν ἐπιθυμίαν, καὶ στῆσαι τὴν κυμαινομένην θάλατταν.

3 Καὶ σὺ Κύριε ἕως πότε; 4 Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου. σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Συνεχῶς τὸ Κύριε τίθησιν, ὥσπερ τι δικαίωμα προβαλλόμενος συγχωρήσεως καὶ χάριτος. καὶ γὰρ ἡ μεγίστη ἡμῶν ἐλπὶς αὕτη, ἡ ἄφατος αὐτοῦ φιλανθρωπία, καὶ τὸ τοιοῦτον εἶναι αὐτόν, πρόχειρον εἰς συγχώρησιν· τὸ δὲ ἕως πότε, οὐκ ἀποδυσπετοῦντός ἐστιν, οὐδὲ δυσχεραίνοντος, ἀλλ' ὀδυνωμένου καὶ ἀλγοῦντος, καὶ οὐ φέροντος τὸν ἀπὸ τῶν πειρασμῶν ὄγκον. ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου· δύο ἐνταῦθα τίθησι, τό, τε ἐπιστρέψαι αὐτόν, καὶ τὸ ῥύσασθαι τὴν ψυχήν μου. τοῦτο γὰρ μάλιστα τοῖς δικαίοις περισπούδαστον, τὸ κατηλλάχθαι αὐτὸν καὶ ἵλεων εἶναι καὶ εὐμενῆ καὶ μὴ ἀποστρέφεσθαι (τούτῳ γὰρ καὶ ἕτερον ἕπεται, τὸ σωθῆναι τὴν ψυχήν) οὐχ ὡς πολλοὶ τῶν ἀνθρώπων καὶ μάλιστα τῶν παχυτέρων ἓν μόνον ἐπιζητοῦσιν, ὅπως τῆς παρούσης ἀπολαύοιεν εὐημερίας. ἀλλ' οὐκ ἐκεῖνοι οὕτως· ἀλλ' ὅπως τῆς σωτηρίας τῆς κατὰ ψυχὴν ἀπολαύσαιεν, ἧς οὐδὲν προτιμότερον αὐτοῖς ἦν.

5 Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ, τίς ἐξομολογήσεταί σοι;

Ὅρα πόσας τίθησιν αἰτίας σωτηρίας· ὅτι ἀσθενής εἰμι, φησιν, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, ὅτι παρὰ τοῦ Κυρίου ταῦτα αἰτῶ, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· οὐ τοῦτο λέγων, ὅτι μέχρι τοῦ παρόντος τὰ ἡμέτερα (ἄπαγε. οἶδε γὰρ τὸν περὶ τῆς ἀναστάσεως λόγον) ἀλλ' ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἡ μετάνοια καιρὸν οὐκ ἔχει. ἐπεὶ καὶ ὁ πλούσιος ἐξωμολογεῖτο καὶ μετενόει, ἀλλ' οὐδὲν ὠφελεῖτο διὰ τὴν ἀκαιρίαν. καὶ αἱ παρθένοι δὲ ἠβουλήθησαν λαβεῖν ἔλαιον, ἀλλ' οὐδεὶς αὐταῖς ἔδωκε. τοῦτο τοίνυν ἀξιοῖ καὶ οὗτος, ἐνταῦθα ἀπονίψασθαι τὰ ἁμαρτήματα, ὥστε ἐπὶ τοῦ φοβεροῦ βήματος παρρησίας ἀπολαῦσαι. Εἶτα παιδεύων τὸν ἀκροατὴν, ὅτι μετὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖ καὶ τὰ ἡμέτερα ἕπεσθαι (ἄν τε γὰρ τὴν ἀσθένειαν προβαλλώμεθα, ἄν τε τὴν ταραχὴν, ἄν τε τοῦ Θεοῦ τὴν ἀγαθότητα, ἄν τε αὐτὸ δὴ τοῦτο, ὃ ἔλεγε· τὰ δὲ παρ' ἡμῶν μὴ προσκέηται, οὐδὲν ἡμῖν ὄφελος) ὅρα τί ἐπήγαγεν·

6 Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἀκουέτωσαν οἱ ἐν εὐτελίᾳ ζῶντες, οἵαν ὁ βασιλεὺς καὶ πορφυρίδα περικείμενος μετάνοιαν ἐπεδείκνυτο. ἀκούσωμεν, κατανυγῶμεν. οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκοπίασε στενάζων. οὐχ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην· οὐ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν, ἀλλὰ καὶ καθ' ἑκάστην νύκτα. καὶ οὐ τὸ παρελθὸν μόνον λέγει, ἀλλὰ καὶ τὸ μέλλον. μὴ γὰρ δὴ νομίσητε, ὅτι ταῦτα ποιήσας ἅπαξ, πρὸς ἄνεσιν ἑαυτὸν λοιπὸν ἀφῆκεν, ἀλλὰ διηνεκῶς τοῦτο πράττων διετέλει διὰ πάσης τῆς ζωῆς. οὐ καθάπερ ἡμεῖς, οἱ μίαν ἐργαζόμενοι τοῦτο πολλάκις ἡμέραν, ἢ οὐδὲ μίαν, εἰς γέλωτα καὶ τρυφὴν καὶ ἄνεσιν ἑαυτοὺς ἐκδίδομεν. ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ἐν δάκρυσι διηνεκέσι διετέλει. ταύτην δὴ καὶ ἡμεῖς μιμώμεθα τὴν ἐξομολόγησιν. εἰ γὰρ μὴ βουληθείημεν κλαῦσαι ἐνταῦθα, ἀνάγκη πάντως ἐκεῖ ὀδύρεσθαι καὶ κλαίειν· ἐκεῖ μὲν ἀνόνητα, ἐνταῦθα δὲ μετὰ κέρδους· καὶ ἐκεῖ μὲν μετ' αἰσχύνης, ἐνταῦθα δὲ μετ' εὐκοσμίας πολλῆς. ὅτι γὰρ ἀνάγκη τοῦτο γενέσθαι, ἄκουσον τί φησιν ὁ Χριστός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ἀλλ' οὐχ οἱ ἐνταῦθα κλαίοντες οὕτως· ἀλλὰ πολλῆς ἀπολαύσονται τῆς παρακλήσεως. Μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. ἀκουέτωσαν οἱ τὰς ἀργυρᾶς κλίνας ἔχοντες, οἵα τοῦ βασιλέως ἦν ἡ κλίνη· οὐ λιθοκόλλητος, οὐ χρυσόπαστος, ἀλλὰ δάκρυσι λελουμένη. τούτῳ αἱ νύκτες, οὐκ ἀναπαύσεως, ἀλλὰ θρήνων καὶ ὀδυρμῶν νύκτες ἦσαν. ἐπειδὴ ἐν ἡμέρᾳ πολλαὶ περιέσπων αὐτὸν φροντίδες· ὃν ἅπαντες ἀνέσεως ποιοῦνται καιρὸν, τοῦτον ἐκεῖνος ἐξομολογήσεως ἐποιεῖτο, θερμότερον θρηνῶν τότε. καλὸν μὲν γὰρ ἀεὶ τὸ κλαίειν, μάλιστα ἐν καιρῷ τῆς νυκτὸς, ὅτε οὐδεὶς ὁ ἐκκρούων τῆς θαυμαστῆς ταύτης ἡδονῆς· ἀλλ' ἔνεστιν ἐμφορηθῆναι τῷ βουλομένῳ μετὰ πάσης ἀδείας. ἴσασιν οἱ πεῖραν λαβόντες ὃ λέγω, ὅσην εὐφροσύνην ἔχουσιν αὗται τῶν δακρύων αἱ πηγαί. ταῦτα τὰ δάκρυα τὸ ἄσβεστον πῦρ σβέσαι δύνανται, τὸν ποταμὸν ἐκεῖνον τὸν πρὸ τοῦ βήματος ἑλκόμενον. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐδάκρυε τριετίαν νύκτα καὶ ἡμέραν, τὰ ἀλλότρια διορθούμενος πάθη, ἡμεῖς δὲ οὐδὲ τὰ οἰκεῖα· ἀλλὰ γέλωτι καὶ τρυφῇ ἑαυτοὺς ἐκδιδόντες, τὴν νύκτα κάρῳ βαθεῖ καταχωννύμεθα. καὶ οἱ μὲν ὕπνῳ θανάτῳ προσεοικότι προσήλωνται· οἱ δὲ ἀγρυπνίαν θανάτου χαλεπωτέραν ἀγρυπνοῦσι, τόκους καὶ δανείσματα καὶ τὰς ἑτέρων ἀναλογιζόμενοι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιβουλάς. ἀλλ' οὐχ οἱ νήφοντες, ἀλλὰ τὰς ἑαυτῶν γεωργοῦσι ψυχὰς, ὥσπερ ὑετῷ τοῖς δάκρυσι κεχρημένοι τούτοις, καὶ τὰ σπέρματα τῆς ἀρετῆς αὔξοντες. πάσῃ κα-

Ματθ. η. ιβ.
Λυκ. ιη. λ.
Ματθ. ε. δ.
Λυκ. ϛ. κδ.
Πραξ. κ. λα.

κία καὶ ἀσέλγεια ἄβατός ἐστιν εὐνὴ τοιαῦτα δάκρυα δεχομένη. ὁ τὰ τοιαῦτα στάζων οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψυχὴν, τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν. καὶ μή με νομίσητε πρὸς μοναχοὺς ταῦτα λέγειν μόνον· καὶ γὰρ πρὸς βιωτικοὺς ἡ παραίνεσις, καὶ πρὸς τούτους μᾶλλον, ἢ ἐκείνους. οὗτοι γὰρ μάλιστα εἰσὶ δεόμενοι τῶν τῆς μετανοίας φαρμάκων. ὁ τοιαῦτα θρηνῶν, ἀναστήσεται λιμένος γαληνοῦ τὴν ψυχὴν ἄμεινον ἔχων, πάντα ἐκβάλλων τὰ πάθη, πολλῆς πεπληρωμένος τῆς εὐφροσύνης. εἰς οἶκον Θεοῦ μετὰ παρρησίας ἀπαντήσεται ὁ τοιοῦτος· τῷ πλησίον μεθ' ἡδονῆς διαλέξεται. οὐ θυμὸς γὰρ ἐνοχλεῖ, οὐκ ἐπιθυμία φλέγει, οὐκ ἔρως χρημάτων, οὐ φθόνος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. πάντα γὰρ ταῦτα, καθάπερ θηρία ἐμφωλεύοντα, καταδῦναι διὰ τῆς νυκτὸς ὁ στεναγμὸς ἐκεῖνος καὶ τὰ δάκρυα παρεσκεύασεν. 7 Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου.

Εἶδες ψυχὴν συντετριμμένην. εἰπὼν τὴν μετάνοιαν, λέγει πάλιν τὰ πάθη, τὸν θόρυβον τὸν ἐν τῇ διανοίᾳ, τὸν φόβον τὸν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ ἐγγινόμενον. ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν τῆς ψυχῆς φησι τὸ διορατικὸν ἐκεῖνο καὶ λογικὸν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἴωθεν. ἐπειδὴ γὰρ διὰ παντὸς πρὸ τῶν ὀφθαλμῶν εἶχε τὰ πλημμελήματα, καὶ τοῦ Θεοῦ τὴν ὀργὴν ἀνελογίζετο, ἐν φόβῳ ὢν, οὐκ ἀνειμένως ζῶν, καθάπερ οἱ πολλοὶ, ἀλλὰ ἀγωνιῶν καὶ τρέμων. ἡ τοιαύτη ταραχὴ, γαλήνης μήτηρ ἐστίν· ὁ τοιοῦτος φόβος, ἀδείας ὑπόθεσις· ὁ οὕτω τεταραγμένος, πάντα χειμῶνα ἐκβάλλει· ὁ τοιαύτην οὐκ ἔχων τὴν ψυχὴν, χαλεπὸν κλυδώνιον ὑποστήσεται. καὶ ὥσπερ πλοῖον ἀνερμάτιστον τῇ τῶν ἀγρίων πνευμάτων ἐκδοθὲν ῥύμῃ ταχέως καταποντίζεται· οὕτω καὶ ψυχὴ ἀνειμένως ζῶσα, μυρίοις περίκειται πάθεσι. διὸ καὶ ὁ μακάριος Παῦλος τοῦτο τὸ πάθος ἐνδεικνύμενος, ἔλεγεν· Οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. Ἐφ. δ. ιθ. καὶ καθάπερ κυβερνήτης, ἕως μὲν ταῖς φροντίσι τῆς ὑπὲρ τῶν πλεόντων ταράττηται, πάντας ἐν γαλήνῃ καθίστησιν, ἂν δὲ ταύτης ἀπαλλαγεὶς καθεύδῃ, ταραχὴν ἐπάγει μεγάλην· οὕτω δὴ καὶ ὁ ἄνθρωπος ὁ μὲν ἀγωνιῶν καὶ τρέμων καὶ ταραττόμενος, ἐν ἡσυχίᾳ τὴν ἑαυτοῦ καθίστησι διάνοιαν· ὁ δὲ ὕπνῳ τῆς ῥαθυμίας ἑαυτὸν παραδοὺς, ὑποβρύχιον τὸ σκάφος ἐργάζεται.

Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Τί ἐστιν ἐπαλαιώθην; ἠσθένησα, φησιν, ὑπὸ τῶν ἐχθρῶν μου. καὶ γὰρ ἐναγώνιος ἡμῶν ὁ βίος, καὶ μυρίων ἐχθρῶν ἡ ζωὴ ἡμῖν ἐμπέπλησαι, οἵτινες καὶ ἰσχυρότεροι γίνονται, ἐπειδὰν ἁμαρτήμασι περιπέσωμεν. διὸ πάντα χρὴ ποιεῖν, ὥστε διαφυγεῖν αὐτῶν τὰς λαβὰς, καὶ μηδέποτε πρὸς αὐτοὺς καταλλάττεσθαι. αὕτη γὰρ ἡμῖν μεγίστης ἀσφαλείας ὑπόθεσις. τούτων τῶν ἐχθρῶν τὴν φάλαγγα δηλῶν ὁ Παῦλος, ἔλεγεν· Ἐφ. ς. ιβ. Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἐπεὶ οὖν τοιαύτη ἡ τῶν πολεμίων φάλαγξ, ἀεὶ καὶ διηνεκῶς ὁπλίζεσθαι χρὴ, καὶ φεύγειν τῶν ἁμαρτημάτων τὰς ἐφόδους. οὐδὲν γὰρ οὕτω παλαιοῦν εἴωθεν, ὡς ἁμαρτίας φύσις. διόπερ ὁ Παῦλος τὴν ἐντεῦθεν παλαίωσιν γινομένην ἀποτρίβεσθαι κελεύων, ἔλεγε· Ῥω. ιβ. β. Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν. ὅταν οὖν ὑπὸ τῆς ἁμαρτίας παλαιωθῇς, ὑπὸ τῆς μετανοίας ἀνακαίνισον σαυτόν.

8 Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. 9 Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Οὐ μικρὰ καὶ αὕτη ὁδὸς εἰς ἀρετὴν ἄγουσα, τὸ φεύγειν

τοὺς πονηρούς. ὅπερ μετὰ τοιαύτης ὑπερβολῆς καὶ ὁ Χριστὸς ἀπαιτεῖ παρ' ἡμῶν, ὡς τοὺς ἐν τάξει μελῶν ἡμῖν ἀναγκαιοτάτους ὄντας φίλους κελεύειν ἐκκόπτειν, ὅταν ἡμᾶς σκανδαλίζωσι, καὶ βλάβην τινὰ ἡμῖν αὐτῶν ἡ συνουσία φέρῃ. Ἐὰν γάρ, φησιν, ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν· καὶ ἐὰν ἡ χείρ σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτήν, καὶ βάλε ἀπὸ σοῦ· οὐ περὶ μελῶν λέγων (ἄπαγε) ἀλλὰ περὶ φίλων γνησίων, ὧν δεῖ τὰς φιλίας ἀτιμάζειν, ὅταν μήτε αὐτοῖς κέρδος μήτε ἡμῖν γίνηται, ἀλλὰ βλάβη. Ταύτην δὴ τὴν ἀρετὴν κατορθώσας καὶ οὗτος, οὐ μόνον οὐκ ἐδίωκε τὰς τοιαύτας συνουσίας, ἀλλὰ καὶ παρεκελεύετο τούτοις ἀποπηδᾶν ἑαυτοῦ. οὗτος τῆς μετανοίας ὁ καρπός· τοῦτο τῶν δακρύων τὸ κέρδος. ἡ γὰρ οὕτω συντριβεῖσα διάνοια, οὐδεμιᾷ λοιπὸν προσπαθείᾳ κατέχεται. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. κἂν αὐτὸ τὸ διάδημα ᾖ τις περικείμενος, βλάπτῃ δὲ ἡμᾶς, ἀτιμάζωμεν αὐτοῦ τὴν φιλίαν. οὐδὲν γὰρ εὐτελέστερον ἀνδρὸς καὶ βασιλεύοντος, ὅταν κακίᾳ συζῇ· ὥσπερ οὐδὲν βασιλικώτερον καὶ δεσμώτου, ὅταν ἀρετὴν ᾖ κεκτημένος. Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Οὐκ εἶπεν, ὅτι εἰσήκουσε τῆς φωνῆς μου ἁπλῶς, ἀλλὰ τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ὁρᾷς πῶς καὶ τὰ παρ' ἑαυτοῦ μετὰ πολλῆς εἰσάγει τῆς δαψιλείας, καὶ φωνήν, καὶ κλαυθμόν; φωνὴν ἐνταῦθα, οὐ τὸν τόνον λέγων τῆς κραυγῆς, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας· καὶ κλαυθμόν, οὐ τὸν ἀπὸ τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς ψυχῆς. ὁ γὰρ μετάνοιαν εἰσάγων, καὶ παρὰ τοῦ Θεοῦ ἀκουόμενος, εὐκόλως καὶ τοῦτο δύναται κατορθῶσαι τὸ ἀγαθόν, τὸ διακρούεσθαι τῶν πονηρῶν τὰς συνουσίας. **10** Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν πάντες οἱ ἐχθροί μου· ἀποστραφήτωσαν καὶ καταισχυνθήτωσαν σφόδρα διὰ τάχους.

Matt. 5. 29.

Αὕτη ἡ εὐχὴ μεγίστην ἔχει ὠφέλειαν, τό, τε αἰσχυνθῆναι λέγω, καὶ τὸ εἰς τοὐπίσω ἀπελθεῖν. οἱ γὰρ κακῶς τρέχοντες, εἰ καταισχυνθεῖεν, καὶ εἰς τὰ ὀπίσω ἀπέλθοιεν, στήσονται τῆς πονηρίας. ὥσπερ γὰρ εἰ ἄνθρωπον ἴδωμεν κατὰ κρημνοῦ φερόμενον, ἀναχαιτίζομεν αὐτὸν τῆς προσωτέρω φορᾶς, λέγοντες, ἄνθρωπε, ποῦ φέρῃ; κρημνὸς ἔμπροσθεν ἀπαντήσεται· οὕτω δὴ καὶ οὗτος ἀξιοῖ τοὺς κακοὺς πάλιν εἰς τοὐπίσω ἀναδραμεῖν. οὕτω καὶ ἵππον μαινόμενον ἂν μὴ ταχέως τις ἀνακρούσηται, ταχέως ἀπολεῖται. οὕτω καὶ ἰατροὶ ἰὸν ἑρπετοῦ τινος πολλάκις ἐπινεμόμενον, μετὰ πολλοῦ τοῦ τάχους τῆς προσωτέρω φορᾶς ἱστῶσιν, ἐγκόπτοντες αὐτοῦ τὴν κακίαν. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ τὴν ἐν ἡμῖν κακίαν ἀναστέλλωμεν μετὰ πολλοῦ τοῦ τάχους, ἵνα μὴ προϊοῦσα αὔξῃ τὴν νόσον. καὶ γὰρ ἀμελούμενα, μείζονα γίνεται τῶν ἁμαρτημάτων τὰ τραύματα, καὶ οὐ μέχρι τραυμάτων ἵσταται τὰ τῆς νόσου καὶ τῆς ἀρρωστίας, ἀλλὰ καὶ θάνατον τίκτει τὸν ἀθάνατον· ὥσπερ ἂν ἐξ ἀρχῆς καὶ τὰ μικρὰ ἀνέλωμεν, οὐδὲ τὰ μεγάλα ἕψεται. σκόπει δέ· ὁ μελετήσας μὴ ὑβρίζειν, οὐδὲ μάχεσθαι εἴσεται· ὁ μὴ εἰδὼς μάχεσθαι, καὶ τὸ φιλεῖν κατορθώσει· ὁ κατορθώσας τὸ φιλεῖν, ἐχθρὸν οὐχ ἕξει· ὁ δὲ ἐχθρὸν οὐκ ἔχων, ἀλλὰ τὴν ἀγάπην ἐπιδεικνύμενος, ἅπασαν κατορθώσει τὴν ἀρετήν. μὴ δὴ τῶν προτέρων ἀμελῶμεν, ἵνα μὴ πρὸς τὸ μεῖζον αἴρηται τὰ κακά. ὁ Ἰούδας, εἰ τὸ χρημάτων ἐρᾶν ἐκόλασεν, οὐκ ἂν εἰς ἱεροσυλίαν ἦλθε. ταύτην εἰ κατέσχεν, οὐκ ἂν εἰς τὸν κολοφῶνα τῶν κακῶν ἐξεπήδησε. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ τὴν πορνείαν μόνον, οὐδὲ τὴν μοιχείαν, ἀλλὰ καὶ τὴν ἀκόλαστον ὄψιν ἀναστέλλει, τὴν ῥίζαν κάτωθεν ἀνασπῶν, ὥστε καὶ εὐκολώτερον εἶναι περιγενέσθαι τῆς πονηρίας. τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων ἐποίει, παχύτερον μέν, καὶ ὡς δι' αἰνιγμάτων, ἐπειδὴ πρὸς σαρκωδεστέρους ὁ λόγος ἦν, ἐποίει δὲ οὖν ὅμως. πῶς, καὶ τίνι τρόπῳ; οὐκ ἠφίει ἐν κτήνεσι γίνεσθαί τινα μίξιν ἐκ διαφόρων γενεῶν· οὐκ ἠφίει αἷμα ἐσθίειν ἀλόγων· οὐκ ἠφίει ἐνέχυρα κατέχειν μετὰ τὴν ἑσπέραν, μεγάλα ἐκ τούτων ἀναστέλλων κακά· διὰ μὲν τοῦ προτέρου, τὴν ἀρρε-

Δευτ. κβ. ι.
Λευιτ. ιζ. ι.
Δευτ. κδ. ιγ.

νομιξίαν· διὰ δὲ τοῦ δευτέρου, τοὺς φόνους· διὰ δὲ τοῦ τρίτου, τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. ἀλλὰ νῦν πάντα ἀνέδην δὲ μετὰ πολλῆς πράττεται τῆς ἀναισχυντίας. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν τοίνυν μικρὸν καταδέξῃ πάθος, μὴ τοῦτο ἴδῃς ὅτι μικρὸν, ἀλλ' ἐννόησον ὅτι τὸ ἐξ αὐτοῦ τρεφόμενον τὰ μέγιστα τίκτει δεινά. καὶ γὰρ ἐπειδὰν ἴδωμεν ἐν οἰκίᾳ στυππίον ἀναφθὲν μικρὸν, θορυβούμεθα καὶ ταραττόμεθα. οὐ γὰρ τῷ προοιμίῳ προσέχομεν, ἀλλ' ἀπὸ τοῦ προοιμίου τὸ τέλος λογιζόμενοι, θορυβούμεθα καὶ περιτρέχομεν, ὥστε ὁλόκληρον σβέσαι τὴν κάμινον. τούτου τοῦ πυρὸς σφοδρότερον ἐπινέμεται ψυχὴν ἡ κακία. διὸ δεῖ προκαταλαβεῖν. ἐὰν γὰρ ῥαθυμήσωμεν, δυσκολωτέρα γίνεται ἡ διόρθωσις. τοῦτο δὲ ἐπὶ πλοίου συμβαῖνον ἴδοι τις ἂν, καὶ τοὺς ναύτας θορυβουμένους, οὐχ ὅταν ἴδωσι τὴν θάλατταν ὑπερέχουσαν, ἀλλὰ καὶ ὅταν μέλλουσαν τοῦτο ποιεῖν. μὴ τοίνυν ὦμεν ῥάθυμοι τοῖς μικροῖς ἁμαρτήμασιν, ἀλλὰ μετὰ πολλῆς αὐτὰ ἀναστέλλωμεν τῆς σφοδρότητος, ἵνα τῶν μειζόνων ἀπαλλαγῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλ. ζ. ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ, ΟΝ ΗΣΕ ΤΩ ΚΥΡΙΩ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεῖ.

1 Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

Ἔδει μὲν οὕτως ἀκριβῶς τῶν γραφῶν καὶ τῶν ἱστοριῶν εἰδέναι τὴν γνῶσιν, ὡς μὴ δεῖσθαι ἡμᾶς μακροτέρου λόγου πρὸς τὴν τούτων διδασκαλίαν. ἐπειδὴ δὲ οἱ μὲν ὑπὸ βιωτικῶν πραγμάτων ἀσχολούμενοι, οἱ δὲ ῥαθυμίᾳ ἑαυτοὺς ἐκδιδόντες ἀνήκοοι τούτων εἰσὶν, ἀνάγκη πρὸς τὸ μῆκος τῶν λόγων ἐξαγαγεῖν, τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ λέγοντας. ἀλλὰ προσέχετε μετ' ἀκριβείας. τίς οὖν ἐστιν ἡ ὑπόθεσις; ψαλμὸς τῷ Δαβίδ, ὃν ᾖσε τῷ Κυρίῳ. ἄλλος· ψαλμὸς ὑπὲρ ἀγνοίας τοῦ Δαβίδ. ἄλλος· ἀγνόημα τῷ Δαβίδ· καὶ ἀντὶ Χουσὶ, Αἰθίοπος φησίν. ἀλλὰ καὶ οὕτως ἀσαφῆ τὰ εἰρημένα, τῷ τὴν ἱστορίαν ὑμᾶς ἀγνοεῖν. ἐπειδὴ δὲ οὐκ ἐγκαλεῖν δεῖ μόνον, ἀλλὰ καὶ διδάσκειν, ἀναγκαῖον ἅψασθαι τοῦ διηγήματος. τίς οὖν ὁ Χουσὶ οὗτος ὁ υἱὸς Ἰεμενεῖ, καὶ τίνες οἱ λόγοι αὐτοῦ, ὑπὲρ ὧν ᾖσε τῷ Θεῷ τὴν ᾠδὴν ταύτην ὁ Δαβίδ, ἐντεῦθεν ἤδη λεκτέον, εἰς ἀρχὴν ἀναγαγόντας τὸν λόγον. Ἀβεσσαλὼμ, υἱὸς ἐγένετο τῷ Δαβίδ, νέος ἀκόλαστος καὶ διεφθαρμένος. οὗτος ἐπανέστη ποτὲ τῷ πατρί· καὶ τῆς βασιλείας αὐτὸν, καὶ τῆς οἰκίας, καὶ τῆς πατρίδος ἐκβαλὼν, αὐτὸς ἀντ' ἐκείνου κατεῖχεν ἅπαντα. καὶ οὔτε τὴν φύσιν, οὔτε τὴν ἀνατροφὴν, οὐ τὴν ἡλικίαν, οὐ τὰ προλαβόντα ᾐδεῖτο· ἀλλ' οὕτως ἦν καθάπαξ ὠμὸς καὶ ἀπηνὴς καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος, ὡς ἅπαντα ταῦτα διαρρήξας τὰ κωλύματα, αὖθις ἐπιπηδῆσαι τοῖς τῆς φύσεως νόμοις, καὶ ταραχῆς ἐμπλῆσαι ἅπαντα καὶ θορύβου. καὶ γὰρ πάντα ἀνετρέπετο τότε, φύσεως ὅροι, ἀνθρώπων αἰδὼς, ἡ πρὸς Θεὸν εὐλάβεια, φιλανθρωπία καὶ ἔλεος, τροφείων ἀμοιβαὶ, καὶ ἡ πρὸς τὸ γῆρας αἰδώς. εἰ γὰρ καὶ μὴ ὡς πατέρα αἰδεσθῆναι ἠβούλετο, ὡς γεγηρακότα ἐχρῆν· εἰ δὲ καὶ τῆς πολιᾶς ἠμέλει, ὡς εὐεργέτην· εἰ δὲ μηδ' οὕτως, ὡς μηδὲν ἠδικηκότα. ἀλλ' ὁ τῆς φιλαρχίας ἔρως πᾶσαν ταύτην ἐξέβαλε τὴν αἰδῶ, καὶ θηρίον τὸν ἄνθρωπον ἐποίησε. καὶ ὁ μὲν μακάριος ἐκεῖνος καὶ γεννησάμενος καὶ ἀναθρεψάμενος, ἀλήτης, καὶ φυγὰς κατὰ τὴν ἔρημον ἐπλανᾶτο, καθάπερ μετανάστης, ἐν ὑπερορίᾳ, καὶ τοῖς ἐντεῦθεν πιεζόμενος κακοῖς· ἐκεῖνος δὲ ἐνετρύφα τοῖς τοῦ πατρὸς ἀγαθοῖς. τῶν τίνων

2. Bas. 15.

νων πραγμάτων ἐν τούτοις ὄντων, καὶ τῶν στρατοπέδων μετ᾽ ἐκείνου τεταγμένων, καὶ τῶν πόλεων ὑπὸ τὸν τύραννον οὐσῶν, Χουσί τις ἄνθρωπος ἐπιεικὴς, φίλος ὢν τοῦ Δαβὶδ, ἔμενε τὴν πρὸς αὐτὸν φιλίαν διατηρῶν ἐν τῇ τῶν καιρῶν τούτων μεταβολῇ· καὶ ἰδὼν αὐτὸν ἀθρόον κατὰ τὴν ἔρημον πλανώμενον, διέρρηξε τὸν χιτωνίσκον, κατεπάσατο τέφραν, ἀνῴμωξε πικρὸν καὶ ἐλεεινόν· καὶ ἐπειδὴ μηδὲν ἠδύνατο, τὴν ἀπὸ τῶν δακρύων εἰσφέρει παραμυθίαν. οὐ γὰρ ἦν τῶν καιρῶν φίλος, οὐδὲ τῆς δυναστείας, ἀλλὰ τῆς ἀρετῆς. διὰ τοῦτο, τῆς ἀρχῆς μεταπεσούσης, τὴν φιλίαν οὐ μετέβαλεν. ἰδὼν τοίνυν αὐτὸν ὁ Δαβὶδ ταῦτα ποιοῦντα, φησὶ πρὸς αὐτόν· φίλου μὲν καὶ ταῦτα, καὶ γνησίως πρὸς ἡμᾶς διακειμένου· ὀνήσει δὲ οὐδὲν ἡμᾶς. ἀλλὰ δεῖ τι βουλεύσασθαι καὶ σκοπῆσαι, ὅπως ἂν λυθῇ τὰ καταλαβόντα δεινὰ, καὶ ἀπαλλαγήν τινα εὕρωμεν τῶν συμφορῶν. ταῦτα εἰπὼν, εἰσηγεῖται γνώμην ἐκείνῳ τοιαύτην. ἀπελθὼν πρὸς τὸν υἱὸν τὸν ἐμὸν, καὶ φίλου προσωπεῖον ὑποδὺς, διασκέδασόν μοι τὰς ἐκείνου βουλὰς, καὶ τοῦ Ἀχιτόφελ τὴν βουλὴν ἄκυρον ποίησον. ὁ δὲ Ἀχιτόφελ οὗτος τοῦ τυράννου τότε ἐκράτει, δεινὸς μὲν ὢν τὰ πολεμικὰ, δεινὸς δὲ καὶ στρατηγῆσαι ἐν πολέμῳ καὶ μάχῃ. διὸ καὶ τοῦ τυράννου μᾶλλον αὐτὸν ὁ Δαβὶδ ἐδεδοίκει. οὕτως ἦν δεινὸς ἐν ταῖς γνώμαις ὁ ἀνήρ. ταῦτα ἀκούσας ἐκεῖνος ἐπείσθη. καὶ οὐδὲν μικρόψυχον ἐλογίσατο, οὐδὲ ἄνανδρον, οὐδὲ εἶπε, τί δὲ ἂν ἁλῶ; τί δὲ ἂν ἀποκαλυφθῇ μοι τὸ προσωπεῖον; τί δὲ ἂν φωραθῇ τὸ δρᾶμα τῆς ὑποκρίσεως; δεινὸς ὁ Ἀχιτόφελ. ἴσως καὶ τοῦτο ἐλέγξει, καὶ ποιήσει κατάφωρον, καὶ ἀπολοῦμαι εἰκῇ καὶ μάτην. οὐδὲν τῶν τοιούτων ἐννοήσας, εἰς τὸ στρατόπεδον ἐπεπήδησε τοῦ τυράννου, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ εἰς μέσους ἑαυτὸν ἀφῆκε τοὺς κινδύνους. ταῦτά μοι εἴρηται, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ ἀλγεινά, καὶ ὅσα ἕτερα ἀπὸ τῆς ἱστορίας δυνατὸν καρπώσασθαι κέρδη, καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν. ἰδοὺ γὰρ, ὃ συνεχῶς ἐπιζητεῖται παρὰ τῶν πολλῶν, διατί δίκαιοι θλίβονται, πονηροὶ δὲ εἰσὶν ἐν ἀνέσει, τοῦτο ἐνταῦθά ἐστιν εὑρεῖν. ὁ μὲν γὰρ δίκαιος ἐν συμφοραῖς ἦν· ὁ δὲ μιαρὸς καὶ πατραλοίας καὶ τῆς φύσεως αὐτῆς ἐχθρὸς καὶ πολέμιος, ἐν εὐπραγίᾳ καὶ βασιλικαῖς αὐλαῖς. ἀλλ᾽ οὔτε ἐκεῖνος ἐντεῦθεν ἐκέρδαινέ τι, οὔτε οὗτος ἐβλάπτετο. ἀλλ᾽ ὁ μὲν ἐγίνετο μείζοσι θλίψεσιν ὑπεύθυνος· ὁ δὲ λαμπρότερον διέλαμπε, καθάπερ χρυσὸς ἐν καμίνῳ, τῇ θλίψει καθαρώτερος γινόμενος. τοῦτο δὴ πρῶτον ἐντεῦθεν μάνθανε, μὴ ταράττεσθαι ἐν ταῖς τοιαύταις δυσημερίαις, ὅταν ἴδῃς ἐπὶ τῶν δικαίων συμβαινούσας· ἕτερον μετὰ τοῦτο, μὴ μεθίστασθαι πρὸς τοὺς καιροὺς, ἀλλ᾽ εἰδέναι φιλίας νόμους· τρίτον, τὸ καὶ κινδύνων κατατολμᾶν ὑπὲρ τῆς ἀρετῆς· τέταρτον, τὸ καὶ ἐν τοῖς ἀπόροις εὔελπιν εἶναι, τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν ἀναμένοντα. ἐπεὶ καὶ ὁ Χουσὶ τότε ἐκεῖνος οὐ τὸ στρατόπεδον εἶδεν, οὐ τοῦ τυράννου τὸν φόβον, οὐ τῶν ἵππων τὸ πλῆθος, οὐ τὰς φάλαγγας τῶν ὁπλιτῶν, οὐ τὸ προκατειλῆφθαι τὰς πόλεις, οὐ τὴν ἐρημίαν τοῦ Δαβὶδ, οὐ τὴν μόνωσιν καὶ τὴν ἀσθένειαν· ἀλλ᾽ εἰς ἓν μόνον ἰδὼν, τὴν ἄμαχον τοῦ Θεοῦ συμμαχίαν καὶ τὴν εὔνοιαν τὴν ἐκείνου, οὕτω τὰ μέρη ἑκάτερα ἔκρινε, καὶ εὗρε τὸ μὲν σαθρὸν, τὸ δὲ ἰσχυρόν. ὁ μὲν γὰρ ἀδίκως ἐποίει, ὁ δὲ μετὰ τοῦ δικαίου ἑαυτὸν ἐφύλαττε. στὰς τοίνυν, οὐκ ἔνθα πλῆθος ἀνθρώπων, ἀλλ᾽ ἔνθα ἀρετῆς συμμαχία, οὕτως ἐπεσπάσατο τὸν Θεόν. ταῦτα λέγω, ἵνα καὶ ἡμεῖς, κἂν ἀσθενεῖς ὦσιν οἱ τὰ δίκαια ἔχοντες, τὰ ἐκείνων θεραπεύωμεν· κἂν ἰσχυροὶ οἱ ἀδικοῦντες, φεύγωμεν αὐτῶν τὴν συμμαχίαν. ἡ μὲν γὰρ κακία, κἂν τὴν οἰκουμένην ἔχῃ μεθ᾽ ἑαυτῆς, πάντων ἐστὶν ἀσθενεστέρα· ἡ δὲ ἀρετὴ, κἂν μεμονωμένη τύχῃ, πάντων ἐστὶ δυνατωτέρα. τὸν γὰρ Θεὸν ἔχει μεθ᾽ ἑαυτῆς ἱστάμενον. τίς οὖν σῶσαι δύναται τὸν ὑπὸ Θεοῦ πολεμούμενον; τίς δὲ ἀπολέσαι τὸν ὑπ᾽ ἐκείνου βοηθούμενον; ταῦτα δὴ πάντα φιλοσοφων ὁ Χουσί, καὶ γενόμενος εὔελπις, ἀπῆλθεν ἔνθα ἐπέμπετο. καὶ ὡς ἐπέστη, ἰδὼν εἰσελαύνοντα τὸν τύραννον, προσῆλθεν· ὁ δὲ ἰδὼν αὐτὸν ἀθρόον, καὶ τῇ φιλαρχίᾳ μεθύων, οὐκ ἐξήτασεν ἀκριβῶς, ἀλλ᾽ ἐπισκώπτων αὐτὸν καὶ ὀνειδίζων, ἄπιθι, φησί, μετὰ τοῦ ἑταίρου σου, οὐδὲ τὸ ὄνομα ὑπομείνας εἰπεῖν, ὑπὸ μίσους καὶ ἀπεχθείας πολλῆς. πρὸς ὃν ὁ Χουσὶ β. Βασ. ιϛ. ιη. οὐδὲν διαταραχθείς, οὐδὲ διαθορυβηθείς, φησίν· ὅτε ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ, τὰ ἐκείνου ἐφρόνουν· ἐπειδὴ δὲ μετὰ σοῦ νῦν ἐστιν, ἀκόλουθον θεραπεύειν τὰ σά. ἐπῆρε τοῦτο τὸν τύραννον, καὶ ἐφύσησε, καὶ οὐδὲν ἐξετάσας ἀκριβὲς (κοῦφος γὰρ ἀνὴρ πιστεύει παντὶ λόγῳ, ὃ δὴ κἀκεῖνος ἔπαθε) καὶ τοῖς ἐναντίοις ἐκτραχηλιαθεὶς, εὐθέως αὐτὸν εἰς τοὺς γνησίους εἰσάγει, καὶ εἰς τοὺς πρώτους ἐγγράφει τῶν φίλων. τὸ δὲ πᾶν ὁ Θεὸς ᾠκονόμει, παρὼν καὶ στρατηγῶν τοῖς γινομένοις. καὶ βουλῆς προκειμένης περὶ πολέμου, καὶ ἑτέρων ἕτερα εἰσηγουμένων περὶ τοῦ, πότερον εὐθέως ἐπιθέσθαι χρή, ἢ μικρὸν ἀναβαλλομένους· παρελθὼν ὁ Ἀχιτόφελ, ὁ δεινὸς ἐκεῖνος συμβουλεῦσαι καὶ γνώμην εἰσενεγκεῖν, ταύτην εἰσηγεῖται β. Βασ. ιζ. α. τὴν συμβουλὴν λέγων· Τεταλαιπωρημένῳ νῦν καὶ τεταραγμένῳ ἐπιθώμεθα τῷ πατρὶ τῷ σῷ. καὶ γὰρ μὴ συγχωρήσαντες μηδὲ μικρὸν αὐτὸν στῆναι, οὕτως ἂν ἕλωμεν. ἂν γὰρ ἀπαρασκευάστῳ ὄντι νῦν ἐπιθώμεθα, οὐδεὶς ἡμῖν ἔσται πόνος. ταῦτα ἀκούσας ὁ τύραννος, καλεῖ καὶ τὸν Χουσὶ τὸν αὐτομολήσαντα ἐν ὑποκρίσει πρὸς αὐτόν, καὶ μεταδίδωσι καὶ αὐτῷ τοῦ τῆς βουλῆς λόγου· ὅπερ οὐκ ἦν κατὰ ἀκολουθίαν ἀνθρωπίνην, τὸν ἀθρόον ἐλθόντα, τοῦτον οὕτω τιμῆσαι, καὶ νομίσαι ἀξιόπιστον εἶναι, ὡς καὶ συμβουλῆς ἀξιοῦν πραγμάτων ἕνεκεν τοιούτων. ἀλλ᾽ (ὅπερ ἔφθην εἰπὼν) ὅταν ὁ Θεὸς στρατηγῇ, καὶ τὰ δύσκολα εὔκολα γίνεται. καὶ εἰσάγεται ὁ Χουσί, καὶ μεταδίδωσιν αὐτῷ παρρησίας, καὶ ἀξιοῖ λέγειν τὸ παριστάμενον. τί οὖν ὁ Χουσί; Οὐδέποτε, φησί, διήμαρτεν ὁ Ἀχιτόφελ. εἶδες σύνεσιν ἀνδρός; οὐκ εὐθέως αὐτοῦ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ᾽ ἐγκωμίου. θαυμάσας γὰρ αὐτὸν πρότερον, ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις καιρίως συμβουλεύοντα, οὕτω τὴν παροῦσαν κακίζει γνώμην. ὃ δὲ λέγει τοῦτό ἐστι· θαυμάζω πῶς νῦν διήμαρτεν. οὐ γάρ μοι δοκεῖ συμφέρειν οὗτος ὁ λογισμός. ἂν μὲν γὰρ νῦν ἐπιθώμεθα, καθάπερ ἄρκτος παροιστρῶσα, θυμοῦ γέμων ὁ πατήρ σου, καὶ ἀπεγνωκὼς τῆς ἑαυτοῦ ζωῆς, καὶ ἐνακμαζούσῃ τῇ ὀργῇ πολεμῶν, οὐδένα τῆς ἑαυτοῦ σωτηρίας ποιήσεται λόγον, καὶ μετὰ πολλῆς ἐμπεσεῖται τῆς σφοδρότητος ἡμῖν. εἰ δὲ μικρὸν ἐνδιδοίημεν, μετὰ πλείονος ἐπιθησόμεθα τῆς παρασκευῆς, καὶ μείζονος τῆς ἀσφαλείας, καὶ ἀπονητὶ καὶ μετ᾽ εὐκολίας πάσης, ὥσπερ ἐν σαγήνῃ λαβόντες αὐτόν, οὕτως ἐπαμάζομεν. ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσσαλώμ, καὶ λυσιτελεστέραν εἶναι ἔφησεν αὐτῷ. ταῦτα δὲ ἔλεγεν ὁ Χουσί, βουλόμενος δοῦναι καιρὸν τῷ Δαβίδ, ὥστε στῆναι μικρὸν καὶ ἀναπνεῦσαι καὶ στράτευμα συναγαγεῖν. οὕτω τοίνυν ἐκβαλὼν τοῦ Ἀχιτόφελ τὴν γνώμην, διά τινων κεκρυμμένων ἀνδρῶν πέμψας ἀπήγγειλεν ἅπαντα τῷ Δαβίδ, καὶ ὅτι τὴν αὐτοῦ β. Βασ. ιη. γνώμην ἐκύρωσεν ὁ τύραννος τὴν φέρουσαν τῷ Δαβὶδ τὴν νίκην. οὕτω γοῦν καὶ ἐγένετο. ἐπειδὴ γὰρ μακρὸν ἐνέδωκε, παρασκευασάμενος ὁ Δαβὶδ ἐπέθετο, καὶ τὸ τρόπαιον ἔστησεν. ὅπερ ὁ Ἀχιτόφελ ἀπὸ πολλῆς συνέσεως καὶ δεινότητος συνορῶν, καὶ ἐντεῦθεν ἤ- β. Βασ. ιζ. κγ. δη τὸ τέλος καταμαθών, ὅτι ὄλεθρος ἦν τῷ Ἀβεσσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἐνεγκὼν τὴν ἐντεῦθεν ἐπήρειαν, ἀπελθὼν βρόχον ἀνῆψε καὶ ἀπήγξατο, καὶ οὕτω τὸν βίον κατέλυσε. ταῦτα τοίνυν ἅπαντα μαθὼν ὁ Δαβίδ, γράφει τὸν ψαλμόν, εὐχαριστηρίους ὕμνους τῷ Θεῷ ἀναφέρων, καὶ τὸ πᾶν αὐτῷ ἀνατιθεὶς στρατήγημα. διὸ καὶ ἀρχόμενος οὕτω πώς φησι· Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. οὐκ ἐπὶ τῷ Χουσί, οὐδὲ ἐπὶ τῇ ἀνθρωπίνῃ σοφίᾳ, οὐδὲ τῇ συνέσει τῇ ἐκείνου, οὐδὲ ἐπὶ τῇ ἐμῇ γνώμῃ, ἀλλ᾽ ἐπὶ σοί. τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμεν, κἂν δι᾽ ἀνθρώπων ἡμῖν κατόρθωμά τι γένηται,

ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῶν δι' ἡμῶν καὶ τῶν δι' ἑτέρων ἡμῖν εὐεργετημάτων γινομένων. ἂν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται δύσκολον οὐδὲ σκολιόν. ὃ δὴ καὶ ὁ Δαβὶδ ἐποίει, μονονουχὶ λέγων· οὐκ ἐν τοῖς ῥήμασι τουτοισὶ τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον, ἀλλ' ἐν τῇ συμμαχίᾳ τῇ σῇ. καὶ ὅρα μεθ' ὅσης διαθέσεως φθέγγεται· ὅπερ αὐτῷ συνήθες ποιεῖν. οὐ γὰρ εἶπε, Κύριε ὁ Θεός· ἀλλὰ Κύριε ὁ Θεός μου. καὶ ἀλλαχοῦ· Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. καὶ γὰρ καὶ μετὰ πάντων αὐτοῦ χρείαν εἶχεν· ἰδιαζόντως δὲ, διὰ τὴν ὑπερβολὴν τοῦ πόθου. οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν δικαίων τοῦτο ποιεῖ· καὶ κοινὸς ἁπάντων ὢν Θεὸς, ἰδιαζόντως ἑαυτὸν τῶν δικαίων εἶναι λέγει. Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. καὶ ὅρα φιλόσοφον γνώμην. εἰπὼν, Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, οὐκ εἶπε, κόλασον τὸν πολέμιον, ἄνελε τὸν ἐχθρόν· ἀλλὰ τί; ὃ ἑαυτοῦ ζητεῖ μόνον, καὶ λέγει, σῶσόν με (τουτέστι, μὴ ἀφῇς με κακῶς παθεῖν) ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. ὅρα πῶς οὐδὲ πάσχων κακῶς, ὀνομαστὶ μέμνηται τοῦ πατραλοίου, καὶ ἐν τῇ συμφορᾷ τὴν φύσιν ἐπιγινώσκων, καὶ ἐν τῷ πολέμῳ τὸν υἱὸν ὁρῶν, καὶ ἐν τοῖς κινδύνοις τῶν σπλάγχνων οὐκ ἐπιλανθανόμενος. οὕτω φιλόπαις ἦν καὶ φιλόστοργος· μᾶλλον δὲ οὕτω φιλόσοφος. οὐ γὰρ ἡ τῆς φύσεως τυραννὶς, ἀλλ' ἡ τῆς γνώμης ἡμερότης τοιοῦτον αὐτὸν ἐποίει εἶναι μᾶλλον. καὶ τῷ στρατοπέδῳ τὸ πλέον ἐλογίζετο, ἢ τῷ τυράννῳ. Διὰ τοῦτό φησι, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. ὁρᾷς πῶς οὐδὲ ἐκείνων σφοδρῶς μέμνηται; οὐ γὰρ εἶπεν, ἐκ τῶν πολεμούντων, τῶν τὰ ἐμὰ διαρπαζόντων, τῶν ἐντρυφώντων τοῖς βασιλείοις τοῖς ἐμοῖς, ἀλλὰ τῶν διωκόντων με.

Ψαλ. ξβ. α.
Ἐξοδ. γ. ϛ.

2 Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος. Καὶ μὴν στρατόπεδα συνέλεξε, καὶ πολλοὺς εἶχε μεθ' ἑαυτοῦ. πῶς οὖν λέγει, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος; ὅτι οὐδὲ ἐν συμμαχίας ἡγεῖται μέρει τὴν οἰκουμένην ἅπασαν, εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσει ῥοπῆς· οὐδὲ ἐν ἐρημίᾳ εἶναι, εἰ καὶ μόνος ἦν, τῆς ἐκείνου μετέχων συμμαχίας. διὸ καὶ ἔλεγεν· Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. τινὲς δὲ κατὰ ἀναγωγὴν τὴν ῥῆσιν ταύτην ἐκλαμβάνοντες, λέοντα καὶ διώκοντας, διάβολον καὶ δαίμονας εἶναί φασιν. ἐπειδὴ γὰρ εἶδε τὸν υἱὸν ἁρπαγέντα ὑπ' αὐτοῦ καὶ καταποθέντα, ἀξιοῖ μηδέποτε τοῦτο παθεῖν αὐτός. καὶ λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἐκεῖνος ἔπαθε. τίς δὲ αἰτία; διὰ τῆς κακίας, φησὶ, τὴν συμμαχίαν τοῦ Θεοῦ ἀπέστησεν ἐξ ἑαυτοῦ. διὰ τοῦτο λέγει, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος. ὅτι δὲ λέων ὁ διάβολος λέγεται παρὰ τῆς γραφῆς, ἄκουσον λεγούσης αὐτῆς· Ὁ ἐχθρὸς ὑμῶν διάβολος περιέρχεται ὡς λέων, ζητῶν τίνα καταπίῃ. καὶ αὐτὸς οὗτος ὁ προφήτης ἀλλαχοῦ· Καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. πολύτροπον γὰρ τὸ θηρίον. ἀλλ' ἐὰν νήφωμεν, ὁ λέων οὗτος καὶ δράκων πηλοῦ παντὸς εὐτελέστερος ἔσται· καὶ οὐδὲ ἐξ εὐθείας πρὸς ἡμᾶς παρατάξεται, ἀλλὰ κἂν παρατάξηται, καταπατηθήσεται. Πατεῖτε γὰρ, φησὶν, ἐπάνω ὄφεων καὶ σκορπίων. περίεισι μὲν γὰρ μετὰ πολλοῦ τοῦ θυμοῦ, καθάπερ λέων. ἂν δὲ συμπροσβάλῃ τοῖς τὸν Χριστὸν ἔχουσι, καὶ τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου, καὶ τὸ πῦρ τοῦ πνεύματος, καὶ τὴν λαμπάδα τὴν οὐδέποτε σβεννυμένην, οὐδὲ ἀντιβλέψαι δυνήσεται, ἀλλὰ νῶτα δοὺς οἰχήσεται, οὐδὲ μεταστραφῆναι τολμῶν. καὶ ἵνα μάθῃς ὅτι οὐ κόμπος τὰ εἰρημένα, σκόπει μοι τὸν Παῦλον. ἄνθρωπος γὰρ ἦν καὶ αὐτός· ἀλλ' οὕτως αὐτὸν ἐδεδοίκει ὁ λέων οὗτος, ὡς τὰ ἱμάτια αὐτοῦ καὶ τὰς σκιὰς φεύγειν. τὴν γὰρ Χριστοῦ εὐωδίαν ἐξ αὐτοῦ πνέουσαν καὶ διιοῦσαν οὐκ ἔφερε, καὶ πρὸς τὴν λαμπάδα ἀντιβλέψαι οὐκ ἴσχυσε.

Ψαλ. λβ. ιϛ.
α. Πετρ. ε. η.
Ψαλ. ϟ. ιγ.
Λουκ. ι. ιθ.

3 Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου.

Λουκ. ιη. ι.
Ησ. α. ιε.
Ψαλ. δ. α.
Πραξ. ι. δ. καὶ λα.
Ματθ. ιε. κβ. καὶ
Μαρκ. ζ. κε.
γ. Βασ. γ. ια.
Λουκ. ιη. ιδ.
β. Κορ. ιβ. η.
Δευτ. γ. κϛ.
Ιερεμ. ζ. ιϛ.

Πανταχοῦ δεῖ τοῦτο παρατηρεῖν, ὅτι οὐχ ἁπλῶς εὔχεσθαι δεῖ μόνον, ἀλλ' οὕτως εὔχεσθαι, ὥστε καὶ ἀκούεσθαι. οὐ γὰρ ἀρκεῖ εὐχὴ τὸ προκείμενον ἀνύσαι, ἐὰν μὴ οὕτως αὐτὴν στείλωμεν ὡς τῷ Θεῷ δοκεῖ. ἐπεὶ καὶ ὁ Φαρισαῖος ηὔξατο, καὶ οὐδὲν ὤνησε. καὶ Ἰουδαῖοι πάλιν ηὔχοντο, ἀλλ' ἀπεστρέφετο ὁ Θεὸς εὐχομένων ἐκείνων. οὐ γὰρ ηὔχοντο, ὡς εὔχεσθαι ἔδει. διὰ τοῦτο καὶ εὐχὴν ἐκελεύσθημεν εὔχεσθαι τὴν μάλιστα ἀκούεσθαι δυναμένην. τοῦτο καὶ ἐν τῇ περὶ ταύτης εὐχῇ ἐδήλωσεν, οὐχ ἁπλῶς ἀξιῶν ἀκουσθῆναι, ἀλλὰ μετὰ τοῦ τὰ ἑαυτοῦ εἰσενεγκεῖν. τίνα δὲ ταῦτα ἦν; τό, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. τό, Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. τό, Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. τό, Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ταῦτα γὰρ πάντα ἱκανὰ τὸν Θεὸν ἐπισπάσασθαι· θρῆνοι, δάκρυα, στεναγμοί, καὶ τὸ τῶν πονηρῶν ἀποπηδᾷν, καὶ τὸ δεδοικέναι καὶ τρέμειν αὐτοῦ τὴν ψῆφον. καὶ ἀλλαχοῦ ἔλεγεν· Εἰσήκουσεν ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς μοι. τὸ γὰρ ἀκούεσθαι, οὕτω γίνεται· πρῶτον μὲν οὖν, ἐκ τοῦ ἀξίους εἶναι λαβεῖν· ἔπειτα, ἐκ τοῦ κατὰ τοὺς νόμους τοῦ Θεοῦ εὔχεσθαι· τρίτον, ἐκ τοῦ συνεχῶς· τέταρτον, ἐκ τοῦ μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον, ἐκ τοῦ τὰ συμφέροντα ζητεῖν· ἕκτον, ἐκ τοῦ τὰ παρ' ἑαυτῶν εἰσφέρειν ἅπαντα. ὅρα γοῦν πολλοὺς οὕτως ἀκουομένους· τὸν Κορνήλιον ἀπὸ τοῦ βίου· τὴν Συροφοίνισσαν ἀπὸ τῆς προσεδρίας· τὸν Σολομῶντα ἀπὸ τοῦ τρόπου τῆς αἰτήσεως, Ἀνθ' ὧν γὰρ οὐκ ᾔτησας χρήματα, οὐδὲ ψυχάς, φησιν, ἐχθρῶν σου· τὸν τελώνην ἀπὸ τῆς ταπεινοφροσύνης· ἑτέρους ἑτέρωθεν. ὥσπερ οὖν ἐκ τούτων τὸ ἀκούεσθαι γίνεται, οὕτως ἑτέρωθεν τὸ μὴ ἀκούεσθαι, κἂν δίκαιοι ὦσιν οἱ αἰτοῦντες. τί γὰρ Παύλου δικαιότερον γέγονεν; ἀλλ' ἐπειδὴ ἀσύμφορα ᾔτησεν, οὐκ ἠκούσθη. ὑπὲρ τούτου, φησί, Τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. τί δὲ Μωϋσέως; ἀλλ' οὐδὲ ἐκεῖνος ἠκούετο, λέγοντος τοῦ Θεοῦ· Ἱκανούσθω σοι. ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν (ἀσύμφορον δὲ τοῦτο ἦν) οὐκ ἐπέτρεψε. μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ ποιοῦν μὴ ἀκούεσθαι, ὅταν τοῖς ἁμαρτήμασιν ἐπιμένοντες εὐχώμεθα. ὃ καὶ περὶ Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ· Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν; οὐκ ἀπέστησαν, φησι, τῆς ἀσεβείας, καὶ σὺ ὑπὲρ αὐτῶν δέησιν ἀναφέρεις; ἀλλ' οὐκ εἰσακούσομαί σου. πάλιν ὅταν κατ' ἐχθρῶν αἰτῶμεν, οὐ μόνον οὐκ ἀκουόμεθα, ἀλλὰ καὶ παροξύνομεν. φάρμακον γάρ ἐστιν ἡ εὐχή. ἀλλ' ἐὰν μὴ εἰδῶμεν τὸ φάρμακον πῶς ἐπιτιθέναι χρή, οὐδὲ τὴν ὄνησιν αὐτοῦ καρπούμεθα. ἴδωμεν τοίνυν τί καὶ οὗτος εὐχόμενός φησι· Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο. τί ἐστιν, εἰ ἐποίησα τοῦτο; ὃ πάσχω, φησιν. εἰ ἐπανέστην πατρί, εἰ παρηνόμησα οὕτως. ἀλλ' οὐδὲ ἐνταῦθα ὀνομάσαι πάλιν ἀνέχεται τὸν ἀδικήσαντα εἰπεῖν· ἀλλ' ὑπὲρ τοῦ παιδὸς αἰσχύνεται καὶ ἐρυθριᾷ. οἷον δὴ εἴ τις εὐγενὴς δὴ ἄνθρωπος τὴν ἑαυτοῦ γυναῖκα μοιχευομένην ὁρῶν, μηδὲ ὀνομάσαι τὸ ἁμάρτημα εἰς τὸ μέσον ἀγαγεῖν καταδέχοιτο· οὕτω δὴ καὶ οὗτος, οὐκ εἶπεν, εἰ κατεξανέστην τοῦ γεγεννηκότος, εἰ πατραλοίας ἐγενόμην· ἀλλὰ εἰ ἐποίησα τοῦτο. καὶ τί λέγω τοῦτό, φησι; ποία γὰρ ἀρετὴ τὸ μὴ γενέσθαι πατραλοίαν, ὅπερ οὐδὲ ἐν τοῖς θηρίοις ἴδοι τις ἄν; εἰ ἔστιν ἀδικία ἐν χερσί μου. οὐ λέγω περὶ τῆς ἀδικίας ταύτης· ἀλλ' οὐδὲ ἑτέρα ἂν εὑρεθείη, φησίν, οὖσα ἐν χερσί μου ἀδικία. ταῦτα λέγει, οὐ μεγαληγορῶν, ἀλλ' εἰς ἀνάγκην ἐμπεσὼν τοῦ τὰ ἑαυτοῦ κατορθώματα εἰπεῖν. ἀλλ' οὐδὲ οὕτω πω μέγα τοῦτο πρὸς τὸ μέλλον ῥηθήσεσθαι. τί δὲ τοῦτό ἐστιν;

4 Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, φησι. Πρόσεχε μετὰ ἀκριβείας. οὐ γὰρ τὸ τυχόν ἐστι τὸ εἰρημένον. καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ δὲ μεῖζον,

ζον, καὶ φιλοσόφου ψυχῆς, τὸ τὸν ἀδικοῦντα μὴ ἀμύνεσθαι. καίτοι γε ὁ νόμος τοῦτο παρεῖχεν, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν. καὶ οὐκ ἦν παράβασις νόμου τὸ γινόμενον. ἀλλ' οὕτω φιλόσοφος ἦν οὗτος, ὡς μὴ μόνον μὴ παραβαίνειν τὸν νόμον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνειν, ὑπὲρ τὰ σκάμματα πηδῶν. οὐ γὰρ ἐνόμιζεν ἀρκεῖν εἰς ἀρετὴν, εἰ μὴ καὶ ὑπερακοντίσειε τὰ προστάγματα. ὥσπερ οὖν καὶ Παῦλος ἐποίει, κελευόμενος ἐκ τοῦ εὐαγγελίου ζῆν, καὶ μὴ ζῶν, ἀλλ' ἀδάπανον τιθεὶς τὸ εὐαγγέλιον· οὕτω τοίνυν καὶ ὁ μακάριος Δαβὶδ, τοῦ νόμου διδόντος ἀμύνεσθαι τὸν ἀδικοῦντα, οὐκ ἔμεινεν ἐν τῷ μέτρῳ τούτῳ, ἀλλὰ καὶ ὑπερηκόντισεν. ἡμεῖς δὲ οὐ τοῦτο ἀπαιτούμεθα μόνον τὸ μὴ ἀνταποδιδόναι, ἀλλὰ καὶ τὸ εὐεργετεῖν. Εὔχεσθε γὰρ, φησιν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. ἐπὶ δὲ τοῦ Δαβὶδ οὐ μικρὸν τὸ μὴ ἀμύνεσθαι, ἀλλὰ καὶ πολλῷ μεῖζον τοῦ νομικοῦ παραγγέλματος. διό φησιν, Εἰ ἐποίησα τοῦτο· εἰ ἔστιν ἀδικία ἐν χερσί μου· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἐπὶ μὲν γὰρ τοῦ παιδὸς, καὶ ἡ φύσις ἐκώλυεν· ἀλλ' εἰ ἑτέρους, φησὶν, ἠδίκησα, ἢ καὶ ἠμυνάμην. ποίαν οὖν σχοίημεν συγγνώμην ἡμεῖς, ποίαν δὲ ἀπολογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ παλαιᾷ πολιτευομένων, καὶ ταῦτα πολλὴν περιουσίαν ἀπαιτούμενοι; Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος ὁ ἐν τῷ νόμῳ τὰ αὐτὰ κατορθῶν τῷ πρὸ τοῦ νόμου· οὕτως οὔτε ὁ ἐν τῇ χάριτι τῷ ἐν τῷ νόμῳ· ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ πολλὴ γίνεται ἡ διαφορά. τοῦτο δεικνὺς ὁ Παῦλος καὶ ἐπὶ τῆς κακίας, καὶ ἐπὶ τῆς ἀρετῆς, ὅρα κἀκείνους πῶς μειζόνως θαυμάζει, καὶ τούτους μείζονος τιμωρίας ἀξίους ἀποφαίνει εἶναι, οὕτω λέγων· Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. Εἶδες πῶς τοὺς χωρὶς νόμου κατορθοῦντας ἐπαινεῖ καὶ ἀνακηρύττει; ὅρα πάλιν καὶ τοὺς ἐν τῇ χάριτι ἁμαρτάνοντας πῶς μείζονος κολάσεως ἀξίους εἶναι δείκνυσι τῶν ἐν τῷ νόμῳ διαμαρτανόντων, οὕτω λέγων· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; καὶ πάλιν τοὺς πρὸ τοῦ νόμου, ἐλάττονος δεικνὺς τιμωρίας ἀξίους ὄντας τῶν ἐν τῷ νόμῳ παραβάντων, Ὅσοι, φησὶν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· τουτέστιν, ἡμερώτερον, οὐκ ἔχοντες τὸν νόμον κατήγορον, ἀλλὰ τὴν φύσιν μόνον· ὅσοι δὲ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται· τουτέστι βαρύτερον, ἔχοντες μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον. Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. 5 Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι. Εἶδες παρρησίαν δικαίου καὶ ἄριστον συνειδός, εἰ γὰρ μὴ σφόδρα ἑαυτῷ ἐθάρρει, οὐκ ἂν τοιαῦτα ἐπηρᾶτο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Εἰ ἠδίκησα, εἰ ἠμυνάμην· τὰ καὶ τὰ πάθοιμι. καὶ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐκφέρει· καὶ οὐκ ἀξιοῖ κατὰ τὸ μέτρον κριθῆναι, ἀλλὰ πολλῷ μᾶλλον ὑπὲρ τὴν ἀξίαν διδόναι τὴν δίκην· καὶ ὑπεύθυνον ἑαυτὸν ποιεῖ κολάσει, ἧς ὁ νόμος αὐτὸν εἴργει. καὶ ὅρα ποία αὕτη· ἀποπέσοιμι, φησιν, ἀπὸ τῶν ἐχθρῶν μου κενός. καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι,

Δευτ. ιθ. κα.

α. Κορ. θ. ιδ. καὶ ιη.

Ματθ. ε. μδ.

Ματθ. ε. κ.

Ρωμ. β. ιδ.

Εβρ. ι. κη.

Ρωμ. β. ιβ.

Καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Τουτέστιν, ἄτιμον, ἀνώνυμον ἀπολέσειε, μετὰ τῆς ζωῆς μου καὶ τὴν δόξαν μου διαφθείρειε. τί ἐστι, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι; ταπεινώσαι, πατήσαι· γενοίμην ἕτοιμος τοῖς ἐχθροῖς, φησί. τί γένοιτ' ἂν μιαρώτερον τοῦ Ἀβεσαλὼμ, ὅστις πατέρα, καὶ πατέρα τοιοῦτον, οὕτως ἥμερον καὶ ἐπιεικῆ ἐδίωκεν, ἀσελγὴς ὢν καὶ ἀκόλαστος καὶ ὑβριστής; τί οὖν; οὐκ ἀπέδωκε τοῖς ἀνταποδιδοῦσιν αὐτῷ κακά, οὐδὲ ἐμνησικάκησεν; οὐδαμῶς. κἂν ἐξετάσῃς τοῦ Σαοὺλ τὴν ἱστορίαν, τότε μάλιστα ὄψει ταύτην τὴν φωνὴν διαλάμπουσαν. τὸν γὰρ μετὰ μυρίας εὐεργεσίας καὶ τρόπαια καὶ τὰς νίκας ἀδικοῦντα καὶ ἐπιβουλεύοντα, καὶ ἀνελεῖν καθ᾽ ἑκάστην ἐπιθυμοῦντα τὴν ἡμέραν, λαβὼν εἰς χεῖρας ἢ ἅπαξ ἢ δὶς * καὶ πολλάκις καθεύδοντα, καὶ καθάπερ ἐν δεσμωτηρίῳ συγκεκλεισμένον, ἢ δορυφόρων ἔρημον, πολλῶν ἐγκελευομένων σφάξαι καὶ ἀνελεῖν, ἐφείσατο, καὶ τῆς ὀργῆς ἐκράτησε· καὶ ταῦτα εἰδώς, ὅτι ἀφεὶς αὐτὸν διαφυγεῖν, πολέμιον ἀφήσει ἑαυτῷ καὶ ἐχθρὸν ἀκατάλλακτον. ἀλλ᾽ ὅμως οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν εἰς τὴν σφαγὴν αὐτὸν ἐξήγαγεν ἐκείνην· ἀλλ᾽ ἐφιλοσόφει, καὶ τῆς χειρὸς ἐκράτει, καὶ τὸν θυμὸν ἐχαλίνου· καὶ ᾑρεῖτο κινδυνεύειν ἢ ἐπιβουλεύεσθαι μᾶλλον, καὶ τῆς πατρίδος αὐτῆς ἐκπεσεῖν καὶ τῆς ἐλευθερίας, ἢ τὸν ἐχθρὸν τὸν εἰκῆ καὶ μάτην αὐτῷ ἐπιβουλεύοντα, τὸν μετὰ μυρίας εὐεργεσίας φονῶντα, σφάξαι καὶ ἀνελεῖν. καὶ ἐξ ἑτέρων δὲ πλειόνων ἐστὶν ἰδεῖν τὴν φιλόσοφον αὐτοῦ διάνοιαν. διὸ καὶ ἐπαρᾶται αὐτῷ πολλὰ καὶ χαλεπά· οἷον τὸ ἄπρακτον ἐπανελθεῖν· τὸ τοὺς ἐχθροὺς κρατῆσαι μετὰ πολλῆς τῆς περιουσίας αὐτοῦ· τὸ ἀνώνυμον ἀποθανεῖν· τὸ παρὰ πολεμίων τοῦτο παθεῖν, ὃ πολὺ τοῦ θανάτου χαλεπώτερον εἶναι δοκεῖ. διὸ καὶ μυρία μηχανήματα ποιεῖ, πρὸς τὸ μετὰ τὴν τελευτὴν * μνημονεύεσθαι. ὅρα τοίνυν ὅσα ἑαυτῷ ἐπαρᾶται· τὸ ἀνήνυτα πονεῖν, τὸ ὑπὸ τῶν ἐχθρῶν ἡττηθῆναι, τὸ ἀποθανεῖν, τὸ μηδὲ κοινῇ τῇ τελευτῇ, τὸ καὶ τὴν μνήμην αὐτοῦ ἐξαλειφθῆναι, τὸ μετὰ ἀτιμίας· οὐκ ἂν τοσαῦτα ἑαυτῷ ἐπαρασάμενος, εἰ μὴ σφόδρα ἐθάρρει τῷ συνειδότι. εἰ δὲ ἐχθρὸν εἶχεν, οὐδὲν τοῦτο ἐκείνῳ ἔγκλημα. οὐ γὰρ αὐτὸς παρεῖχε λαβάς. ποίαν γὰρ λαβὴν ἔδωκε τῷ παιδί; ποίαν τῷ Σαούλ; οὐχὶ τὸν μὲν ἄξια τιμωρίας πράξαντα, πρὸς καιρὸν σωφρονίσας, ἐπανήγαγε ἢ ἀνεκλήσατο· τὸν δὲ φονῶντα κατ᾽ αὐτοῦ, πολλάκις εἰς χεῖρας λαβὼν διέσωσε; μὴ τοίνυν τοῦτο σκόπει, εἰ ἐχθροὺς εἶχεν, ἀλλ᾽ εἰ αὐτὸς αὐτοὺς κατεσκεύασεν. οὔτε γὰρ ὁ Χριστὸς τοῦτο ἐκέλευσε, τὸ μὴ τοὺς ἐχθροὺς ἔχειν (τούτου γὰρ οὐκ ἐσμὲν κύριοι) ἀλλὰ τὸ μὴ μισεῖν. τούτου γὰρ ἡμεῖς κύριοι· ἐκείνου δὲ οὐ πάντως. τὸ δὲ μισεῖσθαι εἰκῆ, οὐκ ἐν ἡμῖν ἡ ἐξουσία κεῖται, ἀλλ᾽ ἐν τοῖς μισοῦσι. καὶ γὰρ οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισεῖν εἰώθασιν εἰκῆ καὶ μάτην. καὶ γὰρ καὶ τὸν Χριστὸν ἐμίσουν εἰκῆ, καθὼς λέγει· Ἐμίσησάν με δωρεάν. καὶ οἱ ἀπόστολοι τοὺς ψευδαποστόλους εἶχον ἐχθρούς, καὶ οἱ προφῆται τοὺς ψευδοπροφήτας. οὐ γὰρ τοῦτο δεῖ σκοπεῖν, ὅπως μὴ σχοίημεν ἐχθρούς, ἀλλ᾽ ὅπως μὴ δικαίως μηδὲ εὐλόγως· καὶ ὅπως, κἂν μυριάκις μισώμεθα, μὴ μισῶμεν, μηδὲ ἀποστρεφώμεθα. ἔχθρα γὰρ τοῦτό ἐστι, τὸ μισεῖν καὶ ἀποστρέφεσθαι. ὅταν οὖν μισῶμαι ἢ μὴ μισῶ, ἐκεῖνός με ἐχθρόν, οὐκ ἐγὼ τοῦτον ἔχω. ὅταν εὔχωμαι, ὅταν εὐεργετεῖν βούλωμαι, πῶς τὸν τοιοῦτον ἐχθρὸν ἔχω; διὰ τοῦτο ὁ Παῦλος ἔλεγεν· Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. τὰ ἡμέτερα τοίνυν εἰσφέρωμεν, καὶ αὐτῷ τούτῳ ἀρκοῦντα τὸν ἔπαινον ἕξομεν. τίνα δέ ἐστι τὰ ἡμέτερα; οἷόν τι λέγω. μισεῖ ὁ δεῖνα καὶ ἐπηρεάζει; σὺ φίλει καὶ εὐεργέτει. ὑβρίζει ἢ λοιδορεῖται; σὺ εὐλόγει καὶ ἐπαίνει. ἀλλ᾽ οὐ λύει τὴν ἔχθραν οὐδὲ οὕτως; οὐκοῦν πλείονά σοι δίδωσι τὸν μισθόν. οἱ γὰρ κακοὶ ὅσῳ ἂν θεραπευόμενοι μὴ καταλύσωσι τὸν πόλεμον, λαμπροτέρας ἡμῖν προξενοῦσι τὰς ἀμοιβάς, καὶ ἑαυτοὺς ἀσθενεστέρους ποιοῦσιν. ὁ μὲν γὰρ μισῶν, καὶ μὴ διαλύων ἔχθραν, τήκεται, διαφθείρεται, διηνεκεῖ συζῇ πολέμῳ· ὁ δὲ τούτων ἀνώτερος τῶν βελῶν, ἔξω τῶν τρικυμιῶν ἕστηκε· καὶ ἑαυτὸν πρὸ ἐκείνου τὰ μέγιστα ὠφελεῖ, ἐν τῷ σπουδάζειν ἐκείνῳ καταλλάττεσθαι, καὶ μὴ πολεμεῖν, ἑαυτὸν ἀπαλλάττων πολέμου καὶ μάχης. φεύγωμεν τοίνυν

πολεμεῖν

* καὶ τρὶς

* μὴ

α. Βασ. ιθ. κα. καὶ λγ. κ. Βασ. κδ. ζ. καὶ κεφ. κϛ. ζ.

Ιω. ιε. κε. καὶ ψαλμ. λδ. κβ.

Ρω. ιβ. ιη.

πολεμεῖν ἑτέροις, καὶ τὴν ῥίζαν τούτων ἀνέλωμεν, κενοδοξίαν, φιλαργυρίαν. ἢ γὰρ διὰ χρήματά τις ἐχθρός ἐστιν, ἢ διὰ δόξαν κενήν. ἐὰν δὲ τούτων ὦμεν ἀνώτεροι, καὶ τοῦ ἁλίσκεσθαι ἔχθρᾳ ἐσόμεθα ὑψηλότεροι. κἂν ὑβρίσῃ τοίνυν, φέρωμεν γενναίως. ἑαυτὸν γὰρ, οὐ σὲ ὕβρισε. κἂν πλήξῃ, μὴ ἀντιτείνῃς τὴν δεξιάν. αὐτὸς γάρ ἐστιν ὁ πληττόμενος, σὲ μὲν τῇ χειρὶ, ἑαυτὸν δὲ τῷ θυμῷ παίων, καὶ πονηρὰν παρὰ πάντων λαμβάνων δόξαν. Εἰ δὲ δοκεῖ σοι ταῦτα δύσκολα εἶναι· ἐννόησον, ὅτι εἰ μαινόμενός σου τις τὸ ἱμάτιον περιέρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς; σὲ τὸν παθόντα, ἢ ἐκεῖνον τὸν ποιήσαντα; εὔδηλον ὅτι ἐκεῖνον. Εἶτα, ἔνθα μὲν τὸ ἱμάτιον διαῤῥήγνυται, ὁ ποιήσας τοῦ παθόντος χαλεπώτερα πέπονθεν, ἔνθα δὲ καρδία διαῤῥήγνυται (ὁ γὰρ θυμὸς τοῦτο ποιεῖ) οὐκ ἐκεῖνον ἡγήσῃ μείζονα πεπονθέναι δεινά σου τοῦ μηδὲν τοιοῦτον ὑπομείναντος; μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι τὸ ἱμάτιον τὸ σὸν διέρρηξεν, ἀλλ' ὅτι πρότερον τὴν ἑαυτοῦ καρδίαν. ὥσπερ γὰρ ἴκτερος οὐκ ἂν γένοιτο, μὴ τῆς χολῆς διαῤῥαγείσης, καὶ τοὺς οἰκείους ὅρους ὑπερβάσης· οὕτως οὐκ ἂν θυμὸς ἄμετρος γένοιτο, μὴ τῆς καρδίας διαῤῥαγείσης. ὥσπερ οὖν ἂν ἴδῃς τινὰ ἰκτέρῳ κατεχόμενον, κἂν μυρία ἐργάσηται δεινά, οὐκ ἂν ἕλοιο πρὸς σεαυτὸν ἐπισπάσασθαι τὸ νόσημα· οὕτω καὶ ἐπὶ τοῦ θυμοῦ, μὴ ζηλοῦ μηδὲ μιμοῦ τὴν κακίαν, ἀλλ' ἐλέει κἀκεῖνον τὸν οὐ χαλινοῦντα τὸ ἐν αὐτῷ θηρίον, ἀλλὰ πρότερον ἑαυτὸν λυμαινόμενον καὶ διαφθείροντα. ὅτι γὰρ ἑαυτοὺς οἱ τοιοῦτοι λυμαίνονται, ἀκούειν ἐστὶ πολλῶν τῶν τὰς τοιαύτας διαλυόντων μάχας, οὕτω παραινούντων αὐτοῖς· σαυτοῦ φεῖσαι, σαυτὸν ἀδικεῖς. τοιοῦτον γὰρ ἡ κακία· τὸν τίκτοντα αὐτὴν λυμαίνεται μόνον, πάντα ἄνω καὶ κάτω ποιοῦσα. μὴ τοίνυν βουλόμενοι ἀμύνεσθαι ἑτέρους, αὐτοὶ τῶν λιμένων ἐκπέσωμεν. οὐδὲ γὰρ εἴ τις μέλλων ναυαγεῖν καὶ ὑποβρύχιος γίνεσθαι, ὕβρισέ σε ἐπὶ τῆς γῆς καθήμενον, ἤλγησας ἄν, οὐδὲ ἐξελθὼν τῆς γῆς ἐκοινώνησας αὐτῷ τῆς ναυαγίας. τοῦτο τοίνυν λογίζου· ὅτι ὁ μὲν ὑβρίζων σε καὶ παροινῶν, ὥσπερ ἰλίγγῳ τινὶ, ἢ καταιγίδι καταποντιζόμενος, ὑποβρύχιος γίνεται τῷ τοῦ θυμοῦ ναυαγίῳ περιπεσών· σὺ δὲ ὁ φέρων γενναίως, ἐν λιμένι καὶ περὶ αἰγιαλὸν τρυφᾷς. ἐὰν δὲ πρὸς τὸν αὐτὸν ἐξενεχθῇς αὐτῷ ζῆλον, οὐκ ἐκεῖνον, ἀλλὰ σαυτὸν κατεπόντισας.

6 Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Τοῦτο οὕτως εἶπε, δεικνὺς ὅτι ἔστι καὶ οὐκ ἐν ὀργῇ ἀναστῆναι· ὡς ὅταν λέγῃ· Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. ἀκούων δὲ τὸ ἀνάστα, μηδὲν σωματικὸν ὑποπτεύσῃς. ὥσπερ γὰρ τὸ καθῆσθαι ἐπὶ Θεοῦ οὐ σωματικῶς εἴρηται, οὕτως οὐδὲ τοῦτο. σὺ γάρ, φησι, καθήμενος εἰς τὸν αἰῶνα. τί οὖν ἐστιν, ὃ διὰ τῆς καθέδρας αἰνίττεται; τὸ ἑδραῖον, τὸ πεπηγὸς, τὸ βέβαιον τῆς φύσεως, τὸ μόνιμον· ὅπερ οὖν καὶ διὰ τῆς ἀντιδιαστολῆς ἐδήλωσεν. Εἰπὼν γὰρ, σὺ καθήμενος εἰς τὸν αἰῶνα, ἐπήγαγεν, ἡμεῖς δὲ ἀπολλύμενοι εἰς τὸν αἰῶνα. ὥσπερ οὖν τὸ καθῆσθαι οὐ σωματικὸν, οὕτως οὐδὲ τὸ ἀναστῆναι. ἀλλ' ἐκεῖ μὲν τὸ ἑδραῖον, ἐνταῦθα δὲ τὸ τιμωρητικὸν, τὸ ἀνδηωτικόν. ἔστι δὲ ὅπου δηλοῖ τὸ καθῆσθαι καὶ τὸ δικαστικόν· ὡς ὅταν λέγῃ· Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. καὶ ὁ Δανιήλ· Θρόνοι ἐτέθησαν, καὶ τὸ κριτήριον ἐκάθισεν. ἔστι καὶ τὸ βασιλικόν· ὡς ὅταν λέγῃ· Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ὅθεν καὶ τὸ κάθου ἐκ δεξιῶν μου, τὸ ἰσότιμον ἐνδείκνυται. τί δέ ἐστι τὸ, ἐν ὀργῇ σου; καὶ τοῦτο πάλιν θεοπρεπῶς ἐκληπτέον. ὀργὴ τοῦ Θεοῦ, οὐ πάθος, ἀλλὰ τιμωρία καὶ κόλασις.

Ψαλ. γ. ϛ.
Ψαλ. θ. δ.
Δαν. ζ. θ.
Ψαλ. μδ. ζ.
Ψαλ. ρθ. α.

Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Ἄλλος φησὶν, Ἐν θυμῷ ἐπὶ τοὺς ἐχθρούς σου. ἕτερος, Ἐν χόλῳ τῶν θλιβόντων με. ἕτερος, Ἐν ἀνυπερθεσίαις ἐνδεσμούντων. ὁ δὲ Ἑβραῖος τὸ, Ἐν τοῖς πέρασι, Βεβρώθ φησιν. ὅρα πάλιν πῶς ἐνταῦθα οὐχ ἑαυτῷ ἀμύνει, ἀλλ' ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ταῦτα λέγει. οὐ γὰρ ἁπλῶς εἶπε, κόλασον τοὺς ἐχθρούς σου, ἀλλ' ὑψώθητι. καὶ πῶς ὑψοῦται ὁ ὑψηλὸς, καὶ ἀεὶ ὢν ὕψιστος; τὸ γὰρ ὕψος αὐτοῦ τῆς φύσεως οὔτε ἐλαττοῦται, οὔτε προσλαμβάνει τι. τέλειος γάρ ἐστι καὶ ἀνενδεὴς, καὶ ἀεὶ ὡσαύτως ἔχων. πῶς οὖν, καὶ τίνι τρόπῳ ὑψοῦται; ὑψοῦται ἐν ταῖς διανοίαις τῶν πολλῶν. οἷον ἐμακροθύμησε πολλάκις· οἱ δὲ ἐχθροὶ οὐ μακροθυμίας ἐνόμισαν εἶναι, ἀλλὰ ταπεινώσεως τοῦτο καὶ ἀσθενείας. ὥστε καὶ ταπεινοῦται, ἀλλ' οὐκ ἐν τῷ πράγματι, ἀλλ' ἐν τῇ διανοίᾳ ἐκείνων. καθάπερ γὰρ ὁ ἥλιος ἀμυδρὸς φαίνεται ἐν τοῖς ἀσθενοῦσι τὰς ὄψεις· οὕτω δὴ καὶ ὁ Θεὸς ἀσθενὴς καὶ ταπεινὸς ἐν ταῖς καρδίαις ἐκείνων. ἀλλ' ὥσπερ ὁ ἥλιος οὕτω νομίζεται, οὐκ ἔστι δὲ ἀμυδρὸς, ἀλλὰ τῆς ἀσθενείας ἐκείνων τὸ πάθος· οὕτω καὶ ὁ Θεὸς, κἂν τοῦτο ὑποπτεύηται, οὐκ ἔστιν ἀσθενὴς, ἀλλὰ τῆς ἐκείνων ἀνοίας τὸ σύμπτωμα. τί οὖν φησιν ὁ δίκαιος; ὑψώθητι καὶ παρὰ τοῖς ἐχθροῖς ἡμῶν, ἐπέξελθε καὶ δεῖξόν σου τὴν ἰσχὺν, ἵνα οἱ νομίζοντες εἶναί σε ταπεινὸν, ἀφ' ὧν πάσχουσιν, ἴδωσί σου τὴν δόξαν. εἶδες αὐτοῦ τὸν σκοπὸν οὐ τὸ ἑαυτοῦ ζητοῦντος, ἀλλὰ τὸ τοῦ Θεοῦ. τὸ δὲ, ἐν τοῖς πέρασιν, οἱ μὲν φασιν, ἐν ταῖς κεφαλαῖς, οἱ δὲ, μηδεὶς διαφύγοι τῶν ἐχθρῶν. μεγάλη δὲ ἀρετὴ τοῦ δικαίου, ὅταν τοὺς αὐτοὺς ἐχθροὺς ἔχῃ τοῦ Θεοῦ, καὶ τοὺς αὐτοὺς φίλους· ὥσπερ κακία μεγάλη, ὅταν τοὺς τοῦ Θεοῦ φίλους ἐχθροὺς ἔχῃ, καὶ τοὺς ἐχθροὺς φίλους. ὥσπερ οὖν ὁ Θεὸς ἐχθροὺς ἔχειν λέγεται, οὐ μισῶν, οὐδὲ ἀποστρεφόμενος αὐτοὺς, ἀλλὰ τὰς πράξεις αὐτῶν τὰς πονηράς· οὕτω καὶ ὁ δίκαιος ἐχθροὺς ἔχει, οὐκ ἀμυνόμενος αὐτοὺς, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενος.

7 Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω.

Ἄλλος φησίν, Ἐν κρίματι. Καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Ἄλλος φησί, Κυκλωσάτω σε. 8 Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, Κύριε.

Ἄλλος φησί, Καὶ ἐπάνω αὐτῆς εἰς τὸ ὕψος ὑπόστρεψον. ἄλλος· Καὶ ἐπὶ ταύτῃ εἰς ὕψος ἐπίστρεψον. ὁ δὲ Ἑβραῖος, Τὸ ὑπὲρ ταύτης, φησὶν οὐαλέα. τί ἐστιν, ἐν προστάγματι ᾧ ἐνετείλω; ὥστε βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ μὴ περιορᾶν, φησὶ, τοὺς ἐπιβουλευομένους. ὅπερ οὖν ἡμῖν ἐνομοθέτησας, τοῦτο καὶ αὐτὸς διὰ τῶν ἔργων ἡμῖν ἀπόδος. τινὲς δὲ καὶ ἕτερόν φασιν, ὅτι ἐπηγγείλατο ἐχθραίνειν τοῖς ἐχθροῖς αὐτοῦ.

Καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Μηδὲν ἀνθρώπινον μηδὲ ἐνταῦθα ὑπόπτευε. κἂν γὰρ αἱ λέξεις τοιαῦται, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. τί οὖν ἐστι τὸ, κυκλώσει σε; ἀντὶ τοῦ ᾄσεταί σοι, ὑμνήσει σε, εὐφημίαν οἴσει σοι πολλήν. ἐπειδὴ γὰρ διὰ χορῶν τοῦτο ἐποίουν, κύκλῳ περιιστάμενοι ἐν τῷ ναῷ καὶ ἐν τῷ θυσιαστηρίῳ, καὶ οὕτω τὰς εὐχαριστίας ἀνέφερον, ἀπὸ τοῦ σχήματος τῆς στάσεως αὐτῶν τὴν εὐφημίαν ἠνίξατο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπέξελθε, βοήθησον. τοῦτο γάρ σε καὶ παρὰ τοῖς ἐχθροῖς ὑψηλὸν ποιήσει, καὶ παρὰ τοῦ λαοῦ σου πολλὰς οἴσῃ τὰς εὐφημίας. ὅρα πῶς οὐ τὸ αὑτοῦ ζητεῖ, ἀλλὰ τὸ τοῦ Θεοῦ. πανταχοῦ γὰρ βούλεται καὶ παρὰ τοῖς ἐχθροῖς, καὶ παρὰ τοῖς οἰκείοις αὐτὸν δοξάζεσθαι.

Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Ὑπὲρ ταύτης, τίνος; τῆς συναγωγῆς, φησι. τουτέστι, διὰ ταύτην εἰς ὕψος ἐπίστρεψον· ὕψωσον ἡμᾶς, ἀνάγαγε ἡμᾶς, ὑψηλὰ ποίησον πράγματα, λαμπροτέραν αὐτὴν καὶ περιφανῆ ποίησον, ἐπὶ τὴν προτέραν αὐτὴν εὐπραγίαν ἐπανάγαγε. ὅρα δὲ πανταχοῦ ταῖς ἱκετηρίαις ἀναμιγνύντα καὶ διδασκαλίαν. καὶ γὰρ πρὸ τούτου εἰπὼν, οἰκτείρησόν με, καὶ εἰσάκουσόν μου, τρέπει τὸν λόγον εἰς συμβουλὴν, οὕτω λέγων· υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; καὶ ἐνταῦθα εἰπὼν, εἰς ὕψος ἐπίστρεψον, Κύριε, ἐπάγει· Κύριος κρινεῖ λαούς.

Ἄλλος δέ φησι, Κύριος δικάσει. διδάσκει τοὺς νομίζοντας ἁπλῶς καὶ ὡς ἔτυχεν ἅπαντα φέρεσθαι, ὅτι πρόνοιά τις ἐφέστηκε τοῖς πράγμασιν, ἀπαιτοῦσα εὐθύνας τῶν γινομένων. κρίσιν δὲ ἐνταῦθα, τήν τε μέλλουσαν λέγει, τήν τε παροῦσαν. ἐκεῖ μὲν γὰρ καθόλου καὶ ἡ σαφὴς ἐκείνη· ἐκ μέρους δὲ καὶ ἐνταῦθα ἀπαιτεῖ δίκας, τούς τε ῥαθυμοτέρους διεγείρων, καὶ τοὺς ἀπιστοτέρους ἐφελκόμενος εἰς τὴν ἔννοιαν τῆς περὶ τοῦ παντὸς προνοίας.

9 Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου. Ἄλλος, Κατὰ τὸ δίκαιόν μου. Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

10 Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν. Ἄλλος φησίν, Ἀπαρτισθήτω κάκωσις κατὰ τῶν ἀσεβῶν. Καὶ κατευθυνεῖς δίκαιον. Ἄλλος, Καὶ ἑδράσεις δίκαιον. πῶς ὁ λέγων ἀλλαχοῦ, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ἐνταῦθά φησι, κρῖνόν με κατὰ τὴν δικαιοσύνην μου; ὅτι ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο. ἐκεῖ μὲν γὰρ λέγων, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, μὴ κριθῇς σὺ πρὸς ἐμέ, δηλοῖ, μηδὲ πρὸς αὐτὴν παράθεσιν τῶν εὐεργεσιῶν τῶν παρὰ σοῦ τὸν ἐμὸν βίον ἐξετάσῃς. διὸ καὶ ἐπήγαγεν, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, τουτέστι, πρὸς σὲ κρινόμενος. ἐνταῦθα δὲ οὐ τοῦτό φησιν. οὐ γὰρ πρὸς αὐτὸν κρίνεσθαι βούλεται, ἀλλὰ πρὸς ἑαυτόν. διὸ καὶ κατὰ τὴν δικαιοσύνην μου εἶπε, τουτέστι, κατὰ τὴν δικαιοσύνην τὴν ἐμήν. δικαιοσύνην δὲ ἐνταῦθα λέγει, τὸ μὴ ἄρξαι χειρῶν ἀδίκων· ὅπερ ἔλεγεν ἀνωτέρω, Εἰ ἐποίησα τοῦτο, καὶ τὰ ἑξῆς. τὸ αὐτὸ δὲ τοῦτο δηλοῖ τὸ, κατὰ τὴν ἀκακίαν μου, κατὰ τοῦτο βούλομαι κριθῆναι, φησί. πολλὴ καὶ ἐνταῦθα ἡ παῤῥησία τοῦ δικαίου. ταῦτα δὲ λέγει εἰς ἀνάγκην ἐμπεσών. ποίαν δὴ ταύτην; ὅτι πονηρὰν παρὰ πολλοῖς ἀνοήτοις, ἀφ' ὧν ἔπασχεν, ἐκτᾶτο δόξαν. οἱ γὰρ πολλοὶ τῶν ἀνοήτων, ἀπὸ τῶν συμφορῶν καὶ τὸν βίον διαβάλλειν εἰώθασιν· ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ γέγονε. διὸ καὶ ἔλεγον, μηδὲν αὐτῷ συνειδότες πονηρόν, οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι, καὶ τὸν Παῦλον δὲ πονηρόν τινα καὶ κακοῦργον ᾤοντο εἶναι οἱ βάρβαροι, ἐπειδὴ ἡ ἔχις εἴχετο αὐτοῦ τῆς χειρός. διὸ καὶ ἔλεγον, Σωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε. καὶ ὁ Σεμεεὶ δὲ ἀνδροφόνον ἐκάλει τὸν Δαβίδ, ἀπὸ τῆς συμφορᾶς ταύτην τὴν πονηρὰν περὶ αὐτοῦ φέρων ψῆφον. ἵν' οὖν καὶ ὑμεῖς μὴ τοῦτο πάθητε, φέρε, μικρὸν περὶ τούτων διαλεχθῶμεν. ἐπεὶ γὰρ πολλῶν ἀκούω λεγόντων· εἰ ἐφίλει ὁ Θεὸς τοὺς πένητας, οὐκ ἂν εἴασεν εἶναι πένητας· ἑτέρων πάλιν, ποῦ αἱ ἐλεημοσύναι τοῦ δεῖνος; ποῦ δὲ αἱ εὐπραγίαι; ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνητε, τὸν περὶ τούτων διερευνησόμεθα λόγον. εἰ γὰρ ἄνθρωπος νοῦν ἔχων, οὔτε μισάγαθος, οὔτε φιλοπόνηρος γένοιτ' ἄν, πῶς σὺ τολμᾷς τοιαῦτα λέγειν, ὅτι τοὺς ἐν πενίᾳ, κἂν ἐν ἀρετῇ ὦσι, μισεῖ ὁ Θεός, τοὺς δὲ ἐν πλούτῳ, κἂν ἐν κακίᾳ, φιλεῖ, βλάσφημον στόμα ἀνοιγνύς; ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνῃς, μάθε τί φιλεῖ ὁ Θεὸς καὶ μισεῖ. τίνα τοίνυν φιλεῖ; τὸν τὰς ἐντολὰς αὐτοῦ τηροῦντα (Τοῦτον γὰρ ἀγαπήσω, φησί, καὶ ἐλεύσομαι πρὸς αὐτὸν) οὐ τὸν πλουτοῦντα, οὐ τὸν ὑγιαίνοντα, ἀλλὰ τὸν ὑπακούοντα τοῖς ἐμοῖς προστάγμασι. τίνα δὲ μισεῖ καὶ ἀποστρέφεται; τὸν μὴ ποιοῦντα. ὅταν τοίνυν ἴδῃς τινὰ τὰς ἐντολὰς αὐτοῦ μὴ ποιοῦντα, κἂν ὑγιαίνῃ, κἂν πλούτῳ περιῤῥέῃ, ἐν τοῖς μισουμένοις αὐτὸν τίθει· τὸν δὲ ἐνάρετον, κἂν νοσοῦντα ἴδῃς, κἂν πενόμενον, ἐν τοῖς φιλουμένοις ἀρίθμει. οὐ γὰρ ἐν τούτοις τὰ τῆς φιλίας, ἀλλ' ἐν ἐκείνοις. ἢ οὐχ ὁρᾷς καὶ ἐπὶ τῶν βιωτικῶν, τοὺς τῶν βασιλέων φίλους, μάλιστα τούτους περικινδυνεύοντας ἐν πολέμοις, καὶ τραύματα ἔχοντας, καὶ ἀποδημίαν στελλομένους; οὐκ ἤκουσας, Ὅτι ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται; ἀλλὰ πολλοὶ σκανδαλίζονται, φησι, ταῦτα ὁρῶντες. οὐ δι' αὐτούς, ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν. οὐ γὰρ ἐνταῦθα ἡ ἀντίδοσις ἡμῖν τῶν πόνων· ἀλλὰ τὰ μὲν ἐνταῦθα σκάμματα· τὰ δὲ μετὰ ταῦτα ἆθλοι καὶ στέφανοι. μὴ ζήτει τοίνυν ἐν καιρῷ τῶν παλαισμάτων καὶ ἐν ἡμέρᾳ παγκρατίου, τὴν ἄνεσιν καὶ τὴν ἄδειαν· μηδὲ σύγχεε τοὺς καιρούς.

Ψαλ. ρμβ. β.

Πράξ. κη. δ.

β. Βασ. ις. ζ.

διαχειρο-

Ιω. ιδ. κα. καὶ κγ.

Εβρ. ιβ. ς.

χαιρεῖς. ἀλλ' ἀσθενέστεροι πολλοί, φησίν, εἰσίν. ἀλλὰ καὶ τούτων προενόησεν ὁ Θεός· καὶ εἴασε πολλοὺς καὶ τῶν δικαίων ἐν εὐπραγίᾳ καὶ ἐνταῦθα· οὐ διὰ ἐκείνους, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους. ὥστε εἰ καὶ σκανδαλίζουσί σε οἱ ἐν θλίψει, οἰκοδομείτωσάν σε οἱ ἐν ἀνέσει· καὶ εἰ ὑποσκελίζουσί σε οἱ ἐν εὐπραγίᾳ τῶν πονηρῶν, ἀνορθούτωσάν σε Io.ις.λγ. οἱ ἐν κολάσει καὶ τιμωρίᾳ. οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; τί τοίνυν ζητεῖς ἄνεσιν, ἐκείνου ταῦτα εἰπόντος; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, Io.ις.κ. Ὁ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε; ὥστε εἰκὸς ἦν σκανδαλίζεσθαι τοὺς ἀνοητοτέρους, εἰ τὰ ἐναντία ἐγένετο ὧν εἶπεν. εἰ δὲ κατὰ ἀκολουθίαν πάντα προβαίνει, τίνος ἕνεκεν σκανδαλίζῃ; καὶ τίνος ἕνεκεν, φησιν, οὕτω διετύπωσεν ὁ Θεός; μὴ ἐξέταζε, Ro.θ.κ. μηδὲ πολυπραγμόνει. Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτω; διὰ τοῦτο καὶ ὁ προφήτης ἐπετίμα τοῖς Ἰουδαίοις, ὅτι μυρίων γέμοντες κακῶν, τοῦ Is.νη.β Θεοῦ τὰς ὁδοὺς περιειργάζοντο, λέγων· Γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· ὅμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις οἰκέτης προσκεκρουκὼς, καὶ μυρίων ὑπεύθυνος ὢν ἐγκλημάτων, παρεὶς τὸ λῦσαι τὴν ὀργὴν τοῦ δεσπότου, εὐθύνας αὐτὸν ἀπαιτοίη, τί δήποτε οὕτω πεποίηκε. μὴ δὴ ταῦτα ζήτει, ἀφεὶς τὸ κλαίειν καὶ θρηνεῖν καὶ τὰ οἰκεῖα ἀπονίπτεσθαι κακά. ταῦτα λέγω, οὐχ ὡς ἀπορῶν τοῦ λόγον εἰπεῖν· ἀλλὰ βουλόμενός σε ἀπὸ τῆς πολυπραγμοσύνης ταύτης, εἰς τὴν περὶ τῆς οἰκείας σωτηρίας μέριμναν ἐμβαλεῖν. τίνος δὲ οὖν ἕνεκεν οὕτως ἐπέταξε; τοὺς πόνους φειδόμενος τοὺς τῶν ἀνθρώπων. τὸν μὲν γὰρ πόνον ἐνταῦθα συνεκλήρωσεν, ἔνθα βραχὺς βίος· τοὺς δὲ στεφάνους εἰς τὸ μέλλον ἐταμιεύσατο, ἔνθα ἀγήρως καὶ ἀτελεύτητος ὁ αἰών. καὶ ὁ μὲν πόνος οὗτος ταχέως παραλύεται καὶ παρατρέχει· ἐκεῖνα δὲ ἀθάνατα μένει, οὐδέποτε πέρας ἔχοντα. ἄλλως δὲ, καὶ γυμνάζει τὰς ψυχὰς εἰς τὸ τῆς ἀρετῆς φίλτρον. ὅταν μὲν γὰρ καὶ μετὰ πόνων αὐτὴν αἱρῆται, μηδέποτε ἔπαθλον λαμβάνουσα, μελετᾷ διακεῖσθαι πρὸς αὐτὴν μετὰ πολλῆς τῆς ἀκριβείας· ὅταν δὲ καὶ μεθ' ἡδονῆς τὴν κακίαν φεύγῃ, μηδέποτε κόλασιν ὑπομένουσα, γυμνάζεται μισεῖν αὐτὴν καὶ ἀποστρέφεσθαι. ὥστε ἀπὸ τούτου καὶ ἕξιν λήψεται τῆς ἀπεχθείας τῆς πρὸς τὴν πονηρίαν, καὶ τῆς ἀγάπης πρὸς τὴν ἀρετήν. ἔστι καὶ ἕτερος λόγος. ποῖος δὲ οὗτος; ὅτι μάλιστα πρὸς φιλοσοφίαν ἡ θλίψις ἀλείφει, καὶ ἰσχυροτέρους ποιεῖ. καὶ μετὰ τούτου πάλιν ἄλλος. ποῖος δὲ οὗτος; βούλεται παιδεῦσαι τῶν παρόντων ὑπερορᾶν, καὶ μὴ προσηλῶσθαι, μηδὲ συνδεδέσθαι αὐτοῖς. διὰ δὴ τοῦτο καὶ θλίψιν συνεχώρησε καὶ πόνον, καὶ τὰ χρηστὰ αὐτὰ καὶ φαιδρὰ εὐκατάλυτα πεποίηκε.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον.

Τί ἐστι, Συντελεσθήτω; ἐπάγαγε, φησί, τιμωρίαν, καὶ στήσῃς αὐτοὺς τῆς κακίας. καθάπερ γὰρ αἱ σηπεδόνες πικροῖς εἴκουσι φαρμάκοις, καὶ καύσεσι καὶ τομαῖς· οὕτω καὶ ἡ πονηρία ὑπὸ τιμωρίας κωλύεται. ταῦτ' οὖν εἰδότας, οὐ τοὺς τιμωρουμένους, οὐδὲ τοὺς κολαζομένους δακρύειν χρή, ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητί. πρῶτον μὲν γὰρ κακὸν, τὸ ἁμαρτάνειν· δεύτερον δὲ, τὸ ἁμαρτάνοντας μηδεμιᾶς τυγχάνειν θεραπείας. μᾶλλον δὲ καὶ τοῦτο πρῶτον εἴποι τις ἂν δικαίως, καὶ πολλῷ χαλεπώτατον. ὥσπερ γὰρ οὐ τὸ νοσεῖν χαλεπὸν, ἀλλὰ τὸν νοσοῦντα μὴ θεραπεύεσθαι· οὐδὲ τὸν ἔχοντα σηπεδόνα θρηνοῦμεν ἁπλῶς, ἀλλὰ τὸν ἔχοντα καὶ εἰκῆ κείμενον, καὶ μὴ τυγχάνοντα ἰατρικῶν χειρῶν· τὸν δὲ τεμνόμενον καὶ καιόμενον, τοῦτον φαίημεν ἂν πρὸς ὑγείαν ὁδεύειν, οὐ τὴν ἀπὸ τῆς τομῆς ὀδύνην βλέποντες, ἀλλὰ τὴν ἀπὸ τῆς τομῆς ὑγείαν· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς διακεῖσθαι χρὴ, οὐχὶ τοὺς κολαζομένους (καὶ γὰρ πρὸς ὑγείαν ἕλκονται) ἀλλὰ τοὺς ἁμαρτάνοντας

μαρτάνοντας ἀτιμωρητὶ, θρηνεῖν καὶ πενθεῖν. καὶ εἰ αἱ τιμωρίαι τῆς πονηρίας εἰσὶ κωλυτικαὶ, φησὶ, τίνος ἕνεκεν οὐ καθ᾽ ἑκάστην ἡμέραν δίδομεν δίκην τῶν ἡμαρτημένων; ὅτι εἰ τοῦτο ἐγεγόνει, προανηρπάσθη ἂν τὸ γένος τῶν ἀνθρώπων, καὶ ὁ τῆς μετανοίας καιρὸς ἀνῄρητο. σκόπει γοῦν ἐπὶ τοῦ Παύλου. εἰ γὰρ ἐκεῖνος ἔδωκε δίκην τῆς διώξεως, καὶ ἀνῃρέθη, πῶς ἂν ἔσχε καιρὸν μετανοῆσαι; * * οὐχ ὁρᾷς καὶ τοὺς ἰατροὺς, ὅταν τις πολλὰ περίκειται τραύματα, οὐ τοσαύτην ἐπάγοντας θεραπείαν, ὅσην ἀπαιτεῖ τῶν τραυμάτων ἡ φύσις, ἀλλ᾽ ὅσην φέρει τῆς δυνάμεως ἡ ὑπόστασις, ἵνα μὴ τὰ τραύματα θεραπεύσαντες τὸν κάμνοντα ἀπενέγκωσι; διὰ δὴ τοῦτο ὁ Θεὸς οὔτε πάντας ὁμοῦ κολάζει, οὔτε πάντας κατ᾽ ἀξίαν, ἀλλ᾽ ἠρέμα, καὶ ἐνδιδούς· καὶ πολλάκις ἕνα τιμωρούμενος, δι᾽ ἐκείνου πολλοὺς ἐσωφρόνισε. τοῦτο καὶ ἐπὶ τοῦ σώματος γίνεται πολλάκις· ἑνὸς ἐκκοπὴ μέλους ἑτέροις πλείοσιν ὑγείαν παρέσχεν. ὅρα δὲ τοῦ δικαίου τὴν φιλόστοργον ψυχὴν, πῶς πανταχοῦ τὸ κοινῇ συμφέρον ζητεῖ, καὶ τῆς κακίας τὴν ἀναίρεσιν· οὐχ ἵνα αὐτὸς δίκην λάβῃ παρὰ τῶν ἐχθρῶν, ἀλλ᾽ ἵνα οἱ ἐχθροὶ παύσωνται τῆς πονηρίας. τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν, ὅπως σταίη τὰ τῆς κακίας, καὶ θρηνῶμεν τοὺς ἐν ταύτῃ, κἂν σηρικὰ ὦσι περικείμενοι ἱμάτια· καὶ μακαρίζωμεν τοὺς ἐν ἀρετῇ, κἂν πενίᾳ ἐσχάτῃ παλαίωσιν, ἀπὸ τῶν ἔξωθεν εἰς τὴν διάνοιαν ἑκατέρων εἰσιόντες. τότε γὰρ ὀψόμεθα τοὺς μὲν τὸν πλοῦτον, τοὺς δὲ τὴν πενίαν. τί γὰρ, εἰ λαμπρὰν στολὴν ἔξωθεν περιβέβληται; τί τῶν ἐργαστηρίων διενήνοχε, καὶ τῶν ξύλων τῶν ἀνεχόντων αὐτά; τί τῶν λαμβανόντων αὐτὰ πωλεῖν οὗτος εὐπορώτερος; ἀλλ᾽ οὐχ ὁ τοῦ δικαίου πλοῦτος τοιοῦτος, ἀλλὰ μόνιμος καὶ πεπηγώς. εἰ δὲ οὐκ αἰσθάνονται οἱ πλουτοῦντες ἐν πενίᾳ ὄντες, οὐδὲ οἱ φρενίτιδι κατεχόμενοι, καὶ διὰ τοῦτο μάλιστά εἰσιν ἐλεεινοὶ, οὐ μακαριστοί. εἰ γὰρ ᾔσθοντο, κἂν πρὸς τὸν ἰατρὸν ἔτρεχον· νῦν δὲ τῆς κακίας τοῦτο τὸ χαλεπώτατον, ὅτι ἐν αὐτῇ ὄντες, οὐδὲ ὅτι εἰσὶν ἐν αὐτῇ, συνορῶσι. μὴ δὴ τοῦτο ἴδῃς, ὅτι χαίρει πλουτῶν ὁ πλούσιος· ἀλλὰ διὰ τοῦτο αὐτὸ μάλιστα αὐτὸν δάκρυσον, ὅτι οὐδὲ αἰσθάνεται ἐν ὅσῳ κεῖται κακῷ. οὐ γὰρ ἀνθρώπινον, τὸ ἐπὶ τούτοις ἀγάλλεσθαι, ἀλλ᾽ ἀλογίας ἐσχάτης.

Καὶ κατευθυνεῖς δίκαιον. Τί ἐστι τοῦτο; τῶν γὰρ πονηρῶν κολασθέντων, φησὶ, προσεκτικώτεροι οἱ δίκαιοι γίνονται. ὥστε δύο ἐντεῦθεν τὰ ἀγαθά· ἐκεῖνοί τε γὰρ τῆς πονηρίας ἀφίστανται, καὶ οὗτοι τῇ ἀρετῇ μᾶλλον προσέρχονται. ὥσπερ γὰρ ὑγιαίνων ἄνθρωπος ἰδών τινα καιόμενον, ἢ τεμνόμενον, προσεκτικώτερος περὶ τὴν ὑγείαν γίνεται· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ γὰρ πολλοὶ τῶν τότε ἐσκανδαλίζοντο, καὶ τῶν δοκούντων ἑαυτοῖς προσέχειν, ἐπὶ τῇ τῶν πονηρῶν εὐημερίᾳ, ἀτελέστερον ἔτι διακείμενοι. διὸ καὶ οὗτος ἀλλαχοῦ ἔλεγε· Παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις. Ψαλ. οβ. β. ἄλλος δὲ πάλιν· Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; καὶ ὁ Ἰὼβ δὲ πολλὰ τοιαῦτα ἐζήτει. Ἱερ. ιβ. α. ἀλλὰ τότε μὲν ἀτελέστερον διακείμενοι, ταῦτα ἔφασκον οἱ φάσκοντες, καὶ ἐζήτουν οἱ ζητοῦντες· νῦν δὲ οὐδεμιᾶς συγγνώμης ἄξιος ὁ τούτοις θορυβούμενος, ὁ τοσαῦτα φιλοσοφεῖν μαθὼν, καὶ περὶ τῶν μελλόντων τοιαῦτα δόγματα δεξάμενος, καὶ τὰ περὶ γεέννης, καὶ τὸν περὶ βασιλείας σαφέστερον διδαχθεὶς λόγον, καὶ ὅτι τὰ κατ᾽ ἀξίαν ἕκαστος ἐκεῖ ἀπολήψεται.

Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δίκαιος. 11 Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἄλλος, Ὁ ἐταστὴς καρδιῶν καὶ νεφρῶν ὁ Θεὸς δίκαιος, ὁ ὑπερασπιστής μου. Καὶ ἕτερος, Ὁ Θεὸς δίκαιος. Οἱ ἑβδομήκοντα δὲ οὕτως εἶπον, Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ. Εἶπεν ὅτι κρίνει τὴν οἰκουμένην· λέγει λοιπὸν καὶ πῶς κρίνει. Εἶπεν ὅτι οὐ μαρτύρων δεόμενος, οὐκ ἐλέγχων, οὐκ ἀποδείξεως, οὐ γραμματείων, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. αὐτὸς γάρ ἐστιν

Ἑβρ. δ. ιγ.
Ῥω. η. κζ.

ὁ τὰ ἀπόρρητα ἐπιστάμενος. μὴ τοίνυν λεγέτω τις τῶν ἀνοήτων, καὶ πῶς κρινεῖ τὸν κόσμον τοσοῦτον ὄντα; ὁ γὰρ ποιήσας οὐκ ὄντα, καὶ γινόμενον κρινεῖ. νεφροὺς δὲ ἐνταῦθα, τὰ ἀπόρρητα τῆς διανοίας λέγει, τὰ ἐνδότατα, τὰ βαθύτατα, ἀπὸ τῆς θέσεως τοῦ μορίου. τί ἐστιν ἐτάζων; ὅπερ ἄλλος εἶπε, δοκιμάζων. εἰ δὲ καὶ ἀνθρώπιναι αἱ λέξεις, ἀλλὰ θεοπρεπῆ τὰ νοήματα. ὥσπερ γὰρ ὁ Παῦλος λέγων, Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, τὸ ἐρευνᾷν, ἀντὶ τοῦ σαφῶς εἰδέναι, τίθησιν· οὕτω καὶ ἐνταῦθα, τὸ ἐτάζων, ἀντὶ τοῦ ἀκριβῶς ἐπίστασθαι. καὶ τὸ βασανίσαι δὲ τὸ γυμνάσαι ἐστὶν, ὅπερ ἀκριβοῦς ἐστιν ἐπιστήμης· ὡς καὶ Παῦλός φησι, Πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Δικαία ἡ βοήθειά μου. Ἄλλος, Δίκαιος ὁ ὑπερασπιστής μου. τί ἐστι, δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ; δικαίως ἂν γένοιτό μοι, φησι, παρὰ τοῦ Θεοῦ. οὐδὲν γὰρ ἄδικον αἰτῶ. ὥστε εἰ μέλλοιμεν ἀπολαύειν συμμαχίας τῆς ἄνωθεν, τοιαῦτα αἰτεῖν δεῖ, ἃ καὶ τὸν τοῦ δικαίου λόγον ἔχει· ἵνα τῇ φύσει τῆς αἰτήσεως τὴν ῥοπὴν ἐπισπασώμεθα τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. τοῦτο ἔργον αὐτοῦ, τοῦτο ἔθος αὐτοῦ. ἐπεὶ τοίνυν καὶ ἐγὼ οὐκ ἦρξα χειρῶν ἀδίκων, οὐδὲ ἀμύνασθαι ἐπιθυμῶ, διὰ τοῦτο δικαία ἂν γένοιτο ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ. ταῦτα οὖν εἰδότες, μηδὲν τοιοῦτον αἰτῶμεν, ὃ κωλύει τὴν δόσιν. ὅταν γὰρ κατ᾽ ἐχθρῶν αἰτῇς, οὐκ ἔστι δικαία ἡ βοήθειά σου. ἐναντία γὰρ ἐστὶ τῷ νόμῳ τοῦ παρέχοντος. κἂν πλοῦτον αἰτῇς, κἂν κάλλος αἰτῇς, κἂν ὁτιοῦν τοιοῦτον αἰτῇς βιωτικὸν, αἰτεῖς παραρρέον, καὶ ἐναντίον τῇ τῆς ψυχῆς φιλοσοφίᾳ. αἰτῶμεν τοίνυν ὥστε καὶ ἐπιτυχεῖν.

12 Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. Ἄλλος φησὶν, Ἐμβριμώμενος κατὰ πᾶσαν ἡμέραν. Ὁ δὲ Ἑβραῖος, Κατὰ πᾶσαν ζωήν. Καὶ ἄλλος, Ἀπειλούμενος, ἐμβριμώμενος, οὐ κολάζων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ δίκαιος, πάντως βουλήσεται τοὺς ἀδίκους κολάσαι· εἰ ἰσχυρὸς, πάντως δυνήσεται. καὶ ποῦ, φησι, τὰ τῆς φιλανθρωπίας, εἰ κατὰ τὸ δίκαιον κρινεῖ; πρῶτον μὲν, ἐν τῷ μὴ κατὰ πόδας ἐπάγειν τὴν δίκην, μᾶλλον δὲ περὶ τούτου, ἐν τῷ πάντα ἀφεῖναι διὰ λουτροῦ παλιγγενεσίας· δεύτερον δὲ ἐν τῷ καὶ μετάνοιαν δοῦναι. ἂν γὰρ ἐννοήσῃς ὅτι καθ᾽ ἑκάστην ἁμαρτάνομεν ἡμέραν, τότε ὄψει αὐτοῦ τὸ ἄφατον μέγεθος τῆς φιλανθρωπίας· ὃ δὴ καὶ ἐμφαίνων ἐπήγαγε, λέγων· ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ἀπορεῖς, ἐπεὶ καὶ δύναται καὶ βούλεται, τίνος ἕνεκεν οὐ κολάσει; μάνθανε, φησιν, ὅτι μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. ἵνα γὰρ μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι δι᾽ ἀσθένειαν οὐκ ἐπεξέρχεται, δείκνυσι τῆς μελλήσεως τὴν αἰτίαν· ὅτι μεγάλα καὶ ἡ μακροθυμία μέτρα ἔχει. ἐπειδὰν γὰρ διὰ τοῦτο μακροθυμεῖ, εἰς μετάνοιάν σε ἄγων, ὅταν ἀπὸ τοῦ φαρμάκου τούτου μηδὲν κερδάνῃς, καὶ ἐπεξέρχεται. ἄρα καθ᾽ ἑκάστην ἡμέραν τοῦ κολάζεσθαί ἐσμεν ἄξιοι. οὐδὲ γὰρ, ἂν μὴ τοῦτο ἦν, ὡς μέγα τι τέθεικε, τὸ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν· ἀλλ᾽ ὡς τῶν πραγμάτων μὲν τοῦτο ἀπαιτούντων, τῆς δὲ τοῦ Θεοῦ φιλανθρωπίας ἐπεχούσης τὴν ἀξίαν κόλασιν, τοῦτό φησιν. εἶδες καὶ ἐνταῦθα πῶς τὸ ἀνεπαχθὲς τοῦ Θεοῦ δείκνυσι, καὶ τὴν κόλασιν ὀργὴν λέγει; οὐδεὶς γὰρ ὀργὴν ἐπάγει ἄλλῳ· ἀλλὰ τὴν μὲν ὀργὴν αὐτὸς ἔχει, τὴν δὲ κόλασιν ἐπάγει ἑτέρῳ. οὐδὲν οὖν ἄλλο, ἢ τὴν κόλασιν δηλοῖ, τῷ εἰπεῖν, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. καὶ πῶς, φησι, καθ᾽ ἑκάστην ἡμέραν; εἰσελθέτω ἕκαστος εἰς τὸ ἑαυτοῦ συνειδὸς, καὶ τότε ὄψεται. ἵνα γὰρ παρῶ τὰ ἀπόρρητα ἑκάστου ἁμαρτήματα, ταῦτα δὴ τὰ κοινὰ τίς διαφεύξεται; ποῖα δὴ ταῦτα; ποία ἐστὶν ἡμέρα, ἣν μὴ ῥαθύμως εὐχόμεθα καὶ μετὰ πολλῆς ὀλιγωρίας; ὅτι δὲ τοῦτο ὀργῆς ἄξιον, δῆλον ἐντεῦθεν. εἰπὲ γάρ μοι· εἰ δικαστῇ χασμώμενος προσῆλθες, καὶ διελέχθης, οὐκ ἄν σε εὐθέως δίκην ἀπῄτησε, καὶ εἰς τὴν ὑπερορίαν με-

τέστησε; ναί, φησίν· ἄνθρωπος γάρ ἐστι. καὶ τί τοῦτο; ἄνθρωπος μὲν γὰρ ὑβρισθείς, οὐκ ἂν εἴη δίκαιος ἀγανακτεῖν (παρὰ γὰρ τοῦ ὁμοτίμου ὑβρίσθη)· ὁ δὲ Θεὸς ὑβριζόμενος, δικαίως ἂν ἐπαγάγοι τὴν δίκην. μείζων γὰρ αὕτη ἡ ἁμαρτία τῆς εἰς ἄνθρωπον. καὶ ὁ μὲν ἄνθρωπος τὸ ἑαυτοῦ ζητῶν τοῦτο ποιεῖ· ὁ δὲ Θεὸς τὸ σόν. ὥστε κατὰ τοῦτο, ἄξιον τοῦτο μᾶλλον ἀγανακτήσεως. οὐ γάρ ἐστιν ἴσον καταφρονεῖν τῶν τὰ ἑαυτῶν ζητούντων, καὶ τοῦ τὰ σά. τοῦτο γὰρ μείζονος ὀργῆς ἄξιον, ὅταν μηδὲ αἰτεῖν μέλλων τὰ σοὶ συμφέροντα, νήφῃς. τίς δέ ἐστιν, ὃς οὐχ ὕβρισε τὸν ἀδελφὸν εἰκῇ; μὴ γάρ μοι εἴπῃς, ὅτι οἰκέτην ὕβρισεν. ἐν γὰρ Χριστῷ, Οὐκ ἄρσεν, οὐ θῆλυ, οὐ δοῦλος, οὐκ ἐλεύθερός ἐστι. τίς ὃς οὐ κατηγόρησεν, οὐδὲ Γαλ. γ. κη. ἐψεύσατο; ὃς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα; ὃς οὐκ ἐβάσκηνεν; ὃς οὐκ ἐκενοδόξησεν; ὃς οὐκ ἐφθέγξατο ῥῆμα ἀργόν; πάντα δὲ ταῦτα ὑπὸ κόλασιν κεῖται. καὶ εἰ μὲν περὶ τὰ βιωτικὰ μὴ ὄντες σπουδαῖοι, μηδὲ ἐν τοῖς πνευματικοῖς ἦμεν, συγγνώμης ἂν ἦμεν ἄξιοι· νῦν δὲ καὶ ταύτης ἀπεστερήμεθα τῆς ἀπολογίας. καὶ γὰρ ἐν ἐκείνοις μὲν ἐγρηγορότες ἐσμέν, ἐν τούτοις δὲ ἀναπεπτωκότες. ὥστε δὲ μὴ ἀκούοντας, ὅτι μακρόθυμος, ῥαθυμοτέρους γίνεσθαι, ἐπήγαγεν·

13 Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. Ἕτερος δέ φησι, Τὴν μάχαιραν αὐτοῦ ἀκονήσει. Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. Ἄλλος φησίν, Ἐκλενεῖ. 14 Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἄλλος φησίν, Εἰς τὸ καίειν. τί ἐνταῦθα ἐροῦσιν οἱ ἀνθρωπόμορφον τὸν Θεὸν λέγοντες, ἐκ τοῦ λέγεσθαι χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς ἔχειν; ἆρα τόξα αὐτῷ, καὶ βέλη, καὶ ἀκόνη, καὶ μάχαιρα, καὶ φαρέτρα; καὶ μὴν ἄλλος φησίν, Ἐν τῷ ἐπιβλέψαι σε, ταραχθήσονται ἀπὸ σοῦ ὄρη. καὶ αὐτὸς οὗτος, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. εἰ δὲ ὁρῶν μόνον τὴν γῆν καὶ λίθων τήκει φύσιν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων τοῦτο δυνήσεται. τίνος οὖν ἕνεκεν ἀπὸ τοῦ μόνον ἰδεῖν, καταστρέψαι δυνάμενος τὴν οἰκουμένην, μᾶλλον δὲ ἀπὸ τοῦ ἐθελῆσαι μόνον (ὁ γὰρ θελήματι μόνον ποιήσας αὐτήν, εὔδηλον ὅτι καὶ θελήματι μόνῳ ἀνελεῖν δύναται) λέγεται ῥομφαίαν ἔχειν καὶ τόξον; Εἰ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, Καὶ οἱ ἐνοικοῦντες Ψαλ. ϟδ. δ. ἐν αὐτῇ, ὡς ἀκρίδες· καὶ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ λογισθή- Ησ. μ. κβ. καὶ ιε. σεται)· Καὶ ὁ ἄγγελος δὲ αὐτοῦ ἐξελθών, ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἑκατὸν ὀγδοήκοντα πέντε δ. Βασ. ιθ. λε. χιλιάδας ἀνεῖλε (τί λέγω ἄγγελος;) μυῖαι καὶ κάμπαι καὶ σκώληκες τὸ τῶν Αἰγυπτί- Ἐξοδ. η. καὶ ι. ων στρατόπεδον ἀπώλεσαν· ποῦ τόξου αὐτόθι χρεία; ποῦ δὲ μαχαίρας; τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται; διὰ τὴν τῶν ἀκουόντων παχύτητα· καὶ ὥστε τοῖς ὀνόμασι τοῖς συντρόφοις τῶν ὅπλων κατασεῖσαι αὐτῶν τὴν διάνοιαν. οὐ γὰρ ἐν τῇ χειρὶ ἡ πνοὴ πάντων ἡμῶν, Καὶ οὐ κατὰ πρόσωπον ψύχους αὐτοῦ οὐδαμῶς τις ὑποστήσεται, πῶς ὅπλων δεῖ τούτῳ; ἀλλ' Ψαλ. ρμζ. (ὅπερ ἔφθην εἰπὼν) διὰ τὴν παχύτητα καὶ τὴν ἀναισθησίαν τῶν ἀκουόντων οὕτω ταῦτα εἴρηται. τί δέ ἐστι, καὶ στιλβώσει; ἀκονήσει. ἆρα οὖν καὶ ἀκόνης χρεία; καὶ ἰὸς περὶ τὴν μάχαιραν; καὶ τίς ἂν ταῦτα νοῦν ἔχων ἀνέξεται οὕτως ἐκλαβεῖν ὡς εἴρηται; ἀλλ' (ὅπερ ἔφθην εἰπὼν) τὴν τιμωρίαν διὰ πάντων σχηματίζει· καὶ ἐπὶ τὰ παχύτερα πρόεισιν, ὥστε καὶ τοὺς σφόδρα ἀνοήτους συνιδεῖν, ὅτι οὐ δεῖ ταῖς λέξεσι παρακαθῆσθαι, ἀλλὰ θεοπρεπεῖς ἐννοίας ἐκ τούτων λαμβάνειν. ὥστε εἴ τις ἀπορεῖ τίνος ἕνεκεν θυμὸς εἴρηται περὶ Θεοῦ καὶ ὀργή, πολλῷ μᾶλλον τούτων ἕνεκεν ἀπορήσει. εἰ δὲ ταῦτα οὐχ ὡς εἴρηται ἐκληπτέον, ἀλλὰ θεοπρεπῶς, εὔδηλον ὅτι καὶ τὰ περὶ θυμοῦ καὶ ὀργῆς· ἡ δὲ παχύτης τῶν λέξεων, ὥστε καθικέσθαι τῆς τῶν ἀκροατῶν παχύτητος. διά τοι τοῦτο οὐδὲ τοῖς εἰρημένοις ἠρκέσθη, ἀλλ' ἔτι πρόεισιν ἐπὶ τὸ ἀνθρωπινώτερον, τὸν φόβον αὔξων. οὐ γὰρ ῥομφαί-

ἦν αὐτὸν ἔχοντα εἰσάγει μόνον, ἀλλὰ ὁπλιζόμενον. ἐπεὶ γὰρ οὐχ ὁμοίως τις φοβεῖται ἀκούων, ὅτι ἀκονᾶται ἡ μάχαιρα, καὶ ὅτι τὸ τόξον μετὰ χεῖρας, ἀπὸ τῶν ἀνθρωπίνων σχημάτων κατασείει τὴν διάνοιαν τῶν ἀκουόντων, λέγων, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· φοβῶν τὸν ἀκούοντα, ὁμοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν ἐνδεικνύμενος. οὐ γὰρ εἶπεν ἀφῆκεν, οὐδὲ ἔβαλεν, ἀλλ᾽ ἐνέτεινε καὶ ἡτοίμασε· τουτέστιν, ἕτοιμός ἐστι πρὸς τὴν ἄφεσιν. καὶ τί θαυμάζεις, εἰ ἐν τῇ παλαιᾷ οὕτως εἴρηται, ὅπουγε καὶ ἐν τῇ καινῇ Ἰουδαίοις διαλεγόμενος ὁ Ἰωάννης τοιοῦτόν τι λέγει; Λουκ. γ. θ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. τί οὖν; δρυτόμον ὁ Θεὸς μιμεῖται ἀξίνῃ κόπτοντα ξύλα; καὶ ἡ ἀξίνη ἐκληπλέον καὶ ξύλα; ἄπαγε· ὥσπερ οὐδὲ ἄχυρα καὶ σῖτον, ὅταν λέγῃ· Ματθ. γ. ιβ. Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. τίς οὖν ἐστιν ἡ ἀξίνη; ἡ τιμωρία καὶ ἡ κόλασις. τίνα δὲ τὰ δένδρα; οἱ ἄνθρωποι. τίνα δὲ τὰ ἄχυρα; οἱ φαῦλοι. τίς ὁ σῖτος; οἱ χρηστοί. τί τὸ πτύον; ἡ διάκρισις. οὕτω καὶ ἐνταῦθα ῥομφαία καὶ τόξον καὶ βέλη, ἡ κόλασις καὶ ἡ τιμωρία ἐστίν. εἶτα τὴν μέλλησιν, καὶ τὸ ἀφεστηκέναι μετὰ τὴν τιμωρίαν, μὴ πολὺ δὲ ἀφεστηκέναι, ἀλλ᾽ ἐπὶ θύραις εἶναι, τὸ τεῖναι καὶ ἑτοιμάσαι παρεσκεύασε. σκεύη δὲ θανάτου, τὰ βέλη φησίν. ὥσπερ σκεύη γεωργίας, τὰ γεωργεῖν ποιοῦντα· καὶ ναυτιλίας, τὰ πλεῖν ἡμᾶς παρασκευάζοντα· καὶ ὑφαντικῆς, τὰ ὑφαίνειν ποιοῦντα· οὕτω καὶ θανάτου σκεύη, τὰ θάνατον ἐργαζόμενα. εἶτα ἑρμηνεύων τίνα ἐστὶ τὰ σκεύη τοῦ θανάτου, ἐπάγει τὰ βέλη αὐτοῦ, δεικνὺς τὸ τάχος τῆς τιμωρίας, ὅταν βουληθῇ. τί δέ ἐστι, τοῖς καιομένοις; τοῖς τιμωρουμένοις, τοῖς κολαζομένοις. ὁρᾷς ὅτι πάντα μεταφορικῶς εἴρηται καὶ ἐμφαντικῶς, καὶ ὥστε διὰ πάντων αὐξηθῆναι τὸν φόβον. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν. ἡτοίμασε τὰς τιμωρίας τοῖς μέλλουσι τιμωρεῖσθαι. ἀλλ᾽ εἰ μὴ οὕτως εἶπεν, οὐκ ἂν οὕτως ἔπληξε· νῦν δὲ βελῶν καὶ ῥομφαίας, καὶ τόξων, καὶ ἀφέσεως, καὶ τάσεως, καὶ σκευῶν θανάτου καὶ ἐμπρησμοῦ μνημονεύσας, τῇ ποικιλίᾳ τῶν ὀνομάτων ἐπέτεινε τὴν ἀγωνίαν. εἶτα παραμυθούμενος πάλιν τὸν φόβον, ἐπήγαγε, τοῖς καιομένοις. ἵνα γὰρ μὴ νομίσῃ τις τῶν ἀνοητοτέρων, ἐπὶ πάντας αὐτὸν ἄγειν τὴν χεῖρα, καὶ κατὰ πάντων ὁπλίζεσθαι, ἐπήγαγε, τοῖς καιομένοις. ὅπερ καὶ ὁ Παῦλος αἰνίττεται περὶ ἄρχοντος λέγων· Ρωμ. ιγ. δ. Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. εἰ δὲ ἐπὶ τῶν ἀρχόντων ἡ μάχαιρα τοῦτο ποιεῖ καὶ φοβεῖ, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. καὶ τοῦτο δὲ οὐ τῆς τυχούσης φιλανθρωπίας, τὸ διὰ τῶν ῥημάτων φοβεῖν καὶ ἐξογκοῦν τὴν τιμωρίαν, ὥστε μὴ γενέσθαι ἐν πείρᾳ τῶν πραγμάτων. διὰ γὰρ τοῦτο ἐνέτεινε, διὰ τοῦτο ἡτοίμασε, διὰ τοῦτο ἐνέθηκε τὰ βέλη, διὰ τοῦτο πρὸς τὴν τιμωρίαν εὐτρεπίζεται, ἵνα μὴ ἔλθῃ πρὸς τὴν τιμωρίαν. καὶ ἐξογκοῖ τὸν λόγον, τῷ μὲν στιλβώσει, τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα τῆς τιμωρίας ἐμφαίνων· τῷ δὲ ἐνέτεινε, τὴν ἐγγύτητα· τῷ δὲ ἡτοίμασε, τὸ πάντως ἐσόμενον, εἰ μὴ μεταβάλοιντο· τῷ δὲ τοῖς καιομένοις, τοὺς ὑπευθύνους ἐνδεικνύμενος· ἵνα διὰ πάντων παιδευθέντες, ἀποστείλωσι τὴν πονηρίαν. εἰ δὲ θυμοῦ ταῦτα ἦν καὶ ὀργῆς, οὐκ ἄν, οἷς ἔμελλεν ἐπιθήσεσθαι, προεῖπεν. ὁ γὰρ θυμὸς οὐκ ἀνέχεται τοῦτο· ἀλλὰ καὶ τοὐναντίον ποιεῖ, καὶ μάλιστα ὅταν ἐν αὐτῇ λοιπὸν ᾖ τῇ ἀκμῇ, καὶ τῇ κολάσει, καὶ τῇ κατασκευῇ τῆς τιμωρίας. οἱ γοῦν πολέμιοι καὶ βουλόμενοι τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐ μόνον οὐ λέγουσιν, ἀλλὰ καὶ κρυπτόμενοι ἐπιτίθενται, ὥστε μὴ μαθόντας τοὺς κολάζεσθαι μέλλοντας, φυλάξασθαι. ἀλλ᾽ οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· καὶ προλέγει, καὶ ἀναβάλλεται, καὶ φοβεῖ διὰ ῥημάτων, καὶ πάντα ποιεῖ, ὥστε μὴ ἐπαγαγεῖν ἅπερ ἀπειλεῖ. τοῦτο καὶ ἐπὶ Νινευιτῶν ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖ τόξον ἐνέτεινε, καὶ τὴν ῥομφαίαν ἐστίλβωσε, καὶ τὰ βέλη ἡτοίμασε, καὶ τὴν πληγὴν οὐκ ἐπήγαγεν. ἢ οὐ δοκεῖ σοι τὰ ῥήματα τοῦ προφήτου τόξον εἶναι καὶ βέλος καὶ ῥομφαίαν ἠκονημένην, ὅταν λέγῃ· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται; ἀλλ᾽ οὐκ ἀφῆκε τὸ βέλος. οὐδὲ γὰρ διὰ τοῦτο ηὐτρέπιστο ἵνα ἀφεθῇ, ἀλλ᾽ ἵνα ἐναποτεθῇ. οἱ μὲν γὰρ στρατιῶται διὰ τοῦτο ὁπλίζονται, ἵνα κολάσωσιν· ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ᾽ ἵνα τῷ φόβῳ σωφρονεστέρους ποιήσας, ἀνάσχῃ τῆς τιμωρίας τὴν χεῖρα. μὴ τοίνυν θορυβώμεθα. φιλανθρωπίας γὰρ πολλῆς ὁ τῶν ῥημάτων φόβος. καὶ ὅσῳ ἂν ἀφορητότερα λέγῃ, τοσούτῳ ἀπὸ πολλῆς ἡμερότητος ταῦτα φθέγγεται. ἐπεὶ καὶ πατέρες, ὅταν μὴ βούλωνται κολάζειν τοὺς παῖδας, διὰ τῶν ῥημάτων τὴν ὀργὴν αἴρουσιν. οὕτω καὶ αὐτὸς, ἐπεὶ μὴ βούλεται κολάζειν, ἐξογκοῖ διὰ ῥημάτων τὸν φόβον. λέγει καὶ γέενναν ἑτοιμάσαι, ἵνα μὴ βάλῃ εἰς γέενναν. διά τοι τοῦτο καὶ πολλοὶ λόγοι * τιμωρίας τοῖς εὐαγγελίοις ἐναπόκεινται, καὶ πλείους, ἢ οἱ περὶ βασιλείας. ἐπειδὴ γὰρ ἐπὶ τῶν ἀναισθητοτέρων οὐχ οὕτως ἡ τῶν ἀγαθῶν ἐπαγγελία, ὡς ὁ τῶν λυπηρῶν φόβος ἐφέλκεται πρὸς ἀρετὴν, καὶ ἀπάγει τῆς κακίας, διὰ δὴ τοῦτο τούτοις πλέον ἐμφιλοχωρεῖ, καὶ συνεχῶς αὐτὰ τίθησι. μὴ τοίνυν ἀλγῶμεν ἀκούοντες φορτικῶν ῥημάτων (πολὺ γὰρ κέρδος ἔχουσιν) ἀλλ᾽ ἐννοοῦντες αὐτοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν δικαιοκρισίαν, μήτε ἀπογινώσκωμεν τῆς σωτηρίας (μακρόθυμος γάρ ἐστι) μήτε ῥαθυμῶμεν (δίκαιος γάρ ἐστιν) ἐνταῦθα μὲν πολλὴν τὴν μακροθυμίαν ἐνδεικνύμενος, ἐκεῖ δὲ τοὺς μὴ κερδάναντας ἐντεῦθεν τῇ πείρᾳ τῆς κολάσεως παραδιδούς. ὅπερ ἵνα μὴ γένηται, ἀποκρουσώμεθα ἐντεῦθεν ἤδη τὴν τιμωρίαν.

Ιων. γ. δ.

15 Ἰδοὺ ὠδίνησεν ἀδικίαν. ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ ὠδίνησεν, ἰέβελ.

Συνέλαβε πόνον· Ἄλλος, Καὶ κυήσας.

Καὶ ἔτεκεν ἀνομίαν· Ἄλλος, Ψεῦδος. 16 Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἄλλος, Εἰς διαφθορὰν ἣν εἰργάσατο. Εἶπεν ὅτι παρεσκεύασαι πρὸς τιμωρίαν ὁ Θεός· εἶπεν ὅτι καὶ ἐπαφίησι τὰς κολάσεις. ἐσωφρόνισε τούτῳ τὸν ἀκροατὴν, τὴν ἄνωθεν ὀργὴν ἐπικρεμάσας. παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν, δεικνὺς ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ κακία κόλασις. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· καὶ ἄγει εἰς μέσον τοὺς τὰ ἔσχατα παθόντας ὑπὸ τῆς κακίας. ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν παχυτέρων τότε μάλιστα σωφρονίζεσθαι, ὅταν τοὺς πεπονθότας ἴδωσι· διὰ τοῦτο καὶ αὐτοὺς εἰς μέσον ἄγει. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. πολλὰ περὶ γεέννης διαλεχθεὶς, καὶ τοὺς ἐκεῖ βαλλομένους εἰς μέσον ἄγει· οἷον, τὸν πλούσιον τὸν ἐπὶ Λαζάρου· τὰς παρθένους· τὸν τὸ τάλαντον τὸ ἓν κατακρύψαντα· καὶ ἐν τῷ παρόντι βίῳ, τοὺς ἐν τῷ πύργῳ καταχωσθέντας, καὶ ὧν τὸ αἷμα Πιλάτος ἀνέμιξε ταῖς θυσίαις. οὕτω καὶ Πέτρος πολλὰ περὶ γεέννης διαλεχθεὶς, τότε μάλιστα αὐτοὺς ἔπληξεν, ὅτε τοὺς κολασθέντας εἰς μέσον ἤγαγε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὴν τιμωρίαν ἔδειξεν. ὅπερ οὖν καὶ Παῦλος ἐποίει ἐπὶ τοῦ μάγου· καὶ ἑτέρῳ δὲ τρόπῳ κατασκευάζει τὸ τοιοῦτον, ὅτε τῶν ἐν τῇ ἐρήμῳ μέμνηται, λέγων οὕτως· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πόμα πνευματικὸν ἔπιον. ἀλλ᾽ ἐν τοῖς πλείοσιν αὐτῶν οὐκ ηὐδόκησεν ὁ Θεὸς, ἀλλ᾽ ἀπώλοντο καὶ κατέπεσον. ἐπειδὴ γὰρ περὶ μελλόντων διελέγετο, γεέννης λέγω, καὶ κολάσεως, καὶ τιμωρίας, ἀπὸ τῶν παρελθόντων καὶ τὴν περὶ ἐκείνων ἀπόδειξιν φέρει, αὐτοὺς τοὺς κολασθέντας εἰς μέσον ἄγων, τοὺς ὑπὸ τῶν ὄφεων, τοὺς ὑπὸ τοῦ ὀλοθρευτοῦ. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Δαβὶδ, εἴτε περὶ τοῦ Ἀχιτόφελ, εἴτε περὶ τοῦ Ἀβεσαλὼμ λέγων. τινὲς μὲν οὖν περὶ τοῦ Ἀχιτόφελ

Ρωμ. α. κζ.
Λυκ. ις. ιθ.
Ματθ. κε. α. κδ.
Λυκ. ιγ. α. δ.
Πετρ. ε. γ. δ.
καὶ Πραξ. ε. α.
Πραξ. ιγ. ια.
α. Κορ. ι. α.

ἦν αὐτὸν ἔχοντα εἰσάγει μόνον, ἀλλὰ ὁπλιζόμενον. ἐπεὶ γὰρ οὐχ ὁμοίως τις φοβεῖται ἀκούων, ὅτι ἀκονᾶται ἡ μάχαιρα, καὶ ὅτι τὸ τόξον μετὰ χεῖρας, ἀπὸ τῶν ἀνθρωπίνων σχημάτων κατασείει τὴν διάνοιαν τῶν ἀκουόντων, λέγων, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· φοβῶν τὸν ἀκούοντα, ὁμοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν ἐνδεικνύμενος. οὐ γὰρ εἶπεν ἀφῆκεν, οὐδὲ ἔβαλεν, ἀλλ᾽ ἐνέτεινε καὶ ἡτοίμασε· τουτέστιν, ἕτοιμός ἐστι πρὸς τὴν ἄφεσιν. καὶ τί θαυμάζεις, εἰ ἐν τῇ παλαιᾷ οὕτως εἴρηται, ὅπουγε καὶ ἐν τῇ καινῇ Ἰουδαίοις διαλεγόμενος ὁ Ἰωάννης τοιοῦτόν τι λέγει; Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. τί οὖν; δρυτόμον ὁ Θεὸς μιμεῖται ἀξίνῃ κόπτοντα ξύλα; καὶ ἀξίνην ἐκληπτέον καὶ ξύλα; ἄπαγε· ὥσπερ οὐδὲ ἄχυρα καὶ σῖτον, ὅταν λέγῃ· Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. τίς οὖν ἐστιν ἡ ἀξίνη; ἡ τιμωρία καὶ ἡ κόλασις. τίνα δὲ τὰ δένδρα; οἱ ἄνθρωποι. τίνα δὲ τὰ ἄχυρα; οἱ φαῦλοι. τίς ὁ σῖτος; οἱ χρηστοί. τί τὸ πτύον; ἡ διάκρισις. οὕτω καὶ ἐνταῦθα ῥομφαία καὶ τόξον καὶ βέλη, ἡ κόλασις καὶ ἡ τιμωρία ἐστίν. εἶτα τὴν μέλλησιν, καὶ τὸ ἀφεστηκέναι μὲν τὴν τιμωρίαν, μὴ πολὺ δὲ ἀφεστηκέναι, ἀλλ᾽ ἐπὶ θύραις εἶναι, τὸ τεῖναι καὶ ἑτοιμάσαι παρεσκεύασε. σκεύη δὲ θανάτου, τὰ βέλη φησίν. ὥσπερ σκεύη γεωργίας, τὰ γεωργίαν ποιοῦντα· καὶ ναυτιλίας, τὰ πλεῖν ἡμᾶς παρασκευάζοντα· καὶ ὑφαντικῆς, τὰ ὑφαίνειν ποιοῦντα· οὕτω καὶ θανάτου σκεύη, τὰ θάνατον ἐργαζόμενα. εἶτα ἑρμηνεύων τίνα ἐστὶ τὰ σκεύη τοῦ θανάτου, ἐπάγει τὰ βέλη αὐτοῦ, δεικνὺς τὸ τάχος τῆς τιμωρίας, ὅταν βουληθῇ. τί δέ ἐστι, τοῖς καιομένοις; τοῖς τιμωρουμένοις, τοῖς κολαζομένοις. ὁρᾷς ὅτι πάντα μεταφορικῶς εἴρηται καὶ ἐμφαντικῶς, καὶ ὥστε διὰ πάντων αὐξηθῆναι τὸν φόβον. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν. ἡτοίμασε τὰς τιμωρίας τοῖς μέλλουσι τιμωρεῖσθαι. ἀλλ᾽ εἰ μὴ οὕτως εἶπεν, οὐκ ἂν οὕτως ἐξέπληξε· νῦν δὲ βελῶν καὶ ῥομφαίας, καὶ τόξων, καὶ ἀφέσεως, καὶ τάσεως, καὶ σκευῶν θανάτου καὶ ἐμπρησμοῦ μνημονεύσας, τῇ ποικιλίᾳ τῶν ὀνομάτων ἐπέτεινε τὴν ἀγωνίαν. εἶτα παραμυθούμενος πάλιν τὸν φόβον, ἐπήγαγε, τοῖς καιομένοις. ἵνα γὰρ μὴ νομίσῃ τις τῶν ἀνοητοτέρων, ἐπὶ πάντας αὐτὸν ἄγειν τὴν χεῖρα, καὶ κατὰ πάντων ὁπλίζεσθαι, ἐπήγαγε, τοῖς καιομένοις. ὅπερ καὶ ὁ Παῦλος αἰνίττεται περὶ ἄρχοντος λέγων· Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. εἰ δὲ ἐπὶ τῶν ἀρχόντων ἡ μάχαιρα τοῦτο ποιεῖ καὶ φοβεῖ, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. καὶ τοῦτο δὲ οὐ τῆς τυχούσης φιλανθρωπίας, τὸ διὰ τῶν ῥημάτων φοβεῖν καὶ ἐξογκοῦν τὴν τιμωρίαν, ὥστε μὴ γενέσθαι ἐν πείρᾳ τῶν πραγμάτων. διὰ γὰρ τοῦτο ἐνέτεινε, διὰ τοῦτο ἡτοίμασε, διὰ τοῦτο ἐνέθηκε τὰ βέλη, διὰ τοῦτο πρὸς τὴν τιμωρίαν εὐτρεπίζεται, ἵνα μὴ ἔλθῃ πρὸς τὴν τιμωρίαν. καὶ ἐξογκοῖ τὸν λόγον, πῇ μὲν στιλβώσει, τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα τῆς τιμωρίας ἐμφαίνων· πῇ δὲ ἐνέτεινε, τὴν ἐγγύτητα· πῇ δὲ ἡτοίμασε, τὸ πάντως ἐσόμενον, εἰ μὴ μεταβάλοιντο· τῷ δὲ τοῖς καιομένοις, τοὺς ὑπευθύνους ἐνδεικνύμενος· ἵνα διὰ πάντων παιδευθέντες, ἀποστείλωσι τὴν πονηρίαν. εἰ δὲ θυμοῦ ταῦτα ἦν καὶ ὀργῆς, οὐκ ἄν, οἷς ἔμελλεν ἐπιθήσεσθαι, προεῖπεν. ὁ γὰρ θυμὸς οὐκ ἀνέχεται τοῦτο· ἀλλὰ καὶ τοὐναντίον ποιεῖ, καὶ μάλιστα ὅταν ἐν αὐτῇ λοιπὸν ᾖ τῇ ἀκμῇ, καὶ τῇ κολάσει, καὶ τῇ κατασκευῇ τῆς τιμωρίας. οἱ γοῦν πολέμιοι καὶ βουλόμενοι τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐ μόνον οὐ λέγουσιν, ἀλλὰ καὶ κρυπτόμενοι ἐπιτίθενται, ὥστε μὴ μαθόντας τοὺς κολάζεσθαι μέλλοντας, φυλάξασθαι. ἀλλ᾽ οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· καὶ προλέγει, καὶ ἀναβάλλεται, καὶ φοβεῖ διὰ ῥημάτων, καὶ πάντα ποιεῖ, ὥστε μὴ ἐπαγαγεῖν ἅπερ ἀπειλεῖ. τοῦτο καὶ ἐπὶ Νινευιτῶν ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖ τόξον ἐνέτεινε, καὶ τὴν ῥομφαίαν ἐστίλβωσε, καὶ τὰ βέλη ἡτοίμασε, καὶ

Λουκ. γ. θ.

Ματθ. γ. ιβ.

Ρωμ. ιγ. δ.

τὴν πληγὴν οὐκ ἐπήγαγεν. ἢ οὐ δοκεῖ σοι τὰ ῥήματα τοῦ προφήτου τόξον εἶναι καὶ βέλος καὶ ῥομφαίαν ἠκονημένην, ὅταν λέγῃ· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται; Ιων. γ. δ. ἀλλ᾽ οὐκ ἀφῆκε τὸ βέλος. οὐδὲ γὰρ διὰ τοῦτο ηὐτρέπισεν ἵνα ἀφεθῇ, ἀλλ᾽ ἵνα ἐναποτεθῇ. οἱ μὲν γὰρ στρατιῶται διὰ τοῦτο ὁπλίζονται, ἵνα κολάσωσιν· ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ᾽ ἵνα τῷ φόβῳ σωφρονεστέρους ποιήσας, ἀνάσχῃ τῆς τιμωρίας τὴν χεῖρα. μὴ τοίνυν θορυβώμεθα. φιλανθρωπίας γὰρ πολλῆς ὁ τῶν ῥημάτων φόβος. καὶ ὅσῳ ἂν ἀφορητότερα λέγῃ, τοσούτῳ ἀπὸ πολλῆς ἡμερότητος ταῦτα φθέγγεται. ἐπεὶ καὶ πατέρες, ὅταν μὴ βούλωνται κολάζειν τοὺς παῖδας, διὰ τῶν ῥημάτων τὴν ὀργὴν αἴρουσιν. οὕτω καὶ αὐτὸς, ἐπεὶ μὴ βούλεται κολάζειν, ἐξογκοῖ διὰ ῥημάτων τὸν φόβον. λέγει καὶ γέενναν ἑτοιμάσαι, ἵνα μὴ βάλῃ εἰς γέενναν. διά τοι τοῦτο καὶ πολλοὶ λόγοι * τιμωρίας τοῖς εὐαγγελίοις ἐναπόκεινται, καὶ πλείους, ἢ οἱ περὶ βασιλείας. ἐπειδὴ γὰρ ἐπὶ τῶν ἀναισθητοτέρων οὐχ οὕτως ἡ τῶν ἀγαθῶν ἐπαγγελία, ὡς ὁ τῶν λυπηρῶν φόβος ἐφέλκεται πρὸς ἀρετὴν, καὶ ἀπάγει τῆς κακίας, διὰ δὴ τοῦτο τούτοις πλέον ἐμφιλοχωρεῖ, καὶ συνεχῶς αὐτὰ τίθησι. μὴ τοίνυν ἀλγῶμεν ἀκούοντες φορτικῶν ῥημάτων (πολὺ γὰρ κέρδος ἔχουσιν) ἀλλ᾽ ἐννοοῦντες αὐτοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν δικαιοκρισίαν, μήτε ἀπογινώσκωμεν τῆς σωτηρίας (μακρόθυμος γάρ ἐστι) μήτε ῥᾳθυμῶμεν (δίκαιος γάρ ἐστιν) ἐνταῦθα μὲν πολλὴν τὴν μακροθυμίαν ἐνδεικνύμενος, ἐκεῖ δὲ τοὺς μὴ κερδάναντας ἐντεῦθεν τῇ πείρᾳ τῆς κολάσεως παραδιδούς. ὅπερ ἵνα μὴ γένηται, ἀποκρουσώμεθα ἐντεῦθεν ἤδη τὴν τιμωρίαν.

15 Ἰδοὺ ὠδίνησεν ἀδικίαν. ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ ὠδίνησεν, ἰέβαλ.

Συνέλαβε πόνον· Ἄλλος, Καὶ κυήσας.

Καὶ ἔτεκεν ἀνομίαν· Ἄλλος, Ψεῦδος. 16 Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἄλλος, Εἰς διαφθορὰν ἣν εἰργάσατο. Εἶπεν ὅτι παρεσκεύασαι πρὸς τιμωρίαν ὁ Θεός· εἶπεν ὅτι καὶ ἐπαφίησι τὰς κολάσεις. ἐσωφρόνισε τούτῳ τὸν ἀκροατὴν, τὴν ἄνωθεν ὀργὴν ἐπικρεμάσας. παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν, δεικνὺς ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ κακία κόλασις. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· Ρωμ. α. κζ. Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· καὶ ἄγει εἰς μέσον τοὺς τὰ ἔσχατα παθόντας ὑπὸ τῆς κακίας. ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν παχυτέρων τότε μάλιστα σωφρονίζεσθαι, ὅταν τοὺς πεπονθότας ἴδωσι· διὰ τοῦτο καὶ αὐτοὺς εἰς μέσον ἄγει. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. πολλὰ περὶ γεέννης διαλεχθεὶς, καὶ τοὺς ἐκεῖ βαλλομένους εἰς μέσον ἄγει· οἷον, τὸν πλούσιον τὸν ἐπὶ Λαζάρου· Λουκ. ις. ιθ. τὰς παρθένους· τὸν τὸ τάλαντον τὸ ἓν κατακρύψαντα· Ματθ. κε. α. κδ. καὶ ἐν τῷ παρόντι βίῳ, τοὺς ἐν τῷ πύργῳ καταχωσθέντας, καὶ ὧν τὸ αἷμα Πιλάτος ἀνέμιξε ταῖς θυσίαις. Λουκ. ιγ. α. δ. οὕτω καὶ Πέτρος πολλὰ περὶ γεέννης διαλεχθεὶς, β. Πετρ. β. γ. δ. καὶ Πραξ. ε. α. τότε μάλιστα αὐτοὺς ἔπληξεν, ὅτε τοὺς κολασθέντας εἰς μέσον ἤγαγε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὴν τιμωρίαν ἔδειξεν. ὅπερ οὖν καὶ Παῦλος ἐποίει ἐπὶ τοῦ μάγου· Πραξ. ιγ. ια. καὶ ἑτέρῳ δὲ τρόπῳ κατασκευάζει τὸ τοιοῦτον, ὅτε τῶν ἐν τῇ ἐρήμῳ μέμνηται, λέγων οὕτως· α. Κορ. ι. α. Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πόμα πνευματικὸν ἔπιον. ἀλλ᾽ ἐν τοῖς πλείοσιν αὐτῶν οὐκ ηὐδόκησεν ὁ Θεὸς, ἀλλ᾽ ἀπώλοντο καὶ κατέπεσον. ἐπειδὴ γὰρ περὶ μελλόντων διελέγετο, γεέννης λέγω, καὶ κολάσεως, καὶ τιμωρίας, ἀπὸ τῶν παρελθόντων καὶ τὴν περὶ ἐκείνων ἀπόδειξιν φέρει, αὐτοὺς τοὺς κολασθέντας εἰς μέσον ἄγων, τοὺς ὑπὸ τῶν ὄφεων, τοὺς ὑπὸ τοῦ ὀλοθρευτοῦ. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Δαβὶδ, εἴτε περὶ τοῦ Ἀχιτόφελ, εἴτε περὶ τοῦ Ἀβεσσαλὼμ λέγων. τινὲς μὲν οὖν περὶ τοῦ Ἀχιτόφελ

β. Βασ. ιη. λγ. τόφελ φασὶν εἰρῆσθαι. οὐ γὰρ ἦν τοῦ αὐτοῦ λέγειν, Φείσασθέ μου τοῦ παιδαρίου Ἀβεσσαλώμ·
καὶ μετὰ τὸ πάθος, Τίς δῴη μοι θάνατον ἀντὶ σοῦ; καὶ ταῦτα νῦν λέγειν. ἀλλ' ἐκεῖνα
μὲν ὑπὸ τῆς φύσεως κατεχόμενος ἔλεγε, νῦν δὲ ὑπὸ τοῦ πνεύματος ἔνθους γενόμενος.
πλὴν εἴτε περὶ τοῦ Ἀβεσσαλώμ, εἴτε περὶ τοῦ Ἀχιτόφελ εἴρηται, σκοπητέον
τὰ εἰρημένα. οὐ γὰρ πολύς μοι περὶ τῶν προσώπων ὁ λόγος. τί οὖν ἐντεῦθεν μανθάνομεν;
δείκνυσιν, ὅτι ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ καθάπερ
αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὠδίνων διακόπτονται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος,
πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διακόπτεται καὶ ὀδυνᾶται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ
μετὰ πολλῆς τῆς δριμύτητος. διὸ καὶ τὸ πικρὸν τῆς ὀδύνης παραστῆσαι βουλόμενος, ὠδῖνα
τὸ πρᾶγμα ἐκάλεσεν. ὅπου γὰρ ἐὰν βούληται ἡ γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδύνην
Ἐξοδ. ιε. ιδ. ἐνδείξασθαι, τῷ ὀνόματι τῆς ὠδῖνος αὐτὴν ὑπογράφει. διὸ καὶ ἀλλαχοῦ φησιν, Ὠδῖνες
ἔλαβον κατοικοῦντας Φυλιστιείμ· τουτέστι, φόβος καὶ τρόμος, πόνος, ὀδύνη. καὶ πάλιν
α. Θεσ. ε. γ. Ὅταν δὲ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ἐφίσταται ὄλεθρος, ὥσπερ
ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐνταῦθα δύο αἰνίττεται, καὶ τὸ ἀφόρητον, καὶ τὸ ἀπροσδόκητον.
Ἡσ. λζ. γ. καὶ ὁ Ἐζεκίας, Ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει * τεκεῖν, τὸν ἀφόρητον *ἡ
αὐτοῦ φόβον ἐνδεικνύμενος. οὕτω δὴ καὶ ἐνταῦθα ὁ προφήτης. κἂν γὰρ μυριάκις πονηρός
τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται (φυσικὸν γάρ ἐστι, καὶ παρὰ τοῦ Θεοῦ
τὴν ἀρχὴν ἐντεθέν) κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολάζον,
καταδικάζον. καὶ οὐκ οὐδείς ἐστι τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδύνην ὑπομένει,
γ. Βασ. κα. δ. καὶ βουλευόμενος τὰ κακά, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον;
ἀλλ' ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην εἶχε. βασιλεὺς γὰρ
ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων ἀντιλέγοντα, ἐπειδὴ τοῦ συνειδότος τὴν ψῆφον οὐκ ἤνεγκεν,
εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συγκεχυμένος, πολλὴν ἀχλὺν ἐπὶ τῆς ὄψεως φέρων,
τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τὸν ἔλεγχον ἐπὶ τοῦ προσώπου κηρύττων, καὶ οὐ δυνάμενος
συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας γενομένην αὐτῷ ὀδύνην. οὕτω γοῦν καὶ ἀπὸ
Πράξ. α. ιη. καὶ Ματθ. κζ. ε. τῆς γυναικὸς ἐγένετο κατάφωρος. ὁ μέντοι προδότης ὁ πρὸς τοσαύτην ἐξοκείλας πονηρίαν,
ἐπειδὴ τὴν ὀδύνην οὐκ ἤνεγκε τὴν ἀπὸ τοῦ κριτηρίου, καὶ βρόχον ἀνῆψε, καὶ οὕτω τὸν
βίον κατέλυσεν. ὥσπερ οὖν ὁ ἐν πονηρίᾳ τοσαῦτα πάσχει, οὕτως ὁ ἐν ἀρετῇ γαλήνης
ἀπολαύει καὶ ἀταράχου διανοίας. σκόπει δέ· ἠβουλήθη τις τινὰ ἀμύνασθαι, ἢ ἄρξαι
χειρῶν ἀδίκων; ὅρα πόσα πάσχει δεινά. πληροῦται θυμοῦ, διακόπτεται ὑπὸ ὀργῆς,
μυρία κύματα κινεῖ λογισμῶν, ὁδοὺς ἔρχεται μυρίας, φόβος ἔπεισι καὶ ἀγωνία καὶ τρόμος,
τοῦ θυμοῦ διακόπτοντος, τοῦ φόβου κατασείοντος, πῶς ἐπιτύχῃ, πῶς ἐπεξέλθῃ· καὶ
περὶ τοῦ μέλλοντος ἀδικεῖσθαι, ἑαυτὸν ἀπόλλυσιν. ὁ δὲ ἐκβαλὼν τὴν ὀργήν, ἁπάντων ἀπήλλακται
τούτων· καὶ μάλα εἰκότως. τούτου γὰρ αὐτὸς κύριός ἐστι, καὶ τὸ πᾶν ἀπήρτισεν·
ἐκείνου δὲ οὐκ ἔτι, ἀλλὰ καὶ καιροῦ χρεία, καὶ τόπου, καὶ δόλου, καὶ κακουργίας, καὶ ὅπλων,
καὶ μηχανημάτων, καὶ προσκρουσμῶν, καὶ κολακείας, καὶ δουλείας, καὶ ὑποκρίσεως. ὁρᾷς
πῶς εὔκολον ἡ ἀρετή, δύσκολον δὲ ἡ κακία, πῶς τὸ μὲν ἀτάραχον, τὸ δὲ θορύβων γέμον;
ταύτην τοίνυν ὑπογράφων ὁ προφήτης ἔλεγεν· ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε
πόνον, καὶ ἔτεκεν ἀνομίαν. ἐντεῦθεν δείκνυται ὅτι οὐ κατὰ φύσιν ἡμῖν ἡ ἀδικία, ἀλλὰ
καὶ ἀλλότριόν τι. διὸ καὶ βαρύνει, καὶ ἕως ἂν ἀπαλλαγῶμεν, ὠδῖσι περιβάλλει. ἐπεὶ
καὶ τὸ ἔμβρυον ἕως ἂν ἀπαρτίζηται κατὰ φύσιν, ἔγκειται τῇ φύσει (διὰ τοῦτο καὶ μένει, καὶ
πόνον οὐκ ἔχει) μετὰ δὲ τὸ τελεσθῆναι, ἐὰν ἔνδον μένῃ, παρὰ φύσιν ἐστὶν ἡ διατριβή, ὅθεν
καὶ ὠδῖνες. διόπερ ἡ φύσις ἐνοχλουμένη βιάζεται ἔξω ὠθήσασθαι, ἅτε ἐργασαμένη τὸ

πολὺ καὶ ἀπαρτίσασα, καὶ οὐκ ἔτι δυναμένη φέρειν. ἀλλ' ἐκεῖ μὲν, πρότερον σύλληψις γίνεται, καὶ τότε ὠδίς· ἐνταῦθα δὲ πρότερον ὠδίνησε, καὶ τότε συνέλαβε. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐκεῖ μὲν, ἐν καιρῷ τοῦ τόκου ἡ ὠδίς· * * ὁμοῦ τε γὰρ ἐβουλεύσατό τις πονηρὸν, καὶ πρὶν ἢ πῆξαι τῇ διανοίᾳ, θόρυβος, ταραχὴ κατὰ τὴν διάνοιαν. ἐπὶ μὲν γὰρ τῆς γυναικὸς τὸ καταβληθὲν ἅπαξ σπέρμα, αὐτὸ καὶ διαπλάττεται. ἐπὶ δὲ τῶν δόλους ῥαπτόντων σήμερον οὗτος κατεβλήθη ὁ λογισμός, καὶ πάλιν αὔριον ἕτερος· καὶ μυρίαι καταβολαὶ τῶν πονηρῶν τούτων σπερμάτων, καὶ καθ' ἑκάστην ἡμέραν συλλήψεις καὶ ὠδῖνες διαφθείρουσαι τὴν ταῦτα τίκτουσαν διάνοιαν. οὐ γὰρ τοιοῦτος ὁ τόκος, οἷος ἐπὶ τῶν γυναικῶν. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν τὴν μήτραν διασπῶσι, καὶ τὰς πλευρὰς διακόπτοντα τὰ παιδία πρόεισιν· οὕτω καὶ ἐπὶ τῶν δόλων καὶ ἐπὶ τῆς ἀδικίας. ἀλλὰ κἂν μυρία φιλονεικήσωμεν, οὐ δυνησόμεθα παραστῆσαι τῷ λόγῳ τὴν ἀλγηδόνα, ἣν ὑπομένουσιν οἱ κακοί. διὸ καί τις φησιν· Ὁ δὲ κακὸς μόνος ἀντλήσει τὰ κακά. τί γὰρ χαλεπώτερον καὶ ἀλγεινότερον τοῦ βασκαίνοντος, τοῦ ἐπιβουλεύοντος, τοῦ τῶν ἀλλοτρίων ἐφιεμένου; δημίου παντὸς χαλεπώτερον τὰ πάθη ταῦτα τὴν ψυχὴν καταξαίνει. ὥστε εἰκότως ὠδῖνας ἐκάλεσε τοὺς τοιούτους λογισμούς. ἀλλ' ὥσπερ αἱ γυναῖκες ἀπὸ συνουσίας τίκτουσι, κἂν μὲν ὑγιεινὰ τὰ σώματα ᾖ, τοιαῦτα καὶ τὰ τικτόμενα, ἂν δὲ διεφθαρμένα, μιμεῖται τῶν γονέων τὴν φύσιν· οὕτω καὶ ἐπὶ τῶν λογισμῶν. κἂν μὲν ἀγαθοῖς συγγένῃ, τοιαῦτα ἔσται καὶ τὰ ἔκγονα, ἂν δὲ πονηροῖς, καὶ μὴ προσέχῃς, πολλὴν ἐκεῖθεν λήψῃ τὴν λύμην. ἄκουσον γοῦν ὁ προφήτης τί φησιν· Ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. ἐπὶ δὲ τῶν ἐκ τοῦ διαβόλου· Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. φύγωμεν τοίνυν τοὺς πονηρούς. πῶς γὰρ οὐκ ἄτοπον, ἐξὸν ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων καὶ συλλαβεῖν καὶ τεκεῖν, μὴ βούλεσθαι, ἀλλὰ τὰς τῶν πονηρῶν συνουσίας διώκειν· ταὐτὸν ποιοῦντας, ὥσπερ ἂν γυναῖκα ἔχουσαν ἐξουσίαν βασιλεῖ συναφθῆναι, μὴ ἀνέχοιτο, ἀλλ' ἀντ' ἐκείνου λῃστὴν καὶ τοιχωρύχον αἱροῖτο λαβεῖν σύνοικον; λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν. καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. πάλιν ταῖς μεταφοραῖς κέχρηται, ὥσπερ διὰ τῆς ὠδῖνος τὸν πόνον δηλῶν, οὕτω διὰ τοῦ λάκκου τὸ δυσαπάλλακτον ἐνδεικνύμενος. καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο· ὅπερ ἕτερός φησιν, Ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, ἐμπεσεῖται εἰς αὐτόν. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ τοιαύτην συγκληρῶσαι τῇ ἐπιβουλῇ τὴν φύσιν, ὥστε εἰς τοὺς ἐπιβουλεύοντας περιτρέπεσθαι· * * τὰ παιδία, ἠνάγκασε τὴν μητέρα Μωϋσέως ἔκθετον διὰ τὸ δέος ποιῆσαι τὸ βρέφος· * * καὶ αὐξηθεὶς ἐκεῖνος, πάντας ἀπώλεσεν. ἐντεῦθεν καὶ ἡ εὐμηχανία τοῦ Θεοῦ μάλιστα διαλάμπει, καὶ τοῖς πονηροῖς πολὺς ὁ σωφρονισμὸς, καὶ τοῖς διαφυλάττουσιν ἡ ἡδονή. οὕτω καὶ ἐπὶ τοῦ παγκάλου Ἰωσὴφ γέγονεν. ἐμβαλόντες γὰρ αὐτὸν εἰς δουλείαν, ἔπαθον ἅπερ ἔπαθον. καὶ τὸν μὲν ἔβλαψαν οὐδὲν, ἀλλὰ καὶ ὤνησαν· αὐτοὶ δὲ τὴν τραγῳδίαν ἐκείνην ὑπέμειναν. καὶ πολλὰ τοιαῦτα λέγειν ἐξὸν, σκόπει δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπλεονέκτησέ τις; ἑαυτὸν ἀπώλεσε. τὸν μὲν γὰρ πλεονεκτηθέντα πολλάκις καὶ ὤνησε, τὴν δὲ ἑαυτοῦ ψυχὴν προὔδωκεν. ἠδίκησέ τις; ἑαυτῷ τὸ ξίφος περιέπειρεν. οὐ γὰρ τὸ παθεῖν κακῶς, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτο μάλιστά ἐστι τὸ πάσχειν κακῶς. διὰ τοῦτο καὶ Παῦλος παραινεῖ μᾶλλον ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν. καὶ ὁ Χριστὸς, ῥαπίζεσθαι καὶ μὴ ἀντιρραπίζειν, ἀλλὰ καὶ παρέχειν ἑαυτὸν εἰς τὸ πάσχειν. τοῦτο μεγίστης ἰσχύος, τοῦτο ὑπομονὴν ἐργάζεται, τοῦτο ἰσχυρὰν τὴν ψυχὴν κατασκευάζει, τοῦτο τῶν παθῶν ἀνώτερον ποιεῖ. ὁ γὰρ ἀδικῶν ἕτερον, ἢ τύπτων, ἢ ὑβρίζων, πρότερον αὐτὸς ὑπὸ τοῦ πάθους χειρωθεὶς, καὶ αἰχμάλωτος γενόμενος, τότε δοκεῖ τὸν πλησίον ἀδικεῖν, αὐτὸς δὲ χαλεπώτερα πέπονθε, τὴν ἐ-

σχάτην

Παροιμ. θ. ιβ.

Ησ. κϛ. ιη.

Ησ. νθ. ε.

Παροιμ. κϛ. κζ.

α. Κορ. ϛ. ζ.
Ματθ. ε. λθ.

β. Βασ. ιη. λγ. τόφελ φασὶν εἰρῆσθαι. οὐ γὰρ ἦν τοῦ αὐτοῦ λέγειν, Φείσασθέ μου τοῦ παιδαρίου Ἀβεσ-
σαλώμ· καὶ μετὰ τὸ πάθος, Τίς δῴη μοι θάνατον ἀντὶ σοῦ; καὶ ταῦτα νῦν λέγειν. ἀλλ᾽ ἐ-
κεῖνα μὲν ὑπὸ τῆς φύσεως κατεχόμενος ἔλεγε, νῦν δὲ ὑπὸ τοῦ πνεύματος ἔνθους γινό-
μενος. πλὴν εἴτε περὶ τοῦ Ἀβεσσαλώμ, εἴτε περὶ τοῦ Ἀχιτόφελ εἴρηται, σκο-
πητέον τὰ εἰρημένα. οὐ γὰρ πολύ μοι περὶ τῶν προσώπων ὁ λόγος. τί οὖν ἐντεῦθεν μαν-
θάνομεν; δείκνυσιν, ὅτι ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ καθά-
περ αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὠδίνων διακόπτονται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος,
πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διακόπτεται καὶ ὀδυνᾶται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ
μετὰ πολλῆς τῆς δριμύτητος. διὸ καὶ τὸ πικρὸν τῆς ὀδύνης παραστῆσαι βουλόμενος, ὠδῖνα
τὸ πρᾶγμα ἐκάλεσεν. ὅπου γὰρ ἐὰν βούληται ἡ γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδύνην
Ἐξοδ. ιε. ιδ. ἐνδείξασθαι, τῷ ὀνόματι τῆς ὠδῖνος αὐτὴν ὑπογράφει. διὸ καὶ ἀλλαχοῦ φησιν, Ὠδῖ-
νες ἔλαβον κατοικοῦντας Φυλιστιείμ· τουτέστι, φόβος καὶ τρόμος, πόνος, ὀδύνη. καὶ πάλιν
α. Θεσ. ε. γ. Ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ἐφίσταται ὄλεθρος, ὥ-
σπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐνταῦθα δύο αἰνίττεται, καὶ τὸ ἀφόρητον, καὶ τὸ ἀπροσ-
Ἡσ. λζ. γ. δόκητον. καὶ ὁ Ἐζεκίας, Ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει * τεκεῖν, τὸν ἀφόρη- *ἤ
τον αὐτοῦ φόβον ἐνδεικνύμενος. οὕτω δὴ καὶ ἐνταῦθα ὁ προφήτης. κἂν γὰρ μυριάκις πονη-
ρός τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται (φυσικὸν γάρ ἐστι, καὶ παρὰ τοῦ Θε-
οῦ τὴν ἀρχὴν ἐντεθέν) κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολά-
ζον, καταδικάζον. καὶ οὐκ οὐδείς ἐστι τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδύνην ὑπομένει,
γ. Βασ. κα. δ. καὶ βουλευόμενος τὰ κακὰ, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον;
ἀλλ᾽ ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην εἶχε. βασιλεὺς γὰρ
ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων ἀντιλέγοντα, ἐπειδὴ τοῦ συνειδότος τὴν ψῆφον οὐκ ἤνεγκεν,
εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συγκεχυμένος, πολλὴν ἀχλὺν ἐπὶ τῆς ὄψεως φέ-
ρων, τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τὸν ἔλεγχον ἐπὶ τοῦ προσώπου κηρύττων, καὶ οὐ δυνά-
μενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγενομένην αὐτῷ ὀδύνην. οὕτω γοῦν καὶ ἀπὸ
Πράξ. α. ιη. καὶ Ματθ. κζ. ε. τῆς γυναικὸς ἐγένετο κατάφωρος. ὁ μέντοι προδότης ὁ πρὸς τοσαύτην ἐξοκείλας πο-
νηρίαν, ἐπειδὴ τὴν ὀδύνην οὐκ ἤνεγκε τὴν ἀπὸ τοῦ κριτηρίου, καὶ βρόχον ἀνῆψε, καὶ οὕτω τὸν
βίον κατέλυσεν. ὥσπερ οὖν ὁ ἐν πονηρίᾳ τοσαῦτα πάσχει, οὕτως ὁ ἐν ἀρετῇ γαλήνης
ἀπολαύει καὶ ἀταράχου διανοίας. σκόπει δέ· ἠβουλήθη τις τινὰ ἀμύνασθαι, ἢ ἄρξαι
χειρῶν ἀδίκων; ὅρα πόσα πάσχει δεινά. πληροῦται θυμοῦ, διακόπτεται ὑπὸ ὀργῆς,
μυρία κύματα κινεῖ λογισμῶν, ὀδοὺς ἔρχεται μυρίας, φόβος ἔπεισι καὶ ἀγωνία καὶ τρόμος,
τοῦ θυμοῦ διακόπτοντος, τοῦ φόβου κατασείοντος, πῶς ἐπιτύχῃ, πῶς ἐπεξέλθῃ· καὶ
πρὸ τοῦ μέλλοντος ἀδικεῖσθαι, ἑαυτὸν ἀπόλλυσιν. ὁ δὲ ἐκβαλὼν τὴν ὀργὴν, ἁπάντων ἀ-
πήλλακται τούτων· καὶ μάλα εἰκότως. τούτου γὰρ αὐτὸς κύριός ἐστι, καὶ τὸ πᾶν ἀπήρτι-
σεν· ἐκείνου δὲ οὐκ ἔτι, ἀλλὰ καὶ καιροῦ χρεία, καὶ τόπου, καὶ δόλου, καὶ κακουργίας, καὶ ὅπλων,
καὶ μηχανημάτων, καὶ προσκευασμῶν, καὶ κολακείας, καὶ δουλείας, καὶ ὑποκρίσεως. ὁ-
ρᾷς πῶς εὔκολον ἡ ἀρετὴ, δύσκολον δὲ ἡ κακία, πῶς τὸ μὲν ἀτάραχον, τὸ δὲ θορύβων γέ-
μον; ταύτην τοίνυν ὑπογράφων ὁ προφήτης ἔλεγεν· ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέ-
λαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. ἐντεῦθεν δείκνυται ὅτι οὐ κατὰ φύσιν ἡμῖν ἡ ἀδικία, ἀλ-
λὰ καὶ ἀλλότριόν τι. διὸ καὶ βαρύνει, καὶ ἕως ἂν ἀπαλλαγῶμεν, ὠδῖσι περιβάλλει. ἐπεὶ
καὶ τὸ ἔμβρυον ἕως ἂν ἀπαρτίζηται κατὰ φύσιν, ἔγκειται τῇ φύσει (διὰ τοῦτο καὶ μένει, καὶ
πόνον οὐκ ἔχει) μετὰ δὲ τὸ τελεσθῆναι, ἐὰν ἔνδον μένῃ, παρὰ φύσιν ἐστὶν ἡ διατριβὴ, ὅ-
θεν καὶ ὠδῖνες. διόπερ ἡ φύσις ἐνοχλουμένη βιάζεται ἐξωθῆσαι, ἅτε ἐργασαμένη τὸ

πό

πολὺ καὶ ἀπαρτίσασα, καὶ οὐκ ἔτι δυναμένη φέρειν. ἀλλ' ἐκεῖ μὲν, πρότερον σύλληψις γίνεται, καὶ τότε ὠδίς· ἐνταῦθα δὲ πρότερον ὤδινησε, καὶ τότε συνέλαβε. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐκεῖ μὲν, ἐν καιρῷ τοῦ τόκου ἡ ὠδίς· * * ὁμοῦ τε γὰρ ἐβουλεύσατό τις πονηρὸν, καὶ πρὶν ἢ πῆξαι τῇ διανοίᾳ, θόρυβος, ταραχὴ κατέχει τὴν διάνοιαν. ἐπὶ μὲν γὰρ τῆς γυναικὸς τὸ καταβληθὲν ἅπαξ σπέρμα, αὐτὸ καὶ διαπλάττεται. ἐπὶ δὲ τῶν δόλους ῥαπτόντων σήμερον οὗτος κατεβλήθη ὁ λογισμός, καὶ πάλιν αὔριον ἕτερος· καὶ μυρίαι καταβολαὶ τῶν πονηρῶν τούτων σπερμάτων, καὶ καθ' ἑκάστην ἡμέραν συλλήψεις καὶ ὠδῖνες διαφθείρουσαι τὴν ταῦτα τίκτουσαν διάνοιαν. οὐ γὰρ τοιοῦτος ὁ τόκος, οἷος ἐπὶ τῶν γυναικῶν. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν τὴν μήτραν διασπῶσι, καὶ τὰ πλευρὰ διακόπτοντα τὰ παιδία πρόεισιν· οὕτω καὶ ἐπὶ τῶν δόλων καὶ ἐπὶ τῆς ἀδικίας. ἀλλὰ κἂν μυρία φιλονεικήσωμεν, οὐ δυνησόμεθα παραστῆσαι τῷ λόγῳ τὴν ἀλγηδόνα, ἣν ὑπομένουσιν οἱ κακοί. διὸ καί τις φησίν· Ὁ δὲ κακὸς μόνος ἀντλήσει τὰ κακά. τί γὰρ χαλεπώτερον καὶ ἀλγεινότερον τοῦ βασκαίνοντος, τοῦ ἐπιβουλεύοντος, τοῦ τῶν ἀλλοτρίων ἐφιεμένου; δημίου παντὸς χαλεπώτερον τὰ πάθη ταῦτα τὴν ψυχὴν καταξαίνει. ὥστε εἰκότως ὠδῖνας ἐκάλεσε τοὺς τοιούτους λογισμούς. ἀλλ' ὥσπερ αἱ γυναῖκες ἀπὸ συνουσίας τίκτουσι, κἂν μὲν ὑγιεινὰ τὰ σώματα ᾖ, τοιαῦτα καὶ τὰ τικτόμενα, ἂν δὲ διεφθαρμένα, μιμεῖται τῶν γονέων τὴν φύσιν· οὕτω καὶ ἐπὶ τῶν λογισμῶν. κἂν μὲν ἀγαθοῖς συγγένῃ, τοιαῦτα ἔσται καὶ τὰ ἔκγονα, ἂν δὲ πονηροῖς, καὶ μὴ προσέχῃς, πολλὴν ἐκεῖθεν λήψῃ τὴν λύμην. ἄκουσον γοῦν ὁ προφήτης τί φησιν· Ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. ἐπὶ δὲ τῶν ἐκ τοῦ διαβόλου· Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. φύγωμεν τοίνυν τοὺς πονηρούς. πῶς γὰρ οὐκ ἄτοπον, ἐξὸν ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων καὶ συλλαβεῖν καὶ τεκεῖν, μὴ βούλεσθαι, ἀλλὰ τὰς τῶν πονηρῶν συνουσίας διώκειν· ταυτὸν ποιοῦντας, ὥσπερ ἂν γυναῖκα ἔχουσαν ἐξουσίαν βασιλεῖ συναφθῆναι, μὴ ἀνέχοιτο, ἀλλ' ἀντ' ἐκείνου λῃστὴν καὶ τοιχωρύχον αἱροῖτο λαβεῖν σύνοικον; λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν. καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. πάλιν ταῖς μεταφοραῖς κέχρηται, ὥσπερ διὰ τῆς ὠδῖνος τὸν πόνον δηλῶν, οὕτω διὰ τοῦ λάκκου τὸ δυσαπάλλακτον ἐνδεικνύμενος. καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο· ὅπερ ἕτερός φησιν, Ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, ἐμπεσεῖται εἰς αὐτόν. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ τοιαύτην συγκληρῶσαι τῇ ἐπιβουλῇ τὴν φύσιν, ὥστε εἰς τοὺς ἐπιβουλεύοντας περιτρέπεσθαι· * * τὰ παιδία, ἠνάγκασε τὴν μητέρα Μωϋσέως ἔκθετον διὰ τὸ δέος ποιῆσαι τὸ βρέφος· * * καὶ αὐξηθεὶς ἐκεῖνος, πάντας ἀπώλεσεν. ἐντεῦθεν καὶ ἡ εὐμηχανία τοῦ Θεοῦ μάλιστα διαλάμπει, καὶ τοῖς πονηροῖς πολὺς ὁ σωφρονισμὸς, καὶ τοῖς διαφυλάττουσιν ἡ ἡδονή. οὕτω καὶ ἐπὶ τοῦ παγκάλου Ἰωσὴφ γέγονεν. ἐμβαλόντες γὰρ αὐτὸν εἰς δουλείαν, ἔπαθον ἅπερ ἔπαθον. καὶ τὸν μὲν ἔβλαψαν οὐδὲν, ἀλλὰ καὶ ὤνησαν· αὐτοὶ δὲ τὴν τραγῳδίαν ἐκείνην ὑπέμειναν. καὶ πολλὰ τοιαῦτα λέγειν ἐξὸν, σκόπει δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπλεονέκτησέ τις; ἑαυτὸν ἀπώλεσε. τὸν μὲν γὰρ πλεονεκτηθέντα πολλάκις καὶ ὤνησε, τὴν δὲ ἑαυτοῦ ψυχὴν προὔδωκεν. ἠδίκησέ τις; ἑαυτῷ τὸ ξίφος περιέπειρεν. οὐ γὰρ τὸ παθεῖν κακῶς, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτό μάλιστά ἐστι τὸ πάσχειν κακῶς. διὰ τοῦτο καὶ Παῦλος παραινεῖ μᾶλλον ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν. καὶ ὁ Χριστὸς, ῥαπίζεσθαι καὶ μὴ ἀντιρραπίζειν, ἀλλὰ καὶ παρέχειν ἑαυτὸν εἰς τὸ πάσχειν. τοῦτο μεγίστης ἰσχύος, τοῦτο ὑπομονὴν ἐργάζεται, τοῦτο ἰσχυρὰν τὴν ψυχὴν κατασκευάζει, τοῦτο τῶν παθῶν ἀνώτερον ποιεῖ. ὁ γὰρ ἀδικῶν ἕτερον, ἢ τύπτων, ἢ ὑβρίζων, πρότερον αὐτὸς ὑπὸ τοῦ πάθους χειρωθεὶς, καὶ αἰχμάλωτος γενόμενος, τότε δοκεῖ τὸν πλησίον ἀδικεῖν, αὐτὸς δὲ χαλεπώτερα πέπονθε, τὴν ἐ-

Παροιμ. θ. ιβ.

Ησ. κς. ιζ. ιη.

Ησ. νθ. ε.

Παροιμ. κς. κζ.

α. Κορ. ς. ζ.

Ματθ. ε. λθ.

σχάτην

χάτην δουλείαν δουλεύσας. 17 Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

Καὶ περὶ τοῦ Ἀχιτόφελ, καὶ περὶ τοῦ Ἀβεσαλὼμ ταῦτα εἰρῆσθαί φασιν· ἀμφοτέρων γὰρ ἡ κεφαλὴ εἰς τιμωρίαν κατέβη. ὁ μὲν γὰρ ἀγχόνῃ χρησάμενος, οὕτω τὸν βίον κατέλυσεν· ἐκεῖνος δὲ ὑπὸ τὸ δένδρον ἐλθὼν, καὶ ἐξαρτηθεὶς ὑπὸ τῆς κόμης, πολὺν ἐκρέματο χρόνον. οὕτω καὶ Ἰούδας ἀγχόνῃ τὸν βίον κατέλυσεν, εἰδὼς ὅτι ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς πάντα εἰργάσατο. καὶ ὁ Ἀχιτόφελ νοήσας ὅτι πάντως περιέσται ὁ Δαβὶδ, ἀπελθὼν ἀπήγξατο· καὶ ὁ Ἀβεσαλὼμ ἄκων ἐκρέματο, καὶ οὐκ εὐθέως ἀνῃρεῖτο, ἀλλ᾽ ὥσπερ ἐν δικαστηρίῳ πρότερον ἀνηρτήθη, καὶ τῷ ξύλῳ προσηλώθη· καὶ τοῦ Θεοῦ τὴν ψῆφον ἄνωθεν φέροντος, ἐπὶ πολὺν ἐκρέματο χρόνον, ὑπὸ τοῦ συνειδότος λοιπὸν μαστιγούμενος. αὐτὸς μὲν γὰρ ἐπεθύμει τὴν δόξαν τῷ λοιμῷ βαπτίσαι τῷ πατρῴῳ, ὁ δὲ πατὴρ καὶ οὕτω φείσασθαι αὐτοῦ παρῄνει τοῖς στρατιώταις. καὶ οὕτως οὐκ ἦν κενοδοξίας τὸ λεγόμενον, ὅτι καὶ μετὰ θάνατον ἀποδύρεται. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἀνθρωπίνης ἦν σπουδῆς τὸ γινόμενον, ἀλλ᾽ ὅλον θεῖον ἦν τὸ δικαστήριον, τείχες καὶ ξύλον αὐτὸν ἔδησαν, καὶ ζῶον παρέδωκε, καὶ ἀντὶ μὲν σχοινίου ἡ κόμη, ἀντὶ δὲ ξύλου τὸ δένδρον γέγονεν, ἀντὶ δὲ στρατιώτου προσήγαγεν αὐτὸν ἡ ἡμίονος. καὶ σκόπει τὸ παράδοξον. ταῦτα παθόντος, οὐδεὶς ἐτόλμησε προσελθεῖν τῶν αὐτοῦ, καὶ καθελεῖν αὐτὸν, τοσαύτης γινομένης σχολῆς. καὶ τοῦτο ὁ Θεὸς ᾠκονόμει, ὥστε μήτε καθαιρεθῆναι, μήτε δεδεμένον ἀπενεχθῆναι τῷ πατρί· ἐπειδὴ τὰ πατρικὰ σπλάγχνα πέρα τοῦ μέτρου τὴν φειδὼ ἐπεδείκνυντο. καὶ τὸ δὲ θαυμαστότερον· ὅτι ὁ καταλλάξας αὐτῷ τὸν πατέρα, οὗτος αὐτὸν ἀνῄρει, μονονουχὶ κατήγορος σφοδρὸς ἐπιστάς. ἀλλ᾽ ἀνῄρει μὲν οὗτος, ἐψηφίζετο δὲ ὁ Θεός. ὅτι γὰρ ἄνωθεν ἡ ψῆφος κατεφέρετο, ἄκουσον αὐτοῦ, τοῦτο πῶς παρέστησεν. εἰπὼν γὰρ, ἐπὶ κορυφὴν ἡ ἀδικία αὐτοῦ καταβήσεται, φησιν,

18 Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. Εὐχαριστήσωμεν, φησιν, οὐ τῶν ἑτέρων χαίρων σφαγαῖς, ἀλλὰ τοῦ Θεοῦ τὴν ψῆφον ἀποδεχόμενος. καὶ τίς δύναται αὐτῷ εὐχαριστῆσαι κατὰ τὴν δικαιοσύνην αὐτοῦ; τίς δὲ αὐτὸν ἀρέσει, ὡς ἐστιν; οὐδείς. τί ἐστι, κατὰ τὴν δικαιοσύνην αὐτοῦ; ἀντὶ τοῦ, ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ. καὶ ᾄσω τῷ Κυρίῳ τῷ ὑψίστῳ. αὐτοῦ γάρ ἐστι τὰ νικητήρια· αὐτοῦ γάρ ἐστι τὰ τρόπαια, οὐκ ἐμά. καθάπερ γὰρ ἐπὶ τῶν πολέμων, βασιλέως νικήσαντος, χοροὺς στήσαντες ᾄδουσιν, εἰς ἐκεῖνον τὰς εὐφημίας ἀναφέροντες· οὕτω κἀγὼ ποιήσω, φησί. διὰ τοῦτο οὐκ εἶπεν, ἐξομολογοῦμαι, ἀλλ᾽ ἐξομολογήσομαι, δηλῶν ὅτι οὐδὲ μετὰ τὸ τυχεῖν τῶν ἀγαθῶν ἐπιλανθάνεται, οὐδὲ γίνεται ῥαθυμότερος· ἀλλὰ νήφει καὶ ἐγρήγορεν· οὐκ ἐπειδὴ ὁ Θεὸς τούτου δεῖται, ἀλλ᾽ ἐπειδὴ ἡμῖν τοῦτο χρήσιμον καὶ κερδαλέον. ὥσπερ γὰρ θυσίας ἔλαβεν, οὐχὶ δεόμενος θυσιῶν (Ἐὰν γὰρ πεινάσω, φησὶν, οὐ μή σοι εἴπω) ἀλλ᾽ ἐνάγων τοὺς ἀνθρώπους εἰς τὴν αὐτοῦ τιμήν· οὕτω καὶ ὕμνους δέχεται, οὐ δεόμενος τῆς παρ᾽ ἡμῶν εὐφημίας, ἀλλ᾽ ἐπιθυμῶν τῆς ἡμῶν σωτηρίας. Θεῷ γὰρ περισπούδαστον ἡμῶν ἐπίδοσις ἡ κατ᾽ ἀρετήν. οὐδενὸς δὲ οὕτω τῶν ἡμετέρων, ὡς αὐτῆς ἐπιδέεται. ψάλλει δὲ τῷ Θεῷ, ἐκπληττόμενος αὐτοῦ τὴν δικαιοκρισίαν, τὴν μακροθυμίαν. καὶ ποῦ, φησιν, ἡ μακροθυμία, ἀναιρεθέντος τοῦ τυράννου; πολλὴ μὲν οὖν καὶ μεγάλη. καὶ γὰρ ἀφῆκεν αὐτὸν πολὺν χρόνον, ὥστε εἰς μετάνοιαν ἐλθεῖν· καὶ τὰ βασίλεια κατασχεῖν ἔδωκεν, ἵνα τὴν οἰκίαν ἰδὼν, εἰς ἣν ηὐξήθη καὶ ἐτράφη, καὶ τὰ τοῦ πατρὸς σύμβολα, εἰς μετάνοιαν ἔλθῃ. εἰ γὰρ μὴ θηρίον ἦν, καὶ λιθίνην εἶχε ψυχὴν, ἱκανὰ πάντα ἐκεῖνα αὐτὸν ἐπαγαγεῖν· ἡ τράπεζα, καθ᾽ ἣν ἐκοινώνει τῷ πατρὶ, ὁ οἶκος, τὰ συνέδρια, ἔνθα οἱ

ψαλ. μθ. ιγ.

λόγοι

λέγει αὐτὸν καταλλάξαι φόνον τοιοῦτον πεποιηκότα. μετὰ τοῦτον, καὶ ἕτερα ἦν ἱκανὰ αὐτὸν μαλάξαι. καὶ γὰρ ἤκουσεν ὅτι φυγὰς καὶ ἀλήτης περιήρχετο, ὅτι τὰ ἔσχατα ἔπασχε δεινά. εἰ δὲ μὴ ταῦτα ἐμάλαττεν, ἔδει αὐτὸν τὰ τοῦ Ἀχιτόφελ σωφρονίσαι (ἡ ἀγχόνη, ὁ θάνατος) ὥστε διὰ πάντων ἐλθεῖν εἰς μεταμέλειαν. οὐδὲ γὰρ ἠγνόησε τὰ τοῦ φίλου. τί δὲ καὶ ἔχων ἐγκαλεῖν τῷ πατρὶ ταῦτα ἐποίει; ὅτι ἐξ ὀψέως αὐτὸν πεποίηκεν; ἀλλ' ἔδει διὰ τοῦτο καὶ θαυμάσαι, καὶ ἀποδέξασθαι, ὅτι ἀδελφοκτόνον γενόμενον ἡμέρως ἤνεγκεν. ἀλλ' οὐδὲν ἔχων ἐγκαλεῖν, ἀλλ' ἐπιθυμίᾳ ἁλοὺς ἀκαίρῳ, καὶ ταῦτα λοιπὸν γέροντος ὄντος τοῦ πατρὸς, καὶ ἐπὶ θύραις τῆς προσδοκίας οὔσης, οὐκ ἀνέμεινεν οὐδὲ μικρόν. πῶς δὲ οὐκ ἐνενόησεν, ὅτι καὶ νικήσας πάντων ἀθλιώτερον ἕξει βίον, ἐναγὴς ὢν καὶ ἀκάθαρτος, καὶ ἀπὸ τοῦ τροπαίου; πόσοι νῦν εἰσιν οἱ πενίαν ὀδυρόμενοι; πόσης ταῦτα πενίας οὐ χαλεπώτερα; πόσης νόσου; πόσης ὀδύνης; οὐκ εἶπεν οὐδὲν τοιοῦτον πρὸς ἑαυτὸν, ἀλλ' οὐδὲ ἀπεδυσπέτησεν, οὐδὲ ἐθρήνησε λέγων· καλάς γε ἀπολαμβάνω τὰς ἀμοιβάς, ὁ ἐν τῷ νόμῳ αὐτοῦ μελετῶν ἡμέρας καὶ νυκτὸς, ὁ ἐν ἀξιώματι τοιούτῳ, πάντων γενόμενος ταπεινότερος· ὁ τῶν ἐχθρῶν φεισάμενος, εἰς χεῖρας ἀκολάστου παιδὸς ἐξεδόθην. οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερεν ἅπαντα μετὰ φιλοσοφίας, μίαν ἔχων παραμυθίαν ἐν τοῖς γινομένοις, τὸ τοῦ Θεοῦ ταῦτα εἰδότος γίνεσθαι. καθάπερ καὶ οἱ τρεῖς παῖδες ἔλεγον· Καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. εἰ δέ τις εἴποι πρὸς αὐτοὺς, καὶ ποίᾳ ἐλπίδι ἀποθνήσκετε; τί προσδοκῶντες; τί δὲ ἐλπίζοντες μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ; (οὐδέπω γὰρ τῆς ἀναστάσεως ἦν ἡ προσδοκία) ἤκουσεν ἂν· ὅτι αὕτη μεγίστη ἡμῖν ἀντίδοσις, τὸ διὰ Θεὸν ἀποθανεῖν· οὕτω καὶ αὐτὸς μεγίστην ταύτην ἡγεῖτο παραμυθίαν, τὸ τὸν Θεὸν εἰδότα ταῦτα μὴ κωλύειν. καὶ γὰρ ἐραστὴς μυριάκις ἂν ἕλοιτο ὑπὲρ ἐρωμένης κατασφαγῆναι, καίτοι οὐδὲν μετὰ θάνατον προσδοκῶν παρ' ἐκείνης. οὕτω δὴ καὶ ἡμᾶς δεῖ, μὴ βασιλείας προσδοκίᾳ, μηδὲ ἄλλῃ τινὶ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, ἀλλὰ δι' αὐτὸν τὸν Θεὸν πάντα πάσχειν. ἀλλ' οὕτως εἰσὶ πολλοὶ καὶ ἔτι διαπεπτωκότες, καὶ νωθροὶ, ὅτι οὐδὲ μετὰ μισθοῦ τῆς ἀρετῆς ἐφίενται. καὶ ὁ μὲν Θεὸς καὶ βασιλείαν ἐπαγγελλόμενος, οὐκ ἀκούεται· ὁ δὲ διάβολος γέενναν προξενῶν, φιλεῖται. τί ταύτης τῆς μανίας χαλεπώτερον; καὶ τί λέγω γέενναν; καὶ πρὸ τῆς γεέννης ἐνταῦθα ὀδύνην, καὶ αἰσχύνην, καὶ γέλωτα ἐπάγων καὶ μυρίας κολάσεις, πολλοὺς ἔχει τοὺς προστρέχοντας. ἐννόησον γοῦν τὸν μοιχὸν, πῶς ἀθλιώτερον πάντων ζῇ, καὶ πρὸ τῆς γεέννης πάντα ὑποπτεύων, καὶ τὰς σκιὰς τρέμων, πρὸς οὐδένα ἐλευθέροις ἀντιβλέπων ὀφθαλμοῖς, ἀλλὰ πάντας δεδοικὼς, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, ξίφη βλέπων ἠκονημένα, ἐπηρτημένους δημίους, δικαστήρια. τί τοιοῦτον ἡ σωφροσύνη ἔχει, κἂν μυρίους πόνους ἔχῃ; οὐκ ἀεὶ ἐν ἡδονῇ ὁ σώφρων, ἀεὶ ἐν ὀδύνῃ ὁ μοιχὸς, καὶ ἐν σκότῳ; οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἔστιν ἰδεῖν τῶν ἡττωμένων ὀργῆς, καὶ τῶν κρατούντων ὀργῆς· τῶν ἁρπαζόντων, καὶ τῶν τὰ ἑαυτῶν προϊέντων. οἱ μὲν γὰρ ἐν λιμένι κάθηνται· οἱ δὲ εἰς τὸν εὔριπον τῶν παρόντων ἐξενεχθέντες πραγμάτων, καθ' ἑκάστην περιέρχονται τὴν ἡμέραν. χωρὶς δὲ τούτων, ὅταν ἡλικίαν ὁ πλεονεξίᾳ συζῶν καὶ ἀκολασίᾳ οὐκ ἀρκοῦσαν αὐτῷ πρὸς ἀπόλαυσιν ἔχῃ, καὶ τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, ἐννόησον οἷα πάσχει δεινά. ἀλλ' οὐχ ὁ ἐν ἀρετῇ· ἀλλὰ τότε χαίρει καὶ εὐφραίνεται, οὐ καταμαραινομένης αὐτῷ τῆς ἀπολαύσεως, ἀλλὰ μᾶλλον ἀνθούσης. τοῖς μὲν οὖν μοιχοῖς, καὶ ἀκολάστοις, καὶ πλεονέκταις, καὶ γαστριμάργοις ἔκπτωσις τῆς ἀπολαύσεως ἐκείνων, τὸ γῆρας· τοῖς δὲ, ἐπίτασις τῆς ἀπολαύσεως. ὥστε καὶ πρὸ τῆς γεέννης, καὶ πρὸ τῶν ἐντεῦθεν ἀμοιβῶν, ἱκανὸν καὶ τοῦτο καταπεῖσαι τὴν διάνοιαν.

ρίαν.

Δαν. γ.

ειν

νοιαν. Ταῦτα οὖν ἐννοοῦντες, φεύγωμεν κακίαν, ἑλώμεθα ἀρετὴν, φιλῶμεν τὸν Θεὸν, μὴ διὰ τὰ αὐτοῦ, ἀλλὰ δι' αὐτόν. Οὕτω γὰρ καὶ τὴν κατὰ τὸν βίον καὶ τὴν κατ' ἀρετὴν ὁδεύσομεν ὁδὸν, στενὴν μὲν οὖσαν τῇ φύσει, εὐρεῖαν δὲ τῇ προαιρέσει τῶν ὁδοιπόρων γινομένην· ἧς γένοιτο πάντας ἡμᾶς εἰς τὸ ἄκρον ἐλθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. η. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΛΗΝΩΝ·

ὁ
Ϲ. α' Ἄλλος, Ἐπινίκιον ὑπὲρ τῶν ληνῶν· Ἄλλος, Τῷ νικοποιῷ ὑπὲρ
τῆς γετθίτιδος· Ὁ δὲ Ἑβραῖος, Λαμνασσή. ἄλλος, ἀγεθθίθ.
1 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.
α' Ἄλλος, Τί μέγα τὸ ὄνομά σου.

ΕΝ ᾧ πρὸ τούτου ψαλμῷ ἔλεγεν· ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου· ἐνταῦθα τὴν ὑπόσχεσιν πληροῖ, ὕμνον ἀναφέρων αὐτῷ. καὶ ἐν ἐκείνῳ μὲν, ὡς ἐξ ἑνός ἐστι προσώπου τὰ λεγόμενα. Κύριε γὰρ ὁ Θεός μου, φησιν, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. ἐνταῦθα δὲ, ὡς ἐκ πολλῶν. Κύριε γάρ, φησιν, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου. ἀλλὰ παρέχετε σιγὴν, καὶ μετὰ ἀκριβείας ἀκούετε. Εἰ γὰρ ἐν θεάτρῳ χορῶν ᾀδόντων σατανικὴν, πολλὴ γίνεται ἡσυχία, ὥστε τὰ ὀλέθρια ἐκεῖνα δέξασθαι μέλη· καὶ ταῦτα, τοῦ μὲν χοροῦ ἐκ μίμων καὶ ὀρχηστῶν συνισταμένου ἀνδρῶν, χοροστατοῦντος δὲ παρ' αὐτοῖς βεβήλου τινὸς καὶ κιθαρῳδοῦ, τοῦ δὲ μέλους σατανικοῦ καὶ ὀλεθρίου τυγχάνοντος, ᾀδομένου δὲ μιαροῦ καὶ πονηροῦ δαίμονος· ἐνταῦθα ἔνθα ὁ μὲν χορὸς ἐξ ἁγίων ἀνδρῶν, ὁ δὲ χοροστάτης ἐστὶν ὁ προφήτης, τὸ δὲ μέλος, οὐχὶ ἐκ σατανικῆς ἐνεργείας, ἀλλ' ἐκ πνευματικῆς χάριτος, ὁ δὲ ᾀδόμενος, οὐχὶ δαίμων, ἀλλὰ Θεός· πῶς οὐ πολλὴν δεῖ παρέχειν τὴν ἡσυχίαν, καὶ μετὰ φρίκης ἀκούειν; καὶ γὰρ συγχορευταὶ γεγόναμεν τῶν ἄνω δυνάμεων. καὶ γὰρ καὶ οἱ ἄνω χοροὶ, καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ τοῦτο ἔργον ἔχουσι, τὸ διηνεκῶς ὑμνεῖν τὸν Θεόν. ἐκ τούτων τῶν χορῶν καὶ ἐπὶ τῆς γῆς ἐφάνησαν μετὰ τῶν ἀγραυλούντων ποιμένων ᾄδοντες. ἀκούσωμεν τοίνυν καὶ ταύτης τῆς ᾠδῆς. οἱ μὲν οὖν βασιλέα ὑμνοῦντες, περὶ ἀρχῆς αὐτῷ διαλέγονται, περὶ τῶν τροπαίων, περὶ τῆς νίκης, καὶ τὰ ἔθνη λέγουσι τὰ ἡττηθέντα, πορθητὰς καλοῦντες αὐτοὺς, καὶ βαρβάρων νικητὰς, καὶ ὅσα τοιαῦτα. τοιαύτην τινὰ ᾠδὴν καὶ ὁ μακάριος οὗτος ᾄδει. νίκην γὰρ διηγεῖται καὶ τρόπαιον, καὶ πολέμων κατάλυσιν, οὐχὶ τούτων, ἀλλὰ πολλῷ χαλεπωτέρων. καὶ ὅρα πῶς ἄρχεται· Κύριε ὁ Κύριος ἡμῶν. τῶν μὲν γὰρ ἄλλων τῶν οὐ πιστευόντων εἰς αὐτὸν, ἑνὶ τρόπῳ Κύριός ἐστιν, ἡμῶν δὲ διπλῷ· τῷ τε ἐξ οὐκ ὄντων ποιῆσαι, τῷ τε γνωσθῆναι παρ' ἡμῶν. καὶ ὅρα πῶς ἐκ προοιμίων τίθησι τὸ κεφάλαιον τῆς εὐεργεσίας. ἂν γὰρ μάθῃς πῶς σου Κύριος γέγονεν, ὅτι ἀπηλλοτριωμένους καὶ ἐχθρούς τινας καὶ νεκρωθέντας ᾠκειώσατο καὶ ἐζωοποίησεν· ὄψει καλῶς ὅτι τὸ κεφάλαιον τῆς εὐεργεσίας. τοῦτο τοίνυν ἐκπληττόμενος ὁ προφήτης, φησίν· ὡς θαυμαστὸν τὸ ὄνομά σου; τουτέστι, σφόδρα θαυμαστόν. πόσον θαυμαστὸν, οὐκ εἶπεν (οὐδὲ γὰρ μετρῆσαι ἴσχυσεν) ἀλλὰ τὴν ἐπίτασιν παρέστησε, καὶ τὴν ὑπερβολήν. ποῦ οἱ τὴν οὐσίαν περιεργαζόμενοι τοῦ Θεοῦ; εἰ γὰρ τὸ ὄνομα αὐτοῦ εἰπὼν, οὕτως ἐθαύμασεν, ὡς ἐκπλαγῆναι· ἵνα ἂν σχοῖεν ἐκεῖνοι συγγνώμην, τὴν οὐσίαν αὐτοῦ λέγοντες εἰδέναι, τοῦ προφήτου μηδὲ πόσον ἐστὶ θαυμαστὸν τὸ ὄνομα δυναμένου μαθεῖν; ὡς θαυμαστὸν τὸ ὄνομά σου; ἐν γὰρ τῷ ὀνόματι τούτῳ θάνατος ἐλύθη, δαίμονες ἐδέθησαν, οὐρανὸς ἀνεῴχθη, παραδείσου θύραι ἀνεπετάσθησαν, πνεῦμα κατεπέμφθη, οἱ δοῦλοι γεγόνασιν ἐλεύθεροι, οἱ ἐχθροὶ, υἱοὶ, οἱ ἀλλότριοι, κληρονόμοι, οἱ ἄνθρωποι, ἄγγελοι. τί λέγω, ἄγγελοι; Θεὸς ἄνθρωπος γέγονε, καὶ ἄνθρωπος Θεός· ὁ οὐρανὸς ἐδέξατο τὴν φύσιν τὴν ἀπὸ τῆς γῆς· ἡ γῆ ἐδέξατο τὸν ἐπὶ τῶν χερουβεὶμ καθήμενον μετὰ τῆς στρατιᾶς. τὸ μεσότοιχον ἀνῃρέθη, ὁ φραγμὸς ἐλύθη, τὰ διεστῶτα ἡνώθη, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν, ὁ θάνατος κατεπόθη. ταῦτα πάντα ἐννοῶν καὶ τὰ τούτων πλείονα ὁ προφήτης, ἀνεβόα λέγων· ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ; ποῦ νῦν Ἰουδαίων παῖδες, οἱ πρὸς τὴν ἀλήθειαν ἀναισχυντοῦντες; ἡδέως γὰρ αὐτῶν ἂν ἐροίμην, περὶ τίνος ταῦτα λέγονται; περὶ τοῦ παντοκράτορος, φήσουσιν. ἀλλ' οὐκ ἦν αὐτοῦ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ. καὶ μαρτυρεῖ Ἠσαΐας λέγων· Ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ησ.νβ.ε. εἰ δὲ οἱ θεραπεύοντες αὐτὸν, αἴτιοι τοῦ βλασφημεῖσθαι αὐτὸν ἐγίνοντο, πῶς ἦν θαυμαστόν; ὅτι μὲν γὰρ τῇ φύσει θαυμαστὸν, δῆλον· παρὰ δὲ ἀνθρώποις τότε οὐ θαυμαστὸν τοῖς πλείοσιν, ἀλλὰ καὶ εὐκαταφρόνητον. ἀλλ' οὐχὶ νῦν οὕτως· ἀλλ' ὅτε ὁ μονογενὴς υἱὸς παρεγένετο, πανταχοῦ τὸ ὄνομα αὐτοῦ θαυμαστὸν μετὰ τοῦ Χριστοῦ. Ἀπὸ ἀνατολῶν ἡλίου, φησὶ, μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν Μλχ.α.ια.ιβ. τοῖς ἔθνεσι. καὶ πάλιν· Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. καὶ ἄλλος· Ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι Ησ.ια.θ. τὸν Κύριον. καὶ πάλιν· Ἥξουσι λέγοντες, ψευδῆ οἱ πατέρες ἡμῶν ἐκτήσαντο εἴδωλα. Ιερ.ις.ιθ. ὁρᾷς ὅτι περὶ τοῦ υἱοῦ τὰ εἰρημένα πάντα ἐστίν; αὐτοῦ γὰρ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ ἐγένετο.

Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Ἄλλος, Ὃς ἔταξας τὸν ἔπαινόν σου ὑπεράνω τῶν οὐρανῶν. ἐπειδὴ γὰρ τῆς γῆς ἐμνημόνευσε, μετάγει τὸν λόγον λοιπὸν ἐπὶ τὸν οὐρανόν. ὅπερ εἴωθεν ἀεὶ ποιεῖν, πᾶσαν τὴν οἰκουμένην δεικνὺς εὐφημοῦσαν τὸν ἑαυτῆς δεσπότην. τοῦτο δὴ καὶ ἐνταῦθα δεικνὺς λέγει, θαυμαστὸν κάτω, θαυμαστὸν ἄνω. οὐ γὰρ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἄγγελοι ὑμνοῦσι τὰ γεγενημένα, καὶ ὑπὲρ τῶν εἰς ἀνθρώπους εὐεργεσιῶν χάριτας ὁμολογοῦσιν· ὃ δὴ καὶ ἐποίησαν ἐκ προοιμίων χορὸν στήσαντες ἐπὶ τῆς γῆς. ἢ τοίνυν τοῦτο λέγει, ὅτι καὶ ἄγγελοι ᾄδουσιν, ἢ τὸ μέγεθος παραστῆσαι βούλεται. ὅταν γὰρ τι μέγα λέγειν ἐθέλῃ ἡ γραφὴ, τὰ διαστήματα τῶν στοιχείων τούτων εἰς μέσον ἄγει· ὡς ὅταν λέγῃ, Κατὰ τὸ ὕψος τοῦ οὐ- Ψαλ.ρβ.ια.ιβ. ρανοῦ ἀπὸ τῆς γῆς. καὶ πάλιν, Καθ' ὅσην ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. ἐνταῦθα τοίνυν ἐκπλήττεται τὰ γεγενημένα, πῶς μεγάλα, πῶς ὑπέρογκα. τὴν γὰρ οὐσίαν τὴν πάντων κατωτέραν, ἀνωτέρω πάντων ἔταξεν.

3 Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Ἄλλος, Ἐκ στόματος βρεφῶν ἐθεμελίωσας κράτος. Ἄλλος, Συνεστήσω ἰσχύν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τὴν ἰσχύν σου ἐντεῦθεν μάλιστα ἔδειξας, τὴν δύναμιν τὴν ἄμαχον κινήσας, καὶ τὴν ψελλίζουσαν γλῶτταν πρὸς τὴν δοξολογίαν ἐκείνην τρανώσας. τῶν γὰρ Ματθ.κα.ιε.ις. παιδίων τὴν ὑμνολογίαν τὴν ἐν τῷ ἱερῷ γινομένην, ταύτην προαναφωνεῖ νῦν. καὶ τί δή ποτε τὰ ἄλλα παραδραμὼν θαύματα, νεκρῶν ἀνάστασιν, λεπρῶν κάθαρσιν, δαιμόνων δίωξιν, τοῦ τῶν παίδων μέμνηται θαύματος; ὅτι ἐκεῖνα μὲν καὶ πρὸ τούτου γέγονε, κἂν μὴ οὕτως, ἀλλ' ὅμως γέγονε· καὶ εἶχέ τινα κοινωνίαν, εἰ καὶ μὴ τρόπον. καὶ γὰρ νεκρὸς ἠ- δ.Βασ.δ.λβ. γέρθη ἐπὶ τοῦ Ἐλισσαίου, καὶ λεπρὸς ἐκαθαρίσθη· καὶ δαίμων ἠλάθη ἐπὶ τοῦ Δαβὶδ, δ.Βασ.ε.ιδ. ὅτε ὁ Σαοὺλ ἐδαιμόνα· χορὸς δὲ παιδίων θηλαζόντων οὔτε πρότερον ἐφθέγξατο. ἵν' οὕτω α.Βασ.ις.κγ.

μὴ

ποιῶμεν. Ταῦτα οὖν ἐννοοῦντες, φεύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν, φιλῶμεν τὸν Θεόν, μὴ διὰ τὰ αὐτοῦ, ἀλλὰ δι᾽ αὐτόν. οὕτω γὰρ καὶ τὴν κατὰ τὸν βίον καὶ τὴν κατ᾽ ἀρετὴν ὁδεύσομεν ὁδόν, στενὴν μὲν οὖσαν τῇ φύσει, εὐρεῖαν δὲ τῇ προαιρέσει τῶν ὁδοιπόρων γινομένην· ἧς γένοιτο πάντας ἡμᾶς εἰς τὸ ἄκρον ἐλθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. η. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΛΗΝΩΝ·

Ἄλλος, Ἐπινίκιον ὑπὲρ τῶν ληνῶν· Ἄλλος, Τῷ νικοποιῷ ὑπὲρ τῆς γετθίτιδος· Ὁ δὲ Ἑβραῖος, Λαμνασσή. ἄλλος, ἀγεθθίθ.

1 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Ἄλλος, Τί μέγα τὸ ὄνομά σου.

ΕΝ τῷ πρὸ τούτου ψαλμῷ ἔλεγεν· ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου· ἐνταῦθα τὴν ὑπόσχεσιν πληροῖ, ὕμνον ἀναφέρων αὐτῷ. καὶ ἐν ἐκείνῳ μὲν, ὡς ἐξ ἑνός ἐστι προσώπου τὰ λεγόμενα. Κύριε γὰρ ὁ Θεός μου, φησιν, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. ἐνταῦθα δὲ, ὡς ἐκ πολλῶν. Κύριε γάρ, φησιν, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου. ἀλλὰ παρέχετε σιγὴν, καὶ μετὰ ἀκριβείας ἀκούετε. Εἰ γὰρ ἐν θεάτροις χορῶν ᾀδόντων σατανικῶν, πολλὴ γίνεται ἡσυχία, ὥστε τὰ ὀλέθρια ἐκεῖνα δέξασθαι μέλη· καὶ ταῦτα, τοῦ μὲν χοροῦ ἐκ μίμων καὶ ὀρχηστῶν συνισταμένου ἀνδρῶν, χοροστατοῦντος δὲ παρ᾽ αὐτοῖς βεβήλου τινὸς καὶ κιθαρῳδοῦ, τοῦ δὲ μέλους σατανικοῦ καὶ ὀλεθρίου τυγχάνοντος, ᾀδομένου δὲ μιαροῦ καὶ πονηροῦ δαίμονος· ἐνταῦθα ἔνθα ὁ μὲν χορὸς ἐξ ἁγίων ἀνδρῶν, ὁ δὲ χοροστάτης ἐστὶν ὁ προφήτης, τὸ δὲ μέλος, οὐκ ἐκ σατανικῆς ἐνεργείας, ἀλλ᾽ ἐκ πνευματικῆς χάριτος, ὁ δὲ ᾀδόμενος, οὐχὶ δαίμων, ἀλλὰ Θεός· πῶς οὐ πολλὴν δεῖ παρέχειν τὴν ἡσυχίαν, καὶ μετὰ φρίκης ἀκούειν; καὶ γὰρ συγχορευταὶ γεγόναμεν τῶν ἄνω δυνάμεων. καὶ γὰρ καὶ οἱ ἄνω χοροὶ, καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ τοῦτο ἔργον ἔχουσι, τὸ διηνεκῶς ὑμνεῖν τὸν Θεόν. ἐκ τούτων τῶν χορῶν καὶ ἐπὶ τῆς γῆς ἐφάνησαν μετὰ τῶν ἀγραυλούντων ποιμένων ᾄδοντες. ἀκούσωμεν τοίνυν καὶ ταύτης τῆς ᾠδῆς. οἱ μὲν οὖν βασιλέα ὑμνοῦντες, περὶ ἀρχῆς αὐτῷ διαλέγονται, περὶ τῶν τροπαίων, περὶ τῆς νίκης, καὶ τὰ ἔθνη λέγουσι τὰ ἡττηθέντα, πορθητὰς καλοῦντες αὐτοὺς, καὶ βαρβάρων νικητὰς, καὶ ὅσα τοιαῦτα. τοιαύτην τινὰ ᾠδὴν καὶ ὁ μακάριος οὗτος ᾄδει. νίκην γὰρ διηγεῖται καὶ τρόπαιον, καὶ πολέμων κατάλυσιν, οὐχὶ τούτων, ἀλλὰ πολλῷ χαλεπωτέρων. καὶ ὅρα πῶς ἄρχεται· Κύριε ὁ Κύριος ἡμῶν. τῶν μὲν γὰρ ἄλλων τῶν οὐ πιστευόντων εἰς αὐτὸν, ἑνὶ τρόπῳ Κύριός ἐστιν, ἡμῶν δὲ διπλῶς· τῷ τε ἐξ οὐκ ὄντων ποιῆσαι, τῷ τε γνωσθῆναι παρ᾽ ἡμῶν. καὶ ὅρα πῶς ἐκ προοιμίων τίθησι τὸ κεφάλαιον τῆς εὐεργεσίας. ἂν γὰρ μάθῃς πῶς σου Κύριος γέγονεν, ὅτι ἀπηλλοτριωμένους καὶ ἐχθρούς τινας καὶ νεκρωθέντας ᾠκειώσατο καὶ ἐζωοποίησεν· ὄψει καλῶς ὅτι τὸ κεφάλαιον τῆς εὐεργεσίας. τοῦτο τοίνυν ἐκπληττόμενος ὁ προφήτης, φησίν· ὡς θαυμαστὸν τὸ ὄνομά σου; τουτέστι, σφόδρα θαυμαστόν. πόσον θαυμαστὸν, οὐκ εἶπεν (οὐδὲ γὰρ μετρῆσαι ἴσχυσεν) ἀλλὰ τὴν ἐπίτασιν παρέστησε, καὶ τὴν ὑπερβολήν. ποῦ εἰσι τὴν οὐσίαν περιεργαζόμενοι τοῦ Θεοῦ; εἰ γὰρ τὸ ὄνομα αὐτοῦ εἰπὼν, οὕτως ἐθαύμασεν, ὡς ἐκπλαγῆναι· ἵνα ἂν σχοῖεν ἐκεῖνοι συγγνώμην, τὴν οὐσίαν αὐτοῦ λέγοντες εἰδέναι, τοῦ προφήτου μηδὲ πόσον ἐστὶ θαυμαστὸν τὸ ὄνομα δυναμένου μαθεῖν; ὡς θαυμαστὸν τὸ ὄνομά σου; ἐν γὰρ τῷ ὀνόματι τούτῳ θάνατος ἐλύθη, δαίμονες ἐδέθησαν, οὐρανὸς ἀνεῴχθη, παραδείσου θύραι ἀνεπετάσθησαν, πνεῦμα κατεπέμφθη, οἱ δοῦλοι γεγόνασιν ἐλεύθεροι, οἱ ἐχθροὶ, υἱοὶ, οἱ ἀλλότριοι, κληρονόμοι, οἱ ἄνθρωποι, ἄγγελοι. τί λέγω, ἄγγελοι; Θεὸς ἄνθρωπος γέγονε, καὶ ἄνθρωπος Θεός· ὁ οὐρανὸς ἐδέξατο τὴν φύσιν τὴν ἀπὸ τῆς γῆς· ἡ γῆ ἐδέξατο τὸν ἐπὶ τῶν χερουβεὶμ καθήμενον μετὰ τῆς στρατιᾶς. τὸ μεσότοιχον ἀνῃρέθη, ὁ φραγμὸς ἐλύθη, τὰ διεστῶτα ἡνώθη, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν, ὁ θάνατος κατεπόθη. ταῦτα πάντα ἐννοῶν καὶ τὰ τούτων πλείονα ὁ προφήτης, ἀνεβόα λέγων· ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ; ποῦ νῦν Ἰουδαίων παῖδες, οἱ πρὸς τὴν ἀλήθειαν ἀναισχυντοῦντες; ἡδέως γὰρ αὐτοὺς ἂν ἐροίμην, περὶ τίνος ταῦτα λέγονται; περὶ τοῦ παντοκράτορος, φήσουσιν. ἀλλ' οὐκ ἦν αὐτοῦ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ. καὶ μαρτυρεῖ Ἡσαΐας λέγων· Ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ἡσ. νβ. ε. Εἰ δὲ οἱ θεραπεύοντες αὐτὸν, αἴτιοι τοῦ βλασφημεῖσθαι αὐτὸν ἐγίνοντο, πόθεν ἦν θαυμαστόν; ὅτι μὲν γὰρ τῇ φύσει θαυμαστὸν, δῆλον· παρὰ δὲ ἀνθρώποις τότε οὐ θαυμαστὸν τοῖς πλείοσιν, ἀλλὰ καὶ εὐκαταφρόνητον. ἀλλ' οὐχὶ νῦν οὕτως· ἀλλ' ὅτε ὁ μονογενὴς υἱὸς παρεγένετο, πανταχοῦ τὸ ὄνομα αὐτοῦ θαυμαστὸν μετὰ τοῦ Χριστοῦ. Ἀπὸ ἀνατολῶν ἡλίου, φησὶ, μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι. Μαλ. α. ια. ιβ. καὶ πάλιν· Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. καὶ ἄλλος· Ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον. Ἡσ. ια. θ. καὶ πάλιν· Ἥξουσι λέγοντες, ψευδῆ οἱ πατέρες ἡμῶν ἐκτήσαντο εἴδωλα. Ἱερ. ις. ιθ. ὁρᾷς ὅτι περὶ τοῦ υἱοῦ τὰ εἰρημένα πάντα ἐστίν; αὐτοῦ γὰρ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ ἐγένετο.

Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Ἄλλος, Ὃς ἔταξας τὸν ἔπαινόν σου ὑπεράνω τῶν οὐρανῶν. ἐπειδὴ γὰρ τῆς γῆς ἐμνημόνευσε, μετάγει τὸν λόγον καὶ ἐπὶ τὸν οὐρανόν. ὅπερ εἴωθεν ἀεὶ ποιεῖν, πᾶσαν τὴν οἰκουμένην δεικνὺς εὐφημοῦσαν τὸν ἑαυτῆς δεσπότην· τοῦτο δὴ καὶ ἐνταῦθα δεικνὺς λέγει, θαυμαστὸν κάτω, θαυμαστὸν ἄνω. οὐ γὰρ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἄγγελοι ὑμνοῦσι τὰ γεγενημένα, καὶ ὑπὲρ τῶν εἰς ἀνθρώπους εὐεργεσιῶν χάριτας ὁμολογοῦσιν· ὃ δὴ καὶ ἐποίησαν ἐκ προοιμίων χορὸν στήσαντες ἐπὶ τῆς γῆς. ἢ τοίνυν τοῦτο λέγει, ὅτι καὶ ἄγγελοι ᾄδουσιν, ἢ τὸ μέγεθος παραστῆσαι βούλεται. ὅταν γάρ τι μέγα λέγειν ἐθέλῃ ἡ γραφὴ, τὰ διαστήματα τῶν στοιχείων τούτων εἰς μέσον ἄγει· ὡς ὅταν λέγῃ, Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς. Ψαλ. ρβ. ια. ιβ. καὶ πάλιν, Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. ἐνταῦθα τοίνυν ἐκπλήττεται τὰ γεγενημένα, πῶς μεγάλα, πῶς ὑπέρογκα. τὴν γὰρ οὐσίαν τὴν πάντων κατωτέραν, ἀνωτέρω πάντων ἔταξεν.

3 Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Ἄλλος, Ἐκ στόματος βρεφῶν ἐθεμελίωσας κράτος. Ἄλλος, Συνεστήσω ἰσχύν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τὴν ἰσχύν σου ἐντεῦθεν μάλιστα ἔδειξας, τὴν δύναμιν τὴν ἄμαχον κινήσας, καὶ τὴν ψελλίζουσαν γλῶτταν πρὸς τὴν δοξολογίαν ἐκείνην τρανώσας. τῶν γὰρ παιδίων τὴν ὑμνολογίαν τὴν ἐν τῷ ἱερῷ γενομένην, ταύτην προαναφωνεῖ νῦν. Ματθ. κα. ιε. καὶ τί δή ποτε τὰ ἄλλα παραδραμὼν θαύματα, νεκρῶν ἀνάστασιν, λεπρῶν κάθαρσιν, δαιμόνων δίωξιν, τοῦ τῶν παίδων μέμνηται θαύματος; ὅτι ἐκεῖνα μὲν καὶ πρὸ τούτου γέγονε, κἂν μὴ οὕτως, ἀλλ' ὅμως γέγονε· καὶ εἶχέ τινα κοινωνίαν, εἰ καὶ μὴ τρόπον. καὶ γὰρ νεκρὸς ἠγέρθη ἐπὶ τοῦ Ἐλισσαίου, δ. Βασ. δ. λε. καὶ λεπρὸς ἐκαθαρίσθη· δ. Βασ. ε. ιδ. καὶ δαίμων ἠλάθη ἐπὶ τοῦ Δαβὶδ, ὅτε ὁ Σαοὺλ ἐδαιμόνα· α. Βασ. ις. κγ. χορὸς δὲ παιδίων θηλαζόντων οὐδέποτε πρότερον ἐφθέγξατο. ἵν' ὅπου μὴ ἀναισχυντῇ ὁ Ἰουδαῖος, λέγων περὶ τὴν ἐν τῇ παλαιᾷ ταῦτα εἰρῆσθαι, ἐπελέξατο σημεῖον τότε πρῶτον καὶ μόνον γενόμενον. ἄλλως δὲ, καὶ ἦν τῶν ἀποστόλων τὰ γενόμενα. καὶ γὰρ οὗτοι νήπιοι σφόδρα ὄντες, καὶ τῶν ἰχθύων αὐτῶν ἀφωνότεροι, τὴν οἰκουμένην ἅπασαν ἐσαγήνευσαν. ὅτι δὲ τοῦτο δύναμις Θεοῦ μάλιστά ἐστιν, ὅρα καὶ ἐν τῇ παλαιᾷ τοῦτο περὶ τοῦ πατρὸς αὐτοῦ λέγοντα τὸν προφήτην. τῷ γὰρ Μωϋσεῖ διαλεγόμενός φησι, Ἐξοδ. δ. ια. Τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; καὶ πάλιν· Ἡσ. λε. ς. Διδοὺς γλώσσας τρανὰς μογιλάλοις. καὶ πάλιν· Ἡσ. ν. δ. Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. καὶ ἐν ἀρχῇ δέ φησι· Γεν. ια. ζ. Δεῦτε, καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. μεγάλη τοίνυν καὶ ἰσχυρὰ ἡ ἀπόδειξις. ἐπὶ μὲν γὰρ τῶν ἄλλων, εἰ καὶ παραλόγως, ὅμως ὑπώπτευόν τινα εἶναι ἀναισχυντοῦντες· ἐνταῦθα δὲ οὐδὲν εἶχον εἰπεῖν, αὐτῆς καθ' ἑαυτὴν τῆς φύσεως γυμνῆς ἀγωνιζομένης. διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, νηπίων, ἵνα μή τις αὐτοὺς ἀκάκους αὐτὸν καὶ αὐτοὺς ἁπλουστέρους λέγειν νομίσῃ· ἀλλ' ἐπήγαγε, καὶ θηλαζόντων, τῇ προσθήκῃ τῆς τραπέζης τὴν ἡλικίαν χαρακτηρίζων. οὐχ ἁπλῶς γάρ φησι νηπίων, ἀλλὰ τῶν ὑπομαζίων, τῶν μηδέποτε στερεᾶς τροφῆς μεταλαβόντων. οὐ τοίνυν τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι φωνὴν ἀφῆκαν, καὶ φωνὴν τετρανωμένην, ἀλλ' ὅτι καὶ μυρίων γέμουσαν ἀγαθῶν. ἅπερ γὰρ ἀπόστολοι οὐδέπω ᾔδεσαν, ταῦτα τὰ παιδία ὕμνουν. ἀπὸ τούτου καὶ ἕτερόν τι αἰνίττεται· τὸ δεῖν τοῖς δόγμασι προσιόντας, παιδία γίνεσθαι τῇ διανοίᾳ. Μαρκ. ι. ιε. Ματθ. ιη. γ. Ἂν γὰρ μή τις δέξηται τὴν βασιλείαν τῶν οὐρανῶν ὡς παιδίον, φησὶν, οὐ δύναται εἰσελθεῖν εἰς αὐτήν. Ἕνεκεν τῶν ἐχθρῶν σου. Λέγει καὶ τὴν αἰτίαν δι' ἣν τοῦτο γέγονε τὸ θαῦμα. τὰ μὲν γὰρ ἄλλα οὐ τῶν ἐχθρῶν ἕνεκεν ἐγίνετο, ἀλλ' ὥστε προσιόντας ἀπολαύειν εὐεργεσίας, καὶ ἑτέρους παιδεύεσθαι· τοῦτο δὲ οὐ διὰ τοῦτο γέγονε μόνον, ἀλλ' ὥστε καὶ ἐπιστομίσαι τοὺς ἐχθρούς· οὓς καὶ ἕτερος, ἀκριβέστερον αὐτοὺς δηλῶν, φησι, Διὰ ἐνδεσμοῦντάς σε. αὐτοὶ γὰρ ἦσαν οἱ πάντες αὐτὸν ἐπὶ τὸν σταυρὸν ἀγόμενον.

C

Τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. Ἄλλος, Ὥστε παῦσαι ἐχθρὸν, καὶ τιμωροῦντα ἑαυτῷ, τὸν λαὸν τὸν Ἰουδαϊκὸν ἐνταῦθα λέγων. ἤλαυνον μὲν γὰρ ὡς ἐχθρὸν τὸν Χριστὸν, προσεποιοῦντο δὲ τὸν πατέρα ἐκδικοῦντες τοῦτο ποιεῖν. διὰ τοῦτο, ταύτης αὐτοὺς ἀποστερῶν τῆς ἀπολογίας, ἔλεγεν· Ἰω. ιε. κγ. Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. καὶ πάλιν· Ἰω. ιβ. μδ. με. Ὁ πιστεύων εἰς ἐμὲ, πιστεύει εἰς τὸν πέμψαντά με· ἄνω καὶ κάτω συνάπτων τῇ πρὸς ἑαυτὸν τιμῇ καὶ ὕβρει τὸν πατέρα. καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ προφήτου. οὐκ εἶπε, τοῦ κολάσαι, ἀλλὰ τοῦ καταλῦσαι· ὅπερ ὁ ἕτερος σαφέστερον δηλοῖ, λέγων, Τοῦ παῦσαι, τουτέστι, τὴν ἀναισχυντίαν αὐτῶν ἀνελεῖν, οὐ τοῦ διδάξαι. ἀδιόρθωτα γὰρ ἐνόσουν. ὁρῶντες γοῦν τοιοῦτον θαῦμα, καὶ μηδὲν ἔχοντες ἀντειπεῖν, πρὸς αὐτὸν ἐπεστρέφοντο λέγοντες· Οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; δέον λοιπὸν προσκυνῆσαι, θαυμάσαι· οἱ δὲ ἐν ἀμηχανίᾳ ἦσαν πολλῇ· καὶ ὀφείλοντες ἀλλήλοις λέγειν ἕκαστος τῷ πλησίον, Οὐκ ἀκούεις τί οὗτοι λέγουσι; τῷ Χριστῷ ἔλεγον. καὶ τίνος ἕνεκεν οὐκ ἀγγέλων ἠνέχθη φωνή; ὅτι ἐκεῖνο μὲν φάντασμα αὐτοῖς ἔδοξεν ἂν εἶναι· πρὸς τοῦτο δὲ οὐδὲν εἶχον ἀντειπεῖν. τί δὲ ἔλεγον τὰ παιδία; οὐδὲν φορτικὸν, οὐδὲ ἐπαχθὲς, οὐδὲ ἱκανὸν αὐτοὺς πλῆξαι, ἀλλὰ μάλιστα τὴν συμφωνίαν τὴν πρὸς τὸν πατέρα δηλοῦν. εὐλογημένος, ἔλεγον, ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. τότε μὲν οὖν κατέλυσεν αὐτῶν τὴν ἀναισχυντίαν, ὕστερον δὲ τὴν πόλιν· καὶ μέρος οὐδέν ἐστι τῆς οἰκουμένης τῶν Ἰουδαϊκῶν ἄπειρον συμφορῶν, ἀλλ' ὥσπερ σῶμα ἀνάπηρον, πανταχοῦ διαδέδοται, τὰ τραύματα ἐπιδεικνύμενον. καὶ καθάπερ οἱ δικασταὶ πολλοὺς τῶν ἀνδροφόνων ἐπειδὰν ἀνέλωσιν,. ἕνα ἀνασκολοπίζουσιν, ἵνα καὶ τελευτησάντων αὐτῶν, ὥσπερ νεωστὶ γεγενημένον τὸ πάθος σωφρονίζῃ τοὺς ζῶντας· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τελευτήσαντας, ἀλλὰ ζῶντας παράδειγμα πᾶσιν ἐποίησε, διασπείρας αὐτούς· καὶ οἱ μίαν οἰκοῦντες χώραν, νῦν πανταχοῦ τῆς γῆς εἰσι διεσπαρμένοι. κἂν ἐρωτήσῃς τὴν αἰτίαν, οὐδεμίαν ἄλλην εὑρήσεις, ἀλλ' ἢ τὸ σταυρῶσαι τὸν Χριστόν. διὰ τί γὰρ οὕτως, εἰπέ μοι, τοῦτο μὴ γέγονεν; ἀλλ' εἰ καὶ γέγονέ ποτε, εἰς ἔθνος ἓν ἀφωρίσθησαν, καὶ ἐπὶ ἔτεσιν ὀλίγοις· νυνὶ δὲ οὐχ οὕτως, ἀλλ' ἀπέραντα κολάζονται. κἂν ἐρωτήσῃς αὐτούς, διὰ τί ἐσταυρώσατε τὸν Χριστόν; λέγουσιν, ὡς πλάνον καὶ γόητα ὄντα. οὐκοῦν ὑπὲρ τούτου τιμηθῆναι ἔδει, καὶ πλείονα χώραν προσλαβεῖν, ὡς ἀρέσαντας τῷ Θεῷ. ὁ γὰρ πλάνον καὶ γόητα καὶ ἀντίθεον ἀναιρῶν, ἐχθρὸν τοῦ Θεοῦ ἀνεῖλεν. ὁ δὲ ἐχθρὸν ἀναιρῶν, εὐδοκιμεῖν ἂν εἴη δίκαιος. νῦν ὁ μὲν Φινεές, ἵνα μίαν ἀνέλῃ πόρνην, οὕτως εὐδοκίμησε παρὰ τῷ Θεῷ, ὡς καὶ ἱερωσύνης ἀξιωθῆναι, καὶ τοσαύτης τιμῆς· ὑμεῖς δέ, οἱ μᾶλλον ἐκείνου ὀφείλοντες εὐδοκιμεῖν πολλῷ, εἴγε πλάνον ἀνείλετε, ἀλῆται καὶ ἀπόλιδες περιάγετε πανταχοῦ. ὥστε οὐ δι' ἄλλο τι ταῦτα πεπόνθατε, ἀλλ' ἢ ὅτι τὸν σωτῆρα καὶ εὐεργέτην καὶ ἀληθείας διδάσκαλον ἐσταυρώσατε. εἰ γὰρ πλάνος ἦν καὶ ἀντίθεος, καί, μὴ ὢν Θεός, Θεὸς εἶναι ἐβούλετο, καὶ τὸ τοῦ Πατρὸς σέβας εἰς ἑαυτὸν ἐπεσπᾶτο· καὶ τοῦ Φινεές, καὶ τοῦ Σαμουήλ, καὶ πάντων ἐκείνων μᾶλλον ὑμᾶς εὐδοκιμῆσαι ἔδει, τοσοῦτον ὑπὲρ τοῦ νόμου ζηλώσαντας. νυνὶ δέ, ἃ μηδέποτε πεπόνθατε εἰδωλολατροῦντες, ἀσεβοῦντες, παῖδας σφάζοντες, ταῦτα πεπόνθατε νῦν, καὶ λύσις οὐδεμία τῶν δεινῶν· καὶ ἀλῆται καὶ φυγάδες καὶ πλάνοι καὶ νόμοις Ῥωμαίων δουλεύοντες, μετέρχεσθε γῆν καὶ θάλατταν, μετανάσται καὶ ἀπόλιδες, ἄοικοι καὶ ἐξηνδραποδισμένοι, ἐλευθερίας καὶ πατρίδος καὶ ἱερωσύνης καὶ πάντων τῶν προτέρων ἐκβεβλημένοι, ἐν μέσοις βαρβάροις καὶ μυρίοις ἔθνεσι διεσπαρμένοι, μισούμενοι παρὰ πάντων ἀνθρώπων, βδελυροί, καὶ πᾶσιν εἰς τὸ κακῶς παθεῖν προκείμενοι. πάνυ γε· οὐ γὰρ ἐλάβετε τὰ ἔπαθλα, ὅτι τοῦ Θεοῦ τὸν ἐχθρὸν ἐσφάξατε. μωρία ταῦτα καὶ λῆρος. ἃ γὰρ πάσχετε νῦν, οὐ τῶν ἐχθροὺς τοῦ Θεοῦ ἀναιρούντων ἐστίν, ἀλλὰ τῶν φίλους διαχρωμένων. ἀλλ' ὅταν ταῦτα λέγωμεν, φασί· διὰ τὰς ἁμαρτίας ταῦτα πάσχομεν. νῦν ἐξομολογεῖσθε ὦ ἀπειθεῖς; καὶ ποίας ἁμαρτίας, εἰπέ μοι; μὴ γὰρ νῦν πρῶτον ἡμαρτήκατε; νῦν μὲν οὖν καὶ ἐπιεικέστεροι γεγόνατε. ἀλλὰ μήπω τοῦτο. ἀλλ' ἐκεῖνο ἂν ὑμᾶς ἐροίμην· τίνος ἕνεκεν ἀεὶ ἁμαρτάνοντες συγγνώμης ἐτυγχάνετε παρὰ Θεοῦ. * * τότε μὲν γὰρ καὶ τῷ Βεελφεγὼρ ἐτελεῖσθε, καὶ μόσχον προσεκυνήσατε, καὶ τοὺς υἱοὺς ἐσφάξατε, καὶ τὰς θυγατέρας ὑμῶν ἀνείλετε, καὶ ταῦτα σημείων ἀπολαύοντες; νῦν δὲ οὐ θάλατταν ὁρῶντες σχιζομένην, οὐ πέτραν ῥηγνυμένην, οὐ προφήτας παραγινομένους, οὐ τῆς συνήθους ἀπολαύοντες προνοίας, ὅμως μείζονα ἐπιδείκνυσθε τὴν ἐπιείκειαν. τί δήποτε οὖν, ὅτε καὶ τὰ ἁμαρτήματα ἐλάττονα, καὶ ἡ σωφροσύνη πλείων, μείζων ἡ κόλασις καὶ ἡ τιμωρία; οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι ἐπειδὴ μεῖζον τὸ νῦν ἁμάρτημα; ἕως μὲν γὰρ εἰς τοὺς δούλους ἡμαρτάνετε, ἐτυγχάνετε συγγνώμης, προφήτας ἀναιροῦντες καὶ λιθάζοντες· ἐπειδὴ δὲ εἰς τὸν δεσπότην τὰς χεῖρας ἐξετείνατε, ἀνίατον γέγονεν ὑμῖν τὸ ἕλκος λοιπόν. διὰ τετρακόσια καὶ πλείω παρῆλθον λοιπὸν ἔτη, ἀφ' οὗ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἠφάνισται, ἡ ἱερωσύνη ἀνῄρηται, ἡ βασιλεία καταλέλυται, τὰ τῶν φυλῶν συγκέχυται, πάντα τὰ σεμνὰ ἐκεῖνα καὶ λαμπρὰ ἠφάνισται, καὶ οὐδὲ ἴχνος περὶ ὑμῖν· ὅπερ οὐδέποτε γέγονεν. ἀλλ' ἐν ἀρχῇ μέν, καὶ τοῦ ναοῦ καθῃρημένου, οἱ προφῆται παρέμενον, καὶ πνεύματος χορηγία, καὶ θαύματα· νυνὶ δέ, ἵνα σαφῶς μάθητε ὅτι ὁ Θεὸς ὑμᾶς ἀπέστραπται διηνεκῶς, καὶ ταῦτα ἀνῄρηται, καὶ δουλεία, καὶ αἰχμαλωσία, καὶ πάντων ἔκπτωσις, καὶ (τὸ πάντων χαλεπώτερον) Θεοῦ ἐγκατάλειψις· καὶ ταὐτὸ πεποίηκεν ὁ Θεός, οἷον ἂν εἴ τις δοῦλον ἀγνώμονα πολλάκις μαστιχθέντα καὶ μὴ διορθωθέντα, ἀποδύσας τῶν ἱματίων, γυμνόν, ἔρημον, ἀλήτην ἀφῇ πλανᾶσθαι προσαι-

Ἀριθμ. κε. ιζ.

τοιοῦτα καὶ ἐλαυνόμενον πανταχοῦ. πρότερον δὲ, οὐ τοιαῦτα τὰ ὑμέτερα, ἀλλὰ καὶ προφῆται παρ' ὑμῖν, καὶ ἐν Αἰγύπτῳ καὶ ἐν Βαβυλῶνι καὶ ἐν ἐρήμῳ· Μωϋσῆς ἐν Αἰγύπτῳ, ἐν Βαβυλῶνι Δανιὴλ καὶ Ἰεζεκιὴλ, ἐν Αἰγύπτῳ πάλιν Ἱερεμίας· καὶ θαύματα ἐπὶ θαύμασι, καὶ λαμπρότερον τὸ ἔθνος ἐγίνετο, τῶν παρ' ὑμῖν αἰχμαλώτων βασιλέων ὑψηλοτέρων γινομένων. ἀλλὰ νῦν πάντα ἐκεῖνα οἴχεται· καὶ ἡ τιμωρία χαλεπωτέρα τῶν προτέρων; οὐ μόνον τῷ μήκει τοῦ χρόνου, ἀλλὰ καὶ τῇ πολλῇ ἐγκαταλείψει. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ὅτε μείζονα ἡμαρτάνετε, τοσαύτης ἀπελαύετε προνοίας· ὅτε δὲ, ὥς φατε, καὶ ἐζηλώσατε ὑπὲρ τοῦ νόμου, χείρονα ἐπάθετε; ἀπὸ γὰρ τούτου ἀδικίαν καταγινώσκετε τοῦ Θεοῦ, ὅτι ἁμαρτάνοντας μὲν εἴα, κατορθοῦντας δὲ ἠτίμωσεν. εἰ γὰρ πλάνον ἀνείλετε, ὥς φατε, καὶ κατωρθώσατε. ἢ εἰ δίκαιος ὁ Θεὸς (ὥσπερ οὖν καὶ δίκαιος) εὔδηλον ὅτι τὰ νῦν ἁμαρτήματα ὑμῶν χαλεπώτερα. εἰ δὲ οὔτε ἀσεβεῖτε νῦν, οὔτε τέκνα θύετε, ὡς πρότερον, ποῖον ἄλλο ἁμάρτημά ἐστι δι' ὃ χαλεπώτερα ἐπάθετε; ἢ εὔδηλον, ὅτι τὸ τοῦ σταυροῦ τόλμημα, ὁ κολοφὼν τῶν κακῶν; τοῦτο καὶ εἰδωλολατρείας, καὶ μοσχοποιΐας, καὶ παιδοκτονίας μᾶλλον ὑμᾶς ἀπώλεσεν. οὐ γάρ ἐστιν ἴσον, υἱὸν σφάξαι τὸν ἑαυτοῦ, καὶ δεσπότην τὸν ἑαυτοῦ σταυρῶσαι. διὰ τοῦτο, ὅτε μὲν τοὺς υἱοὺς ἐσφάττετε, φιλανθρωπίας ἀπελαύετε· ὅτε δὲ τοῦ Θεοῦ τὸν υἱὸν καὶ σὸν δεσπότην, ἀσύγγνωστα λοιπὸν κολάζῃ. πόσα ἔτη ἀπὸ τῆς ἐξόδου τῆς κατ' Αἴγυπτον, ἕως τῆς τοῦ Χριστοῦ παρουσίας; οἶμαι χίλια πεντακόσια εἶναι καὶ πλείονα. πῶς οὖν ἐν τούτοις ἅπασιν ἁμαρτάνοντας ὑμᾶς ἔφερε· νῦν δὲ ὑμᾶς ἔρριψεν, ὅτε μάλιστα στεφανῶσαι ἔδει, κἂν πολλὰ ἡμαρτηκότες ἦτε; τὸ γὰρ κατόρθωμα ὑμῶν πολὺ μέγιστον ἦν, εἴπερ πλάνον ἐσφάξατε. μετὰ δὲ τούτου, καὶ σάββατα δοκεῖτε φυλάττειν νῦν, καὶ εἴδωλα οὐ προσκυνεῖτε, καὶ τὰ ἄλλα φιλονεικεῖτε διατηρεῖν. ὅτε τοίνυν καὶ ὁ βίος ὑμῶν βελτίων, καὶ τὸ κατόρθωμα, ὥς φατε, τοσοῦτον, τότε τὰ ἔσχατα πάσχετε. τί ταύτης τῆς μανίας γένοιτ' ἂν χεῖρον, τί τῆς ἀνοίας, ὅτι ὑπὲρ ὑμῶν αὐτῶν ἀπολογήσασθαι βουλόμενοι, εἰς τὸν Θεὸν βλασφημεῖτε; εἰ γὰρ οὐ μεῖζον τὸ ἁμάρτημα τὸ κατὰ Χριστὸν πάντων ἐκείνων, ἀλλὰ καὶ δικαίωμα, ὥς φατε, καὶ κατόρθωμα, τί δή ποτε κατορθοῦντας μὲν κολάζει, ἁμαρτάνοντας δὲ ἐφείδετο; τοῦτο γὰρ οὐχ ὁ Θεὸς, ἀλλ' οὐδὲ ἄνθρωπος ὅστις δήποτε νοῦν ἔχων ἀνάσχοιτο ἂν ποιῆσαι. ἀλλὰ τί φασι πρὸς ταῦτα; ἐρρίφημεν, ἵνα καὶ διδάσκαλοι γενώμεθα τῆς οἰκουμένης. λῆρος ταῦτα καὶ φλυαρίαι. τοὺς γὰρ μέλλοντας εἶναι διδασκάλους, πρότερον αὐτοὺς κατωρθωκέναι δεῖ, καὶ τότε πέμπεσθαι εἰς τοῦτο· οἷοι ἦσαν οἱ προφῆται, οἱ ἀπόστολοι. ὅταν δὲ αὐτοὶ διεστραμμένοι ὦσι, καὶ πάσης γέμοντες κακίας, πῶς ἂν εἰς τὸ διδάσκειν ἐξηνέχθησαν; ἴδωμεν τοίνυν οἷος αὐτῶν καὶ ὁ πρὸ τοῦ βίος. εὑρήσομεν γὰρ θηρίων ὄντας χαλεπωτέρους. καὶ γὰρ πατραλοῖαι, καὶ παιδοκτόνοι, καὶ εἰδωλολάτραι * γεγόνασι· καὶ τούτων εἰσὶν αἱ προφητεῖαι πλήρεις. καὶ τὸ μὲν λάγνον ὑμῶν Ἱερεμίας δηλῶν, ἔλεγεν· Ἵπποι θηλυμανεῖς ἐγενήθησαν. ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζε. τί ταύτης τῆς ἀκαθαρσίας χεῖρον; οὐ γὰρ ὡς ἄνθρωποι συνεγίνοντο ταῖς ἀλλήλων γυναιξί. διὸ καὶ τὴν μανίαν αὐτῶν χρεμετισμὸν ἐκάλεσε. καὶ οὐχὶ πορνείαν μόνον, ἀλλὰ καὶ μοιχείαν αὐτοῖς ἐγκαλεῖ, καὶ ταύτην" ἀναιδῆ γινομένην, καθάπερ ἐπὶ τῶν ἀλόγων. ἕτερος δὲ προφήτης φησίν· Εἰσῄλθον πρὸς τὴν γυναῖκα ποιοῦντες παραπετάσματα, υἱὸς καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην. διὰ τοῦτο οὖν διδασκάλους, εἰπέ μοι, ἔπεμψεν ὑμᾶς, ἵνα μάθωμεν πορνείας καὶ μοιχείας, καὶ ὅτι δεῖ τὴν αὐτὴν ἀμφοῖν ἔχειν πατέρα καὶ υἱόν; τί δὲ ὁ Ἰεζεκιήλ; Οὐδὲ κατὰ τὰ νόμιμα τῶν ἐθνῶν ἐποιήσατε, φησι. τοὺς οὖν ἐθνῶν χείρους, τούτους ἔπεμψε διδασκάλους, εἰπέ μοι; τὰς δὲ μιαιφονίας αὐτῶν, τίς ἂν ἐνέγκοι; υἱοὺς γὰρ καὶ θυγατέρας κατέσφαξαν

τοῖς

Ἱερ. ε. η.

Ἀμὼς β. ζ. η.

Ἰεζεκ. ε. ζ.

* ἢ πλεονέκται

γρ. ἀνέδην

τοῖς δαιμονίοις, καὶ κατέχεον αὐτούς. δείκνυσι καὶ τοῦτο ὁ Δαβὶδ λέγων· Καὶ ἔσφαξαν Ψαλμ. ρε. λη.
τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. διὰ ταῦτα οὖν ἀπέστειλεν, ἵνα
μάθῃ τοῦτο τῶν ἀνθρώπων ἡ φύσις, ὅτι υἱοὺς δεῖ κατασφάττειν, καὶ θυγατέρας; οὐκ
αἰσχύνεσθε, οὐδὲ ἐγκαλύπτεσθε τοιαύτας ληρῳδίας συντιθέντες; καὶ γὰρ ἕτερός φη-
σιν· Αἵματα ἐφ' αἵμασι μίσγουσι· καὶ ἀρὰ, καὶ ψεῦδος, καὶ κλοπὴ, καὶ φόνος, καὶ μοιχεία κέ- Ωσ. δ. β.
χυται ἐπὶ τῆς γῆς. ἄλλος δέ· Ὅτι ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς Ιερ. γ. γ.
πάντας. ἕτερος πάλιν· Οἱ ἄρχοντες ὑμῶν ὡς λύκοι τῆς Ἀραβίας. ἄλλος πάλιν· Ιεζεκ. κβ. κζ. Ψαλμ. ιγ. γ. δ. καὶ
Οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθη- Ρωμ. γ. ια. ιβ.
σαν. ταῦτα οὖν ἐξήλθετε διδάσκοντες, ἀναισχυντίαν, ἄνοιαν, πορνείας, μοιχείαν, φό-
νους, πᾶσαν κακίας ὁδόν; οὐ παύεσθε ἀναγκάζοντες ἡμᾶς τὰ κακὰ ὑμῶν ἐκπομπεύειν;
ὑμεῖς οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως· ὑμεῖς οἱ τυφλοὶ, καὶ εἰς
βόθυνον ἀλλήλους ἐμβάλλοντες. Τυφλὸς γὰρ τυφλὸν, φησὶν, ἐὰν ὁδηγῇ, ἀμφότεροι Ματθ. ιε. ιδ.
εἰς βόθυνον ἐμπεσοῦνται. οἱ καθ' ἑκάστην προφητῶν ἀπολαύοντες, καὶ μηδέποτε βελ-
τίους γινόμενοι, ἑτέρων ἐμέλλετε διδάσκαλοι εἶναι; οὐ παύεσθε τοιαῦτα ληροῦντες, καὶ ἐπι-
γνώσεσθε ὑμῶν τὴν κακίαν; τοῦτο γὰρ ὑμᾶς ἀπώλεσεν ἀεὶ, τὸ μὴ βούλεσθαι εἰδέναι
μηδὲ τῶν ἁμαρτημάτων ὑμῶν τὴν ὑπόθεσιν. διὰ δὴ τοῦτο, ὅπερ ποιοῦσιν οἱ δικασταὶ,
κελεύοντες ἕπεσθαι τοῖς μαστιγουμένοις τοὺς ἐπιβοῶντας καὶ λέγοντας τῶν μαστίγων τὰς αἰ-
τίας, μὴ κλέπτε, μὴ ἅρπαζε· οὕτω δὴ καὶ ὁ Θεὸς πανταχοῦ πομπεύων ὑμᾶς, ἐκέ-
λευσεν ὑμῖν ἕπεσθαι τοὺς προφήτας λέγοντας τὴν αἰτίαν τῆς τιμωρίας. πανταχοῦ γὰρ
τῆς οἰκουμένης ὑμῖν εἰσι συνδεδεμένοι, ἔτι καὶ νῦν ἐπιβοῶντες ὑμῖν. κἂν εἰσέλθῃς
εἰς τὰς συναγωγὰς, ἀκούσῃ αὐτῶν ταῦτα τὰ ῥήματα συνεχῶς λεγόντων. καὶ ὁ μὲν
Δαβὶδ φησι (τὸ δικαστήριον ἐκεῖνο τὸ λῃστρικὸν ὑπογράφων τοῦ Καϊάφα) ὅτι διὰ τοῦ-
το ἀπολώλατε. εἰπὼν γὰρ, Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' Ψαλμ. β. γ.
ἡμῶν τὸν ζυγὸν αὐτῶν, ἐπήγαγε· Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυ-
μῷ αὐτοῦ ταράξει αὐτούς. ὁ δὲ Ἡσαΐας εἰπὼν, Ὅτι ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, Ησ. νγ. ζ. θ.
ἐπήγαγε· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανά-
του αὐτοῦ. καὶ πάλιν ἀλλαχοῦ περὶ τοῦ ἀμπελῶνος διαλεγόμενος· Ἔμεινα ἵνα ποιήσῃ Ησ. ε. ζ.
δικαιοσύνην, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ποίαν δὲ κραυγήν;
σταύρωσον, σταύρωσον. καὶ ἐπάγει· Διὰ τοῦτο καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς κα- Λουκ. κγ. κα.
ταπάτημα· καὶ ἐντελοῦμαι ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. οὐ διὰ τοῦ- Ησ. ε. ς.
το τοίνυν διεσπάρητε, ἀλλὰ διὰ τὰ τολμηθέντα ἐν τῷ σταυρῷ· καὶ τοῦτο ἀπὸ τῶν προ-
φητῶν δῆλον. καὶ ἵνα μάθητε τοῦ Χριστοῦ τὴν δύναμιν, καὶ ἵνα διδαχθῆτε δι' ἑαυτῶν, ἅπερ
οὐκ ἐπαιδεύθητε διὰ τῶν προφητῶν, ὁρᾶτε νῦν καὶ τὰ πράγματα μαρτυροῦντα. ὅ-
περ γὰρ ὁ νόμος ὑμᾶς οὐκ ἐπαίδευσε, τοῦτο ἐκ περιουσίας ἡ τοῦ Χριστοῦ δύναμις ἐποί-
ησεν. ἕως μὲν γὰρ εἴχετε τὸν νόμον, καὶ ἐφονεύετε, καὶ ἐπαιδοκτονεῖτε, καὶ ἐμοιχεύετε· Ιεζεκ. κγ. λζ. λθ.
ἐπεὶ δὲ ὁ τῆς δικαιοσύνης ἥλιος ἔλαμψε, καὶ τῶν ὑμετέρων πολλὰ ἠλαττώθη κακῶν, καὶ
ἐπιεικέστερον μετήλθετε βίον, ζήλῳ τῷ πρὸς ἡμᾶς διορθωθέντες. διὰ τοῦτο ὑμᾶς διέ-
σπειρεν, ἵνα εἰδῆτε ἡλίκην πολιτείαν ἐφύτευσεν ἐπὶ τῆς γῆς. καὶ τὸν ναὸν ἔλυσεν, ἀ-
πάγων ὑμᾶς καὶ ἄκοντας τῆς κακίας. καὶ ἔνθα ὁ ναὸς κατελύθη, ἐκεῖ καὶ ὁ Χριστὸς ἐτάφη,
ἵνα διὰ τὸν ἐκείνου τάφον ἀπιόντες καὶ τὸ τρόπαιον ἴδωσι τῆς αὐτοῦ δυνάμεως, καὶ τὸν λό-
γον ἑστῶτα τὸν λέγοντα· Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ὧδε. πανταχοῦ γὰρ αὐτοῦ τὰ τρό- Ματθ. κδ. β.
παια, καὶ τὰ ὑπομνήματα τῆς δυνάμεως. εἰ δὲ, ὡς φατε, ἀσεβὴς ἦν καὶ ἀντίθεος, εἰ
καὶ μυρία ἡμαρτήκατε, οὐδὲ οὕτω κολασθῆναι ἔδει· εἰ δὲ καὶ ἔδει, οὐ τότε· ἵνα μή τις νομί-

ση, ὅτι ὑπὲρ ἐκείνου τίνετε δίκην. ἢ οὐκ ἠκούσατε τοῦ Θεοῦ λέγοντος, ὅταν ἐν τῇ αἰχμαλωσίᾳ ἦτε· Ιεζεκ. λϛ. κα. κβ. λβ. Ὅτι οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ δι' ἐμέ, ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ; καίτοι τότε ἐπετέτατο ὑμῶν ἡ κακία. ἀλλ' ὅμως, φησίν, ἵνα μὴ νομίσωσιν οἱ βάρβαροι ἀσθενῆ με εἶναι), παρίημι τὰ ἁμαρτήματα ὑμῶν, καὶ σώζω ὑμᾶς. εἶτα τότε μὲν παρανομοῦντας ἔσωζεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βεβηλωθῇ· νυνὶ δὲ οὐκ ἂν τοῦτο ἐποίησεν; εἰ γὰρ καὶ μυρία ἡμαρτήκατε, οὐδὲν τοιοῦτον ἔδει παθεῖν, εἴγε πλάνος ἦν ὁ Χριστός, ἵνα μή τις νομίσῃ δι' ἐκεῖνον ταῦτα πεπονθέναι· ἀλλὰ καὶ σωθῆναι ἐχρῆν· εἰ δὲ καὶ ἔδει, ὅπερ ἔφθην εἰπών, οὐ τότε. νυνὶ δὲ ὁμοῦ ταῦτα γέγονεν. ὅτε γὰρ ὁ σταυρὸς παρεχώρησε, μετὰ μικρὸν παρεξῆλθον οἱ ἀπόστολοι, καὶ εὐθέως χαλεπὸς ἀνερριπίσθη πόλεμος κατὰ τῆς πόλεως ἐκείνης· καὶ τὸ ἐν τοῖς εὐαγγελίοις, τό, Ματθ. κδ. ιθ. κα. καὶ Λουκ. κα. κγ. Οὐαὶ ταῖς θηλαζούσαις καὶ ἐν γαστρὶ ἐχούσαις, καὶ πάντα ἐκεῖνα ἐπὶ τῶν ἔργων ἐξέβη. καὶ τό, Τότε ἔσται θλίψις, οἵα οὐδέποτε γέγονεν, ἐπληροῦτο. γ. ἐξεπληροῦτο καὶ γὰρ καὶ γυναῖκες τέκνα ἤσθιον, καὶ γαστέρας ἀνέρρηγνυσαν νεκρῶν οἱ πολέμιοι, καὶ πῦρ πανταχοῦ βαρβαρικὸν διενέμετο, καὶ αἵματος πάντα ἦν μεστά, καὶ τραγῳδίαι κοιναί, καὶ ἡ οἰκουμένη πᾶσα τῶν Ἰουδαϊκῶν κακῶν ἐμπέπληστο. ταῦτ' οὖν ἐννοοῦντες, ἐπίγνωτε τὸν ἡμέτερον δεσπότην. γ. ὑμέτερον οὐχὶ προφήτας ἐσφάξατε; μὴ ἐπάθετέ τι τοιοῦτον; οὐ θυσιαστήρια κατεσκάψατε; μὴ συνέβη τις ὑμῖν τοιαύτη συμφορά; Ἐξοδ. λβ. ϛ. καὶ Αριθ. κε. β. γ. οὐχὶ μόσχον προσεκυνήσατε, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθητε, καὶ τὴν φύσιν ἠγνοήσατε; μὴ ἐλάβετε πεῖραν τοιούτων πολεμίων; οὐκ ἐν μέσαις ταῖς εὐεργεσίαις ἀγνωμονοῦντες ἐσώζεσθε; πόθεν οὖν ὑμῖν τὰ κακὰ ἀπέραντα; ἆρ' οὐχὶ πρόδηλον, ὅτι ἐπειδὴ τὸ ἁμάρτημα εἰς τὸν δεσπότην ἐτολμήθη, οὐκ εἰς τοὺς δούλους; ὅθεν ὑμῖν οὐδὲ λύσις ἐστίν, οὐδὲ ἔσται. εἰ γὰρ ἦν, προεῖπον οἱ προφῆται. νυνὶ δὲ τὴν αἰχμαλωσίαν εἶπον, τὴν δὲ ἐπάνοδον οὐδαμοῦ· καίτοι συνεχῶς ταῖς κολάσεσι τὰ χρηστὰ ἀναμιγνύντες, καὶ χρόνους ὁρίζοντες. Ιερ. κθ. ι. καὶ γὰρ ὁ Ἱερεμίας ἑβδομήκοντα ἔτη ὥρισε, καὶ ὁ Δανιὴλ ὁμοίως, τρεῖς ἑβδομάδας καὶ ἥμισυ· καὶ ἐν Αἰγύπτῳ τετρακόσια τριάκοντα ἔτη ἐρρέθη ὅτι δουλεύσουσι. περὶ δὲ τῆς αἰχμαλωσίας ταύτης, οὐδαμοῦ κεῖται χρόνος, οὐδὲ πέρας, Ματθ. κγ. λη. Ἀλλ' ἀφεῖται ὁ οἶκος ὑμῶν ἔρημος, καὶ καθ' ἑκάστην ἡμέραν ἐπὶ τὸ χεῖρον τὰ ὑμέτερα πρόεισι. ταῦτα πάντα μετ' ἀκριβείας ἀναλογιζόμενοι παρ' ἑαυτοῖς, καὶ τὸν λόγον ἐκ τούτων πλατύνοντες Παροιμ. θ. θ. (Δίδου γὰρ σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται) τὴν ἀναισχυντίαν αὐτῶν καὶ τὴν ἀγνωμοσύνην ἐλέγχειν δυνήσεσθε.

C θ'

4 Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου. Ἄλλος, Ὁρῶ γὰρ τοὺς οὐρανούς. Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Ἄλλος, Ἡτοίμασας. Ἄλλος, Ἥδρασας. Εἰπών, ὅτι κατέλυσας τοὺς ἐχθρούς, καὶ τὴν ἀπόδειξιν παρέχει τῆς λαμπρᾶς ταύτης νίκης. σὺ γάρ, φησίν, ὁ σταυρωθείς, ὁ ἀναιρεθείς, ἀνεφάνης τῆς οἰκουμένης δημιουργός. διὰ τοῦτο, φησίν, ὄψομαι τοὺς οὐρανούς· δηλῶν, ὅτι ἔμπροσθεν οὐ πολλοὶ τοῦτο ᾔδεισαν, ὕστερον μέντοι πάντες εἴσονται. καὶ τίνος ἕνεκεν οὐκ ἐπῆλθεν ἅπαντα τῆς οἰκουμένης τὰ μέρη; ὅτι τὰ καιριώτερα τῶν ὁρωμένων ἐπελθών, οὐδὲν ἔδει τῆς περὶ τῶν ἄλλων διδασκαλίας. εἰς τοσοῦτον τοίνυν κατελύθησαν οἱ ἐχθροί, ὡς τὸν παρ' αὐτῶν ἐλαυνόμενον καὶ ἀναιρεθέντα, ἀναφανῆναι τῶν ὁρωμένων ἁπάντων δημιουργόν. καὶ τίνος ἕνεκεν οὐκ εἶπε, τῶν χειρῶν σου, ἀλλὰ τῶν δακτύλων σου; τῆς ἐλαχίστης ἐνεργείας ἔργον δεικνὺς τὰ ὁρώμενα, καὶ τὸ παράδοξον τῆς δημιουργίας, ὅτι κρεμασθέντες οὐκ ἐκπίπτουσιν οἱ ἀστέρες. καίτοι γε οὐχ αὕτη τῶν θεμελίων ἡ φύσις, ἄνω κρεμᾶσθαι, ἀλλὰ κάτω κεῖσθαι πέφυκεν. ἀλλ' ὁ ἀριστοτέχνης δημιουργὸς καὶ παράδοξα ποιῶν, ἐν τοῖς φαινομένοις τὰ πλείονα ὑπὲρ φύσεως ἀκολουθίαν ἐποίησε. καὶ διὰ τὸ μηδὲν περὶ ἀσωμάτων δυνάμεων διαλέγεται, καὶ ἐκεῖθεν δείκνυσιν αὐτοῦ τὴν δημιουργίαν;

Ἡσ. μθ.

Πράξ. ιδ. καὶ ιζ. κεφ. ιδ. ιε. ιζ.

μιουργίαν; ὅτι τέως τὸ σπουδαζόμενον τοῦτο ἦν, περὶ τῶν φαινομένων αὐτοὺς μαθεῖν. διὰ τοῦτο καὶ ὁ πατὴρ αὐτοῦ ἄνω καὶ κάτω Ἰουδαίοις διαλεγόμενος, οὐ λέγει· Ἐγὼ τοὺς ἀγγέλους ἐποίησα, καὶ τὰ χερουβίμ· ἀλλ' ἐγὼ τὸν οὐρανόν· ἐγὼ τὴν γῆν· ἡ χείρ μου ἐθεμελίωσεν· ἡ δεξιά μου ἐστερέωσε· καὶ πάντα ἀεὶ τὸν λόγον ἐν τοῖς φαινομένοις ἀναλίσκει, πρὸς τὴν σωτηρίαν τῶν ἀκουόντων ἅπαντα πραγματευόμενος. παχύτεροι γὰρ ὄντες, ἀπὸ τῶν φαινομένων μᾶλλον ἐνήγοντο, ἢ ἀπὸ τῶν ἀοράτων. διὰ τοῦτο καὶ Παῦλος εἰσιὼν ἀεὶ καὶ δημηγορῶν, ἀπὸ τῆς φαινομένης κτίσεως προοιμιάζεται λέγων· Ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ ἀπὸ τῶν ὄμβρων τῶν ἐτησίων, καὶ ἀπὸ τοῦ γένους τοῦ τῶν ἀνθρώπων. ἂν γὰρ εἴπω ὅτι τὰ χερουβὶμ ἐποίησε, διπλῆς μοι χρεία κατασκευῆς, ὅτι τέ ἐστι χερουβίμ, καὶ ὅτι ἐποίησεν· ἐπὶ δὲ τῶν ὁρωμένων, μόνον ὅτι ἐποίησεν ἀναγκάζομαι ἀποδεῖξαι. διὸ καὶ εὐκολώτερος ὁ λόγος. τὴν γὰρ ὄψιν ἔχει μαρτυρίαν τῶν λεγομένων. καὶ γὰρ τὸ μέγεθος, καὶ τὸ κάλλος, τὴν χρῆσιν, καὶ τὴν θέσιν, καὶ τὴν εὐρυθμίαν ὁρᾷ ὁ ἀκροατής· ὥστε ἕν μοι τὸ σπουδαζόμενον δεῖξαι, ὅτι ὁ Θεὸς αὐτὸ εἰργάσατο. καὶ τίνος ἕνεκεν οὐχὶ τοῦ ἡλίου ἐμνήσθη, ἀλλὰ τῆς σελήνης καὶ τῶν ἀστέρων; μάλιστα μὲν οὖν τοῦτο εἰπών, κἀκεῖνο ἠνίξατο. ἐπειδὴ γάρ τινες ἀποκλείουσι τῆς δημιουργίας τοῦ Θεοῦ τὴν νύκτα, διὰ τῆς σελήνης αὐτὴν ἐνέφηνε, δεικνὺς ὅτι καὶ ταύτης δημιουργός ἐστιν. οὐ μικρὰ δὲ καὶ ἡ τῶν ἀστέρων ποικιλία, καὶ ἡ τῶν σεληνιαίων δρόμων ἀπόδειξις.

5 Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

α. ϐ.

Ἄλλος, Τί ὁ κατ' ἄνδρα, ὅτι μνημονεύεις αὐτοῦ; Ἄλλος ἀντὶ τοῦ, ἐπισκέπτῃ αὐτόν, Ἐπισκέψῃ αὐτόν, φησιν. εἰπὼν περὶ τῆς δημιουργίας, καὶ ἐκ μέρους τὴν πᾶσαν αἰνιξάμενος, ἐμβάλλει λοιπὸν εἰς τὸν περὶ τῆς προνοίας τῶν ἀνθρώπων λόγον. κἀκεῖνα μὲν γὰρ τὰ εἰρημένα, διὰ τὸ γένος τὸ ἡμέτερον· ἀλλὰ καὶ τὰ τῆς κηδεμονίας, ἧς ἔχεται. ἡ γὰρ κτίσις ἅπασα διὰ τὸν ἄνθρωπον. πλὴν ἀλλὰ καὶ ἕτερον εἶδος ἀνακινεῖ προνοίας. καὶ οὐχ ἁπλῶς εἰς τοῦτον ἐμβάλλει τὸν λόγον, ἀλλὰ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης, ὑπὲρ τῆς οἰκουμένης εὐχαριστῶν, καὶ τὴν καθόλου λέγων εὐεργεσίαν, καὶ τῆς οἰκονομίας τῆς εἰς αὐτὸν γεγενημένης τὸ μέγεθος παριστῶν. εἰ γὰρ περὶ τούτου οὐδὲν ἦν, πολλῷ μᾶλλον ὅτε ὁ Χριστὸς παρεγένετο, μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἁμαρτήματα. καὶ δείκνυσιν ὅτι οὐκ ἔξω φειδοῦς ἡ παρουσία τοῦ Χριστοῦ, ἀλλ' ἐκ πολλῆς φιλανθρωπίας. καὶ γὰρ καθάπερ τις ἄριστος ἰατρὸς, τοὺς νοσοῦντας ἀφεὶς, ἦλθε πρὸς ἡμᾶς τοὺς κάμνοντας, οὐδὲν ὄντας. τοῦτο γοῦν παριστῶν ἔλεγε· τί ἐστιν ἄνθρωπος; ἀντὶ τοῦ, οὐδέν ἐστιν, εὐτελές τί ἐστι. πρὸς γὰρ τὴν τοσαύτην πρόνοιαν ἀφορῶν, καὶ τὴν τοιαύτην τοῦ Θεοῦ κηδεμονίαν, καὶ τὰς πραγματείας, ἃς ἐπραγματεύσατο, σφόδρα ἐκπλήττεται καὶ θαυμάζει, τί δή ποτε τοσαύτης ἠξίωσεν αὐτὸν προνοίας. ἐννόησον γὰρ ὅτι δι' αὐτὸν τὰ ὁρώμενα πάντα· δι' αὐτὸν τὰ ἀπὸ Ἀδὰμ, ἕως τῆς παρουσίας αὐτοῦ· δι' αὐτὸν παράδεισος, καὶ ἐντολαὶ, καὶ κολάσεις, καὶ θαύματα, καὶ τιμωρίαι, καὶ εὐεργεσίαι, μετὰ τὸν νόμον· δι' αὐτὸν ὁ υἱὸς τοῦ Θεοῦ ἄνθρωπος ἐγένετο. τί ἄν τις εἴποι τὰ μέλλοντα, ὧν ἀπολαύειν μέλλει; ταῦτα τοίνυν ἅπαντα ἀναλογιζόμενος λέγει· τί τοσοῦτόν ἐστιν ἄνθρωπος, ὅτι τοσούτων ἠξιώθη; ἂν γάρ τις ἐννοήσῃ πόσα δι' αὐτὸν γέγονε καὶ γίνεται, καὶ πόσων ἀπολαύσεται μετὰ ταῦτα, φρίκης ἐμπλησθήσεται πολλῆς, καὶ τότε ὄψεται καλῶς, πῶς τῷ Θεῷ τουτὶ περισπούδαστον τὸ ζῶον.

ἀνθρώπου

B. C.

6 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.

α. ϐ. C.

Ἕτερος, Βραχύ τι παρὰ Θεόν. Ἄλλος, Ὀλίγον παρὰ Θεόν. Ὁ δὲ Ἑβραῖος· Οὐθατρηοὺ μάτ μη ἐλωείμ. ἐνταῦθα τῆς καταδίκης ἀνέμνησε καὶ τῆς ἁμαρτίας τῆς παλαιας, τὸν θάνατον εἰς μέσον ἀγαγών. ἀλλὰ καὶ τοῦτον ὁ μονογενὴς ἐλθὼν ἔλυσε.

ά Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Ἄλλος, Δόξῃ καὶ ἀξιώματι ἔστεψας αὐτόν.
ἔστι μὲν καὶ κατὰ ἱστορίαν, ἔστι δὲ καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλαβεῖν. λέγει γὰρ αὐτοῦ καὶ τὴν
ἀρχὴν, ἣν ἐνεχειρίσθη γενόμενος· λέγει καὶ τὰ μετὰ ταῦτα ἀγαθὰ, ὧν μετὰ τὴν παρου-
Γεν. θ. β. σίαν * ἀπέλαυσε. πρὸ μὲν γὰρ τὴν ἀρχὴν ἤκουσεν· Ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ὑμῶν
Γεν. α. κϛ. ἐπὶ πάντα τὰ θηρία τῆς γῆς· καὶ, Ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. μετὰ δὲ ταῦ-
Λουκ. ι. ιθ. τα· Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων. ἀλλὰ ταῦτα ἀφεὶς, ἀπὸ τῶν ταπεινοτέρων ὑ-
φαίνει τὸν λόγον, ἐκεῖνα συνιδεῖν καταλιμπάνων τοῖς ὀξύτερον δυναμένοις ὁρᾶν. ἡ γὰρ
δόξα ἡ μείζων καὶ ἡ τιμὴ, τὰ ἐπὶ τῆς καινῆς διαθήκης γενόμενα· ὅταν κεφαλὴν ἔχῃ τὸν
Χριστὸν, ὅταν εἰς τὸ σῶμα αὐτοῦ τελῇ, ὅταν ἀδελφὸς καὶ συγκληρονόμος γένηται καὶ
σύμμορφος τοῦ σώματος αὐτοῦ, ὅταν μείζονα Μωϋσέως λαμβάνῃ δόξαν, ὥσπερ ὁ Παῦ-
β. Κορ. γ. ιη. λος ἐδήλωσε, δεικνὺς ὅτι, Οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα, ἀλλὰ πάντες ἀνα-
β. Κορ. γ. ι. κεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Θεοῦ κατοπτριζόμενοι. διὸ καὶ λέγει· Οὐ γὰρ δεδόξασται
τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. ταύτην οὖν φη-
σιν ὁ προφήτης τὴν δόξαν κατὰ ἀναγωγήν. τί γὰρ ταύτης ἴσον, ὅταν συγχορεύωμεν ἀγ-
γέλοις, ὅταν εἰς υἱοθεσίαν ἀγώμεθα, ὅταν μηδὲ τοῦ μονογενοῦς ὑπὲρ ἡμῶν φείδηται;
ποίας ἁλουργίδος, ποίου διαδήματος ταῦτα οὐ λαμπρότερα, ὅταν θανάτου καταγελῶ-
μεν, ὅταν πρὸς τὴν τῶν ἀσωμάτων δυνάμεων ἀπάθειαν μεθορμιζώμεθα, οἱ ἠτιμωμένοι
περὶ τούτου, καὶ ἄδοξοι, καὶ βδελυροί; ὁ Ἀδὰμ οὔτε κακόν τι, οὔτε ἀγαθὸν ἐργασάμενος,
ἐτιμήθη εὐθέως γενόμενος (πῶς γὰρ ἂν εἰργάσατο ὁ μὴ ὤν;) ἡμεῖς δὲ μυρία ἐργασά-
Ἰω. ιε. ιε. μενοι δεινὰ, πολλῷ πλείονος ἀπελαύσαμεν τιμῆς. Οὐκ ἔτι, φησὶ, λέγω ὑμᾶς δού-
λους. Ὑμεῖς γὰρ φίλοι μου ἐστέ. οὐκ ἔτι ἡμᾶς ἐπαισχύνονται ἄγγελοι, ἀλλὰ καὶ δια-
Πράξ. η. κϛ. Λουκ. β. ιγ. κονοῦσι πρὸς τὴν ἡμετέραν σωτηρίαν. καὶ γὰρ πρὸς Φίλιππον ἦλθεν ἄγγελος, καὶ πρὸς
ἑτέρους· καὶ εὐηγγελίζοντο ἀνθρώποις. οὐκ ἐπὶ γῆς δὲ κληρονόμοι, ἀλλὰ κοινωνοὶ τῶν οὐ-
α. Κορ. α. θ. ρανίων ἀγαθῶν ἐσμεν, καὶ μέτοχοι τοῦ Χριστοῦ, καὶ εἰς κοινωνίαν καλούμεθα τοῦ μονογενοῦς.
ό ταῦτα πάντα διὰ τῆς δόξης καὶ τῆς τιμῆς αἰνίττεται. διὸ καὶ ἕτερος ἔλεγε, Δόξῃ καὶ τιμῇ
ά ἔστεψας αὐτὸν, τὸ μέλλον προαναφωνῶν. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν
θ' χειρῶν σου. Ἄλλος, Ἐξουσιάζειν ἐποίησας αὐτὸν τῶν ἔργων τῶν χειρῶν σου.

ό 7 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ· πρόβατα καὶ βόας ἁπάσας,
σ' ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. Ἄλλος, Τὰ ἄγρια.

ό 8 Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης· τὰ διαπορευόμενα τρίβους
θαλασσῶν. 9 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Ὥσπερ περὶ δημιουργίας διαλεγόμενος, οὐ τῶν ἄνω δυνάμεων ἅπτεται μόνον, ἀλλὰ καὶ ἐπὶ αἰσθητὰ κατάγει τὸν λόγον· οὕτω καὶ περὶ τιμῆς τῆς εἰς ἀνθρώπους γεγενημένης διδάσκων, αἰνιξάμενος ἐκεῖνα τὰ ἀπόρρητα καὶ ἀσώματα, ἅπερ ἀπηρίθμησε, νῦν τοῖς αἰσθητοῖς ἐνδιατρίβει πλέον, ἅπερ σαφέστερα ἐκείνων ἦν τοῖς παχυτέροις. ἵνα δὲ ταῦτα ἦν; ἡ ἀρχὴ ἡ ἐπίγειος αὐτῷ δοθεῖσα. καὶ τὸ δὴ θαυμαστὸν, καὶ ὃ μάλιστα ᾐνίξατο, ὅτι τιμηθέντα αὐτὸν περὶ τῆς παραβάσεως, οὐδὲ μετὰ τὴν ἁμαρτίαν ἐξέβαλε τῆς τιμῆς. ἠλάττωσας γὰρ, φησὶν, αὐτὸν βραχύ τι παρ' ἀγγέλους, τουτέστι, θανάτῳ κατεδικάσας ἁμαρτόντα. οὐ μὴν ἐπειδὴ θανάτῳ κατεδίκασας, ἐγύμνωσας αὐτὸν τῆς δωρεᾶς. διά τοι τοῦτο, ἐκεῖνο εἰπὼν, τότε τοῦτο τίθησι, δεικνὺς ἄφατον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ ἐλαττωθέντα αὐτὸν διὰ τὴν οἰκείαν παράβασιν, ἀφῆκεν ἐστεφανῶσθαι τῇ τιμῇ τῆς δόξης, καὶ τῆς ἀρχῆς οὐ παρέλυσεν. εἰ δὲ μικρόν τι ὑφεῖλε, καὶ τοῦτο τῆς κηδεμο-

νίας

* τοῦ Χριστοῦ

νίας αὐτοῦ. πρὸ μὲν γὰρ τῆς παραβάσεως, καὶ θηρίων ἐκράτει· μετὰ δὲ τὴν παράβασιν, ὀλίγον δὴ τῆς ἐξουσίας ταύτης ὑπετέμετο. κρατεῖ μὲν γὰρ αὐτῶν καὶ νῦν τέχναις τισί, μετὰ φόβου δὲ καὶ τρόμου. οὔτε γὰρ πᾶσαν ἀφείλετο τὴν ἀρχήν, οὔτε πᾶσαν εἴασεν· ἀλλ' ὅσα μὲν αὐτῷ πρὸς τροφὴν καὶ ἐργασίαν ἦν ἐπιτήδεια, εἴασεν ὑποχείρια· τὰ δὲ θηριωδέστερα οὐκ ἔτι, ἵνα ὑπομιμνήσκηται, ἐκ τῆς τούτων ἀγωνίας, τῆς παλαιᾶς ἁμαρτίας τῆς τοῦ προπάτορος Ἀδάμ. ὥστε καὶ ἀπὸ τοῦ μὴ σφόδρα ἡμῖν ὑποτάττεσθαι, μέγα κέρδος ἐγένετο. τί γὰρ ὄφελος ἐκ τοῦ λέοντα ἔχειν ὑποχείριον καὶ χειροήθη; τί δὲ πλέον ἀπὸ τοῦ πάρδαλιν ἔχειν τιθασόν; οὐδέν, ἀλλ' ἡ ἀλαζονεία μόνον καὶ ἀπόνοια. διὰ δὴ τοῦτο, ταῦτα μὲν εἴασεν ἔξω μένειν τῆς ἀρχῆς, τὰ δὲ χρήσιμα ἡμῖν χειροήθη πεποίηκε· βοῦν ἀροῦντα, καὶ πρόβατον περιβάλλον τὴν τοῦ σώματος γύμνωσιν, καὶ κτήνη πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν ἐπιτήδεια, ὄρνιθας καὶ ἰχθύας, ὥστε καὶ τράπεζαν ἡμῖν εἶναι δαψιλεστέραν. καθάπερ γάρ τις υἱὸν ἀποκληρονόμον ποιῶν, οὐ πάντων ἐκβάλλει, ἀλλὰ μέρους τινός, ἵνα σωφρονίσῃ, οὕτω δὴ καὶ ὁ Θεός· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλ' ἀπεναντίας. ὁ μὲν γὰρ ἀποκληρονόμον ποιῶν, τοῦ πλείονος ἐκβάλλει μέρους, τὸ δὲ ἔλαττον ἀφίησιν· ὁ δὲ Θεὸς τὸ πλέον ἀφείς, ὀλίγου τινὸς ἐξέβαλε· καὶ τοῦτο πρὸς ὠφέλειαν, ἵνα μὴ πάντων εὐκόλως περιγίγνηται τῶν ἄλλων. καὶ τοῦτο τῆς τοῦ Θεοῦ κηδεμονίας. τὴν γὰρ σοφίαν αὐτοῦ θήγων, καὶ τὸ φρόνημα καθαιρῶν, καὶ τὴν ἀχρεῖον σχολὴν ἐκκόπτων (ἐπειδὴ πάντα μετ' εὐκολίας ἔχων ἐξετραχηλίσθη) ἀνέμιξέ τινα καὶ δυσκολίαν τῇ χρήσει τοῦ βίου, καὶ οὔτε πάντα μετὰ καμάτου, οὔτε πάντα ἄνευ καμάτου καρποῦσθαι αὐτὸν εἴασεν· ἀλλὰ τὰ μὲν πρὸς χρείαν, πόνου χωρὶς καὶ ἱδρώτων ἀφῆκεν αὐτὸν ἔχειν, τὰ δὲ πρὸς τρυφήν, μετὰ πόνου καὶ ἱδρῶτος, βουλόμενος καὶ ταύτην ἡμῖν ὑποτέμνεσθαι. εἰ δὲ λέγοι τις τί δὲ τῶν ἀγρίων ὄφελος ζώων; ἐροῦμεν· πρῶτον μὲν ψυχῆς ταπεινοφροσύνην ἐργάζεται, καὶ ἐναγώνιον ποιεῖ τὸν ἄνθρωπον, καὶ τὸν σφόδρα ἀλαζόνα τῆς οἰκείας ἀναμιμνήσκει φύσεως, ὅταν τὸ ἄλογον αὐτῷ φοβερὸν ᾖ. πολλὰ δὲ καὶ σώμασι κάμνουσιν ἐκ τούτων φάρμακα γίνεται. ὁ δὲ ταῦτα ἐρωτῶν, τί δή ποτε γέγονεν, ἐρωτήσει καὶ τί δή ποτε φλέγμα καὶ χολὴ ἐν ἡμῖν· καὶ γὰρ καὶ ταῦτα, ἂν παροξυνθῇ, θηρίου χαλεπώτερον ἔξεισι, καὶ τῷ σώματι παντὶ λυμαίνεται. καὶ θυμὸς δὲ ἡμῖν ἔγκειται, καὶ ἐπιθυμία πάλιν· καὶ ταῦτα θηρίων χαλεπώτερον λυμαινόμενα μὴ κατείργοντας αὐτὰ καὶ χαλινοῦντας. καὶ τί λέγω θυμὸν καὶ ὀργήν, ὅπου γε καὶ ὁ ὀφθαλμὸς ὁ ἡμέτερος θηρίων χεῖρον περιέβαλε πάθεσιν, εἰς ἔρωτα πικρὸν περιπείρας; ἀλλ' οὐ διὰ τοῦτο ἐροῦμεν, διὰ τί ταῦτα γέγονεν· ἀλλὰ καὶ χάριν εἰσόμεθα πάντων ἕνεκεν τῷ δεσπότῃ. ὅπερ γάρ ἐστιν ἱμὰς τῷ παιδί, τοῦτο θηρίον ἀνθρώποις. εἰ γὰρ τοσούτοις συνεχόμενοι δεινοῖς εἰς τοσαύτην ἀπόνοιαν οἱ πλείους αἴρονται, ἂν καὶ τοῦτον περιέλῃς τὸν χαλινόν, ἐννόησον ποῦ τὰ τῆς κακίας προβήσεται. διὰ τοῦτο καὶ τὸ σῶμα ἡμῖν οὕτω κατεσκεύασαι, ἐπίνοσον, παθητόν, ὑπὸ μυρίων πολιορκούμενον κακῶν· καὶ ἡ γῆ μετὰ πόνων τὰ αὐτῆς δίδωσι· καὶ ὁ βίος ἅπας ἱδρώτων γέμει. ἐπειδὴ παιδευτήριον ὁ παρὼν βίος ἐστί, καὶ ἄνεσις καὶ σχολὴ τοὺς πλείονας τῶν ἀνθρώπων ἀπόλλυσι, διὰ τοῦτο καὶ ἀσχολίαν καὶ πόνον ἡμῖν ἀνέμιξεν, ἵνα ὥσπερ ὑπό τινων χαλινῶν τὸ ἐγηγερμένον τῆς διανοίας κολάζηται. σὺ δὲ σκόπει πῶς καὶ τὰ νηχόμενα διὰ τοῦ βάθους τῶν ὑδάτων, καὶ τὰ εἰς ὕψος αἰρόμενα ὑπέταξέ σοι διὰ τῆς τέχνης ὁ δεσπότης. καὶ τί δήποτε οὐ πάντα ἐπῆλθε τὰ ὁρώμενα, καὶ φυτὰ καὶ σπέρματα καὶ δένδρα; ἀπὸ μέρους τὸ πᾶν ἠνίξατο, καὶ τοῖς φιλομαθέσι τὸν περὶ τούτων ἀφῆκε λόγον. καὶ πάλιν εἰς τὸ αὐτὸ καταλύει τέλος, ὅθεν καὶ ἤρξατο· Κύριε ὁ Κύριος ἡμῶν· καὶ πρὸ τῆς ἀποδείξεως, καὶ μετὰ τὴν ἀπόδειξιν, τὰ αὐτὰ τιθεὶς ῥήματα. μένωμεν τοίνυν διηνεκῶς καὶ ἡμεῖς τὰ αὐτὰ λέγοντες, θαυμάζοντες αὐτοῦ τὴν κηδεμονίαν,

Γεν. γ. ιζ. ιη.
Ιωβ. ε. ζ.

κηδεμονίαν, ἐκπληττόμενοι τὴν σοφίαν, τὴν φιλανθρωπίαν, τὴν ὑπὲρ ἡμῶν πρόνοιαν.
καὶ ταῦτα μὲν ἡμῖν εἰς ἑρμηνείαν εἴρηται. εἰ δὲ βούλεσθε, καὶ ἀγωνιστικώτερον
τὸν λόγον μεταχειρισώμεθα, καὶ ἐρώμεθα Ἰουδαίους, ποῦ παιδία φωνὴν ἦσε; πῶς δὲ κατέλυσεν
ἐχθρὸν ἡ τοιαύτη φωνή; πότε δὲ θαυμαστὸν γέγονεν αὐτοῦ τὸ ὄνομα; ἀλλ' οὐκ ἂν ἔχοιεν
ἕτερον καιρὸν εἰπεῖν, ἢ τοῦτον, ὃς ἡλίου φανότερον δείκνυσι τῆς ἀληθείας τὴν δύναμιν.
διὰ τοῦτό φησιν· ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου. καί τοι γε Μωϋσῆς
Γεν. α. α. ἤδη εἶπεν, Ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀλλὰ πρὸς μὲν Ἰουδαίους
ἀρκεῖ καὶ ταῦτα, καὶ τὰ ἔμπροσθεν εἰρημένα. ἐπειδὴ δὲ οἱ χωρὶς περιτομῆς τὰ
ἐκείνων μιμούμενοι καὶ ζηλοῦντες, οἱ Παύλου τοῦ Σαμοσατέως, ἐκ τότε φασὶν εἶναι τὸν
Χριστὸν, ἐξ οὗ ἀπὸ Μαρίας προῆλθεν, ἐρώμεθα κἀκείνους· πῶς, εἰ ἐκ τότε ἦν ὁ
Χριστὸς, τοὺς οὐρανοὺς ἐδημιούργησε; τὸν γὰρ αὐτόν φησιν εἶναι ἐνταῦθα, τὸν ἐκ στόματος νηπίων
Ψαλ. η. γ. καὶ θηλαζόντων καταρτισάμενον αἶνον, καὶ τὸν ἐργασάμενον τοὺς οὐρανούς. εἰ δὲ δημιουργὸς τῶν οὐρανῶν,
πρότερος τῶν οὐρανῶν λοιπὸν καὶ οὐκ ἀπὸ Μαρίας ἔσχε τὴν ἀρχὴν, ἀλλὰ καὶ πρὸ τῆς
Μαρίας ἦν. καὶ σκόπει τοῦ προφήτου τὴν σοφίαν. οὐ γὰρ ἁπλῶς δημιουργὸν αὐτὸν εἰσάγει,
ἀλλὰ καὶ μετὰ πολλῆς τῆς εὐκολίας. διό φησιν· ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν
δακτύλων σου· οὐχ ὅτι δακτύλους ἔχει Θεὸς, ἀλλὰ τῆς ἐλαχίστης ἐνεργείας τὰ ὁρώμενα
Ἡσ. μ. ιβ. δεικνὺς, τοῖς συντρόφοις ἡμῖν ὀνόμασι τὰ ὑπὲρ ἡμᾶς διδάσκων. ἐπεὶ καὶ ὅταν λέγῃ, Ὁ
μετρῶν τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν δρακί· οὐ δράκα καὶ σπιθαμὴν δηλῶν ταῦτα
λέγει, ἀλλὰ τὸ ἀπέραντον τῆς τοῦ Θεοῦ δυνάμεως παραστῆσαι βουλόμενος. πῶς οὖν
τολμῶσί τινες ὑπουργὸν λέγειν τὸν υἱόν; ὁ γὰρ μηδὲ ὅλην αὐτοῦ τὴν ἐνέργειαν κινήσας,
ὅτε τὸν οὐρανὸν ἔδει ποιῆσαι (τί λέγω ὅλην;) ἀλλ' οὐδὲ τὴν ἐλαχίστην, ἀλλὰ τὸ μικρότατον·
Ιω. ε. ιθ. πῶς ἂν εἴη ὑπουργὸς οὗτος; πῶς ὑπουργὸς, εἰ ἅπερ ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς
ὁμοίως ποιεῖ; τοῦτο γὰρ τὸ ὁμοίως, εἰ ὁ μὲν ὑπουργὸς, ὁ δὲ δημιουργός; πῶς δὲ αὐτοῦ τὰ ἔργα
Ψαλ. ρα. κε. εἶναί φησι, ποτὲ μὲν λέγων, Καταρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν
χειρῶν σου εἰσὶν οἱ οὐρανοί· ἐνταῦθα δὲ, ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου;
οὐ γὰρ τῶν ὑπουργῶν, ἀλλὰ τῶν δημιουργῶν τὰ ἔργα. κἂν ὑπουργὸς ᾖ τις, οὐκ ἐκείνῳ
λογίζεται, ἀλλὰ τῷ δημιουργοῦντι. ἄρα καὶ τὰ ἔμπροσθεν εἰρημένα τῷ Μωϋσεῖ, περὶ
τοῦ υἱοῦ εἴρηται, τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ τὸ, ἀρχέτωσαν τῶν
ἰχθύων τῆς θαλάσσης. οὗτος γὰρ ὁ καταρτίσας ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον,
Ἑβρ. α. ι. αὐτὸς τὸν ἄνθρωπον ἐπεσκέψατο. ἃ μὲν οὖν περὶ τοῦ πατρὸς ὁ Μωϋσῆς λέγει, Παῦλος
εἰς τὸν υἱὸν ἐκλαμβάνει, πολλὴν τὴν ἰσότητα δεικνύς. ὅταν οὖν ἀδιάφορον ᾖ τοῖς ἁγίοις
Ιω. α. γ. τὰ περὶ τοῦ πατρὸς λεγόμενα ἐπὶ τῷ υἱῷ λογίζεσθαι, καὶ τὰ περὶ τοῦ υἱοῦ τῷ πατρὶ (Πάντα
γὰρ δι' αὐτοῦ ἐγένετο) ποῦ ὅλως τὸ ὄνομα τοῦ ὑπουργοῦ κεῖται; οὐδαμοῦ τοῦτο ἴδοι τις ἄν.
ναί, φησιν, εἴρηται, δι' αὐτοῦ. τί οὖν, ὅτι περὶ τοῦ πατρὸς τὸ αὐτὸ εἴρηται; καὶ ἄκουσον πῶς.
α. Κορ. α. θ. Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. καὶ πάλιν, Παῦλος ἀπόστολος
β. Τιμ. α. α. Ρω. ια. λς. Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. καὶ πάλιν· Ὅτι δι' αὐτοῦ, καὶ ἐξ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ
πάντα. τίνος δὲ ἕνεκεν αὐτὸν ὑπουργὸν φατε; ἵνα τιμήσωμεν τὸν πατέρα. καὶ μὴν ὁ
Ιω. ε. κγ. υἱός φησιν· Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. ὁ δὲ μὴ τιμῶν τὸν υἱὸν,
εὔδηλον ὅτι οὐδὲ τὸν πατέρα. τί οὖν, φησι, πατέρα τὸν υἱὸν ἐρῶ; οὐχί. οὐ γὰρ εἶπεν, ἵνα
πατέρα με λέγητε· ἀλλὰ τί; ἵνα υἱὸν μένοντα, ὡς τὸν πατέρα τιμᾶτε. ἂν δὲ πατέρα
εἴπῃς τὸν υἱὸν, πάντα συνέχεας. μενούσης τοίνυν ταύτης τῆς ἰδιότητος, τὰ τῆς τιμῆς
κοινά ἐστι. διὰ γὰρ τοῦτο υἱὸν εἶπε καὶ πατέρα, ἵνα μὴ συγχέητε τὰς ὑποστάσεις. εἰ δὲ μὴ
ἦν ἡ αὐτὴ οὐσία, πῶς ἂν ἴσην τὴν τιμὴν ἀπῄτησε; τίνος οὖν ἕνεκεν, φησι, πολλὰ τα-

πεινὰ

πεινᾷ φθέγγεται ὁ Χριστός; καὶ ταπεινοφροσύνην παιδεύων, καὶ διὰ τὴν τῆς σαρκὸς περιβολήν, καὶ διὰ τὴν τῶν Ἰουδαίων ἀναισθησίαν, καὶ διὰ τὸ δεῖν κατὰ μικρὸν ἀνάγειν εἰς γνῶσιν, καὶ διὰ τὸ ἀτελὲς τῶν ἀκουόντων. ἄλλως τε, καὶ πρὸς τὴν ὑπόνοιαν πολλάκις τῶν ἀκροωμένων φθέγγεται. τὰ γὰρ ὑψηλότερα, τῆς ἀξίας μόνης ἐστί· μᾶλλον δέ, ὅπερ ἂν λέγῃς περὶ Θεοῦ, πολλῷ σφόδρα καταδεέστερον τῆς οὐσίας ἐκείνης, καὶ συγκαταβάσεώς ἐστι. τί γὰρ βούλει εἰπεῖν; μέγας ὁ Θεός; ἀλλὰ τοῦτο μικρὸν περὶ Θεοῦ λεγόμενον. τὸ γὰρ μέγα, οἷον κἂν ᾖ μέγα, πεπερασμένον ἐστίν· ἀλλ' ἄπειρος ὁ Θεός. ἀλλὰ καὶ τοῦτο μικρὸν περὶ Θεοῦ λεγόμενον. ὅτι μὲν οὖν πέρας οὐκ ἔχει· ἀλλ' οὐδ' ὅ,τι ἐστιν, οὐδὲ ποῦ ἐπίσταμαι. κἂν σοφὸν εἴπῃς, κἂν ἀγαθὸν εἴπῃς, καὶ ταῦτα ἄπειρα, οὐδὲν περὶ τῆς οὐσίας ἐκείνης ἄξιον εἴρηκας, ἀλλὰ δεῖ θεοπρεπῆ τῷ ῥήματι προσεῖναι ἔννοιαν. εἰ τοίνυν τὰ οὕτω μεγάλα τὴν ἀξίαν οὐ παρίστησι· τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ καὶ ταῦτα κολοβοῦν πειρώμενοι; φεύγωμεν τοίνυν αὐτῶν τοὺς συλλόγους· καὶ μαθόντες τοῦ μονογενοῦς τὴν προαιώνιον ὕπαρξιν, τὴν δημιουργικὴν δύναμιν, τὴν ἐξουσίαν τὴν αὐθεντικήν, τὸ ἀπαράλλακτον αὐτοῦ τὸ πρὸς τὸν πατέρα, τῆς οἰκονομίας τὴν συγκατάβασιν, τῆς περὶ ἡμᾶς κηδεμονίας τὴν πολυειδῆ πρόνοιαν (ταῦτα γὰρ ἅπαντα καὶ τούτων πλείονα ὁ θησαυρὸς ὁ ἐν τῷ ψαλμῷ κείμενος διδάσκει τοὺς μετὰ ἀκριβείας προσέχοντας) διατηρῶμεν τῶν δογμάτων τὴν ἀκρίβειαν, καὶ πολιτείαν ἀξίαν ἐπιδειξώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ψαλ. θ. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΚΡΥΦΙΩΝ ΤΟΥ υἱοῦ, ψαλμὸς τῷ Δαβίδ. Ἄλλος, Ἐπινίκιον ὑπὲρ τοῦ θανάτου τοῦ υἱοῦ ᾆσμα τῷ Δαβίδ. Ἄλλος, Νεανιότητος τοῦ υἱοῦ.

1 Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

ΜΑΚρός ἐστιν ὁ ψαλμός. καὶ τοῦτο δὲ τῆς σοφίας τοῦ πνεύματος. οὔτε γὰρ πάντας βραχεῖς ἐποίησεν, οὔτε πάντας εἰς μῆκος ἐξήγαγεν· ἀλλ' ἐποίκιλε καὶ τῷ μέτρῳ τὸ βιβλίον, τῷ μὲν μήκει διεγείρων τὴν ῥᾳθυμίαν, τῇ δὲ βραχύτητι διαναπαύων τὸν κάματον. ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. διπλοῦν τὸ τῆς ἐξομολογήσεως εἶδός ἐστιν. ἢ γὰρ τῶν οἰκείων ἁμαρτημάτων ἐστὶ κατάγνωσις, ἢ εὐχαριστία εἰς Θεόν. ἐνταῦθα μέντοι τὴν εὐχαριστίαν δηλοῖ. τί δέ ἐστιν, ἐν ὅλῃ καρδίᾳ μου; μετὰ προθυμίας ἁπάσης, μετὰ σπουδῆς, φησιν. οὐχ ὑπὲρ εὐημερίας, ἀλλὰ καὶ ἐπὶ τοῖς ἐναντίοις. τοῦτο γὰρ μάλιστα εὐχαρίστου, τοῦτο φιλοσόφου ψυχῆς, τὸ καὶ ἐν τοῖς λυπηροῖς εὐχαριστεῖν, τὸ ὑπὲρ ἁπάντων δοξάζειν, μὴ μόνον ὑπὲρ τῶν εὐεργεσιῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν τιμωριῶν. τοῦτο γὰρ πλείονος μισθοῦ πρόξενον. ἐπὶ μὲν γὰρ τῶν ἀγαθῶν, χρέος ἀποδέδωκας· ἐπὶ δὲ τῶν κακῶν, τὸν Θεὸν ὀφειλέτην κατέστησας. ὁ μὲν γὰρ εὖ παθών, καὶ χάριν εἰδώς, ἀπέδωκε τὴν ὀφειλήν· ὁ δὲ κακῶς παθών, καὶ δοξάζων, ὄφλημα κατεσκεύασεν. ἀντὶ τῆς εὐχαριστίας οὖν ταύτης, πολλὰ ἀποδίδωσιν ὁ Θεὸς καὶ τότε καὶ νῦν. ὥστε οὐδὲ αἴσθησιν ληψόμεθα τῶν δεινῶν. οὐδεὶς γὰρ ὑπὲρ ὧν χάριν οἶδε τῷ Θεῷ, ὑπὲρ τούτων ἀλγεῖ. ὥστε καὶ ἕτερον καρπωσόμεθα κέρδος, τὸ διαφυγεῖν τὴν ἀθυμίαν. ὅταν ἀποστερηθῇς χρημάτων καὶ εὐχαριστήσῃς, οὐ τοσοῦτόν σε ἡ ζημία δύναται δάκνειν, ὅσον εὐχαριστία εὐφραίνει. τοῦτο τῷ διαβόλῳ καιρία πληγή· τοῦτο ποιεῖ τὴν διάνοίᾳ φιλόσοφον· τοῦτο τὴν ἀληθινὴν περὶ τῶν πραγμάτων ἐγκατασκευάζει κρίσιν. πολλοὶ γὰρ τῶν ἀνθρώπων, οὐ τὴν οὖσαν ψῆφον ἔχουσι περὶ τῶν ἐνταῦθα· διὸ καὶ ἀθυμοῦσιν. οὕτω καὶ οἱ μαινόμενοι φοβοῦνται τὰ οὐ φοβερά, καὶ τὰ οὐχ ὑφεστῶτα πολλάκις δεδοίκασι, καὶ τὰς σκιὰς φεύγουσι. τούτοις ἐοίκασι καὶ οἱ χρημάτων ζημίαν δεδοικότες. οὐ γὰρ τῆς φύσεως ὁ φόβος, ἀλλὰ τῆς προαιρέσεως. εἰ γὰρ τὸ πρᾶγμα ἦν λυπηρόν, πάντας ἔδει ἀλγεῖν· εἰ δὲ μὴ πάντες ἀλγοῦμεν, οὐκ ἔπι τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς ἀτελοῦς διανοίας. καθάπερ γὰρ ἐν σκότῳ πολλάκις καὶ σχοινίον τις ἔδεισεν, ὄφιν νομίσας, καὶ πάντα ὑποπτεύει, καὶ τοὺς φίλους πολεμίους ἡγεῖται· οὕτω καὶ οἱ ἀλογίᾳ κατεχόμενοι, ὥσπερ τινὶ σκότῳ βαθεῖ ἁλόντες, οὐκ ἐπιγινώσκουσι τῶν πραγμάτων τὴν φύσιν, ἀλλ' ἐγκυλινδοῦνται τῷ βορβόρῳ, καὶ τὸν χόρτον οὐχ ἡγοῦνται χόρτον εἶναι· καὶ τῆς φιλαργυρίας ἐμπεπλησμένοι, οὐκ αἰσθάνονται τῆς δυσωδίας· ἂν δὲ ἀποστῶσι, τότε εἴσονται. καὶ καθάπερ οἱ γυναικὸς ἀμόρφου ἐρῶντες, ὅταν παύσωσι τὸ νόσημα, τότε ἐπίστανται τὸ εἰδεχθές· οὕτω καὶ οἱ τῆς φιλαργυρίας ἐρασταί. καὶ πῶς δυνήσομαι, φησι, παῦσαι τὸν ἔρωτα; πάλιν τῷ αὐτῷ ὑποδείγματι χρήσομαι. ὥσπερ ὁ τῆς ἀμόρφου γυναικὸς ἐρῶν, ἐὰν μὲν διηνεκῶς συγγίνηται αὐτῇ, ἀνάπτει τὴν κάμινον, ἐὰν δὲ μικρὸν ἑαυτὸν ἀποστήσῃ, κατὰ μικρὸν ὑπορρέει τὸ πάθος· οὕτω καὶ σύ, μικρὸν ἀπόστηθι, ὀλίγον ἔνδος· καὶ τὸ μικρόν, ἔσται πολὺ διάστημα. μόνον ἄρξαι τοῦ κατορθώματος. ἔχεις οἰκίαν περιττήν; ἀπόδου, καὶ δὸς τοῖς δεομένοις, μὴ ἐκεῖνο λογιζόμενος, ὅτι ἀλλοτρίοις σου αὐτήν, ἀλλ' ὅτι μᾶλλον οἰκειοῖς. μὴ τὸ ἀνάλωμα, ἀλλὰ τὴν πρόσοδον σκόπει· μὴ ὅτι ἀποστερῇ αὐτῆς ἐνταῦθα, ἀλλ' ὅτι Κύριος αὐτῆς ἐκεῖ γίνῃ. οὕτω καὶ διηγεῖσθαι τὰ θαυμάσια τοῦ Θεοῦ δυνήσῃ διὰ παντός. τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ ψαλμὸς λέγει. ὡς ὅτι φιλοχρήματος, οὐ σφόδρα τούτῳ ἐνδιατρίβειν δύναται. διὰ παντὸς γὰρ τόκους μεριμνᾷ, συναλλάγματα, συγγραφάς, ὤνια, διαθήκας, τιμὰς ἀγρῶν, τιμὰς οἴκων, κέρδη, καπηλείας, καὶ διηγούμενος καὶ φροντίζων οὐ παύεται. Ὅπου δὲ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ. ταῦτα φθέγγεται, ταῦτα μεριμνᾷ· καὶ καθάπερ οἱ οἰκέται τὰ τῶν δεσποτῶν μεριμνῶσιν, οὕτω καὶ οὗτος τὰ τοῦ δεσπότου μεριμνᾷ· τί ἐπέταξε· τί ἤνυσαι· τί οὐδέπω ἤνυσαι, μέλλει δέ. διὰ δὴ τοῦτο παραινῶ, τῆς πολιορκίας ἐκείνης ἀπαλλαγέντα, τούτοις ἐνδιατρίβειν τοῖς διηγήμασι, τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα θαυμάσια τοῦ Θεοῦ διηγούμενον, τὰ ἴδια, καὶ τὰ κοινῇ, τὰ εἰς πάντας, καὶ τὰ εἰς ἕνα ἕκαστον. γέμει γὰρ τὰ ἐν τῷ βίῳ τούτων τῶν διηγημάτων· καὶ ὅθεν ἂν ἄρξῃ, λαμπρότερον ὄψει τὸ προοίμιον ἀναβρύον· ἄν τε ἀπὸ τοῦ οὐρανοῦ, ἄν τε ἀπὸ τῆς γῆς, ἄν τε ἀπὸ τοῦ ἀέρος, ἄν τε ἀπὸ τῶν ἀλόγων, ἂν ἀπὸ σπερμάτων, ἂν ἀπὸ φυτῶν· ἂν τὰς παλαιὰς θέλῃς διηγήσασθαι δωρεάς, ἂν τὰς πρὸ τοῦ νόμου, ἂν τὰς ἐν τῷ νόμῳ, ἂν τὰς ἐν τῇ χάριτι, ἂν τὰς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἂν τὰς ἐν αὐτῷ τῷ θανάτῳ· μυρία εὑρήσεις πελάγη ″ ταῦτα διηγημάτων. πόσης οὖν οὐκ ἂν εἴη ἀνοίας, τοσαῦτα ἔχοντας διηγεῖσθαι, δι' ὧν καὶ ἡδονὴ καὶ κέρδος καὶ ὠφέλεια τῆς ψυχῆς, τῷ βορβόρῳ τὸν λογισμὸν ἀναφύρειν, περὶ πλεονεξίας καὶ ἁρπαγῆς διηγούμενον; καὶ εἰ βούλει, τὰ ἄνω ἀφέντες περὶ τῆς γῆς διαλεχθῶμεν, τοῦ μεγέθους αὐτῆς, τῆς θέσεως, τῆς χρήσεως, τῆς φύσεως, τῶν ὠδίνων τῶν διηνεκῶν, τῶν γεννημάτων τῶν ἐξ αὐτῆς τῶν ποικίλων καὶ διαφόρων, τῶν σπερμάτων, τῶν βοτανῶν, τῶν φυτῶν, τῶν ἀνθέων, τῶν λειμώνων, τῶν παραδείσων. ἀπὸ τούτων πάλιν τέμωμεν τῷ λόγῳ ἑκάστου δένδρου τὸ σχῆμα, τὴν θέσιν, τὸ ὕψος, τὴν εὐωδίαν, τὸν καρπόν, τὸν καιρόν, τὴν διακονίαν, τὰ ἄλλα πάντα, αὐτῆς τῆς γῆς τὴν κάρπιμον, τὴν ἄκαρπον. οὐδὲν γὰρ αὐτῆς ἄχρηστον. καὶ γὰρ ἡ μὲν σίδηρον, ἡ δὲ χαλκόν, ἡ δὲ χρυσίον, ἡ δὲ ἄργυρον ἤνεγκεν· ἡ δὲ ἀρώματα, ἡ δὲ φάρ-

μακα

Ματθ. ϛ. κα.

σ. τούτων, ἀλ
νταῦθα

ματα καὶ ποικίλα καὶ παντοδαπά. τί δ᾽ ἄν τις εἴποι τῶν ὑδάτων τὴν χρείαν, τῶν ποτίμων, τῶν ἁλμυρῶν; τῶν ὀρῶν τὴν χρῆσιν, τῶν ποικίλων μαρμάρων τὰ μέταλλα, τὰς πηγὰς τὰς ἐν αὐτοῖς, τὰ δένδρα τὰ πρὸς ὀροφὰς ἐπιτήδεια καὶ οἰκοδομήν; ταῦτα πάντα τῆς ἐρήμου καρπός. αὕτη καὶ ζῶα, καὶ θηρία πάντα τρέφει. τί δ᾽ ἂν τις εἴποι τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς; καθάπερ γὰρ αἱ τεκοῦσαι γυναῖκες, πηγὴν γάλακτος περιχέουσαι τοῖς ἐκγόνοις παρέχουσι τροφήν· οὕτω δὴ καὶ ἡ γῆ, κήποις τε καὶ παραδείσοις ὥσπερ μαστοὺς ἐκτείνουσα τοὺς ποταμοὺς καὶ τὰς πηγάς, πολλὴν παρέχει τὴν ἀρδείαν. ἀλλ᾽ ἐπὶ μὲν τῶν γυναικῶν, τὸ παιδίον δεῖ πρὸς τὴν θηλὴν ἐλθεῖν· ἐνταῦθα δέ, αὐτὴ τοὺς μαστοὺς ἐκτείνει πανταχοῦ ἀπὸ ὑψηλοῦ καταφέρουσα. ἔχει καὶ ἑτέραν χρῆσιν ἡ ἔρημος. καὶ γὰρ πρὸς τὴν τοῦ σώματος ὑγίειαν ἐπιτηδειοτέρα, καθαρώτερον παρέχουσα διαπνεῖν τὸν ἀέρα, καὶ τὴν οἰκουμένην ἀφ᾽ ὑψηλοῦ πᾶσαν περισκοπεῖν, καὶ τῇ ἐρημίᾳ ἐμφιλοσοφεῖν, καὶ τῶν ἐν τῷ βίῳ φροντίδων ὀλίγον ἀναπνεῖν. τί δ᾽ ἂν τις εἴποι τοὺς ὄρνιθας τοὺς ᾠδικούς, τῶν ἁλωσίμων ζώων τὴν διαγωγήν; ἔχει καὶ ἑτέραν χρείαν ἡ ἔρημος. πολλάκις γὰρ ἀντὶ τειχῶν ταῖς χώραις γέγονε, πρὸς ὕψος ἔχουσα ἀνατεταμένα ὄρη, καὶ φάραγγας, καὶ κρημνούς. τί δ᾽ ἄν τις εἴποι τὰς βοτάνας τὰς ἐν αὐταῖς τικτομένας, σώμασι κάμνουσι πολλὴν εἰσφερούσας τὴν λειτουργίαν; εἰ δὲ ἐρήμων καὶ ὀρῶν τοσαύτη ἡ χρεία, τοσαύτη τῶν ἀγαθῶν ἡ χορηγία· εἰ πρὸς τὴν ἀρόσιμον ἔλθοις, καὶ ὕπτια πεδία, ἐννόησον πόσας ὄψει τὰς πηγὰς τῶν διηγημάτων. καθάπερ * ἐν τῷ σώματι τῷ ἡμετέρῳ, τὰ μέν ἐστιν ὀστᾶ, τὰ δὲ νεῦρα, τὰ δὲ σάρκες· οὕτω καὶ ἐν τῇ γῇ, τὰ μὲν ὄρη, τὰ δὲ φάραγγες, τὰ δὲ λιπαρὰ χωρία· πάντα δὲ ταῦτα χρήσιμα. τί λέγω τὴν γῆν, τοσοῦτον στοιχεῖον; ἑνὸς δένδρου μόνου εἰ βουληθείης εἰπεῖν τὸ σχῆμα, τὴν χρείαν, τὸν καρπόν, τὰ φύλλα, τὸν καιρόν, τὰ ἄλλα πάντα, πολὺ ὄψει τὸ διήγημα. εἰ τῶν ὀρῶν τὴν θέσιν, εἰ τὰ ἄλλα ἅπαντα, εἰ τὸν ἄνθρωπον αὐτὸν ἐπέλθοις τῷ λόγῳ, καὶ τὴν διάπλασιν αὐτοῦ τοῦ σώματος· μυρία πάλιν κἀνταῦθα πελάγη εὑρήσεις διηγημάτων. τούτοις τοίνυν ἐνδιατρίβωμεν· ἐντεῦθεν ἡμῖν ἔσται ἡδονὴ μεγίστη, ἐντεῦθεν κέρδος, ἐντεῦθεν φιλοσοφία. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν·

2 Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί.
Ἄλλος, Καὶ γαυριάσω. Ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε.

Ἄλλος, Ἄσω τὸ ὄνομά σου. Οὐ μικρὸν τοῦτο φιλοσοφίας εἶδος, τὸ εὐφραίνεσθαι ἐπὶ τῷ Θεῷ. ὁ γὰρ ἐπὶ τῷ Θεῷ εὐφραινόμενος, ὡς χρή, πᾶσαν ἐκβάλλει βιωτικὴν ἡδονήν. τί δέ ἐστιν, εὐφρανθήσομαι ἐν σοί; τοιοῦτον, φησιν, ἔχων δεσπότην· τοῦτό μοι ἡδονή, τοῦτό μοι ἀγαλλίασις. εἴ τις οἶδε ταύτην τὴν ἡδονήν, ὡς εἰδέναι χρή, ἑτέρας ἡδονῆς οὐκ αἰσθάνεται. τοῦτο γὰρ ἡδονὴ κυρίως· ὡς τάγε ἄλλα πάντα, ὀνόματα μόνον ἐστὶν ἡδονῆς. αὕτη τὸν ἄνθρωπον μετάρσιον ἐργάζεται· αὕτη τοῦ σώματος ἀπαλλάττει τὴν ψυχήν· αὕτη πρὸς οὐρανὸν πτεροῖ· αὕτη τῶν βιωτικῶν ὑψηλότερον ποιεῖ· αὕτη κακίας ἀπαλλάττει. καὶ μάλα εἰκότως. εἰ γὰρ οἱ σώματα λαμπρὰ φιλοῦντες, οὐδὲν ἐπαισθάνονται τῶν ἐν τῷ βίῳ, ἀλλ᾽ ἑνὸς μόνου εἰσί, τῆς ἐρωμένης ὄψεως· ὁ Θεὸν φιλῶν, καθὼς φιλεῖν δεῖ, τίνος αἰσθήσεται λοιπὸν ἢ χρηστοῦ τῶν ἐν τῷ βίῳ τούτῳ, ἢ λυπηροῦ; οὐδενός· ἀλλ᾽ ἔσται πάντων ἀνώτερος, ἀθάνατα τρυφῶν· ἐπεὶ καὶ ὁ φιλούμενος τοιοῦτος. οἱ μὲν γὰρ τὰ ἄλλα φιλοῦντες, ταχέως καὶ ἄκοντες εἰς λήθην μεταβάλλονται, ἀπολλυμένων τῶν φιλουμένων καὶ μαραινομένων· οὗτος δὲ ὁ ἔρως, ἄπειρος, ἀτελεύτητος, καὶ τὴν ἡδονὴν μείζονα ἔχων, καὶ τὸ κέρδος πλέον· καὶ τούτῳ πάλιν ψυχαγωγῶν τὸν φιλοῦντα, τῷ μηδέποτε καταλύεσθαι. ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. τοῦτο μάλιστα φιλοῦντος ἔθος. καὶ γὰρ οἱ ἐρῶντες, εἰς τοὺς φιλουμένους ᾄσματα ᾄδουσι· κἂν μὴ ὁρῶσιν ἐκείνους, διὰ τῆς ᾠδῆς ἑαυτοὺς παραμυθοῦνται. οὕτω δὴ καὶ ὁ προφήτης ποιεῖ. ἐπεὶ τὸν Θεὸν ἰδεῖν οὐ δυνατόν, ᾄσματα ποιεῖ εἰς αὐτόν, διὰ τῶν ᾠδῶν αὐτῷ συγγινόμενος, καὶ τὸν πόθον ἀνάπτων, καὶ αὐτὸν δοκῶν ὁρᾶν. μᾶλλον δὲ διὰ τοῦ ᾄδειν καὶ ὑμνεῖν, εἰς πόθον ἀνάπτει πολλούς. ὥσπερ γὰρ οἱ φιλοῦντες, ἐγκώμια τῶν φιλουμένων λέγουσι, καὶ τὰ ὀνόματα αὐτῶν περιφέρουσιν· οὕτω δὴ καὶ οὗτος, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. ὅρα πῶς ἑαυτὸν τῆς γῆς διήρτησε, καὶ πρὸς ἐκείνην ἀνεκρέμασεν ἑαυτὸν τὴν οὐσίαν, ἀναθεὶς ἑαυτὸν τῷ Θεῷ. διὰ τοῦτο συνεχῶς αὐτοῦ τὸ ὄνομα περιστρέφει. καὶ γὰρ καὶ τοῦτο τοῦ φιλοῦντος ἔθος. 3 Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

α' Ἄλλος, Ἀνατραπέντων τῶν ἐχθρῶν μου ὀπίσω, προσκοψάντων καὶ ἀπολομένων ἐκ προσώπου σου. καὶ τοῦτο μάλιστα φιλοῦντός ἐστι, τὸ τὰς εὐεργεσίας λέγειν διὰ παντός, καὶ ἐγκαλλωπίζεσθαι ταύταις. ἀπό τε γὰρ φίλτρου τοῦτο γίνεται, καὶ αὐτὸ πάλιν ἀνάπτει τὸ φίλτρον. οὐκ ἂν δέ τις ἁμάρτοι καὶ νοητοὺς ἐχθροὺς ἐνταῦθα λέγων. ἀποστρέφονται γὰρ οὗτοι, ὅταν ψυχὴν γενναίαν εὕρωσι. καθάπερ γὰρ εἰς ἀσπίδα ἐμπεσὸν δόρυ, μαλακὴν μὲν οὖσαν διατέμνει· σκληρὰν δὲ καὶ ἀντίτυπον οὐδὲν ἐργάζεται, ἀλλὰ τῆς αἰχμῆς ἀνακαμφθείσης ἐκπίπτει· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει. ἂν μὲν γὰρ μαλακὴν εὕρῃ, διαδύεται εἰς τὸ βάθος· ἐὰν δὲ σκληρὰν καὶ ἰσχυροτέραν, αὐτός τε ἄπρακτος ἄπεισι, καὶ εἰς ταύτην οὐδὲν εἰργάσατο δεινόν· καὶ δύο γίνεται κέρδη, μᾶλλον δὲ καὶ τρία. αὐτήν τε γὰρ οὐδὲν ἔβλαψεν, ἀλλὰ καὶ ἰσχυροτέραν ἐποίησεν· αὐτός τε ἀσθενέστερος ἐντεῦθεν γέγονε. σκόπει δὲ πῶς ἀνακηρύττει τοῦ Θεοῦ τὴν ἰσχύν. ἀσθενήσουσι, φησί, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. πάλιν πρόσωπον ἀκούων, μηδὲν σωματικὸν ὑποπτεύσῃς. ἐνταῦθα γὰρ τὴν ἐνέργειαν, τὴν ἐπιφάνειαν αὐτοῦ δηλοῖ, τὴν εὐκολίαν αὐτοῦ τῆς ἰσχύος· ὡς Ψαλ. ργ. λγ. ἀλλαχοῦ φησιν· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. οὕτω δὴ καὶ ἐνταῦθα. ἀρκεῖ γὰρ μόνη ἡ ἐποπτεία ἀπολέσαι τοὺς πονηρούς. εἰ γὰρ ἁγίων παρουσία ἀσθενῆ δαιμόνων ποιεῖ τὴν ἰσχύν, πολλῷ μᾶλλον Θεοῦ. εἰ ἡ ἀστραπὴ φαινομένη καταπλήττει πάντας, ἐννόησον τὴν δύναμιν τὴν ἀνώλεθρον ἐκείνην, πῶς καταπλήττει, πῶς ἀπόλλυσι τοὺς ἐναντίους. εἶδες ὕμνων εἶδος, εἶδες δοξολογίας τρόπον, καὶ πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διηγεῖται. οὐ μικρὸν κἀντεῦθεν παιδεύει φιλοσοφίας δόγμα, τῷ εἰπεῖν, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω. ποῖον δὴ τοῦτο; ὅτι οὐ μόνον ἐν ταῖς θλίψεσιν, ἀλλὰ καὶ ἐν ταῖς ἀνέσεσιν ἔνηφε. πολλοὶ μὲν γὰρ ὑπὸ τῶν κακῶν ταπεινούμενοι, σπουδαιότεροι γίνονται· ὑπὸ δὲ τῶν ἀγαθῶν, ῥαθυ- Ψαλ. οζ. λδ. μότεροι καὶ χαυνότεροι· ὃ περὶ τῶν Ἰουδαίων προϊὼν λέγει· Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν. ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλὰ καὶ ἐν εὐημερίαις νήφει, καὶ διεγήγερται. οὐ μικρὸν εἰς φιλοσοφίαν δὲ τοῦτο. 4 Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δί-
α' κην μου. Ἄλλος, Ὑπερεδίκασάς μου· Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δι-
C καιοσύνην. 5 Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. Ἄλλος, Ἀπώλεσας.
Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ὅρα πάλιν τὴν φιλοσοφίαν τοῦ ἀνδρός, πῶς οὐκ αὐτὸς ἀμύνεται τοὺς ἐχθρούς, ἀλλὰ τῷ Θεῷ Ρω. ιβ. ιθ. παραχωρεῖ τῆς δίκης, τὸ ἀποστολικὸν τηρῶν· Μὴ ἑαυτοὺς ἐκδικοῦντες. οὐ τοῦτο δὲ μόνον ἐστὶν ἰδεῖν, ἀλλ' ὅτι καὶ ἀδίκως ταῦτα ἔπασχεν. εἰ μὴ γὰρ ἀδίκως ἔπασχεν, οὐκ ἂν ὁ Θεὸς ἐπεξῆλθεν. ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. ἀνθρωπινώτερον φθέγγεται, θρόνον καὶ καθέδραν λέγων. τὸ δέ, ὁ κρίνων δικαιοσύνην, τὸ σύνηθες τοῦ Θεοῦ, καὶ ἐξαίρετον αὐτοῦ τῆς οὐσίας φησίν. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τοῦτο οὐκ ἔστιν εἰπεῖν. οὐ γὰρ πάντως κρίνουσι δικαιοσύνην, κἂν μυριάκις ὦσι δίκαιοι, ποτὲ μὲν ἀγνοίᾳ, ποτὲ δὲ ῥαθυμίᾳ ἀγνοοῦντες τὸ δίκαιον.

στήριον. ὁ δὲ Θεὸς τούτων ἁπάντων ἀπηλλαγμένος, καὶ εἰδώς, καὶ βουλόμενος δικαίαν ἐκφέρει τὴν ψῆφον. διὸ φησιν, ἐκάθισας ἐπὶ θρόνου, ἐδίκασάς ἐστιν, ἐπεξῆλθες, ἤμυνας. ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. ὁρᾷς πῶς οὐχ ὅπλων αὐτῷ δεῖ, οὐ μαχαίρας, οὐ τόξων καὶ βελῶν, ἀλλ' ἀνθρωπινώτερον ἐκεῖνα εἴρηται. ἀρκεῖ γὰρ ἐπιτιμῆσαι τῷ Θεῷ, καὶ ἀπολέσθαι τοὺς κολάζεσθαι μέλλοντας. ἵνα δὲ μάθῃς αὐτοῦ τὴν ἰσχύν, ἄκουε καὶ τῶν ἑξῆς. τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. προρρίζους ἀπώλεσας, ἀνέσπασας, οὕτως ἠφάνισας, ὡς καὶ τὴν μνήμην αὐτῶν παραπολέσθαι.

6 Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. Ἄλλος, Τὰ ἐρείπια. Ὁ δὲ Ἑβραῖος, Ἀρβώθ. Καὶ πόλεις καθεῖλες. Τί ἐστι τοῦτο; ὅτι τὰς μηχανὰς αὐτοῦ καὶ τὰς βουλὰς ἀνάλωσας, φησίν, ἔρημον αὐτὸν τῶν οἰκείων ὅπλων ἐποίησας. τοιοῦτον γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ. πάντα ἀφανίζει καὶ ἀπόλλυσιν. ἢ ὅπερ ἕτερος ἑρμηνευτὴς διδάσκει, ἔρημα αὐτῶν· ὅτι οὐ τὰς πόλεις αὐτῶν μόνον, ἀλλὰ καὶ τὰς ἐρήμους ἠφάνισας, καὶ πόλεις καθεῖλες. οὕτω γὰρ ὁ δίκαιος ἐπολέμει, οὕτω κατέβαλλε τοὺς ἐναντίους, οὐχ ὅπλοις καὶ δόρασι κεχρημένος, ἀλλὰ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἔχων. διὰ τοῦτο καὶ ὁ πόλεμος αὐτῷ λαμπρὸς καὶ περιφανής, καὶ κατακράτος ἡ νίκη. 7 Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. Ἄλλος, Σὺν αὐτοῖς. Ὁ δὲ Ἑβραῖος, Ἕμ. Τί ἐστι μετ' ἤχου; ἢ τὴν πανωλεθρίαν, φησίν, ἢ τὸ διωλύγιον τῶν κακῶν. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας, τὸ μὴ λανθανόντως ταῦτα ποιεῖν· ἵνα ταῖς ἑτέρων συμφοραῖς καὶ ἕτεροι γένωνται βελτίους. τὸ περιφανὲς οὖν δηλοῖ τῆς ἀπωλείας. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.

Ἄλλος, Καθεδεῖται. Τὸ γὰρ καθῆσθαι, πολλαχοῦ ἐπὶ τοῦ μονίμου τῆς οὐσίας κεῖται· ὡς καὶ Ἱερεμίας δηλοῖ λέγων, Σὺ καθήμενος εἰς τὸν αἰῶνα. καὶ ὁ Ἑβραῖος ἐνταῦθα Ιησή φησι. Βαρουχ. γ. α. Συνεχῶς τοῦτο λέγει ὁ προφήτης ἐπὶ τῆς ἀπωλείας τῶν ἀνθρώπων, δεικνὺς αὐτοῦ τὸ ἀτελεύτητον τῆς οὐσίας, καὶ ὅτι τὸ μὲν τῶν ἀνθρώπων γένος ἐπίκηρον· ἡ δὲ ἐκείνου οὐσία καὶ ἡ μεγαλωσύνη ἀτελεύτητος. τοῦτο δὲ ποιεῖ τὸν φόβον ἐπαίρων, ἵνα ἑκατέρωθεν ὦσιν αὐτὸν τρέμοντες· καὶ διὰ τὸ μέγεθος αὐτοῦ τῆς δόξης, καὶ διὰ τὸ ἀτελὲς τῆς οἰκείας οὐσίας· καὶ ὡς ἀεὶ μένοντα, καὶ ὡς ἀεὶ μεθ' ὑπερβολῆς κολάζοντα. εἰ δὲ χρή τι καὶ κατὰ ἀναγωγὴν εἰπεῖν, οὐ παραιτητέον. τὰ μὲν γάρ ἐστι καὶ θεωρῆσαι· τὰ δὲ οὕτω δεῖ νοεῖν ὡς εἴρηται μόνον· ὡς τὸ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Γεν. α. α. τὰ δὲ ἀπεναντίας ταῖς λέξεσιν· ὡς τὸ, Ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι. καὶ πάλιν· ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοί. καὶ πάλιν· Ἡ πηγή σου τοῦ ὕδατός σοι ἔστω μόνῳ. Παροιμ. ε. ιθ. ιζ. ιε. τοῦτο γὰρ, ἂν τὸ κείμενον νοήσῃς, καὶ μὴ φύγῃς μὲν τὸ ῥῆμα, διώκῃς δὲ τὸ νόημα, καὶ πολλῆς ἀπανθρωπίας ἐστί, τὸ μηδὲ ὕδατός τινι μεταδοῦναι. ἀλλ' ἐνταῦθα περὶ γυναικὸς ὁ λόγος, ὥστε αὐτῆς ἀπολαύειν μετὰ σωφροσύνης· πηγὴν καλῶν αὐτὴν καὶ ἔλαφον, διὰ τὸ καθαρὸν τῆς τοῦ γάμου συνουσίας. ἀλλαχοῦ δὲ δεῖ καὶ τὸ κείμενον δέχεσθαι, καὶ τὸ ἐξ αὐτοῦ· ὡς ἔχει τὸ, Καὶ καθὼς τὸν ὄφιν ὕψωσε Μωϋσῆς. Ιω. γ. ιδ. καὶ γὰρ οὕτω δεῖ πιστεύειν ὅτι ἐγένετο (ἐγένετο γὰρ) καὶ τὸ ἐξ αὐτοῦ, εἰς τύπον Χριστοῦ. οὕτω καὶ ἐνταῦθα, ἐὰν αὖ τις ἁμάρτοι εἰς τὰ Ἰουδαϊκὰ ἐκλαμβάνων τὰ εἰρημένα· ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. ἥ τε γὰρ συμφορὰ αὐτῶν τῶν τὸν Χριστὸν σταυρωσάντων, πανταχοῦ τῆς οἰκουμένης κατάδηλος, αἵ τε πόλεις αὐτῶν καθῃρέθησαν, τοῦ τε διαβόλου ἐξέλιπε τὰ μηχανήματα, τῆς τοῦ Χριστοῦ κηδεμονίας τὰ πάντα καταλαβούσης. ἀλλὰ ταῦτα τοῖς φιλομαθέσι καταλιπόντες ἁρμόζειν, τῶν προκειμένων ἐχώμεθα.

ά 8 Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ. Ἄλλος, Ἥδρασεν εἰς κρίσιν.

Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Εἶδες πῶς κατὰ μικρὸν ἀνάγει τὸν λόγον; ἐπειδὴ γὰρ θρόνου ἐμνημόνευσε, δείκνυσι τοῦ
θρόνου τὴν φύσιν, οὐκ ἀπὸ ξύλων συγκειμένην, οὐδέ τινος ὕλης, ἀλλ' ἀπὸ δικαιοσύνης.
ἐν τῇ δικαιοσύνῃ, φησίν, ἵδρυται. κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ τὰ παρόντα
καὶ τὰ μέλλοντα προαναφωνεῖ. ἡ μὲν γὰρ καθόλου κρίσις, ἐκεῖ τεταμίευται· ἡ δὲ ἐκ μέρους,
καὶ ἐνταῦθα. πολλὰ γὰρ καὶ νῦν ἔργα ἐργάζεται, ὥστε μὴ τοὺς ἀναισθήτους ἀπρονόητα
εἶναι νομίζειν τὰ ὄντα. εἰ δὲ μὴ πάντες ἐνταῦθα τοὺς στεφάνους ἀπολαμβάνουσι, μὴ
Πράξ. ιζ. λα. θαυμάσῃς. Ἡτοίμασε γὰρ ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην· τὸ δὲ παρὸν,
στάδιον καὶ ἀγὼν καὶ παλαίσματα. διὰ δὴ τοῦτο οὐ πάντες τὰ κατ' ἀξίαν ἀπολαμβάνουσιν, ἀλλὰ τοῖς τε κατορθοῦσιν ἐκεῖ τεταμίευται δωρεὰ, τοῖς τε καταπίπτουσιν αἱ κολάσεις·
ἐνταῦθα δὲ ἀνοχὴ καὶ μακροθυμία, ὥστε διὰ μετανοίας ἀπονίψασθαι τὰ ἡμαρτημένα.
ἀλλ' οὐκ ἐκεῖ οὕτω. ἐπεὶ καὶ ἀνδροφόνος, ἕως μὲν ἂν ᾖ ἐν ταῖς ὁδοῖς, κύριός ἐστι
μεταβάλλεσθαι, καὶ ἀπαλλαγῆναι κολάσεως· ἐπειδὰν δὲ ὑπὸ τὴν ψῆφον ἔλθοι τοῦ δικαστοῦ, ξίφος καὶ δήμιος καὶ βάραθρα. οὕτω καὶ ἐνταῦθα. ἕως μὲν ἂν ἐν τῷ βίῳ τούτῳ ὦμεν τῷ παρόντι, δυνατὸν διαφυγεῖν τὴν τιμωρίαν μεταβαλλομένους· ἐκεῖ δὲ ἀπελθόντες, ἀνήνυτα οἰμώξομεν. ἡτοίμασε γὰρ ἐν κρίσει τὸν θρόνον αὐτοῦ. εἰ δέ τις καὶ τὸ, ἡτοίμασεν, οὕτως ἐκλάβοι ὡς εἴρηται, οὐχ ἁμαρτήσεται. πάντα γὰρ προεσκευασμένα,
καὶ τὰ τῶν κολάσεων, καὶ τὰ τῶν στεφάνων, καὶ τὰ τῆς ψήφου. οὐκ ἔστι μέλλησις, οὐδὲ χρόνος, οὐδὲ βραδυτὴς παρὰ τῷ Θεῷ, ὅταν οἱ ζῶντες οὐ μὴ φθάνωσι τοὺς κοιμηθέντας,
α. Θεσ. δ. ιε. ὥσπερ ὁ Παῦλος λέγει, Ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ
Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. κρινεῖ λαοὺς ἐν εὐθύτητι. ὅρα σοφίαν προφήτου, πῶς λέγει τὰ παρόντα, πῶς τὰ μέλλοντα. τὰ παρόντα, ἐπετίμησας ἔθνεσι,
καὶ ἀπώλετο ὁ ἀσεβής· τὰ μέλλοντα, ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ· καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. τοῦτο δὲ ποιεῖ, ἵνα ἐκείνοις ἀπιστοῦντες, ἀπὸ τῶν παρόντων λάβωσι τὴν ἀπόδειξιν. 9 Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι.

C Ἄλλος, Τῷ ἐπιτρίπτῳ. Ἄλλος, Τῷ τεθλασμένῳ. Συνεχῶς ἑαυτὸν καὶ πένητα καὶ
Ψαλ. λθ. κγ. πτωχὸν καλεῖ, καίτοι ἐν βασιλείοις ὤν. οὕτω καὶ ἀλλαχοῦ· Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι τὰ ἀνθρώπινα πάντα σκιᾶς ἀδρανέστερα, καὶ ὅτι οὐδὲν ἡμῖν οὕτως οἰκεῖον ὡς ἀρετή· τὰ δὲ ἄλλα πάντα φύλλοις ἔοικεν ἔξωθεν προσκειμένοις.
ὅτι γὰρ ἀρετὴ οἰκεῖον, δῆλον ἐντεῦθεν. ὅπου ἐὰν ἀπέλθωμεν, ταύτην περιφέρομεν·
ἐκεῖνα δὲ οὐκ ἔτι. οὐκοῦν τοῦτο ἡμῖν οἰκειότερον, τὰ δὲ ἄλλα πόρρωθεν. ὥσπερ οὖν οἰκεῖον λέγομεν τὸν πλησίον ἡμῖν ὄντα· οὕτω δὴ καὶ ταύτην τῶν χρημάτων οἰκειοτέραν καλοῦμεν, ἐπειδὴ πλησίον ἐστὶν ἡμῶν ἀεί. θέα δέ μοι αὐτοῦ καὶ τὴν εὐγνωμοσύνην, καὶ τὴν φιλόσοφον ψυχήν. καὶ γὰρ ἵππους ἔχων, καὶ στρατόπεδα, καὶ μυρία ὅσα, πάντα ἐκεῖνα ἀφεὶς, τὴν ἄνωθεν ἐπισπᾶται ῥοπὴν, καὶ αὐτῷ τὴν σωτηρίαν ἀνατίθησιν. οὐ γὰρ εἶπεν, ἐγένετό μοι στρατόπεδα καταφυγή μου, οὐδὲ χρήματα, οὐδὲ τείχη· ἀλλ' ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι. αὐτός με, φησιν, ἐν ἀσφαλείᾳ κατέστησεν. οὐδὲν γὰρ ταύτης ἴσον τῆς καταφυγῆς, καὶ εἰς εὐκολίας καὶ ἀσφαλείας λόγον. τὰς μὲν γὰρ ἄλλας καὶ ἐπιβουλεύεσθαι ἔνι, καὶ ταχέως εὑρεῖν οὐκ ἔνι καὶ ἐξ ἑτοίμου, ἀλλὰ καὶ χρόνῳ καὶ τόπῳ καὶ μυρίαις κωλύονται περιστάσεσι· ταύτην δὲ πλησίον οὖσαν εὑρίσκεις, μόνον ἐὰν μετ' ἀκριβείας ἐπιζητήσῃς. Ἔτι γὰρ λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. καὶ, Θεὸς ἐγγίζων ἐγώ
Ἡσ. νη. θ.

εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν. οὐ τοίνυν δεῖ δρόμου ἡμῖν οὐδὲ ἀποδημίας, ἀλλὰ καὶ οἴκοι καθήμενος ταύτην ἐπισπᾶσθαι τὴν καταφυγήν ἔνι. καὶ ποτὲ μὲν ἐξαιρεῖ τῶν κινδύνων· ποτὲ δὲ καὶ αὐτοὺς ποιεῖ λαμπροτέρους, καὶ τοὺς ἐχθροὺς δυνατωτέρους· καὶ ἀμφότερα ἐν καιρῷ τῷ προσήκοντι. ὅταν γὰρ μετριάζωσιν οἱ ἀπολαύοντες, ἀμφότερα δίδωσιν. εἰ δὲ μὴ σφόδρα τοῦτο ἔχοιεν τὸ κατόρθωμα, μέχρι τοῦ ἑνὸς ἵσταται, ὥστε μὴ τῇ προσθήκῃ τοῦ δευτέρου, εἰς ἀπόνοιαν αὐτοὺς ἐλθεῖν. ἵνα δὲ μάθῃς ὅτι πολλάκις τοῦτο εἰς ἀπόνοιαν αἴρει· ὁ Ἐζεκίας ἐντεῦθεν ἐπήρθη. ἀλλ᾽ ὅμως οὐδὲ οὕτως αὐτὸν προὔδωκεν· ἀλλ᾽ ἐπειδὴ ἡ τῆς νίκης εὐημερία ἐπῆρεν αὐτοῦ τὴν διάνοιαν, τὴν ἀπὸ τῆς ἀρρωστίας αὐτῷ διόρθωσιν ἐπήγαγε. Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι.

Ιερ. κγ. κγ.

Ησ. λθ. β.

Τί ἐστιν, ἐν εὐκαιρίαις; εἰς καιρόν, φησιν, ἐπικαίρως. διπλῆν λέγει τὴν εὐκαιρίαν, ὅτι καὶ βοηθεῖ, καὶ ὅτι εἰς καιρόν. εὐκαιρίαν γὰρ ἐνταῦθα, τὴν θλίψιν λέγει. τί δήποτε; ὅτι φιλοσοφίας μήτηρ ἐστί, καὶ τοῦ Θεοῦ μάλιστα ἐπισπᾶται τὴν ῥοπήν. τότε ῥᾳθυμία ἀνῄρηται, καὶ διάχυσις· τότε σπουδαιότεροι περὶ τὰς ἱκετηρίας γινόμεθα. καὶ καθάπερ ὁ χειμὼν ἐπιτήδειος καιρὸς πρὸς γεωργίαν ἐστὶ τῆς γῆς· οὕτως ἡ θλίψις πρὸς ἐπιμέλειαν τῆς ψυχῆς. ἀεὶ μὲν γὰρ δεόμεθα αὐτοῦ τῆς βοηθείας, καὶ ἐν εὐημερίαις ὄντες· τότε δὲ μάλιστα, ὅταν ἐν θλίψεσιν ὦμεν, βοηθός. ἐνταῦθα γὰρ ἕτερόν τι ᾐνίξατο· ὅτι δεῖ καὶ ἡμᾶς ἐνεργοὺς εἶναι. ὁ γὰρ βοηθῶν, τῷ ἐργαζομένῳ βοηθεῖ. οὐ τοίνυν ἡμᾶς ἀναπεπτωκέναι δεῖ, ἀλλὰ καὶ ἱκετηρίαν φέρειν, καὶ ἐλεημοσύνας, καὶ τὰ παρ᾽ ἑαυτῶν ἅπαντα. ἐπεὶ καὶ σύμμαχοι τοῖς πολεμοῦσι βοηθοῦσιν, οὐχὶ τοῖς ἀναπεπτωκόσι καὶ ἀργοῦσιν. εἰ τοίνυν βούλει τῆς τοῦ Θεοῦ συμμαχίας ἀπολαύειν, μηδέποτε τὰ παρὰ σεαυτοῦ προδῷς. οὕτω καὶ ὁ Ἰὼβ ἐβοηθεῖτο, ἑστὼς καὶ παγκρατιάζων. οὕτω καὶ οἱ ἀπόστολοι ἐνεργοὶ ὄντες.

10 Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου.

a Ἄλλος, Καὶ πεποιθήσουσιν, ἀντὶ τοῦ, θαρρήσουσι. Συνεχῶς τοῦτο ποιεῖ ὁ προφήτης, ἀπ᾽ ἀρχῆς εἰς παραίνεσιν τρέπων τὸν λόγον, κοινὸς διδάσκαλος ὢν τῆς οἰκουμένης, καὶ τὸν θησαυρὸν εἰς τὸ μέσον προτιθεὶς τῆς φιλοσοφίας. καλῶς εἶπεν, οἱ γινώσκοντες τὸ ὄνομά σου. οἱ γὰρ εἰδότες σέ, φησι, καὶ τὴν ἀντίληψίν σου, καὶ τὴν συμμαχίαν, ἱκανὴν ἄγκυραν ἔχουσι τὴν ἐλπίδα τὴν ἐπὶ σέ, ἰσχυρὰν συμμαχίαν, καὶ πύργον ἀρραγῆ, οὐ τὴν λύσιν μόνον ἐπαγγελλόμενον τῶν δεινῶν, ἀλλ᾽ οὐδὲ παροῦσι τοῖς δεινοῖς θορυβεῖσθαι συγχωροῦντα. ὁ γὰρ τῶν ἀνθρωπίνων ἀπηλλαγμένος, καὶ τῆς ἄνωθεν ἐλπίδος ἑαυτὸν ἀπαρτῶν, οὐ μόνον ταχίστην ἐπάγεται τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἀλλ᾽ οὐδὲ ἐν αὐτοῖς τοῖς δεινοῖς θορυβεῖται καὶ ταράττεται, τῇ ἐλπίδι τῆς ἀγκύρας ἐκείνης βοηθούμενος. οὕτω γοῦν καὶ οἱ τρεῖς παῖδες οὐ μόνον ἀπηλλάττοντο τῆς καμίνου, ἀλλ᾽ οὐδὲ ἐν τῇ καμίνῳ διατρίβοντες ἐθορυβοῦντο. ᾔδεισαν γὰρ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν. διά τοι τοῦτο ἕτερός φησι· καὶ πεποιθήσουσιν, ἀντὶ τοῦ, θαρρήσουσι. πολλῷ γὰρ μείζων τῆς ἀρχῆς τῆς ἀπὸ τῶν θορύβων ἡ ἀσφάλεια ἡ ἀπὸ τῆς ἐλπίδος τῆς εἰς τὸν Θεόν. τὰ μὲν γὰρ ἀνθρώπινα, ἡ δὲ θεία καὶ ἄμαχος. ἐπειδὴ εἶπεν, ὅτι ἐγένετο βοηθός, ὅτι ἐγένετο καταφυγή, δείκνυσι καὶ πῶς γίνεται. πῶς οὖν γίνεται; ὅταν μένωμεν διηνεκῶς εἰς αὐτὸν ἐλπίζοντες. εἰ δὲ μὴ εὐθέως λύει τὰ δεινά, καὶ τοῦτο ὑπὲρ τῆς σῆς γίνεται δοκιμῆς. ὥσπερ γὰρ δυνάμενος μὴ ἀφεῖναι ἐπελθεῖν, ἀφίησιν, ἵνα στερρότερον ἐργάζηται· οὕτω καὶ δυνάμενος ἐκ προοιμίων λῦσαι, μέλλει καὶ ἀναβάλλεται πάλιν, ἐπιτείνων σου τὴν εὐτονίαν, καὶ τὴν ἐλπίδα γυμνάζων, καὶ τὴν πρὸς αὐτὸν διάθεσιν σπουδαιοτέραν ποιῶν. καὶ οὔτε ἀεὶ θλίβεσθαι συγχωρεῖ, ἵνα μὴ ἀποκάμωμεν, οὔτε ἀεὶ ἀνίεσθαι, ἵνα μὴ ἀναπέσωμεν.

Εβρ. ς. ιθ.

Ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.

Σιρ. β. ι. Ἄλλος, Οὐ γὰρ ἐγκατέλιπες. Οὕτω καὶ ἕτερός φησιν, Ἐμβλέψατε εἰς ἀρχαίας
γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ
ἐγκατέλιπεν αὐτόν; καὶ πῶς ζητεῖται ὁ Θεός, φησιν, ὁ πανταχοῦ ὤν; σπουδῇ καὶ προθυμίᾳ,
καὶ ἀπαλλαγῇ τῶν βιωτικῶν. πολλὰ γὰρ ἐν χερσὶ καὶ πρὸ ὀφθαλμῶν ἔχοντες οὐκ
ἴσμεν, ἀλλὰ περιερχόμεθα ζητοῦντες πολλάκις ἃ κατέχομεν, ὅταν πρὸς ἑτέροις ἡ διάνοια
τετραμμένη ᾖ. πῶς οὖν ἐστι ζητεῖν Θεόν; ὅταν ἐκεῖ τὴν διάνοιαν συντείνωμεν, ὅταν
τῶν βιωτικῶν ἀπαλλαγῶμεν. καὶ γὰρ ὁ ζητῶν, πάντα ἐκβαλὼν τῆς ψυχῆς, πρὸς
ἐκεῖνο τὸ ζητούμενον ἔρχεται. καὶ οὐχ ἁπλῶς ζητεῖν χρή, ἀλλὰ καὶ ἐκζητεῖν. ὁ ἐκζητῶν,
οὐκ αὐτὸς ζητεῖ μόνον, ἀλλὰ καὶ ἑτέρους λαμβάνει βοηθούς, ὥστε εὑρεῖν τὸ ζητούμενον.
ἀλλ' ἐπὶ μὲν τῶν βιωτικῶν πολλάκις ζητήσαντες οὐχ εὕρομεν· ἐπὶ δὲ τῶν πνευματικῶν,
οὐκ ἔνι τοῦτο, ἀλλὰ ἀνάγκη πᾶσα τὸν ζητοῦντα εὑρεῖν. ἂν γὰρ ἐξέλθωμεν μόνον
Ματθ. ζ. η. ἐπιζητῆσαι, οὐκ ἀφίησιν ἡμᾶς πολλὰ κόπτεσθαι ὁ Θεός. διὰ τοῦτο λέγει· Πᾶς ὁ
ζητῶν εὑρίσκει.

ά 11 Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. Ἄλλος, Τῷ καθημένῳ.
Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.

Ησ. ξϛ. α. Ψαλ. ϟδ. δ. Ἄλλος, Ἐν τοῖς λαοῖς μηχανήματα αὐτοῦ. Τί λέγεις; Οὗ ὁ οὐρανὸς θρόνος καὶ ἡ γῆ
ὑποπόδιον, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, οὗτος ἐν Σιὼν οἰκεῖ; ναί. οἴκησιν γὰρ
ἐνταῦθα οὐ τὸ περικλείεσθαι λέγει (ἀπέραντος γὰρ αὐτοῦ ἡ μεγαλωσύνη) ἀλλὰ τὴν
οἰκειότητα τὴν πρὸς τὸν τόπον, καὶ τὸ οἰκείως ἔχειν πρὸς αὐτόν, διὰ τὸ τοὺς Ἰουδαίους διὰ
τῆς συγκαταβάσεως ταύτης πρὸς αὐτὸν ἐπισπᾶσθαι. ἐπεὶ καὶ οἰκία διὰ τοῦτο λέγεται
ἐφ' ἡμῶν, διὰ τὸ οἰκείως ἡμᾶς ἔχειν πρὸς αὐτήν. καὶ ἐν ἡμῖν δὲ οἰκεῖν λέγεται, οὐ περιεχόμενος
ὑφ' ἡμῶν, ἀλλ' οἰκείως πρὸς ἡμᾶς ἔχων. Σιὼν δὲ κατὰ ἀναγωγὴν ἡ ἐκκλησία
Ἑβρ. ιβ κγ. κδ λέγεται. προσεληλύθατε γὰρ ὄρει Σιών, καὶ ἐκκλησίᾳ πρωτοτόκων. καὶ εἰκότως ὄρος
ἡ ἐκκλησία, διὰ τὸ βέβαιον, καὶ πάγιον, καὶ ἄσειστον. καθάπερ γὰρ ὄρος σαλεῦσαι οὐ δυνατόν,
οὕτως οὐδὲ τοῦ Θεοῦ τὴν ἐκκλησίαν. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα
αὐτοῦ. κήρυκας εἶναι βούλεται τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ μηδέποτε αὐτοῦ κατακρύπτειν
τὰς εὐεργεσίας. καὶ τοῦτο πανταχοῦ ζητεῖ, διά τε τοὺς λέγοντας, διά τε τοὺς ἀκούοντας. καὶ
γὰρ καὶ τούτοις κέρδος, κἀκείνοις, ἐὰν προσέχωσιν.

12 Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη. Εἶδες τὰ ἐπιτηδεύματα
ποῖα λέγει; τὰς εὐεργεσίας. ἐνταῦθα καὶ μέγα τι αἰνίττεται δόγμα· ὅτι οὐκ ἔστι φόνος
ἀτιμώρητι τολμώμενος, ἀλλ' ἐκδικεῖται πάντως. ὃ καὶ ἐν τῇ Γενέσει Μωϋσῆς δείκνυσι,
Γεν. θ. ε. λέγων· Τὸ αἷμα ὑμῶν ἐκζητήσω. τοῦτο τῆς ἀπείρου προνοίας δεῖγμα, τῆς ἐκτεταμένης
Ρω. β. δ. αὐτοῦ κηδεμονίας. εἰ δὲ μὴ κατὰ πόδας ἐκζητεῖ, μὴ θαυμάζῃς. δίδωσι γὰρ τοῖς
ἁμαρτάνουσι μετανοίας ἀφορμήν. Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

Ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας. οὐχ ἁπλῶς λέγει τοὺς πένητας· ἀλλ' ἐκείνους
Ματθ. ε. γ. τοὺς πτωχοὺς τῷ πνεύματι, καθὼς ὁ Χριστός φησιν. Οὗτοι γὰρ μάλιστα ἀκούονται
εὐχόμενοι, οἱ ταπεινοὶ τῇ καρδίᾳ, καὶ συντετριμμένοι. δύο δὲ ἐνταῦθα τίθησι, καὶ εὐχήν,
Ησ. ξϛ. β. καὶ ταπεινοφροσύνην. Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησίν, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινόν, καὶ
ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; καὶ πανταχοῦ ὄχημα εὐχῆς εὑρίσκεται ταπεινοφροσύνη.
ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. ὥστε φλεγμονῆς δεῖ μάλιστα
α. Τιμ. β. η. ἀπηλλάχθαι τὸν εὐχόμενον. ὃ καὶ Παῦλος ζητεῖ, λέγων· Χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.
καλῶς εἶπε, τῆς κραυγῆς τῶν πενήτων, κραυγὴν λέγων τὴν διάθεσιν τῆς διανοίας, οὐ

τῆ

τὸν τόνον τῆς φωνῆς. τῷ δὲ εἰπεῖν, οὐκ ἐπελάθετο, ἐδήλωσεν ὅτι συνεχῶς ἐκάλουν ἐκεῖνοι, καὶ οὐκ ἐκ προοιμίων ἐτύγχανον. τί τοίνυν ἐστὶν, ὃ λέγει; μὴ νομίσητε ὅτι ἐπελάθετο ὁ Θεὸς, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθε. καὶ γὰρ αὐτοῦ ἴδιον τὸ τὰ τοιαῦτα ζητεῖν, καὶ μηδενὸς παρακαλοῦντος· ὅταν δὲ παρακαλῶσι, καὶ ταπεινοὶ οἱ παρακαλοῦντες ὦσι, πολλῷ πλέον. 13 Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου·

C. θ'

14 Ὁ ὑψῶν με ἐκ πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. Ἄλλος, Τὰς ὑμνήσεις σου. Ἄλλος, Τοὺς ἐπαίνους σου. Ὅρα αὐτὸν διηνεκῶς τῇ εὐχῇ προσηλωμένον. καὶ γὰρ ἀπαλλαγεὶς τῶν δεινῶν, καὶ ἐν ἀσφαλείᾳ γενόμενος, οὐκ ἀφίσταται τοῦ πάλιν εὔχεσθαι, λέγων, ἐλέησόν με, καὶ ὑπὲρ τῶν μελλόντων αὐτὸν παρακαλῶν. ἀεὶ μὲν γὰρ δεόμεθα τῆς τοῦ Θεοῦ προνοίας· μάλιστα δὲ ἐν τῇ τῶν κακῶν ἀπαλλαγῇ. ἕτερος γὰρ διαδέχεται πόλεμος τοῦ προτέρου χαλεπώτερος, ὁ τῆς ῥαθυμίας, ὁ τῆς ἀπονοίας· καὶ σφοδρότερον ὁ διάβολος πνεῖ. ὥστε μάλιστα μετὰ τὸ ἀπαλλαγῆναι τῶν κακῶν, δεόμεθα τῆς ῥοπῆς ἐκείνης, ἵνα εὐκόλως τὰς εὐημερίας ἐνέγκωμεν. ἐπεὶ καὶ Ἰουδαῖοι τῶν Αἰγυπτίων ἀπαλλαγέντες, ἐν χαλεπῷ ἦσαν πολέμῳ, τῇ ἀπονοίᾳ καὶ τῇ ῥαθυμίᾳ. τότε γοῦν μάλιστα καὶ ἀπέθανον, μὴ δυνηθέντες στρατηγῆσαι καλῶς. ἐπειδὴ γὰρ οὔτε πρὸς λαιμαργίαν, οὔτε πρὸς μικροψυχίαν ἔστησαν γενναίως, ἀλλὰ τῶν Αἰγυπτίων τὰ πάθη ἐζήλωσαν, ταῦτα αὐτοὺς ἀπώλεσε. καὶ ὁ Δαβὶδ ἐπὶ τοῦ Σαοὺλ ἀπαλλαγεὶς τῶν δεινῶν, καὶ τῶν ἄλλων πολεμίων, ἐπειδὴ ἀνέσεως ἀπέλαυσε, χαλεπώτερον ὑπέστη πόλεμον, τὸν τῆς ἀκολάστου ἐπιθυμίας, ὃς δὴ καὶ μειζόνως αὐτὸν ἐκόλασε. διὸ δὴ μάλιστα τότε χρὴ φοβεῖσθαι, ὅταν τῶν δεινῶν ἀπαλλαγῶμεν. καθάπερ γὰρ θηρίον δεδεμένον οὐχ οὕτω φοβούμεθα, ὡς ἀφεθέν· οὕτω δὴ καὶ τὴν κακίαν οὐχ οὕτως ἐν θλίψει δεδοικέναι χρὴ (τότε γὰρ δέδεται τῇ ἀθυμίᾳ, καὶ τοῖς ἄλλοις δεσμοῖς) ἀλλὰ μετὰ τὴν ἄνεσιν τότε χρὴ δεδοικέναι. διὰ δὴ τοῦτο ὄψει πολλάκις τὰς εὐπραγίας μείζονα τῶν κακῶν ἐργαζομένας δεινά. οὕτω καὶ Ἐζεκίας μετὰ τὸ τρόπαιον ἔμελλεν ἀπόλλυσθαι. διὸ καὶ οὗτος ἀλλαχοῦ φησιν· Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με. καὶ τὸν ἔλεον ζητεῖ πάλιν μετὰ τὴν ἀπαλλαγὴν, καὶ τίθησι δικαίωμα τοῦ ἐλέους, τὸ παθεῖν κακῶς. ἴδε γὰρ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. καὶ ἕτερον πάλιν· ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. καὶ γὰρ πρὸς τὸν προστάτην καὶ κηδεμόνα καταφεύγω, καὶ ἀεί μοι χεῖρα παρέχοντα. Εἶδες αὐτὸν ἐν τῇ αἰτήσει τῶν μελλόντων εὐχάριστον ὑπὲρ τῶν παρελθόντων γινόμενον, καὶ διπλῆν λέγοντα εὐεργεσίαν; οὐ γὰρ εἶπεν, ὁ ἀπαλλάττων με τῶν πυλῶν τοῦ θανάτου, ἀλλ', ὁ ὑψῶν με. οὐ γὰρ μέχρι τοῦ λῦσαι τὰ δεινὰ ἵστατο ἡ εὐεργεσία τοῦ Θεοῦ, ἀλλὰ καὶ θαυμαστοὺς ἐποίει, καὶ ἐπιδόξους, καὶ λαμπροτέρους, καὶ ὑψηλούς. καὶ οὐκ εἶπεν, ἐκ τῆς πύλης, ἀλλ' ἐκ τῶν πυλῶν, τὸ πολὺ τῶν κινδύνων δηλῶν. ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. ὃ ποιεῖν τοῖς ἄλλοις παρῄνησε, τοῦτο καὶ αὐτὸς ποιεῖ. ἀναγγείλατε γάρ, φησιν, ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ· τοῦτο καὶ ἐγὼ νῦν ἐργάζομαι· καὶ οὐκ ἐργάζομαι ἁπλῶς, ἑνὸς παρόντος καὶ δύο καὶ τριῶν, ἀλλ' ἐν μέσῳ θεάτρῳ.

Ἐξοδ. 15. γ.

β. Βασ. ια. β.

δ. Βασ. κ. α. ιζ.

Ψαλ. ριη. οα.

15 Ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου. Τοῦτό μοι διάδημα, τὸ διὰ σοῦ στῆσαι τρόπαιον, τὸ διὰ σοῦ σωτηρίας ἀπολαῦσαι. οὕτω δὴ καὶ ἡμεῖς μὴ πάντως σωθῆναι ζητήσωμεν, μὴ πάντως ἀπαλλαγῆναι τῶν δεινῶν παντὶ τρόπῳ, ἀλλὰ κατὰ Θεόν. τοῦτο δὲ λέγω, διὰ τοὺς ἐπαοιδαῖς χρωμένους ἐν ταῖς νόσοις, καὶ ἑτέρας μαγγανείας ἐπιζητοῦντας εἰς παραμυθίαν τῆς ἀρρωστίας. τοῦτο γὰρ οὐχὶ σωθῆναί ἐστιν, ἀλλ' ἀπολέσθαι. ἡ γὰρ μεγίστη σωτηρία, τὸ διὰ τοῦ Θεοῦ σωθῆναι. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ

ἐποίησαν. Ἄλλος, Ἐβαπτίσθησαν. διαφθορὰν τὴν κακίαν λέγει. οὐδὲν γὰρ οὕτω διαφθείρει, ὡς κακία. οὐδὲν γὰρ ἀσθενέστερον τοῦ πονηροῦ· τοῖς οἰκείοις ὅπλοις ἁλίσκεται. ὥσπερ ὁ σίδηρος ὑπὸ τοῦ ἰοῦ, καὶ τὰ ἔρια ὑπὸ τοῦ σητός· οὕτω καὶ ὁ πονηρὸς ὑπὸ τῆς κακίας. ὥστε καὶ πρὸ τῆς παρὰ τοῦ Θεοῦ τιμωρίας, αὐτὴ ἡ κακία τὸν ἐργάτην ἀπαιτεῖ δίκην. ἐπειδὴ γὰρ πολλὰ περὶ τῆς ἄνω δίκης διελέχθη καὶ περὶ τῆς τοῦ Θεοῦ ῥοπῆς, αὕτη δὲ οὐ κατὰ πόδας ἔπεισιν, ἀλλὰ μέλλει πολλάκις καὶ ἀναβάλλεται, καὶ τοῦτο τοὺς πολλοὺς ῥαθυμοτέρους ποιεῖ· δείκνυσιν ἐπὶ θύραις τὴν τιμωρίαν οὖσαν, καὶ ταύτην τοὺς πονηροὺς ὑπομένειν. καθάπερ καὶ ὁ Παῦλός φησι· Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ ὅρα πῶς κυρίως κέχρηται ταῖς λέξεσιν. ἐνεπάγη, φησί· τουτέστι, κατακράτος κατεσχέθη, ἄφυκτος αὐτοῖς γέγονεν ἡ ἐπιβουλή. καὶ πάλιν, 16 Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν.

Ρω. α. κζ.

Δεσμοῖς ἀλύτοις, φησὶν, οἱ πονηροὶ περιπείρονται. ταῦτα ἐπὶ τῶν ἀποστόλων καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν. ὅτε γὰρ τοῖς ἀποστόλοις ἐπολέμουν, ἐκείνους μὲν οὐδὲν ἔβλαπτον· ἑαυτοὺς δὲ μυρίοις περιέβαλον κακοῖς, πόλεως, καὶ ἐλευθερίας, καὶ τῶν ἄλλων ἁπάντων ἐκπίπτοντες. καὶ τὸ μὲν κήρυγμα ηὐξάνετο, οἱ δὲ ἐπιβουλεύοντες κατελύοντο. καὶ οἱ τοὺς τρεῖς παῖδας ἐμβαλόντες εἰς τὴν Βαβυλωνίαν κάμινον, ὑπ᾿ αὐτῆς πάλιν ἑάλωσαν· ὃ δὴ καὶ ἐπὶ τοῦ Δανιὴλ γέγονεν. ἀλλ᾿ ἐπὶ μὲν τοῦ Δανιὴλ εἰκότως γέγονεν (αὐτοὶ γὰρ αὐτὸν ἐνέβαλον) ἐπὶ δὲ τῶν τριῶν παίδων, τί δήποτε, τοῦ βασιλέως ἁμαρτόντος, οἱ περὶ τῆς καμίνου ἑστῶτες οὗτοι κολάζονται; ὅτι καὶ οἱ καταφλεχθέντες οὗτοι ἦσαν τῷ ἐπιτάγματι τοῦ τυράννου ὑπηρετήσαντες, καὶ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες. ἐν παγίδι, ᾗ ἔκρυψαν. Ὅρα πῶς ἔδειξεν αὐτῶν τὴν κατηγορίαν. ἐπειδὴ γὰρ αἰσχύνης ἦν τὸ γινόμενον, διὰ τοῦτο κρύπτουσι, καὶ λανθάνειν πειρῶνται. 17 Γινώσκεται Κύριος κρίματα ποιῶν. Ἄλλος, ἐγνώσθη κρίμα ποιήσας. τουτέστι, κολάζων, ἐκδικῶν, ἐπεξιών. Εἶδες ἕτερον εἶδος εὐεργεσίας ἀπὸ κολάσεως; οὐ γὰρ δὴ μόνον τοὺς κολαζομένους σπουδαιοτέρους ποιεῖ, ἀλλὰ καὶ τῆς αὐτοῦ θεογνωσίας ἐκλάμπειν παρασκευάζει τὸν λόγον. καὶ ἴδοι τις ἂν μᾶλλον αὐτὸν ἐντεῦθεν ἐπιστρέφοντα τοὺς ἀνθρώπους. ὅτε γοῦν κατὰ τῶν κρημνῶν εἴασεν ἐναχθῆναι τὴν ἀγέλην, τότε μάλιστα ἐξεπλάγησαν· καὶ ἐν τῇ παλαιᾷ οἱ Ἰουδαῖοι, Ὅτε ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν. * καὶ τί δήποτε τοῦτο οὐ συνεχῶς ποιεῖ μᾶλλον; ὅτι οὐ βούλεται βιαιότερον, ἀλλὰ καὶ προαιρετικώτερον τὰ τῆς ἀρετῆς κατορθοῦσθαι, καὶ μᾶλλον εὐεργετουμένους ἢ κολαζομένους. καὶ πόσῳ, φησὶ, βέλτιον, ἀνάγκῃ εἶναι ἀγαθὸν, ἢ προαιρέσει κακόν; οὐκ ἔστιν ἀγαθὸν εἶναι ἀνάγκῃ. ὁ μὲν γὰρ τῷ δεσμῷ γινόμενος καλὸς, οὐκ ἔσται ἀεί ποτε καλὸς, ἀλλὰ τῆς ἀνάγκης ἀπαλλαγεὶς, ἐπανήξει πρὸς τὴν κακίαν. ὁ δὲ παιδαγωγούμενος ὥστε προαιρέσει γενέσθαι καλὸς, γενόμενος, πάγιος μένει. Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. Οὐ τῶν χειρῶν τοῦ Θεοῦ εἶπεν, ἀλλὰ τῶν χειρῶν τοῦ ἁμαρτωλοῦ. Εἶδες πῶς ποικίλλει τὸν λόγον, καὶ τὴν ἄνωθεν φέρων τιμωρίαν, καὶ τὴν ἀπὸ τῆς κακίας ἐπάγων δίκην; πῶς τὴν ἄνωθεν τιμωρίαν; γινώσκεται Κύριος, φησι, κρίματα ποιῶν. πῶς τὴν ἀπὸ τῆς κακίας δίκην; ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν. καὶ πάλιν τὴν ἀπὸ τῆς πονηρίας· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. οὔτε γὰρ μόνην τὴν παρὰ τοῦ Θεοῦ λέγει τιμωρίαν, ἐπειδὴ μέλλει πολλάκις καὶ βραδύνει· οὔτε μόνην τὴν ἀπὸ τῆς κακίας, ἐπειδὴ πολλοὶ ταύτῃ καὶ ἐμφιλοχωροῦσιν· ἀλλ᾿ ἑκατέρωθεν ἀσφαλίζεται τὸν λόγον. διό φησιν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη. Ἄλλος, Ταρσῶν αὐτοῦ. μὴ τοίνυν νόμιζε ἑτέρῳ κατασκευάζειν τὰ μηχανήματα, ὅταν ἐπιβουλεύης.

Δαν. γ. κγ.

Δαν. ϛ. κδ.

C

Μαρκ. ε. ιε.

ψαλ. οζ. λδ.

* καθώς φησιν ὁ προφήτης.

α'

ἐπιβουλεύῃς. σεαυτῷ γὰρ πλέκεις τὰ δίκτυα.

ὁ. ς. θ'
γρ. διαψάλματος.
ά

Ὠδὴ διάψαλμα. Ἄλλος, Φθογγὴ ἀεί. Ἄλλος, Μελῴδημα ἀεί. Ὁ δὲ Ἑβραῖος, Ἐγαιὼν σέλ. 18 Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. Ἄλλος, Ἀναστρέψουσι. πάλιν τοῖς αὐτοῖς ἐπιμένει, δεικνὺς ὅτι ἡ κακία τὴν κόλασιν ἔχει συγκεκληρωμένην, καὶ ἡ ἀσέβεια θάνατον τίκτει, καὶ ἡ ἁμαρτία κινδύνους. 19 Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.

Ἄλλος ἑρμηνευτής φησιν· Οὐ γὰρ εἰς τέλος ἡ προσδοκία τῶν πρᾳέων ἐπιλησθήσεται. καλῶς εἶπεν, Εἰς τέλος· δεικνὺς ὅτι οὐκ ἀεὶ ἄνεσίν τις ἐπιζητεῖ. ποῦ γὰρ δειχθήσεται τὰ τῆς ὑπομονῆς, εἰ ἀεὶ ἄνεσις μέλλοι εἶναι; ὃ δὲ λέγει, τοῦτό ἐστι· δίκην δώσουσιν οἱ πονηροί, καὶ τὰ ἔσχατα πείσονται. οὐ γὰρ ἀνέξεται ὁ Θεὸς διὰ παντὸς τοὺς ἀδικουμένους ἐν ἐπιβουλαῖς εἶναι. ἐντεῦθεν καὶ τούτους παραμυθεῖται, κἀκείνους φοβεῖ, καὶ τοῦ Θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν· ὅτι καὶ ἡ μέλλησις τοὺς μὲν δοκιμωτέρους ἐργάζεται, τοὺς δὲ εἰς μετάνοιαν ἕλκει. ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας· πένητας οὐχ ἁπλῶς, ἀλλὰ τοὺς συντετριμμένους τῇ καρδίᾳ. οὗτοι γὰρ μάλιστά εἰσι καὶ πρὸς ὑπομονὴν ἐπιτήδειοι. μᾶλλον δὲ ἄλληλα συγκατασκευάζει ταῦτα, ἡ ταπεινοφροσύνη τὴν ὑπομονήν, ἡ ὑπομονὴ τὴν ταπεινοφροσύνην. Εἰ δέ τις εἴποι, καὶ πῶς πενία, ἡ ταπεινοφροσύνη; ἐκεῖνο ἐροῦμεν· ὅτι αὕτη ἐπιτηδειοτέρα πρὸς ἀρετήν. ὁ μὲν γὰρ πλουτῶν ἀλύει, καὶ θορυβεῖται· ὁ δὲ πένης πάντα ῥᾳδίως φέρει, καθάπερ ἐν παλαίστρᾳ τῇ πενίᾳ πολλάκις γυμναζόμενος. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ὅτι δύσκολον μετὰ πλούτου εἰς τὴν βασιλείαν ἐλθεῖν. τί ἐστιν, οὐκ ἀπολεῖται εἰς τέλος; οὐδέποτε, φησιν, ἀλλὰ πάντως ἀπολήψεται τὸν οἰκεῖον καρπόν. ὅπερ ἐπὶ τῶν βιωτικῶν οὐκ ἔνι, ἀλλ' ἐκπίπτουσι τοῦ τέλους πολλάκις, τῶν πόνων ἀπολωλότων. καὶ γὰρ καὶ γεωργὸς ἀναμένει, καὶ ἔμπορος· πολλάκις δὲ ὑπὸ τῆς τῶν ἀέρων ἀνωμαλίας ἀμφότεροι τοῦ καρποῦ τῶν πόνων ἐκπίπτουσιν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔνι τοῦτο· ἀλλὰ ἀνάγκη πάντως ἀπολαῦσαι τοῦ τέλους. οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίας λόγον, τὸ θαρρεῖν ἀεὶ περὶ τοῦ τέλους.

Ματθ. ιθ. κγ

ά

20 Ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος. Ἄλλος, Μὴ θρασυνέσθω. Κριθήτωσαν ἔθνη ἐνώπιόν σου. Ἄλλος, Καὶ κατὰ πρόσωπόν σου. Εἰπὼν τὴν κακίαν τὴν κατέχουσαν τοὺς πλείους τῶν ἀνθρώπων, καὶ διηγησάμενος τὴν πονηρίαν, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τὰς ἀνδροφονίας, παρακαλεῖ τὸν Θεὸν ὑπὲρ τῆς τῶν ἀδικουμένων βοηθείας. τοιαῦτα γὰρ τῶν ἁγίων τὰ σπλάγχνα, μὴ τὰ ἑαυτῶν μεριμνᾶν μόνον, ἀλλ' ὥσπερ περὶ μιᾶς οἰκίας, τῆς οἰκουμένης, ἢ σώματος ἑνός, τοῦ τῶν ἀνθρώπων πλήθους, οὕτω παρακαλεῖν τὸν Θεόν. ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος. τί δέ ἐστιν, ἀνάστηθι Κύριε; ἐπέξελθε, φησι, βοήθησον, κόλασον τοὺς ἀδικοῦντας. καὶ καλῶς τοῖς ὀνόμασι γυμνοῖς ἐχρήσατο, εἰπών, ἀνάστηθι, καὶ μὴ κραταιούσθω ἄνθρωπος· ὥστε δηλῶσαι, ὅτι ὁ εὐτελής, ὁ ἀπὸ γῆς, ὁ τέφρα καὶ σποδός. κριθήτωσαν ἔθνη ἐνώπιόν σου. τί ἐστι τοῦτο; δότωσαν δίκην, φησί, τῶν ἁμαρτημάτων· οὐ γεγόνασι τῇ μακροθυμίᾳ βελτίους· ἀπαίτησον εὐθύνας τῶν τετολμημένων.

γρ. ἡμαρτημένων.

ά
νουθεσίαν.

21 Κατάστησον, Κύριε, νομοθέτην αὐτοῖς· γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι. Διάψαλμα. Ἄλλος, Ἀεί. τί ἐστι, κατάστησον νομοθέτην αὐτοῖς; ἐπεί, φησι, καθάπερ ἐν ἀνομίᾳ πάντα πράττουσι, μὴ θέλοντες διδόναι δίκην, ἐπέξελθε, καὶ γενέσθω αὐτοῖς ἡ τιμωρία ἀντὶ νομοθεσίας. τοῦτο καὶ ἕτερος δηλῶν, εἶπε, Κατάστησον, Κύριε, φόβημα αὐτοῖς. ὅρα πῶς οὐ κόλασιν αὐτῶν ἐπιζητεῖ, ἀλλὰ νουθεσίαν, καὶ διόρθωσιν, καὶ τὸ μὴ παρανόμως ζῆν. ἔσται γὰρ ἡ τιμωρία αὐτοῖς, φησιν, ἀντὶ νομοθεσίας· οὐκ αὐτοῖς δὲ

μόνον, ἀλλὰ καὶ ἑτέροις. καὶ ἵνα μάθῃς ὅσον τὸ κέρδος, καὶ πῶς καταστέλλει νόσημα, ἄκουε τοῦ ἑξῆς. γνώτωσαν ἔθνη, φησὶν, ὅτι ἄνθρωποί εἰσιν. ὃ δὲ λέγει τοῦτό ἐστι· πολλοὶ καὶ τοῦτο ἀπολωλέκασιν, ἐπελάθοντο τῆς φύσεως, εἰς μανίαν ἐξώκειλαν, ἠγνόησαν ἑαυτούς. καὶ καλῶς προσέθηκε, τὸ ἀεὶ, ἵνα δηλώσῃ, ὅτι οὐκ ἐν ταῖς δυσπραγίαις μόνον, ἀλλὰ καὶ ἐν ταῖς εὐημερίαις. ἀλλὰ γὰρ ἂν κολάσῃς αὐτοὺς νῦν, ἔχοντες τὸν φόβον ἀκμάζοντα, καὶ τὴν μνήμην τῶν συμβεβηκότων δεινῶν, κἂν εἰς εὐημερίαν ἔλθωσιν, εἴσονται τὴν ἑαυτῶν φύσιν. ὁρᾷς πῶς ὑπὲρ αὐτῶν ποιεῖται τὴν δέησιν, καὶ τὴν μανίαν ἀξιοῖ διορθωθῆναι; τὸ γὰρ ἑαυτοὺς ἀγνοεῖν, ἐσχάτης μανίας, καὶ φρενίτιδος χαλεπώτερον. τὸ μὲν γὰρ ἀνάγκης νόσημα, τὸ δὲ διεφθαρμένης προαιρέσεως.

22 Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσι;

Ταῦτά φησιν ὁ προφήτης, ἐκ προσώπου τῶν θλιβομένων παρακαλῶν καὶ δεόμενος, οὐκ ἐγκαλῶν· μὴ γένοιτο. ἐπεὶ καὶ πολλοὶ τῶν θλιβομένων ὑπὸ τῆς ὀδύνης πρὸ τοῦ προσήκοντος καιροῦ ἀξιοῦσι γενέσθαι τὴν κρίσιν· καθάπερ οἱ τεμνόμενοι, μηδέπω τελείας γενομένης τῆς τομῆς, παρακαλοῦσι τὸν ἰατρὸν ἀποστῆσαι τὴν χεῖρα· ἐπιλαβῆ μὲν χάριν αἰτιῶντες, τῷ δὲ μὴ φέρειν τὰς ὀδύνας, τοῦτο πάσχοντες. καὶ πολλάκις πρὸς τοὺς ἰατροὺς βοῶσιν, ἐβασάνισάς με, ἀπώλεσάς με, ἀνεῖλές με· ἀλλ' οὐκ ἔστι ταῦτα τῆς διανοίας ῥήματα, ἀλλὰ τῆς ὀδύνης. οὕτω δὴ πολλοὶ καὶ τῶν μικροψύχων ἐν ταῖς θλίψεσι λέγουσι, τοὺς πόνους οὐ φέροντες. καὶ ὁ Σοφονίας δὲ τοιοῦτόν τινα μεταχειρίζει λόγον. ἀλλὰ ταῦτα ἐν τῇ παλαιᾷ, ὅτε σύμμετρα ἦν τὰ σκάμματα· τῆς δὲ ἐν τῇ καινῇ πόῤῥω ταῦτα φιλοσοφίας. 23 Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός. συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.

α΄ Ἄλλος, Συλληφθήτωσαν. 24 Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. 25 Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός. Ἱκέτου σχῆμα περιθεὶς ἑαυτῷ, καὶ ὑπὲρ τῶν ἀδικουμένων παρακαλῶν, λέγει καὶ τὰ πάθη τὰ συμβάντα, ἅπερ ἀσθενείας ἐστὶν ἀνθρωπίνης· ὅτι περὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας ὀδυνᾶται ὁ ἀδικούμενος, οὐ φέρων τὴν εὐημερίαν τοῦ πονηροῦ. οὐ μικρὰ δὲ καὶ τοῦτο τιμωρία. εἶτα ἀξιοῖ δοῦναι αὐτοὺς δίκην, καὶ αὐτοῖς περιτραπῆναι τὰς ἐπιβουλὰς αὐτῶν· καὶ λέγει κακίας εἶδος ἀφόρητον. ποῖον δὴ τοῦτο; ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ. ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐφ' οἷς, φησὶν, αἰσχύνεσθαι, ὑπὲρ τούτων θαυμάζεται, ἐπαινεῖται. πῶς δ' ἂν γένοιτο τούτου ἴασις λοιπὸν, ὅταν ἐπαινῆται ἡ κακία; καὶ γὰρ καὶ νῦν τοῦτο γίνεται. ὁ δεῖνα θαυμάζεται ὡς δυνάστης· ὁ δεῖνα ὡς ἐχθροὺς ἀμυνόμενος· ὁ δεῖνα ὡς φρόνιμος, ἐπειδὴ τὰ πάντων συνήγαγε· καὶ ὅτε ἀπολέσει αὐτὸν, λέγουσιν, εὗρεν ἑαυτὸν· καὶ ἕτεροι ἄλλα φασί. καὶ οὐδεὶς περὶ πνευματικῶν λόγος αὐτοῖς. οὐδαμοῦ ἀπράγμων ἐπαινεῖται ταχέως, οὐδὲ πενίας ἐραστής· ἀλλ' ὁ χρηματιστὴς, ὁ κάπηλος, ὁ κόλαξ, ὁ δουλοπρεπεῖς ὑπομένων διακονίας ὑπὲρ οὐδενὸς χρησίμου. Ταῦτα θρηνεῖ ὁ προφήτης, ὅτι οὕτως ἐκράτησεν ἡ κακία, ὡς καὶ ἐγκαλλωπίζεσθαι, καὶ παῤῥησιάζεσθαι, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ αἰσχύνεται. οὐδὲ μόνον αὐτὸς ἑαυτὸν ἐπαινεῖ ἐπὶ τοῖς γινομένοις, ἀλλὰ καὶ ἑτέρους ἔχει τοὺς ἐπαινέτας. τί ταύτης
α΄ γένοιτ' ἂν χεῖρον τῆς μανίας; παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός. Ἄλλος δέ φησιν, Ὅτι αἰνέσας παράνομος κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας,
C παρώξυνε τὸν Κύριον· ὅταν ὑψωθῇ ὁ θυμὸς αὐτοῦ, οὐκ ἐκζητεῖ. Ἄλλος, Ὅτι ὕμνησεν ἐπὶ πόθῳ ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας, διέσυρε Κύριον. ἀσεβὴς κατὰ μετεωρισμὸν θυμοῦ αὐτοῦ οὐ μὴ ἐκζητήσῃ. Οἱ δὲ ἑβδομήκοντα, Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός.

σ. ἀπώλεσεν αὐτόν,

μαρτωλός. Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.

Εἶδες ποῦ προῆλθε τὰ τῆς κακίας; τί λέγω, φησὶν, ὅτι τοὺς πτωχοὺς λυπεῖ; αὐτὸν τὸν Θεὸν παροξύνει· καὶ κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ, οὐκ ἐκζητήσει, λέγει, τὸν Θεόν. Ἄλλος δὲ περὶ τοῦ ἀσεβοῦς τοῦτο δείκνυσιν ὄν, λέγων, Τοῦ μετεωρισμοῦ αὐτοῦ, τουτέστι, τῆς ἀπονοίας, τῆς ἀλαζονείας. Εἶδες μανίας ἐπίτασιν, καὶ διαφθοράν; πρὸς τοὺς ὁμοφύλους ἐστὶν ἐχθρὸς καὶ πολέμιος, τῆς ἀρετῆς ἠλλοτριωμένος, τῆς κακίας ἐραστὴς καὶ ἐπαινέτης. καὶ καλῶς ἕτερος εἶπεν· οὐκ ἔστι Θεὸς πάσαις ἐννοίαις αὐτοῦ· δηλῶν, ὅτι οὐκ ἐκζητεῖ τὸν Θεὸν, ὅτι σκότους ἐμπέπλησται, ὅτι οὐκ ἔχει τὸν φόβον ἐκείνου πρὸ ὀφθαλμῶν· ἀλλ᾽ ὥσπερ ἡ λήμη σκοτοῖ τὴν κόρην, οὕτως ἡ πονηρία τὴν διάνοιαν, καὶ κατὰ κρημνῶν φέρει. 26 Οὐκ ἔστι Θεὸς ἐνώπιον αὐτοῦ. Ἄλλος, Δι᾽ ὅλων τῶν ἐνθυμημάτων αὐτοῦ. Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.

27 Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ.

Ἄλλος, Ἦρται ἡ κρίσις σου. Εἶδες τῆς κακίας τὸν καρπόν; σβέννυται αὐτοῦ τὸ φῶς· πηροῦνται οἱ διαλογισμοί· αἰχμάλωτος δίδοται τῇ πονηρίᾳ. ὥσπερ γὰρ ὁ πεπηρωμένος εἰς βάραθρα πίπτει συνεχῶς· οὕτω δὴ καὶ αὐτὸς, ἐπειδὴ τοῦ Θεοῦ τὸν φόβον οὐκ ἔχει πρὸ τῶν ὀφθαλμῶν. διὰ παντὸς ἐν κακίᾳ διατρίβει· οὐχὶ νῦν μὲν ἐν ἀρετῇ, νῦν δὲ ἐν κακίᾳ, ἀλλ᾽ ἀεὶ ἐν κακίᾳ, καὶ οὐδὲ τῆς γεέννης μέμνηται, οὐδὲ τῆς μελλούσης κρίσεως, οὐδὲ τῶν εὐθυνῶν· ἀλλ᾽ ὥσπερ χαλινὸν ἅπαντα ταῦτα τὰ βοηθήματα ἐκβαλὼν, καθάπερ πλοῖον ἀνερμάτιστον πονηροῖς ἐκδίδοται πνεύμασι καὶ κύμασιν ἀγρίοις, οὐδενὸς ὄντος τοῦ παιδαγωγοῦντος αὐτοῦ τὴν διάνοιαν. Εἶδες τὸν πονηρὸν ἐν αὐτῇ τῇ κακίᾳ τὴν δίκην ὑπέχοντα; τί γὰρ ἵππου ἀχαλινώτου, τί δὲ πλοίου ἀνερματίστου, τί δὲ ἀνθρώπου πεπηρωμένου χαλεπώτερον; ἀλλὰ τούτων ἁπάντων ἀθλιώτερος ὁ ἐν κακίᾳ ζῶν, τὸ ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ φῶς σβέσας, καὶ αἰχμάλωτος ἐκδοθείς.

Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. 28 Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. Ἄλλος, Πάντας τοὺς ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ, λέγων ἐν καρδίᾳ αὐτοῦ· οὐ περιτραπήσομαι εἰς γενεὰν καὶ γενεάν. οὐ γὰρ ἔσομαι ἐν κακώσει. Εἶδες τὴν ἀπόνοιαν; εἶδες τὴν ἄφατον ἀπώλειαν; εἶδες τὸν κατὰ μικρὸν αὐξανόμενον ὄλεθρον; εἶδες τὰ παρὰ τοῖς ἀνοήτοις μακάρια, τῆς πολλῆς ἀθλιότητος γέμοντα, καὶ πῶς καταδύεται; ἐπαινεῖται ἐν τοῖς ἁμαρτήμασιν, εὐλογεῖται ἐν ταῖς ἀδικίαις. προῦπτον βάραθρον τοῦτο, καὶ ἱκανὸν ἐκτραχηλίσαι τὸν μὴ προσέχοντα. διὸ δὴ μᾶλλον τοὺς αἰτιωμένους καὶ διορθουμένους ἀποδέχεσθαι χρὴ, ἢ τοὺς ἐπαινοῦντας καὶ ἐπ᾽ ὀλέθρῳ κολακεύοντας. τοὺς γὰρ βλάκας οὗτοι διαφθείρουσι, καὶ πρὸς μείζονα ὠθοῦσι κακίαν· καθάπερ καὶ τοῦτον τὸν ἁμαρτωλὸν ἐμφυσήσαντες, ἐπαιδοτρίβησαν εἰς ἄνοιαν. διὸ καὶ Παῦλος Κορινθίοις τοῦτο αὐτὸ λέγει ἐπὶ τῷ πορνεύσαντι· Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. α. Κορ. ε. β. πολλὰ τὸν ἁμαρτάνοντα πενθεῖν, οὐκ ἐπαινεῖν δεῖ. Εἶδες διεστραμμένην κακίαν, ὅτι μὴ μόνον οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ εὐφημεῖται; ἐντεῦθεν ἀπὸ τῆς οἰκείας ἀνοίας καὶ τῶν ἐπαίνων ἐπέτεινε τὴν πονηρίαν, ἐπελάθετο τοῦ φόβου τοῦ Θεοῦ, τῶν κριμάτων αὐτοῦ· ἐντεῦθεν ἐπελάθετο καὶ τῆς οἰκείας φύσεως. ὁ γὰρ τῶν κριμάτων ἐπιλανθανόμενος τοῦ Θεοῦ, καὶ ἑαυτὸν λοιπὸν ἀγνοεῖ τῷ χρόνῳ. ὅρα γοῦν οἷα λογίζεται. οὐ μὴ σαλευθῶ εἰς γενεὰν καὶ γενεὰν, ἀλλ᾽ ἔσομαι ἄνευ κακοῦ. τί ταύτης ἀνοητότερον τῆς διανοίας, ἄνθρωπον ὄντα, καὶ ἐπίκηρον, καὶ τοῖς προσκαίροις συμπεπλεγμένον πράγμασι, καὶ μυρίαις μεταβολαῖς ὑποκείμενον, τοιαῦτα φαντάζεσθαι; πόθεν δὲ τοῦτο γίνεται; ἐκ τῆς ἀνοίας. ὅταν γὰρ ἀνόητος ἀνὴρ πολλῆς ἀπολαύῃ εὐημερίας, καὶ τῶν ἐχθρῶν κρατῇ, καὶ ἐπαινῆται, καὶ θαυμάζηται, πάντων ἀθλιώτερος γίνεται. τῷ γὰρ μὴ προσδοκᾷν μεταβολὴν, οὔτε τὰς εὐημερίας σωφρόνως φέρει· εἴς τε δυσημερίαν ἐμπεσὼν, ἀγύμναστος καὶ ἀμελέτητος ὢν, ταράττεται καὶ θορυβεῖται. Ἀλλ' οὐχ ὁ Ἰὼβ οὕτως· ἀλλὰ καὶ ἐν τῇ εὐημερίᾳ, καθ' ἑκάστην ἡμέραν δυσημερίαν ἤλπιζε. διὸ καὶ ἔλεγε· Φόβος γὰρ, ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή. διὸ καὶ ἕτερος ἔλεγε· Μνήσθητι καιροῦ λιμοῦ, ἐν καιρῷ πλησμονῆς· πτωχείας καὶ ἐνδείας, ἐν ἡμέρᾳ πλούτου. Ἀλλ' οὗτος καθάπαξ διαφθαρεὶς, οὐ τὰ ἀνθρώπινα ἐπισκέπτεται, ἀλλ' ἀκίνητα αὐτῷ εἶναι νομίζει διὰ τῆς εὐπραγίας· ὅπερ ἐσχάτης ἀνοίας καὶ διαφθορᾶς ὑπόθεσις, καὶ ἐξωλείας ἐστὶν ἀφορμή. μὴ δὴ μακάριζε τοὺς πλουτοῦντας, τοὺς τῶν ἐχθρῶν περιγινομένους, τοὺς ἐπαινουμένους ἐπὶ τούτοις. μεγάλα γὰρ ταῦτα βάραθρα καὶ κρημνοὶ τοῖς οὐ προσέχουσι, πρὸς αὐτὸν καταῤῥίπτοντα τῆς ἀσεβείας τὸν πυθμένα.

Ἰωβ. γ. κε.

Σειρ. ιη. κε.

29 Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος. Ἄλλος, Ἀνωφελές. 30 Ἐγκάθηται" ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον. Ἄλλος, Ἐνεδρεύων περὶ τὰς αὐλάς.

γ. ἐνέδρ

31 Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν· ἐνεδρεύει ἀποκρύφως ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. Ἄλλος, Ὡς ἐν τῷ περιφράγματι αὐτοῦ.

32 Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχὸν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.

Ἄλλος, Ἐν ἑλκυσμῷ αὐτοῦ. 33 Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν.

Ἄλλος, Ἐν τῇ σαγήνῃ. Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων. Ἄλλος, Ὁ δὲ θλασθεὶς καμφθήσεται ἐπιπεσόντος" αὐτῷ μετὰ τῶν ἰσχυρῶν αὐτοῦ τοῖς ἀσθενέσιν. Εἶδες καὶ θηρίον αὐτὸν γινόμενον; καθάπερ γὰρ θηρίον ὑπογράφων ὁ προφήτης, οὕτω περὶ αὐτοῦ διαλέγεται, τοὺς δόλους, τὰς ἐνέδρας, τὰς ἐπιβουλὰς ἐκπομπεύων. τί τούτου γένοιτ' ἂν ἀθλιώτερον, τί δὲ πενέστερον, ὅταν τῶν τοῦ πένητος δέηται χρημάτων; τοῦτον οὖν (εἰπέ μοι) πλούσιον φήσομεν; οὐκοῦν καὶ τὸν κλέπτην, καὶ τὸν τοιχωρύχον. ἄπαγε, φησί. τί γὰρ εἰ καὶ μὴ διορύττει δικαστήρια; τί γὰρ εἰ καὶ μὴ νυκτὸς ἔπεισιν, ἀλλὰ μετὰ δόλου, κατασβεννὺς τὸ φῶς τοῦ δικάζοντος; τί γὰρ εἰ μὴ καθευδόντων, ἀλλ' ἐγρηγορότων ἁπάντων; τοῦτο γὰρ ἰταμώτερον. ἐπεὶ καὶ τῶν λῃστῶν τοὺς μεθ' ἡμέραν κλέπτοντας μᾶλλον κολάζουσιν οἱ νόμοι. Εἶδες πενίαν· εἶδες ὠμότητα· πενίαν, ὅτι τῶν τοῦ πένητος ἐπιθυμεῖ· ὠμότητα, ὅτι οὐδὲ τῇ συμφορᾷ ἐπικλᾶται· ἀλλ' ἣν ἐλεεῖν δεῖ καὶ διορθοῦσθαι πενίαν, ταύτην ἐπιτρίβει. ἀλλ' ὅμως οὐκ ἀτιμώρητα ταῦτα ἐργάζεται. ἀλλ' ὅταν κρατήσῃ, ὅταν δόξῃ περιγενέσθαι, ὅταν ἀχείρωτος εἶναι, τότε ἀπολεῖται· ἵνα καὶ τοῦ Θεοῦ τὸ εὐμήχανον φαίνηται, καὶ τῶν πενήτων ἡ ὑπομονὴ, καὶ τούτου τὸ ἀδιόρθωτον, καὶ τῆς τοῦ Θεοῦ μακροθυμίας ἡ ἀνεξικακία. διὰ τοῦτο οὐ παραπόδας ἡ δίκη ἕπεται, τοῦ Θεοῦ διὰ τῆς μακροθυμίας καλοῦντος αὐτὸν εἰς μετάνοιαν· ἀλλ' ὅταν μηδὲν ἀπὸ τῆς μακροθυμίας κερδάνῃ, τότε αὐτὸν ἀπὸ τῆς τιμωρίας νουθετεῖ. οὗτοι μὲν γὰρ ἀδικηθέντες, οὐδὲν ἐβλάβησαν· ἀλλὰ καὶ βελτίους ἐγένοντο καὶ λαμπρότεροι ἀπὸ τῆς θλίψεως. ὁ δὲ Θεὸς τὴν μακροθυμίαν τὴν ἑαυτοῦ ἐπεδείξατο, ἀνασχόμενος καὶ ἀνεξικακήσας, μετὰ δὲ τῆς μακροθυμίας καὶ τὴν ἰσχὺν, καὶ τὸ εὔπορον· ὅτι ὅταν ἑαυτοῦ ἦ δυνατώτερος, τότε αὐτοῦ περιγίνεται. οὗτος δὲ ἀδιόρθωτος μείνας, τὴν ἐσχάτην δίδωσι δίκην. οὐ μικρὸς δὲ οὗτος σωφρονισμὸς τοῖς εὐημεροῦσι. μὴ τοίνυν, ὅταν κρατήσῃς τῶν ἐχθρῶν, καὶ πάντα σοι ἐξ οὐρίας φέρηται, θάῤῥει ζῶν ἐν πονηρίᾳ· ἀλλὰ τότε μᾶλλον δέδιθι. καὶ γὰρ αὔξεται τὰ τῆς πονηρίας, ἀναιρεῖταί σοι τὰ τῆς ἀπολογίας, ἐκκόπτεταί σοι

γ. αὐτ

τὰ τῆς συγγνώμης μένοντι πονηρῷ.

34 Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός· ἀπέστρεψε δὲ τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. Ἴδε πρὸς ὅσον βάραθρον ἀπωλείας κάτεισιν, οἷα δόγματα συνάγει· ἃ διὰ τὸ ἀναίσχυντον ἐξενεγκεῖν μὲν οὐ τολμᾷ, παρ' ἑαυτῷ δὲ στρέφει, πρὸς τὴν ἀλήθειαν μαχόμενος, καὶ τὰ ἡλίου φανερώτερα συσκιάζων διὰ τὴν πήρωσιν τῆς ἑαυτοῦ διανοίας. 35 Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου. μὴ ἐπιλάθῃ τῶν πενήτων.

Ἄλλος, Ἔπαρον τὴν χεῖρά σου. 36 Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει. 37 Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. Ἄλλος, Εἶδες ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέψεις, τοῦ δοῦναι ἐν χειρί σου. Ἄλλος, Ἵνα δοθῶσιν εἰς χεῖράς σου. Ὁ μὲν παράνομος ταῦτά φησιν, ὁ ἁρπάζων, ὁ πλεονεκτῶν, ὡς μὴ διδοὺς δίκην. ὁ δὲ προφήτης ἀναιρῶν αὐτοῦ τὰ δόγματα, τὸν περὶ τῆς μακροθυμίας ἀναπληροῖ λόγον. ἐκεῖνος μὲν γάρ φησιν· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. αὐτὸς δὲ ἀπεναντίας· καὶ βλέπεις, καὶ κατανοεῖς, καὶ μακροθυμεῖς, ἕως ἂν αὐτοὶ ἐμπέσωσιν εἰς χεῖράς σου. τί ἐστιν, ἕως ἂν αὐτοὶ δοθῶσιν εἰς χεῖράς σου; ἀνθρωπινώτερον εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀναμένεις, ἀνεξικακεῖς, ὥστε τῇ ὑπερβολῇ τῆς πονηρίας αὐτοὺς παραδοθῆναι. δυνατὸς μὲν εἶ καὶ ἐξ ἀρχῆς ἑλεῖν, καὶ χειρώσασθαι· ἀλλ' ἄφατόν σου τῆς ἀνεξικακίας τὸ πέλαγος, ὁρῶντος καὶ οὐκ ἐπεξιόντος, ἀλλ' ἀναμένοντος αὐτοὺς εἰς μετάνοιαν. εἰ δὲ μὴ βούλονται, τότε κολάζεις, ὅταν μηδὲν ἐκ τῆς μακροθυμίας κερδαίνωσι. ὅτι γὰρ πολὺς αὐτῷ τῶν ἀδικουμένων ὁ λόγος, ἄκουσον πῶς αὐτὸ διὰ τῶν ἑξῆς κατασκευάζει.

38 Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός.

a Ἄλλος, Σὺ ἐγένου. Ἄλλος, Σὺ ἔσῃ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τοῦτο ἔργον σόν, τοῦτο ἐξαίρετον σόν. οὐκ ἂν δὲ τὸ ἑαυτοῦ εἴασε καὶ παρέδωκεν. ὡς γὰρ τεχνίτου τὸ οἰκοδομεῖν, καὶ κυβερνήτου τὸ εὐθύνειν τὸ σκάφος, καὶ ἡλίου τὸ φωτίζειν· οὕτω δὴ καὶ σὸν τὸ ὀρφανῶν προΐστασθαι, τὸ πτωχοῖς χεῖρα ὀρέγειν. οὐδεὶς οὕτω προστάτης τούτων, ἀλλὰ σὺ μόνος. τὸ γὰρ, ἐγκαταλέλειπται, τοῦτο παρίστησιν. οὐδείς, φησιν, ἄλλος, ἀλλὰ σὺ μόνος ὀρφανῶν καὶ πτωχῶν προστάτης. 39 Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ [δι' αὐτήν.]

C Ἄλλος, Ἐκζητηθήτω ἡ ἀσέβεια αὐτοῦ, ἵνα μὴ εὑρεθῇ αὐτός. Οὐχ ἁπλῶς τὸν ἁμαρτωλὸν ἀξιοῖ συντριβῆναι, ἀλλὰ τὴν ἰσχὺν, τὴν δυναστείαν, τὸ ὑπέκκαυμα αὐτοῦ τῆς πονηρίας. εἶτα ἀξιοῖ εὐθύνας αὐτὸν ὑπέχειν, καὶ λόγον δοῦναι τῶν πεπραγμένων. καὶ δεικνὺς τὸ μέγεθος τῆς ἀδικίας, φησίν· ἂν τοῦτο γένηται, οὐδὲ στῆναι δυνήσεται, οὐδὲ φανεῖται, ἀλλ' ἀπολεῖται, οἰχήσεται, πρόρριζος ἀφανισθήσεται, τῶν πεπραγμένων αὐτῷ ἐξεταζομένων. μηδεὶς οὖν ὀρφανίαν θρηνείτω, μηδεὶς πτωχείαν. ὅσῳ γὰρ ἂν ἐπιτείνηται ταῦτα, τοσούτῳ τὰ τῆς βοηθείας αὐξηθήσεται τοῦ Θεοῦ. μηδεὶς ἐπὶ δυναστείᾳ μεγαλοφρονείτω, μηδὲ φυσάσθω. ἐπισφαλὲς γὰρ τοῦτο τὸ χωρίον καὶ κατάκρημνον, καὶ τοὺς μὴ προσέχοντας περιτρέπει μετ' εὐκολίας πολλῆς. 40 Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐνταῦθα πρὸς τοὺς θορυβουμένους καὶ ταραττομένους, διὰ τὸ μὴ δοῦναι δίκην εὐθέως τοὺς ἁμαρτάνοντας, ἀποκρίνεται· Τί, φησι, φοβῇ; τί δέδοικας; μὴ γὰρ πρόσκαιρος ὁ δικαστής; μὴ γὰρ τέλος ἔχει τὰ τῆς βασιλείας αὐτοῦ; κἂν μὴ νῦν δῷ, δώσει πάντως. μένει γὰρ ὁ ἀπαιτῶν, καὶ βασιλεύει διηνεκῶς.

Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. 41 Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε· τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

ά. ς' Ἄλλος, Τὴν πρόθεσιν τῆς καρδίας αὐτῶν ἠκροάσατο τὸ οὖς σου. Ἄλλος, Ἑτοιμάσεις καρδίας αὐτῶν προσέχειν οὖς σου. 42 Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. ά Ἄλλος, Κρῖναι ὀρφανῷ καὶ τεθλασμένῳ. Ὁρᾷς τὸν προφήτην τὸ πλεῖον λόγον ὑπὲρ τῆς τῶν πονηρῶν ἐπιμελείας ποιούμενον; τούτων γὰρ μάλιστα τὸ κακῶς πάσχειν. τῷ μὲν γὰρ ἀδικουμένῳ, χρημάτων ἡ ζημία· τῷ δὲ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. τί γὰρ εἰ καὶ μὴ αἰσθάνονται τῆς ἀρρωστίας ἔνθα εἰσίν; ἐπίτασις τοῦτο ἀναισθησίας· καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς χρὴ ἐλεεῖν· τοῦτο ἀπλοῖς διανοίας: ἐπεὶ καὶ τὰ παιδία τῶν μὲν φοβερῶν οὐδένα ποιοῦνται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφιᾶσι τὰς χεῖρας· προσωπεῖα δὲ διάκενα δεδίττονται καὶ τρέμουσιν ὁρῶντα. τούτοις ἐοίκασιν οἱ πλεονέκται, πενίαν μὲν δεδιότες, ὅπερ οὐκ ἔστι φοβερὸν, ἀλλὰ καὶ ἀσφαλείας ὑπόθεσις· πλοῦτον δὲ ἄδικον καὶ πλεονεξίαν περὶ πολλοῦ ποιούμενοι, ὃ πυρός ἐστι παντὸς φοβερώτερον. πανταχοῦ γὰρ ἡ πλεονεξία κακόν. ταύτην τοίνυν διὰ παντὸς ἐκκόπτειν παρακαλεῖ ὁ προφήτης, ἀπειλῶν, φοβῶν, τὸν Θεὸν παρακαλῶν ἐπὶ τὴν κόλασιν ἀναστῆναι τῆς τοιαύτης ἀναλγησίας. διὸ καὶ ἐπάγει λέγων· ἀπόλεσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ, πανωλεθρίαν αὐτοῖς ἀπειλῶν, καὶ ἀξιῶν γενέσθαι βοηθὸν καὶ ἔκδικον τῶν ἀδικουμένων, ὥστε καὶ τούτους ἀναπνεῦσαι, κἀκείνους σωφρονισθῆναι. μηδεὶς τοίνυν διωκέτω χρημάτων περιουσίαν. πολλὰ ἐντεῦθεν τοῖς μὴ προσέχουσι τίκτεται κακά· ἀπόνοια, ῥαθυμία, φθόνος, κενοδοξία, καὶ ἕτερα πολλῷ πλείονα τούτων. ἀλλ᾽ ἵνα ἀπαλλαγῆτε, τὴν ῥίζαν ἐκκόψατε. μὴ μενούσης γὰρ αὐτῆς, οὐ βλαστάνει τὰ πονηρὰ βλαστήματα. διὰ τοῦτο καὶ ταῦτα εἴρηται· οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ διορθώμεθα, καὶ πολλὴν τὴν ἀρετὴν ἐν Χριστῷ Ἰησοῦ ἐπιδειξώμεθα· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ό. θ'. ς'

Ψαλμ. ι. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΔΑΒΙΔ. ΑΛΛΟΣ, ΕΠΙΝΙΚΙΟΣ τῷ Δαβίδ. Ἄλλος, Τῷ νικοποιῷ.

ς

Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; ά Ἄλλος, Ἀνάστατοι εἰς τὰ ὄρη ὡς στρουθίον. έ Ἄλλος, Μετακινοῦ. 2 Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον· ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἄλλος, Ὡς ἐν ζόφῳ. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον.

Ἄλλος, Ὅτι οἱ θεσμοὶ κατελύθησαν. Ἄλλος, Ὅτι αἱ διδασκαλίαι συντριβήσονται. Μεγάλη τῆς ἐπὶ τὸν Κύριον ἐλπίδος ἡ δύναμις, φρούριον ἀχείρωτον, τεῖχος ἄμαχον, συμμαχία ἀκαταγώνιστος, λιμὴν εὔδιος, πύργος ἀκαταμάχητος, δύναμις ἄμαχος καὶ ἐκ τῶν ἀπόρων εὑρίσκουσα πόρον. διὰ ταύτης ἄοπλοι τῶν ὡπλισμένων, καὶ γυναῖκες ἀνδρῶν περιεγένοντο, καὶ παῖδες τῶν τὰ πολεμικὰ μεμελετηκότων ἰσχυρότεροι μετὰ πολλῆς τῆς εὐκολίας ἀνεφάνησαν. καὶ τί θαυμαστὸν εἰ πολεμίων ἐκράτησαν, ὅπουγε καὶ αὐτοῦ τοῦ κόσμου περιεγένοντο; τὰ γὰρ στοιχεῖα τὴν οἰκείαν ἀγνοήσαντα φύσιν, πρὸς τὸ χρήσιμον ἐκείνοις μετεβάλλοντο· καὶ τὰ θηρία οὐκ ἔτι θηρία ἦν, οὐδὲ ἡ κάμινος κάμινος. ἡ γὰρ εἰς τὸν Θεὸν ἐλπὶς πάντα μεταρρυθμίζει. ὀδόντες τεθηγμένοι, καὶ δεσμωτή- Δαν. γ. κη.

ριον γένος, φύσεως ἀγριότης, καὶ λιμὸς ὁπλίζων τὴν φύσιν, διάφραγμα οὐδαμοῦ, καὶ στόματα τῶν σωμάτων πλησίον τοῦ προφήτου· ἀλλ' ἡ εἰς τὸν Θεὸν ἐλπὶς χαλινοῦ παντὸς ἰσχυροτέρα, εἰς τὰ στόματα ἐμπεσοῦσα, εἰς τοὐπίσω ταῦτα ἀνεῖλκε. Δαν. ϛ. κγ. ταῦτα δὴ καὶ οὗτος φιλοσοφῶν, ἔλεγε πρὸς τοὺς κελεύοντας αὐτῷ φεύγειν καὶ δραπετεύειν, καὶ ἀπὸ τῆς τῶν τόπων ἀσφαλείας τὴν σωτηρίαν ἑαυτῷ πορίζεσθαι· ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου; τί λέγεις; τὸν τῆς οἰκουμένης δεσπότην ἔχω σύμμαχον τὸν πανταχοῦ εὐκόλως ἐργαζόμενον πάντα, ἐκεῖνον στρατηγοῦντα ἔχω καὶ παριστάμενον· καὶ πρὸς τὴν ἀοίκητόν με πέμπεις, καὶ ἀπὸ τῆς ἐρημίας μοι ζητεῖς τὴν ἀσφάλειαν; μὴ γὰρ μείζων ἡ τῆς ἐρημίας βοήθεια τοῦ πάντα δυναμένου μετ' εὐκολίας; Ιωβ. μβ. β. τί με τὸν ὡπλισμένον ἰσχυρῶς, καθάπερ γυμνὸν καὶ ἄοπλον δραπετεύειν παρασκευάζεις, καὶ μετανάστην εἶναι κελεύεις; εἶτα τὸν μὲν στρατόπεδον ἔχοντα, καὶ τείχεσι πεφραγμένον καὶ ὅπλοις, οὐκ ἂν ἐκέλευσας καταφυγεῖν ἐπὶ τὴν ἔρημον, ἀλλὰ καταγέλαστος ἂν ἐφάνης ταῦτα συμβουλεύων· τὸν δὲ ἔχοντα τὸν τῆς οἰκουμένης δεσπότην μεθ' ἑαυτοῦ ἐξορίζεις καὶ φυγαδεύεις, καὶ μετανάστην ποιεῖς, διὰ τὸν παρὰ τῶν ἁμαρτωλῶν πόλεμον; μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτο ἕτερον δικαίωμα τοῦ μὴ φεύγειν. ὅταν γὰρ καὶ ὁ Θεὸς βοηθῇ, καὶ ἁμαρτωλοὶ οἱ πολεμοῦντες, πῶς οὐ τὴν ἐσχάτην ὀφλισκάνει αἰσχύνην ὁ συμβουλεύων τῶν ὀρνίθων μιμεῖσθαι τὸ ψοφοδεές; οὐκ ἐννοεῖς δὲ ἀντιπαραταττόμενόν μοι στρατόπεδον, πῶς ἀράχνης εὐτελέστερον; εἰ γὰρ ὁ τοῦ βασιλέως ἐχθρὸς τοῦ ἐπιγείου, ὅπου ἂν παραγένηται, ἐπισφαλῶς ζῇ, καὶ δέδοικε, καὶ τρέμει· πολλῷ μᾶλλον ὁ τοῦ τῶν ὅλων Θεοῦ. ὅπου γὰρ ἂν ἀφίκηται, πάντας ἔχει πολεμίους, καὶ αὐτὴν τὴν κτίσιν. καθάπερ γὰρ τοὺς φίλους αὐτοῦ καὶ τὰ στοιχεῖα καὶ τὰ θηρία δέδοικε, καὶ πᾶσα ἡ κτίσις αἰδεῖται· οὕτω τὸν ἐχθρὸν καὶ πολέμιον, Σοφ. αλθ. κϛ. κα. καὶ τὰ ἀναίσθητα πολεμεῖ καὶ διαπαλαίει. διά τοι τοῦτο τοὺς μὲν, πρὶν ἢ τοῦ ἐδάφους ἅψασθαι, διειργάσαντο τότε οἱ θῆρες· τοὺς δὲ τὸ πῦρ κατηνάλωσεν. ἀλλὰ τόξα καὶ φαρέτραν ἔχουσι, καὶ παρεσκευασμένα αὐτοῖς ἅπαντα. Ἡτοίμασαν γὰρ αὐτά, φησιν, εἰς φαρέτραν. Ἀλλ' οὐδεμία τούτων ἰσχύς, οὐδὲ ἐντεῦθεν δεδιττόμεθα. οὐδὲ γὰρ εἰ τινα ἐκλελυμένον εἶδον τόξον ἔχοντα, ἔδεισα ἄν. τί γὰρ ὄφελος ὅπλων, ἰσχύος οὐκ οὔσης; οὐ τοίνυν οὐδὲ ἐνταῦθα, τῆς παρὰ Θεοῦ εὐνοίας ἀπούσης. ἀλλὰ δόλους ῥάπτουσι, καὶ οὐκ ἐξ εὐθείας προσέρχονται. διὰ τοῦτο μάλιστα αὐτῶν καταγελῶ, ὅτι ἐν σκοτομήνῃ βάλλουσιν. οὐδὲν γὰρ ἀσθενέστερον ἀνδρὸς ἐπιβουλεύοντος. οὐ δεῖται τοῖς ἑτέρων ὅπλοις ἁλῶναι, ἀλλ' ὑπὸ τῆς οἰκείας πίπτει χειρός, καὶ τῷ ἑαυτοῦ περιτρέπεται δόλῳ. τί οὖν γένοιτ' ἂν ἀσθενέστερον, ὅταν ὑπὸ τῶν οἰκείων μηχανημάτων αἱρῆται; μετὰ δὲ τούτων ἔστι καὶ ἕτερον εἰπεῖν· ὅτι οὐχ ἁμαρτωλοὶ μόνον οὐκ ὑπὸ Θεοῦ βοηθούμενοι καὶ μετὰ δόλου πολεμοῦσιν· ἀλλ' ὅτι καὶ πρὸς τοὺς ἀνυθυμώους, καὶ οὐδὲν αὐτοὺς ἠδικηκότας. οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο αὐτοὺς ἀσθενεῖς ἐργάζεται. καθάπερ γὰρ οἱ πρὸς κέντρα λακτίζοντες, ἐκεῖνα μὲν οὐδὲν ἔβλαψαν, τοὺς δὲ ἑαυτῶν πόδας ᾕμαξαν· οὕτω δὴ καὶ οὗτοι. μετὰ δὲ τούτων, καὶ ἑτέρα τις αἰτία καταλύουσα αὐτῶν τὴν ἰσχὺν τοῦ πολέμου ἐστί. ποία δὴ αὕτη;

3 Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοί, φησι, καθεῖλον.

Ὃ δὲ λέγει, τοῦτό ἐστι. σοὶ πολεμοῦσι καὶ μάχονται, τὸν νόμον σου καὶ τὰ προστάγματά σου καθαιροῦντες. καὶ γὰρ τὰ σὰ προστάγματα καθελεῖν ἐπιχειροῦσι, καὶ ταῦτα κατηρτισμένα. ἢ τοῦτό φησιν, ἢ ὅτι καὶ παραβάται τοῦ νόμου εἰσί. καὶ αὕτη δὲ οὐ μικρὰ ἀσθενείας ὑπόθεσις, τὸ τὰ σὰ μὴ φυλάξαντας, οὕτως εἰς πόλεμον ἰέναι. διὰ γὰρ τοῦτο καὶ εὐθέσι πολεμοῦσι, καὶ δόλους ῥάπτουσιν, ἐπειδὴ τῶν σῶν οὐκ ἀκούουσι προσταγμάτων. διηγησάμενος τοίνυν περὶ τῆς ἀσθενείας τῶν πολεμίων, οὐκ ἀπὸ τούτων, ἀφ' ὧν ἕτεροι, ἀλλ' ἀφ' ὧν

αὐτῷ παρέπον ἦν (οὐ γὰρ εἶπε, χρήματα οὐκ ἔχουσιν, οὐδὲ φρούρια, οὐδὲ συμμάχους, οὐδὲ πόλεις, οὐδ᾽ ὅτι πολέμων εἰσὶν ἄπειροι, ἀλλὰ πάντα ταῦτα παραδραμὼν καὶ διαπλύσας ὡς οὐδὲν ὄντα, καὶ εἰπὼν ὅτι παράνομοί εἰσιν, ὅτι πολεμοῦσι τοῖς οὐδὲν ἠδικηκόσιν, ὅτι τοῦ Θεοῦ καθαιροῦσι) λέγει λοιπὸν καὶ τὴν τῶν δικαίων παράταξιν, κἀντεῦθεν δεικνὺς τὸ ἐκείνων εὐχείρωτον. οὕτω καὶ ἡμεῖς τὸν ἰσχυρὸν καὶ τὸν ἀσθενῆ δοκιμάζωμεν· ἀλλὰ μὴ ἀφ᾽ ὧν οἱ καταγέλαστοι τῶν ἀνθρώπων φοβοῦνται, ἐκ τούτων μᾶλλον φοβώμεθα. τί γάρ φασι; δεινός ἐστι, πονηρός ἐστι, χρημάτων ὄγκον περιβέβληται καὶ δυναστείαν. διὰ τοῦτο μάλιστα αὐτοῦ καταγελῶ. ταῦτα γὰρ εἴδη ἀσθενείας ἐστίν. ἀλλ᾽ οἶδεν ἐπιβουλεύειν, φησί· πάλιν ἕτερον εἶδός μοι λέγεις ἀσθενείας. τί οὖν ὅτι πολλοὶ περιγίνονται τοιοῦτοι ὄντες; ἐπειδὴ σὺ καλῶς πυκτεύειν οὐκ οἶδας· ἐπειδὴ καὶ σὺ ὑπὲρ τῶν αὐτῶν παγκρατιάζεις, ἀφ᾽ ὧν ἐκεῖνοι γίνονται ἀσθενέστεροι, περὶ δόξης καὶ δυναστείας. φεῦγε τοῦ ἀγῶνος τὴν ὑπόθεσιν, καὶ ἑτέρωθεν βάλλε τοὺς ἐπιόντας, ἐπιεικείᾳ τὸν ἀλαζόνα, πενίᾳ τὸν πλεονέκτην, ἐγκρατείᾳ τὸν ἀκόλαστον, φιλοφροσύνῃ τὸν φθονερόν· καὶ οὕτως αὐτῶν περιέσῃ ῥᾳδίως. ἀλλ᾽, ὅπερ ἔφθην εἰπών, διηγησάμενος τὴν ἀσθένειαν τῶν ἀντιδίκων, ὅρα πῶς καὶ τοῦ δικαίου λέγει τὴν πανοπλίαν. ἐπάγει γάρ·

Ὁ δὲ δίκαιος τί ἐποίησε; Τουτέστιν· ἐκείνων οὕτω παραταττομένων, ζητεῖς πόθεν ὡπλίσατο ὁ δίκαιος; ἄκουε· 4 Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. Εἶδες πῶς συντόμως τὴν συμμαχίαν αὐτοῦ διηγήσατο; τί ἐποίησεν ἐρωτᾷς; ἐπὶ τὸν Θεὸν κατέφυγε τὸν ἐν τῷ οὐρανῷ, τὸν πανταχοῦ παρόντα. οὐ τόξα ἔτεινεν, οὐδὲ φαρέτρας ἡτοίμαζε, καθάπερ ἐκεῖνος, οὐδὲ ἐν σκοτομήνῃ παρετάξατο· ἀλλὰ πάντα ταῦτα ἀφεὶς, τὴν εἰς τὸν Θεὸν ἐλπίδα πᾶσιν ἐπετείχισε, τὸν οὐδενὸς τούτων δεόμενον, οὐ καιρῶν, οὐ τόπων, οὐχ ὅπλων, οὐ χρημάτων, ἀλλὰ νεύματι πάντα λύοντα. Εἶδες συμμαχίαν ἄμαχόν τε, καὶ εὔκολον, καὶ ῥᾳδίαν;

5 Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. 6 Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Ἄλλος, Τὰ βλέφαρα αὐτοῦ δοκιμάζει.

ἀ

ἀ. ς′

Ἄλλος, Κύριος δίκαιος ἐξεταστής. Ἄλλος, Δίκαιον δοκιμάζει καὶ ἀσεβῆ, καὶ ἀγαπῶντα ἄδικα ἐμίσησεν ἡ ψυχὴ αὐτοῦ. Ἄλλος, Ὁ ἀγαπῶν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Εἶδες σύμμαχον παρεσκευασμένον, βοηθὸν εὐτρεπισμένον, πανταχοῦ παρόντα, πάντα ὁρῶντα, πάντα βλέποντα, τοῦτο ἔργον ἔχοντα μάλιστα, κἂν μηδεὶς ὁ παρακαλῶν ᾖ, προνοεῖν, κήδεσθαι, κωλύειν ἀδικοῦντας, βοηθεῖν ἀδικουμένοις, τοῖς μὲν ἀποδιδόναι τὰς ἀμοιβὰς τῶν κατορθωμάτων, τοῖς δὲ τιθέναι τὰς τιμωρίας τῶν ἁμαρτημάτων; οὐδὲ οὕτω ἀγνοεῖ. οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἐπιβλέπουσι τὴν οἰκουμένην. οὐκ ἐπίσταται δὲ μόνον, ἀλλὰ καὶ βούλεται αὐτὰ διορθοῦν. διὸ καὶ ἕτερος τοῦτο αὐτὸ δηλῶν εἶπε, δίκαιος. Εἰ γὰρ δίκαιος, οὐκ ἀνέξεται ταῦτα ἁπλῶς περιορᾶν γινόμενα. ἀποστρέφεται τοὺς πονηρούς, ἐπαινεῖ τοὺς δικαίους. Εἶτα ὅπερ ἐν τῷ προτέρῳ ψαλμῷ ἔλεγε, δεικνὺς ὅτι καὶ αὐτὴ ἡ κακία ἱκανὴ" αὐτοὺς ἀναλῶσαι, οὕτω καὶ ἐνταῦθα δηλῶν ἐπήγαγε· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν. πολέμιον γὰρ τῇ ψυχῇ πονηρία, ἐχθρὸν καὶ ὀλέθριον· ὥστε καὶ πρὸ τῆς κολάσεως, δίκην δίδωσιν ὁ πονηρός. Εἶδες πῶς ἀνηλωκότας πάντοθεν δείκνυσι τοὺς ἐναντιουμένους, ὅταν καὶ τοιοῦτον ἔχῃ σύμμαχον, καὶ ἐκεῖνοι ὑπὸ τῶν οἰκείων ὅπλων ἁλίσκωνται, δι᾽ ὧν φράττονται, διὰ τούτων δαπανώμενοι, καὶ ἑαυτοὺς βλάπτοντες. Εἶδες τῆς συμμαχίας τὴν εὐκολίαν. οὐ γὰρ δεῖ βαδίσαι που, καὶ δραμεῖν, οὐδὲ χρήματα ἀναλῶσαι, τοῦ Θεοῦ πανταχοῦ παρόντος, καὶ πάντα ὁρῶντος.

γρ. ἑαυτοὺς

7 Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας. πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. 8 Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

εὐθύτητα

Ἄλλος, Ὕσει ἐπὶ παρανόμους ἄνθρακας. Ἄλλος, Εὐθύτητας ὄψεται τὸ πρόσωπον αὐτῶν, τουτέστι, τῶν δικαίων, ἢ αὐτοῦ, τοῦ Θεοῦ. Εἰπὼν τὴν ἀπὸ τῆς κακίας δίκην, ἐπειδὴ ταύτης πολλοὶ καταφρονοῦσι, λοιπὸν κατασείει τὴν τῶν πονηρῶν διάνοιαν ἀπὸ τῆς ἄνωθεν φερομένης πληγῆς, ἐμφαντικῶς τῷ λόγῳ χρώμενος, καὶ διὰ φοβερῶν ὀνομάτων περιϊών. πῦρ γὰρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, καὶ ἄνθρακας αὐτοῖς ἄνωθεν λέγει ὕεσθαι· τῇ μεταφορᾷ τῶν λέξεων, τὸ ἄφυκτον τῆς τιμωρίας, τὸ δαψιλὲς τῆς κολάσεως, τὸ εὔκολον τῆς πληγῆς, τὸ δαπανητικὸν παραστῆσαι βουλόμενος. τί ἐστιν ἡ μερίς; τοῦτο αὐτοῖς κλῆρος, φησὶ, τοῦτο κτῆμα, τούτῳ ἐνδιατρίψουσιν, ἐν τούτοις δαπανηθήσονται. εἶτα καὶ ἡ αἰτία· ὅτι ὁ πάντα ἐφορῶν, οὐκ ἀνέξεται ταῦτα ἀτιμωρητὶ παραδραμεῖν. ὅπερ καὶ ἕτερος προφήτης φησί· Καθαρὸς ὁ ὀφθαλμός σου μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ· οὕτω καὶ οὗτος παρίστησι λέγων· ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησε. τοῦτο τοῦ Θεοῦ μάλιστα ἐξαίρετον, ἀποδέξασθαι τὰ δίκαια, τὴν ὀρθότητα· καὶ οὐκ ἂν ἀνάσχοιτο εἰς τέλος τῶν ἑτέρως γινομένων. διὰ δὴ τοῦτο ἀρχόμενος τοῦ ψαλμοῦ ἔλεγεν· ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; οἱ μὲν γὰρ ἐν τοῖς βιωτικοῖς πεποιθότες, οὐδὲν ἄμεινον τοῦ στρουθίου διάκεινται, ὃ τῇ ἐρημίᾳ θαρροῦν, εὐχείρωτον ἅπασι γίνεται. τοιοῦτος ὁ χρήμασιν ἐλπίζων. καθάπερ ὁ στρουθὸς καὶ ὑπὸ παιδίων ἁλίσκεται, καὶ ἰξοῦ, καὶ παγίδος, καὶ μυρίοις ἑτέροις· οὕτω καὶ ὁ πλουτῶν, καὶ ὑπὸ οἰκείων καὶ ὑπὸ πολεμίων· καὶ ἐκείνου μᾶλλον ἐπισφαλέστερον ζῇ, πολλοὺς ἔχων τοὺς ἰξεύοντας, καὶ παρ᾽ ἐκείνων, πονηρὰς ἐπιθυμίας· καὶ μετανάστης ἐστὶν, ἀεὶ μετὰ τῶν καιρῶν ἱστάμενος, καὶ δημίων ὀργὰς δεδοικὼς, καὶ βασιλέως θυμὸν, καὶ κολάκων ἐπιβουλὰς, καὶ φίλων δόλους. καὶ πολεμίων ἐπιστάντων, μᾶλλον πάντων τρέμει, καὶ εἰρήνης οὔσης, ὑφορᾶται τὰς ἐπιβουλάς. οὐ γὰρ ἔχει πλοῦτον μόνιμον καὶ ἀναφαίρετον. διὰ τοῦτο ἀεὶ πέτεται καὶ μετανίσταται, τὰς ἐρήμους διώκων καὶ τὰ ὄρη, ἐν σκοτομήνῃ διάγων, καὶ παχὺ σκότος ἐν μεσημβρίᾳ μέσῃ ἔχων, καὶ δόλους ῥάπτων. ἀλλ᾽ οὐχ ὁ δίκαιος τοιοῦτος. Αἱ γὰρ τῶν δικαίων ὁδοὶ, ὁμοίως φωτὶ λάμπουσιν. οὔτε γὰρ ἐπιβουλεύειν αἱροῦνται, οὔτε ἀδικεῖν, ἀλλ᾽ ἀνειμένην ψυχὴν ἔχουσιν. οὗτοι δὲ ἀεὶ δόλους ῥάπτοντες, ἀεὶ ἐν σκότῳ καὶ φόβῳ εἰσὶ, καθάπερ οἱ λῃσταὶ καὶ οἱ τοιχωρύχοι καὶ οἱ μοιχοί· καὶ ἐν ἡμέρᾳ σκότος ὁρῶσι, τῆς ψυχῆς αὐτῶν ὑπὸ δέους βαλλομένης. πῶς οὖν ἂν διασκεδασθείη τὸ σκότος τοῦτο; εἰ πάντων τούτων ἑαυτὸν ἀποστήσας, ἐκκρεμασθείης τῆς ἐλπίδος τοῦ Θεοῦ, κἂν μυριάκις ἁμαρτωλὸς ᾖς. Ἐμβλέψατε γάρ, φησιν, εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; οὐκ εἶπε, δίκαιος· ἀλλά, τίς; κἂν ἁμαρτωλὸς, φησι. τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ἁμαρτωλοὶ ταύτης ἐχόμενοι τῆς ἀγκύρας, πᾶσίν εἰσιν ἀχείρωτοι. τοῦτο γὰρ μάλιστα διαθέσεως τῆς πρὸς τὸν Θεὸν, ὅταν τοσούτοις κακοῖς βεβαρημένος, θαρρήσῃς αὐτοῦ τῇ φιλανθρωπίᾳ. ὥσπερ γὰρ ἐπικατάρατος ὁ ἐλπίζων ἐπ᾽ ἄνθρωπον, οὕτω μακάριος ὁ ἐλπίζων ἐπὶ Θεόν. πάντων τοίνυν ἀποστήσας σαυτὸν, ταύτης ἔχου τῆς ἀγκύρας. καὶ γὰρ ἐφορᾷ πάντα ὁ Θεὸς, καὶ κρίνει τὰ δίκαια, καὶ οὐ κρίνει μόνον, ἀλλὰ καὶ εἰς ἔργον ἐξάγει. διὰ τοῦτο εἰπὼν αὐτοῦ περὶ τῆς δικαιοσύνης, ἔδειξε καὶ τὴν τιμωρίαν, διὰ τοῦ πυρὸς, διὰ τῆς καταιγίδος· καὶ τοῦτο δὲ ποιεῖ, κηδόμενος ἐκείνων, καὶ διὰ τῆς κολάσεως σωφρονεστέρους ποιῶν. πάντων οὖν ἕνεκεν προσίωμεν αὐτῷ, καὶ διηνεκῶς μένωμεν πρὸς αὐτὸν ὁρῶντες.

Ἀββακ. α. ιγ.

Παροιμ. δ. ιη.

Σειρ. β. ι.

οὕτω γὰρ καὶ πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὁ. θ'. ϛ',

Ψαλμ. ια. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΗΣ ΟΓΔΟΗΣ.

Ἄλλος, Τῷ νικοποιῷ ὑπὲρ τῆς ὀγδόης. Ὁ δὲ Ἑβραῖος, Ἀσεμινίθ, φησι.

1 Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Ἄλλος, Ὅτι ἐπεράνθησαν πιστοὶ ἀπὸ υἱῶν ἀνθρώπων.

ΔΥσκολον μὲν ἀρετὴ καὶ δυσκατόρθωτον καὶ καθ᾽ ἑαυτό· μάλιστα δὲ, ὅταν ἐν σπάνει τῶν ἀγαθῶν ἀνδρῶν ὁ ἐργαζόμενος ᾖ. καθάπερ γὰρ φέρει μὲν ὁδοιπορία πόνον, πολλῷ δὲ πλέον ὅταν μόνος ὁ ὁδοιπόρος ᾖ, καὶ μηδένα τὸν κοινωνοῦντα τῆς ὁδοιπορίας ἔχῃ· οὕτω δὴ καὶ ἐνταῦθα. οὐδὲ γὰρ μικρὸν ἀδελφῶν κοινωνία καὶ παράκλησις. διὸ καὶ Παῦλός φησι· Ἑβρ. ι. κδ. Κατανοοῦντες ἑαυτοὺς εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. διὰ δὴ τοῦτο, μάλιστα τοὺς παλαιοὺς μακαρίζειν ἄξιον, οὐχ ὅτι κατώρθωσαν ἀρετὴν, ἀλλ᾽ ὅτι καὶ αὐχμοῦ πολλοῦ τῆς ἀρετῆς ὄντος, καὶ τῶν κατορθούντων οὐδαμοῦ φαινομένων. τοῦτο γοῦν καὶ ἡ γραφὴ αἰνιττομένη ἔλεγε· Γεν. ϛ. Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. διὰ τοῦτο τὸν Ἀβραὰμ θαυμάζομεν, διὰ τοῦτο τὸν Λὼτ, διὰ τοῦτο τὸν Μωϋσέα, ὅτι καθάπερ ἐν βαθείᾳ νυκτὶ ἀστέρες ἐφαίνοντο, καὶ μεταξὺ τῶν ἀκανθῶν ῥόδα, καὶ ἐν μυρίοις λύκοις πρόβατα, τὴν ἐναντίαν πᾶσιν ὁδεύοντες ὁδὸν, καὶ μὴ διακοπτόμενοι. εἰ γὰρ ἐπὶ πλήθους αὐτὸ τοῦτο δυσκολίαν φέρει, καὶ πολλῶν τὴν ἐναντίαν ποιουμένων, ὁ μόνος ἀπεναντίας τοῦ πλήθους βαδίζων, πολλὰ ὑπομένει πράγματα· καὶ εἰ ἐν ναυτιλίᾳ δὲ χαλεπὸν, τοῦ ῥοθίου τὴν ἐναντίαν φερομένου, πρὸς τὴν ἐναντίαν τὸ πλοῖον ἰθύνειν· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρετῆς. διὰ δὴ τοῦτο καὶ ὁ δίκαιος οὗτος, ἅτε δὴ μόνος αὐτῆς ἐπειλημμένος, πάντων τὴν ἐναντίαν βαδιζόντων, ἐπὶ τὴν τοῦ Θεοῦ πρόνοιαν καταφεύγει, λέγων· σῶσόν με, Κύριε. οὐδὲν οὖν ἄλλο, ἢ τοῦτο ἐντεῦθεν δηλοῖ· τῆς ἄνωθέν μοι χρεία χειρὸς, τῆς ῥοπῆς τῆς ἐκ τῶν οὐρανῶν, τῆς συμμαχίας ἐκείνης. τὴν γὰρ ἐναντίαν πᾶσιν ὁδεύων ὁδὸν, πολλῆς δέομαι τῆς προνοίας. καὶ οὐκ εἶπε, σῶσόν με ὅτι οὐ γέγονεν ὅσιος, ἀλλ᾽ ὅτι ἐκλέλοιπεν ὅσιος· δεικνὺς ὅτι καὶ οἱ ὄντες ἀπώλοντο, ἐπειδὴ ἐπεκράτησεν ἡ κακία, καὶ περιεγίνετο ἡ νόσος. τοῦτο καὶ Παῦλος φοβεῖται λέγων· α. Κορ. ε, ϛ. Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; καὶ πάλιν· α. Κορ. ιε. λγ. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. τί ἐστιν, ὠλιγώθησαν αἱ ἀλήθειαι; [πολλαὶ γὰρ αἱ ἀλήθειαι.] καθάπερ ἐπὶ τῶν χρωμάτων, καὶ τῶν ἄλλων εἰδῶν, τὰ μέν ἐστιν ἀληθῆ, τὰ δὲ ψευδῆ, καὶ ἔστι πορφύρα ἀληθὴς, καὶ πουφύρα ψευδὴς, καὶ ἐπὶ κρόκου, καὶ ἐπὶ τῶν λίθων, καὶ ἐπὶ ἀρωμάτων, καὶ ἐπὶ ἑτέρων τοιούτων· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν. ἀλήθεια γὰρ τὸ ὄντως ὂν, ψεῦδος δὲ τὸ μὴ ὄν. ἐπεὶ οὖν ταῦτα διέστραπτο καὶ ἠμαύρωτο, οὐ τὴν ὑπόστασιν ἀπολέσαντα ἐξ ἑαυτῶν, ἀλλ᾽ ὑπὸ τῶν ἀνθρώπων φυγαδευθέντα· διὰ τοῦτο οὐκ εἶπε μόνον, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλ᾽, ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων, προσέθηκε, τοῦτο αὐτὸ δηλῶσαι βουλόμενος. σκόπει δέ· ἔστι κόσμος ἀληθὴς, ἔστι καὶ ψευδής. τίς οὖν ὁ ἀληθὴς κόσμος; ὁ περὶ ψυχήν· τίς δὲ ψευδής; ὁ περὶ σῶμα. ἔστι πλοῦτος ἀληθὴς, ἔστι καὶ ψευδής. ψευδὴς ὁ τῶν χρημάτων· ἀληθὴς ὁ τῶν κατορθωμάτων. ἔστιν εὐφροσύνη, ἡ μὲν ψευδὴς, ἡ δὲ ἀληθής· καὶ κάλλη, καὶ δυναστεῖαι, καὶ δόξαι. ἀλλ᾽ οἱ πλείους τῶν ἀνθρώπων τὴν ἀλήθειαν τούτων ἀφέντες, τὰ ψευδῆ διώκουσιν. ὥσπερ γάρ ἐστιν ἄνθρωπος ἀληθὴς καὶ ψευδής· ἀληθὴς μὲν ὁ ζῶν καὶ ἐνεργῶν, ψευδὴς δὲ ὁ γεγραμμένος· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἐστιν ἰδεῖν.

C

2 Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. χείλη δόλια, ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Ἄλλος, Ἐν καρδίᾳ ἄλλῃ καὶ ἄλλῃ λαλοῦσι. Δύο κακίας λέγει ἐνταῦθα· καὶ ὅτι μάταια ἐλάλησαν, καὶ ὅτι πρὸς τὸν πλησίον· ἢ τὰ ψευδῆ μάταιά φησι.* *καὶ τὸ δὴ χαλεπώτερον, ὅτι πάντες ἦσαν διεφθαρμένοι. διὸ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' ἕκαστος. οὐδὲ γὰρ ἦν ἁπλῶς ἐπιπόλαιος ἡ κακία, ἀλλὰ κάτωθεν, καὶ ἀπὸ καρδίας. ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ· ὅπερ ἕτερος ἑρμηνευτής, ἐν καρδίᾳ ἄλλῃ καὶ ἄλλῃ, εἶπε, διδάσκων ὅτι πολλὴ διπλόη [αὐτῶν] ἐν καρδίᾳ. τοῦτο πολεμίων πάντων πικρότερον. οἱ μὲν γάρ εἰσι [φοβεροὶ καὶ] δῆλοι, ὅθεν καὶ εὐφύλακτοι γίνονται· οὗτοι δὲ ἕτερον προσωπεῖον περιβαλλόμενοι, καὶ ἕτερον ὄντες, δυσφώρατοι τοῖς ἐπιβουλευομένοις καθίστανται, τῶν τὰ ξίφη κρυπτόντων ὄντες πολλῷ χαλεπώτεροι.

3 Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλοῤῥήμονα.

4 Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν. Ἄλλος, Δυναστεύσομεν. Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν. Ἄλλος, Σὺν ἡμῖν πάρεστι.

Τίς ἡμῶν Κύριός ἐστιν; Ἄλλος, Τίς κυριεύσει ἡμῶν; Εἶδες κηδεμονίαν προφήτου, πῶς ὑπὲρ αὐτῶν εὔχεται; οὐ γὰρ δὴ κατ' αὐτῶν ἐστι τὸ εἰρημένον, ἀλλ' ὑπὲρ αὐτῶν. οὐ γὰρ εἶπεν αὐτοὺς ἀπολέσθαι, ἀλλὰ τὴν κακίαν ἀφανισθῆναι. οὐ γάρ, φησιν, ἐξολοθρεύσει Κύριος αὐτούς, ἀλλὰ τὰ χείλη τὰ δόλια. καὶ πάλιν, οὐχὶ τὴν οὐσίαν, ἀλλὰ τὴν γλῶτταν, τὴν ἀπόνοιαν, τὸν δόλον ἀναιρεθῆναι ἀξιοῖ, τὴν ὑπερηφανίαν ἐκκοπῆναι. κωμῳδῶν δὲ αὐτῶν τὴν ἄνοιαν φησί, Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι. τίς ἡμῶν κύριός ἐστι; μαινομένων καὶ παραφρόνων τὰ ῥήματα. διὰ δὴ τοῦτο ὁ Παῦλος ἀπεναντίας αὐτοῖς φθεγγόμενος παραινεῖ· Οὐκ ἐστὲ ἑαυτῶν, τιμῆς ἠγοράσθητε· καὶ κελεύει μηδὲ ἑαυτοῖς ζῆν. Οὐ σά ἐστι τὰ χείλη, φησίν, ἀλλὰ τοῦ δεσπότου. αὐτὸς γὰρ ἐποίησεν αὐτά, αὐτὸς κατεσκεύασεν, αὐτὸς ζωὴν ἐνέπνευσεν. ἀλλὰ σὺ ἔχεις; ἀλλ' οὐ πάντως ἔχομεν ταῦτα ἡμέτερα· ἐπεὶ καὶ χρήματα ἔχομεν, ἑτέρων παρακαταθεμένων· καὶ γῆν μισθούμεθα, ἑτέρων ἡμῖν δεδωκότων. οὕτω δὴ καὶ σοὶ ταῦτα ἐμίσθωσεν ὁ Θεός, οὐχ ἵνα ἀκάνθας φέρῃς, ἀλλ' ἵνα σπέρματα εἰς τὸ χρήσιμον μεταβάλῃς· οὐχ ἵνα ἀπόνοιαν, οὐχ ἵνα δόλον, ἀλλ' ἵνα ταπεινοφροσύνην, ἀλλ' ἵνα εὐφημίαν, ἀλλ' ἵνα ἀγάπην ποιήσῃς δι' αὐτῶν βλαστάνειν· καὶ ὀφθαλμοὺς ἔδωκεν, οὐχ ἵνα ἀκόλαστα βλέπῃς, ἀλλ' ἵνα σωφροσύνῃ αὐτοὺς καλλωπίζῃς· καὶ χεῖρας, οὐχ ἵνα πλήττῃς, ἀλλ' ἵνα ἐλεῇς. πῶς δὲ καὶ λέγεις, ὅτι τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν, ὅταν τῆς ἁμαρτίας αὐτὰ ποιῇς δοῦλα, ὅταν τῆς πορνείας, ὅταν τῆς ἀκαθαρσίας; τίς ἡμῶν κύριός ἐστιν; ὢ διαβολικοῦ ῥήματος, ὢ ψυχῆς δαιμονιώδους. ὁρᾷς, ἄνθρωπε, τὴν κτίσιν ἅπασαν ἀνακηρύττουσαν τοῦ δεσπότου τὴν ἰσχύν, τὴν σοφίαν, τὴν κηδεμονίαν, τὴν πρόνοιαν· τὸ σῶμά σου, τὴν ψυχήν, τὴν ζωήν, τὰ ὁρώμενα, τὰ ἀόρατα,* *καὶ λέγεις, τίς ἡμῶν κύριός ἐστι; τοῦτο μανίας, τοῦτο παραπληξίας, τοῦτο διεφθαρμένης ψυχῆς. διὰ τοῦτο τὰ μυρία κακά. ἀλλ' οὗτοι μὲν λέγουσι, τίς ἡμῶν κύριός ἐστιν; ἄλλοι δὲ τὸν μὲν δεσπότην ὁμολογοῦσι, τὸν δὲ περὶ τῆς κρίσεως ἀναιροῦσι λόγον καὶ τῆς κολάσεως, βραχείας χάριτος μεγάλην ὠνούμενοι κόλασιν· καὶ βουλόμενοι τῷ μὴ μεμνῆσθαι γεέννης παραμυθεῖσθαι ἑαυτούς, λανθάνουσι διὰ τῆς ἀφοβίας ταύτης εἰς τὸ βάραθρον ἑαυτοὺς τῆς ἀπωλείας ἐμβάλλοντες. διὸ παρακαλῶ καὶ μεμνῆσθαι γεέννης, καὶ διαλέγεσθαι περὶ γεέννης. πολὺ γὰρ τὸ χρήσιμον τῶν λόγων τούτων. οὕτω διάπλαττε τὴν ψυχήν.* *οὐδὲ γὰρ ἁπλῶς ἠπείλησεν αὐτὴν ὁ Θεὸς

γ. ηὔχετο

ς. πάνθ' ἃ ἔχ.

α Κορ. ς. ιθ. κ. Ρωμ. ιδ. ζ. καὶ β. Κορ. ε. θ.

καὶ ἐντεῦθεν ἤδη δήλην ἐποίησεν, ἀλλ' ἵνα τῷ φόβῳ ποιήσῃ βελτίους. διὰ τοῦτο καὶ ὁ διάβολος πάντα ποιεῖ καὶ πραγματεύεται, ἐξαίρειν αὐτῆς τὴν μνήμην βουλόμενος. μὴ τοίνυν ἔκβαλλε τὴν μνήμην, μηδὲ λέγε· τί λυπῶ ἐμαυτὸν παρὰ καιρόν; παρὰ καιρὸν λυπῇ; ἐκεῖνό ἐστι παρὰ καιρὸν ἀλγεῖν, ὅταν ἐν τῇ γεέννῃ ἀλγῇς. τοῦ λυπεῖσθαι καιρὸς οὗτος, οὐκ ἐκεῖνος. καὶ τοῦτο δείκνυσιν ὁ πλούσιος ὁ ἐπὶ Λαζάρου, ὃς μυρία λυπηθεὶς οὐδὲν ὤνησεν. εἰ δὲ εὐκαίρως ἤλγησεν, οὐκ ἂν ἔπαθεν, ἅπερ ἔπαθεν.

Λουκ. ιϛ. κγ.

5 Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος. 6 Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.

Ἄλλος, Τάξω σωτήριον ἐμφανές. Μάθε πόση τῆς ταπεινοφροσύνης ἡ ἰσχύς. τῶν πενήτων ἡ δύναμις (πενήτων λέγω, τῶν τὴν διάνοιαν συντετριμμένων) τοῦ κακῶς πάσχειν ἐστὶν ἡ ἀντίληψις. οὐδὲ γὰρ βίον ἐνταῦθά φησιν, οὐδὲ ἀρετήν, ἀλλὰ τὸ πάσχειν κακῶς, φησί, τοῦτο ἀνίστησι τὸν Θεόν, καὶ ἐκκαλεῖται πρὸς τιμωρίαν καὶ ἄμυναν. τοσοῦτόν ἐστι τὸ ἀδικούμενον φέρειν γενναίως· τοσαύτη τῶν ἐπηρεαζομένων παρὰ τοῦ Θεοῦ ἡ πρόνοια. αὕτη μεγίστης σωτηρίας ἡ συμφορὰ καὶ τὸ πάσχειν κακῶς γινομένη. μεγάλη τοῦ στεναγμοῦ ἡ ἰσχύς, τὴν ἄνωθεν καλοῦσα ῥοπήν. Φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε. ἔχετε δύναμιν ὑμεῖς, καὶ πλοῦτον, καὶ χρήματα, καὶ δικαστῶν εὔνοιαν; ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμοὺς καὶ τοὺς θρήνους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ἅπερ τὴν ἐκ τῶν οὐρανῶν ἐπισπᾶται συμμαχίαν. τοῦτο τὸ ὅπλον οἰκίας διορύττει, τοῦτο θεμελίους κατέσκαψε, τοῦτο πόλεις ἀνεῖλε, τοῦτο ὁλόκληρα ἔθνη κατεπόντισε· στεναγμοὺς ἀδικουμένων ἀνθρώπων λέγω. αἰδεῖται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον, καὶ ἀποδύρωνται τὰ οἰκεῖα κακά. τί δέ ἐστι, θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ; μετὰ παρρησίας, φησίν, αὐτῶν προστήσομαι φανερῶς καὶ δήλως, ὥστε πάντας μαθεῖν. καὶ πότε οὐ φανερῶς σώζει; ἔστιν ὅτε οὐ φανερῶς, ἀλλὰ λάθρα. οὐδὲ γὰρ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης. νυνὶ δὲ ἐπειδὴ εἰκὸς ἦν τοὺς ἐχθροὺς τοὺς αὐτῶν ἐπεμβαίνειν, ἐνάλλεσθαι, ὀνειδίζειν αὐτοῖς, ὡς οὐκ ἔχουσι Θεόν· ὥστε κἀκείνους σωφρονισθῆναι, καὶ γενέσθαι βελτίους, τῇ πείρᾳ μαθόντας τοῦ δεσπότου τὴν συμμαχίαν, φανερῶς ποιήσομαι τὴν ὑπὲρ αὐτῶν σωτηρίαν, φησί. 7 Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. Καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; πολλή, καὶ συνεχής. μὴ γὰρ δὴ νομίσητε ταῦτα, φησίν, ἁπλῶς εἰρῆσθαι, μηδὲ ἀπειλὴν εἶναι περιττήν· καθαρὰ αὐτοῦ ἐστι τὰ ῥήματα, ἀπηλλαγμένα ψεύδους. ὥσπερ γὰρ τὸ ἀργύριον ὁ πεπυρωμένος, οὐδὲν ἀλλότριον ἔχει καὶ νόθον· οὕτω καὶ τοῦ Θεοῦ τὰ ῥήματα, ἅπερ ἂν εἴπῃ, πάντως ἐκβῆναι δεῖ. διό φησιν· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. Ἄλλος, Πεπυρωμένον, χωρίῳ τῇ γῇ. Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, χωρίῳ τῇ γῇ, Βααλὶν λαάρς εἶπε, τουτέστι, τὸ χωνευόμενον, τὸ ῥέον ἐν τῇ γῇ. Κεκαθαρισμένον ἑπταπλασίως. Εἶδες πῶς δείκνυσι τὸ ἀψευδές, καὶ ἀληθεῦον, τῇ εἰκόνι τῆς ὕλης. ὥσπερ γὰρ ἐκεῖνο τὸ χωνευθέν, τὸ πυρωθέν, τὸ πολλάκις τοῦτο παθόν, ἀλλότριόν ἐστιν ἀλλοτρίας ὕλης, ἐκκεκαθαρμένον μετὰ ἀκριβείας· οὕτως ἡ ἀπόφασις τοῦ Θεοῦ.

8 Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Ἄλλος, Φυλάξεις αὐτούς. Ἄλλος, Φυλάξεις αὐτά, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Ἄλλος, Ἅμα τῇ γενεᾷ τῇ αἰωνίᾳ.

9 Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν. Ἄλλος, Περιπατήσουσιν. Ἄλλος, Κύκλῳ ἀσεβῶν ἐμπεριπατήσουσι. Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώ-

πων. Ἄλλος, Ὅταν ὑψωθῶσιν οἱ εὐτελεῖς τῶν υἱῶν τῶν ἀνθρώπων. Ἕτερος, Κατὰ τὸ ὕψος· εὐωνισμένοι τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὁ δὲ Ἑβραῖος, Χαρμ ζολλώ, φησι, λεβνὴ ἀδάμ. Σὺ Κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς. Ὅρα συνεχῶς, μᾶλλον δὲ διηνεκῶς ἐπὶ τὸν Θεὸν καταφεύγοντα, κἀκεῖθεν ζητοῦντα τὴν συμμαχίαν. καὶ γὰρ πολυαρκὴς ἡ βοήθεια, οὐδενὶ διακοπτομένη χρόνῳ. οὐδενὸς τῶν ἀνθρωπίνων δεόμεθα, φησι· σὺ γὰρ ὁ φυλάττων εἶ διηνεκῶς. τί δέ ἐστι, κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι; κατὰ μὲν τοὺς ἑβδομήκοντα, οὕτω λεκτέον· Ὅτι κἂν κυκλώσωσιν οἱ ἀσεβεῖς, οὐδὲν πεισόμεθα. καὶ γὰρ φυλάττεις ἡμᾶς, καὶ μετεωρίζεις, καὶ ἐνδόξους ποιεῖς. κατὰ δὲ τὴν ἑτέραν ἑρμηνείαν τοῦτο ῥητέον, Ὅτι οἱ ἀσεβεῖς ἐξωθήσονται, ὅταν τοὺς εὐτελεῖς τοὺς υἱοὺς τῶν ἀνθρώπων ὑψώσῃς. τουτέστιν, ὅταν ἡμᾶς τοὺς νομιζομένους εἶναι εὐκαταφρονήτους, τοὺς τεταπεινωμένους δοξάσῃς, ἀποστήσεις αὐτοὺς καὶ διακρούσῃ. τί δέ ἐστι, κατὰ τὸ ὕψος σου; ἀντὶ τοῦ, ὁμοίους σου ἐποίησας, ὡς ἀνθρώπῳ δυνατὸν εἶναι ὅμοιον. Ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα, φησὶν, ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. ὥσπερ γάρ ἐστιν αὐτὸς ἐν οὐρανῷ, τοῦτο ἡμεῖς ἐπὶ τῆς γῆς· καὶ ὥσπερ οὐδεὶς αὐτοῦ ἀνώτερος ἄνω, οὕτως οὐδεὶς ἐπὶ τῆς γῆς τοῦ ζώου τούτου κατὰ ἀρετὴν ὅμοιος. Γίνεσθε, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. καὶ τοῦ ὀνόματος δὲ ἡμῖν μετέδωκεν· Ἐγὼ εἶπα, θεοί ἐστε, φησι, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ πάλιν· Τέθεικά σε θεὸν Φαραώ. καὶ δημιουργὸν εἶναι ἐποίησε, καὶ σωμάτων καὶ ἀσωμάτων. καὶ νῦν μὲν τὴν κτίσιν ὁ Μωϋσῆς μεταβάλλει· νῦν δὲ ἕτεροι ἕτερα· ἡμῖν δὲ ἐπέταξε ναὸν αὐτῷ κτίζειν ἡμᾶς αὐτούς. κἂν τοίνυν οὐ δημιουργῇς οὐρανὸν, ἀλλὰ δημιουργεῖς ναὸν Θεοῦ. ἐπεὶ καὶ οὐρανὸς διὰ τοῦτο λαμπρός, ἐπειδὴ Θεὸν ἔχει κατοικοῦντα ἐν αὐτῷ· μᾶλλον δὲ διὰ Χριστοῦ καὶ ἡμεῖς. Συνήγειρε γάρ, φησι, καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἐν τοῖς οὐρανοῖς· καὶ μείζονα ἔδωκε ποιεῖν ὧν αὐτὸς ἐποίησε. Τὰ γὰρ σημεῖα, φησιν, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. καὶ ἐπὶ τῆς παλαιᾶς, ὁ μὲν τὴν θάλασσαν μετέβαλεν· ὁ δὲ τὸν ἥλιον ἐχαλίνου· ὁ δὲ τὴν σελήνην μένειν ἐκέλευσεν· ὁ δὲ πάλιν εἰς ἑαυτὸν τὰς ἀκτῖνας ἀπέστρεφεν· οἱ δὲ παῖδες ἐν τῇ καμίνῳ τοῦ στοιχείου τὴν ἐνέργειαν ἐπέδησαν, καὶ μαινομένη ἡ φλὸξ ἐσίγα, καὶ δεδεμένη ἐσύριζεν. οἶδε καὶ θηρία αἰδεῖσθαι Θεοῦ φίλους· κἂν λιμὸς ἀναγκάζῃ, φιλοσοφώτερα γίνεται. αἰδείσθωσαν οἱ γαστρίμαργοι τὴν ἐγκράτειαν τῶν θηρίων· λέοντες εἶδον τὸν Δανιὴλ, καὶ ἐφιλοσόφησαν· ἡμεῖς τὸν υἱὸν τοῦ Θεοῦ βλέποντες ἐρχόμενον πρὸς ἡμᾶς, οὐ φιλοσοφοῦμεν. εἵλοντο ἐκεῖνοι διαφθαρῆναι λιμῷ, καὶ μὴ ἅψασθαι τοῦ σώματος τοῦ ἁγίου· ἡμεῖς ὁρῶντες γυμνὸν τὸν Χριστὸν περιερχόμενον καὶ λιμῷ τηκόμενον, οὐδὲ τὰ περιττὰ προϊέμεθα, ἀλλ' ἐν περιουσίᾳ ζῶντες, περιορῶμεν τοὺς ἁγίους. ἡ γῆ πάλιν ἑτέρῳ Θεοῦ φίλῳ τοσαῦτα προσήνεγκε δῶρα ἐκ τῶν οἰκείων κόλπων, τοσαύτην φορὰν, ὅσην οὐδεπώποτε ἔμπροσθεν. καὶ τί θαυμάζεις, εἰ αὐτοὶ αἰδέσιμοι ἦσαν, ὅπουγε καὶ τὰ ἱμάτια αὐτῶν, καὶ αἱ σκιαὶ δαίμοσιν ἦσαν φοβεραὶ, καὶ θανάτῳ, καὶ νοσήματι; καὶ ἄγγελοι ᾐδέσθησαν ἀνθρώπους, καὶ ἐτίμησαν μετὰ ὑπερβολῆς. πῶς γὰρ οὐκ ἔμελλον, οὓς ὁ δεσπότης αὐτῶν ἐτίμα; καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ τοῦτο ἔστιν ἰδεῖν. διὰ τοῦτο λέγει· Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐννοήσαντες τοίνυν τὸ μέγεθος τῆς τιμῆς, ἀξίαν παράσχωμεν τὴν ὑπὲρ ταύτης ἀμοιβὴν, ἵνα μὴ τῆς τιμῆς ὑπερβολὴ, ἐφόδιον ἡμῖν τιμωρίας γένηται.

Γεν. α. κϛ.
Ματθ. ε. με.
Ψαλ. πα. ϛ.
Εξοδ. ζ. α.
α. Κορ. ϛ. ιθ.
Εφεσ. β. ϛ.
Ιω. ιδ. ιβ.
Εξοδ. ιδ. κα.
Ιησ. ι. ιβ.
δ. Βασ. κ. ια.
Δαν. γ. κϛ.
Δαν. ϛ. κβ.
Ματθ. κε. λ
Ιωβ μβ. ι.
Πράξ. ιθ. ια.
καὶ ε. ιε.
Γεν. ιη. β. καὶ ιθ.
γ. κ. κβ. ια.
Εξοδ. ιδ. ιθ.
Κριτ. β. α.
Μαρκ. ιϛ. ε.
Πράξ. η. κϛ. καὶ
ι. γ. καὶ ιβ. ζ.

Ψαλμ. ιβ. ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. Ἄλλος, Ἐπινίκιος ᾠδὴ τοῦ Δαβίδ. 1 Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; Ἄλλος, Ἐκλανθάνῃ μου τέλεον. Ἄλλος, Εἰς νῖκος. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἄλλος, Κρύπτεις. 2 Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; Ἄλλος, Τάξω γνώμας. Ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας [καὶ νυκτός]. Ἄλλος, Μέριμναν ἐν τῇ διανοίᾳ μου καθ' ἡμέραν.

ΟΥ μικρὸν καὶ τοῦτο ἀγαθὸν, τὸ λαμβάνειν αἴσθησιν τῆς τοῦ Θεοῦ λήθης. λήθην δὲ μὴ πάθος εἶναι νόμιζε, ἀλλὰ τὴν ἐγκατάλειψιν. πολλοὶ γοῦν τοῦτο παθόντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, οὐδὲ ὀδύρονται· οὗτος δὲ ὁ μακάριος, οὐ μόνον αὐτὸ ᾔδει, ἀλλὰ καὶ τὸν χρόνον ἀνελογίζετο. τὸ γὰρ, ἕως πότε, δεικνύντός ἐστι μακρὸν ὄντα τὸν χρόνον. διὰ τοῦτο καὶ ὀδύρεται, καὶ θρηνεῖ. σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ βιωτικοῦ τινος ἕνεκεν ἀλγεῖ, οὐχ ὑπὲρ χρημάτων, οὐχ ὑπὲρ δόξης, ἀλλ' ὑπὲρ τῆς εὐνοίας * πανταχοῦ. καὶ πόθεν, φησὶν, ἔγνω ὅτι ἐπελάθετο αὐτοῦ ὁ Θεός; ἐπειδὴ ᾔδει καὶ πότε ἐμέμνητο, καὶ σαφῶς ἠπίστατο τί μὲν λήθη, τί δὲ μνήμη. οὐ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσι παρὰ τοῖς ἀνθρώποις, ὅταν αὐτοῖς κατὰ ῥοῦν ἅπαντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε νομίζουσι μεμνῆσθαι αὐτῶν τὸν Θεόν· διὰ τοῦτο οὔτε, πότε αὐτῶν ἐπιλανθάνεται, ἴσασιν. οἱ γὰρ τῆς μνήμης τὸ σημεῖον οὐκ εἰδότες, οὐδὲ τὸ τῆς λήθης ἐπίστανται. εἰ γὰρ τὰ τῆς φιλίας σύμβολα οὐκ ἐπίστανται, οὐδὲ τὰ τῆς ἔχθρας γινώσκουσι. πολλῶν γὰρ τῶν ταῦτα ἐχόντων ἐπιλανθάνεται ὁ Θεὸς, καὶ μάλιστα τούτων· τῶν δὲ ἐν τοῖς ἐναντίοις ὄντων μέμνηται πολλάκις. μνήμην ″γὰρ οὐδὲν οὕτω ποιεῖ παρὰ Θεῷ, ὡς τὸ ἀγαθόν τι ποιεῖν, τὸ νήφειν, τὸ ἐγρηγορέναι, τὸ ἀρετῆς ἐπιμελεῖσθαι· ὥσπερ οὖν λήθην οὐδὲν ἕτερον, ὡς τὸ ἐν ἁμαρτίαις εἶναι καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς. καὶ σὺ τοίνυν, ἀγαπητὲ, ὅταν ἐν συμφοραῖς ᾖς, μὴ λέγε, ὅτι ἐπελάθετό μου ὁ Θεός· ἀλλ' ὅταν ἐν ἁμαρτίαις ᾖς, καὶ πάντα σοι κατὰ ῥοῦν φέρηται. ἂν γὰρ τοῦτο ᾖς εἰδὼς, ταχέως ἀποστήσῃ τῶν πονηρῶν πραγμάτων. ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; τοῦτο ἐπιτεταμένη λήθη. ἀπὸ γὰρ τῶν ἀνθρωπίνων σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας δείκνυσι, καὶ τὴν ὀργὴν αὐτοῦ καὶ τὴν κόλασιν χαρακτηρίζει. ἀποστρέφει δὲ πάλιν ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ὅταν ἀνάξια πράττωμεν τῶν ἐπιταγμάτων τῶν αὐτοῦ. Ὅταν γὰρ ἐκτείνητε, φησὶ, τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Εἶτα καὶ ἡ αἰτία· αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις. ἀλλὰ καὶ τοῦτο πάλιν ″κηδεμονίας πολλῆς, καὶ ἡ ἐγκατάλειψις, καὶ ἡ ἀποστροφὴ τοῦ προσώπου. ποιεῖ δὲ τοῦτο, ἵνα σφοδρότερον ἡμᾶς ἐπισπάσηται. ἐπεὶ καὶ ἐραστὴς μανικὸς τὸν ἐρώμενον ὑπερορῶντα ἀφίησι καὶ ἐγκαταλιμπάνει, οὐκ ἐκβάλλων αὐτὸν τῆς διανοίας, ἀλλ' ἐπιστρέψαι αὐτὸν βουλόμενος, καὶ ἑαυτῷ συνάψαι. εἰπὼν δὲ τὴν ἀποστροφὴν, λέγει καὶ τὴν λήθην, καὶ τὰ ἐξ αὐτῆς αὐτῷ προσγινόμενα. τίνα δὴ ταῦτά ἐστιν; ἃ ἐπάγει, λέγων· ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; ὥσπερ γὰρ ὁ * τοῦ λιμένος ἐξελθὼν πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς πολλοῖς προσπταίει· οὕτω δὴ καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ Θεοῦ, φροντίσι, καὶ μερίμναις, καὶ ὀδύναις ἐκδίδοται διηνεκῶς. οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς τὸ τὸν Θεὸν ἐπιστρέψαι πρὸς ἑαυτὸν, τὸ μεριμνᾶν, τὸ φροντίζειν, τὸ τήκεσθαι, τὸ ὀδυνᾶσθαι, τὸ λόγον ποιεῖσθαι

* τῷ Θεῷ

γρ. ἐ

Ησ. α. 15.

γρ. εὐθυμίας

* ἐκ

ποιεῖσθαι αὐτοῦ τῆς ἀποστροφῆς. ὁ καὶ Παῦλος Κορινθίοις γράφων, περὶ ἑαυτοῦ φησι· Καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; οὐ μικρὸν γὰρ τοῦτο, ἀγαπητὲ, κέρδος, τὸ αἰσθάνεσθαι τῆς ἀποστροφῆς τοῦ Θεοῦ, τὸ ἀλγεῖν, τὸ ὀδυνᾶσθαι. οὕτω γὰρ αὐτὸν ταχέως πρὸς ἡμᾶς ἐπιστρέψομεν.

β Κορ. β. β.

3 Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. 4 Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον. Ὥσπερ ἀντεχομένου τοῦ Θεοῦ καὶ μεθ' ἡμῶν ὄντος, τὰ λυποῦντα ἐκποδὼν ἅπαντα γίνεται· οὕτως ἀποστάντος καὶ ἐπιλαθομένου, καὶ ψυχὴ διακόπτεται, καὶ καρδία ὀδυνᾶται, καὶ οἱ λυποῦντες ἐπεμβαίνουσι, καὶ πάντα κρημνοὶ καὶ σκόπελοι. συγχωρεῖται δὲ ταῦτα συμφερόντως, ὥστε διὰ πάντων δακνομένους τοὺς ῥαθυμοτέρους σπουδαιότερον ἐπιμεληθῆναι, ὅθεν ἐξέπεσον. Παιδεύσει γάρ σε, φησὶν, ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. ὥστε καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. ὅταν γὰρ προνοῶν καὶ κηδόμενος καταφρονῆται, ἀφίησι " μικρὸν καὶ ἐγκαταλιμπάνει, ἵνα τότε τῆς ῥαθυμίας ἐκβληθείσης, σπουδαιότεροι οἱ " ὀλίγωροι γένωνται· ** λείπει πολλά. **

Ἱερεμ. β. ιθ.

γρ. μακρὸν

γρ. ὀλιγωρότε-ροι

Ψαλμ. μα. ΟΝ ΤΡΟΠΟΝ ΕΠΙΠΟΘΕΙ Η ΕΛΑΦΟΣ ΕΠΙ τὰς πηγὰς τῶν ὑδάτων· Καὶ τίνος χάριν ὁ ψαλμὸς εἰς τὸν βίον εἰσενεχθεὶς μετ' ᾠδῆς ψάλλεται, καὶ περὶ τῆς τοῦ Θεοῦ μακροθυμίας.

Ὑμεῖς μὲν ἡμᾶς ἐθαυμάζετε πρῴην, ὅτε τὸν περὶ τοῦ Μελχισεδὲκ ἐκινήσαμεν λόγον, ἐπὶ τῷ μήκει τῶν εἰρημένων· ἐγὼ δὲ ὑμᾶς ἐθαύμαζον ἐπὶ τῇ τῆς ἀκροάσεως προθυμίᾳ τε καὶ συνέσει, καὶ ὅτι μακροτέρου τοῦ λόγου προελθόντος, μέχρι τέλους παρηκολουθήσατε ἡμῖν· καίτοι γε οὐ μακρὸς ἦν ὁ λόγος μόνον, ἀλλὰ καὶ δυσχέρειαν εἶχε πολλήν. ἀλλ' οὔτε τὸ μῆκος, οὔτε ἡ δυσκολία τὴν ὑμετέραν ἤλεγξε προθυμίαν. φέρε οὖν, ὑμῖν ἀμοιβὴν ἀποδῶμεν ἐκείνου τοῦ πόνου, σαφεστέραν πρὸς ὑμᾶς τήμερον ποιησάμενος τὴν διάλεξιν. οὐδὲ γὰρ ἐπιτείνειν ἀεὶ δεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν (διαρρήγνυται γὰρ ταχέως) οὔτε χαλᾷν ἀεὶ καὶ ἀνιέναι. καὶ γὰρ ἐντεῦθεν ἀργοτέρα γίνεται πάλιν. διὸ ποικίλλειν χρὴ τὸ τῆς διδασκαλίας εἶδος, καὶ νῦν μὲν πανηγυρικωτέρων, νῦν δὲ ἀγωνιστικωτέρων ἅπτεσθαι λόγων. ὥσπερ οὖν τότε ἔλεγον, ὅτι τῶν λύκων ἐπιόντων τῇ ποίμνῃ, τὴν σύριγγα ἀφέντες, τὴν σφενδόνην μεταχειρίζεσθαι χρή· οὕτω νῦν δὴ παρελθουσῶν τῶν ἑορτῶν τῶν Ἰουδαϊκῶν, οἳ λύκων ἁπάντων εἰσὶ χαλεπώτεροι, τὴν σφενδόνην πάλιν ἀφέντες, ἐπὶ τὴν σύριγγα ἐπανίωμεν· καὶ τοὺς ἀγωνιστικωτέρους ἀναπαύσαντες λόγους, ἑτέρων τινῶν σαφεστέρων ἁψώμεθα, τὴν κιθάραν αὐτὴν τοῦ Δαβὶδ μεταχειριζόμενοι, καὶ τὴν ὑπακοὴν εἰς μέσον ἄγοντες, ἣν ἅπαντες ὑπεψάλλομεν τήμερον. τίς οὖν ἐστιν ἡ ὑπακοή;

1 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Μᾶλλον δὲ ἀναγκαῖον εἰπεῖν πρότερον, τίνος ἕνεκεν ὁ ψαλμὸς εἰς τὸν βίον εἰσενήνεκται τὸν ἡμέτερον, καὶ μετ' ᾠδῆς μάλιστα αὕτη ἡ προφητεία λέγεται. τίνος οὖν ἕνεκεν λέγεται μετ' ᾠδῆς, ἄκουσον. πολλοὺς τῶν ἀνθρώπων κατιδὼν ὁ Θεὸς ῥαθυμοτέρους ὄντας, καὶ πρὸς τὴν τῶν πνευματικῶν ἀνάγνωσιν δυσχερῶς ἔχοντας, καὶ τὸν ἐκεῖθεν οὐχ ἡδέως ὑπομένοντας κάματον· ποθεινότερον ποιῆσαι τὸν πόνον βουλόμενος, καὶ τοῦ καμάτου τὴν αἴσθησιν ὑποτεμέσθαι, μελῳδίαν ἀνέμιξε τῇ προφητείᾳ,

ἵνα τῷ ῥυθμῷ τοῦ μέλους ψυχαγωγούμενοι πάντες, μετὰ πολλῆς τῆς προθυμίας τοὺς ἱεροὺς ἀναπέμπωσιν αὐτῷ ὕμνους. Οὐδὲν γὰρ, οὐδὲν οὕτως ἀνίστησι ψυχὴν, καὶ πτεροῖ, καὶ τῆς γῆς ἀπαλλάττει, καὶ τῶν τοῦ σώματος ἀπολύει δεσμῶν, καὶ φιλοσοφεῖν ποιεῖ, καὶ πάντων καταγελᾶν τῶν βιωτικῶν, ὡς μέλος συμφωνίας, καὶ ῥυθμῷ συγκείμενον θεῖον ᾆσμα. Οὕτω γοῦν ἡμῶν ἡ φύσις πρὸς τὰ ᾄσματα καὶ τὰ μέλη ἡδέως ἔχει καὶ οἰκείως, ὡς καὶ τὰ ὑπομάζια παιδία κλαυθμυριζόμενα καὶ δυσχεραίνοντα, οὕτω κατακοιμίζεσθαι. αἱ γοῦν τίτθαι ἐν ταῖς ἀγκάλαις αὐτὰ βαστάζουσαι, πολλάκις ἀπιοῦσαί τε καὶ ἐπανιοῦσαι, καί τινα αὐτοῖς κατεπᾴδουσαι ᾄσματα παιδικὰ, οὕτως αὐτῶν τὰ βλέφαρα κατακοιμίζουσι. διὰ τοῦτο καὶ ὁδοιπόροι πολλάκις κατὰ μεσημβρίαν ἐλαύνοντες ὑποζύγια, ᾄδοντες τοῦτο ποιοῦσι, τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν ταῖς ᾠδαῖς ἐκείναις παραμυθούμενοι. οὐχ ὁδοιπόροι δὲ μόνον, ἀλλὰ καὶ γηπόνοι ληνοβατοῦντες, καὶ τρυγῶντες, καὶ ἀμπέλους θεραπεύοντες, καὶ ἄλλο ὁτιοῦν ἐργαζόμενοι, πολλάκις ᾄδουσι· καὶ ναῦται κωπηλατοῦντες, τοῦτο ποιοῦσιν. ἤδη δὲ καὶ γυναῖκες ἱστουργοῦσαι, καὶ τῇ κερκίδι τοὺς στήμονας συγκεχυμένους διακρίνουσαι, πολλάκις μὲν καὶ καθ' ἑαυτὴν ἑκάστη, πολλάκις δὲ καὶ συμφώνως ἅπασαι, μίαν τινὰ μελῳδίαν ᾄδουσι. ποιοῦσι δὲ τοῦτο καὶ γυναῖκες, καὶ ὁδοιπόροι, καὶ γηπόνοι, καὶ ναῦται, τῷ ᾄσματι τὸν ἐκ τῶν ἔργων πόνον παραμυθήσασθαι σπουδάζοντες, ὡς τῆς ψυχῆς, εἰ μέλους ἀκούσειε καὶ ᾠδῆς, ῥᾷον ἅπαντα ἐνεγκεῖν δυναμένης τὰ ὀχληρὰ καὶ ἐπίπονα. ἐπεὶ οὖν οἰκείως ἡμῖν πρὸς τοῦτο ἔχει τὸ εἶδος τῆς τέρψεως ἡ ψυχὴ· ἵνα μὴ πορνικὰ ᾄσματα οἱ δαίμονες εἰσάγοντες ἅπαντα ἀνατρέπωσι, τοὺς ψαλμοὺς ἐπετείχισεν ὁ Θεός, ὥστε ὁμοῦ καὶ ἡδονὴν τὸ πρᾶγμα καὶ ὠφέλειαν εἶναι. ἀπὸ μὲν γὰρ τῶν ἔξωθεν ᾀσμάτων, βλάβη, καὶ ὄλεθρος, καὶ πολλὰ ἂν εἰσαχθείη δεινά (τὰ γὰρ ἀσελγέστερα καὶ παρανομώτερα τῶν ᾀσμάτων τούτων τοῖς τῆς ψυχῆς μέρεσιν ἐγγινόμενα, ἀσθενεστέραν αὐτὴν καὶ μαλακωτέραν ποιοῦσιν) ἀπὸ δὲ τῶν ψαλμῶν τῶν πνευματικῶν, πολὺ μὲν τὸ κέρδος, πολλὴ δὲ ἡ ὠφέλεια, πολὺς δὲ ὁ ἁγιασμός, καὶ πάσης φιλοσοφίας ὑπόθεσις γένοιτ' ἄν, τῶν τε ῥημάτων τὴν ψυχὴν ἐκκαθαιρόντων, τοῦ τε ἁγίου πνεύματος τῇ τὰ τοιαῦτα ψαλλούσῃ ταχέως ἐφιπταμένου ψυχῇ. ὅτι γὰρ οἱ μετὰ συνέσεως ψάλλοντες τὴν τοῦ πνεύματος καλοῦσι χάριν, ἄκουσον τί φησιν ὁ Παῦλος· Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι. ἐπήγαγε δὲ καὶ τὸν τρόπον τῆς πληρώσεως. ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. τί ἐστιν, ἐν ταῖς καρδίαις ὑμῶν; μετὰ συνέσεως, φησίν· ἵνα μὴ τὸ στόμα μὲν λαλῇ τὰ ῥήματα, ἡ διάνοια δὲ ἔξω διατρίβῃ πανταχοῦ πλανωμένη, ἀλλ' ἵνα ἀκούῃ ἡ ψυχὴ τῆς γλώττης. καὶ καθάπερ ἔνθα μὲν βόρβορος, χοῖροι τρέχουσιν· ἔνθα δὲ ἀρώματα καὶ θυμιάματα, μέλιτται κατασκηνοῦσιν· οὕτως ἔνθα μὲν ᾄσματα πορνικά, δαίμονες ἐπισωρεύονται· ἔνθα δὲ μέλη πνευματικά, ἡ τοῦ πνεύματος ἐφίπταται χάρις, καὶ τὸ στόμα καὶ τὴν ψυχὴν ἁγιάζει. ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε μόνον, ἀλλ' ἵνα καὶ παῖδας καὶ γυναῖκας τὰ τοιαῦτα διδάσκητε ᾄσματα ᾄδειν, οὐκ ἐν ἱστοῖς μόνον, οὐδὲ ἐν τοῖς ἄλλοις ἔργοις, ἀλλὰ μάλιστα ἐν τραπέζῃ. ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ ἐν συμποσίοις ὁ διάβολος ἐφεδρεύει, μέθην, καὶ ἀδηφαγίαν ἔχων αὐτῷ συμμαχοῦσαν, καὶ γέλωτα ἄτακτον, καὶ ψυχὴν ἀνειμένην, μάλιστα τότε δεῖ καὶ πρὸ τραπέζης, καὶ μετὰ τράπεζαν ἐπιτειχίζειν αὐτῷ τὴν ἀπὸ τῶν ψαλμῶν ἀσφάλειαν, καὶ κοινῇ μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων ἀναστάντας ἀπὸ τοῦ συμποσίου, τοὺς ἱεροὺς ᾄδειν ὕμνους τῷ Θεῷ. εἰ γὰρ ὁ Παῦλος μάστιγας ἔχων ἀφορήτους ἐπικειμένας, καὶ ξύλῳ προσδεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, ἐν μέσῃ νυκτὶ (ὅτε μάλιστα γλυκὺς ὁ ὕπνος ἐφίσταται πᾶσι) μετὰ τοῦ Σίλα διετέλει τὸν Θεὸν ὑμνῶν, καὶ οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ,

Ἐφ. ε. ιζ.

Πράξ. ις. κε.

οὔτε ἀπὸ τῆς φροντίδος, οὔτε ἀπὸ τῆς τυραννίδος τοῦ ὕπνου, οὔτε ἀπὸ τῆς ἀλγηδόνος τῶν πόνων ἐκείνων, οὔτε ἄλλοθεν οὐδαμόθεν ἠναγκάσθη καθυφεῖναι τῆς μελῳδίας· πολλῷ μᾶλλον ἡμᾶς εὐφραινομένους, καὶ τῶν ἀγαθῶν ἀπολαύοντας τοῦ Θεοῦ, εὐχαριστηρίους ὕμνους ἀναπέμπειν αὐτῷ χρή, ἵνα κἄν τι γένηται διὰ τῆς μέθης καὶ τῆς ἀδηφαγίας ἄτοπον εἰς τὴν ψυχὴν τὴν ἡμετέραν, τῆς ψαλμῳδίας ἐπεισελθούσης, ἀποπηδήσῃ πάντα ἐκεῖνα τὰ ἄτοπα καὶ πονηρὰ βουλεύματα· καὶ καθάπερ πολλοὶ τῶν πλουτούντων τὴν σπογγιὰν βαλσάμου πλήσαντες οὕτω τὰς τραπέζας ἀπομάσσουσιν, ἵνα εἴ τις ἀπὸ τῶν ἐδεσμάτων γένηται κηλίς, περισυροῦσα καθαρὰν δείξῃ τὴν τράπεζαν· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν, ἀντὶ βαλσάμου τὸ στόμα ἐμπλήσαντες μελῳδίας πνευματικῆς, ἵνα εἴ τις ἐγένετο κηλὶς ἀπὸ τῆς ἀδηφαγίας ἐν τῇ ψυχῇ, διὰ τῆς μελῳδίας ἀποσμήξωμεν ἐκείνην, καὶ λέγωμεν κοινῇ στάντες· Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ Ψαλ. ϟα. δ. ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιασόμεθα. καὶ εὐχὴ μετὰ τὴν ψαλμῳδίαν προσκείσθω, ἵνα μετὰ τῆς ψυχῆς καὶ τὴν οἰκίαν αὐτὴν ἁγιάζωμεν. ὥσπερ γὰρ οἱ μίμους, καὶ ὀρχηστάς, καὶ πόρνας γυναῖκας εἰς τὰ συμπόσια εἰσάγοντες, δαίμονας καὶ τὸν διάβολον ἐκεῖ καλοῦσι, καὶ μυρίων πολέμων τὰς αὐτῶν ἐμπιπλῶσιν οἰκίας (ἐντεῦθεν γοῦν ζηλοτυπίαι καὶ μοιχεῖαι καὶ πορνεῖαι καὶ τὰ μυρία δεινά) οὕτως οἱ τὸν Δαβὶδ καλοῦντες μετὰ τῆς κιθάρας, ἔνδον τὸν Χριστὸν δι' αὐτοῦ καλοῦσιν. ὅπου δὲ ὁ Χριστός, δαίμων μὲν οὐδεὶς ἐπεισελθεῖν, μᾶλλον δὲ παρακύψαι τολμήσειέ ποτε· εἰρήνη δὲ καὶ ἀγάπη καὶ πάντα ὥσπερ ἐκ πηγῶν ἥξει τὰ ἀγαθά. ἐκεῖνοι ποιοῦσι θέατρον τὴν οἰκίαν αὐτῶν· σὺ ποίησον ἐκκλησίαν τὸ δωμάτιόν σου. ἔνθα γὰρ ψαλμός, καὶ εὐχή, καὶ προφητῶν χορεία, καὶ διάνοια τῶν ᾀδόντων θεοφιλής, οὐκ ἄν τις ἁμάρτοι τὴν σύνοδον ταύτην προσειπὼν ἐκκλησίαν. κἂν μὴ εἰδῇς τὴν δύναμιν τῶν ῥημάτων, αὐτὸ τέως τὸ στόμα παίδευσον τὰ ῥήματα λέγειν. ἁγιάζεται γὰρ καὶ διὰ ῥημάτων ἡ γλῶττα, ὅταν μετὰ προθυμίας ταῦτα λέγηται. ἐὰν εἰς ταύτην ἑαυτοὺς καταστήσωμεν τὴν συνήθειαν, οὐδὲ ἑκόντες, οὐδὲ ῥᾳθυμοῦντές ποτε προησόμεθα τὴν καλὴν ταύτην λειτουργίαν, τοῦ ἔθους καὶ ἄκοντας ἡμᾶς ἀναγκάζοντος καθ' ἑκάστην ἡμέραν τὴν καλὴν ταύτην ἐπιτελεῖν λατρείαν. ἐπὶ τῆς μελῳδίας ταύτης, κἂν γεγηρακώς τις ᾖ, κἂν νέος, κἂν δασύφωνος, κἂν ῥυθμοῦ παντὸς ἄπειρος, οὐδὲν ἔγκλημα γίνεται. τὸ γὰρ ζητούμενον ἐνταῦθα, ψυχὴ νήφουσα, διεγηγερμένη διάνοια, καρδία κατανενυγμένη, λογισμὸς ἐρρωμένος, συνειδὸς ἐκκεκαθαρμένον. ἐὰν ταύτην ἔχων εἰσέλθῃς εἰς τὸν ἅγιον τοῦ Θεοῦ χορόν, παρ' αὐτὸν δυνήσῃ στῆναι τὸν Δαβίδ. ἐνταῦθα οὐ χρεία κιθάρας, οὐδὲ νεύρων τεταμένων, οὔτε πλήκτρου καὶ τέχνης, οὐδὲ ὀργάνων τινῶν· ἀλλ' ἐὰν θέλῃς, σὺ σαυτὸν ἐργάσῃ κιθάραν, νεκρώσας τὰ μέλη τῆς σαρκός, καὶ πολλὴν τῷ σώματι πρὸς τὴν ψυχὴν ποιήσας τὴν συμφωνίαν. ὅταν Γαλ. ε. ιζ. γὰρ μὴ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος ἡ σάρξ, ἀλλ' εἴκῃ τοῖς ἐπιτάγμασι τοῖς ἐκείνου, καὶ εἰς πέρας ἄγῃ ταύτην ἐπὶ τὴν ἀρίστην καὶ θαυμαστὴν ὁδόν, οὕτως ἐργάσῃ μελῳδίαν πνευματικήν. οὐ χρεία τέχνης ἐνταῦθα χρόνῳ μακρῷ κατορθουμένης, ἀλλὰ προαιρέσεως δεῖ γενναίας μόνον, καὶ δεξόμεθα τὴν ἐμπειρίαν ἐν βραχείᾳ καιροῦ ῥοπῇ. οὐ χρεία τόπου, οὐ χρεία χρόνου, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ, καὶ ἐν παντὶ καιρῷ ψάλλειν ἔξεστι κατὰ διάνοιαν. Ψαλ. λγ. α. Μαλαχ. α. ια. κἂν γὰρ ἐν ἀγορᾷ βαδίζῃς, κἂν ἐν ὁδοῖς ᾖς, κἂν φίλοις συνεδρεύῃς, ἔξεστι διεγεῖραι τὴν ψυχήν, ἔξεστι σιγῶντα βοᾶν. οὕτω καὶ ὁ Μωϋσῆς ἐβόα, καὶ ὁ Θεὸς ἤκουσε. κἂν Ἐξοδ. ιδ. ιε. χειροτέχνης ᾖς, ἐν ἐργαστηρίῳ καθήμενος καὶ ἐργαζόμενος, δύνῃ ψάλλειν. κἂν στρατιώτης ᾖς, ἐν δικαστηρίῳ προσεδρεύων, δυνήσῃ τὸ αὐτὸ τοῦτο ποιεῖν. ἔξεστι καὶ χωρὶς φωνῆς ψάλλειν, τῆς διανοίας ἔνδον ἠχούσης. οὐ γὰρ ἀνθρώποις ψάλλομεν, ἀλλὰ Θεῷ τῷ δυναμένῳ καὶ καρδίας ἀκοῦσαι, καὶ εἰς τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν εἰσελθεῖν. καὶ ταῦτα Παῦλος ἐνδεικνύμενος βοᾷ, λέγων· Αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. τοῦτο δὲ ἔλεγεν, οὐκ ἐπειδὴ τὸ πνεῦμα ἐστέναζεν, ἀλλ' ἐπειδὴ οἱ πνευματικοὶ ἄνδρες, οἱ τὰ χαρίσματα τοῦ πνεύματος ἔχοντες, ὑπὲρ τῶν πλησίον εὐχόμενοι, καὶ τὰς ἱκετηρίας ἀναφέροντες, μετὰ κατανύξεως καὶ στεναγμῶν τοῦτο ἐποίουν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ καθ' ἑκάστην ἡμέραν ἐντυγχάνωμεν τῷ Θεῷ διά τε ψαλμῶν καὶ εὐχῶν. ἵνα δὲ μὴ τὰ ῥήματα μόνον προσφέρωμεν, ἀλλὰ τὴν δύναμιν αὐτῶν εἰδῶμεν τῶν ῥήσεων, φέρε, τὸ προοίμιον αὐτὸ τοῦ ψαλμοῦ εἰς μέσον ἀγάγωμεν. τί οὖν ἐστι τὸ προοίμιον; ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. τοιοῦτον τῶν ἐρώντων τὸ ἔθος, μὴ κατέχειν σιγῇ τὸν ἔρωτα, ἀλλ' εἰς τοὺς πλησίον ἐκφέρειν, καὶ λέγειν ὅτι φιλοῦσι. θερμὸν γάρ τι πρᾶγμα τῆς ἀγάπης ἡ φύσις, καὶ σιγῇ στέγειν αὐτὴν οὐκ ἂν ἀνέχοιτο ἡ ψυχή. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε Κορινθίοις φιλῶν· Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι· τουτέστι, στέγειν καὶ σιγῇ κατέχειν τὴν ἀγάπην οὐ δύναμαι, ἀλλὰ διὰ πάντων ὑμᾶς, καὶ πανταχοῦ, καὶ ἐπὶ τῆς διανοίας, καὶ ἐπὶ τῆς γλώττης περιφέρω. οὕτω καὶ ὁ μακάριος οὗτος φιλῶν τὸν Θεόν, καὶ καιόμενος ἐν τῷ φίλτρῳ, οὐκ ἀνέχεται σιγᾶν, ἀλλὰ ποτὲ μέν φησιν· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· ποτὲ δέ, Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυχή μου, ὡς γῆ ἄβατος καὶ ἄνυδρος καὶ ἔρημος. οὕτω γὰρ ἕτερος τῶν ἑρμηνευτῶν εἶπεν. ἐπειδὴ γὰρ λόγῳ παραστῆσαι τὸν ἔρωτα οὐκ ἰσχύει, περιέρχεται ζητῶν ὑπόδειγμα, ἵνα κἂν οὕτω τὸ φίλτρον ἡμῖν ἐνδείξηται, καὶ κοινωνοὺς ποιήσῃ τοῦ ἔρωτος. πειθώμεθα τοίνυν αὐτῷ, καὶ μάθωμεν οὕτως ἐρᾶν. καὶ μή μοι λεγέτω τις· καὶ πῶς δύναμαι φιλεῖν τὸν Θεόν, ὃν οὐ βλέπω; καὶ γὰρ πολλοὺς οὐχ ὁρῶντες φιλοῦμεν, οἷον τοὺς ἐν ἀποδημίᾳ φίλους ὄντας ἡμῖν, ἢ παῖδας καὶ πατέρας, ἢ συγγενεῖς καὶ οἰκείους· καὶ οὐδὲν γίνεται κώλυμα ἐκ τοῦ μὴ ὁρᾶν, ἀλλ' αὐτὸ δὴ τοῦτο μάλιστα ἐκκαίει τὸ φίλτρον, αὔξει τὸν πόθον. διὰ τοῦτο καὶ περὶ Μωϋσέως λέγων ὁ Παῦλος, ὅτι καταλιπὼν θησαυρούς, καὶ πλοῦτον, καὶ βασιλείας περιφάνειαν καὶ τὴν ἄλλην ἅπασαν λαμπρότητα τὴν ἐν Αἰγύπτῳ, εἵλετο μετὰ τῶν Ἰουδαίων κακουχεῖσθαι. εἶτα τὴν αἰτίαν ἡμᾶς διδάσκων, ὅτι δὴ ταῦτα πάντα ἐποίει διὰ τὸν Θεόν, προσέθηκε· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει. οὐχ ὁρᾷς τὸν Θεόν, ἀλλ' ὁρᾷς τὰ δημιουργήματα, ὁρᾷς αὐτοῦ τὰ ἔργα, οὐρανόν, καὶ γῆν, καὶ θάλατταν. ὁ δὲ φιλῶν, κἂν ἔργον ἴδῃ τοῦ φιλουμένου, κἂν ὑπόδημα, κἂν ἱμάτιον, κἂν ὁποιονοῦν ἕτερον, διαθερμαίνεται. οὐχ ὁρᾷς τὸν Θεόν, ἀλλ' ὁρᾷς αὐτοῦ τοὺς οἰκέτας, τοὺς φίλους, τοὺς ἁγίους ἄνδρας λέγω καὶ παρρησίαν ἔχοντας. θεράπευσον ἐκείνους νῦν, καὶ ἕξεις τοῦ πόθου παραμυθίαν οὐ τὴν τυχοῦσαν. καὶ γὰρ ἐπ' ἀνθρώπων, οὐχὶ τοὺς φίλους ἡμῶν μόνον, ἀλλὰ καὶ τοὺς ὑπ' ἐκείνων φιλουμένους φιλεῖν εἰώθαμεν. κἂν εἴπῃ τις τῶν ἐρωμένων τῶν ἡμετέρων, ὅτι τὸν δεῖνα φιλῶ, κἂν ἐκεῖνός τι πάθῃ χρηστόν, ἐγὼ τῆς εὐεργεσίας ἀπολαύειν νομίζω· πάντα ποιοῦμεν καὶ πραγματευόμεθα, ὥσπερ αὐτὸν τὸν ἐρώμενον ὁρῶντες, οὕτω πᾶσαν περὶ ἐκεῖνον ἐπιδείξασθαι σπουδήν. ἔξεστι τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ κατορθῶσαι νῦν. εἶπεν, ὅτι τοὺς πένητας φιλῶ· κἂν οὗτοί τι πάθωσιν ἀγαθόν, ὡς αὐτὸς ἀπολελαυκώς, οὕτως ἀποδίδωμι τὴν ἀμοιβήν. πάντα ποιήσωμεν ὑπὲρ τῆς εἰς αὐτοὺς θεραπείας· μᾶλλον δὲ πάντα τὰ ὄντα κενώσωμεν εἰς αὐτούς, πιστεύοντες διὰ τούτων τὸν Θεὸν τρέφειν. ὅτι γὰρ αὐτὸς τρέφεται τούτων τρεφομένων, ἄκουσον τοῦ Χριστοῦ τί φησι. Πεινῶντά με γὰρ εἴδε-

τέ,

Ρωμ. κϛ.

β. Κορ. ϛ. ια.

Ψαλμ. ξβ. α.

Ἑβρ. ια. κε. κϛ. κζ.

Ματθ. ιθ. κα. καὶ κεφ. κε. λε.

Ματθ. κε. λε.

τέ, φησι, καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατε· γυμνόν, καὶ περιεβάλετε· καὶ πολλὰς ἔδωκεν ἡμῖν ἀφορμὰς τοῦ παραμυθεῖσθαι τὸν πόθον τὸν ἡμέτερον. ἄλλως δέ, τὸν ἔρωτα τὸν παρ' ἡμῖν τρία ταῦτα ποιεῖν εἴωθεν· ἢ εὐμορφία σώματος, ἢ εὐεργεσίας μέγεθος, ἢ τὸ φιλεῖσθαι παρὰ τούτου. τούτων γὰρ ἕκαστον, αὐτὸ καθ' ἑαυτὸ δύναται ἐμποιῆσαι φίλτρον ἡμῖν. κἂν γὰρ μηδὲν ὦμεν εὖ παθόντες παρά τινος, ἀκούωμεν δὲ μόνον ὅτι φιλῶν ἡμᾶς διατελεῖ, ἐπαινῶν ἡμᾶς καὶ θαυμάζων, εὐθέως αὐτῷ συγκολλώμεθα, καὶ στέργομεν ὡς εὐεργέτην. ἐπὶ τοῦ Θεοῦ δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ τρία ταῦτά ἐστιν ἰδεῖν μεθ' ὑπερβολῆς τοσαύτης, ὅσης οὐδεὶς λόγος παραστῆσαι δυνήσεται. καὶ πρῶτον, τὸ κάλλος τῆς μακαρίας ἐκείνης καὶ ἀκηράτου φύσεως, ὅτι ἀμήχανόν πώς ἐστι καὶ ἄμαχον, πάντα ὑπερβαῖνον λόγον, καὶ πᾶσαν ἐκφεῦγον διάνοιαν. κάλλος δὲ ὅταν ἀκούσῃς, μηδὲν σωματικὸν ὑποπτεύσῃς, ἀγαπητέ, ἀλλ' ἀσώματόν τινα δόξαν, καὶ μεγαλοπρέπειαν ἄφραστον. ταύτην
γοῦν ἐκφαίνων ὁ προφήτης ἔλεγε· Καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, καὶ ταῖς Ησ. ς. β.
μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέτοντο, καὶ ἐκέκραγον· ἅγιος, ἅγιος, ἅγιος· ἀπὸ τῆς ἐκπλήξεως, ἀπὸ τοῦ θαύματος, ἀπὸ τῆς εὐπρεπείας ἐκείνης, ἀπὸ τῆς μεγαλοπρεπείας, ἀπὸ τῆς δόξης. καὶ πάλιν ὁ
Δαβὶδ κατανοήσας αὐτὸ τὸ κάλλος τῆς μακαρίας ἐκείνης φύσεως, ἔλεγε· Περίζω- Ψαλμ. μδ. δ.
σαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ· τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.
διὰ τοῦτο καὶ ὁ Μωϋσῆς ἐπεθύμει πολλάκις ἰδεῖν αὐτόν, τῷ φίλτρῳ τρωθεὶς τούτῳ, καὶ τῆς Ἐξοδ. λγ. ιγ.
δόξης ἐρῶν ἐκείνης. διὰ τοῦτο καὶ Φίλιππος ἔλεγε· Δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ Ἰω. ιδ. η.
ἡμῖν. μᾶλλον δὲ ὅσα ἂν εἴπωμεν, οὐδὲ μικρόν, μᾶλλον δὲ οὐδὲ ἀμυδρόν τι ἴχνος τῆς εὐπρεπείας ἐκείνης παραστῆσαι δυνησόμεθα. ἀλλὰ τὰς εὐεργεσίας βούλει καταλέξωμεν; ἀλλ' οὐδὲ ταύτας λόγος παραστῆσαι δυνήσεται. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· Χάρις β. Κορ. θ. ιε.
τῷ Κυρίῳ, ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. καὶ πάλιν· Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ α. Κορ. β. θ.
οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ πάλιν· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ὡς ἀνεξερεύνητα Ρωμ. ια. λγ.
τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ἀλλὰ τὸ φίλτρον, ὃ περὶ ἡμᾶς ἐπεδείξατο, ποῖος παραστήσει λόγος; τοῦτο γοῦν ἐκπληττόμενος ὁ Ἰωάννης ἔλεγεν· Οὕτω γὰρ Ἰω. γ. ις.
ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν. εἰ δὲ βούλει καὶ ἀ-
κοῦσαι αὐτοῦ τῶν ῥημάτων, καὶ τὸν πόθον μαθεῖν, ἄκουσον τί φησι διὰ τοῦ προφήτου· Μὴ ἐ- Ησ. μθ. ιε.
πιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου. καὶ καθάπερ οὗτος ἔλεγεν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· οὕτω καὶ ὁ Χριστός
φησιν, Ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ ἑαυτῆς νοσσία ὑπὸ τὰς πτέρυγας, οὕτως ἠθέλησα ἐπι- Ματθ. κγ. λζ.
συναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε. καὶ πάλιν· Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτεί- Ψαλμ. ρβ. ιγ.
ρησε Κύριος τοὺς φοβουμένους αὐτόν· καὶ πάλιν· Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐ- Ψαλμ. ρβ. ια.
κραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. καὶ καθάπερ ὁ προφήτης ὑπόδειγμα ζητεῖ, ἵνα τὸν πόθον ἐπιδείξηται τὸν ἑαυτοῦ· οὕτω καὶ ὁ Θεὸς ὑποδείγμασί τισι κέχρηται, ἵνα ἡμῖν δηλώσῃ τὸν ἔρωτα, ὃν περὶ τῆς ἡμετέρας σωτηρίας ἔχει. καὶ ὁ μὲν προφήτης ἔλαφον εἶπε διψῶσαν, καὶ γῆν ἐκκεκαυμένην· ὁ δὲ Θεός, ὀρνίθων περὶ νεοττοὺς φιλοστοργίαν, καὶ πατέρων κηδεμονίαν, καὶ ὕψος οὐρανοῦ ἀπὸ τῆς γῆς, καὶ εὐσπλαγχνίαν μητέρων· οὐκ ἐπειδὴ τοσοῦτον φιλεῖ μόνον, ὅσον μήτηρ παῖδα, ἀλλ' ἐπειδὴ τούτων τῶν ὅρων καὶ τῶν κανόνων καὶ τῶν ὑποδειγμάτων οὐκ ἔστι παρ' ἡμῖν ἕτερα μείζονα φιλίας τεκμήρια. ἐπεὶ ὅτι οὐ τοσοῦτον φιλεῖ μόνον ἡμᾶς, ὅσον παιδία μήτηρ φιλόστοργος, ἀλλὰ πολλῷ

Ησ. μθ. ιε. πλέον, ἄκουσον τί φησιν· Εἰ γὰρ καὶ ἐπιλάθοιτο γυνὴ τῶν ἐκγόνων αὐτῆς, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου. τοῦτο γὰρ ἔλεγε δεικνὺς ὅτι πάσης φυσικῆς φιλοστοργίας θερμότερος ὁ περὶ ἡμᾶς πόθος αὐτοῦ ἐστι. Ταῦτα δὴ πάντα συλλέγων ἀναλογίζου πρὸς ἑαυτὸν, καὶ θερμὸν ἀνάψας τὸν ἔρωτα, καὶ λαμπρὰν ἐργάζῃ τὴν φλόγα. ἐπεὶ οὖν τὰς φιλίας καὶ ἐπὶ ἡμῶν τῶν ἀνθρώπων οὐδὲν οὕτως ἐκκαίειν εἴωθεν, ὡς τὸ μεμνῆσθαι συνεχῶς τῶν εὐεργεσιῶν ὧν ἀπελαύσαμεν· καὶ ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶμεν. ἀναλογισώμεθα γὰρ ὅσα δι' ἡμᾶς ἐποίησεν· αὐτὸν τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὰ ἐν τῇ γῇ φυτὰ, τὰ ἄνθη τὰ ποικίλα, τὰ κτήνη, τὰ ἑρπετὰ, τὰ ἐν τῇ θαλάττῃ, τὰ ἐν ἀέρι, τὰ ἄστρα τὰ ἐν τῷ οὐρανῷ, τὸν ἥλιον, τὴν σελήνην, τὰ ὁρώμενα ἁπλῶς ἅπαντα, τὰς ἀστραπὰς, τῶν ὡρῶν τὴν εὐταξίαν, ἡμέρας καὶ νυκτὸς τὴν διαδοχὴν, τὰς ἐτησίους τροπάς. ψυχὴν ἐνέπνευσε, λόγον ἐχαρίσατο, ἀρχῇ τετίμηκε μεγίστῃ· ἀγγέλους ἀπέστειλε, προφήτας ἔπεμψεν, ὕστερον τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ· καὶ μετ' ἐκεῖνα πάλιν, καὶ αὐτὸς παρακαλεῖ καὶ δι' ἑαυτοῦ καὶ διὰ τοῦ μονογενοῦς παιδὸς, ἵνα σὺ σωθῇς. καὶ οὐ παύεται Παῦ- β. Κορ. ε. κ. λος μέχρι τῆς σήμερον λέγων· Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, καταλλάγητε τῷ Θεῷ. καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ καὶ ἀπὸ τῆς φύσεως τῆς Εφ. α. κα. σῆς λαβὼν ἀπαρχὴν, Ἐκάθισεν [ἄνω] ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλ- Ψαλ. ρε. β. λοντι. ἀληθῶς εὔκαιρον νῦν εἰπεῖν· Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς Ψαλ. ριε. γ. ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; κἀκεῖνο πάλιν· Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; τί γὰρ ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς, ὅταν ἡ ἀπαρχὴ τοῦ γένους ἡμῶν τοῦ τοσαῦτα προσκεκρουκότος, τοῦ ἠτιμωμένου, ἐν ὕψει τοσούτῳ καθέζηται, καὶ τοσαύτης ἀπολαύῃ τιμῆς; μὴ τὰς κοινὰς γὰρ μόνον εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίας ἀνάλεγε· οἷον, εἴποτε συκοφαντίᾳ περιπεσὼν, ἀπηλλάγης τῆς κατηγορίας· εἴποτε ἀωρίᾳ καὶ μεσονυκτίῳ λῃσταῖς περιτυχὼν, διέφυγες ἐκείνων τὰς ἐπιβουλάς· εἴποτε ζημίαν ἐπενεχθεῖσαν ἀπεδύσω· εἰ νοσήματι περιπεσὼν χαλεπῷ, παραμυθίας ἔτυχες. πάντα ἀνάλεγε τὰ παρὰ πᾶσάν σου τὴν ζωὴν γινόμενα εὐεργετήματα τοῦ Θεοῦ. πάντως πολλὰ ταῦτα εὑρήσεις, οὐ παρὰ πᾶσαν τὴν ζωὴν μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ μιᾷ. καὶ εἰ ἐβούλετο ὁ Θεὸς πάσας ἃς καθ' ἑκάστην ἡμέραν εὐεργεσίας ἡμᾶς εὐεργετεῖ, ἀγνοούντων ἡμῶν καὶ οὐκ εἰδότων, εἰς μέσον θεῖναι, οὐδ' ἂν ἀριθμῆσαι αὐτὰς ἐδυνήθημεν. πόσοι δαίμονες κατὰ τὸν ἀέρα φέρονται τοῦτον; πόσαι ἐναντίαι δυνάμεις; εἰ τοίνυν μόνον ἐπέτρεψεν αὐταῖς τὴν ὄψιν τὴν ἑαυτῶν δεῖξαι τὴν φοβερὰν ἐκείνην καὶ ἀτερπῆ, οὐκ ἂν ἐξέστημεν; οὐκ ἂν διεφθάρημεν; Ταῦτα δὴ πάντα ἀναλογιζόμενοι, καὶ τὰ ἁμαρτήματα ἑαυτῶν, ὅσα ἑκόντες, ὅσα ἀγνοοῦντες σφαλλόμεθα (καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εἰς εὐεργεσίας λόγον, τὸ μὴ καθ' ἑκάστην ἡμέραν ἐπεξιέναι τὸν Θεὸν τοῖς πλημμελήμασι τοῖς ἡμετέροις) δυνησόμεθα φιλεῖν τὸν Θεόν. ὅταν γὰρ ἐννοήσῃς ὅσα καθ' ἑκάστην ἁμαρτάνεις τὴν ἡμέραν, ὅσα καθ' ἑκάστην εὐεργετῇ τὴν ἡμέραν, ὅσης ἀπολαύεις μακροθυμίας, ὅσης ἀνέσεως, καὶ ὅτι, εἰ καθ' ἑκάστην ὁ Θεὸς ἐπεξῄει, οὐδὲ βραχὺν ἂν ἔζησας χρόνον Ψαλ. ρκθ. γ. (κατὰ τὸν προφήτην τὸν λέγοντα· Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται;) αὐτῷ χάριτας εἴσῃ, καὶ οὐδενὶ δυσχερανεῖς τῶν περιπιπτόντων, ἀλλ' ὄψει ὅτι κἂν μυρία πάθῃς δεινὰ, οὐδέπω τὴν ἀξίαν ἔδωκας δίκην. καὶ οὕτω διακείμενος πολὺν τὸν πόθον ἀνάψεις, καὶ δυνήσῃ κατὰ τὸν προφήτην λέγειν· Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. ἄξιον δὲ ἐστιν ἐξετάσαι, τί δήποτε τοῦτο τὸ ζῶον εἰς μέσον παρήγαγε. διψαλέον πῶς ἐστιν ἡ ἔλαφος, καὶ διὰ τοῦτο συνεχῶς τρέχει ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. διψαλέον δὲ γίνεται, ἀπό τε τῆς φύσεως, ἀπό τε τοῦ τοὺς ὄφεις κατεσθίειν, καὶ τοῖς ἐκείνων τρέφεσθαι σώμασι. τοίνυν καὶ σὺ ποίησον τοῦτο· τὸν νοητὸν ὄφιν κατάφαγε· ἐδάφισον τὴν ἁμαρτίαν, καὶ δυνήσῃ διψᾶν τὸν τοῦ Θεοῦ πόθον. καθάπερ γὰρ τὸ πονηρὸν συνειδὸς ῥυπαροὺς ἡμᾶς ἐργάζεται, καὶ εἰς ἀπόγνωσιν ἐμβάλλει· οὕτως ἂν ἐδαφίσωμεν ἡμῶν τὰς ἁμαρτίας, ἂν ἐκκαθάρωμεν τὴν πονηρίαν, δυνησόμεθα διαβλέψαι πρὸς τὸν πνευματικὸν πόθον, καὶ μετὰ πολλῆς προθυμίας καλεῖν τὸν Θεόν, καὶ τὸ φίλτρον ἀνάπτειν σφοδρότερον. καὶ μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἔργων ταύτην ψάλλε τὴν ὑπακοήν. καὶ γὰρ διὰ τοῦτο τοὺς ψαλμοὺς ἡμῖν ᾖσεν ὁ μακάριος ἐκεῖνος, μᾶλλον δὲ ἡ τοῦ πνεύματος χάρις, οὐχ ἵνα τὰ ῥήματα λέγωμεν μόνον, ἀλλ' ἵνα καὶ διὰ τῶν ἔργων αὐτοὺς ἐμμελετῶμεν. μὴ τοίνυν νομίσῃς διὰ τοῦτο ἐνταῦθα εἰσιέναι, ἵνα τὰ ῥήματα εἴπῃς μόνον, ἀλλ' ἵνα, ὅταν ὑποψάλλῃς, συνθήκας εἶναι νοήσῃς τὴν ὑπακοήν. ὅταν γὰρ εἴπῃς· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· συνέθου τῷ Θεῷ, γραμματεῖον ἔγραψας χωρὶς χάρτου καὶ μέλανος, διὰ τῆς φωνῆς ὡμολόγησας πάντων αὐτὸν μᾶλλον φιλεῖν, καὶ οὐδὲν αὐτοῦ προκρίνειν, καὶ καίεσθαι τῷ περὶ αὐτὸν ἔρωτι. ἂν τοίνυν ἐξελθὼν ἴδῃς γυναῖκα εὔμορφόν τινα καὶ ἀκόλαστον, δελεάζουσάν σε καὶ πρὸς τὸν ἔρωτα καλοῦσαν, εἰπὲ πρὸς αὐτήν· οὐ δύναμαί σοι ἀκολουθῆσαι, συνθήκας ἐθέμην πρὸς τὸν Θεόν, παρόντων τῶν ἀδελφῶν, τῶν ἱερέων, τῶν διδασκάλων ὡμολόγησα καὶ ὑπεσχόμην διὰ τῆς ὑπακοῆς οὕτως αὐτὸν φιλεῖν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, δέδοικα παραβῆναι τὰς συνθήκας. ἐκεῖνον λοιπὸν μνηστεύω τὸν ἔρωτα. ἐὰν ἴδῃς ἀργύριον κείμενον ἐπὶ τῆς ἀγορᾶς, ἢ ἱμάτια χρυσᾶ, ἐπόχους σοβοῦντας, οἰκέτας ἔχοντας, ἵππους χρυσοχαλίνους, μηδὲν πάθῃς ὑπὸ τῆς φαντασίας ἐκείνης, ἀλλὰ πάλιν ἔπᾳδε σαυτῷ, καὶ εἰπὲ πρὸς τὴν ψυχὴν τὴν σήν· πρὸ μικροῦ ὑπεψάλλομεν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· καὶ ᾠκειωσάμεθα τὸ γράμμα, καὶ ἡμῶν αὐτὸ ἐποιήσαμεν εἶναι. μηδὲν οὖν φιλῶμεν τῶν βιωτικῶν τούτων, ἵνα ἄκρατος ἡμῖν ὁ ἔρως ἐκεῖνος μείνῃ, καὶ μὴ μεριζόμενος ἀσθενέστερος γένηται. οὔτε ὁ πλοῦτος ἅπαντα πλοῦτον, ἅπαντα θησαυρόν, πᾶσαν εὐδοκίμησιν, πᾶσαν δόξαν, πᾶσαν περιφάνειαν ἡμῖν χαρίσασθαι δυνήσεται. τοῦτον κατέχωμεν, καὶ οὐδενὸς ἑτέρου δεησόμεθα. εἰ γὰρ οἱ τὸν αἰσχρὸν ἔρωτα τοῦτον φιλοῦντες, καὶ κόρης περικαιόμενοι πολλάκις ἀμόρφου τινός, καὶ πατέρων ἀπειλούντων, καὶ φίλων ὀνειδιζόντων, καὶ ἑτέρων πολλῶν διαβαλλόντων, οὐδὲ ἐπιστρέφονται, ἀλλὰ πρὸς ἐκείνην εἰσὶ τεταμένοι, καὶ οἰκίας καταφρονοῦσι, καὶ πατρῴου κλήρου, καὶ δόξης, καὶ εὐδοκιμήσεως, καὶ φίλων παραινέσεις ὑπερορῶσι, μεγάλην νομίζοντες ἔχειν παραμυθίαν τούτων ἁπάντων, ἂν εὐδοκιμῶσι παρὰ τῇ ἐρωμένῃ μόνον, κἂν εὐτελὴς ᾖ, κἂν ἄτιμος, κἂν ἥτισουν ἐκείνη· οἱ τὸν Θεὸν φιλοῦντες ὡς χρή, πότε αἰσθήσονται τῶν ἀνθρωπίνων ἢ τῶν λαμπρῶν, ἢ τῶν λυπηρῶν; οὐδὲ ὄψονται μὲν οὖν τὰς φαντασίας τοῦ παρόντος βίου, πρὸς ἐκεῖνον τεταμένοι τὸν ἔρωτα, ἀλλὰ πάσης μὲν καταγελάσουσι τῆς εὐημερίας, πάσης δὲ ὑπερόψονται δυσπραγίας, προσδεδεμένοι τῷ πόθῳ τοῦ Θεοῦ, καὶ οὐδὲν ἄλλο ὁρῶντες, ἀλλ' ἐκεῖνον μόνον, καὶ πανταχοῦ αὐτὸν φανταζόμενοι, καὶ πάντων μακαριωτέρους ἑαυτοὺς εἶναι νομίζοντες. κἂν ἐν πενίᾳ, κἂν ἐν ἀτιμίᾳ, κἂν ἐν δεσμοῖς, κἂν ἐν θλίψει, κἂν ἐν τοῖς ἐσχάτοις ὦσι κακοῖς, τῶν βασιλευόντων αὐτῶν ἄμεινον ἡγήσονται διακεῖσθαι ἐν πᾶσιν, οἷς ἂν πάσχωσι, θαυμαστήν τινα παραμυθίαν ἔχοντες, τὸ διὰ τὸν ποθούμενον ταῦτα πάσχειν. διὰ τοῦτο καὶ Παῦλος, Ἐν καθημερινοῖς θανάτοις ὤν, ἐν δεσμωτηρίοις, ἐν ναυαγίοις,

εἴπῃς

ἀμόρφου

β.Κορ. ια.κγ.

γίοις, ἐν ἐρημίαις, ἐν μάστιξιν, ἐν μυρίαις ἑτέραις κολάσεσιν ἔχαιρε, καὶ ἠγάλλετο, καὶ ἐσκίρτα, καὶ ἐκαυχᾶτο. Ρωμ.ε.γ. καὶ νῦν μὲν ἔλεγεν, ὅτι οὐ μόνον δὲ ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι· Κολ.α.κδ. νῦν δὲ πάλιν, Ὅτι χαίρω ἐν τοῖς παθήμασι, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου· καὶ χάριν τὸ πρᾶγμα καλεῖ, Φιλιπ.α.κθ. ὁμολογῶν οὕτω καὶ λέγων· Ὅτι ἡμῖν (γρ. ὑμῖν) οὕτως ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. τοιαύτην καὶ ἡμεῖς σπουδάζωμεν γνώμην ἔχειν, καὶ μεθ' ἡδονῆς ἅπαντα οἴσομεν (γρ. οἰσόμεθα) τὰ προσπίπτοντα λυπηρά. δυνησόμεθα δὲ φέρειν, ἂν τὸν Θεὸν φιλήσωμεν ὡς ὁ προφήτης ἐφίλησεν. οὐ γὰρ δὴ μόνον ἀπὸ τῆς ὑπακοῆς ταύτης ἐστὶν ἰδεῖν αὐτοῦ τὸ φίλτρον, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ῥημάτων. εἰπὼν γάρ, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός, ἐπήγαγε· 2 Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

Καὶ οὐκ εἶπεν· ἐφίλησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα, οὐδέ, ἠγάπησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα· ἀλλ' ἵνα τὴν διάθεσιν ἐνδείξηται, δίψος ἐκάλεσε τὸ φίλτρον, ἀμφότερα ἡμῖν δηλῶν, τό, τε διακαὲς τῆς ἀγάπης, καὶ τὸ διηνεκὲς τοῦ ἔρωτος. καθάπερ γὰρ οἱ διψῶντες, οὐκ ἐν μιᾷ τοῦτο πάσχουσιν ἡμέρᾳ καὶ δύο καὶ τρισίν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, τῆς φύσεως ἐπὶ τοῦτο ἀγούσης· οὕτω δὴ καὶ ὁ μακάριος ἐκεῖνος, καὶ πάντες οἱ ἅγιοι, οὐκ ἐν μιᾷ μόνον ἡμέρᾳ ἐν κατανύξει ἐγίνοντο, καθάπερ πολλοὶ τῶν ἀνθρώπων, οὐδὲ ἐν δυσὶ καὶ τρισί (τοῦτο γὰρ οὐδὲν θαυμαστόν) ἀλλὰ διηνεκῶς καὶ καθ' ἑκάστην ἡμέραν ἐρῶντες διετέλουν, καὶ τὴν ἀγάπην ἐπέτεινον. ὅπερ οὖν καὶ οὗτος ἐμφαίνων ἔλεγεν· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· ὁμοῦ καὶ τὴν αἰτίαν θέλων εἰπεῖν, καὶ δεῖξαι βουλόμενος πῶς ἄν τις τὸν Θεὸν φιλήσειε. διὰ γὰρ τῶν ἑξῆς τοῦτο ἐδήλωσεν, εἰπὼν· ὅτι ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, καὶ ἐπαγαγών, τὸν ζῶντα· μονονουχὶ παραινῶν, καὶ ἐμβοῶν πᾶσι τοῖς πρὸς τὰ βιωτικὰ πράγματα κεχηνόσι· τί περὶ σώματα μαίνεσθε; τί σωμάτων ἐρᾶτε; τί δόξης ἐπιθυμεῖτε; τί τρυφῆς ἐφίεσθε; Σοφ.α.β. α. Κορ.ζ.λα. οὐδὲν τούτων μένει καὶ ζῇ διηνεκῶς, ἀλλὰ διαρρεῖ καὶ παρέρχεται, καὶ σκιᾶς ἐστιν οὐδαμινότερα (γρ. ὑδαμινώτερα), καὶ ὀνείρων ἀπατηλότερα, καὶ τῶν ἐαρινῶν ἀνθέων εὐφθαρτότερα. πῶς γὰρ οὐκ εὐφθαρτότερα, τὰ μὲν μετὰ τῆς παρούσης ἡμᾶς καταλιμπάνοντα ζωῆς, τὰ δὲ καὶ πρὸ τῶν ἐνταῦθα καταλυόμενα; ἄπιστος αὐτῶν ἡ κτῆσις, ἀβέβαιος ἡ ἀπόλαυσις, ὀξύρροπος ἡ μεταβολή. ἐπὶ τοῦ Θεοῦ δέ, Μαλαχ.γ.ϛ. α. Τιμ.ϛ.ιϛ. οὐδὲν τούτων ἐστίν, ἀλλὰ ζῇ καὶ μένει διηνεκῶς, οὔτε ἀλλοίωσιν, οὔτε τροπήν τινα δεχόμενος. ἀφέντες τοίνυν τὰ πρόσκαιρα καὶ ἐφήμερα, τὸν αἰώνιον καὶ διηνεκῆ φιλῶμεν. οὐ γάρ ἐστιν ἐκεῖνον φιλοῦντα καταισχυνθῆναί ποτε· οὐκ ἔστιν ἐκπεσεῖν· οὐκ ἔστιν ἔρημον γενέσθαι τοῦ φιλουμένου. Αναι.β.ιϛ. χρήματα μὲν ὁ φιλῶν, ἢ τῆς τελευτῆς ἐπελθούσης, ἢ καὶ πρὸ τῆς τελευτῆς, γυμνοῦται τῶν ποθουμένων. καὶ δόξης τις ἐρῶν τῆς παρούσης, τὸ αὐτὸ πάσχει πολλάκις. καὶ τὸ τῶν σωμάτων δὲ κάλλος, πολὺ τῶν εἰρημένων κατασβέννυται θᾶττον. καὶ πάντα ἁπλῶς τὰ βιωτικὰ πρόσκαιρα, καὶ ἐφήμερα, καὶ πρὶν ἢ παραγενέσθαι καὶ φανῆναι, εὐθέως ἀποπηδᾷ. ὁ δὲ τῶν πνευματικῶν ἔρως, τοὐναντίον ἅπαν· ἀκμάζει διηνεκῶς, καὶ ἀνθεῖ, γῆρας οὐκ οἶδεν, οὐ παλαιότητα δέχεται, οὐδὲ μεταβολῇ τινι καὶ τροπῇ καὶ δειλίᾳ τῇ τοῦ μέλλοντός ἐστιν ὑπεύθυνος· ἀλλὰ καὶ ἐνταῦθα τοὺς κεκτημένους ὠφελεῖ καὶ περιβάλλει πάντοθεν, καὶ ἀπελθόντας ἐντεῦθεν οὐκ ἀφίησιν, ἀλλὰ συναποδημεῖ καὶ συμμεθίσταται τούτοις, καὶ τῶν φωστήρων αὐτῶν λαμπροτέρους αὐτοὺς ἀποφαίνει κατὰ τὴν ἡμέραν ἐκείνην. ἅπερ οὖν εἰδὼς καὶ ὁ μακάριος Δαβίδ, φιλῶν διετέλει, καὶ τὸν ἔρωτα οὐκ ἠνείχετο κατέχειν ἔνδον, ἀλλὰ παντὶ τρόπῳ δεῖξαι τοῖς ἀκούουσιν ἠπείγετο τὸ πῦρ, ὅπερ ἔνδον αὐτὸν συνεῖχεν. εἰπὼν γάρ· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα, ἐπήγαγε· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; ὅρα καιόμενον τὸν ἄνθρωπον, ὅρα ἐμπιπράμενον. εἰδὼς γὰρ ὅτι ἐντεῦθεν ἀπελθὼν αὐτὸν ὄψεται, οὐδὲ τὴν ἀναβολὴν ἀναμένει. οὐδὲ γὰρ στέγει τὴν ὑπέρθεσιν, ἀλλ᾽ ἀποστολικὸν ἡμῖν ἐν- β. Κορ. ε. β. ταῦθα δείκνυσι φρόνημα. καὶ γὰρ καὶ ἐκεῖνος ἔστενεν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας· καὶ τοῦτο αὐτὸ οὗτος ἔπασχε. διὰ τοῦτο ἔλεγε· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ εἰ μὲν ἰδιώτης τις ἦν, καὶ ταπεινός, καὶ ἐν πενίᾳ ζῶν, μέγα μὲν καὶ οὕτω τὸ τῆς παρούσης καταφρονῆσαι ζωῆς· πλὴν οὐχ οὕτω μέγα καθάπερ νῦν, τὸ βασιλέα ὄντα καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, τοσαύτης μετέχοντα δόξης, νίκας ἀνῃρημένον μυρίας, καὶ πολλῶν κρατήσαντα πολέμων, καὶ λαμπρὸν ὄντα καὶ ἐπίδοξον πανταχοῦ, πάντων μὲν καταγελᾶν τούτων, καὶ πλούτου, καὶ δόξης, καὶ τρυφῆς ἁπάσης, κεχηνέναι δὲ πρὸς τὰ μέλλοντα. τοῦτο μεγαλοψύχου τινός ἐστι διανοίας· τοῦτο φιλοσόφου ψυχῆς, καὶ τὸν οὐράνιον ἐρωμένης ἔρωτα. τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ θαυμάσωμεν τὰ παρόντα, ἵνα θαυμάσωμεν τὰ μέλλοντα· μᾶλλον δὲ θαυμάσωμεν τὰ μέλλοντα, ἵνα μὴ θαυμάσωμεν τὰ παρόντα. ἐὰν γὰρ διηνεκῶς ταῖς περὶ ἐκείνων ἐννοίαις ἐνδιατρίβωμεν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἀθανασίαν, τὴν ζωὴν τὴν ἀτελεύτητον, τὴν μετ᾽ ἀγγέλων χορείαν, τὴν μετὰ Χριστοῦ διατριβήν, τὴν ἀκήρατον δόξαν ἐκείνην, τὴν πάσης ὀδύνης ἀπηλλαγμένην ζωὴν ἀναλογισώμεθα πρὸς ἑαυτούς, καὶ ὅτι δάκρυα, καὶ ὀνείδη, καὶ λοιδορίαι, καὶ θάνατος, καὶ ἀθυμία, καὶ πόνος, καὶ γῆρας, καὶ νόσος, καὶ ἀρρωστία, καὶ πενία, καὶ συκοφαντία, καὶ χηρεία, καὶ ἁμαρτία, καὶ κατάγνωσις, καὶ κόλασις, καὶ τιμωρία, καὶ εἴ τι ἕτερον κατὰ τὸν παρόντα βίον ἐστὶ λυπηρὸν καὶ ἀηδές, ταῦτα ἅπαντα ἀπελήλαται· ἀντεισενήνεκται δὲ ἀντὶ τούτων εἰρήνη, ἀγάπη, χαρά, δόξα, τιμή, λαμπρότης, τὰ ἄλλα, ἅπερ οὐδὲ λόγος παραστῆσαι δυνήσεται· οὐδὲν ἡμᾶς τῶν παρόντων αἱρήσεται, ἀλλὰ καὶ ἡμεῖς δυνησόμεθα λέγειν κατὰ τὸν προφήτην· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ οὕτω διακείμενοι, οὔτε εἰς ἀπόνοιαν ἀπὸ τῶν τοῦ βίου λαμπρῶν, οὔτε εἰς ἀθυμίαν ἀπὸ τῶν λυπηρῶν ἐμπεσούμεθα. οὐ φθόνος, οὐ κενοδοξία, οὐκ ἄλλο τι τῶν τοιούτων ἡμᾶς αἱρήσει ποτέ. μὴ τοίνυν ἁπλῶς ἐνταῦθα εἰσίωμεν, μηδὲ τὰς ὑπακοὰς ἀφοσιούμενοι λέγωμεν, ἀλλ᾽ ἀντὶ βακτηρίας αὐτὰς λαβόντες ἐξέλθωμεν. ἀρκεῖ δὲ ἕκαστος στίχος πολλὴν ἡμῖν ἐνθεῖναι φιλοσοφίαν, καὶ εἰς δόγμα διορθῶσαι, καὶ εἰς βίον ὠφελῆσαι τὰ μέγιστα· κἂν μετὰ ἀκριβείας ἑκάστην διερευνήσωμεν ῥῆσιν, μεγάλα καρπωσόμεθα ἀγαθά. οὔτε γὰρ πενίαν, οὔτε ἀσχολίαν, οὔτε ὀκνηρίαν ἐνταῦθα δεῖ προβαλέσθαι. κἂν γὰρ πένης ᾖς, καὶ διὰ τὴν πενίαν ἀπορῇς βιβλίων, ἢ βιβλία μὲν ἔχῃς, σχολῆς δὲ μὴ ἀπολαύῃς· τὰς ὑπακοὰς μόνον διατήρησόν μοι τῶν ψαλμῶν, ἃς ἐνταῦθα ὑποψάλλεις, οὐχ ἅπαξ, οὐ δίς, οὐ τρίς, ἀλλὰ καὶ πολλάκις, καὶ μεγάλην ἀπελθὼν λήψῃ παραμυθίαν. ὅρα γοῦν ἡ ὑπακοὴ αὕτη πόσον ἡμῖν ἀνέῳξε θησαυρόν. καὶ μή μοι λεγέτω τις, ὅτι περὶ τῆς ἑρμηνείας οὐκ ᾔδειν αὐτῆς τὴν δύναμιν. καὶ γὰρ περὶ τῆς ἑρμηνείας, ἐν παντὶ καιρῷ τῷ ὁπωσοῦν βουλομένῳ προσέχειν εὐσύνοπτος ἡ ὑπακοή. εἰ γὰρ μόνον ἐπαίδευσας σαυτὸν λέγειν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ περὶ τῆς ἑρμηνείας ἤρκει σοι πᾶσαν ἐνθεῖναι φιλοσοφίαν. οὐκ αὕτη δὲ μόνον, ἀλλὰ καὶ ἑκάστη ὑπακοὴ τὸν αὐτὸν ἡμῖν παρέξεται πλοῦτον. καὶ γὰρ ἐὰν εἴπῃς πάλιν· Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, καὶ δυνηθῇς εἰδέναι τί Ψαλ. ρκζ. α.

ποτέ ἐστιν ὃ λέγεις· οὐ τὸν πλουτοῦντα, οὐ τὸν ἄρχοντα, οὐ τὸν εὔμορφον, οὐ τὸν ῥώμην κεκτημένον, οὐ τὸν οἰκίας ἔχοντα λαμπράς, οὐ τὸν ἐν δυναστείαις ὄντα, οὐ τὸν ἐν βασιλείᾳ στρεφόμενον, οὐκ ἄλλον οὐδένα, ἀλλ' ἢ τὸν ἐν εὐλαβείᾳ, τὸν ἐν φιλοσοφίᾳ, τὸν ἐν φόβῳ Θεοῦ ὄντα ζηλώσεις, οὐ μόνον διὰ τὰ μέλλοντα, ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. καὶ γὰρ καὶ ἐνταῦθα, οὗτος ἐκείνου δυνατώτερος. Εἰ γὰρ δὴ νόσος ἐπιστῇ ποτε, ὁ μὲν τὴν ἁλουργίδα ἔχων οὐδὲν ἀπὸ τῶν δορυφόρων καὶ τῆς πολλῆς φαντασίας εἰς παραμυθίαν ὠφελεῖται τῆς ἀρρωστίας· ἀλλὰ καὶ οἰκείων, καὶ πατέρων, καὶ πάντων παρόντων, καὶ χρυσῶν ἱματίων ἐπικειμένων τε καὶ ὑποκειμένων, ὥσπερ ἐν καμίνῳ κεῖται καιόμενος. ὁ δὲ ἐν εὐλαβείᾳ ζῶν καὶ τὸν Θεὸν φοβούμενος, οὐ παιδὸς, οὐκ οἰκέτου, οὐκ ἄλλου τινὸς παρόντος, ἀναβλέψας εἰς τὸν οὐρανὸν, οὐ πολλάκις, ἀλλὰ δὶς καὶ τρὶς πᾶσαν τὴν κάμινον ἐκείνην ἔσβεσε. τοῦτο καὶ ἐν ταῖς περιστάσεσι καὶ ἐν τοῖς ἀδοκήτοις πᾶσι συμβαῖνον ἴδοι τις ἄν· τοὺς μὲν ἐν πλούτῳ καὶ περιφανείᾳ, θορυβουμένους· τοὺς δὲ ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ, ἀταράχως ἅπαντα φέροντας. καὶ πρὸ τούτων δὲ πάντων, κἂν μηδὲν συμπέσῃ δεινὸν, πλείονος τὸ συνειδὸς τοῦ φοβουμένου τὸν Θεὸν καὶ καθαρωτέρας ἡδονῆς γέμει τῆς τοῦ πλουτοῦντος ψυχῆς. ἐκεῖνος μὲν γὰρ, εἰ καὶ τῆς ἔξωθεν ἀπολαύει τροφῆς, τῶν ἐν λιμῷ ζώντων ἁπάντων χαλεπώτερον διακείσεται, τὰ οἰκεῖα ἑαυτὸν ἀναμιμνήσκων κακὰ, καὶ πονηρῷ συζῶν συνειδότι· οὗτος δὲ κἂν τῆς ἀναγκαίας ἀπορῇ τροφῆς, τῶν πάσης ἀπολαυόντων τρυφῆς εὐθυμότερος ἔσται, ἐλπίσι χρησταῖς συντρεφόμενος, καὶ τὰς ἀμοιβὰς τῶν οἰκείων κατορθωμάτων καθ' ἑκάστην προσδοκῶν τὴν ἡμέραν. καὶ ἵνα μὴ μακρὸν ποιῶν τὸν λόγον δόξω παρενοχλεῖν, τοῖς φιλοπονωτέροις καταλιπὼν ἑκάστην ἐκλέγειν ὑπακοὴν, καὶ τὴν ἐναποκειμένην αὐτῇ δύναμιν διερευνᾶσθαι, ἐνταῦθα καταλύσω τὸν λόγον· ἐκεῖνα παραινέσας ὑμῶν τῇ ἀγάπῃ, μὴ ἁπλῶς ἐνταῦθα εἰσιέναι, ἀλλ' ὥσπερ μαργαρίτας τὰς ὑπακοὰς λαμβάνοντας, διατηρεῖν, καὶ μελετᾶν οἴκοι διηνεκῶς, καὶ πρὸς φίλους, καὶ πρὸς γυναῖκας " ἅπαντα ταῦτα λέγειν· κἂν πάθος διενοχλῇ, κἂν ἐπιθυμία διαναστῇ, κἂν θυμὸς, κἂν ἄλλο ὁποιονοῦν ἕτερον πάθος ἀλογώτατον, αὐτὰς " ἐπᾴδειν συνεχῶς· ἵνα καὶ κατὰ τὸν παρόντα βίον γαλήνης πολλῆς ἀπολαύωμεν, καὶ εἰς τὴν μέλλουσαν ζωὴν τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. τρυφῆς,

Ψαλμ. μγ. ΤΩ ΝΙΚΟΠΟΙΩ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ.

Ο ΘΕός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Ἄλλος ἑρμηνευτής φησιν, Ἐν ἡμέραις ταῖς πρίν. Ἄλλος, Ταῖς ἀρχῆθεν.

ΤΟν ψαλμὸν τοῦτον λέγει μὲν ὁ προφήτης, λέγει δὲ οὐκ ἐκ προσώπου οἰκείου, ἀλλ' ἐκ προσώπου τῶν Μακκαβαίων, τὰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἐσόμενα διηγούμενος καὶ προαναφωνῶν. " Τοιοῦτοι γὰρ οἱ προφῆται· ἅπαντας περιτρέχουσι τοὺς χρόνους, τοὺς παρελθόντας, τοὺς παρόντας, τοὺς μέλλοντας. τίνες δὲ οὗτοι οἱ Μακκαβαῖοι, καὶ τί πεπόνθασι, καὶ τί κατώρθωσαν, ἀναγκαῖον πρότερον εἰπεῖν, ὥστε καὶ τῆς ὑποθέσεως τὰ λεγόμενα γενέσθαι σαφέστερα. οὗτοι γὰρ, ἐπελθόντος Ἀντιόχου τοῦ λεγομένου Ἐπιφανοῦς, καὶ πάντα διαφθείραντος, πολλούς τε τῶν ὑπὸ βιασαμένου τὴν πολιτείαν ἐξορχήσασθαι τὴν πατρῴαν, διέμενον οὐδὲν ὑπὸ τῶν πει-

Μακκαβ. α.

ρασμῶν παραβλαβέντες ἐκείνων. καὶ ὅτε μὲν βαρὺς ὁ πόλεμος ἔπνει, καὶ οὐδὲν πλέον ἐργάσασθαι ἠδύναντο, ἔκρυπτον ἑαυτοὺς (ἐπεὶ καὶ οἱ ἀπόστολοι τοῦτο ἐποίουν) οὐ γὰρ ἀεὶ φαινόμενοι ἐν τῷ μέσῳ ἐπεπήδων τοῖς κινδύνοις, ἀλλ' ἔστιν ὅτε καὶ φεύγοντες καὶ λανθάνοντες ὑπεχώρουν. ἐπειδὴ δὲ μικρὸν ἀνέπνευσαν, καθάπερ τινὲς σκύλακες γενναῖοι ἐκπηδήσαντες ἐκ τῶν σπηλαίων, καὶ προκύψαντες ἐκ τῶν καταδύσεων, ἔγνωσαν μηκέτι μόνους ἑαυτοὺς διασώζειν, ἀλλὰ καὶ ἑτέρους, ὅσους οἷοί τ' ἂν ὦσι. καὶ τὴν πόλιν καὶ τὴν χώραν "περιιόντες ἅπασαν, ἀνελέγοντο πάντας ὅσους ηὕρισκον ὑγιῶς διακειμένους· πολλοὺς δὲ καὶ τῶν κεκμηκότων καὶ διεφθαρμένων ἀνεκτῶντο πάλιν, πείθοντες ἐπὶ τὸν πατρῷον νόμον ἐπανελθεῖν. τὸν γὰρ Θεὸν φιλάνθρωπον εἶναι ἔφασκον, καὶ μηδέποτε τὴν ἐκ τῆς μετανοίας ἀναιρεῖν σωτηρίαν. ταῦτα δὲ λέγοντες, στρατόπεδα κατέλεγον ἀνδρῶν γενναίων. οὐδὲ γὰρ ὑπὲρ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν καὶ ἀπαναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, ἀλλ' ὑπὲρ νόμου καὶ πολιτείας ἐμάχοντο πατρῴας· ἐστρατήγει δὲ αὐτοῖς ὁ Θεός. "παραταξάμενοι τοίνυν, καὶ τὰς ψυχὰς ἑαυτῶν "ἐπιδόντες, κατέλυον τοὺς ἐναντίους, οὐχ ὅπλοις θαρροῦντες, ἀλλ' ἀντὶ πάσης πανοπλίας, ἀρκοῦσαν ἔχοντες τὴν τῆς μάχης ὑπόθεσιν. ἰόντες δὲ εἰς τὸν πόλεμον, οὐκ ἐτραγῴδουν, οὐ παιᾶνας ᾖδον, καθάπερ τινὲς ποιοῦσιν, "οὐ τοὺς αὐλοῦντας προσκαθίεσαν, καθάπερ ἐν ἄλλοις στρατοπέδοις· ἀλλὰ τὸν Θεὸν ἄνωθεν ἐκάλουν παρεῖναι καὶ συμμαχεῖν καὶ χεῖρα ὀρέγειν, * δι' ὃν ἐπολεμοῦντο, ὑπὲρ οὗ τῆς δόξης ἠγωνίζοντο. ἴδωμεν τοίνυν τί φθέγγεται τὸ τοῦ Θεοῦ* στρατόπεδον, τὸ τῇ πνευματικῇ φραττόμενον βοηθείᾳ, μέλλον ἐπιέναι τοῖς πολεμίοις.

γρ. διιόντες

γρ. παραταττόμενοι γυναι

γρ. ἐπιδιδόντες,

γρ. οὐδὲ

* τὸν Θεὸν,

* ὂν

1 Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Ἐπειδὴ γάρ τινες τῶν συντεταγμένων αὐτοῖς, τό, τε πλῆθος καὶ τὴν παράταξιν ὁρῶντες τὴν Ἀντιόχου, καὶ τὴν νίκην, ἣν "ὡς πάντα ἐξ ἐπιδρομῆς ἐλάμβανε, τήν τε οἰκείαν ἀσθένειαν καὶ ὀλιγότητα λογιζόμενοι, μαλακώτεροί τε ἦσαν καὶ ἀσθενέστεροι· διεγείρων αὐτῶν τὰ φρονήματα, καὶ δεικνὺς, ὅτι τὸ πᾶν ἐπὶ τῇ στρατηγίᾳ κεῖται τοῦ Θεοῦ, καὶ χωρὶς στρατοπέδων, συμμαχοῦντος αὐτοῦ, δυνατὸν περιγενέσθαι, ἐν εὐχῆς τάξει τινὰ παραίνεσιν καὶ συμβουλὴν ποιεῖται πρὸς τοὺς συστρατιώτας, καὶ τῷ Θεῷ διαλεγόμενος, προθυμοτέρους ἐκείνους ἐργάζεται. οὐ μικρὸν δὲ τοῦτο παρακλήσεως μέρος. οὐδὲ γὰρ ὁμοίως ἂν ἴσχυσεν ὁ λόγος πρὸς ἐκείνους τετραμμένος, καὶ πρὸς τὸν Θεὸν ἀποτεινόμενος. διὰ δὴ τοῦτο καὶ προϊὼν ἔλεγεν· οὐκ ἐπὶ τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ἡ δεξιὰ αὐτῶν οὐκ ἔσωσεν αὐτούς. τοῦτο γὰρ τοὺς ἀσθενέστερον πρὸς τοὺς πόνους διακειμένους ἱκανὸν ἀνακτωμένου, τοὺς κατὰ ἀνθρωπίνην ἀκολουθίαν ζητοῦντας τὴν νίκην. πᾶσα τοίνυν ἡ εὐχὴ αὕτη, προτροπὴ τοῖς στρατοπέδοις ἐστί, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαι κελεύουσα, καὶ ἐξαρτῆσαι τῆς ἐκεῖθεν ἐλπίδος τὴν νίκην. διὰ τί δὲ οὐκ εἶπεν, ἠκούσαμεν, ἁπλῶς, ἀλλ' ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν; ποίῳ γὰρ ἑτέρῳ μέρει τις ἀκούει τοῦ σώματος; ἆρα μὴ περιττολογία τὰ λεγόμενα; μὴ γένοιτο. ἀλλὰ κοινὸν ἔθος τῶν ἀνθρώπων [τοῦτόν] ἐστιν ὅταν τινὰ διηγῶνται, ὑπὲρ ὧν εἰσι πεπληροφορημένοι, καὶ περὶ μεγάλων τινῶν καὶ ὑπερεχόντων ποιῶνται τὴν διήγησιν πρὸς τοὺς "οὐ σφόδρα πεπληροφορημένους, προστιθέασιν ἀεὶ τὰ ὦτα, φάσκοντες τοῖς ὠσὶν ἀκηκοέναι. οὐκ ἐπὶ ταύτης δὲ τῆς ἐνεργείας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτὸ ποιεῖν εἰώθαμεν, μάρτυρας καλοῦντες αὐτὰς τὰς αἰσθήσεις. πιστουμένων τοίνυν ἐστὶ τὸν ἀκροατὴν, τὸ τῶν ὤτων τὴν προσθήκην "ποιεῖσθαι· ἐπεὶ καὶ ἐπὶ ὀφθαλμῶν καὶ χειρῶν τὸ αὐτὸ ποιοῦμεν, ὡς ὅταν λέγωμεν, ταῖς χερσὶν ἡμῶν ἐψηλαφήσαμεν. καὶ οἱ ἀπόστολοι δὲ ἔλεγον· Ἃ ἑωράκασιν οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. ὅρα δὲ αὐτὸν ἐκ προοιμίων κἀντεῦθεν τὴν ἀρε-

τὴν

γρ. ἐπὶ

γρ. ὑπὸ

γρ. ποιεῖν

Ιω. κ. 19.

α. Ιω. α. α.

τήν· τοσαῦτα καὶ τηλικαῦτα παθόντες δεινὰ διὰ τὸν Θεόν, πατρίδος ἐκπεσόντες, ἐλευθερίας, κινδύνοις περιπεπτωκότες, ἄλλοι δὲ καὶ φυγάδες γινόμενοι, καὶ τὰ ὄρη καὶ τὰς ἐρημίας διώκοντες, οὐδὲν τούτων φασὶ τέως, ὅτι τὸ καὶ τὸ ἐπάθομεν διὰ σέ, βοήθησον ἡμῖν· ἀλλ' ὡς ἔρημοι τῶν δικαιολογιῶν τούτων, καὶ οὐκ ἔχοντες ἐξ οἰκείων κατορθωμάτων παρρησίαν, οὕτως εἰς τὰ τοῖς προγόνοις ὑπηργμένα παρὰ τοῦ Θεοῦ καταφεύγουσι. τὸ μὲν γὰρ τοὺς οὐκ ἔχοντας παρρησίαν ταῦτα ποιεῖν, θαυμαστὸν οὐδέν, τῆς ἀνάγκης αὐτοὺς εἰς τοῦτο ἑλκούσης· τὸ δὲ ἐκείνους τοὺς δυναμένους μεγάλα φθέγξασθαι ἀπὸ τῶν ἑαυτῶν κατορθωμάτων, μὴ ἀπὸ τούτων ἀξιοῦν σώζεσθαι, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἧς καὶ οἱ πατέρες ἀπέλαυσαν, τοῦτό ἐστι τῆς πολλῆς ταπεινοφροσύνης αὐτῶν σημεῖον. οὐ μικρὰν δὲ κἀντεῦθεν ἑαυτοῖς προθυμίας κατασκευάζουσιν ὑπόθεσιν. ἀρκεῖ γὰρ τοῦ Θεοῦ καὶ ἡ προσηγορία μόνη μυρίους καταλῦσαι πολέμους.

Οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. Ἀκούσατε ὅσοι τῶν παίδων ἀμελεῖτε τῶν ὑμετέρων, ὅσοι διαβολικὰ μελίσματα ᾄδοντας περιορᾶτε, τῶν δὲ θείων διηγημάτων" ἀμελοῦντας. ἀλλ' οὐχ οὗτοι τοιοῦτοι, ἀλλὰ διηνεκῶς ἐν τοῖς διηγήμασι τῶν τοῦ Θεοῦ κατορθωμάτων τὸν βίον ἀνήλισκον, καὶ διπλοῦν ἐποίουν τὸ κέρδος. οἵ τε γὰρ εὖ παθόντες, ἐν μνήμῃ τῶν εὐεργεσιῶν ὄντες, βελτίους ἐγίνοντο· οἵ τε ἐκείνων ἔκγονοι, οὐ μικρὰν θεογνωσίας ὑπόθεσιν ἐκ τῶν διηγημάτων ἐλάμβανον τούτων, καὶ πρὸς ἀρετῆς ζῆλον" ἐνήγοντο. βιβλία γὰρ ἦν αὐτοῖς τὰ στόματα τῶν γεγεννηκότων, καὶ πᾶσα σχολὴ καὶ πᾶσα διατριβὴ ταῦτα εἶχε τὰ διηγήματα, ὧν οὐδὲν τερπνότερον, οὔτε κερδαλεώτερον ἦν. εἰ γὰρ ἁπλῶς διηγήματα πραγμάτων καὶ μῦθοι καὶ πλάσματα ψυχαγωγεῖν εἰώθασι πολλάκις τοὺς ἀκροατάς, πολλῷ μᾶλλον ταῦτα. ταῦτα πολλὴν ἐδείκνυ τὴν εὐεργεσίαν, τὴν δύναμιν, τὴν σοφίαν, τὴν κηδεμονίαν, καὶ μετὰ τῆς ἡδονῆς ἀνίστα τὸν ἀκροατὴν καὶ σπουδαιότερον ἐποίει. οἱ γὰρ παρόντες τοῖς γινομένοις καὶ ὄψει παραλαβόντες, ἀκοῇ παρέδωκαν, καὶ ἦν ἡ ἀκοὴ τῆς ὄψεως ὁμοίως πρὸς πίστιν ἴση. τῶν γὰρ παρόντων καὶ θεωμένων οὐχ ἧττον ἐπίστευον οἱ μὴ παρόντες καὶ θεώμενοι. οὐ μικρὸν δὲ αὐτοῖς καὶ τοῦτο εἰς πίστιν ἄλειμμα ἦν. ἴδωμεν δὲ τί διηγήσαντο, καὶ εἰ ὑποθέσεως" ὁμοίως μέμνηνται. καὶ γὰρ τὸν μέλλοντά τινος δεῖσθαι καὶ τῆς αἰτήσεως ἐπιτυγχάνειν, ἐκ τῆς ἑτέροις δοθείσης χάριτος ὅμοια αἰτεῖν χρή. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν.* αἰτεῖ τις ἡμᾶς οἰκέτης δωρεάν· ἂν δείξῃ καὶ ἕτερον εἰληφότα τὴν αὐτήν, μέγιστον δικαίωμα τοῦ λαβεῖν προβάλλεται, πλὴν ἐὰν μὴ τῇ διαφορᾷ τὸ παράδειγμα βλάπτηται. διαφορὰν δὲ λέγω προσώπου, ἢ πράγματος. ἐὰν μὲν γὰρ ὁ εἰληφὼς ᾖ τοιοῦτος, οἷος ὁ αἰτῶν, καὶ τὸ αἰτούμενον ὅμοιον, ἕστηκε τὸ ὑπόδειγμα· ἂν δὲ ἐκεῖνος μὲν δίκαιος ᾖ λαβεῖν, οὗτος δὲ οὐκ ἔτι, μείζονος χρεία τῆς παρακλήσεως. ἀναγκαῖον δὲ καὶ ἐκ τῶν γραφῶν, ὃ λέγω, ποιῆσαι σαφές. ἡ Χαναναία ἐπειδὴ ἤκουσεν, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις, φησί· ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἐκ τῶν ψιχίων τῆς τραπέζης τῶν κυρίων αὐτῶν. καὶ Παῦλος [πάλιν] γράφων ἔλεγεν· Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσι, πολλῷ μᾶλλον ἡμεῖς· ἐνταῦθα μεῖζον τὸ δικαίωμα ἀπὸ τῆς τοῦ προσώπου διαφορᾶς ποιῶν. καὶ πάλιν Φιλήμονι γράφων ἔλεγεν· Ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ. διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ. ἐνταῦθα ἐκ τοῦ ἴσου τὸ παράδειγμα. ὅταν γὰρ πρῶτος ᾖ τις εἰληφώς, ὥσπερ τινὰ τῷ δευτέρῳ θύραν ἀνοίγνυσιν, ἂν ᾖ ὅμοιος ὁ μέλλων αἰτεῖν, ἢ τὰ αὐτὰ αἰτοίη. οὐ μόνον δὲ ἐκ τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν ἡμῖν αὐτοῖς ἤδη ὑπαρξάντων ἡ παράκλησις πολλάκις ἰσχυρὰ γίνεται· ὃ καὶ Παῦλος ἐποίει Φιλιππησίοις γράφων καὶ λέγων· Ὅτι καὶ ἐν Θεσσαλονίκῃ

γρ. ἀμελοῦντες

γρ. ἀνήγοντο

γρ. ὁμοίας

* οἷον

Ματθ. ιε. κζ.

β. Κορ. θ. ιβ.

Φιλημ. ζ.

Φιλιππ. δ. ιε.

νίκη καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. διά τοι τοῦτο πολλοὶ πολλοῖς διδόντες τοῦτο παρεγγυῶσι μὴ διειπεῖν ἑτέροις, ἵνα μὴ ἡ εἰς τὸν ἕνα γινομένη χάρις πολλοὺς ἐπεγείρῃ τῷ δεδωκότι τοὺς αἰτοῦντας, ὥσπερ οὐκ ἔχοντος καταφυγεῖν εἴς τινα ἀναχώρησιν τοῦ δόντος ἅπαξ, εἰ μὴ καὶ ἑτέροις δοίη. ἀλλ' ἄνθρωποι μὲν εἰκότως, ἅτε ἐκ τοῦ διδόναι γινόμενοι πένητες, τοῦτο κελεύουσιν. ὁ δὲ Θεὸς τοὐναντίον, καὶ διακηρύττει καὶ βοᾷ τὰ ἑτέροις διδόμενα, εἰς τὸ καὶ ἑτέροις παρέχειν πρόφασιν τοῦ πάλιν αὐτοὶ αἰτῆσαι. τῷ γὰρ διδόναι, μείζων ὁ πλοῦτος αὐτοῦ δείκνυται. διὸ καὶ ὁ Παῦλός φησιν· Ὁ πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. εἶδες καινήν τινα φύσιν πλούτου· ταύτην καὶ σὺ μιμοῦ τὴν φιλοτιμίαν. ὅταν γὰρ ἀναλώσῃς τὸν ἀποκείμενον πλοῦτον, τότε μᾶλλον αὐτὸν αὐξήσεις. ἂν δὲ κατορύξῃς, τότε μᾶλλον ἠλάττωσας. καὶ τί θαυμαστόν, εἰ ἐπὶ τῶν πνευματικῶν τοῦτο συμβαίνει, ὅπουγε καὶ ἐπὶ τῶν σαρκικῶν τοῦτο γίνεται; καὶ γὰρ ἂν φειδόμενός τις τὸν σῖτον οἴκοι κείμενον μὴ δαπανήσῃ, μηδὲ εἰς τὰς ἀρούρας ἐκβάλῃ, τῷ στόματι τῶν σκωλήκων αὐτὸν παρέδωκεν· ἂν δὲ σκορπίσῃ, πλείονα τὸν ἄμητον ἐργάζεται. ἀκούσατε ὅσοι πρὸς τὴν ἐλεημοσύνην ἐστὲ σκληροί· ἀκούσατε οἱ τὸν πλοῦτον ὑμῶν ἐλαττοῦντες τῇ φυλακῇ· ἀκούσατε οἱ τῶν ὄναρ πλουτούντων οὐδὲν ἄμεινον διακείμενοι. ὀνείρατος γὰρ οὐδὲν ἄμεινον τὰ παρόντα. ἀλλ' ὥσπερ οἱ καθ' ὕπνους φανταζόμενοι χρήματα ἔχειν, κἂν τῶν ταμιείων γένωνται τῶν βασιλικῶν κύριοι, πάντων εἰσὶ πενέστεροι γενομένης ἡμέρας· οὕτω καὶ ἐπὶ τοῦ βίου τοῦ παρόντος. ὁ μηδὲν ἀπάγειν ἐκεῖ δυνηθείς, πάντων ἔσται πενέστερος, κἂν τὰ πάντων ᾖ κεκτημένος. ὄναρ γὰρ ἐπλούτησε μόνον. εἰ τοίνυν βούλει μοι δεῖξαι τὸν εὔπορον, τότε μοι δεῖξον, ὅταν ἡμέρα γένηται, ὅταν εἰς τὴν πατρίδα ἀπέλθωμεν ἐκείνην. νῦν δὲ οὐκ ἀνέχομαι τὸν πλούσιον διαγινώσκειν καὶ τὸν πένητα. οὐ γάρ ἐστιν ἀλήθεια πραγμάτων, ἀλλ' ὀνομάτων χάρις καὶ εὐφημία μᾶλλον. καθάπερ γὰρ τοὺς τυφλοὺς πολυβλέποντας καλοῦσιν οἱ πολλοί, ἀλλ' οὐκ ἀκολουθεῖ τῷ ὀνόματι τὸ πρᾶγμα, ἀλλ' οὗτοι μάλιστά εἰσιν οἱ μὴ ὁρῶντες· οὕτω δὴ καὶ τὸ τῶν πλουσίων ὄνομα περιφέρεσθαι ἐνταῦθά φημι τῶν οὐδὲν ἐκεῖ κεκτημένων. ὅταν γὰρ ἐνταῦθα πλουτῇ, τότε μάλιστα οἶδα ὅτι πένης ἐστίν. εἰ γὰρ μὴ σφόδρα πένης ἦν, οὐκ ἂν σφόδρα ἐπλούτει. ὥσπερ καὶ τὸν πηρόν, εἰ μὴ καθόλου τετύφλωτο, οὐκ ἂν αὐτὸν πολυβλέποντα ἐκάλεσαν· οὕτω δὴ καὶ ἐνταῦθα λογιστέον. ἀποθέμενοι τοίνυν τῶν ὀνομάτων τὴν ἀπάτην, ἀντιλαβώμεθα τῶν πραγμάτων τὴν ἀλήθειαν. οὐ γὰρ ἐν ὀνόμασι τὰ πράγματα ἕστηκεν, ἀλλ' αἱ τῶν πραγμάτων φύσεις τὰ ὀνόματα κατὰ τὴν οἰκείαν ὑπόστασιν πλάττουσιν. ὁ δεῖνα πλούσιος καλεῖται, ἀλλ' οὐκ ἔστι. καὶ πῶς οὐκ ἔστιν, ὅταν πολὺς μὲν ἄργυρος, πολὺ δὲ χρυσίον, καὶ λίθοι τίμιοι, καὶ ἱμάτια χρυσᾶ, καὶ τὰ ἄλλα πάντα αὐτῷ περιρρέῃ; ὅτι οὐ χρυσίον, οὐδὲ ἱμάτια, οὐδὲ χρήματα, ἀλλ' ἐλεημοσύνη ποιεῖ πλούσιον. ταῦτα γὰρ χόρτος, ταῦτα ξύλα καὶ καλάμη. ἐπεὶ ποίων ἱματίων, εἰπέ μοι, περιβολὴ τότε τὸν γυμνὸν ἑστῶτα ἐπὶ τοῦ φοβεροῦ βήματος ἐκείνου περιβαλεῖν δυνήσεται; ὅπερ καὶ Παῦλος δεδοικὼς ἔλεγεν· Εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. ποῖα χρήματα τὸν κινδυνεύοντα ἐξελέσθαι δυνήσεται; ποῖοι οἰκέται μαστιζόμενον παραγενέσθαι τῷ δεσπότῃ; ποῖαι οἰκίαι; ποῖοι λίθοι πολύτιμοι; ποῖα βαλανεῖα τὸν ῥύπον ἀποσμῆξαι δυνήσεται τὸν ἐκ τῶν ἁμαρτημάτων; μέχρι τίνος ἑαυτοὺς ἀπατᾶτε; μέχρι τίνος οὐ διαβλέπετε τῶν πραγμάτων τὴν ἀλήθειαν, ἀλλ' ἐπὶ τὰ ὀνείρατα κεχήνατε, ἑστῶτες καὶ ἐπὶ θύραις τῆς κρίσεως οὔσης; ἀλλ' ἐπὶ τὰ προκείμενα ἐπανίωμεν.

Ρω. ι. ιβ.

γρ. ἰκτεροί

γρ. τετύφλωται,

β. Κορ. ε. γ.

Οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν ἔργον, 2 ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν.

ἀπήγγειλαν

ῥῆμα.

Ἔξεστι καὶ ἡμῖν τοῦτο εἰπεῖν κατὰ ἀναγωγὴν τὸ ῥητόν. εἰ γὰρ καὶ ἐκείνοις οἱ πατέρες

διηγήσαντο, ἀλλὰ καὶ ἡμῖν ἡ τοῦ Θεοῦ χάρις ἔδωκε διὰ τῆς ἐπιφοιτήσεως τοῦ πνεύματος
μαθεῖν τὰ ἐκείνων. πῶς δ' ἄν τις κατὰ ἀναγωγὴν αὐτὰ ἐκλάβοι; εἰς τὰ τῆς καινῆς
Ἐφ. β. ς. χάριτος ἕλκων κατορθώματα· ὅτι πρὸς τὸν οὐρανὸν ἀνελήφθημεν, ὅτι βασιλείας ἠξιώθημεν,
Ἰω. α. ιδ. Ἐφ. β. ιδ. ὅτι Θεὸς ἄνθρωπος γέγονε, τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. ἀλλ' ἴωμεν πάλιν
ἐπὶ τὴν ἱστορίαν· ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν,

Ἐν ἡμέραις ἀρχαίαις. Παλαιοῦ τινος διηγήματος μέμνηται, καὶ ἀρχαῖα παράγει
κατορθώματα. καὶ τίνος ἕνεκεν οὐ νέου τινὸς μέμνηται, οὐδὲ προσφάτου, [φησίν;]
ὅτι παρὰ μὲν ἀνθρώποις εἰκότως τῶν προσφάτων ποιούμεθα τὴν διήγησιν, καὶ ἀπὸ
τούτων αὐτοὺς ἐπισπώμεθα, ἅτε τῆς μνήμης αὐτοῖς ἐξασθενούσης· παρὰ δὲ Θεῷ, ᾧ
Ψαλ. ρλη. δ. πάντα γνωστὰ ὁμοίως καὶ τὰ παλαιὰ καὶ τὰ νέα (Ἰδοὺ γάρ, φησι, σὺ ἔγνως πάντα τὰ ἔσχατα,
καὶ τὰ ἀρχαῖα) οὐδὲν διαφέρει, ἄν τε παλαιόν τις, ἄν τε νέον εἴπῃ διήγημα·
μόνον οἰκεῖον τῷ ὑποκειμένῳ ἔστω. ποῖον οὖν διήγημα ἀρχαῖον βούλεται λέγειν, ἀκούσωμεν.
3 Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε,* καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας * φησί,
λαούς, καὶ ἐξέβαλες αὐτούς. Ἄρα ἐπέγνωτε ποῖον λέγει πόλεμον, ποίαν νίκην,
ποῖον τρόπαιον, ἢ τῆς παρ' ἡμῶν ἔτι δεῖσθε σαφηνείας; οἶμαι μὲν πολλοὺς ἤδη συνεωρακέναι
τὸ λεγόμενον, διὰ δὲ τοὺς ἀγνοοῦντας ἀναγκαῖον καὶ τὰ παρ' ἡμῶν προσθεῖναι. ποίων
οὖν τροπαίων μέμνηται, ποίων κατορθωμάτων; τῶν ἐν Αἰγύπτῳ, τῶν ἐν τῇ ἐρήμῳ, τῶν
ἐν τῇ γῇ τῆς ἐπαγγελίας, μᾶλλον δὲ τῶν ἐν τῇ ἐπαγγελίᾳ. οὐ γὰρ οἱ ἐξ Αἰγύπτου
Ἀριθμ. ιδ. κγ. ἐξελθόντες οὗτοι καὶ τῆς Παλαιστίνης ἐπέτυχον, ἀλλ' ἅπαντες ἔπεσον ἐν τῇ ἐρήμῳ. ὅτε
Ἑβρ. γ. ιζ. γοῦν οἱ ἐξ ἐκείνων τεχθέντες, καὶ οἱ ἐν τῇ ἐρήμῳ τραφέντες εἰσῄεσαν εἰς Παλαιστίνην, οὐκ
ἐδέησεν αὐτοῖς ὅπλων, ἀλλ' αὐτοβοεὶ τὰς πόλεις εἷλον· καὶ διαβάντες τὸν Ἰορδάνην,
Ἰησ. ς. ιγ. τὴν πρώτην αὐτοῖς ἀπαντήσασαν πόλιν τὴν Ἱεριχώ, καθάπερ χορεύοντες μᾶλλον, ἢ
πολεμοῦντες, κατήνεγκαν. κεκοσμημένοι γὰρ ὅπλοις, οὐχ ὡς ἐν μάχαις, ἀλλ' ὡς ἐν
πανηγύρει καὶ χορείᾳ ἐξῄεσαν, ἀντὶ καλλωπισμοῦ μᾶλλον, ἢ ἀσφαλείας τὰ ὅπλα περιθέμενοι,
καὶ τὰς ἱερὰς στολὰς περικείμενοι, καὶ προηγουμένους ἔχοντες τοῦ στρατοπέδου τοὺς
Λευΐτας, ἐκύκλουν τὸ τεῖχος. καὶ ἦν ἰδεῖν θέαμα θαυμαστὸν καὶ παράδοξον, χιλιάδας τοσαύτας
στρατοπέδων ἐν τάξει καὶ ῥυθμῷ "βαινόντων, ἐν ἡσυχίᾳ καὶ κόσμῳ πολλῷ, ὡς οὐδενὸς γρ. βαίνοντες,
παρόντος, μετὰ τῆς ἁρμονίας ἐκείνης τῶν σαλπίγγων τὸ πᾶν "κατορθούντων. αἰσχυνέσθωσαν οἱ γρ. κατορθοῦντες.
θορυβοῦντες ἐν ἐκκλησίᾳ. εἰ γὰρ ἔνθα σάλπιγγες ἤχουν, τοσαύτη ἦν εὐταξία· ἔνθα αὐτὸς ὁ
Θεὸς φθέγγεται, τίνος τεύξονται συγγνώμης οἱ διὰ τῶν οἰκείων θορύβων τῆς ἐκείνων ἀκοῆς τὴν
ἀκρίβειαν ἐκκρούοντες; ἀλλὰ τίνος ἕνεκεν, φησιν, οὐκ ἐμνημόνευσε τῶν ἐξ Αἰγύπτου;
ἐπειδὴ πάντες ἔπεσον, ἐπειδὴ δίκην ἔδοσαν. τίνος δὲ ἕνεκεν πάντες ἀπώλοντο; ἐπειδὴ μεγάλα
ἥμαρτον. ἐντεῦθεν δὲ καὶ ἕτερον ᾠκονομεῖτο· τοὺς μέλλοντας τὴν Παλαιστίνην ἀπολαμβάνειν,
ἀθεάτους εἶναι τῶν ἐν Αἰγύπτῳ κακῶν, τῆς δεισιδαιμονίας, τῆς ἀσεβείας ἁπάσης,
καὶ μηδένα διδάσκαλον ἔχειν τῆς τοσαύτης πονηρίας. οὕτω γὰρ προκατείχοντο
τῇ τῶν Αἰγυπτίων συνηθείᾳ, οὕτως ἦσαν ἁλόντες, ὡς μετὰ τοσαῦτα θαύματα μηδὲ ἐν τῇ
ἐρήμῳ ἀποτρίψασθαι καθαρῶς τῆς πλάνης τὰ λείψανα. εἰ δὲ καὶ Χαναναίους ἔλαβον
διδασκάλους τῶν προτέρων χαλεπωτέρους, ποῦ οὐκ ἂν ἐξώκειλε τὰ τῆς ἀσεβείας
αὐτοῖς; διὰ δὴ τοῦτο κατεῖχεν αὐτοὺς ἐπὶ τῆς ἐρήμου τοὺς τραφέντας, ἕως εἰς ἀνδρῶν
ἡλικίαν ἦλθε τὰ ἔκγονα τὰ ἐκείνων. καὶ ταῦτα οὐκ οἴκοθεν φθεγγόμενοι λέγομεν, ἀλλ'
Ἰεζεκ. κ. ι. ἀπὸ τῶν γραφῶν ἀποδεικνύοντες. διὰ γὰρ τοῦ Ἰεζεκιὴλ τοῦτο αὐτὸ ὁ Θεὸς ὀνειδίζει αὐτοῖς,
ὅτι εἰς τὴν ἔρημον αὐτοὺς ἀγαγών, καὶ πολλὰ διαλεχθεὶς οὐκ ἠκούετο. ἀλλὰ τίνος
ἕνεκεν ὅπλα αὐτοὺς περικεῖσθαι ἐκέλευσε μέλλοντας προσιέναι τῇ Ἱεριχώ; θαυμασό-

τερον γὰρ ἦν, εἰ χωρὶς ὅπλων τοῦτο ἐποίουν. μάλιστα μὲν οὖν καὶ κελεύει τι ποιεῖν ἀνθρώπινον, καὶ προσλαμβάνειν τινὰ συμμαχίαν αἰσθητήν, συγκατιὼν αὐτῶν τῇ ἀσθενείᾳ τοῦτο ποιεῖ. τί γὰρ ἠδύνατο ὅπλων προσβολὴ πρὸς τείχους καταβολήν; τί δὲ σαλπίγγων ἠχή; εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ πόλεμος ἦν, εἶχέ τις ἴσως ῥοπὴν καὶ τοῖς ὅπλοις λογίζεσθαι· εἰ δὲ τεῖχος ἔμελλε καταπίπτειν, τίνος ἕνεκεν ὅπλα πρόκεινται; καὶ ἐπὶ τοῦ Γεδεὼν δὲ πάλιν, οἱ εἰλημμένοι τῶν μὴ εἰλημμένων ἦσαν ἴσοι. πάντες γὰρ δῆλοι. τίνος οὖν ἕνεκεν ταῦτα γίνεται; ὥστε εἰς πίστιν αὐτοὺς ἄγεσθαι τοὺς ταῦτα κελευομένους. ἡ γὰρ ψυχὴ σώματι συντραφεῖσα, καὶ οὐδὲν ἀσώματον ἰδοῦσά ποτε, καὶ πρὸς τὰ αἰσθητὰ κεχηνυῖα, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο. ὅθεν καὶ τοῖς προφήταις παρὰ Θεοῦ διαλεγομένοις ἐγίνετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν· οὐχ ἵνα τὴν ἀκήρατον ἐκείνην φύσιν εἰς μελῶν σχήματα συμπλάσωσιν, ἀλλ' ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψυχὴν ἐκ τῶν ἀνθρωπείων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα. ἐπεὶ οὖν καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ νοητόν τί ἐστιν· ἵνα μὴ ἀπιστήσωσι τὸ τότε, τίθησί τι καὶ αἰσθητόν. εἰ γὰρ εἶπεν, ὅτι ἐν ἑπτὰ ἡμέραις καταστραφήσεται ἡ πόλις, ἡσυχαζόντων ὑμῶν καὶ μηδὲν ἐργαζομένων, ἴσως ἂν πολλοὶ καὶ ἠπίστησαν· νυνὶ δὲ καθάπερ ὑποβάθραν τινὰ τῇ διανοίᾳ τῇ ἀνθρωπίνῃ τὰ ἐπιτάγματα ταῦτα ὑποτίθησι. καὶ ἵνα μὴ νομίσητε στοχασμὸν εἶναι τὸ λεγόμενον, ἱστορίαν τινὰ ὑμῖν παλαιὰν πιστουμένην τὸν λόγον διηγήσασθαι βούλομαι. Ναιεμὰν τις ἦν Σύρος. οὗτος ὑπὸ λέπρας ἁλούς, καὶ αἰσχυνόμενος τῷ πάθει, ὡς ὑπὲρ μεγίστων κινδυνεύων, ἔρχεται εἰς τὴν Παλαιστίνην (δεῖ γὰρ ἐπιτεμεῖν τὸν λόγον) λύσιν βουλόμενος εὑρεῖν τοῦ κακοῦ παρὰ τοῦ προφήτου. ἐλθὼν τοίνυν, καὶ πρὸς τῇ θύρᾳ τοῦ ἀνδρὸς στάς, ἐκάλει τὸν ἰατρόν· ὁ δὲ ὑπήκουσε μέν, οὐ μὴν ἐξῆλθεν, ἀλλ' ἀπέστειλε πρὸς αὐτόν, κελεύων βαπτίζεσθαι ἐν τῷ Ἰορδάνῃ ποταμῷ. ὁ δέ, ἐπειδὴ τὸ πρόσταγμα ἦν κοῦφον, πολὺ τὸ αἰσθητὸν ἔχον καὶ οὐχ ὑψηλῆς δεόμενον διανοίας, οὐκ ἐπείσθη· ἀλλὰ τί φησιν; ἐγὼ ἔλεγον, ὅτι ἐξελεύσεται, καὶ ἐπιθήσει αὐτοῦ τὴν χεῖρα, καὶ ἐπικαλέσεται τὸν Θεὸν αὐτοῦ, καὶ ἀποσυνάξει τὴν λέπραν. ὁρᾷς τὴν ψυχήν, πῶς αἰσθητοῦ τινος ἐδεήθη σχήματος; τὸ γὰρ μὴ νομίσαι τοῦ ἰατροῦ τὸ πρόσταγμα ἀρκεῖν, ἀλλὰ δεηθῆναι χειρός, τῆς ἀσθενείας ἦν τοῦ θεραπευομένου. πολλὰ δὲ καὶ ἕτερα ἐντεῦθεν ἡμῖν λύεται. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ πανταχοῦ λόγῳ ἰᾶται, ἀλλὰ καὶ τῇ χειρί. καὶ γὰρ ἔβαλε τὴν χεῖρα εἰς τὸ στόμα καὶ εἰς τὴν γλῶτταν· καὶ ἀλλαχοῦ μέν, λόγῳ μόνῳ, ἀλλαχοῦ δὲ θελήματι μόνον πάντα ποιῶν, τοὺς προσιόντας ἰᾶτο. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει; διὰ τὴν ἀσθένειαν τῶν προσιόντων. καὶ ἵνα μάθῃς ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν τοῦτο ἐγίνετο, τοὺς μὴ δεομένους τῶν τοιούτων ἐπῄνει. Ἀμὴν γὰρ λέγω ὑμῖν, φησίν, ὅτι οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· ἐπειδήπερ αὐτὸν οὐχ εἵλκυσεν εἰς τὴν οἰκίαν ὁ ἑκατόνταρχος, ἀλλ' ἔφησεν ἀρκεῖν αὐτοῦ τὸ πρόσταγμα. ἐπὶ οὖν τοῦ Ἐζεκίου οὐδὲν τοιοῦτον γίνεται, ἀλλὰ πρόρρησις μόνη, καὶ οὐδὲν ἀνθρώπινον παρελαμβάνετο. διά τοι τοῦτο καὶ ἐπὶ τοῦ τὴν γυναῖκα ζηλοτυποῦντος, παχύτερόν τι πρᾶγμα ἐπετάττετο. εἰ δὲ βούλει κατὰ ἀναγωγὴν ἐκλαβεῖν τοῦτο (Πάντα γὰρ ταῦτα, φησί, τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν) ἐννόει τοὺς ἀρίστους τῶν διδασκάλων τῆς ἐκκλησίας, ἀντὶ σάλπιγγος τῷ λόγῳ χρωμένους, καὶ τὰ τῶν ἐναντίων τείχη καταβάλλοντας, καὶ τοὺς λαοὺς ὡπλισμένους τῇ τοῦ Ἰησοῦ παντευχίᾳ. ὁ δὲ τῶν ἑπτὰ ἡμερῶν ἀριθμός, τὸ σάββατον ἡμῖν παραδιαλύει. οὐ γὰρ παρατηρουμένως ἐδόθησαν αἱ τοιαῦται τοῦ νόμου ἐντολαί. διὰ τοῦτο περὶ μὲν τῶν θυσιῶν φησι· Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ

τῶν

Κριτ. ζ. γ. δ. ε.

Ρω. α. κ.

δ Βασ. ε. α.

Μαρ. ζ. λγ.

Ματθ. η. ι.

Ἀριθ. ε. ιζ.

α. Κορ. ι. ια.

Ησ. α. ιβ.

Ἱερεμ. ια. ιε. τῶν χειρῶν ὑμῶν; καὶ πάλιν· Μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσι τὰς ἁμαρτίας σου; καὶ πάλιν·
Ἀμὼς ε. κε. Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα; καὶ πάλιν· Ἱνα-
Ἱερεμ. ς. κ. τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; καὶ πάλιν· Θυσίαν καὶ
Ψαλ. λθ. θ. α. Βασ. ιε. κβ. προσφορὰν οὐκ ἠθέλησας. καὶ πάλιν· Μὴ ὁλοκαυτώματα καὶ θυσίαν θέλει ὁ Θεός, ἢ τὸ
Ψαλμ. ν. ιζ. α. Βασ. ιε. κβ. ὑπακούειν αὐτοῦ; καὶ πάλιν· Εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. καὶ πάλιν· Ἀκοὴ ἀγαθὴ
Ἀμὼς ε. κα. καὶ κγ. ὑπὲρ θυσίαν. καὶ πάλιν τὰς ἑορτὰς ἐκβάλλων, φησί· Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς
ὑμῶν. ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμῶν ὀργάνων σου οὐκ ἀκούσομαι· καὶ·
Ἡσ. α. ιδ. Ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, καὶ νηστείαν καὶ ἀργίαν μισεῖ ἡ ψυχή μου. καὶ πάλιν·
Ἡσ. νη. ε. Οὐχ αὕτη ἡ νηστεία, ἣν ἐξελεξάμην. καὶ ὁ Ἰεζεκιὴλ πάλιν ἔλεγε· Δώσω ὑμῖν προσ-
Ἰεζεκ. κ. κε. τάγματα οὐ καλά, ἐν οἷς οὐ ζήσεσθε ἐν αὐτοῖς. οὕτω καὶ τὸ σάββατον ἐνταῦθα λύεται. ἀλ-
λὰ διατί λέγει, τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; τοῦτο ὑμῖν καταλιμπάνω βου-
Πράξ. ι. δ. λεῦσαι· δυνήσεσθε δὲ τὰ τοιαῦτα εὑρίσκειν, ἂν βίον ἐπιδείξησθε καθαρόν. εἰ γὰρ τὸν Κορ-
Πράξ. η. κζ. νήλιον διὰ βίον ἄριστον ἐκάλεσεν ἐπὶ τὴν τῶν ἀπορρήτων γνῶσιν, καὶ τὸν εὐνοῦχον διὰ τὸ
ἀναγινώσκειν σπουδαίως, ἐποίησε καὶ γνῶναι· πολλῷ μᾶλλον ὑμᾶς τοὺς ἤδη τῆς πίστεως
ἀπολαύσαντας, βίον ὀρθὸν ἐπιδειξαμένους, διδάξει τὰ σαφέστερα. ὥσπερ γὰρ ὁ ἀκάθαρτος
α. Κορ. γ. α. γ. βίος ἐμποδίζει πρὸς τὴν τούτων γνῶσιν (καθάπερ ὁ Παῦλός φησιν· Οὐκ ἠδυνήθην ὑ-
Ἡσ. νη. β. μῖν λαλῆσαι ὡς πνευματικοῖς, ἐπειδὴ ἔρεις ἐν ὑμῖν εἰσι καὶ ζῆλοι. καὶ ὁ Ἠσαΐας πάλιν· Γνῶ- γρ. καὶ νῦν
ναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς) οὕτως ὁ καθαρὸς βίος ὁ-
Λουκ. ια. θ. ε. δηγεῖ καὶ ἡ σπουδὴ ἡ περὶ τὸ ζητεῖν· Ζητεῖτε γάρ, φησι, καὶ εὑρήσετε. καὶ ἡ παραβολὴ δὲ
ἡ τοῦ τοὺς ἄρτους αἰτοῦντος παρὰ τοῦ καθευδήσαντος ἤδη φίλου, τοῦτο δείκνυσι. διὰ τοῦ-
γ. Βασ. γ. ια. το καὶ ὁ Σολομών, ἐπειδὴ πνευματικὰ ᾔτησε, καὶ ἅπερ οὐκ ᾔτησεν ἔλαβεν. ὅταν δὲ καὶ προσ-
εδρία καὶ πνευματικὴ αἴτησις καὶ βίος καθαρὸς παρῇ, ἐννόησον πόση ἔσται εὐκολία
Λουκ. ια. η. πρὸς τὸ λαβεῖν. καίτοιγε προσεδρία καὶ καθ' ἑαυτὴν ἴσχυσε μόνον. Λέγω γὰρ ὑμῖν, φη-
σιν, Εἰ καὶ μὴ διὰ τὸ εἶναι αὐτοῦ φίλον [μὴ] δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ δώσει
αὐτῷ. ἀλλ' ἐπανίωμεν ἐπὶ τὸ προκείμενον. ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν
ἡμέραις ἀρχαίαις. ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς. ὅρα πῶς τῇ
λέξει κυρίως κέχρηται. οὐ γὰρ μέχρι νίκης καὶ ἥττης τὰ πράγματά, φησιν, ἔστησας τό-
τε, ἀλλὰ περαιτέρω πάντα προῆκε· καίτοιγε πρὸ τούτου οὐκ ἴσα τὰ τῆς παρατάξε-
ως ἦν. οἱ μὲν γὰρ κατεῖχον, οἱ δὲ ἐπήλυδες ἦσαν. ἀλλ' ὅμως τοσαύτη γέγονεν ἡ μετα-
βολή, ὡς τοὺς μὲν προρρίζους ἀνασπασθῆναι, τοὺς δὲ γενέσθαι πολίτας καὶ οἰκήτορας.
διὰ τοῦτο ἐπ' ἐκείνων μέν φησιν· ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν· ἐπὶ δὲ τῶν Ἰουδαίων, κατε-
φύτευσε. χεῖρα δέ, τὴν δύναμιν αὐτοῦ λέγει. εἰ δὲ ἐκείνους ἔξωθεν ἐπιόντας, καὶ οὐ πόλιν,
οὐκ οἰκίαν ἔχοντας, οὐχ ὅπου ὁρμήσωσι καὶ στῶσιν, οὕτω ταχέως ἀπέδειξε τῶν ἔνδον οἰκοῦ-
των δυνατωτέρους, πολλῷ μᾶλλον ἡμᾶς τῶν πατρῴων ἐκβεβλημένους οὐ περιόψεται. τί
δέ ἐστι τό, ἐφύτευσας; ἔπηξας. τὸ γὰρ πεφυτευμένον, μόνιμον καὶ πεπηγὸς γίνεται. τί οὖν;
οὐ μετέστησαν, εἰπέ μοι; οὐκ ἀπήχθησαν εἰς ἀλλοτρίους τόπους; ναί, ἀπήχθησαν·
ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τοῦ καταθέντος, ἀλλὰ παρὰ τὴν κακίαν τῶν φυτευθέντων.
εἰ γὰρ μὴ τὰ παρ' αὐτῶν ἐνεπόδισεν, οὐδὲν ἂν ἐκώλυσε μεῖναι ἐπὶ τῆς οἰκείας. γρ. οἰκίας

Ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς.

Τινὲς περὶ τῶν Αἰγυπτίων τοῦτό φασι λέγεσθαι· ἐμοὶ δὲ δοκεῖ καὶ περὶ τῶν ἐθνῶν τοῦτο εἰρῆσθαι. καὶ γὰρ κἀκείνους τιμωρίαν ἀπήτησεν, ἐν ἑκατέρῳ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, καὶ ἐν τῷ τοὺς πολεμίους ἀναιρεῖν, καὶ ἐν τῷ τοὺς οἰκείους συγκροτεῖν.

4 Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ

ἔσωσεν αὐτούς. Ἄλλος, Οὐ γὰρ ἐν τῇ μαχαίρᾳ αὐτῶν ἐκληρονόμησαν τὴν γῆν, οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐτούς. 5 Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου. Ἄλλος, Τὸ φῶς. Ὅτι ηὐδόκησας ἐν αὐτοῖς.

Καὶ μὴν ὡπλισμένοι πάντες ἐκράτουν ἐν τοῖς πολέμοις. ὡπλισμένοι μὲν, ἀλλ' οὐκ ἦν ὅπλων τὸ ἔργον, ἀλλὰ τοῦ στρατηγοῦντος Θεοῦ. ὁρᾷς πῶς ἐν τάξει εὐχῆς ὑφαίνει τὴν συμβουλὴν, παραινῶν τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν; πῶς δὲ τὸ πρᾶγμα κληρονομίαν καλεῖ, τῶν πατέρων, καὶ τῶν πάππων, καὶ τῶν ἐπιπάππων οὐ κατεσχηκότων τὴν γῆν, ἀλλ' ἐν ἑτέρῳ διαπλωθέντων καιρῷ; ὅτι πρὸς τοὺς πατέρας ἦν ἡ ὑπόσχεσις. Δεῦρο γάρ, φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καί σοι δώσω τὴν γῆν, καὶ τῷ σπέρματί σου. Εἰπὼν δὲ δεξιὰν καὶ βραχίονα, ἐπὶ τῶν παχυτέρων ἐμνήσθη λέξεων, ὅρα πῶς ἀνάγει τὸν λόγον, πάλιν ἐπάγων καὶ λέγων· καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, τουτέστιν, ἡ ἀντίληψις, ἡ πρόνοια. τὸ γὰρ βουληθῆναι, τὸ ἐπιφᾶναι, ἤρκεσε μόνον αὐτοῖς. Εἶτα καὶ ἡ αἰτία. ὅτι ηὐδόκησας ἐν αὐτοῖς. τουτέστιν, ὅτι ἠγάπησας αὐτούς, ὅτι ἐβουλήθης. ὥστε χάριτος ἦν, οὐ κατορθωμάτων τὰ πράγματα, οὐδὲ ἐξ οἰκείας ἀρετῆς ἐπέτυχον, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. 6 Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.

Γεν. ιβ. α. ζ. καὶ κεφ. ιγ. ιε. ιζ.

Ἄλλος, Ἔντειλαι περὶ τῆς σωτηρίας τοῦ Ἰακώβ. Καὶ ποία αὕτη ἡ ἀκολουθία; πολλὴ πρὸς τὰ εἰρημένα. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἡμεῖς ἐκείνων ἔγγονοι· καὶ σὺ ὁ Θεὸς ὁ αὐτός, ὁ καὶ τότε καὶ νῦν ἐκεῖνα ἐργασάμενος. πόθεν οὖν ἡ τοσαύτη μεταβολή; οὐ γὰρ δὴ ἄλλος μὲν ἐκεῖνος ὁ Θεός, ἄλλος δὲ σύ· ἀλλὰ σὺ εἶ ὁ αὐτός. οὐδ' αὖ πάλιν σὺ μὲν εἶ ὁ αὐτός, ἐγὼ δὲ ἄλλον ἐπιγράφομαι Θεόν· ἀλλὰ σὺ εἶ ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. οὐκ ἀπεπηδήσαμέν σου τῆς ἀρχῆς, οὐκ ἐπεγραψάμεθα προστάτην ἕτερον. ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ, τουτέστι, καὶ ὁ Θεὸς ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή. πόθεν οὖν ἡ μεταβολὴ τῶν πραγμάτων; τί δέ ἐστιν, ὁ ἐντελλόμενος; ὁ κελεύων, ὁ παραγγέλλων σώζεσθαι τὸν Ἰακώβ. ἐνταῦθα πάλιν τὴν εὐκολίαν τῆς συμμαχίας παρείσησι, καὶ τὴν ἐξουσίαν τὴν πολλήν. καὶ οὐδὲ ἁπλῶς τῶν προγόνων μέμνηται, ἀλλ' ἀντὶ δικαιώματος τὴν ἀρετὴν αὐτῶν προβάλλεται, δυσωπῆσαι τὸν Θεὸν βουλόμενος.

7 Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. Καὶ σὺ ὁ αὐτός, φησι, καὶ ἡ πρόνοια ἡ αὐτή, καὶ ἡμεῖς σε ἐπιγραφόμεθα, καὶ τοῖς αὐτοῖς ὅπλοις κεχρήμεθα. τοῦτο γάρ ἐστιν, ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. Ἄλλος δέ φησι, Τοὺς θλίβοντας ἡμᾶς κερατιοῦμεν.

Καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.

Ἄλλος, Συμπατήσομεν. Τί λέγω, φησίν, ἐν σοί; ἀρκεῖ τὸ ὄνομά σου καλέσαι μόνον, καὶ πάντα λῦσαι μετ' ὑπερβολῆς. οὐδὲ γὰρ εἶπε, κρατήσομεν, ἢ περιεσόμεθα, ἀλλ' ἐξουδενώσομεν. οὐδὲ ἡγησόμεθα αὐτοὺς * εἶναι, φησιν, οὐδὲ φοβηθησόμεθα, ἀλλ' ὡς οὐδὲν ὄντας διώξομεν. ὅπερ δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε, ʺΚατακρατήσομεν, τὴν κατὰ κράτος νίκην, τὴν χωρὶς ἀγωνίας παράταξιν, τὴν χωρὶς φόβου μάχην δεικνύς.

* π

Καταπατήσομεν

8 Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ. Ἄλλος, Πέποιθα. Καὶ ἡ ῥομφαία μου οὐ σώσει με. Καὶ τίνος ἕνεκεν κέχρηνται τούτοις; τί δὲ καθοπλίζῃ, καὶ τόξον καὶ μάχαιραν μεταχειρίζῃ; ὅτι οὕτως ἐκέλευσεν ὁ Θεὸς ἡμῶν, διὰ δὴ τοῦτο κεχρήμεθα μὲν αὐτοῖς, τὸ δὲ πᾶν ἐπ' αὐτὸν ῥίπτω. οὕτω πολεμεῖν τοῖς αἰσθητοῖς ἐχθροῖς ἐπαιδεύοντο, ἀπὸ τῆς ἄνωθεν ῥοπῆς φραττόμενοι, οὕτω τοῖς νοητοῖς. καὶ σὺ τοίνυν, ὅταν τῷ διαβόλῳ πολεμῇς, λέγε· οὐ τοῖς ὅπλοις μου θαρρῶ, τουτέστιν, οὐ τῇ ἐμῇ ἰσχύϊ, οὐδὲ ταῖς ἐμαῖς δικαιοσύναις, ἀλλὰ τῷ ἐλέει τοῦ Θεοῦ. οὕτω καὶ Δανιὴλ ἔλεγεν· Οὐκ ἐν ταῖς δικαιοσύναις ἡμῶν

Δαν. θ. ιη.

ἐπιρρίπτομεν ἡμεῖς τὸν ἔλεον ἡμῶν ἔμπροσθέν σου. 9 Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. Ἄλλος, Ὅτι ἔσωσας ἡμᾶς. Τί δεῖ λέγειν τὰ παλαιά, φησι, καὶ τὰ τῶν προγόνων; ἡμεῖς αὐτοὶ πολλὰ τῆς σῆς προνοίας ἐνέχυρα ἔχομεν, καὶ τρόπαια λαμπρὰ ἀπαριθμεῖν, καὶ νίκας ἐπαλλήλους καὶ θαυμαστὰς καὶ παραδόξους δυνάμεθα. διὰ γὰρ τοῦτο εἶπε, κατῄσχυνας, ἐμφαίνων ὅτι οὐχ ἁπλῶς ἡμᾶς ἐξείλου, οὐδὲ ἁπλῶς ἐξήρπασας ἡμᾶς, ἀλλὰ μετὰ τῆς αἰσχύνης τῶν ἐπιόντων ἡμῖν. 10 Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Ἄλλος, Τὸν Θεὸν ὑμνοῦμεν κατὰ πᾶσαν ἡμέραν. Τὰ μὲν γὰρ τῆς νίκης, φησι, παρελήλυθε, τὰ δὲ τῆς εὐχαριστίας ἡμῖν μένει. ὅλην γὰρ τὴν ἡμέραν, πᾶσαν λέγει τὴν ζωήν. οὐ γὰρ παυόμεθα ὑμνοῦντες καὶ ἐγκαλλωπιζόμενοί σου ταῖς συμμαχίαις. τοῦτο γὰρ ἡμῶν δόξα, τοῦτο καύχημα, ἐν τούτῳ πρὸς ἅπαντας φιλοτιμούμεθα, οὐχ ὅτι πόλιν ἔχομεν μεγάλην καὶ θαυμαστήν, οὐδ' ὅτι πρῶτοι νικῶμεν, οὐδ' ὅτι ῥώμῃ σώματος περιγινόμεθα· ἀλλ' ὅτι Θεὸν ἔχομεν ἀληθῆ, ἐν τούτῳ καυχώμεθα, οὐχ ὅταν βοηθῇς ἡμῖν μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαταλιμπάνῃς. τοῦτο γάρ ἐστιν, ὅλην τὴν ἡμέραν, καθάπερ καὶ Παῦλός φησιν· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρα δόξα τοιαύτη. διὸ καὶ πάλιν ἔλεγεν· Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ. οὐδὲν γὰρ ἴσον τούτου τοῦ καυχήματος. μηδεὶς τοίνυν ἐπὶ πλούτῳ μεγαφρονείτω, μηδεὶς ἐπί τινι τῶν βιωτικῶν, ἀλλ' ἐπὶ τούτῳ μόνον, ἐπὶ τῷ τὸν Θεὸν ἔχειν δεσπότην. τοῦτο πάσης ἐλευθερίας ἄμεινον, τοῦτο τῶν οὐρανῶν αὐτῶν βέλτιον. εἰ γὰρ τὸ ἀκούειν τοῦ δεῖνος καὶ τοῦ δεῖνος, καύχημα πολλάκις ἤνεγκε παρὰ ἀνθρώποις· ἐννόησον τὸ ἀκούειν τοῦ Θεοῦ, ἡλίκην φέρει δόξαν. διὸ καὶ ὁ Παῦλος ἀντὶ μεγάλου ἀξιώματος τέθεικε τοῦτο, λέγων· Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν. Διάψαλμα. Ἄλλος, Ἀεί. Ὁ δὲ Ἑβραῖος τοῦτο σελ λέγει. 11 Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς.

Γαλ. ς. ιδ.

Ρω. ε. ια.

α. Κορ. α. λα. καὶ β. Κορ. ι. ιζ.

Γαλ. ε. κδ.

Ἄλλος, Καίπερ ἀπώσω. Ἄλλος, Καίγε ἀπώσω. Ἄλλος, Ἀλλὰ πρὸς τούτοις ἀπεβάλου. Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Ἄλλος, Καὶ οὐ προέρχῃ ἐν ταῖς στρατεύσεσιν ἡμῶν. Τῷ γὰρ ἀπωσμῷ αἰσχύνη εὐθέως ἕπεται, καὶ τὸ πᾶσι προκεῖσθαι πρὸς τὸ πάσχειν κακῶς. δυνάμεις δὲ ἐνταῦθα τὰ στρατόπεδα αὐτῶν καλεῖ, ἐπειδὴ ἐν " αὐταῖς ἡ τοῦ βασιλέως δύναμις· καὶ τοῦτο καλῶς τοῦ Θεοῦ οἰκονομήσαντος, ὥστε σύνδεσμον εἶναι τῷ ἄρχοντι καὶ τοῖς ἀρχομένοις. ὅ τε γὰρ βασιλεὺς δεῖται τῶν ὑπηκόων, καὶ οὗτοι τοῦ προστάτου, καὶ ἀλλήλων ἐν χρείᾳ καθεστήκασι πολλῇ. ὥστε γὰρ μὴ εἶναί τινα ἀπόνοιαν, τὰ μεγάλα πολλάκις τῶν μικρῶν δεῖσθαι παρεσκεύασεν ὁ Θεός. τοῦτο καὶ ἐπὶ τῶν ἀψύχων ἐποίησε. πολλάκις γοῦν κίονα σαλευόμενον ψηφὶς ὑποτεθεῖσα ἔστησε, καὶ μυριαγωγὸν πλοῖον μικρὸν πηδάλιον ἰθύνει καὶ κινδύνων ἀπαλλάττει. τί δέ ἐστι, καίπερ ἀπώσω ἡμᾶς; ὅτι καὶ τοιαῦτα, φησι, παθόντες, οὐκ ἀφιστάμεθά σου, δοξολογοῦντες, ὑμνοῦντες, ἐν σοὶ καλλωπιζόμενοι. 12 Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

" ἴσ. αὐτοῖς

Ἄλλος, Ἔταξας ἡμᾶς ἐσχάτους παντὸς ἐναντίου. Ὅρα πῶς ἐπαίρει τὰ δεινὰ τῷ λόγῳ, καὶ ἐκτραγῳδεῖ τὴν συμφοράν, δεικνὺς ὅτι εἰ καὶ ἁμαρτωλοὶ σφόδρα ἦσαν, ὅμως δίκην δεδώκασιν ἱκανήν. τοῦτο καὶ οἱ παῖδες ἐκ περιουσίας ποιοῦσιν ἐν τῇ καμίνῳ τότε ᾄδοντες καὶ λέγοντες· Παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, καὶ ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ πάλιν· Ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ. τοῦτο καὶ ἐνταῦθα δηλοῖ, μονον-

Ὠδὴ τῶν τριῶν παίδων. 5. 1.

οὐχὶ λέγων· πάντων γεγόναμεν ἀτιμότεροι, ἐπειδὴ τῆς σῆς ἐγυμνώθημεν προνοίας. καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά, ἀλλὰ καὶ διανομὴ γεγόναμεν τοῖς πολεμίοις, καθ' ἐξουσίαν ἡμᾶς διανεμομένοις. οὕτω γάρ ἐστι, διήρπαζον ἑαυτοῖς, τουτέστιν, οὐδενὸς ὄντος τοῦ κωλύοντος. 13 Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

Ἄλλος, Ἐλίκμησας ἡμᾶς. Τί ἐστιν, ὡς πρόβατα βρώσεως; εὐεπιχειρήτους, φησί, ποιήσας, εὐτελεῖς δείξας. ἔστι γὰρ καὶ πρόβατα κτήσεως, τὰ πρὸς γονὴν ἐπιτήδεια· τὰ δὲ, διὰ τὸ γῆρας ἢ τὸ ἄγονον, εἰς βρῶσιν μόνον ἐστὶ χρήσιμα. καὶ τὸ δὴ χαλεπώτερον, τὸ καὶ εἰς τὰ ἔθνη διαιρεθῆναι, ὃ πάντων αὐτοῖς βαρύτερον ἦν, τὸ μηδὲ τὸν νόμον δύνασθαι μετὰ ἀκριβείας φυλάττειν ἐκεῖ, ἀλλὰ τῆς πατρῴας ἐκπεπτωκέναι πολιτείας. καὶ οὐδὲ εἰς ἓν ἔθνος, ἀλλὰ πανταχοῦ, φησί. καὶ πρὸς ἓν μόνον ἐσμὲν ἕτοιμοι, τὸ πάσχειν κακῶς· ἀμύνασθαι δὲ, ἢ ἀνταίρειν χεῖρας οὐδὲ ἰσχύομεν. τοῦτο γὰρ ἡ τῶν προβάτων εἰκὼν δηλοῖ.

14 Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς. Ἄλλος φησίν, Ἐν οὐχ ὑπάρξει. Ἄλλος, Οὐχ ὑπάρξεως. Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν.

Ἄλλος, Καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν. Σφόδρα ἀσαφὲς εἶναι δοκεῖ τὸ ῥητόν· ἀλλὰ προσέχετε, ἵνα μετὰ συνέσεως ψάλλητε. τί οὖν ἐστι τὸ λεγόμενον; τὸ εὐτελὲς αὐτῶν καὶ οὐδαμινὸν παρίστησιν, ὡς οὐδενὸς ὄντας ἀξίους. ὡς εὐώνους καὶ εὐκαταφρονήτους, φησίν, οὕτως ἡμᾶς εἴασας. καὶ τοῦτο ἀπὸ τῆς συνηθείας φθέγγεται τῆς ἀνθρωπίνης. ἔθος γὰρ ἡμῖν τὰ ἄτιμα καὶ εὐτελῆ, καὶ ἄνευ τιμῆς διδόναι· ὧν δὲ πολὺς ἡμῖν ὁ λόγος, κἂν ἀποδώμεθα, πολλῆς ἀποδιδόμεθα τιμῆς· ὧν δὲ οὐ πολὺς λόγος ἡμῖν, ταῦτα καὶ δωρεὰν παρέχομεν. τῶν γοῦν οἰκετῶν τοὺς ἀγνώμονας, καὶ μετὰ τῆς ἡμισείας τιμῆς, καὶ οὐδὲν λαβόντες ἀπέδοντο. Εἰ δὲ τὸ ἐλάττονος παραχωρῆσαι τιμῆς, δείκνυσι τὴν εὐτέλειαν τοῦ πιπρασκομένου· τὸ μηδὲ τιμῆς λαβεῖν, ἀλλ' ἄνευ τιμῆς, πολλῷ μᾶλλον. τοῦτο οὖν φησιν· ὥσπερ ἂν εἴ τις ἄνθρωπος ἄνευ τιμῆς ἐκσταίη τῶν αὐτοῦ, οὕτω καὶ αὐτὸς ὡς ἀτίμους ἡμᾶς εἴασας, κατεφρόνησας ἡμῶν σφόδρα. τοῦτο γοῦν καὶ ἐν τῇ ἐπαγωγῇ δηλοῖ εἰπών· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν, τουτέστιν, ἐν τῇ ὠνῇ ἡμῶν. * Καὶ ἕτερός φησιν, Ἐν τῇ τιμήσει ἡμῶν, τουτέστι τῇ πράσει ἡμῶν. ἡ γὰρ τιμή, ἄλλαγμά ἐστι διδόμενον. διδόαμεν μὲν γὰρ οἰκέτην πολλάκις, καὶ λαμβάνομεν ἀργύριον ἢ χρυσίον. 15 Ἔθου ἡμᾶς ὀνειδισμὸν τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἄλλος, Πομπὴν τοῖς κύκλῳ ἡμῶν.

16 Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι.

Χαλεπὴ αὕτη τιμωρία καὶ ἀφόρητος, μάλιστα τὸ παρὰ τῶν ἀσεβῶν ὀνειδίζεσθαι, τὸ παρὰ τῶν ἐχθρῶν ταῦτα πάσχειν, τὸ κύκλῳ περιοικεῖσθαι τοὺς ἐπεμβαίνοντας αὐτοῖς, καὶ πανταχόθεν αὐτοὺς περιβεβλῆσθαι ὑπὸ τῶν ὀνειδιζόντων. τί δέ ἐστι παραβολή; διήγημα, ὄνειδος. καὶ γὰρ μιαροί τινες καὶ ἀναίσθητοι ἦσαν οἱ κύκλῳ, οὐ μόνον οὐκ ἐλεοῦντες, ἀλλὰ καὶ ὀνειδίζοντες, ὃ δὴ καὶ μάλιστα αὐτοὺς ἔδακνεν. ἐνταῦθα δέ μοι τοὺς Ἄραβας δοκεῖ λέγειν, τοὺς ἐκ γειτόνων αὐτοῖς οἰκοῦντας. Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ἄλλος, Μετακίνημα. Ὁ δὲ Ἑβραῖος, Μαλνοὺδ φησιν. Ἢ τοῦτο οὖν λέγει, ὅτι μετεκίνησας ἡμᾶς, ἢ διὰ τοῦ σχήματος τῆς κινήσεως τῆς κεφαλῆς, τοῦ σφόδρα ἐφηδομένου τὴν παροινίαν ἐνδείκνυται. 17 Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν. Ἄλλος, Ἡ ἀσχημοσύνη μου.

Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. 18 Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος. Ἄλλος, Καὶ βλασφημοῦντος.

Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ταῦτα τῶν τιμωριῶν μᾶλλον αὐτοῦτο ἔδακνεν. ἐπειδὴ γὰρ ἀεὶ τῆς συνεχοῦς εὐημερίας ἀπέλαυον καὶ τῶν πολεμίων ἐκράτουν, τὰ πάντων τότε ἠνοίχθη στόματα πεσόντων αὐτῶν καὶ ὑποσκελισθέντων· καὶ οὐδὲ ἀνακύψαι εἶχον, ἀλλὰ διηνεκῆ τιμωρίαν ὑπέμενον. 19 Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου. Ἄλλος, Οὐδὲ παρελογισάμεθα τὴν συνθήκην σου. Ἀπ' ἐναντίας τοῖς ἄλλοις, φησὶν, ἡμεῖς ἤλθομεν. ἐκεῖνοι μὲν γὰρ καὶ περὶ τῶν δεινῶν ὑπεσκελίσθησαν· ἡμεῖς δὲ καὶ μετὰ τὰ δεινὰ ἑστήκαμεν ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. Ταῦτα δὲ λέγουσιν, εὐέλπιδας ποιοῦντες τοὺς ὄντας μετ' αὐτῶν. διὸ δὴ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων λεγόντων, ἡμάρτομεν, ἠνομήσαμεν, οὗτοι λέγουσιν, οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου, ἐπαίροντες τὰ φρονήματα τῶν στρατιωτῶν. Εἰ γὰρ τὰ μέγιστα πεπόνθαμεν, φησὶ, καὶ ἔκγονοι τῶν τὰ μεγάλα εὐηργετημένων ἐσμὲν, καὶ ἐν ταῖς συμφοραῖς οὐκ ἐξεκλίναμεν, πολλῆς σωτηρίας ἡμῖν ἔσται ἐλπίς. ὅπερ οὖν ἐξ ἀρχῆς ἔλεγον, τοῦτο καὶ νῦν φημι· ὅτι ἐν εὐχῆς τάξει τὰ φρονήματα αὐτῶν ἀλείφουσιν, ὡσανεὶ πρὸς αὐτοὺς ἔλεγον· τίνος ἕνεκεν ἀπεγνώκατε τῆς σωτηρίας; Θεὸν ἔχομεν τὸν προϊστάμενον ἡμῶν. Εἰ καί τι ἡμῖν ἡμάρτηται, δίκην ἔδομεν ἱκανήν· ἐν τοῖς πειρασμοῖς ἑστήκαμεν γενναίως· τὸν ἀεὶ τῶν ἁμαρτωλῶν προϊστάμενον ὁδηγὸν ἔχομεν. διὸ πάντοθεν δεῖ τὸ τέλος προσδοκᾶν χρηστόν. τί δέ ἐστιν, οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου; τουτέστιν, οὐκ ἠδικήσαμεν περὶ ταῦτα, ἃ ἐπιστεύθημεν, ἀλλ' ἐφυλάξαμεν μετὰ ἀκριβείας. καὶ γὰρ μεγίστη ἀδικία ἐστὶν, ὅταν τὸν νόμον τις παραβαίνῃ τὸν ἀμύνοντα, τὸν οὐκ ἐῶντα οὐδὲ παρὰ τῶν πλησίον ἀδικεῖσθαι, καὶ τὴν κακίαν κωλύοντα· ὅταν περὶ τὸν τοσαῦτα παρέχοντα ἀγαθὰ ἀγνωμονῇ. 20 Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. Ἄλλος φησὶν, Οὐδὲ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς. Ἄλλος, Οὐκ ἀπεχώρησε. Καὶ * ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.

Ωδὴ τῶν τριῶν παίδων. ε.

γρ. παιδευ

*ἐκ

Ἄλλος, Καὶ οὐκ ἀπεστράφη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ * ἔκλινε τὰ βήματα ἡμῶν. Ὅπερ ἔμπροσθεν εἴρηκε, τοῦτο καὶ ἐνταῦθα λέγει· ὅτι ἐν τοσούτῳ κλύδωνι κακῶν, οὐδὲ μικρὸν παρεσαλεύθησαν. καλῶς δὲ οὕτως εἶπεν. ὥσπερ γὰρ ὁ νόμος εἰς τὰ ἔμπροσθεν ἄγει, οὕτως ἡ παρανομία εἰς τὰ ὀπίσω μεθίστησι· καὶ ὥσπερ ὁ νόμος τὴν ὀρθὴν ὁδὸν βαδίζειν κελεύει, οὕτως ἡ παρανομία πρὸς τὴν ἔρημον καὶ ἄβατον τὸν ἄνθρωπον μεθίστησιν. ὁδὸν οὖν τὸν νόμον φησὶν ἐνταῦθα. τὸ δὲ, ἐξέκλινας (ὅπερ οἱ ἄλλοι λέγουσιν, οὐδὲ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου) ὁ Ἑβραῖός φησιν, οὐαθέτ ἀσυρανοῦ μηνιοράχ. Εἰ δὲ κατὰ τοὺς ἑβδομήκοντα βουληθείη τις ἑρμηνεῦσαι, καὶ οὐ κατὰ τοὺς ἄλλους, τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου, τοῦτό ἐστιν, ὅτι ἀπῴκισας τοῦ ναοῦ σου, καὶ ἐν ἀλλοτρίᾳ εἶναι πεποίηκας, ὅπερ οὐκ εἴα τὰς λατρείας ἐπιτελέσαι.

*ἐκ

21 Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως.

Ἄλλος, Ἀοικήτῳ. Ἄλλος, Ἐν τόπῳ σειρήνων.

Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. Ἄλλος, Ἐπώμασας ἡμᾶς. Αὕτη μοι δοκεῖ ἡ ἀνταπόδοσις πρὸς τὰ ἄνω εἶναι, ἐν οἷς τὰ κακὰ διηγοῦντο λέγοντες· ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ὅτι ἐταπείνωσας ἡμᾶς. εἰ μέντοι πρὸς τὸ, ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου, ἐκλάβοι τις αὐτὸ, ἐνταῦθα ἀκολουθίαν ἔχει κατὰ τὴν ἔννοιαν, ἣν εἰρήκαμεν. δηλοῖ γὰρ πῶς ἐκ τῶν τρίβων αὐτοῦ ἀπώσατο αὐτοὺς, τῆς πολιτείας λέγω καὶ τῶν νομίμων, τῷ εἰς τόπους ἐρήμους ἀπαγαγεῖν καὶ μεταξὺ πολεμίων ἀφεῖναι (τοῦτο γάρ ἐστι τὸ, ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου) τοὺς κινδύνους λέγων τοὺς θάνατον τίκτοντας, καὶ ὧν πλησίον οἱ θάνατοι, ὥσπερ καὶ ὠδῖνας θανάτου καὶ πύλας ᾅδου ἡ γραφὴ καλεῖ. καὶ τὸ ἄφυκτον δὲ τῶν δεινῶν

γρ. [illegible]σας

γρ. σειρήνων,

γρ. ὥσπερ

δηλοῖ

διά τε τῆς σκιᾶς καὶ διὰ τῆς ἐπικαλύψεως ἐνταῦθα παρίστησιν. οὐδὲ μίαν λύσιν εὑρεῖν, οὐδὲ ἀναπνοὴν μικρὰν δυνάμεθα. 22 Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον,

γρ. ἀναπνεῦσαι

23 Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

Τοῦτο οἰκετῶν εὐγνωμόνων, τὸ κακῶς πάσχοντας μένειν τὸν δεσπότην θεραπεύοντας. ταῦτα φιλοσοφίας διδάγματα. ἐνταῦθα καὶ τοὺς ἀκούοντας παιδεύουσι μὴ ὑποκρίνεσθαι, ἀλλ' ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν θεραπεύειν. οἶδε γάρ, φησι, τὰ ἀπόρρητα τῆς διανοίας. ταῦτα δὲ λέγουσι φοβοῦντες αὐτούς, ὥστε μηδὲν λογίζεσθαι ἀνάξιον Θεοῦ. ὅρα καὶ τὴν ἐπίδοσιν τῆς ἀρετῆς πολλήν. ἐπάγει γὰρ λέγων·

γρ. λογίζεσθαι

24 Ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Μέγα μὲν γὰρ καὶ τὸ μένειν θεραπεύοντας τὸν Θεόν, καὶ μὴ πρὸς ἕτερον ἀποπηδῆσαι· τὸ δὲ πολλῷ μεῖζον, τὸ συνεχῶν θανάτων καὶ καθημερινῶν κινδύνων ἐπικειμένων, διατηρεῖν τὴν τοιαύτην ἀγάπην. καὶ ἐννόησον ὅσον φιλοσοφίας εἶδός ἐστιν, ὅπουγε καὶ ὁ Παῦλος αὐτῷ κέχρηται, τὰς νιφάδας τῶν ἀποστολικῶν κινδύνων ἀπαριθμούμενος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. πόσων οὖν ἂν εἶεν ἄξιοι στεφάνων οὗτοι, ὅταν ἐν τῇ παλαιᾷ φαίνωνται πρὸς τὸ αὐτὸ μέτρον φθάσαντες τῶν ἐν τῇ καινῇ ἀγωνισμένων; ὃ γάρ φησιν ὁ Παῦλος, Καθ' ἡμέραν ἀποθνήσκω, τοῦτο καὶ οὗτοι, οὐχὶ τῇ πείρᾳ, οὐδὲ τῷ τέλει, ἀλλὰ τῇ γνώμῃ. διὰ τί δὲ εἶπεν, ἕνεκα σοῦ; ὅτι ἐξῆν ἡμῖν, φησι, μεταταξασθαι, καὶ ἀφεῖναι τὴν πατρῴαν πολιτείαν, καὶ εἶναι ἐν ἀσφαλείᾳ· ἀλλ' αἱρούμεθα πάσχειν κακῶς μᾶλλον καὶ τὰ πατρῷα φυλάττειν, ἢ εἰρήνης ἀπολαύειν μετὰ τὸ τῶν πατρῴων ἐκπεσεῖν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. οὕτως εὐκόλως ἡμᾶς, φησιν, ἀναιροῦσιν. ἐνταῦθα δὲ καὶ τὴν ἐπιείκειαν αὐτῶν ἐνδείκνυνται· ἀλλ' ὅμως οὕτως εὐκόλως προκείμενοι, μένομεν ἀπαράτρεπτον τὴν γνώμην ἔχοντες. ἐνταῦθα καὶ τὴν τοῦ Θεοῦ δύναμιν ἄξιον ἐκπλαγῆναι, ὅτι τοὺς οὕτω προκειμένους, ὡς πρόβατα σφαγῆς, διετήρησε, καὶ καθ' ἡμέραν ἀποθνήσκοντας οὐκ ἀφῆκεν ἐμπεσεῖν εἰς θάνατον. 25 Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; Ἄλλος, Ἵνα τί ὡς ὑπνῶν εἶ; Ἄλλος, Ἐξυπνίσθητι. Ἄλλος, Ἐξύπνισον. Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. 26 Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; Ἕτερος, Κρύπτεις. Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν; Ἄλλος, Τῆς κακίας ἡμῶν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. δύνασαι λῦσαι τὰ κακά. οὐδὲ γὰρ παρὰ ἀσθένειαν σὴν ταῦτα γίνεται, ἀλλὰ παρὰ τὴν συγχώρησιν. ὕπνον γὰρ ἐνταῦθα τὴν ἡσυχίαν φησί, καὶ ἀνάστασιν τὴν ἀνταπόδοσιν, καὶ πρόσωπον τὴν ἀντίληψιν, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν συμμαχίαν. ἵνα τί ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν; ὅρα πάλιν εὐγνωμοσύνην· οὐκ εἶπε, τῶν κατορθωμάτων, οὐκ εἶπε, τῆς ἀπαρατρέπτου γνώμης, οὐκ εἶπε, τῆς ἐν πειρασμοῖς δοκιμασθείσης ψυχῆς. ἀλλ' ὅτε μὲν ὑπὲρ ἑαυτῶν ἀπολογοῦνται, ἐκεῖνα τιθέασιν· ὅταν δὲ τὴν συμμαχίαν ζητῶσιν, ἀφ' ὧν εἰσι κατάδικοι, ἀπὸ τούτων ἀξιοῦσι σώζεσθαι· ἐπειδὴ δίκην ἔδοσαν, φησιν, ἐπειδὴ τὰ ἔσχατα πεπόνθασι. τοῦτο καὶ Παῦλος ποιεῖ πολλάκις, καὶ ἕτεροι τῶν προφητῶν. καὶ ταῦτα ἔλεγον οὗτοι, οὐδέπω περὶ γεέννης εἰδότες οὐδέν, οὐδὲ περὶ βασιλείας, οὐδὲ τοιαῦτα διδαχθέντες φιλοσοφεῖν, καὶ πάντα ἔφερον ῥᾳδίως.

Ρω. η. λς.
α. Κορ. ιε. λα.
α. Κορ. δ. θ. καὶ
β. Κορ. α. α.
β. Κορ. δ. η. καὶ
κεφ. ς. δ.
Ησ. κε. δ. ε. καὶ
κεφ. ξδ. ς.
Θρην. α. ι. καὶ
β. κ. καὶ ε. α.
Δαν. θ. ιβ. ιε.

27 Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

Ἐπειδὴ εἶπεν, ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, τουτέστι τῆς κακώσεως, λέγει λοιπὸν τὴν κάκωσιν. ὃ δὲ λέγει, τοῦτό ἐστιν. ἀπολώλαμεν, κατωρύγημεν, τῶν νεκρῶν οὐδὲν ἄμεινον διακείμεθα. δικαίως δ' ἂν τις εἴποι καὶ τῶν τοῖς προθύροις παρεστηκότων τὴν ψυχὴν εἰς χοῦν τεταπεινῶσθαι, καὶ τὸν γαστρίμαργον εἰς τὴν γῆν τὴν γαστέρα κεκολλῆσθαι. καὶ γὰρ ὁ ἔρωτι προσδεδεμένος, καὶ πρὸς τὸν πηλὸν κεχηνὼς, καὶ τὴν ἀσώματον δύναμιν τὴν ἐν αὐτῷ καταδουλῶν τῇ σποδῷ, εἰκότως ἂν ταῦτα λέγοιτο πάσχειν. τί γάρ ἐστιν ἄλλο, κάλλος σώματος, ἀλλ' ἢ χοῦς καὶ πηλός; μᾶλλον δὲ καὶ τούτων εἰδεχθέστερον; εἰ δὲ ἀπιστεῖς, περιεργάζου τοὺς τάφους τῶν ἀνθρώπων, καὶ ὄψει τὸν πηλὸν καὶ τὴν κόνιν. ὅταν γὰρ ἀποθῆται τὸ πρόσωπον τὴν προσοῦσαν ζωὴν, τότε φαίνεται ὅπερ ἐστὶ, μᾶλλον δὲ καὶ πρὸ τῆς τελευτῆς. ὅταν γὰρ τὸ γῆρας ἐπέλθῃ, ὅταν νόσος ἐπισκήψῃ, τότε ὄψει τὸ φαινόμενον. πηλὸς γάρ ἐστιν. ἀλλ' ὁ σοφὸς δημιουργὸς καὶ ἐξ εὐτελοῦς ὕλης κάλλος ἀμήχανον ἐποίησεν ἐπιγλυέσθαι, οὐχ ἵνα πορνεύσῃς, ἀλλ' ἵνα τῆς οἰκείας σοφίας ἀπόδειξίν σοι παράσχηται. μὴ τοίνυν ὑβρίσῃς τὸν τεχνίτην, μηδὲ τὸ ἔργον αὐτοῦ τῆς σοφίας, ἀσελγείας καὶ πορνείας ὑπόθεσιν ποιοῦ. μέχρι τοσούτου θαύμαζε τὴν ὥραν, μέχρι τοῦ δοξάσαι τὸν τεχνίτην· περαιτέρω δὲ μὴ προέλθῃς τὸ πάθος ἀλείφων. καλὸν τὸ ἔργον· οὐκοῦν τὸν ἐργασάμενον προσκύνησον, ἀλλ' οὐχ ὑβρίζειν χρή. εἴ τις, εἰπέ μοι, χρυσοῦν ἀνδριάντα τινὸς καὶ εἰκόνα βασιλικὴν λαβὼν κατήφυρε βορβόρῳ καὶ ἑτέροις τοιούτοις, οὐκ ἂν τὴν ἐσχάτην ἔδωκε δίκην; εἰ δὲ ὁ ἐν τοῖς ἀνθρωπίνοις ἀγνώμων τοσαύτης ὑπεύθυνός ἐστι τιμωρίας, ὁ τὸ ἔργον τοῦ Θεοῦ τοσαύτῃ περιβαλὼν ἀτιμίᾳ, τί πείσεται, καὶ μάλιστα, ὅταν καὶ γυναῖκα ἔχων φαίνηται; μὴ γάρ μοι λέγε τῆς φύσεως τὴν ἐπιθυμίαν. διὰ τοῦτο γὰρ γάμος ἐπετράπη, ἵνα μὴ πέρα τῶν οἰκείων ὅρων προβαίνῃς. θέα γὰρ ὅσης ἄξιος ἔσῃ τιμωρίας. ὁ μὲν γὰρ Θεὸς καὶ τῆς ἀναπαύσεώς σου καὶ τῆς δόξης προενόησεν, ἵνα καὶ ἐκλύσῃς τὴν λύτταν τῆς φύσεως διὰ τῆς γυναικὸς, καὶ ἀκινδύνως τοῦτο ποιῇς, καὶ πάσης ἀπαλλαγῇς ἀσχημοσύνης· σὺ δὲ τὸν οὕτω σου προνοοῦντα ἐκ περιουσίας ὑβρίζεις; εἰπὲ γάρ μοι· εἰ μὴ ἐβουλήθη νομοθετῆσαι γάμον, πόσην ἂν ὑπέστης βίαν; πόσην κόλασιν; δέον οὖν σε εὐχαριστεῖν καὶ δοξάζειν, ὅτι τὸ πλέον ὑπετέμετό σοι τῶν πόνων, παραμυθίαν οὐ τὴν τυχοῦσαν ἐπινοήσας· σὺ δὲ ἐνυβρίζεις ἀγνωμόνως, καὶ ἀναισχυντεῖς, καὶ τοὺς κειμένους ὑπερβαίνεις ὅρους, καὶ τὴν ἑαυτοῦ καταισχύνεις δόξαν. οὐκ ἀκούεις Παύλου λέγοντος καὶ νῦν, καὶ ἐν τῷ μέσῳ βοῶντος, Φεύγετε τὴν πορνείαν, μᾶλλον δὲ τοῦ Χριστοῦ τὴν ἐκείνου ψυχὴν κινοῦντος; τί καταμανθάνεις κάλλος ἀλλότριον; τί περιεργάζῃ πρόσωπον οὐ σόν; τί φέρῃ κατὰ κρημνῶν; τί τοῖς δικτύοις ἐμπεριβάλλεις σαυτόν; τείχισόν σου τοὺς ὀφθαλμοὺς, περίφραξόν σου τὸ ὄμμα, τίθει νόμον τοῖς ὀφθαλμοῖς. ἄκουσον ἀπειλοῦντος τοῦ Χριστοῦ, καὶ τὴν ἀκόλαστον ὄψιν ἐν ἴσῳ μοιχείας κρίνοντος. τί τῆς ἡδονῆς ὄφελος, ὅταν σκώληκα τίκτῃ, ὅταν διηνεκῆ φόβον, ὅταν ἀθάνατον τῷ δράσαντι τιμωρίαν; πόσῳ βέλτιον, μικρὸν ἀνασχόμενον τῆς βίας τῆς ἀπὸ τῶν ἡμετέρων λογισμῶν, διὰ παντὸς ἐν ἀνέσει εἶναι, ἢ ὀλίγα χαρισάμενον ταῖς ἀτόποις ἐπιθυμίαις, ἀθάνατα τιμωρεῖσθαι; Μὴ τέκνα, μὴ ποιεῖτε οὕτως. οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. οἶδα πρὸς τίνας ὁ λόγος ἀποτείνεται, οὐ πρὸς ἅπαντας· ἀλλ' ἔνθα ἂν εὕρῃ τὸ τραῦμα, ἐκεῖ ἐπάγει τὸ φάρμακον. τί τὸν γάμον ὑβρίζεις; τί τὴν εὐνὴν ἀδικεῖς; τί τὸ μέλος τὸ σὸν ἐπηρεάζεις; τί τὴν δόξαν σου καταισχύνεις; ἔκκοψον τὸ πάθος, ἄνελε τὰς τρυφάς. τρυφὴ καὶ μέθη, πηγαὶ πορνείας. ἂν τῇ ἀνέσει μὴ χρήσῃ εἰς δέον, ἐπάγει σοι θλῖψιν. ἄκουσον τί ἔπαθον οἱ Ἰουδαῖοι πορνεύσαντες, οἱ μὴ μεταλαβόντες σώματος Χριστοῦ, οἱ τραπέζης μὴ ἀπολαύσαντες πνευματικῆς. Μηδὲ πορνεύωμεν, φησὶ, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες.

α. Κορ. ϛ. ιη.

Ματθ. ε. κη.

α. Βασ. β. κϛ.

α. Κορ. ϛ. ιε.

α. Κορ. ι. η.

χ. ἔχει ὁ ταῦτα ποιῶν;

28 Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Ἄλλος, Στῆθι ἀντιλαμβανόμενος ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς διὰ τὸ ἔλεός σου. Ὅρα ποῦ τὸν λόγον κατέκλεισαν, μετὰ τὰ μυρία αὐτῶν κατορθώματα πόθεν ἀξιοῦσι σώζεσθαι, ἀπὸ ἐλέους, ἀπὸ φιλανθρωπίας, διὰ τὸ ὄνομα τοῦ Θεοῦ. Τί ἐστιν, ἕνεκεν τοῦ ὀνόματός σου; ἵνα μὴ αὐτὸ βεβηλωθῇ· ὃ καὶ αὐτὸς πολλάκις λέγει, ὅτι ποιῶ ἕνεκεν τοῦ ὀνόματός μου. Εἶδες ταπεινοφροσύνην καὶ συντετριμμένην διάνοιαν, καὶ πόθεν ἀξιοῦσι σωθῆναι; ἀπὸ φιλανθρωπίας, ἀπὸ ἐλέους, ὡς ἔρημοι κατορθωμάτων, ὡς οἱ μηδὲν ἔχοντες δικαίωμα σωτηρίας, καίτοι τοσούτοις καμόντες πόνοις καὶ κινδύνοις. τούτους δὴ καὶ ἡμεῖς, οἱ ἐν τῇ χάριτι, μιμησώμεθα, καὶ δόξαν ἀναπέμψωμεν τῷ Θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. μδ΄. ἘΠΙΝΙΚΙΟΣ ὙΠΕΡ ΤΩΝ ἈΝΘΕΩΝ, ΤΩΝ υἱῶν Κορέ.

Ἄλλος, Τῷ νικοποιῷ ἐπὶ τοῖς κρίνοις, τῶν υἱῶν Κορέ. Ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ, ἐπὶ κρίνοις, Ἀλ σωσαννὶ λέγει. Συνέσεως ᾆσμα εἰς τὸν ἀγαπητόν. Ἄλλος, Ἐπιστήμονος ᾆσμα πρὸς φιλίας. Ἄλλος, Τοῖς ἠγαπημένοις. Ὁ δὲ Ἑβραῖος, Ἰδιθὼθ φησιν. Οἱ δὲ ἑβδομήκοντα, Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. 1 Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Ἄλλος, Ἐξείρπυσεν. Ἄλλος, Ἐκινήθη ἡ καρδία μου λόγῳ ἀγαθῷ.

ΕΒουλόμην παρεῖναι νῦν Ἰουδαίους ἅπαντας καὶ Ἕλληνας, καὶ τὸ βιβλίον τοῦτο παρὰ Ἰουδαίων λαβὼν, οὕτως ἀναγνῶναι τὸν ψαλμόν. ἴστε γὰρ δήπου τοῦτο, ὅτι καὶ ἐν τοῖς δικαστηρίοις, καὶ πανταχοῦ τότε μάλιστα ἀνύποπτος ἡ μαρτυρία τῶν πραγμάτων γίνεται, ὅταν παρὰ τῶν ἐχθρῶν αὕτη φέρηται. ἵνα οὖν καὶ σήμερον τοῦτο συμβαίη, ἀπὸ τῆς παλαιᾶς παρεχόμεθα τὴν μαρτυρίαν, ἵνα καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καταισχύνωνται· Ἰουδαῖοι μὲν, ἀναγινώσκοντες καὶ οὐ γινώσκοντες· Ἕλληνες δὲ, ὁρῶντες παρὰ τῶν ἐχθρῶν τὰ βιβλία ἡμῖν φερόμενα. οὐ γὰρ δήπου πεπλάσθαι παρ' ἡμῶν αὐτὰ δυνήσονται λέγειν, οὐχ ἡμῶν, ἀλλὰ τῶν τὸν Χριστὸν σταυρωσάντων τὰ βιβλία παρεχομένων ἡμῖν τὰ περὶ τῆς αὐτοῦ δυνάμεως διαλεγόμενα. ἀλλ' εἴτε πάρεισιν, εἴτε μὴ πάρεισιν οὗτοι, ἡμεῖς τὸ ἡμέτερον ποιήσομεν, καὶ τῆς ἑρμηνείας ἁψόμεθα. Εἰς γὰρ τὸν Χριστὸν ὁ ψαλμὸς οὗτος ἀναγέγραπται. διὸ καὶ, εἰς τὸν ἀγαπητὸν, καὶ, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τὴν προγραφὴν ἔχει. ἀλλοίωσιν γὰρ μεγάλην ἡμῖν οὗτος εἰργάσατο καὶ πραγμάτων μεταβολὴν καὶ μετάστασιν. Ταύτην τὴν ἀλλοίωσιν δηλῶν καὶ ὁ Παῦλος ἔλεγεν· Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις. διὸ καὶ ἀρχόμενος οὗτος φησιν, Εἶπεν ἡ καρδία μου. ἐπειδὴ γὰρ οὐδὲν ἀνθρώπινον ἦν τῶν λεγομένων, ἀλλ' οὐράνια καὶ πνευματικὰ διηγεῖσθαι ἔμελλε, καὶ οὐκ ἐξ οἰκείας εὑρέσεως, ἀλλ' ἐκ θείας ἐνεργείας, τῷ ὀνόματι τῆς ἐρυγῆς τοῦτο παρέστησεν. ἐρευγόμεθα γὰρ, οὐχ ὅτε βουλόμεθα. τὸν μὲν γὰρ λόγον τοῦτον φθεγγόμεθα, ὅτε θέλομεν, καὶ λέγομεν καὶ κατέχομεν· τὴν δὲ ἐρυγὴν οὐχ ὁμοίως. δεικνὺς τοίνυν ὅτι οὐκ ἀνθρωπίνης ἐστὶ σπουδῆς τὰ λεγόμενα, ἀλλὰ θείας ἐπιπνοίας τῆς κινούσης αὐτὸν, ἐρυγὴν τὴν προφητείαν ἐκάλεσεν. ὥσπερ γὰρ ἐπὶ τῆς ἐρυγῆς, τῆς τῶν σιτίων ποιότητός ἐστι τὸ γινόμενον, οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς διδασκαλίας. τοιαῦτα τοίνυν ἠρεύγετο, οἷα καὶ ἐσιτεῖτο. ὅρα δὲ καὶ ἀλλαχοῦ ἑτέραν προφητείαν αἰσθητῇ εἰκόνι ταύτην

β. Κορ. ε. ιζ.

τὴν προβάλλοντα τὴν ἐνέργειαν, καὶ ἐσθίοντα τὴν κεφαλίδα τοῦ βιβλίου, καὶ μεθ' ἡδο-
Ιεζεκ. γ. α. γ. νῆς ἐσθίοντα. Ἐγένετο γάρ, φησιν, ἐν τῷ στόματί μου, ὡς μέλι γλυκάζον. ἐπεὶ οὖν ἐ-
δέξατο τὴν πνευματικὴν χάριν, τοιαῦτα καὶ ἠρεύγετο. ὅτι γὰρ οὐ περὶ ἐρυγῆς ὁ λόγος τῆς
αἰσθητῆς ταύτης, οὐδὲ περὶ σιτίων, ἄκουσον τί ἐρεύγεται, καὶ τίς ἐστιν ὁ ἐρευγόμενος. οὐχ
ὁ στόμαχος ὁ τὰ σιτία δεχόμενος, ἀλλ' ἡ καρδία. ἐξηρεύξατο γάρ, φησιν, ἡ καρδία μου. καὶ
τί ἐρεύγεται; οὐ σιτίον, οὐδὲ ποτόν, ἀλλὰ τὰ συγγενῆ τῇ τραπέζῃ, λόγον ἀγαθὸν τὸν περὶ τοῦ
Ιω. ιβ. μζ. μονογενοῦς (οὗτος γὰρ μάλιστα ἀγαθός. Ἦλθον γάρ, φησιν, οὐχ ἵνα κρίνω τὸν κόσμον,
ἀλλ' ἵνα σώσω τὸν κόσμον) πάντα προσηνῆ, πάντα κολάσεως ἀπηλλαγμένα. ἐρεύγεται
δὲ τοιαῦτα, ἐπειδὴ τὴν καρδίαν αὐτοῦ ἐξεκάθαρεν. ὥσπερ γὰρ ἡ γαστήρ, ὅταν μὲν ῥυπαρῶν
γέμῃ χυμῶν, συγγενῆ τούτοις ἐρεύγεται, ὅταν δὲ ὑγιεινή τις οὖσα τυγχάνῃ, κατάλληλον
ποιεῖται τὴν ἐρυγήν· οὕτω καὶ ἡ καρδία τοῦ προφήτου, ἐπειδὴ ἁμαρτημάτων ἦν ἀπηλλαγμέ-
νη, πνεύματος ἐδέξατο χάριν, καὶ λόγον ἐρεύγεται ἀγαθόν. ἐντεῦθεν καὶ ἕτερόν τι μανθά-
νομεν, ὅτι οἱ προφῆται οὐχ ὡς οἱ μάντεις ἦσαν. ἐκεῖ μὲν γὰρ ὁ δαίμων, ὅταν εἰς τὴν
ψυχὴν ἐμπέσῃ, πηροῖ τὴν διάνοιαν, καὶ σκοτοῖ τὸν λογισμόν, καὶ οὕτως ἅπαντα φθέγγονται,
οὐδὲν τῶν λεγομένων ἐπισταμένης τῆς διανοίας αὐτῶν, ἀλλ' οἷον αὐλοῦ τινος ἀψύχου
α. Βασ. θ. ει. ζ. φθεγγομένου. τοῦτο καί τις τῶν παρ' αὐτοῖς φιλοσόφων ἔφη οὕτως εἰπών· ὥσπερ οἱ χρησ-
μῳδοὶ καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσιν. ἀλλ' οὐ τὸ πνεῦ-
μα τὸ ἅγιον οὕτω ποιεῖ, ἀλλὰ τὴν καρδίαν ἀφίησιν εἰδέναι τὰ λεγόμενα. εἰ γὰρ μὴ
ᾔδει, πῶς ἔλεγε λόγον ἀγαθόν; ὁ μὲν γὰρ δαίμων, καθάπερ ἐχθρὸς καὶ πολέμιος, πολε-
μεῖ τῇ φύσει τῇ ἀνθρωπίνῃ· τὸ δὲ πνεῦμα τὸ ἅγιον, καθάπερ κηδόμενον καὶ εὐεργετοῦν,
κοινωνεῖν τῆς γνώμης τοὺς δεχομένους ποιεῖ, καὶ μετὰ τῆς ἐκείνων διανοίας ἀποκαλύπτει
τὰ λεγόμενα. Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.

Ἄλλος, Τὰ ποιήματά μου. Ἔργα ποῖα φησί; τὴν προφητείαν. καθάπερ γὰρ τοῦ
χαλκέως ἔργον τὸ σκέπαρνον ποιῆσαι, καὶ τοῦ οἰκοδόμου τὸ οἰκίαν ἐργάσασθαι, καὶ τοῦ ναυπη-
γοῦ τὸ ναῦν συγκολλῆσαι· οὕτω καὶ τοῦ προφήτου τὸ προφητείαν ὑφᾶναι. ὅτι γὰρ καὶ τοῦτο
Λουκ. ι. ζ. ἔργον ἐστίν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος περὶ τῶν ἀποστόλων· Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ
α. Τιμ. ε. ιζ. αὐτοῦ. καὶ Παῦλός φησι, Μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. εἰ δὲ μὴ ἔρ-
γον ἦν, πῶς κόπον εἶχε; τί γὰρ τοῦ ἔργου τούτου τιμιώτερον; τί δὲ χρησιμώτερον; πασῶν
τῶν τεχνῶν ἐστιν ἀνώτερον. τί οὖν ἐστι τὸ ἔργον, ὃ λέγει τῷ βασιλεῖ; τὸν ὕμνον τοῦτον, τὴν
προφητείαν ταύτην. καὶ οὐκ εἶπε ποίῳ βασιλεῖ, δηλῶν ὅτι τῷ Θεῷ τῶν ὅλων. ὥσπερ
γὰρ ὅταν λέγωμεν τὸν τῶν Περσῶν βασιλέα, οὐχ ἁπλῶς βασιλέα καλοῦμεν, ἀλλὰ τὸ
τῶν Περσῶν προστίθεμεν, καὶ τὸν τῶν Ἀρμενίων ὁμοίως, ὅταν δὲ τὸν ἡμέτερον λέγωμεν,
οὐ δεόμεθα προσθήκης, ἀλλ' ἀρκούμεθα τῷ εἰπεῖν, βασιλέα· οὕτω καὶ ὁ προφήτης, ἐπειδὴ
περὶ τοῦ ὄντως βασιλέως ἔλεγεν, ἀρκεῖται τῷ εἰπεῖν, βασιλεῖ. ὥσπερ γὰρ παντοκρά-
τορα εἰπόντες, οὐ δεόμεθα προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον παντοκράτορα· οὕτω βασι-
λέα λέγοντες, οὐ δεόμεθα ἑτέρας προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον βασιλέα Θεόν. ἄλ-
λως δέ, καὶ ὁ λέγων, βασιλεὺς ἦν. ὅθεν δῆλον ὅτι οὐ περὶ ἀνθρώπου ἔλεγεν, ἀλλὰ περὶ
τοῦ τῶν ὅλων Θεοῦ. διὰ τοῦτο οὐκ εἶπε, βασιλεῖ, ἀλλά, τῷ βασιλεῖ, τῇ προσθήκῃ τοῦ
ἄρθρου τὴν κυριότητα παριστάς. εἶτα πάλιν δεικνὺς ὅτι οὐκ ἀνθρωπίνης ἦν ἐννοί-
ας τὰ λεγόμενα, καὶ μελέτης, καὶ συνθήκης, ἀλλὰ θείας χάριτος, καὶ τὴν γλῶτταν μόνην
αὐτὸς ἐδάνεισεν, ἐπήγαγεν·

2 Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Ὁ δὲ κάλαμος ταῦτα γράφει, ἅπερ ἂν ἡ κατέχουσα αὐτὸν κελεύῃ χείρ. Ἕτερος δέ
φησιν,

φησιν, Ἡ γλῶσσά μου, ὡς γραφεῖον γραφέως ταχινοῦ. Τί βούλεται τὸ, ταχινοῦ; ἵνα κἀντεῦθεν τὴν χάριν δείξῃ. ὁ μὲν γὰρ οἴκοθεν φθεγγόμενος, μέλλει καὶ βραδύνει μελετῶν, συντιθεὶς, ἐμποδιζόμενος καὶ ἀγνοίᾳ, καὶ ἀμαθίᾳ, καὶ μνηγήσει· καὶ πολλά ἐστι τὰ λυμαινόμενα τῷ τάχει τοῦ λόγου. ὅταν δὲ πνεῦμα κινῇ τὴν διάνοιαν, οὐδὲν τὸ κωλῦον. ἀλλ᾽ ὥσπερ ὕδατος ῥύμη πολλῷ τῷ ῥοίζῳ φερομένη περιέρχεται· οὕτω καὶ ἡ τοῦ πνεύματος χάρις μετὰ πολλῆς τῆς ταχύτητος πρόεισι, πάντα λεῖα, πάντα εὐμαρῆ προφέρουσα. Εἶτα πάλιν αὐτὸ τοῦτο διακαθαίρων, καὶ δεικνὺς οὐδὲν ἀνθρώπινον ὂν τῶν λεγομένων, ἐπήγαγεν· 3 Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Τινὲς μὲν οὖν περὶ τῆς γλώττης τοῦτο λέγουσιν εἰρῆσθαι, ὅτι κάλαμος ὡραῖος κάλλει. ἐμοὶ δὲ δοκεῖ λοιπὸν περὶ τοῦ Χριστοῦ λέγειν αὐτόν. διὸ καὶ ἕτερός φησιν ἑρμηνευτὴς, Κάλλει ἐκαλλωπίσθης ἀπὸ υἱῶν ἀνθρώπων. εἰς γὰρ αὐτὸν τρέπει τὸν λόγον ὑπὸ πολλῆς θερμότητος καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ὡς καὶ Ἰακὼβ ἔλεγεν· Ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων. ἔνθους γὰρ γενόμενος, αὐτῷ λοιπὸν διαλέγεται, καὶ πρὸς αὐτὸν ἀποτείνει τὸν λόγον. τοῦτο δὲ οὐ κατὰ σύγκρισιν φησιν· οὐ γὰρ εἶπεν, ὡραιότερος, ἀλλ᾽ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄλλο τοῦτό, φησι, τὸ κάλλος παρ᾽ ἐκεῖνο. καὶ σκόπει πῶς τὸν περὶ τῆς οἰκονομίας πρῶτον κινεῖ λόγον. ὅτι δὲ περὶ τῆς οἰκονομίας ἐστὶ τοῦτο, δῆλον ἐκ τῶν ἑξῆς. Εἰπὼν γὰρ, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐπήγαγεν· Ἐξεχύθη χάρις ἐν χείλεσί σου·

Χείλη δὲ ὁ Θεὸς οὐκ ἔχει, ἀλλὰ τῆς οἰκονομίας ἐστὶν ὁ λόγος. Ἕτερος δὲ ἑρμηνευτὴς εἰπὼν, Ἀνεχύθη χάρις τοῖς χείλεσί σου, σαφέστερον τοῦτο ἐποίησε. Τί δέ ἐστιν, ἀνεχύθη, ἢ ὡς ἂν εἴποι τις, ἡ ἔνδον οὖσα ἀνέβλυσεν, ἐπήγαζε; πῶς οὖν ἕτερος προφήτης λέγει· Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων; οὐ περὶ ἀμορφίας λέγων (μὴ γένοιτο) ἀλλὰ περὶ τοῦ εὐκαταφρονήτου. καταδεξάμενος γὰρ ἅπαξ γενέσθαι ἄνθρωπος, διὰ τῶν εὐτελῶν ἁπάντων διῆλθεν, οὔτε μητέρα βασιλίδα ἐπιγραψάμενος, οὔτε ἐν καιρῷ τῶν σπαργάνων ἐπὶ κλίνης τεθεὶς χρυσῆς, ἀλλ᾽ ἐν φάτνῃ, οὔτε ἐν οἰκίᾳ τραφεὶς πολυτελεῖ, ἀλλ᾽ ἐν εὐτελεῖ τέκτονος δωματίῳ. καὶ λαβὼν πάλιν μαθητάς, οὐ ῥήτορας, καὶ φιλοσόφους, καὶ βασιλέας ἔλαβεν, ἀλλ᾽ ἁλιέας καὶ τελώνας· καὶ τὸν βίον τὸν λιτὸν τοῦτον μετῄει, οὔτε οἰκίαν ἔχων, οὔτε ἱμάτια περιβεβλημένος πολυτελῆ, οὔτε τραπέζης ἀπολαύων τοιαύτης, ἀλλὰ παρὰ ἑτέρων τρεφόμενος, ὑβριζόμενος, καταφρονούμενος, ἐλαυνόμενος, διωκόμενος. ταῦτα δὲ ἐποίει, ἐκ πολλῆς τῆς περιουσίας τὸν τῦφον πατῶν τὸν ἀνθρώπινον. ἐπεὶ οὖν οὔτε φαντασίαν τινὰ καὶ κόμπον περιεβέβλητο, οὔτε ἀκολούθους εἶχε καὶ δορυφόρους, ἀλλ᾽ ἔστιν ὅπου καὶ μόνος περιῄει ὡς εἷς τῶν πολλῶν, διὰ τοῦτο ἐκεῖνος μέν φησιν, Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὔτε κάλλος· οὗτος δὲ, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τὴν χάριν δηλῶν, τὴν σοφίαν, τὴν διδασκαλίαν, τὰ θαύματα. Εἶτα ὑπογράφων τὴν ὡραιότητά, φησιν· ἐξεχύθη χάρις ἐν χείλεσί σου. ὁρᾷς ὅτι περὶ τῆς οἰκονομίας ὁ λόγος; τίς δέ ἐστιν αὕτη ἡ χάρις; δι᾽ ἧς ἐδίδασκε, δι᾽ ἧς ἐθαυματοποίει. τὴν χάριν ἐνταῦθα λέγει, τὴν ἐλθοῦσαν ἐπὶ τὴν σάρκα. Ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμά, φησι, καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ᾽ αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων. πᾶσα γὰρ ἡ χάρις ἐξεχύθη εἰς τὸν ναὸν ἐκεῖνον. Οὐ γὰρ ἐν μέτρῳ δίδωσιν ἐκείνῳ τὸ πνεῦμα. ἡμεῖς μὲν γὰρ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν· ὁ δὲ ναὸς ἐκεῖνος ὁλόκληρον τὴν χάριν ἔλαβε. τοῦτο καὶ ὁ Ἡσαΐας δηλῶν ἔλεγεν· Ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσε-

Γεν. μθ. θ.

Ησ. νγ. β. γ.

Λυκ. β. ζ.

Ματθ. δ. ιη. καὶ
θ. θ. καὶ ι. κ. καὶ
Λυκ. θ. νη.

Ιω. α. λγ.

Ιω. γ. λδ.
Ιω. α. ιϛ.

Ησ. ια. β.

ως καὶ εὐσεβείας· πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. ἀλλ' ἐκεῖ μὲν ὁλόκληρος ἡ χάρις· ἐπὶ δὲ τῶν ἀνθρώπων, μικρόν τι, καὶ ῥανὶς ἀπὸ τῆς χάριτος ἐκείνης. διὰ τοῦτο οὐκ εἶπε, δίδωμι τὸ πνεῦμα, ἀλλ', Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. τοῦτο γοῦν καὶ ἐξέβη. πᾶσα γὰρ ἡ οἰκουμένη ἐκ τοῦ πνεύματος ἐδέξατο ἐκείνου. ἤρξατο μὲν γὰρ ἐκ Παλαιστίνης τὸ δῶρον, περιῆλθε δὲ εἰς Αἴγυπτον, εἰς Φοινίκην, τὴν Σύρων, τὴν Κιλίκων, τὸν Εὐφράτην, τὴν μέσην τῶν ποταμῶν, τὴν Καππαδοκῶν, τὴν Γαλατῶν, τὴν Σκυθῶν, τὴν Θρᾳκῶν, τὴν Ἑλλάδα, τὴν Γάλλων, τὴν Ἰταλῶν, τὴν Λιβύην ἅπασαν, τὴν Εὐρώπην, τὴν Ἀσίαν, εἰς αὐτὸν τὸν ὠκεανόν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἐπῆλθεν ἡ χάρις αὕτη· καὶ ἡ σταγὼν αὕτη καὶ ἡ ῥανὶς τοῦ πνεύματος τὴν οἰκουμένην ἅπασαν ἐνέπλησε τῆς γνώσεως. διὰ ταύτης τὰ σημεῖα ἐγένετο, τὰ ἁμαρτήματα πάντων ἐλύετο. ἀλλ' ὅμως ἡ ἐν τοσούτοις κλίμασι δεδομένη χάρις, μέρος τι τῆς δωρεᾶς ἐστὶ καὶ ἀρραβών. Δοὺς γάρ, φησιν, ὁ ἀπόστολος, τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν, τουτέστι, τὸ μέρος τῆς ἐνεργείας. οὐ γὰρ δὴ ὁ παράκλητος μερίζεται. ὅρα δὲ καὶ τὴν πηγήν, ὅση τίς ἐστιν. Ὧι μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας· ἑτέρῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ προφητεῖαι· ἑτέρῳ δὲ διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν. τοσαῦτα χαρίσματα ἐν τοσούτοις ἔθνεσιν ἡ ἐν τῷ βαπτίσματι χάρις ἐπὶ τὴν γῆν ἅπασαν ἐξέτεινε, καὶ πάντα ταῦτα ἡ ῥανὶς τοῦ πνεύματος ἐργάζεται. ὅτι γὰρ ῥανὶς ἦν, ἐδήλωσε τῷ εἰπεῖν, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ τῷ ἀρραβῶνα καλέσαι. διὰ γὰρ τούτου δῆλον, ὅτι μικρόν τι τοῦ παντὸς ἐδόθη. διὰ τοῦτο καὶ ὁ Ἰωάννης τοῦτο αὐτὸ δηλῶν ἔλεγεν· Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν· ἐκ τοῦ ὑπερβλύζοντος, ὡς ἂν εἴποι τις, ἐκ τοῦ περιττεύοντος, ἐκ τοῦ ὑπερεκχυομένου πάντες ἐλάβομεν. ἐννόησον τοίνυν πνεύματος χάριν, πῶς ἐστι παναρκής, τοσαύτη οἰκουμένη ἐπὶ τοσούτοις ἀρκοῦσα χρόνοις, καὶ οὐδὲ οὕτω περιγράφεται, οὔτε ἀναλίσκεται· ἀλλὰ πάντας μὲν ἐμπίπλησι πλούτου καὶ χάριτος, αὐτὴ δὲ οὐδαμοῦ δαπανᾶται. εἶτα, ἐπειδὴ πολυώνυμόν τί ἐστι τὸ ὄνομα τοῦ πνεύματος (καὶ γὰρ καὶ ἄγγελος, καὶ ψυχή, καὶ ἄνεμος τοῦτο καλεῖται, καὶ ἕτερα πλείονα) ἐπήγαγεν, ἀπὸ τοῦ πνεύματός μου. ὥσπερ οὖν τὸ ἀνθρώπου πνεῦμα συγγενές ἐστι τοῦ ἀνθρώπου, οὕτω καὶ τὸ τοῦ Θεοῦ, ἀλλ' ἐν ἰδίᾳ ὑποστάσει μένον, καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· οὐ συγχέων τὰς ὑποστάσεις (μὴ γένοιτο) ἀλλὰ τὴν εὐγένειαν τοῦ πνεύματος δηλῶν. ὅση γοῦν ψυχῆς αὐτῆς πρὸς ἑαυτὴν ἡ συμφωνία, τοσαύτη τοῦ πνεύματος πρὸς τὸν πατέρα ἡ συγγένεια. ὥσπερ οὖν καὶ ὁ υἱὸς λόγος λέγεται, ἀλλ' οὐκ ἀνυπόστατος, ἀλλὰ διὰ τοῦτο, τὸ πρὸς τὸν πατέρα συγγενὲς ἵνα μάθωμεν· οὕτω καὶ τὸ πνεῦμα τοῦ Θεοῦ, πνεῦμα λέγεται, ἀλλ' οὐκ ἀνυπόστατον. καὶ ὥσπερ ἐπειδὴ γνήσιός ἐστιν υἱὸς τοῦ πατρός, διὰ τοῦτο υἱοθεσίαν ἡμῖν χαρίζεται· οὕτω καὶ τὸ πνεῦμα, ἐπειδὴ φύσει τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ, τὰ χαρίσματα ἡμῖν παρέχει. ἐπεὶ καὶ ἄνθρωπος, ἐπειδὴ φύσει ἄνθρωπός ἐστι, διὰ τοῦτο γράψαι δύναται εἰκόνα ἀνθρώπου.

Ἰωὴλ β. κη. καὶ Πράξ. β. ιζ.

Ψαλ. ιη. δ. καὶ Ρω. ι. ιη. καὶ Κολ. α. ς.

β. Κορ. α. κβ.

α. Κορ. ιβ. η.

Ἰω. α. ις.

α. Κορ. β. ια.

Διὰ τοῦτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Ἄλλος, Ἐπὶ τούτῳ. Ὁρᾷς πῶς δι' ὅλου πρὸς αὐτὸν ἀποτείνεται ἐκ διαθέσεως; διὰ τοῦτο καὶ ἀλλαχοῦ οὐχ ἁπλῶς προφητεύει, ἀλλ' ἐν σχήματι ἐγκλήματος, ὡς ὅταν λέγῃ· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; οὕτω δὴ καὶ ἐνταῦθα λέγων, διὰ τοῦτο ηὐλό-

Ψαλ. β. α.

ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα, οὐδὲν περὶ τῆς γεννήσεως αὐτοῦ διαλεχθεὶς, οὐδὲ περὶ ἀνατροφῆς, οὐδὲ περὶ τῶν ἄλλων, ἐντεῦθεν ἐμβάλλει τὸν περὶ αὐτοῦ λόγον. τί δή ποτε; ὅτι τὸ μὲν ἅπαντα κατὰ ἀκολουθίαν λέγειν, τῶν εὐαγγελιστῶν ἐστι· διὸ καὶ ἐκείνοις αὐτὰ ἐτήρησε (καὶ γὰρ τῆς ἐκείνων διηγήσεως ἦν) προφητείας δέ ἐστιν ἔργον, μέρη τινὰ ἀπολαμβάνειν, καὶ περὶ τούτων διαλέγεσθαι. διὰ δὴ τοῦτο καὶ οἱ προφῆται πολλαχοῦ τοῦτο ποιοῦσιν. ὀλίγα τινὰ γὰρ εἰς τὴν ἱστορίαν ἐμβάλλοντες καὶ σιωμιάζοντες, ἀναχωροῦσι. διὰ τοῦτο καὶ οὗτος, ηὐλόγησέ σε, φησὶν, ὁ Θεὸς εἰς τὸν αἰῶνα, οὕτως εἰπὼν, ὅτι τοσαύτης χάριτος ἔγεμεν αὐτοῦ τὰ ῥήματα. σκόπει γοῦν τὴν δύναμιν τῆς χάριτος. Παρεπορεύετό ποτε παρὰ τὴν θάλασσαν, καὶ εὑρίσκει Ἰάκωβον καὶ Ἰωάννην, καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· οἱ δὲ καὶ τὸν πατέρα ἀφέντες, καὶ τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. εἶτα * ἄλλοτε" πᾶσι τοῖς μαθηταῖς φησὶ, Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; λέγει αὐτῷ Πέτρος· Κύριε, ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ "ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· καὶ πρὸς τίνα ἀπελευσόμεθα; τί λέγω τοὺς μαθητάς; αὐτοὶ γὰρ οἱ Φαρισαῖοι ἀποστείλαντες ὑπηρέτας, ἤκουον λεγόντων· Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. καὶ ἕτεροι πάλιν ἔλεγον. Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. καὶ ἐξεπλήσσοντο, φησὶν, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν, καὶ οἱ Φαρισαῖοι. εἰ δὲ βούλει μαθεῖν καὶ σὺ τὴν χάριν, ἄκουε τῶν ἐπιταγμάτων αὐτοῦ τὸν ὄγκον, καὶ ὄψει ταύτης τὴν δύναμιν. Ἐὰν μή τις ἀποτάξηται πᾶσιν, ἔτι δὲ μισήσῃ καὶ τὴν ἑαυτοῦ ψυχὴν, φησὶν, οὐκ ἔστι μου ἄξιος. ἀλλ' ὅμως ἴσχυσεν ὁ λόγος ἔργον γενέσθαι· τοσαύτη ἦν αὐτοῦ ἡ χάρις. καίτοι τί ψυχῆς οἰκειότερον; ἀλλὰ καὶ αὕτη καταπεφρόνηται διὰ τὸ πρόσταγμα τὸ ἐκείνου. σὺ δὲ ἀκούων, εὐλόγησέ σε ὁ Θεὸς, μὴ καταπέσῃς, μηδὲ ταπεινόν τι ἐννοήσῃς. ὅπερ γὰρ ἔφθην εἰπὼν, περὶ τῆς σαρκὸς ὁ λόγος ἐστὶ τῆς χείλη ἐχούσης, περὶ τῆς δεξαμένης τὴν χάριν, περὶ τῆς δεχομένης τὴν εὐλογίαν. ὁ γὰρ Θεὸς εὐλογίας οὐ δεῖται, οὐδὲ χάριτος. ἀνενδεὲς γὰρ τὸ θεῖον. Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει, φησὶ, τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. καὶ πάλιν, Τὰ ἔργα, ἃ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. καὶ πάλιν· Καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. τὸ γὰρ, οὕτω, καὶ τὸ, ὁμοίως, καὶ τὸ, καθὼς, ἀπαραλλαξίας ἐστίν. ἀλλ' ἐνταῦθα περὶ τῆς οἰκονομίας ὁ λόγος. ἀκούομεν δὲ καὶ αὐτοῦ πάλιν λέγοντος· Διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. ἄρα οὖν πρὸ τούτου αὐτὸν οὐκ ἠγάπα; πῶς οὖν ἔλεγεν, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός; ἀλλὰ θέλων δεῖξαι τὸ μέγεθος τοῦ κατορθώματος, τοῦτο τέθεικεν. ὥσπερ οὖν ἐκεῖ ἡ ἀπολογία ἔχει τινὰ αἰτίαν, οὕτω καὶ ἐνταῦθα ἡ αἰτία δήλη. διὰ γὰρ τοῦτο προλαβὼν εἶπεν· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· καὶ, ἐξεχύθη χάρις ἐν χείλεσί σου καὶ, διὰ τοῦτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα, εἰς τὸν τῆς οἰκονομίας ἕλκων λόγον· ἵνα, ὅταν μέλλῃ τι πάλιν λέγειν τῆς αὐτοῦ ἀξίας καταδεὲς, μὴ καταπέσῃς, ἀλλ' εἰδῇς περὶ τίνος ὁ λόγος. οὕτω καὶ ὁ Ἰακὼβ τὴν οἰκονομίαν δηλῶν, μετὰ τὸ πολλὰ εἰπεῖν, ἔλεγε· Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς οἶνος, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. ὀδόντας δὲ ἡ θεότης οὐκ ἔχει. καὶ ἄλλος προφήτης φησί· Πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ πνεύματι χειλέων ἀνελεῖ ἀσεβῆ, τὰ αὐτὰ τῷ Παύλῳ φθεγγόμενος λέγοντι· Ὃν ὁ Κύριος Ἰησοῦς ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. ἵνα οὖν μὴ ἀκούσας σὺ ταῦτα καταφρονήσῃς, δείκνυσί σοι τῆς θεότητος τὴν ἰσχύν. οὐδὲ γὰρ τὴν σάρκα δι-

Ματθ. δ. κα. ιθ.
Ιω. ϛ. ξη.
Ιω. ζ. μϛ.
Ματθ. θ. λγ. καὶ κεφ. ζ. κη. κθ. καὶ Μαρκ. α. κβ.
Λουκ. ιδ. λγ. κϛ.
Ιω. ε. κα.
Ιω. ε. ιθ.
Ιω. ι. ιε.
Ιω. ι. ιζ.
Ματθ. γ. ιζ.
Γεν. μθ. ιβ.
Ησαι. δ.
β. Θεσ. β. η.

αιρεῖ τῆς θεότητος, οὔτε τὴν θεότητα τῆς σαρκός· οὐχὶ τὰς οὐσίας συγχέων (μὴ γένοιτο) ἀλλὰ τὴν ἕνωσιν δεικνύς. διὰ τοῦτό φησιν, εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. τίς δὲ τῆς εὐλογίας ὁ τρόπος; ἄγγελοι, ἀρχάγγελοι παρεστήκασι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, αἶνον ἀναπέμποντες. πᾶσα ἡ γῆ ἀπὸ περάτων εἰς πέρατα δοξολογεῖ καὶ ὑμνεῖ* τὸν σαρκωθέντα Θεόν. ὁ μὲν γὰρ πρῶτος Ἀδὰμ μυρίας ἐνεπλήσθη κατάρας· οὗτος δὲ ἀπεναντίας ἐκείνῳ πολλῆς τῆς εὐλογίας. ἐκεῖνος ἤκουσεν, Ἐπικατάρατος σὺ ἐν τοῖς ἔργοις σου, καὶ ὁ μετ' ἐκεῖνον πάλιν. καὶ, Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς. καὶ, Ἐπικατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ. καὶ, Ἐπικατάρατος ὁ κρεμάμενος ἐπὶ ξύλου. ὁρᾷς πόσαι κατάραι; τούτων ἠλευθέρωσέ σε ὁ Χριστὸς γενόμενος κατάρα. ὥσπερ γὰρ ἐταπείνωσεν ἑαυτόν, ἵνα σε ὑψώσῃ, καὶ ἀπέθανεν, ἵνα σε ἀθάνατον ἐργάζηται· οὕτω καὶ κατάρα ἐγένετο, ἵνα σε εὐλογίας ἐμπλήσῃ. τί τῆς εὐλογίας ταύτης ἴσον, ὅταν διὰ κατάρας εὐλογίαν χαρίζηται; οὐ γὰρ αὐτὸς ἐδεήθη εὐλογίας, ἀλλά σοι '' ταύτην δίδωσιν. ὥσπερ γὰρ ὅταν εἴπω, ὅτι ἐταπεινώθη, οὐ μεταβολὴν λέγω, ἀλλὰ τῆς οἰκονομίας τὴν συγκατάβασιν· οὕτω καὶ ὅταν εἴπω, ὅτι ηὐλογήθη, οὐ τοῦτο λέγω, ὅτι ἐδεήθη εὐλογίας, ἀλλὰ πάλιν τῆς οἰκονομίας δείκνυμι τὴν συγκατάβασιν. ηὐλογήθη τοίνυν ἡ ἀνθρωπίνη φύσις. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν οὐκ ἔτι ἀποθνήσκει, οὐδὲ κατάρᾳ ὑπόκειται· μᾶλλον δὲ οὐδὲ πρὸ τούτου ὑπέκειτο, ἀλλὰ ἀνέλαβε τὴν κατάραν, ἵνα σε ταύτης ἀπαλλάξῃ.

4 Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. Ἄλλος, Ζῶσαι μάχαιράν σου ἐπὶ μηρόν. Ἄλλος φησί, Περιθοῦ ὡς μάχαιράν σου ἐπὶ τοῦ μηροῦ.

5 Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου. Ἄλλος, Τὸν ἔπαινόν σου καὶ τὸ ἀξίωμά σου. Ἄλλος, Ἐπιδοξότητί σου καὶ διαπρεπείᾳ σου. Τίς ἡ μεταβολή, καὶ τίς ἡ μετάστασις τῶν ῥημάτων; περὶ γὰρ διδασκάλου διαλεγόμενος (τοῦτο γάρ ἐστιν, ἐξεχύθη χάρις ἐν χείλεσί σου) ἐξαίφνης ἡμῖν βασιλέα καθωπλισμένον ὑπογράφει· καὶ οὐκ ἐν τάξει προφητείας, ἀλλ' ἐν τάξει ἱκετηρίας. οὐ γὰρ εἶπε, περιζώσεται τὴν ῥομφαίαν αὐτοῦ, ἀλλ' ἀξιοῖ, καί φησι, περίζωσαι τὴν ῥομφαίαν σου. εἶτα καὶ τῇ ὁπλίσει ταύτῃ κάλλος ἀναμίγνυσι, νῦν μὲν ὁπλίτην δηλῶν, νῦν δὲ ὡραϊζόμενον (τῇ γὰρ ὡραιότητί σου, φησι, καὶ τῷ κάλλει σου) εἶτα τοξότην (τὰ βέλη γάρ σου, φησιν, ἠκονημένα, δυνατέ) καὶ πάλιν νικητὴν καὶ τροπαιοῦχον· λαοὶ ὑποκάτω σου, φησι, πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. καὶ τοῦτον δὲ αὐτὸν πάλιν εἰσάγει μύροις χριόμενον, τὸν ὁπλίτην, καὶ βασιλέα, καὶ τοξότην, καὶ νικητήν. σμύρνα γάρ, φησι, καὶ στακτὴ, καὶ κασία ἀπὸ τῶν ἱματίων σου. τίς οὖν κοινωνία ὅπλοις καὶ μύροις, '' χάριτι καὶ ῥομφαίᾳ, διδασκαλίᾳ καὶ πολέμῳ, τόξοις καὶ ὡραϊσμῷ; τὰ μὲν γάρ ἐστιν εἰρήνης σύμβολα, τὰ δὲ μάχης καὶ παρατάξεως. τίς οὖν ἐστιν ὁ εἰρηνικὸς ὁμοῦ καὶ πολεμικός; ὁ '' μύρον στάζων, καὶ ὅπλοις φραττόμενος; ὁ προϊὼν ἀπὸ βάρεων ἐλεφαντίνων, καὶ μυρίους βάλλων τῶν ἐχθρῶν καὶ τοσαύτας ἐργαζόμενος σφαγάς; πῶς λυσόμεθα τὴν ἀπορίαν ταύτην; ἂν γνῶμεν ἀκριβῶς ὅτι καὶ περὶ τοῦ Πατρὸς αὐτοῦ ταῦτα λέγεται. καὶ γὰρ καὶ αὐτὸν εἰσάγει ὁ προφήτης ἀλλαχοῦ ὁπλιζόμενον, ὡς ὅταν λέγῃ· Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἀνέτεινε, καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. καὶ πάλιν ἀλλαχοῦ, Ἐνδύσεται θώρακα δικαιοσύνης. ὅρα δὲ καὶ αὐθεντίαν τὴν αὐτήν. ὥσπερ γὰρ ἐκεῖ φησι, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, οὐ παρά τινος κελευσθείς, ἀλλ' αὐτὸς ἀφ' ἑαυτοῦ· οὕτω καὶ ἐνταῦθα τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα· λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. εἶτα δεικνὺς ὅτι οἴκοθεν πάντα ποιεῖ, λέγει· ὁδη-

γήσει

Γεν. γ. ιζ. καὶ δ. ια.
Ιερ. μη. ι.
Δευτ. κζ. κϛ. καὶ
Γαλ. γ. ι.
Δευτ. κα. κγ.
καὶ Γαλ. γ. ιγ.
Ρω. ϛ. θ.
Ψαλ. ζ. ιγ.
Σοφι. ε. ιθ.

* καὶ ἀνυμ
'' αὐτὴν
'' χρίσματι
'' μύρα

γήσει σε θαυμαστῶς ἡ δεξιά σου. οὐχ ἑτέρωθεν, φησιν, ἐνέργειαν δέχῃ, ἀλλ' αὐτὸς ἑαυτῷ
ἀρκεῖς. ἄκουε δὲ καὶ αὐτοῦ λέγοντος τοῦ τῆς εἰρήνης Θεοῦ πρὸς τοὺς μαθητάς· Οὐκ Ματθ. ι. λδ.
ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. καὶ πάλιν, Πῦρ ἦλθον βαλεῖν Λουκ. ιβ. μθ.
ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; ἐπεὶ δὲ περὶ τοῦ αὐτοῦ λέγων πῶς ἥξει, φησί·
Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. ταῦτα Ψαλμ. οα. ς.
λέγω, ἵνα διεγηγερμένοι ἦτε, καὶ τὰ ἀπὸ τῶν λέξεων σημαινόμενα μετὰ ἀκριβείας ἐκλαμβάνοντες,
λύητε πρὸς ἑαυτοὺς τὴν ἀπορίαν. ταῦτα γὰρ τὰ ὀνόματα τῆς ἐνεργείας αὐτοῦ
ἐστι σημαντικά. οὕτω τοίνυν καὶ ἐνταῦθα ὅταν ἀκούσῃς, Περίζωσαι τὴν ῥομφαίαν σου
ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῆς ἐνεργείας αὐτοῦ εἶναι τὸ ὄνομα νόμιζε· καὶ τὰ τόξα, καὶ τὰ βέλη.
ὥσπερ γὰρ ὀργίζεσθαι τὸν Θεὸν ἡ γραφὴ λέγει, οὐ πάθος αὐτῷ περιάπτουσα, ἀλλὰ
διὰ τῆς λέξεως ταύτης τὴν ἐνέργειαν αὐτοῦ τὴν κολαστικὴν παριστῶσα, καὶ τῶν παχυτέρων
καταστοχαζομένη, οὕτω καὶ τὰ ὅπλα λέγουσα τοῦτο δηλοῖ. ἐπειδὴ γὰρ ἡμεῖς, οὐ δι' ἑαυτῶν,
ἀλλὰ δι' ἑτέρων ὀργάνων τιμωρούμεθα· θέλων δεῖξαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν,
διὰ τῶν γνωρίμων ἡμῖν ὀνομάτων ἐδήλωσεν, οὐχ ἵνα ὅπλα περὶ Θεὸν νοήσωμεν,
ἀλλ' ἵνα ἐμφαντικώτερον αὐτοῦ τὴν κόλασιν ἀκούσωμεν. ἀλλὰ πολλοί, φησιν, ἐντεῦθεν
ἐβλάβησαν. ἀλλ' εἰκῇ καὶ μάτην καὶ ἀπὸ τῆς οἰκείας ἀνοίας. μάλιστα μὲν γὰρ ἀκούοντες
Θεόν, ὤφειλον συνιέναι, ὅτι σωματικώτερον εἴρηται· νυνὶ δέ, οὐδὲ διὰ ῥημάτων
ἑτέρων αὐτοὺς παιδεῦσαι τὸ ἀπαθὲς τοῦ Θεοῦ ἠμέλησεν ἡ γραφή. ἄκουσον γοῦν ἀλλαχοῦ
πῶς αὐτοῦ δείκνυσι τὴν εὐκολίαν τῆς τιμωρίας λέγων· Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν Ψαλμ. ξζ. α.
οἱ ἐχθροὶ αὐτοῦ. μὴ χρεία ὅπλων; μὴ χρεία ῥομφαίας; ἀρκεῖ μόνον, φησίν,
ἡ ἀνάστασις. ἀλλὰ καὶ τοῦτο πάλιν παχύ. διὸ πολλαχοῦ λέγει· Ὁ ἐπιβλέπων ἐπὶ Ψαλμ. ργ. λγ.
τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ πάλιν, Ἀπὸ προσώπου αὐτοῦ ἐσαλεύθη ἡ γῆ. ἀλλὰ Ψαλμ. ριγ. ζ.
καὶ τοῦτο παχύ. ἄκουσον τὸ ὑψηλότερον· Πάντα ὅσα ἠθέλησεν ἐποίησεν. ἀρκεῖ γὰρ αὐτῷ Ψαλμ. ριγ. ια. καὶ ρλδ. ς. καὶ Σοφ. ιβ. ιη.
τὸ θελῆσαι μόνον. σκόπει δὲ πῶς καὶ ἐν αὐτοῖς τοῖς παχυτέροις τούτοις δείκνυσι τὸ ἀνενδεὲς
τοῦ Θεοῦ. οὐ γὰρ πρότερον ὅπλων ἐμνημόνευσεν, ἕως ὅτι δυνατὸν αὐτὸν ἐκάλεσε· καὶ
πάλιν καταλέξας τὰ ὅπλα, ὅλην τὴν νίκην τῇ δεξιᾷ αὐτοῦ ἐλογίσατο, τουτέστι, τῇ φύσει
αὐτοῦ, καὶ τῇ δυνάμει αὐτοῦ. ὅπερ καὶ ἄλλος προφήτης δηλῶν ἔλεγεν· Ἡ ἀρχὴ αὐτοῦ Ησ. θ. ς.
ἐπὶ τοῦ ὤμου αὐτοῦ· οὐχ ἵνα ὦμον νοήσῃς (μὴ γένοιτο) ἀλλ' ἵνα εἰδῇς, ὅτι οὐ δεῖται ἑτέρων
Θεὸς συμμαχίας. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ
ὡραιότητί σου, καὶ τῷ κάλλει σου. τί οὖν ἐνταῦθα λέγει; διὰ τῶν παχυτέρων ὀνομάτων
τούτων τὴν ἐνέργειαν αὐτοῦ δείκνυσι, δι' ἧς τὴν οἰκουμένην κατώρθωσε, δι' ἧς τὸν πόλεμον
ἔλυσε, καὶ τὸ τρόπαιον ἔστησε. καὶ γὰρ πόλεμος ἦν χαλεπός, πολέμων ἁπάντων ὁ
πικρότατος, οὐ βαρβάρων πολεμούντων, ἀλλὰ τῶν δαιμόνων ἐπιβουλευόντων, καὶ τὴν
οἰκουμένην διαφθειρόντων ἅπασαν. διὰ δὴ τοῦτο καὶ ὁ Ἡσαΐας ἔλεγε· Καὶ τῶν Ησ. νγ. ιβ.
ἰσχυρῶν μεριεῖται σκῦλα. καὶ πάλιν ἀλλαχοῦ· Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ Ησ. ξα. α.
με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν. διὰ
δὴ τοῦτο καὶ Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν προγράφων ἔλεγε· Χάρις ὑμῖν καὶ εἰρήνη Ρωμ. α. ζ.
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. καὶ πάλιν, Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ Εφεσ. β. ιδ.
ἀμφότερα ἕν. ἵνα δὲ μὴ ἀκούων, Περίζωσαι τὴν ῥομφαίαν σου, μάχαιραν νομίσῃς αἰσθητήν,
ἄκουε τῶν ἑξῆς. εἰπὼν γάρ, περίθου τὴν μάχαιράν σου, ἐπήγαγε, τῇ ὡραιότητί σου,
καὶ τῷ κάλλει σου· τοῦτό ἐστιν ἡ μάχαιρα, ἡ ὡραιότης αὐτοῦ, καὶ τὸ κάλλος, καὶ τὸ
ἀξίωμα, καὶ ἡ δόξα, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ μεγαλοπρέπεια. οὐδενὸς γὰρ δεῖται ἡ οὐσία
ἐκείνη εἰς τὸ κατορθῶσαι τὰ προκείμενα. ἀνενδεὴς γάρ ἐστι. προκαλεῖ τοίνυν ὁ

προφήτης ὑπὲρ τῆς οἰκουμένης εἰς πόλεμον αὐτὸν ἐξάγων. εἶτα ἀπὸ τῶν ὑψηλῶν πάλιν ἐπὶ τὰ παχύτερα κατάγει τὸν λόγον. εἰπὼν γὰρ μάχαιραν καὶ μηρὸν, ἀνῆλθεν εἰς τὴν ὡραιότητα· καὶ πάλιν ἐκεῖθεν κάτεισιν ἐπὶ τὰ σωματικώτερα, καί φησι·

Καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε.

Εἰπὼν δὲ, ἔντεινε, τὸ τόξον ἡμῖν ἐδήλωσε καὶ τὸ βέλος. εἶτα δεικνὺς πάλιν ὅτι οὐχ ὅπλων αὐτῷ δεῖ, ἐπήγαγε· καὶ κατευοδοῦ, καὶ βασίλευε. Ἕτερος δὲ ἑρμηνευτής φησι, Πρόκοπτε. Βασιλείαν δὲ ἐνταῦθα λέγει, ἣν ἐλθὼν κατώρθωσεν ἐν ἐσχάτοις καιροῖς, τὴν κατ' οἰκείωσιν καὶ γνῶσιν. Ταῦτα δὲ τὰ ῥήματα τοῦ πόθου μάλιστά ἐστι τοῦ προφητικοῦ, ὁρῶντος ἤδη τὰ κατορθώματα, καὶ τὴν οἰκουμένην πρὸς ἀλήθειαν χειραγωγουμένην. διὰ τοῦτο τρόπῳ παρακελευομένῳ κέχρηται τῷ σχήματι τῆς λέξεως. ἔθος γὰρ καὶ τοῖς ἐλάττοσιν, ὅταν διαθερμαινόμενοι πρὸς τοὺς μείζους ὦσι, ταύταις κεχρῆσθαι ταῖς λέξεσιν.

6 Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. Ἐπὶ ῥήματι ἀληθείας χρῆται. ὁρᾷς πῶς ἑαυτὴν ἑρμηνεύει ἡ γραφὴ, καὶ δείκνυσι νοερὰν οὖσαν τὴν νίκην, καὶ πνευματικήν. ὁ γὰρ ὅπλων μνημονεύσας, καὶ ῥομφαίας, καὶ τόξων, πῶς πραότητος ἐνταῦθα μέμνηται; ποία γὰρ κοινωνία πραότητι καὶ πολέμῳ, ἐπιεικείᾳ καὶ μάχῃ; πολλὴ μὲν οὖν, ἐάν τις ἀκριβῶς ἐξετάσῃ. ἐπεὶ καὶ Δαβὶδ καὶ Μωϋσῆς πρᾶοι ἦσαν. διὸ περὶ μὲν ἐκείνου φησὶν ἡ γραφή· Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ· περὶ δὲ Μωϋσέως, Ὅτι ἦν πραότατος Μωϋσῆς πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. ἀλλ' ὅμως φαίνονται οὗτοι καὶ πάντων πραότατοι, μάλιστα πάντων ἀμυνόμενοι. ἀλλ' εἰ βούλεσθε, πρότερον τὴν πραότητα αὐτῶν εἴπωμεν. πολλάκις λαβὼν ὁ μακάριος οὗτος τὸν Σαοὺλ, καὶ γενόμενος κύριος ἀνελεῖν, οὐκ ἐπήγαγε τὴν χεῖρα· ἀλλὰ καὶ ἑτέρων ἐγκελευομένων, ἐφείσατο, καὶ τὸν θυμὸν ἐχάλασε. καὶ τοῦ Σεμεεὶ δὲ τοιαῦτα ὑβρίζοντος, καὶ τῇ συμφορᾷ δὲ τότε ἐπεμβαίνοντος ἐκείνου, καὶ τῶν στρατηγῶν ἀξιούντων διαβῆναι καὶ ἀποτεμεῖν τὸν ὑβριστὴν τοιαῦτα ἐμπαροινοῦντα, πάσης σοφίας γέμοντα φθέγγεται ῥήματα. τὸν δὲ πατραλοίαν ἐκεῖνον καὶ ἀκόλαστον νεανίσκον, πῶς παρακατατίθεται τοῖς ἑαυτοῦ στρατηγοῖς, λέγων, Φείσασθέ μοι τοῦ παιδαρίου Ἀβεσσαλώμ; ὅτε δὲ ἐν προοιμίοις πρὸς τοὺς ἀδελφοὺς διελέγετο διαφθονουμένους καὶ βασκαίνοντας διὰ τὴν ἐσομένην νίκην, ἐννόησον πῶς πρᾴως διαλέγεται, μὴ οὐχὶ ῥῆμά ἐστι, λέγων; τί δὲ Μωϋσῆς; ὑπὲρ τῶν λιθασάντων αὐτὸν, ὑπὲρ τῶν ἀνελόντων (τοῦτο γὰρ εἰς αὐτοὺς ἧκον) ἄκουσον τί φησιν· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. ἑτέρων δὲ πάλιν αὐτὸν εἰς ζῆλον κινούντων, καὶ παροξυνόντων εἰς ἀγανάκτησιν, τὰ φιλόσοφα ἐκεῖνα ἐφθέγξατο ῥήματα, λέγων· Τίς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι; ὑπὲρ δὲ τῆς ἀδελφῆς πάλιν λοιδορησάσης αὐτὸν, ὅσην τίθεται τὴν ἱκετηρίαν; καὶ πολλαχόθεν ἑτέρωθεν ἴδοι τις ἂν αὐτοῦ τὴν πραότητα, ὅτε καὶ εἰς τὴν Παλαιστίνην κωλυθεὶς εἰσελθεῖν, μετὰ πάσης ἐπιεικείας διελέγετο τοῖς Ἰουδαίοις. ἀλλ' ὅμως οὗτος ὁ πρᾶος τὸν Δαθὰν καὶ Ἀβειρὼν καὶ Κορὲ ἠξίωσε καταποθῆναι, ἡνίκα τῇ ἱερωσύνῃ ἐπανέστησαν, ὑπὸ τῆς γῆς· καὶ τοὺς ἄλλους ἐμπρησθῆναι, ὅτε προσήνεγκαν πῦρ ἀλλότριον. καὶ ὁ Δαβὶδ δὲ τὸν Γολιὰθ κατήνεγκεν ὁ πρᾶος, καὶ τὸ στρατόπεδον ἤλασε, καὶ τὴν νίκην ἤρατο. τοῦτο γὰρ μάλιστά ἐστι πρᾴου, τὰ μὲν εἰς ἑαυτὸν ἀφεῖναι, τοῖς δὲ ἀδικουμένοις ἀμύνειν· καθάπερ καὶ ὁ Χριστὸς ἐποίησεν. εἰς γὰρ τὸν σταυρὸν ἀναβὰς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. καὶ θρηνῶν πάλιν τὴν Ἱερουσαλὴμ, ἔλεγε· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ ῥαπιζόμενος οὐκ ἀντερράπισεν, ἀλλ' ἀπολογεῖται τῷ ῥαπίζοντι, καὶ δαιμονᾷν καλού-

μενος

Ψαλ. ρλα. α.

Ἀριθ. ιβ. γ.

α. Βασ. κδ. δ. καὶ κϛ. ζ.

β. Βασ. ιϛ. ε.

β. Βασ. ιη. ε.

α. Βασ. ιζ. κθ.
Ἐξοδ. λβ. λα.

Ἀριθ. ια. κθ.
Ἀριθ. ιβ. ιγ.

Ἀριθ. ιϛ. ιε. λ.

Ἀριθ. ιϛ. λε.
α. Βασ. ιζ. μθ.

Λουκ. κγ. λδ.
Ματθ. κγ. λζ.
Ἰωάν. η. κβ.
Ἰω. ζ. κ. καὶ
Ματθ. ια. ιη. καὶ
θ. λβ. λδ. καὶ ιβ.
κβ.

γρ. ἐπὶ ῥήματι
ἄλ. ἐπὶ ῥη.

γρ. ἐχάλασαν.

γρ. καὶ παροξ-
υσμὸν καὶ ἀγα-

μένος, δαίμονας ἐξέβαλλε, καὶ πλάνος καὶ ἀντίθεος καλούμενος, εἰς βασιλείαν αὐτοὺς ἐχειραγώγει. καὶ τοῖς μαθηταῖς ἐκέλευε πανταχοῦ μαστιγοῦσθαι, διώκεσθαι, ἐλαύνεσθαι, καὶ τὴν ἐλάττω καταδέχεσθαι τάξιν. Ὁ γὰρ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, φησίν, ἔστω ὑμῶν διάκονος. καὶ τὸ ὑπόδειγμα οἴκοθεν ἐπῆγε, λέγων· Καθάπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Εἰ δὲ ἐλαύνει δαίμονας, καὶ πολεμεῖ τῷ διαβόλῳ, καὶ τὴν πλάνην ἀναιρεῖ· καὶ τοῦτο μάλιστα πραότητός ἐστι, τὸ τὴν κακίαν μὲν πᾶσαν λύειν, τοὺς δὲ κατεχομένους ἐλευθεροῦν, τὸ τοὺς ἐπιβουλεύοντας δαίμονας ἀναστέλλειν, τοὺς δὲ ἐπηρεασθέντας ἀπαλλάττειν τῶν δεινῶν. τί δέ ἐστιν, ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης; Εἶπε τὸν πόλεμον, εἶπε τὴν παράταξιν, ἔδειξε τὸν ὁπλίτην· λέγει λοιπὸν καὶ τῆς βασιλείας αὐτοῦ τὰ κατορθώματα, τοῦ τροπαίου τὸ εἶδος, τῆς νίκης τὴν φύσιν. Οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι βασιλεύοντες πολεμοῦσιν ἢ πόλεων ἕνεκεν, ἢ χρημάτων, ἢ ἔχθρας, ἢ κενοδοξίας· αὐτὸς δὲ δι' οὐδὲν τούτων, ἀλλ' ἕνεκεν ἀληθείας, ἵνα αὐτὴν ἐν τῇ γῇ φυτεύσῃ· καὶ πραότητος, ἵνα θηρίων ὄντας χαλεπωτέρους, πράους ἐργάζηται· καὶ δικαιοσύνης, ἵνα ὑπὸ τῆς ἀνομίας τυραννουμένους, δικαίους ποιήσῃ, πρῶτον μὲν ἀπὸ χάριτος, δεύτερον δὲ καὶ ἀπὸ κατορθωμάτων.

Ματθ. ι. λθ. καὶ
Λουκ. κα. ιβ. καὶ
Ιωά. ιε. ιθ.
Ματθ. κ. κη.

Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Ἄλλος ἑρμηνευτής φησι, Καὶ φωτίσει σε ἐπὶ φοβερὰ ἡ δεξιά σου. Ἄλλος, Καὶ ὑποδείξει σοι φοβερὰ ἡ δεξιά σου. Εἶδες πῶς πάλιν παρήνοιξεν ἡμῖν τοῦ τὰ τοιαῦτα κατορθοῦντος τὸ ἀξίωμα. ὥσπερ γὰρ ἀνωτέρω εἰπὼν ὅπλα καὶ ῥομφαίαν, ἐπὶ τὴν ὡραιότητα ἀνέβη, καὶ πρὸς τὰς ἀσωμάτους ἐννοίας τὸν ἀκροατὴν ἤγαγεν· οὕτω πάλιν ἐπὶ τὸ παχύτερον καταβάς, τὰ τόξα καὶ τὰ βέλη, κατὰ μικρὸν ἀνάγει πάλιν τὸν ἀκροατήν, λέγων τοῦ πολέμου τὰς αἰτίας, ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην· εἶτα πάλιν καὶ τὸν τρόπον τῆς νίκης. ποῖον δὴ τοῦτον; καὶ ὁδηγήσει σέ, φησι, θαυμαστῶς ἡ δεξιά σου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ φύσις, αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ δύναμις εἰς τὸ καὶ ἰδεῖν τὰ πρακτέα, καὶ τέλος αὐτοῖς ἐπιθεῖναι. καὶ καλῶς ἕτερος εἶπε, φοβερὰ ἡ δεξιά σου· πολὺ γὰρ φοβερὰ τὰ κατωρθωμένα, καὶ φρίκης γέμοντα. θάνατος ἐλύθη, ᾅδης διερράγη, παράδεισος ἀνεῴχθη, οὐρανὸς ἀνεπετάσθη, δαίμονες ἐπεστομίσθησαν, ἀνεμίγη τὰ κάτω τοῖς ἄνω, Θεὸς ἄνθρωπος γέγονεν, ἄνθρωπος ἐπὶ βασιλικοῦ κάθηται θρόνου, ἀναστάσεως ἐλπίδες ἠνοίγησαν, ἀθάνατοι προσδοκίαι, ἀγαθῶν ἀπορρήτων ἀπόλαυσις, τὰ ἄλλα ὅσα διὰ τῆς ἑαυτοῦ παρουσίας κατώρθωσε. διὰ δὴ τοῦτο εἶπεν, ὑποδείξει σοι φοβερὰ ἡ δεξιά σου, δεικνὺς ὅτι ἀρκεῖ ἑαυτῇ ἡ φύσις [φησὶ] καὶ ἡ δύναμις εἰς τὸ καὶ εὑρεῖν καὶ ἀνύσαι τὰ προκείμενα. Οἱ δὲ ἑβδομήκοντά φασιν, Ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. τουτ' ἔστιν, οὐ μόνον τὰ κατωρθωμένα δεῖ θαυμάζειν, ἀλλ' ὅτι καὶ παραδόξως κατωρθώθη. διὰ θανάτου γὰρ θάνατος ἐλύθη, καὶ διὰ κατάρας κατάρα ἀνῃρέθη, καὶ εὐλογία ἐδόθη· διὰ βρώσεως ἐξεβλήθημεν πρότερον, διὰ βρώσεως εἰσήχθημεν πάλιν· παρθένος ἡμᾶς ἐξέβαλε παραδείσου, διὰ παρθένου ζωὴν εὕρομεν αἰωνίαν· δι' ὧν κατεκρίθημεν, διὰ τούτων ἐστεφανώθημεν. Ταῦτα τοίνυν ἐννοῶν ὁ προφήτης ἔλεγεν· ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. μή τι ὅπλων χρεία; μή τι ῥομφαίας; μή τι τόξων καὶ βελῶν; Εἶδες πῶς αὐτάρκης αὐτὴ ἑαυτῇ ἡ φύσις, ἡ δύναμις. ἀλλ' ὅρα πάλιν αὐτὸν καθάπερ ἄριστον χορευτήν, πάλιν ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ παχύτερα καταβαίνοντα.

Ἑβρ. ιβ. δ.
Γαλ. γ. ιγ.
Γεν. γ. ιζ.
Ιω. ς. να.
Γεν. γ. ς.
Ματθ. κε. λδ.
Λουκ. α. κζ.

7 Τὰ βέλη σου, φησίν, ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

Ἄλλος, Κατὰ καρδίας οἱ ἐχθροὶ τοῦ βασιλέως. Ὅρα πάλιν, ὅτε βελῶν ἐμνημόνευσε, πῶς τὸ ῥῆμα τοῦ δυνατοῦ προσέλαβεν, ἵνα μάθῃς ὅτι οὐ βελῶν δεῖται, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκεῖ. ἡ δὲ ἀκολουθία αὕτη ἐστί. τὰ βέλη σου ἠκονημένα, δυνατέ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως· τὸ δὲ, λαοὶ ὑποκάτω σου πεσοῦνται, παρέγκειται μέσον. ἐνταῦθα τοίνυν διπλῆ εἶναί μοι δοκεῖ ἡ ἐξήγησις. ἢ γὰρ τὴν ἅλωσίν φησι τὴν Ἰουδαϊκὴν, καὶ τὸν τῆς πόλεως ἀνδραποδισμὸν, καὶ τὴν πανωλεθρίαν· ἢ κατὰ ἀναγωγὴν, τὴν τοῦ λόγου δύναμιν βέλη καλεῖ. καὶ γὰρ βελῶν ὀξύτερον τὴν οἰκουμένην περιῆλθεν ἅπασαν, καὶ τῶν πρὸ τούτου ἐχθρῶν τοῦ βασιλέως τῆς καρδίας ἥψατο, οὐχ ἵνα ἀνέλῃ, ἀλλ' ἵνα ἐπισπάσηται. ὅπερ καὶ ἐπὶ Παύλου γέγονεν. οὐ γὰρ ἄν τις ἁμάρτοι τὸ ῥῆμα ″ἐκείνου βέλος εἰπὼν, ὅπερ ἴσ. ἐκεῖνο ἐξ οὐρανοῦ ἀκοντισθὲν ἥψατο τῆς καρδίας τοῦ πρὸ τούτου ἐχθροῦ, καὶ φίλον ἐποίησε. λαοὶ ὑποκάτω σου πεσοῦνται. εἶδες τοῦ πολέμου τὸ κατόρθωμα, τὴν προσαγωγὴν τῶν πρὸ τούτου στασιαζόντων, τὴν διδασκαλίαν, τὴν κατήχησιν. ἡ γὰρ πρόσπτωσις αὕτη, καὶ τὸ ὑποκάτω αὐτοῦ, πᾶσιν ὕψους ἐστὶν ὑπόθεσις καὶ ῥίζα. ἀπαλλάξας γὰρ αὐτοὺς ἀπονοίας, καὶ κενοῦ τύφου, καὶ τῆς τῶν δαιμόνων πλάνης, ἑαυτῷ ὑπέταξεν. οὕτω καὶ ἕτερος

Ησ. ξγ. α. προφήτης δείκνυσιν αὐτὸν ᾑμαγμένον, οὕτω λέγων· Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; οὐδαμοῦ ὅπλα ἐκεῖ, καὶ τόξα, καὶ βέλη, ἀλλ' ἱμάτια. παχύτερον μὲν τὸ ῥῆμα, πλὴν τούτου λεπτότερον. ὅμως καὶ ἐν τῇ παχύτητι κἀκεῖ κατὰ μικρὸν πρὸς τὰ ἀσώματα ἀνάγει τὸν λόγον. ἐπειδὴ γὰρ ἐρωτᾷ ὁ προφήτης πόθεν ἐρυθρὰ τὰ ἱμάτια, φησί· Ληνὸν ἐπάτησα μονώτατος, τὴν εὐκολίαν δεικνὺς τῆς νίκης, καὶ τὸ μηδένα χρῄζειν τὸν συνεργοῦντα αὐτῷ, ἀλλ' ὅτι αὐτὸς ἑαυτῷ ἤρκεσεν. ὥσπερ γὰρ ἐνταῦθα, φησὶν, ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· οὕτω καὶ ἐκεῖ, ληνὸν ἐπάτησα μονώτατος. ὃν τρόπον γὰρ τῷ ληνοβάτῃ ῥᾴδιον καταπατεῖν τοὺς βό-

Σοφ. ιβ. ιη. τρυς· οὕτω τῷ Θεῷ ἐργάσασθαι ἅπερ ἠθέλησε· μᾶλλον δὲ οὐδὲ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. 8 Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. 9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Ἄλλος, Ὁ θρόνος σου, ὁ Θεὸς, αἰώνιος καὶ ἔτι. Ὁ δὲ Ἑβραῖός φησι τὸ, ὁ Θεὸς ὁ Θεός σου, Ελωειμ ελωαχ. Τί ἐνταῦθα εἴποι ὁ Ἰουδαῖος; ″περὶ τίνος γὰρ τὰ λεγόμενα; γρ. ἢ περὶ πάλαι λεγ. τί δὲ ὁ αἱρετικός; εἰ γὰρ δὴ λέγοι περὶ τοῦ πατρὸς λέγεσθαι, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πῶς ἁρμόσει αὐτῷ τὸ ἑξῆς, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου; οὐ γὰρ δὴ ὁ πατήρ ἐστιν ὁ Χριστὸς, οὐδὲ αὐτὸς κέχρισται. ὅθεν δῆλον ὅτι περὶ τοῦ μονογενοῦς ὁ λόγος, περὶ οὗ καὶ τὰ ἔμπροσθεν εἴρηται· ὅπερ καὶ ὁ Ἡσαΐας ἔλεγεν,

Ησ. θ. ζ. Ὅτι τῆς βασιλείας αὐτοῦ οὐκ ἔστι τέλος. ἀλλ' ἴσως ἄν τις ἐκεῖνο ζητήσειε, τί δή ποτε νῦν περὶ τῆς θεότητος διαλέγεται, πρότερον περὶ τῆς οἰκονομίας ποιησάμενος τὸν λόγον; ὅτι καὶ ὁ Ματθαῖος τοῦτο ποιεῖ. ἀπὸ γὰρ τῆς σαρκὸς ἄρχεται, καὶ προοιμιάζεται οὕτω· Βί-

Ματθ. α. α. βλος γενέσεως Ἰησοῦ Χριστοῦ. ὁμοίως καὶ Λουκᾶς, καὶ Μάρκος. Ἰωάννης δὲ μόνος ἑτέρως. πρό-

Ιω. α. α. τερον γὰρ περὶ τῆς θεότητος εἰπών· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος, καὶ πολλὰ περὶ αὐτῆς διαλεχθεὶς, τότε εἶπε· καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. εἰ δὲ καὶ ἀπ' ἐναντίας τοῖς ἄλλοις ἐχρήσατο τῇ γραφῇ τοῦ εὐαγγελίου, ἀλλὰ καὶ οὕτω μεγάλην πρὸς αὐτοὺς τὴν συμφωνίαν ″ἀπέδειξε. γρ. ἐπέδειξε καὶ πῶς ἂν ἔχοι λόγον, φησὶν, ἐν τῷ ἐναντίῳ συμφωνίαν εἶναι; οὐκ οἶσθα ὅτι καὶ τὸ ἐσθίειν τῷ μὴ ἐσθίειν ἐναντίον ἐστὶ, καὶ τὸ πίνειν τῷ μὴ πίνειν, καὶ τὸ δύνασθαι τῷ μὴ δύνασθαι; πολλάκις δὲ καὶ ἰατρὸς πολλὰ τοιαῦτα ποιεῖ, οὐχ ἑαυτῷ μαχόμενος, ἀλλὰ καὶ σφόδρα συμφωνῶν. πρὸς γὰρ ἓν ὁρᾷ τέλος, τοῦ κάμνοντος τὴν ὑγίειαν. τοῦτο δὴ καὶ ἐπὶ τῶν εὐαγγελιστῶν γέγονεν. ἐπεὶ καὶ τὸ θέρος ἀπ' ἐναντίας τοῦ χειμῶνός ἐστιν, ἀλλὰ πρὸς ἓν βλέπει τέλος, τὴν τῶν καρπῶν ἀκμὴν καὶ εὐθηνίαν· καὶ ὁ κόσμος ἅπας ἐξ ἐναντίων συνέστηκεν, ἀλλὰ πολλὴν εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδείκνυται τὴν συμφωνίαν. καὶ πρὸς τὸν Ἰωάννην δὲ ἀπ' ἐναντίας ὁ Χριστὸς ἦλθεν. ὁ μὲν γὰρ ἤσθιεν, ὁ δὲ οὐκ ἤσθιεν. Ἦλθε γὰρ Ἰωάννης, φησί, μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι, δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης. ἀλλ' εἰ καὶ ἐναντία ἦν τὰ γινόμενα, ἀλλ' ὅμως πρὸς ἓν ἅπαντα βλέπει τέλος, τῶν μελλόντων σαγηνεύεσθαι τὴν σωτηρίαν. οὕτω δὴ καὶ ἡ τάξις αὕτη ἡ περὶ τῆς θεότητος καὶ τῆς οἰκονομίας. εἰ καὶ ἀπ' ἐναντίας τοῖς ἄλλοις γέγονε παρὰ Ἰωάννου, ἀλλ' ὅμως σφόδρα συμφώνως αὐτοῖς. καὶ πῶς, ἐγὼ λέγω. ὅτι παρὰ μὲν τὴν ἀρχὴν, οὐδέπω τοῦ λόγου σπαρέντος, ἀκόλουθον ἦν περὶ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ, καὶ περὶ τῆς σαρκὸς γυμνάζειν τὴν διδασκαλίαν, ἀπὸ τῶν παχυτέρων καὶ αἰσθητῶν προοιμιαζομένους· ἐπειδὴ δὲ ἐπάγη τὰ τῆς γνώσεως, καὶ ἐδέξαντο τὸ κήρυγμα, λοιπὸν εὔκαιρον ἦν ἄνωθεν ἄρχεσθαι. διὰ τοῦτο καὶ οἱ προφῆται εἴ ποτε περὶ αὐτοῦ διαλέγονται, ἀπὸ τῆς οἰκονομίας ποιοῦνται τὴν ἀρχὴν καὶ τὰ προοίμια. ὅρα γοῦν ὁ Μιχαίας πῶς κάτωθεν ἄρχεται· Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καί τοι οὐχ ἡ θεότης ἦν ἀπὸ τῆς Βηθλεέμ, ἀλλ' ἡ σάρξ. ἀλλ' οὐκ ἀναπέμεινε τούτῳ μόνῳ, ἀλλὰ καὶ ἀνέβη πρὸς τὴν θεότητα, λέγων· Καὶ αἱ ἔξοδοι αὐτοῦ, ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. καὶ ὁ Ἡσαΐας πάλιν· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. ὁρᾷς πῶς καὶ οὗτος ἀπὸ τῆς σαρκὸς πρὸς τὴν θεότητα ἀνέβη; καὶ πάλιν ἀλλαχοῦ σκόπει τοῦτο αὐτὸ γινόμενον. φησὶ γάρ· * Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁρᾷς πῶς πάλιν ἀπὸ παιδίου καὶ τῆς κατὰ σάρκα οἰκονομίας ὥσπερ διά τινων βαθμῶν ἀναβαίνων, ἵσταται περὶ τὴν θεότητα; οὕτω καὶ ὁ πατὴρ αὐτοῦ ἐγνωρίσθη ἀπὸ τῆς κτίσεως πρότερον. Τὰ γὰρ ἀόρατα αὐτοῦ φησιν ὁ Παῦλος, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. διὰ δὴ τοῦτο καὶ αὐτὸς σχηματίζει πολλάκις ἑαυτὸν εἰς αἰσθητὴν ὄψιν, κατὰ μικρὸν ἀνάγων τὸ γένος τῶν ἀνθρώπων ἐπὶ τὰς ἀσωμάτους ἐννοίας. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν δογμάτων οὕτως ἐχρήσατο τῇ οἰκονομίᾳ, ὅπουγε καὶ ἐπὶ τῶν παραγγελμάτων καὶ ἐπὶ τῶν ἐντολῶν αὐτὸ τοῦτο ποιεῖ; διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὕτως ἐνταῦθα κέχρηται τῷ λόγῳ, ἀπὸ τῆς σαρκὸς ἐπὶ τὴν θεότητα ἀναβαίνων (τὰ γὰρ χείλη τῆς σαρκός ἐστι) καὶ ἀπὸ τῆς θεότητος πάλιν ἐπὶ τὴν σάρκα κατιὼν, καὶ τῇ ποικιλίᾳ τοῦ λόγου πρὸς τὴν τῶν κατηχουμένων χρώμενος σωτηρίαν. ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. θρόνον ἐνταῦθα, οὐ θρόνον ἁπλῶς, ἀλλὰ τὴν βασιλείαν δηλοῖ. ἐνταῦθα μὲν οὖν αἰώνιον λέγει, ἀλλαχοῦ δὲ ὑψηλόν. Εἶδον γάρ, φησι, τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ. καὶ πάλιν, ὅτι ὑψηλός σου ὁ θρόνος. καὶ ἄλλος δὲ προφήτης βλέπει καθήμενον ἐπὶ θρόνου δόξης. ὁ δὲ Δαβὶδ καὶ φιλανθρωπίας τὸν θρόνον δείκνυσιν. Ἔλεος γάρ, φησι, καὶ κρίσις κατόρθωμα τοῦ θρόνου αὐτοῦ. ταῦτα δὲ πάντα περὶ τῆς βασιλείας αὐτοῦ εἴρηται, ὅτι ἀτελεύτητος (τοῦτο γάρ ἐστι τὸ, εἰς αἰῶνα αἰῶνος) ὅτι ἔνδοξος, ὅτι ὑψηλή, ὅτι κραταιὰ καὶ ἰσχυρά· πάλιν ὅτι ἄναρχος, ὅταν λέγῃ, Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων. ὥσπερ δὲ ὁ θρόνος τῆς βασιλείας σύμβολον, οὕτως ἡ ῥάβδος καὶ τῆς βασιλείας, καὶ τῆς δικαστικῆς ἐξουσίας. διὸ φησὶ ῥάβδος εὐθύτητος.

Λουκ. ζ. λγ.

γρ. [illegible]

α. Κορ. γ. α.

Μιχ. ε. β.

Μιχ. ε. β.

Ἡσ. ζ. ιδ.

Ἡσ. θ. ς.

Ῥωμ. α. κ.

γρ. κατελθών

Ἡσ. ς. α.

Δαν. ζ. θ.

γρ. κατόρθωσις

Ψαλ. ϟς. β.

Ψαλ. ρμδ. ιγ.

τητος, ἡ ῥάβδος τῆς βασιλείας σου. καθάπερ γὰρ ἐκεῖ τὸ δίκαιον, καθάπερ ἐκεῖ τὸ ὀρθὸν, οὐδὲν ἐκεῖ
ἐπισκιαζόμενον. ἀκουέτωσαν οἱ μαινόμενοι καὶ παραπλῆγες· μᾶλλον δὲ οἱ τούτων χεί-
ρους. τίνες δὲ εἰσὶν οὗτοι; οἱ τῇ τοῦ Θεοῦ προνοίᾳ ἐγκαλοῦντες, καὶ λέγοντες· διὰ τί
τὸ καὶ τὸ οὕτω γέγονε; πῶς γὰρ οὐκ ἄτοπον, τέκτονι μὲν παρακαθήμενον καὶ διακλῶν-
τα ξύλα καὶ διαπρίζοντα θεώμενον, μὴ ἀπαιτεῖν λόγον μηδὲ εὐθύνας· καὶ ἰατρὸν τέμ-
νοντα καὶ καίοντα σάρκα, καὶ ἐν οἰκίσκῳ κατακλείοντα, καὶ λιμῷ ἄγχοντα τὸν κάμνοντα,
μήτε τῶν παρεστώτων τινὰ, μήτε αὐτὸν τὸν πάσχοντα περιεργάζεσθαι τὰ γινόμενα· καὶ
κυβερνήτην τείνοντα σχοινίον, καὶ χαλῶντα ἱστία, καὶ πάλιν ἀνιέντα, καὶ βαπτίζοντα τοῖ-
χον νηὸς, μὴ πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι καθ' ἕκαστον τῶν δημιουργῶν τού-
των, ἀλλ' ἡσυχάζειν, καὶ σιγᾷν, καίτοιγε πολλάκις αὐτῶν διαμαρτανόντων περὶ τὴν
τέχνην· τὴν δὲ ἄφατον σοφίαν, τὴν ἄφατον φιλανθρωπίαν, τὴν κηδεμονίαν τὴν
ἀπερίληπτον ταύτην περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; καὶ ποίας ταῦτα οὐ μανίας; καὶ βο-
ηθῆσαι μὲν, ἢ προέσθαι χρήματα ὑπὲρ ἀδικουμένων καὶ πενομένων οὐκ ἂν ῥᾳδίως ἕλοιντο
[τινες]· ἐξετάζουσι δὲ δι' ὅλου, διὰ τί ὁ δεῖνα πένης; διὰ τί ὁ δεῖνα πτωχός; διὰ τί ὁ δεῖνα πλού-
σιος; πονηρὲ δοῦλε, τί μὴ κύπτεις κάτω, καὶ καταγινώσκεις σαυτοῦ, καὶ ἐπιτίθης χαλινὸν τῇ
γλώσσῃ, καὶ καταστέλλεις τὴν διάνοιαν, καὶ ἀφεὶς τὸ ταῦτα πολυπραγμονεῖν τὴν περιεργίαν
ταύτην ἐπὶ τὸν βίον στρέφεις τὸν σόν; διάβλεψον εἰς τὰ πεπραγμένα σοι, εἰς τὸ γρ. διάκυψον
πέλαγος τῶν ἁμαρτημάτων· καὶ εἰ περίεργος εἶ καὶ πολυπράγμων, ἀπαίτησον σαυτὸν
εὐθύνας τῶν ῥημάτων, τῶν πραγμάτων, ὧν κακῶς εἶπες, ὧν κακῶς ἐποίησας. νυνὶ δὲ
σαυτὸν μὲν ἀνεξέταστον ἀφεὶς (καίτοιγε τῆς ῥᾳθυμίας ταύτης κόλασιν φερούσης, τῆς
δὲ πολυπραγμοσύνης σωτηρίαν) τῷ Θεῷ κάθῃ δικάζων, προστιθεὶς σου τοῖς ἁμαρ-
τήμασιν [ἕτερα]. οὐκ ἀκούεις τοῦ προφήτου πρὸς αὐτὸν λέγοντος, ῥάβδος εὐθύτητος,
Ὠσ. ϛ. ε. ἡ ῥάβδος τῆς βασιλείας σου; καὶ ἑτέρου πάλιν· Τὸ κρίμα αὐτοῦ, ὡς φῶς, ἐξελεύσεται;
εἰ δὲ οὐκ οἶσθα ἀκριβῶς πάντα τὰ τοῦ δεσπότου σου, καὶ διὰ τοῦτο αὐτὸν δόξασον, διὰ τοῦτο
μάλιστα αὐτὸν προσκύνησον, διὰ τὸ ἄφατον αὐτοῦ τῆς μεγαλωσύνης, διὰ τὸ ἀκα-
τάληπτον αὐτοῦ τῆς προνοίας, διὰ τὸ ποικίλον αὐτοῦ καὶ σοφὸν τῆς κηδεμονίας. ἠγάπη-
σας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. ἐπειδὴ εἶπεν αὐτοῦ τὰ κατορθώματα, τὰς νί-
κας, τὰ τρόπαια, τῆς οἰκουμένης τὴν σωτηρίαν, ὅτι ἀληθείας αὐτὴν ἐνέπλησεν, ὅτι
πραότητος, ὅτι δικαιοσύνης· δεικνὺς ὅτι οὐδὲν ἀπεικὸς ταῦτα γενέσθαι, διαλέγεται
λοιπὸν περὶ τοῦ ἀξιώματος τοῦ κατωρθωκότος, [δηλῶν] ὅτι Θεὸς, ὅτι βασιλεὺς, ὅτι ἀ-
τελεύτητος, ὅτι δικαστὴς ἀδέκαστος, ὅτι τῶν δικαίων ἐραστὴς, ὅτι μισοπόνηρος. ἐπειδὴ γὰρ
τοιοῦτός ἐστι, φησὶ, διὰ τοῦτο τοιαῦτα αὐτῷ κατώρθωται. μηδεὶς τοίνυν ἀπιστείτω. ὁ γὰρ
κατορθώσας τοσαῦτα, καὶ δυνάμενος καὶ βουλόμενος ταῦτα κατώρθωσε. τὰ τῆς θεό-
τητος ὑψηλὰ νῦν αὐτοῦ εἰπὼν, πάλιν ἐπὶ τὴν σάρκα κατάγει τὸν λόγον, καί φησι·
διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου. Ἄλλος, Ἐπὶ τούτῳ ἤλειψέ σε. ἐπὶ τῷ κατορ-
θῶσαι τὰ εἰρημένα, φησὶν, ἀνομίαν ἐκβαλεῖν, δικαιοσύνην φυτεῦσαι, ποιῆσαι ἅπερ ἐ-
ποίησας. σὺ δὲ μὴ θορυβηθῇς ἀκούων ὅτι ταῦτα τῷ πατρὶ λογίζεται. οὐ γὰρ αὐτὸν
ἀποστερῶν τῶν κατορθωμάτων ταῦτα λέγει, ἀλλὰ τὰ τοῦ παιδὸς τῷ πατρὶ ἀνατιθεὶς,
Ιω. ιζ. ι. ὥσπερ καὶ τὰ τοῦ πατρὸς, αὐτοῦ φησιν εἶναι. Πάντα γὰρ τὰ ἐμὰ, φησὶ, σά ἐστι, καὶ τὰ σὰ
α. Κορ. ϛ. ιδ. ἐμά. ἐπεὶ καὶ περὶ τῆς ἀναστάσεως ὁ μὲν Παῦλος διαλεγόμενος λέγει, Ὅτι ὁ Θεὸς αὐτὸν
Ιω. β. ιθ. ἤγειρεν ἐκ νεκρῶν· ὁ δὲ Ἰωάννης, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ
αὐτόν. τί δέ ἐστιν, ἔλαιον ἀγαλλιάσεως; καὶ μὴν ἐλαίῳ ὁ Χριστὸς οὐδαμοῦ ἐχρίσθη,
ἀλλὰ πνεύματι ἁγίῳ. διὰ τοῦτο προσέθηκε, παρὰ τοὺς μετόχους σου· τοῦτο αὐτὸ δη-
λῶν,

λαῶν, ὅτι οὐδεὶς οὕτως ὡς αὐτός. πολλοὶ μὲν γὰρ παρ' αὐτοῦ χριστοὶ, οὕτω δὲ οὐδὲ εἷς· ὥσπερ καὶ πολλοὶ ἀμνοὶ, ὁ δὲ ἐξαίρετος οὗτος· καὶ πολλοὶ υἱοὶ, ἀλλ' αὐτὸς μονογενής. πάντα γὰρ τὰ αὐτοῦ ἐξαίρετα, οὐ τὰ τῆς θεότητος μόνον, ἀλλὰ καὶ τὰ τῆς οἰκονομίας. πνεύματι γὰρ οὐδεὶς ἐχρίσθη τοιούτῳ. Εἰ δὲ ἔλαιον αὐτὸ καλεῖ, μὴ θαυμάσῃς. προφήτης γὰρ ὢν, αἰνιγματωδέστερον διαλέγεται. καὶ καλῶς εἶπεν, ἀγαλλιάσεως, ἵνα δείξῃ, ὅτι εὐφροσύνης. Ὁ γὰρ καρπὸς τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. Ἄλλος δὲ, Ἐλαίῳ ἀγαλλιασμοῦ, εἶπεν· Ὁ δὲ Ἑβραῖος, Σασών, τουτέστι καλλωπισμοῦ, δόξης, κόσμου. Εἰ δὲ καὶ εὐφροσύνης, καὶ τοῦτο ἀληθές. ὥσπερ οὖν ῥομφαίαν ἀκούσας, οὐ ῥομφαίαν νοεῖς, καὶ βέλη καὶ τόξα, οὐ τόξα καὶ βέλη, ἀλλὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν τὰ τοιαῦτα κατορθώσασαν, ἅπερ προέφημεν· οὕτω καὶ ἔλαιον ἀκούσας, μὴ ἁπλῶς ἔλαιον νόμιζε, ἀλλὰ τὴν χρίσιν νόει. καὶ γὰρ τὸ ἔλαιον σύμβολον τοῦ πνεύματος ἦν, καὶ τὸ προσηγορούμενον καὶ ἀναγκαῖον τὸ πνεῦμα ἦν. τούτου τοίνυν τοιούτου ὄντος, μηδὲν ἀμφίβαλλε Χριστὸν αὐτὸν καλεῖσθαι. ἐπεὶ καὶ ὁ Ἀβραὰμ Χριστὸς ἐκαλεῖτο, καὶ οἱ προφῆται· ἀλλ' οὐ πάντες ἐλαίῳ ἐχρίσθησαν. ὥσπερ ὅταν λέγῃ· Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. πότε δὲ ἐχρίσθη ὁ Χριστός; ὅτε ὡς ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα ἦλθεν ἐπ' αὐτόν. μετόχους δὲ ἐνταῦθα πάντας καλεῖ τοὺς πνευματικοὺς, καθάπερ Ἰωάννης φησίν· Ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν· περὶ δὲ αὐτοῦ, Οὐκ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα ὁ Θεός. καὶ πάλιν, Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· ἐκεῖ δὲ, οὐκ ἀπὸ τοῦ πνεύματος, ἀλλ' ὁλόκληρον τὸ πνεῦμα ἦλθε. διὸ καὶ εἶπεν, οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα.

Ιω. α. λϛ.
Ιω. γ. ιϛ.
Γαλ. ε. κβ.
Ψαλ. ρδ. ιε.
Ματθ. γ. ιϛ.
Ιω. α. ιϛ.
Ιω. γ. λδ.
Ιωὴλ β. κη.
Πράξ. β. ιζ.

10 Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου.

Ἄλλος, Εἰς τὸν ἱματισμόν σου. Ἄλλος, Πάντα τὰ ἱμάτιά σου. Τινὲς μὲν οὖν φασι τὸν τάφον αἰνίττεσθαι διὰ τούτων τὸν προφήτην, ἄλλος δὲ, τὸ ἐνηλλαγμένον τῆς χρίσεως δηλοῦν. Οὐ γὰρ ἐκ τούτων τῶν μύρων τὸ χρῖσμα συνέκειτο τὸ παλαιὸν, ἀλλ' ἐξ ἑτέρων. καὶ ἵνα μάθῃς ὅτι ἑτέρας χρίσεως τρόπος οὗτός ἐστι, τῇ διαφορᾷ τῶν ὑλῶν τὴν διαφορὰν τῆς ἐνεργείας ἐδήλωσε. τὸ δὲ, ἀπὸ τῶν ἱματίων σου, δείκνυσιν ὅτι καὶ τὰ ἱμάτια αὐτοῦ τῆς χάριτος ἔγεμεν. οὕτω γοῦν ἡ αἱμόρροος τοὺς τῶν αἱμάτων ἔστησε κρουνοὺς, τοῦ κρασπέδου ἁψαμένη. Εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο ἐκληπτέον, οὐδεὶς κωλύει λόγος. ἀμφότερα γὰρ ἐμοὶ ἀποδεκτά. ὥσπερ οὖν (οὐδὲν γὰρ κωλύει πάλιν τὰ αὐτὰ λέγειν) τόξον καὶ ῥομφαίαν ἀκούων καὶ ὅσα τοιαῦτα, οὐκ αἰσθητῶς ἀκούεις· οὕτω μηδὲ σμύρναν, μηδὲ κασίαν ἀκούσας αἰσθητῶς νοήσῃς, ἀλλὰ νοερῶς.

Ματθ. θ. κ.

Ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.

Ἄλλος, Ἀπὸ ναῶν ἐλεφαντίνων, ὅθεν εὔφρανάν σε ἐν τῷ τιμᾶν σε. Ἄλλος, Ἐν τοῖς ἐνδόξοις σου. Εἰπὼν ἃ κατώρθωσε, λέγει καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων αὐτοῦ ἀκολουθήσασαν τιμὴν, ὅτι ἐν ναοῖς μέλλει προσκυνεῖσθαι πολυτίμοις. τὸ γὰρ παλαιὸν αὕτη μάλιστα ἡ ὕλη ἦν τιμία καὶ περισπούδαστος ἦν, ἡ ἀπὸ τῶν ἐλεφαντίνων. διὸ καὶ ἄλλος προφήτης ἔλεγεν· Οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων. καὶ δείκνυσι πάλιν, ὅτι τὸ κήρυγμα οὐκ ἰδιωτῶν ἅψεται μόνον, ἀλλὰ καὶ βασιλείας ὑποτάξει, καὶ ἀναστήσουσιν αὐτῷ οἴκους πολυτίμους. Ταῦτα ἤδη ὁρᾶται ἐπὶ τῶν πραγμάτων γινόμενα. βουλόμενος γὰρ ὁ προφήτης δεῖξαι τοῦ κηρύγματος τὴν ἰσχὺν, λέγει πῶς εἷλε, πῶς ἐχειρώσατο γυναῖκας, ἄνδρας, ἰδιώτας, πλουσίους, αὐτοὺς τοὺς τὰ διαδήματα περικειμένους, καὶ τὰς συνοικούσας αὐτοῖς, ὡς πανταχοῦ ναοὺς ἐγείρειν τῷ Θεῷ. Εἶτα ἐπεὶ λοιπὸν εἰς τοῦτον ἐξέβη τὸν λόγον, πλατύτερον αὐτὸν ὑφαίνει, τοὺς θεράποντας αὐτοῦ καὶ οἰκέτας

Αμὼς ϛ. δ.

ὑπογράφων, καὶ πῶς λαοὶ ὑπέπεσον δεικνύς, πῶς τῶν καρδιῶν αὐτῶν ἥψατο, πῶς ἐχθρῶν περιεγένετο, πῶς ἡ δεξιὰ αὐτοῦ κατευώδωσεν αὐτόν, πῶς ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην κατεφύτευσε. καὶ πάλιν μεταφορικῶς κέχρηται τῷ λόγῳ, ὥσπερ ἐν εἰκόνι τὴν ἐκκλησίαν ὑπογράφων. καὶ ἅπερ μετὰ ταῦτα οἱ ἀπόστολοι εἰρήκασιν (β. Κορ. ια. β. ὁ μὲν λέγων, Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· Ἰω. γ. κθ. ὁ δὲ, Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· Ματθ. κβ. β. ὁ δὲ, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμον τῷ υἱῷ αὐτοῦ) ταῦτα καὶ οὗτος προαναφωνεῖ, τὸν νυμφίον εἰσάγων ὁμοῦ καὶ βασιλίδα. διό φησι· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.

Ἄλλος, Ἐστηλώθη, τουτέστι, βεβαίως ἔστη, ἀκινήτως ἔστη· ὅπερ ὁ Χριστὸς ἀλλαχοῦ φησιν· Ματθ. ιϛ. ιη. Ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Εἶδες τιμῆς ὑπερβολήν, εἶδες ὄγκον ἀξιώματος· τὴν πεπατημένην, τὴν κάτω συρομένην εἰς ὅσον ὕψος ἀνήγαγεν, ὥστε αὐτῷ παρεστάναι. ἔγνως ἡ αἰχμάλωτος, ἡ ἀπηλλοτριωμένη, ἡ πόρνη, ἡ ἐναγής, εἰς ὅσον ἀνέβη Ψαλμ. ρθ. α. ἀξίωμα. μετὰ τῶν λειτουργικῶν παρέστηκε δυνάμεων. ὁ μὲν γὰρ υἱός, ἅτε ὁμότιμος ὤν, ἐκ δεξιῶν κάθηται· αὕτη δὲ ἕστηκεν. εἰ γὰρ καὶ βασίλισσά ἐστιν, ἀλλὰ κτίσεως οὐσίας Ἐφ. β. ϛ. ἐστί. πῶς οὖν ὁ Παῦλός φησι· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ; ἀλλὰ πρόσεχε τῇ ἀκριβείᾳ· οὐχ ἁπλῶς εἶπε, Συνήγειρε καὶ συνεκάθισεν, ἀλλ' ἐν Χριστῷ, τουτέστι, διὰ Χριστοῦ. ἐπειδὴ γὰρ ἡ κεφαλὴ ἡμῶν ἄνω, φησίν, ἐστίν, ἡμεῖς δὲ σῶμα, τῆς κεφαλῆς ἄνω καθημένης καὶ ἡμεῖς τῆς τιμῆς μετέχομεν, εἰ καὶ ἑστήκαμεν. Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ἄλλος, Ἐν διαδήματι ''χρυσοῦ ἐκ σουφείρ. Ὥσπερ ἐπὶ τοῦ βασιλέως οὐ τόξα καὶ βέλη νοοῦμεν, οὕτω μηδὲ ἐπὶ τῆς νύμφης ἱμάτια νόει, ἀλλὰ διὰ τῶν αἰσθητῶν θεοπρεπῆ νοήματα ἐκλάμβανε. ἵνα γὰρ μηδέν τι τοιοῦτόν τις ὑποπτεύσῃ, ἐπήγαγε λέγων· πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. καὶ μὴν τὰ ἱμάτια μάλιστα πάντων ἔξωθεν, καὶ [χάριν] τῶν ὁρωμένων ἐστίν· ἀλλ' ὅταν ᾖ σωματικά. ὅταν δὲ περὶ πνευματικῶν ὁ λόγος ᾖ, ἔνδον στρέφε τὸ ὄμμα τῆς διανοίας. τοῦτο τὸ ἱμάτιον ὁ βασιλεὺς ὕφηνε, καὶ ἐνέδυσεν αὐτὴν διὰ τοῦ βαπτίσματος. Γαλ. γ. κζ. Ὅσοι γάρ, φησιν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. πρὸ γὰρ τούτου, γυμνὴ ἦν καὶ ἀσχημονοῦσα, προκειμένη πᾶσι τοῖς παραπορευομένοις ὁδόν· ἀφ' οὗ δὲ τὸ ἱμάτιον ἐνεδύσατο τοῦτο, πρὸς τὸ ὕψος ἀνηνέχθη ἐκεῖνο, καὶ τῆς ἐκ δεξιῶν στάσεως ἠξιώθη. καλῶς δὲ αὐτὸ καὶ ποικίλον φησίν. οὐ γὰρ μονοειδὲς τὸ ἱμάτιον. Γαλ. ε. κϛ. οὐ γὰρ ἐκ χάριτός ἐστι σωθῆναι μόνον, ἀλλὰ χρεία καὶ πίστεως, καὶ μετὰ τὴν πίστιν καὶ ἀρετῆς. ἀλλὰ νῦν οὐ περὶ ἱματίων ὁ λόγος. οὐδὲ γὰρ τῷ πνεύματι τοσαύτη σπουδὴ ἦν, ὥστε ἱμάτια γυναικὸς διαγράφειν χρυσᾶ. εἰ γὰρ ταῖς καλλωπιζομέναις Ἡσ. γ. ιϛ. γυναιξὶν ὁ Ἡσαΐας ἐγκαλεῖ, καὶ πανταχοῦ τὰ τῆς τρυφῆς ἐκβέβληται, πῶς ἐνταῦθα ἐπήνεσε γυναῖκα καλλωπιζομένην;

γρ. ἐν χρυσίῳ [illegible] σουφείρ.

12 Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, 13 Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Ἄλλος, Ἵνα ἐπιθυμήσῃ. Ὅτι αὐτός Κύριός σου. Ἄλλος, Αὐτὸς γάρ Κύριός σου.

Καὶ προσκυνήσουσιν αὐτῷ. Ἄλλος, Καὶ προσκύνει αὐτῷ. 14 Καὶ θυγάτηρ Τύρου ἐν δώροις. Ἄλλος, Ἡ δὲ θυγάτηρ * κραταιὰ δῶρα οἴσει.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Ὁρᾷς πῶς οὐδὲν αἰσθητόν, πῶς οὐδὲν σωματικόν, ἀλλὰ πάντα νοερά; πῶς γὰρ ἡ νύμφη θυγάτηρ ἐστὶ τοῦ αὐτοῦ; πῶς δὲ ἡ θυγάτηρ νύμφη; ἐπὶ μὲν γὰρ τῶν σωματικῶν οὐκ ἔνι τοῦτο, ἀλλ' ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο· ἐπὶ δὲ τοῦ Θεοῦ, ἀμφότερα ἔνι. αὐτὸς γὰρ αὐτὴν* ἀνεγέννησε διὰ τοῦ βαπτίσματος, αὐτὸς αὐτὴν καὶ ἡρμόσατο. ἄκουσον θύγατερ, καὶ ἴδε· δύο δὲ αὐτῇ παρέχει, καὶ διδασκαλίαν τὴν διὰ τῶν ῥημάτων, καὶ ὄψιν τὴν διὰ τῶν θαυμάτων, καὶ τὴν διὰ τῆς πίστεως. καὶ τὰ μὲν ἔδωκε, τὰ δὲ ἐπηγγείλατο. ἄκουσον τοίνυν τῶν ῥημάτων τῶν ἐμῶν, ἴδε μου τὰ θαύματα καὶ τὰ ἔργα, καὶ ἀνέχου τῶν παραινέσεων. καὶ ὅρα ποῖον παράγγελμα ποιεῖται πρότερον· ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. ἐπειδὴ γὰρ ἐξ ἐθνῶν αὐτὴν ἡρμόσατο, τοῦτο αὐτῇ πρότερον παραγγέλλει, ἀποξύσαι τὴν συνήθειαν ἐκείνην, ἀποστῆσαι τῆς μνήμης, ἐκβάλλειν αὐτὰ τῆς διανοίας, μὴ μόνον αὐτὰ φυγεῖν, ἀλλὰ μηδὲ μεμνῆσθαι αὐτῶν. καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. ὅταν δὲ εἴπῃ καὶ λαὸν καὶ οἶκον, πάντα τὰ ἐκεῖ περιαπτόμενα λέγει περὶ αὐτῶν, καὶ βίον καὶ δόγματα. καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ὁρᾷς ὅτι οὐ περὶ σωματικοῦ κάλλους ὁ λόγος. ἂν γὰρ ταῦτα ποιήσῃς, τότε ἔσῃ καλή, φησι, τότε ὁ βασιλεὺς ἐπιθυμήσει τοῦ κάλλους σου. καὶ μὴν σωματικὸν κάλλος ταῦτα οὐκ ἐργάζεται. καὶ γὰρ ἐν ἀπίστοις ὁρῶμεν κάλλος σωματικόν, καὶ γυναῖκας εὐμόρφους Ἑλληνίδας οὔσας. ἀλλ' ἵνα μάθῃς ὅτι οὐ περὶ σωματικοῦ κάλλους ὁ λόγος, ἐκ τῆς ὑπακοῆς αὐτοῦ συνίστασθαι τοῦτό φησιν· ἡ δὲ ὑπακοὴ οὐ τὸ σωματικὸν κάλλος συνίστησιν, ἀλλὰ τὸ ψυχικόν. ἐὰν γὰρ ταῦτα ποιήσῃς, φησί, τότε ἔσῃ καλή, τότε ἐπέραστος τῷ νυμφίῳ. ὅτι αὐτὸς Κύριός σου. ἰδοὺ ὁ πατὴρ καὶ νυμφίος, καὶ δεσπότης ἀνεφάνη. ἐπειδὴ γὰρ ἐπέταξεν ἀποστῆναι πατέρων, ἐπιλαθέσθαι λαοῦ, ἐκβαλεῖν τὴν συνήθειαν, δείκνυσι τῶν ἐπιταγμάτων τὸ δικαίωμα μέγιστον ὄν, καὶ πολλὴν οὖσαν τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ὀφεῖλον τοῦτο γενέσθαι. εἰ γὰρ καὶ πατήρ σου αὐτός, καὶ νυμφίος αὐτός, καὶ Κύριος αὐτός, δίκαιος ἂν εἴης πάντων ἐκείνων ἀποστᾶσα τούτῳ ἑαυτὴν ἀναθεῖναι. καὶ οὐκ εἶπεν, ὅτι αὐτός σου πατήρ, ἀλλ' ὅτι αὐτός σου Κύριος· ἵνα τούτῳ μάλιστα αὐτῆς καθίκηται, ὅτι ὁ Κύριος καὶ δεσπότης καὶ πατήρ σου εἵλετο γενέσθαι καὶ νυμφίος. μᾶλλον δὲ καὶ αὐτὸ τὸ γενέσθαι Κύριον, πολλῆς κηδεμονίας ἐστὶ καὶ φιλανθρωπίας, τὸ τὴν δαιμόνων δούλην, καὶ ὑπὸ τῆς πλάνης πατουμένην, ταύτην ἑλέσθαι ἑαυτῷ. οὐ μόνον δὲ δούλην, ἀλλὰ καὶ θυγατέρα καὶ νύμφην ἐποίησεν. ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. οὐ γὰρ πρὸς ἀλλότριόν τινα ἔρχῃ, ἀλλὰ πρὸς τὸν ποιήσαντά σε, καὶ πάντων ἐκείνων οἰκειότερον, καὶ κηδόμενόν σου καὶ φροντίζοντα. αὐτὸς γάρ σου Κύριος, καὶ πατήρ, καὶ πάντα αὐτός σοι δέδωκε. καὶ προσκυνήσουσιν αὐτῷ, καὶ θυγάτηρ Τύρου ἐν δώροις. ποία αὕτη ἀκολουθία; καὶ σφόδρα ἀρίστη. προτροπῆς γὰρ εἶδος τοῦτο μέγιστον. πρόσελθε, φησί. καὶ γὰρ μεγάλη αὐτοῦ ἡ ἰσχύς, καὶ πάντες αὐτῷ ὑπακούσονται. καὶ ἀφεὶς τὴν οἰκουμένην εἰπεῖν ὁ προφήτης, τὴν γείτονα λέγει πόλιν, τὴν ἐν ἀσεβείᾳ κατεχομένην τότε, τὴν ἀκρόπολιν τοῦ διαβόλου, τὴν ὄνομα μέγα ἔχουσαν ἐπὶ πολυτελείᾳ, ἀπὸ τοῦ μέρους τὸ ὅλον αἰνιττόμενος. ἐμοὶ δὲ δοκεῖ καὶ τὴν ἀσέβειαν πᾶσαν οὕτω καλέσαι καὶ τὴν ἀσωτίαν. οἶδε γὰρ ἀπὸ πόλεων τρόπους χαρακτηρίζειν, ὡς ὅταν λέγῃ· Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· ἐνωτίσασθε νόμον Θεοῦ ὑμῶν, λαὸς Γομόρρας. καὶ μὴν πρὸς Ἰουδαίους διελέγετο· ἀλλ' ἐπειδὴ τὰ Σοδόμων ἔπραττον, ἀπὸ τῶν ὀνομάτων τῶν Σοδόμων καλεῖ αὐτούς. καὶ τί θαυμάζεις, εἰ ἀπὸ πατρίδος αὐτοὺς οὕτω καλεῖ, ὅπουγε καὶ πατέρας αὐτοῖς τοιούτους δίδωσι λέγων· Ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία; καὶ οὐδὲ ἐνταῦθα ἵστησι τὴν κατηγορίαν, ἀλλὰ καὶ ἐπὶ θηρία ἐξάγει τὸν λόγον ἐν μὲν τῇ καινῇ οὕτω λεγούσῃ γραφῇ· Ὄφεις, γεννήματα ἐχιδνῶν. καὶ πάλιν ἐν τῇ παλαιᾷ· Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. καὶ ἀλλαχοῦ, Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστέ μοι; οὕτω δὴ καὶ ἐνταῦθα τοὺς ἐν ἀσεβείᾳ καὶ ἀσελγείᾳ βεβιωκότας, Τυρίους ἐκάλεσεν. ἀλλὰ καὶ τούτων περιέσομαι, φησι, καὶ κρατήσω, καὶ οὕτω κρατήσω, ὡς καὶ προσκυνεῖν αὐτούς, καὶ οὐχ ἁπλῶς προσκυνεῖν,

Πράξ. ιζ. κη.

Ἀμὼς α. θ. καὶ Ἡσ. κγ. α. θ. ιε. ις.

Ἡσ. α. ι.

Ἰεζεκ. ις. γ.

Ματθ. κγ. λγ. καὶ γ. ζ. Ἡσ. νθ. ε. Ἀμὼς θ. ζ.

προσκυνεῖν, ἀλλὰ καὶ δῶρα προσφέρειν καὶ ἀπαρχάς, ὅπερ μέγιστον εἶδος λατρείας ἐστί, καὶ τῆς μετὰ ὑπερβολῆς ὑπακοῆς [σημεῖον]. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Τί ἐστι, λιτανεύσουσι; τιμήσουσι, δοξάσουσιν οἱ μεγάλοι καὶ ὑψηλοί. καὶ γὰρ καὶ νῦν ἐν τῇ ἐκκλησίᾳ τοῦτο γίνεται. τοὺς ἐν ἀρετῇ ζῶντας τιμῶσι, θεραπεύουσιν ἅπαντες, κἂν πλούτῳ, κἂν ἀξιώμασιν ὦσι κομῶντες (πάσης γὰρ εὐπορίας μείζων ἀρετή) καὶ τὴν ἐκκλησίαν ὁρῶμεν παρὰ πάντων τιμωμένην. καὶ καλῶς εἶπε, τὸ πρόσωπόν σου, τουτέστι, τὴν δόξαν σου, τὸ κάλλος σου, τὴν εὐμορφίαν σου. εἶτα ἐπειδὴ τοῦ προσώπου ἐμνήσθη, καὶ ἱματίων, καὶ κάλλους, ἵνα μή τις τῶν παχυτέρων αἰσθητόν τι νοήσῃ, ἐπήγαγε λέγων· 15 Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.

γρ. ὁρῶσιν

Πρὸς τὴν διάνοιαν εἰσελθέ, φησι· τὸ κάλλος καταμάνθανε τῆς ψυχῆς· περὶ ἐκείνων διαλέγομαί σοι. κἂν ἱματισμὸν εἴπω, κἂν κάλλος εἴπω, κἂν χρυσίον εἴπω, κἂν κροσσοὺς εἴπω, κἂν διάχρυσα εἴπω, κἂν ὁποιονοῦν τοιοῦτον ἕτερον, περὶ διανοίας ὁ λόγος, περὶ ψυχῆς ἡ διδασκαλία, περὶ ἀρετῆς τὸ λεγόμενον, περὶ τῆς ἔνδον δόξης. διὰ δὴ τοῦτο πάλιν θαῤῥούντως ἐπὶ τὰς σωματικὰς εἰκόνας ἄγει τὸν λόγον, ἅπαξ διορθωσάμενος τὴν παχεῖαν ἀκρόασιν τοῖς εἰρημένοις.

Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

Ἄλλος, Διὰ συσφιγκτήρων χρυσῶν ἠμφιεσμένη, ποικίλα· πάλιν τῷ ὀνόματι τοῦ χρυσίου τὴν ἀρετὴν καλέσας. οὕτω καὶ Παῦλός φησιν· Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, τὴν ἀρετὴν καὶ τὴν κακίαν ταῖς προσηγορίαις τῶν ὑλῶν τούτων ἡμῖν παραστήσας. ἵνα γὰρ μὴ ταῦτα νομίσῃς, τὸ ἔσωθεν κείμενον οὐκ ἀφίησί σε τὰ ἔξω φαντάζεσθαι, ἀλλ' ἕλκει τὴν διάνοιαν ἔνδον. ὥσπερ γὰρ σῶμα φαίνεται καλὸν τούτοις περιβεβλημένον, οὕτω καὶ ψυχὴ καλλωπίζεται ἀρετὴν ἐνδεδυμένη.

α. Κορ. γ. ιϛ.

16 Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Ἄλλος, Ἀκολουθήσουσιν. Ἄλλος, Ἀνενεχθήσονται. Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. 17 Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως.

Εἶδες τὰ ἱμάτια, τὰ κροσσωτά; εἶδες τὴν χρυσῆν στολήν, τῆς παρθενίας τὸ ἄνθος; τοῦτο τῆς ἐκκλησίας τὸ ἱμάτιον. καὶ θέα μοι τοῦ προφήτου τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ οὐκ εὐθέως τῆς ἐκκλησίας συστάσης τὸ τῆς παρθενίας ἤνθησε καλόν, ἀλλ' ὕστερον καὶ μετὰ χρόνον τινά, διὰ τοῦτο καὶ αὐτὸς μετὰ ταῦτα τίθησιν αὐτό, μετὰ τὸ ἐπιλαθέσθαι αὐτὴν τοῦ λαοῦ καὶ τοῦ οἴκου τοῦ πατρός, καὶ ἐνδύσασθαι τὸν κόσμον ἐκεῖνον, καὶ λάμψαι τῷ κάλλει. διό φησιν· ὀπίσω αὐτῆς αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται. αἱ πλησίον οὐ τόπῳ ἁπλῶς, ἀλλὰ καὶ τρόπῳ καὶ τοῖς δόγμασιν αὐτῇ συνᾴδουσαι· ὡς τάς γε τῶν αἱρετικῶν οὐκ ἄν τις εἴποι παρθένους· οὐ γάρ εἰσι πλησίον τῆς βασιλίδος. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει. ὅρα τὸ ἀποστολικὸν ἐνταῦθα διαλάμπον, καὶ τὴν ἀπόφασιν ἐκείνην διαδεικνυμένην καὶ ἐν τῷ προφήτῃ. ποίαν δὴ ταύτην; Ὅτι θλῖψιν τῇ σαρκὶ ἕξουσιν αἱ γαμοῦμεναι. ὥσπερ δὲ ἐκεῖναι θλῖψιν, οὕτως αὗται ἀγαλλίασιν καὶ εὐφροσύνην. ἡ μὲν γὰρ τέκνα, καὶ ἄνδρα, καὶ οἰκίαν, καὶ οἰκέτας, καὶ συγγενεῖς, καὶ κηδεστάς, καὶ γαμβροὺς καὶ ἔγγονα, καὶ πολυπαιδίαν, καὶ ἀπαιδίαν μεριμνᾶν ἀναγκάζεται (οὐδὲ γὰρ καιρὸς νῦν τὰς νιφάδας ὑπογράφειν τοῦ γάμου) ἡ δὲ παρθένος, ἐσταυρωμένη, καὶ τῶν παρόντων ἀπαλλαγεῖσα, καὶ τῶν βιωτικῶν φροντίδων ἀνωτέρα γενομένη, καὶ τὸν εὔριπον διαδῦσα, καὶ πρὸς τὸν οὐρανὸν καθ' ἑκάστην βλέπουσα τὴν ἡμέραν, ἀπολαύει τῆς χαρᾶς τοῦ πνεύματος, ἐν-

α. Κορ. ζ. κη.

τρυφᾷ τῇ ἀγαλλιάσει. οὐ τὰ παρόντα δὲ μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὰ μέλλοντα αἰνίττεται, ὅταν φαιδρὰς καὶ λαμπρὰς ἐχούσας λαμπάδας ἀπαντῶσι τὸν νυμφίον ὑποδεχόμεναι. ναὸν δὲ ἐνταῦθα βασιλέως, τὰ βασίλεια, καὶ νυμφῶνα, τὰς παστάδας λέγει.

Ματθ. κε. δ.

18 Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου. Ἄλλος, Ἔσονταί σοι υἱοί σου.

Ἐπειδὴ ἄνω λαοῦ καὶ πατέρων ἐμνήσθη λέγων, ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, δεικνὺς ὅτι πολλῆς ἀπολαύσεται καὶ κατ' αὐτὸ τὸ μέρος εὐημερίας, τοῦτο ἐπήγαγεν. ἔστι γὰρ μήτηρ μυρίων παίδων ἡ στεῖρα· ὥστε εἰ καὶ γονέων ἀπεσπάσθης, ἀλλ' οἱ τῶν παίδων χοροὶ οὕτως ἐπίδοξοι, οὕτω λαμπροὶ καὶ περιφανεῖς ἔσονται, ὡς πᾶσαν ἐμπλῆσαι τὴν οἰκουμένην. ἐμοὶ δὲ δοκεῖ τοὺς ἀποστόλους λέγειν, διδασκάλους ἐν αὐτῇ γενομένους. εἶτα ὑπογράφων αὐτῶν τὴν δύναμιν καὶ τὴν ἰσχὺν καὶ τὴν δόξαν, φησί, Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Ἆρα ταῦτα ἑρμηνείας δεῖται; οὐκ ἔγωγε οἶμαι, ὥσπερ οὐδὲ ὁ ἥλιος, ὅτι φαιδρός ἐστι· τὰ δὲ εἰρημένα, τούτου φανερώτερα. καὶ γὰρ τὴν οἰκουμένην ἅπασαν ἐπέδραμον οἱ ἀπόστολοι, καὶ πάντων τῶν ἀρχόντων ἄρχοντες ἐγένοντο κυριώτεροι, βασιλέων δυνατώτεροι. οἱ μὲν γὰρ βασιλεῖς ζῶντες κρατοῦσι, τελευτήσαντες δὲ καταλύονται· οὗτοι δέ, τελευτήσαντες μᾶλλον κρατοῦσι. καὶ τὰ μὲν τῶν βασιλέων νόμιμα, εἴσω τῶν οἰκείων ὅρων ἔχει τὴν ἰσχύν· τὰ δὲ τῶν ἁλιέων προστάγματα, πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. ὁ Ῥωμαίων βασιλεὺς οὐκ ἂν δύναιτο νομοθετεῖν Πέρσαις, οὐδὲ ὁ Περσῶν Ῥωμαίοις· οἱ δὲ Παλαιστινοὶ οὗτοι καὶ Πέρσαις, καὶ Ῥωμαίοις, καὶ Θρᾳξί, καὶ Σκύθαις, καὶ Ἰνδοῖς, καὶ Μαύροις, καὶ πάσῃ τῇ οἰκουμένῃ νόμους ἔθηκαν, καὶ οὐχὶ ζώντων αὐτῶν ἐκράτησαν μόνον, ἀλλὰ καὶ τελευτησάντων, καὶ μυριάκις ἂν ἕλοιντο οἱ νομοθετηθέντες τὴν ψυχὴν ἀφεῖναι, ἢ τῶν νόμων ἀποστῆναι ἐκείνων.

19 Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

20 Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἕτερος, Ἀναμνήσω τὸ ὄνομά σου καθ' ἑκάστην γενεάν, διὰ τοῦτο λαοὶ ὑμνήσουσί σε διηνεκῶς. Ἄλλος, Ἐπὶ τούτῳ λαοὶ ἐξομολογήσονταί σοι. Εἶπε τὸ μέγεθος τῆς ἀρχῆς ἀπὸ τοῦ μήκους τῆς γῆς, ἀπὸ τοῦ πλάτους τῆς οἰκουμένης, ἀπὸ τοῦ πλήθους τῶν ἐθνῶν τῶν ὑποταγέντων· λέγει καὶ ἑτέρωθεν αὐτῆς τὸ ἀξίωμα, ὅτι οὐ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται μόνον, ἀλλὰ καὶ πανταχοῦ τοῦ αἰῶνος. ἀθάνατος γὰρ ἔσται, φησίν, ἡ μνήμη σου, ἀνάγραπτος ἐν ταῖς βίβλοις ταῖς ἡμετέραις, ἀνάγραπτος ἐν ταῖς πολιτείαις, ἀνάγραπτος ἐν τοῖς προστάγμασιν. ὅρα πῶς καὶ τῆς οἰκείας προφητείας τὸ διαρκὲς προφητεύει. εἰπὼν γάρ, μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, τοῦτο ἐδήλωσε· κἂν ἐγὼ τελευτήσω, φησίν, ἀλλ' ᾄσομαι εἰς σὲ καὶ τελευτῶν. τὸ μὲν γὰρ σῶμα διαλυθήσεται, τὰ δὲ γράμματα μένει, καὶ ὁ νόμος διαρκής. διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι. ὅθεν ἤρξατο, ἐνταῦθα κατέλυσεν, εἰς τὸν Χριστόν. διὰ τοῦτο, ποῖον; ὅτι τοσαῦτα κατώρθωσας, ὅτι τοιούτους ἄρχοντας ἐπέστησας, ὅτι κακίαν ἤλασας, ὅτι ἀρετὴν ἐφύτευσας, ὅτι τὴν φύσιν ἡρμόσω τὴν ἡμετέραν, ὅτι τὰ ἀπόρρητα ταῦτα εἰργάσω ἀγαθά· πάντα σοι ἡ οἰκουμένη ὕμνον ἀνοίσει; οὐκ ἐν βραχεῖ χρόνῳ, οὐδὲ ἐν δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἔτεσιν, οὐδὲ ἐν μέρει τῆς οἰκουμένης, ἀλλὰ γῆ καὶ θάλαττα, οἰκουμένη τε καὶ ἀοίκητος διὰ παντὸς τοῦ αἰῶνος ᾄσονται, χάριν ὁμολογοῦντες ἐπὶ τοῖς ἀγαθοῖς τοῖς γεγενημένοις. ὑπὲρ δὲ τούτων ἁπάντων καὶ ἡμεῖς εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Χριστῷ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ * πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς * αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. με. ΤΩ ΝΙΚΟΠΟΙΩ ΤΩΝ ΥΙΩΝ ΚΟΡΕ.

Ἄλλος, Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορέ. ὑπὲρ τῶν κρυφίων. Ἄλλος, Ἐπὶ νεοτήτων ᾆσμα. 1 Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Ἄλλος, Ἐν θλίψεσιν ″ εὑρισκόμενοι. 2 Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

χ. εὑρισκόμενος.

ΤΗ συντόμῳ κέχρηται φιλοσοφίᾳ ὁ προφήτης, τῶν μὲν βιωτικῶν ἀπάγων πραγμάτων, εἰς δὲ τὴν ἐλπίδα τὴν ἄνωθεν ἀνάγων τὸν ἀκροατήν. μὴ γάρ μοι ὅπλα καὶ τείχη καὶ τάφρους εἴπης, φησί, μηδὲ περιουσίαν χρημάτων, καὶ πολεμικὴν ἐμπειρίαν, καὶ πλῆθος ἵππων, μηδὲ τόξα, καὶ βέλη, καὶ θώρακας, μηδὲ συμμάχων πλήθη, καὶ στρατιωτῶν φάλαγγας, μηδὲ σώματος ἰσχύν, καὶ πολεμίων ″ πεῖραν· πάντα ταῦτα ἀράχνης καὶ σκιᾶς ἀδρανέστερα· ἀλλ' εἰ βούλει τὴν ἄμαχον ἰδεῖν δύναμιν, τὴν καταφυγὴν τὴν ἀχείρωτον, τὸ φρούριον τὸ ἄσυλον, τὸν πύργον τὸν ἄσειστον, ἐπὶ τὸν Θεὸν κατάφευγε, ἐκείνην ἐπισπῶ τὴν ἰσχύν. καὶ καλῶς εἶπεν, ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις· δεικνὺς ὅτι ποτὲ μὲν φεύγοντες νικῶμεν, ποτὲ δὲ ἱστάμενοι καὶ πολεμοῦντες. καὶ γὰρ ἀμφότερα δεῖ ταῦτα ποιεῖν, καὶ ὁμόσε χωρεῖν, καὶ ἐκκλίνειν. τοῦτο καὶ Παῦλος ἐποίει, ποτὲ μὲν ὑποχωρῶν, ποτὲ δὲ ἐπεμβαίνων τοῖς ἐναντιουμένοις τῷ λόγῳ τῆς ἀληθείας. τοῦτο καὶ ὁ Χριστὸς ἐποίει διδάσκων ἡμᾶς. τοῦτο καὶ ἡμᾶς δεῖ ποιεῖν, καὶ εἰδέναι μετὰ ἀκριβείας καιρῶν ἐπιτηδειότητα, καὶ εὔχεσθαι μὲν μὴ εἰσελθεῖν εἰς πειρασμὸν κατὰ τὸ λόγιον ἐκεῖνο τὸ εὐαγγελικόν· παραγινομένου δὲ, μὴ μαλακίζεσθαι, ἀλλ' ἑστάναι γενναίως. βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. ὃ πολλάκις εἶπον, καὶ νῦν λέγω· οὐ κωλύει τὰς θλίψεις ἐπελθεῖν, ἀλλὰ παραγινομένων παρίσταται, χρησίμους ἡμᾶς ἐργαζόμενος καὶ δοκίμους. τὸ δὲ σφόδρα, τῷ βοηθὸς προσνεμητέον. καὶ γὰρ οὐχ ὡς ἔτυχε βοηθεῖ, ἀλλὰ μετὰ πολλῆς τῆς ὑπερβολῆς, πλείονα παρέχων τὴν ἀπὸ τῆς συμμαχίας παράκλησιν τῆς ἀπὸ τῶν θλίψεων ὀδύνης. οὐ γὰρ ὅσον ἀπαιτεῖ τῶν δεινῶν ἡ φύσις, τοσαύτην ἡμῖν παρέχει τὴν συμμαχίαν, ἀλλὰ πολλῷ πλείονα. διὰ τοῦτο οὐ φοβηθησόμεθα, φησίν, ἐν τῷ ταράττεσθαι τὴν γῆν. ὁρᾷς πῶς πλείονα παρέχει τὴν βοήθειαν καὶ ἐκ πολλῆς τῆς περιουσίας; οὐ γὰρ εἶπε μόνον, οὐχ ἁλωσόμεθα οὐδὲ πεσούμεθα, ἀλλ' οὐδὲ, ὃ κοινόν τῆς φύσεώς ἐστι, πεισόμεθα, τὸ φοβηθῆναι καὶ δεῖσαι. πόθεν δὲ τοῦτο γέγονε; ἐκ τοῦ τὴν συμμαχίαν ἐκ περιουσίας ἐπιέναι. γῆν δὲ ἐνταῦθα, καὶ ὄρη, καὶ καρδίαν θαλασσῶν, οὐ τὰ στοιχεῖά φησιν, ἀλλὰ τῷ ὀνόματι τούτων τοὺς ἀφορήτους κινδύνους αἰνίττεται. κἂν πάντα ἴδωμεν συγκεχυμένα, φησί, κἂν ταραχὴν ἀφόρητον, κἂν ταῦτα συμβαίνοντα, ἃ μηδέποτε γέγονε, κἂν αὐτὴν, ὡς ἂν εἴποι τις, τὴν κτίσιν συῤῥηγνυμένην ἑαυτῇ, καὶ τοὺς τῆς φύσεως κινουμένους ὅρους, καὶ πάντα ἐκ βάθρων ἀνασπώμενα, καὶ τὰ πρῶτα στοιχεῖα συγχεόμενα, καὶ τοσαύτην γινομένην τὴν ταραχήν· οὐ μόνον οὐχ ἁλωσόμεθα, ἀλλ' οὐδὲ δείσομεν. τὸ δὲ αἴτιον, ὅτι ὁ πάντων τούτων δεσπότης βοηθεῖ, καὶ χεῖρα ὀρέγει, καὶ παρίσταται. εἰ δὲ τούτων γινομένων, οὐκ ἂν ἐνδοίημεν, οὐδὲ καταμαλακισθείημεν, πολλῷ μᾶλλον ἐπιόντων τῶν ἐχθρῶν, καὶ τῶν πολεμίων παραταττομένων.

χ. πεῖραν

Πράξ. ιδ. ε.
Πράξ. ιγ. θ.
Ματθ. β. ιδ.
Ιω. η. νθ. καὶ ι. λθ.
Ματθ. κς. μα.

3 Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν· ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιό-

τητι αὐτοῦ. Ἄλλος, Ἠχούντων καὶ θολουμένων τῶν ὑδάτων, καὶ σειομένων ὀρέων ἐν τῷ ἐνδοξασμῷ αὐτοῦ. Εἰπὼν ὅτι οὐ δεισόμεθα συῤῥηγνυμένων ἁπάντων, λοιπὸν περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, ὅτι ἄμαχος αὐτοῦ ἡ ἰσχύς. καὶ εἰκότως, φησὶν, οὐ δεδοίκαμεν. καὶ ὅπερ ἀεὶ ποιεῖ, νῦν μὲν ἀπὸ τῆς κτίσεως, νῦν δὲ ἀπὸ τῶν τοῖς ἀνθρώποις συμβαινόντων ἀνακηρύττων αὐτοῦ τὴν ἰσχὺν, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· σείει πάντα, σαλεύει, μετατίθησιν ὅταν βούληται· οὕτως αὐτῷ ῥᾴδια καὶ εὔκολα πάντα. ἐμοὶ δὲ δοκεῖ τὰ πλήθη ἐνταῦθα αἰνίττεσθαι τῶν ἀνδρείων, καὶ τοὺς ὑψηλοὺς τῶν πολεμίων, καὶ τὸν ἄπειρον λαὸν τῶν ἐναντίων. τοσαύτη γὰρ αὐτοῦ ἡ δύναμις, φησὶν, ὡς ἁπλῶς νεῦσαι, καὶ ταῦτα πάντα γίνεσθαι. πῶς οὖν δυνάμεθα φοβεῖσθαι, τοιοῦτον ἔχοντες δεσπότην; Διάψαλμα. Ἄλλος, Ἀεί. 4 Τοῦ ποταμοῦ τὰ ὁρμήματα (Ἄλλος, Διαιρέσεις. Ὁ δὲ Ἑβραῖος, Φαλεγαυ) εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. Ἄλλος, Τὸ ἅγιον τῆς κατασκηνώσεως τοῦ ὑψίστου.

5 Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ. Ἄλλος, Περὶ τὸν ὄρθρον. Ἄλλος, Τὸ νεῦσαι πρωΐαν. Εἰπὼν περὶ τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ἰσχύος, καὶ ὅτι ῥᾴδια αὐτῷ πάντα, εἰς τὴν Ἰουδαϊκῆς προνοίας ὑπόθεσιν μετατίθησι τὸν λόγον, τὰ δεδομένα αὐτοῖς ἀγαθὰ διὰ βραχέων λέξεων παριστάς. οὗτος γὰρ ὁ οὕτω δυνατὸς, ὁ οὕτως ἰσχυρὸς, καὶ φοβερὸς, καὶ πάντα ἄγων καὶ φέρων, ὁ πάντα σείων, καὶ κινῶν, καὶ μετατιθεὶς, καὶ μεθιστὰς, μυρίων τὴν πόλιν ἡμῶν ἐνέπλησεν ἀγαθῶν. ποταμὸν γὰρ ἐνταῦθα, τὸ δαψιλὲς τῆς χορηγίας τῶν ἄνωθεν δωρεῶν, καὶ τὸ ἀκώλυτον, καὶ τὸ ἐκκεχυμένον παρίστησιν· ὡσανεὶ ἔλεγε, καθάπερ ἐκ πηγῶν, ἡμῖν ἅπαντα ἐπιῤῥεῖ τὰ ἀγαθά. ὥσπερ γὰρ ποταμὸς εἰς μυρία σχιζόμενος μέρη, τὴν ὑποκειμένην ἄρδει χώραν· οὕτως ἡ τοῦ Θεοῦ πρόνοια πανταχόθεν ἐπιῤῥεῖ, δαψιλῶς φερομένη καὶ ῥοιζηδὸν ἐπιοῦσα, καὶ πάντα πληροῦσα. οὐκ ἀσφάλειαν δὲ παρέχει μόνον ἡμῖν, οὐδὲ βοήθειαν ἀῤῥαγῆ, ἀλλὰ καὶ πνευματικὴν χαράν. διό φησιν, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. καὶ τοῦτο δὲ αὐτὸ εὐεργεσίας μέρος οὐ μικρὸν, τὸ σκήνωμα αὐτοῦ καλέσαι τὸν τόπον. οὐ γὰρ ἁπλῶς τέθεικε τὸ, ὁ ὕψιστος. ὁ οὖν οὕτως ὑψηλὸς, ὁ μηδενὶ τόπῳ περιεχόμενος, ἡ ἄφραστος οὐσία, κατηξίωσε σκήνωμα αὐτοῦ καλέσαι τὴν πόλιν τὴν ἡμετέραν, καὶ πάντοθεν αὐτὴν συνέχει (τοῦτο γάρ ἐστιν, ἐν μέσῳ αὐτῆς, ὡς καὶ ἀλλαχοῦ λέγει· Ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι) πάντοθεν αὐτὴν συγκροτεῖ. Matth. 28. 20. διὰ τοῦτο οὐ μόνον οὐδὲν δεινὸν πείσεται, ἀλλ' οὐδὲ σαλευθήσεται. καὶ τὸ αἴτιον, ὅτι ταχίστης ἀπολαύει τῆς συμμαχίας, ἑτοίμου καὶ παρεσκευασμένης (τοῦτο γάρ ἐστι τὸ, πρωΐ) οὐ μελλούσης, οὐδὲ βραδυνούσης, ἀλλὰ νεαρᾶς ἀεὶ, καὶ ἀκμαζούσης, καὶ ἐν καιρῷ τῷ προσήκοντι.

6 Ἐταράχθησαν ἔθνη. Ἄλλος, Συνηχήθησαν ἔθνη.

Ἔκλιναν βασιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος· ἐσαλεύθη ἡ γῆ.

Δείκνυσιν αὐτοῦ τῆς βοηθείας ἐνταῦθα τὴν δύναμιν. οὐ γὰρ δὴ τῶν τυχόντων ἐπιόντων, ἀλλὰ βασιλέων, ἐθνῶν πάντοθεν συνιόντων, κυκλούντων, πολιορκούντων πόλιν μίαν, οὐ μόνον οὐδὲν ἔπαθεν ὑπ' αὐτῶν δεινὸν, ἀλλὰ καὶ περιεγένετο καὶ ἐκράτησε, καὶ περιέτρεψε τοὺς ἐπιόντας. τοῦτο γάρ ἐστι τὸ, ἔκλιναν βασιλεῖαι· ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος. ὡς ἂν εἴποι τις, αὐτοβοεὶ τὰς πόλεις εἷλε. παχὺ μὲν τὸ ῥῆμα, καὶ ἀνθρωπινώτερον εἰρημένον (οὐδὲ γὰρ φωνῇ καὶ βοῇ ὁ Θεὸς νικᾷ, ἀλλὰ νεύματι μόνῳ καὶ βουλήματι) ἀλλ' ὅμως ἀπὸ τῶν παχυτέρων αὐτὸν ἀνάγων τὴν ἄλλων ὑψηλοτέραν ἐπενόησε λέξιν. ἐπειδὴ γὰρ ἀεὶ ὁπλιζόμενον αὐτὸν εἰσάγει, δεικνὺς ὅτι πάντα ἐκεῖνα μεταφορικῶς εἴρηται, καὶ τροπικώτερον, καὶ συγκαταβατικώτερον (ὁ γὰρ Θεὸς οὐδενὸς τούτων δεῖ-

Γεν. ια. α.

ται) ἐπήγαγεν· ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐσαλεύθη ἡ γῆ· δεικνὺς ὅτι οὐ μόνον πόλεις, καὶ ἔθνη, καὶ χώρας, ἀλλὰ καὶ αὐτὸ τὸ στοιχεῖον διασείει. οἶδε δὲ καὶ γῆν τὰ πλήθη καλεῖν, ὡς ὅταν λέγῃ· Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν.

7 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Ψαλ. ρβ. κ.
δ. Βασ. ιθ. λε.

Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, τῶν δυνάμεων, Σαβαὼθ εἶπεν. ὅρα πῶς ἀπὸ τῆς γῆς ἀνάγει τὸν λόγον ἐπὶ τὸν οὐρανόν, εἰς τοὺς ἀπείρους τῶν ἀγγέλων δήμους, εἰς τὰ ἔθνη τῶν ἀρχαγγέλων, εἰς τὰς δυνάμεις τὰς ἄνω. τί γάρ μοι λέγεις στρατόπεδα, καὶ βαρβάρους, καὶ ἀνθρώπους ἀπολλυμένους; ἐννόησον αὐτοῦ τὴν ἰσχὺν ἀπὸ τῆς ἐν τοῖς οὐρανοῖς βασιλείας, ὅσα στρατόπεδα τῶν ἀοράτων δυνάμεων ὑφ' ἑαυτῷ τεταγμένα ἔχει. καὶ καλῶς δυνάμεις ἐκάλεσε, τὴν ἰσχὺν αὐτῶν ἐνδεικνύμενος. ὅπερ καὶ ἀλλαχοῦ φησι· Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. καὶ γὰρ εἷς ἄγγελός ποτε ἐξελθών, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας ἀνεῖλε. τί οὖν, εἰ δυνατὸς μέν ἐστιν, οὐ βούλεται δὲ ἡμῖν χεῖρα ὀρέξαι; ἀλλὰ μηδὲ τοῦτο δείσῃς. διὰ γὰρ τοῦτο ἐπήγαγεν, ἀντιλήπτωρ ἡμῶν. ὥστε καὶ βούλεται, καὶ δύναται. μὴ τοίνυν φοβοῦ. τί οὖν, εἰ ἡμεῖς ἀνάξιοι; ἀλλὰ πατρῴαν πρὸς αὐτὸν ἔχομεν φιλανθρωπίαν. διὸ καὶ τοῦτο δηλῶν εἶπεν, ὁ Θεὸς Ἰακώβ· ὡσανεὶ ἔλεγεν, ἀεὶ τοῦτο ἔθος αὐτῷ ἄνωθεν καὶ ἐξ ἀρχῆς. Διάψαλμα. Ἄλλος, Ἀεί.

8 Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. 9 Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον.

Ἄλλος, Συνέκλασε. Καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Ἄλλος, Καὶ ἁμάξας ἐμπρήσει ἐν πυρί. Εἰπὼν περὶ τῆς γῆς, περὶ τῆς θαλάσσης, περὶ τῶν ὀρῶν, περὶ τῆς πνευματικῆς χορηγίας τῆς εἰς αὐτοὺς γεγενημένης, περὶ τῆς συμμαχίας, πάλιν ἐκτείνει τὴν ὑπόθεσιν πρὸς τοὺς θεατάς, ἐπὶ τὰ τρόπαια αὐτοὺς καλῶν ἐξ ἡδονῆς πολλῆς, καὶ τῆς πρὸς τὸν δεσπότην διαθέσεως, καὶ τὰς νίκας ἀναγορεύων, ἃς ὑπὲρ αὐτῶν εἰργάσατο. καὶ καλῶς εἶπε, τέρατα, οὐκ εἶπε νίκας καὶ τρόπαια. οὐ γὰρ κατ' ἀκολουθίαν ἐγίνετο τὰ γινόμενα, οὐδὲ ὅπλοις καὶ δυνάμει σωμάτων τὰ τῆς μάχης ἐκρίνετο, ἀλλὰ Θεοῦ νεύματι, τῶν πραγμάτων δηλούντων ὅτι αὐτὸς ἦν ὁ στρατηγῶν. ἐπειδὴ γὰρ οἱ ἀσθενεῖς τοὺς δυνατοὺς ἐνίκων, οἱ ὀλίγοι τοὺς πολλούς, οἱ κεκρατημένοι τοὺς κρατοῦντας, καὶ παρ' ἐλπίδα τὰ πράγματα ἐγίνετο· εἰκότως αὐτὰ τέρατα καλεῖ, ἅτε παραδόξως συμβαίνοντα, καὶ πανταχοῦ τῆς γῆς ἐκτεταμένα. τοῦτο δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ κατὰ ἀναγωγὴν ἐκλαβὼν καὶ εἰς τὸν παρόντα καιρόν. καὶ γὰρ πόλεμον χαλεπὸν κατέλυσε τὸν τῶν δαιμόνων, καὶ πανταχοῦ τῆς οἰκουμένης τὴν εἰρήνην ἔτεινε, καὶ τὸν αἰσθητὸν δὲ αὐτῶν πόλεμον συγκατέβαλεν. ὅπερ καὶ ὁ Ἡσαΐας δηλῶν ἔλεγε· Συντρίψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. πρὸ μὲν γὰρ τῆς τοῦ Χριστοῦ παρουσίας, πάντες ἄνθρωποι ὅπλα ἐτίθεντο, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν, καὶ πόλεις πρὸς πόλεις ἐμάχοντο, καὶ δι' ὅλου τὰ τῶν πολέμων συνεκροτεῖτο· νῦν δὲ τὸ πλέον τῆς οἰκουμένης ἐν εἰρήνῃ, πάντων ἐν ἀδείᾳ καὶ τέχνας μετιόντων, καὶ γῆν ἐργαζομένων, καὶ θάλατταν πλεόντων· ὀλίγον δέ ἐστι τὸ στρατιωτικὸν παρὰ τῶν ἄλλων ἁπάντων τεταγμένον. καὶ τοῦτο δὲ ἂν ἡ χρεία κατελύθη, εἰ τὰ προσήκοντα ἐπράττομεν, καὶ μὴ ἐδεόμεθα τῆς ἀπὸ τῶν θλίψεων ὑπομνήσεως. πῦρ δὲ ἐνταῦθα, τὴν ὀργὴν αὐτοῦ καλεῖ· καὶ πρᾶγμα συμβεβηκὸς λέγει, ὅτι τὰ ὅπλα αὐτῶν κατέκαυσαν κατὰ κράτος νικήσαντες, καὶ τὰ ἅρματα. ὅπερ καὶ Ἰεζεκιὴλ φησι, καὶ ὅσοι φιλομαθεῖς, ἴσασι τὴν ἱστορίαν. 10 Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός·

Ησ. β. δ.
Ιεζεκ. λθ. ι. ια.

ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Ἄλλος, Ἴαθητε, καὶ γνῶτε. Ἄλλος, Ἐάσατε ἵνα γνῶτε. Ὁ δὲ Ἑβραῖος φησιν, Οὐαρφοδ ὑαδού. Ἐνταῦθά μοι δοκεῖ πρὸς τὰ ἔθνη διαλέγεσθαι, μονονουχὶ τοῦτο λέγων· ἔγνωτε μου αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν δύναμιν τὴν πανταχοῦ τῆς οἰκουμένης ἐκτεταμένην· δεῖ δὲ ὑμῖν σχολῆς, δεῖ ὑγιαινούσης ψυχῆς. καὶ τὸ, ἐάσατε, τὸ αὐτὸ δηλοῖ. ἄφετε τὴν πλάνην, ἀπαλλάγητε τῆς προτέρας διαστροφῆς, ἀναπνεύσατε ἐκ τῆς ἀχλύος τῶν κατεχόντων ὑμᾶς πονηρῶν πραγμάτων· ἵνα ἀπὸ τῆς τῶν θαυμάτων διδασκαλίας χειραγωγούμενοι, καὶ τὴν ψυχὴν σχολάζουσαν ἔχοντες, ἐπιγνῶτε τὸν τῶν ὅλων Θεόν. οὐδὲ γὰρ ἀρκεῖ τὰ θαύματα μόνον, ἐὰν μὴ καὶ ψυχὴ εὐγνώμων ᾖ· ἐπεὶ καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγίνετο θαύματα, καὶ οὐδὲν πλέον ἐγίνετο πρὸς τὴν σωτηρίαν ἐκείνων. ὥσπερ γὰρ οὐκ ἀρκοῦσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, ἐὰν μὴ καὶ ὁ ὀφθαλμὸς καθαρὸς ᾖ καὶ ὑγιαίνων· οὕτω δὴ οὐδὲ ἐνταῦθα τὰ θαύματα μόνον ἀρκεῖ. διὸ δὴ περὶ ἐκείνων διαλεχθεὶς, παραινεῖ τοῖς μέλλουσιν αὐτῶν καρποῦσθαι τὴν ὠφέλειαν, ἀναπνεῦσαι ἐκ τῶν κατεχόντων αὐτοὺς κακῶν, ὥστε μαθεῖν τὸν Θεὸν τὸν ἐπὶ τῶν ὅλων. σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός· οὐ τὰ εἴδωλα, οὐδὲ τὰ ξόανα. σχολάσατε τοίνυν, καὶ πολλὰς ὑμῖν παρέξομαι τὰς ἀποδείξεις. τοῦτο γάρ ἐστι τὸ, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ· τουτέστι, διὰ τῶν ἔργων ὑμῖν δειχθήσομαι μέγας καὶ ὑψηλός. ἔχει μὲν γὰρ τὸ οἰκεῖον ὕψος ἡ φύσις ἡ ἀκήρατος ἐκείνη καὶ ἄφραστος· ἐπειδὴ δὲ τοῦτο ὑμεῖς οὐ συνορᾶτε, καὶ διὰ τῶν ἔργων ὑμῖν αὐτὸ ἐπιδείξω, οὐ μόνον δὲ ἐν τῇ Παλαιστίνῃ, οὐδὲ μόνον ἐν Ἱεροσολύμοις, ἀλλὰ καὶ παρ' ὑμῖν τοῖς ἔθνεσιν. οὕτω γοῦν ὑψοῦται κρατῶν αὐτῶν καὶ περιγινόμενος, θαύματα ἐργαζόμενος ἐν Βαβυλῶνι, θαύματα ἐν Αἰγύπτῳ, θαύματα ἐν τῇ ἐρήμῳ, θαύματα πανταχοῦ τῆς οἰκουμένης, ὡς πανταχόθεν αὐτοὺς διδασκαλίαν ἔχειν τῆς αὐτοῦ γνώσεως.

11 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Οὗτος τοίνυν ὁ Θεὸς, ὁ πανταχοῦ μέγας, ὁ πανταχοῦ ὑψηλὸς, οὗτος ἀεὶ μεθ' ἡμῶν ἕστηκε. μηδὲν οὖν φοβεῖσθε, μηδὲ ταράττεσθε οὕτως ἔχοντες ἄμαχον δεσπότην· ᾧ πρέπει πᾶσα τιμὴ καὶ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. μϛ΄. ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΩΝ ΥΙΩΝ ΚΟΡΕ.

Ἄλλος, Τῷ νικοποιῷ τῶν υἱῶν Κορέ. 1 Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.
Ἄλλος, Χειρί. Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ἕτερος, Σημάνατε ἐν φωνῇ εὐφημίας.
2 Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

ΤΗς αὐτῆς ὑποθέσεως καὶ οὗτος ὁ ψαλμὸς ἔχεται, νίκας λέγων καὶ τρόπαια τὰ κατὰ τῶν πολεμίων συμβεβηκότα, καὶ τὴν οἰκουμένην ἅπασαν καλῶν εἰς τὴν ὑπὲρ τῶν γεγενημένων εὐφημίαν. ἀλλ' ἴσως τισὶν ἀνάξιον εἶναι δοκεῖ τῆς τοῦ θείου πνεύματος παραινέσεως τὸ προοίμιον, καὶ ἡ τοιαύτη παρακέλευσις, κρότοι, καὶ πάταγοι, καὶ ἀλαλαγμοί. οὐ γὰρ τοῖς ἐν τῷ σεμνῷ τούτῳ διδασκαλείῳ συνιοῦσι προσήκει ταῦτα, ἴσως ἐρεῖ τις, ἀλλὰ τοῖς μὲν ἐν σκηνῇ καὶ συμποσίοις ἠσχολημένοις τὸ κροταλίζειν καὶ ταῖς χερσὶ πατάσσειν· ἀνδράσι δὲ ὑπὸ τῆς τοῦ πνεύματος χάριτος παιδευομένοις ἡσυχία καὶ εὐταξία πρέπει. Τί τοίνυν βούλεται ὁ λόγος ἐμφῆναι, καὶ ἵνα τὸν ἀλαλαγμόν, ἢ τίνα τὸν κρότον φησί; Συνήθες τοῦτο τοῖς ἐν παρατάξει πολέμου καὶ μάχης ποιεῖν, ἀλαλάζειν, λέγω, καὶ μέγα κροτεῖν πρὸς τὸ καταπλήττεσθαι τοὺς πολεμίους, χαλινιώσης δὲ ψυχῆς τοῦτο ἀλλότριον· ὁ δὲ ψαλμὸς ἀμφότερα διακελεύεται, καὶ κροτεῖν, καὶ ἀλαλάζειν. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; οὐδὲν ἕτερον, ἀλλ' ἡδονὴν ἐνδείκνυται, καὶ νίκης σύμβολον ὁ λόγος ἐμφαίνει. ἐπεὶ καὶ ἑτέρωθι ὁ προφήτης τοὺς ποταμοὺς εἰσάγει κροτοῦντας· Ποταμοί, λέγων, κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. ὁ δὲ Ἡσαΐας καὶ δένδρα τοῦτο ποιοῦντα παρείσησιν· αὐτὸς δὲ οὗτος πάλιν καὶ ὄρη σκιρτῶντα, καὶ βουνούς· οὐχ ἵνα τοῦτο νοήσωμεν, ὅτι τὰ ὄρη σκιρτᾷ, καὶ οἱ βουνοί, οὐδ' ἵνα ποταμοὺς κροτοῦντας ἢ χεῖρας ἔχοντας (τοῦτο γὰρ ἐσχάτης ἀνοίας) ἀλλ' ἵνα τὴν ὑπερβολὴν τῆς ἡδονῆς μάθωμεν. * καὶ διὰ τί μὴ εἶπε, χάρητε καὶ σκιρτήσατε, ἀλλὰ κροτήσατε καὶ ἀλαλάξατε; τὴν μετὰ ὑπερβολῆς ἡμῖν ἡδονὴν ἐνδεικνύμενος. ὥσπερ γὰρ ὁ Χριστός, ὅταν λέγῃ· Σὺ δὲ ὅταν νηστεύῃς ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, οὐκ ἀλοιφὴν κελεύων τοῦτο λέγει (οὐδεὶς γὰρ ἡμῶν τοῦτο ποιεῖ) ἀλλὰ τὴν ἡδονὴν ἐνδείκνυσθαι καὶ τὸ φαιδρὸν τῆς διανοίας, κελεύων γεγηθότας νηστεύειν μὴ σκυθρωπάζοντας· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τοῦτο ἐπετάγημεν [ὥστε] κροτεῖν τὰς χεῖρας, ἀλλ' ἥδεσθαι, καὶ εὐφραίνεσθαι [ψάλλοντες.] δικαίως δὲ ἄν τις τὸν ψαλμὸν κατ' ἀναγωγὴν μᾶλλον ἐκλάβοι, τῆς ἱστορίας ἀνώτερος γενόμενος. εἰ γὰρ καὶ τὴν ἀρχὴν καὶ τὸ προοίμιον ἀπὸ τῶν αἰσθητῶν ἔχει, ἀλλ' ὅμως ἐπὶ τὰ νοητὰ χειραγωγεῖ τὸν ἀκροατήν. ὅπερ γὰρ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι τὰ μὲν ὡς εἴρηται ἐκληπτέον ἐστὶ, τὰ δὲ ἀπεναντίας τοῖς κειμένοις· ὡς ὅταν λέγῃ, Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. οὐ γὰρ δὴ λύκους καὶ ἄρνας ἐκληψόμεθα, οὐδὲ ἄχυρα καὶ βοῦν καὶ ταῦρον, ἀλλὰ τὰ τῶν ἀνθρώπων ἤθη διὰ τῆς τῶν ἀλόγων εἰκόνος χαρακτηρίζομεν. τὰ δὲ κατὰ διπλῆν ἐκδοχὴν ἐκληψόμεθα, τά τε αἰσθητὰ νοοῦντες, καὶ τὰ νοητὰ ἐκδεχόμενοι· ὡς ἐπὶ τῆς ἀναγωγῆς τοῦ υἱοῦ Ἀβραάμ. ὅτι γὰρ υἱὸς ἀνηνέχθη, ἴσμεν· πλὴν καὶ ἕτερόν τι ἐγκεκρυμμένον τῷ νοήματι ἐκλέγομεν διὰ τοῦ υἱοῦ, τὸν σταυρόν. καὶ ἐπὶ τοῦ προβάτου δὲ τοῦ ἐν Αἰγύπτῳ πάλιν ὁμοίως τοῦ πάθους τὴν εἰκόνα χαρακτηρίζομεν. τοῦτο δὲ καὶ ἐνταῦθα ποιεῖν χρή. οὐδὲ γὰρ περὶ Ἀράβων ἁπλῶς ὁ λόγος καὶ τῶν γειτόνων, ἀλλὰ πάντα τὰ ἔθνη καλεῖ. ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἀνίστησιν ἐκ προοιμίων τὸν ἀκροατὴν, πρὸς τοσοῦτον ὄγκον εὐαγγελίων καλῶν, καὶ πρὸς τὴν τῆς οἰκουμένης πανήγυριν, καὶ θείαν τινὰ καὶ πνευματικὴν ἑορτὴν, καὶ τὴν ἐκ τῶν οὐρανῶν κατενεχθεῖσαν μυσταγωγίαν. διὰ δὴ τοῦτο, κροτήσατέ, φησι, τουτέστι, χάρητε, σκιρτήσατε. καὶ γὰρ καὶ ὁ εὐαγγελικὸς λόγος τοῦτο παρακελεύεται, λέγων, Σκιρτήσατε, οὐ πάντως παρακελευόμενος ἐξάλλεσθαι καὶ πηδᾷν (τοῦτο γὰρ ἀνελεύθερον) ἀλλὰ τῆς χαρᾶς τὸ ἐπιτεταμένον δηλῶν. καὶ γὰρ πολλῆς ἡδονῆς ἄξιον τὸ γινόμενον. ὅσην γὰρ ἥλιος ἐφορᾷ γῆν, ὁ εὐαγγελικὸς λόγος ἐπέδραμε, καὶ πᾶσα ἐσώθη ἡ οἰκουμένη· καὶ τῆς λατρείας τῆς Ἰουδαϊκῆς, οἱ περὶ τούτου τῇ πλάνῃ κατεχόμενοι μείζονα ἐπεδείξαντο φιλοσοφίαν. διό φησι, πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. τὰς μιαρὰς ἐκείνας περὶ τούτου, φησὶ, τὰς ἐναγεῖς, τὰς αἵματι μολυνομένας καθ' ἑκάστην ἡμέραν διὰ τῶν ἀκαθάρτων θυσιῶν, δι' ὧν παῖδας ἐσφάξατε, καὶ τὰ αἰσχρὰ ἐτολμήσατε, καὶ κατὰ τῆς φύσεως αὐτῆς ἐχωρήσατε, διὰ τούτων κροτήσατε νῦν, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. διὰ τῆς γλώττης ἐκείνης, δι' ἧς ἐγεύσασθε τῶν ἐναγῶν, δι' ἧς τὰ βλάσφημα ἐξηνέγκατε ῥήματα, διὰ ταύτης ἀλαλάξατε τὴν ἐπινίκιον ᾠδήν. καὶ γὰρ ἔθος τοῖς στρατοπέδοις, ὅταν κλίνῃ τῶν ἐναντίων τὸ στρατόπεδον, μηκέτι τῇ συστάδην κεχρῆσθαι μάχῃ, ἀλλ' ὁμοφώνῳ βοῇ καὶ ἀλαλαγ-

μοῖς

Ψαλμ. ϟζ. θ.
Ἡσ. νε. ιβ.
Ψαλμ. ριγ. δ.
Ματθ. ς. ιζ.
Ἡσ. ξε. κε.
Γεν. κβ. ϛ.
Ἐξοδ. ιβ. γ.
Λουκ. ς. κγ.

χ. κελεύων
χ. γεγηθότας νηστεύειν, μὴ σκυθρωπάζοντα,
χ. Ἀράβων

μοῖς τὰς ἤδη καταβληθείσας αὐτῶν κατασείειν ψυχάς· ὅπερ ἐστὶ νίκης λαμπρᾶς καὶ τροπαίου μεγίστου τεκμήριον, ὅταν μηδὲ χερσὶν ὁ πόλεμος κρίνηται, ἀλλ' ἡ βοὴ τε ἀντὶ χειρῶν καὶ ἀντὶ ὅπλων ἀρκῇ. τὸ μὲν οὖν ἔργον ἅπαν τοῦ Χριστοῦ γέγονε. τὸν γὰρ χαλεπὸν τοῦτον αὐτὸς κατέλυσε πόλεμον, δήσας τὸν ἰσχυρὸν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας· φιλάνθρωπος δὲ ὤν, τοὺς οὐδὲν πονήσαντας, τούτους ποιεῖ τῆς νίκης καὶ τῶν τροπαίων ἀπολαύειν, καὶ τὴν ἐπινίκιον παρασκευάζει ἀναφέρειν φωνὴν, καθάπερ τοὺς κατωρθωκότας αὐτούς τε κρατήσαντας. διὸ καὶ βοῶμεν ἅπαντες, οὐκ ἄσημόν τινα φωνὴν, ἀλλὰ καὶ σφόδρα εὔσημον· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; καὶ πάλιν· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. τοῦτο γὰρ ἐν τῷ ψαλμῷ τούτῳ εἴρηται. δὲ πάλιν ἀλλαχοῦ· Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. ἀνήνεγκάν ποτε καὶ Ἰουδαῖοι ἐπινίκιον φωνὴν, ὅτε τῶν Αἰγυπτίων τὸ στρατόπεδον κατεποντίζετο, λέγοντες, Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. ἀλλ' ἡ ἡμετέρα πολλῷ μείζων, οὐκ Αἰγυπτίων, ἀλλὰ τῶν δαιμόνων καταποντισθέντων· οὐ τοῦ Φαραὼ, ἀλλὰ τοῦ διαβόλου νικηθέντος· οὐ τῶν ὅπλων ληφθέντων τῶν αἰσθητῶν, ἀλλὰ τῆς κακίας ἀναιρεθείσης, οὐκ ἐν ἐρυθρᾷ θαλάσσῃ, ἀλλ' ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας· οὐκ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἀξιούντων, ἀλλ' εἰς τὸν οὐρανὸν μεθορμιζομένων· οὐ μάννα ἐσθιόντων, ἀλλὰ σῶμα σιτουμένων δεσποτικόν· οὐχ ὕδωρ πινόντων ἀπὸ πέτρας, ἀλλ' αἷμα ἀπὸ πλευρᾶς. διὰ τοῦτό φησι· κροτήσατε χεῖρας, ὅτι λίθων ἀπαλλαγέντες καὶ ξύλων, ὑπερέβητε τοὺς οὐρανοὺς, καὶ τοὺς οὐρανοὺς τῶν οὐρανῶν, καὶ πρὸς αὐτὸν ἔστητε τὸν θρόνον τὸν βασιλικόν. ἀλαλάξατε τοίνυν τῷ Θεῷ, τουτέστιν, ἐκείνῳ τὴν εὐχαριστίαν ἀνενέγκατε, ἐκείνῳ τὴν νίκην, ἐκείνῳ τὸ τρόπαιον. οὐκ ἀνθρώπινος ὁ πόλεμος, οὐδὲ αἰσθητὴ ἡ μάχη, οὐδὲ ὑπέρ τινος τῶν βιωτικῶν ὁ ἀγών· ἀλλ' ὑπὲρ τῶν οὐρανῶν αὐτῶν, καὶ τῶν ἐν οὐρανοῖς. αὐτὸς τὸν πόλεμον ἐστρατήγησε τοῦτον, καὶ ἡμῖν τῆς νίκης μετέδωκεν. ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ποῦ νῦν εἰσιν οἱ τοῦ μονογενοῦς τὴν δόξαν καθαιροῦντες; ἰδοὺ, βασιλεὺς μέγας ὁ υἱὸς λέγεται, ὅπερ ἐπὶ τοῦ πατρὸς εἴρηται. Μὴ ὀμόσῃς γάρ, φησι, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος αὐτοῦ ἐστι, μήτε εἰς τὰ Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ βασιλέως. καὶ ἀλλαχοῦ πάλιν· Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ὅπερ ἐστὶ βασιλεύς. ὅταν τοίνυν ἀκούσῃς ὅτι ἀνεσκολοπίσθη σου ὁ δεσπότης, ὅτι ἐκρεμάσθη ἐν τῷ σταυρῷ, ὅτι ἐτάφη, ὅτι κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, μὴ καταπέσῃς, μηδὲ ἀδημονήσῃς. ὕψιστος γάρ ἐστι, καὶ ὕψιστος φύσει· ὃ δὲ ὑψηλὸν φύσει, οὐκ ἄν ποτε μετασταίη τοῦ ὕψους, οὐδ' ἂν γένοιτο ταπεινόν· ἀλλὰ καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ μένει τὸ ὕψος καὶ διαδείκνυται· ἐπεὶ καὶ ἀποθανὼν, τότε μάλιστα τὴν κατὰ τοῦ θανάτου ἰσχὺν ἔδειξε. Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, φησὶ, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. οὕτω δὴ καὶ τὸ ὕψος αὐτοῦ ἐν τῇ ταπεινότητι ἐφάνη. ὅρα γοῦν αὐτὸν ἐν τῷ ᾅδῃ ὄντα, καὶ τὰ ὑψηλὰ ἅπαντα σείοντα. ὁ γὰρ ἥλιος τότε τὰς ἀκτῖνας ἀπέστρεψε, πέτραι ἐσχίζοντο, τὸ καταπέτασμα ἐρρήγνυτο, ἐκλονεῖτο ἡ γῆ, Ἰούδας ἀπήγχετο, Πιλάτος καὶ ἡ τούτου γυνὴ ἐδειματοῦτο, αὐτὸς ὁ δικάζων ἀπελογεῖτο. ὅταν τοίνυν ἀκούσῃς ὅτι ἐδέθη καὶ ἐμαστιγώθη, μὴ συγχυθῇς· ἀλλ' ὅρα αὐτὸν καὶ ἐν τῷ δεσμῷ τὴν ἰσχὺν ἐπιδεικνύμενον. Εἶπε, Τίνα ζητεῖτε; καὶ πάντας ἔρριψεν ὑπτίους. Εἶδες πῶς φοβερὸς, φωνῇ μόνῃ καὶ νεύματι τοσαῦτα ἐργαζόμενος; ὅταν οὖν ἴδῃς αὐτὸν νεκρὸν, ἐννόησον τὸν λίθον αἰρόμενον, τοὺς ἀγγέλους τοὺς μετὰ φόβου παραμένοντας τῷ τάφῳ, τὸν ᾅδην λυόμενον, τὸν θάνατον τηκόμενον, τοὺς δεσμώτας ἀπολύοντα· καὶ τότε ὄψει αὐτοῦ τὸ φοβερόν. εἰ δὲ ἐν τῷ καιρῷ τῆς ἀτιμίας τοσαῦτα ἐπεδείξατο, ἐν οὐρανῷ, ἐν γῇ, ἐν ᾅδῃ, τίνα οὐκ ἐπιδείξεται ἐν τῷ καιρῷ τῆς μελλούσης παρουσίας; ἄκουσον τῶν

Μαρκ. γ. κζ.
Λουκ. ια. κα.
α. Κορ. ιε. νε.
Ψαλμ. ξζ. ιθ.
Εφεσ. δ. η.
Εξοδ. ιε. α.
Εξοδ. ιϛ. ιδ.
Ιω. ϛ. λα. καὶ να.
Εξοδ. ιζ. ϛ.
Ιω. ιθ. λδ.
Ματθ. ε. λδ.
Ησ. θ. ϛ.
Φιλιπ. β. η.
Εφ. δ. θ.
Ιω. α. ε.
Ματθ. κζ. με. να.
Ματθ. κζ. ε. καὶ Πραξ. α. ιη.
Ματθ. κζ. ιθ. κδ.
Ιω. ιη. δ. ϛ.
Ιω. κ. α. ιβ.
Ωσ. ιγ. ιγ.
α. Κορ. ιε. νε.
Κολ. β. ιγ.

Ματθ. η. κθ.
Ματθ. κδ. κθ.
Λυκ. κα. κϛ.
Μαρκ. ιγ. κδ.
Δαν. ζ. θ.
α. Κορ. δ. ε.
Ψαλ. ζα. ε.
Ρω. ια. λγ.
Ιω. α. ι.
Ματθ. ι. θ.
Λυκ. ι. δ.
Ησ. θ. ϛ.
Ιω. ιη. λζ.
Λυκ. ε. ιγ.
Μαρκ θ. κε.
Μαρκ. δ. κθ.
Ματθ. κη. ιθ.

δαιμόνων ἐν τῷ καιρῷ τῆς ταπεινώσεως τί λέγουσι, τῶν ἀφριζόντων, τῶν δεσμὰ διαλυόντων, τῶν ἄβατον ποιούντων τὴν ὁδόν. Τί ἡμῖν καὶ σοι υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; Εἰ τοίνυν ταῦτα τότε· ὅταν παραγένηται, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλεύωνται, καὶ ὁ ἥλιος μεταστραφῇ εἰς σκότος, καὶ ἡ σελήνη οὐ δῷ τὸ φῶς αὐτῆς, τί ἐροῦσι; διὰ τοῦτό φησιν, ὕψιστος, φοβερός. μᾶλλον δὲ, τί ἄν τις ἄξιον εἴποι τὴν ἡμέραν ἐκείνην διηγούμενος, ὅταν πέμπῃ τοὺς ἀγγέλους πανταχοῦ τῆς οἰκουμένης, ὅταν πάντα σείηται, ὅταν ἡ γῆ κλονῆται τὴν παρακαταθήκην τῶν νεκρῶν ἀποδιδοῦσα, ὅταν τὰ μυρία σώματα ἐγείρηται, ὅταν οὐρανὸς συστέλληται καθάπερ τι καταπέτασμα συστελλόμενον, ὅταν τὸ βῆμα τιθῆται τὸ φοβερὸν, ὅταν οἱ ποταμοὶ τοῦ πυρὸς ἕλκωνται, ὅταν αἱ βίβλοι ἀνοίγωνται, ὅταν ἑκάστῳ τὰ ἐν σκότῳ πεπραγμένα εἰς μέσον ἄγῃ, ὅταν αἱ ἀφόρητοι κολάσεις ἐκεῖναι καὶ τιμωρίαι, ὅταν αἱ ἀπειληφόροι δυνάμεις, ὅταν αἱ ῥομφαῖαι ἐσπασμέναι, ὅταν αἱ πρὸς τὴν γέενναν ἀπαγωγαὶ, ὅταν πάντα τὰ ἀξιώματα λύηται καὶ βασιλέων καὶ στρατηγῶν καὶ ὑπάτων καὶ ὑπάρχων, ὅταν τοσοῦτος δῆμος ἀγγέλων παρῇ, ὅταν τάγματα μαρτύρων, προφητῶν, ἀποστόλων, ἱερέων, μοναχῶν, ὅταν τὰ ἔπαθλα ἐκεῖνα τὰ ἀπόρρητα, ὅταν τὰ βραβεῖα, ὅταν οἱ στέφανοι, ὅταν τὰ ἀγαθὰ τὰ ὑπερβαίνοντα νοῦν; τίς παραστήσει λόγος ταῦτα; Εἰ γὰρ τὴν κτίσιν ἐπιὼν ὁ προφήτης ἀπέκαμε, καὶ ἀπεπήδησε λέγων· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; καὶ ἓν εἶδος ἀνερευνῶν προνοίας ὁ Παῦλος ἐβόησεν, εἰπών, Ὢ βάθος πλούτου, τί ἄν τις εἴποι τὴν ἡμέραν ἐκείνην ὑπογράφων; Ταῦτα ἅπαντα προειδὼν ὁ προφήτης, ἔλεγε· Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, τὴν οἰκουμενικὴν σωτηρίαν ἐμφαίνων. ἦν μὲν οὖν καὶ πρὸ τούτου βασιλεὺς μέγας, ἀλλ' ἠγνοεῖτο. Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, φησί. νυνὶ δὲ καὶ τοῦτο κατώρθωσεν, ὡς καὶ κατὰ τὴν οἰκείωσιν ἡμῶν γενέσθαι βασιλεὺς μέγας. πῶς γὰρ οὐ μέγας, ὁ πένητας, ἁλιεῖς, ἀγραμμάτους, ἰδιώτας, ἕνδεκα τὸν ἀριθμὸν, ἀσήμους, ἀπόλιδας, ἰχθύων ἀφωνοτέρους, μονοχίτωνας, ἀνυποδέτους, γυμνοὺς πανταχοῦ τῆς οἰκουμένης ἀποστείλας, καὶ ὥσπερ ἐξ ἐπιτάγματος πάντας λαβών; τοῦτο ἀληθῶς βασιλεὺς μέγας· ὁ τὴν οἰκουμένην τῆς πλάνης ἐκκαθάρας, καὶ τὴν ἀλήθειαν ἐπαναγαγὼν ἐν βραχείᾳ καιροῦ ῥοπῇ, καὶ τοῦ διαβόλου τὴν τυραννίδα καθελών· ὁ καὶ παρὰ τῶν ὑπηκόων βασιλεὺς μέγας, οὐκ ἐν τοῖς δούλοις ἔχων τῆς ἀρχῆς τὴν ἰσχὺν, οὐκ ἐν σχήματι καὶ ἱματίοις, ἀλλ' ἐν αὐτῇ τῇ φύσει. Ἐγὼ γάρ, φησιν, εἰς τοῦτο γεγέννημαι. τοῦτο βασιλεὺς μέγας, ὁ μὴ ἐπείσακτον ἔχων τὴν τιμὴν, ὁ μηδενὸς δεόμενος ἵνα ᾖ βασιλεύς, ὁ πάντα ποιῶν ὅσα βούλεται. Πορευθέντες, εἶπε, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὁ λόγος ἔργον ἐγένετο. Θέλω, καθαρίσθητι. σοὶ λέγω, τὸ δαιμόνιον τὸ κωφὸν, ἔξελθε ἀπ' αὐτοῦ. σιώπα, πεφίμωσο. πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ. δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. ὁρᾷς πανταχοῦ τὴν ἐξουσίαν; ὁρᾷς τὴν δύναμιν; οὕτω γὰρ εἷλε τοὺς ὑπακούσαντας, ὡς πεῖσαι τὴν ψυχὴν προέσθαι μᾶλλον, ἢ τὸ ἐπιταχθὲν παρελθεῖν. ὁ μὲν γὰρ βασιλεὺς παρὰ τῶν ὑπηκόων ἔχει τιμὰς, οὗτος δὲ τοῖς ὑπηκόοις παρέχει τὴν τιμήν. διὰ δὴ τοῦτο, τοῦτο μὲν ὄνομα μόνον ἐστὶν, ἐκεῖνο δὲ πρᾶγμα. βασιλεὺς μέγας οὗτος, ὃς τὴν οἰκουμένην ἅπασαν οὐρανὸν ἐποίησε, καὶ βαρβάρους φιλοσοφεῖν παρεσκεύασε, καὶ ἀγγέλους μιμεῖσθαι προὔτρεψεν.

3 Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ὢ τοῦ θαύματος· τοὺς σταυρώσαντας, τούτους ἔπεισε προσκυνεῖν· τοὺς ὑβρίζοντας, τοὺς βλασφημοῦντας, τοὺς λίθοις προσηλωμένους, τούτους ἐδίδαξε καὶ ψυχὰς προέσθαι κατὰ τὸ αὐτῷ δοκοῦν. οὐ

γὰρ τῶν ἀποστόλων ἦν τὸ κατόρθωμα, ἀλλὰ τοῦ προοδοποιοῦντος αὐτοῖς, καὶ τὰς αὐτῶν κινοῦντος ψυχάς. πῶς γὰρ ὁ ἁλιεὺς ἢ ὁ σκηνοποιὸς τοσαύτην ἂν μετέθηκεν οἰκουμένην, ἀλλ᾽ ἢ τὰ ἐκείνου ῥήματα πάντα ταῦτα καθῄρει τὰ κωλύματα, καὶ γόητας, καὶ τυράννους, καὶ ῥήτορας, καὶ φιλοσόφους, καὶ πάντας τοὺς ἀνθισταμένους καθάπερ κόνιν ἀποσοβοῦντες, καὶ καπνὸν διαλύοντες, οὕτως ἔσπειραν τῆς ἀληθείας τὸ φῶς, οὐχ ὅπλοις, οὐδὲ χρημάτων περιουσίᾳ, ἀλλὰ λόγῳ κεχρημένοι ψιλῷ· μᾶλλον δὲ οὐκ ἦν ψιλὸς ὁ λόγος, ἀλλ᾽ ἔργου παντὸς δυνατώτερος. πῶς; ἐκάλουν τὸ ὄνομα τοῦ σταυρωθέντος, καὶ ὁ θάνατος ἐδραπέτευε, δαίμονες ἐφυγαδεύοντο, νοσήματα ἐλύετο, λῶβαι σωμάτων διωρθοῦντο, κακία ἀπηλαύνετο, κίνδυνοι ἠφανίζοντο, καὶ στοιχεῖα μετεβάλλοντο. ὅταν οὖν λέγωσιν ἡμῖν· διὰ τί μὴ ἐβοήθησεν ἑαυτῷ ἐπὶ τοῦ σταυροῦ; τοῦτο λέγωμεν· ὅτι τοῦτο θαυμαστότερον ἦν. οὐ γὰρ ἦν ἴσον, ἐκ τοῦ σταυροῦ κατελθεῖν, καὶ μετὰ τὸ σταυρωθῆναι, ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοσούτους ἀναστῆσαι νεκρούς. ὅτι γὰρ καὶ τότε ἑκὼν ἔμενεν, ἐκ τῶν μετὰ ταῦτα ἔδειξεν. ὁ γὰρ ἑτέροις ἐπελθόντα τὸν θάνατον ἐκβαλών, πολλῷ μᾶλλον ἐξ ἑαυτοῦ, πρὶν ἢ ἐπελθεῖν, διακρούσασθαι ἠδύνατο· καὶ ὁ ἑτέροις παρέχων ζωήν, πολλῷ μᾶλλον ἑαυτῷ παρασχεῖν ἠδύνατο· ὅπερ καὶ ἐποίησε μετὰ τρεῖς ἡμέρας ἐγερθείς. ἐκ πολλῆς τῆς περιουσίας καὶ τοῦτο διὰ τῶν μετὰ ταῦτα ἔδειξεν. ὅταν γὰρ τὸ ὄνομα αὐτοῦ ἐπὶ σωμάτων ἀλλοτρίων φαίνηται τοσαύτην ἔχον ἰσχύν, ὡς καλούμενον φυγαδεῦσαι τὸν θά[illegible] φιβάλλειν δύναιτ᾽ ἄν, ὅτι καὶ ἐν τῷ οἰκείῳ πολλῷ μᾶλλον ἂν αἰ[illegible] θάνατον ὑπέταξεν. ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ [illegible] προφήτου τὴν σοφίαν πάντα μετὰ ἀκριβείας λέγοντος. οἱ [illegible] στολοι, Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ ἐξουσίᾳ π[illegible] το ἄνωθεν ὁ προφήτης λέγει. τὸ δὲ, ὑπὸ τοὺς πόδας [illegible] λοι δὲ τὴν πολλὴν ὑποταγήν. καὶ εἰ βούλει μαθεῖν [illegible] χουσιν. Ὅσοι κτήτορες, φησί, χωρίων ἢ οἰκιῶν ὑπῆρ[illegible] τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τ[illegible] μάτων καὶ τὴν ψυχὴν προΐεντο. Οἵτινες γάρ, φησιν, [illegible] τράχηλον ὑπέθηκαν. καὶ περὶ ἑτέρων δὲ γράφων ἔλεγ[illegible] φθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. καὶ Κορινθ[illegible] αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργα[illegible] λὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπ[illegible] ἐκδίκησιν; οὕτως αὐτοὺς ἔτρεμον καὶ ἐδεδοίκεσαν. καὶ ὁ Λουκᾶς δὲ γράφων [illegible] τῶν λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. καὶ [illegible] λει· Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος; εἶδες αὐθεντίαν καὶ ἐξουσίαν; ταῦτα δὲ πάντα τὸ ῥῆμα ἐκεῖνο ἐποίει, ὅπερ εἴρηκε [illegible] αὐτοῖς· Ὅτι ἐγὼ εἰμὶ μεθ᾽ ὑμῶν. αὐτὸς τὰ κωλύματα καθῄρει, [illegible] αὐτῶν τὸ [illegible] μενος· αὐτὸς ἅπαντα ἐξωμάλιζε, καὶ τὰ δυσχερῆ ἐποίει ῥᾴδια. καίτοι πάντα πολέμων ἔγεμε, πάντα κρημνῶν καὶ σκοπέλων, καὶ οὐδὲ ὅπου ἐρεῖσαι πόδα ἦν, οὐδὲ στῆναι. πάντες οἱ λιμένες [illegible] ἦσαν, πᾶσα οἰκία ἀποτετειχισμένη, πάντα ὁ[illegible] τα ἐμπεφραγμένα· ἀλλ᾽ ὅμως ὁμοῦ τε εἰσῄεσαν καὶ ἐφαίνοντο, καὶ πάντα κατέλυον τῶν πολεμίων τὰ ὀχυρώματα, ὥστε καὶ αὐτὰς τὰς ψυχὰς προΐεσθαι καὶ μυρίους λοιπὸν ἀνέχεσθαι κινδύνους ὑπὲρ τῶν εἰρημένων.

4 Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν. Ἄλλος, Τὸ ἐνδόξασμα Ἰακώβ. Ὅρα προφητείας ἀκρίβειαν [illegible] ἔλεξεν.

Ματθ. δ. ιη.
Πράξ. ιη. γ.
α. Κορ. β. α.
Πράξ. γ. ϛ. καὶ ιϛ. ιη.
Ἰω. κ. ιη.
Μαρ. ιϛ. ϛ.
α. Κορ. δ. κα.
Ματθ. κη. κ.

δαιμόνων ἐν τῷ καιρῷ τῆς ταπεινώσεως τί λέγουσι, τῶν ἀφριζόντων, τῶν δεσμὰ δια-
Ματθ. η. κθ. λυόντων, τῶν ἄβατον ποιούντων τὴν ὁδόν. Τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ
Ματθ. κδ. κθ. καιροῦ βασανίσαι ἡμᾶς; Εἰ τοίνυν ταῦτα τότε· ὅταν παραγένηται, καὶ αἱ δυνάμεις τῶν
Λουκ. κα. κς. Μαρκ. ιγ. κδ. οὐρανῶν σαλεύωνται, καὶ ὁ ἥλιος μεταστραφῇ εἰς σκότος, καὶ ἡ σελήνη οὐ δῷ τὸ φῶς αὐ-
τῆς, τί ἐροῦσι; διὰ τοῦτό φησιν, ὕψιστος, φοβερός. μᾶλλον δὲ, τί ἂν τις ἄξιον εἴποι τὴν
ἡμέραν ἐκείνην διηγούμενος, ὅταν πέμπῃ τοὺς ἀγγέλους πανταχοῦ τῆς οἰκουμένης, ὅταν
πάντα σείηται, ὅταν ἡ γῆ κλονῆται τὴν παρακαταθήκην τῶν νεκρῶν ἀποδιδοῦσα, ὅταν
τὰ μυρία σώματα ἐγείρηται, ὅταν οὐρανὸς συστέλληται καθάπερ τι καταπέτασμα συστελ-
Δαν. ζ. θ. λόμενον, ὅταν τὸ βῆμα τιθῆται τὸ φοβερὸν, ὅταν οἱ ποταμοὶ τοῦ πυρὸς ἕλκωνται, ὅταν
αἱ βίβλοι ἀνοίγωνται, ὅταν ἑκάστῳ τὰ ἐν σκότῳ πεπραγμένα εἰς μέσον ἄγῃ, ὅταν αἱ
ἀφόρητοι κολάσεις ἐκεῖναι καὶ τιμωρίαι, ὅταν αἱ ἀπειληφόροι δυνάμεις, ὅταν αἱ ῥομ-
α. Κορ. δ. ε. φαῖαι ἐσπασμέναι, ὅταν αἱ πρὸς τὴν γέενναν ἀπαγωγαὶ, ὅταν πάντα τὰ ἀξιώματα
λύηται καὶ βασιλέων καὶ στρατηγῶν καὶ ὑπάτων καὶ ὑπάρχων, ὅταν τοσοῦτος δῆμος ἀγγέ-
λων παρῇ, ὅταν τάγματα μαρτύρων, προφητῶν, ἀποστόλων, ἱερέων, μοναχῶν, ὅταν τὰ
ἔπαθλα ἐκεῖνα τὰ ἀπόρρητα, ὅταν τὰ βραβεῖα, ὅταν οἱ στέφανοι, ὅταν τὰ ἀγαθὰ τὰ
ὑπερβαίνοντα νοῦν; τίς παραστήσει λόγος ταῦτα; εἰ γὰρ τὴν κτίσιν ἐπιὼν ὁ προφή-
Ψαλ. ζα. ε. της ἀπέκαμε, καὶ ἀπεπήδησε λέγων· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; καὶ ἐν εἴδει
Ρω. ια. λγ. ἀνερευνήτων προνοίας ὁ Παῦλος ἐβόησεν, εἰπὼν, Ὢ βάθος πλούτου, τί ἂν τις εἴποι τὴν
ἡμέραν ἐκείνην ὑπογράφων; ταῦτα ἅπαντα προειδὼν ὁ προφήτης, ἔλεγε· Κύ-
ριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, τὴν οἰκουμενικὴν σωτηρίαν
Ιω. α. ι. ἐμφαίνων. ἦν μὲν οὖν καὶ πρὸ τούτου βασιλεὺς μέγας, ἀλλ' ἠγνοεῖτο. Ὁ κόσμος δι' αὐτοῦ
ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, φησί. νυνὶ δὲ καὶ τοῦτο κατώρθωσεν, ὡς καὶ κατὰ τὴν οἰ-
κείωσιν ἡμῶν γενέσθαι βασιλεὺς μέγας. πῶς γὰρ οὐ μέγας, ὁ πένητας, ἁλιεῖς, ἀγραμ-
μάτους, ἰδιώτας, ἕνδεκα τὸν ἀριθμὸν, ἀσήμους, ἀπόλιδας, ἰχθύων ἀφωνοτέρους, μονο-
Ματθ. ι. θ. Λουκ. ι. δ. χίτωνας, ἀνυποδέτους, γυμνοὺς πανταχοῦ τῆς οἰκουμένης ἀποστείλας, καὶ ὥσπερ ἐξ ἐπι-
τάγματος πάντας λαβών; τοῦτο ἀληθῶς βασιλεὺς μέγας· ὁ τὴν οἰκουμένην τῆς πλά-
νης ἐκκαθάρας, καὶ τὴν ἀλήθειαν ἐπεισαγαγὼν ἐν βραχείᾳ καιροῦ ῥοπῇ, καὶ τοῦ διαβό-
λου τὴν τυραννίδα καθελών· ὁ καὶ πρὸ τῶν ὑπηκόων βασιλεὺς μέγας, οὐκ ἐν τοῖς δού-
Ησ. θ. ς. Ιω. ιη. λζ. λοις ἔχων τῆς ἀρχῆς τὴν ἰσχὺν, οὐκ ἐν σχήματι καὶ ἱματίοις, ἀλλ' ἐν αὐτῇ τῇ φύσει. Ἐγὼ
γὰρ, φησιν, εἰς τοῦτο γεγέννημαι. τοῦτο βασιλεὺς μέγας, ὁ μὴ ἐπείσακτον ἔχων τὴν τι-
Λουκ. ε. ιγ. μὴν, ὁ μηδενὸς δεόμενος ἵνα ᾖ βασιλεὺς, ὁ πάντα ποιῶν ὅσα βούλεται. Πορευθέντες, εἶ-
Μαρκ. θ. κε. πε, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὁ λόγος ἔργον ἐγένετο. Θέλω, καθαρίσθητι. σοὶ
Μαρκ. δ. λθ. Ματθ. κη. ιθ. λέγω, τὸ δαιμόνιον τὸ κωφὸν, ἔξελθε ἀπ' αὐτοῦ. σιώπα, πεφίμωσο. πορεύεσθε εἰς τὸ
πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ. δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασι-
λείαν πρὸ καταβολῆς κόσμου. ὁρᾷς πανταχοῦ τὴν ἐξουσίαν; ὁρᾷς τὴν δύναμιν; οὕτω γὰρ
εἷλε τοὺς ὑπακούσαντας, ὡς πεῖσαι τὴν ψυχὴν προέσθαι μᾶλλον, ἢ τὸ ἐπιταχθὲν
παρελθεῖν. ὁ μὲν γὰρ βασιλεὺς παρὰ τῶν ὑπηκόων ἔχει τιμὰς, οὗτος δὲ τοῖς ὑπηκόοις
παρέχει τὴν τιμήν. διὰ δὴ τοῦτο, τοῦτο μὲν ὄνομα μόνον ἐστὶν, ἐκεῖνο δὲ πρᾶγμα. βασι-
λεὺς μέγας οὗτος, ὃς τὴν οἰκουμένην ἅπασαν οὐρανὸν ἐποίησε, καὶ βαρβάρους φιλοσοφεῖν
παρεσκεύασε, καὶ ἀγγέλους μιμεῖσθαι προὔτρεψεν.

3 Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ὢ τοῦ θαύματος·
τοὺς σταυρώσαντας, τούτους ἔπεισε προσκυνεῖν· τοὺς ὑβρίζοντας, τοὺς βλασφημοῦντας,
τοὺς λίθοις προσηλωμένους, τούτους ἐδίδαξε καὶ ψυχὰς προέσθαι κατὰ τὸ αὐτῷ δοκοῦν. οὐ

γὰρ τῶν ἀποστόλων ἦν τὸ κατόρθωμα, ἀλλὰ τοῦ προοδοποιοῦντος αὐτοῖς, καὶ τὰς αὐτῶν κινοῦντος ψυχάς. πῶς γὰρ ὁ ἁλιεὺς ἢ ὁ σκηνοποιὸς τοσαύτην ἂν μετέθηκεν οἰκουμένην, ἀλλ᾽ ἢ τὰ ἐκείνου ῥήματα πάντα ταῦτα καθῄρει τὰ κωλύματα; καὶ γόητας, καὶ τυράννους, καὶ ῥήτορας, καὶ φιλοσόφους, καὶ πάντας τοὺς ἀνθισταμένους καθάπερ κόνιν ἀποσοβοῦντες, καὶ καπνὸν διαλύοντες, οὕτως ἔσπειραν τῆς ἀληθείας τὸ φῶς, οὐχ ὅπλοις, οὐδὲ χρημάτων περιουσίᾳ, ἀλλὰ λόγῳ κεχρημένοι ψιλῷ· μᾶλλον δὲ οὐκ ἦν ψιλὸς ὁ λόγος, ἀλλ᾽ ἔργου παντὸς δυνατώτερος. πῶς; ἐκάλουν τὸ ὄνομα τοῦ σταυρωθέντος, καὶ ὁ θάνατος ἐδραπέτευε, δαίμονες ἐφυγαδεύοντο, νοσήματα ἐλύετο, λῶβαι σωμάτων διωρθοῦντο, κακία ἀπηλαύνετο, κίνδυνοι ἠφανίζοντο, καὶ στοιχεῖα μετεβάλλοντο. ὅταν οὖν λέγωσιν ἡμῖν· διατί μὴ ἐβοήθησεν ἑαυτῷ ἐπὶ τοῦ σταυροῦ; τοῦτο λέγωμεν· ὅτι τοῦτο θαυμαστότερον ἦν. οὐ γάρ ἦν ἴσον, ἐκ τοῦ σταυροῦ κατελθεῖν, καὶ μετὰ τὸ σταυρωθῆναι, ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοσούτους ἀναστῆσαι νεκρούς. ὅτι γὰρ καὶ τότε ἑκὼν ἔμενεν, ἐκ τῶν μετὰ ταῦτα ἔδειξεν. ὁ γὰρ ἑτέροις ἐπελθόντα τὸν θάνατον ἐκβαλὼν, πολλῷ μᾶλλον ἐξ ἑαυτοῦ, πρὶν ἢ ἐπελθεῖν, διακρούσασθαι ἠδύνατο· καὶ ὁ ἑτέροις παρέχων ζωὴν, πολλῷ μᾶλλον ἑαυτῷ παρασχεῖν ἠδύνατο· ὅπερ καὶ ἐποίησε μετὰ τρεῖς ἡμέρας ἐγερθείς. ἐκ πολλῆς τῆς περιουσίας καὶ τοῦτο διὰ τῶν μετὰ ταῦτα ἔδειξεν. ὅταν γὰρ τὸ ὄνομα αὐτοῦ ἐπὶ σωμάτων ἀλλοτρίων φαίνηται τοσαύτην ἔχον ἰσχὺν, ὡς καλούμενον φυγαδεῦσαι τὸν θάνατον, οὐδεὶς ἀμφιβάλλειν δύναιτ᾽ ἂν, ὅτι καὶ ἐν τῷ οἰκείῳ πολλῷ μᾶλλον ἂν αὐτὴν ἐπεδείξατο, καὶ τὸν θάνατον ὑπέταξεν. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ὅρα τοῦ προφήτου τὴν σοφίαν πάντα μετὰ ἀκριβείας λέγοντος. ὁ γὰρ μετὰ ταῦτα ἔλεγον οἱ ἀπόστολοι, Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ ἐξουσίᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν, τοῦτο ἄνωθεν ὁ προφήτης λέγει. τὸ δὲ, ὑπὸ τοὺς πόδας, τὸ ὑποτεταγμένον δηλοῖ, μᾶλλον δὲ τὴν πολλὴν ὑποταγήν. καὶ εἰ βούλει μαθεῖν τῆς ὑποταγῆς τὴν ἐπίτασιν, ἄκουσον. Ὅσοι κτήτορές, φησι, χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ἕτεροι δὲ μετὰ τῶν χρημάτων καὶ τὴν ψυχὴν προΐεντο. Οἵτινες γάρ, φησιν, ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν. καὶ περὶ ἑτέρων δὲ γράφων ἔλεγεν· Ὅτι εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν· Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ᾽ ἐκδίκησιν; οὕτως αὐτοὺς ἔτρεμον καὶ ἐδεδοίκεσαν. καὶ ὁ Λουκᾶς δὲ γράφων πάλιν ἔλεγε· Καὶ τῶν λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. καὶ πάλιν· Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πρᾳότητος; εἶδες αὐθεντίαν καὶ ἐξουσίαν; ταῦτα δὲ πάντα τὸ ῥῆμα ἐκεῖνο ἐποίει, ὅπερ εἴρηκε πέμπων αὐτούς· Ὅτι ἐγώ εἰμι μεθ᾽ ὑμῶν. αὐτὸς τὰ κωλύματα καθῄρει, ἔμπροσθεν αὐτῶν πορευόμενος· αὐτὸς ἅπαντα ἐξευμάριζε, καὶ τὰ δύσκολα ἐποίει ῥᾴδια. καίτοι πάντα πολέμων ἔγεμε, πάντα κρημνῶν καὶ σκοπέλων, καὶ οὐδὲ ὅπου ἐρεῖσαι πόδα ἐνῆν, οὐδὲ στῆναι. πάντες οἱ λιμένες προσκεχωσμένοι ἦσαν, πᾶσα οἰκία ἀποκεκλεισμένη, πάντα ὦτα ἐμπεφραγμένα· ἀλλ᾽ ὅμως ὁμοῦ τε εἰσῄεσαν καὶ ἐφθέγγοντο, καὶ πάντα κατέλυον τῶν πολεμίων τὰ ὀχυρώματα, ὡς καὶ αὐτὰς τὰς ψυχὰς προΐεσθαι, καὶ μυρίους λοιπὸν ἀνέχεσθαι κινδύνους ὑπὲρ τῶν εἰρημένων.

Ματθ. δ. ιη.
Πράξ. ιη. γ.
α. Κορ. β. α.
Πράξ. γ. ϛ. καὶ ιϛ. ιη.
Ἰω. κ. ιδ.
Μαρ. ιϛ. ϛ.
Πράξ. γ. ιβ.
Πράξ. δ. λδ.
Ρωμ. ιϛ. δ.
Γαλ. δ. ιε.
β. Κορ. ζ. ια.
Πράξ. ε. ιγ.
α. Κορ. δ. κα.
Ματθ. κη. κ.

γρ. εὐσεβείᾳ

γρ. ὑπὲρ ἐμοῦ ἑαυτοὺς εἰς κινδύνους ἐπέδωκαν.

γρ. πάντων τὰ ὦτα

4 Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν.

Ἄλλος, Τὸν ἐνδοξασμὸν Ἰακώβ. Ὅρα προφητείας ἀκρίβειαν. ἀνωτέρω μὲν οὖν ἔλεγεν, Πράξ. β. μα. λέγων, ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη. καὶ γὰρ Ἰουδαῖοι πρῶτον προσῆλθον, πρῶτον τρισχίλιοι, Ἰω. ι. ις. εἶτα πεντακισχίλιοι, καὶ μετὰ ταῦτα τὰ ἔθνη. καὶ γὰρ αὐτὸς πάλιν ἔλεγε· Καὶ ἄλλα πρόβατα ἔχω, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. εἶτα ἵνα μὴ ἀκούσας τό, ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ʺ ἑαυτοῦ, γρ. ἑαυτῷ διαπορῇ τις, καὶ ταλαιπωρῆται, καὶ λέγῃ· πῶς οὖν Ἰουδαῖοι νῦν ἀπιστοῦσι; τῇ ἐπιδιορθώσει τὴν ἀπορίαν ἔλυσε. α. Τιμ. β. δ. ς. μάλιστα μὲν γὰρ (τὸ αὐτοῦ μέρος) κἀκείνους ἐξελέξατο, καὶ, τότε εἰς αὐτὸν ἧκον, οὐδένα ἀφῆκεν· εἰ δὲ καὶ τὸ τέλος ἐπιζητοίης, ἄκουε τῶν ἑξῆς. ἐπάγει γάρ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν. ἐνταῦθα γάρ μοι τοὺς πιστοὺς δοκεῖ λέγειν· ὅπερ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ῥωμ. θ. ς. Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. καλλονὴ δὲ τοῦ λαοῦ, εἰκότως ἂν οἱ πιστοὶ λέγοιντο. τί γὰρ ὡραιότερον ἐκείνων τῶν πιστευσάντων; κληρονομίαν δὲ αὐτοῦ καλεῖ τὸ ἔθνος, οὐχ ὡς τῶν ἄλλων ἀμελήσας ποτέ, ἀλλὰ τὴν ἐπίτασιν τῆς περὶ αὐτοὺς ἀγάπης, καὶ τὴν οἰκείωσιν, καὶ τῆς προνοίας τὴν προσθήκην ἐπιδεικνύμενος. καὶ ἵνα μάθῃς τὴν ἀκρίβειαν τὴν προφητικήν, ὅρα πῶς τῇ τῶν πολλῶν κέχρηται λέξει, ᾗ ἐπὶ τῶν ὠνίων οἱ πολλοὶ χρῶνται. πολλοὶ γὰρ πολλάκις ὠνούμενοί τι, καλλονὴν ἐκεῖνα λέγουσι τὰ τῶν ἄλλων ὑπερέχοντα. δεικνὺς τοίνυν ὅτι οὐ πάντες σωθήσονται, φησι, τὴν καλλονὴν Ἰακώβ. ταῦτα καὶ ἐν τοῖς εὐαγγελίοις δείκνυται διὰ μυρίων παραβολῶν.

5 Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Οὐκ εἶπεν, ἀνεβιβάσθη, ἀλλ' ἀνέβη, δεικνὺς ὅτι οὐχ ἑτέρου τινὸς χειραγωγοῦντος ἀνέβη, ἀλλ' αὐτὸς ταύτην ὁδεύων τὴν ὁδόν. ὁ μὲν γὰρ δ. Βασ. β. ια. Ἠλίας οὐδὲ τοσαύτην ἐλθὼν ὅσην ὁ Χριστός, ὑφ' ἑτέρας ἤγετο δυνάμεως (οὐ γὰρ ἦν ἀνθρωπίνης φύσεως δύνασθαι ξένην ὁδεύειν ὁδόν) ὁ δὲ μονογενὴς ἀνέβη οἰκείᾳ ἐξουσίᾳ. Πράξ. α. ι. διὰ δὴ τοῦτο καὶ ὁ Λουκᾶς οὕτως ἔλεγε· Καὶ ἦσαν ἀτενίζοντες, πορευομένου αὐτοῦ, εἰς τὸν οὐρανόν. οὐκ εἶπεν, ἀναλαμβανομένου αὐτοῦ, οὐδὲ βασταζομένου. πορεία γὰρ αὐτοῦ ἰδία τὸ γινόμενον ἦν. εἰ ʺ δὲ πρὸ τοῦ σταυροῦ ἐπὶ τῶν ὑδάτων ἐφέρετο, παθητὸν ἔτι καὶ βαρὺ περικείμενος σῶμα, τί θαυμαστόν, εἰ καὶ μετὰ τὸ ἄφθαρτον αὐτὸ λαβεῖν, τὸν ἀέρα ἔτεμνε; ποῦ δὲ ἐν ἀλαλαγμῷ; τίς ἠλάλαξεν, ὅτε ἀνέβη; καίτοι σιγῇ τοῦτο ἐγένετο, καὶ ἕνδεκα παρόντων μόνον. ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ τὰς λέξεις ἐκλαμβάνειν, , ἀλλ' εἰδέναι τὸ ἐξ αὐτῶν σημαινόμενον. ὅπερ γὰρ ἐν προοιμίῳ τοῦ ψαλμοῦ ἐλέγομεν, ὅτι ἕτερόν τι ὁ ἀλαλαγμὸς δηλοῖ, τὴν νίκην, τὸ τρόπαιον· ὃ τοίνυν ἐνταῦθά φησιν, ἐν ἀλαλαγμῷ, τοῦτό ἐστιν, ὅτι ἐν νίκῃ ἀνέβη, περιγενόμενος θανάτου, κάτω ῥίψας τὴν ἁμαρτίαν, τοὺς δαίμονας τροπωσάμενος, τὴν πλάνην ἐκβαλών, πάντα μεταβαλὼν πρὸς τὸ βέλτιον, πρὸς τὴν ἀρχαίαν πατρίδα, μᾶλλον δὲ πρὸς πολλῷ βελτίονα τὴν φύσιν ἀναγαγὼν τὴν ἡμετέραν. οὐδεὶς γὰρ αὐτῷ παραγινομένῳ ἀντέστη· οὐχ ἁμαρτίας τυραννίς, οὐ θανάτου δύναμις, οὐ ʺ καταρῶν ἰσχύς, γρ. κατάρας οὐ φθορᾶς, οὐ κακίας ἐπίτασις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ πάντα ταῦτα ὥσπερ ἀράχνην διαρρήξας, καὶ δαιμόνων φάλαγγας, καὶ διαβόλου νεῦρα, καὶ ἅπαντα ταῦτα διαλύσας, ἀνῆλθε κατορθώσας ἅπερ ἐβούλετο. διὸ καὶ ὁ Παῦλος Κολ. β. ιε. αὐτοῦ τὸ τρόπαιον διηγούμενος ἔλεγεν· Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ʺ ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. γρ. παρεδειγμάτισεν καὶ πάλιν, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ʺ ἦρκεν ἐκ τοῦ μέσου, γρ. ἦρεν προσηλώσας αὐτὸ τῷ σταυρῷ.

Κύριος ἐν φωνῇ σάλπιγγος. Πάλιν τὸ αὐτὸ δηλοῖ, τουτέστιν, ἐν νίκῃ λαμπρᾷ. ἐνταῦθα δὲ καὶ ἕτερόν τι νοητέον, τὸ περιφανές, τὸ σαφές, τὸ διωλύγιον. καίτοιγε τότε οὐδεὶς ἔγνω τούτου γινομένου· ἀλλ' οὕτως ἐγένετο σαφὲς ὕστερον, ὡς σάλπιγγος ἦχον ὑπερβαλέσθαι. ἐκεῖνο γὰρ τὸ λάθρα γινόμενον τότε, οὐδεὶς σχεδὸν τῶν οἰκούντων τὴν οἰκουμένην ἠγνόησεν· ἀλλ' οὕτως αὐτὸ ἐξεκάλυψε τῶν πραγμάτων ἡ φύσις, ὡς σάλπιγγος ἠχούσης, μᾶλλον δὲ καὶ πολλῷ πλέον [ἐκδηλότερον γενέσθαι.] οὐ γὰρ δὴ οὕτω σάλπιγξ ἠχοῦσα ἅπαντας ἂν ἐκάλεσεν ἐπὶ τὴν θέαν ἐκείνην, ὡς μετὰ ταῦτα ἡ τῶν πραγμάτων φωνὴ τὴν ἀνάβασιν ἔδειξε, βροντῆς ἁπάσης "μᾶλλον κατάδηλον τὸ πρᾶγμα ποιήσασα. οὐδὲ γὰρ ἂν βροντὴ οὕτω τὴν οἰκουμένην ἐκάλεσεν, ὡς ἡ τῶν πραγμάτων ἐπίδειξις τούς τε ὄντας τότε, τούς τε μετὰ ταῦτα ἐσομένους. ἡ μὲν γὰρ βροντὴ τοῖς παροῦσίν ἐστι κατάδηλος· αὕτη δὲ, πάσαις γενεαῖς σάλπιγγος λαμπρότερον, καὶ βροντῆς σαφέστερον ἐπιδείκνυται τὸ γεγενημένον. οὐκ ἂν δέ τις ἁμάρτοι σάλπιγγας τὰ στόματα τῶν ἀποστόλων εἰπών, οὐχὶ χαλκηλάτους σάλπιγγας, ἀλλὰ χρυσίου τιμιωτέρας, καὶ λίθων πολυτελεστέρας. διὰ τί οὖν οὐκ εἶπε, σάλπιγγος, ἀλλ' ἐν φωνῇ σάλπιγγος; τὸ ὁμόψυχον αὐτῶν δηλῶν· καθάπερ καὶ ὁ Παῦλος λέγει, Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν. καὶ πάλιν, Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἐσάλπιζον δὲ, οὐκ εἰς πόλεμον καλοῦντες, ἀλλὰ τὰ νικητήρια εὐαγγελιζόμενοι. καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων, ὅταν εἰς πόλεμον εἰσίωσι μετὰ τῶν σημείων, προηγοῦνται αἱ σάλπιγγες διανιστῶσαι τοὺς προϊόντας, οὐ τῇ ὄψει, ἀλλὰ τῇ ἀκοῇ· οὕτω καὶ τότε ἐγίνετο, τῶν ἀποστόλων εἰσιόντων εἰς ἑκάστην πόλιν, ἤχουν αἱ σάλπιγγες, καὶ πρὸς τὴν ἀκρόασιν ἅπαντες ἐξεχέοντο.

γρ. ἰσχυρότερον

Ματθ. κδ. λ.
Ρω. ι. ιη.
Κολ. α. ϛ.

α. Κορ. ιε. ια.

Πραξ. δ. λβ.

6 Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.

7 Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς. ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. Διηγησάμενος δὲ τὸ μέγεθος τοῦ κατορθώματος, καλεῖ τὴν οἰκουμένην ἐπὶ τὴν εὐφημίαν μετὰ πολλῆς τῆς σπουδῆς. διὸ καὶ διπλασιασμῷ κέχρηται. καὶ γὰρ οὐχ ἁπλῶς καλεῖ ψάλλειν, ἀλλὰ μετὰ πολλῆς τῆς συνέσεως. τί ἐστι, ψάλατε συνετῶς; καταμαθόντες, φησί, τὰ γεγενημένα, ἐννοήσαντες τὸ μέγεθος τῶν κατορθωμάτων. ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερόν τι αἰνίττεσθαι διὰ τοῦ εἰπεῖν, συνετῶς· τὸ μὴ φωνῇ μόνον, ἀλλὰ καὶ ἔργοις ψάλλειν, τὸ μὴ γλώττῃ μόνον, ἀλλὰ καὶ βίῳ. ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. Ἄλλος, Ἐπὶ πάντων τῶν ἐθνῶν. Καὶ ποίαν βασιλείαν ἐνταῦθά φησιν; οὐκ ἐκείνην τὴν κατὰ τὸν τῆς δημιουργίας λόγον, ἀλλὰ ταύτην τὴν τῆς οἰκειώσεως. ἐβασίλευε μὲν γὰρ καὶ πρὸ τούτου πάντων, ἅτε δημιουργὸς καὶ ποιητὴς ὤν· νυνὶ δὲ καὶ ἑκόντων, καὶ χάριν εἰδότων· ὅπερ μεγίστης εὐφημίας ἄξιον, καὶ πολλοῦ τοῦ θαύματος· ὅτι ὁ πρὸ τούτου ὑβριζόμενος ὑπὸ Ἰουδαίων, τοσαύτην παρεσκεύασε γενέσθαι τὴν μεταβολήν, ὡς πανταχοῦ τῆς οἰκουμένης ᾄδεσθαι, καὶ τοὺς μήτε προφήταις ἀναγνόντες, μήτε νόμῳ συντραφέντες, ἀλλὰ καὶ θηριώδεις τὸν τρόπον ὄντες, ἀθρόον μετεβάλλοντο, καὶ πάντα ἐκεῖνα ῥίψαντες τὰ τῆς πλάνης, ὑπετάγησαν, οὐχὶ δύο, καὶ τρία, καὶ τέσσαρα ἔθνη, καὶ δέκα, ἀλλὰ "τὰ πανταχοῦ τῆς οἰκουμένης" οἰκοῦντα.

γρ. οἱ παντ.
γρ. οἰκοῦντες.

Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Τί ἐστι, κάθηται ἐπὶ θρόνου; βασιλεύει, φησί, κρατεῖ. καὶ καλῶς εἶπεν, ἁγίου. οὐ γὰρ δὴ βασιλεύει μόνον, ἀλλὰ καὶ ἁγίως βασιλεύει. τί ἐστιν, ἁγίως βασιλεύει; καθαρῶς. ἄνθρωποι μὲν γὰρ ἐπὶ τὴν ἀρχὴν ἐρχόμενοι ταύτην, αὐτῇ τῇ δυνάμει πρὸς ἀδικίαν κέχρηνται· ἐκείνη δὲ ἀνέπαφος ἡ ἀρχὴ παντὸς τοιούτου, καθαρὰ καὶ ἁγία. οὐδὲ γὰρ ἀπάτη, οὐδὲ ἄλλο τι τῶν τοιούτων τὸ δικαστήριον ἐκεῖνο διαφθείρει καὶ παραλογίζεται· ἀλλ' ἔστι καθαρόν, εἰλικρινές, πάσης ἐπέκεινα καθαρότητος ἀπαστράπτον, διαλάμπον ἀφάτῳ τῇ δόξῃ.

8 Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. Ἐνταῦθα δείκνυσι τὴν ἐπίτασιν τοῦ εὐαγγελίου, ὅτι οὐκ ἰδιωτῶν ἥψατο μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν τὸ διάδημα ἐχόντων, καὶ τῶν ἐπὶ τοῦ θρόνου καθημένων τοῦ βασιλικοῦ. Εἶτα δεικνὺς [αὐτὸν ὄντα] καινῆς καὶ παλαιᾶς ἕνα Θεόν, φησι, μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ἀντὶ τοῦ, αὐτός ἐστιν ὁ καὶ τῶν προπατόρων Θεός, ὁ καὶ τὸν νόμον ἐκείνοις δεδωκώς. Διὸ καὶ Ἱερεμίας ἔλεγε· Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· δεικνὺς ὅτι καὶ καινῆς καὶ παλαιᾶς εἷς καὶ ὁ αὐτός ἐστι νομοθέτης. Καὶ ὁ Βαροὺχ πάλιν ἔλεγεν· Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· δηλῶν ὅτι ὁ τὸν νόμον δεδωκὼς αὐτός ἐστιν ὁ σαρκωθείς, καὶ ὁ σαρκωθεὶς αὐτὸς καὶ τὸν νόμον δέδωκε. Τοῦτο καὶ ὁ προφήτης λέγει· Συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, μετὰ Θεοῦ, ἐμ ἐλωΐ Ἀβραάμ. Καὶ πῶς τοῦτο γέγονεν; ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. Τίνες δὲ οἱ κραταιοὶ τοῦ Θεοῦ, ἀλλ' ἢ οἱ ἀπόστολοι; οἱ πιστοὶ πάντες; ἐπειδὴ γὰρ τοσοῦτον ἔλαμψεν ἡ δύναμις αὐτῶν, ἐκράτησαν ἁπάντων. Καὶ καλῶς αὐτοὺς κραταιοὺς ἐκάλεσε. Πῶς γὰρ οὐ κραταιοί, οἱ πρὸς ἅπασαν τὴν οἰκουμένην παραταξάμενοι, πρὸς δαίμονας, πρὸς διάβολον, πρὸς δήμους, πρὸς πόλεις, πρὸς ἔθνη, πρὸς τυράννους, πρὸς τιμωρίας, πρὸς κολάσεις, πρὸς τήγανα, πρὸς καμίνους, πρὸς συνήθειαν, πρὸς φύσεως τυραννίδα, * καὶ πάντα καθελόντες, καὶ ὑψηλότεροι πάντων γενόμενοι, καὶ μηδενὶ χειρωθέντες; Πῶς οὐ κραταιοί, καὶ μετὰ τελευτὴν τοσαύτην ἐπιδεικνύμενοι τὴν ἰσχύν; Πῶς οὐ κραταιοί, ὧν τὰ ῥήματα ἀδάμαντός ἐστι στερρότερα, καὶ οὐδεὶς αὐτὰ χρόνος ἤλεγξεν, ἀλλὰ καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν, τοῦ εὐαγγελικοῦ κηρύγματος πάντη καὶ πανταχοῦ διατρέχοντος εἰς τὰ τῆς οἰκουμένης πληρώματα; Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἱερεμ. λα. λα.

Βαροὺχ. γ. κϛ.

χ. τὰ διαδή-
ματα

χ. δηλοῖ

* πρὸς ἀρχάς,
πρὸς ἐξου-
σίας, πρὸς
[illegible]
[illegible]
[illegible]

Ψαλμ. μζ. ΩΔΗ ΨΑΛΜΟΥ ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ.

1 Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. 2 Εὖ ῥιζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. Ἕτερος, Καλῷ βλαστήματι, χάρματι πάσης τῆς γῆς. Ἄλλος, Ἀπ' ἀρχῆς ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς.

χ. ἀρίζων
ἄλλ. ἀρίζω
[illegible]

ΚΑὶ ἐνταῦθα ἀπαλλαγὴν πολέμων καὶ μάχης ἐλευθερίαν δηλοῖ. Ἐπειδὴ γὰρ ἐπανελθόντες ἀπὸ τῆς Βαβυλωνίων, καὶ τῆς μακρᾶς ἀπαλλαγέντες αἰχμαλωσίας τὴν πατρῴαν ἀπέλαβον γῆν, καὶ πολλοὺς διέφυγον πολέμους, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ τούτων αἰτίῳ τῶν ἀγαθῶν, τούτους ᾄδουσι τοὺς ὕμνους, καί φασι· Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα. Τὸ μὲν, μέγας, λέγουσι, τὸ δὲ πόσον, οὐκ ἔτι. Οὐδεὶς γὰρ τοῦτο ἐπίσταται. Διὸ καὶ ἐπήγαγε, καὶ αἰνετὸς σφόδρα. Τῆς γὰρ μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι. Δοξάζειν αὐτὸν δεῖ καὶ αἰνεῖν μόνον, καὶ τοῦτο μεθ' ὑπερβολῆς ἁπάσης· αἰνεῖν δὲ αὐτόν, καὶ διὰ τὸ μέγεθος τῆς οὐσίας τὸ ἄπειρον τοῦτο καὶ ἀκατάληπτον, καὶ διὰ τὴν ὑπερβολὴν τῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς.

καὶ γὰρ ἐβουλήθη, καὶ ἴσχυσεν ἅπερ ἐβουλήθη. ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. τί λέγεις; ἐκεῖ συγκλείεις αὐτοῦ τὸν αἶνον, τοῦ μεγάλου, τοῦ αἰνετοῦ, ἐν τῇ πόλει, καὶ ἐν τῷ ὄρει; οὐ τοῦτο λέγω, φησίν, ἀλλ' ὅτι ἡμεῖς παρὰ τῶν ἄλλων τοῦτον ἐπέγνωμεν. ἢ διὰ τοῦτο οὕτως εἶπε, τὸ, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἢ θέλων δηλῶσαι, ὅτι διὰ τῶν εἰς αὐτὴν γενομένων θαυμάτων ἐδείχθη αὐτοῦ ἡ μεγαλωσύνη καὶ ἡ δόξα· ὅτι τοὺς αἰχμαλώτους, τοὺς ἀπερριμμένους, τοὺς εὐκαταφρονήτους, τοὺς καθάπερ ἐν τάφῳ τῇ πολεμίᾳ κατεχομένους γῇ, τούτους ἀθρόον οὕτως ἐκλάμψαι παρεσκεύασεν, ὡς τῶν κρατησάντων περιγενέσθαι, καὶ ἐπανελθεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν ἐπαναγαγεῖν, καὶ τὸ παλαιὸν τῆς πατρίδος ἀποδοῦναι σχῆμα. δείκνυσι μὲν γὰρ αὐτόν, φησι, καὶ τὸ μέγεθος τῶν κτισμάτων τῶν ὁρωμένων· ἀλλ' ἐπειδὴ οἱ πλείους ἀνοητότερον διέκειντο τὸ παλαιόν, προστίθησι καὶ τὴν ἀπὸ τῶν πολεμίων καὶ τὴν ἀπὸ τῆς νίκης γνῶσιν, τὰ παράδοξα ταῦτα τρόπαια συνεχῶς ἱστάς, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ἐργαζόμενος, καὶ παρὰ ἐλπίδα καὶ προσδοκίαν ἅπασαν τὰ τοιαῦτα θαυματουργῶν. πόλιν δὲ αὐτοῦ καλεῖ [ταύτην,] οὐ τὰς ἄλλας ἀποστερῶν αὐτοῦ τῆς προνοίας, ἀλλὰ δεικνὺς τούτους πλέον τι τῶν ἄλλων ἔχοντας κατὰ τὸν τῆς γνώσεως λόγον. ἐκεῖναι μὲν γὰρ κατὰ τὸν τῆς δημιουργίας μόνον λόγον αὐτοῦ ἂν λέγοιντο· αὕτη δὲ, καὶ κατὰ τὸν τῆς οἰκειώσεως, καὶ διὰ τὸ πάντα αὐτόθι τὰ θαύματα γίνεσθαι. τότε μὲν οὖν ἡ πόλις ἐλέγετο τοῦ Θεοῦ· νυνὶ δὲ πάντες ἡμεῖς τοῦ Θεοῦ λεγόμεθα. Οἱ γὰρ τοῦ Χριστοῦ, φησι, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἶδες ἀρετῆς ἐπίτασιν. διὰ τοῦτο καὶ ὄρος ἐλέγετο τοῦ Θεοῦ, ἐπειδὴ ἐκεῖ ὁ Θεὸς ἐθεραπεύετο. Εὐρίζω ἀγαλλιάματι πάσης τῆς γῆς. πολλὴ ἡ ἀσάφεια τοῦ ῥητοῦ· διὸ προσέχειν δεῖ. τῷ μὲν γὰρ ἁπλῶς ἀναγινώσκοντι πολλὴν τὴν ἀπορίαν ἐμποιεῖ· ὁ δὲ μετὰ ἀκριβείας αὐτὰ ἐπιὼν, ὄψεται τὴν ἀκολουθίαν καὶ τὴν σειρὰν ἀκριβῆ τῶν νοημάτων. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι. μέγας Κύριος ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, εὐρίζων, τουτέστι, καλῶς ῥιζῶν, καλῶς πηγνὺς, καλῶς βεβαιῶν αὐτὴν ἐν χαρᾷ καὶ εὐφροσύνῃ πάσης τῆς οἰκουμένης. τοῦτο καὶ ἄλλος αἰνιττόμενος, ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς, εἶπεν. ἀγλάϊσμα γὰρ αὐτὴν πάσης τῆς οἰκουμένης καὶ εὐφροσύνην ἐποίησεν. ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς εὐσεβείας, καὶ τῆς θεογνωσίας αἱ ῥίζαι καὶ αἱ ἀρχαί. τοιαύτην τοίνυν αὐτὴν οὖσαν ἐρρίζωσε, καὶ καλῶς ἔπηξεν, ἐπὶ κόσμῳ τῆς οἰκουμένης, ἐπὶ ἀγαλλιάματι, ἐπὶ χαρᾷ πάσης τῆς γῆς. τὸ γὰρ διδασκαλεῖον τῆς γῆς, τὰ Ἱεροσόλυμα τότε ἦν· καὶ οἱ βουλόμενοι χαρᾶς ἀπολαύειν καὶ καλλωπίζεσθαι καὶ κοσμεῖσθαι, ἐντεῦθεν τὰ δέοντα ἐμάνθανον. [καὶ οὐκ εἶπε ῥίζωσιν] διὸ καὶ τοῦτο δηλῶν, οὐ ῥιζῶν εἶπεν, ἀλλ' εὐρίζων. εἰ δὲ βούλει αὐτὸ καὶ κατὰ ἀναγωγὴν λαβεῖν, ὄψει τῶν πραγμάτων τὴν ἀλήθειαν. ἐντεῦθεν γὰρ τὸ ἀγαλλίαμα πανταχοῦ τῆς οἰκουμένης γέγονεν, ἐντεῦθεν ἡ εὐφροσύνη καὶ ἡ χαρά, ἐντεῦθεν αἱ πηγαὶ τῆς φιλοσοφίας, ἔνθα Χριστὸς ἐσταυρώθη, ὅθεν οἱ ἀπόστολοι ἐξώρμησαν. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, φησί, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. καὶ ῥίζας δὲ ἀθανάτους ἡ χώρα αὕτη ἔχει.

Γα. ε. κδ.

Ησ. β. γ. καὶ Μιχ. δ. β.

Ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ. Ἄλλος, Ὄρη Σιὼν οἱ μηροὶ τοῦ βορρᾶ. Ὁ δὲ Ἑβραῖος, Ἀρ Σιὼν ἰερχθὴ σαφούν. Τίνος ἕνεκεν τοῦ βορρᾶ μνημονεύει νῦν, καὶ τοῦ τόπου τὴν θέσιν ἡμῖν ὑπογράφει; ἐπειδὴ ἐντεῦθεν συνεχῶς ὁ πόλεμος αὐτοῖς ἀνερριπίζετο, τῶν βαρβάρων ἐπιόντων· καὶ συνεχῶς οἱ προφῆται τοῦτο λέγουσι, τὸν ἀπὸ βορρᾶ καλοῦντες· καὶ λέβητα ἐκεῖθεν καιόμενον ὑπογράφουσιν. οὕτω γὰρ ἡ Περσῶν χώρα κεῖται πρὸς τὴν Παλαιστίνην. θαυμάζων τὸ γεγενημένον, τοῦτο ἐπήγαγε, δηλῶν, ὅτι ταύτην τὴν συνεχῶς ἐκεῖθεν ἐνοχλουμένην ἀχείρωτον ἐποίησας. ὥσπερ γὰρ ἂν εἴ τις

Ιερεμ. α. ιγ.

λέγοι

λέγει περὶ σώματος, ὅτι τὸ μέρος ἐκεῖνο τὸ ἀσθενὲς ἰσχυρότερον εἰργάσω· τοῦτο δὴ καὶ
αὐτὸς ἐνταῦθα αἰνίττεται, λέγων· ὅτι ὅθεν οἰμωγαὶ καὶ δάκρυα, ὅθεν ὑπόθεσις τῶν συμ-
φορῶν, ταῦτα ἡδονῆς τὰ μέρη ἐμπέπλησται, ταῦτα εὐθυμίας· ὅθεν ἀπειλαὶ, καὶ φόβοι, καὶ
κίνδυνοι, ἐντεῦθεν χαρὰ καὶ εὐφροσύνη. καὶ οὐδεὶς ἐκεῖνο λοιπὸν δέδοικε τὸ μέρος τῆς
κλίσεως τὸ βορειότερον, οὐδεὶς τρέμει, οὐδεὶς ὑφορᾶται, ἀλλὰ πάντες ἐν εὐφροσύνῃ,
τοῦ ῥιζώσαντος αὐτὴν ἐν ἡδονῇ. Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. 3 Ὁ
Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Ἄλλος, Ἐ-
γνώσθη. Ἄλλος, Ὁ Θεὸς ἐν τοῖς βασιλείοις αὐτῆς γνωσθήσεται εἰς ὀχύρωμα. Ἄλλος, Ὁ
Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς ἐγνώσθη εἰς τὸ ἐξελέσθαι αὐτήν. Ἀνακηρύττει αὐτῆς τὸ ἀξίωμα,
τὴν εὐφημίαν, τὸν στέφανον, λέγων, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. Εἶτα δεικνὺς πῶς
ἐστι πόλις τοῦ βασιλέως τοῦ μεγάλου, τὸ, ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ἐπήγαγε, τὴν πολ-
λὴν πρόνοιαν ἐμφαίνων, καὶ ὅτι ὅλην δι' ὅλης σώζει, οὐχ ὁλοκλήρου μόνον αὐτῆς κηδόμενος,
ἀλλὰ καὶ καθ' ἑκάστην οἰκίαν ἐπιδεικνύμενος αὐτοῦ τὴν πρόνοιαν. ὑμῖν μὲν γὰρ καὶ χωρὶς
S.Bas.N. τούτου γνώριμος, τοῖς δὲ ἐχθροῖς καὶ ἐντεῦθεν αὐτοῦ τὴν ἰσχὺν ἔδειξε. καὶ γὰρ ἐπὶ τοῦ Ἐζε-
κία νέφος βαρβάρων ἐπελθὸν, καὶ πᾶσαν αὐτὴν καθάπερ ἐν σαγήνῃ κυκλώσαντες, ἀ-
πῆλθον τὸ πλέον αὐτῶν καταλιπόντες νεκρούς· καὶ ἕτεροι δὲ πολλοὶ πολλάκις εἰς αὐτὴν
εἰσελθόντες, αἰσχυνθέντες ἀνεχώρησαν. ταῦτα δὴ πάντα τῇ τοῦ Θεοῦ προνοίᾳ κα-
τωρθώθη, φησὶν, ὃ καὶ λαμπροτέραν αὐτὴν ἐποίησεν. οὐ * τῷ λαμπρὰ δὲ μόνον, ἀλλὰ καὶ τῷ
οὕτω λαμπρὰ γενέσθαι, μεγάλη γέγονεν. 4 Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς
συνήχθησαν, διῆλθοσαν ἐπὶ τὸ αὐτό. Ἄλλος, Ἰδοὺ γὰρ οἱ βασιλεῖς συνετάξαντο.

5 Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο
αὐτῶν. 6 Ἐκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ (Ἄλλος, Καύσω-
νος. Ἄλλος, Δι' ἀνέμου βιαίου) συντρίψεις πλοῖα Θαρσεῖς.

Ἄλλος, Κατεάξεις. Ὁ δὲ Ἑβραῖος, Θεσσαβέρ. Ἐνταῦθα πόλεμον διηγεῖται, πό-
λεμον χαλεπὸν, καὶ συγκεκροτημένον πάντοθεν, καὶ νίκην λαμπροτέραν. ἐπειδὴ γὰρ εἶ-
πεν, ὅτι ἀντιλαμβάνεται αὐτῆς, καὶ πολλὴν ἐπιδείκνυται πρόνοιαν, δείκνυσι λοιπὸν καὶ
πῶς ἀντελαμβάνετο. μυρίων γὰρ ἐθνῶν ἐπελθόντων (τοῦτο γὰρ διὰ τοῦ πλήθους τῶν βασι-
λέων δηλοῖ) καὶ οὐχ ἁπλῶς ἐπελθόντων, ἀλλὰ καὶ συγκεκροτημένων καὶ συντεταγμένων,
τοιαῦτα γέγονε πράγματα, ὡς αὐτοὺς θαυμαστοὺς γενομένους τῶν παραδόξων αὐτῶν
ἀπελθεῖν. οὕτω γὰρ ὁ πόλεμος ἐτροποῦτο, ὡς νάρκης καὶ φρίκης αὐτοὺς ἐμπλησθέντας
ἀναχωρεῖν· καὶ μετὰ πολλῆς τῆς ἀγωνίας ἀποπηδῶν, οἱ πολλοὶ τοὺς ὀλίγους δείσαντες, οἱ
συντεταγμένοι τοὺς διῃρημένους· καὶ ὠδινούσης γυναικὸς οὐδὲν ἄμεινον διέκειντο. ὅθεν δῆ-
λον ὡς οὐ κατὰ ἀκολουθίαν ἀνθρωπίνην ὁ πόλεμος κατωρθοῦτο, ἀλλὰ Θεὸς ἦν ὁ τὴν
μάχην στρατηγῶν, ὁ καὶ τὰ φρονήματα αὐτῶν οὐ μόνον καταβάλλων, ἀλλὰ καὶ τὴν διά-
νοιαν αὐτῶν κατασείων, καὶ ὠδῖνας αὐτοῖς ἐντιθεὶς, καὶ ἄρρητον φόβον τινὰ αὐτοῖς ἐργαζό-
μενος. καὶ ταυτὸν γέγονεν, οἷον ἂν εἰ στόλου πολλοῦ ναυτικοῦ συνελθόντος, πνεῦμα ἐμ-
πεσὸν χαλεπὸν συντρίψειε πάντα τὰ πλοῖα, καὶ καταδύσειε τὰς τριήρεις, καὶ πολλὴν
ἀθρόον ἐμβάλοι τὴν ταραχήν. ἐνταῦθα γάρ μοι διὰ τοῦ ὑποδείγματος τούτου
τό, τε εὔκολον τῆς νίκης δοκεῖ δηλοῦν, καὶ τῆς ταραχῆς τὴν ὑπερβολήν. * καὶ γὰρ ναυ-
τικῷ χρησάμενοι στόλῳ καὶ οὗτοι, καὶ παραγινόμενοι ἐκ μακρᾶς τινος καὶ ἀλλοτρίας χώρας,
ὥσπερ ὑπό τινι πνεύματι βιαίῳ τῇ ὀργῇ τοῦ Θεοῦ πάντες ἀπώλοντο. διὸ καὶ τὸν τόπον δη-
λῶν ὅθεν ἦλθον, ἐπήγαγε, τό, Θαρσεῖς· οὕτω γὰρ καὶ ὁ Ἑβραῖος ἐδήλωσε διὰ τῆς λέξεως,
ἣν καὶ παρεθήκαμεν ὑμῶν χάριν εἰς τὴν ἀνάγνωσιν τοῦ ῥητοῦ. ἢ τοῦτο τοίνυν ἐστὶν εἰπεῖν,

πεῖν, ἢ ἐκεῖνο, ὃ ἔμπροσθεν εἶπον· ὅτι ὥσπερ τὰ πλοῖα Θαρσεῖς ἄνεμος χαλεπὸς ἐμπεσὼν συνέτριψε πολλάκις· οὕτω δὴ τὰ πλήθη ἐκεῖνα συνετάραξεν ὁ Θεός.

7 Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Εἶδες πῶς τελειότερον ἐξηγεῖται τὸ ἐρριζῶν. οὐ γὰρ εἶπεν, ἐρρίζωσας, ἀλλ' ἐρριζῶν· τουτέστι, διηνεκῶς προνοῶν, διηνεκῶς κηδόμενος, διηνεκῶς τειχίζων. εἰπὼν γὰρ τὰ συμβάντα τότε, ἐπὶ τὰ παλαιὰ ἀνάγει διηγήματα τὸν λόγον, δεικνὺς ὅτι ταῦτα ἐκείνων συγγενῆ. ἃ γὰρ ἠκούσαμεν, φησὶν, ἐπὶ τῶν ῥημάτων, ταῦτα ἐπὶ τῶν ἔργων ἑωράκαμεν, τὰς νίκας, τὰ τρόπαια τοῦ Θεοῦ, τὴν κηδεμονίαν, τὰ παράδοξα θαύματα. οὐ γὰρ διέλιπεν ὁ Θεὸς ἀεὶ ταῦτα ἐργαζόμενος· ὥστε αὐτοῦ ἐστὶ καὶ κινδύνων ἀπαλλάττειν, καὶ πρὸς θεογνωσίαν χειραγωγεῖν. καὶ καλῶς ὁ προφήτης ἐμνημόνευσε τῶν παρὰ πολλοῦ τοῦ χρόνου γενομένων. ἔδει γὰρ καὶ ἀπὸ τῶν παλαιῶν διηγημάτων, καὶ ἀπὸ τῶν νεαρῶν παιδεύεσθαι ἔργων, ὥστε τοὺς παχυτέρους αὐτῶν ἀπὸ τῶν γινομένων καὶ τοῖς ἤδη γεγενημένοις πιστεύειν, καὶ διπλοῦν καρποῦσθαι τὸ κέρδος, καὶ τὴν ἀκοὴν αὐτοῖς ἀντὶ ὄψεως γίνεσθαι.

8 Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. Ἕτερος, Εἰκάσαμεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. Ἕτερός φησιν, Εἰκάσαμεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ ναοῦ σου. Ὁ δὲ Ἑβραῖος, Ηχαλὰχ, δεμμινοῦ. 9 Κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. Ἐπειδὴ εἶπεν, ἃ ἠκούσαμεν, ταῦτα καὶ εἴδομεν, λέγει καὶ τί ἤκουσε καὶ τί εἶδεν. τί οὖν ἤκουσε καὶ εἶδε; ὅτι ἰσχυροτέραν καὶ ἀρραγῆ ἡ τοῦ Θεοῦ χάρις τὴν πόλιν ἐργάζεται. τοῦτο γὰρ αὐτῇ θεμέλιος, τοῦτο ἀχείρωτον αὐτὴν ποιεῖ, οὐκ ἀνθρωπίνη συμμαχία καὶ βοήθεια, οὐχ ὅπλων ἰσχὺς, οὐδὲ πύργοι καὶ τείχη, ἀλλὰ τί; ὁ Θεὸς αὐτὴν διακρατεῖ. τοῦτο γὰρ μάλιστα παιδεύεσθαι αὐτοὺς ἔδει, καὶ πρὸς τοῦτο αὐτοὺς ὁ προφήτης ἐνάγει διηνεκῶς. Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. τί ἐστιν, ὑπελάβομεν; ἠλπίσαμεν, προσεδοκήσαμεν, ἔγνωμεν τὴν φιλανθρωπίαν τὴν σήν. ἐπειδὴ γὰρ εἶπεν, ἐθεμελίωσεν, ἐρρίζωσεν, ἐτείχισε, δεικνὺς ὅτι ἡ τοσαύτη πρόνοια οὐ κατὰ τὴν ἀξίαν τῶν ἀπολαυόντων, ἀλλὰ κατὰ τὴν ἀγαθότητα τοῦ ποιοῦντος γίνεται, καὶ ἅμα θέλων τὸν τῦφον αὐτῶν καταστεῖλαι, οὕτως εἶπε, μονονουχὶ τοῦτο λέγων· σοῦ τοῦ ἐλέους ἐστὶ ταῦτα τὰ κατορθώματα, τῆς δόξης τῆς σῆς, τῆς ἀγαθωσύνης τῆς σῆς. διὸ καὶ ἐπήγαγε· κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. ἡ αἴνεσίς σου, φησὶ, τὰ κατορθώματα τὰ οὕτω μεγάλα ποιεῖ καὶ θαυμαστὰ, οὕτως ὑψηλὰ καὶ ἔνδοξα. οὐ γὰρ κατὰ τὸ μέτρον τῶν εὐεργετουμένων τὴν κηδεμονίαν ἐπεδείκνυσο, οὐδὲ κατὰ τὴν ἀξίαν, ἀλλὰ κατὰ τὸ μέγεθος τὸ σόν. ἡ αἴνεσις τοίνυν, τουτέστιν, ἡ εὐφημία ἡ ἀπὸ τῶν ἔργων, τὰ κατορθώματα ἐποίησεν ἐξάκουστα. ἐγίνετο μὲν γὰρ ἐν τῇ Παλαιστίνῃ· διὰ δὴ τὸ μέγεθος καὶ τὸν ὄγκον, αὐτὰς τῆς οἰκουμένης κατελάμβανε τὰς ἐσχατιὰς, καὶ οἱ πόρρωθεν ὄντες πάντα ἐμάνθανον. τὰ γοῦν ἐν Αἰγύπτῳ γενόμενα, ἡ Ἱεριχουντία πόρνη τῶν παρόντων ἀκριβέστερον ᾔδει. πάλιν τὰ ἐν Παλαιστίνῃ συμβάντα, καὶ οἱ τὴν Περσῶν χώραν οἰκοῦντες ἀνεκήρυττον· τὰ ἐν αὐτῇ τῇ Περσίδι πάλιν, οἱ πρὸς τὰ πέρατα τῆς γῆς ὄντες ἐγίνωσκον. διὰ δὴ τοῦτο καὶ ὁ βασιλεὺς διὰ γραμμάτων ἔπεμπε πανταχοῦ τῆς οἰκουμένης, ἀνακηρύττων τὰ ἐν τῇ καμίνῳ. διὰ τοῦτο δὲ τοῦτο εἰπὼν, καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, ἐπήγαγε· Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

Ἰησ. β. ι.

Δαν. γ. λβ

Ὅπερ γὰρ ἔθος αὐτῷ ποιεῖν συνεχῶς, ἀπὸ τῶν εἰς ἀνθρώπους γινομένων ἀναβαίνειν ἐπὶ τὰ προσόντα αὐτοῦ τῇ φύσει, τοῦτο δὲ ἐπὶ τοῦ παρόντος ποιεῖ· οὐχ ἵνα ἐπιγινόμενα καὶ ἀπογινόμενα νοήσωμεν (μὴ γένοιτο) ἀλλ' ἐπειδὴ ἀσθενὴς ὁ λόγος καὶ ἡ ἀνθρωπίνη γλῶττα, δεῖ θεοπρεπῆ τινα ἔννοιαν προστιθέναι τῷ λόγῳ. τὰ προσόντα οὖν τῇ φύσει τοῦ Θεοῦ, ταῦτα λέγει, τὰ συνουσιωμένα αὐτῷ. τίνα δὲ ταῦτά ἐστι; δικαιοσύνης, φησί, πλήρης ἡ δεξιά σου. δείκνυσι γάρ, ὅτι οὐ τῆς ἀξίας τῶν εὐεργετουμένων τὰ γινόμενα, ἀλλὰ τῆς οὐσίας τῆς αὐτοῦ· ἐπειδὴ αὐτὴ αὐτοῦ ἡ οὐσία δικαιοσύνῃ χαίρει, φιλανθρωπίᾳ εὐφραίνεται. τοῦτο ἔργον αὐτοῦ, τοῦτο ἔθος αὐτῷ, καὶ διὰ τοῦτο τοσαύτης ἀπέλαυον εὐεργεσίας. ὥσπερ γὰρ τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ ἡλίου τὸ φωτίζειν· οὕτω δὴ καὶ αὐτοῦ τὸ εὐεργετεῖν. οὐχ οὕτω δέ, ἀλλὰ καὶ πολλῷ μᾶλλον. διὸ καὶ τοῦτο εἶπε, δικαιοσύνης πλήρης ἡ δεξιά σου, τὸ δαψιλές, τὸ συνουσιωμένον αὐτῷ δηλῶν.

10 Εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν
τῶν κριμάτων σου, Κύριε. Ἄλλος, Διὰ κρίσεις σου. 11 Κυκλώσατε Σιών, καὶ
περιλάβετε αὐτήν. Ἄλλος, Καὶ περιέλθετε. Διηγήσασθε ἐν τοῖς πύρ-
γοις αὐτῆς. Ἕτερος, Ἀριθμήσατε τοὺς πύργους αὐτῆς. Ἄλλος, Ἐπαρέ-
σατε. 12 Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς. Εἰς τὸν πε-
ρίβολον, τὴν εὐπορίαν. Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς. Ἕτερος, Δι-
αμετρήσατε τὰ βασίλεια αὐτῆς. Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν
(Ἄλλος, Γενεᾷ μεταγενεστέρᾳ) 13 Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶ-
να, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Τί δήποτε ταῦτα παρακελεύεται, περιϊέναι τὴν πόλιν, ἀριθμεῖν τοὺς πύργους, προσέχειν ταῖς οἰκοδομαῖς, τὴν εὐπρέπειαν αὐτῆς ἀναλογίζεσθαι, τοὺς περιβόλους αὐτῆς καὶ τὰ τείχη ψηφίζειν, τὰς οἰκίας καὶ τὰ βασίλεια μετρεῖν; οὐ χρεία τῆς παρ' ἡμῶν ἑρμηνείας· αὐτὸς ἑαυτὸν ὁ λόγος σαφηνίζει. εἰπὼν γὰρ ταῦτα, καὶ τὴν αἰτίαν εὐθέως προσέθηκε. ποίαν δὴ ταύτην; ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐμπλήσθητε ἡδονῆς, χαίρετε, σκιρτήσατε, ἀλλὰ μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ ἀκριβείας καταμάθετε αὐτῆς τὴν ἰσχύν. ἐπειδὴ γὰρ ἐρείπιον γέγονεν, ἐπειδὴ πρόρριζος ἀνεσπάσθη, καὶ τὸ ἔδαφος αὐτῆς σχεδὸν ἀπώλετο, καὶ ἀπέγνωσαν τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολήν, ὡς λέγειν, ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν, παραπολώμεθα· καὶ οὐ προσεδόκων αὐτὴν ἀπολήψεσθαι, ἀπέλαβον δὲ αὐτήν, καὶ οὐ τοιαύτην, οἵαν ἀπέβαλον, ἀλλὰ πολλῷ βελτίονα, καὶ λαμπροτέραν, καὶ μείζονα, καὶ εὐπορωτέραν, καὶ δυνατωτέραν, καὶ εὐρυτέραν ἐν ταῖς οἰκοδομαῖς, ἐν τοῖς ὠνίοις, ἐν τῇ δυνάμει, ἐν τῇ τῆς ὑποστάσεως περιουσίᾳ (Ἔσται γάρ, φησιν, ἡ ἐσχάτη δόξα τοῦ οἴκου τούτου ὑπὲρ τὴν ἔμπροσθεν) παραινεῖ τῷ λαῷ, καὶ μονονουχὶ ταῦτα λέγει· ἰδού, ἡ πόλις αὕτη, ἡ ἀπεγνωσμένη, ἡ ἀπηλπισμένη, ἡ ἐρείπιον οὖσα, πῶς ἐπὶ λαμπρότερον ἐπανῆλθε σχῆμα; αὐτὰ οὖν ταῦτα καταμάθετε, τὴν οἰκοδομὴν αὐτῆς, τὴν λαμπρότητα, τὴν περιφάνειαν· ἵνα κἀντεῦθεν μαθόντες τοῦ Θεοῦ τὴν ἰσχύν, πῶς τὴν ἀπεγνωσμένην μείζονα ἐποίησε, διηγῆσθε τοῖς ἐγγόνοις ὑμῶν τὴν δύναμιν τοῦ Θεοῦ, τὸ διαρκὲς αὐτοῦ τῆς προνοίας, ὅτι διαπαντὸς ἔμελλεν ἡμῶν κηδόμενος, καὶ προϊστάμενος, καὶ ποιμαίνων. ταῦτα γὰρ τὰ διηγήματα καὶ τοῖς μετὰ ταῦτα κἀκείνοις πολλῆς ἔσται φιλοσοφίας ὑπόθεσις, καὶ θεογνωσίας ἀκριβεστάτης ἀφορμή, καὶ ἀρετῆς ἐπιμέλεια. διὰ ταῦτα αὐτὴν περιϊέναι κελεύει, ἵνα ἀκριβεῖς διδάσκαλοι τῶν ἐγγόνων γένωνται τῶν ἑαυτῶν. Διὸ δὴ καὶ ἡμεῖς ἀεὶ καὶ διηνεκῶς ἀποσκοποῦντες, ἐν νῷ ἔχωμεν τὴν πόλιν ἡμῶν Ἱερουσαλήμ, αὐτῆς τὰ κάλλη διὰ παντὸς φανταζόμενοι, ἥτις ἐστὶ μητρόπολις τοῦ βασιλέως τῶν αἰώνων· ἐν ᾗ πνεύματα δικαίων, χοροὶ πατριαρχῶν, ἀποστόλων, καὶ πάντων ἁγίων· ἔνθα πάντα ἀστασίαστα, καὶ μὴ παρερχόμενα· ἔνθα τὰ ἄφθαρτα καὶ ἀθάνατα κάλλη, ἃ μόνοις πρόσεστι κληρονομεῖν

τοῖς

Ἀγγ. β. ι.

τοῖς παντελῶς λήθην ποιησαμένοις τῶν φθαρτῶν τούτων καὶ προσκαίρων βιωτικῶν μελετημάτων, πλούτου λέγω καὶ τρυφῆς, καὶ τῶν ἐπιβλαβῶν ἡδονῶν τοῦ διαβόλου. τὴν δὲ φιλαδελφίαν καὶ τὴν φιλοξενίαν πρὸς τοὺς δεομένους καθ᾽ ἑκάστην τὴν ἡμέραν αὔξοντες ἀγάπην τὴν πρὸς τὸν πλησίον, καὶ τὴν ἐκ τῆς καρδίας συγχώρησιν τοῦ λελυπηκότος· ἵνα οὖν οὕτω καλῶς καὶ θεαρέστως βιοτεύοντες, κληρονόμοι γενοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ψαλμ. μη. ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ.

ϛ' Ἄλλος, Ἐπινίκιος. 1 Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.
ο' Ἄλλος, Ἀκούσατε τοῦτο. Ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες
ε'.ϛ' τὴν οἰκουμένην. Ἄλλος, Τὴν ἐν καταδύσει. Ἄλλος φησὶ,
Τὴν καταδυτόν. Ὁ δὲ Ἑβραῖος, Ὀλδ. 2 Οἵ τε γηγενεῖς,
α'.θ'. καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων. Ἄλλος, Ἤ τε ἀνθρωπότης, προσέτι δὲ καὶ οἱ υἱοὶ ἑκάστου ἀνδρός. Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.
ϛ' Ἄλλος, Ὁμοῦ.

Μεγάλα τινὰ καὶ ἀπόρρητα μέλλει διαλέγεσθαι νῦν ἡμῖν ὁ προφήτης. οὐδὲ γὰρ ἂν τοὺς πανταχοῦ τῆς γῆς ἐκάλεσεν εἰς ἀκρόασιν, οὐδ᾽ ἂν τὸ τῆς οἰκουμένης ἐκάθισε θέατρον, εἰ μὴ μέγα τι καὶ λαμπρὸν καὶ τοῦ μεγέθους τοῦ συλλόγου ἄξιον ἐρεῖν ἔμελλεν. οὐκ ἔτι γὰρ ὡς Ἰουδαίοις προφητεύων, τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διαλέγεται, ἀλλ᾽ ὥσπερ τις ἀπόστολος καὶ εὐαγγελιστὴς πρὸς ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν ἀποτείνει τὸν λόγον. ὁ μὲν γὰρ νόμος, ἐν μιᾷ γωνίᾳ τῆς οἰκουμένης ἓν τὸ ἔθνος ἐπαίδευεν· ὁ λόγος δὲ τοῦ κηρύγματος, πανταχοῦ τῆς γῆς διηχεῖτο, καὶ ἑαυτὸν ἐξέτεινε, τοσαύτην ἐπελθὼν χώραν, ὅσην καὶ ὁ ἥλιος ἔπεισιν. ἐκεῖνα μὲν γὰρ παιδαγωγία τις ἦν, καὶ εἰσαγωγὴ, καὶ διακονία κατακρίσεως καὶ θανάτου· ταῦτα δὲ χάρις καὶ εἰρήνη. ἐπεὶ οὖν ἅπαν τὸ γένος εἰς τὴν ἀκρόασιν συνεκάλεσε, δεῦρο δὴ καὶ ἡμεῖς παραγενώμεθα, καὶ ἴδωμεν τί βούλεται ἡμῖν εἰπεῖν ὁ ψαλμῳδὸς, ὁ κοινὸς τοῦ γένους τῶν ἀνθρώπων προστάτης. κἂν βάρβαροί τινες ὦσι, κἂν σοφοὶ, κἂν ἰδιῶται, κελεύεις αὐτοὺς παραγενέσθαι; ναί. * κελεύει γὰρ πάντας αὐτοὺς παραγενέσθαι. διὰ δὴ τοῦτο καὶ ἀρχόμενος εἶπε· πάντα τὰ ἔθνη. καὶ πάλιν ἐπέτεινε λέγων· οἵ τε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, τὴν ἀνθρωπότητα πᾶσαν καλῶν. βαβαὶ τῆς διδασκαλίας· πῶς ἐστι πᾶσιν ἁρμόδιος καὶ κοινή; διά γάρ τοι τοῦτο οὐδὲ ἁπλῶς καλεῖ μόνον ἅπαντας, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς σπουδῆς καὶ ἀκριβείας προσέχειν τοῖς λεγομένοις κελεύει. οὐ γὰρ εἶπεν, ἀκούσατε μόνον ταῦτα πάντα, τὰ ἔθνη, ἀλλὰ καὶ ἐνωτίσασθε. τὸ δὲ ἐνωτίσασθαι οὐδέν ἕτερόν ἐστιν, ἢ τὸ μετὰ σπουδῆς ἀκοῦσαι καὶ συντεταμένῃ διανοίᾳ. ἐνωτίσασθαι γὰρ λέγεται κυρίως, ὅταν τις οὖς πρὸς οὖς διαλέγηται, συντείνων τε ἑαυτὸν καὶ ἐκεῖνον, καὶ κελεύων προσέχειν τοῖς λεγομένοις. ἐνωτίσασθε πάντες κατοικοῦντες τὴν οἰκουμένην. καὶ εἴ τινές, φησιν, οὐκ εἰς ἔθνη καταλέγονται, ἀλλ᾽ εἰσὶ μιγάδες, ἢ νομάδες διεσπαρμένοι, καὶ τούτους ἐπὶ τὴν ἀκρόασιν καλῶ. καὶ θέα σύνεσιν * δημηγόρου. πρότερον αὐτῶν διανέστησε τὴν διάνοιαν, καὶ μετεώρους ἐποίησε πρὸς τὴν ἀκρόασιν, τῷ πάντας ἀθρόον καλέσαι· εἶτα καλέσας, καταστέλλει τὸν τῦφον αὐτῶν, ἵνα μὴ τῷ πλήθει πρὸς ἀπόνοιαν αἴρωνται. τοιούτων γὰρ μάλιστα ἀκροατῶν χρεία, ὅταν φιλόσοφα μέλλῃ τις φθέγγεσθαι ῥήματα, συντετριμμένων καὶ κατεσταλμένων, ἀπονοίας καὶ φυσήματος ἀπηλλαγμένων. πῶς οὖν αὐτῶν κατέστειλε τὴν διάνοιαν; ἀναμνήσας τῆς φύσεως.

Ρω. ι. ιη.
Γαλ. γ. κδ.
β. Κορ. γ. θ.

Εἰπὼν γὰρ ἔθνη, ἐπήγαγεν· οἵ τε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων. Εἶπε τὴν οὐσίαν,
ἐξ ἧς ἡ ἀρχὴ τῆς γενέσεως ἡμῶν· ἀνέμνησε τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός. καὶ τίνος
ἕνεκεν εἶπεν, οἱ υἱοὶ τῶν ἀνθρώπων; ἐπειδὴ εἶπε, γηγενεῖς, ἵνα μή τις νομίσῃ (κατὰ τοὺς
ἔξω μυθολόγους) ἀπὸ γῆς ἐξ ἀρχῆς βλαστῆσαι τοὺς ἀνθρώπους, καθάπερ τινὲς ἐμυθο-
λόγησαν, σπαρτούς τινας ἐπεισάγοντες, διὰ τοῦτο ἐπήγαγεν, οἱ υἱοὶ τῶν ἀνθρώπων.
πατέρες γὰρ ὑμῖν εἰσιν οἱ ἄνθρωποι· ἀρχὴ δὲ ὑμῖν κἀκείνοις γενέσεως, ἡ γῆ. τί τοίνυν
Εκκλησ. ιβ. ζ. ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐννόησόν σου τὴν μητέρα, καὶ κατάστειλον τὸν τῦφον, κα-
Γεν. γ. ιθ. ταπάτησον τὸ φρόνημα. ἐννόησον ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ πᾶσαν ἀπόνοιαν
ἔκβαλε. τοιούτου γὰρ ἀκροατοῦ δέομαι. διὰ τοῦτό σε περιστέλλω, ἵνα σε ἐπι-
τήδειον λάβω πρὸς τὴν τῶν λεγομένων ὑποδοχήν. ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.
Εἶδες ἐκκλησίας εὐγένειαν. πῶς γὰρ οὐκ εὐγένειαν, ὅταν μὴ τοῖς ἀξιώμασι διείργῃ
τὸν ἀκροατὴν, ἀλλ' ἐξ ἴσου τῆς διδασκαλίας τὸ πᾶν προχέηται, καὶ τῷ πλουσίῳ καὶ τῷ
πένητι κοινὴν παρέχῃ τὴν τράπεζαν; ἐπειδὴ γὰρ εἶπε τὸ πάντας ἑνοῦν, τὸ γηγενεῖς εἶναι
καὶ υἱοὺς ἀνθρώπων, καὶ τὸ κοινὸν τῆς φύσεως ἔδειξε· τότε καὶ τὴν ἐκ τῶν βιωτικῶν δοκοῦ-
σαν διαφορὰν εἶναι καὶ ἀνωμαλίαν, καὶ ταύτην ἐκβάλλει τῷ λόγῳ, κοινῇ πάντας κα-
Ματθ. ιζ. κε. λῶν. κοινὴ γὰρ ἡμῶν ἡ φύσις· κοινῇ πάντας καλῶ. κοινὴ ἡμῶν ἡ μήτηρ· κοινῇ καλῶ. κοινὴ
γὰρ ἡμῶν πόλις ἡ οἰκουμένη. ἀλλ' ἐπενοήσατέ τινα διαφορὰν ἀπὸ πλούτου καὶ πενίας,
καὶ ἀνωμαλίας εἰσηγάγετε. ἀλλὰ καὶ ταύτην ἐκβάλλω πάλιν· οὐχὶ πλουσίους μὲν προ-
σιέμενος, πένητας δὲ ἀτιμάζων, οὐδὲ πένητας μὲν καλῶν, πλουσίους δὲ ἐκβάλλων, ἀλλὰ
καὶ τούτους, κἀκείνους, καὶ οὐχ ἁπλῶς τούτους κἀκείνους, οἷον, τοὺς μὲν προτέρους, τοὺς δὲ ὑστέρους, ἢ
τοὺς μὲν ὑστέρους, τοὺς δὲ προτέρους· ἀλλ' ἐπὶ τὸ αὐτὸ κοινὸς ὁ σύλλογος ἔστω, κοινὸς ὁ λόγος,
κοινὴ καὶ ἡ ἀκρόασις. κἂν πλούσιος ᾖς, ἐκ τοῦ αὐτοῦ γέγονας πηλοῦ· τὴν αὐτὴν εἴσοδον ἔσχες τῷ
πένητι, τὴν αὐτὴν γένεσιν. καὶ σὺ ἀνθρώπου υἱὸς, κἀκεῖνος· ὅταν τοίνυν τὰ καίρια καὶ κύρια
ἴσα ὑμῖν ᾖ καὶ ὁμότιμα, τί διὰ τὰς σκιὰς καὶ ὀνείρατα σεαυτὸν φυσᾷς, ἐκ τῶν οὐδὲν ὄντων
τὰ κοινὰ διαιρῶν; κοινὰ τὰ τῆς φύσεως, κοινὰ τὰ τῆς γενέσεως, τὰ τῆς οἰκειώσεως. τί
τοίνυν τὴν ἔξωθεν περιβολὴν ἐπεισάγεις εἰς διαιρέσεως ἀφορμήν; οὐκ ἀνέχομαι.
διὰ τοῦτο καλῶ σε μετὰ τοῦ πένητος, λέγων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. ἐν μὲν γὰρ τοῖς
ἄλλοις, οὐκ ἔστιν ἰδεῖν ἐπὶ τὸ αὐτὸ πλούσιον καὶ πένητα, οὐκ ἐν δικαστηρίοις, οὐκ ἐν βασι-
λικαῖς αὐλαῖς, οὐκ ἐν ἀγοραῖς, οὐκ ἐν τραπέζαις· ἀλλὰ τὸν μὲν ἐν τιμῇ, τὸν δὲ ἐν κα-
Εκκλησ. θ. ιε. ταφρονήσει· τὸν μὲν ἐν παρρησίᾳ, τὸν δὲ ἐν αἰσχύνῃ. Ἡ γὰρ σοφία τοῦ πένητος ἐξουθε-
Σιρ. ιγ. κβ. κγ. νημένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι. Ἐλάλησε πλούσιος, καὶ ἐδικαίωσαν αὐτόν·
πτωχὸς ἐλάλησε, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. ἀλλ' οὐκ ἐνταῦθα. οὐδὲ γὰρ ἐπὶ τῆς
ἐκκλησίας ταύτης, ἀνέχομαι τῆς πλεονεξίας καὶ τῆς ἀλογίας, ἀλλὰ κοινὴν ἅπασι
προστίθημι τὴν διδασκαλίαν. ὅρα καὶ σύνεσιν διδασκάλου, πῶς καὶ πρὶν ἢ τῆς δημη-
γορίας ἄρξασθαι, ἀπὸ τῆς κλήσεως μόνης μέγιστον ἔργον διδασκαλίας ἐξήνεγκεν. ὁ-
μοῦ γὰρ πάντας καλέσας, οὔτε ἐκεῖνον ἀφῆκε φυσηθῆναι, οὔτε τοῦτον ἐξευτελίζεσθαι·
ἀλλ' ἔδειξεν ὅτι οὐδὲ ὁ πλοῦτος καλὸν, ὥσπερ οὐδὲ ἡ πενία κακὸν, ἀλλὰ τῶν περιττῶν
ἐστι, καὶ ἔξωθεν προσκειμένων· ὥστε οὐδέν μοι διαφέρει, κἂν τοῦτο ᾖς, κἂν ἐκεῖνο. οὔτε γὰρ
πλούσιον ὄντα ὁρῶ σε πλέον ἔχοντα, οὔτε πένητα ἔλαττον. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τί
δήποτε ἄνθρωπος ὢν, καὶ τῆς αὐτῆς μετέχων φύσεως, τοσοῦτον σαυτὸν ἀξιοῖς, ὡς νομίζειν
τῆς οἰκουμένης ἐπιτήδειον εἶναι γενέσθαι διδάσκαλον, καὶ τοὺς ἐκ τῶν τερμάτων τῆς γῆς συγ-
καλεῖς; τί τοῦ τηλικούτου θεάτρου ἄξιον ἔχων εἰπεῖν; ναί, φησιν. ἐπειδὴ γὰρ ἐκάλεσε
τὴν οἰκουμένην, ποιῶν ἀξιόπιστον τὸν λόγον, ἄκουσον τί λέγει.

3 Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἄλλος, Καὶ μηνύσει ἡ καρδία μου σύνεσιν. Ὁ δὲ Ἑβραῖος Ουαγὴθ τοῦτο εἶπεν. Εἶδες πῶς εὐθέως ἀνήγαγε τὸν λόγον. οὐ περὶ χρημάτων διαλέξομαι, φησιν, οὐ περὶ ἀξιωμάτων, οὐ περὶ δυναστείας, οὐ περὶ ῥώμης σώματος, οὐ περὶ ἄλλου τινὸς τῶν ἐπικήρων· σοφίαν μέλλω λέγειν μετὰ ἀκριβείας, οὐχ ἁπλῶς ἐκ τοῦ παραχρῆμα ἐπελθοῦσάν μοι. 4 Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου. Ἄλλος, Κλινῶ παραβολῇ τὸ οὖς μου. Ὁ δὲ Ἑβραῖος Λαμασὰλ φησιν. Ἀνοίξω διὰ ψαλτηρίου τὸ πρόβλημά μου. Ἄλλος, Αἴνιγμά μου. Ὁ δὲ Ἑβραῖος Ιδαθεὶ τοῦτο εἶπε. Καὶ ποία αὕτη πρὸς τὰ εἰρημένα ἀκολουθία; αὕτη γὰρ διδασκάλου, ἀκροατὴν ὁρῶ νῦν. ἐκάλεσας μὲν γὰρ ὡς ἀκουσομένους τι χρήσιμον· μετὰ δὲ τὸ παραγγέλλεσθαι καὶ συναγαγεῖν ἅπαντας, καὶ ἐπαγγείλασθαί τι σοφὸν ἐρεῖν, οὐδὲν οὐδέπω φθεγξάμενος, ἀφεὶς τὴν τοῦ διδασκάλου τάξιν, εἰς τὴν τοῦ ἀκροατοῦ μεταβαίνεις χώραν. κλινῶ γάρ, φησιν, εἰς παραβολὴν τὸ οὖς μου. τίνος ἕνεκεν τοῦτο ποιεῖ; σφόδρα συνετῶς καὶ ἀκολούθως τοῖς εἰρημένοις. ἐπειδὴ γὰρ εἶπε, λαλήσω σοφίαν, ἵνα μή τις ἀνθρώπινον τὸ λεγόμενον εἶναι νομίσῃ, καὶ μελέτην καρδίας, ἵνα μὴ αὐτοῦ εὕρημα ὑποτοπήσῃ, δείκνυσι διὰ τούτων ὅτι θεῖα τὰ λεγόμενα, καὶ ὅτι οὐδὲν ἴδιον φθέγγεται, ἀλλ' ἅπερ ἤκουσε, ταῦτα λέγει. ἔκλινα γάρ, φησι, τὸ οὖς μου παρὰ Θεῷ, ἤκουσα παρ' ἐκείνου, καὶ τὰ ἄνωθεν κατενεχθέντα εἰς τὴν διάνοιαν τὴν ἐμήν, ταῦτα λέγω. διόπερ καὶ ὁ Ἠσαΐας ἔλεγε· Κύριός μοι δίδωσι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· προσέθηκέ μοι ὠτίον ἀκούειν. καὶ ὁ Παῦλος πάλιν· Ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. ὁρᾷς καὶ ἐκεῖνον ἀκροατὴν γινόμενον πρότερον, καὶ τότε διδάσκαλον. διὸ καὶ ἀνωτέρω ἑρμηνευτὴς ἔλεγε· καὶ μηνύσει ἡ καρδία μου. τί ἐστι, μηνύσει; ᾄσεται, ψαλμόν τινα ἐρεῖ πνευματικόν. εἰ δὲ μελέτην λέγει, μὴ θορυβηθῇς. ἃ γὰρ ἔλαβεν ἀπὸ τοῦ πνεύματος, ταῦτα διηνεκῶς ἐμελέτα, καὶ παρ' ἑαυτῷ ἀνεκίνει, καὶ τότε ἀνακινήσας εἰς τοὺς ἄλλους ἐξέφερε. Τί ἐστιν, εἰς παραβολήν; πολυσήμαντόν τί ἐστι τὸ ὄνομα. ἔστι γὰρ παραβολή, τὸ λάλημα, καὶ ὑπόδειγμα, καὶ ὁ ὀνειδισμός. ὡς ὅταν λέγῃ· Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. ἔστι παραβολὴ καὶ ὁ αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον μέν τι οὐκ αὐτόθεν δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐντὸς κεκρυμμένην διάνοιαν· οἷα τὰ τοῦ Σαμψών, ἃ ἔλεγεν· Ἐξῆλθεν ἀπὸ ἐσθίοντος βρῶσις, καὶ ἀπὸ ἰσχυροῦ γλυκύ. καὶ ὁ Σολομών· νοῆσαί τε παραβολὴν καὶ σκοτεινὸν λόγον. λέγεται παραβολὴ καὶ ἡ ὁμοίωσις· Ἄλλην παραβολήν, φησι, παρέθηκεν αὐτοῖς, λέγων· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα. παραβολὴ λέγεται καὶ ἡ τροπολογία· Υἱὲ ἀνθρώπου, εἰπὲ αὐτοῖς τὴν παραβολὴν ταύτην· ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ἀετὸν λέγων τὸν βασιλέα. παραβολὴ λέγεται καὶ ὁ τύπος, καὶ ἡ εἰκών, καθάπερ δείκνυσι Παῦλος λέγων· Πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος. ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο, τουτέστιν, ἐν τύπῳ καὶ ἐν εἰκόνι. Τί οὖν ἐνταῦθα βούλεται αὐτῷ ἡ παραβολή; ἐμοὶ δοκεῖ τὸ διήγημα λέγειν. εἰ δὲ αἰνιγματώδη ποιεῖ τὸν λόγον καὶ πολλὴν ἔχοντα τὴν δυσκολίαν, μηδὲ οὕτω θορυβηθῇς. ἵνα γὰρ διεγείρῃ τὸν ἀκροατήν, τοῦτο ποιεῖ· ἄλλως δέ, καὶ ἐπειδὴ πολλοὺς ἡ εὐκολία εἰς ῥᾳθυμίαν ἄγει, διὰ τοῦτο ἐν παραβολῇ φθέγγεται. ἐπεὶ καὶ ὁ Χριστὸς πολλὰ ἐν παραβολαῖς ἐλάλει, κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς ἐπέλυε ταύτας. ἡ γὰρ παραβολὴ τὸν ἄξιον καὶ οὐκ ἄξιον διαιρεῖ. ὁ μὲν γὰρ ἄξιος ἐπιζητεῖ τὰ λεγόμενα εὑρεῖν· ὁ δὲ ἀνάξιος παρατρέ-

Ἡσ. ν. δ.

Ρωμ. ι. ιζ.

Ψαλ. μγ. ιε.

Κριτ. ιδ. ιδ.

Ματθ. ιγ. κδ.

Ιεζεκ. ιζ. α.

Ἑβρ. ια. ιζ. ιθ.

Μαρκ. δ. λγ. λδ.

χει, ὅπερ καὶ τότε ἐγίνετο. οἱ μὲν γὰρ Ἰουδαῖοι, οὐδὲ ὑπὸ τῆς δυσκολίας διεγειρόμενοι πρὸς τὴν ἐρώτησιν εἵλκοντο. οὕτω καθάπαξ οὐ προσεῖχον τοῖς λεγομένοις. ἐχρῆν δὲ πρὸς ζήτησιν διεγείρεσθαι, ὅταν ᾖ τι συνεσκιασμένον. διὸ καὶ ὁ Χριστὸς ἐποίει τότε τοῦτο, καὶ ἐν παραβολαῖς ἐλάλει, ἐρεθίζων αὐτοὺς καὶ διεγείρων πρὸς ἐπιθυμίαν ἀκροάσεως ἀναπεπτωκότας καὶ καθεύδοντας. ἀλλ᾽ οὐδὲ οὕτω προσεῖχον. οἱ δὲ μαθηταὶ προσέκειντο, καὶ ἀγνοοῦντες ἐνέμενον, δι᾽ αὐτὸ τοῦτο μάλιστα ὅτι ἠγνόουν. διὸ καὶ κατ᾽ ἰδίαν ἔλυεν αὐτοῖς τὰς παραβολάς. διὰ τοῦτο καὶ οὗτός φησι· κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. πρόβλημα δέ ἐστι λόγος συνεσκιασμένος καὶ αἰνιγματώδης. διὸ καὶ ἀλλαχοῦ φησι· Φθέγξομαι προβλήματα ἀπὸ καταβολῆς κόσμου. διὰ τοῦτο καὶ σοφίαν ἐτόλμησε καλέσαι, θαῤῥῶν τῇ θείᾳ ἀποκαλύψει. διὰ τοῦτο καὶ ἐν ψαλτηρίῳ φησὶ, τὸ πνευματικὸν ἐμφαίνων τῆς διδασκαλίας, τὴν ἄνωθεν κατοχὴν αὐτοῦ γινομένην. καὶ ἐν ᾄσματος τάξει ποιεῖται τὴν συμβουλὴν, ἡδύνων τὸν λόγον. εἶδες οἷον τὸ προοίμιον κατεσκεύασεν· ἐκάλεσε τὴν οἰκουμένην, ἐξέβαλε τὴν ἀνωμαλίαν τὴν ἐν τῷ βίῳ, ἀνέμνησε τῆς φύσεως, κατέστειλε τὰ φρονήματα, ὑπέσχετο μέγα τι καὶ γενναῖον ἐρεῖν, εἶπε μηδὲν οἴκοθεν φθέγγεσθαι, ἀλλ᾽ ἃ παρ᾽ ἐκείνου ἤκουσε, πολλὴν ᾐνίξατο ἐν τῷ λόγῳ τὴν ἀσάφειαν εἶναι προσεκτικωτέρους ποιῶν, πνευματικὴν ὑπέσχετο σοφίαν ἡμᾶς διδάξαι, ἣν διὰ παντὸς ἐμελέτα. προσέχωμεν τοίνυν καὶ μὴ παρατρέχωμεν. εἰ γὰρ σοφὸς ὁ λόγος, καὶ παραβολὴ, καὶ πρόβλημα, διεγηγερμένης χρεία διανοίας. τίς οὖν ἡ συμβουλὴ, καὶ τί τὸ πρόβλημα, τίς ἡ παραβολὴ, καὶ τίς ἡ σοφία, ἣν ἄνωθεν ἤκουσεν;

Ψαλ. οζ. β.

5 Ἵνα τί φοβοῦμαι, φησὶν, ἐν ἡμέρᾳ πονηρᾷ;

Ἄλλος, Ἐν ἡμέραις πονηροῦ. Ἄλλος, Κακοῦ. Ὁ δὲ Σύρος, Ρᾶ.

Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

Ἄλλος, Τῶν ἰχνέων μου. Ὁ δὲ Ἑβραῖος, Ἀὼν ἀκουθβαεὶ ἰσουββουνεί. Εἶδες πῶς πρόβλημα, καὶ αἴνιγμα, καὶ σκοτεινὸς ὁ λόγος, καὶ πολλὴ ἡ ἀσάφεια. ἀλλ᾽, εἰ δοκεῖ, πρότερον μάθωμεν ποίαν λέγει πονηρὰν ἡμέραν. ποίαν οὖν εἴωθε καλεῖν ἡ γραφὴ ἡμέραν πονηράν; τὴν τῶν συμφορῶν, τὴν τῶν κολάσεων, τὴν τῶν περιστάσεων· ὃ καὶ ἀλλαχοῦ φησι· Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. τοιαύτη δέ ἐστιν ἡ μέλλουσα τοῖς ἁμαρτωλοῖς, ἡ φοβερὰ ἐκείνη καὶ ἀφόρητος. εἶδες φιλοσοφίας ὅρον τὸν ἀνωτάτω, καὶ πῶς διακρίνει σοι ὁ λόγος, [καὶ] ποῖα μὲν ἄξια φόβου, ποῖα δὲ καταγνώσεως. ἂν γὰρ μὴ ταύτην τις τὴν ἀρίστην ποιήσηται διαίρεσιν, καθάπερ ἐν σκότῳ βαθεῖ καὶ συγχύσει πραγμάτων περιφερόμενος ἀπορεῖται. ἂν μὴ διέλωμεν τίνα μὲν φοβεῖσθαι δεῖ, τίνα δὲ καταπτύειν, πολλὴ κατὰ τὸν βίον ἔσται ἡ πλάνη, πολὺς ὁ κίνδυνος. καὶ γὰρ ἐσχάτης ἀνοίας, φοβεῖσθαι τὰ μὴ ἄξια φόβου, καταγελᾷν δὲ ἃ φοβεῖσθαι δίκαιον. τούτῳ καὶ οἱ ἄνδρες τῶν παίδων διεστήκασιν, ὅτι ἐκεῖνοι μὲν (ἅτε ἐν ἀτελεῖ διανοίᾳ ὄντες) προσωπεῖα δεδοίκασι, καὶ ἀνθρώποις σάκκον περικειμένους· τὸ δὲ ὑβρίσαι πατέρα ἢ μητέρα, οὐδὲν εἶναι ἡγοῦνται. καὶ πυρὶ μὲν ἐπιπηδῶσι καὶ λύχνοις καιομένοις, ψόφους δέ τινας δεδίττονται οὐδὲν ἔχοντας δεινόν· οἱ δὲ ἄνδρες οὐδενὶ τούτων ἐπιστρέφονται. ἐπεὶ οὖν πολλοὶ παίδων εἰσὶν ἀνοητότεροι, διαίρεσιν ποιεῖται ταύτην, καὶ λέγει τίνα χρὴ φοβεῖσθαι· οὐ τὰ πολλοῖς δοκοῦντα φοβερὰ, πενίαν λέγω, καὶ ἀδοξίαν, καὶ νόσον (ταῦτα γὰρ οὐ μόνον τοῖς πολλοῖς φοβερὰ, ἀλλὰ καὶ ἐπαχθῆ καὶ φορτικά· ἀλλ᾽ οὐδὲν τούτων τίθησιν) ἀλλ᾽ ἁμαρτίαν μόνον. τοῦτο γάρ ἐστιν, ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. τοῦτο οὖν ἐστιν αἰνιγματώδης λόγος, τοῦτο καινὸς καὶ παράδοξος τρόπος. σφόδρα γὰρ καινὸν τοῖς πολλοῖς καὶ παράδοξον εἶναι δοκεῖ, τὸ λέγειν μὴ δεῖν τι φοβεῖσθαι τῶν ἐν τῷ βίῳ λυπηρῶν. τί οὖν

Ψαλ. μα.]

φοβοῦμαι, φησὶν, ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ; ἓν μόνον· μήποτε ἡ ἀνομία τῆς ὁδοῦ μου καὶ τοῦ βίου μου κυκλώσῃ με. οἶδε πτέρναν καλεῖν καὶ τὴν ἀπάτην ἡ γραφή. Ὁ ἐσθίων γὰρ μετ' ἐμοῦ, φησὶν, ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ πτερνισμόν. (Ψαλμ. μ. ι.) καὶ πάλιν ὁ Ἡσαῦ ἔλεγε περὶ τοῦ Ἰακώβ, Δεύτερον τοῦτο ἐπτέρνισέ με. (Γεν. κζ. λϛ.) Τοιοῦτον γὰρ ἡ ἁμαρτία, ἀπατηλὸν καὶ ἱκανὸν συναρπάσαι. (Ἑβρ. ιβ. α.) Ταύτην, φησὶ, δέδοικα τὴν ἀπατῶσάν με ἁμαρτίαν, τὴν κυκλοῦσάν με. διὸ καὶ ὁ Παῦλος εὐπερίστατον αὐτὴν καλεῖ, τὴν συνεχῶς περιβάλλουσαν δηλῶν, τὴν εὐκόλως, τὴν ῥᾳδίως. ἐν μὲν οὖν τούτοις τοῖς δικαστηρίοις πολλὰ δεδοίκασιν οἱ ἄνθρωποι, καὶ χρημάτων περιουσίαν, καὶ δυναστείαν, καὶ ἐπήρειαν, καὶ ἀπάτην· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἡ ἁμαρτία μόνον φοβερὸν, πανταχοῦ κυκλοῦσα τοὺς ἁλισκομένους, καὶ στρατοπέδων χαλεπώτερον. δεῖ μὲν οὖν πάντα ποιεῖν, ὥστε μὴ κυκλοῦσθαι ὑπ' αὐτῆς, ἀλλ' (ἐπειδὰν ἴδωμεν βουλομένην αὐτὴν ἡμᾶς περιβάλλειν) διαφθείρειν αὐτῆς τὰς λαβὰς, ὅπερ οἱ γενναῖοι τῶν στρατιωτῶν ποιοῦσιν· ἂν δὲ καὶ ἁλῶμεν, διακόπτειν ταχέως αὐτὴν, ὅπερ καὶ ὁ Δαβὶδ ἐποίησε, διατεμὼν αὐτῆς τὴν ἰσχὺν διὰ τῆς μετανοίας. (β. Βασ. ιβ. ιγ.) ἐκυκλώθη μὲν γὰρ ὑπ' αὐτῆς, ἀλλὰ ταχέως αὐτὴν διέφυγεν. ὁ τοῦτο δεδοικὼς, οὐδὲν ἄλλο φοβηθήσεταί ποτε· ἀλλὰ καταγελάσει τῶν ἐν τῷ παρόντι βίῳ χρηστῶν, ὑπερόψεται τῶν λυπηρῶν, τῷ φόβῳ μόνου ἐκείνου κατασείοντος αὐτοῦ τὴν διάνοιαν.. οὐδὲν γὰρ, οὐδὲν τῶν ἄλλων φοβερὸν τῷ τοῦτον κεκτημένῳ τὸν φόβον, οὐδὲ αὐτὸ τὸ κεφάλαιον τῶν φοβερῶν, ὁ θάνατος, ἀλλ' ἢ τοῦτο μόνον. πῶς; ὅτι γεέννῃ παραδίδωσιν, ὅτι πρὸς τὰς ἀθανάτους παραπέμπει τιμωρίας. τοῦτο πάλιν κατορθωθὲν ἅπασαν εἰσάγει τὴν ἀρετήν. ἐννόησον γὰρ ἡλίκον ἐστὶ, μὴ φυσᾶσθαι τοῖς χρηστοῖς, μὴ ταπεινοῦσθαι τοῖς λυπηροῖς, μηδένα τῶν παρόντων ποιεῖσθαι λόγον, πρὸς τὰ μέλλοντα ὁρᾷν, τὴν ἡμέραν ἀναμένειν ἐκείνην, τοιούτῳ φόβῳ συζῆν. ὁ τοιοῦτος, ἄγγελος ἔσται, τοῦτο μόνον δεδοικὼς, τῶν δὲ ἄλλων μηδέν. οὐδὲ γὰρ φοβηθήσεται τῶν ἄλλων τι, ἂν τοῦτο μόνον ᾖ δεδοικὼς ὡς δεδοικέναι χρή· ὥσπερ οὖν ὁ μὴ τοῦτο δεδοικὼς, πολλοῖς ὑποκείσεται φοβεροῖς.

6 Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ἄλλος, Ἀλαζονευόμενοι. 7 Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ, 8 Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. Καὶ ποία αὕτη ἀκολουθία, εἴποι τις ἄν; πολλὴ μὲν οὖν καὶ συνεχὴς καὶ σφόδρα τῶν ἔμπροσθεν ἐκκρεμαμένη. ἐπειδὴ γὰρ περὶ δικαστηρίου ὁ λόγος αὐτῷ, καὶ τῶν φοβερῶν ἐκείνων εὐθυνῶν, καὶ τῆς ἀδεκάστου ψήφου, πολλοὶ δὲ ἐν δικαστηρίοις τοῖς ὧδε τὸ δίκαιον διέφθειραν, καὶ δικαστὰς ὠνήσαντο, καὶ διέφυγον τὴν δίκην· ἀνακηρύττων ἐκείνης τῆς ψήφου τὸ ἀδέκαστον, καὶ τὸν φόβον αὔξων ὃν πρότερον εἴρηκε, ταῦτα ἐπήγαγε, δεικνὺς ὅτι καλῶς ἕνα φόβον εἶπε φοβεῖσθαι τὸν ἀπὸ τῆς ἁμαρτίας, ἄλλον δὲ μηδένα. οὐ γάρ ἐστιν ἐκεῖ χρήμασι διαφθεῖραι τὸ δίκαιον· οὐδὲ καταβαλόντα δῶρα ἐξαρπάσαι τῆς γεέννης ἑαυτόν· οὐδὲ προστασία καὶ συνηγορία σώζει, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν. κἂν γὰρ πλούσιος ᾖς, κἂν δυνάστης, κἂν τινι γνώριμος, ταῦτα πάντα εἰκῆ καὶ μάτην. ἀπὸ τῶν ἔργων ἕκαστος ἐκεῖ καὶ κολάζεται καὶ στεφανοῦται. ἐπεὶ καὶ ὁ ἐπὶ τοῦ Λαζάρου σφόδρα πλούσιος ἦν, ἀλλ' οὐδὲν αὐτὸν ὁ πλοῦτος ὤνησε· (Λουκ. ιϛ. ιθ.) καὶ αἱ παρθένοι γνωρίμους εἶχον τὰς παρθένους, ἀλλ' οὐδὲν αὐτὰς ἡ οἰκείωσις ὠφέλησεν. (Ματθ. κε. α.) ἓν γάρ ἐστιν ἐκεῖ τὸ ζητούμενον μόνον. ὑμεῖς τοίνυν, φησὶν, οἱ τῷ πλούτῳ θαρροῦντες, καὶ δυναστείαν περιβεβλημένοι, εἰκῆ καὶ μάτην φυσᾶσθε. οὐδὲ γὰρ διαβήσεται μεθ' ὑμῶν εἰς ἐκεῖνο τὸ δικαστήριον ἡ τῶν χρημάτων προστασία, οὐδὲ ἡ τῆς δυναστείας ἰσχύς· ἀλλ' οὐδὲ οἰκειότης καὶ συγγένεια, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν ὑμᾶς ἐξαιρήσεται. οὐκ

ἐστιν

ἔστιν ἐκεῖ καταβαλόντα χρήματα, οὐδὲ ἐξιλασμόν, οὐδὲ τιμὴν ψυχῆς, καταθεῖναί ποτε.
Λουκ. ις. θ. τί οὖν, ὅτι φησὶν ἡ γραφή, Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, ὅπως δέξωνται
ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς; τί ποτέ ἐστι τὸ εἰρημένον; οὐδὲν ἐναντίον οὐδὲ μαχόμενον
τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συμφωνοῦν. φίλους γὰρ ἐνταῦθα δεῖ ποιεῖν
ἐν τῷ παρόντι βίῳ, χρήματα καταβάλλοντας, τὰ ὄντα δαπανῶντας εἰς τοὺς δεομένους.
οὐδὲν οὖν ἄλλο ἐνταῦθα, ἢ ἐλεημοσύνην δαψιλῆ αἰνίττεται. ὡς ἐὰν ἀπέλθῃς ἐκεῖ
μηδὲν τούτων ἐργασάμενος, οὐδείς σου προστήσεται. οὐδὲ γὰρ ἡ φιλία ἐκείνων ἡμῖν προΐσταται,
ἀλλὰ τὸ ἐκ τοῦ μαμωνᾶ γενέσθαι φίλους. διὰ τοῦτο προσέθηκε, φίλους ἐκ
τοῦ μαμωνᾶ, ἵνα μάθῃς ὅτι αὐτά σου τὰ ἔργα φείσεται, ἡ ἐλεημοσύνη, ἡ φιλανθρωπία,
ἡ εἰς τοὺς δεομένους φιλοτιμία. ἐπεὶ ὅτι γε οὔτε συγγένεια, οὔτε οἰκειότης ὠφελεῖ τι χωρὶς
Ἰεζεκ. ιδ. ιδ. ἔργων, ἄκουσον τί φησιν ὁ προφήτης· Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ
θυγατέρας οὐ μὴ ῥύσονται. καὶ τί λέγω ἐν τῷ μέλλοντι, ὅπουγε καὶ ἐν τῷ παρόντι βίῳ οὐδὲν
α. Βασ. ιε. λε. ὤνησε φιλία; πόσα γοῦν ἀπωδύρατο καὶ ἐθρήνησεν ὁ Σαμουήλ, καὶ τὸν Σαοὺλ οὐκ ἐξήρπασε;
Ἱερεμ. ιδ. ζ. ια. πόσα δὲ ὁ Ἱερεμίας ηὔξατο, καὶ τοὺς Ἰουδαίους οὐδὲν ὤνησεν, ἀλλὰ καὶ ἐπετιμήθη εὐχόμενος;
Ἱερεμ. ιε. α. καὶ τί θαυμάζεις εἰ Ἱερεμίας οὐδὲν ὀνίνησιν, ὅπουγε οὐδὲ τὸν Μωϋσέα λέγει, εἰ καὶ
ἐκεῖνο καιροῦ ἦν, δύνασθαι σῶσαι τοὺς τότε Ἰουδαίους, ἐπειδὴ τὰ τῆς κακίας ἐκράτησε, καὶ
Ῥωμ. ι. α. οὐδὲν οἴκοθεν εἰσήνεγκαν; πόσα περὶ Ἰουδαίων ὁ Παῦλος ἐθρήνει λέγων· Ἀδελφοί, ἡ
μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν;
Ῥωμ. θ. γ. τί οὖν ἴσχυσεν αὐτοῦ ἡ δέησις; οὐδέν. καὶ τί λέγω, δέησις; ὅπουγε καὶ ἀνάθεμα ηὔχετο
εἶναι ὑπὲρ αὐτῶν. τί οὖν; περιτταὶ γοῦν εἰσιν αἱ τῶν ἁγίων εὐχαί; οὐδαμῶς· ἀλλὰ καὶ
σφόδρα ἰσχὺν ἔχουσαι, ὅταν αὐταῖς καὶ σὺ βοηθῇς. οὕτως ἀνέστησε τὴν Ταβιθὰν ὁ Πέτρος,
οὐκ εὐχῇ μόνον, ἀλλὰ καὶ τῇ ἐκείνης ἐλεημοσύνῃ. οὕτως ἑτέρων προέστησαν εὐχόμενοι
οἱ ἅγιοι. καὶ τοῦτο μὲν ἐνταῦθα, ἔνθα τὰ σκάμματα καὶ τὰ παλαίσματα· ἐκεῖ δὲ
οὐδὲν τούτων, ἀλλ' ἀπὸ τῶν ἔργων ἡ σωτηρία μόνον. σφόδρα δέ μοι καὶ κωμῳδεῖ τοὺς πλουτοῦντας
ἐνταῦθα, καὶ τοὺς πεφυσημένους. οὐδὲ γὰρ εἶπεν, οἱ ἔχοντες χρήματα, οὐδέ, οἱ
δύναμιν κεκτημένοι, ἀλλ', οἱ πεποιθότες ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν, καὶ ἐπὶ
τῇ δυνάμει αὐτῶν καυχώμενοι· καταγελῶν αὐτῶν καὶ καθαπτόμενος, ὅτι σκιαῖς πεποίθασι,
καὶ ἐπὶ καπνῷ μεγαφρονοῦσι. καὶ καλῶς εἶπε· τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς
Ματθ. ις. κς. αὐτοῦ οὐ δώσει. τιμὴ γὰρ ψυχῆς, οὐδὲ ὁ κόσμος ὅλος. διὸ καὶ ἔλεγε· Τί ὠφελεῖται ἄνθρωπος,
ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἵνα δὲ μάθῃς, ὅτι
οὐδὲ ὁ κόσμος ὅλος ψυχῆς τιμή, ἄκουσον καὶ περὶ ἑτέρων ἁγίων τί φησιν ὁ Παῦλος. Περιῆλθον
Ἑβρ. ια. λζ. ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν
οὐκ ἦν ἄξιος ὁ κόσμος. καὶ γὰρ διὰ τὴν ψυχὴν ὁ κόσμος. ὥσπερ οὖν οὐκ ἂν ἕλοιτο πατὴρ
τὴν οἰκίαν ἀντὶ τοῦ παιδός, οὕτως οὐδὲ ὁ Θεὸς τὸν κόσμον ἀντὶ ψυχῆς· ἀλλ' ἔργων
χρεία καὶ κατορθωμάτων. βούλει μαθεῖν ὅση τῶν ἡμετέρων ψυχῶν ἡ τιμή; μέλλων αὐτὴν
ὁ μονογενὴς λυτροῦσθαι, οὐ κόσμον ἔδωκεν, οὐκ ἄνθρωπον, οὐ γῆν, οὐ θάλατταν, ἀλλὰ τὸ
α. Κορ. ζ. κγ. αἷμα αὐτοῦ τὸ τίμιον. διὸ καὶ Παῦλος ἔλεγε· Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.
εἶδες τιμῆς μέγεθος. ὅταν τοίνυν τὴν τοσούτου ἀγορασθεῖσαν ἀπολέσῃς, πῶς
Ῥωμ. ς. θ. λοιπὸν αὐτὴν σὺ ὠνήσασθαι δυνήσῃ; Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει.
εἶδες τὸ πολυτελὲς τῆς τιμῆς, εἶδες τὸ ἀξίωμα τῆς ψυχῆς. μὴ τοίνυν αὐτῆς καταφρόνει,
μηδὲ αἰχμάλωτον ποίει.

Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Ἕτερος ἑρμηνευτής φησι, Καὶ ἐπαύσατο εἰς αἰῶνα. Ἄλλος, Ἀλλὰ παυσάμενος τῷ αἰῶνι τούτῳ, ζῶν εἰς αἰῶνα διατελέσαι. Ἐπειδὴ γὰρ εἶπε περὶ τῶν πλουτούντων, ἐπειδὴ εἶπε περὶ τῶν δυναστῶν, καὶ ἔδειξεν ὅτι οὐδὲν ἐκεῖθεν κέρδος ἐστὶ, λέγει λοιπὸν περὶ τῶν ἐν ἀρετῇ βεβιωκότων, περὶ τῶν ἐν πόνῳ καὶ ταλαιπωρίᾳ, ἀλείφων τοὺς ἀθλητὰς τῆς φιλοσοφίας. μὴ γάρ μοι λέγε τοῦτο, φησὶν, ὅτι κόπον ἔχει καὶ μόχθον· ἀλλ' ἐννόησον τὸν καρπὸν, ὅτι ἄνθρωπος ἀθάνατος γίνεται, ὅτι ζωὴ ἀθάνατος διαδέξεται, ζωὴ τέλος οὐκ ἔχουσα. πόσῳ τοίνυν βέλτιον ἐνταῦθα μικρὸν πονήσαντας, αἰώνιον καρποῦσθαι ἄνεσιν, ἢ χαρισάμενον ἑαυτῷ μικρὸν, διαπαντὸς ἐν ὀδύναις εἶναι; Εἶτα δεικνὺς ὡς οὐκ ἐκεῖ μόνον τὰ τῶν βραβείων καὶ τῶν στεφάνων, ἀλλὰ καὶ ἐντεῦθεν τὰ προοίμια τῶν ἐπάθλων, ἐπάγει λέγων·

9 Οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας.

Μὴ γάρ μοι λέγε, τὰ μέλλοντα λέγεις μόνον. ἐνταῦθά σοι δίδωμι τὰ ἐνέχυρα τῶν στεφάνων, μᾶλλον δὲ αὐτὸν τὸν ἀῤῥαβῶνα καὶ τὰ ἔπαθλα. πῶς, καὶ τίνι τρόπῳ; ὅτι ὁ φιλοσοφῶν, καὶ ταῖς τῶν μελλόντων ἐλπίσιν ὀρθούμενος, οὐδὲ τὸν θάνατον ἡγήσεται θάνατον· ἀλλ' ὁρῶν πρὸ τῶν ὀφθαλμῶν κείμενον τὸν τεθνηκότα, οὐ πείσεται τὰ τῶν πολλῶν ὁ τοιοῦτος, τοὺς στεφάνους ἀναλογιζόμενος, τὰ βραβεῖα, τὰ ἀπόῤῥητα ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, τὴν ζωὴν ἐκείνην, τὴν μετ' ἀγγέλων χορείαν. ὥσπερ οὖν ὁ γηπόνος τὸν σῖτον διαλυόμενον ὁρῶν οὐ καταπίπτει, οὐδὲ κατηφὴς γίνεται, ἀλλὰ τότε μάλιστα χαίρει καὶ γέγηθεν, εἰδὼς ὅτι ἡ διάλυσις ἐκείνη βελτίονος γίνεται γενέσεως ἀρχὴ, καὶ πλείονος ὑπόθεσις φορᾶς· οὕτω καὶ ὁ δίκαιος κατορθώμασι κομῶν, καὶ τὴν βασιλείαν καθ' ἑκάστην προσδοκῶν τὴν ἡμέραν, ὅταν ἴδῃ τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν κείμενον, οὐκ ἀλύει, καθάπερ οἱ πολλοὶ, οὐ θορυβεῖται καὶ ταράττεται. οἶδε γὰρ ὅτι θάνατος τοῖς ὀρθῶς βεβιωκόσι, μετάστασίς ἐστιν ἐπὶ τὰ βελτίω, καὶ ἀποδημία πρὸς τὰ ἀμείνω, καὶ δρόμος ἐπὶ τοὺς στεφάνους. τίνας δὲ λέγει σοφούς; οὐ τοὺς ὄντως σοφοὺς, ἀλλὰ τοὺς νομιζομένους σοφούς. ἐμοὶ δὲ δοκεῖ τοὺς τῶν ἔξωθεν σοφοὺς λέγειν, κωμῳδῶν αὐτοὺς καὶ ἐντεῦθεν, ὅτι δοκοῦντες εἶναι σοφοὶ ἐμωράνθησαν, οὐδὲν περὶ ἀναστάσεως φιλοσοφήσαντες. ὅταν οὖν ἴδῃ τοὺς φιλοσόφους ἐκείνους ἀπολλυμένους, θρηνουμένους, δακρυομένους, μετ' οἰμωγῆς ἐκπεμπομένους· τότε αὐτὸς οὐδὲν πείσεται τοιοῦτον, ἀλλὰ ἀνώτερος ἔσται τῶν τοιούτων βελῶν, ταῖς χρησταῖς ἐλπίσιν ὀρθούμενος, καὶ εἰδὼς ὅτι ἡ διαφθορὰ αὕτη οὐκ ἔστι τῆς οὐσίας ἀναίρεσις, ἀλλὰ τῆς θνητότητος δαπάνη, καὶ τῆς φθορᾶς ἀνάλωμα. ὁ γὰρ θάνατος οὗτος οὐ τὸ σῶμα ἀπόλλυσιν, ἀλλὰ τὴν φθορὰν δαπανᾷ· ὡς ἥ γε οὐσία μένει μετὰ πλείονος ἀνισταμένη τῆς δόξης, ἀλλ' οὐχὶ πάντων. ἡ μὲν γὰρ ἀνάστασις, κοινὴ πάντων ἔσται· ἡ δὲ μετὰ δόξης ἀνάστασις, τῶν ὀρθῶς βεβιωκότων.

Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται, 10 Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα.

11 Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεὰν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. Ἄλλος, Τὰ ἐντὸς τῶν οἰκιῶν αὐτῶν εἰς αἰῶνα. Ἄλλος, Τὰς κατασκηνώσεις αὐτῶν εἰς γενεὰν, ὀνομάσαντες ἐπ' ὀνόμασιν αὐτῶν τὰς γαίας. Ὁ δὲ Ἑβραῖος Ἀληαδαμὼθ τοῦτο εἶπεν. Εἶδες πῶς οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλὰ καὶ ἀπὸ τῶν ἐνταῦθα συμβαινόντων ἀπάγει κακίας καὶ πλεονεξίας, καὶ χειραγωγεῖ πρὸς ἀρετὴν, καταλύων τὴν περὶ τὰ χρήματα μανίαν, καὶ τοὺς πρὸς τὰ παρόντα ἐπτοημένους ἀνοήτους καλῶν, καὶ διὰ τῶν πραγμάτων τοῦτο ἀποδεικνύς. τί γὰρ ἀνοητότερον, εἰπέ μοι, ἀνθρώπου πονοῦντος, καὶ ταλαιπωρουμένου, καὶ τοσαῦτα συνάγοντος, ὥστε ἑτέρους ἐντρυφᾷν τοῖς αὐτοῦ πόνοις; τί δὲ τῆς ματαιοπονίας ταύτης χεῖρον; ὅταν αὐτὸς μὲν ἀπέλθῃ

τὸν

τοὺς ἱδρῶτας ἀνασχόμενος, καὶ τοὺς καμάτους ὑπομείνας, ἑτέροις δὲ παρέχει τὴν ἀπόλαυσιν, καὶ οὐδὲ οἰκείοις τισὶ καὶ γνωρίμοις, ἀλλὰ πολλάκις ἐχθροῖς καὶ πολεμίοις; διὰ τοῦτο οὐκ εἶπεν, ἑτέροις, ἀλλ' ἀλλοτρίοις καταλείψουσι τὸν πλοῦτον αὐτῶν. Τί δέ ἐστιν, ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται; μετὰ τῶν ἔμπροσθεν εἰρημένων φησίν. ἐνταῦθα γάρ μοι τὸν περὶ τῶν ἀσεβῶν δοκεῖ κινεῖν λόγον, τῶν πρὸς τὰ παρόντα ἐπτοημένων, καὶ οὐδὲν περὶ τῶν μελλόντων φιλοσοφούντων, ἀνοήτους αὐτοὺς καὶ ἐντεῦθεν καλῶν. Εἰ γὰρ μηδὲν [ἡ γῆ] μετὰ ταῦτα ἔσται, τίνος ἕνεκεν σαυτὸν κόπτεις, καὶ ταλαιπωρῇ, μυρία συνάγων πανταχόθεν χρήματα, καὶ τοὺς μὲν πόνους ὑπομένων, τῆς δὲ ἀπολαύσεως οὐ μετέχων; καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. τοῦτο κατὰ τὴν ὑπόνοιαν ἐκείνων φησί. σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. Τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν χεῖρον, τὸ τοὺς τάφους οἰκίαν νομίζειν διηνεκῆ, τὸ φιλοτιμεῖσθαι περὶ ταῦτα; πολλοὶ γοῦν πολλάκις τοὺς τάφους τῶν οἰκιῶν λαμπροτέρους εἰργάσαντο. ἢ γὰρ τοῖς πολεμίοις πονοῦσι καὶ ταλαιπωροῦνται, ἢ τῷ σκώληκι καὶ τῇ κόνι, εἰς οὐδὲν δέον ταῦτα ἀναλίσκοντες. τοιαύτη γὰρ τῶν οὐδὲν περὶ τῶν μελλόντων ἐλπιζόντων ἡ φρόνησις. ἀλλ' ἐνταῦθά μοι στενάξαι ἔπεισιν, ὅτι πολλοὶ καὶ τῶν τὰ μέλλοντα ἐλπιζόντων κατὰ τοῦτο ἐκείνους μιμοῦνται τοὺς οὐδεμίαν περὶ τῶν μελλόντων ἔχοντας ἐλπίδα, τάφους οἰκοδομοῦντες, καὶ λαμπρὰ σήματα ποιοῦντες, καὶ χρυσίον κατορύττοντες, καὶ εἰς ἑτέρους τὰ ὄντα παραπέμποντες, κατὰ τοῦτο ἐκείνων χείρους ὄντες. ὁ μὲν γὰρ οὐδὲν προσδοκῶν μετὰ ταῦτα, εἰ καὶ αὐτὸς ἀλόγως, ἀλλ' ὅμως διὰ τὸ μηδὲν προσδοκᾶν, περὶ τὰ παρόντα φιλοπονεῖται· σὺ δὲ ὁ τὴν μέλλουσαν ζωὴν εἰδώς, ἄνθρωπε, καὶ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ἀπόρρητα κατὰ τὴν ῥῆσιν ἐκείνην τὴν εὐαγγελικήν, Ὅτι τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος· ποίαν ἂν σχοίης συγγνώμην, τίνα ἀπολογίαν, ποίαν δὲ οὐκ ἂν ὑποσταίης δικαίως κόλασιν, πάντα ἐνταῦθα καταδαπανῶν εἰς τὴν κόνιν, εἰς τὴν τέφραν, εἰς τὰ σήματα, εἰς τοὺς πολεμίους, εἰς τοὺς ἐχθρούς; ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. ἰδοὺ καὶ ἑτέρας ἀνοίας εἶδος, τὸ περιτιθέναι τὰς προσηγορίας ἑαυτῶν οἰκοδομήμασι, καὶ ἀγροῖς, καὶ λουτροῖς, καὶ μεγίστην ἐντεῦθεν καρποῦσθαι παραμυθίαν [νομίζειν,] καὶ τὴν σκιὰν διώκειν ἀντὶ τῆς ἀληθείας. εἰ γὰρ μνήμης ἐρᾷς διηνεκοῦς, μὴ ὀνόματα περιθῇς οἰκοδομήμασιν, ἄνθρωπε, ἀλλ' ἀνάστησον τρόπαια κατορθωμάτων, ἃ καὶ ἐν τῷ παρόντι σοι βίῳ τὸ ὄνομα διατηρεῖ, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν ἀθάνατόν σοι κατασκευάζει τὴν ἀνάπαυσιν. εἰ μνήμης ἐρᾷς καὶ ἐπιθυμεῖς, ἐγώ σε διδάσκω τὴν ἀληθῆ καὶ σαφεστάτην ὁδόν. ἀρετῆς ἐπιμελοῦ. οὐδὲν γὰρ οὕτως ἀθάνατον ὄνομα ποιεῖ, ὡς ἀρετῆς φύσις. καὶ τοῦτο δηλοῦσιν οἱ μάρτυρες, δηλοῖ τῶν ἀποστόλων τὰ λείψανα, δηλοῖ τῶν ἐν ἀρετῇ βεβιωκότων ἡ μνήμη. πόσοι βασιλεῖς πόλεις ἀνέστησαν, λιμένας κατεσκεύασαν, καὶ τὰ ὀνόματα ἐπιθέντες ἀπῆλθον, καὶ οὐδὲν ἀπώναντο, ἀλλὰ σεσίγηνται καὶ λήθῃ παραδέδονται; ὁ δὲ ἁλιεὺς Πέτρος οὐδὲν τούτων ἐργασάμενος, ἐπειδὴ ἀρετὴν μετῆλθε, καὶ τὴν βασιλικωτάτην κατέλαβε πόλιν, ὑπὲρ τὸν ἥλιον λάμπει καὶ μετὰ τελευτήν. ὃ δὲ σὺ ποιεῖς, καταγέλαστον καὶ αἰσχύνης γέμον. οὐ γὰρ μόνον λαμπρὸν ταῦτα οὐκ ἐργάζεταί σε τὰ μνημεῖα, ἀλλὰ καὶ καταγέλαστον, καὶ τὰ πάντων ἀνοίγει στόματα. αἱ γὰρ οἰκοδομαὶ, τῷ χρόνῳ "δυναμένην σου τὴν πλεονεξίαν λήθῃ παραδοθῆναι, ὥσπερ στῆλαι καὶ τρόπαιά σου τῆς πλεονεξίας" ἑστήκασι πανταχοῦ.

Ματθ. ιγ. μγ.

12 Καὶ ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Ἐνταῦθά μοι λοιπὸν ἀποδύρεσθαι ὁ προφήτης δοκεῖ, ὅτι τὸ ζῶον τὸ λογικόν, τὸ * τὴν βασιλείαν τὴν ἐπὶ γῆς ἐγχειρισθέν, πρὸς τὴν τῶν ἀλόγων εὐτέλειαν ἐξέκλινε, ματαιοπονοῦν, ἐναντία τῇ σωτηρίᾳ τῇ ἑαυτοῦ κατασκευάζον, κενοδοξίαν διῶκον, πλεονεξίαν μετιόν, ἀνήνυτα πονοῦν. τιμὴ γὰρ ἀνθρώπου ἀρετή, καὶ τὸ περὶ τῶν μελλόντων φιλοσοφεῖν, καὶ πρὸς ἐκείνην τὴν ζωὴν ἅπαντα πραγματεύεσθαι, καὶ τὸ τῶν παρόντων ὑπερορᾶν. ἡ μὲν γὰρ τῶν ἀλόγων ζωή, μέχρι τοῦ παρόντος συγκέκλεισται βίου· ἡ δὲ ἡμετέρα, πρὸς ἑτέραν ὁδεύει βελτίω, καὶ τέλος οὐκ ἔχουσαν. ἀλλ' οὗτοι οἱ περὶ τῶν μελλόντων οὐδὲν εἰδότες, τῶν ἀλόγων χείρους εἰσίν· οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ βίῳ διεφθαρμένῳ συζῶντες, ὄφεις γενόμενοι, καὶ σκορπίοι, καὶ λύκοι διὰ τῆς πονηρίας, καὶ ″βόες διὰ τῆς ἀνοίας, καὶ κύνες διὰ τῆς ἀναισχυντίας. τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τῶν περὶ τάφους καὶ μνήματα ἀσχολουμένων, καὶ πρὸς ὀνομάτων περισημείας ἑτέρων κεχηνότων; οὐδὲν γὰρ μνήμην ποιεῖ, ἀλλ' ἀρετὴ μόνη· οὐκ ἀνδριάς, οὐ πόλις, οὐ παιδία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ἡ μὲν γὰρ τῆς τοῦ τέκτονος σοφίας ἐστὶν ἔργον, ὁ δὲ τοῦ ἀνδριαντοποιοῦ, τὸ δὲ τῆς φύσεως ἔργον· σοῦ δέ, οὐδαμοῦ μνήμη. διὰ δὴ τοῦτο ἄλογον αὐτὸν ὁ προφήτης καλεῖ, ἐπειδὴ πρὸς τὸν τῆς ἀνοίας ὑποθεὶς ζυγὸν ἑαυτόν, ἄγεται τοῦ ἀλόγου χεῖρον. ἐκεῖνο μὲν γὰρ χρήσιμον καὶ πρὸς γεωργίαν ἐπιτήδειον· οὗτος δὲ τῇ ἀνοίᾳ ἑαυτὸν ὑποβαλών, καὶ ἐκείνου χείρων γέγονε κατὰ τοῦτο. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω τὸ παχὺ τῆς διανοίας αὐτῶν, τὸ γεῶδες, τὸ χαμαίζηλον, τὸν ἀνόητον περὶ τὰ χρήματα πόνον αὐτῶν, αὐξῆσαι βουλόμενος τῶν τοιούτων τὴν κατηγορίαν, καὶ τὰς παρὰ τοῦ Θεοῦ τίθησιν εὐεργεσίας, ὅπερ πολλαχοῦ ποιεῖν εἰώθασιν οἱ προφῆται. ἐπεὶ καὶ ὁ Ἡσαΐας μέλλων αὐτῶν κατηγορεῖν, πρῶτον λέγει τὴν παρὰ τοῦ Θεοῦ τιμὴν εἰς τοὺς Ἰουδαίους γεγενημένην, οὕτω γράφων· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. καὶ ἐνταῦθα * ὥσπερ διὰ μιᾶς λέξεως τὰ ὑπηργμένα τῷ γένει τῶν ἀνθρώπων παρὰ τοῦ Θεοῦ δηλῶν, ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, φησί. καὶ ποίαν λέγει τιμήν; ἄκουσον αὐτοῦ ἐν ἑτέρῳ ψαλμῷ λέγοντος· Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. εἶτα ἐξηγούμενος τὴν τιμήν, ἐπάγει· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα, καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. καὶ γὰρ μεγίστη τοῦτο τιμή, τὸ πάντων τῶν ὁρωμένων αὐτῷ τὰ σκῆπτρα ἐπιτρέψαι, καὶ ταῦτα μηδέπω κατορθωκότι μηδέν. οὐδέπω γὰρ αὐτὸν πλάσας, ἔλεγε· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. εἶτα ἑρμηνεύων τό, κατ' εἰκόνα, ἐπήγαγε· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ. καὶ τὸν βραχὺν τοῦτον καὶ τρίπηχυν, καὶ τοσοῦτον τῶν ἀλόγων ἐλάττονα κατὰ τὴν τοῦ σώματος ἰσχύν, τῇ τοῦ λόγου συγγενείᾳ ὑψηλότερον πάντων ἐποίησε, λογικὴν ψυχὴν αὐτῷ χαρισάμενος· ὅπερ ἐστὶ μάλιστα τιμῆς τεκμήριον. διὰ γὰρ τοῦτο καὶ πόλεις ᾠκοδόμησε, καὶ θάλατταν ἔτεμε, καὶ γῆν ἐκαλλώπισε, καὶ τέχνας μυρίας ἐξεῦρε, καὶ τῶν ἀγριωτέρων ἀλόγων περιεγένετο, καὶ τὸ δὴ πάντων μέγιστον καὶ πρῶτον, τὸν ποιήσαντα αὐτὸν ἐπέγνω Θεόν, καὶ πρὸς ἀρετὴν ἐχειραγωγήθη, καὶ ἔγνω τί μὲν καλόν, τί δὲ οὐ τοιοῦτον. Θεῷ προσεύχεται τῶν ὁρωμένων μόνος· ἀποκαλύψεων ἀπέλαυσε, καὶ τοῦτο μόνος πάλιν· πολλὰ τῶν ἀπορρήτων ἔγνω, τὰ ἐν τοῖς οὐρανοῖς ἐπαιδεύθη. δι' αὐτὸν γῆ, δι' αὐτὸν οὐρανός, δι' αὐτὸν ἥλιος καὶ ἀστέρες, δι' αὐτὸν σελήνης δρόμοι, ″καὶ ὡρῶν καὶ τροπῶν διαφοραί· δι' αὐτὸν καρπῶν γενέσεις καὶ φυτά, καὶ ἀλόγων″ γένη τοσαῦτα· δι' αὐτὸν ἡμέρα καὶ νύξ· δι' αὐτὸν ἀπόστολοι καὶ προφῆται ἐπέμφθησαν, δι' αὐτὸν ἄγγελοι πολλάκις ἀπεστάλησαν. τί δεῖ τὰ πολλὰ λέγειν; οὐδὲ γὰρ δυνατὸν ἅπαντα ἐπελθεῖν. δι' αὐτὸν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἄνθρωπος

γέγονε.

αχήματα

* πόνω

ὴ ἀέρων δια-
φορὰ καὶ τρο-
ν ὁ χρόν.
δήμιος πο-
ται:

Ησ. α. β.

Ψαλ. η. ς.

Γεν. α. κς.

γέγονε, καὶ ἐσταυρώθη, καὶ ἐτάφη, καὶ τὰ φρικώδη θαύματα ἐκεῖνα μετὰ τὴν ἀνάστασιν γέγονε. δι' αὐτὸν νόμος, δι' αὐτὸν ὁ παράδεισος, δι' αὐτὸν ὁ κατακλυσμός (καὶ γὰρ καὶ τοῦτο μέγιστον τιμῆς εἶδος, ὃ καὶ εὐεργεσίαις καὶ τιμωρίαις αὐτὸν διορθοῦν) δι' αὐτὸν μυρίαι κατὰ τὸν ἔμπροσθεν χρόνον ἄπειροι οἰκονομίαι· καὶ αὐτὴ δὲ ἡ κρίσις ἡ μέλλουσα ἔσεσθαι, τῆς εἰς αὐτὸν τιμῆς ἕνεκα γίνεται. διὸ καὶ ὁ Ἰὼβ φησί· "Τί ἐστιν ἄνθρωπος, ὅτι ἤγαγες αὐτὸν εἰς κρίσιν; ὥσπερ ἀλλαχοῦ ὁ αὐτὸς ψαλμῳδὸς οὗτός φησι· Τί ἐστιν ἄνθρωπος, ὅτι ἐμνήσθης αὐτοῦ; δι' αὐτὸν πάλιν ὁ μονογενὴς ἧκε τὰ μυρία διδοὺς ἀγαθά. τὰ μὲν γὰρ ἔδωκεν ἤδη διὰ τοῦ βαπτίσματος, καὶ τῶν μυστηρίων, καὶ τῆς ἄλλης μυσταγωγίας· τὰ δὲ ὑπέσχετο δώσειν, βασιλείαν οὐρανῶν, ζωὴν αἰώνιον, κληρονόμους αὐτοῦ ποιήσειν, καὶ * συμβασιλεύσειν αὐτῷ. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. ταῦτ' οὖν ἅπαντα λογιζόμενος ὁ προφήτης, εἰκότως ἀλόγοις παραβάλλει τοὺς τὴν τοσαύτην εὐγένειαν τῇ κακίᾳ προδεδωκότας, καὶ πρὸς τὰ ἐκείνων αὐτομολήσαντας πάθη. ποιοῦσι δὲ αὐτὸ καὶ ἕτεροι πολλαχοῦ προφῆται, τῇ συγκρίσει τὸν ἀναίσχυντον ἀκροατὴν ἐντρέψαι βουλόμενοι. καὶ ὁ μὲν φησιν, Ἵπποι θηλυμανεῖς ἐγένοντο· ὁ δὲ, Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, χαλεπώτερον τοῦ Δαβὶδ τοῦτο λέγων. ὁ μὲν γὰρ Δαβίδ φησι· παρασυνεβλήθη τοῖς ἀνοήτοις· * ἐκεῖνος δὲ, ὅτι καὶ τούτων ἀλογώτεροι γεγόνασιν. ἐκεῖνα γὰρ ἔγνω τὸν κτησάμενον, Ἰσραὴλ δέ, φησιν, οὐκ ἔγνω. καὶ ἀλλαχοῦ δὲ ἕτερός τις σοφὸς ἀνήρ, χείρονα δεικνὺς καὶ μυρμήκων τὸν νωθῆ καὶ ἀναπεπλωκότα καὶ ὑπὸ ἀργίας διαφθειρόμενον, ἐκεῖ πέμπει μαθησόμενον φιλοπονεῖν· Ἴθι, λέγων, πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ. ἐκεῖνος γὰρ, γεωργίου μὴ ὑπάρχοντος αὐτῷ, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, καὶ πολλὴν ποιεῖται ἐν τῷ ἀμητῷ τὴν παράθεσιν. καὶ πρὸς τὴν μέλιτταν δὲ πάλιν ἰέναι κελεύει· Πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ μάθε ὡς ἐργάτις ἐστίν, ἧς τοὺς πόνους βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται. ἕτερος δέ φησιν· Οἱ ἄρχοντές σου, ὡς λύκοι τῆς Ἀραβίας. καὶ ἄλλος· Ἐκάθισας ἐν τῇ ἐρήμῳ, ὡς κορώνη. ὁ δὲ τοῦ Ζαχαρίου, [Ὄφεις,] γεννήματα ἐχιδνῶν λέγει, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; καὶ ἄλλος πάλιν· Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. ἀλλαχοῦ δὲ ὁ αὐτὸς οὗτός φησιν· Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. καὶ πάλιν· Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. τοιοῦτον γὰρ ἡ κακία· τὸν τοσοῦτον καὶ τηλικοῦτον, * πρὸς τὴν τῶν ἀλόγων " καταφέρει δυσγένειαν. διὸ καὶ ἐν τῷ παρόντι ψαλμῷ δύο κακίας ἐπιλεξάμενος εἴδη, καὶ τὰ ἄλλα τοὺς ἀκροατὰς ἀφεὶς συλλογίζεσθαι, οὕτω στίζει τοὺς ἁλόντας. τί γὰρ ἀνθρώπου γένοιτ' ἂν ἀλογώτερον, εἰκῇ καὶ μάτην, καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς τὴν οἰκουμένην περιτρέχοντος, καὶ συνάγοντος ἄπειρα χρήματα, οὐχ ἑαυτῷ, ἀλλ' ἑτέροις, ἀγνοουμένοις καὶ τούτοις, πολλάκις δὲ καὶ ἐχθροῖς καὶ ἐπιβούλοις; καὶ καλῶς εἶπε· καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. τί γὰρ ἀνοητότερον, ὅταν οὗτοι μὲν τὸν πόνον καὶ τὰς ἁμαρτίας ὑπομένωσι τὰς ἐκ τῆς συλλογῆς, ἑτέροις δὲ τῆς ἀπολαύσεως παραχωρῶσιν; εἶτα μετὰ τῆς φιλοχρηματίας καὶ τὴν κενοδοξίαν εἰς μέσον ἄγων, στίζει μετὰ πολλῆς τῆς σφοδρότητος, λέγων· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν. * τί τούτων ἀλογώτερον πάλιν, οἳ λίθοις, καὶ ξύλοις, καὶ ἀψύχῳ ὕλῃ τὴν ἑαυτῶν ἐγχειρίζουσι μνήμην, καὶ τὴν οἰκείαν ἐμπιστεύουσι δόξαν; καὶ γὰρ ὁλοκλήρους οὐσίας ἀνέτρεψαν, καὶ χήρας ἀπέδυσαν, καὶ ὀρφανοὺς ἥρπασαν, ὥστε τῷ σκώληκι λαμπρὰν ποιῆσαι τὴν οἰκίαν, καὶ τῷ σητὶ καὶ τῇ φθορᾷ λαμπροὺς οἰκοδομῆσαι περιβόλους· " τῷ νομίζειν ὑπὸ τούτων ἀθάνατον αὐτῶν ἔσεσθαι τὴν μνήμην, τῶν οὐδὲ τὰ σώματα μικρὰν καιροῦ ῥοπὴν κατασχεῖν δυνηθέντων.

Ιωβ.ιδ.γ.
Ψαλ.η.α.
β.Τιμ.β.ιβ. καὶ Ῥωμ.η.ιζ.
Ιερεμ.ε.η.
Ησ.α.γ.
Παροιμ.ϛ.ϛ.
Παροιμ.ϛ.η.
Σοφον.γ.δ.
Ιερεμ.γ.β.
Ματθ.γ.ζ.
Ησ.νθ.ε.
Ψαλ.ρλθ.γ.
Ψαλ.νζ.δ.

13 Αὐτ

13 Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς. Ποία αὕτη ὁδὸς, εἰπέ; ἡ περὶ τὰ τοιαῦτα σπουδὴ, ἡ ματαιοπονία, ἡ πολλὴ τῶν χρημάτων μανία, ἡ ἀκόρεστος τῆς δόξης μέθη. καὶ πρὸ τῆς κολάσεώς, φησι, τῆς μελλούσης, ἐνταῦθα αὐτοῖς σκάνδαλον καὶ ἐμπόδιον γίνεται. οὐ μικρὸν οὖν σκάνδαλον, οὐ μικρὸν ἐμπόδιον, οὐ μικρὸν κώλυμα αὕτη ἡ ὁδὸς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. διό φησιν, αὕτη ἡ ὁδὸς σκάνδαλον αὐτοῖς. καὶ καλῶς εἶπε σκάνδαλον αὐτοῖς τὴν ὁδόν· ἑαυτοὺς δεσμοῦσιν, ἑαυτοὺς συμποδίζουσι.

Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι.

Τὸ χαλεπώτατον καὶ τῶν λοιπῶν αἴτιον κακῶν τοῦτο ἐστιν, ὅπερ εἴρηκεν. οἱ γὰρ τοιαῦτα ἁμαρτάνοντες, καὶ πλημμελοῦντες, καὶ οὕτως ἀνοηταίνοντες, μακαρίζουσιν ἑαυτοὺς καὶ θαυμάζουσι καὶ ζηλωτοὺς εἶναί φασι, καὶ ἀρέσκονται τοῖς ʺ πεπραγμένοις. κακία δὲ ἐπαινουμένη καὶ παρ᾽ αὐτῶν τῶν ἐργαζομένων, ἐννόησον ἡλίκην λαμβάνει τῆς πονηρᾶς ἐπιθυμίας προσθήκην. εἰ γὰρ κακιζομένη, εἰ γὰρ ὑβριζομένη, εἰ γὰρ ἐλεγχομένη, εἰ γὰρ ʺ ἀπὸ τοῦ συνειδότος τῶν ὁπωσδήποτε νηφόντων μαστιγουμένη, ξαινομένη, μισουμένη, οὕτως ἀναισχύντως ἀνθεῖ, καὶ καθ᾽ ἑκάστην αὔξεται τὴν ἡμέραν· ὅταν μὴ μόνον τὰ κωλύοντα αὐτὴν μὴ ᾖ, οἷον ἡ κατηγορία, τοῦ συνειδότος ὁ ἔλεγχος, τὸ ἐπιλανθάνεσθαι τῶν γινομένων, τὸ μεταμέλεσθαι ἐν τοῖς ʺ πεπραγμένοις, τὸ καταδύεσθαι, τὸ ἐγκαλύπτεσθαι, τὸ στένειν, τὸ θρηνεῖν, ἀλλὰ τοὐναντίον ἅπαν, καὶ ἐπαινῶσιν ἑαυτοὺς οἱ ἐργαζόμενοι, καὶ ἐγκώμια ἑαυτῶν ὑφαίνωσι, καὶ τῶν ἄλλων βελτίους κατὰ τοῦτο αὐτὸ εἶναι νομίζωσι, καὶ μετὰ τὸ πρᾶξαι ἐπαινῶσι τὰ γεγενημένα (τοῦτο γάρ ἐστι, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι) ποῦ οὐκ ἂν ἐκτραπείεν; οὕτω γάρ εἰσι παραπλῆγες, οὕτω παραπαίουσιν, ʺ ὡς καὶ μετὰ τὴν πλήρωσιν τῆς ἐπιθυμίας, ὅτε μάλιστα ὁρῶντας τὴν παρανομίαν αἰσχύνεσθαι ἔδει, γαυριῶνται, κορυφοῦνται, ἀρέσκονται τῷ γεγενημένῳ. τοιοῦτον γὰρ ἡ ἁμαρτία· πρὸ μὲν τοῦ πραχθῆναι, συσκιάζει ἑαυτῆς τὸ εἰδεχθὲς, τῇ μέθῃ τῆς ἡδονῆς περιστέλλουσα αὐτῆς τὸ βδελυρόν· ἐπειδὰν δὲ πραχθῇ, καὶ ἡ μὲν ἡδονὴ τῆς ἐπιθυμίας κατὰ μικρὸν ἀναχωρήσῃ, ἡ δὲ τοῦ συνειδότος κατηγορία ἐπέλθῃ, γυμνοὺς μαστίζουσα τοὺς λογισμοὺς, τότε μάλιστα φαίνεται αὐτῆς τὸ βδελυρόν. οὗτοι δὲ οὐδὲ μετὰ τὸ πληρῶσαι· ἀλλ᾽ ὅταν ἴδωσι τὸν πλοῦτον ὀγκωθέντα, τοὺς τάφους ἐγηγερμένους, τὰς ματαίας οἰκοδομὰς ἀπηρτισμένας, δέον τότε γοῦν κατανυγῆναι καὶ στενάξαι, οἱ δὲ καὶ μετὰ ταῦτα, μετὰ τὸ ἔργον, μετὰ τὴν πλήρωσιν, τότε ἔτι μειζόνως νοσοῦσιν. ἐπεὶ οὖν τὰ παρ᾽ αὐτῶν οἴχεται, ἕπεται λοιπὸν τὰ παρὰ τοῦ Θεοῦ. ὥσπερ γὰρ οἱ κατακρίνοντες ἑαυτοὺς ἐφ᾽ οἷς ἁμαρτάνουσι, προλαμβάνοντες ἀποκρούονται τὴν παρὰ τοῦ Θεοῦ ψῆφον, καθάπερ καὶ Παῦλός φησιν· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· οὕτως οἱ νοσοῦντες ἀμεταμέλητα καὶ ἁμαρτάνοντες, μὴ καταγινώσκοντες δὲ ὧν ἐπλημμέλησαν, μετὰ πολλῆς τῆς σφοδρότητος ἐπισπῶνται τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἑαυτοῖς. ἐπεὶ οὖν καὶ οὗτοι ἢ τὰ ἀλλότρια ἁρπάζοντες, ἢ τὰ οἰκεῖα μάτην καὶ εἰκῇ δαπανῶντες, ἅπερ εἰς πένητας ἀναλίσκειν ἐχρῆν, εἰς τάφους καὶ σκώληκας καὶ σῆτας δαπανῶσι, καὶ οὐδὲ μεταμελοῦσιν ἐπὶ τοῖς γεγενημένοις, ἀλλ᾽ ἀνίατα μένουσι νοσοῦντες· ἄκουσον τί γίνεται λοιπόν. τί δὴ οὖν γίνεται; τιμωρίᾳ τῇ παρὰ τοῦ Θεοῦ δίδονται. διὸ ἐπήγαγεν·

γ. προηπομέ-
νοις.

γ. ὑπὸ

γ. ἐν τοῖς
προηπομένοις,

γ. ὅτι

α. Κορ. ια. λα.

14 Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο· Οὐ τὸ ἥμερον ἐνταῦθα διὰ τοῦ ὀνόματος τῶν προβάτων δηλῶν (τί γὰρ ἐκείνων ἀγριώτερον γένοιτ᾽ ἂν, τῶν περιορώντων μὲν γυμνὰ σώματα πενήτων καὶ γαστέρας τηκομένας λιμῷ, καλλωπιζόντων δὲ οἴκους φθορᾷ, καὶ σκώληκι, καὶ σητί) ἀλλὰ τὸ εὔκολον αὐτῶν τῆς ἀπωλείας, τὴν ἐξ ἐπιδρομῆς πανωλεθρίαν, τὸ εὐχείρωτον τοῖς ἐπιβουλεύουσιν. οὐδὲν γὰρ ἀσθενέστερον ἀνθρώπου κακίᾳ συζῶντος·

ὅπερ δὲ οὗτοι πείσονται, δὲ οὕτω κατακοπήσονται, οὕτως ἀπολοῦνται ἄρδην, καὶ εἰς τὸν ᾅδην ἀπελεύσονται ῥᾳδίως, εὐκόλως, συντόμως, ἀπονητί, ὡσανεὶ πρόβατα κατακοπτόμενα. τοῦτο θάνατος, μᾶλλον δὲ πρᾶγμα θανάτου πολὺ χαλεπώτερον. μετὰ γὰρ τὴν τοιαύτην τελευτήν, ἀθάνατος αὐτοὺς διαδέξεται θάνατος. διὰ τοῦτο οὐδαμοῦ εἰς κόλπους Ἀβραάμ, οὐδὲ εἰς ἄλλο χωρίον φαίνονται ἀπιόντες, ἀλλ' εἰς τὸν ᾅδην, τὸ τῆς τιμωρίας, τὸ τῆς κολάσεως, τὸ τῆς πανωλεθρίας ὄνομα. καὶ ἡ ἐνταῦθα αὐτῶν τελευτὴ εὐτελὴς δὲ εὐκαταφρόνητος, καὶ ἡ ἐκεῖ διατριβὴ κολάσεως γέμουσα. οὕτω δὲ ἡμῖν ἔθος λέγειν περὶ τῶν εὐκόλως ἀπολλυμένων, ὡς πρόβατον ὁ δεῖνα ἐσφάγη. ἐπειδὴ γὰρ ὡς ἄλογα ἔζων, καὶ ὡς ἄλογα ἀπόλλυνται, οὐκ ἔχοντες περὶ τῶν μελλόντων ἐλπίδα χρηστήν. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἐπὶ κακῷ,

Θάνατος ποιμανεῖ αὐτούς. Ἐνταῦθά μοι τὸν θάνατον δοκεῖ λέγειν τὴν ἀπώλειαν τὴν ἐκεῖ, τὴν τιμωρίαν, καθάπερ καὶ ἀλλαχοῦ φησι· Ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀπολεῖται· οὐ τὴν τοῦ εἶναι ἀναίρεσιν, ἀλλὰ τὴν τιμωρίαν παραδηλῶν. καὶ ἐπιμένει τῇ μεταφορᾷ τῆς λέξεως. ἐπειδὴ γὰρ εἶπε πρόβατα, ἔδειξεν αὐτῶν καὶ τὸν ποιμένα. τίς δὲ οὗτος; ὁ σκώληξ ὁ ἰοβόλος, τὸ σκότος τὸ ἀτελεύτητον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ βρυγμὸς τῶν ὀδόντων. ὅρα τοίνυν πανταχόθεν αὐτοὺς κολαζομένους· ἐν τῇ ζωῇ, ὅτι πρὸς ἀρετὴν ἐνεποδίσθησαν, ὅτι κακίας ἐγένοντο δοῦλοι καὶ αἰχμάλωτοι, καὶ περιττὸν ἐπόνησαν πόνον δὲ καταγέλαστον· ἐν τῇ τελευτῇ, ὅτι ἁπλῶς, καὶ ὡς ἔτυχεν ἀπώλοντο· ἐν τῷ καιρῷ τῷ μετὰ τὴν τελευτήν, ὅτι διὰ παντὸς ὑπὸ τῆς ἀπωλείας κατέχονται.

Ιεζεκ. ιη. κ.

15 Καὶ κατακυριεύσουσιν αὐτῶν ⓞἱ εὐθεῖς τὸ πρωΐ.

Ἐπειδὴ πολλοὶ τῶν παχυτέρων, δὲ πρὸς ἀναισθησίαν λίαν ἐκβεβηκότων, οὐκ ἔχουσι περὶ τῶν μελλόντων ἐλπίδα σαφῆ καὶ τετελειωμένην, ἀλλὰ πρὸς τὰ παρόντα κεχήνασι δὲ πρὸς τὰ ὁρώμενα, καταπλήττει τοὺς τοιούτους αἰνιγματωδῶς. εἶτα διὰ βραχέων τὰ μέλλοντα αἰνιξάμενος, πάλιν ἐπὶ τὴν ἐν τῷ παρόντι βίῳ γινομένην εὐτέλειαν αὐτῶν καὶ τιμωρίαν μετατίθησι τὸν λόγον, δεικνὺς αὐτῶν τὸ ἀσθενές, τὸ εὐτελές, τὸ εὐκαταφρόνητον, καὶ ὅτι κἂν μυριάκις πλουτῶσι, κἂν δυναστείαν ὦσι περιβεβλημένοι, ἐν τάξει δούλων καὶ ἀνδραπόδων τοῖς ἀρετὴν μετιοῦσιν εἰσί. διό φησι· κατακυριεύσουσιν αὐτῶν ⓞἱ εὐθεῖς τὸ πρωΐ· τουτέστι, ταχέως, διηνεκῶς, καὶ οὐδὲ χρόνου δεήσονται, οὐδὲ πόνου, οὐδὲ μηχανήσεώς τινος. τοιαύτη γὰρ τῶν πραγμάτων φύσις, τῇ ἀρετῇ τὴν κακίαν δουλεύειν, καὶ τρέμειν αὐτήν, καὶ δεδοικέναι, κἂν μυρία ἐπιτρίμματα αὕτη ἔχῃ δὲ πολλὰς τὰς ὑπογραφάς, ἐκείνη δὲ γυμνὴ ᾖ καὶ καθ' ἑαυτὴν ἀγωνιζομένη. καὶ μὴν τοὐναντίον ὁρῶμεν, φησι, τούτους ἐκείνων κρατοῦντας. ἀλλὰ μὴ τὸ σφάλμα τῆς τῶν πολλῶν διανοίας ἴδωμεν (τοῦτο γὰρ πεπλανημένης ὑπολήψεώς ἐστι ψῆφος) ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν ὀρθὴν κρίσιν διακρινήσωμεν, καὶ ὄψει τοῦτον κρατοῦντα τὸν λόγον. ἔστω γάρ τις πονηρὸς δεσπότης, καὶ οἰκέτης χρηστός· μᾶλλον δέ, εἰ βούλει, ἐφ' ἕτερον μεῖζον ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. ἔστω βασιλεὺς πονηρός, καὶ ἰδιώτης χρηστός· ἴδωμεν τίς τίνος κύριός ἐστι, καὶ ποῦ τὰ τῆς δεσποτείας διαλάμπει, τίς ὁ κρατῶν, καὶ τίς ὁ κρατούμενος. πῶς οὖν εἰσόμεθα τοῦτο; ἐπιταττέτω τῷ ἰδιώτῃ ὁ βασιλεὺς πονηρόν τι πρᾶγμα καὶ πλημμελείας γέμον. (τί οὖν; ὁ χρηστὸς ἰδιώτης καὶ ὑπήκοος οὐ μόνον οὐκ εἴξει, οὐδὲ ὑπακούσεται), ἀλλὰ πειράσεται καὶ τὸν ἐπιτάττοντα ἀπαγαγεῖν τοῦ προκειμένου, κἂν ἀποθανεῖν δέῃ. τίς οὖν ἐλεύθερος; ὁ ποιῶν ὃ βούλεται καὶ μηδὲ τὸν βασιλέα δεδοικώς, ἢ ὁ παρὰ τοῦ ὑπηκόου καταφρονούμενος; καὶ ἵνα μὴ ἐπὶ παραδείγματος ἀδιορίστου τὸν λόγον προαγάγωμεν, ἡ τοῦ Πετεφρῆ γυνὴ ἡ Αἰγυπτία, οὐχὶ βασιλὶς ἦν; οὐχὶ πάσης Αἰγύπτου ἐκράτει; οὐ-

γρ. προσέξει

Γεν. λθ. ζ.

καὶ συνοικοῦσαν εἶχε βασιλέα; οὐ πολλὴν περιεβάλλετο δυναστείαν; τί δὲ ὁ Ἰωσήφ; οὐ δοῦλος; οὐκ αἰχμάλωτος; οὐκ ἀργυρώνητος οἰκέτης; οὐ μετὰ πάσης τῆς παρατάξεως αὐτῆς ὡπλίσατο κατὰ τοῦ νεανίσκου, οὐχ ἑτέρῳ τὸν πόλεμον ἐγχειρίσασα, ἀλλ' αὐτὴ πρὸς τὴν παράταξιν ἐλθοῦσα; τίς οὖν ἐν δουλείᾳ τότε ἦν; τίς δὲ ἐν ἐλευθερίᾳ; ἡ δεομένη, καὶ παρακαλοῦσα, καὶ ἱκετεύουσα, καὶ οὐδὲ ἀνθρώπου, ἀλλὰ πονηροτάτου πάθους αἰχμάλωτος γενομένη· ἢ ὁ καταφρονῶν καὶ διαδήματος καὶ σκήπτρου καὶ ἁλουργίδος, καὶ τῆς φαντασίας ἁπάσης ἐκείνης, καὶ ἀνακόπτων αὐτῆς τὰ μηχανήματα; οὐχ ἡ μὲν ἀπῆλθε παρακρουσθεῖσα, καὶ ἑτέρῳ πάλιν πάθει γενομένη δούλη, τῷ θυμῷ τῷ ἀλόγῳ, τῇ μιαιφονίᾳ· ὁ δὲ ἐξῆλθε μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, καὶ ἐν αὐτῇ τῇ δουλείᾳ τὴν ἐλευθερίαν μειζόνως διαλάμπουσαν δεικνύς; οὐδὲν γὰρ οὕτως ἐλεύθερον, ὡς ἀρετή, οὐδὲν οὕτω δοῦλον, ὡς κακία. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησί τις· Σοφὸς οἰκέτης κρατήσει δεσποτῶν ἀφρόνων. ὥσπερ γὰρ αἰχμάλωτος, κἂν μυρίον ἔχῃ πλοῦτον, δι' αὐτὸ τοῦτο μάλιστα πᾶσίν ἐστιν εὐάλωτος· οὕτω καὶ ὁ ὑπὸ τῶν παθῶν ἁλισκόμενος, ἀράχνης ἐστὶν εὐτελέστερος. τί δὲ ἐν πολέμῳ, οὐχὶ τούτους ὁρῶμεν κρατοῦντας; τί δὲ ἐν πράγμασι, καὶ βουλαῖς, οὐ τὰ τούτων ἕστηκε, κἂν μηδεὶς ὁ πειθόμενος ᾖ; τί δὲ ἐν τοῖς μετὰ ταῦτα; οὐχ ὁ μὲν πλούσιος καθάπερ προσαίτης σταγόνα ᾔτει, καὶ οὐκ ἐπετύγχανεν· ὁ δὲ πένης, ἐπειδὴ σπουδαῖος καὶ ἐνάρετος ἦν, οὐκ ἐν μεγίστῃ εὐπραγίᾳ ἦν, τὴν αὐτὴν τῷ Ἀβραὰμ λῆξιν ἔχων; τί δὲ ἐπὶ τῶν ἀποστόλων; οὐχὶ δεσμούμενοι, μαστιγούμενοι, μυρία πάσχοντες δεινά, τῶν ταῦτα ποιούντων περιεγίνοντο; ἐννόησον γοῦν εἰς ὅσην αὐτοὺς ἀπορίαν ἐνέβαλον, ὡς ἐκείνους λέγειν, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; καί τοι δεδεμένους εἶχον, καὶ ἐν μέσῳ δικαστηρίων συνειλημμένους· καὶ οἱ μὲν ἐν τάξει δικαστῶν καὶ ἀρχόντων, οἱ δὲ ἐν τάξει δικαζομένων εἱστήκεσαν, ἀλλ' ὅμως οὗτοι τούτων ἐκράτησαν. καὶ πανταχοῦ εἴ τις μετὰ ἀκριβείας ἐπεξίοι τῷ λόγῳ, τὸν ἐνάρετον ὄψεται τοῦ πονηροῦ κρατοῦντα τὴν κυρίως κράτησιν, οὐ ταύτην τὴν τῶν πολλῶν, τὴν πεπλανημένην, καὶ ψευδῆ, καὶ ῥᾳδίως ἐλεγχομένην, ἀλλ' ἐκείνην τὴν πεπηγυῖαν καὶ ἀκίνητον.

Παροιμ. ιζ. β.

Λουκ. ις. κδ.

Ρωμ. η. λζ. καὶ β. Κορ. δ. η.

Πράξ. δ. ις.

Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ. Τουτέστιν, ἀσθενήσει. ὃ δὲ λέγει, τοῦτο ἐστιν. οὐ μόνον ἐνταῦθα εὐχείρωτοι ἔσονται, οὐδενὸς ἀμύνοντος, οὐδενὸς χεῖρα ὀρέγοντος, πᾶσι προκείμενοι· ἀλλὰ καὶ τὸ χαλεπώτερον, οὐδὲ ἐκεῖ ἕξουσι τὸν παριστάμενον, καὶ βοηθοῦντα, καὶ χεῖρα ὀρέγοντα, καὶ παραμυθούμενον αὐτῶν τὴν τιμωρίαν. οὕτω γοῦν οὔτε αἱ παρθένοι αἱ φρόνιμοι ταῖς μωραῖς βοηθῆσαι ἴσχυσαν· οὐχ ὁ Ἀβραὰμ τῷ πλουσίῳ, οὐ Νῶε, καὶ Ἰώβ, καὶ Δανιὴλ υἱοῖς καὶ θυγατράσι. τὸ γὰρ παλαιωθήσεται, ἀσθενήσει ἐστίν, ἀφανισθήσεται. Τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.

Ματθ. κε. θ.
Λουκ. ις. κε.
Ἰεζεκ. ιδ. ις.

Ἑβρ. η. ιγ.

Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Οὗ μάλιστα ἐπεθύμουν, δι' ὃ πάντα ἐποίουν καὶ ἐπραγματεύοντο, ὥστε καὶ μετὰ τελευτὴν δόξης ἀπολαῦσαι πολλῆς, διὰ τῶν χρημάτων, διὰ τῶν οἰκοδομημάτων, διὰ τῶν τάφων, διὰ τῶν ὀνομάτων τῶν ἐπικειμένων τοῖς τάφοις· καὶ τούτου, φησίν, ἐκπεσοῦνται, ὃ μάλιστα αὐτοὺς ἐλύπει ζῶντας, ταῦτα μανθάνοντας. αἱ γὰρ ἐνταῦθα οἰκοδομίαι, κατηγορίαι τῶν ἀπελθόντων εἰσί. καὶ γὰρ τὸ σῶμα τῇ γῇ κρύπτηται, ἀλλ' ὅμως οἱ λίθοι φωνὴν ἀφιᾶσι, καθ' ἑκάστην αὐτῶν κατηγοροῦντες ἡμέραν τῆς ὠμότητος, τῆς ἀναισχυντίας, τοὺς κοινοὺς ἐχθροὺς ἀνακηρύττοντες, τοὺς παριόντας ἀεὶ εἰς ἀρὰς ἐπισπώμενοι, καὶ ἐγκλήματα, καὶ διαβολάς. ποία οὖν αὕτη δόξα, καταλιμπάνειν κατήγορον μὴ σιγῶντα, ἀλλὰ διὰ τῆς ὄψεως τὰ πάντων ἀνοίγοντα στόματα, καὶ πρὸς τοὺς ὁρῶντας ἅπαντας καὶ παριόντας σφοδροτάτην ποιούμενοι τὴν ἐντυχίαν κατὰ τῶν οἰκοδομησαμένων; τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν ἴσον, ὁτὴν πονοῦσιν ἀφ' ὧν κολάζονται, ἀφ' ὧν καταισχύνονται, ἀφ' ὧν κατηγοροῦνται, ἀφ' ὧν καὶ μετὰ τελευτὴν παρὰ πολλῶν διορύττονται, ἀφ' ὧν αὐτοῖς ἀραὶ, καὶ διαβολαὶ, καὶ ἐγκλήματα μυρία καὶ παρὰ τῶν ἠδικημένων, καὶ τῶν οὐκ ἠδικημένων;

16 Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.

Εἰπὼν τῶν πονηρῶν τὰ ἐπίχειρα, τῆς ἁμαρτίας τὰ ὀψώνια, λέγει καὶ τὰ τῶν χρηστῶν ἔπαθλα (ὃ καὶ αὐτὸ καὶ ἑτέροις προφήταις ποιεῖν ἔθος) ὥστε ἑκατέρωθεν ῥυθμίζειν τὸν ἀκροατὴν, καὶ ἐκ τῆς κολάσεως τῶν ἁμαρτημάτων, καὶ ἐκ τῶν ἐπάθλων τῆς ἀρετῆς. τὰ μὲν οὖν ἐκείνων τοιαῦτα, φησι, ἀτιμία, ματαιοπονία, ἄνοια, γέλως, αἰσχύνη, πανωλεθρία, θάνατος, τιμωρία, κόλασις διηνεκὴς, τὸ εὐεπηρέαστον, τὸ καὶ δόξης καὶ ἀσφαλείας ἐκπεπτωκέναι καὶ ζῶντας, καὶ τελευτῶντας, τὸ διαβάλλεσθαι, τὸ κατηγορεῖσθαι, τὸ μηδεμίαν εὑρίσκειν παραμυθίαν κακῶν· τὰ δὲ ἡμέτερα τοὐναντίον ἅπαν· ἀπαλλαγὴ κολάσεως, ἐ- γ. ἄπονα·
λευθερία ψυχῆς, ἀσφάλεια, δόξα, τιμή. ταῦτα γὰρ ἅπαντα ᾐνίξατο, εἰπών· πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με· ᾅδην ἐνταῦθα τὴν κόλασιν λέγων, τὰς ἀφορήτους ἐκείνας ὀδύνας. ἐννόησον δὲ ἡλίκα καὶ τὰ τῆς τιμῆς, οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ἐπαγομένῳ. ὅταν γὰρ λαμβάνῃ με, φησι, τότε αὐτῶν ἀκριβέστερον ὄψομαι, ἢ νῦν.
β.Κορ. ιε.ζ. Νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους·
α.Κορ. ιγ.ιβ. Τότε δὲ, πρόσωπον πρὸς πρόσωπον· τῆς δὲ ψυχῆς λυτρουμένης καὶ τὸ σῶμα κοινωνήσει τῶν ἀγαθῶν. 17 Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ γ. καὶ
οἴκου αὐτοῦ. Τούτων οὕτως ἐχόντων, φησὶ, τί δέδοικας τὰ παρόντα; τί σε λυπεῖ πενία; τί φοβῇ τὸν εὔπορον; ἤκουσας τὰ περὶ τῆς ἀναστάσεως, καὶ τῆς τῶν ἀγαθῶν λήξεως, καὶ τῆς τῶν πονηρῶν τιμωρίας· τί δέδοικας λοιπὸν τὰς σκιάς; τὰ μὲν γὰρ μόνιμα καὶ πεπηγότα ἐκεῖνα· ταῦτα δὲ ἄνθεσι μαραινομένοις ἔοικε. διὸ καὶ πάντα τὰ ἄλλα ἀφεὶς, ἐπὶ τὴν ἀκρόπολιν τῶν κακῶν ἦλθε, τοῦ πλούτου τὴν ἐπιθυμίαν. ταύτης γὰρ κα- γ. ἐπίδοσιν,
ταβληθείσης, καὶ τὰ ἄλλα συγκαταλύεται. καὶ πῶς μὴ φοβηθῶ, φησι, τοσαῦτα δυναμένους; ὅτι πρόσκαιρος ἡ δυναστεία, μονόωρος ἡ ἰσχὺς, παρέρχεται ἡ εὐημερία, σκιὰς μιμεῖται καὶ ὀνείρατα τὰ χρήματα καὶ ὁ πλοῦτος καὶ ἡ τοσαύτη τιμή. διὸ καὶ ἐπήγαγεν·

18 Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα,

Τὴν αἰτίαν τιθεὶς τοῦ μὴ δεδοικέναι τὰ πρόσκαιρα. ἦλθεν ὁ θάνατος, φησι, τὴν ῥίζαν ἔτεμε, καὶ ἡ κόμη μετὰ τῶν φύλλων ἅπασα κατηνέχθη, καὶ πᾶσιν εὐχείρωτος ἡ οἰκία. καθάπερ οὖν πρόβατα καὶ αἶγες ἐπιτίθενται δένδρῳ κειμένῳ μετὰ τὴν τομήν· οὕτω δὴ καὶ ἐπὶ τῶν οὕτω πλουτούντων, πολλοὶ τῶν ἐχθρῶν, πολλοὶ τῶν φίλων, πολλοὶ τῶν εὐεργετηθέντων τὰ ἐκείνων λυμαινόμενοι εὑρίσκονται. καὶ ὁ τοσαῦτα περιβεβλημένος, καὶ τοσούτους οἰνοχόους, μαγείρους, κρατῆρας ἀργυροῦς, χρυσοῦς ἔχων, πλέθρα γῆς τόσα καὶ τόσα, οἰκίας, ἀνδράποδα, ἵππους, ἡμιόνους, καμήλους, στρατόπεδα οἰκετῶν, ἄπεισι μόνος, καὶ οὐδεὶς αὐτῷ συναπέρχεται, ἀλλ' οὐδὲ αὐτὰ λαμβάνων ἄπεισι τὰ ἱμάτια. καὶ γὰρ ὅσῳπερ ἂν λαμπρότερα περίκειται, τοσούτῳ δαψιλεστέραν ἄπεισι παρασκευάζων τοῖς σκώληξι τὴν τράπεζαν, καὶ πλείονα τοῖς τυμβωρύχοις τὴν ἐπιθυμίαν, καὶ μείζονα κατὰ τοῦ ἀθλίου σώματος τὴν ἐπιβουλὴν, δι' ὧν καλλωπίζει μειζόνως, διὰ τούτων ὑβρίζεσθαι σφοδρότερον αὐτὸ κατασκευάζων, τὰς χεῖρας τῶν ἀνορυττόντων τὰς θήκας ἐφ' ἑαυτὸν ὁπλίζων καὶ καλῶν. καὶ τί τοῦτό, φησιν; ἀλλ' ἐνταῦθα μεγάλα κομπάζει, καὶ φυσᾷ μέχρι τῆς τελευτῆς. μάλιστα μὲν πολλοὶ οὐδὲ μέχρι τῆς τελευτῆς, ἀλλ' ἐπιβούλων τινῶν ἐπιφυέντων αὐτοῖς μυρίων καταδίκων χαλεπώτερα ἔπαθον, καὶ τὰ χρήματα ἀφαιρεθέντες,

τες, καὶ ἀτιμίᾳ περιβληθέντες, καὶ δεσμωτήριον οἰκήσαντες. καὶ γὰρ ὁ χθὲς ἐν ὀχήματι, σήμερον ἐν ἁλύσει· ὁ χθὲς ὑπὸ κολάκων θεραπευόμενος, ὑπὸ δημίων κυκλοῦται νῦν· ὁ μύρων ὄζων, αἵματι περιῤῥεῖται· ὁ κατακείμενος ἐπὶ στρωμνῆς ἁπαλῆς, ἐπ᾽ ἐδάφους ἔῤῥιπται σκληροῦ· ὁ παρὰ πάντων θεραπευόμενος, παρὰ πάντων καταφρονεῖται. ἀλλὰ* μέχρι τελευτῆς, τὰ περὶ τῆς κηδείας αὐτῷ λαμπρότερα καὶ περιφανῆ. καὶ τί πρὸς ἐκεῖνον τὸν οὐκ αἰσθανόμενον; πλείων ἡ δυσωδία, μείζων ἡ βδελυγμία, σφοδρότερος ὁ φθόνος. καὶ γὰρ τελευτήσαντι διηνεκὴς τοῖς παιδίοις ὁ πόλεμος ἀπὸ τῆς πολυτελείας ἐκείνης. καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ ῥήματος, καὶ τὴν ἐπίτασιν τῆς φιλοσοφίας. οὐ γὰρ μόνον αὐτὸν ἐκ τοῦ μὴ συναποδημεῖν πλήττει, ἀλλὰ καὶ ἐνταῦθα αὐτὸν πάσης γυμνοῖ τῆς φαντασίας· καὶ οὐδὲ πλοῦτον ὄντα δείκνυσιν, οὐδ᾽ ὅταν ἀπολαύῃ αὐτοῦ ὁ κεκτημένος. οὐ γὰρ εἶπεν, ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ᾽ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ταῦτα γὰρ ἅπαντα ἅπερ ἀπηριθμησάμην, πηγαὶ, καὶ περίπατοι, καὶ βαλανεῖα, χρυσίον καὶ ἀργύριον, ἵπποι καὶ ἡμίονοι, καὶ τάπητες καὶ ἱμάτια, τοῦ οἴκου δόξα, οὐ τοῦ τὸν οἶκον οἰκοῦντος ἀνθρώπου. ἀνθρώπου γὰρ δόξα, ἀρετὴ, ὅθεν καὶ συναποδημεῖ τῷ κεκτημένῳ· αὕτη δὲ οἴκου δόξα μένει, μᾶλλον δὲ οὐδὲ μένει, ἀλλὰ μετὰ τοῦ οἴκου καὶ συγκαταλύεται, οὐδὲν τὸν ἐν αὐτῷ ἀναστραφέντα ὠφελήσασα. οὐδὲ γὰρ ἦν αὐτοῦ.

19 Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται.

Εἰπὼν περὶ τοῦ πλούτου αὐτοῦ καὶ τῆς δόξης, ἐπὶ τὸν τῶν εὐφημιῶν διαβαίνει λόγον. ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα τοῖς πλουσίοις περισπούδαστον, αἱ ἐν ἀγορᾷ κολακεῖαι, αἱ παρὰ τοῦ δήμου θεραπεῖαι, αἱ δημοτελεῖς εὐφημίαι, τὰ ὑποκρίσεως γέμοντα ἐγκώμια, καὶ μέγα εἶναι δοκεῖ τὸ καὶ ἐν θεάτροις, τὸ καὶ ἐν συμποσίοις, τὸ καὶ ἐν δικαστηρίοις κροτεῖσθαι, παρὰ πάντων ἀνακηρύττεσθαι, ζηλωτοὺς εἶναι νομίζεσθαι· ὅρα καὶ τοῦτο πῶς καθαιρεῖ πάλιν ἀπὸ τοῦ χρόνου. ἐν τῇ ζωῇ γὰρ αὐτοῦ, φησι, τουτέστιν, αὗται αἱ θεραπεῖαι, καὶ τὸ εὖ λέγεσθαι αὐτὸν μέχρι τοῦ παρόντος βίου· μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο συγκαταλύεται, ὡς πρόσκαιρον καὶ ἐπίκηρον. ἀλλὰ καὶ τηνίκα ἂν γένηται, " ἐκ προχῆς γινόμενον τῶν εὐφημούντων· μετὰ τελευτὴν εἰς τοὐναντίον μεθίσταται, ὅταν τὸ τοῦ φόβου προσωπεῖον περιαιρεθῇ. Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ. Ὅρα πῶς καὶ τὰς εὐεργεσίας αὐτῶν διαβάλλει. σὺ μὲν γὰρ κολακεύεις, καὶ θεραπεύεις ὑποκρινόμενος πρόσκαιρον τινα θεραπείαν καὶ ὑποκρίσεως γέμουσαν· ἐκεῖνος δὲ κἂν χάριτάς σοι ὁμολογήσει, ὠνούμενος παρὰ σοῦ τὸ τὰ ἀρέσκοντα αὐτῷ ποιεῖν, καὶ πολλοῦ τοῦτο ὠνούμενος. τότε γὰρ εὐχαριστήσει σοί, φησι (τὸ γὰρ ἐξομολογήσεται, τοῦτό ἐστιν) ὅταν ἀγαθύνῃς αὐτῷ, οὐκ εἶπεν, ὅταν τι χρήσιμον ἐργάσῃ, ὅταν εὐεργετήσῃς, ἀλλ᾽ ὅταν τὰ ἀρεστὰ αὐτῷ καὶ κατὰ γνώμην καὶ κατὰ νοῦν ὑπηρετήσῃς· δεικνὺς ὅτι ἑκατέρωθεν ἡ βλάβη, ἀπό τε τῆς πεπλασμένης κολακείας, ἀπό τε τῆς ἐπιβλαβοῦς διακονίας.

ρ. ἐκ τῆς ψυχῆς

20 Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

21 Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Εἰσελεύσεται, ἤγουν μιμήσεται τὸν τῶν πατέρων ζῆλον, καὶ ἐκ πονηρῶν ὢν, πονηρίαν διαδέξεται· ἢ ἀντὶ τοῦ, εἰ μὴ πράξας τι ἀγαθὸν, εὑρεθήσεται ἐκ τοῦ πλούτου οὐδὲν ὠφελούμενος. καταλείψεται δὲ τοὺς περὶ αὐτοῦ κειμένους ἐν κόνει ἄχρι τῆς κρίσεως, οὐδὲ φῶς ἰδεῖν δυνάμενος κατὰ τὸν τῆς φύσεως νόμον. Εἶτα πάλιν ἐπαναλαμβάνει τὰ προειρημένα, λέγων· καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὁ τοιοῦτός, φησιν, ὁ οὕτως ἀποθανὼν, ὁ μὴ διοικήσας δεόντως τὰ χρήματα, οὐδὲν διοίσει ἀλόγου, ὡς μὴ ἐπιγνοὺς ἣν

ἐδέξατο τιμὴν ἐκ Θεοῦ, ἀφομοιωθεὶς τοῖς κτήνεσιν, οἷς τὸ πέρας ἐστὶ τῆς ζωῆς, θάνατος μόνον· ὧν ῥυσθείημεν οἵ τε μανθάνοντες ταῦτα, καὶ οἱ διδάσκοντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. μθ. 1 ΘΕΟΣ ΘΕΩΝ ΚΥΡΙΟΣ ΕΛΑΛΗΣΕ, ΚΑΙ ἐκάλεσε τὴν γῆν, 2 Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

Ψαλμ. πα. α. ϛ.
α. Κορ. η. ε.
Ἐξοδ. κβ. κη.
Γεν. ϛ. β.
Λευϊτ. κδ. ιϛ.
Ἱερεμ. ι. ι.

ΚΑὶ ἀλλαχοῦ φησιν ὁ αὐτός· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· καὶ μετ' ὀλίγα· Ἐγὼ εἶπα, θεοί ἐστε. καὶ ὁ Παῦλος· Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, καὶ κύριοι πολλοί. καὶ ὁ Μωϋσῆς· Θεοὺς οὐ κακολογήσεις. καὶ ἀλλαχοῦ, Ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων. καὶ πάλιν ὁ αὐτός, Ὁ καταρώμενος θεόν, ἁμαρτίαν λήψεται· ὁ δὲ ὀνομάζων τὸ ὄνομα Κυρίου, λιθοβοληθήσεται. καὶ πάλιν· Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. τίνας οὖν δηλοῖ διὰ τοῦ ὀνόματος τούτου ἐν ἐκείναις ταῖς μαρτυρίαις; καὶ τίνας ἐνταῦθα λέγει θεούς; τοὺς ἄρχοντας. διὸ καὶ ἐπάγει· θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. λέγει καὶ τοὺς ἐκ προγόνου τινὸς ἐναρέτου γεγενημένους. ἐπεὶ γὰρ ὁ Ἐνὼς πολλὴν ἀρετὴν ἐπιδειξάμενος ἐκλήθη τῷ ὀνόματι τοῦ Θεοῦ, οἱ δὲ ἐξ ἐκείνου πάντες, καὶ οἱ ἔγγονοι τοῦ ἀδελφοῦ τοῦ ἐκείνου ἀλλήλοις ἐμίγνυντο, υἱοὺς Θεοῦ καλεῖ τοὺς τοῦ ἐναρέτου. Ἤρξατο γάρ, φησιν, ἐπικαλεῖσθαι τῷ ὀνόματι τοῦ Θεοῦ. λέγει καὶ τὸν τῶν Ἰουδαίων λαὸν ταύτῃ τιμηθέντα τῇ προσηγορίᾳ, ἐν τῷ λέγειν· Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ ἄλλος, Υἱὸς πρωτότοκός μου Ἰσραήλ. καὶ γὰρ οὕτως ἐκάλει αὐτὸν τὸν δῆμον διὰ οἰκείαν φιλανθρωπίαν. οὕτω καὶ ἐκεῖνο λύεται, τό, ὁ καταρώμενος θεὸν ἁμαρτίαν λήψεται, τουτέστιν, ὁ τὸν ἄρχοντα κακῶς λέγων, ἁμαρτάνει· ὁ δὲ ὀνομάζων τὸ ὄνομα Κυρίου, λιθοβοληθήσεται, τουτέστιν, ὁ τοῖς μὴ οὖσι προσάπτων τὸ τοῦ ὄντος Θεοῦ ὄνομα. ἐπεὶ γὰρ ἀσύγγνωστον τὸ ἁμάρτημα, καὶ ἡ ἐπ' αὐτῷ τιμωρία χαλεπωτάτη. λέγονται καὶ οἱ τῶν Ἑλλήνων θεοί, οὐ κατὰ τιμήν, οὔτε χάριτι προσηγορίας, ἀλλὰ διὰ τὴν ἀπάτην τῶν πλανηθέντων καὶ οὕτως αὐτοὺς καλεσάντων. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, [δηλῶν ὅτι] οὐκ ὄντες οὐδὲ μέχρι προσηγορίας τῆς κατὰ τιμήν. ἐνταῦθα οὖν περὶ τίνων λέγει, Θεὸς θεῶν; ἐμοὶ δοκεῖ τῶν Ἑλληνικῶν, οὐχ ὡς ὄντων, ἀλλ' ὡς παρὰ τοῖς πεπλανημένοις ὑποπτευομένων. ἐπεὶ γὰρ ἔτι παχύτερον διέκειντο οἱ Ἰουδαῖοι, καὶ οὐ πάντη εἰδωλολατρείας ἦσαν ἀπηλλαγμένοι, ἀλλὰ κεχηνότες πρὸς τὰ εἴδωλα, καὶ λείψανα πολλὰ τῆς παρανομίας ἔχοντες· καὶ ἐντεῦθεν αὐτῶν ἐπαίρει τὰ φρονήματα, δεικνὺς ὅτι κἀκείνων δεσπότης ἐστί. καὶ γὰρ καὶ τῶν δαιμόνων δεσπότης ἐστίν· αὐτῶν τῶν οὐσιῶν λέγω· αἱ δὲ γνῶμαι παρ' αὐτῶν εἰσιν εἰσενηνεγμέναι καὶ ἡ πονηρία πᾶσα. δοκεῖ δέ μοι τοῦτο ἔχεσθαι τοῦ προτέρου ψαλμοῦ. καὶ γὰρ καὶ ἐνταῦθα ἔλεγχος καὶ κατηγορία τῶν πεπλημμεληκότων γέγραπται. ἀλλ' ἐκεῖ μὲν τὴν οἰκουμένην ἐκάλει πᾶσαν εἰς ἀκρόασιν· ἐνταῦθα δὲ αὐτὰ τὰ στοιχεῖα τὰ καθ' ὅλης ἐκτεταμένα τῆς οἰκουμένης. ἄλλο θέατρον ὧδε, καὶ ἄλλο ἀκροατήριον. ἐκεῖ τὰ ἔθνη, οἱ γηγενεῖς, ὁ πλούσιος, ὁ πένης· ἐνταῦθα οὐρανὸς καὶ γῆ. καὶ αὐτὸν δὲ εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ τοιούτους κινεῖ λόγους παρ' αὐτοῦ δικαιολογουμένου πρὸς τὸν δῆμον τῶν Ἰουδαίων. διὸ καὶ πλείονος δεῖ ἡμῖν τῆς προσοχῆς. ποιεῖ δὲ οὕτω καὶ ἕτερος προφήτης, καὶ εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ ἐν τάξει δικαστῶν [τίθησι] τὰς φάραγγας, καὶ τὰ θεμέλια τῆς

Γεν. δ. κϛ.
Ψαλμ. πα. ϛ.
Ἐξοδ. δ. κβ.

γρ. [illegible]

γῆς. Ἀκούσατε γάρ, φησι, φάραγγες, καὶ θεμέλια τῆς γῆς· ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ λαοῦ διαλεχθήσεται. Μιχ. ϛ. β. καὶ πάλιν· Κριθήσεται πρὸς ὑμᾶς καὶ πρὸς τοὺς πατέρας ὑμῶν. Ἱερεμ. β. θ. λϛ. καὶ πολλαχοῦ τῶν γραφῶν τοῦτο ἴδοι τις ἂν τὸ σχῆμα, ὅπερ ἐστὶ μάλιστα πληκτικώτατον, καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἄξιον. καὶ γὰρ τὴν ἄφατον αὐτοῦ δείκνυσιν ἀγαθότητα, τοσοῦτον καταβαίνοντος, ὥστε κρίνεσθαι μετὰ ἀνθρώπων.

Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Ἔχει μέν τι καὶ προφητικόν, ἔχει δὲ καὶ ἱστορικὸν τὸ εἰρημένον. γέγονε μὲν γὰρ καὶ ἐπὶ τῆς παλαιᾶς ἐκεῖθεν αὐτοῦ ἡ εὐπρέπεια. καὶ γὰρ ὁ ναός, τὰ ἅγια τῶν ἁγίων, ἡ λατρεία πᾶσα καὶ ἡ πολιτεία τῆς παλαιᾶς νομοθεσίας, ἱερέων τὸ πλῆθος, θυσίαι καὶ ὁλοκαυτώσεις, καὶ ὕμνοι ἱεροὶ καὶ ψαλμῳδίαι, καὶ πάντα ἐκεῖθεν, καὶ τῶν μελλόντων ἐκεῖθεν ὁ τύπος προδιεγέγραπτο. ἐπειδὴ δὲ καὶ ἡ ἀλήθεια παραγέγονεν, ἐκεῖθεν πάλιν τὴν ἀρχὴν ἔλαβεν· ἐκεῖθεν καὶ ὁ σταυρὸς ἔλαμψεν· ἐκεῖθεν τὰ μυρία κατορθώματα. διὰ δὴ τοῦτο καὶ περὶ τοῦ νόμου ὁ Ἡσαΐας τῆς καινῆς διαθήκης γράφων, φησίν· Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. Ἡσ. β. γ. Σιὼν γὰρ ἐνταῦθα, ὁλόκληρον λέγει τὸ χωρίον, καὶ τὴν πόλιν τὴν παρακειμένην αὐτῷ, τὴν μητρόπολιν τῶν Ἰουδαίων· ἐκεῖθεν γάρ, καθάπερ ἐκ βαλβῖδός τινος εὐσκελεῖς ἵπποι, οἱ ἀπόστολοι εἰς τὴν οἰκουμένην ἀφείθησαν ἅπασαν. ἐκεῖθεν τὰ σημεῖα ἤρξαντο ποιεῖν. ἐκεῖ γέγονεν ἡ ἀνάστασις, ἐκεῖ ἡ ἀνάληψις, ἐκεῖ τὰ προοίμια καὶ ἡ ἀρχὴ τῆς σωτηρίας τῆς ἡμετέρας, ἐκεῖ τὰ ἀπόρρητα δόγματα κηρύττεσθαι ἀρχὴν ἔλαβεν. ἐκεῖ πρῶτον ἀπεκαλύφθη ὁ πατήρ, ἐγνωρίσθη ὁ μονογενής, καὶ ἡ τοσαύτη τοῦ πνεύματος χάρις ἐδόθη. ἐκεῖ τὸν περὶ τῶν ἀσωμάτων λόγον ἐγύμναζον οἱ ἀπόστολοι, τῶν δωρεῶν, τῶν δυνάμεων, τῶν μελλόντων ἀγαθῶν τὰς ἐπαγγελίας· ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης, ὡραιότητα αὐτοῦ καλεῖ. κάλλη γὰρ Θεοῦ καὶ ὡραιότης, ἡ ἀγαθότης καὶ φιλανθρωπία, καὶ ἡ εἰς ἅπαντας εὐεργεσία.

3 Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.

Ὁρᾷς πῶς προϊὼν ἀπογυμνοῖ τὸν λόγον, καὶ ἀποκαλύπτει τὸν θησαυρόν, καὶ φαιδροτέραν ἀφίησι τὴν ἀκτῖνα, λέγων· ὁ Θεὸς ἐμφανῶς ἥξει. πότε γὰρ οὐκ ἐμφανῶς παραγέγονε; πότε; τῇ προτέρᾳ παρουσίᾳ. ἀψοφητὶ γὰρ ἦλθε, τοὺς πολλοὺς κρύπτων, καὶ μέχρι πολλοῦ λανθάνων. τί λέγω τοὺς πολλούς; ὅπουγε οὐδὲ αὐτὴ ἡ κυοφοροῦσα παρθένος ᾔδει τοῦ μυστηρίου τὸ ἀπόρρητον· Λουκ. β. λγ. ν. οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν· Ἰω. ζ. ε. οὐδὲ ὁ δοκῶν εἶναι πατὴρ μέγα τι ἐφαντάζετο περὶ αὐτοῦ. Ματθ. α. ιθ. καὶ τί λέγω ἀνθρώπους; καὶ αὐτὸν τὸν διάβολον ἐλάνθανεν. οὐδὲ γὰρ ἄν, εἴπερ ᾔδει, ἠρώτα αὐτὸν μετὰ τοσοῦτον χρόνον ἐπὶ τοῦ ὄρους, Ματθ. γ. γ. εἰ υἱὸς εἶ τοῦ Θεοῦ· καὶ ἅπαξ, καὶ δίς, καὶ τρίτον τοῦτο ἐποίει. διὸ καὶ τῷ Ἰωάννῃ ἔλεγεν ἀρξαμένῳ αὐτὸν ἐκκαλύπτειν· Ἄφες ἄρτι, τουτέστι, σίγα νῦν. Ματθ. γ. ιε. οὐδέπω γὰρ καιρὸς * ἐκκαλυφθῆναι τὸ ἀπόρρητον τῆς οἰκονομίας· ἔτι λανθάνειν τὸν διάβολον βούλομαι· σίγα, σίγα τοίνυν. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν. Καὶ κατελθὼν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός. Ματθ. ιζ. θ. καὶ Μαρκ. θ. θ. τότε γὰρ ὡς ποιμὴν ἦλθε ζητῶν τὸ πεπλανημένον πρόβατον, καὶ τὴν ἀφηνιάσασαν ἀγέλην θηρεῦσαι βουλόμενος· διὸ καὶ συνεσκίαζεν ἑαυτόν. καὶ γὰρ ὥσπερ ἰατρὸς οὐκ εὐθέως φοβερὸς τῷ κάμνοντι γίνεται· οὕτω δὴ καὶ αὐτὸς ἐκ προοιμίων οὐκ ἐβουλήθη δῆλον ἑαυτὸν ποιῆσαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. διὸ τὴν ἀψοφητὶ ταύτην αὐτοῦ γινομένην παρουσίαν δηλῶν ὁ αὐτὸς οὗτος προφήτης, λέγει προϊών· Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Ψαλ. οα. ϛ. οὐδὲ γὰρ κτύπων ἦλθεν, οὐ ταράττων, οὐ κλονῶν τὴν γῆν, οὐκ ἀστραπὰς ἀφιείς, οὐ συνάπτων τὸν οὐρανόν, οὐ δήμους ἀγγέλων ἐπι-

πλῶς

ἐπιφερόμενος, οὐ μέσον τὸ στερέωμα διαῤῥηγνὺς, καὶ οὕτω καταβαίνων ἐπὶ τῶν νεφελῶν·
Λουκ. β. ζ. ἀλλ' ἀψοφητὶ διὰ μήτρας παρθενικῆς, καὶ ἐννεαμηνιαίῳ κυοφορούμενος χρόνῳ, ὡς τέκτονος
υἱὸς ἐν φάτνῃ τίκτεται, ἐν σπαργάνοις εὐτελέσιν ἐπιβάλλεται, φεύγει μετὰ τῆς μητρὸς
Ματθ. β. ιγ. εἰς Αἴγυπτον· εἶτα μετὰ τὴν τελευτὴν τοῦ μεγάλα παρανομήσαντος, τότε ἐπάνεισι,
καὶ περιπολῶν ὡς εἷς τῶν πολλῶν διετέλει κατὰ τὸ σχῆμα· καὶ ἱμάτιον εὐτελὲς
ἦν αὐτῷ, καὶ τράπεζα εὐτελεστέρα, καὶ βάδισις διηνεκὴς, καὶ οὕτω διηνεκὴς, ὡς καὶ κόπον
Ἰω. δ. ς. ἀπὸ τῆς βαδίσεως γίνεσθαι. ἀλλ' οὐ τότε οὕτως ἥξει, ἀλλ' οὕτω φανερῶς, ὡς μηδὲ
χρείαν ἔχειν τοῦ προαγγέλλοντος αὐτοῦ τὴν παρουσίαν. διὰ τοῦτο καὶ αὐτὸς δηλῶν αὐτοῦ
Ματθ. κδ. κς. τὸ περιφανὲς ἔλεγεν· Ἐὰν ἀκούσητε, ὅτι ἰδοὺ ἐν τοῖς ταμιείοις ὁ Χριστὸς, ὅτι ἐν τῇ ἐρήμῳ,
μὴ ἐξέλθητε. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐκπορεύεται ἐξ ἀνατολῶν ἡλίου καὶ φαίνεται
ἕως δυσμῶν· οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου, αὐτὴ ἑαυτὴν δεικνῦσα καὶ
ἀνακηρύττουσα. καὶ γὰρ ἐπὶ τῆς ἀστραπῆς τοῦτο συμβαίνει, καὶ οὐ δεόμεθα τοῦ ἀπαγγέλλοντος,
ἀλλ' ὁμοῦ τε ἐφάνη, καὶ πᾶσι γνώριμος γέγονε, καὶ κατὰ ταυτὸν πᾶσι. οὕτω καὶ ὁ Παῦλός φησι,
α. Θεσσ. δ. ις. Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι
Δαν. ζ. θ. ι. καταβήσεται ἀπ' οὐρανοῦ. καὶ ὁ προφήτης δὲ οὕτως αὐτὸν ἑώρα ἐπὶ τῶν νεφελῶν φερόμενον,
καὶ ποταμὸν ἔμπροσθεν συρόμενον, καὶ τὸ βῆμα τὸ φοβερὸν, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους.
τότε γὰρ, τότε δικαστηρίου καιρὸς καὶ κρίσεως. διόπερ οὐκ ἔτι ὡς ἰατρὸς,
ἀλλ' ὡς δικαστὴς φαίνεται. ὁ γοῦν Δανιὴλ καὶ τὸν θρόνον αὐτοῦ βλέπει, καὶ τὸν ποταμὸν
τὸν πρὸ τοῦ βήματος ἑλκόμενον, καὶ πάντα ἀπὸ πυρὸς αὐτῷ δείκνυται, τὸ ἅρμα, οἱ τροχοί.
ἀλλ' οὐχ ὅτε παρὰ τὴν ἀρχὴν, καὶ ἐν τῇ προτέρᾳ παρουσίᾳ παρεγένετο, ἔδειξέ τι
τοιοῦτον· οὐ πῦρ, οὐ ποταμὸν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ φάτνην, καὶ καταγώγιον,
καὶ καλύβην, καὶ μήτηρ πενιχρά. ἄλλως δὲ καὶ τὸ ἄτρεπτον αὐτοῦ δείκνυσιν ἐντεῦθεν καὶ
ἀναλλοίωτον. ἐπειδὴ γὰρ ἔφησε τὸν ἐπὶ τοῦ θρόνου καθήμενον τρίχα ἔχειν λευκὴν ὡς ἔριον,
καὶ ἱμάτιον ὡς χιόνα· ἵνα μὴ τρίχας νομίσῃς, μήτε ἱμάτιον, ἀλλὰ τὸ καθαρὸν καὶ τὸ διαυγὲς,
πῦρ πανταχοῦ εἶναι λέγει. 4 Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ
καταιγὶς σφοδρά. Οὕτω καὶ διὰ τούτου ὁμοῦ τὸ ἀναλλοίωτον καὶ ἄτρεπτον καὶ φωτεινὸν
καὶ ἀπρόσιτον διὰ τούτων ἐνδείκνυται τῶν εἰκόνων. καὶ οὐχ ἵσταται μέχρι τοῦ πυρὸς, ἀλλὰ
τὸ σφοδρὸν τῆς τιμωρίας παραστῆσαι βουλόμενος, ἐπάγει λέγων, καταιγὶς σφοδρά. καταιγὶς
γὰρ λέγεται, ἡ βόλος χιόνος ἀφόρητος τὸ ἐμπίπτον ἅπαν παρασύρουσα καὶ καταστρέφουσα,
ἢ ῥαγδαία πνευμάτων ῥύμη τὸ αὐτὸ δὴ ἐργαζομένη καὶ ἀφόρητος οὖσα τοῖς ἐντυγχάνουσι.
δεῖξαι τοίνυν βουλόμενος τὸ ἀφόρητον τῆς κολάσεως ἐκείνης, ταύτας παρήγαγε
τὰς εἰκόνας. 5 Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι
τὸν λαὸν αὐτοῦ. Πάλιν τῶν στοιχείων μέμνηται, δι' ὧν τὰ μυρία γέγονεν ἀγαθὰ τῷ
γένει τῶν ἀνθρώπων, οὐ μόνον πρὸς τὴν τοῦ σώματος ζωὴν καὶ συγκρότησιν, ἀλλὰ καὶ αὐτῆς
τῆς θεογνωσίας τὴν ὑπόθεσιν. τά τε γὰρ κάλλη, καὶ τὰ μεγέθη, καὶ οἱ τρόποι τῶν
θέσεων, καὶ αἱ οὐσίαι ἐξ ὧν ταυτὶ συνέστηκε τὰ στοιχεῖα καὶ τὰ ἐξ αὐτῶν γινόμενα, τά τε καθολικῶς
διὰ παντὸς τοῦ χρόνου, τά τε ἰδικῶς πολλάκις συμβαίνοντα, ἅπαντα ταῦτα καὶ
τὰ σώματα τρέφει καὶ συγκροτεῖ, καὶ πρὸς τὴν γνῶσιν τοῦ ποιήσαντος χειραγωγεῖ. διὸ καὶ
Ῥωμ. α. κ. Παῦλος ἔλεγε· Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται,
α. Κορ. α. κα. ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. καὶ πάλιν· Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ
οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν· τουτέστι, διὰ τῆς σοφίας τῆς ἐν τοῖς κτίσμασι
φαινομένης, ὡς οὐ μικρᾶς, ἀλλὰ καὶ σφόδρα μεγίστης καὶ σαφεστάτης ταύτης οὔσης
διδασκαλίας. καὶ τὰ καθ' ἡμέραν δὲ δι' αὐτῶν γινόμενα, εἰ καὶ κατὰ φύσεως ἀκολουθίαν

γίνεται

γίνεσθαι δοκεῖ, ἀλλ' οὕτω καὶ αὐτὰ τὸν δημιουργὸν ἀνακηρύττει. καὶ γὰρ τῆς φύσεως δεσπότης ὁ δημιουργός. μὴ θαυμάσῃς δὲ εἰ πρὸς Ἰουδαίους ἀποτείνει τὸν λόγον, περὶ τῆς καθόλου κρίσεως διαλεγόμενος. οὕτω γὰρ καὶ Παῦλός φησι· Θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. καὶ πάλιν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται.

Ῥωμ. β. η.
Ῥωμ. β. ιβ.

6 Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. Τί δήποτε οὖν μέλλει κατηγορεῖν, καὶ οὓς μέλλει καταδικάζειν, ὁσίους ἐνταῦθα καλεῖ; τὴν κατηγορίαν αὔξων, καὶ τὸ ἔγκλημα μεῖζον τῇ τιμωρίᾳ τιθεὶς τὴν τιμήν. οὕτω καὶ ἡμεῖς, ἐπειδὰν ἴδωμεν τινὰς πεπλημμεληκότας, καὶ βουλόμεθα αὐτῶν σφοδρότερον καθάψασθαι, μετὰ τῶν ἀξιωμάτων αὐτοὺς καλοῦμεν, ὥστε βαρυτέραν ἐργάσασθαι τὴν κατηγορίαν, λέγοντες· κάλεσον τὸν διάκονον, ἢ τὸν πρεσβύτερον. ἐπεὶ οὖν καὶ οὗτοι βασίλειον ἱεράτευμα, καὶ λαὸς περιούσιος ἐχρημάτιζον, καὶ μέγα ἐπὶ τούτῳ ἐφρόνουν· καὶ ἐντεῦθεν ὑφαίνει τῶν ἐγκλημάτων τὸ μέγεθος. τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. ἐπὶ μυρία τολμῶντες κακὰ, καὶ τοσαῦτα κακίας μεταχειρίζοντες εἴδη, ἁρπάζοντες, πλεονεκτοῦντες, φονεύοντες, μοιχεύοντες, αἵματα ἐφ' αἵμασι μιγνῦντες, ἐνόμιζον μεγάλα κατορθοῦν καὶ τὸν νόμον πληροῦν καὶ τὴν διαθήκην, εἰ πρόβατα θύσαιεν καὶ μόσχους, ὀνειδίζων αὐτοῖς ἐντεῦθεν, καὶ κωμῳδῶν αὐτούς, φησι· τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις· τουτέστι, τοὺς νομίζοντας αὐτοῖς ἀρκεῖν εἰς σωτηρίαν τὸ καταθύειν ἀλόγων σώματα.

α. Πετρ. β. θ.

7 Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.

Πάλιν ἐνταῦθα τὸ διαλάμπον αὐτοῦ τῆς δικαιοσύνης, τὸ φαιδρὸν, τὸ σαφὲς, τὸ ἀναντίρρητον, τὸ ὡμολογημένον δεῖξαι βουλόμενος, εἰσάγει τὰ ἀναίσθητα στοιχεῖα ἀνακηρύττοντα αὐτὴν κατὰ τὸ αὐτὸ σχῆμα, ὅπερ ἔμπροσθεν ἔλεγον.

Ὅτι ὁ Θεὸς κριτής ἐστι. Τὰ δίκαια ὁρίζων ἑκάστῳ, φησίν. οὐδὲ γὰρ ἁπλῶς τὸ κρίνειν ἐνταῦθα τέθεικεν, ἀλλ' ἵνα δηλώσῃ ὅτι καὶ δίκαιός ἐστι, καὶ ἑτέροις τοῦτο παρέχει. ἐπὶ γὰρ τοῦ Θεοῦ, τὸ κριτὴς, ἀντὶ τοῦ δίκαιος εἴληπται· καθὰ καὶ Παῦλος αὐτὸ τέθεικε, λέγων· Ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον; τοῦτο γὰρ μάλιστα κρίσις, τοῦτο μάλιστα κριτής· οὐ τὸ ψηφίσασθαι ἁπλῶς, ἀλλὰ τὸ δικαίως ψηφίσασθαι. κριθήσονται δὲ Ἰουδαῖοι καὶ οἱ τότε, καὶ οἱ μετὰ ταῦτα παρανομήσαντες ἐπὶ τῆς καινῆς· ἐκεῖνοι μὲν τὴν φύσιν καὶ τὸν νόμον κατήγορον ἔχοντες, οὗτοι δὲ μετὰ τούτων καὶ τὰ παρὰ τοῦ Χριστοῦ γεγενημένα εἰς αὐτούς. τί γὰρ καὶ ἔχοιεν ἂν εἰπεῖν, ἢ ποίαν προβάλλεσθαι αἰτίαν, δι' ἣν οὐκ ἐπίστευσαν; ἀλλὰ προσέχετε τοῖς λεγομένοις, παρακαλῶ, ἵνα δυνηθῆτε τοὺς ἀντιλέγοντας ἐπιστομίζειν. βέλτιον γὰρ αὐτοὺς παρ' ἡμῶν ἡττηθέντας νῦν διορθωθῆναι, ἢ νομίζοντας νικᾶν, ἀπελθεῖν ἐκεῖ καὶ κατακριθῆναι παρὰ τοῦ κοινοῦ τῆς οἰκουμένης δικαστοῦ. τί τοίνυν ἂν ἔχοιεν εἰπεῖν Ἰουδαῖοι, τίνος ἕνεκεν ἀνεῖλον τὸν Χριστὸν, τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχοντες; Ὅτι ἐποίει ἑαυτὸν Θεὸν, φησί. καὶ μὴν οὐ ταῦτα ἦν τὰ ῥήματα ἐν τῷ καιρῷ τοῦ σταυροῦ, ἀλλ' ἕτερά τινα. οὐ γὰρ ἔλεγον· ὁ ποιῶν ἑαυτὸν Θεὸν, ἀλλ', ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος. καίτοιγε πολλάκις ἠθέλησαν αὐτὸν βασιλέα χειροτονῆσαι, καὶ ἔφυγεν. ἀλλὰ περὶ τούτου, φησὶν, ἐνεκάλουν, ὅτι ἐποίει ἑαυτὸν Θεόν. καὶ τί τοῦτο; εἰ μὲν γὰρ ψευδῶς, καὶ ἀδίκως, καὶ οὐκ ὤν, λόγον εἶχε τὸ ἔγκλημα· εἰ δὲ δικαίως, προσκυνεῖσθαι αὐτὸν ἐχρῆν, οὐ σταυροῦσθαι. ἴδωμεν τοίνυν εἰ μὴ Θεὸς ὢν ὄντως ἐποίει ἑαυτὸν Θεὸν, τουτέστιν, ἐδείκνυε, καὶ ἐπέφαινε. πόθεν οὖν βούλει μαθεῖν; ἀπὸ τῶν τότε; ἀπὸ τῶν νῦν; ἀπὸ τῶν παρὰ τὸν τόκον; τίς οὖν ὑπὸ παρθένου ποτὲ ἐτέχθη; τίς δὲ ἀστέρα ἔδειξε τοιοῦτον; τίς δὲ μάγους τοσαύ-

Ῥωμ. γ. ς.
Ἰω. ι. λγ.
Ἰω. ιθ. ιβ. καὶ Λουκ. κγ. β.
Ἰω. ε. ιη.
Ματθ. β. α.

τοσαύτην ὁδὸν ἤγαγεν, οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ πειθοῖ καὶ ἀποκαλύψει; ὁρᾷς τὴν κτίσιν ἅπασαν ἐπιγνοῦσαν τὸν δεσπότην. ἡ φύσις πρώτη παρεχώρει, καὶ οὐκ ἀντιλέγει, οὐδὲ ἀνθίστατο λέγουσα· οὐ λύω τὰς ὠδῖνας· οὐκ ἔμαθον ἐκ μήτρας παρθενικῆς παιδίον προφέρειν· οὐκ οἶδα γάμου χωρὶς μητέρα ποιεῖν· ἀλλ᾽ εἶξέ τε καὶ παρεχώρησε τῶν οἰκείων ὅρων. τὸν γὰρ αὐτῆς ἐπέγνω δεσπότην. τεχθέντος πάλιν, ἄγγελοι παρεγένοντο οἱ ἐν οὐρανοῖς ἐπὶ γῆς ὑμνοῦντες· καὶ οὐρανὸς ἐγίνετο ἡ γῆ, ἅτε τοῦ βασιλέως ἐνταῦθα ὄντος· καὶ μάγοι προσεκύνουν, ἐκ τοσούτου διαστήματος ἀφικόμενοι· καὶ τὸ μὲν παιδίον ἐπὶ φάτνης ἔκειτο ἐν Παλαιστίνῃ· οἱ δὲ ἀπὸ τῆς βαρβάρου χώρας τοσαύτην τιμὴν καὶ θεραπείαν προσῆγον, ὅσην εἰκὸς Θεῷ προσάγειν. ἀλλὰ ταῦτα μὲν ἴσως οὐ παραδέξονται, ἕτερα δὲ ἐπιζητήσουσι σημεῖα τὰ κατὰ τὴν παροῦσαν γενεάν. ἀλλ᾽ οὐδὲ τούτων ἀπορήσομεν. τοιοῦτον γὰρ ἡ ἀλήθεια· περιέῤῥαπται τοῖς δικαιώμασι. μάλιστα μὲν γὰρ οὐδὲ ἐνταῦθα ἔχουσί τινα ἀντιλογίας σκιὰν εἰπεῖν. εἰ γὰρ καὶ μὴ παρῆς ὅτε ἐκ παρθένου ἐτίκτετο, τῷ προφήτῃ πιστεύειν ἔδει τῷ λέγοντι· Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. εἰ μὴ παρῆς ὅτε σάρκα περικείμενος περιεπόλει τὴν γῆν καὶ συνανεστρέφετο τοῖς δούλοις ὁ δεσπότης, ἔντυχε τῷ Ἱερεμίᾳ, κἀκεῖνός σοι διαλέξεται οὕτω λέγων· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν * Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων, ὄψει τοὺς προφήτας, ὧν τὰ βιβλία εἰκῆ μέχρι σήμερον περιστρέφεις καὶ ἐνοχλεῖς, ταύτης ἕνεκεν τῆς ὑποθέσεως, σαφῶς ἀνακηρύττοντας ἅπαντα. ἀλλ᾽ οἱ μὲν πρὸς τούτους ἀγῶνες καὶ εἴρηνται πολλάκις ἡμῖν, καὶ ῥηθήσονται· τέως δὲ τῶν προκειμένων ἐχώμεθα. καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. ἐνταῦθά μοι δοκεῖ τὴν δικαιοσύνην λέγειν, τὴν πολλὴν αὐτοῦ κηδεμονίαν, τὴν φιλανθρωπίαν τὴν εἰς αὐτοὺς ἐκείνους, τὴν εἰς πάντας ἀνθρώπους πολυειδῆ τινα οἰκονομίαν καὶ πολύτροπον, τὴν διὰ τῆς κτίσεως, τὴν διὰ τοῦ νόμου, τὴν διὰ τῆς χάριτος, τὴν διὰ τῶν ὁρωμένων, τὴν διὰ τῶν ἀοράτων, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἀγγέλων, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν κολάσεων, τὴν διὰ τῶν εὐεργεσιῶν, τὴν διὰ τῶν ἀπειλῶν, τὴν διὰ τῶν ἐπαγγελιῶν, τὴν διὰ τῆς τάξεως τῆς κατὰ τὸν χρόνον.

Ησ. ζ. ιδ.

Βαρὺχ γ. λϛ.

* αὐτοῦ

8 Ἄκουσον λαός μου, καὶ λαλήσω σοι.

Ὅρα πάλιν ἐπιείκειαν καὶ πραότητα ἐξ αὐτοῦ τοῦ προοιμίου. ὡς γὰρ ἂν εἰ ἄνθρωπος πρὸς ἄνθρωπον εἴποι θορυβοῦντα καὶ ταράττοντα· ἐὰν ἀκούσῃς, λαλῶ· ἐὰν προσέχῃς, ἐρῶ· οὕτω καὶ πρὸς τοὺς δούλους ὁ δεσπότης· ἐὰν ἀκούσῃς μου, φησὶν, ἐρῶ. καὶ γὰρ ἦσαν ῥᾴθυμοι καὶ ἀναπεπτωκότες, καὶ οὐδὲ ἐπὶ μικρὸν μετὰ ἡσυχίας παρεῖχον τῇ τῶν νόμων ἀναγνώσει τὴν ἀκρόασιν. καὶ τοῦτο δηλῶν τις προφήτης ἔλεγεν· Ἔσομαι αὐτοῖς ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου. καὶ συνεχῶς ἔλεγον τοῖς προφήταις μὴ προφητεύειν, μᾶλλον δὲ καὶ διεκρούοντο αὐτοὺς καὶ ἐνοχλεῖσθαι ἐδόκουν. οὕτω καὶ βασιλεὺς φαίνεται ἀπειλῶν προφήτῃ τινὶ, καὶ προστάττων, ὥστε μὴ ὀχλαγωγεῖν. Ὁ Θεὸς, ὁ Θεός σου εἰμὶ ἐγώ. Οὐχ ἁπλῶς ὁ διπλασιασμὸς κεῖται· ἀλλ᾽ ἐπεὶ πρὸς ἀναισθήτους ἔλεγε, καὶ πεπωρωμένους, καὶ κεκωφωμένους, τὸν περὶ τῆς δεσποτείας αὐτοῦ κινεῖ λόγον, ἀρχὴν ἀρίστην τῇ μετὰ ταῦτα διηγήσει διδοὺς ἐντεῦθεν, καὶ δεικνὺς ὅτι ὀφείλουσιν αὐτῷ τὴν ἐλευθερίαν, καὶ χρέος ἂν εἶεν δίκαιοι καταθεῖναι, ὡς δεσπότῃ δοῦλοι, ὡς δημιουργῷ ἔργα, ὡς τὰ μέγιστα εὐεργετηθέντες, καὶ τοσαύτην τιμηθέντες τιμήν. 9 Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Ιεζεκ. λγ. λβ.
γ. Βασ. ιθ. ι.
Ησ. λ. ι.
Ζαχ. ζ. ι.
Αμὼς ζ. ιβ.
Ιερεμ. λβ. γ.

Οὕτω καὶ οἱ λοιποὶ κατηγοροῦσιν αὐτῶν προφῆται, ἐπειδὴ τὸ πλέον τῆς ἀρετῆς παρορῶντες μέρος, ἐν τούτοις τὰς ἐλπίδας τῆς σωτηρίας εἶχον. καὶ γὰρ εἰς ἀπολογίαν ἔμελλον αὐτὸ προβάλλεσθαι, ὅτι θυσίας ἀπεδίδομεν, ὅτι προσεφέρομεν ὁλοκαυτώσεις· ἀλλ' οὐκ ἐπὶ τούτοις εἰσῆλθον δικασόμενος, φησιν, οὐδὲ ὑπὲρ τούτων ἐγκαλέσων, ὅτι παρώφθη ταῦτα. ὁ δὲ Ἠσαΐας καὶ εὐτονώτερον αὐτῶν καθικνεῖται, λέγων· Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; πλήρης εἰμί. ὁλοκαύτωμα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καίτοι πολλοὶ περὶ θυσιῶν εἰσιν εἰρημένοι λόγοι· ἀλλ' οὐ προηγουμένως αὐτοῦ βουλομένου ταῦτα νομοθετεῖ, ἀλλὰ τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνοντος. καὶ Ἱερεμίας δέ φησι· Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ πάντες δέ, ὡς εἰπεῖν, οἱ προφῆται οὐδὲν μέγα τοῦτο εἶναί φασι. διὸ καὶ αὐτὸς ἀρχόμενος οὕτως ἔφη· ὁ Θεός, ὁ Θεός σου εἰμὶ ἐγώ, κἀντεῦθεν δηλῶν ὅτι ἀνάξιος αὐτοῦ τῆς τοιαύτης θεραπείας ὁ τρόπος. καὶ γὰρ τὸν Θεὸν οὐ διὰ καπνοῦ καὶ κνίσσης, ἀλλὰ διὰ πολιτείας ἀρίστης καὶ ἀσωμάτου καὶ νοερᾶς θεραπεύεσθαι δεῖ. ἀλλ' οὐχ οἱ δαίμονες τῶν ἔξωθεν οὕτως, ἀλλὰ καὶ ἐπιζητοῦσι ταῦτα. τοῦτο καί τις παρ' Ἕλλησι ποιητὴς φαίνεται δεικνύς, λέγων· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς. ἀλλ' οὐχ ὁ Θεὸς ἡμῶν οὕτως. ἐκεῖνοι μὲν γὰρ αἱμάτων διψῶντες ἀνθρωπίνων, καὶ κατὰ μικρὸν αὐτοὺς εἰς ταύτας τὰς μιαιφονίας ἐνάγειν βουλόμενοι, ταῦτα ᾔτουν συνεχῶς· αὐτὸς δὲ καὶ τῆς τῶν ἀλόγων ἀποστῆσαι σφαγῆς μετὰ μικρὸν ἐθέλων, ἐχρήσατο τῇ συγκαταβάσει ταύτῃ, καὶ συνεχώρησε θυσίας, ἵνα ἀνέλῃ θυσίας.

Ησ. α. ια.

Ιερεμ. ϛ. κ.

10 Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

11 Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ″ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες.

γρ. δρυμοῦ,

12 Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.

Ὅρα πῶς κατὰ μικρὸν ἀνάγει τῶν χαμαιζήλων τὴν διάνοιαν, διανοίγων αὐτῶν τὴν πεπωρωμένην γνώμην, καὶ δεικνύς, ὅτι οὐ δεόμενος ταῦτα ἐπέταξεν, οὐδὲ ἀποδεχόμενος ἐνομοθέτησεν. εἰ γὰρ ἐβουλόμην οὕτω θεραπεύεσθαι, φησι, τὴν ὑφ' ἡλίῳ πᾶσαν ἔχων, καὶ αὐτὸς πάντων γενόμενος δημιουργός, δαψιλεῖς ἂν παρεσκεύασά μοι γενέσθαι θυσίας. εἶτα καὶ κωμῳδῶν αὐτοὺς καὶ διασύρων, ὥστε καὶ πληκτικωτέραν γενέσθαι τὴν κατηγορίαν, ἐπήγαγεν· 13 Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω.

Ἐπειδὴ γὰρ αὐτὸς μὲν αὐτὰ συνεχώρησεν, ἵνα κατὰ μικρὸν αὐτοὺς ἀπαγάγῃ τούτων, αὐτοὶ δὲ ἐναπέμειναν τῇ εὐτελείᾳ, οὐδὲν μέγα ἐκ τῆς συγκαταβάσεως ταύτης καρπωσάμενοι· διὰ τοῦτο παχύτερόν πως καὶ ἀνθρωπινώτερον διαλεγόμενος, φησίν· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· τουτέστιν, οὔτε πεινῶ (Θεὸς γὰρ οὐ πεινάσει, οὐ κοπιάσει) οὔτε εἰ τούτοις ἐβουλόμην θεραπεύεσθαι, ἠπόρουν ἀπείρων θυσιῶν καὶ ὁλοκαυτωμάτων. καὶ γὰρ πρόκειταί μοι πάντα μετὰ πολλῆς τῆς ἀφθονίας· καὶ κύριος αὐτῶν ὢν καὶ δεσπότης, τὰ ἐμὰ βούλομαι παρὰ σοῦ λαβεῖν, ἵνα τούτῳ σε τῆς ὁδοῦ τῷ τρόπῳ πρὸς τὴν ἐμὴν ″ ἐπισπάσωμαι φιλίαν, καὶ τῆς τῶν ματαίων ἀποστήσω συνηθείας. εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον ἀνάγων, ἐπάγει· 14 Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;

γρ. ἐπισπάσω

Ταῦτα γὰρ οὔτε ἀνθρώποις ποιεῖν ἐπέταξα, φησιν, ἀλλὰ καὶ μεγίστην ὥρισα κόλασιν τοῖς τὸ αἷμα ἐσθίουσι. πῶς οὖν ἔμελλον αἵματος δεήσεσθαι ὁ τοὺς δούλους ἀπάγων τοὺς ἐμοὺς τῆς τοιαύτης θοίνης; ἐκβαλὼν τοίνυν ταῦτα ἅπαντα, καὶ δείξας ἀνάξια αὐτοῦ, καὶ πολλὴν τῇ κατηγορίᾳ τὴν κωμῳδίαν ἀναμίξας, οὐκ ἔστησε τὸν λόγον μέχρι τούτου, ἀλλὰ δείκνυσιν ἑτέρας θυσίας τρόπον· ὅπερ ἐστὶν ἰατρείας ἀρίστης εἶδος, τῶν οὐδὲν ὠφελούντων ἀπάγοντα, τὰ δυνάμενα διορθοῦν ἐπιτιθέναι τοῖς τραύμασι. μετὰ γὰρ τὸ

Λευϊτ. ζ. ιϛ. ιζ.

ταῦτα ἀπαρτίσαι λέγει· 15 Θῦσον τῷ Θεῷ.

Καὶ πῶς θύσω, φησίν; αἵματος χωρίς. τοῦτο γὰρ μάλιστα θυσία Θεῷ πρέπουσα. διὰ τοῦτο εἰπὼν, θῦσον τῷ Θεῷ, ἐπήγαγε· Θυσίαν αἰνέσεως·

Τουτέστιν, εὐχαριστίας, ὕμνων ἱερῶν, τῆς διὰ τῶν ἔργων δοξολογίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὕτω ζῆθι ὥστε δοξάζεσθαί σου τὸν δεσπότην. ὅπερ καὶ ὁ Χριστὸς ἐδίδαξε λέγων· Ματθ. ε. ιϛ. Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. αἶνος γὰρ οὐδὲν ἕτερον, ἢ ἔπαινός ἐστι, δόξα, εὐφημία. ἔστω τοίνυν ὁ βίος σου τοιοῦτος, ὥστε εὐφημεῖσθαί σου τὸν δεσπότην, καὶ ἀπηρτισμένην εἰσήγαγες τὴν θυσίαν. ταύτην καὶ ὁ Παῦλος ἐπιζητεῖ τὴν θυσίαν, λέγων· Ρω. ιβ. α. Παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ. καὶ ἀλλαχοῦ πάλιν ὁ αὐτὸς προφήτης· Ψαλ. ξη. λα. Αἰνέσω ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. οὕτως ἔθυε καὶ ὁ Ἰὼβ, μετὰ τὰς πληγὰς ἐκείνας τὰς ὑπὲρ φύσιν, εὐχαριστῶν, καὶ ταῦτα φθεγγόμενος τὰ ῥήματα· Ιωβ. α. κα. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.

Καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. Τὰς ἱκετηρίας ἐνταῦθά φησι, παραινῶν ὥστε διηνεκῶς δεήσει προσκαρτερεῖν, καὶ ἅπερ ἂν ἐπαγγελλώμεθα, μετὰ τάχους ἀποδιδόναι. καὶ καλῶς εἶπεν, ἀπόδος. μετὰ γὰρ τὴν ἐπαγγελίαν, χρέος τὸ πρᾶγμα γίνεται. α. Βασ. α. κη. οὕτως Ἄννα ἀπέδωκε τὸν υἱὸν, ὡς ὄφλημα μέγιστον. καὶ σὺ τοίνυν, κἂν ἐλεημοσύνην ἐπαγγέλλῃ, κἂν σώφρονα βίον, κἂν ἕτερόν τι τοιοῦτον, σπεῦδε πρὸς τὴν ἔκτισιν. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, κἂν μὴ ἐπαγγείληται, καὶ οὕτω χρεωστεῖ αὐτῷ τὰ τῆς ἀρετῆς. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς, ἔλεγεν· Λουκ. ιζ. ι. Ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. καίτοι τὴν παραβολὴν τοῦ δούλου ἔλεγε, τοῦ ἐλαχίστην διακονίαν, οὐχὶ κατακλιθῆναι, κελευομένου, ἀλλὰ περιελθεῖν καὶ διακονεῖν. καὶ ἕτερος δέ τις φησι· Εκκλησ. ε. γ. Μὴ χρονίσῃς ἀποδοῦναι εὐχήν σου. ἐπηγγείλω; ἀπόδος, μήποτε θάνατος ἐπελθὼν διακόψῃ. καὶ τί πρὸς ἐμέ, φησιν; οὐ γὰρ κύριος ἡμῖν τῆς ζωῆς. διὰ τοῦτο γὰρ ἐχρῆν μὴ χρονίσαι, τὸ ἄδηλον ἐννοοῦντα τῆς ἐξόδου, καὶ ὅτι κύριος οὐκ εἶ τῆς ζωῆς καὶ τῆς ἐντεῦθεν ἀποδημίας· ὥστε ἡ δοκοῦσα ἀπολογία, κατηγορία ἐστίν. οὐδὲ γὰρ τοῦ θανάτου λοιπὸν τὸ μὴ ἀποδοῦναι γέγονεν, ἀλλὰ τῆς σῆς μελλήσεως καὶ ἀναβολῆς. 16 Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Ὁρᾷς ἐκ πολλοῦ τοῦ περιόντος τὴν ἀντίδοσιν διδομένην. τί τοίνυν τῆς τοιαύτης φιλανθρωπίας ἴσον γένοιτ' ἂν, ὅταν καὶ αὐτῆς τῆς ἀρετῆς μισθοὺς ἡμῖν διδῷ, καὶ μισθοὺς πολλῷ μείζονας τῶν πόνων, καὶ σφόδρα ἐν καιρῷ διδομένους; καὶ διὰ τί, φησιν, εἶπεν· ἐπικάλεσαί με; διὰ τί ἀναμένει καλεῖσθαι παρ' ἡμῶν; μείζονα τὴν οἰκείωσιν ἡμῖν ποιῆσαι βουλόμενος, καὶ τὴν πρὸς αὐτὸν φιλίαν θερμοτέραν, καὶ τῷ δοῦναι, καὶ τῷ καλεῖσθαι, καὶ τῷ λαμβάνειν. καὶ γὰρ ἡ ἀρετὴ πρὸς Θεὸν οἰκειοῖ, καὶ ἡ ἀντίδοσις τὸ αὐτὸ ἐργάζεται, καὶ ἡ εὐχὴ πάλιν ταύτην συγκροτεῖ τὴν οἰκείωσιν. Ματθ. ιθ. κα. διὰ τοῦτό φησι· Δός μοι, καὶ δίδωμί σοι. καὶ ἐν τῷ διδόναι δὲ, σὺ λαμβάνεις. αὐτὸς γὰρ τούτων ἀνενδεής. ὥστε κἂν ἐπιεικὴς γένῃ, κἂν μέτριος, κἂν σώφρων· οὐ τῷ Θεῷ τι προσέθηκας, ἀλλὰ σαυτὸν λαμπρὸν ἐποίησας καὶ ἀμείνω. ἀλλ' ὅμως καὶ τούτων ὡς αὐτὸν ὠφελούντων μισθούς σοι καὶ στεφάνους ὁρίζει μεγίστους. καὶ πρὸ τῶν στεφάνων δὲ ἐκείνων, οὐ μικρᾶς ἀπολαύεις ἡδονῆς, ἀγαθῷ συντρεφόμενος συνειδότι, καὶ χρησταῖς τρεφόμενος ἐλπίσιν. ἡμέραν δὲ θλίψεως ἐνταῦθα, οὐ τὰς τῶν συμφορῶν, οὔτε τὰς τῶν περιστάσεων λέγει· ἀλλ' ὅτι κἂν ἁμαρτία πολεμῇ, κἂν διάβολος πολιορκῇ, ἐπιθυμίας εἰσάγων ἄγων πονηρὰς, πολλῆς ἀπολαύσῃ τῆς συμμαχίας. καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. πάλιν ἐνταῦθα οὐ τῆς παρ᾽ ἡμῶν δόξης δεόμενός φησι τοῦτο (πῶς γὰρ, ὁ τῆς δόξης Θεός;) ἀλλ᾽ ὥστε διὰ τῆς εὐχαριστίας ὕμνον γίνεσθαι τῆς εὐεργεσίας τὴν μνήμην, καὶ θερμοτέραν πρὸς αὐτὸν διάθεσιν, καὶ πρῶτος εὐζωΐαν μεγίστην λαμβάνειν. οὐχ ἁμαρτήσεται δὲ τοῦ πρέποντος εἰπών τις ἐνταῦθα ἡμέραν θλίψεως αὐτὸν λέγειν καὶ τὴν μέλλουσαν ἡμέραν. ἡ γὰρ θλίψις ἐκείνη ἄπαυστος. ἐνταῦθα μὲν γὰρ καὶ θάνατος ἐπιὼν λύει τὰς συμφορὰς, καὶ φίλοι παρακαλοῦντες, καὶ τέλος προσδοκώμενον, πολλάκις δὲ καὶ πραγμάτων μεταβολὴ ἐλπιζομένη, καὶ χρόνου μῆκος ἐμάλαξε τῆς ψυχῆς τὸ πάθος, καὶ ἡ τῶν πλησίον δυσημερία (τὸ γὰρ ἔχειν κοινωνοὺς τῶν ὀδυνηρῶν, καὶ* πολλὰ τοιαῦτα ὁρᾶν ὑποδείγματα, μέγα πολλοῖς εἰς παραμυθίαν εἶναι ἔδοξεν) ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν. οὔτε γάρ τις παρακαλῶν πάρεστιν, ἀλλ᾽ ἐν ἐρημίᾳ φίλων ἅπαντές εἰσιν. οὐ χρόνου μῆκος μαλάσσει τὴν ὀδύνην. πῶς γὰρ, ἐπικειμένης τῆς φλογὸς δι᾽ ὅλου; οὐκ ἐλπὶς ἀπαλλαγῆς. αἰωνία γὰρ ἡ κόλασις. οὐ θανάτου προσδοκία. ἀθάνατος γὰρ ἡ τιμωρία, καὶ τὰ σώματα δὲ τὰ κολαζόμενα ἀθάνατα. ἀλλ᾽ οὐδὲ τοῦτο, ὃ δοκεῖ πολλοῖς παραμυθίαν φέρειν, τὸ ἑτέρους ὁρᾶν ἐν κολάσει. πρῶτον μὲν γὰρ οὐδὲ ἰδεῖν ἐστι ″ κολαζομένους, τοῦ σκότους ἀντὶ παντὸς διαφράγματος ἐπισκιάζοντος τὰς ὄψεις. ἔπειτα ἡ ὑπερβολὴ τῆς ὀδύνης, οὔτε ταύτης ἀφίησιν αἴσθησιν λαβεῖν τῆς παραμυθίας. ὁ γοῦν πλούσιος οὐδὲν ἔνθεν εἰς παραμυθίας ἐκαρπώσατο λόγον, ἀλλ᾽ οὐδὲ οἱ τοὺς ὀδόντας βρύχοντες.

17 Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ″ ἐκδιηγῇ τὰ δικαιώματά μου;

Εἶδες τὴν ἀπηρτισμένην λύραν, τὴν σύμφωνον κιθάραν ἐν διαφόροις φθόγγοις μίαν ἁρμονίαν ἠχοῦσαν. τοῦτο γὰρ τὸ νόημα καὶ παρὰ ἀποστόλοις ἐστὶν ἰδεῖν, καὶ παρὰ προφήταις ἑτέροις κείμενον. καὶ Παῦλος μὲν οὕτω πώς φησι, δεικνὺς καὶ αὐτὸς ὅτι οὐδὲν ὄφελος τοῦ διδάσκειν ἑτέρους, ὅταν τις ἑαυτὸν πρότερον λαβὼν μὴ διδάσκῃ. ἐπειδὴ γὰρ μέγα ἐφρόνουν, ὥσπερ ἐπὶ ταῖς θυσίαις, οὕτω καὶ ἐπὶ τῷ νόμον ἔχειν, καὶ διδάσκαλοι τῶν ἄλλων χρηματίζειν, δεικνὺς ὅτι οὐδὲν μέγα καρποῦνται, ὅταν ἀδίδακτοι μένωσιν αὐτοὶ, καθαπτόμενος σφοδρότερον τῶν τοιούτων, λέγει· Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; διὰ τοῦτο καὶ περὶ ἑαυτοῦ ἔλεγε· Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι, καθαιρῶν τὸ φύσημα τῶν ἐπὶ τῇ τοῦ λόγου διδασκαλίᾳ μεγαφρονούντων, αὐτῶν δὲ ἐρήμων ὄντων τῆς ἀρετῆς. καὶ ἑτέρως δὲ τὸν λόγον τοῦτον μεταχειρίζει πρὸς Ἰουδαίους ἀποτεινόμενος, ὅταν λέγῃ· Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος. καὶ πάλιν· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ᾽ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καὶ ὁ προφήτης· Οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με. καὶ πάλιν· Εἰς μάτην ″ ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσι. τίνος ἕνεκεν; Ὅτι τρυγὼν καὶ χελιδὼν, ἀγροῦ στρουθία ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματά μου. οὗτος δὲ οὐ μόνον οὐδὲν ″ κερδαίνοντα ἐκ τοῦ διδάσκειν ἑτέρους τὸν μὴ μετιόντα τὴν ἀρετὴν, ἀλλὰ καὶ ″ ἐκβαλλόμενον δείκνυσι ταύτης αὐτὸν τῆς προεδρίας. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων, ὁ πεπλημμεληκὼς τῇ τῆς σιγῆς ἀτιμίᾳ κολάζεται· πῶς ἂν ἐν κοινῷ διδασκαλείῳ, φησὶ, φωνὴν ἔχοι ὁ τῆς ἁμαρτίας ὑπεύθυνος; μεῖζον τοῦτο τὸ διδασκαλεῖον τοῦ δικαστηρίου ἐκείνου. ἐκεῖ μὲν γὰρ οἱ κολαζόμενοι τίνουσι τιμωρίας· ἐνταῦθα δὲ ἅπαντα γίνεται, ὥστε μὴ κολασθῆναι τοὺς πεπλημμεληκότας, ἀλλὰ τῇ μετανοίᾳ διορθώσασθαι τὸ πλημμεληθέν. καὶ ἐν ταῖς βασιλικαῖς δὲ αὐ-

Ρω.β.κα.

α.Κορ.θ.κζ.

Ρω.β.ιδ.ιγ.

Ιερεμ.β.η.

Ιερεμ.η.η.

Ιερεμ.η.ζ.

λαῖς, οὐδεὶς ἂν γένοιτο ἑρμηνεὺς βασιλικῆς φωνῆς, ἐπὶ βίῳ διεφθαρμένῳ ἁλούς. τίνος γὰρ ἕνεκα διηγῇ τὰ δικαιώματα καὶ διδάσκεις ἑτέρους; καὶ μὴν τοὐναντίον ποιεῖς, τοῦ βίου σου τοῖς λεγομένοις ἀντιφθεγγομένου, καὶ ἐκείνους τῶν βουλομένων προσέχειν ἀποστρέφεις; οὐ γὰρ οὕτω διδάσκεις διὰ τῶν λόγων, ὡς ἀπάγεις διὰ τῶν πραγμάτων. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐκεῖνον ἐπαινεῖ τὸν διδάσκαλον, τὸν διὰ τῶν ἔργων καὶ διὰ τῶν ῥημάτων ἀπηρτισμένην ἐπιδεικνύντα τὴν διδασκαλίαν. Ματθ. ε. ιθ. Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, φησίν, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ἐχέτω τοίνυν σου λαμπρὰν φωνὴν ὁ βίος, ταῦτα διδάσκουσαν· καὶ κἂν τὸ στόμα ἀποφράξῃς, σάλπιγγος λαμπρότερον ἠχήσεις, καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τοὺς πόρρωθεν ὄντας. οὕτως ὁ οὐρανὸς διηγεῖται Ψαλμ. ιη. α. δόξαν Θεοῦ, οὐ στόμα ἔχων, οὐ γλῶτταν κινῶν, οὐδὲ πνεῦμα κάτωθεν προϊέμενος, ἀλλὰ Σοφι. ιγ. ε. τῷ κάλλει τῆς ὄψεως τὸν θεατὴν εἰς θαῦμα τοῦ δημιουργοῦ παραπέμπων. ὅπερ οὖν ἐστιν ἐκεῖ ἐπὶ τοῦ οὐρανοῦ τὸ κάλλος τῆς ὄψεως, τοῦτο ἔστω ἐπὶ τῆς ψυχῆς τῆς σῆς ἡ ἀρετή. ἂν δὲ κατερρυπωμένος, καὶ μυρίους κατηγόρους ἔχων, καὶ πρὸ πάντων τὸ συνειδός, σπουδάζῃς ἐπιλαβέσθαι θρόνου διδασκαλικοῦ, ἐπειδὰν κακίας κατηγορῇς, οὐχ ἑτέρων μᾶλλον, ἢ σαυτοῦ κατηγορήσεις.

Καὶ ἀναλαμβάνῃς τὴν διαθήκην μου διὰ στόματός σου;

Καλῶς εἶπε, διὰ στόματος. ἡ γὰρ καρδία ἔρημός ἐστι τῶν ἐντεῦθεν καρπῶν, καὶ τὰ χείλη κινεῖται μάτην, καὶ ἐπὶ κατακρίσει τοῦ λέγοντος· ἂν δὲ τὴν διάνοιαν τις ἐρευνήσῃ, πολλὴν εὑρήσει τὸν πόλεμον ὄντα. 18 Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Παιδείαν ἐνταῦθά φησι τὴν τοῦ νόμου διδασκαλίαν τὴν ψυχὴν ῥυθμίζουσαν, τὴν κακίαν ἀπελαύνουσαν, καὶ τὴν ἀρετὴν καταφυτεύουσαν. πῶς οὖν αὐτὴν μεταχειρίζεις, καὶ εἰς ἑτέρους σπείρεις, αὐτὸς διὰ τῶν ἔργων αὐτὴν μὴ ἔχων; ἐξέβαλες γὰρ τοὺς λόγους μου, φησίν, εἰς τὰ ὀπίσω. οὐ γὰρ μόνον οὐ προσέθηκάς τι Ρωμ. β. ιδ. παρὰ τῆς τοῦ νόμου διδασκαλίας, ἀλλὰ καὶ ὃ ἀπὸ τῆς φύσεως ἔχεις, ἐπήρωσας. τῶν γὰρ παρακλέων, καὶ τῶν μὴ τοιούτων φυσικῶς ἡμῖν ἔγκεινται οἱ λόγοι· σὺ δὲ αὐτοὺς ἀπώσω, καὶ οὐκ εἶχες ἐν μνήμῃ.

19 Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ· καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.

Παροιμ. κ. θ. Ἐπειδὴ οὐκ ἔστιν ἄνθρωπον εὑρεῖν ἀναμάρτητον καθόλου (διὸ καί τις ἔλεγε· Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; καὶ α. Κορ. δ. δ. Παῦλος εἰπών, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἐπήγαγεν· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. Παροιμ. ιη. ιζ. Καὶ δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, εὔδηλον δὲ, ὅτι τῶν ἡμαρτημένων αὐτῷ) ἵνα οὖν μηδεὶς ἔχῃ λέγειν, ὅτι εἰ πάντες ἐν ἁμαρτίαις, τὸν δὲ ἁμαρτωλὸν ἐκέλευσε μὴ διηγεῖσθαι τὰ δικαιώματα, τίς ἔσται ὁ διηγησόμενος; ἵνα μή τις οὖν ταῦτα λέγῃ, τίθησι α. Ιω. ε. ις. καὶ κατ' εἶδος ἁμαρτιῶν εἴδη. Ἔστι γὰρ ἁμαρτία πρὸς θάνατον, καθάπερ καὶ ὁ Ἠλεὶ ἔλεγεν· α. Βασ. β. κε. Ἐξοδ. λθ. ιε. καὶ Λευιτ. κ. ιβ. καὶ κε. ε. Ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἄνθρωπος, καὶ προσεύξεται περὶ αὐτοῦ [ὁ ἱερεύς·] ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; καὶ ἐν τῷ νόμῳ δὲ, τὰ μὲν ἦν ἀνίατα, ὡς καὶ θανάτῳ κολάζεσθαι· τὰ δὲ εἶχέ τινα ταχίστην παραμυθίαν. οὕτω καὶ ὁ Χριστὸς ἐν Ματθ. ιη. ιε. τῇ καινῇ· Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, φησίν, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε ἔτι μετὰ σεαυτοῦ δύο. ἐὰν μηδὲ τούτων ἀκούσῃ, ἔστω σοι ὡς ἐθνικὸς καὶ ὁ τελώνης· καίτοιγε ἀλλαχοῦ εἰπόντος τοῦ Πέτρου, ποσάκις ἐὰν ἁμάρτῃ ὁ ἀδελφός μου εἰς ἐμέ, ἀφήσω αὐτῷ; καὶ ἀκούσαντος, ἕως ἑβδομηκοντάκις ἑπτά· ἐνταῦθα δὲ μετὰ δύο παραινέσεις μέγα δείκνυσι τὸ πλημμέλημα, καὶ οὐκ ἀναγκάζει παραμεῖναι πάλιν. τί οὖν; ἐναντία ταῦτα ἐκείνων; ἄπαγε· ἀλλὰ τὸ ἑβδομηκοντάκις

ἑπτά,

ἔπλα, ἐὰν μετανοῇ, λέγει. πῶς γὰρ ἄν τις ἀφήσει τῷ μηδὲ ἡμαρτηκέναι ὁμολογοῦντι, μηδὲ μεταμελοῦντι; καὶ γὰρ τῶν ἰατρῶν φάρμακα ἀπαιτοῦντες, καὶ τὸ ἕλκος δείκνυμεν. τίς οὖν ἐστιν ὁ ἁμαρτωλός, περὶ οὗ φησιν ἐνταῦθα ἡ γραφή; ἀκούσωμεν μετ' ἀκριβείας. καὶ γὰρ ὑπογράφει αὐτὸν διὰ τῶν ἑξῆς, οὕτω λέγων· Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Εἶδες, καθάπερ ἐν εἰκόνι, τῆς κακίας τὰ χρώματα, καὶ πῶς θηρίον ὁ πονηρὸς γέγονε τῇ κακίᾳ, τῆς φύσεως τὴν εὐγένειαν προδούς. μὴ τοίνυν ἁπλῶς ἐπέλθωμεν τὴν εἰκόνα, ἀλλ' ἀκριβῶς καὶ καθ' ἕκαστον ἐξετάζοντες. Εἰ ἐθεώρεις κλέπτην, φησί, συνέτρεχες αὐτῷ. τοῦτο πάντων αἴτιον τῶν κακῶν, τοῦτο μάλιστά ἐστι τὸ ἀνατρέπον ἀρετήν, τὸ ἐκλῦον τὴν περὶ τὰ καλὰ τῶν πολλῶν σπουδήν, ὅταν μὴ μόνον μὴ ἐπιτιμῶσί τινες, ἀλλὰ καὶ συνήδωνται τοῖς ἁμαρτάνουσι. τοῦτο τοῦ ἁμαρτάνειν οὐκ ἔλαττον. ἄκουσον καὶ τοῦ Παύλου λέγοντος· Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσιν. οὐ μικρὸν δὲ καὶ τοῦτο ἁμάρτημα, κἂν μὴ πράττῃ τις τὰ κακά, τὸ συνήδεσθαι τοῖς κακοῖς. ὁ μὲν γὰρ τῷ τὴν ἀνάγκην εἰπεῖν τὴν πενίαν αἰτιάσασθαι ἔχει (εἰ καὶ μὴ εὔλογοι αἱ προφάσεις) σὺ δὲ πόθεν ἐπαινεῖς τὸ γεγενημένον, οὐδὲ τὴν ἐξ αὐτοῦ καρπούμενος ἡδονήν; κἀκεῖνος μὲν ἴσως καὶ μεταγνώσεται· σὺ δὲ καὶ ταύτας ἀποκλείεις τὰς θύρας, καὶ τὸ φάρμακον ἀναιρεῖς, καὶ ἀνατρέπεις τὴν τοσαύτην παραμυθίαν, πανταχόθεν ἑαυτῷ περιχωννὺς τὸν λιμένα τῆς ἐπὶ τὴν μετάνοιαν ἐπανόδου. ὅταν οὖν ἴδῃ τίς σε τὸν ἐκτὸς τῆς ἁμαρτίας, καὶ τὸν ὀφείλοντα ἐπιτιμῆσαι, οὐ μόνον μὴ ἐπιτιμῶντα, ἀλλὰ καὶ συσκιάζοντα, ἢ καὶ μὴ συσκιάζοντα μόνον, ἀλλὰ καὶ συμπράττοντα· τί ἡγήσεται περὶ ἑαυτοῦ, τί δὲ περὶ τοῦ τολμηθέντος; ὡς γὰρ τὰ πολλά, οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ διανοίας μόνον ταύτας περὶ τῶν πραττομένων φέρουσι τὰς ψήφους, ἀλλὰ καὶ ἐκ τῆς ἑτέρων προαιρέσεως διαφθειρόμενοι. κἂν μὲν ἴδῃ πάντας ἀποστρεφομένους αὐτὸν ὁ ἡμαρτηκώς, μέγα τι καὶ πονηρὸν ἡγήσεται εἰργάσθαι· ὅταν δὲ μὴ μόνον μὴ ἀγανακτοῦντας, μηδὲ δυσχεραίνοντας, ἀλλὰ καὶ πράως φέροντας, καὶ συνεφαπτομένους, τὸ ἐκ τοῦ συνειδότος διαφθείρας λοιπὸν δικαστήριον, τῆς τῶν πολλῶν ψήφου συμπραττούσης αὐτοῦ τῇ διεφθαρμένῃ γνώμῃ, τί οὐ τολμήσει; πότε δὲ καταγνώσεται ἑαυτοῦ, καὶ παύσεται τοῦ ἀδεῶς ἁμαρτάνειν; διὸ χρή, κἂν πράττῃ τις πονηρόν, καταγινώσκειν αὐτοῦ (ὁδὸς γάρ τοῦτο ἐπὶ τὸ ἀποστῆναι τοῦ πονηροῦ) κἂν μὴ πράττῃ τὰ καλά, ἐπαινεῖν τὰ καλά. ὁδὸς γὰρ ἐπὶ τὴν ἐργασίαν ἡ προθυμία. ἐνταῦθα μέντοι, ἐπειδὴ καὶ συνεφάπτεται τῶν γινομένων, εἰκότως αὐτὸν μεθ' ὑπερβολῆς στίζει πάσης. Εἰ γὰρ ἐπιτιμωμένη ἡ κακία τοσοῦτον ἀνθεῖ, καὶ ἐπαινουμένη ἡ ἀρετὴ μόλις ἐκκαλεῖται πρὸς τοὺς ἱδρῶτας τοὺς ἑαυτῆς, τί ἔσται, εἰ μὴ τοῦτο γένοιτο; τοῦτο ἴδοι τις ἂν καὶ ἐν χορῷ ἱερέων πολλάκις γινόμενον. Εἰ δὲ ἐπὶ τῶν μαθητῶν τοῦτο χαλεπόν, πολλῷ μᾶλλον ἐπὶ τῶν διδασκάλων. τί ποιεῖς, ἄνθρωπε; παρεβάθη νόμος, κατεφρονήθη σωφροσύνη, πλημμελήματα τοσαῦτα ἐτολμήθη παρά τινος τῶν ἱερωμένων, τὰ ἄνω κάτω γέγονε, καὶ οὐ φρίττεις; ἀλλ' ὁ μὲν προφήτης καὶ αὐτὰ τὰ ἀναίσθητα στοιχεῖα καλεῖ πρὸς ἔκστασιν καὶ κοινωνίαν τῶν θρήνων τῶν κοινῇ πεπλημμελημένων κακῶν, Ἐξέστη ὁ οὐρανός, λέγων, καὶ ἔφριξεν ἡ γῆ. καὶ πάλιν· Πενθήσει ὁ κάρμηλος, πενθήσει οἶνος, πενθήσει ἄμπελος. καὶ τὰ μὲν ἄψυχα * πενθεῖ καὶ στένει καὶ συναγανακτεῖ τῷ δεσπότῃ· σὺ δὲ ὁ λογικὸς οὐκ ἀλγεῖς; οὐκ ἐπιτιμᾷς; οὐ γίνῃ χαλεπὸς τιμωρὸς τῶν τοῦ Θεοῦ νόμων, ἀλλὰ καὶ κοινωνεῖς; καὶ ποίαν ἂν σχοίης συγγνώμην;

Ρωμ. α. λβ.

Ιερεμ. β. ιβ.

Ησ. κδ. ζ. καὶ ιϛ. η.

Ησ. μ.ιγ. κη.
Ρω. ια. λλ.

μὴ γὰρ ὁ Θεὸς ἐκδίκου δεῖται; μὴ γὰρ βοηθούντων χρῄζει; ἀλλὰ βούλεταί σε ὑπὲρ ἑτέρων τοῦτο γενέσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσῃς, ἐν τῇ καθ᾽ ἑτέρου ἀγανακτήσει σωφρονέστερος γινόμενος, ἵνα κἀντεῦθεν τὸ φιλόθεόν σου δείξῃς. ὅταν γὰρ ἁμαρτάνοντος ἑτέρου παραδράμῃς, καὶ μὴ ἐπεξέλθῃς, μηδὲ ἀλγήσῃς, ῥαθυμοτέραν σου τὴν ψυχὴν ποιεῖς καὶ εὐέμπτωτον, καὶ μάλιστα πολλάκις παρασκευάζεις τοῖς αὐτοῖς περιπεσεῖν· κἀκεῖνον δὲ οὐ τὰ τυχόντα παραβλάπτεις, τῇ ἀκαίρῳ χάριτι ταύτῃ αὐστηροτέρας αὐτῷ ποιῶν τὰς ἐν τῷ μέλλοντι εὐθύνας, καὶ πρὸς τὰ παρόντα ῥαθυμότερον κατασκευάζων. ταῦτα δὲ οὐ περὶ κλεπτῶν μόνον εἴρηται, ἀλλὰ καὶ περὶ παντὸς ἁμαρτήματος. τὸ δὲ ἔσχατον τέθεικε τῶν πλημμελημάτων, ἵνα εἰδῇς ὅτι ὁ ἐπὶ τῷ τοιούτῳ συγγνώμην οὐκ ἔχων, πολλῷ μᾶλλον ἐφ᾽ ἑτέρου οὐκ ἀπολαύσεται ταύτης τῆς παραμυθίας. ἄκουσον γοῦν καὶ ἑξῆς τί φησι, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις· ἐπὶ τὸ μεῖζον ἐλθών. πολλῷ γὰρ ἐκεῖνο τούτου ἔλαττον. καί τις τῶν ἁμαρτημάτων τούτων σύγκρισιν ποιούμενος, οὕτως ἔλεγεν· Οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων. κλέπτει γὰρ ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶσαν. εἰ τοίνυν τοῦτο ἀσύγγνωστον, πολλῷ μᾶλλον μοιχεία. ἐνταῦθα δὲ μοιχείαν τὴν πορνείαν φησίν. ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετὰ σοῦ ἀγελαζομένων πορνεύοντα, καὶ μυστηρίοις προσερχόμενον, εἰπὲ τῷ διακονουμένῳ τῇ τούτων διανομῇ· ὁ δεῖνα ἀνάξιος τῶν μυστηρίων, κώλυσον τὰς βεβήλους χεῖρας. εἰ γὰρ μηδὲ διηγεῖσθαι τὰ δικαιώματα ἄξιος, ἐννόησον οἷ προβήσεται τὰ τῆς κολάσεως αὐτῷ, ὅταν καὶ τῆς ἱερᾶς ἅπτηται τραπέζης· οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ τῷ συσκιάζοντι. οὐ γὰρ εἶπε, καὶ ἐμοίχευες, ἀλλὰ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. βαβαὶ, ἡλίκον ἐστὶ κακὸν ἐκ τοῦ περιστέλλειν τῶν ἄλλων τὰς σηπεδόνας, ὅπου γε καὶ κοινωνὸν αὐτόν φησιν εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμωρίας· καὶ οὐκ ἔλαττον, ἢ ἐκεῖνος. ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν (εἰ καὶ ἀσύγγνωστος ἡ πρόφασις) καθάπερ ὁ κλέπτης τὸν λιμόν· σὺ δὲ οὐδὲ τοῦτο. τίνος γὰρ ἕνεκεν τῆς ἡδονῆς οὐκ ἀπολαύων, τῆς κολάσεως κοινωνεῖς καὶ μεριστὴς γίνῃ; διὰ δὴ τοῦτο καὶ οἱ ἔξωθεν δικασταὶ, οὐχὶ τοὺς τολμήσαντας μόνον, ἀλλὰ καὶ τῶν οἰκετῶν, οὓς ἂν ἴδωσι συνειδότας τῷ πράγματι, κολάζουσι· καὶ οἱ παραδιδόντες δεσπόται ἡδέως ἂν τὸ αἷμα αὐτῶν ἐκπίοιεν, καὶ τὴν σάρκα ἀπογεύσαιντο, καὶ αὐτοῖς λογίζονται τὴν ἐξουσίαν τοῦ γεγενημένου οὐκ ἔλαττον, ἢ τῇ μοιχευθείσῃ. οἱ γὰρ τὰ παραπετάσματα μὴ ἀναστείλαντες, αὐτοὶ πλείονα τὴν ἐξουσίαν τοῖς κρυπτομένοις δεδώκασιν. οὗτοι καὶ τὴν μοιχευθεῖσαν, καὶ τὸν ἠδικημένον ὕβρισαν ἄνδρα, καὶ αὐτὸν τὸν μοιχεύσαντα. εἰ γὰρ προκατήγγειλαν, εἰ γὰρ δῆλον ἐποίησαν, πᾶσαν ἂν τὴν ἄγραν ἐσόβησαν. καὶ καθάπερ ἐκεῖνοι μάλιστά εἰσιν οἱ ἐμβάλλοντες εἰς τὰς πάγας οἱ τὰς πάγας περιστέλλοντες, καὶ παρακαθήμενοι τοῖς μέλλουσιν ἁλίσκεσθαι, καὶ πανταχόθεν ἅπαντα κρύπτοντες τὸν δόλον, καὶ μήτε ψόφον, μήτε ἄλλο τι συγχωροῦντές τι γενέσθαι τὸ δυνάμενον σοβῆσαι τὴν θήραν· οὕτω δὴ καὶ ἐνταῦθα, ἂν παρακαθίσῃς τῇ κειμένῃ παρὰ τοῦ διαβόλου παγίδι, καὶ εἰδὼς μέλλοντα ἐμπίπτειν τὸν μοιχὸν, μὴ θορυβήσῃς, μηδὲ πτοήσῃς, τότε μάλιστα σαυτὸν ἀπολεῖς. μὴ γάρ μοι ἐκεῖνο τὸ ῥῆμα λέγε τὸ πολλῆς γέμον ἀναλγησίας· τί δέ μοι μέλει; τὰ ἐμαυτοῦ μεριμνῶ. τότε γὰρ μάλιστα μεριμνήσεις τὰ σὰ, ὅταν τὰ σὰ ζητῇς ἐν τῷ τοῦ πλησίον συμφέροντι. διὸ καὶ ὁ Παῦλος ἔλεγε· Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου. ἵνα, φησὶν, εὕρῃς τὸ σαυτοῦ, ζήτει τὸ τοῦ ἑτέρου.

Παροιμ. ς. λ.

α. Κορ. ι. κδ.

χ. ἁμαρτάν

χ. μοιχῷ

χ. τῷ τούτων διανομεῖ.

ἐν ἄλλοις.

20 Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα.

21 Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ἵνα γὰρ μὴ λέγῃ· ἀπὸ φιλανθρωπίας ταῦτα ποιῶ· μάλιστα μὲν, ποία ἂν εἴη τοῦτο φιλανθρωπία, τὸν μέλλοντα εἰς βάραθρον ἐμπίπτειν μὴ κωλύειν,

χ. ἐπιὼν

κωλύειν, μηδὲ ἀναστέλλειν; τὸ χαρίζεσθαι ἡδονῇ ἀδίκῳ; τὸ περιορᾶν δηλητήριον φάρμακον πίνοντα; πλὴν ἀλλ᾽ οὐδὲ τοῦτο δυνήσῃ λέγειν. ὅτι γὰρ οὐ φίλων θεραπείας τοῦτο, ἀλλ᾽ ὕπνου, καὶ νωθείας, καὶ ῥαθυμίας· πῶς τὸν ἀδικοῦντα ἀφεὶς, τὸν οὐδὲν ἠδικηκότα ἀδελφὸν κακῶς λέγεις; πῶς ἐπιβουλεύεις τῷ μηδὲν πεπλημμεληκότι; ὁρᾷς κακίαν ἑκατέρωθεν εἰς ἄκρον ἐκτεινομένην· τὸν μὲν ὑπὸ τῆς ἐπιθυμίας μεθύοντα οὐ κωλύεις μεθύειν, ὥστε σωφρονῆσαι· τὸν δὲ οὐδὲν ἠδικηκότα κολάζεις. καθήμενος γὰρ κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. ὅρα πῶς τῇ ἐπεξηγήσει τὴν κατηγορίαν αὔξει. τὸν τὰς αὐτάς λύσαντά σοι, φησὶν, ὠδῖνας, τὸν τῆς αὐτῆς σοι κεκοινωνηκότα νηδύος, τὸν οἰκίας καὶ τραπέζης καὶ τροφῆς μετασχόντα τῆς αὐτῆς, τὸν ἀπὸ μιᾶς βλαστήσαντα ῥίζης, τὸν τὴν αὐτὴν ἔχοντα τῆς γενέσεως ἀρχὴν, τὸν ἐκ πρώτης ἡλικίας συναναβάντα σοι, τοῦτον κακῶς λέγεις· καὶ οὐ κακῶς λέγεις μόνον, ἀλλὰ καὶ εἰς ἔργον τὴν ἐπιβουλὴν ἐξάγεις. τοῦτο γάρ ἐστιν, ἐτίθεις σκάνδαλον. εἰ δὲ τὸν φυσικῶς κοινωνήσαντα ὠδίνων οὐ δεῖ λέγειν κακῶς, πολλῷ μᾶλλον τὸν πνευματικῶς. μὴ τοίνυν μήτε τὸν μέλλοντα ἁμαρτεῖν ἔα καταπίπτειν, μήτε τὸν οὐδὲν ἠδικηκότα διάβαλλε καὶ λοιδόρει. τὸ μὲν γὰρ φθόνου, τὸ δὲ ἀναλγησίας. τὸ μὴ γὰρ ἀναχαιτίζειν τὸν μέλλοντα πίπτειν, ἀναλγησίας· φθόνου δὲ, τὸ τὸν ἑστῶτα καταβάλλειν. καὶ ὅρα πῶς οὐχ ἁπλῶς τὴν κατηγορίαν αἰνίττεται, ἀλλὰ τὸν μετὰ δόλου καὶ σπουδῆς τὸ ἔργον τοῦτο ποιούμενον. καθήμενος γὰρ, φησὶ, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. καὶ ὁ μὲν Κάϊν ἀδελφὸν ἀνελὼν, ἕνα μόνον τῆς παρούσης ζωῆς ἐξήλασεν· οὗτοι δὲ μυρίους δι᾽ ὧν κακῶς λέγουσι καταβάλλουσι, καὶ ἑαυτοὺς πρώτους. οὐ γὰρ τὸν κατηγορούμενον μόνον, ἀλλὰ καὶ ἑτέρους βλάπτουσι· μᾶλλον δὲ ἐκείνους μόνον τοὺς παραδεχομένους. ὁ γὰρ κακῶς ἀκούων ψευδῶς, οὐ μόνον οὐκ ἠδίκηται, ἀλλὰ καὶ μισθὸν ἔχει μέγιστον. οὐ γὰρ ὁ πάσχων, ἀλλ᾽ ὁ δρῶν κακῶς, οὗτός ἐστιν ὁ τῆς τιμωρίας ἄξιος. οὕτω καὶ ὁ λέγων, οὐχὶ ὁ ἀκούων, μόνον ἂν μὴ παράσχῃ λαβὰς τῆς κακηγορίας εὐλόγους ἐκεῖνος. μηδὲ οὕτω τοῦτο σπουδάζωμεν, ὥστε μὴ κακῶς ἀκούειν (τοῦτο γὰρ ἀμήχανον· καὶ ἀπόφασίς ἐστι τοῦ Χριστοῦ λέγουσα, Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες ἄνθρωποι) ἀλλ᾽ ὅπως ἡμεῖς μὴ παρέχοιμεν λαβάς. καὶ γὰρ ὁ βουλόμενος παρὰ πάντων ἀκούειν καλῶς, πολλαχοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλυσι, δόξης ἐρῶν ἀνθρωπίνης, διακονούμενος ἐν οἷς οὐ δεῖ, ἀρέσκων ἐν οἷς οὐ χρὴ, ὥστε ὠνήσασθαι τὴν παρ᾽ αὐτῶν χάριν. πάλιν, ὁ καταφρονῶν τοῦ παρὰ πάντων ἀκούειν κακῶς, καὶ ἑαυτὸν προσαπόλλυσιν. ὥσπερ γὰρ ἀμήχανον παρὰ πάντων ἀκούειν καλῶς τὸν ἐνάρετον· οὕτως ἀμήχανον μὴ παρὰ πάντων ἀκούειν κακῶς τὸν πολλὰς πολλαχόθεν παρέχοντα τοῦ κακῶς ἀκούειν λαβάς. ἂν δὲ τὸ ἀπρόσκοπόν σου παρέχοντος ὦσιν οἱ κατηγοροῦντες, τότε σοι καὶ πλείων ὁ μισθὸς, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο, καὶ τῶν γενναίων ἀνδρῶν. χρὴ δὲ κἀκεῖνο εἰδέναι, ὅτι κἂν λέγῃ τις κακῶς ἐπὶ πράγματι, οὗ τὸ συνειδὸς ἡμῶν οὐ καταγινώσκει, οὐ διὰ τοῦτο δεῖ καταφρονεῖν τοῦ κατηγόρου διὰ τὴν ἐκείνου βλάβην, ἀλλὰ πάντα ποιεῖν μετὰ τῆς πρεπούσης ἀσφαλείας, ὥστε ἀνελεῖν καὶ τὴν ἄλογον πρόφασιν. διὰ τοῦτο καὶ Παῦλος ἐπὶ τῶν χρημάτων πολλοὺς ἔπεμπε τοὺς διακομίζοντας τῶν πενήτων τὰς διατροφάς. καὶ τὴν αἰτίαν τίθησι, λέγων· Ἵνα μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. οὐ γὰρ δὴ τοῦτο ἰδὼν, ὅτι ἔμελλον κακῶς σκανδαλίζεσθαι, παρεῖδε καὶ κατεφρόνησεν· ἀλλ᾽ ἐπειδὴ κύριος ἦν τοῦ λῦσαι τὸ σκάνδαλον, καὶ αὐτῶν τῶν σκανδαλιζομένων προενόησε. καὶ ἀλλαχοῦ πάλιν φησίν· Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. καίτοι ταῦτα ἀδιάφορα ἦν· ἀλλ᾽ ὅμως εἰ σκάνδαλον φέρει, φησὶ, κἂν ἐμὲ οὐ παραβλάπτῃ, οὐ κα-

Γεν. δ. η.

Ματθ. ε. ια.

Λουκ. ς. κς.

Ματθ. ς. α.

Σοφι. δ. ιβ. καὶ α. Κορ. δ. ιβ.

α. Κορ. ις. γ.

β. Κορ. η. ιθ. κ.

α. Κορ. η. ιγ.

ἀμήχανον
ρὰ πάντων
κακῶς
μὴ πολλὰς

ταφρονεῖν τῆς σωτηρίας τῶν σκανδαλιζομένων. Εἰ μὲν γὰρ γένοιτο βλάβη μείζων τῆς σωτηρίας τοῦ σκανδαλιζομένου, καταφρόνει τοῦ σκανδαλιζομένου· εἰ δὲ μὴ γένοιτο, μηκέτι. ὅρος γὰρ οὗτος ἔστω καθόλου καὶ κανὼν, παιδεύων πότε δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, καὶ πότε μή. οἷον τι λέγω. ἐσκανδαλίζοντο Ἰουδαῖοι, ὅτι Παῦλος οὐκ ἐτήρει τὸν νόμον, καὶ διὰ τοῦτο μυριάδες ἀπεπήδων πολλαὶ, καὶ περὶ τὴν πίστιν ἐχώλευον. τί οὖν ποιεῖ; θεραπεῦσαι τὸ σκάνδαλον βουλόμενος (μείζων γὰρ ἦν ἡ σωτηρία τῶν τοσούτων μυριάδων) καὶ διορθῶσαι τὴν χωλείαν, τῷ τέως ἐπιδείξασθαι, ὅτι οὐ τηρεῖ τὸν νόμον, ἐκώλυσεν ὅπερ μεῖζον ἦν. ἐσκανδαλίζοντο πάλιν, ὅτι ἐσταυρωμένον ἐκήρυττεν. ἐνταῦθα κατεφρόνησε τῶν σκανδαλιζομένων. μεῖζον γὰρ ἦν τοῦ κηρύγματος τὸ κέρδος. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. ὅτε μὲν γὰρ περὶ βρωμάτων αὐτοῖς διελέγετο, καὶ ἐσκανδαλίσθησαν λέγοντος αὐτοῦ, Ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον, λέγει· ἄφετε αὐτούς· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου, ἐκριζωθήσεται· ὅτε δὲ φόρους αὐτὸν ἀπῄτουν, καίπερ εἰπὼν ὅτι τελεῖν οὐ δεῖ, ὅμως ἐπειδὴ ὁ καιρὸς οὐδέπω ἀπῄτει τὸ ἐκκαλυφθῆναι αὐτοῦ τὴν ἀξίαν, λέγει· Ἵνα δὲ μὴ σκανδαλίζωμεν αὐτοὺς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ ἐν αὐτῷ εὑρήσεις στατῆρα. τοῦτον δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅτε μὲν γὰρ νόμον ἐτίθει πολλῆς γέμοντα φιλοσοφίας, καὶ ἀνιάτως εἶχον ἐκεῖνοι, εἰκότως αὐτῶν οὐκ ἐφρόντισε, καὶ τὸν νόμον ἔλυσεν· ὅτε δὲ οὐδέπω οἷοί τε ἦσαν τὸν περὶ τῆς ἀξίας αὐτοῦ δέξασθαι λόγον, εἰκότως συγκαταβαίνει πάλιν, καὶ συσκιάζει τῇ τοῦ φόρου δόσει τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις· ἀλλ' ἵνα διορθώσωμαι, φησιν. οὐκοῦν οὐ λάθρα διαβάλλειν ἐχρῆν, ἀλλ' ὡς ὁ Χριστὸς ἐκέλευσε, κατ' ἰδίαν λαμβάνοντα διορθοῦν. αἱ γὰρ δημόσιαι γινόμεναι κατηγορίαι πολλάκις καὶ ἀναισχυντοτέρους ποιοῦσι. καὶ ἕως μὲν ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, καὶ ἐπανελθεῖν ῥᾳδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσιν λοιπὸν ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ; τί τοίνυν καὶ σαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος, καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ γὰρ βούλει καὶ σαυτὸν εὐεργετῆσαι, κἀκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· οὕτω πολλοὺς αὐτοῦ ποιήσεις ἀντὶ σοῦ τοὺς κατηγόρους, καὶ αὐτὸς πολὺν λήψῃ μισθόν. ἂν δὲ κακῶς λέγῃς, οὐδὲ πιστευθήσῃ, ἔχθρας ὑποψίαν δεξάμενος. ὥστε εἰς τοὐναντίον σοι περιτρέπεται τὰ τῆς σπουδῆς. σὺ μὲν γὰρ τρῶσαι αὐτοῦ τὴν δόξαν βούλει, γίνεται δὲ τοὐναντίον. διὰ γὰρ εὐφημίας, οὐ διὰ κατηγορίας τοῦτο συμβαίνει, ἀλλὰ τοὐναντίον ἅπαν· σαυτὸν μὲν μειζόνως καταισχύνεις, ἐκείνου δὲ οὐχ ἅπτεταί σου τὰ βέλη. ἡ γὰρ ἔχθρα προαπαντῶσα ταῖς τῶν ἀκουόντων διανοίαις, οὐκ ἀφίησιν αὐτῶν ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα, καὶ ταὐτὸν γίνεται, οἷον ἐπὶ τῶν παραγραφῶν. ὅταν γὰρ ἀντικρούσῃ τις εἰς δικαστήριον, τὸ πᾶν διαλύεται τέως. οὕτω δὴ καὶ ἐνταῦθα· οὐκ ἀφίησιν εἰσαγώγιμον γενέσθαι τὴν δίκην ἡ τῆς ἔχθρας ὑπόνοια. μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς· μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε καὶ ἴων καὶ τῶν λοιπῶν ἀνθέων· μηδὲ κόπρον ἐπὶ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι (τοῦτο γὰρ οἱ κατηγοροῦντες· αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτοι) ἀλλ' ἄνθη, καθάπερ αἱ μέλιτται, καὶ ὕφαινε κηρία κατ' ἐκείνας, καὶ γίνου πᾶσι προσηνής. τὸν μὲν γὰρ κατήγορον πάντες ἀποστρέφονται, ὡσεὶ βόρβορον ἀποστάζοντα, ὡς βδέλλαν τινὰ αἵματι, ἢ κάνθαρον κόπρῳ, τρεφόμενον τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν προσίενται μέλος, ὡς ἀδελφὸν γνήσιον, ὡς παῖδα, ὡς πατέρα. καὶ τί λέγω τὰ παρόντα.

Πράξ. κα. κ. κα. κδ. κϛ.

α. Κορ. α. κγ.

Ματθ. ιε. ια. ιγ.

Ματθ. ιζ. κζ.

Ματθ. ιη. ιε.

παρόντα, καὶ τὰς τῶν ἀνθρώπων δόξας; ἐννόησόν μοι τὴν φοβερὰν ἐκείνην ἡμέραν, τὸ κριτήριον τὸ ἀδέκαστον· ὅτι ἂν μὲν ψευδῆ λέγῃς, προσθήκην ἁμαρτημάτων περιττῶν προσθήσεις. Λέγω γὰρ ὑμῖν, ὅτι πᾶν ἀργὸν ῥῆμα, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. κἂν ἀληθῆ, φησιν, ᾖ; οὐδὲ οὕτως ἀπαλλαγήσῃ καταγνώσεως, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφορὰς καὶ τὰ ὀνείδη. ἐννόησον τὸν Φαρισαῖον. οὐκ ἦν τελώνης, ἀλλὰ τελώνου γέγονεν ἁμαρτωλότερος, ἐπειδὴ τὸν τελώνην ἐκάκισεν. οὐκ ἦν Φαρισαῖος ὁ τελώνης, ἀλλὰ τοῦ Φαρισαίου γέγονε δικαιότερος, ἐπειδὴ ἑαυτὸν ἐταλάνισε.

Ματθ. ιβ. λς.

Λουκ. ιη. ια.

Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. 22 Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Εἶδες φιλανθρωπίαν ἄφατον; Εἶδες ἀγαθότητος ὑπερβολήν; Εἶδες μακροθυμίας πλοῦτον ἄπειρον; σιγὴν γὰρ ἐνταῦθα τὴν μακροθυμίαν λέγει. Τοσαῦτα ἐτόλμησας, φησί, καὶ οὐκ ἐπεξῄειν, ἀλλ' ἠνειχόμην καὶ ἔφερον, χώραν σοι διδοὺς εἰς μετάνοιαν· σὺ δὲ οὐ μόνον οὐδὲν ἐκέρδανας ἐντεῦθεν, ἀλλὰ καὶ πρὸς μείζονα ἐξώκειλας κακίαν. οὐ γὰρ δὴ μόνον οὐ μετεβάλου, οὐδὲ μόνον οὐ κατησχύνθης, οὐδὲ κατέγνως ἐπὶ τοῖς γεγενημένοις σαυτοῦ· ἀλλ' ἤδη καὶ ἐμὲ τὸν μακροθυμήσαντά σοι, τὸν ἀνασχόμενον, τὸν σιγήσαντα, τὸν τοσαῦτα ἐνεγκόντα, ἐνόμισας οὐ διὰ μακροθυμίαν καὶ φιλανθρωπίαν φέρειν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι ταῦτα σωφρονίζειν, μηδὲ ἀγανακτεῖν ἐπὶ τοῖς γινομένοις. 23 Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. Ποῖα; τὰ εἰρημένα, φησί. Ἴδετε, συνέτε; νοήσατε. τί γὰρ συνεσκιασμένον εἴρηται; τί δὲ πολλῆς χρῇζον ἑρμηνείας; μάλιστα μὲν καὶ αὐτὸς ὁ τῆς διδασκαλίας τρόπος ἐνηλλαγμένην παρεισάγει πολιτείαν. καὶ γὰρ τῶν θυσιῶν οὐ πολὺν ποιούμενος λόγον, τὴν εὐαγγελικὴν εἰσάγει νομοθεσίαν. ἄλλως δέ, ἐπειδὴ πολλῷ τῷ φορυτῷ τῶν ἁμαρτημάτων ἦσαν καταχωσθέντες, καθάπερ ἀπὸ τελμάτων τινῶν τῆς κακίας ἀνασπάσαι βουλόμενος, καί, ὥσπερ λήμην τῶν ὀφθαλμῶν, διακαθᾶραι τὴν παραλαβοῦσαν τῆς πονηρᾶς συνηθείας ὁδόν, διεγείρει εἰς μνήμην ἐλθεῖν τῶν γεγενημένων, ἵνα μὴ λήθῃ παραδιδόντες αὐτά, ἀκερδεῖς ἀναχωρήσωσι. πολλὴν γὰρ ἡ ἐν ἁμαρτήμασι συνήθεια πώρωσιν τῆς ψυχῆς ἐργάζεται, καὶ ἀνοήτους ποιεῖ, καὶ τυφλοῖ τὸ ὀξυδερκὲς τῆς διανοίας ὄμμα. Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Ὢ φιλανθρωπίας ἀφάτου. μητρὸς φιλοστόργου τὰ ῥήματα· μᾶλλον δὲ ἀπείρως τὴν φιλοστοργίαν ἐκείνην νικᾷ ἀγαθότητι. ὁ γὰρ τοσαύτην ἐμφήνας κατηγορίαν, ὁ τοσαύτην ὀργὴν ἐπιδειξάμενος, προασφαλίζεται. ὁ εἰπών, ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου, καὶ ἀπόφασιν ἐκβαλὼν καταδικάζουσαν, ἀναλύει τὴν ἀπόφασιν πάλιν, οὐχ ὡς καταδίκους τῇ τιμωρίᾳ παραδιδούς, ἀλλ' ὡς ὀφείλοντας διορθωθῆναι τῇ παραινέσει καὶ τῇ συμβουλῇ, ἐγχειρίζων τῷ φόβῳ, σωφρονίζων, καὶ λέγων· μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. 24 Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Δείξας τὸ φιλάνθρωπον, παραινέσας, συμβουλεύσας, ἀπειλήσας, φοβήσας, ἐπιστήσας τὴν τιμωρίαν ἄκρατον, καὶ συμβουλὴν εἰσενεγκών, λέγει καὶ τὸν τρόπον δι' οὗ δυνατὸν διορθώσασθαι τὰ γεγενημένα, εἰπών· θυσία αἰνέσεως δοξάσει με. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ μόνον παύσει μου τὴν ὀργήν, οὐδὲ λύσει τὴν καταδίκην, ἀλλὰ καὶ δοξάσει με. ὅρα τοῦ κατορθώματος τὸ μέγεθος, ὅταν ὁ Θεὸς δι' αὐτοῦ δοξάζηται. καὶ ἐκεῖ ὁδός, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Εἶδες μισθὸν ἄφατον; Εἶδες φιλανθρωπίας ὑπερβολήν; τὴν τοῦ Θεοῦ ὁδὸν δείξειν ἐπαγγέλλεται, καὶ τὸ ὄντως σωτήριον

Ρωμ. β. δ.

ταφρονῶν τῆς σωτηρίας τῶν σκανδαλιζομένων. Εἰ μὲν γὰρ γίνοιτο βλάβη μείζων τῆς σωτηρίας τῶν σκανδαλιζομένων, καταφρόνει τῶν σκανδαλιζομένων· εἰ δὲ μὴ γίνοιτο, μηκέτι. ὅρος γὰρ οὗτος ἔστω καθόλου καὶ κοινός, παιδεύων πότε δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, Πράξ. κα. κ. κα. κδ. κε. καὶ πότε μή. οἷόν τι λέγω. ἐσκανδαλίζοντο Ἰουδαῖοι, ὅτι Παῦλος οὐκ ἐτήρει τὸν νόμον, καὶ διὰ τοῦτο μυριάδες ἀπεπήδων πολλαί, καὶ περὶ τὴν πίστιν ἐχώλευον. τί οὖν ποιεῖ; θεραπεῦσαι τὸ σκάνδαλον βουλόμενος (μείζων γὰρ ἦν ἡ σωτηρία τῶν τοσούτων μυριάδων) καὶ διορθῶσαι τὴν χωλείαν, τὸ τέως ἐπιδείξασθαι, ὅτι οὐ τηρεῖ τὸν νόμον, ἐ- α. Κορ. α. κγ. κώλυσεν ὅπερ μεῖζον ἦν. ἐσκανδαλίζοντο πάλιν, ὅτι ἐσταυρωμένον ἐκήρυττεν. ἐνταῦθα κατεφρόνησε τῶν σκανδαλιζομένων. μεῖζον γὰρ ἦν τοῦ κηρύγματος τὸ κέρδος. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. ὅτε μὲν γὰρ περὶ βρωμάτων αὐτοῖς διελέγετο, καὶ ἐσκανδαλίσθησαν λέγοντος αὐ- Ματθ. ιε. ια. ιγ. τοῦ, Ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον, λέγει· ἄφετε αὐτούς· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου, ἐκριζωθήσεται· ὅτε δὲ φόρους αὐτὸν ἀπῄτουν, καίπερ εἰπὼν ὅτι τελεῖν οὐ δεῖ, ὅμως ἐπειδὴ ὁ καιρὸς οὐδέπω ἀπῄ- Ματθ. ιζ. κζ. τει τὸ ἐκκαλυφθῆναι αὐτοῦ τὴν ἀξίαν, λέγει· Ἵνα δὲ μὴ σκανδαλίζωμεν αὐτούς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ ἐν αὐτῷ εὑρήσεις στατῆρα. τοῦτον δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅτε μὲν γὰρ νόμον ἐτίθει πολλῆς γέμοντα φιλοσοφίας, καὶ ἐναντίως εἶχον ἐκεῖνοι, εἰκότως αὐτῶν οὐκ ἐφρόντισε, καὶ τὸν νόμον ἔλυσεν· ὅτε δὲ οὐδέπω οἷοί τε ἦσαν τὸν περὶ τῆς ἀξίας αὐτοῦ δέξασθαι λόγον, εἰκότως συγκαταβαίνει πάλιν, καὶ συσκιάζει τῇ τοῦ φόρου δόσει τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις· ἀλλ' ἵνα διορθώσωμαι, φησίν. οὐκοῦν οὐ λά- Ματθ. ιη. ιε. θρα διαβάλλειν ἐχρῆν, ἀλλ' ὡς ὁ Χριστὸς ἐκέλευσε, κατ' ἰδίαν λαμβάνοντα διορθοῦν. αἱ γὰρ δημόσιαι γινόμεναι κατηγορίαι πολλάκις καὶ ἀναισχυντοτέρους ποιοῦσι. καὶ ἕως μὲν ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, καὶ ἐπανελθεῖν ῥᾳδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσιν λοιπὸν ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ; τί τοίνυν καὶ σαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος, καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ γὰρ βούλει καὶ σαυτὸν εὐεργετῆσαι, κἀκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· οὕτω πολλούς αὐτοῦ ποιήσεις ἀντὶ σοῦ τοὺς κατηγόρους, καὶ αὐτὸς πολὺν λήψῃ μισθόν. ἂν δὲ κακῶς λέγῃς, οὐδὲ πιστευθήσῃ, ἔχθρας ὑποψίαν δεχόμενος. ὥστε εἰς τοὐναντίον σοι περιτρέπεται τὰ τῆς σπουδῆς. σὺ μὲν γὰρ τρῶσαι αὐτοῦ τὴν δόξαν βούλει, γίνεται δὲ τοὐναντίον. διὰ γὰρ εὐφημίας, οὐ διὰ κατηγορίας τοῦτο συμβαίνει, ἀλλὰ τοὐναντίον ἅπαν· σαυτὸν μὲν μειζόνως καταισχύνεις, ἐκείνου δὲ οὐχ ἅπτεταί σου τὰ βέλη. ἡ γὰρ ἔχθρα προσεμπίπτουσα ταῖς τῶν ἀκουόντων διανοίαις, οὐκ ἀφίησιν αὐτῶν ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα, καὶ ταὐτὸν γίνεται, οἷον ἐπὶ τῶν παραγραφῶν. ὅταν γὰρ ἀντικρούσῃ τις εἰς δικαστήριον, τὸ πᾶν διαλύεται τέως. οὕτω δὴ καὶ ἐνταῦθα· οὐκ ἀφίησιν εἰσαγώγιμον γενέσθαι τὴν δίκην ἡ τῆς ἔχθρας ὑπόνοια. μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς· μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε καὶ ἴων καὶ τῶν λοιπῶν ἀνθέων· μηδὲ κόπρον ἐπὶ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι (τοῦτο γὰρ οἱ κατηγοροῦντες· αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτοι) ἀλλ' ἄνθη, καθάπερ αἱ μέλιτται, καὶ ὕφαινε κηρία κατ' ἐκείνας, καὶ γίνου πᾶσι ποθεινός. τὸν μὲν γὰρ κατήγορον πάντες ἀποστρέφονται, ὡσεὶ βορβόρου ἀποστάζοντα, ὡς βδέλλαν τινὰ αἵματι, ἢ κάνθαρον κόπρῳ, στρεφόμενον τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν προσίενται μέλος, ὡς ἀδελφὸν γνήσιον, ὡς παῖδα, ὡς πατέρα. καὶ τί λέγω τὰ παρόντα, καὶ τὰς τῶν ἀνθρώπων δόξας; ἐννόησόν μοι τὴν φοβερὰν ἐκείνην ἡμέραν, τὸ κριτήριον τὸ ἀδέκαστον· ὅτι ἂν μὲν ψευδῆ λέγῃς, προσθήκην ἁμαρτημάτων περιττῶν προσθήσεις. Λέγω γὰρ ὑμῖν, ὅτι πᾶν ἀργὸν ῥῆμα, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. Ματθ. ιβ. λϛ. κἂν ἀληθῆ, φησιν, ᾖ; οὐδὲ οὕτως ἀπαλλαγήσῃ καταγνώσεως, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφορὰς καὶ τὰ ὀνείδη. ἐννόησον τὸν Φαρισαῖον. οὐκ ἦν τελώνης, ἀλλὰ τελώνου γέγονεν ἁμαρτωλότερος, ἐπειδὴ τὸν τελώνην ἐκάκισεν. Λουκ. ιη. ιδ. οὐκ ἦν Φαρισαῖος ὁ τελώνης, ἀλλὰ τοῦ Φαρισαίου γέγονε δικαιότερος, ἐπειδὴ ἑαυτὸν ἐταλάνισε.

Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. 22 Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Εἶδες φιλανθρωπίαν ἄφατον; εἶδες ἀγαθότητος ὑπερβολήν; εἶδες μακροθυμίας πλοῦτον ἄπειρον; σιγὴν γὰρ ἐνταῦθα τὴν μακροθυμίαν λέγει. τοσαῦτα ἐτόλμησας, φησι, καὶ οὐκ ἐπεξῄειν, ἀλλ' ἠνειχόμην καὶ ἔφερον, χώραν σοι διδοὺς εἰς μετάνοιαν· Ρωμ. β. δ. σὺ δὲ οὐ μόνον οὐδὲν ἐκέρδανας ἐντεῦθεν, ἀλλὰ καὶ πρὸς μείζονα ἐξώκειλας κακίαν. οὐ γὰρ δὴ μόνον οὐ μετέβαλες, οὐδὲ μόνον οὐ κατηξιώθης, οὐδὲ κατέγνως ἐπὶ τοῖς γεγενημένοις σαυτοῦ· ἀλλ' ἤδη καὶ ἐμὲ τὸν μακροθυμήσαντά σοι, τὸν ἀνασχόμενον, τὸν σιγήσαντα, τὸν τοσαῦτα ἐνεγκόντα, ἐνόμισας οὐ διὰ μακροθυμίαν καὶ φιλανθρωπίαν φέρειν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι ταῦτα σωφρονίζειν, μηδὲ ἀγανακτεῖν ἐπὶ τοῖς γινομένοις. 23 Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. Ποῖα; τὰ εἰρημένα, φησί. τί ἐστι, σύνετε; νοήσατε. τί γὰρ συνεσκιασμένον εἴρηται; τί δὲ πολλῆς χρῇζον ἑρμηνείας; μάλιστα μὲν καὶ αὐτὸς ὁ τῆς διδασκαλίας τρόπος ἐνηλλαγμένην παρεισάγει πολιτείαν. καὶ γὰρ τῶν θυσιῶν οὐ πολλὴν ποιούμενος λόγον, τὴν εὐαγγελικὴν εἰσάγει νομοθεσίαν. ἄλλως δὲ, ἐπειδὴ πολλῷ τῷ φορυτῷ τῶν ἁμαρτημάτων ἦσαν καταχωσθέντες, καθάπερ ἀπὸ τελμάτων τινῶν τῆς κακίας ἀνασπάσαι βουλόμενος, καὶ, ὥσπερ λήμην τῶν ὀφθαλμῶν, διακαθᾶραι τὴν προλαβοῦσαν τῆς πονηρᾶς συνηθείας ὁδὸν, διεγείρει εἰς μνήμην ἐλθεῖν τῶν γεγενημένων, ἵνα μὴ λήθῃ παραδιδόντες αὐτὰ, ἀκερδεῖς ἀναχωρήσωσι. πολλὴν γὰρ ἡ ἐν ἁμαρτήμασι συνήθεια πώρωσιν τῆς ψυχῆς ἐργάζεται, καὶ ἀνοήτους ποιεῖ, καὶ τυφλοῖ τὸ ὀξυδερκὲς τῆς διανοίας ὄμμα. Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Ὦ φιλανθρωπίας ἀφάτου. μὴ πρὸς φιλοστόργου τὰ ῥήματα· μᾶλλον δὲ ἀπείρως τὴν φιλοστοργίαν ἐκείνην νικᾷ ἀγαθότητι. ὁ γὰρ τοσαύτην ἐμφήνας κατηγορίαν, ὁ τοσαύτην ὀργὴν ἐπιδειξάμενος, παρασφαλίζεται. ὁ εἰπὼν, ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου, καὶ ἀπόφασιν ἐκβαλὼν καταδικάζουσαν, ἀναλύει τὴν ἀπόφασιν πάλιν, οὐχ ὡς καταδίκους τῇ τιμωρίᾳ παραδιδοὺς, ἀλλ' ὡς ὀφείλοντας διορθωθῆναι τῇ παραινέσει καὶ τῇ συμβουλῇ, ἐγχειρίζων τῷ φόβῳ, σωφρονίζων, καὶ λέγων· μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. 24 Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Δείξας τὸ φιλάνθρωπον, παραινέσας, συμβουλεύσας, ἀπειλήσας, φοβήσας, ἐπιστήσας τὴν τιμωρίαν ἄκρατον, καὶ συμβουλὴν εἰσενεγκὼν, λέγει καὶ τὸν τρόπον δι' οὗ δυνατὸν διορθώσασθαι τὰ γεγενημένα, εἰπών· θυσία αἰνέσεως δοξάσει με. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ μόνον παύσει μου τὴν ὀργὴν, οὐδὲ λύσει τὴν καταδίκην, ἀλλὰ καὶ δοξάσει με. ὅρα τοῦ κατορθώματος τὸ μέγεθος, ὅταν ὁ Θεὸς δι' αὐτὸ δοξάζηται. καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Εἶδες μισθὸν ἄφατον; εἶδες φιλανθρωπίας ὑπερβολήν; τὴν τοῦ Θεοῦ ὁδὸν δείξειν ἐπαγγέλλεται, καὶ τὸ ὄντως σω-

τήριον

ταφρονεῖν τῆς σωτηρίας τῶν σκανδαλιζομένων. εἰ μὲν γὰρ γίνοιτο βλάβη μείζων τῆς σωτηρίας
τῶν σκανδαλιζομένων, καταφρόνει τῶν σκανδαλιζομένων· εἰ δὲ μὴ γίνοιτο, μηκέτι.
ὅρος γὰρ οὗτος ἔστω καθόλου καὶ κανών, παιδεύων πότε δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων,
Πράξ. κα. κ. κα. κδ. κε. καὶ πότε μή. οἷόν τι λέγω. ἐσκανδαλίζοντο Ἰουδαῖοι, ὅτι Παῦλος οὐκ ἐτήρει
τὸν νόμον, καὶ διὰ τοῦτο μυριάδες ἀπεπήδων πολλαί, καὶ περὶ τὴν πίστιν ἐχώλευον. τί οὖν
ποιεῖ; θεραπεῦσαι τὸ σκάνδαλον βουλόμενος (μείζων γὰρ ἦν ἡ σωτηρία τῶν τοσούτων
μυριάδων) καὶ διορθῶσαι τὴν χωλείαν, τῷ τέως ἐπιδείξασθαι, ὅτι οὐ τηρεῖ τὸν νόμον, ἐκώλυσεν
α. Κορ. α. κγ. ὅπερ μεῖζον ἦν. ἐσκανδαλίζοντο πάλιν, ὅτι ἐσταυρωμένον ἐκήρυττεν. ἐνταῦθα
κατεφρόνησε τῶν σκανδαλιζομένων. μεῖζον γὰρ ἦν τοῦ κηρύγματος τὸ κέρδος. οὕτω καὶ ὁ Χριστὸς
ποιεῖ. ὅτε μὲν γὰρ περὶ βρωμάτων αὐτοῖς διελέγετο, καὶ ἐσκανδαλίσθησαν λέγοντος αὐτοῦ,
Ματθ. ιε. ια. ιγ. Ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον, λέγει· ἄφετε
αὐτούς· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου, ἐκριζωθήσεται· ὅτε δὲ φόρους
αὐτοὺς ἀπῄτουν, καίπερ εἰπὼν ὅτι τελεῖν οὐ δεῖ, ὅμως ἐπειδὴ ὁ καιρὸς οὐδέπω ἀπῄτει
Ματθ. ιζ. κζ. τὸ ἐκκαλυφθῆναι αὐτοῦ τὴν ἀξίαν, λέγει· Ἵνα δὲ μὴ σκανδαλίζωμεν αὐτούς, πορευθεὶς
βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ ἐν αὐτῷ
εὑρήσεις στατῆρα. τοῦτον δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅτε μὲν γὰρ νόμον ἐτίθει πολλῆς γέμοντα
φιλοσοφίας, καὶ ἀνιάτως εἶχον ἐκεῖνοι, εἰκότως αὐτῶν οὐκ ἐφρόντισε, καὶ τὸν νόμον ἔλυσεν·
ὅτε δὲ οὐδέπω οἷοί τε ἦσαν τὸν περὶ τῆς ἀξίας αὐτοῦ δέξασθαι λόγον, εἰκότως συγκαταβαίνει
πάλιν, καὶ συσκιάζει τῇ τοῦ φόρου δόσει τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον. καθήμενος
κατὰ τοῦ ἀδελφοῦ σου καταλαλεῖς· ἀλλ᾽ ἵνα διορθώσωμαι, φησίν. οὐκοῦν οὐ λάθρα
Ματθ. ιη. ιε. διαβάλλειν ἐχρῆν, ἀλλ᾽ ὡς ὁ Χριστὸς ἐκέλευσε, κατ᾽ ἰδίαν λαμβάνοντα διορθοῦν. γ. γογγύζειν
αἱ γὰρ δημόσιαι γινόμεναι κατηγορίαι πολλάκις καὶ ἀναισχυντοτέρους ποιοῦσι. καὶ ἕως
μὲν ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, καὶ ἐπανελθεῖν
ῥᾳδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσιν
λοιπὸν ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ᾽ ἠδικήθης τι παρ᾽ αὐτοῦ; τί
τοίνυν καὶ σαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος, καθ᾽ ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ γὰρ βούλει καὶ
σαυτὸν εὐεργετῆσαι, κἀκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· οὕτω πολλοὺς αὐτοῦ ποιήσεις
ἀντὶ σοῦ τοὺς κατηγόρους, καὶ αὐτὸς πολὺν λήψῃ μισθόν. ἂν δὲ κακῶς λέγῃς, οὐδὲ
πιστευθήσῃ, ἔχθρας ὑποψίαν δεχόμενος. ὥστε εἰς τοὐναντίον σοι περιτρέπεται τὰ τῆς
σπουδῆς. σὺ μὲν γὰρ τρῶσαι αὐτοῦ τὴν δόξαν βούλει, γίνεται δὲ τοὐναντίον. διὰ γὰρ εὐφημίας,
οὐ διὰ κατηγορίας τοῦτο συμβαίνει, ἀλλὰ τοὐναντίον ἅπαν· σαυτὸν μὲν μειζόνως
καταισχύνεις, ἐκείνου δὲ οὐχ ἅπτεταί σου τὰ βέλη. ἡ γὰρ ἔχθρα προσαπαντῶσα ταῖς
τῶν ἀκουόντων διανοίαις, οὐκ ἀφίησιν αὐτῶν ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα, καὶ
ταυτὸν γίνεται, οἷον ἐπὶ τῶν παραγραφῶν. ὅταν γὰρ ἀντικρούσῃ τις εἰς δικαστήριον,
τὸ πᾶν διαλύεται τέως. οὕτω δὴ καὶ ἐνταῦθα· οὐκ ἀφίησιν εἰσαγώγιμον γενέσθαι
τὴν δίκην ἡ τῆς ἔχθρας ὑπόνοια. μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς· μηδὲ
βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε καὶ ἴων καὶ τῶν
λοιπῶν ἀνθέων· μηδὲ κόπρον ἐπὶ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι
(τοῦτο γὰρ οἱ κατηγοροῦντες· αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτοι) ἀλλ᾽ ἄνθη,
καθάπερ αἱ μέλιτται, καὶ ὕφαινε κηρία κατ᾽ ἐκείνας, καὶ γίνου πᾶσι προσηνής. τὸν μὲν
γὰρ κατήγορον πάντες ἀποστρέφονται, ὡσεὶ βορβόρου ἀποστάζοντα, ὡς βδέλλαν τινὰ αἵματι,
ἢ κάνθαρον κόπρῳ, τρεφόμενον τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα,
ὡς κοινὸν προσίενται μέλος, ὡς ἀδελφὸν γνήσιον, ὡς παῖδα, ὡς πατέρα. καὶ τί λέγω τὰ

παρόντα, καὶ τὰς τῶν ἀνθρώπων δόξας; ἐννόησόν μοι τὴν φοβερὰν ἐκείνην ἡμέραν, τὸ κριτήριον τὸ ἀδέκαστον· ὅτι ἂν μὲν ψευδῆ λέγῃς, προσθήκην ἁμαρτημάτων περιττῶν περιθήσεις. Λέγω γὰρ ὑμῖν, ὅτι πᾶν ἀργὸν ῥῆμα, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. Ματθ. ιβ. λς. κἂν ἀληθῆ, φησιν, ᾖ; οὐδὲ οὕτως ἀπαλλαγήσῃ καταγνώσεως, ἐκπομπεύων τὰς τῶν πλησίον συμφορὰς καὶ τὰ ὀνείδη. ἐννόησον τὸν Φαρισαῖον. οὐκ ἦν τελώνης, ἀλλὰ τελώνου γέγονεν ἁμαρτωλότερος, ἐπειδὴ τὸν τελώνην ἐκάκισεν. Λουκ. ιη. ια. οὐκ ἦν Φαρισαῖος ὁ τελώνης, ἀλλὰ τοῦ Φαρισαίου γέγονε δικαιότερος, ἐπειδὴ ἑαυτὸν ἐταλάνισε.

Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. 22 Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Εἶδες φιλανθρωπίαν ἄφατον; εἶδες ἀγαθότητος ὑπερβολήν; εἶδες μακροθυμίας πλοῦτον ἄπειρον; σιγὴν γὰρ ἐνταῦθα τὴν μακροθυμίαν λέγει. τοσαῦτα ἐτόλμησας, φησὶ, καὶ οὐκ ἐπεξῄειν, ἀλλ' ἠνειχόμην καὶ ἔφερον, χώραν σοι διδοὺς εἰς μετάνοιαν· Ρωμ. β. δ. σὺ δὲ οὐ μόνον οὐδὲν ἐκέρδανας ἐντεῦθεν, ἀλλὰ καὶ πρὸς μείζονα ἐξώκειλας κακίαν. οὐ γὰρ δὴ μόνον οὐ μετεβάλου, οὐδὲ μόνον οὐ κατησχύνθης, οὐδὲ κατέγνως ἐπὶ τοῖς γεγενημένοις σαυτοῦ· ἀλλ' ἤδη καὶ ἐμὲ τὸν μακροθυμήσαντά σοι, τὸν ἀνασχόμενον, τὸν σιγήσαντα, τὸν τοσαῦτα ἐνεγκόντα, ἐνόμισας οὐ διὰ μακροθυμίαν καὶ φιλανθρωπίαν φέρειν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι ταῦτα σωφρονίζειν, μηδὲ ἀγανακτεῖν ἐπὶ τοῖς γινομένοις. 23 Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. Ποῖα; τὰ εἰρημένα, φησί. τί ἐστι, σύνετε; νοήσατε. τί γὰρ συνεσκιασμένον εἴρηται; τί δὲ πολλῆς χρῇζον ἐρεύνης; μάλιστα μὲν καὶ αὐτὸς ὁ τῆς διδασκαλίας τρόπος ἐνηλλαγμένην παρεισάγει πολιτείαν. καὶ γὰρ τῶν θυσιῶν οὐ πολὺν ποιούμενος λόγον, τὴν εὐαγγελικὴν εἰσάγει νομοθεσίαν. ἄλλως δὲ, ἐπειδὴ πολλῷ τῷ φορυτῷ τῶν ἁμαρτημάτων ἦσαν καταχωσθέντες, καθάπερ ἀπὸ τελμάτων τινῶν τῆς κακίας ἀνασπάσαι βουλόμενος, καὶ, ὥσπερ λήμην τῶν ὀφθαλμῶν, διακαθᾶραι τὴν παραλαβοῦσαν τῆς πονηρᾶς συνηθείας ὀδὸν, διεγείρει εἰς μνήμην ἐλθεῖν τῶν γεγενημένων, ἵνα μὴ λήθῃ παραδιδόντες αὐτὰ, ἀκερδεῖς ἀναχωρήσωσι. πολλὴν γὰρ ἡ ἐν ἁμαρτήμασι συνήθεια πώρωσιν τῆς ψυχῆς ἐργάζεται, καὶ ἀνοήτους ποιεῖ, καὶ τυφλοῖ τὸ ὀξυδερκὲς τῆς διανοίας ὄμμα. Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Ὢ φιλανθρωπίας ἀφάτου. μητρὸς φιλοστόργου τὰ ῥήματα· μᾶλλον δὲ ἀπείρως τὴν φιλοστοργίαν ἐκείνην νικᾷ ἀγαθότητι. ὁ γὰρ τοσαύτην ἐμφήνας κατηγορίαν, ὁ τοσαύτην ὀργὴν ἐπιδειξάμενος, παρασφαλίζεται. ὁ εἰπὼν, ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου, καὶ ἀπόφασιν ἐκβαλὼν καταδικάζουσαν, ἀναλύει τὴν ἀπόφασιν πάλιν, οὐχ ὡς καταδίκους τῇ τιμωρίᾳ παραδιδοὺς, ἀλλ' ὡς ὀφείλοντας διορθωθῆναι τῇ παραινέσει καὶ τῇ συμβουλῇ, ἐγχειρίζων τῷ φόβῳ, σωφρονίζων, καὶ λέγων· μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. 24 Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Δείξας τὸ φιλάνθρωπον, παραινέσας, συμβουλεύσας, ἀπειλήσας, φοβήσας, ἐπιστήσας τὴν τιμωρίαν ἄκρατον, καὶ συμβουλὴν εἰσενεγκὼν, λέγει καὶ τὸν τρόπον δι' οὗ δυνατὸν διορθώσασθαι τὰ γεγενημένα, εἰπών· θυσία αἰνέσεως δοξάσει με. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ μόνον παύσει μου τὴν ὀργὴν, οὐδὲ λύσει τὴν καταδίκην, ἀλλὰ καὶ δοξάσει με. ὅρα τοῦ κατορθώματος τὸ μέγεθος, ὅταν ὁ Θεὸς δι' αὐτὸ δοξάζηται. καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. Εἶδες μισθὸν ἄφατον; εἶδες φιλανθρωπίας ὑπερβολήν; τὴν τοῦ Θεοῦ ὁδὸν δείξειν ἐπαγγέλλεται, καὶ τὸ ὄντως σωτήριον τοῦ Θεοῦ τοῖς κατορθοῦσι. πειθώμεθα τοίνυν τῷ ἐπαγγελλομένῳ, καὶ διὰ βίου ὀρθοῦ καὶ θυσίας αἰνέσεως τοῦτον δοξάζωμεν. αὕτη γὰρ ἡ ὁδὸς ἐπὶ σωτηρίαν φέρει διὰ τῆς θυσίας ταύτης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ψαλμ. ν. Εἰς τὴν ἐπιγραφὴν τοῦ ν. Ψαλμοῦ. καὶ περὶ μετανοίας, εἰς τὸν βασιλέα Δαβὶδ, καὶ περὶ τῆς τοῦ Οὐρίου.

ΟΙ ζωγράφοι μιμοῦνται τῇ τέχνῃ τὴν φύσιν, καὶ κεραννύντες τὰ χρώματα γράφουσι τὰς εἰκόνας τῶν ὁρωμένων σωμάτων, καὶ ποιοῦσιν ἀνθρώπους, καὶ ἄλογα, καὶ δένδρα, καὶ πολέμους, καὶ μάχας, καὶ αἱμάτων χειμάρρους, καὶ δόρατα, καὶ θώρακας, καὶ ἀσπίδας, καὶ βασιλέας, καὶ ἰδιώτας, καὶ θρόνον βασιλικὸν, καὶ βασιλέα καθήμενον, καὶ βάρβαρον ὑποκείμενον, καὶ αἰχμὴν ἠκονημένην, καὶ ποταμοὺς ῥέοντας, καὶ πεδία ποικίλα, καὶ ἁπλῶς ἅπαντα τὰ ὁρώμενα διὰ τῆς τέχνης μιμούμενοι, παρέχουσι θεωρίαν τοῖς βλέπουσιν· οὕτω δὴ καὶ οἱ προφῆται ζωγράφοι τινές εἰσιν ἀρετῆς καὶ κακίας. γράφουσι γὰρ καὶ οὗτοι τῷ λόγῳ τὸν ἁμαρτωλὸν, τὸν δίκαιον, τὸν μετανοοῦντα, τὸν ἑστῶτα, τὸν πίπτοντα, τὸν ἐγειρόμενον, τὸν σαλευόμενον. καὶ καθάπερ ζωγράφοι ποιοῦσι " πολέμους καὶ σφαγὰς, οὕτω καὶ οὗτοι ποιοῦσιν ἁμαρτίαν ποτὲ μὲν ἐπιοῦσαν, ποτὲ δὲ καταβαλλομένην· καὶ δαίμονας πάλιν, νῦν μὲν πολεμοῦντας, νῦν δὲ πολεμουμένους· καὶ διάβολον ποτὲ μὲν ἐπιβουλεύοντα, ποτὲ δὲ καὶ νικώμενον. ἐπεὶ οὖν τοιαύτη αὐτῶν ἡ τέχνη, μετὰ ἀκριβείας αὐτὴν καταμάθωμεν. " τοὺς μὲν γὰρ τῶν ζωγράφων πίνακας ὁρῶντες, οὐδὲν κερδαίνοντες ἀπερχόμεθα. τί γάρ μοι ὄφελος βασιλέως καὶ ὑπάτου εἰκόνα ἰδεῖν; βασιλεὺς * γενέσθαι οὔτε δύναμαι, οὔτε βούλομαι. τί μοι οὖν ὄφελος τῆς θεωρίας, ἧς τὴν ἐπιθυμίαν οὐκ ἔχω; ἧς " κἂν ἐπιθυμήσω, κολάζομαι; τί μοι τὸ ὄφελος ἄνθρωπον ἰδεῖν πλουτοῦντα; κἂν πένης ὦ, φθονῶ· κἂν πλούσιος ὦ, βασκαίνομαι. πάλιν τὰ αὐτὰ " πάσχων καὶ ὀδύρομαι. ἄφες ἐκείνας τὰς εἰκόνας, καὶ βλέπε ταύτην τὴν θεωρίαν. ἐὰν ἴδω ὕπατον, τί πρὸς ἐμέ; ἐὰν ἴδω ἁμαρτωλὸν καταπεσόντα καὶ πάλιν ἀναστάντα, ἡ θεωρία διδασκαλίας ὑπόθεσίς μοι γίνεται. ἐὰν ἴδω δίκαιον ἑστῶτα, ἡ θεωρία πρὸς φιλοσοφίαν χειραγωγεῖ με. ἀπὸ τῆς θεωρίας μανθάνω τὴν μάχην, καὶ παιδεύομαι τὴν νίκην. ἐὰν ἴδω δίκαιον ὑποσκελιζόμενον, πάλιν σοφώτερος ἀπὸ τῆς θεωρίας γίνομαι. ταῦτα δέ μοι πάντα οὐχ ἁπλῶς οὐδὲ εἰκῆ εἴρηται, ἀλλ' ἐπειδὴ τοῦ ψαλμοῦ τοῦ σήμερον ἀναγνωσθέντος ἡ εἰκὼν εἰς ταύτην ἡμᾶς ἄγει τῆς διδασκαλίας τὴν ὑπόθεσιν. τί γάρ φησιν ὁ προφήτης; ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. " αὕτη ἡ εἰκών. τὸν γὰρ ψαλμὸν εἰκόνα καλῶ. βλέπω γὰρ διάφορα πρόσωπα ἐν τῷ ψαλμῷ· ἁμαρτίαν ἐπιοῦσαν καὶ " σφαττομένην, μετάνοιαν παρεστῶσαν καὶ συμμαχοῦσαν Θεῷ, φιλανθρωπίαν ἄνωθεν λάμπουσαν, φιλοσοφίαν παρέχουσαν καὶ πολλὰς ἔχουσαν δακρύων πηγὰς ἐξομολογήσεως. ταῦτα τὰ πρόσωπα τῆς εἰκόνος· ἀλλὰ πρὶν τοῦ ψαλμοῦ ἄρξωμαι, ἀναγκαῖον αὐτοῦ τὴν ἐπιγραφὴν ἀκριβέστερον ὑμῖν διηγήσασθαι. ὥσπερ γὰρ αἱ εἰκόνες ἐπιγραφὰς ἔχουσιν, οὕτω καὶ ἐπὶ τῶν ψαλμῶν. καὶ γὰρ αἱ εἰκόνες ἄνω ἑστῶσαι, κάτω ἔχουσι φονικίδας σανίδας, τίς ὁ βασιλεὺς, καὶ τίνος, καὶ ποῖον πόλεμον κατώρθωσεν·

γρ. ἐμβαλλομένην
γρ. τὰς μὲν γὰρ ἔξωθεν εἰκόνας
* γὰρ
γρ. καὶ ἐπιθυμοῦσιν
γρ. πάσχω
γρ. αὐτή
γρ. σφαζομένην,

ἐπὶ

ἐπεὶ δὲ τοῦ ψαλμοῦ ἄνωθεν ἡ ἐπιγραφὴ ἔγκειται, τίς ἡ ὑπόθεσις, καὶ τίς ἡ διδασκαλία, καὶ τίς ἡ ῥίζα, καὶ τίνος ἕνεκεν ὁ ψαλμὸς εἴρηται. παρέχετέ μοι μετ' ἀκριβείας τὴν ἀκοὴν τῷ λόγῳ. οὐ γὰρ περὶ τῶν τυχόντων ἡμῖν ἐστιν ἡ διήγησις.

ΨΑΛΜΟΣ ΤΟΥ ΔΑΒΙΔ, ΕΝ ΤΩ ΕΙΣΕΛΘΕΙΝ ΠΡΟΣ αὐτὸν Νάθαν τὸν προφήτην, ὅτε εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα τοῦ Οὐρίου.

β. Βασ. ιβ. α.

Αὕτη ἡ ἐπιγραφή. μάθωμεν τοίνυν τίς ἐστιν ὁ Νάθαν, καὶ τίς ἡ Βηρσαβεέ. τίς ἄρα ἐστὶν ἡ γυνὴ τοῦ Οὐρίου; καὶ πότε εἰσῆλθε πρὸς αὐτὴν ὁ προφήτης; καὶ τίνος ἕνεκεν τὸν ψαλμὸν τοῦτον ἔγραψεν; οὐ γὰρ ἅπαντες οἱ ψαλμοὶ εἰς τὸν Δαβὶδ εἰρημένοι εἰσίν. ἅπαντες μὲν γὰρ παρ' αὐτοῦ, οὐ πάντες δὲ εἰς αὐτὸν εἴρηνται. οὐ γὰρ τὰ οἰκεῖα πάθη διηγήσατο μόνον, ἀλλὰ καὶ τὰς ἀλλοτρίας συμφορὰς ἐτραγῴδησεν· οἷον, Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν. εὔδηλον ὅτι οὐ περὶ αὐτοῦ ὁ ψαλμὸς εἴρηται (οὔτε γὰρ εἰς Βαβυλῶνα ἀπῆλθεν, οὔτε εἶδε γῆν βαρβάρων, οὔτε ἐκάθισεν εἰς ἀλλοτρίαν γῆν καὶ ἔκλαυσεν) ἀλλὰ τὰ πάθη τῶν Ἰουδαίων διηγεῖται. πάλιν ὅταν λέγῃ· Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· οὐ τὸ ἑαυτοῦ πάθος ἐξηγεῖται, ἀλλὰ τὸν σταυρόν, τὴν θυσίαν τῆς οἰκουμένης ἐκήρυττε, τὴν ἐπὶ σωτηρίᾳ τοῦ γένους τοῦ ἡμετέρου. εἰκὼν γάρ ἐστι ποικίλην ἔχουσα διδασκαλίαν· ποτὲ μὲν οὖν τὰ ἑαυτῆς, ποτὲ δὲ τὰ ἀλλότρια διηγεῖται. ἐπεὶ οὖν ὁ ψαλμὸς οὗτος καὶ τὰ ἀλλότρια διηγεῖται, διὰ τοῦτο, ὅτε εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης, ἐπιγέγραπται. ὥστε ἡ ἐπιγραφὴ οὐ συγχωρεῖ ἡμῖν ληθαργῆσαι, οὐδὲ ἀλλαχοῦ περιφέρειν τὴν διάνοιαν· ἀλλ' εἰκὼν ἕστηκε τῶν τὰ τοιαῦτα πραττόντων, διδάσκει δὲ καὶ ἕτερα νοήματα, ἅπερ ἡμῖν ἡ ἐπιγραφὴ λέγει. ἀλλὰ προσέχετε μετ' ἀκριβείας οἵ τε δίκαιοι, οἵ τε ἁμαρτωλοί. ἑκατέρῳ γὰρ τῷ μέρει χρήσιμος ὁ ψαλμός· τῷ μὲν δικαίῳ, ἵνα μὴ ᾖ ῥάθυμος· τῷ δὲ ἁμαρτωλῷ, ἵνα μὴ ἀπογινώσκῃ τῆς ἑαυτοῦ σωτηρίας. ἀμφότερα γὰρ δυσεπίληπτα. ὅ, τε γὰρ δίκαιος ῥαθυμήσας καταβάλλεται, ὅ, τε ἁμαρτωλὸς ἀπογνοὺς οὐκ ἀνίσταται. ἵνα οὖν μήτε οὗτος ἐν πτώματι μείνῃ, μήτε ἐκεῖνος εἰς πτῶμα καταπέσῃ, ἑκατέρῳ τῷ μέρει σωτηριώδης αὕτη δίδοται τοῦ μελῳδοῦ τούτου ἡ ψαλμῳδία. μέλλω γοῦν λέγειν ἁμάρτημα τοῦ προφήτου μέγα καὶ χαλεπόν. ἀλλὰ μηδεὶς ἡμῶν καταγινωσκέτω. ἡ γὰρ τοῦ Θεοῦ φιλανθρωπία τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων πρόνοιαν ποιουμένη, τά τε κατορθώματα τῶν ἁγίων ἐποίησε γραφῆναι, καὶ τὰ ἁμαρτήματα εἰς φάρμακα μετέβαλεν· ἵνα τὰ τῶν ἄλλων τραύματα ἑτέροις φάρμακα γένηται, καὶ τὸ τοῦ δικαίου ναυάγιον, τῷ ἁμαρτωλῷ λιμὴν καταστῇ. ὅταν γὰρ ὁ δίκαιος ἁμάρτῃ, οὐκ ἔτι ἀπογινώσκω τῆς ἐμαυτοῦ σωτηρίας. ὅταν ἴδω, ὅτι ἀπὸ τῶν οὐρανῶν κατηνέχθη, τὸ ἐκείνου πτῶμα ἐμοὶ ὑπόθεσις ἀναστάσεως γίνεται. διὰ γὰρ τοῦτο καὶ ἡ τοῦ πνεύματος χάρις οὐ μόνον τῶν κατορθωμάτων τῶν δικαίων ἐμνημόνευσεν, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων. οὐ γὰρ ἐκείνων προενόησε μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γινομένων. θέλω τοίνυν δεῖξαι τοῦτον τὸν γενναῖον ἄνδρα τρωθέντα, πεσόντα, ἀναστάντα, παλαίσαντα, ἡττηθέντα, νικήσαντα, στεφανωθέντα. οὐ γὰρ δείκνυμι αὐτὸν κείμενον ἐν τῷ πτώματι μόνον, ἀλλὰ καὶ ἐγερθέντα· ἵνα ἑκατέρωθεν σὺ κερδάνῃς, ἵνα, ὅταν ἁμάρτῃς, μὴ ἀπογνῷς, ἀλλὰ παρ' αὐτὰ ἐπὶ τὴν ἀνάστασιν δράμῃς· μηδὲ

Ψαλ. ρλς. α.

Ψαλ. κα. ιη.

εἴπῃς, οἴμοι ἀπωλόμην, ἐμοίχευσα, ἐπόρνευσα, ἐφόνευσα. ἔχεις γὰρ σωτηρίας "λιμένα διακρουόμενον τὴν ἁμαρτίαν. ὅταν γὰρ ἴδῃς "τινὰ τοιοῦτον δεξάμενον" τραύματα καὶ διασπαραττόμενον, εὐθέως ἐπὶ τὴν μετάνοιαν τρέχεις, καὶ παρρησιάζου δακρύων πηγὰς ἐκχέων, ἵνα διὰ τῆς ἐκείνου μετανοίας, ἀκριβέστερον τὴν ἑαυτοῦ σωτηρίαν μάθῃς. οἷόν τι λέγω. πολλοὶ πολλάκις περιέπεσον καὶ ἄνδρες καὶ γυναῖκες χαλεπῷ νοσήματι καὶ ἀνιάτῳ. δάκρυα ἐξεχύθη, φάρμακα ἐδαπανήθη, ἰατρικὴ ἠπόρησε τέχνη, κάλλος ἀνηλώθη, τὸ "σῶμα ἀπηγόρευται. περιέρχεται λοιπὸν ἡ γυνή· ποῦ ἀπέλθω; τί ποιήσω; χρήματα ἀνήλωσα, ἰατροὺς ἐκάλεσα, φάρμακα ἀνηλώθη· μένει τὸ νόσημα, οὐκ ἰάθη τὸ ἕλκος. πολλάκις συνέβη τινὰ τῶν ἐπισκεπτομένων εἰπεῖν· *κἀγὼ τοιούτῳ πάθει περιέπεσον, καὶ ὁ δεῖνα, ἢ ἡ δεῖνα περιέθηκέν μοι φάρμακον, καὶ ἀπήλλαξέν με τῆς ὀδύνης. εἶτα παρακαλεῖ, δεῖξόν μοι τὴν γυναῖκα. ἄπελθε ἐπὶ τὸν στενωπόν. οὕτω δὴ καὶ νῦν. ἐπειδὴ ἐμοίχευσε καὶ φόνον ἐποίησε, τὸ δὲ ἕλκος χαλεπόν, δείκνυμί σοι πῶς ἐθεραπεύθη, καὶ ποῖον φάρμακον ἐπέθηκεν. καὶ οὐ λέγω, ἄπελθε ἐπὶ τὸν στενωπόν, ἐρώτησον τόνδε, ἢ τήνδε· οὐ χρεία καμάτου, οὐ χρεία πόνου, οὔτε περιβῆναί σε προθύρων ἀναγκαῖον· ἀλλ' ἐν ταυτῷ ἑστῶτα δέξασθαί σε τὸ φάρμακον· μόνον πρόσεχε τοῖς λεγομένοις. "ἀνάγκη γὰρ τὸν λόγον εἰσαγαγεῖν, καὶ τὸν χρόνον εἰπεῖν, καθ' ὃν ἥμαρτε, καὶ τὸν τόπον, καὶ τὸ πρόσωπον, καὶ τὴν μετάνοιαν, καὶ τὴν διόρθωσιν, καὶ τὸ φάρμακον, ἵνα πάντα μαθόντες μετὰ ἀκριβείας οὕτως ἀπέλθητε. οὗτος τοίνυν ὁ Δαβίδ, νέος ὢν καὶ μειράκιον κομιδῇ, καὶ παῖς ἄσημος, καὶ τῇ γῇ προσέχων καὶ τοῖς ποιμνίοις, πόλεις μὲν ἔφυγε καὶ χώρας καὶ θορύβους· ἐν δὲ τῇ ἐρημίᾳ τὴν φιλοσοφίαν ἐπεδείκνυτο, οὐδὲν κοινὸν ἔχων μετὰ τῶν βιωτικῶν πραγμάτων, *ἀλλ' ἐκ πρώτης ἡλικίας τῇ συντρόφῳ τῆς ἀρετῆς ἡσυχίᾳ συζῶν, καὶ καθάπερ ἐν λιμένι ἐν τῇ "ἐρήμῳ καθήμενος, τῇ τῶν προβάτων ἐπιστασίᾳ τὴν βασιλείαν τῶν οὐρανῶν ἐμελέτησεν. οὗτος τοίνυν νέος ὤν, κομιδῇ μειράκιον· νέος μὲν τῇ ἡλικίᾳ, πεπολιωμένος δὲ τῇ "διανοίᾳ· καὶ τὸ ἀτελὲς τῆς ἡλικίας οὐδὲν ἐνεπόδιζε τῇ τοσαύτῃ ἀρετῇ· ἀλλὰ νέος ὢν σφόδρα ἐνίκα οὐ δυνάμει σώματος, ἀλλὰ δυνάμει πίστεως. ἀλλὰ πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. ἐδέησέ ποτε γενέσθαι βασιλέα τοῖς Ἰουδαίοις, ἐπειδὴ ὁ "πρῶτος γενόμενος ἀνάξιος ἦν. πέμπει ὁ Θεὸς τὸν Σαμουὴλ εὐθέως πρὸς τὸν πατέρα αὐτοῦ. ἐλθόντος τοίνυν τοῦ Σαμουὴλ πρὸς τὸν Ἰεσσαὶ τὸν πατέρα Δαβίδ, τὸ παιδίον ἦν ἐν τοῖς ποιμνίοις, μικρὸν πάνυ. οὐ παύομαι συνεχῶς τὴν νεότητα λέγων, ἵνα μηδεὶς μήτε νέον διαβάλλῃ, μήτε γέροντα ἐγκωμιάζῃ. οὔτε γὰρ ἡ πολιά, ἀρετή· οὔτε ἡ νεότης, κακία. πολλοὶ καὶ ἐν νεότητι φιλοσοφίαν ἐπεδείξαντο, καὶ πολλοὶ ἐν "γήρει ὑπεσκελίσθησαν. καὶ γὰρ οἱ τρεῖς παῖδες ἐν τῷ πυρὶ ἦσαν, καὶ τὴν φλόγα ἔσβεσαν· καὶ ὁ Δανιὴλ δωδεκαετὴς ὤν, τοὺς λέοντας πρόβατα ἐποίησεν, οὐ τὴν φύσιν αὐτῶν μεταβαλών, ἀλλὰ τὴν θηριωδίαν αὐτῶν τῇ πίστει χαλινώσας· καὶ τοὺς ἀσυνέτους πρεσβυτέρους διελέγξας, κριτὴς τοῦ Ἰσραὴλ ἀναδείκνυται. καὶ Στέφανος ὁ τῶν διακόνων πρόκριτος, πλήρης χάριτος, καὶ δυνάμεως ἐκ νεότητος πλησθείς, τῷ δήμῳ τῷ Ἑβραϊκῷ διελέγετο· Παῦλος δὲ γεγηρακὼς ἦν καὶ πεπολιωμένος, καὶ τὸ μὲν πρότερον σκυλευτὴς τῶν ἐκκλησιῶν γέγονε. ἀλλὰ μετὰ ταῦτα τὸ βραβεῖον τῆς πίστεως ἥρπασε, καὶ πρόβατον γέγονεν ἀγαθότητος. μὴ οὖν τὸν νέον διάβαλλε. μηδὲ τὸν γεγηρακότα ἐπαίνει. οὔτε γάρ, ἐν τῇ διαφορᾷ τῆς ἡλικίας ἡ ἀρετὴ καὶ ἡ κακία, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς γνώμης. κἂν ἦς νηφάλιος, οὐδέν σε καταβλάπτει τὸ ἄωρον τῆς ἡλικίας· κἂν ἦς ῥᾴθυμος, οὐδέν σε ὠφελήσει τὸ γῆρας. πολιὰ γάρ, οὐ τρίχες λευκαί, ἀλλὰ ψυχῆς ἀρετή. οὗτος τοίνυν νέος ὢν ὥριμον τὸν καρπὸν τῆς ἀρετῆς ἐκέκτητο. ἦλθεν ὁ Σαμουὴλ πρὸς τὸν Ἰεσσαί, οὐ πλημμύραν σωμάτων περιβεβλημένος, ἀλλὰ τὸ κέρας.

χ. ἐλπίδα ἰωμένην
χ. τὸν
χ. τραῦμα
χ. τὸ νόσημα
* ὅτι
χ. ἀνάγκη δὲ λοιπὸν ἡμῖν τὴν ἀρχὴν τὸν λόγον ἀγαγεῖν,
* οὐ χρηματίζων, οὐ
χ. ἐρημίᾳ
χ. τῇ διανοίᾳ
α. Βασ. ιϛ. α.
χ. ὁ πρότερον γενόμενος τοῖς Ἰουδαίοις βασιλεὺς
Δαν. γ. κδ.
χ. γήρᾳ
Δαν. ϛ. κϛ.
Πράξ. η. γ.
Πράξ. θ. κ.
α. Βασ. ιϛ. δ.

ρας, ἔνθα ἦν τὸ ἔλαιον τὸ ἅγιον, ἔχων. καὶ τί φησιν; ἔπεμψέ με ὁ Θεὸς ποιῆσαι βασιλέα ἐκ τῶν υἱῶν σου. ὁ Ἰεσσαὶ ἀκούσας βασιλέα, νομίσας ἐκείνῳ ἐπιτήδειον εἶναι τὸ ἀξίωμα, ἄγει τὸν πρῶτον υἱόν. ″πάραγε αὐτόν, φησιν· οὐκ εὐδόκησεν ὁ Θεὸς ἐν αὐτῷ. τὸν δεύτερον. οὐδὲ ″τοῦτον. τὸν τρίτον, τὸν τέταρτον, τὸν πέμπτον. ἀνηλώθη ὁ χορὸς τῶν παίδων, καὶ ὁ ζητούμενος οὐχ εὑρίσκετο. λέγει αὐτῷ· ἔχεις ἄλλον; ἠμείφθη ὁ πατήρ. ἔχω ἕνα, φησί, μικρότερον καὶ εὐτελῆ, ποιμένα. βασιλέα ζητεῖς μικρὸν καὶ εὐτελῆ ποιῆσαι; ἄνθρωπος ἐξουθενεῖ, ἀλλ' ὁ Θεὸς στεφανοῖ. Οὐ γὰρ ὡς ὄψεται ἄνθρωπος, ὄψεται Θεός· ἄνθρωπος εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. μὴ γὰρ πολυσαρκίαν ζητοῦμεν; ψυχῆς εὐγένειαν ἐπιποθοῦμεν. πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. οὐκ εἶπεν αὐτῷ ὁ Θεός, ἄπελθε, χρῖσόν μοι τὸν Δαβίδ· ἀλλ' ἄπελθε, χρῖσόν μοι ἕνα τῶν υἱῶν Ἰεσσαί. καὶ διὰ τί ἀπορεῖ; καὶ διὰ τί οὐ λέγει τὸ ὄνομα; ἵνα μὴ πάθῃ Δαβίδ, ὅπερ ἔπαθεν Ἰωσήφ. ὥσπερ γὰρ μαθόντες ἐκεῖνοι τὸν ζητούμενον αὐτῶν βασιλέα, ἐπεβούλευσαν, ἐπολέμησαν, ἐπώλησαν· οὕτω δέος ἦν μὴ καὶ οὗτοι τοῦτο ἐργάσωνται. ὥστε ἡ ἄγνοια ἀσφαλείας μήτηρ ἐγένετο. εἰσήκει ὁ προφήτης ″ἀπορούμενος, δός μοι ἕνα τῶν υἱῶν σου. οὐκ ἔχω, φησίν, ἀλλὰ παιδίον μικρὸν ποιμαῖνον τὰ πρόβατα. οὐχ οὕτως ὄψεται ἄνθρωπος, ὡς ὄψεται Θεός. ποῦ εἰσιν οἱ καλλωπιζόμενοι ἐπ' εὐμορφίᾳ ὄψεως; μή μοι λέγε εὐμορφίαν ″σώματος, ἀλλὰ βλέπε τὸ κάλλος τῆς διανοίας. τί γάρ ἐστιν εὔμορφος γυνή; τάφος κεκονιαμένος, ἐὰν μὴ σωφρονῇ. κάλλος δέ ἐστι βάραθρον ὀρωρυγμένον, ἑτέροις δὲ δηλητήριον κατεσκευασμένον, ἐὰν μὴ σωφρονῇ. ἢ νόσῳ μαραίνεται καὶ θανάτῳ διακόπτεται· τὸ δὲ κάλλος τῆς ψυχῆς * ἀθάνατον μένει καὶ ἀκηλίδωτον, ἀλλὰ τότε μᾶλλον τὴν οἰκείαν ὡραιότητα ἐπιδείκνυται, ὅταν παύσῃ τὰ πάθη, καὶ ἐν γαλήνῃ ″γένηται ὁ νοῦς. ἐὰν οὖν ἴδῃς ἄνδρα, ἢ γυναῖκα ″καλήν, μὴ θαυμάσῃς. ἐπεὶ καὶ αἱ δρύες εἰς ὕψος ἀνατεταμέναι καρπὸν οὐκ ἔχουσιν ἀνθρώποις χρήσιμον, ἀλόγοις δὲ μόνον· ἡ δὲ ἄμπελος χαμαὶ κειμένη ὥριμον ἔχει καρπὸν βοτρύων. τί οὖν βούλει, ἄμπελον ἔχειν, ἢ δρῦν; δῆλον ὅτι ἄμπελον. ἡ γὰρ δρῦς ἐν ὕψει ἑστῶσα, θηρίων ἀλόγων ἔχει τροφήν, τὸν καρπόν. τί μελίττης εὐτελέστερον; τί δὲ ταῶνος ὡραιότερον; ἀλλὰ τί βέλτιον, μέλιττα, ἢ ταών; δῆλον ὅτι μέλιττα. ἀνέλε ταῶνα, καὶ οὐδὲν ἔβλαψας· ἀνέλε μέλιτταν, καὶ κωλύει πολλά. ἦλθε τοίνυν ὁ Δαβίδ, ἐκχεῖται τὸ ἔλαιον καὶ χρίεται ψήφῳ Θεοῦ, διακονίᾳ δὲ ἀνθρώπου. ἐπέθηκεν αὐτῷ τὸ κέρας, καὶ ἀντὶ πορφυρίδος καὶ διαδήματος ἐγένετο αὐτῷ. καὶ ἀπῆλθεν ἔχων τὴν βασιλείαν, οὐ θώρακα, οὐκ ἀσπίδα περιβεβλημένος, οὐδὲ δόρατα· ἀλλ' ἔχων αὐτὴν τὴν τοῦ Θεοῦ ψῆφον, τὴν πάντων δυνατωτέραν. τούτου δὴ καὶ πολέμου καλοῦντος, καὶ τῶν πραγμάτων ″τεταραγμένων, καὶ τῶν βαρβάρων ἐπικειμένων τοῖς Ἰουδαίοις, ἀπῆλθεν ἰδεῖν τὴν παράταξιν καὶ τὸν βάρβαρον προσκαλούμενον εἰς μονομαχίαν· καὶ οὐδεὶς ἐτόλμα προσπηδῆσαι καὶ ἐξελθεῖν. ἦλθεν ὁ Δαβίδ, εἶδεν ἀστράπτοντα τὸν πόλεμον, ἀφόρητον ὄντα τὸν πολέμιον, καὶ ″πάντας καταπεπληγότας, ὁ ποιμὴν ἐν τῷ πολέμῳ. καὶ οἱ ἐν πολέμῳ μεμελετηκότες οὐδὲ τὴν φωνὴν ἔφερον τοῦ πολεμίου· ὁ δὲ δένδρεσι καὶ σκιαῖς καὶ πηγαῖς προσομιλῶν, ἐπὶ ταῖς ὄψεσιν αὐτοῦ εἰσήκει, καὶ λέγει· Τίς ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ ζῶντος; καὶ λέγει ὁ ἀλλόφυλος πρὸς αὐτόν· πόθεν σοι ἡ ἀπόνοια αὕτη; ὁ δέ, οὐκ ἀπόνοια, ἀλλὰ πίστις· οὐχ ὑπερηφανίαν, ἀλλ' εὐσέβειαν κέκτημαι· θώρακα οὐχ ὁπλίζομαι, ἀλλὰ πίστιν ἐνδέδυμαι· οὐ σκοπῶ ἐκείνου τὸ μέγεθος, ἀλλὰ τὴν ἐρημίαν τῆς διανοίας. ″οὐ βλέπω ὅτι μέγα τὸ πλοῖον, ἀλλ' ὅτι κυβερνήτην οὐκ ἔχει. οὐ δέδοικα αὐτόν (ἐχθρὸς γάρ ἐστι τοῦ Θεοῦ) κἂν μυριάκις δυνατὸς ᾖ. διὰ γὰρ τὴν ἄνωθεν

ῥοπὴν

γρ. ἄγετε
γρ. ἴσως.
γρ. ἀπορῶν,
γρ. ὄψεως,
* καὶ τῆς σωφροσύνης
γρ. διαμένη
γρ. εὔμορφον,
γρ. ἐπιλαγχάνων,
γρ. πολλὰς καταπεπληγότας,
γρ. οὐ βλέπω μέγα πλοῖον, ἀλλὰ κυβερνήτην οὐκ ἔχει;

α. Βασ. ιϛ. ζ.
Γεν. λζ. ζι.
α. Βασ. ιζ. κβ.
α. Βασ. ιζ. κϛ.

ροτέρων πολεμίων ἀσθενέστερός ἐστιν ὁ ἀπερίτμητος οὗτος. ποίοις ὅπλοις θαῤῥεῖς, ὦ Δαβίδ; οὐ σαρκικοῖς, ἀλλὰ πνευματικοῖς. Τὰ γὰρ ὅπλα ἡμῶν, οὐ σαρκικὰ, ἀλλὰ πνευματικά. καὶ πῶς, ὅτι σὺ μικρὸς καὶ ἀσθενὴς εἶ; ἀλλὰ μέγας ὁ δεσπότης. εὐτελὲς τὸ ὅπλον· ἀλλ' ὁ πέμψας ἰσχυρός. θάλασσαν ἐποίησε ξηρὰν, πέτρας διέῤῥηξε, τὰ στοιχεῖα μετέβαλε· πολλῷ μᾶλλον ἑνὸς ἀνδρὸς περιγένηται. ἦλθε τοίνυν πρὸς τοὺς ἄνδρας, καὶ λέγει αὐτοῖς· Τί γενήσεται τῷ ἀνδρὶ τῷ αἴροντι τὴν κεφαλὴν αὐτοῦ; περὶ μισθῶν διαλέγεται, οὐχ ἵνα λάβῃ μισθὸν, ἀλλ' ἵνα τούτους εἰς πίστιν ἀγάγῃ. τί οὖν οἱ ἀδελφοί; πάλιν φθόνος, πάλιν βασκανία. ἐπὶ" τί ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα; ἡμεῖς οἴδαμεν τὴν ὑπερηφανίαν καὶ τὴν κακίαν τῆς καρδίας σου. ὦ φθόνος "παθῶν πεπληρωμένος, * πῦρ μὴ σβεννύμενον. καὶ γὰρ καθάπερ σκώληξ τὸ ἔριον "διεσθίει, οὕτω καὶ ὁ φθόνος τὸν μὲν φθονοῦντα διατήκει, τὸν δὲ φθονούμενον λαμπρότερον κατασκευάζει. οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῶν ἀδελφῶν αὐτοῦ ἐγένετο. οἱ μὲν γὰρ φθονήσαντες ἀπὸ ἐλευθερίας εἰς δουλείαν "καθίσαντο· ὁ δὲ φθονηθεὶς βασιλεὺς "ἐγένετο. πάλιν οὖν οἱ ἀδελφοί· ἡμεῖς οἴδαμεν τὴν ὑπερηφανίαν καὶ τὴν κακίαν τῆς καρδίας σου, ὅτι ἕνεκα τοῦ ἰδεῖν σε τὸν πόλεμον κατέβης. τί ἐφθόνησας; τί ἐβάσκηνας; λόγον ἤκουσας, ῥημάτων εὐημερίαν εἶδες, καὶ οὐκ ἤνεγκας; ἀλλὰ τί οὗτος ὁ σοφὸς ἀνήρ; ἀπέστη ἀπ' αὐτῶν ὑποτεμνόμενος τὸ ἕλκος, καὶ ἀπῆλθεν εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου, καὶ λέγει· Τί" ἔσται τῷ ἀνθρώπῳ τῷ αἴροντι τὴν κεφαλὴν αὐτοῦ; καὶ εἰσήγαγον αὐτὸν πρὸς τὸν βασιλέα. εἶδε τοίνυν τὸν βασιλέα καθήμενον, καταπεπληχότα, δεδοικότα, τρέμοντα, καὶ λέγει πρὸς αὐτόν· ἵνα τί συνέπεσε τὸ πρόσωπον τοῦ κυρίου μου; καὶ ἐν τῇ εὐημερίᾳ τὴν δουλείαν ὁμολογεῖ. τίς ἐστιν οὗτος; οὐχὶ πορεύσομαι, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ; τί οὖν ὁ βασιλεύς; καὶ πῶς, * ὅτι παιδάριον εἶ μικρὸν, οὗτος δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ; μὴ βλέπε τὰ ὁρώμενα, ἀλλὰ τὰ νοούμενα· μὴ ἴδῃς, ὅτι μικρὸς τῷ εἴδει, ἀλλ' ὅτι μέγας τῷ φρονήματι. τί οὖν, ἵνα γένηται; ἀπιστεῖ ὁ βασιλεύς· ἀναγκάζεται ὁ Δαβὶδ λοιπὸν αὐτῷ τὰ κατορθώματα αὐτοῦ λέγειν. Ἐγὼ, φησὶ, παιδίον ἤμην μικρὸν παρὰ τὴν ποίμνην τοῦ πατρός μου. "καὶ ὅτε ἦλθε λέων, ἢ ἄρκτος, καὶ ἐλάμβανον πρόβατα ἐκ τῆς ποίμνης, ἐξεπορευόμην ὀπίσω αὐτῶν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτῶν, καὶ ἀνεῖλον τὸν λέοντα καὶ τὴν ἄρκτον· καὶ ἔσται οὗτος ὡς ἓν τούτων τῶν θηρίων, ὅτι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος. καὶ εἶπε ὁ Σαοὺλ πρὸς τὸν Δαβὶδ, πορεύου, ὁ Κύριος μετὰ σοῦ. καὶ ἔδωκεν αὐτῷ ὅπλα, καὶ οὐκ ἐδύνατο αὐτὰ ὁ Δαβὶδ βαστάσαι. διατί; οὐ συγχωρεῖ τοῦτο ὁ Θεὸς, ἵνα γυμνὸς νικήσῃ· ἵνα μὴ τὰ ὅπλα μερίσηται τὴν νίκην τῶν κατορθωμάτων· ἵνα μὴ λέγῃ ὁ βασιλεὺς, ὅτι τὰ ὅπλα μου ἐνίκησαν. ῥίπτει τὰ ὅπλα, καὶ ἐνδύεται τὴν πίστιν· ἐξέρχεται γυμνὸς, καὶ τεθωρακισμένος τὴν "εὐλάβειαν· ἐξέρχεται ποιμὴν, καὶ οὐ στρατιώτης. ἀφίησι βόλον. οὐ τῇ φύσει τοῦ σώματος θαῤῥῶν, ἀλλὰ τῇ δυνάμει τῆς πίστεως τὴν νίκην ἀπηνέγκατο. ἔδραμεν, ἔλαβεν αὐτοῦ τὸ ξίφος, ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν, καὶ ἐπληρώθη * τὸ γεγραμμένον· Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. πάλιν φθόνος, πάλιν βασκανία. συνεχῶς ἀνορύττω τὴν πηγὴν, ὥστε" αὐτὸν εὑρεῖν τὸν ὀφθαλμόν. οὗτος τοίνυν ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ (περὶ οὗ φησιν ὁ Θεός· Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἄνδρα κατὰ τὴν καρδίαν μου. ὢ ἐγκώμιον ὑψηλόν. ὢ ἀπόδειξις ἀρετῆς. ὁ δεσπότης αὐτοῦ λέγει· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου) οὗτος τοίνυν ὁ τῶν θηρίων περιγενόμενος, ὁ τὸν Γολιὰθ ἀποκτείνας, ὁ τὸν λέοντα πνίξας, ὁ τὴν ἄρκτον κρατήσας, ὁ ἐν νεότητι πεπολιωμένος, ὁ μικρὸς τῷ σώματι καὶ ὑψηλὸς" τῷ πνεύματι, ὁ ἐν τῇ βασιλικῇ στολῇ ἀκρίβειαν μοναζόντων ἐπιδειξάμενος (ἔλουε γὰρ, οὐκ ἀπὸ μαργαριτῶν, ἀλλ' ἀπὸ δα-

κρύων

β. Κορ. ι. δ.
α. Βασ. ιζ. κϛ.
α. Βασ. ιζ. κη.
Γεν. μδ. ιθ. καὶ μβ. ϛ.
α. Βασ. ιζ. λδ.
Ψαλ. θ. ιζ.
Ψαλ. πη. κ. καὶ Πραξ. ιγ. κβ.
Ψαλ. ϛ. ϛ.

χ. τίνα
χ. πάθους
* ὦ φθόνος
χ. διατήκει,
χ. ἤγοντο
χ. καθίσταται
χ. δὴ
* δύνασαι;
χ. ἐξῆλθον
λέων, καὶ αὐ
λον αὐτόν.
τὴν ἄρκτον
πάταξον;
χ. τὴν πλη
* ἐκεῖνο
χ. αὐτῆς
χ. τῷ διαν

χρύσων καθ' ἑκάστην νύκτα βρέχων τὴν στρωμνὴν αὐτοῦ. οἱ μὲν γὰρ νῦν ἄνθρωποι καὶ ἐν ἡμέρᾳ καθεύδουσιν, ἐκεῖνος δὲ καὶ ἐν νυκτὶ ἐμμέριμνος ἦν. διατί ἐν νυκτί; ἐπειδὴ ἐν ἡμέρᾳ βασιλεὺς ὢν ὑπὸ μυρίων περιηντλεῖτο πραγμάτων. ἐν δὲ νυκτὶ καθάπερ ἐν λιμένι διάγων, τότε μόνος μόνῳ τῷ Θεῷ διελέγετο, καὶ πηγὰς δακρύων ἐξέχεε, καὶ ἔλουε τὴν στρωμνὴν ἑαυτοῦ) οὗτος τοίνυν ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ὁ πνεύματος χάριν ἐπισπασάμενος, ὁ ἐν ἡλικίᾳ νεότητος πεπολιωμένος, ὁ τῆς ἀψῖδος τῶν οὐρανῶν ἁψάμενος, ὁ τῆς ἄνωθεν ἀπολαύσας δωρεᾶς καὶ χάριτος, ὁ πολέμους καταλύσας, ὁ μυρία κατορθώματα κατὰ τοῦ διαβόλου ἐπιδειξάμενος, μετὰ σωφροσύνην, μετὰ ἐπιείκειαν, μετὰ σεμνότητα, ὅτε κατέσχε τὴν βασιλείαν, ὅτε μυρίους ἐνίκησε πολέμους, ὅτε ἔθνη ὑπέταξεν, ὅτε εἰρήνη πανταχόθεν, ῥαθυμότερος ἐγένετο· ἵνα μάθητε πόσων ἀγαθῶν πρόξενος ἡ θλῖψις, καὶ πόσων κακῶν ἡ ἄνεσις. καὶ πότε; ἐν μεσημβρίᾳ μέσῃ. μετὰ ἄριστον ἀναστὰς ἀπὸ τῆς στιβάδος περιεπάτει, καὶ εἶδε γυναῖκα γυμνὴν λουομένην, καλὴν καὶ εὔμορφον σφόδρα. ἀλλ' οὐκ ἔγκλημα τὸ κάλλος. τὸ γὰρ κάλλος Θεοῦ δῶρον. εἶδε γυναῖκα λουομένην ἐν ὑπερῴῳ, γυναῖκα στρατιώτου, καλὴν, ὡραίαν. εἶδεν, ἐπτερώθη τῷ ὄμματι, ἐδέξατο τὸ βέλος. ἀκουέτωσαν οἱ περίεργοι, οἱ τὰ ἀλλότρια περιεργαζόμενοι καὶ καταμανθάνοντες κάλλη. ἀκουέτωσαν οἱ περὶ τὰ θέατρα μεμηνότες, οἱ λέγοντες· θεωροῦμεν μὲν, οὐδὲν δὲ βλαπτόμεθα. ὁ Δαβὶδ ἐβλάβη, καὶ σὺ οὐ βλάπτῃ; ἐκεῖνος ἐνικήθη, καὶ σοὶ ἔχω θαρρῆσαι *; ὁ τοσαύτην ἔχων πνεύματος χάριν βέλος ἐδέξατο, καὶ σὺ ἄτρωτος διαμένεις ἐν τῇ τῶν ἀτόπων θεωρίᾳ; καίτοι ἐκεῖνος οὐκ εἶδε πόρνην, ἀλλὰ σώφρονα γυναῖκα καὶ σεμνήν· καὶ οὐκ ἐν θεάτρῳ, ἀλλ' ἐν οἰκίᾳ. σὺ δὲ ἐν θεάτρῳ, ὅπου καὶ ὁ τόπος κολάζει ψυχήν· ὅπου οὐ βλέπεις μόνον, ἀλλὰ καὶ ἀκούεις ῥήματα αἰσχρῶν, καὶ βλέπεις στολὴν πορνικὴν καὶ ᾄσματα διαβολικά· καὶ πανταχόθεν πλήττεταί σου ἡ διάνοια, τῇ ὄψει, ἀφ' ὧν εἶδες, τῇ ἀκοῇ, ἀφ' ὧν ἀκούεις, τῇ ῥινὶ, ἀφ' ὧν ὀσφραίνῃ· τοσαῦται φθοραὶ, τοσαῦτα βάραθρα, καὶ ἔχω σοι θαρρῆσαι, ὅτι οὐ γίνῃ θηριάλωτος; μὴ γὰρ λίθος εἶ; μὴ γὰρ σίδηρος εἶ; ἄνθρωπος εἶ, τῇ κοινῇ τῆς φύσεως ἀσθενείᾳ ὑποκείμενος. πῦρ κρατεῖς, καὶ οὐ καίῃ; καὶ πῶς ἔχει λόγον; θὲς λύχνον εἰς χόρτον, καὶ δυνάσαι μοι εἰπεῖν, ὅτι οὐ καίεται ὁ χόρτος; ὅπερ ἐστὶν ὁ χόρτος, τοῦτο καὶ ἡ ἡμετέρα φύσις. εἶδεν αὐτὴν λουομένην γυμνὴν, ἑάλω τῷ κάλλει, ἐδέξατο τὸ βέλος, ἔλαβε τὸ τραῦμα, ἔπεμψεν ἐπ' αὐτήν· καὶ ὡς μόνον ἦλθε πρὸς αὐτὸν, εἰργάσατο τὴν παρανομίαν, ἐπλήρωσε τὴν ἐπιθυμίαν, κελεύει αὐτὴν ἀπελθεῖν εἰς τὴν ἰδίαν οἰκίαν. ταῦτα δὲ λέγων καὶ εἰς μέσον φέρω τὸν τετραυματισμένον, ἵνα οἱ περιεστῶτες ἴδητε πάντες, πῶς θεραπεύεται. καὶ γὰρ ἰατρὸς χειρουργῶν ἔχει τοὺς περιεστῶτας πάντας, ἵνα βλέπωσι πῶς ἡ τέχνη νικᾷ τὴν νόσον· πολλῷ μᾶλλον προφήτου χειρουργουμένου πάντας χρὴ συνδραμεῖν, ἵνα ἴδωμεν πῶς ὀφείλομεν ἀπαλλαγῆναι τῆς σηπεδόνος καὶ τῶν σκωλήκων. χαλεπὸν τὸ ἁμάρτημα· ἐπιθυμία ἐπληρώθη, ἡ ἁμαρτία ἀπηρτίσθη, ὁ θεραπεύων οὐκ ἦν. συνέλαβεν ἡ γυνή· τέως ἐνόμιζε λανθάνειν τὸν ἄνδρα αὐτῆς ὁ βασιλεύς. εἰ γὰρ καὶ προφήτης ἦν, ἀλλ' ὅλως ἡ ἐπιθυμία αὐτὸν ἐσκότωσε. συνέλαβεν ἡ γυνὴ, ἔγκυος ἐγένετο. δρομαία ἐπὶ τὸν βασιλέα ἔρχεται. βασιλεῦ, ἀπωλόμην. τί ἔχεις; ἔγκυός εἰμι· ὁ καρπὸς τῆς ἁμαρτίας ἐβλάστησε· τὴν κατηγορίαν ἐν τῇ μήτρᾳ βαστάζω· ὁ ἔλεγχος ηὐξήθη τοῦ ἁμαρτήματος· οἴκοθεν ἔχω τὴν ἀπόδειξιν. ἐὰν ἔλθῃ καὶ ἴδῃ ὁ ἀνήρ μου, τί ἔχω εἰπεῖν; ἢ τί λαλήσω; ἐννόησον πόσον κακὸν ἡ ἁμαρτία. ὁ βασιλεὺς τὸν στρατιώτην φοβεῖται. οὐ γάρ ἐστι δοῦλος, εἰ μὴ ὁ ποιῶν τὴν ἁμαρτίαν. διάδημα περιεβέβλητο, καὶ ἐδεδοίκει τὸ ὄνειδος. οὐχὶ σὺ βασιλεὺς, οὐ ξίφους ἐξουσίαν ἔχεις; ναὶ, ἀλλὰ καὶ χαλε-

β.Βασ. ια.β.

β.Βασ. ια.δ.

πὸν ἁμάρτημα ἐποίησα. ὦ ἁμαρτία δειλίας μήτηρ· ὦ ἀτιμίας ἔλεγχος· ὦ σιωπῆς ὑπόθεσις. δέδοικα, τρέμω, ὅτι με κατῄσχυνας· ἔνδον ἔχω τὸν ἔλεγχον. ἐὰν ἔλθῃ ὁ ἀνήρ μου, τί εἴπω; ἢ τί λαλήσω; εὑρήσει με ἔγκυον, καὶ φονεύει ἔνδον ἔχουσαν τὸν ἔλεγχον τῆς ἁμαρτίας. βλέπεις τὸ ναυάγιον μεμελετημένον; ὁρᾷς πόσον κακὸν ἡ ἁμαρτία; τί οὖν ὁ βασιλεύς; ἁμαρτίαν ἐπὶ ἁμαρτίαν προστίθησι. δεῖ γὰρ πλατῦναι τὸ τραῦμα. ἦλθεν Οὐρίας ὁ ἀνὴρ αὐτῆς ἀπὸ τοῦ πολέμου, καὶ εἰσῆλθεν ὁ Οὐρίας πρὸς τὸν βασιλέα. καὶ λέγει αὐτῷ ὁ βασιλεύς· τί ἐστιν, Οὐρία; πῶς ὁ πόλεμος; λέγει, καλῶς· νενικήκαμεν. ἤκουσεν ὁ βασιλεύς, ὅτι ὁ στρατιώτης ἐνίκησε, καὶ αὐτὸς ἡττήθη· ὁ στρατιώτης τὸν πόλεμον ὑπέταξε, καὶ ὁ βασιλεὺς ὑπὸ τῆς ἡδονῆς ἡττήθη· ὁ στρατιώτης τοῦ πολέμου περιεγένετο, αὐτὸς δὲ ὑπὸ τῆς ἁμαρτίας κατεβέβλητο· ὁ στρατιώτης ἔλεγε τὴν νίκην, αὐτὸς δὲ ὑπὸ τῆς αἰσχύνης οὐδὲ τὴν ἧτταν εἰπεῖν ἐτόλμα. νενικήκαμεν, φησι, καὶ περιεγενόμεθα. ἐν ἀπορίᾳ ἦν ὁ βασιλεύς, οὐκ ἤσθετο τῆς νίκης τῆς πολέμου, διὰ τὴν αἰσχύνην τῆς ἥττης, ἧς αὐτὸς ἡττήθη. λέγει τῷ στρατιώτῃ· ὕπαγε εἰς τὸν οἶκόν σου· λοῦσαι, καὶ ἀπόλαυσον τραπέζης, καὶ ἀπόλαυσον τῆς γυναικός σου. διὰ τί; ἵνα συσκιάσῃ τὸ ἕλκος, ἵνα ἐξ αὐτοῦ νομισθῇ τὸ παιδίον τίκτεσθαι. ὁ δὲ ἀκοίμητος ὀφθαλμὸς οὐ συνεχώρησε τοῦτο γενέσθαι, φειδόμενος τοῦ τετραυματισμένου. τί οὖν ὁ στρατιώτης φησί; καὶ πῶς δύναμαι καταλιπεῖν σε, καὶ τρυφᾶν; ταῦτα ἔλεγεν ἀγνοῶν ὁ στρατιώτης. ὄνειδος δὲ ἐγένετο τῷ βασιλεῖ, ὅτι ὁ μὲν στρατιώτης οὐδὲ τὴν οἰκίαν αὐτοῦ ἠβουλήθη ἰδεῖν ἐλθὼν ἐκ τοῦ πολέμου· ὁ δὲ βασιλεὺς τοιαῦτα ἦν παρανομήσας, ὥστε ἀνάγκην ἐπιφέρειν τῷ ἰδίῳ στρατιώτῃ πρὸς τὸ θεάσασθαι τὴν ἰδίαν γυναῖκα, ἵνα δυνηθῇ τὸ ἴδιον τραῦμα καλύψαι. ἀπῆλθεν ἐπὶ τὸν πόλεμον, καὶ ἐτέχθη τὸ παιδίον. τί οὖν ποιεῖ; ἐπειδὴ οὐκ ἐδύνατο συσκιάσαι τὸ ἕλκος, γράφει τῷ στρατηγῷ τοῦ πολέμου. λαβὼν τὸν Οὐρίαν στῆσον εἰς τὸ κραταιὸν μέρος τοῦ πολέμου. διὰ τί; ὥστε αὐτὸν ἀναιρεθῆναι. καὶ ἐγχειρίζει αὐτῷ τὴν ἐπιστολήν. ὢ τῆς ἀσελγείας. εἰς ὅσην ὠμότητα τὸν πρᾳότατον ἐκεῖνον ἡ ἁμαρτία προήγαγε; τὴν μάχαιραν καθ᾽ ἑαυτοῦ ἐβάσταζεν ὁ ἠδικημένος, καὶ ἐπιστολὴν ἔφερεν αἵματος γέμουσαν, καὶ ἀπῄει. δεῖ γὰρ ἐπιτεμεῖν. τί οὖν γίνεται; ἐν τῷ πολέμῳ ἔπεσεν, ἐσφάγη. ἰδοὺ δύο ἁμαρτήματα, μοιχεία καὶ φόνος. ὁ φόνος καρπὸς τῆς μοιχείας ἐγένετο. ταῦτα δὲ λέγω διὰ τοὺς ἁμαρτωλοὺς καὶ πολλὰ ἑαυτοῖς συνειδότας κακά· ἵνα ἀκούοντες μὴ ἀπογινώσκωσι τῆς ἑαυτῶν σωτηρίας. Γέγραπται γάρ, οὐ φονεύσεις, οὐ μοιχεύσεις. τὰς γὰρ δύο ταύτας πρώτας ἐντολὰς παρέβη. ἐμοίχευσε, καὶ τότε ἐφόνευσε τὸν ἠδικημένον. χαλεπὸν τὸ ἕλκος· μέγα τὸ τραῦμα. ἐπεὶ οὖν ὁ Οὐρίας ἀπελθὼν εἰς τὸν πόλεμον ἐσφάγη, καὶ εὐθέως ἐσκίρτησεν ἡ ἁμαρτία ἡ συνεσκιασμένη, τότε λοιπὸν ἀπῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης. ἀπηρτίσθη ἡ ἐπιθυμία· ἐπληρώθη ἡ παρανομία· ἀνῄρητο ὁ ἠδικημένος· καὶ τότε ὁ προφήτης προφήτην ἐλέγχει. διὰ τί; καίτοι ὁ Δαβὶδ προφήτης ἦν. πῶς οὖν ἑαυτὸν οὐ θεραπεύει; ὥσπερ οὖν οἱ ἰατροί, ὅτε νοσοῦσι, χρῄζουσιν ἑτέρων ἰατρῶν, καὶ ἡ ἀρρωστία τὴν τέχνην λυμαίνεται· οὕτω δὴ καὶ ἐνταῦθα προφήτης ἐκεῖνος, προφήτης οὗτος. ἀλλ᾽ ἐκεῖνος οὐκ ἐν κλίνῃ κείμενος, ἀλλ᾽ ἐν ἁμαρτίᾳ διαγινόμενος. λέγουσιν αὐτῷ· Νάθαν ὁ προφήτης ἔξω. λέγει, εἰσέλθῃ. Εἰσέρχεται ὁ προφήτης. ὁρᾷ αὐτὸν καθεζόμενον μετὰ λαμπηδόνος πολλῆς καὶ τύφου βασιλικοῦ. καὶ τί φησι; δίκην ἔχω, βασιλεῦ, ἄκουσόν μου. ὢ σοφίας ἰατροῦ. εἰσῆλθε σιδήριον λαβών, ἵνα τέμῃ τὸ ἕλκος· ἀλλ᾽ οὐ δείκνυσι τῷ νοσοῦντι, ἵνα μὴ στερηθῇ τῆς ἰατρείας· κρύπτει ἔνδον, οὐχ ὑπὸ τὸ ἱμάτιον, ἀλλ᾽ ὑπὸ τὸ δρᾶμα τῆς διηγήσεως. εὐθέως γὰρ εἰσελθὼν οὐκ εἶπεν αὐτῷ· ὦ παράνομε, ὦ βέβηλε, ὦ μοιχέ, ὦ ἀνδροφόνε, οὐ γυμνοῖ τὸν ἔλεγχον, οὐδὲ χωρεῖς προσωπείου

β. Βασ. ια. ζ.

β. Βασ. ια. ιδ.

Ἐξοδ. κ. ιγ. ιδ.

β. Βασ. ιβ. α.

γρ. δυστυχία

γρ. ἐλέγξει
ἴσ. φονεύσει

γρ. τὸν λόγον τοῦ
διηγήματος.

γρ. ἐπιθυμίας

γρ. ἧττος

γρ. συγκεκα
σμένη,

γρ. κακία δι
τεινόμενος.

γρ. βασιλεῦ,

σωπεῖον τὴν παρρησίαν· ἀλλὰ ″ τὸν σίδηρον ἐγκεκρυμμένον φέρει καὶ λέγει· δίκην ἔχω, βασιλεῦ, ἄκουσόν μου. τί οὖν ὁ βασιλεύς; εἰπὲ τὴν δίκην. ὁ δὲ λέγει· ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχε ποίμνια καὶ βουκόλια πολλά· ἄνθρωπος δέ τις ἦν πένης. δύο ἄνθρωποι, Οὐρίας καὶ Δαβίδ. μάνθανε τὰ προσωπεῖα ἐν τῇ ἀληθείᾳ. ὁ μὲν πένης οὐκ εἶχεν, εἰ μὴ μίαν ἀμνάδα (τὴν μοιχευθεῖσαν γυναῖκα λέγει) ἥτις ἀπὸ τῆς τραπέζης αὐτοῦ ἤσθιεν, καὶ ἀπὸ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν. ὁρᾷς τὴν πενίαν φιλοστοργίας ὑπόθεσιν ἔχουσαν. ἐπὶ μὲν γὰρ τῶν πλουτούντων πολὺς ὁ τῦφος· ἐπὶ δὲ τῶν πενήτων ἡ γυνὴ ὑπηρέτις γίνεται καὶ διάκονος, καὶ τίκτει παιδίον, καὶ γίνεται αὐτὴ καὶ μήτηρ καὶ τροφός· ἐπὶ δὲ τῶν πλουτούντων οὐχ οὕτως. ἀλλὰ τίκτει παιδίον, καὶ δίδωσιν αὐτὸ ″ ἔξω, καὶ τὴν φιλοστοργίαν διατέμνει ὁ τῦφος. τίκτει ἡ μήτηρ, καὶ οὐ γίνεται τροφός. αἰσχύνεται γὰρ γενέσθαι τροφὸς ἡ γενομένη μήτηρ. ὁ δὲ Χριστὸς οὐχ οὕτως. ἐγέννησε γὰρ ἡμᾶς, καὶ αὐτὸς τροφεὺς ἡμῶν ἐγένετο. διὰ τοῦτο καὶ ἀντὶ βρωμάτων, τὴν ἰδίαν σάρκα ἡμᾶς ἔθρεψε, καὶ ἀντὶ πόματος, τὸ ἴδιον αὐτοῦ αἷμα ἡμᾶς ἐπότισεν. ἡ οὖν ἀμνὰς ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν. ηὐξήθη ἡ τραγῳδία τῇ διηγήσει τῆς φιλοστοργίας. ἦλθε τοίνυν ξένος ἄνθρωπος πρὸς τὸν πλούσιον ἐκεῖνον. τίς ὁ ξένος; ἡ ἐπιθυμία. ἵνα οὖν δείξῃ αὐτοῦ τὴν σεμνότητα, ξένην τῇ μεθόδῳ τὴν ἐπιθυμίαν ἐκάλεσεν. οὐδέποτε γὰρ ἀλλότριον γάμον διώρυξεν, οὐδὲ ″ ἀδίκως ἐθεάσατο τοῖς ὀφθαλμοῖς· ″ ἀλλὰ πρωθεὶς δὲ εἰς ἐκείνην τὴν γυναῖκα τὴν σεμνότητα ἀπώλεσε, καὶ μικρὸν ῥαθυμήσας ἐξέπεσε τοῦ προσήκοντος. ἦλθεν ὁ ξένος, ἡ ἐπιθυμία ἡ ἀκόλαστος, ἡ θηριώδης ἐκείνη ἦλθε πρὸς αὐτόν. ξένος πρὸς τὸν πλούσιον ἐκεῖνον ἦλθε, ″ καὶ οὐκ ἔλαβεν ἀπὸ τῶν ποιμνίων καὶ βουκολίων αὐτοῦ· ἀλλ᾽ ἔπεμψε καὶ ″ ἔλαβε τὴν ἀμνάδα ἐκείνην, τὴν ἐν τῷ κόλπῳ τοῦ πένητος καθεύδουσαν, καὶ ἀπὸ τῆς τραπέζης αὐτοῦ ἐσθίουσαν. τί οὖν; ὠργίσθη ὁ βασιλεύς. ἐνόμιζε γὰρ ἀλλοτρίαν δίκην δικάζειν. ὠργίσθη ὁ βασιλεύς, καὶ τὸ δίκαιον ἐξεφώνησε μετὰ πολλῆς τῆς λαμπρότητος. οὐ γὰρ ἦν φιλοστοργία ἡ λυμαινομένη τὸ δίκαιον. ῥομφαίᾳ, φησίν, ἀποθανεῖται, καὶ τὴν ἀμνάδα τετραπλάσιον ″ ἀποτίσει. ὑπὲρ τὸν νόμον κελεύει. ὁ γὰρ νόμος κελεύει τὸν κλέπτοντα τετραπλασίονα ″ ἀποδιδόναι, αὐτὸς δὲ ὑπερέβηκε τὸν νόμον. κελεύει γὰρ καὶ αὐτὸν ἀναιρεθῆναι, καὶ ἐν τετραπλῷ ἀποτῖσαι. ″ ἐξήνεγκε τὴν ψῆφον, καὶ τὴν καταδίκην ἀπήρτισε. ῥίπτει οὖν τὸ προσωπεῖον ὁ προφήτης, καὶ λέγει· σὺ εἶ, βασιλεῦ. ὢ τομὴ οὐ ξίφει τέμνουσα τὴν αἴσθησιν τῆς ὀδύνης, ἀλλ᾽ ἐν τῇ συντομίᾳ τοῦ ἐλέγχου. ὅτε γὰρ ἔδει, ὑπεκρίνατο τὸ δρᾶμα· ὅτε δὲ χρεία ἦν τοῦ ἐλέγχου, εὐθέως ἔδωκε καὶ ἀπέτεμεν, οὐ πολλὴν ὀδύνην ἐργασάμενος· σὺ εἶ, βασιλεῦ. τί οὖν αὐτός; ἡμάρτηκα τῷ Κυρίῳ. ὁρᾷς καὶ ἐν τῇ νόσῳ τὴν εὐγένειαν τῆς ψυχῆς. οὐκ εἶπε πρὸς αὐτόν· ὢ ἄθλιε καὶ ταλαίπωρε, οὔτε φανερῶς ἐλέγξαι ἐβουλήθη. τί οὖν λέγει ὁ βασιλεύς; ἡμάρτηκα τῷ Κυρίῳ. τί δὲ ὁ προφήτης; καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. ὀξεῖα ἡ μετάνοια· ἀλλ᾽ ὀξυτέρα ἡ συγχώρησις. Λέγε σὺ τὰς ἀνομίας σου, φησὶ, πρῶτος, ἵνα δικαιωθῇς. διὰ πραγμάτων ″ ἥμαρτες, καὶ διὰ ῥημάτων ″ μετανόει. ταῦτα λέγω, ἵνα ἀκούσωσιν οἱ ἁμαρτωλοὶ καὶ οἱ πεπτωκότες ἐν ἁμαρτήμασιν. ἡμάρτηκα, φησὶ, τῷ Κυρίῳ· καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. σὺ μὲν εἶπας, ῥομφαίᾳ πεσεῖται ἐπ᾽ αὐτόν· ἀλλὰ ἐγὼ, σὺ οὐκ ἀποθανῇ. εἶδες πῶς ἔλυσεν ὁ Θεὸς τὴν δίκην τοῦ προφήτου. λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. ἀλλ᾽ ἐπὶ τὴν ἀρχὴν ἀναδράμωμεν.

Ιω. ϛ.

Ἐξοδ. κβ. α.

Ησ. μγ. κϛ.

Ψαλμὸς τῷ Δαβὶδ, ὅτε εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης.

Ἐνταῦθα δείκνυται αὐτοῦ ἡ εὐγνωμοσύνη καὶ ἡ συγχώρησις. ἰδὲ οὖν, ″ ἔμαθες πῶς ἐθεραπεύθη, καὶ ποῖον φάρμακον ἐδέξατο. Ὅταν δὲ ὁ Θεὸς δικαιοῖ, τίς κατακρινεῖ; οὐ γὰρ

Ρω. η. λγ.

Εἶπεν, ὅτι ἐγὼ συγχωρῶ, ἀλλ᾽ ὅτι Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου· ἔτεμε τὸ ἕλκος, διωρθώσατο τὸ τραῦμα. οὐ μὴ ἀποθάνῃς, φησί. ταῦτα εἰπὼν ἀπῆλθε. θέλω δὲ δεῖξαι λοιπὸν καὶ τὴν τούτου εὐγνωμοσύνην, καὶ τὴν τῆς ″διανοίας διόρθωσιν, ποίαν ἔλαβε συγχώρησιν τοῦ ἁμαρτήματος, ποίαν εὗρεν ἄφεσιν τοῦ πλημμελήματος. καὶ γὰρ ὅτε ἦλθεν Οὐρίας ἀπὸ τῆς συμμαχίας, καὶ τὴν νίκην τοῦ πολέμου τῷ βασιλεῖ ἐμήνυσε, βουλόμενος ὁ βασιλεὺς τὸν ἄνδρα λαθεῖν τὸν ἠδικημένον, ″ὅτι ἐμοίχευσεν εἰς τὴν γυναῖκα αὐτοῦ, τοσαύτην ἔθετο σπουδὴν τοῦ κρύψαι τὴν ἁμαρτίαν, ὅτι καὶ φόνον συνέπλεξε τῇ μοιχείᾳ. καὶ μετὰ ταῦτα ″γέγονε φιλόσοφος ἀπὸ τῆς μετανοίας. ὁ ἀποκρύπτων πρότερον τὸ ἁμάρτημα τὸ ἑαυτοῦ, εἰς μετάνοιαν ἦλθε· καὶ μετὰ τὴν συγχώρησιν τὴν ἀπὸ τῆς τοῦ Θεοῦ ἐπινεύσεως γενομένην, μετὰ τὸ ἐλθεῖν τὸν προφήτην, καὶ εἰπεῖν, ὅτι Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς, οὐ μόνον οὐ κρύπτει τὸ πάθος, ἀλλὰ καὶ μετὰ ταῦτα πάσαις ταῖς γενεαῖς εὔδηλον κατέστησε, καὶ ψαλμὸν ″ἔγραψεν· ἵνα καὶ οἱ μετὰ ταῦτα μάθωσι, πόσην τραγῳδίαν ἔχει τὸ πάθος. ἐπειδὴ γὰρ ἦλθεν ἡ μετάνοια, ἐκόμισε τὴν παρρησίαν. ἐγὼ ἐσώθην, φησί. διατί μὴ σώζονται καὶ ἄλλοι διὰ τοῦ ἐμοῦ διηγήματος; *ὁ Θεός μοι συνεχώρησε· διὰ τοῦτο γράφω ταῦτα, ἵνα καὶ τὸ ἕλκος μάθωσι καὶ τὸ φάρμακον. οὐ φοβοῦμαι τὴν αἰσχύνην, ἐπειδὴ ″ἐπέτυχον τῆς ἐμαυτοῦ σωτηρίας. οὕτω καὶ Παῦλος ποιεῖ· τὰ ἀφεθέντα αὐτῷ ἁμαρτήματα στηλιτεύει, καὶ λέγει· Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι με πιστὸν ἡγήσατο. τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν, νῦν πιστὸν ἡγήσατο. διὰ τοῦτο ἐμαυτὸν στηλιτεύω, ἵνα ἐάν τις ᾖ βλάσφημος ἀφόρητος, ἴδῃ ὅτι ἔχει ἐλπίδα σωτηρίας. καὶ σύ, ὦ Δαβίδ, ἐπειδὴ ἐμοίχευσας καὶ φόνον ἐποίησας καὶ συγχώρησιν παρὰ Θεοῦ ἔλαβες, διὰ τοῦτο στηλιτεύεις σαυτόν; ναί, φησιν, ἵνα ἐάν τις ᾖ μοιχὸς καὶ ἀνδροφόνος, μάθῃ πῶς δύναται σωτηρίας τυχεῖν. διὰ τοῦτο ἀποτίθεται τὴν ἁμαρτίαν, καὶ τὴν μετάνοιαν ἐδέξατο. τοῦτο οὖν μόνον ἐστὶ τὸ ζητούμενον, ὅτι εὔδηλον πᾶσιν ἐποίησε καὶ διωρθώθη, ἢ καὶ ἄλλο τι; ναί, καὶ ἄλλο. καὶ πῶς, ἐγὼ λέγω. ὥσπερ γὰρ ἠκούσατε, ὅτι ἡ μετάνοια πολλὴν ἔχει τὴν συγχώρησιν, καὶ μεγάλην καὶ πολλὴν κομίζει ἡμῖν τὴν παρρησίαν· οὕτω κἀκεῖνο ὑμᾶς μαθεῖν ἀναγκαῖον, ὅτι καὶ ὁ πολλὰς ἁμαρτίας περιβεβλημένος, πολλὴν αἰσχύνην κέκτηται· καὶ οὐ μόνον ἀρκεῖται τῇ μετανοίᾳ, ἀλλὰ δέδοικε καὶ τρέμει τὸ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. θέλω τοίνυν δεῖξαι, ὅτι οὐ μόνον γνωρίζει σοι ὁ ψαλμὸς τὸν ἁμαρτάνοντα, ἀλλὰ καὶ τὸν μετανοοῦντα. καὶ τοῦτο ὑμῖν ἐρῶ, ἵνα μηδεὶς ἑαυτῷ μετὰ τὴν μετάνοιαν θαρρήσῃ· ἀλλὰ μᾶλλον ἀκριβεστέραν τὴν ἑαυτοῦ σωτηρίαν ἐν τῷ λιμένι καταστήσῃ. θέλω οὖν δεῖξαι αὐτόν, ὅτι ἰάθη, καὶ βελτίων ἑαυτοῦ ἐγένετο, καὶ δυνατώτερος καὶ ἰσχυρότερος. πῶς οὖν πάλιν μετὰ τὴν ἐπιθυμίαν ταύτην περιέπεσεν ἑτέρῳ νοσήματι; πάλιν πόλεμος, πάλιν ἁμαρτία, πάλιν μάχη, πάλιν παγκράτιον, πάλιν αὐτῷ ἐπῆλθεν ἡ ἐπιθυμία. πάλιν πόλεμος συγκεκρότηται, πόλεμος χαλεπός, καὶ στρατόπεδα ἔστηκε. πηγὴ δὲ ἦν ἐν τοῖς τόποις ἐκείνοις. καὶ πολέμου ὄντος σφοδροῦ, εἶδεν αὐτὴν ὁ Δαβίδ, * καὶ εἰς δίψαν κατηνέχθη χαλεπωτάτην. ἐπεθύμησε τοίνυν πιεῖν. πάλιν ἐπιθυμία, ἀλλ᾽ οὐ κεκωλυμένη· τότε μὲν σώματος, νῦν δὲ ὕδατος. ἐπεθύμησε πιεῖν, ἐφλέγετο ὑπὸ τῆς δίψης, καὶ λέγει· διψῶ, ἀπόλλυμαι. τινὲς οὖν τῶν βουλομένων αὐτῷ θεραπεῦσαι ἀπῆλθον, καὶ ἤνεγκαν αὐτῷ ὕδωρ, εἰς τὸ αἷμα αὐτῶν, καὶ διὰ τῶν πολεμίων * ἐκόμισαν τὸ ὕδωρ. ὡς δὲ ἠνέχθη τὸ ὕδωρ, ἐνενόησεν ὁ βασιλεύς, τί ἐποίησεν· ὅτι ἐν τῷ πολέμῳ ἐκείνῳ τὴν δίψαν αὐτοῦ οὐ κατέσχε. καὶ τί ἐποίησε; λαβὼν τὸ ὕδωρ οὐκ ἔπιεν, ἀλλ᾽ ἔσπεισε τῷ Θεῷ. οὐ γὰρ ὕδωρ ἐδόκει εἶναι, ἀλλ᾽ αἷμα, οὐ τῇ φύσει προσέχων, ἀλλὰ τῇ γνώμῃ. ὁρᾷς οὖν πῶς παιδευθεὶς ὑπὸ τῆς προτέρας ἐπιθυμί-

α. Τιμ. α. ιβ.

β. Βασ. κγ. ιε.

γ. μετανοίας

γ. ὅτι ἐμοίχευσε τὴν

γ. ἐγένετο

γ. χάρτῃ.

* ἐπειδὴ γὰρ

γ. ἐπιθυμῶν τῆς ἑαυτοῦ σωτηρίας.

* ἔχων [illegible] πῆξιν,

* εἰσεπήδησαν καὶ διέφυγον τὰς χεῖρας αὐτῶν, καὶ

ἂς ὕστερον σωφρονέστερος ἐγένετο; ὁ σωμάτων ἐπιθυμῶν, ὕδατος οὐκ ἐπιθυμεῖ· μᾶλλον δὲ ἐπεθύμει, ἐκράτει δέ. οὐ γάρ λέγω, ὅτι ἐκτὸς ἦν τῆς ἐπιθυμίας, ἀλλὰ τῇ φιλοσοφίᾳ περιεγένετο τῆς ἐπιθυμίας, καὶ οὐχ ἥψατο. Ταῦτα παραινῶ διὰ τοὺς πορνεύοντας. ἠράσθης πόρνης; ἐπόρνευσας; θέλεις μετανοῆσαι; μὴ προσθῇς τῇ ἁμαρτίᾳ ἁμαρτίαν. καὶ μή μοι εἴπῃς, πῶς δύναμαι μὴ πορνεῦσαι; ἐγώ σοι λέγω πῶς δύνασαι. ἡ ἐπιθυμία φλέγει, καὶ εἰς ἀκολάστους ὁρμὰς ἐκβάλλει; μὴ παραδέξῃ τὴν ἐπιθυμίαν, ἀλλὰ μνήσθητι τῆς φοβερᾶς κρίσεως καὶ τοῦ αἰωνίου πυρὸς, καὶ φεύξεται ἡ ἐπιθυμία. ἐὰν δὲ δὴ καὶ γυναῖκα ἔχων τυγχάνῃς, ἔχεις μετὰ ἀσφαλείας ἡδονήν. ἀλλ' οὐ δύναμαι κρατῆσαι. ἀλλὰ ῥαθυμίας ταῦτά ἐστιν. ὅταν γὰρ ἐνέγκω σοι ἄλλον μὴ ἔχοντα γυναῖκα, σωφρονοῦντα δὲ, ποίαν ἔχεις σὺ ἀπολογίαν, ἢ ποίαν συγγνώμην; ἐκεῖνος ἐν τῷ πελάγει οὐχ ὑπομένει ναυάγιον, καὶ σὺ ἐν τῷ λιμένι ὑπομένεις τὴν πλῶσιν; ἔχεις γυναῖκα, καὶ πορνεύεις, μᾶλλον δὲ μοιχεύεις; καὶ πῶς περιγενώμεθα τοῦ ἕλκους, φησίν; ἀπόλαυε τῆς γυναικός σου. ἀπολαύσω τῆς γυναικός; πάνυ. ἐννόησον τί λέγει ὁ μακάριος Παῦλος· Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. ἐὰν οὖν καλέσῃ σε πόρνη, ἐννόησον τὸ ῥῆμα κατὰ σεαυτὸν, καὶ εἰπέ· ὅτι ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· καὶ τὸ ῥῆμα γράφε ἐν τῇ καρδίᾳ σου, καὶ εἰπὲ τῇ πόρνῃ· τί με καλεῖς; οὐκ ἔστι τὸ σῶμα ἐμὸν, ἀλλὰ τῆς γυναικός μου. οὐ τολμῶ οὖν τὸ ἀλλότριον προδοῦναι· τὴν προῖκα αὐτῆς οὐ τολμῶ μειῶσαι, οὐδὲ τὰ πράγματα αὐτῆς τολμῶ δαπανῆσαι, καὶ τὸ σῶμα τολμῆσαι ἔχω μιᾶναι; πῶς; οὐ δύναμαι. εἰπὲ τῇ πόρνῃ· τί με καλεῖς; οὐκ ἐγγίσεις αὐτῷ· τοῦτο γάρ οὐκ ἔστιν ἐμόν· ἀλλότριόν ἐστι. μὴ γάρ τῆς πόρνης ἐστὶ τὸ σῶμα; ἐγὼ σῶμα πόρνης οὐ δέχομαι. τοῦτο τῆς γυναικός μού ἐστι. φοβήθητι τὸν Χριστὸν, καὶ εἰπὲ, ὅτι τὸ σῶμα ἡμῶν μέλη Χριστοῦ ἐστιν. ἀκουέτωσαν ταῦτα καὶ αἱ γυναῖκες, καὶ ἐννοείτωσαν, ποῦ αὐτὰς ἐκάλεσεν ὁ Χριστὸς, ὅτι πάντως ἐν ἁγιασμῷ, καὶ λεγέτωσαν, ὅτι ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. ἐννόησον τὴν Παύλου σοφίαν τί λέγει. ἐπειδὴ πολλοὶ ἐγκρατεύονται, καὶ ἔχουσι σεμνὰς καὶ σώφρονας γυναῖκας, καὶ παρὰ τὸ δοκεῖν ἐγκρατεύονται, καὶ γίνεται ἡ τούτων φιλοσοφία μοιχείας ὑπόθεσις, διὰ τοῦτο λέγει· ἕκαστος ἀπολαυέτω τῆς ἰδίας γυναικός. καὶ οὐκ αἰσχύνεται, ἀλλ' εἰσέρχεται καὶ καθέζεται εἰς τὴν εὐνὴν νύκτα καὶ ἡμέραν, καὶ κατέχει τὸν ἄνδρα καὶ τὴν γυναῖκα, καὶ οὕτω συνάπτει, καὶ κράζει καὶ βοᾷ· Μὴ ἀποστερῆτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. ἐγκρατεύῃ, καὶ οὐ θέλεις καθευδῆσαι μετὰ τοῦ ἀνδρός σου, ἐκεῖνος δὲ οὐκ ἀπολαύει σου; ἀπέρχεται καὶ ἁμαρτάνει, καὶ λοιπὸν ἡ ἁμαρτία ἐκείνου τῇ σῇ ἐγκρατείᾳ λογίζεται. βέλτιον μετὰ σοῦ αὐτὸν καθεύδειν, ἢ μετὰ τῆς πόρνης. ἡ ἀπόλαυσίς σου οὐ κεκώλυται· ἡ δὲ ἐκείνης κεκώλυται. μετὰ σοῦ ἐὰν καθευδήσῃ, οὐκ ἔστιν ἔγκλημα· μετ' ἐκείνης ἐὰν καθευδήσῃ, ἀπώλεσάς σου τὰ μέλη. καθέζεται οὖν σχεδὸν εἰς τὴν εὐνὴν τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, καὶ κράζει· μὴ ἀποστερῆτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. διὰ τοῦτο ἔλαβες ἄνδρα, διὰ τοῦτο καὶ σὺ ἔλαβες γυναῖκα, ἵνα σωφρονῆτε. θέλεις ἐγκρατεύεσθαι; πεῖσον καὶ τὸν ἄνδρα σου, ἵνα δύο ὦσι στέφανοι, σωφροσύνη καὶ ὁμόνοια· ἵνα μὴ ᾖ σωφροσύνη καὶ μάχη· ἵνα μὴ ᾖ εἰρήνη καὶ πόλεμος. ὅταν γὰρ σὺ ἐγκρατεύῃ, ἐκεῖνος δὲ ὑπὸ ἐπιθυμίας φλέγηται, λέγει δὲ ὁ Παῦλος μὴ πορνεύσῃς, εὐθέως θορυβεῖται, κυματοῦται· μὴ ἀποστερῆτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. καὶ γὰρ ὅπου εἰρήνη, ἐκεῖ πάντα τὰ ἀγαθά· ὅπου εἰρήνη, καὶ σωφροσύνη λάμπει· ὅπου ὁμόνοια, καὶ ἐγκράτεια στεφανοῦται· ὅπου δὲ πόλεμος, καὶ ἡ σωφροσύνη ἀποτέμνεται. μὴ οὖν ἀποστερῆτε ἀλλήλους, εἰ μή τι

α. Κορ. ζ. β. δ.

α. Κορ. ζ. α.

α. Κορ. ς. ιη.

Ἑβρ. ιγ. δ.
Ιω. β. β.
α. Κορ. ζ. ε.

ἂν ἐκ συμφώνου. καὶ πάλιν τὰ αὐτὰ λέγων οὐ παύσομαι. ἔτι γὰρ πάντα νυμφαγωγὸν νικᾷ Παῦλος, ὁ νυμφαγωγὸς τῆς οἰκουμένης. διὰ τοῦτο οὐκ αἰσχύνεται λέγων, Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. καὶ γὰρ ὁ δεσπότης αὐτοῦ εἰς* γάμον παρεγένετο, τῇ ἑαυτοῦ παρουσίᾳ τὸν γάμον τιμῶν, καὶ δῶρα προσήνεγκε.* τὸ γὰρ ὕδωρ εἰς οἶνον μετέβαλε. δράμε οὖν ὅσον βούλει. ὅταν δὲ ἀτονήσῃς, λάβε φάρμακον τὴν συνουσίαν, ἵνα μὴ πειράσῃ ὑμᾶς ὁ Σατανᾶς· Ἕκαστος οὖν τὴν ″ἑαυτοῦ γυναῖκα ἐχέτω. τρία γάρ ἐστι ταῦτα· παρθενία, γάμος, πορνεία. ὁ γάμος μέσος, ἡ πορνεία κάτω, ἡ παρθενία ἄνω. παρθενία στέφανον ἔχει, ὁ γάμος ἔπαινον σύμμετρον, πορνεία κόλασιν καὶ τιμωρίαν. βλέπε οὖν πῶς ἐγκρατεύῃ, εἰ δύνασαι τὴν ἀσθένειαν τοῦ σώματος ἐνέγκαι, καὶ μὴ θέλε ὑπὲρ τὸ μέτρον ἀναβῆναι, ἵνα μὴ ὑπὲρ τὸ μέτρον καταβῇς. ὥσπερ οὖν ὁ μέλλων κολυμβᾷν, εἰς τοσοῦτον εἰσέρχεται, ὅσον δύναται ἐξελθεῖν· ὅταν δὲ εἰσέρχηται, ″ἐννοεῖ πόσον ὀφείλει ἐξελθεῖν· οὕτω καὶ σὺ τοσοῦτον ″σωφρόνησον, ὅσον δύνῃ ὑπομεῖναι, ἵνα μὴ παρὰ τὸ μέτρον″ καταβῇς· καὶ ὑπὲρ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Χριστῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* τὸν
* τοῖς γαμ
γ. ἰδίαν
γ. νοεῖ
γ. ἐννόησον
γ. ἐκπέσῃς

Λογ. β. ΕΙΣ ΤΑ ″ΥΠΟΛΟΙΠΑ ΤΟΥ ΠΕΝΤΗΚΟστοῦ ψαλμοῦ. καὶ περὶ μετανοίας.

γ. ἀκόλουθα

ΤΑ λείψανα τῆς χθεσινῆς τραπέζης ἀποδοῦναι ὑμῖν βούλομαι σήμερον. ἀλλὰ λείψανα καὶ τράπεζαν ἀκούσας, ἀγαπητὲ, μηδὲν αἰσθητὸν ὑποπτεύσῃς. οὐ γὰρ κρέα κατακόπτομεν, ἀλλὰ νοήματα διδάσκομεν πνευματικά· οὐκ οἶνον ἄκρατον ἐκχέομεν, ἀλλὰ λόγον ἐνηχοῦμεν ὑμῶν τῇ διανοίᾳ. ἐπὶ μὲν γὰρ τῆς αἰσθητῆς τραπέζης ἐὰν μείνῃ μίαν ἢ δευτέραν ἡμέραν τὰ κρέα, διαφθείρεται καὶ ἀπόλλυται· ἐπὶ δὲ τῶν νοημάτων, ἐὰν ὅλον τὸν ἐνιαυτὸν παραμείνῃ, τὸ ἄνθος τὸ ἑαυτῶν καὶ τὴν εὐωδίαν ἀποδίδωσιν. ἔμεινε τὰ κρέα, καὶ διεφθάρη τῷ χρόνῳ· ἔμεινε τὰ νοήματα, καὶ μένει τὴν οἰκείαν εὐωδίαν ἀποδιδόντα· ἔφαγέ τις κρέα, καὶ εἰς ″διαφθορὰν ἐχώρησεν· ἔφαγέ τις νοήματα, καὶ εἰς ἀφθαρσίαν ἐχειραγωγήθη. ἔφαγέ τις κρέα, καὶ ἠρεύξατο πολλὴν δυσωδίαν· ἔφαγέ τις νοήματα εὐωδίας πνευματικῆς, καὶ ἠρεύξατο πολλὴν ἀρετὴν, καὶ τὸν πλησίον εὔφρανε. ὁ προφήτης οὖν, ἐπειδὴ τοιαῦτα ἔτρωγεν, ἔλεγεν· Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. σαλεύεται τὰ κύματα πάλιν, ἀλλ' ἡ διάνοια στηκέτω· σείεται τὰ σώματα, ἀλλ' ἡ ἀκοὴ ἀτρεμὴς ἔστω. βλέπετε τοίνυν, καὶ μετ' ἀκριβείας προσέχετε τοῖς λεγομένοις. εἴδετε χθὲς τὸν βασιλέα καὶ προφήτην πολεμοῦντα, πίπτοντα, ἐλεούμενον, νικῶντα, στεφανούμενον, ἀνακηρυττόμενον. εἴδετε τὴν ἁμαρτίαν ἐπερχομένην καὶ ″σφαζομένην διὰ τῆς μετανοίας. ὡς ἄρκτος ἐπῆλθεν ἡ ἁμαρτία, καὶ κατέβαλεν· ἀλλ' εἰσῆλθεν ἡ μετάνοια, καὶ ἀνέστησε. τὸ φάρμακον τοῦ τραύματος, ἡ τῆς σωτηρίας ἐλπίς. εἴδετε τὸν προφήτην εἰσιόντα καὶ ἐλέγχοντα τὸν προφήτην. εἴδετε τὸν βασιλέα μετὰ πάσης φιλοσοφίας φέροντα τὸν ἔλεγχον, δεχόμενον τὴν τομὴν, ἀπαλλαττόμενον τῆς σηπεδόνος. εἴδετε δεσπότου φιλανθρωπίαν λάμπουσαν, καὶ τὸν νεκρὸν ζωοποιοῦσαν. εἴδετε λέγοντα αὐτὸν, ἡμάρτηκα τῷ Κυρίῳ· καὶ τὸν προφήτην λέγοντα, καὶ Κύριος ″ἀφῆκε τὸ ἁμάρτημά σου. σύντομος ἡ ἐξομολόγησις, συντομωτέρα δὲ ἡ ἰατρεία καὶ ἡ διόρθωσις. διὰ τῶν πραγμάτων ἥμαρτε, διὰ τῶν ῥημάτων ἐξωμολογήσατο. ἔνευσεν ὁ Θεὸς, καὶ τὸ ἕλκος ἠφανίσθη, τὸ τραῦμα διωρθώθη, καὶ ἡ ὑγεία ἐπανῆλθεν. ἀλλ' οὐκ ἠρκέσθη τού-

Ψαλμ. μδ. α.

γ. φθοράν
γ. σφαττομένην
γ. ἀφεῖλε

τω

τῷ ὁ προφήτης, ἀλλὰ μετὰ τὸν ἔλεγχον, μετὰ τὴν διόρθωσιν, μετὰ τὴν τῶν τραυμάτων ἀπαλλαγήν, καὶ ψαλμὸν ἔγραψεν εἰς τὴν ὑπόθεσιν· ὥστε καὶ τῇ μετὰ ταῦτα γενεᾷ τὰ ἐκείνου πάθη γενέσθαι ἰατρεῖον, καὶ τὸ ἐκείνου ναυάγιον γενέσθαι λιμένα, καὶ ἐξ ὧν ἐκεῖνος ἔπαθε, καὶ διωρθώθη, ἑτέρους τοῖς αὐτοῖς περιπεσόντας τῆς αὐτῆς ἀπολαῦσαι ἰατρείας καὶ διορθώσεως. τίς οὖν ἐστιν ὁ ψαλμός, [καὶ τίς ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ; ἀκούσωμεν μετὰ ἀκριβείας. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Σαφῶς ἡμᾶς ἐδίδαξεν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν· καὶ αὐτὰ δὲ τοῦ ψαλμοῦ τὰ ῥήματα ἱκανὰ διδάξαι τῆς διανοίας τὸ πάθος. Εἰδέναι μέντοι προσήκει, ὡς καὶ μελλόντων ἔχει προαγόρευσιν ὁ ψαλμός· διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, τοῦ λόγου δηλοῦντος, ὡς ἕξει τέλος ἡ προφητεία. ἀλλὰ μηδεὶς ἀμφιβαλλέτω, εἰ κατὰ τὸν τῆς μετανοίας καιρὸν, προφητικῆς ἠξίωτο χάριτος ὁ μέγας Δαβίδ. τοῦτο γὰρ καὶ διὰ τῶν ἄλλων ψαλμῶν, δι᾽ ὧν τὴν ἐξομολόγησιν ἐποιήσατο, καταμαθεῖν δυνατόν. καὶ γὰρ καὶ ἐν ἑτέροις ψαλμοῖς, καὶ μέντοιγε καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ διαῤῥήδην ἡμᾶς ἐδίδαξεν, ὡς οὐκ ἐστέρητο τῆς τοῦ πνεύματος χάριτος. τὸ πνεῦμα γάρ σου, φησὶ, τὸ ἀγαθὸν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. οὐ γὰρ ᾔτησεν αὐτῷ παρασχεθῆναι, ἀλλὰ μὴ ληφθῆναι ταύτην ἱκέτευσεν. ὑπὸ τούτου τοίνυν φωτιζόμενος, καὶ προορῶν ὡς καὶ ὁ λαὸς ὁ ὑπ᾽ αὐτοῦ βασιλευόμενος πεσεῖται παρανομίαις, καὶ τίνας ὑπὲρ τούτων εὐθύνας ὑφέξει, καὶ ὡς ἐξανδραποδισθήσεται, καὶ μέτοικος ἐν Βαβυλῶνι γενήσεται, συνέγραψε τὸν ψαλμὸν καὶ τὰ οἰκεῖα τραύματα θεραπεύων, καὶ τῷ λαῷ κατασκευάζων κατάλληλον φάρμακον.]

1 Ελέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, 2 Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

[Καὶ τῷ θειοτάτῳ Δαβὶδ, καὶ τῷ δορυαλώτῳ λαῷ, καὶ τοῖς ἐν ἡμῖν διακειμένοις κακῶς ἁρμόττει τὰ προκείμενα ῥήματα. τὰ γὰρ μεγάλα τῶν τραυμάτων ἰσομέτρων δεῖται φαρμάκων. οὗ δὴ χάριν καὶ ὁ μέγας ἱκετεύει Δαβὶδ ὅλον εἰς αὐτὸν ἐκχυθῆναι τὸν ἔλεον, πᾶσαν τῶν οἰκτιρμῶν τὴν πηγὴν κατακενῶσαι τῆς ἁμαρτίας τὰ ἴχνη. Εἰκότως δὲ ἀνόμημα καλεῖ τὸ πλημμέλημα. διπλῆν γὰρ ἔχει τοῦ νόμου παράβασιν. ἐξάλειψον τὸ ἀνόμημά μου]. Ἤκουσας τοῦ προφήτου λέγοντος, καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου· τί οὖν πλέον ζητεῖς; μένω εὐχαριστῶν, μένω ἐξομολογῶν. περιῃρέθη δὲ ἁμάρτημά μου, βούλομαι καὶ τὴν οὐλὴν ἀφανισθῆναι· περιῃρέθη τὸ ἕλκος, βούλομαι καὶ τὴν εὐμορφίαν ἀπολαβεῖν. προσέρχεται τοίνυν καὶ λέγει, ἐλέησόν με ὁ Θεός. οὐ λέγει τὰ κατορθώματα τοῦ βίου, ἀλλὰ τὴν φιλανθρωπίαν τοῦ δεσπότου, ἐπὶ τὸν ἔλεον καταφεύγων, τὸν κοινὸν τῶν ἁπάντων ἡμαρτηκότων λιμένα. ἐλέησόν με ὁ Θεός. ὁ γὰρ ἔλεός σου ἄφατος, καὶ λόγον ὑπερβαίνων, ἑρμηνευθῆναι μὴ δυνάμενος· ἁμαρτωλῷ παραμυθία, ἀλλὰ καὶ δικαίῳ ἀσφάλεια πολλή. οὐ γὰρ ἁμαρτωλοὶ μόνον ἐλέῳ σώζονται, ἀλλὰ καὶ δίκαιοι ἐλέῳ τειχίζονται. καὶ ἵνα μάθῃς ὅτι δίκαιοι ἐλέῳ τειχίζονται, ἄκουε τί φησι τῷ Πέτρῳ, τῷ στύλῳ, τῇ κρηπῖδι, τῷ διὰ τοῦτο κληθέντι Πέτρῳ, ἐπειδὴ τῇ πίστει πεπετρωμένος ἦν. Σίμων, Σίμων, πολλάκις ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. ὁρᾷς ὅτι καὶ οἱ δίκαιοι ἐλέους χρῄζουσιν, ἵνα καὶ ἐξ ἁμαρτωλῶν δίκαιοι γίνωνται, καὶ ἵνα δίκαιοι γενόμενοι, μένωσι δίκαιοι. καὶ γὰρ ὁ ἀπόστολος ἐξ ἐλέους ἐγένετο τοιοῦτος. Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. πῶς οὖν ἐσώθης; Ἀλλὰ διὰ τοῦτο ἠλεήθην. ὁρᾷς καὶ τοῦτον ἐλέῳ σωζόμενον; ἐδίωκεν, ἐλυμαίνετο τὴν ἐκκλησίαν, ἀνέσπα τὰς ἀμπέλους, λύκος ἐγένετο·

Λουκ.κβ.λα.

α.Τιμ.α.ιβ.

α. Τιμ. α. ιγ.
Πραξ. η. γ.

ἐγένετο· "προφήτας ἀνέγνω, καὶ τὰ προφητευόμενα παρεώρα ὁ τοῦ πατρῴου νόμου ζηλωτὴς· προφήτας ἀνέγνω, καὶ τὸν προφητευθέντα οὐκ ᾔδει. πῶς οὖν "ἠλεήθη; Σαῦλε, Σαῦλε, τί με διώκεις; ὢ φιλανθρωπίας τοῦ δεσπότου, ποῦ κατέβη; Θεὸς ὢν ἀνθρώπῳ λέγει, τί με διώκεις; τὸν πατέρα τὸν ἑαυτοῦ μιμεῖται. καὶ γὰρ ἐκεῖνος τῷ δήμῳ τῷ Ἑβραϊκῷ λέγει· Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σοι, ἀποκρίθητί μοι; καὶ ὁ υἱὸς αὐτοῦ τῷ Σαύλῳ λέγει· Σαῦλε, Σαῦλε, τί με διώκεις; τί οὖν ἐκεῖνος; τίς εἶ, Κύριε; εὐθέως τὴν δεσποτείαν ὡμολόγησεν. εἶδες ψυχὴν εὐγνώμονα. τίς εἶ, Κύριε; ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. ὢ σοφίας δεσπότου. διὰ τί μὴ εἶπεν, ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ, ἐγώ εἰμι ὁ ἐν ἀρχῇ λόγος, ἐγώ εἰμι ὁ ἐν δεξιᾷ καθήμενος τοῦ πατρὸς, ἐγώ εἰμι ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐγώ εἰμι ὁ τὸν οὐρανὸν τείνας, ἐγώ εἰμι ὁ τὴν γῆν ἑδράσας, ἐγώ εἰμι ὁ τὴν θάλασσαν "ἁπλώσας, ἐγώ εἰμι ὁ τοὺς ἀγγέλους ποιήσας, ἐγώ εἰμι ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ἐγώ εἰμι ὁ πρὸ αἰώνων ἐκ πατρὸς γεννηθείς; διὰ τί μὴ εἶπε τὰ σεμνὰ ἐκεῖνα καὶ ὑψηλὰ καὶ μεγάλα, ἀλλ' ἐγώ εἰμι ὁ Ναζωραῖος, ὁ ἀπὸ τῆς κάτω πόλεως; διότι ἠγνόει αὐτὸν ὁ διώκων. εἰ γὰρ ᾔδει αὐτὸν, οὐκ ἂν ἐδίωκεν. ἠγνόει ὅτι ἐκ τοῦ πατρὸς ἦν γεννηθείς· ὅτι δὲ ἀπὸ Ναζαρὲτ ἦν, ᾔδει. εἰ οὖν εἶπεν αὐτῷ, ὅτι υἱὸς τοῦ Θεοῦ εἰμι, ὁ ἐν ἀρχῇ λόγος, ὁ τὸν οὐρανὸν ποιήσας, εἶχεν εἰπεῖν· ὅτι ἄλλος ἐστὶν "ἐκεῖνος, καὶ ἄλλος ὃν ἐγὼ διώκω. *Συνήκατε τί εἶπον; εἰ εἶπεν αὐτῷ ἐκεῖνα τὰ μεγάλα καὶ ὑψηλὰ, εἶχεν εἰπεῖν· ἄλλος ἐστὶν, οὐκ ἔστιν οὗτος ὁ σταυρωθείς. ἀλλ' ἵνα μάθῃ, ὅτι ἐκεῖνον διώκει τὸν σαρκωθέντα, τὸν μορφὴν δούλου ἀναλαβόντα, τὸν μεθ' ἡμῶν ἀναστραφέντα, τὸν σταυρωθέντα, τὸν ἀποθανόντα, τὸν ταφέντα, τὸν ἀναστάντα, τὸν ἀπὸ τοῦ κάτω χωρίου, λέγει· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις, ὃν "εἶδες καὶ γνωρίζεις, τὸν μετὰ σοῦ ἀναστραφέντα. διὰ τοῦτο εὐθέως τὴν δεσποτείαν ὡμολόγησε. κατέβη τοσοῦτον ὁ δεσπότης, ὅσον ὁ δοῦλος ἀναβῆναι ἠδύνατο· καὶ διὰ τοῦτο ἠλεήθη. ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. καὶ ἡ Χαναναία ἐπὶ τὸν "λιμένα τοῦτον καταφεύγει· Ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς "δαιμονίζεται. ὅπου γὰρ ἔλεος, ἐξέτασις οὐκ ἔστιν· ὅπου ἔλεος, δικαστήριον οὐ κάθηται· ὅπου ἔλεος, εὐθῦναι οὐκ ἀπαιτοῦνται· ὅπου ἔλεος, ἀνεξέταστος ἡ σωτηρία· ὅπου ἔλεος, συγχωρεῖται ἡ ἀπολογία. ἐλεηθῆναι ζητῶ μόνον. τίνος *ἕνεκεν ἀπαιτεῖς με εὐθύνας; ἅπαξ ἔλεον ζητῶ, "ἀπερίεργον σωτηρίαν. ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα σου ἔλεος. εἶπες μέγα, εἰπὲ πόσον; οὐκ οἶδα. ὅτι μέγα, οἶδα· καταμετρῆσαι οὐ δύναμαι, καταλαβεῖν οὐκ ἰσχύω. οὐκ οἶδα τὴν ποσότητα τοῦ μεγέθους, οὐ καταλαμβάνει ἡ διάνοια, οὐχ ἑρμηνεύει γλῶσσα. βλέπω τοῦ ἐλέους τὸν καρπὸν μέγαν. εἰ μὴ γὰρ πολὺ ἦν μέγας, ὀλίγοι ἂν ἐσώθησαν. τοῦτον τὸν ἔλεον καὶ ὁ υἱὸς αὐτοῦ ἐπιδείκνυται. ἐλθὼν γὰρ ἐλέῳ πάντας ἔσωσεν. ἐλέησόν με, ὁ Θεὸς, ὁ λιμὴν ὁ ἀκύμαντος, ὁ γαλήνης γέμων. μέγας ὁ θόρυβος τῶν ἁμαρτημάτων μου, ἀλλὰ πολλὴ ἡ ἀσφάλεια τῆς τοῦ δεσπότου μου φιλανθρωπίας. ἐγένετο ἄνθρωπος· τοῦτο ἐλέους. εἰς μήτραν ἦλθε παρθενικήν· τοῦτο φιλανθρωπίας. ἐγένετο ὅπερ ἦς σὺ, ἵνα γένῃ σὺ, ὅπερ οὐκ ἦς· τοῦτο ἐλέους. καὶ ἐλθὼν εὐθέως τίνας ἐκάλεσε; μάγους. μετ' ἐκείνους τίνα; τελώνην. μετ' ἐκεῖνον; πόρνην. μετ' ἐκείνην; λῃστήν. μετ' ἐκεῖνον τίνα; βλάσφημον. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. τὰ ἀκροθίνια τῆς "κλήσεως, ἡ τυραννὶς τῆς ἁμαρτίας. διότι κακῶς διέκειτο τὰ τῆς οἰκουμένης πράγματα (τὰ μὲν γὰρ ὑπὸ ἀσεβείας ἐτυραννοῦντο, τὰ δὲ ἐν Ἰουδαϊσμῷ καὶ ἀπογνώσει ὑπὸ τῆς ἁμαρτίας κατείχοντο) διὰ τοῦτο τοίνυν ἐλθὼν ἐκ προοιμίων τὰ ἀκροθίνια "τῶν ἡμαρτηκότων ἐκάλεσεν, ἵνα

Πράξ. θ. δ.

Μιχ. ς. γ.

Πράξ. θ. ε.

Ματθ. ιε. κβ.

γρ. τὰ προφητικὰ ἀνέγνω, τοὺς προφήτας

γρ. ἐσώθη;

γρ. χαλινώσας

γρ. οὗτος,

γρ. εἶδες

γρ. ἔλεον

γρ. βασανίζεται

γρ. ἀπεριέργαστον

γρ. πίστεως,

γρ. τῆς ἁμαρτίας

ἵνα μηδεὶς μετὰ ταῦτα ἀπογινώσκῃ τῆς ἑαυτοῦ σωτηρίας. ἀσεβὴς εἶ; ἐννόησον τοὺς μάγους. ἅρπαξ εἶ; ἐννόησον τὸν τελώνην. ἀκάθαρτος εἶ; ἐννόησον τὴν πόρνην. ἀνδροφόνος εἶ; ἐννόησον τὸν λῃστήν. παράνομος εἶ; ἐννόησον τὸν βλάσφημον Παῦλον, καὶ μετὰ ταῦτα ἀπόστολον· πρότερον διώκτην, καὶ μετὰ ταῦτα εὐαγγελιστήν· πρότερον μοιχόν, καὶ μετὰ ταῦτα νυμφαγωγόν· πρότερον ζιζάνιον, καὶ μετὰ ταῦτα σῖτον· πρότερον λύκον, καὶ μετὰ ταῦτα ποιμένα· * πρότερον μόλυβδον, καὶ μετὰ ταῦτα χρυσόν· πρότερον πειρατὴν καὶ καταποντιστήν, καὶ μετὰ ταῦτα κυβερνήτην· πρότερον πορθοῦντα τὴν ἐκκλησίαν, καὶ μετὰ ταῦτα πιστευόμενον τὴν ἐκκλησίαν· πρότερον ἐκκόπτοντα τὰς ἀμπέλους, καὶ μετὰ ταῦτα φυτουργὸν γινόμενον· πρότερον καθαιροῦντα τὸν ναόν, καὶ μετὰ ταῦτα οἰκοδόμον γινόμενον. εἶδες ὑπερβάλλουσαν κακίαν, εἶδες ἀκμάζουσαν ἀρετήν. εἶδες ἀπόνοιαν δούλου, εἶδες φιλανθρωπίαν δεσπότου. μή μοι λέγε, βλάσφημός εἰμι· μή μοι λέγε, διώκτης εἰμί, ἀκάθαρτός εἰμι. ἔχεις πάντων τὰ ὑποδείγματα. εἰς οἷον θέλεις λιμένα κατάφυγε. θέλεις ἐν τῇ καινῇ; θέλεις ἐν τῇ παλαιᾷ; ἐν τῇ καινῇ ὁ Παῦλος, ἐν τῇ παλαιᾷ ὁ Δαβίδ. μή μοι λέγε προφάσεις, μή μοι ὄκνον. ἥμαρτες; μετανόησον. μυριάκις ἥμαρτες; μυριάκις μετανόησον. ταῦτα συνεχῶς ἐπαλείφω τὰ φάρμακα, καὶ τὴν φλεγμονὴν καταστέλλω. οἶδα γὰρ ὅση τοῦ συνειδότος ἡ ἀτιμία τῶν ἡμαρτηκότων, οἶδα "ὅση ἡ ἀπόγνωσις." ἐφέστηκεν ὁ διάβολος ξίφος ἀκονῶν, καὶ λέγων ταῦτα τὰ ῥήματα· ὅλην τὴν νεότητά σου κατήσχυνας, τὸν βίον σου ὅλον ἀπώλεσας. πρότερον ἦς πόρνος, μετὰ ταῦτα ἥρπασας, ἐπλεονέκτησας, ἐπιώρκησας, ἐβλασφήμησας. ποία σοι ἐλπὶς σωτηρίας; ἀπώλου· λοιπὸν ἀπόλαυε κἂν τοῦ παρόντος βίου. ταῦτα τοῦ διαβόλου τὰ ῥήματα, ἀλλὰ τὰ ἐμὰ ἐναντία. ἀπώλου; ἀλλὰ δύνασαι σωθῆναι. ἐπόρνευσας; ἀλλὰ δύνασαι σωφρονῆσαι. ἐμοίχευσας; ἀλλὰ δύνασαι "σωτηρίας τυχεῖν. ἔπεσας; ἀλλὰ δύνασαι ἀναστῆναι. μικρὰ ἡ μετάνοιά σου, ἀλλὰ μεγάλη ἡ τοῦ δεσπότου φιλανθρωπία. ἐφόνευσας; ἀλλὰ μετανόησον. ἐπλεονέκτησας; ἀλλὰ μετάγνωθι. ἐμοίχευσας; ἀλλὰ ἀπόστηθι. ἐτραυματίσθης; ἀλλὰ θεραπεύθητι. ἕως ὅτε ἐμπνέεις, ἐν ἐσχάτῃ ἡμέρᾳ, ἐπ' αὐτῆς τῆς κλίνης, ἐφ' ἧς κείμενος ψυχορραγῶν, μέλλων ἐξιέναι τοῦ θεάτρου τούτου καὶ τοῦ βίου, τότε μετανόησον. "τοῦ καιροῦ ἡ στενοχωρία οὐ κωλύει τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. μή μοι λέγε, πῶς, καὶ ποίῳ τρόπῳ; ἑλκῶν γέμω καὶ τραυμάτων ἐμπέπλησμαι· ἐν ἐσχάτῃ ἡμέρᾳ δύναμαι ἐξομολογήσασθαι; δύνασαι, καὶ σφόδρα δύνασαι. εὖξαι, ἐλεημοσύνην ἐργάσαι, ἐν διαθήκῃ κατάλιπε πτωχοῖς. σὺ ἐκεῖ ἀπέρχῃ, καὶ τὸ ἔργον σου μένει. καὶ μή μοι τῶν αἱρετικῶν τὴν γνώμην εἴσαγε· μή μοι λέγε, πῶς σώζομαι; ὅταν ἐργάζηται Θεός, εὐθύνας μὴ ἀπαίτει· ἐπειδὰν ἐκεῖνος θεραπεύῃ, μὴ ἀπογίνωσκε. ἕστηκεν ἰατρὸς τέμνων καὶ μυρία ἐπάγων φάρμακα, καὶ οὐ λέγεις, πῶς θεραπεύεις, ἀλλὰ παραχωρεῖς τῇ τέχνῃ. τῇ τοῦ συνδούλου τέχνῃ παραχωρεῖς, καὶ οὐ περιεργάζῃ· καὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ οὐ παραχωρεῖς; μὴ λέγε, πῶς; ἀλλὰ θαύμαζε, μὴ ἐκπλήττου, ἀλλὰ δόξαζε. ἐπεὶ ἐρωτῶ σε κἀγώ, πῶς ὁ λῃστὴς ἐσώθη; "πάντα τὸν βίον αὐτοῦ ἐν φόνοις, ἐν σφαγαῖς, ἐν αἵμασιν" ἐτέλεσε, τοίχους διώρυξεν, οὐσίας διήρπασεν, οὐ μετέγνω, οὐ μετενόησεν ἐν τῇ γῇ ὤν. παρὰ ἀνθρώποις κατεδικάσθη, καὶ παρὰ Θεοῦ ἐστεφανώθη. ζωῆς οὐκ ἦν κύριος, καὶ βασιλείας ἐγένετο κύριος. τὰ ἐνταῦθα ἀπώλεσε, καὶ τὰ ἐκεῖ ἔλαβε. πῶς ἔλαβεν, εἰπέ μοι; ἑνὶ ῥήματι. τί γὰρ εἶπε; Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου. καὶ τὸ ῥῆμα ἴσχυσεν; οὐ τὸ ῥῆμα ἴσχυσε μόνον, ἀλλὰ καὶ ἡ τοῦ Θεοῦ φιλανθρωπία κερασθεῖσα τῇ μετανοίᾳ τὸν λῃστὴν ἐποίησε παραδείσου πολίτην. πῶς; οὐκ οἶδα πῶς. μή με ἀπαίτει τὸν τρόπον.

* πρότερον ἄσημον, καὶ μετὰ ταῦτα ἐπίσημον·

γρ. πόση

γρ. ἰᾶται

γρ. ἀπαλλαγῆναι.

γρ. τοῦ καιροῦ ἡ στενοχωρία, ἀλλὰ τοῦ Θεοῦ ἡ φιλανθρωπία πολλή.

γρ. ὅλον

γρ. ἐτέλεσε,

Λουκ. κγ. μβ.

πον. σωθῆναι ζητῶ μόνον, οὐ περιεργάζομαι τὸν τρόπον τῆς ὑγείας. ἀπάλλαξόν με, παρακαλεῖς τὸν ἰατρὸν, τῆς ἀῤῥωστίας, καὶ οὐ τολμᾷς εἰπεῖν, πῶς· Θεός ἐστιν ὁ σώζων σε, καὶ τολμᾷς εἰπεῖν, πῶς; πόσοι μοιχοὶ, μαλακοὶ, ἀρσενοκοῖται, πόσοι ἐπὶ τυραννίδι ἁλισκόμενοι δεσμωτήριον οἰκοῦσι; μυρίαι κατηγορίαι, πικροὶ οἱ ἐχθροὶ, δυναστεία μεγάλη. νεύει ὁ βασιλεὺς μόνον, καὶ ἀφίενται.* βασιλεὺς, ὁ σύνδουλός μου (τί γὰρ εἰ πορφυρίδα περιβέβληται; οὐδὲν πλέον ἔχει τῆς οὐσίας μου, τὸ αὐτό μοι φυλόν ἐστι) νεύει, καὶ ἀφίενται· καὶ μικρὰ" γραμματεῖα, καὶ ἀπολύεται ὁ κατάδικος. οὐκ ἄρχων ἀντιλέγει, οὐ δεσμοφύλαξ ἀντιπίπτει, οὐ νόμων αὐθεντίαι ἀντίκεινται· ἀλλὰ τὸ ἀξίωμα τοῦ βασιλέως γίνεται ἀπαλλαγὴ" τοῦ κατεχομένου. καὶ ὁ Θεὸς, ὁ τῶν ἀγγέλων καὶ ἀρχαγγέλων δεσπότης, ἐὰν νεύσῃ μόνον, σῶσαι οὐ δύναται; καὶ βασιλεὺς μὲν" ἂν ἀφῇ, κολάσεως ἀφίησιν, οὐχ ἁμαρτίας· ὁ δὲ δεσπότης μου ἁμαρτίας ἀφίησι. λέγει, οὐ θέλω τὸν μοιχὸν εἶναι μοιχὸν, καὶ ὁ λόγος αὐτοῦ ἔργον ἐγένετο. λέγει, ὁ πόρνος μὴ ἔστω πόρνος, καὶ ὁ λόγος αὐτοῦ μετέβαλεν ἐκείνου τὸν τρόπον, καὶ ἤμβλυνε τὴν ἁμαρτίαν. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ἄκουε. εἶπε, θέλω γενέσθαι οὐρανὸν, καὶ ἐγένετο οὐρανός· θέλω γενέσθαι γῆν, καὶ ἐγένετο γῆ, καὶ μὴ οὖσα ἡ οὐσία ἐκείνη ὑπέστη· θέλω γενέσθαι ἀγγέλους, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐγένετο. οὐσίας νοερὰς καὶ σώματα μὴ ὑφεστηκότα ἐργάζεται ὁ λόγος αὐτοῦ, καὶ ἁμαρτήματα λῦσαι οὐ δύναται; τί γάρ ἐστιν ἁμαρτία πρὸς τὴν τοῦ δεσπότου φιλανθρωπίαν; ἀράχνη. ἄνεμος φυσᾷ, καὶ διασπᾶται ἀράχνη· Θεὸς βούλεται, καὶ οὐ παραλύεται ἁμαρτία; ταῦτα λέγω, οὐχ ἵνα ῥαθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα ὑμᾶς εἰς πίστιν ἀγάγω προσδοκίας μείζονος καὶ χρηστοτέρας ἐλπίδος. μηδέποτε ἀπογίνωσκε, ὦ ἄνθρωπε· ἐκείνου ἀπόγνωθι τοῦ ἀπογινώσκοντος" ἑαυτόν. ἐννόησον τοίνυν τὸν μέγαν προφήτην τοῦτον, τὸν Δαβὶδ λέγω, μετὰ τὴν τοῦ πνεύματος χάριν, μετὰ τὴν πρὸς Θεὸν παῤῥησίαν, μετὰ κατορθωμάτων πλῆθος, μετὰ τρόπαια τοσαῦτα, ἀνακηρύττοντα καὶ λέγοντα· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. ἐπὶ τὸ πέλαγος ἐμαυτὸν ἥπλωσα τῆς τοῦ δεσπότου φιλανθρωπίας. καὶ τί θέλεις, εἰπέ μοι; ἤκουσας τοῦ προφήτου λέγοντος· καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. τί πλέον ζητεῖς; οὐ ζητῶ τοῦτο μόνον, τὸ κάλλος μου ζητῶ, τὴν παῤῥησίαν μου ζητῶ. καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ὁρᾷς τί ζητεῖ. τί οὖν; οὐκ ἐξήλειπται; τί ἄλλο θέλεις;

3 Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἁμαρτίας μου, καὶ ἀπὸ τῆς ἀνομίας μου καθάρισόν με.

Τί γάρ; πλείονα ζητῶ," μείζονα λαμπηδόνος καθαρότητα. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἁμαρτίας μου. τί γὰρ ἐποίησεν, ἵνα γένηται; πρόσεχε μετ' ἀκριβείας τῷ λόγῳ· πρόσεχε, καὶ σύντεινον σαυτόν. ὁ ἔλεος τοῦ Θεοῦ ἄφατος, ἀνερμήνευτος, καταληφθῆναι μὴ δυνάμενος, ὑπερβαίνων νοῦν, νικῶν λογισμόν. ἀλλ' εἰ καὶ τοιοῦτός ἐστιν ὁ ἔλεος τοῦ Θεοῦ, ἵνα μὴ οἱ ἄνθρωποι ἀχάριστοι γένωνται ἐλεούμενοι, χρείαν ἔχει καὶ τῶν παρ' ἡμῶν. προσέχεις" ὃ λέγω. ὁ Θεὸς ἐλεεῖ, ἀλλ' οὐχ ἁπλῶς ἐλεεῖ, ἀλλὰ λέγει· δὸς καὶ σύ. τί ποτε; οἷόν τι λέγει. μυρία ἔχεις ἁμαρτημάτων φορτία, ἔχεις πλημμελήματα πολλά· θέλω αὐτὰ κουφίσαι. δὸς καὶ σὺ χεῖρα· οὐκ ἐπειδὴ ἐγώ σου χρείαν ἔχω, ἀλλ' ἐπειδὴ βούλομαι καί σέ τι συνεισενέγκασθαι εἰς τὴν σαυτοῦ σωτηρίαν. καὶ πῶς; ἐγὼ λέγω. οἷον ὁ λῃστὴς ἐσώθη, καὶ τοσαῦτα ἔλυσεν ἁμαρτήματα· ἀλλ' οὐκ ἐλέῳ μόνῳ, ἀλλὰ καὶ τῇ αὐτοῦ πίστει. τί γάρ φησι; Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. τί εἰσήνεγκεν ὁ Θεὸς εἰς τὴν σωτηρίαν τὴν ἐκείνου; λύσιν ἁμαρτημάτων. τί εἰσήνεγκεν ὁ λῃστὴς εἰς τὴν σωτηρίαν τὴν ἑαυτοῦ; πίστιν. ποταπήν; μεγάλην, ὑψηλὴν, τοῦ οὐρανοῦ ἀπολαυομένην. πῶς; ἐγὼ λέγω. Ἰουδαῖοι εἶδον νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, δαίμονας ἐλαυνομένους,

Γεν. α. ς.

Λουκ. κγ. μβ.

* οἱ κατεχόμενοι.

γ. γραμματεῖα

γ. τῶν κατεχομένων.

γ. καὶ

γ. ἑαυτοῦ.

γ. μείζονα λαμπηδόνα, μείζονα καθαρότητα.

γ. ὁ

ους, θάλατταν χαλινουμένην, γῆν πηγάζουσαν, ἰχθὺν φερόμενον, ἀστέρα φέροντα μάγους, τὴν ἄνω, τὴν κάτω κτίσιν δορυφοροῦσαν, καὶ μετὰ ταῦτα πάντα ἐσταύρωσαν αὐτὸν τὸν ἑαυτῶν καὶ πάντων δεσπότην. ὁ λῃστὴς οὐδὲν τούτων εἶδεν, ἀλλ' ἐμπτυόμενον, ὑβριζόμενον, λοιδορούμενον· καὶ οὐκ ἐσκανδαλίσθη, ἀλλὰ βασιλέα ὡμολόγησεν. ὁρᾷς ὅτι οὐχ ἁπλῶς ἠλεήθη, ἀλλὰ καὶ αὐτὸς εἰσήνεγκε; δεῖ γὰρ τὸν ἐλεούμενον καὶ αὐτόν τι εἰσφέρειν εἰς τὴν οἰκείαν σωτηρίαν. πάλιν ὁ τελώνης ἅρπαξ ὤν, πλεονέκτης ὤν, πῶς ἐσώθη; παρῄει ὁ Χριστὸς, καὶ λέγει αὐτῷ· Δεῦρο, ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. ὥσπερ οὖν ὁ λῃστὴς τὸ ῥῆμα εἰσήνεγκεν, οὕτω καὶ ὁ τελώνης τὴν ἀκολούθησιν αὐτῷ παρέσχεν. ὥσπερ γὰρ ἐπὶ τῶν καμνόντων καὶ νοσήμασιν ἀνιάτοις κατεχομένων, καὶ πολυτελῶν δεομένων φαρμάκων, ἐὰν εἰσέλθῃ ὁ ἰατρὸς, καὶ εἴπῃ πρὸς τὸν ἄρρωστον· πολλῶν χρεία ἐστὶν εἰδῶν πρὸς κατασκευὴν τοῦ φαρμάκου· λέγει ὁ νοσῶν, οὐκ ἔχω δοῦναι τοσοῦτον, πτωχείᾳ κατέχομαι· λέγει πρὸς αὐτὸν ὁ ἰατρὸς, τὸ καὶ τὸ δός μοι εἶδος, καὶ τὰ ἄλλα πάντα παρ' ἐμαυτοῦ παρέχω· οὕτω ποιεῖ καὶ ὁ Θεός. ἐξομολόγησίν μοι δὸς καὶ δάκρυα καὶ μετάνοιαν, καὶ τὰ ἄλλα ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας δωροῦμαί σοι. τοῦτο παρακαλεῖ καὶ Δαβὶδ, τοῦ ἀποπλῦναι ταῦτα. τί οὖν ἐποίησεν ὁ Δαβίδ; τί παρέσχεν ὁ Δαβίδ; ἐλέησόν με, καὶ ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. ἤδη γάρ, φησι, διὰ Νάθαν τοῦ προφήτου τὴν ἄφεσιν δέδωκας, καὶ συμφορὰς δὲ παντοδαπὰς, οἷον τινὰς καυτῆρας καὶ τομὰς, προσενήνοχάς μοι· ἀλλ' ἔτι δέομαι ῥυμμάτων, πολλὴν τῆς ἁμαρτίας εἰσδεξάμενος τὴν δυσοσμίαν. καὶ αὖθις με τοίνυν ἀπόνιψον, δέσποτα, ἵνα πάντα τῆς ἁμαρτίας ἀποξύσῃς τὸν ῥύπον. τί οὖν παρέσχεν ὁ Δαβίδ;

Matth. 9. 9.

4 Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω.

Συνάλλαγμά ἐστι. δίδωσιν ὁ Θεὸς, δίδωσιν ὁ σωζόμενος. ἔδωκεν ὁ Θεὸς ἔλεος, ἔδωκεν ὁ σωζόμενος ἐξομολόγησιν. τί δίδως, ὦ Δαβὶδ, ἵνα σωθῇς; ἵνα κεράσῃς τὸ φάρμακον; ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. τοῦτο δίδως; καὶ ἔστιν ἄνθρωπος ὁ μὴ γινώσκων τὴν ἁμαρτίαν αὐτοῦ; ναί. πόσοι εἰσὶν ἁμαρτάνοντες, καὶ παρρησιαζόμενοι; πόσοι ἁρπάζουσι, καὶ οὐδὲ οἴδασιν ὅτι ἁρπάζουσι; πόσοι πλεονεκτοῦσι, καὶ οὐδὲ αἰσθάνονται; πόσοι γυμνοῦσι χήρας, καὶ ἄλλας περιεργάζονται; πόσοι θλίβουσιν ὀρφανοὺς, καὶ οὐδὲ πενθοῦσιν, οὐδὲ δακρύουσιν, οὐδὲ ἐξομολογοῦνται; πῶς οὖν δύνανται σωθῆναι, μηδὲ εἰδότες ὅτι ἁμαρτάνουσιν; εἶδες τὸν προφήτην βοῶντα καὶ λέγοντα, ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. οὐδὲ γὰρ μετὰ τὴν ἀπὸ σοῦ γενομένην ἄφεσιν λήθην ἐδεξάμην τῆς ἁμαρτίας, ἀλλὰ διηνεκῶς ὁρῶ τῶν ἐμῶν κακῶν τὰς εἰκόνας καὶ τὰς τολμηθείσας παρανομίας, καὶ νύκτωρ ὀνειροπολῶ, καὶ μεθ' ἡμέραν φαντάζομαι.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὢ εὐγένεια ψυχῆς. οὐ παρέδωκε τῇ λήθῃ τὴν μνήμην τῆς ἁμαρτίας, ἀλλὰ καὶ συγχωρηθεῖσαν αὐτὴν ἔγραψε. καθάπερ ἐν εἰκόνι, τῷ συνειδότι καθ' ἑκάστην ἡμέραν ἔβλεπε τὴν μοιχευθεῖσαν, καθ' ἑκάστην ἡμέραν ἔβλεπε τὴν σπηεδόνα. καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. ἐγὼ αὐτὴν βλέπω, σὺ αὐτὴν μὴ ἴδῃς· ἐγὼ γράφω, σὺ αὐτὴν ἐξάλειψον. βλέπε γὰρ τί γίνεται. ἐὰν σὺ αὐτῆς μνημονεύσῃς, ὁ Θεὸς αὐτῆς οὐ μνημονεύσει· ἐὰν σὺ αὐτῆς ἐπιλάθῃ, ὁ Θεὸς αὐτῆς μνημονεύσει. Ἐγὼ γάρ εἰμι, αὐτός φησι διὰ τοῦ προφήτου, ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ· ἔτι σὺ δὲ μνήσθητι. διὰ τί ἐγὼ μνησθῶ; ἵνα εὐγνώμων γένῃ, ἵνα ἐπίστασαι τί σοι συνεχώρησα. ἐὰν γὰρ ἀεὶ μεμνημένος ᾖς τοῦ ὄγκου τῆς ἁμαρτίας, ἀεὶ καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας μεμνημένος ἔσῃ. Συνεχώρησά σοι, φησιν, ἀλλὰ μὴ ἐπιλάθῃ τῆς χάριτος, καὶ οὐ μὴ μνησθῶ τῆς ἁμαρτίας,

Ησ. μγ. κε. κϛ.

ἁμαρτίας, σὺ δὲ μνήσθητι. τοιοῦτοι ἦσαν οἱ ἅγιοι· τῶν κατορθωμάτων ἐπελανθάνοιντο, καὶ
τῶν ἁμαρτημάτων ἐμέμνηντο. οὐχ ὡς οἱ νῦν ἄνθρωποι τῶν ἁμαρτημάτων ἐπιλανθάνονται.
ἐὰν δέ τι πράξωσι χρηστὸν, εἰς μέσον φέρουσιν αὐτό. ἐποίησας ἀγαθόν; λάθε, ἵνα
ὁ δεσπότης σου αὐτὸ εἴπῃ. ἐποίησας κακόν; μνήσθητι, ἵνα ὁ δεσπότης σου αὐτὸ ἐπιλάθηται.
παραχώρησον τῷ δεσπότῃ σου. μὴ γὰρ οὕτω λέγεις σὺ τὰ κατορθώματα, ὡς λέγει
αὐτὰ ὁ δεσπότης σου; σὺ ἐὰν εἴπῃς, ἐλαττοῖς αὐτά· ὁ δεσπότης σου ἐὰν εἴπῃ, αὔξει
αὐτά. πῶς; ἐγὼ λέγω. δίδως πτωχῷ. καὶ ἐὰν εἴπῃς ἐκεῖ ἐρωτώμενος, πῶς λέγεις;
εἶδον πτωχὸν πεινῶντα, καὶ ἔθρεψα αὐτόν. αὐτὸς πῶς λέγει; οὐ λέγει αὐτὰ οὕτως· ἀλλὰ
Ματθ. κε. λε. πῶς; Πεινῶντά με εἴδετε καὶ ἐθρέψατε. ἄφες ἐκείνῳ τῷ δυναμένῳ εἰπεῖν μεγάλως·
ἄφες εἰπεῖν αὐτὰ τῷ λέγοντι καὶ ἐξογκοῦντι. τὰ δὲ ἁμαρτήματά σου σὺ λέγε, ἵνα
ἐξαλείψῃς αὐτά. ἀλλ' αἰσχύνῃ εἰπεῖν, διότι ἥμαρτες. λέγε αὐτὰ καθ' ἡμέραν ἐν τῇ εὐχῇ σου. χ. λαπὶ
καὶ τί; μὴ γὰρ λέγω, εἰπὲ τῷ συνδούλῳ τῷ ὀνειδίζοντί σε; εἰπὲ τῷ Θεῷ τῷ θεραπεύοντι
αὐτά. οὐ γὰρ, ἐὰν μὴ εἴπῃς, ἀγνοεῖ αὐτὰ ὁ Θεός. μὴ γὰρ παρὰ σοῦ βούλεται αὐτὰ
μαθεῖν; ὅτε ἔπραττες αὐτὰ, παρῆν· ὅτε εἰργάζου αὐτὰ, παρίστατο, ἠπίστατο. εἰργάζου,
καὶ οὐκ ᾐσχύνου; τὰ πράγματα τὰ καταισχύνοντά σε οὐκ ᾐσχύνθης, καὶ τὰ ῥήματα τὰ
δικαιοῦντά σε αἰσχύνῃ; εἰπὲ ὧδε, ἵνα μὴ ἐκεῖ εἴπῃς. εἰπὲ, καὶ δάκρυσον. ἐν βιβλίῳ
γέγραπται τὰ ἁμαρτήματά σου· σπόγγος ἐστὶ τὰ δάκρυά σου. δάκρυσον, καὶ ἐξαλείφονται·
δάκρυσον, καὶ εὑρίσκεται καθαρὸν ἐκεῖ τὸ βιβλίον. μέγας σπόγγος τὰ δάκρυα τῶν ἁμαρτιῶν·
μεγάλη ἡ δύναμις τῶν δακρύων. εἴπω σοι, πόσον ἰσχύει τὰ δάκρυα; τί δοκεῖ σοι
εἶναι μέγα κατόρθωμα; ἀλλὰ πρόσεχε μετ' ἀκριβείας, ὃ λέγω. τί δοκεῖ σοι μέγα χ. τῷ λυπ
Ἰω. ιε. ιγ. εἶναι τὸ κατόρθωμα; τὸ μαρτύριον ἐρεῖς· Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα
τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. μέγιστον κατόρθωμα τοῦ μαρτυρίου, ὅτι
αἷμα ἐκχέουσιν οἱ μάρτυρες. φανερὰ γὰρ τὰ πράγματα τῶν μαρτύρων. οἱ μάρτυρες
ἐκχέουσιν αἷμα, οἱ ἁμαρτωλοὶ ἐκχέουσι δάκρυα. καὶ ἵνα μάθῃς, ὅσην δύναμιν ἔχει τὰ
Λουκ. ζ. λζ. δάκρυα, ἡ πόρνη μὴ αἷμα ἐξέχεεν; οὐ πηγὴν δακρύων ἐξέχεε, καὶ ἐξήλειψε τὰ ἁμαρτήματα;
καὶ τί λέγω πόρνην, ἀκάθαρτον γυναῖκα; ὁ στῦλος τῆς ἐκκλησίας, ἡ κρηπὶς τῆς
πίστεως, ἡ κεφαλὴ τοῦ χοροῦ τῶν ἀποστόλων ὁ Πέτρος, οὐκ ἠρνήσατο τὸν Χριστὸν καὶ ἅπαξ
καὶ δὶς καὶ τρίς; μὴ αἷμα ἐξέχεεν; οὐ πηγὰς δακρύων ἐξέχεε, καὶ ἔκλαυσε, καὶ ἀπεσμήξατο
αὐτοῦ τὸ ἁμάρτημα; καὶ τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. οὐκ ἔχεις βιβλίον ἐν τῇ οἰκίᾳ, καὶ
γράφεις τῶν λόγων τῶν καθημερινῶν; ἔχε βιβλίον ἐν τῷ συνειδότι, καὶ γράφε τὰ ἁμαρτήματα
τὰ καθημερινά. οἷόν τι λέγω· ὅταν ἀναπέσῃς εἰς τὴν κλίνην σου, καὶ μηδείς
σοι διενοχλῇ, πρὸ τοῦ ἐπελθεῖν τὸν ὕπνον ἄγαγε τὸ βιβλίον ἐν τῷ μέσῳ, καὶ ἀναλόγισαί
σου τὰ ἁμαρτήματα, λέγων ἐν ἑαυτῷ· ἆρα μὴ ἥμαρτον σήμερον; μὴ ἐν λόγῳ, ἢ ἐν ἔργῳ;
Ψαλ. δ. ε. τοῦτο παραινεῖ καὶ ὁ προφήτης· Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ἃ λέγετε ἐν ταῖς καρδίαις
ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. ἐν ἡμέρᾳ οὐκ ἄγεις σχολήν· ἀλλὰ χ. κωφοί
καὶ ἀρχόντων φόβος, καὶ ἑταίρων ὁμιλία, καὶ πραγμάτων φροντὶς, καὶ παιδοτροφίας πρόνοια,
καὶ γυναικὸς ἐπιμέλεια, καὶ φροντὶς τραπέζης, καὶ μυρία σε περιέλκει πράγματα.
ὅταν δὲ ἐπὶ τὴν εὐνὴν ἔλθῃς, ἐπὶ τὸν λιμένα τὸν ἀκύμαντον, καὶ μηδείς σοι διενοχλῇ,
εἰπὲ τῇ καρδίᾳ τῇ σῇ καὶ τῇ ψυχῇ· ἀνηλώσαμεν τὴν ἡμέραν σήμερον, ὦ ψυχή. τί ἀγαθὸν εἰργασάμεθα;
ἢ τί πονηρὸν ἐπράξαμεν; καὶ μνήσθητι τῆς γεέννης, ἵνα τῷ φόβῳ προσπαθῇς
τῷ ἀγαθῷ, καὶ τὸ πονηρὸν ἀνέλῃς. ἐὰν ἧς ἐν τῇ κλίνῃ καὶ ἀναμνησθῇς σου τὰ ἁμαρτήματα,
δάκρυσον, καὶ δύνασαι ἐν τῇ κλίνῃ ἐξαλεῖψαι αὐτά. παρακάλεσον τὸν Θεόν σου, καὶ οὕτω
παράπεμψον τὴν ψυχήν σου τῷ ὕπνῳ, μαρτυράμενος τὰ ἁμαρτήματα. ποίησον αὐτῷ

λόγον, καὶ ὁ Θεός σου ποιήσει σοι λόγον. τί βαρὺ, εἰπέ μοι, ἐπικείμενον ἐν τῇ κλίνῃ τὰ καθημερινὰ ἁμαρτήματα ἀναλογίζεσθαι; καὶ ὅταν ἀναλογίσῃ, κρέμασόν σου τὸν λογισμὸν· ξέσον αὐτὸν, δῆσον αὐτὸν τῷ φόβῳ τῆς γεέννης, ἐπάγαγε αὐτῷ τιμωρίαν οὐκ ἔχουσαν ὀδύνην, δικαστήριον ποίησον σεαυτῷ φοβερὸν, κουφότερον ποίησον τὸν λογισμὸν, ἵνα καὶ τῇ ἑξῆς ἡμέρᾳ ὀκνηρότερος γένῃ περὶ τὸ περιπίπτειν τοῖς ἁμαρτήμασι.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω· καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

5 Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.

Τί ἐστιν, ὃ λέγεις; βασιλεὺς ἤμην, σὲ ἐφοβούμην μόνον. βασιλεὺς ἤμην, οὐκ ἐφοβούμην τὸν ἠδικημένον. στρατιώτης μου ἦν, κολάσαι με οὐκ ἐδύνατο· ἀλλὰ φροντίζω διὰ σὲ, μή σύ με ἀπαιτήσῃς εὐθύνας. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. πολλῶν, φησι, καὶ μεγάλων παρὰ σοῦ δωρεῶν ἀπολαύσας, τοῖς ἐναντίοις ἠμειψάμην τὰ δῶρα, τὰ ἀπειρημένα τοῦ νόμου δρᾶσαι τολμήσας. οὐ γὰρ τοῦτό φησιν, ὅτι τὸν Οὐρίαν οὐκ ἠδίκησα (ἠδίκησε μὲν γὰρ κἀκεῖνον καὶ τὴν ἐκείνου γυναῖκα) ἡ δὲ μεγίστη παρανομία εἰς αὐτὸν τετόλμηται τὸν Θεὸν, τὸν ἐκλεξάμενον καὶ βασιλέα πεποιηκότα. καλῶς δὲ προστέθεικε, τὸ, πονηρὸν ἐνώπιόν σου ἐποίησα. τούτου γὰρ καὶ ἡ ἱστορία μέμνηται· Ὤφθη γὰρ, φησι, τὸ γεγονὸς πονηρὸν ἐνώπιον τοῦ Κυρίου. ἐκ μέντοι τοῦ δορυαλώτου λαοῦ τοῦτο λεγόμενον οὕτω νοητέον. σοὶ μόνῳ ἥμαρτον· περὶ τὰς σὰς, φησι, δωρεὰς ἐγενόμην ἀχάριστος, καὶ τοὺς τεθέντας σοι παραβέβηκα νόμους, καὶ πολλῶν ἀγαθῶν ἀπολαύσας ἀγνώμων περὶ ταῦτα γεγένημαι· τοὺς δὲ Βαβυλωνίους οὐδὲν ἀδικήσας, μεγάλα παρ' ἐκείνων ἠδίκημαι. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἑαυτῷ, φησι, προξένος ἐγενόμην κακῶν· τὸ δὲ σὸν δίκαιον διαλάμπει καὶ οὕτω. κρίσεως γὰρ γενομένης, καὶ τῶν εἰς ἐμὲ παρὰ σοῦ γενομένων φερομένων εἰς μέσον, καὶ τῶν παρ' ἐμοῦ τετολμημένων παρεξεταζομένων ἐκείνοις, σὺ μὲν ἀποφανθήσῃ δίκαιος καὶ φιλάνθρωπος· ἐγὼ δὲ παράνομος ὀφθήσομαι καὶ ἀχάριστος. τὸ τοίνυν, ὅπως, οὐκ ἔστιν ἐνταῦθα αἰτίας δηλωτικόν. οὐ γὰρ διὰ τοῦτο ἥμαρτεν ἢ αὐτὸς ὁ Δαβὶδ, ἢ ὁ λαὸς, ἵνα ὁ Θεὸς δικαιωθῇ· ἀλλὰ τοὐναντίον καὶ τῆς ἁμαρτίας ὑπὸ τούτων γενομένης τοῦ Θεοῦ τὸ δίκαιον ἀναδείκνυται. πάντα γὰρ καὶ τούτου, κἀκείνων πεποίηται προνοίαν. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. τί ἐστιν, ὃ λέγει; ἥμαρτόν σοι· ἐὰν γένηται δικαστήριον, νικᾷς· ἐὰν δέ τις δικάζῃ, νικᾷς. πῶς; ἐπειδὴ ἑώρα τὸν Θεὸν ἀεὶ βουλόμενον κρίνεσθαι μετὰ ἀνθρώπων. Ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς· ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ. καὶ πάλιν, Λαός μου, τί ἐποίησά σοι; ἢ τί παρηνώχλησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι. καὶ ἀλλαχοῦ· Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησεν. υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. καὶ πολλαχοῦ ἑώρα τὸν Θεὸν δικαζόμενον μετὰ ἀνθρώπων. λέγει αὐτῷ, παρὰ σοὶ τὰ νικητήρια· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἄνθρωπόν με ὄντα γεωργὸν, βασιλέα ἐποίησας· βασιλέα γενόμενον, προφήτην κατέστησας. τὸν Γολιὰθ κατέβαλον οὐ φύσει σώματος, ἀλλὰ δυνάμει πίστεως. πορφυρίδα περιεβαλόμην· ἄλλον ἐξέβαλες, καὶ ἐμὲ εἰσήγαγες. πλοῦτόν μοι ἔδωκας τοσοῦτον· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἐὰν εἴπῃς σὺ τὰ ἁμαρτήματά μου, καὶ μὴ ἐγὼ εἴπω, καταδικάζομαι. διὰ τοῦτο ἐλέους χρείαν ἔχω.

β. Βασ. ιβ.

Μιχ. ϛ. β.

Ησ. α. β.

6 Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἄνωθέν, φησι, καὶ ἐξ ἀρχῆς τῆς φύσεως ἡ ἁμαρτία κεκράτηκε. προὔλαβε γὰρ τῆς Εὔας τὴν σύλληψιν τῆς ἐντολῆς ἡ παράβασις. μετὰ γὰρ τὴν παράβασιν καὶ τὴν τοῦ πα-

παραδείσου στέρησιν ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα τέτοκε τὸν Κάϊν. τοῦτο τοίνυν εἰπεῖν βούλεται· ὅτι τῶν ἡμετέρων προγόνων κρατήσασα ἡ ἁμαρτία ὁδὸν [illegible] καὶ πλεῖον διὰ τοῦ γένους εἰργάσατο. διδασκόμεθα δὲ διὰ τούτων ἁπάντων, οὐχ ὅτι φυσικὴ τῆς ἁμαρτίας ἡ ἐνέργεια (ἦ γὰρ ἂν ἦμεν ἐλεύθεροι τιμωρίας) ἀλλ' ὅτι ῥέπει ἡ φύσις ἐπὶ τὸ πταίειν ὑπὸ τῶν παθημάτων ἐνοχλουμένη· νικᾷ δὲ ὅμως ἡ γνώμη πόνοις συνεργοῖς κεχρημένη. οὐ τοίνυν, ὡς τινες ἀνοήτως ὑπέλαβον, τοῦ γάμου κατηγορεῖ, οὔπω νενοηκότες τὸ, ἐν ἀνομίαις συνελήφθην· ἀλλὰ τὴν ἄνωθεν ἀπὸ τῶν προγόνων τολμηθεῖσαν παρανομίαν εἰς μέσον προφέρει, κἀκείνην λέγει γεγενῆσθαι τῶν ῥευμάτων τούτων πηγήν. εἰ γὰρ ἐκεῖνοι, φησι, μὴ ἥμαρτον, οὐκ ἂν ἐδέξαντο τοῦ θανάτου τὸ ἐπιτίμιον· θνητοὶ δὲ μὴ ὄντες, κρείττους ἂν ἦσαν φθορᾶς· τῇ δὲ ἀφθαρσίᾳ πάντως ἂν καὶ ἀπάθεια συνῆν· ἀπαθείας δὲ πολιτευομένης, χώραν οὐκ ἂν εἶχεν ἡ ἁμαρτία. ἐπειδὴ δὲ ἐξήμαρτον, φθορᾷ παρεδόθησαν· φθαρτοὶ γενόμενοι, τοιούτους καὶ γεγεννήκασι παῖδας· τοῖς δὲ τοιούτοις ἐπιθυμίαι καὶ φόβοι καὶ ἡδοναὶ συμπαρέπονται. πρὸς ταῦτα καὶ λογισμὸς ἀγωνίζεται, καὶ νενικηκὼς μὲν ἀνακηρύττεται, ἡττηθεὶς δὲ αἰσχύνας ὀφλισκάνει. ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ Ἐκίσσησεν, ἐκύησε τέθεικεν.

7 Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας.

Οὕτω δέ, φησι, κρίνεις, καὶ τοὺς μὲν κολάζεις, τοὺς δὲ στεφανοῖς, ἐπειδὴ τὴν ἀλήθειαν στέργεις. τὴν δὲ ἀλήθειαν στέργων, καὶ τῆς φύσεως εἰδὼς τὴν ἀσθένειαν, μεταδίδως συγγνώμης τοῖς αἰτοῦσι τὰ φάρμακα. Καὶ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ἀφεὶς εἰπεῖν τὴν βασιλείαν, λέγει τὴν προφητείαν. οὕτω με ἐτίμησας, τὸν υἱόν σου ἀπεκάλυψάς μοι καὶ γνώριμον ἐποίησας, ἔμαθον ὅτι υἱὸν ἔχεις, ὅτι σύνθρονον ἔχεις, ἔμαθον ὅτι μέλλει γίνεσθαι ἄνθρωπος. εὐηγγελισάμην τὰ εὐαγγέλια τῇ οἰκουμένῃ, τὸν σταυρὸν, τὸν τάφον, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν· εἶπον αὐτοῦ τὴν κατάβασιν, εἶπον αὐτοῦ τὴν ἀνάβασιν, εἶπον αὐτοῦ τὴν ἐκ δεξιῶν καθέδραν, εἶπον τῆς ἐκκλησίας τὴν κλῆσιν, εἶπον τῶν ἐθνῶν τὴν σωτηρίαν, εἶπον τῶν Ἰουδαίων τὴν ἐκβολὴν, εἶπον τῶν ἀποστόλων τὴν ἐκλογήν. ἰδοὺ γὰρ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. οὕτω με ἐτίμησας, οὕτω με ἐφίλησας, ὅτι καὶ τὸ μέγιστον μυστήριον, τὸν υἱόν σου ἀπεκάλυψάς μοι. καὶ ποῦ ταῦτα ἐδήλωσεν; ἄκουσον αὐτοῦ τοῦ προφήτου, πῶς λέγει αὐτοῦ τὴν ἐξ οὐρανοῦ κατάβασιν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. (ψαλμ. οα.) τί ἐστι τοῦτο; ἐπειδὴ παραγενόμενος ὁ υἱὸς τοῦ Θεοῦ, οὐκ ἦλθε σείων τὴν οἰκουμένην, οὐδὲ ἀστραπὰς ἀφεὶς, οὐδὲ κεραυνοὺς πέμπων, οὐδὲ γυμνῇ τῇ θεότητι. πάντα γὰρ ἂν ἀπώλετο, εἰ ἦλθε γυμνῇ τῇ θεότητι. οὐκ ἂν τὰ ὄρη ἠνείχοντο· ἐπειδὴ ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ ποιεῖ αὐτὴν τρέμειν, διότι ἅπτεται τῶν ὀρέων, καὶ καπνίζονται. (ψαλ. ργ. λβ.) εἰ γυμνὴν τὴν οὐσίαν ἔδειξεν, ὁ ἥλιος ἂν ἐσβέσθη, ἡ σελήνη ἂν ἠφανίσθη, θάλαττα ἂν ἐξηράνθη, γῆ ἂν ἀπώλετο, ἡ φύσις ἡμῶν διελύθη. διὰ τοῦτο σάρκα περιεβάλετο, ἠρέμα καὶ ἀψοφητὶ ἐρχόμενος, οὐδενὸς ἐπισταμένου, οὐδὲ αὐτοῦ τοῦ διαβόλου· ἀλλ' ἦλθεν ἠρέμα, καὶ ᾤκησεν εἰς μήτραν παρθενικήν. (γρ. εἰσῆλθεν) (γρ. οὐκ ἐτίκε) ὢ καινῶν καὶ παραδόξων πραγμάτων. λίθος τίκεται, καὶ μήτρα οὐ τήκεται· τὰ ὄρη διαφθείρεται, καὶ ἡ μήτρα Θεὸν βαστάζει. πῶς ἑρμηνεύσω; πῶς παραστήσω; ὢ ἀπόνοια τῶν αἱρετικῶν. πῶς ἡ δούλη τὸν δεσπότην ἐβάστασεν; ὁ ἐξετάζων τὰ ἄνω, εἰπὲ τὰ κάτω. ὁ πανταχοῦ παρὼν πῶς ἐν τῇ μήτρᾳ ἦν, καὶ οὐ συνεκλείετο; καὶ γὰρ καὶ ἐν τῇ μήτρᾳ ἦν, καὶ ἐν τῷ θρόνῳ ἐκαθέζετο. τὸ δὲ πῶς, οὐκ οἶδα· πίστει δεχόμεθα, οὐ περιεργαζόμεθα λογισμῷ, ἀλλ' ὅτι ἀψοφητὶ μέλλει παραγίνεσθαι, οὐ ταράττων οὐδὲ θορυβῶν, καταβήσεται, ὡς ὑετὸς ἐπὶ πόκον. οὐκ εἶπεν ἐπὶ τὴν γῆν, ἀλλ' ἐπὶ

πόκον. ἐπὶ γὰρ τὴν γῆν καταβαίνων ὁ ὑετὸς ψόφον ποιεῖ· ἐπὶ δὲ ἔριον καὶ πόκον καταβαίνων
ψόφον οὐ ποιεῖ. τὸ γὰρ ἁπαλὸν τοῦ ἐρίου ἐκλύει τὸ ῥαγδαῖον τῆς καταβολῆς τοῦ ὑετοῦ.
καὶ ἵνα μάθῃς ὅτι ἀψοφητὶ ἦλθεν, οὐ ταράττων, οὐ θορυβῶν, οὐκ ἀπολλύων, οὐ λυμαινόμενος,
καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. Εἶπες αὐτοῦ τὴν κατάβασιν [τὴν] ἀψοφητὶ
γενομένην· λέγε αὐτοῦ καὶ τὴν προδοσίαν. Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν Ψαλ. μ. ι.
ἐπ' ἐμὲ πτερνισμόν. λέγε τὸν Ἰουδαίων τὸν φθόνον· Ἐμίσησάν με δωρεάν. λέγε αὐτοῦ Ψαλ. λδ. κβ.
καὶ τὸ δικαστήριον· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασι- Ψαλ. β. α.
λεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ
αὐτοῦ. λέγε αὐτοῦ καὶ τὸν σταυρόν· Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν Ψαλ. κα. ιη.
πάντα τὰ ὀστᾶ μου. λέγε αὐτοῦ καὶ τὴν βρῶσιν καὶ τὴν πόσιν· Ἔδωκαν εἰς τὸ βρῶμά μου Ψαλ. ξη. κς.
χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. λέγε καὶ τὴν ἐκβολὴν τῶν Ἰουδαίων·
Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. λέγε καὶ τὴν Ψαλ. μθ. θ.
κλῆσιν τῶν ἐθνῶν· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ Ψαλ. μς. α.
ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. λέγε
αὐτοῦ καὶ τὰς παρὰ Ἰουδαίων λοιδορίας· Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν, σωσάτω Ψαλ. κα. θ.
αὐτόν, ὅτι θέλει αὐτόν. λέγε αὐτοῦ καὶ τὸν τάφον· Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ. λέγε Ψαλ. πζ. ς.
αὐτοῦ καὶ τὴν ἀνάστασιν· Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς "ᾅδην, οὐδὲ Ψαλ. ιε. ι.
δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. λέγε αὐτοῦ καὶ τὴν ἀνάβασιν· Ἀνέβη ὁ Θεὸς ἐν ἀλα- Ψαλ. μς. ε.
λαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. λέγε αὐτοῦ καὶ τὴν καθέδραν· Εἶπεν ὁ Κύριος Ψαλ. ρθ. α.
τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
λέγε αὐτοῦ καὶ τὴν δόξαν τῆς ἐκκλησίας· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱμα- Ψαλ. μδ. ια.
τισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. λέγε καὶ τὸν χορὸν τῶν παρθένων· Ἀπε- Ψαλ. μδ. ιε.
νεχθήσονται παρθένοι ὀπίσω αὐτῆς*· λέγε καὶ τῶν ἀποστόλων τὴν ἐκλογήν· Ἀντὶ τῶν Ψαλ. μδ. ιη.
πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου. λέγε καὶ τὸ βάπτισμα· Ἐπὶ ὕδατος ἀναπαύσεως Ψαλ. κβ. β.
"ἐξέθρεψέ με. λέγε καὶ τὰ μυστήρια· Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναν- Ψαλ. κβ. ε.
τίας τῶν θλιβόντων με. λέγε καὶ τὸ "χρίσμα· Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ Ψαλ. κβ. ζ.
τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. λέγε καὶ τὴν αἴτησιν τῶν ἐθνῶν· Αἴτησαι παρ' Ψαλ. β. η.
ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.
ἰδοὺ γὰρ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἐγὼ μέντοι συγγνώμης
οὐδεμιᾶς ἐμαυτὸν ἄξιον νομίζω, μετὰ τοσαύτας δωρεὰς γενόμενος ἀχάριστος. οὐ
γὰρ μόνον τοῖς βασιλικοῖς ἐνίδρυσας θρόνοις, ἀλλὰ καὶ τὰ μετὰ μακρὸν ἐσόμενα προδεδήλωκας
χρόνον, καὶ τὰ τοῖς ἄλλοις ἄδηλα, ἐμοὶ δῆλα πεποίηκας· ὡς καὶ τοὺς ἄλλους
διδάξαι τὴν τοῦ μονογενοῦς σου υἱοῦ ἐνανθρώπησιν καὶ τὸ σωτήριον πάθος καὶ τὴν ἀνάστασιν.
ταῦτα πάντα παρὰ τοῦ ἁγίου σου προδιδαχθεὶς πνεύματος, ἱκετεύω μεταλαχεῖν
ἐκείνης τῆς χάριτος, ἣν προθεσπίζω τοῖς ἄλλοις. διὸ βοῶ,

8 Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Μόνη γὰρ ἡ τοῦ βαπτίσματος δωρεὰ ταύτην ἐργάσασθαι τὴν κάθαρσιν δύναται. διό φησιν, ὅτι τῆς δοθησομένης ἅπασιν ἀνθρώποις προσδέομαι χάριτος. ἐκείνη γὰρ ἀκριβῶς ἀπορρύψαι με δύναται μόνη, καὶ τῆς χιόνος μοι τὴν λευκότητα δοῦναι. ὅτι δὲ τὸ ὕσσωπον οὐδεμίαν ἄφεσιν ἁμαρτημάτων εἰργάζετο, ῥᾴδιον ἐκ τῶν Μωσαϊκῶν συγγραμμάτων "καταμαθεῖν. ἑτέρων τοίνυν ἐστὶ πραγμάτων τὸ ὕσσωπον αἴνιγμα. ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ "τῷ αἵματι τοῦ προβάτου τὰς φλιὰς ἐπιρραίνοντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφυγον. τύπος δὲ ἐκεῖνα τῶν σωτηρίων παθημάτων. αἵ- Ἐξοδ. ιβ. κβ.

ᾅδην,

* καὶ αἱ πλησίον
αὐτῆς ἀπενεχ-
θήσονταί
σοι.
ἐξέθρεψας
χρίσματα.

μα-
θεῖν.
τὸ αἷμα

μα γὰρ κἀνταῦθα, καὶ ξύλον σωτήριον, καὶ σωτηρία τοῖς μετὰ πίστεως προσιοῦσι χορηγουμένη. 9 Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ταύτης, φησί, τῆς εὐφροσύνης τὰ ὦτα ἔμπλησον, τὴν τελείαν κάθαρσιν ὑπισχνούμενος, ἵνα εἰς ἅπαντα ἡ θυμηδία διαδράμῃ τὰ τοῦ σώματος μόρια, καὶ τὰ νῦν τεταπεινωμένα ὀστᾶ τῇ κακουχίᾳ, ἀνθήσῃ πάλιν καὶ ἀπολάβῃ τὴν οἰκείαν ἰσχύν. μηδὲ ἴδῃς, φησί, τὰς ὑπ' ἐμοῦ τετολμημένας ἀνομίας, ἀλλ' ἐμὲ τὸν ταύταις ὀλοφυρόμενον, καὶ τὴν ἀνομίαν μου ἐξάλειψον. Τί θέλεις, ὦ προφῆτα; ἐλύθη σου τὸ ἁμάρτημα, ἠφανίσθη σου ἡ τιμωρία. οὐκ ἀρκοῦμαι τούτοις· φιλάνθρωπον ἔχω δεσπότην, πλείονα διδόντα ὧν αἰτῶ. καὶ τί θέλεις; προφήτης ἤμην· θέλω προφήτης εἶναι πάλιν. τὴν παρρησίαν ἐκείνην ζητῶ, τὴν δωρεὰν τοῦ πνεύματος, τὴν χάριν τὴν μεγάλην. ἀπέστη ἀπ' ἐμοῦ ἡ χάρις, καθάπερ περιστερὰ βόρβορον βλέπουσα· καθάπερ μέλιτται, βούλομαι αὐτὴν ἐπανελθεῖν.

10 Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου· καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Εἰπὲ τί θέλεις ″ φανερῶς. χ. καθαρῶς.

11 Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός. Ἐπειδὴ τὸ γῆρας ἐδεξάμην τῆς ἁμαρτίας, τῇ σῇ με φιλανθρωπίᾳ καινούργησον. ταῦτα καὶ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου Ιεζεκ. ια. ιθ. τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις ὑπέσχετο. Δώσω γὰρ αὐτοῖς, φησί, καρδίαν καινὴν καὶ πνεῦμα καινόν. πνεῦμα δὲ οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν· τουτέστι, τῇ μακρᾷ ταύτῃ παιδεύσας παιδείᾳ, καὶ διδάξας ἡμᾶς οἵους ἡ ἁμαρτία φύει καρπούς, τὴν ἀρετὴν αἱρεῖσθαι παρασκευάσω. τοῦτο κἀνταῦθα ὁ μακάριος ᾔτησε Δαβίδ, τήν τε βλαβεῖσαν αὐτοῦ νευρωθῆναι καρδίαν, καὶ τὸ λογικὸν ῥωσθῆναι, ὥστε τὴν εὐθεῖαν τρέχειν ὁδόν.

Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Ὦ εὐγλύττα ψυχῆς, ὦ ἔρως περὶ Θεόν, ἵνα λαλῇς μοι πάλιν, καὶ ἐγώ σοι λαλῶ. τὴν φιλίαν ἐκείνην ζητῶ, τὴν συνουσίαν. τί γάρ, ὅτι ἀπηλλάγην κολάσεως; ἐμοὶ κόλασις τὸ μὴ διαλέγεσθαί σοι. φιλῶ σε, καὶ μαίνομαι. οὐ δύναμαί σου τὴν οὐσίαν ἰδεῖν (ἀόρατος γάρ ἐστιν) ἀλλ' ἀπὸ τοῦ ἔρωτος τὰ ἔργα σου βλέπω, καὶ σκιρτῶ. οὐκ εἶδόν Ψαλ. ιη. α. σε, ἀλλ' εἶδον τὸν οὐρανόν, καὶ ἐσκίρτησα, καὶ εἶπον, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ψαλ. κγ. α. εἶδον τὴν γῆν, καὶ εἶπον· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. εἶδον τὴν θά- Ψαλ. ργ. κε. λασσαν, καὶ ἐχάρην, καὶ εἶπον· Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. εἶδον τὴν Ψαλ. ογ. ιϛ. ἡμέραν καὶ τὴν νύκτα, καὶ ἐκέκραξά σοι· Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω Ψαλ. ργ. ιη. φαῦσιν καὶ ἥλιον. εἶδον τὰ ὄρη, καὶ θαυμάσας εἶπον· Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις. καὶ καθάπερ ὁ φιλῶν, κἂν μὴ ἴδῃ τὸν φιλούμενον, ἱμάτιον δὲ αὐτοῦ ἴδῃ ἢ ὑποδήματα, ἀγάλλεται καὶ σκιρτᾷ, καὶ ὥσπερ τινὰ λαμβάνει παραμυθίαν τοῦ ἔρωτος· οὕτω δὲ καὶ ἐγὼ πε- Ψαλ. μα. α. ριέρχομαι ″ ἐπὶ τὸ σῶμα τῆς κτίσεως, ″ ἀλύων καὶ ἐκμαινόμενος. ἀεί σοι λέγω, Ὃν χ. σοὶ. χ. λυσσῶν [cut] μαινόμενος. τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα. πότε ἥξω καὶ ὀφθήσομαι ″ τῷ Θεῷ; χ. τῷ πρ πῳ τοῦ Θεοῦ βασιλεὺς εἶ, διάδημα ἔχεις· τί θέλεις; οἰχέσθω ταῦτα· τὸ κάλλος ἐκεῖνο ζητῶ, τὴν προφητείαν θέλω. καταφρονῶ τῆς ἐξουσίας ταύτης· ὑπερορῶ τοῦ βορβόρου· φύλλα ταῦτα καὶ νὺξ καὶ ὄναρ καὶ χόρτος· τὸ κάλλος μου ζητῶ. πότε ἥξει; οὐ δύναμαι ἐνεγκεῖν τὴν ἀναβολήν, ἐπειδὴ τὴν παρρησίαν ταύτην ἀπώλεσα, ἣν ἡ ἁμαρτία διετείχισεν ἐπελθοῦσα. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός. καὶ οὐ ζητῶ καρδίαν καθαρὰν μόνον, ἀλλὰ καὶ τὸν ἔνοικον αὐτῆς.

Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Καλῶς εἶπεν, ἐγκαίνισον. ἄνωθεν γὰρ κατεσκευάσθη ἡ οἰκία· ἐπαλαίωσεν ἡ ἁμαρτία, ἐγκαινίσει ἡ χάρις σου. 12 Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου· καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Σαφῶς τοίνυν διὰ τούτων μεμαθήκαμεν τὸν λόγον, ὡς οὐκ ἐγυμνώθη τῆς τοῦ πνεύματος χάριτος τοῦ ἁγίου. οὐ γὰρ, ὡς γυμνωθεὶς, ἀπολαβεῖν ἱκετεύει, ἀλλὰ μὴ στερηθῆναι ταύτης ἀντιβολεῖ, μηδὲ πόῤῥω γενέσθαι τῆς θείας κηδεμονίας. πρόσωπον γὰρ ἐνταῦθα τὴν κηδεμονίαν ἐκάλεσεν.

13 Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Ὃ μὴ ἀπώλεσεν, ἔχειν ἠντιβόλησε, τουτέστι τὴν χάριν τοῦ πνεύματος· ὃ δὲ ἀποβέβληκεν, ἀπολαβεῖν ἱκετεύει· τοῦτο δέ ἐστιν ἡ ἐν Θεῷ εὐφροσύνη. πάσης, φησὶ, θυμηδίας ἀπήλαυον, ἡνίκα πολλὴν εἶχον πρὸς σὲ, δέσποτα, παῤῥησίαν· νῦν δὲ ταύτης γεγυμνωμένος, καὶ τῆς εὐθυμίας ἐστέρημαι. ἐγύμνωσε δέ με τῆς παῤῥησίας ἡ δουλεία τῆς ἡδονῆς. διὸ ἱκετεύω τὴν προτέραν ἡγεμονίαν ἀπολαβεῖν μου, τὸν νοῦν, καὶ τὴν κατὰ τῶν παθῶν ἀπολαβεῖν ἐξουσίαν. πάλιν γὰρ ἐνταῦθα πνεῦμα ἡγεμονικὸν ἐκάλεσε τὸν αὐτοκράτορα λογισμόν. καὶ τί μοι δίδως, ὦ Δαβὶδ, ἐὰν λάβῃς τὸ πνεῦμα;

14 Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν·

Ἐὰν λάβω τὸ πνεῦμα, διαλέξομαι τῇ οἰκουμένῃ· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ πάλιν λέγω· Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. καὶ πάλιν, Πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. διηγήσομαι τὰς εὐεργεσίας σου τὰς εἰς ἐμὲ, καὶ ἐρῶ· Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. καὶ τὰ Ἰουδαϊκὰ ποῦ εἰσιν; οὐ θύεις μοι πρόβατα οὐδὲ μόσχους; οὐ ζητεῖς ταῦτα. Θυσίαν γὰρ καὶ προσφορὰν οὐκ ἠθέλησας· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. σὺ εἶπας, Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. οὐ θέλεις ταῦτα, ἀλλὰ ζητεῖς τὰ τοῦ υἱοῦ σου. θέλεις τὴν ἐπιστροφὴν τῆς πλάνης, καὶ τὴν αἵρεσιν τῆς ἀληθείας· ἐκείνην θέλεις τὴν θυσίαν.

Ψαλ. μϛ. α.
Ψαλ. ρθ. γ.
Ψαλ. μη. ζ.
Ψαλ. ϟδ. η.
Ψαλ. ρϛ. μβ.
Ψαλ. λγ. ιδ.
Ψαλ. ξε. ιϛ.
Ψαλ. λθ. θ.
Ψαλ. μθ. θ.

15 Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου·

Συνεχῶς ἐπὶ τὴν μνήμην περιστρέφει τοῦ Οὐρίου τὸν φόνον. τοῦτο γὰρ κἀν τῷ προοιμίῳ δεδήλωκεν, ὅτι ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσε, Διαλαλήσει ἡ γλῶσσά μου τὴν ἐλεημοσύνην σου. Οὐ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας, ἀλλ' ὑμνῶν σε διατελέσω, καὶ τὰς σὰς διηγούμενος χάριτας. 16 Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ἡ γὰρ ἁμαρτία πέφυκε τὴν γλῶτταν δεσμεῖν, ἐμφράττειν τὸ στόμα. ἀντιβολεῖ τοίνυν ὁ προφήτης διὰ τῆς ἀφέσεως τῆς προτέρας παῤῥησίας μεταλαχεῖν, καὶ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῆσαι.

17 Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Ψαλ. μθ. ι.

Συνᾴδει καὶ ταῦτα τοῖς εἰρημένοις ἐν τῷ πρὸ τούτου ψαλμῷ. ἀκηκόαμεν γὰρ ἐκεῖ τοῦ Θεοῦ λέγοντος· Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους. τοιγάρτοι τούτων παρὰ τῆς θείας ἀκούσας φωνῆς, εἰκότως ἔφη, ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, καὶ τὰ ἑξῆς. σὺ γάρ, φησιν, εἴρηκας μὴ θυμήρεις εἶναί σοι τὰς τῶν ἀλόγων θυσίας· οὗ δὴ γὰρ ἦν καὶ τὴν ἀρέσκουσάν σοι θυσίαν προσοίσω. ἐπεὶ δὲ οὐ θέλεις ταῦτα, τί μοι δίδως; ἔχω καὶ ἄλλην θυσίαν, ἣν ηὐδόκησας. 18 Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἱερεῖον, φησίν, ἀρεστόν, καὶ θυμῆρές σοι τῷ Θεῷ ἡμῶν, μετριότης φρονήματος. διὸ σφόδρα τὴν καρδίαν μου ταπεινώσας, καὶ οἱονεὶ λίαν αὐτὴν λεπτύνας, τὴν ἀρεστήν σοι θυσίαν προσκομιῶ.. θύσω σοι θυσίαν, τὴν ταπεινοφροσύνην· μόνον λῦσόν μου τὸ ἁμάρτημα, δός μοι τὸ πνεῦμα τὸ ἅγιον. ὅτι γὰρ αὕτη ἡ θυσία πολὺ τῆς Ἰουδαϊκῆς οὐ μόνον ἐστὶ νῦν, ἀλλὰ καὶ τότε ἦν βελτίων, λέγω δὲ τὴν ταπεινοφροσύνην, οἱ παῖδες γὰρ ἐκεῖνοι οἱ τρεῖς οἱ ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ τὴν φλόγα πηλὸν ἐργασάμενοι, οἱ νέοι καὶ γεγηρακότες, οἱ ὀλίγοι καὶ τῶν πολλῶν δυνατώτεροι, οἱ αἰχμάλωτοι καὶ τοῦ βασιλέως ἰσχυρότεροι, οἱ ἀπολέσαντες πατρίδα καὶ πίστιν μὴ ἀπολέσαντες, οἱ γυμνοὶ καὶ ἐνδεδυμένοι, οἱ πτωχοὶ καὶ εὔποροι, οἱ δοῦλοι καὶ ἐλευθέρων ἀμείνους, οἱ τὴν κάμινον δρόσον ἐργασάμενοι καὶ μεταβαλόντες τὰ στοιχεῖα, οἱ τοῦ πυρὸς τὴν ἐνέργειαν σβέσαντες, οὓς ἔδησεν ὁ τύραννος καὶ ἔλυσε τὸ πῦρ, ἐλιτάνευον, καὶ ἔλεγον· Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἀποστάντες ἀπὸ σοῦ. οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης, οὐδὲ ἡγούμενος, οὐδὲ τόπος τοῦ " καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ὠδὴ τριῶν παίδ. α. ια.

19 Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. 20 Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Σαφέστερον ἐκ τούτων ἐδιδάχθημεν τῶν ῥημάτων, ὅτι πλήρης ὁ ψαλμὸς προφητείας. τοῖς ἐν Βαβυλῶνι γὰρ ἠναγκασμένοις οἰκεῖν, καὶ ποθοῦσι τὴν τῆς δουλείας ἀπαλλαγήν, ἁρμόττει ταῦτα τὰ ῥήματα. ἱκετεύουσι γὰρ οὗτοι τινὸς ἀξιωθῆναι τὴν πόλιν, τῶν περιβόλων ἀνορθουμένων, τῆς κατὰ νόμον τελουμένης λατρείας. νῦν μὲν γάρ, φησι, τὴν ἀλλοτρίαν οἰκοῦντας τὰς ὡρισμένας θυσίας προσφέρειν οὐκ ἔνεστιν, ἐν ἐκείνῃ μόνῃ τῇ πόλει θύειν σοι τοῦ νόμου διαγορεύοντος. εἰ δὲ τῆς ἐπανόδου τύχοιμεν, καὶ τὸν νεὼν ἀνορθώσαιμεν, τηνικαῦτά σοι τὰς ἐννόμους θυσίας προσοίσομεν. ἔχει δὲ καὶ ἑτέραν προφητείαν τοῦ ψαλμοῦ τοῦδε τὸ τέλος. ἐπειδὴ γὰρ τοῦ παναγίου πνεύματος ἄνω τὰ δῶρα τι ἤκει, εἶτα κατιὼν ἔδειξε τὸν Θεὸν ταῖς κατὰ νόμον θυσίαις μὴ ἀρεσκόμενον, ἱκετεύει τὴν νέαν εὐφρᾶναι Σιών, καὶ τὴν ἐπουράνιον Ἱερουσαλὴμ ἐπὶ γῆς πολισθῆναι, καὶ τάχιστα παραχθῆναι τὴν καινὴν πολιτείαν, τὴν οὐκ ἄλογα προσφέρουσαν θύματα, ἀλλὰ τὴν τῆς δικαιοσύνης ἀναφορὰν καὶ θυσίαν. τοίνυν ἐνταῦθα προσέχετε, παρακαλῶ. καὶ γὰρ πάντας ὑμᾶς διδασκάλους ποιῆσαι βούλομαι, πάντας μονάζοντας, οὐ τῷ μὴ ἔχειν γυναῖκας, ἀλλὰ τῷ εὐλάβειαν ἐνδείκνυσθαι, εὐλαβεῖς, πῦρ πνέοντας. τί οὖν ἐστι τὸ ζητούμενον; τοῦτό ἐστιν· ηὔξατο, ἐξωμολογήσατο, παρεκάλεσεν, ἐδεήθη, ἱκέτευσε, δάκρυα ἐξέχεεν, ᾔτησε καρδίαν καθαράν, πίστιν ἔδωκε. τὸ ζητούμενον, εἰ ἐπέτυχε. πολλὴ ἡ ἡδονὴ τοῦ σάλου· "οὐχ οὕτω τέρπεται κυβερνήτης ὄπισθεν αὐτοῦ τῶν κυμάτων ἐρρηγμένων, ἐγκαθημένων, καὶ εἰς τὸ πρόσω συνωθούντων τὴν ὁλκάδα, μετὰ ῥύμης ἱσταμένους τοῦ πνεύματος, ὡς ἐγὼ τὴν θάλατταν ταύτην ὁρῶν ἀγάλλομαι καὶ σκιρτῶ. οὐ γὰρ βλέπω κύματα μόνον σαλευόμενα, ἀλλὰ καὶ τὸ πλῆθος πλεονάζον καὶ κινούμενον· σαλευομένους καὶ πνιγομένους, καὶ οὐκ ἀναχωροῦντας· βιαζομένους, καὶ οὐκ ἀποπηδῶντας· θλιβομένους, καὶ τὴν διάνοιαν ἐπείγοντας. ἡ γὰρ ἐπιθυμία τοῦ λόγου διεγείρει τὴν προθυμίαν. τὸ οὖν ζητούμενον, τοῦτό ἐστιν. ηὔξατο, ἐδεήθη, παρεκάλεσεν, ἱκέτευσεν, ἀπέθετο τὴν κόλασιν, διωρθώθη ἀπὸ τῆς τιμωρίας. τὸ ζητούμενον, εἰ εἰς τὴν προτέραν παρρησίαν ἐπανῆλθεν· εἰ τοῦ ἁγίου πνεύματος τὴν χάριν ἐδέξατο· εἰ, ὅπερ ᾔτησεν, ἔλαβε, καρδίαν καθαρὰν καὶ πνεῦμα εὐθές· εἰ τοσοῦτον ἴσχυσεν ἡ μετάνοια, ὥστε εἰς τὴν προτέραν εὐγένειαν ἀποκαταστῆσαι αὐτόν. προσέχετε μετ' ἀκριβείας. οὗτος ὁ ψαλμὸς ὁ πεντηκοστός ἐστι. ποῖος; ὁ περὶ τῆς ἁμαρτίας, ὁ περὶ τῆς ἐξομολογήσεως, ὁ περὶ τῆς αἰτήσεως, πεντηκοστός. μετὰ τοῦτον ἔγραψεν ἑξηκοστόν, ἑβδομηκοστόν, ὀγδοηκοστόν, ἐνενηκοστόν, ἑκατοστόν. ἵνα οὖν μή τις λέγῃ, τί γάρ, ὅτι ἔγραψε ψαλμούς; οὐκ ἔγραψε δὲ αὐτοὺς πνεύματι ἁγίῳ (οὐ γὰρ ἔλαβε πνεῦμα ἅγιον) ἀλλ' ἁπλῶς ἔγραψε συνέσει ἀνθρωπίνῃ τοὺς μετὰ ταῦτα. ἔρημος γὰρ ἦν τοῦ πνεύματος ἁγίου. ἡ μὲν γὰρ ἁμαρτία αὐτῷ συνεχωρήθη, τὸ δὲ πνεῦμα αὐτῷ οὐκ ἐδόθη. αὐτὸς μὲν γὰρ ᾔτησεν· οὐδαμοῦ δὲ εὑρίσκομεν ἀπόκρισιν λέγουσαν, ὅτι δέδωκά σοι. προσέχες, παρακαλῶ. ἔγραψε πεντηκοστόν, ἑξηκοστόν, ἑβδομηκοστόν, ὀγδοηκοστόν, ἐννενηκοστὸν καὶ ἑκατοστόν. γράφει καὶ ἄλλον ψαλμὸν μετὰ τὸν ἑκατοστόν, μετὰ καὶ ἄλλους πολλοὺς ψαλμοὺς λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. τοῦτον οὖν τὸν ψαλμὸν μετὰ τὴν ἁμαρτίαν ῥηθέντα εὑρίσκομεν ἐν πνεύματι ἁγίῳ λεχθέντα. πόθεν δῆλον; ὁ Χριστὸς ἐδήλωσεν. ἐπειδὴ γὰρ πάντα εἰργάσατο, θάλατταν ἐχαλίνωσε, λεπροὺς ἐκάθηρε, δαίμονας ἐφυγάδευσε, κακίαν ἀπήλασε, παραλυτικὸν ἔσφιγξε, φωνὴ ἄνωθεν κατέβαινεν· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε· ὁ Κύριος αὐτῷ ἐμαρτύρησε, τὰ πράγματα ἐβόα, Τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἦλθεν ἐπ' αὐτόν, Ἰωάννης ἐμαρτύρησεν αὐτῷ, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· λοιπὸν ὡς ἤμελλεν ἐπὶ τὸν σταυρὸν ἀναβαίνειν, καλέσας αὐτούς, λέγει αὐτοῖς· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; οὐκ ἠρώτησα ὑμᾶς ἐν ἀρχῇ. οὐκ ἐμαρτύρησα ἐν ἀρχῇ ὑμᾶς, ὅτι οὐδέπω ἀπόδειξιν ὑμῖν θεότητος παρέσχον. ὅτε δὲ τὰ στοιχεῖα πάντα ἔδειξάν μου τὴν θεότητα, ὅτε ὁ πατήρ, ὅτε ἡ πρὸς αὐτὸν ὁμόνοια, ὅτε ἡ ἐμὴ διδασκαλία πάντας ἐκεῖ ἐχειραγώγησεν, ὅτε οὐδὲ σκιὰν ἔχει ἀντιλογίας, τί νῦν ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσιν ἐκεῖνοι οἱ ἀγνώμονες καὶ ἀναίσχυντοι, τοῦ Δαβίδ, ἀρνούμενοι τὴν θεότητα, καὶ οὐ θέλοντες εἰπεῖν ὅτι τοῦ Θεοῦ ἐστι. τί οὖν αὐτός; Πῶς οὖν Δαβὶδ ἐν πνεύματι ἁγίῳ Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. εἰ δὲ πνεῦμα εἶχεν ὁ Δαβίδ, ἐλύθη ἡ ἁμαρτία· εἰ δὲ ἐλύθη ἡ ἁμαρτία, καὶ τὴν αἴτησιν ἔλαβε. λέγει γὰρ ὁ Δαβίδ· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. ὁρᾷς ὅτι πάλιν ἐπὶ τὸ ἀξίωμα τὸ ἑαυτοῦ ἐπανῆλθε; πάλιν προφήτης ἐγένετο, πάλιν περὶ Χριστοῦ διαλέγεται, πάλιν ἀπέλαβεν ἑαυτοῦ τὴν παρρησίαν, καὶ οὐδὲν ἐλυμήνατο αὐτὸν ἡ ἁμαρτία. εἶδες πόση τῆς μετανοίας ἡ δύναμις; τί λέγω; καὶ ζῶν καὶ τελευτῶν ἴσχυσεν. ἦλθόν ποτε βάρβαροι, καὶ τὴν πόλιν ἐπολιόρκουν· ὁ Ἐζεκίας δίκαιος ὢν παρεκάλει τὸν Θεὸν καὶ ἠξίου, λέγων, ἐλέησόν με, Κύριε, καὶ φεῖσαι τῆς πόλεως ταύτης. ἔρχεται πρὸς αὐτὸν ὁ προφήτης Ἡσαΐας, καὶ λέγει, ἵνα μὴ νομίσῃ ἐκεῖνος, ὅτι ἡ δικαιοσύνη αὐτοῦ ἠκούσθη (καίτοι τελευτήσας

ἦν

γ. ἐν πνεύματι ἁγίῳ

γ. αὐτὸν

γ. [illegible]

Ψαλ. ρθ. α.

Ματθ. ιζ. α.

Ματθ. γ. ις.

Ἰω. α. κθ.

Ματθ. κβ. μ

Ματθ. κβ. μγ.

Ἡσ. λζ. ιε.

Ησ. λζ. λε. ἣν ὁ Δαβὶδ καὶ ἔχων τριακόσια ἔτη ἐν τῷ ᾅδῃ) τί οὖν λέγει; Ὑπερασπιῶ σου καὶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. Ὁ Δαβὶδ ἀπέθανε, καὶ ἡ παῤῥησία αὐτοῦ ζῇ, καὶ ὁ τελευτήσας τοῦ ζῶντος περιΐστατο. Ὦ δικαίου καὶ μετὰ τὴν τελευτὴν τειχομαχοῦντος. Ἐνταῦθα δὲ καταπαύσω μου τὸν λόγον, ἱκανῶς, ὡς οἶμαι, τὴν λύσιν ἀποδοὺς τῶν ζητουμένων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρη. 1 Ο ΘΕΟΣ ΤΗΝ ΑΙΝΕΣΙΝ ΜΟΥ ΜΗ ΠΑΡΑσιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, καὶ τὰ ἑξῆς.

ΠΟλλῆς ἐνταῦθα συνέσεως ἡμῖν χρεία. Τὰ γὰρ ῥήματα κατὰ τὴν ψιλὴν προφορὰν καὶ τὴν πρόχειρον ἀκρόασιν πολλοὺς τῶν μὴ προσεχόντων θορυβεῖ. Καὶ γὰρ ἀρῶν ἅπας ὁ ψαλμὸς ἐμπέπλησται, καὶ διὰ τοιούτων ἅπας διεξῆλθεν ὁ λόγος· καὶ ἐμφαίνει τινὰ θυμὸν ζέοντα καὶ διακαῆ τοῦ λέγοντος, * οὐ μέχρι τοῦ ἀδικοῦντος ἱστάμενον, ἀλλὰ καὶ ἐπὶ παῖδας, καὶ πατέρα, καὶ μητέρα προάγοντα τὴν τιμωρίαν, καὶ οὐδεμιᾷ ἀρκούμενον συμφορᾷ, ἀλλὰ καὶ κακὰ ἐπὶ κακοῖς συνάπτοντα. Ὅρα γὰρ ὅσα κατεύχεται. 5 Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Τουτέστιν, ὑπὸ κατηγόροις γένοιτο πονηροῖς ἀνθρώποις καὶ ἐπιβούλοις, καὶ μὴ περιγένοιτο αὐτῶν. Τοῦτο γάρ ἐστι, τό,

* ἢ

6 Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος.

Καὶ οὐκ ἠρκέσθη ταύτῃ τῇ τιμωρίᾳ, ἀλλὰ μετὰ τῆς καταδίκης ταύτης εὔχεταί τινα ἕτερον μετ' ἐκεῖνον τὴν ἐκείνου τιμὴν λαβεῖν, λέγων· 7 Τὴν γὰρ ἐπισκοπὴν αὐτοῦ * λάβοι ἕτερος. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὸν μόνον καταλελειμμένον λιμένα προσχώννυσι, μηδὲ ὑπὸ τοῦ Θεοῦ τινος φιλανθρωπίας τυχεῖν ἀξιῶν, καὶ λέγων· καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Καὶ μετὰ τοῦτο καὶ θάνατον ἄωρον ὑπομεῖναι ἀξιοῖ. Γενηθήτωσαν γάρ, φησιν, αἱ ἡμέραι αὐτοῦ ὀλίγαι. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, καίτοι τὸ ταῦτα μόνα εἰπεῖν ἤρκει· ὃ δὲ καὶ ἐπιτίθησιν, ὅπερ σφόδρα ἐστὶν ἐκκαιομένης ψυχῆς, τὸ μὴ μιᾷ μηδὲ δευτέρᾳ ἀρκεσθῆναι τιμωρίᾳ, ἀλλὰ τοσαύτας ἐπαχθῆναι αἰτεῖν. Τὰ δὲ ἐντεῦθεν ἔτι πολλῷ τούτων χαλεπώτερα. Καὶ γὰρ ὀρφανίαν καὶ χηρείαν τῶν λειπομένων κατεύχεται. Καίτοιγε ταῦτα, ἀπελθόντος, ἐξ ἀνάγκης γενέσθαι συμβαίνει. Ἀλλ' ὅμως καὶ ταῦτα ἐν τάξει τίθησιν ἀρᾶς, τῷ θυμῷ ζέων. Καὶ οὐδὲ μέχρι τῆς ὀρφανίας ἵσταται, ἀλλὰ καὶ μετὰ τοιαύτας συμφορὰς περαιτέρω τὸ δεινὸν αὔξων, πλανήτας καὶ μετανάστας ἀξιῶν γενέσθαι τοὺς ἐκείνου.

9 Σαλευόμενοι γὰρ μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, φησί, καὶ ἐπαιτησάτωσαν·

Τουτέστι, μὴ σταῖεν πλανώμενοι, μηδὲ τῆς ἀναγκαίας εὐπορήσαιεν τροφῆς, μηδὲ παύσαιντο τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες, ἐλαυνόμενοι, διωκόμενοι κατὰ πᾶσαν τὴν γῆν, καὶ μηδαμοῦ χώραν τοῦ στῆναι εὑρίσκοντες. Μετὰ δὲ τούτων, καὶ πενίαν αὐτῶν κατεύχεται, καὶ πενίαν ἐσχάτην καὶ ἀφόρητον, ὥστε μηδὲ τῆς παρὰ τῶν συγγενῶν ἐπικουρίας τυχεῖν, ἀλλὰ περιιέναι παρὰ ξένων καὶ ἀγνώστων" αἰτοῦντας ταύτην. Καὶ ἄκουε πῶς τοῦτο δηλῶν παρατίθησι. Μετὰ γὰρ τὸ εἰπεῖν, μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐπάγει· Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

10 Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Τοῦτο ἑτέρας συμφορᾶς εἶδος, τὸ δι' ἁρπαγῆς εἶναι τὰ αὐτῶν, καὶ δανειστῶν φέρειν ἐπιβουλάς, καὶ παντὶ τρόπῳ ἐπηρεάζεσθαι. καὶ τὸ δὴ χαλεπώτερον, τὸ ἐν τοσούτοις κακοῖς ἔρημον εἶναι προστατῶν, καὶ τοῦτο κατεύχεται, λέγων·

11 Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ. Τὰ γὰρ κακὰ [καὶ] αὐτὰ καθ' ἑαυτὰ ἀφόρητα· ὅταν δὲ μηδὲ τὸν προϊστάμενον ἔχῃ, πολλῷ χαλεπώτερα γίνεται.

Μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Βαβαί, πόσον θυμοῦ μέγεθος, ὅταν μηδὲ τὸ ἄωρον τῆς ὀρφανίας ἐλέου τυγχάνῃ· οὐ μόνον ἐλέου, ἀλλὰ καὶ ἀπωλείᾳ ἐσχάτῃ περιβάλληται. 12 Γενηθήτω γάρ, φησι, τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

Εἶδες λόγον θυμοῦ γέμοντα καὶ οὐδαμοῦ ἱστάμενον; καὶ ζῆσαι γὰρ μετὰ συμφορᾶς αὐτοὺς εὔχεται ποικίλης καὶ παντοδαπῆς, καὶ πανωλεθρίᾳ παραδοθῆναι, καὶ ἀνωνύμως ἀπολέσθαι. καὶ ὥσπερ οὐκ ἀρκούσης τῆς συμφορᾶς τῶν παίδων, ἐπάγει πάλιν·

13 Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Τοῦτο γὰρ μάλιστα θυμοῦ, τὸ κατακερματίζειν ὡς εἶπε καθόλου συμφοράς, καὶ συνεχῶς τὰ αὐτὰ περιστρέφειν. εἰπὼν γάρ, ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ, ἐπήγαγε τό, μὴ ἐξαλειφθείη· καίτοι τὸ αὐτό ἐστιν· ἀλλ' ὅμως ὁ θυμὸς καὶ ἀμφότερα παρεσκεύασεν αὐτὸν εἰπεῖν· ὃ δὲ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ἀπόκτεινον αὐτόν, σφάξον, ἄνελε. Εἶδες ἀρᾶς πλῆθος· ἀλλ', εἰ βούλει, πάλιν ἄνωθεν αὐτὰ συλλογισώμεθα. περιπέσοι πονηροῖς ἀνθρώποις, φησί, κατηγορηθείη, κρατηθείη παρ' αὐτῶν, καταδικασθείη, ἄωρον ὑποσταίη θάνατον, ἐκβληθείη τῆς τιμῆς, καὶ μηδὲ εἰς ἐκγόνους, ἀλλ' εἰς ἑτέρους τινὰς ταύτην μεταφερομένην ἴδοι. ἡ γυνὴ αὐτοῦ ἀπόλοιτο, καὶ τὰ παιδία πενίαν, ὀρφανίαν, βίον προσαιτῶν ὑπομείναιεν, καταδικασθεῖεν, ἐλασθεῖεν πανταχόθεν, μηδένα σχοῖεν βοηθόν, ἐκπέσοιεν τῆς εὐνοίας τοῦ Θεοῦ, μηδεὶς αὐτοῖς γένοιτο λιμὴν μηδὲ καταφυγή, ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ ἀπὸ τῆς γῆς, ἀνώνυμος ἀπόλοιτο, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ δίκην τίσαιεν ὧν ἥμαρτον, ἐξώλεις καὶ προώλεις ἀπόλοιντο. ἆρα οὐκ ἐκπλήττει τὸν ἀκροατὴν τὰ εἰρημένα; ἆρα οὐκ ἐπιθυμεῖς ἀκοῦσαι, τίς ἐστιν ὁ καταδικασθεὶς οὕτως; εἰ γὰρ ἄνθρωπον ἀκούοντες λοιδορούμενον, τοὺς παρεστῶτας ἐρωτῶμεν φράσαι, τίς ὁ ταῦτα ἀκούων· πολλῷ μᾶλλον τοῦ προφήτου ταῦτα καταρωμένου ἀκούοντες, ἀναγκαῖον μαθεῖν, καὶ μετὰ φόβου μαθεῖν καὶ συνεσταλμένης τῆς διανοίας, τίς ὁ εἰς ὀργὴν οὕτω χαλεπὴν ἐμπεσών, τίς ὁ λυπήσας τὸ πνεῦμα τὸ ἅγιον, ὡς τοσαῦτα καὶ τηλικαῦτα ἀκοῦσαι παθῶν εἴδη. Οὐκοῦν, εἰ δοκεῖ, τὸν ψαλμὸν ἄνωθεν εἴπωμεν μετὰ πολλῆς τῆς προσοχῆς. καὶ μηδεὶς θορυβείσθω. καὶ γὰρ μετ' ἀκριβείας ἁπάσης ποιησόμεθα τὴν ἐξήγησιν, ὡς ἂν οἷοί τε ὦμεν. οὐδὲ γὰρ μικρόν ἐστι τὸ ζητούμενον· ἀλλ' ἓν μὲν καὶ πρῶτον, τίνος ἕνεκεν αὐτοῦ ἁμαρτόντος (τούτου δὴ τοῦ καταβοωμένου) οἱ παῖδες κολάζονται μετ' αὐτοῦ καὶ ἡ γυνὴ καὶ οἱ γονεῖς· δεύτερον δέ, τίς ὁ καταρώμενος αὐτοῦ· τρίτον, πῶς ὁ τῶν ἀποστόλων κορυφαῖος περὶ τοῦ Ἰούδα τὸν ψαλμὸν εἰρῆσθαι ἔλεγε· μᾶλλον δὲ οὐ τὸν ψαλμὸν ἅπαντα, ἀλλὰ τοῦ ψαλμοῦ τὸ μέρος. Γέγραπται γάρ, φησιν, ἐν τῇ βίβλῳ τῶν ψαλμῶν, γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ ἐν τοῖς σκηνώμασιν αὐτοῦ μὴ ἔστω ὁ κατοικῶν. ἀλλὰ πάλιν τοῦτο ἕτερον ἡμῖν ζήτημα παρέχει. οὐ γὰρ ἐν τούτῳ γέγραπται τῷ ψαλμῷ ἀμφότερα. διόπερ οὐκ εἶπεν, ἐν τῷδε τῷ ψαλμῷ, ἀλλ' ἁπλῶς, ἐν τῇ βίβλῳ τῶν ψαλμῶν. καὶ γὰρ τό, Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἠρημωμένη, ἐν ἑτέρῳ ἐστί· τὸ δέ, Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, ἐν τούτῳ. ἀλλ' ὅμως ὁ Πέτρος ἀμ-

Πράξ. α. κ.

Ψαλ. ξη. κ.

Ψαλ. ρη. ζ.

ἀμφότερα συνήγαγεν εἰς μαρτυρίαν μίαν· ὃ καὶ ὁ Παῦλος πολλαχοῦ ποιεῖ, ὡς ὅταν
Ῥωμ. ια. λέγῃ· Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ γ. ἀπ' ἐμοῦ
παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. Τί δ' ἂν τις εἴποι τὸ εἰρημένον;
προφητείαν, ἢ ἀράν; προφητείαν ἐν εἴδει ἀρᾶς. καὶ γὰρ καὶ ἀλλαχοῦ τοιοῦτόν
τι εὑρήσομεν· ὅπερ καὶ ὁ Ἰακὼβ ποιεῖ. ἐπειδὴ γὰρ τοὺς ἀκούοντας ἐκ τῶν ἑτέροις συμ- γ. ἐπίπνοι
βαινόντων ὠφελεῖσθαι χρή, πολλὰς τῶν προφητειῶν τούτῳ σχηματίζουσι τῷ τρόπῳ, ὥστε
καὶ τῷ εἴδει τῆς προφορᾶς τὸν κατὰ τὴν πολιτείαν αὐξηθῆναι φόβον. οὐ γάρ ἐστιν ἴσον εἰπεῖν,
ὅτι ὁ δεῖνα τὸ καὶ τὸ πείσεται, καὶ ἐν τάξει χολῶντος καὶ ὀργιζομένου τὸ αὐτὸ τοῦτο προενεγκεῖν.
καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα ἀποφαίνομαι, ἀπὸ τῶν προφητικῶν ὑμῖν ῥημάτων
Γεν. μθ. α. τοῦτο ποιήσω δῆλον. ὁ γὰρ Ἰακὼβ, ὅτε ἔμελλε τελευτᾶν, Δεῦτε, φησὶ τοῖς υἱοῖς αὐτοῦ,
καὶ ἐρῶ, τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν. καὶ μέλλων προφητεύειν,
ἐκ προοιμίων εὐθέως, ὥσπερ τινὶ θυμῷ ζέων, ἀπὸ ἀρᾶς ἄρχεται τῆς προφητείας
οὕτω λέγων· Ρουβὶμ πρωτότοκός μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης·
ἐξύβρισας ὡς ὕδωρ· μὴ ἐκζέσῃς· τὴν μέλλουσαν αὐτοῦ ἀπώλειαν ἐν τάξει
ἀρᾶς προφητεύων. οὕτω πάλιν, ὅταν ἀγαθὰ λέγῃ, ἐν τάξει εὐχῆς διηγεῖται· Δώῃ σοι
Κύριος, λέγων, ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἐκ τῆς πιότητος τῆς γῆς· καὶ τοῦτο δὲ προφητεία. γ. καίτοι καὶ τοῦτο προφ.
ἀλλ' ὅτι μὲν οὐκ ἔστιν ἀνθρωπίνου πάθους, δῆλον. καὶ γὰρ καὶ ἐπὶ Χανααὰν ὁ πατὴρ
Γεν. θ. κε. αὐτοῦ τὸ αὐτὸ τοῦτο ποιεῖ, λέγων· Ἔσται Χανααὰν παῖς οἰκέτης τοῦ ἀδελφοῦ αὐτοῦ. ἵνα μάθῃς γ. διατηρῶν,
ὅτι ὁ Θεὸς προσλαμβανόμενος τοὺς ἀδικουμένους, ἐπεξέρχεται τοὺς ἀδικοῦντας. γ. προσλαμβάνων
καὶ ὁ Χριστὸς δὲ τοιούτῳ τινὶ κέχρηται τρόπῳ, προφητείας εἴδει μᾶλλον ἀνακαλῶν καὶ γ. τοῖς ἀδικοῦ
Λουκ. ι. ιγ. θρηνοιῶντα μιμούμενος, καὶ λέγων· Οὐαί σοι, Χοραζίν, οὐαί σοι, Βηθσαϊδά. καὶ πάλιν, ὡς ὅταν
Λουκ. ιγ. λδ. λέγῃ· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας. περὶ τίνος οὖν ὁ ψαλμὸς
εἴρηται; ἔνια περὶ τοῦ Ἰούδα, τοῦ πνεύματος προφητεύοντος διὰ τοῦ Δαβίδ· τὰ δὲ λοιπὰ
περὶ ἑτέρων. καὶ γὰρ οὗτος προφητείας τρόπος ἐστί. καὶ πολλαχοῦ αὐτὸν εὑρήσομεν οὕτω
συγκείμενον, * τὰ μὲν προοίμια εἰς ἕτερον, τὰ δὲ λειπόμενα εἰς ἕτερον λεγόμενα. ἵνα * γ.
δὲ καὶ ἑτέρωθεν ἴδῃς τοῦτο αὐτό· ἡνίκα εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῄεσαν Ἰουδαῖοι,
Ἰησ. η. λγ. καὶ Δευτ. κζ. ια. ιβ. ιγ. διαιρῶν τὰς δώδεκα φυλὰς εἰς δώδεκα μέρη, τὰς μὲν εὐλογεῖν, τὰς δὲ ἀρᾶσθαι κελεύεται
ὑπὸ Θεοῦ ὁ τοῦ Ναυῆ. καὶ ἡ εὐλογία δὲ καὶ ἡ ἀρὰ προφητεῖαι τῶν γενησομένων ἦσαν.
Δευτ. κη. ις. καὶ [γὰρ] ἔλεγον· Ἐπικατάρατος σὺ ἐν πόλει, ἐπικατάρατος ἐν ἀγρῷ. καὶ μυρίας τοιαύτας
ἀρὰς συντεθεῖσαι αἱ φυλαὶ μακρὸν λόγον ἀπήρτισαν. τοῦτο δὴ καὶ ἐνταῦθα ἐστὶν
εἰπεῖν, ὅτι ἐν τάξει ἀρᾶς προφητεία συντέθειται, τά τε τῷ Ἰούδα συμβησόμενα ἀπαγγέλλουσα
καὶ προαναφωνοῦσα, εἶτα καὶ μετ' ἐκεῖνον ἑτέραν τινὰ ἀνακινοῦσα ὑπόθεσιν,
καὶ ἱσταμένη κατά τινων ἱερωσύνῃ ἐπαναστάντων· ἵνα μάθωμεν ἡλίκον κακόν ἐστι τοῖς ἱερεῦσιν
ἐπανίστασθαι τοῦ Θεοῦ, καὶ δόλῳ καὶ ἀδικίᾳ κατ' αὐτῶν κεχρῆσθαι. τὰ γὰρ εἰρημένα
οὐδὲν ἕτερόν ἐστιν, ἢ διδασκαλία τῶν συμβησομένων τοῖς τοὺς πλησίον ἀδικοῦσι, τοῖς
κατεξανισταμένοις μετὰ δόλου καὶ γνώμης διεφθαρμένης τῶν οὐδὲν ἠδικηκότων. εἰ δὲ τοὺς
παῖδας ἀξιοῖ κολάζεσθαι, μὴ θορυβηθῇς, ἀγαπητέ. παῖδας γὰρ ἐνταῦθά φησι, τοὺς τῇ
πονηρίᾳ τῶν τοιούτων κεκοινωνηκότας. οἶδε γὰρ ἡ γραφὴ παῖδας καλεῖν καὶ τοὺς κατὰ συγγένειαν,
καὶ τοὺς πονηρίας τισὶ κεκοινωνηκότας, κἂν μὴ τῇ φύσει παῖδες ὦσιν· ὡς ὅταν λέγῃ·
Ἰωαν. η. μδ. Ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστέ· καίτοιγε κατὰ φύσιν οὐκ ἦσαν υἱοὶ τοῦ διαβόλου οἱ Ἰουδαῖοι.
πῶς γὰρ, τοῦ ἀσωμάτου οἱ σάρκα περικείμενοι; ἀλλὰ τῇ κοινωνίᾳ τῆς πονηρίας τὴν συγ-
γένειαν ἐπεσπάσαντο. οὕτως αὐτοὺς καὶ τοῦ Ἀβραὰμ ἐκβάλλει, λέγων· εἰ τέκνα τοῦ Ἀβραὰμ
Ἰεζεκ. ιη. κ. ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. ὅτι γὰρ υἱὸς οὐ κολάζεται διὰ πατέρα, οὔτε πατὴρ

ὑπὸ

ὑπὲρ υἱοῦ, παντί που δῆλον. καὶ ἐν τῷ νόμῳ οὕτω δείκνυται εἰρημένον, πλὴν εἰ μὴ κακῶς αὐτὸν ἀναγάγοι· καὶ τότε δὲ οὐχ ὑπὲρ υἱοῦ, ἀλλ' ὑπὲρ τῆς οἰκείας ῥᾳθυμίας, ὥσπερ ὁ Ἠλεί. Εἰ δὲ δοκεῖ, καὶ τὸν ψαλμὸν ἄνωθεν ἐπέλθωμεν. ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς. Ἕτερος δὲ ἑρμηνευτής φησι, Θεέ, ὑμνήσεώς μου μὴ κωφεύσῃς. Ἄλλος, Μὴ σιγήσῃς, τουτέστι, μὴ παραδράμῃς τὴν τιμωρίαν, ἀλλ' ἐπέξελθε τοῖς γεγενημένοις. Σὺ γὰρ εἶ ἔνδοξος, καὶ μέγας, καὶ δυνατὸς τὰ τοιαῦτα διορθοῦν. ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Εἶδες πονηρίαν ἐκτεταμένην· εἶδες συμφωνίαν ἐπιβουλῆς· εἶδες μελέτην. καὶ γὰρ καὶ τοῦτο μάλιστα παροξύνει τὸν Θεόν, ὅταν τὰ φαῦλα ἀπὸ βουλῆς καὶ σκέψεως, καὶ πολλῆς τῆς γυμνασίας ἐργάζωνται οἱ μετιόντες. ἕτερον γάρ ἐστι, συναρπαγέντα καὶ ἀπατηθέντα ὑποσκελισθῆναι· καὶ ἕτερον, ἔργον ποιούμενον τὴν πονηρίαν· καὶ ἕτερον πάλιν (ὅπερ καὶ ἔγκλημα μέγιστον) ὅταν καὶ πονηρεύωνται κατὰ τῶν μὴ πονηρευομένων. τῷ γὰρ εἰπεῖν, ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με, οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι εἰς εὐεργέτην τινά, καὶ ἄξιον τοῦ φιλεῖσθαι καὶ χρηστὰς ἀμοιβὰς λαμβάνειν, τὰ ἐναντία ἐπεδείκνυντο. ἐγὼ δὲ προσηυχόμην. Εἶδες φιλοσοφίαν; εἶδες ἐπιείκειαν; εἶδες πρᾳότητα; εἶδες ψυχῆς εὐλάβειαν; οὐχ ὡπλιζόμην, οὐδὲ ἀντεπεξεταττόμην, φησίν, ἀλλ' ἐπὶ σὲ κατέφυγον, τὴν σὴν ἐκάλουν συμμαχίαν, τὴν ῥοπήν, τὸ μέγιστον ὅπλον, τὴν βοήθειαν τὴν ἀχείρωτον. Εἶτα εἰπὼν τὰ κατὰ τὸν Ἰούδαν, πῶς ἑαυτὸν κατεδίκασε, πῶς ἀπήγξατο, *πῶς εἰς ἕτερον μετέστη αὐτοῦ ἡ ἀποστολή· πάλιν ἔχεται τῆς προτέρας ὑποθέσεως. καὶ γὰρ καὶ τοῦτο προφητείας εἶδος, μεταξὺ διακόπτειν, καὶ ἱστορίαν τινὰ ἐμβάλλειν, καὶ μετὰ τὸ ταύτην διεξελθεῖν, πάλιν ἐπὶ τὰ πρότερα ἐπανιέναι. Συνεσκίασται γὰρ διὰ τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων ἡ προφητεία. αἰνίττεται γοῦν τινα, ὅπερ ἔφθην εἰπών, ἱερωσύνῃ ἐπιβουλεύσαντα, μετὰ τοὺς χρόνους τῆς ἐπανόδου τῆς ἐκ Βαβυλῶνος. καὶ οἵ γε φιλοπονώτεροι ἴσασι τοῦτο, τὴν ἱστορίαν ἐπελθόντες. προφητεύει τοίνυν μεγάλα τῷ τοιούτῳ κακά, ἐρημίαν προσάπτων· καὶ πάντα ἀξιοῖ προσχωννύναι αὐτῷ λιμένα, καὶ μηδεμιᾶς τυχεῖν μακροθυμίας, μηδὲ φιλανθρωπίας, μηδὲ συγγνώμης. ταῦτα δέ, ὅπερ ἔφθην εἰπών, καὶ συνεχῶς λέγων οὐ παύσομαι, δοκεῖ μὲν εἶναι ἀρᾶς, προφητεία δέ ἐστι, δεικνῦσα πῶς παροξύνεται ὁ Θεός, ὅταν ἱερωσύνη ἐπιβουλεύηται. Εἶτα κατ' εἶδος τὰς συμφορὰς ἐπεξέρχεται, καί φησιν·

14 Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, 15 Καὶ κατεδίωξεν ἄνθρωπον πένητα, καὶ πτωχόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

Τοῦτο ἐσχάτης ὠμότητος, τοῦτο πολλῆς ἀπανθρωπίας, ὅταν μὴ μόνον τις ἐπιβουλεύῃ, ἀλλὰ καὶ τὸν ἱκανὸν ἐπικλάσαι πρὸς ἔλεον, καὶ πρὸς συμπάθειαν ἐπικάμψαι. ὁ γὰρ τοιοῦτος πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐξώκειλε, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερος γέγονε. τοῖς μὲν γὰρ θηρίοις κατὰ φύσιν τὸ θηριῶδες· ἄνθρωπος δὲ λόγῳ τιμηθείς, τῇ πονηρίᾳ τὴν εὐγένειαν προδέδωκε· κἀκεῖνα πρὸς τὸ ὁμόφυλον καὶ συγγενὲς ἔχει τινὰ φιλίαν καὶ ἡμερότητα· οὗτοι δὲ οὐδὲ τὸ κοινὸν τῆς φύσεως ᾐδέσθησαν, ἀλλ' ὃν ἔδει ἐλεεῖν καὶ ἀνέχειν, καὶ ἀνορθοῦν, τοῦτον ὤθουν καὶ ἀνέτρεπον.

16 Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ. καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Ἐπειδὴ* πολλὰς κατεύξατο αὐτοῦ συμφοράς, δείκνυσι λοιπὸν οὐ παρ' αὐτόν, ἀλλὰ παρ' ἐκείνου τὴν ἀρχὴν τούτων γενομένην καὶ τὴν αἰτίαν, διὰ τῶν ἔργων ἀποκρουσαμένου μὲν τὴν παρὰ τοῦ Θεοῦ ῥοπήν, ἐπισπασαμένου δὲ τὴν θεήλατον πληγήν.

a Βασ. γ. 17.

γίαν. 17 Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

Ἐνταῦθα καὶ τὸ σφοδρὸν τῆς πληγῆς, καὶ τὸ μόνιμον τῆς τιμωρίας ἐνδείκνυται, δηλῶν ὅτι πᾶσιν ἀνθρώποις τὰ κακὰ οἴκοθέν ἐστι παρὰ τῆς οἰκείας γνώμης, οἳ διὰ τῶν ἔργων καὶ τῶν πράξεων τῶν μὴ ἀγαθῶν διαμαρτύρονται, ταῖς δὲ τιμωρίαις ἑαυτοὺς ἐμβάλλουσι.

18 Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται. Τοῦτό φησι, δεικνὺς τὴν ἄφατον τοῦ Θεοῦ ὀργὴν, τὴν μετελευσομένην τοὺς τοιούτους. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὕτως αὐτοὺς τὰ κακὰ καθέξει, ὡς μηδὲ μεταβολὴν λαχεῖν. ἐναποσημειωθήσονται γὰρ ἐν αὐτοῖς καὶ μενοῦσι βέβαια. Εἶτα δεικνὺς ὅτι πονηρίαν κολάζει καὶ κακίαν διορθοῦται, καὶ ὅτι οὐ κατ' ἐκείνου μόνου, ἀλλὰ κατὰ πάντων τῶν ὑπευθύνων τοῖς λεγομένοις ὄντων ἡ τοιαύτη κείσεται ψῆφος, ἐπήγαγε·

19 Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου·

Τουτέστιν, αὕτη ἡ τιμωρία, αὕτη ἡ δίκη τῶν αἰτιασαμένων μοι, τῶν ἐπιβουλευόντων, τῶν πολεμούντων, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. ἅπερ καὶ ῥημάτων εἰσὶν εὐθῦναι, καὶ εὐθῦναι πικρόταται). ἀπαρτίσας τοίνυν τὸν περὶ ἐκείνου λόγον, ἐπὶ τὸν Θεὸν καταφεύγει πάλιν ὑπὲρ τῆς εἰς αὐτὸν ἀντιλήψεως. οὐδὲ γὰρ μέχρι τῆς τιμωρίας τῶν ἐπιβουλευόντων ἵσταται, ἀλλὰ δεικνὺς ὅτι οἱ κακῶς πάσχοντες καὶ τιμωρὸν ἔχουσιν ὑπὲρ ὧν ἀδικοῦνται, καὶ αὐτοὶ πολλῆς τυγχάνουσι τῆς ἀντιλήψεως, ἐπάγει λέγων·

20 Καὶ σὺ, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου.

Ὅρα εὐγνωμοσύνην, ὅρα ταπεινοφροσύνην. καίτοιγε ἰσχυρὰν ἔχων εἰς σωτηρίαν ἀφορμὴν, τὸ κακῶς παθεῖν (καὶ γὰρ καὶ τοῦτο πολλαχοῦ τῆς γραφῆς ἐστιν ἰδεῖν, ὅτι οἱ κακῶς πάσχοντες ἀδίκως παρὰ ἀνθρώπων, πλείονα ἔχουσι παρρησίας ἀφορμὴν πρὸς τὸ τυχεῖν τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς) ὁ δὲ ἀφεὶς τοῦτο εἰπεῖν, ἐπὶ τὴν φιλανθρωπίαν μόνην τοῦ Θεοῦ καταφεύγει, καὶ λέγει· ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, μονονουχὶ τοῦτο λέγων· οὐκ ἐπειδὴ ἄξιός εἰμι, ἀλλὰ διὰ σεαυτὸν, ὅτι φιλάνθρωπος εἶ καὶ ἐλεήμων. διὸ καὶ ἐπάγει· Ὅτι χρηστὸν τὸ ἔλεός σου.

Καὶ καλῶς εἶπεν, ἔλεός σου. τὸ γὰρ τῶν ἀνθρώπων, οὐ τοιοῦτον πολλαχοῦ. ἔστι γὰρ ὅπου καὶ ἐπὶ βλάβῃ τούτῳ κέχρηνται) καὶ ἐπὶ διαφθορᾷ· ἀλλ' ὁ Θεὸς, πανταχοῦ πρὸς τὸ συμφέρον.

21 Ῥῦσαί με ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Ὁρᾷς αὐτὸν πάλιν ἀξιοῦντα σωθῆναι, οὐχ ὡς ἄξιον, οὐδὲ ὡς δίκαιον, ἀλλ' ὡς ἀνατραπέντα παντελῶς, ὡς κατειργασμένον, ὡς μυρία παθόντα κακά. καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. τοιαύτη γὰρ τῶν συμφορῶν ἡ δύναμις· οὐ σῶμα λυμαίνεται μόνον, ἀλλὰ καὶ ψυχὴν θορυβεῖ.

22 Ὡς σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας. Τὸ σφοδρὸν τῆς ἐπιβουλῆς τῶν ἀδικησάντων λέγει, τὴν κακουχίαν τὴν ἄφατον, καὶ τὴν περὶ ἑαυτοῦ πάλιν γινομένην ἐν τοῖς τοιούτοις σπουδήν. 23 Τὰ γὰρ γόνατά μου, φησὶν, ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Ὁρᾷς οἷα κατασκευάζει ὅπλα πρὸς τὰς ἐπιβουλὰς, καὶ τὴν πρὸς αὐτὸν κακουχίαν; 24 Καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς. εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Τοιαῦται τῶν πονηρῶν αἱ γνῶμαι. οὐ μόνον οὐκ ἐνδιδόασιν, ὅταν ἴδωσι τὸν δίκαιον ἐπιτείνοντα τὴν εὐλάβειαν, ἀλλὰ καὶ ὀνειδίζουσι, καὶ κωμῳδοῦσι, καὶ ἐπεμβαίνουσι. τί οὖν οὗτος; ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν ἀχείρωτον βοήθειαν καταφεύγει, λέγων·

25 Βοήθησόν μοι Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. 26 Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ Κύριε ἐποίησας αὐτήν. Τί ἐστιν, ἡ χείρ σου αὕτη; ὅτι σὴ ἡ συμμαχία, ὅτι σή, φησιν, ἡ βοήθεια. οὐ γὰρ δὴ σωθῆναι βούλομαι μόνον, ἀλλὰ καὶ ἐκείνους μαθεῖν παρὰ τίνος ἐσώθην· ὥστε διπλοῦν μοι γενέσθαι τὸ τρόπαιον, διπλοῦν τὸν στέφανον, ἐπιτεταμένην τὴν δόξαν. 27 Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐντεῦθεν φιλοσοφίαν τινὰ παιδεύει τὸν ἀκροατήν. [δείκνυσι γὰρ] ὅτι κἂν μυρίας βάλωσι ταῖς ἀραῖς, εὐλογοῦντος τοῦ Θεοῦ, οὐδὲν ἔσται βλάβος ἀπ' ἐκείνων, ἀλλ' εἰς αὐτοὺς περιτραπήσεται τὰ τῆς αἰσχύνης, τὰ τῶν ὀνειδῶν. Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται ἐπὶ σοί. Καλῶς εἶπεν, ἐπὶ σοί· δηλῶν ὅτι ἐκεῖθεν ἡ εὐφροσύνη, ὅθεν ἡ χορηγία τῶν ἀγαθῶν. λοιπὸν οὐδέν με τῶν μοχθηρῶν θορυβῆσαι δυνήσεται, τῆς εὐφροσύνης μοι τῆς παρὰ σοῦ μενούσης ἀκεραίου.

28 Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ὅρα πάλιν ὡς ἀξιοῖ μὴ κολάσει παραδοθῆναι αὐτοὺς μόνον, ἀλλ' αἰσχύνῃ, ἀλλ' ἐντροπῇ, ὥστε διδασκαλίαν αὐτοῖς γενέσθαι διορθώσεως, καὶ ὑπόθεσιν τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. 29 Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

30 Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. Ἀντὶ δὴ τούτων ἁπάντων ἀμοιβὰς ἀντιτίθησι τῷ Θεῷ, τὴν ὑμνολογίαν, τὴν εὐχαριστίαν, τὸν αἶνον, τὸ παρὰ πᾶσιν ἀπαγγέλλειν αὐτοῦ τὰ κατορθώματα, τὸ ἐν μέσῳ θεάτρου κήρυκα γίνεσθαι τῶν αὐτῷ ὑπαρξάντων*. τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τὸ τὰς εὐεργεσίας τοῦ Θεοῦ διὰ παντὸς ἐπὶ μνήμης φέρειν, καὶ ἐγκολάπτειν τῇ διανοίᾳ, καὶ διὰ στόματος ἀνακηρύττειν, καὶ πολλοὺς ποιεῖν ἀκουστὰς τῶν εὐεργεσιῶν τῶν αὐτοῦ. οὕτω γὰρ ὅ, τε ἀπολελαυκὼς τῆς εὐεργεσίας, εὐγνωμοσύνης λήψεται ἀμοιβήν, καὶ πλείονα ἐπισπάσεται παρὰ τοῦ Θεοῦ τὴν ῥοπήν· οἵ τε ἀκούοντες, ἀπὸ τῶν ἑτέροις γινομένων σπουδαιότεροι καταστήσονται, καὶ πρὸς ἀρετῆς ζῆλον μεγίστην λήψονται τὴν ἑτέρων εὐεργεσίαν ὑπόθεσιν.

ἐμαθεν.

Ψαλμ. ρθ 1 ΕΙΠΕΝ Ο ΚΥΡΙΟΣ ΤΩ ΚΥΡΙΩ ΜΟΥ, ΚΑΘΟΥ ἐκ δεξιῶν μου.

Διανιστῶμεν, παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς. καὶ γὰρ περὶ σφόδρα μεγάλων ἡμῖν ὁ ψαλμὸς διαλέγεται θεωρημάτων, οὐ πρὸς ἓν εἶδος αἱρέσεως, ἀλλὰ πρὸς ποικίλα καὶ διάφορα ἑστηκώς. καὶ γὰρ πρὸς Ἰουδαίους, καὶ πρὸς Παῦλον τὸν Σαμοσατέα, καὶ πρὸς τοὺς ἀπὸ Ἀρείου, καὶ πρὸς τοὺς ἀπὸ Μαρκίωνος, καὶ πρὸς τοὺς Μανιχαίους, καὶ πρὸς ἅπαντας τοὺς τῇ ἀναστάσει διαπιστοῦντας παρατάττεται. ἐπεὶ οὖν πρὸς τοσούτους ἡ παράταξις, πολλῶν καὶ ἡμῖν ὀφθαλμῶν δεῖ, ὥστε μετὰ ἀκριβείας θεωρῆσαι τὰ παλαίσματα. ἐν μὲν γὰρ τοῖς ἔξωθεν ἀγῶσι, κἂν παροφθῇ τι τῶν παλαισμάτων ἐν αὐτοῖς, οὐδὲν ἔβλαψε τὸν θεατήν (οὐ γὰρ διδασκαλίας ἕνεκεν, ἀλλὰ τέρψεως ἐκεῖνο τὸ θέατρον συνείλεκται) ἐνταῦθα δέ, ἐὰν μὴ μετὰ ἀκριβείας εἰδῇς, πόθεν μὲν ἐκεῖνος παρατάττεται, πόθεν δὲ ἡμεῖς αὐτὸν βάλλομεν, οὐ τὴν τυχοῦσαν ὑποστήσῃ ζημίαν. ἵν' οὖν μὴ τοῦτο πάθῃς, διανάστησόν μοι τὴν διάνοιαν,

τὸ Ἀρείου
ρῶντας, καὶ
τοὺς τὸ
Μαρκίων,

μετέωρον ποίησον τὴν ἀκοήν. *Ἰουδαίους βαλλόμεθα πρώτους,* πρὸς ἐκείνους παραταττόμεθα, τὸν προφήτην ἀπὸ τῶν ῥημάτων λαβόντες σύμμαχον τούτων. καὶ γὰρ λεγόντων ἡμῶν ὅτι σαφῶς περὶ τοῦ Χριστοῦ ταῦτα εἴρηται, ταῦτα μὲν οὐ καταδέχονται, ἕτερα δὲ τινα πλάττουσιν. οὐκοῦν πρότερον αὐτῶν τὸν λόγον ἀπελέγξομεν, καὶ τότε τὸν ἡμέτερον ἀποδείξομεν. καὶ τέως ἐρώμεθα νῦν αὐτούς, τίς ὁ Κύριος τοῦ δικαίου τούτου; Εἶπε γάρ, φησιν, ὁ Κύριος τῷ Κυρίῳ μου. οὐ γὰρ ἑνὸς προσώπου μέμνηται ἐνταῦθα, ἀλλ᾽ ἑνὸς πρὸς ἕνα ἕτερον διαλεγομένου. τίνα οὖν ἐκεῖνοι τὸν λέγοντά φασι; τὸν Θεόν. τὸν δὲ ἀκούοντα; τὸν Ἀβραάμ. ἕτεροι δὲ τὸν Ζοροβάβελ, καὶ ἄλλοι ἕτερον, καθάπερ οἱ μεθύοντες, καὶ μηδὲν σύμφωνον φθεγγόμενοι, μᾶλλον δὲ καθάπερ οἱ ἐν σκότῳ βαδίζοντες, καὶ προσαράσσοντες ἀλλήλοις. τί οὖν, εἰπέ μοι, Ζοροβάβελ κύριος τοῦ Δαβίδ; καὶ πῶς ἂν ἔχοι λόγον; ὃς καὶ αὐτὸς ἀντὶ μεγάλης τιμῆς Δαβὶδ κέκληται. καὶ τὰ ἐπιόντα δὲ δηλοῖ, ὅτι οὐδὲν περὶ τοῦ Ζοροβάβελ ἐνταῦθα εἴρηται, οὐδὲ περὶ τοῦ Δαβίδ. οὐδεὶς γὰρ αὐτῶν ἱερωσύνῃ τετίμηται. ἐνταῦθα δέ, περὶ τινος εἴρηται ἱερωσύνην ἔχοντος ξένην τινὰ καὶ παράδοξον. σὺ γάρ, φησιν, ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ἀλλὰ τέως τὸ παρὸν ἀναπτύξωμεν. καὶ γὰρ καὶ ἕτερά τινα λέγουσι τούτων ἀλογώτερα. περὶ τοῦ λαοῦ" λέγουσι ταῦτα εἰρῆσθαι. ἀλλ᾽ οὔτε ἱερεὺς ὁ λαὸς γέγονεν, οὔτε τὰ ἕτερα τὰ εἰρημένα δυνηθείη ποτ᾽ ἂν αὐτῷ ἁρμόσαι. διόπερ καὶ τοῦτο ὡς ἕωλον παραδραμόντες, καὶ οὔτε κατασκευῆς δεόμενον εἰς ἀνατροπήν, ἕτερον ὅπερ λέγουσιν εἰς μέσον "οἴσωμεν. τί γάρ φασιν ἄλλοι πάλιν; ὅτι ὁ παῖς τοῦ Ἀβραὰμ ταῦτα λέγει περὶ τοῦ Κυρίου τοῦ ἑαυτοῦ. καὶ τί τούτου γένοιτ᾽ ἂν πάλιν "ἀλογώτερον; τί γὰρ ἐνταῦθα βούλεται ὁ παῖς τοῦ Ἀβραάμ; ποῦ δὲ ἱερεὺς ὁ Κύριος αὐτοῦ γέγονεν, ὅς γε καὶ αὐτὸς ἱερεῖ τῷ Μελχισεδὲκ ἐκέχρητο, καὶ τὰς παρ᾽ αὐτοῦ εὐλογίας ἐζήτει; πῶς δὲ ἂν ἔχοι λόγον περὶ τοῦ Ἀβραὰμ εἰρῆσθαι τό, ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε; πῶς δ᾽ ἂν ἢ τῷ Δαβίδ, ἢ τῷ Ζοροβάβελ, ἢ τῷ λαῷ ταῦτα ἁρμόσειεν; ὑπὲρ γὰρ ἀνθρωπίνην φύσιν τὸ εἰρημένον. τὸ δέ, κάθου ἐκ δεξιῶν μου, ποίαν ἂν σχοίη ἑρμηνείαν, ἐκείνων τῶν προσώπων ὑποκειμένων; οὐδεμίαν. πῶς δ᾽ ἂν τῷ Ἀβραὰμ εἶπε, κάθου ἐκ δεξιῶν μου, ὅς γε καὶ τὸ παρεστάναι τοῖς ἀγγέλοις, μεγίστης ἄξιον ἡγεῖται τιμῆς*; ἀλλὰ τίς αὐτῶν ὁ σοφὸς λόγος; καὶ πῶς, φησι, Κύριον εἰσάγεις ἕτερον, τῆς γραφῆς διαρρήδην λεγούσης, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν, αὐτὸν προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι Θεός; πρὸς τίνα οὖν, εἰπέ μοι, ἐστὶ τὸ λεγόμενον; μάλιστα μὲν ἐκεῖνα πρὸς τὴν σὴν ἀγνωμοσύνην εἴρηται, ὦ Ἰουδαῖε. διατί γὰρ τῷ Ἀβραὰμ οὐδὲν ἐλέχθη τοιοῦτον, οὐδὲ τῷ Ἰσαάκ, οὐδὲ τῷ Ἰακώβ, οὐδὲ τῷ Μωϋσῇ, ἀλλὰ σοὶ μόνῳ, ὅτε ἐξ Αἰγύπτου ἐξελθὼν ἐμοσχοποίεις; τίνος ἕνεκεν, εἰπέ μοι; εἰ δὲ αὐτὸς ἀπορεῖς, παρ᾽ ἐμοῦ τὴν αἰτίαν μάνθανε. ἐπειδὴ γὰρ ἐξελθὼν ἐμοσχοποίησας, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθης, καὶ πρὸς δῆμον θεῶν ἦς ἐπτοημένος, τὴν" παράνομον ἐκείνην πολυθεΐαν εἰσάγων· ἀναστέλλων σου τὸ νόσημα, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν, τὸ εἷς ἔθηκεν, οὐ πρὸς ἀθέτησιν τοῦ μονογενοῦς. ἐπεὶ τίνος ἕνεκεν ἐν προοιμίοις εἴρηται εὐθέως, Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν; καὶ πάλιν· Δεῦτε, καὶ καταβάντες συγχέωμεν τὰς γλώσσας αὐτῶν. καὶ πάλιν ὁ Δαβίδ· Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. εἰ δὲ ὁ Μωϋσῆς λέγει· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· ἡ ὑμετέρα ἀσθένεια γέγονεν αἰτία τούτων. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν δογμάτων οὕτω γέγονεν, ὅπου γε καὶ ἐπὶ τῶν πραγμάτων ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἐλάττονα τὸν λόγον ἦγεν ὁ Θεός, τῇ ἀσθενείᾳ τῇ ὑμετέρᾳ συγκαταβαίνων; διὸ καὶ γυναῖκα τὴν μὲν ἐκβάλλειν, τὴν δὲ εἰσάγειν ἐπέτρεπεν, ἀπ᾽ ἀρ-

Γεν. ιδ. ιη.

Δευτ. ϛ. δ. ιγ.

Ἐξοδ. λβ. α.

Ἀριθμ. κε. γ.

Γεν. α. κϛ.

Γεν. ια. ζ.

Ψαλμ. μδ. θ.

Δευτ. κδ. α.

* καὶ

* καὶ

κ. λέγοντες

κ. ἀγάγωμεν

κ. ἀναιδέστερον;

* ἑστάναι

κ. ἄνομον

χῆς οὐχ οὕτω νομοθετήσας. καὶ περὶ βρωμάτων πολλὴν ἐποιήσατο τὴν διαίρεσιν, καίτοιγε ἐξ ἀρχῆς τὰ ἐναντία εἰπὼν ὅτι Ὡς λάχανα χόρτου δέδωκα ὑμῖν πάντα. καὶ περὶ τόπου πολλοὺς τέθεικε νόμους, οὐ συγχωρῶν πανταχοῦ τὰς θυσίας ἐπιτελεῖν· καίτοιγε οὐδὲ τοῦτο ἐξ ἀρχῆς ἐνομοθέτησεν· ἀλλὰ καὶ ἐν τῇ Περσῶν γῇ τῷ Ἀβραὰμ ὤφθη, καὶ ἐν Παλαιστίνῃ, καὶ πανταχοῦ καὶ τῷ Μωϋσεῖ δὲ μετὰ ταῦτα ἐπὶ τῆς ἐρήμου. τί οὖν; ἑαυτῇ, φησι, μάχεται ἡ γραφή; ἄπαγε· ἀλλὰ κατὰ καιρὸν πρὸς τὸ συμφέρον ἕκαστα οἰκονομεῖ, τὴν ἀσθένειαν ἑκάστης γενεᾶς διορθούμενος. διὰ δὲ τοῦτο πρὸς σὲ μὲν εἴρηται· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. ὅτι δὲ καὶ υἱὸν ἔχει, παρατέθειται τοῖς προφήταις ταῖς βίβλοις· καὶ οὔτε σαφῶς σφόδρα εἰρήκασιν, ὥστε μὴ λυμήνασθαί σου τὴν ἀσθένειαν· οὔτε ἀπέκρυψαν, ὥστε μετὰ ταῦτά σοι δυνῆναι ἀνανῆψαι, καὶ ἐκ τῶν οἰκείων βίβλων ἀναλέξασθαι τῆς ἀληθείας τὰ δόγματα. οὕτω μάλιστα καὶ τοὺς προφήτας δυνησόμεθα δεῖξαι προφήτας ὄντας, ὅταν πρὸς Ἕλληνας διαλεγώμεθα, καὶ ἀξιόπιστον σφόδρα τὴν παλαιάν. ἐπεὶ ἐὰν τοῦτο ἀνέλῃς, πῶς ἀποῤῥάψεις τοῦ Ἕλληνος τὸ στόμα; τί γὰρ ἐρεῖς; τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου, καὶ τὰ εἰς σὲ προφητευθέντα; ἀλλ' οὐ σφόδρα καταδέξεται. ἂν δὲ τὰ περὶ τοῦ Χριστοῦ εἰρημένα ἐν τῇ παλαιᾷ διηγήσῃ, καὶ δείξῃς τῶν πραγμάτων τὴν ἀλήθειαν μαρτυροῦσαν τῇ τῆς προφητείας ἐκβάσει, οὐδὲ ἀντιστῆναι δυνήσεται. εἰ δὲ ἐπιλαμβάνοιο τῶν ἡμετέρων, ὦ Ἰουδαῖε, πῶς ὑπὲρ τῆς παλαιᾶς ἀπολογήσῃ; ἂν τις γὰρ εἴπῃ σοι· πόθεν ἀληθῆ τὰ Μωϋσέως; τί ἐρεῖς; ὅτι ἐπιστεύσαμεν αὐτοῖς. οὐκοῦν πολλῷ μᾶλλον καὶ τὰ ἡμέτερα. καὶ γὰρ καὶ ἡμεῖς ἐπιστεύσαμεν. καὶ ὑμεῖς μὲν ἓν ἔθνος ἐστέ, ἡμεῖς δὲ πᾶσα ἡ οἰκουμένη· καὶ ὑμᾶς οὐχ οὕτως ἔπεισε Μωϋσῆς, ὡς ἡμᾶς ὁ Χριστός. καὶ τὰ μὲν ὑμέτερα πέπαυται, τὰ δὲ ἡμέτερα ἕστηκεν. ἀλλ' ἀπὸ τῶν προῤῥήσεων; ἀλλὰ πλείω τὰ παρ' ἡμῖν· οὐκοῦν τὰ ἡμέτερα ἐὰν ἀνέλῃς, καὶ τὰ σὰ συσκιάζεις. ἀλλ' ἀπὸ τῶν σημείων; ἀλλ' ὑμεῖς οὐδὲ ἔχετε Μωϋσέως δεῖξαι σημεῖον. γέγονε γάρ, καὶ παρῆλθεν. ἡμεῖς δὲ τοῦ Χριστοῦ πολλὰ καὶ διάφορα ἔτι καὶ νῦν γινόμενα, καὶ τὰς προῤῥήσεις ὑπὲρ τὸν ἥλιον λαμπούσας. ἀλλ' ἀπὸ τῶν νόμων; ἀλλὰ ταῦτα φιλοσοφώτερα. ἀλλὰ τί; τῶν Αἰγυπτίων κωλυόντων ἐξήλθετε; ἀλλ' οὐκ ἔστιν ἴσον τῆς οἰκουμένης πολεμούσης περιγενέσθαι, καὶ Αἰγυπτίων μόνον κρατῆσαι. καὶ ταῦτα λέγω, οὐ μάχην εἰσάγων τῇ παλαιᾷ πρὸς τὴν καινὴν (ἄπαγε) ἀλλὰ τὴν Ἰουδαίων ἀγνωμοσύνην ἐπιστομίσαι βουλόμενος. καὶ γὰρ καὶ ἐκεῖνα καὶ ταῦτα ὑπὸ τοῦ Θεοῦ τοῦ αὐτοῦ δέδοται, καὶ γεγένηται. ἀλλ' ἐκεῖνο κατασκευάσαι θέλω, ὅτι ὁ Ἰουδαῖος ἀνελὼν τὰς προφητείας τὰς περὶ Χριστοῦ, ὃ πλέον τῶν προφητειῶν λυμαίνεται μέρος· καὶ οὐκ ἂν ἔχοι δεῖξαι σαφῶς τὴν εὐγένειαν τῆς παλαιᾶς, εἰ μὴ τὴν καινὴν παραδέξοιτο. ὅτι δὲ οὐ περὶ ἀνθρώπου τὰ εἰρημένα, καὶ ἐκ τοῦ λέγεσθαι, κάθου ἐκ δεξιῶν μου, καὶ ἐκ τοῦ Κύριον ὀνομάζεσθαι ὁμοίως τῷ λέγοντι Κυρίῳ, καὶ ἐκ τοῦ ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγεννῆσθαι αὐτόν, καὶ ἐκ τοῦ ἱερέα αὐτὸν εἶναι κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ ἐκ τοῦ λέγεσθαι, μετὰ σοῦ ἡ ἀρχή σου, τοῖς νοῦν ἔχουσι κατάδηλόν ἐστιν. εἰ δὲ ἕτερος ἡμῖν Ἰουδαῖος ἀνακύπτει πάλιν πρόσωπον χριστιανοῦ περιφέρων (Παῦλος ὁ Σαμοσατεύς, λέγω) δυνατὸν μὲν καὶ πρὸς τοῦτον καὶ ἀπὸ τῆς καινῆς λέγειν. πλὴν ἀλλ' ἵνα μὴ δόξωμεν τὰ παρόντα ἀφέντες ἐφ' ἕτερον μέρος παρατάξεως ἰέναι, καὶ τοῦτον ἐντεῦθεν βάλωμεν. τί οὖν καὶ οὗτος λέγει; ἄνθρωπος ἦν, φησι, ψιλός· καὶ ἐξ οὗ γέγονεν ἐκ Μαρίας, ἐξ ἐκείνου τὴν ὕπαρξιν μόνον ἔχει. τί οὖν, εἰπέ μοι, πρὸς ἐκείνην τὴν ῥῆσιν ἐρεῖς τὴν λέγουσαν· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε; δεῖ δὲ τὰ ἄλλα, ἅπερ πρὸς Ἰουδαίους εἴρηται, καὶ πρὸς τοῦτον ἀπὸ τούτου εἰπεῖν. καὶ τούτου οὐχ ἡμεῖς αἴτιοι, ἀλλ' αὐτοὶ οὗτοι τὴν πολλὴν τὴν συγγένειαν τῶν δογμάτων πρὸς αὐτοὺς ἔχοντες. ὅθεν

Γεν. θ. γ.

λάβοιο

ἀνακύπτοι

καὶ τοῖς αὐτοῖς ὅπλοις κατὰ τούτων χρησόμεθα. οὐ γὰρ ὁμοίως πολεμοῦντας τοῖς αὐτοῖς
βέλεσι βάλλειν δεῖ. τί δὴ βούλεται ἡ κοινωνία τοῦ θρόνου; ἐνταῦθα γὰρ τὸ ὁμοιότιμον δεί-
κνυται, ὃ καὶ τοὺς τὰ Ἀρείου φρονοῦντας ἱκανὸν ἐπιστομίσαι. διὰ τοῦτο καὶ ὁ Χριστὸς πρὸς
Ματθ. κβ. μγ. τοὺς Ἰουδαίους λέγοντας, ὅτι υἱὸς τοῦ Δαβίδ ἐστιν, ἐπήγαγε λέγων· Πῶς οὖν Δαβὶδ ἐν
πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξι-
ῶν μου; Παῦλος δὲ μετὰ τοῦτο τὸν περὶ τῆς οἰκονομίας κινῶν λόγον, καὶ σαφέστερον ἑρμη-
Ἑβρ. ζ. α. νεύων, καὶ Μαρκίωνι, καὶ Μανιχαίῳ, καὶ πᾶσι τοῖς τὰ τοιαῦτα νοσοῦσι καιρίαν δίδωσι τὴν πλη-
γήν. ἑρμηνεύει γὰρ μετὰ τῆς αὐτῷ προσηκούσης συνέσεως, πῶς γέγονεν ἱερεὺς κατὰ τὴν
τάξιν Μελχισεδέκ. ἡμεῖς δὲ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. Εἶπεν ὁ Κύριος τῷ
Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Εἶδες τὸ ὁμότιμον. ὅπου γὰρ θρόνος, βασιλείας σύμ-
Ἑβρ. α. ζ. βολον· ὅπου θρόνος εἷς, τῆς αὐτῆς βασιλείας ἰσοτιμία. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ὁ ποι-
ῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν
Δαν. ζ. ι. ιγ. υἱόν· Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. οὕτω δὴ καὶ ὁ Δανιὴλ ὁρᾷ τὴν μὲν
κτίσιν ἅπασαν παρεστῶσαν, ἀγγέλους τε καὶ ἀρχαγγέλους, τὸν δὲ υἱὸν τοῦ ἀνθρώπου ἐρχό-
μενον ἐπὶ τῶν νεφελῶν, καὶ φθάνοντα ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν. Εἰ δὲ τὸ οὕτως εἰπεῖν
σκανδαλίζει τινάς, ἀκουέτωσαν ὅτι ἐκ δεξιῶν κάθηται, καὶ ἀπαλλαττέσθωσαν τοῦ σκαν-
δάλου. ὥσπερ γὰρ ἡμεῖς μείζονα αὐτὸν τοῦ πατρὸς οὐ λέγομεν, ἐπειδὴ τὴν ἐκ δεξιῶν ἔ-
χει καθέδραν τὴν ἐντιμοτάτην· οὕτω μηδὲ σὺ ἐλάττω λέγε καὶ καταδεέστερον, ἀλλ' ἰσό-
τιμον καὶ ἴσον. τοῦτο γὰρ ἡ κοινωνία τῆς καθέδρας δηλοῖ.

2 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

α. Κορ. ιε. κγ. Καὶ τίνες οἱ ἐχθροί; ἄκουσον Παύλου λέγοντος· Ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ
Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος. δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ
πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. εἶδες προφητικῶν καὶ ἀποστολικῶν ῥη-
μάτων συμφωνίαν. καὶ γὰρ ἐκεῖ μέν φησιν, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν
ποδῶν σου· ἐνταῦθα δέ, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ. ἀλλ' οὔτε ἐκεῖ, τὸ ἕως,
οὔτε ἐνταῦθα, τὸ μέχρις, χρόνων εἰσὶν ὅροι. ἐπεὶ πῶς ἕστηκε τὸ προφητικὸν ἐκεῖνο τὸ
Δαν. γ. λδ. καὶ δ. λα. καὶ ζ. ιδ. καὶ Λουκ. α. λγ. λέγον· Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία, ἥτις οὐ διαφθα-
ρήσεται, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, εἴγε μέχρι τούτων μέλλει βασιλεύειν; ὁ-
ρᾷς ὅτι οὐ ταῖς λέξεσι δεῖ προσέχειν ἁπλῶς, ἀλλὰ πρὸς τὰ νοήματα ἀνιέναι. σὺ δὲ
ἀκούων τοῦ προφήτου λέγοντος, ὅτι ὁ πατὴρ τίθησιν ὑπὸ τοὺς πόδας, μηδὲ ἐνταῦθα
θορυβηθῇς. οὐ γὰρ ὡς ἀτονοῦντος τοῦ παιδὸς ταῦτα εἴρηται. ὁ γοῦν Παῦλος αὐτὸν λέ-
γει τιθέναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ
α. Κορ. ιε. κδ. τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ τὸ πᾶν αὐτῷ ἀνατίθησι λέγων· Ὅταν παραδῷ τὴν
βασιλείαν τῷ Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ πᾶσαν ἐξουσίαν καὶ δύναμιν, τουτέστιν,
ὅταν κατορθώσῃ τὴν βασιλείαν, παύσει πᾶσαν ἐξουσίαν. τοῦτο γάρ ἐστι τό, καταργή-
σει. τὸ πᾶν δὲ αὐτῷ λέγων εἶναι, οὐκ ἀποχωρίζει αὐτοῦ τὸν πατέρα, ὥσπερ οὐδὲ τοῦ πα-
Ἰω. ιζ. ι. τρὸς διαιρεῖ τὸν υἱόν. καὶ γὰρ τὰ ἐκείνου, τούτου· καὶ τὰ τούτου, ἐκείνου. διὸ καί φησι· Πάν-
τα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. ὅταν τοίνυν ἀκούσῃς, ὅτι ὁ πατὴρ ὑπέταξε, μὴ ἔξω-
θεν εἶναι νόμιζε τὸν υἱὸν τοῦ κατορθώματος· ἄν τε μανθάνῃς ὅτι ὁ υἱὸς ὑπέταξε, μὴ ἀλλό-
Ἰω. ε. ιθ. τριον εἶναι λέγε τὸν πατέρα. τούτου. κοινὰ γὰρ τὰ κατορθώματα, ὥσπερ καὶ πάντα τὰ ἔργα
κοινά.

3 Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Ῥάβδον δυνάμεως, τὴν δύναμιν αὐτήν φησι. τῆς δὲ Σιὼν μέμνηται, ἐπειδὴ ἐκεῖθεν
ἀρχὴν ἔλαβε τὰ κατορθώματα. ἐκεῖ γὰρ καὶ τὸν νόμον ἔδωκεν, ἐκεῖ τὰ θαύματα εἰργά-
σατο,

σατο, ἐκεῖθεν ἀρξάμενον τὸ κήρυγμα πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. εἰ δὲ βούλει καὶ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαβεῖν, ἄκουσον Παύλου λέγοντος· Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. ἡ ῥάβδος ποτὲ μὲν κολαστική ἐστι καὶ εὐεργετική, ποτὲ δὲ παρακλητικὴ καὶ βασιλείας σύμβολον. καὶ ὅτι ἑκάτερα ἐστίν, ἄκουσον τοῦ προφήτου λέγοντος· Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὐταί με παρεκάλεσαν. καὶ πάλιν· Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. καὶ ὁ Παῦλος, Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος; εἶδες πῶς ἐστι παιδεύσεως· βλέπετε πῶς καὶ βασιλείας. λέγει γὰρ Ἡσαΐας· Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης αὐτοῦ ἀναβήσεται. καὶ ὁ Δαβίδ, Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. τὴν γὰρ δύναμιν ἐνταῦθα ῥάβδον ἐκάλεσε, μεθ' ἧς οἱ μαθηταὶ τὴν οἰκουμένην περιέτρεχον ἤδη διορθοῦντες, καὶ ἐξ ἀλόγου τινὸς κακίας, ἐπὶ λογικὴν ἄγοντες τὴν τῶν ἀνθρώπων φύσιν. Πορευθέντες, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη. εἶχε καὶ Μωϋσῆς ῥάβδον, ἀλλ' ἐνέργειαν Θεοῦ δεξάμενος, δι' ἧς ἐνήργει ἐν ἅπασι. κἀκείνη μὲν ποταμοὺς διεῖλεν, αὕτη δὲ τῆς οἰκουμένης τὴν ἀσέβειαν ἔρρηξεν. οὐκ ἂν τις δὲ ἁμάρτοι καὶ τὸν σταυρὸν ῥάβδον δυνάμεως εἰπών. αὕτη γὰρ ἡ ῥάβδος γῆν καὶ θάλατταν ἐπέστρεψε, καὶ δυνάμεως μεγάλης ἐνέπλησε. μετὰ ταύτης ἐξῆλθον τῆς ῥάβδου πανταχοῦ τῆς οἰκουμένης οἱ ἀπόστολοι, καὶ πάντα ἐκεῖνα εἰργάσαντο· ταύτην ἐπιφερόμενοι πάντα ἤνυον, λαβόντες τὴν ἀρχὴν ἀπὸ Ἱερουσαλήμ.

Ἑβρ. ιβ. κβ.
Ψαλ. κβ. δ.
Ψαλ. β. θ.
α. Κορ. δ. κα.
Ἠσ. ια. α.
Ψαλ. μδ. ζ.
Ματθ. κη. ιθ.
Ἐξοδ. δ. β.

Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Ὅρα προφητείαν ὑπὲρ τὸν ἥλιον διαλάμπουσαν. τί δέ ἐστι, κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου; ἀντὶ τοῦ, ἐν μέσοις Ἕλλησιν, ἐν μέσοις Ἰουδαίοις. οὕτω γὰρ αἱ ἐκκλησίαι κατεφυτεύθησαν ἐν μέσαις ταῖς πόλεσιν, οὕτως ἐκράτησαν καὶ περιεγένοντο. τοῦτο τεκμήριον τῆς λαμπρᾶς νίκης, τὸ ἐν μέσοις τοῖς πολεμίοις ἀναστῆσαι τὰ θυσιαστήρια, τὸ καθάπερ πρόβατα ἐν μέσῳ θηρίων, καὶ ἄρνας μεταξὺ λύκων εἶναι. τοῦτο γὰρ καὶ πέμπων αὐτοὺς ἔλεγεν· Ἰδού, ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· ὅπερ οὐκ ἔλαττον τοῦ προτέρου θαύματος. τὸ γὰρ ἐν μέσοις τούτων ἀπειλημμένους κρατῆσαι, οὐκ ἔλαττον τὸ ἐν τάξει προβάτων ὄντας λύκων περιγενέσθαι, ἀλλὰ καὶ πολλῷ μεῖζον, καὶ δώδεκα τὸν ἀριθμὸν ὄντας, τὴν οἰκουμένην ἐπισπάσασθαι. καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. οὐκ εἶπε, νίκα ἐν μέσῳ τῶν ἐχθρῶν σου, ἀλλὰ κυρίευε, ἵνα δείξῃ οὐκ ἐκ παρατάξεως τὸ τρόπαιον γινόμενον, ἀλλ' ἐξ ἐπιταγῆς τὴν δεσποτείαν. οὕτω γὰρ ἐκράτουν οἱ ἀπόστολοι τὸν Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς, ὥσπερ ἐξ ἐπιτάγματος πάντα ποιοῦντες. ὅθεν καὶ πᾶσα αὐτοῖς οἰκία ἀνέῳκτο, καὶ δούλων παντὸς εὐπειθέστερον οἱ πιστεύοντες ὑπήκουον, τά τε ὄντα ἀποδιδόμενοι, καὶ τὰς τιμὰς παρὰ τοὺς πόδας τιθέντες αὐτῶν, οὐδὲ εἰς τὴν χεῖραν αὐτῶν τολμῶντες τι λαβεῖν· οὕτω τε αὐτοὺς ἐμεγάλυνον, ὅτι οὐδὲ ἐτόλμων κολλᾶσθαι αὐτοῖς. οὐ μόνον δὲ ἐπὶ τῶν πιστῶν τοσαύτην εἶχον ἰσχύν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπίστων. τί γάρ, εἰπέ μοι, δούλου τεκμήριον; ἆρ' οὐ τὸ ποιεῖν ὅπερ αὐτοῦ ὁ δεσπότης ἐπιτάττει; τί δὲ δεσπότου σημεῖον; ἆρ' οὐ τὸ ταῦτα ἀνύειν ἐν τοῖς δούλοις, ἅπερ αὐτὸς βούλεται; τίνες οὖν οἱ ἀνύσαντες, ἅπερ ἤθελον, ἐπὶ τῶν τότε βασιλέων καὶ ἀρχόντων; ἆρ' οὐχ οἱ ἀπόστολοι; εὔδηλον ὅτι. οἱ μὲν γὰρ βασιλεῖς καὶ οἱ ἄρχοντες ἐβούλοντο κατέχειν ἐν ἀσεβείᾳ τὴν οἰκουμένην (καὶ γὰρ δαίμοσι λατρεύειν ἐπέταττον) οἱ δὲ ἀπόστολοι τοὐναντίον· καὶ τὸ θέλημα τούτων ἐγένετο. εἰ δὲ λέγεις μοι τὸ δεσμωτήριον, καὶ τὰς μάστιγας, καὶ τὰς βασάνους, μείζονάς μοι λέγεις τὰς

Ματθ. ι. ιϛ.
Πράξ. β. με. καὶ δ. λδ. καὶ ε. ιγ.

δεσποτείας. πῶς, καὶ ἐν τίνι τρόπῳ; ὅτι καὶ τούτων γινομένων, τὸ θέλημα τὸ τούτων ἐγίνετο. οὐ γὰρ νόμῳ διὰ τὴν τῶν πολλῶν δεσποτῶν, ἀλλ' ἀρετῇ ταύτην ἐνεδύσαντο τὴν δεσποτείαν τὴν οὐδενὸς τῶν ἔξωθεν δεομένην, ἀλλ' ἐν τῷ παρὰ πάντων ἐπιβουλεύεσθαι λάμπουσαν. ἐκείνους μὲν γὰρ τοὺς δεσπότας ἐπιβουλεύσαντες δοῦλοι πολλάκις ἠφάνισαν, ἐπειδὰν ἀτηκὴς ἦν τις καὶ ἀσθενεστάτη· ταύτην δὲ σβέσαι οὐκ ἴσχυσαν, ἀλλ' ἐπιβουλεύοντες μειζόνως ἔδειξαν διαλάμπουσαν. τίς οὖν λαμπρότερος ἂν εἴη δεσπότης; ὁ μυρίων δεόμενος βοηθημάτων ἵνα κρατῇ τῶν οἰκετῶν, ἢ ὁ πάντων ἀπηλλαγμένος ἐκείνων, καὶ μετ' ἐξουσίας ἄγων καὶ φέρων τοὺς ὑποκειμένους; εὔδηλον ὅτι οὗτος. οἱ μὲν γὰρ δεσπόται τὴν δεσποτείαν ταύτην τὴν τῶν πολλῶν, ἂν μὴ τοὺς νόμους ἔχωσι βοηθοῦντας, καὶ τὸ ἐν πόλεσιν οἰκεῖν, πολλάκις μετὰ τῆς δεσποτείας καὶ τὴν ζωὴν ἀπώλεσαν. Παῦλος δὲ καὶ ἐν ἐρημίαις, καὶ πανταχοῦ τὴν κυριότητα ἐδείκνυτο. βούλει καὶ βασιλέων αὐτῶν ἰδεῖν λαμπρότερον; εἰσήγαγε νόμους πανταχοῦ τῆς οἰκουμένης, καὶ τοὺς τῶν βασιλέων ἀφέντες νόμους οἱ ἄνθρωποι τοῖς ἐκείνου γράμμασιν ἐπείθοντο· ἄλλως δὲ, καὶ οἱ μὲν σωμάτων, οἱ δὲ ψυχῶν ἐκράτουν. τίς οὖν οὕτω δοῦλος δεσπότῃ, ἢ ἀρχόμενος βασιλεῖ μετ' εὐνοίας ὑπήκουσεν, ὡς οἱ πιστοὶ τῷ Παύλῳ ἐπιτέλλοντι μόνον; τί ἄν τις εἴποι τὸν πόθον, τὸν ζῆλον τὸν ὑπὲρ αὐτοῦ, ὅπου γε καὶ τοὺς ὀφθαλμοὺς ἐξορύξαι ἕτοιμοι ἦσαν; τίς τοιούτους ἐκτήσατο δούλους ποτέ; ταῦτα πάντα ἐννοῶν ὁ προφήτης, πῶς μὲν τοὺς πιστοὺς ὑπέταξεν, πῶς δὲ τοῖς ἀπίστοις ἦσαν φοβεροὶ, κατὰ κράτος αὐτοὺς ἐλαύνοντες, καὶ πῶς δι' αὐτῶν ὁ Χριστὸς ἐκράτει· οὐκ εἶπεν ἁπλῶς, κυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου, ἀλλὰ κατακυρίευε, τὴν ἐπιτεταμένην δεσποτείαν δηλῶν. καὶ ταῦτα ὁρῶντες οἱ πολέμιοι, οὐδὲν ἴσχυον ποιεῖν, καίτοι τοὺς νόμους μεθ' ἑαυτῶν ἔχοντες, καὶ δημίους καὶ ἐξουσίαν ἅπασαν, ἀλλ' ἦσαν οὗτοι δυνατώτεροι διὰ τὸν ἐνοικοῦντα ἐν αὐτοῖς. οὕτω κατεκυρίευσε δι' αὐτῶν. οὐχ ἁπλῶς ἐκυρίευσεν, ἀλλὰ κατεκυρίευσε. καὶ γὰρ σφόδρα ἐκράτει. διὰ γοῦν τῶν ἐν αὐτοῖς, καὶ πυρὸς κατετόλμων, καὶ σιδήρου, καὶ θηρίων, καὶ τῶν ἄλλων ἁπάντων (καὶ γὰρ εἰς πάντα ἦν μετ' αὐτῶν ὁ Χριστός) οἱ δὲ καθάπερ ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασι, καὶ πάντων ἀπαλλαγέντες τῶν ἐν τῷ βίῳ λυπηρῶν, οὕτως ἔχαιρον, καὶ οὕτως ἐσκίρτων ὑπὸ τῆς τοῦ Χριστοῦ δεσποτείας κατεχόμενοι, μὴ χρημάτων φειδόμενοι, μὴ σωμάτων, μὴ τῆς παρούσης ζωῆς. καὶ ταῦτα μὲν ἐποίουν οἱ ποτὲ ἐχθροὶ καὶ πολέμιοι. ἀλλ' ἡ ἄμαχος τοῦ Χριστοῦ δύναμις οὐ μόνον τῆς ἔχθρας αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ εἰς δουλείαν καὶ εἰς τοσαύτην οἰκείωσιν ἤγαγεν. ὥστε κἂν λέγηται ὁ πατὴρ τοὺς ἐχθροὺς τιθέναι ὑπὸ τοὺς πόδας αὐτοῦ, οὐχ οὕτω λέγεται, καθάπερ εἶπον, ὡς μηδὲν ἐνεργοῦντος τοῦ παιδὸς (τοῦ γὰρ μονογενοῦς τὸ κατόρθωμα γέγονεν ἅπαν) ἀλλ' ἵνα, ὅπερ ἔφθην εἰπὼν, τὸν πατέρα καὶ τὸν υἱὸν Θεὸν ἕνα νοῇς, φυλαττομένης ἑκάστῳ τῆς ἰδιότητος, καὶ ἵνα μὴ δύο νοήσῃς ἀγεννήτους. ὅτι γὰρ αὐτοῦ πᾶν ἐστι τὸ κατόρθωμα, ἀπὸ τῶν ἤδη κατωρθωμένων ἐννόει, καὶ μὴ ἁπλῶς ἀνθρωπίνως ἐκλάμβανε τὰ εἰρημένα· πολὺ γὰρ τὸ ἄτοπον ἕψεται. ἵνα δὲ καὶ σὺ μάθῃς, ἄκουε ὃ μέλλω λέγειν. τῶν ἀνθρώπων οἱ μὲν ἐγένοντο φίλοι, ἐχθροὶ πρότερον ὄντες· οἱ δὲ μένουσιν ἔτι ἐχθροί. ἀλλ' ὅτι μὲν τοὺς ἐχθροὺς φίλους αὐτὸς ἐποίησε, καὶ Παῦλος δηλοῖ τῷ εἰπεῖν· Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί. . δηλοῖ δὲ καὶ ὁ σωτὴρ πρὸς αὐτὸν τὸν πατέρα λέγων· Ἐγώ σε ἐδόξασα ἐν τῷ κόσμῳ, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω. τὸ δὲ τοὺς ἐχθροὺς ὑποτάξαι, τοῦ πατρὸς γέγονε. καίτοιγε τούτου ἐκεῖνο μεῖζον. οὐ γὰρ ἴσον κολάσαι ἐχθροὺς μένοντας, καὶ ποιῆσαι φίλους ἐχθροὺς ὄντας. ἀλλ' οὔτε ὁ υἱὸς διὰ τοῦτο ἐλάττων τοῦ πατρὸς, οὔτε ὁ πατὴρ ἐλάττων διὰ τοῦτο τοῦ υἱοῦ. ἵνα δὲ μάθῃς ὅτι καὶ ἐκεῖνα τοῦ υἱοῦ, ὥσπερ καὶ ταῦτα τοῦ πατρὸς, ἄκουσον. Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι

γρ. διὰ

γρ. αὐτὴ

Γαλ. δ. ιε.

γρ. καὶ πάντα ἦν αὐτοῖς ὁ Χριστός.

α Κορ. ιε. κδ.

Ιω. ιζ. δ.

Ματθ. κε. μα.

ραμένοι εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ματθ. κε. μα. καὶ ὁ τοὺς ἀγγέλους πέμπων, ὥστε συλλέξαι τὰ ζιζάνια, ὁ μονογενής ἐστι. καὶ πανταχοῦ ὁρῶμεν αὐτὸν ὄντα τὸν κολάζοντα*. τὸ διάβολον. τοῦτο καὶ οἱ δαίμονες αὐτοὶ ὁμολογοῦσι λέγοντες· Ματθ. η. κθ. Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ὥστε αὐτός ἐστιν ὁ μέλλων αὐτοὺς βασανίζειν. ὁρᾷς ὅτι κἂν ὑπὸ τοῦ πατρὸς λέγηται γίνεσθαι τὰ γινόμενα, τοῦ παιδός ἐστι κατορθώματα; ὅτι δὲ καὶ τὰ τοῦ παιδὸς, τοῦ πατρὸς, ἄκουσον πάλιν αὐτοῦ λέγοντος· Ιω. ς. μδ. Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν. καὶ πάλιν· Ιω. ιδ. ς. Οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. οὐ τοίνυν ἀνθρωπίνως ἐκλαμβάνειν τὰ τοιαῦτα δεῖ. ἐπεὶ καὶ τοὺς ἐχθρούς σου, οὕτως ἐκδεκτέον, οὐχ ὡς αὐτοῦ μόνου ἐχθρούς. Ιω. ε. κγ. Ὁ γὰρ μὴ τιμῶν τὸν υἱόν, φησιν, οὐ τιμᾷ τὸν πατέρα. ὥστε οἱ Ἰουδαῖοι οὐκ αὐτοῦ μόνου ἐχθροί, ἀλλὰ καὶ τοῦ πατρός. διὸ καὶ τὴν πανωλεθρίαν αὐτοῖς ἐπήγαγε, καὶ τὴν πόλιν αὐτῶν ἐρείπιον ἐποίησεν, εἰ καὶ μὴ εὐθέως μετὰ τὸν σταυρόν, ἀλλὰ καὶ χρόνον αὐτοῖς πολὺν εἰς μετάνοιαν ἔδωκεν, εἴγε ἐβούλοντο, καὶ τοὺς ἀποστόλους ἀφῆκεν, ἵνα δι' αὐτῶν μαθόντες αὐτοῦ τὴν ἰσχύν, ὀψέ γοῦν ποτε ἐπιστρέψωσιν. ἐπειδὴ δὲ ἀνίατα ἐνόσουν, τὰ κολοφῶνα ἐπήγαγε τῶν κακῶν· καὶ ταύτῃ πάλιν αὐτοὺς καλῶν εἰς μετάνοιαν, ἵνα τῆς πολιτείας ἐκπεσόντες τῆς παλαιᾶς, ἐπ' αὐτῆς γοῦν τῶν πραγμάτων τῆς ἀνάγκης πρὸς τὴν ἀλήθειαν χειραγωγηθῶσι, τόν τε ὑβρισμένον ὁρῶντες πανταχοῦ προσκυνούμενον, καὶ τὰ αὐτῶν λελυμένα ἅπαντα. ὅταν δὲ μηδὲ οὕτω γίνωνται βελτίους, τότε λοιπὸν ἅτε ἁπάσης ἀπηλλαγμένοι συγγνώμης, εἰς τὴν ἀθάνατον ἐμπεσοῦνται κόλασιν. ὑποπόδιον δὲ ἀκούων, μηδὲν αἰσθητὸν νόμιζε λέγειν, ἀλλὰ ὑποταγήν. ὅτι δὲ αὐτῷ ὑποτάσσει, δῆλον ἐκ τῆς ἐπαγωγῆς. καλῶς δὲ οὕτως εἶπεν· ἐπεὶ γὰρ ὁ θρόνος εἷς, καὶ τὸ ὑποπόδιον ἕν.

4 Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου.

Ἐπειδὴ γὰρ εἶπεν ἄνω, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, ἵνα μὴ νομίσῃ τις ἀσθενῆ τὸν υἱὸν εἶναι, καὶ ἐνεργείας δεῖσθαι, καθάπερ τινὰ τῶν ἀποστόλων, ἄκουσον πῶς καὶ τῆς ὑπονοίας αὐτῆς ἐπάγει τὴν διόρθωσιν λέγων· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. τί ἐστι, μετὰ σοῦ ἡ ἀρχή; ἐν σοί, φησιν, ἡ ἀρχή, οὐχ ὕστερον ἐπιγενομένη, ἀλλ' ἐν σοὶ οὖσα διαπαντός. ὅπερ καὶ ὁ Ἡσαΐας δηλῶν ὁμοίως ἔλεγεν· Ησ. θ. ς. Οὗ ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ, τουτέστιν, ἐν αὐτῷ, ἐν τῇ οὐσίᾳ αὐτοῦ, ἐν τῇ φύσει αὐτοῦ· ὅπερ ἐπὶ τῶν βασιλέων οὐκ ἔνι. ἡ γὰρ ἀρχὴ αὐτῶν, ἐν τῷ πλήθει τῶν στρατοπέδων. ὅπερ ἐπὶ τῶν ἀποστόλων οὐκ ἦν. καὶ γὰρ καὶ αὐτῶν ἡ ἀρχή, ἐνεργείας ἔξωθεν εἰσαγομένης αὐτοῖς ἐγίνετο· αὐτὸς δὲ ἐν τῇ φύσει τὴν ἀρχὴν εἶχεν, ἐν τῇ οὐσίᾳ, οὐ μετὰ τὸ γεννηθῆναι προσλαβὼν ὕστερον, οὐδὲ ἐπείσακτον κτησάμενος, ἀλλ' οὕτω γεννηθείς. διὸ καὶ περὶ βασιλείας ἐρωτώμενος ἔλεγεν· Ιω. ιη. λζ. Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. οὐ ταῦτα δὲ μόνον τὰ εἰρημένα δηλοῖ τὸ, μετὰ σοῦ ἡ ἀρχή, ἀλλὰ καὶ ἕτερα· οἷον, τὸ μὴ ἐν ἄλλῳ αὐτοῦ εἶναι τὴν ἀρχήν, τὸ διηνεκῆ καὶ ἀθάνατον. ἀνθρώπους μὲν γὰρ καὶ ζῶντας ἐπιλιμπάνει πολλάκις· εἰ δὲ μὴ ζῶντας, ἀλλ' ἀποθανόντας πάντως. μᾶλλον δὲ οὐδὲ ἡνίκα ζῶσι, μετ' αὐτῶν ἐστιν, ἀλλ' ὅπερ ἔφθην εἰπών, ἐν στρατοπέδοις καὶ σωματοφύλαξιν, ἐν χρημάτων περιουσίᾳ, καὶ τειχῶν περιβολαῖς καὶ τοῖς ἄλλοις ἅπασιν. ἐπὶ δὲ τοῦ Χριστοῦ οὐ μόνον τοῦτο οὐκ ἔστιν, ἀλλ' ἐν αὐτῷ ἐστι καὶ διηνεκῶς. καὶ ὥσπερ τὴν οὐσίαν αὐτοῦ ἀδύνατον μὴ εἶναι, οὕτω καὶ τὴν βασιλείαν. ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. ἡμέραν δυνάμεως εἴποι τις ἂν, τήν τε ἤδη γενομένην, τήν τε ἐσομένην ἡμέραν. ἑκατέρα γὰρ μεγίστης δυνάμεως ἀπόδειξις. ἢ οὐ δοκεῖ σοι δυνάμεως μέγιστον εἶναι τεκμήριον, ὅταν διὰ θανάτου θάνατος καταργῆται, Εβρ. β. ιδ.

ὅταν

Λυκ. ζ. ιε. καὶ
Ιωαν. ια. μδ.
Λυκ. ιζ. ιβ. καὶ
η. κθ. Ματθ. η.
κζ. Μαρκ. β. θ.
Εφς. θ. η.
Ματθ. κζ. μα.
να.
Λυκ. κγ. μγ.
Μαρκ. ιε. λθ.

γρ. ἀνεπετάννυντο,
* πρὸς τὰ ὑψώματα

ὅταν χαλκαῖ πύλαι συντρίβωνται, ὅταν ἁμαρτία ἀφανίζηται, ὅταν κατάρα λύηται, ὅταν τὰ παλαιὰ πάντα ἀνατρέπηται κακὰ, καὶ ἕτερα ἐπεισάγηται νέα καλά; τί γὰρ τῆς δυνάμεως ταύτης ἴσον, ἄν τε τὰ θαύματα ἐξετάζῃς, ἄν τε τὰ κατορθώματα; Νεκροὶ ἠγείροντο, λεπροὶ ἐκαθαίροντο, δαίμονες ἠλαύνοντο, θάλασσα ἐχαλινοῦτο, ἁμαρτήματα ἐλύετο, παραλυτικοὶ ἐσφίγγοντο, παράδεισος ἠνοίγετο, πέτραι ἐρρήγνυντο, καταπέτασμα ἐσχίζετο, ἀκτῖνες ἡλίου ἀπεστρέφοντο, καὶ σκότος τὴν οἰκουμένην κατελάμβανε, σώματα τῶν κεκοιμημένων ἁγίων ἠγείρετο, λῃστὴς εἰς τὴν παλαιὰν ἐπανῄει πατρίδα, οὐρανοῦ ἁψῖδες "ἀνεπετάννυντο, ἡ φύσις ἡ καταπεπατημένη ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ* ἀνῄει, καὶ τὸ δὴ τούτου μεῖζον, ἐπὶ θρόνου ἐκαθέζετο βασιλικοῦ, παρεστώτων ἀγγέλων αὐτῇ καὶ τῶν ἄλλων δυνάμεων· κακία πᾶσα ἠλαύνετο, ἀρετὴ ἐπανήγετο, πνεύματος χάρις ἐδίδοτο, ἁλιεῖς καὶ τελῶναι καὶ σκηνοποιοὶ φιλοσόφων ἀπέρραπτον στόματα, ῥητόρων ἀπέστρεφον γλῶτταν, δαιμόνων κατέλυον τυραννίδα· βωμοὶ, καὶ ναοὶ, καὶ ἑορταὶ, καὶ πανηγύρεις Ἑλληνικαὶ διελύοντο, κνῖσαι καὶ καπνὸς καὶ τὰ ἐναγῆ θύματα, πάντα μετὰ κράτους ἠλαύνετο· μάντεις, καὶ μητραγύρται, καὶ οἰωνοσκόποι, καὶ ἅπαν τοῦ διαβόλου τὸ ἐργαστήριον ἐδραπέτευον, ἐκκλησίαι πανταχοῦ τῆς οἰκουμένης ἐβλάστανον, παρθένων χοροὶ συνίσταντο, μοναζόντων τάγματα, μετὰ τῶν πόλεων καὶ ἡ ἔρημος εὐσεβείας ἐπληροῦτο, καὶ χοροὶ δικαίων καὶ ἁγίων ἀνδρῶν ἱστάμενοι ταῖς ἄνω δυνάμεσι τῶν ἀγγέλων ἀντήχουν ἐν τῇ μελῳδίᾳ, καὶ μαρτύρων δῆμοι, καὶ ὁμολογητῶν πλήθη πανταχοῦ τῆς οἰκουμένης ἐφυτεύετο, ἀρετὴ μετὰ πολλῆς κατωρθοῦτο τῆς εὐκολίας, βαρβάρων ἔθνη φιλοσοφεῖν ἐπαιδεύετο, καὶ οἱ θηρίων ἀγριώτεροι πρὸς τὴν τῶν ἀγγέλων πολιτείαν τὴν ἅμιλλαν ἐπεδείκνυντο· καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ὁ λόγος ἐπέτρεχε μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν. ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης ἔλεγε· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. Εἰ δὲ βούλει καὶ τὴν μέλλουσαν ἡμέραν ἰδεῖν, καὶ μαθεῖν πῶς καὶ ἐκείνη ἡμέρα δυνάμεως αὐτοῦ ἐστιν· ἐννόησον ἡλίκον ἐστὶν ἰδεῖν τὸν οὐρανὸν συστελλόμενον, καὶ ἅπασαν τὴν φύσιν τὴν "καταφθαρεῖσαν ἀνισταμένην, καὶ τῷ νεύματι περιισταμένους ἅπαντας, διάβολον καταισχυνόμενον, δαίμονας κάτω κύπτοντας, δικαίους στεφανουμένους, ἕκαστον εὐθύνας διδόντα τῶν πεπλημμελημένων, τὰ βραβεῖα λαμβάνοντα τῶν κατορθωμάτων, ἑτέρας ζωῆς κατάστασιν γινομένην. οὐκ ἔτι γὰρ θάνατος, καὶ νόσος, καὶ γῆρας, οὐκ ἔτι πενίαι, καὶ ἐπήρειαι, καὶ ἐπιβουλαὶ, οὐκ ἔτι οἰκήματα, καὶ πόλεις, καὶ τέχναι, καὶ ναυτιλίαι, οὐκ ἔτι ἱματίων περιβολὴ, καὶ σῖτα, καὶ ποτὰ, καὶ ὄροφοι, καὶ κλῖναι, καὶ τράπεζαι, καὶ λυχνίαι, οὐκ ἔτι ἐπιβουλαὶ, καὶ μάχαι, καὶ δικαστήρια, οὐκ ἔτι γάμοι, καὶ ὠδῖνες, καὶ τόκοι· ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις ἀποσοβουμένη καταλύεται, καὶ ἑτέρα τις ἀμείνων ζωῆς κατάστασις δίδοται, ἀφθαρσίας, ἀθανασίας, δυνάμεως πολλῆς τῷ σώματι χαριζομένης. ἅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου. Εἰ δὲ ἀπιστεῖς τοῖς εἰρημένοις, ἐπειδὴ μὴ ὁρᾷς αὐτὰ παρόντα· ἀπὸ τῶν παρόντων εἰς τὰ περὶ τῶν μελλόντων λάμβανε τὴν ἀπόδειξιν. ἔπελθε τῷ λόγῳ τὴν οἰκουμένην ἅπασαν, τὴν γῆν, τὴν θάλατταν, τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν οἰκουμένην, τὴν ἀοίκητον, τὰς ἐν τῇ γῇ πόλεις, τὰς ἐν τῇ θαλάττῃ νήσους, τὰ ὄρη καὶ τὰς νάπας· καὶ ἰδὼν πανταχοῦ τὴν δύναμιν τοῦ Χριστοῦ διαλάμπουσαν, καὶ πάντας τὸ τίμιον ὄνομα ἀνακηρύττοντας, ἀναλογίζου πρὸς ἑαυτὸν, ὅτι ὁ τοσαῦτα δυνηθεὶς, οὗτος καὶ τὰ μέλλοντα ἐπηγγείλατο. Εἰ δὲ καὶ ἀπὸ μέρους ἐθέλοις λαμβάνειν ἀπόδειξιν, ἐννόησον τίνος ἕνεκεν ἡ οἰκουμένη συντρέχει ἅπασα τάφον ἰδεῖν σῶμα οὐκ ἔχοντα. ποία δύναμις ἕλκει τοὺς ἀπὸ τῶν περάτων τῆς γῆς, ὥστε ἰδεῖν ποῦ μὲν ἐτέχθη, ποῦ δὲ ἐτάφη, ποῦ δὲ ἐσταυρώθη; ἐννόησον αὐτὸν τὸν σταυρὸν, ὅσης δυνάμεώς ἐστι σημεῖον. ὁ γὰρ

Ματθ. κε. λβ.

α. Κορ. ζ. λα.

σταυρὸς ἐστὶ περὶ τούτου, θάνατος ἦν ἐπάρατος, θάνατος ἐπονείδιστος, θάνατος ὁ πάντων αἴσχιστος· ἀλλ' ἰδοὺ νῦν τῆς ζωῆς αὐτῆς τιμιώτερος γέγονε, καὶ διαδημάτων λαμπρότερος· καὶ πάντες ἐπὶ μετώπου αὐτὸν περιφέρομεν, οὐ μόνον οὐκ αἰσχυνόμενοι, ἀλλὰ καὶ ἐγκαλλωπιζόμενοι τούτῳ. οὐ γὰρ ἰδιῶται μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τὰ διαδήματα περικείμενοι ἐπὶ τοῦ μετώπου ὑπὲρ τὰ διαδήματα αὐτὸν βαστάζουσι· καὶ μάλα εἰκότως. μυρίων γὰρ διαδημάτων ἀμείνων. τὸ μὲν γὰρ διάδημα καλλωπίζει κεφαλὴν, ὁ δὲ σταυρὸς ἀσφαλίζεται διάνοιαν. τοῦτο δαιμόνων ἀμυντήριον, τοῦτο νοσημάτων ψυχῆς ἀναιρετικὸν, τοῦτο ὅπλον ἀχείρωτον, τοῦτο τεῖχος ἄμαχον, τοῦτο ἀσφάλεια ἀκαταγώνιστος· οὐ βαρβάρων ἐφόδους, οὐ πολεμίων μόνον καταδρομὰς, ἀλλὰ καὶ αὐτὴν τὴν ἀγρίων δαιμόνων διαλύον τὰς φάλαγγας. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων.

Ἕτερος, Ἐν εὐπρεπείᾳ ἁγίου. Ἄλλος, Ἐν δόξῃ ἁγίων. Ἐπὶ τέλει τῆς ἡμέρας διαλέγεται τῆς τε παρούσης, τῆς τε μελλούσης. λαμπρότητα δὲ ἐνταῦθα τὸ κάλλος φησὶ τῶν ἁγίων. τί γὰρ λαμπρότερον Παύλου; τί δὲ περιφανέστερον Πέτρου, οἳ τὴν οἰκουμένην περιέτρεχον, ὑπὲρ τὸν ἥλιον λάμποντες, τὰ σπέρματα τῆς εὐσεβείας καταβάλλοντες; ὡς ἐξ οὐρανῶν ἄγγελοι καταβάντες, οὕτως ἦσαν πᾶσιν ἀπρόσιτοι. τοῦτο δεικνὺς ὁ τὸ βιβλίον τῶν πράξεων συνθεὶς ἔλεγεν· Ὅτι οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς. καὶ γὰρ τὰ ἱμάτια αὐτῶν πολλῆς ἔγεμε χάριτος, καὶ αἱ σκιαὶ τῶν σωμάτων πολλὴν ἐπεδείκνυντο δύναμιν. εἰ δὲ ἐνταῦθα τοιοῦτοι· ἐννόησόν μοι κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἄφθαρτα σώματα λάβωσιν, ὅταν ἀθάνατα, ὅταν ὑπὲρ πᾶσαν ὁρωμένην λαμπρότητα ἀποστίλβοντα, τίνες ἔσονται οὗτοί τε, καὶ οἱ τούτοις ἐοικότες, προφῆται, καὶ ἀπόστολοι, καὶ δίκαιοι, καὶ μάρτυρες, καὶ ὁμολογηταὶ, καὶ πάντες οἱ κατὰ τὴν ἀρίστην πολιτείαν διαπρέψαντες ἐν τῇ πίστει τῇ εἰς Χριστόν; ἐννόησόν μοι τοὺς δήμους ἐκείνους, τὰς λαμπάδας, τὰς ἀκτῖνας, τὴν δόξαν, τὴν εὐπρέπειαν, τὴν φαιδρότητα, τὴν πανήγυριν. τίς ταῦτα παραστήσει; λόγος μὲν οὐδείς· ἡ δὲ πεῖρα μόνη σαφῶς διδάξει τοὺς ἀξίους ταύτης γενέσθαι τῆς θεωρίας τὴν λαμπρότητα ἐκείνην. ταυτὸν γὰρ οἶμαι συμβαίνειν, οἷον εἰ πολλοὶ ἥλιοι ὑπὸ τὸν οὐρανὸν ἔλαμψαν, ἢ εἰ συνεχεῖς ἀστραπαί· μᾶλλον δὲ, ὅπερ ἂν εἴπω φιλονεικῶν παραστῆσαι τὸ κάλλος ἐκεῖνο, οὐ δυνήσομαι κατ' ἀξίαν εἰπεῖν. τὰ γὰρ παραδείγματα ἅπαντα ταῦτα, σωματικά· ἡ δὲ λαμπρότης, καὶ ἡ δόξα ἡ τότε μέλλουσα ἐκλάμπειν ἐκεῖ, ὑπὲρ ἅπαν τοιοῦτο κάλλος διαλάμψει. οὐ γὰρ ἄφθαρτα ἔσται τὰ σώματα μόνον, οὐδὲ ἀθάνατα, ἀλλὰ καὶ δόξαν ἄρρητον ἐνδύσεται τότε. ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. ἵνα * μὴ φοβερὸν ὄντα δείξῃ μόνον, δείκνυσιν αὐτοῦ καὶ τὸ ἥμερον καὶ τὸ εὐεργετικὸν, λέγων· ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. καὶ τοῦτο τῆς ἐκείνου δυνάμεώς ἐστι, τὸ λαμπροὺς οὕτως ἐκείνους ποιῆσαι. ὅπερ καὶ Παῦλος δηλῶν ἔλεγεν· Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι συμμόρφοις τῷ σώματι τῆς δόξης αὐτοῦ. εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἄφατον, ἐπήγαγε· κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑποτάξαι αὐτῷ τὰ πάντα. μὴ ζήτει πῶς, φησι, καὶ τίνι τρόπῳ. δυνατὰ γὰρ αὐτῷ πάντα ὅσα βούλεται. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, ἐν τῇ λαμπρότητι τῶν ἁγίων, ἀλλ' ἐν ταῖς λαμπρότησιν; ὅτι πολλὰ καὶ διάφορα τὰ βραβεῖα. Ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτως ἔσται, φησὶ, καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. καὶ ὁ Χριστός· Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου πολλαὶ μοναί εἰσι. [διὰ τοῦτο] ἡ λαμπρότης ἐκείνη τέλος οὐκ ἔχει. οὐδὲ γὰρ εἴκει νυκτὶ, οὐδὲ παραχωρεῖ σκότῳ, ἀλλ' ἄφατος οὖσα καὶ μεγάλη καὶ πολὺ ταύτην τὴν ὁρωμένην ὑπερβαίνουσα, ἔτι καὶ τοῦτο ἔχει μέγιστον, τὸ πέρας μὴ δέχεσθαι· ὅπερ ἀφάτου δυνάμεώς ἐστι τοῦ βασιλέως,

Πράξ. ε. ιγ.
Πράξ. ε. ιε. καὶ ιθ. ια.
α. Κορ. ιε. μβ.
Φιλιππ. γ. κα.
α. Κορ. ιε. μα.
Ιωάν. ιδ. β.

τὸ τὰ σώματα τὰ φθαρτὰ καὶ ἐπίκηρα εἰς τοσαύτην ἄγειν ἰσχὺν καὶ δύναμιν. εἶτα ἐπεὶ μεγάλα τινὰ εἶπε, καὶ ταῖς ἐλπίσιν ἀνεπτέρωσε τὸν ἀκροατὴν, δείκνυσιν ὅτι καὶ εἰκότως ταῦτα γίνεται, ἐπειδὴ τηλικοῦτος ὁ κατορθῶν. τίς δὲ ὁ κατορθῶν; ὁ ὁμοούσιος τῷ πατρί. τοῦτο γὰρ δηλῶν ἐπήγαγε τό, Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Ἀλλ' οἱ πρὸς τὴν ἑαυτῶν γνώμην διαστρέφοντες τὰ εἰρημένα, περὶ τῆς κατὰ σάρκα ταῦτά φασι γεννήσεως εἰρῆσθαι. πῶς οὖν πρὸ ἑωσφόρου, εἰπέ μοι, τὴν νύκτα, φησὶν, οὕτως εἶπε, καθ' ἣν ἐτίκτετο, ὅτι πρὸ τοῦ ὄρθρου ἐτέχθη. ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον εἰπεῖν, οὐδὲ ἱστορίας χάριν ἔλεγεν. ἄλλως δὲ, οὐδὲ ἔχουσι δεῖξαι, ὅτι ὅπερ οἱ εὐαγγελισταὶ ἐδίδαξαν, τοῦτο εἶπον οἱ προφῆται, οἱ συνεσκιασμένως τὰ πλείω φθεγγόμενοι. ἐνταῦθα τοίνυν τὸ, πρὸ ἑωσφόρου, οὐ πρὸ τῆς ἀνατολῆς λέγει τοῦ ἑωσφόρου, ἀλλὰ πρὸ τῆς φύσεως, πρὸ τοῦ γενέσθαι ἑωσφόρον. οἶδε γὰρ ταῦτα ἡ γραφὴ διαιρεῖν, ὅταν περὶ φύσεως λέγῃ, καὶ ὅταν περὶ ἐνεργείας. οἷον ὅταν λέγῃ, Δεῖ φθάνειν τὸν ὄρθρον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι· ἐνταῦθα τὸν ὄρθρον λέγει. οὐ γὰρ εἶπε πρὸ ἡλίου, ἀλλὰ πρὸ ἀνατολῆς· οὐ πρὸ τῆς φύσεως (οὐδὲν γὰρ πρὸ τῆς φύσεως τοῦ ἡλίου γέγονεν) ἀλλὰ πρὸ ἀνατολῆς τοῦ ἡλίου, ἵνα τὸν ὄρθρον ἐμφήνῃ. ἀλλαχοῦ δὲ, ὅτε περὶ τῆς φύσεως αὐτοῦ λέγει, οὐ λέγει πρὸ ἀνατολῆς, ἀλλὰ πρὸ τοῦ ἡλίου, ὡς ὅταν λέγῃ· Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν· καὶ πάλιν· Πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ. ὥσπερ οὖν ἕτερον πρὸ ἡλίου, καὶ ἕτερον τὸ πρὸ ἀνατολῆς ἡλίου (τὸ μὲν γὰρ τὴν ἐνέργειαν τοῦ ἡλίου καὶ τὸν ὄρθρον δηλοῖ, τὸ δὲ τὴν φύσιν) οὕτω δὴ καὶ ἐνταῦθα, εἰ ἐβούλετο τὴν νύκτα δηλῶσαι, οὐκ ἂν εἶπε πρὸ ἑωσφόρου, ἀλλὰ πρὸ ἀνατολῆς ἑωσφόρου. ἄλλως δὲ, καὶ ὁ Χριστὸς τὸν ψαλμὸν τοῦτον οὐκ εἰς τὴν κατὰ σάρκα οἰκονομίαν, ἀλλ' εἰς τὴν κατὰ πνεῦμα γέννησιν ἔλαβεν. εἰπὼν γὰρ τοῖς Ἰουδαίοις· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; ἐπειδὴ εἶπον τοῦ Δαβίδ· ἐπήγαγε τὸν ψαλμὸν, λέγων· πῶς οὖν Δαβὶδ φησιν, εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἰ οὖν Κύριος αὐτοῦ ἐστι, πῶς ὑμεῖς λέγετε ὅτι υἱὸς αὐτοῦ ἐστι; τί οὖν ἐστι τὸ λεγόμενον; τὸ γνήσιον τῆς γεννήσεως παρέστησεν ἐνταῦθα. τί οὖν; πρὸ τοῦ ἑωσφόρου μόνον ἐστίν; οὐδαμῶς. ἐπεὶ καὶ ἀλλαχοῦ φησι· πρὸ τῆς σελήνης ὁ θρόνος αὐτοῦ. καὶ οὐ πρὸ τῆς σελήνης μόνον, ἐπεὶ καὶ περὶ τοῦ πατρὸς λέγει· Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. οὐκ ἀπὸ τοῦ αἰῶνος μόνον, ἀλλὰ καὶ πρὸ τοῦ αἰῶνος· οὐδὲ ἕως τοῦ αἰῶνος, ἀλλ' ἀπείρως ἐστί. μὴ δὴ προσπάλαιε ταῖς λέξεσιν, ἀλλὰ θεοπρεπῶς δέχου τὴν ἔννοιαν. καὶ ὅρα προφήτου σοφίαν. ἀρχόμενος τοῦ ψαλμοῦ οὐκ ἐντεῦθεν ἤρξατο, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ἀλλὰ πρότερον δείξας αὐτοῦ τὰ κατορθώματα, καὶ διὰ τῶν ἔργων ἀνακηρύξας αὐτὸν, ὕστερον ἀπὸ τοῦ Κυρίου δείκνυσιν αὐτοῦ τὴν ἀξίαν. οὕτω καὶ αὐτὸς ἔλεγεν· Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε. ἵνα μαθὼν, ὅτι ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς, ὁ Κύριος καλούμενος ὡς ὁ πατὴρ, ὁ μετ' ἑαυτοῦ τὴν ἀρχὴν ἔχων, ὁ λαμπρότητα τοιαύτην ἐργαζόμενος, ὁ μεταξὺ τῶν ἐθνῶν κατακυριεύων, μὴ θορυβηθῇς ἐὰν ἀκούσῃς, ὅτι οὗτος υἱός ἐστι, καὶ πρὸ τῆς κτίσεως ἁπάσης. θαυμάζειν ἄξιον τὸν προφήτην, πῶς τὰ μὲν ἐκ προσώπου τοῦ Θεοῦ, τὰ δὲ ἐκ προσώπου αὐτοῦ φθέγγεται. τὸ μὲν γὰρ, κάθου ἐκ δεξιῶν μου· καὶ τὸ, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, ἅπερ ἐστὶν ὑψηλότερα αὐτοῦ, αὐτὸν εἰσάγει τὸν Θεὸν λέγοντα· τὰ δὲ ἄλλα αὐτὸς διηγεῖται. σκόπει δὲ καὶ πόσῃ κέχρηται οἰκειότητι λέξεως. ἤρκει μὲν γὰρ καὶ τὸ εἰπεῖν, ἐγέννησά σε· ἀλλὰ διὰ τοὺς χαμαὶ βαδίζοντας, ἵνα τὸ γνήσιον τῆς γεννήσεως παραστήσῃ, καὶ

ταύτης

Σοφι. ις. κη.

Ψαλ. οα. ε.
Ψαλ. οα. ιζ.

Ματθ. κβ. μβ.

Ψαλ. πθ. β.

Ιω. ι. λζ.

ταύτης ἐμνημόνευσε τῆς ῥήσεως. καὶ καθάπερ λέγων χεῖρα, οὐχ ἵνα ὑποπτεύσωμεν χεῖρα, λέγει, ἀλλ' ἵνα τὴν δημιουργικὴν δύναμιν· οὕτω καὶ γαστρὸς ἐμνημόνευσεν, ἵνα τὸ γνήσιον τῆς γεννήσεως παραστήσῃ. Εἶτα βουλόμενος τὴν προφητείαν ἐν σχήματι δικαστοῦ συνθεῖναι, πρὸς αὐτὸν τὴν λαλίαν ποιεῖται· ὅπερ σφοδροτάτης ἀγάπης ἦν, καὶ ἔρωτος ὑπερβαλλούσης, καὶ ψυχῆς σφόδρα κατόχου θείῳ πνεύματι γινομένης. 5 Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ὁρᾷς πῶς πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον ἄγει, ποτὲ μὲν περὶ τῆς θεότητος, ποτὲ δὲ περὶ τῆς ἀνθρωπότητος διαλεγόμενος· ὅπερ καὶ οἱ εὐαγγελισταὶ ποιοῦσιν, ἵν' ἑκατέρωθεν ἡ ἀκρίβεια τῶν δογμάτων διατηρῆται. καὶ διὰ τί εἶπε, κατὰ τὴν τάξιν Μελχισεδέκ; καὶ διὰ τὰ μυστήρια, ὅτι κἀκεῖνος ἄρτον καὶ οἶνον προσήνεγκε τῷ Ἀβραάμ· καὶ διὰ τὸ ἐλευθέραν εἶναι τοῦ νόμου ταύτην τὴν ἱερωσύνην· καὶ διὰ τὸ ἀτελεύτητον (καθάπερ καὶ Παῦλός φησι) καὶ ἄναρχον. ὅπερ γὰρ ἐκεῖνος εἶχεν ἐν ταῖς σκιαῖς, τοῦτο ἐν τῇ ἀληθείᾳ γέγονεν ἐπὶ τοῦ Ἰησοῦ· καὶ καθάπερ τὰ ὀνόματα " προέδραμεν, οἷον Ἰησοῦς Χριστός, οὕτω καὶ τοῦτο. οὔτε ἀρχὴν οὖν ἡμερῶν φαίνεται ἔχων, οὔτε ζωῆς τέλος ὁ Μελχισεδέκ· οὐ τῷ μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γενεαλογηθῆναι. οὐδὲ ὁ Ἰησοῦς οὔτε ἀρχὴν ἡμερῶν ἔσχεν, οὔτε ζωῆς τέλος, οὐ κατὰ τοῦτον τὸν τρόπον, ἀλλὰ τῷ καθόλου μὴ εἶναι ἐπ' αὐτοῦ ἀρχὴν χρονικήν, μηδὲ τέλος. τὸ μὲν γὰρ ἦν σκιά· τὸ δὲ ἀλήθεια. ὥσπερ οὖν Ἰησοῦν ἀκούων, οὐ τὸν ἀληθῶς Ἰησοῦν ὑποπτεύεις, ἀλλὰ τοῦ ὀνόματος τὸν τύπον δέχῃ μόνον, καὶ οὐδὲν πλέον ἐπιζητεῖς· οὕτως * ἀκούων τὸν Μελχισεδὲκ ἄναρχον καὶ ἀτελεύτητον, μὴ ἐν τῇ τῶν πραγμάτων ἀληθείᾳ αὐτὸ ζήτει, ἀλλ' ἀρκοῦ τῇ προσηγορίᾳ μόνῃ, τὴν δὲ ἀλήθειαν ἐπὶ τοῦ Χριστοῦ καταμάνθανε. ὅρκον δὲ ὅταν ἀκούσῃς, μὴ ὅρκον νόμιζε. ὥσπερ γὰρ θυμὸς οὐ θυμὸς ἐπὶ Θεοῦ, ἀλλὰ τὸ τιμωρητικὸν, καὶ οὐ πάθος ἐστίν· οὕτως οὐδὲ ὅρκος. οὐ γὰρ ὄμνυσιν ὁ Θεός, ἀλλὰ τὸ πάντως ἐσόμενον λέγει. Εἰπὼν τοίνυν τὴν λαμπρότητα τῶν ἁγίων, τὸ τεθῆναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, τὴν ἡμέραν τῆς δυνάμεως· λέγει καὶ τὰ παρόντα λοιπόν. καὶ ὅρα οἵαν ποιεῖται τάξιν τῷ λόγῳ, τὸν σκληρὸν ἀκροατὴν καταμαλάσσων. πρότερον γὰρ φοβήσας τῷ λόγῳ τῆς κρίσεως, καὶ τὸ δυσένδοτον αὐτοῦ μαλάξας, οὕτω τὸν περὶ τῶν παρόντων εἰσάγει λόγον. διὰ τοῦτο καὶ τοιαύτην ποιεῖται τὴν μίξιν. σκόπει δέ· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, τοῦτο τῶν μελλόντων· Εἶτα τὰ παρόντα, ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Εἶτα τὰ μέλλοντα· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Εἶτα πάλιν τὰ παρόντα, οὐκ ἔτι τιμωρίαν ἔχοντα, ἀλλ' εὐεργεσίαν· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτο γὰρ ἁμαρτίας ἀναίρεσις, καὶ καταλλαγὴ πρὸς Θεόν. Εἶτα ἐπιμείνας αὐτοῖς ὅσον ἠβούλετο, πάλιν τῆς οἰκονομίας ἅπτεται, ἐπὶ τὸ ταπεινότερον τὸν λόγον μετασχηματίζων, καὶ λέγων·

Εβρ. ζ. γ.

Ιω. η. ν. καὶ Εβρ. ιγ. η.

...παγγέλου-
...ον, ὡς Ἰησοῦς,
...Χριστός, οὕτω
...ὑπὸν ὀνό-
...ματ. οὕτ.

...καὶ

...φαῦσις,

6 Κύριος ἐκ δεξιῶν σου. Καίτοι ἄνω ἔλεγεν, ὅτι αὐτὸς κάθηται ἐν δεξιᾷ τοῦ πατρός. ὁρᾷς πῶς οὐχ ἁπλῶς χρὴ ταῖς λέξεσι παρακαθῆσθαι. τί ἐστι, Κύριος ἐκ δεξιῶν σου; ἐπειδὴ τῆς οἰκονομίας ἥψατο, ἐπὶ τὸ ταπεινότερον ἄγει τὸν λόγον, τὴν τῇ σαρκὶ βοήθειαν ἐντιθεμένην λέγων. ὁρᾶται γὰρ ἀγωνιῶν, καὶ ἱδρῶν (καὶ οὕτως ἱδρῶν, ὡς καὶ θρόμβους καταρρεῖν) καὶ ἐνισχυόμενος. τοιαύτη γὰρ τῆς σαρκὸς ἡ φύσις.

Λουκ. κβ. μδ.

...ἐπὶ τῆς σαρκὸς
...τὸν λόγον τρέ-
...τὴν βοή-
...δεχο-
...μένην.

Συνθλάσει ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. -- —Οὐκ ἄν τις ἁμάρτοι τοῦτο καὶ περὶ τῶν παρόντων λέγων τῶν ἐπανισταμένων τῇ ἐκκλησίᾳ, καὶ περὶ τῶν μελλόντων δώσειν εὐθύνας ὑπὲρ ὧν ἥμαρτον καὶ ἠσέβησαν. 7 Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα. Τί ἐστι, κρινεῖ ἐν τοῖς ἔθνεσι; δικάσει, φησί, κρινεῖ τοὺς δαίμονας. καὶ ὅτι ἔ-

Ιω. ιβ. λα. κρίνει, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. καὶ πάλιν· Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. καὶ ἀλλαχοῦ· Κἀγὼ, ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Εἰ δὲ αἰσθητικωτέρᾳ τῇ λέξει κέχρηται, μὴ προσπταίσῃς. ἔθος γὰρ τῇ γραφῇ τοῦτο. Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Εἰ μὲν κατὰ ἀναγωγὴν βούλοιο τοῦτο δέχεσθαι, τὴν ἀπόνοιαν εἴποι τις ἂν ὅτι καθελεῖ· εἰ δὲ καὶ αἰσθητῶς, τὴν συμφορὰν τὴν Ἰουδαϊκὴν, οὓς ἀπώλεσεν ἄρδην μετὰ πολλῆς τῆς σφοδρότητος. 8 Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται ὕδωρ.

Ἐνταῦθα δείκνυσι τὸ ταπεινὸν τῆς διαίτης, τὸ εὐτελὲς τῆς διαγωγῆς· ὅτι δὴ οὐ σοβῶν, οὐδὲ δορυφόρους ἔχων, οὐδὲ φαντασίαν τινὰ περικείμενος αἰσθητὴν ταῦτα ἔπραττεν, ἀλλὰ λιτὸν βίον μετιὼν, καὶ τοιοῦτον, ὡς ἐκ χειμάῤῥου πίνειν. οἵα γὰρ ἦν αὐτῷ ἡ τράπεζα, τοιοῦτον καὶ τὸ ποτόν· ἡ τράπεζα, ἄρτοι κρίθινοι, τὸ ποτὸν, ὕδωρ ἀπὸ χειμάῤῥου. τὴν γὰρ φιλόσοφον ταύτην δίαιταν ἦλθε διδάξων· γαστρὸς κρατεῖν, φαντασίαν πατεῖν, τῦφον ἀποστρέφεσθαι. Εἶτα δεικνὺς τῆς ζωῆς τὸ κέρδος, τοῦτο ἐπήγαγε·

Διὰ τοῦτο ὑψώσει κεφαλήν. Τῆς γὰρ ταπεινοφροσύνης, καὶ τοῦ σκληροῦ βίου οὗτος ὁ καρπός. ταῦτα δὲ οὐ περὶ τῆς θεότητος εἴρηται, ἀλλὰ περὶ τῆς σαρκὸς τῆς πινούσης ἐκ χειμάῤῥου, τῆς ὑψωθείσης. οὐ μόνον γὰρ οὐδὲν αὐτὴν παρέβλαψεν αὕτη ἡ εὐτέλεια, ἀλλὰ καὶ πρὸς ὕψος ἀνήγαγεν ἄφατον. καὶ σὺ τοίνυν, ἀγαπητὲ, ἔχων τὰ ὑποδείγματα, τὸν μὲν φλεγμαίνοντα καὶ φαντασίας γέμοντα βίον ἀτίμαζε· τὸν δὲ εὐτελῆ καὶ ἐσχεδιασμένον δίωκε, εἴ τι βούλει καὶ λαμπρός τις εἶναι καὶ μέγας. καὶ γὰρ ὁ δεσπότης σου διὰ τοῦτο ἦλθεν, ἵνα ταύτην σε διδάξῃ τὴν ὁδόν. διά τοι τοῦτο καὶ ὁ προφήτης εἰπὼν τὰ κατορθώματα, ἐπήγαγε τοῦτο αὐτὸ, μονονουχὶ λέγων· ἀκούσας νίκην καὶ τρόπαια, μὴ ἔλπιζε ὅπλα καὶ στρατιώτας καὶ ἅρματα καὶ ἵππους καὶ ἱππέας καὶ ὁπλίτας καὶ θορύβους καὶ ταραχὰς ἰδεῖν. οὕτω ταπεινός ἐστιν ὁ ταῦτα κατορθῶν, οὕτω συνεσταλμένος, ὡς ἐκ χειμάῤῥου πίνειν ὕδωρ. ἀλλ' ὅμως οὗτος ὁ τοιοῦτος ταῦτα ἅπαντα ἀνύσει. ἀκουέτωσαν οἱ τὰς συβαριτικὰς περιτιθέμενοι τραπέζας, καὶ τὰ ἐδέσματα, καὶ πᾶν εἶδος καρυκείας ἐπινοοῦντες, καὶ ποικίλα μαγείρων γένη πανταχόθεν συλλέγοντες, καὶ ναύτας, καὶ κυβερνήτας, καὶ κωπηλάτας καταλέγοντες, ἵνα ξένα τινὰ γένη καὶ οἴνου καὶ μύρων καὶ τῆς ἄλλης βλακείας κομίσωσι, καὶ πρὸς αὐτὸ ἑαυτοὺς κατακοντίσωσι τὸ βάραθρον, καὶ πάντων εἰσὶ ταπεινότεροι. οὔτε γὰρ ὑψηλὸν ποιεῖν εἴωθε, τὸ πλειόνων δεῖσθαι· οὔτε ταπεινὸν, τὸ ὀλίγων εἶναι ἐν χρείᾳ. καὶ εἰ βούλεσθε, ἑκατέρων τὴν εἰκόνα ἀναπλάσωμεν. καὶ ἔστω τις πολλοὺς ἔχων τοὺς πανταχόθεν χορηγοῦντας, ναύτας, καὶ κυβερνήτας, καὶ χειροτέχνας, καὶ οἰκέτας, καὶ ὑφάντας καὶ ποικιλτὰς, καὶ βουκόλους καὶ ποιμένας, καὶ ἱπποκόμους καὶ ἱπποφορβούς, καὶ πολλὴν ἐν ἅπασιν ἐχέτω τὴν θεραπείαν· ἕτερος δὲ μηδενὸς τούτων ἀπολαυέτω, ἀλλὰ ἄρτου μόνου, καὶ ὕδατος, καὶ ἱματίου ψιλοῦ. τίς ἐν τούτοις ὁ ὑψηλός; τίς δὲ ὁ ταπεινός; οὐκ εὔδηλον ὅτι ὁ τὸ ἱμάτιον μόνον ἔχων; οὗτος μὲν γὰρ καὶ αὐτοῦ τοῦ βασιλεύοντος καταφρονῆσαι δυνήσεται· ἐκεῖνος δὲ πάντων τῶν ταῦτα παρεχόντων δοῦλός ἐστιν, ὑποκύπτων, κολακεύων, θεραπεύων ἅπαντας, δεδοικὼς μή τις αὐτὸν [καταλιπὼν] εἰς τὰ καίρια βλάψῃ. οὐδὲν γὰρ οὕτω ποιεῖ δοῦλον, ὡς τὸ πολλῶν δεῖσθαι· ὥσπερ οὖν ἐλεύθερον, ὡς τὸ τῆς χρείας εἶναι μόνης. τοῦτο καὶ ἐπ' ἀλόγων ἴδοι τις ἄν. τί γὰρ ὄφελος ὄνῳ βαλλομένῳ μεγέθη φορτίων, κἂν μυριάκις αὐτῶν ἀπολαύῃ; τί δὲ βλάβος ἑτέρῳ τούτων ἀπηλλαγμένῳ πάντων, ἂν τῆς ἀναγκαίας ἀπολαύῃ τροφῆς; διὰ τοῦτο καὶ ὁ Χριστὸς ὑψηλοὺς τοὺς ἑαυτοῦ κατασκευάζων μαθητὰς, ἅτε μέλλοντας τῇ οἰκουμένῃ διαλέξασθαι πάσῃ, πασῶν αὐτοὺς ἀπήλλαξε φροντίδων, πτηνοὺς ἐργαζόμενος καὶ ἀδάμαντος εὐτονωτέρους. Οὐδὲν γὰρ οὕτως ἰσχὺν ἐντίθησι ψυχῇ, ὡς τὸ τούτων ἀπηλλάχθαι, οὐδὲ οὕτως ἀσθενῆ ποιεῖ, ὡς τὸ τούτοις ἐνέχεσθαι. Ὥσπερ γὰρ οὐκ ἔστι λύπην ἐνταῦθα ταχέως εὑρεῖν, οὕτως ἐκεῖ ἡδονήν. Ὁ μὲν γὰρ πολλοὺς ἔχει δεσπότας, καὶ δεσποίνας ἀνημέρους τινὰς καὶ ἀπανθρώπους· ὁ δὲ δουλεύει μὲν οὐδενί, κρατεῖ δὲ ἁπάντων, μετὰ πολλῆς τῆς ἀδείας καὶ τῆς ἀκτῖνος ἀπολαύων, καὶ τῷ ἀέρι ἐντρυφῶν, καὶ τὸν διενοχλοῦντα οὐκ ἔχων. Οὐ θυμὸς σπαράττει τοῦτον, οὐ φθόνος, οὐ βασκανία, οὐ φροντίδες τήκουσιν, οὐ ζηλοτυπίαι, οὐ κενοδοξία, οὐ τῦφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ὥσπερ τις λιμὴν εὔδινος, καὶ κυμάτων ἀπηλλαγμένος, οὕτως αὐτῷ τὰ τῆς ψυχῆς διάκειται, καὶ πρὸς τὸν οὐρανὸν εὐκόλως ὁδεύει, οὐδενὶ τῶν παρόντων κατεχόμενος. Ἵν' οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύωμεν τῆς ἀδείας, καὶ τῆς κατὰ τὸν παρόντα βίον εὐθυμίας, καὶ τῆς εὐκολίας τῆς κατὰ τὴν ἀποδημίαν, τοῦτον διώκωμεν τὸν βίον· ὥστε καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι, ἅπαντα λόγον καὶ νοῦν καὶ διάνοιαν ὑπερβαλλόντων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρι. 1 ΕΞΟΜΟΛΟΓΗΣΟΜΑΙ ΣΟΙ, ΚΥΡΙΕ, ΕΝ ΟΛΗ καρδίᾳ μου.

Τί ἐστιν, ἐν ὅλῃ; μετὰ προθυμίας ἁπάσης, συντεταμένως, ἀπαλλαγεὶς τῶν βιωτικῶν φροντίδων, καὶ μετάρσιος γενόμενος, καὶ τὴν ψυχὴν ἀπολύσας τῶν δεσμῶν τοῦ σώματος. Ἐν καρδίᾳ· οὐχ ἁπλῶς ἐν ῥήμασιν, οὐδὲ ἐν γλώσσῃ καὶ στόματι μόνον, ἀλλὰ καὶ μετὰ τῆς διανοίας. Οὕτω καὶ Μωϋσῆς νομοθετῶν ἔλεγεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. Ἐνταῦθα γάρ μοι τὴν ἐξομολόγησιν τὴν εὐχαριστίαν δοκεῖ λέγειν. Ὑμνήσω, φησίν, εὐχαριστήσω. Καὶ γὰρ ἅπαντα τὸν βίον εἰς τοῦτο ἀνήλισκε, καὶ ἐντεῦθεν προοιμιάζεται, καὶ εἰς τοῦτο καταλήγει· καὶ τοῦτο ἦν ἔργον αὐτῷ διαπαντός, τὸ καὶ ὑπὲρ τῶν εἰς αὐτὸν γενομένων, καὶ ὑπὲρ τῶν εἰς ἄλλους εὐεργεσιῶν τὴν εὐχαριστίαν ἀναφέρειν. Οὐδὲν γὰρ οὕτως ὁ Θεός, ὡς τοῦτο ἐπιζητεῖ. Τοῦτο θυσία, τοῦτο προσφορά, τοῦτο ψυχῆς εὐγνώμονος σημεῖον, τοῦτο πληγὴ κατὰ τοῦ διαβόλου. Ἐντεῦθεν ὁ μακάριος Ἰὼβ ἐστεφανοῦτο, καὶ ἀνεκηρύττετο, ὅτι μυρίων πειρασμῶν ἐπενεχθέντων*, καὶ τῆς γυναικὸς ὑποσκελιζούσης, οὐ περιετράπη, ἀλλ' ἔμενεν εὐχαριστῶν τῷ δεσπότῃ περὶ πάντων, οὐχ ἡνίκα ἐπλούτει, ἀλλὰ καὶ ἡνίκα πένης ἐγένετο· οὐχ ἡνίκα ὑγίαινεν, ἀλλὰ καὶ ἡνίκα ἐπλήγη τὴν σάρκα· οὐχ ὅτε κατὰ ῥοῦν αὐτῷ τὰ πράγματα ἐφέρετο, ἀλλὰ καὶ ὅτε ὁ χαλεπὸς ἐκεῖνος χειμὼν κατέσκηψεν εἰς πᾶσαν αὐτοῦ τὴν οἰκίαν, καὶ εἰς αὐτὴν τοῦ σώματος τὴν φύσιν. Τοῦτο γὰρ μάλιστα εὐχαρίστου γνώμης, ἐν ταῖς θλίψεσι καὶ ταῖς δυσημερίαις πολλὴν εἰδέναι τῷ Θεῷ* χάριν, καὶ διαπαντὸς μένειν εὐχαριστοῦντα. Ὅπερ οὖν καὶ αὐτὸς αἰνιττόμενος, διὰ τῶν ἑξῆς ἐδήλωσεν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἐν εὐθυμίᾳ μὲν ὄντες εὐχαριστοῦσι, τἀναντία δὲ πάσχοντες δυσχεραίνουσιν· εἰσὶ δὲ οἳ καὶ τῶν γινομένων ἐπιλαμβάνονται· δεικνὺς ὅτι οὐ παρὰ τὴν φύσιν τῶν συμβαινόντων, ἀλλὰ παρὰ τὴν διεστραμμένην γνώμην τοῦτο γίνεται, ἐπήγαγε λέγων·

Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. 2 Μεγάλα τὰ ἔργα Κυρίου.

Τοῦτο εἶπε δεικνὺς ὅτι δικαστοῦ χρεία καὶ συλλόγου μὴ διεφθαρμένου πρὸς κρίσιν· καὶ δῆλα ἔσται τὰ ἔργα τοῦ Θεοῦ, ὅτι μεγάλα, ὅτι πολλοῦ θαύματος ἀνάμεστα. Ἔστι μὲν γὰρ καὶ

Δευτ. ϛ. ε.

Ἰωβ α. κα.

αὐτῷ,

τῷ

καθ' ἑαυτὰ μεγάλα· οὐ δείκνυται δὲ μεγάλα, ἐὰν μὴ κρίσιν ὀρθὴν ἔχῃ. ἐπεὶ καὶ ὁ ἥλιος καθ' ἑαυτὸν φαιδρὸς, καὶ διαυγὴς, καὶ τὴν οἰκουμένην διαλάμπει πᾶσαν· ἀλλὰ τοῖς τὰς ὄψεις νοσοῦσιν οὐκ ἔστι τοιοῦτος. ἀλλ' οὐ τοῦ ἡλίου τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀσθενείας τὸ ἐλάττωμα. ὅταν τοίνυν ἴδῃς τινὰ κατηγοροῦντα τῶν ἔργων τοῦ Θεοῦ, μὴ τὰ ἔργα διάβαλλε διὰ τὴν ἐκείνου κακίαν, ἀλλὰ τῆς ἐκείνου ἀνοίας λάμβανε μέγιστον δεῖγμα ἀπὸ τῆς τοῦ Θεοῦ προνοίας. ὥσπερ γὰρ ὁ τὸν ἥλιον λέγων σκοτεινὸν, οὐ τὸ ἄστρον διέβαλεν, ἀλλὰ τῆς ἑαυτοῦ πηρώσεως ἐξήνεγκεν ἔλεγχον*· καὶ ὁ τὸ μέλι πικρὸν ὀνομάζων, οὐ τὴν γλυκύτητα τὴν ἐκείνου συνεσκίασεν, ἀλλὰ τῆς νόσου τῆς ἑαυτοῦ κατηγορίας συνεστήσατο τὴν ψῆφον· οὕτω καὶ ὁ τῶν ἔργων ἐπιλαμβανόμενος τοῦ Θεοῦ. καὶ ὥσπερ ἐκεῖνα μὲν οὐ λυμαίνεται, οὐδὲ τὴν περὶ αὐτῶν ὑπόληψιν, τῆς δὲ ἀνοίας τῆς ἑαυτοῦ μεγίστην ἐκφέρει κατηγορίαν· οὕτω δὴ καὶ περὶ τῶν ἔργων τοῦ Θεοῦ οἱ μὴ κρίσιν ὀρθὴν ἔχοντες, οὐκ ἴσασιν οὐδὲ τὰ θαύματα τὰ γινόμενα. ὡς εἴ τις ἀδέκαστον ἔχοι ψυχὴν καὶ μὴ διεστραμμένην, ἕκαστον καὶ τῶν δοκούντων εἶναι δυσχερῶν ἐκπλαγήσεται. τί γὰρ οὐ θαυμαστὸν, εἰπέ μοι, τῶν γινομένων; καὶ εἰ βούλει, παραδραμόντες τὰ ἄλλα πάντα, ἔλθωμεν ἐπὶ τὰ δοκοῦντα εἶναι τοῖς πολλοῖς ἐπαχθῆ καὶ φορτικά, τὸν θάνατον, τὴν νόσον, τὴν πενίαν, καὶ ὅσα τοιαῦτα. εἰ γάρ τις εὐθεῖαν ἔχοι καρδίαν, καὶ ταῦτα σφόδρα ἀποδέξεται, καὶ θαυμάσεται. εἰ γὰρ καὶ ἐξ ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος, ἀλλ' ὅμως τοσαύτη τοῦ Θεοῦ ἡ περιουσία, καὶ ἡ φιλανθρωπία, καὶ τῆς κηδεμονίας ἡ ὑπερβολὴ, ὡς καὶ τούτῳ εἰς δέον χρήσασθαι τῇ φύσει τῇ ἡμετέρᾳ. τί γὰρ, εἰπέ μοι, βαρὺ ὁ θάνατος ἔχει; οὐκ ἀπαλλαγὴ πόνων ἐστίν; οὐ λύσις φροντίδων; οὐκ ἀκούεις τοῦ Ἰὼβ αὐτὸν ἐγκωμιάζοντος καὶ λέγοντος· Θάνατος ἀνδρὶ ἀνάπαυσις, οὗ ἡ ὁδὸς ἀπεκρύβη; οὐκ ἐκκοπὴ κακίας; ἄν τε γὰρ πονηρὸς ᾖ τις, διεκόπη τὰ τῆς κακίας αὐτοῦ τελευτήσαντος (Ὁ γὰρ ἀποθανὼν, φησὶ, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν, οὐκέτι προστίθησιν ἁμαρτίαν) ἄν τε ἀγαθὸς ὢν ἀπέλθῃ, ἐν ἀσφαλείᾳ κείσεται τὰ τῆς ἀρετῆς αὐτῷ πάντα, καὶ ἐν ἀσύλῳ θησαυρῷ. τοὺς δὲ ζῶντας, εἰπέ μοι, οὐ ποιεῖ σωφρονεστέρους καὶ ἐπιεικεστέρους; οὐχ ὁρᾷς ὅτι πολλάκις ἐν ἐκφορᾷ παραγινόμενοι οἱ πλουτοῦντες, καὶ τετυφωμένοι καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ὅταν ἴδωσι τὸ σῶμα κείμενον κωφὸν καὶ ἀκίνητον, καὶ παιδία ἐν ὀρφανίᾳ, καὶ γυναῖκα ἐν χηρείᾳ, καὶ φίλους ἐν κατηφείᾳ, καὶ οἰκέτας μελανειμονοῦντας, καὶ ἅπαν τῆς οἰκίας σκυθρωπὸν τὸ σχῆμα, πῶς συστέλλονται, πῶς ταπεινοῦνται, πῶς συντρίβονται; καὶ γὰρ μυρίας ἀπολαύσαντες διδασκαλίας, καὶ μηδὲν κερδάναντες, ἀπὸ τῆς ὄψεως ἐκείνης ἀθρόον φιλοσοφοῦσι, τό, τε ″εὐτελὲς καὶ ἐπίκηρον τῆς ἀνθρωπίνης καταμανθάνοντες φύσεως, καὶ τὸ σαθρὸν καὶ ἄστατον τῆς αὐτῶν δυναστείας, καὶ ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τὰς ἑαυτῶν προορῶντες μεταβολάς. εἰ γὰρ θανάτου ὄντος τοσαῦται ἁρπαγαὶ, τοσαῦται πλεονεξίαι, καὶ καθάπερ οἱ ἰχθύες, καταπίνουσι τοὺς καταδεεστέρους οἱ δυνατώτεροι· εἰ μὴ θάνατος ἦν, πότε ἂν ἔστησαν πλεονεξίας; εἰ γὰρ εἰδότες ὅτι οὐκ ἀπολαύσονται ″ἃ ἀναρπάσωσιν, ἀλλὰ ἑκόντες καὶ ἄκοντες ἐκστήσονται ἑτέροις, οὕτω μαίνονται καὶ λυττῶσιν· εἰ τοῦτο εἶχον ἐν ἀσφαλείᾳ, πότε ἂν αὐτοῖς ἐσβέσθη τὰ τῆς ἐπιθυμίας τῆς πονηρᾶς; τί δὲ τῶν μαρτύρων οἱ στέφανοι; οὐ διὰ θανάτου πλέκονται; τί δὲ ὁ Παῦλος; οὐ μυρία ἔστησε τρόπαια λέγων, Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν; οὐ γὰρ ὁ θάνατος κακὸς, ἀλλ' ὁ πονηρὸς θάνατος. διὰ τοῦτό φησι· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ἀλλαχοῦ δὲ, Θάνατος ἁμαρτωλῶν πονηρὸς, τοῦτο λέγων πονηρὸν, ὃ μετὰ τοῦ πονηροῦ συνειδότος ἀπελθεῖν, καὶ πολλοῖς πλημμελημάτων φορτίοις βεβαρημένον καὶ πιεζόμενον. ὡς ὅ γε καθαρὸν ἔχων συνειδὸς, ἐπὶ τὰ βραβεῖα τρέχει, πρὸς τὸν στέφανον ἀναχωρεῖ. καὶ ἵνα μάθῃς ὅτι οὐχ ἡ τῶν

πρα-

Ρω. ε. ιβ.

Ιωβ. γ. κγ.

Ρω. ς. ζ.

α. Τιμ. ς. ζ.

α. Κορ. ιε. λα.

Ψαλ. ρις. ε.

Ψαλ. λγ. κα.

* ἀκριβῆ

γρ. ἀτελὲς

γρ. ὧν ἁρπάζουσιν,

πραγμάτων φύσις, ἀλλ' ἡ τῶν ἀνθρώπων γνώμη αὕτη τὸν θόρυβόν ἐστιν ἡ ποιοῦσα, ἄκουσον ὁ Παῦλος πῶς ἐπιζητεῖ τοῦτο, νῦν μὲν λέγων· Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν, τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· νῦν δὲ τὸ αὐτὸ δηλῶν καὶ ἀλλαχοῦ· Ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. Τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. Εἰ δὲ θάνατος οὐ φορτικὸν, ἀλλὰ καὶ ποθεινὸν τοῖς ὀρθῶς βιοῦσι, πολλῷ μᾶλλον πενία καὶ τὰ ἄλλα ἅπαντα.

β. Κορ. ε. δ. καὶ Ρω. η. κγ.
Φιλιππ. β. ιζ.

Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἄλλος, Ἐξηκριβωμένα. Ἐνταῦθά μοι περὶ τῶν κτισμάτων δοκεῖ διαλέγεσθαι, ἀνακηρύττων τοῦ Θεοῦ τὴν σοφίαν. ἀνωτέρω δὲ ἔργα ἔλεγεν (εἰ καὶ ἡμεῖς διὰ τοὺς μικροψύχους καὶ ἑτέρας διανοίας ἡψάμεθα) τὰ τεράστια, τὰ θαύματα, ἃ πολλάκις ἐπετέλεσε τὸ τῶν ἀνθρώπων οἰκονομῶν γένος. Τί δέ ἐστιν, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ; ἠκριβωμένα, φησὶ, καθάπερ καὶ ἕτερος ἑρμηνευτὴς εἶπε· παρεσκευασμένα, ἀπηρτισμένα, γεγυμνημένα, πεπληρωμένα, ἀρκοῦντα τὰ θελήματα αὐτοῦ ποιεῖν, ἱκανὰ μαρτυρεῖν τὴν δύναμιν αὐτοῦ, οὐ χωλεύοντα, οὐδὲ ἐνδεῶς ἔχοντα εἰς τὸ ἀνύσαι αὐτοῦ τὰ ἐπιτάγματα. ὅπερ καὶ ἀλλαχοῦ φησι· Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ, τουτέστι, τὰ προστάγματα αὐτοῦ. οὕτω καὶ ὁ προφήτης ἔλεγεν· Ἐποίησε σελήνην εἰς καιροὺς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθετο σκότος, καὶ ἐγένετο νύξ. οὐ μόνον δὲ πρὸς ἅπερ ἐστὶ κατεσκευασμένα ταῦτα ἀνύει, ἀλλὰ κἂν τὰ ἐναντία ἐπιτάξῃ, καὶ ἐνταῦθα πολλὴ ἡ ὑπακοή. τῇ γοῦν θαλάττῃ ἐπέταξε, καὶ οὐ μόνον κατεπόντισεν (ὅπερ αὐτῆς ἔργον ἦν) ἀλλὰ στορέσασα αὐτῆς τὰ κύματα πέτρας ἀσφαλέστερον, τὸν τῶν Ἰουδαίων δῆμον διεβίβασεν. ἡ κάμινος οὐ μόνον οὐκ ἔκαιεν, ἀλλὰ καὶ δρόσον παρεῖχε διασυρίζουσαν. τὰ θηρία οὐ μόνον οὐ κατήσθιεν, ἀλλὰ καὶ σωματοφυλάκων ἐπεῖχε χώραν ἐπὶ τοῦ Δανιήλ. τὸ κῆτος οὐ μόνον κατέπινεν, ἀλλὰ καὶ σῶαν τὴν παρακαταθήκην διετήρει. ἡ γῆ οὐ μόνον ἐβάστασεν, ἀλλὰ καὶ θαλάττης χαλεπώτερον κατεπόντισεν, ὅτε ἠνοίχθη καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. καὶ πολλὴν ἑτέραν ἴδοι τις ἂν τερατουργίαν ἐν τοῖς οὕτω γενομένοις, ἵνα μάθωσιν οἱ σφόδρα ἀνοηταίνοντες καὶ φύσιν θεοποιοῦντες, ὅτι οὐ τυραννίδι φύσεως τὰ πράγματα ἄγεται, ἀλλὰ βουλῇ Θεοῦ πάντα εἴκει καὶ παραχωρεῖ. αὕτη γάρ ἐστιν ἡ τῆς φύσεως δημιουργὸς, καὶ πρὸς τὸ αὐτῇ δοκοῦν πάντα τὰ ὄντα μεταρρυθμίζουσα· καὶ νῦν μὲν ἀκινήτους αὐτῶν διατηροῦσα τοὺς ὅρους, νῦν δὲ, ἐπειδὰν βουληθῇ, ῥᾳδίως αὐτοὺς ἀνασπῶσα, καὶ πρὸς τὸ ἐναντίον μεταβάλλουσα. ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. εἰς τὰ προστάγματα αὐτοῦ φησιν, εἰς τὰ ἐπιτάγματα αὐτοῦ· οὐ μόνον δὲ εἰς τὰ ἐπιτάγματα αὐτοῦ, ἀλλὰ καὶ εἰς τὸ γινώσκεσθαι αὐτὸν παρὰ τῶν ἀνθρώπων· ὅπερ καὶ προηγούμενον αὐτοῦ θέλημα, καὶ δι' ὃ μάλιστα ταῦτα ἐποίησεν. ὃ τοίνυν ὁ προφήτης λέγει, τοιοῦτόν ἐστιν· ὅτι οὕτως ἐστὶν ἀπηρτισμένα, ὡς τοῖς προσέχουσι καὶ νοῦν ἔχουσιν ἀκριβεστάτην καὶ σαφῆ καὶ τρανοτάτην τὴν περὶ Θεοῦ γνῶσιν ἐντιθέναι τῇ διανοίᾳ τῶν ἀνθρώπων. καὶ γὰρ καὶ πρὸς τοῦτο μάλιστα τὸ θέλημα αὐτοῦ ἐξ ἀρχῆς αὐτὰ κατεσκεύασε, τῷ μεγέθει, τῷ κάλλει, τῇ θέσει, τῇ ἐνεργείᾳ, τῇ διακονίᾳ, τοῖς ἄλλοις ἅπασιν ἀνακινῶν τὴν ψυχὴν τοῦ θεατοῦ, καὶ τὴν διάνοιαν διεγείρων εἰς τὸ ζητῆσαι τὸν δημιουργὸν καὶ ἀριστοτέχνην Θεὸν, καὶ προσκυνῆσαι τὸν ποιήσαντα αὐτὰ, καὶ ἀντὶ βιβλίων καὶ γραμμάτων γενέσθαι ἅπαν τὸ σῶμα τῆς κτίσεως. οὐκ εἰς θεογνωσίαν δὲ μόνον, ἀλλὰ καὶ εἰς πολιτείαν ἡμῖν μεγίστην εἰσάγει διδασκαλίαν τὰ κτίσματα. ὅ,τε γὰρ πλεονέκτης, ἐπειδὰν ἴδῃ τὴν ἡμέραν τὴν νύκτα

Ψαλ. ρμη. η.
Ψαλ. ργ. κ.
Ἐξοδ. ιδ. κβ.
Δαν. γ. κε. καὶ ϛ. κβ.
Ιων. β. ια. καὶ γ. γ.
Ἀριθμ. ιϛ. λβ.
Ιωβ. θ. ε. καὶ ιβ. ιδ.
Ψαλ. ργ. γ.

παραχωροῦσαν, καὶ τὸν ἥλιον τῇ σελήνῃ, αἰδεσθήσεται τῶν στοιχείων τὴν εὐταξίαν· καὶ δυνατώτερος ᾖ, τῶν καταδεεστέρων οὐκ ἐπιθυμήσει πραγμάτων· ὅ, τε μοιχὸς καὶ ἀκόλαστος, ἐπειδὰν ἴδῃ τὴν θάλατταν μαινομένην, εἶτα χαλινουμένην ″ ὑπὸ τῶν αἰγιαλῶν, πάλιν τῶν ἀτάκτων ὑδάτων αἰδούμενος τὴν εὐταξίαν, ταχέως καταστεῖλαι δυνήσεται τὴν ἑαυτοῦ ″ ἐξαπτομένην ἐπιθυμίαν, καὶ τῷ φόβῳ τοῦ Χριστοῦ χαλινῶσαι τὴν εἰς τὸ πρόσω φοράν, καὶ διαλῦσαι τὸν ἀφρὸν ἅπαντα τῆς ἀκολάστου ταύτης ὁρμῆς, καὶ εἰς σωφροσύνην ἐπαναγαγεῖν. καὶ περὶ ἀναστάσεως δὲ εἰς τὴν χέρσον ἀπιδὼν εὐκόλως δυνήσεται φιλοσοφῆσαι, καὶ τὸν περὶ αὐτῆς δέξασθαι λόγον. ὅταν γὰρ ἴδῃ τὴν γῆν δεχομένην κόκκον σίτου στερεόν, εἶτα πρότερον διαλύουσαν καὶ σήπουσαν, καὶ πολλῷ βελτίονα τίκτουσαν· ὅταν ἴδῃ τὴν ἄμπελον ἐν χειμῶνι γυμνὴν φύλλων, καὶ ἑλίκων, καὶ βοτρύων, * εἶτα ἔαρος ἐπιστάντος τὴν ″ εὐμορφίαν ἅπασαν ἀπολαμβάνουσαν, ἐν τοῖς σώμασι τῶν φυτῶν καὶ τῶν σπερμάτων τῶν μετὰ τὸ διαφθαρῆναι ἀνισταμένων δυνήσεται καὶ περὶ τῆς ἑαυτοῦ σαρκὸς φιλοσοφεῖν. τὸ φιλόπονον δὲ πάλιν ἀπὸ τοῦ μύρμηκος εἴσεται, καὶ τὸ φιλόκαλον ἀπὸ τῆς μελίττης, καὶ τὸ κοινωνικόν, καθάπερ ἡ παροιμία φησίν· Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, * ἑτοιμάζεται θέρους τὴν τροφήν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστίν, ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν ″ προσφέρονται, καίτοι οὖσα τῇ ῥώμῃ ἀσθενής, τὴν σοφίαν τιμήσασα προήχθη. καὶ γὰρ αὕτη σοι πάλιν ἡ μέλιττα διαλέξεται, ὥστε μὴ θαυμάζειν ἁπλῶς τὰ κάλλη τῶν σωμάτων, ὅταν ψυχῆς ἀρετὴ μὴ ᾖ· μηδὲ ἐξευτελίζειν τὴν ἀμορφίαν, ὅταν ἡ ψυχὴ κεκαλλωπισμένη τύχῃ. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ὁ παροιμιαστὴς ἔλεγε· Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. ἐννόησόν μοι τοὺς ὄρνιθας, καὶ δέξῃ πᾶσαν ἐκεῖθεν φιλοσοφίαν. διά τοι τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. εἰ γὰρ τὰ ἄλογα οὐ μεριμνᾷ περὶ τροφῆς, ποίαν ἕξεις ἀπολογίαν μηδὲ τοσαύτην ἐπιδεικνύμενος ὑπεροψίαν τῶν παρόντων, ὅσην τὰ ὄρνιθες; εἰ δὲ καὶ καλλωπισμοῦ βούλει καταφρονῆσαι, παιδεύσει σε τὰ ἄνθη τοῦ ἀγροῦ μὴ εἶναί σε φιλόκοσμον. ὅπερ καὶ αὐτὸ δηλῶν ἔλεγεν ὁ Χριστός· Ἐμβλέψατε εἰς τὰ κρίνα τοῦ ἀγροῦ, ὅτι οὐ νήθουσιν, οὐδὲ κοπιῶσιν. ἀμὴν λέγω ὑμῖν, οὐδὲ Σολομῶν περιεβάλλετο ὡς ἓν τούτων. ὅταν τοίνυν ἐθέλῃς σπουδάζειν περὶ κάλλη ἱματίων, ἐννόησον ὅτι ὅσα ἂν φιλονεικήσῃς, παρὰ τῷ χόρτῳ τὰ νικητήρια, καὶ οὐ δυνήσῃ πρὸς ἐκεῖνον ἁμιλληθῆναι, καὶ κατάλυσον τὴν ἄλογον ταύτην μανίαν. καὶ ἕτερα πολλὰ καὶ ἀπὸ τῶν ἀλόγων, καὶ ἀπὸ τῶν ἀνθέων, καὶ ἀπὸ τῶν σπερμάτων ἐστὶ φιλοσοφεῖν.

Παροιμ. ς. ς.

Σειρ. ια. γ.

Ματθ. ς. κς.

Ματθ. ς. κη.

γ. ὑπὸ τ ἀ-
λόγων,

γ. κορυφουμένην

* ἡ αὐτὴ ἐξ-
ξύλων εἰς τὰ
ὀστᾶ τὰ
ξηρά,
γ. συναγομένην
πᾶσαν

* τοῖς

γ. συντρίψα-

3 Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ·

Τουτέστιν, ἕκαστον τῶν ἔργων αὐτοῦ. οὐ γὰρ δὴ περὶ ἑνὸς ἔργου φησὶ ταῦτα. Ἕτερος ἑρμηνευτὴς εἶπεν, Ἔπαινος καὶ ″ ἀξίωμα ἡ ἐργασία αὐτοῦ. Οὗτος δέ, ἐξομολόγησις, τουτέστιν, εὐχαριστία καὶ δόξα. Ἕκαστον γὰρ τῶν ὁρωμένων ἱκανὸν εἰς εὐχαριστίαν τὸν θεατὴν παραπέμψαι, εἰς ὕμνον, εἰς εὐφημίαν, εἰς δοξολογίαν. οὐκ ἔστιν εἰπεῖν, διὰ τί τοῦτο; εἰς τί οὗτο; ἀλλὰ καὶ τὸ σκότος καὶ ἡ ἡμέρα, καὶ ὁ λιμὸς καὶ ἡ εὐθηνία, καὶ ἡ ἔρημος καὶ ἡ ἀοίκητος, καὶ ἡ λιπαρὰ καὶ ἡ βαθύγεως, καὶ ζωὴ καὶ θάνατος, καὶ πάντα τὰ ὁρώμενα τοῖς μετὰ ἀκριβείας αὐτὰ καταμανθάνουσιν, ἱκανὰ πρὸς εὐχαριστίαν διεγεῖραι. τοῦτο γοῦν δηλῶν, διά τινος προφήτου ὁ Θεὸς ἔλεγεν, ἀντὶ εὐεργεσίας τὰς τιμωρείας τιθείς·

γ. δόξα ἡ
τὸ αὐτοῦ.

θείς· Κατέστρεψα αὐτοὺς ὡς κατέστρεπται Σόδομα καὶ Γόμορρα, ἐπάταξα αὐτοὺς ἐν πυρώσει, καὶ ἐν ἰκτέρῳ. καὶ πάλιν δι' ἄλλου· Ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην αὐτούς· εἰς εὐεργεσίαν τὰς τιμωρίας μεταλαμβάνων. οὕτω καὶ ταῦτα. καὶ γὰρ καὶ ταῦτα εὐεργετοῦντα, διορθοῦντα, παιδεύοντα, παιδαγωγοῦντα, ἐκκόπτοντα τὴν κακίαν ἐστίν. ἄνθρωποι μὲν γὰρ τὰ μὲν εὐεργετοῦντες ποιοῦσι, τὰ δὲ μισοῦντες καὶ ἀποστρεφόμενοι· ὁ δὲ Θεὸς εὐεργετῶν ποιεῖ πάντα. οἷον, εὐεργετῶν ἔθετο ἐν τῷ παραδείσῳ, καὶ εὐεργετῶν ἐξέβαλε τοῦ παραδείσου· εὐεργετῶν τὸν κατακλυσμὸν εἰργάσατο, καὶ εὐεργετῶν τὸ πῦρ ἐκεῖνο τὸ τῶν Σοδόμων κατήνεγκε· καὶ ὅσα ἂν εἴποι τις τῶν γινομένων, ἕκαστον εἰς εὐεργεσίαν ἦν. εὐεργετῶν καὶ τὴν γέενναν ἠπείλησε. καὶ καθάπερ οἱ πατέρες οὐ θεραπεύοντες μόνον τὰ παιδία, ἀλλὰ καὶ τύπτοντες, πατέρες εἰσί, καὶ οὐκ ἔλαττον τύπτοντες, ἢ θεραπεύοντες· οὕτω δὴ καὶ ὁ Θεός. διὸ καὶ ὁ Παῦλος ἔλεγε· Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; καὶ ὁ Σολομῶν· Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται.

Ἀμὼς δ. ια. θ.
Μιχ. ς. δ.
Γεν. β. η.
Ματθ. ε. κβ. κθ. λ.
Ἑβρ. ιβ. ζ. ς.
Παροιμ. γ. ιβ.

Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Τοῦτο δοκεῖ μοι ἐνταῦθα εἰπεῖν διὰ τοὺς σκανδαλιζομένους πρὸς τὰ συμπίπτοντα δυσχερῆ παρὰ τὰς ἐλπίδας, μονονουχὶ παραμυθῶν αὐτούς, καὶ λέγων· μὴ θορυβοῦ συκοφαντουμένους ἀνθρώπους ὁρῶν, ἐπηρεαζομένους, παρὰ τὴν ἀξίαν κακῶς πάσχοντας. μένει γὰρ δικαστήριον ἀδέκαστον, μένει ψῆφος καθαρὰ ἡ κατ' ἀξίαν ἑκάστῳ παρέχουσα. εἰ δὲ νῦν αὐτὴν ἐπιζητοίης, ὅρα μὴ κατὰ σαυτοῦ πρώτου τὴν ψῆφον ἐξενέγκῃς. εἰ γὰρ ἔμελλε καθ' ἕκαστον τῶν ἁμαρτημάτων ὁ Θεὸς ἐπάγειν τιμωρίαν, καὶ ἐφ' ἑκάστου τῶν πλημμελουμένων τὴν δικαίαν ἐπιφέρειν ψῆφον, πάλαι ἂν προανηρπάσθη τὸ τῶν ἀνθρώπων γένος. καὶ τί λέγω τὸν δεῖνα, καὶ τὸν δεῖνα; τὸν γὰρ κορυφαῖον τῶν ἐν ἀνθρώποις ἁπάντων εἰς μέσον ἀγαγών, τοῦτο δεῖξαι πειράσομαι, Παῦλον ἐκεῖνον τὸν κήρυκα τῆς οἰκουμένης, τὸν εἰς τρίτον ἁρπαγέντα οὐρανόν, τὸν εἰς παράδεισον ἀπενεχθέντα, τὸν τῶν φρικτῶν κοινωνήσαντα μυστηρίων, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ, τὸν ἀγγελικὴν ἐπιδειξάμενον πολιτείαν, τὸν τοσαύτην ἀρετὴν κατορθώσαντα. εἰ γὰρ μὴ ἐβουλήθη μακροθυμῆσαι αὐτῷ, μηδὲ ἀνασχέσθαι αὐτοῦ, ἀλλ' ἡνίκα ἡμάρτανε, καὶ ἐβλασφήμει, καὶ ἐδίωκε, κατὰ πόδας ἐπαγαγεῖν αὐτῷ τὴν δικαίαν ψῆφον· πάλαι ἂν αὐτὸν τῆς μετανοίας προεξήρπασε. διὸ καὶ αὐτὸς ταῦτα εἰδὼς ἔλεγε· Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων αὐτῷ πιστεύειν εἰς ζωὴν αἰώνιον. τί δέ; τὴν πόρνην εἰ ἐκόλασε, πότε ἂν μετεβλήθη; τί δέ; τὸν τελώνην Ματθαῖον εἰ ἐν τῷ καιρῷ τῆς τελωνίας πρὸ τῆς μεταβολῆς δίκην ἀπῄτησεν, οὐκ ἂν προεξήρπασεν αὐτὸν τῆς μετανοίας; οὕτω καὶ τὸν λῃστήν, οὕτω καὶ τοὺς μάγους, οὕτω καὶ ἕκαστον τῶν ἁμαρτανόντων. διά τοι τοῦτο ἀνέχει τὴν ὀργήν, καὶ τὴν κατ' ἀξίαν ἀνταπόδοσιν, καλῶν τοὺς ἀνθρώπους εἰς μετάνοιαν. εἰ δὲ μένοιεν ἀδιόρθωτοι, πάντως ὑποστήσονται τὴν δικαίαν ψῆφον. διὰ τοῦτο καὶ ὁ προφήτης τούς τε ἀδικουμένους παραμυθούμενος, τούς τε ἀδικοῦντας σωφρονίζων, ἐπήγαγε τό, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὃ δὲ βούλεται διὰ τούτου εἰπεῖν, τοιοῦτόν ἐστιν. μήτε σὺ ὁ ἀδικούμενος, ἐὰν καταλύσῃς τὸν βίον, ὡς οὐ τῶν δικαίων τευξόμενος ἀπελπίσῃς (μετὰ γὰρ τὴν ἀποδημίαν τὴν ἐντεῦθεν, πάντως ἀπολήψῃ τῶν πόνων τὰς ἀμοιβάς) μήτε σὺ πάλιν ὁ πάντα ἁρπάζων, καὶ πλεονεκτῶν, καὶ συγχέων, ἂν ἐν εἰρήνῃ καταλύσῃς τὸν βίον, θαρρήσῃς. παν-

α. Τιμ. α. ιβ. ιγ.
Λουκ. ζ. λζ.
Ματθ. θ. θ.
Λουκ. κγ. μ.
Ματθ. β. α.

των γὰρ δώσεις λόγον μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, τῆς πονηρίας ἁπάσης ἀποτίσεις τὰς ἀμοιβάς. Θεὸς γάρ ἐστιν ἀεὶ μένων, καὶ δικαιοσύνην ἀεὶ μένουσαν ἔχων, οὐδὲν ἀπὸ τοῦ θανάτου διακοπτομένην, οὔτε περὶ τὴν ἀμοιβὴν τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, οὔτε περὶ τὴν ἀντίδοσιν τῶν κολάσεων τῶν διὰ τὴν πονηρίαν.

4 Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ.

Τί ἐστι, μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ; οὐ διέλιπε θαυματουργῶν, φησι, διηνεκῶς. τοῦτο γάρ ἐστι τὸ, μνείαν ἐποιήσατο· οὐκ ἐπαύσατο, οὐκ ἀπέστη διὰ πάσης γενεᾶς θαύματα ἐργαζόμενος, καὶ τοὺς παχυτέρους διεγείρων διὰ τῶν τεραστίων. ὁ μὲν γὰρ ὑψηλὸς καὶ φιλόσοφος οὐδὲν δεήσεται τῶν σημείων. Μακάριοι γὰρ οἱ μὴ εἰδότες, καὶ πιστεύσαντες. ἐπειδὴ δὲ αὐτὸς οὐ τούτων κήδεται μόνων, ἀλλὰ καὶ τῶν παχυτέρων, καθ' ἑκάστην σχεδὸν γενεὰν θαυματουργῶν οὐ παύεται). ἱκανὴ μὲν οὖν θαυματουργία, πᾶσα τῶν ὁρωμένων ἡ κτίσις· ἀλλ' ὅμως διεγείρων τῶν πολλῶν τὴν ῥαθυμίαν, ἐν μέσῳ τῷ θεάτρῳ τούτῳ πολλὰ ἐπεδείκνυτο τεράστια, καὶ ἰδίᾳ καὶ κοινῇ· οἷον, τὰ ἐπὶ τοῦ κατακλυσμοῦ, τὰ ἐπὶ τῆς συγχύσεως τῶν γλωσσῶν, τὰ ἐπὶ τῶν Σοδόμων, τὰ ἐπὶ τοῦ Ἀβραάμ, τὰ ἐπὶ τοῦ Ἰσαάκ, τὰ ἐπὶ τοῦ Ἰακώβ, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐξόδῳ τῶν Ἰουδαίων, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς Παλαιστίνης, τὰ ἐν Βαβυλῶνι, τὰ μετὰ τὴν ἐπάνοδον, τὰ ἐπὶ τῶν Μακκαβαίων, τὰ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, τὰ ἐν αὐτῇ τῇ παρουσίᾳ, τὰ μέχρι σήμερον γινόμενα, ἡ κατάπτωσις [ἡ] τῶν Ἱεροσολύμων, ἡ οἰκοδομὴ τῆς ἐκκλησίας, ὁ λόγος ὁ πανταχοῦ τρέχων, ὁ διὰ κυμάτων ἀρθείς, ὁ διὰ πολέμων αὐξηθείς, οἱ τῶν μαρτύρων δῆμοι, τὰ ἄλλα ἅπαντα. πολλὰ δὲ ἄν τις καὶ ″ ἰδικὰ ἴδοι, καὶ ἐν οἰκίᾳ γινόμενα θαύματα, καὶ ἐν πόλεσιν. ἀλλὰ τέως τὰ καθολικὰ καὶ ἅπασι δῆλα καὶ γνώριμα καὶ ἃ καθ' ἑκάστην τὴν γενεὰν ἴδωμεν. πόσα ἐπὶ Ἰουλιανοῦ τοῦ πάντας ἀσεβείᾳ νικήσαντος γέγονε, τῆς ἐκκλησίας πολεμουμένης; πόσα ἐπὶ Μαξιμίνου; πόσα περὶ ἐκείνων τῶν βασιλέων; εἰ δὲ βούλεσθε, καὶ τὰ ἐπὶ τῆς γενεᾶς συμβάντα τῆς ἡμετέρας· οἷον, οἱ σταυροὶ οἱ κατὰ τῶν ἱματίων χαραχθέντες, ἀθέον· τοῦ Ἀπόλλωνος τὸ ἱερὸν ″ τῷ σκηπτῷ κατενεχθέν· τοῦ ἁγίου μάρτυρος Βαβύλα τοῦ ἐν Δάφνῃ ἡ μετάθεσις, καὶ ἡ φανερὰ νίκη ἡ κατὰ τοῦ δαίμονος· τοῦ ταμίου τῶν βασιλικῶν χρημάτων ὁ παράδοξος θάνατος· αὐτὴ ἡ τοῦ βασιλέως ἀναίρεσις, αὐτοῦ τοῦ Ἰουλιανοῦ τοῦ πάντας ἀσεβείᾳ νικήσαντος, καὶ ἡ τοῦ θείου τοῦ ἐκείνου ἀπώλεια, τῶν σκωλήκων αἱ πηγαί, ἕτερα μυρία, ὁ λιμός, ὁ αὐχμός, ἡ τῶν ὑδάτων σπάνις ἡ μετ' αὐτοῦ ταῖς πόλεσι συνεμπεσοῦσα, καὶ ἕτερα μυρία ″ πολλαχοῦ. καὶ ἐν Παλαιστίνῃ τὰ τότε συμβάντα ἔγνωτε. καὶ γὰρ ἡνίκα τὸν ναὸν ἐκεῖνον τὸν τῇ ψήφῳ τοῦ Θεοῦ καθαιρεθέντα ἀνοικοδομεῖν ἐβούλοντο οἱ Ἰουδαῖοι, πῦρ ἐκ τῶν θεμελίων ἐκπηδῆσαν ἅπαντας ἤλασε· καὶ μαρτυρεῖ τὸ ἔργον ἀτέλεστον μεῖναν.

Ἰω. κ. κθ.

Δείκνυται διὰ τούτων, ὅτι ἐν Ἀντιοχείᾳ ἐξηγεῖτο.

χ. ἰδίως

χ. τὸ

χ. πανταχοῦ

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.

Ἀπαγγείλας αὐτοῦ τὰς εὐεργεσίας τὰς διὰ τῶν θαυμάτων, τὰς διὰ τῶν ἔργων, τὴν κηδεμονίαν τὴν ὑπὲρ ἡμῶν γινομένην, καὶ τούτῳ πάλιν αὔξει τὸν λόγον, δεικνὺς ὅτι τοσαῦτα καὶ τηλικαῦτα ποιήσας ὑπὲρ τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων, καὶ παντὶ τρόπῳ παιδεύσας αὐτούς, καὶ παιδεύων εἰς τὴν θεογνωσίαν καὶ τὴν ἄκραν φιλοσοφίαν, καὶ διακρατῶν αὐτῶν τὴν ζωήν, οὐ κατὰ ὀφειλὴν τοῦτο ἐργάζεται (ὅπερ [οὐ] μεγίστη χάρις ἐστὶν) ἀλλὰ δι' ἔλεον καὶ φιλανθρωπίαν, οὐχ ὡς αὐτὸς δεόμενος αὐτῶν, ἀλλὰ δι' ἀγαθότητα μόνην. Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. τίνος ἕνεκεν τοὺς φοβουμένους ἐνταῦθα τέθεικεν; οὐ γὰρ δὴ μόνους αὐτοὺς τρέφει. καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ φησίν, Ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. πῶς οὖν εἶπε τοῖς φοβουμένοις αὐτόν; τροφὴν ἐνταῦθα δοκεῖ μοι λέγειν, οὐ τὴν τοῦ σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς.

Ματθ. ε. με.

διὰ τοῦτο καὶ περὶ τῶν φοβουμένων διαλέγεται μόνον. αὕτη γὰρ τούτοις ἐστὶν ἀφωρισμένη. ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψυχή. καὶ ὅτι τρέφεται, ἄκουε· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. (Ματθ. δ. δ.) Ταύτην οὖν λέγει τὴν τροφὴν, ἣν καὶ ἐξαιρέτως ἔδωκε τοῖς φοβουμένοις αὐτὸν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν ἅπασαν.

5 Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.

Πάλιν καταστέλλων τῶν Ἰουδαίων τὴν ἀπόνοιαν, καὶ τὸν τῦφον αὐτῶν ὑποτεμνόμενος, μᾶλλον δὲ δεικνὺς ὅτι τῶν ἀγαθῶν ὧν ἀπέλαυσαν, οὐ διὰ τὴν ἀξίαν ἀπέλαυσαν τὴν οἰκείαν, ἀλλὰ διὰ τὴν φιλίαν αὐτοῦ τὴν πρὸς τοὺς πατέρας, καὶ τὰς συνθήκας τὰς πρὸς ἐκείνους γεγενημένας, φησί· μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. ὅπερ καὶ Μωϋσῆς προήγγειλεν αὐτοῖς εἰσιοῦσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγειν, καὶ ἐννοεῖν. (Δευτ. θ. ε.) ἐὰν γὰρ οἰκοδομήσῃς, φησὶ, πόλεις λαμπρὰς, καὶ περιβάλῃ πλοῦτον χρημάτων, μὴ εἴπῃς, ὅτι διὰ τὴν δικαιοσύνην μου ταῦτα γέγονεν, ἀλλὰ διὰ τὰς συνθήκας τὰς πρὸς τοὺς πατέρας σου. οὐδὲν γὰρ ἀπονοίας χεῖρον. διὰ τοῦτο παντὶ τρόπῳ καὶ διαπαντὸς ὁ Θεὸς ἐκκόπτει αὐτὴν συνεχῶς. Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ,

6 Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.

Ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον· ἀπὸ τῶν κατὰ τὴν οἰκουμένην γινομένων, ἐπὶ τὰ Ἰουδαίοις συμβάντα. μάλιστα δὲ εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ ταῦτα καθολικῶν ἐπέχει τάξιν. τὰ γὰρ εἰς αὐτοὺς γινόμενα, τοῖς ἄλλοις διδασκαλία ἐγίνοντο· καὶ οἱ πόλεμοι, καὶ τὰ τρόπαια, καὶ αἱ νῖκαι ἀντὶ κηρύγματος ἤρκουν τοῖς προσέχουσιν. οὐ γὰρ ἀκολουθίᾳ ἀνθρωπίνῃ, ἀλλ' ὑπὲρ λόγον ταῦτα συνέβαινε. (Ἰησ. ς. κ. Κριτ. δ. δ.) ποία γὰρ ἀκολουθία, σαλπιζόντων αὐτῶν τὰ τείχη καταβάλλεσθαι· καὶ γυναῖκα στρατηγοῦσαν νικᾶν καὶ περιγίνεσθαι· καὶ παιδίον μικρὸν βαρβαρικοὺς πολέμους καταλύειν ἀπὸ λίθου βολῆς μιᾶς; (α. Βασ. ιζ. μθ.) καὶ ἕτερα δὲ ἄλλα παράδοξα τοιαῦτα συνέβαινεν. οὕτω τῶν πολεμίων ἐκράτησαν, οὕτω τῆς Παλαιστίνης ἐξέβαλον. ὅταν οὖν λέγῃ, ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐπέδειξεν αὐτοῦ τὴν δύναμιν, οὐχ ἁπλῶς ἐκβάλλων τὰ ἔθνη, ἀλλὰ τρόπῳ τοιούτῳ, δι' οὗ μάλιστα ἠδύναντο εἰδέναι σαφῶς, εἰ καὶ τὰ πρότερα ἤρκει, ὅτι θεήλατος ἦν ἡ πληγὴ κατ' ἐκείνων γινομένη, καὶ αὐτοῦ στρατηγοῦντος τὰ τῶν πολεμίων ἐκείνετο πράγματα. οὐ γὰρ δὴ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτοὺς ἐπαίδευε· δι' ὑποδημάτων, διὰ ἱματίων, διὰ τροφῆς, διὰ φωτὸς νυκτερινοῦ καὶ ἡμερινοῦ, διὰ νεφέλης, διὰ πολέμων, διὰ εἰρήνης, διὰ τροπαίων, διὰ γεωργίας, διὰ ὑετῶν· (Ἐξοδ. ις. δ. ι. καὶ ιγ. κα.) καὶ πάντα φωνὴν ἠφίει τὸν δεσπότην ἀνακηρύττοντα, καὶ τὴν πεπωρωμένην αὐτῶν διάνοιαν κατανύσσοντα· καὶ οὐδεὶς χρόνος ἐπέλιπεν, ἐν ᾧ μὴ συνεχῆ σημεῖα αὐτοῦ ἐπεδείκνυτο.

Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις.

Ἐπειδὴ περὶ τῆς δυνάμεως αὐτοῦ διελέχθη, διαλέγεται καὶ περὶ τῆς δικαιοκρισίας· ὅτι οὐ μόνον δύναμιν ἐν οἷς ἐποίει τότε ἐπεδείκνυτο, ἀλλὰ καὶ πολλὴν τὴν δικαιοσύνην. οὐ γὰρ ἁπλῶς ἐξέβαλε τὰ ἔθνη, ἐπειδὴ Ἰουδαίους εἰσαγαγεῖν ἐβούλετο, ἀλλὰ μετὰ τοῦ δικαίου. διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν ὁ Μωϋσῆς· Οὔπω ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων. (Γεν. ιε. ιϛ.) ταῦτα δὲ οὐκ ἐπὶ Ἰουδαίων ἐστὶν εἰπεῖν μόνον, καὶ τῶν ἐκείνοις συμβαινόντων, ἀλλὰ πάλιν καθολικὸς ὁ λόγος ἐστί. καὶ γὰρ πάντα τὰ ὑπ' αὐτοῦ γινόμενα, ἀλήθεια καὶ κρίσις, τουτέστι, δικαιοσύνη. οἶδε δὲ ἀλήθειαν πολλάκις ἡ γραφὴ καὶ τὴν φιλανθρωπίαν λέγειν. ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· ὅτι μετὰ τῆς δικαιοσύνης καὶ φιλανθρωπίας τὰ πάντα ἀνέμιξεν. εἰ γὰρ δὴ μόνον τῷ τοῦ δικαίου ἐκέχρητο λόγῳ, πάντα ἂν ἀπωλώλει. διὸ καὶ αὐτὸς ὁ προφήτης ἀλλαχοῦ λέγει· Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. καὶ πάλιν, Ἐὰν ἀνομίας παρατηρήσῃ Κύριε, Κύριε τίς ὑποστήσεται; πάντα τοίνυν τὰ ὑπ' αὐτοῦ γινόμενα, ἑκατέρων γέμει τούτων. εἴτε γὰρ κατὰ τὸ δίκαιον ἀπῄτει μόνον, πάντα ἂν διεφθάρη· εἴτε φιλανθρωπίᾳ μόνῃ ἐκέχρητο, οἱ πλείους ἂν ἐγίνοντο ῥαθυμότεροι. διὰ τοῦτο ποικίλλων τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἑκατέροις τούτοις εἰς τὴν διόρθωσιν αὐτῶν κέχρηται.

Ψαλ. ρμβ. β.
Ψαλ. ρκθ. γ.

7 Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ.

Ὅπερ πολλαχοῦ ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, ἀπὸ τῆς σοφίας τῆς ἐν τῇ ποικίλῃ δημιουργίᾳ, καὶ τῆς κηδεμονίας, ἐπὶ τὴν νομοθεσίαν μεταβαίνων, καὶ τοῦτο πάλιν κοινὸν τῆς προνοίας τὸ μέρος. οὐ γὰρ δὴ μόνον τῷ κτίσαι κτίσιν τοσαύτην καὶ τηλικαύτην, ἀλλὰ καὶ τῷ νόμον θεῖναι τὸ τῶν ἀνθρώπων διώρθωσε γένος. διὸ καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ψαλμῷ ἀμφότερα ταῦτα τὰ μέρη διελών, ἀρξάμενος μὲν ἔλεγεν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. πρὸς δὲ τὸ μέσον ἐλθών, καὶ τὸν περὶ τῆς κτίσεως ἀπαρτίσας λόγον, ἐπήγαγεν· Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς, ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. οὕτω δὴ καὶ ἐνταῦθα, εἰπὼν περὶ τῶν τεραστίων, καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τῶν ἔργων, εἰς τὴν περὶ τῶν ἐντολῶν ὑπόθεσιν μεταχειρίζει τὸν λόγον, οὕτω λέγων· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. Ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.

Οὐχ ἁπλῶς εἶπε, πᾶσαι, ἀλλὰ πολὺ γένος ἐντολῶν ἀνακινῶν, ταύτην τέθεικε τὴν λέξιν. καὶ γὰρ ἐντολαί εἰσιν αἱ τῆς κτίσεως, ἃς διατηρεῖ πᾶσα ἡ κτίσις, ἥλιος καὶ σελήνη, καὶ ἡμέρα καὶ νύξ, καὶ ἀστέρες, καὶ γῆς καὶ φύσεως δρόμος. ἐντολαί εἰσι καὶ αἱ τῇ φύσει δοθεῖσαι ἐξ ἀρχῆς, ὅτε τὸν ἄνθρωπον ἔπλαττε· περὶ ὧν φησιν ὁ Παῦλος· Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος. καὶ πάλιν· Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. ἐντολαί εἰσι καὶ αἱ γραπταί, καὶ αὗται πᾶσαι μεμενήκασιν· εἰ δέ τινες καὶ κατελύθησαν, οὐκ ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐπὶ τὸ βέλτιον μεταρρυθμισθεῖσαι. τὸ γάρ, οὐ φονεύσεις, οὐ κατελύθη, ἀλλ' ἐπετάθη. καὶ τό, οὐ μοιχεύσεις, οὐκ ἠφανίσθη, ἀλλὰ μεῖζον γέγονε. διὸ καὶ ἔλεγεν· Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. καὶ γὰρ ὁ μὴ ὀργιζόμενος, πολλῷ μᾶλλον τοῦ φόνου ἀφέξεται· καὶ ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, μακρότερον τῆς μοιχείας ἐσκήνωται. ὁ τοίνυν νόμος τοῦτο μάλιστα ἔχει τὸ ἐξαίρετον, τὸ ἀθάνατον, τὸ διηνεκές, καὶ ὁ τῆς κτίσεως, καὶ ὁ φυσικός, καὶ ὁ τῆς φιλοσοφίας, καὶ ὁ τῆς καινῆς διαθήκης. διό φησιν· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται, τὸ ἀκίνητον αὐτῶν δηλῶν. πάντα γάρ, ὅσα ἂν βούληται μένειν ὁ Θεός, μένει διηνεκῶς, καὶ οὐδέν ἐστι τὸ κινοῦν αὐτά. πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. τί ἐστιν, ἐν ἀληθείᾳ καὶ εὐθύτητι; οὐδὲν ἐν αὐταῖς, φησί, σκολιόν, οὐδὲν στραγγαλιῶδες, οὐδὲν ἀσαφές, οὐδὲν πρὸς χάριν τινά, ἢ πρὸς ἀπέχθειαν, ἀλλὰ πάντα πρὸς τὸ συμφέρον καὶ λυσιτελές· οὐ καθάπερ οἱ ἀνθρώπινοι νόμοι, πολὺ μὲν ἔχοντες τὸ ἐπίκηρον, πολὺ δὲ τὸ ἀσαφές, πολὺ δὲ τὸ ἀνθρώπινον. καὶ γὰρ ἀπὸ ἀνθρωπίνων παθῶν πολλοὶ πολλάκις ἐτέθησαν. καὶ γὰρ τὸν ἐχθρὸν ἀμυνόμενος, ἢ φίλῳ χαρίζεσθαι βουλόμενος, οὕτω τὰ γράμματα συνέθηκεν. ἀλλ' οὐχ οἱ θεῖοι τοιοῦτοι, ἀλλ' ἡλίου φαιδρότεροι μένουσι, τὸ συμφέρον τῶν νομοθετουμένων ἐπιζητοῦντες, πρὸς ἀρετὴν αὐτοὺς ἐπανάγοντες, καὶ πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν, οὐ πρὸς τὰ ψευδῆ ταῦτα, πλοῦτον λέγω καὶ δυναστείαν

Ρω. β. ιδ.
Ρω. ζ. κβ.
Ματθ. ε. ιζ.
Ματθ. κδ. λε.
γρ. καθαρεὺς ἔσται·
γρ. ἐπιχ

(ταῦτα γὰρ ψευδῆ, τὰ δὲ τοῦ Θεοῦ ἀλήθεια) οὐχ ὅπως γένοιντο εὐπορώτεροι, οὐδ' ὅπως τῶν παρόντων ἐπιτύχοιεν, ἀλλ' ὅπως τῶν μελλόντων ἀπολαύσαιεν, διδάσκοντες. περὶ τῶν ἀληθῶν πραγμάτων, καὶ ὀρθῶν, καὶ οὐδὲν ἐχόντων διεστραμμένον ἅπαντα εἶπον ἐκεῖνοι οἱ νόμοι. πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. τί ἐστι πισταί; βέβαιαι, μένουσαι. κἂν γὰρ παραβαθῶσιν, αἱ τιμωρίαι ἕπονται, καὶ αὗται οὐ σαλεύονται. εἰ δὲ καὶ ἄνθρωποι παραβῶσιν, ἀλλ' ὁ Θεὸς αὐτὰς ἐκδικεῖ. μὴ τοίνυν λέγε, ὅτι πρὸς ἀπειλὴν εἴρηται τὰ εἰρημένα, ἢ ὑπερβολικῶς. οὐδεὶς νομοθετῶν πρὸς ἀπειλὴν λέγει μόνον, ἀλλὰ καὶ πρὸς σωφρονισμόν. εἰ δὲ οὐ σφόδρα πιστεύεις ὑπὲρ τῶν μελλόντων, ἀπὸ τῶν παρελθόντων λάμβανε τὴν ἀπόδειξιν. ὁ γοῦν ἐπὶ τοῦ Νῶε κατακλυσμός, καὶ ἡ ἐπὶ τῶν Σοδόμων πυρπόλησις, καὶ ἡ ἐπὶ τοῦ Φαραὼ ἀπώλεια, καὶ ἡ ἐπὶ τῶν Ἰουδαίων πανωλεθρία, καὶ αἱ αἰχμαλωσίαι, καὶ οἱ πόλεμοι, ἄρα ἀπειλῆς εἰσιν, ἢ πεῖρας πραγμάτων; εἰ δὲ τὰ ἐν τῷ τύπῳ γέγονε, πολλῷ μᾶλλον τὰ ἐν τῇ ἀληθείᾳ, ὅσῳ καὶ μείζων ἡ πονηρία τῶν αὐτοῖς τετολμημένων, μετὰ τοσαύτην θεραπείαν καὶ διόρθωσιν.

8 Λύτρωσιν ἀπέστειλε* τῷ λαῷ αὐτοῦ.

Κατὰ μὲν τὴν ἱστορίαν, τὴν τῶν Ἰουδαίων ἐλευθερίαν φησί· κατὰ δὲ τὴν ἀναγωγὴν, τὴν τῆς οἰκουμένης. ὃ καὶ τὸ ἑξῆς δηλοῖ.

9 Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. Τὴν καινὴν ἐνταῦθα λέγει. ἐπειδὴ γὰρ ἐντολῆς ἐμνήσθη καὶ νόμου, οὗτος δὲ παρεβάθη, καὶ ὀργὴν εἰργάσατο, φησὶν ὅτι λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ· καθάπερ καὶ αὐτὸς ἔλεγεν, Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ιω.ιϐ.μζ. ἐπειδὴ γὰρ παραβαινόμενος ὁ νόμος ἐκόλαζεν (Ὁ γὰρ νόμος ὀργὴν, φησὶ, κατεργάζεται. οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις) Ρω.δ.ιε. Καὶ πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, Ρω.γ.κγ. διὰ τοῦτο οὕτως εἶπε, λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. ἀλλ' ὅμως οὐδὲ ἡ λύτρωσις ἁπλῶς, ἀλλὰ μετὰ τὴν λύτρωσιν καὶ νόμος, ἵνα τῆς χάριτος ἀξίαν ἐπιδειξώμεθα τὴν πολιτείαν. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

Ἐπειδὴ ἐνενόησεν ἅπαντα τὰ ἀνακηρύττοντα αὐτοῦ τὴν κηδεμονίαν, τὴν πρόνοιαν, τὴν ἐν τῇ παλαιᾷ, τὴν ἐν τῇ καινῇ, τὴν ἐν τοῖς ἔργοις, τὴν διὰ τῶν ἐντολῶν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν τεραστίων, ἔνθους γενόμενος, καὶ ἐκπλαγεὶς αὐτοῦ τὴν μεγαλωσύνην, εἰς δοξολογίαν πάλιν καταλύει τὸν λόγον, ὕμνον ἀναφέρων εἰς τὸν ταῦτα πεποιηκότα. ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ, τουτέστιν, ἐκπλήξεως γέμον, θαύματος πολλοῦ. εἰ δὲ τὸ ὄνομα αὐτοῦ, πόσῳ μᾶλλον ἡ οὐσία; πῶς δὲ τὸ ὄνομα αὐτοῦ ἅγιον καὶ φοβερόν; δαίμονες αὐτὸ τρέμουσι, νοσήματα αὐτὸ δέδοικε· τούτῳ κεχρημένοι τῷ ὀνόματι οἱ ἀπόστολοι τὴν οἰκουμένην κατώρθωσαν ἅπασαν· α. Βασ. ιζ. μ τούτῳ ὁ Δαβὶδ ἀντὶ ὅπλου χρησάμενος, τὸν βάρβαρον ἐκεῖνον κατήνεγκε· τούτῳ τὰ μυρία κατωρθώθη πράγματα· τούτῳ τὴν ἱερὰν μυσταγωγούμεθα μυσταγωγίαν. ἐννόησον τοίνυν ὅσα ἐργάζεται θαύματα τὸ ὄνομα αὐτοῦ, ὅσας εὐεργεσίας, πῶς τοὺς ἐναντίους διαλύει, πῶς τοὺς οἰκείους ἀσφαλίζεται, καὶ πράγματα ἀναλογιζόμενος ὑπερβαίνοντα φύσεως ἀκολουθίαν, καὶ νικῶντα λογισμὸν ἀνθρώπων, φησὶν, ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. εἰ δὲ ἅγιον, ἁγίων δεῖται στομάτων πρὸς ὑμνολογίαν, ἁγίων καὶ καθαρῶν.

Ἀρχὴ σοφίας, φόβος Κυρίου. 10 Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.

Τί ἐστιν, ἀρχή; πηγὴ, ῥίζα, ὑπόθεσις. ἐπειδὴ γὰρ τοσαῦτα καὶ τηλικαῦτα εἶπε περὶ τοῦ τῆς οἰκουμένης δεσπότου, καὶ τοσαύτης ἐκπλήξεως ἐνεπλήσθη· ἐπάγει τοῦτο ἀκολούθως λοιπὸν, δεικνὺς ὅτι ὁ τοῦτον φοβούμενος, πάσης ἐμπίπλαται σοφίας, καὶ Συνετὸς γῆς. Εἶτα ἵνα μή τις νομίσῃ μέχρι τῆς γνώσεως εἶναι τὰ τῆς σοφίας, ἐπήγαγε· Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. οὐ γὰρ ἀρκεῖ πίστις, ἂν μὴ προσῇ καὶ πολιτεία τῇ πίστει συμβαίνουσα. πῶς δὲ ἀρχὴ σοφίας φόβος Κυρίου; πάσης ἀπαλλάττει πονηρίας, πᾶσαν ἀρετὴν κατορθοῖ. σοφίαν δὲ, οὐ τὴν ἐν ῥήμασιν, ἀλλὰ τὴν ἐν πράγμασι λέγει· ἐπεὶ καὶ οἱ ἔξωθεν σοφίαν τοῦτο ὡρίσαντο, θείων καὶ ἀνθρωπίνων πραγμάτων ″ γνῶσιν. Ταύτην δὲ τὴν τέχνην ὁ τοῦ Θεοῦ φόβος διδάσκει, πονηρίαν ἀναιρῶν, ἀρετὴν φυτεύων, τῶν παρόντων ὑπερορᾶν παρασκευάζων, πρὸς τὸν οὐρανὸν μεθιστάς. τί δὲ τῆς τοιαύτης ψυχῆς σοφώτερον; οὐ τὸν ἀκροατὴν ἐνταῦθα δὲ ζητεῖ μόνον, ἀλλὰ καὶ τὸν ποιητήν. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, τουτέστι, τοῖς ποιοῦσι τὴν σοφίαν καὶ διὰ τῶν ἔργων ἐπιδεικνυμένοις σύνεσις ἀγαθή. Σύνεσις ἀγαθή, εἶπεν, ὅτι ἐστὶ καὶ σύνεσις πονηρά, ὡς ὅταν λέγῃ· Σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἔγνωσαν· ἀλλ' αὐτὸς τὴν ἐπὶ τῆς ἀρετῆς σύνεσιν ζητεῖ.

γρ. διδάγματα.

Ιερεμ. δ. κβ.

Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ποία αἴνεσις, εἰπέ μοι; ἡ εὐχαριστία, ἡ δοξολογία, ἡ διὰ τῶν ἔργων γινομένη ἀθάνατος, καὶ περὶ τούτων αὐτὴ ἡ τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένη. ἀθάνατος μὲν γὰρ ὁ Θεός, καὶ καθ' ἑαυτὸν σφόδρα αἰνετός· αἰνετὸς δὲ, καὶ ὅταν ἐννοήσῃς τὴν μεγαλωσύνην αὐτοῦ καὶ τὰ ἄλλα πάντα· αἰνετὸς δὲ καὶ διὰ τὰ ἔργα, ὅταν ἴδῃς αὐτοῦ τὴν σοφίαν διὰ τῶν ὁρωμένων. ταῦτα δὲ λέγει, εἰς εὐχαριστίαν προτρέπων, καὶ δεικνὺς οὐδεμιᾶς συγγνώμης ὄντας ἀξίους, οὐδὲ τῆς τυχούσης, τοὺς δυσχεραίνοντας πρὸς τὰ γινόμενα. ὅταν γὰρ ἡ αἴνεσις αὐτοῦ, καὶ ἡ εὐχαριστία, καὶ ἡ δοξολογία οὕτως ᾖ φανερά, καὶ δήλη, καὶ σαφής, καὶ ἀκίνητος, καὶ πεπηγυῖα, καὶ μονίμη, ὡς καὶ ἀθάνατος καὶ ἀπέραντος εἶναι καὶ ἀτελεύτητος, ἐκεῖνοι δὲ ταύτην ἀγνοοῦντες τἀναντία φθέγγονται· οὐδὲν ἕτερον, ἢ πρὸς τὰ ἡλίου σφόδρα σαφέστερα ἀντιλέγουσι, καὶ ἑκόντες τυφλώττουσιν. οὔτε γὰρ πρόσκαιρός ἐστιν, ἵνα ἀγνοήσωσιν, οὔτε ἀμαυρά τις καὶ ἀσαφής, ἀλλὰ καὶ δήλη καὶ διηνεκὴς καὶ ἀθάνατος, ἀεὶ μένουσα καὶ τέλος οὐδέποτε ἔχουσα.

γρ. τῶν ἔργων.

Ψαλμ. ρια. Ι ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ Ο ΦΟΒΟΥΜΕΝΟΣ ΤΟΝ Κύριον.

Σφόδρα μοι δοκεῖ τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ἕπεσθαι τὸ προοίμιον, καὶ ὥσπερ ἓν σῶμα εἶναι συνεχὲς καὶ συνημμένον. ἐκεῖ μὲν γάρ φησιν, ἀρχὴ σοφίας φόβος Κυρίου· ἐνταῦθα δέ, μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἑτέροις ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι παιδεύων τοῦ Θεοῦ τὸν φόβον. ἐκεῖ μὲν γὰρ σοφὸν αὐτὸν ἔφησεν εἶναι, ἐνταῦθα δὲ μακάριον. τὸ δὲ ὄντως μακάριον τοῦτο· ὡς τά γε ἄλλα πάντα ματαιότης, καὶ σκιά, καὶ ψιλὰ ″ πράγματα· κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν σώματος ὥραν, κἂν χρημάτων περιβολήν. φύλλοις γὰρ ἔοικε καταπίπτουσι, καὶ σκιαῖς παρατρεχούσαις, καὶ ὀνείρασιν ἀφιπταμένοις. τὸ δὲ ὄντως μακάριον τοῦτο. Εἶτα ἐπειδὴ καὶ δαίμονες δεδοίκασιν αὐτὸν καὶ φρίττουσιν, ἵνα μὴ νομίσῃς τοῦτο μόνον ἀρκεῖν εἰς σωτηρίαν· ὅπερ ἄνω πεποίηκε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. καθάπερ γὰρ ἐκεῖ εἰπών, ἀρχὴ σοφίας φόβος Κυρίου, ἐπήγαγε, Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν (τοῖς δόγμασι τὴν συμβαίνουσαν πολιτείαν ″ ἀναρτῶν) οὕτω δὴ καὶ ἐνταῦθα εἰπὼν τὸν φόβον, οὐκ ἐκεῖνον μόνον λέγει τὸν ἀπὸ τῆς

ἴσ. ὀνόματα.

γρ. ἀπαρτῶν.

γνώσεως, ὃν καὶ δαίμονες ἔχουσιν, ἀλλὰ καὶ " τοῦτον προστίθησι λέγων·

Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Τοῦτο δὲ εἶπε, βίον ἀπαιτῶν καὶ πολιτείαν ἠκριβωμένην, καὶ ψυχὴν φιλόσοφον. καὶ [γὰρ] οὐκ εἶπε, ταῖς ἐντολαῖς αὐτοῦ ποιήσει, ἀλλὰ θελήσει, ἕτερόν τι πλέον ἐπιζητῶν. ποῖον δὴ τοῦτο; τὸ μετὰ προθυμίας αὐτὰς ποιεῖν· τὸ ἐραστὰς αὐτῶν εἶναι σφοδρούς· τὸ μεταδιώκειν αὐτοῦ τὰ ἐπιτάγματα· τὸ φιλεῖν αὐτὰς μὴ διὰ τὸν μισθὸν τὸν ὑπὲρ αὐτοῦ*, ἀλλὰ διὰ τὸν θέντα αὐτάς· τὸ μεθ' ἡδονῆς μετιέναι τὴν ἀρετήν, τὸ μὴ φόβῳ γεέννης μηδὲ ἀπειλῇ κολάσεως μηδὲ ἐπαγγελίᾳ βασιλείας, ἀλλὰ διὰ τὸν νομοθετήσαντα. καὶ ἀλλαχοῦ δὲ δεικνὺς τὴν ἡδονήν, ἣν ἔχει παρὰ τὰ προστάγματα τοῦ Θεοῦ, Ὡς γλυκέα, φησί, τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. τοῦτο καὶ Παῦλος ἐπιζητεῖ, αἰνιγματωδῶς οὕτω λέγων· Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν, τουτέστι, μεθ' ὅσης σπουδῆς, μεθ' ὅσης ἐπιθυμίας τὴν κακίαν ἐδιώκετε, καίτοι μηδὲν ἔπαθλον ἔχουσαν, ἀλλὰ τοὐναντίον, κόλασιν καὶ τιμωρίαν, μετὰ τοσαύτης διώξατε τὴν ἀρετήν· ἀλλ' ὅμως καὶ τοῦτο σύμμετρον ἔφησεν ἀπαιτεῖν μέτρον. μέλλων γὰρ ταῦτα λέγειν, οὕτω πως ἔφη· ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· δεικνὺς ὅτι " οὐ πολλῷ πλείονα ἐπιθυμίαν ἐπιδείκνυσθαι χρὴ περὶ τὴν ἀρετήν, ἢ περὶ τὴν κακίαν ἐπεδειξάμεθα. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ μὴ τὴν αὐτὴν ἐπιδείξωνται ἀρετήν, τίνα ἂν ἔχοιεν ἀπολογίαν ἢ συγγνώμην οἱ μηδὲ μετὰ τῆς αὐτῆς ἐπιθυμίας πρὸς ταύτην ἰόντες; διὰ δὴ τοῦτο καὶ ὁ προφήτης " οὕτως εἶπεν· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. ὁ γὰρ φοβούμενος αὐτὸν ὡς χρή, τὰ ἐπιτάγματα αὐτοῦ μετὰ πολλῆς δέχεται τῆς ἐπιθυμίας· διότι ὁ περὶ τὸν νομοθέτην ἔρως προξενεῖ ποιεῖν τὸν νόμον, κἂν δυσκολίαν δοκῇ ἔχειν τινά. καὶ μηδεὶς καταγνῷ τοῦ λόγου, εἰ τοιούτῳ κέχρημαι παραδείγματι. καὶ γὰρ καὶ Παῦλος ἐχρήσατο αὐτῷ οὕτως εἰπών· ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παραστήσατε δοῦλα τῇ δικαιοσύνῃ. ὁ τοίνυν πόρνης ἐρῶν, κἂν ὑβρίζηται, κἂν λοιδορῆται, κἂν τύπτηται, κἂν ἀσχημονῇ, κἂν τῆς πατρίδος ἐκβάλληται, κἂν τῆς πατρῴας οὐσίας, κἂν τῆς εὐνοίας τοῦ πατρός, κἂν ἕτερα χαλεπώτερα πάσχῃ, μεθ' ἡδονῆς αὐτὰ φέρει διὰ τὸν ἔρωτα τὸν ἀκόλαστον. εἰ δὲ ἐκεῖνα μεθ' ἡδονῆς δέχονται, πῶς οὐ πολλῷ μᾶλλον τὰ τοῦ Θεοῦ ἐπιτάγματα, τὰ σωτηριώδη, καὶ δόξης γέμοντα, καὶ πολλὴν ἡμῖν παρέχοντα φιλοσοφίαν, καὶ τὴν ψυχὴν βελτίονα ἐργαζόμενα δεῖ μετὰ πολλῆς δέχεσθαι τῆς ἡδονῆς, καὶ μηδὲν δύσκολον ἐν αὐτοῖς εἶναι νομίζειν; τὴν γὰρ δυσκολίαν οὐχ ἡ τῶν ἐπιταγμάτων φύσις, ἀλλ' ἡ τῶν πολλῶν ῥαθυμία ποιεῖν εἴωθεν. ὡς εἴ τις μετὰ προθυμίας αὐτὰ δέχοιτο, κοῦφα καὶ ῥᾷστα αὐτὰ ὄψεται ὄντα. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· Ὁ ζυγός μου χρηστός, καὶ φορτίον μου ἐλαφρόν ἐστι. καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ ἡ ῥαθυμία τῶν πολλῶν καὶ τὰ εὔκολα δύσκολα ἀποφαίνει· ἡ δὲ σπουδή, καὶ τὰ δυσκολώτατα ῥᾷστα· ὅτε τὸ μάννα ἀπέλαυον οἱ Ἰουδαῖοι, καὶ ἐδυσχέραινον, καὶ θάνατον ηὔχοντο· λιμῷ δὲ παλαίων ὁ Παῦλος, ἔχαιρε καὶ ἐσκίρτα. κἀκεῖνοι μὲν ἔλεγον· Ἡ ψυχὴ ἡμῶν " κατάκενος ἐπὶ τῷ μάννα· ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι, παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ. ὁ δὲ Παῦλος, Χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. ποίοις παθήμασι; τῷ λιμῷ, τῇ δίψῃ, τῇ γυμνότητι, καὶ τοῖς ἄλλοις ἅπασιν. ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. πῶς δ' ἂν τοῦτο γένοιτο; ἂν μετ' ἀκριβείας καὶ φοβώμεθα καὶ ἀγαπῶμεν τὸν Θεόν· ἂν ἐννοῶμεν αὐτῆς τῆς ἀρετῆς τὴν φύσιν. καὶ γὰρ παρὰ τῶν ἄλλων ἐπάθλων ἐν ἑαυτῇ τὰς ἀμοιβὰς ἔχει. ὅταν

Ψαλμ. ριη. ρβ. καὶ ψαλμ. ιη. ια.

Ρω. ϛ. ιθ.

Ματθ. ια. λ.

Αριθμ. ια. ϛ.

Κολ. α. κδ.

γὰρ μὴ μοιχεύῃς, μηδὲ φονεύῃς, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς ἡδονῆς, μὴ καταγινωσκόμενος παρὰ τοῦ συνειδότος, μὴ τοὺς οἰκείους αἰσχυνόμενος, καθαροῖς ὀφθαλμοῖς πρὸς ἅπαντας βλέπων. ἀλλ' οὐχ ὁ μοιχὸς τοιοῦτος, ἀλλὰ πάντας τρέμει καὶ δέδοικε, καὶ αὐτὰς τὰς σκιὰς ὑφορᾶται. πάλιν ὁ πλεονέκτης καὶ ὁ βάσκανος τὰ αὐτὰ πείσεται· ὁ δὲ τούτων ἀπηλλαγμένος, τὰ ἐναντία. 2 Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Σπέρμα οἶδε πολλάκις ἡ γραφὴ λέγειν, οὐ τὸ κατὰ φύσεως ἀκολουθίαν τικτόμενον, ἀλλὰ τὸ κατὰ κοινωνίαν ἀρετῆς. διὸ καὶ Παῦλος ἑρμηνεύων τὸ, σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην, ἔλεγεν· Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. καὶ πάλιν, Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη. ὅτι γὰρ οὐ περὶ Ἰουδαίων εἴρηται, τὰ πράγματα δηλοῖ. οἱ γὰρ αὐτοὶ κατάρας γέμοντες, πῶς ἂν ἄλλοις εὐλογίας γένοιντο αἴτιοι; ἀλλὰ περὶ τῆς ἐκκλησίας φησὶ τῆς κατὰ τὴν κοινωνίαν τῆς πίστεως σπέρμα χρηματιζούσης αὐτῷ. τοιοῦτοι τοίνυν οἱ ἐνάρετοι, καὶ τὸν Θεὸν φοβουμένων παῖδες. δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα αὐτοῦ. διατί εἶπεν, ἐν τῇ γῇ; ἵνα δείξῃ ὅτι καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας, καὶ πρὸ τῆς πείρας τῶν ἀγαθῶν τῶν ἐκεῖ (ὅπερ ἔφθην εἰπὼν) ὅτι ἐν ″ αὐτῇ τῇ ἐργασίᾳ τὴν ἀμοιβὴν ἡ ἀρετὴ κέκτηται καὶ πρὸ τῶν ἐπάθλων. ὅτι δὲ ὁ τοιοῦτος σπέρμα δυνατὸν ἔχει, καὶ ὁ ἀρετὴν περιβεβλημένος πάντων ἐστὶ δυνατώτερος, ἔδειξαν οἱ ἀπόστολοι, ἔδειξαν οἱ προφῆται. ὁμοίως καὶ ὁ Κύριος περὶ τούτων ἐμφαίνων φησίν· Ὅστις ἀκούει μου τοὺς λόγους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, *ἦλθον οἱ ποταμοὶ, *ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. πόσαι δήμων ἐπαναστάσεις, πόσοι τυράννων θυμοὶ, πόσα ξίφη, πόσα δόρατα, πόσα βέλη, πόσαι κάμινοι, πόσοι θηρίων ὀδόντες, πόσοι κρημνοὶ, πόσα πελάγη, πόσαι ἐπιβουλαὶ, πόσαι συκοφαντίαι, πόσα μηχανήματα κατὰ τῶν ἀποστόλων ἤρετο; ἀλλ' ὅμως οὐδὲν αὐτοὺς ὑπεσκέλιζεν, ἀλλὰ πάντων ὑψηλότεροι τούτων ἐγένοντο, ὑπὲρ τοὺς καλάμους τῶν ἐπιβουλευόντων πετόμενοι, καὶ τοὺς ἐπιβουλεύοντας εἰς τὴν ἑαυτῶν μεταθέντες τάξιν. οὐδὲν γὰρ ἀρετῆς δυνατώτερον. αὕτη καὶ πέτρας στερροτέρα, καὶ ἀδάμαντος ἰσχυροτέρα· ὥσπερ αὖ κακίας οὐδὲν εὐτελέστερον, οὐδὲ ἀσθενέστερον, κἂν μυρία τις ᾖ περιβεβλημένος χρήματα, κἂν πολλὴν ἔχων ἔξωθεν δυναστείαν. εἰ δὲ ἐν τῇ γῇ τοσαύτη ἡ ἰσχὺς, ἐννόησον ἐν τοῖς οὐρανοῖς πόσης ἀπολαύσονται τῆς δυνάμεως οἱ τοιοῦτοι.

Ῥω. θ. ς.

Γεν. ιβ. γ. καὶ Γαλ. γ. η.

Ματθ. ζ. κδ.

Γενεὰ εὐθέων εὐλογηθήσεται. Εἶδες αὐτὴν διαλάμπουσαν, καὶ μυρίους κήρυκας ἔχουσαν, καὶ ἐπαινέτας, καὶ θαυμαστάς· ἀλλ' οὐχ ἁπλῶς τοὺς τυχόντας, ἀλλὰ τοὺς συνετούς. οὐδὲ γὰρ δυνήσεταί τις αὐτὴν συνιδεῖν τῶν χαμαιζήλων ἀνθρώπων· ἀλλ' οὗτοι μάλιστα αὐτὴν ἐπαινέσονται, οὗτοι θαυμάσονται καὶ ἀνακηρύξουσιν, οἱ μὴ διεστραμμένην ἔχοντες τὴν διάνοιαν. ἐννόησον οὖν ἡλίκον ἐστὶ τὸ κτῆμα, ὥστε μηδὲ τῶν ἀγγέλων ἀποδέειν, μηδὲ τῶν ἀποστόλων τῶν μεγάλων καὶ θαυμαστῶν. καὶ γὰρ εἰ τοὺς ἐγκωμιάζοντας αὐτὴν τοιούτους εἶναι χρὴ, σκόπει καὶ λογίζου ἡλίκην αὐτὴν εἶναι εἰκός.

3 Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ.

Πάλιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ διαβαίνει. οἶδε γὰρ καὶ πλοῦτον καλεῖν ἡ γραφὴ τὸν ἐν τοῖς ἔργοις τοῖς ἀγαθοῖς, ὡς ὅταν λέγῃ· Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς. οὗτος γὰρ ἀληθὴς ὁ πλοῦτος· ὡς ὅ γε ἕτερος, ὄνομα πλούτου ψιλὸν, πράγματος ἔρημον. εἰ δὲ καὶ τοῦτον λέγει τις, οὐδὲ οὕτως ἀποστησόμεθα τοῦ λόγου. εἰ γὰρ ἦν τῶν ἀποστόλων

α. Τιμ. ς. ιη.

στόλων καὶ ἐν χρήμασι πλουσιώτεροι, οἷς καθάπερ ἐκ πηγῶν ἅπαντα ἔῤῥει; Ὅσοι γὰρ κλήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον καὶ ἐτίθουν τὰς τιμὰς παρὰ τοὺς πόδας τῶν ἀποστόλων, φησίν. ὁρᾷς πλούτου φιλοτιμίαν; τὰ πάντων ἐκέκτηντο τῆς φροντίδος αὐτῶν ἀπηλλαγμένοι, καὶ ὥσπερ οἰκονόμοι μᾶλλον αὐτῶν ὄντες, ἢ δεσπόται. τὸ γὰρ ἔχοντες τοῦ ἔχειν ἀφιστάμενοι, οὕτως αὐτὰ τοῖς ἀποστόλοις ἐκόμιζον, αὐτοὶ μὲν αὐτὰ ἐξαργυρίζοντες, καὶ χρήματα ποιοῦντες, τὴν δὲ διανομὴν ἐπιτρέποντες ἐν τῇ ἐξουσίᾳ τῇ ἐκείνων γίνεσθαι. διὰ τοῦτο καὶ ἔλεγεν ὁ Παῦλος· Ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες. τὸ γὰρ θαυμαστὸν τοῦτο, ὅτι ἐν τοσούτῳ πλούτῳ ὄντες, ὑψηλότεροι τῆς περιουσίας ἦσαν. καὶ γὰρ τὸ πλῆθος αὐτοὺς οὐ κατεῖχε τῶν χρημάτων. τοῦτο μάλιστα πλοῦτος, τὸ μὴ δεῖσθαι πλούτου. δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. ἐνταῦθα λοιπὸν οὐδὲ ἑρμηνείας δεῖ. εἶχον μὲν γὰρ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ· εἶπερ δὲ καὶ αὐτήν, κατὰ τὸν θεῖον λόγον τὸν λέγοντα· Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί γὰρ ἐκείνων σεμνότερον; ὡς ἀγγέλους τοῦ Θεοῦ ἐδέχοντο· τὰ χρήματα φέροντες παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν· λοιπὸν αὐτῶν τῶν τὰ διαδήματα περικειμένων λαμπρότεροι ὑπῆρχον. ποῖος γὰρ μετὰ τοσαύτης εἰσῄει βασιλεὺς περιφανείας, μεθ' ὅσης ὁ Παῦλος ἐθαυμάζετο πανταχοῦ φθεγγόμενος, λύων θανάτους, ἐλαύνων νοσήματα, δραπετεύειν ποιῶν δαίμονας, καὶ διὰ τῶν ἱματίων τῶν ἑαυτοῦ τοιαῦτα ἐργαζόμενος; οὗτος τὴν γῆν οὐρανὸν ἐποίει, καὶ πρὸς τὴν ἀρετὴν ἅπαντας ἐχειραγώγει. εἰ δὲ ἐν γῇ τοιαῦτα, ἐννόησον ἐν οὐρανοῖς ἡλίκης ἀπολαύσονται. τί δέ ἐστιν, ἐν τῷ οἴκῳ αὐτοῦ; μετ' αὐτοῦ, φησιν. ὁ δὲ ἔξωθεν πλοῦτος, οὐ μετὰ τοῦ ἔχοντος, ὅπουγε οὐδὲ ἐν ἀσφαλεῖ κεῖται, ἀλλὰ ἐν ταῖς τῶν συκοφαντῶν χερσίν, ἐν ταῖς τῶν κολάκων, ἐν ταῖς τῶν ἀρχόντων, ἐν ταῖς τῶν οἰκετῶν. διὰ τοῦτο πανταχοῦ αὐτὸν διασπείρει, μὴ θαῤῥῶν αὐτὸν ὅλον ἐν τῷ οἴκῳ κατέχειν, διὰ τοῦτο φυλακαὶ καὶ προφύλακες, εἰ καὶ πλέον οὐδέν, πάντα δυναμένου διαδιδράσκειν ἐκείνου.

Πράξ. δ. λδ.

β. Κορ. ϛ. ι.

Ματθ. ϛ. λγ.

Πράξ. ιγ. μδ. καὶ ιδ. ι. καὶ ιϛ. ιη. καὶ ιθ. ια. καὶ κ. θ.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Ἄλλος, Καὶ ἡ ἐλεημοσύνη. Ἤτοι τὴν ἀρετὴν τὴν καθόλου φησὶν ἐνταῦθα, ἤτοι τὴν ἀντικειμένην τῇ ἀδικίᾳ, ἢ (καθὼς ἕτερος ἑρμηνευτὴς ἔφη) τὴν φιλανθρωπίαν, τὸν ἔλεον λέγει. τοιοῦτον γὰρ ἡ τῆς ἐλεημοσύνης δύναμις, ἀθάνατον πρᾶγμα, καὶ ἀκήρατον, καὶ οὐδέποτε σβεσθῆναι δυνάμενον. ἀλλὰ τὰ μὲν ἀνθρώπινα ἅπαντα διασύρεται), ὁ δὲ τῆς ἐλεημοσύνης καρπὸς ἀμάραντος μένει διηνεκῶς, μηδεμιᾷ δυσκολίᾳ καιρῶν ἐλεγχόμενος. κἂν γὰρ τὸ σῶμα διαλυθῇ, ἐκείνη οὐ συνδιαλύεται, ἀλλὰ προαποδημεῖ μονὰς αὐτῷ προευτρεπίζουσα, περὶ ὧν φησιν ὁ Χριστός· Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. ὥστε καὶ τούτῳ κρατεῖ τῶν ἀνθρωπίνων, τῷ διηνεκεῖ καὶ μονίμῳ, ὅπερ οὐδὲν ἔχει τῶν βιωτικῶν. ἄν τε γὰρ κάλλος εἴπῃς, νόσῳ μαραίνεται, καὶ γήρᾳ δαπανᾶται· ἄν τε δυναστείαν, πολλάκις μεταβάλλεται· ἄν τε πλοῦτον, ἄν τε ἄλλο ὁτιοῦν τῶν λαμπρῶν τῶν περιφανῶν τῶν κατὰ τὸν παρόντα βίον, ἢ ζῶντας ἀπέλιπεν, ἢ τελευτήσαντας πάντως γυμνοὺς καὶ ἐρήμους εἴασεν. ἀλλ' οὐχ ὁ τῆς δικαιοσύνης καρπὸς τοιοῦτος. οὐ χρόνῳ δαπανᾶται, οὐ θανάτῳ διακόπτεται, ἀλλὰ τότε μᾶλλον καὶ ἀσφαλέστερος γίνεται, ὅταν πρὸς ἐκεῖνον καταπλεύσῃ τὸν ἀκύμαντον λιμένα.

Ιω. ιδ. β.

4 Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι.

Τὸν μακαρισμὸν ὑπογράφων τοῦ φοβουμένου τὸν Θεόν, λέγει καὶ τὰ ἐν τῷ παρόντι συμβαίνοντα πράγματα· οἷον, ὅτι ἀθάνατα αὐτοῦ τὰ κτήματα, ὅτι δόξης ἀπολαύσεται, καὶ πάντων ἀνώτερος ἔσται, ὅτι τοὺς ἐοικότας αὐτῷ κατὰ τὴν ἀρετήν, καὶ τέκνα αὐτοῦ γιγὰρ μὴ μοιχεύῃς, μηδὲ φονεύῃς, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς ἡδονῆς, μὴ καταγινωσκόμενος παρὰ τοῦ συνειδότος, μὴ τοὺς οἰκείους αἰσχυνόμενος, καθαροῖς ὀφθαλμοῖς πρὸς ἅπαντας βλέπων. ἀλλ' οὐχ ὁ μοιχὸς τοιοῦτος, ἀλλὰ πάντας τρέμει καὶ δέδοικε, καὶ αὐτὰς τὰς σκιὰς ὑφορᾶται. πάλιν ὁ πλεονέκτης καὶ ὁ βάσκανος τὰ αὐτὰ πείσεται· ὁ δὲ τούτων ἀπηλλαγμένος, τὰ ἐναντία. 2 Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Ρω. θ. ς.
Γεν. ιβ. γ. καὶ Γαλ. γ. η.
Ματθ. ζ. κδ.
γρ. ἑαυτῇ τὴν ἀμ.
* καὶ *

Σπέρμα οἶδε πολλάκις ἡ γραφὴ λέγειν, οὐ τὸ κατὰ φύσεως ἀκολουθίαν τικτόμενον, ἀλλὰ τὸ κατὰ κοινωνίαν ἀρετῆς. διὸ καὶ Παῦλος ἑρμηνεύων τὸ, σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην, ἔλεγεν· Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. καὶ πάλιν, Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη. ὅτι γὰρ οὐ περὶ Ἰουδαίων εἴρηται, τὰ πράγματα δηλοῖ. οἱ γὰρ αὐτοὶ κατάρας γέμοντες, πῶς ἂν ἄλλοις εὐλογίας γένοιντο αἴτιοι; ἀλλὰ περὶ τῆς ἐκκλησίας φησὶ τῆς κατὰ τὴν κοινωνίαν τῆς πίστεως σπέρμα χρηματιζούσης αὐτῷ. τοιοῦτοι τοίνυν οἱ ἐνάρετοι, καὶ τῶν Θεὸν φοβουμένων παῖδες. δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα αὐτοῦ. διατί εἶπεν, ἐν τῇ γῇ; ἵνα δείξῃ ὅτι καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας, καὶ πρὸ τῆς πείρας τῶν ἀγαθῶν τῶν ἐκεῖ (ὅπερ ἔφθην εἰπὼν) ὅτι ἐν αὐτῇ τῇ ἐργασίᾳ τὴν ἀμοιβὴν ἡ ἀρετὴ κέκτηται καὶ πρὸ τῶν ἐπάθλων. ὅτι δὲ ὁ τοιοῦτος σπέρμα δυνατὸν ἔχει, καὶ ὁ ἀρετὴν περιβεβλημένος πάντων ἐστὶ δυνατώτερος, ἔδειξαν οἱ ἀπόστολοι, ἔδειξαν οἱ προφῆται. ὁμοίως καὶ ὁ Κύριος περὶ τούτων ἐμφαίνων φησίν· Ὅστις ἀκούει μου τοὺς λόγους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, * ἦλθον οἱ ποταμοὶ, * ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. πόσαι δήμων ἐπαναστάσεις, πόσοι τυράννων θυμοὶ, πόσα ξίφη, πόσα δόρατα, πόσα βέλη, πόσαι κάμινοι, πόσοι θηρίων ὀδόντες, πόσοι κρημνοὶ, πόσα πελάγη, πόσαι ἐπιβουλαὶ, πόσαι συκοφαντίαι, πόσα μηχανήματα κατὰ τῶν ἀποστόλων ἤρετο; ἀλλ' ὅμως οὐδὲν αὐτοὺς ὑπεσκέλιζεν, ἀλλὰ πάντων ὑψηλότεροι τούτων ἐγένοντο, ὑπὲρ τοὺς καλάμους τῶν ἐπιβουλευόντων πετόμενοι, καὶ τοὺς ἐπιβουλεύοντας εἰς τὴν ἑαυτῶν μεταθέντες τάξιν. οὐδὲν γὰρ ἀρετῆς δυνατώτερον. αὕτη καὶ πέτρας στερροτέρα, καὶ ἀδάμαντος ἰσχυροτέρα· ὥσπερ αὖ κακίας οὐδὲν εὐτελέστερον, οὐδὲ ἀσθενέστερον, κἂν μυρία τις ᾖ περιβεβλημένος χρήματα, κἂν πολλὴν ἔχων ἔξωθεν δυναστείαν. εἰ δὲ ἐν τῇ γῇ τοσαύτη ἡ ἰσχὺς, ἐννόησον ἐν τοῖς οὐρανοῖς πόσης ἀπολαύσονται τῆς δυνάμεως οἱ τοιοῦτοι.

Γενεὰ εὐθέων εὐλογηθήσεται. Εἶδες αὐτὴν διαλάμπουσαν, καὶ μυρίους κήρυκας ἔχουσαν, καὶ ἐπαινέτας, καὶ θαυμαστάς· ἀλλ' οὐχ ἁπλῶς τοὺς τυχόντας, ἀλλὰ τοὺς συνετούς. οὐδὲ γὰρ δυνήσεταί τις αὐτὴν συνιδεῖν τῶν χαμαιζήλων ἀνθρώπων· ἀλλ' οὗτοι μάλιστα αὐτὴν ἐπαινέσονται, οὗτοι θαυμάσονται καὶ ἀνακηρύξουσιν, οἱ μὴ διεστραμμένην ἔχοντες τὴν διάνοιαν. ἐννόησον οὖν ἡλίκον ἐστὶ τὸ κτῆμα, ὥστε μηδὲ τῶν ἀγγέλων ἀποδέειν, μηδὲ τῶν ἀποστόλων τῶν μεγάλων καὶ θαυμαστῶν. καὶ γὰρ εἰ τοὺς ἐγκωμιάζοντας αὐτὴν τοιούτους εἶναι χρὴ, σκόπει καὶ λογίζου ἡλίκην αὐτὴν εἶναι εἰκός.

3 Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ.

α. Τιμ. ς. ιη.

Πάλιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ διαβαίνει. οἶδε γὰρ καὶ πλοῦτον καλεῖν ἡ γραφὴ τὸν ἐν τοῖς ἔργοις τοῖς ἀγαθοῖς, ὡς ὅταν λέγῃ· Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς. οὗτος γὰρ ἀληθὴς ὁ πλοῦτος· ὡς ὅγε ἕτερος, ὄνομα πλούτου ψιλὸν, πράγματος ἔρημον. εἰ δὲ καὶ τοῦτον λέγοι τις, οὐδὲ οὕτως ἀποστησόμεθα τοῦ λόγου. οἱ γὰρ οὖν τῶν ἀποστόλων

στόλων καὶ ἐν χρήμασι πλουσιώτερον, οἷς καθάπερ ἐκ πηγῶν ἅπαντα ἔρρει; Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον καὶ ἐτίθουν τὰς τιμὰς παρὰ τοὺς πόδας τῶν ἀποστόλων, φησίν. ὁρᾷς πλούτου φιλοτιμίαν; τὰ πάντων ἐκέκτηντο τῆς φροντίδος αὐτῶν ἀπηλλαγμένοι, καὶ ὥσπερ οἰκονόμοι μᾶλλον αὐτῶν ὄντες, ἢ δεσπόται. οἱ γὰρ ἔχοντες τοῦ ἔχειν ἀφιστάμενοι, οὕτως αὐτὰ τοῖς ἀποστόλοις ἐκόμιζον, αὐτοὶ μὲν αὐτὰ ἐξαργυρίζοντες, καὶ χρήματα ποιοῦντες, τὴν δὲ διανομὴν ἐπιτρέποντες ἐν τῇ ἐξουσίᾳ τῇ ἐκείνων γίνεσθαι. διὰ τοῦτο καὶ ἔλεγεν ὁ Παῦλος· Ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες. ὃ γὰρ θαυμαστὸν τοῦτο, ὅτι ἐν τοσούτῳ πλούτῳ ὄντες, ὑψηλότεροι τῆς περιουσίας ἦσαν. καὶ γὰρ τὸ πλῆθος αὐτοὺς οὐ κατεῖχε τῶν χρημάτων. τοῦτο μάλιστα πλοῦτος, τὸ μὴ δεῖσθαι πλούτου. δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. ἐνταῦθα λοιπὸν οὐδὲ ἑρμηνείας δεῖ. εἶχον μὲν γὰρ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ· εἴπερ δὲ καὶ αὐτήν, κατὰ τὸν θεῖον λόγον τὸν λέγοντα· Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί γὰρ ἐκείνων σεμνότερον; ὡς ἀγγέλους τοῦ Θεοῦ ἐδέχοντο· τὰ χρήματα φέροντες παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν· λοιπὸν αὐτῶν τῶν τὰ διαδήματα περικειμένων λαμπρότεροι ὑπῆρχον. ποῖος γὰρ μετὰ τοσαύτης εἰσῄει βασιλεὺς περιφανείας, μεθ' ὅσης ὁ Παῦλος ἐθαυμάζετο πανταχοῦ φθεγγόμενος, λύων θανάτους, ἐλαύνων νοσήματα, δραπετεύειν ποιῶν δαίμονας, καὶ διὰ τῶν ἱματίων τῶν ἑαυτοῦ τοιαῦτα ἐργαζόμενος; οὗτος τὴν γῆν οὐρανὸν ἐποίει, καὶ πρὸς τὴν ἀρετὴν ἅπαντας ἐχειραγώγει. εἰ δὲ ἐν γῇ τοιαῦτα, ἐννόησον ἐν οὐρανοῖς ἡλίκης ἀπολαύσονται. τί δέ ἐστιν, ἐν τῷ οἴκῳ αὐτοῦ; μετ' αὐτοῦ, φησίν. ὁ δὲ ἔξωθεν πλοῦτος, οὐ μετὰ τοῦ ἔχοντος, ὅπου γε οὐδὲ ἐν ἀσφαλεῖ κεῖται, ἀλλὰ ἐν ταῖς τῶν συκοφαντῶν χερσίν, ἐν ταῖς τῶν κολάκων, ἐν ταῖς τῶν ἀρχόντων, ἐν ταῖς τῶν οἰκετῶν. διὰ τοῦτο πανταχοῦ αὐτὸν διασπείρει, μὴ θαῤῥῶν αὐτὸν ὅλον ἐν τῷ οἴκῳ κατέχειν, διὰ τοῦτο φυλακαὶ καὶ περιφύλακες, εἰ καὶ πλέον οὐδέν, πάντα δυναμένου διαδιδράσκειν ἐκείνου.

Πράξ. δ. λδ.

β. Κορ. ς. ι.

Ματθ. ς. λγ.

Πράξ. ιγ. μδ. καὶ ιδ. ι. καὶ ις. ιη. καὶ ιθ. ια. καὶ κ. θ.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Ἄλλος, Καὶ ἡ ἐλεημοσύνη. Ἤτοι τὴν ἀρετὴν τὴν καθόλου φησὶν ἐνταῦθα, ἤτοι τὴν ἀντικειμένην τῇ ἀδικίᾳ, ἢ (καθὼς ἕτερος ἑρμηνευτὴς ἔφη) τὴν φιλανθρωπίαν, τὸν ἔλεον λέγει. τοιοῦτον γὰρ ἡ τῆς ἐλεημοσύνης δύναμις, ἀθάνατον πρᾶγμα, καὶ ἀκήρατον, καὶ οὐδέποτε σβεσθῆναι δυνάμενον. ἀλλὰ τὰ μὲν ἀνθρώπινα ἅπαντα διασύρεται), ὁ δὲ τῆς ἐλεημοσύνης καρπὸς ἀμάραντος μένει διηνεκῶς, μηδεμιᾷ δυσκολίᾳ καιρῶν ἐλεγχόμενος. κἂν γὰρ τὸ σῶμα διαλυθῇ, ἐκείνη οὐ συνδιαλύεται, ἀλλὰ προαποδημεῖ μονὰς αὐτῷ προευτρεπίζουσα, περὶ ὧν φησιν ὁ Χριστός· Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. ὥστε καὶ τούτῳ κρατεῖ τῶν ἀνθρωπίνων, τῷ διηνεκεῖ καὶ μονίμῳ, ὅπερ οὐδὲν ἔχει τῶν βιωτικῶν. ἄν τε γὰρ κάλλος εἴπῃς, νόσῳ μαραίνεται, καὶ γήρᾳ δαπανᾶται· ἄν τε δυναστείαν, πολλάκις μεταβάλλεται· ἄν τε πλοῦτον, ἄν τε ἄλλο ὁτιοῦν τῶν λαμπρῶν τῶν περιφανῶν τῶν κατὰ τὸν παρόντα βίον, ἢ ζῶντας ἀπέλιπεν, ἢ τελευτήσαντας πάντως γυμνοὺς καὶ ἐρήμους εἴασεν. ἀλλ' οὐχ ὁ τῆς δικαιοσύνης καρπὸς τοιοῦτος. οὐ χρόνῳ δαπανᾶται, οὐ θανάτῳ διακόπτεται, ἀλλὰ τότε μᾶλλον καὶ ἀσφαλέστερος γίνεται, ὅταν πρὸς ἐκεῖνον καταπλεύσῃ τὸν ἀκύμαντον λιμένα.

Ἰω. ιδ. β.

4 Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι.

Τὸν μακαρισμὸν ὑπογράφων τῶν φοβουμένων τὸν Θεόν, λέγει καὶ τὰ ἐν τῷ παρόντι συμβαίνοντα πράγματα· οἷον, ὅτι ἀθάνατα αὐτοῦ τὰ κτήματα, ὅτι δόξης ἀπολαύσεται, καὶ πάντων ἀνώτερος ἔσται, ὅτι τοὺς ἐοικότας αὐτῷ κατὰ τὴν ἀρετήν, καὶ τέκνα αὐτοῦ γινομένους, ἀχειρώτους ὄψεται), ὅτι ἐν τῇ τῶν πραγμάτων δυσκολίᾳ πολλῆς τεύξεται τῆς ἀδείας. τοῦτο γάρ ἐστιν, ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι. τοῖς γὰρ οὕτω διακειμένοις, τοῖς ὀρθὰ βαδίζουσιν ἐν μέσῳ σκότους φῶς ἀναλάμψαι παρασκευάσει. τί ἐστιν, ἐν σκότει; κἂν ἐν θλίψει, καὶ στενοχωρίᾳ, καὶ πειρασμῷ, καὶ κινδύνοις γένωνται, φησι, (ταῦτα γὰρ σκότος καλεῖ) πολλὴν αὐτοῖς εὐθέως ποιήσει ἔσεσθαι τὴν ἡδονήν. ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν; Εἶδες τὸ σκότος; ἀλλ᾽ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. εἶδες τὸ φῶς; σκόπει δὲ αὐτὸ ἐπὶ τῶν τριῶν παίδων (προσδοκῶντες γὰρ ἐμπίπρασθαι, δρόσου καθαρωτάτης ἀπέλαυσαν) καὶ ἐπὶ τοῦ Δανιὴλ δὲ καὶ ἐπὶ τῶν ἄλλων προφητῶν. Εἰ δὲ κατὰ ἑτέραν τις ἀναγωγὴν ταῦτα ἐκλαβεῖν θέλοι, ἐπὶ τῆς οἰκουμένης ὄψεται τοῦτο γεγονός. κατέχοντος γὰρ τοῦ σκότους γῆν καὶ θάλατταν, καὶ τῆς πλάνης πανταχοῦ κεχυμένης, κάτωθεν ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος. ἐπειδὴ γὰρ οὐρανὸν ἀφέντες οἱ τότε ἄνθρωποι Θεὸν ἐπὶ τῆς γῆς ἐζήτουν, ἐκεῖθεν αὐτοῖς ἐφάνη, συγκαταβὰς τοῖς ἀσθενοῦσιν, ἵνα ἀναγάγῃ πρὸς ὕψος ἄπειρον.

β.Κορ.α.η.

Δαν.γ.κε.καὶ ϛ.κβ.

Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος ὁ Θεός. Ἐπειδὴ εἶπεν, ὅτι ἡ δικαιοσύνη αὐτοῦ μένει, καὶ παρεμυθήσατο ἐκείνῳ τῷ τρόπῳ, πολλοὶ δὲ τῶν ἐλεημόνων καὶ τῶν τὸν ὀρθὸν βιούντων βίον τῶν ἐναντίων ἐνταῦθα ἀπολαύουσιν, ἑτέραν ἐπεισάγει παραμυθίαν λέγων· ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος ὁ Θεός· διπλῆν κατασκευὴν ἐργαζόμενος ἐντεῦθεν. λέγει γὰρ, ἐλεήμων ὁ Θεός. Εἰ δὲ ἐλεήμων ἐστὶ, καὶ τοὺς ἁμαρτάνοντας πολλάκις συγγνώμης ἀξιοῖ· πολλῷ μᾶλλον τοὺς κατορθοῦντας οὐ περιόψεται ἀστεφανώτους, τοὺς ἀπελθόντας· ἀλλὰ κἂν ἐνταῦθα μὴ ἀποδῷ, ἀποδώσει πάντως ἐκεῖ. Εἶτα, καὶ δίκαιος, ἐπάγει· δηλῶν ὅτι εἰ δίκαιός ἐστιν (ὥσπερ οὖν καὶ ἔστι) τὸ κατ᾽ ἀξίαν ἑκάστῳ ἀποδώσει, κἂν ἐνταῦθα μὴ ἀποδῷ· ὅπερ μάλιστα καὶ τῆς ἀναστάσεως ἀπόδειξίς ἐστι μεγίστη. ὅταν γὰρ πολλοὶ τῶν ἐναρέτων φαίνωνται μυρία παθόντες δεινὰ, καὶ τῶν πονηρῶν πολλῆς ἀπολαύσαντες ἀδείας, ποῦ τὸ, κατ᾽ ἀξίαν ἕκαστος ἀπολήψεται, εἰ μὴ μέλλοι ἀνάστασις εἶναι, καὶ ἑτέρα ζωὴ, καὶ κρίσις, καὶ ἀντίδοσις; Εἶτα ἐπειδὴ δικαιοσύνης μνησθεὶς, ἐφόβησε τὸν ἀκροατὴν ὡς μέλλοντα εὐθύνας ὑφέξειν τῶν ἡμαρτημένων, ταχέως ἐπάγει τὸ φάρμακον, λέγων·

5 Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.

Ὅρα πόσα τίθησι τὰ ἔπαθλα τῷ φιλανθρώπῳ· ὅτι μένει διηνεκῶς ὁ καρπὸς, ὅτι πειρασμῶν ἀπαλλαγήσεται, ὅτι τὸν Θεὸν ζηλώσει (καὶ γὰρ ὁ Θεὸς οἰκτίρμων) ὅτι τῶν οἰκείων ἁμαρτημάτων λήψεται συγγνώμην. τοῦτο γάρ ἐστιν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει· τουτέστι, τεύξεται συνηγορίας, τεύξεται ἀπολογίας, οὐκ ἔσται αὐτῷ κατάκρισις τότε, τῆς ἐλεημοσύνης διατιθείσης αὐτῷ τὴν ἀπολογίαν καλῶς. Ἕτερος δὲ ἑρμηνευτὴς, Οἰκονομήσει τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως, εἶπε· τουτέστι, πολλῆς ἀπολαύσεται εὐημερίας, οὐχ ὑποστήσεταί τι τῶν ἀτόπων, ἅτε ἄριστος οἰκονόμος γενόμενος. ὡς ὅ γε ὠμὸς, καὶ ἀπάνθρωπος, καὶ μὴ ἐλεῶν, σφόδρα ἀνοικονόμητος. τί γὰρ ἂν γένοιτο τούτου χαλεπώτερον, ἢ ὅταν ὁ περὶ ψυχῆς κινδυνεύειν μέλλων χρημάτων φείδηται, κἀκείνης ἀμελῇ; διά τοι τοῦτο καὶ ἐκεῖνον τὸν οἰκονόμον ὁ Χριστὸς ἐπῄνεσε, τὸν ἡνίκα ἔμελλε κινδυνεύειν τὰ γραμματεῖα διαλύσαντα, καὶ χρεωκοπίαν ἐργασάμενον. πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τῷ παρόντι κινδυνεύοντας βίῳ πάντα τὰ ἑαυτῶν προΐεσθαι,

Λουκ.ις.η.

ὥστε τῶν ἐξωνήσασθαι τὸν κίνδυνον· ἐπικινδύνῳ δὲ μέλλοντας παραδίδοσθαι κολάσει, μὴ τοιαύτῃ κεχρῆσθαι οἰκονομίᾳ; διὰ δὴ τοῦτο φρόνιμον οἰκονόμον φησὶ τὸν ἐλεήμονα, ὡς ὀλίγων πολλὰ ἀγοράζοντα χρημάτων, τὸν οὐρανὸν ἱματίου, τὴν βασιλείαν ἄρτου, καὶ ψυχροῦ ποτηρίου τὰ μέλλοντα ἀγαθά. τί γὰρ ταύτης τῆς οἰκονομίας γένοιτ᾽ ἂν ἴσον, ὅταν τὰ ἀπολλύμενα διδούς τις, καὶ ῥέοντα, καὶ φθειρόμενα, τὰ μέλλοντα καὶ ἀκίνητα ταῦτα λαμβάνῃ, καὶ δι᾽ ἐκείνων καὶ τῆς κατὰ τὸν παρόντα βίον ἀσφαλείας ἀπολαύῃ; διὰ τοῦτό φησιν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει· ἤ, ὡς ἕτερος, οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως. ποίᾳ ἐν κρίσει; ἢ ἐν τῇ μελλούσῃ λέγει ἡμέρᾳ, ἢ ὅτι καὶ ἐν τῷ νῦν βίῳ εὖ διαθήσει τὰ κατ᾽ αὐτὸν ἅπαντα, καὶ οὐδὲν ἐν αὐτοῖς ἔσται συγκεχυμένον· ἀλλὰ πάντα ἐν τάξει κείμενα, πάντα ἀκόλουθα καὶ ὁδῷ βαδίζοντα, οὐδὲν τεταραγμένον ἐν αὐτοῖς, οὐδὲ θορυβῶδες, τῆς ἐλεημοσύνης ἅπαντα ἐξευμαριζούσης αὐτῷ· ὃ καὶ σαφέστερον ποιῶν ὁ ἑρμηνευτής, οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως, εἶπεν. ἐλεήμων γὰρ οὗτος, ὁ μετὰ κρίσεως καὶ βεβουλευμένως τὰ ἑαυτοῦ οἰκονομούμενος· ὡς ὅ γε ἕτερος ἄκαρπος, ἀνοικονόμητος.

Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Τί τῆς οἰκονομίας ταύτης ἴσον, ὅταν τοιαύτην ὁδὸν εὕρῃ τὴν ἀπαλλάττουσαν αὐτὸν τῶν ἀδοκήτων περιστάσεων, καὶ τῶν τοῦ βίου κλυδωνίων ἔξω ποιοῦσαν ὁρμίζεσθαι· καὶ ἄνθρωπος ὤν, μηδὲν ἀνθρώπινον ὑπομένῃ, ἢ ὑπομένῃ μέν, μὴ περιτρέπηται δέ; τὸ γὰρ δὴ θαυμαστὸν τοῦτ᾽ ἔστιν, ὅταν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ μὴ κλίνηται, μηδὲ ὑποσκελίζηται. τί οὖν; οὐκ ἐσαλεύθησαν πολλοὶ τῶν ἐλεημόνων; οὐδαμῶς. εἰ γὰρ καὶ πένητες ἐγένοντο, καὶ πρὸς ἐσχάτην πτωχείαν κατηνέχθησαν, καὶ συμφοραῖς περιέπεσον, ἀλλ᾽ ὅμως οὐ περιετράπησαν, ἐννοοῦντες τὰ εἰργασμένα αὐτοῖς, τὴν εὔνοιαν τοῦ Θεοῦ, καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασάμενοι, καὶ ἰσχυράν τινα καὶ ἀσφαλῆ ἄγκυραν (τὸ χρηστὸν λέγω συνειδὸς) ἔχοντες. διά τοι τοῦτο οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσονται, ἀλλ᾽ ὅτι οὐ σαλευθήσονται. ὃ δὴ καὶ ἐπ᾽ ἐκείνου ἔλεγεν ὁ Χριστὸς τοῦ τὴν οἰκοδομὴν ποιοῦντος ἐπὶ τῆς πέτρας, οὐχ ὅτι οὐχ ὑποστήσεται χειμῶνα, ἀλλ᾽ ὅτι καὶ ὑπομένων χειμῶνα οὐ περιτραπήσεται. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτ᾽ ἔστιν, ὅταν μὴ ἐν ἐρημίαις τῶν πειρασμῶν τὸ ἀσφαλὲς αὐτῷ ᾖ, ἀλλὰ καὶ πυκνότητι τῶν μηχανημάτων ἀπερίτρεπτος μένῃ διηνεκῶς. καὶ γὰρ ἀμήχανον ψυχὴν πλουτοῦσαν ἐλεημοσύνῃ ὑπὸ ἀηδίας παθῶν βαπτισθῆναί ποτε.

Mat. ζ. κδ.

6 Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ὅρα αὐτὸν οὐκ ἐν τῷ καιρῷ τῆς ζωῆς, ἀλλὰ καὶ μετὰ τὴν τελευτὴν διδάσκοντα πολλοὺς καὶ κατηχοῦντα. πῶς οὖν * ἐν τῷ ζῆν πείσεταί τι πονηρόν, ὅταν * τελευτῶν ἑτέροις διδάσκαλος γίνηται εὐθυμίας; ἵνα γὰρ μάθωσι καὶ οἱ σφόδρα ἄπιστοι, ὅτι ἀθάνατος αὐτοῦ ὁ καρπὸς ἐν οὐρανοῖς μένει, ἐνταῦθα δίδωσι τὴν πεῖραν. καὶ γὰρ τοῦ σώματος αὐτοῦ καταχωσθέντος, καὶ τῇ γῇ παραδοθέντος, ἡ μνήμη πανταχοῦ περιφέρεται. τοιαύτη τῆς ἀρετῆς ἡ δύναμις· οὐκ εἴκει τῷ χρόνῳ, οὐ μαραίνεται τῷ πλήθει τῶν ἡμερῶν. τοῦτο δὲ γίνεται διὰ τὴν τῶν πολλῶν σωτηρίαν. ἐκεῖνοι μὲν γὰρ οὐ δέονται τῆς παρὰ ἀνθρώπων εὐφημίας· οἱ δὲ ἐν κακίᾳ ζῶντες δέονται τῶν ἐκείνων ἐγκωμίων, ὥστε ἀπὸ τῆς εὐφημίας τῶν ἑτέροις κατορθουμένων σπουδαιότεροι γενέσθαι, καὶ τῆς κακίας ἀπαλλαγῆναί ποτε. ποῦ τοίνυν εἰσὶν οἱ τοὺς τάφους τοὺς πολυτελεῖς οἰκοδομοῦντες, καὶ τὰς λαμπρὰς οἰκίας ἐγείροντες; ἀκουέτωσαν, τί ποιεῖ μνημόσυνον διηνεκές. οὐ λίθων οἰκοδομή, οὐδὲ περιβολὴ τειχῶν, καὶ πύργοι, ἀλλ᾽ ἔργων ἀγαθῶν ἐπίδειξις. ταῦτα δὲ τίθησι διὰ τοὺς σφόδρα ἀπίστους καὶ τοῖς μέλλουσιν οὐ προσέχοντας· ἵνα ἀπὸ τῶν προόντων καὶ φαινομένων ἐπισπασάμενος αὐτοὺς πρὸς τὰ μέλλοντα

χειραγωγήσῃ. ἄλλως τε καὶ δείκνυσιν, ὅτι ἡ ἀρετὴ (ὃ πολλάκις εἶπον) καὶ πρὸ τῶν ἐπάθλων ἐκείνων ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἔχει.

Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἄλλος, Ἀγγελίαν κακὴν οὐ φοβηθήσεται. Ὥσπερ ἄνω οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσεται, ἀλλ' ὅτι ἐπιβουλευόμενος οὐ σαλευθήσεται· οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι οὐκ ἀκούσεται πονηρὰν ἀγγελίαν, ἀλλ' ὅτι ἀκούων οὐ φοβηθήσεται). κἂν γὰρ πόλεμον ἴδῃ προσιόντα, κἂν σεισμὸν τὰς πόλεις καταλύοντα, κἂν λῃστὰς καὶ τοιχωρύχους " τὰ πάντα ὑφαιρουμένους, κἂν βαρβάρους ἐπιτρέχοντας, κἂν νόσον θάνατον ἀπειλοῦσαν, κἂν δικαστοῦ θυμὸν, κἂν ὁτιοῦν ἕτερον, οὐ δέδοικε. προαπέθετο γὰρ αὐτοῦ τὸν πλοῦτον ἐν ἀσύλῳ χωρίῳ, καὶ οὐ μόνον οὐ τρέμει τελευτῆς ἐπιούσης, ἀλλὰ καὶ ἐπείγεται ταχέως ἐπιδημῆσαι, ἔνθα τὰ τῆς ἐμπορείας αὐτῷ. Ὅπου γὰρ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ. Εἰ γὰρ ἔμποροι χρημάτων πολλὰ προπέμψαντες οἴκαδε φορτία, καθ' ἑκάστην [ἐπανελθεῖν] ἐπείγονται τὴν ἡμέραν ἰδεῖν τὸν αὐτῶν πλοῦτον· πολλῷ μᾶλλον οὗτος ὁ ἐν τοῖς οὐρανοῖς τὴν περιουσίαν παραποθέμενος ἅπασαν, θελήσει τῶν παρόντων ἀπορραγεὶς, πρὸς τὰ μέλλοντα " κατεπείξεσθαι. Οὐδὲν τοίνυν εἰς φόβον αὐτὸν ἐμβαλεῖν δύναιτ' ἄν.

Ματθ. ς. κα.

γρ. τὰ ποίμ

γρ. ἴσ. κατεπείξασθαι.

7 Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.

Ἕτερος, Ἑδραία ἡ καρδία αὐτοῦ, ταυτὸ δηλῶν, καὶ ἑρμηνεύων τὸ ἕτοιμον. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδέν ἐστι τὸ παρασαλεῦον αὐτὸν, καὶ τοῖς παροῦσι προσηλοῦν, ἀλλ' ὅλος δι' ὅλου πρὸς τὸν Θεὸν τέταται, καὶ τὴν ἐλπίδα ἀναμένει ἐκείνην, καὶ πέπηγε τῇ προσδοκίᾳ ταύτῃ διηνεκῶς ἐρηρεισμένος, καὶ οὐδενὶ τῶν παρόντων μαλακιζόμενος, οὐδὲ περιελκόμενος ἢ περισπώμενος. Τοιαῦται γὰρ αἱ τῶν πραγμάτων φροντίδες· σχίζουσι τὴν διάνοιαν, καὶ διατέμνουσι τὴν γνώμην. ἀναγκαῖον δὲ πάλιν εἰπεῖν ἐκεῖνο τὸ εὐαγγελικόν· ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ.

Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ.

Εἶδες τὸν οἰκοδομοῦντα τὴν οἰκίαν ἐπὶ τὴν πέτραν. τίς γὰρ δύναται δεδοικέναι ὁ γυμνὸς, καὶ εὔζωνος, καὶ μηδεμίαν μηδενὶ παρέχων λαβήν; τίς δύναται δεδοικέναι, ὁ τὸν Θεὸν ἵλεων ἔχων καὶ εὐμενῆ; ὥστε ἑκατέρωθεν αὐτῷ τὰ τῆς ἀσφαλείας, ἔκ τε τῆς ἄνωθεν ῥοπῆς, ἔκ τε τῆς κάτωθεν εὐκολίας· καὶ οὐδὲν αὐτὸν παρασαλεῦσαι δύναται, οὐ ζημίαι χρημάτων, οὐκ ἐπήρειαι, οὐ συκοφαντίαι. οὐ γὰρ ἔχει ἔνθα βλαβῇ, ἐντεῦθεν μεθορμισάμενος εἰς τὸ τῶν οὐρανῶν χωρίον, τὸ πονηρίᾳ πάσῃ καὶ ἐπιβουλῇ ἄβατον. καὶ γὰρ ἴστε σαφῶς, ὅτι πᾶσαι αἱ ἐπιβουλαὶ περὶ χρήματα, καὶ χρημάτων ἕνεκεν, καὶ περὶ ταῦτα τῶν ἀνθρώπων ἡ πᾶσα σπουδή. Ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

Τοὺς δαίμονας ἐνταῦθα λέγει ἐχθρούς. τίς γὰρ τοῦ τοιούτου ἐχθρὸς, ἀλλ' ἢ οἱ πονηροὶ δαίμονες, καὶ αὐτὸς ὁ διάβολος;

8 Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Ἐπειδὴ ἐλεημοσύνης ἐμνήσθη, καὶ τοῦ κιχρᾷν, καὶ τοῦ οἰκτείρειν, ἐλεημοσύνης δὲ μέτρα πολλὰ (ὁ μὲν γὰρ ἔλαττον, ὁ δὲ πλεῖον δίδωσιν) ἴδωμεν ποῖον ἐλεήμονα λέγει, τὸν ἐκ τοῦ περισσεύματος παρέχοντα, ἢ τὸν τὰ ὄντα κενοῦντα. εὔδηλον ὅτι τὸν τὰ ὄντα κενοῦντα, τὸν ἀφειδῶς κεχρημένον τῷ πράγματι, οἷον καὶ ὁ Παῦλος ζητεῖ λέγων· Ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. καὶ ὅρα πῶς καὶ ὁ προφήτης ἄριστα ταῖς λέξεσι κέχρηται. οὐ γὰρ εἶπε, διέδωκεν, ἢ διένειμεν, ἀλλ' ἐσκόρπισεν, ὁμοῦ καὶ τὴν δαψίλειαν τοῦ παρέχοντος δηλῶν, καὶ σπόρον τὸ πρᾶγμα ὀνομάζων. Τοιοῦτον γὰρ οἱ σπείροντες· σκορπίζουσι τὰ ἀποκείμενα καὶ τὰ δῆλα προδιδόασιν, ἵνα τὰ μέλλοντα λάβωσι. τοῦτο συλλογῆς

β. Κορ. θ. ς.

κρεῖττον. καὶ γὰρ τὸ οὕτω σκορπίζειν, πολλῷ τοῦ συλλέγειν βέλτιον. σκορπίζεται χρήματα, καὶ συλλέγεται δικαιοσύνη· σκορπίζεται τὰ μὴ μένοντα, ἵνα παραμείνῃ τὰ μένοντα. τοῦτο καὶ γηπόνοι ποιοῦσιν· ἀλλ' ἐκεῖνοι μὲν ἐπ' ἀδήλοις (γῆ γάρ ἐστιν ἡ ὑποδεχομένη) σὺ δὲ εἰς τὴν χεῖρα τοῦ Θεοῦ, ὅθεν οὐδέν ἐστιν ἀπολέσαι. ὅταν οὖν ἴδῃς ὅτι τὸ χρυσίον καλόν, καὶ ὀκνήσῃς ἐκβαλεῖν, ἐννόησον τοὺς σπείροντας, ἐννόησον τοὺς δανείζοντας, ἐννόησον τοὺς ἐμπόρους, οἳ ἀπὸ δαπάνης ἄρχονται καὶ ἀναλωμάτων, καὶ ταῦτα ἕκαστος τούτων ἀδήλοις ἐγχειρῶν πράγμασι. καὶ γὰρ καὶ κύματα, καὶ κόλποι γῆς, καὶ γραμματεῖα τῶν ὀφειλόντων, πάντα ἄδηλα. καὶ γὰρ πολλάκις ἐν τῷ κεφαλαίῳ τὴν ζημίαν ὑπέμειναν οἱ δανείσαντες. ὁ δὲ τὸν οὐρανὸν γεωργῶν, οὐδὲν τούτων δέδοικεν, ἀλλὰ καὶ περὶ τοῦ κεφαλαίου, καὶ περὶ τοῦ τόκου θαρρεῖν ἔχει· εἴτε δὲ τοιοῦτον τόκον δεῖ καλεῖν, ἀλλ' οὐχὶ καὶ τοῦ κεφαλαίου πολλῷ πλέον. τὸ μὲν γὰρ κεφάλαιον, χρήματα, ὁ δὲ τόκος, οὐρανῶν βασιλεία. εἶδες δανείσματος φύσιν τοῦ κεφαλαίου πολλῷ μείζονα ἔχουσαν τὸν τόκον. καὶ ταῦτα μὲν ἐν τῷ μέλλοντι· ἐν δὲ τῷ παρόντι ἐλευθερίας ἀπολαύσῃ πολλῆς, τὸ ἀνεπιβούλευτον ἕξεις, τῶν συκοφαντῶν καὶ τῶν πλεονεκτῶν τὴν ἐπιθυμίαν σβέσεις, ἐν ἀδείᾳ βιώσῃ τὸν ἅπαντα βίον, οὔτε ταῖς φροντίσι τῶν ὄντων κατατεινόμενος, καὶ ταῖς ἐλπίσι τῶν μελλόντων τρεφόμενος.

9 Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

Ὃ μάλιστα ποθεινὸν ἀνθρώποις, τοῦτο συνεχῶς τίθησι· τὸ δέ ἐστι, τὸ λαμπρὸν καὶ ἐπίσημον, ὃ καὶ ἐκεῖ αὐτὸν διαδέξεται, καὶ ἐνταῦθα αὐτοῖς μετὰ πολλῆς ἔσται τῆς περιουσίας. οὐδεὶς γὰρ οὕτω λαμπρὸς καὶ ἐπίδοξος, ὡς ὁ ἐλεήμων. καὶ εἰ βούλει, λάβε τοὺς ἐν ἱπποδρομίαις καὶ θεάτροις εἰκῇ τὰ αὐτῶν δαπανῶντας. ἄγε εἰς μέσον τὸν ἐλεήμονα, καὶ τότε ὄψει ὅσος ἑκατέροις τούτοις ὁ καρπός· πῶς τοῦτον μὲν ἅπαντες κροτοῦσι διηνεκῶς καὶ θαυμάζουσι, κοινὸν πατέρα καὶ σωτῆρα ἡγούμενοι· ἐκεῖνον δὲ τὴν ἡμέραν ἐκείνην κροτήσαντες μόνον ἀκαίρῳ τινὶ καὶ ἀλογίστῳ ὁρμῇ, μετὰ ταῦτα διαβάλλουσιν ὡς ἀπάνθρωπον, ὡς ὠμόν, ὡς κενόδοξον, ὡς ἀσελγείας διάκονον, καὶ πονηρίας ὑπηρέτην. ἀλλὰ καὶ ἐν συλλόγοις εἴποτε τοιοῦτοι γίνονται λόγοι, ἐκείνων μὲν τὰ ἀναλώματα στίζεται, καὶ διαβάλλονται αἱ δαπάναι· τούτων δὲ οὐδείς ἐστιν ἀναίσχυντος οὕτως καὶ μιαρός, ὅς, κἂν μυριάκις ὠμὸς ᾖ καὶ ἀπάνθρωπος, οὐκ ἔσται ἐπαινέτης καὶ θαυμαστής. τοιοῦτον γὰρ ἡ ἀρετή· καὶ παρὰ τοῖς μὴ μετιοῦσιν αὐτήν ἐστιν ἐπαινετή· ὥσπερ οὖν ἡ κακία, καὶ παρὰ τοῖς μετιοῦσι βδελυρά, καὶ κατηγορίας ἀνάμεστος. διά τοι τοῦτο, ἐκείνους μὲν οὐδὲ οἱ λαμβάνοντες ἐπαινοῦσι, πόρναι [λέγω], καὶ ἡνίοχοι, καὶ ὀρχησταί, ἀλλὰ καὶ κακῶς λέγουσι· τοῦτον δὲ οὐχ οἱ λαβόντες πένητες μόνον, ἀλλὰ καὶ οἱ μὴ τῆς φιλοτιμίας ἀπολαύσαντες θαυμάσονται καὶ φιλήσουσιν ἅπαντες.

Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται· τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται.

Τοιοῦτον ἀρετή, ἐπαχθὲς καὶ φορτικὸν τῇ κακίᾳ. καὶ γὰρ καθάπερ τὸ πῦρ ἐκκαίει τὰς ἀκάνθας· οὕτω δὴ καὶ ἡ φιλανθρωπία τοὺς ἀπανθρώπους καὶ ὠμοὺς παροξύνει. ἔλεγχος γὰρ αὐτῶν ἐστι, καὶ κατηγορία τῆς κακίας. ἀλλ' ὅρα αὐτὸν οὐδὲ ἐν τῇ τηκεδόνι τολμῶντα κατηγορῆσαι, καὶ ἐνάντιον βλέψαι τῷ φαιδρῷ τῆς ἀρετῆς ὄμματι, ἀλλὰ τὴν διάνοιαν μὲν τηκόμενον, καὶ τὴν ὀδύνην διὰ τῶν ὀδόντων ἐπιδεικνύμενον, ῥῆμα δὲ ἐξενεγκεῖν οὐ τολμῶντα, ἀλλὰ τηκόμενον μόνον καὶ κατατεινόμενον. τοιοῦτον γὰρ ἡ κακία· κἂν εἰς αὐτὰ ἀναβῇ τὰ σκῆπτρα, καὶ ἐγγὺς τῶν τὰ διαδήματα περικειμένων στῇ, πάντων ἐστὶν εὐτελεστέρα, καὶ δειλοτέρα, καὶ θορύβῳ τινὶ καὶ ταραχῇ ἔοικε καὶ θαλάττῃ μαινομένῃ, κἂν μυρίαν ᾖ περιβεβλημένη δυναστείαν· ὥσπερ οὖν ἡ ἀρετὴ τοὐναντίον. κἂν γὰρ εἰς ἐσχάτην ᾖ πενίαν, κἂν παρ' αὐτῷ τῷ δεσμωτηρίῳ, τῶν βασιλευόντων ἐστὶ λαμπροτέρα, καὶ πολλῆς ἀπολαύει τῆς ἀδείας, καὶ ἐν γαλήνῃ κάθηται καὶ ἀκυμάντῳ λιμένι, οὐ μόνον οὐδὲν πάσχουσα παρὰ τῶν πονηρῶν, ἀλλὰ καὶ ἐν τῷ σιγᾶν ἀμύνασθαι αὐτοὺς δυναμένη, καὶ τὴν ἐσχάτην τῆς πονηρίας ἀπαιτοῦσα δίκην. τί γὰρ γένοιτο ἀθλιώτερον ἀνθρώπου ἐν πονηρίᾳ ζῶντος, ὅταν, πρὸς τῷ δουλεύειν τοῖς χρήμασι, καὶ τοῖς ἑτέρων κατορθώμασι δάκνηται, καὶ τὴν ἑτέρων εὐδοκίμησιν, οἰκείαν τιμωρίαν ἡγῆται, καὶ δίκην αὐτὸς ἑαυτὸν ἀπαιτῇ, κολαζόμενον αὐτοῦ τὸ συνειδὸς, κατατείνων τὴν διάνοιαν, δήμιος αὐτὸς ἑαυτοῦ γινόμενος; Εἶδες ἀρετῆς ὑπερβολὴν καὶ δύναμιν· Εἶδες κακίας ἀσθένειαν καὶ ἀθλιότητα. ἀλλ' οὐκ ἐν τούτῳ μόνον ἕστηκεν αὐτοῦ τὰ τῆς συμφορᾶς, ἀλλὰ καὶ ἐν ἑτέροις πλείοσιν. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἐπήγαγε λέγων·

Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. Τί ἐστιν, ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται; οὐδαμοῦ, φησιν, ἵσταται. ἐπειδὴ γὰρ τὰ ἐπιθυμήματα αὐτοῦ τοιαῦτα, ῥευστὰ καὶ παρατρέχοντα, καὶ ἡ ἐπιθυμία μιμεῖται τὰ πράγματα, σβεννυμένη, καὶ ἀπολλυμένη, καὶ ῥίζαν οὐδεμίαν ἔχουσα. Εἰ δὲ ἐνταῦθα τοιαῦτα τὰ τοῦ ἁμαρτωλοῦ, ἐννόησον τὰ ἐν τῷ μέλλοντι αἰῶνι ἡλίκα. ἵν' οὖν μὴ ταῦτα πάθωμεν καὶ ἡμεῖς, ταύτην φυγόντες τὴν ὁδὸν, ἐκείνην ἑλώμεθα καὶ βαδίζωμεν διηνεκῶς, τὴν ἀσφαλῆ, τὴν ἀχείρωτον, τὴν ἡδονῆς γέμουσαν, τὴν δόξης ἐμπεπλησμένην, τὴν οὐρανὸν ἡμῖν προξενοῦσαν, τὴν πρὸς πάντα τοῦ Θεοῦ τὴν εὔνοιαν ἡμῖν παρεχομένην, τὴν φιλοσοφεῖν παρασκευάζουσαν, τὴν τοσαῦτα ἔχουσαν ἀγαθὰ, ὅσα οὐδὲ λόγος παραστῆσαι δυνήσεται.

Ψαλμ. ριβ. 1 ΑΙΝΕΙΤΕ ΠΑΙΔΕΣ ΚΥΡΙΟΝ, ΑΙΝΕΙΤΕ τὸ ὄνομα Κυρίου.

Πολὺς ἐν ταῖς γραφαῖς τῶν αἴνων τούτων ὁ λόγος. οὐδὲ γὰρ τὸ τυχὸν πρᾶγμά ἐστιν, ἀλλὰ θυσία τις καὶ προσφορὰ ἀρέσκουσα τῷ Θεῷ. Θυσία, φησὶν, αἰνέσεως δοξάσει με. καὶ πάλιν· Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. καὶ πολλαχοῦ καὶ αἱ ἱεραὶ βίβλοι τοῦτο παρακελεύονται, καὶ οἱ σωζόμενοι ἀντὶ μεγάλων εὐεργετημάτων τοῦτο προσφέρουσι. καὶ ποίαν τοῦτο δυσκολίαν ἔχει, φησί; τίνι δὲ οὐ ῥᾴδιον καὶ τῶν τυχόντων" αὐτὸν ἀνύειν, καὶ αἰνεῖν τὸν Θεόν; ἂν ἀκριβῶς καταμάθῃς, ὄψει καὶ τὸν πόνον τὸν ἐν τῷ πράγματι, καὶ τὸ κέρδος τὸ ἐξ αὐτοῦ. πρῶτον μὲν γὰρ παρὰ δικαίων ὁ τοιοῦτος ἐπιζητεῖται ὕμνος, καὶ δεῖ πρότερον τὸν βίον κατορθοῦντα, οὕτως ᾄδειν ὕμνους τῷ Θεῷ. οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. δεύτερον, ὅτι οὐχὶ διὰ ῥημάτων ἐστὶν αἰνεῖν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων. καὶ τοῦτον μάλιστα ἐπιζητεῖ ὁ Θεὸς τὸν αἶνον, ταύτην τὴν δόξαν. Λαμψάτω γάρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὕτως αἰνεῖ τὰ χερουβίμ. διὰ τοῦτο καὶ ὁ προφήτης ἀκούσας τῆς μελῳδίας ἐκείνης τῆς μυστικῆς, ταλανίζει ἑαυτὸν, λέγων· Οἴμοι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ. διὰ τοῦτο καὶ παρακελευόμενος αἴνους ἀναφέρειν, ἀπὸ τῶν ἄνω δυνάμεων ἄρχεται, λέγων οὕτως· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ. ὥστε ἀγγέλων δεῖ γενέσθαι, καὶ οὕτως αἰνεῖν. μὴ τοίνυν τυχόν τι πρᾶγμα τὸν αἶνον τοῦτον εἶναι νομίσωμεν· ἀλλὰ πρὸ τοῦ στόματος ἡμῶν ὁ βίος αὐτὸν ἠχείτω, καὶ πρὸ τῆς

Ψαλμ. μθ. κδ. καὶ ξη. λα.

γρ. αὐτὸ

Ματθ. ε. ις.

Ησ. ς. ε.

Ψαλμ. ρμη. α.

τῆς γλώττης ἡ πολιτεία βοάτω. οὕτω καὶ σιωπῶντες δυνάμεθα τὸν Θεὸν ὑμνεῖν· οὕτω καὶ φθεγγόμενοι σύμφωνον τῷ βίῳ τὴν μελῳδίαν ἐργασόμεθα. οὐ τοῦτο δὲ μόνον ἔστι μαθεῖν ἀπὸ τοῦ ψαλμοῦ, ἀλλ' ὅτι καὶ εἰς συμφωνίαν πάντας ἄγει, καὶ ὁλόκληρον τὸν χορὸν ἵστησιν. οὐ γὰρ ἑνὶ καὶ δύο διαλέγεται, ἀλλ' ὁλοκλήρῳ δήμῳ. καὶ καθάπερ ὁ Χριστὸς ἐνάγων ἡμᾶς εἰς ὁμόνοιαν καὶ ἀγάπην ἐν ταῖς εὐχαῖς, κοινὴν ἐπέταξε ποιεῖσθαι τὴν εὐχὴν, καὶ ἀπὸ τῆς ἐκκλησίας πάσης, ὡς ἐξ ἑνὸς προσώπου λέγειν, Πάτερ ἡμῶν· καὶ, Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν· καὶ, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς ἀφίεμεν ἡμεῖς· καὶ, Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· πανταχοῦ τῷ πληθυντικῷ κεχρημένος ὀνόματι, καὶ κελεύων ἑνὶ ἑκάστῳ, κἂν καθ' ἑαυτὸν εὔχηται, * ὑπὲρ τῶν ἀδελφῶν πάντων τὴν εὐχὴν ἀναφέρειν· οὕτω καὶ ὁ προφήτης κοινῇ πάντας εἰς τὴν συμφωνίαν καλεῖ τῆς εὐχῆς, καὶ λέγει· αἰνεῖτε τὸ ὄνομα Κυρίου. τί οὖν βούλεται ἡ προσθήκη τοῦ ὀνόματος; μάλιστα μὲν τῆς διαθέσεως παραστατικόν ἐστι τοῦ λέγοντος· αἰνίττεται δέ τι καὶ ἕτερον. ποῖον δὴ τοῦτο; ὥστε τὸ ὄνομα αὐτοῦ δοξάζεσθαι δι' ἡμῶν, ὥστε αἰνετὸν φαίνεσθαι καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου. ἔστι μὲν γὰρ τοιοῦτον· βούλεται δὲ καὶ διὰ τῆς πολιτείας ἡμῶν τὸν αἶνον τοῦτον διαλάμπειν. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ὅρα τὰ ἑξῆς. ἐπάγει γάρ·

κοινῇ, καὶ

Ματθ. ς. θ.

2 Εἴη, φησὶ, τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Τί λέγεις; ″καὶ οὐκ ἔστιν εὐλογημένον, ἐὰν μὴ σὺ εὔξῃ; ὁρᾷς ὅτι οὐ περὶ τῆς εὐλογίας λέγει * τῆς αὐτῷ προσούσης καὶ τῇ φύσει αὐτοῦ συγκεκληρωμένης, ἀλλὰ τῆς διὰ τῶν ἀνθρώπων γινομένης. περὶ ταύτης καὶ Παῦλος γράφων λέγει· Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν. αὐτὸς τοίνυν καὶ ὑψηλός ἐστι, καὶ μέγας, καὶ αἰνετὸς καθ' ἑαυτόν· γίνεται δὲ καὶ παρὰ ἀνθρώποις τοιοῦτος, ὅταν οἱ δουλεύοντες αὐτῷ τοιοῦτον ἐπιδεικνύωσι) βίον, ὡς πάντας τοὺς ὁρῶντας αὐτοὺς εὐλογεῖν τὸν δεσπότην. τοῦτο καὶ ἐν τῇ εὐχῇ ἐκέλευεν ἡμᾶς ὁ Χριστὸς ἀεὶ λέγειν εὐχομένους· ἁγιασθήτω τὸ ὄνομά σου· τουτέστι, καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου δοξασθήτω. ὥσπερ γὰρ βλασφημεῖται κακῶς πολιτευομένων ἡμῶν, οὕτω δοξάζεται * ἀρετῆς ″ἐπιλαμβανομένων. ὃ τοίνυν λέγει, τοῦτό ἐστι· διὰ παντὸς καταξίωσον ἡμᾶς ἐνάρετον βίον ζῇν, ὡς εὐλογητὸν εἶναι) τὸ ὄνομά σου καὶ δι' ἡμῶν.

καὶ γάρ ἐστιν
αὐτῆς

α. Κορ. ς. κ.

καὶ εὐλογεῖ)
καὶ ἁγιάζεται
ἐπιμελουμένων.

3 Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου.

Ὁρᾷς τὴν καινὴν ἤδη προανακρουόμενον αὐτὸν πολιτείαν, καὶ προξενοῦντα τῆς ἐκκλησίας τὴν εὐγένειαν. οὐκ ἔτι γὰρ ἐν Παλαιστίνῃ μόνον, οὔτε ἐν Ἰουδαίᾳ, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης τὸ ὄνομα Κυρίου. πότε δὲ τοῦτο γέγονεν, ἀλλ' ἢ ὅτε τὰ ἡμέτερα ἤνθησεν; ὡς τότε γε πάλαι οὐ μόνον οὐκ ηὐλογεῖτο ἐν Παλαιστίνῃ, ἀλλὰ καὶ ἐβλασφημεῖτο διὰ τοὺς ἐν αὐτῇ κατοικοῦντας Ἰουδαίους (Δι' ὑμᾶς γὰρ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι) νυνὶ δὲ πανταχοῦ τῆς οἰκουμένης ὑμνεῖται. ὅπερ οὖν καὶ ἄλλος προφήτης δηλῶν ἔλεγεν· Ἐπιφανήσεται) Κύριος, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. καὶ ἕτερος πάλιν· Καὶ ἐν ″ἡμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ″ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεὰν, ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. ὁρᾷς πῶς κατέστειλε τὰ Ἰουδαϊκὰ καὶ ἔπαυσε, καὶ πανταχοῦ τῆς οἰκουμένης τῆς ἐκκλησίας τὴν πολιτείαν ἐξέτεινε καὶ τὴν λατρείαν προανεκήρυξεν. ὁ γὰρ ταῦτα λέγων προφήτης, μετὰ τὴν ἐπάνοδόν ἐστι τὴν ἐκ Βαβυλῶνος. καὶ διὰ τοῦτο ταῦτα προεφήτευσε τότε, ἵνα μὴ εἴπωσιν οἱ Ἰουδαῖοι ὅτι ἐκεῖνον λέγει τὸν συγκλεισμὸν, καὶ ἐκείνην τὴν ἐρήμωσιν τὴν ἐν Βαβυλῶνι. μετὰ γὰρ τὸ λυθῆναι

Ησ. νϐ. ε.

Σοφον. β. ια.

ἀλ. ὑμῶν

ἀλ. ἀνάψετε

Μαλαχ. α. ι. ια.

δεῖναι ἐκεῖνα, καὶ ἐπὶ τὴν προτέραν αὐτῶν ἐπανελθεῖν πολιτείαν, ταῦτα ὁ Ἄγγελος φησί, δηλῶν τὴν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, μεθ' ἣν οὐκ ἔσται λοιπὸν τῆς ἐρημίας ἐκείνης μεταβολή τις. διεδέξατο γὰρ τὰ τῆς ἐκκλησίας πράγματα. διό φησι, *μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι· τουτέστιν, εὐλογημένον, διὰ τοῦ βίου αὐτῶν ὑμνούμενον· ὥσπερ καὶ ἐνταῦθα, *εὐλογημένον τὸ ὄνομα Κυρίου.

γρ. Ἀγγαῖος

* ἐν

* εὐλογημ.

4 Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος.

Ὁρᾷς πάλιν τὰ ἔθνη δεχόμενα αὐτοῦ τὴν λατρείαν, καὶ οὐχ ἁπλῶς ἓν καὶ δύο καὶ τρία, ἀλλὰ πάντα τὰ κατὰ τὴν οἰκουμένην. τί ταύτης τῆς προφητείας σαφέστερον; πῶς δὲ ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη; ὅτι μεγαλύνομεν αὐτόν, οὐ προστιθέντες αὐτῷ ὕψος, (ἄπαγε) ἀλλὰ τοῖς δόγμασι, τῇ λατρείᾳ, τῇ προσκυνήσει, τοῖς ἄλλοις ἅπασιν οὐδὲν ταπεινὸν ἐννοοῦντες, καθάπερ οἱ Ἰουδαῖοι, ἀλλ' ὑψηλότερα πολλῷ καὶ μείζονα. τοιαύτη γὰρ αὕτη ἡ πολιτεία. ὅσον οὐρανὸς τῆς γῆς ὑψηλότερος, τοσοῦτον αὕτη τῆς παλαιᾶς. διό φησιν ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος. καὶ γὰρ μετὰ τοῦ ὕψους αὐτοῦ διὰ τῆς λατρείας, κἀκεῖνο ἴσμεν, ὅτι καὶ ταῦτα συγκατάβασίς ἐστιν. ὥστε κἂν τῆς ἐν τῇ παλαιᾷ ὑψηλότερα, ἀλλὰ τῆς ἀξίας αὐτοῦ καταδεέστερα. καὶ ταῦτα Παῦλος δηλῶν, ἑκατέρας τῆς γνώσεως τῆς τε νῦν οὔσης, τῆς τε τότε ἐσομένης ἐν τῷ μέλλοντι τὸ διάφορον παριστάς, ἔλεγεν· Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. καὶ πάλιν· ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, καὶ βλέπομεν ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. δείκνυσι γὰρ διὰ τούτου, ὅτι τοσοῦτον ἀφέστηκεν ἡ γνῶσις αὕτη τῆς τότε, ὅσον ὁ νήπιος τοῦ ἐλθόντος ἀνδρὸς εἰς ἡλικίαν τελείαν.

α. Κορ. ιγ. ια.

γρ. [illegible]

Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Ἐπειδὴ περὶ αἴνου καὶ ὕψους διελέχθη τοῦ διὰ τῆς πολιτείας τῆς ἀνθρωπίνης γινομένου, καὶ παρῄνεσεν οὕτως ὑψοῦν τὸν Θεόν, οὕτως αἰνεῖν, οὕτω μεγαλύνειν, εἰς μείζονα προτρεπόμενος ἀρετήν, δείκνυσι καὶ ποῦ τοῦτο γίνεται μάλιστα. ποῦ οὖν γίνεται; ἐν τοῖς οὐρανοῖς. ἐκεῖ γάρ ἐστιν ἡ δόξα αὐτοῦ. μάλιστα γὰρ ἄγγελοι δοξάζουσιν αὐτόν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν διακονουμένων ἀνθρώπων ὑπακοῆς, μετὰ ἀκριβείας τὰ προστάγματα αὐτοῦ ἀνύοντες. διό φησι· Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. καὶ ἐν τοῖς εὐαγγελίοις δὲ ἐκέλευσεν ὁ Χριστὸς εὔχεσθαι, καὶ λέγειν, Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τουτέστιν, ὥσπερ ἄγγελοι αὐτὸν ἁγιάζουσι πονηρίας μὲν πάσης ἀπηλλαγμένοι, ἀρετὴν δὲ μετιόντες μετὰ ἀκριβείας· οὕτω δὴ καταξιωθείημεν καὶ ἡμεῖς αὐτὸν ἁγιάζειν. τοῦτο καὶ ἐνταῦθα δηλῶν τοῦτο ἐπήγαγεν, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ, εἰπών. μὴ γὰρ δὴ μόνον ἐν τῇ γῇ ἴδῃς τὰ κλίσματα ταῦτα τὰ ὁρώμενα, μηδὲ τὴν κατὰ τὸν οὐρανὸν εὐταξίαν· ἀνάβηθι τῷ νῷ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοερά, ἐπὶ τὰ κάλλη τῶν οὐσιῶν ἐκείνων, ἐπὶ τὴν φαιδρότητα τῆς πολιτείας ἐκείνης· καὶ τότε εἴσῃ πῶς ἐν τοῖς οὐρανοῖς ἡ δόξα αὐτοῦ.

γρ. ᾔνεσεν

Ψαλ. ρβ. κ.
Ματθ. ς. ι.

5 Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν.

Ἆρα οὐ δοκεῖ μέγα εἶναι τὸ εἰρημένον; ἀλλ' ὅταν ἐννοήσῃς περὶ τίνος εἴρηται, σφόδρα ἐστὶ καταδεές. οὕτως, ὅπερ ἔλεγον, οὐ χρὴ μέχρι τῶν ῥημάτων ἵστασθαι, ἀλλ' ἀναβαίνειν τῇ διανοίᾳ. πῶς γὰρ ἐν οὐρανοῖς κατοικεῖ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν; ὁ πανταχοῦ παρών; ὁ λέγων, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν; Ὁ μετρήσας τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν δρακί; ὁ κατέχων τὸν γῦρον τῆς γῆς; ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους ἦν αὐτῷ ὁ λόγος, διὰ τοῦτο τέως κέχρηται οὕτω τῷ λόγῳ, κατὰ μικρὸν ἀνάγων αὐτῶν τὴν διάνοιαν, καὶ πτερῶν τὴν γνώμην, καὶ ἀναβιβάζων ἠρέμα. διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· ἀλλὰ πρότερον εἰπών, τίς ὡς

Ἱερεμ. κγ. κδ.
κγ. καὶ Ἠσ. μ.
ιβ. κβ.

Κύριος ὁ Θεὸς ἡμῶν, τότε ἐπήγαγεν. Εἶπε δὲ ἐκεῖνο, δηλῶν τίνος ἕνεκεν τὸ δεύτερον εἶπε. διὰ γὰρ τὴν ἀσθένειαν τὴν Ἰουδαϊκὴν, τὴν περὶ τὰ εἴδωλα ἐπτοημένην, καὶ θεοὺς προσκυνοῦσαν τοὺς ἐν τόποις καὶ ναοῖς συγκεκλεισμένους· διὰ δὴ τοῦτο κατὰ μικρὸν τὴν σύγκρισιν ποιεῖται, καίτοι ἀσυγκρίτως ἁπάντων ὁ Θεὸς ὑπερέχει· ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων, ὅπερ ἔφθην εἰπὼν (οὐ γὰρ παύσομαι συνεχῶς τὸ αὐτὸ λέγων) ῥυθμίζει τὸν λόγον. οὐ γὰρ ἐζήτει ὅπως ἄξιόν τι τῆς δόξης εἴποι τοῦ Θεοῦ τέως, ἀλλ' ὅπως ἐκείνοις χωρητὸν [γένηται.] διὰ δὴ τοῦτο κατὰ μικρὸν αὐτοὺς ἀνάγει· καὶ ὅμως οὐδὲ οὕτως ἐναπομένει τῇ ταπεινότητι, ἀλλὰ διανοίγνυσι πάλιν ὑψηλότερα νοήματα ἕτερα. ἐπειδὴ γὰρ εἶπεν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, πάλιν ἐπὶ τὸ ὑψηλότερον ἄγων τὸν λόγον, φησίν· Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.

Δεικνὺς ὅτι πανταχοῦ ἐστι, κἀκεῖ καὶ ἐνταῦθα. οὐ γὰρ ὡς ἄν τις ἐν οὐρανῷ συγκεκλεισμένος πόῤῥωθεν βλέπει τὰ ἐν τῇ γῇ, ἀλλὰ πανταχοῦ παρὼν, καὶ πᾶσι παριστάμενος. εἶδες πῶς κατὰ μικρὸν πτεροῖ τὴν διάνοιαν τῶν ἀκουόντων. εἶτα ἀναστήσας ἀπὸ τῆς γῆς τὸν ἀκροατὴν καὶ τῷ οὐρανῷ προσηλώσας, πάλιν μεῖζόν τι φαντάζεσθαι παρασκευάσας, ἐφ' ἕτερον ἔρχεται δεῖγμα τῆς δυνάμεως αὐτοῦ, λέγων·

6 Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

Μεγάλης γὰρ δυνάμεως καὶ σφόδρα ἀφάτου, τὸ τὰ μικρὰ ἐπαίρειν. ἀλλαχοῦ μέντοι καὶ τὸ ἐναντίον τίθησιν ἄλλος, ὅτι καὶ τὰ μεγάλα ταπεινοῖ, λέγων οὕτω· Διαιρῶν σύντριμμα ἐπὶ ἰσχὺν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. ἐνταῦθα μέντοι εἴρηται, ὅτι τοὺς μικροὺς ἐπᾶραι δύναται. ἔστι μὲν οὖν καὶ καθολικὸς λόγος· εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν αὐτὸν ἐκλαβεῖν βουληθείη, ὄψεται τοῦτο ἐπὶ τῶν ἐθνῶν γινόμενον· ὄψεται τοῦτο καὶ ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ. τί γὰρ τῆς ἡμετέρας φύσεως πτωχότερον; ἀλλ' ὅμως αὐτὴν ἤγειρε καὶ ἀνήγαγε μετὰ τῆς ἀπαρχῆς ἡμῶν εἰς οὐρανὸν, καὶ συνεκάθισεν εἰς τὸν πατρικὸν θρόνον. Καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, 7 Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

Ἀμὼς ε. θ.

Κοπρίαν ἐνταῦθα τὸ εὐτελὲς λέγει, καὶ τὴν ἐκεῖθεν ἀθρόον γινομένην μεταβολὴν, δεικνὺς ὅτι πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα. Εἶτα ἐφ' ἕτερον ἔρχεται μεῖζον. ποῖον δὴ τοῦτο; ὅτι οὐ τὰ πράγματα μεταθεῖναι δύναται, οὐδὲ τὴν εὐτέλειαν εἰς ἀξίωμα μεταστῆσαι μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως μεταθεῖναι τοὺς ὅρους, καὶ στεῖραν ποιῆσαι μητέρα. διόπερ ἐπήγαγεν· 8 Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην· Ὅπερ γέγονεν ἐπὶ τῆς Ἄννης, ὅπερ γέγονεν ἐπὶ μυρίων ἑτέρων. Εἶδες ὕμνον ἀπηρτισμένον· εἶδες ὕμνον πεπληρωμένον. Εἶπε τὰ μέλλοντα κατορθοῦσθαι τῇ οἰκουμένῃ· πῶς ὁ Ἰουδαϊσμὸς παύεσθαι μέλλει, πῶς ἡ καινὴ τῆς ἐκκλησίας πολιτεία διαλάμπειν, πῶς θυσία πανταχοῦ προσάγεσθαι. Εἶτα ἀξιόπιστον ποιῶν καὶ τοῖς παχυτέροις τὸν λόγον, ἀπὸ τῶν ἤδη γινομένων καὶ περὶ τῶν μελλόντων βεβαιοῦται. ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ ἀπιστήσῃς, ἄνθρωπε, ὅτι τοσαύτη ἔσται μεταβολὴ, καὶ τὰ ἀπεῤῥιμμένα ἔθνη εἰς δόξαν ἥξει μεγίστην. οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ταῦτα γινόμενα; τοὺς ταπεινοὺς ὑψουμένους καὶ μετὰ ἀρχόντων καθημένους; οὐχ ὁρᾷς τὴν φύσιν πηρουμένην καὶ διορθουμένην; στείρας μητέρας γινομένας; τοιοῦτόν τι καὶ περὶ τῆς ἐκκλησίας συνέβη. στεῖρα ἦν, ἀλλ' ἐγένετο μήτηρ τέκνων πολλῶν. διὸ καὶ λέγει ὁ Ἡσαΐας· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα· τοῦτο τῆς ἐκκλησίας, ὡς ἐσομένου, προαναφωνῶν. διὰ δὴ τοῦτο καὶ οὗτος ἐνταῦθα τὸν λόγον κατέλυσε, τὴν προφητείαν ἀξιόπιστον καὶ ἐντεῦθεν ἀποφήνας,

α. Βασ. α. ε. κ.

Ησ. νδ. α.

ἀπὸ τῶν ἤδη γινομένων, ἀπὸ τῆς μεγαλωσύνης αὐτοῦ. πάντα γὰρ, ὅσα ἂν δόξῃ τῷ Θεῷ, ῥᾳδία ποιῆσαι. καὶ γὰρ φύσιν μεταθεῖναι δύναται, καὶ ταπεινότητα μεταβαλεῖν εἰς ὕψος, καὶ διορθῶσαι τρόπους. ταῦτ᾽ οὖν εἰδότες ἅπαντα, εἰσενέγκωμεν τὰ παρ᾽ ἑαυτῶν, καὶ πάσης ἀπολαυσόμεθα δόξης, καὶ πρὸς ἄβατον ὕψος ἀναβησόμεθα, τῆς ῥοπῆς ἀπολαύοντες τοῦ Θεοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ριγ.

1 ΕΝ ΕΞΟΔΩ ΙΣΡΑΗΛ ΕΞ ΑΙΓΥΠΤΟΥ, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, 2 Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

Μεγάλην ἐνταῦθα τοῦ Θεοῦ πραότητα μαρτυρεῖ καὶ ἡμερότητα. ποίαν δὴ ταύτην; ὅτι πρότερον ἀποδείξεις παρεχόμενος τῆς οἰκείας δυνάμεως, τότε ἀπαιτεῖ τὴν προσκύνησιν. τοῦτο γὰρ δηλῶν ἔλεγεν, ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. καὶ γὰρ τότε ἔδειξε τὴν δύναμιν αὐτοῦ διὰ τῶν ἐν Αἰγύπτῳ σημείων, διὰ τῶν ἐν ἐρήμῳ, τότε καὶ τὸν λαὸν ᾠκειώσατο. τοῦτο καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐποίησε. πρότερον γὰρ τὸν κόσμον ποιήσας, καὶ δείξας αὐτῷ καὶ τῆς σοφίας καὶ τῆς δυνάμεως τὴν ἰσχὺν, οὕτω τὸν ἄνθρωπον ἔπλασε, καὶ τὴν προσκύνησιν ἀπῄτησεν. οὕτω καὶ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σημεῖα πρότερον παρεχόμενος πολλὰ καὶ παντοδαπὰ, τότε τὴν πίστιν ἀπῄτει. διά τοι τοῦτο τοῖς μὲν ἐξ ἀρχῆς προσιοῦσιν, ἅτε οὐκ ἔχουσιν αὐτοῦ ἐνέχυρα οὐδὲ ἀπόδειξιν τῆς θεότητος, οὐκ ἔλεγε, πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι, ἀλλὰ μόνον τὰ σημεῖα ἐδείκνυ. ἐπειδὴ δὲ πανταχοῦ τῆς Παλαιστίνης ὑπομνήματα τῆς ἑαυτοῦ δυνάμεως ἐναπέθετο, σώματα πεπηρωμένα διορθῶν, κακίαν ἐξελαύνων, περὶ βασιλείας διαλεγόμενος, τοὺς σωτηριώδεις εἰσάγων νόμους· τότε καὶ τὴν πίστιν ἀπῄτει παρὰ τῶν προσιόντων. ἄνθρωποι μὲν γὰρ πρότερον ἄρχειν ἐθέλουσι, καὶ τότε εὐεργετεῖν ἐπιχειροῦσιν· ὁ δὲ Θεὸς ἀπὸ τῶν εὐεργεσιῶν ἄρχεται. καὶ τί λέγω τὰς ἄλλας εὐεργεσίας, ὅπουγε καὶ τὸν σταυρὸν αὐτὸν ὑπέμεινε, καὶ τότε τῆς οἰκουμένης ἐκράτησε, διὰ τῶν ἔργων ἐπιδειξάμενος τὴν κηδεμονίαν. τοῦτο γοῦν καὶ ὁ ψαλμῳδὸς ἐνταῦθα δηλῶν ἔλεγεν, ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ· τουτέστιν, ἐν τῇ ἐξόδῳ, ἐν τῇ ἀπαλλαγῇ, ἐν τῇ ἐλευθερίᾳ τῆς Αἰγύπτου. καὶ οὐχ ἁπλῶς εἶπεν Αἰγύπτου, ἀλλὰ προσέθηκε, λαοῦ βαρβάρου, τῷ ὀνόματι τῶν πολεμίων τοῦ Θεοῦ τὴν κηδεμονίαν ἐνδεικνύμενος. τῶν γὰρ χαλεπῶν ἐκείνων, καὶ ἀνημέρων, καὶ βαρβαρικώτερον διακειμένων Αἰγυπτίων οὐκ ἂν ἠδυνήθησαν ἀπαλλαγῆναι, εἰ μὴ τῆς κραταιᾶς ἀπήλαυσαν χειρὸς, καὶ τῆς δεξιᾶς τῆς ἀμάχου. καὶ γὰρ θηρίων ἦσαν ἀγριώτεροι, καὶ πέτρας σκληρότεροι, μυρίαις παιόμενοι πληγαῖς, καὶ οὐκ ἐνδιδόντες. εἰπὼν τοίνυν τὸν λαὸν βάρβαρον, ἔδειξε τοῦ Θεοῦ τῆς δυνάμεως τὴν ὑπερβολὴν, ὅτι τὸν οὕτω βάρβαρον, τὸν οὕτως ὠμὸν, νῦν μὲν ἔπεισε, νῦν δὲ καὶ ἄκοντα κατηνάγκασεν ἀφεῖναι τοὺς δούλους, καὶ φιλονεικοῦντας ὕστερον τῇ θαλάσσῃ παρέδωκε, καὶ οὕτω τὸν λαὸν ἠλευθέρωσε τὸν ἑαυτοῦ. τί δέ ἐστιν, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ; ἀντὶ τοῦ, λαὸς αὐτῷ λατρεύων, λαὸς αὐτῷ ἀνακείμενος, λαὸς αὐτῷ ᾠκειωμένος. ἁγίασμα δὲ κυρίως ἐλέγετο ὁ ναὸς, τὰ ἄδυτα, τὰ ἅγια τῶν ἁγίων· καθάπερ καὶ Ζαχαρίας εἰσάγει τινὰς ἐρωτῶντας καὶ λέγοντας· Εἰσῆλθεν ὧδε τὸ ἁγίασμα; ἢ νηστεύσομεν; περὶ τῆς ἐπανόδου τῆς κιβωτοῦ καὶ τῶν ἄλλων ἀπάν-

Μτθ. κα. ιθ. κα.

Ζαχ. ζ. γ.

γρ. δίκαια

γρ. διαπλάσας

γρ. ἀπῄτησε,

γρ. ἐπεδείκνυ

ἀπολύτως δηλῶν. ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ. πρὸ γὰρ τούτου ἀκάθαρτός τις ἦν καὶ ἐναγὴς ἡ χώρα. ἐπειδὴ δὲ ἐπανῆλθεν ὁ λαός, ἐγένετο ἡ πόλις ἁγίασμα αὐτοῦ· τουτέστιν, ἁγίασμα ʺἤγετο διὰ τῆς ἐπιμελείας, διὰ τῶν θυσιῶν, διὰ τῆς λατρείας, διὰ τῆς ἄλλης ʺἁγιαστείας. Ἰσραὴλ ἐξουσία αὐτοῦ. τί ἐστιν, Ἰσραὴλ ἐξουσία αὐτοῦ; ὑπὸ τὴν ἀρχὴν τὴν αὐτοῦ φησι. καίτοι πᾶσα ἡ οἰκουμένη ὑπὸ τὴν ἀρχὴν ἦν τὴν αὐτοῦ, ἀλλ' οὗτοι καὶ κατ' οἰκείωσιν· ἐπειδὴ καὶ προφητείας ἐδέχοντο, καὶ διελέγετο αὐτοῖς, καὶ τὰ κατ' αὐτοὺς ᾠκονόμει ποικίλως. καὶ καθ' ἕτερον δὲ τρόπον λαὸς αὐτοῦ ἐχρημάτιζε. καὶ γὰρ τῷ ὀνόματι τῷ ἐκείνου πολλάκις καὶ εἰς πολέμους ἐξῄεσαν, καὶ πολλὰ τῶν ἄλλων ἔπραττον. βαρβαρικῶν γὰρ αὐτοὺς ἀπαλλάξας χειρῶν, καὶ τυραννίδος, καὶ δουλείας, καὶ κινδύνου ἐσχάτου, καὶ παρανόμου γνώμης, γέγονεν αὐτῶν βασιλεύς. τοῦτο γοῦν καὶ ἀλλαχοῦ δικαιολογούμενος, καὶ δεικνὺς ὅτι πρότερον τὰ παρ' ἑαυτοῦ ἐπιδειξάμενος ἀπῄτει τὰ παρ' ἐκείνων, ἔλεγε· Μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραήλ, Ἱερεμ. β. λα. ἢ γῆ κεχερσωμένη; ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ ἄκαρπος ὑμῖν ἐγενόμην; οὐ μυρία ἀγαθὰ εἰς ὑμᾶς ἐπεδειξάμην; οὐ τὴν φύσιν αὐτὴν μετέβαλον; οὐ τὰ στοιχεῖα πρὸς τὴν ὑπηρεσίαν ὑμῶν ἐρρύθμισα; οὐ διαγωγὴν ὑμῖν ἐχαρισάμην ἀνθρωπίνων ἀπηλλαγμένην πόνων; διὰ τοῦτο εἶπε, μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραήλ; τουτέστιν, οὐ μυρίους ἤνεγκα καρπούς; ἐλευθερίαν * Αἰγύπτου, ἀπαλλαγὴν βαρβάρων, θαυμάτων ἐπίδειξιν, τὴν ἐν ἐρήμῳ διαγωγήν, τὴν τῆς Παλαιστίνης κληρονομίαν, τὴν τῶν ἐθνῶν κράτησιν, τὰ συνεχῆ τρόπαια, τὰς ἐπαλλήλους νίκας, τὰ θαύματα τὰ παράδοξα, τὰ τεράστια τὰ συνεχῆ, τῆς γῆς τὴν εὐετηρίαν, τῶν γόνων ὑμῶν τὴν ἐπίδοσιν, τὴν πανταχοῦ τῆς οἰκουμένης δόξαν, ἕτερα μυρία. εἶδες τοὺς καρποὺς τοῦ Θεοῦ. διὰ τοῦτο ἐπήγαγε· μὴ γῆ ἐγενόμην κεχερσωμένη; τουτέστιν, οὐ μυρίους ἐδρέψασθε παρ' ἐμοῦ καρπούς; οὐκ ηὐλόγησα τὴν εἴσοδον ὑμῶν, καὶ τὴν ἔξοδον ὑμῶν; τὰ ποίμνια ὑμῶν καὶ τὰ βουκόλια ὑμῶν; τὸν ἄρτον ὑμῶν καὶ τὸ ὕδωρ ὑμῶν; οὐκ ἐν ἀσφαλείᾳ κατέστησα; οὐ πᾶσιν ἀχειρώτους εἰργασάμην; οὐ φοβεροὺς καὶ ἀμάχους; οὐ, καθάπερ ἀπὸ πηγῶν, πάντα ὑμῖν ἀπέρρει τὰ ἀπὸ τῆς γῆς; τὰ ἀπὸ τοῦ οὐρανοῦ; τὸν γὰρ ἄρχοντα τοῦτο μάλιστα δείκνυσι, τὸ προνοεῖν τῶν ὑπηκόων, τὸ κήδεσθαι καὶ φροντίζειν. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· Ὁ ποιμὴν ὁ Ἰω. ι. ια. καλός, οὐκ εἶπε, τιμᾶται καὶ θεραπεύεται, ἀλλά, τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. οὗτος ἀρχή, τοῦτο ποιμαντικὴ ἐπιστήμη, τὸ τὰ αὐτοῦ παρορᾶν, καὶ τὰ τῶν ἀρχομένων μεριμνᾶν. ὅπερ γάρ ἐστιν ἰατρός, τοῦτό ἐστιν ἄρχων, μᾶλλον δὲ καὶ ἰατροῦ πλέον. ὁ μὲν γὰρ ἰατρὸς τῇ τέχνῃ τὴν σωτηρίαν περιποιεῖται· ὁ δὲ ἄρχων καὶ ἐν τοῖς ἰδίοις κινδύνοις· ὅπερ καὶ ὁ Χριστὸς ἐποίησε, ῥαπισθείς, σταυρωθείς, τὰ μυρία παθών. διὸ καὶ Παῦλος ἔλεγε· Καὶ γὰρ Ρωμ. ιε. γ. ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. δύο τοίνυν, μᾶλλον δὲ καὶ τρεῖς, καὶ μυρίας τίθησιν ἐνταῦθα εὐεργεσίας· ὅτι βαρβάρων ἀπήλλαξεν, ὅτι τῆς ἀλλοτρίας ἠλευθέρωσεν, ὅτι δουλείας ʺἀπήλλαξεν, ὅτι πόνους ἔλυσε καὶ ταλαιπωρίας, ὅτι μυρία θαύματα εἰργάσατο, εἶτα ὅτι καὶ ἁγίασμα αὐτοῦ αὐτοὺς κατηξίωσε γενέσθαι καὶ ὑπηκόους. καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εὐεργεσίας εἶδος, τὸ ἐν τάξει τῶν ὑπηκόων αὐτοὺς καταλέγειν.

3 Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Ὅρα τὸν λόγον κορυφούμενον, καὶ τὴν εὐεργεσίαν αὐξανομένην. τί γὰρ δεῖ λέγειν, φησί, περὶ βαρβάρων καὶ ἐθνῶν, ὁπότε γε καὶ ἡ κτίσις ὑπεξίστατο, καὶ παρεχώρει, καὶ πρὸς τὰ ἐναντία μεθίστατο τὸν στρατηγοῦντα ὁρῶσα, καὶ τῷ δημαγωγῷ παραχωροῦσα; πάντα γὰρ τότε τῷ δήμῳ τῷ τῶν Ἑβραίων συνέβαινεν, ἵνα μάθωσιν ὅτι οὐκ ἀνθρωπίνης ἀκολουθίας ἦν τὰ γινόμενα, ἀλλὰ θείας καὶ ἀπορρήτου δυνάμεως τὰ θαυματουργούμενα ἅπαντα. καὶ ὅρα τὴν ἔμφασιν τῆς λέξεως, πῶς ἀρίστως αὐτὴν τέθεικεν. οὐ γὰρ εἶπεν, ἀνεχώρησεν, οὐδὲ ὑπεξέστη· ἀλλὰ τί; ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, τὸ τάχος τῆς ἀναχωρήσεως τῇ φυγῇ παραστῆσαι βουλόμενος, τὸ μέγεθος τῆς ἐκπλήξεως, τὸ εὔκολον τῆς ἐνεργείας τοῦ Θεοῦ. καὶ ἵνα μή τις νομίζῃ ἐκ περιόδου τινὸς καὶ συντυχίας τοῦτο γίνεσθαι, ἐξ ἐκείνου οὐκ ἔτι γέγονεν, ἀλλ᾽ ἅπαξ, ὅτε ὁ Θεὸς ἐκέλευσε, καὶ ἐπὶ διαφόρων προσώπων. καὶ γὰρ ἡ ἄτακτος τῶν ὑδάτων ῥύμη, καθάπερ λογική τις καὶ ἔμψυχος, τοῦ Θεοῦ κελεύοντος, οὕτω τοὺς μὲν ἔσωζε, τοὺς δὲ ἀπώλλυε, τοῖς μὲν τάφος, τοῖς δὲ ὄχημα γινομένη. τοῦτο καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου ἴδοι τις ἄν. καὶ γὰρ τὸ πῦρ τὸ ἁπλῶς καὶ ὡς ἔτυχε φερόμενον, πολλὴν εὐταξίαν ἐπεδείκνυτο ὅτε ὁ Θεὸς ἐπέταξεν, οὓς μὲν ἔνδον εἶχε διασῶζον, τοὺς δὲ ἔξωθεν περικαθημένους ἁρπάζον καὶ ἀναλίσκον. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. εἶδες καὶ ἐν διαφόροις καιροῖς καὶ ἐν διαφόροις χωρίοις τὰ θαύματα γινόμενα. ἵνα γὰρ μάθωσιν ὅτι πανταχοῦ ἡ δύναμις ἐκτέταται τοῦ Θεοῦ, καὶ οὐ περικλείεται τόπῳ, καὶ ἐν τῇ'' βαρβάρῳ, καὶ ἐν τῇ ἐρήμῳ, καὶ πανταχοῦ παρεγίνετο θαυματουργῶν· καὶ νῦν μὲν ἐν θαλάττῃ, νῦν δὲ ἐν ποταμοῖς· καὶ τότε μὲν ἐπὶ Μωϋσέως, ὕστερον δὲ ἐπὶ Ἰησοῦ, καὶ πανταχοῦ διὰ σημείων περιεπέμποντο· ἵνα τὴν ἀναίσθητον αὐτῶν γνώμην καὶ τὴν σκληρὰν διάνοιαν τοῖς θαύμασι μαλασσομένην, εὔκολον καὶ ἐπιτηδειοτέραν καταστήσωσι πρὸς τὴν τῆς θεογνωσίας ὑποδοχήν.

Δαν. γ. κβ. κε.

Ὠδὴ τριῶν παίδων ιη.

γρ. βαρβάρω

4 Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Ἐνταῦθα ζήτημα οὐ μικρὸν ἡμῖν ἀνακύπτει. καὶ γάρ τινες διαπορούντες φασιν· ὅτι μὲν τὰ πρότερα γέγονεν, ἴσμεν· καὶ γὰρ ἡ ἱστορία παρέδωκεν, ὅτι καὶ ἡ ἐρυθρὰ θάλασσα ἐσχίσθη ἐν τῇ ἐξόδῳ, καὶ ὅτι ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἡνίκα ἡ κιβωτὸς παρῄει· ὅτι δὲ ὄρη ἐσκίρτησαν καὶ βουνοί, οὐδαμοῦ τοῦτο ὁρῶμεν γεγραμμένον. τί οὖν ἐστιν, εἶπεν; ὅτι τὴν ἡδονὴν ὑπερβολικῶς παραστῆσαι βουλόμενος καὶ τῶν θαυμάτων τὸ μέγεθος ὁ προφήτης, εἰσάγει καὶ τὰ ἄψυχα αὐτὰ μονονουχὶ χορεύοντα καὶ πηδῶντα· ἅπερ ἐπὶ τῶν εὐφραινομένων γίνεται. διὰ τοῦτο καὶ ἡ προσθήκη τῆς εἰκόνος, τὸ, ὡσεὶ κριοί, καὶ ὡς ἀρνία προβάτων. καὶ γὰρ ἐκεῖνα τὰ ἄλογα ἡνίκα εὐφραίνεται, τοῖς πηδήμασι τὴν ἡδονὴν δηλοῖ. ὥσπερ οὖν ἐν ταῖς συμφοραῖς ἄλλος φησίν, ὅτι καὶ Ἄμπελος ἐπένθησε καὶ οἶνος, οὐχ ὡς τῆς ἀμπέλου πενθούσης (πῶς γὰρ ἂν πενθήσει ἡ ἄμπελος;) ἀλλὰ τὴν ὑπερβολὴν τῆς κατηφείας [ὥσπερ] ἐνδείξασθαι βουλόμενος, καὶ τῶν ἀψύχων αὐτῶν σχεδὸν ἁπτομένην ὑπερβολικῶς λέγει· οὕτω δὴ καὶ ἐνταῦθα τὴν κτίσιν εἰσάγει κοινωνοῦσαν τῆς ἡδονῆς, ἵνα τὸ μέγεθος δείξῃ τῆς εὐφροσύνης. τοῦτο καὶ ἡμῖν ἔθος λέγειν, ὅτι τὰ ἐνταῦθα φαιδρὰ γέγονεν, ἐπειδὰν τινα ἴδωμεν ἔντιμον παραγινόμενον· ἐνέπλησας τὴν οἰκίαν χαρᾶς, οὐ περὶ τῶν τοίχων διαλεγόμενοι, ἀλλὰ τὴν ὑπερβολὴν τῆς εὐφροσύνης παριστῶντες.

Ησ. κδ. ζ.

5 Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

6 Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

Κατὰ ἐρώτησιν τὸν λόγον προάγει, καὶ τοῖς στοιχείοις διαλέγεται ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ᾽ ἧς ἔφησεν αὐτὰ σκιρτᾶν. ὥσπερ γὰρ οὐκ αἴσθησιν αὐτοῖς μαρτυρῶν ταῦτα ἔλεγεν, ἀλλ᾽ (ὅπερ ἔφθην εἰπὼν) τὴν ὑπερβολὴν τῆς ἡδονῆς ἐνδεικνύμενος, καὶ τῶν κατορθωμάτων τὸ μέγεθος· οὕτω καὶ τὴν ἐρώτησιν αὐτοῖς προσάγει, οὐχ ὡς ἀποκρίνασθαι δυναμένοις καὶ αἴσθησιν ἔχουσιν, ἀλλ᾽ ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον, καὶ δεῖξαι τὸ παράδοξον. ὡς γὰρ καινοῦ τινος γινομένου καὶ οὐ κατὰ ἀκολουθίαν συμβάντος, τὴν ἐρώτησιν ἐπάγει, καὶ προστίθησι'' τῇ ἀποκρίσει. τίς δὲ ἦν αὕτη;

7 Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ.

Ἐνταῦθα πάλιν σάλον τὴν ἔκπληξιν λέγει, τὸ θαῦμα, τὴν ἔκστασιν, ὥστε δεῖξαι τὸ μέγεθος τῶν γεγενημένων. Εἶτα δεικνὺς ὅσον ἐστὶν ἑνὸς ἀνδρὸς ἀρετή, ἀπὸ τοῦ δούλου τὸν δεσπότην ἐκάλεσεν. ὃ καὶ Παῦλος ἀντὶ μεγίστης τιμῆς ἔφη τοῖς ἁγίοις δεδόσθαι ἐκείνοις, ὅτι δὴ τῶν βιωτικῶν ἀπηλλάγησαν ἁπάντων. Οὐδὲ γὰρ τὴν τιμὴν μόνον τίθησιν, ἀλλὰ καὶ τὴν αἰτίαν τῆς τιμῆς προστίθησιν, ἵνα τὸν ἀκροατὴν διδάξῃ τὴν ὁδόν, δι' ἧς δύναται ταύτης ἀπολαῦσαι τῆς προεδρίας. Τίς δέ ἐστιν αὕτη; τὸ ἀπὸ τῶν δούλων καλεῖσθαι τὸν δεσπότην. διὸ καὶ ἔλεγε· Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν. πῶς δὲ Θεὸς αὐτῶν ἐκαλεῖτο; λέγων, Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. Εἶτα καὶ τὴν αἰτίαν τῆς τοιαύτης κλήσεως ἀνωτέρω τιθείς, εἶπε· καὶ οὗτοι πάντες ἀπέθανον, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν. αὕτη ἡ αἰτία. διὸ καὶ ἐπήγαγε· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται [αὐτοὺς] ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν. ποίαν αἰτίαν εἰπέ μοι; ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ παρόντα, ἀλλ' ἀπορρήξαντες ἑαυτοὺς τῶν βιωτικῶν, οὕτως ἐν ἀλλοτρίᾳ διέτριβον.

Ἑβρ. ια. ιϛ.

Ἐξοδ. γ. ϛ.

8 Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

Ποίαν σχοῖεν ἄν, εἰπέ μοι, συγγνώμην οἱ σκληροὶ καὶ δυσένδοτοι, ὅταν πέτρα μὲν ἡ ἀκρότομος καὶ σκληρὰ καὶ δυσένδοτος εἴκῃ τῷ προστάγματι τοῦ Θεοῦ· ἄνθρωπος δὲ ὁ λόγῳ τετιμημένος καὶ πάντων ἡμερώτερος, ἐκείνης σκληρότερος γίνηται; ἀκρότομον γὰρ ἐνταῦθά φησι τὴν σιδήρῳ οὐ ῥᾳδίως εἴκουσαν, ἀλλ' ἐκ τῶν ἄκρων μόλις ἀποθραυομένην. ἀλλ' ὅμως καὶ ἐκείνη εἰς τὴν ἐναντίαν διελύθη φύσιν, καὶ πηγὰς ἀφῆκεν ὑδάτων. ὁ γὰρ τῆς φύσεως δημιουργός, καὶ τοὺς ὅρους αὐτοὺς μεταθεῖναι δύναται, καὶ τὰ ἐναντία * ἐπιδείξασθαι· ὃ πολλαχοῦ πολλάκις ἐποίησε, δεικνὺς ὅτι αὐτός ἐστιν ὁ ἐξ οὐκ ὄντων τὰ πάντα ποιήσας. Εἰπὼν τοίνυν τὰς παλαιὰς εὐεργεσίας, τὰ θαύματα, τὰ τεράστια, πῶς ἀπήλλαξε βαρβαρικῆς δουλείας, πῶς εἰς ἐλευθερίαν ἐχειραγώγησε, πῶς τὰ στοιχεῖα μετέβαλε, καὶ πάντα ἡδονῆς ἐνέπλησε, καὶ ὑπὲρ τῶν παρόντων δεῖται ἐπὶ τὸν αὐτὸν " καταφεύγειν λιμένα. Εἶτα ἐπειδὴ κἀκεῖνο γέγονεν οὐ διὰ τὴν ἀξίαν τῶν εὐεργετουμένων, ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ διὰ τὸ ὄνομα αὐτοῦ· ὅπερ ἔλεγον, ἵνα μὴ βεβηλωθῇ τὸ ὄνομά μου, ἀλλὰ πάντες μάθωσι διὰ τῶν γινομένων τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν δύναμιν, καὶ τοῦτο διδασκαλίας ὑπόθεσις γένηται· οὕτω καὶ νῦν προβάλλεται τὸ δικαίωμα λέγων· Εἰ καὶ ὑπὸ τοῦ βίου προδεδόμεθα, καὶ ἀπὸ τῶν ἔργων ἐσμὲν ἀπαρρησίαστοι, διὰ τὸ ὄνομά σου ποίησον· ὃ καὶ Μωϋσῆς τότε ἔλεγε, καὶ αὐτὸς " λέγων, συνῳδὰ ἐκείνῳ φθεγγόμενος,

Ἐξοδ. ιζ. ϛ.

9 Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν.

Μὴ δι' ἡμᾶς, φησιν, ἵνα ἡμᾶς λαμπροτέρους ποιήσῃς καὶ ἐπισήμους, ἀλλ' ἵνα αὐτὸς πανταχοῦ κατάδηλόν σου τὴν δύναμιν ἐργάσῃ. καὶ γὰρ ὥσπερ τὸ ὄνομα αὐτοῦ δοξάζεται ἀντιλαμβανομένου καὶ βοηθοῦντος· οὕτω πάλιν δοξάζεται ἐν ἀρετῇ βιούντων ἡμῶν καὶ διαλαμπόντων κατὰ τὴν πολιτείαν. Λαμψάτω γάρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὥσπερ οὖν δοξάζεται ἐν ἀρετῇ ὄντων ἡμῶν, οὕτω καὶ βλασφημεῖται ἐν κακίᾳ διατριβόντων. τοῦτο γοῦν καὶ διὰ τοῦ προφήτου δηλῶν ἔλεγε· Τὸ ὄνομά μου δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι. τοίνυν οὐδαμόθεν ἑτέρωθεν ἔχων τὴν σωτηρίαν

Ματθ. ε. ιϛ.

Ἡσ. νβ. ε.

τὴν ὑπὲρ αὐτῶν ποιήσασθαι, ἐπὶ τοῦτο καταφεύγει καθάπερ καὶ Μωϋσῆς. ἀλλ' οὐκ ἀεὶ αὐτὸ ποιεῖ ὁ Θεός, τῆς σωτηρίας κηδόμενος τῶν ἀνθρώπων. εἰ γὰρ ἀεὶ τοῦτο ποιεῖν ἠξίου, πολλοὶ τῶν ῥαθύμων χείρους ἂν ἐγένοντο, μέγιστον ἐνέχυρον ἔχοντες τοῦ μὴ πάσχειν κακῶς, τὸ διὰ τὴν δόξαν αὐτοῦ διηνεκῶς σώζεσθαι. ἀλλ' οὐ γίνεται τοῦτο. οὐ γὰρ οὕτω μέλει αὐτῷ τῆς δόξης αὐτοῦ, ὡς τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων. εἰ γὰρ ἄνθρωποι καταφρονοῦσι τούτου, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ μὴ δεόμενος τῶν παρ' ἡμῶν. ἀλλ' (ὅπερ ἔφθην εἰπών) ὁ προφήτης ἐπειδὴ συνηγόρου τάξιν ἔχει, ἀπὸ τῶν ἐναντίων τὴν συνηγορίαν ποιεῖται, καὶ διπλασιάζει τὸν λόγον λέγων, μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, σφόδρα τὸ ἀνάξιον τῶν σωζομένων δεικνύς, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. ἡμεῖς μὲν γὰρ μυρίων ἄξιοι κακῶν, ἀλλ' ὅπως τὸ ὄνομά σου μὴ βεβηλωθῇ.

10 Ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου.

Ἕτερος, Διὰ τὸ ἔλεός σου. Ὁρᾷς πῶς αὐτὸ καὶ αὐτὸς οἶδε σαφῶς, ὅτι πολλάκις τῶν καταφρονῶν ὁ Θεὸς πρὸς ἓν ὁρᾷ μόνον, τὴν τῶν ἁμαρτανόντων διόρθωσιν. διὰ τοῦτο ἐπήγαγεν, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, τουτέστι, διὰ τὸ ἔλεός σου βοήθησον ἡμῖν. εἰ καὶ τῆς δόξης οὐ μέλει σοι τῆς παρὰ τῶν ἀνθρώπων, ἀλλὰ διὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου. ἔστι γάρ, ἔστι καὶ κολάζοντα δόξαν λαβεῖν, οὐκ ἐλεοῦντα μόνον. ἀλλὰ μὴ οὕτω, φησίν, ἀλλὰ διὰ τὸ ἔλεός σου. ἐχρῆν μὲν γὰρ παρ' ἡμῶν τῷ ὀνόματί σου δεδόσθαι δόξαν διὰ τοῦ βίου καὶ τῆς πολιτείας· ἐπειδὴ δὲ τοῦτο προεδώκαμεν, διὰ τῆς ἀντιλήψεως ποίησον, διὰ τοῦ ἐλέου σου καὶ τῆς φιλανθρωπίας·

Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

Πολλῶν καὶ νῦν εὐχομένων ἀκούω ταῦτα λεγόντων· ἀλλὰ δέος, μήποτε ἄλλως εἴπωσι τὸ ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν, ὅταν ἁρπάζωσι πολλοί, καὶ ἀδικῶσι, καὶ μυρία τολμῶσι δεινά. 11 Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Ἐνταῦθα τὴν πλάνην τῶν ἀνοήτων διορθοῦται. ἐπειδὴ γὰρ πολλοὶ ἀγνοοῦσιν εἶναι Θεόν, τὸ τοιοῦτον δόγμα διορθούμενός φησιν· ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν. εἰ δὲ ἐν τῷ οὐρανῷ, πολλῷ μᾶλλον ἐπὶ τῆς γῆς. τί ἐστιν, ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν; οὐ τὰς δυνάμεις τὰς ἄνω φησί, καὶ τοὺς δήμους τοὺς ἀπείρους ἐκείνους, ἢ τὰ ἐπιτάγματα, ἃ μετ' εὐκολίας ἀνύεται. εἰ δὲ ἡ γῆ πολλὴν ἔχει τὴν σύγχυσιν καὶ τὴν ἀταξίαν, μὴ θαυμάσῃς. ἀπὸ τῆς τῶν ἀνθρώπων κακίας καὶ τῆς πονηρίας τῶν μετιόντων, οὐ παρὰ τὴν ἀτονίαν τοῦ Θεοῦ τοῦτο γίνεται. ὅτι γὰρ ἰσχυρὸς καὶ δυνατός, τὰ ἐν τῷ οὐρανῷ δηλοῖ πραττόμενα. εἰ δὲ ἐν τῇ γῇ οὐχ οὕτως, οἱ ἀναξίως ἑαυτοὺς καθιστῶντες αἴτιοι. καὶ ἑτέρως δ' ἄν τις τοῦτον μεταχειρίσειε τὸν λόγον· ὅτι πολλὰ * διὰ μακροθυμίαν οὐδέπω τὴν κατ' ἀξίαν λαμβάνει ἀντίδοσιν. διὰ τοῦτο καὶ πονηροὶ δικαίων περιγίνονται, οὐ βουλομένου τοῦ φιλανθρώπου Θεοῦ παρὰ πόδας ἑκάστοτε* εὐθύνας ἀπαιτεῖν τῶν πεπλημμεληκότων· ἐπεὶ πάλαι ἂν τὸ γένος ἀνηρπάσθη τὸ ἡμέτερον. τοῦτο τοίνυν ἐνταῦθά φησιν, ὅτι δυνατὸς μέν ἐστι καὶ ἰσχυρός, καὶ οἷός τε ἐπεξελθεῖν, καὶ δῆλον ἐκ τῶν ἐν τῷ οὐρανῷ γινομένων, οὐ ποιεῖ δὲ τοῦτο, πανταχοῦ τῇ μακροθυμίᾳ κεχρημένος, καὶ εἰς μετάνοιαν ἕλκων τοὺς ἐν πονηρίᾳ ζῶντας.

12 Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

13 Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται.

14 Ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται.

15 Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. 16 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά.

Ἐν μὲν γὰρ τῷ ἑκατοστῷ πέμπτῳ ψαλμῷ τὴν μανίαν αὐτῶν διηγούμενος ἔλεγεν, ὅτι τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας ἔθυσαν τοῖς δαιμονίοις· ἐν δὲ τῷ παρόντι, τὴν ἀναισθησίαν, ὅτι ταῖς ἀψύχοις ὕλαις προσεστήκασι. καὶ πολλὰ αὐτῶν ἔπεισι τὰ μέλη, πλατυτέραν τὴν κωμῳδίαν ἐργαζόμενος. Εἶτα καὶ ἐπάγων φησίν·

Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Καίτοιγε τοῦτο ἀρετὴ, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἐνταῦθα κατάρα γέγονεν. ἐννόησον οὖν τίνες ἂν εἶεν, ὅταν ἡ πρὸς αὐτοὺς ὁμοίωσις αὐτοῖς ἀρᾶς προσφέρηται τῆς ἐσχάτης. καὶ καλῶς ὑπὸ τοῦ λόγου ἐσχημάτισε, κωμῳδῶν αὐτοὺς εἰς ἐσχάτην ἄνοιαν, καὶ καταγελάστους δεικνύς. πῶς γὰρ οὐ καταγέλαστον, εἰπέ μοι, τὸ προσδεδέσθαι ξοάνῳ τύπον ἔχοντι τῆς αἰσχίστης ἀσχημοσύνης; τίς δὲ ἂν καὶ ἕλοιτο γυμνὴν γυναῖκα ἰδεῖν; ὁ δὲ δαιμονῶν καὶ γυμνῷ τύπῳ παρεδρεύει. καὶ νῦν μὲν πορνείας εἰκόνες ἑστᾶσι τὰ ξόανα, νῦν δὲ μανίας τῆς κατὰ τῶν ἀρρένων. τί γὰρ ὁ ἀετὸς βούλεται; τί δὲ ὁ Γανυμήδης; τί δὲ ὁ διώκων τὴν παρθένον Ἀπόλλων; τί δὲ τὰ ἕτερα τὰ μυσαρὰ σχήματα; πανταχοῦ ἀσέλγεια, πανταχοῦ ἀκολασία, πανταχοῦ μίξεων ἀθέσμων καὶ ἐρώτων λυσσώντων τύποι. καὶ γὰρ τὰ ξόανα, καὶ αἱ ἑορταὶ, καὶ αἱ πανηγύρεις, καὶ αἱ τελεταὶ, ἔλεγχοι καὶ ὑπομνήματα καὶ διδασκαλίαι τῶν ἀτόπων εἰσίν· οὐ μόνον δὲ τῶν αἰσχρῶν, ἀλλὰ καὶ τῶν φόνων καὶ σφαγῶν παρανόμων. ὅθεν καὶ ἀποτροπιάζονται τοὺς δαίμονας. οὐδὲν γὰρ ἕτερον παρ' ἐκείνοις, ἢ ἀσέλγεια, καὶ μέθαι ἀκόλαστοι, καὶ ὠμότης, καὶ ἀπανθρωπία, καὶ μιαιφονίαι. καὶ τὰς ἑορτὰς ὅλας ἐντεῦθεν συνισταμένας ἴδοι τις ἄν. κωμῳδήσας τοίνυν τῶν εἰδώλων τὴν ἀναισθησίαν, καὶ τὴν ἄνοιαν τῶν πεποιθότων αὐτοῖς, μετάγει τὸν λόγον ἐπὶ τὸν τοῦ Θεοῦ ὕμνον, λέγων·

17 Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

18 Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

19 Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.

Διὰ γὰρ τούτων καὶ τὴν δύναμιν τοῦ Θεοῦ ἀνακηρύττει, καὶ τὴν ἀσύγκριτον αὐτοῦ καὶ κατὰ πάντων ὑπεροχήν. τὰ γὰρ εἰς τὸν δῆμον τὸν Ἰουδαϊκὸν γινόμενα εἰς μέσον ἄγων, διπλῆν αὐτοῦ δείκνυσι τὴν εὐεργεσίαν, μᾶλλον δὲ καὶ τριπλῆν· πρῶτον μὲν, ὅτι δαιμόνων αὐτοὺς ἀπήλλαξεν· ἔπειτα, ὅτι ἑαυτὸν ἐγνώρισε· καὶ τρίτον, ὅτι καὶ βοήθειαν αὐτοῖς παρ' ἑαυτοῦ παρέχει. διαιρεῖ δὲ τὸν λόγον εἴς τε τὸν Ἰσραὴλ, καὶ τὸ ἱερατικὸν γένος, καὶ τοὺς ἐξ ἐθνῶν προσιόντας αὐτῷ. οὐ γάρ ἐστιν ἴσον ἱερεὺς καὶ ἰδιώτης, ἀλλ' ἔχει τι πλέον οὗτος. διὸ καὶ τὴν διαίρεσιν εἰκότως ποιεῖται. μείζων γὰρ εἰς αὐτοὺς ἡ τιμὴ ἐγίνετο. Εἶτα δεικνὺς ὅτι οὐκ εἰς τὰ Ἰουδαϊκὰ αὐτοῦ κατεκέκλειστο ἡ πρόνοια, καὶ τῶν προσηλύτων ἐμνήσθη τῶν ἐκ τῶν ἐθνῶν προσιόντων, τήν τε βοήθειαν καὶ τὴν εὐλογίαν εἰς ἅπαντας πεπλατῦνθαι λέγων.

20 Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς. 21 Εὐλόγησε τὸν οἶκον Ἰσραήλ· εὐλόγησε τὸν οἶκον Ἀαρών· 22 Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον.

Τί ἐστιν, εὐλόγησε; μυρίων, φησὶν, ἐνέπλησεν ἀγαθῶν. εὐλογεῖ μὲν γὰρ καὶ ἄνθρωπος Θεὸν, ὡς ὅταν λέγῃ, Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. ἀλλ' ὁ τὸν Θεὸν εὐλογῶν αὐτὸς κερδαίνει, λαμπρότερον ἑαυτὸν καθιστὰς, οὐκ ἐκείνῳ τι χαριζόμενος· ὁ δὲ Θεὸς εὐλογῶν, ἡμᾶς λαμπροτέρους ποιεῖ, οὐκ αὐτός τι προσλαμβάνει. ἀνενδεὲς γὰρ τὸ θεῖον. ὥστε ἑκατέρωθεν ἡμέτερον τὸ κέρδος. πῶς δὲ εὐλόγησεν αὐτούς; ἄρτον αὐτοῖς ἐξ οὐρανοῦ ἔδωκεν, ὕδωρ ὤμβρησεν ἐκ πέτρας, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους ἐφύλαξε, τὰ βουκόλια αὐτῶν ἐπλήθυνε καὶ τὰ ποίμνια, λαὸν περιούσιον ὠνόμασε, καὶ βασίλειον ἱεράτευμα, τὸν λόγον ἔδωκε, προφήτας ἔπεμψε. ταῦτα καὶ ἀλλαχοῦ κηρύττων,

Ψαλ.ργ.α.

Ἐξοδ.ις.ιγ.καὶ ιζ.ϛ.καὶ ιθ.ϛ.

ψαλ. ρμζ. θ. Οὐκ ἐποίησε, φησιν, οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. καὶ ἄλ-
Δευτ. δ. ζ. λος, Ποῖον ἔθνος οὕτω σοφόν, ᾧ ἐγγίζει Κύριος ὁ Θεός;

Τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Οὐδὲ ἓν γένος, φησίν, ἔρημον εὐλογίας ἐᾷ, ἀλλ' εἰς πάν-
τας ἐκτείνεται. 23 Προσθείη Κύριος ἐφ' "ἡμᾶς, ἐφ' "ἡμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς γρ. ὑμᾶς.
"ἡμῶν. Εἶδες ἕτερον εὐλογίας εἶδος, ὃ ἐπιδείκνυται τὸ γένος. Διὰ δὴ τοῦτο ἐν γρ. ὑμῶν.
Ιερεμ. μβ. β. καὶ ᾠδὴ τριῶν παίδων ι. τάξει κολάσεως τὸ ἐναντίον ἕτερος προφέρων φησί· Καὶ ἐσμικρύνθημεν καὶ ἐσμὲν ὀ-
λίγοι παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ταύτης τῆς εὐλογίας καὶ ἐν Αἰγύπτῳ
ὄντες ἀπήλαυον, καίτοι μυρίων ὄντων τῶν διακωλυόντων, τῶν ἔργων, τῆς ταλαιπωρίας,
τῆς τῶν ἐνεστηκότων ὠμότητος. ἀλλ' οὐδὲν τοῦ Θεοῦ τὸν λόγον διέκοπτεν, ἀλλ' οὕτω προ-
ῄει τὰ τῆς εὐλογίας, ὡς ἐν διακοσίοις ἔτεσιν ἑξακοσίας γενέσθαι χιλιάδας. ἀλλὰ τότε
μὲν ἐν τούτοις τὰ τῆς εὐλογίας· νυνὶ δὲ ἐν πολλῷ βελτίοσιν, ἐπὶ τῆς καινῆς. διό φησι
Εφεσ. α. γ. καὶ γ. κ. Παῦλος· Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, ἐν τοῖς
ἐπουρανίοις, ἐν Χριστῷ. καὶ πάλιν· Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ-
περισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν, αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ. Διὰ δὴ τοῦτο καὶ οἱ
προφῆται τὸ παλαιὸν εὐεργεσίας ζητοῦντες, ταύτην τὴν εὐλογίαν παρεῖχον. ὁ γὰρ
δ. Βασ. δ. ις. Ἐλισσαῖος τὴν ὑποδεξαμένην τῇ τοῦ παιδὸς δόσει ἀμείβεται. ἐπὶ δὲ τῆς καινῆς οὐ
ταῦτα, ἀλλὰ πολλῷ μείζονα. ἡ γοῦν πορφυρόπωλις οὐ ταῦτα ᾔτει παρὰ τῶν ἀπο-
Πραξ. ις. ιε. στόλων, ἀλλὰ τί; Εἰ οὐ κεκρίκατέ με ἀναξίαν τῷ Κυρίῳ, Εἰσελθόντες, φησί, μείνατε
παρ' ἐμοί. Εἶδες πόσον τὸ μέσον, καὶ τίνα μὲν ᾔτουν τὴν ἐν τῇ παλαιᾷ, τίνα δὲ τὴν ἐν τῇ
Λουκ. ι. κ. καινῇ. καὶ πάλιν ὁ Χριστός· Χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. καὶ ὁ
Ρω. ιε. ιγ. Παῦλος· Ὁ δὲ Θεὸς πληρώσαι ὑμᾶς πάσης χάριτος καὶ ἐλπίδος ἐν τῷ πιστεύειν, εἰς τὸ
περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου. Εἶδες εὐλογίας δύναμιν τὰ
Ρω. ις. κ. ἀπόρρητα χαριζομένην ἀγαθά, καὶ οὐδὲν ἔχουσαν γήινον. καὶ πάλιν ὁ Παῦλος· Ὁ δὲ Θε-
ὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. ἀλλ' ἐν τῇ παλαιᾷ, ὅτε
παχύτερον τὰ τῶν ἀνθρώπων διέκειτο, ἀπὸ τῶν αἰσθητῶν τὰ τῆς εὐλογίας ὑφαίνετο, καὶ
Δευτ. κη. ια. ἡ πολυπαιδία μέγιστον πρᾶγμα εἶναι ἐνομίζετο. ἐπειδὴ γὰρ ἐκ τῆς ἁμαρτίας εἰσῆλ-
θεν ὁ θάνατος, παραμυθούμενος τὸ γένος ὁ Θεός, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐκ ἀναλώσει, ὑπὸ
Γεν. θ. α. πανωλεθρίᾳ παραδώσει, ἀλλὰ καὶ πολλῷ πλείους ἔσονται τοῦ προτέρου, φησίν· Αὐξά-
νεσθε, καὶ πληθύνεσθε. ἐπειδὴ δὲ ἐγνώσθη ὕπνος ὢν ὁ θάνατος, εἰσήγετο τὸ τῆς παρθενίας
α. Κορ. ζ. ζ. καλόν. διὸ καὶ ὁ Παῦλος ἔλεγε· Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ἐν ἐγκρατείᾳ, ὡς καὶ
Ματθ. ιθ. ιβ. ἐμαυτόν. καὶ πάλιν· καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. καὶ ὁ Χριστός· Εἰσὶν εὐ-
νοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ἄλλως δέ, καὶ ἐν ἀρ-
χῇ τοῦτο ἠνίξατο, ὅτι ἀρετῆς, οὐ πολυπαιδίας χρεία. καὶ ἄκουε πῶς. λέγει γάρ τις σο-
Σειρ. ις. α. β. φός· Μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων, εἰ μή ἐστι φόβος Θεοῦ μετ' αὐτῶν· μη-
δὲ ἐπέχε ἐπὶ τὸ πλῆθος αὐτῶν. "κρεῖσσον γὰρ εἷς, ἢ χίλιοι· καὶ ἀποθανεῖν ἄτεκνον, ἢ ἔ- γρ. κρείσσων
χειν τέκνα ἀσεβῆ· καὶ κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι. ἀλλ' οἱ
ἀναίσθητοι Ἰουδαῖοι, *πρὸς τὴν σάρκα κεχηνότες ἀεὶ καὶ ἀρετῆς ἀμελοῦντες, ἔλεγον· * καὶ
τί ζητεῖ ὁ Θεός, ἀλλ' ἢ σπέρμα; δεικνὺς τοίνυν αὐτοῖς ὅτι οὐ τοῦτο ζητεῖ, μυριάκις αὐ-
τοὺς ἀπώλεσεν ἀρετῆς ἐρήμους ὄντας.

24 Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ.

Καλῶς προσέθηκε, τῷ Κυρίῳ. τοῦτο γὰρ μάλιστα εὐλογία. Εἰσὶ γὰρ καὶ παρὰ
ἀνθρώποις εὐλογούμενοι, ἀλλ' ἀνθρώπινα τὰ ἐκεῖνα. ἡ δὲ μεγίστη εὐλογία αὕτη.
ἄνθρωποι μὲν γὰρ εὐλογοῦσι, τουτέστιν, ἐγκωμιάζουσι καὶ ἐπαινοῦσι τοὺς ἐν πλούτῳ
καὶ

καὶ δυναστείαις καὶ δόξαις ὄντας. ἀλλ' αὕτη ἡ εὐλογία καὶ πρόσκαιρος, καὶ ἡνίκα ἂν παρῇ, οὐδὲν ἔχουσα κέρδος· ἡ δὲ τοῦ Θεοῦ διηνεκής, καὶ ἐν τοῖς μεγίστοις παρέχουσα τὴν ὠφέλειαν.

Τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

Εἶδες ὅση τῆς εὐλογίας ἡ ἰσχύς. τὰ γὰρ ῥήματα αὐτοῦ ἔργα γίνεται. τὸν γοῦν οὐρανὸν τὸ ῥῆμα αὐτοῦ πεποίηκε. Τῷ λόγῳ γάρ, φησι, Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. ἐκείνῳ τῷ λόγῳ σε εὐλογεῖ τοσαῦτα δυναμένῳ.

Ψαλμ. λβ. ϛ.

25 Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ· τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Τί λέγεις; ἐξελέξατο τὸν οὐρανὸν οἴκημα ἑαυτῷ, καὶ τὰ ὑπερῷα λαβών, ἡμῖν ἀφώρισε τὰ ἐνταῦθα; ἄπαγε· οὐκ ἔστι τοῦτο· ἀλλὰ συγκαταβάσεως ὁ λόγος ἐστίν. Εἰ γὰρ τοῦτο ἔστι, πῶς τὸ ἕτερον ἕστηκε τὸ παρὰ τοῦ Θεοῦ λεγόμενον· Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; ἐκείνῳ γὰρ ἐναντίον τοῦτο, εἰ κατὰ τὴν πρόχειρον αὐτὸ προφορὰν ἐκδεξόμεθα, καὶ μὴ τὴν ἀποκειμένην αὐτοῖς σκοπήσομεν θεωρίαν. Τί οὖν ἐστιν ὅ φησιν, ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων; συγκαταβατικῷ κέχρηται λόγῳ, οὐκ ἀποκλείων ἐν τῷ οὐρανῷ τὸν Θεόν. οὐδὲ γὰρ τό, Ὁ οὐρανὸς θρόνος αὐτοῦ, καὶ ἡ γῆ ὑποπόδιον, ὥσπερ οὐδὲ τό, οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; ἀξίως αὐτοῦ εἴρηται· ἀλλὰ καὶ αὐτὸ συγκατάβασίς ἐστι. πάντα γὰρ αὐτὸς περιέχει, πάντα φέρει, οὐ δεόμενος τόπου, ἀλλ' αὐτὸς ἅπαντα συγκρατῶν. ἀλλὰ λέγεται ὁ οὐρανὸς αὐτοῦ οἶκος, διὰ τὸ καθαρὸν εἶναι τὸ χωρίον πονηρίας. ὥσπερ οὖν ἐνταῦθα οὐκ ἐκλογὴ ὁ οὐρανός· οὕτως οὐδὲ ὅταν λέγῃ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, ἢ ὅτι ἐξελέξατο τὸν οἶκον Ἰακώβ. οὐδὲ γὰρ ἐνταῦθα τοῦτο λέγει, ὅτι οἱ μὲν Ἰουδαῖοι αὐτοῦ, οἱ δὲ ἄλλοι ἄνθρωποι οὐκ εἰσίν, ἀλλ' ἔρημοι τῆς προνοίας εἰσὶν αὐτοῦ καὶ τῆς δημιουργίας ἀπεστέρηνται. κοινὸς γὰρ ἁπάντων Θεός ἐστι. κέχρηται δὲ τῷ λόγῳ τούτῳ, δεικνὺς τὸν πόθον τὸν περὶ αὐτούς, ἐπειδὴ ὁπωσοῦν τῶν ἄλλων ἐδόκουν εἶναι ἀμείνους. ὅτι γὰρ οὐκ αὐτοὺς ἐξελέξατο μόνους, ἀλλὰ πάντων ἦν κηδεμών, δείκνυσι μὲν καὶ τὰ περὶ Μωϋσέως· οὐκ ἔλαττον δὲ [δείκνυσι] καὶ τὰ ἐπ' αὐτοῦ, καὶ μετὰ τοῦτον τὰ καθ' ἕκαστον γινόμενα. τόν τε γὰρ ἥλιον, τὴν γῆν, τὴν θάλατταν, τὰ ἄλλα ἅπαντα κοινῇ πᾶσιν ἔδωκε, καὶ τὸν φυσικὸν νόμον πᾶσιν ἐνέσπειρε· τὸν Ἀβραὰμ Πέρσην ὄντα καὶ ἐφίλει καὶ μετετίθει· τούς τε Αἰγυπτίους, τούς τε ἐν τῇ Χαναὰν * δι' αὐτοῦ διώρθωσε. πάλιν διά τε τοῦ παιδὸς τοῦ ἐκείνου καὶ τοῦ ἐγγόνου, πολλοὺς τῶν γειτόνων βελτίους ἐποίει, τὸ γ' οὖν ἑαυτοῦ μέρος. ἐπειδὴ καὶ Μωϋσῆς ἐτέχθη μετὰ ταῦτα, διὰ τῶν εἰς τοὺς Ἰουδαίους γινομένων τοὺς Αἰγυπτίους πρὸς θεογνωσίαν ἐχειραγώγει, καὶ τοὺς ἐν Παλαιστίνῃ, καὶ μετὰ ταῦτα πάλιν τοὺς ἐν Βαβυλῶνι. οὕτως ὅταν λέγῃ, ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τοῦτό σοι λέγει, ὅτι διὰ τοῦτο ἐπαναπαύεται τοῖς ἐκεῖ, ἐπειδὴ πάσης εἰσὶ πονηρίας ἀπηλλαγμένοι. καὶ σὺ δὲ ἂν μὴ * τῇ γῇ προσηλωμένος ᾖς, ἀλλ' ἄγγελος γένῃ, ταχέως εἰς τὸν οὐρανὸν καὶ τὸν πατρῷον οἶκον ἀναβήσῃ, καὶ πρὸ τῆς ἀναστάσεως δὲ ἐντεῦθεν ἤδη μετέσχης, καὶ τὸ ἀξίωμα ἔχεις. καθάπερ γὰρ πολλοὶ τῶν εἰς τὴν μεγάλην σύγκλητον τελούντων, καὶ ἐν ἀγρῷ διατρίβοντες τὸ ἀξίωμα ἔχουσιν· οὕτω καὶ σὺ ἐὰν βουληθῇς ἐν οὐρανῷ πολιτεύεσθαι, καὶ ἐνταῦθα διατρίβων ἀπολαύσῃ τῆς ἀξίας ἐκείνης.

Ιερεμ. κγ. κδ.
Ησ. ξϛ. α.
Δευτ. λβ. η.
Ψαλμ. ρλδ. δ.
Γεν. ιβ. α.

26 Οὐχὶ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου;

27 Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Νεκροὺς οὐ τοὺς τετελευτηκότας φησίν, ἀλλὰ τοὺς [ἐν] ἀσεβείαις ἐναποθανόντας, ἢ τοὺς ἐν ἁμαρτήμασι κατασαπέντας. ἐπεὶ καὶ Ἀβραὰμ τετελευτηκὼς ἦν, καὶ Ἰσαάκ, καὶ Ἰακώβ· ἀλλ' ὅμως οὕτως ἔζων, ὡς τὴν ἐκείνων μνήμην ποιεῖσθαι τοὺς ζῶντας. ὁ γοῦν

Εξοδ. λβ. ιβ

Ωδὴ τριῶν παίδων. η.
Ματθ. η. κβ.
α. Θεσ. δ. ιγ.
α. Θεσ. δ. ιε.
χ. ἑορτῆς

Μωϋσῆς ὑπὲρ τοῦ ὑπ' αὐτοῦ δημαγωγουμένου λαοῦ προσευχόμενος, δι' αὐτῶν δυσωπεῖ τὸν Θεόν, εἰς ἱκετηρίαν αὐτοὺς προσλαβών. καὶ οἱ τρεῖς δὲ παῖδες διὰ τούτους ἀξιοῦσι σώζεσθαι. διὸ καὶ λέγουσι· Μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου. εἰ δὲ τοσαύτην εἶχον ἰσχύν, πῶς ἦσαν νεκροί; καὶ πάλιν ὁ Χριστός· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. διὰ τοῦτο Παῦλος τοὺς ἀποθανόντας οὐ νεκροὺς καλεῖ, ἀλλὰ τοὺς κοιμηθέντας, γράφων· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων. ὁ γὰρ δίκαιος κἂν τελευτήσῃ, οὐ τέθνηκεν, ἀλλὰ καθεύδει. ὁ γὰρ μέλλων εἰς ζωὴν βελτίονα παραπέμπεσθαι, καθεύδει· ὁ δὲ μέλλων εἰς θάνατον ἀθάνατον ἀπάγεσθαι, καὶ ζῶν τετελεύτηκε καὶ νεκρός ἐστιν. ἐκεῖνοι εἰς ᾅδου καταβαίνουσιν, οὗτοι εἰς οὐρανὸν ἀναβήσονται, καὶ μετὰ Χριστοῦ ἔσονται. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὐχ ἁπλῶς εἶπεν, οἱ ζῶντες, ἀλλ', ἡμεῖς οἱ ζῶντες, καὶ τὸ καθ' ἑαυτὸν θείς. καὶ διὰ τί μὴ εἶπεν, οἱ ζῶντες, ἀλλὰ προσέθηκε τὸ ἡμεῖς; ὅτι καὶ Παῦλος οὕτως εἶπεν· Ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν εἰς τὴν παρουσίαν τοῦ Κυρίου. καθάπερ ἐκεῖ τὸ ἡμεῖς προσκείμενον, οὐκ ἀφίησι τὸ εἰρημένον περὶ πάντων λέγεσθαι, ἀλλὰ περὶ τῶν πιστῶν, καὶ ἐκείνων κατὰ τὴν πολιτείαν ἐοικότων· οὕτω καὶ ἐνταῦθα, τὸ ἡμεῖς οἱ ζῶντες, τοὺς κατὰ τὸν Δαβὶδ λέγει, καὶ τοὺς ἐν ἀρετῇ ζῶντας. ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ὁρᾷς καὶ τὴν ἐπαγγελίαν τοῦτο δηλοῦσαν. τοῦτο, ποῖον; ὅτι περὶ τῶν κατ' ἀρετὴν ζώντων λέγει. οὐδεὶς γοῦν τὸν αἰῶνα ζῇ τὴν ζωὴν ταύτην, ἀλλ' ἐκεῖνοι μόνοι, οἳ καὶ διὰ παντὸς ζῶσι τὴν μετὰ δόξης ζωήν. καὶ γὰρ καὶ οἱ ἁμαρτωλοὶ ζῶσιν, ἀλλ' ἐν κολάσει, καὶ τιμωρίᾳ, καὶ τῷ βρύχειν τοὺς ὀδόντας· οὗτοι δὲ ἐν λαμπρότητι καὶ περιφανείᾳ, ἔργον ἔχοντες τὸ μετὰ τῶν ἀσωμάτων δυνάμεων τοὺς μυστικοὺς ἀναφέρειν ὕμνους τῷ Θεῷ. ἵν' οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύσωμεν τῆς "χαρᾶς, ταύτην διώξωμεν τὴν ζωήν· ἵνα καὶ ἐπ' ἐκείνην ἔλθωμεν τὴν λῆξιν, ἣν οὔτε λόγος, οὔτε νοῦς, οὔτε ἕτερον οὐδὲν παραστῆσαι δυνήσεται, ἀλλ' αὐτὴ μόνη ἡ πεῖρα δείκνυσιν αὐτῆς τὴν μακαριότητα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ριδ. α ΗΓΑΠΗΣΑ, ΟΤΙ ΕΙΣΑΚΟΥΣΕΤΑΙ ΚΥΡΙος τῆς φωνῆς τῆς δεήσεώς μου.

χ. ἑαυτῷ
β. Κορ. ιβ. θ.

Καὶ τίς οὐκ ἀγαπᾷ ἀκουόμενος, φησί; πολλοὶ τῶν βιωτικῶν ἀνθρώπων. οὐ γὰρ δὴ βούλονται ταῦτα ἀκοῦσαι, ἅπερ αὐτοῖς συμφέρει, ἀλλ' ἀξιοῦσι μὴ τὰ συμφέροντα αὐτοῖς γίνεσθαι· εἶτα ἐπειδὰν γένηται, ἀλύουσι καὶ δυσαναχετοῦσι. τὰ γὰρ συμφέροντα "ταῦτά ἐστιν, ἅπερ ὁ Θεὸς ἐπίσταται εἶναι συμφέροντα, κἂν πενίαν εἴπῃς, κἂν λιμόν, κἂν νόσον, κἂν ὁποιονοῦν ἕτερον τοιοῦτον. ἃ δὲ ὁ Θεὸς δοκιμάσῃ συμφέροντα καὶ δῷ, ταῦτά ἐστι τὰ λυσιτελῆ. ἐπεὶ καὶ Παύλῳ ἄκουσον τί φησιν· Ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τοῦτο γὰρ ἦν αὐτῷ συμφέρον, διωγμοί, καὶ θλίψεις, καὶ στενοχωρίαι· ὃς καὶ ἀκούσας ὅτι συνέφερεν, ἔλεγε· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς. ὥστε οὐ τῶν τυχόντων ἐστὶ χαίρειν, ὅταν ὁ Θεὸς ἐπακούῃ τὰ συμφέροντα παρέχων. πολλοὶ γοῦν τὰ ἀσύμφορα βούλονται, καὶ τούτοις ἐνευφραίνονται· ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ τί; ἠγάπησεν ὅτι εἰσήκουσεν ἀκούσει αὐτοῦ ὁ Θεός, τὰ συμφέροντα διδούς. 2 Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί·

Πάλιν ἀνθρωπίνοις ῥήμασι τοῦ Θεοῦ τὸ νόημα παρίστησι. καὶ ἕτερον δέ τι αἰνίττεται διὰ τοῦ ῥήματος τούτου. λέγει γάρ, ὅτι οὐκ ἐγὼ ἄξιος ἀκουσθῆναι, ἀλλ' αὐτὸς κατέβη πρὸς μέ. Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Τί ἐστιν, ἐν ταῖς ἡμέραις μου; οὐκ ἐπειδὴ ἠκούσθην, φησίν, ἀποπηδήσω καὶ ῥαθυμότερος ἔσομαι· ἀλλὰ τὰς ἡμέρας μου πάσας τοῦτο ἔργον ποιήσομαι.

3 Περιέσχον με ὠδῖνες θανάτου· κίνδυνοι ᾅδου εὕροσάν με, 4 Θλίψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Εἶδες ὅπλον ἰσχυρόν, εἶδες παραμυθίαν πάντα λύουσαν τὰ δεινά, εἶδες ψυχὴν διαθερμαινομένην τῷ πόθῳ τοῦ δεσπότου. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἤρκεσέ μοι εἰς ἀπαλλαγὴν τῶν περιεχόντων κακῶν, τὸ καλέσαι τὸν Θεόν. τί οὖν ἡμεῖς καλοῦντες πολλάκις οὐκ ἀπαλλαττόμεθα τῶν δεινῶν; ὅτι οὐ καλοῦμεν ὡς καλεῖν δεῖ. ὅτι γὰρ αὐτὸς ἕτοιμος ἀεὶ παρέχειν, ἄκουσον τί φησιν ἐν τοῖς εὐαγγελίοις. Τίς ἐστιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ ἰχθὺν ἐὰν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ τοῖς τέκνοις ὑμῶν διδόναι, πολλῷ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. ὁρᾷς πόση αὐτοῦ ἡ ἀγαθότης, ὅταν ἡ ἡμετέρα πρὸς ἐκείνην συγκρινομένη πονηρία φαίνηται; ἐπεὶ οὖν τοιοῦτος ὁ ἡμέτερος δεσπότης, πρὸς αὐτὸν ἀεὶ καταφεύγωμεν, καὶ βοηθὸν τοῦτον μόνον καλῶμεν, καὶ ἕτοιμον εἰς τὸ σώζειν εὑρήσομεν. εἰ γὰρ οἱ ναυαγίῳ περιπεσόντες, καὶ ἐπὶ σανίδος φερόμενοι, καὶ πόρρωθεν καλοῦντες πείθουσι φιλανθρωπεύεσθαι, καίτοιγε οὐδὲν κοινὸν πρὸς αὐτοὺς ἔχοντας, ἀλλ' ἀπὸ τῆς συμφορᾶς ἐλεούμενοι μόνον· πολλῷ μᾶλλον ὁ φιλάνθρωπος καὶ φυσικὴν τὴν χρηστότητα ἔχων, οὐδὲ ἐν συμφοραῖς ἐξελεῖται, εἰ μόνον ἐπ' αὐτὸν καταφεύγειν βουληθεῖεν καὶ γνησίᾳ καλεῖν αὐτὸν διανοίᾳ, τὰς μὲν ἀνθρωπίνας ἀφέντες ἐλπίδας. ὅταν τοίνυν ἀδοκήτῳ τινὶ περιπέσῃς κακῷ, μὴ καταπέσῃς, ἀλλ' εὐθέως ἀνάστησόν σου τὸ φρόνημα, καὶ πρὸς τὸν ἀκύμαντον δράμε λιμένα, καὶ τὸν ἀχείρωτον πύργον, τὴν τοῦ Θεοῦ βοήθειαν. διὰ τοῦτο γάρ σε εἴασε περιπεσεῖν, ἵνα αὐτὸν καλέσῃς. ἀλλ' οἱ πολλοὶ τότε ἀναπίπτουσι * μάλιστα, δέον τοὐναντίον ποιεῖν. ἐπειδὴ γὰρ σφόδρα ἡμᾶς φιλεῖ, διὰ τοῦτο ἀφίησι θλίβεσθαι, ἵνα ἀκριβέστερον αὐτῷ συναπτώμεθα. ἐπεὶ καὶ μητέρες τὰ ἀφηνιάζοντα παιδία προσωπείοις διαφόροις ἐκδειματοῦσαι ἀναγκάζουσιν εἰς τοὺς οἰκείους καταφεύγειν κόλπους, οὐ λυπῆσαι αὐτὰ βουλόμεναι, ἀλλὰ τὴν προσεδρίαν αὐτῶν σοφιζόμεναι· οὕτω καὶ ὁ Θεὸς βουλόμενος ἡμᾶς ἑαυτῷ συνάπτειν, καθάπερ τις ἐραστὴς σφοδρός, μᾶλλον δὲ παντὸς ἐραστοῦ σφοδρότερος ὤν, εἰς χρείας ἀφίησί σε τοιαύτας καταστῆναι, ἵνα διηνεκῶς εὐχῇ σχολάζῃς, καὶ διηνεκῶς αὐτὸν καλῇς, καὶ τῶν ἄλλων ἀφέμενος, τὰς αὐτοῦ μεριμνᾷς. 5 Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου·

Ἕτερος, Ἀξιῶ, Κύριε, ἐξελοῦ τὴν ψυχήν μου. Ἄλλος, Ὦ [δὴ] Κύριε, περίσωσον τὴν ψυχήν μου. Εἶδες φιλόσοφον ψυχήν, πῶς τὰ βιωτικὰ πάντα ἀφεὶς ἓν ζητεῖ μόνον, τὸ τὴν ψυχὴν ἀσινῆ διαμεῖναι, καὶ μηδὲν παθεῖν τῶν παραβλαπτόντων αὐτήν. ταύτης γὰρ εὖ διακειμένης, τὰ λοιπὰ πάντα ἕψεται· ὥσπερ οὖν οὐκ εὖ ἐχούσης, τῆς λοιπῆς οὐδὲν ἡμῖν ὄφελος εὐημερίας. διὸ πάντα δεῖ καὶ ποιεῖν καὶ λέγειν, ὥστε ταύτην διασώζεσθαι. τοῦτο γάρ ἐστιν αἰνιττομένου τοῦ λέγειν· Γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις. καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν σῶμα περιΐεται, ὥστε τὴν κεφαλὴν διασῶσαι· οὕτω καὶ σὲ τὰ ἄλλα ἅπαντα ἐκδιδόναι χρὴ ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς. οὐδὲ γὰρ πενία, οὐ νόσος, οὐκ αὐτὸ τὸ πάντων κεφάλαιον δοκοῦν εἶναι τῶν δεινῶν, ὁ θάνατος, παραβλάψαι δυνήσεται

Ματθ. ζ. θ.

ἢ πλὴν ἴσως
ἀλλ' εἰσὶν οἱ ἐκ-
βάλλουσι

γράφ. ἔτι πῶς
τῇ χαρῇ λε-
γόμενον· γίνε
σθε

Ματθ. ι. ιϛ.

σεται τὸν ἐμπεσόντα, σωζομένης ἐκείνης· ὥσπερ οὖν οὐδὲ ἀπὸ τῆς ζωῆς πλέον τι ἕξεις, ἀπολωλυίας καὶ διεφθαρμένης. διὰ δὴ τοῦτο ὑπὲρ ταύτης ποιεῖται λόγον πάντα τὰ ἄλλα ἀφείς, καὶ ἀξιοῖ ″ ἡμέρεις αὐτῇ γενέσθαι τὰς εὐθύνας, καὶ τῶν ἀφορήτων ἀπαλλαγῆναι κολάσεων. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

κ. ἡμέραις

Εἶδες πῶς παιδεύει τὸν ἀκροατὴν, μήτε ἀπογινώσκειν, μήτε ἀναπεπτωκέναι; μονονουχὶ γὰρ τοῦτο λέγει· μήτε ἀπογνῷς (ἐλεήμων γὰρ ὁ Θεὸς) μήτε ἀναπέσῃς, ὅτι δίκαιος. ἑκατέρωθεν οὖν τὴν σωτηρίαν ἡμῖν πραγματευόμενος, τούτου μὲν τὴν ῥᾳθυμίαν ἐκκόπτει, ἐκείνου δὲ τὴν ἀπόγνωσιν ἀναιρεῖ. Εἶτα δεικνὺς τὸν Θεὸν πρὸς φιλανθρωπίαν ὄντα ἐπιρρεπέστερον, ἐπάγει πάλιν λέγων· καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. καὶ καλῶς εἶπεν, ὁ Θεὸς ἡμῶν, πρὸς ἀντιδιαστολὴν τῶν θεῶν ὧν πρώην ἐμνήσθη. ἐκείνοις μὲν γὰρ τὸ σφάζειν, καὶ ἀναιρεῖν, καὶ ἀκήρυκτα πολεμεῖν ἔργον· τούτῳ δὲ τὸ φιλανθρωπεύεσθαι, καὶ συγγινώσκειν, καὶ κινδύνων ἐξαρπάζειν διηνεκῶς· ἃ δὴ μάλιστα μετὰ τῶν ἄλλων δείκνυσι τοὺς μὲν δαίμονας ὄντας καὶ ἀλιτηρίους, τὸν δὲ κηδεμόνα, καὶ προστάτην, καὶ ″ὄντως Θεόν. 6 Φυλάσσων τὰ νήπια ὁ Κύριος. ἐταπεινώθην, καὶ ἔσωσέ με.

κ. ἀληθινὸν

Ἐνταῦθα μέγιστον εἶδος προνοίας αὐτοῦ ἀνακινεῖ. ἐπειδὴ γὰρ εἶπεν, ἐλεήμων καὶ δίκαιος, καὶ ἐλεεῖ· μεγίστης αὐτοῦ φιλανθρωπίας καὶ ἀφάτου λοιπὸν δείκνυσιν ἔργον. ποῖον δὴ τοῦτο; τὸ τῶν νηπίων. ἡμεῖς μὲν γὰρ καὶ λόγον ἔχομεν τὰ μὲν φυλάττεσθαι, τὰ δὲ ἑλέσθαι παιδεύοντα, καὶ τὰ ἐπερχόμενα διακρούεσθαι κακά, καὶ τὰ παρόντα διαλῦσαι, καὶ ἰσχὺν κεκτήμεθα, καὶ τέχνας ἐπιστάμεθα· τὰ δὲ παιδία, τούτων ἔρημα πάντων, ὡς ἀπροστάτευτα. ἀλλὰ διὰ πάντων ἔχει τοῦ Θεοῦ τὴν πρόνοιαν, ἧς εἰ μὴ συνεχῶς ἀπέλαυε, πάντα ἂν ἀπωλώλει. καὶ γὰρ καὶ ὄφις ἂν ἠφάνισεν ἐν σπαργάνοις ὂν ἔτι τὸ παιδίον, καὶ κατοικίδιος ὄρνις, καὶ πολλὰ τῶν ἑρπόντων ἕτερα κατὰ τὰς οἰκίας. οὐδὲ γὰρ ἀρκεῖ οὔτε τροφός, οὔτε μήτηρ, οὔτε ἕτερος οὐδεὶς ἀπηρτισμένην ἐπιδείκνυσθαι περὶ αὐτὰ πρόνοιαν, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύῃ ῥοπῆς. τινὲς δέ φασι, περὶ τῶν ἐμβρύων καὶ μήπω τῆς γαστρὸς ἐξελθόντων τοῦτον εἰρῆσθαι τὸν λόγον. ἐταπεινώθην, καὶ ἔσωσέ με. οὐκ εἶπεν, οὐκ εἴασεν εἰς κινδύνους ἐμπεσεῖν, ἀλλὰ μετὰ τὸ ἐμπεσεῖν, διέσωσεν. ἐπειδὴ γὰρ εἶπε τὴν καθόλου αὐτοῦ πρόνοιαν, καὶ ἐπὶ τοῦ οἰκείου προσώπου προάγει τὸν λόγον· ὅπερ ἔθος αὐτῷ ἀπό τε τῶν καθολικῶν, ἀπό τε τῶν μερικῶν ταῦτα συνιστᾶν. μὴ τοίνυν μηδὲ σὺ ζήτει τὸν ἀδείας γέμοντα βίον· οὐ γάρ ἐστι σοι λυσιτελές. εἰ γὰρ τοῖς προφήταις οὐκ ἦν συμφέρον, πολλῷ μᾶλλόν σοι. ὅτι γὰρ οὐκ ἦν συμφέρον, ἄκουσον τί φησιν. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. διπλῆ ἡ εὐεργεσία ἐνταῦθα, ὅτι τε εἴασεν ἐμπεσεῖν εἰς κινδύνους, καὶ ὅτι ἐμπεσόντα οὐ κατέλιπεν. ἀμφότερα δέ πως εὐεργεσίας εἶδος· καὶ τοῦ δευτέρου τὸ πρότερον οὐκ ἔλαττον, ἀλλ᾽ (εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν) καὶ μεῖζον. τὸ μὲν γὰρ κινδύνους ἔλυσε, τὸ δὲ τὴν ψυχὴν φιλοσοφωτέραν εἰργάσατο.

Ψαλμ. ριη. οα.

7 Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.

8 Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. 9 Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Ὁ μὲν τῆς ἱστορίας λόγος δεινῶν ἀπαλλαγήν φησι, καὶ ἄνεσίν τινα, καὶ ἐλευθερίαν· εἰ δέ τις κατὰ ἀναγωγὴν αὐτὸν ἐκλάβοι, δυνήσεται τὴν ἐντεῦθεν ἀποδημίαν λύτρωσιν λέγειν, καὶ ἀνάπαυσιν ταύτην καλεῖν. ἀπηλλάγη γὰρ πάντων τῶν ἀδοκήτων δεινῶν, καὶ οὐκ ἔτι τῇ ἀδηλίᾳ λοιπὸν ὑπόκειται) ἐν ἀσφαλείᾳ γεγονώς, ὁ μετὰ χρηστῆς καταλύσας ἐλπίδος. εἰ γὰρ καὶ ἐξ ἁμαρτίας ὁ θάνατος εἰσενήνεκται, ἀλλ᾽ ὅμως εἰς εὐεργεσίαν ἡμῶν ὁ Θεὸς αὐτῷ ἀπεχρήσατο. διὰ δὴ τοῦτο οὐκ αὐτῷ μόνον ἠρκέσθη, ἀλλὰ καὶ τὸν βίον ἐπίμο-

χθον

χθὸν ἐποίησεν· ἵνα μάθῃς ὅτι οὐδὲ τὸ πρότερον συνεχώρησεν ἄν, εἰ μὴ σφόδρα χρήσιμον ἦν παρὰ τὴν αὐτοῦ σοφίαν τοῦτο γινόμενον. διὰ δὴ τοῦτο εἰπών, Ἡ ἂν ἡμέρᾳ φαγῇ, θανάτῳ ἀποθανῇ, οὐκ ἠρκέσθη τῷ ἐπιτιμίῳ. τὸ γὰρ ἐπιτίμιον τοῦτο ἦν, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. νυνὶ δὲ καὶ ἕτερον τίθησι λέγων· ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ἐν λύπαις φαγῇ αὐτήν. καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα. οὐ γὰρ ἱκανὸν ἦν ἐκεῖνο αὐτὸν σωφρονίσαι. πολλοὺς γοῦν ὁρῶμεν ταύτῃ μάλιστα γινομένους βελτίους. ὁ γὰρ θάνατος ἀναισθησίᾳ παραδίδωσιν, ἐπειδὰν ἐπέλθῃ· ταῦτα δὲ ζῶντας βελτίους ἐργάζεται. εἰ δὲ φοβερὸν τὸ πρᾶγμα εἶναι δοκεῖ, παρὰ τὴν ἀσθένειαν τῶν ὑποδεχομένων. ὅτι γὰρ τῆς ἀσθενείας ἦν ὁ φόβος, ἄκουσον Παύλου ἐπὶ μὲν τούτῳ χαίροντος (ὡς ὅταν λέγῃ· Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. καὶ πάλιν· Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε, καὶ συγχαίρετέ μοι) ἐπὶ δὲ τοῖς ἐναντίοις ἀλγοῦντος. Οὐ μόνον γάρ, φησιν, ἀλλὰ καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. καὶ πάλιν· Οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν βαρούμενοι. Εἶδες πόσον ἐστὶ φιλοσοφία καλόν. ἃ τοῖς ἄλλοις ἄξια δακρύων εἶναι δοκεῖ, ταῦτα τούτῳ εὐχῆς· καὶ ἃ τοῖς ἄλλοις ἄξια εὐφροσύνης καὶ ἡδονῆς, ταῦτα τούτῳ στεναγμῶν. ἢ οὐκ ἄξια στεναγμῶν τὸ ἐπ' ἀλλοτρίας εἶναι, καὶ πόρρωθεν τῆς ἡμετέρας ἀπῳκίσθαι πατρίδος; ἢ οὐκ ἄξιον εὐφροσύνης, τὸ ταχέως δραμεῖν ἐπὶ τὸν εὔδιον λιμένα, καὶ ἀπολαβεῖν τὴν ἄνω πόλιν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός; καὶ τί πρὸς ἐμέ, φησι, τὸν ἁμαρτωλόν; ὁρᾷς ὅτι οὐχ ὁ θάνατός ἐστιν ὁ ποιῶν τὴν λύπην, ἀλλὰ τὸ πονηρὸν συνειδός. παῦσαι οὖν τοῦ εἶναι ἁμαρτωλός, καὶ ἔσται σοι ποθεινὸς ὁ θάνατος. τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων. εἰκότως οὕτως εἶπεν. οὐ γάρ ἐστιν ἐκεῖ λύπη, οὐδὲ ἀθυμία, οὐδὲ θρῆνος. καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. τοῦτο τοῦ προτέρου μεῖζον. πῶς; ὅτι οὐ μόνον λύπης ἐσμὲν ἀπηλλαγμένοι, ἀλλὰ καὶ τοῦ ὑποσκελίζεσθαι καὶ ἐπιβουλεύεσθαι. ἐπὶ τὸ πέρας ἔστηκε γὰρ ὁ ἀπελθὼν μετὰ κατορθωμάτων, τοῦ λιμένος ἐπείληπται, πάντα ἀνῄρηται τὰ κωλύματα λοιπόν. οὐδαμοῦ θόρυβος, οὐδὲ ταραχή, ἀλλ' ἐν καταστάσει διηνεκεῖ μένει ὁ οὕτως ἐντεῦθεν ἀναχωρήσας. εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων· Ἕτερος, Ἔμπροσθεν Κυρίου· Ἄλλος, Ἐμπεριπατήσω. τοῦτο καὶ ὁ Παῦλος δείκνυσι λέγων· Καὶ ἡμεῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. καὶ καλῶς εἶπεν, ἐν χώρᾳ ζώντων. ἐκείνη γὰρ ὄντως ζωή, ἀπηλλαγμένη θανάτου, ἀμιγῆ τὰ ἀγαθὰ ἔχουσα. Ὅταν καταργήσῃ, φησί, πᾶσαν ἀρχήν, καὶ πᾶσαν ἐξουσίαν, καὶ δύναμιν, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. τούτων δὲ καταργηθέντων, οὐδὲν τῶν λυπηρῶν μένει, οὐ φροντίς, οὐ πόνος· ὥστε πάντα χαρά, πάντα εἰρήνη, πάντα ἀγάπη, πάντα εὐθυμία, καὶ πάντα εὐφροσύνη, πάντα ἀληθῆ, καὶ εἰλικρινῆ, καὶ πεπηγότα. οὐδὲν γάρ ἐστιν ἐκεῖ τῶν τοιούτων ὀλισθημάτων· οὐ θυμός, οὐ λύπη, οὐ χρημάτων ἔρως, οὐ σωμάτων πόθος, οὐ πενία, οὐ πλοῦτος, οὐκ ἀτιμία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ταύτης τοίνυν καὶ ἡμεῖς ἐπιθυμῶμεν τῆς ζωῆς, καὶ πάντα πρὸς τοῦτο πράττωμεν. διὰ γὰρ τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, Ἐλθέτω ἡ βασιλεία σου, ἵνα ἀεὶ πρὸς ἐκείνην βλέπωμεν τὴν ἡμέραν. ὁ γὰρ ἐκείνῳ τῷ ἔρωτι κατεχόμενος, καὶ ταῖς ἐλπίσι τῶν ἀγαθῶν τρεφόμενος ἐκείνων, οὐδενὶ τῶν παρόντων βαπτίζεται δεινῶν, ὑπ' οὐδενὸς τῶν ἐνταῦθα καθέλκεται λυπηρῶν. ἀλλ' ὥσπερ οἱ πρὸς πόλιν βασιλικὴν ὁδεύοντες οὐδενὶ τῶν παρὰ τὴν ὁδὸν κατέχονται, οὐ λειμῶσιν, οὐ παραδείσοις, οὐ φάραγξιν, οὐκ ἐ-

ρημίαις,

Γεν. β. ιζ.

φιλιππ. α. κγ.

φιλιππ. β. ιζ.

Ρω. η. κγ.

β. Κορ. ε. δ.

α. Θεσ. δ. ιζ.

α. Κορ. ιε. κδ. κς.

Ματθ. ς. ι.

ῥημίαις, ἀλλ' "ἑκατέρων ἀλογοῦντες πρὸς ἓν μόνον ὁρῶσι τὴν δεξομένην αὐτοὺς πατρίδα· οὕτω καὶ ὁ καθ' ἑκάστην τὴν ἡμέραν ἐκείνην ἀνατυπῶν ἑαυτῷ τὴν πόλιν, καὶ τὸν πόθον αὐτῆς τρέφων, οὐδὲν τῶν δεινῶν ἡγήσεται δεινόν, οὔτε τῶν φαιδρῶν καὶ περιφανῶν, φαιδρὸν καὶ περιφανές. τί λέγω, οὐχ ἡγήσεται; ἀλλ' οὐδὲ ὄψεται ταῦτα, ἑτέρους κτώμενος ὀφθαλμούς, καὶ τοιούτους οἵους ὁ Παῦλος παραδηλοῖ λέγων· Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. [Εἶδες τὴν ὁδὸν πῶς ἑτέρᾳ λέξει παρέστησεν]. ἐκείνων τοίνυν ἀντεχώμεθα, ἵνα αὐτῶν καὶ ἐπιτύχωμεν, καὶ ἐπιτυχόντες τῆς ἀκηράτου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἑτέρω

β. Κορ. δ. ιη.

Ψαλμ. ριε. 1 ΕΠΙΣΤΕΥΣΑ, ΔΙΟ ΕΛΑΛΗΣΑ, ΕΓΩ ΔΕ ἐταπεινώθην σφόδρα.

β. Κορ. δ. ιγ.

Ταύτης τῆς ῥήσεως καὶ ὁ μακάριος Παῦλος "μνημονεύων, οὕτω πώς φησιν· Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ἀναγκαῖον τοίνυν πρότερον εἰπεῖν πῶς ὁ ἀπόστολος αὐτῷ ἐχρήσατο, καὶ περὶ τίνος ὁ λόγος ἦν αὐτῷ. οὕτω γὰρ ἀπὸ τούτου καὶ τὸ προφητικὸν ἔσται δῆλον ἡμῖν. ἄλλως δὲ καὶ διδασκαλία αὕτη ἀρίστη, μὴ τὴν συνάφειαν περικόπτειν τοῦ λόγου, μηδὲ μέρος λαβόντας προσκαθῆσθαι ἐκείνῳ, ἀλλ' ἄνωθεν τοῦ διηγήματος ποιεῖσθαι τὴν ἀρχήν. περὶ τίνος τοίνυν διαλεγόμενος ὁ Παῦλος ταύτης ἐμνήσθη τῆς προφητικῆς φωνῆς; περὶ ἀναστάσεως καὶ τῆς τῶν μελλόντων ἀγαθῶν ἀπολαύσεως, ἃ καὶ λόγον ὑπερβαίνει πάντα, καὶ νοῦν, καὶ διάνοιαν. ἐπεὶ οὖν λόγον ὑπερέβαινε πάντα, καὶ ἑρμηνευθῆναι ταῦτα οὐχ οἷόν τε ἦν, πίστεως δὲ πρὸς τὸ παραδέχεσθαι χρεία· ἵνα μὴ ταράττηται ὁ Ἰουδαῖος, μηδὲ ἠπατῆσθαι νομίζῃ κεναῖς φυσηθεὶς ἐλπίσι, προφητικῇ ῥήσει τὴν ἀγνωμοσύνην αὐτοῦ διορθοῦται, μονονουχὶ λέγων· οὐ καινόν τι πρᾶγμα ἐπιζητῶ, πίστιν, ἀλλὰ παλαιὸν ἀγαθόν. καὶ ὁ μὲν Παῦλος οὕτως. ὁ δὲ προφήτης* μέλλων καὶ αὐτὸς περί τινων ἐν τῷ παρόντι ἀγαθῶν προφητεύειν τοῖς Ἰουδαίοις γενησομένων, τὴν ἀνθρωπίνην ἀκολουθίαν ὑπερβαινόντων, ἵνα μηδεὶς αὐτῷ ἀπιστεῖν ἔχῃ, οὕτως ἀπήρξατο τοῦ ψαλμοῦ λέγων, ἐπίστευσα, διὸ ἐλάλησα. ἐπειδὴ γὰρ ἀπωλώλει τὰ Ἱεροσόλυμα, καὶ ἐρείπιον ὁ ναὸς ἐγεγόνει, καὶ πάντες αἰχμάλωτοι γενόμενοι καὶ δεθέντες εἰς τὴν ἀλλοτρίαν ἀπήχθησαν, βάρβαροι δὲ τὴν ἐκείνων γῆν ἀντ' ἐκείνων κατεῖχον, καὶ ἐκελεύσθησαν ἀμπέλους φυτεῦσαι, καὶ οἰκίας οἰκοδομῆσαι, καὶ γάμους ἐπιτελέσαι· εἰς ἀπόγνωσιν ταῦτα τοὺς Ἰουδαίους ἐνέβαλε, καὶ λοιπὸν ἐλογίζοντο πρὸς ἑαυτούς· ὅτι εἰ πόλιν ἔχοντες, καὶ ὅπλα, καὶ πύργους, καὶ χρημάτων περιουσίαν, καὶ πραγμάτων περιφάνειαν τοσαύτην, καὶ ναόν, καὶ βωμόν, καὶ ἁγιστείαν, καὶ λατρείαν, καὶ τὴν ἄλλην ἅπασαν πολιτείαν, "προεδόθημεν, ἐγενόμεθα αἰχμάλωτοι, εἰς δουλείαν ἀπαγόμεθα· νῦν ἐν ἀλλοτρίᾳ ὄντες καὶ πάντων ἠρημωμένοι, γυμνοί τε καὶ δοῦλοι γενόμενοι, πῶς δυνησόμεθα τὴν οἰκίαν ἀπολαβεῖν; ἐπεὶ οὖν πολλοὶ τῶν ἀσθενεστέρων ταῦτα ἀναλογιζόμενοι ἐθορυβοῦντο, καὶ ἐταράττοντο, καὶ τοῖς προφήταις οὐ προσεῖχον τὴν ἐπάνοδον λέγουσι, διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς πᾶσιν ἐντεῦθεν, ὅτι πίστεως χρεία εἰς τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα. διαλέγονται μὲν οὖν αὐτοῖς καὶ ἕτεροι ἑτέρως, οἷον ὁ Ἡσαΐας οὕτω λέγων· Ἐμβλέψατε εἰς

γρ. μνησθείς

* ὁ αὐτὸς ὁ εἰπὼν ὅτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι, ὁ τοσαύτης σοφίας πεπληρωμένος,

γρ. παρεδόθημεν, ἐξεδόθημεν, [illegible]

Ἡσ. να. α. β.

εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε. καὶ πάλιν· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ ἡγίασα, καὶ ἐπλήθυνα αὐτόν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐχὶ βάρβαρος ἦν ὁ Ἀβραάμ; οὐχὶ ἄγονος, καὶ τῇ ἡλικίᾳ προβεβηκώς; οὐχὶ γυναῖκα εἶχε καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν φύσιν πρὸς παιδογονίαν ἄχρηστον; οὐ πανταχόθεν ἀπέγνωστο τὰ κατ᾽ αὐτόν; τί οὖν; οὐχὶ ἀπ᾽ ἐκείνου τοῦ ἑνὸς, τοῦ ἀγόνου, τοῦ γεγηρακότος, τὴν οἰκουμένην ἐνέπλησα πᾶσαν; τί τοίνυν θορυβεῖσθε; εἰ γὰρ ἐκ τοῦ ἑνὸς δυνατὸς ἐγενόμην ἐμπλῆσαι τὴν οἰκουμένην, πολλῷ μᾶλλον ἐξ ὑμῶν τῶν ὀλίγων τὰ Ἱεροσόλυμα πληρώσω. διὰ τοῦτό φησιν· ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, τὸν Ἀβραὰμ οὕτω καλῶν· καὶ τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε, τὴν Σάρραν οὕτως ὀνομάζων. καθάπερ γὰρ ὁ λάκκος οἴκοθεν οὐκ ἔχει βρύον ὕδωρ, ἀλλ᾽ ἐκ τῶν ἄνωθεν ὑετῶν δέχεται· οὕτω καὶ ἐκείνη, ἔρημος οὖσα δυνάμεως γεννητικῆς, ἄνωθεν τὴν ἐπιτηδειότητα ταύτην ἔλαβε. καὶ ὥσπερ ἡ πέτρα καρπὸν οὐκ ἤνεγκέ ποτε, οὕτως οὐδὲ ὁ Ἀβραὰμ οἷός τε ἦν· ἀλλ᾽ ἐγὼ ὑμᾶς ἐκεῖθεν ἐξεκόλαψα, καὶ ἀπὸ τοῦ ἑνὸς τοσαύτας ἐνέπλησα χώρας. διὰ τοῦτο καὶ τὸν Ἰεζεκιὴλ ἐξάγει εἰς τὸ πεδίον, καὶ δείκνυσιν αὐτῷ σωρὸν ὀστῶν, καὶ προφητεύων ἀνίστησι τὰ ὀστᾶ, δεικνὺς αὐτοῖς καὶ λέγων, ὅτι εἰ τοὺς νεκροὺς ἐγεῖραι δύναμαι, πολλῷ μᾶλλον ὑμᾶς τοὺς ζῶντας ἀναγαγεῖν. ἐκεῖνοι μὲν οὖν οὕτως· ὁ δὲ προφήτης τοῦτο πῶς; ἐπίστευσα, διὸ ἐλάλησα· τουτέστι, πίστεως χρεία πρὸς τὰ ἐπαγγελλόμενα. καὶ γὰρ ἐγὼ ταῦτα ἐννοῶν καὶ ἀναλογιζόμενος, τὴν πίστιν εἰσαγαγὼν πάντα θόρυβον ἐξέβαλον. ὃ τοίνυν ὁ Παῦλος λέγει, τοῦτό ἐστιν· ὅτι καὶ ἐν τοῖς αἰσθητοῖς τούτοις καὶ ὁρωμένοις ἀγαθοῖς πίστεως χρεία. εἰ δὲ ἐν τοῖς αἰσθητοῖς, πολλῷ μᾶλλον ἐν τοῖς νοεροῖς. εἰ γὰρ ἵνα καταδέξωνται ὅτι τὴν πόλιν ἀπολήψονται τὴν αὐτῶν, πίστεως αὐτοῖς ἔδει· πολλῷ μᾶλλον ἡμῖν τοῖς τὸν οὐρανὸν ἀναμένουσιν. ὅταν οὖν μέγα τι ᾖ, καὶ τὴν διάνοιαν ὑπερβαῖνον, καὶ λογισμῶν ἀνώτερον, ταύτην δεῖ παραλαμβάνειν, ἀλλὰ μὴ τῇ ἀνθρωπίνῃ ἀκολουθίᾳ τὰ πράγματα ἐξετάζειν. ἡ γὰρ τοῦ Θεοῦ θαυματουργία πάντων τούτων ἀνωτέρα. ὥστε καὶ διὰ τοῦτο ἐπιστομίζοντας τοὺς λογισμοὺς πρὸς τὴν πίστιν ἀποτρέχειν δεῖ, καὶ δοξάζειν τὸν Θεόν. ὁ γὰρ λογισμοῖς φιλονεικῶν τὰ ἐκείνου εὑρίσκειν, οὐ δοξάζει αὐτὸν, τῇ τῶν οἰκείων λογισμῶν ταπεινότητι τὰς ἀφάτους οἰκονομίας αὐτοῦ ὑπολαβεῖν βουλόμενος. διὸ καὶ περὶ τοῦ Ἀβραὰμ διαλεγόμενος ὁ Παῦλος, ἐπεὶ μὴ τοῦτο ἐποίησεν, ἀλλ᾽ ἐπιτιμήσας τοῖς λογισμοῖς πρὸς τὴν δύναμιν εἶδε τοῦ ἐπαγγειλαμένου, καὶ δεικνὺς ὅτι τοῦτο μάλιστα ἐδόξασε τὸν Θεὸν, λέγει· Εἰς γὰρ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ᾽ ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι, ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. τί δέ ἐστιν, ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως; κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν; μέγα τι μυστήριον ἡμῖν ἐνταῦθα ἀποκαλύπτει. ποῖον δὴ τοῦτο; ὅτι τοῦ αὐτοῦ πνεύματος ἡ καινὴ καὶ ἡ παλαιὰ, καὶ τὸ αὐτὸ πνεῦμα τὸ ἐν ἐκείνῃ φθεγξάμενον καὶ ἐνταῦθα ἐλάλησε, καὶ ὅτι ἡ πίστις πάντων ἐστὶ διδάσκαλος, καὶ ταύτης ἄνευ οὐδὲ λαλῆσαι δυνάμεθά τι. ἡμεῖς γὰρ, φησι, πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ἂν γὰρ ταύτην ἀνέλῃς, οὐδὲ διανοῖξαι τὸ στόμα δυνατόν. καὶ διὰ τί μὴ εἶπεν, ἔχοντες δὲ τὴν αὐτὴν πίστιν, ἀλλ᾽ ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως; ταῦτά τε τὰ εἰρημένα δηλῶν, καὶ δεικνὺς ὅτι τῆς τοῦ πνεύματος χρεία χορηγίας εἰς τὸ ἀναβῆναι πρὸς τὸ ὕψος τῆς πίστεως, καὶ τῶν λογισμῶν τὴν ἀσθένειαν ἀτιμάσαι. διὸ καὶ ἀλλαχοῦ ὁ αὐτός φησιν· Ἑκάστῳ δὲ ἡ φανέρωσις δίδοται τοῦ πνεύματος πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύμα-

Ἰεζεκ. λζ΄. α΄.

Ῥωμ. δ΄. κ΄.

α΄ Κορ. ιβ΄. ζ΄.

τος δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως, ἑτέρῳ δὲ πίστις, ἑτέρῳ δὲ χαρίσματα ἰαμάτων. ἀλλ' ἴσως εἴποι τις ἄν (ὅπερ οὖν καὶ ἔστιν ἀληθὲς) ὅτι ἑτέραν πίστιν φησί, δι' ἧς θαύματα ἐγίνετο. οἶδα καὶ ἐγώ, ὅτι ἑτέρα ἐκείνη, περὶ ἧς καὶ οἱ ἀπόστολοι ἔλεγον, Πρόσθες ἡμῖν πίστιν· καὶ ἑτέρα αὕτη, καθ' ἣν πάντες ἐσμὲν πιστοί, σημεῖα μὲν οὐ ποιοῦντες, τὴν δὲ γνῶσιν ἔχοντες τῆς εὐσεβείας. ἀλλὰ καὶ ἐνταῦθα τῆς τοῦ πνεύματος χρεία βοηθείας. καὶ γὰρ περί τινος ὁ Λουκᾶς γράφει, Ὅτι διήνοιξε τὴν καρδίαν αὐτῆς, τοῦ προσέχειν τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου. καὶ ὁ Χριστός· Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν. ″ἐκοινοῦ τοῦ Θεοῦ ἐστι τοῦτο, τί ἁμαρτάνουσιν οἱ ἀπιστοῦντες, μήτε τοῦ πνεύματος βοηθοῦντος, μήτε τοῦ πατρὸς ἕλκοντος, μήτε τοῦ υἱοῦ ὁδηγοῦντος; καὶ γὰρ καὶ περὶ″ ἑαυτοῦ φησιν· Ἐγώ εἰμι ἡ ὁδός. τοῦτο δὲ λέγει, δεικνὺς ὅτι αὐτοῦ χρεία εἰς τὸ προσαχθῆναι τῷ πατρί. εἰ τοίνυν ὁ πατὴρ ἕλκει, ὁ υἱὸς χειραγωγεῖ, τὸ πνεῦμα φωτίζει· τί ἁμαρτάνουσιν οἱ μήτε ἑλκυσθέντες, μήτε χειραγωγηθέντες, μήτε φωτισθέντες; ὅτι μὴ παρέχουσιν ἀξίους ἑαυτοὺς τοῦ ταύτην δέξασθαι τὴν ἔλλαμψιν. ὅρα γοῦν ἐπὶ τοῦ Κορνηλίου τοῦτο συμβάν. οὐ γὰρ οἴκοθεν ἐκεῖνος τοῦτο εὗρεν, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐκάλεσεν, ἐπειδὴ προλαβὼν ἑαυτὸν ἄξιον παρεσκεύασε. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος περὶ πίστεως διαλεγόμενος ἔλεγε· Καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον· οὐ μὴν ἔρημόν σε καταλιμπάνει. εἰ γὰρ καὶ αὐτοῦ ἐστι τὸ ἑλκύσαι, καὶ ἐπαγαγέσθαι· ἀλλ' ὅμως καὶ ψυχὴν εὐπειθῆ ἐπιζητεῖ, καὶ τότε τὴν παρ' ἑαυτοῦ συμμαχίαν εἰσάγει. διὸ καὶ ἀλλαχοῦ φησι Παῦλος· Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. οὐ γὰρ δὴ ἠναγκάσθη τὰ τῆς ἀρετῆς καὶ τῆς σωτηρίας ἡμῶν. ἀλλ' εἰ καὶ τὸ πλέον αὐτοῦ ἐστι, σχεδὸν δὲ καὶ τὸ πᾶν, ὅμως ἀφῆκέ τι καὶ ἡμῖν μικρόν, ὥστε καὶ εὐπρόσωπον γενέσθαι τῶν στεφάνων τὴν πρόφασιν. διὰ δὴ τοῦτο Παῦλος εἰπών, ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, τουτέστι, τὸ καὶ ἐν τῇ παλαιᾷ λαλῆσαν, ἐπήγαγε· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. πολλῷ γὰρ μᾶλλον ἐνταῦθα πίστεως χρεία ἢ ἐκεῖ, διά τε τὴν φύσιν τῶν ἐπαγγελιῶν ἀόρατόν τε οὖσαν καὶ νοεράν, διά τε τὴν τάξιν τῶν καιρῶν. οὐ γὰρ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐν τῷ μέλλοντι ″ἦν τὰ ἔπαθλα. μᾶλλον δὲ καὶ ὑπὲρ τῶν παρόντων πίστεως χρεία. καὶ γὰρ αὐτὰ τὰ διδόμενα, πίστεως ἐδεῖτο καὶ ἐν τῷ δίδοσθαι, ἥ τε τῶν μυστηρίων κοινωνία, ἥ τε βαπτίσματος ἡ δωρεά. οὕτω πάντα λόγον ὑπερβαίνει τῶν ἀγαθῶν ἡ δύναμις. εἰ τοίνυν ἐν τοῖς παχυτάτοις ἐκείνοις καὶ αἰσθητοῖς πίστεως ἔδει, πολλῷ μᾶλλον ἐνταῦθα. ἀλλ' ἡ μὲν ἀποστολικὴ διάνοια τὴν προσήκουσαν ἑρμηνείαν ἀπείληφεν· ὥρα λοιπὸν πάλιν καὶ ἐπὶ τὴν προφητικὴν ἐλθεῖν, καὶ εἰπεῖν, τί φησιν ὁ μακάριος οὗτος. τί οὖν φησιν; ἐπίστευσα, διὸ ἐλάλησα. καίτοι οὐδὲν ἐλάλησεν οὐδέπω, ἀλλὰ τὸ ἤδη λαληθὲν λέγει κατὰ διάνοιαν αὐτῷ. τί ἐστι τὸ ἤδη λαληθέν; ἐννοήσας, φησί, τὴν συμφορὰν καὶ τὴν τραγῳδίαν τὴν Ἰουδαϊκήν, καὶ τὴν πολυωλεθρίαν ἐκείνην, καὶ τὴν εἰς τέλος ἐρήμωσιν, οὐκ ἀπέγνων τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς, ἀλλὰ καὶ ἤλπισα ταύτην, καὶ ἀπήγγειλα αὐτὴν καὶ ἐλάλησα. καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν ψαλμοῖς πολλὰ περὶ αὐτοῦ διελέχθην. ἐλάλησα δὲ καὶ ἀπήγγειλα, οὐκ ἀπὸ τῆς πίστεως παιδευόμενος. ἕτερος γοῦν οὐ σφόδρα ταύτην πεπαιδευμένος ὅρα πῶς χωλεύει καὶ θορυβεῖται. ″οὐ γὰρ ὑπὲρ Δαβὶδ λέγει τὸν ψαλμὸν ἐκεῖνον, οὐδὲ ἐξ οἰκείου προσώπου· ἀλλὰ τῶν χωλευόντων τὰ πάθη διηγούμενος, οὕτως ἔλεγεν· Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. οὐ περὶ ποδῶν λέγων καὶ διαβημάτων, ἀλλὰ περὶ λογισμῶν χωλευόντων. καὶ τὴν αἰτίαν ἐπάγει λέγων· ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, τουτέστι, τοὺς βαρβάρους εὐδαιμονοῦντας ὁρῶν, τὰ δὲ Ἰουδαίων τεταπεινωμένα. καὶ τί τῆς χωλείας λέγει τὸ εἶδος; καὶ εἶ-

πον,

Λουκ. ιζ. ε.

Πράξ. ις. ιδ.

Ιω. ϛ. μδ.

Ιω. ιδ. ϛ.

Πράξ. ι. α.

Εφεσ. β. η.

Ρω. η. κη.

Ψαλ. οβ. α.

ἴσ. εἰ οὖν

γρ. αὐτοῦ

γρ. εἶτα

γρ. οὐ γὰρ ἑαυ-
τοῦ, ἀλλ' ἐκ
ἐξ.

πον, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου; καὶ πόθεν ταῦτα ″ παρῄχθη εἰπεῖν; ὅτι ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου. εἶτα ὅρα πῶς ἑαυτὸν ἀνακτᾶται. εἰ ἔλεγον, διηγήσομαι οὕτω· τοῦτο κόπος, φησίν, ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐκοπούμην, ἐταλαιπωρούμην ἐν τοῖς λογισμοῖς. τοιοῦτον γὰρ ὁ λογισμός. εἶτα ἐλογιζόμην, ὅτι πρᾶγμα ἐπίπονον ποιῶ. ταῦτα ἀναζητῶν οὐδὲν δυνήσομαι σαφῶς εἰδέναι, ἕως ἂν ἀπολάβω τὴν πατρίδα. ὁρᾷς ὅσον κακόν ἐστι λογισμοῖς ἐπιτρέπειν τὰ πράγματα τῆς πίστεως, καὶ μὴ τῇ πίστει. εἰ γὰρ ἐκεῖνος ἦν πεπηγὼς ἐν τῇ πίστει, οὐκ ἂν ταῦτα ἐφθέγξατο, οὐκ ἂν ἐθορυβήθη, οὐκ ἂν ἐταράχθη, οὐκ ἂν ἐσαλεύθησαν οἱ πόδες αὐτοῦ, οὐκ ἂν παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματα αὐτοῦ. ἀλλ' οὐχ ὁ προφήτης οὕτως, ἀλλ' ἐπὶ τῆς πέτρας ἑστηκώς, οὐκ ἐθορυβεῖτο, οὐκ ἐταράττετο, ἀλλ' ὁρῶν τὰ μὲν Ἰουδαίων οὕτω διακείμενα, τὰ δὲ τῶν βαρβάρων ἐναντίως, περὶ τῆς ἐπανόδου λαμπρᾷ τῇ φωνῇ καὶ πεπληροφορημένῃ διανοίᾳ ἐκήρυττε συνεχῶς καὶ ἐν πολλοῖς τοῖς ψαλμοῖς· καὶ σφόδρα ἐθάρρει, οὔτε τῇ δυνάμει τῶν βαρβάρων προσέχων, οὔτε τῇ εὐτελείᾳ τῇ Ἰουδαϊκῇ, ἀλλὰ τῇ ″ εὐπορίᾳ τοῦ ταῦτα ἐπαγγειλαμένου Θεοῦ. διό, φησίν, ἐπίστευσα, διὸ ἐλάλησα·

Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἕτερός φησιν, Ἐγὼ μέντοι ἐκακώθην σφόδρα:

2 Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης.

Ἕτερος, Καὶ εἶπον ἀδημονῶν, πᾶς ἄνθρωπος διαψεύδεται. Ἐντεῦθεν πάλιν τὰ τῆς πίστεως λαμπρὰ δείκνυται, ὅτι οὐδὲ τὸ μέγεθος τῆς συμφορᾶς εἰς ἀπόγνωσιν αὐτὸν ἐνέβαλε. τοιοῦτον γάρ ἡ πίστις· ἱερά τις ἐστὶν ἄγκυρα, πάντοθεν ἀνέχουσα τὴν ἔχουσαν αὐτὴν διάνοιαν· καὶ ″ τότε μάλιστα διαδείκνυται, ὅταν ἐκ τῶν ἀπόρων ″ ἀναπείθῃ τὸν ἔχοντα αὐτὴν χρηστὰς ἀναμένειν ἐλπίδας, τῶν λογισμῶν ἐκβάλλουσα τὸν θόρυβον. ὅπερ καὶ αὐτὸς δηλῶν, ἐγὼ δὲ ἐκακώθην σφόδρα, φησί· τουτέστιν, ἐκακώθην, ἀλλ' οὐκ ἀπέγνων, οὐδὲ ἀνέπεσον. εἶτα δεικνὺς ὅτι οὐχ ἁπλῶς ἐκακώθη, ἀλλὰ μετ' ἐπιτάσεως, ἐπήγαγε λέγων· ἐγὼ εἶπον ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. τί ἐστιν, ἐν τῇ ἐκστάσει μου; ἐν τῇ ὑπερβολῇ τῆς συμφορᾶς, φησιν, ἐν τῷ μεγέθει τῶν κακῶν. τοσοῦτος γὰρ ἐπῆ[illegible] ἡμῖν πειρασμός, ὡς καὶ ἔκστασιν καὶ κάρον ἐνθεῖναι. ἔκστασιν γὰρ ἐνταῦθα τὴν ἀναισθησίαν [σχεδὸν] τὴν ἐκ τῶν κακῶν γινομένην λέγει. ἐπεὶ καὶ ἐπὶ τοῦ Ἀδὰμ ὅταν λέγῃ, Ὅτι ἐπέβαλεν ἐπ' αὐτὸν ἔκστασιν, Γεν. β. κα. ἀναισθησίαν τινὰ λέγει. καὶ γὰρ ἔκστασις λέγεται, τὸ ἔξω αὐτοῦ γενέσθαι· ἐπεβέβλητο δὲ αὐτῷ τότε, ὥστε μὴ αἰσθάνεσθαι τῆς πλευρᾶς ἀφαιρουμένης, μηδὲ ἀλγῆσαι τῷ γινομένῳ. οὕτω κλέπτων ὁ Θεὸς τῆς ὀδύνης τὴν αἴσθησιν, ἵνα μὴ μισήσῃ τὸ ἐξ αὐτοῦ γινόμενον, ἅτε ἀλγήσας, ″ ἔβαλεν ἐπ' αὐτὸν ἔκστασιν. καὶ ἀλλαχοῦ πάλιν, Ἔπεσεν ἐπ' αὐτοὺς ἔκστασις, Πραξ. ι. ι. εἰρημένον, κάρον τινὰ καὶ ἐκεῖ δηλοῖ καὶ τὸ ἔξω ″ αἰσθήσεως γενέσθαι. καὶ πανταχοῦ ἡ ἔκστασις τοῦτο ″ ἐμφαίνει. γίνεται δὲ, ἢ τοῦ Θεοῦ ἐργαζομένου, ἢ τῆς ὑπερβολῆς τῶν κακῶν κάρον ἐμποιούσης. οἶδε γὰρ καὶ συμφορὰ ποιεῖν ἔκστασιν καὶ κάρον. ἐνταῦθα οὖν ἔκστασιν λέγει, τὸ μέγεθος τῶν κακῶν τῶν κατειληφότων. τί δέ ἐστιν, ὅ φησι, πᾶς ἄνθρωπος ψεύστης; οὐδεὶς οὖν ἀληθής; πῶς οὖν ὁ Ἰὼβ ἀναγέγραπται ἄνθρωπος Ιωβ. α. α. ἀληθινός, δίκαιος, θεοσεβής; τί δὲ καὶ περὶ τῶν προφητῶν ἐροῦμεν; εἰ γὰρ καὶ ἐκεῖνοι ψεῦσται, καὶ ἐψεύσαντο ἃ εἰρήκασι, πάντα οἴχεται. τί δὲ ὁ Ἀβραάμ; τί δὲ οἱ δίκαιοι πάντες; ὁρᾷς ὅσον ἐστὶ κακὸν τὴν λέξιν ἁπλῶς ″ ἐκδέχεσθαι, καὶ μὴ τὰ νοήματα περισκοπεῖν; τί οὖν ἐστιν ὃ λέγει, πᾶς ἄνθρωπος ψεύστης; ὃ ἀλλαχοῦ φησιν ὁ αὐτός· Ἄνθρωπος ματαιότητι ὡμοιώθη. Ψαλ. ρμγ. δ. ὃ καὶ ἕτερος προφήτης εἶπε· Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα Ησ. μ. ς.

Γεν. ιη. κζ.
Σειρ. ι. θ.
ψαλμ. η. ε.
ψαλμ. λη. θ.

ἀνθρώπου ὡς ἄνθος χόρτου· τουτέστιν, εὐτελέστατον πρᾶγμα, παραρρέον, σκιᾷ ἐοικός, ὀνείρατι, εἰκόνι τινί. καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς ταῦτα εἰκάζων λέγω, ἕτερος ἑρμηνευτὴς εἶπε, διάψευσμα· καὶ ἕτερος, διαψεύδεται· καὶ ἄλλος, ἐκλείπει. πολὺ δὲ τοῦτο ἐκείνου διέστηκε. τὸ μὲν γὰρ ψεύδεσθαι κακίας ἐστὶ τῆς κατὰ ψυχήν· τὸ δὲ ἐκλείπειν, καὶ διαρρεῖν, * καὶ ὄναρ εἶναι, καὶ ἄνθος, καὶ σκιάν, τῆς κατὰ φύσιν εὐτελείας. ταὐτὸν γὰρ λέγει, ὃ ἄλλος ἔφη, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· καὶ ἄλλος, Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καὶ πάλιν, ὡς ὅταν λέγῃ οὗτος ὁ προφήτης· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; πανταχοῦ τῆς φύσεως τὸ εὐτελὲς δηλῶν, τὸ οὐδαμινόν. καὶ γὰρ ἐπὶ ληνῶν λέγομεν, τὰ ληνία διεψεύσατο, τουτέστιν, οὐδὲν ἐκόμισεν ἄξιον τῆς ἐλπίδος· καί, ὁ ἐνιαυτὸς διεψεύσατο, τοῦτο δὴ πάλιν δηλοῦντες. ἐπεὶ οὖν καὶ ὁ ἄνθρωπος πρᾶγμα οὐδαμινὸν καὶ εὐτελές, μάλιστα δὲ καὶ ἐπὶ τῆς συμφορᾶς τὰ τοιαῦτα φιλοσοφεῖν εἰώθαμεν, καὶ τῆς φύσεως τὴν οὐδένειαν ἐπισκέπτεσθαι, διὰ τοῦτο καὶ οὗτος ἐν ἀθυμίᾳ γενόμενος, ὁρῶν τὴν φύσιν ἐλεγχομένην, καὶ τὴν οὐδένειαν αὐτῆς πανταχόθεν διαδεικνυμένην, πᾶς ἄνθρωπος ψεύστης, φησί· τουτέστιν, οὐδὲν ἄνθρωπος. διὸ καὶ ἀλλαχοῦ ἔλεγε· Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. 3 Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

* καὶ ἀθρ

Ὅρα πῶς δείκνυσι τὴν εὐεργεσίαν μεγάλην, οὐκ ἀπὸ τῶν γεγενημένων, ἀλλὰ καὶ ἀπὸ τοῦ εἰς τοιοῦτον γεγενῆσθαι, ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι, τὰ ἐν τῷ ὀγδόῳ ψαλμῷ διηγούμενος. καθάπερ γὰρ καὶ ἐκεῖ ἔλεγε, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; οὕτω καὶ ἐνταῦθα. ὥστε διπλᾶ τὰ τῆς εὐεργεσίας δείκνυται, ὅταν καὶ φύσει μεγάλα ᾖ, καὶ εἰς οὐδαμινόν τινα γίνηται, ὅπερ εὐεργεσίας καὶ χάριτος ἐπίτασις. τοῦτο οὖν αὐτὸ βουλόμενος παραστῆσαι, φησί· Τί ἀνταποδώσω τῷ Κυρίῳ; ὅτι τὸν ἄνθρωπον τὸν ὄντα διάψευσμα, τὸν οὐδαμινόν, τὸν εὐτελῆ τοσαύτης ἠξίωσε δωρεᾶς. περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. τοῦτο εὐχαρίστου γνώμης, τὸ περιέρχεσθαι, καὶ ζητεῖν, ἀνθ' ὧν εὖ ἔπαθεν, ἀποδοῦναί τι τῷ εὐεργέτῃ, καὶ τὸ πάντα καταβαλόντα, μηδὲν ἄξιον νομίζειν διδόναι. ὅπερ ἐκ προοιμίων τῆς ἀντιδόσεως αἰνιξάμενος, καταθήσειν περιιὼν ἐπαγγέλλεται. διπλῆν γὰρ τὴν εὐχαριστίαν ἐνδείκνυται, τῷ τε δοῦναι, ἅπερ οἷός τέ ἐστι, καὶ τῷ ταῦτα διδοὺς μηδὲν ἄξιον νομίζειν διδόναι. τί οὖν ἐστιν, ὃ μέλλει διδόναι; ἄκουε αὐτοῦ λέγοντος. ἐπάγει γάρ,

4 Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Οἱ μὲν οὖν κατὰ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαμβάνοντες, τῶν μυστηρίων τὴν κοινωνίαν φασίν· ἡμεῖς δὲ τῆς ἱστορίας ἐχόμενοι, σπονδὰς αὐτὸν λέγειν ἐνταῦθα, καὶ θυσίας, καὶ εὐχαριστηρίους ὕμνους λέγομεν. καὶ γὰρ διάφοροι τὸ παλαιὸν ἦσαν θυσίαι. θυσία γὰρ αἰνέσεως ἦν, ὑπὲρ ἁμαρτημάτων, ὑπὲρ σωτηρίας, καὶ εἰρηνικαί, καὶ ἕτεραι πλείους. ὃ οὖν λέγει, τοῦτό ἐστιν· οὐκ ἔχω μὲν ἄξιόν τι καταθεῖναι, ὃ δὲ ἔχω τίθημι. θυσίαν γὰρ εὐχαριστήριον τῷ Θεῷ προσοίσω, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτὸν ἀναμνήσω.

5 Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Ἐνταῦθα τὰς ἐπαγγελίας, εὐχὰς λέγει, τὰς ὑποσχέσεις. καὶ γὰρ ἐν τοῖς δεινοῖς τούτοις ἐπὶ τὸν Θεὸν κατέφυγε καὶ ὀφειλέτην ἑαυτὸν καθίστη, ἐπαγγελλόμενος εἰ διαφύγοι τὰ δεινά, ταύτας καταθήσειν τὰς θυσίας. ἐπεὶ οὖν λέλυται, φησίν, ἡ συμφορά, τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Ἕτερος, Ἔντιμος. Καὶ ποία αὕτη ἀκολουθία; τί δὲ τοῖς ἔμπροσθεν ἔχει συνῳδόν; εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, πολὺ τοῦτο εὑρήσει. ἐπειδὴ γὰρ εἶπε, Τί ἀνταποδώσω τῷ

Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; δεικνὺς αὐτοῦ τὰς εὐεργεσίας φησὶν, ὅτι οὐχ ἡ ζωὴ μόνον, ἀλλὰ καὶ ὁ θάνατος τῶν ὁσίων τῷ Θεῷ περισπούδαστος, οὐχ ἁπλῶς νόμῳ φύσεως παραγινόμενος, ἀλλὰ καὶ κατὰ γνώμην αὐτοῦ πολλαχοῦ γινόμενος. ἢ οὐχ ὁρᾷς ὁ Παῦλος τί λέγει; Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. καὶ τί θαυμάζεις, εἰ ὁ θάνατος, ὅπου οὔτε ἡ γέννησις ἐνίων νόμῳ φύσεως γίνεται, ὡς ἡ τοῦ Ἰσαὰκ, ὡς ἡ τοῦ Σαμουήλ; διόπερ οὐδὲ τέκνα σαρκὸς αὐτὰ καλεῖ, ἀλλὰ τέκνα ἐπαγγελίας. οὕτω καὶ Μωϋσῆς οὐχ ἁπλῶς ἀπέθνησκεν, ἀλλὰ τοῦ Θεοῦ προστάξαντος· οὐδὲ ὁ Ἰωάννης, ἀλλὰ αὐτοῦ συγχωρήσαντος, καίτοιγε μισθὸς ἐγένετο πόρνης. ἀλλὰ καὶ οὕτω τίμιος γέγονε. ὃ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ οὕτω τελευτήσας, ἔντιμος ἦν (ὑπὲρ γὰρ ἀληθείας κατέλυσε τὸν βίον) καὶ οὕτως ἦν ἔντιμος, ὅτι καὶ αὐτὸς ὁ φονεύσας ἐδεδοίκει αὐτόν. ὅτι δὲ ἐδεδοίκει, ἄκουε τοῦ εὐαγγελιστοῦ τί φησι περὶ τοῦ Ἡρώδου· ἔλεγε γὰρ, Ὅτι αὐτὸς ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὅρα πῶς καὶ ἐπὶ τοῦ Ἄβελ τίμιος ἦν ὁ θάνατος. Ποῦ Ἄβελ ὁ ἀδελφός σου; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. σκόπει καὶ ἐπὶ τοῦ Λαζάρου, πῶς μετὰ τελευτὴν ἄγγελοι αὐτοῦ προηγοῦντο. σκόπει δὲ καὶ πρὸς τῶν μαρτύρων τοὺς τάφους τὰς πόλεις συντρεχούσας, τοὺς δήμους ἀναπτομένους τῷ πόθῳ. τοῦτο οὖν ἐστιν ὅ φησι, πολὺς ὁ λόγος, πολλὴ σπουδὴ τῷ Θεῷ καὶ ἐπὶ τῇ τελευτῇ τῶν ὁσίων. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τελευτῶσιν, ἀλλ' ὅταν αὐτὸς συγχωρήσῃ οἰκονομικῶς. διὰ τοῦτο ἔλεγεν, ἐναντίον Κυρίου, τοῦτο ἐμφῆναι βουλόμενος.

Φιλιππ. α. κδ.
Γεν. λζ. λζ. καὶ κη. ιβ.
α. Βασ. α. ε. κ.
Ρω. θ. η.
Δευτ. λβ. νδ.
Μαρκ. ς. ιδ.
Γεν. δ. θ. ι.
Λουκ. ις. κβ.

6 Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου.

Οὐ τὴν κοινὴν λέγει δουλείαν, ἀλλὰ τὴν πολλὴν διάθεσιν καὶ στοργὴν, διαθερμαινόμενος τῷ πόθῳ, ὅπερ ἐστὶ μέγιστος στέφανος, καὶ διαδήματος παντὸς λαμπρότερον. διὸ καὶ ὁ Θεὸς ἀντὶ μεγίστης εὐφημίας τίθησι λέγων, Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε. καὶ υἱὸς τῆς παιδίσκης σου· τουτέστιν, ἄνωθεν καὶ ἐκ προγόνων ἀνάκειμαι σου τῇ δουλείᾳ. ὅπερ καὶ ὁ Παῦλος ἀντὶ μεγίστου τέθεικε κόσμου, ἐπὶ τοῦ Τιμοθέου, λέγων· Ὑπόμνησιν ἔχων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνείκῃ. πέπεισμαι δὲ ὅτι καὶ ἐν σοὶ, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας. καὶ πάλιν περὶ ἑαυτοῦ· Ἑβραῖος ἐξ Ἑβραίων. καὶ πάλιν· Ἑβραῖοί εἰσι; κἀγώ. εἶχον γάρ τι πλέον τῶν προσηλύτων οἱ ἐκ προγόνων καὶ ἄνωθεν τοῦτο ὄντες. διὰ τοῦτο καὶ οὗτός φησι, καὶ υἱὸς τῆς παιδίσκης σου. Διέῤῥηξας τοὺς δεσμούς μου.

Ιησ. α. β.
β. Τιμ. α. ε. καὶ γ. ιε.
Φιλιππ. γ. ε.

Οὐκ εἶπεν, ἐσάλευσας, ἀλλ' ἔῤῥηξας, δηλῶν ὅτι οὕτως, ὡς καὶ ἀχρήστους γενέσθαι. δεσμοὺς ἐνταῦθα τὰς θλίψεις φησὶ, τοὺς πειρασμοὺς, τοὺς κινδύνους. ἔστι γὰρ δεσμὸς καλὸς, ὃν περιβαλέσθαι βέλτιον· ὡς ὅταν λέγῃ, Ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης. καὶ, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. ἔστι καὶ ἀπεναντίας τούτῳ δεσμὸς, ὡς ὅταν λέγῃ, Σειραῖς τῶν ἁμαρτιῶν αὐτοῦ ἕκαστος σφίγγεται. τοῦτον καὶ ὁ Χριστὸς αἰνιττόμενος, Ἀβραὰμ θυγατέρα οὖσαν ἔλεγε ταύτην οὕτως ὑπὸ τοῦ Σατανᾶ δεδεμένην οὐκ ἔδει λυθῆναι; καὶ ὁ Ἡσαΐας περὶ τοῦ Χριστοῦ· Δέδωκά σε εἰς διαθήκην ἐθνῶν, λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. τούτους τοίνυν διέῤῥηξε τοὺς δεσμοὺς, οὐκ ἔλυσε· πλέον γάρ τοῦτο ἐκείνου. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν βούλοιτο ἐκλαβεῖν, τοὺς τῶν ἁμαρτιῶν δεσμοὺς τούτους λέγων, οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος, καὶ πάντα τὸν παλαιὸν ἄνθρωπον. ἔστι καὶ ἕτερος δεσμὸς κάλλιστος, ὃν ἀεὶ Παῦλος περιφέρων ἔλεγε· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, Ὑπὲρ οὗ καὶ δέδεμαι ἐν ἁλύσει.

Εφεσ. δ. γ.
Παροιμ. ε. κβ.
Λουκ. ιγ. ις.
Ησ. μθ. η. θ.
Εφεσ. γ. α.
Πραξ. κη. κ. καὶ
Εφεσ. ς. κ.

7 Σοὶ θύσω θυσίαν αἰνέσεως. Ὅρα πῶς ἄνω, καὶ κάτω, καὶ πανταχοῦ ταύτην

ἀνθρώπου ὡς ἄνθος χόρτου· τουτέστιν, εὐτελέστατον πρᾶγμα, παραρρέον, σκιᾷ ἐοικός, ὀνείρατι, εἰκόνι τινί. καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς ταῦτα εἰκάζων λέγω, ἕτερος ἑρμηνευτὴς εἶπε, διάψευσμα· καὶ ἕτερος, διαψεύδεται· καὶ ἄλλος, ἐκλείπει. πολὺ δὲ τοῦτο ἐκείνου διέστηκε. τὸ μὲν γὰρ ψεύδεσθαι κακίας ἐστὶ τῆς κατὰ ψυχήν· τὸ δὲ ἐκλείπειν, καὶ διαρρεῖν, * καὶ ὄναρ εἶναι, καὶ ἄνθος, καὶ σκιάν, τῆς κατὰ φύσιν εὐτελείας. ταυτὸν γὰρ λέγει, ὃ ἄλλος ἔφη, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· καὶ ἄλλος, Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καὶ πάλιν, ὡς ὅταν λέγῃ οὗτος ὁ προφήτης· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; πανταχοῦ τῆς φύσεως τὸ εὐτελὲς δηλῶν, τὸ οὐδαμινόν. καὶ γὰρ ἐπὶ ληΐων λέγομεν, τὰ λήϊα διεψεύσατο, τουτέστιν, οὐδὲν ἐκόμισεν ἄξιον τῆς ἐλπίδος· καὶ, ὁ ἐνιαυτὸς διεψεύσατο, τοῦτο δὴ πάλιν δηλοῦντες. ἐπεὶ οὖν καὶ ὁ ἄνθρωπος πρᾶγμα οὐδαμινὸν καὶ εὐτελές, μάλιστα δὲ καὶ ἐπὶ τῆς συμφορᾶς τὰ τοιαῦτα φιλοσοφεῖν εἰώθαμεν, καὶ τῆς φύσεως τὴν οὐδένειαν ἐπισκέπτεσθαι, διὰ τοῦτο καὶ οὗτος ἐν ἀθυμίᾳ γενόμενος, ὁρῶν τὴν φύσιν ἐλεγχομένην, καὶ τὴν οὐδένειαν αὐτῆς πανταχόθεν διαδεικνυμένην, πᾶς ἄνθρωπος ψεύστης, φησί· τουτέστιν, οὐδὲν ἄνθρωπος. διὸ καὶ ἀλλαχοῦ ἔλεγε· Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος.

Γεν. ιη. κζ.
Σοφ. ι. θ.
ψαλμ. η. ε.
ψαλμ. λη. θ.

* ἢ ὀνειρ

3 Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Ὅρα πῶς δείκνυσι τὴν εὐεργεσίαν μεγάλην, οὐκ ἀπὸ τῶν γεγενημένων, ἀλλὰ καὶ ἀπὸ τοῦ εἰς τοιοῦτον γεγενῆσθαι, ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι, τὰ ἐν τῷ ὀγδόῳ ψαλμῷ διηγούμενος. καθάπερ γὰρ καὶ ἐκεῖ ἔλεγε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; οὕτω καὶ ἐνταῦθα. τότε διπλᾶ τὰ τῆς εὐεργεσίας δείκνυται, ὅταν καὶ φύσει μεγάλα ᾖ, καὶ εἰς οὐδαμινόν τινα γίνηται, ὅπερ εὐεργεσίας καὶ χάριτος ἐπίτασις. τοῦτο οὖν αὐτὸ βουλόμενος παραστῆσαι, φησί· τί ἀνταποδώσω τῷ Κυρίῳ; ὅτι τὸν ἄνθρωπον τὸν ὄντα διάψευσμα, τὸν οὐδαμινόν, τὸν εὐτελῆ τοσαύτης ἠξίωσε δωρεᾶς. περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. τοῦτο εὐχαρίστου γνώμης, τὸ περιέρχεσθαι, καὶ ζητεῖν, ἀνθ' ὧν εὖ ἔπαθεν, ἀποδοῦναί τι τῷ εὐεργέτῃ, καὶ τὸ πάντα καταβαλόντα, μηδὲν ἄξιον νομίζειν διδόναι. ὅπερ ἐκ προοιμίων τῆς ἀντιδόσεως αἰνιξάμενος, καταθήσειν περὶ ὧν ἐπαγγέλλεται. διπλῆν γὰρ τὴν εὐχαριστίαν ἐνδείκνυται, τῷ τε δοῦναι, ἅπερ οἷός τέ ἐστι, καὶ τῷ ταῦτα διδοὺς μηδὲν ἄξιον νομίζειν διδόναι. τί οὖν ἐστιν, ὃ μέλλει διδόναι; ἄκουε αὐτοῦ λέγοντος. ἐπάγει γάρ,

4 Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Οἱ μὲν οὖν κατὰ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαμβάνοντες, τῶν μυστηρίων τὴν κοινωνίαν φασίν· ἡμεῖς δὲ τῆς ἱστορίας ἐχόμενοι, σπονδὰς αὐτὸν λέγειν ἐνταῦθα, καὶ θυσίας, καὶ εὐχαριστηρίους ὕμνους λέγομεν. καὶ γὰρ διάφοροι τὸ παλαιὸν ἦσαν θυσίαι. θυσία γὰρ αἰνέσεως ἦν, ὑπὲρ ἁμαρτημάτων, ὑπὲρ σωτηρίας, καὶ εἰρηνικαί, καὶ ἕτεραι πλείους. ὃ οὖν λέγει, τοῦτό ἐστιν· οὐκ ἔχω μὲν ἄξιόν τι καταθεῖναι, ὃ δὲ ἔχω τίθημι. θυσίαν γὰρ εὐχαριστήριον τῷ Θεῷ προσοίσω, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτὸν ἀναμνήσω.

5 Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Ἐνταῦθα τὰς ἐπαγγελίας, εὐχὰς λέγει, τὰς ὑποσχέσεις. καὶ γὰρ ἐν τοῖς δεινοῖς τούτοις ἐπὶ τὸν Θεὸν κατέφυγε καὶ ὀφειλέτην ἑαυτὸν καθίστη, ἐπαγγελλόμενος εἰ διαφύγοι τὰ δεινά, ταύτας καταθήσειν τὰς θυσίας. ἐπεὶ οὖν λέλυται, φησίν, ἡ συμφορά, τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Ἕτερος, Ἔντιμος. Καὶ ποία αὕτη ἀκολουθία; τί δὲ τοῖς ἔμπροσθεν ἔχει σύνῳδον; εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, πολὺ τοῦτο εὑρήσει. ἐπειδὴ γὰρ εἶπε, τί ἀνταποδώσω τῷ

Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; δεικνὺς αὐτοῦ τὰς εὐεργεσίας φησὶν, ὅτι οὐχ ἡ ζωὴ μόνον, ἀλλὰ καὶ ὁ θάνατος τῶν ὁσίων τῷ Θεῷ περισπούδαστος, οὐχ ἁπλῶς νόμῳ φύσεως παραγινόμενος, ἀλλὰ καὶ κατὰ γνώμην αὐτοῦ πολλαχοῦ γινόμενος. ἢ οὐχ ὁρᾷς ὁ Παῦλος τί λέγει; Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. καὶ τί θαυμάζεις, εἰ ὁ θάνατος, ὅπου οὔτε ἡ γέννησις ἐνίων νόμῳ φύσεως γίνεται, ὡς ἡ τοῦ Ἰσαὰκ, ὡς ἡ τοῦ Σαμουήλ; διόπερ οὐδὲ τέκνα σαρκὸς αὐτὰ καλεῖ, ἀλλὰ τέκνα ἐπαγγελίας. οὕτω καὶ Μωϋσῆς οὐχ ἁπλῶς ἀπέθνησκεν, ἀλλὰ τοῦ Θεοῦ προστάξαντος· οὐδὲ ὁ Ἰωάννης, ἀλλὰ αὐτοῦ συγχωρήσαντος, καίτοιγε μισθὸς ἐγένετο πόρνης. ἀλλ' ὅμως καὶ οὕτω τίμιος γέγονε. ὃ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ οὕτω τελευτήσας, ἔντιμος ἦν (ὑπὲρ γὰρ ἀληθείας κατέλυσε τὸν βίον) καὶ οὕτως ἦν ἔντιμος, ὅτι καὶ αὐτὸς ὁ φονεύσας ἐδεδοίκει αὐτόν. ὅτι δὲ ἐδεδοίκει, ἄκουε τοῦ εὐαγγελιστοῦ τί φησι περὶ τοῦ Ἡρώδου· ἔλεγε γὰρ, Ὅτι αὐτὸς ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὅρα πῶς καὶ ἐπὶ τοῦ Ἄβελ τίμιος ἦν ὁ θάνατος. Ποῦ Ἄβελ ὁ ἀδελφός σου; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. σκόπει καὶ ἐπὶ τοῦ Λαζάρου, πῶς μετὰ τελευτὴν ἄγγελοι αὐτοῦ προηγοῦντο. σκόπει δὲ καὶ πρὸς τῶν μαρτύρων τοὺς τάφους τὰς πόλεις συντρεχούσας, τοὺς δήμους ἀναπτομένους τῷ πόθῳ. τοῦτο οὖν ἐστιν ὅ φησι, πολὺς ὁ λόγος, πολλὴ σπουδὴ τῷ Θεῷ καὶ ἐπὶ τῇ τελευτῇ τῶν ὁσίων. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τελευτῶσιν, ἀλλ' ὅταν αὐτὸς συγχωρήσῃ οἰκονομικῶς. διὰ τοῦτο ἔλεγεν, ἐναντίον Κυρίου, τοῦτο ἐμφῆναι βουλόμενος.

Φιλιππ. α. κδ.
Γεν. ιζ. ιζ. ϗ ιη. ιβ.
α. Βασ. α. ε. κ.
Ρω. θ. η.
Δευτ. λβ. ν.
Μαρκ. ϛ. ιδ.
Γεν. δ. θ. ι.
Λουκ. ις. κβ.

6 Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου.

Οὐ τὴν κοινὴν λέγει δουλείαν, ἀλλὰ τὴν πολλὴν διάθεσιν καὶ στοργὴν, διαθερμαινόμενος τῷ πόθῳ, ὅπερ ἐστὶ μέγιστος στέφανος, καὶ διαδήματος παντὸς λαμπρότερον. διὸ καὶ ὁ Θεὸς ἀντὶ μεγίστης εὐφημίας τίθησι λέγων, Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε. καὶ υἱὸς τῆς παιδίσκης σου· τουτέστιν, ἄνωθεν καὶ ἐκ προγόνων ἀνάκειμαί σου τῇ δουλείᾳ. ὅπερ καὶ ὁ Παῦλος ἀντὶ μεγίστου τέθεικε κόσμου, ἐπὶ τοῦ Τιμοθέου, λέγων· Ὑπόμνησιν ἔχων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνείκῃ. πέπεισμαι δὲ ὅτι καὶ ἐν σοὶ, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας. καὶ πάλιν περὶ ἑαυτοῦ· Ἑβραῖος ἐξ Ἑβραίων. καὶ πάλιν· Ἑβραῖοί εἰσι; κἀγώ. εἶχον γάρ τι πλέον τῶν προσηλύτων οἱ ἐκ προγόνων καὶ ἄνωθεν τοῦτο ὄντες. διὰ τοῦτο καὶ οὗτός φησι, καὶ υἱὸς τῆς παιδίσκης σου. Διέῤῥηξας τοὺς δεσμούς μου.

Ἰησ. α. β.
β. Τιμ. α. ε. ϗ γ. ιε.
Φιλιππ. γ. ε.

Οὐκ εἶπεν, ἐσάλευσας, ἀλλ' ἔῤῥηξας, δηλῶν ὅτι οὕτως, ὡς καὶ ἀχρήστους γενέσθαι. δεσμοὺς ἐνταῦθα τὰς θλίψεις φησὶ, τοὺς πειρασμοὺς, τοὺς κινδύνους. ἔστι γὰρ δεσμὸς καλὸς, ὃν περιβαλέσθαι βέλτιον· ὡς ὅταν λέγῃ, Ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης. καὶ, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. ἔστι καὶ ἀπεναντίας τούτῳ δεσμὸς, ὡς ὅταν λέγῃ, Σειραῖς τῶν ἁμαρτιῶν αὐτοῦ ἕκαστος σφίγγεται. τοῦτον καὶ ὁ Χριστὸς αἰνιττόμενος, Ἀβραὰμ θυγατέρα οὖσαν ἔλεγε ταύτην οὕτως ὑπὸ τοῦ Σατανᾶ δεδεμένην οὐκ ἔδει λυθῆναι; καὶ ὁ Ἡσαΐας περὶ τοῦ Χριστοῦ· Δέδωκά σε εἰς διαθήκην ἐθνῶν, λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. τούτους τοίνυν διέῤῥηξε τοὺς δεσμοὺς, οὐκ ἔλυσε· πλέον γὰρ τούτου ἐκεῖνο. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν βούλοιτο ἐκλαβεῖν, τοὺς τῶν ἁμαρτιῶν δεσμοὺς τούτους λέγων, οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος, καὶ πάντα τὸν παλαιὸν ἄνθρωπον. ἔστι καὶ ἕτερος δεσμὸς κάλλιστος, ὃν ἀεὶ Παῦλος περιφέρων ἔλεγε· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, Ὑπὲρ οὗ καὶ δέδεμαι ἐν ἁλύσει.

Ἐφεσ. δ. γ.
Παροιμ. ε. κβ.
Λουκ. ιγ. ις.
Ἡσ. μθ. η. θ.
Ἐφεσ. γ. α.
Πράξ. κη. κ. ϗ
Ἐφεσ. ϛ. κ.

7 Σοὶ θύσω θυσίαν αἰνέσεως. Ὅρα πῶς ἄνω, καὶ κάτω, καὶ πανταχοῦ ταύτην

μεταπίθησι τὴν ἀντίδοσιν τῷ Θεῷ· ἄνω λέγων, ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι· ἐνταῦθα, σοὶ θύσω θυσίαν αἰνέσεως· τουτέστιν, εὐχαριστήσω, ὑμνήσω. Καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Εἶδες πῶς ἐστὶ θυσία αἰνέσεως. 8 Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.

Τοῦτο δὲ ἐποίει οὐκ ἐπίδειξιν ποιούμενος, οὐδὲ πρὸς φιλοτιμίαν βλέπων, ἀλλὰ πάντας εἰς τὸν οἰκεῖον ἄγων ζῆλον, καὶ κοινωνοὺς λαβεῖν τῆς εὐχαριστίας βουλόμενος· ὃ δὴ καὶ πάντες οἱ ἅγιοι ποιοῦσιν, οὐ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὴν κτίσιν αὐτὴν ἅπασαν, ἡνίκα ἄν τι πάθωσι χρηστὸν, πρὸς τὴν κοινωνίαν τῆς εὐφημίας καλοῦντες. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς τὸ εὐχάριστον εἶναι, οὐ μόνον ἐν ταῖς εὐημερίαις, ἀλλὰ καὶ ἐν ταῖς τῶν πραγμάτων ἐναντίαις διαγωγαῖς. τοῦτο μάλιστα θυσία, τοῦτο μεγίστη προσφορά. οὕτως ὁ Ἰὼβ ἀνεκηρύττετο, οὕτως ὁ Παῦλος, οὕτως ὁ Ἰακὼβ, οὕτως ἕκαστος τῶν δικαίων τὴν εὐγνωμοσύνην αὐτοῦ καὶ τὴν εἰς τὸν Θεὸν εὐχαριστίαν ἐν τῇ δυσκολίᾳ τῶν καιρῶν μάλιστα ἐπιδεικνύμενος. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ διαπαντὸς μένωμεν εὐχαριστοῦντες, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρις.

1 ΑΙΝΕΙΤΕ ΤΟΝ ΚΥΡΙΟΝ ΠΑΝΤΑ ΤΑ ἔθνη· ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. 2 Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

ΗΑντί που δῆλον, ὅτι προφητεία ἐστὶ τῆς ἐκκλησίας τῶν πιστευόντων τὰ εἰρημένα, καὶ τοῦ κηρύγματος προαναφώνησις τοῦ τὴν οἰκουμένην κατειληφότος ἅπασαν. οὐ γὰρ ἓν καὶ δύο καὶ τρία ἔθνη, ἀλλὰ γῆν καὶ θάλατταν ἅπασαν ὁ ψαλμὸς καλεῖ· ὅπερ δὴ τότε καὶ γέγονεν, ὅτε ἡ τοῦ Χριστοῦ παρουσία ἐπέλαμψεν. Εἶτα καὶ τὴν αἰτίαν λέγει τῆς σωτηρίας, ὅτι οὐκ ἐξ οἰκείων κατορθωμάτων, οὔτε ἀπὸ βίου καὶ παρρησίας, ἀλλ' ἀπὸ φιλανθρωπίας μόνης ἐσώθησαν. ἐκραταιώθη γὰρ, φησὶ, τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς· τουτέστιν, ἐπάγη, ἰσχυρὸν γέγονε, πέτρας στερρότερον. καὶ γὰρ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα. τότε γὰρ μάλιστα τὰ τῆς ἀληθείας ἔλαμψε. διὸ καὶ οὕτως εἶπεν, ἐπειδὴ τὰ τῆς παλαιᾶς τύπος ἦν καὶ σκιά. τοῦτο καὶ ὁ εὐαγγελιστὴς δηλῶν ἔλεγεν· Ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Ιω. α. ιζ.

Ψαλμ. ριζ.

1 ΕΞΟΜΟΛΟΓΕΙΣΘΕ ΤΩ ΚΥΡΙΩ, ΟΤΙ ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΗΜὲν ῥῆσις τοῦ ψαλμοῦ, ἣν ὑποψάλλειν ὁ λαὸς εἴωθε, τοιαύτη τίς ἐστιν, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, καὶ πολλοὺς διανίστησι, καὶ κατὰ τὴν πανήγυριν ἐκείνην τὴν πνευματικὴν καὶ [κατὰ] τὴν οὐράνιον ἑορτὴν μάλιστα τοῦτο ὑπηχεῖν ὁ λαὸς εἴωθεν. ἡμεῖς δὲ, εἰ βούλεσθε, ἄνωθεν καὶ ἐξ ἀρχῆς ἅπαντα τὸν ψαλμὸν ἐπέλθωμεν, οὐκ ἀπὸ τοῦ στίχου τῆς ὑπηχήσεως, ἀλλ' ἀπ' αὐτοῦ τοῦ προοιμίου τὴν ἐξήγησιν ποιούμενοι. τὸν μὲν γὰρ στίχον οἱ πατέρες, ἅτε ἧχον ὄντα καί τι ὑψηλὸν ἔχοντα δόγμα, τὸ πλῆθος ὑπηχεῖν ἐνομοθέτησαν, ἐπειδὴ τὸν ἅπαντα ἠγνόουν ψαλμὸν, ἵνα κἂν ἐντεῦθεν ἀπηρτισμένην λάβωσι διδασκαλίαν· ἡμᾶς δὲ ἅπαντα αὐτὸν ἐπελθεῖν ἀνάγκη, ἐπεὶ καὶ τὰ μέσα αὐτοῦ πολλὴν ἔχει τὴν προφητείαν. ἐνταῦθα γὰρ εἴρηται· Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· ὅπερ καὶ ὁ Χριστὸς εἶπε τοῖς Ἰουδαίοις, αἰνιγματωδέστερον μὲν (ἔτι γὰρ ἔζεον τῷ θυμῷ, καὶ οὐκ ἐβούλετο αὐτὸν ἀνάψαι. Κάλαμον γὰρ συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει) εἶπε δ' οὖν ὅμως. ἀπὸ τῶν προοιμίων οὖν ἁψώμεθα τοῦ ψαλμοῦ, καθάπερ ἔφθημεν εἰπόντες. τί τοίνυν ἐστὶ τὸ προοίμιον; Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἐννοήσας τὴν εὐεργεσίαν τῆς οἰκουμένης ὁ προφήτης, καὶ τὴν φιλανθρωπίαν, ἣν διὰ πάντων ἐπεδείξατο ὁ δεσπότης, πάντας εἰς τὴν κοινωνίαν τῆς εὐχαριστίας καλεῖ, τὸ μέγιστον κεφάλαιον τῶν ἀγαθῶν αὐτοῦ προτιθεὶς εἰς μέσον.

Ματθ. κα. μβ.

Ησ. μβ. γ.

2 Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τί λέγεις; οἶκος Ἰσραὴλ, ὁ μυρίας αἰχμαλωσίας ὑπομείνας, ὁ ἐν Αἰγύπτῳ δουλεύσας, ὁ πρὸς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπαχθεὶς, ὁ ἐν Παλαιστίνῃ μυρία ταλαιπωρηθείς; ναὶ, φησίν. οὗτοι γὰρ μάλιστα μάρτυρές εἰσι τῶν ἀγαθῶν αὐτοῦ, καὶ πλέον οὗτοι τούτων ἀπέλαυσαν, ἢ ἕτεροι. καὶ αὐτὸ δὲ τοῦτο, ὅπερ ἔπαθον, πολλῆς εὐεργεσίας τεκμήριον. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ὑπὲρ τῆς παρουσίας αὐτῆς τοῦ Χριστοῦ μάλιστα αὐτοὺς εὐχαριστεῖν δεῖ. εἰ γὰρ καὶ τὰ ἐναντία ὑπέμειναν, ἀλλ' οὐ παρὰ τὸν παραγενόμενον, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην. αὐτὸς μὲν γὰρ πρὸς αὐτοὺς ἀφίκετο. διὸ καὶ συνεχῶς ἔλεγεν, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· καὶ τοῖς μαθηταῖς, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, πορεύεσθε δὲ μᾶλλον εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· καὶ πρὸς τὴν Χαναναίαν, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. καὶ γὰρ πάντα ἐποίει καὶ ἐπραγματεύετο ὑπὲρ τῆς ἐκείνων σωτηρίας. εἰ δὲ ἀνάξιοι τῆς εὐεργεσίας ἐφάνησαν, ταῖς ἑαυτῶν λογιζέσθωσαν παρανομίαις, καὶ τῇ τῆς ἀγνωμοσύνης ὑπερβολῇ.

Ματθ. ι. δ.
Ματθ. ι. ε.

Ματθ. ιε. κϛ.

3 Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐνταῦθα κεχωρισμένως τοὺς ἱερέας εἰς [τὴν] ὑμνῳδίαν καλεῖ, δεικνὺς ὅση τίς ἐστιν ὑπερέχουσα ἡ ἱερωσύνη. καὶ γὰρ ὅσῳ μείζους ἦσαν οὗτοι τῶν ἄλλων, τοσούτῳ καὶ πλείονος ἀπέλαυον τῆς τιμῆς παρὰ τοῦ Θεοῦ, οὐ μόνον κατὰ τὸν τῆς ἱερωσύνης λόγον, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα πάντα. καὶ γὰρ ἡνίκα πῦρ κατηνέχθη, δι' αὐτοὺς κατηνέχθη, καὶ γῆ ἠνοίχθη, καὶ ῥάβδος ἐβλάστησε, καὶ μυρία ἕτερα γέγονε δι' αὐτοὺς, μᾶλλον δὲ ὑπὲρ αὐτῶν, θαύματα.

Λευιτ. ι. β.
Αριθμ. ιϛ. λβ.
καὶ ιζ. η.

4 Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Μάλιστα γὰρ οὗτοί εἰσιν οἱ δυνάμενοι τὴν φιλανθρωπίαν ἰδεῖν τὴν αὐτοῦ, καὶ διὰ πάντων τὴν ἀγαθότητα καταμανθάνειν. τί δέ ἐστιν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; διηνεκές, φησιν, οὐ διακοπτόμενον, ἀλλὰ διὰ πάντων λάμπον καὶ διαδεικνύμενον. εἰ δὲ μὴ πολλοὶ βλέπουσι, διὰ τὴν ἀσθένειαν τῶν οἰκείων οὐ βλέπουσι λογισμῶν· ἐπεὶ καὶ τὸν ἥλιον οἱ τὰς ὄψεις νοσοῦντες, διὰ τοῦτο μάλιστα οὐχ ὁρῶσιν. ὥσπερ οὐδὲ οἱ ὑγιαίνοντες ἀεὶ δύνανται πρὸς αὐτὸν ἀτενίζειν, διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος· οὕτως οὐδὲ τοῦ Θεοῦ δυνατὸν μαθεῖν μετὰ ἀκριβείας τὴν πρόνοιαν, διὰ τὸ σφόδρα ὑπερβαίνει τῶν ἀνθρωπίνων λογισμῶν τὸ μέγεθος τῆς συνέσεως αὐτοῦ καὶ τῆς σοφίας. ἔστι δὲ καὶ πάθη τὰ πολλὰ τοῖς ἀνοήτοις ἐπισκοτοῦντα πρὸς τὸ μηδ' ὅλως αὐτὴν ἰδεῖν. καὶ πρῶτον τὸ φιλήδονον, δι' ὅπερ καὶ τὰ πᾶσι σαφῆ περιτρέχουσι· μετὰ τοῦτον δεύτερον, ἡ ἄνοια, καὶ τὸ διεστραμμένον τῆς γνώμης. πῶς γὰρ οὐκ ἄτοπον, πατέρα μὲν ὁρῶντα τύπτοντα παιδίον ἀποδέχεσθαι καὶ ἐπαινεῖν, καὶ ταύτῃ μάλιστα πατέρα νομίζειν· πρὸς δὲ τὸν Θεὸν, εἰ βουληθείη δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων, δυσχεραίνειν καὶ ἀλύειν; τί δὲ τῆς διαστροφῆς ταύτης χεῖρον γένοιτ' ἄν, οἳ καὶ ἐπὶ τοῖς ἐναντίοις δυσχεραίνουσι; καὶ γὰρ δυσχεραίνουσι, νῦν μὲν ἀλύοντες ὅτι μὴ ἐπεξέρχεται, νῦν δὲ ὅτι ἐπεξέρχεται. ὅταν μὲν γὰρ ἴδωσιν ἁρπάζοντας καὶ πλεονεκτοῦντάς τινας, βούλονται δίκας αὐτοὺς διδόναι· ὅταν δὲ ἑαυτοὺς ἁμαρτάνοντας, οὐδ' ὅλως· ὅπερ ἐστὶ διεφθαρμένης γνώμης. τρίτον πρὸς τούτοις, τὸ μηδὲ εἰδέναι αὐτοὺς τί ποτε καλὸν καὶ τί ποτε κακὸν, ἀλλ' ἐσφάλθαι περὶ τὴν τῶν πραγμάτων κρίσιν, διὰ τὸ φιλοπόνηρον, καὶ πρὸς κακίαν ἐπιῤῥεπές. τέταρτον, τὸ μὴ λογίζεσθαι τὰ οἰκεῖα ἁμαρτήματα. πέμπτον, τὸ ἄφατον εἶναι καὶ πολὺ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων. ἕκτον, τὸ μὴ βούλεσθαι τὸν Θεὸν ἅπαντα διαδείκνυσθαι, ὡς ἀρκούντων καὶ τῶν ἐκ μέρους γινομένων. δεῖ τοίνυν μὴ ἐν ἅπασι μὲν φιλονεικεῖν μανθάνειν τοῦ Θεοῦ τὴν διοίκησιν (ἀμηχάνοις γὰρ φιλονεικοῦμεν πράγμασι καὶ σφόδρα ὑπερβαίνουσι πᾶσαν φύσιν κτιστὴν) τοὺς δὲ μέλλοντας ἐκ μέρους αὐτὴν εἰδέναι, τῶν παθῶν ἀπηλλάχθαι χρὴ τῶν προειρημένων, καὶ ἡλίου φανοτέραν αὐτὴν ὄψονται, εἰ καὶ μὴ πᾶσαν· καὶ μαθόντες ἀπὸ τοῦ μέρους, καὶ ὑπὲρ ἁπάσης εὐχαριστήσουσιν.

χ. ὁ δὲ Θεὸς

πανταχοῦ τὰ αὐτὰ ἀποδείκνυσθαι. δεῖ χ. φιλονεικεῖν

5 Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.

Εἶδες ἀγαθότητα καὶ φιλανθρωπίαν. οὐκ εἶπεν ὅτι ἄξιος ἤμην· οὐκ εἶπεν ὅτι κατορθώματα ἐπεδειξάμην· ἀλλ', ὅτι ἐπεκαλεσάμην μόνον, καὶ ἤρκεσεν ἡ εὐχὴ λῦσαι τὴν συμφοράν. ὅπερ καὶ ἐπ' Αἰγυπτίων φησίν· Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. οὐκ εἶπεν ὅτι εἶδον τὴν ἀρετὴν τοῦ λαοῦ μου, οὔτε τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν, ἀλλὰ τὴν θλίψιν, καὶ τῆς κραυγῆς αὐτῶν ἤκουσα, φησίν. ὁρᾷς πατέρα εὔσπλαγχνον, ἀπὸ τῶν συμφορῶν βοηθοῦντα μόνον. καὶ μὴν οὐχ ἅπας ὁ ἐν θλίψει, καὶ σώζεσθαι ἄξιος, οὐδὲ παρὰ ἀνθρώποις. πολλοὺς γοῦν τῶν οἰκετῶν μαστιζομένους ὁρῶντες καὶ ὀδυνωμένους, οὐκ ἀνίεμεν, τὸ τῶν ἁμαρτημάτων μέγεθος ἐννοοῦντες. ὁ δὲ Θεὸς, ἀπὸ τῆς θλίψεως μόνης ἀνῆκεν· οὐ τῆς θλίψεως δὲ μόνον ἀνῆκεν, ἀλλὰ καὶ ἀδείας πολλῆς μετέδωκεν. ἐπήκουσε γάρ μου, φησὶν, εἰς πλατυσμόν. καὶ ἡ θλίψις δὲ διὰ τοῦτο συνεχωρήθη, ὥστε ἀκριβεστέρους ποιῆσαι τοὺς θλιβομένους καὶ φιλοσοφωτέρους.* 6 Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Ἐξοδ. γ ζ.

* ἢ διὰ καὶ

Εἶδες ὕψωμα διανοίας, εἶδες φρόνημα οὕτως ὑπὲρ τὴν ἀνθρωπίνην ἀναβαῖνον ἀσθένειαν, ὡς ἁπάσης ὑπεριδεῖν τῆς φύσεως. ταῦτα μὴ μόνον ὑποψάλλωμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδειξώμεθα. οὐκ εἶπεν, οὐδὲν πείσομαι, ἀλλ' οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος· τουτέστι, κἂν πάθω, οὐ δέδοικα· τὸ αὐτὸ λέγων ὅπερ καὶ ὁ Παῦλος· Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; καὶ μὴν μυρίοι ἦσαν οἱ κατ' αὐτῶν, ἀλλ' οὐδὲν αὐτοὺς ἠδίκουν. πῶς οὖν οὐκ ἐσχάτης ἂν εἴη μικροψυχίας, τὸν δεσπότην ἔχοντας εὐμενῆ, δεδοικέναι τοὺς συνδούλους; ἀλλ' οὐχ ἔστι τοιοῦτος, ἀλλ' ἀνώτερος πάντη καὶ ὑψηλότερος τῶν τοιούτων φόβων. οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν, μηδὲ ἀποστερῶμεν τῆς τοῦ δεσπότου συμμαχίας ἑαυτοὺς τῷ δεδοικέναι τὰ ἀνθρώπινα. τοῦτο γὰρ ὑβριζόντων ἐστὶν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν. διὸ λέγεται καὶ ὁ Ἐζεκίας παθεῖν ἅπερ ἔπαθεν, ἐπειδὴ τοῦ ἡλίου

Ῥω. η. λα.

δ. Βασ. κ. ια. γ.

ἀναποδίσαντος, καὶ πάλιν ἀναβάντος οὓς κατέβη ἀναβαθμούς, καὶ σημείου γενομένου ἱκανοῦ πάντας ἐκπλῆξαι ἐλθόντας τοὺς ταῦτα μαθεῖν βουλομένους, οὐκ ἀπὸ τῶν παρὰ τοῦ Θεοῦ συμβάντων, ἀλλὰ ἀπὸ τῶν ἀνθρωπίνων καταπλῆξαι ἐβούλετο, δεδοικὼς αὐτῶν τὴν ἔφοδον. διὸ καὶ τοὺς θησαυροὺς αὐτοῖς ἐδείκνυεν, ἐν τοῖς θησαυροῖς τὰς ἐλπίδας ἔχων· ἐφ' ᾧ καὶ ὁ Θεὸς παροξυνθεὶς, λήψονται ταῦτα πάντα, φησί· τουτέστιν, οἷς θαῤῥεῖς, παρ' οἷς ἐλπίζεις. Διὰ τοῦτο καὶ ὁ Ἰσραὴλ ἐγκαλεῖται, ὅτι δὴ χρήμασιν ἐθάῤῥουν καὶ ἵπποις. διὸ καὶ παραινεῖ αὐτοῖς ὁ προφήτης τοῖς ἐναντίοις ἐξιλεοῦσθαι τὸν Θεὸν, καὶ λέγειν, Ἐφ' ἵπποις οὐκ ἀναβησόμεθα. Ωσηὲ ιδ. δ. ὁ Θεός σε τιμᾷ, καὶ σὺ σαυτὸν ἀτιμάζεις; ὁ Θεός σε τιμᾷ τὴν παρ' αὐτοῦ συμμαχίαν ὑπισχνούμενος, καὶ σὺ πρὸς ἀνθρωπίνας καταφεύγεις ἐλπίδας, καὶ ἀψύχῳ ὕλῃ, τοῖς χρήμασι, τὴν ἐλπίδα τῆς σωτηρίας σου πιστεύεις; οὐ γὰρ δὴ σῶσαι ζητεῖ μόνον, ἀλλὰ καὶ ἐντίμως τοῦτο ποιῆσαι. σφόδρα σε φιλεῖ, καὶ διὰ τοῦτό σε πάντων ἀπάγων ἑαυτῷ προσηλοῖ, καὶ πάντα περικόπτων πρὸς ἑαυτὸν ἄγει, μονονουχὶ τοῦτο λέγων δι' ὧν ποιεῖ· ἐν ἐμοὶ τὰς ἐλπίδας ἔχε, καὶ ἐμοὶ πρόσεχε διηνεκῶς.

7 Κύριος ἐμοὶ βοηθὸς, καὶ ἐγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.

Ὁρᾷς οὐκ αὐτὸν ἀμυνόμενον οὐδὲ ἐπεξελθόντα, ἀλλὰ τῷ Θεῷ ἀμύνασθαι παραχωροῦντα τοὺς ἐχθρούς. 8 Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. 9 Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν.

Οὐ κατὰ σύγκρισιν ταῦτα προσάγει, ἀλλ' ἔθος τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ καὶ ἐπὶ τῶν ἀσυγκρίτων, διὰ τὴν ἀσθένειαν τῶν τότε ἀκουόντων. οὐκ ἄρα συγκρίνων τοῦτό φησιν, ἀλλὰ συγκαταβαίνων ἐκείνοις. διὰ δὴ τοῦτο καὶ ἕτερος προφήτης ἔλεγεν· Ἐπικατάρατος πᾶς ὁ ἐλπίζων ἐπ' ἄνθρωπον. Ιερεμ. ιζ. ε. οὐδὲν γὰρ ταύτης εὐτελέστερον τῆς ἐλπίδος. καὶ γὰρ καὶ αὐτῆς τῆς ἀράχνης εὐτελεστέρα ἐστὶ, μᾶλλον δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἐπισφαλής. καὶ ἴσασιν ὅσοι πολλάκις ἐπ' ἀνθρώποις θαῤῥήσαντες αὐτοῖς ἐκείνοις συγκατηνέχθησαν. ἡ δὲ εἰς τὸν Θεὸν ἐλπὶς, οὐκ ἰσχυρὰ μόνον, ἀλλὰ καὶ ἀσφαλὴς, οὐκ ἔχουσά τινα μεταβολήν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Ρω. ε. ε. ἕτερος δὲ τις σοφός· Ἐμβλέψατε, φησὶν, εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη. Σειρ. β. ι. ἀλλ' ἐγὼ, φησὶν, ἤλπισα καὶ κατῃσχύνθην. εὐφήμει ἄνθρωπε· μὴ ἀντιφθέγγου τῇ θείᾳ γραφῇ. εἰ καὶ κατῃσχύνθης, ἐκ τοῦ μὴ ὡς ἐχρῆν ἐλπίσαι, ἐκ τοῦ ἐνδοιάσαι, ἐκ τοῦ μὴ ἀναμεῖναι τὸ τέλος, ἐκ τοῦ μικροψυχῆσαι. ἀλλὰ μὴ τοῦτο ποίει· ἀλλ' ὅταν ἴδῃς τὰ δεινὰ ἐπικείμενα, τότε μὴ καταπέσῃς. τοῦτο γάρ μάλιστά ἐστιν ἐλπίσαι, τὸ ἐν μέσῳ ἐμβεβηκότα τοῖς χαλεποῖς ὀρθοῦσθαι. τί τῶν βαρβάρων ἐκείνων, τῶν Νινευιτῶν λέγω, ἀθλιώτερον ἦν; ἀλλ' ὅμως ἐν αὐτῇ ἑστῶτες τῇ παγίδι, καὶ προσδοκῶντες ὅτι πεσεῖται ἡ πόλις, οὐδὲ οὕτως ἀπέγνωσαν, ἀλλὰ μετάνοιαν ἐπεδείξαντο τὴν ἀκριβῆ. Ιων. γ. ι. διὸ καὶ τοῦ Θεοῦ τὴν ἀπόφασιν εἰς τὸ πάλιν ὑποστρέψαι παρεσκεύασαν. εἶδες πόση τῆς ἐλπίδος ἡ ἰσχύς. τί δὲ αὐτὸς ὁ προφήτης; οὐκ ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὢν, τοῦ ναοῦ καὶ τῆς εἰς τὰ Ἱεροσόλυμα ἐπανόδου ἐμέμνητο; Ιων. β. ε. καὶ σὺ τοίνυν κἂν εἰς αὐτὸν ἐμβῇς τὸν θάνατον, κἂν τοσοῦτον ἐπικρεμασθῇ σοι κινδύνων μέγεθος, μὴ ἀπογνῷς. δυνατὸν γὰρ τῷ Θεῷ καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν. διὸ καί τις σοφὸς ἔλεγεν· Ἀπὸ πρωῒ ἕως ὀψὲ μεταβολαὶ πολλαί, καὶ πάντα ταχινὰ ἐνώπιον αὐτοῦ. Σειρ. ιη. κϛ. οὐκ εἶδες τὴν '' [illegible] ἐν ἀφθονίᾳ λιμώττοντα; οὐκ εἶδες τὴν χήραν λιμῷ ἀποθανουμένην; δ. Βασ. ζ. ιζ. γ. Βασ. ιζ. ιϛ. ὅταν εἰς ἀπορίαν τὰ πράγματα ἐμπέσῃ, τότε μάλιστα ἔλπιζε. τότε γὰρ μάλιστα ὁ Θεὸς ἐπιδείκνυται τὴν ἑαυτοῦ δύναμιν, οὐκ ἐκ προοιμίων, ἀλλ' ὅταν τὰ παρὰ τῶν ἀνθρώπων ἀπογνωσθῇ. ἔστι γὰρ τῆς τοῦ Θεοῦ βοηθείας ὁ καιρός. διὰ δὴ τοῦτο οὐ

ς. προσ. τὴν

τὸν

Δαν. γ. κζ.
Δρακ. καὶ Βὴλ λθ. μζ.

τοὺς παῖδας ἐκ προοιμίων ἥρπασεν, ἀλλὰ μετὰ τὴν κάμινον, οὔτε τὸν Δανιὴλ πρὶν ἢ ἐμπεσεῖν, ἀλλὰ μετὰ τὰς ἑπτὰ ἡμέρας. μὴ δὴ πρόσεχε τῇ φύσει τῶν πραγμάτων εἰς ἀπόγνωσιν ἐμβαλλόντων, ἀλλὰ τῇ δυνάμει τοῦ Θεοῦ τῇ τὰ ἀπεγνωσμένα εἰς ἐλπίδας ἀγούσῃ χρηστάς. τοῦτο δὴ καὶ ὁ ψαλμῳδὸς δεικνύς, καὶ τὸ εὔπορον τῆς τοῦ Θεοῦ δυνάμεως παραστῆσαι θέλων, ὅτι καὶ εἰς αὐτὰ τὰ δεινὰ ἐμπεσόντας καὶ καταποθέντας ἀνιμήσασθαι δύναται, οὐκ ἐκ προοιμίων μόνον, ἄκουσον τί ἐπήγαγε·

10 Πάντα τὰ ἔθνη ἐκύκλωσάν με. Εἶδες ἄφυκτον κίνδυνον. οὐ γὰρ ἐκ παρατάξεως ἦν ἡ μάχη, οὐδὲ ἐξ εὐθείας ἑστώτων, ἀλλ' ἔνδον ἀπείληπτο, καὶ ὡς σαγήνῃ τινὶ περιεβέβλητο, καὶ ὥσπερ ὑπὸ δικτύων συνείχετο, οὐχ ὑφ' ἑνός, καὶ δύο, καὶ τριῶν, ἀλλ' ὑπὸ τῶν ἐθνῶν ἁπάντων. ἀλλ' ὅμως πάντα διεῤῥήγνυτο τὰ δεσμὰ ταῦτα τῇ εἰς Θεὸν ἐλπίδι. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. 11 Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

12 Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Ἐξοδ. γ. β.

γ. ἀπολαβόντας

Εἶδες πῶς διαγράφει τῶν δεινῶν τὸ μέγεθος. οὐ γὰρ ἁπλῶς εἶπεν, ἐκύκλωσαν, ἀλλ' ὡσεὶ μέλισσαι, καὶ ὡς πῦρ ἐν ἀκάνθαις, διὰ μὲν τῶν μελισσῶν, τὸ σφοδρὸν τῆς προθυμίας, διὰ δὲ τῶν ἀκανθῶν, τὸ ἀφόρητον τοῦ θυμοῦ καὶ τὸ ἄσβεστον τῆς ὀργῆς αἰνιττόμενος. τίς γὰρ ὑφέξει πῦρ ἀκάνθῃ ἐμπεσόν; ἀλλ' ὅμως, φησίν, οὕτω σφοδρῶς, οὕτω ταχέως ἀναφθέντας καὶ ἐν μέσῳ ″λαβόντας οὐ μόνον διέφυγον, ἀλλὰ καὶ ἠμυνάμην. ὅρα τοῦτο καὶ ἐπὶ τῆς ὕλης αὐτῆς γινόμενον. καὶ γὰρ πῦρ βάτον ἔκαιε· καὶ οὔτε ἡ βάτος κατεκαίετο, οὔτε ἐκεῖνο ἐσβέννυτο, ἀλλ' ἀμφότερα ἔμενεν ὁμιλοῦντα ἀλλήλοις, καὶ οὐκ ἀναλισκόμενα. καίτοι τί σαθρότερον βάτου; τί δὲ πυρὸς καυστικώτερον; ἀλλ' ὅμως ἡ θαυματουργὸς δύναμις τοῦ Θεοῦ παραδοξοποιοῦσα, ἀμφότερα εἴασε μένειν. τοιοῦτον δέ τι παράδοξον καὶ τότε συνέβαινεν. ὡς πῦρ γὰρ ἐπέδραμον, ὡς μέλισσαι μετὰ προθυμίας ἐπέθεντο, ἔνδον εἶχον ἀπειλημμένον, καὶ οὐδὲν ποιῆσαι ἴσχυσαν. τὸ γὰρ ὅπλον τὸ ἀχείρωτον, ἡ συμμαχία ἡ ἀκαταμάχητος, τοῦ Θεοῦ τὸ ὄνομα, πάντας αὐτοὺς ἀπήλασεν.

13 Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.

γ. κατακλίνεσθαι,

Κριτ. ζ. β.
δ. Βασ. ιθ. λς.

α. Βασ. ιζ. κς. μθ.
β. Κορ. α. θ.

Εἶπε τὸ μέγεθος τῶν δεινῶν ἀπὸ τοῦ πλήθους, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς προθυμίας, ἀπὸ τῆς ὀργῆς τῶν ἐπιόντων· λέγει καὶ ἀφ' ὧν αὐτὸς ἔπαθεν. οὕτω μου ἐπεκράτησε τὰ δεινά, φησιν, ὡς καὶ μικροῦ ἐγγὺς γενέσθαι τοῦ πεσεῖν καὶ κατενεχθῆναι. καὶ γὰρ οὕτως ἀνετράπην ὠσθείς, ὡς μέλλειν [καὶ] καταπίπτειν. ἀλλ' ὅτε λοιπὸν ἔμελλον ἐπὶ γόνυ φέρεσθαι, καὶ ″κλίνεσθαι, καὶ πάντα ἀπέγνωστο τὰ ἀνθρώπινα, τότε τὴν ἑαυτοῦ συμμαχίαν ἐπεδείξατο. ποιεῖ δὲ τοῦτο ὁ Θεός, ἵνα μηδεὶς τὴν ἑαυτοῦ δόξαν νοσφίζηται. οὕτω καὶ ἐν τῇ ἱστορίᾳ τῶν κριτῶν ἐπὶ τοῦ Γεδεὼν ἐποίησε. διὰ τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου, νυκτὸς οὔσης, τὸ τρόπαιον ἔστησεν. εἰ γὰρ μηδὲν συντελέσας εἰς τὴν νίκην ἐκεῖνος καὶ τὸν πόλεμον, ὅμως ἀπενοήθη· εἰ παρέστη μόνον τῇ παρατάξει, εἰ πίπτοντας εἶδε τοὺς ἀναιρουμένους, οὐκ ἂν μειζόνως τοῦτο ἔπαθεν; ὅταν τοίνυν ἀπογνωσθῇ ἐξ ἀνθρωπίνης ἐλπίδος τὰ πράγματα, τότε ἐπάγει τὴν παρ' ἑαυτοῦ συμμαχίαν. τοῦτο καὶ ἐπὶ τοῦ Γολιὰθ ἐποίησε, τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐν ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς.

14 Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Ὡσεὶ ἔλεγε· δύναμίς μου αὐτὸς ἐγένετο καὶ βοήθεια. τί δέ ἐστιν ὅ φησιν, ὕμνησίς μου; ἡ δόξα μου, ὁ αἶνός μου, ὁ κόσμος μου, ἡ περιφάνειά μου. οὐ γὰρ δὴ μόνον ἀπαλλάττει τῶν κινδύνων, δικαίων, ἀλλὰ καὶ λαμπροτέρους ποιεῖ καὶ περιφανεῖς. καὶ πανταχοῦ τοῦτο ἔστιν ἰδεῖν, μετὰ δόξης τὴν σωτηρίαν διδομένην. καὶ ἕτερον δέ τι διὰ τούτου αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι τοῦτό μοι, φησι, διηνεκὴς ᾠδὴ, τοῦτό μοι διηνεκὴς φωνὴ, ὁ ὕμνος ὁ εἰς αὐτόν· τοῦτό μοι ἔργον, διηνεκῶς αὐτὸν ἀνυμνεῖν. ἀκουέτωσαν οἱ ταῖς σατανικαῖς ᾠδαῖς κατασηπόμενοι, οἵαν ὑπομένουσι βλάβην. ποίας δ' ἂν καὶ τύχοιεν συγγνώμης, τούτου διηνεκῶς τὸν σωτῆρα ὑμνοῦντος, ἐκεῖνοι διηνεκῶς ἐν ταῖς τῶν δαιμόνων ᾠδαῖς ἐγκαλινδούμενοι;

15 Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Ὅταν γὰρ ὁ Θεὸς κατορθώσῃ τὸ πᾶν, οἱ τῆς νίκης ἀπολαύοντες χαίρουσι, σκιρτῶσι, διπλῇ γανύμενοι, καὶ ὅτι τῷ σωθῆναι, καὶ ὅτι τῷ ὑπὸ Θεοῦ σωθῆναι. τοῦτο ποιεῖται εὐφροσύνην ὁ τὸ τρόπαιον στήσας. εἶτα δεικνὺς καὶ τῆς συμμαχίας τῆς τοιαύτης τὴν ἀφορμὴν, ἐπήγαγεν, ἐν σκηναῖς δικαίων. οὐκ εἶπεν, ἐν οἰκίαις, ἀλλ' ἐν σκηναῖς, τὸ ἐσχεδιασμένον τῆς οἰκήσεως αὐτῶν παραστῆσαι βουλόμενος. τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Ἀβραὰμ, ὅτε ἐπανῆλθε τῶν βαρβάρων περιγενόμενος, λαμπρὸς ἀπὸ τῶν κατορθωμάτων γεγονώς· τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Παύλου, ὅτε ἐπανῄει τῶν δαιμόνων περιγενόμενος, καὶ τὴν πλάνην καταλύων, καὶ τὰ κατορθώματα διηγούμενος.

Γεν. ιδ. ιε.

16 Δεξιὰ Κυρίου ἐποίησε δύναμιν· δεξιὰ Κυρίου ὕψωσέ με.

Ὅρα τῆς ἀγαλλιάσεως τὴν ὑπόθεσιν. τοῦτο γὰρ καὶ νῦν λέγει, ὅπερ ἔμπροσθεν ἔλεγε, δεικνὺς ὅτι ὁ Θεὸς ταῦτα κατώρθωσεν. ὁρᾷς οὐκ ἐν ἀπαλλαγῇ μόνον δεινῶν, ἀλλὰ καὶ ἐν κλήσει περιφανείας γινομένην αὐτοῦ τὴν εὐεργεσίαν. εἰπὼν γὰρ, δεξιὰ Κυρίου ἐποίησε δύναμιν, ἐπήγαγε, δεξιὰ Κυρίου ὕψωσέ με, ἵνα τὴν αὐτοῦ γινομένην δόξαν δηλώσῃ. τὸ γὰρ, ὕψωσέ με, ἀντὶ τοῦ, ἐδόξασέν, ἐστιν. οὐ γὰρ μόνον δυνατοὺς ἐποίησεν, ἀλλὰ καὶ ἐνδόξους.

17 Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.

Οἱ μὲν κίνδυνοι, φησι, θάνατον ἠπείλουν· ἐγὼ δὲ οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι· τουτέστι, τοιαύτη ἡ τοῦ δεσπότου παραδοξοποιΐα, ὅτι καὶ ἐξ αὐτῶν ἥρπασε τῶν θανάτων, καὶ περὶ τῆς καινῆς ἐν τοῖς παραδόξοις κινδύνοις τῆς ἀναστάσεως τὴν εἰκόνα προδιαγράφων. ἔδωκε μὲν γὰρ καὶ ἐξ ἀρχῆς ἡμῖν αἰνίγματα, ὅτε τὸν Ἐνὼχ μετέστησε. καὶ εἰ ἀπιστεῖς ὅτι οὐ δυνατὸν ἀναστῆναι σώματα, ἀπὸ τούτου πίστευε. πῶς γὰρ ἤρκεσεν εἰς χρόνον τοσοῦτον τὸ σῶμα ἐκεῖνο; οὐ γάρ ἐστιν ἴσον οἰκίαν [μὴ] διεφθαρμένην ἀναστῆσαι, καὶ τὴν σαθρὰν καὶ παλαιὰν οὖσαν διακρατῆσαι ἐπὶ χρόνον τοσοῦτον. οὐκ ἐννοεῖς ὅτι οὐκ ὄντα ἐποίησεν; οὐκοῦν πολλῷ μᾶλλον ἀναστῆσαι δύναται. ἔχεις καὶ ἑτέραν εἰκόνα τῆς ἀναστάσεως, λέγω τὴν Ἠλιοῦ ἁρπαγὴν, ὃς οὐδέπω καὶ σήμερον ἐτελεύτησε. πάντα τῷ Θεῷ ῥᾴδια καὶ εὔκολα. Οὐκ ἀδυνατήσει, φησὶ, παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. καὶ ὁ προφήτης· Πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν. οὐχ ὁρᾷς ὅτι καί σοι δύσκολα τὰ τοῦ τέκτονος ἔργα; ἀλλ' ὅμως παραχωρεῖς τῇ τέχνῃ. εἶτα τῇ μὲν τοῦ συνδούλου τέχνῃ παραχωρεῖς, τοῦ δεσπότου δὲ τὴν σοφίαν εὐθύνας ἀπαιτεῖς, καὶ οὐ καταδέχῃ τῇ πίστει τὸ γινόμενον; καὶ πόσης ταῦτα ἄξια ἀνοίας; οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι. εἴ τις καὶ κατὰ ἀναγωγὴν ἐκλάβοι τὸ εἰρημένον, οὐχ ἁμαρτήσεται. εἰ γὰρ καὶ περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται (τὸ γὰρ οὐκ ἀποθανοῦμαι, δηλοῦντός ἐστιν ὅτι οὐδὲ ὁ θάνατος θάνατος) ἀλλ' ὅμως καὶ καθ' ἕτερον τρόπον νοεῖται. οὐκ ἀποθανοῦμαι γάρ, φησι, τὸν ἕτερον θάνατον· ὃν καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγεν· Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ. καὶ διηγήσομαι τὰ ἔργα Κυρίου. τοῦτο μάλιστα ζωὴ, τὸ καὶ αὐτὸν αἰνεῖν, καὶ εἰς ἅπαντας ἐξαγγέλλειν αὐτοῦ τὰ θαύματα. ποῖα ἔργα, εἰπέ μοι; ταῦτα δὴ ἃ μέλλει διηγεῖσθαι, ἐπάγων·

Γεν. ε. κδ.
δ. Βασ. β. ια.
Λουκ. α. λζ.
Ψαλ. ριγ. ια.
Ιω. ια. κε.

18 Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.

Εἶδες τὴν παραδοξοποιΐαν; εἶδες τὸ χρήσιμον; οὐ γὰρ δὴ μόνον ὅτι ἀπηλλάγη εὐχαριστεῖ, ἀλλ' ὅτι καὶ ἐνέπεσε χάριν οἶδε μεγίστην, καὶ λέγει τὸ κέρδος τοῦ πειρασμοῦ. ποῖον δὴ τοῦτο; παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, φησί. τοῦτο τῶν κινδύνων τὸ χρήσιμον, ὅτι βελτίονα εἰργάσαντο. εἶδες ἑκατέρωθεν αὐτοῦ τὴν δύναμιν καὶ τὴν κηδεμονίαν, καὶ ″τὸ ἀφεῖναι ἐναποληφθῆναι τοῖς κινδύνοις, καὶ ″τὸ πάλιν ἀπαλλάξαι. * τῷ γὰρ θανάτῳ οὐκ ἔδωκέ με, ἵνα δηλώσῃ ὅτι ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τὸ πᾶν ἔκειτο. ὥστε διπλῆν ἐκέρδανε σωτηρίαν, τήν τε τῶν δεινῶν, τήν τε τῆς κακίας ἀπαλλαγήν. διὸ καὶ Παῦλος ἔλεγεν Ἑβραίοις γράφων· Εἰ δὲ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.

19 Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.

Τοῖς παιδευομένοις αἱ πύλαι ἀνοίγονται, τοῖς ἀποτιθεμένοις τὰ ἁμαρτήματα. ὁ παιδευθεὶς μετὰ παρρησίας δύναται λέγειν, ἀνοίξατέ μοι πύλας δικαιοσύνης. καὶ γὰρ καὶ κατὰ ἀναγωγὴν ἐκληπτέον τὸ εἰρημένον, καὶ πύλας τὰς τῶν οὐρανῶν νοητέον, αἳ Ματθ.κε.ι. τοῖς πονηροῖς εἰσὶ κεκλεισμέναι· [πρὸς] ἃς δεῖ κρούειν διὰ τῆς ἀρετῆς, δι' ἐλεημοσύνης, διὰ δικαιοσύνης. Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Ματθ.ζ.ιγ. Εἰσὶ πύλαι θανάτου, εἰσὶ πύλαι ἀπωλείας, εἰσὶ πύλαι ζωῆς, εἰσὶ πύλαι στεναὶ καὶ τεθλιμμέναι. διὰ δὴ τοῦτο, ἐπειδὴ πολλαί, λέγει τὸ παράσημον τῆς τοῦ Κυρίου πύλης, ἐπάγων· αὕτη ἡ πύλη τοῦ Κυρίου. ἐκεῖναι γὰρ οὐχὶ τοῦ Κυρίου. καὶ τὸ παράσημον ποῖον αὐτῆς; τὸ δι' αὐτῆς τοὺς παιδευομένους εἰσιέναι, τοὺς θλιβομένους. στενὴ γάρ ἐστι καὶ τεθλιμμένη. εἰ δὲ τεθλιμμένη, οἱ θλιβόμενοι δι' αὐτῆς βαδιοῦνται· ὥσπερ ἡ πρὸς ἀπώλειαν πλατεῖα καὶ εὐρύχωρος.

20 Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

Οὐχ ἁπλῶς εἶπεν, ἐπήκουσας, ἀλλὰ πρότερον παιδεύσας καὶ βελτίω ποιήσας. διὸ καὶ εὐχαριστεῖ, οὐ ″περὶ ὧν ἠκούσθη, ἀλλὰ καὶ ὑπὲρ ὧν ἐπαιδεύθη. διὰ γὰρ τοῦτο ἠκούσθη. καὶ πανταχοῦ πολὺ τοῦτο παρ' αὐτῷ τὸ τῆς εὐχαριστίας εἶδος. ὅπερ γὰρ εἶπον, καὶ λέγων οὐ παύσομαι, τοῦτο μάλιστα θυσία καὶ προσφορά. 21 Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

Ὅτι μὲν οὖν εἰς Χριστὸν τὸ εἰρημένον, παντί που δῆλον. καὶ γὰρ αὐτὸς ἐν τοῖς εὐαγγε- Ματθ.κα.μβ. λίοις ταύτην παράγει τὴν προφητείαν λέγων· Οὐδέποτε ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; εἰ δὲ μὴ δοκεῖ ἐξ αὐτοῦ ἠρτῆσθαι τῆς ἱστορίας τὸ εἰρημένον, ἀλλὰ μέσον τὴν ἀκολουθίαν διακόψασα ἡ προφητεία ἐπεισῆλθε, θαυμαστὸν οὐδέν, οὐδὲ καινόν. οὕτω γὰρ καὶ αἱ πλείους τῶν προφητειῶν ἐξεφωνήθησαν, διὰ τὸ δεῖν αὐτὰς συσκιάζεσθαι τέως, ὥστε μὴ καὶ τὰ βιβλία ἐξαλειφθῆναι. ἐπεὶ καὶ ἡ περὶ τῆς γεννήσεως αὐτοῦ προφητεία, δοκεῖ μὲν ἀπὸ τῆς ἱστορίας ἠρτῆσθαι, Ησ.ζ.ιδ. οὐδὲν δὲ κοινὸν ἔχει πρὸς ἐκείνην· οἷον τό, Ἰδού, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες. οἰκοδομοῦντας τοὺς Ἰουδαίους λέγει, τοὺς νομοδιδασκάλους, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους· ὅτι ἀπεδοκίμαζον αὐτὸν λέγοντες, Ιω.η.μη. Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις. καὶ πάλιν· Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλα- Ιω.ζ.ιβ. νᾷ τὸν ὄχλον. ἀλλ' ὅμως οὗτος ὁ ἀποδοκιμασθείς, οὕτως ἐφάνη δόκιμος, ὡς γενέσθαι κεφαλὴν γωνίας. οὐ γὰρ ἅπας λίθος εἰς γωνίαν ἐπιτήδειος, ἀλλ' ὁ δοκιμώτατος, καὶ ὁ ἑκατέρας πλευρᾶς τοὺς τοίχους συνδῆσαι δυνάμενος. ὃ τοίνυν ὁ προφήτης λέγει, τοῦτό ἐστιν· ὅτι ὁ ἀποδοκιμασθεὶς παρὰ τῶν Ἰουδαίων καὶ ἐξουθενηθείς, οὗτος ἐφάνη θαυμαστός, ὥστε μὴ μόνον οἰκοδομὴν ὑφᾶναι, ἀλλὰ καὶ δύο συνδῆσαι τοίχους. ποίους δὴ τοίχους; τοὺς ἐξ Ἰουδαίων καὶ Ἑλλήνων πιστεύοντας, καθάπερ καὶ ὁ Παῦλος λέγει· Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον. καὶ πάλιν· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου * Ἰησοῦ Χριστοῦ. τὸ δὲ εἰρημένον πολλὴ κατηγορία τῶν Ἰουδαίων, ὅτι οἰκοδομοῦντες τὸν ἐπιτήδειον λίθον οὐκ "ἔκριναν, ἀλλὰ καὶ ὡς ἀδόκιμον ἔρριψαν, τοιαύτην δυνάμενον οἰκοδομὴν ὑφᾶναι. εἰ δὲ βούλει τοὺς δύο τοίχους μαθεῖν, ἄκουσον καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ συναγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. τοῦτο καὶ ἄνωθεν ὡς ἐν τύπῳ γέγονεν. ὁ γὰρ Ἀβραὰμ γέγονεν ἑκατέρων πατριάρχης, τῶν τε ἐν ἀκροβυστίᾳ, τῶν τε ἐν περιτομῇ· ἀλλ' ἐκεῖνο μὲν ἐν τύπῳ, τοῦτο δὲ ἐν ἀληθείᾳ. οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· τουτέστι, συνέδησεν ἑκάτερα τὰ ἔθνη.

Ἐφεσ. β. ιδ. κ.

Ἰω. ι. ις.

Ρω. ιδ. ια.

ἄλλο

ἐξίωσαν,

22 Παρὰ Κυρίου ἐγένετο αὕτη.

Τί ἐστι, παρὰ Κυρίου ἐγένετο αὕτη; οὐκ ἦν ἀνθρώπινον, φησὶ, τὸ γινόμενον, οὐκ ἦν ἑνὸς τῶν πολλῶν, οὐκ ἦν ἀγγέλων, οὐκ ἦν ἀρχαγγέλων, τὸ τοιαύτην πλέξαι γωνίαν. οὐδεὶς γοῦν ἴσχυσεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλὰ Θεοῦ τὸ κατόρθωμα μόνον. καὶ γὰρ τοῦτο ἰδικῶς αὐτοῦ τὸ ἔργον. ἕτερος δὲ ἑρμηνευτής, παρὰ Κυρίου ἐγένετο τοῦτο, φησί· τουτέστι, τοῦτο τὸ ἔργον, τὸ θαυμαστὸν καὶ παράδοξον, τὸ τῆς γωνίας. Καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Τίς δὲ ἐστι θαυμαστή; ἡ γωνία, ἡ σύνοδος τῶν δύο λαῶν ἡ εἰς τὴν εὐσέβειαν. καὶ γὰρ ἐκ τῶν Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν, καὶ οἱ ἀπόστολοι δὲ ἐξ Ἰουδαίων. καλῶς εἶπεν, ἐν ὀφθαλμοῖς ἡμῶν. * τίς γὰρ οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειεν, ὅτι ἔνθα ἐσταυρώθη Χριστὸς, ἐκεῖ προσκυνεῖται Χριστὸς, καὶ οἱ μὲν σταυρώσαντες ἐν ἀτιμίᾳ, οἱ δὲ προσκυνοῦντες ἐν δόξῃ; καὶ γὰρ πᾶσαν τὴν οἰκουμένην διέδραμεν ὁ λόγος, συνάπτων τῇ ἀληθείᾳ ἅπαντας. ἔστι μὲν οὖν καὶ τοῖς ὁπωσοῦν ἐξετάζουσι θαυμαστή· πολλῷ δὲ ἀκριβέστερον καὶ σαφέστερον τοῖς πιστεύουσι. διὰ τοῦτο εἶπεν, ἐν ὀφθαλμοῖς ἡμῶν.

γὰρ πᾶσιν
τὸ θαῦμα
πάδηλον.

Ρω. ι. ιη.

23 Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ἡμέραν ἐνταῦθα, οὐχὶ τὸν δρόμον λέγει τὸν ἡλιακὸν, ἀλλὰ τὰ κατορθώματα τὰ ἐν αὐτῇ γεγενημένα. ὥσπερ γὰρ ἡμέραν πονηρὰν λέγων, οὐ τὸν δρόμον λέγει τοῦ ἡλίου, ἀλλὰ τὰ ἐν αὐτῇ κακά· οὕτω καὶ ἡμέραν ἀγαθὴν, τὰ ἐν αὐτῇ κατορθώματα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὰ τοῦ Θεοῦ κατορθώματα τὰ ἐν αὐτῇ γινόμενα, Θεὸς ἐποίησε. τῆς γὰρ χειρὸς ἐκείνης μόνης ἦν, τὸ τελέσαι τὰ γεγενημένα. τί τοίνυν τῆς ἡμέρας ταύτης ἴσον, ἐν ᾗ καταλλαγὴ Θεοῦ πρὸς ἀνθρώπους ἐγένετο, καὶ χρόνιος ἐλύθη πόλεμος, καὶ οὐρανὸς ἀπεδείχθη ἡ γῆ, καὶ οἱ τῆς γῆς ἀνάξιοι ἄνθρωποι τῆς βασιλείας ἐφάνησαν ἄξιοι, καὶ ἡ ἀπαρχὴ τῆς φύσεως τῆς ἡμετέρας ὑπεράνω τῶν οὐρανῶν ἀνηνέχθη, καὶ παράδεισος ἠνοίγη, καὶ τὴν ἀρχαίαν ἀπελάβομεν πατρίδα, καὶ κατάρα ἠφανίσθη, καὶ ἁμαρτία ἐλύθη, καὶ οἱ διὰ τοῦ νόμου κολασθέντες, χωρὶς τοῦ νόμου σωτηρίας ἐπέτυχον, καὶ πᾶσα ἡ γῆ καὶ θάλαττα τὸν δεσπότην ἐπέγνω τὸν ἑαυτῆς, καὶ μυρία ἕτερα γέγονεν, ἅπερ οὐκ ἔστι νῦν ἐπελθεῖν τῷ λόγῳ. διὰ δὴ τοῦτο ὁ προφήτης ἅπαντα ταῦτα ἐννοήσας, τῷ Θεῷ τὸ πᾶν ἀνατίθησι, "δηλῶν ὅτι τοῦ Θεοῦ ἔργα ἐστὶ τὰ γεγενημένα. ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. εὐφροσύνην ἐνταῦθα, τὴν πνευματικὴν, τὴν νοερὰν λέγει, τὴν τῆς διανοίας. ἀγαλλιασώμεθα οὖν καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ὅτι τοσούτων ἐπετύχομεν ἀγαθῶν.

γαθῶν. καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν κατόρθωμα, τὸ χαίρειν ἐπὶ τοῖς ἀγαθοῖς, τὸ σκιρτᾷν, τὸ εὐφραίνεσθαι, τὸ μετὰ ἡδονῆς δέχεσθαι τοῦ Θεοῦ τὰς εὐεργεσίας.

24 Ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή.

Τί ἐστι τό, ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή; ἐπειδὴ εἶδε τῆς οἰκουμένης τὴν εὐημερίαν, καὶ τὴν τῶν πραγμάτων μεταβολήν, καὶ τὴν πρὸς τὸ βέλτιον μετάστασιν, συγχαίρων τοῖς ἀπολαύουσιν, ὦ Κύριε σῶσον δή εἶπεν, ὦ Κύριε εὐόδωσον δή· τουτέστι, διάσωσον δὴ τοὺς ἀπολαύοντας, ὥστε καὶ ἐμπλησθῆναι, καὶ καρποὺς ἀξίους ἐπιδείξασθαι τῆς χάριτος· ῥᾳδίαν αὐτοῖς ποίησον τὴν ὁδόν, ὥστε μετὰ τὸ τυχεῖν μὴ ἐκπεσεῖν τῶν τοιούτων καλῶν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Οὐ γὰρ δὴ μέχρι τῶν γεγενημένων ἵσταται τὰ ἡμέτερα, ἀλλ' ἐφ' ἕτερα πρόεισι μείζονα, τὴν ἀνάστασιν, τὴν βασιλείαν, τὴν μετὰ Χριστοῦ λῆξιν. ἅπερ ἅπαντα παραστῆσαι βουλόμενος, ἐπήγαγεν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. τοῦτο καὶ ὁ Χριστὸς Ἰουδαίοις ἔλεγεν· Ματθ. κγ. λθ. Ἀμὴν λέγω ὑμῖν, οὐ μή με ἴδητε, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο αὐτὸ προεβάλλοντο, ὅτι οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι ἀντίθεός ἐστι, λέγει αὐτοῖς, ὑμεῖς μοι μαρτυρήσετε ὅτι οὐκ ἀντίθεος ἐγώ, ὅταν ἴδητε ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ ταύτην ἀφῆτε τὴν φωνὴν λέγοντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἐν εὐφημίας ῥήμασι τῆς ἀπολογίας ἑαυτῶν ἐκβάλλοντες. ἡ γὰρ ἐπιφάνεια τῶν γινομένων τότε ταύτην παρασκευάσει τὴν φωνὴν ἀφεῖναι, ὁμοῦ μὲν εὐφημοῦντας, ὁμοῦ δὲ τὴν κατηγορίαν πικροτέραν ποιοῦντας καθ' ἑαυτῶν.

25 Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Τὸν δῆμον ἅπαντα λέγει τῶν πιστῶν, τὸν εὐλογίας ἀπολαύσαντα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. καὶ γὰρ πανταχοῦ φαίνονται οἱ προφῆται μακαρίζοντες τοὺς μέλλοντας πιστεύειν. τίνος ἕνεκεν εὐλογήκαμεν; καὶ πόθεν ὁ μακαρισμός; ὅτι ὁ Θεὸς ἐπέφανεν ἡμῖν. Τιτ. β. ια. ιγ. Ἐπεφάνη γάρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν. καὶ πάλιν ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐνταῦθα τοίνυν ὁ προφήτης τὴν σάρκωσιν θαυμάζει, ὅτι Θεὸς ὤν, καὶ Κύριος, καὶ τῆς οὐσίας ἐκείνης, κατηξίωσεν ἐπιφανῆναι. ἐπιφάνειαν δὲ τὴν οἰκονομίαν λέγει, τὸ εἰς μήτραν εἰσελθεῖν παρθενικήν, τὸ ἄνθρωπον γενέσθαι, καὶ ἀνθρώποις συναναστραφῆναι. διὰ δὴ τοῦτο εὐλογήκαμεν ὑμᾶς, φησιν, ὅτι τοιαύτης ἀπελαύσατε δωρεᾶς. τοῦτο καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγε· Ματθ. ιγ. ιζ. Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ εἴδετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

26 Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

Ἕτερος, ″Συνδήσατε ἐν πανηγύρει πυκάσματα. Ἄλλος, Δήσατε ἑορτὴν ἐν ″πιμελαῖς. Ἐπὶ τὴν ἱστορίαν ἐξέβη πάλιν ἀπὸ τῆς προφητείας. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἑορτάσατε, πανηγυρίσατε. τί δέ ἐστι, συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι; κατὰ μὲν τὸν ἕνα ἑρμηνευτήν, θύσατε θυσίας λιπαράς· κατὰ δὲ τὸν ἕτερον, στεφανώματα καὶ κλάδους ἀνάψατε τῷ ναῷ. τὸ δὲ Ἑβραϊκὸν τοῦτο οὕτως εἶπεν, Ἐσρουάγ βαάδ ὀθθίμ. ἄν τε οὖν τοῦτο, ἄν τε ἐκεῖνο ᾖ, ἑορτὴν δηλοῖ, καὶ φαιδρὰν ἡμέραν καὶ πανήγυριν. ἀπὸ γὰρ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ μετήγαγε πάλιν τὸν λόγον, καὶ τῆς ἐπανόδου τύπων ἐμνημόνευσε.

27 Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· 28 Θεός μου εἶ σύ, καὶ ὑψώσω σε.

Ἐνταῦθα δείκνυσιν ὅτι καὶ χωρὶς τῶν εὐεργεσιῶν δεῖ εὐχαριστεῖν τῷ Θεῷ, καὶ διὰ τοῦτο δοξάζειν αὐτόν, διὰ τὴν μεγαλωσύνην, διὰ τὴν οὐσίαν, διὰ τὴν ἀπόρρητον δόξαν. τοῦτο γὰρ αἰνίττεται, μετὰ τὸ εἰπεῖν τὰς εὐεργεσίας ἃς εὐηργετήθη, οὕτως ἐπαγαγών. λέγει γὰρ, ὅτι καὶ χωρὶς τούτων εὐχαριστήσω, ὅτι τοιοῦτον ἔχω δεσπότην, οὕτως ὑψηλὸν, οὕτω μέγαν, οὕτως ἀόρατον, οὕτως ἀκατάληπτον. τὸ γὰρ, ὑψώσω, δοξάσω ἐστίν. 29 Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Οὐκ αὐτὸς ταύτην ἀναφέρειν τὴν θυσίαν μόνον ἀρκεῖται, ἀλλὰ καὶ κοινωνοὺς πολλοὺς καλεῖ τῆς εὐφημίας καὶ τῆς εὐχαριστίας· καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἀνακηρύττει, πανταχοῦ τὸ διαρκὲς αὐτῆς ὑμνῶν καὶ τὸ μέγεθος. ταῦτα δὴ οὖν καὶ ἡμεῖς εἰδότες, μένωμεν διὰ παντὸς εὐχαριστοῦντες τῷ φιλανθρώπῳ Θεῷ, καὶ ταύτην " ἀναφέρωμεν τὴν θυσίαν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ριθ. ΩΔΗ ΤΩΝ ΑΝΑΒΑΘΜΩΝ. ΕΤΕΡΟΣ, ΩΔΗ τῶν ἀναβάσεων.

Τῶν μὲν ἄλλων ψαλμῶν ἑκάστῳ ἰδία τίς ἐστιν ἐπιγραφή· ἐν ταύτῃ δὲ ὁμοῦ πολλοὶ συνελθόντες μίαν ἔλαβον προσηγορίαν, " ᾠδὴ τῶν ἀναβαθμῶν, ἢ ὡς ἕτερος εἶπεν ἑρμηνευτὴς, τῶν ἀναβάσεων. τινὲς δὲ αὐτοὺς καὶ ἀναβαθμοὺς καλοῦσι. καὶ τίνος, " φησὶν, ἕνεκεν οὕτως εἰσὶν εἰρημένοι; κατὰ μὲν τὴν ἱστορίαν, ὅτι περὶ τῆς ἀνόδου διαλέγονται τῆς ἐκ Βαβυλῶνος, καὶ τῆς αἰχμαλωσίας μνημονεύουσι τῆς ἐκεῖσε· κατὰ δὲ τὴν ἀναγωγὴν, ὅτι εἰς τὴν κατ' ἀρετὴν ὁδὸν χειραγωγοῦσι· τινὲς γὰρ οὕτως αὐτοὺς ἐξέλαβον. καὶ γὰρ ἡ ἐκεῖ φέρουσα ὁδὸς ἀναβαθμοῖς ἔοικε, κατὰ μικρὸν ἀνάγουσα τὸν ἐνάρετον καὶ φιλόσοφον ἄνδρα, καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ἰσῶσα οὗτον. ἄλλοι δὲ τὴν τοῦ Ἰακὼβ κλίμακα διὰ τούτων αἰνίττεσθαί φασι, τὴν ἀπὸ γῆς ἐστηριγμένην πρὸς οὐρανὸν, [δειχθεῖσαν αὐτῷ.] οὕτω γὰρ καὶ τὰ ἄβατα τῶν χωρίων καὶ ὑψηλότερα, βατὰ γίνεται, βαθμῶν καὶ κλιμάκων ὑποτεθειμένων ἡμῖν. ἀλλ' ὥσπερ τοὺς " ἀνιόντας, ἐπειδὰν εἰς ὕψος ἀνενεχθῶσιν, ἀνάγκη ἰλιγγιᾶν, διὰ τοῦτο οὐχὶ ἀναβαίνοντας μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ ἄκρον γινομένους ἀσφαλίζεσθαι χρή· μία δὲ ἀσφάλεια, ὅταν μὴ ὅσον ἀνέβημεν, ἴδωμεν καὶ ἀπονοηθῶμεν, ἀλλ', ὅσον ἀναβῆναι λείπει, κατοπτεύσωμεν, καὶ πρὸς ἐκεῖνο τεινώμεθα. ὃ καὶ Παῦλος δηλῶν ἔλεγε· Τῶν ὄπισθεν ἐπιλανθανόμενοι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι. ἀλλ' ὁ μὲν τῆς ἀναγωγῆς λόγος, οὗτος· ἡμεῖς δὲ λοιπὸν, εἰ δοκεῖ, " ἔλθωμεν ἐπὶ τὴν ἱστορίαν, καὶ ἴδωμεν τοὺς τῆς αἰχμαλωσίας ἀπαλλαγέντας. πῶς οὖν ἀπηλλάγησαν τῆς αἰχμαλωσίας; τῷ πόθῳ τῶν Ἱεροσολύμων· ὡς οἵγε μὴ τοῦτον κατορθώσαντες, οὐδὲν ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος ἐκέρδανον, ἀλλ' ἐναπέμειναν τῇ δουλείᾳ καὶ ἐναπέθανον· " οὓς καὶ ἡμεῖς ἂν ζηλώσωμεν, τὸ αὐτὸ πεισόμεθα. ἂν γὰρ μὴ τῷ τῶν οὐρανίων ἔρωτι κατασχεθῶμεν καὶ τῷ πόθῳ τῆς ἄνω Ἱερουσαλὴμ, * ἀλλὰ τῷ παρόντι βίῳ προσηλωθῶμεν διαπαντὸς, ἐγκαλινδούμενοι τῷ πηλῷ τῶν βιωτικῶν φροντίδων, οὐ δυνησόμεθα τὴν πατρίδα ἀπολαβεῖν.

Γε. κη. ιβ.

Φιλιπ. γ. ιδ.

1 Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

Εἶδες τῆς θλίψεως τὸ κέρδος, εἶδες τῆς φιλανθρωπίας τὸ ἕτοιμον· τῆς θλίψεως τὸ κέρδος, ὅτι πρὸς εὐχὴν αὐτοὺς ἤγαγε καθαράν· τῆς φιλανθρωπίας τὸ πρόχειρον, ὅτι καλοῦσιν εὐθέως ἐπένευσεν· " ὃ καὶ τοῖς ἐν Αἰγύπτῳ ἐποίησε πρότερον. διὸ καὶ λέ-

Ἐξοδ. γ. ζ. γ΄· Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐν θλίψει γενόμενος, μὴ ἀπογίνωσκε, μηδὲ ῥᾴθυμος γίνου, ἀλλὰ τότε μάλιστα διανάστηθι· ἐπεὶ καὶ τότε καθαρώτεραι αἱ εὐχαί, καὶ πλείων ἡ εὔνοια ἡ παρὰ τοῦ Θεοῦ· καὶ πάντα τὸν βίον οὕτω ζῆθι, ὡς ἐπίπονον εἶναί σοι τὴν ζωήν· β. Τιμ. γ. ιϐ. Εἰδὼς ὅτι πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· Πράξ. ιδ. κβ. Καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. μὴ τοίνυν τὸν ὑγρὸν καὶ διακεχυμένον ἀγαπήσῃς βίον, μηδὲ τὴν εὐρύχωρον θελήσῃς βαδίζειν (οὐ γὰρ φέρει αὕτη πρὸς τὸν οὐρανὸν ἡ ὁδός) ἀλλὰ τὴν στενὴν καὶ τεθλιμμένην. εἰ δὲ βούλει περὶ τὰς ἄνω διατριβὰς κατελυτῆσαι, φεῦγε τὰς ἡδονάς· καταπάτει τὴν φαντασίαν τοῦ βίου· πλοῦτον καὶ δόξαν καὶ δυναστείαν ἀτίμαζε· πενίαν δὲ καὶ συντριβὴν διανοίας καὶ ἐξομολόγησιν καὶ δακρύων πηγὰς κτῆσαι· καὶ πάντα τὰ σωτηρίαν δυνάμενα προξενεῖν μέτελθε. ταῦτα γὰρ καὶ ἀσφαλέστερον τὸν κεκτημένον καθίστησι, καὶ τὰς εὐχὰς ὑψηλοτέρας ἐργάζεται. ἂν οὕτω σεαυτὸν κατασκευάσῃς, καὶ μετὰ τοιαύτης καλέσῃς διανοίας καὶ σὺ τὸν Θεόν, πάντως ἀκούσεταί σου. διὰ γὰρ τοῦτο καὶ ὁ προφήτης εἶπεν, ὅτι ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ ἐπήκουσέ μου, ἵνα μάθῃς ἀναβαίνειν κατὰ μικρόν, καὶ τὰς εὐχὰς ἐπτερωμένας ἐργάζεσθαι· ἵνα μὴ δυσχεραίνῃς μηδὲ δ. Βασ. δ. κζ. ἀλύῃς ἐν ταῖς θλίψεσιν, ἀλλὰ δρέπῃ τὸ ἀπ' αὐτῶν κέρδος. Εἰ γὰρ ὁ Ἐλισσαῖος ἄνθρωπος ὤν, προσιοῦσαν τὴν γυναῖκα οὐκ ἀφίησι τὸν μαθητὴν ἀπώσασθαι, ἄφες λέγων αὐτήν, ὅτι κατώδυνός ἐστιν ἡ ψυχὴ αὐτῆς· οὐδὲν ἕτερον ἐμφαίνων ἐκ τούτου, ἢ ὅτι ἀπολογίαν μεγίστην ἔχει καὶ συνηγορίαν τὴν θλῖψιν· πολλῷ μᾶλλον ὁ Θεὸς οὐ διακρούσεταί σε μετὰ κατωδύνου ψυχῆς προσιόντα. διὰ τοῦτο καὶ ὁ Χριστὸς μακαρίζει τοὺς πενθοῦντας, καὶ τοὺς γελῶντας ταλανίζει. [διὰ τοῦτο] καὶ τῶν μακαρισμῶν ἀρχόμενος, ἐντεῦθεν τὸ προοίμιον ἐποιήσατο, λέγων· Ματθ. ε. δ. Μακάριοι οἱ πενθοῦντες. Εἰ τοίνυν βούλει τοὺς ἀναβαθμοὺς ἀναβαίνειν τούτους, πρόκοψον τὸ διαλελυμένον καὶ χαῦνον τοῦ βίου· σύσφιγξον σεαυτὸν τῷ ἐπιπόνῳ τῆς πολιτείας· ἀπόστησον τῶν γηΐνων πραγμάτων. αὕτη πρώτη ἐπίβασις. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁμοῦ καὶ κλίμακα ἀναβαίνειν, καὶ τῆς γῆς ἔχεσθαι. ὁρᾷς πόσον τὸ ὕψος τοῦ οὐρανοῦ· οἶσθα τοῦ χρόνου τὴν βραχύτητα, οἶσθα τὸ ἄδηλον τοῦ θανάτου. μὴ τοίνυν μέλλε, μηδὲ ἀναβάλλου, ἀλλὰ πολλῇ τῇ σφοδρότητι ταύτης ἅψαι τῆς ἀποδημίας, ἵνα ἐν μιᾷ ἡμέρᾳ καὶ δύο καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσιν ἀναβαίνῃς ἀναβαθμούς.

2 Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας.

Λουκ. κβ. μς. Ὅρα ἐνταῦθα τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διαλάμπον· Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. τούτου γὰρ τοῦ πειρασμοῦ οὐδὲν ἴσον, ἀγαπητέ, τοῦ δολερῷ περιπεσεῖν ἀνθρώπῳ. ὁ τοιοῦτος καὶ θηρίου χαλεπώτερος. τὸ μὲν γάρ, ὅπερ ἐστί, φαίνεται· οὗτος δὲ τῷ παραπετάσματι πολλάκις ἐπιεικείας τὸν ἰὸν ἀπέκρυψεν, ὡς καὶ δυσφώρατον γενέσθαι τὴν ἐνέδραν, καὶ βαράθρῳ περιπεσεῖν ἀφυλάκτως τὸν ἐμπίπτοντα. διὰ τοῦτο συνεχῶς ἄνω καὶ κάτω τοῦτο παρακαλεῖ τὸν Θεόν, τῶν τοιούτων ἐπιβούλων ἀπαλλάττεσθαι. εἰ δὲ τοὺς δολεροὺς δεῖ φεύγειν καὶ ὑπούλους, πολλῷ μᾶλλον τοὺς ἀπατεῶνας καὶ πονηρὰ δόγματα ἐνιέντας. μάλιστα δὲ ἄδικα εἴποι τις ἂν χείλη ἐκεῖνα, τὰ περὶ τὴν ἀρετὴν βλάπτοντα, τὰ πρὸς κακίαν ἀπάγοντα. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης ὑπὲρ τὴν ψυχὴν αὐτὴν ἀξιοῖ ῥυσθῆναι. ἐκεῖ γὰρ ἐνίησι τὰ βέλη.

3 Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Ἕτερος, Τί παρέξει σοι, ἢ τί προσθήσει σοι, γλῶσσα δολία; Ὁ δὲ ἕτερος, Τί δῴη σοι, καὶ τί προστεθείη σοι, γλῶσσα, ἢ κατ' ἐπιθέσεως; Οὐδὲν οὕτω ἕτερον παρίστησι τὸ εἰρημένον, ἢ ὅτι μεγάλη αὕτη ἡ πονηρία, καὶ χαλεπὸν τῆς κακίας τὸ εἶδος. διὰ δὴ τοῦτο ὁρᾷς καὶ τὸν προφήτην θυμούμενον, ὀργιζόμενον, καὶ λέγοντα· Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; ὃ δὲ λέγει, τοῦτό ἐστι· ποία ἂν τῆς κακίας ταύτης εὑρεθείη ἀξία τιμωρία; ὅπερ καὶ Ἰουδαίοις Ἡσαΐας ἔλεγε, Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; τοῦτο δὴ καὶ αὐτός· τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; ἢ τοῦτο τοίνυν φησὶν *, ἢ ὅτι καὶ αὐτὸ τοῦτο τιμωρία ἐστὶ, καὶ πρὸ τῆς δίκης σαυτὸν ἀπαιτεῖς δίκην, οἴκοθεν τὴν κακίαν τίκτων. μεγίστη γὰρ τῆς ψυχῆς τιμωρία, κακία, καὶ πρὸ τῆς δίκης. τίς οὖν ἂν γένοιτο ἀξία τῷ τοιούτῳ δίκη; ἐνταῦθα μὲν οὐδεμία· ἡ δὲ παρὰ τοῦ Θεοῦ πληγή. ἄνθρωπος μὲν γὰρ οὐκ ἂν κατ' ἀξίαν * ἀμύναιτο. ὑπερβαίνει γὰρ πᾶσαν τιμωρίαν ἡ πονηρία. ὁ Θεὸς δὲ ἐπάξει τὴν πληγήν. διὸ καὶ ἐμφαίνων τοῦτο, ταχέως ἐπήγαγε λέγων· 4 Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Ἡσ. α. ε.

* ποία εὑρεθή- σεται τιμωρία ἀξία τῆς κακί- ας;

* α

Πάλιν βέλη ἐνταῦθα τὰς τιμωρίας καλεῖ. Ἕτερος δὲ ἑρμηνευτής, Βέλη τοῦ δυνατοῦ ἠκόνηται), εἶπε, μετὰ ἀνθράκων ἐστοιβασμένων. Καὶ ἕτερος, Σὺν ἀνθρακιαῖς ἀρκευθίναις· τῇ μεταφορᾷ τῶν ὀνομάτων αὔξων τῆς τιμωρίας τὸν φόβον. τό, τε γὰρ ἐστοιβασμένων, τό, τε ἀρκευθίναις, τὴν αὐτὴν ἔχει ἔννοιαν. ἐκεῖ μὲν γὰρ τὸ πλῆθος παρίστησιν, ἐνταῦθα δὲ τὴν ποιότητα καὶ τὴν σφοδρότητα τῆς τιμωρίας· ὅπερ οὖν καὶ οἱ ἑβδομήκοντα δηλοῦντες, Σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς, ἐξέδωκαν· τουτέστιν, ἐρημοποιοῖς, δαπανῶσιν, ἀναλίσκουσιν. ἀπὸ γὰρ τῶν παρ' ἡμῖν φοβερῶν ὑλῶν καὶ τοῦ Θεοῦ τὰς τιμωρίας σχηματίζουσιν αἱ γραφαί, βέλη καὶ πῦρ αὐτὰς καλοῦσαι. ἐνταῦθα δέ μοι τοὺς βαρβάρους αἰνίττεσθαι δοκεῖ. διὸ καὶ τοῦτο δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε, ῥῦσαι ψυχήν μου ἀπὸ χειλέων ψευδοῦς. τοιαῦτα γὰρ αὐτῶν τὰ ῥήματα, τοιοῦτοι οἱ δόλοι καὶ αἱ ἐπιβουλαί, πλάνης γέμοντα ἅπαντα καὶ πολλῆς τῆς κακίας.

5 Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη. κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Ἕτερος, Ὤμοι ὅτι παροικίαν παρείλκυσα. Ἄλλος, Ὤμοι, ὅτι προσηλύτευσα ἐν μακρυσμῷ. Ταῦτα μὲν οὖν οὗτοι θρηνοῦσιν ὑπὲρ τῆς αἰχμαλωσίας τῆς ἐν Βαβυλῶνι· ὁ δὲ Παῦλος ὑπὲρ τῆς ἐνταῦθα διατριβῆς, λέγων, Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ, στενάζομεν βαρούμενοι. καί, Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν. καὶ γὰρ παροικία ὁ παρὼν βίος. καὶ τί λέγω παροικίαν; ὅπουγε καὶ τῆς παροικίας ἐστὶν εὐτελέστερον πρᾶγμα. ὅθεν αὐτὴν καὶ ὁδὸν ἐκάλεσεν ὁ Χριστὸς λέγων· Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ γὰρ αὕτη ἀρίστη διδασκαλία, μάλιστα καὶ ἡ πρώτη, τὸ εἰδέναι ὅτι πάροικοί ἐσμεν κατὰ τὸν παρόντα βίον. διὸ καὶ οἱ παλαιοὶ τοῦτο ὡμολόγουν, καὶ διὰ τοῦτο μάλιστα ἐθαυμάσθησαν. τοῦτο καὶ Παῦλος δηλῶν, ἔλεγε γράφων· Διὰ ταύτην τὴν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς αὐτῶν καλεῖσθαι. ποίαν αἰτίαν, εἰπέ μοι; ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι. τοῦτο ἀρετῆς ἁπάσης ῥίζα καὶ ὑπόθεσις. ὁ γὰρ τῶν ἐνταῦθα ξένος, τῶν ἄνω πολίτης ἐστί· ὁ τῶν ἐνταῦθα ξένος, οὐκ ἐμφιλοχωρήσει τοῖς παροῦσιν, οὐκ οἰκίας ἐπιμελήσεται, οὐ χρημάτων, οὐ τροφῆς, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. ἀλλ' ὥσπερ οἱ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πάντα ποιοῦσι καὶ πραγματεύονται πρὸς τὴν ἐπὶ τῇ πατρίδι ἀποκατάστασιν, καὶ καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν τὴν ἐνεγκοῦσαν ἰδεῖν· οὕτω καὶ ὁ τῶν μελλόντων ἐρῶν, οὔτε τοῖς λυπηροῖς ταπεινωθήσεται παροῦσιν, οὔτε τοῖς χρηστοῖς ἐπαρθήσεται, ἀλλ' ἑκάτερα παραδραμεῖται, καθάπερ ὁδὸν βαδίζων. διά τοι τοῦτο καὶ ἐν τῇ προσευχῇ κελευόμεθα λέγειν, Ἐλθέτω

β. Κορ. ε. δ.

Ρω. η. κγ.

Ματθ. ζ. ιδ.

Ἑβρ. ια. ις.

Ματθ. ς. ι.

ἡ βασιλεία σου, ἵνα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς ἡμέρας ἐκείνης στρέφοντες, καὶ πρὸ ὀφθαλμῶν αὐτὴν ἔχοντες, μηδὲ ″ὁρῶμεν τὰ παρόντα. Εἰ γὰρ Ἰουδαῖοι τῶν Ἱεροσολύμων ἐπιθυμοῦντες, θρηνοῦσι τὰ παρελθόντα καὶ μετὰ τὸ ἀπαλλαγῆναι, τίνα ἂν σχοίημεν ἡμεῖς συγγνώμην, ποίαν δὲ ἀπολογίαν, μὴ σφοδρῷ κατεχόμενοι πόθῳ τῆς ἄνω Ἱερουσαλήμ; ὅρα γοῦν πῶς καὶ οὗτοι θρηνοῦσι τὴν μετ᾽ ἐκείνων διατριβήν, κατεσκήνωσα, λέγοντες, μετὰ τῶν σκηνωμάτων Κηδάρ. Πολλὰ παρῴκησεν ἡ ψυχή μου.

γρ. ἴδωμεν τὰ βλεπόμενα.

Ἐνταῦθα γὰρ οὐ τὴν ἐν ἀλλοτρίᾳ διατριβὴν θρηνοῦσι μόνον, ἀλλὰ καὶ τὴν μετὰ βαρβάρων διαγωγήν. ″ὃ δὴ καὶ ἄλλοι προφῆται ἐποίουν, ὑπὲρ τοῦ παρόντος βίου θρηνοῦντες καὶ λέγοντες· Οἴμοι ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐκ ἔστι. καὶ αὐτὸς δὲ οὗτος λέγων, Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. οὐ γὰρ ταύτῃ μόνον ἐπίπονος ὁ βίος οὗτος, ὅτι πολλὴν ἔχει ματαιότητα καὶ ἀκαίρους φροντίδας, ἀλλ᾽ ὅτι καὶ πολλὴ τῶν πονηρῶν ἡ φορά. οὐδὲν δὲ ἐπαχθέστερον καὶ δυσκολώτερον τῆς πρὸς τοὺς τοιούτους ὁμιλίας. οὐ γὰρ οὕτω καπνὸς καὶ αὐχμὸς βαρύνειν τοὺς ὀφθαλμοὺς εἴωθεν, ὡς ἡ τῶν πονηρῶν ὁμιλία τὰς ψυχὰς ἀλύειν παρασκευάζει. οὐχ ὁρᾷς καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ δυσχερὲς ἐνδεικνύμενον τῆς τοιαύτης διαγωγῆς; καὶ γὰρ ὅταν λέγῃ, Ἕως πότε ἔσομαι μεθ᾽ ὑμῶν, ἕως πότε ἀνέξομαι ὑμῶν; τοῦτο αἰνιττόμενος λέγει, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· ″βαρβάρων τοῦτο γένος ἐστί, θηριωδέστερον διακειμένων, σκηναῖς καὶ καλύβαις κεχρημένων, καὶ πρὸς τὴν θηρίων ἀγριότητα ἐκπεπτωκότων. ἀλλὰ τούτων πολλῷ χαλεπώτεροι οἱ ἅρπαγες, οἱ πλεονέκται, οἱ ἐν ἀσελγείαις, οἱ ἐν τρυφαῖς ζῶντες. πολλὰ παρῴκησεν ἡ ψυχή μου. καίτοι οὐ πολλά· ἑβδομήκοντα γὰρ ἔτη μόνον ἐστίν. ἀλλ᾽ οὐ τῷ πλήθει αὐτὰ πολλὰ καλεῖ, ἀλλὰ τῇ δυσκολίᾳ τῶν πραγμάτων. κἂν γὰρ ὀλίγα ᾖ, πολλὰ τοῖς θλιβομένοις φαίνεται. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή, καὶ κἂν ὀλίγα ἔτη ζήσωμεν ἐνταῦθα, πολλὰ νομίζειν αὐτὰ τῇ ἐπιθυμίᾳ τῶν μελλόντων. ταῦτα λέγω, οὐ τῆς παρούσης ζωῆς κατηγορῶν (μὴ γένοιτο) καὶ γὰρ τοῦτο ἔργον Θεοῦ, ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν μελλόντων ὑμᾶς ἀλείφων, καὶ ὥστε μὴ ἐμφιλοχωρεῖν τοῖς παροῦσι, μηδὲ προσηλῶσθαι τῷ σώματι, μηδὲ κατὰ τοὺς μικροψύχους τῶν πολλῶν διακεῖσθαι, οἳ κἂν μυρία ζήσωσιν ἔτη, ὀλίγα ταῦτα εἶναί φασιν· ὧν τί γένοιτ᾽ ἂν ἀλογώτερον, τί δὲ παχύτερον, εἰ οὐρανοῦ προκειμένου καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, πρὸς τὰς σκιὰς κεχήνασι, καὶ τὸ λεῖπον τοῦ παρόντος διαπερᾶν βούλονται βίου, κύμασι διηνεκέσι καὶ ″χειμῶσι καὶ ναυαγίοις ἐγκαλινδούμενοι; ἀλλ᾽ οὐχ ὁ Παῦλος οὕτως, ἀλλ᾽ ἔσπευδε καὶ ἠπείγετο, καὶ ἓν αὐτὸν μόνον κατεῖχεν, ἡ τῶν ἀνθρώπων σωτηρία.

Μιχ. ζ. α. β.
ψαλ. ια. α.
Ματθ. ιζ. ιζ.
φιλ. α. κγ.

γρ. ὃ δὴ καὶ οἱ προφῆται ἐθρήνουν ὑπὲρ τοῦ παρόντος βίου λέγοντες οἴμοι

γρ. βαρβάρων τοῦ γένους, τῶν θηριωδῶς πρὸς τοὺς κρατοῦντας διακεῖσθαι σκηναῖς κεχρημένων, καλύβαις κεχρημένων,

γρ. χειμῶσι

6 Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. Εἶδες πῶς δείκνυσι τὸ φορτικὸν τῆς ἐκεῖ διατριβῆς. οὐ γὰρ εἶπε, μετὰ τῶν οὐκ ἐχόντων εἰρήνην, ἀλλὰ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Εἶδες τῆς θλίψεως τὸ κέρδος· εἶδες τῆς αἰχμαλωσίας τὸν καρπόν. ἀλλὰ νῦν, τίς ἡμῶν δυνήσεται τοῦτο εἰπεῖν; ἀγαπητὸν γὰρ μετὰ τῶν εἰρηνικῶν εἰρηνικὸν εἶναι)· οὗτος δὲ καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἦν εἰρηνικός. *πῶς οὖν τοῦτο καὶ ἡμεῖς κατορθώσομεν; ἂν ὡς πάροικοι διατρίβωμεν (πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ὑπόθεσιν ἄγω τὸν λόγον) ἂν ὡς ξένοι, ἂν μηδενὶ τῶν παρόντων ὦμεν κατεχόμενοι. οὐδὲν γὰρ οὕτω ποιεῖ μάχην καὶ πόλεμον, ὡς ὁ τῶν παρόντων ἔρως, ὡς ἡ δόξης ἢ χρημάτων ἢ τρυφῆς ἐπιθυμία. ὅταν δὲ πάντα διακόψῃς τὰ σχοινία ταῦτα, καὶ μηδενὶ τούτων περιίδῃς τὴν ψυχὴν κατεχομένην, τότε ὄψει πόθεν ὁ πόλεμος ἔχει τὴν ἀρχήν, πόθεν ἡ ἀρετὴ τὴν ὑπόθεσιν λήψεται. διὰ τοῦτο μεταξὺ λύκων καὶ πρόβατα εἶναι

*γρ. πῶς οὖν τοῦτο κατορθώσομεν ἡμεῖς πρὸς τοὺς φίλους τὰ ἐχθρῶν διακείμενοι;

Ματθ. ι. ις.

εἶναι κελεύει, ἵνα μὴ λέγῃς τὰ καὶ τὰ ἔπαθον, καὶ διὰ τοῦτο ἠγριώθην. κἂν μυρία, φησί, πάθῃς, μένε πρόβατον ὤν, καὶ οὕτω περιέσῃ τῶν λύκων. πονηρός ἐστιν ὁ δεῖνα καὶ διεφθαρμένος; ἀλλ' ἔχεις τοσαύτην δύναμιν, ὡς καὶ πονηρῶν περιγενέσθαι. τί προβάτου ἡμερώτερον; τί δὲ λύκου ἀγριώτερον; ἀλλ' ὅμως τοῦτο ἐκείνου περιέσται. καὶ τοῦτο ἐπὶ τῶν ἀποστόλων ἐδείχθη. οὐδὲν γὰρ πραότητος δυνατώτερον, οὐδὲν μακροθυμίας εὐτονώτερον. διά τοι τοῦτο ὁ Χριστὸς κελεύει πρόβατα εἶναι μεταξὺ λύκων. εἶτα οὕτως εἰπών, ὥσπερ οὐκ ἀρκούσης τῆς ἡμερότητος ταύτης, τῆς τοῦ προβάτου λέγω, ὃν βούλεται μαθητὴν δεῖξαι, καὶ ἕτερόν τι προστίθησιν· ἔσεσθε ἀκέραιοι, ὡς αἱ περιστεραί, δύο ζώων ἡμέρων καὶ ἀφελῶς διακειμένων μίξας πραότητα. τοσαύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἐπιείκειαν, ὅταν μεταξὺ ἀγρίων ὦμεν. καὶ μή μοι λέγε, πονηρός ἐστι, καὶ οὐ δύναμαι φέρειν. τότε γὰρ μάλιστα ἐπιδείκνυσθαι χρὴ τὴν πραότητα, ὅταν πρὸς ἀγρίους ἔχωμεν, ὅταν πρὸς ἀνημέρους· τότε αὐτῆς ἡ ἰσχὺς δείκνυται, τότε αὐτῆς τὸ ἔργον καὶ τὸ κατόρθωμα καὶ ὁ καρπὸς διαλάμπει. ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. Ἕτερος δὲ ἑρμηνευτής φησι, Καὶ ὅτι ἐλάλουν αὐτοῖς, ἐπολέμουν· ἢ τοῦτο αἰνιττόμενος, μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ἢ ὅτι ἐπεὶ ἐλάλουν αὐτοῖς, αὐτοὶ ἐπολέμουν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐν αὐτῷ τῷ καιρῷ τῆς διαλέξεως, ὅτε μάλιστα τὴν ἀγάπην ἐνεδεικνύμην, φησίν, ὅτε μάλιστα καὶ ῥήματα φιλικὰ προϊέμην, τότε ἠγρίαινον, τότε δόλους ἔρραπτον. ἀλλ' ὅμως ἐγὼ τὴν οἰκείαν ἐπεδεικνύμην ἀρετὴν [καὶ ἐκείνων ταύτῃ διακειμένων.] οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή, κἂν βάλλωσι, κἂν παίωσι φιλοῦντας, κἂν ἐπιβουλεύωσι, τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, ἐκείνης τῆς παραβολῆς μεμνημένους τῆς κελευούσης, ὡς πρόβατα καὶ περιστερὰς εἶναι ἐν μέσῳ λύκων· ἵν' ἐκείνους τε βελτίους ἐργασώμεθα, καὶ αὐτοὶ τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἀπολαύσωμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκ. ΩΔΗ ΤΩΝ ΑΝΑΒΑΘΜΩΝ. ΑΛΛΟΣ, Ἆσμα εἰς τὰς ἀναβάσεις.

1 Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἕτερος, Αἴρω ὀφθαλμούς μου εἰς τὰ ὄρη. πόθεν ἥξει ἡ βοήθειά μου;

Ὁρᾷ ψυχὴν ἀπορουμένην καὶ ἀμηχανοῦσαν, ὡς ἐν κακοῖς οὖσαν, καὶ βουλομένην τυχεῖν παραμυθίας πρὸς τὸν Θεὸν ἀφορῶσαν. τοῦτο πάλιν κατόρθωμα τῶν πειρασμῶν καὶ κέρδος πλεῖστον αὐτὴν καὶ διεγείρειν, καὶ τὴν ἄνωθεν ποιοῦν ἐπιζητεῖν ῥοπήν, καὶ τῶν βιωτικῶν ἀποτέμνον ἁπάντων. Εἰ γὰρ Ἰουδαῖοι, οἱ παχεῖς καὶ τῇ γῇ προσηλωμένοι, ἀπὸ τῆς ἐν αἰχμαλωσίᾳ ταλαιπωρίας οὕτως ἐγίνοντο σπουδαῖοι καὶ πρὸς τὸν οὐρανὸν ἔβλεπον, πολλῷ μᾶλλον ἡμεῖς δίκαιοι ἂν εἴημεν τοῦτο ποιεῖν ἐν ταῖς περιστάσεσι, καὶ πρὸς τὸν Θεὸν καταφεύγειν, οἱ πλείονα ἐκείνων ἀκρίβειαν ἀπαιτούμενοι. ἐπειδὴ γὰρ ἐκεῖνοι τότε ἐν μέσοις ἦσαν ἀπειλημμένοι τοῖς πολεμίοις, καὶ οὐ πόλις αὐτοῖς ἦν, οὐ τεῖχος, οὐ πύργος, οὐχ ὅπλα, οὐ συμμαχία ἀνθρωπίνη, οὐ χρημάτων περιουσία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' αἰχμάλωτοι καὶ δοῦλοι μεταξὺ δεσποτῶν ὁμοῦ καὶ πολεμίων ἐστρέφοντο· τῷ μεγέθει τῶν συμφορῶν πιεζόμενοι, πρὸς τὴν ἄμαχον κατέφυγον χεῖρα, καὶ τῶν ἀνθρωπίνων ἐρημωθέντες, ἀπὸ τῆς ἐρημίας ταύτης ἐπὶ τὸ φιλοσοφεῖν ἤρχοντο, διὸ καὶ ἔλεγον· Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει

ξει ἡ βοήθειά μου. τὰ παρὰ τῶν ἀνθρώπων πάντα ἐγκαταλέλειπται, πάντα φροῦδα, πάντα ἐκποδών· μία λοιπὸν ὑπολέλειπται σωτηρία, φησὶν, ἡ παρὰ τοῦ Θεοῦ.

2 Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Εἶδες τὸν Θεὸν πανταχοῦ ἐπιζητοῦντας, ἀπὸ τῆς γῆς, ἀπὸ τοῦ οὐρανοῦ, ἀπὸ τῶν ὀρῶν, ἀπὸ τῆς ἐρημίας, πανταχοῦ αὐτὸν φανταζομένους. Εἶδες αὐτῶν τὴν διάνοιαν ὑψηλοτέραν γινομένην, καὶ τὴν πανταχοῦ πρόνοιαν αὐτοῦ ἐκπεπταμένην ἀνακηρύττοντας. οὐ γὰρ ἁπλῶς προσέθηκε, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀλλὰ συλλογιζόμενος αἰνιγματωδῶς τοῦτο καὶ λέγων· εἰ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησε, δύναται καὶ ἐν ἀλλοτρίᾳ βοηθῆσαι, καὶ πανταχοῦ, καὶ ἐν βαρβάρῳ χεῖρα ὀρέξαι, καὶ τῆς πατρίδος ἐκπεσόντας διασῶσαι. εἰ γὰρ τὰ στοιχεῖα ταῦτα λόγῳ μόνον παρήγαγε, πολλῷ μᾶλλον ἡμᾶς τῶν βαρβάρων ἀπαλλάξαι δυνήσεται. ὁρᾷς πῶς φιλοσοφοῦσιν οἱ λίθων ὄντες ἀναισθητότεροι, ἐπὶ τῆς ἀλλοτρίας διατρίβοντες; οὐκ ἔτι γὰρ ναοῦ μέμνηνται, ἀλλ' οὐρανοῦ καὶ γῆς. ὅρα πῶς καὶ τὴν δημιουργίαν ἀνακηρύττουσι καὶ τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν πρόνοιαν. οἱ γὰρ πρὸ τούτου τῷ ξύλῳ λέγοντες, Θεός μου εἶ σύ, καὶ τῷ λίθῳ, σύ με ἐγέννησας, νῦν τὸν δημιουργὸν τῆς οἰκουμένης ἐπιγινώσκουσιν. ἡ βοήθειά μου παρὰ Κυρίου, οὐ παρὰ ἀνθρώπων, οὐδὲ παρὰ ἵππων, οὐ παρὰ χρημάτων, οὐ παρὰ συμμάχων, οὐδὲ παρὰ περιβόλων. ἡ βοήθεια ἡμῶν παρὰ Κυρίου. αὕτη ἀχείρωτος ἡ συμμαχία, αὕτη ἄμαχος ἡ βοήθεια· οὐκ ἄμαχος δὲ μόνον, ἀλλὰ καὶ ῥᾳδία καὶ εὔκολος. οὐ γὰρ ὁδὸν μακρὰν βαδίσαι δεῖ, οὐ θυρωροὺς κολακεῦσαι, οὐ χρήματα δαπανῆσαι, οὐ πρεσβείαν στείλασθαι, ἀλλ' οἴκοι μένοντα δυνατὸν ταύτην ἐπισπάσασθαι τὴν ῥοπήν· μόνον ἂν ἀποστήσας τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἐκείνης ἐξέχηται τῆς ἐλπίδος, καὶ ὑψηλὰ βλέπῃ καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα. διὰ γὰρ τοῦτο καὶ μόνῳ τῷ ζώῳ τούτῳ τὴν διάπλασιν ὀρθίαν ἐποίησεν ὁ Θεός, καὶ τοὺς ὀφθαλμοὺς ἐν ὕψει κατέθετο, διδάσκων καὶ ἀπὸ τῶν αἰσθητῶν, ὅτι δεῖ πρὸς τὸ ὕψος ὁρᾷν. μόνον γὰρ τοῦτο τὸ ζῶόν ἐστιν οὕτω διαπεπλασμένον, τὰ δὲ ἄλλα πάντα κάτω βλέπει καὶ πρὸς γῆν νένευκεν. οὗτος δὲ πρὸς τὸν οὐρανὸν τέταται, ἵνα τὰ ἐκεῖ περισκοπῇ, καὶ ἐν ἐκείνοις φιλοσοφῇ, καὶ ἐκεῖνα φαντάζηται, καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα τῆς ψυχῆς. διὰ δὴ τοῦτο καί τις σοφὸς ἔλεγε, Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ, τουτέστι, τῶν κάτω πάντων ἀπήλλακται, καὶ οὐρανοπολεῖ, καὶ μετέωρα φαντάζεται.

Ἱερεμ. β. κζ.

γρ. φιλοσοφία

Ἐκκλ. β. ιδ.

3 Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

γρ. νυστάξῃ

Ὁρᾷς πόσην ἀπαιτεῖ παρ' ἡμῶν σπουδὴν ὁ λόγος. ἐπειδὴ γὰρ βοηθείας ἐμνήσθησαν, καὶ τὴν ἄνωθεν ῥοπὴν καλοῦσι, παραινεῖ καὶ συμβουλεύει μονονουχὶ τοῦτο λέγων· εἰ βούλει ταύτης ἀπολαῦσαι, τὰ παρὰ σαυτοῦ εἰσένεγκε. τί δέ ἐστιν ὃ παραινεῖ, ἄκουε. μὴ δῴης εἰς σάλον τὸν πόδα σου, τουτέστι, μὴ περιτραπῇς, μὴ σκανδαλισθῇς, καὶ τότε ἕξεις τὸν Θεὸν χεῖρα ὀρέγοντα, οὐκ ἐγκαταλιμπάνοντα, οὐκ ἀφιέντα. ὥστε παρ' ἡμῖν αἱ ἀρχαί, καὶ τούτου ἡμεῖς κύριοι. ἐπειδὴ δὲ κύριοι, ὅταν βουλώμεθά τινος ἐπιτυγχάνειν, δεῖ καὶ ἡμᾶς τὰ παρ' ἑαυτῶν εἰσφέρειν, μικρὰ μὲν ὄντα καὶ εὐτελῆ, δεῖ δὲ ὅμως εἰσφέρειν. οὕτω γὰρ καὶ ὁ Θεὸς βούλεται οὐκ ἀργοῦντας οὐδὲ ὑπνοῦντας καὶ ῥέγχοντας οὐδὲ ἀναπεπτωκότας, ἀλλ' ἐνεργοῦντας καὶ σπουδάζοντας διασώζειν. διὰ τοῦτο καὶ περὶ τὴν ἑνδεκάτην ὥραν ἐμισθώσατο. καίτοι τί τοσοῦτον ἔμελλον ποιεῖν περὶ ἑνδεκάτην ὥραν; ἀλλ' ἵνα ἀφορμὴν ἔχῃ τὴν ἐργασίαν, ἵνα πρόφασιν τῶν στεφάνων. διό φησι, μὴ δῴης εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε. ἐὰν τὰ παρὰ σοῦ παράσχῃς, καὶ τὰ ἐκείνου ἕψεται. ἐκ τούτου καὶ τοιοῦτό τι δείκνυται, ὅτι κἂν τὰ παρ' ἡμῶν ἂν εἰσφέρωμεν, ὅμως καὶ οὕτω τῆς παρ' αὐτοῦ δεόμεθα ῥοπῆς, ἵνα ἐν ἀσφαλείᾳ ὦμεν, ἵνα ἀπερίτρεπτοι μένωμεν.

Ματθ. κ. ς.

νωμένων. τίς γὰρ δίδωσιν εἰς σάλον τὸν πόδα; ὁ πράγμασιν ἐπιβαίνων ὀλισθηροῖς καὶ οὐκ ἔχουσιν ἰσχυρὰν βάσιν, οἷός ἐστιν ὁ τῶν χρημάτων ἔρως, οἷος ὁ τῶν βιωτικῶν πόθος. διὰ τοῦτο (συνεχῶς περιτρέπονται) καὶ καταπίπτουσι, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμνῶσιν ἑαυτοῖς κίνδυνον. οὐ γάρ ἐστιν ἐκεῖνά ποτε ἀσάλευτα, οὐδέποτέ ἐστιν ἀκίνητα, ἀλλ' ἀεὶ μεταβάλλεται καὶ μεθίσταται, καὶ τῶν κυμάτων μᾶλλον ταράττεται, καὶ τῶν ποταμίων ῥευμάτων ταχύτερον παρατρέχει, καὶ ψάμμου πάσης ἐστὶν ἀσθενέστερα καὶ διαῤῥεῖ.

4 Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Ἂν οὕτω διακείμενος ᾖς, φησὶν, οὐ νυστάξει, οὐδὲ ὑπνώσει, τουτέστιν, οὐκ ἐγκαταλείψει, οὐ προήσεται, οὐκ ἀφήσει γυμνὸν καὶ ἔρημον. τοῦτο αἰνίξασθαι θέλων, ἀλλ' οὐχ ἁπλῶς, τέθεικεν, ὁ φυλάσσων τὸν Ἰσραήλ. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ τοῦτο ἔργον αὐτοῦ διηνεκὲς, τὸ ἄνωθεν καὶ ἐκ προγόνων τῶν σῶν ἐν ἀσφαλείᾳ σε καθιστᾶν, οὐ προήσεται τὸ ἔργον τὸ αὐτοῦ, καὶ ὃ σύνηθες αὐτῷ πράττειν, οὐκ ἐγκαταλείψει, ἐὰν μὴ σὺ δῷς εἰς σάλον τὸν πόδα σου. καὶ οὐ μόνον οὐκ ἐγκαταλείψει, ἀλλὰ καὶ προστήσεται μετὰ πολλῆς τῆς ἀσφαλείας. διὸ καὶ ἐπήγαγε λέγων·

5 Κύριος φυλάξει σε, Κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου.

Ἕτερος, Παρὰ τὴν χεῖρα τὴν δεξιάν σου. Παραστάτης, φησὶν, ἔσται σου, σύμμαχος, βοηθός. ὁρᾷς πῶς καὶ ἐνταῦθα βούλεταί σε ἐνεργὸν εἶναι. ἀπὸ μεταφορᾶς γὰρ τῶν ἐν παρατάξει ἑστώτων, παρὰ τὴν χεῖρά σου στήσεται τὴν δεξιὰν, ὥστε ἀχείρωτον εἶναι, ὥστε ἐνεργὸν, ὥστε ἰσχυρὸν, ὥστε δυνάστην, ὥστε τρόπαιον ἱστᾶν, ὥστε τὴν νίκην αἱρεῖσθαι· ἐπειδὴ μάλιστα αὕτη ἐστὶ, δι' ἧς ἅπαντα ἐνεργοῦμεν. οὐκ ἔσται δέ σοι παραστάτης μόνον οὐδὲ σύμμαχος, ἀλλὰ καὶ σκέπη. πάλιν [λέγων] διὰ τῶν παρ' ἡμῖν πραγμάτων, τοῦ Θεοῦ τὰς βοηθείας χαρακτηρίζει· τὴν ὁλόκληρον αὐτοῦ φυλακὴν καὶ τὴν ἐγγυτάτην συμμαχίαν διὰ τῆς δεξιᾶς καὶ τῆς σκέπης παρίστησιν.

6 Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Καὶ ποῦ τοῦτο γέγονεν; ἡνίκα ἐξ Αἰγύπτου ἐπανῄεσαν, καὶ ἐν τῇ ἐρήμῳ διέτριβον. ἐνταῦθα γὰρ τὴν πολλὴν ἄδειαν λέγει. εἰκὸς γὰρ καὶ τότε ἐπανιόντας, τοιαύτης τινὸς ἀπολαῦσαι παραδοξοποιΐας ἑτέρῳ τινὶ τρόπῳ. ἐκ περιουσίας τοίνυν αὐτοῦ τὴν πρόνοιαν δεῖξαι βουλόμενος, ὅτι οὐ μόνον τῶν δεινῶν ἀπαλλάττει, ἀλλ' οὐδὲ τὰ τῶν ἀνθρώπων ἀφίησί σε παθεῖν, τοῦτο ἐπήγαγε. δαψιλὴς γὰρ αὐτοῦ τῆς βοηθείας ἡ χορηγία, ἄφατος ἡ φιλανθρωπία, οὐ πρὸς τὸ μέτρον τῆς χρείας τῆς ἡμετέρας παρέχουσα τὴν παρ' αὐτοῦ βοήθειαν, ἀλλ' ὑπερβαίνουσα ταῖς ἀντιδόσεσι καὶ τὰς αἰτήσεις ἡμῶν.

7 Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ· φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Ὁ γὰρ μηδὲ τὰ μικρὰ ταῦτα λυπῆσαί σε συγχωρῶν, ἀλλὰ μέχρι τοσούτου τὴν πρόνοιαν ἐκτείνων τὴν ἑαυτοῦ καὶ τὴν κηδεμονίαν, πολλῷ μᾶλλον ἀφ' ἑτέρων ἀχείρωτόν σε καταστήσει. ἕκαστον γὰρ τῶν ἐπιόντων λυπηρῶν εἴκει καὶ παραχωρεῖ τῷ νεύματι τοῦ Θεοῦ, ἅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι· ἀλλ' εἰ καὶ τούτου πολλάκις ἀπήλλαξε τοῦ κακοῦ, ἑτέρου οὐκ ἠδυνήθη· ἢ ἠδυνήθη μὲν, οὐκ ἠβουλήθη δέ. ἀλλ' ἡ τοῦ Θεοῦ παντοδύναμος καὶ κραταιὰ χεὶρ, κἂν ὁτιοῦν ἐπέλθῃ, λῦσαι δυνήσεται καὶ ἀπαλλάξαι πάντων καὶ ἐλευθέραν ἀποκαταστῆσαι. 8 Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου.

Ἕτερος ἑρμηνευτής φησι, Τὴν προσέλευσίν σου. εἶδες διηνεκῆ συμμαχίαν πανταχοῦ παροῦσαν, εἰσιόντι, ἐξιόντι. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ἀγάπης; τί τῆς φιλανθρωπίας; ἐνταῦθα μέντοι τὸν βίον ἅπαντα αἰνίττεται. ἐν τούτοις γὰρ ὁ βίος ἅπας, ἐν εἰσόδοις καὶ ἐξόδοις. καὶ τοῦτο σαφέστερον δηλῶν, ἐπήγαγεν·

Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Οὐ πρὸς μίαν ἡμέραν, φησὶν, οὐδὲ πρὸς δύο καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν, ἀλλὰ διηνεκῶς, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι· ἀλλὰ πολλαὶ αἱ μεταβολαὶ, συνεχεῖς αἱ μεταπτώσεις, ἀθρόοι αἱ μεταστάσεις. ὁ σήμερον φίλος, αὔριον ἐχθρός· ὁ σήμερον βοηθὸς, αὔριον ἐγκαταλιμπάνει. πολλάκις δὲ οὐκ ἐγκαταλιμπάνει μόνον, ἀλλὰ καὶ πολεμεῖ καὶ ἐπιβουλεύει πολεμίου παντὸς χαλεπώτερον. ἀλλὰ τὰ τοῦ Θεοῦ ἀκίνητα, διηνεκῆ, ἀθάνατα, μόνιμα, πέρας οὐκ ἔχοντα. ἵνα οὖν αὐτῶν ἐπιτυγχάνωμεν, καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, ὥστε πολλῆς ἀπολαῦσαι τῆς ἀσφαλείας καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἡμῶν

Ψαλμ. ρκα. 1 ΕΥΦΡΑΝΘΗΝ ΕΠΙ ΤΟΙΣ ΕΙΡΗΚΟΣΙ ΜΟΙ, Εἰς οἶκον Κυρίου πορευσόμεθα.

Ἀλλ' ἄρα νῦν πολλοὶ καὶ δυσχεραίνουσιν ἐπὶ τῷ ῥήματι. κἂν μέν τις εἰς ἱπποδρομίας, ἢ εἰς θέατρα παρανομίας ἀναβαίνων καλέσῃ, πολλοὶ οἱ συντρέχοντες· ἂν δὲ ἐπὶ τὸν εὐκτήριον οἶκον, ὀλίγοι οἱ μὴ ὀκνοῦντες. ἀλλ' οὐχ οἱ Ἰουδαῖοι οὕτως· οὗ τί γένοιτ' ἂν χαλεπώτερον, ὅταν καὶ ἐκείνων φαίνωνται ῥᾳθυμότεροι οἱ Χριστιανοί; πόθεν δὲ οὗτοι οὕτω; πάλιν λέγω, ἀπὸ τῆς αἰχμαλωσίας ἐγένοντο βελτίους. ἐντεῦθεν οἱ πρὸ τούτου ναυτιῶντες, καὶ τὸν μὲν ναὸν ἀφιέντες καὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, ὄρεσι δὲ καὶ νάπαις καὶ βουνοῖς ἑαυτοὺς διδόντες καὶ πολλῇ τῇ ἀσεβείᾳ, τὴν ἐπιθυμίαν ἔστησαν τῆς λατρείας ἐκείνης, καὶ πρὸς τὴν ἐπαγγελίαν αὐτὴν διαθερμαίνονται, καὶ ὀρθοῦνται καὶ ἵστανται, καὶ γάννυνται τῇ διανοίᾳ. ἐπειδὴ γὰρ ἐν λιμῷ κατέστησαν καὶ δίψει, οὐ λιμῷ ἄρτου καὶ δίψει ὕδατος, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον Κυρίου, κολασθέντες τῇ τιμωρίᾳ ταύτῃ, μετὰ πλείονος τῆς ἐπιθυμίας ταῦτα ἐπιζητοῦσιν, ὧν πρότερον ἐξέπεσον. οὕτω καὶ τὸ ἔδαφος αὐτὸ περιέπλεκον λέγοντες· Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. καὶ πάλιν, Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ πάλιν, μνησθήσομαί σου ἐκ τῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ, ἀπὸ ὄρους μικροῦ. καὶ πάλιν, Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. τί ἐμνήσθης, εἰπέ μοι; ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, τουτέστιν, ὅτε διηρχόμην τὰς χορείας, τὰς πανηγύρεις, τὴν λατρείαν ἐκείνην.

γρ. πολλοὶ ὀ-
κνοῦντες.

γρ. ταύτην

Ἀμὼς η. ια.

Ψαλμ. ρα. ιε.

Ψαλμ. μα. ς.

γρ. διελεύσο-
μαι

2 Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἕτερος, Εὐφράνθην εἰπόντων μοι, Εἰς τὸν οἶκον Κυρίου ἤλθομεν, ἔστησαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Εἶδες ἡδονῆς ὑπερβολήν. ὡς τῶν πραγμάτων ἀπολαύοντες αὐτῶν, καὶ πρὸς τὰ ῥήματα αὐτὰ ἔχαιρον, πολλῷ τῷ πόθῳ περιπλεκόμενοι τὸν εὐκτήριον οἶκον καὶ τὴν πόλιν. οὕτως ὁ Θεὸς ἀεὶ ποιεῖν εἴωθεν. ὅταν γὰρ ἔχοντες τὰ ἀγαθὰ μὴ αἰσθανώμεθα, ἐκβάλλει αὐτὰ τῶν χειρῶν τῶν ἡμετέρων· ἵνα ὅπερ οὐκ ἐποίησεν ἡ ἀπόλαυσις, τοῦτο ποιήσῃ ἡ στέρησις· ὅπερ οὖν καὶ αὐτοὶ πεπόνθασιν, ἀντεχόμενοι τῆς πόλεως, ἀντεχόμενοι τοῦ ναοῦ, εἰδότες αὐτῷ χάριν πολλὴν ὑπὲρ ὧν τὴν πατρίδα ἀπέλαβον. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις.

Ἕτερος, Τὴν ᾠκοδομημένην ὡς πόλιν. Ἡ τοίνυν κατὰ τοὺς ἑβδομήκοντα τοῦτό ἐστιν, ὅτι οἰκοδομηθήσεται ἡ Ἱερουσαλὴμ ὡς πόλις, τὸν πρὸ τοῦ οἰκοδομηθῆναι χρόνον δη-

λοῦντος

λοιπὸν τοῦ λόγου, ἢ κατὰ τὴν ἑτέραν ἑρμηνείαν, ἀπελάβομεν τὴν Ἱερουσαλὴμ τὴν ᾠκοδομημένην ὡς πόλιν, τὰ μετὰ τὴν αἰχμαλωσίαν γινόμενα ἐμφαίνοντα. ἐπειδὴ γὰρ τότε ἐρημία πολλὴ πανταχοῦ τῆς πόλεως ἦν καὶ ἐρείπια, τῶν πύργων καταβεβλημένων, τῶν τειχῶν ἐρριμμένων, καὶ λείψανα μόνον ἔμενε τῆς ἀρχαίας πατρίδος, ἐπανελθόντες καὶ ἰδόντες τὴν ἐρημίαν, ἀνακαλοῦνται τὴν παλαιὰν ἐκείνην εὐημερίαν, καὶ τὰ ἐγκώμια αὐτῆς διηγοῦνται καταλέγοντες, ὅτι ἡ λαμπρὰ καὶ περιφανὴς, καὶ ἔχουσα ἐκκλησίαν καὶ ἄρχοντας καὶ βασιλεῖς καὶ ἀρχιερεῖς, καὶ πολλῷ κομῶσα τῷ κόσμῳ, τὸ κατηφὲς τοῦτο σχῆμα περιβέβληται νῦν. καὶ ὅτι τοῦτο ἐστιν, ἄκουσον τῶν ἑξῆς. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις. τότε γὰρ οὔπω πόλις ἦν. δῆλον καὶ ἐκ τοῦ ἐπαγαγεῖν λέγων·

Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Τὸ γὰρ συγκεκροτημένον αὐτῆς λέγει τὴν οἰκοδομὴν, καὶ τὸ ἀσφαλὲς, καὶ τὸ πεπυκνωμένον, καὶ ὅτι οὐδὲν ἔρημον εἶχε κατὰ τὸ μέσον, ἀλλὰ πάντοθεν ἦν πεπυκνωμένη, ἀπηρτισμένη, συγκεκροτημένη, συνεχής τις οὖσα καὶ συνημμένη οὕτω πρὸ τῆς αἰχμαλωσίας. διὸ καί τις ἑρμηνευτής φησι τοῦτο δηλῶν, Συνάφειαν ἔχουσα *. Εἶτα μετὰ τοῦτο καὶ ἕτερον ἐγκώμιον αὐτῆς φησιν.

3 Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραήλ.

Τούτῳ γὰρ μάλιστα ἐκοσμεῖτο ἡ πόλις· οὐχ οὕτω τῷ μεγέθει καὶ τοῖς οἰκοδομήμασιν, ὡς τῷ πάντας ἐκεῖ συλλέγεσθαι, εἴτε βουλή τις, εἴτε ἐκκλησία ἐγίνετο, εἴτε περί τινων σκέψις ἦν προκειμένη. ἐπειδὴ γὰρ ὁ ναὸς αὐτόθι ἦν καὶ ἡ ἁγιαστία πᾶσα ἐπετελεῖτο, καὶ ἱερεῖς καὶ Λευῖται, καὶ τὸ ἀνάκτορον, καὶ τὰ ἄδυτα, καὶ τὰ προπύλαια, καὶ θυσίαι καὶ βωμὸς, καὶ ἑορταὶ, καὶ πανηγύρεις, καὶ εὐχαὶ, καὶ ἀκρόασις, καὶ ἁπλῶς εἰπεῖν πολιτείας τὸ σχῆμα ἐκεῖ συγκεκροτημένον ἦν, ἔδει τὰς φυλὰς ἐκεῖ συλλέγεσθαι μάλιστα τρίτον τοῦ ἐνιαυτοῦ, ἐν ταῖς ἐπισήμοις καὶ δημοτελέσιν ἑορταῖς, ἐν τῷ πάσχα, ἐν τῇ πεντηκοστῇ καὶ ἐν τῇ σκηνοπηγίᾳ. οὐ γὰρ ἐξῆν ἀλλαχοῦ. λέγων τοίνυν αὐτῆς τὸ ἐγκώμιον, φησίν· ἐκεῖ ἀνέβησαν αἱ φυλαί. καὶ ἕτερος, ἐκεῖ ἀνέβησαν σκῆπτρα. καὶ οὐχ ἁπλῶς φυλαὶ, ἀλλ' αἱ φυλαὶ Κυρίου. πᾶσαι αἱ φυλαὶ ἦσαν Κυρίου, ἀλλ' οὐκ ἐξῆν αὐτοῖς οὐδὲ οὕτως ἐν τῇ οἰκείᾳ πατρίδι ταῦτα ἐπιτελεῖν· ἀλλὰ τούτῳ τετίμητο ἡ μητρόπολις, πάντας συνάγουσα καὶ ἕλκουσα πρὸς ἑαυτήν. τοῦτο δὲ ἐγίνετο εἰς θεογνωσίας ὑπόθεσιν, ἵνα μὴ πανταχοῦ πλανώμενοι ἀφορμὰς ἔχωσι καὶ ἐξόδους ἐπὶ τὴν τῶν εἰδώλων θεραπείαν. διὰ τοῦτο ἐκεῖ θύεσθαι, ἐκεῖ εὔχεσθαι, ἐκεῖ πανηγύρειν ἔχειν ἐκέλευσε, τῇ στενοχωρίᾳ τοῦ τόπου τὴν πεπλανημένην αὐτῶν διάνοιαν ἀποτειχίζων, ἀναστέλλων τε, καὶ ἀναχαιτίζων ἐπὶ τὴν ἀσέβειαν φερομένην. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγε· φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ. τί ἐστι μαρτύριον τῷ Ἰσραήλ; μαρτυρία μεγίστη, ἔλεγχος, ἀπόδειξις τῆς τοῦ Θεοῦ προνοίας, τὸ μηδεμίαν αὐτοῖς καταλιμπάνεσθαι ἀπολογίαν ἀποσκιρτῶσιν, ἀποπηδῶσι, καὶ πρὸς τὰ εἴδωλα αὐτομολοῦσι. τῆς γὰρ αὐτοῦ προνοίας, τῆς δυνάμεως, τῆς σοφίας τοῦτο μέγιστον τεκμήριον ἦν. καὶ γὰρ ἐκεῖ ὁ νόμος ἀνεγινώσκετο, τῶν παλαιῶν κατορθωμάτων διηγήματα καὶ ἱστορίας ἔχων· ἐκεῖ καὶ εἰς ἀγάπην συνεσφίγγοντο ἀλλήλοις ἐπιμιγνύμενοι. καὶ γὰρ τῶν ἑορτῶν αἱ ὑποθέσεις, τῆς πρὸς ἀλλήλους ἐπιμιξίας ἀφορμὴ καὶ ὑπόθεσις αὐτοῖς ἐγίνοντο· καὶ πλείων ὁ φόβος, καὶ ἀκμάζουσα ἡ εὐλάβεια, καὶ μυρία κατεσκευάζετο καλὰ ἐκ τοῦ συνεῖναι εἰς τὴν πόλιν αὐτούς.

4 Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Τουτέστι, τοῦ εὐχαριστῆσαι, τοῦ λατρεῦσαι, τοῦ εὔξασθαι, τοῦ προσενεγκεῖν, τοῦ θῦσαι· ἅπερ αὐτοὺς εἰς εὐλάβειαν ἐνῆγε, καὶ τὴν τῆς πολιτείας ἀκρίβειαν ἀσφαλεστέραν καθίστη.

5 Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν· θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Ἰδού, καὶ ἕτερον λέγει τῆς πόλεως προτέρημα. ποῖον δὴ τοῦτο; ὅτι αὐτόθι τὰ βασίλεια. τοῦτο γάρ ἐστιν, ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. Ἕτερος, Τοῦ οἴκου Δαβίδ. Ἡ γὰρ διπλῆ ἀρχὴ ἥ τε τῶν ἱερέων, ἥ τε τῶν βασιλέων ἐκεῖ τὸ ἔνζευγμα εἶχεν, ὥσπερ διπλῷ τινι στεφάνῳ καὶ διαδήματι τῆς πόλεως καλλωπιζομένης διὰ τούτων ἀμφοτέρων. αὐτόθι οἱ κριταί, ἐφ' οὓς καὶ τὰ ὑπερβαίνοντα τοὺς πολλοὺς ἀνεφέρετο. Εἰ γάρ τις ἐγένετο ψῆφος ἐν ταῖς ἄλλαις πόλεσιν ἀπορίαν τινὰ ἔχουσα, ὥσπερ ἐν ταῖς ἐφέσεσιν, ἐπὶ τὴν τῶν κριτῶν τῶν ἐν Ἱεροσολύμοις γνῶσιν τὴν ψῆφον ἀνέφερον, κἀκεῖθεν ἡ λύσις ἐγίνετο. ἀλλὰ τὰ μὲν παλαιά, τοιαῦτα· τὰ δὲ νῦν, πολλῷ τούτων ἀνιαρώτερα. καὶ γὰρ ἐρημία παντελὴς καὶ κατασκαφή, πυρπόλησις, ὀλίγα λείψανα τῶν οἰκοδομημάτων ὄντα, κατηφὲς τὸ σχῆμα καὶ ὑπόμνημα μόνον ἔχον τῆς προτέρας εὐημερίας καὶ αἴνιγμα. διὰ δὴ τοῦτο οὐ κατακλείει εἰς τὰ σκυθρωπὰ τὸν λόγον, ἀλλ' ἐπὶ τὴν ἐλπίδα τῶν φαιδροτέρων ἐπανάγει λέγων·

6 Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ.

Τί ἐστιν, ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ; ἀντὶ τοῦ ἀξιώσατε, παρακαλέσατε. Ἕτερος δέ φησιν, Ἀσπάσασθε τὴν Ἱερουσαλήμ, τουτέστι, δεήθητε ὥστε αὐτὴν εἰς τὴν προτέραν ἐπανελθεῖν εὐημερίαν, ὥστε ἀπαλλαγῆναι τῶν πυκνῶν πολέμων, ὥστε ἀδείας ἀπολαῦσαι λοιπόν. ἢ τοῦτο τοίνυν λέγει, ἢ προφητεύει. ἐρωτήσατε δὲ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, τουτέστιν, εἰρήνη αὐτὴν καταλήψεται. Καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Ἕτερος, Ἠρεμήσουσιν. Ἄλλος, Εὐπαθήσαισαν ἀγαπῶντές σε. Ἐνταῦθα πολλὴ ἡ περιουσία τῆς εὐπραγίας, ὅταν μὴ μέχρις αὐτῶν ἵστηται τὰ ἀγαθά, ἀλλὰ καὶ οἱ φιλοῦντες αὐτὴν τούτων ἀπολαύωσιν, ὅπερ ἐν τοῖς ἔμπροσθεν χρόνοις τοὐναντίον ἐγίνετο. οἱ γὰρ μισοῦντες αὐτὴν καὶ πολεμοῦντες, οὗτοι μάλιστα ἴσχυον καὶ δυνατώτεροι τῶν ἄλλων ἦσαν καὶ λαμπρότεροι, καὶ μετ' εὐκολίας τὰ τρόπαια ἵστων. ἀλλ' οἱ φιλοῦντές σε νῦν ἐν πολλῇ ἔσονται τῇ ἀδείᾳ. οἱ συμπεφραγμένοι σου· τούτους δὲ ἢ τοὺς μέλλοντας αὐτοῖς συμπράττειν λέγει, ἢ καὶ αὐτοὺς τοὺς πολίτας.

γρ. ἱστῶνται

7 Γενέσθω εἰρήνη ἐν τῇ δυνάμει σου.

Ἕτερος, Ἐν τῷ περιτειχίσματί σου. Ἄλλος, Ἐν τῷ περιβόλῳ σου. Τί ἐστιν, ἐν τῇ δυνάμει σου; ἐν τῇ ὑποστάσει σου, ἐν τοῖς οἰκοδομήμασί σοι, ἐν τῇ εὐθηνίᾳ σου. ἐπειδὴ γὰρ φθοροποιὸν ὁ πόλεμος καὶ τοῦτο αὐτὴν ἀπώλεσεν, ἐπεύχεται αὐτῇ εἰρήνην. Καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕτερος, Ἐν τοῖς βασιλείοις σου. Ἄλλος, Εὐπάθεια. Ἄλλος, Ἠρεμία. Οὐ γὰρ δὴ μόνον αὐτοῖς ἀπαλλαγὴν κακῶν προφητεύει, ἀλλὰ καὶ προσθήκην μυρίων ἀγαθῶν, εἰρήνην, εὐπορίαν, εὐετηρίαν. τί γὰρ ὄφελος εἰρήνης, ὅταν πενίᾳ καὶ λιμῷ καὶ πτωχείᾳ συζῶσι; τί δὲ ὄφελος εὐθηνίας, ὅταν πόλεμος ἐπίκειται; διὰ δὴ τοῦτο ἀμφότερα αὐτοῖς ταῦτα προφητεύει τὰ καλά, ὡς καὶ ἐν εὐθηνίᾳ εἶναι, καὶ ταύτην ἔχειν ἐν ἀσφαλείᾳ διὰ τῆς εἰρήνης.

γρ. σοῦ

8 Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου. Ἢ τοὺς ἐκ γειτόνων οὕτω φησί, τοὺς ἐφησθέντας αὐτοῖς ἐπταικόσι, καὶ εὔχεται γενέσθαι εἰρήνην, ὥστε κἀκείνους ταπεινωθῆναι καὶ γνῶναι τοῦ Θεοῦ τὴν ἰσχύν· ἢ ἀδελφοὺς τοὺς τὴν πόλιν οἰκοῦντας καλεῖ. ἕνεκα τοίνυν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου γενέσθω εἰρήνη, ὥστε ὀψέ γοῦν ποτε ἀναπνεῦσαι βελτίους ἀπὸ τῶν συμφορῶν γενομένους.

Ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. 9 Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐζήτησα ἀγαθά σοι. Ἄλλος, Λαλήσω εἰρήνην ἐν σοί. Ἐπειδὴ εἶπεν, ἕνεκεν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, δεικνὺς ὅτι οὐ διὰ τὴν ἀξίαν τὴν ἐκείνων, ἀλλ' ἵνα αὐ-

τὸν

τοῦ μᾶλλον εὐεργετήσῃ τοῦτο εὔχεται, ἐπήγαγεν· ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν· τουτέστι, διὰ τὴν δόξαν τὴν αὐτοῦ εὔχομαι τὴν εἰρήνην, ὥστε πάλιν αὐτοῦ τὴν λατρείαν ἐπιμεληθῆναι, καὶ πλείονα γενέσθαι διδασκαλίαν. Οἱ μὲν γὰρ ἐπὶ τῆς αἰχμαλωσίας ἐτέχθησαν, οἱ δὲ μάρτυρες καὶ τῆς καθόδου καὶ τῆς ἐπανόδου γεγόνασι. καὶ τῆς λατρείας ἐπιτελουμένης, ἅπαντα ταῦτα παρὰ τῶν πρεσβυτέρων ἐμάνθανον, τὴν παλαιὰν εὐπραγίαν, τὴν εὐημερίαν, ὅτι ἐν τούτοις ὄντες ἐξέπεσον. ὁρᾷς πῶς αὐτῶν καταστέλλει τὴν ἀπόνοιαν, ἵνα μὴ ὡς ἀξίαν δεδωκότες δίκην νομίζωσιν ἀπειληφέναι τὰ ἀγαθά, ἀλλὰ μάθωσιν, ὅτι διὰ τὴν τοῦ Θεοῦ δόξαν πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, καὶ μαθόντες μένωσι μετὰ ἀσφαλείας πολλῆς, καὶ μὴ ἁμαρτάνοντες πάλιν τῶν αὐτῶν λάβωσι πεῖραν. Ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς μάλιστα μὲν μὴ πταίωμεν· εἰ δ' ἄρα ποτὲ περιπέσωμεν ἁμαρτήμασι, σπουδάζωμεν ἀνίστασθαι ταχέως καὶ μὴ παλινδρομεῖν εἰς τὰ πρότερα, ἵνα μὴ τὰ τοῦ παραλύτου ἀκούσωμεν· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Ιω. ε. ιδ. διὰ γὰρ τοῦτο οὕτως εἶπε, τούς τε ἐν ἀρετῇ ὄντας παιδεύων διατηρεῖν αὐτὴν μετὰ ἀσφαλείας, τούς τε ἁμαρτημάτων ἀπαλλαττομένους πρὸς τὴν ἀρίστην μένειν μεταβολήν, ὥστε κοινῇ πάντας τῶν ἐπουρανίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

Ψαλμ. ρκβ. 1 ΠΡΟΣ ΣΕ ΗΡΑ ΤΟΥΣ ΟΦΘΑΛΜΟΥΣ μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

ΟΡᾷς πανταχοῦ τῆς αἰχμαλωσίας τὸ κέρδος διαλάμπον. Οἱ γὰρ τοῖς βιωτικοῖς ἀεὶ προσηλωμένοι, καὶ Ἀσσυρίοις καὶ Αἰγυπτίοις θαρροῦντες, καὶ περιβολῇ τειχῶν καὶ πλήθει χρημάτων, πάντων ἐκείνων ἀπορρήξαντες ἑαυτούς, ἐπὶ τὴν ἄμαχον καταφεύγουσι χεῖρα, καὶ τῆς ἐλπίδος ἐκείνης ἐκκρέμανται, καὶ ὑψηλὴν κλῶνται διάνοιαν, καὶ τῆς γῆς ἀπαλλαγέντες καὶ τοῦ περὶ ναὸν ἠσχολῆσθαι (ἐπειδὴ κατέστρεψεν αὐτῶν τὸν ναόν) ἀπὸ τοῦ οὐρανοῦ καλοῦσι λοιπὸν τὸν Θεόν. οἰκεῖν δὲ ἐν οὐρανῷ λέγεται, οὐχ ὡς τόπῳ περικλειόμενος, (ἄπαγε, πάντα γὰρ αὐτὸς πληροῖ) ἀλλ' ὡς ταῖς ἐκεῖ δυνάμεσιν ἐπαναπαυόμενος μᾶλλον· ἐπεὶ καὶ ἐν ἀνθρώποις ἐνοικεῖν λέγεται. Ἐνοικήσω γὰρ ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. β. Κορ. ϛ. ιϛ. γενόμενοι τοίνυν ἐν τῇ βαρβάρων χώρᾳ, οὐ μικρὰ δόγματα ἐπαιδεύθησαν, τό, τε πάντων κεχωρίσθαι τῶν βιωτικῶν, τό, τε εἰδέναι σαφῶς, ὅτι πανταχοῦ καλούμενος ὁ Θεὸς ἐπινεύει ῥᾳδίως. ἐπειδὴ γὰρ ἔμελλε τῆς καινῆς λοιπὸν πολιτείας ἡ ἀκτὶς ἀνίσχειν, ἄρχεται τὰ μέλλοντα προαναχρούεσθαι ὁ προφήτης, τὴν τῶν τόπων παρατήρησιν παραλύων ἠρέμα καὶ δι' αἰνιγμάτων.

2 Ἰδού, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν,

3 Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Ὅρα ἐπίτασιν εὐλαβείας ἐνταῦθα πάλιν. οὐ γὰρ πρὸς βραχὺ μόνον ἐλπίζουσιν, ἀλλὰ διηνεκῶς προσηλωμένοι καὶ κεχηνότες. διὰ δὴ τοῦτο καὶ τὸ παράδειγμα * εἰς μέσον ἤγαγεν, τοῦτό τε αὐτὸ αἰνιττόμενοι, ὅτι οὐδαμόθεν αὐτοῖς ἄλλοθεν ἐλπὶς βοηθείας οὐδὲ συμμαχίας, οὐδὲ πρὸς οὐδένα ἕτερον βλέπουσιν. ἐπεὶ καὶ ἡ παιδίσκη καὶ ὁ οἰκέτης μίαν ταύτην ἀφορμὴν ἔχουσι καὶ διατροφῆς καὶ ἐνδυμάτων καὶ τῆς ἄλλης διαγωγῆς, τὸ πρὸς τοὺς κυρίους βλέπειν. καὶ γὰρ οὐκ ἀφίσταται, ἀλλ' ἕως ἂν λάβῃ παραμένει· κἂν λάβῃ, χάριν οἶδε, καὶ διηνεκῶς τοῦτο ἔργον αὐτῆς. τοῦτο τοίνυν θέλων δηλῶσαι, ὅτι καὶ πρὸς αὐτὸν ὁρῶσι, καὶ διηνεκῶς τοῦτο ποιοῦσι, καὶ οὐδεμίαν ἔχουσιν ἑτέραν ἐλπίδα, καὶ ὅλοι προσηλῶνται τῇ προσδοκίᾳ τῇ ἀπὸ τῆς συμμαχίας ἐκείνης, καὶ ὅτι τὰ αὐτῶν πάντα αὐτοῦ, τῆς παιδίσκης καὶ τῶν δούλων ἐμνημόνευσεν. ὅρα πῶς οἱ πρότερον παρακαλούμενοι πρὸς Θεὸν τρέχειν, καὶ ναυτιῶντες καὶ ἀναπίπτοντες, οὗτοι νῦν οὕτως ἐγένοντο τῇ συμφορᾷ βελτίους, ὡς μὴ βούλεσθαι ἀποστῆναι αὐτοῦ, ἀλλὰ παραμένειν καὶ δουλεύειν καὶ τὰ παρ' αὐτοῦ ζητεῖν. ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. οὐκ εἶπεν, ἕως ἂν ἀποδῷ τὸν μισθὸν, οὐδὲ ἕως ἂν ἀποδῷ τὴν ἀμοιβὴν, ἀλλ' ἕως ἂν ἐλεήσῃ. καὶ σὺ τοίνυν παράμενε διηνεκῶς, ἂν θεράπευε, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς. μὴ ἀποστῇς, καὶ πάντα λήψῃ. εἰ γὰρ τὸν ἄρχοντα ἐκεῖνον τὸν ὠμὸν προσεδρία χήρας ἐπέκαμψε, τίνα ἂν ἔχῃς συγγνώμην σὺ, οὕτω ταχέως ἀποπηδῶν καὶ ἀκηδιῶν καὶ ναρκῶν; οὐχ ὁρᾷς πῶς αἱ παιδίσκαι τῶν κυρίων ἐκκρέμανται, οὐ διάνοιαν, οὐκ ὄμμα ἀφιεῖσαι ἔξω πλανᾶσθαι; οὕτω καὶ σὺ ποίει. ἕπου τῷ Θεῷ μόνον, καὶ πάντα ἀφεὶς τὰ ἄλλα τῶν ἐκείνου γίνου, καὶ λήψῃ πάντως ἅπερ ἂν αἰτῇς συμφερόντως.

4 Ελέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

5 Επὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.

Εἶδες συντετριμμένην διάνοιαν. ἀπὸ ἐλέους σωθῆναι ἀξιοῦσι, καὶ ὅτι πολλὴν ἔδοσαν δίκην· μονονουχὶ ἅπερ οἱ ἐν Ἀσσυρίᾳ παῖδες ἔλεγον, Ὅτι ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη ἐπὶ τῆς γῆς, ταῦτα καὶ οὗτοι λέγοντες δι' ὧν ἱκετεύουσι. τὴν ἐσχάτην ὑπεμείναμεν τραγῳδίαν, πατρίδος ἐξεπέσομεν, ἐλευθερίας, βαρβάρων ἐγενόμεθα δοῦλοι, ὀνειδιζόμενοι διετελέσαμεν, λιμῷ καὶ ταλαιπωρίᾳ καὶ δίψει κατεργάσθημεν· διαπτυόμενοι, καταπατούμενοι, πάντα τὸν χρόνον ἀναλώσαμεν. διὰ δὴ ταῦτα ἄνες ἡμῖν, καὶ ἐλέησον. τί δέ ἐστιν, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν; καὶ αὐτή, φησιν, ἐξελύθη λοιπὸν ἡμῶν ἡ ψυχὴ, ἐταριχεύθη τῷ μεγέθει τῶν κακῶν. ἔστι γὰρ πολλοὺς πάσχειν μὲν δεινὰ, φέρειν δὲ γενναίως. ἀλλ' ἡμεῖς, φησι, καὶ τοῦτο ἀπωλέσαμεν. καὶ γὰρ ἀλύομεν ταλαιπορούμενοι, κοπτόμεθα. ἐπειδὴ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται. καὶ τοῦτο αὐτὸν πανταχοῦ ἐστι ποιοῦντα ἰδεῖν. οὕτω καὶ τὸν Ἀδὰμ, ἐπειδὴ τῇ οἰκήσει τοῦ παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε· καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ γενομένην φαυλοτέραν, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ βελτίω κατέστησε· καὶ τούτους δὲ αὐτοὺς τοὺς Ἰουδαίους τῇ ἐλευθερίᾳ καὶ τῇ ἐπὶ τῆς οἰκείας ἀδείᾳ χείρους γεγενημένους καὶ ἀποσκιρτήσαντας καὶ ἐκδιαιτηθέντας, τοῖς ἐναντίοις διορθοῦται. [οὗτοι καὶ ἐλέους τυχεῖν ἱκετεύοντες, πρὸς τὸν Θεὸν λέγουσιν· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.]

Ὠδὴ τριῶν παίδων. 1.

Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ἕτερος, Πολλῶν ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν, ἐπιλαλούντων*, ἐξουτελιζόντων τῶν ὑπερηφάνων. Ἄλλος, Τοῦ μυκτηρισμοῦ τῶν ὑπερφερῶν. Ἄλλος, Ἐξουδενώσεως αὐτῶν εὐθηνούντων. Οὗτοι μὲν οὖν τοῦ αὐτοῦ ἔχονται νοήματος. τραγῳδοῦσι γὰρ τὴν ταλαιπωρίαν διὰ τοῦ λέγειν, ὅτι ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν τῶν ἐξουτελιζόντων. οἱ δὲ ἑβδομήκοντα ἕτερόν φασιν, ὅτι μετασταίη ταῦτα εἰς ἐκείνους, καὶ τῶν αὐτῶν ἀπολαύσαιεν ὧν ἐποίησαν, καὶ καταχθείη τὸ φύσημα αὐτῶν καὶ ἡ φλεγμονή· ὃ δὴ καὶ γινόμενον πολλάκις ἴδοι τις ἄν. καὶ γὰρ συνεχῶς αὐτὸ ποιεῖν ὁ Θεὸς εἴωθε, τοὺς μεγάλα φυσῶντας καταστέλλων, καὶ τοὺς φλεγμαίνοντας ταπεινῶν, ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπὶ τὴν κακίαν φερούσης ὁδοῦ.

γρ. ταλαιπω-
ρούμενοι,

* τῶν ὑπερηφά-
νων, καὶ
γρ. τοῦ μυκτη-
ρισμοῦ τῶν ἐπι-
[illegible], τῆς
ἐξουδενώσεως
τῶν ὑπερηφάνων
[illegible]

οὐδὲν ὑπερηφανίας χεῖρον. διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις καὶ σώματος ἀρρωστίαι, καὶ αἱ πολλαὶ τῶν πραγμάτων περιστάσεις· διὰ τοῦτο πάθη καὶ νοσήματα, ἵνα μυρίοι χαλινοὶ περίκεινται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ καὶ πρὸς ὄγκον ὑψουμένῃ. μὴ τοίνυν θορυβοῦ πειραζόμενος, ἀγαπητὲ, ἀλλὰ ἀναμνησθεὶς τοῦ προφήτου τοῦ λέγοντος, Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου, πρὸς φάρμακον δέχου τὰς συμφορὰς, καὶ εἰς δέον κέχρησο τοῖς πειρασμοῖς, καὶ διαπαντὸς πλείονος τεύξῃ ἀνέσεως· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ριη. οα.

Ψαλμ. ρκγ. 1 ΕΙ ΜΗ ΟΤΙ ΚΥΡΙΟΣ ΗΝ ΗΜΙΝ.

Ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι μέγας ὁ ἀπὸ τῆς αἰχμαλωσίας καρπὸς καὶ ἱκανὸς πρὸς φιλοσοφίαν ἐναγαγεῖν τοὺς προσέχοντας. ἰδοὺ γὰρ, οἱ πρὸς εἴδωλα τρέχοντες καὶ τοῦ Θεοῦ καταφρονοῦντες καὶ πρὸς ἀσέβειαν ἐξοκείλαντες, τί λέγουσι νῦν μετὰ τὴν αἰχμαλωσίαν, καὶ πῶς τὴν ἑαυτῶν σωτηρίαν ἀνατιθέασι τῷ Θεῷ· καὶ ὁ προφήτης δὲ, καθάπερ χοροστάτης ἄριστος, τὰ αὐτὰ συνεχῶς αὐτοῖς παρακελεύεται λέγειν. μετὰ γοῦν τὸ πρῶτος εἰπεῖν, καὶ ἐκείνοις ὑφηγεῖται, ὥσπερ μαθηταῖς διδάσκαλος, λέγων· εἰπάτω δὴ Ἰσραὴλ, Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν,

2 Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.

Καὶ γὰρ ἦσαν ἄοπλοι καὶ γυμνοὶ καὶ αἰχμάλωτοι καὶ δοῦλοι καὶ ἄρτι τῆς καμίνου ἀπηλλαγμένοι καὶ πόλιν ἀτείχιστον ἔχοντες (μᾶλλον δὲ οὐδὲ πόλιν) καὶ πᾶσι μετὰ τὴν ἐπάνοδον προέκειντο θήρα ἕτοιμος. ἀλλὰ ἀντὶ τειχῶν καὶ πύργων ὁ Θεὸς αὐτοῖς γέγονε. τοῦτο καὶ ἡμεῖς νῦν λέγωμεν· Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιεν ἡμᾶς. τί γὰρ ἂν οὐκ ἐποίησεν ὁ ἐχθρὸς ἡμῶν διάβολος, εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν; ἄκουσον γοῦν τί φησιν ὁ Χριστὸς τῷ Σίμωνι· Σίμων, Σίμων, ποσάκις ἠτήσατο ὁ Σατανᾶς σινιάσαι σε, ὡς τὸν σῖτον, καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου; πονηρὸν γὰρ τὸ θηρίον καὶ ἀκόρεστον· καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεεν. εἰ γὰρ ἐπὶ τοῦ μακαρίου Ἰὼβ μικρὰν ἄδειαν λαβὼν ἐπιτροπὴν, προῤῥίζον αὐτοῦ τὴν οἰκίαν ἀνέσπασε, τὸ σῶμα αὐτοῦ διελωβήσατο, τοσαύτην τραγῳδίαν εἰργάσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα σκώληκας ἐπιζέσαι ἐποίησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας τοιαῦτα εἰπεῖν παρεσκεύασεν· εἰ μὴ μυρίοις κατείχετο χαλινοῖς, πῶς οὐκ ἂν ἅπαντας ἐλυμήνατο; διὰ τοῦτο καὶ οὗτοι λέγουσιν· Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν. καὶ γὰρ σφόδρα ὀλίγοι ἦσαν καὶ εὐτελεῖς, καὶ πολλοὶ αὐτοῖς συνεπέθεντο ἐπανελθοῦσι. κἀν τούτῳ δὲ τοῦ Θεοῦ ἡ σοφία ἐδείκνυτο, τῷ μὴ ἀθρόον αὐτοῖς δοῦναι τὴν ἀσφάλειαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. τοῦτο δὲ ἐποίει τηρῶν αὐτοὺς ἐν τῇ θεογνωσίᾳ, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας προσγινομένην αὐτοῖς διόρθωσιν οὐκ ἀφιεὶς διαρρυῆναι. ἐπειδὴ γὰρ εἴωθεν ἡ τῶν κακῶν ἀπαλλαγὴ ῥᾳθυμοτέρους ποιεῖν, καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν ἀφίησιν αὐτοὺς συνεχῶς πειράζεσθαι, ἵν' ἔχωσι διηνεκῆ γυμνασίαν φιλοσοφίας τοὺς πειρασμούς. διά τοι τοῦτο οὔτε ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους, ἵνα μὴ ἀποκάμωσιν, οὔτε ἐν ἀνέσει, ἵνα μὴ ῥᾳθυμότεροι γένωνται· ἀλλὰ ταῖς ἐναλλαγαῖς ποικίλλει τὴν σωτηρίαν αὐτῶν. ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.

Λουκ. κβ. λα.

εὐθὺς πρὸς παρρησίαν τὸ θηριῶδες τὴν ἐπιείκειαν. καὶ γὰρ εἰ καὶ ἄνθρωποι τοιοῦτοι θηριώδη ὠμότητα ἐπιδεικνύμενοι, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερον τοῖς ὁμοφύλοις κεχρημένοι. τὸ μὲν γὰρ θηρίον ἅπαξ ἐμπεσὸν τὸν θυμὸν ἀφῆκε καὶ ἀνεχώρησεν, ἢ διαφθαρὲν οὐκ ἔτι ἐπῆλθεν· ἄνθρωποι δὲ πολλάκις ἀποτυχόντες πολλάκις ἐπιτίθενται, αὐτῶν ἐπιθυμοῦντες ἀπογεύσασθαι τῶν σαρκῶν. τοιοῦτον ὁ θυμὸς ἀνάπαυσιν οὐκ ἔχει. οὕτω ζεῖ τὸ πάθος καὶ ἀναπαφλάζει. πῶς οὖν ἂν σβεσθείη τὸ νόσημα; ἂν τὰ καθ' ἑαυτοὺς λογισώμεθα, εἰ θάνατον ἐννοήσωμεν καὶ τὰς καθ' ἑκάστην ἀπιούσας ἡμέρας, εἰ τὴν φύσιν αὐτὴν διασκεψόμεθα ὅτι γῆ καὶ σποδὸς ἐσμέν. εἰ δὲ τὸ κάλλος τῆς ὄψεως ἐπαπατᾷ σου τὴν διάνοιαν, βάδιζον πρὸς τὰ μνημεῖα καὶ τὰς θήκας τῶν πατέρων, καὶ ἴδε τοὺς κειμένους πῶς εἰσιν εἰς χοῦν διαλελυμένοι, καὶ πολλὴν ἐκ τῆς ὄψεως ἀφορμὴν εἰς τὸ συστέλλεσθαι δέξῃ. ἀλλὰ μὴ καταγνῷς βαρύτητα τοῦ λόγου. καθάπερ γὰρ οἱ πυρέττοντες, ἐπειδὰν ἀπαλλαγῶσι τοῦ νοσήματος, ἀέρος δέονται καθαροῦ, οὕτω δὴ καὶ οἱ μαινόμενοι τοῖς πάθεσιν, ἂν εἰς τὰ μνήματα παραγένωνται, ὥσπερ ὑγιεινοῦ τινος χωρίου ἐπιλαβόμενοι, πολλὰ τῶν νοσημάτων ἐξορίσουσι. καὶ γὰρ ἀρκεῖ τῆς λάρνακος ἡ ὄψις καὶ τὸν σφόδρα ἀπονενοημένον κατενεγκεῖν. ἀπὸ τούτων παράπεμψον τὴν διάνοιαν εἰς τὴν μέλλουσαν ἡμέραν τὴν φοβερὰν, εἰς τὰ βασανιστήρια ἐκεῖνα καὶ τὰς εὐθύνας, εἰς τὰς κολάσεις τὰς οὐκ ἐχούσας παραμυθίαν, ἔνθα οὐδείς σοι παραστήσεται· καὶ τούτοις πᾶσι κατέπᾳδε τὰ πάθη. σκόπει δὲ καὶ τῶν ἀνθρώπων τοὺς ἐν τῷ παρόντι βίῳ ἀπὸ πλούτου πρὸς πενίαν μεταβάλλοντας, ἀπὸ δόξης εἰς ἀτιμίαν, καὶ εἰ βούλει ὀργίζεσθαι, μὴ τῷ συγγενεῖ, ἀλλὰ τῷ πονηρῷ δαίμονι. ἔχεις ἔνθα ἀναλώσεις τὸ πάθος. ἐκείνῳ μηδέποτε καταλλαγῇς, ἐκείνῳ ἀνάλωσον τὴν ὀργὴν καὶ δαπάνησον, ἐκείνῳ στῆσον παγίδα, μηδέποτε ἐμπλησθῇς αὐτῷ πολεμῶν. 3 Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς· 4 Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Χείμαρρον ἐνταῦθα καὶ ὕδωρ, τὴν ἄφατον ὀργὴν τῶν πολεμίων λέγει. ὕδωρ γάρ ἐστιν ἀτάκτως φερόμενον, καὶ μετὰ πολλῆς τῆς ῥύμης καὶ τῆς βίας παρασῦρον τὸ πᾶν συγχέον. οὐ τὴν φορὰν δέ φησιν ἐνταῦθα τῶν κακῶν, ἀλλὰ καὶ τὴν πρόοδον. μὴ τοίνυν καταπέσωμεν, ὅταν ἐπίῃ τὰ δεινά. χείμαρρός ἐστιν, οἷα ἂν ᾖ· νέφος ἐστὶ παρατρέχον. ὅπερ ἂν εἴπῃς λυπηρὸν, ἔχει τέλος· ὅπερ ἂν εἴπῃς δεινὸν, πρὸς πέρας ἀπαντᾷ. εἰ γὰρ μὴ τέλος εἶχεν, οὐκ ἂν ἤρκεσεν ἡ φύσις. ἀλλὰ πολλοὺς παρασύρει, φησίν. ἀλλ' οὐ παρὰ τὴν οἰκείαν ῥύμην, ἀλλὰ παρὰ τοὺς ῥαθύμους καὶ ῥᾳδίως ὑποσκελιζομένους. ἵν' οὖν μὴ παρασυρώμεθα, ἀλλὰ πρὸς τὰ βαθύτερα αὐτοῦ βαδίζωμεν, [διασκεψώμεθα τοὺς τόπους αὐτοῦ,] ἐπιλαβώμεθα τῆς ἱερᾶς ἀγκύρας, ὥστε μηδὲν ὑπομεῖναι ναυάγιον. καὶ γὰρ ὁ χείμαρρος μέχρι καιροῦ φοβερός ἐστι, καὶ πάλιν ἀμέτρως ταπεινοῦται. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. Ἄλλος, Τότε ἂν τὰ ὕδατα περιέκλυσεν ἡμᾶς, ὡς φάραγξ, παρελθόντα κατὰ τῆς ψυχῆς ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Ἕτερος, Τότε παρῆλθον ὑπὲρ τὴν ψυχὴν ἡμῶν οἱ ὑπερήφανοι. Εἶδες πόση τοῦ Θεοῦ ἡ συμμαχία, πῶς ἐν τοσούτοις κακοῖς οὐκ ἀφῆκεν αὐτοὺς ὑποβρυχίους γενέσθαι. διὰ γὰρ τοῦτο ἀφίησιν αὔξεσθαι τὰ δεινὰ, οὐχ ἵνα ἡμᾶς καταδύσῃ, ἀλλ' ἵνα δοκιμωτέρους ἐργάσηται, καὶ τῆς αὐτοῦ δυνάμεως μείζονα παράσχηται τὴν ἀπόδειξιν. ὑπερηφάνους δὲ ἐνταῦθα, τοὺς πολεμίους φησὶν, οἳ πολλῷ τοῦ χειμάρρου σφοδρότερον καὶ πολλῷ τοῦ ὕδατος ἀφορήτου προσβάλλοντες, οὐδὲν αὐτοὺς παρέβλαψαν. τὸ δὲ αἴτιον, ἡ τοῦ Θεοῦ συμμαχία, ἡ ἄνωθεν ῥοπὴ, ἡ ἀχείρωτος βοήθεια. διὰ δὴ τοῦτο καὶ αὐτὸς εἰπὼν τὴν ἀπαλλαγὴν τῶν κακῶν, λέγει καὶ τὸν τὴν ἀπαλλαγὴν

παρα

παρεσχηκότα, καὶ μετὰ εὐφημίας, 5 Εὐλογητὸς Κύριος, ἐπαγαγών, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

6 Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

Εἶδες πῶς καὶ τὴν οἰκείαν ἀσθένειαν παρίστησι, καὶ τὴν ἐκείνων ἰσχύν. οἱ μὲν γὰρ ὡς θηρία καὶ λέοντες ἐπῄεσαν, αὐτῶν ἕτοιμοι τὰς σάρκας ἀπογεύσασθαι, τῇ δυνάμει καὶ τῷ θυμῷ καθωπλισμένοι· οἱ δὲ στρουθίου παντὸς ἀσθενέστερον διέκειντο. τότε γὰρ μάλιστα διαδείκνυται τοῦ Θεοῦ τὰ θαύματα, ὅτε οἱ ἀσθενεῖς τῶν δυνατῶν κρατοῦσιν. οὐ ταύτῃ δὲ μόνον ἀφόρητος ἦν ἡ ἐπιβουλή, ὅτι οἱ μὲν δυνατοὶ καὶ φοβεροί, θυμοῦ πολλοῦ γέμοντες καὶ παρεσκευασμένοι τὰς σάρκας ἀπογεύσασθαι, οἱ δὲ ἀσθενεῖς καὶ ὀλίγοι καὶ εὐεπιχείρητοι, ἀλλ' ὅτι καὶ ἐν μέσοις ἀπειλημμένοι τοῖς δεινοῖς, εἰς αὐτὰ ἐμβεβηκότες τὰ δυσχερῆ, πάντοθεν πολέμους ἔχοντες περικειμένους. ἀλλ' ὁ εὔπορος καὶ πανταχόθεν δυνάμενος διασώζειν, καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὰ δεινὰ μετὰ πολλῆς ἡμᾶς, φησίν, ἀπήλλαξε τῆς εὐκολίας. ὅπερ οὖν παραστῆσαι βουλόμενος, οὕτως εἶπεν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

7 Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Εἶτα δεικνὺς καὶ πῶς, ἐπήγαγεν·

8 Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Εἶδες τὴν δύναμιν τοῦ παραστάτου, εἶδες τὴν ἰσχύν· καὶ αὐτὰς τὰς ἀφορμὰς τῆς ἐπιβουλῆς ἀνεῖλε. τοῦτο καὶ κατὰ ἀναγωγὴν ἐκλάβοι τις ἐπὶ τοῦ διαβόλου, καὶ τοῦ γένους τῶν ἀνθρώπων. [δείκνυσι γὰρ] πῶς ἐξήρπασε, πῶς ἐξέλυσεν αὐτοῦ τὰς ἐπιβουλάς. τοῦτο γὰρ γέγονεν, ἀφ' οὗ πρὸς τοὺς μαθητὰς εἶπε, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Λουκ. ι. ιθ. οὐκ ἔτι γὰρ ἐξ εὐθείας ἡ μάχη, οὐδὲ ἐξ ἴσης ἡ παράταξις, ἀλλ' ὁ μὲν κεῖται πρηνὴς καταπεπτωκώς, σὺ δὲ ἕστηκας ὄρθιος ἄνωθεν βάλλων· ὁ μὲν ἐκνενευρισμένος, σὺ δὲ ἰσχυρός. πόθεν οὖν νικᾷ πολλάκις; ἀπὸ τῆς νωθείας τῆς ἡμετέρας, ἀπὸ τῆς ῥαθυμίας τῶν καθευδόντων· ὥστε εἰ βουληθείης ἐνάντιον στῆναι, οὐ τολμᾷ παρατάξασθαι· εἰ δὲ καθεύδοντος περιγίνεται, τοῦτο οὐ τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς σῆς ὀλιγωρίας. τίς γὰρ οὐκ ἂν κρατήσειε τοῦ καθεύδοντος, κἂν ἁπάντων ἀσθενέστερος ᾖ; ἐδέθη ὁ ἰσχυρός, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἡ δύναμις αὐτοῦ κατελύθη, ἡ κατάδυσις αὐτοῦ ἀνεῤῥάγη, αἱ ῥομφαῖαι αὐτοῦ ἐξέλιπον· τί πλέον τούτων βούλει; τίνος ἕνεκεν αὐτὸν φοβῇ; τίνος ἕνεκεν δέδοικας; πατεῖν ἐκελεύσθης τὸν ἐκνενευρισμένον. πόθεν τρέμεις, εἰπέ μοι; πόθεν ἀγωνιᾷς; οὐκ ἐννοεῖς οἷον ἔχεις βοηθόν; οὐδὲ γὰρ μόνον ὁ ἐχθρὸς γέγονεν ἀσθενέστερος, ἀλλὰ καὶ ἡ βοήθειά σοι μείζων. τῆς σαρκὸς τὰ σκιρτήματα κατεστάλη, τῆς ἁμαρτίας τὸ φορτίον ἠφανίσθη, πνεύματος ἔλαβες χάριν, ἀλείμματος δύναμιν. Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι. Ρωμ. η. γ. τὴν σάρκα εὐήνιον ἐποίησεν, ὅπλα σοι ἐχαρίσατο, θώρακα δικαιοσύνης, ζώνην ἀληθείας, ″κράτος σωτηρίας, ἀσπίδα πίστεως, μάχαιραν πνεύματος. Εφεσ. ς. ιδ. ἀῤῥαβῶνα δέδωκε, τῷ σώματι αὐτοῦ τρέφει σε, τῷ αἵματι αὐτοῦ ποτίζει σε. σταυρόν σοι ἐνεχείρισεν ὡς δόρυ, δόρυ μηδέποτε″ κλινόμενον. ἐκεῖνον ἔδησε, χαμαὶ ἔῤῥιψεν· ὥστε ἀναπολόγητός σου λοιπὸν ἡ ἧττα, καὶ συγγνώμην οὐκ ἔχεις βιαζόμενος. μυρίας γὰρ ἔχεις πρὸς τὸ νικᾶν ἀφορμάς. ἡ παγὶς συνετρίβη, φησί, καὶ ἡμεῖς ἐῤῥύσθημεν. ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. ὁρᾷς οἷον ἔχεις στρατηγόν, οἷον βασιλέα· τὸν τοῦδε τοῦ παντὸς δημιουργόν, τὸν λόγῳ τοσαῦτα σώμενα τὰ ἐνεγκόντα, πόσον τὸν ὄγκον, πόσον τὸ μέγεθος. μὴ καταπέσῃς, στῆθι γενναίως· οὐδὲν κωλύει τὸ τρόπαιόν σου εἶναι λαμπρόν. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, νήφωμεν, ἀγωνιζώμεθα, μὴ καθεύδωμεν· ἀλλὰ τὰ ὅπλα ἀποσμήξαντες, καὶ τὴν προθυμίαν πυρώσαντες, βάλλωμεν διηνεκῶς τὸν πόλεμον· ἵνα λαμπρὰν τὴν νίκην ἀράμενοι, μετὰ πολλῆς τῆς δόξης ἀπολαύσωμεν τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκδ΄ 1 ΟΙ ΠΕΠΟΙΘΟΤΕΣ ΕΠΙ ΚΥΡΙΟΝ, ΩΣ ὄρος Σιών.

Τί βούλεται τοῦ Σιὼν ἡ προσθήκη; διὰ τί γὰρ οὐκ εἶπεν ἁπλῶς, ὡς ὄρος, ἀλλὰ τοῦ ὄρους ἐκείνου μέμνηται; παιδεύων ἡμᾶς μὴ ταπεινοῦσθαι ἐν ταῖς συμφοραῖς, μηδὲ καταβαπτίζεσθαι, ἀλλὰ τῆς εἰς Θεὸν ἐλπίδος ἐκκρεμαμένους πάντα φέρειν γενναίως, καὶ πολέμους, καὶ μάχας, καὶ ταραχάς. ἐπεὶ καὶ τὸ ὄρος τοῦτό ποτε γενόμενον ἔρημον καὶ γυμνὸν τῶν ἐνοικούντων, ἐπὶ τὴν προτέραν πάλιν ἐπανῆλθεν εὐημερίαν, τὴν ἀρχαίαν ἀπολαβὸν εὐπρέπειαν τῇ τῶν οἰκείων ἐπανόδῳ, ταῖς τῶν θαυμάτων ἐπιδείξεσιν. οὕτω καὶ ὁ γενναῖος ἀνήρ, κἂν μυρία πάθῃ δεινά, οὐ περιτραπήσεται. μὴ τοίνυν τὸν ἀκίνδυνον ζήτει βίον καὶ ἀπράγμονα καὶ ἀταλαίπωρον, ἀλλὰ τὸν κινδύνοις μὴ παρασυρόμενον. οὐ γάρ ἐστιν ἴσον ἐν λιμένι καθήμενον, καὶ πελάγιον σαλεύοντα τὴν τέχνην ἐπιδείκνυσθαι. ὁ μὲν γὰρ ναύτης γίνεται καὶ ἀκίνδυνος καὶ ἄπονος· ὁ δὲ πολλὰς μὲν πέτρας ὑφάλους, πολλὰς δὲ σπιλάδας, πολλὰς δὲ ἀνέμων βίας καὶ τὰ ἄλλα τὰ ἀπὸ τῆς θαλάττης ὑπομείνας δεινά, καὶ ἐν πᾶσι τούτοις διεξελθών, ἰσχυροτέραν ἑαυτοῦ καθίστησι τὴν ψυχήν. διὰ τοῦτο εἰς τὸν παρόντα βίον εἰσήχθης, οὐχ ἵνα ἀργῇς, οὐδ' ἵνα ἀναπεπτωκὼς ᾖς, οὐδ' ἵνα μὴ πάσχῃς μηδὲν δεινόν, ἀλλ' ἵνα παθὼν λαμπρότερος γένῃ. μὴ δὴ τὴν ἄνεσιν ζητῶμεν, μηδὲ τὸν τρυφῆς γέμοντα βίον. οὐ γὰρ ἀνδρὸς γενναίου, ἀλλὰ σκώληκος ἡ ἐπιθυμία, ἀλόγου μᾶλλον ἢ λόγον ἔχοντος. ἀλλ' εὔχου μὲν μάλιστα μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δέ ποτε καὶ ἐμπέσῃς, μὴ δυσχέραινε, μὴ θορυβοῦ, μηδὲ ταράττου· ἀλλ' ὅπως γένοιο λαμπρότερος, ἅπαντα ποίει. οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς ἀνδρειοτάτους πῶς τῆς σάλπιγγος καλούσης πρὸς τὰ τρόπαια βλέπουσι, πρὸς τὰς νίκας, πρὸς τοὺς στεφάνους, πρὸς τοὺς κατορθωκότας τῶν προγόνων; καὶ σὺ τοίνυν, τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, στῆθι λέοντος σφοδρότερος γενόμενος· ἔμβηθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. οἶδε καὶ τὰ στοιχεῖα τοὺς ὄντως ἀνδρείους αἰδεῖσθαι· οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι. κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ τῆς φύσεως αὐτῆς ἀπελαύνῃ, πάντων ἐπιλανθάνεται ὅταν ἴδῃ δίκαιον, καὶ κρατεῖ τοῦ πάθους. τούτοις τοίνυν φράττου τοῖς ὅπλοις, καὶ οὐδὲ πῦρ δείσεις, κἂν εἰς οὐρανὸν ἴδῃς τὴν φλόγα ἀναβαίνουσαν. στρατηγὸν ἔχεις γενναῖον καὶ πάντα δυνάμενον, καὶ νεύματι μόνον λύοντα τὰ δεινά. πάντα ἐκείνου, καὶ οὐρανὸς, καὶ γῆ, καὶ θάλαττα, καὶ θηρία, καὶ πῦρ. πάντα αὐτῷ ῥᾴδια καὶ μεταθεῖναι καὶ στῆσαι πρὸς εὐκολίαν. πόθεν οὖν δέδοικας, εἰπέ μοι; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ νωθείας καὶ τῆς οἰκείας ῥᾳθυμίας. οὐχὶ θάνατός ἐστι τῶν κακῶν ὁ κολοφών; ἀλλὰ καὶ οὗτος τῆς φύσεώς ἐστιν ὄφλημα. διὰ τί μὴ πραγματεύῃ τὸ χρέος; εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὴν ὁδὸν ταύτην καὶ ἑκόντα

χ. καταποντίζεσθαι,

χ. ἐξελεύσῃ,

χ. πνευ

χ. ἤτοι

χ. μετα

καὶ ἄκοντα, διὰ τί μὴ μετ' ἐμπορείας, ἀλλὰ μετὰ βασανιστηρίων, οὐ πρόσκαιρον, ἀλλὰ μείζονα τῆς ἡδονῆς παρέχοντα τὴν ὀδύνην; εἰ δὲ ταῦτά σοι δοκεῖ χαλεπὰ εἶναι), ἐννόησον τοὺς ἄνευ μισθοῦ φθόῃ μακρᾷ παραδεδομένους, τοὺς λιμῷ διηνεκεῖ παλαίοντας, τοὺς νοσήματα ἔχοντας ἀνίατα καὶ μακρὰ, δι' ἃ καὶ πολλάκις ηὔξαντο καταλῦσαι τὸν βίον· πολλοὶ δὲ καὶ ἐπὶ βρόχον καὶ ἐπὶ ξίφος ὥρμησαν. σοὶ δὲ οὐρανὸς πρόκειται καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ, καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας καταμαλακιζόμενος, καὶ ταῦτα τοιοῦτον ἔχων σύμμαχον; οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος, Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών; ὄρος γὰρ εἶπε, τὸ ἀπερίτρεπτον δηλῶν τῆς εἰς Θεὸν ἐλπίδος, τὸ πεπηγὸς, τὸ ἀχείρωτον, τὸ ἄμαχον. ὥσπερ γάρ τις, κἂν μυρία προσαγάγῃ μηχανήματα, ὄρος οὔτε ἀνασπάσαι οὔτε σαλεῦσαι δυνήσεται, οὕτω προσβάλλων τῷ τὴν ἐλπίδα ἐπὶ Θεὸν ἔχοντι, κεναῖς οἴκαδε ἀναχωρήσει χερσίν. ὄρους γὰρ πολὺ ἀσφαλεστέρα ἡ ἐλπὶς ἡ ἐπὶ τὸν Θεόν.

Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

Ἕτερος, Ἀπερίτρεπτον εἰς αἰῶνα, οἰκούμενον περὶ Ἱερουσαλήμ. Τί οὖν; οὐκ ἐσαλεύθησάν, φησιν, οἱ παῖδες οἱ τρεῖς, καὶ ὁ Δανιήλ; ἄπαγε. τῆς μὲν γὰρ πατρίδος ἐξέπεσον καὶ αἰχμαλωσίαν ὑπέστησαν· σάλον δὲ οὐδένα οὐδέποτε. ἀλλ' ἐν τοσούτῳ θορύβῳ πραγμάτων καὶ τοσούτῳ πλήθει κυμάτων ὄντες, ὡς ἐπὶ πέτρας ἑστῶτες καὶ λιμένι προσορμίζοντες γαληνῷ, οὕτως οὐδὲν ἔπασχον ἀηδές. μὴ δὴ σάλον κάλει τὴν τῶν πραγμάτων περίστασιν. οὐ γὰρ τοῦτο σάλος, ἀλλ' ἡ τῆς ψυχῆς ἀπώλεια καὶ τὸ τῆς ἀρετῆς ἐκπεσεῖν· ὅπερ ἐν τοῖς κινδύνοις οἱ νήφοντες οὐχ ὑπομένουσιν, ἀλλ' ἀσφαλεστέραν κέκτηνται τὴν φιλοσοφίαν τὴν ἑαυτῶν, καὶ διαλάμπουσι μειζόνως. εἰ δὲ βούλει καὶ κατ' ἀναγωγὴν ἐκλαβεῖν τὸ εἰρημένον, ὅτι οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ, ὑπόγραφον τὴν ἐκεῖ λῆξιν, τὴν ἐπὶ τῆς ἄνω μητροπόλεως. οἱ γὰρ ἐκείνην ἀπολαβόντες, πάσης εἰσὶν ἀπηλλαγμένοι περιστάσεως. οὐκ ἔστι λοιπὸν ἐκεῖ τὰ ὑποσκελίζοντα, οὐκ ἐπιθυμία, οὐδὲ ἡδοναὶ, οὐδὲ ἁμαρτίας περίστασις, οὐ λύπη καὶ ἀγωνία καὶ κίνδυνος, ἀλλὰ ταῦτα πάντα ἐκποδών. Ἱερουσαλήμ, 2 Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Λέγει μὲν διὰ τούτων καὶ τὴν ἀπὸ τῆς θέσεως συμμαχίαν τῇ πόλει προσοῦσαν. οὐκ ἀφίησι δὲ τούτοις θαῤῥεῖν, ἀλλ' ἐπὶ τὴν ἄμαχον ἀνάγει βοήθειαν, τὸν Θεόν. εἰ γὰρ καὶ τὰ ὄρη αὐτὴν τειχίζει, φησὶν, ἀλλ' ἐκείνης δεῖται τῆς ἀσφαλείας. καὶ γὰρ τοῦτο αὐτὴν ἀχείρωτον ἐργάζεται. διὸ καὶ ἕτερος ἑρμηνευτής φησι, Κύριος δὲ περὶ τὸν λαὸν αὐτοῦ· τουτέστι, μὴ θαῤῥῆτε τῇ περιβολῇ τῶν ὀρῶν. τὸ γὰρ ποιοῦν αὐτὴν ἀχείρωτον, τοῦτό ἐστιν.

3 Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

Αἰτίαν λέγει τῆς τοῦ Θεοῦ βοηθείας εὔλογόν τινα, ὥστε καὶ θαῤῥῆσαι ἐκείνους. ποίαν δὴ ταύτην; οὐκ ἂν ἀνάσχοιτο, φησὶ, τὰ ἀγαθὰ τῶν δικαίων ἐν ταῖς χερσὶν εἶναι τῶν ἁμαρτωλῶν. τοῦτο εἶπεν ὁμοῦ τε θαῤῥεῖν αὐτοὺς παρασκευάζων περὶ τῆς συμμαχίας τῆς τοῦ Θεοῦ, καὶ πείθων μένειν ἐν ἀρετῇ, εἴγε βούλοιντο διηνεκῶς ἀπολαύειν τῆς ἐκείνου βοηθείας, καὶ τῶν ἀγαθῶν τῶν ἰδίων εἶναι κύριοι. δείκνυσι γὰρ διὰ τούτων ὅτι ἡ κτῆσις καὶ ἡ ἀσφάλεια ἐν τῇ γνώμῃ κεῖται τῇ αὐτῶν. ῥάβδον δὲ ἁμαρτωλῶν ἐνταῦθα τὴν βασιλείαν τὴν τῶν πολεμίων καλεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἀνέξεται κρατεῖν τῆς τῶν δικαίων κληρονομίας. εἰ γὰρ καὶ πρὸς καιρὸν τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ διορθώσεως καὶ νουθεσίας καὶ σωφρονισμοῦ.

Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἕτερος, Διὰ τοῦτο οὐκ ἐκτείνουσιν οἱ δίκαιοι εἰς ἀνομίαν χεῖρας αὐτῶν. Διὰ τοῦτο ποῖον; διὰ δὲ εἰρημένον, ὅτι περιστήσεται, ὅτι ἀμυνεῖ, ὅτι διακρούσεται, ὅτι ἀποστήσει τοὺς πολεμίους ἀπὸ τῶν κλημάτων αὐτῶν· ὡσεὶ ἔλεγε, τῷ πειρασμῷ σωφρονισθέντες, τῇ τε χορηγίᾳ τῶν ἀγαθῶν γενόμενοι βελτίους ἐν ἀρετῇ διατελέσουσιν ὄντες, καὶ οὐχ ἅψονται πονηρίας ἑκατέρωθεν παιδευόμενοι. ὥστε δὲ πολὺ διὰ τοῦτο ἐγίνετο, ὥστε τὴν ψυχὴν αὐτῆς ἀμείνω γενέσθαι, τῇ τε ἐπαγωγῇ τῶν δεινῶν διορθουμένην, τῇ τε δόσει τῶν ἀγαθῶν προθυμοτέραν καθισταμένην.

ἴσ. αὐτῆς

4 Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς.

Ἕτερος, Ἀγαθοποίησον. Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

5 Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Ὁρᾷς πανταχοῦ παρὰ ἡμῶν τὰς ἀρχὰς γινομένας καὶ τοῦ τῶν χρηστῶν ἀπολαύειν, καὶ τοῦ κολάσεις ὑπομένειν. ἀλλ' εἰ καὶ παρὰ ἡμῶν αἱ ἀρχαί, ἀλλ' ὅμως καὶ οὕτω τοῦ Θεοῦ φιλανθρωπίας πολλὴ δείκνυται ἡ κηδεμονία. ἐκ γὰρ πολλοῦ τοῦ περιόντος νικᾷ τὰς ἀντιδόσεις ἡμᾶς· καὶ ἐπὶ μὲν τῶν ἁμαρτημάτων σύμμετρον ἐπάγει τὴν τιμωρίαν· ἐπὶ δὲ τῶν κατορθωμάτων ὑπερβαίνουσαν παρέχει τὴν ἀντίδοσιν. εὐθεῖς δὲ ἐνταῦθα καλεῖ τοὺς ἀδόλους, τοὺς ἀπλάστους, τοὺς οὐδὲν ἔχοντας συνεσκιασμένον καὶ ὕπουλον. τοιοῦτον γὰρ δὲ εὐθές, ὃ μάλιστα ὁ Θεὸς ἐπιζητεῖ πανταχοῦ· τοιοῦτον ἡ ἀρετή, λεία τις καὶ εὔκολος· ὥσπερ οὖν ἡ πονηρία, διεστραμμένον, ποικίλον, ἀδιεξόδευτον. καὶ τοῦτο ἔστιν ἀπὸ τῶν πραγμάτων ἰδεῖν αὐτῶν. ὁ γοῦν βουλόμενος ψεύσασθαι καὶ δόλους ῥάψαι, ἐννόησον ὅσοις ἐπιχειρεῖ, ὅσης δεῖται τῆς ποικιλίας, ποίων λόγων πεπλασμένων, πόσης δεινότητος. ὁ δὲ τὴν ἀλήθειαν λέγων, οὐ πόνου, οὐ δυσκολίας, οὐχ ὑποκρίσεως, οὐ μηχανημάτων, οὐδενὸς δεῖται τοιούτου, αὐτῆς καθ' ἑαυτὴν ἐκείνης διαλαμπούσης. καθάπερ γὰρ τὰ μὲν ἄμορφα τῶν σωμάτων πολλῶν ἔξωθεν δεῖται τῶν τεχνασμάτων καὶ τῶν ἐπικαλυμμάτων, τὴν ἀπὸ τῆς φύσεως ἀμορφίαν συσκιαζόντων, τὰ δὲ φύσει καλὰ αὐτὰ καθ' ἑαυτὰ ἀγωνιζόμενα λάμπει· οὕτω καὶ ἐπὶ τοῦ ψεύδους καὶ τῆς ἀληθείας ἐστὶν εὑρεῖν, καὶ τῆς κακίας καὶ τῆς ἀρετῆς. ὅθεν δῆλον, ὅτι καὶ πρὸ τῆς κολάσεως ἡ κακία τὴν κόλασιν ἐπάγει, καὶ πρὸ τῆς ἀντιδόσεως ἡ ἀρετὴ τὴν ἀμοιβὴν δίδωσιν. ὥσπερ γὰρ ἐκείνη ἐν ἑαυτῇ τὰ ἔπαθλα ἔχει καὶ πρὸ τῶν στεφάνων, οὕτω καὶ αὕτη ἐν ἑαυτῇ τὴν τιμωρίαν ἔχει καὶ πρὸ τῆς κολάσεως. τί γὰρ ἂν γένοιτο χαλεπώτερον ἁμαρτίας εἰς τιμωρίας λόγον; διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος τῶν ἡταιρηκότων μνημονεύσας, τῶν τὴν ὥραν τὴν ἑαυτῶν ἀποδιδομένων, καὶ τῆς φύσεως τοὺς νόμους ἀνατρεπόντων, ταύτην ἔφησε τιμωρίαν μεγίστην εἶναι καὶ πρὸ τῆς κολάσεως. Ἄρσενες γάρ, φησιν, ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· ἀντιμισθίαν τῆς ἁμαρτίας αὐτῶν, τὴν ἀσέλγειαν καὶ τὴν πρᾶξιν καλῶν.

Ρω. α. κζ.

Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Εἰς εὐχὴν τὸν λόγον κατέκλεισε. τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί· μετὰ τῆς παραινέσεως, καὶ τῆς συμβουλῆς, τὴν εὐχὴν προστιθέασι, μεγίστην συμμαχίαν εἰσάγουσαι τοῖς ἀκούουσιν. εἰρήνην δὲ ἐνταῦθα, οὐ ταύτην μόνον τὴν αἰσθητήν, ἀλλὰ καὶ τὴν ταύτης ὑψηλοτέραν, καὶ ὅθεν αὕτη τίκτεται, λέγει καὶ εὔχεται, ὥστε μὴ στασιάζειν τὴν ψυχὴν αὐτὴν πρὸς ἑαυτήν, τῶν παθῶν τὸν πόλεμον ἐπεισάγουσαν. Ταύτην δὴ καὶ ἡμεῖς τὴν εἰρήνην ζητῶμεν, ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν δυνηθῶμεν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. εὐχῶν

Ψαλμ. ρκε. 1 ΕΝ ΤΩ ΕΠΙΣΤΡΕΨΑΙ ΚΥΡΙΟΝ ΤΗΝ ΑΙΧΜΑΛΩΣΙΑΝ Σιών, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Ἕτερος ἑρμηνευτής φησιν, Ὅταν ἐπιστρέψῃ Κύριος τὴν αἰχμαλωσίαν, ἐσόμεθα παρακεκλημένοι.

Τὸ τῆς αἰχμαλωσίας ὄνομα ἁπλοῦν μέν ἐστι κατὰ τὴν προφοράν, ἔχει δὲ πολλὰς τὰς ἐννοίας. ἔστι γὰρ καὶ καλὴ αἰχμαλωσία, ὡς ὅταν λέγῃ Παῦλος, Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν· (β. Κορ. ι. ε.) ἔστι καὶ κακή, ὡς ὅταν λέγῃ, Αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις· (β. Τιμ. γ. ς.) ἔστιν ἡ νοητή, περὶ ἧς φησι, Κηρύξαι αἰχμαλώτοις ἄφεσιν· (Ησ. ξα. α.) ἔστιν ἡ αἰσθητὴ ἡ παρὰ τῶν πολεμίων· χαλεπωτέρα δὲ ἡ προτέρα. οἱ μὲν γὰρ νόμῳ πολέμου τινὰς λαβόντες καὶ φείδονται πολλάκις τῶν εἰλημμένων, κἂν ἐπιτάξωσιν ὑδροφορεῖν, ξυλοκοπεῖν, κἂν ὑποφόρους ποιήσωσιν, οὐδὲν εἰς τὴν ψυχὴν παρέβλαψαν· ὁ δὲ ὑπὸ τῆς ἁμαρτίας ληφθεὶς αἰχμάλωτος, ἀφειδῆ καὶ βάρβαρον δέσποιναν κτᾶται εἰς τὰ ἀτιμότατα αὐτὸν τῶν ἔργων καταφέρουσαν. οὐ γὰρ οἶδε φείδεσθαι οὐδὲ ἐλεεῖν αὕτη ἡ τυραννίς. ἄκουσον γοῦν πῶς τὸν ἄθλιον καὶ ταλαίπωρον Ἰούδαν λαβοῦσα αἰχμάλωτον οὐκ ἐφείσατο, ἀλλ' ἐποίησεν ἱερόσυλον, προδότην· εἶτα μετὰ τὸ τὴν ἁμαρτίαν λῦσαι, εἰς τὸ θέατρον αὐτὸν ἤγαγε τῶν Ἰουδαίων, καὶ ἀπεκάλυψε τὸ πλημμέλημα· καὶ οὐδὲ οὕτως ἀφῆκε καρπώσασθαι τὸ ἐκ τῆς μετανοίας κέρδος, ἀλλὰ παραπήγαγε τῆς μετανοίας ἐπὶ βρόχον ἀγαγοῦσα. τύραννος γάρ ἐστι χαλεπή, πονηρὰ ἐπιτάττουσα ἐπιτάγματα καὶ καταισχύνουσα τοὺς ὑπακούοντας. διὸ παρακαλῶ φεύγωμεν μετὰ πολλῆς σπουδῆς τὴν δεσποτείαν αὐτῆς, καὶ πολεμῶμεν αὐτῇ καὶ μηδέποτε καταλλαττώμεθα· καὶ ἐλευθερωθέντες μένωμεν ἐπὶ τῆς ἐλευθερίας. εἰ γὰρ οὗτοι βαρβάρων ἀπαλλαγέντες ἐγένοντο παρακεκλημένοι, πολλῷ μᾶλλον ἡμᾶς ἁμαρτίας ἐλευθερωθέντας χαίρειν δεῖ καὶ σκιρτᾷν καὶ ἀθάνατον ταύτην διατηρεῖν τὴν ἡδονήν, ἀλλὰ μὴ λυμαίνεσθαι, μηδὲ θολοῦν αὐτὴν πάλιν τοῖς αὐτοῖς ἐπιχειροῦντας κακοῖς. ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. τοῦτο οἱ μὲν ἄλλοι ἑρμηνευταί, ὡς ἐνυπνιαζόμενοι, εἶπον· ὁ δὲ Ἑβραῖος, χωαλεμίμ. τί δέ ἐστι, παρακεκλημένοι; ἀναπαύσεως ἐπλήσθημεν, φησιν, εὐφροσύνης, ἡδονῆς.

2 Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

3 Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, 4 Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν.

Οὐ μικρὰ συντελεῖ πρὸς βελτίονα μεταβολὴν τὸ χαίρειν ἐπὶ τῇ ἀπαλλαγῇ τῆς αἰχμαλωσίας. καὶ τίς οὐ χαίρει, φησίν, ἐπὶ τούτῳ; οἱ πατέρες οἱ τούτων, ὅτε * ἀπηλλάγησαν τῆς Αἰγύπτου, καὶ ἐκ τῆς δουλείας ἐκείνης πρὸς ἐλευθερίαν μετέστησαν, ὑπὸ ἐσχάτης ἀγνωμοσύνης ἐν αὐτοῖς ἐγόγγυζον τοῖς ἀγαθοῖς, ἐδυσχέραινον, ἐχαλέπαινον, ἀλύοντες διετέλουν. ἀλλ' οὐχ ἡμεῖς, φησιν, ἀλλὰ χαίρομεν καὶ σκιρτῶμεν. λέγουσι δὲ καὶ τὴν αἰτίαν τῆς χαρᾶς. οὐ μόνον, φησί, διὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν χαίρομεν, ἀλλ' ὅτι καὶ ἐντεῦθεν πάντες εἴσονται τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ ἡμᾶς. τότε γάρ, φησιν, ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν· ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν. οὐχ ἁπλῶς ὁ διπλασιασμὸς" πρόκειται, ἀλλ' ἕνεκα τοῦ ἐμφῆναι τὴν πολλὴν αὐτῶν ἣν εἶχον χαράν. τὸ μὲν γὰρ τῶν ἐθνῶν ἐστι ῥῆμα, τὸ δὲ αὐτῶν πά-

λιν. καὶ ὅρα· οὐκ εἶπον, ἔσωσεν ἡμᾶς, οὐδὲ ἀπήλλαξεν ἡμᾶς, ἀλλ' ἐμεγάλυνε, τὸ παράδοξον, τὸ θαύματος γέμον διὰ τῆς προσηγορίας τοῦ μεγαλῦναι παραστῆσαι βουλόμενοι. ὁρᾷς ὅτι ὅπερ *ἔλεγον, διὰ τοῦ ἔθνους τούτου ἡ οἰκουμένη ἐπαιδεύετο, καὶ ἀπαγομένων αὐτῶν καὶ ἐπανερχομένων. ἡ γὰρ ἄνοδος, ἀντὶ κήρυκος ἐγίνετο. καὶ γὰρ αὐτῶν ἡ φήμη περιῄει πανταχοῦ, πᾶσι κατάδηλον ποιοῦσα τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι μεγάλα καὶ παράδοξα ὡς ἀληθῶς ἦσαν τὰ περὶ αὐτοὺς γεγενημένα θαύματα. αὐτὸς γὰρ αὐτοὺς ὁ κατέχων Κῦρος ἀφῆκεν, οὐδενὸς παρακαλέσαντος, οὐδενὸς δεηθέντος, ἀλλὰ τοῦ Θεοῦ τὴν ἐκείνου διάνοιαν μαλάξαντος· καὶ οὐκ ἀφῆκεν ἁπλῶς, ἀλλὰ μετὰ δώρων καὶ ξενίων. ἐγενήθημεν εὐφραινόμενοι. 5 Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

* συνεῖχον

Πῶς ἀρχόμενος τοῦ ψαλμοῦ, ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών, εἶπεν· ἐνταῦθα δέ, ἐπίστρεψον, Κύριε, λέγει, ὡς περὶ μέλλοντος διαλεγόμενος; μάλιστα γὰρ εἰς τοῦτο ἡμᾶς προσάγει ὁ ἕτερος ἑρμηνευτής, οὐκ ἐν τῷ ἐπιστρέψαι εἰπών, ἀλλ' ὅταν ἐπιστρέψῃ· ὅτι ἀρχὴν τότε πρᾶγμα ἐλάμβανε, καὶ οὐκ ἐν προοιμίοις τὸ πᾶν κατωρθώθη, ἀλλὰ πολλαὶ γεγόνασιν αὐτῶν ἀναβάσεις. καὶ γὰρ καὶ πρώτη καὶ δευτέρα καὶ τρίτη γέγονε. τοῦτο τοίνυν ἐστὶν εἰπεῖν, ἢ ὅτι εὔχεται ὁλόκληρον γενέσθαι τὴν ἀπαλλαγήν. καὶ γὰρ πολλοὶ τῶν Ἰουδαίων ἐναπομεῖναι ἐβούλοντο τῇ χώρᾳ″ τῇ βαρβάρῳ. διὸ καὶ μετ' ἐπιτάσεως τοῦτο γενέσθαι ποθῶν, ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν, φησίν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ· τουτέστι, μετὰ πολλῆς τῆς ῥύμης, μετὰ πολλῆς τῆς σφοδρότητος ὠθῶν καὶ κατεπείγων. διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ τοῦτο δηλῶν, ὡς καταῤῥοίας εἶπεν· ἄλλος, ὡς ὀχετούς· ἄλλος, ὡς ἀφέσεις.

″ γρ. τῶν βαρβάρων.

6 Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.

Τοῦτο εἴρηται μὲν περὶ τῶν Ἰουδαίων, πολλαχοῦ δ' ἂν ἔχοι χώραν καὶ ἀλλαχοῦ λέγεσθαι. τοιοῦτον γὰρ ἡ ἀρετή, τῶν πόνων λαμπρὰς ἔχει τὰς ἀμοιβάς· καὶ δεῖ ἡμᾶς πρότερον κάμνειν καὶ ταλαιπωρεῖσθαι, καὶ τότε ζητεῖν ἄνεσιν. τοῦτο γὰρ πανταχοῦ καὶ ἐν τοῖς βιωτικοῖς συμβαῖνον ἴδοι τις ἄν. διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐπὶ ταῦτα τὸν λόγον ἤγαγεν, ἐπὶ σπόρον λέγω καὶ ἀμητόν. ὥσπερ γὰρ ὁ σπείρων πόνου δεῖται καὶ ταλαιπωρίας καὶ ἱδρώτων καὶ χειμῶνος, οὕτω καὶ ὁ τὴν ἀρετὴν μετιών. οὐδὲν γὰρ οὕτω πρὸς ἄνεσιν ἄχρηστον, ὡς ἄνθρωπος. διὰ δὴ τοῦτο στενὴν καὶ τεθλιμμένην ἐκάλεσε τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν ὁ Θεός· μᾶλλον δὲ οὐ τὰ τῆς ἀρετῆς μόνον, ἀλλὰ καὶ τὰ βιωτικὰ πράγματα ἐπίπονα κατεσκεύασε, καὶ αὐτὰ πολλῷ πλέον. ὅ,τε γὰρ σπείρων, ὅ,τε οἰκοδομῶν, ὁ ὁδοιπόρος, ὁ δρυοτόμος, ὁ χειροτέχνης, ὁ πᾶς ἄνθρωπος, εἰ μέλλοι τι καρποῦσθαι χρήσιμον, πόνου δεῖται καὶ ταλαιπωρίας. καὶ καθάπερ τὰ σπέρματα ὑετῶν δεῖται, οὕτως ἡμεῖς δακρύων· καὶ καθάπερ ἡ γῆ τοῦ τέμνεσθαι χρείαν ἔχει καὶ ἀναῤῥήγνυσθαι, οὕτω καὶ ἡ ψυχὴ ἀντὶ δικέλλης δεῖται πειρασμῶν καὶ θλίψεων, ἵνα μὴ φέρῃ βοτάνας πονηράς, ἵνα τὸ σκληρὸν αὐτῆς μαλάττηται, ἵνα μὴ σκιρτᾷ. καὶ γὰρ καὶ γῆ μὴ ἐργαζομένη μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲν ὑγιὲς φέρει. ὃ τοίνυν φησὶν ὁ προφήτης, τοῦτό ἐστιν· ὅτι οὐ μόνον ἐπὶ τῇ ἀνόδῳ δεῖ χαίρειν, ἀλλὰ καὶ ἐπὶ τῇ αἰχμαλωσίᾳ, καὶ ὑπὲρ ἀμφοτέρων χάριτας τῷ Θεῷ ὁμολογεῖν. ἐκεῖνο μὲν γὰρ σπόρος, τοῦτο δὲ ἀμητός. ὥσπερ οὖν οἱ σπείροντες, φησί, πονοῦντες ἀπολαύουσι τῶν προσόδων μετὰ ταῦτα, οὕτω καὶ ὑμεῖς, ἡνίκα μὲν ἀπῄειτε, τοὺς σπείροντας ἐμιμεῖσθε ταλαιπωρούμενοι, *θλιβόμενοι, τὸν χειμῶνα, τὸν πόλεμον φέροντες, τὴν συνέφειαν, τὸν κρυμόν, δάκρυα ἐκχέοντες. ὅπερ γάρ ἐστι τοῖς σπέρμασιν ὑετός, τοῦτο τοῖς θλιβομένοις τὰ δάκρυα. ἀλλ' ἰδού, φησί,

* κακούμενοι

τῶν πόνων ἐκείνων ἀπολήψεσθαι τὴν ἀμοιβήν. ὅταν οὖν λέγῃ,

7 Βάλλοντες τὰ σπέρματα αὐτῶν, 8 Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν,

Οὐ περὶ σίτου διαλέγεται, ἀλλὰ περὶ τῶν προειρημένων, παιδεύων τὸν ἀκροατὴν μὴ ἀλύειν ἐν ταῖς θλίψεσι. ὥσπερ γὰρ ὁ σπείρων οὐκ ἀλύει, κἂν πολλὰ τὰ φορτικὰ ᾖ, ἀφορῶν πρὸς τὰ λήϊα τὰ κομῶντα· οὕτως οὐδὲ τὸν θλιβόμενον δυσχεραίνειν χρὴ, κἂν πολλὰ τὰ λυπηρὰ ᾖ, τὸν ἀμητὸν ἀναμένοντα, τὴν πρόσοδον τὴν ἀπὸ τῆς θλίψεως γινομένην ἐννοοῦντα. Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες καὶ ὑπὲρ θλίψεως καὶ ὑπὲρ ἀνέσεως εὐχαριστῶμεν τῷ δεσπότῃ. εἰ γὰρ καὶ διάφορα τὰ γινόμενα, ἀλλὰ πρὸς ἓν ἕκαστον αὐτῶν τέλος ὁρᾷ, ὥσπερ ὁ σπόρος καὶ ὁ ἀμητός· καὶ φέρωμεν τὰς θλίψεις γενναίως καὶ εὐχαρίστως, καὶ τὰς ἀνέσεις μετὰ δοξολογίας, ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκϛ´. 1 ΕΑΝ ΜΗ ΚΥΡΙΟΣ ΟΙΚΟΔΟΜΗΣΗ ΟΙκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. 2 Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρίζειν.

3 Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι.

Οὗτος ὁ ψαλμὸς εἰς τὴν κατάστασιν τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπάνοδον εἴρηται. ἐπειδὴ γὰρ τῆς αἰχμαλωσίας ἀπαλλαγέντες καὶ ἐκ τῆς βαρβάρου χώρας ἐπανελθόντες, ἐρείπιον καταλαβόντες τὴν πόλιν, καὶ τὰ τείχη μετὰ τῶν πύργων ἐρριμμένα χαμαὶ, ἐπεχείρουν ἐγείρειν, πολλοὶ δὲ πολλαχόθεν ἐπιτιθέμενοι διεκώλυον τὸ ἔργον, φθονοῦντες τῇ τῶν Ἰουδαίων εὐημερίᾳ, καὶ δεδοικότες αὐτῶν τὴν εὐπραγίαν, εἶτα τούτων γινομένων ὁ χρόνος ἐτρίβετο, καὶ τοσοῦτος ἐτρίβετο χρόνος, ὡς ὑπὲρ τὰ τεσσαράκοντα ἔτη ἀναλωθῆναι ἐν τῇ τοῦ ναοῦ οἰκοδομῇ (ὅπερ οὖν καὶ Ἰουδαῖοι δηλοῦντες ἔλεγον, Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, οὐ περὶ τῆς προτέρας λέγοντες οἰκοδομῆς τῆς ὑπὸ Σολομῶντος, ἀλλὰ περὶ ταύτης τῆς ὑστέρας τῆς μετὰ τὴν Περσῶν ἀπαλλαγήν) ἐπεὶ οὖν πολὺς ἐτρίβετο χρόνος, τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῶν τειχῶν οἰκοδομουμένων, παιδεύων αὐτοὺς ἐπὶ τὸν Θεὸν καταφεύγειν ὁ προφήτης, ταῦτα διεξέρχεται, δεικνὺς ὅτι πάντα εἰκῆ καὶ μάτην γίνεται, ἐὰν μὴ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπάσωνται. οὐ γὰρ δὴ μόνον τῆς αἰχμαλωσίας ἀπαλλαγῆναι, ἀλλὰ καὶ τὸ ἀναστῆσαι τεῖχος ἀπαλλαγέντας ἀδύνατον ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς. καὶ τί λέγω τειχῶν ἀνάστασιν καὶ πόλεως οἰκοδομήν; ἀλλ' οὐδὲ γενομένην αὐτὴν καὶ ἀπαρτισθεῖσαν φυλάξαι τις δύναιτ' ἂν, ἐκείνης ἠρημωμένος τῆς συμμαχίας. Ταῦτα δὲ ἔλεγε, διὰ πάντων αὐτοὺς πάλιν ἐπὶ τὴν αὐτοῦ πείθων καταφεύγειν ῥοπὴν, ὥστε μὴ τῇ ἀνέσει γίνεσθαι ῥαθυμοτέρους. διὰ γὰρ τοῦτο οὐδὲ ἀθρόον ἔδωκεν αὐτοῖς τὰ ἀγαθὰ, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν, ἵνα μὴ πρὸς τὴν προτέραν παλινδρομήσωσι πονηρίαν τῇ ταχίστῃ τῶν κακῶν ἀπαλλαγῇ· ἀλλὰ καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν * αὐτοὺς ὑπεμίμνησκε, τῇ τῶν πολεμίων ἐφόδῳ διηνεκῶς ἀφυπνίζων αὐτῶν τὴν ῥαθυμίαν. Εἴρηται μὲν οὖν καθολικῶς ὁ λόγος, τὴν ἀρχὴν δὲ ἀπὸ τῆς ὑποθέσεως ταύ-

Ιω. β. α.

αιχῶς

της εἴληφε. δεῖ γὰρ αὐτὸν ἐφ' ἅπασιν ἁρμόζειν, οὐχ ἵνα αὐτοὶ ῥᾳθυμῶμεν, οὐδ' ἵνα ὕπτιοι κείμεθα, ἀλλ' ἵνα τὰ παρ' ἑαυτῶν εἰσφέροντες, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτωμεν, τῆς ἐλπίδος τῆς ἐκείνου διαπαντὸς ἐν ἅπασιν ἐκκρεμάμενοι. ὥσπερ γὰρ οὐκ ἔνι, τοῦ Θεοῦ μὴ βοηθοῦντος, εἰς τέλος τὰ πράγματα ἀγαγεῖν, οὕτω κἂν ὁ Θεὸς βοηθῇ, ἀργοῦντας αὐτοὺς καὶ ἀναπεπτωκότας οὐκ ἔνι τοῦ τέλους ἐπιτυχεῖν. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν. ἐγείρεσθε μετὰ τὸ καθῆσθαι. ἕτερος, Βραδύνουσι καθῆσθαι· ἄλλος, χρονίζουσι τοῦ καθῆσθαι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· κἂν ἀγρυπνῆτε, κἂν ὑπὸ τὴν ἕω διεγείρησθε, κἂν βραδύνητε πρὸς τὸ ἀναπαύεσθαι, τὸν πάντα χρόνον εἰς πόνον καὶ ταλαιπωρίαν δαπανῶντες, ἂν μὴ τῆς ἐκεῖθεν ἀπολαύσητε ῥοπῆς, τὰ ὑμέτερα πάντα οἰχήσεται, καὶ τῆς σπουδῆς ταύτης οὐδὲν ἔσται πλέον.

Οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Τοῦτο λέγει, δεικνὺς ὅτι ἐπίπονον ἔζων βίον, ὁπλῖται καὶ οἰκοδόμοι γινόμενοι. καὶ γὰρ τῇ μιᾷ χειρὶ κόφινον ἐβάσταζον ἢ λίθον, καὶ τῇ ἑτέρᾳ μάχαιραν, εἰς τὸ οἰκοδομεῖν καὶ πολεμεῖν ἑαυτοὺς διαιροῦντες· καὶ μετὰ ἀσπίδων τοὺς "χάλικας συνεφόρουν. ἐπειδὴ γὰρ "ἄτειχος ἦν ἡ πόλις καὶ γεγυμνωμένη, τὰς ἀθρόους καὶ παρ' ἐλπίδα τῶν πολεμίων ἐφόδους καθ' ἑκάστην ὑποπτεύοντες ὥραν, ὡπλισμένοι τὰ τείχη "περιέβαλλον, καὶ ξίφη καὶ ἀσπίδες καὶ μάχαιραι παρέκειντο, καὶ πόρρωθεν σκοποί τινες τὴν ἄδηλον αὐτῶν ἀπαγγέλλοντες ἔφοδον, καὶ σαλπίζοντες, εἴποτε ᾔσθοντο αὐτοὺς πόρρωθεν ἐπιόντας. ἀλλὰ κἂν ταῦτα ποιῆτε, φησὶ, καὶ ἄρτον ὀδύνης ἐσθίητε, πάντα εἰκῇ καὶ μάτην ἔσται, ἂν μὴ τὴν ἄνωθεν ἐπισπάσησθε συμμαχίαν. εἰ δὲ ἐκεῖνοι, πόλιν ἵνα ἀναστήσωσι καὶ τείχη, τοσαύτης ἐδέοντο τῆς ἄνωθεν συμμαχίας, πολλῷ μᾶλλον ἡμεῖς τὴν ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδεύοντες ὁδόν.

γρ. τὸν χάλικας
γρ. ἀτείχιστος
γρ. ὕφαινον,

4 Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί.

Ποία αὕτη ἀκολουθία; πολλὴ μὲν καὶ συνημμένη τοῖς προτέροις. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἐὰν μὴ τὰ αὐτοῦ ὁ Θεὸς παράσχῃ, πάντα εἰκῆ· ὅταν δὲ τὰ παρ' ἑαυτοῦ παράσχῃ, τότε καὶ ὕπνος ἡδὺς, τότε καὶ ἄνεσις, καὶ ζωὴ κινδύνων ἀπηλλαγμένη καὶ ἀσφαλείας γέμουσα. ὅταν οὖν δῷ αὐτοῖς ὕπνον, ὅταν ἀναπαύσῃ αὐτοὺς, ὅταν ἀποκρούσηται τοὺς ἐπιόντας, οὐ μόνον οἰκοδομήσουσι τότε τὴν πόλιν, οὐ μόνον φυλάξουσιν, ἀλλὰ καὶ τὰ πολλῷ μείζονα λήψονται. πατέρες γὰρ ἔσονται παίδων πολλῶν, καὶ τὰ τῆς εὐτεκνίας αὐτοῖς ἐπιδώσει.

Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ἕτερος, Μισθὸς ὁ καρπὸς τῆς γαστρός. Τί ἐστι τοῦτο; μισθὸν, φησὶ, λήψονται τὴν εὐπαιδίαν. εἰ γὰρ καὶ τῆς φύσεως ἔργον τὸ γινόμενον, ἀλλ' ὅταν ὁ Θεὸς τὰ παρ' ἑαυτοῦ παράσχῃ, καὶ αὕτη πλέον δραμεῖται (καὶ γὰρ καὶ αὕτη τῆς ἄνωθεν δεῖται ῥοπῆς) καὶ κομάσει τῷ πλήθει τὰ Ἱεροσόλυμα. οὐκ ἐν τούτοις δὲ ἔσται τὰ τῆς εὐημερίας μόνον, "οἷον ἐν τῇ οἰκοδομίᾳ, ἐν τῇ φυλακῇ, ἐν τῇ εὐτεκνίᾳ, ἀλλὰ καὶ ἕτερα τούτοις προσέσται· καὶ δεικνὺς ποῖα ταῦτα, ἐπάγει λέγων·

γρ. ἐν

5 Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Ἕτερος, Τῶν πεδητῶν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἔσονται ἐν ἀσφαλείᾳ τειχῶν μόνον, οὐδὲ ἐν πόλει ὀχυρᾷ, οὐδὲ ἐν εὐθηνίᾳ τῶν παίδων, ἀλλὰ καὶ φοβεροὶ τοῖς πολεμίοις, καὶ οὕτω φοβεροὶ, ὡς τὰ βέλη τὰ ἐν τῇ χειρὶ τῶν δυνατῶν. αὐτὰ γὰρ καθ' ἑαυτὰ οὐ φοβερὰ τὰ βέλη, ἀλλ' ὅταν ὑπὸ δυνατοῦ κατέχηται· θάνατον ἀπειλοῦντα τοῖς ἐπιοῦσιν. οὕτως οὖν ἔσονται φοβεροὶ οὗτοι. οὗτοι, ποῖοι; οἱ υἱοὶ τῶν ἐκτετιναγμένων· τουτέστι τῶν ποτε ἠσθενηκότων, τῶν πεπεδημένων. ἀναμιμνήσκει γὰρ αὐτοὺς συνεχῶς καὶ τῆς προτέρας δυσημερίας ἐν τῷ καιρῷ τῆς εὐημερίας, ἵνα πάντοθεν αὐτῶν ὀρθώσῃ τὴν διάνοιαν, καὶ ἐξ ὧν ἔπαθον, καὶ ἀφ' ὧν ἀπηλλάγησαν, καὶ ἐξ ὧν ἀπολαύουσι.

ϛ Μακάριος ἄνθρωπος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ ἐν ταῖς πύλαις.

Ἕτερος, Ὃς πληρώσει τὴν φαρέτραν αὐτοῦ ἐξ αὐτῶν. Τουτέστι, καὶ τοῦτο αὐτοῖς προσέσται, δύναμις σώματος, φόβος ἀνύποιστος, εὐπαιδία, ἀσφάλεια πόλεως, κάλλος, νίκη καὶ τρόπαια ἐν πολέμοις. διὸ καὶ μακαρίζει αὐτοὺς μέλλοντας ἀπολαύειν ταύτης τῆς εὐημερίας. ἔσονται γάρ, φησι, καθωπλισμένοι· ἀλλ᾽ οὐκ ἐν τούτοις μόνον ἵστησι τὸν μακαρισμόν, ἀλλ᾽ ὅτι οὐκ αἰσχυνθήσονται. οὐ καταισχυνθήσονται γάρ, φησιν, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ. τί ποτε τοῦτό ἐστι; τὸ μέγιστον τρόπαιον, ἡ μεγίστη λαμπρότης, ἡ φαιδρότης, ἡ μακαριότης. οὐ μέλλουσι γὰρ ὀνειδίζεσθαι, ὡς οὐκ ἀπολαύσαντες τῆς τοῦ Θεοῦ προνοίας, ἢ ὡς ἀσθενῆ Θεὸν ἐσχηκότες, ἢ ὡς δυνατὸν μέν, ἐκ δὲ τῶν οἰκείων ἁμαρτημάτων τὴν πρόνοιαν τὴν αὐτοῦ διακρουσάμενοι· ἀλλὰ διὰ πάντων κομῶντες, διὰ τῆς πόλεως, διὰ τῶν τειχῶν, διὰ τῆς φυλακῆς, διὰ τῶν παίδων, διὰ τῶν ὅπλων, διὰ τῆς δυνάμεως, οὐκ ἐγκαλυφθήσονται τοὺς πολεμίους ὁρῶντες, ἀλλὰ μετὰ πολλῆς ἀπαντήσονται τῆς φαιδρότητος, καλλωπιζόμενοι, μεγαφρονοῦντες, κοσμούμενοι διὰ πάντων τούτων, τοῦ Θεοῦ τὴν ὑπὲρ αὐτῶν ἀντίληψιν ἐνδεικνυμένου. τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν, καὶ τῆς μακαριότητος ἡ κορωνίς, τὸ δύνασθαι λοιπὸν ἐπὶ τῇ τοῦ Θεοῦ συμμαχίᾳ κοσμεῖσθαι. διὸ δὴ καὶ ἐνταῦθα τὸν λόγον κατέλυσε, παιδεύων ἅπαντας παρὰ τῶν ἄλλων ἁπάντων ἐκεῖνον τὸν κόσμον ἐπιζητεῖν, καὶ ἐπὶ τούτῳ φαιδρύνεσθαι. τοῦτον τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτυχεῖν ἀξιωθῶμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκζ΄. 1 ΜΑΚΑΡΙΟΙ ΠΑΝΤΕΣ ΟΙ ΦΟΒΟΥΜΕΝΟΙ τὸν Κύριον.

Ὅρα αὐτὸν ἐντεῦθεν ἀρχόμενον, ἔνθα κατέληξεν. ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦτο αὐτοὺς ἐμακάρισεν, ὅτι οὐ καταισχύνονται τῷ τὸν Θεὸν ἔχειν βοηθὸν καὶ μεθ᾽ ἑαυτῶν, οὕτω καὶ ἐνταῦθα ἐντεῦθεν προοιμιάζεται λέγων, μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, καὶ πάλιν καθολικὸν ποιεῖται τὸν λόγον, ἀπ᾽ ἐκείνων λαβὼν τὴν ἀρχήν. καὶ καλῶς εἶπε, πάντες, δηλῶν, ὅτι κἂν δοῦλός τις ᾖ, κἂν δεσπότης, κἂν πένης, κἂν τὸ σῶμα ἀνάπηρος, κἂν ὁτιοῦν, οὐδὲν τοῦτον κωλύει τὸν μακαρισμὸν τοῦτον ἔχειν, ὃν αὐτός φησι. τὸν μὲν γὰρ ἄλλον, τὸν ψευδῆ καὶ πεπλασμένον, καὶ ὃν πολλοὶ ζηλοῦσι, πολλὰ συνελθόντα μόλις ποιεῖ· κἂν μὴ πάντα συνδράμῃ, οὐκ ἂν γένοιτό τις μακάριος παρὰ ἀνθρώποις. οἷόν τι λέγω· ἐάν τις ᾖ πλούσιος, οὐκ ἀρκεῖ τοῦτο αὐτῷ πρὸς μακαρισμόν, ἀλλὰ δεῖ καὶ ὑγείαν προσεῖναι. κἂν γὰρ πλούσιος μὲν ᾖ, τὸ σῶμα δὲ πεπηρωμένος, χωλεύει τὰ τῆς μακαριότητος αὐτῷ, καὶ τῶν πενομένων ἐστὶν ἀθλιώτερος. πολλοὶ γοῦν πλουτοῦντες καὶ νόσῳ παλαίοντες τοὺς διὰ τῶν στενωπῶν χορεύοντας πένητας μακαρίζουσι, καὶ ἀθλίους ἑαυτοὺς εἶναι νομίζουσι μετὰ τῶν μυρίων ταλάντων. πάλιν ἂν ὑγιαίνῃ τὸ σῶμα μὲν καὶ πλούσιος ᾖ, δόξης δὲ μὴ ἀπολαύῃ, ἕτερον κώλυμα πάλιν. καὶ γάρ εἰσί τινες χρήματα μὲν κεκτημένοι πολλὰ καὶ τὸ σῶμα ἀσινὲς ἔχοντες, τὰ δὲ ἀνήκεστα πάσχοντες ὑπὸ τῶν δυναστείαν περιβεβλημένων, καὶ εἰς στρατείαν τὴν κατασυρέντων. διὰ γὰρ μηδεμιᾶς μετέχειν τιμῆς, καὶ ἀθλιωτέρους πάντων ἑαυτοὺς εἶναι νομίζουσιν,

μίζουσιν, ὑποκύπτοντες ὧν πολλάκις δούλους ἔχουσιν εὐπορωτέρους. πάλιν ἂν δόξα μὲν ᾖ, καὶ πλοῦτος, καὶ ὑγεία, σώματος ἀσφάλεια δὲ μὴ παρῇ, ἐπιβουλευόντων μυρίων, φθονούντων, βασκαινόντων, μισούντων, κατηγορούντων, συκοφαντούντων, πάντων ἀθλιώτερος ἔσται λαγωοῦ βίον ζῶν ὁ τοιοῦτος, καὶ τὰς σκιὰς ὑποπτεύων, καὶ πάντας τρέμων καὶ δεδοικώς. ἂν δὲ καὶ τούτων μὲν ἀπηλλάχθαι, φιλῆται δὲ παρὰ πάντων, καὶ κατὰ ῥοῦν αὐτῷ πάντα φέρηται, οἷον, δόξα, πλοῦτος, ἀσφάλεια καὶ τιμὴ (ὅπερ ἀμήχανον συνδραμεῖν, ἀλλ' ὅμως κείσθω τῷ λόγῳ) κἂν ἅπαντα τοίνυν ταῦτα ἐπιρρέῃ, καὶ μηδὲν ᾖ τὸ διακόπτον, ἀλλὰ καὶ εὔνοια δήμου, καὶ δόξης μέγεθος, καὶ χρημάτων περιουσία, καὶ σώματος ὑγεία καὶ ἀσφάλεια πᾶσα καὶ τὸ ἀχείρωτον αὐτῷ συντρέχῃ, μοχθηρὰν πολλάκις συνοικίσας ἑαυτῷ γυναῖκα καὶ διεστραμμένην, ἀθλιώτερος πάντων τῶν οὐδὲν ἐκείνων ἐχόντων γέγονε. ἐὰν δὲ καὶ αὐτὴ χρηστή τις ᾖ καὶ κατὰ νοῦν αὐτῷ καὶ γνώμην συμβαίνῃ, παιδία κτησάμενον φαῦλα, ἀθλιώτερον εἶναι πάντων ἀνάγκη τὸν τοιοῦτον· ἢ μηδ' ὅλως κτησάμενον, θρηνεῖν καὶ ὀδύρεσθαι. καὶ ὅπουπερ ἂν ἴδῃ τῶν ἀνθρωπίνων τις, πολλοὺς ὄψεται τοὺς κρημνούς. καὶ τί δεῖ τἄλλα λέγειν; πολλάκις οἰκέτης μοχθηρὸς πάντα ἀνέτρεψε καὶ συνέχεε, καὶ οὐδὲν οὕτω σφαλερὸν ὡς τὸ ἐν ἀνθρώποις κομᾶν. ἀλλ' οὐχ ὁ τὸν Θεὸν φοβούμενος τοιοῦτος· ἀλλὰ τῶν κυμάτων τούτων ἀπηλλαγμένος ἐν γαλήνῃ κάθηται καὶ λιμένι, τὴν ὄντως δρεπόμενος μακαριότητα. διὰ δὴ τοῦτο πάντα ἐκεῖνα παραδραμὼν ὁ προφήτης, τοῦτον μακαρίζει μόνον. ἐκεῖνος μὲν γὰρ ὁ μακαρισμός, ἂν μὴ πάντα συνδράμῃ, οὐκ ἄν ποτε σταίη· μᾶλλον δὲ καὶ ὅταν συνδράμῃ, τότε σαλεύεται παρ' αὐτῶν ἐκείνων τῶν τικτόντων αὐτόν. καὶ γὰρ καὶ πλοῦτος ἀπώλεσε, καὶ γυνὴ πολλάκις εὔμορφος κατέλυσε, καὶ οἰκετῶν πλῆθος παρέδωκε, καὶ παῖδες γενόμενοι πατραλοῖαι κατέστησαν, καὶ ὅπερ ἔφθην εἰπών, πολλὰ πανταχόθεν ἔχει τὰ σφαλερά· ἐνταῦθα δέ, κἂν πάντα συρρέῃ τἀναντία, οὐ μόνον οὐδὲν παραβλάπτει τὸν μακαρισμὸν τοῦτον, ἀλλὰ καὶ ἰσχυρότερον αὐτὸν καθίστησι καὶ ἀνδρειότερον. κἂν γὰρ πενία, κἂν ἀτιμία, κἂν πήρωσις σώματος ᾖ, κἂν γυναικὸς μοχθηρία, κἂν παῖδες μοχθηροί, κἂν ὁτιοῦν εἴπῃς, οὐχ ὑποσκελίζει τοῦτον τὸν μακαρισμόν, οὐδὲ παρασαλεύει. οὐ γὰρ ἐξ ἐκείνων ἔχει τὴν γένεσιν, ἵνα καὶ ὑπ' ἐκείνων σείηται τῶν παρασυρομένων, ἀλλ' ἄνωθεν τὴν ῥίζαν κέκτηται, διὸ καὶ ἀχείρωτος μένει. καί, εἰ βούλεσθε, ἐπ' αὐτῶν τῶν πραγμάτων μεταχειρίζωμεν τοῦτον. οὐχὶ δοῦλος ἦν ὁ Ἰωσήφ; οὐχὶ ξένος; οὐχὶ ἄπολις; οὐχὶ βαρβάρων οἰκέτης, πρότερον μὲν Σαρακηνῶν, ὕστερον δὲ * Αἰγυπτίων; οὐχὶ μοιχὸς ἐνομίζετο; οὐ κατηγορεῖτο; οὐκ ἐσυκοφαντεῖτο; οὐ δεσμωτήριον ᾤκει; οὐχ ἅλυσιν περιέκειτο; καὶ τί τούτων αὐτὸν ἔβλαψεν; ἀλλὰ διὰ ταῦτα μὲν οὖν μάλιστα μακάριος ἦν. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτο, ὅπερ ἔφθην εἰπών, ὅτι οὐ μόνον οὐδὲν παραβλάπτεται ὁ μακαρισμὸς ἐντεῦθεν οὗτος, ἀλλὰ καὶ λαμπρότερος καὶ φαιδρότερος γίνεται. εἰ γὰρ μηδὲν τούτων ἔπαθεν, οὐκ ἂν οὕτω μακάριος ἦν. βούλει καὶ ἑτέρους σφοδρότερον ἐν κακίᾳ διατρίψαντας εἴπω, εἶτα ἀθρόον μεταβαλομένους καὶ πᾶσαν ἐκείνην τὴν κακίαν ἀποδυσαμένους; τί τοῦ λῃστοῦ γέγονεν ἀθλιώτερον; ἀλλ' ἀθρόον μακαριώτερος πάντων ἐφάνη, καίτοι μυρίους εἰργάσατο φόνους. καὶ γὰρ σταυρῷ κατεδικάζετο, καὶ τὴν ἐπὶ θάνατον ᾔγετο. πάντες αὐτοῦ κατηγόρουν, ὁ χρόνος ἅπας ἑάλωτο καὶ ὁ βίος δεδαπάνητο ἐν πονηρίᾳ· ἀλλ' ἐπεὶ ἐν βραχεῖ χρόνῳ τὸν Θεόν, ὡς χρὴ φοβηθῆναι, ἐφοβήθη, μακάριος γέγονεν. οὕτω καὶ ἡ πόρνη, καίπερ τὴν ὥραν ἐμπορευομένη καὶ πᾶσιν εἰς ὕβριν προκειμένη, καὶ διὰ τοῦτο πάντων οὖσα ἀθλιωτέρα, μακαρία κατέστη τὸν Θεὸν ὡς δεῖ φοβηθεῖσα. οὐδὲν γάρ ἐστι κακόν, ὃ μὴ σβέννυσιν ὁ τοῦ Θεοῦ φόβος. καθάπερ οὖν τὸ πῦρ, οἷον ἂν λάβῃ σίδηρον διεστραμμένον, ἢ ἰοῦ πολλοῦ γέμοντα, καὶ λαμπρὸν ἀποδείκνυσι καὶ φαιδρόν, "ἀπόσμηχον, καὶ τελείως τὴν διαστροφὴν

Λουκ. ζ. μζ.

διορθοῖ

ἄνθρωποι· οὕτω καὶ ὁ τοῦ Θεοῦ φόβος καὶ ἐν βραχεῖ χρόνῳ πάντα ἐργάζεται, καὶ τοὺς ὑπ' αὐτοῦ βαφέντας οὐδενὶ τῶν ἀνθρωπίνων ἀφίησιν ὑποσκελίζεσθαι. οὐκ ἀσθενὴς ἦν ὁ Τιμόθεος; οὐχὶ διηνεκῶς ἐν νόσοις καὶ ταλαιπωρίαις; τί οὖν ἐκείνου μακαριώτερος γέγονε; τί δὲ ὁ Ἰὼβ, εἰπέ μοι; οὐκ ἐν πενίᾳ κατέστη; οὐκ ἐν ἀπαιδίᾳ; οὐκ ἐν πληγῇ σώματος χαλεπωτάτῃ; οὐκ ἐν ὀνείδεσιν; οὐκ ἐν ὕβρεσιν; οὐκ ἐν λοιδορίαις; οὐκ ἐν λιμῷ; οὐκ ἐν ἅπασι τοῖς ἀνθρωπίνοις κακοῖς; ἀλλ' ὅμως ἁπάντων καὶ τούτων μακαριώτερος γέγονεν. οὐ μόνον γὰρ οὐδὲν τούτων ὑπεσκέλισεν, ἀλλὰ καὶ στερεώτερον εἰργάσατο· καὶ γυνὴ δὲ μετὰ πάντων ἐκείνων ἐπέκειτο αὐτῷ ὀνειδίζουσα, καὶ ὅμως διὰ πάντων ἔλαμψε. ταῦτ' οὖν ἅπαντα ἐννοῶν ὁ προφήτης, μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον φησίν, Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Ἵνα γὰρ μὴ νομίζῃς ἀρκεῖν σοι τὸν φόβον, προσέθηκε τὸ, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ, δηλῶν ἀμφότερα, ὅτι οἱ φοβούμενοι καὶ πορευόμενοι. πολλοὶ γὰρ πίστιν ἔχοντες ἀκριβῆ, βίον δὲ διεφθαρμένον, ἀθλιώτεροι πάντων γεγόνασιν. ἵν' οὖν μὴ δόξῃ ἐντεῦθεν ὁ λόγος ἐλέγχεσθαι, ἐπήγαγεν· οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. τίνες δὲ αἱ τοῦ Θεοῦ ὁδοὶ, ἀλλ' ἢ ἡ κατ' ἀρετὴν πολιτεία; διὰ ταύτης γάρ ἐστιν εἰς τὸν οὐρανὸν ἀνιέναι, καὶ τῆς πόλεως ἐκείνης ἐπιλαβέσθαι, καὶ αὐτὸν ἰδεῖν τὸν Θεὸν, ὡς ἀνθρώπῳ δυνατὸν κατιδεῖν. ὁδοὶ δὲ αὐτοῦ λέγονται, ἐπειδὴ δι' αὐτῶν ἐστιν ἐλθεῖν πρὸς τὸν Θεόν. οὐκ εἶπεν ὁδὸς, ἀλλ' ὁδοὶ, δεικνὺς ὅτι πολλαὶ αὗται καὶ διάφοροι. καὶ γὰρ διὰ τοῦτο πολλὰς αὐτὰς ἔτεμε, τῇ ἀφθονίᾳ τῶν ὁδῶν εὔκολον ποιῶν ἡμῖν τὴν εἴσοδον. οἱ μὲν γάρ τῶν ἀνθρώπων ἐν παρθενίᾳ διαλάμπουσιν, οἱ δὲ ἐν γάμῳ διαπρέπουσιν, ἄλλοι χηρείᾳ κοσμοῦνται· καὶ οἱ μὲν τὰ πάντα ἀπεδύσαντο, οἱ δὲ τὰ ἡμίση· καὶ οἱ μὲν δι' ὀρθοῦ βίου, οἱ δὲ διὰ μετανοίας. διὰ τοῦτό σοι πολλὰς ἔτεμεν ὁδοὺς, ἵνα εὐκόλως ὁδεύῃς. οὐκ ἴσχυσας μετὰ τὸ λουτρὸν καθαρὸν φυλάξαι τὸ σῶμα; δύνασαι διὰ μετανοίας αὐτὸ ποιῆσαι καθαρόν, δύνασαι διὰ χρημάτων, δι' ἐλεημοσύνης. ἀλλ' οὐκ ἔχεις χρήματα; ἀλλ' ἐπισκέπτεσθαι δύνασαι τὸν ἀρρωστοῦντα, ἀπιέναι πρὸς τὸν δεδεμένον, ψυχροῦ ποτήριον διδόναι, καὶ ὁμωρόφιον ποιεῖν τὸν ξένον, δύο παρέχειν ὀβολοὺς ὡς χήρα, καὶ στενάζειν ἐπὶ τοῖς ὀδυνωμένοις. καὶ γάρ καὶ τοῦτο ἐλεημοσύνη. ἀλλ' ἔρημος εἶ καὶ πένης καθόλου, καὶ ἀσθενὴς τὸ σῶμα ὡς μηδὲ βαδίσαι δύνασθαι; φέρε πάντα εὐχαρίστως ταῦτα, καὶ μέγαν καρπώσῃ τὸν μισθόν· ἐπεὶ καὶ Λαζάρου τοῦτο ἦν τὸ κατόρθωμα. οὐδὲ γὰρ ἀπὸ χρημάτων ἐκεῖνος ἐπεκούρησέ τινι. πῶς γὰρ, ὁ μηδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς; οὐκ εἰς δεσμωτήριον εἰσῆλθε. πῶς γὰρ, ὁ μηδὲ ὀρθοῦσθαι δυνάμενος; οὐκ ἄρρωστον ἐπεσκέψατο. πῶς γάρ, ὁ προκείμενος ταῖς γλώτταις τῶν κυνῶν; ἀλλ' ὅμως καὶ τούτων χωρὶς τὸ βραβεῖον ἥρπασε τῷ πάντα γενναίως ἐνεγκεῖν, τῷ τὸν μὲν ὠμὸν καὶ ἀπάνθρωπον εὐδοκιμοῦντα καὶ ἐντρυφῶντα ὁρᾷν, ἑαυτὸν δὲ ἐν τοσούτοις κακοῖς, καὶ μηδὲν ἀπεικὸς ῥῆμα φθέγξασθαι. διὰ δὴ τοῦτο τοὺς κόλπους ἀπελάμβανε τοῦ Ἀβραὰμ, ὁ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, ἀλλ' ἀργὸς ἐν τῷ πυλῶνι τοῦ πλουσίου τότε ἐῤῥιμμένος, καὶ μετὰ τοῦ τοσαῦτα κατωρθωκότος πατριάρχου ἐστεφανοῦτο καὶ ἀνεπαύετο καὶ τῶν κόλπων ἀπήλαυε τῶν ἐκείνου, οὐκ ἐλεημοσύνας ποιήσας, οὐκ ἀδικουμένῳ χεῖρα ὀρέξας, οὐ ξένους ὑποδεξάμενος, οὐκ ἄλλο οὐδὲν ἐπιδείξασθαι δυνηθεὶς, ἀλλ' ἐν πᾶσι μόνον εὐχαριστήσας, καὶ τὸν τῆς ὑπομονῆς λαμπρὸν ἀπενεγκὼν στέφανον. μέγα γὰρ εὐχαριστία καὶ φιλοσοφία * ἐν τοσούτοις κακοῖς γυμναζομένη, καὶ πάντων μεῖζον κατόρθωμα τοῦτο. ὅθεν καὶ ὁ Ἰὼβ ἐστεφανοῦτο. * καὶ ὁ διάβολος ἔλεγε, Δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι τῆς σαρκὸς αὐτοῦ. οὐ γὰρ μικρὸν ὀδυνωμένην χαλινῶσαι ψυχὴν πρὸς

Iob 2. a.

τὸ μηδὲν ἁμαρτεῖν. τοῦτο μαρτυρίου ἴσον, τοῦτο ὁ κολοφὼν τῶν ἀγαθῶν. καὶ σὺ τοίνυν, ἀγαπητέ, πολλάκις ὑπὸ νόσου κατεχόμενος, ἢ πυρετῶν, ἢ ἀλγηδόνων, τῆς ὀδύνης σε ἀναγκαζούσης εἰπεῖν τι βλάσφημον, ἐὰν κατάσχῃς σεαυτὸν καὶ εὐχαριστήσῃς,* τὸν αὐτὸν λήψῃ μισθόν. τίνος γὰρ ἕνεκεν βλασφημεῖς, εἰπέ μοι; μὴ κουφότερόν σοι γίνεται τὸ ἄλγος; μάλιστα μὲν γὰρ εἰ καὶ κουφότερον ἐγένετο, οὐδ᾽ οὕτως ἔδει τολμᾶν, οὐδὲ ψυχῆς σωτηρίαν ἀποδόσθαι, σώματι παραμυθίαν ἐπινοοῦντα· νυνὶ δὲ οὐ μόνον οὐ κουφίζεται τὸ ἄλγος, ἀλλὰ καὶ χαλεπώτερον γίνεται. ὁ γὰρ διάβολος ὁρῶν ὅτι ἴσχυσέ τι, καὶ εἰς βλασφημίαν σε ἐξήγαγεν, ἐπιτείνει τὴν κάμινον, ἀνάπτει τὴν ὀδύνην, ὥστε αὐτῷ πληρῶσαι τὴν ἐπιθυμίαν. μάλιστα μὲν οὖν (ὅπερ ἔφην) εἰ καὶ ἐκουφίζετο, οὐκ ἔδει τοῦτο ποιεῖν· ὅταν δὲ μηδὲ κερδαίνῃς τι, τίνος ἕνεκεν σαυτὸν κατασφάττεις; ἀλλ᾽ οὐκ ἀνέχῃ σιγᾶν· οὐκοῦν εὐχαρίστει τῷ Θεῷ, οὐκοῦν δοξολόγει τὸν δοκιμάζοντα* ἐν τῇ καμίνῳ. ἀντὶ τῆς βλασφημίας, δοξολογίαν εἰπέ. ὧδε καὶ μέγας μισθὸς, καὶ κουφότερον γίνεται τὸ ἕλκος. οὕτω καὶ ἐκεῖνος ὁ μακάριος φθεγγόμενος ἔλεγεν· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. καὶ πάλιν, εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀλλ᾽ ἐμοί, φησιν, οὐκ ἔδωκε πλοῦτον. οὐκοῦν ἔλαττον τὸ ἕλκος. οὐ γάρ ἐστιν ἴσον ἀπολαύσαντα τῶν ἀπὸ τοῦ πλούτου γυμνωθῆναι τούτου, καὶ μηδὲ πεῖραν λαβόντα ἐν πενίᾳ ζῆν. εἰ γὰρ τὰ τῶν ἄλλων ὁρῶντες'' κακὰ καὶ τοῖς ἑαυτῶν ἀντεπεξάγοντες λυπηροῖς, χαλεπώτερα τῇ συγκρίσει τὰ ἑαυτῶν νομίζουσι πολλοὶ τῶν πενομένων· ὅταν μὴ ἑτέρωθεν ἀλλ᾽ ἐξ'' αὐτῶν ποιῶνται τὴν σύγκρισιν, ἐννόησον πῶς χαλεπώτερα τὰ τῆς ἀθυμίας, ὅσῳ καὶ ἡ πεῖρα πλείονα παρασκευάζει τῆς ἀφαιρέσεως τὴν αἴσθησιν. ταύτῃ καὶ ἡ ἀπαιδία κουφοτέρα ἡ ἐξ ἀρχῆς τῆς μετὰ εὐπαιδίαν. οὐ γάρ ἐστιν ἴσον μὴ λαβεῖν, καὶ μετὰ τὸ λαβεῖν ἀφαιρεθῆναι. φέρε τοίνυν τὰ συμπίπτοντα γενναίως. τοῦτο γάρ σοι μαρτύριόν ἐστι. οὐ γὰρ τὸ κελευόμενον θῦσαι, τὸ μὴ θῦσαι, ἀλλὰ κατακαυθῆναι μᾶλλον ἢ τοῦτο ποιῆσαι, ποιεῖ μαρτύριον μόνον· ἀλλὰ καὶ τὸ, τῆς ὀδύνης εἰς βλασφημίαν ἐξαγούσης, ἑλέσθαι ἐγκαρτερῆσαι τῷ πόνῳ, καὶ μηδὲν ἀπηχὲς εἰπεῖν, μάρτυρα ἐργάζεται. ἐπεὶ καὶ ὁ Ἰὼβ οὐκ ἐπειδὴ κελευόμενος θῦσαι οὐκ ἔθυσε, διὰ τοῦτο ἐστεφανώθη, ἀλλ᾽ ἐπειδὴ τὰς ὀδύνας γενναίως ἤνεγκε. καὶ Παῦλος δὲ ἐντεῦθεν ἀνεκηρύττετο, ἀπὸ τῶν μαστίγων, ἀπὸ τῶν θλίψεων, ἀπὸ τῶν ἄλλων ὧν ὑπέμεινε μετ᾽ εὐχαριστίας.

Ἰωβ. α.

* καὶ δοξολογήσῃς

* σῷ

ἴσ. κακὰ

ἴσ. ἑαυτῶν

2 Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Τίνος ἕνεκεν διπλασιάζει τὸν μακαρισμόν; ἐπειδὴ οἶδεν αὐτοῦ τὸ μέγεθος, ἐντρυφᾷ τῇ φαντασίᾳ τοῦ πράγματος. καὶ τί τὸ καλῶς, εἰπέ*;

* μοι;

3 Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

Ἄλλος, Ἐν τοῖς ἐσωτάτοις· Ἄλλος, Ἐν τοῖς μηροῖς.

4 Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.

5 Ἰδού, οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Τί λέγεις*; τοῦτο ὁ μακαρισμός; τοῦτο τὸ κέρδος, οἰκίας εὐθηνία, καὶ τὸ τῶν οἰκείων ἀπολαῦσαι πόνων, καὶ παίδων πλῆθος καὶ γυναικός; οὐ τοῦτο, ἀλλὰ τοῦτο ἐκ περιουσίας. Ζητεῖτε γὰρ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἐπειδὴ οὖν ἀτελεστέροις ἔτι διελέγετο, ὥσπερ παιδία μικρὰ ἀπὸ τῶν αἰσθητῶν ἐνάγει. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ Παῦλος τοῦτο ποιεῖ ἐν τῷ καιρῷ τῆς τοσαύτης φιλοσοφίας, πρὸς τοὺς ἔτι χαμαὶ βλέποντας ἀπὸ τούτων διαλεγόμενος, πολλῷ μᾶλλον ὁ προφήτης. καὶ ποῦ τοῦτο ὁ Παῦλος ποιεῖ; καὶ'' ἀλλαχοῦ (καὶ γὰρ, ὅταν περὶ παρθενίας διαλέγηται, οὐδὲν περὶ μελλόντων αὐτοῖς λέγει, ἀλλὰ τὴν ἀπαλλαγὴν τῶν ἀπὸ τοῦ γάμου προσγινομένων λυπηρῶν

* εἰπέ μοι

Λουκ. ιβ. λα.

α. Κορ. ζ. κα. λβ.

καὶ πολλαχοῦ

πηρῶν μόνον τίθησι) καὶ ὅταν δὲ περὶ τῆς εἰς γονέας τιμῆς, περὶ αὐτῶν κέχρηται τρόπῳ οὕτω λέγων· ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις. τίς δέ ἐστιν ἡ ἐντολή; Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. (Ἐφ. ς. β.) ἀλλὰ καὶ ὅταν περὶ τῆς εἰς τοὺς ἐχθροὺς φιλοσοφίας γράφῃ, πάλιν αἰσθητὸν τίθησιν ἔπαθλον λέγων· Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. (Ρω. ιβ. κ.) ὁ δὲ Χριστὸς οὐχ οὕτως (οὐδὲ γὰρ αὐτοῖς ἀσθενέσι διαλέγεται) ἀλλ' ἐπὶ μὲν τῇ παρθενίᾳ, τὴν βασιλείαν τίθησιν· (Ματθ. ιθ. ιβ.) ἐπὶ δὲ τῷ τοὺς ἐχθροὺς ἀγαπᾶν, τὸ γίνεσθαι ὁμοίους Θεῷ, ὡς ἀνθρώπους ὄντας ὁμοίους γίνεσθαι ἔνι· ὥσπερ οὖν καὶ ἐν τῇ παλαιᾷ ἔνθα διὰ τῶν αἰσθητῶν ἤγοντο, τοὺς φιλοσοφοῦν εἰδότας ἀπὸ τῶν μειζόνων ὀψόμεθα ἐναγομένους. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε, Κατὰ πίστιν ἀπέθανον οὗτοι μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν ἰδόντες αὐτὰς καὶ ἀσπασάμενοι. (Ἑβρ. ια. ιγ.) οὐ τοίνυν ὁ μισθὸς οὗτος τῶν φοβουμένων τὸν Θεὸν μόνος, τῶν οἰκείων ἀπόλαυσις, καὶ γυνὴ καὶ παῖδες καὶ εὐθηνία οἰκίας, ἀλλὰ ταῦτα ἐκ περιουσίας καὶ ἐν τάξει προσθήκης, τὰ δὲ κεφάλαια μεγάλα· πρῶτον μὲν οὖν αὐτὸ τὸ φοβεῖσθαι τὸν Θεὸν ἐν ἑαυτῷ τὴν ἀμοιβὴν ἔχον· ἔπειτα δὲ τὰ ἀπόρρητα ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη.

6 Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ.

Ἕτερος, Καὶ ὅρα ἐν ἀγαθοῖς τὴν Ἱερουσαλήμ. Ἀγαθά, τὴν πόλιν λέγει, τὸν πλοῦτον, τὴν εὐπρέπειαν, τὰς νίκας, τὰς τιμάς, τὴν εὐθηνίαν, τὴν εὐετηρίαν, τὴν ἀσφάλειαν, τὴν εἰρήνην. Πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

...τίνα τὰ ὀ-
...εἰπέ μοι

Καλῶς καὶ τῇ προσθήκῃ τῶν ἡμερῶν κέχρηται. καὶ γὰρ καὶ τοῦτο μάλιστα σημεῖον ἦν τοῦ παρὰ τοῦ Θεοῦ ταῦτα δίδοσθαι, καὶ τῆς προνοίας αὐτοῦ δεῖγμα, τὸ μὴ πάσχειν τι ἀνθρώπινον, μηδὲ μεταπίπτειν καὶ μεταβολὴν ὑπομένειν, πλὴν εἴποτε ὀργισθεὶς αὐτὰ διέκοψε. 7 Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Καὶ μὴν πολλοί, φησι, φοβούμενοι τὸν Θεὸν ἐν ἀπαιδίᾳ διετέλεσαν. καὶ τί τοῦτο; οὐ γὰρ ἐπὶ τοῖς παροῦσιν ἀπεδυσάμεθα, ἀλλὰ προηγουμένως μὲν ἐπὶ τῷ ἀρέσκειν τῷ Θεῷ, ἔπειτα δὲ καὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσι. καὶ τότε μὲν, ταῦτα ἦν τὰ ἔπαθλα· νῦν δὲ, οὐρανὸς καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά. Εἰ δὲ μὴ ἔσχες παῖδας φοβούμενος τὸν Θεόν, πόθεν οἶσθα εἰ μὴ τῆς εὐπραγίας ταύτης ἕτερα μείζονα ἔδωκεν; οὐ γὰρ ἑνὶ τρόπῳ πάντας εὐεργετεῖ, ἀλλὰ διαφόρως, πλούσιος ὤν. πόσοι παῖδας ἐσχηκότες, τοὺς οὐκ ἔχοντας ἐμακάρισαν; πόσοι πλοῦτον κτησάμενοι, τῶν πενήτων ἀθλιώτερον κατέλυσαν; πόσοι δόξης ἀπολαύσαντες, καθάπερ μαχαίρᾳ, ταύτῃ περιεπάρησαν, καὶ τὰ ἀνήκεστα πεπόνθασι; μὴ δὴ τὰ πράγματα ζήτει, μηδὲ ἀπαίτει τὸν Θεὸν εὐθύνας, ἀλλὰ πάντα φέρε γενναίως καὶ μετ' εὐχαριστίας. μᾶλλον δὲ μηδενὶ τῶν παρόντων προσήλωσο. διὰ γὰρ τοῦτο τοιαύτην ἐκελεύσθης εὔχεσθαι εὐχήν, ἐν ᾗ μόνον ἓν αἴτημα αἰσθητὸν αἰτεῖς, καὶ πλέον οὐδέν. ἀλλὰ καὶ τοῦτο, τῷ μέτρῳ πάλιν γέγονε πνευματικόν. τὰ μὲν γὰρ ἄλλα πάντα, περὶ οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας, περὶ ἀκριβοῦς πολιτείας, καὶ τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἡμῖν λέγει)· ὑπὲρ δὲ αἰσθητῶν, μίαν λέξιν κελευόμεθα λέγειν. ποίαν δὲ ταύτην; τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*. ἐπειδὴ γὰρ πρὸς ἑτέραν λοιπὸν καλούμεθα πατρίδα, καὶ πρὸς μείζονα μετεταξάμεθα ζωήν, καὶ τὰς αἰτήσεις καταλλήλους ἐκείνῃ δεῖ ποιεῖσθαι· ταῦτα δέ, κἂν ἐπιρρέῃ, μετὰ πολλῆς τῆς ἀκριβείας διαχρῆσθαι.

[illegible]
...ἐπιούσι-

Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Ἄλλος, Εἰρήνην ἐπὶ τὸν Ἰσραήλ. Κατὰ κοινοῦ ἡ εὐχή. τοῦτο γὰρ μάλιστα ποθοῦσιν, ἅτε μακρῷ τεταριχευμένοι πολέμῳ. τί γὰρ ὄφελος αὐτοῖς τῶν ἄλλων, εἰρήνης οὐκ οὔσης; ὃ τοίνυν κεφάλαιον τῶν ἀγαθῶν τῶν τότε, καὶ τὴν ἀσφάλειαν αὐτῶν ἐπαγγέλλεται, τὴν εἰρήνην, καὶ ταύτην διηνεκῆ· ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ προνοίας ἔργον, τὸ καὶ δοῦναι καὶ μὴ ἀφεῖναι διαπεσεῖν. ἐπειδὴ γὰρ αὕτη τῶν ἀνθρωπίνων ἡ φύσις ῥευστή τίς ἐστι καὶ οὐ διαρκής, δείκνυσιν ὅτι οὐχ ἁπλῶς αὖθις ἔπεισι ταῦτα, ἀλλ' ἀπὸ τῆς ἄνωθεν ῥοπῆς καὶ νεύοντος τοῦ Θεοῦ, πάσας τὰς ἡμέρας εἶπε, καὶ εἰρήνην ἐπηγγείλατο διαρκῆ. καὶ γέγονε τοῦτο, τό γ' οὖν εἰς τὸν Θεὸν ἧκον. εἰ δὲ διεκόπη πάλιν, ἀπὸ τῆς ἐκείνων πονηρίας συνέβη καὶ τοῦτο. ὥσπερ γὰρ ὅταν ἀπειλῇ κολάσεις τισί, τοῖς δὲ διὰ μετανοίας ἀποκρουομένοις τὴν ὀργὴν ἵσταται τὰ τῆς τιμωρίας· οὕτω καὶ ἂν ἀγαθὰ ἐπαγγείληται, ἀνάξιοι δὲ φανῶσιν οἱ τῆς ἐπαγγελίας μέλλοντες ἀπολαύειν, ἀναχαιτίζεται τὰ τῆς ὑποσχέσεως. τὸ μὲν οὖν εἰς αὐτὸν ἧκον, πάσας τὰς ἡμέρας αὖθις ἐπηγγείλατο· τῇ δὲ ἑαυτῶν πονηρίᾳ διέκοψαν τὴν δωρεάν. Ταῦτα δὴ λέγω, ἵνα μήτε ἀπειλοῦντος αὐτοῦ ἀπογινώσκωμεν, ἀλλὰ τῇ μετανοίᾳ τὴν ὀργὴν ἀποκρουώμεθα· μήτε χρηστὰ ἐπαγγελλομένου ἀναπίπτωμεν, ἀλλὰ τῇ σπουδῇ καὶ τῇ κατὰ τὸν βίον ἐπιμελείᾳ προκαλώμεθα εἰς ἔργον τὰς ὑποσχέσεις. ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, οὐκ ἀρκεῖ ἡ ἐπαγγελία σῶσαι μόνη· ἐπεὶ καὶ τῷ Ἰούδᾳ ἐπηγγείλατο ὅτι καθιεῖται ἐπὶ τοῦ θρόνου μετὰ τῶν ἕνδεκα μαθητῶν, καὶ οὐκ ἐκάθισεν. ἡ δὲ αἰτία οὐ παρὰ τὸν ὑποσχόμενον, ἀλλὰ παρὰ τὸν ἀνάξιον τῆς ὑποσχέσεως φανέντα. καὶ ἡμεῖς τοίνυν ἔχοντες βασιλείας ἐπαγγελίαν, μὴ ῥαθυμῶμεν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, ἵνα δυνηθῶμεν τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκη. 1 ΠΛΕΟΝΑΚΙΣ ΕΠΟΛΕΜΗΣΑΝ ΜΕ ΕΚ ΝΕότητός μου, εἰπάτω δὴ Ἰσραήλ· 2 Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου. καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἕτερός φησιν ἑρμηνευτής, Ἀλλ' οὐκ ἠδυνήθησάν μοι.

ΚΑὶ οὗτος τοῦ περὶ αὐτοῦ ἔχεται ὁ ψαλμός. ἐπειδὴ γὰρ διεκόπτετο τὰ τῆς οἰκοδομῆς, καὶ πρὸς τέλος τὸ ἔργον οὐκ ᾔει, ἄγων αὐτοὺς εἰς χρηστὰς ἐλπίδας, ἵνα μὴ ἀπογινώσκωσιν, ἐκ τῶν παρελθόντων περὶ τῶν μελλόντων θαρρεῖν αὐτοὺς παρασκευάζει, καὶ παιδεύει αὐτοὺς λέγειν ταῦτα τὰ ῥήματα. ποῖα δή; ὅτι πολλάκις ἐπιθέμενοι περιγενέσθαι οὐκ ἴσχυσαν, οὐδὲ ὁλοσχερῆ νίκην ἤραντο. καὶ μὴν ἔλαβον αἰχμαλώτους, φησί, καὶ πρὸς τὴν ἀλλοτρίαν μετέστησαν, καὶ πολλοὺς πολέμους ἐνίκησαν. μάλιστα μὲν καὶ τότε οὐκ ἐκ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἐκ τῆς τῶν Ἰουδαίων ἁμαρτίας περιεγένοντο. ἄλλως δέ, οὐδὲ μέχρι τέλους ἔμειναν ὡς περιγεγονότες. οὐδὲ γὰρ ἴσχυσαν παντελῶς ἀφανίσαι τὸ γένος, ἢ τὴν πόλιν ἐξαλεῖψαι, οὐδὲ εἰς τέλος ἀπολέσαι τὸ ἔθνος, ἀλλὰ πρὸς ὀλίγον ἐνδιδόντος τοῦ Θεοῦ περιγινόμενοι, πάλιν ἡττῶντο. πῶς δὲ ἡττῶντο; τῶν Ἰουδαίων ἐπὶ τὴν προτέραν εὐπραγίαν ἐπανιόντων· ὃ καὶ δηλῶν ἕτερος ἑρμηνευτής, ἀλλ' οὐχ ὑπερίσχυσάν μου, εἶπεν.

γρ. καὶ γὰρ πολλάκ.

3 Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

Τί ἐστι τοῦτο; οὐχ ὡς ἔτυχεν ἐπεβούλευον, φησιν, ἀλλὰ πολλὰ ἐμηχανῶντο καὶ ἐπραγματεύοντο, δόλους ῥάπτοντες, λάθρα ἐπιτιθέμενοι. τὸ γὰρ ἐπὶ τὸν νῶτόν μου ἢ τὸ δολερὸν καὶ ὕπουλον δηλοῖ, ἢ τὸ κατὰ κράτος καὶ μετὰ πολλῆς σφοδρότητος· τουτέστιν, αὐτὴν τὴν δύναμίν μου συνθλάσαι ἐπεχείρουν. ἕτερος δὲ ἀντὶ τοῦ ἐτέκταινον, ἠροτρίασαν εἶπεν, ἵνα δηλώσῃ ὅτι ἔργον ἐποιοῦντο τὴν κατὰ τοῦ δικαίου ἐπιβουλήν. ἐμάκρυναν κρύψαι τὴν ἀνομίαν αὐτῶν. Τί ἐστιν ὃ λέγει; δείκνυσιν ὅτι οὐ μετὰ σφοδρότητος ἐπήεσαν μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς προσεδρίας, πολὺν δαπανῶντες χρόνον, καὶ ἔργον ποιούμενοι τὴν ἐπιβουλήν, καὶ ἐπιμένοντες διηνεκῶς. ἀλλ' οὐδὲν αὐτοῖς ἐγίνετο πλέον, οὐ παρὰ τὴν ἡμετέραν ἰσχύν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ δύναμιν. διὸ καὶ δεικνὺς τὸν ἱστῶντα τρόπαιον καὶ τὴν νίκην ἐργαζόμενον, ἐπήγαγε·

4 Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Ἕτερος δέ, ἀντὶ τοῦ αὐχένας, βρόχους εἶπε, δηλῶν τὰς ἐπιβουλάς, τὰς ἐφόδους, τὰς μηχανάς. Καλῶς δὲ οὐ διέλυσεν εἶπεν, ἀλλὰ συνέκοψεν, ἵνα μᾶλλον ἐμφήνῃ ὅτι τοῦτο εἰργάσατο, ἄχρηστα εἰς τέλος ποιῶν αὐτῶν τὰ βουλεύματα. καὶ γὰρ ἀρχομένης τῆς πόλεως κτίζεσθαι πάλιν, πολλοὶ πανταχόθεν ἐπιτιθέμενοι ἦσαν, ὑπὸ φθόνῳ τηκόμενοι. καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις τοῦτο ἐποίουν. τοῦτο γέγονε καὶ ἐπὶ τῆς ἐκκλησίας. ἀρχομένης γὰρ αὐτῆς φύεσθαι, συνεχῶς ἐπετίθεντο πάντες, παρὰ μὲν τὴν ἀρχὴν βασιλεῖς καὶ δῆμοι καὶ τύραννοι, μετὰ δὲ ταῦτα τῶν αἱρέσεων αἱ ἐπιβουλαί, καὶ πολὺς πανταχόθεν ὁ πόλεμος καὶ ποικίλος ἀνεῤῥιπίζετο· ἀλλ' ὅμως οὐδὲν ἴσχυσεν, ἀλλὰ τὰ μὲν τῶν πολεμίων ἐλύθη, τὰ δὲ τῆς ἐκκλησίας ἀνθεῖ. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Ἄλλος, Ἀνατραπήτωσαν εἰς τὰ ὀπίσω.

5 Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·

6 Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων· Ἕτερος, Δράκα·

Καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

7 Καὶ οὐκ εἶπον οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Εἰς εὐχὴν καταπλέκει τὴν παραίνεσιν, ἀπό τε τῆς διηγήσεως τῶν παρελθόντων, ἀπό τε τῆς εὐχῆς θαῤῥεῖν παρασκευάζων τὸν ἀκροατήν, καὶ δεικνὺς τοῦ πολέμου τὴν ὑπόθεσιν ἄδικον. ἀπὸ γὰρ φθόνου καὶ μίσους τὰ τῆς μάχης ἤρετο. διὸ λέγει, αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. μὴ μόνον, φησίν, ἡττηθείησαν, ἀλλὰ καὶ αἰσχρῶς καὶ καταγελάστως. εἶτα εἰπών, γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ἐνδιατρίβει τῇ εἰκόνι, οὐχ ἁπλῶς χόρτῳ παραβάλλων αὐτούς, ἀλλὰ τῷ ἐπὶ τῶν δωμάτων. καίτοιγε καὶ ὁ ἐν πεδίῳ λιπαρῷ ταχέως διαῤῥεῖ· ἀλλ' ὅμως πλείονα δεικνὺς τῶν ἐναντίων τὴν εὐτέλειαν, τῷ ἐπὶ δωμάτων αὐτοὺς παραβάλλει, ὥστε ἑκατέρωθεν δεῖξαι αὐτῶν τὸ εὐκατάπτωτον, καὶ ἀπὸ τῆς φύσεως τοῦ χόρτου, καὶ ἀπὸ τῆς φύσεως τοῦ τόπου. τοιαῦται τῶν ἐναντίων, φησίν, αἱ ἔφοδοι, οὐκ ἔχουσαι ῥίζαν οὐδὲ ὑπόστασιν, οἳ καὶ πρὸς ὀλίγον μὲν δοκοῦσιν ἀνθεῖν, ὕστερον δὲ ἐλέγχονται καὶ ἑαυτοῖς περιπίπτουσιν. τοιαύτη καὶ τῶν ἐν ἀδικίᾳ ζώντων ἡ εὐημερία, τῶν βιωτικῶν ἡ φαιδρότης. ὁμοῦ τε γὰρ φαίνεται καὶ ἀπόλλυται, οὔτε ὑπόστασίν τινα οὔτε δύναμιν ἔχουσα. διόπερ οὐ δεῖ τούτοις προσέχειν, ἀλλὰ τὸ εὐκατάλυτον αὐτῶν ἐννοοῦντας τῶν ἀθανάτων ἐφίεσθαι καὶ ἀκινήτων πραγμάτων καὶ οὐκ ἐχόντων μεταβολήν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρκθ. 1 ΕΚ ΒΑΘΕΩΝ ΕΚΕΚΡΑΞΑ ΣΟΙ, ΚΥΡΙΕ·

Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Τί ἐστιν ἐκ βαθέων; οὐχ ἁπλῶς, φησὶν, ἀπὸ στόματος, οὐδὲ ἁπλῶς ἀπὸ γλώσσης, τῆς διανοίας πλανωμένης, τὰ ῥήματα ἐκχεῖται, ἀλλ' ἀπὸ καρδίας βαθυτάτης, μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας, ἐξ αὐτῶν τῆς διανοίας τῶν βαθέων. τοιαῦται γὰρ αἱ τῶν θλιβομένων ψυχαί· αὐτὴν συγκινοῦσιν ὁλόκληρον τὴν καρδίαν, μετὰ πολλῆς τῆς κατανύξεως τὸν Θεὸν καλοῦντες. διὸ δὴ καὶ ἀκούονται. αἱ γὰρ τοιαῦται εὐχαὶ πολλὴν ἔχουσι δύναμιν, οὐ περιτρεπόμεναι οὐδὲ σαλευόμεναι, κἂν μετὰ πολλῆς ῥύμης ὁ διάβολος ἐπέλθῃ. καθάπερ γὰρ δένδρον ἰσχυρὸν, κατὰ πολλοῦ τοῦ βάθους τῆς γῆς παραπέμπον τὰς ῥίζας καὶ τοῖς κόλποις αὐτῆς περισφίγγον, πρὸς ἅπασαν πνευμάτων ῥύμην ἀνθίσταται, τὸ δὲ περὶ τὴν ἐπιφάνειαν κείμενον, μικρᾶς προσπεσούσης αὔρας, διασαλεύεται, καὶ πρόρριζον ἐκτιλὲν ἐπὶ τῆς γῆς κεῖται· οὕτω δὴ καὶ αἱ εὐχαὶ αἱ μὲν κάτωθεν ἀνιοῦσαι καὶ πρὸς τὸ βάθος ἐρριζωμέναι, κἂν μυρίοι προσέλθωσι λογισμοὶ, κἂν ἅπασα ἡ τοῦ διαβόλου παράταξις, ἀκλινεῖς μένουσι καὶ ἀνένδοτοι μὴ ″περιτρεπόμεναι· αἱ δὲ ἀπὸ τοῦ στόματος καὶ τῶν χειλέων προϊοῦσαι καὶ μὴ ἀνερχόμεναι κάτωθεν, οὐδὲ πρὸς Θεὸν ἀναβῆναι δύνανται διὰ τὴν ῥᾳθυμίαν τοῦ προσιόντος. τὸν γὰρ τοιοῦτον, κἂν κτύπος τις γένηται, περιέτρεψε, κἂν θόρυβος, ἀπήγαγε τῆς ἱκετείας. καὶ τὸ μὲν στόμα ἠχεῖ, ἡ δὲ καρδία κενὴ καὶ ἡ διάνοια ἔρημος. ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως ηὔχοντο, ἀλλὰ μετὰ τοσαύτης τῆς ἐπιτάσεως, ὡς καὶ ὅλον τὸ σῶμα κατακάμπτειν. ὁ γοῦν μακάριος Ἠλίας εὐχόμενος, πρῶτον μὲν ἐρημίαν ἐζήτησεν· εἶτα τὴν κεφαλὴν μεταξὺ τῶν γονάτων θεὶς, καὶ μετὰ πολλῆς ἑαυτὸν ἀνακαίων τῆς θερμότητος, οὕτω τὰς εὐχὰς ἠφίει. εἰ δὲ βούλει καὶ ὀρθὸν ἑστῶτα ἰδεῖν ἐν εὐχῇ, ὅρα πάλιν αὐτὸν ἐκτεταμένον πρὸς τὸν οὐρανὸν, καὶ οὕτως ἐκτεταμένον, ὡς καὶ πῦρ ἄνωθεν κατενεγκεῖν. οὕτω καὶ ὅτε τῆς χήρας τὸ παιδίον ἀναστῆσαι ἐβούλετο, ὅλον ἑαυτὸν συντείνας τὴν ἀνάστασιν ἐκείνην εἰργάζετο, οὐ διακλώμενος οὐδὲ χασμώμενος καθάπερ ἡμεῖς, ἀλλὰ διαθερμαινόμενος τῇ προθυμίᾳ τῆς ″ψυχῆς. καὶ τί λέγω τὸν Ἠλίαν καὶ τοὺς ἁγίους ἐκείνους; γυναῖκας εἶδον πολλάκις, δι' ἀπόδημον ἄνδρα καὶ παιδίον ἄρρωστον, οὕτως ἐκ βαθέων εὐχομένας, καὶ τοσαύτας πηγὰς ἀφιείσας δακρύων, ὡς καὶ αὐτοῦ τοῦ τέλους ἐπιτυχεῖν τῆς εὐχῆς. εἰ δὲ ὑπὲρ παιδίου καὶ ἀνδρὸς ἀποδήμου οὕτω θερμαίνονται γυναῖκες ἐν εὐχαῖς, ποίαν ἕξει συγγνώμην ὁ ἀνὴρ τῆς ψυχῆς νενεκρωμένης μαλακιζόμενος; διά τοι τοῦτο πολλάκις εὐχόμενοι κενοὶ πάλιν ἀναχωροῦμεν. ἄκουσον τῆς Ἄννης, πῶς ηὔχετο ἐκ βαθέων, οἵας ἠφίει πηγὰς δακρύων, πῶς μετάρσιος γέγονεν ἀπὸ τῆς εὐχῆς. ὁ γὰρ οὕτως εὐχόμενος, καὶ πρὶν ἢ λαβεῖν ἅπερ αἰτεῖ, μεγάλα ἀπὸ τῆς εὐχῆς καρποῦται καλὰ, τὰ πάθη καταστέλλων ἅπαντα, θυμὸν μαλάττων, φθόνον ἐκβάλλων, ἐπιθυμίαν τήκων, τῶν βιωτικῶν τὸν ἔρωτα καταμαραίνων, ἐν πολλῇ γαλήνῃ τὴν ψυχὴν καθιστὰς, εἰς αὐτὸν λοιπὸν τὸν οὐρανὸν ἀνιών. καθάπερ γὰρ εἰς σκληρὰν γῆν ὑετὸς καταφερόμενος, ἢ σίδηρον πῦρ μαλάττει, οὕτω τὸ σκληρὸν τῆς διανοίας τὸ ἀπὸ τῶν παθῶν ἡ τοιαύτη εὐχὴ καὶ πυρὸς σφοδρότερον καὶ ὑετοῦ μᾶλλον ἀνίησι καὶ καταμαλάττει. ἔστι μὲν γὰρ ἁπαλὴ καὶ εὔπλαστος ἡ ψυχή· ἀλλ' ὅπερ τὸ Ἴστρου πολλάκις πάσχει ὕδωρ τῷ κρυμῷ πεδούμενον, τοῦτο γίνεται καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, ὑπὸ τῆς ἁμαρτίας καὶ τῆς πολλῆς ῥᾳθυμίας σκληρυνομένη καὶ λίθος γινομένη. δεῖ τοίνυν ἡμῖν θέρμης πολλῆς, ὥστε καταμαλάξαι τὸ σκληρόν. τοῦτο δὲ μάλιστα εὐχὴ ἐργάζεται. ὅταν τοίνυν μεταχειρίζῃ τὴν εὐχὴν, μὴ τοῦτο ζήτει μόνον ὅπως λάβοις ὅπερ αἰτεῖς, ἀλλὰ καὶ ὅπως ἐν αὐτῇ τῇ εὐχῇ βελτίω ποιήσῃς τὴν ψυχήν. καὶ γὰρ καὶ τοῦτο ἔργον εὐχῆς. ὁ οὕτως εὐχόμενος ἀνώτερος γίνεται τῶν βιωτικῶν, πτεροῦται τῇ διανοίᾳ,

κοῦφον

κ. σαλευ.

γ. Βασ. ιη. μβ. καὶ ιθ. δ.

γ. εὐχῆς.

κοῦφον ποιεῖ τὸν λογισμόν, οὐδενὶ τῶν παθῶν ἁλίσκεται. ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε. δύο ἐνταῦθα τίθησι, καὶ τὸ ἐκ βαθέων, καὶ τὸ κεκράξαι· κραυγὴν, οὐ τὸν τόνον λέγων τῆς φωνῆς, ἀλλὰ τὴν διάθεσιν τῆς γνώμης. Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. ἐντεῦθεν δύο μανθάνομεν, ὅτι ἁπλῶς οὐκ ἔστι τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἐὰν μὴ τὰ παρ' ἡμῶν ὑπάρξῃ· διὸ καὶ πρότερον ἐκ βαθέων, φησὶν, ἐκέκραξα, καὶ τότε, εἰσάκουσον. ἔπειτα ὅτι εὐχὴ ἐκτεταμένη καὶ δακρύων κατανύξεως γέμουσα, πολλὴν ἔχει δύναμιν πρὸς τὸ πεῖσαι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις. καὶ γὰρ ὥσπερ μέγα τι κατωρθωκὼς καὶ τὰ παρ' αὐτοῦ πληρώσας, οὕτως ἐπήγαγε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου,

2 Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου·

Ὦτα, τὴν ἀκουστικὴν δύναμιν καὶ φωνὴν, οὐ τὸν τόνον τοῦ πνεύματος οὐδὲ τὴν κραυγὴν αἰνιττόμενος, ἀλλὰ τὴν συντεταμένην διάθεσιν.

3 Ἐὰν ἀνομίας παρατηρήσῃ Κύριε, Κύριε τίς ὑποστήσεται;

Ἵνα μὴ λέγῃ τις, ὅτι ἁμαρτωλὸς ὢν καὶ μυρίων γέμων κακῶν οὐ δύναμαι προσιέναι καὶ εὔχεσθαι καὶ τὸν Θεὸν καλεῖν, προαιρῶν ταύτην τὴν σκῆψιν, ἐὰν ἀνομίας παρατηρήσῃ, φησὶ, Κύριε, Κύριε τίς ὑποστήσεται; ὃ γάρ τις ἐνταῦθα, οὐδείς ἐστιν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδένα μετὰ ἀκριβείας παρέχοντα τῶν πραγμάτων τὰς εὐθύνας, τυχεῖν ἐλέους καὶ φιλανθρωπίας ποτέ. καὶ ταῦτα λέγομεν, οὐκ εἰς ῥαθυμίαν τὰς ψυχὰς ἐμβάλλοντες, ἀλλὰ παραμυθούμενοι τοὺς εἰς ἀπόγνωσιν πίπτοντας. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; καὶ τί λέγω τοὺς ἄλλους; εἰ γὰρ Παῦλον εἰς μέσον ἀγάγω καὶ βουληθείην ἀπαιτῆσαι αὐτὸν ἀκριβῆ τῶν γεγενημένων ἐξέτασιν, οὐ δυνήσεται ὑποστῆναι. τί γὰρ καὶ ἐρεῖ δυνήσεται; προφήτας ἀνέγνω κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου ζηλωτὴς ὑπάρχων, σημεῖα εἶδεν ἐπιτελούμενα, καὶ ὅμως ἔμενε διώκων· καὶ οὐ πρότερον μετέστη, ἕως τῆς θαυμαστῆς ἐκείνης ἀπέλαυσεν ὄψεως, καὶ τῆς φρικτῆς ἤκουσε φωνῆς. πρὸ δὲ τούτου ἔμενε πάντα φύρων καὶ συγχέων. ἀλλ' ὅμως πάντα ἐκεῖνα παραδραμὼν ὁ Θεὸς, καὶ ἐκάλεσε καὶ χάριτος ἠξίωσε πολλῆς. τί δὲ τὸν κορυφαῖον ἐκεῖνον τὸν Πέτρον, οὐ μετὰ μυρία θαύματα καὶ σημεῖα, τοσαύτην παραίνεσιν καὶ συμβουλὴν, ἤλεγξε πτῶμα ἐκεῖνο τὸ χαλεπὸν πεσόντα; ἀλλ' ὅμως κἀκεῖνο παρέδραμε, καὶ πρῶτον τῶν ἀποστόλων κατέστησε. διὸ ἔλεγε· Σίμων, Σίμων, ἰδοὺ ἐξῄτησεν ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. καὶ μετὰ ταῦτα δὲ εἰ μὴ ἐλέῳ καὶ φιλανθρωπίᾳ ἐθέλοι κρῖναι, ἀλλ' ἀκριβῆ ποιήσασθαι τὴν ἐξέτασιν, πάντας ὑπευθύνους εὑρήσει πάντως. διὸ καὶ Παῦλος ἔλεγεν, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. ἐὰν ἀνομίας παρατηρήσῃ Κύριε, Κύριε. ὁ διπλασιασμὸς οὐχ ἁπλῶς, ἀλλὰ θαυμάζοντος καὶ ἐκπληττομένου τὸν πολὺν τῆς φιλανθρωπίας ἐστὶν ὄγκον καὶ τὴν μεγαλωσύνην αὐτοῦ τὴν ἀπέραντον, καὶ τὸ ἀχανὲς πέλαγος. τίς ὑποστήσεται; οὐκ εἶπε, τίς διαφεύξεται; ἀλλὰ, τίς ὑποστήσεται; δηλῶν ὅτι οὐδὲ στῆναι δυνήσεται.

Παροιμ. κ. θ.

α. Κορ. δ. δ.

4 Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλ' ἐν τῇ ἀγαθότητί, φησι, τῇ σῇ ἐστι τὸ διαφυγεῖν τὴν κόλασιν. τὸ γὰρ διαδρᾶναι τὴν δίκην, ἐν τῇ σῇ κεῖται φιλανθρωπίᾳ. κἂν μὴ ταύτης ἀπολαύσωμεν, τὰ ἡμέτερα οὐκ ἀρκεῖ τῆς μελλούσης ἡμᾶς ἐξαρπάσαι ὀργῆς. τοῦτο καὶ διὰ τοῦ προφήτου δηλῶν ἔλεγεν, Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, τουτέστι, τοῦτο ἐμόν ἐστι, τῆς ἐμῆς ἀγαθότητος, τῆς ἐμῆς φιλανθρωπίας. ὡς τά γε σὰ οὐκ ἀρκεῖ ποτε πρὸς ἐλευθερίαν τιμωρίας, ἂν μὴ τὰ τῆς ἐμῆς προστεθῇ φιλανθρωπίας. καὶ πάλιν, ἐγὼ ἀνέχομαι ὑμῶν.

Ησ. μγ. κε.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. 5 Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν
λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ἄλλος, Ἕνεκεν τοῦ νόμου σου. Ἕτερος, Ἕνεκεν τοῦ γνωσθῆναι τὸν λόγον σου. Ὃ δὲ λέγει, τοιοῦτόν
ἐστι· διὰ τὴν φιλανθρωπίαν σου, διὰ τὸ ὄνομά σου, διὰ τοὺς νόμους σου προσεδόκησα σωτηρίαν·
ἐπεὶ εἰς τὰ ἐμαυτοῦ εἰ ἀπεῖδον, πάλαι ἂν ἀπέγνων, πάλαι ἂν ἀπήλπισα· νῦν δὲ τῷ
νόμῳ προσέχων καὶ τῷ λόγῳ σου, χρηστὰς ἔχω ἐλπίδας. ποίῳ λόγῳ; τῷ τῆς φιλαν-
Ἡσ. νε. θ. θρωπίας. αὐτὸς γάρ ἐστιν ὁ λέγων, Καθὼς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέ-
χουσιν αἱ βουλαί μου ἀπὸ τῆς βουλῆς ὑμῶν, καὶ αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν. καὶ πά-
Ψ. ρβ. ια. λιν, Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς
φοβουμένους αὐτόν. καὶ πάλιν, καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν
ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν· τουτέστιν, οὐ κατορθώσαντας ἔσωσα μόνον, ἀλλὰ καὶ ἁμαρ-
τανόντων ἐφεισάμην, καὶ μεταξὺ τῶν πλημμελημάτων τῶν σῶν τὴν ἀντίληψιν τὴν
ἐμαυτοῦ καὶ τὴν κηδεμονίαν ἐπεδειξάμην. ἄλλος, ὅπως ἐπίφοβος ἔσῃ, προσεδόκησα
τὸν Κύριον. ἐπίφοβος τίνι; τοῖς ἐχθροῖς, τοῖς ἐπιβούλοις, τοῖς ἐχθραίνουσί μοι. τί ἐστιν, ἕνεκεν
τοῦ ὀνόματός σου; εἰ καὶ ἐγὼ ἁμαρτωλὸς καὶ μυρίων γέμων κακῶν, φησιν, ἀλλ᾽ ὅμως ᾔδειν
ὅτι, ἵνα μὴ τὸ ὄνομά σου βεβηλωθῇ, οὐκ ἂν περιεῖδες ἡμᾶς ἀπολλυμένους. ὃ καὶ αὐτὸς ἐν
Ἰεζεκ. λϛ. κβ. τῷ Ἰεζεκιὴλ λέγει· Οὐ δι᾽ ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ
ἐν τοῖς ἔθνεσι· τουτέστιν, ἡμεῖς οὐκ ἦμεν ἄξιοι σωθῆναι, οὐδὲ εἴχομέν τινα ἀπὸ τῶν πε-
πραγμένων ἡμῖν προσδοκίαν χρηστήν· διὰ δὲ τὸ ὄνομά σου προσδοκῶμεν σώζεσθαι,
καὶ αὕτη ἡμῖν ὑπολέλειπται σωτηρίας ἐλπίς. Ἄλλος, Ἕνεκεν φόβου ὑπέμεινα Κύ-
ριον. Ἄλλος, Ἕνεκεν νόμου ὑπέμεινα Κύριον. ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.
Ἄλλος, Προσεδόκησεν ἡ ψυχή μου τῷ ῥήματι αὐτοῦ. Ἄλλος, Ὑπέμεινεν ἡ ψυχή μου, καὶ
τὸ ῥῆμα αὐτοῦ ἐκαραδόκησα· τουτέστιν, ἀπὸ τῶν ἐπαγγελιῶν καὶ τῶν συνεχῶν ὑποσχέ-
σεων τῶν περὶ φιλανθρωπίας καὶ χρηστότητος, ἄγκυραν εἶχον ἱεράν, καὶ οὐκ ἀπηγόρευον
τὰ κατ᾽ ἐμαυτόν. 6 Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς
πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Πάντα τὸν βίον φησί· τουτέστι, νύκτα καὶ ἡμέραν πᾶσαν. οὐδὲν γὰρ πρὸς σωτηρίαν
ἴσον τοῦ διαπαντὸς ὁρᾷν καὶ τῆς ἐλπίδος ἐκκρέμασθαι ἐκείνης, κἂν μυρία περιΐστῃ
τὰ εἰς ἀπόγνωσιν ἐκβάλλοντα. τοῦτο τεῖχος ἀρραγές, τοῦτο ἀσφάλεια ἀχείρωτος,
τοῦτο πύργος ἄμαχος. κἂν τὰ πράγματα τοίνυν θάνατον ἀπειλῇ καὶ κίνδυνον καὶ πολυω-
λεθρίαν, μὴ ἀποστῇς ἐλπίζων εἰς Θεὸν καὶ προσδοκῶν τὴν παρ᾽ αὐτοῦ σωτηρίαν. ῥᾴ-
δια γὰρ αὐτῷ πάντα καὶ εὔκολα, καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν δυνήσεται. μὴ τοίνυν κατ᾽ εὔ-
ρουν φερομένων τῶν πραγμάτων προσδόκα ἀπολαύσεσθαι συμμαχίας μόνον, ἀλλὰ
καὶ τότε μάλιστα, ὅτε κλυδώνιον ᾖ καὶ χειμὼν καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπικρέμαται κίνδυνος.
τότε γὰρ μάλιστα πλέον ὁ Θεὸς τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται. τοῦτο οὖν ἐστιν ὃ λέγει,
διαπαντὸς δεῖ πρὸς Κύριον ἐλπίζειν, πάντα τὸν βίον, πᾶσαν τὴν ζωήν.

7 Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις. 8 Καὶ αὐ-
τὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. Τί ἐστιν, ὅτι παρὰ τῷ
Κυρίῳ τὸ ἔλεος; πηγὴ καὶ θησαυρὸς ἐκεῖ φιλανθρωπίας, φησί, πηγάζων διηνεκῶς.
ὅπου δὲ ἔλεος, καὶ λύτρωσις· καὶ οὐχ ἁπλῶς λύτρωσις, ἀλλὰ καὶ πολλή, καὶ φιλανθρωπίας
ἄπειρον πέλαγος. κἂν τοίνυν ὑπὸ τῶν ἁμαρτιῶν ὦμεν προσδεδεμένοι, ἀναπίπτειν
οὐ χρὴ οὐδὲ ἀπαγορεύειν. ὅπου γὰρ ἔλεος καὶ φιλανθρωπία, οὐ γίνονται τῶν πεπλημμε-
λημένων ἀκριβεῖς εὐθῦναι, τοῦ δικάζοντος διὰ τὸν πολὺν ἔλεον καὶ τὸ πρὸς φιλανθρω-
πίαν

πάνυ ἐπιῤῥεπὲς τὰ πολλὰ παραπτώματα ἔχοντος. τοιοῦτον γὰρ ὁ Θεός. πρὸς τὸ ἐλεεῖν διηνεκῶς καὶ συγγνώμην διδόναι ἐπιῤῥεπὴς καὶ πρόχειρος. καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. εἰ τοίνυν τοιοῦτός ἐστι, καὶ κέχυται πανταχοῦ τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, εὔδηλον ὅτι καὶ τὸν λαὸν αὐτοῦ σώσει, καὶ ἀπαλλάξει οὐχὶ κολάσεως μόνον, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων. ταῦτ' οὖν εἰδότες, μένωμεν παρακαλοῦντες, δεόμενοι, καὶ μηδέποτε ἀποστῶμεν, κἂν λάβωμεν, κἂν μὴ λάβωμεν. εἰ γὰρ τοῦ δοῦναι κύριος, καὶ τοῦ πότε δοῦναι κύριός ἐστι, καὶ τὸν καιρὸν ἀκριβῶς οἶδεν αὐτός. μένωμεν τοίνυν ἱκετεύοντες, παρακαλοῦντες, θαῤῥοῦντες αὐτοῦ τῷ ἐλέει καὶ τῇ φιλανθρωπίᾳ, καὶ μηδέποτε τὴν ἑαυτῶν ἀπογινώσκωμεν σωτηρίαν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ πάντως ἕψεται τὰ παρ' ἐκείνου· ἐπεὶ καὶ ἄφατον παρ' αὐτῷ τὸ ἔλεος καὶ ἄπειρος ἡ φιλανθρωπία· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλ. 1 ΚΥΡΙΕ, ΟΥΧ ΥΨΩΘΗ Η ΚΑΡΔΙΑ ΜΟΥ, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Ἄλλος, Οὐδὲ ὑψώθησαν. 2 Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Ἄλλος, Ἐν μεγαλειότησιν. Ἄλλος, Ἐν μεγαλωσύναις οὐδὲ ὑπερβάλλουσιν *.

* ὑπὲρ ἐμέ.

ΤΙ τοῦτο; ὁ Παῦλος καὶ ἀνάγκης οὔσης, τὸ ἑαυτὸν ἐγκωμιάζειν ἀφροσύνην φησί· διὸ καὶ ἐπήγαγε λέγων, Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. (β. Κορ. ιβ. ια.) πῶς οὖν τοῦτο ἠγνόησεν ὁ προφήτης, καὶ καυχᾶται νῦν οὐκ ἐπὶ δύο καὶ τριῶν καὶ δέκα, ἀλλ' ἐπὶ τῆς οἰκουμένης ἁπάσης; καὶ καυχᾶται λέγων, Ταπεινός εἰμι καὶ μέτριος, καὶ ταπεινὸς καθ' ὑπερβολὴν καὶ ἁπλοῦς. τοῦτο γάρ ἐστι τὸ, ὡς ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ὅτι οὐ πανταχοῦ τὸ πρᾶγμα κεκώλυται, ἀλλ' ἔστιν ὅπου καὶ ἀναγκαῖόν ἐστι· μᾶλλον δέ ἐστιν ὅπου [ὅτι] οὐ καυχώμενοι, ἀλλὰ μὴ καυχώμενοι ἄφρονες γινόμεθα. διὸ καὶ ὁ Παῦλος λέγει, ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. καὶ γὰρ ὁ ἐπὶ τῷ σταυρῷ μὴ καυχώμενος, πάντων ἐστὶν ἀφρονέστατος· ὁ ἐπὶ τῇ πίστει μὴ καυχώμενος, πάντων ἀθλιώτερος· ὁ ἐπὶ τούτοις μὴ καυχώμενος καὶ παῤῥησιαζόμενος, ἀπολεῖται πάντως. διὰ τοῦτο θαῤῥῶν ὁ ἀπόστολος ἔλεγεν· ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, μηδὲ ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω, ἐν τῷ συνιέναι καὶ γινώσκειν τὸν Κύριον. (γρ. συνιεῖν) πῶς δὲ κακὸν τὸ καυχᾶσθαι; ἐὰν ὡς ὁ Φαρισαῖος αὐτὸ ποιῶμεν. καὶ διὰ τί, φησιν, ὁ Παῦλος εἶπε, γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε; ὅτι τὰ κατορθώματα αὐτοῦ διηγεῖτο τὰ ἐπὶ τοῦ βίου καὶ τῆς πολιτείας, ἅπερ οὐκ ἔδει προφέρειν ἀνάγκης μὴ οὔσης. ἀλλαχοῦ δέ φησιν, ἐὰν καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ. ὥστε ὁ τὰ ἀληθῆ λέγων καιροῦ καλοῦντος, οὐκ ἔστιν ἄφρων. οὐκ ἄρα οὐδὲ ὁ προφήτης ἄφρων καυχώμενος· καὶ γὰρ ἀληθῆ ἔλεγεν. ἀλλὰ τίς ἡ αἰτία, δι' ἣν εἰς τοῦτο ἤγαγε τὸν λόγον; (γρ. ἐπήγαγε) ὥστε παιδεῦσαι τοὺς ἀκροατὰς μὴ μετὰ τὴν ἀπαλλαγὴν τῶν κακῶν εἰς ἀπόνοιαν ἐπανελθεῖν, μηδὲ ἐλευθερωθέντας τοῦ δεσμοῦ ἀποσκιρτῆσαι πάλιν καὶ εἰς ἀνάγκην ἐμπεσεῖν ἑτέρας αἰχμαλωσίας. διὰ δὴ τοῦτο ἐν τῷ τὰ οἰκεῖα διηγεῖσθαι διορθοῖ τὸν ἀκροατὴν, καὶ οὐ λέ-

γει

γε ὅτι ὑψώθην μέν, κατέχον δὲ τοῦ πάθους, ἀλλὰ τί; οὐχ ὑψώθη ἡ καρδία μου· τουτέστιν, οὐδὲ ἥψατό μου τῆς ψυχῆς ἡ πονηρία. οἷον γάρ τις λιμὴν ἀκύμαντος ἦν ἡ διάνοια, οὐ δεχομένη τὰ κύματα τοῦ νοσήματος, ὃ πάντων αἴτιον τῶν κακῶν, καὶ ῥίζα παρανομίας ἐσχάτης. οὐκ ἔστιν ὃ λέγει, Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐκ ἀνέσπασα, φησί, τὰς ὀφρῦς, οὐδὲ ἀνέτεινα τὸν αὐχένα. ἀπὸ γὰρ τῆς ἔνδοθεν πηγῆς τοῦ πάθους ὑπερβλύζον τὸ νόσημα, καὶ τὸ σῶμα σχηματίζει πρὸς τὴν ἔνδοθεν φλεγμονήν. οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. τί ἐστιν ἐν μεγάλοις; τοῖς ὑπερόγκοις ἀνδράσι, φησί, τοῖς πλουτοῦσι, τοῖς ἀλαζόσι, τοῖς ὑπερηφάνοις. εἶδες ἀκρίβειαν ταπεινοφροσύνης; οὐ μόνον αὐτὸς ἦν ἐκτὸς τοῦ νοσήματος, ἀλλὰ καὶ τοὺς οὕτω φλεγμαίνοντας ἔφευγε, καὶ τῶν τοιούτων ἀπεπήδα συλλόγων διὰ τὸ πολὺ πρὸς τὴν ἀλαζονείαν μῖσος. ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχε ταύτῃ, οὐ μόνον αὐτῆς ἀπεπήδα, οὐδὲ ἄβατον αὐτῇ τὸ χωρίον τῆς διανοίας ἐποίει μόνον, ἀλλὰ καὶ τοὺς μετιόντας αὐτὴν ἐκ πολλοῦ τοῦ διαστήματος ἔφευγεν, ὥστε μηδὲ ἐκεῖθεν τινὰ δέξασθαι λύμην. οὐ μικρὸν δὲ τοῦτο κατόρθωμα, τὸ φεύγειν τοὺς ὑπερόγκους, τὸ μισεῖν τοὺς ἀλαζόνας, τὸ ἀποστρέφεσθαι καὶ βδελύττεσθαι· μεγίστης ἀρετῆς ἀσφάλεια, μεγίστης ταπεινοφροσύνης φυλακή.

3 Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν καρδίαν μου, 4 Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

Ἄλλος, Οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου. Καθ' ὑπερβατόν ἐστι τὸ εἰρημένον. οἷον, εἰ μὴ ἐταπεινοφρόνουν ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ἀλλ' ὕψωσα τὴν καρδίαν μου, οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ μόνον τῆς κακίας καθαρὸς ἤμην, τῆς ἀλαζονείας λέγω, οὐδὲ μόνον τῶν ἐχόντων αὐτὴν ἀλλότριος, ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ ἀρετὴν μετὰ πολλῆς ἐδεξάμην τῆς ὑπερβολῆς, τὴν ταπεινοφροσύνην, τὸ μετριάζειν, τὸ συντετρῖφθαι. τοῦτο ἐκεῖνο ὃ τοῖς μαθηταῖς ὁ Χριστὸς ἐκέλευσε λέγων· ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τοιαύτην, φησίν, ἐκτησάμην ταπεινοφροσύνην, ὡς τὸ ὑπομάζιον παιδίον. ὥσπερ γὰρ ἐκεῖνο ἔχεται τῆς μητρός, συντέταται, ἀλαζονείας ἁπάσης ἐστὶ καθαρόν, ἀφελείᾳ συζῇ καὶ ἁπλότητι, οὕτω καὶ ἐγὼ πρὸς τὸν Θεὸν ἤμην, ἐχόμενος αὐτοῦ διὰ παντός. οὐχ ἁπλῶς δὲ τοῦ ἀπογεγαλακτισμένου ἐμνήσθη, ἀλλὰ τὴν θλῖψιν θέλων παραστῆσαι, τὴν στενοχωρίαν, τὴν ὀδύνην, τὸ μέγεθος τῶν κακῶν. καθάπερ οὖν τὸ παιδίον ἄρτι τοῦ μαστοῦ ἀποσπασθὲν οὐδ' οὕτως ἀφίσταται τῆς μητρός, ἀλλ' ὀδυνώμενον, θρηνοῦν, δυσχεραῖνον, ἀλύον, κλαυθμυριζόμενον, ὅμως ἔχεται τῆς τεκούσης καὶ οὐκ ἂν ἀποσταίη, οὕτω κἀγώ, φησι, καὶ ἐν θλίψει καὶ ἐν στενοχωρίᾳ καὶ ἐν πολλαῖς ὢν συμφοραῖς, εἰχόμην τοῦ Θεοῦ. εἰ δὲ μὴ οὕτως ἤμην, ἀνταποδοθείη, φησιν, ἐπὶ τὴν ψυχήν μου· τουτέστι, δίκην δοίην τὴν ἐσχάτην. ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ὁρᾷς ὅπερ ἔφην ἐξ ἀρχῆς, ὅτι ἐν μὲν τοῖς περὶ πίστεως καὶ δογμάτων, καὶ αἰτίας οὐκ οὔσης, διηνεκῶς δεῖ καυχᾶσθαι, καὶ ὁ μὴ καυχώμενος ἀπόλωλεν· ἐν δὲ τοῖς κατορθώμασι τοῦ βίου, καιροῦ καλοῦντος οὐδέποτε παραιτεῖσθαι δεῖ τὸ καυχᾶσθαι. ποῖος δὲ καιρός; πολλοὶ καὶ διάφοροι, ὧν καὶ εἷς ἐστι καὶ τὸ παιδεῦσαι τὸν ἀκροατήν. ὃ δὴ καὶ οὗτος εἰδώς, καὶ δεικνὺς ὅτι διὰ τοῦτο λέγει αὐτὰ τὰ κατορθώματα, ἵνα τὸν ἀκροατὴν ἐπισπάσηται πρὸς τὸν αὐτοῦ ζῆλον, ἐπήγαγε λέγων·

5 Ελπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Κἂν συμφοραί, φησι, κἂν ἀθυμίαι, κἂν πόλεμοι, κἂν αἰχμαλωσίαι, κἂν ὁτιοῦν τῶν ἀδοκήτων περισταίη δεινόν, σὺ τῆς ἐλπίδος ἔχου τῆς εἰς Θεὸν καὶ τῆς προσδοκίας ἐκείνης

κείνης· καὶ πάντως ἐπιτεύξῃ χρηστοῦ τοῦ τέλους, τοῦ Θεοῦ τῇ λύσει τῶν δεινῶν ἀμειβομένου σε τῆς καλῆς ταύτης ἐλπίδος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλμ. ρλα. 1 ΜΝΗΣΘΗΤΙ, ΚΥΡΙΕ, ΤΟΥ ΔΑΒΙΔ, ΚΑΙ πάσης τῆς πρᾳότητος αὐτοῦ.

ς μόνον

Ἀλλαχοῦ μὲν ἀπὸ τῆς μνήμης τῶν προγόνων" μόνον ἀξιοῦσι σώζεσθαι· ἐνταῦθα δὲ καὶ τὰ κατορθώματα λέγουσι, καὶ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, ἐπιείκειαν, ταπεινοφροσύνην, πρᾳότητα· ἐν ᾧ μάλιστα ἐθαυμάζετο καὶ Μωϋσῆς. Ἦν γὰρ πρᾳότατος, φησὶ, πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. Ἀλλά τινες τῶν αἱρετικῶν ἐπιλαμβανόμενοι τῆς πολιτείας αὐτοῦ καὶ τοῦ εἰρημένου, φασί, Τί λέγεις; πρᾳότατος ἐκεῖνος ὁ λάξ ἐνεχθεὶς τῷ Αἰγυπτίῳ καὶ ἀνελὼν αὐτόν; ὁ τοὺς Ἰουδαίους ἐμφυλίων ἐμπλήσας αἱμάτων καὶ πολέμων; ὁ συγγενικοὺς κελεύσας ἐργάσασθαι φόνους; ὁ τὴν γῆν εὐχῇ διελὼν, καὶ κεραυνοὺς ἄνωθεν ἐνεγκὼν, καὶ τοὺς μὲν καταποντίσας, τοὺς δὲ καταφλέξας; οὗτος εἰ πρᾶος, τίς ὀργίλος καὶ σκληρός; παῦσαι, μὴ περιττὰ φθέγγου: ὅτι πρᾶος ἦν καὶ πάντων ἀνθρώπων πρᾳότατος, καὶ λέγω, καὶ λέγων οὐκ ἀποστήσομαι. καὶ εἰ βούλεσθε, οὐχ ἑτέρωθεν, ἀλλ' ἀπ' αὐτῶν τούτων τῶν εἰρημένων δεῖξαι πειράσομαι αὐτοῦ τὴν πρᾳότητα. καίτοιγε ἐνῆν λέγειν τὰ περὶ τῆς ἀδελφῆς εἰρημένα αὐτῷ πρὸς τὸν Θεόν, τὴν ἱκετηρίαν, ἣν ὑπὲρ τοῦ ἔθνους διέθηκε, πάντα τὰ ῥήματα ἐκεῖνα τὰ ἀποστολικὰ καὶ τῶν οὐρανῶν ἄξια, τὴν ἐπιείκειαν μεθ' ἧς τῷ δήμῳ διελέγετο. ἐνῆν δὲ ταῦτα λέγειν, καὶ ἕτερα τούτων πλείονα ἀπαριθμεῖν· ἀλλ', εἰ βούλεσθε, ταῦτα παρέντες, φέρε, ἀπ' αὐτῶν τούτων τῶν ἔμπροσθεν εἰρημένων παρὰ τῶν ἐχθρῶν δείξωμεν ὅτι πρᾳότατος ἦν, ἀφ' ὧν βαρὺν καὶ σκληρὸν καὶ ὀργίλον αὐτὸν εἶναι νομίζουσί τινες. πῶς οὖν δείξομεν; εἰ πρότερον διακρίναιμεν καὶ ὁρισαίμεθα, τί ποτέ ἐστι πρᾳότης καὶ τί τραχύτης. οὐδὲ γὰρ τὸ πλήττειν, τραχύτητος ἁπλῶς, οὐδὲ τὸ φείδεσθαι, πρᾳότητος· ἀλλὰ πρᾶος ἐκεῖνός ἐστιν, ὁ τὰ εἰς ἑαυτὸν πλημμελήματα φέρειν δυνάμενος, ὁ τοῖς ἀδικουμένοις ἀμύνων, καὶ σφοδρὸς ἔκδικος ἐπηρεαζομένων γινόμενος. ὡς ὅγε μὴ τοιοῦτος, νωθὴς καὶ ὑπνηλὸς καὶ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, οὐ πρᾶος οὐδὲ ἐπιεικής. τὸ γὰρ περιορᾷν ἀδικουμένους, τὸ μὴ ἀλγεῖν ὑπὲρ τῶν ἀδικουμένων, μηδὲ θυμοῦσθαι τοῖς ἐπηρεάζουσιν, οὐκ ἀρετῆς, ἀλλὰ κακίας. οὐκ ἄρα πρᾳότητος, ἀλλὰ νωθείας. ὥστε αὐτὸ δὴ τοῦτο δείκνυσιν αὐτοῦ τὴν πρᾳότητα, καὶ ὅτι οὕτως ἦν θερμὸς, ὡς καὶ προσπηδᾷν ἐν οἷς ἑτέρους ἀδικουμένους ἑώρα, κατέχειν οὐ δυνάμενος τὴν ὑπὲρ τοῦ δικαίου ἀγανάκτησιν. ἡνίκα γοῦν αὐτὸς κακῶς ἔπασχεν, οὔτε ἠμύνατο, οὔτε ἐπεζήτει, ἀλλ' ἔμενε φιλοσοφῶν διηνεκῶς. εἰ δὲ τραχὺς ἦν καὶ ὀργίλος, οὐκ ἂν ὑπὲρ ἑτέρων ὁ οὕτω ζέων καὶ διαθερμαινόμενος, ὑπὲρ τῶν αὐτοῦ ἂν κατεδέξατο ἡσυχάσαι, ἀλλὰ πολὺ μᾶλλον τότε ἂν ἐξηγριώθη. ἴστε γὰρ ὅτι μᾶλλον ἐπὶ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις ἀλγοῦμεν. ἐκεῖνος δὲ τῶν μὲν ἄλλων πασχόντων κακῶς, αὐτῶν οὐκ ἔλαττον τῶν πασχόντων ἠμύνετο· τὰ δὲ εἰς αὐτὸν γινόμενα πλημμελήματα, μετὰ πολλῆς παρέτρεχε τῆς καρτερίας, ἐν ἑκατέροις ἄκρος ὢν, τῷ μὲν, τὸ μισοπόνηρον, τῷ δὲ, τὸ μακρόθυμον ἐπιδεικνύμενος. ἀλλὰ τί ποιεῖν ἔδει, εἰπέ μοι; περιορᾷν" τὴν ἀδικίαν γινομένην, καὶ εἰς τὸ πλῆθος ἐκβαῖνον τὸ κακόν; ἀλλ' οὐκ ἦν τοῦτο δημαγωγοῦ, οὐ μακροθύμου τινὸς καὶ ἀνεξικάκου, ἀλλὰ νωθροῦ καὶ ἀναπεπτωκότος.

Ἀριθμ. ιβ. γ.

τὴν κακίαν
ομένων,

οὐ

σὺ δὲ ἰατρῷ μὲν οὐκ ἐγκαλεῖς σηπεδόνα βαδίζουσαν κατὰ παντὸς τοῦ σώματος προδιαστέλλοντι τῇ τομῇ, ἐκεῖνον δὲ τραχύτατον εἶναι φῄς, τὸν νόσον πολλῷ σηπεδόνος χαλεπωτέραν κατὰ παντὸς ῥεῦσαν τοῦ δήμου βουληθέντα ἀναχαιτίσαι πληγῇ τραχυτέρᾳ; ἀλλὰ ταῦτα ἀγνώμονος δικαστοῦ. τὸν γὰρ προστάτην δήμου τοσούτου καὶ ἔθνους οὕτω σκληροῦ ἄγοντα καὶ τραχὺ καὶ δυσήνιον, ἐν προοιμίοις ἀναστέλλειν ἐχρῆν καὶ ἐκ προθύρων ἀνακόπτειν, ὥστε μὴ πορρωτέρω προβῆναι τὸ κακόν. ἀλλὰ κατέδυσε, φησί, Δαθὰν καὶ Ἀβειρών. τί λέγεις; καὶ ἔδει περιϊδεῖν ἱερωσύνην πατουμένην, καὶ Θεοῦ νόμους ἀνατρεπομένους, καὶ τὸ συνέχον ἅπαν διαλυόμενον, λέγω δὴ τῆς ἱερωσύνης τὸ ἀξίωμα, καὶ πᾶσι βατὰ ποιῆσαι τὰ ἄδυτα, καὶ ἀπὸ τῆς περὶ τούτους ῥαθυμίας προθεῖναι τοῖς βουλομένοις τοὺς ἱεροὺς καταπατεῖν περιβόλους, καὶ πάντα ἄνω καὶ κάτω γίνεσθαι; ἀλλὰ ταῦτα μάλιστα πρᾳότητος οὐκ ἦν, ἀλλὰ ἀπανθρωπίας καὶ ὠμότητος, περιϊδεῖν τοσοῦτον κακὸν αὐξόμενον, καὶ φειδόμενον διακοσίων, ἀπολέσαι μυριάδας τοσαύτας. εἰπὲ γάρ μοι· ὅτε ἐκέλευσε σφάξαι τοὺς προσήκοντας, τί ποιῆσαι ἐχρῆν; ὀργιζομένου τοῦ Θεοῦ, τῆς ἀσεβείας αὐξομένης, οὐδενὸς ὄντος τοῦ δυναμένου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι, ἀφεῖναι τὴν ἐκ τῶν οὐρανῶν πληγὴν ἐπὶ τὰς φυλὰς ἁπάσας ἐνεχθῆναι καὶ πανωλεθρίᾳ παραδοῦναι τὸ γένος, καὶ μετὰ τῆς κολάσεως περιϊδεῖν καὶ τὴν ἁμαρτίαν ἀνίατον γινομένην, ἢ τιμωρίᾳ καὶ φόνῳ σωμάτων ὀλίγων τό, τε ἁμάρτημα ἀνείργειν, τήν τε ὀργὴν ἀναχαιτίσαι, τόν τε Θεὸν ἵλεων καταστῆσαι τοῖς τὰ τοιαῦτα πεπλημμεληκόσι; ἂν οὕτως ἐξετάζῃς τὰ τοῦ δικαίου, ὄψει μάλιστα ἐντεῦθεν αὐτὸν πρᾳότατον. ἀλλὰ ταῦτα ἐκ τῶν εἰρημένων τοῖς φιλομαθέσιν ἀφέντες ἀναλέγειν, ἵνα μὴ τὸ πάρεργον μεῖζον τοῦ μετὰ χεῖρας ποιήσωμεν, ἐπὶ τὸ προκείμενον ἴωμεν. τί δέ ἐστι τὸ προκείμενον; μνήσθητι, Κύριε, τοῦ Δαβίδ, καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ,

γρ. προβαίνειν τὸ δεινόν.

γρ. ἅπαντα

2 Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.

* Προθεὶς εἰπεῖν περὶ πρᾳότητος, ἀφεὶς διηγήσασθαι τὰ κατὰ τὸν Σαοὺλ, τὰ κατὰ τοὺς ἀδελφοὺς, τὰ τοῦ Ἰωνάθαν, τὴν μακροθυμίαν τὴν ἐπὶ τοῦ στρατιώτου τοῦ μυρίοις αὐτὸν πλύνοντος ὀνείδεσιν, ἕτερα πλείονα τούτων*, ἐφ᾽ ἕτερον κεφάλαιον ἄγει τὸν λόγον, ὃ ζήλου μάλιστα ἦν πολλοῦ. τίνος δὲ ἕνεκεν τοῦτο ποιεῖ; δυοῖν ἕνεκα· ἑνὸς μὲν, ἐπειδὴ τούτῳ μάλιστα τέρπεται Θεός. Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ᾽ ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; ἑτέρου δὲ, ἐπειδὴ ὃ κατεπεῖγον τοῦτο μάλιστα ἦν. καὶ γὰρ ἡ ἀνάστασις τοῦ ναοῦ καὶ ἡ οἰκοδομὴ τῆς πόλεως καὶ ἡ τῆς παλαιᾶς πολιτείας ἀπόδοσις, πρὸς τοῦτο μάλιστα ἐπείγει τὸν λόγον. καὶ ὃ μὲν ὡς δῆλον καὶ ὡμολογημένον παρίησι (ὃ δὴ πᾶσι καταφανὲς, τὸ τῆς πρᾳότητος) οὗ δὲ καὶ μάλιστα ἐδεῖτο εἰς τὸ προκείμενον, τοῦτο εἰς μέσον φέρει. τί γὰρ ἐπεθύμουν ἰδεῖν; τὸν ναὸν ἀναστάντα, καὶ τὴν παλαιὰν ἁγιστείαν ἀποδοθεῖσαν. ἐπεὶ οὖν ἐν τούτῳ μάλιστα ἔλαμψεν ὁ Δαβὶδ, ὥσπερ ἀμοιβὴν τῆς ἐκείνου σπουδῆς ἀπαιτεῖ τὸν Θεὸν τοῦ ναοῦ τὴν οἰκοδομὴν, καί φησι, μνήσθητι Κύριε τοῦ Δαβὶδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ, ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ·

Ησ. ξς. β.

3 Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς
μου· 4 Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν,

5 Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Καὶ τί τοῦτο πρὸς σέ; ὅτι ἐκείνου, φησὶν, ἔκγονός εἰμι. καὶ ἐπεὶ ἐκεῖνον ἀποδεξάμενος τῆς σπουδῆς ἔφησας στήσειν αὐτοῦ τὸ γένος καὶ τὴν βασιλείαν, διὰ τοῦτο ταύτας ἀπαιτοῦμεν τὰς συνθήκας νῦν. καὶ οὐκ εἶπεν, ἕως οὗ οἰκοδομήσω (τοῦτο γὰρ αὐτῷ οὐκ ἐφεῖτο) ἀλλ᾽ ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ καὶ σκήνωμα. εἶτα τὸν μὲν οἰκοδομήσαντα

παρατρέχει, τὸν δὲ ἐπαγγειλάμενον εἰς μέσον τίθησιν, ἵνα μάθῃς πόσον ἐστὶ γνώμη ὀρθὴ ἀγαθόν, καὶ πῶς ἀεὶ τῇ προαιρέσει τὸν μισθὸν ὁ Θεὸς ὁρίζειν εἴωθε. διὰ δὴ τοῦτο αὐτοῦ μέμνηται μᾶλλον, ἐπειδὴ καὶ αὐτὸς μᾶλλόν ἐστιν ὁ ᾠκοδομηκώς, ἢ ὁ παῖς. ὁ μὲν γὰρ ἐπηγγείλατο, ὁ δὲ ἐπετάγη. καὶ ὅρα αὐτοῦ τὴν προθυμίαν. οὐ μόνον εἰς οἰκίαν φησὶν οὐκ εἰσελεύσεσθαι, οὐδὲ εἰς κλίνην ἀναβήσεσθαι, ἀλλ' οὐδέ, ὃ ἀπὸ τῆς φυσικῆς ἀνάγκης ἦν, οὐδὲ τούτου ἀπολαύσεσθαι μετ' ἀδείας, ἕως οὗ εὕρῃ τόπον καὶ σκήνωμα τῷ Θεῷ Ἰακώβ· ὧν τὰ ἐναντία αὐτοὶ ἐνεκαλοῦντο παρὰ τοῦ Θεοῦ λέγοντος· Ὑμεῖς μὲν οἰκεῖτε ἐν οἴκοις κοιλοστάθμοις, ὁ δὲ οἶκός μου ἐστὶν ἔρημος. ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. ὅρα πάλιν καὶ ἐντεῦθεν τὴν σπουδὴν καὶ τὴν μεμεριμνημένην ψυχήν. ὁ βασιλεὺς λέγει, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, ὁ πάντων κρατῶν. οὐ γὰρ ἁπλῶς οἰκοδομῆσαι ἐβούλετο, ἀλλ' ἐν ἐπιτηδειοτάτῳ χωρίῳ καὶ σφόδρα τῷ ναῷ πρέποντι. καὶ ζητήσεως ἐδεῖτο· οὕτως ἦν ἄγρυπνος τῇ ψυχῇ. 6 Ἰδού, ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Τὰ παλαιὰ διηγεῖται νῦν, δεικνὺς ὅτι καὶ ἔμπροσθεν πολὺν περιῄει χρόνον ἡ κιβωτός, τόπον ἐκ τόπου ἀμείβουσα. διὰ τοῦτό φησιν, ἰδού, ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ· τουτέστι, ταῦτα διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, ταῦτα ἐξ ἀκοῆς κατέχομεν, ὅτι καὶ τότε περιῄει πανταχοῦ, ἐν πεδίοις καὶ ἀγροῖς ἱδράθη μετὰ ταῦτα. τοῦτο δὴ γινέσθω καὶ νῦν. Ἐφραθᾶ ἐνταῦθα, τὴν Ἰούδα λέγει φυλήν, εἰς ἣν μετὰ τὴν πολλὴν περίοδον εἰσηνέχθη.

ἐλευσώμ.

7 ″Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ. Εἶδες πόσῃ παχύτητι κέχρηται λέξεως διὰ τὴν πολλὴν τῶν ἀκουόντων ἀναισθησίαν, σκηνώματα λέγων Θεοῦ καὶ πόδας καὶ τόπον ἔνθα ἔστησαν οἱ πόδες. ταῦτα δὲ πάντα τὸν τόπον λέγει τῆς κιβωτοῦ, ἐπειδὴ ἐκεῖθεν αἱ φρικταὶ φωναὶ ἐφέροντο περὶ τῶν ἐν τοῖς Ἰουδαίοις πραγμάτων λύουσαι τὰ ἀσαφῆ, καὶ περὶ τῶν μελλόντων προλέγουσαι. 8 Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Ἕτερος, Τῆς ἰσχύος σου. Ἄλλος, Τοῦ κράτους σου· ἀμφότερα δὲ ἀληθῆ. Καὶ γὰρ ἡ ἁγιωσύνη ἐκεῖθεν ἐδίδοτο, καὶ ἁγιωσύνης ἦν ποιητικὰ τὰ γράμματα τὰ ἐπικείμενα καὶ ἰσχύος. καλῶς οὖν οὕτως εἶπε. πολλὴν γὰρ ὁ Θεὸς ἐνεδείξατο δι' αὐτῆς δύναμιν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις· οἷον, ὅτε ἐλήφθη παρὰ τῶν Ἀζωτίων, ὅτε τὰ εἴδωλα κατήνεγκεν, ὅτε ἔπληξε τοὺς εἰληφότας, ὅτε ἔστησε τὴν πληγὴν ἀποδοθείσης αὐτῆς. καὶ διὰ τῶν ἄλλων δὲ [δι'] ὧν αὐτόθι εἰργάζετο, τὴν ἰσχὺν ἐπεδείκνυτο τὴν ἑαυτοῦ. τί δέ ἐστιν, ἀνάστηθι εἰς τὴν ἀνάπαυσίν σου; στῆσον ἡμᾶς ἀλωμένους, φησί, καὶ τὴν κιβωτὸν περιφερομένην, καὶ ὀψέ γοῦν ποτε ἀνάπαυσον αὐτήν. 9 Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην. Ἕτερος, Ἀμφιεσθήτωσαν. Ἄλλος, Ἐνδυσάσθωσαν, ὅπερ μάλιστά ἐστι σαφέστερον. Εὐχομένου γάρ ἐστιν, οὐχὶ προφητεύοντος, καὶ αἰτοῦντος τὴν τῆς ἀρετῆς κτῆσιν. δικαιοσύνην δὲ ἐνταῦθα, τὴν ἁγιαστίαν λέγει, τὴν ἱερωσύνην, τὴν λατρείαν, τὰς θυσίας, τὰς προσφοράς, καὶ μετὰ τούτων τὴν ἀκριβῆ πολιτείαν, ἐπειδὴ μάλιστα καὶ παρὰ ἱερέων ταύτην ἀπαιτεῖσθαι χρή. Καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται, τούτων γινομένων. Ὅρα αὐτὸν οὐ πόλεως ζητοῦντα οἰκοδομήν, οὐκ ἀφθονίαν ὠνίων, οὐ τὴν ἄλλην εὐπραγίαν, ἀλλὰ τὴν εὐπρέπειαν τοῦ ναοῦ, τὴν τῆς κιβωτοῦ κατάπαυσιν, τὸ τῶν ἱερέων πλήρωμα, τὴν ἁγιαστίαν, τὴν λατρείαν, τὴν ἱερωσύνην. εἶτα ἐπειδὴ ταῦτα ᾔτησαν, αὐτοὶ δὲ ὑπεύθυνοι ἁμαρτήμασιν ἦσαν πολλοῖς, ἐπὶ τὸν πρόγονον καταφεύγει πάλιν λέγων· 10 Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Τί ἐστιν, ἕνεκεν Δαβὶδ τοῦ δούλου σου; μὴ διὰ τὴν ἀρε-

Ἀγγ. α. δ.

τὴν ἐκείνου μόνον, φησί, μηδὲ διότι τοσαύτην σπουδὴν ἐποιήσατο πρὸς τὸ τὸν ναὸν ἀναστῆσαι, ἀλλ' ὅτι καὶ συνθήκας ἔθου πρὸς αὐτόν. ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. τίνος φησί; τοῦ χρισθέντος καὶ δημαγωγοῦντος καὶ προεστῶτος τοῦ λαοῦ. 11 Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ″ ἀθετήσῃ αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

γρ. ἀθετήσει

Ἐπειδὴ ἐμνήσθη τοῦ Δαβὶδ καὶ τῆς ἀρετῆς τοῦ ἀνδρὸς καὶ τῆς σπουδῆς τῆς πρὸς τὸν ναόν, καὶ τὰ παλαιὰ διηγήματα εἶπε, καὶ ἠξίωσεν ἐπὶ τῆς προτέρας αὐτοῦ φαιδρᾶς πολιτείας, ὅπερ μέγιστον ἔχει κεφάλαιον, τοῦτο προβάλλεται, τὰς συνθήκας ἀναγινώσκων τοῦ Θεοῦ. ποῖαι δὲ αὗταί εἰσιν; ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. ἀλλ' οὐχ ἁπλῶς αἱ συνθῆκαι ἐγίνοντο, ἀλλὰ μετὰ διορισμοῦ τινος. τίς δὲ ἦν ὁ διορισμός, ἄκουε. ἐπάγει γάρ· 12 Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς, 13 Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθησοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ταύτας τὰς συνθήκας θέμενος ὁ Θεὸς αὐτοῖς ἐνεχείρισε τὸ χειρόγραφον· κἀκεῖνοι πάλιν ἔλεγον, πάντα ὅσα εἶπεν ὁ Κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα. εἶτα ἐπειδὴ ἑώρα τὸ ἓν μέρος παραβεβηκὸς τὰς συνθήκας, ἐπὶ τὸν τόπον ἄγει τὸν λόγον, πανταχόθεν κινῶν λόγους παρακλητικούς, καὶ λέγων· 14 Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. 15 Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τουτέστιν, οὐκ ἄνθρωπος τὸν τόπον ἐξελέξατο, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐψηφίσατο συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὃν εἵλου, ὃν ἐξελέξω, ὃν ἐψηφίσω, ὃν ἐδοκίμασας ἐπιτήδειον εἶναι, μὴ ἀφῇς διαρρυῆναι μηδὲ ἀπολέσθαι. ταῦτα γὰρ ἔλεγες, ὅτι κατοικήσω ἐνταῦθα. ἀλλὰ ταῦτα ἐλέγετο μετὰ τῶν συνθηκῶν ἐκείνων. ποίων δὴ τούτων; ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου. 16 Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω.

Ἕτερος, Τὸν ἐπισιτισμόν. Θήραν λέγει, τῶν ὠνίων τὴν ἀφθονίαν, τὴν εὐετηρίαν. [καὶ εὔχεται] ὥστε πάντα αὐτοῖς ὡς ἀπὸ πηγῶν ἐπιρρεῖν. καὶ γὰρ τοιαύτην εἶχον πολιτείαν οἱ Ἰουδαῖοι τὸ παλαιόν, οὐκ αἰσθανομένην τῆς φυσικῆς ἀνάγκης, εἴποτε τὸν Θεὸν ἵλεων εἶχον. οὔτε γὰρ σιτοδεία τις ἦν παρ' αὐτοῖς, οὐ λιμός, * οὐ θάνατος ἄωρος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, οἷα συμβαίνειν τοῖς ἀνθρώποις εἴωθεν, ἀλλὰ πάντα αὐτοῖς ὥσπερ ἐκ πηγῶν ἐπέρρει, τῆς τοῦ Θεοῦ″ χειρὸς τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἀσθένειαν διορθουμένης. τοῦτο οὖν φησιν ἐνταῦθα, ὅτι ὑπέσχου τὴν θήραν αὐτῆς εὐλογήσειν, τουτέστι, τὴν τῶν ἀναγκαίων ἀφθονίαν παρέξειν μετὰ πολλῆς τῆς ἀσφαλείας.

* ἢ λοιμός,

γρ. χάριτ

Τοὺς πτωχοὺς αὐτῆς″ χορτάσω ἄρτων· 17 Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

γρ. χορηγ

18 Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

19 Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ὁρᾷς″ πανταχόθεν εὐημερίαν συγκεκροτημένην, ἀπὸ τοῦ μηδὲν τῶν ἀναγκαίων ἐνδεῖν, ἀπὸ τοῦ τοὺς ἱερεῖς ἐν ἀσφαλείᾳ εἶναι, ἀπὸ τοῦ τὸν λαὸν ἐν εὐφροσύνῃ, ἀπὸ τοῦ τὸν βασιλέα ἐν ἰσχύϊ. λύχνον γὰρ ἐνταῦθα, ἢ τὸν βασιλέα φησίν, ἢ ἀντίληψιν, ἢ σωτηρίαν, ἢ φῶς· μετὰ δὲ τούτων, τὸ μέγιστον τῆς εὐημερίας εἶδος. ποῖον δὴ τοῦτο; τὸ τοὺς ἐχθροὺς ἐγκαλύπτεσθαι, καὶ μηδένα εἶναι τὸν λυμαινόμενον τοῖς καλοῖς τούτοις. καὶ οὐκ εἶπεν ἀπώλειαν ἁπλῶς, ἀλλ' αἰσχύνην, [βουλόμενος] ὥστε ζῶντας ἐγκαλύπτεσθαι καὶ καταδύεσθαι, καὶ μαρτυρεῖν, δι' ὧν πάσχουσι, τὴν ἰσχὺν καὶ τὴν εὐημερίαν τῷ ἔθνει τούτῳ.

γρ. σωματ

ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου· τουτέστιν, ἐπὶ τὸν λαόν. ἀντὶ δὲ τοῦ ἁγίασμα, ἕτερος τὸ κέρας εἶπεν· ἄλλος, ἀφόρισμα αὐτοῦ· ἄλλος, τὸ ἀφωρισμένον αὐτοῦ. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; ἐμοὶ δοκεῖ τὴν εὐπραγίαν λέγειν ἐνταῦθα, τὴν ἀσφάλειαν, τὴν ἰσχὺν, τὴν βασιλείαν. ἅπερ ἐξ ἀρχῆς ἀφώρισα αὐτῷ, ταῦτα μενεῖ ἀνθοῦντα, φησὶ, βρύοντα, οὐ μαραινόμενα οὐδὲ καταπίπτοντα. ἀλλὰ ταῦτα πάντα ἔσται, τοῦ διορισμοῦ τοῦ ἔμπροσθεν εἰρημένου μένοντος. ποίου δὴ τούτου; ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου. οὐ γὰρ μόναι αἱ ὑποσχέσεις τοῦ Θεοῦ παρέχουσιν ἡμῖν τὰ ἀγαθὰ, ἂν μὴ καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν ποιῶμεν· οὐδὲ χρὴ τούτοις προσέχοντας ἀναπεπτωκέναι καὶ ὑπτίους εἶναι. ἄλ. πάντως πολλὰ γὰρ καὶ τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ Θεὸς, οὐ ποιεῖ, τῶν τὰς ἐπαγγελίας δεξαμένων ἀναξίων εὑρισκομένων· ὥσπερ καὶ τὰ κακὰ, ἃ ἠπείλησεν, εἰς ἔργον οὐκ ἄγει, τῶν παροξυνάντων αὐτὸν ὕστερον μεταβαλλομένων καὶ τὴν ὀργὴν ἀποκρουομένων. ταῦτ' οὖν εἰδότες, μήτε διὰ τὰς ὑποσχέσεις ῥᾳθυμῶμεν, ἵνα μὴ καταπέσωμεν, μήτε διὰ τὰς ἀπειλὰς ἀπογινώσκωμεν, ἀλλὰ μεταβαλλώμεθα. οὕτω γὰρ δυνησόμεθα καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλβ. 1 ΙΔΟΥ ΔΗ ΤΙ ΚΑΛΟΝ, Η ΤΙ ΤΕΡΠΝΟΝ.

Ἄλλος, Ἰδοὺ δὴ τί ἀγαθὸν καὶ τί καλὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

ΠΟλλὰ τῶν πραγμάτων ἐστὶ μὲν καλὰ, τὸ δὲ τερπνὸν οὐκ ἔχει, ὥσπερ ἕτερα ἡδονὴν μὲν ἔχει, τοῦ καλοῦ δὲ ἀπεστέρηται. ἀμφότερα δὲ συνελθεῖν οὐ σφόδρα εὔπορον. ἀλλ' ἐπὶ τούτου τοῦ εἰρημένου ἀμφότερα ταῦτα συνδεδράμηκε, καὶ ἡδονὴ καὶ τὸ κάλλιστον. τοῦτο γὰρ μάλιστα ἡ ἀγάπη κέκληται· μετὰ τῆς ὠφελείας, καὶ τὸ ῥᾷστον ἔχει καὶ ἡδύ. ταύτην γοῦν καὶ ἐνταῦθα ἀνυμνεῖ. οὐ γὰρ ἁπλῶς τὴν οἴκησιν εἶπεν, οὐδὲ τῷ ἑνὶ συνέχεσθαι οἰκίσκῳ, ἀλλ' ἐπὶ ταυτὸ κατοικεῖν, τουτέστι, μετὰ συμφωνίας καὶ ἀγάπης. τοῦτο γὰρ ποιεῖ ψυχὴν εἶναι μίαν. εἶτα εἰπὼν καλὸν καὶ τερπνὸν, σαφέστερον ποιῶν τὸν λόγον, καὶ εἰς παράδειγμα ἐκφέρει τὸ εἰρημένον, καὶ σωματικὰς εἰκόνας τίθησι δυναμένας ἀκριβέστερον τῷ ἀκροατῇ παραστῆσαι τὴν ὄψιν. τίνες δέ εἰσιν αἱ εἰκόνες; ὅρα.

2 Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών.

Οὗτος γὰρ ἀρχιερεὺς ὢν, ἐχρίετο τῷ μύρῳ τούτῳ καὶ κατεστάζετο πάντοθεν, καὶ σφόδρα ἐπίχαρις ἦν τοῖς ὁρῶσι καὶ ἡδὺς καὶ ἐπέραστος ἀπὸ τῆς χρίσεως ταύτης. ὥσπερ οὖν ἐκεῖνός, φησιν, ὁ ἠλειμμένος τῷ μύρῳ τούτῳ, ἐμπρέπει τῷ σχήματι, φαιδρός ἐστι τῷ προσώπῳ, πολλῆς εὐωδίας ἐμπέπλησται, χάριν παρέχει ὁρῶσιν ὀφθαλμοῖς, οὕτω καὶ τοῦτο ἐστὶ καλόν. καὶ ὥσπερ ἐκεῖνο τὸ θέαμα οὐ μόνον ὡραῖόν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ τέρπει τὰς ὄψεις, οὕτω καὶ τοῦτο τῇ ψυχῇ τὴν ἡδονὴν ἐντίθησιν.

3 Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.

Καὶ ἑτέραν εἰκόνα παρήγαγε πολλὴν τὴν ἡδονὴν ἔχουσαν καὶ τῷ θεατῇ τὴν τέρψιν παρεχομένην. ταῦτα δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' ἐπειδὴ πρὸ τῆς αἰχμαλωσίας αἱ δέκα φυλαὶ καὶ αἱ δύο διεσπαρμέναι ἦσαν, καὶ τοῦτο πολλῆς παρανομίας αἴτιον γέγονε, καὶ εἰς στάσεις καὶ φιλονεικίας καὶ πολέμους αὐτοὺς ἐνέβαλεν, ἵνα μὴ ταῦτα γίνηται, παραινεῖ καὶ

συμβουλεύει μηκέτι διεσπάσθαι τὸν δῆμον, ἀλλ᾽ ὁμοῦ κατοικεῖν καὶ συνῆφθαι, καὶ ὑπὸ ἑνὶ τάττεσθαι δημαγωγῷ καὶ βασιλεῖ, καὶ τὴν ἀγάπην εἶναι ῥέουσαν ἀπ᾽ ἀρχῆς μέχρι τέλους, ὥσπερ οὖν καὶ τὴν δρόσον διὰ πάντων διαβαίνουσαν. καὶ παραβάλλει τὴν ἀγάπην δρόσῳ καὶ μύρῳ, διὰ ἐκείνου μὲν τὴν εὐωδίαν, διὰ τούτου δὲ τὴν ἀνάπαυσιν καὶ τὸ τερπνὸν τῆς ὄψεως παραστῆσαι βουλόμενος. 4 Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν. Ποῦ ἐκεῖ; ἐν τῇ τοιαύτῃ κατοικήσει, ἐν τῇ τοιαύτῃ συμφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοσκηνίᾳ. καὶ γὰρ εὐλογία τοῦτό ἐστιν, ὥσπερ οὖν τὸ ἐναντίον ἀρά. διὸ καί τις ἐπαινεῖ τοῦτο λέγων· Φιλία ἀδελφῶν, καὶ ὁμόνοια τῶν πλησίον, καὶ ἀνὴρ καὶ γυνὴ ἀλλήλοις συμπεριφερόμενοι. καὶ ἕτερος αἰνιττόμενος τὸ ἰσχυρὸν αὐτοῦ λέγει, Ἐὰν κοιμηθῶσιν οἱ δύο, καὶ θέρμη αὐτοῖς. καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχὺ ἀπορραγήσεται. καὶ γὰρ καὶ τὴν ἡδονὴν ἐνταῦθα καὶ τὴν ἰσχὺν ἐνδείκνυται, καὶ ἐμφαίνει ὅτι καὶ ἡσυχάζουσι πολλὴ ἔσται ἡδονή, καὶ ἐνεργοῦσι πολλὴ ἔσται ἡ ἰσχύς. καὶ πάλιν, Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. καὶ ὁ Χριστὸς δέ φησιν, Οὗ ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ αὐτὴ δὲ ἡ φύσις τοῦτο ἀπαιτεῖ. διὸ καὶ ἐξ ἀρχῆς ὁ Θεὸς τὸν ἄνθρωπον πλάττων ἔλεγεν, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· καὶ ποιῶν τὸ ζῶον τοῦτο, τὴν γυναῖκα λέγω, τῇ τῆς χρείας ἀνάγκῃ συνέδησε τῷ ἀνδρί, διὰ μυρίων τρόπων ἡμᾶς πρὸς ἀλλήλους συνάγων.

Σειρ. κε. β.
Εκκλ. δ. ια.
Παροιμ. ιη. ιθ.
Ματθ. ιη. κ.

Καὶ ζωὴν ἕως τοῦ αἰῶνος. Καλῶς τοῦτο προσέθηκεν. ἔνθα γὰρ ἡ ἀγάπη, πολλὴ ἡ ἀσφάλεια, πολλὴ ἡ παρὰ τοῦ Θεοῦ ῥοπή. αὕτη μήτηρ τῶν ἀγαθῶν, αὕτη ῥίζα καὶ πηγή, αὕτη πολέμων ἀναίρεσις, φιλονεικίας ἀφανισμός. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε τό, καὶ ζωὴν ἕως τοῦ αἰῶνος. ὥσπερ γὰρ ἡ στάσις καὶ ἡ φιλονεικία θανάτους ἐργάζεται, καὶ θανάτους ἀώρους, οὕτως ἡ ἀγάπη καὶ ὁμοφωνία εἰρήνην, ὁμόνοιαν. ὅπου δὲ εἰρήνη καὶ ὁμόνοια, τὰ τῆς ζωῆς μετὰ ἀδείας ἐστὶ καὶ ἀσφαλείας ἁπάσης. καὶ τί δεῖ λέγειν τὰ παρόντα; τὸν γὰρ οὐρανὸν ἡμῖν αὕτη χαρίζεται καὶ τὰ ἀπόρρητα ἀγαθά, καὶ βασιλίς ἐστι τῶν ἀρετῶν. ταῦτ᾽ οὖν εἰδότες μετὰ ἀκριβείας αὐτὴν διώκωμεν, ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν καὶ τῶν μελλόντων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλγ. 1 ΙΔΟΥ ΔΗ ΕΥΛΟΓΕΙΤΕ ΤΟΝ ΚΥΡΙΟΝ πάντες οἱ δοῦλοι Κυρίου, 2 Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου.

ΕΝταῦθα κατέλυσε τοὺς περὶ τῶν ἀναβαθμῶν ψαλμούς, εἰς καλὸν τέλος κατακλείσας τὸν λόγον, εὐφημίαν τε καὶ εὐλογίαν δούλοις δὲ Κυρίου βούλεται εἶναι οὐ κατὰ τὰ δόγματα μόνον, ἀλλὰ καὶ κατὰ τὴν τῆς πολιτείας ἀκρίβειαν. διὸ καὶ προσέθηκεν· οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. τὸν γὰρ ἀκάθαρτον καὶ βέβηλον οὐδὲ ἐπιβῆναι τῶν ἱερῶν περιβόλων θέμις. ὥστε εἴ τις ἄξιός ἐστιν ἐπιβαίνειν, καὶ εὐλογεῖν ἄξιός ἐστιν. ὁ γὰρ οἶκος τοῦ Θεοῦ τῷ οὐρανῷ ἔοικε. καὶ καθάπερ ἐκεῖ τῶν ἀντικειμένων δυνάμεων οὐδεμίαν ἐπιβῆναι θέμις, οὕτως οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ἐννόησον ἡλίκης ἀπολαύεις τῆς ἀξίας, ἄνθρωπε, ὅπουγε καὶ αὐτὸς ἐγένου ναός, ὅσην δίκαιος ἂν εἴης παρέχειν καθαρότητα. πῶς δ᾽ ἂν παράσχοις τὴν καθαρότητα; εἰ πάντα λογισμὸν πονηρὸν ἐκβάλοις, εἰ διαβολικαῖς ἐνεργείαις ἄβατον ποιήσαις τὸ χωρίον

ριον τῆς διανοίας, εἰ καθάπερ ἐν ἀδύτοις ἁγίοις μένεις καλλωπίζων τὴν διάνοιαν τὴν σαυτοῦ. εἰ γὰρ ἐπὶ τοῦ ναοῦ τοῦ Ἰουδαϊκοῦ οὐ πᾶς τόπος ἅπασιν ἦν βατός, ἀλλὰ πολλοὶ καὶ διάφοροι διορισμοί, καὶ ὁ μὲν τοῖς προσηλύτοις, ὁ δὲ τοῖς ἐξ ἀρχῆς Ἰουδαίοις, ὁ δὲ τοῖς ἱερεῦσιν, ὁ δὲ τῷ ἀρχιερεῖ μόνῳ, καὶ οὐδὲ τούτῳ ἀεί, ἀλλ' ἅπαξ τοῦ ἐνιαυτοῦ· πόσης ἐννόησον ἁγιωσύνης σοι δεῖ τῷ πολλῷ μείζονα σύμβολα δεξαμένῳ, ὧν ἐδέξατο τὰ ἅγια τῶν ἁγίων τότε. οὐ γὰρ χερουβὶμ ἔχεις, ἀλλ' αὐτὸν τὸν τῶν χερουβὶμ δεσπότην ἐνοικοῦντα· οὐδὲ στάμνον καὶ μάννα καὶ πλάκας λιθίνας καὶ τὴν ῥάβδον τὴν Ἀαρών, ἀλλὰ σῶμα καὶ αἷμα δεσποτικόν, καὶ πνεῦμα ἀντὶ γράμματος, καὶ χάριν ὑπερβαίνουσαν λογισμὸν ἀνθρώπινον, καὶ δωρεὰν ἀνεκδιήγητον. ὅσῳ μειζόνων ἠξιώθης συμβόλων καὶ φρικτῶν μυστηρίων, τοσούτῳ μείζονος ὑπεύθυνος εἶ τῆς ἁγιωσύνης, καὶ πλείονος κολάσεως, εἰ παραβαίνῃς τὰ ἐπιτεταγμένα. 3 Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια.

Ἕτερος, Ἁγίως. Ἄλλος, Ἡγιασμένως. Καὶ εὐλογεῖτε τὸν Κύριον.

Διὰ τί φησιν, ἐν νυξί; παιδεύων ἡμᾶς μὴ τὴν πᾶσαν αὐτὴν εἰς ὕπνον δαπανᾶν, καὶ δεικνὺς τότε καθαρωτέρας εἶναι τὰς εὐχάς, ὅτε καὶ κουφότερος ὁ νοῦς καὶ πλείων ἡ σχολή. εἰ δὲ ἐν νυκτὶ παραγίνεσθαι εἰς τὰ ἅγια δεῖ, ἐννόησον ποίας τεύξεται συγγνώμης ὁ μηδὲ οἴκοι κατὰ τὸν καιρὸν ἐκεῖνον εὐχὰς ἐπιτελῶν. ὁ μὲν οὖν προφήτης ἀνίστησί σε ἀπὸ τῆς κλίνης, καὶ πρὸς τὸν ναὸν ἄγει, κελεύων ἐνταῦθα διανυκτερεύειν· σὺ δὲ οὐδὲ οἴκοι καθήμενος τοῦτο ποιεῖς. καλῶς δὲ εἶπεν, ἁγίως, δηλῶν ὅτι χωρὶς διαλογισμῶν πονηρῶν εὔχεσθαι δεῖ, χωρὶς μνησικακίας, χωρὶς πλεονεξίας, χωρὶς ἄλλης πάσης τοιαύτης ἁμαρτίας λυμαινομένης τὴν διάνοιαν. Καὶ εὐλογεῖτε τὸν Κύριον.

Τοῦτο γὰρ μάλιστά ἐστιν εὐλογία ἠκριβωμένη, ὅταν μετὰ τῶν ῥημάτων καὶ ὁ βίος σύμφωνα φθέγγηται, καὶ διὰ τῶν ἔργων δοξάζῃς τὸν ποιήσαντά σε Θεόν, κατὰ τὸ εὐαγγέλιον τὸ λέγον· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Matth. 5.

4 Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Τουτέστιν, ἂν ταῦτα ποιῇς, τεύξῃ καὶ τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας, ἂν διανυκτερεύῃς, ἂν εὔχῃ ἁγίως, ἂν ἄξιος ᾖς τοῦ ἑστάναι ἐν τῷ οἴκῳ Κυρίου, ἂν σαυτὸν ναὸν ἐπιτήδειον παράσχῃς. παραινέσας τοίνυν ὡς ἐχρῆν, λοιπὸν εἰς εὐχὴν κατακλείει τὸν λόγον. τοῦτο γὰρ ἀρίστου διδασκάλου, καὶ τῇ συμβουλῇ διορθοῦν τὸν ἀκροατήν, καὶ ταῖς εὐχαῖς νευροῦν. τί βούλεται δηλοῦν διὰ τοῦ εἰπεῖν, ἐκ Σιών; ποθεινὸν αὐτοῖς τὸ ὄνομα ἦν, καὶ ἐκεῖ τῆς ἁγιαστίας ἁπάσης ἡ ὑπόθεσις ἐτελεῖτο. διὰ δὴ τοῦτο ἐπεύχεται αὐτοῖς ἀπολαβεῖν τὴν προτέραν πολιτείαν, καὶ ἐν ἐκείνῃ γενέσθαι τῇ ἁγιαστίᾳ, καὶ ταύτης ἀπολαύειν τῆς εὐλογίας. εἶτα εἰς ὑψηλότερα αὐτοὺς ἀνάγων δόγματα, καὶ παιδεύων ὅτι πανταχοῦ ὁ Θεός ἐστι, τὸν δὲ ναὸν διὰ τὴν ἐκείνων ἀσθένειαν ἐνομοθέτησεν οἰκοδομηθῆναι, καὶ δεῖ πανταχόθεν αὐτὸν καλεῖν, ἐπήγαγεν· ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀλλ' ἐκεῖνοι μὲν τότε αὐτὸν ἐκάλουν ἐκεῖ, ἡμεῖς δὲ ἐν παντὶ τόπῳ, ἐν παντὶ χωρίῳ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἐρημίᾳ, καὶ ἐν πλοίῳ, καὶ ἐν πανδοχείῳ, καὶ ὅπουπερ ἂν ὦμεν. οὐδὲν γὰρ ἀπὸ τοῦ τόπου κωλύεται τὰ τῆς εὐχῆς, μόνον ἐὰν ὁ τρόπος ᾖ τῇ εὐχῇ συμβαίνων. τοῦτο τοίνυν κατορθώσαντες, πανταχοῦ τὸν Θεὸν καλῶμεν, καὶ παραστήσεται, καὶ συνεφάψεται· καὶ πάντα ἡμῖν τὰ δύσκολα εὔκολα καὶ ῥᾴδια ἐργάσεται, καὶ τῶν μελλόντων ἡμᾶς ἀξιώσει· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλδ. 1 ΑΙΝΕΙΤΕ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ, ΑΙΝΕΙΤΕ δοῦλοι Κύριον· 2 Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. 3 Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.

Πάλιν ἐπὶ τὴν θυσίαν ταύτην αὐτοὺς παρακαλεῖ τὴν διὰ τῶν ὕμνων. καὶ γὰρ θυσία τοῦτο τῷ Θεῷ καὶ προσφορά. διὸ καὶ ἀλλαχοῦ φησιν· Ψαλμ. ξη. λα. Αἰνέσω τῷ Θεῷ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς. Συνεχῶς δὲ μέμνηται τοῦ οἴκου καὶ τῶν αὐλῶν, προσηλῶν αὐτοὺς τῷ τόπῳ, καὶ οὐκ ἐῶν ἀποπηδᾶν· ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν διὰ τοῦτο αὐτὸν ἐνομοθέτησεν ἀνεγείρειν, ὥστε πάσης ἀσεβείας τε καὶ εἰδωλολατρείας ἀναίρεσιν αὐτοῖς γενέσθαι· τὸ πρὸς ἕνα τόπον πάντας συνάγεσθαι, ἀλλὰ μὴ γρ. τῷ ἀπαυθαδιαζομένους καὶ ἐλευθεριάζοντας πανταχοῦ πλανᾶσθαι, καὶ ἄλση καὶ πηγὰς, καὶ βουνοὺς καὶ ὄρη, ὑπόθεσιν λαμβάνειν εἰς ἀσεβείας ἀφορμὴν, θύοντας ἐκεῖ καὶ σπένδοντας Λευϊτ. ιζ. η. ἐπὶ τῶν ὑψηλῶν. διὰ δὴ τοῦτο καὶ φόνῳ κρίνει τὸν ἔξω που θύοντα τοῦ ναοῦ, λέγων· Ὡς ἂν μὴ ἐνέγκῃ εἰς τὴν σκηνὴν καὶ θύσῃ, αἷμα αὐτῷ λογισθήσεται. τούτου χάριν πανταχόθεν αὐτοὺς εἰς τὸν τόπον ἐκεῖ συνάγει, ἵνα ἀκούοντες σωφρονῶσι, καὶ τῆς πεπλανη- γρ. ἐκεῖνοι μένης ἀπέχωνται διανοίας. ᾄδειν δὲ καὶ ψάλλειν παρακελεύεται καὶ αἰνεῖν, ὅτι οἱ αἶνοι οἱ εἰς τὸν Θεὸν γινόμενοι, καὶ εὐσεβείας ἦσαν ὑποθέσεις αὐτοῖς, τὰ παλαιὰ ἔχοντες διηγήματα, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς ἐπαγγελίας, τὰ περὶ τοῦ νόμου τὰ ἐν τῷ Σινᾷ ὄρει, τὰ τῶν πολέμων· καὶ τὸ αὐτὸ ὁμοῦ τε εἰς τὸν Θεὸν εὐφημία ἐγίνετο, ὁμοῦ τε τοῖς ᾄδουσι διδασκαλίας ὑπόθεσις, καὶ τὸν βίον ῥυθμίζουσα, καὶ πρὸς δογμάτων ἀκρίβειαν χειραγωγοῦσα. αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος. ὅπερ μάλιστα τοῖς ἀκούουσι ποθεινὸν, τοῦτο συνεχῶς τίθησι, τὴν φιλανθρωπίαν, τὸν ἔλεον, τὴν χρηστότητα.

Ψάλατε ὀνόματι αὐτοῦ ὅτι καλόν.

Τοῦτό φησι δεικνὺς ὅτι ἔχει τινὰ καὶ καθ᾽ ἑαυτὸ ἡδονὴν τὸ πρᾶγμα μετὰ τῆς ὠφελείας. τὸ μὲν γὰρ κέρδος αὐτοῦ τὸ προηγούμενον, τὸ εἰς τὸν Θεὸν ὕμνους λέγειν, τὸ τὴν ψυχὴν ἐκκαθαίρειν, τὸ μετάρσιον ποιεῖν τὸν λογισμὸν, τὸ παιδεύεσθαι δόγματα ἀκριβῆ, τὸ φιλοσοφεῖν περὶ τῶν παρόντων καὶ τῶν μελλόντων. ἔχει δὲ μετὰ τούτων διὰ τῆς μελῳδίας καὶ ἡδονὴν πολλὴν καὶ παραμυθίαν τινὰ καὶ ἄνεσιν, καὶ σεμνὸν ποιεῖ τὸν ᾄδοντα. καὶ ὅτι τοιούτους ἐργάζεται, δῆλον ἐκ τοῦ τοὺς μὲν τῶν ἑρμηνευτῶν εἰπεῖν, ὅτι εὐπρεπές· τοὺς δὲ, ὅτι ἡδύ. ἀμφότεροι δὲ τὰ ἀληθῆ λέγουσι. κἂν γὰρ μυριάκις ἀσελγὴς ὁ ψάλλων ᾖ, αἰδούμενος τὸν ψαλμὸν, κατακοιμίζει τῆς ἀσελγείας τὴν τυραννίδα· κἂν μυρίοις ᾖ κακοῖς βεβαρημένος καὶ ὑπὸ ἀθυμίας κατεχόμενος, κατακηλούμενος ὑπὸ τῆς ἡδονῆς κουφίζει τὸν λογισμὸν, φαιδροῖ τὴν διάνοιαν, καὶ μετάρσιον ἐργάζεται τὴν ψυχήν.

4 Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

Οὐ λέγει τὰς κοινὰς εὐεργεσίας, ἃς μετὰ τῶν ἄλλων ἔχουσιν, ἀλλὰ τὴν ἰδίαν καὶ ἐξαίρετον αὐτῶν. τίς δὲ αὕτη ἦν; τὸ τὸν λαὸν ἐκλέξασθαι καὶ ἑαυτῷ ἀναθεῖναι, καὶ ἰδιάζουσάν τινα παρὰ τοὺς ἄλλους εἰς αὐτοὺς πρόνοιαν ἐπιδείξασθαι. καὶ πανταχοῦ τοῦτο ποιοῦσιν οἱ προφῆται, ἀπὸ τῶν εἰς ἑαυτοὺς εὐεργεσιῶν τὰ πολλὰ τῶν λόγων ὑφαίνοντες. τί δέ ἐστιν, εἰς περιουσιασμὸν ἑαυτῷ; εἰς πλοῦτον, εἰς περιουσίαν. εἰ γὰρ καὶ ὀλίγον τὸ ἔθνος, ἀλλὰ τοῦτο ὡς πλοῦτον ἑαυτῷ ἐξελέξατο, οὐ τῇ ὀλιγότητι, ἀλλὰ τῇ ἀρετῇ προσέχων, πρὸς ἣν αὐτοὺς καὶ χειραγωγῆσαι βουλόμενος ἐκλέγεται, ὡς τῶν ἄλλων ἀνθρώπων οὐ τοσοῦτον αὐτῷ ποιουμένων πλοῦτον, ὅσον τοῦτο ὁ δῆμος, ὃς τοῦτο καὶ γέγονεν ἀπό τε τῆς εὐνοίας τοῦ ἐλομένου, ἀπό τε τῆς παιδαγωγίας αὐτῶν. οἶδε γὰρ πλοῦτον ὁ Παῦλος καὶ τὴν σωτηρίαν τῶν ἀνθρώπων καλεῖν, ὡς ὅταν λέγῃ· Ὁ γὰρ αὐτὸς Κύριος πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ὁρᾷς πῶς τὴν ἀγάπην ἐνεδείξατο τοῦ Θεοῦ τὴν περὶ αὐτούς, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν διάθεσιν, ὅπου περιουσιασμὸν αὐτοὺς ἐκάλεσε; δι' ἀμφοτέρων τοίνυν τούτων δείκνυσιν αὐτοῦ τὴν ἐξαίρετον περὶ αὐτοὺς πρόνοιαν, ὅτι τε ἐξελέξατο, καὶ ὅτι εἰς περιουσιασμὸν ἑαυτῷ. Εἶδες πῶς παρέστησεν αὐτοῦ τὴν φιλανθρωπίαν; διὰ τοῦτο ἀρχόμενος ἔλεγεν, αἰνεῖτε αὐτόν, ὅτι ἀγαθὸς Κύριος.

Ρω. ι. ιβ.

5 Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος. Ἰδού, καὶ ἄλλην αἰτίαν τίθησι τοῦ ὑμνεῖν. Εἰπὲ δή μοι, σὺ ἔγνωκας, οἱ δὲ ἄλλοι οὐκ ἴσασιν; ἴσασι μέν, οὐχ οὕτω δὲ ὡς ἐγώ. τῶν γὰρ μάλιστα ἁγίων καὶ ἀναβεβηκότων ἐστί, τὸ ἀκριβέστερον εἰδέναι αὐτοῦ τὴν μεγαλωσύνην, οὐ πᾶσαν ″ ἥτις ἐστί, τοῦτο γὰρ ἀδύνατον, ἀλλὰ τῶν ἄλλων σαφέστερον.

γρ. πᾶσι

Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Ἰδού, φησιν, ὁ εἰπὼν ὅτι μέγας Κύριος, καὶ ὅτι σὺ ἔγνωκας, προϊὼν ἐλαττοῖς τὸν λόγον, καὶ συγκρίνεις αὐτὸν τοῖς ἄλλοις, καὶ κατὰ σύγκρισιν αὐτῷ δίδως τὴν ὑπεροχήν; οὐδαμῶς. ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων τότε διελέγετο, κατὰ μικρὸν αὐτοὺς ἀναβιβάζων ἐπὶ τοῦτο. οὐ σφόδρα γὰρ παραστατικὸν τοῦτο τοῦ μεγάλου, τὸ μείζονα Θεὸν λέγεσθαι, καὶ ὑπὲρ ἐκείνους εἶναι μέγαν· ἀλλ' ὅπερ ἔφθην εἰπών, συμμετρεῖ τὸν λόγον [ἐν] τῇ εὐτελείᾳ τῶν ἀκροατῶν, κατὰ μικρὸν αὐτοὺς ἀνάγων. καὶ γὰρ ἀγαπητὸν ἦν αὐτοὺς τέως τοῦτο ἀκοῦσαι καὶ πεισθῆναι· ἐπεὶ ὅτι πάντων ἀσυγκρίτως ὑπερέχει, διὰ τῶν ἑξῆς δηλοῖ, τεκμήριον αὐτοῦ τῆς δυνάμεως τιθεὶς μέγιστον, καὶ δηλῶν ὅτι καὶ τὰ πρότερα διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν εἴρηται. διὰ τί τοῦτο, ὅταν μὲν ἀποφαίνηται, μικρὰ λέγει· ὅταν δὲ κατασκευάζῃ καὶ ἀποδεικνύῃ καὶ παρέχῃ τῆς μεγαλωσύνης αὐτοῦ τὴν ἀπόδειξιν, τὰ μεγάλα τίθησι. τί τοίνυν τίθησι μετὰ ταῦτα, ἄξιον αὐτοῦ, καὶ ὃ Θεοῦ μόνον ἐστίν, ὅρα. ἐπάγει γάρ,

6 Πάντα, ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.

Εἶδες ″ παναρκῆ δύναμιν; εἶδες πηγὴν ζωῆς; εἶδες ἰσχὺν ἄμαχον; εἶδες ἀσύγκριτον ὑπεροχήν; εἶδες ἐξουσίαν οὐδαμοῦ κωλυομένην; εἶδες πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα; πάντα ὅσα ἠθέλησεν ἐποίησεν. εἰπέ, καὶ ποῦ. ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· τουτέστιν, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ, οὐκ ἐν τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ, οὐκ ἐν τῇ γῇ, ἀλλὰ καὶ ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. διὰ γὰρ τῆς ἀβύσσου, τὰ ὑποκάτω λέγει τῆς γῆς, ὥσπερ διὰ τοῦ εἰπεῖν ἐν τῷ οὐρανῷ, τὰ ὑπεράνω τῶν οὐρανῶν· ὑφ' ὧν καὶ τοσούτων ὄντων οὐδαμοῦ τὸ θέλημα αὐτοῦ ἐμποδίζεται, ἀλλὰ πάντα ἔπεισι. καὶ τὸ δὴ θαυμαστόν, ὅτι ποιήσας, οὐ πόνῳ, οὐ μόχθῳ, οὐκ ἐπιτάγματι, ἀλλὰ θελήματι ἐποίησε. μόνον γὰρ ἐβουλήθη, καὶ τὸ ἔργον εὐθὺς ἠκολούθησεν. Εἶδες πῶς καὶ τὴν εὐκολίαν παρέστησε καὶ τὴν ἀφθονίαν τῶν δημιουργημάτων, καὶ τὴν ἐξουσίαν τὴν ἀκώλυτον. Εἶτα ἀφεὶς εἰπεῖν τὸν οὐρανὸν καὶ τὴν θάλασσαν, τὰ ἐν αὐτοῖς τίθησι· καὶ οὐδὲ τὰ ἐν αὐτοῖς πάντα, ἀλλὰ παραδραμὼν τὰ ἐν τῷ οὐρανῷ, καίτοι θαυμαστότερα ὄντα, λέγει τὰ περὶ τὸν οὐρανόν. τί δήποτε; ὅτι τὰ μέν, εἰ καὶ μεγάλα ἦν, ἀλλ' ἄδηλα ἦν τοῖς πολλοῖς· ταῦτα δέ, εἰ καὶ ἐλάττονα, ὅμως φαινόμενα καὶ πάντας ἔχοντα θεωρούς. ἐπεὶ οὖν πρὸς ἀνθρώπους ἦν ὁ λόγος αὐτῷ, οὐ τοσοῦτον πίστει παιδευομένους ″ τῶν ἀφανῶν ἔχειν ἔννοιαν, ὅσον ἀπὸ τῶν φαινομένων χειραγω-

γρ. παντάρχῃ

γρ. καὶ τῶν ἀφανῶν ἔχοντας ἔννοι.

ραγωγουμένους, ἐντεῦθεν ὑφαίνει τὸν λόγον, καὶ τῆς διδασκαλίας ἄρχεται, ὃ τοῖς ἄλλοις παρῄνεσε ποιεῖν, τοῦτο καὶ αὐτὸς ποιῶν. ποῖον δὴ τοῦτο; τὸ αἰνεῖν τὸν Θεὸν ἀπὸ τῶν ἔργων αὐτοῦ καὶ εὐφημίαν ἀναφέρειν αὐτῷ, ἕκαστον τῶν γινομένων καταμανθάνοντα καὶ ὑπὲρ ἑκάστου δοξολογοῦντα. ἐπειδὴ γὰρ περὶ τοῦ τὸν Θεὸν αἰνεῖν παραινῶν συνεχῶς εἶπεν, Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον, δείκνυσι καὶ πῶς δεῖ αἰνεῖν, ἐπιόντα τὸ σῶμα τῆς κτίσεως, καὶ ἐκπληττόμενον τὴν σοφίαν, τὴν πρόνοιαν, τὴν δύναμιν, τὴν κηδεμονίαν. ἐντεῦθεν μανθάνομεν ὅτι οὐ μία τίς ἐστι θάλασσα, αὕτη ἡ καθ' ἡμᾶς, ἀλλὰ πολλαὶ καὶ διάφοροι, καὶ πελάγη ἄπειρα. ἔφη γὰρ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. ἥ τε γὰρ Κασπία, ἥ τε Ἰνδικὴ, ἥ τε ἐρυθρὰ διῃρημέναι σχεδὸν ταύτης εἰσὶ, καὶ ἔξωθεν περικείμενος ὁ ὠκεανός.

7 Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Ἄλλος, Ἀναβιβάζων. Ἕτερος, Ἀνασπᾷ ἀπ' ἄκρων. Ἄλλος, Ἐκ τελέσματος. Τοῦτο καὶ ἐν τῷ Ἰὼβ εἴρηται, Δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ. καὶ ὁ Σολομὼν, Συνέχων ὕδωρ ἐν ἱματίῳ. ἔστι δὲ οὐ τοῦτο, ἀλλ' ἕτερον θαυμαστόν. ποῖον δὴ τοῦτο; ὅτι παχύτερος ὢν ὁ ἀὴρ τὴν ἄνω φέρεται φορὰν καὶ διαβαστάζεται, καὶ ἄνεισι τὸ βαρὺ, τὴν ἐναντίαν ἐρχόμενον ὁδόν. θαυμαστὸν μὲν οὖν καὶ τὸ στέγεσθαι τὸ ὕδωρ ἐν αὐτῷ· πολὺ δὲ θαυμαστότερον τὸ φέρεσθαι στεγόμενον ἐπὶ τοῦ κούφου· καὶ τὸ ἔτι παραδοξότερον, ὅτι τὸ στεγόμενον ὑπ' ἐκείνου τοῦ ἀέρος, ἐπειδὰν ἐκρυῇ τοῦ νέφους, οὐκ ἔτι κατέχεται τῷ μετ' αὐτὸν ἀέρι καὶ στέγεται, ἀλλὰ διαρρεῖ πανταχόθεν καὶ εἰς τὴν γῆν φέρεται. καὶ μὴν εἰ κατὰ φύσιν ἐστέγετο τοῦτο, ἔδει καὶ ἐν τῷ ἀέρι στέγεσθαι. ὥσπερ γὰρ ἀσκὸν εἴ τις εἴασεν εἰς ἀέρα πεπληρωμένον ὕδατος, εἶτα ἐφέρετο ὑπὸ τοῦ ἀέρος, ἠνέχθη ἂν καὶ τὸ ἔνδον στεγόμενον ὕδωρ διαρρυὲν ἐκ τοῦ ἀσκοῦ, οὕτως ἀκόλουθον ἦν καὶ ἐνταῦθα γίνεσθαι. ἀλλ' ἐπειδὴ πάντα θαύματος γέμει καὶ παράδοξα τὰ γινόμενα, ὑπὲρ ἀκολουθίαν, ὑπὲρ λόγον ἅπαντα ταῦτα γίνεται. καὶ γὰρ τὸ στεγόμενον ἐν τῷ ἀέρι τῆς νεφέλης, οὐ στέγεται ἐν τῷ ἀέρι τῷ μετὰ ταῦτα. εἶδες τὸ παράδοξον, καὶ πῶς ὃ δοκεῖ τῶν ἄλλων εἶναι καταδεέστερον, τοῦτο θεὶς ἔδειξεν ὂν θαυμαστόν; εἶτα καὶ ἄλλο δείκνυσι θαυμαστὸν, ἐξ ἐσχάτων λέγων τῆς γῆς, ἢ ἀπ' ἄκρων τῆς γῆς. οὐ γὰρ δὴ μόνον ἀνίασιν, ἀλλὰ καὶ βαδίζουσιν· οὐδὲ ἔνθα ἂν φανῶσιν, ἐκεῖ καὶ τὸν ὑετὸν ἀφιᾶσιν, ἀλλὰ πολλὰ πολλάκις παραδραμόντα χωρία, ἀλλαχοῦ τὸν ὑετὸν ἐργάζονται, καὶ πόλεις καὶ ἔθνη παρελθοῦσαι. οὐ τοίνυν τοῦτο θαυμαστὸν μόνον ὅτι ἀνάγονται, ἀλλ' ὅτι καὶ βαδίζουσι, καθάπερ ἐν ὑπερῴοις, ὄγκον φέρουσαι τοσούτων ὑδάτων.

Ἰωβ. κϛ. η.

Παρ. ιμ. λ. δ.

Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Ὅρα παράδοξον ἕτερον πάλιν, καὶ ἐναντίας φύσεις συνιούσας. οὔτε γὰρ ἀστραπῆς τι πυρωδέστερον, οὔτε ὑδάτων ψυχρότερον· ἀλλ' ὅμως ἀναμίγνυνται αὗται, καὶ οὐ συγχέονται οὐδὲ κεράννυνται, ἀλλὰ τοὺς οἰκείους ἑκάστη διατηρεῖ ὅρους. μένον γὰρ τὸ πῦρ ἐν τῷ ὕδατι, καὶ τὸ ὕδωρ ἐν τῷ πυρὶ, οὔτε τοῦτο ἐκεῖνο ἀνεξήρανεν, οὔτε ἐκεῖνο τοῦτο κατέσβεσε. καίτοι ἡ ἀστραπὴ τοῦ ἡλιακοῦ πυρὸς ὀξύτερον, φανότερον, τομώτερον. καὶ μαρτυροῦσιν αἱ ὄψεις αὐτῶν ἀκτῖσι διηνεκῶς προσβάλλουσαι, ἐκείνης δὲ τὴν φορὰν οὐδὲ πρὸς βραχὺ δυνάμεναι ἐνεγκεῖν. καὶ ὁ μὲν ἥλιος διὰ πάσης ἡμέρας διατρέχει τὸν οὐρανὸν, αὕτη δὲ ἐν μιᾷ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν, καθάπερ καὶ ὁ Χριστὸς μαρτυρεῖ λέγων· Ὥσπερ ἡ ἀστραπὴ πορεύεται ἐξ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν.

Ματθ. κδ. κζ.

8 Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Αὕτη πάλιν ἑτέρα φύσις χρείαν οὐ μικρὰν ἡμῖν παρέχουσα, ἀλλὰ τοσαύτην, ὥστε εἰς τὸ πολὺ τῆς ζωῆς ἡμῖν συντελεῖν, καὶ κεκμηκότα ἀνακτᾶσθαι τὰ σώματα, καὶ καταψύχειν, καὶ τὸν ἀέρα κουφότερον ποιεῖν. οὗτο γὰρ ἔργον ἀνέμων, ἀναρριπίζειν τὸν ἀέρα, ὥστε μὴ ἀκίνητον ὄντα φθείρεσθαι, πεπαίνειν τοὺς καρποὺς, τρέφειν τὰ σώματα. Ἢ ἄν

τις

τίς εἴποι τὰς ἐν ναυτιλίᾳ χρείας αὐτῶν, ὅσον κέρδος καθ' οὓς τεταγμένως ἐφίσταται) καὶ παραχωροῦσιν ἀλλήλοις, χορεύοντες ἐν τῷ πελάγει καὶ τοὺς πλωτῆρας διαβιβάζοντες; ὁ μὲν γὰρ παρέπεμψεν, ὁ δὲ διεδέξατο· καὶ ἐναντίας ὁδεύουσιν ὁδοὺς καὶ διακινοῦνται, καὶ ἡ μάχη αὐτῶν τῷ βίῳ πάλιν γίνεται χρήσιμος· καὶ μυρία ἕτερα ἄν τις εἴποι τῶν ἀνέμων ἔργα. ἀλλ' ὅμως ταῦτα πάντα παραδραμὼν ὁ προφήτης, καὶ καταλιπὼν τῷ ἀκροατῇ ἀναλέγεσθαι, αὐτὸς μόνον τὴν εὐκολίαν τῆς δημιουργίας παρέστησε. Τὸ γὰρ εἰπεῖν, Ἐκ θησαυρῶν αὐτοῦ, οὐ τοῦτο δηλοῦντός ἐστιν, ὅτι θησαυροί τινες εἰσὶν ἀνέμων, ἀλλὰ τὸ εὔκολον τοῦ ἐπιστατοῦντος, τὸ ἕτοιμον τῆς κτίσεως, τὸ παρεσκευασμένον. ὥσπερ γὰρ ὁ ἐν θησαυρῷ ἔχων μετ' ἀδείας ἐξάγει πάντα, καὶ ὅτε βούλεται, οὕτω καὶ ὁ τοῦ παντὸς δημιουργὸς πάντα εὐκόλως ἐποίησε, καὶ τῇ φύσει παρέδωκεν. εἶδες πόση καὶ ἐν ἀέρι διαφορά, καθάπερ καὶ ἐν ὕδατι καὶ ἐν πυρὶ πολλαὶ ἐναλλαγαί; καὶ γὰρ τοῦ ὕδατος τὸ μέν ἐστι πηγαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ ἀέριον, τὸ δὲ ἐν νεφέλαις, τὸ δὲ οὐράνιον, τὸ δὲ ὑπεράνω τῶν οὐρανῶν, τὸ δὲ ὑπόγειον. καὶ ἐν τῷ πυρί, τὸ μέν ἐστιν ἐν ἡλίῳ, τὸ δὲ ἐν τῇ σελήνῃ, τὸ δέ ἐστιν ἐν ἄστροις, τὸ δὲ ἐν ταῖς ἀστραπαῖς, τὸ δὲ ἐν ἀέρι, τὸ δὲ ἀπὸ ξύλων τὸ περὶ ἡμᾶς, καὶ τὸ λυχνιαῖον, τὸ δὲ ἀπὸ γῆς (καὶ γάρ ἐστι πολλαχοῦ τοιοῦτον ἀπὸ γῆς ἀναδιδόμενον, ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων) τὸ δὲ ἐν λίθοις παρατριβομένοις, τὸ δὲ ἐν κόμαις δένδρων καὶ αὐτῶν παρατριβομένων, τὸ δὲ ἐν κεραυνοῖς. οὕτω δὴ καὶ ἐν ἀέρι, ὁ μέν τοί ἐστι παχύτερος ὁ περὶ ἡμᾶς, ὁ δὲ λεπτότερος, ὁ δὲ ἀνώτερος πάλιν πυρωδέστερος. καὶ τῶν ἀνέμων δὲ πολλαὶ αἱ διαφοραί. ὁ μὲν γὰρ λεπτότερος, ὁ δὲ παχύτερος· ὁ μὲν ψυχρότερος, ὁ δὲ ξηρότερος· ὁ μὲν ὑγρότερος, ὁ δὲ θερμότερος. ἀὴρ δὲ καὶ νέφος, τὸ μὲν σχολαιότερον, τὸ δὲ ταχύτερον χωρεῖ, καθάπερ ἐφ' ἵππων. οὕτω δὴ καὶ ἐπὶ νεφελῶν καὶ ἀνέμων· αἱ μὲν ἐοίκασιν ὑδροφόροις σκεύεσι, ποτὲ μὲν ὑδάτων ἐμπεπλησμέναι, ποτὲ δὲ κεναὶ φερόμεναι, αἱ δὲ ῥιπίσι. σὺ δὲ ταῦτα ὁρῶν καὶ τὴν διαφορὰν καὶ τὴν ποικιλίαν αὐτῶν, θαύμαζε τὸν δημιουργόν.

τὸ

Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου. Εἰπὼν τὰ καθόλου, καὶ δείξας τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν ἀστραπῶν, διὰ τῶν ἀνέμων, διὰ τῶν ἀέρων, διὰ τῶν νεφελῶν, διὰ τῶν ὑετῶν, ἐλέγξας τε τὴν ληρῳδίαν τῶν μέχρι σελήνης τὴν πρόνοιαν λεγόντων εἶναι, ἐπὶ τὸ μερικὸν ἔρχεται τὸ περὶ Ἰουδαίους μέρος. ὅτι μὲν γὰρ γῆ καὶ οὐρανὸς καὶ τὰ ὁρώμενα πάντα τῆς αὐτοῦ φιλανθρωπίας ἀπολαύει, ἔδειξε διὰ τῶν εἰρημένων· ἵνα δὲ εὐγνωμονεστέρους Ἰουδαίους ἐργάσηται, καὶ τὰ μερικὰ διηγεῖται, δεικνὺς ὅτι ὁ καθόλου Θεὸς καὶ τῶν ἁπάντων προνοῶν, ἰδικὰς αὐτοῖς τινας εὐεργεσίας εἰργάζετο. καίτοι καὶ τὰ εἰς ἐκείνους γινόμενα, καθολικὰ πάλιν ἦν. τότε γὰρ ἐκ τῶν ἄλλων αὐτοὺς ἐξειλέχθαι, παραζηλοῦν ἐκείνους ἐποίει. ὅπερ καὶ ὁ Παῦλος δεικνύς, λέγει· Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. Ro. 11. 11. καὶ γὰρ ὥσπερ πατὴρ ἐπὶ παίδων ἀφισταμένων αὐτοῦ, λαβὼν ἕνα ἐξ αὐτῶν, ἐπὶ τῶν γονάτων καθίζει, οὐ δι' ἐκεῖνο τοῦτο ποιεῖ, ἀλλὰ πολλῷ μᾶλλον διὰ τὰ ἄλλα, ὥστε δηχθέντα αὐτὰ τῇ τιμῇ προσδραμεῖν πρὸς τὸν πατέρα τῆς αὐτῆς ἀπολαύσαντα θεραπείας, οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν Ἰουδαίων ἐποίησε. λαβὼν γὰρ αὐτούς, οὐκ ἐπὶ τῶν γονάτων, ἀλλ' ἐπὶ τῶν βραχιόνων (καθάπερ ὁ προφήτης φησί, καὶ ἐπὶ τῶν μεταφρένων ἀνέλαβεν αὐτούς) Osee 11. d. χαρίζεται τὰ ἐκείνοις ποθεινά, ναόν, θυσίας, ἃ μάλιστα ἐζήτουν μετὰ πλείονος τῆς ἀκριβείας, προστασίας τὰς ἐν πολέμοις, νίκας, τρόπαια, τὴν ἀπὸ τῆς γῆς εὐθηνίαν, τὴν τῆς φύσεως εὐετηρίαν, τούτοις τε τούτους καλλωπίζων, καὶ τοὺς ἄλλους εἰς ζῆλον ἄγων. ἀλλ' ἐπειδὴ ἔμελλον φαῦλοι γίνεσθαι διὰ παντὸς κολακευόμενοι, καὶ διὰ τῶν τιμωριῶν αὐτοὺς ῥυθμίζει. πολλὴ γὰρ ἡ τοῦ Θεοῦ σοφία, καὶ ἐξ ἀμηχάνων εὑρίσκει πόρους.

παιδίων
χιόνων,

πόρευσις. καὶ ὅρα προφήτου σύνεσιν· ἀπὸ τῶν καθόλου εἰς ταῦτα τὸν λόγον ἐξήγαγεν, ἵνα μή τις τῶν ἀνοήτων μερικὸν νομίσῃ τὸν Θεὸν εἶναι, ὅτε ἐπὶ τὰ καθόλου ἦλθε, τότε τῶν ἅπτεται τῶν λόγων, καί φησιν· ὡς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου. ἆρα οὐ δοκεῖ μᾶλλον ὑμῖν διὰ τοὺς Ἰουδαίους γεγενῆσθαι ταῦτα; ἂν τοίνυν δείξω ὅτι καὶ δι' ἑτέρους ταῦτα ἐγένετο, τί ἐροῦσιν οἱ μὴ καθόλου τοῦ Θεοῦ τὴν πρόνοιαν λέγοντες; πῶς οὖν ἔστι δεῖξαι;

Ἐξοδ. θ. ιζ.
Ῥω. θ. ιζ.

μάλιστα μὲν γὰρ ἀρκεῖ ἡ τοῦ Θεοῦ ἀπόφασις σαφῶς αὐτὸ δηλοῦσα καὶ λέγουσα· Ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. εἶδες εὐαγγέλιον τὸν θάνατον γενόμενον, καὶ κήρυγμα τὴν θεήλατον πληγὴν ἐκείνην, πανταχοῦ περιιοῦσαν καὶ ἀνακηρύττουσαν τοῦ Θεοῦ τὴν δύναμιν; προνοεῖ τοίνυν τῆς οἰκουμένης ἁπάσης, καὶ ἡνίκα τὰ Ἰουδαίων διῴκει. καίτοιγε ἐγνώρισε τὴν δύναμιν αὐτοῦ καὶ πάλαι, οἷον, ἐπὶ τοῦ Ἰωσήφ, ἐπὶ τοῦ Ἀβραάμ· ἀλλ' ὅμως νῦν σαφέστερον. πῶς; τότε μὲν δι' εὐεργεσίας, ὕστερον δὲ καὶ διὰ πληγῆς, καὶ οὐ διαλιμπάνει, ὃ καὶ πολλάκις ἔφθην εἰπών, συνεχῶς καὶ καθ' ἑκάστην γενεὰν ἀναδεικνὺς ἑαυτὸν διὰ τῶν πραγμάτων καὶ γνωρίζων· οὐχ ὁμοίως δὲ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ ποικίλως καὶ διαφόρως. τότε μὲν γὰρ διὰ τῆς γυναικὸς τοῦ Ἀβραὰμ πηρώσας τὰς ὠδῖνας τῆς φύσεως, ὕστερον δὲ διὰ λιμοῦ καὶ δι' εὐετηρίας, μετὰ δὲ ταῦτα διὰ τῶν πληγῶν τῶν ἐπαλλήλων. ἐπειδὴ "γὰρ [illegible] τοῦ Θεοῦ κατεψηφίζοντο καὶ ἀνεῖλον αὐτοῦ τὰ πρωτότοκα καὶ τὸν ποταμὸν ἐφοίνιξαν," δείκνυσι μὲν αὐτοῖς καὶ πρὸς αὐτὸν τὸν καιρὸν δι' ἀμυδροτέρων αὐτοῦ τὴν ἰσχύν. αἱ γὰρ μαῖαι τῶν Αἰγυπτίων καταφρονήσασαι τῶν ἐπιταγμάτων τῶν ὠμῶν ἐκείνων, καὶ παραλογισάμεναι τὸ ἀπηνὲς τοῦ βασιλέως δόγμα, πολλῆς ἀπέλαυσαν τῆς εὐετηρίας. ταῦτα δὲ ἀμφότερα τῆς τοῦ Θεοῦ προνοίας ἦν, τό, τε [γὰρ] γυναῖκας ἀνδρειοτέρας ἀποφῆναι τῶν τὰ διαδήματα φορούντων, τό, τε ἀμοιβὰς ταύταις ἀποδιδόναι, καὶ εἰς πλῆθος αὐτὰς ἐκτεῖναι πολύ.

γ. [illegible]
γ. [illegible]

Ἐξοδ. α. κ.

τὸ γάρ, "ἐποίησαν ἑαυταῖς οἰκίας, τοῦτό ἐστιν, ἐξετάθη αὐτῶν ἡ συγγένεια. δι' ὧν γὰρ εὐηργέτουν τοὺς Ἰουδαίους, διὰ τούτων ἐλάμβανον παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς.

γ. δὲ τοῦτο ταῖς μαίαις [illegible] τὸ ἔθνος,

ἐπειδὴ τοίνυν οὐκ ἀνῄρουν τὰ τέκνα, καὶ αὐταῖς πολυπαιδίας ὁ Θεὸς ἐχαρίσατο. ἐπειδὴ δὲ ἔμενον ἀναισθήτως διακείμενοι, ὀξυτέραν ἐπήγαγε τὴν πληγήν· καὶ ἐμάνθανε μὲν ἡ οἰκουμένη, ἐμάνθανον δὲ καὶ οἱ Αἰγύπτιοι. ἀλλ' ἐκεῖνοι μὲν ἐξ ἀκοῆς, οὗτοι δὲ ἐν τοῖς οἰκείοις πάθεσι, καὶ ὄψει καὶ πείρᾳ τοῦ Θεοῦ τὴν δύναμιν ἑώρων. διὰ γὰρ τοῦτο καὶ προελέγετο αὐτοῖς, ἵνα μὴ συντυχίας τινὸς εἶναι νομισθείη ἡ πληγὴ καὶ αὐτομάτου θανάτου. ὅπερ οὖν ἀλλαχοῦ εἴρηται περὶ τοῦ σωτῆρος, τοῦτο καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. ποῖον δὴ τοῦτο;

Ψαλ. ρθ. γ.

Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. οὐ γὰρ εἰς ἔρημον αὐτοὺς ἐξαγαγών, οὐδὲ ἀλλαχοῦ που, ἀλλ' ἐν αὐτῇ τῇ πόλει τὴν πληγὴν ἐπήγαγε. καὶ ὅρα καὶ ἐν τῇ πληγῇ τὴν φιλανθρωπίαν. ἀπὸ τῶν κτηνῶν ἤρξατο πρότερον, καὶ τότε ἐπὶ τοὺς ἀνθρώπους ἐχώρησε*.

ῥ ἐκπηγῆ

τίς οὖν οὐκ ἂν ἀγάσαιτο τὴν δύναμιν, καὶ πῶς ἅπαντας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκε, τὴν φειδώ, τὴν σοφίαν τὴν ἀπόρρητον; οὔτε γὰρ πρώτην ταύτην ἐπήγαγε πληγήν, δι' ἑτέρων αὐτοὺς διορθῶσαι βουλόμενος· οὔτε, ἐπειδὴ ἐπήγαγε, χωρὶς προρρήσεως ἐπήγαγε. τί δήποτε; ἵνα τοῖς ῥήμασιν αὐτοὺς σωφρονίσῃ καὶ μὴ ἔλθωσιν εἰς πεῖραν τῶν πραγμάτων. οὔτε πάλιν, ἐπειδὴ οὐ διωρθώθησαν, ἀφῆκεν ἀμφίβολον γενέσθαι τὴν πληγήν. ἵνα γὰρ μή τις αὐτόματον αὐτὴν νομίσῃ, ἢ νόσον ἢ λοιμὸν αὐτὴν ἐπιοῦσαι, ὅρα πόσα γίνεται· πρῶτον, ὅτι ἐν μιᾷ νυκτὶ πάντες. δεύτερον, ὅτι τὰ πρωτότοκα πάντα. εἰ γὰρ λοιμὸς ἦν, οὐκ ἂν τῶν πρωτοτόκων πάντων μόνον ἥψατο, καὶ τῶν δευτέρων ἐφείσατο, ἀλλ' ἀδιακρίτως ἂν ἐπὶ πάντας ἦλθε. τρίτον, ὅτι εἰ λοιμὸς ἦν, οὐκ ἂν τῶν Ἰουδαίων ἀπέσχετο καθόλου, καὶ τῶν Αἰγυπτίων ἥψατο μόνον, ἀλλ' ἐκείνοις πολλῷ πλέον ἂν κατειργάσατο τὰ σώματα, τὰ πόνῳ καὶ ταλαιπωρίᾳ καὶ τοσούτοις κατειργασμένα κακοῖς, τὰ ἐν πενίᾳ καὶ λιμῷ ἐπὶ τοσοῦτον ταριχευθέντα, οὐχὶ τὰ βασιλικὰ, οὐδὲ τὰ ἐν ἀξιώμασι, τὰ πολλῆς ἀπολαύοντα ἀδείας καὶ πολλῆς μετέχοντα τῆς θεραπείας. Εἰ λοιμὸς ἦν, οὐκ ἂν ἀθρόον ἐπῆλθεν, ἀλλὰ πάντα τὰ προοίμια ἐπιδεικνύμενος τῆς ἐλεύσεως προέτρεχε. νυνὶ δὲ ὁμοῦ ταῦτα γέγονεν, ἵνα ἐλέγχηται τῶν Αἰγυπτίων ἡ ἀγνωμοσύνη. καὶ γὰρ μετὰ τὴν πληγὴν ταύτην, καὶ τὸ σαφῶς μαθεῖν ὅτι θεήλατος ἦν ἡ πληγὴ, ἀπελθόντες κατεδίωκον τοὺς Ἰουδαίους, ὅπερ τῆς ἐσχάτης ἦν αὐτῶν ἀγνωμοσύνης σημεῖον, καὶ ὑπὲρ τοῦ Θεοῦ μεγίστη ἀπολογία. ἐπειδὴ γὰρ ἔμελλε παύεσθαι τὰ σημεῖα, ἐν τοιούτῳ αὐτὰ σημείῳ ἔπαυσεν, ἐν ᾧ καὶ περὶ τῶν ἔμπροσθεν ἀπελογήσατο τοῖς βουλομένοις προσέχειν. ἵνα γὰρ μή τις λέγῃ, τί δήποτε πάντες κολάζονται, τοῦ βασιλέως κατέχοντος τοὺς Ἰουδαίους καὶ διαμαρτάνοντος; διὰ τοῦ ἐσχάτου λύει τὴν ἀπορίαν ταύτην. πῶς διὰ τοῦ ἐσχάτου; ὅτι ἡνίκα τὰ πρωτότοκα αὐτῶν ἐπλήγη, καὶ ἄκοντες τοῦ βασιλέως τοὺς Ἰουδαίους ἐξέβαλον. ὥστε εἰ καὶ ἐκ προοιμίων ἐβούλοντο, ἴσχυσαν ἂν περιγενέσθαι ἐκείνου. οὐκ ἄρα παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι οὐκ ἐκράτουν τοῦ βασιλέως. καὶ ἡ δίωξις δὲ ἡ μετὰ ταῦτα, κατηγορίας ἐπίτασις. τοῦτο δὴ καὶ ἐπὶ τοῦ Σαοὺλ συνέβη. ὅτε μὲν γὰρ ἔδει τὸν υἱὸν ἐξελέσθαι, πάντες κοινῇ κολακεύοντες τὸν βασιλέα, καὶ παρανομήσαντα ἐξείλοντο· ὅτε δὲ ἱερέας ″ ἐβούλετο σφάξαι τοσούτους, οὐδὲ φωνὴν ἔρρηξαν, οὐδὲ παρέστησαν. Εἰ δὲ τότε τὴν φύσιν εἶχον συμπαρέπλευσαν, ἀλλὰ καὶ ἐνταῦθα τοῦ δικαίου τὴν φύσιν. ἱερεῖς γὰρ ἦσαν, καὶ ἡ σφαγὴ παράνομος, θυμοῦ ἢ κρίσεως ὀρθῆς οὖσα. ἀλλ' αἴτιον ἦν ἡ ῥᾳθυμία, καὶ τὸ μὴ σφόδρα ἀλγεῖν ὑπὲρ τῶν ἱερέων. ὅρα γοῦν διὰ αὐτοὺς μετὰ ταῦτα κατελάμβανε κακά. τῆς γὰρ ὀλιγωρίας ἐκείνης οὐ τὴν τυχοῦσαν ἔτισαν δίκην. ὅταν οὖν τι παράνομον γίνηται, μηδεὶς ἔστω νωθὴς, ἀλλὰ πυρὸς θερμότερος, καὶ τῶν ἀδικουμένων μὴ ἔλαττον ἀλγείτω, καὶ οὕτω τὰ πλείονα στήσεται τῶν κακῶν. ἀπὸ ἀνθρώπου ἕως κτήνους. τί δήποτε καὶ τὰ κτήνη; ἐπειδὴ δι' ἀνθρώπους ταῦτα ἐγένετο, δι' ἄνθρωπον καὶ κολάζει αὐτὰ, ὥστε αὐξῆσαι τὸν φόβον, ὥστε ἐπιτεῖναι τὴν συμφορὰν, ὥστε δεῖξαι θεήλατον οὖσαν τὴν πληγὴν, καὶ ἐκ τῶν οὐρανῶν τὸν πόλεμον ἥκοντα.

είλαντο

α. Βασ. ιδ. μς.

α. Βασ. κβ. ιζ.

9 Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε.

Τί ἐστι τὸ, ἐν μέσῳ σου; ἢ τὸν τόπον φησὶν, ἢ τὸ φανερῶς. τὸ γὰρ ἐν μέσῳ, πανταχοῦ τὸ φανερῶς δηλοῖ· ὡς ὅταν λέγῃ, Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς· ἐπειδὴ τὸ μέσον ἅπασι κατάδηλον. ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε· εἰκότως. πρὸς γὰρ διόρθωσιν τὰ γινόμενα ἐγίνετο, καὶ πρὸς ἐπίδειξιν τῶν ὀφειλόντων κερδαίνειν. οὐ γὰρ ἁπλῶς συνέβαινεν, ἀλλὰ μετὰ πολλῆς τῆς παραδοξοποιΐας· ὥστε καὶ τὸ πλῆθος, καὶ τὸ παραδόξως, διπλῆν ἐποίει τὴν ὠφέλειαν.

Ψαλμ. ογ. ιβ.

Ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Εἶδες τὴν δύναμιν τὴν ἄφατον, πῶς ὁμοῦ πάντων ὄντων τούτοις ἐπεγίνωσκεν ἡ τιμωρία, καὶ ἔπασχον μὲν ἐκεῖνοι, ἐκέρδαινον δὲ ἕτεροι; πῶς δέ φησιν ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ; καίτοιγε οὐ πάντες εἶχον πρωτότοκα· ἀλλὰ περὶ τῶν ἄλλων σημείων λέγει. καὶ ἐν μὲν Αἰγύπτῳ πληττομένων τούτων, ἐκέρδαινον Ἰουδαῖοι· ἐν δὲ τῇ ἐρήμῳ εὐεργετουμένων Ἰουδαίων, ὠφελοῦντο ἕτεροι. καὶ τὰς μὲν πληγὰς τοῖς πολεμίοις ἐπῆγε, τὰς δὲ εὐεργεσίας τούτοις, δι' ἑκατέρων πάντας ὠφελῶν. καὶ τίνος ἕνεκεν οὐκ εὐεργετεῖ καὶ τούτους; ὅτι εἰώθασιν οἱ πλείους τῶν ἀνθρώπων, πληττόμενοι μᾶλλον, ἢ εὐεργετούμενοι τὸν Θεὸν ἐπιγινώσκειν. ἐπεὶ ὅτι αὐτοὺς οὐκ ἐβούλετο κολάζειν, ὅρα αὐτὸν συνεχῶς ἀνέχοντα τὰς πληγὰς, καὶ δι' ἑκατέρων δεικνύντα αὐτοῦ καὶ τὴν δύναμιν καὶ τὴν φιλανθρωπίαν. καίτοιγε ἤρκει μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην ὡς ἀνίατα νοσοῦντας ἀπολέσαι πάντη, ἀλλ' οὐκ ἐβούλετο. ἀλλὰ καίτοι τὰ μέλλοντα προειδὼς, καὶ ὅτι οὐδὲ πέμπτη οὐδὲ ἕκτη οὐδὲ δεκάτη γενήσονται βελτίους, τὰ αὐτοῦ ποιῶν οὐ παύεται. ὅθεν μάλιστα καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τὴν κηδεμονίαν, καὶ τὴν σοφίαν, καὶ τὴν ἀγαθότητα ἐστὶ θαυμάσαι· τὴν δύναμιν, ὅτι ἔπληξε· τὴν κηδεμονίαν, ὅτι ἀνέσχε· τὴν σοφίαν, ὅτι εἰδὼς τὰ μέλλοντα τὸ αὐτοῦ ποιεῖ. ὃ μάλιστα καὶ αὐτὸ φιλανθρωπίας ἐστὶ, τὸ ἀπὸ τῶν μακροτέρων ἄρχεσθαι, τὸ ἀπὸ τῶν ἀλογωτέρων· προϊὼν δὲ, καὶ τοῦ βασιλέως ἥπτετο, ὃ καὶ μάλιστα ἐκκηρυχθῆναι ἐποίει τὰ συμβαίνοντα. τὰ μὲν γὰρ ἐπὶ τῶν ἰδιωτῶν γινόμενα εἰκὸς καὶ λαθεῖν· ὅταν δὲ ὁ δεχόμενος τὴν πληγὴν περιφανὴς ᾖ, τὸ κωλῦον οὐδὲν πανταχοῦ τὰ πράγματα ἐξηχηθῆναι. εἰπὼν τοίνυν τὴν αἰτίαν δι' ἣν ἐπάταξε, λέγει καὶ τὰς πληγὰς, καὶ οὐδὲ ταύτας καταλέγει πολλάκις, οὐδὲ κατ' εἶδος, ἀλλ' ἑνὶ ῥήματι πάσας αὐτὰς αἰνιξάμενος παρέδραμε τῷ εἰπεῖν· ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε. εἶτα πάλιν ἐξ Αἰγύπτου τὸν λαὸν ἐξάγει εἰς τὴν ἔρημον, πανταχοῦ δεικνὺς ὅτι οὐ μερικῶς ὁ Θεὸς οὐδὲ εἰς μίαν χώραν κρατεῖ, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης· διὸ ἐπήγαγε λέγων·

10 Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Διὰ πάσης τῆς ὁδοῦ ἐνέχυρα ποικίλως τῆς δυνάμεως αὐτοῦ διδοὺς, καὶ ἐν τῷ διδάσκειν αὐτοὺς διὰ τῶν πραγμάτων στρατηγῶν. καὶ γὰρ διὰ τῶν πολέμων καὶ τὰ πρότερα ἐδίδασκεν, ὅτι οὐκ ἀέρος φύσις, οὐ στοιχείων δύναμις, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ἡ στρατηγοῦσα αὐτῶν ἐπολέμει χείρ. καὶ δι' ἑκατέρων ἑκάτερα ἐδείκνυτο, διὰ τῶν ἐν Αἰγύπτῳ τὰ ἐν τῇ ἐρήμῳ, καὶ διὰ τῶν ἐν τῇ ἐρήμῳ τὰ ἐν Αἰγύπτῳ. ὅτε γὰρ αὐτοὶ χωρὶς ὅπλων καὶ παρατάξεως καὶ μάχης ἔβαλλον τοὺς πολεμίους, δῆλον αὐτοῖς ἐποίει, ὅτι καὶ ἐν Αἰγύπτῳ οὐ στοιχείων δεόμενος ταῦτα ἐκίνησε κατ' αὐτῶν, ἀλλὰ ποικίλως καὶ διαφόρως τὴν ἑαυτοῦ δύναμιν ἐνδείξασθαι θέλων τοῖς οὖσιν εἰς ταῦτα ἐκέχρητο.

11 Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν.

Οὐκ ἔπεισι τὰς πόλεις, οὐδὲ κατὰ μικρὸν λέγει τὴν παράταξιν, ἀλλὰ πάλιν μεγαλοψύχως παρατρέχει μυρίας νιφάδας θαυμάτων. δυνάμενος γὰρ ἐνδιατεῖναι, καὶ τὴν τραγῳδίαν ἐκείνην ἐξογκῶσαι, τοῦτο οὐ ποιεῖ. ἀλλὰ καὶ ἐν πλήθει ὢν καὶ περιουσίᾳ τῶν ἔργων τοῦ Θεοῦ, ἐκ παραδρομῆς ἅπαντα ἔπεισι. καίτοιγε οἱ μὲν ὡπλισμένοι ἦσαν, καὶ τειχήρεις πόλεις οἰκοῦντες, καὶ τὰ τακτικὰ μεμελετηκότες, οἱ δὲ φυγάδες καὶ πολέμων ἄπειροι, δουλείας μακρᾶς ἀπηλλαγμένοι καὶ τυραννίδος χρονίας, λιμῷ ἀναλωθέντες καὶ τιμωρίᾳ, πᾶσι προκείμενοι πρὸς τὸ κακῶς πάσχειν· ἀλλὰ πάντων ἦσαν δυνατώτεροι διὰ τὴν στρατηγοῦσαν αὐτῶν χεῖρα. εἶχε δὲ καὶ τὸ δίκαιον ὁ πόλεμος. οὐ γὰρ αὐτοὶ ἐπήεσαν, ἀλλ' ἐκείνων τὰς αἰτίας παρεχόντων, ἀποτειχιζόντων αὐτοῖς τὴν ὁδόν· ὅπερ ἐσχάτης ἀπανθρωπίας ἦν. τούς τε Ἰδουμαίους οὐκ ἀφῆκεν εἰς πόλεμον εἰσελθεῖν. ἵνα γὰρ μὴ τῇ σιγῇ θαῤῥοῦντες μετὰ ταῦτα πάλιν ἐπίωσιν, ἀλλ' εἰδῶσι τίσι μὲν πολεμεῖν, τίνων δὲ φείδεσθαι χρὴ, ἐν τῇ ἐρήμῳ τοῦτο ποιεῖ, διὰ τῶν πραγμάτων νόμον αὐτοῖς τιθεὶς, πῶς δεῖ κεχρῆσθαι τοῖς ἀπαντῶσι. Καὶ πάσας τὰς βασιλείας Χαναάν.

Εἶδες τὴν οἰκουμένην ἅπασαν ἐντεῦθεν παιδευομένην. καθάπερ γὰρ πῦρ ἀκάνθαις, οὕτως ἐπήεσαν ἅπασι, καὶ οὐδεὶς αὐτοὺς φέρειν ἐδύνατο. ἄκουε γοῦν τί φησιν ὁ Βαλαάμ, οὐκ ἀπὸ τῶν προφητῶν, οὐκ ἀπὸ τῶν Μωϋσέως μαθὼν, ἀλλ' ἀπὸ τῶν πραγμάτων·
Ἀριθμ. κβ. δ. Τὸ ἔθνος τοῦτο ἐστὶ τὸ ἐκλεῖχον πᾶσαν τὴν γῆν. Εἶδες τὴν μεταφορὰν κυρίως εἰρημένην; οὐκ εἶπε τὸ πολεμοῦν, τὸ καταβάλλον, ἀλλὰ τὸ ἐκλεῖχον, τὸ ἀπαντι

τῆς νίκης παραστῆσαι βουλόμενος, καὶ τὰ ἀναιμωτὶ γινόμενα τρόπαια, καὶ τὸ ἐξ ἐπιδρομῆς κρατῆσαι. Οὐδὲ παρατάξεως δέονται, φησὶ, καὶ συμβολῆς, ἀλλ' ἀρκεῖ μόνον ἐπελθεῖν, καὶ ἅπαντα ἐξίσταται καὶ παραχωρεῖ. Οὐ γὰρ δὴ μόνον νόμῳ πολέμου καὶ παρατάξεως κρατεῖν αὐτοὺς ἐποίει, ἵνα μή τις αὐτοῖς λογίζηται τὰ γινόμενα, ἀλλὰ τὰ στοιχεῖα τῆς οἰκουμένης* κατ' αὐτῶν ἐκίνει. Διὸ καὶ προκατέβαλεν αὐτῶν τὰς διανοίας, καὶ χάλαζα κατενεχθεῖσα πολλοὺς ἀπώλεσε, καὶ ἥλιος ἔστη καὶ τῷ πολέμῳ μῆκος ἔδωκε· καὶ πολλὰ παράδοξα τοιαῦτα ἐγίνετο, καὶ ἠχὴ ''σάλπιγγος πυρὸς σφοδρότερον τοῖς πύργοις προσβάλλουσα τὰ τείχη κατήνεγκε. Τοῦτο δὲ ἑκατέρους ὠφέλει. Ἐκεῖνοί τε γὰρ ἐμάνθανον ὡς οὐ παρὰ ἀνθρώπων ἐστὶν ὁ πόλεμος· καὶ οὗτοι ἐπαιδεύοντο πρὸς τὸν Θεὸν βλέπειν, καὶ μηδέποτε ἐπὶ τοῖς κατορθώμασι μεγαλοφρονεῖν, ἀλλὰ καὶ καλλωπίζεσθαι καὶ μετριάζειν. Τοῦ γὰρ κρατῆσαι τὸ οὕτω κρατῆσαι μᾶλλον αὐτοὺς ἐκόσμει· ὅπερ καὶ σεμνοὺς ἐποίει, καὶ μετριάζειν ἐδίδασκε· σεμνοὺς μὲν, ὅτι τοιοῦτον εἶχον στρατηγόν· μετριάζειν δὲ, ὅτι οὐκ οἰκείοις ἐφυσῶντο κατορθώμασι.

* πολλάκις

'' σαλπίγγων

12 Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ.

Καὶ τοῦτο μέγιστον θαῦμα, τὸ μὴ μόνον ἐκβάλλειν, ἀλλὰ καὶ δυνηθῆναι κατασχεῖν τὴν γῆν καὶ πόλεις νείμασθαι, ὃ καὶ πολλὴν περιεῖχεν αὐτοῖς τὴν ἡδονὴν, πολὺν τὸν κόσμον, πολλὴν τὴν φαιδρότητα. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. Οὐ γὰρ μικρὸν κατασχεῖν πολεμίων χώραν, ἀλλὰ πολλῆς καὶ ἐνταῦθα χρεία ῥοπῆς.

13 Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Ἄλλος, Ἡ ἀνάμνησίς σου. Ἐνταῦθα τῇ δοξολογίᾳ τὸ συνεχὲς διακόπτει τοῦ λόγου, ὅπερ τοῖς ἁγίοις ποιεῖν ἔθος ἀεί. Ἐπειδὰν γὰρ ἀρξάμενοί τι λέγειν τῶν τοῦ Θεοῦ θαυμάτων πυρωθῶσιν, οὐ πρότερον ἐπὶ τὸ τέλος ἔρχονται, ἕως ἂν ὑπὲρ τῶν εἰρημένων δοξάσωσι τὸν Θεὸν, καὶ εὐφημήσωσι, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσωσι τὴν ἑαυτῶν· ὃ καὶ ὁ Παῦλος πανταχοῦ μὲν ποιεῖ, ἐν προοιμίοις δὲ μάλιστα τῶν ἐπιστολῶν· ὡς ὅταν λέγῃ ταῖς ἐκκλησίαις τῆς Γαλατίας· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ ἐν τῇ πρὸς Ῥωμαίους, Ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ λατρεία καὶ ἡ ἐπαγγελία, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ πάλιν ἀλλαχοῦ, Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. Οὕτω δὴ καὶ ὁ προφήτης ἐνταῦθα ἐννοήσας τὴν πρόνοιαν τὴν καθόλου, τὴν ἐν Αἰγύπτῳ πληγὴν, τὰς ἐπὶ τῆς ἐρήμου γενομένας εὐεργεσίας τὰς ποικίλας καὶ διαφόρους, τὰς εἰς Ἰουδαίους, τὰς ὑπὲρ ἐκείνων εἰς τοὺς πολεμίους, καὶ πυρωθεὶς ὑπὲρ τῆς ἀφάτου φιλανθρωπίας, δοξολογίαν ἀνήνεγκε λέγων· Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν· τουτέστιν, ἡ δόξα σου διηνεκής. Οὐδὲν γὰρ αὐτὴν λυμαίνεται, οὐδὲν αὐτὴν διακόπτει, ἀλλ' ἔστιν ἀεὶ, καὶ μένει ἄτρεπτος, ἀμετάβλητος, ἀνθοῦσα, ἀκμάζουσα. Τί δέ ἐστι, τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν; ἡ μνήμη, φησὶν, ἡ περὶ σοῦ, ἀτελεύτητος καὶ πέρας οὐκ ἔχουσα.

Γαλα. α.

Ρω. θ.

α. Τιμο. α.

14 Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Ἢ ἀμφότερα ταῦτα περὶ τοῦ λαοῦ ἐστιν εἰπεῖν, ὅτι δίκην ἀπαιτήσει, καὶ μετὰ ταῦτα παύσεται καὶ ἀνακλήσεται αὐτούς· ἢ διελόντας, τὸ μὲν παρακληθήσεται περὶ τοῦ λαοῦ, τὸ δὲ κρινεῖ περὶ τῶν πολεμίων· τουτέστι, τοὺς μὲν ἀνακλήσεται (τοῦτο γάρ ἐστι τὸ, παρακληθήσεται) κρινεῖ δὲ τοὺς πολεμίους, τουτέστι, δίκην ἀπαιτήσει ὑπὲρ αὐτῶν. Εἶτα ἐπειδὴ οὐκ εἶχεν ἀπὸ βίου κατορθώματα αὐτῶν εἰπεῖν, τοῖς δικαιώμασι τούτοις κέχρηται, τῷ ὀνόματι τοῦ λαοῦ, καὶ τῷ ὀνόματι τῶν δούλων. Εἰπὼν δὲ, παρακληθήσεται, δείκνυσι τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν καταλλαγὴν, οὐ τῶν ἐκείνων ἀξίας. ὅπου γὰρ παράκλησις, συγγνώμης χρεία· ὅπου δὲ συγγνώμης χρεία, οὐκ ἀξία κατορθωμάτων, ἀλλὰ φιλανθρωπίας καιρός. ἐπειδὴ τοίνυν εἶπεν ἀνωτέρω, τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεὰν, μόνοι δὲ τῶν ἄλλων ἐθνῶν αὐτοὶ Θεὸν ἐπεγράφοντο τότε, τοιοῦτόν τι αἰνίττεται διὰ τούτου, καὶ λέγει ὅτι ἡ σωτηρία ἡ ἐπὶ τὸν λαὸν, τὴν δόξαν τὴν παρὰ τοῖς πολλοῖς περὶ σοῦ οὖσαν δείκνυσιν. ἡ μὲν γὰρ φύσει προσοῦσα αὐτῷ δόξα, κἂν μηδεὶς ὁ θεραπεύων ᾖ, μένει ἀμείωτος, ἀκατάλυτος, ἀναλλοίωτος· ἡ δὲ παρὰ πολλοῖς εὐφημία καὶ ἀπὸ τῆς ἡμετέρας σωτηρίας αὐξηθήσεται, ἀπολαβόντων ἡμῶν τὴν πόλιν καὶ τὸ ἱερὸν καὶ τὸν ναὸν, καὶ ἐπὶ τῆς προτέρας γενομένων πολιτείας πάλιν.

15 Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

Ἐπειδὴ ἀρχόμενος ἔλεγεν, ὁ δὲ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεοὺς, καὶ ἔδοξέ τινα κατὰ σύγκρισιν ὑπεροχὴν εἰσάγειν διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, ὅρα τοῦτο πῶς ἐπιτείνει τῷ λόγῳ. ἀρξάμενος γὰρ ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ εἰπὼν τὰ ἐν τῷ οὐρανῷ, τὰ ἐν τῇ γῇ, τὰ ἐν ταῖς ἀβύσσοις, τὰ εἰς Ἰουδαίους, τὰ ἐπὶ τῆς οἰκείας, τὰ ἐπὶ τῆς ἀλλοτρίας, τὰ ἐπὶ τῶν ἐθνῶν, εἶτα ἀναμνήσας τὴν χρηστότητα, τὴν φιλανθρωπίαν, τὴν κηδεμονίαν, τὴν σοφίαν, τὴν δύναμιν, καὶ δείξας καθόλου Θεὸν ὄντα, καὶ τῆς οἰκουμένης προνοοῦντα, κωμῳδεῖ λοιπὸν καὶ τῶν εἰδωλικῶν θεῶν τὴν ἀσθένειαν· καὶ εὐθέως ἀπὸ τῆς φύσεως αὐτῆς καταφορικῶς κέχρηται τῷ λόγῳ, μᾶλλον δὲ καὶ τὸ ὄνομα αὐτῶν εἰς κατηγορίαν παράγει. τὸ γὰρ εἴδωλον, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀδρανές τι καὶ εὐτελὲς καὶ ἀσθενείας ὄνομα ἐπιτεταμένης. διόπερ ἐντεῦθεν ἄρχεται λέγων, τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον· πρῶτον ὅτι εἴδωλον· δεύτερον ὅτι ἄψυχος ὕλη καὶ κωφή· τρίτον ὅτι αὐτῷ τῷ εἴδωλα εἶναι, οὐ μόνον παρ' ἑαυτῶν ἔχουσι τὸ μικρὸν καὶ ἀσθενὲς καὶ εὐτελὲς, ἀλλὰ καὶ παρὰ τῶν ἀνθρώπων. διὸ καὶ ἐπήγαγεν, ἔργα χειρῶν ἀνθρώπων· ὅπερ μεγίστη κατηγορία τῶν θεραπευόντων αὐτοὺς, ὅτι καὶ αὐτοῦ τοῦ εἶναι αὐτὰ αὐτοὶ ὄντες αἴτιοι, ἐν αὐτοῖς τῆς σωτηρίας τὰς ἐλπίδας ἔχουσι.

16 Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται,

17 Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται· οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. 18 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Στόμα, φησὶν, ἔχουσι καὶ οὐ λαλήσουσιν. εἶδες πῶς ἐπιτείνει τὴν κωμῳδίαν καὶ διελέγχει τὴν ἀπάτην; ἐπειδὴ γὰρ πολλάκις δαίμονες αὐτὰ κινοῦσιν, ἀπαμφιέννυσι τὴν ὑπόκρισιν καὶ τὸ δρᾶμα, δεικνὺς ὅτι οὐκ ἔστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. καὶ τίνος ἕνεκεν ὁ πονηρὸς δαίμων οὐ χωρὶς ἐκείνων δρᾷ, οὐδὲ φθέγγεται; ἐπειδὴ πορνείας, μοιχείας, μυρίας κακίας αἱ στῆλαι τῶν εἰδώλων εἰσὶ τύποι τούτων, παιδεύων τοὺς ἀπατωμένους διὰ τῆς ὄψεως τῶν ξοάνων μιμεῖσθαι τὰ πράγματα ὧν σχήματά ἐστι τὰ εἴδωλα, προσεδρεύει καὶ παρακάθηται κινῶν τε αὐτὰ καὶ ἀπατῶν. εἶτα πάλιν ἕτερον κωμῳδίας εἶδος κινεῖ λέγων· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά. ἐννόησον οἷοι θεοὶ, ὧν ἡ ὁμοίωσις ἐν τάξει κεῖται ἀρᾶς. ἀλλ' οὐ τὰ παρ' ἡμῖν τοιαῦτα. ἔσχατος γὰρ ἀρετῆς ὅρος, καὶ πρὸς αὐτὴν τὴν κορυφὴν ἀναβῆναι τῶν ἀγαθῶν ποιοῦν, τὸ πρὸς τὸν Θεὸν ὁμοιωθῆναι κατὰ τὸ ἐγχωροῦν ἡμῖν· παρὰ δὲ ἐκείνοις, ἡ λατρεία, φησὶ, καὶ οἱ θεοὶ τοιοῦτοι, ὡς τὴν πρὸς αὐτοὺς ὁμοίωσιν ἐν τάξει εἶναι ἀρᾶς τῆς ἐσχάτης. ὥστε καὶ δι' ὧν ἄψυχός εἰσιν ὕλη, καὶ δι' ὧν παρὰ τῶν θεραπευόντων γίνονται, καὶ δι' ὧν εἴδωλα ἀσχημοσύνης

της εἰσὶ, καὶ δι' ὧν ἀναίσθητα κεῖται, καὶ δι' ὧν ἐν τάξει ἀρετῆς προσετέθη καὶ τὴν πρὸς αὐτοὺς ὁμοίωσιν, διὰ πάντων γὰρ δείκνυται τῆς πλάνης ἡ ὑπερβολή. εἰπὼν τοίνυν αὐτῶν τὴν ἀσθένειαν, τὴν ἀπάτην, τὴν τῶν δαιμόνων πονηρίαν, τὴν τῶν ποιούντων αὐτὰ ἄνοιαν, καὶ ταχέως αὐτῶν ἀπαλλάξας, ἐπὶ τὴν δοξολογίαν καταλείει τὸν λόγον, οὐκ ἔτι διηγούμενος τὰ περὶ τοῦ Θεοῦ, ἀλλ' ὡς ἀποδείξας σαφῶς, ἐπὶ ὡμολογημένοις πᾶσι τὴν εὐφημίαν ἀπαιτῶν παρὰ τῶν τῆς εὐεργεσίας ἀπολαυόντων αὐτοῦ. διὸ καὶ καλεῖ πάντας εἰς δοξολογίαν οὕτω λέγων· 19 Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρὼν, εὐλογήσατε τὸν Κύριον· οἶκος Λευῒ, εὐλογήσατε τὸν Κύριον. 20 Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον. 21 Εὐλογητὸς Κύριος ἐκ Σιὼν, ὁ κατοικῶν Ἱερουσαλήμ. Τί δήποτε οὐ πάντας καλεῖ ὁμοῦ, ἀλλ' εἰς τάγματα διαιρῶν; ἵνα μάθῃς ὅτι πολλὴ ἡ διαφορὰ τῆς εὐλογίας. ἄλλως γὰρ ὁ ἱερεὺς, ἄλλως ὁ λευΐτης, ἄλλως ὁ λαϊκὸς, ἄλλως ὁ πολὺς λαὸς εὐλογεῖ. τὸ δὲ εἰπεῖν, εὐλογήσατε, δεικνύντος ἐστὶ τὴν μακαρίαν καὶ ἀκήρατον φύσιν ἐκείνην. εὐλογήσατε γάρ, φησιν, ὅτι τῶν ἐναντίων ἀπηλλάγητε, ὅτι τοιοῦτον κατηξιώθητε προσκυνεῖν Θεὸν, ὅτι τὴν ἀλήθειαν ἐπέγνωτε. ἔστι μὲν γὰρ καὶ αὐτὸς εὐλογητὸς, ἐν τῇ φύσει ἔχων τὴν εὐλογίαν, οὐ δεόμενος τῆς παρὰ ἑτέρων εὐφημίας· πλὴν καὶ ὑμεῖς εὐλογεῖτε, οὐχ ὡς ἐκείνῳ τι προστιθέντες, ἀλλ' ὡς αὐτοὶ μέγα καρπούμενοι. Εἰ γὰρ καὶ φύσει ἐστὶν εὐλογητὸς, ὥσπερ οὖν καὶ ἔστιν, ἀλλὰ βούλεται καὶ παρὰ ἡμῶν εὐλογεῖσθαι. καὶ πάλιν δὲ τῆς Σιὼν μέμνηται καὶ τῆς Ἱερουσαλήμ. ἐπειδὴ γὰρ ἐκεῖ τὰ τῆς πολιτείας αὐτοῖς συγκεκρότητο, καὶ τὰ τῆς λατρείας ὑπόθεσιν εἶχε ταύτην, καὶ ἐκεῖθεν ἐπαιδεύοντο καὶ ἐρρυθμίζοντο, βούλεται ποιῆσαι τοὺς τόπους σεμνοὺς τῇ ἐπωνυμίᾳ τοῦ Θεοῦ, ἵνα αἰδέσιμοι ὄντες, μᾶλλον αὐτοῖς ὦσι περισπούδαστοι· περισπούδαστοι δὲ ὄντες, μᾶλλον αὐτοὺς ἐφέλκωνται· ἐφελκόμενοι δὲ, προσηλῶσι τῇ λατρείᾳ· προσηλοῦντες δὲ, εἰς μείζονα ἄγωσιν ἀρετὴν, δι' ἣν πάντα ἐγίνετο. ἀλλὰ τότε μὲν Ἱερουσαλὴμ καὶ Σιὼν, σήμερον δὲ οὐρανὸς καὶ τὰ ἐν τοῖς οὐρανοῖς. τούτῳ δὴ καὶ ἡμεῖς, παρακαλῶ, ὦμεν προσηλωμένοι, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλε. 1 ΕΞΟΜΟΛΟΓΕΙΣΘΕ ΤΩ ΚΥΡΙΩ, ΟΤΙ ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΕΙπὼν ἄνω περὶ τῆς εὐεργεσίας τοῦ Θεοῦ τῆς εἰς ἀνθρώπους γεγενημένης, καὶ περὶ τῆς ποσότητος τοῦ ἐλέους αὐτοῦ διαλέγεται, οὐ μετρῶν (οὐδὲ γὰρ δυνατὸν) ἀλλὰ τῷ ἀπείρῳ τὸ μέγεθος αὐτοῦ παραστῆσαι βουλόμενος. καὶ παρακαλεῖ πρὸς δοξολογίαν ἅπαντας, καλῶν καὶ λέγων, ἐξομολογεῖσθε τῷ Κυρίῳ· τουτέστιν, εὐχαριστεῖτε, εὐφημεῖτε αὐτόν. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τί δέ ἐστιν, εἰς τὸν αἰῶνα; οὐ ποτὲ μὲν, φησιν, εὐεργετεῖ, ποτὲ δὲ ἀφίσταται· οὐδὲ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ παύεται (ὅπερ ἐπ' ἀνθρώπων συμβαίνει καὶ πάθει κωλυομένων, καὶ εὐτελείᾳ διακοπτομένων, καὶ θεραπείᾳ ἐμποδιζομένων, καὶ περιστάσει πραγμάτων οὐ συγχωρουμένων) ἀλλ' ὁ Θεὸς οὐ τοιοῦτος, ἀλλὰ διηνεκῶς ἐλεεῖ, καὶ οὐδέποτε παύεται τοῦτο ποιῶν, κἂν διαφόρως καὶ ποικίλως ἐπιτελῇ. ἀεὶ οὖν ἐλεεῖ, καὶ οὐδέποτε ἵσταται τοὺς ἀνθρώπους εὐεργετῶν. Εἶτα εἰπὼν, ὅτι ἐλεεῖ διαπαντὸς, δείκνυσι καὶ τὰ δείγματα τοῦ ἐλέους, καὶ τοῦ διαπαντὸς μένειν αὐτοῦ τὸν ἔλεον, ἐκ τῶν ὁρωμένων ποιούμενος τὴν ἀπό-

δειξιν. καὶ ἐπειδὴ πρὸς εὐσέβειαν αὐτὴν ἐχειραγώγει, ὅρα πῶς πάλιν παρὰ τῶν Ἑλλήνων θεοὺς ἀποτείνεται, πάλιν τῇ αὐτῇ συγκαταβάσει κεχρημένος. τί γάρ φησι;

2 Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, Καθ' ἕκαστον ἐπιλέγων,
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

3 Καὶ τῷ Κυρίῳ τῶν κυρίων. Ἐν μὲν οὖν τῷ προτέρῳ ψαλμῷ ἔλεγεν, ὅτι παρὰ πάντας τοὺς θεούς ἐστιν· ἐνταῦθα δὲ ἔτι πλέον, ὅτι καὶ Κύριος αὐτῶν καὶ δεσπότης αὐτῶν ἐστιν, ἄν τε τῶν εἰδώλων λέγῃς, ἄν τε τῶν δαιμόνων. εἰ γὰρ καὶ ἠτιμωμένοι καὶ προσκεκρουκότες εἰσὶ δαίμονες, ἀλλὰ δοῦλοι καὶ ὑποκύπτοντες. διὰ τοῦτο οὖν ἐξομολογεῖσθε, φησιν, ὅτι Θεὸν ἔχετε πάντων ἀνώτερον, οὗ ὅμοιος οὐδείς, πάντων δεσπότην, πάντων κύριον. καίτοι καὶ τῶν εὐαρεστούντων καλεῖται Θεός, ὡς ὅταν λέγῃ· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. πῶς οὖν ἐνταῦθα τῶν δαιμόνων φησίν; ἀλλ' ἑτέρως ἐκεῖνο, καὶ ἑτέρως τοῦτο. ἐκεῖ μὲν γάρ, ἵνα τὴν οἰκείωσιν παραστήσῃ καὶ τὴν πολλὴν πρὸς αὐτοὺς ἀγάπην· ἐνταῦθα δέ, ἵνα τὴν ὑπεροχὴν γνωρίσῃ.

4 Τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐπειδὴ ἀπεφήνατο ὅτι Κύριός ἐστι τῶν θεῶν καὶ δεσπότης, τῇ ἀποφάσει παρέχει λοιπὸν τὴν ἀπόδειξιν, καὶ κατασκευάζει τὸ εἰρημένον, ἀπὸ τῆς δυνάμεως αὐτὸν πάλιν ἀνακηρύττων. καὶ οὐκ εἶπε, τῷ ποιήσαντι, ἀλλὰ τῷ ποιοῦντι, δεικνὺς αὐτὸν ἐνεργοῦντα καὶ θαυματοποιοῦντα διηνεκῶς καὶ παράδοξα ἐργαζόμενον. καὶ δύο ταῦτα αὐτοῦ τίθησιν ἐξαίρετα, ὅτι τε ποιεῖ, καὶ ὅτι μόνος ποιεῖ· μᾶλλον δὲ καὶ τρία καὶ τέσσαρα. καὶ γὰρ ὅτι ποιεῖ, καὶ ὅτι θαύματα, καὶ μεγάλα θαύματα, καὶ ὅτι μόνος ποιεῖ. ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ παιδός, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν δαιμόνων. καὶ τίνα ταῦτά ἐστι τὰ θαύματα ἴδωμεν, τὰ μεγάλα, ἃ μόνος ποιεῖ. καίτοιγε ἀρξάμενος οὐ περὶ δυνάμεως διελέχθη ἡμῖν, ἀλλὰ περὶ φιλανθρωπίας καὶ ἀγαθότητος· ἐξομολογεῖσθε γὰρ τῷ Κυρίῳ, φησίν, ὅτι ἀγαθός· πῶς οὖν εἰς τὸν περὶ δυνάμεως ἐμπίπτει λόγον ἐνταῦθα λοιπόν; ὅτι οὐχὶ δυνάμεως μόνον, ἀλλὰ καὶ φιλανθρωπίας ταῦτά ἐστι τὰ θαύματα. τίνα δέ ἐστι τὰ θαύματα δεικνύς, ἐπάγει λέγων·

5 Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει· 6 Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. Ἕτερος, Τῷ'' πιλήσαντι τὴν γῆν ἐπὶ ὕδασι. 7 Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, 8 Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, 9 Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. Ταῦτα * εἰ καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν σοφίαν ἐμφαίνει, ἀλλ' ὅμως καὶ τὴν πολλὴν φιλανθρωπίαν δείκνυσι. τὸ μὲν γὰρ οὕτω μεγάλα γενέσθαι καὶ καλὰ καὶ διαρκῆ, τὴν ἰσχὺν ἀνακηρύττει καὶ τὴν σοφίαν· τὸ δὲ δι' ἡμᾶς αὐτὰ γενέσθαι καὶ τὴν χρείαν τὴν ἡμετέραν, τὴν φιλανθρωπίαν καὶ τὴν ἀγαθότητα τὴν διηνεκῆ. ὁρᾷς πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. οὐ γὰρ πρὸς δέκα καὶ εἴκοσιν ἔτη πεποίηκεν αὐτά, οὐδὲ πρὸς ἑκατὸν καὶ διακόσια καὶ χίλια, ἀλλὰ παρὰ πᾶσαν τὴν ζωὴν ἡμῶν ἐξέτεινεν αὐτά. διὸ καὶ τοῦτο δηλῶν ἐν ἑκάστῳ στίχῳ ἐπιλέγει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ τὸ δὴ ἐκπλῆττον, ὅτι ἐποίησε μὲν καὶ ἔδωκεν ἐξ ἀρχῆς γενομένους· ἐπειδὴ δὲ παρέβη ὁ ἄνθρωπος, οὐδὲ οὕτως αὐτὸν ἐξέβαλεν, ἀλλὰ καὶ ἅπερ ἔδωκεν οὐχ ἁμαρτόντι, τούτοις ἀφῆκε καὶ μετὰ τὴν ἁμαρτίαν ἐνδιαιτᾶσθαι, καὶ οὐκ ἐκώλυσεν αὐτῶν τὴν χρῆσιν μετὰ τὴν ἁμαρτίαν ἐκείνην. καὶ οὐκ ἐποίησεν οὐρανὸν ἕνα μόνον, ἀλλὰ καὶ ἕτερον, ἐκ προοιμίων δεικνύς, ὅτι οὐκ ἐναφήσει ἡμᾶς τῇ γῇ, ἀλλ' ἐκεῖ μεταστήσει. εἰ γὰρ μὴ ἔμελλεν ἐκεῖ μεθιστᾶν, τίνος ἕνεκεν καὶ οὐρανὸς παρήγετο; οὐ γὰρ αὐτῷ χρήσιμον τοῦτο τὸ στοιχεῖον (οὐδενὸς γὰρ δεῖται) ἀλλὰ τοὺς ἀπὸ γῆς ἐκεῖ μεθιστᾶν βουλόμενος, προεσκευ-

ασε τὰ οἰκήματα. διὰ δὲ ὁ προφήτης ταῦτα εἰδώς, ἐφ᾽ ἑκάστῳ εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ἐπιλέγει, ἐκπληττόμενος αὐτοῦ τὴν φιλανθρωπίαν. τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ὅρα πάλιν κἀνταῦθα τὴν φιλανθρωπίαν. ἐπειδὴ γὰρ ἐγινόμεθα θνητοὶ καὶ ἐν πολλαῖς χρείαις κατέστημεν, οὐδὲ οὕτως ἐγκατέλιπεν, ἀλλὰ καὶ ἐνταῦθα κατάλληλον ἡμῖν καταγώγιον δέδωκε τὸν μεταξὺ χρόνον, καὶ τοσούτων τὴν γῆν δειγμάτων τῆς αὐτοῦ φιλανθρωπίας ἐνέπλησεν, ὡς μηδὲ λόγῳ παραστῆσαι δύνασθαι. ὁ γοῦν προφήτης ἐμπεσὼν εἰς τὴν ἄβυσσον τῶν εὐεργετημάτων, καὶ ἰδὼν τὸ πέλαγος ἀχανές, ἀπεπήδησε μέγα βοήσας καὶ εἰπών· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. καὶ τὸν ἥλιον δὲ εἴ τις κατίδοι καὶ τὴν σελήνην καὶ τὴν διάταξιν τῶν καιρῶν, πάλιν ὄψεται αὐτοῦ τὴν φιλανθρωπίαν ἅπασαν. οὐ γὰρ μικρὸν ἡμῖν εἰς εὐταξίαν ζωῆς, καὶ εἰς αὐτὴν τὴν ζωὴν ταῦτα συντελεῖ τὰ στοιχεῖα, τρέφοντα, καρποὺς πεπαίνοντα, ὧν ἄνευ ζῆσαι οὐκ ἦν, καιροὺς ἡμῖν δεικνύντα, ὥρας χαρακτηρίζοντα, δρόμους ἡμέρας καὶ νυκτὸς διαστέλλοντα, ὁδοιπόροις γῆς καὶ θαλάττης ὁδηγοῦντα, μυρίαν ἑτέραν χρείαν παρεχόμενα. εἶδες πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ πῶς καθ᾽ ἕκαστον τῶν στίχων δικαίως τοῦτο ἐπιλέγει ὁ προφήτης; ἕτερος δὲ ἑρμηνευτής, εἰς ἐξουσίαν τῆς ἡμέρας, ἐπικρατεῖν εἶπε τῆς ἡμέρας· ἄλλος, εἰς ἐξουσίαν ἐν νυκτί.

10 Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν,

11 Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, 12 Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. Συνεχῶς περιστρέφει τὸ θαῦμα τὸ ἐν Αἰγύπτῳ, διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην, καὶ τὸ ἀεὶ τούτων ἀκούοντας ἐπιλανθάνεσθαι. οὐ μικρὸν δὲ καὶ τὸ ἔλεος σημεῖον. τοῦτο γὰρ ἀπήλλαξεν αἰχμαλωσίας ἐκείνους, [δουλείας] καὶ τοῖς μετὰ ταῦτα δὲ γέγονε θεογνωσίας ὑπόθεσις. καὶ ἕτερον δέ τι ἐνταῦθα αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι καὶ μετὰ τὴν πληγὴν ἐκείνην, τῆς αὐτοῦ δυνάμεως γέγονε τὸ ἀπαλλάξαι αὐτοὺς τῆς δουλείας, κατασείσαντος αὐτοὺς τῷ φόβῳ καὶ καταποντίσαντος αὐτοὺς τῇ θαλάττῃ. ταῦτα δὲ λέγει, ἵνα μή τις τῶν ἀνοητοτέρων νομίσῃ ὅτι κελεύων αὐτοῖς χρυσίον λαβεῖν καὶ σκεύη ἀργυρᾶ, δι᾽ ἀσθένειαν ἐκέλευε. καὶ γὰρ καὶ τοῦτο ἐποίησε πανταχόθεν βουλόμενος εἶναι φοβερὸς τοῖς πολεμίοις, καὶ δεῖξαι ὅτι καὶ δυνάμει καὶ μετὰ αὐθεντίας ἅπαντα δύναται ἐργάζεσθαι, καὶ ἀπατᾷν αὐτοὺς καὶ παρακρούεσθαι. ἅτε γὰρ φανερῶς ἐποίησεν, οὐ διὰ τοῦτο ἐποίησεν ὡς οὐ δυνάμενος ἀπατῆσαι· ἅτε ἀπατήσας, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος φανερῶς λαβεῖν, ἀλλ᾽ ἐν ἑκατέρῳ τῷ μέρει τὴν ἰσχὺν τὴν ἑαυτοῦ δεικνύς. ὅτι γὰρ καὶ τοῦτο μέγαν φόβον ἐνέθηκε τοῖς ἀλλοφύλοις, ἄκουσον τί φασι μετὰ ταῦτα οἱ μάντεις οἱ Ἀζωτίων. Οὗτος ὁ Θεὸς ὁ σκληρός, ὃς ἐπάταξε τὴν Αἴγυπτον, καὶ ὅτε ″ ἐνέπαιξεν αὐτοῖς, τότε ἐξήγαγεν αὐτούς. ὁρᾷς αὐτοὺς καὶ διὰ τοῦτο τρέμοντας αὐτόν, διὰ τὴν κλοπήν, διὰ τὴν ἀπάτην, διὰ τὸ ἀποχρήσασθαι αὐτοῖς;

α. Βασ. ϛ. ϛ.

ἐνέπαιξεν

13 Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις.

Ἕτερος, Εἰς τομάς. Ἄλλος, Εἰς τμήματα. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τινές φασιν ὅτι οὐ μία γέγονεν ἡ ὁδός, ἀλλὰ καθ᾽ ἑκάστην φυλὴν τὸ ὕδωρ ἐσχίζετο, ὡς πολλὰς γίνεσθαι τὰς διαβάσεις. ἀλλὰ ταῦτα πάντα εἰ καὶ πολλὴν τὴν ἰσχὺν ἐπεδείκνυτο, καὶ φοβερὸν αὐτὸν ἀπέφαινε καὶ μέγαν, ἀλλ᾽ ὅμως καὶ πολλὴν τὴν φιλανθρωπίαν εἶχεν, οὐχὶ τοῖς ἀπολαύουσι μόνον, ἀλλ᾽, εἰ προσέχειν ἐβούλοντο, καὶ τοῖς ἐναντίοις. οὐ γὰρ ἁπλῶς κατεπόντισεν αὐτούς, ἀλλὰ μετὰ τοσαύτην θαυματουργίαν βουλομένους καταπολμῆσαι τῶν ὑδάτων. ἔδει δὲ αὐτούς, εἰ καὶ πάντων ἦσαν ἀναισθητότεροι, τά τε πρότερα ἐννοήσαντας, τά τε παρόντα καὶ πρὸ τῶν ὀφθαλμῶν, ἐκπλαγῆναι αὐτοῦ τὴν ἰσχὺν καὶ περισκιρτῆσαι καὶ παύσασθαι τῆς ἀκαίρου φιλονεικίας. οἱ δὲ τὴν κτίσιν ἅπασαν ὁρῶντες πρὸς τὸ δοκοῦν αὐτῷ μεταστοιχειουμένην καὶ πολεμοῦσαν αὐτοῖς, οὐδὲ οὕτως ἔληξαν τῆς μανίας, ἀλλὰ καὶ τὸ παράδοξον ἐκεῖνο θαῦμα βλέποντες, κατετόλμησαν τῆς ξένης καὶ καινῆς ὁδοιπορίας. διὸ καὶ τάφος αὐτοῖς τὸ πέλαγος γίνεται. οὐδὲ γὰρ φύσεως ἦν ἔργον, ἀλλὰ θεηλάτου πληγῆς τὸ γινόμενον. διὰ δὴ τοῦτο καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ ἐναντία εἰργάζετο· καὶ οὐ καθ' ἓν ἐτέμνετο μέρος, ἀλλὰ κατὰ ἀριθμὸν τῶν φυλῶν. καθ' ἕκαστον δὲ τῶν σημείων ἐλέους μνημονεύει, ὅτι τοῦτο μάλιστα ἦν τῷ Θεῷ περιεσπούδαστον, ἐπειδὴ διὰ τῶν στοιχείων ἐγίνετο τὰ θαύματα, μὴ φυσικῆς τινος ἀκολουθίας νομισθῇ τὰ γινόμενα, ἀλλὰ τῆς ἄνωθεν ῥοπῆς παραδοξοποιούσης τὰ θαύματα. ὃ δὴ καὶ ἐπὶ τῆς θαλάττης συνέβαινε, καὶ δῆλον ἐγίνετο οὐκ ἐκ τοῦ συμβῆναι τότε, ἀλλ' ἐκ τοῦ μετ' ἐκεῖνο μηκέτι γενέσθαι πάλιν. τὰ δὲ φυσικῶς γινόμενα, συνεχῆ καὶ πυκνά, καὶ κατὰ καιρὸν ἐπιτελεῖσθαι πέφυκε.

14 Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅρα πῶς δικαίως καθ' ἕκαστον στίχον ἐπιλέγει τό, Εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ταῦτα γὰρ ἅπαντα τὴν διηνεκῆ κηδεμονίαν ἐδείκνυ. εἰ γὰρ καὶ τὰ γινόμενα τέλος εἶχεν, ἀλλ' αἱ μνῆμαι αὐτῶν τοῖς μετὰ ταῦτα πολλὴν θεογνωσίας παρεῖχον ὑπόθεσιν. καὶ γὰρ τῇ μνήμῃ εἰς ἐκγόνους παραπεμπόμενα, ἐχειραγώγει πρὸς φιλοσοφίαν πολλήν. ἄλλως δέ, οὐκ ἐκεῖνο ἐστράφη μόνον, καὶ ἐπαύσατο ἡ τοῦ Θεοῦ κηδεμονία, οὐδὲ μέχρι τῶν Αἰγυπτιακῶν ἔστη τὰ τῆς φιλανθρωπίας, ἀλλ' ἕκαστος καιρὸς καὶ χρόνος ἅπας ἔχει παρατεινόμενα τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὰ δείγματα, ὑπὲρ ὧν καὶ αὐτὸς ἐκπληττόμενος συνεχῶς ἐπιλέγει τό, Εἰς τὸν αἰῶνα τὸ ἔλεος. καλῶς ἐπήγαγε, τῷ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ἐπεὶ καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. οὐ γὰρ ἤρκει τὸ τὴν θάλατταν ὑπονοστῆσαι, καὶ ῥᾳδίαν αὐτοῖς ποιῆσαι τὴν δίοδον, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἂν αὐτοὺς ἐξέπληξε καὶ ἐφόβησε καὶ ἀπεῖρξε τολμᾶν, τῷ παραδόξῳ πολλὴν δειλίαν ἐμποιοῦν· ἀλλὰ τῆς τοῦ Θεοῦ δυνάμεως ἐγένετο, τὸ καὶ μετὰ τὴν ἀναχώρησιν τῆς θαλάσσης θάρσος αὐτοῖς ἐνθεῖναι, καὶ πεῖσαι διαβῆναι τὴν καινὴν ἐκείνην * καὶ ξένην ὁδόν. καὶ γὰρ ἐν ἑκατέρῳ τμήματι κορυφουμένων τῶν ὑδάτων, ὑψηλῆς τινος καὶ γενναίας ἔδει ψυχῆς αὐτοῖς, ὥστε μὴ δεῖσαι τὴν διάβασιν, μηδὲ ὑποπτεῦσαι ὅτι κορυφούμενα ἑκατέρωθεν τὰ πελάγη ἐπελεύσεται αὐτοῖς * καὶ καταποντίσει τὸ στρατόπεδον ἅπαν. 15 Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν. Τὴν εὐκολίαν βουλόμενος δηλῶσαι τοῦ καταποντισμοῦ, τῇ λέξει ταύτῃ ἐχρήσατο. σὺ δέ μοι σκόπει πῶς μετὰ τῆς δυνάμεως καὶ τῆς ἀγανακτήσεως, καὶ τὴν μακροθυμίαν ἐπεδείξατο, οὐ πρότερον αὐτοὺς ἀνελὼν καίτοι οὕτως ἀναισχύντως καὶ φιλονείκως διακειμένους, ἕως ὅτε φέροντες αὐτοὶ ἑαυτοὺς ἑκόντες κατεκρήμνισαν. οὐκ εἰκῇ δὲ καὶ τὸ στρατόπεδον κολάζεται· ἀλλ' ἐπειδὴ τῶν ἁμαρτημάτων ἐκοινώνησαν καὶ τῆς διώξεως μετέσχον, κοινωνοῦσι καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας.

16 Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τοῦτο οὐκ ἔλαττον τοῦ διὰ τῆς θαλάσσης διαγαγεῖν. εἰ γὰρ καὶ ξηρὰ ὑπέκειτο γῆ * δυναμένη στέγειν τὸ στρατόπεδον, ἀλλ' ὅμως πολλὰ ἕτερα ἦν τὰ λυποῦντα. καὶ γὰρ ἱκανὰ πάντα καταλυμήνασθαι καὶ θανάτῳ παραδοῦναι χαλεπωτάτῳ, καὶ λιμός, καὶ αὐχμός, καὶ δίψος, καὶ ἀκτὶς θερμοτέρα τοῦ δέοντος ἐπικειμένη, καὶ θηρίων πλήθη, καὶ ἡ τῶν ἐπιτηδείων ἁπάντων ἐρημία. οἶσθα δὲ ὅσων ἂν ἄνθρωπος δεῖται. ἀλλ' ὅμως ἁπάντων ἐκείνων γυμνωθέντες, καὶ οὐ στέγην ἔχοντες, οὐ τροφάς, οὐκ ἐνδύματα ἀρκοῦντα, οὐχ ὑποδήματα,

* καὶ [illegible]

* καὶ [illegible]

* καὶ [illegible] καὶ ἱκανὰ [illegible]

ἤματα, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ὡς ἐν μέσαις χορεύοντες πόλεσιν, οὕτω διὰ τῆς ἐρήμου πάσης ἐκείνης ἐβάδιζον. σὺ δέ μοι σκόπει πόσα παρέδραμε θαύματα ἐν τῇ ἐρήμῳ γινόμενα, καὶ πόσων ἐτῶν δημαγωγίαν· καὶ δύο τινῶν μέμνηται θαυμάτων τῶν ἐπὶ τῶν βασιλέων ἐκείνων γεγενημένων. καὶ γὰρ παρεὶς εἰπεῖν τὴν καινὴν τράπεζαν ἐκείνην, τὴν στέγην τὴν παράδοξον, τὴν λαμπάδα τὴν ″ μηδέπω φανεῖσαν, τῶν ἱματίων τὸ διαρκὲς, τῶν ὑποδημάτων τὸ ἀνένδοτον, τὰς ἀπὸ τῶν πετρῶν πηγὰς, τὰ ἄλλα τὰ καινὰ καὶ παράδοξα, δι' ὧν ῥᾳδίαν ἐποίει τὴν ὁδοιπορίαν αὐτοῖς, δύο μόνον μέμνηται, πῶς τοὺς βασιλέας τῶν βαρβάρων ἀνεῖλε, καὶ πῶς τὸ τρόπαιον ἔστησε, καὶ τὴν νίκην αὐτοῖς ἐχαρίσατο, τὰ λοιπὰ παραχωρῶν τῷ ἀκροατῇ μετὰ ἀκριβείας ἀναλέγειν. διό φησι,

ς. μηδέπω

17 Τῷ πατάξαντι βασιλεῖς μεγάλους, 18 Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς· 19 Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, 20 Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. Καὶ ἐφ' ἑκάστῳ τούτων ἐπιλέγει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, δεικνὺς ὅτι εἰ καὶ ἀπὸ πολεμίων πολέμιοι ἐδέχοντο, ἀλλ' οὐδεὶς αὐτοὺς ἐχειροῦτο. διατί δέ; ὅτι διηνεκῶς αὐτοῦ τῆς φιλανθρωπίας ἀπέλαυον· τοῦτο γὰρ αἰνίττεται λέγων συνεχῶς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

21 Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, 22 Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ. Διπλᾶ τὰ τῆς εὐεργεσίας, καὶ τὸ κρατῆσαι τῶν πολεμίων, καὶ τὸ γενέσθαι κυρίους τῶν ἐκείνων. καὶ γὰρ καὶ τοῦτο δυνάμεως πολλῆς ἦν, οὐ τὸ ἐκβαλεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ καὶ τὸ δυνηθῆναι κατασχεῖν καὶ περιγενέσθαι τῆς ἀλλοτρίας. Εἶτα πάλιν σαφέστερον τοῦτο δεικνὺς, καὶ ὅτι οὐκ ἀπὸ ἀξίας τούτων γεγόνασι κύριοι, ἀλλ' ἀπὸ τῆς ἀγαθότητος αὐτοῦ μόνης, ἐπήγαγε τὸ, 23 Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, Δηλῶν ὡς οὐκ ἐν τοῖς κατορθώμασιν, οὐδὲ ἐν τῇ εὐπραγίᾳ, ἀλλ' ἐν τῇ ταπεινώσει ἡμῶν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἤρκεσεν ἡ συμφορὰ ἐπικάμψαι αὐτὸν καὶ τὸ κακῶς πάσχειν ἡμᾶς. ἐπεὶ καὶ ἐξ ἀρχῆς ὅτε αὐτοὺς ἀπήλλαττεν Αἰγύπτου, οὐκ εἶπεν, ἰδὼν εἶδον τὴν μεταβολὴν αὐτῶν τὴν ἐπὶ τὸ βέλτιον, ἀλλ' ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ.

24 Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Ἵνα μὴ κατὰ μικρὸν λέγῃ τοὺς πολέμους, τὰς ἐφόδους, τὰς νίκας, τὰ τρόπαια, πάλιν ἑνὶ ῥήματι κατορθωμάτων ὁρμαθὸν παραδραμὼν, καὶ τὰ μερικὰ ἀφεὶς τὰ εἰς Ἰουδαίους γινόμενα, ἐπὶ τὴν καθολικὴν αὐτοῦ πρόνοιαν ἔρχεται, λέγων· 25 Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί.

Ἄλλος, Ὃς δίδωσιν. Ἄλλος, Διδοὺς ἄρτον. Οὐκ ἄρα γῆς, οὐδὲ ὑδάτων, οὐδὲ ἀέρων, οὐδὲ ἀκτῖνος, οὐδὲ ἄλλου τινός εἰσι τῶν καρπῶν αἱ γοναὶ, ἀλλ' αὐτοῦ τὸ πᾶν. καὶ ὅρα πάνταῦθα οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν φιλανθρωπίαν τὴν ἄφατον. ὅπερ γὰρ ὁ Χριστός φησι, Ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, τοῦτο καὶ οὗτος ἐνταῦθα ἠνίξατο εἰπὼν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· τουτέστιν, οὐχὶ δικαίοις, οὐδὲ τοῖς κατορθοῦσι μόνον, ἀλλὰ καὶ ἁμαρτωλοῖς καὶ ἀσεβέσι καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει, ὃ καὶ μάλιστα αὐτοῦ τὴν δεσποτείαν ἀνακηρύττει. Εἶδες ὅτι διὰ τοῦτο μάλιστα ὁ ψαλμὸς σύγκειται, ὥστε πρὸς θεογνωσίαν χειραγωγῆσαι; διὰ δὴ τοῦτο καὶ ἀρξάμενος, ἀπὸ τῶν καθόλου ἤρξατο, καὶ τελευτῶν, εἰς ταῦτα κατέληξεν, ἀνωτέρω μὲν εἰπὼν ἥλιον καὶ σελήνην καὶ ἀστραπὰς καὶ ὑετοὺς, ἅπερ οὐκ ἐν μέρει γέγονε τῆς οἰκουμένης, ἐν δὲ τῷ τέλει εἰς τὴν κοινὴν ἁπάντων καταλήξας τροφήν. εἶτα ἀπὸ τούτων κατασκευάσας τὴν καθόλου πρόνοιαν, ἐπήγαγε· 26 Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ματθ. ε. μϛ.

Απ

Ἀπὸ γὰρ τούτων κἀκεῖνο δῆλον, ὅτι καὶ τῶν ἄνω καὶ τῶν κάτω πάντων αὐτός ἐστι δεσπότης, καὶ πανταχοῦ τὰ τῆς προνοίας αὐτοῦ καὶ τῆς κηδεμονίας ἐκτέταται. Ὑπὲρ ἁπάντων τοίνυν αὐτῷ τὴν εὐχαριστίαν ἀναφέρωμεν, τῶν κοινῶν, τῶν ἰδικῶν, ὑπὲρ τῆς ἀγαθότητος, ὑπὲρ τῆς φιλανθρωπίας, ὑπὲρ τῆς δυνάμεως, ὑπὲρ τῆς κηδεμονίας· καὶ διηνεκῶς τοῦτο ποιοῦντες διατελῶμεν, καθὼς καὶ ὁ ψαλμῳδὸς τοῦτο ποιεῖ λέγων· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τοῦτο μάλιστα ἡμῖν ἵλεων αὐτὸν καθίστησι, καὶ τῆς εὐνοίας ἀπολαῦσαι ποιεῖ τῆς ἐκείνου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλς΄. 1 ΕΠΙ ΤΩΝ ΠΟΤΑΜΩΝ ΒΑΒΥΛΩΝΟΣ ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

ΠΟλὺς ὁ πόθος τοῖς ἀνδράσι τῆς πόλεως, πολὺς ὁ ἔρως τῆς ἐπανόδου. Ἕως μὲν γὰρ εἶχον τὰ ἀγαθὰ ἐν χερσίν, ἀκκιζόμενοι καὶ ὑβρίζοντες διετέλεσαν· ἐπειδὴ δὲ ἐξεβλήθησαν αὐτῶν, τότε λοιπὸν ἐν ἐπιθυμίᾳ κατέστησαν. Διὰ γὰρ τοῦτο αὐτοὺς καὶ ἐξέβαλεν, ἵνα αὐτοὺς εἰς πόθον ἐναγάγῃ μείζονα. Καὶ τοῦτο πολλαχοῦ ποιεῖν ὁ Θεὸς εἴωθεν. Ὅταν γὰρ ἐντρυφῶντες αὐτοῦ τοῖς ἀγαθοῖς μὴ αἰσθανώμεθα, ἐν ἐρημίᾳ αὐτῶν ἡμᾶς καθίστησιν, ὥστε τῇ στερήσει σωφρονισθέντας ζητῆσαι πάλιν τὴν ἀπόλαυσιν. Τίνος δὲ ἕνεκεν παρὰ τοὺς ποταμοὺς ἐκάθηντο; Ἅτε αἰχμάλωτοι ὄντες καὶ ἀπὸ πολεμίας εἰλημμένοι χώρας, ἔξω τειχῶν καὶ πόλεων ηὐλίζοντο.

2 Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

Ἕτερος, Κιθάρας. Ἄλλος, Λύρας. Καὶ τίνος ἕνεκεν τὰ ὄργανα ἐπήγοντο εἰς αἰχμαλωσίαν ἀπιόντες, καὶ οὐ μέλλοντες αὐτοῖς χρῆσθαι; Ὠκονόμητο καὶ τοῦτο ὑπὸ Θεοῦ, ὥστε καὶ ἐπὶ τῆς ἀλλοτρίας ἔχειν ὑπομνήματα τῆς πολιτείας τῆς προτέρας, καὶ μᾶλλον αὐτοὺς δάκνεσθαι ὁρῶντας τὰ σύμβολα τῆς θρησκείας ἐκείνης.

3 Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν,

4 Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

Οὐ μικρὰ καὶ ἐντεῦθεν ἐκέρδαινον, ἐν τῷ τοὺς βαρβάρους ἐπικεῖσθαι καὶ τῶν ᾀσμάτων ἐπιθυμεῖν ἀκούειν τῶν παρ᾽ αὐτῶν. Ὅρα δὲ κἀντεῦθεν πόσην ἀπὸ τῆς αἰχμαλωσίας ἐδέξαντο τὴν διόρθωσιν. Οἱ γὰρ ἐξορχησάμενοι καὶ τῆς οἰκείας ἀποσκιρτήσαντες λατρείας καὶ παντὶ τρόπῳ τὰ νόμιμα καταπατήσαντες, τοσαύτῃ ἀκριβείᾳ κέχρηνται ἐπὶ τῆς ἀλλοτρίας, ὡς καὶ τῶν βαρβάρων ἐπικειμένων καὶ ἀπειλούντων καὶ πανταχόθεν περιστοιχιζόντων αὐτοὺς καὶ ἐπιθυμούντων ἀκοῦσαι, μηδὲ οὕτω χρήσασθαι αὐτῶν τῇ ἐπιθυμίᾳ, ἀλλὰ προτιμῆσαι τὸν νόμον καὶ διατηρῆσαι μετὰ ἀκριβείας. Τὸ δέ, Οἱ ἀπαγαγόντες, ἕτερος εἶπεν, Οἱ καταλαζονευόμενοι ἡμῶν, μονονουχὶ τοῦτο δηλῶν· οἱ πρὸ τούτου ἐπεμβαίνοντες καὶ κατεξανιστάμενοι, οὕτω τῷ χρόνῳ γεγόνασι πρᾶοι καὶ ἐπιεικεῖς καὶ ἥμεροι, ὡς καὶ τῶν ᾠδῶν ἐπιθυμεῖν ἀκούειν τῶν ἡμετέρων. Ἀλλ᾽ ὅμως οὐκ ἐνέδωκαν οὗτοι. Εἶδες πῶς ἰσχυροὺς ἡ θλῖψις ἐργάζεται; πῶς κατημερωμένους ποιεῖ; πῶς συντρίβει τὴν διάνοιαν; Καὶ γὰρ καὶ ἔκλαιον, καὶ τὸν νόμον διετήρουν· καὶ οἱ τῶν προφητῶν δακρυόντων γελῶντες καὶ κωμῳδοῦντες καὶ χλευάζοντες, οὗτοι νῦν μηδενὸς ὑπομι-

μνήσκοντος αὐτοὺς πρὸς δάκρυα ἐτρέποντο καὶ ἐθρήνουν. ἐκ τούτου καὶ οἱ πολέμιοι τὰ μεγάλα ἐκέρδαινον. καὶ γὰρ ἑώρων αὐτοὺς οὐ τῇ αἰχμαλωσίᾳ πιεζομένους, οὐδὲ τὴν δουλείαν θρηνοῦντας, οὐδὲ τὴν ἐν ἀλλοτρίᾳ διατριβήν, ἀλλὰ τὸ τῆς οἰκείας ἐκπεσεῖν λατρείας. διὰ τοῦτο προσέθηκεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. καὶ γὰρ οὐχ ἁπλῶς θρηνοῦσιν, ἀλλ' ἔργον τοῦτο ποιοῦνται. διὰ τοῦτο καὶ ἀρχόμενος ἔλεγεν, ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, δηλῶν ὅτι διὰ τοῦτο συνηδρεύσαμεν, ὥστε κινῆσαι θρήνους καὶ ὀλολυγάς. τίνος δὲ ἕνεκεν οὐκ ἐφεῖτο ᾄδειν ἐπὶ τῆς ἀλλοτρίας; ὅτι οὐκ ἔδει βέβηλα ὦτα ἀκούειν τῶν ἀπορρήτων ἐκείνων.

5 Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ τῆς ἀλλοτρίας; Τουτέστιν, οὐκ ἐφεῖται ἡμῖν ᾄδειν. εἰ γὰρ καὶ τῆς πατρίδος ἐξεπέσομεν, ἀλλὰ τὸν νόμον μένομεν διατηροῦντες καὶ τὴν ἀκρίβειαν αὐτοῦ διαφυλάττοντες, ὥστε κἂν τῶν σωμάτων κρατῆτε, τῆς γνώμης οὐ περιέσεσθε. Εἶδες φιλόσοφον ψυχὴν γενομένην ἀπὸ τῆς θλίψεως καὶ ὑψηλοτέραν τῶν δεινῶν; 6 Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. 7 Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου. Ὅρα κἀντεῦθεν πολλὴν τὴν μεταβολήν. καὶ γὰρ οἱ καθ' ἑκάστην ἡμέραν ἀκούοντες ὅτι τῆς πόλεως ἐκπεσοῦνται καὶ οὐ φροντίζοντες, ἑαυτοῖς ἐπαρῶνται νῦν, εἰ ἐπιλάθωνται αὐτῆς. τί δέ ἐστιν, ἐπιλησθείη ἡ δεξιά μου; ἡ ἰσχύς μου, φησίν, ἡ δύναμίς μου ἐπιλάθοιτό μου, καὶ γενοίμην ἄφανος ὑπὸ τοῦ μεγέθους τῶν κακῶν. Ἐὰν μή σου μνησθῶ. 8 Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Τί ἐστιν, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλήμ; οὐχ ἁπλῶς σου μνημονεύσω, φησίν, ἐν τοῖς ἄλλοις, ἀλλὰ καὶ ἐν τοῖς ὕμνοις καὶ ἐν ταῖς ᾠδαῖς. τὸ δὲ προανατάξομαι, προαναφωνήσομαί σου ἐστί· σφόδρα ποθούντων ῥῆμα φθεγγόμενοι, μᾶλλον δὲ ἐρώντων καὶ ἐκκαιομένων περὶ αὐτήν. ἀκούωμεν πάντες ταῦτα, καὶ παιδευώμεθα. καὶ γὰρ καθάπερ οὗτοι ἐκπεσόντες ἐπιζητοῦσιν αὐτήν, οὕτω καὶ ἡμῶν πολλοὶ τοῦτο πείσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τῆς ἄνω Ἱερουσαλὴμ ἐκπίπτοντες. ἀλλ' οὗτοι μὲν ἐκπεσόντες, ἐλπίδας εἶχον ἐπανόδου· ἡμᾶς δὲ ἐκπίπτοντας, οὐκ ἔνι πάλιν ἐπανελθεῖν. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησί, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. διὸ καὶ ἀκριβέστερον δεῖ τοῖς καθ' ἡμᾶς αὐτοὺς προσέχειν, καὶ τὸν παρόντα βίον οὕτως οἰκονομεῖν, ὥστε μὴ γενέσθαι αἰχμαλώτους μηδὲ ἀλλοτρίους μηδὲ ξένους τῆς μητροπόλεως ἐκείνης. 9 Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλήμ, 10 Τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε τῶν θεμελίων αὐτῆς. Ἕτερος, Τοῖς υἱοῖς Ἐδώμ. Καὶ τοῦτο τὸ ῥῆμα ἐκκαιομένων περὶ τὴν πόλιν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀπαίτησον δίκην τοὺς οὐ βουληθέντας στῆναι μέχρι τῆς ἁλώσεως, μηδὲ κορεσθέντας τῇ κατασκαφῇ, ἀλλ' ἐφισταμένους καὶ λέγοντας, κατασκάπτετε ἕως ἂν ᾖ ὁ θεμέλιος ἐν αὐτῇ. ἐπεθύμουν γὰρ μηδὲ τὰ βάθρα αὐτὰ μεῖναι τῆς πόλεως, ἀλλὰ καὶ τοὺς θεμελίους αὐτῆς ἀνασπασθῆναι. οὗτοι δὲ ἦσαν Ἀράβιοι συνεπιτιθέμενοι τοῖς Ἰουδαίοις τότε μετὰ τῶν Βαβυλωνίων· ὧν καὶ συνεχῶς μέμνηται ὁ προφήτης, καὶ σφόδρα αὐτῶν κατηγορεῖ, ὅτι καὶ δικαίαν συγγένειαν ἔχοντες πρὸς αὐτούς, τῶν πολεμίων ἐγένοντο πικρότεροι.

Ἀράβων
γγενείας

11 Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. Ἕτερος, Ἡ προνενομευμένη. Ἕτερος, Ἡ διαρπασθησομένη. Ἐνταῦθα δείκνυσι τοῦ Θεοῦ τὴν ἰσχύν, οὐκ ἐν τῇ τῶν κακῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν πολεμησάντων ἐπιβουλῇ, προλέγει τὰ συμβησόμενα τῇ Βαβυλῶνι κακὰ ὁ προφήτης, καὶ ἀθλίαν αὐτὴν ἀπὸ τῶν καταληψομένων κακῶν καλεῖ, κἂν τούτῳ παιδεύων τοὺς Ἰουδαίους, καὶ δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχὺν πολυ-

τρόπον

ταχὺ τῆς γῆς ἐκλελειμμένην. Μακάριος, ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Ἄλλος, Ὃ περιεποίησας ἡμῖν. 12 Μακάριος, ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. Ταῦτα εἰ καὶ πολλοῦ γέμει θυμοῦ καὶ σφοδρᾶς κολάσεως καὶ τιμωρίας, ὅμως τοῦ πάθους τῶν αἰχμαλωτισθέντων ἐστὶ τὰ ῥήματα, πολλὴν ἀπαιτούντων τὴν τιμωρίαν καὶ ξένην τινὰ καὶ παράδοξον κόλασιν. πολλὰ γὰρ τῶν προφητῶν οὐκ οἴκοθεν φθέγγονται, ἀλλὰ ἑτέρων πάθη διηγούμενοι καὶ εἰς μέσον φέροντες. Ψαλ. ζ. δ. ἂν μὲν γὰρ τὴν αὐτοῦ γνώμην ζητῇς, ἄκουσον λέγοντος, Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, καὶ τὴν παρὰ τῶν νόμων δεδομένην αὐτῷ συμμετρίαν ὑπερβαίνοντος· ὅταν δὲ τὰ ἑτέρων διηγῆται πάθη, τὸν θυμὸν ὑπογράφει τὸν ἐκείνων. ὃ δὴ καὶ νῦν πεποίηκε, τὴν ἐπιθυμίαν τὴν τῶν Ἰουδαίων εἰς μέσον ἄγων, οἳ καὶ μέχρι τῆς ἀώρου ἡλικίας τὴν ὀργὴν ἐξέτεινον. ἀλλ' οὐ τὰ τῆς καινῆς τοιαῦτα, ἀλλὰ καὶ ποτίζειν καὶ τρέφειν τοὺς ἐχθροὺς κελευόμεθα, καὶ εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς. τοῦτο δὲ ποιῶμεν διὰ τὴν ὡρισμένην νομοθεσίαν. ποίαν δὲ ταύτην; ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν, φησι, πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πολλὴν τοίνυν ἐπιδειξώμεθα τὴν σπουδήν, καὶ μετὰ ἀκριβείας ἅπασαν φυλάξωμεν, ἅτε λοιπὸν ὡς ἐν οὐρανῷ πολιτευόμενοι ἐπὶ γῆς καὶ μετὰ ἀγγέλων χορεύοντες. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλζ. 1 ΕΞΟΜΟΛΟΓΗΣΟΜΑΙ ΣΟΙ, ΚΥΡΙΕ, ΕΝ ὅλῃ καρδίᾳ μου.

Πολλάκις ὑμῖν περὶ τούτου διελέχθημεν· διόπερ αὐτὸ παραδραμόντες ἐπὶ τὸ ἐχόμενον αὐτοῦ ἥξομεν. τί δὲ τοῦτό ἐστι; Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι. ὅπερ ἕτερος εἶπεν ἑρμηνευτής, παρρησίᾳ θεοῦ ᾄσω σε· ἄλλος, ἐναντίον θεῶν μελῳδήσω σοι. ἂν μὲν οὖν τοὺς ἐν οὐρανοῖς ἀγγέλους λέγῃ, τοιοῦτόν τί ἐστι τὸ λεγόμενον· ὅτι μετὰ ἀγγέλων ᾄδειν βιάσομαι, καὶ φιλονεικήσω τὴν ἅμιλλαν πρὸς αὐτοὺς θέσθαι καὶ συγχορεῦσαι ταῖς ἄνω δυνάμεσιν. εἰ γὰρ τῇ φύσει διέστηκα, ἀλλ' ὅμως τῇ προθυμίᾳ ἁμιλλήσομαι μετ' ἐκείνων εἶναι. εἰ δὲ κατὰ τὴν ἑτέρων ἔκδοσιν ἐκλάβωμεν τὸ εἰρημένον, δοκεῖ μοι περὶ τῶν ἱερέων τοῦτο εἰπεῖν. ἔθος γὰρ τῇ γραφῇ καὶ ἀγγέλους καλεῖν τοὺς ἱερέας καὶ θεούς· νῦν μὲν λέγουσα, Ἐξοδ. κβ. κη. Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· νῦν δέ, Μαλαχ. β. ζ. Χείλη ἱερέων φυλάξεται κρίσιν, καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν. ἂν τοίνυν τοῦτο ἐκλαβεῖν ᾖ, ἐκεῖνο νοεῖν δεῖ· ὅτι μετὰ τῶν ἱερέων, παρόντων αὐτῶν, μετὰ τῆς προσηκούσης εὐταξίας καταρχομένων, ἐκείνων προηγουμένων ἕψομαι καὶ ἀκολουθήσω καὶ ᾄσω σοι.

Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. Εἶδες εὐχαριστίαν, εἶδες προθυμίαν ἐπιτεταμένην. οὐ καθάπερ ἔνιοι τῶν ῥᾳθύμων καὶ διαλελυμένων· πρὶν ἢ μὲν λαβεῖν, σφοδροί τινές εἰσι, μετὰ δὲ τὸ λαβεῖν, ἀναπεπτωκότες· ἀλλ' οὗτος καὶ πρὶν ἢ λαβεῖν, ἐπίκειται, καὶ μετὰ τὸ λαβεῖν, μένει διηνεκῶς εὐχαριστῶν. ἐντεῦθεν δείκνυται, ὅτι καθαρὰν καὶ ἀρίστην ἐποιεῖτο τὴν εὐχήν, ἐκ τοῦ ἀκουσθῆναι παρὰ τοῦ Θεοῦ. τοῦτο γὰρ μάλιστα ἀκούεσθαι ποιεῖ, ὅταν κατὰ γνώμην αὐτοῦ ἡ εὐχὴ γίνηται· ὥστε καὶ τοῦ ἀκουσθῆναι ἡμεῖς κύριοι. ὅταν γὰρ ταῦτα αἰτῶμεν, ἃ τὸν Θεὸν ἄξιον δοῦναι, ὅταν μετὰ προθυμίας, ὅταν ἀξίους ἑαυτοὺς τοῦ λαβεῖν παρέχωμεν, ἀκούει καλούμενος, καὶ τὸ αἰτούμενον πληροῖ.

2 Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου. Οὐ μικρὰ καὶ τοῦτο ἀρετή, τὸ δύνασθαι ἐπιβαίνειν ναοῦ, καὶ ἐπιβαίνοντα, μετὰ καθαροῦ συνειδότος προσκυνεῖν. οὐ γὰρ δὴ τὸ κάμψαι γόνατα, οὐδὲ τὸ εἰσελθεῖν, τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλὰ τὸ μετὰ διανοίας θερμῆς καὶ γνώμης συντεταμένης, τὸ μὴ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ ἔνδον εἶναι· ὥσπερ οὐδὲ μικρὸν ἀξίωμα τὸ προσκυνεῖν τὸν ἐπὶ πάντων Θεόν, ὡς χρὴ προσκυνεῖν. εἰ γὰρ ἐπὶ τῶν βασιλέων ἐν ἀξιώματος τοῦτο κεῖται μέρει, πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων Θεοῦ. καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. τί ἐστι τοῦτο; εὐχαριστήσω σοί, φησιν, ὅτι πολλῆς ἀπέλαυσα κηδεμονίας. οὐ γὰρ ἀπὸ τῶν οἰκείων κατορθωμάτων ἔσχον τὸ ἀπολαβεῖν τὴν πατρίδα καὶ τὸν ναὸν ἰδεῖν, ἀλλ' ἀπὸ τοῦ ἐλέους καὶ τῆς φιλανθρωπίας σου. ἐπὶ τούτοις σε προσκυνήσω, ἐπὶ τούτοις ἐξομολογήσομαί σοι, ὅτι ἄξιον ὄντα κολάσεως καὶ τιμωρίας, διηνεκῶς ἐν ἀλλοτρίᾳ διατρίβειν δίκαιον ὄντα ταχέως ἐπανήγαγες.

3 Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. Ὃ λέγει τοιοῦτόν ἐστιν· οὐ διὰ τὰς εὐεργεσίας εὐχαριστήσω μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν δόξαν τὴν ἄφατον καὶ τὴν μεγαλωσύνην ἄπειρον, καὶ τὴν φύσιν τὴν ἄρρητον. ἐμεγάλυνας γάρ, φησιν, ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου· τουτέστι, διὰ τῶν εὐεργεσιῶν, διὰ τῶν στοιχείων, διὰ τῶν ἐν οὐρανοῖς, διὰ τῶν ἐν γῇ, διὰ τῶν κολάσεων, διὰ τῶν εἰς τοὺς πολεμίους, διὰ τῶν εἰς τοὺς οἰκείους. οὐκ ἔστι γὰρ οὐδὲν μέρος τῆς κτίσεως, τῆς ἄνω, τῆς κάτω, ὃ μὴ φωνὴν ἀφίησι σάλπιγγος λαμπροτέραν, ἀνακηρύττουσαν τοῦ ὀνόματός σου τὴν μεγαλωσύνην. κἂν ἀγγέλους τοίνυν εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν δαίμονας, κἂν τὰ ἀναίσθητα στοιχεῖα, κἂν λίθους, κἂν σπέρματα, κἂν ἥλιον, κἂν σελήνην, κἂν γῆν, κἂν πελάγη, κἂν νηκτά, κἂν πετεινά, κἂν λίμνας, κἂν πηγάς, κἂν ποταμούς, διὰ πάντων μέγα τὸ ὄνομά σου δείκνυται. ἕτερος δὲ ἀντὶ τοῦ, ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου, εἶπεν, ἐμεγάλυνας γὰρ ὑπὲρ πάντα τὰ ὀνόματά σου, τὴν ῥῆσίν σου. ἄλλος, τὸ λόγιόν σου.

4 Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ἄλλος, Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπεκαλεσάμην σε, ἐπήκουσάς μου. Τοῦτο καὶ ὁ αὐτὸς ἐπηγγείλατο λέγων, Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσῃ με, εἰσακούσομαί σου, καὶ ἐρῶ· Ἰδοὺ λαλοῦντός σου, πάρειμι. καὶ αὐτὸς δὲ αἰτεῖ. τοιαῦται γὰρ αἱ ὀδυνώμεναι ψυχαί· ταχίστην βούλονται τὴν ἀπαλλαγὴν τῶν δεινῶν ἰδεῖν. Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.

Ησ. νη. θ.

Μετέωρα λέγεται τὰ ὑψηλά, παρὰ τὸ μεταίρεσθαι· καὶ μετεωρισμοὶ θαλάττης, τὰ κύματα αὐτῆς καὶ τὰ ὑψώματα, παρὰ τὸ ὑψοῦσθαι καὶ ἐπαίρεσθαι. τὸ τοίνυν πολυωρήσεις ἐστίν, ἐπαρεῖς με, ὑψώσεις με. τοῦτο καὶ ἀλλαχοῦ τέθεικε λέγων, Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων· τουτέστιν, ἐπῆρας, ὕψωσας. οὕτω καὶ τὸ πολυωρήσεις με εἶπεν, ἵνα δηλώσῃ ὅτι ἐμπλήσεις με εὐφροσύνης πολλῆς καὶ μετέωρον ἐργάσῃ μου τὴν ψυχήν, καὶ τὸ πάντων μεῖζον, οὐκ ἀφήσεις μου τὸν μετεωρισμὸν τοῦτον καὶ τὴν εὐφροσύνην σαθρὰν γενέσθαι, ἀλλὰ δυνατὴν καὶ ἰσχυράν, βεβαίαν τε καὶ ἀκίνητον. τοῦτο γάρ ἐστι τό, πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. ὃ δὲ λέγει τοῦτό ἐστι· δυνάμει με πολυωρήσεις, ἰσχύϊ ὑψώσεις καὶ βοηθήσεις μοι. διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ ἐμφαίνων εἶπε, Συνέστης τῇ ψυχῇ μου. καλῶς δὲ εἶπε, τῇ ψυχῇ μου· ὅπερ μάλιστα Θεοῦ ἴδιόν ἐστιν, ἐν ταῖς θλίψεσιν ἀνακλᾶσθαι τὰς ψυχάς· καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε. μαστιζόμενοι γὰρ ἐπανήεσαν χαίροντες· οὕτως ἐπολυωρεῖτο αὐτῶν ἡ ψυχή.

Ψαλμ. ια. θ.

ψυχή. τοῦτο μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον, τοῦτο δείκνυσιν αὐτοῦ τὴν ἰσχύν, τὸ ἐν μέσοις τοῖς δεινοῖς μὴ ἐᾶν'' καταφέρεσθαι τὴν ψυχήν. γρ. [illegible]

5 Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. Ὅρα εὐγνωμοσύνην· οὐκ ἀρκεῖται τὸ μόνος εὐχαριστῆσαι, ἀλλὰ καὶ τοὺς κρατοῦντας ἅπαντας εἰς κοινωνίαν λαμβάνει τῆς εὐχαριστίας, αὐτοὺς τοὺς τὰ διαδήματα ἔχοντας. εἰ γὰρ καὶ μεγάλη αὐτῶν ἡ ἐξουσία καὶ δύναμις, ἀλλά σοι πάντες ὀφείλουσιν εὐχαριστεῖν καὶ ὑπὲρ τῶν εἰς ἑτέρους γεγενημένων. διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγε λέγων· ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. εἰ τοίνυν εὐχαριστοῖεν, μεγάλα ἐντεῦθεν καρπώσονται καὶ κερδανοῦσι. τοιαῦτα γάρ σου τὰ δῶρα πᾶσιν ἐν τῷ μέσῳ'' πρόκειται, ὥστε τοὺς βουλομένους μετέχειν τε καὶ ἀπολαύειν αὐτῶν. οὐδὲν οὕτως αὐτοὺς ἡ βασιλεία ὀνῆσαι δύναται τοιοῦτον, οἷον τὸ τῶν σῶν ἀκούειν ῥημάτων. τοῦτο αὐτοῖς ἀσφάλεια, τοῦτο ἰσχύς, τοῦτο κόσμος, τοῦτο εὐπρέπεια, * τοῦτο τῆς ἀρχῆς φαιδρότης τε καὶ δύναμις.

γρ. [illegible]

* τοῦτο βασιλεία.

6 Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίου. Ἕτερος δέ, Ἀδέτωσαν τὰς ὁδοὺς Κυρίου. Ἀντὶ μὲν οὖν ταῖς ᾠδαῖς Κυρίου, τοῦτο ἐστι τὸ εἰρημένον, ἐν τοῖς νόμοις σου λεγέτωσαν, ἐν τοῖς προστάγμασί σου. ἀντὶ δὲ τὰς ὁδούς σου, τὰ κατορθώματα ταῦτα, φησι, λεγέτωσαν, ὑμνείτωσαν, ἀνακηρυττέτωσαν· τοῦτο γάρ ἐστι τό, ᾀδέτωσαν. Ὅτι μεγάλη ἡ δόξα Κυρίου· Τουτέστι, πᾶσι κατάδηλος, πᾶσι σαφής, πᾶσι δήλη, περὶ τὰς ἁπάντων εὐεργεσίας παρεσκευασμένη, πάντας ὑπευθύνους ἔχουσα χάριτος.

7 Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ. Ὑψηλὸς τὴν φύσιν, φησίν, ὑψηλὸς τὴν οὐσίαν. ἀλλ' ἐνταῦθα τέως συγκαταβατικώτερον εἴρηται, πρὸς θεραπείαν τὴν Ἰουδαϊκήν, καὶ σωματικώτερον μᾶλλον. τὸ δὲ ἑξῆς καὶ τοῦτο διορθοῦται, καὶ εἰς μεγάλην διάνοιαν ἀνάγει καὶ τὸν ταπεινὸν ἀκροατήν. Τί δὲ τοῦτο ἐστι; Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐνταῦθα γὰρ περὶ προγνώσεως ὁ λόγος, ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστιν ἴδιον. διὸ καὶ ἐν τοῖς προφήταις πολλάκις διαλεγόμενος, ἐντεῦθεν ἀποτείνεται πρὸς τοὺς τῇ πλάνῃ τῶν εἰδώλων κατεχομένους. ἄλλος, καὶ τὸ ἐπηρμένον μακρόθεν διαγινώσκει. ἐπειδὴ γὰρ εἶπεν, ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, ἐπήγαγε καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει, δηλῶν ὅτι τὰ ὑψηλὰ οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ διαστήματος, τουτέστι, πρὶν ἢ ἐκβῆναι, πρὶν ἢ εἰς ἔργον ἐλθεῖν.

8 Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. Οὐκ εἶπεν, ὅτι τὴν θλῖψιν ἀπελάσεις, ἀλλ' ἐν αὐτοῖς μένοντα τοῖς δεινοῖς ζήσεις με· τουτέστι, διασῶσαι δυνήσῃ εἰς αὐτοὺς ἐμπεσόντα τοὺς κινδύνους· ὅπερ δὴ θαυμαστὸν καὶ παράδοξον, περιεστώτων τῶν λυπηρῶν καὶ τῶν ἐπιβουλευόντων, ἐν ἀσφαλείᾳ καταστῆσαι τὸν περιστοιχιζόμενον ὑπ' αὐτῶν. Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου. Ἕτερος, Κατὰ τῆς ἀναπνοῆς τῶν ἐχθρῶν μου ἐκτενεῖς. Εἶδες ἐφ' ἑκάτερα τὰ μέρη μεγίστην οὖσαν τὴν δύναμιν; ἐμέ τε γάρ, φησιν, ἐν μέσοις ὄντα τοῖς δεινοῖς διασῶσαι δυνήσῃ, ἐκείνους τε μαινομένους καὶ λυττῶντας καὶ πῦρ πνέοντας ταπεινῶσαι καὶ καταστεῖλαι. Καὶ ἔσωσέ με ἡ δεξιά σου. Ἄλλος, Καὶ σώσει με δεξιά σου· τουτέστιν, ἡ δύναμίς σου, ἡ ἰσχύς σου. Εὔπορος γὰρ ὁ Θεὸς καὶ εὐμήχανος καὶ ἐξ ἀπεγνωσμένων ἱκανὸς εἰς σωτηρίαν ἀναγαγεῖν.

9 Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. (Ἕτερος, Συντελέσει) τουτέστιν, ἀμυνεῖται τοὺς ἐχθρούς. Καὶ οὐκ εἶπεν, ἀμυνεῖται, ἀλλὰ ἀνταποδώσει, δηλῶν ὅτι κἂν ὑπεύθυνος ὦ, αὐτὸς καταβαλεῖ καὶ καταθήσει. Φιλάνθρωπος γάρ ἐστι. δυνατὸν δὲ τοῦτο καὶ

εἰς τὰ παρὰ τοῦ Χριστοῦ γινόμενα εἰς ἡμᾶς λέγεσθαι. αὐτὸς γὰρ ἀνταπέδωκεν ὑπὲρ ἡμῶν. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Δύο ταῦτα τίθησι δικαιώματα τοῦ τυχεῖν φιλανθρωπίας· ἓν μὲν, τὸ ἐλεήμονα αὐτὸν εἶναι καὶ ἀγαθὸν, καὶ ἐλεήμονα διηνεκῶς, ὡς μηδέποτε αὐτοῦ διακόπτεσθαι καὶ λήγειν τὴν φιλανθρωπίαν, μηδὲ ἐνδιδόναι· ἕτερον δὲ, τὸ δημιουργὸν αὐτὸν εἶναι καὶ ποιητήν. ἀλλ' ὥσπερ ἀπὸ τούτων ἀξιοῦμεν σώζεσθαι, οὕτω καὶ τοῦ ἐλέους ἄξιόν τι ἐπιδειξώμεθα. Ἐλεήσω γάρ, φησιν, ὃν ἂν ἐλεῶ. οὐ γὰρ ἁπλῶς ὁ ἔλεος ἔπεισιν, ἀλλ' ἔχει τινὰ καὶ αὐτὸς διάκρισιν. εἰ γὰρ δὴ ἁπλῶς ἐπῄει, οὐδεὶς ἂν ἐκολάσθη. ″ὥστε μὴ μόνον διὰ τὸ ἐλεεῖσθαι ἄξια πράττωμεν, ἀλλὰ καὶ διὰ τὸ παρὰ Θεοῦ γεγενῆσθαι. τὸ γὰρ ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντα καὶ τοιοῦτον ἐσχηκότα ποιητὴν καὶ βασιλέα, ἀξίαν τῆς κηδεμονίας αὐτοῦ καὶ τῆς τοιαύτης προνοίας πολιτείαν ἐπιδείκνυσθαι χρή. ἂν ταῦτα ποιῶμεν, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρωμ. θ. ιε.

γρ. διὸ καὶ τοῦ ἐλεεῖν ἄξια πράττωμεν, καὶ τὸ παρὰ τοῦ Θεοῦ γεγενῆσθαι.

Ψαλμ. ρλη. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΝΙΚΟΠΟΙΩ.

1 Κύριε, ἐδοκίμασάς με, καὶ ἔγνως με.

Τί λέγεις; μετὰ τὸ δοκιμάσαι οἶδεν ὁ Θεός, πρὸ δὲ τοῦ δοκιμάσαι οὐκ οἶδεν; οὐχί, μὴ γένοιτο. πῶς γάρ, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; ἀλλὰ τὸ, ἐδοκίμασάς με, ἀκριβῶς ἐπίστασαί μέ ἐστιν. ὥσπερ γὰρ ὁ ἀπόστολος ὅταν λέγῃ, ὅτι ἐρευνᾷ τὰς καρδίας, οὐκ ἄγνοιαν ἐμφαίνων λέγει, ἀλλὰ τὴν ἀκριβῆ εἴδησιν, οὕτω καὶ οὗτος λέγων, ἐδοκίμασας, τὴν γνῶσιν τὴν σαφεστάτην δηλοῖ, τουτέστιν ἀκριβῶς ἐπίστασαί με. Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου.

Καθέδραν καὶ ἔγερσιν, τὸν βίον ἅπαντά φησιν (ἐν γὰρ τούτοις ἡμῶν ὁ βίος) τὰς πράξεις, τὰς ἐνεργείας, τὰς εἰσόδους, τὰς ἐξόδους. εἶτα ἐπειδὴ ἀρχόμενος ἔλεγεν, ἐδοκίμασάς με, ἵνα μή τις τῶν ἀνοήτων νομίζῃ, ὅτι ἀπὸ δοκιμῆς οἶδεν, ἢ ἀπὸ πείρας πραγμάτων, διὰ τὸ εἰπεῖν, ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, ὅρα πῶς αὐτὸ διορθοῦται διὰ τῆς ἐπαγωγῆς, ἧς ἐπήγαγε λέγων· 2 Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. Δείκνυσι γὰρ διὰ τούτου, ὅτι οὐχὶ δοκιμασίᾳ οἶδεν, οὐδὲ δεῖται τοῦ δοκιμάσαι, ἀλλὰ προγνωστικῇ δυνάμει πάντα ἐπίσταται. ὁ γὰρ λογισμοὺς εἰδὼς ἐπὶ τῷ νῷ κειμένους, οὐ δεῖται τῆς διὰ τῶν ἔργων δοκιμασίας. ἄλλως δέ, οὐδὲ κινουμένους μόνον ἐν τῷ νοῒ οἶδεν, ἀλλὰ καὶ πρὶν ἢ κινηθῆναι· καὶ οὐδὲ ἁπλῶς πρὶν ἢ κινηθῆναι, ἀλλὰ καὶ πρὸ πολλοῦ τοῦ χρόνου. διὸ ταῦτα δηλῶσαι βουλόμενος, ἐπήγαγε τό, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. καὶ εἰ οἶδε, φησί, τοὺς διαλογισμούς, τίνος ἕνεκεν ἐπάγει τὴν διὰ τῶν ἔργων δοκιμήν; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοὺς ὑπομένοντας δοκίμους ἐργάσηται· ἐπεὶ καὶ τὸν Ἰὼβ ᾔδει πρὸ τῆς πείρας· διὸ καὶ ἐμαρτύρει λέγων, ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής. ἀλλ' ἐπήγαγε τὴν πεῖραν, ὥστε ἐκεῖνον τὸν καρτερικώτερον ἐργάσασθαι, καὶ τοῦ διαβόλου τὴν πονηρίαν ″ἐλέγξαι, καὶ τοὺς ἄλλους σπουδαιοτέρους διὰ τοῦ παραδείγματος ποιῆσαι. καὶ τί θαυμάζεις εἰ ἐπὶ τοῦ Ἰὼβ τοῦτο πεποίηκεν, ὅπου γε καὶ ἐπὶ τῶν ἁμαρτωλῶν τοῦτο αὐτὸ ἐργάζεται; τοὺς γὰρ Νινευΐτας ᾔδει σαφῶς οὐκ ἀξίους ὄντας ἀπολέσθαι, ἀλλὰ διὰ τῆς μετανοίας βελτίους ἐσομένους, ″καὶ ὅμως ἐπάγει καὶ τὴν διὰ τῶν πραγμάτων πεῖραν· καὶ πανταχοῦ πολλὰς ἀποδείξεις παρέχεται

γρ. ἐμφράξαι.

γρ. ἀλλ' ὅμως

τῆς αὐτοῦ κηδεμονίας καὶ φιλανθρωπίας, οὐκ ἀρκούμενος τῇ αὐτοῦ γνώσει. διὰ τοῦτο
Ιωαν. ι. καὶ ὁ μονογενὴς ἔλεγεν· Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. εἰ δὲ ποιῶ,
κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε. ἐπειδὴ γὰρ πολλοὶ παχύτεροι τὴν γνώμην
ὄντες καὶ ἀναίσθητοι πολλὰ τοιαῦτα φθέγγονται, ὅτι τὸν δεῖνα ἐξελέξατο, καὶ τὸν δεῖνα ἐφίλησε,
καὶ τὸν δεῖνα ἐμίσησε, διὰ τοῦτο ὁ μὲν πονηρὸς, ὁ δὲ φαῦλος ἐγένετο, ἀπὸ τῶν πραγμάτων
πείθει τὴν ἑκάστου τούτων διορθούμενος γνώμην, καὶ παράγων εἰς μέσον τὴν ἀπὸ
τῶν ἔργων ἀπόδειξιν. καὶ ἀποφαίνεται μὲν καὶ πρὸ τῶν πραγμάτων ὅτι ἐνάρετος ὁ δεῖνα,
ἵνα μάθωσιν αὐτοῦ τὴν προγνωστικὴν δύναμιν· ἐπάγει δὲ καὶ τὴν διὰ τῶν πραγμάτων
πληροφορίαν, ἵνα μή τις τῶν ἀνοήτων εἴπῃ, ὅτι διὰ τὴν πρόρρησιν ὁ δεῖνα τοιοῦτος
Ρω. θ. ια. ἦν. ὅρα γοῦν καὶ ὁ Παῦλος πῶς τοῦτο δηλοῖ λέγων· Μήπω γὰρ γεννηθέντων, μηδὲ
πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ οὐκ ἐξ
ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. οὐδὲ
γὰρ δεῖται ἀναμεῖναι τῶν ἔργων τὸ τέλος, ἀλλὰ καὶ πρὸ τούτων οἶδεν αὐτὸς τὸν φαῦλον καὶ
τὸν οὐ τοιοῦτον ἐσόμενον. Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας.

3 Καὶ πάσας τὰς ὁδούς μου προεῖδες.

Ὥσπερ καθέδραν καὶ ἔγερσιν τὰς πράξεις λέγει ἀπὸ τῆς κοινῆς συνηθείας (καὶ γὰρ
πολλάκις καὶ ἡμεῖς λέγομεν, οἶδεν ὁ δεῖνα πῶς κάθηται, πῶς ἐγείρεται, τὴν ἀκριβῆ αὐτοῦ
γνῶσιν μαρτυροῦντες) οὕτω τρίβον καὶ σχοῖνον ἐνταῦθα, τὴν ζωὴν αὐτοῦ πᾶσαν λέγει· διὸ
καὶ ἐπάγει· καὶ πάσας τὰς ὁδούς μου προεῖδες. καὶ τὸ ἐξιχνίασας δὲ, οὐ ζητοῦντός ἐστιν, οὐδὲ
ἐρευνῶντος, ἀλλὰ ἀκριβῶς ἐπισταμένου. καὶ τοῦτο δεικνὺς ἐπήγαγε, προεῖδες· τουτέστι,
πρὶν ἢ γενέσθαι, οἶδας πάσας τὰς πράξεις τὰς πονηρὰς καὶ τὰς ἀγαθάς. Ὅτι
οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. Ἄλλος, Ἑτερολογία. Τοῦτο μέγιστον τεκμήριον
Ματθ. ιη. γ. ἀρετῆς, τοῦτο κεφάλαιον τῶν ἀγαθῶν, τοῦτο ὃ μάλιστα ὁ Χριστὸς ἐπιζητεῖ λέγων· Ἐὰν
μὴ στραφῆτε καὶ γένησθε, ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν,
τὸ ἄκακον καὶ τὸ ἄδολον, τὸ ἄπλαστον καὶ ἀφελὲς αἰνιττόμενος. διὸ καὶ ἰδιώτας ἐξελέξατο
καὶ ἔλεγεν, ἐξομολογοῦμαί σοι, πάτερ, ὅτι ἀπέκρυψας αὐτὰ ἀπὸ σοφῶν καὶ συνετῶν,
καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ὅρα· οὐκ εἶπεν, ὅτι ἐδεξάμην καὶ ἀπέβαλον τὸν δόλον,
ἀλλ' ὅτι οὐδὲ ἐγένετό ποτε, οὐδὲ ἐπέβη τῆς γλώττης τῆς ἐμῆς τουτὶ τὸ νόσημα, ἀλλ' ἄβατος
ἡ πονηρία ἀπ' ἐμοῦ αὐτὴ γέγονεν.

4 Ἰδοὺ, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα, καὶ τὰ ἀρχαῖα. Οὐ τοὺς διαλογισμοὺς
μόνον οἶδας, φησιν, οὐδὲ τὰς πράξεις μου, οὐδὲ τὰς ὁδούς μου, ἀλλὰ πάντα
τὰ γενόμενα καὶ τὰ ἐσόμενα. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Ἀπὸ τῆς προγνωστικῆς δυνάμεως ἐπὶ τὴν δημιουργικὴν μετέβη, καὶ ἀπὸ τῆς δημιουργικῆς
πάλιν ἐπὶ τὴν προνοητικήν. οὐ γὰρ δὴ μόνον οὐκ ὄντας ἐποίησεν, ἀλλὰ καὶ
Ἑβρ. α. γενομένους διακρατεῖ. ταῦτα ἑκάτερα καὶ ὁ Παῦλος μαρτυρεῖ τῷ Χριστῷ λέγων· Πολυμερῶς
καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις,
ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων. εἶτα ἐπαγαγὼν
λέγει καὶ τὴν δημιουργίαν· δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. καὶ περὶ τῆς οὐσίας δὲ αὐτοῦ
διαλεχθεὶς καὶ εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ,
δείκνυσι καὶ τὴν προνοητικὴν αὐτοῦ δύναμιν, λέγων· φέρων τε τὰ πάντα τῷ ῥήματι
Κολ. α. τῆς δυνάμεως αὐτοῦ. καὶ Κολοσσαεῦσιν ἐπιστέλλων τὰ αὐτὰ πάλιν ἔλεγεν· Ὅτι ἐν αὐτῷ
ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε
ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάν-

των.

τον. τοῦτο τῆς δημιουργίας αὐτοῦ. Εἶτα τὴν προνοητικὴν δηλῶν, ἐπάγει· καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. Ταῦτα πάλιν καὶ Ἰωάννης ἀμφότερα ἐνδεικνύμενος ἔλεγε· Πάντα Ιω. α. γ. δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· τοῦτο τὴν δημιουργίαν εἶπεν ἐμφαίνων, εἶτα τὴν πρόνοιαν· ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Οὕτω καὶ ἐνταῦθα ὁ προφήτης ἀρξάμενος λέγει, σὺ ἔπλασάς με· τοῦτο τῆς δημιουργίας. Εἶπε καὶ τὸ τῆς προνοίας· καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Τί ἐστιν, ἔθηκας; διακρατεῖς, συγκροτεῖς, διαβαστάζεις. ὅπερ καὶ ὁ Παῦλος δηλῶν, Ὅτι ἐν αὐτῷ, εἶπε, καὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Πράξ. ιζ. κη. οὐ γὰρ δὴ μόνον ἐν τῷ γενέσθαι, ἀλλὰ καὶ ἐν τῷ εἶναι καὶ μένειν δεόμεθα αὐτοῦ τῆς δυνάμεως.

5 Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

Ἄλλος, Ὑπερβάλλει με. ἀντὶ δὲ τοῦ, ἐκραταιώθη, ἕτερος ὑπερεπήρθη. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· καὶ προνοίας ἀπολαύω τῆς σῆς, καὶ εἰδὼς ὅτι πάντα προοῖδας, καὶ ὅτι ἐξ οὐκ ὄντων με ἐποίησας, ὅμως τὴν περὶ σοῦ γνῶσιν ἀκριβῆ καὶ σαφῆ πᾶσαν ἔχειν οὐ δύναμαι, ἀλλ' ἐθαυμαστώθη, τουτέστιν, ὑπερέβαλεν, ἐπήρθη ὑπὲρ ἐμέ, ἰσχυροτέρα ἐγένετο ἢ ὥστε καταληφθῆναι τοῖς ἐμοῖς λογισμοῖς· οὕτως ἐστὶ θαυμαστή, οὕτως ἐστὶ μεγάλη. Τί οὖν, εἰ θαυμαστὴ μέν ἐστι καὶ μεγάλη, δύναται δὲ καταληφθῆναι; οὐδαμῶς. διὰ γὰρ τοῦτο ἐπήγαγεν, οὐ δύναμαι πρὸς αὐτήν, ἵνα μὴ τοῦτο λέγῃς. ὅταν δὲ εἴπῃ γνῶσιν, οὐ τοῦτο λέγει, ὅτι ἀγνοεῖ τὸν Θεόν, ἀλλ' ὅτι παντελῆ καὶ σαφῆ τὴν περὶ αὐτοῦ γνῶσιν οὐκ οἶδε· ὅπερ φησὶν ὁ Παῦλος· Ὅτι μέν ἐστιν, ἴσμεν· τὸ δὲ τί τὴν οὐσίαν ἐστὶν, ἀγνοοῦμεν. Ἑβρ. ια. ς. πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἐστίν, οὐ μὴν δὲ τί τὴν οὐσίαν ἐστί· τοῦτο γὰρ οὐκ ἔστι γνώριμον. ὅτι φιλάνθρωπος οἴδαμεν, ὅτι χρηστός, ὅτι ἀγαθός· τὸ δὲ πόσον ἀγνοοῦμεν. ἀλλ' οὐδὲ ταῦτα πάντα παραδραμών, ἕτερον δοκοῦν εὐκαταληπτότερον εἶναι προβάλλεται, καὶ αὐτό φησιν ἀγνοεῖν. οὐ γὰρ δὴ λέγω τὸ τί τὴν οὐσίαν ἐστί, φησιν, οὐδὲ τὸ πόσον ἀγαθός (ὡμολόγηται γὰρ ὅτι ταῦτα ἀκατάληπτα) ἀλλὰ καὶ πῶς πανταχοῦ ἐστιν, εἰπεῖν οὐκ ἔχω· ἀλλὰ καὶ τοῦτο ἀνώτερον τῆς ἡμετέρας καταλήψεως. διὸ εἰπών, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐπήγαγε·

6 Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; 7 Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· 8 Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης (Ἄλλος, Καταμείνω) 9 Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

Πνεῦμα καὶ πρόσωπον, αὐτὸν τὸν Θεόν φησι· τουτέστι, ποῦ πορευθῶ ἀπὸ σοῦ; πάντα πληροῖς, πᾶσι πάρει, οὐ κατὰ μέρος, ἀλλ' ὁμοῦ πᾶσιν ὅλος. καὶ εἰπὼν τὰ ἄνω, τὰ κάτω, πλάτος, μῆκος, βάθος, ὕψος, πανταχοῦ αὐτὸν παρεῖναι δηλοῖ. καὶ οὐκ εἶπεν, ὅπου ἂν ἀπέλθω, ἀκολουθήσεις μοι καὶ καθέξεις με, ἀλλ' ὅπου ἂν ἀπέλθω, ἐκεῖ εἶ, τουτέστιν, ἐκεῖ σε εὑρίσκω προλαμβάνοντά με. διὰ τοῦτο λέγει, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. καὶ εἰ μὴ οἶδας αὐτὴν ἀκριβῶς, φησί, πῶς οἶδας ὅτι θαυμαστή; δι' αὐτὸ μὲν οὖν τοῦτο οἶδα ὅτι θαυμαστή, ὅτι ὑπερβάλλει μου τὸν λογισμόν, ὅτι νικᾷ μου τὴν διάνοιαν. ἐπεὶ καὶ τὴν ἡλιακὴν ἀκτῖνα οὐ δυνάμεθα σαφῶς καταμαθεῖν, καὶ ὅμως δι' αὐτὸ τοῦτο μάλιστα θαυμάζομεν· οὕτω δὴ καὶ ἐπὶ τῆς τοῦ Θεοῦ γνώσεως, οὔτε καθόλου αὐτὴν ἀγνοοῦμεν (οἴδαμεν γὰρ ὅτι * ἐστί, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι χρηστὸς καὶ ἐπιεικής, καὶ ὅτι πανταχοῦ) τὸ δὲ τί τὴν οὐσίαν ἐστίν, * ἢ πῶς πανταχοῦ, τοῦτο ἀγνοοῦμεν. Εἰπὼν τοίνυν ἀφ' ὧν ἐθαυμαστώθη ἡ γνῶσίς σου, καὶ ἀνακηρύξας αὐτοῦ τὸ προγνωστικόν, τὸ δημιουργικόν, τὸ προνοητικόν, τὸ ἀκατάληπτον, τὸ ἀνερμήνευτον τῆς οὐσίας, πάλιν ἕ-

* [illegible]

* ἢ πόσον τὰ [illegible]

πέραν αὐτοῦ διηγεῖται δύναμιν, καὶ αὐτὴν πολλῆς ἀπορίας γέμουσαν, εἰ λογισμοῖς ζητοῖτο. καὶ γὰρ καὶ αὐτὴ ἀκατάληπτος. τίς δέ ἐστιν αὕτη; τὸ, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου· τουτέστι δύνασαι ἐμπεσόντας ἀνθρώπους εἰς τὰ δεινὰ μὴ ἀφεῖναι ἁλῶναι τοῖς δεινοῖς, καὶ ἐν αὐτοῖς ὄντας τοῖς δεινοῖς. ἑτέραν δὲ ἑρμηνείαν ἐπήγαγεν.

10 Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

11 Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. Εἰπὼν ἄνω ταῦτα ἅπερ ἀπηριθμησάμην, καὶ μετ' ἐκείνων ὅτι οὐ μόνον πάρεστι πανταχοῦ, ἀλλ' ὅτι καὶ ὁδηγεῖ καὶ ἀσφαλίζεται καὶ τειχίζει, ἐπάγει λοιπὸν καὶ ἐν τούτῳ δεικνὺς τὸ παράδοξον, οὐ μόνον ὅτι τειχίζει καὶ ἀσφαλίζεται, ἀλλ' ὅτι καὶ ὑπὲρ αὐτὴν τῶν πραγμάτων τὴν φύσιν. καὶ εἶπα, ἄρα σκότος καταπατήσει με. Ἄλλος, Ἐὰν εἴπω, ἴσως ἐπισκεπάσει με. Ἄλλος, Καλύψει με. σκότος ἐνταῦθα τὴν θλίψιν σημαίνει. ὃ δὲ λέγει τοῦτό ἐστι· περιεστοιχίσθην ὑπὸ τῶν δεινῶν, καὶ εἶπον ἐν ἐμαυτῷ, ὅτι περιέσται μου τὰ δεινά. τοῦτο γάρ ἐστι τὸ, σκότος καταπατήσει με. ἕτερός φησι, σκότος καλύψει με. καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. ἕτερος, νὺξ φωτεινὴ περὶ ἐμέ. τί δὴ τοῦτό ἐστιν; ἐγώ, φησι, ταῦτα μὲν εἶπον ἀπὸ τῆς τῶν πραγμάτων φύσεως ἀναλογιζόμενος. ἀθρόον δὲ τὰ δεινὰ εἰς ἀγαθὰ μετεβλήθη. ἀλλὰ μενόντων τῶν δεινῶν ἐγὼ πολλῆς ἀπέλαυον τῆς χρηστότητος. οὐ γὰρ εἶπεν ὅτι νὺξ ἠφανίσθη, ἀλλ' ὅτι ἡ νὺξ φωτεινὴ ἦν· τουτέστι, μένουσα νὺξ ἡ νύξ. δηλοῖ δὲ ὅτι τὰ δεινὰ καὶ αἱ συμφοραὶ (ταῦτα γὰρ τῷ τῆς νυκτὸς ὀνόματι δηλοῖ) οὐκ ἴσχυσάν με καταπατῆσαι, ἀλλ' ἐγένετο ἐν τῇ νυκτὶ φῶς, τουτέστιν, ἀντίληψις περὶ ἐμέ. τὰ γὰρ ἐναντία ἐν τοῖς ἐναντίοις καὶ γίνεται καὶ φαίνεται, ὅταν ὁ Θεὸς βούληται. ἢ οὐκ εἶδες καὶ κάμινον ἀναπτομένην καὶ δρόσον διασυρίζουσαν, καὶ οὔτε ἐκείνην σβεννυμένην, οὔτε ταύτην ξηραινομένην; καὶ χάλαζαν καὶ φλόγα ὁμοῦ; πόθεν οὖν γέγονεν, εἰπέ μοι; πῶς δὲ ἐγένετο, βούλομαι μαθεῖν· μᾶλλον δὲ οὐ μαθεῖν βούλομαι τὸν τρόπον (οὔτε γὰρ δυνατὸν) πιστεύω δὲ τῷ γεγενημένῳ καὶ προσκυνῶ τὸν ποιήσαντα. τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. οὐκ εἶδες ὅτι ἡμέρας οὔσης ἐψηλάφων οἱ Αἰγύπτιοι ὡς ἐν σκότει, καὶ σκότους τὰ πάντα κατέχοντος ἑώρων οἱ Ἰσραηλῖται, καὶ παρὰ τὴν ἀρχὴν πάλιν σκότους ὄντος τὸ φῶς ἔλαμψεν ἐν τῷ μέσῳ; πανταχοῦ γὰρ τῆς τῶν πραγμάτων φύσεως κύριος ὁ ποιήσας, οὐχ ὥστε παραγαγεῖν οὐκ ὄντα, ἀλλ' ὥστε μένοντα ἐν τῇ φύσει ἑτέρως παρασκευάζειν αὐτὰ δείκνυσθαι. ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ. ἕτερος, παρὰ σοί. καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. ἕτερος, ἀλλὰ καὶ νὺξ ὡς ἡμέρα φανεῖ. ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. ἕτερος, ὅμοιον τὸ σκότος καὶ τὸ φῶς αὐτῆς. καλῶς εἶπεν ἀπὸ σοῦ, τουτέστι, παρὰ σοὶ, δηλῶν ὅτι ἐὰν σὺ βουληθῇς, τὸ σκότος οὐκ ἔσται σκότος, ἀλλὰ τὸ φῶς ἐπιδείξεται. διὸ ἐπήγαγε τὸ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται, σαφέστερον τὸ πρότερον ποιῶν. καὶ δείκνυσιν ὅτι τὰς ἡμέρας οὕτως ἐπιδείξεται ἡ νὺξ, ὡς τὰ ἴδια. ὅταν γὰρ ὁ Θεὸς βουληθῇ, πρὸς τὰ ἐναντία μεθίσταται τῶν στοιχείων ἡ ἐνέργεια, οὕτως ἀκριβῶς πρὸς τὰ ἐναντία, ὡς πρὸς τὰ οἰκεῖα, ὡς παρὰ τὴν ἀρχὴν κεκλήρωτο. ἐὰν γὰρ σὺ βουληθείης, τοιαύτη ἐστὶν ἡ νύξ, καὶ οὕτως ἕξει τὸ φῶς συγκεκληρωμένον, ὥσπερ τὸ σκότος. διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγε τὸ, ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. ταῦτα εἴρηται μὲν κυρίως ἐπὶ τῶν στοιχείων· μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν πραγμάτων, [ἀφ' ὧν δείκνυται] ὅτι δύναται ὁ Θεὸς ἐν ταῖς θλίψεσι τοσαύτην ἄνεσιν ποιῆσαι τοῖς ἐμπίπτουσιν, ὅσην οὐδὲ τοῖς ἐν ἀνέσει οὖσι, προνοῶν τῆς θλίψεως. τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτο, ὅπερ δὴ καὶ ἐπὶ τοῦ Ἰωσὴφ γέγονεν. οὐ γὰρ τοσαύτης ἐκεῖνος ἀπέλαυεν ἀνέσεως καὶ τιμῆς τὴν πατρῴαν οἰκίαν οἰκῶν, ὅσην πραθεὶς καὶ ἐν βαρ-

βαρικῇ περιφερόμενος οἰκίᾳ, καὶ δι' αὐτὴν τὴν ἐπιβουλὴν αὐτῷ τὸ διάδημα ὑφαίνετο, καὶ ἡ ἁλουργὶς κατεσκευάζετο, καὶ ἡ τῆς ἀτιμίας ὑπόθεσις, αὕτη τιμῆς αὐτῷ καὶ βασιλείας ἀφορμὴ γέγονεν. Εἶδες πῶς ἡρμήνευσεν, ὅτι νὺξ ὡς ἡμέρα φωτισθήσεται· πρὸς γὰρ τὸ, ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς, πάλιν ἀνάγκη τὸ αὐτὸ εἰπεῖν, ὥσπερ ἐκεῖνο, οὕτω καὶ τοῦτο αὐτῆς ἔσται, οὐ φαντασίᾳ, ἀλλὰ σοῦ τοῦ Κυρίου τῶν φύσεων τὰ πράγματα μετατιθέντος.

12 Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

Καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; πολλὴ μὲν οὖν καὶ σφόδρα συνημμένη. ἐπειδὴ γὰρ εἶπε περὶ τῆς δυνάμεως αὐτοῦ τῆς τοσαύτης, δείκνυσι λοιπὸν ὅτι τῇ δυνάμει ταύτῃ εἰς τὸ τοῖς ἀνθρώποις χρήσιμον κέχρηται, καὶ πρὸς εὐεργεσίαν. ἵνα γὰρ μή τις λέγῃ τῶν ἀνοήτων, καὶ τί ταῦτα πρὸς ἐμὲ, εἰ μέγας καὶ δυνατὸς καὶ προγνωστικός; δεῖξον εἴ τι κερδαίνομεν ἐντεῦθεν, ἐπήγαγε τὸ, ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀπὸ μέρους τὸν πάντα λέγων ἄνθρωπον. οὐ μικρὸν δὲ τοῦτο εἰς ἐγκωμίου μέρος καὶ προνοίας, τὸ κτῆμα εἶναι Θεοῦ. ὁ γὰρ κτώμενος, καὶ κήδεται καὶ προνοεῖ. διὸ καὶ τοῦτο δηλῶν προστίθησι τὸ ἑξῆς λέγων· ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου· τουτέστι, διὰ παντός με ἐτείχισας, προενοήσω, ἠσφαλίσω, ἐκ πρώτης ἡλικίας, ἐξ αὐτῶν τῶν σπαργάνων· καὶ ταῦτα διὰ τῶν ἔργων αὐτῶν ἐπαίδευσας ἅπερ εἶπον.

13 Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης. θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

Τί ἐστι τοῦτο; ἔπλασάς με, φησὶν, ἀλλ' οὐκ οἶδα πῶς ἔπλασας· προνοεῖς, ἀλλ' οὐ δύναμαι πᾶσαν ὁμοῦ περιλαβεῖν τὴν πρόνοιαν τοῖς λογισμοῖς· πανταχοῦ ὑπάρχεις, ἀλλ' οὐδὲ τοῦτο ἐπίσταμαι· τὰ μέλλοντα προοῖδας καὶ τὰ προεγγεγλυμμένα καὶ τὰ ἀπόρρητα τῆς διανοίας τῶν ἀνθρώπων, ἀλλ' οὐδὲ τοῦτο καταλαβεῖν δύναμαι λογισμοῖς. μεταβάλλεις γὰρ τῶν πραγμάτων τὰς φύσεις, καὶ μενούσας τὰ ἐναντία ἐπιδείκνυσθαι παρασκευάζεις, καὶ τὰ ἐναντία οὕτω πάλιν ἐξάγεις, ὡς οἰκεῖα καὶ κατὰ φύσιν συγκεκληρωμένα. Ταῦτα δὴ πάντα συναγαγὼν καὶ ἐκπληττόμενος εὐθὺς, ἀνέκραξε λέγων μέγα· ἐξομολογήσομαί σοι ὅτι φοβερῶς, ἐθαυμαστώθης· τουτέστι, θαυμαστὸς ἐφάνης καὶ θαυμαστὸς εἶ· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. καὶ τί λέγω, φησὶ, περὶ σοῦ, ὅπουγε καὶ τὰ ὑπὸ σοῦ γινόμενα πολὺ τὸ θαῦμα ἔχει; εἶτα ἀφεὶς ἅπαντα ἐπεξελθεῖν, ἀρκεῖται τῇ οἰκείᾳ γνώσει λέγων, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ μετὰ ἐπιτάσεως, φησι, μετὰ σφοδρότητος. καὶ εἰ γινώσκει, πῶς ἔλεγεν ἔμπροσθεν, ὅτι ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν; μάλιστα μὲν οὖν ἐκεῖνο περὶ αὐτοῦ εἴρηται, τοῦτο δὲ περὶ τῶν ἔργων· εἰ δὲ καὶ περὶ αὐτοῦ οὕτω, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι γινώσκει, ὅτι θαυμαστὸς, ὅτι μέγας, ὅτι ὑψηλός· τὸ δὲ τίνα οὐσίαν (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) καὶ πῶς ἡ μεγαλωσύνη, καὶ τίς ὁ τρόπος τῶν εἰρημένων, ἀγνοεῖ. ἀλλ' ἡ ἄγνοια αὕτη γνώσεώς ἐστιν ἀπόδειξις, εἰ καὶ θαυμαστὸν τὸ εἰρημένον. ἐπεὶ καὶ τὴν θάλατταν πηλίκη τίς ἐστιν ἀγνοοῦμεν, καὶ ὅμως δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἴσμεν θάλατταν, ὅτι ἀγνοοῦμεν αὐτῆς τὸ μέτρον. εἰ δέ τις λέγει εἰδέναι αὐτῆς τὴν ποσότητα, οὗτος μάλιστά ἐστιν ὁ ἀγνοῶν αὐτήν. ὥστε ἔστιν ἐπαγγελία γνώσεως ἄγνοιαν ἐλέγχουσα, καὶ ἔστιν ἄγνοια γνῶσιν ἡμῖν μαρτυροῦσα.

14 Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Πάλιν περὶ τῆς γνώσεως αὐτοῦ διαλέγεται, καὶ πάντα ταῦτα εἰδέναι δείκνυσιν αὐτόν. ἢ οὖν πάντα αὐτοῦ τὰ ἀπόρρητα λέγει, ἢ ἕτερόν τι αἰνίττεται, τὴν δημιουργίαν καὶ τὴν διάπλασιν· καὶ ὅτι οὐδὲ πλαττομένου τι ἠγνόησας, ἀλλὰ πάντα ἠπίστασο, καὶ μικρὰ τῆς φύσεως ὑφαινούσης καὶ ἐν ἀποῤῥήτῳ αὐτῆς ἐργαζομένης καὶ ὡς ἐν κατωτάτοις τῆς γῆς· ἀλλ' ὅμως σοί, φησι, πάντα γυμνὰ καὶ τετραχηλισμένα. ἕτερος δὲ ἑρμηνευτὴς οὕτως εἶπεν· οὐκ ἐπεκαλύφθη ὀστᾶ μου, οἷς ἐποιήθην ἐν ἀποκρύφῳ. ἕτερος, οὐκ ἔλαθεν ἡ κραταίωσίς μου, ἣν ἐποιήθην ἐν τῷ κρυπτῷ· ἐποικίλθην ὡς ἐν κατωτάτοις τῆς γῆς. ἄλλος, οὐκ ἔλαθεν ἡ δύναμίς μου, τὰ ὀστᾶ μου, ἀπὸ σοῦ. ὅτι καὶ ἐποιήθην ἐν κρυπτῷ, καὶ ἐξηκονίσθην ἐν τοῖς κατωτάτοις τῆς γῆς. πάντες μὲν οὖν ταὐτὰ λέγουσιν, ὅτι ἀκριβῶς καὶ πλαττόμενόν με ἐπίστασαι κατὰ μέρος, καὶ μέχρι τῶν μελῶν ἑκάστου οἶδας, καὶ τῆς αὐξήσεως· Λουκ. ιβ. ὅπερ καὶ ὁ Χριστὸς λέγει, Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσίν. ὁμοῦ δὲ καὶ περὶ προνοίας καὶ γνώσεως ἐμφαίνων ὁ λόγος ἐστί.

15 Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου.

Η δὲ αὐτὸ πάλιν φησίν, ὅτι καὶ ἀμόρφωτόν με ᾔδεις (καὶ γὰρ ἕτερος οὕτως εἶπεν, ἀμόρφωτόν με εἶδον οἱ ὀφθαλμοί σου) ἢ περὶ τῶν πράξεων αὐτῶν, ὅτι καὶ τὸ μηδέπω πραχθὲν εἶδον οἱ ὀφθαλμοί σου. Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται, ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς.

Ἀσαφὲς τὸ εἰρημένον· ἀλλὰ δεῖ ἐκ τῆς ἀκολουθίας, καὶ τοῦ ἑτέρου ἑρμηνέως αὐτὸ θηρεῦσαι. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι, συμφωνοῦν τῷ προτέρῳ. τί δὲ ἦν τὸ πρότερον; ἀμόρφωτόν με εἶδον οἱ ὀφθαλμοί σου· τουτέστι, μηδέπω λαβόντα τύπον, ἔτι πλαττόμενον, ἔτι ὑφαινόμενον. καὶ οὕτω με εἶδον σαφῶς, ὡς ἐκεῖνον τὸν μεμορφωμένον, ὡς ἐκεῖνον τὸν τετυπωμένον, ὡς ἐκεῖνον πεπληρωμένον, καὶ οὐδεμιᾶς ἡμέρας ἔτι δεόμενον πρὸς τὴν ἀπάρτισιν. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς ἑρμηνείας τοῦ ἑτέρου. ἀμόρφωτόν με προεῖδον οἱ ὀφθαλμοί σου σὺν τοῖς ἐν τῇ βίβλῳ σου πᾶσι γεγραμμένοις, ἡμέρας πλασσομένοις, οὐκ ἐνδεούσης* οὐδεμιᾶς. σὺν ἐκείνοις με εἶδες, φησιν, ὁμοίως ἐκείνοις με εἶδες τοῖς πλασσομένοις ἐν ταῖς ἡμέραις αὐτῶν· ἡμέραις αἷς οὐκ ἐνέδει οὐδεμία ἡμέρα. ταῦτα δὲ λέγει, οὐχ ὡς βιβλίου ὄντος ἄνω, οὐδὲ ὡς ἐγγραφομένων τινῶν, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν διὰ τοῦ βιβλίου σημαίνων· Μαλαχ. γ. 15. ὥσπερ ὅταν φησίν, Ἤκουσε Κύριος, καὶ ἔγραψεν ἐν βίβλῳ· Δαν. ζ. ι. καὶ πάλιν, Βίβλοι ἠνεῴχθησαν.

*αὐτῆς

15 Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός.

Ἄλλος, Τίμιοι ἐγένοντο οἱ ἑταῖροί σου. Οὐ μικρὰ καὶ τοῦτο ἀρετή, τὸ ἰδεῖν τοὺς τοῦ Θεοῦ φίλους διὰ πολλῆς ἄγειν τιμῆς. προσενόησάς μου, φησιν, οὐκ ὄντα παρήγαγες, διαπρεπεῖς· καὶ ἐγὼ ταύτην δίδωμι τὴν ἀμοιβήν, τοὺς φίλους σου τιμῶν.

Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν· Τουτέστιν, αὐτοὶ ἐκραταιώθησαν. Ἄλλος φησί, [τί] Παμπληθεῖς αἱ κεφαλαὶ αὐτῶν; ὅπερ καὶ σαφέστερον. ἐπάγει γοῦν,

17 Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Ἐγὼ μὲν αὐτοὺς τιμῶ, σὺ δὲ πολλοὺς ποιεῖς, καὶ ψάμμου πλείους· οὐ μόνον δὲ πολλούς, ἀλλὰ καὶ ἰσχυρούς. τὸ γὰρ ἐκραταιώθησαν, τοῦτό ἐστι. καὶ διπλῆν λέγει τὴν εὐημερίαν· τήν τε εἰς πλῆθος, τήν τε εἰς ἰσχύος ἐπίδοσιν. 18 Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. Ἄλλος, Ἐξυπνώσω, καὶ εἰς ἀεὶ ἔσομαι παρὰ σοί. Οὐ μικρὸν τοῦτο ἀρετῆς σημεῖον, τὸ ἐν εὐημερίᾳ μένειν τὴν ἀρετὴν διατηροῦντα. πολλοὶ γοῦν ἀπολαύσαντες εὐπραγίας, ἐπελάθοντο· ἀλλ' οὐκ ἐγώ, φησιν, ἀλλὰ καὶ ἀναστάς, τουτέστιν ἀπαλλαγεὶς τῶν δεινῶν, ἀεὶ μετὰ σοῦ ἔσομαι. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός.

Οὐ τοῦτό φησιν, ὅτι ἐὰν ἀποκτείνῃς, τότε ἔσομαι, ἀλλ' ἐκεῖνο μὲν καὶ χωρὶς τούτου ἐπήγγελται· αἰτεῖ δὲ τοῦτο γενέσθαι, οὐχ ἵνα ἀφανίσῃ τὴν οὐσίαν τὴν τῶν ἀνθρώπων, ἀλλ' ἵνα μεταβάλλῃ αὐτοὺς ἐκ τῆς ἁμαρτίας ἐπὶ δικαιοσύνην. οὐ γὰρ εἶπεν, ἐὰν ἀποκτείνῃς ἀνθρώπους, ἀλλ' ἁμαρτωλούς. ἕτερος δὲ ἀντὶ τοῦ ἁμαρτωλοὺς, παραβάτην εἶπε, ἀσεβῆ τὸν πολέμιον λέγων, τὸν εἰδώλοις προσκολλώμενον.

Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ. Αἱμάτων ἄνδρας τοὺς φονικούς φησι, τοὺς σφαγαῖς χαίροντας. οὐ μικρὰ δὲ καὶ αὕτη πρὸς ἐπίδοσιν ἀρετῆς ὁδὸς, τὸ φεύγειν καὶ ἀποπηδᾶν τὰς τῶν τοιούτων συνουσίας. εἶτα καὶ ἡ αἰτία·

19 Ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς. Ἄλλος, Οἵτινες ἀντελάλησάν σοι διαλογισμόν. Ἄλλος, Οἱ παρεπίκρανάν σε ἐν κακοβουλίᾳ. Ὁρᾷς μὴ τὸ ἑαυτοῦ ζητοῦντα, ἀλλὰ διὰ τὴν εἰς τὸν Θεὸν ὕβριν ἀποπηδῶντα καὶ φεύγοντα τὰς πρὸς ἐκείνους συνουσίας. καὶ γὰρ καὶ τοῦτο τῆς ἀπωλείας τοῖς Ιουδαίοις αἴτιον γέγονε, τὸ τοῖς πονηροῖς ἀναμίγνυσθαι. διὰ τοῦτο [καὶ νόμον ἐλάμβανον] καὶ νόμῳ διετειχίζοντο ἀπ' αὐτῶν, καὶ τὰς πρὸς αὐτοὺς ἐπιγαμίας φεύγειν ἐκελεύοντο, καὶ ἀπὸ τῆς Αἰγύπτου τότε ἐξελθόντες, ἐπὶ τῆς ἐρήμου τεσσαράκοντα ἔτη καθ' ἑαυτοὺς ἐπλάττοντο. διὰ τοῦτο καὶ φραγμὸς ὁ νόμος ἐλέγετο, ἅτε πανταχόθεν αὐτοῖς περικείμενος, τὰς πρὸς τοὺς πονηροὺς ἀναστέλλων συνουσίας. εὐεξαπάτητον γὰρ αὐτῶν τὸ ἦθος, εὐάλωτον καὶ εὐπερίτρεπτον. Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.

Ἕτερος, Ἐπήρθησαν ματαίως οἱ ἐναντίοι σου. Ἄλλος, Οἱ ἐχθροί σου. Διὰ τοῦτο φεύγει καὶ ἀποπηδᾷ, ὅτι ἐπήρθησαν κατὰ τῆς τοῦ Θεοῦ δόξης, ὅτι παρῳνόμουν, ὅτι βλάσφημα ἐφθέγγοντο ῥήματα. 20 Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; 21 Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Οὕτω καὶ ὁ Θεὸς ἐπηγγείλατο ἐχθραίνειν τοῖς ἐχθροῖς, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις αὐτοῖς. ταῦτα γὰρ μάλιστα φιλίας τεκμήρια. καὶ αὐτὸς τοίνυν ἀμείβεται τὸν Θεὸν διὰ ἑκατέρων. ἀνωτέρω μὲν οὖν ἔφη, ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός· ἐνταῦθα δὲ τοὺς μισοῦντάς σε ἐμίσησα· κἀκεῖ μετὰ ὑπερβολῆς, καὶ ἐνταῦθα μετὰ ὑπερβολῆς. οὐ γὰρ ἐμίσησα, φησι, μόνον, ἀλλὰ καὶ ἐξετηκόμην. Δοκίμασόν με, ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου. 22 Ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου.

23 Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Καίτοιγε ἀρχόμενος ἔλεγεν, ἐδοκίμασάς με καὶ ἔγνως με· σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου· σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν· τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες· σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. πῶς οὖν ἐνταῦθα ὡς μήπω δοκιμασθεὶς, δοκίμασόν με λέγει; ὁρᾷς ὅτι ἀνθρωπίναις κέχρηται λέξεσιν, οὐχ ἵνα τῇ εὐτελείᾳ παραμένωμεν, ἀλλ' ἵνα διὰ πάντων συναγαγόντες θεοπρεπῆ ἔννοιαν, εἰς ὑψηλὰ ἀναβαίνωμεν νοήματα. δοκιμασθῆναι γὰρ καὶ ἐτασθῆναι αἰτεῖ, οὐχ ἵνα γνῷ τὴν καρδίαν αὐτοῦ ὁ πρὸ τούτου εἰδὼς πάντα καὶ πρὸ γενέσεως, ἀλλ' ἵνα γνῶμεν ἡμεῖς οἱ ἀπὸ τῆς ἐκβάσεως τῶν πραγμάτων μανθάνοντες. τὸ γὰρ, δοκίμασόν με, ἐνταῦθα τοῦτό ἐστι. καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. ποία δέ ἐστιν αἰωνία ὁδὸς, ἀλλ' ἢ ἡ πνευματικὴ καὶ πρὸς τὸν οὐρανὸν ἀνάγουσα, καὶ ἧς τέλος οὐκ ἔνι; ὡς τά γε ἄλλα πάντα ἐπίκηρα, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ. διὸ δὴ πάντα παραδραμὼν ἐκείνην ζητεῖ τὴν ἀθάνατον, τὴν ἀπέραντον, τὴν εἰς τέλος οὐκ ἀπαντῶσαν. πῶς δ' ἄν τις ὁδηγηθείη πρὸς ἐκείνην; τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύων, καὶ τὰ παρ' ἑαυτοῦ συνεισφέρων, ἀρετὴν μετιὼν, φιλοσοφίας ἐπιλημμένος, ὑψηλότερος τῶν βιωτικῶν γενόμενος. τὰ γὰρ ἐκ τῆς ὁδοῦ ἐκείνης οὐκ ἔστιν ἐφήμερα, οὐδὲ πρόσκαιρα. τοιοῦτον γὰρ ἡ ἀρετή· διηνεκὲς ἔχει τοὺς καρποὺς, ἀνθοῦντας καὶ μηδέποτε μαραινομένους, καὶ τὰ ἀγαθὰ ἀθάνατα καὶ ἀκήρατα καὶ ἀτελεύτητα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρλθ. 1 ΕΞΕΛΟΥ ΜΕ, ΚΥΡΙΕ, ΕΞ ΑΝΘΡΩΠΟΥ πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

ΠΟσοι νῦν εἰσὶν οἱ λέγοντες, διὰ τί θηρία; διὰ τί σκορπίοι; διὰ τί ἔχεις; ἰδοὺ γὰρ εὕρηται ζῷον πλείονα κακίαν ἐπιδεικνύμενον, οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην, ὁ ἄνθρωπος. διά τοι τοῦτο καὶ ὁ προφήτης παρεὶς πάντα ἐκεῖνα, ἀπὸ τούτου ἀξιοῖ ῥυσθῆναι. τί οὖν, εἰπέ μοι; ἐπεὶ τοιοῦτος, οὐκ ἐχρῆν ἀνθρώπους γενέσθαι; ἀλλ' ἐσχάτης ἀνοίας τοῦτο λέγειν. οὐδὲν γάρ ἐστι τὸ βλάπτον ἄνθρωπον, ἀλλ' ἡ ἁμαρτία μόνη· καὶ ταύτης ἀνῃρημένης ἅπαντα ῥᾴδια καὶ εὔκολα καὶ γαληνά, ὥσπερ οὖν ταύτης παρούσης πάντα σκόπελοι καὶ χειμῶνες καὶ ναυάγια. μηδεὶς δὲ ἡμῶν καταγινωσκέτω, εἰ θηρίου πονηρότερον ἄνθρωπον εἶναι ἐν κακίᾳ εἰρήκαμεν. τὸ μὲν γὰρ, εἰ καὶ μὴ ἐν τῇ φύσει τὸ ἄγριον ἔχει, ἀλλ' ἀπατηθῆναι δύναται ῥᾳδίως, καὶ ὅπερ ἐστὶ, φαίνεται· ὁ δὲ ἄνθρωπος μετὰ τὴν πονηρίαν, καὶ πολλὰ τὰ προσωπεῖα περικείμενος, δυσφυλακτότερός ἐστι θηρίου, δορὰν προβάτου πολλάκις περιβαλλόμενος, καὶ ἔνδον τὸν λύκον ἀποκρύπτων. διὸ καὶ ἀφυλάκτως πολλοὶ τοῖς τοιούτοις περιπίπτουσιν. ἐπεὶ οὖν δυσφώρατα τὰ τοιαῦτα θηρία, ἐπ' εὐχὴν ὁ προφήτης τρέπεται, καὶ τὴν παρὰ τοῦ Θεοῦ καλεῖ ῥοπὴν, ὥστε τῆς τοιαύτης ἀπαλλαγῆναι ἐπιβουλῆς. τοῖς γὰρ τοιούτοις πολλάκις καὶ ὁ διάβολος ὑποδύεται, καὶ οὕτω βάλλει. πολλὰ τοίνυν πανταχόθεν τὰ ἐπιβουλεύοντα. καὶ γὰρ ἄνθρωπος πονηρὸς τοῦτο ποιεῖ, καὶ δαίμων πολεμεῖ, καὶ πειρασμὸς ἀνέλπιστος ἐνοχλεῖ. διὸ καὶ διδασκόμεθα εὐχόμενοι λέγειν· Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ματθ. ϛ. ιγ. ποικίλαι αἱ μάχαι καὶ πολυειδεῖς αἱ παρατάξεις, καὶ δεῖ πρὸς ἅπαντα παρασκευάζεσθαι. καθάπερ γὰρ ὁ μέλλων εἰς πέλαγος ἀφιέναι, καὶ ὑδάτων ἀτάκτων ῥύμην, καὶ πνευμάτων ἀγρίων ἐμβολὴν, καὶ νεφῶν συνδρομὴν, καὶ ὑφάλους πέτρας καὶ σπιλάδας, καὶ θηρίων ἐπανάστασιν, καὶ πειρατῶν παράταξιν, καὶ λιμὸν, καὶ δίψος, καὶ ὅρμον ἀλίμενον, καὶ ναυτῶν φιλονεικίαν, καὶ ἐφοδίων ἀπορίαν, καὶ πάντα τὰ τοιαῦτα προορᾶν ὀφείλει, καὶ πρὸς ἅπαντα παρατάττεσθαι· οὕτω δὴ καὶ ὁ εἰς τὸν εὔριπον τοῦ παρόντος βίου ἐλθὼν, καὶ πρὸς πάθη σώματος, καὶ πρὸς νοσήματα ψυχῆς, καὶ πρὸς ἀνθρώπων ἐπιβουλὰς, καὶ πρὸς ἐχθρῶν ἐπαναστάσεις, καὶ πρὸς φίλων ὑπούλων δόλους, καὶ πρὸς πενίαν, καὶ πρὸς βασάνους, καὶ πρὸς ἐπήρειαν, καὶ πρὸς δαιμόνων φάλαγγας, καὶ πρὸς διαβόλου μανίαν παρεσκευάσθαι ἂν εἴη δίκαιος, εἴγε μέλλοι πρὸς τὴν βασιλίδα πόλιν ἀπαντᾷ, καὶ πεπληρωμένος φορτίων εἰς τὸν λιμένα καταίρειν. ἐνταῦθα μὲν οὖν ἄνθρωπον πονηρὸν καλεῖ· ὅταν δὲ περὶ τοῦ διαβόλου διαλέγηται, ἁπλῶς πονηρόν. τί δήποτε; ὅτι αὐτὸς πατὴρ τῆς πονηρίας ἐγένετο, διὰ τοῦτο καὶ κατ' ἐξοχὴν λέγεται πονηρὸς, καὶ ἀντὶ τοῦ κυρίου τὸ ἐπίθετον ἤρκεσεν ὄνομα διὰ τὴν ὑπερβολὴν τῆς κακίας, οὐκ ἔμφυτον οὖσαν, ἀλλὰ προσγενομένην αὐτῷ. εἰ δὲ βούλει καὶ αὐτῆς τῆς πονηρίας τὸ ὄνομα μαθεῖν πόθεν εἴρηται, καὶ ἐντεῦθεν μεγάλα καρπώσῃ. πονηρία γὰρ εἴρηται, ἐκ τοῦ πόνον

γρ. δελεαζ

γρ. ἐξοχλη

τοῦ ἐπάγει καὶ μόχθον αὐτῷ τὸ κατόρθωμα. διὸ καί τις σοφὸς τοῦτο δηλῶν λέγει· Ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ ἀγαθός, σαυτῷ καὶ τοῖς πλησίον. καὶ πῶς, φησί, μόνος ἀντλεῖ τὰ κακὰ ὁ πονηρός; καίτοιγε πολλοὺς ἐπηρεάζει. ἀλλ' οὐδένα τῶν μὴ χαύνων καὶ ῥαθύμων. καὶ εἰ βούλει τὸν πονηρὸν ἄνθρωπον ἀφέντες, αὐτὸν τὸν πονηρὸν δαίμονα εἰς μέσον ἀγάγωμεν. εἰπὲ δή μοι, οὐχὶ πᾶσαν αὐτοῦ ἐξέχεε τὴν κακίαν; μή τι τὸν Ἰὼβ ἔβλαψεν; οὐχὶ ἐκεῖνον μὲν καὶ λαμπρότερον ἐποίησεν, ἑαυτῷ δὲ χαλεπώτερον τὸ πλῶμα εἰργάσατο; τί δὲ ὁ Κάϊν; οὐ μόνος ἤντλησε τὰ κακά; οὐχί, φησίν, ἀλλὰ καὶ ὁ Ἄβελ. πῶς δὲ ἢ τίνι τρόπῳ; ὅτι ταχέως εἰς τὸν ἀκύμαντον παρεπέμφθη λιμένα; ἀλλὰ τοῦτο εὐεργεσίας μέγιστον εἶδος, * ὅτι μετὰ κατορθώματος κατέλυσεν, ὅτι τὸ κοινὸν τῆς φύσεως χρέος ἐπραγματεύσατο. καὶ γὰρ ὃ τοῖς ἄλλοις ἦν κοινὸν καὶ κατὰ ἀνάγκην παραγινόμενον, τοῦτο μετ' ἐμπορείας τούτῳ περιεγένετο. ταῦτα οὐχὶ κακὸν ἦν ὑπομεῖναι, ἀλλὰ στεφάνους ἀναδήσασθαι λαμπροτέρους. τί δὲ τὸν Ἰωσὴφ ἔβλαψαν οἱ ἀδελφοί; οὐκ αὐτοὶ μόνοι τὰ κακὰ ἤντλησαν; ἀλλὰ δοῦλος ἐγένετο, φησί. καὶ τί τοῦτο; ἐγὼ δὲ λέγω ὅτι καὶ δεσμώτης. ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον, εἰ δοῦλος γέγονε καὶ δεσμώτης, ἀλλ' εἰ βλάβην τινὰ ἐντεῦθεν ὑπέμεινε. τοὐναντίον γὰρ εὑρίσκομεν, ὅτι καὶ ἐκέρδανε τὰ μέγιστα, πλείονα παρὰ τῷ Θεῷ παρρησίαν κτησάμενος, καὶ δι' αὐτὴν τὴν δουλείαν ἐναντίαν εἰς τὴν προοῦσαν εὐημερίαν λαβών. μὴ δὴ φοβώμεθα πονηρούς, ἀλλ' ἐλεῶμεν. τότε μὲν γὰρ εἰκότως ἦσαν φοβεροί, ἅτε οὔπω τῆς ὑψηλῆς ὁδοῦ τετμημένης τῆς ἐπὶ φιλοσοφίαν ἀγούσης· νυνὶ δὲ οὐκ ἔτι, τῶν οὐρανῶν ἡμῖν λοιπὸν ἀνεῳγμένων, καὶ τῶν ἀνθρώπων ἀγγέλων γινομένων. ἐπεὶ καὶ θηρίον μετὰ πολλῆς ἐμπῖπτον τῆς ῥύμης τῇ τοῦ δόρατος αἰχμῇ, δοκεῖ μὲν τὸν κατέχοντα τὸ δόρυ ἀμύνασθαι, ἑαυτῷ δὲ περιπείρει χαλεπωτέραν πληγήν· καὶ ὁ πρὸς κέντρα λακτίζων, ὁμοίως τοὺς πόδας αἱμάττει. τοιοῦτόν τί ἐστιν ἡ ἀρετή, κέντρα καὶ ξίφος ἠκονημένα· οἱ δὲ πονηροὶ πάντες, τῶν θηρίων χείρους καὶ ἀλογώτεροι. ὅταν τοίνυν ἐπιῶσι τοῖς ἀγαθοῖς, ἑαυτοὺς χαλεπώτερον περιπείρουσι, τοὺς μὲν εἰς χρήματα πολλάκις ἢ σώματα ζημιοῦντες, αὐτοὶ δὲ εἰς ψυχὴν παραβλαπτόμενοι τὴν ὄντως ζημίαν. εἰ γὰρ ἔβλαπτεν ἡμᾶς εἰς τὴν οἰκείαν ἀρετὴν ἡ τῶν χρημάτων ζημία, οὐκ ἂν ἐκέλευσεν ὁ Παῦλος ἀδικεῖσθαι καὶ μὴ ἀδικεῖν. εἰ κακὸν τὸ ἀδικεῖσθαι ἦν, οὐκ ἂν ὁ τῶν ἀγαθῶν νομοθέτης κακὰ ἐπέταξε. πλὴν ἀλλὰ καὶ οὕτω τῶν πραγμάτων ἐχόντων, οὐ δεῖ τοῖς πονηροῖς ἐπιπηδᾶν, οὐδὲ ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν καὶ ἐκκλίνειν αὐτῶν τὰς συνουσίας, ἐπιόντας δέ, μετὰ ἀνδρείας δέχεσθαι. διὰ γὰρ τοῦτο κελευόμεθα εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. διὸ καὶ οὗτος εἰπών, Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἐπάγει δέ, Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με, πάλιν γενικὸν ὄνομα τῆς κακίας τεθείς. οὐ γὰρ ἁπλῶς τὸν περὶ χρήματα ἄδικον, ἀλλὰ τὸν περὶ πάντα ἐνταῦθα λέγει. ἀξιοῖ δὲ ῥυσθῆναι, ὥστε μήτε περιπεσεῖν, μήτε κατ' ἐκεῖνον γενέσθαι. καὶ οὐχ ἁπλῶς αἰτεῖ, ἀλλὰ τὰ παρ' ἑαυτοῦ συνεισενεγκών. διὰ τοι τοῦτο ἐν τῷ τέλει τοῦ προτέρου ψαλμοῦ φυγὼν αὐτοὺς καὶ τὴν πρὸς αὐτοὺς συνουσίαν, ἐνταῦθα τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν αἰτεῖ. ἐκεῖ μὲν γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε λέγων, Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς· ἐνταῦθα δὲ τὸν Θεὸν παρακαλεῖ ῥυσθῆναι ἀπὸ τῆς πονηρίας αὐτῶν. οὐ γὰρ τὸ τυχὸν εἰς ἀσφαλείας λόγον καὶ ἀδείας καὶ ἐλευθερίας καὶ ἡδονῆς ἁπάσης, τὸ τῶν τοιούτων ῥύεσθαι συλλόγων, καὶ ὡς πορρωτάτω κατασκηνοῦν τῆς τῶν πονηρῶν συνουσίας, ἀλλ' ἡ μεγίστη τοῦτο εὐημερία. εἶτα ὑπογράφων αὐτῶν τὴν πονηρίαν ἐπάγει καὶ λέγει·

2 Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Εἶδες πῶς δυσφύλακτα τὰ θηρία, κατὰ διάνοιαν τυρεύοντες τὰ κακά, καὶ κρύπτοντες

Παροιμ. θ. α/β.

α. Κορ. ς. ζ.

κρύπτοντες ἐν τοῖς ἀπορρήτοις τὰς ἐπιβουλάς; ἐλογίσαντο γάρ, φησιν, ἐν καρδίᾳ, τουτέστιν, οὐκ ἔξω προήνεγκαν, ἀλλ' ἔστρεφον ἔνδον ὠδίνοντες τὴν πονηρίαν· καὶ τὸ δὴ χαλεπώτερον, οὐχὶ συναρπαγέντες, οὐδὲ παρασυρέντες, ἀλλὰ μελέτην τὸ πρᾶγμα ποιούμενοι. τοῦτο γάρ ἐστι τό, ἐλογίζοντο· μετὰ σπουδῆς, μετὰ προθυμίας, φησίν, ἁπάσης. ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. τὸν βίον ἅπαντα διὰ τούτου δηλοῖ. πολέμους δὲ ἐνταῦθα, οὐ τούτους τοὺς ἐπὶ τῶν παρατάξεων καὶ διὰ τῶν ὅπλων, ἀλλὰ τοὺς διὰ τῶν ἐπιβουλῶν αἰνίττεται, οὓς καὶ ἐν ἀγοραῖς, καὶ ἐν οἰκίαις πολεμοῦσιν ἄνθρωποι, οὐ θώρακα ἐνδυόμενοι, οὐδὲ ἀσπίδα προβαλλόμενοι, ἀλλ' ἀντὶ παντὸς ὅπλου τῇ πονηρίᾳ κεχρημένοι, καὶ ῥήματα βελῶν πικρότερα ἀκονῶντες. τὸ μέγιστον δὲ αὐτῶν τῆς κακίας, ὅτι οὐ δολεροὶ μόνον, οὐδ' ὅτι ὕπουλοι, οὐδ' ὅτι πρὸς πολέμους ἕτοιμοι καὶ μάχας, ἀλλ' ὅτι καὶ διὰ παντὸς τοῦ βίου, καὶ οὐδέποτε ἀνακωχὴν ἔχοι τῆς χαλεπῆς ταύτης παρατάξεως. καίτοιγε, εἴγε ἐβούλοντο πολεμεῖν, ἑτέραν εἶχον δικαίαν ὑπόθεσιν. κατὰ γὰρ τῶν ἁμαρτημάτων ἵστασθαι ἔδει, καὶ πρὸς τὸν διάβολον παρατάττεσθαι, καὶ πρὸς τὰ νοσήματα τῆς ψυχῆς μάχεσθαι, καὶ κατὰ τῶν δαιμόνων ἀκονᾷν τὰ ξίφη· νῦν δὲ ἐκείνῃ μὲν οὐδὲ προσκρούουσι τῇ παρατάξει, κατὰ δὲ ἀλλήλων βάλλουσι τὰ βέλη.

3 Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί.

Εἶδες τῆς κακίας τὴν δυσγλύφην; ἐξ ἀνθρώπων θηρία ποιεῖ, ἀσπίδας καὶ ὄφεις, καὶ τὴν γλῶτταν τὴν λογικὴν, πρὸς ἐκείνην καταφέρει τὴν θηριωδίαν. ὅπερ δὲ ἀνωτέρω ᾐτιάσατο, τοῦτο πάλιν καὶ ἐνταῦθα κατηγορεῖ. ποῖον δὴ τοῦτο; τὸ ἀεί. ἰὸς γὰρ ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, φησιν, ἀεί, τουτέστι, διηνεκῶς. ὥσπερ οὖν ἀνωτέρω εἶπεν, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους, οὕτω καὶ ἐνταῦθα, ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη * ἀεί. τὸ γὰρ διάψαλμα τοῦτο δηλοῖ πανταχοῦ. καὶ Ἑβραϊστὶ δέ, Σελ εἴρηται τὸ διάψαλμα, ὅπερ ἐστίν, ἀεί. καίτοιγε καὶ ἐν βραχεῖ καιρῷ φορτικὸν ἡ κακία· ὅταν δὲ καὶ διηνεκῶς αὐτὴν μετίωσι, καὶ μήτε κόρον λαμβάνωσι, ποίαν σχοῖεν συγγνώμην, ποίαν ἀπολογίαν;

4 Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με·

5 Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, 6 Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.

Οὐδὲν ἀδικώτερον τῶν κακίαν μελετώντων, οἱ παρὰ τῶν ἄλλων τὰς ἑαυτῶν ἀδικοῦσι ψυχάς. ὅταν γὰρ αὐτοὶ σκανδάλου γίνωνται αἴτιοι, ὅταν τοῦ Θεοῦ τὴν δόξαν παρὰ τῶν ἀνοήτων λοιδορεῖσθαι παρασκευάζωσιν, ὅταν τὰ ὀφειλόμενα οὐ καταθῶσιν, ἀλλὰ καὶ ψυχὴν καὶ σῶμα λαβόντες παρὰ τοῦ φιλανθρώπου Θεοῦ ἀγνωμονοῦσι περὶ τὰς ἀμοιβάς, καὶ κόσμου τοσούτου καὶ τηλικούτου ἀπολαύοντες ἀγαθοῦ τοῖς ἐναντίοις ἀμείβονται τὸν εὐεργέτην, τί τούτων γένοιτ' ἂν ἀδικώτερον; τί δὲ ἀγνωμονέστερον; καὶ τὸ δὴ μεῖζον καὶ πλέον εἰς κακίας ὑπερβολήν, ὅτι καὶ ἑτέροις ἐπηρεάζειν ἐπιχειροῦσι. διελογίσαντο γάρ, φησι, τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. εἰ δὲ μὴ εἰς ἔργον ἐξῆλθεν ὁ λογισμός, τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας γέγονε κατόρθωμα. αὐτὸς γὰρ διέκοψε τὰ πονηρὰ αὐτῶν βουλεύματα. καὶ ὅρα πῶς ἦν μεμελετημένη ἡ πονηρία, καὶ μετὰ σπουδῆς ἡ ἐπιβουλή. καὶ γὰρ ἔκρυψαν, καὶ διέτειναν, καὶ ἐχόμενα τρίβου, ὥστε καὶ τῷ μήκει καὶ τῷ λανθάνειν καὶ τῷ πλησίον τείνειν, ἑλεῖν καὶ χειρώσασθαι. δημιουργοὶ γὰρ ἐγένοντο τῆς κακίας πανταχόθεν ἐκτείνοντες τὰς πάγας, ἓν ἔργον τιθέμενοι τὸ καθελεῖν. βούλει μαθεῖν πῶς καὶ ὁ διάβολος τοιαῦτα τίθησι σχοινία; ὅρα πάλιν ἐπὶ τοῦ Ἰὼβ τὸ πρᾶγμα συμβαῖνον. τί

γάρ

γὰρ πλατύτερον ἐκείνων; τί δὲ μακρότερον; τί δὲ εὐρύτερον; ὅπουγε οὐκ ἐν συγγενέσι μόνον, οὐδὲ φίλοις, οὐδὲ ἐν γυναικὶ, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὴν παγίδα ἔθηκεν.

7 Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σὺ, ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.

8 Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου.

Ἄλλος, Κράτος τῆς σωτηρίας μου. Εἰπὼν τὸν πόλεμον καὶ τὰς ἐπιβουλὰς, καὶ δείξας ἀφόρητα τὰ δεινὰ, καταφεύγει λοιπὸν ἐπὶ τὴν ἀχείρωτον συμμαχίαν, ἀπὸ τοῦ οὐρανοῦ καλῶν τὸν Θεὸν ταῦτα λῦσαι δυνάμενον. τοῦτο ψυχῆς γενναίας δεῖγμα, τοῦτο φιλοσόφου διανοίας, ἐπειδὰν αἱ συμφοραὶ πάντοθεν περίκεινται, μὴ καταφεύγειν εἰς ἀνθρωπίνην συμμαχίαν, μηδὲ εἰς λογισμοὺς θνητοὺς, ἀλλὰ πρὸς τὸν οὐρανὸν ὁρᾷν καὶ πανταχοῦ παρόντα καλεῖν τὸν Θεὸν, μηδὲ τῆς ἀθυμίας γίνεσθαι καὶ τοῦ θορύβου καὶ τῆς ταραχῆς. καὶ ὅρα πῶς ἀξίως ἑαυτοῦ τὸν λόγον κατασκευάζει. οὐ γὰρ εἶπε, τὸ καὶ τὸ κατώρθωσα, καὶ τήνδε τὴν δικαιοσύνην εἰργασάμην, ἀλλὰ τί; Θεός μου εἶ σὺ, μέγιστον δικαίωμα συμμαχίας προβαλλόμενος, τὸ πρὸς δεσπότην καταφεύγειν καὶ δημιουργὸν καὶ βασιλέα. ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου. δύναμις σωτηρίας εἶπε, δεικνὺς ὅτι ἔστι καὶ δύναμις κολάσεως καὶ τιμωρίας. ἀλλ' ἐμοὶ τὴν δύναμιν τῆς σωτηρίας, φησὶ, παρέσχες. δύνασαι μὲν γὰρ καὶ κακῶς ποιεῖν καὶ ἀναιρεῖν, ἀλλ' ἀεὶ πρὸς σωτηρίαν τὴν ἐμὴν ἐχρήσω τῇ δυνάμει*. καὶ ὅρα τὸν πόθον τοῦ λέγοντος· τῷ γὰρ διπλασιασμῷ, καὶ τῷ προσθεῖναι, τῆς σωτηρίας μου, πολλὴν δείκνυσι τὴν διάθεσιν.

Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Εἶδες τὴν εὐχάριστον ψυχήν; τῶν προτέρων ἀναμιμνήσκει ἑαυτὸν, ὅτι ἐν ἀσφαλείᾳ* κατέστησεν αὐτόν. τοῦτο γάρ ἐστι τὸ, ἐπεσκίασας. καὶ ὅρα τὸ εὔκολον τοῦ Θεοῦ πῶς δείκνυσιν. οὐ γὰρ εἶπε, πρὸ τούτου, ἀλλ' ἐν αὐτῇ τῇ ἡμέρᾳ, φησὶν, ὅτε τὰ δεινὰ ἤρετο, ὅτε ἡ παράταξις ἦν, ὅτε περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε με ἐν ἀσφαλείᾳ κατέστησας. οὐ γὰρ* παρασκευῆς, ἢ παρακλήσεως δεῖται ὁ Θεὸς, πάντα εἰδὼς τά τε παρόντα, τά τε μέλλοντα, τά τε γενόμενα, καὶ πάντα δυνάμενος, καὶ ἀεὶ παρεστὼς ἕτοιμος εἰς βοήθειαν. εἶτα δηλῶν τὴν ὑπερβολὴν τῆς νίκης καὶ τῆς ἀσφαλείας, οὐκ εἶπεν, ἔσωσάς με, ἀλλὰ τί; ἐπεσκίασας, τουτέστιν, οὐδὲ τὸ τυχὸν λυπηρὸν ὑπομεῖναι ἐποίησας, οὐδὲ ὅσον ἀπὸ καύματος· ἀλλ' ἐν τοσαύτῃ κατέστησας ἀσφαλείᾳ, καὶ μετὰ τῆς ἀσφαλείας ἐν ἡδονῇ καὶ ἀνέσει, ὡς μηδὲ τυχεῖν θέρμης τινὸς λυπούσης, ἀλλὰ σκιᾷ ἐντρυφᾷν, τουτέστι, τῇ τῶν δεινῶν ἀπαλλαγῇ καὶ ἐλευθερίᾳ. διὰ τοῦτο ἐπήγαγε τὸ, ἐπεσκίασας, τοῦτό τε αὐτὸ δηλῶν, καὶ τὸ εὔκολον τῆς βοηθείας τοῦ Θεοῦ δεικνὺς, διὰ τοῦ τῆς σκιᾶς ὀνόματος· ὡσανεὶ ἔλεγεν, ἀρκεῖ παρεῖναί σε μόνον, καὶ πάντα λέλυται.

9 Μὴ παραδῷς*, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ.

Ἄλλος, Μὴ δῷς, Κύριε, τὰς ἐπιθυμίας τοῦ παρανόμου. Ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ δῷς ἀπὸ τῆς ἐπιθυμίας τῆς κατ' ἐμοῦ· τουτέστιν, ἃ ἐπιθυμεῖ κατ' ἐμοῦ, ταῦτα μὴ ἀφῇς αὐτὸν πληρῶσαι. καὶ οὐκ εἶπεν, ἃ ἐπιθυμεῖ, ἀλλ' ἀπὸ τῆς ἐπιθυμίας μου, τοιοῦτόν τι βουλόμενος δηλῶσαι· μηδὲ μικρόν τι δῷς ὧν ἐπιθυμεῖ. τοιοῦτοι γὰρ οἱ πονηροί· μετὰ πολλῆς τῆς ἐπιθυμίας τὴν κατὰ τῶν πλησίον ἐργάζονται ἐπιβουλήν. καθάπερ καὶ ὁ διάβολος, περὶ οὗ φησιν, Ὅτι περιέρχεται ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ. οὕτω μετ' ἐπιθυμίας προσέβαλε τῷ Ἰώβ· οὕτως ἐβουλεύετο τῷ Πέτρῳ προσβαλεῖν· διὸ καὶ ἔλεγε, Ποσάκις ἐξητήσατό σε ὁ Σατανᾶς σινιάσαι ὡς τὸν σῖτον; Εἶδες πόσην εἶχεν ἐπιθυμίαν; Εἰσὶ καὶ ἄνθρωποι τὴν ἐκείνου ζηλοῦντες κακίαν ὑπὸ βασκανίας

α. Πετρ. ε.

Λουκ. κβ.

καὶ

Παροιμ. β. ιδ.

καὶ φθόνου τὸ τοῦ χαίρειν ἐπὶ κακοῖς, οὓς καὶ ταλανίζει ἡ γραφὴ λέγουσα· Οὐαὶ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, οἱ χαίροντες ἐπὶ διαστροφῇ κακῶν. καὶ μάλα εἰκότως. διεφθαρμένης γὰρ τοῦτο διανοίας. εἰ γὰρ καὶ ἀλγεῖν δεῖ καὶ στένειν καὶ θρηνεῖν ἐπὶ τοῖς ἀπολλυμένοις, ἵνα ἂν σχοῖεν συγγνώμην, ποίαν δὲ ἀπολογίαν οἱ μὴ μόνον οὐ συναλγοῦντες, ἀλλὰ καὶ χαίροντες; οὐκ εἶδες ὅτι καὶ αὐτὸς ὁ κολάζειν μέλλων Χριστὸς, δακρύει τὴν Ἱερουσαλὴμ ἀπολλυμένην; οὐχ ὁρᾷς καὶ Παῦλον στένοντα τὰς ἑτέρων ἀπωλείας καὶ πενθοῦντα; ἀλλ' εἰσί τινες οὕτω διεφθαρμένοι, ὡς τῶν οἰκείων κακῶν παραμυθίαν ποιεῖσθαι τὰς ἀλλοτρίας συμφοράς.

Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν ἀεί.

Τὸ γὰρ διάψαλμα τοῦτό ἐστιν. Ἄλλος, Μὴ ἀποβαίνῃ, μήποτε ὑψωθῶσι. Τοῦτο μιαρᾶς καὶ διεφθαρμένης γνώμης, ὅταν καὶ βουλῆς καὶ σχολῆς καὶ μελέτης δέωνται πρὸς τὴν κακίαν. οὐ γὰρ ἀρκεῖ τὰ ἀπὸ συναρπαγῆς γινόμενα; οὐ γὰρ ἱκανὰ τὰ κατὰ περίστασιν ἡμᾶς ἀπολέσαι, ἀλλὰ καὶ βουλῆς σοι καὶ χρόνου καὶ σκέψεως δεῖ πρὸς τὴν κακίαν; ποίαν δὲ ἕξεις ἀπολογίαν, μελέτην ποιούμενος τὴν πονηρίαν, καὶ βουλὴν τιθέμενος ὑπὲρ τῆς τῶν κακῶν ἐργασίας, καὶ κοινωνοὺς λαμβάνων; ἀλλ' ὅρα τὴν τούτου ταπεινοφροσύνην. οὐ γὰρ εἶπε, μὴ ἐγκαταλίπῃς με, ὅτι ἄξιός εἰμι, μὴ ἐγκαταλίπῃς με διὰ τὴν τοῦ βίου ἀρετήν, ἀλλὰ τί; μήποτε ὑψωθῶσι· τουτέστιν, ὥστε μὴ ἀλαζονικωτέρους γενέσθαι, καὶ εἰς πλείονα ἀπόνοιαν ἀρθῆναι διὰ τῆς ἐμῆς ἐγκαταλείψεως.

10 Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

Ἄλλος, Ὁ πικρασμὸς τῶν κυκλούντων με, ὁ μόχθος τῶν χειλέων αὐτῶν πωμάσαι αὐτούς. Κύκλωμα ἐνταῦθα, τὸν σύλλογον λέγει, τὸ συνέδριον, τὸ πονηρὸν ἐργαστήριον, τὰ διεφθαρμένα βουλεύματα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· αὐτὰ τὰ πονηρὰ βουλεύματα, καὶ τὸ κεφάλαιον τῆς πονηρᾶς καὶ διεφθαρμένης γνώμης, αὐτὸ αὐτοὺς καταδύσειε καὶ ἀπολέσειε. κόπος τῶν χειλέων αὐτῶν. κόπον ἐνταῦθα, τὴν πονηρίαν καλεῖ. καὶ γὰρ τοιοῦτον ἡ πονηρία. αὐτῷ τῷ κεκτημένῳ γίνεται ὄλεθρος, καὶ ὑποβρύχιον αὐτὸν ἐργάζεται. τοῦτο γέγονεν ἐπὶ τοῦ Δαβίδ. μυρίοις γὰρ αὐτὸν προσεδόκησαν περιβαλεῖν κινδύνοις, ὁ δὲ λαμπρότερος ἦν. ναί φησιν, ἀλλὰ πῶς τῇ οἰκείᾳ βουλήσει περιεπάρησαν καὶ ἀπώλοντο δεῖξον, καὶ ποῦ αὐτὸ τοῦτο συνέβη, εἰπέ. ἐπὶ τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. βουλόμενοι γὰρ αὐτὸν ποιῆσαι δοῦλον καὶ ἀπολέσαι, περὶ τῶν ἐσχάτων αὐτοὶ ἐκινδύνευσαν. καὶ τὸ εἰς δουλείαν καὶ εἰς θάνατον τό γε αὐτῶν ἐνέπεσε μέρος. καὶ ὁ Ἀβεσσαλὼμ διὰ τῆς τυραννίδος βουλόμενος ἀπολέσαι τὸν πατέρα, διὰ ταύτης αὐτὸς ἑάλω.

11 Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρός. ἐν πυρὶ καταβαλεῖς αὐτούς.

Ὃ λέγει τοιοῦτόν ἐστιν· ἱκανὴ μὲν καὶ αὐτὴ ἡ πονηρία διαφθεῖραι τοὺς κυκλοῦντας αὐτήν· μετὰ δὲ ταύτης, καὶ τὴν θεήλατον ὑποστήσονται ὀργήν. ἄνθρακας δὲ πυρὸς ἐνταῦθα καὶ πῦρ, τὴν ἄνωθεν λέγει φερομένην τιμωρίαν. πολλάκις δὲ καὶ ἐπ' αὐτοῦ τοῦ πυρὸς γέγονεν, ὡς ἐπὶ τοῦ Δαθὰν καὶ Κορὲ καὶ Ἀβειρὼν, καὶ ἐπὶ τῶν κυκλωσάντων τὴν κάμινον τὴν Βαβυλωνίαν. Ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν.

Ἕτερος, Πεσοῦνται εἰς βοθύνους, μήποτε ἀναστῶσιν. Ἄλλος, Ἐσπευσμένως, καὶ μὴ ἀνασταῖεν. κατὰ μὲν οὖν τὸν ἕνα ἑρμηνευτὴν τοιοῦτόν τί ἐστι τὸ λεγόμενον· οὕτως αὐτοὺς ἀπόλεσον, ὥστε μηκέτι ἀναστῆναι· κατὰ δὲ τὸν ἄλλον, ὅτι μετὰ πολλοῦ τοῦ τάχους. τοῦτο γάρ ἐστι τὸ, ἐσπευσμένως.

12 Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Εἰπὼν περὶ τῆς ὀργῆς τοῦ Θεοῦ, πάλιν δείκνυσιν ὅτι καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία ἱκανὴ διαφθεῖραι τοὺς

ἔχοντας. οὐ μικρὸν δὲ καὶ τοῦτο εἶδος πονηρίας, τὸ προπετῆ εἶναι καὶ γλώττης μὴ κρατεῖν. γλωσσώδη γὰρ ἐνταῦθα τὸν ὑβριστὴν λέγει, τὸν φλύαρον, τὸν λοίδορον, τὸν συνεχῶς ὑλακτοῦντα, τὸν οὐδὲν κυνὸς ἄμεινον διακείμενον. Εἶπε καὶ τίς ὁ τούτου καρπός. οὐ κατευθυνθήσεται, φησὶν, ἐπὶ τῆς γῆς. ἄλλος, οὐχ ἑδρασθήσεται· τουτέστι, περιτραπήσεται, κατενεχθήσεται, ἀπολεῖται. οὕτως ὁ τοῦ λοιδόρου καρπὸς πᾶσι πολέμιος, πᾶσιν ἀηδὴς, πᾶσιν ἐπαχθὴς καὶ φορτικὸς ὁ τοιοῦτος. ὥσπερ οὖν ὁ μακρόθυμος καὶ ἐπιεικὴς καὶ σιγᾷν ἐπιστάμενος, ἀσφαλὴς καὶ βεβηκὼς καὶ πᾶσιν ἐπίχαρις· οὕτως ὁ τοιοῦτος σφαλερὸν μέτεισι βίον, μυρίους πανταχόθεν ἐχθροὺς ἐπισπώμενος, καὶ περὶ τῶν ἄλλων τὴν ψυχὴν ταράττων τὴν ἑαυτοῦ, οὐκ ἀφιεὶς εἶναι ἐν ἡσυχίᾳ, ἀλλὰ καὶ μηδενὸς ἐνοχλοῦντος, μυρίους θορύβους καὶ πολέμους ἔνδον ἐγείρων. Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Οὕτω καὶ ἄλλος σοφός λέγει, Παρανομίαι ἄνδρα ἀγρεύουσιν. ὅρα πάλιν τὴν κακίαν ἀρκοῦσαν εἰς διαφθορὰν τοῦ ἔχοντος. ἀλλὰ τίνος ἕνεκεν τὸ τῆς θήρας ἔθηκεν ὄνομα; ἵνα τὸ ἀφύλακτον ἴδῃς, ἵνα, κἂν μὴ παραυτίκα ἐμπέσῃς ἀδικήσας, μὴ θαῤῥήσῃς. τοιαύτη γὰρ ἡ ἄγρα, οὐκ ἀεὶ ἐπιτυγχάνει, οὐδὲ εὐθέως· ἀλλ' ὅμως κἂν μὴ ἁλῷ τὰ ἄγρια ζῶα καὶ θηρευόμενα, οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ τυγχάνει, κἂν μηδέπω τῶν δικτύων ἔνδον γένηται. κατὰ ταῦτα τοίνυν μηδὲ ψυχὴ θαῤῥείτω ἄδικα περιέπουσα, καὶ μηδέπω ἁλοῦσα. ὅτε γὰρ δήποτε, ἁλώσεται. εἰ γὰρ βούλει ἐν ἀσφαλείᾳ εἶναι, παῦσαι ταῦτα περιέπων, καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀδείας. τί δήποτε δὲ εἶπεν, εἰς διαφθοράν; ὅτι πολλοὶ καὶ εἰς σωτηρίαν ἐθηρεύθησαν, ὡς οἱ παρὰ τῶν ἀποστόλων, ὡς οἱ παρὰ τῶν ἁγίων ἀνδρῶν. ἀλλ' οὐχ οἱ πονηροὶ ὅταν ὑπὸ τῆς κακίας θηρεύωνται, ἀλλ' ἐπ' ἀπωλείᾳ καὶ διαφθορᾷ. καὶ διὰ τί οὐ παρὰ πόδας τῆς κακίας ἕπεται τὰ τῆς τιμωρίας; διὰ τὴν τοῦ δεσπότου φιλανθρωπίαν. εἰ γὰρ ἐβούλετο τῶν ἁμαρτανόντων ἕκαστον εὐθέως ὑπὸ τιμωρίαν ἄγειν, προανηρπάσθη ἂν τὸ πλέον μέρος τῶν ἀνθρώπων.

13 Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων.

14 Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Ἄλλος, Παρὰ τῷ προσώπῳ σου. ἀντὶ δὲ τοῦ κατοικήσουσι, διαμενοῦσιν ἕτερος λέγει· καὶ ἄλλος, καθεδοῦνται. ἀντὶ δὲ τοῦ ἔγνων, ἕτερός φησιν, οἶδα. Ἐπειδὴ εἶπεν, ὅτι θηρεύσει, καὶ ὅτι ἀπολοῦνται, καὶ οὐκ εὐθέως δείκνυσι τὴν τιμωρίαν ἐπαγομένην, ἵνα μηδεὶς διὰ τοῦτο τῶν παχυτέρων ῥαθυμότερος γένηται, ἐπήγαγε τὸ, οἶδα, δεικνὺς ὅτι πάντως ἔσται τοῦτο. οὐ γὰρ μένει τὰ τῶν ἀδικουμένων ἀνεκδίκητα. πτωχοὺς δὲ ἐνταῦθα, οὐχ ἁπλῶς τοὺς πένητας καλεῖ, ἀλλὰ τοὺς σφόδρα ταπεινοὺς, τοὺς συντετριμμένους. ταῦτα δὲ λέγει καὶ τοὺς ἀδικουμένους παραμυθούμενος, καὶ τοὺς ἀδικοῦντας σωφρονίζων· ἵνα μήτε ἐκεῖνοι τῇ μελλήσει ἀπαγορεύωσι, μήτε οὗτοι διὰ τὴν ἀναβολὴν ῥαθυμότεροι γίνωνται. ἡ γὰρ ἀναβολὴ εἰς μετάνοιαν ἄγει· τοὺς δὲ ἐπιμένοντας χαλεπώτερον κολάζει· καὶ μάλα δικαίως. διὰ τί; ὅτι τοσαύτης ἀπολαύσαντες ἀγαθότητος, οὐκ ἐγένοντο βελτίους. ἐννόησον ὅση τοῦ Θεοῦ ἡ φιλανθρωπία, ὅταν τοὺς ἀνακειμένους αὐτῷ ἀνέχηται πάσχειν κακῶς, καὶ μὴ ἐπεξίῃ, τῇ μετανοίᾳ βελτίω ποιῆσαι βουλόμενος. πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου. τί ἐστιν, ὃ λέγει; ὅπερ ἂν γένηται, φησὶν, ἐκεῖνοι εὐχαριστήσουσι. κἂν τοὺς ταπεινοὺς ἴδωσιν ἐπηρεαζομένους καὶ τοὺς πονηροὺς ἐπαιρομένους, οὐκ ἀπαιτήσουσιν εὐθύνας τῶν γινομένων. τοῦτο γὰρ δικαίων μάλιστα, τὸ διὰ πάντος καὶ ἐν ἅπασιν εὐχαριστεῖν. καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου· τουτέστι, τῆς βοηθείας ἀπολαύσαντες τῆς παρὰ σοῦ, τὴν ἔννοιαν ἔχοντες τὴν περὶ σοῦ, ἀεὶ μετὰ σοῦ ὄντες, οὐδέποτε ἀποστήσονται· ὅπερ ἂν γένηται, οὐδέποτε δυσχεραίνουσιν, οὐδέποτε μέμφονται τοῖς γινομένοις. τῆς γὰρ ψυχῆς ἀπεριτρέπτου, τῆς γνώμης ἀκλινοῦς, μὴ ἀπαιτεῖν τὸν δεσπότην εὐθύνας. διὸ καὶ Παῦλος ἔλεγε· Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτω; ταύτην τοίνυν καὶ ἡμεῖς διὰ παντὸς τηρῶμεν τὴν εὐγνωμοσύνην, ὑπὲρ ἁπάντων εὐχαριστοῦντες τῷ Θεῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ ἡ εὐχαριστία καὶ ἡ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρω. θ. κ.

Ψαλμ. ρμ. 1 ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ ΠΡΟΣ ΣΕ, ΕΙΣΑκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Τούτου τοῦ ψαλμοῦ τὰ μὲν ῥήματα ἅπαντες, ὡς εἰπεῖν, ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες· τὴν δὲ διάνοιαν τῶν εἰρημένων ἀγνοοῦσιν. ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον, τὸ καθ' ἑκάστην ἡμέραν ψάλλοντας καὶ διὰ στόματος τὰ ῥήματα περιφέροντας, μὴ ζητῆσαι τῶν νοημάτων τὴν δύναμιν τῶν ἐναποκειμένων τοῖς ῥήμασιν. ἐπεὶ ὕδωρ μὲν ἰδών τις διαυγὲς καὶ καθαρὸν ῥέον, οὐκ ἂν ἀνάσχοιτο μὴ προσελθεῖν καὶ ἅψασθαι καὶ πιεῖν, καὶ εἰς λειμῶνά τις συνηρεφῆ εἰσιὼν οὐκ ἂν ὑπομείνειε μὴ συλλέξας τι τῶν ἀνθέων ἐξελθεῖν· ὑμεῖς δὲ ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τοῦτον μελετῶντες τὸν ψαλμὸν διατελεῖτε, τὰ ῥήματα εἰδότες μόνον, καὶ καθάπερ θησαυρῷ συνεσκιασμένῳ, καὶ βαλάντιόν που περιφέρετε ἐσφραγισμένον, καὶ οὐδεὶς ὑπὸ πολυπραγμοσύνης παρωξύνθη τις μαθεῖν τί ποτέ ἐστι τὸ λεγόμενον, οὐκ ἐζήτησεν, οὐκ ἠρεύνησε. καίτοι γε οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι σαφής τις ὢν ὁ ψαλμὸς πάντας εἰς ὕπνον ἤγαγε, καὶ οὐκ ἀφῆκε ζητῆσαι τὸ προχείρως κείμενον. καὶ γάρ ἐστιν ἀσαφὴς, καὶ ἱκανὸς διεγεῖραι τὸν μὴ σφόδρα καθεύδοντα, μᾶλλον δὲ καὶ τὸν καθεύδοντα. τί γάρ ἐστι τὸ, μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας; τί δὲ τὸ, παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με; τὸ δὲ μετὰ τοῦτο, εἰπέ μοι, οὐκ ἔστι παντὸς ζόφου ζοφωδέστερον; ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. ἀλλ' ὅμως τοσούτων ὄντων ἀσαφῶν, ὥσπερ τινὰ ᾠδὴν ἁπλῶς παρατρέχουσιν οἱ πολλοί. ἀλλ' ἵνα μὴ τὴν κατηγορίαν ἐπὶ πλεῖον ἐπιτείνοντες φορτικὸν τὸν λόγον ἐργασώμεθα, φέρε δὴ πρὸς τὴν ἑρμηνείαν τῶν εἰρημένων βαδίσωμεν. ἀλλὰ προσέχετε μετ' ἀκριβείας. οὐδὲ γὰρ ἁπλῶς οἶμαι τὸν ψαλμὸν τοῦτον τετάχθαι παρὰ τῶν πατέρων καθ' ἑκάστην ἑσπέραν λέγεσθαι, οὐδὲ διὰ τὴν μίαν λέξιν τὴν λέγουσαν, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· ἐπεὶ καὶ ἄλλοι ψαλμοὶ ταύτην ἔχουσι τὴν λέξιν· ὥσπερ ἐκεῖνος ὁ λέγων, Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἐπαγγελῶ· καὶ πάλιν, Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· καὶ πάλιν τὸ, Ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. καὶ πολλοὺς ἂν εὕροι τις ψαλμοὺς ἐπιτηδείους τῷ καιρῷ τῆς ἑσπέρας· οὐδὲ διὰ τοῦτο γοῦν τὸν ψαλμὸν ἐτύπωσαν οἱ πατέρες, ἀλλ' ὥς τι φάρμακον σωτήριον, καὶ ἁμαρτημάτων καθάρσιον ἐνομοθέτησαν λέγεσθαι, ἵνα ὅσαπερ ἂν προστριβώμεθα δι' ὅλου τοῦ μήκους τῆς ἡμέρας, ἢ ἐν ἀγορᾷ ἢ ἐν οἰκίᾳ, ἢ ὅπου δήποτε διατρίβοντες, ταῦτα ἐλθόντες εἰς τὴν ἑσπέραν διὰ τῆς ἐπῳδῆς ταύτης ἀποδυσώμεθα τῆς πνευματικῆς. φάρμακον γάρ ἐστιν πάντων τούτων ἀναιρετικόν. τοιοῦτός ἐστι καὶ ὁ ἑωθινὸς ψαλμός. οὐδὲν γὰρ κωλύει ἐν βραχεῖ κἀκείνου ἐπιμνησθῆναι. τὸν πόθον γὰρ ἀνάπτει τὸν πρὸς τὸν Θεὸν, καὶ διεγεί-

Ψαλμ. νδ. ιθ.
Ψαλμ. ογ. ιϛ.
Ψαλμ. κθ. ϛ.

ρει τὴν ψυχήν, καὶ σφόδρα πυρώσας καὶ πολλῆς ἐμπλήσας εὐφροσύνης τε καὶ ἀγάπης οὕτως ἀφίησι προσελθεῖν. Ἴδωμεν δὲ καὶ πόθεν ἄρχεται, καὶ τί διδάσκει ἡμᾶς. Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου. Ὁρᾷς πῶς πεπυρωμένης δείκνυσι ψυχῆς ῥήματα; ἔνθα δὲ ἀγάπη Θεοῦ, πάντα οἴχεται τὰ πονηρά· ἔνθα μνήμη Θεοῦ, ἐκεῖ τῶν ἁμαρτημάτων λήθη, καὶ κακῶν ἀναίρεσις. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Τί ἐστιν οὕτως; μετὰ τοῦ πόθου, φησί, τούτου, μετὰ τῆς ἀγάπης ταύτης, ὥστε ἰδεῖν σου τὴν δόξαν, ἣν πανταχοῦ τῆς γῆς ἐστιν ἰδεῖν. Ἀλλ' ἵνα μὴ τὰ ἐν χερσὶν ἀφέντες, τὰ πάρεργα ἐπεισαγάγωμεν, παραπέμψαντες τὸν ἀκροατὴν εἰς τὰ ὑπὲρ ἐκείνου εἰρημένα, τῶν προκειμένων νῦν ἁψώμεθα. Τί δέ φησιν οὗτος; Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου. Τί λέγεις; *ὅτι ἐκέκραξας, ἀκουσθῆναι ἀξιοῖς, καὶ ταύτην πάντως αἰτίαν εἶναι λέγεις ἀκουσθῆναι; οὐκοῦν μεγαλοφώνων χρεία νῦν, καὶ τόνου βοώντων. Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λέγειν. Τί γὰρ ἡμάρτηκεν ὁ μικρόφωνος, ἢ ὁ ἰσχνόφωνος καὶ βραδύγλωσσος; οὐχὶ τοιοῦτος ἦν ὁ Μωϋσῆς, καὶ πάντων μᾶλλον ἠκούετο; οὐχὶ πλεῖον πάντων οἱ Ἰουδαῖοι ἐβόων; ἀλλ' οὐκ ἐπένευσεν αὐτῶν ταῖς δεήσεσιν ὁ Θεός. Τὸ γὰρ μέγα φωνῆσαι καὶ μικρόν, φύσεώς ἐστι πλεονέκτημα καὶ ἐλάττωμα· ταῦτα δὲ οὔτε ἀκούεσθαι οὔτε παρακούεσθαι ποιεῖ· οὔτε γὰρ ἐγκωμίων, οὔτε κατηγορημάτων ἄξια. Πολλὰ γὰρ τῶν τῆς φύσεως πλεονεκτημάτων καὶ μιαροῖς πρόσεστιν. Οὐχὶ καλὸς ἦν καὶ εὐειδὴς καὶ μέχρι τῶν βοστρύχων αὐτῶν εἷλκε τοῦ σώματος τὴν ὥραν ὁ Ἀβεσαλώμ; τί δέ; οὐχὶ φαλακρὸς ἦν ὁ Ἐλισσαῖος, ὡς καὶ σκώπτεσθαι παρὰ παιδίων; ἀλλ' οὐδὲν οὔτε ἐκεῖνον ἡ ὥρα ὠφέλησεν, οὔτε τοῦτον ἡ ἀμορφία παρέβλαψε. Καὶ τί λέγω *ἰσχνόφωνον ἢ βραδύγλωσσον; ὅπουγε καὶ σιγῶν ἠκούετο ὁ Μωϋσῆς, καὶ μηδὲ φθεγγομένη ἡ Ἄννα. Ἰουδαίοις δὲ διαλεγόμενος ὁ Χριστὸς ἔλεγεν, ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Τί οὖν οὗτος λέγει, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου; κραυγὴν ἐνταῦθα τὴν ἔνδον φησίν, ἣν ἡ καρδία ἔτικτεν ἡ πεπυρωμένη καὶ διάνοια ἡ συντετριμμένη, ἣν καὶ Μωϋσῆς βοῶν ἠκούετο. Ὥσπερ γὰρ ὁ φωνῶν πᾶσαν τὴν δύναμιν αὐτοῦ κενοῖ, οὕτω καὶ ἡ καρδία βοῶσα πάντοθεν τὸν νοῦν συστρέφει. Τοιαύτην οὖν κραυγὴν ζητεῖ ὁ Θεός, τὴν συστρέφουσαν τὴν καρδίαν, τὴν οὐκ ἐῶσαν χασμᾶσθαι [καὶ διακλᾶσθαι] τὸν ψάλλοντα. Οὐ μόνον δὲ κραυγὴν τοιαύτην ζητεῖ, ἀλλὰ καὶ τὸ πρὸς αὐτὸν εὔχεσθαι. Εἰσὶ γὰρ πολλοί, οἳ ἑστήκασι μέν, οὐ βοῶσι δὲ πρὸς τὸν Θεόν, ἀλλὰ τὰ μὲν χείλη πρὸς τὸν Θεὸν βοᾷ καὶ τὸ ὄνομα τοῦ Θεοῦ περιφέρει, ἡ δὲ διάνοια οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων. Ὁ τοιοῦτος οὐ κράζει, κἂν μεγάλα βοᾷ, ὁ τοιοῦτος οὐδὲ πρὸς τὸν Θεὸν εὔχεται, κἂν δοκῇ πρὸς αὐτὸν εὔχεσθαι. Ἀλλ' οὐχ ὁ Μωϋσῆς οὕτως, ἀλλ' ἐβόα καὶ ἠκούετο. Διὸ καὶ παρὰ τοῦ Θεοῦ, Τί βοᾷς πρός με, ἀκούει. Οὐ μόνον δὲ βοῶν, ἀλλὰ καὶ σιγῶν ἤνυσεν ἅπερ ἤθελεν, ἄξιον παρασχὼν ἑαυτὸν τοῦ ἀκούεσθαι. Εἰ δὲ βούλει καὶ ἀνθρώπους ἐκτενῶς ἰδεῖν εὐχομένους καὶ ἀνύοντας καὶ κράζοντας μεγάλα, ὅρα τὴν πόρνην τὴν σιγῇ βοῶσαν· ὅρα τὸν τελώνην ἀπὸ εὐχῆς δικαιωθέντα μόνης. Τοιαύτην γὰρ κραυγὴν καὶ οὗτος ποιεῖται· διὸ καὶ λέγει, Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· καὶ διὰ τοῦτο ἀκουσθῆναι ἀξιοῖ. Ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ὅρα καὶ ἄλλην ἀρετὴν εὐχῆς. Οὐ γὰρ ἀπὸ τοῦ σπουδαίως εὔχεσθαι ἀξιοῖ ἀκουσθῆναι, ἀλλὰ καὶ ἐκ τοῦ τοιαύτην παραστῆσαι τὴν εὐχήν, ὥστε ἀξίαν εἶναι τῶν ἀκοιμήτων ὀφθαλμῶν ἐκείνων. Ποία δέ ἐστιν αὕτη; ὅταν μὴ κατὰ ἐχθρῶν τις εὔχηται, ὅταν μὴ ὑπὲρ πλούτου καὶ πλεονεξίας, ὅταν μὴ ὑπὲρ δυναστείας καὶ δόξης, μηδὲ ὑπὲρ τινος τῶν ἐπικήρων τούτων, ἀλλ' ὑπὲρ τῶν ἀκηράτων καὶ ἀθανάτων ἐκείνων. Ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ

ψαλμ. ξβ.

Matth. 6.

Θεοῦ, φησι, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἐν τῷ κεκραγέναι με πρὸς σέ. ὁρᾷς πῶς βούλεται καὶ ἡμᾶς μετὰ σπουδῆς καλεῖν, μετὰ προθυμίας; καὶ γὰρ ὁ διάβολος τότε μάλιστα ἐφεδρεύει. ἐπειδὴ γὰρ οἶδεν ὅτι μέγιστον ὅπλον ἡ εὐχὴ, καὶ, κἂν ἁμαρτωλοὶ ὦμεν καὶ κατῃσχυμμένοι, ὅμως μετ᾽ ἀκριβείας καὶ κατὰ τοὺς τοῦ Θεοῦ νόμους εὐχόμενοι ἀπολαύομεν μεγάλα, τότε ἐμβάλλειν ἐσπούδακεν εἰς ῥαθυμίαν καὶ λογισμοὺς ἀνακινεῖ, ὥστε ἀκάρπους ποιῆσαι ἡμᾶς ἀπὸ τῆς εὐχῆς ἀπελθεῖν. διὸ δεῖ ταῦτα εἰδότας ἐπιτειχίζειν αὐτῷ* τὴν ἡμετέραν σπουδὴν, καὶ μηδέποτε κατ᾽ ἐχθρῶν εὔχεσθαι, ἀλλὰ τοὺς ἀποστόλους μιμεῖσθαι. καὶ γὰρ ἐκεῖνοι μυρία παθόντες δεινὰ, εἶτα εἰς δεσμωτήριον ἐμπεσόντες, καὶ τὸν περὶ τῶν ἐσχάτων ὑπομένοντες κίνδυνον, εἰς εὐχὴν καταφεύγοντες ἔλεγον, Ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν. καὶ τί μετὰ ταῦτα; μὴ καταῤῥάξον αὐτοὺς ἢ ἀπόκτεινον, ἔλεγον, ὃ πολλοὶ πολλάκις ἐπαρώμενοι λέγουσιν; οὐδαμῶς. ἀλλὰ τί; καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. πῶς, καὶ τίνι τρόπῳ; ἐν τῷ ἀπολλύναι τοὺς ἐπιβουλεύοντας; ἐν τῷ ἀφανίσαι καὶ πανωλεθρίᾳ παραδοῦναι; οὐδαμῶς. ἀλλὰ πῶς; ἐν τῷ σημεῖα καὶ τέρατα ποιεῖν διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ. εἶδες εὐχὴν φιλοσοφίας γέμουσαν, καὶ μετὰ τοσαῦτα δεινὰ οὐδεμίαν αἰτοῦσαν τῶν ἐχθρῶν τιμωρίαν. ἀλλ᾽ οὕτω μὲν αὐτοὶ ἔτι ζῶντες καὶ ἐμπνέοντες· ὁ δὲ Στέφανος καὶ ἀποῤῥήγνυσθαι μέλλων τῆς παρούσης ζωῆς, οὐ μόνον οὐδὲν αὐτοῖς κακὸν ᾔτησεν, ἀλλὰ καὶ τοὺς λιθάζοντας καὶ ἀναιροῦντας σπουδάζει διὰ τῆς εὐχῆς ἐξαρπάσαι τῆς ὀργῆς τῆς ἐπὶ τῇ ἁμαρτίᾳ ταύτῃ, καί φησι, Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας δὲ ἀπολογίας, οἱ κατὰ τῶν ἐχθρῶν εὐχόμενοι; πῶς δ᾽ ἂν ἡ τοιαύτη ἀκουσθείη εὐχὴ, ὅταν ἀπεναντίας τοῖς τοῦ Θεοῦ νόμοις ἀναφέρηται; μὴ δὴ τοιοῦτον μηδὲν λέγωμεν. οὐ γὰρ δὴ μόνον οὐκ εὔχεσθαι δεῖ κατὰ τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὴν ὀργὴν ἀναιρεῖν τὴν κατ᾽ αὐτῶν. διό φησι, Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ· τουτέστι, κἂν ἐχθροὺς ἔχῃς, σβέσον τὴν ὀργὴν, καὶ οὕτω πρόσιθι τῷ δεσπότῃ. καὶ μὴ μόνον διὰ τοῦ στόματος μηδὲν εἴπῃς κατ᾽ αὐτοῦ, ἀλλὰ καὶ τὴν διάνοιαν ἀπάλλαξον τοῦ ἰοῦ. ἂν τοιαύτη ἡ εὐχὴ ᾖ, καὶ μετὰ σπουδῆς καλῇς τὸν Θεὸν, καὶ πρὶν ἢ τελέσαι τὴν εὐχὴν, ἀκουσθήσῃ. τοῦτο καὶ αὐτὸς αἰτεῖ λέγων, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. καὶ γὰρ αὐτοῦ τοῦ Θεοῦ ἐστιν ὑπόσχεσις λέγουσα, Ετι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. 2 Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου.

Πράξ. δ. κθ.

Πράξ. ζ. ξ.

α. Τιμ. β. η.

Ησ. νη. θ.

χ. εὐξάμενοι
χ. ἀνεγείρει
χ. ἀνακινεῖ,

* διὰ

χ. ἀναφέρηται

χ. αὐτῶν

ἴσ. αὐτῶν,

Ετερος, Ταχθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἔμπροσθέν σου. Ἄλλος, Ετοιμασθήτω. Επαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

χ. ταχθήτω

Ἄλλος, Δῶρον ἑσπέρας. Ετερος, Προσφορὰ ἑσπερινή. Τί διδάξαι βουλόμενος ἡμᾶς ὁ προφήτης, περὶ θυσίας ἑσπερινῆς διαλέγεται; δύο βωμοὶ τὸ παλαιὸν ἦσαν· εἷς μὲν ἀπὸ χαλκοῦ κατεσκευασμένος, ἕτερος δὲ χρυσοῦς. καὶ ὁ μὲν πάνδημος ἦν σχεδὸν προκείμενος τοῖς ἱερείοις τοῖς τοῦ πλήθους παντός· ὁ δὲ ἐν τοῖς ἀδύτοις ἀπέκειτο καὶ τοῦ καταπετάσματος ἔνδον. μᾶλλον δὲ ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα ἡμῖν, εἰς ἀρχὴν τὸν λόγον ἀναγαγεῖν πειρασόμεθα. ναὸς ἦν παρὰ Ἰουδαίοις τὸ παλαιὸν, τεσσαράκοντα μὲν πηχῶν τὸ μῆκος, τὸ δὲ πλάτος εἴκοσι. τούτου τοῦ μήκους δέκα ἀφελὼν πήχεις ἀπέλαβεν ἔνδον διὰ τοῦ καταπετάσματος, καὶ τὸ ἀπειλημμένον ἐκαλεῖτο ἅγια ἁγίων· τὸ δὲ ἔξω ἐκαλεῖτο ἅγια μόνον. καὶ χρυσῷ πάντα κατελάμπετο. τινὲς δὲ καὶ τὴν δοκὸν ἐκείνην τὴν ἄνω χρυσήλατον ἔλεγον εἶναι. ἐνταῦθα ὁ ἀρχιερεὺς μόνος εἰσῄει ἅπαξ τοῦ ἐνιαυτοῦ. ἐκεῖ καὶ ἡ κιβωτὸς ἔκειτο, καὶ τὰ χερουβίμ. ἐκεῖ καὶ ὁ βωμὸς εἱστήκει ὁ χρυσοῦς, ἔνθα τὸ θυμιατήριον προσεφέρετο, εἰς οὐδὲν ἕτερον παρεσκευασμένος, ἀλλ' ἢ πρὸς τὸ θυμίαμα μόνον. τοῦτο δὲ ἐγένετο ἅπαξ τοῦ ἐνιαυτοῦ. ἐν τῷ ναῷ ὅπου τὸ ἔξω ὁ χαλκοῦς ἦν βωμός, καὶ καθ' ἑκάστην ἑσπέραν ἐφέρετο ἀμνὸς καὶ κατεκαίετο, καὶ ἐκαλεῖτο θυσία ἑσπερινή. ἦν γὰρ καὶ ἑωθινή, καὶ δὶς τῆς ἡμέρας εἰς τὸν ναὸν τὸν βωμὸν καίεσθαι ἔδει ἐκτὸς τῶν ἄλλων ἱερείων τῶν παρὰ τοῦ λαοῦ προσαγομένων. τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐπίταγμα καὶ νόμος ἦν, [ὥστε] οἴκοθεν καὶ παρ' ἑαυτῶν, ὅταν μηδεὶς προσέφερεν, ἕνα ἑωθινὸν καὶ ἕνα ἑσπερινὸν ἀμνὸν καταθύειν καὶ κατακαίειν· καὶ ἡ μὲν ἐκαλεῖτο θυσία ἑσπερινή, ἡ δὲ ἑωθινή. τοῦτο δὲ ὑπὸ τοῦ Θεοῦ ἐνενομοθέτητο γίνεσθαι, δηλοῦντος διὰ τῶν γινομένων, ὅτι διηνεκῶς αὐτὸν θεραπεύεσθαι χρή, καὶ ἀρχομένης καὶ τελευτώσης ἡμέρας. αὕτη τοίνυν ἡ θυσία εὐπρόσδεκτος ἦν ἀεί, καὶ τὸ θυμίαμα τὸ τοιοῦτον· τὸ δὲ ὑπὲρ ἁμαρτημάτων ποτὲ μὲν εὐπρόσδεκτον ἦν, ποτὲ δὲ οὐκ εὐπρόσδεκτον, ἀπὸ τῆς διαθέσεως τῶν προσφερόντων πρὸς ἀρετὴν ἢ κακίαν τοῦτο κἀκεῖνο γινόμενον. ὅπερ δὲ οὐχ ὑπὲρ ἁμαρτημάτων ἑτέρων προσεφέρετο, ἀλλ' ἱερουργίας νόμος ἦν καὶ θεραπείας τρόπος, πάντως εὐπρόσδεκτον ἦν. ἀξιοῖ τοίνυν οὗτος οὕτω γενέσθαι αὐτοῦ τὴν εὐχήν, ὡς ἐκεῖνο τὸ θυμίαμα τὸ οὐδεμιᾷ κηλῖδι τοῦ προσάγοντος μολυνόμενον, ὡς ἐκεῖνο τὸ θυμίαμα τὸ καθαρόν τε καὶ ἅγιον. διὰ δὲ τοῦ ἀξιοῦν, παιδεύει καθαρὰς ἡμᾶς ποιεῖσθαι τὰς εὐχὰς καὶ εὐώδεις. τοιοῦτον γὰρ ἡ δικαιοσύνη, ὥσπερ οὖν ἡ ἁμαρτία δυσώδης. διὸ καὶ τὴν δυσωδίαν αὐτῆς παραδηλῶν αὐτὸς οὗτος ἔλεγεν· Ὅτι αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. ὥσπερ οὖν τὸ θυμίαμα καὶ καθ' ἑαυτὸ μέν ἐστι καλὸν καὶ εὐῶδες, τότε δὲ μάλιστα ἐπιδείκνυται τὴν εὐωδίαν, ὅταν ὁμιλήσῃ τῷ πυρί· οὕτω δὴ καὶ ἡ εὐχή, καλὴ μὲν καὶ καθ' ἑαυτήν, καλλίων δὲ καὶ εὐωδεστέρα γίνεται, ὅταν μετὰ θερμῆς καὶ ζεούσης ψυχῆς ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψυχὴ γένηται, καὶ πῦρ ἀνάπτῃ σφοδρόν. οὐδὲ γὰρ τὸ θυμίαμα τῆς ἐσχάρας μὴ προαναφθείσης ἐπετίθετο, ἢ τῶν ἀνθράκων μὴ διακαιομένων. τοῦτο καὶ σὺ ἐπὶ τῆς διανοίας ποίησον. πρότερον ἄναψον αὐτὴν τῇ προθυμίᾳ, καὶ τότε ἐπιτίθει τὴν εὐχήν. εὔχεται τοίνυν τὴν μὲν εὐχὴν αὐτοῦ γενέσθαι ὡς θυμίαμα, τὴν δὲ ἔπαρσιν τῶν χειρῶν ὡς θυσίαν ἑσπερινήν· ἀμφότερα γὰρ εὐπρόσδεκτα. πῶς δ' ἂν γένοιτο τοῦτο; εἰ ἀμφότερα εἴη καθαρά, εἰ ἀμφότερα εἴη ἄμωμα, ἥ τε γλῶττα καὶ αἱ χεῖρες· αἱ μὲν πλεονεξίας καὶ ἁρπαγῆς ἕνεκα καθαρεύουσαι, ἡ δὲ πονηρῶν ῥημάτων ἠλευθερωμένη. ὥσπερ γὰρ τὸ θυμιατήριον οὐδὲν ἔχειν ἀκάθαρτον χρή, ἀλλ' ἢ πῦρ καὶ θυμίαμα, οὕτω καὶ τὴν γλῶτταν μὴ προφέρειν κεκηλιδωμένον ῥῆμα, ἀλλ' ἢ ἁγιωσύνην καὶ εὐφημίαν· οὕτω καὶ τὰς χεῖρας θυμιατήριον γίνεσθαι. ἔστω τοίνυν θυμιατήριόν σου τὸ στόμα, καὶ σκόπει μὴ κόπρου τὸ θυμιατήριον ἐμπλήσῃς. τοιοῦτοι γὰρ οἱ τὰ αἰσχρὰ φθεγγόμενοι καὶ ἀκάθαρτα ῥήματα. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἑωθινή, ἀλλ' ἑσπερινή; ἐμοὶ μὲν ἀδιαφόρως εἰρῆσθαι τοῦτο δοκεῖ. καὶ γὰρ εἰ εἶπεν ἑωθινήν, ὁ περίεργος ἠρώτησεν ἄν, τίνος ἕνεκεν οὐκ εἶπεν ἑσπερινήν; εἰ δέ τις ἀπολυπραγμόνως βούλοιτο ἀκούειν, ὅτι ἡ μὲν ἑωθινὴ ἀνέμενε τὴν ἑσπερινήν, ἡ δὲ ἑσπερινὴ γινομένη τὴν ἱερουργίαν ἐπλήρωσε, καὶ οὐκ ἔστιν ἀτελεστέρα πως ἐπὶ τῆς ἡμέρας λοιπὸν ἡ λατρεία, ἀλλὰ καὶ ἀπηρτίσθη καὶ τέλος ἔλαβεν. ἀλλὰ γὰρ τί βούλεται καὶ τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; ἐπειδὴ πολλαῖς πονηρίαις διακονοῦνται αὗται, οἷον πληγαῖς, φόνοις, ἁρπαγαῖς, πλεονεξίαις, δι' αὐτὸ μὲν οὖν τοῦτο κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία, δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαγωγὴ τῆς πονηρίας· ἵνα ὅταν μέλλῃς ἁρπάζειν ἢ πλεονεκτεῖν ἢ τύπτειν ἕτερον, ἀναμνησθεὶς ὅτι ταύτας μέλλεις ἀντὶ συνηγόρων πρὸς τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναπέμ-

Ψαλμ. λζ.

πεν ἐκείνην τὴν πνευματικήν, μὴ καταισχύνῃς αὐτὰς καὶ ἀπαρρησιάστους ἐργάσῃ τῇ διακονίᾳ τῆς πονηρᾶς ἐργασίας. κάθαιρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ δεομένων, καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. εἰ γὰρ ἀνίπτοις αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχὴν ἐπαίρεσθαι, πολλῷ μᾶλλον ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς μιαίνειν. Εἰ δὲ τὸ ἔλαττον δέδοικας, πολλῷ μᾶλλον τὸ μεῖζον φεῖξον. τὸ μὲν γὰρ ἀνίπτοις χερσὶ προσεύχεσθαι, οὐ τοσοῦτον τὸ ἄτοπον· τὸ δὲ καταρρυπωθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι προσάγειν, τοῦτο πολλὴν φέρει τὴν ὀργήν. τοῦτο καὶ ἐπὶ στόματος καὶ γλώττης λογιζώμεθα, καὶ ἄβατον αὐτὸ τῇ πονηρίᾳ τηροῦντες, οὕτω τὴν προσευχὴν προσάγωμεν. Εἰ γὰρ χρυσοῦν τις σκεῦος ἔχων οὐκ ἂν ἕλοιτο εἰς ἄτιμον αὐτῷ χρήσασθαι διακονίαν διὰ τὸ πολύτιμον τῆς ὕλης, πολλῷ μᾶλλον οἱ χρυσοῦ καὶ μαργαρίτου τιμιώτερα στόματα ἔχοντες, οὐκ ἂν εἴημεν δίκαιοι ταῖς ἀναισχύντοις αὐτὰ καταρρυπαίνειν αἰσχρορρημοσύναις καὶ λοιδορίαις καὶ ὕβρεσιν. οὐκ ἐν χαλκῷ προσάγεις βωμῷ τὸ θυμιατήριον, οὐδὲ ἐν χρυσῷ, ἀλλ' ἐν τιμιωτέρῳ τούτου, ἐν ναῷ πνευματικῷ. ἐκείνῳ μὲν γὰρ ἄψυχος * ἡ ὕλη. ἐν σοὶ δὲ ὁ Θεὸς ἐνοικεῖ, καὶ μέλος εἶ τοῦ Χριστοῦ καὶ σῶμα*.

3 Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου. Παρακαλέσας τὸν δεσπότην ἀκοῦσαι αὐτοῦ τὴν εὐχὴν καὶ εὐπρόσδεκτον γενέσθαι, ὅρα ποίαν προσάγει πρώτην αἴτησιν, ποίαν ἱκετηρίαν. οὐ γὰρ εἶπε, δός μοι χρήματα, δός μοι τιμὰς τὰς παρὰ ἀνθρώποις, δός μοι κρατῆσαι τῶν ἐχθρῶν, δός μοι παιδία· οὐδὲν τούτων· ἀλλὰ πάντα ἀφεὶς ἐπὶ τῆς γῆς ἐρρῖφθαι, αἰτεῖ παρὰ τοῦ Θεοῦ ταῦτα, ἃ παρὰ τοῦ Θεοῦ αἰτεῖν δίκαιον. τί οὖν; οὐ δεῖ, φησιν, αἰσθητὰ αἰτεῖν; δεῖ μὲν, μέτρῳ δέ· ὡς ὁ Ἰακὼβ λέγων, Γεν. κη. κ. Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι· ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι λέγοντας, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· πρὸ πάντων τὰ πνευματικά. ὃ δὴ καὶ αὐτὸς ποιεῖ λέγων, Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου. Εἶδες σύνεσιν; εἶδες σοφίαν; πόθεν ἄρχεται τῆς αἰτήσεως; ἀπὸ τοῦ μεγίστου τῶν κατορθωμάτων, καὶ ὃ πάντων αἴτιόν ἐστι τῶν κακῶν ἀμελούμενον, ὥσπερ τῶν ἀγαθῶν σπουδαζόμενον. τὰ γὰρ μυρία κακὰ τῆς γλώττης ἡ εὐκολία ἐργάζεται, ὥσπερ οὖν τὰ ἀγαθὰ ἡ ἀσφάλεια. ὥσπερ οὖν οὐδὲν ὄφελος οἰκίας, οὐ πόλεως, οὐ τειχῶν, οὐ πυλῶν, οὐ θυρῶν, ἂν μὴ ὦσιν οἱ φυλάττοντες, καὶ εἰδότες πότε μὲν κλείειν, πότε δὲ ἀνοίγειν δεῖ· οὕτως οὐδὲ γλώττης ὄφελος οὐδὲ στόματος, ἂν μὴ λογισμὸς ᾖ τὴν κλεῖσιν καὶ τὴν ἄνοιξιν μετὰ ἀκριβείας καὶ πολλῆς τῆς ἐπιστήμης ἐπιτετραμμένος, καὶ εἰδὼς τίνα μὲν ἐκφέρειν δεῖ, τίνα δὲ ἔνδον κατέχειν. Σειρ. κη. ιθ. Οὐ τοσοῦτοι γάρ, φησιν, ἔπεσον ἀπὸ μαχαίρας, ὅσοι ἀπὸ γλώσσης. Ματθ. ιε. ια. καὶ ὁ Χριστός· Οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπὸ τοῦ στόματος. Σειρ. κη. κη. καὶ πάλιν ἕτερος, Ποίησον τῷ στόματί σου θύραν καὶ μοχλόν. οὗτος δὲ ἐπειδὴ σφόδρα δύσκολον ὂν οἶδε τὸ πρᾶγμα, καὶ εὐχὰς προστίθησι, καὶ τὸν Θεὸν εἰς τὴν συμμαχίαν ταύτην καλεῖ· μᾶλλον δὲ καὶ ἐκεῖνος τὸ αὐτὸ τοῦτο αἰνίττεται, ὡς ὅταν λέγῃ, Σειρ. κβ. λ. Τίς δώσει ἐπὶ τῶν χειλέων μου σφραγίδα πανοῦργον; δεῖ μὲν γὰρ καὶ τὰ παρ' ἡμῶν εἰσφέρειν (διὸ δὴ καὶ ἐν τάξει προστάγματος αὐτὸ τέθεικε λέγων, ποίησον θύραν καὶ μοχλόν) δεῖ δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν καλεῖν, ἵνα καὶ ἡ ἡμετέρα σπουδὴ εἰς ἔργον ἐξίῃ). φυλάττωμεν τοίνυν τὸ στόμα διηνεκῶς, κλεῖν αὐτῷ τὸν λογισμὸν ἐπιτιθέντες, οὐχ ἵνα διηνεκῶς ᾖ κεκλεισμένον, ἀλλ' ἵνα κατὰ καιρὸν ἀνοίγηται τὰ προσήκοντα. ἔστι γὰρ ὅτε σιγὴ μᾶλλον ὠφέλησε λαλιᾶς, ὥσπερ καὶ λαλιὰ μᾶλλον σιγῆς. διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος ἐκεῖνος ἔλεγε· [illegible] γ. ζ. Καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι. εἰ γὰρ διὰ παντὸς ἀνεῷχθαι ἔδει, οὐκ ἂν ἐγένοντο θύραι· εἰ δὲ διαπαντὸς κεκλεῖσθαι ἐχρῆν, οὐκ ἔδει φυλακῆς. τὸ γὰρ κεκλεισμένον τί ἄν τις φυλάξειεν; ἀλ-

λά

λεῖ διὰ τοῦτο θύραν καὶ φυλακὴν, ἵνα καιρῷ ἐπιτηδείῳ ἕκαστα ἐργαζώμεθα. ἕτερος δέ φησι, Ζυγὸν καὶ σταθμὸν ποίησαι τῇ σαυτοῦ γλώττῃ, πλείονα ἀκρίβειαν ἀπαιτῶν, ἵνα μὴ μόνον ἐκφέρωμεν ῥήματα ἃ δεῖ, ἀλλὰ καὶ μετὰ τῆς προσηκούσης ἀκριβείας σταθμίζοντες, ὡς ἂν εἴποι τις, καὶ διερευνώμενοι. εἰ γὰρ ἐπὶ χρυσοῦ τοῦτο ποιοῦμεν καὶ ὕλης ἀπολλυμένης, πολλῷ μᾶλλον ἐπὶ ῥημάτων ποιεῖν δεῖ, ὥστε μηδὲν ὑστερεῖν, ἢ περιττεύειν. διὸ καί τίς φησι, Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. εἶδες καιρὸν ἐξόδου. ἕτερος καὶ καιρὸν σιγῆς λέγων, φησὶν, Εἰ ἔστι σοι λόγος, ἀποκρίθητί μοι· εἰ δὲ μὴ, ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου. καὶ πάλιν, ὁ πλεονάζων ἐν λόγῳ μισηθήσεται. καὶ, κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ. ἤκουσας λόγον, ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξει. καὶ πάλιν, ἀπὸ προσώπου λόγου ὠδινήσει μωρὸς, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα. εἶτα καὶ περὶ μέτρου, λάλησον, νεανίσκε, εἰ χρεία σοι μόλις δίς· ἐὰν ἐπερωτηθῇς, κεφαλαίωσον ἐν ὀλίγοις πολλά. πολλῆς γὰρ χρεία δοκιμασίας τῶν λογισμῶν, ὥστε τῇ ἐξουσίᾳ τῆς γλώττης μετὰ πολλῆς κεχρῆσθαι τῆς ἀσφαλείας. διὸ καὶ πάλιν ἔλεγεν, ἔστιν ἔλεγχος, καὶ οὐκ ἔστιν ὡραῖος· καὶ ἔστι τις σιγῶν, καὶ εὑρισκόμενος σοφός. οὐ γὰρ δὴ μόνον σιγᾶν δεῖ καὶ φθέγγεσθαι εὐκαίρως, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς χάριτος. διὸ καὶ Παῦλος ἔλεγεν, Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. ἐννόησον ὅτι τοῦτο ἐστὶ τὸ μέλος, δι' οὗ ὁμιλοῦμεν τῷ Θεῷ, δι' οὗ τὴν εὐφημίαν ἀναφέρομεν. τοῦτό ἐστι τὸ μέλος, δι' οὗ τὴν φρικτὴν θυσίαν ὑποδεχόμεθα. ἴσασιν οἱ πιστοὶ τὸ λεγόμενον. διὸ καὶ κατηγορίας ἁπάσης αὐτὸ καθαρὸν εἶναι χρὴ, καὶ λοιδορίας καὶ αἰσχρολογίας καὶ συκοφαντίας. κἂν ἀσελγής τις λογισμὸς ἐκβιάζηται, ἀποπνίγειν αὐτὸν ἔνδον χρὴ, καὶ μὴ ἐᾶν εἰς ῥήματα ἐκφέρεσθαι. κἂν μικροψυχία τις ἀποδυσπετεῖν σε παρασκευάζῃ, καὶ ταύτην * ἀναξηραίνειν τὴν ῥίζαν, καὶ ἀσφαλῆ τὴν θύραν ἔχειν καὶ ἀκριβῆ τὴν φυλακὴν, καὶ τὰ πονηρὰ βουλεύματα μήτε ἐᾶν τίκτεσθαι, καὶ τικτόμενα ἀποπνίγειν ἔνδον, καὶ ἀναξηραίνειν τὴν ῥίζαν. τοιαύτην εἶχε φυλακὴν ὁ Ἰώβ. διὰ τοῦτο οὐδὲν ἐξήνεγκε ῥῆμα ἀπηχὲς, ἀλλ' ἐπὶ πλέον μὲν ἐσίγα· ὅτε δὲ καὶ φθέγξασθαι ἔδει πρὸς τὴν γυναῖκα, ἐφθέγξατο τὰ φιλοσοφίας γέμοντα ῥήματα. τότε γὰρ δεῖ φθέγγεσθαι μόνον, ὅταν σιγῆς τὰ λεγόμενα χρησιμώτερα ᾖ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, Πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον. καὶ ὁ Παῦλος, Λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. πῶς δ' ἂν γένοιτο ἀσφαλὴς αὕτη ἡ θύρα καὶ ἡ φυλακὴ ἀκριβὴς, ἄκουσον ἑτέρου λέγοντος· Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. ἐὰν γὰρ παιδευθῇς μηδὲν περιττὸν λαλεῖν, ἀλλὰ διὰ παντὸς τῇ τῶν θείων γραφῶν διηγήσει τειχίζῃ σου καὶ τὴν διάνοιαν καὶ τὸ στόμα, ἀδάμαντος ἔσται ἀσφαλεστέρα ἡ φυλακή. καὶ γὰρ πολλαὶ ὁδοὶ ἀπωλείας διὰ τοῦ στόματος· οἷον, ὅταν τις αἰσχρολογῇ, ὅταν εὐτραπελεύηται, ὅταν κενοδοξῇ, ὅταν μεγαλαυχῇ, ὡς ὁ Φαρισαῖος, ὃς ἐπεὶ οὐκ εἶχε θύραν ἐπὶ τοῦ στόματος, πάντα ἐξεχύθη τὰ ἔνδον δι' ὀλίγων ῥημάτων. διὸ καὶ, ὥσπερ οἰκία ἀθύρωτος, οὐκ ἴσχυσε κατασχεῖν τὸν θησαυρὸν τὸν ἐναποκείμενον, ἀθρόον ἐγένετο πένης. σκόπει μοι καὶ ἄλλον διὰ μεγαληγορίαν ἀπολλύμενον ὁμοίως. Εἶπε γάρ, φησιν, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου. Ἰουδαῖοι δὲ διὰ τὸ ἐφήδεσθαι τοῖς τοῦ πλησίον κακοῖς, νῦν μὲν ἀκούουσιν, ἀνθ' ὧν εἶπας εὖγε, εὖγε, γέγονεν ὡς τὰ λοιπὰ ἔθνη Ἰσραήλ· νῦν δὲ ὀνειδίζονται διὰ τὸ ἀποδυσπετεῖν καὶ λέγειν, Πᾶς ποιῶν πονηρὸν, καλὸς ἐνώπιον Κυρίου, καὶ αὐτὸς ἐν αὐτοῖς εὐδόκησε, καὶ ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα. οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ; ἕτεροι διὰ γογγυσμὸν, ὥς φησι Παῦλος· μηδὲ γογγύζωμεν καθώς τι-

νες

γρ. γλώττης μείζονα ἀκρίβειαν ἐπιζητεῖ.

Σειρ. κη. κε.

γρ. ἰδὲ

Σειρ. δ. κγ.

γρ. δοκιμασίας

Κολ. δ. ς.

γρ. ἀποδεχ-

* χρὴ

γρ. τικτόμ.

Ματθ. ιβ. λς.

Ἐφ. δ. κθ.

Σειρ. θ. κ.

γρ. [illegible]

Ἡσ. ιδ. ιγ.

γρ. ἔπεσεν, διὰ τὸ ἀποδυσπετεῖν καὶ λέγειν, πᾶς

γρ. καλὸν

γρ. μὲν

Μαλαχ. β. ιζ. καὶ γ. ιε.

νες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. καὶ πότε ἐγόγγυσαν; ὅτε ἔλεγον,
Ἐξοδ. ιδ. ια. Ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ, παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ; ἕτεροι
δὲ διὰ παιδιάν, καθάπερ φησίν, ἔφαγον καὶ ἔπιον, καὶ ἀνέστησαν παίζειν. ἄλλοι διὰ
λοιδορίας· πᾶς ὁ λέγων, φησί, τῷ ἀδελφῷ αὐτοῦ μωρέ, ἔνοχος ἔσται τῇ κρίσει. καὶ ἕτεροι
τούτων πλείους δι' ἄλλα ἀπώλοντο, μὴ φυλάξαντες τὰ ἑαυτῶν στόματα. εἰ δὲ βούλει
καὶ ἀπὸ σιγῆς ἀκοῦσαι ἀκαίρου ἀπολλυμένους τινάς, ἐγώ σοι δείξω. ἐὰν γὰρ μὴ διαστείλῃς,
φησί, τῷ λαῷ, ἐκεῖνος μὲν ἀποθανεῖται τῇ ἁμαρτίᾳ αὐτοῦ· τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς
χειρός σου ἐκζητήσω. ἄλλος ἐκ τοῦ ἀδιακρίτως πᾶσι διαλέγεσθαι καὶ τὰ ἐμπιστευθέντα
ἐκχεῖν. μὴ δῶτε γάρ, φησι, τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν
τῶν χοίρων. ἄλλος ἐκ τοῦ γελᾷν· διό φησιν, οὐαὶ ὑμῖν οἱ γελῶντες, ὅτι κλαύσετε.
Εἶδες πῶς ἀπόλλυσι στόμα; ὅρα καὶ πῶς σώζει στόμα ἀπὸ τῶν ἐναντίων. Εἶδες
τὸν Φαρισαῖον ἀπολλύμενον δι' αὐτοῦ; ὅρα τὸν τελώνην σωθέντα δι' αὐτοῦ. Εἶδες τὸν
μεγαλήγορον βάρβαρον δίκην δόντα; ὅρα τὸν δίκαιον μετριάζοντα καὶ λέγοντα, ἐγώ εἰμι
γῆ καὶ σποδός. εἶδες τὸν ἐφηδόμενον ἐγκαλούμενον καὶ κολαζόμενον; ὅρα τὸν συναλγοῦντα
Ἰεζεκ. θ. δ. σωζόμενον. Δός μοι, φησι, τὸ σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ ὀδυνωμένων.
διὸ καὶ Παῦλος ἔλεγε, χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων. εἰ καὶ μηδὲν ἕτερον
δυνάσαι, φησιν, οὐ μικρὸν τοῦτο εἰσοίσεις, τῷ ἀλγοῦντι τὸ συναλγῆσαι. Εἶδες τὸν γελῶντα
θρήνῳ παραδιδόμενον; ὅρα τὸν πενθοῦντα παρακλήσεως ἀπολαύοντα. μακάριοι
γάρ, φησιν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Εἶδες τοὺς ἀποδυσπετοῦντας
κολαζομένους; ὅρα τοὺς εὐχαριστοῦντας σωζομένους. εὐλογητὸς εἶ, Κύριε, καὶ
αἰνέσω τὸ ὄνομά σου, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ μετ' ὀλίγα, πάντα ὅσα
ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας. ἐκεῖνοι ἔλεγον, πᾶς ποιῶν πονηρόν, "καλὸς
Ἀββακ. α. ιγ. ἐνώπιον Κυρίου· οὗτοι ἀπεναντίας, Καθαρὸς ὁ ὀφθαλμός σου, τοῦ μὴ ὁρᾷν πονηρά.
ἐκεῖνοι ἐμακάριζον ἀλλοτρίους, ὅτι ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα· οὗτοι τοὺς
Ψαλμ. λβ. ιβ. ὑπὸ Θεοῦ βοηθουμένους· Μακάριος, φησιν, ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. καὶ πάλιν, μὴ
παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. Εἶδες τοὺς
ἁγίους καὶ ἑτέροις παραινοῦντας, καὶ αὐτοὺς ἀπαρατρέπτους ἐν τοῖς πειρασμοῖς "μένοντας;
Γεν. κη. κ. ἄκουσον γοῦν τοῦ Ἰακὼβ λέγοντος, Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι·
Γεν. ιδ. κγ. καὶ τοῦ Ἀβραάμ, Οὐ μὴ λάβω ἀπὸ σοῦ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος.
καὶ ἡνίκα δὲ ἡ γυνὴ διαφθείρεσθαι ἔμελλε, καὶ ὁ λιμὸς ἐπέκειτο, οὐδὲν ἐφθέγξατο
* ἀπηχές· καὶ ὅτε ὁ παῖς εἶπε, πάτερ, ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον; * ῥῆμα
ὅρα πῶς μετ' ἐπιεικείας καὶ φιλοσόφου διανοίας ἀποκρίνεται καὶ λέγει, ὄψεται ἑαυτῷ ὁ
Θεὸς πρόβατον, τέκνον, "οὔτε ὑπὸ τῆς φύσεως οὔτε ὑπὸ τῆς συμπαθείας ἐπιστραφεὶς
πρὸς τὰ τοῦ παιδὸς ῥήματα, μόνος πρὸς μόνον ἃ ἐποιεῖτο, ὅτε μάλιστα καὶ τὰ τοῦ
πόθου σφοδρότερον ἀνάπτεσθαι εἰκὸς ἦν. ἵνα γὰρ μή τις εἴπῃ, ὅτι ἑτέρους αἰδούμενος
οὐκ ἐπένθησε, χωρισθεὶς αὐτῶν καὶ μόνος ὤν, ἔδειξε τῆς φιλοσοφίας τὸν τόνον. Εἶδες τοὺς
διὰ γέλωτος κολαζομένους; ὅρα τοὺς διὰ θρήνων καὶ νηστειῶν σωζομένους, τοὺς Νινευΐτας
[ἐννοήσας.] εἶδες τοὺς διὰ λοιδορίας τιμωρουμένους; σκόπει τοὺς δι' εὐφημίαν μισθὸν
Ἀριθ. κδ. θ. Ματθ. ε. μδ. λαμβάνοντας. Ὁ εὐλογῶν σε εὐλογημένος, καὶ ὁ καταρώμενός σε ἐπικατάρατος. Εὐλογεῖτε
τοὺς διώκοντας ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι
τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὁρᾷς ὅτι οὔτε κεκλεῖσθαι δεῖ δι' ὅλου, οὔτε ἀνεῷχθαι
εἰς πάντα, ἀλλ' εἰδέναι τὸν καιρὸν ἑκάστου. Ταῦτα καὶ ὁ προφήτης εἰδώς φησι,

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Τίς

γρ. φοβερὸς

Τίς δ' ἂν γένοιτο φυλακὴ ἄλλη, ἢ λογισμὸς φοβερὸς ἐφεστὼς, μετὰ χεῖρας ἔχων τὸ πῦρ τὸ μέλλον καταχεῖν τοὺς ἁπλῶς τὸ στόμα κεχηνημένους; τοῦτον στῆσον πυλωρὸν καὶ φύλακα ἀπειλοῦντα τῷ συνειδότι, καὶ οὐδέποτε ἀνοίξει τὴν θύραν ταύτην ἀκαίρως, ἀλλ' εἰς καιρὸν καὶ ἐπὶ κέρδει καὶ μυρίοις ἀγαθοῖς. διὸ καί τις ἔλεγε, Διὰ παντὸς μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. Εἶδες πῶς καὶ οὗτος τοῦτον ἐπέστησε τὸν λογισμόν; ἐγὼ δὲ καὶ φοβερώτερον ἐποίησα αὐτὸν, οὐχὶ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ μετὰ τὴν τελευτὴν, εἰπὼν αὐτὸν μετὰ χεῖρας ἔχειν. ἂν τοῦτο ᾖ, οὐδὲ τεχθήσεταί τι πονηρὸν ἐν τῇ διανοίᾳ. μετὰ τούτου καὶ ἕτερον αὐτῷ παράστησον τὸν λέγοντα, ὅτι παντὸς ῥήματος ἀργοῦ λόγον ἀποδώσεις ἐν τῇ ἡμέρᾳ κρίσεως. ἐννόησον ὅτι καὶ ὁ θάνατος ἐντεῦθεν εἰσῆλθεν. εἰ γὰρ μὴ διελέχθη ἡ γυνὴ πρὸς τὸν ὄφιν ἐκεῖνα ἃ διελέχθη, εἰ μὴ προσήκατο τὰ ῥήματα, οὐκ ἂν ἐδέξατο τὴν βλάβην, οὐκ ἂν ἔδωκε τῷ ἀνδρὶ, οὐκ ἂν ἔφαγεν ἐκεῖνος. καὶ ταῦτα λέγω, οὐ γλῶτταν καὶ στόμα αἰτιώμενος, ἄπαγε, ἀλλὰ τὴν ἄκαιρον αὐτῶν χρῆσιν, ἣ παρὰ ῥᾳθυμίαν γίνεται τοῦ λογισμοῦ. ἔστι δὲ καὶ ἄλλη ὁδὸς ἀπωλείας διὰ στόματος γινομένη, ὅταν φιλήματα αἰσχρὰ ᾖ καὶ ἀκάθαρτα, ὅταν δολερὰ καὶ ὕπουλα. καὶ τούτοις τίθει φυλακήν. τοιοῦτον φίλημα ἦν τὸ τοῦ Ἰούδα, δόλου γέμον. ἀλλ' οὐ τὸ τοῦ Παύλου τοιοῦτον, ᾧ φιλεῖν ἀλλήλους ἐκέλευσε, λέγων· Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· ὥσπερ οὐδὲ τὸ τοῦ Δαβὶδ τὸ πρὸς τὸν Ἰωνάθαν, ἀλλὰ ἅγιον καὶ σεμνὸν καὶ γνησίας ἀγάπης γέμον· οἷον ἦν καὶ τὸ τῶν ἐπιπεσόντων τῷ τοῦ Παύλου τραχήλῳ καὶ καταφιλούντων αὐτόν. διὰ τοῦτό φησι, θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν· οὐχ ἁπλῶς θύραν, ἀλλὰ περιοχῆς ἐπαγαγὼν, ὥστε περιέχειν τὸ πᾶν καὶ ἀσφαλίζεσθαι. ἔστι καὶ ἕτερον εἶδος ἀπωλείας διὰ γλώττης, τὸ λέγειν, διὰ τί τοῦτο; εἰς τί τοῦτο; διὰ τοῦτο καθαπτόμενος ὁ Παῦλος τῶν οὕτω φθεγγομένων ἀπερισκέπτως, μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; οὐ στόμα δὲ δεῖ φράττειν μόνον, ἀλλὰ καὶ διάνοιαν πρὸ τοῦ στόματος. διὸ καί τις ἔλεγε· Τίς δώσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας, ἵνα ἐν τοῖς ἀγνοήμασί μου μὴ φείσωνται; διὸ καὶ ὁ Χριστὸς ἔνδοθεν αὐτοὺς ἀναιρεῖ τοὺς πονηροὺς λογισμοὺς λέγων, ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν αὐτήν. ὁρᾷς πῶς οὐκ ἀφίησι βλαστῆσαι, οὐδὲ ἀρχὴν λαβεῖν, οὐκ ἐπιθυμίαν, οὐκ ὀργήν; καὶ γὰρ ὁ ὀργιζόμενος, φησι, τῷ ἀδελφῷ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. οὐ μικρὸν δὲ, καὶ τὸ μὴ πολλὰ φθέγγεσθαι, εἰς ἀσφάλειαν. διό φησιν, Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίας· φειδόμενος δὲ χειλέων, νοήμων ἔσῃ.

Σειρ. ζ. λη.

β. Κορ. ιγ. ιβ.

Πράξ. κ. λζ.

Σειρ. κγ. β.

Παροιμ. ι. κ.

4 Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Ἄλλος, Μὴ παρατρέψῃς τὴν καρδίαν μου εἰς λόγους πονηροὺς, ἐννοεῖν ἐννοίας παρανόμους. Τί δήποτε ἐναντίαν τὴν τάξιν ἐποιήσατο, καὶ πρότερον περὶ στόματος διαλεχθεὶς, τότε ἐπὶ τὴν καρδίαν ἦλθεν; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τοῦτο ποιεῖ. καθάπερ γὰρ ἐπὶ τῶν δεσμωτῶν τῶν βουλομένων ἐκφυγεῖν, ἔργον προηγούμενον τὸ τὴν ἐπιμέλειαν ἔχοντες ποιοῦνται προκαταλαβεῖν τοῦ δεσμωτηρίου τὰς θύρας, καὶ τοῦτο πάντες ἐσπουδάκασι, κἂν τοῦτο γένηται, τὸ λειπόμενον εὐδιόρθωτον· οὕτω δὴ καὶ οὗτος ἐνταῦθα ποιεῖ, καὶ δι' ὧν παραινεῖ τοῦτο μονονουχὶ λέγει· ἔστωσαν αἱ θύραι κεκλεισμέναι, καὶ οἱ πονηροὶ λογισμοὶ ταχέως χειρωθήσονται. διὰ τοῦτο οὐδὲ τὴν ἀρχὴν συγχωρεῖ ἔξωθεν εἰσελθόντας, καὶ τὴν πονηρὰν ἀνασπᾷ ῥίζαν λέγων· μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας. οὐχ ὅτι ὁ Θεὸς ἐκκλίνει (μὴ γένοιτο) ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι· μὴ ἀφῇς κλιθῆναι, μὴ ἀφῇς περιτραπῆναι εἰς ἐννοίας πονηράς. ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς

γρ. ἔργον πρῶτον, προηγούμενον, τὸ προκαταλαβεῖν ἀρετῆς καὶ τῆς κακίας, ἀπὸ τῆς καρδίας. καὶ τίνες δὲ οἱ λόγοι τῆς πονηρίας; πολλοὶ καὶ "διάφοροι. καὶ γὰρ οἱ ἐπιβουλὰς ῥάπτοντες, οἱ τὸν Θεὸν διαβάλλοντες, οἱ ἀρετὴν ἀποστρεφόμενοι, οἱ κακίαν διώκοντες, οἱ περὶ δογμάτων διεφθαρμένων καὶ βίου ἠμελημένου [ἡδέως ἀκούοντες]" καὶ τὰ τοιαῦτα, λόγοι ἐκ πολλῆς πονηρίας προϊέμενοι. ὥσπερ δέ εἰσιν ἔννοιαι καὶ ῥήματα πονηρίας, οὕτω καὶ ζωῆς. διὸ καὶ ἔλεγον οἱ μαθηταὶ πρὸς Χριστῷ, ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ πρὸς τίνα ἀπελευσόμεθα; λέγεται δὲ καὶ ῥήματα ζωῆς, τὰ ζωὴν παρέχοντα· λέγεται καὶ ῥήματα σωτηρίας, τὰ σωτηρίαν περιποιοῦντα. Σειρ. δ´ κε. διὸ καί τις σοφὸς λέγει, Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. καὶ λόγοι πονηρίας, οἱ πονηροὺς ποιοῦντες [τοὺς λέγοντας]. ὥσπερ γάρ εἰσιν ἀέρες λοιμώδεις καὶ νοσοποιοί, οὕτω καὶ λόγοι. ὅπερ γὰρ ἐργάζονται ἐν σώματι ἐκεῖνοι, τοῦτο οὗτοι τῇ [illegible]μένῃ ψυχῇ. "ἄρχεται τοίνυν καὶ ἐντεῦθεν δι' ὧν ἐπήγαγε καὶ λέγει, μὴ ἀφῇς τὴν καρδίαν μου δέξασθαι λόγους τοιούτους, μὴ ἀφῇς ἐκκλῖναι. εἶδες πῶς δείκνυσι τὸ αὐτεξούσιον, καὶ ὅτι οὐκ ἐν ἑαυτῇ τὴν πονηρίαν ἡ φύσις ἔχει, ἀλλ' ἀπὸ ῥᾳθυμίας κλινομένη δέχεται. τὸ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. αὕτη μάλιστά ἐστιν ἡ τῆς ἀπωλείας ὁδός, ὅταν ἡ αὐτὴ ἡ ἁμαρτοῦσα ψυχὴ τὸν φόβον ἐκλύσῃ καὶ προφάσεις τινὰς εἰς ῥᾳθυμίαν ἐπινοῇ, ἢ καὶ ὅταν μοιχεύσαντός τινος βουλόμενος ἕτερος ἐκλῦσαι αὐτοῦ τὴν κατάνυξιν λέγῃ, μὴ γὰρ σὺ αἴτιος; ἡ ἐπιθυμία αἰτία. κακὸν μὲν γοῦν τὸ ἁμαρτεῖν, χαλεπώτερον δὲ αὐτὸ ποιεῖ, τὸ ἀρνεῖσθαι μετὰ τὸ ἁμαρτεῖν. τοῦτο μάλιστα ὅπλον τοῦ διαβόλου· τοῦτο καὶ ἐπὶ τῶν πρωτοπλάστων ἐγένετο. δέον γὰρ ὁμολογῆσαι τὸν Ἀδὰμ τὸ πλημμελημένα, ὁ δὲ ἐφ' ἑτέραν μεταφέρει τὴν αἰτίαν· κἀκείνη πάλιν ἐπὶ τὸν διάβολον. δέον εἰπεῖν, ἡμάρτομεν, οἱ δὲ οὐ μόνον οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ ἀπολογίαν συντιθέασιν. ὁ γὰρ διάβολος εἰδὼς ὅτι ἡ ὁμολογία τῆς ἁμαρτίας λύσις ἐστὶ τῆς ἁμαρτίας, πείθει τὴν ψυχὴν ἀναισχυντεῖν. ἀλλὰ σύ, ἀγαπητέ, ὅταν ἁμάρτῃς, εἰπὲ ὅτι ἥμαρτον· ταύτης τῆς ἀπολογίας οὐδὲν "δικαιότερον. οὕτω τὸν Θεὸν ἵλεων ποιεῖς, οὕτω καὶ σεαυτὸν ὀκνηρότερον εἰς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. ὅταν δὲ μέλλῃς προφάσεις οὐκ οὔσας ζητεῖν καὶ ἀπαλλάττειν τὴν ψυχὴν τοῦ δέους, προθυμοτέραν αὐτὴν ἐργάσῃ πρὸς τὸ πάλιν ἐμφύρεσθαι τοῖς αὐτοῖς, καὶ τὸν Θεὸν μειζόνως παροξυνεῖς. οὐδένα γὰρ τῶν ἁμαρτανόντων πρόφασις λείπει ἀναίσχυντος. καὶ γὰρ ὁ ἀνδροφόνος τὸν θυμὸν αἰτιᾶσθαι ἔχει, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ μοιχὸς τὴν ἐπιθυμίαν, καὶ ἕτερος τὴν δυναστείαν. ἀλλὰ ταῦτα προφάσεις εἰσὶν ἄλογοι, "οὐδεμίαν ἀπολογίαν εὔλογον ἔχουσαι. οὐ γὰρ ἐκεῖνα ποιεῖ τὰς ἁμαρτίας, ἀλλ' αἱ γνῶμαι τῶν ἁμαρτανόντων. καὶ ὅτι αὗται, ἀπὸ τῶν "προσεχόντων τοῦτο ποιήσω φανερόν. ὅταν γὰρ φαίνηται ἕτερος ἄνθρωπος καὶ πενίᾳ συζῶν, καὶ ἐπιθυμίαν ἔχων, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποκείμενος,* ταῦτα μὴ ἁμαρτάνων, ποίαν ἕξουσιν οὗτοι ἀπολογίαν; διὰ τοῦτο σοφός τις καλῶς οὕτως εἶπε· τίς δώσει ἐπὶ τῆς διανοίας μου μάστιγας, ἵνα ἐν τοῖς ἀγνοήμασί μου μὴ φείσωνται; ὅρα τὸν Δαβὶδ οὐ προφασιζόμενον ἡνίκα ἥμαρτεν, ἀλλὰ λέγοντα, ἡμάρτηκα τῷ Κυρίῳ. καίτοιγε εἶχεν εἰπεῖν, τί γὰρ ἐγυμνοῦτο ἡ γυνή; τί γὰρ ἐλούετο πρὸ τῶν ὀφθαλμῶν τῶν ἐμῶν; ἀλλ' ᾔδει ὅτι ταῦτα προφάσεις ἦσαν ἄλογοι, καὶ διὰ τοῦτο ἦλθεν ἐπὶ τὴν σαφῆ ἀπολογίαν τοῦ εἰπεῖν, ἥμαρτον. ἀλλ' οὐχ ὁ Σαοὺλ οὕτως· ἀλλ' ἐγκαλούμενος περὶ τῆς ἐγγαστριμύθου ἔλεγε, θλίβομαι, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί. διὰ δὴ τοῦτο μάλιστα ἐκολάζετο. δέον γὰρ εἰπεῖν, ἥμαρτον καὶ παρηνόμησα, ὁ δὲ τοῦτο μὲν οὐκ εἶπε· περιήρχετο δὲ προφάσεις ἀλόγους" ζητῶν.

5 Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν.

Τοῦτο ἐπήγαγε, δεικνὺς ὅτι ἐκείνων ἐστὶ μάλιστα τὸ προφασίζεσθαι, τὸ ἀναισχυντεῖν. διὰ δὴ τοῦτο καὶ συνεχῶς ἀντὶ ἀρετῆς τοῦτο προβάλλεται, τὸ φεύγειν τοὺς τοιούτους συλλόγους. μᾶλλον δὲ καὶ ἐντεῦθεν τοῦ βιβλίου πρῶτος ἄρχεται λέγων, μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισε. δι' αὐτὸ δὲ τοῦτο εὑρίσκεις αὐτὸν ἀεὶ ἐν τοῖς ἁμαρτήμασιν εὐγνώμονα. ὅτε γοῦν ἠρίθμησε τὸν λαόν, ἔλεγεν, ἐγὼ ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα. οὐκ εἶπε, τί γάρ ἐστιν ὅτι ἠρίθμησα; ἀλλ' ἑαυτὸν καταδικάζει· διὸ καὶ συγγνώμης τυγχάνει. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν ἵλεων ποιεῖ, ὡς τὸ τὰ οἰκεῖα ὁμολογεῖν ἁμαρτήματα. τοῦτο δὲ γένοιτ' ἂν ἐκ τοῦ φεύγειν τοὺς συλλόγους τοὺς ἐκλύοντας τὸν ἐκ τῶν ἁμαρτημάτων φόβον, καὶ εἰς ῥᾳθυμίαν ἐμβάλλοντας. διὸ καὶ Παῦλος καὶ Ἱερεμίας πολὺν ὑπὲρ τούτου ποιοῦνται λόγον, φεύγειν κελεύοντες ἑκάτεροι τῶν πονηρῶν τὰς συνουσίας καὶ τῶν οὕτω ῥᾳθύμων. καὶ ὁ Ἰὼβ δὲ ἐν τάξει ἀρετῆς τοῦτο τίθεται λέγων, Εἰ ἤμην πορευόμενος μετὰ γελοιαστῶν. τοῦ δὲ μηδὲ καθίσαι δείκνυσιν ἑαυτὸν μετὰ τοιούτων λέγων, Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος. διά τοι τοῦτο καὶ Παῦλος οὐκ ἀφίησι συνεσθίειν τοῖς πονηροῖς, οὐδὲ ἁπλῶς συγγίνεσθαι, λέγων, Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ.

Ἱερεμ. ιε. ς.
α Κο. ε. θ.
Ἰωβ. λα. ε.
Ψαλ. κε. δ.
β. Θεσ. γ. ιδ.

Καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Ἕτερος, Μηδὲ συμφάγοιμι τὰ ἡδέα αὐτῶν. Ἄλλος, Μὴ συναυλισθῶ ἐν ταῖς τερπνότησιν αὐτῶν. Τὸ ἀποστολικὸν ἐνταῦθα λέγει, ὅτι καὶ τρυφὰς αὐτῶν καὶ συμπόσια φεύγειν δεῖ. ἐνταῦθα μάλιστα τὰ τῆς ἁμαρτίας αὔξεται, ἔνθα πλείων ἡ ἄδεια γίνεται· οὐ μικρὸν δὲ τοῦτο ἀρετῆς ″ σημεῖον, οὐ μικρὰ διορθώσεως ὁδὸς, τὸ φεύγειν τὰ τοιαῦτα συμπόσια καὶ τοὺς συλλόγους, καὶ μήτε φιλίαν αἰδεῖσθαι, μήτε γαστρὶ δουλεύοντας τὸν τόνον ἐκλύειν τῆς ψυχῆς, καὶ τὸ τῆς φιλοσοφίας εὔτονον παραλύειν. οὕτω πολλοὶ φιλίαν αἰδεσθέντες εἰς τὸ τῆς μέθης ″ κατεκυλίσθησαν κλυδώνιον, οὕτως ὑπὸ πορνείας ἑάλωσαν, καὶ πῦρ ἡδονῆς ἀνῆψαν συμπόσια διώξαντες, θέατρα πολλὴν ἔχοντα παρανομίαν. ″ τοῦτο καὶ αὐτὸς δείκνυσιν ἑαυτὸν πεποιηκέναι, ὡς μηδὲ μετασχεῖν τῆς τοιαύτης τραπέζης.

6 Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ἄλλος, Κατελεησάτω με δίκαιος ἐλέους καὶ ἐλεγξάτω. Καὶ τοῦτο οὐ μικρὸν ἀρετῆς εἶδος μετὰ τοῦ προτέρου, τὸ μὴ φεύγειν ἐλέγχους, μηδὲ ἐπιτιμήσεις τὰς παρὰ τῶν δικαίων γινομένας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῶν μὲν πρὸς χάριν διαλεγομένων ἐπὶ βλάβῃ μηδέποτε μεταλάβοιμι τῶν συλλόγων· τοὺς δὲ ἐπιστύφοντας καὶ διορθουμένους, τούτους ἑλοίμην, τοὺς ἐλέγχοντας, τοὺς ἐγκαλύπτοντας τὰ πεπλημμελημένα, τοὺς ἐπιτιμῶντας. τοῦτο γὰρ μάλιστα ἐλέους καὶ φιλανθρωπίας, τὸ τὰ τραύματα διορθοῦν. ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. εἶδες ψυχὴν συγκεκροτημένην ἀρετῇ. τῶν μὲν δικαίων καὶ τὰς ἐπιτιμήσεις μεθ' ἡδονῆς φέρει, τῶν δὲ παρανόμων καὶ τὰ πρὸς χάριν λεγόμενα διακρούεται. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν ἐλεοῦντες πολλάκις ἀπώλεσαν· οὗτοι δὲ ἐπιτιμῶντες καὶ ἐπιστύφοντες διώρθωσαν· καὶ τῷ μὲν ἐλέγχῳ τούτων συγκεκλήρωται ἔλεος, τῷ δὲ ἐλέῳ ἐκείνων θάνατος. διὸ καί τις ἔφησεν, Ἀξιοπιστότερα τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν. καὶ σκόπει πῶς τὸ ἀποστολικὸν ἐνταῦθα δηλοῖ, τὸ, Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. τοιοῦτος γὰρ καὶ ὁ ἔλεγχος τῶν ἁγίων. οὕτω καὶ ἰατροὶ ποιοῦσιν· οὐ τέμνουσι μόνον, ἀλλὰ καὶ ἐπιδεσμοῦσι. διὰ τοῦτο καὶ ὁ Χριστὸς εὐπαράδεκτον ποιῶν γίνεσθαι τὸν ἔλεγχον, οὐκ ἀφίησι δημοσιεύεσθαι ἐν

Παροιμ. κζ. ς.
β. Τιμ. δ. β.

Ματθ. ιη. ιε.

Γαλ. γ. α. καὶ δ. ιθ.

προοιμίων τὴν ἐπιτίμησιν, λέγων, Ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. οὕτω καὶ Παῦλος ἐποίει μετ' ἐλέους τὸν ἔλεγχον ἐπιδεικνύμενος· νῦν μὲν λέγων, Ὦ ἀνόητοι Γαλάται· νῦν δέ, τεκνία μου, οὓς πάλιν ὠδίνω. πολλὰ γὰρ δεῖ τὸν ἐλέγχοντα ἐπινοεῖν, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν ἔλεγχον, καὶ πολλῆς χρεία συνέσεως πρὸς τοῦτο ἐπάγοντι τὸ φάρμακον· μᾶλλον μὲν οὖν πλείονος ὁ ἐλέγχων δεῖται συνέσεως, ἢ ὁ σῶμα τέμνων. πῶς; ὅτι ἐκεῖ μὲν ἕτερόν ἐστι τὸ τέμνον, καὶ ἕτερόν ἐστι τὸ ὑπομένον τὴν ὀδύνην· ἐνταῦθα δὲ αὐτὴ καὶ ἡ τεμνομένη, αὐτὴ καὶ ἡ φέρουσα τὴν ἀλγηδόνα. ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. τί ἐστι τοῦτο; ἐκεῖνος, φησίν, οὐ τὸ χρήσιμον ζητεῖ τοῦ ἀκούοντος, ἀλλὰ τὸ ἑαυτοῦ, ἵνα ἡδὺς φαίνηται, ἵνα προσφιλής· οὗτος δὲ πρὸ τῆς ἑαυτοῦ χάριτος τὸ ἐκείνου συμφέρον σκοπεῖ· ὥστε ἀλλήλων καὶ ταύτῃ μάλιστα διεστήκασιν. Εἰ δὲ ἐλεοῦντας ἀποστρέφεσθαι χρὴ τοὺς πονηρούς, πότε αὐτοὺς δεῖ προσίεσθαι; οὐδέποτε. ὥστε κἂν χρήματα παρέχῃ, κἂν τρυφὴν ἐπαγγέλληται καὶ τιμάς, διακρούου καὶ φεῦγε· τὸν δὲ δίκαιον, κἂν σκώπτῃ λέγεις, κἂν ἐπιτιμᾷ, δίωκε. ἐκεῖνος γάρ ἐστιν ὁ φιλῶν.

7 Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. Ἄλλος, Ἔτι γὰρ καὶ ἡ προσευχή μου ἐντὸς τῶν κακιῶν αὐτῶν. Ἄλλος, Ἐν ταῖς πονηρίαις αὐτῶν. Τὰ μὲν ᾔτησε, τὰ δὲ παρ' ἑαυτοῦ παρέχεται. ἐντεῦθεν δείκνυσιν ὅτι εὐχῇ οὐ δεῖ θαρρεῖν μόνον αὐτοὺς ἀναπεπτωκότας καὶ καθεύδοντας, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν. τί οὖν οὗτος ἐξ ἑαυτοῦ παρέχεται; οὐ πρόβατα καὶ βόας καὶ χρήματα, ἀλλὰ τρόπων ἐπιείκειαν, καὶ τὸ μεθ' ὑπερβολῆς ἀποστρέφεσθαι αὐτῶν τὴν πονηρίαν. οὐ μόνον, φησί, φευξόμεθα τὴν ἐκείνων χάριν τὴν ἐπιβλαβῆ, οὐδὲ αἱρησόμεθα τὴν τούτων ἐπιτίμησιν, ἀλλὰ καὶ κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν στησόμεθα. τοσοῦτον γάρ, φησιν, ἀπέχω ἐλεᾶσθαι τὸν ἐκείνων ἔλεον, ὅτι καὶ εὐχόμεθα κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν· τοῦτο γάρ ἐστιν, ἐν ταῖς εὐδοκίαις αὐτῶν.

Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἄλλος, Ἐκπλήσονται ἐν χειρὶ πέτρας. Ἐνταῦθα δείκνυσι τὸ τῆς ἁμαρτίας εὐχείρωτον, καὶ τὸ ἀπόκρημνον τῆς κακίας. αὐτοὶ γάρ, φησιν, οἱ δυνάσται, οἱ πάντα ἄγοντες καὶ φέροντες, ἀπώλοντο· καὶ οὐκ εἶπεν ἀπώλοντο, ἀλλὰ κατεπόθησαν, δηλῶν ὅτι οὕτως, ὡς μηδὲ ἴχνος αὐτῶν φαίνεσθαι· ὃ καὶ περὶ τοῦ ἀσεβοῦς λέγει, Ὅτι παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. τί ἐστιν, ἐχόμενα; ἐγγύς. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὡσανεὶ πέτρα καταποντισθεῖσα οὐκ ἂν φανείη, οὕτω δὴ καὶ αἱ ἐκείνων εὐημερίαι καταδυόμεναι λοιπὸν ἀφανεῖς γίνονται, ὁλοσχερῆ τὴν ἀπώλειαν ὑπομείνασαι. ἢ τοῦτο τοίνυν φησί, τὸ ἀνώνυμον, τὸ πρόρριζον· ἢ τὸ ἰσχυρὸν καὶ δυνατὸν καὶ κραταιόν. τοῦτο γάρ ἐστιν, ἐκπλήσονται ἐν χειρὶ πέτρας.

Ψαλ. λϛ. λϛ.

8 Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν.

Ἕτερος, Ὅτι ἐδορυφορήθησαν. Ἄλλος, Ὅτι εὐπροσωπίσθησαν. Τουτέστι, διὰ τῆς πείρας εἴσονται τῶν πραγμάτων τὴν ἡδονὴν τῆς ἐμῆς παραινέσεως καὶ συμβουλῆς, καὶ πῶς ὁ ἔλεγχος τῶν δικαίων τοῦτον φέρει τὸν καρπόν, καὶ ἡ παιδεία αὐτῶν πολλὴν ἔχει τὴν ἡδονήν. τοιοῦτον γὰρ ἡ ἀρετή· πρόσκαιρον μὲν ἔχει τὸν πόνον, διηνεκῆ δὲ τὴν εὐφροσύνην.

Ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, 9 Διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ἕτερος, Ὥσπερ γεωργὸς ὅταν ῥήσσῃ τὴν γῆν, οὕτως ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς στόμα ᾅδου. Ἄλλος, Ὁμοίως εἰ ἀποκλῶντι καὶ διασχίζοντι τὴν γῆν, ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς τὸν ᾅδην. Ἄλλος, Ὡς καλλιεργῶν καὶ σκάπτων ἐν τῇ γῇ, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. Εἰπὼν ὅτι πολλὴν ἔχει αὐτοῦ τὰ ῥήματα τὴν ἡδονήν, λέγει καὶ τὰς πολεμικὰς συμφοράς· ὅτι καίτοιγε τὰ ἔσχατα ἐπάθομεν, καὶ ὥσπερ γῆ διαρραγεῖσα καὶ ἀποτετμημένη ἢ διασπαραττομένη, οὕτω πάντες διεσπάρημεν καὶ ἀπωλόμεθα, καὶ πρὸς αὐτὰς τοῦ θανάτου τὰς πύλας ἤλθομεν, ἀλλ᾽ ὅμως καὶ οὕτω διακείμενοι μᾶλλον ἂν ἑλοίμεθα τὴν ἀπὸ τῶν δικαίων παίδευσιν καὶ διόρθωσιν, ἢ τὸν ἀπὸ τῶν ἁμαρτωλῶν ἔλεον. καὶ γάρ, ὅπερ ἂν γένοιτο, τῆς πρὸς σὲ ἐλπίδος ἐκκρεμάμεθα, καὶ οὐκ ἄν ποτε ἐκπέσοιμεν τοῦ πρὸς σὲ ὁρᾶν. διὸ καὶ ἐπήγαγε λέγων,

Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Κἂν μυρία, φησίν, ἐπέλθῃ δεινά, κἂν πόλεμοι, κἂν μάχαι, κἂν θάνατοι, κἂν πύλαι ᾅδου, * οὐκ ἀφιστάμεθα τῆς ἱερᾶς ἀγκύρας, ἀλλ᾽ ἐχόμεθα τῆς ἐλπίδος τῆς ἐπὶ τὴν σὴν συμμαχίαν, καὶ ὅπλα καὶ παρατάξεις ἀφέντες, ἐντεῦθεν τὴν ἀπαλλαγὴν προσδοκῶμεν, ἀπὸ τῆς σῆς ῥοπῆς. ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Ἄλλος, Μὴ ἐκκενώσῃς· τουτέστι, μὴ ἀπαράκλητόν με ἀφῇς ἀπελθεῖν.

* κἂν τὸ ἀπο-

10 Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Οὐχ ἁπλῶς ἐνταῦθα ἐπιβουλὰς λέγει, ἀλλὰ τὰς λαθραίους, τὰς κεκρυμμένας, αἵπερ εἰσὶ καὶ δυσφύλακτοι καὶ δυσφώρατοι, καὶ μάλιστα τῆς ἄνωθεν δέονται ῥοπῆς. διὰ δὴ τοῦτο καὶ εἰς εὐχὴν κατακλείει τὸν λόγον, ἐντεῦθεν προοιμιασάμενος καὶ ἐνταῦθα τελευτῶν, δεικνὺς ὅτι τὰ μὲν παρ᾽ αὐτοῦ ταῦτά ἐστιν· ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν, τὸ διαπαντὸς πρὸς τὸν Θεὸν βλέπειν, τὸ φεύγειν τῶν πονηρῶν τοὺς συλλόγους, τὸ μισεῖν αὐτῶν τὰς πονηρὰς ἐπιθυμίας· τὰ δὲ παρὰ τοῦ Θεοῦ, ἡ βοήθεια, ἡ συμμαχία, τὸ τῶν δυσφορωτάτων αὐτὸν ἀνώτερον ποιεῖν. οὕτω γὰρ ἡ ἀρετὴ ὑφαίνεται, καὶ τῆς ἡμετέρας σπουδῆς εἰσαγομένης, καὶ τῆς τοῦ Θεοῦ συμμαχίας βοηθούσης.

ἐντεῦθεν

11 Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγὼ ἕως οὗ παρέλθω. Τίνος ἐν ἀμφιβλήστρῳ πεσοῦνται; αὐτοῦ τοῦ Θεοῦ· τουτέστιν, ἁλώσονται, χειρωθήσονται. τὰ μὲν γὰρ τῶν δικαίων, μέχρι διορθώσεως καὶ τοῦ διεγεῖραι αὐτῶν τὴν φιλοσοφίαν· τὰ δὲ τῶν ἁμαρτωλῶν, ἅτε ἀνίατα νοσούντων, μέχρι κολάσεως καὶ τιμωρίας. κατὰ μόνας εἰμὶ ἐγὼ ἕως οὗ παρέλθω. ἕτερος, ἅμα ἐγώ εἰμι ἕως οὗ παρέλθω. ἄλλος, ἐπὶ τὸ αὐτό· τουτέστι, συνημμένος, συγκεκροτημένος, οὐ διεσπαρμένος. ἢ κατὰ τοὺς ἑβδομήκοντα, ἀπηλλαγμένος τῶν πονηρῶν, καθαρεύων τῆς ἐκείνων συνουσίας, καὶ ὡσανεὶ μόνος οἰκῶν, ὅπερ καὶ μέγιστόν ἐστιν ἀρετῆς εἶδος. οὐ μίαν δὲ καὶ δύο καὶ τρεῖς φησιν ἡμέρας τοῦτο ποιεῖν, ἀλλὰ πάντα τὸν βίον. τοῦτο ἀσφάλεια, τοῦτο τεῖχος, τοῦτο ἀρετῆς ἐπίδοσις, τὸ φεύγειν τοὺς πονηρούς, τὸ πρὸς ἑαυτὸν συγκεκροτημένον καὶ συνηγμένον εἶναι πάντα τὸν βίον, καὶ κατὰ μόνας οἰκεῖν τῶν διεφθορότων. οὐ γὰρ ἐρημία ποιεῖ τὸ μόνον εἶναι, ἀλλὰ γνώμη φιλόσοφος. οὕτω καὶ πόλεις μέσας οἰκοῦντες καὶ θορύβους καὶ ἀγορὰς δύναιντ᾽ ἂν εἶναι κατὰ μόνας ἄνθρωποι, ὅταν τοὺς διεφθαρμένους φεύγωσι συλλόγους, καὶ τοῖς τῶν δικαίων συνεδρίοις ἑαυτοὺς ἐκδιδῶσιν. αὕτη ἀσφαλὴς ὁδός. ὁ μὲν οὖν ἀρκῶν καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους· ὁ δὲ ἀτονώτερος ὤν, φευγέτω τοὺς πονηρούς, ὥστε μὴ τὴν παρ᾽ ἐκείνων δέξασθαι λύμην· καὶ οὕτω καὶ τὸν παρόντα βιώσεται βίον μετ᾽ ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Συνημμέ-

Ψαλμ. ρμα. 1 ΦΩΝΗ ΜΟΥ ΠΡΟΣ ΚΥΡΙΟΝ ΕΚΕΚΡΑΞΑ, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην.

Ὁρᾷς πῶς πανταχοῦ τοῦτο ποιεῖ, καὶ ἀπὸ ταύτης προοιμιάζεται τῆς ἀρχῆς, καὶ δεύτερον ἐνταῦθα φωνῇ καὶ φωνῇ λέγει; ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὥστε διδάξαι ἡμᾶς δύο ταῦτα διὰ τοῦ διπλασιασμοῦ, τό τε εὔτονον τῆς προθυμίας, τό τε συντεταμένον τῆς διανοίας, καὶ πρὸς τούτοις ἔτι, τὸ αὐτοῦ εἶναι τὴν φωνήν. οὐ γὰρ πάντες οὔτε φωνῇ βοῶσιν, οὔτε πρὸς τὸν Θεόν, οὔτε τῇ οἰκείᾳ. δεῖ δὲ ἅπαντα ταῦτα συνελθεῖν. ὁ κατ' ἐχθρῶν βοῶν, οὐκ ἀνθρώπου φωνὴν προΐεται, ἀλλὰ θηρίου καὶ ὄφεως· ὁ ῥαθυμῶν καὶ μὴ ἀκούων ὧν λέγει, οὐ πρὸς τὸν Θεὸν βοᾷ, ἀλλ' ἁπλῶς καὶ εἰκῇ φθέγγεται· ὁ μὴ διεγείρων τὴν διάνοιαν, κἂν μεγάλα κράζῃ, πάλιν οὗτος οὐ βοᾷ. φωνὴν γάρ, ὃ πολλάκις ἔφθην εἰπών, οὐ τὸν τόνον δηλοῖ τοῦ πνεύματος, ἀλλὰ τὴν συντεταμένην διάνοιαν. ἀλλ' οὐχ οὕτως οὗτος· ἀλλὰ τρία ταῦτα συνάγει, καὶ δείκνυσιν, ὅτι τε φωνῇ βοᾷ, καὶ πρὸς τὸν Θεόν, καὶ τῇ αὐτοῦ φωνῇ. διὰ τοῦτο δεύτερον φωνῇ μου καὶ φωνῇ μου φησίν.

2 Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Εἶδες ψυχὴν τῶν βιωτικῶν ἀπηλλαγμένην; οὐδὲ γὰρ πρὸς ἀνθρώπους κατέφυγεν, οὐδὲ τὰς παρὰ τούτων ἐζήτησε συμμαχίας· ἀλλὰ πρὸς τὴν ἀχείρωτον βοήθειαν καὶ τὴν ἄνωθεν ῥοπήν. εἶτα τὸ συντεταμένον τῆς διανοίας, καὶ τὴν θερμότητα ἣν εἶχεν ἐναποκειμένην διὰ τῆς λέξεως ταύτης ἐμφῆναι βουλόμενος, ἐκχεῶ φησὶ μετὰ πολλῆς τῆς δαψιλείας. ἐντεῦθεν μανθάνομεν ὅτι οὐ μικρὸν καὶ αἱ θλίψεις εἰς φιλοσοφίαν συμβάλλονται. τοῦτο τῆς θλίψεως ὁ καρπός. μηδεὶς τοίνυν φευγέτω αὐτήν. δύο γὰρ ἔχει ταῦτα κέρδη· ἓν μὲν, ὅτι τε σπουδαιοτέρους ἐργάζεται καὶ προσεκτικωτέρους, ἕτερον δὲ, καὶ ὅτι οὐ μικρὸν ἡμῖν δικαίωμα εἰς τὸ ἀκουσθῆναι γίνεται. διά τοι τοῦτο καὶ αὐτὸς οὐκ εἶπε τὴν δικαιοσύνην μου, οὐδὲ τὰ κατορθώματά μου, ἀλλὰ τὴν θλίψιν μου· ὡς οὐ μικρᾶς καὶ ταύτης οὔσης αὐτῷ συνηγορίας. διὰ τοῦτο καὶ ὁ Ἡσαΐας, Παρακαλεῖτε, φησί, τὸν λαόν μου ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. καὶ ὁ Παῦλος, Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ. καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. καὶ τῷ πλουσίῳ δὲ ὁ Ἀβραὰμ ἔλεγεν· Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· καὶ νῦν μὲν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ὁ Δαβὶδ δὲ, ἡνίκα αὐτὸν κατηρᾶτο ὁ Σεμεεί, ἔλεγεν, Ἄφες αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος αὐτῷ ἐνετείλατο, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου. καὶ πανταχοῦ τῶν γραφῶν εὑρήσομεν, ὅτι οἱ τὰς θλίψεις εὐχαρίστως φέροντες, οὐ μόνον πολλὰ τῶν ἁμαρτημάτων διαλύονται, ἀλλὰ καὶ οὐ μικρὰν ἐντεῦθεν πρὸς τὸν Θεὸν κτῶνται τὴν παρρησίαν.

Ἡσ. μ. α.

α. Κολ. ε. ε.

α. Κορ. ια. λ.

Λουκ. ις. κε.

β. Βασ. ις. ια.

3 Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ὅτε μάλιστα οἱ μικρόψυχοι τῶν ἀνθρώπων ἀναπίπτουσι, πολλοὶ δὲ καὶ δύσφημα ῥήματα φθέγγονται, τότε οὗτος μάλιστα φιλοσοφεῖ, διδάσκαλον ἔχων τῆς σπουδῆς τὴν θλίψιν.

ψιν. ὅταν οὖν ἴδῃς τινὰ ἀπὸ θλίψεως ἀπογινώσκοντα, ἢ πικρόν τι ῥῆμα φθεγγόμενον, μὴ τὴν θλῖψιν αἰτίαν ἡγοῦ, ἀλλὰ τὴν μικροψυχίαν τοῦ ταῦτα λαλοῦντος. τῆς γὰρ θλίψεως ἡ φύσις τὰ ἐναντία κατασκευάζειν εἴωθε, προσοχήν, συντριβὴν διανοίας, συντεταμένην γνώμην, εὐλαβείας ἐπίτασιν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. εἰ δὲ Ἰουδαῖοι θλιβόμενοι ἐγόγγυζον, οὐ τῆς θλίψεως, ἀλλὰ τῆς ἐκείνων ἀνοίας ἦν τὰ τοῦ γογγυσμοῦ ῥήματα. ἐπεὶ οἱ ἅγιοι θλιβόμενοι, λαμπρότεροι ἐγίνοντο καὶ φιλοσοφώτεροι. διὸ καὶ ἔλεγεν αὐτὸς οὗτος· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. καὶ ὁ Παῦλος· Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ. ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. διὸ εὐδοκῶ ἐν θλίψεσιν, ἐν ἀσθενείαις, ἐν διωγμοῖς. ὅτε γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. ὁρᾷς καὶ τοῦτον ἐν τῇ θλίψει μᾶλλον διεγειρόμενον καὶ πρὸς τὸν Θεὸν καταφεύγοντα, καὶ ἀντεχόμενον αὐτοῦ μετὰ πολλῆς τῆς σφοδρότητος ἐν αὐτῷ τῷ πυθμένι τῶν κακῶν (τοῦτο γάρ ἐστιν, ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου) καὶ τότε μάλιστα σπουδαιότερον γινόμενον. τὸ δέ, σὺ ἔγνως τὰς τρίβους μου, ἕτερος ἑρμηνευτὴς εἶπε, σὺ γὰρ οἶδας.

Ρω. ε. γ.
Ψαλμ. ριη. οα.
β. Κορ. ιβ. ζ.

4 Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. 5 Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἐνταῦθα τὴν ἐπίτασιν τῆς συμφορᾶς καὶ τὰ δεινὰ αὐξόμενα δείκνυσι, καὶ τῶν πολεμίων τὰς ἐπιβουλάς, πῶς προσήεσαν καὶ ἐγγυτέρω ἐγίνοντο βουλόμενοι ὑποσκελίσαι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ μόνον οὐκ ἦσαν αὐτῷ τινες βοηθοὶ ἢ σύμμαχοι, ἀλλ' οὐδὲ ἐπεγίνωσκον. τοῦτο ἐπίτασις ἐρημίας, ἡ ὑπερβολὴ τῆς ἀλλοτριώσεως. ὀλίγων γάρ ἐστι τὸ ἐν συμφοραῖς παρεῖναι καὶ βοηθεῖν, καὶ μάλιστα ὅταν αἱ συμφοραὶ κινδύνους ἀπειλῶσιν. ἀλλὰ τοῦτο οὐ μόνον αὐτὸν οὐκ ἔβλαψεν, ἀλλὰ καὶ μειζόνως ὠφέλησε πρὸς τὸν Θεὸν αὐτὸν οἰκειῶσαν. καὶ σὺ τοίνυν, ἀγαπητέ, ὅταν ἴδῃς αὐξόμενα τὰ δεινά, μὴ ἀναπέσῃς, ἀλλ' ἀνάνηφε μειζόνως. διὰ γὰρ τοῦτο ἀφίησιν ὁ Θεὸς αἴρεσθαι αὐτά, ἵνα σου τὴν ῥαθυμίαν ἀποτινάξῃ, ἵνα σε ἀφυπνίσῃ καθεύδοντα. τότε πάντα τὰ περιττὰ περικόπτεται, τότε πάντα ἐκφυσᾶται τὰ βιωτικά, τότε ἐν προσευχῇ σπουδαιότερος γίνεται, πρὸς ἐλεημοσύνην προθυμότερος, πρὸς ὑπεροψίαν γαστρός. καὶ ἕκαστον πάθος εὐκαταγώνιστον γίνεται, ὑπὸ τῆς θλίψεως φυγαδευόμενον· ἐπεὶ καὶ παρὰ τὴν ἀρχήν, οὐχὶ κολάσαι βουλόμενος λύπαις ἡμᾶς συνέδησε καὶ πόνοις, εἰ καὶ ἐν τάξει κολάσεως τὴν ἀπόφασιν τέθεικεν, ἀλλὰ σωφρονίσαι καὶ βελτίους ἐργάσασθαι. εἰ γὰρ καὶ λύπης ἐπικειμένης, καὶ τοῦ βίου ἐπιμόχθου ὄντος, τοσαύτη κρατεῖ κακία, εἰ μηδὲν τούτων ἦν, ποῦ οὐκ ἂν ἐξέβη τὰ τῆς πονηρίας; καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῆς ψυχῆς, ὅπουγε καὶ ἐν τοῖς σώμασιν ἀγαθὸν ἡ θλῖψις; καὶ γὰρ τὸ εἰς ἄκραν εὐπάθειαν ἐξάγεσθαι τὴν σάρκα, ἐπιβλαβές· ἄλλως τε καὶ τὸ πολλαχόθεν ἐπιβουλὰς συνίστασθαι, νήφειν ποιεῖ· κἂν προσέχωμεν, οὐδὲν βλαπτόμεθα. διὸ καί τις φησίν· Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς. καὶ οὗτος, ἐν ὁδῷ ᾗ ἐπορευόμην ἔκρυψαν παγίδα μοι. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλάβοι, ὄψεται τὸν διάβολον αὐτὸ ποιοῦντα, οὐ πόρρωθεν, ἀλλὰ πλησίον κρύπτοντα τὰς ἐπιβουλάς. διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς νήψεως. κρύπτει γὰρ παγίδα, ἐν ἐλεημοσύνῃ τὴν κενοδοξίαν, ἐν νηστείᾳ τὴν ἀλαζονείαν, οὐκ ἐν ἑτέραις, ἀλλ' ἐν αὐταῖς ταῖς ὁδοῖς αἷς βαδίζομεν, ὅπερ ἐστὶ καὶ χαλεπώτερον.

Σειρ. θ. ιγ.

6 Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ. Ὅρα πάλιν ἑτέραν προσθήκην τῶν δεινῶν. δείκνυσι γὰρ οὐ μόνον ὅτι ἐν ταῖς ὁδοῖς αἱ παγίδες, οὐδ' ὅτι οὐδεὶς ἦν ὁ βοηθῶν, οὐδὲ ὁ ἐπιγινώσκων, ἀλλ' ὅτι οὐδὲ τὸ λειπόμενον αὐτῷ πρὸς ἀπαλλαγήν, τὸ φυγῇ τὴν σωτηρίαν ποιήσασθαι, ῥᾴδιον καὶ εὔκολον ἦν· οὕτως ἐν μέσοις ἀπείληπτο τοῖς κακοῖς, καὶ ἐν ἀφύκτῳ συμφορᾷ ἦν. ἀλλ' ὅμως καὶ οὕτως οὐκ ἀπεγίνωσκε.

Καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Τουτέστιν, ὁ ἀμυνῶν, ὁ βοηθῶν. τί οὖν αὐτός; ἆρα ἐν τοσαύτῃ ἀπορίᾳ καὶ ἀμηχανίᾳ ὢν ἀπέγνω τὴν σωτηρίαν; οὐδαμῶς. ἀλλὰ πρὸς τὸν Θεὸν καταφεύγει εὐθέως καὶ λέγει· 7 Ἐκέκραξα πρὸς σέ, Κύριε. Εἶπα, σὺ εἶ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων. Ὁρᾷς νῆψιν ψυχῆς; οὐκ ἐβάπτισεν αὐτὸν τὰ δεινά, ἀλλὰ μᾶλλον ἐπτέρωσε· καὶ ἐν ἀπορίαις ὤν, ἔγνω τὴν ἄμαχον χεῖρα καὶ τὴν πολυαλκῆ δύναμιν, καὶ τὴν ἐν ἀμηχανίαις εὐκολίαν. Εἶπα, σὺ εἶ ἐλπίς μου. τὰ ἀνθρώπινα, φησιν, ἐκλέλειπται, καὶ ὁ χειμὼν μείζων συμμαχίας οὕτως ἁπάσης, ὡς μηδεμιᾷ τέχνῃ οἷόν τε εἶναι περιγενέσθαι τοῦ ναυαγίου. ἀλλ' ὅμως εἰ καὶ παρὰ ἀνθρώποις ταῦτα ἀπέγνωσαι, καὶ πάντες ἀπηγορεύσαμεν, ἀλλά σοι πάντα ῥᾴδια· ὅθεν καὶ ἐλπίζοντες οὐκ ἀποναρκῶμεν. μερίς μου εἶ ἐν γῇ ζώντων· τουτέστιν, ὁ κλῆρος, θησαυρός μου, πλοῦτός μου, τὰ πάντα αὐτὸς εἶ. ἐν γῇ ζώντων. γῆν ζώντων ἐνταῦθα τὴν οἰκείαν πατρίδα καλεῖ. οἶδε γὰρ πολλάκις τὴν αἰχμαλωσίαν τὴν εἰς Βαβυλῶνα, ᾅδην καὶ θάνατον καλῶν. εἶτα ἐπειδὴ ἐν μὲν ἀλλοτρίᾳ ὢν οὐδεμίαν λατρείαν ἐπετέλει τὴν εἰωθυῖαν, ἐκεῖ δὲ τὰ τῆς ἁγιασίας ἅπαντα ἐπληροῦτο, διὰ τοῦτό φησι, μερίς μου εἶ ἐν γῇ ζώντων. ἀεί μου προέστης, φησί, καὶ ᾠκειώσω με ἐν γῇ ζώντων, καὶ πολλή μοι πρὸς σὲ γέγονε κοινωνία.

8 Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ὁρᾷς πῶς ὅπερ ἀνωτέρω ἔλεγε, τοῦτο καὶ ἐνταῦθα ἀντὶ συνηθείας τίθησι, τὸ ταπεινωθῆναι λέγω, τὸ δίκην δοῦναι τῶν ἡμαρτημένων μεθ' ὑπερβολῆς. τὸ δὲ σφόδρα, οὐ τῶν γινομένων κατηγορίας ἐστίν, ἀλλὰ τῆς λύπης καὶ τῆς ἀσθενείας τοῦ πάσχοντος. ἂν μὲν γὰρ πρὸς τὴν ἀξίαν τῶν ἁμαρτημάτων ἴδῃς, οὐ σφόδρα ἡ ταπείνωσις· ἂν δὲ πρὸς τὴν ἀσθένειαν τοῦ φέροντος, σφόδρα μεθ' ὑπερβολῆς. οὐδαμοῦ γὰρ ὁ Θεὸς ἀξίαν ἀπαιτεῖ τῶν πλημμελημάτων τιμωρίαν. εἰ δὲ τοῖς πάσχουσιν ἀφόρητος εἶναι δοκεῖ, οὐ παρὰ τὴν φύσιν τῶν γινομένων, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ὑπομενόντων.

9 Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἰδοὺ καὶ ἄλλη αἰτία πάλιν· ἡ ἄδικος ἐπιβουλὴ τῶν ἐπηρεαζόντων, καὶ τὸ εἶναι αὐτὸν ἐν ἀσθενείᾳ πολλῇ. 10 Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Τὸ ἐξομολογήσασθαι δὲ ἐνταῦθα, ἀντὶ τοῦ εὐχαριστῆσαί ἐστιν. ὃ δὲ λέγει, τοῦτο ἐστιν· ἀπάλλαξόν με τῶν δεινῶν" (φυλακὴν γάρ φησι τὴν τῶν συμφορῶν ὑπερβολήν) ὥστε εὐχαριστῆσαι τῷ ὀνόματί σου. οὐ μικρὸν καὶ τοῦτο, τὸ ἐν εὐημερίᾳ γενομένους, μὴ εἰς λήθην ἐμπεσεῖν τῆς εὐεργεσίας. πολλοὶ γὰρ τῶν ἀνθρώπων ἐν θλίψεσι μέν εἰσι σπουδαιότεροι, ἐν ἀνέσει δὲ ῥᾳθυμότεροι· ἕτεροι πάλιν ἐν ἀνέσει ῥᾴθυμοι, καὶ ἐν θλίψεσιν ἀπογινώσκοντες ἑαυτῶν, καὶ ὑπτιώτεροι γινόμενοι. ἀλλ' οὐχ οὗτος· ἐν ἑκατέρᾳ τῇ τῶν καιρῶν διαφορᾷ, μένει τὴν αὐτὴν εὐλάβειαν διατηρῶν. οὔτε γὰρ ἡ θλίψις αὐτὸν ἀναπεσεῖν ἐποίησεν, ἀλλὰ μᾶλλον συνήγαγε πρὸς τὴν δέησιν καὶ τὴν εὐχήν, οὔτε ἡ ἄνεσις ὕπτιον κατεσκεύασεν, ἀλλὰ καὶ τότε πρὸς εὐχαριστίαν παρασκευάζεται.

11 Ἐμὲ ὑπομένουσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ἕτερος, Στεφανώσονται δίκαιοι, ὅταν εὐεργετήσῃς με. Τί ἐστι τοῦτο; καὶ τοὺς δικαίους, φησί, φησι, τοῦτο ὠφελήσει. καὶ γὰρ καὶ ἐκεῖνοι εὐφρανθήσονται, χαρήσονται, σκιρτήσουσιν ἰδόντες μου τὴν ἀπαλλαγὴν τῶν δεινῶν. Τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί, καὶ τοῖς πάσχουσι κακῶς συναλγοῦσι, καὶ εὐθηνουμένοις οὐ βασκαίνουσιν, ἀλλὰ καὶ χαίρουσι καὶ εὐφραίνονται καὶ συνήδονται τοῖς εὐεργετουμένοις. ὃ καὶ Παῦλος ἐκέλευσε λέγων, Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. οὐ μικρὰ δὲ αὕτη ἀρετή. πολλοὶ γὰρ καὶ κειμένοις ἐφήδονται, καὶ ἀνισταμένοις βασκαίνουσιν, ἐξ ὠμότητος καὶ ἀπανθρωπίας πολλῆς ἑκάτερα τὰ πάθη τίκτοντες. ἀλλ' οὐχ οἱ δίκαιοι οὕτως, ἀλλ' ἑκατέρας ταύτης τῆς κακίας ἀπηλλαγμένοι, καὶ ἐλεήμονες ὄντες καὶ φιλάνθρωποι, τὰς ἀρετὰς ταύτας κτῶνται. ὥσπερ οὖν ἐκεῖνοι ἐξ ὠμότητος ἀμφότερα πάσχουσιν, οὕτως οὗτοι ἀπὸ φιλανθρωπίας, τό τε συμπάσχειν ἀλγοῦσι, τό τε συγχαίρειν εὖ πάσχουσι. διὰ τί εἶπεν, ἀνταποδώσεις μοι; ὁ μὲν ἕτερός φησιν, ὅταν εὐεργετήσῃς με. οἱ δὲ ἄλλοι, ἀνταποδώσεις καὶ ἀμείψῃ με· καίτοιγε ἀνωτέρω θλῖψιν καὶ ταπείνωσιν ἔλεγεν, οὐ κατορθώματα καὶ παρρησίαν τὴν ἀπὸ τῶν ἔργων. ἀντὶ τίνος δὲ καὶ ἀνταπόδοσιν αἰτεῖ; ἀντὶ τῶν ἡμερῶν τῆς ταπεινώσεως. οὐ γὰρ μικρὸν καὶ τοῦτο κατόρθωμα, τὴν θλῖψιν ἐνεγκεῖν μετ' εὐχαριστίας. διὸ καὶ ἀνταπόδοσιν καλεῖ τὴν μετὰ ταῦτα ἀμοιβήν. μὴ τοίνυν μηδὲ ἡμεῖς ἀλύωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' εὐχώμεθα μὴ εἰσελθεῖν εἰς πειρασμόν, ἐπιόντα δὲ δεχώμεθα. τά τε γὰρ ὄντα ἁμαρτήματα ἀποτιθέμεθα, καὶ εἴ τινα δικαιοσύνην ἔχομεν, κἀκείνην λαμπροτέραν ἐργαζόμεθα. καὶ τοῦτο δείκνυσιν ὁ Ἰώβ, τότε μειζόνως διαλάμψας. τοῦτο καὶ ἐν σώμασιν ἀγαθόν· τοῦτο οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἐν ἀλόγοις· οὐκ ἐν ἀλόγοις μόνον, ἀλλὰ καὶ ἐν φυτοῖς. διὰ δὴ τοῦτο οὐδὲ ταῖς ἀμπέλοις " συγχωροῦσιν ὑπὲρ τὸ μέτρον κομᾶν, οὐδὲ ἑτέροις δένδροις, ἀλλὰ κωλύουσι τὴν εἰς τὸ πρόσω φορὰν τῇ δρεπάνῃ, ἅπασαν αὐτῆς τὴν δύναμιν εἰς τὴν ῥίζαν περιστρέφοντες, ὥστε μὴ ἐν τοῖς φύλλοις ἀναλωθεῖσαν αὐτὴν, ἐξίτηλον ἐνεγκεῖν τὸν καρπόν· ὅπερ καὶ ἐπ' ἀνθρώπων συμβαίνει. τῆς γὰρ σπουδῆς εἰς τὰ περιττὰ ἀναλισκομένης, ἀτονωτέρα γίνεται ἡ ψυχὴ πρὸς τὸ εὐλαβείας καρπὸν ὥριμον ἐνεγκεῖν καὶ ἀκμάζοντα. τοῦτο καὶ ἐπὶ ὑδάτων ἴδοι τις ἄν. τὸ μὲν γὰρ ἑστηκὸς καὶ " ἀργοῦν φθείρεται· τὸ δὲ ῥιπιζόμενον καὶ ἀγόμενον καὶ περιφερόμενον ὑγιεινότερόν ἐστι καὶ ἰδεῖν, καὶ ἅψασθαι, καὶ πιεῖν ἥδιον. πολλάκις καὶ τὴν φύσιν ἐνίκησεν ἡ θλῖψις. τὸ γὰρ κατωφερὲς τοῦτο καὶ ῥυτὸν θλιβόμενον, πρὸς τὴν ἄνω φορὰν ἐξακοντίζεται· ὃ δὴ καὶ ἐπ' ἀνθρώπων συμβαίνει. οἱ γὰρ εὐκόλως τὰς θλίψεις φέροντες, ὑψηλότεροι καθίστανται, κἂν σφόδρα ὦσι χαμαίζηλοι καὶ γήινοι καὶ ταπεινοί, καὶ μεγάλα ἐντεῦθεν κερδαίνουσι. Ταῦτ' οὖν εἰδότες, φέρωμεν μετὰ εὐχαριστίας τὰ ἐπαγόμενα δεινά, ἵνα κἀκεῖνα εὐκολώτερα ἡμῖν γένηται, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ῥωμ. ιβ. ιε.

ἐπιτρέπου-
σιν οἱ γηπόνοι
τῶν κομᾶν.

ἑστηκὸς π υ,
βλαβερόν· τὸ
κινούμενον καὶ
ἐξαντλούμενον
μετοχετευ-
όμενον, οὐ μόνον
ὑγιεινότερον, ἀλλὰ
ἰδεῖν, καὶ ἅ-
ψασθαι καὶ πιεῖν
ἥδιόν ἐστι. πολ.

Ψαλμ. ρμβ. 1 ΚΥΡΙΕ, ΕΙΣΑΚΟΥΣΟΝ ΤΗΣ ΠΡΟΣΕΥχῆς μου.

Ἔστι μὲν προσευχὴ καὶ ἡ διὰ ῥημάτων δέησις, ἔστι δὲ * καὶ ἡ ἐπαγγελία. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων, Μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου. οὐχ ἵνα μὴ δεύτερον τὰ αὐτὰ λέγωμεν παρακαλοῦντες τὸν Θεὸν καὶ δεόμενοι, τοῦτο παραινεῖ, ἄπαγε, καὶ συμβουλεύει (καὶ γὰρ κελευόμεθα προσκαρτερεῖν ταῖς προσευχαῖς) ἀλλ' ἵνα μὴ ἀναβαλλώμεθα, ὅταν τι ὑποσχώμεθα τῷ Θεῷ, ἀλλ' ἵνα ἐπειγώ-

* προσευχή

Σειρ. ζ. ιδ.

Λουκ. ιη. α.
Κολ. δ. β.

μεθα. διὸ καὶ ἀλλαχοῦ φησι, μὴ χρονίσῃς ἀποδοῦναι τὴν προσευχήν· καὶ γὰρ ἄδηλον τὸ μέλλον. ἢ γὰρ νόσος, ἢ πραγμάτων ἀδόκητοι ἀσχολίαι συμπεσοῦσαι ἐκώλυσαν. εἰ δὲ καὶ θάνατος ἐπελθὼν διακόψῃ σε, συγγνώμην οὐκ ἔχεις. ἐνταῦθα μέντοι προσευχήν, τὴν δέησιν λέγει καὶ τὴν ἱκετηρίαν. διὸ ἐπήγαγεν αὐτὸ τοῦτο δηλῶν, Ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Ἕτερος, Ἐν τῇ πίστει σου. Ἄλλος, Ἐν τῇ βεβαιότητί σου· Τουτέστιν, ἐπίνευσον τῇ αἰτήσει, καὶ εἰς ἔργον αὐτὴν ἐξάγαγε, βεβαιῶν τῇ ἀληθείᾳ σου· χρῆσαι τῇ δυνάμει πρὸς τὸ πληρῶσαι ἀπ' αὐτῶν. ἀλλ' ἴδωμεν καὶ οἵα ἡ δέησις. ἐπ' ἀνθρώπων ὅταν τις δέησιν προσαγάγῃ, τοῦτο σκοποῦσιν οἱ δεχόμενοι· κἂν τὸ δίκαιον καὶ ἔννομον ἔχῃ, ἀκούεται. ἀλλὰ παρὰ μὲν ἀνθρώποις ὑπὲρ ἀξιωμάτων καὶ χρημάτων γίνεται ἡ δέησις, πολλάκις δὲ καὶ ὑπὲρ κωλύματος ἀδικίας· ἔνιοι δὲ καὶ τὰ ὑπερβαίνοντα τοὺς δικάζοντας ἀξιοῦσιν. ἡμεῖς δὲ ὑπὲρ ἁμαρτημάτων δεόμεθα συγχωρήσεως, καὶ ὅταν ὁ δικαστὴς ἡμῶν μὴ ἀφῇ ὁ ἔνδον, τὸ συνειδὸς λέγω τὸ ἡμῖν ἐγκαθήμενον (οὐδὲ γὰρ ἐξουσίαν ἔχει τοῦ ἀφιέναι) τότε ἐπὶ δέησιν ἐρχόμεθα. καὶ καθάπερ βασιλεῖ οὐδεὶς ὑπὲρ ἱματίου διαρραγέντος, οὐδὲ ὑπὲρ δέκα ὀβολῶν ἀφαιρεθέντων τολμᾷ προσελθεῖν, οὕτω καὶ σύ, μᾶλλον δὲ καὶ πολλῷ πλέον εὐλαβούμενος, μὴ προσέλθῃς Θεῷ ὑπὲρ εὐτελῶν πραγμάτων καὶ μηδαμινῶν· οἷον, εἴ τίς σε ἠδίκησεν ἐν χρήμασιν, ἢ καὶ ὕβρισεν· ἀλλ' ἐν οἷς σε ὁ διάβολος ἀδικεῖ, ἔνθα μάλιστα τῆς ἄνωθεν χρεία ῥοπῆς. ἀλλ' οὐκ ἔχεις τὸν προϊστάμενον καὶ εἰσάγοντά σου τὴν δέησιν; προϊόντος τοῦ βασιλέως φώνησον, καὶ καιρὸν ἐπιτήδειον ζήτησον. πότε οὖν πρόεισιν ὁ βασιλεύς; ἀεὶ καὶ διαπαντός. πότε δὲ καὶ ἐπιτήδειος ὁ καιρός; ὅταν σὺ θέλῃς, ὅταν ἄξιον σαυτὸν παρασκευάσῃς. Ἰουδαῖοι μὲν οὖν ἐκελεύοντο ὑπὸ τὴν ὑπώρειαν ἑστάναι τῷ Θεῷ φαινόμενοι καὶ τὰ ἱμάτια ἔχειν λευκά, καὶ μὴ προσιέναι γυναικί· σὺ δὲ ἀντὶ τῶν ἱματίων τὴν ψυχὴν ἀπόσμηξον, καὶ μετὰ σωφροσύνης καὶ ἐπιεικείας πρόσελθε καὶ πολλῆς τῆς σχολῆς, καὶ ἀποδήμησον πρὸς τὸν βασιλέα, εἰ βούλει διάπτως ἀνύσαι. οὐ δεῖται ἀναλωμάτων πολλῶν ἡ ἀποδημία. λάβε ἐφόδια τὴν ἀρετήν. καὶ ποῦ ποτε ὁ βασιλεὺς διατρίβει; ἐγγὺς τῶν συντετριμμένων τῇ καρδίᾳ. ἐκείνην ἔπελθε τὴν ὁδόν. Ἐγγύς, φησι, Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. ἐκεῖ αὐτὸν εὑρήσεις, ἐκεῖ συντεύξῃ. ἐγγύς ἐστι τῶν διαθρυπτόντων πεινῶσι τὸν ἄρτον καὶ ἐλεημοσύνην ἐργαζομένων. ἐὰν ταύτην ἔλθῃς, εὑρήσεις αὐτὸν ἕτοιμον ἐπινεύοντά σου τῇ αἰτήσει. Ἔτι γὰρ λαλοῦντός σου, ἐρῶ ἰδοὺ πάρειμι. καὶ οὐδὲ δεήσῃ μεσίτου, ἀλλὰ διὰ σεαυτοῦ τὴν δέησιν ἐπιδώσεις.

Ἐξοδ. ιθ. ιβ.

Ψαλ. ρμδ. ιη.

Ησα. νη. θ.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Τί ποιεῖς, ἄνθρωπε; προσιὼν μέλλεις ἐρεῖν, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, καὶ ἐνταῦθα ἀξιοῖς κατὰ τὸ δίκαιον ἀκουσθῆναι; τί οὖν ἐστι τὸ λεγόμενον; δικαιοσύνην ἐνταῦθα, τὴν φιλανθρωπίαν λέγει, καὶ πολλαχοῦ τῆς γραφῆς ἴδοι τις ἂν ἐπὶ τοῦ σημαινομένου τούτου τὴν δικαιοσύνην λαμβανομένην· καὶ μάλα εἰκότως. παρὰ μὲν γὰρ τοῖς ἀνθρώποις, τὸ δίκαιον ἀπεστέρηται τοῦ ἐλέους· παρὰ δὲ τῷ Θεῷ οὐχ οὕτως, ἀλλὰ ἀναμέμικται τῷ δικαίῳ καὶ ἔλεος· καὶ τοσοῦτον, ὡς καὶ αὐτὴν τὴν δικαιοσύνην φιλανθρωπίαν καλεῖσθαι. σκόπει γοῦν ἐπὶ τοῦ κατακλυσμοῦ πόσος μὲν ἦν ὁ ἔλεος, πόσον δὲ τὸ δίκαιον. εἰ γὰρ καὶ ἐκολάσθησαν ἁμαρτάνοντες οἱ τότε, ἀλλ' οὐ τὴν ἀξίαν ἔδοσαν δίκην. μὴ γάρ μοι τὸν ὄγκον ἴδῃς τῶν ὑδάτων, μηδὲ τὸ πλῆθος τῶν ἡμερῶν, ὧν τὸ ναυάγιον ἐκεῖνο παρετείνετο, μηδὲ τὴν οἰκουμένην ἄβυσσον γενομένην. τί γὰρ τοῦτο πρὸς τοὺς ἀπολωλότας; ταῦτα γὰρ φόβον μὲν δύναται ἔχειν, τιμωρίαν δὲ τοῖς τετελευτηκόσιν οὐδεμίαν. οἱ γὰρ οὐκ αἰσθανόμενοι τῶν γινομένων, πῶς ἐκόλαζοντο;

ἐκολάζοντο; ὧν καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ τῆς ἀπωλείας ἐγίνετο, καὶ τὸν σύντομον καὶ κουφότατον ὑπέμειναν θάνατον, καὶ πυρὸς καὶ ξίφους καὶ ἀγχόνης καὶ βασάνων εὐκολώτερόν τε καὶ ἀλυπότερον· ὥστε ὄψιν μᾶλλον τιμωρίας, ἢ πεῖραν εἶχε τὰ γινόμενα. παρὰ πάντα τοίνυν τὸν χρόνον μέχρι γήρως ἐσχάτου τοιαῦτα παρανομήσαντες, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν τιμωρίαν ἔδοσαν, εἴγε τιμωρίαν δεῖ καλεῖν τὸ τῆς φύσεως χρέος. εἶδες πόση ἡ φιλανθρωπία; βούλει καὶ ἑτέρωθεν αὐτὴν ἰδεῖν; οὐκ εὐθέως αὐτὴν ἐπήγαγεν, ἀλλὰ προεῖπε καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις. καὶ γὰρ διὰ τῆς λάρνακος αὐτοῖς διελέγετο. οἱ δὲ οὐδὲ οὕτως ἐνέδωκαν· καίτοι οὐδὲ παρ' ἡλικίας ἐδεῖτο ἡ παρανομία· οὔτε δὲ ἡ φύσις αὐτοὺς ἐπαίδευσεν, ἀλλ' ὡς χοῖροι, μᾶλλον δὲ καὶ χοίρων χαλεπώτερον ἁπάντων, ἐν ἀλλήλοις φθειρόμενοι, καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων αὐτῶν ἀνασπάσαντες, καὶ μηδεμιᾷ παραινέσει μηδὲ συμβουλῇ ἐνδόντες, μηδὲ τὴν ἀπὸ τῆς τοῦ δικαίου γειτνιάσεως ὠφέλειαν καρπωσάμενοι, ἐν βραχείᾳ καιροῦ ῥοπῇ μόνον τὴν δίκην ἔδοσαν· μᾶλλον δὲ καὶ φθορᾶς ἀπηλλάγησαν, καὶ δίκης ἠλευθερώθησαν. τοῦ γὰρ κατακλυσθῆναι, πολλῷ χαλεπώτερον τὸ τοιαῦτα ποιεῖν. τοῦτο οὖν, εἰπέ μοι, τιμωρία, τὸ κακίᾳ φθειρομένους, καὶ ἀλλήλοις φυρομένους παρανόμως, καὶ καταισχύνοντας καὶ καταισχυνομένους ἀπαλλάξαι τῆς τοσαύτης λύμης; εἶτα ἰατρὸν μὲν τὰ σεσηπότα ἐκτέμνοντα οὐ φήσομεν τιμωρεῖσθαι τὸ σῶμα, ἀλλ' ὡς φιλάνθρωπον ἀποδεξόμεθα, τὸν δὲ Θεὸν οὐ πολλῷ μᾶλλον ἐκπλαγησόμεθα καὶ τῆς σοφίας καὶ τῆς φιλανθρωπίας; ″διὰ πάντων μὲν οὖν καὶ θαυμάζειν αὐτὸν καὶ δοξάζειν χρή· ταύτης δὲ ἕνεκεν τῆς ὑποθέσεως μηδέποτε ἀποστῶμεν αὐτοῦ τὴν κηδεμονίαν ἐκπληττόμενοι, μηδὲ παυσώμεθα αὐτὸν καὶ διὰ ταῦτα ἀνυμνοῦντες, ὅτι τε τομὴν ἔδωκε σύντομον καὶ τὴν νομὴν ″ἐνέκοψε, καὶ τὴν ἰατρείαν ἀνώδυνον ἐπέθηκε. μὴ δὴ οὖν τοῦτό σε θορυβείτω, ὅτι ἀθρόον καὶ πάντες κατεποντίσθησαν. τί γὰρ διαφέρει τοῦτο τοῦ κατὰ μικρόν; τί τὸν ἀπελθόντα ὠφελεῖ τὸ καθ' ἑαυτόν, ἢ βλάπτει τὸ μετὰ πάντων; ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· τουτέστιν, ἐν φιλανθρωπίᾳ. ″ὅτι γὰρ τοῦτό φησιν, ἐπήγαγε,

[illegible] μετὰ τοῦ λόγου.
γρ. ἀπέκοψε,
γρ. ἐπὶ τοῦτο δηλοῖ,

2 Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

Τοῦτο καὶ ὁ Ἰὼβ αἰτεῖ, οὕτω δίκαιος ὢν καὶ ἀληθινὸς καὶ θεοσεβὴς καὶ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, εἴθε ἦν ὁ διακρίνων καὶ διελέγχων μεταξὺ ἀμφοτέρων λέγων. τοῦ δὲ Θεοῦ φανέντος, χεῖρα θήσω ἐπὶ στόματί μου, καίτοι τοῦ Θεοῦ προκαλουμένου καὶ λέγοντος· Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. καὶ Ἰουδαίοις τοῦτο ὀνειδίζει λέγων, Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, καὶ οἱ ἄρχοντες ὑμῶν ἐκώμησαν εἰς ἐμέ; ποιεῖ δὲ τοῦτο οὐ χαλεπωτέραν θέλων τὴν ψῆφον ἐργάσασθαι, ἀλλ' εἰς ″αἴσθησιν αὐτοὺς ἐμβαλεῖν καὶ ὁμολογίαν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τότε δοῦναι τὴν συγχώρησιν, ἵν' οὕτως εἰδῶσι τῆς εὐεργεσίας τὸ μέγεθος. διό φησι, Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, οὐχ ἵνα κατακριθῇς, ἀλλ' ἵνα δικαιωθῇς. διά τοι τοῦτο οὐδὲ αὐτὸς αὐτὰς λέγει, ἀλλ' ἐκεῖνον παρασκευάζει. εἰ μὲν γὰρ κολάσαι ἐβούλετο, αὐτὸς ἂν κατηγόρησε· νυνὶ δὲ ἐπειδὴ ἐλεῆσαι θέλει, παραχωρεῖ τῷ ἡμαρτηκότι, ὥστε αὐτὸν εὐγνωμοσύνης λαβεῖν στέφανον, καὶ διὰ τῆς ὁμολογίας ἐπισπάσασθαι τὸν ἔλεον. τί ταύτης τῆς φιλανθρωπίας γένοιτ' ἂν ἴσον; οὐδέν. Εἰπέ, φησι, καὶ οὐδὲν πλέον ζητῶ, ὁμολόγησον, καὶ ἀρκεῖ μοι· εἰπέ, καὶ τὸ πᾶν ἀπέχω. μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. τοῦτο ἀπὸ τοῦ δικάζεσθαι Θεὸν παρὰ πολλοῖς κατώρθωται. οἱ μὲν γὰρ εὐγνώμονες καὶ πρὸ τούτου ἴσασι τοῦτο· οἱ δὲ ἀγνώμονες ἀπὸ τοῦ συνεχῶς τοὺς προφήτας λέγειν, Κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ ″διαλεχθήσεται· καὶ πάλιν, ἀκούσατε φάραγγες

Ιωβ λη. γ.
Ιερεμ. β. ε.
Ησ. μγ. κϛ.
Μιχ. ϛ. β.

γρ. ἐλέγχειν
γρ. διαλεχθήσεται·

ραγγες καὶ θεμέλια τῆς γῆς· καί, ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ· ἀπὸ τοῦ συνεχῶς οὖν αὐτὸν λέγεσθαι δικάζειν, καὶ παρὰ τοῖς ἀναισθήτοις κατορθοῦται. καὶ γὰρ ἔλεγόν τινες, Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; καί, πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα, καὶ μακαρίζομεν ἀλλοτρίους· καί, οὐκ εὐθεῖα ἡ ὁδὸς Κυρίου. καὶ ὁ μακάριος δὲ Ἰώβ, ἐπειδὴ εἰς τὸν πειρασμὸν ἐνέπεσεν ἐκεῖνον, οὐκ ἀπὸ τῆς τοιαύτης γνώμης, ἧς οἱ Ἰουδαῖοι, οὐδὲ τοιαῦτα (μὴ γένοιτο) ἔλεγε δ' οὖν ὅμως, Εἴθε ἦν ὁ μεσίτης καὶ ἐλέγχων μεταξὺ ἀμφοτέρων. ἀπαλλαξάτω τὴν ῥάβδον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ὁ φόβος αὐτοῦ μή με στροβείτω. διὰ δὴ τοῦτο λέγει αὐτῷ· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. Εἶτα ἐπειδὴ κατεπλάγη καὶ ἔλεγε· Τί ἔτι κἀγὼ κρίνομαι νουθετούμενος, καὶ ἐλέγχω Κύριον; καὶ πάλιν, ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ καὶ οἱ ὀφθαλμοί μου ἑωράκασί σε. διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην, ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. χεῖρα θήσω ἐπὶ στόματί μου. λέγει πρὸς αὐτὸν, μή· Ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· μονονουχὶ αὐτὸν ἀναμιμνήσκων αὐτοῦ τῶν ῥημάτων καὶ λέγων· ἐπεὶ ἐβούλου κρίνεσθαι πρὸς ἐμέ, ἰδοὺ πάρειμι δικασόμενος. Εἶδες Θεοῦ φιλανθρωπίαν ἄφατον; Εἶδες ἀγαθότητα πέρας οὐκ ἔχουσαν; διὰ δὴ τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς ἔλεγον· ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀναισθήτων τὰ ἑαυτῶν ἁμαρτήματα ἐπὶ τὸν Θεὸν ἐπάγουσι, τοῦτο τοῦ διαβόλου κατασκευάσαντος, πρόρριζον ταύτην ἀνασπῶν τὴν συνήθειαν ὁ Θεός, συνεχῶς λέγει κρίνεσθαι πρὸς αὐτούς. τοιοῦτον γοῦν τι καὶ ὁ πρωτόπλαστος ἥμαρτε, λέγων, ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον· καὶ Ἰουδαῖοι δὲ πολλὰ τοιαῦτα ἡμάρτανον.

Ησ. νη. γ.
Ιωβ. θ. λγ.
Ιωβ. λη. γ.

Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Τί λέγω ἐμαυτὸν, καὶ τὸν δεῖνα, καὶ τὸν δεῖνα, φησίν; οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς γῆς, ὃς κρινόμενος πρὸς τὰ ἐπηγμένα παρὰ σοῦ, δικαιωθῆναι δύναται· οὕτως ἐκ περιουσίας τὰ νικητήρια παρὰ σοί.

3 Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου.

Ἔστι μὲν τοῦτο νοεῖν καὶ διὰ τὸν Σαοὺλ εἰρῆσθαι ἐχθρὸν ὄντα, καὶ αὐτὸν τότε διώκοντα· ἔστι δὲ καὶ κατ' ἀναγωγὴν ἐχθρὸν τὸν διάβολον εἰπεῖν· οὐ παύεται γὰρ ἐκεῖνος διώκων τοὺς τοῦ Θεοῦ. πῶς οὖν ἂν ἀπαλλαγείημεν τοῦ διώκεσθαι; εἰ τόπον εὕροιμεν, ἔνθα εἰσελθεῖν οὐ δύναται. καὶ ποῖος, φησίν, οὗτός ἐστιν ὁ τόπος; ποῖος ἕτερος, ἀλλ' ἢ ὁ οὐρανός; πῶς δὲ δυνατὸν εἰς τὸν οὐρανὸν ἀναβῆναι; ἄκουσον Παύλου λέγοντος καὶ δεικνύντος, ὅτι καὶ σαρκὶ συμπεπλεγμένοι δυνάμεθα διατρίβειν ἐκεῖ. Τὰ ἄνω γὰρ φρονεῖτε, φησίν, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. καὶ πάλιν, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Κολ. γ. α.
φιλιπ. γ. κ.

Πολλὰ σημαίνει τὸ τῆς ταπεινώσεως ὄνομα. ἔστι γὰρ καὶ ἀρετῆς ταπείνωσις, ὡς ὅταν λέγῃ, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· ἔστι καὶ ἀπὸ συμφορῶν ταπείνωσις· ἔστι καὶ ἀπὸ ἁμαρτημάτων. ἐνταῦθα μέντοι τὴν ἀπὸ τῶν συμφορῶν λέγει. διὸ καὶ ἐπήγαγε τοῦτο δεικνύς, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. ἔστι ταπείνωσις καὶ ἐξ ἀπονοίας, ὡς ὅταν λέγῃ, ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ἔστι καὶ ἑτέρα ταπείνωσις, ἡ ἀπὸ τῆς ἀπληστίας. τί γὰρ ταπεινότερον τῶν κατορυττόντων ἑαυτοὺς ἐν πλούτῳ καὶ δυναστείαις καὶ δόξαις*; διπλῆ γὰρ εἰσι ταπεινοὶ οἱ τοιοῦτοι, τῷ τε χαμαὶ σύρεσθαι, τῷ τε μεγάλα ταῦτα νομίζειν· ὥσπερ τὰ παιδία τὰ μικρά, ἃ σφαίρας καὶ ἀστραγάλους καὶ τὰ τοιαῦτα ἀθύρματα μεγάλα τίθενται. ἀλλὰ τοῦτο οὐ τοῦ μεγάλα ἐκεῖνα σημεῖόν ἐστιν, ἀλλὰ τοῦ τῶν θαυμαζόντων τὴν διάνοιαν ἀτελῆ τυγχάνειν καὶ ταπεινήν. ἀλλ' ἐκεῖνο μὲν ἡλικίας καὶ φύσεως ἐλάττωμα· τοῦτο δὲ προαιρέσεως ἔγκλημα.

γὰρ ἀνὴρ ὢν καὶ ἐν ἡλικίᾳ τελείᾳ γεγονώς, τραπέζας καὶ πόρνας καὶ τρυφὴν μεγάλα εἶναι νομίζει· οὗ τί γένοιτ' ἂν ταπεινότερον; καίτοι πολλοὶ τοὺς τοιούτους μεγαλοψύχους καλοῦσιν. ἀλλ' οὗτοι ἐκείνων πολλῷ ταπεινότεροι πάλιν. μάθωμεν τοίνυν ὅπερ ἐστὶν ὕψος ἀληθές, καὶ τὴν εὐτέλειαν ἐργάζεται. οὐδὲν γὰρ οὕτως ὑψηλόν, ὡς τὸ τούτων ὑπερορᾶν, ποιεῖ. νῦν δὲ ὁ προφήτης τὴν ἀπὸ τῶν συμφορῶν λέγει ταπείνωσιν.

4 Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος.

Διπλῆν λέγει τὴν συμφοράν, καὶ ὅτι ἐν σκοτεινοῖς, καὶ ὅτι ὡς νεκροὺς αἰῶνος, δι' ἑκατέρων αἰνιττόμενος τὴν τότε αἰχμαλωσίαν. ἐπεὶ γάρ ἐστι καὶ ἐν σκοτεινοῖς ὄντα τι πράττειν λύχνον ἅψαντα, μετ' ἐπιτάσεως βουλόμενος δεῖξαι τὴν ὑπερβολὴν τῶν κακῶν, τῷ ὀνόματι τῶν νεκρῶν ὤγκωσε τὴν τραγῳδίαν. τοιοῦτοι καὶ οἱ ἐν ἁμαρτήμασι ζῶντες. ὡς γὰρ ἐν σκότῳ νεκροί, οὕτως εἰσί. κἂν μυρίας οὗτοι περιφέρωσι λαμπηδόνας, κἂν πρὸς τὸν ἥλιον βλέπωσι, κἂν φαιδροὶ γίνωνται ἀπὸ τῶν ἐσθημάτων καὶ τῆς ἄλλης θεραπείας, τῶν νεκρωθέντων ἅπαξ καὶ ἐν σκότῳ ὄντων οὐδὲν ἄμεινον διάκεινται, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον, ὅσῳ τὸ μὲν φύσεως πρᾶγμα, τὸ δὲ προαιρέσεως κατηγορία. ἔστι σκότος καὶ τὸ μέλλον, περὶ οὗ φησιν, Ἄρατε αὐτὸν καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἔστι σκότος καὶ τὸ τῆς κακίας· Καθημένοις ἐν σκότῳ, φησί, καὶ σκιᾷ θανάτου· καὶ ὁ Παῦλος, Οὐκ ἐσμὲν υἱοὶ σκότους· καὶ πάλιν, Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Διὰ δὴ τοῦτο καὶ ὥσπερ οἱ ἐν σκότῳ οὐκ ἴσασι τῶν πραγμάτων τὴν φύσιν, καὶ οἱ ἐν ἁμαρτίαις ζῶντες πεπήρωνται, καὶ οὐ διαγινώσκουσι τὰ φαινόμενα, ἀλλὰ πρὸς τὰς σκιὰς ὡς πρὸς τὴν ἀλήθειαν τρέχουσι, πλοῦτον καὶ τρυφὰς καὶ δυναστείας διώκοντες, καὶ ἀγνοοῦσιν ἐχθρούς, καὶ ἀγνοοῦσι φίλους, τοῖς μὲν ἐχθροῖς ὡς φίλοις θαρροῦντες, τοῖς δὲ φίλοις ὡς πολεμίοις συῤῥηγνύμενοι. οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν πένητας βοῶντας, ὀδυρομένους, καὶ οὐδένα ἀκούοντα; διὰ τί δὲ οὐκ ἀκούουσιν; ὅτι ἐκάθισεν αὐτοὺς ὁ διάβολος ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος. ὅπερ γὰρ ἑτέροις τὸ σκότος καὶ ἡ νεκρότης, τοῦτο τούτοις ἡ ἀπανθρωπία. τῶν ἐν σκότῳ καθημένων ἐστὶ τὸ μὴ ὁρᾶν τὰ ἐπιόντα κακά. τοῦτο καὶ οὗτοι πάσχουσι, παρακειμένας σχεδὸν τὰς συμφορὰς οὐ βλέποντες, καὶ εἰς βάραθρα καὶ κρημνοὺς καταφερόμενοι. τῶν ἐν σκότῳ καθημένων ἐστί, τὰ αἰσχρὰ μετὰ πάσης ἀδείας τολμᾶν· τοῦτο καὶ οἱ ἐν πονηρίᾳ ζῶντες πράττουσιν, ὥσπερ ἐν σκότῳ καθήμενοι, καὶ μηδενὸς ὄντος ἀνθρώπων τοῦ βλέποντος τὰ πραττόμενα. οὕτω μετ' ἀδείας ἅπαντα τολμῶσιν, ἐν μέσαις πόλεσιν ὡς ἐν ἐρημίᾳ παρανομοῦντες. οἱ ἐν σκότῳ καθήμενοι ἐν φόβῳ εἰσὶ διηνεκεῖ· τοῦτο καὶ οὗτοι. οὐδεὶς γὰρ πλεονέκτης καὶ ἅρπαξ ἐκτὸς δέους ἐστί, κἂν μυρία κομπάζῃ καὶ φαιδρὸς ἔξωθεν φαίνηται. τοιαύτη γὰρ τοῦ συνειδότος ἡ φύσις. καὶ ἔμπροσθεν μὲν οὖν ἦσαν ἀπεστερημένοι συγγνώμης ἁπάσης οὗτοι, πολλῷ δὲ μᾶλλον νῦν, διότι τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος ἔτι ἐν σκότῳ κάθηνται. καὶ πῶς ἡλίου λάμψαντος ἔτι ἐν σκότῳ κάθηνται; παρὰ τὴν τῶν οἰκείων ὀφθαλμῶν ἀσθένειαν. πρὸς γὰρ καταδύσεις * ἢ φωλεοὺς ἢ καὶ χηραμοὺς ἑαυτοὺς κατορύξαντες τῆς πονηρίας, διαβλέψαι οὐ δύνανται πρὸς τὴν ἀκτῖνα.

Ματθ. κβ. ιγ.
Λουκ. α. οθ.
α Θεσ. ε. ε.
Ρωμ. α. κα.

* θηρίων

Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἕτερος, Καὶ περιειλεῖτο ἐπ' ἐμὲ ἡ ψυχή μου. Πολλὴν τὴν ὑπερβολὴν τῆς θλίψεως διὰ τοῦ θορύβου τῆς διανοίας ἐμφαίνει. τί δέ ἐστιν, ἐν ἐμοί; οὐδὲ εἰς ἄλλους ἐξενεγκεῖν εἶχον, φησί, καὶ λαβεῖν παραμυθίαν τινά. τοιαῦται αἱ τῶν πονηρῶν ἀνθρώπων ψυχαί. οὐκ ἔστιν ὅτε οὐ ταράττονται, οὐ μόνον παρόντων, ἀλλὰ καὶ προσδοκωμένων τῶν δεινῶν. οὐκ ἔστι παρ' αὐτοῖς οὐδέποτε γαλήνη, οὐκ ἔστιν ἄδεια τῆς ψυχῆς, ἀλλὰ παντὸς

πελάγους

πελάγεις ταράττονται μειζόνως. οὐ νὺξ, οὐχ ἡμέρα ἄδειαν δίδωσιν αὐτοῖς τοῦ χειμῶνος, ἀλλ' ἐλαύνονται πανταχόθεν, κἂν μηδεὶς ὁ ἐνοχλῶν ᾖ, τὸν πόλεμον σύνοικον ἔχοντες. καὶ τῶν ἤδη ληφθέντων οὐκ ἀπολαύουσι, ταῖς φροντίσι τῶν μηδέπω προσγινομένων τρυχόμενοι, κοπτόμενοι, τὰ πάντων μεριμνῶντες πράγματα, τὰς ἁπάντων περιουσίας περιεργαζόμενοι, ἀναλογιζόμενοι πῶς τὸν μὲν πείσουσι, τὸν δὲ φοβήσουσι, τὸν δὲ κολακεύσουσι, τὸν δὲ βιάσονται, τὸν δὲ θεραπεύσουσι· συκοφαντίας, ὠνὰς, ἀπεμπολήσεις, διαθήκας, ἐγγύας, τόκους, κεφάλαια, τὸν φορυτὸν τῶν κακῶν τούτων περὶ ἑαυτοῖς ἀνελίττοντες. καὶ ὅταν κατὰ ῥοῦν αὐτοῖς τὰ πράγματα ἔλθῃ, τότε μάλιστα θορυβοῦνται. ὅρα τὸν πλούσιον ἐκεῖνον ταραττόμενον, ὅταν εὐθηνήσεν αὐτοῦ ἡ χώρα, καὶ διαπορούμενον, καὶ ἐν ἀμηχανίᾳ καθεστῶτα
Λουκ. ιβ. ιη. καὶ λέγοντα, Τί ποιήσω; Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἀλλ' ὁ πένης οὐδὲν πάσχει τοιοῦτον.

5 Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου.

Οὐ μικρὰ αὕτη παράκλησις, τὸ τὰ πρότερα εἰδέναι καὶ τὰ παρόντα. ἐπειδὴ γὰρ, ὡς εἰπεῖν, τοῖς αὐτοῖς νόμοις ὁ Θεὸς διοικεῖ καὶ τὰ νῦν καὶ τὰ ἔμπροσθεν, μεγίστη παράκλησις
Ψαλμ. οϛ. ζ. εἰς τὰ παρόντα, τῶν παρελθόντων ἡ μνήμη. διὸ καὶ ἐν ἑτέρῳ ψαλμῷ λέγει, Μὴ εἰς
Σειρ. β. ι. τοὺς αἰῶνας ἀπώσεται Κύριος, ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; καὶ ἄλλος, Ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον καὶ ἐγκατελείφθη;
α. Κορ. ι. ια. καὶ ὁ Παῦλος, Ταῦτα δὲ πάντα τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. οὐ τὰ ἀλλότρια δὲ, ἀλλὰ καὶ τὰ οἰκεῖα
Ἑβρ. ι. λβ. πολλάκις ἀναμιμνησκόμενοι κερδαίνομεν. καὶ τοῦτο δείκνυσιν ὁ ἀπόστολος λέγων, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε
Ρω. ϛ. κα. παθημάτων. καὶ ἀπὸ τοῦ ἐναντίου, Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; χ. ἐπαι καὶ ἄλλος σοφὸς, ἀναμιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. τοῦτο γὰρ εἰ καὶ μέλλον ἐστὶν, ἀλλ' ὅμως ἀπὸ τοῦ παρελθόντος ἔχει τὴν ἀρχὴν ὁ θάνατος ὁ κοινός. τοῦτο καὶ ὁ Παῦλος ποιεῖ ἀπὸ τῶν μελλόντων καὶ παρελθόντων, καὶ ὅταν παρακα-
α Κορ. ι. α. λέσαι δέῃ, καὶ ὅταν σωφρονίσαι. Οὐ θέλω, φησὶν, ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης ἦλθον, χ. διῆλθον, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον· ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκη-
β Θεσ. α. θ. σεν ὁ Θεός. ποτὲ δὲ ἀπὸ τῶν μελλόντων· Οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον*· καὶ πά- * ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ.
α. Θεσ. β. ιϛ. α Κορ. γ. ιγ. Ἐφ. ε. ϛ. λιν, Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. καὶ πάλιν, Διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. ἀλλὰ ταῦτα μὲν ὅταν σωφρονίσαι· ὅταν δὲ παρακαλέσαι, ἀφ' ἑκατέρων παρακαλεῖ, ἀπὸ μὲν τῶν παρελθόντων, λέγων οὕτως, εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, ὁ Θεὸς τῶν οἰκτιρμῶν, καὶ πατὴρ πάσης παρακλήσεως· καὶ πάλιν, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα ὑ-
Ρωμ. η. ιη. πὸ Θεοῦ· ἀπὸ δὲ τῶν μελλόντων, Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. διὰ τοῦτο καὶ οὗτος λέγει, ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. οὐχ ἁπλῶς εἶπεν ἐμνήσθην, ἀλλ' ἐμελέτησα· τουτέστιν, ἔργον ἐποιησάμην καὶ πολλὴν τὴν μελέτην, τὰ τοῖς παλαιοῖς συμβεβηκότα αὐτὸς ἀνελίττειν παρ' ἐμαυτῷ. μεγάλη γὰρ ἀπὸ τῆς τῶν γραφῶν ἱστορίας ἐγί-
Ρωμ. ιε. δ. νεται ἡμῖν καὶ παράκλησις καὶ φιλοσοφία. διὸ καὶ ἔλεγεν ὁ Παῦλος· Διὰ τῆς ὑπομονῆς
β. Τιμ. γ. ιϛ. καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχομεν. καὶ πάλιν, Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν. καὶ οὗτος

γοῦν ἐντεῦθεν ἤδη παρεκλήθη ἐν τοσαύτῃ θλίψει ὢν καὶ ταραχῇ, τὰ παλαιὰ ἀνελίττειν παρ' ἑαυτῷ, καὶ τοῦ Θεοῦ τὰς οἰκονομίας τὰς διαφόρως γεγενημένας ἀναμιμνήσκεσθαι. ἕτερος γοῦν φησι, καὶ ἐμελέτησα πάσας τὰς πράξεις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. ἄλλος, τὰ ἔργα τῶν χειρῶν σου ἐμελέτων. δείκνυσι δὲ καὶ τοῦτο ὅτι ταῦτα ποιῶν, πολλὴν ἐκαρποῦτο τὴν παράκλησιν, καὶ οἰκειότερος πρὸς τὸν Θεὸν ἐγίνετο. διὸ καὶ ἐπήγαγε τοῦτο ἐμφαίνων,

6 Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Οὐκ εἶπεν ἐξέτεινα, ἀλλὰ διεπέτασα, πολλὴν δεικνὺς τὴν διάθεσιν τῆς καρδίας μονονουχὶ ἐξάλλεσθαι τοῦ σώματος ἐπειγομένης καὶ πρὸς αὐτὸν ἀνατρέχειν. ἔνθους οὖν γενόμενος ἀπὸ τῆς μνήμης τῶν κατορθωμάτων, καὶ τὴν φιλανθρωπίαν ἀναλογισάμενος ἅπασαν, καὶ τὴν ἀπὸ τῶν συμφορῶν παίδευσιν, καὶ τὴν ἀπὸ τῆς ἀπαλλαγῆς ἐλευθερίαν, πρὸς σὲ πάλιν κατέφυγεν. Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ἕτερος, Ὡς γῆ διψῶσα πρὸς σὲ ἀεί. τοῦτο γάρ ἐστι τὸ διάψαλμα. καὶ ἐν ταῖς συμφοραῖς καὶ ἐν ταῖς εὐημερίαις καὶ ἐν πάσῃ καιρῶν διαφορᾷ τὴν ἴσην ἐπεδεικνύμην σπουδήν, φησι. Τί δέ ἐστιν, ὡς γῆ ἄνυδρός σοι; ὥσπερ γῆ διψῶσα τοῦ ὑετοῦ ἐφίεται, οὕτω κἀγὼ τοῦ παρὰ σοὶ εἶναι διηνεκῶς. μάλιστα δὲ ταύτην αὐτῷ ἐπέτεινε τὴν ἐπιθυμίαν τῶν θλίψεων ὁ ὄγκος· διὸ καὶ ἀφῆκεν αὐτὰς ὁ Θεὸς αὐξηθῆναι, τὴν πολλὴν πρόνοιαν ἐπιδεικνύμενος. οὐ γὰρ ἐποίησε τὰ κτίσματα μόνον, ἀλλὰ καὶ γενομένων ἐπιμελεῖται, καὶ ἀνθρώπων, καὶ τῶν ἄλλων ἁπάντων. τοῦτο γοῦν καὶ ὁ Παῦλος εἰδὼς ἔλεγεν· Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. καὶ πάλιν, Ἐν αὐτῷ τὰ πάντα συνέστηκε. καὶ ὁ Δαβίδ, Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὐκαιρίαν. δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. καὶ πάλιν, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ ὁ Ἡσαΐας, Ὁ κατέχων τὸν γῦρον τῆς γῆς. καὶ περὶ ἀρετῆς, Ἐὰν μὴ Κύριος, φησιν, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες *. καὶ πάλιν, Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. διὰ τοῦτο καὶ σείει τὴν γῆν, καὶ καπνίζει τὰ ὄρη ἁπτόμενος, τὴν δεσποτείαν αὐτοῦ δηλῶν· σκοτοῖ δὲ τὸν ἥλιον καὶ ἐκλείπειν ποιεῖ, διὰ τοῦτο πάλιν τὴν δημιουργίαν αὐτοῦ ἀνακηρύττων. καὶ ἐν ταῖς γραφαῖς δὲ ὁρᾷς ἥλιον ἀναποδίζοντα, καὶ σελήνην μετ' αὐτοῦ πάλιν ἱσταμένην, καὶ πολλὰ ἕτερα θαύματα. ὅτε μὲν γὰρ αὐτοῦ ἡ γνῶσις οὔπω ἐκτέτατο, ταῦτα ἐγίνετο· νυνὶ δὲ οὐκ ἔτι χρεία ταύτης τῆς διδασκαλίας, τῶν πραγμάτων βοώντων καὶ δεικνύντων τὸν δεσπότην. Εἶδες ἐν Αἰγύπτῳ σκότος καὶ στοιχείων μεταβολάς; εἰ δὲ λέγοιέν τινες, ὅτι ἡ ἔκλειψις φυσικῶς, ἀλλ' οὐ τοῦ Θεοῦ κελεύσαντος συνέβη, εἰπάτωσαν πῶς ἐν τῷ καιρῷ τοῦ σταυροῦ γέγονεν. οὐ γὰρ δὴ τῷ ὡρισμένῳ τότε καιρῷ, ἀλλ' ὅτε μάλιστα οὐκ ἦν ἀκόλουθον κατὰ δρόμον φύσεως, τότε συνέβη, τεσσαρεσκαιδεκαταίας καὶ πλήρους οὔσης· αἱ δὲ ἐκλείψεις οὐχ οὕτω γίνονται. ἀλλ' οὐκ ἂν ἔχοιεν. ὥστε δῆλον ὅτι καθάπερ τὰ ἄλλα τῇ τοῦ δημιουργοῦ προστάξει, οὕτω καὶ αἱ ἐκλείψεις ἅπασαι γίνονται. 7 Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Πραξ. ιζ. κη.
Κολ. α. ιζ.
Ψαλ. ρμδ. ιϛ.
Ψαλ. ργ. λγ.
Ησ. μ. κβ.
Ψαλ. ρκϛ. α.
Ψαλ. ριβ. η.

ὐτόν.

Τί λέγεις; ἐπείγεις τὸν ἰατρὸν πρὸς τὴν θεραπείαν; οὐδαμῶς. ἀλλ' ἔθος καὶ τοῦτο ταῖς θλιβομέναις ψυχαῖς, ὥσπερ καὶ τοῖς κάμνουσι τῶν ἀνθρώπων, παρακαλεῖν τοὺς ἰατρούς, κἂν ὁ καιρὸς μὴ ἀπαιτῇ, καὶ ταχέως ἐπάγειν τὴν λύσιν. διὸ καὶ αὐτὸς τὴν αἰτίαν προσθεὶς, ἔλεγεν, ἐξέλιπε τὸ πνεῦμά μου. καίτοι ὁ Θεὸς καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὤν, πολλῷ μᾶλλον πρὸ τελευτῆς. ἀλλ' ὅπερ ἔφθην εἰπών, ἡ ἀσθένεια τῆς φύσεως ἐντεῦθεν ἐλέγχεται. ᾔδει μὲν γὰρ ὅτι αὐτῷ πάντα ῥάδια, ἀλλ' οὐ φέρει τὴν ἐπαγωγὴν τῶν δεινῶν.

8 Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ησ. ξε. β.

Ἕτερος, Μὴ κρύψῃς τὸ πρόσωπόν σου*. Καὶ πόθεν ἡ ἀποστροφὴ γίνεται; αὐτὸς ὁ Θεὸς διὰ τοῦ Ἡσαΐου λέγει· μὴ οὐκ ἰσχύει ἡ χείρ μου; ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. ὅταν οὖν τι πράξωμεν πονηρὸν, ἀποστρέφεται. καθαρὸς γάρ, φησιν, ὁ ὀφθαλμός σου, τοῦ μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ. διὰ τοῦτο ἀποστρέφεται καὶ τοὺς ἀπονενοημένους. διό φησιν, Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Ταύτην τοίνυν διώκωμεν τὴν ἀρετὴν, ἵνα ἐπισπασώμεθα αὐτοῦ τὸ πρόσωπον· ἵνα μὴ καταπέσωμεν εἰς τὰ βάραθρα τῆς κακίας πολλοῦ τοῦ σκότους κατέχοντος. ἔστι καὶ πεσόντας ἀνελθεῖν. δεῖ τοίνυν τοὺς καταπίπτοντας μὴ μένειν κάτω κειμένους. λάκκος δέ ἐστι χαλεπὰ θηρία ἔχων καὶ σκότους γέμων, τῆς ἁμαρτίας ἡ φύσις. οὐκοῦν χαλάσωμεν τὴν γραφὴν τὰ σχοινία, καὶ τὴν προαίρεσιν ἐπιδῶμεν, καὶ ταχέως ἀναστησόμεθα, κἂν καταπέσωμεν. πῶς δ' ἂν γένοιτο ὁδοῦ ἀρχή; ἂν καταπεσόντες μὴ καταφρονήσωμεν, μηδὲ ἀπογνῶμεν, ἀλλ' ἐπᾴδωμεν ἑαυτοῖς τὰ προφητικὰ ταῦτα· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ πάλιν, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· καὶ τούτοις τοῖς λογισμοῖς δήσαντες ἑαυτοὺς ἀνελκύσωμεν.

Ιερεμ. η. δ.
ψαλ. ϟδ. η.

9 Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Ἕτερος, Ἀκουστὸν ποίησόν μοι ἐξ ὄρθρου τὸ ἔλεός σου· τουτέστι, ταχέως. Εἶδες θλιβομένην ψυχὴν καὶ θορυβουμένην; πρὸ τῆς πείρας ἀκοῦσαι βούλεται, ὥστε ταῖς ἐλπίσιν ὀρθωθῆναι καὶ τῇ προσδοκίᾳ. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀνάστησόν με ἀπὸ τῆς ἐπαγγελίας. εἶτα καὶ τὴν δικαιολογίαν τοῦ τυχεῖν προστίθησι λέγων, ὅτι ἐπὶ σοὶ ἤλπισα. οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ἐπιζητεῖ, ὡς τὸ διηνεκῶς πρὸς αὐτὸν κεχηνέναι.

10 Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Τί λέγεις; καὶ τῆς φύσεως ἐχούσης τὸν νόμον ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ ἐντεθέντα, καὶ τῶν γραμμάτων αὐτὸν ἀνανεούντων τῶν Μωσαϊκῶν, πῶς ἀξιοῖς λέγων πάλιν, γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι; ἢ οὖν τοῦτό ἐστιν εἰπεῖν· ἐπεὶ ὑπὸ τῆς κακίας κατεχώσθη μου τὸ συνειδὸς, ἀξιῶ αὐτὸ ἀνανεωθῆναι· ἢ ὁδὸν ἐνταῦθα τὰ πολλὰ τῶν ἀγνοουμένων ἀνθρώποις λέγει· ὥσπερ καὶ Παῦλος δείκνυσι λέγων· τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν. εἰ δὲ Παῦλος ἀγνοεῖ μετὰ τοσαύτην γνῶσιν, τί θαυμάζεις εἰ σύ; ὅρα δὲ αὐτὸν οὐδὲν αἰσθητὸν ἐνταῦθα ζητοῦντα, ἀλλὰ τὴν ὁδὸν τὴν πρὸς Θεὸν φέρουσαν, καὶ οἴκοθεν παρέχοντα τὰς ἀρχάς. οὐ γὰρ ἁπλῶς εἶπε, γνώρισόν μοι, Κύριε, τὴν ὁδὸν τὴν πρὸς σὲ φέρουσαν, ἀλλὰ τί; ἐπειδὴ πρὸς σὲ ἦρα τὴν ψυχήν μου· τουτέστι, πρὸς σὲ κέχηνα, πρὸς σὲ βλέπω. τούτοις γὰρ μάλιστα ὁ Θεὸς γνωρίζει. διὸ περὶ Ἰουδαίων ἔλεγεν, ἐρωτώμενος διὰ τί ἐν παραβολαῖς λαλεῖ αὐτοῖς· ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι. τὸ δὲ ἦρα, μετέστησα ἢ μετέθηκα πρὸς σὲ τὴν ψυχήν μου ἐστίν.

11 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον.

Ὅρα πανταχοῦ τὰς αἰτίας καὶ παρὰ τοῦ δεομένου προσφερομένας. μὴ ἀποστρέψῃς, φησὶ, τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ὅτι ἤλπισα ἐπὶ σέ. γνώρισόν μοι ὁδὸν, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὅτι πρὸς σὲ κατέφυγον.

Δίδαξ

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Οὐκ εἶπε, δίδαξόν με τὸ θέλημά σου ἁπλῶς, ἀλλὰ τοῦ ποιεῖν τὸ θέλημά σου· τουτέστιν, εἰς τὰ ἔργα αὐτὰ ἐμβίβασον. τῆς γὰρ ἄνωθεν ῥοπῆς χρεία καὶ τῆς ἐκεῖθεν διδασκαλίας, ὥστε βαδίζειν τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν, οὐχ ἡμῶν ἀργούντων, ἀλλὰ καὶ ἡμῶν τὰ παρ' ἑαυτῶν εἰσφερόντων. ὅτι σὺ εἶ ὁ Θεός μου. ὁρᾷς τὰς αἰτήσεις αὐτοῦ πνευματικάς; οὐ γὰρ περὶ χρημάτων καὶ δυναστείας καὶ δόξης, ἀλλ' ὑπὲρ τοῦ τὸ θέλημα ποιεῖν τοῦ Θεοῦ προσάγει τὴν αἴτησιν, ὅπερ ἐστὶ θησαυρὸς τῶν ἀγαθῶν ἁπάντων, καὶ πλοῦτος ἀνελλιπής, καὶ εὐημερίας ἀρχή, καὶ ῥίζα, καὶ μέση, καὶ τέλος.

μῶν,

12 Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ὁρᾷς πῶς μανθάνομεν, πῶς διδασκόμεθα ἀνύειν τὴν ὁδόν; διὰ τοῦ πνεύματος τοῦ ἁγίου. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. ἐν γῇ εὐθείᾳ, κατὰ μὲν τὴν ῥῆσιν, τὴν πατρίδα αὐτοῦ φησι· κατὰ δὲ ἀναγωγήν, τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. ἄλλος δέ φησι, διὰ γῆς ὁμαλῆς. οὐδὲν γὰρ λειότερον ἀρετῆς, θορύβων ἀπηλλαγμένης καὶ ταραχῆς.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ὁρᾷς πάλιν ἐπὶ τὸν Κύριον καταφεύγοντα, οὐ παρρησίᾳ βίου θαῤῥοῦντα. 13 Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Ἄλλος, Ἐν τῇ ἐλεημοσύνῃ σου. Ὁρᾷς πῶς ἀληθὲς ὅπερ ἔμπροσθεν ἔλεγον, ὅτι πολλαχοῦ τὴν δικαιοσύνην φιλανθρωπίαν καλεῖ; ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. εὔχεσθε γάρ, φησι, μὴ εἰσελθεῖν εἰς πειρασμόν.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Οὐκ ἐπειδή, φησιν, ἐγὼ ἄξιος, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν ἀπάλλαξόν με τῶν πολεμούντων με, ἐλευθέρωσον τῶν ἐπιβουλευόντων, δὸς ἀναπνεῦσαι μικρὸν ἀπὸ τῆς θλίψεως. 14 Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Ὅρα πάλιν τὴν αἰτίαν κειμένην. οὐ γάρ ἐστιν ἁπλῶς ἐπιτυγχάνειν τῶν αἰτήσεων, ἀλλὰ πανταχοῦ παρασκευάζειν ἑαυτοὺς ἀξίους χρὴ τοῦ λαμβάνειν ἅπερ αἰτούμεθα, καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, καὶ οὕτω προσιέναι. οὐ γὰρ ἀρκεῖ μόνον τῆς εὐχῆς ἡ φύσις. ἐπεὶ καὶ Ἰουδαῖοι ηὔχοντο, καὶ ἤκουον· Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. καὶ τί θαυμάζεις εἰ Ἰουδαῖοι οὐκ ἠκούοντο; ὅπου γε καὶ Ἱερεμίας ὑπὲρ αὐτῶν παρακαλῶν ἐπετιμᾶτο, καὶ ἅπαξ καὶ δὶς ἀκούει· μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. καὶ τί θαυμάζεις εἰ Ἱερεμίας οὐκ εἰσακούσεται; κἂν Νῶε, φησι, καὶ Ἰώβ, κἂν Δανιὴλ στῶσιν, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται. Ταῦτα τοίνυν εἰδότες, μὴ μόνον εὐχώμεθα, ἀλλὰ μετὰ τῶν εὐχῶν, ἀξίους ἑαυτοὺς παρασκευάζωμεν τοῦ λαβεῖν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. α. ιε.

λ. ἀπακουσθή-σομαι

Ψαλμ. ρμγ. 1 ΕΥΛΟΓΗΤΟΣ ΚΥΡΙΟΣ Ο ΘΕΟΣ ΜΟΥ, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

ΤΙ λέγεις; πολέμων διδάσκαλος ὁ Θεὸς καὶ μάχης καὶ παρατάξεως; μάλιστα μὲν οὐκ ἄν τις ἁμάρτοι καὶ τὴν ἐν τούτοις νίκην αὐτῷ λογιζόμενος. τοῦτο γάρ ἐστιν, ὁ διδάσκων τὰς χεῖράς μου· τουτέστιν, ὁ ποιῶν περιγίνεσθαι τῶν πολεμίων, κρατεῖν, τρόπαιον ἐγείρειν. καὶ γὰρ ἡνίκα τὸν Γολιὰθ κατέβαλεν, ἐκεῖνος ἦν ὁ τῆς νίκης αἴτιος· καὶ ἡνίκα πολλοὺς πολέμους κατώρθωσε, καὶ τρόπαια ἔστησε, καὶ αὐτάνδρους εἷλε πολεμίας τινὰς πόλεις, οὗτος αὐτὸν κρατῆσαι ἐποίησε. διὸ καὶ ᾄδων ἔλεγε, Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ. καὶ ἐπὶ τοῦ Μωϋσέως δὲ πολλὰ τοιαῦτα εἰργάσατο. πλὴν ἀλλ' ἔστι καὶ ἕτερος πόλεμος τούτου χαλεπώτερος, ἔνθα ἡμῖν μάλιστα τῆς ἄνωθεν ῥοπῆς δεῖ· ὅταν πρὸς τὰς ἀντικειμένας παραταττώμεθα δυνάμεις. ὅτι δὲ πρὸς ταύτας ἡμῖν ἐστὶ πόλεμος, ἄκουε Παύλου λέγοντος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. διὰ τοῦτο καὶ χαλεπώτερος, ὅτι ἐξ ἑτέρας φύσεως αἱ φάλαγγες, καὶ ταύτης ἀοράτου· καὶ ὅτι οὐ περὶ μικρῶν ὁ ἀγὼν, ἀλλὰ περὶ σωτηρίας καὶ ἀπωλείας. ἐνταῦθα οὐκ ἔστι τοὺς σφαττομένους ἰδεῖν, οὐ τὸν καιρὸν προμαθεῖν, οὐ τόπον, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ παιζόντων καὶ ῥαθυμούντων ἐπιτίθενται αὗται αἱ φάλαγγες. ὥστε διὰ παντὸς δεῖ πεφραγμένους εἶναι. οὐ γὰρ οἶδεν ἀνακωχὴν ὁ πόλεμος, οὐκ ἔχει κήρυκας, οὐδὲ πρέσβεις, οὐδ' ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ἀκήρυκτός ἐστιν ἡ μάχη. διὸ μάλιστα πάντοθεν φράττεσθαι καὶ τρέφεσθαι εὐτόνως χρή. τροφὴ δὲ τοῦ πολέμου τούτου καὶ ὅπλα τῶν τοιούτων στρατιωτῶν, τῶν θείων γραφῶν ἡ ἀκρόασις. ταύτης ὁ μὴ ἀπολαύων, λιμῷ τήκεται. Δώσω γὰρ αὐτοῖς, φησιν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. καὶ ἐνταῦθα τοίνυν, ὥσπερ καὶ ἐν τοῖς αἰσθητοῖς πολέμοις, τῆς ἄνωθεν χρεία ῥοπῆς. Οὐ σώζεται γάρ, φησι, βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. οὕτω γοῦν οἱ πολλοὶ τοὺς πολεμίους ἐτροποῦντο πρότερον, εὐχῶν προηγουμένων καὶ τὰς πολεμίας φάλαγγας καταβαλλουσῶν.

Ψαλ. κγ. η.

Ἐφ. ϛ. ιβ.

Ἀμὼς. η. ια.

Ψαλ. λβ. ιϛ.

2 Ελεός μου καὶ καταφυγή μου· ἀντιλήπτωρ μου καὶ ῥύστης μου.

Ορᾷς πάλιν ἀπὸ φιλανθρωπίας ἀξιοῦντα σώζεσθαι; μᾶλλον δὲ καὶ ἕτερόν τι ἐνταῦθα αἰνίττεται*. δείκνυσι γὰρ διὰ τούτου καὶ λέγει, ὅτι οὐδὲ αὐτοῦ τοῦ ἐλέους ἄξιος ἦν, εἰ μὴ αὐτὸς ἐπένευσεν. αὐτὸς οὖν ἐστιν ὁ ἔλεός μου, φησίν. οὐκ ἐγὼ ἔχον αὐτὸν ἐν τοῖς ἔργοις. εἰ γὰρ καὶ ἔλεός ἐστιν, ἀλλ' οὐκ ἄκριτος ἅπασιν ἔπεισιν. ἐλεήσω γάρ, φησιν, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. δεῖ τοίνυν, εἰ καὶ ἐλεεῖσθαι μέλλομεν, παρέχεσθαι τὰς ἀφορμὰς οἴκοθεν τῆς τοιαύτης φιλανθρωπίας. οὗτος δὲ καὶ αὐτὸ τὸ ἐλεηθῆναι παρ' αὐτοῦ ἔχειν λέγει. εἶδες συντετριμμένην ψυχήν; εἶδες γνώμην εὐγνώμονα, καὶ πῶς τὸ πᾶν ἀνατίθησι τῷ φιλανθρώπῳ Θεῷ; ἀντιλήπτωρ μου καὶ ῥύστης μου·

3 Ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα.

Συνεχῶς περιστρέφει τὴν ἐλπίδα τὴν εἰς αὐτὸν, παιδεύων ἅπαντας μὴ βαπτίζεσθαι τοῖς δεινοῖς, ἀλλὰ καὶ ἐν μέσαις ταῖς συμφοραῖς ἐκεῖ κεχηνέναι, μηδὲ ἀπαγορεύειν καὶ ἀναπεπτωκέναι. αὐτὸς γάρ ἐστιν ἀντιλήπτωρ καὶ ῥύστης· ὥστε κἂν μὴ παρ' αὐτὰ τῶν δεινῶν τὰ προοίμια ἀντιλάβηται μηδὲ ῥύσηται, δεῖ θαρρεῖν. εἰ τοίνυν αὐτός ἐστιν ἀντιλήπτωρ, πάντως ἀπαλλάξει τῶν δεινῶν. ἐλπὶς γὰρ μάλιστα τότε ἐστὶν, ὅταν τῶν ὁρωμένων εἰς ἀπόγνωσιν ἐμβαλλόντων αὐτὴ θαῤῥεῖν ὑπὲρ τοῦ μέλλοντος παρασκευάζῃ.

Ὁ ὑποτάσσων τὸν λαόν αὐτοῦ ὑπ᾽ ἐμέ. Καλῶς οὕτως εἶπε. καὶ γὰρ καὶ ἐνταῦθα τῆς ἄνωθεν χρεία βοηθείας, ὥστε εἴκειν τοὺς ὑπηκόους, καὶ μὴ στασιάζειν μηδὲ κατεξανίστασθαι. οὐκ ἄρα ἐν τῇ τῶν ἐχθρῶν καὶ πολεμίων ὑποταγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων πολλῆς ἡμῖν τῆς ἄνωθεν δεῖ ῥοπῆς. καὶ γὰρ καὶ τοῦτο μέγα, τὸ τοὺς οἰκείους εὔνους διαμεῖναι, καὶ οὐκ ἔλαττον τοῦ τῶν ἐχθρῶν περιγενέσθαι. πολλοὶ γοῦν πολλάκις ἐν πολέμοις μὲν τρόπαια ἔστησαν, ἐν εἰρήνῃ δὲ κατεκόπησαν, τῶν ἀρχομένων οὐκ εἰδότες φέρειν τὰς ἡνίας. οὐκ ἄρα ἐν τῇ δυνάμει τῆς βασιλείας ἐστὶ τὸ ὑποτετάχθαι τὰ στρατόπεδα, ἀλλ᾽ ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ. ὥσπερ δὲ ἀπὸ ταύτης αἱ τῶν πολεμίων νῖκαι, οὕτω καὶ αἱ τῶν οἰκείων ὑποταγαί. 4 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; Ἕτερος, Τί ἄνθρωπος, καὶ γνώσῃ αὐτόν; Ἕτερος, Ὅτι γνωρίζεις αὐτόν; Ἄρα μέγαν τινὰ εἶναι χρὴ τὸν μέλλοντα τὸν Θεὸν γνωρίζειν, μᾶλλον δὲ τὸν μέλλοντα γνωρίζεσθαι παρ᾽ αὐτοῦ· οὐ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ ἐκεῖνον, ᾧ μέλλει γνωρίζειν ἑαυτὸν ὁ Θεός. διὸ καὶ ἄριστα εἰρήκασιν οἱ ἑβδομήκοντα τὸ, ἐγνώσθης αὐτῷ, δεικνύντες ὅτι οὐχ ἡμεῖς αὐτὸν εὕρομεν, ἀλλ᾽ αὐτὸς ἡμῖν εὑρέθη. οὐ γὰρ εἶπε, τί ἐστιν ἄνθρωπος ὁ γνωρίσας σε, ἀλλὰ τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; διὸ καὶ ὁ Παῦλος ἄνω καὶ κάτω συνεχῶς τοῦτο περιστρέφει λέγων, Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. καὶ αὐτὸς δὲ ὁ Χριστός, Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς. καὶ ἑτέρωθι δὲ πάλιν ὁ Παῦλος, Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ. διά τοι δὴ τοῦτο καὶ συνεχῶς ἑαυτὸν ἄνω καὶ κάτω κλητὸν λέγει, δεικνὺς ὅτι οὐκ αὐτὸς ἐπέδραμεν, ἀλλὰ πρότερον ἐκλήθη. οὕτω καὶ ἀλλαχοῦ φησι· Διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήφθην. οὐκ εἶπε, κατέλαβον, ἀλλὰ κατελήφθην. πῶς δὲ λέγει οὗτος, τί ἐστιν ἄνθρωπος; καίτοι ἄλλος φησί, μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων· καὶ ἄλλος, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. καὶ γὰρ τῆς κτίσεως ἁπάσης τὴν ἐπιστασίαν ἔλαχε. εἰσὶ δέ τινες ὧν οὐδὲ ὁ κόσμος ἀντάξιος. ἀλλ᾽ ἐκεῖνα μὲν περὶ ἀρετῆς, καὶ ὅταν τινὲς αὐτὴν ἐπιδείξωνται· τὸ δὲ τί ἐστιν ἄνθρωπος, περὶ τῆς φύσεως εἴρηται. καὶ μὲν καὶ ἡ φύσις μεγάλη. μεγάλη μὲν, ἀλλ᾽ ἐὰν τὴν γνῶσιν ἴδῃς, ἧς κατηξιώθη, πολὺ καταδεεστέρα ταύτης. ἀκουέτωσαν αἱρετικῶν παῖδες, ὅτι τοσαύτην μανίαν μαίνονται τὰ μέτρα ὑπερβαίνοντες ἑαυτῶν, καὶ ἄγνοιαν ἐσχάτην νοσοῦσι τὰ ὑπὲρ αὐτοὺς εἰδέναι φάσκοντες. ἔστι γὰρ ἐν ἀγνοίᾳ γνῶσιν, καὶ ἐν γνώσει ἄγνοιαν εἶναι. καὶ εἰ βούλεσθε, ἐπὶ τῶν αἰσθητῶν αὐτὸ γυμνάσωμεν. εἰπὲ γάρ μοι, ἄν τις λέγῃ τὴν θάλατταν δύνασθαι ἐκμετρεῖν καὶ εἰδέναι πόσους ἔχει κυάθους, ἆρα οὐχ οὗτος μάλιστά ἐστιν ὁ ἀγνοῶν τί ποτέ ἐστι θάλαττα; ὁ δὲ λέγων μὴ εἰδέναι, ἀλλ᾽ ἄπειρον αὐτῆς τὸν ἀριθμὸν διατεινόμενος, οὗτος μάλιστά ἐστιν ὁ εἰδὼς τί ποτέ ἐστι θάλαττα. τί δὲ ἐπὶ τοῦ Θεοῦ; ἂν εἴπῃ τις, εἶδον τὸν Θεὸν καὶ κατέλαβον τῇ ὄψει τῇ ἐμῇ, ἆρ᾽ οὐχ οὗτος μάλιστά ἐστιν ὁ ἀγνοῶν τὸν Θεόν, ὁ τὸν ἀόρατον ὁρατὸν εἶναι λέγων, καὶ ἐν προσθήκῃ γνώσεως καὶ τὴν δύναμιν ἀφαιρούμενος; ἂν δέ τις ἀόρατον αὐτὸν εἴπῃ καὶ μηδένα δύνασθαι ὁρᾶν, οὐχ οὗτος μάλιστά ἐστιν ὁ εἰδώς; τί δὲ πάλιν; ἄν τις ἀκατάληπτον αὐτὸν εἴπῃ, ἕτερος δὲ καταληπτόν, ἆρ᾽ οὐχ οὗτος μὲν ἔσται ἀγνοῶν, ἐκεῖνος δὲ εἰδώς; οὐχ ὁρᾷς καὶ Παῦλον ταύτην ἐρχόμενον τὴν ὁδὸν καὶ λέγοντα, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν; λόγισαι πόσα γέγονεν, ἵνα μάθωμεν τὸν Θεόν, οὐ τίς ἐστι τὴν οὐσίαν, ἀλλ᾽ ὅτι ἐστί. τοῦτο γοῦν καὶ ὁ Παῦλος λέγει· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστιν. ἡ κτίσις ἅπασα αὐτὸν κηρύττει (ἐκ γὰρ μεγέθους, φησί, καὶ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται) τοῦ ἀνθρώπου αὐ-

α. Κορ. ιγ ιβ.
Ιω. ιε. ιϛ.
α. Κορ. η γ.
φιλιπ. γ ιβ.

τὶ ἡ κατασκευή, αἱ τιμαὶ αἱ παρ' αὐτοῦ δεδομέναι, αἱ κολάσεις, αἱ εὐεργεσίαι, αἱ οἰκονομίαι, τὰ διὰ τῶν προφητῶν προαναπεφωνημένα, τὰ θαύματα τὰ διάφορα. μετὰ ταῦτα ἦλθεν αὐτὸς ὁ μονογενής, καὶ τὴν οἰκονομίαν τὴν θαυμαστὴν ἐκείνην καὶ φρικτὴν ἐπλήρωσε· καὶ ὅμως εἰσί τινες ἔτι μηδέπω τὸ σαφὲς μαθόντες, καὶ σὺ λέγεις ἐξ οἰκείων λογισμῶν δύνασθαι καταλαμβάνειν τὸ τί ποτε τὴν οὐσίαν ἐστίν; οὐκοῦν ἀγνοεῖς τὸν Θεόν, φησιν. ἄπαγε· ἀλλ' οἶδα μὲν ὅτι ἐστί, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι προνοεῖ, καὶ τἄλλα ἅπαντα ὅσα εἶπον αἱ γραφαί· τὸ δὲ τί τὴν οὐσίαν, οὐκ οἶδα. ἐνόμισε καὶ ὁ Ἀδὰμ πλέον εὑρίσκειν τῷ διαβόλῳ πεισθείς, καὶ διὰ τῆς πλεονεξίας ταύτης, καὶ ὃ εἶχεν, ἀπώλεσεν· ὅπερ καὶ οὗτοι πάσχουσιν ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν ἐπαιρόμενοι, καὶ οὐκ ἀκούοντες, ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. οὐκ ἀκούουσι Παύλου λέγοντος· Διὰ τοῦ πνεύματος ἀπεκάλυψεν ἡμῖν· καὶ τοὺς λογισμοὺς ἐκβάλλοντος, Λογισμούς, φησι, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καὶ ἄλλος σοφός, Λογισμοὶ ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἐννόησον τὸ ἄπειρον ἐκείνου μέγεθος· μᾶλλον δὲ οὐδὲ τοῦτο λέγων ἀξίαν Θεοῦ λέγω. ἀλλ' οὐκ οἶδα πῶς λαλήσω. οὐδὲ γὰρ μέγεθος ἐπὶ Θεοῦ λέγοντες, κυρίως λέγομεν, ἀλλ' ἐπειδὴ οὐκ ἔστιν ἑτέρως φθέγγεσθαι, τοῖς ἐγχωροῦσι κεχρημένοι ῥήμασιν· ἐπεὶ καὶ ὕψιστον καλῶν, οὐ τόπῳ αὐτὸν περιορίζω, ἀλλὰ τὸ ὑψηλὸν καὶ μεγαλεῖον αὐτοῦ τῆς φύσεως δηλῶ καὶ διεστηκὸς καὶ πάντων ἀνακεχωρηκός. διὰ δὴ τοῦτο ἔλεγε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; διὰ γὰρ τοῦτο καὶ ταπεινὸν ἐποίησε καὶ μεγάλα ἐχαρίσατο, ἵνα μὴ ἐπαρθῇ ἔχων μεγίστην ἀνάγκην τοῦ μετριάζειν, τὴν ἀπὸ τῆς φύσεως εὐτέλειαν. ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; εἶδες πόσον τὸ μεγαλεῖον τῆς φύσεως τοῦ Θεοῦ; 5 Ἄνθρωπος ματαιότητι ὡμοιώθη. Ἕτερος δὲ ἑρμηνευτὴς τὸ ματαιότητι, ἀτμῷ εἶπεν. Οὐκ ἄλλο δὲ τὸ ματαιότητι δηλοῖ, ἢ ὅτι ἐπίκηρος, πρόσκαιρος, βραχύς· ἐνταῦθα τὸν περὶ τοῦ σώματος γυμνάζει λόγον. διὸ καὶ Ἀβραὰμ ἔλεγεν, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ὁ δὲ Ἡσαΐας Πᾶσα σάρξ, χόρτος· καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. τί δέ ἐστι, ματαιότητι ὡμοιώθη; τῷ μηδενί, φησιν· ἐπειδὴ τῶν ἀνθρωπίνων οὐδὲν στάσιμον οὐδὲ βέβαιον, ἀλλὰ πάντα παράγει καὶ παρέρχεται. Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι·

Τουτέστιν, οὐδὲ ἡνίκα πάρεισιν, ἰσχύν τινα ἔχουσιν, ἀλλὰ ταχέως ἀφίπτανται. καὶ σκόπει τοῦτο ἐπὶ τῶν πραγμάτων αὐτῶν, τὸν ἐν ἀξιώμασι λογιζόμενος, τὸν ἐπὶ τῶν ὀχημάτων, τοὺς ἐν ταῖς δυναστείαις, τοὺς εἰς τὸ δεσμωτήριον ἐμβάλλοντας καὶ μαστίζοντας. τί γὰρ σκιᾶς διαφέρουσιν οὗτοι οὐκ ἐν τῷ καιρῷ τῆς τελευτῆς, ἀλλὰ καὶ πρὸ τῆς τελευτῆς; ὅταν γὰρ τῆς ἀρχῆς παραλυθῶσι, πάντα ἐκεῖνα οἴχεται καὶ ἐκποδὼν γίνεται· τὰ δὲ ἀληθῆ πράγματα, μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. τότε καὶ εὐθῦναι καὶ κολάσεις ἀληθεῖς, καὶ τὰ ἀγαθὰ ὁμοίως, καὶ ὁ δικαστὴς ἀνεξαπάτητος· τὰ δὲ ἐνταῦθα παισὶν ἔοικε παιζουσιν. ὁ σήμερον γὰρ δικάζων, ἕστηκεν αὔριον δικαζόμενος· καὶ πυκναὶ αἱ μεταβολαί, καὶ ἀνώμαλοι αἱ μεταβάσεις. 6 Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. Ἕτερος, Κλίναντός σου οὐρανοὺς καὶ καταβάντος, καὶ ἁψαμένου τῶν ὀρέων, ἐκαπνίσθησαν. Καὶ ποία αὕτη ῥημάτων ἀκολουθία; πολλὴ μὲν οὖν καὶ σφόδρα ἐχομένη τῶν προτέρων. ἐπειδὴ γὰρ περὶ τῆς εὐτελείας τῆς ἀνθρωπίνης διελέχθη, καὶ τὸ οὐδαμινὸν τῆς φύσεως παρέστησε, καὶ ἐνταῦθα πάλιν καταστέλλει τῶν φλεγμαινόντων τὴν ἀπόνοιαν, μονονουχὶ τοῦτο δι' ὧν ἐπήγαγε λέγων· ἔδει μὲν αὐτοὺς οἴκοθεν συνιδεῖν τῆς φύσεως τὸ εὐτελές, καὶ μὴ μέγα φρονεῖν· ἐπειδὴ δὲ οὐ βούλονται,

Παροιμ. β. ϛ.
α. Κορ. β. ι.
β. Κορ. ι. ε.
Σοφ. θ. ιδ.
Ησ. μ. ζ.

λον ἐστὶ, δεῖξον ἀπὸ τῶν σῶν ἔργων πόσῳ ταπεινότητός εἰσιν ἀπῳκισμένοι. Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι. τοῦτο λέγει, οὐκ ἐπειδὴ Θεὸς καταβαίνει· πῶς γὰρ ὁ πανταχοῦ παρών; ἀλλ' ἵνα διὰ τῶν ἀνθρωπίνων τούτων λέξεων τοὺς παχυτέρους ἐκπλήξῃ τῶν ἀκροατῶν, ἀνθρωπινώτερον περὶ αὐτοῦ διαλέγεται. ἐπεὶ καὶ τὸ τῆς ἁφῆς, εἰ καὶ δοκεῖ μέγα εἶναι, ἀλλὰ πολὺ τῆς τοῦ Θεοῦ ἀξίας καταδεέστερον. οὐδὲ γὰρ ἁφῆς ὁ Θεὸς χρείαν ἔχει, ἵνα καπνίσῃ τὰ ὄρη, μᾶλλον δὲ οὐδὲ νεύματος, ἀλλὰ βουλῆς καὶ θελήσεως. εἰπὼν τοίνυν περὶ τῆς εὐτελείας τοῦ ἀνθρώπου, λέγει καὶ περὶ τῆς δυνάμεως τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν εἰπεῖν· ἐπεὶ καὶ ταῦτα πολὺ ἀποδέοντα τῆς μεγαλωσύνης ἐκείνης.

7 Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς.

Ἀστραπὴν ἐνταῦθα καὶ βέλη, οὐ τὴν ἀστραπὴν ταύτην φησὶν, οὐδὲ ταῦτα τὰ βέλη, ἀλλὰ τὰς τιμωρίας οὕτω καλεῖ, ἀπὸ τῶν ἤδη γνωρίμων τὸν καταφρονητὴν πείθων καὶ τὸν ἀναπεπτωκότα τρέμειν καὶ δεδοικέναι καὶ ὑποκύπτειν. εἰ γὰρ ἀστραπήν τις οὐκ ἂν ἐνέγκοι, καίτοι οὐκ ἐπὶ κολάσει πεμπομένην, εἰ βουληθείη κινῆσαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν, τίς ὑποστήσεται; βέλη δὲ Θεοῦ, λιμοὶ καὶ λοιμοὶ, καὶ σκηπτοὶ, καὶ αἱ πολυειδεῖς τιμωρίαι. 8 Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Οὐ γὰρ πρὸς τὸ κολάζειν μόνον, ἀλλὰ καὶ πρὸς τὸ σώζειν ἀπηρτισμένη ἡ δύναμις τοῦ Θεοῦ. χεῖρα δὲ ἐνταῦθα, τὴν βοήθειαν, τὴν συμμαχίαν λέγει· διὸ οὐδὲ ἔκτεινον εἶπεν, ἀλλ' ἐξαπόστειλον, τοῦτο δηλῶν. εἰ δέ που καὶ ἔκτεινον λέγει, τὸ αὐτὸ πάλιν αἰνίττεται. καὶ ὕδατα δὲ, τὴν ἄπλετον τῶν πολεμίων ἔφοδον καλεῖ, καὶ συγκεχυμένην καὶ πολλῇ τῇ ῥύμῃ φερομένην. ὅτι γὰρ οὐ περὶ ὑδάτων ὁ λόγος, δῆλον διὰ τῆς ἐπαγωγῆς. ἐκ χειρὸς γάρ, φησιν, υἱῶν ἀλλοτρίων. υἱοὺς δὲ ἀλλοτρίους ἐνταῦθά μοι δοκεῖ λέγειν, τοὺς τῆς ἀληθείας ἀπεξενωμένους. ὥσπερ γὰρ τοὺς πιστοὺς, οἰκείους ἡγούμεθα καὶ ἀδελφοὺς, οὕτω τοὺς ἀπίστους, ἀλλοτρίους· καὶ τούτῳ μάλιστα τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον ἐπιγινώσκομεν. οἰκεῖος γάρ ἐστιν, ὁ τὸν αὐτόν μοι πατέρα ἐπιγραφόμενος, καὶ τῆς αὐτῆς κοινωνῶν τραπέζης, μᾶλλον ἢ ὁ γένει προσήκων. καὶ γὰρ ἀκριβέστερος ἐστὶ τῆς συγγενείας ὁ νόμος· ὥσπερ οὖν καὶ ἀλλοτριότης ἡ ἀπὸ τῶν ἐναντίων, τρανοτέρα τῆς κατὰ γένος. μὴ τοίνυν τοῦτο ἴδῃς, ὅτι ὑπὸ τὸν αὐτόν ἐσμεν οὐρανὸν, καὶ τὴν αὐτὴν οἰκοῦμεν· ἄλλην γὰρ ἐγὼ κοινωνίαν ἐπιζητῶ, τὴν ὑπὲρ τὸν οὐρανόν. ἐκεῖ ἡμῶν τὸ πολίτευμα καὶ ἡ ζωή. Ἡ ζωὴ γὰρ ἡμῶν, φησὶ, κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Κολ. γ. γ. οὐδὲ γὰρ γῆν οἰκοῦμεν, ἀλλὰ μετέστημεν πρὸς τὴν ἄνω μητρόπολιν· ἕτερον φῶς ἀληθινὸν ἔχομεν, ἑτέραν πατρίδα καὶ πολίτας ἄλλους καὶ συγγενεῖς. Ἐφ. β. ιθ. διὸ καὶ Παῦλος ἔλεγεν· Ἄρα οὐκ ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων. πῶς οὖν, φησὶ, τὸν Σαμαρείτην πλησίον ἔφησεν εἶναι ὁ Χριστὸς, καίτοι πολὺ τὸ μέσον ὄν; ἀλλ' οὐ κατὰ τὸν τῆς φύσεως λόγον. ὅταν οὖν εὖ ποιεῖν δέῃ, πᾶς ἄνθρωπός σοι ἐγγὺς ἔστω· ὅταν δὲ ὁ τῆς ἀληθείας γυμνάζηται λόγος, ἐπιγίνωσκε τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον. κἂν ἀδελφὸν ἔχῃς ὁμοπάτριον καὶ ὁμομήτριον, καὶ μὴ κοινωνῇ σοι κατὰ τὸν τῆς ἀληθείας νόμον, ἔστω σοι τοῦ Σκύθου βαρβαρικώτερος. κἂν Σκύθης, κἂν Σαυρομάτης ᾖ, τῶν δογμάτων δὲ εἰδῇ τὴν ἀκρίβειαν, καὶ πιστεύῃ τοῦτο ὃ καὶ αὐτὸς σὺ, αὐτοῦ τοῦ τὰς αὐτὰς ὠδῖνάς σοι λύσαντος οἰκειότερος ἔστω καὶ ἐγγύτερος· καὶ τὸν βάρβαρον, καὶ τὸν οὐ τοιοῦτον ἐντεῦθεν διακρίνωμεν, μὴ ἀπὸ τῆς γλώττης, μηδὲ ἀπὸ τοῦ γένους, ἀλλ' ἀπὸ τῆς γνώμης καὶ τῆς ψυχῆς. τοῦτο γάρ μάλιστα ἄνθρωπος, ὅταν δογμάτων ἀκρίβειαν ἔχῃ καὶ πολιτείαν φιλόσοφον. ἀλλ' ἴδωμεν λοιπὸν τοὺς ἀλλοτρίως, πῶς αὐτοὺς ὑπέγραψε [καὶ] ὁ προφήτης. Εἰπὼν γάρ, ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ἐπήγαγεν· 9 Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Εἶδες τίνας φησὶν ἀλλοτρίους; τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς ἀδικίας ἐρῶντας, τοὺς τὰ ἀνόητα φθεγγομένους, τοὺς οὐδὲν χρήσιμον λέγοντας. ἐπιγίνωσκε τοίνυν τοὺς ἀλλοτρίους, ἀπὸ τοῦ στόματος, ἀπὸ τῶν ἔργων· ὥσπερ καὶ ὁ Χριστός φησιν, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. καθάπερ γὰρ ἐν τοῖς στρατοπέδοις πολλά τινα δίδονται συνθήματα καὶ σημεῖα, ἵν', εἴποτε ἡ νυκτομαχία γένοιτο, ἢ κόνις ἀρθεῖσα τὰ τῆς νυκτὸς ἐπιδείξαιτο, ἢ καὶ ἑτέρα τις γένοιτο σύγχυσις καὶ ταραχή, μὴ τὸν οἰκεῖον ὡς πολέμιόν τις ἴδῃ, μηδὲ τὸν ἐναντίον ὡς οἰκεῖον· οὕτω καὶ ἐνταῦθα δίδωσί σοι συνθήματα ὁ προφήτης, δι' ὧν δυνήσῃ τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον γνωρίζειν, οἷον ἀφ' ὧν φθέγγεται, ἀφ' ὧν ποιεῖ, λέγων· ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. καὶ γὰρ καὶ νῦν πόλεμός ἐστι καὶ μάχη καὶ νυκτομαχία χαλεπωτάτη, δαιμόνων βαλλόντων, ἐπιθυμιῶν ἐπιβουλευουσῶν, λογισμῶν ἐπανισταμένων. ἔστι καὶ ἐν τοῖς μεμυημένοις συνθήματα καὶ σύμβολα. κἂν βουληθῶμέν τινα, ἀμφιβάλλοντες εἴτε ἀμύητός ἐστιν εἴτε μεμυημένος, ἐπιγνῶναι, ταῦτα ἐρωτῶντες μανθάνομεν. ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. τί τοίνυν τούτου χαλεπώτερον γένοιτ' ἄν, ὅταν τὴν εἰς βοήθειαν δεδομένην εἰς ἐπιβουλὴν τρέπωμεν; διὰ γὰρ τοῦτο ἔχομεν δεξιάς, ἵνα καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀδικουμένοις ἀμύνωμεν, ἵνα ἀναιρῶμεν παρανομίας, ἵνα λιμὴν γενώμεθα καὶ καταφυγὴ τοῖς ἐπηρεαζομένοις. τίνα οὖν ἂν ἔχοιεν συγγνώμην οἱ μὴ πρὸς σωτηρίαν ἑτέρων χρώμενοι τῷ ὅπλῳ τούτῳ, ἀλλὰ πρὸς ἀπώλειαν τὴν ἑαυτῶν;

10 Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι. Ποία αὕτη πάλιν ἀκολουθία; πολλὴ μὲν οὖν καὶ ἐνταῦθα. ἐπειδὴ γὰρ εἶπεν, ἐξαπόστειλον τὴν χεῖρά σου καὶ ἐξελοῦ με καὶ σκόρπισον ἐκείνους, ἐπαγγέλλεται καὶ ἀμείψασθαι τῆς συμμαχίας αὐτὸν ἀμοιβήν, ἐκείνην μὲν οὐδὲν πλέον ποιοῦσαν, τῷ δὲ εἰσφέροντι τὴν ἀμοιβὴν τὸ κέρδος φέρουσαν. τίς δὲ αὕτη ἐστίν; ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι. εἰ δὲ μικρὸν τοῦτο πρὸς τὸ μέγεθος τῆς εὐεργεσίας, ἀλλ' ὅπερ εἶχεν. ἐπεὶ καὶ ἡμεῖς παρὰ τῶν πενήτων καὶ οὐδὲν κεκτημένων, οὐδὲν ἕτερον ἐπιζητοῦμεν, ἀλλ' ἢ εὐφημίαν καὶ εὐγνωμοσύνην. ἀλλ' ἡμεῖς μέν, ἵνα λαμπρότεροι γενώμεθα· ὁ δὲ Θεός, οὐκ ἐπειδὴ δεῖται, ἀλλ' ἵνα αὐτοὺς τοὺς ᾄδοντας λαμπροτέρους ἐργάσηται, καὶ ταύτῃ πάλιν αὐτοὺς εὐεργετήσῃ. Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

Τουτέστιν, εὐχαριστήσω σοι. ἀλλὰ τότε μὲν ὄργανα ἦν, δι' ὧν τὰς ᾠδὰς ἀνέφερον· νυνὶ δὲ ἀντὶ ὀργάνων, κεχρῆσθαί ἐστι τῷ σώματι. ἔστι γὰρ καὶ δι' ὀφθαλμῶν ᾄδειν οὐ διὰ γλώττης μόνον, καὶ διὰ χειρῶν, καὶ διὰ ποδῶν καὶ ἀκοῆς. ὅταν γὰρ ἕκαστον τούτων ταῦτα πράττῃ, ἃ τῷ Θεῷ φέρει δόξαν καὶ αἶνον, οἷον ὅταν μὴ ἀκόλαστα ὀφθαλμὸς βλέπῃ, ὅταν μὴ πρὸς ἁρπαγὰς αἱ χεῖρες, ἀλλὰ πρὸς ἐλεημοσύνην ὦσι τεταμέναι, ὅταν πρὸς ψαλμὸν καὶ πνευματικῶν ἀκουσμάτων ὑποδοχὴν αἱ ἀκοαὶ παρεσκευασμέναι, ὅταν πρὸς ἐκκλησίαν οἱ πόδες τρέχωσιν, ὅταν ἡ καρδία δόλους μὴ ῥάπτῃ, ἀλλ' ἀγάπην βρύῃ, γίνεται ψαλτήριον καὶ κιθάρα τοῦ σώματος τὰ μέλη, καὶ ᾄδει καινὴν ᾠδήν, οὐ τὴν διὰ ῥημάτων, ἀλλὰ τὴν διὰ πραγμάτων. 11 Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν. Οὐ γὰρ στρατόπεδα καὶ πλήθη στρατιωτῶν, οὐδὲ σωματοφύλακες, ἀλλ' ἡ τοῦ Θεοῦ ῥοπὴ σώζειν εἴωθε. Τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ.

Εἰπὼν τὸ κοινόν, λέγει καὶ τὸ καθ' ἑαυτόν. καὶ οὐκ εἶπε τῷ λυτρωσαμένῳ, διηνεκῆ δεικνὺς αὐτοῦ τὴν πρόνοιαν. εἶτα πάλιν αἰτεῖ ἅπερ ἔμπροσθεν ᾔτησε, συνεχῶς παραιτῶν καὶ παρακαλῶν, ὥστε ἀπαλλαγῆναι πονηρῶν ἀνθρώπων, οὕτω λέγων·

12 Ἐκ ῥομφαίας πονηρᾶς ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. 13 Ὧν οἱ υἱοὶ [αὐτῶν], ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Τὰς εὐπραγίας ἐνταῦθα διαγράφει τὰς κοσμικὰς καὶ τὸν πλοῦτον, καὶ τίθησιν ὅπερ ἐστὶ πρῶτον, τὸ παῖδας ἔχειν σφριγῶντας καὶ ἀκμάζοντας, καὶ ἐξ ἑκατέρας τῆς φύσεως. ἐπήγαγε γοῦν,

14 Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

Μετὰ τῆς νεότητος τὴν πολλὴν χλιδὴν ἐνδείκνυται, καὶ τὰ κρήδεμνα αὐτῶν καὶ τὸν γυναικεῖον ὑπογράφει κόσμον, ἅπερ ἐκ πολλῆς εὐημερίας γίνεται. ἔπειτα ὃ δεύτερον εἶναι δοκεῖ, τάχα δὲ νῦν ἐστὶ πρῶτον, πάλιν τὸν πλοῦτον ὑπογράφει λέγων

15 Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.

Τί ἐστιν, ἐξερευγόμενα; στενοχωρούμενα. ἀχώρητός ἐστι τοῖς ταμιείοις ὁ πλοῦτος φησί.

16 Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν· οἱ βόες αὐτῶν παχεῖς. Καὶ αὕτη οὐ μικρὰ εὐπραγία ἐδόκει εἶναι). παρὰ γὰρ τοῖς παλαιοῖς ἐν τούτοις ὁ πλοῦτος ἦν, ἐν βουκολίοις καὶ ποιμνίοις καὶ σπέρμασι, πρὶν ἢ τὰς βλακείας εὑρεθῆναι τὰς νῦν. 17 Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος·

Τουτέστι, πολλῆς ἀπολαύει καὶ τὰ γεώργια φυλακῆς, πολλῆς τῆς ἐπιμελείας, πολλῆς τῆς σπουδῆς, κομώντων τῶν καρπῶν, τῶν φραγμῶν ἑστώτων, τῆς ἀμπέλου φυλαττομένης πάντοθεν καὶ περιτειχιζομένης. Οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.

Ἄλλος, Ἐν ταῖς ἐπαύλεσιν αὐτῶν. Ἄλλο εὐημερίας εἶδος, ὅπερ οὐ πάντη συγκεκλήρωται πλούτῳ· τουτέστιν, εἰρήνη καὶ ἄδεια καὶ ἀσφάλεια. οὐδεὶς ὁ ἐπιβουλεύων, οὐδεὶς ὁ πολεμῶν· ἀλλ' οὐδὲ θόρυβος, οὐδὲ ταραχή.

18 Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Εἶδες ἀρετὴν ἀνδρός; θεὶς ἅπαντα τὸν πλοῦτον καὶ ἐπελθὼν αὐτὸν τῷ λόγῳ, εἶτα τὴν ψῆφον τὴν πολλῶν προσθεὶς τὴν περὶ '' αὐτόν, αὐτὸς οὐδὲν ἐκ τούτων ἀνθρώπινον πάσχει, οὐδὲ ζηλωτοὺς εἶναι νομίζει τοὺς ταῦτα κεκτημένους· ἀλλὰ ταῦτα πάντα παραδραμών, ἐπὶ τὸν ἀληθῆ θησαυρὸν τὸν μακαρισμὸν ἐκλείνει. οἱ μὲν γὰρ ἄλλοι, φησίν, ἐμακάρισαν τοὺς ταῦτα ἔχοντας· ἐγὼ δὲ μακαρίζω τὸν λαόν, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ, ἐν ἑνὶ τούτῳ πᾶσαν τὴν εὐπορίαν αὐτῶν ἐνδειξάμενος, τὴν εὐθηνίαν τῶν ἀγαθῶν, τὸν πλοῦτον. ἐκεῖνα μὲν γὰρ παρέρρει καὶ παρέρχεται· οὗτος δὲ ὁ μακαρισμὸς μένει διηνεκῶς· ἀντὶ προβάτων καὶ παίδων καὶ βοῶν καὶ φραγμοῦ καὶ ἀμπελῶνος, ὁ τοῦ Θεοῦ μακαρισμὸς μέλλων αὐτοῖς εἶναι καὶ πλοῦτος καὶ ἀσφάλεια καὶ τεῖχος ἀκαταγώνιστον. Ταῦτα τοίνυν ἀκούοντες, μηδενὶ τούτων θορυβεῖσθε, ἀλλὰ τὰς σκιὰς παρατρέχοντες, τῆς ἀληθείας ἀντέχεσθε. καὶ γὰρ προλαβὼν εἶπεν, ὅτι ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ ὅτι αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν. ἂν τοίνυν ἅπασι τούτοις ἴδῃς τινὰς περιρρεομένους πονηρίᾳ συζῶντας, κἂν ἡ οἰκουμένη αὐτοὺς μακαρίζῃ, ταλάνιζε καὶ ἀθλίους εἶναι νόμιζε σύ· τοὺς δὲ ἀνακειμένους τῷ Θεῷ ζηλωτοὺς ἡγοῦ καὶ μακαρίους· καὶ τοῦτον ἀεὶ πάντες ζητήσωμεν τὸν πλοῦτον καὶ τοῦτον τὸν μακαρισμόν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. αὐτῶν,

Ψαλμ. ρμδ'. 1. ΥΨΩΣΩ ΣΕ, Ο ΘΕΟΣ ΜΟΥ, Ο ΒΑΣΙλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μετὰ ἀκριβείας τούτῳ μάλιστα προσέχειν ἄξιον τῷ ψαλμῷ. Ἐπεὶ γάρ ἐστι τὰ ῥήματα ἔχων ταῦτα, ἅπερ οἱ μεμυημένοι συνεχῶς ὑποψάλλουσι λέγοντες· οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. ὁ γὰρ γενόμενος υἱὸς καὶ τραπέζης ἀπολαύων πνευματικῆς, δοξάζειν δίκαιος ἂν εἴη τὸν πατέρα. Υἱὸς γάρ, φησι, δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ φοβηθήσεται. γέγονας υἱὸς καὶ τραπέζης ἀπολαύεις πνευματικῆς, σιτούμενος τὰς σάρκας καὶ τὸ αἷμα τὸ ἀναγεννῆσάν σε· ἀποδίδου τῆς τοσαύτης εὐεργεσίας τὴν ἀμοιβήν, καὶ δόξαζε τὸν τοιαῦτα παρεσχηκότα, καὶ ἀναγινώσκων τὰ ῥήματα, ῥύθμιζέ σου τὴν γνώμην πρὸς τὰ λεγόμενα· καὶ λέγων, ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, πολλὴν ἐπιδείκνυσο τὴν οἰκείωσιν, ἵνα καὶ περὶ σοῦ λέγῃ ὁ Θεός, ὥσπερ περὶ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. ἂν γὰρ λέγῃς, ὁ Θεός μου, καὶ ὁ βασιλεύς μου, καὶ μὴ λέγῃς μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην ἐπιδεικνύῃς τοιαύτην, καὶ αὐτὸς τὰ αὐτὰ ἐρεῖ περὶ σοῦ, ὁ δοῦλός μου καὶ ὁ θεράπων μου, ὃ καὶ περὶ τοῦ Μωϋσέως εἴρηται. καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εἶδες τῆς μελλούσης ζωῆς τὰ προοίμια πῶς ἐνδείκνυται; εὐλογίαν δὲ ἐνταῦθα λέγει, οὐ τὴν διὰ τῶν ῥημάτων, ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων. οὕτω γοῦν καὶ ὑψοῦται Θεός, οὕτω καὶ εὐλογεῖται. τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν· Ἁγιασθήτω τὸ ὄνομά σου· τουτέστι, δοξασθήτω.

Μαλαχ. α. ϛ.

Ματθ. ϛ. θ.

2 Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἕτερος, Εἰς αἰῶνα διηνεκῶς. Τοῦτο μάλιστα ψυχῆς εὐλαβοῦς, τὸ τῶν βιωτικῶν ἀπαλλαγεῖσαν πραγμάτων τοῖς ὕμνοις ἀνακεῖσθαι. καὶ γὰρ αἰσχρὸν ἂν εἴη τὸν λογικὸν ἄνθρωπον καὶ τῶν ὁρωμένων ἁπάντων τιμιώτερον, ἔλαττον τῆς κτίσεως φέρειν κατὰ τὸν τῆς εὐφημίας λόγον· οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἄτοπον. πῶς δὲ οὐκ ἄτοπον; εἴγε αὕτη μὲν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀναπέμπει τῷ δεσπότῃ δοξολογίαν. Οἱ οὐρανοὶ γάρ, φησι, διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· ἥλιός τε καὶ σελήνη καὶ ὁ ποικίλος τῶν ἄστρων χορός, καὶ τῶν ἄλλων δὲ ἁπάντων ἡ εὐταξία τὸν οἰκεῖον κηρύττει δημιουργόν. ὁ τοίνυν τούτων ἁπάντων ″ τιμιώτερος, μὴ ποιῶν τοῦτο, ἀλλ' ἔτι καὶ βίον παρέχων, δι' ὃν βλασφημία περιτρίβεται τῷ ποιήσαντι αὐτὸν Θεῷ, ποίας ἄρα ἔσται συγγνώμης ἄξιος ὁ τοιοῦτος; τίνος δὲ ἀπολογίας, ὅταν διὰ τοῦτο γενόμενος, ἵνα ἀρέσῃ τῷ * Θεῷ, καὶ τῆς βασιλείας ἀπολαύσῃ τῶν μελλόντων, τούτου μὲν μὴ πολὺν ποιῆται λόγον, πραγματείαις δὲ βιωτικαῖς καὶ ″ μερίμναις ἑαυτὸν κοσμικαῖς περιβάλλῃ; ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλὰ διὰ παντὸς τοῦ βίου αἶνον ἀνέφερε τῷ Θεῷ, διὰ ῥημάτων, διὰ πραγμάτων. καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται αὐτῷ, ὅτι τε οὐκ ὄντας ἐποίησε, καὶ ὅτι τοιούτους εἰργάσατο· ὅτι γενομένους διακρατεῖ, καὶ ὅτι καθ' ἑκάστην προνοεῖ τὴν ἡμέραν, καὶ κοινῇ καὶ ἰδίᾳ, καὶ λάθρα καὶ φανερῶς, καὶ εἰδότων καὶ οὐκ εἰδότων. τί γὰρ ἄν τις εἴποι τὰ ὁρώμενα, ἃ δι' ἡμᾶς ἐποίησε; τὴν διακονίαν αὐτῶν ἣν παρέχεται; τοῦ σώματος τὴν διάπλασιν; τῆς ψυχῆς τὴν εὐγένειαν; τὴν καθ' ἑκάστην ἡμέραν οἰκονομίαν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν νόμων, τὴν διὰ τῶν τιμωριῶν; τὴν ποικίλην αὐτοῦ πρόνοιαν καὶ ἀκατάληπτον; τὸ κεφάλαιον τῶν ἀγαθῶν, ὅτι οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο δι' ἡμᾶς; τὰ δοθέντα ἤδη διὰ τοῦ βαπτίσματος, διὰ τῶν μυστηρίων; τὰ μέλλοντα δοθήσεσθαι

Ψαλ. ιη. α.

ἀπόρρητα ἐκεῖνα ἀγαθὰ, τὴν βασιλείαν, τὴν ἀνάστασιν, τὴν λῆξιν τῆς πάσης μακαριότητος γέμουσαν; ἂν γὰρ ἕκαστόν τις τούτων καταλέγῃ, εἰς πέλαγος ἄφατον" ἐμπεσεῖται εὐεργεσιῶν, καὶ ὄψεται "πόσον ἐστὶν ὑπεύθυνος τῷ * Θεῷ· οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τῆς δόξης αὐτοῦ, διὰ τὴν ἀκήρατον οὐσίαν. καὶ γὰρ διὰ ταύτην ὀφείλεται αὐτῷ παρ᾽ ἡμῶν αἶνος καὶ εὐλογία καὶ διηνεκὴς εὐχαριστία καὶ λατρεία καὶ διακονία συνεχής. τοῦτο γοῦν αὐτὸ δηλῶν καὶ ὁ προφήτης,

γρ. ἀμείνονας

γρ. πόσον

μαλλον δρᾶσιν

3 Μέγας ὁ Κύριος, φησὶ, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ἐπειδὴ γὰρ εἶπεν, εὐλογήσω καὶ αἰνέσω, δείκνυσιν ὅτι οὐ χρείαν ἔχει τῶν παρ᾽ ἡμῶν αἴνων οὐδὲ τῶν εὐλογιῶν, οὐδὲ προστίθεται αὐτοῦ τι τῇ δόξῃ παρὰ τῆς τῶν διακονουμένων εὐφημίας. ἀκήρατος γὰρ αὐτοῦ ἡ οὐσία καὶ ἀνενδεὴς οὖσα οὐδενὸς ἑτέρου προσδεῖται· οἱ δὲ αἰνοῦντες αὐτὸν, αὐτοὶ λαμπρότεροι γίνονται. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ ὑπερέχον αὐτοῦ τῆς δόξης, ὀφείλεται αὐτῷ εὐφημία παρ᾽ ἡμῶν. διὸ καὶ τοῦτο δηλῶν εἶπε, μέγας Κύριος καὶ αἰνετὸς σφόδρα· τουτέστιν, οὐδενὸς δεόμενος. τί ἐστιν, αἰνετός; εὐφημιῶν ἄξιος, ἐγκωμίων καὶ ὕμνων. καὶ οὐχ ἁπλῶς αἰνετὸς, ἀλλὰ καὶ σφόδρα· διὸ καὶ τοῦτο προσέθηκε. πόσον δὲ αἰνετὸς οὐ δυνάμενος παραστῆσαι τῷ λόγῳ, ἐπήγαγε· καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας· ὅπερ ἕτερος ἑρμηνευτὴς, ἐξεύρεσις, εἶπεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπεὶ μέγαν ἔχεις δεσπότην, γενοῦ καὶ σὺ ὑψηλὸς, καὶ τῶν βιωτικῶν ἀπαλλάγηθι πραγμάτων, λάβε φρόνημα ἀνώτερον τῆς ταπεινότητος τῶν παρόντων, οὐχ ἵνα ἀπονενοημένος γένῃ καὶ ἀλαζὼν, ἀλλ᾽ ἵνα μεγαλόφρων καὶ μεγαλόνους. ἕτερον γὰρ ἀλαζονεία, καὶ ἕτερον μεγαλοψυχία. ἀλαζὼν μὲν γάρ ἐστιν, ὁ ἐπὶ τοῖς μικροῖς κομπάζων καὶ τῶν ὁμοδούλων ὑπερορῶν· ὑψηλὸς δὲ, ὁ ταπεινὸς τὴν διάνοιαν, καὶ τὰς φαντασίας τοῦ παρόντος βίου οὐδὲν εἶναι νομίζων. ποῦ νῦν εἰσὶν οἱ λέγοντες οὕτως εἰδέναι τὸν Θεὸν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν; ἀκουέτωσαν τοῦ προφήτου λέγοντος, τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, καὶ αἰσχυνέσθωσαν*.

*ἀντὶ τῆ οἰκεία

ουσία.

4 Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου. Ὅπερ ἔθος αὐτῷ ποιεῖν, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. ὅταν γὰρ αὐτοῦ θαυμάσῃ τὴν μεγαλωσύνην, τὴν δόξαν, ἔρχεται καὶ ἐπὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν. τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα ποιεῖ καὶ λέγει· γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, δεικνὺς ἀπὸ τῶν ἔργων αὐτοῦ τὴν μεγαλωσύνην· τουτέστιν, οὐκ ἐν ἑνὶ χρόνῳ γέγονε μόνον καὶ παρῆλθεν, οὐδὲ ἐν δύο καὶ τρισὶν ἔτεσιν, ἀλλὰ παντὶ παρεκτείνεται τῷ παρόντι αἰῶνι, ὥστε ἑκάστην γενεὰν θεωρεῖν αὐτοῦ τὰ δημιουργήματα. τοῦτο γάρ ἐστι, γενεὰ καὶ γενεὰ, ἥ τε οὖσα, φησὶν, ἥ τε ἐπιοῦσα, ἥ τε μετ᾽ ἐκείνην, καὶ ἡ μετὰ ταύτην πάλιν, καὶ ἑκάστη τῶν ἐπιουσῶν. ἥ τε κτίσις πάλιν παντὶ ὁμοίως τῷ χρόνῳ παρεκτείνεται τούτῳ, οἷον οὐρανὸς, γῆ, θάλαττα, ἀὴρ, λίμναι, πηγαὶ, ποταμοὶ, σπέρματα, φυτὰ, βοτάναι, καὶ ἡ ἐκ τούτων εὐεργεσία, φύσεως δρόμος μηδέποτε διακοπτόμενος, ὑετοὶ, τροπαὶ διηνεκῶς χορεύουσαι, νὺξ, ἡμέρα, ἥλιος, σελήνη, τὰ ἄστρα, τὰ ἄλλα πάντα. ἔτι τε τὰ τούτων χωρὶς, ἃ καὶ καθ᾽ ἑκάστην τῶν γενεῶν καὶ ἰδίᾳ καὶ κοινῇ πρὸς διόρθωσιν, πρὸς εὐεργεσίαν τοῦ κοινοῦ τῶν ἁπάντων ἀνθρώπων γένους· οἷα ἐπὶ τῶν Ἰουδαίων "συνέβαινε συνεχῶς, θαύματα, σημεῖα, πρόνοια ἡ ἐν εὐθηνείᾳ, ἡ ἐν ταῖς νίκαις τῶν πολέμων, ἡ ἐν τοῖς ἄλλοις ἅπασιν· οἷα ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ, ἐπὶ τῶν ἀποστόλων, ἐπὶ τοῦ καιροῦ τῶν διωγμῶν, πλείονα καὶ πολὺ τῶν παλαιῶν διαφέροντα κατὰ μέγεθος· οἷα ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας. καὶ γὰρ οὐκ ἔστι χρόνος οὐδεὶς, καὶ τούτων ἐκτὸς τῶν κοινῶν, ὁ μὴ φέρων τῆς αὐτοῦ προνοίας σημεῖον. Καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Καὶ διὰ τῶν εὐεργεσιῶν, φησὶ, καὶ διὰ τῶν κολάσεων. οὐ γὰρ διαλιμπάνει παντὶ τρόπῳ τὰ ὑπὲρ τῆς φύ-

γρ. χρόνῳ

σεως τῆς ἡμετέρας οἰκονομίας ὁ Θεὸς διὰ παντὸς τοῦ χρόνου.

5 Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Ἕτερος, Περιότητα τοῦ ἐπαίνου σου, καὶ τοὺς λόγους τῶν παραδόξων σου διηγήσονται. Ἐπειδὴ εἶπε δύναμιν, δείκνυσι καὶ αὐτὴν μεθ' ὑπερβολῆς οὖσαν δύναμιν. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ τὰ τυχόντα εἰργάζετο, ἀλλ' οὕτω πάντα θαυματουργοῦσα καὶ παραδοξοποιοῦσα διετέλει, ὑπὲρ τὴν φύσιν ἐργαζομένη τὴν ἀνθρωπίνην, ὡς καὶ θαύματος καὶ δόξης πλήρη τὰ γινόμενα εἶναι. ἐννόησον γοῦν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν Παλαιστίνῃ, τὰ ἐπὶ τοῦ Ἀβραάμ, τὰ ἐπὶ τοῦ Ἰσαάκ, τὰ ἐπὶ τοῦ Ἰωσήφ· πάλιν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐπὶ τοῦ Μωϋσέως, τὰ ἐν τῇ ἐρήμῳ, τὰ μετὰ τὴν εἴσοδον· πάλιν τὰ ἐν τῇ αἰχμαλωσίᾳ, τὰ ἐπὶ τοῦ Ναβουχοδονόσορ, τὰ ἐπὶ τῆς καμίνου, τὰ ἐπὶ τῶν λεόντων, τὰ ἐπὶ τῆς ἐπανόδου, τὰ ἐπὶ τῶν προφητῶν. ταῦτα γὰρ πάντα ἀνεκήρυττε τοῦ ποιοῦντος τὴν ἰσχύν, τὴν δόξαν, τὴν μεγαλωσύνην, πολλήν τε τὴν ἔκπληξιν καὶ πολὺ τὸ θαῦμα παρεχόμενα. 6 Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Δείκνυσι διὰ τούτου, ὅτι πρὸς ἑκάτερα ἀπηρτισμένη ἡ ἰσχύς, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τιμωρίαν· καὶ ὅτι τὰ ἀπαριθμηθέντα ἅπαντα, ἑκάτερα τούτων εἶχε. πλὴν τοῦτο οὐκ ἐπὶ τῶν τότε συμβάντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν, καὶ ἑκατέρας τῆς εὐεργεσίας πολλὰ ὄντα τὰ ὄργανα· οἷον ἐπὶ μὲν φοβερῶν, ἀστραπάς, βροντάς, σκηπτούς, πρηστῆρας, λιμούς, χιόνας, χάλαζαν, πάγον, πυρώσεις, ἐπικλύσεις· καὶ ἐν τοῖς ἑρπετοῖς δέ, δράκοντας, σκορπίους, ὄφεις· καὶ ἐν τοῖς πετεινοῖς, ἀκρίδα, ἐρυσίβην· καὶ ἐν τοῖς εὐτελέσι, κυνόμυιαν, κάμπην· ἅπερ δὴ μάλιστα καὶ αὐτὰ προνοίας ἐστίν, ἐπιστρέφοντα τοὺς ἀνθρώπους, ἀπαλλάττοντα ῥαθυμίας, ἀφυπνίζοντα τοῦ βαθέος ὕπνου, ἀπὸ τοῦ κάρου πρὸς νῆψιν ἄγοντα. οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις ἡ δύναμις αὐτοῦ ἀπηρτισμένη. διὸ καὶ περὶ τούτων ἡμᾶς διδάξαι βουλόμενος, εἰπών, τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν, ἐπήγαγε·

7 Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Ὅπερ ἕτερος ἑρμηνευτὴς εἶπε, Καὶ τὰς ἐλεημοσύνας σου εὐφημήσουσιν. Ἡμεῖς δὲ ὥσπερ ἀπηριθμησάμεθα τὰ φοβερά, οὕτω καὶ τὰ ἐναντία τούτων ἀναγκαῖον εἰπεῖν· οἷον ἐπὶ τῶν ὁρωμένων καὶ περὶ ἡμᾶς, τροπὰς ἐτησίους, ἡμέρας, παραδείσους, λειμῶνας, ἄνθη ποικίλα, ὕδωρ πότιμον καὶ γλυκύ, τὸ ἐκ τῶν ὑετῶν χρήσιμον, τῆς γῆς τὰς ὠδῖνας, τοὺς ποικίλους καρπούς, τὰ δένδρα τὰ διάφορα, τοὺς ἀνέμους τοὺς προσηνεῖς, τὴν ἡλιακὴν ἀκτῖνα, τὴν σεληναίαν λαμπάδα, τὸν ποικίλον τῶν ἄστρων χορόν, τὸ προσηνὲς τῆς νυκτός· καὶ ἐπὶ τῶν ἀλόγων, πρόβατα καὶ βοῦς καὶ αἶγας· καὶ ἐπὶ τῶν ἀγρίων, δορκάδας, ἐλάφους, λαγωούς, καὶ ἕτερα πλείονα· καὶ ἐπὶ τῶν πετεινῶν, τοὺς ὄρνεις τοὺς Ἰνδικούς. καὶ ἐν τοῖς ἔργοις αὐτοῖς ἴδοι τις ἂν οὐ κολάζοντα μόνον, ἀλλὰ καὶ εὐεργετοῦντα πολλῷ πλέον ἢ κολάζοντα. τὰ μὲν οὖν φόβων ἕνεκεν ποιεῖ. εἰ δὲ καί ποτε πεῖραν ἐπαγάγοι, διὰ τὴν πολλὴν ἀναισθησίαν τῶν οὐ διορθουμένων τῷ φόβῳ. τούτοις δὲ ἐμφιλοτιμεῖται, καὶ μέχρι τῆς πείρας αὐτὰ προάγει, οὐκ εἰς ἀξίους μόνον, ἀλλὰ καὶ εἰς ἀναξίους. ποικίλλων τοίνυν ἡμῶν τὴν σωτηρίαν ποτὲ μὲν ταῦτα, ποτὲ δὲ ἐκεῖνα ἐργάζεται, πλεονάκις δὲ ἐκεῖνα, καὶ μᾶλλον ἐκεῖνα· ἐπεὶ καὶ ἐκεῖνα βούλεται μόνα. διὰ γὰρ τοῦτο καὶ γέενναν ἠπείλησεν, οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα μὴ ἐπαγάγῃ. καὶ τὴν μὲν τῷ διαβόλῳ παρεσκεύασε (πορεύεσθε γάρ, φησιν, εἰς τὸ πῦρ, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ) τὴν δὲ βασιλείαν ἀνθρώποις, δεικνὺς ὅτι οὐ βούλεται ἄνθρωπον εἰς γέενναν ἐμβαλεῖν.

γρ. ποῦ [illegible]

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9 Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ὁρᾷς καὶ τὸν προφήτην τούτοις ἐνδιατρίβοντα τοῖς χρηστοτέροις, καὶ ἐπιδαψιλευόμενον τῷ λόγῳ; καὶ γὰρ οἶδε σαφῶς ἐν τούτοις ὄντα μάλιστα τοῦ Θεοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ ἦν σωθῆναι, μὴ πολλῆς οὔσης αὐτοῦ τῆς φιλανθρωπίας· οὐκ ἦν μεῖναι, μὴ πολλῆς ἀπολαύοντας τῆς ἀγαθότητος. διὸ καὶ αὐτὸς ἔλεγεν, Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου· καὶ ἐν ταῖς ἁμαρτίαις σου προέστην σου. οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος. ὅρα πῶς δείκνυσιν αὐτοῦ ἄφατον τὴν φιλανθρωπίαν. οὐ γὰρ ἐλεεῖ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ ἕτερον εἶδος φιλανθρωπίας οὐ μικρὸν ἐπιδείκνυται, τὸ μακρόθυμον, ὥστε αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, καὶ μετὰ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀπὸ τῆς οἰκείας σωθῆναι σπουδῆς, καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων παρρησίαν ἔχειν. οὐχ ἁπλῶς δὲ ἐλεήμων, ἀλλὰ καὶ πολυέλεος εἶπε, δεικνὺς ὅτι τὸ πολὺ τοῦτο μετρηθῆναι οὐκ ἔνι, ἀλλὰ πάντα ὑπερβαίνει λόγον. διὰ γοῦν τῶν ἑξῆς, κατὰ τὸ ἐγχωροῦν αὐτῷ, ἐνεδείξατο, ἐπαγαγὼν καὶ εἰπών· χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. τί ἐστι, τοῖς σύμπασι; καὶ τοῖς ἁμαρτωλοῖς, φησι, καὶ τοῖς ἐν παρανομίᾳ ζῶσιν. οὐ γὰρ δὴ μόνον οἱ δίκαιοι, οὐδὲ οἱ κατορθοῦντες, οὐδὲ οἱ μετανοοῦντες, ἀλλὰ καὶ πάντες δι' ὧν πάσχουσιν ἀνακηρύττουσιν αὐτοῦ τὸν ἔλεον καὶ τὴν χρηστότητα. κἂν μέντοι τις ἔρηται, τίνι χρηστὸς ἐγένετο; ἐρῶ· οὐχὶ τῷ Ἄβελ μόνον, ἀλλὰ καὶ τῷ Κάϊν· οὐχὶ τῷ Νῶε μόνον καὶ τοῖς ἐκείνου παισὶν, ἀλλὰ καὶ τοῖς ὑπὸ τοῦ καταποντισμοῦ κατακλυσθεῖσι. πάντα γὰρ ἀπὸ φιλανθρωπίας εἰργάζετο. καὶ ἵνα μάθῃς πῶς πᾶσίν ἐστι χρηστὸς, σκόπει ἐντεῦθεν. πόσης χρηστότητος ἦν, εἰπέ μοι, τὸ τὸν ἀδελφοκτόνον ἐκεῖνον καὶ τοιαύτην τολμήσαντα σφαγὴν, * καὶ τοῦ Θεοῦ καταπατήσαντα τοὺς νόμους, παραδοῦναι τιμωρίᾳ, νουθεσίᾳ μᾶλλον ἢ κολάσει οὔσῃ, [ὥστε] καὶ αὐτὸν ἐκεῖνον καθᾶραι διὰ τοῦ μήκους τοῦ κατὰ τὸν χρόνον τῆς ἁμαρτίας τῆς ἐγγενομένης, καὶ τοὺς ἄλλους παιδεῦσαι, δι' ὧν ἔπασχεν ἐκεῖνος; πόσης ἦν χρηστότητος, εἰπέ μοι, τὸ τοὺς ἀνίατα νοσοῦντας ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ μήτε ἀπειλαῖς, μήτε λόγοις, μήτε ἄλλῳ μηδενὶ διορθωθέντας, στῆσαι τὰ τῆς κακίας, καὶ τῷ κοινῷ χρέει τῆς φύσεως ἀντὶ φαρμάκου χρήσασθαι, καὶ τὸν κουφότατον αὐτοῖς ἐπαγαγεῖν θάνατον τὸν διὰ τῶν ὑδάτων; τὸ δὲ σύμπασιν, οὐκ ἐπὶ τούτων μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρωμένων ἁπάντων, ἐπὶ τῶν ζώων, ἐπὶ τῶν ἀλόγων. καὶ εἰς αὐτοὺς δὲ ἄν τις ἀναβῇ τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, πολλὴν ὄψεται τὴν χρηστότητα, πολλοὺς τοὺς οἰκτιρμούς. ἕκαστον γὰρ ἔργον πολλῆς ἀπολαύει φιλανθρωπίας. ὅπερ δὴ καὶ αὐτὸς συνιδὼν, ἐπήγαγεν·

Ἠσ. μγ. κε.

* καὶ τὸ δίκαιον ολύναντα,

10 Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Τουτέστιν, εὐχαριστείτωσάν σοι, ἀναπεμπέτωσάν σοι ὕμνους, οἵ τε λόγῳ τετιμημένοι, τά τε φωνὴν οὐκ ἔχοντα. καὶ γὰρ καὶ τῶν ἀφώνων ἕκαστον οὕτω γέγονεν, ὥστε εὐλογίαν ἀναπέμπειν διὰ τῆς οἰκείας φύσεως, κἂν ἄφωνα ᾖ, διὰ τῶν ὁρώντων καὶ ἀπολαυόντων ἀνθρώπων· καὶ ἐκεῖνα μὲν διὰ τῆς οὐσίας τῆς αὐτῶν, ἄνθρωποι δὲ καὶ διὰ τῆς διαγωγῆς καὶ διὰ τῆς πράξεως. διὸ καὶ τοῦτο δῆλον ποιεῖ διὰ τῆς ἐπαγωγῆς τοῦ, οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. ὁσίους δὲ ἐνταῦθα, τοὺς ἁγίους καλεῖ, τοὺς τὰ τοῦ Θεοῦ προστάγματα πληροῦντας, τοὺς ἀβάτους ἁμαρτήμασι καὶ πονηρίᾳ.

11 Δόξαν τῆς βασιλείας σου ἐροῦσι. —

Τί ἐστι, δόξαν ἐροῦσι; τὸ ἀνενδεὲς, τὸ φιλάνθρωπον, φησι, τὸ κηδεμονικὸν, τὸ μὴ δεόμενον τῶν ἀρχομένων τοσαύτην περὶ αὐτοὺς ἐπιδείκνυσθαι πρόνοιαν, τὸ ἀπρόσιτον τοῦ φωτὸς, τὸ ἄρρητον τῆς οὐσίας, τὸ ἀκατάληπτον. Καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τουτέστι, τὴν δύναμιν τὴν ἄμαχον, τὴν ἀχείρωτον [εἴσονται]· οὐκ ἐπειδὴ σοι χρεία τούτων τῶν ὕμνων καὶ τῶν εὐφημιῶν, ἀλλὰ δι᾽ αὐτούς τε τοὺς λέγοντας, καὶ ὥστε καὶ ἑτέρους διδάξαι καὶ ποιῆσαι τῆς εὐφημίας κοινωνούς.

12 Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Δείκνυσι διὰ τούτων ὅτι διὰ τὸ μαθεῖν ἑτέρους τὴν δυναστείαν αὐτοῦ, τὰς εὐφημίας προσοίσεται. πολλὴ τοίνυν ἡ δύναμις, πολλὴ ἡ δόξα, πολλὴ ἡ εὐπρέπεια, πολλὴ καὶ ἄφατος, οὐ μόνον πάντα ὑπερβαίνουσα λόγον, ἀλλὰ καὶ πάντα νικῶσα νοῦν. ἀλλ᾽ ἡ πολλὴ καὶ ἄφατος αὕτη χρείαν ἔχει τῶν διδασκόντων αὐτὴν διὰ τὴν ἄγνοιαν τῶν πολλῶν. ἐπεὶ καὶ ὁ ἥλιος φανότατόν ἐστιν ἄστρον, καὶ ὅμως οἱ τὰ ὄμματα νοσοῦντες οὐχ ὁρῶσιν αὐτοῦ τὸ φῶς· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ πρόνοια ἡλίου μὲν παντός ἐστι φαιδροτέρα, ἀλλ᾽ οἱ τοῖς λογισμοῖς διεστραμμένοι καὶ βεβυσμένοι τὰς ἀκοὰς, πολλῆς δέονται τῆς ἐπιμελείας, ὥστε διανοιγῆναι αὐτῶν τὴν διάνοιαν. δεῖ τοίνυν συνεχῶς αὐτοῖς ἐνηχεῖν καὶ ἐνιέναι τὴν περὶ τούτων διδασκαλίαν. Εἶτα ἐπειδὴ εἶπε δόξαν βασιλείας καὶ μεγαλοπρέπειαν, καὶ μὴ διασαφήσας παρέδραμε, πάλιν ἀναλαμβάνει καὶ λέγει κατὰ τὸ ἐγχωροῦν αὐτῷ, τί ἐστιν ἡ δόξα, ἐπαγαγών·

13 Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων. Οὐ τῶν παρόντων μόνον, φησὶν, ἀλλὰ καὶ τῶν ἐρχομένων. ἀτελεύτητος γὰρ καὶ ἄπειρος, καὶ μόνη τὸ ἀΐδιον ἔχουσα.

Καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Ὅρα αὐτῆς καὶ ἐντεῦθεν τὸ ἀτελεύτητον· πανταχοῦ τῆς οἰκουμένης, πανταχοῦ τῶν αἰώνων, πανταχοῦ τῶν χρόνων ἐκτέταται. 14 Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Εἰπὼν τῆς βασιλείας τὸ ἀτελεύτητον, τὸ βεβηκὸς, τὸ πάγιον, τὸ ἀκίνητον, λέγει καὶ τῶν λόγων αὐτοῦ τὸ στεῤῥόν. τὸ γὰρ πιστὸς, τοῦτο ἐστι, βέβαιος, ἀληθής. Εἰ δὲ πιστὸς, πάντως ἔσται τὰ εἰρημένα παρ᾽ αὐτοῦ. ὥσπερ γὰρ ἡ βασιλεία αὐτοῦ ἀδιάπτωτος καὶ πέρας οὐκ ἔχουσα, οὕτω καὶ οἱ λόγοι αὐτοῦ στεῤῥοὶ, βεβηκότες. οὔτε οὖν ἐκείνη ποτὲ διακόπτεται, οὔτε οὗτοι διαπίπτουσιν. Εἰ δὲ οὐ διαπίπτουσι, δεῖ πάντως ἀκολουθῆσαι τὰ ἔργα. Εἰ δέ πού τι καὶ εἶπε καὶ οὐ γέγονε, καὶ τοῦτο τῆς ἀληθείας αὐτοῦ ἀπόδειξις. Πέρας γὰρ λαλήσω ἐπὶ ἔθνη καὶ βασιλείαν, τοῦ κατασκάπτειν καὶ ἐκριζοῦν· καὶ ἐὰν μετανοήσωσιν ἐπὶ τῇ κακίᾳ, μετανοήσω κἀγὼ ἐφ᾽ οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. καὶ ἐπὶ τῶν ἀγαθῶν ὁμοίως· χρηστὰ διαλέξομαί, φησι· κἂν μεταβάλωνται, κἀγὼ μεταβαλῶ τὰ περὶ αὐτῶν εἰρημένα. καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. τί ἐστιν, ὅσιος; ἄληπτος, ὀρθὸς, καθαρὸς, ἄμωμος, οὐδεμίαν οὐδενὶ παρέχων λαβήν.

Ἱερ. ιη.

15 Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους. Εἰπὼν περὶ τῆς βασιλείας ὅτι ἀπέραντος, περὶ τῶν λόγων ὅτι ἀληθεῖς, περὶ τῶν πράξεων ὅτι ἄληπτοι, περὶ τῆς δόξης, περὶ τῆς μεγαλοπρεπείας, λέγει πάλιν περὶ τῆς φιλανθρωπίας· ὃ καὶ αὐτὴ μεγίστη δόξα τῆς βασιλείας αὐτοῦ, τὸ μὴ μόνον διακρατεῖν ἑστῶτας, ἀλλὰ καὶ μέλλοντας καταπίπτειν μὴ ἐᾶν τοῦτο παθεῖν, καὶ κειμένους ἀνιστᾷν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι πάντας, οὐ τὸν δεῖνα καὶ τὸν δεῖνα μόνον, ἀλλὰ πάντας, κἂν δοῦλοι, κἂν πένητες ὦσι, κἂν ἄσημοι, κἂν ἐξ ἀσήμων. πάντων γάρ ἐστι δεσπότης, καὶ οὔτε κειμένους παρατρέχει, οὔτε σαλευομένους ὑπερορᾷ. τοῦτο καὶ ἐπὶ τῆς κοινῆς φύσεως ἐποίησε, τοῦτο καὶ ἐφ᾽ ἑκάστου ἐργάζεται. Εἰ δέ τινες τῶν κειμένων οὐκ ἀνέστησαν, οὐ παρ᾽ αὐτὸν τὸν βουλόμενον ἀνορθῶσαι, ἀλλὰ παρ᾽ ἐκείνους τοὺς μὴ θέλοντας ἀναστῆναι. ἐπεὶ καὶ τὸν Ἰούδαν πεσόντα ἠβουλήθη ἀναστῆσαι, καὶ πρὸς τοῦτο πάντα εἰργάσατο, ἀλλ᾽ ἐκεῖνος οὐκ ἠθέλησε. τὸν γοῦν Δαβὶδ πεσόντα ἀνώρθωσε καὶ ἰσχυρὸν ἐποίησε, τὸν Πέτρον μέλλοντα καταπίπτειν ἀνέστησε. καὶ ἄκουε πῶς. Σίμων, Σίμων, φησὶν, ἰδοὺ ὁ

Λουκ. κβ.

Σατανᾶς ἐξῄτησε σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. Εἶτα λέγει καὶ ἕτερον εὐεργεσίας εἶδος. ποικίλη γὰρ αὐτοῦ καὶ παντοδαπὴ ἡ κηδεμονία. 16 Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Εἶδες πῶς ἔδειξεν ὅτι χρηστὸς τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ; ὅπερ ἐν τοῖς εὐαγγελίοις εἴρηται, Ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, τοῦτο καὶ ἐνταῦθα διὰ τούτων ἠνίξατο τοῦ εἰπεῖν· καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. οὐ γὰρ ὑετοὶ καὶ γῆ καὶ ἀήρ, ἀλλὰ τὸ ἐπίταγμα αὐτοῦ τοὺς καρποὺς τελεσφορεῖν εἴωθεν. τὸ ἐν εὐκαιρίᾳ τοῦτο δηλοῖ, ὅτι καιροῖς πάντα διώρισται, καὶ τροπαῖς διαφόροις δέδοται. καὶ τοῦτο γὰρ μάλιστα αὐτοῦ δείκνυσι τὴν σοφίαν, τὸ μὴ ὁμοῦ πάντα μηδὲ ὑφ᾽ ἕν, ἀλλὰ παρὰ πάντα τὸν ἐνιαυτὸν διελεῖν τὰ τῆς τροφῆς, ὥστε καὶ τὸν γηπόνον ἀναπαύεσθαι, καὶ τὰ γινόμενα μὴ διαφθείρεσθαι. τὸ τοίνυν ἐν εὐκαιρίᾳ, ἢ ὅπερ ἔμπροσθεν εἴπομεν τοῦτό ἐστιν, ὅτι καιροῖς μεμέρισται ἕκαστα, ἢ ὅτι δεομένοις, χρῄζουσι τὴν τροφὴν δίδως. καὶ πῶς, φησιν, οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι; καίτοι πολλοί εἰσιν αὐτόματα τὰ ὄντα λέγοντες, οἱ ἐν ἀσεβείᾳ ζῶντες. * τοῦ πράγματος αὐτοῦ λέγει τὴν φύσιν ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ ὅταν λέγῃ· Τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν, καίπερ ἄλογα τὰ ζῶα ἐστὶ· καὶ πάλιν, Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. καίτοι καὶ οὗτοι ἄλογοι, καὶ οὐκ αὐτοὶ ζητοῦσιν· ἀλλὰ καὶ ἐνταῦθα πάλιν τοῦ πράγματος λέγει τὴν φύσιν. οὐ γὰρ ἀπὸ τῆς ἐκείνων προαιρέσεως, ἀλλ᾽ ἀπὸ τῆς τῶν γινομένων φύσεως τοῦτο ῥητέον ἐστίν.

Ματθαίου ε.

Ψαλμ. ρμς. θ.
Ψαλμ. ργ. κα.

* πῶς οὖν πάντες
ἐλπίζουσι,

17 Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Χεῖρα, τὴν ἐνέργειαν λέγει καὶ τὴν χορηγητικὴν δύναμιν, διὰ πάντων σε παιδεύων εἰδέναι, ὡς οὐκ ἐν τοῖς στοιχείοις, ἀλλ᾽ ἐν τῇ τοῦ Θεοῦ προνοίᾳ τῶν καρπῶν αἱ γοναί. ἢ καὶ τὸ εὔκολον δεικνὺς εἶπε τό, ἀνοίγεις σὺ τὴν χεῖρά σου. ἐπειδὴ γὰρ οἱ τότε μάλιστα τὸν πάντων αἴτιον ἀφέντες προσεκύνουν καὶ ἀέρα καὶ ἥλιον, καὶ ταῦτα ἐνόμιζον εἶναι τὰ παρέχοντα τοὺς καρπούς, ἀνάγων αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν ἄνω καὶ τὸν τούτων αἴτιον καὶ δεσπότην, συνεχῶς ταῦτα ἐπιλέγει, δεικνὺς ὅτι ἐκ τῆς ἐκείνου χειρὸς πάντα, ἐκ τῆς ἐκείνου κηδεμονίας ἐπιρρεῖ τὰ ἀγαθά. εὐδοκίας δὲ ἐνταῦθα ἐμπιπλᾶν λέγει, * διότι ἕκαστον ζῶον πληροῖ τοῦ θελήματος αὐτοῦ, τοῦ ἀρέσκοντος αὐτῷ. οὐ γὰρ ἁπλῶς δίδωσι τροφήν, ἀλλὰ κατὰ τὸ χρήσιμον ἑκάστῳ, κατὰ τὴν ἐπιθυμίαν ἑκάστου, κατὰ τὸ πλῆρες. ὃ δὲ λέγει τοῦτό ἐστι· καὶ ἀλόγοις δίδως καὶ ἀνθρώποις καὶ πᾶσιν, ὡς ἑκάστῳ ἡδύ, ὡς ἑκάστῳ ἀρεστόν· καὶ οὐ δίδως μόνον, ἀλλὰ καὶ πληροῖς, ὡς μηδὲν εἶναι ἐνδέον.

* τουτέστιν, εὐα-
ρεστίας,

18 Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὁδοὺς ἐνταῦθα, τὰς οἰκονομίας λέγει, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, δι᾽ ἧς ἅπαντα διετύπωσε. πάντα γάρ, φησι, τὰ ἔργα αὐτοῦ ἐγκώμια, θαυμάτων γέμει, οὐδεμίαν οὐδενὶ παρέχοντα λαβήν, κἂν τινες μαίνωνται καὶ λυττῶσι. τὰ τοίνυν ἔργα φύσει τοιαῦτα, ὡς ἀπολάμπειν, ὡς ἀποστίλβειν, ὡς ἀνακηρύττειν τοῦ πεποιηκότος τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν φιλανθρωπίαν, τὴν δικαιοσύνην, τὴν ὁσιότητα.

ἀδεῶν,

19 Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Ἰδοὺ καὶ ἕτερον προνοίας μέρος, τὸ κεφάλαιον τῶν ἀγαθῶν. εἰπὼν γὰρ τὰ κοινῇ καὶ τοῖς ἀπίστοις δεδομένα, τὴν τροφήν, τοὺς ὑετούς, λέγει καὶ τὰ ἰδιαζόντως τοῖς πιστοῖς παρεχόμενα. τίνα δὲ ταῦτά ἐστι; τὸ ἐγγὺς αὐτὸν εἶναι, τουτέστιν, ἀντέχεσθαι, κήδεσθαι, προνοεῖν πολὺ μειζόνως ἐκείνων, εὔνουν αὐτοῖς εἶναι καὶ ἵλεων καὶ εὐμενῆ, μᾶλλον αὐτοῖς ἀποκαβ. Κορ. ιβ.

λύπτειν τὰ ἀγαθά. 20 Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Καὶ μήν, φησιν, ὁ Παῦλος ἐβούλετο τὸν ἄγγελον τοῦ Σατᾶν ἀποστῆναι ἀπ' αὐτοῦ· τουτέστι, τοὺς πειρασμούς, τὰς θλίψεις, τὰς ἐπιβουλάς, καὶ οὐκ ἐποίησε. καὶ μὴν ἐποίησε. τὸ γὰρ, ἐπειδὴ ἔγνω ὅτι τὰ μὴ συμφέροντα ᾔτει, πάλιν θελῆσαι καὶ σφόδρα θελῆσαι, Θεοῦ ἔργον ἦν. διὰ τοῦτο ἔλεγεν, Εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς. εἰ δὲ τὰ ἐναντία πρότερον ἐβούλετο, δι' ἄγνοιαν ἐβούλετο. ἐπειδὴ δὲ ἔμαθεν ὅτι τοῦτο ὁ Θεὸς βούλεται, καὶ αὐτὸς λοιπὸν εὐδοκεῖ. οὐ γάρ ἐστιν ἄλλο τὸ θέλημα Θεοῦ, καὶ ἄλλο τῶν φοβουμένων αὐτόν. εἰ δέ τινα καὶ αὐτοὶ ὡς ἄνθρωποι βούλονται, ἀλλ' ὕστερον διορθοῦνται. 21 Φυλάττει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Καὶ τοῦτο μέρος προνοίας οὐ μικρόν, τὸ τηρεῖν, τὸ ἀσφαλίζεσθαι, τὸ τὴν περὶ αὐτοὺς πρόνοιαν παρέχειν. ἁμαρτωλοὺς δέ φησι, τοὺς τὰ ἀνίατα νοσοῦντας, τοὺς οὐ βουλομένους διορθωθῆναι. εἰ δὲ ἴσως καὶ τῶν ἀγαπώντων αὐτὸν ἀφίησιν εἰς θανάτους ἐμπεσεῖν, καὶ τοῦτο φυλάττοντός ἐστιν, ὅπερ καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. εἰ γὰρ καὶ τὰ σώματα αὐτῶν διεφθάρη, ἀλλ' ὅμως τῇ ψυχῇ λαμπρότεροι γεγόνασιν. ἀπολήψονται δὲ καὶ τὰ σώματα ἄφθαρτα. ἐπεὶ οὖν εἶπε τῆς προνοίας αὐτοῦ τὰ εἴδη, ὅσα δυνατὸν ἦν εἰπεῖν αὐτῷ, τὰ κοινά, τὰ ἰδιάζοντα, τὰ ἐξαίρετα τῶν ἁγίων, τὴν περὶ τοὺς σαλευομένους κηδεμονίαν, τὴν περὶ τοὺς κειμένους πρόνοιαν, τὴν μακροθυμίαν, τὴν τῶν ἁμαρτωλῶν διόρθωσιν, τὴν τῶν ἁγίων φυλακήν, πάλιν εἰς αἶνον κατακλείει τὸν λόγον, καὶ τὴν οἰκουμένην ἅπασαν εἰς κοινωνίαν τῆς εὐφημίας καλεῖ λέγων· 22 Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ὁρᾷς πῶς ἀπὸ τῆς χρηστῆς διαθέσεως οὐ τοὺς εὐεργετουμένους μόνον, ἀλλὰ καὶ τοὺς κολαζομένους καλεῖ (καὶ γὰρ καὶ τοῦτο κηδεμονίας) οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ ἄλογα, καὶ τὰ στοιχεῖα, καὶ τὰ ἀναίσθητα ἅπαντα. πάντα γὰρ ἐμπέπλησται αὐτοῦ τῆς ἀγαθότητος. μὴ τοίνυν μηδὲ ἡμεῖς διαλείπωμεν τὸν οὕτω χρηστόν, τὸν οὕτω φιλάνθρωπον, τὸν πανταχοῦ ἐκτείνοντα αὐτοῦ τὴν εὐεργεσίαν συνεχῶς ἀνυμνοῦντες, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρμε. 1 ΑΙΝΕΙ Η ΨΥΧΗ ΜΟΥ ΤΟΝ ΚΥΡΙΟΝ. αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ματθ. ε. ιϛ.

α. Κορ. ϛ. κ.

Ἔνθα κατέλυσεν, ἐντεῦθεν ἄρχεται πάλιν, ἀπὸ αἴνου καὶ τῆς εὐφημίας. οὐ γὰρ μικρῶς ἐκκαθαίρει ψυχὴν τὸ τοιοῦτον. αἶνον δὲ λέγω, ὁ συνεχῶς λέγω, διὰ τῶν ἔργων· ὅπερ καὶ ὁ Χριστός φησι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν ὁ Παῦλος, Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν. καὶ ὥσπερ ἐν τῷ πρὸ τούτου ἔλεγε, καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, οὕτω καὶ ἐνταῦθα, Ψαλῶ τῷ Θεῷ μου, φησιν, ἕως ὑπάρχω. εἶτα βουλόμενος πάλιν λαβεῖν κοινωνοὺς τῆς εὐφημίας ἀνθρώπους, εἰς τὰ διηγήματα αὐτοῦ τῆς φιλανθρωπίας ἐμπίπλει, χαιρόμενος, θερμαινόμενος τῷ πόθῳ, περιτρέχων τὴν οἰκουμένην ἅπασαν, πᾶσαν, ἅπαντας συνάγων εἰς τὸν οἰκεῖον χορόν. καὶ γὰρ καὶ τοῦτο μάλιστα αἶνος, τοῦτο μάλιστα δόξα εἰς Θεὸν, ὅταν πολλοὺς ἐπιζητῇ τοὺς μέλλοντας τῆς αὐτοῦ ἀπολαύειν σωτηρίας. 2 Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἕτερος, Τῷ οὐκ ἔχοντι σῶσαι. Ἀκούετε τῆς παραινέσεως ταύτης καὶ συμβουλῆς οἱ πρὸς τὰς ἀνθρωπίνας κεχηνότες προστασίας, τὰς ἐπικήρους καὶ διεφθαρμένας. Τί δέ ἐστιν, οἷς οὐκ ἔστι σωτηρία; οὐδὲ τῆς ἰδίας, φησὶ, σωτηρίας εἰσὶ κύριοι, οὐδὲ ἑαυτοῖς παραστῆναι δύνανται. εἰ γὰρ ἐπέλθοι ἡ τελευτὴ, κείσονται λίθων ἀφωνότεροι. τοῦτο γάρ ἐστιν, ὃ ἐπιφέρει λέγων·

3 Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν. Ἕτερος, Αἱ προθέσεις αὐτῶν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Ὁ ἑαυτῷ παραστῆναι μὴ δυνάμενος, πῶς ἑτέρους ἐξαρπάσεται; οὐδὲν γὰρ οὕτως ἐπισφαλὲς καὶ σαθρὸν, ὡς ἡ τοιαύτη ἐλπίς. καὶ δείκνυσι τῶν πραγμάτων ἡ φύσις. διὸ καὶ Παῦλος περὶ τῆς εἰς Θεὸν ἐλπίδος διαλεγόμενος ἔλεγεν, Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἀλλ' οὐ τὰ ἀνθρώπινα τοιαῦτα, ἀλλὰ σκιᾶς ἀσθενέστερα. μὴ γάρ μοι εἴπῃς ὅτι ἄρχων ἐστί. καὶ γὰρ καὶ ὁ ἄρχων οὐδὲν ἔχει πλέον τοῦ τυχόντος ἀνθρώπου· τῇ αὐτῇ ἀδηλίᾳ ὑπόκειται. εἰ δέ τι χρὴ καὶ θαυμαστὸν εἰπεῖν, ἐπειδὴ ἄρχων ἐστὶ, καὶ διὰ τοῦτο μάλιστα οὐ χρὴ θαρρεῖν. ἀκροσφαλεῖς γὰρ αἱ τοιαῦται δυναστεῖαι. κἂν μὴ μεταπέσῃ, πρὸς ὀργήν ἐστιν ὀξύρρεπης, καὶ τῇ ἐξουσίᾳ πρὸς ἀγνωμοσύνην ἀποκέχρηται, ὡς οὐ μέλλων ὑπεύθυνος εἶναι τῷ τὴν ὑπόσχεσιν δεξαμένῳ. κἂν εὐγνώμων φανῇ, εὐκολωτέρας ἔχει τὰς μεταπτώσεις τῶν ἰδιωτευόντων, ὅσῳ καὶ μείζοσι καὶ πλείοσιν ἐπιβουλαῖς ὑπόκειται· καὶ μᾶλλόν ἐστιν εὐχείρωτος οὗτος, ὅσῳ καὶ πλείους ἔχει τοὺς ἐπιβουλεύοντας. τί γὰρ βούλονται οἱ σωματοφύλακες; τί δὲ αἱ πολλαὶ προφυλακαί; πῶς οὖν ὁ ἐν πόλει εὐνομουμένῃ, μηδὲ περὶ τοῦ σώματος αὐτοῦ θαρρῶν, ἀλλ' ὡς ἐν μέσοις ἀναστρεφόμενος πολεμίοις, οὕτως ὢν ἐναγώνιος, ἑτέρους σῶσαι δυνήσεται; ὁ εἰρήνης οὔσης τῶν ἐν πολέμοις χαλεπώτερον δεδοικὼς, πῶς ἑτέρους ἐν ἀσφαλείᾳ καταστήσει καὶ ἐξαρπάσεται τῶν κινδύνων; πολλοῖς δὲ δυναμένοις καθ' ἑαυτοὺς ζῆν μετὰ ἀδείας, τοῦτο αὐτὸ γέγονεν ἐπιβουλὴ, τὸ τούτοις θαρρῆσαι, καὶ καταπεσόντων ἐκείνων καὶ οὗτοι συγκατηνέχθησαν. ἑτέροις δὲ οἱ φύλακες προδόται γεγόνασιν. ἀλλ' ὅμως ὁ προφήτης ταῦτα ἅπαντα παραδραμὼν, ἐπειδὴ πολλοὶ διέφυγον, τὸ ἀναμφισβήτητον τίθησι, τὸ τῆς τελευτῆς. κἂν γὰρ ἅπαντά σοι κατὰ ῥοῦν φέρηται, κἂν εὔνους ᾖ, κἂν χάριν εἰδὼς, φησὶ, κἂν μέλλῃ ἀποδιδόναι, ἐν μέσαις ταῖς ὑποσχέσεσι καταλύσας τὸν βίον ἀφῆκέ σε ἐν ἐλπίσι κεναῖς, διὰ τὸ τὴν ζωὴν μὴ ἀρκέσαι πρὸς τὸ τῆς ὑποσχέσεως τέλος. ὅταν δὲ μηδὲ ζωὴν ἀρκοῦσαν ἔχῃ πρὸς τὴν ὑπόσχεσιν, ἀλλὰ προκαταλύεται τοῦ τέλους ὁ βίος, ἐπὶ σαθρὰν καταφεύγεις συμμαχίαν. ἢ οὐκ ἴστε πολλοὺς τοῦτο πεπονθότας, καὶ τοῦ συμμάχου πεσόντος, τοῦ προστάτου γυμνωθέντας ἐντεῦθεν μᾶλλον κατενεχθέντας; καὶ τί λέγω περὶ τῆς ἐπαγγελίας, ὅτι διαχεῖται καὶ ἀπόλλυται, ὅταν καὶ ὁ ταύτης κύριος ὢν μηδὲ αὐτὸς μένῃ; ἐπιστρέφει γάρ, φησιν, εἰς τὴν γῆν αὐτοῦ. εἰ δὲ ἐκεῖνος ἀπώλωλε, πολλῷ μᾶλλον καὶ ταῦτα. διὸ καὶ ἐπήγαγε τὸ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν, δεικνὺς ὅτι οὐ μόνον εἰς τέλος οὐχ ἥξει τὰ τῆς ἐπαγγελίας, ἀλλὰ καὶ αὐτὸς οἰχήσεται ὁ ἐπαγγελλόμενος. τί οὖν ἐντεῦθεν ποιεῖ; ἐπεὶ τῶν ἀνθρωπίνων ἀπήγαγεν ἐλπίδων, δείκνυσι λοιπὸν τὸν ἀσφαλῆ λιμένα καὶ τὸν ἀχείρωτον πύργον, καὶ συμβουλεύει. οὗτος γὰρ μάλιστα παραινέσεως ἄριστος τρόπος, ἀπάγειν τῶν σαθρῶν καὶ ἐνάγειν πρὸς τὰ ἰσχυρά· καθαιρεῖν τὰ μάταια, καὶ ἱστᾶν τὰ ἀληθινά· διελέγχειν τὰ ἀπατῶντα, καὶ δεικνύναι τὰ ὠφελοῦντα.

Ρω. ε.

τὴν ἀρχὴν
δέξαιτο

σὺν αὐτοῖς

4 Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν

αὐτοῦ. Εἶδες περιουσίαν συμβουλῆς καὶ παραινέσεως; ὅταν δὲ μακαρισμὸν εἴπῃ, πάντα λέγει τὰ ἀγαθὰ, καὶ δείκνυσι τὴν ἀσφάλειαν τῆς ἐλπίδος. μακαρίσας τοίνυν τὸν ἐλπίζοντα ἐπ' αὐτὸν, λέγει λοιπὸν τοῦ βοηθοῦ τὴν δύναμιν, δεικνὺς ὅτι ὁ μὲν ἄνθρωπος, ὁ δὲ Θεός· ὁ μὲν ἀπολλύμενος, ὁ δὲ μένων· οὐκ αὐτὸς δὲ μένων μόνος, ἀλλὰ καὶ τὰ ἔργα αὐτοῦ. διὸ καὶ οὕτως ἐπήγαγε· Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Εἰ δὲ τὰ ἔργα αὐτοῦ διαρκῆ, πολλῷ μᾶλλον αὐτὸς καὶ διαρκὴς καὶ δυνατός· καὶ ὅτι τοιοῦτος, δείκνυσιν αὐτοῦ τὰ γινόμενα τὴν ἰσχύν. τί οὖν, εἰ καὶ διαρκής ἐστι καὶ δυνατὸς, οὐ βούλεται δέ; πολλοὶ γὰρ τῶν ἀνοήτων ταῦτα λέγουσιν. ἀλλ' ὅρα πῶς καὶ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. εἰπὼν γὰρ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐπήγαγε, 5 Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις. Ὃ δὲ λέγει, τοῦτό ἐστι· τοῦτο αὐτοῦ ἐστιν ἔργον, τοῦτο σύνηθες, τοῦτο μάλιστα Θεοῦ ἴδιον, τὸ μὴ περιορᾶν ἀδικουμένους, τὸ μὴ παρατρέχειν ἐπηρεαζομένους, τὸ χεῖρα ὀρέγειν τοῖς ἐπιβουλευομένοις· καὶ τοῦτο εἰς τὸ διηνεκές· διὸ καὶ ἔφησεν, εἰς τὸν αἰῶνα, τοῦτο δηλῶν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς ἐχόμενον· Διδόντα τροφὴν τοῖς πεινῶσι. 6 Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς. Ἄλλος, Φωτίζει. 7 Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾷ δικαίους, 8 Κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Εἶδες πῶς διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν πρόνοιαν τεταμένην, καὶ ὅτι τοῦτο ἔργον αὐτῷ, λύειν συμφορὰς, λιμὸν διορθοῦσθαι, δεσμῶν ἐλευθεροῦν. ἀλλὰ ταῦτα μὲν καὶ ἰατροὶ καὶ ἄνθρωποι δύνανται· τὰ δὲ ἑξῆς οὐκ ἔτι. καὶ γὰρ τῆς φύσεως αὐτῆς τὴν πήρωσιν διορθοῦται, τοὺς πεπτωκότας ἀνιστᾷ, φησὶ, τοὺς ἐν ἀρετῇ λάμποντας ἐπαινεῖ, τοὺς ἀπροστατεύτους σώζει, τοὺς δὲ ὀρφανίαν ἢ χηρείαν δυσχεραίνοντας καὶ ὀδυρομένους παραμυθεῖται καὶ ἀνακτᾶται. εἶτα ἐπειδὴ εἶπεν, ἀγαπᾷ δικαίους, δείκνυσιν ὅτι πολλοῖς καὶ ἀπὸ συμφορᾶς μόνης ἐπήρκεσε. καὶ γὰρ οὓς διατρέφει, διὰ τὸ πεινῆν τρέφει, ὅπερ οὐκ ἔστιν ἀρετῆς· καὶ τοὺς πεπεδημένους, διὰ τὰ δεσμὰ λύει, οὐδὲ αὐτὸ δὲ ἀρετῆς, ἀλλὰ συμφορᾶς· καὶ τοὺς τυφλοὺς δὲ διὰ τὴν πήρωσιν φωτίζει· οὐδὲ τοῦτο δὲ κατορθώματος, ἀλλὰ καὶ αὐτὸ συμφορᾶς. ὁμοίως καὶ τὸ κατερρᾶχθαι, καὶ τὸ προσήλυτον εἶναι καὶ ὀρφανὸν καὶ χήραν. Εἰ δὲ τοὺς ἐν συμφοραῖς, πολλῷ μᾶλλον τοὺς ἀρετῆς ἐπιμελουμένους. ὅταν οὖν καὶ δύνηται καὶ βούληται, καὶ διαρκῆ τυγχάνῃ τὰ παρ' αὐτῷ πάντα, καὶ ἀρετὴν ἀποδέχηται, καὶ διὰ συμφορὰς ἐλεῇ, τίνος ἕνεκεν οὐκ ἀφίης τὸν ἀπολλύμενον, τὸν ἀσθενῆ, τὸν ἐπίκηρον, καὶ ἐπὶ τὸν ἰσχυρὸν καὶ ἄμαχον καταφεύγεις, τὸν οὐκ ὀνειδίζοντα τὰς συμφορὰς, ἀλλὰ διορθούμενον, τὸν πάντα ὅσα βούλεται δυνάμενον; σκόπει δὲ καὶ τὸ ἔσχατον πῶς μετὰ ἀκριβείας εἴρηκεν. οὐ γὰρ εἶπεν, ἁμαρτωλοὺς ἀφανιεῖ, ἀλλὰ τὴν ὁδὸν αὐτῶν, τουτέστι, τὴν πρᾶξιν αὐτῶν· οὐ γὰρ τὴν φύσιν ἀποστρέφεται, ἀλλὰ τὴν κακίαν μισεῖ.

9 Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν.

Εἰ τοίνυν βασιλεύει διὰ παντὸς καὶ μένει διὰ παντὸς, οὐκ ἔστιν ὑποπτεῦσαι, ἀλλὰ κἂν μὴ ἐνταῦθα δῷ τὴν ἀντίδοσιν, ἐπὶ μείζοσιν αὐτὴν φυλάττει. μὴ τοίνυν μήτε ἐν πειρασμοῖς θορυβώμεθα καὶ ταραττώμεθα, ἂν μὴ παραπόδας ἡ λύσις γίνηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῷ Κυρίῳ τῆς λύσεως· μήτε ἂν ἀγαθόν τι κατορθώσωμεν, εὐθέως ἀπαιτῶμεν τὰς ἀμοιβὰς, ἀλλὰ καὶ οὕτω πάλιν ἀναμένωμεν τὸ αὐτοῦ βούλημα (μετὰ γὰρ πλείονος δίδωσι τῆς ἀμοιβῆς, ὅταν ἀναβάλληται) καὶ διὰ πάντων εὐχαριστῶμεν, καὶ μένωμεν αἰνοῦντες. οὕτω γὰρ καὶ τὸν παρόντα αἰῶνα μετὰ πολλῆς βιώσομεν τῆς ἀδείας, καὶ τῶν ἀποῤῥήτων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρμϛ΄. 1 ΑΙΝΕΙΤΕ ΤΟΝ ΚΥΡΙΟΝ, ΟΤΙ ΑΓΑΘΟΝ ψαλμός.

Ἀνωτέρω ἐν μὲν τῷ τεσσαρακοστῷ τετάρτῳ καὶ ἑκατοστῷ ψαλμῷ ἔλεγε, μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ πολλὰ περὶ τῆς δόξης αὐτοῦ διαλέγεται· ἐνταῦθα δὲ δείκνυσι καὶ αὐτὸ τὸ αἰνεῖν ὅτι καλόν, καὶ μυρίων ἀγαθῶν αἴτιον ὁ ψαλμός. ἀφίστησι γὰρ τὴν διάνοιαν τῆς γῆς, καὶ πτεροῖ τὴν ψυχήν, κουφίζει καὶ μεταρσίους ποιεῖ. διὸ καὶ Παῦλος λέγει, Ἄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. Ἐφ. ε. ιθ. Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. Ἕτερος, Ἀλληλούϊα· ὅτι καλὸν ᾠδὴ τῷ Θεῷ. Τί ἐστι, τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις; οὕτως εὐπρόσδεκτος γένοιτο, φησίν. οὐ γὰρ ἀρκεῖ τὸ ψάλλειν ἁπλῶς πρὸς τὸ ἡδυνθῆναι τῷ Θεῷ τὴν αἴνεσιν, ἀλλὰ δεῖ καὶ τοῦ βίου καὶ τῆς προσευχῆς καὶ τῆς ἀκριβείας τοῦ ᾄδοντος. δοκεῖ δέ μοι οὗτος ὁ ψαλμὸς εἶναι τῆς ἐπανόδου. καὶ δείκνυσι διὰ τῆς ἐπαγωγῆς. ἐπάγει γὰρ λέγων,

2 Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος· τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.

Εἰ γὰρ καὶ Κῦρος αὐτοὺς ἀφῆκεν, ἀλλ' οὐ τῆς ἐκείνου γνώμης, ἀλλὰ τῆς τοῦ Θεοῦ ῥοπῆς τὸ πᾶν ἐγένετο. ἕτερος δὲ ἑρμηνευτής, ἀντὶ τοῦ οἰκοδομῶν, οἰκοδομήσει· τὰς δὲ διασποράς, τοὺς ἐξωσμένους εἶπε. τί δήποτε; ὅτι οὐκ ἀθρόον ἀνήχθησαν πάντες, ἀλλὰ μετὰ τὴν ἐπάνοδον κατὰ μικρὸν συνήγοντο. 3 Ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Ἄλλος, Τὰ κατεαγμένα αὐτῶν. Ἐπειδὴ τὴν ἀπὸ τοῦ βίου παῤῥησίαν οὐκ εἶχεν εἰπεῖν, προβάλλεται πάλιν τὴν συμφοράν, καὶ τὸ τῷ Θεῷ σύνηθες. ἔργον γὰρ αὐτῷ, τὸ τοὺς τεταπεινωμένους παρακαλεῖν, καὶ ἴδιον αὐτοῦ τοῦτο. ὥσπερ ὅταν λέγῃ καὶ Παῦλος, Ὁ ζωοποιῶν τοὺς νεκρούς· καὶ πάλιν, ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα, τὸ ἴδιον αὐτοῦ λέγων ἔργον. Ρω. δ. ιζ. οὕτω δὴ καὶ ἐνταῦθα ἐστί, ὁ ἰώμενος τοὺς συντετριμμένους λέγει, δεικνὺς ὅτι κἂν ἀνάξιοι ὦμεν, ἐπειδὴ ἔργον αὐτοῦ ἐσμεν, τὴν πρᾶξιν αὐτοῦ οὐκ ἐγκαταλείψει, τὸ εἰωθὸς αὐτῷ οὐκ ἀφήσει. οὕτω καὶ Παῦλος, Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς. β. Κορ. ζ. ϛ. καὶ πάλιν, ὁ διδοὺς τοῖς ὀλιγοψύχοις μακροθυμίαν· καὶ ὁ αὐτὸς οὗτος προφήτης ἀλλαχοῦ, Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ψαλ. ν. ιθ. ὅταν τοίνυν βουληθῇς παρακλήσεως ἀπολαῦσαι, ταπείνου σαυτόν, σύντριψόν σου τὴν διάνοιαν. τοῦτο μὲν οὖν περὶ τῆς βουλήσεως αὐτοῦ, περὶ τῆς χρηστότητος καὶ τῆς φιλανθρωπίας, ὅτι ἔργον αὐτοῦ τοῦτο, τὸ τοὺς ἐν συμφοραῖς παραμυθεῖσθαι· τὸ δὲ ἑξῆς περὶ τῆς δυνάμεως.

4 Ὁ ἀριθμῶν πλήθη ἄστρων· Τουτέστιν, ὁ εἰδώς. ἐπειδὴ γὰρ περὶ πλήθους ἦν διασπαρέντος ὁ λόγος καὶ οὐδαμοῦ φαινομένου τέως, εἰκότως τοῦτο τὸ ὑπόδειγμα εἰς μέσον ἤγαγε, δεικνὺς διὰ τούτου ὅτι καὶ τοὺς διεσπαρμένους δυνήσεται συναγαγεῖν. τούς τε γὰρ συντετριμμένους ἔθος αὐτῷ διορθοῦν καὶ παραμυθεῖσθαι, τά τε ἄπειρα πλήθη τῶν ἀστέρων μετὰ ἀκριβείας ἐπίσταται, οὐκοῦν καὶ ἡμᾶς, οἷς ἐπηγγείλατο κατὰ τὸ πλῆθος ἐκείνων ἔσεσθαι, μετὰ ἀκριβείας συνάξει. Καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

Ἕτερος, Πάντας αὐτοὺς ὀνόμασι καλέσει. Ἡγοῦμαι τοῦτο περὶ τῶν Ἰσραηλιτῶν εἰ-

Ἡσ. μα. θ.

ρῖφθαι, καὶ ταυτὸ λέγει τῷ προφήτῃ ὅπερ καὶ Ἡσαΐας μετὰ τοῦτο· Μὴ φοβοῦ Ἰσραήλ· ἐκ τῶν σκοπιῶν τῆς γῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μου εἶ. Δῆλόν ἐστι, πάντας αὐτοὺς ὀνόματι καλέσει; οὐδεὶς αὐτῶν, φησιν, ἀπολεῖται, ἀλλ' ὥσπερ τὸν κατ' ὄνομα καλοῦντος, οὕτω καὶ αὐτὸς μετὰ ἀκριβείας πάντας συνάξει.

5 Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. Ἐπειδὴ πρᾶγμα εἶπε μέγιστον, ὅτι τοσαύτας μυριάδας πανταχοῦ τῆς οἰκουμένης διασπαρείσας ἐπισυνάξει, περὶ τῆς δυνάμεως αὐτοῦ λοιπὸν διαλέγεται, καὶ τοῦτο σφόδρα θορυβουμένους τοὺς Ἰουδαίους εἰς πίστιν ἄγων. Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.

Ψαλ. ρλη. ϛ.

Ψαλ. λε. ϛ.

Μὴ ζήτει τοίνυν πῶς καὶ τίνι τρόπῳ. καὶ γὰρ ἡ μεγαλωσύνη αὐτοῦ ἄπειρος· διὰ τοῦτο ἔλεγε, τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἀλλ' ὥσπερ ἡ μεγαλωσύνη ἄπειρος, οὕτω καὶ ἡ σύνεσις. διὰ τοῦτο καὶ εἰπών, μέγας ὁ Κύριος ἡμῶν, ἐπήγαγε, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. καὶ ἡ γνῶσις δὲ αὐτοῦ θαυμαστή. διὸ καὶ ἔλεγεν, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. καὶ τὰ κρίματα δὲ αὐτοῦ πάλιν ἀνεξερεύνητα. διὸ καὶ ἔλεγε, Τὰ κρίματά σου, ἄβυσσος πολλή. ὅταν τοίνυν καὶ μέγας καὶ δυνατὸς ᾖ καὶ συνετός, μὴ περιεργάζου πῶς ταῦτα ἔσται.

6 Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς.

Ἵνα γὰρ μὴ λέγωσί τινες τῶν ἀνοήτων, τί πρὸς ἡμᾶς, ὅτι τὰ ἄστρα οἶδε μετὰ ἀκριβείας, λέγει καὶ τὴν ἐπ' ἀνθρώπων κηδεμονίαν οὕτω γινομένην· καὶ οὐκ εἶπε, βοηθῶν πραέσιν ὁ Κύριος, ἀλλ' ὃ πολλῷ μεῖζον, ἀναλαμβάνων, ὡς περὶ πατρὸς φιλοστόργου διαλεγόμενος. τί δέ ἐστιν ἀναλαμβάνων; ἀγκαλιζόμενος, φέρων, διαβαστάζων. Εἶδες πάλιν ἐφ' ἑκάτερα τὴν δύναμιν αὐτοῦ ἀπηρτισμένην, ἐπί τε τὸ αἴρειν τοὺς ταπεινούς, καὶ ταπεινοῦν τοὺς ἀπονενοημένους; οὐχ ἁπλῶς δὲ ταπεινοῖ, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς· τοῦτο γάρ ἐστι, τὸ ἕως γῆς.

7 Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει. Ἄλλος, Καταλέξατε. Εἰπὼν αὐτοῦ τὰ κατορθώματα, πάλιν ἐπὶ τὸν ὕμνον αὐτοὺς καλεῖ λέγων, ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει· τουτέστιν, ἐν εὐχαριστίᾳ, μετὰ πολλῆς τῆς σπουδῆς.

Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ. Ἄλλος, Διὰ λύρας.

8 Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν.

Ἵνα μή τις τῶν ἀναισθήτων* λέγῃ, καὶ τί πρὸς ἐμὲ τὰ οὐράνια; ἐπήγαγεν εὐθέως τὴν χρείαν τὴν ἀνθρωπίνην, δεικνὺς διὰ τῆς ἐπαγωγῆς, καὶ τίνος ἕνεκεν περιβάλλει τὸν οὐρανὸν ἐν νεφέλαις. διὰ σέ, φησιν, ἵνα σοι παρασκευάζῃ ὑετόν. καὶ ὑετὸς διὰ σέ, ἵνα ἐκβάλλῃ χόρτον. καὶ ὅρα σοφίαν. λέγει τὰ καθολικὰ ἀγαθὰ ἃ πᾶσιν ἔδωκεν, ἐπιστομίζων αὐτοὺς ἐκ περιουσίας. Εἰ γὰρ ἐπὶ τῶν ἀπίστων τοσαύτῃ κέχρηται τῇ δαψιλείᾳ, ὥστε καὶ νέφη συνάγειν, καὶ ὑετὸν κινεῖν, καὶ γῆν διεγείρειν, πολλῷ μᾶλλον ὑμῖν, οἳ αὐτῷ λαὸς περιούσιος" ἐχρηματίσατε.

* ἀλόγων

" ἐχρηματίσατε

9 Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον. Ὅρα περιουσίαν τῆς προνοίας, ὅταν μὴ μόνον ἐν ἀροσίμῃ γῇ, ἀλλὰ καὶ ἐν τοῖς ὄρεσι δαψιλῆ αὐτοῦ παρέχῃ τὴν τράπεζαν, " τὴν διατροφὴν τῶν κτηνῶν τῶν πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγενημένων. διὸ καὶ ἐπάγει, 10 Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν. Ἑτέραν πάλιν λέγει φιλοτιμίαν, ὅταν μὴ μόνον τοῖς ὑπηρετουμένοις ἀνθρώποις κτήνεσι τροφὴν παρέχῃ, ἀλλὰ καὶ ἑτέροις ἀλόγοις. Καὶ τοῖς νεοσσοῖς γάρ, φησι, τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Εἰ δὲ ἐν τοῖς ἀλόγοις, καὶ ἀλόγοις ἀχρείοις καὶ οὐ παρέχουσιν ἀνθρώποις διακονίαν τοσαύτη ἡ πρόνοια, πολλῷ μᾶλλον ἐν ἀνθρώποις, καὶ ἀνθρώποις ὑμνοῦσιν, οὓς καὶ

γρ. διὰ τὴν διατροφήν

λαὸν περιούσιον καὶ μερίδα αὐτοῦ ἐκάλεσεν. Εἶτα ἐπειδὴ ἀσθενεῖς ἦσαν καὶ ὅπλων ἔρημοι, καὶ πάντων γεγυμνωμένοι, ἵνα μηδὲ ἐντεῦθεν θορυβῶνται, ὅρα πῶς καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ἀσθένειαν λέγων· 11 Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.

12 Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ*. Ἂν ταῦτα ἔχητε, φησὶ, τὸν φόβον καὶ τὴν ἐλπίδα τὴν εἰς αὐτὸν μετὰ ἀκριβείας, ἐπισπάσεσθε αὐτοῦ τὴν εὔνοιαν· ἐπισπασάμενοι δὲ, πάντων τῶν ἵππους καὶ ὅπλα ἐχόντων ἔσεσθε δυνατώτεροι. ἓν τοίνυν ἐστὶ τὸ ζητούμενον, ὥστε μὴ ἀσχάλλειν μηδὲ θορυβεῖσθαι, ἀλλ᾽ ἀναμένειν τὸ ἔλεος αὐτοῦ. τοῦτο γὰρ μάλιστα ἐλπὶς, τὸ καὶ παραμυθίαν μὴ λαβόντας μὴ ἀπογινώσκειν, μηδὲ ἀπαγορεύειν. καὶ καλῶς εἶπε τὸ ἔλεος αὐτοῦ. οὐδὲ γὰρ εἶχον τὴν ἀπὸ τῶν ἔργων παῤῥησίαν. ἀλλ᾽ ὅμως, φησὶ, κἂν ἀπὸ τῶν ἔργων ἦτε παραδεδομένοι, ἐλπίζητε δὲ ἐπὶ τὸν ἔλεον αὐτοῦ, τεύξεσθε τῆς προνοίας καὶ τῆς βοηθείας αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

…ων, τοῖς ἀνα-
…μένουσι τὸ ἔλε-
…ς αὐτοῦ.

Ψαλμ. ρμζ. 1 ΕΠΑΙΝΕΙ ΙΕΡΟΥΣΑΛΗΜ ΤΟΝ ΚΥΡΙΟΝ, αἴνει τὸν Θεόν σου, Σιών.

ΟΥ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐνοικοῦντας ἀποτείνει τὸν λόγον, ὃ διὰ πάντος τοῦ βιβλίου ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ποιῶν. παραινεῖ δὲ συνεχῶς καὶ συμβουλεύει, ὥστε τὰς ὑπὲρ τῶν εὐεργεσιῶν εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ, καὶ μήτε οἰκοδομήμασι, μήτε ἀσφαλείᾳ περιβόλων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ θαῤῥεῖν. τοῦτο δὴ προκατασκευάσας ἐπάγει καὶ λέγει,

2 Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου· εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.

Τί ἐστι, τοὺς μοχλοὺς ἐνίσχυσεν; ἐν ἀσφαλείᾳ σε, φησι, κατέστησεν, ἀχείρωτον ἐποίησεν. εὐλόγησε τοὺς υἱούς σου· τουτέστιν, εἰς πλῆθος ἐπίδοσιν ἐποίησεν. ἓν μὲν τοῦτο εἶδος εὐεργεσίας· ἕτερον δὲ τὸ καὶ ἐν σοί. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐ διεσπαρμένους, οὐδὲ διεσκορπισμένους,* ἀλλὰ συναχθέντας καὶ ἐν σοὶ ὄντας ἐπίδοσιν ἐποίησεν. εἶτα καὶ ἄλλο προνοίας εἶδος δεικνὺς λέγει, 3 Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην.

Ἔστι γὰρ καὶ ἐν ἀσφαλείᾳ εἶναι, καὶ πολλοὺς εἶναι, καὶ πολεμεῖσθαι. ἀλλ᾽ ἐνταῦθα καὶ ταύτης ἀπηλλαγμένους δείκνυσι τῆς ἐπιβουλῆς, τῷ οὕτως εἰπεῖν καὶ δεῖξαι οὐ τὴν πόλιν μόνον ἀπαλλαγεῖσαν τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ αὐτὰς τὰς ἐσχατιάς. Εἶδες πόσας εὐεργεσίας ἀπαριθμεῖ, καὶ πρώτην καὶ μείζονα πάντων, τῷ εἰπεῖν, τὸν Θεόν σου. διὰ γὰρ τοῦ ῥήματος τούτου πάντα ταῦτα λέγει, ὅτι ᾠκειώσατό σε, ὅτι κληρονόμον σε ἐποίησεν ἑαυτοῦ, ὅτι κοινὸς ὢν ἁπάντων δεσπότης, ἐξαιρέτως σός ἐστιν, ὅπερ κεφάλαιον* πρῶτον* τῶν ἀγαθῶν. δεύτερον, ὅτι ἐν ἀσφαλείᾳ τὴν πόλιν κατέστησε. τρίτον, ὅτι πολλοὺς αὐτοὺς εἶναι ἐποίησε. τέταρτον, ὅτι πολέμων ἀπήλλαξε καὶ ταραχῆς, οὐχὶ τὴν πόλιν μόνην, ἀλλὰ καὶ τὸ ἔθνος ἅπαν· ὅτι οὐχ ἑνὶ καιρῷ καὶ δευτέρῳ καὶ τρίτῳ, ἀλλὰ διηνεκῶς τοῦτο ἐποίει· οὐ γὰρ εἶπεν ὁ θεὶς, ἀλλ᾽ ὁ τιθείς. Εἰ δέ ποτε καὶ πόλεμοι συνέβαινον, οὐκ αὐτοῦ ἐγκαταλιμπάνοντος, ἀλλ᾽ αὐτῶν ἀποπηδώντων· ὡς τό γε αὐτοῦ ἔργον τοῦτο ἦν διηνεκὲς, τὸ τειχίζειν, τὸ ἀσφαλίζεσθαι, τὸ ποιεῖν ἀπηλλάχθαι πάσης ταραχῆς καὶ πολέμου. Εἶτα καὶ ἑτέραν μετ᾽ ἐκείνης λέγει εὐεργεσίαν, τὴν εὐετηρίαν καὶ εὐθηνίαν τῶν ἀπὸ γῆς καρπῶν,

…γ. τί ἐστι τοῦτο;

…οὐδὲ πεπλανημένους,

λιν καὶ ἐνταῦθα παιδεύων αὐτοὺς μὴ τῇ γῇ, μηδὲ τῇ φύσει τῶν ἀέρων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ τὸ πᾶν λογίζεσθαι. ποίαν δὲ ταύτην; ἣν ἐπήγαγε λέγων,

Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ὅρα, οὐκ εἶπεν ἁπλῶς πυρόν, ἀλλὰ στέαρ πυροῦ, πολλὴν ἐνδεικνύμενος τὴν εὐημερίαν. στέαρ γὰρ πυροῦ, τὸ λιπαρὸν τοῦ καρποῦ δηλοῖ. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ δῶρα, δόκιμα καὶ εὐθαλῆ. τὸν κάλλιστον οὖν πυρὸν ἐνταῦθα λέγει ἐμπιπλᾶν μετὰ δαψιλείας. τοῦτο γὰρ δηλῶν οὐκ εἶπε, διδούς, ἀλλ' ἐμπιπλῶν σε. 4 Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ.

Ὅπερ αὐτῷ συνηθές ἐστιν ἀπὸ τῶν ἰδικῶν ἐπὶ τὰ κοινὰ μεταφέρειν τὸν λόγον, καὶ πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ τὰ ἰδιάζοντα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ἐπειδὴ γὰρ εἶπεν, αἴνει τὸν Θεόν σου, ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ τῶν Ἰουδαίων μόνων Θεὸν εἶναι, δείκνυσι πάσης κοινὸς τῆς οἰκουμένης ἐστί, καὶ πανταχοῦ τῆς γῆς ἡ πρόνοια αὐτοῦ τέταται, ἀπὸ τῶν ἰδιαζόντων ἐπὶ τὸ κοινὸν ἐξάγων τὸν λόγον καὶ τὴν καθόλου πρόνοιαν. διὸ καὶ εἰπών, ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἐπήγαγε, Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

Τοῦτο δὲ εἶπε, δεικνὺς ὅτι οὐ μόνον τῆς ἡμετέρας κήδεται, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. λόγον δὲ ἐνταῦθα, τὸ πρόσταγμά φησι, τὴν ἐνέργειαν τὴν προνοητικήν. εἶτα τὴν εὐκολίαν παριστάς, οὐ τῷ ὀνόματι τοῦ λόγου, ἀλλὰ καὶ τῇ προσηγορίᾳ τοῦ δρόμου ταύτην παρίστησι. καὶ οὐδὲ τοῦτο αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ τὸ τάχος προσέθηκεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅπερ ἂν ἐπιτάξῃ, μετὰ πολλῆς γίνεται τῆς ταχυτῆτος. ἐπιτάττει γὰρ πανταχοῦ τῆς οἰκουμένης. τί δὲ ἐπιτάττει; ταῦτα τὰ συνέχοντα τὴν ζωὴν τὴν ἡμετέραν, λέγω δή, τὰ περὶ τῆς τῶν ἀέρων οἰκονομίας, καὶ τῶν τροπῶν καὶ τῶν μεταβολῶν. διὸ καὶ ἐπήγαγε λέγων, 5 Διδόντος χιόνα αὐτοῦ, ὡσεὶ ἔριον, ὁμίχλην, ὡσεὶ σποδὸν πάσσοντος.

Τοῦτο ἕτερος ἑρμηνευτής, δρόσον πεπηγμένην. Ὁ δὲ Ἑβραῖος, Χεφὸρ χαώφηρ.

6 Βάλλοντος κρύσταλλον αὐτοῦ, ὡσεὶ ψωμούς. κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; 7 Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ἐνταῦθά μοι τὸ ἄμαχον καὶ ἀπέραντον αὐτοῦ τῆς δυνάμεως παρίστησιν, ὅτι καὶ οὐκ οὔσας παράγει τὰς οὐσίας, καὶ γενομένας μετατίθησι, καὶ πρὸς ὃ βούλεται μεταρρυθμίζει. ὅπερ καὶ ἕτερος προφήτης δηλῶν ἔλεγεν, Ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. Εἰ γὰρ καὶ φύσεως ἀκινήτοις ὅροις πεπέδηνται, ἀλλ' ὅταν αὐτὸς θέλῃ, λύονται οὗτοι οἱ ὅροι. αὐτῷ γὰρ *εἴκει καὶ παραχωρεῖ. καὶ ποτὲ μὲν αὐτὰς μεταβάλλει τὰς οὐσίας, ποτὲ δὲ μενούσας εἰς ἑτέραν μετατίθησιν ἐνέργειαν, καὶ τὴν μὲν οἰκείαν αὐταῖς καὶ συγκεκληρωμένην ἀφίησιν ἡσυχάζειν, ἑτέραν δὲ τὴν ἐναντίαν ἐπιδείκνυται· ὅπερ καὶ ἐπὶ τῆς καμίνου ἐποίησε. πῦρ γὰρ ἦν, καὶ οὐκ ἔκαιεν*· ἀλλὰ δρόσου τινὸς ἥδιστα οἱ ἐμβληθέντες ἀπέλαυον. πέλαγος ἦν ἐπὶ τῶν Ἰουδαίων, καὶ οὐ κατεπόντιζε τὰ ὕδατα, ἀλλὰ πέτρας στερρότερον διεβιβάζοντο. γῆ ἦν ἐπὶ τοῦ Δαθὰν καὶ Ἀβειρών, καὶ ὅμως οὐκ ἔστεγεν αὐτῶν τὰ σώματα, ἀλλὰ θαλάσσης εὐκολώτερον κατεποντίζοντο. ξύλον ἦν ξηρὸν ἡ ῥάβδος τοῦ Ἀαρών, καὶ τῶν ἐπὶ γῆς πεφυτευμένων ὡραιότερον καρπὸν ἤνεγκεν. ὄνος ἦν τὸ πάντων νωθέστερον ζῶον ἐπὶ τοῦ Βαλαάμ, καὶ ἀνθρώπου λογικοῦ οὐκ ἔλαττον ἀπολογίαν εἰς τὸν παίοντα πεποίηκε. λέοντες ἦσαν ἐπὶ τοῦ Δανιήλ, καὶ προβάτων ἡμερότητα ἐπεδείξαντο, οὐ τῆς φύσεως αὐτῶν ἀφανισθείσης, ἀλλὰ τῆς ἐνεργείας μεταβληθείσης. πολλὰ ἕτερα τοιαῦτα θαύματα καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν. μὴ οὖν, ἐπειδὴ καθ' ἕκαστον τὸν ἐνιαυτὸν καὶ ἐν ὄψεσιν ἡμῶν συμβαίνει, μικρὸν νομίσῃς τὸ θαῦμα· ἐπεὶ ἐννόησον ἡλίκον ἐστί, νῦν μὲν χιόνα φαίνεσθαι, νῦν δὲ ὕδωρ, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτας γίνεσθαι μεταβολάς. ἵνα γὰρ μή τις τῶν ἀνοήτων λογίζηται τῇ φυσικῇ τῶν στοιχεί-

Ἀμὼς ε. η.

ων

ἂν ἐνεργείᾳ, καὶ τούτων ἁπλῶς αἴτια ταῦτα νομίζῃ, ἀλλ᾽ εἰδῇ τίς ἐστιν ὁ ἐπιτάττων, ἐπὶ δὲ τὸ πρόσταγμα αὐτοῦ πάντων τούτων ἀνάγει τὸν λόγον, καί φησιν, ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· τουτέστι, τὸ πρόσταγμα. οὐ γὰρ τῶν ἀνέμων ἡ φύσις προηγουμένως τοῦτο ἐργάζεται, ἀλλ᾽ ὁ τοὺς ἀνέμους ποιήσας Θεός. ἐξήγαγε δὲ ἐπὶ τὰ στοιχεῖα τὸν λόγον, καὶ τὰς ἐν τοῖς στοιχείοις μεταβολάς, πείθων τὸν Ἰουδαῖον τὸν παχὺν καὶ ἀναίσθητον ἀπὸ τῶν καθ᾽ ἕκαστον ἐνιαυτὸν γινομένων εἰδέναι τοῦ Θεοῦ τὴν ἰσχύν, καὶ ὅτι καὶ τὰ κατ᾽ αὐτὸν ῥᾴδιον αὐτῷ διαθεῖναι πάντα, ὅσα ἂν ἐθέλῃ, καὶ ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν. ὥσπερ γὰρ κρυμοῦ γινομένου καὶ πάγου ἀνυποίστου, ῥᾴδιον αὐτῷ γαλήνην ἐργάσασθαι καὶ πάντα διαλῦσαι, οὕτω δὴ καὶ αὐτοὺς ἐν αἰχμαλωσίᾳ γινομένους καὶ ἐν πολέμοις εὐκολώτερον αὐτῷ πρὸς εἰρήνην καὶ τὴν ἑαυτῶν ἐπαναγαγεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν χειραγωγῆσαι. οὐ τοῦτο δὲ μόνον δηλοῖ, ἀλλὰ καὶ ἕτερον κεκρυμμένως αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι καθάπερ ταῦτα καὶ λυποῦντα πολλάκις χρησίμως τε καὶ ὠφελίμως γίνεται, οὕτω καὶ τὰ κατ᾽ αὐτοὺς συμφερόντως γέγονε, καὶ ἐργασάμενα πολλὴν τὴν ὠφέλειαν, ἵνα μὴ ἐπὶ πλέον λυπήσῃ, πάλιν εἰς μεταβολὴν μετέστη τὴν εὐδιεινοτέραν. τί δὲ αὐτῷ βούλεται καὶ τὰ παραδείγματα; οὐ γὰρ εἶπε, διδόντος χιόνα μόνον, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ ἔριον· οὐδὲ ὀμίχλην πάσσοντος, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ σποδόν· οὐδὲ βάλλοντος κρύσταλλον, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ ψωμούς. ἐμοὶ δοκεῖ κἀντεῦθεν τὴν εὐκολίαν τοῦ ἐργαζομένου δηλοῦν καὶ τὴν εὐπορίαν. 8 Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ
Ἰακώβ. Ἕτερος, Ἀκριβασμούς. Ἄλλος, Προστάγματα.

Δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. 9 Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει.
Ἄλλος, Ὅμοια. Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

Ὅρα πῶς πάλιν ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον καὶ τῶν Ἰουδαίων τὰ ἐξαίρετα, βουλόμενος διεγεῖραι αὐτοὺς πρὸς πλείονα σπουδήν. ἀρχόμενος μὲν τοῦ ψαλμοῦ, περὶ τῶν αἰσθητῶν διελέχθη καὶ σῶμα ὠφελούντων, οἷον ἀσφαλείας, εὐθηνείας, εἰρήνης· ἐνταῦθα δὲ ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον, τὸν περὶ τῆς νομοθεσίας λόγον ἀναπλῶν, ὅπερ * μάλιστα εἶδος εὐεργεσίας *, ἀπάγειν κακίας, χειραγωγεῖν πρὸς ἀρετήν, φωτίζειν διάνοιαν. διὸ καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοῦτο στρέφων ἔλεγε· Ποῖος ὡς οὗτος λαός; ἢ ἔθνος τὸ μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσιν οἷς * αὐτὸν ἐπικαλεσώμεθα. Δευτ. δ. ζ. καὶ ὁ Δαβὶδ πάλιν, Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. ἐγνώρισε Ψαλ. ρβ. ς. τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. καὶ ὁ Ἱερεμίας, Οὗτος Βαρὺχ γ. κγ. ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. ἀλλ᾽ ἴσως εἴποι τις ἄν· καὶ μὴ δηλώσας τοῖς λοιποῖς ἀνθρώποις, πῶς αὐτοὺς κολάζει; ὅτι μὲν γὰρ κολάζει καὶ τοὺς πρὸ τοῦ νόμου καὶ τοὺς πανταχοῦ τῆς οἰκουμένης ἁμαρτάνοντας, δῆλον ἐξ ὧν ὁ Χριστός φησι· Βασίλισσα νότου ἀναστήσεται καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην. Ματθ. ιβ. μβ. καὶ πάλιν, Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. πάντως γὰρ διὰ τοῦτο οὕτως εἴρηται, ὡς κἀκείνων λόγον ὑπεχόντων, καὶ τῶν μὲν ἐπαινουμένων, τῶν δὲ κολαζομένων. εἰ δὲ μὴ ἦν δῆλα αὐτοῖς τὰ πρακτέα, πῶς ἔμελλον κατακρίνειν τούτους; πῶς δὲ πάλιν ἔλεγεν, ὅτι τὸ αἷμα ἐκδικηθήσεται ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου; πῶς δὲ καὶ ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας; τὸ γὰρ εἰπεῖν, ἀνεκτότερον, οὐ τελείαν ἀπαλλαγήν, ἀλλὰ κουφοτέραν τιμωρίαν, ὧν ἥμαρτον, αὐτοὺς διδόναι δηλοῖ. εἰ δὲ οἱ κολασθέντες οὕτω χαλεπῶς πάλιν δίκην διδόασι, τίς τῶν

ἄλλων διαφεύξεται; ὁρῶμεν δὲ καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ δίκην δεδωκότας καὶ ἑτέρους πολλούς, καὶ αὐτὸν δὲ τὸν Κάϊν. καὶ ὁ Παῦλος δέ φησι τὸ αὐτὸ τοῦτο δηλῶν·

Ρω. α. ιη.

Ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν αὐτοῖς. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. εἶτα τὰ περὶ τοῦ βίου κινῶν λέγει, οὐδὲ ἐνταῦθα ἀφίησιν αὐτοὺς ἀνευθύνους οὕτω λέγων· οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

Ρω. β. γ.

Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν, τοῖς δὲ ἐξ ἐριθείας ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλίψις. καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. ὁρᾷς διὰ πάντων τῶν εἰρημένων πῶς ἅπαντες ὅσοι γεγόνασιν ἄνθρωποι καὶ πρὸ τοῦ νόμου δίκην διδόασι, καὶ ὅσοι τῆς ἀρετῆς ἐπεμελήσαντο καὶ ἀσεβείας ἀπηλλάγησαν, ἀγαθῶν ἀπολαύουσι; πῶς οὖν ἢ τοῦτο ἔσται, ἢ ἐκεῖνο, εἴπερ οὐκ ᾔδεισαν τὸ πρακτέον; εἰ δὲ καὶ ᾔδεισαν τὸ πρακτέον, φησί, πῶς λέγει, οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς; τί οὖν ἐστι τὸ εἰρημένον, καὶ τί ποτε δηλῶσαι βούλεται; ἄκουε· γραπτὸν νόμον οὐδενὶ τῶν ἄλλων ἔδωκε. τὸν μὲν γὰρ φυσικὸν ἔνδοθεν εἶχον ἅπαντες ἐνηχοῦντα, τί μὲν καλόν, τί δὲ οὐ τοιοῦτον. ὁμοῦ γὰρ πλάττων τὸν ἄνθρωπον ὁ Θεὸς τοῦτο αὐτῷ ἐνέθηκε δικαστήριον ἀδέκαστον, τὴν ἐν ἑκάστῳ τοῦ συνειδότος ψῆφον. τοῖς δὲ Ἰουδαίοις ἐξαίρετόν τι ἐπραγματεύσατο, τὸ καὶ διὰ γραμμάτων δηλῶσαι τὰ νόμιμα. διὰ τοῦτο καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐκ ἐποίησεν ἐν παντὶ ἔθνει, ἀλλ' οὕτως οὐκ ἐποίησε· τουτέστιν, οὐ πλάκας αὐτοῖς ἔπεμψεν, οὐ γράμματα, οὐ νομοθέτην Μωϋσέα, οὐ τἄλλα τὰ ἐπὶ τοῦ Σινᾶ ὄρους· ἀλλὰ τούτων ἁπάντων ἐκ περιουσίας Ἰουδαῖοι μόνοι ἀπήλαυσαν. ἡ μέντοι πᾶσα φύσις ἡ ἀνθρωπίνη ἀρκοῦντα εἶχε τὸν ἀπὸ τοῦ συνειδότος νόμον. ἅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν·

Ρω. β. ιδ.

Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. διὸ καὶ μείζονος τῆς κατακρίσεως Ἰουδαῖοι ἄξιοι, ὅτι μετὰ τοῦ φυσικοῦ καὶ τὸν γραπτὸν λαβόντες, τοσαῦτα παρηνόμησαν. ὥστε ἡ πολλὴ τοῦ Θεοῦ εὐεργεσία, πλείονος αὐτοῖς κατακρίσεως ὑπόθεσις γέγονεν ἐρραθυμηκόσι. κατὰ μὲν οὖν τὸ ῥητὸν ἀρκεῖ τὰ εἰρημένα· εἰ δέ τις ἐπιθυμίαν ἔχει καὶ κατὰ ἀναγωγὴν τὸν ψαλμὸν ἐκλαβεῖν, οὐ παραιτησόμεθα καὶ ταύτην ὁδεῦσαι τὴν ὁδόν, οὐ λυμαινόμενοι τὴν ἱστορίαν (μὴ γένοιτο) ἀλλὰ μετ' ἐκείνης καὶ ταῦτα προστιθέντες τοῖς φιλοπονωτέροις, καθὼς ἂν οἷόν τε ᾖ. ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών. οἶδεν Ἱερουσαλὴμ τὴν ἄνω ὁ Παῦλος, περὶ ἧς λέγει·

Γαλ. δ. κϛ.

Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. ὥσπερ καὶ Σιὼν οἶδε τὴν ἐκκλησίαν, ὅταν λέγῃ·

Εβρ. ιβ. ιη.

Οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, ἀλλὰ προσεληλύθατε Σιὼν πόλει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. δυνατὸν οὖν κατὰ ἀναγωγὴν καὶ περὶ ταύτης λέγεσθαι τό, ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών· ὅτι ἐ-

νίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. καὶ γὰρ τῆς Ἱερουσα-
λὴμ ἀσφαλέστερον αὐτὴν ἐτείχισεν, οὐ μοχλοῖς καὶ θύραις, ἀλλὰ τῷ σταυρῷ περιφράξας
καὶ τῇ ἀποφάσει τῆς οἰκείας δυνάμεως, δι᾽ ἧς ἀνέστησεν αὐτῆς πανταχοῦ τὸν περίβολον,
εἰπὼν ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐν γοῦν προοιμίοις, βασιλεῖς ἅπαν-
τες καὶ δῆμοι καὶ πόλεις, καὶ τῶν δαιμόνων αἱ φάλαγγες, καὶ αὐτὴ τοῦ διαβόλου ἡ τυραν-
νίς, καὶ μυρία πράγματα ἐπέθεντο τῇ ἐκκλησίᾳ. καὶ ὅμως πάντα μὲν ἐκεῖνα διελύ-
θη καὶ ἀπώλετο· αὐτὴ δὲ αὐξομένη πρὸς ὕψος ἤρθη τοσοῦτον, ὅτι καὶ αὐτοὺς ὑπερέβη τοὺς
οὐρανούς. εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. ὥσπερ ἐξ ἀρχῆς εἶπεν, αὐξάνεσθε καὶ πληθύ-
νεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ διὰ τῆς γῆς ἁπάσης ὁ λόγος διέδραμεν· οὕτω μετὰ ταῦ-
τα εἰπών, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον Ματθ. κη. ιθ. καὶ κδ. ιδ.
τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, καὶ αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἐν βραχείᾳ καιροῦ ῥοπῇ
κατέλαβε τὸ ἐπίταγμα. διὸ καὶ ἔλεγεν, Ὁ κόκκος τοῦ σίτου, ἐὰν μὴ πεσὼν εἰς τὴν γῆν μὴ ἀπο- Ιω. ιβ. κδ. λβ.
θάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει· καὶ πάλιν, ὅταν ὑψω[illegible]άν-
τας ἑλκύσω πρὸς ἐμαυτόν. παρὰ μὲν οὖν τὴν ἀρχὴν ἐξ ἑνὸς ἐγένοντο πολλοί, νόμῳ φύσεως τοῦ
πλήθους αὐξομένου· διὸ καὶ σχολαιότερον τὸ πρᾶγμα προήει· ἐπὶ δὲ τῶν ἀποστόλων, οὐ νόμῳ
φύσεως, ἀλλὰ χάριτι τὸ πλῆθος ἐπεδίδου· διόπερ εὐθέως ἐν μιᾷ ἡμέρᾳ τρισχίλιοι, εἶτα
μύριοι, εἶτα πᾶσα ἡ οἰκουμένη διὰ τῆς καλῆς ταύτης ἀναγεννήσεως τεχθέντες, ηὐξήθησάν
τε καὶ ἐπληθύνθησαν, καὶ τὴν εὐλογίαν διὰ τῶν ἔργων ἣν ἔλαβον ἐπεδείξαντο. οὐ γὰρ ἐξ αἱμά-
των, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ᾽ ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἐγεννήθησαν. ὁ τιθεὶς τὰ
ὅριά σου εἰρήνην. τοῦτο μάλιστα περὶ τῆς ἐκκλησίας ἄν τις εἴποι κυρίως, καὶ τὸ δὴ
θαυμαστότερον, ὅτι πολεμουμένη εἰρήνης ἀπέλαυε, καὶ πάντων ἐπιβουλευόντων τῇ ἀδείᾳ
ἐνετρύφα. διὸ καὶ ἔλεγεν, Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδω- Ιω. ιδ. κζ.
μι ὑμῖν. καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. δυνατὸν καὶ ἐπὶ τῆς ἐκκλησίας τοῦτο λαμβάνε-
σθαι ἑτέρως εἰς πνευματικὴν τροφήν, ὃν ἄρτον ἡμῖν δέδωκε τὸν τῆς ζωῆς. ὁ ἀποστέλ-
λων τὸν λόγον αὐτοῦ τῇ γῇ. ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. ποῖος λόγος, εἰπέ μοι; ὁ
διὰ τῶν ἀποστόλων, ὁ πτεροῦ κουφότερον πάντα περιδραμών. διὸ καὶ ὁ Δαβὶδ τοῦτο
ἀλλαχοῦ αἰνιττόμενος λέγει, Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Ψαλμ. ξζ. ιβ.
εἰ δέ τις ἀμφιβάλλοι τῶν ἀνοήτων, ἀπὸ τῶν κατὰ τὰ στοιχεῖα γινομένων λαμβανέτω τὴν
ἀπόδειξιν καὶ μανθανέτω, πῶς ἡ χιὼν ἀθρόον ἔπεισι, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν καλύ-
πτει τὴν γῆν, οὐκ ἐκ περιόδου ἐπιοῦσα τῷ προσώπῳ ταύτης, ἀλλ᾽ ἀθρόον αὐτὴν
περιστέλλουσα. ἐπειδὴ τοίνυν προφήτης ἦν, καὶ εἰκὸς αὐτὸν τὰ μέλλοντα προαναφω-
νοῦντα καὶ αἰνιττόμενον κατ᾽ ἀναγωγὴν ταῦτα λέγειν, ἀκολούθως τῷ περὶ τῶν στοιχείων ἐν-
διατρίβει λόγῳ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μέλλει πᾶσα ἡ γῆ τῷ λόγῳ τοῦ Θεοῦ κατηχεῖ-
σθαι, καὶ μετὰ πολλοῦ τοῦ τάχους, καὶ ἐν βραχεῖ καιρῷ. εἶτα ἵνα μή τις ἀμφιβάλλῃ, εἰ Ἰουδαῖ-
οι ἔθνος ἐν τοσούτῳ χρόνῳ τοσαύτης ἀπολαῦσαν ἐπιμελείας οὐ γέγονε δόκιμον, πῶς τοὺς
τὴν οἰκουμένην οἰκοῦντας ἐν βραχεῖ καιρῷ δυνατὸν μεταρρυθμισθῆναι, εἰς βεβαί-
ωσιν τοῦ λόγου τὰ ἀπὸ τῶν στοιχείων παραδείγματα παραλαμβάνει, τὴν χιόνα, τὴν ὁ-
μίχλην, τὸν κρύσταλλον, ἅπερ μάλιστα ἐν μιᾷ καιροῦ ῥοπῇ γίνεται. μὴ τοίνυν ἀπιστήσῃς,
εἰ καὶ τὰ τῆς γνώμης αὐτῶν μέλλοι μεταβάλλεσθαι εὐκόλως. ἀλλὰ πολλοὶ οἱ ἀνθι-
στάμενοι; ἀλλὰ καὶ οὗτοι ἐκστήσονται καὶ παραχωρήσουσιν. εἰ γὰρ ψύχους ὀλίγον σφοδρό-
τερον γινόμενον οὐδεὶς ἐνεγκεῖν δύναται, ἀλλ᾽ εἴκουσιν αὐτῷ πάντες καὶ παραχωροῦσι,
πολλῷ μᾶλλον τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι αὐτοῦ πάντα ἐκστήσεται τὰ ἐναντιούμενα.
καὶ γὰρ τὰς οὐσίας ἱκανὸς μεταθεῖναι, καὶ μὴ οὔσας παραγαγεῖν, καὶ εἰς τοσαύτην αὐξῆ-
σαι

σαι δύναμιν, ὡς πᾶσι καὶ δλύποιστα ταῦτα γίνεσθαι. ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. ἐνταῦθα καὶ τὸν Ἰακὼβ οὐκ ἄλλον ἴσως, ἀλλ' ἤτοι τὸν πνευματικὸν εἰπὼν καὶ τὸν Ἰσραήλ, ὃν καὶ Παῦλος οἶδε λέγων, Εἰρήνη ὑμῖν καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γαλ. ϛ. ιϛ.

Ψαλμ. ρμη. 1 ΑΙΝΕΙΤΕ ΤΟΝ ΚΥΡΙΟΝ ΕΚ ΤΩΝ οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. 2 Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ.

Ἔθος τοιοῦτον τοῖς ἁγίοις διὰ πολλὴν εὐγνωμοσύνην, ἐπειδὰν μέλλωσιν εὐχαριστεῖν τῷ Θεῷ, πολλοὺς καλεῖν κοινωνοὺς τῆς εὐφημίας, καὶ παρακαλεῖν συνεφάπτεσθαι τῆς καλῆς ταύτης λειτουργίας αὐτοῖς. τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς πεποιήκασι, τὴν κτίσιν ἅπασαν, ἡνίκα ἦσαν ἐν τῇ καμίνῳ, πρὸς τὴν εὐφημίαν τῆς ὑπὲρ αὐτῶν εὐεργεσίας καλέσαντες καὶ πρὸς τὴν τοῦ Θεοῦ ὑμνῳδίαν. τοῦτο καὶ οὗτος ἐνταῦθα ποιεῖ, ἑκάτερον τὸν κόσμον καλῶν, τὸν ἄνω, τὸν κάτω, τὸν αἰσθητόν, τὸν νοητόν. τοῦτο καὶ ὁ προφήτης Ἡσαΐας, ὡς ὅταν λέγῃ· Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. καὶ αὐτὸς δὲ οὗτος πάλιν ὅταν λέγῃ· Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. καὶ ἀλλαχοῦ πάλιν ὁ Ἡσαΐας· Νεφέλαι ῥανάτωσαν δικαιοσύνην. ἅτε γὰρ οὐκ ὄντες ἱκανοὶ μόνοι πρὸς τὴν εὐφημίαν τοῦ δεσπότου, περιέρχονται πάντας κοινωνοὺς λαβεῖν τῆς ὑμνῳδίας. καὶ οὗτος συνεχῶς μάλιστα τοῦτο ποιεῖ, ὡς ὅταν λέγῃ, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· καὶ πάλιν, Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. καὶ ἕτερον δέ τι * ἐκ τούτου κατασκευάζει. ποῖον δὴ τοῦτο; τὸ μηδένα τῶν ἀλογωτέρων νομίσαι δύο δημιουργοὺς εἶναι. ἐπειδὴ γὰρ αἱ κτίσεις διάφοροι καὶ διεστήκασιν ἀλλήλων ταῖς οὐσίαις (ἡ μὲν γάρ ἐστιν αἰσθητή, ἡ δὲ νοητή, ἡ μὲν ὁρατή, ἡ δὲ ἀόρατος, ἡ μὲν σωμάτων ἐμπέπλησται, ἡ δέ ἐστιν ἀσώματος) ἵνα μή τις ἐκ τῆς διαφορᾶς τῶν ἔργων διαφόρους δημιουργοὺς ἐπεισαγάγῃ, ἕνα χορὸν ἵστησιν, ἐξ ἁπάντων μίαν ἀνάγων αὐτῷ τὴν μελῳδίαν, καὶ τὸν αὐτὸν λέγων δεῖν ἀπό τε τῆς ἄνω, ἀπό τε τῆς κάτω κτίσεως ὑμνεῖσθαι Θεόν, δηλῶν καὶ ἐντεῦθεν, ὅτι εἷς ἑκατέρας ὁ δημιουργός. καὶ πρότερον ἄνωθεν ἄρχεται λέγων, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, Αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Ησ. μθ. ιγ.

Ψαλ. ριγ.

Ησ. με.

Ψαλ. ϟϛ. ζ.

Ψαλ. ρβ. κ.

Ἕτερος, Πᾶσαι αἱ στρατιαὶ αὐτοῦ· τὰ χερουβὶμ λέγων, τὰ σεραφίμ, τὰς κυριότητας, τὰς ἀρχάς, τὰς ἐξουσίας. τοῦτο σφόδρα ἐκκαιομένης ψυχῆς, τοῦτο φίλτρου πεπυρωμένου, τὸ πάντας διεγείρειν πρὸς τὴν εὐφημίαν τοῦ ποθουμένου· τοῦτο συνεχῶς ἐντρυφώσης διανοίας τῇ περὶ τοῦ Θεοῦ ἐννοίᾳ, ἐκπληττομένης, θαυμαζούσης τὴν δόξαν αὐτοῦ, ἀνακειμένης αὐτῷ. 3 Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Ἕτερος, Ἀστέρες φωτός.

4 Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, 5 Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. 6 Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄλλος, Ἔστησεν αὐτὰ διαμένειν αἰωνίως. Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Τίνος ἕνεκεν ὀλίγα περὶ τῶν οὐρανίων δυνάμεων εἰπών, ταχέως ἀπεπήδησεν ἐπὶ

γῆν,

θεν, καὶ ἐν τοῖς ὁρωμένοις τὸν λόγον ἀγαγὼν ἐνταῦθα αὐτὸν μιμεῖται, πάντα καθ᾽ ἕκαστον ἐπεξιών, τὰ ἄνω, τὰ κάτω; ὅτι ταῦτα τοῖς τότε ἀκούουσι σαφέστερα ἦν, ἅτε ὁρώμενα καὶ παρ᾽ ὀφθαλμῶν κείμενα. διὸ καὶ Μωϋσῆς ἀρχόμενος τῆς δημιουργίας, καὶ μηδὲν περὶ τῶν ἄνω διαλεχθείς, μὴ μικρόν, μὴ μέγα, ἀπ᾽ οὐρανοῦ καὶ γῆς ποιεῖται τὴν ἀρχήν, καὶ διαβαίνει λοιπὸν διὰ ἡλίου καὶ σελήνης καὶ βοτανῶν καὶ νηκτῶν καὶ τετραπόδων, καὶ εἰς τὸν ἄνθρωπον καταλύει τὸν λόγον. οὐρανοὺς δὲ οὐρανῶν ἐνταῦθα λέγων, οὐ πλῆθος ἐνδείκνυται, ἀλλ᾽ οὐρανὸν οὐρανοῦ τὸν αὐτὸν λέγει. τῇ γὰρ Ἑβραίων φωνῇ, τὸν οὐρανὸν ἔθος οὐρανοὺς καλεῖν· καθάπερ καὶ ἑτέρωθί φησιν, Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. ἤκουες καὶ Μωϋσέως λέγοντος, ὅτι τῶν ὑδάτων τὰ μὲν εἴασε κάτω, τὰ δὲ ὑπὲρ τῶν νώτων τῶν οὐρανίων μετεωρίζεσθαι παρεσκεύασεν, ἐν τῷ μέσῳ τῆς ἀβύσσου πήξας τὸ στερέωμα, καὶ ὑπὲρ τῶν νώτων ἀφεὶς τὰ ὕδατα μένειν. καὶ πῶς ταῦτα αἰνεῖ, ἴσως εἴποι τις ἄν, οὐ φωνὴν ἔχοντα, οὐ γλῶτταν, οὐ ψυχήν, οὐ λογισμόν, οὐ νοῦν, οὐ φωνητικὸν ὄργανον, οὐ διάνοιαν; ὅτι δύο δοξολογίας τρόποι· εἷς μέν, ὁ διὰ ῥημάτων, ἕτερος δέ, ὁ δι᾽ ὄψεως, καὶ τρίτος δὲ μετὰ τούτων, ὁ διὰ βίου καὶ ἔργων. καὶ γὰρ καὶ ἀνθρώπων οὐ φθεγγομένων μόνον, ἀλλὰ καὶ σιγώντων, δόξα ἀναφέρεται τῷ Θεῷ, ὥσπερ καὶ ὁ Χριστός φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν, Τοὺς δοξάζοντάς με δοξάσω. ἔστι καὶ διὰ γλώττης δοξολογία, ὡς καὶ Μωϋσῆς ἐδόξασε μετὰ τῆς Μαρίας λέγων· Ἄσωμεν τῷ Κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται. ἔστι καὶ ἡ διὰ τῆς κτίσεως αὐτῆς, ὡς αὐτὸς οὗτός φησιν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. οὕτω καὶ ἐνταῦθα αἰνεῖ αὐτὸν ἡ κτίσις τῷ κάλλει, τῇ θέσει, τῷ μεγέθει, τῇ φύσει, τῇ χρήσει, τῇ διακονίᾳ, τῇ διαμονῇ, τῇ λυσιτελείᾳ τῇ ἐξ αὐτῶν γινομένῃ. ὅταν οὖν λέγῃ, αἰνεῖτε τὸν Κύριον ἄγγελοι, δυνάμεις, οὐρανοί, σελήνη, ἥλιος, ἀστέρες, τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, τοῦτο λέγει, ὅτι ἕκαστον τῶν γινομένων ἄξιον τῆς τοῦ πεποιηκότος σοφίας, καὶ πολλοῦ γέμει τοῦ θαύματος· ὅπερ συντόμως ὁ Μωϋσῆς ἐν προοιμίοις ἔλεγε, καὶ εἶδεν ὁ Θεὸς ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· οὕτω καλά, ὡς δοξάζειν τὸν πεποιηκότα, καὶ τὸν θεατὴν ἐνάγειν εἰς εὐφημίαν τοῦ τεκτηναμένου. αἶνον οὖν τοῦτό φησι, τὸ κάλλος τῶν γινομένων τίκτον ὑμνολογίαν τῷ πεποιηκότι. ὅπερ καὶ ὁ Παῦλος δηλοῖ· Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. καὶ ὁ προφήτης δὲ οὐκ εἰπὼν τὰ κτίσματα, καὶ τῇ ὄψει τῶν θεωμένων καταλιπὼν τὸ κάλλος αὐτῶν καταμανθάνειν καὶ τὸ μέγεθος καὶ τὴν χρείαν, αὐτὸς ἑτέραν τίθησιν αἰτίαν, λέγων· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. ὅτι μὲν οὖν καλὰ καὶ θαυμάσια, καὶ αὐτὴ ἡ ὄψις δηλοῖ· ὅτι δὲ καὶ δημιουργὸν ἔχει, καὶ οὐκ αὐτόματα ταῦτα, οὐδὲ ἀγένητα, ἱκανὸν μὲν καὶ τοῦτο ἀπὸ τῆς ἑρμηνείας αὐτῆς κατιδεῖν· εἰ δέ τις ἀμφιβάλλοι, παρ᾽ ἐμοῦ μανθανέτω, ὅτι δημιουργὸν ἔχει καὶ ποιητὴν καὶ προνοητὴν καὶ κηδεμόνα. δύο γὰρ ἐνταῦθα τίθησι, μᾶλλον δὲ τρία· εἰ δέ τις ἀκριβῶς ἐξετάζοι, καὶ τέσσαρα· ὅτι τε ἐποίησε, καὶ ἐξ οὐκ ὄντων ἐποίησε, καὶ μετ᾽ εὐκολίας ἐποίησε, καὶ γινόμενα διακρατεῖ. τὸ μὲν γὰρ εἰπεῖν, αὐτὸς εἶπε, τὴν εὐκολίαν δηλοῖ· ὡς καὶ Παῦλος δηλῶν ἔλεγε· Τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα· τῷ ὀνόματι τῆς κλήσεως, τὴν εὐκολίαν ἡμῖν αἰνιττόμενος. ὅτι δὲ καὶ γινόμενα διακρατεῖ, αὐτὸς ὁ προφήτης πάλιν δείκνυσιν ἐπαγαγών, ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. ὅρα καὶ ἐνταῦθα*, τὴν ἐξουσίαν, τὴν αὐθεντί-

Ψαλμ. ριγ.

α. Βασ. β. λ.

Ἐξοδ. ιε. α.

Ψαλμ. ιη. α.

Ρωμ. α. κ.

Ρωμ. δ. ιζ.

δὴν πῶς παρεδήλωσεν, οὐ τῷ στῆναι μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν πρόσταγμα, ταῖς ἀνθρωπίναις λέξεσι τὴν ἐνέργειαν αὐτοῦ παραδηλῶν. ὥσπερ γάρ σοι τὸ εἰπεῖν εὔκολον, καὶ τὸ προστάξαι ῥᾴδιον, οὕτω τῷ Θεῷ τὸ ποιῆσαι τὰ οὐκ ὄντα, καὶ γενόμενα διακρατῆσαι· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. οὐδὲ γὰρ δυνατὸν παραστῆσαι τῆς εὐκολίας τὴν ὑπερβολὴν, μεθ' ἧς ταῦτα ἐποίησε. καὶ τὸ δὴ θαυμαστὸν, οὐχ ὅτι διεκράτησε μόνον, οὐδὲ ὅτι ἑστήκασιν ἀκίνητοι οἱ νόμοι τῆς φύσεως, ἀλλ' ὅτι καὶ χρόνον οὕτως ἄπειρον. ἐννόησον γοῦν πόσος αἰὼν, καὶ οὐδὲν συνεχύθη τῶν ὄντων· οὐ θάλαττα τὴν γῆν ἐπέκλυσεν, οὐχ ἥλιος τόδε τὸ ὁρώμενον κατέκαυσεν, οὐκ οὐρανὸς περιεσαλεύθη, οὐ νυκτὸς οὐδὲ ἡμέρας ὅροι συνεχύθησαν, οὐχ ὡρῶν τροπαὶ, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ἕκαστον καὶ τῶν κάτω καὶ τῶν ἄνω μετὰ πάσης ἕστηκε τῆς ἀκριβείας τοὺς ἅπαξ τεθέντας ὅρους ἐξ ἀρχῆς αὐτῷ διατηρῶν. εἰπὼν τοίνυν περὶ τῆς ἄνω κτίσεως καὶ τῶν κατ' οὐρανὸν, κάτεισιν ἐπὶ τὴν γῆν. ὅπερ δὲ ἐποίησεν ἐπὶ τῶν ἄνω, ἀρξάμενος μὲν ἀπὸ τῶν ὑπερουρανίων, καταβὰς δὲ εἰς τὰ οὐράνια, τοῦτο καὶ ἐνταῦθα ποιεῖ ἀπὸ τῶν οὐρανίων ἐπὶ τὴν γῆν μεταπηδῶν. ἐπειδὴ γάρ τινές εἰσι λέγοντες, τὰ μὲν κατ' οὐρανὸν τῆς τοῦ Θεοῦ δημιουργίας ἄξια εἶναι, τῶν δὲ ἐπὶ γῆς ἐπιλαμβάνονται [διὰ τὸ ἐν αὐτῇ εἶναι] σκορπίους λέγοντες, ἔχεις, δράκοντας, καὶ τὸ λοιπὸν τῶν θηρίων γένος, καὶ τὰ ἄκαρπα τῶν δένδρων, πρὸς τούτους ὥσπερ ἀπολογούμενος, ἑτέρως πάλιν μεταχειρίζει τὸν λόγον. καὶ ὅρα τί ποιεῖ. τὰ ὡμολογημένα καλὰ ἀφεὶς, πρόβατα καὶ βόας, ὧν καὶ ἡ πεῖρα τὴν χρείαν δείκνυσιν, ὄνους, καμήλους, καὶ ὅσα πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν μετακομιδὴν ἐπιτήδεια, ἐν τοῖς δοκοῦσιν ἀχρήστοις εἶναι περιάγει τὸν λόγον, δράκοντας εἰς μέσον ἄγων, καὶ τὸ ἄπλωτον τοῦ πελάγους μέρος, καὶ τὰ δοκοῦντα λυπεῖν, οἷον τὸ πῦρ, τὴν χάλαζαν, τὴν χιόνα, τὸν κρύσταλλον. εἶτα τὰ ἄκαρπα τῶν δένδρων, τὰ ὄρη· καὶ πάλιν τὰ πεδία καταλιπὼν, τὰ ὕπτια καὶ πρὸς γεωργίαν ἐπιτήδεια καὶ καρπῶν ἡμέρων φορὰν, ἐπὶ τὰ ὄρη μεταβαίνει καὶ τοὺς βουνοὺς καὶ τὰ ἐρημότερα τῶν χωρίων, καὶ τῶν ἑρπετῶν μέμνηται πάντων. ὥστε δὲ σαφέστερον ταῦτα μαθεῖν, ἄξιον ἐπακοῦσαι αὐτῶν τῶν ῥημάτων. μετὰ γὰρ τὸ εἰπεῖν, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται, ἐπήγαγεν·

7 Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι·

8 Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον
αὐτοῦ. Ἕτερος, Ἄνεμος τυφῶνος. 9 Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρ-
ποφόρα καὶ πᾶσαι κέδροι· 10 Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετει-
νὰ πτερωτά. Τίνος ἕνεκεν οὕτω μεταχειρίζει τὸν λόγον; ἐκ περιουσίας δεικνὺς τὴν

Θεοῦ τὴν πρόνοιαν. εἰ γὰρ τὰ δοκοῦντα ἄχρηστα εἶναι, καὶ πολέμια τῷ γένει τῶν ἀνθρώπων οὕτως ἐστὶ καλὰ, οὕτω χρήσιμα, ὡς καὶ αὐτὰ ὕμνον ἀναφέρειν τῷ Θεῷ καὶ δοξολογίαν διὰ τῆς οἰκείας δημιουργίας, ἐννόησον οἷα τὰ ἄλλα. καὶ εἰ δοκεῖ, ἐπέλθωμεν ἕκαστον τῶν εἰρημένων. δράκοντές, φησὶ, καὶ πᾶσαι ἄβυσσοι. δράκοντας ἐνταῦθα τὰ κήτη λέγει, ὡς καὶ ἀλλαχοῦ ὅταν λέγῃ, Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. καὶ πολλαχοῦ ἴδοι τις ἂν τὸ ζῶον τοῦτο οὕτω καλούμενον. καὶ πῶς τοῦτο αἰνεῖ τὸν ποιήσαντα, φησί; καὶ πῶς οὐκ αἰνεῖ; ὅταν γὰρ ἴδῃς τὸ μέγεθος, τὴν σύμπηξιν τοῦ σώματος, ἣν ἐν τῷ Ἰὼβ ἡ γραφὴ διηγεῖται μετὰ πλείονος τῆς σαφηνείας, πῶς οὐ θαυμάσεις τὸν δημιουργήσαντα, ἡλίκον ζῶον παρήγαγεν; οὐ διὰ τὸ μέγεθος δὲ μόνον, ἀλλ' ὅτι καὶ χωρίον αὐτῷ τῆς θαλάσσης τὸ ἄπλωτον ἀπεκλήρωσε μέρος. καὶ ἄξιον θαυμάζειν πῶς οὐχ ὑπερβαίνει τοὺς οἰκείους ὅρους, ζῶον ἄγριον ὂν καὶ σφόδρα μέγιστον, ἀλλὰ μένει τοῖς οἰκείοις τόποις ἐνδιαιτώμενον, καὶ οὐ μόνον οὐκ ἔξεισι πρὸς τὴν γῆν, οὐδὲ πρὸς τὴν οἰκουμένην χώραν,

ἀλλ'

ἐκεῖνο

χάλαζαν

ψαλ. ργ. κς.

Ἰὼβ μ. και

ἀλλ᾽ οὐδὲ τῆς θαλάττης τὸ πρὸς ναυτιλίαν ἐπιτήδειον λυμαίνεται μέρος, οὐ δαπανᾷ τῶν ἰχθύων τὰ γένη, ἀλλ᾽ εἴσω τῆς οἰκείας ἐνδιαιτᾶται χώρας. καὶ οὐ ταῦτα μόνον ἄξιον θαυμάζειν, ἀλλὰ καὶ τὴν ἄβυσσον, ὅση τὸ βάθος ἐστίν. ὅπερ δὲ ἐπὶ τοῦ θηρίου, τοῦτο καὶ ἐπὶ τῆς θαλάσσης ἔστιν ἰδεῖν. καὶ γὰρ καὶ αὕτη ταῖς τῶν πνευμάτων βίαις οὖσα ἀφόρητος, καὶ τοσοῦτον πλῆθος ὑδάτων ἔχουσα, οὐκ ἐκρήγνυται τῶν οἰκείων ὅρων, οὐκ ἐπικλύζει τὴν γείτονα γῆν, ἀλλὰ καὶ αὐτὴ δεσμοῖς ἀκινήτοις πεπέδηται. καίτοιγε ἄτακτος ἡ τῶν ὑδάτων φύσις· ὅταν δὲ καὶ πλῆθος τοσοῦτον ᾖ, καὶ ὑπὸ τοσούτων πνευμάτων ὠθῆται, ἐννόησον ἡλίκου θαύματος, τὸ μήτε κατὰ τὴν ἀταξίαν μήτε τὸν ὄγκον μήτε τὴν βίαν ἐκπίπτειν τῆς οἰκείας χώρας, ἀλλὰ πᾶσαν ἐν ἀταξίᾳ τοσαύτῃ διατηρεῖν εὐταξίαν. ταῦτα τοίνυν ἀναλογιζόμενος, δυνήσῃ καὶ ἐντεῦθεν ὕμνον ὑφαίνειν τῷ Θεῷ, καὶ θαυμάζειν αὐτοῦ τὴν δύναμιν, τὴν σοφίαν, τὴν ἰσχὺν, τὴν ἐξουσίαν. εἰσὶ δὲ καὶ ἕτεροι λόγοι ἀπόρρητοι τούτων, οὓς ὁ ποιήσας οἶδεν αὐτός. διὸ καί τις ἔλεγε· Μὴ εἴπῃς, διὰ τί τοῦτο; εἰς τί τοῦτο; πάντα γὰρ εἰς χρείαν ἐγένετο. πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. ἐνταῦθα καὶ ἕτερόν τι μετὰ τῶν εἰρημένων προστίθησιν. ἐν μὲν γὰρ τῷ προτέρῳ τοῦτο ἐθαύμαζεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ πᾶσαν ἔπεισι τὴν γῆν ἡ χιὼν, ὁ κρύσταλλος· ὅτι πήγνυται, ὅτι μεταβάλλεται, ὅτι πρὸς τὰ ἐναντία μεθίσταται. ἐνταῦθα δὲ, ὅτι τε οὐκ ὄντα γέγονε, καὶ ὅτι γενόμενα μένει, καὶ ὅτι μένοντα διακόνων τάξιν πληροῖ, καίτοιγε ἄλογα ὄντα, καὶ τὸ πρόσταγμα αὐτοῦ μετὰ πολλῆς τῆς ὑπακοῆς εἰς ἔργον ἐξάγει, μᾶλλον δὲ καὶ ἐναντία τῇ φύσει ἓν πολλάκις ἐπίταγμα ἤνυσεν· ὥσπερ ἐπὶ τῆς Βαβυλωνίας καμίνου τότε καῖον τὸ πῦρ, καὶ δροσίζον, ἑκάτερα παράδοξον ἐδείκνυτο. τοῦτο οὖν, φησὶν, εὐχαριστίας ἄξιον; καὶ πολλῆς μὲν οὖν. τὸν γὰρ Θεὸν ὁμοίως ἀνυμνεῖν χρὴ, καὶ κολάζοντα καὶ ἀφιέντα κολάσεως. ἀμφότερα γὰρ κηδεμονίας, ἀμφότερα ἀγαθότητος. ἄνθρωποι μὲν γὰρ τὸ μὲν ἀγαθότητι ποιοῦσι, τὸ δὲ πονηρίᾳ καὶ θυμῷ· ὁ δὲ Θεὸς ἀμφότερα φιλανθρωπίᾳ. ὁμοίως γοῦν αὐτὸν ἀνυμνεῖν δεῖ, καὶ ὅτι ἔθηκεν ἐν παραδείσῳ τὸν Ἀδὰμ, καὶ ὅτι ἐξέβαλε, καὶ χάριν εἰδέναι οὐχ ὑπὲρ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς γεέννης. καὶ γὰρ καὶ ταύτην ἐποίησέ τε καὶ ἠπείλησεν, ὥστε κακίας ἀπαλλάξαι. ὥσπερ οὖν ἰατρὸν οὐ τρέφοντα μόνον, ἀλλὰ καὶ ἄγχοντα λιμῷ, οὐκ εἰς ἀγορὰν μόνον ἐξάγοντα, ἀλλὰ καὶ ἐν οἴκοις που κατακλείοντα, οὐκ ἀλείφοντα μόνον, ἀλλὰ καὶ καίοντα καὶ τέμνοντα θαυμάζομεν (εἰ γὰρ καὶ ἐναντία τὰ γινόμενα, ἀλλὰ πρὸς ἓν ὁρᾷ τέλος) οὕτω καὶ τὸν Θεὸν ὑπὲρ ἁπάντων ἀνυμνεῖν χρὴ, καὶ πολλῷ πλέον, ὅσῳ ὁ μὲν Θεὸς, ὁ δὲ ἄνθρωπος· καὶ ὅτι τὰ μὲν τούτων πολλάκις καὶ εἰς τοὐναντίον ἐξέβη, τὰ δὲ τοῦ Θεοῦ μετὰ τῆς προσηκούσης γίνεται σοφίας καὶ κηδεμονίας. οὐ τιμωρεῖται δὲ μόνον χάλαζα καὶ πῦρ, ἀλλὰ καὶ τιμωρίας ἀπήλλαξε, καὶ πολέμους ἔστησε, καὶ ἐχθροὺς ἐπιόντας ἀπεκρούσατο. ἢ οὐκ οἴδατε ἐν Αἰγύπτῳ ὅσα διὰ τούτων ἐθαυματουργήθη τῶν στοιχείων, καὶ ἐπὶ τῶν Ἰουδαίων, καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας; καὶ τοσαύτη ἡ τοῦ κελεύοντος δύναμις, ὅτι ἅπερ δι᾽ ἀγγέλων ἐποίει τῶν νοερῶν ἐκείνων καὶ μεγάλων δυνάμεων, ταῦτα πολλάκις καὶ διὰ τῶν στοιχείων ἐθαυματούργει, ἵνα ὅταν καὶ ἄγγελος ταῦτα ἐργάζηται, μηδεὶς τῶν ἀνοητοτέρων ἐκείνῳ λογίζηται, ἀλλὰ τῷ ἐπιτάξαντι. ἔστησεν οὖν ἄγγελος πόλεμον, ἔστησε καὶ χάλαζα· ἀνεῖλε τὰ πρωτότοκα ἄγγελος, ἀνεῖλε καὶ καταιγὶς θαλάττης τὸν δῆμον ἅπαντα. ὑπὲρ ἁπάντων τοίνυν εὐχαριστεῖ τῷ φιλανθρώπῳ Θεῷ. τὰ ὄρη καὶ πάντες οἱ βουνοί· ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· τὰ θηρία καὶ πάντα τὰ κτήνη· ἑρπετὰ καὶ πετεινὰ πτερωτά. ὅρα πῶς τοῖς ἀχρηστοτέροις μᾶλλον ἐμφιλοχωρεῖ, ὄρεσι καὶ νάπαις καὶ βουνοῖς καὶ θηρίοις,

Σειρ. λθ. λς.

ἑρπετοῖς καὶ ξύλοις ἀκάρποις. τὰ μὲν γὰρ καρποφόρα αὐτόθεν δήλην ἔχει τὴν χρείαν, ὥσπερ καὶ τὰ ὕπτια πεδία καὶ τὰ ἥμερα ζῶα· τὰ δὲ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ ὄρη καὶ τὰ ἄκαρπα δένδρα ποίαν ἀφίησι χρείαν, φησί; πολλὴν μὲν οὖν, καὶ σφόδρα τὴν ζωὴν συνέχουσαν τὴν ἡμετέραν. καὶ γὰρ πρὸς οἰκοδομίας ὄρη καὶ βουνοὶ καὶ ξύλα ἄκαρπα σφόδρα ἡμῖν ἐπιτήδεια, καὶ εἰ μὴ τούτων ἀπελαύομεν, οὐδὲν ἐκώλυε διαφθείρεσθαι τὸ γένος τὸ ἡμέτερον. ὥσπερ οὖν ἐπιδεόμεθα τῶν ἡμέρων χρειῶν εἰς τὸ τρέφεσθαι, οὕτω δεόμεθα καὶ τῶν ἀκάρπων ξύλων καὶ λίθων εἰς τὸ τὰς οἰκίας οἰκοδομεῖν καὶ μυρία ἕτερα ἐντεῦθεν κατασκευάζειν. ἀλλ' οἱ ὄφεις, φησί, καὶ οἱ σκορπίοι καὶ οἱ δράκοντες καὶ οἱ λέοντες, τί χρήσιμον εἰσάγουσιν εἰς τὸν βίον; τί δὲ αὐτῶν τὸ κέρδος; πολὺ καὶ ἄφατον, καὶ τῶν ἡμέρων οὐκ ἔλαττον. ἐκεῖνα μὲν γὰρ πρὸς τὴν τοῦ σώματος χρείαν ἐστὶν ἐπιτήδεια· ταῦτα δέ σοι καὶ φόβον ἐπιτειχίζει, καὶ σωφρονεῖν παρασκευάζει, καὶ ἐναγώνιον ποιεῖ, καὶ ἀναμιμνήσκει σε τῆς ἐν τῷ παραδείσῳ τοῦ προπάτορος ἁμαρτίας, καὶ δείκνυσιν ὅσων κακῶν αἰτία ἡ παρακοή. οὐ γὰρ τοιαῦτα ἦν πρὸ τούτου τὰ θηρία, φοβερὰ καὶ φρικτὰ τῷ ἀνθρώπῳ, ἀλλὰ ὑποτακτὰ καὶ χειροήθη. ἤγαγε γοῦν αὐτὰ πρὸς τὸν Ἀδὰμ ὁ Θεός, καὶ αὐτὸς ἐπέθηκεν αὐτοῖς τὰ ὀνόματα. ὁ ὄφις τῇ γυναικὶ διελέγετο, καὶ οὐκ ἀπεπήδα ἡ Εὔα. ἐπειδὴ δὲ παρεβάθη ἡ ἐντολή, καὶ ὁ Θεὸς παρηκούσθη, ἠκρωτηριάσθη τὰ τῆς τιμῆς. ὅταν τοίνυν ἴδῃς λέοντα, ὅταν ἴδῃς ὄφιν, ἀναμιμνήσκου τῶν διηγημάτων, καὶ οὐ μικράν σοι παρέξει ταῦτα φιλοσοφίας ὑπόθεσιν. ἀναμιμνήσκου δὲ καὶ τοῦ Δανιήλ, πῶς ἐπειδὴ πρὸς τὴν παλαιὰν ἐπανῆλθεν εἰκόνα, ὑποκαταφεύγοντα ἦν αὐτῷ τὰ φοβερὰ θηρία, ὥσπερ καὶ Παύλῳ ἡ ἔχις, καὶ οὐ μικρὰν ἐντεῦθεν καρπώσῃ σπουδὴν καὶ ἐπιμέλειαν ψυχῆς. μετὰ τούτων δὲ καὶ ἑτέρωθέν ἐστι θαυμάσαι τοῦ Θεοῦ τὴν οἰκονομίαν τὴν ἐπ' αὐτοῖς καὶ τὴν διάταξιν. ποίαν δὲ ταύτην; ὅτι καὶ τούτοις ἀφώρισε χωρία ἀπῳκισμένα τῶν πόλεων, τὰς ἐρημίας, καὶ οὕτω φοβερὰ ὄντα οὐκ ἐμφιλοχωρεῖ ταῖς πόλεσιν, οὐδὲ κατατρέχει τῶν ἔνδον οἰκούντων, ἀλλὰ στέργει καὶ ἀγαπᾷ τὴν ἔρημον, ἄνωθεν τοῦ Θεοῦ τοῦτ' αὐτοῖς συγκληρώσαντος, καὶ τόπον ἐπιτήδειον ἔχειν καὶ κλῆρον διαίτης. ὅταν γὰρ σὺ καθεύδῃς, τότε ἐκεῖνα τὴν ἔρημον ἔπεισιν. ὅπερ καὶ ἀλλαχοῦ δείκνυσιν ὁ προφήτης οὕτω

Ψαλμ. ργ. κα. λέγων· Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. εἶδες πῶς καὶ νῦν μηνύει σοι τῆς ἀρχῆς τὰ ἴχνη, εἰ καὶ ἠκρωτηριασμένα, ἀλλ' ὅμως ἔχοντα αἴνιγμα τῆς παλαιᾶς τιμῆς; ὥσπερ γὰρ δοῦλα, οὕτως ἀπῴκισται καὶ τῷ χωρίῳ καὶ τῷ τόπῳ. κἂν μὴ σὺ τούτοις ἐπέλθῃς, αὐτὰ οὐκ ἔπεισιν, ἀλλ' ἐνδιαιτᾶται ταῖς ἐρήμοις. εἰ δὲ ἀθυμεῖς καὶ δυσχεραίνεις τίνος ἕνεκεν γέγονε θηρία, σφόδρα ἀνόητα ποιεῖς. ἂν γὰρ σὺ τὰ κατὰ σαυτὸν καλῶς οἰκονομήσῃς, οὐδὲν ἐντεῦθεν βλαβήσῃ· εἰ δὲ ἀπὸ θηρίων δέχῃ βλάβην, ἐννόησον ὅτι καὶ παρὰ ἀνθρώπων πολλάκις χαλεπωτέραν ἐδέξω. ἔστι γὰρ καὶ θηρίου ἄνθρωπος χαλεπώτερος. τὸ μὲν γὰρ προφανῆ τὴν θηριωδίαν ἔχει, οὗτος δὲ κρύπτει τὴν πονηρίαν τῷ τῆς ἐπιεικείας προσωπείῳ, ὅθεν καὶ πολλάκις ἐστὶ δυσφύλακτος. ἀλλ' ἐὰν νήφῃς, οὔτε θηρίον, οὔτε ἄνθρωπός σε δεινόν τι ἐργάσεται, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσει. καὶ τί λέγω θηρίον καὶ ἄνθρωπος, ὅπουγε καὶ αὐτὸς ὁ διάβολος οὐ μόνον οὐδὲν ἔβλαψε τὸν Ἰώβ, ἀλλὰ καὶ μυρίων στεφάνων αὐτῷ γέγονεν ἀφορμή; * τί λέγω θηρίον καὶ ἄνθρωπον, ὅπουγε καὶ ὑπὸ τῶν ἐν σοὶ κειμένων στοιχείων, ἐὰν ῥᾳθυμήσῃς, πολλὰ χαλεπώτερα πείσῃ, οἷον ὑπὸ χολῆς ἢ φλέγματος, ἂν ἀμετρίᾳ τινὶ τὴν τούτων πλεονεξίαν περιίδῃς. οὕτω πανταχόθεν νηφούσης χρεία διανοίας. ἀλλ' ὥσπερ ῥᾳθυμῶν μεγίστην ἐντεῦθεν ὑποστήσῃ βλάβην, οὕτω νήφων καὶ ἐγρηγορὼς οὐ τὴν τυχοῦσαν καρπώσῃ μεγάλην ὠφέλειαν. τὸ γὰρ πᾶν ἐπὶ τῇ σῇ κεῖται γνώμῃ. ὅπερ οὖν ἐστι χιὼν ἐν τῷ παντί,

καὶ πῦρ καὶ πνεῦμα, τοῦτο καὶ ἐν τῷ σώματι φλέγμα καὶ αἷμα καὶ χολή· καὶ δεῖ μετὰ ἀρίστου λογισμοῦ ταῦτα οἰκονομεῖν, ὡς καρποῦσθαί τι παρ' αὐτῶν ὄφελος, ἀλλὰ μὴ βλάπτεσθαι. καὶ τί λέγω περὶ τοῦ σώματος, ὅπουγε καὶ ἡ ψυχὴ ἔχει τινά, ἅπερ ἐὰν ἀφῇς εἰς ἀμετρίαν ἐξελθεῖν, νοσήματα γίνεται, κολαζόμενα δέ, βοηθήματα; καὶ γὰρ ὁ θυμός, ἐὰν μὲν εἰς δέον χρήσῃ, γέγονέ σοι φάρμακον σωτηρίας· ἐὰν δὲ ἀμέτρως, γέγονεν ἀπωλείας ὑπόθεσις. καὶ ἡ ἐπιθυμία, μετὰ μέτρου μὲν οἰκονομουμένη, πατέρα σε ποιεῖ (καὶ γὰρ εἰς παιδοποιίαν γέγονε χρήσιμος) ἀφιεμένη δέ, εἰς πορνείαν καὶ μοιχείαν σε καταβάλλει πολλάκις. μὴ δὴ τὰ πράγματα αἰτιῶ, ἀλλὰ πανταχοῦ τὴν σὴν γνώμην. ἐὰν γὰρ ταύτης ἀμελῇς, καὶ ὑπὸ σαυτοῦ βλαβήσῃ, καὶ ὑπὸ τοῦ οἰκείου σώματος ἀπολῇ· ἂν δὲ ταύτης ἐπιμελῇ, οὐδὲ ὑπὸ τῶν δαιμόνων οὐδὲ ὑπὸ τοῦ διαβόλου, μήτι γε ὑπὸ θηρίων πείσῃ τι δεινὸν καὶ ἀηδές. 11 Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί. Ἄλλος, Πάντα φῦλα. Ἄρχοντες καὶ πάντες κριταὶ γῆς· 12 Νεανίσκοι καὶ παρθένοι. Ἄλλος, Ἐκλεκτοί. Πρεσβύτεροι μετὰ νεωτέρων. Ἄλλος, Μετὰ νέων.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Πάλιν ἕτερον ἐνταῦθα κινεῖ προνοίας εἶδος, τὸ τῶν ἀρχόντων. ὃ καὶ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους τίθησι μετὰ πολλῆς τῆς συνέσεως, δεικνὺς ὅτι τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστὶ τὸ εἰς ἄρχοντας καὶ εἰς ἀρχομένους τόδε τὸ πᾶν διατάξαι. Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. ἂν δὲ τοῦτο ἀνέλῃς, τὸ πᾶν οἴχεται. Ρω. ιγ. δ. εἰ γὰρ νῦν ὄντων ἀρχόντων καὶ πολλῶν ἐν αὐτοῖς διεφθαρμένων, τοσαύτη τοῦ πράγματός ἐστιν ἡ χρεία, ὡς καὶ κακῶς διακειμένων πολλὴν γίνεσθαι τὴν ὠφέλειαν, ἐννόησον εἰ καλῶς μετεχείριζον τὰς ἀρχὰς ἐγχειριζόμενοι, πόσης ἂν τὸ γένος ἀπήλαυσεν εὐημερίας. ἀλλὰ τὸ μὲν τυπῶσαι τὰς ἀρχάς, τοῦ Θεοῦ γέγονεν ἔργον· τὸ δὲ πονηροὺς ἐπὶ τοῦτο ἄγεσθαι, καὶ μὴ εἰς δέον αὐταῖς κεχρῆσθαι, τῆς τῶν ἀνθρώπων πονηρίας. λέγω τοίνυν· καὶ ὑπὲρ τοῦ βασιλέας εἶναι, καὶ ὑπὲρ τοῦ δικαστὰς εἶναι, δεῖ μεγάλας εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ. τῆς γὰρ εὐταξίας τῆς τῶν ἀνθρώπων ἐπιμελούμενος, καὶ τοῦ μὴ θηρίων ἀλογώτερον διακεῖσθαι τοὺς πολλούς, ὥσπερ ἡνιοχείαν καὶ κυβερνητικήν, οὕτως ἀρχὰς καὶ βασιλείας ἐχαρίσατο. κἂν ἄρχων τοίνυν ᾖς, εὐχαρίστει τῷ *Θεῷ, ὅτι ἔλαβες ἀφορμὴν τοσαύτης ἐπιμελείας· κἂν ἀρχόμενος, πάλιν εὐχαρίστει, ὅτι ἔχεις τὸν ἐπιμελούμενον, καὶ οὐκ ἀφιέντα σε ὑπὸ τῶν πονηρῶν ἐπιβουλεύεσθαι. *κἂν εἰς γῆρας ἔλθῃς, κἂν νέος ᾖς, εὐχαρίστει. τοῦτο γὰρ μάλιστα διὰ πάντων ὁ ψαλμὸς οὗτος κατασκευάζει, ὅτι δεῖ ὑπὲρ ἁπάντων αἰνεῖν αὐτόν, κἂν ἄρχων ᾖς, κἂν τοῦ λαοῦ ᾖς. διὸ καὶ τοῦτο δηλῶν, καὶ πάντες εἶπε λαοί. κἂν νέος, φησίν, ᾖς, κἂν γεγηρακώς, κἂν γυνὴ κἂν ἀνήρ. Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἄλλος, Ὅτι ὑπερέχον.

13 Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ.

Ἄλλος, Καὶ ὁ ὕμνος αὐτοῦ. Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. 14 Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἔδειξα μὲν καὶ ἀπὸ τῶν ὁρωμένων ἁπάντων αὐτοῦ τὴν κηδεμονίαν, τὴν δόξαν, τὴν μεγαλωσύνην· δεῖ δὲ αὐτὸν αἰνεῖν οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ τούτων χωρίς. καὶ γὰρ καὶ πρὸ τούτων, καὶ τούτων ἄνευ, συγκεκλήρωται αὐτῷ τὸ ὕψος καὶ ἡ δόξα καὶ ἡ παρὰ πάντων εὐφημία. τὸ δέ, αὐτοῦ μόνου, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν εἶπεν. εἶτα ἀνάγων ἐπὶ μείζονα τὸν ἀκροατὴν [ἔννοιαν], πάλιν ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν αὐτὸν μετατίθησιν. ὥσπερ δὲ ἀρχόμενος ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν κατέβη, οὕτως ἀπὸ *τῶν ὁρωμένων ἁπάντων ἀνάγει πάλιν αὐτὸν ὑπὲρ τὸν οὐρανόν, λέγων· ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ· τουτέστιν, εἰ καὶ αἱ ἄνω δυνάμεις αἱ ἀόρατοι καὶ νοεραὶ οὐ

νεανίσκοι καὶ
παρθένοι,
πρεσβύτεροι
καὶ νεωτέρων.

παύονται εὐχαριστοῦσαι καὶ ἀνυμνοῦσαι, * ὅμως ὁ τοιοῦτος καὶ τηλικοῦτος Θεὸς κατηξίωσε λαὸν αὐτοῦ καὶ ἡμᾶς ὀνομάσαι, καὶ οὐκ ὀνομάσαι μόνον, ἀλλὰ καὶ ἐπᾶραι καὶ ὑψῶσαι. διὸ καὶ ἐπήγαγε, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ, ταύτῃ πάλιν αὐτοὺς ἐπισπώμενος πρὸς μείζονα αὐτοῦ θεραπείαν, καὶ δεικνὺς ὅτι οὐ τῆς παρ' αὐτῶν δεόμενος θεραπείας (πῶς γάρ, ὁ φύσει συγκεκληρωμένην ἔχων τὴν δόξαν καὶ τοσαύτην κτίσιν ὑποτεταγμένην;) ἀλλὰ δι' ἀγαθότητα μόνην ᾠκειώσατο αὐτοὺς ἑαυτῷ, καὶ περιφανεῖς ἐποίησε καὶ λαμπροὺς * πανταχοῦ τῆς οἰκουμένης. ὅπερ οὖν καὶ δηλῶν ἔλεγεν, ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ. ἵνα γὰρ μὴ ταύτῃ πάλιν ῥαθυμοτέρους ποιήσῃ καὶ ὑπτιωτέρους τῷ λέγειν, καὶ λαὸς αὐτοῦ, καὶ τούτῳ μόνῳ θαῤῥοῦντες τῆς κατὰ ψυχὴν ἀμελῶσι τῆς ἀρετῆς, εἰπών, ὕμνος πᾶσιν, οὐχ ἁπλῶς εἶπε τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς ὁσίοις αὐτοῦ. καὶ πάλιν εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ, προσέθηκε, λαῷ ἐγγίζοντι αὐτῷ. ἕτερος δὲ ἑρμηνευτὴς ἀντὶ τοῦ ὕμνος, ἔπαινος εἶπεν. ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· ἐὰν ἦτε ὅσιοι, ἐὰν ἐγγίζητε αὐτῷ, πολλῆς ἀπολαύσεσθε δόξης. τὰ μὲν γὰρ αὐτοῦ πάντα διαρκῆ ἐστιν, οὕτω πλουτοῦντος καὶ τοσαύτην δόξαν ἔχοντος· δεῖ δὲ καὶ τὰ παρ' ἡμῶν λοιπὸν ἀκολουθεῖν, καὶ πολλῆς ἀπολαυσόμεθα καὶ ἡμεῖς τῆς περιφανείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* καὶ ἀνυμνοῦσαι, ἀλλ'

* καὶ αἰδεσίμους

χ. ἔπαινος

Ψαλμ. ρμθ. 1 ΑΣΑΤΕ ΤΩ ΚΥΡΙΩ ΑΣΜΑ ΚΑΙΝΟΝ.

Κατὰ μὲν ἀναγωγήν, τὸ τῆς καινῆς διαθήκης ᾆσμα καινὸν εἴρηται. πάντα γὰρ τότε γέγονε καινά· διαθήκη· Διαθήσομαι ὑμῖν διαθήκην, φησί, καινήν. κτίσις· Εἴ τις ἐν Χριστῷ, φησί, καινὴ κτίσις. ἄνθρωπος· Ἀπεκδυσάμενοι, φησί, τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. διὰ τὴν καινὴν τοίνυν ζωήν, καὶ τὰ ἄλλα πάντα, διαθήκη καινὴ λέγεται, καὶ ᾆσμα καινὸν τὸ ταύτης ᾄδειν νῦν ὁ προφήτης προτρέπει. κατὰ δὲ ἱστορίαν, ὃ ἐπὶ νίκαις, ὃ ἐπὶ κατορθώμασιν, ὃ ἐπὶ τροπαίοις ἔμελλον ᾄδειν λαμπρὸν καὶ ἐπίσημον. Ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Ιερε. λα. λα.
β Κορ. ε. ιζ.
Κολ. γ. θ.

χ. διὰ τοῦτο καὶ ζωὴ καινή, καὶ τὰ ἄλλα πάντα· διὰ τοῦτο καινὴ διαθήκη λέγεται. κατὰ δὲ ἱστορίαν

Ὁρᾷς πῶς πρὸ τῶν ῥημάτων τὴν διὰ τοῦ βίου καὶ τῶν ἔργων εὐχαριστίαν ἐπιζητεῖ, καὶ τούτους εἰς τὸν χορὸν ἄγει τῶν ὑμνούντων *; οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων εὐχαριστεῖν μόνον, ἂν μὴ καὶ ἡ διὰ τῆς πράξεως ἀρετὴ συμβαίνῃ. ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. καὶ ἕτερόν τι ἐνταῦθα παιδεύει. δείκνυσι γὰρ ὅτι ὁμοῦ, καὶ μετὰ συμφωνίας ἁπάσης δεῖ τὰς εὐφημίας ἀναφέρειν. ἐκκλησία γὰρ συστήματος καὶ συνόδου ἐστὶν ὄνομα.

* αὐτόν;

2 Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν.

Πρὸ τῶν ἰδικῶν εὐεργεσιῶν τίθησι τὴν καθολικήν, μονονουχὶ τοῦτο, δι' ὧν ἐπήγαγε, παραινῶν καὶ λέγων, εὐχαρίστει τῷ Θεῷ, ὅτι οὐκ ὄντα σε παρήγαγε καὶ ψυχὴν ἐνέπνευσεν. οὐ μικρὸν γὰρ καὶ τοῦτο εὐεργεσίας μέρος. ἐνταῦθα δὲ καὶ πλέον τι δείκνυσιν. οὐ γὰρ ἁπλῶς τὴν δημιουργίαν, ἀλλὰ τὴν οἰκειότητα ἐμφαίνει τῷ οὕτως εἰπεῖν· καὶ εὐχαριστεῖν παρακελεύεται), οὐχ ὅτι ἐποίησεν αὐτόν, ἀλλ' ὅτι καὶ οἰκεῖον λαόν. ὁρᾷς πῶς ἑνοῖ αὐτὸν τῷ Θεῷ καὶ συνάπτει, οὐχ ἁπλῶς εὐχαριστεῖν βούλεται, ἀλλὰ μετὰ ἡδονῆς, μετ' εὐφροσύνης, καὶ διαθερμαινόμενον τὴν διάνοιαν; ταῦτα γὰρ πάντα διὰ τοῦ εὐφρανθήτω ᾐνίξατο. τὴν διάθεσιν οὖν ζητεῖ τὴν τοῦ εὐχαριστοῦντος, ἵνα ἐκκαίηται τῷ πόθῳ, ἵνα διεγείρηται τῷ φίλτρῳ, ἵνα ὅλος ἀνακέηται τῷ ὑμνουμένῳ Θεῷ· καθάπερ καὶ ἀλλαχοῦ τὸ αὐτὸ δηλῶν ἔλεγεν, Ὃν τρόπον ἐπιποθεῖ

ποθεῖ

χ. ἐπιτ

[illegible]

Ψαλμ. μα. α.

ποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· καὶ πάλιν, ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα· καὶ πάλιν, ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ· ὅπερ ἕτερος ἑρμηνευτής, ὡς ἐν γῇ διψάδι, εἶπε. βουλόμενος γὰρ τὴν διάθεσιν τὴν ἑαυτοῦ παραστῆσαι ψυχῆς καὶ τὸν πόθον, γῇ παραβάλλει διψάδι, ἐλάφῳ διψώσῃ. καὶ διὰ ῥημάτων δὲ πάλιν τὸν αὐτὸν πόθον ἐνδείκνυται λέγων, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί, ὥσπερ καὶ ἡ Παύλου στενάζουσα ἐποίει τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. β. Κορ. ε. ζ. Καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Ορᾷς ὅτι τοῦτο, ὅπερ ἔφθην εἰπών, ἐνταῦθα αἰνίττεται, τὴν οἰκείωσιν, τὸ ἐξαίρετον αὐτοῦ εἶναι λαόν; διὰ δὴ τοῦτο καὶ ἐπήγαγε τό, ἐπὶ τῷ βασιλεῖ αὐτῶν, τοῦτο δηλῶν. οὐ γὰρ δὴ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον ἦν βασιλεύς, ἀλλὰ καὶ κατὰ τὸν τῆς οἰκειώσεως.

3 Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ. Ὅρα πάλιν καὶ ταύτην τὴν συμφωνίαν διαλάμπουσαν. διὰ γὰρ τοῦτο χοροί, ἵνα κοινῇ πάντες καὶ ὁμοθυμαδὸν ἀναφέρωσι τὰς εὐφημίας. τοῦτο καὶ Παῦλος δηλοῖ λέγων, Μὴ καταλιμπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. Εβρ. ι. κε. καὶ αὐτὴ δὲ ἡ εὐχὴ τοῦτο αἰνίττεται ἀπὸ τοῦ κοινοῦ πάντων ἀναφερομένη· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· καί, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· καί, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, τῷ πληθυντικῷ ὀνόματι *″″κεχρημένοις. οὕτω καὶ τὸ παλαιὸν ἐπαιδεύοντο μετὰ συμφωνίας ψάλλειν καὶ ᾄδειν τῷ Θεῷ, πανταχόθεν εἰς ἀγάπην ἀλειφόμενοι καὶ ὁμόνοιαν.

*πανταχοῦ
ς κεχρημένοι.
στ. κεχρημένη.

Εν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Τινὲς μὲν καὶ τούτων τῶν ὀργάνων τὸν λόγον κατὰ ἀναγωγὴν ἐκλαμβάνοντες λέγουσιν· ὅτι τὸ μὲν τύμπανον, τὴν νέκρωσιν τῆς σαρκὸς ἡμῶν ἐπιζητεῖ· τὸ δὲ ψαλτήριον, τὸ πρὸς τὸν οὐρανὸν βλέπειν. καὶ γὰρ ἄνωθεν τὸ ὄργανον τοῦτο κινεῖται, οὐ κάτωθεν, ὥσπερ ἡ κιθάρα. ἐγὼ δὲ ἐκεῖνο ἂν εἴποιμι, ὅτι τὸ παλαιὸν οὕτως ἤγοντο διὰ τῶν ὀργάνων τούτων, διὰ τὴν παχύτητα τῆς διανοίας αὐτῶν, καὶ τὸ ἄρτι ἀπεσπάσθαι ἀπὸ τῶν εἰδώλων. ὥσπερ οὖν τὰς θυσίας συνεχώρησεν, οὕτω καὶ ταῦτα ἐπέτρεψε, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. ἀπαιτεῖ τοίνυν ἐνταῦθα τὸ μεθ᾽ ἡδονῆς ᾄδειν· τοῦτο γάρ ἐστι τό, αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, τὸ μετὰ συμφωνίας, τὸ μετὰ βίου καθαροῦ. εἶτα πάλιν εἰς πλείονα προθυμίαν αὐτοὺς διεγείρων, λέγει καὶ τοῦ ὑμνουμένου τὴν εὔνοιαν τὴν περὶ αὐτούς. ἐπάγει γάρ·

4 Οτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ. Τί ταύτης ἴσον γένοιτ᾽ ἂν τῆς εὐημερίας, ὅταν ὁ Θεὸς ἵλεως ᾖ; Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Ορα πάλιν πῶς καὶ τὰ τοῦ Θεοῦ τίθησι, καὶ τὰ τῶν ἀνθρώπων. ὥσπερ οὖν ἄνω τὴν εὐχαριστίαν παρ᾽ αὐτῶν ἀπαιτῶν καὶ τὰ τοῦ Θεοῦ εἰσῆγε λέγων, ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ· οὕτω καὶ ἐνταῦθα πάλιν ἐπαγγελλόμενος τὰ παρὰ τοῦ Θεοῦ, ἀπαιτεῖ καὶ τὰ παρὰ τῶν ἀνθρώπων λέγων, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. τὸ μὲν γὰρ ὑψῶσαι, τοῦ Θεοῦ· τὸ δὲ πρᾶον εἶναι, τῶν ἀνθρώπων. οὐ γὰρ γίνεται τὰ παρὰ τοῦ Θεοῦ, ἐὰν μὴ τὰ παρὰ τῶν ἀνθρώπων″ προηγήσηται. καὶ ὅρα τῆς δωρεᾶς τὸ μέγεθος. οὐκ εἶπε, σώσει ἁπλῶς, ἀλλ᾽ ὑψώσει ἐν σωτηρίᾳ· τουτέστιν, οὐκ ἀπαλλάξει τῶν δεινῶν μόνον, ἀλλὰ καὶ περιβλέπτους ποιήσει καὶ περιφανεῖς, μετὰ τῆς σωτηρίας καὶ τὴν δόξαν αὐτοῖς παρέχων. τοῦτο γοῦν καὶ διασαφῶν, ἐπήγαγε πάλιν λέγων·

ς. ἕπηται.

5 Καυχήσονται ὅσιοι ἐν δόξῃ. Ὥσπερ ἐκεῖ πραεῖς ἐπιζητεῖ, οὕτως ἐνταῦθα ὁσίους. πανταχοῦ γὰρ ὁ Θεὸς μετὰ θαυμάτων τὰ ἑαυτοῦ πάντα ἐπιδείκνυται. οὕτως αὐτοὺς ἀπήλλαξεν Αἰγύπτου, οὕτως ἐπανήγαγεν ἀπὸ Βαβυλῶνος, οὐκ ἐν τῇ

τῶν δεινῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῷ θαύματι τῶν γινομένων λαμπροτέρους αὐτοὺς ἐργασάμενος.

Καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Πολλὴν δείκνυσι τὴν ἄδειαν ἐξ ὧν οὕτως ἐπήγαγε, πολλὴν τὴν ἄνεσιν, πολλὴν τὴν εὐφροσύνην, πολλὴν τὴν ἡδονήν. Ταῦτα δὲ λέγει, ὥστε εἰδέναι αὐτούς, ὅτι οὐκ οἰκείοις ὅπλοις οὐδὲ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Θεοῦ ῥοπῇ τὸ πᾶν γέγονε· καὶ ὅτι ταύτην ἐπισπᾶσθαι δεῖ διὰ ταπεινοφροσύνης καὶ πρᾳότητος. 6 Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ αἱ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν· 7 Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Ἐνταῦθα τὸν μετὰ χορείας πόλεμον δηλοῖ, καὶ ὅτι ᾄδοντες καὶ ὑμνοῦντες οὕτω περιέσονται. ὑψώσεις γὰρ, τὰς ὑμνολογίας, τὰς ψαλμῳδίας, τὰς εὐχαριστίας λέγει. διὸ καὶ ἕτερος τὰς ὑψώσεις, ὑμνολογίας εἶπε. τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τί ἐστι τοῦτο; ἐπειδὴ τὸν πάντα χρόνον κρατήσαντες ὠνείδιζον, ἐλέγξαι αὐτοὺς διὰ τῶν ἔργων ἐπαγγέλλεται, καὶ δεῖξαι διὰ τῶν ἔργων αὐτῶν, ὅτι οὐχ ἡ τοῦ Θεοῦ ἀσθένεια, ἀλλ᾽ αἱ αὐτῶν ἁμαρτίαι ἔδωκαν αὐτοῖς κρατῆσαι. ὅτε γοῦν δίκην ἔδοσαν ἱκανήν, ἔλυσε μόνον ὁ φιλάνθρωπος Θεός, καὶ τὰ πράγματα εἰς θαυμαστὴν ἦλθε μεταβολήν. καὶ ὅρα τῆς νίκης τὴν ὑπερβολήν. ἐπάγει γὰρ καὶ λέγει·

8 Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους ἐν χειροπέδαις σιδηραῖς.

Εἶδες περιουσίαν ἰσχύος; οὐ γὰρ ἀπήλασαν τοὺς πολεμίους μόνον, οὐδὲ ἀπώσαντο, ἀλλὰ καὶ δεσμώτας λαβόντες ἐπανῆλθον, πᾶσιν ἐπιδεικνύμενοι τοῦ Θεοῦ τὴν ἰσχύν.

9 Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον.

Τί ἐστι, κρίμα ἔγγραπτον; φανερόν, ὡμολογημένον, οὐ δυνάμενον λήθῃ παραδοθῆναι. τὰ γὰρ τοῦ Θεοῦ τοιαῦτα· καὶ τῷ μεγέθει τῶν κατορθωμάτων, καὶ τῇ τῆς θαυματουργίας ὑπερβολῇ, εἰς πάντα διατείνεται τὸν χρόνον. Τοιαύτη οὖν ἔσται ἡ νίκη, φησί, καὶ τοιοῦτον τὸ τρόπαιον, ὡς ἅπασιν εἶναι δῆλον, οὕτω σαφές, καθάπερ ἐν στήλῃ γεγραμμένον καὶ μηδέποτε ἐξαλειφόμενον. Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ποία αὕτη; τὸ νικῆσαι, μᾶλλον δὲ οὐ τὸ νικῆσαι ἁπλῶς, ἀλλὰ τὸ οὕτω νικῆσαι, διὰ τῆς τοῦ Θεοῦ συμμαχίας, διὰ τῆς ἄνωθεν ῥοπῆς. ὅρα δὲ πῶς* τῶν ὁσίων μέμνηται, διεγείρων αὐτοὺς εἰς τὴν τοῦ βίου καὶ τῆς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ δὲ δοκεῖ, οὐχὶ τὴν νίκην μόνον λέγειν δόξαν, ἀλλὰ καὶ τὸν αἶνον, καὶ τὰς μελῳδίας, καὶ τοὺς ὕμνους, παιδεύων διὰ πάντων, ὅτι Θεὸν ἀνυμνοῦντες, μεγάλην ἑαυτοῖς περιθήσουσι δόξαν, καὶ λαμπροτέρους ἑαυτοὺς ἀποφανοῦσι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρν. 1 ΑΙΝΕΙΤΕ ΤΟΝ ΘΕΟΝ ΕΝ ΤΟΙΣ ΑΓΙΟΙΣ αὐτοῦ. Ἄλλος, Ἐν τῷ ἁγίῳ αὐτοῦ. Ἄλλος, Ἐν τῷ ἡγιασμένῳ αὐτοῦ.

Η Περὶ τοῦ λαοῦ ἐνταῦθα τοῦτο λέγει, ἢ περὶ βίου ἁγίου καὶ ἀνδρῶν ἁγίων. ὅρα δὲ ποῦ τὸ βιβλίον κατέκλεισε πάλιν εἰς εὐχαριστίαν, παιδεύων ἡμᾶς ὅτι τοῦτο καὶ ἀρχὴν καὶ τέλος εἶναι δεῖ καὶ τῶν πραγμάτων καὶ τῶν ῥημάτων ἡμῶν. διὸ καὶ Παῦλός φησι· Πᾶν ὅτι ἂν ποιῆτε ἐν λόγῳ καὶ ἔργῳ, πάντοτε εὐχαριστεῖτε τῷ Θεῷ καὶ πατρὶ δι᾽ αὐτοῦ. οὕτω καὶ τῆς εὐχῆς ἡμῶν τὸ προοίμιον ἐντεῦθεν ἔχει τὴν ἀρχήν. ὁ γὰρ λέγων, πάτερ ἡμῶν, εὐχαριστοῦντός ἐστιν ἐπὶ ταῖς γεγενημέναις δωρεαῖς, καὶ πάσας

Κολ. γ. ιζ.

σαις αὐτὰς διὰ τοῦ ὀνόματος τούτου δεικνύντων. ὁ γὰρ εἰπὼν πατέρα, τὴν υἱοθεσίαν ὡμολόγησεν· ὁ δὲ τὴν υἱοθεσίαν ὁμολογήσας, τὴν δικαιοσύνην, τὸν ἁγιασμὸν, τὴν ἀπολύτρωσιν, τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, τοῦ πνεύματος τὴν χορηγίαν ἀνεκήρυξε. δεῖ γὰρ ταῦτα πάντα προϋπάρξαι, ὥστε τῆς υἱοθεσίας ἡμᾶς οὕτως ἀπολαῦσαι, καὶ καλέσαι πατέρα ἀξιωθῆναι. ἐμοὶ δὲ ἕτερόν τι δοκεῖ αἰνίττεσθαι λέγων. τὸ γὰρ ἐν τοῖς ἁγίοις αὐτοῦ, τοῦτό ἐστι, διὰ τοὺς ἁγίους αὐτοῦ. εὐχαριστεῖτε αὐτῷ ὅτι τοιαύτην πολιτείαν εἰς τὸν βίον εἰσήγαγεν, ἣ τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. διὸ πρότερον ἐν τοῖς ἁγίοις αὐτοῦ, ὅτε ἐπήγαγεν· Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ,

Ἐμφαίνων ὅπερ ἔφθην εἰπών. τοῦτο γὰρ μᾶλλον τῷ Θεῷ περισπούδαστον, ἢ ἐκεῖνο. καὶ γὰρ οὐρανὸς διὰ τὸν ἄνθρωπον γέγονεν, οὐκ ἄνθρωπος διὰ τὸν οὐρανόν. ἕτερος δὲ ἀντὶ τοῦ, ἐν στερεώματι, τῷ ἀκαθαιρέτῳ εἶπε· καὶ ἄλλος, ἐν στερεώματι κράτους αὐτοῦ. καὶ ἕτερον δέ μοι δοκεῖ αἰνίττεσθαι πάλιν, ὡς ἐν τῷ προτέρῳ ψαλμῷ. ὡς γὰρ ἐκεῖ εἶπεν, αἰνεῖτε αὐτὸν οἱ ἄγγελοι αὐτοῦ, οὕτω καὶ ἐνταῦθα, αἰνεῖτε αὐτὸν ἐν στερεώματι αὐτοῦ, τουτέστιν, οἱ ὄντες ἐν στερεώματι αὐτοῦ. οὐ γὰρ παύεται συνεχῶς κοινωνοὺς λαμβάνων τῆς εὐφημίας τὰς ἄνω δυνάμεις. 2 Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Ἄλλος, Διὰ τὴν δυναστείαν αὐτοῦ. Ὁ δὲ λέγει, τοῦτό ἐστιν· αἰνεῖτε αὐτὸν διὰ τὰς δυναστείας αὐτοῦ, διὰ τὴν δύναμιν αὐτοῦ, διὰ τὰ θαύματα αὐτοῦ, διὰ τὴν ἰσχὺν, ἣν διὰ πάντων ἐπιδείκνυται, τῶν ἄνω, τῶν κάτω, τῶν κοινῇ, τῶν ἰδίᾳ, τῶν καθ' ἕκαστον, τῶν διηνεκῶν.

Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Καὶ πῶς τοῦτο δυνατὸν, ἀντίρροπον τοῦ πλήθους τῆς μεγαλωσύνης αὐτοῦ αἶνον″ ἀναγαγεῖν; οὐ τοῦτο λέγει, ὅτι ἀντίρροπον, ἀλλ' ὅσον″, φησὶ, δυνατὸν ἐκτείνειν, ἐννοῶν τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ, τοιοῦτον ὡς ἐγχωρεῖ σοι *ἀνάφερε. τὸ δὲ εἰκὸς τοιοῦτο· μεγάλῳ Θεῷ καὶ μεθ' ὑπερβολῆς μεγάλῳ ἀναφέρειν ὕμνον ἄνθρωπον ὄντα· οὐ γὰρ ἄξιον οὐδεὶς ἀνενεγκεῖν δύναται. εἶδες πόθον ψυχῆς; εἶδες ἐκκαιομένην διάνοιαν, βιαζομένην, φιλονεικοῦσαν καὶ τὴν οἰκείαν ἀσθένειαν ὑπερβῆναι καὶ ἀναπτῆναι λοιπὸν πρὸς αὐτὸν τὸν οὐρανόν, συνδεδεμένην τῷ Θεῷ, ἀνακειμένην αὐτῷ πολλῷ τῷ πόθῳ;

.συναγαγεῖν
.σοι
ὕμνον

3 Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. Ἄλλος, Δι' ἤχου κερατίνης. Ἄλλος, Διὰ νάβλας καὶ λύρας. 4 Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Ἄλλος, Διὰ χορδῶν καὶ κιθάρας. 5 Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Ἄλλος, Ἐν κυμβάλοις σημασίας. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἄλλος, Ἀναπνοή. Πάντα ἀνακινεῖ τὰ ὄργανα, καὶ διὰ πάντων τὴν μελῳδίαν ἀναφέρεσθαι παρακελεύεται, διαθερμαίνων τὴν διάνοιαν αὐτῶν καὶ ἀνεγείρων. ὥσπερ δὲ οἱ Ἰουδαῖοι διὰ πάντων τῶν ὀργάνων, οὕτως ἡμῖν παρακελεύεται διὰ πάντων τῶν μελῶν ἀνυμνεῖν τὸν Θεόν, δι' ὀφθαλμοῦ, διὰ γλώττης, δι' ἀκοῆς καὶ διὰ χειρός. ὅπερ δὴ καὶ ὁ Παῦλος δηλοῖ λέγων, Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. αἰνεῖ γὰρ καὶ ὀφθαλμὸς, ὅταν μὴ ἀκόλαστα βλέπῃ· καὶ γλῶττα, ὅταν ψάλλῃ· καὶ ἀκοὴ, ὅταν μὴ δέχηται πονηρὰ ᾄσματα, μηδὲ κατηγορίας τοῦ πλησίον· καὶ διάνοια, ὅταν μὴ δόλους ῥάπτῃ, ἀλλὰ ἀγάπην βρύῃ· καὶ πόδες, ὅταν μὴ ἐπὶ πονηρίαν τρέχωσιν, ἀλλ' ἐπὶ ἀγαθῶν ἔργων οἰκονομίαν· καὶ χεῖρες, ὅταν μὴ ἐπὶ ἁρπαγὴν καὶ πλεονεξίαν καὶ πληγάς, ἀλλ' ἐπὶ ἐλεημοσύνην καὶ τὴν τῶν ἀδικουμένων προστασίαν ἐκτείνωνται. τότε γίνεται κιθάρα ἐμμελὴς ὁ ἄνθρωπος, παναρμόνιόν τινα μελῳδίαν καὶ πνευματικὴν ἀναφέρων τῷ Θεῷ. καὶ τὰ ὄργανα δὲ ἐκεῖνα

Ρω. ιβ. α.

διὰ τοῦτο ἐπετέτραπτο τότε, διά τε τὴν ἀσθένειαν αὐτῶν, καὶ διὰ τὸ κιρνᾶν αὐτοὺς εἰς ἀγάπην καὶ συμφωνίαν, καὶ ἐγείρειν αὐτῶν τὴν διάνοιαν μεθ' ἡδονῆς ποιεῖν τὰ τὴν ὠφέλειαν παρεχόμενα, καὶ εἰς πολλὴν βούλεσθαι αὐτοὺς ἄγειν σπουδὴν διὰ τῆς τοιαύτης ψυχαγωγίας. τὸ γὰρ βάναυσον αὐτῶν καὶ ῥάθυμον καὶ ἀναπεπτωκὸς σοφιζόμενος ὁ Θεὸς, ἀφυπνίζειν αὐτοὺς ταύτῃ μεθώδευσε τῇ σοφίᾳ, ἀνακεράσας τῷ πόνῳ τῆς προσεδρείας τὸ ἡδὺ τῆς μελῳδίας. τί δέ ἐστιν, ἐν κυμβάλῳ σημασίας; τοὺς ψαλμοὺς οὕτω φησίν· οὐ γὰρ ἁπλῶς ἐκυμβάλιζον, οὐδὲ ἁπλῶς ἐκιθάριζον, ἀλλ', ὡς οἷόν τε ἦν, καὶ διὰ τῶν κυμβάλων, καὶ διά τε τῶν σαλπίγγων, καὶ διὰ τῶν τῆς κιθάρας ψαλμῶν τὰς σημασίας ἐνδεικνύμενοι. καὶ ἦν αὐτοῖς εἰς ταῦτα σπουδὴ καὶ πόνος πολὺ τὸ κέρδος φέρων. πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. ἐπειδὴ ἐκάλεσε τοὺς ἐξ οὐρανοῦ, ἐπειδὴ διήγειρε τὸν δῆμον, ἐπειδὴ τὰ ὄργανα ἅπαντα ἐκίνησεν, εἰς τὴν φύσιν πᾶσαν ἐκβαίνει λοιπὸν, πᾶσαν ἡλικίαν εἰς τὴν μελῳδίαν καλῶν, πρεσβύτας, ἄνδρας, νέους, ἐφήβους, γυναῖκας, ἅπαντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας, καὶ ἐντεῦθεν ἤδη προκαταβαλλόμενος τῆς καινῆς διαθήκης τὰ σπέρματα τοῖς πανταχοῦ γῆς ἐκτεταμένοις. αἰνῶμεν τοίνυν τὸν Θεὸν διηνεκῶς, καὶ μὴ διαλείπωμεν ὑπὲρ ἁπάντων εὐχαριστοῦντες, καὶ διὰ ῥημάτων καὶ διὰ τῶν πραγμάτων. αὕτη γὰρ ἡμῶν θυσία καὶ προσφορὰ, αὕτη λειτουργία ἀρίστη καὶ ταῖς ἀγγελικαῖς πολιτείαις ἐοικυῖα. κἂν διαμείνωμεν οὕτως αὐτὸν ἀνυμνοῦντες, καὶ τὸν παρόντα βίον ἀπροσκόπως ἀνύσομεν, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΩ
ΕΠΙΓΡΑΦΟΜΕΝΑΙ
ΕΡΜΗΝΕΙΑΙ.

Ψαλμ. να. **ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΒΙΔ,** ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ,
Αχιμέλεχ. καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

1 Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν,
2 Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας
δόλον· 3 Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν
ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. 4 Ἠγάπησας πάντα
ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.

Ὁ μὲν λγ΄ ψαλμὸς εἴρηται τῷ Δαβὶδ, ὁπότε ἠλλοίωσε τὸ
πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν·
οὗτοσὶ δὲ ἐκείνῳ ἀκόλουθος ἂν εἴη κατὰ τὴν ἱστορίαν.
λέγει γὰρ ἡ γραφὴ τῶν βασιλειῶν· Καὶ ἐκεῖ ἦν εἷς τῶν παιδαρίων α.Βασ. κα. ζ.
τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἐπισημαίνεται δὲ τὸν καιρὸν,
Αχιμ. ἐν ᾧ ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ, καὶ τοὺς ἄρτους τῆς
προθέσεως ἔφαγε λαβὼν παρὰ τοῦ ἀρχιερέως, ὅτε καὶ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ
ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν. κατ᾽ αὐτὸν γὰρ ἐκεῖνον τὸν καιρὸν
ἐκεῖ ἦν, φησιν, εἷς τῶν παιδαρίων τοῦ Σαοὺλ Δωὴκ ὁ Σύρος, νέμων τὰς ἡμιόνους Σαοὺλ, α.Βασ. κβ. θ.
ὃς μετὰ ταῦτα ἐλθὼν πρὸς Σαοὺλ εἶπεν· ἑώρακα τὸν υἱὸν Ἰεσσαὶ παραγινόμενον
Αχιμ. εἰς Νομβᾶ πρὸς Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν ἱερέα, καὶ ἠρώτα αὐτὸν διὰ τοῦ Θεοῦ, καὶ ἐπισιτισμὸν
ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν
Αχιμ. ὁ βασιλεὺς καλέσαι τὸν Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς
αὐτοῦ, τοὺς ἱερεῖς τοῦ Κυρίου τοὺς ἐν Νομβᾷ, καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα·
ὅτε καὶ κελεύσαντος τοῦ Σαοὺλ, αὐτὸς ἐκεῖνος ὁ Δωὴκ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ Κυρίου
τριακοσίους καὶ πέντε ἄνδρας φέροντας ἐφοὺδ, καὶ τὴν Νομβᾶ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν
ἐν στόματι ῥομφαίας, ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἀπὸ νηπίου ἕως θηλάζοντος,
καὶ μόσχου, καὶ ὄνου, καὶ προβάτου ἐν στόματι ῥομφαίας. ταῦτ᾽ οὖν μαθὼν ὁ Δαβὶδ
τοῦτον πεπραγμένα τὸν τρόπον, τοὺς προκειμένους προφέρεται λόγους, οὔτε ᾠδὴν περιέχοντας,
οὔτε ὕμνον, οὔτε ψαλμὸν, οὔτε τι τοιοῦτο. πῶς γὰρ καὶ οἷόν τε ἦν ἐπὶ συμφορᾷ
τοιούτων ἱερέων ᾠδὰς αὐτὸν καὶ ψαλμοὺς ᾄδειν; διὸ οὐδὲν τοιοῦτον ἐπιγέγραπται· μόνον δὲ
εἰς τὸ τέλος εἴρηται καὶ συνέσεως, ἐπειδὴ τὰ τελευταῖα τῶν λόγων, ἀγαθῶν ἐστιν ἀπαγγελτικά,
ἐν οἷς φησὶν, ἐγὼ δὲ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἤλπισα ἐπὶ τὸ
ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ συνέσεως δὲ τῆς ἐκ Θεοῦ δεῖται
ἡ τῶν ἐμφερομένων λόγων διάνοια. ὅτε μὲν οὖν παρὰ τῷ Ἀβιμέλεχ γενόμενος τῆς
ἱερατικῆς ἀπεγεύσατο τροφῆς, ἀλλοιώσας τὴν γεῦσιν αὐτοῦ (ἢ τὸν τρόπον αὐτοῦ, κατὰ τὴν

τῶν

διὰ τοῦτο ἐπιτέτραπτο τότε, διά τε τὴν ἀσθένειαν αὐτῶν, καὶ διὰ τὸ κιρνᾶν αὐτοὺς εἰς ἀγάπην καὶ συμφωνίαν, καὶ ἐγείρειν αὐτῶν τὴν διάνοιαν μεθ' ἡδονῆς ποιεῖν τὰ τὴν ὠφέλειαν παρεχόμενα, καὶ εἰς πολλὴν βούλεσθαι αὐτοὺς ἄγειν σπουδὴν διὰ τῆς τοιαύτης ψυχαγωγίας. ὁ γὰρ θεραπεύσων αὐτῶν τὸ ῥᾴθυμον καὶ ἀναπεπτωκὸς σοφιζόμενος ὁ Θεὸς, ἀφυπνίζειν αὐτοὺς ταύτῃ μεθώδευσε τῇ σοφίᾳ, ἀνακεράσας τῷ πόνῳ τῆς προσεδρίας τὸ ἡδὺ τῆς μελῳδίας. τί δέ ἐστιν, ἐν κυμβάλῳ σημασίας; τοὺς ψαλμοὺς οὕτω φησίν. οὐ γὰρ ἁπλῶς ἐκυμβάλιζον, οὐδὲ ἁπλῶς ἐκιθάριζον, ἀλλ', ὡς οἷόν τε ἦν, καὶ διὰ τῶν κυμβάλων, καὶ διά τε τῶν σαλπίγγων, καὶ διὰ τῶν τῆς κιθάρας ψαλμῶν τὰς σημασίας ἐνδεικνύμενοι. καὶ ἦν αὐτοῖς εἰς ταῦτα σπουδὴ καὶ πόνος πολὺ τὸ κέρδος φέρων. πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. ἐπειδὴ ἐκάλεσε τοὺς ἐξ οὐρανοῦ, ἐπειδὴ διήγειρε τὸν δῆμον, ἐπειδὴ τὰ ὄργανα ἅπαντα ἐκίνησεν, εἰς τὴν φύσιν πᾶσαν ἐκβαίνει λοιπὸν, πᾶσαν ἡλικίαν εἰς τὴν μελῳδίαν καλῶν, πρεσβύτας, ἄνδρας, νέους, ἐφήβους, γυναῖκας, ἅπαντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας, καὶ ἐντεῦθεν ἤδη προκαταβαλλόμενος τῆς καινῆς διαθήκης τὰ σπέρματα τοῖς πανταχοῦ γῆς ἐκτεταμένοις. αἰνῶμεν τοίνυν τὸν Θεὸν διηνεκῶς, καὶ μὴ διαλείπωμεν ὑπὲρ ἁπάντων εὐχαριστοῦντες, καὶ διὰ ῥημάτων καὶ διὰ τῶν πραγμάτων. αὕτη γὰρ ἡμῶν θυσία καὶ προσφορὰ, αὕτη λειτουργία ἀρίστη καὶ ταῖς ἀγγελικαῖς πολιτείαις ἐοικυῖα. κἂν διαμείνωμεν οὕτως αὐτὸν ὑμνοῦντες, καὶ
τὸν παρόντα βίον ἀπροσκόπως ἀνύσομεν, καὶ τῶν μελλόντων ἀπολαυ-
σόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι
καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ,
καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων.
Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜῼ
ΕΠΙΓΡΑΦΟΜΕΝΑΙ
ΕΡΜΗΝΕΙΑΙ.

Ψαλμ. να. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΒΙΔ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

1 Τί ἐγκαυχᾶ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, 2 Αδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας δόλον· 3 Ηγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. 4 Ηγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.

Ο μὲν λγ' ψαλμὸς εἴρηται τῷ Δαβὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν· οὑτοσὶ δὲ ἐκείνῳ ἀκόλουθος ἂν εἴη κατὰ τὴν ἱστορίαν. λέγει γὰρ ἡ γραφὴ τῶν βασιλειῶν· Καὶ ἐκεῖ ἦν εἷς τῶν παιδαρίων τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἐπισημαίνεται δὲ τὸν καιρὸν, ἐν ᾧ ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε λαβὼν παρὰ τοῦ ἀρχιερέως, ὅτε καὶ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν. κατ' αὐτὸν γὰρ ἐκεῖνον τὸν καιρὸν ἐκεῖ ἦν, φησιν, εἷς τῶν παιδαρίων τοῦ Σαοὺλ Δωὴκ ὁ Σύρος, νέμων τὰς ἡμιόνους Σαοὺλ, ὃς μετὰ ταῦτα ἐλθὼν πρὸς Σαοὺλ εἶπεν· ἑώρακα τὸν υἱὸν Ἰεσσαὶ παραγενόμενον εἰς Νομβᾶ πρὸς Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν ἱερέα, καὶ ἠρώτα αὐτὸν διὰ τοῦ Θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ, τοὺς ἱερεῖς τοῦ Κυρίου τοὺς ἐν Νομβᾶ, καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα· ὅτε καὶ κελεύσαντος τοῦ Σαοὺλ, αὐτὸς ἐκεῖνος ὁ Δωὴκ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ Κυρίου τριακοσίους καὶ πέντε ἄνδρας φέροντας ἐφοὺδ, καὶ τὴν Νομβᾶ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας, ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ μόσχου, καὶ ὄνου, καὶ προβάτου ἐν στόματι ῥομφαίας. Ταῦτ' οὖν μαθὼν ὁ Δαβὶδ οὕτω πεπραγμένα τὸν τρόπον, τοὺς προκειμένους προφέρεται λόγους, οὔτε ᾠδὴν περιέχοντας, οὔτε ὕμνον, οὔτε ψαλμὸν, οὔτε τι τοιοῦτο. πῶς γὰρ καὶ οἷόν τε ἦν ἐπὶ συμφορᾷ τοιούτων ἱερέων ᾠδὰς αὐτὸν καὶ ψαλμοὺς ᾄδειν; διὸ οὐδὲν τοιοῦτον ἐπιγέγραπται· μόνον δὲ εἰς τὸ τέλος εἴρηται καὶ συνέσεως, ἐπειδὴ τὰ τελευταῖα τῶν λόγων, ἀγαθῶν ἐστιν ἀπαγγελτικὰ, ἐν οἷς φησὶν, ἐγὼ δὲ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ συνέσεως δὲ τῆς ἐκ Θεοῦ δεῖται ἡ τῶν ἐμφερομένων λόγων διάνοια. ὅτε μὲν οὖν παρὰ τῷ Ἀβιμέλεχ γενόμενος τῆς ἱερατικῆς ἀπεγεύσατο τροφῆς, ἀλλοιώσας τὴν γεῦσιν αὐτοῦ (ἢ τὸν τρόπον αὐτοῦ, κατὰ τὴν

τῶν

γρ. Ἀχιμέλεχ.

α. Βασ. κα. ζ.

γρ. Ἀχιμ.

α. Βασ. κβ. θ.

γρ. Ἀχιμ.

γρ. Ἀχιμ.

Ψαλμ. λγ. α.

τῶν λοιπῶν ἑρμηνειῶν) εὐλογίας καὶ εὐχαριστίας ἀνέπεμπε τῷ Θεῷ λέγων· Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου, καὶ τὰ ἑξῆς. νυνὶ δὲ ὅτε τοῦ διαβόλου Δωὴκ τὴν πρᾶξιν ἔγνω, καὶ ὡς τοσούτους ἀνεῖλεν ἱερεῖς ἔργῳ διαβολικῷ χρησάμενος, πρὸς αὐτὸν συντάττει τὰς προκειμένας λέξεις φάσκων·

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

ἴσ. καλοῦντ

Καλοῦνται μὲν τὰ μετὰ χεῖρας πολὺ πρότερον τοῖς χρόνοις τῆς ἱστορίας τοῦ πεντηκοστοῦ ψαλμοῦ. ἔτι γὰρ ζῶντος Σαοὺλ καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Δαβίδ, ταῦτα καὶ πέπρακται καὶ εἴρηται· μακροῖς δὲ ὕστερον χρόνοις μετὰ τὸν θάνατον Σαούλ, καὶ πρὸς τοῖς τελευταίοις τῆς ἑαυτοῦ βασιλείας ὁ Δαβὶδ τὴν ἐν τῷ πεντηκοστῷ ποιεῖται ἐξομολόγησιν· ἣν προὔταξε διὰ τὴν πρὸς τὸν μθ' ψαλμὸν ἀκολουθίαν, ὥσπερ οὖν ἀποδέδεικται. οἱ δ' ἀπὸ τοῦ πρώτου καὶ πεντηκοστοῦ τὸν ἀριθμὸν εἴκοσι τοῦ Δαβὶδ ἐπιγεγραμμένοι μέχρι τοῦ ἑβδομηκοστοῦ, ἐξ ἑτέρας ἀρχῆς τὴν ὑπόθεσιν εἰλήφασιν. ἐοίκασιν οὖν ἔτι ζῶντος Σαοὺλ εἰρῆσθαι, πρὶν ἢ βασιλεῦσαι τὸν Δαβίδ. ὅ τε γὰρ μετὰ χεῖρας, ἔτι ζῶντος Σαοὺλ ἐλέχθη, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαούλ, ὅτι ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. ἀλλὰ καὶ ὁ πεντηκοστὸς τρίτος, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ, οὐκ ἰδοὺ Δαβὶδ κέκρυπται παρ' ἡμῖν, εἴρηται. καὶ ὁ πέμπτος δὲ καὶ πεντηκοστός, ὅτε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ, ἐπιγέγραπται. ἴσος δὲ καὶ αὐτὸς ὁ χρόνος ὁ πρὸ τῆς βασιλείας Δαβίδ, ἔτι τοῦ Σαοὺλ περιόντος τῷ βίῳ. καὶ ὁ πεντηκοστὸς ἕκτος ἐπιγράφει· τῷ Δαβίδ, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. ὡσαύτως καὶ ὁ πεντηκοστὸς ὄγδοος· ὁπότε, φησίν, ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν. ὅγε μὴν πεντηκοστὸς ἔνατος, εἰ καὶ μετὰ τὸν θάνατον Σαοὺλ εἴρητο, ἤδη βασιλεύσαντος τοῦ Δαβίδ, ἀλλὰ καὶ αὐτὸς πρὸ τῆς κατὰ τὸν Οὐρίαν πράξεως (ὃ δὴ σημαίνεται ἀπὸ τῆς ἐπιγραφῆς, ἥτις δηλοῖ τὸν χρόνον φάσκουσα· ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σωβά, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας. ταῦτα δὲ τοῖς χρόνοις προάγει τὴν ἐν τῷ πεντηκοστῷ ψαλμῷ ἐξομολόγησιν. ἔτι μὴν καὶ ὁ ἑξηκοστὸς δεύτερος ψαλμὸς ἐλέχθη τῷ Δαβίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ζῶντος ἔτι τοῦ Σαούλ. καὶ θέα ὅπως σχεδὸν οἱ πλεῖστοι τοῦ δευτέρου μέρους τῆς βίβλου τῶν ψαλμῶν τοῦ Δαβίδ, παρεκτὸς τοῦ πεντηκοστοῦ, τοὺς πρόπαλαι εἰρημένους αὐτῷ πρὸ τῶν χρόνων τῆς κατὰ τὴν Οὐρίαν πράξεως περιειλήφασι. τὸ μὲν οὖν πρῶτον μέρος [ἀπὸ] τῆς αὐτῆς βίβλου, τὸ ἀπὸ πρώτου καὶ μέχρι τεσσαρακοστοῦ, τὴν ἐναντίαν εἶχε τάξιν. τὰ γὰρ μετὰ τὴν ἐξομολόγησιν τοῦ πεντηκοστοῦ ἐκεῖνο περιεῖχε τὸ μέρος. ὁ οὖν τρίτος ψαλμὸς λέλεκται τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ· ἔφευγε δὲ τὸν υἱὸν μετὰ τὴν ἱστορίαν τοῦ Οὐρίου. ἀλλὰ καὶ ἐν τῷ ἕκτῳ τῆς αὐτῆς ἕνεκεν πράξεως ἀπεκλαίετο λέγων· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. καὶ ὁ ἕβδομος δὲ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεὶ λεγόμενος τῶν αὐτῶν ἂν εἴη χρόνων. Χουσὶ γὰρ ἀρχεταῖρος γεγονὼς τοῦ Δαβίδ, τῷ Ἀβεσσαλὼμ συνεγίνετο. ἔτι μὴν καὶ ὁ ἑπτακαιδέκατος ἀποδέδεικται περὶ τὰ τελευταῖα τῆς ζωῆς Δαβὶδ λεγόμενος· ἀλλὰ καὶ ὁ τριακοστὸς ἕβδομος ἐπιγεγραμμένος εἰς ἀνάμνησιν, τὴν αὐτὴν ἔχων διάνοιαν τῷ ἕκτῳ, ἄρχεται μὲν ἀπὸ τῶν αὐτῶν ῥημάτων λέγων· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· προϊὼν δὲ τὴν αὐτὴν ἐξομολόγησιν τὴν ἐν τῷ πεντηκοστῷ τηκὸς τοῦ φερομένου ποιοῦνται, ἔν τε τοῖς ἄλλοις, καὶ δὴ ὧν φησιν, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. καὶ σὺ δ' ἂν κατὰ ταύτην τὴν συναγωγὴν εὕροις ἂν τὰ πλεῖστα τῶν ἐν τῷ πρώτῳ μέρει τῶν ψαλμῶν μετὰ τοὺς χρόνους τῆς κατὰ τὸν Οὐρίαν ἱστορίας εἰρημένα, τὰ δὲ μετὰ τὸν πεντηκοστὸν τοῖς χρόνοις προάγοντα τὴν κατὰ τὸν Οὐρίαν πρᾶξιν. τί δέ ποτε, οὐ κατὰ τὴν τῶν χρόνων ἀκολουθίαν οἱ πρῶτοι τοῖς χρόνοις, πρῶτοι κατετάγησαν, καὶ οἱ δεύτεροι δεύτεροι, ἀλλ' οἱ μὲν πρῶτοι λελεγμένοι ἔτι ζῶντος Σαοὺλ, ἐν τῷ δευτέρῳ μέρει τῶν ψαλμῶν· ἐν δὲ τῷ πρώτῳ, οἱ τοῖς χρόνοις ὕστατοι; ἡγοῦμαι δὴ ταύτην εἰληφέναι τὴν τάξιν, ὡς ἂν μὴ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω φέροιτο. ὀλιγοσοὶ γὰρ, εἰς τὸ τέλος μὴ διαφθείρῃς, καὶ εἰς τὸ τῶν ψαλμῶν τάξεως πεφυλάχθαι ἔοικε. διὸ τὰ σκυθρωπότερα πρῶτα τίθεται, ἵνα ἐν δευτέρῳ τὰ χρηστότερα φυλαχθῇ, καλυπτομένων καὶ ἐξαφανιζομένων τῶν χειρόνων διὰ τῶν ἐν τοῖς δευτέροις κρειττόνων. εἰκὸς δὲ τὸν Δαβὶδ τὸ πλημμεληθὲν αὐτῷ ὕστερον διὰ τῶν προτέρων αὐτοῦ κατορθωμάτων ἐθέλειν καλύπτειν. εἴποι δ' ἄν τις, ὅτι καθ' ὑπερβολὴν εὐλαβείας πρώτας ἔταττε τὰς ἐξομολογήσεις αὐτοῦ, ἐπεὶ δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. ἀλλὰ γὰρ τοσούτων ἡμῖν εἰς τὴν ἀποδοθεῖσαν τάξιν γεγυμνασμένων, καιρὸς ἤδη καὶ ἐπὶ τὰς προκειμένας φωνὰς τοῦ πεντηκοστοῦ πρώτου παρελθεῖν. γράφει τοίνυν τοὺς προκειμένους λόγους, μαθὼν ὁποῖα ἔπραξαν Δωὴκ ὁ Σύρος ἐν ταῖς κατ' αὐτοῦ διαβολαῖς. διὸ ὡς πρὸς αὐτὸν ἀπετείνετο λέγων· τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ὁ μὲν οὖν ἀδύνατος καὶ ἄπονος καὶ ὀλίγος ἐν κακίᾳ, πλεονάζοντος ἐν αὐτῷ τοῦ κρείττονος τρόπου, ὡς ἂν ἀσθενέστερος ἐν κακίᾳ ἐγκαλύψεται ἁμαρτάνων, καὶ ὑπὸ τῆς συνειδήσεως κεντούμενος μετανοήσειεν ἂν, καὶ τῆς ἑαυτοῦ κακίας ἐπινοήσειεν ἂν αὐτῷ φάρμακα δι' ἐξομολογήσεως καὶ εἰλικρινοῦς μετανοίας· ὁ δὲ δυνατὸς ἐν κακίᾳ, τυφοῦται ἐν αὐτῇ καὶ ἐγκαυχᾶται, ὡς ἐπὶ μεγάλῳ κατορθώματι σεμνυνόμενος. καί μοι δοκεῖ τὸν ἐναντίον τρόπον διαγράφειν ὁ παρὼν λόγος τῷ προηγησαμένῳ ἐν τῷ πεντηκοστῷ ψαλμῷ. ἐν ἐκείνῳ μὲν γὰρ ὀλισθήσας ἐν κακίᾳ ἅπαξ ποτὲ μετεγίνωσκε, καὶ ἑαυτὸν ἔκλαιεν ἐξομολογούμενος καὶ τὰ αὐτοῦ κακὰ ἀποκλαιόμενος· ὁ δὲ παρὼν, ἐν κακίᾳ ὢν δυνατὸς, οὐδὲ τοὺς ἔξωθεν ὑπομένει ἐλέγχους, ἀλλ' ἐναβρυνόμενος, ὡς ἐν ἀρετῇ, κακίᾳ σεμνύνεται, ἀπερυθριάσας πρὸς τὴν ἐν αὐτῷ συνείδησιν. εἶτα καὶ ἀνομίαν δι' ὅλης τῆς ἡμέρας βουλεύεται (ἢ καὶ καθ' ἑκάστην ἡμέραν, κατὰ τὸν Σύμμαχον) ἀλλὰ καὶ τοὺς λογισμοὺς τοὺς ἀδικίας πλήρεις ἐπὶ τῆς γλώσσης φέρει, οὐ καλύπτων αὐτοὺς ἔνδον ἐν τῷ τῆς ψυχῆς ταμιείῳ, ἀλλ' εἰς ἐξάκουσον τοῖς πᾶσιν αὐτοὺς διὰ τῆς γλώττης ἀπαγγέλλων. διὸ λέλεκται, ἀδικίαν ἐλογίσατο ἡ γλῶττά σου· ὁποῖοί εἰσιν οἱ ἀδεῶς καὶ ἀκατακαλύπτως αἰσχρορρημονοῦντες, ἢ ἀφυλάκτως ῥήματα βλάσφημα φθεγγόμενοι, ἢ οἱ διαφόροις ψευδολογίαις καὶ ἐπιορκίαις χρώμενοι, οἵ τε ἐκ τοῦ φανεροῦ κατὰ τῶν πέλας διαβολὰς προσφερόμενοι· ὧν εἷς τις ἦν καὶ ὁ Δωὴκ, τοιαύταις κατὰ τοῦ Δαβὶδ καὶ κατὰ τοῦ Ἀβιμέλεχ χρησάμενος καταλαλιαῖς. καὶ ὁ μὲν δυνατὸς ἐν κακίᾳ, τοὺς ἀθέους λογισμοὺς ἐπὶ τῆς γλώττης ἑαυτοῦ φέρει· ὁ δὲ ἐλάττων ἐν κακίᾳ, εἰ μὴ κεκάθαρταί γε λογισμοῖς, ἀλλ' οὖν κρύπτει αὐτοὺς, καὶ, ὅση δύναμις, σβεννύειν καὶ ἀφανίζειν αὐτοὺς ἐν ἑαυτῷ πειρᾶται. ἔτι μὴν ὁ δυνατὸς ἐν κακίᾳ, ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησε δόλον, ἐξαπατῶν μὲν ἁπαλῷ λόγῳ τὸν ἐπιβουλευόμενον, λαθραίως δὲ αὐτὸν συσκευαζόμενος. καὶ τοῦτο δὲ Δωὴκ ὁ Σύρος ἐποίει, παρὼν μὲν ἐν τῇ πόλει τῶν ἱερέων, ὁπηνίκα ἐπεδήμει τῷ Ἀβιμέλεχ ὁ Δαβὶδ, δολίως δὲ ἐπιτηρῶν τὰ πραττόμενα, καὶ μηδὲν μὲν εἰς φανερὸν τότε φθεγγόμενος, τάχα δέ που καὶ φιλίαν πρός αὐτόν τε τὸν Δαβὶδ καὶ πρὸς

Παροιμ. ιη. ιζ

τοὺς ἱερέας ὑποκρινόμενος, ὕστερον δὲ δείξας ἑαυτὸν ὅστις ἦν, καὶ τὸν ἐν αὐτῷ κρυπτόμενον δόλον, ὥσπερ ἰὸν, ἀποπλύσας. ὁ δὲ αὐτὸς, δύο προκειμένων, κακίας καὶ ἀγαθότητος, δέον ἑλέσθαι τὴν κρείττονα, ὁ δὲ τὴν κακίαν προὔτιμα· παρὸν δὲ αὐτῷ τὸ εἶναι ἐν ἀγαθωσύνῃ τὴν ἀδικίαν εἵλετο. ἠδίκει γὰρ καταψευδόμενος τοῦ ἱερέως, καὶ τὰ μὴ πραχθέντα κατ' αὐτοῦ λέγων. τὸ γὰρ ἐπερωτῆσαι τὸν Θεὸν ὑπὲρ τοῦ Δαβὶδ, ψεῦδος ἦν καὶ οὐκ ἀλήθεια. οὐδὲν γοῦν τοιοῦτον μεμαρτύρηκεν ἡ γραφή. ἐξῆν δὲ αὐτῷ καὶ λαλῆσαι δικαιοσύνην, διδάξαντα τὸν Σαοὺλ, ὅτι τὴν μὲν αἰτίαν τῆς ἀναχωρήσεως τοῦ Δαβὶδ ἠγνόει ὁ ἱερεύς· ὡς φίλον δὲ αὐτὸν ὑπεδέχετο τοῦ βασιλέως, καὶ ἀπεσταλμένον ἐπὶ διακονίᾳ βασιλικῇ εἰς τιμὴν τοῦ πέμψαντος ἐδεξιοῦτο, καὶ οὐκ ἐδίδου μὲν ἐπισιτισμὸν (οὐδὲ γὰρ παρῆσαν αὐτῷ ἄρτοι δυνάμενοι ἐφοδιάσαι τὸν Δαβίδ. τοῦτο γοῦν αὐτῷ καὶ ἀπελογήσατο ὁ ἱερεὺς πρὸς Δαβὶδ, εἰπὼν, οὐκ εἰσὶν ἄρτοι βέβηλοι, ἀλλ' ἢ μόνοι οἱ τῆς προθέσεως) οὐκοῦν οὐκ ἐδίδου ἐπισιτισμὸν, ἀνάγκης δὲ καλούσης καὶ πλέον τοῦ νενομοθετημένου τολμᾷ, τῶν τῆς προθέσεως μεταδιδοὺς ὡς ἀνδρὶ θεοφιλεῖ καὶ δικαίῳ. ταῦτα καὶ τὰ τοιαῦτα ἀναδιδάξας ὁ Δωὴκ ἐλάλησεν ἂν δικαιοσύνην, εἰ ἠβούλετο· ὁ δὲ ψευδέσι διαβολαῖς χρησάμενος ἠγάπησεν ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.

α. Βασ. κα. δ.

Ἀλλὰ καὶ πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν, ἠγάπησεν.

Πάντα γὰρ τὰ πρὸς ἐπιβουλὴν καὶ φόνον καὶ θάνατον τοῦ τε ἱερέως καὶ τῶν λοιπῶν ἁπάντων τῶν σὺν αὐτῷ τεθανατωμένων διεπράξατο. διὸ ῥήματα καταποντισμοῦ οἱ λόγοι τῆς τοῦ Δωὴκ ψευδολογίας εἴρηνται. ἀθρόως γὰρ πᾶσαν τὴν πόλιν τῶν ἱερέων, ὥσπερ ἐν βυθῷ, κατεπόντισε τοῖς ἑαυτοῦ ῥήμασιν. ἀλλὰ ταῦτα μὲν οὐ Δωὴκ μόνος, ἀλλὰ καὶ πᾶς ὁ ἐν κακίᾳ δυνατὸς πράξειεν ἂν, δυνάμει κακίας χρώμενος ἀκωλύτως. ὁποῖα δὲ αὐτὸν τὰ ἐκ τῆς τοῦ Θεοῦ κρίσεως μετελεύσεται, ἑξῆς ὁ λόγος διδάσκει φάσκων·

5 Διὰ τοῦτο ὁ Θεὸς ″καθελεῖ σε εἰς τέλος, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. διάψαλμα.

ἢ καθέλοι

6 Ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν· ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, 7 Ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Ὥσπερ ὁ κῆρυξ τῆς ἀληθείας λόγῳ χρώμενος μυρίοις αἴτιος ἐγένετο σωτηρίας, τὸν αὐτὸν τρόπον καὶ ὁ δυνατὸς ἐν κακίᾳ τῷ αὐτῷ λόγῳ πολλοῖς προξενεῖ θάνατον καὶ ἀπώλειαν, ῥήματα καταποντισμοῦ προφέρων, καὶ ξίφει λογικῷ χρώμενος ἐπ' ἀνθρώπων ἀπωλείᾳ· καὶ μάλιστα, ὅτε μὴ μόνον σώματα ταῖς αὐτοῦ διαβολαῖς ἀναιρεῖ, ἀλλὰ καὶ ψυχὰς αὐτῇ τῇ γλώσσῃ δολίᾳ καταβάλλων ἐπὶ ψευδεῖς καὶ ἀθέους δόξας. διὸ λέλεκταί που· Οἱ υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα· οὓς δεῖ φυλάττεσθαι μᾶλλον, ἢ τοὺς ἐν ταῖς συμφοραῖς κακουργοῦντας· ὧν εἷς ἐστι καὶ ὁ Δωὴκ, ὅτι ψευδεῖ λόγῳ καὶ διαβολῇ χρησάμενος τοὺς ἱερέας ἀνεῖλε τοῦ Θεοῦ. ἀλλ' ὁποία τὸν τοιοῦτον ἡ ἐκ Θεοῦ μετελεύσεται δίκη, ὁ παρὼν διδάσκει λόγος, ὡς πρὸς τὸν δυνατὸν ἐν κακίᾳ φάσκων· διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τέλος. ἐπειδὴ γὰρ ἠγάπησας κακίαν, τούτου χάριν αὐτὸς ὁ τῶν ἁπάντων κριτὴς Θεὸς πρῶτον μέν σε τῆς ἐπάρσεως καὶ τῆς μεγαλαυχίας καθελεῖ, καὶ ἀντὶ ὑψηλοῦ ταπεινὸν ποιήσει, ὡς ἂν μηκέτι ″καυχᾷ ἐν κακίᾳ· εἶτα δὲ, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. κατὰ δὲ τὸν Σύμμαχον, καθελεῖ σε, φησι, καὶ ἀποξύσαι σε ἀπὸ τῆς σκηνῆς σου, καὶ ἐκριζώσαι σε ἐκ γῆς ζώντων εἰς ἀεί· ἵνα βλέποντες δίκαιοι φοβῶνται καὶ καταγελῶσιν αὐτοῦ λέγοντες· ἰδοὺ ἄνθρωπος, ὃς οὐ προσέταξε τὸν Θεὸν ἰσχὺν αὐτοῦ,

Ψαλμ. νς. ε.

ἢ καυχᾷ

ἀλλ' ἐπεποίθησε τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνισχύσατο τῇ συμφορᾷ αὐτοῦ. λέλεκται δὲ ταῦτα ὡς πρὸς τὸν Δωήκ, ὄντα μὲν Σύρον τὸ γένος, ἀναστραφέντα δὲ ἐν μέσῳ τοῦ Ἰσραήλ, καί που τάχα καὶ παραβάλλοντα μετὰ τοῦ πλήθους εἰς τὴν πόλιν τοῦ Θεοῦ, θεοσεβεῖν τε προσποιούμενον· εἴρηται δὲ καὶ πρὸς πάντα τὸν ἐν κακίᾳ δυνατόν, τῇ γλώττῃ χρώμενον αὐτὶ ξίφους ἐπὶ ψυχῶν ἀπωλείᾳ· ὃν ὥσπερ τινὰ πικρὰν καὶ λυμαντικὴν ῥίζαν ὁ τῶν ψυχῶν γεωργὸς ἐκτίλλει, κἂν δόξῃ πρὸς βραχύν τινα χρόνον ἐν τῷ σκηνώματι τοῦ Θεοῦ, καὶ ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ πεφυτεῦσθαι. ἐκτμηθεὶς δὲ ὁ τοιοῦτος καὶ μακρὰν ἀπορριφεὶς τοῦ τῶν ἁγίων σκηνώματος, θέαμα κείσεται οἷς ἐστὶν ἐπ' ὠφελείᾳ καὶ σωφρονισμῷ τῶν ὁρώντων, οἳ τὴν ἀπότομον τοῦ Θεοῦ κατὰ τοῦ τοιούτου κρίσιν ὀφθαλμοῖς παραβαλόντες, ἀγωνιάσουσι καὶ φυλάξονται μὴ τοῖς ὁμοίοις περιπεσεῖν. εἶτα ἀναφέροντες τῇ μνήμῃ τὴν προτέραν τοῦ δυνατοῦ ἐν κακίᾳ μεγαλαυχίαν, τό τε ὕψος, καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, ὁρῶντες δὲ καὶ τὴν μετὰ ταῦτα μετελθοῦσαν αὐτὸν ταπείνωσίν τε καὶ ἀπώλειαν, καταγέλαστον αὐτὸν ἡγήσονται, ἐξ οἵων εἰς οἷα κακὰ ἐμπέπτωκε θεώμενοι· ἀποδέξονται δὲ τὴν τοῦ Θεοῦ κρίσιν, δικαίαν αὐτὴν εἶναι ὁμολογοῦντες. εἶτα καὶ τὰς αἰτίας διελεύσονται δι' ἃς ταῦτα πέπονθεν ὁ ἀσεβής, δικαιοῦντες τὴν τοῦ Θεοῦ κρίσιν. δέον γὰρ μὴ ἐπὶ πλούτῳ μεγαφρονεῖν, μηδὲ ἐπὶ τῇ ματαιότητι τοῦ παρόντος βίου ἐπαίρεσθαι, μόνον δὲ τὸν Θεὸν ἐλπίδα καὶ βοηθὸν αὐτοῦ τίθεσθαι, καὶ ἐπὶ ταύτῃ σαλεύειν τῇ ἐλπίδι, ὁ δὲ τὴν μὲν ἀγαθὴν ἐλπίδα τῆς ἑαυτοῦ σωτηρίας καταλέλοιπεν, ἐπὶ δὲ ματαίῳ πλούτῳ τὰς ἐλπίδας ἀναρτήσας, πλέον οὐδὲν ἢ γέλωτα ὀφλήσας ἐπὶ τῇ αὐτοῦ ματαίᾳ καὶ ἄφρονι μεγαλαυχίᾳ. ὑψηλῶν

8 Ἐγὼ δέ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

9 Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Ὁ μὲν ἐν κακίᾳ δυνατὸς ὁποίου τέλους τεύξεται, διὰ τῶν εἰρημένων μεμαθήκαμεν· ἐγὼ δέ, φησιν, ὁ Δαβίδ, ταῦτα παιδευθεὶς παρὰ τοῦ ἁγίου πνεύματος, οὔτε ἐπὶ πλήθει πλούτου προσκαίρου ἐπαρθείην ἄν ποτε, οὔτε ἐπὶ ματαιότητι τοῦ θνητοῦ βίου (Ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης) ἀλλὰ καὶ φεύγων τὴν ὁδὸν τοῦ δυνατοῦ ἐν κακίᾳ, τὴν ἐμαυτοῦ γλῶτταν καὶ τὰ ῥήματα οὐκ εἰς ἀπώλειαν ἑτέρων ἀκονήσω, ἀλλ' ἐπ' ὠφελείᾳ ψυχῶν ἔσομαι, ὡσεὶ ἐλαία κατάκαρπος, εἰς σωτηρίαν τῶν τοιούτων· καὶ ταῖς λοιπαῖς δὲ πράξεσιν οὕτως ἂν γενοίμην εὐθαλὴς καὶ εὔκαρπος, ὡς παραβάλλεσθαί μου τὴν ψυχὴν ἀειθαλεῖ καὶ πολυκάρπῳ φυτῷ ἐν οἴκῳ Θεοῦ πεφυτευμένῳ. διό φημι, ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἢ κατὰ τὸν Σύμμαχον, ἐγὼ δὲ ὡσεὶ ἐλαία εὐθαλὴς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. οὐδὲ γὰρ ἀπένευθοι τοῦ οἴκου τοῦ Θεοῦ, ἀλλ' ἔνδον ἐν αὐτῷ, ὥσπερ ἐν γεωργίῳ Θεοῦ πεφυτευμένος, καὶ τῶν ναμάτων τῆς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πηγῆς ἀπολαύων, πολύκαρπος ἐγενόμην καὶ εὐθαλής, κατὰ τὸ παράδειγμα τοῦ τῆς ἐλαίας φυτοῦ, ὅπερ ἐν τοῖς ἀειθαλέσι παρείληπται. τήρει δέ, ὅτι ταῦτα λέγων ὁ Δαβὶδ οὔτ' ἐπὶ τῆς Ἱερουσαλὴμ ἐτύγχανεν, ἣν ἐνόμιζον εἶναι Ἰουδαίων παῖδες οἶκον τοῦ Θεοῦ (οὐδὲ γὰρ ᾠκοδόμητο αὕτη) ἀλλ' οὐδὲ ἐν τῇ σκηνῇ τῇ ὑπὸ Μωϋσέως κατασκευασμένῃ τῇ ἔτι τότε παρὰ Ἰουδαίοις οὔσῃ (φεύγων γὰρ τὸν Σαοὺλ περὶ ἑτέροις τὰς διατριβὰς ἐποιεῖτο) ὅμως δ' οὖν οὐκ ἠγνόει ἑαυτὸν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτεῦσθαι, οἶκον Θεοῦ νοῶν τὸ θεοσεβὲς πολίτευμα. καὶ ἐπειδήπερ κατάκαρπος ἦν, ἀλλ' οὐκ ἄκαρπος, οὐδὲ πικροὺς φέρων καρπούς, γλυκεῖς δὲ καὶ πολλῆς γέμοντας φιλανθρωπίας, εἰκότως ἐλαίας φυτῷ κατακάρπῳ παρέβαλλεν, τὸν

Σαρ. α. β.

εἰς τοὺς πέλας ἔλεον σημαίνοντος, καὶ τὴν εἰς ἅπαντας φιλανθρωπίαν τοῦ παραδείγματος. ὡς οὖν τοσούτοις βελτίων ἀγαθοῖς ἀκολούθως ἐπιλέγει· ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. τοῦ μὲν γὰρ ἐν κακίᾳ δυνατοῦ τὸ τέλος, ἐκρίζωσιν αὐτῶν, καὶ ἀφανισμὸν ἐδήλου εὑρεῖν· ἢ γὰρ τὴν τῶν παρόντων ποιητικὴν ῥίζαν καρπῶν, πρὸς τοῦ τῶν ὅλων σοφοῦ γεωργοῦ ἐκτίλλωσι. ὁ δέ, ὡς ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισεν ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀθανασίαν καὶ ζωὴν αἰώνιον ποριζόμενος ἀπὸ τῆς ἀγαθῆς ἐλπίδος, ἧς οὔποτε ἐκπεσεῖται. Ἡ γὰρ ἐλπίς, κατὰ τὸν ἀπόστολον, οὐ καταισχύνει. εἶθ' ὡς ἐπ' ἀγαθοῖς καρποῖς ἀγαθὰς ἐλπίδας ἑαυτῷ ὑποτυπωσάμενος, τὴν αἰτίαν ἐξάπτει τῷ πάντων ἀγαθῶν χορηγῷ· ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας. οὐ γὰρ ἐγώ, φησιν, ἐποίησα ἐμαυτὸν ὡς ἐλαίαν κατάκαρπον, ἀλλὰ σὺ ἐποίησας· παρὰ σοῦ γὰρ ἡ χάρις. διὸ οὔποτε παύσομαί σοι τὴν χάριν εἰδὼς καί σοι ἐξομολογούμενος· ἅπαξ δὲ ἐλπίσας ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, ὑπομενῶ τὸ ὄνομα αὐτοῦ. τῆς γὰρ ἀγαθῆς ἐλπίδος ὑποκειμένης, ὑπομονῆς ἡμῖν χρεία. διὸ ὑπομενῶ τὸ ὄνομά σου, φησιν, ὅτι χρηστὸν ἐνώπιον τῶν ὁσίων σου· ἢ κατὰ τὸν Σύμμαχον, ὅτι ἀγαθὸν τὸ ὄνομά σου ἀντικρὺ τῶν ὁσίων σου. εἰδὼς οὖν, ὅτι ἀγαθόν ἐστι, καὶ ἀγαθῶν ποιητικὸν οὐ τοῖς δυνατοῖς ἐν κακίᾳ, οὐδὲ τοῖς ἀποβλήτοις τῶν ζώντων, ἀλλὰ τοῖς σοῖς ὁσίοις, εἰκότως ὑπομενῶ τὸ ὄνομά σου, εὔελπις ὢν μήποτε ἐκπεσεῖν τοῦ ἐλέους. οὕτως οὖν ἤλπισα ἐπ' αὐτὸν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. τῇ γῇ αὐλ. τῷ γῇ

Psal.

Ψαλμ. ϟε. Ι ΑΣΑΤΕ ΤΩ ΚΥΡΙΩ ΑΣΜΑ ΚΑΙΝΟΝ, Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

ΚΑλὸν ἡμῖν ὡς ἀληθῶς καὶ θαυμάσιον ὕμνον διὰ τῆς πνευματικῆς ἀνεκρούσατο λύρας ὁ ὑμνογράφος Δαβίδ, διὰ μὲν τῆς προφητικῆς γλώττης τὸν εὐαγγελικὸν ὑφαίνων λόγον, διὰ δὲ τῶν ἀρχαίων λόγων τὰ καινὰ πράγματα σημαίνων. τί γὰρ ἐβόησεν; ὡς ἀρτίως ἀκηκόαμεν, Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. σκόπησον, ἀγαπητέ, εὐσεβῶς, καὶ νόησον, ὅπως τὰ προφητικὰ τοῖς εὐαγγελικοῖς συνάπτων ῥήμασιν, ᾄσατέ φησι τῷ Κυρίῳ ᾆσμα καινόν. ἴσμεν, ἀδελφοί, ὅτι τὸ καινὸν ᾆσμα πρὸς τὸ παλαιὸν ἀντιδιαστέλλεται. ἀναγκαῖον δὲ ζητῆσαι τί μὲν τὸ ᾆσμα τὸ παλαιόν, τί δὲ τὸ καινὸν ὑποτίθεται. οὕτω γὰρ ἐκ τῆς τῶν πραγμάτων διαφορᾶς δυνησόμεθα καταλαβεῖν τῆς ἀληθείας τὴν ἔννοιαν. τὸ τοίνυν πρῶτον καὶ πάντων ἀρχαιότατον ᾆσμα ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης ᾔδετο, ὅτε Μωϋσῆς ἐκεῖνος ὁ θαυμάσιος θείᾳ δυνάμει τὴν θάλασσαν ἐπτέρωσε, καὶ γῆν ἐποίησε τὸ πέλαγος, καὶ ᾆσμα ἀνακρουσάμενος ἔλεγεν, ᾄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. ἐλέγετο καὶ ἄλλο παλαιὸν ᾆσμα ὑπὸ τῆς μακαρίας Δεβόρρας, ὁπηνίκα τρωθέντων ἐν τῷ πολέμῳ τῶν ἐναντίων, οἷόν τι μέγιστον ἤγειρε τρόπαιον, τὸν ἐπινίκιον ὕμνον. εὑρήσεις καὶ ἄλλο παλαιὸν ᾆσμα ἐν τῇ ἐρήμῳ γενόμενον, ὅτε τὸ φρέαρ εὗρον οἱ υἱοὶ Ισραήλ, καὶ τῆς ξένης ἀπήλαυον χάριτος. καὶ πολλὰ ἔστιν εὑρεῖν λόγον τοῦ παλαιοῦ ᾄσματος τοῖς γνησίως καὶ εἰλικρινῶς ταῖς ἁγίαις γραφαῖς ἐντυγχάνουσι.

ἴσ. ἐπέρασε, ἢ ἐπεραίωσε,

ἐντυγχάνουσιν. ἀναγκαῖον δὲ λοιπὸν ζητῆσαι, τὸ νέον τοῦτο καὶ καινὸν ᾆσμα ποίαν ἔχει δύναμιν, καὶ ποίαν [illegible] θεωρίαν. καί μοι πρόσεχε ἀκριβῶς. τὸ παλαιὸν ᾆσμα ἑνὶ προσεκεκλήρωτο λαῷ, καὶ εἰς ἓν περιεγέγραπτο κλῖμα, τὸ τῆς Παλαιστίνης, καὶ οὐκ ἐπιτέτραπτο τῷ λαῷ ἐκτὸς τοῦ κλίματος ἐκείνου τὸ παλαιὸν ᾆσμα προσφέρειν. ἀλλ' ἐπειδὴ λαὸς εἷς ἦν, καὶ ἔθνος ἕν, ἑνὶ τόπῳ καὶ κλίματι καὶ τὸ ᾆσμα καὶ ἡ λατρεία τὸ παλαιὸν περιεκέκλειστο. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ μακάριος Δαβίδ, ὧδε ἐπιλέγων ἐκ προσώπου τῶν εἰς τὴν Βαβυλῶνα παραληφθέντων Ἰουδαίων· Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ὁρᾷς ὡς οὐκ ἐπιτέτραπτο τῷ παλαιῷ ᾄσματι διὰ πάσης χωρεῖν τῆς ὑπ' οὐρανόν, ἀλλὰ τῷ ἔθνει καὶ ὁ ὕμνος συνεπεγράφετο; ἀλλὰ πάλιν ἐπαναλάβωμεν τὰ λαληθέντα παρὰ τῶν ἐν Βαβυλῶνι. Τότε ἠρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. εἶτα τῷ νόμῳ περιγεγραμμένοι, καὶ κωλυόμενοι ἐπὶ τῆς ἀλλοδαπῆς τὰ θεῖα ᾄδειν, ἀποκρίνονται· πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; τὸ μὲν οὖν παλαιὸν ᾆσμα οὕτω διαῤῥήδην περιεγέγραπτο, ὡς ἔφθην εἰπών, τῷ τε λαῷ καὶ τῷ κλίματι· τὸ δὲ νέον ᾆσμα διὰ πάσης χωρεῖ τῆς ὑπ' οὐρανόν, καὶ ὑπὸ πάσης ᾄδεται τῆς οἰκουμένης. διὰ τοῦτο καὶ ὁ προφήτης εἰπών, ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, εὐθέως ἐπήγαγεν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ὅρα πῶς δείκνυσιν αὐτὸ διαστελλόμενον τὸ ᾆσμα τὸ καινὸν πρὸς τὸ παλαιὸν ἐκεῖνο καὶ περιγεγραμμένον. καὶ ἵνα μή τις στοχασμοῖς ἀνθρωπίνοις ἀμβλώσῃ τὴν θεωρίαν, οὐκ ἐσιώπησεν οὔτε τῆς εὐαγγελικῆς χάριτος τὴν ἐνέργειαν· ἀλλ' εἰπών, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, πάλιν ἐπήγαγεν,

Ψαλμ. ρλϛ. δ.

Ψαλμ. ρλϛ. γ.

2 Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

Ὁποῖον σωτήριον; ἢ δῆλον ὅτι τὴν πολυύμνητον τοῦ σωτῆρος οἰκονομίαν λέγει, ὅτι Θεὸς ἐν ἀνθρώποις ἐγένετο διὰ φιλανθρωπίαν, ὅτι τοῖς κάμνουσιν ἰατρὸς ἐπεδήμησεν, ὅτι τοῖς ἐσκοτισμένοις τὸ φῶς ἐπέλαμψεν, ὅτι τοῖς πεπλανημένοις ἡ ὁδὸς ἐπέφανεν, ἡ ὁδὸς ἐκείνη ἡ σήμερον βοήσασα διὰ τῶν εὐαγγελίων, Ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. ἀναγκαῖον δέ, ἀδελφοί, μαθεῖν τίνος ἕνεκεν τὸ παλαιὸν ὁ Θεὸς περιέγραφε τὸν λαὸν ἑνὶ τόπῳ καὶ κλίματι. διὰ τί δὲ οὐκ ἐπέτρεπε τῷ λαῷ ἐκείνῳ ἀνὰ πᾶσαν τὴν γῆν ᾄδειν τὰ θεῖα; ἐκεῖνο γὰρ δεῖ πρῶτα εἰδέναι καλῶς, ὅτι Θεὸς οὐ τρέπεται, οὐ μεταβάλλεται, οὐδ' ἀφ' ἑτέρας εἰς ἑτέραν μετατίθεται γνώμην. οὐ ποτὲ μὲν τοῦτο δοκιμάζει, ποτὲ δὲ ἕτερον· ἀλλ' αὐτὸς μὲν ὢν ἄτρεπτος καὶ ἀναλλοίωτος, ἁρμόζεται πρὸς τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην. λαλεῖ Θεός, ἀδελφοί, καὶ νομοθετεῖ πολλάκις οὐχ ὡς αὐτὸς δύναται, ἀλλ' ὡς ἡμεῖς ἀκούειν δυνάμεθα. ἐδύνατο διὰ τοῦ παλαιοῦ ᾄσματος ἐξάψαι τὴν λαμπάδα τοῖς ἔθνεσιν, ἀλλ' οὐκ ἦσαν οἱ μεταχειριζόμενοι τὴν λαμπάδα εὔτονοι πρὸς τὸ τῆς εὐσεβείας κήρυγμα. εἰ γὰρ αὐτοὶ λαβόντες μὴ κατεῖχον τὸν τῆς εὐσεβείας λόγον, πῶς εἰς ἄλλους διαδοῦναι τὸν τῆς εὐσεβείας νόμον ἠδύναντο; ἀλλ' ἐπειδὴ ὁ λαὸς σαθρὸς καὶ ἄπιστος ἦν, καὶ ταχέως τοῖς ἐθνικοῖς ὑπαγόμενος μιάσμασιν, ἑνὶ περιορίζεται τόπῳ, ἵνα δυνηθῇ τὸ καθ' ἑαυτὸν ἀσκεῖσθαι τὸν τῆς εὐσεβείας νόμον. τοῦτο ποιεῖ καὶ ἀνὴρ πολλάκις τῶν καθ' ἡμᾶς ἕκαστος. ἐπειδὰν ἔχῃ ὕποπτον γυναῖκα, περιορίζει αὐτὴν τόπῳ, καὶ θαλάμοις ἐναποκλείει, καὶ εὐνούχους περιΐστησι, καὶ πᾶσαν φυλακὴν περιτίθησι, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται τὰ φυλάττοντα τὴν σωφροσύνην· ἐπειδὴ οὐκ ἔχει τὴν ἀληθῆ φιλανθρωπίαν, καὶ φυλακὴν τὴν ἀπὸ τῆς σώφρονος διανοίας, τὴν σώφροσι συμπολιτευομένην. ὁ δὲ σώφρονα καὶ κοσμίαν ἔχων γυναῖκα, οὐδεμιᾶς αὐτὴν προόδου κωλύει. ἔχει γὰρ ἀσφαλὲς ἐνέχυρον, τὴν διάθεσιν. πρόεισιν ἐπ' ἀγορᾶς, καὶ ἔσβεσται ὁ ζῆλος συντυγχάνων

Ιω. ιδ. ϛ.

πολλοῖς ἀνδράσι, καὶ οὐδαμοῦ ζηλοτυπίας νόσος. ἡ γὰρ σώφρων ἔχει μεθ' ἑαυτῆς φιλανδρίαν
καὶ παιδαγωγὸν, τὸν τρόπον. ὃ τοίνυν ἐφ' ἡμῶν ἐπὶ τῶν ἀνθρώπων, τοῦτο ὁ Θεὸς ποιεῖ. καὶ
μή τις ἀνάρμοστον εἶναι νομίσῃ τὴν εἰκόνα τὴν προκειμένην. ὁ γὰρ Θεὸς οὕτω προσφέρεται
τῷ λαῷ, ὡς ἀνὴρ γυναικὶ, οὐ κατὰ τὴν τῶν σωμάτων ἕνωσιν, ἀλλὰ κατὰ τὴν διάθεσιν
καὶ τὴν ἔννοιαν. ὁ αὐτὸς γοῦν καὶ τῇ παλαιᾷ διαλεγόμενος συναγωγῇ διὰ τοῦ προφήτου,
Ωσ. β. ιθ. σαφῶς ἔλεγεν· Ἐμνηστευσάμην σε ἐν κρίματι, καὶ ἐν ἐλέῳ, καὶ ἐν δικαιοσύνῃ, καὶ
ἐν ἐπιγνώσει. τοῦ Θεοῦ ἡρμήνευσε τὴν συνάφειαν. καὶ τίς ἡ συνάφεια Θεοῦ; ἡ ἐπίγνωσις.
ἐπὶ μὲν γὰρ τῆς ἀνθρωπίνης συναφείας σώματα σώματι συνάπτεται, ἐπὶ
Μαρκ. ι. ζ. δὲ τῆς κατὰ Θεὸν συναφείας, ψυχὴ τῷ Θεῷ κολλᾶται. καὶ ὥσπερ ἐκεῖ εἴρηται, Καὶ προσκολληθήσεται
πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· οὕτως ἡ
Ψαλ. ξβ. η. ψυχὴ ἑνωμένη τῷ Θεῷ λόγῳ, βοᾷ· Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο
ἡ δεξιά σου. Εἶχεν οὖν ἡ παλαιὰ συναγωγὴ ἄνδρα τὸν νόμον, ὡς μαρτυρεῖ σήμερον
Ησ. νδ. α. Ἡσαΐας διὰ τοῦ ἀποστόλου φθεγξάμενος. τῇ γὰρ προφητικῇ κατεχρήσατο φωνῇ
Γαλ. δ. κζ. Παῦλος, λέγων· Καθὼς γέγραπται, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης
τὸν ἄνδρα. ἐπεὶ οὖν εἶχεν ἐκείνη ἄνδρα τὸν νόμον (ἐπαναλήψομαι γὰρ τὸν λόγον)
ὕποπτος δὲ ἦν ὡς πανταχοῦ προδιδοῦσα τὴν εἰς Θεὸν εὔνοιαν τῇ πρὸς τὰ εἴδωλα
Ιερεμ. γ. θ. συνειδήσει, ἐλέγχει [γὰρ] αὐτὴν ὁ Θεὸς, λέγων· Καὶ ἐμοίχευες τὸν λίθον καὶ τὸ ξύλον,
Ιεζεκ. κβ. ιβ. καὶ ἐμοῦ ἐπελάθου λέγει Κύριος. ἐπειδὴ ὕποπτον εἶχε τὴν γνώμην ἡ συναγωγὴ, εἰκότως
αὐτὴν περιγράφει τόπῳ, καὶ περικλείει, οἷα ἐν θαλάμῳ, τῷ ναῷ, οὐκ ἐπιτρέπων
οὔτε θυσιαστήριον ἱστᾶν ἐν παντὶ τόπῳ, ἀλλὰ πᾶσα μὲν ἦν ἡ Ἰουδαία τοῦ λαοῦ καὶ
Παλαιστίνη, εἷς δὲ ἦν ὁ τόπος ὁ ἔχων τὸ θυσιαστήριον. διὰ τοῦτο καὶ Μωϋσῆς ἰδὼν τὸ ὕποπτον
τῆς γυναικὸς, γυναῖκα δὲ τέως λέγει τὴν συναγωγὴν ὁ λόγος, εἰδὼς τὸ ὕποπτον τῆς
Δευτ. ιβ. ιγ. συναγωγῆς, προαναφωνεῖ λέγων· Πρόσεχε ἑαυτῷ Ἰσραὴλ, μήποτε ἀνενέγκῃς τὰ ὁλοκαυτώματά
σου, καὶ τὰς θυσίας ἐν παντὶ τόπῳ, οὗ ἂν εὕρῃς, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν
ἐκλέξηται Κύριος ὁ Θεός σου. ὅρα πῶς περιώρισται· καὶ εἰκότως, ἀδελφοί. εἰ γὰρ ἐν
ἑνὶ τόπῳ δεξαμένη θυσιαστήριον, πάντα τόπον τῆς εἰδωλολατρείας ἐπλήρωσε, καθὼς
Ιερεμ. β. κη. μαρτυρεῖ κράζων Ἱερεμίας· Κατ' ἀριθμὸν τῶν πόλεων ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατ'
ἀμφόδους Ἱερουσαλὴμ ἔθυες τῇ Βάαλ· εἰ τόπον ἕνα λαβοῦσα, πᾶσαν τὴν γῆν ἐπλήρωσε
τῆς μοιχείας, εἰ εἰς πᾶσαν ἔλαβεν ἄδειαν, ἐννόησον ὅσην ἔλαβεν ἂν μετὰ τὴν ἀκολασίαν.
διὰ τοῦτο, ἀδελφοὶ, καὶ τὸ ᾆσμα περιώρισται τόπῳ, καὶ τὸ θυσιαστήριον τόπῳ,
καὶ ὁ λαὸς ἐκεῖνος τόπῳ. ἡ δὲ ἐκκλησία ἡ σώφρων, καὶ κόσμιος, καὶ πανταχοῦ τὸν Χειστὸν
ἐν αὐτῇ περιφέρουσα, καὶ μυρίους μάρτυρας προβαλλομένη ὑπὲρ τῆς εἰς τὸν ἄνδρα
εὐνοίας, οὐ κωλύεται ἀπὸ τόπων· ἀλλ' ἐν παντὶ θυσιαστήρια, ἐν παντὶ τόπῳ διδασκαλίαι.
ταῦτα προαναφωνεῖ ὁ Θεὸς διὰ τοῦ προφήτου. τὴν γὰρ ἐκκλησιαστικὴν εὐθηνίαν
σημαίνων, καὶ τὴν ἀγνωμοσύνην τοῦ λαοῦ στηλιτεύων, πρὸς ἐκείνους φησίν·
Μαλαχ. α. ι. Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίας οὐ προσδέξομαι
ἐκ τῶν χειρῶν ὑμῶν. διότι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται
ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυσία προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά.
ὅρα πῶς λαμπρῶς καὶ περιφανῶς τὴν μυστικὴν ἡρμήνευσε τράπεζαν, τὴν ἀναίμακτον
θυσίαν; θυμίαμα δὲ λέγει καθαρὸν, τὴν προσευχὴν τὴν ἁγίαν τὴν μετὰ τῆς
θυσίας ἀναφερομένην. ἐκεῖνο γὰρ Θεὸν ἀναπαύει τὸ θυμίαμα, οὐ τὸ ἀπὸ τῶν ῥιζῶν γηΐνων
Ψαλ. ρμ. β. λαμβανόμενον, ἀλλὰ τὸ ἀπὸ καθαρᾶς καρδίας ἀναπεμπόμενον θυμίαμα. Κατευθυνθήτω
ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. ὁρᾷς ὅπως πανταχοῦ διαλάμπει

ἐπιτρέπεται

[illegible] τῇ λειτουργίᾳ ἀγγελικῇ; ὁρᾷς ὅπως ὑποδείκνυσιν ὅτι τὸ θυσιαστήριον, ὅτι τὸ ἆσμα καινὸν ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου; ἔστι μὲν οὖν θυσία καθαρὰ προφέρεται μὲν ἡ μυστικὴ τράπεζα, τὸ οὐράνιον, τὸ ὑπερκόσμιον θῦμα. ἔστι δὲ καὶ ἐν ἡμῖν διαφορὰ πολλῶν θυσιῶν. ἐπειδὴ γὰρ ὁ νόμος εἶχε πολλὰς θυσίας ἐν τῇ παλαιᾷ, καὶ τὴν μὲν ὑπὲρ ἁμαρτιῶν, τὴν δὲ ὁλοκαύτωμα λεγομένην, καὶ τὴν μὲν αἰνέσεως, τὴν δὲ σωτηρίου, καὶ ἄλλας πολλὰς καὶ διαφόρους ὑπὲρ τῶν ἐν μυσείοις μιάσμασιν ἐξεταζομένων· καὶ πολὺς ἦν καὶ ἄμετρος ἀριθμὸς θυσιῶν τῶν κατὰ νόμον, ἡ νέα χάρις ἐλθοῦσα διὰ μιᾶς περιγράφει πάσας, καὶ μίαν ἀληθινὴν ἔστησε θυσίαν. ἔχομεν δὲ καὶ ἡμεῖς ἐν ἑαυτοῖς ἑτέρας θυσίας, οὐ τῷ νόμῳ στοιχούσας, ἀλλὰ τῇ ἀγγελικῇ χάριτι πρεπούσας. καὶ βούλει μαθεῖν τὰς θυσίας ταύτας, ἃς ἔχει ἡ ἐκκλησία, πῶς ἐκτὸς αἱμάτων, καὶ καπνοῦ, καὶ βωμοῦ, καὶ τῶν ἄλλων τὸ εὐαγγελικὸν δῶρον ἀναπέμπεται τῷ Θεῷ, καὶ ἡ θυσία καθαρὰ καὶ ἀμίαντος; ἄκουε τῆς ἁγίας γραφῆς σαφῶς σοι παριστώσης τὴν διαφορὰν ταύτης, καὶ τὴν ποικιλίαν. ἔστιν οὖν ἡ πρώτη θυσία, ἣν ἔφθην εἰπών, τὸ νοερὸν ἐκεῖνο καὶ μυστικὸν δῶρον, περὶ οὗ φησιν ὁ Παῦλος, Μιμηταὶ γίνεσθε τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε Ἐφ. ε. α.
ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Θεῷ θυσίαν καὶ προσφορὰν εἰς ὀσμὴν εὐωδίας. δευτέρα θυσία, ἡ τῶν μαρτύρων. καὶ τίς μαρτυρεῖ λόγος; ἄκουε Παύλου· Παρακαλῶ ὑμᾶς, ἀδελφοί, παραστῆσαι τὰ σώματα Ῥω. ιβ. α.
ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ. ἔχεις πρώτην σωτηρίας τὴν θυσίαν, δευτέραν τὴν τῶν μαρτύρων, τρίτην τὴν τῆς εὐχῆς. κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. τετάρτη ἡ δι᾽ αἰνέσεως, τουτέστι, δι᾽ ὕμνων. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. πέμπτη ἡ διὰ δικαιοσύνης· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης. ἕκτη ἡ δι᾽ ἐλεημοσύνης· Θυσία, φησί, καθαρὰ καὶ ἀμίαντος, Ιακ. α. κζ.
ἐπισκέπτεσθαι πτωχοὺς καὶ ὀρφανοὺς ἐν τῇ θλίψει αὐτῶν. ἑβδόμη ἡ τοῦ ἀλαλαγμοῦ. ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος ἐν πολέμῳ κρότος. ἄλλο γὰρ ὀλολυγμός, καὶ ἄλλο ἀλαλαγμός. ὅταν γὰρ μετὰ νίκης ἐν πολέμῳ στρατιῶται βοῶσιν, ἀλαλαγμός ἐστιν ἐκεῖνος, καὶ σήμαντρον νίκης. διὰ τοῦτο ὁ Προφήτης τοὺς μέλλοντας εἰδέναι τὴν νίκην τοῦ Χριστοῦ, τὸν ὕμνον βοῶντας τὸν κατὰ τῶν πολεμίων, μακαρίζει λέγων· Μακάριος ὁ λαός, ὁ γινώσκων ἀλαλαγμόν. Ψαλ. πη. ις.
ἀλαλαγμὸς τοίνυν ἐστὶν ἐπινίκιος ἐν πολέμῳ κρότος. ἐπεὶ οὖν τὴν νίκην ἔλαβεν ὁ σωτὴρ τὴν κατὰ πάντων, Θαρσεῖτε, λέγων, ἐγὼ νενίκηκα τὸν κόσμον, τὸν ὕ- Ιω. ις. λγ.
μνον ἀναπέμποντες τοῦτον τῷ τὴν νίκην ἐργασαμένῳ ἀναπληροῦμεν τὸν ἀλαλαγμόν, ὃν μακαρίζει ὁ προφήτης λέγων· Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέ- Ψαλ. κς. ς.
σεως καὶ ἀλαλαγμοῦ. ὀγδόη ἐστὶν ἑτέρα θυσία τῷ Θεῷ, Πνεῦμα συντετριμμένον, καρδίαν Ψαλ. ν. ιθ.
συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ὁρᾷς πηλίκαι θυσίαι παρ᾽ ἡμῖν πολιτεύονται; ἔστι καὶ ἄλλη καινὴ θυσία ἡ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος πληρουμένη, ὁ λόγος ὁ διδασκαλικός, περὶ οὗ φησιν ὁ ἀπόστολος Παῦλος· Ἱερουργοῦντες τὸ εὐαγγέλιον τοῦ Ῥωμ. ιε.
Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τοῦ Θεοῦ εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ. ὁρᾷς ὅπως ἔδειξεν, ὅτι καὶ τὸ κήρυγμα αὐτὸ θυσίας ἀναπέμπεται τῷ Θεῷ; ἔχεις οὖν πρώτην θυσίαν, τὸ σωτήριον δῶρον· δευτέραν, τὴν τῶν μαρτύρων· τρίτην, τὴν τῆς προσευχῆς· τετάρτην, τὴν τοῦ ἀλαλαγμοῦ· πέμπτην, τὴν τῆς δικαιοσύνης· ἕκτην, τὴν τῆς ἐλεημοσύνης· ἑβδόμην, τὴν τῆς αἰνέσεως· ὀγδόην, τὴν τῆς κατανύξεως· ἐννάτην, τὴν τῆς ταπεινοφροσύνης· δεκάτην, τὴν τοῦ κηρύγματος. εἰ καί τι παρέλιπον. ἐννέα γὰρ ἀπαριθμησάμενος, ἐνόμισα δέκα παραδιδόναι. τίς οὖν ἡ παραλελειμμένη θυσία; ἔστι τοίνυν δεκάτη ἡ τῆς καρποφορίας, περὶ ἧς ὁ Παῦλός φησιν· Ἐδεξάμην πα- [illegible]

ρὰ

παρ' ὑμῶν ἀποσταλέντα δι' Ἐπαφροδίτου, θυσίαν δεκτὴν εἰς ὀσμὴν εὐωδίας. ὁρᾷς πῶς
Ψαλμ. μθ. ιδ. καὶ τὴν καρποφορίαν τὴν εἰς τοὺς ἁγίους θυσίαν καλεῖ Παῦλος; ἔχεις τὴν ποικιλίαν
θυμάτων. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. ἐπῄνεσα δὲ πάντας ὑμᾶς, ἀδελφοί,
μᾶλλον δὲ πάντες ἐπῃνέσαμεν, καὶ παρὰ πάντων ὁ Θεός, τὴν θυσίαν, ἣν ἐνεδείξασθε,
λέγω δὴ τὴν εἰς τοὺς πένητας καρποφορίαν. ἠλεήσατε γὰρ τοὺς ἐπὶ τῆς
ἀγορᾶς πατουμένους, τοὺς πρὸς τὸν Θεὸν βοήσαντας, καὶ δι' ὑμῶν ἐπακουσθέντας· ἐμιμήσασθε
τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἀπεσυλήσατε τῆς ἀγορᾶς τὸ ὄνειδος τῆς
πτωχείας. περιῆλθεν ἡ ἐλεημοσύνη, καὶ ἔσβεσε τὴν αἰσχύνην. αἰσχύνη γὰρ ἦν τῶν
ἐχόντων ἡ κραυγὴ τῶν πενήτων. ἐθησαυρίσατε θησαυρὸν ζωῆς, ἀπεθησαυρίσατε
θησαυρὸν πλούτου δικαιοσύνης. τοῦτον γὰρ δεῖ τὸν θησαυρὸν πρὸ ὀφθαλμῶν ἔχειν,
τὸν τῆς ἀληθείας, τὸν τῆς δικαιοσύνης, τὸν τῆς φιλοπτωχείας· ἐπειδήπερ, ἀδελφοί, δύο
εἰσὶ θησαυροί, εἷς, ὁ τοῖς κακοῖς θησαυριζόμενος, καὶ εἷς, ὁ τοῖς ἀγαθοῖς ταμιευόμενος.
θησαυρὸς κακῶν ἡ παρακοή, ἡ ἀπείθεια, ἡ παρανομία· περὶ ἧς φησιν ὁ Παῦλος,
Ρω. β. δ. Ἀγνοεῖς ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον
καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως τῆς
δικαιοκρισίας τοῦ Θεοῦ. ὁρᾷς θησαυρὸν ἁμαρτημάτων ἀποτιθέμενον τοῖς ἐργάταις
τῆς ἀνομίας; ἰδὲ καὶ τὸν θησαυρὸν τὸν ἀπὸ τῆς φιλοπτωχείας ἀποτιθέμενον τοῖς δικαιοσύνην
α. Τιμ. ϛ. ιζ. ἐργαζομένοις. ἄκουε Παύλου Τιμοθέῳ γράφοντος· Τοῖς πλουσίοις παράγγελλε τοῖς
ἐν τῷ νῦν αἰῶνι, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἀγαθοποιεῖν,
πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς, εὐμεταδότους ὄντας, κοινωνικούς, ἀποθησαυρίζοντας
ἑαυτοῖς θησαυρὸν ἀγαθὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. ὁρᾷς
θησαυρὸν ἀγαθῶν; ὁρᾷς θησαυρὸν κακῶν; καὶ παρὰ τίνι ὁ θησαυρὸς ἀποτίθεται; ἢ
δῆλον ὅτι παρὰ τῷ Θεῷ. αὐτὸς καὶ τὸν τῶν κακῶν θησαυρὸν ταμιεύεται εἰς ἀνταμειψιν·
καὶ τοὺς μὲν ἀμύνεται, τοὺς δὲ ἀμείβεται. θέλεις ἰδεῖν αὐτὸν ἀκριβῆ τὴν μνήμην ἔχοντα
καὶ τὴν φυλακὴν τῶν θησαυρῶν τούτων; λέγει περὶ τῶν ἐργαζομένων τὰ φαῦλα
Δευτ. λβ. λβ. διὰ Μωϋσέως· Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ
Γομόρρας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς, θυμὸς δρακόντων
ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος. καὶ ὡς ἀπηριθμήσατο τὰ ἔργα τῆς ἀνομίας, εὐθέως
ἐπήγαγεν· Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν θησαυροῖς
μου; ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν. οὕτω
ταμιεύεται τὸν θησαυρὸν τῆς ἀνομίας τοῖς ἐργάταις τῆς ἀδικίας. ταμιεύεται δὲ καὶ τοὺς θησαυροὺς
Ησ. λγ. ϛ. τῆς βασιλείας τοῖς ἐργάταις τῆς δικαιοσύνης· περὶ ὧν φησιν Ἡσαΐας, Ἥκει σοφία
καὶ ἐπιστήμη καὶ εὐσέβεια παρὰ Κυρίου. οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης. ὅθεν καὶ
Ματθ. ϛ. κ. ὁ σωτὴρ ἔλεγε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς· Θησαυρίσατε ὑμῖν θησαυρὸν ἀνέκλειπτον,
Ματθ. ιθ. κα. αἰώνιον ἐν τοῖς οὐρανοῖς. καὶ ὁ αὐτὸς τῷ πλουσίῳ διαλεγόμενος, Δεῦρο ἀκολούθει μοι,
καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. Φύγωμεν τοίνυν τὸν θησαυρὸν τῆς ἁμαρτίας, καὶ ἀποθησαυρίσωμεν
τὸν θησαυρὸν τῆς ἐλεημοσύνης, ἔργον καλόν, καὶ ἱκανὸν σβέσαι πᾶσαν
ἁμαρτίαν, ἱκανὸν λῦσαι πᾶσαν παρανομίαν. καὶ ἵνα ἀκριβῶς μάθῃς ὅσην ἰσχὺν ἔχει
ἡ ἐλεημοσύνη, σκόπησον ἀκριβῶς τὰ λεγόμενα. τῶν ἁμαρτημάτων, τὰ μὲν εἰς ἄνθρωπον
βλέπει, τὰ δὲ εἰς Θεόν· οἷον, τὸ ἀσεβῆσαι, καὶ βλασφημῆσαι, καὶ ναὸν Θεοῦ
ὑβρίσαι, ἢ ἐκκλησίαν Θεοῦ διῶξαι, ἢ ἱερεῖς ἀτιμάσαι. ταῦτα πάντα εἰς Θεὸν τὴν
ἀναφορὰν ἔχει. τὸ δὲ μοιχεῦσαι, καὶ κλέψαι, καὶ ἀδικῆσαι, ταῦτα ἐν τῇ περὶ τοὺς ὁμοδούλους
στρέφεται καταστάσει. πολλὴ δὲ διαφορὰ τῶν εἰς Θεὸν ἁμαρτανομένων, καὶ τῶν
εἰς

Εἰς ἀνθρώπους πλημμελουμένων. ἀσεβείας τοίνυν χεῖρον οὐδὲν, οὐδὲν τῆς εἰς Θεὸν
παρανομίας μοχθηρότερον, οὐδὲν ἀσεβέστερον τῆς κατὰ Θεὸν βλασφημίας. ἀλλ' ὅμως
καὶ τὴν τοσαύτην παρανομίαν ἐλεημοσύνη δύναται λύειν, οὐκ ἐὰν ἐπιμένῃ τῇ βλασ-
φημίᾳ, ἀλλ' ἐὰν ἐν τῇ μετανοίᾳ τὴν ἁμαρτίαν ἀνακαλέσηται. μὴ γάρ τοι τις κατα-
τρεχέτω τοῦ λόγου κακῶς ἀκούων· οὐ πρὸς τὴν ἄνοιαν τῶν ἀνοήτων, ἀλλὰ πρὸς τοὺς
πιστοὺς ὑμᾶς ὁ λόγος, πρὸς τοὺς συντρόφους τῆς ἀληθείας. οὐδὲν δεινότερον τῆς ἀσε-
βείας, οὐδὲν μοχθηρότερον βλασφημίας. ἀλλ' ὅμως τοσοῦτον κακὸν δι' ἐλεημοσύνης
λύεται, ἐὰν γνησίως τις προσέλθῃ τῇ ἀληθείᾳ. καί μοι λάβε πρὸς ἀπόδειξιν τὴν
ἀρχαίαν ἱστορίαν τοῦ Δανιήλ. τοῦ Ναβουχοδονόσωρ παῖς ὁ Βαλτάσαρ, ἐπικωμάσας Δαν. ε. β.
ποτὲ τοῖς θείοις καὶ ὑβρίσας τὰ ἅγια, ἐτόλμησε κοινῷ συμποσίῳ μεθυόντων, καὶ ἀσεβούντων,
καὶ βλασφημούντων, καὶ τὰ ἱερὰ σκεύη, ἃ ἀπὸ τῆς Ἱερουσαλὴμ ἔλαβεν, ταῦτα παρα-
γαγεῖν εἰς μέσον, καὶ χρήσασθαι τούτοις ὀργάνοις μέθης. καὶ ἐξήγαγε, φησί, τὰ σκεύη τοῦ
Θεοῦ τὰ ἐξ Ἱερουσαλὴμ, τὰ ἅγια, καὶ ἔπινεν ἐν αὐτοῖς αὐτὸς, καὶ αἱ γυναῖκες αὐτοῦ, καὶ αἱ
παλλακαὶ, καὶ αἱ παράκοιτοι αὐτοῦ. ὑβρίζετο τὰ θεῖα οὐ μόνον διὰ κοινῆς τραπέζης, ἀλ-
λὰ καὶ διὰ τῆς ἀσελγείας. καὶ τοσοῦτον κακὸν καὶ ὁ Θεὸς μακροθυμεῖ, ἡ ἀνεξίκακος δυνά-
μις, ἡ πλουσία χάρις, ἡ ἄφθονος φιλανθρωπία ἡ ἐκδεχομένη τὴν μετάνοιαν ἡμῶν,
καὶ ὑπερτιθεμένη τὴν τιμωρίαν. ἐπικωμάζοντα τοῖς ἁγίοις φέρει Θεὸς, καὶ προφέρει
κατ' αὐτοῦ ἀπόφασιν. ἐξήνεγκε γάρ, φησιν, ἐν ᾧ ταῦτα γίνεσθαι, ἐπὶ τοῦ κονιάματος
τοῦ τοίχου, τουτέστιν, ἐπὶ τοῦ χρίσματος, ἐξῆλθεν ὡς ἀστράγαλος χειρὸς ἀπὸ τοῦ καρποῦ
μέχρι τῶν δακτύλων, σχῆμα χειρὸς, καὶ ἔγραφεν ἐπὶ τοῦ τοίχου, μανὴ, θεκὲλ, φαρές. καὶ
τὰ ῥήματα ἦν Ἑβραϊκὰ, καὶ τὸ ξένον τοῦ θαύματος ἐξέπληττε τὸν τύραννον καὶ τοὺς συμ-
πότας. καὶ ἐζητεῖτο τῶν ἀπορουμένων ἡ λύσις, καὶ οὐχ εὑρίσκετο. ἐκάλεσεν ἑρμηνέας πολ-
λοὺς, καὶ ἠπόρουν πρὸς τὸ φαινόμενον. καλεῖται Δανιὴλ εἰς τὸ μέσον. δεῖ γὰρ πρό-
τερον τὸ ψεῦδος ἀπορῆσαι, καὶ οὕτω τὴν ἀλήθειαν λάμψαι. καὶ ὥσπερ ἐν Αἰγύπτῳ ἠ-
πόρησαν οἱ μάντεις καὶ οἱ σοφοὶ, καὶ τότε Ἰωσὴφ ἀνεκάλυψε τὴν ἀλήθειαν ἑρ-
μηνευτῶν· οὕτω καὶ ἐν Βαβυλῶνι, ἐλεγχθείσης πάσης σοφίας ἀνθρωπίνης, τότε ἡ τοῦ
Θεοῦ σοφία διὰ τοῦ πιστοῦ θεράποντος ἔλαμψεν. ἐκλήθη Δανιὴλ, εἰσῆλθεν
ὁ τῶν ἁγίων λόγων προφήτης, ἡ νοερὰ τῶν γραφῶν βίβλος, ὁ ἑρμηνευτὴς τοῦ
μεγάλου βασιλέως. καὶ ἵνα μάθῃς διαφορὰν ἀνθρώπου ψιλοῦ, καὶ ἀνθρώπου τοῦ
Θεοῦ, ψιλοῦ μὲν οὕτω τὴν φύσιν, ἀθανάτου δὲ τὴν γνώμην, εἰσελθὼν εἰς τὸ συμπό-
σιον ἐκεῖνο τῆς ἀσεβείας παρακαλεῖται παρὰ τοῦ ἀρχισυμπότου, λέγω δὴ τοῦ βασιλέ-
ως. φησὶ γὰρ πρὸς αὐτὸν ἐκεῖνος, οἶδα ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί· ἐπίλυσον ἡμῖν τὴν
γραφὴν ταύτην. τί βούλεται; τὸν ὑπηρέτην τιμᾷς, καὶ τὸν δεσπότην ὑβρίζεις; ἄν-
θρωπον σέβεις, καὶ τὸν Θεὸν ἀτιμάζεις; πνεῦμα ἅγιον ὁμολογεῖς, καὶ ἅγια μιαίνεις; οἶδα ὅτι
πνεῦμα Θεοῦ ἅγιον ἐν σοί. καὶ γὰρ ἐπὶ τοῦ πατρός μου περισσότερον ἦν τὸ πνεῦμα ἐν σοί.
ἐὰν τοίνυν ἐπιλύσῃς, φησι, τοῦτο τὸ ζητούμενον, πορφύραν ἐνδύσῃ, καὶ μανιάκην χρυ-
σοῦν περὶ τὸν τράχηλόν σου. ὁ δὲ μακάριος ἐκεῖνος καὶ θαυμαστὸς ἐν οὐδενὶ τὰ παρὰ ἀν-
θρώπων τιθέμενος δῶρα, πρὸ δὲ πάντων τιμῶν τὴν ἀλήθειαν, λέγει· βασιλεῦ, τὰ δῶ-
ρά σου ἀνδρὶ ἑτέρῳ δῶς, καὶ τὰ δόματά σου δὸς ἑτέροις· ἐγὼ δὲ τὴν γραφὴν ἀπαγγε-
λῶ. καὶ τίς σοι μισθὸς τῆς ἑρμηνείας; ἡ παρὰ τοῦ Θεοῦ μισθαποδοσία· μᾶλλον δὲ τὸ
αὐτό μοι μισθὸς τῆς ἀληθείας, τὸ ἑρμηνεῦσαι αὐτὴν τὴν ἀλήθειαν, καὶ ἐκδικῆσαι
δυσφημουμένην τὴν εὐσέβειαν. καὶ ὅρα τὸ θαυμαστὸν τοῦ δικαίου. οὐ πρότερον ἑρμηνεύει
τὴν γραφὴν, ἀλλὰ πρότερον ἐλέγχει τὴν γνώμην. καὶ τί φησι; βασιλεῦ, ὁ Θεὸς τοῦ
οὐρανοῦ

οὐρανοῦ ἔδωκε βασιλείαν καὶ μεγαλωσύνην τῷ πατρί σου Ναβουχοδονόσορ, καὶ τιμὴν καὶ δόξαν προσέθηκεν αὐτῷ· ὁμοίως καὶ σοί, ἵνα συντηρῇς. καὶ ἔδωκέ σοι ὁ Θεὸς τὴν βασιλείαν, καὶ τὴν ἰσχύν, καὶ ἐπελάθου τοῦ Θεοῦ, καὶ ἐξήνεγκας αὐτοῦ τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, καὶ ἔπινες σὺ καὶ αἱ γυναῖκές σου, καὶ αἱ παλλακαί σου, καὶ αἱ παράκοιτοί σου· καὶ τὸν ἔχοντα ἐν τῇ χειρὶ αὐτοῦ τὴν πνοήν σου οὐκ ηὐλόγησας. διὰ τοῦτο ἀπεστάλη ἀστράγαλος χειρὸς ἐκ προσώπου αὐτοῦ, καὶ ἔγραψεν ἐπὶ τοῦ κονιάματος τὴν ἰδίαν ἀπόφασιν, καὶ ταῦτα τὰ ῥήματα. μανή· ἠρίθμησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ἐπληρώθη. τοῦτο γὰρ ἑρμηνεύει ἡ Σύρα γλῶσσα καὶ Ἑβραϊκὴ ὁμοίως. θεκέλ· ἐστάθμησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ηὑρέθη ὑστεροῦσα. φαρές· διήρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. τότε γὰρ ἦν μόνων Βαβυλωνίων ἡ βασιλεία. καὶ ὅρα τὸ θαυμαστόν, πῶς ἔδειξεν ὅτι ὁ Θεὸς τὰ πάντα ἀριθμῷ καὶ σταθμῷ ποιεῖ. ἐστάθμησε, φησί, καὶ ἐμέτρησεν. οὐδὲν γὰρ παρ' αὐτοῦ ἄνευ μέτρου, οὐδὲ ἄνευ σταθμοῦ, οὐδὲν ἄνευ ἀκολουθίας, ἀλλὰ καὶ δικαίῳ μέτρῳ τὴν δίκην ἐπάγει, καὶ τιμωρούμενος σταθμῷ, τὴν τιμωρίαν ἀνάλογον δίδωσι τῇ ἁμαρτίᾳ, οὐχ ὑπερβαίνουσαν τὴν ἁμαρτίαν, ἀλλὰ σύμμετρον. διὰ τοῦτο ἀπειλῶν ποτε ὁ Θεὸς τῇ Ἰουδαίᾳ, παραιρεθείσης τῆς Σαμαρείας καὶ προαναλωθείσης, λέγει· Καὶ ἐκτενῶ ἐπὶ τὴν Ἱερουσαλὴμ τὰ μέτρα Σαμαρείας, καὶ τὰ σάθμια τοῦ οἴκου Ἐφραΐμ· ἀντὶ τοῦ, τὴν αὐτὴν ἐπιμετρῶ δίκην τούτοις, ἣν ἐπεμέτρησα ἐκείνοις. οὐ γὰρ ἄμετρος ἡ θεία δίκη, ἀλλὰ μέτρῳ, καὶ κανόνι, καὶ σταθμῷ κεκανόνισται· καθὼς ὁ Σωτὴρ ἔλεγεν ἐν τοῖς εὐαγγελίοις· ᾧ μέτρῳ μετρεῖς, ἀντιμετρηθήσεται. ἐμέτρησεν οὖν ὁ Θεός, καὶ ἐστάθμησε, καὶ διεῖλε, καὶ ἐπληρώθη ὁ ἀριθμὸς τῆς βασιλείας, φησί, πρὸς ἐκεῖνον. καὶ τί μετὰ τὴν τοσαύτην ἀπόφασιν; λύσιν εὐθέως ἐπήγαγε τῆς ἀποφάσεως. καὶ νῦν, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου λύτρωσαι ἐν ἐλεημοσύνῃ, καὶ τὴν εὐσέβειάν σου οἰκτιρμοῖς πενήτων, μήποτε ἵλεως γένηται τοῖς παραπτώμασί σου. ὁρᾷς ὅσον ἰσχύει ἐλεημοσύνη; ὅσον δύναται φιλανθρωπία; ὅσον ἐργάζεται δικαιοσύνης ἔργον ὁ περὶ πένητας ἔλεος; παρῄνεσεν ὁ προφήτης, ὡς εἶπε· ὑπήκουσεν ὁ παράνομος, ἠκολούθησεν ἀντὶ ἐπαγγελίας ἡ χάρις. ἀλλ' ἡ μὲν χάρις ἥπλωτο, ἡ δὲ γνώμη τὴν διόρθωσιν οὐκ ἐδέχετο. οὕτως ἰσχυρὸν περὶ τοὺς πένητας ἡ φιλανθρωπία. περιεῖλεν ἡ ἐλεημοσύνη σχῆμα αἰχμάλωτον ἐκ τῆς ἀγορᾶς, περιαιρεθήσεται σχῆμα αἰχμαλωσίας ἐκ πάσης τῆς γῆς. εἶδες τὴν ἀγορὰν γέμουσαν αἰχμαλώτων, καὶ συνέστειλας τὴν ὄψιν τῆς ἀηδίας· συστελεῖ ὁ Θεὸς τὴν δίκην τῆς τιμωρίας, τὴν κατὰ τῶν ἁμαρτημάτων ἐπαγομένην. οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τῶν ψυχῶν τῶν ἀδίκως ἀνῃρημένων, οὐδὲ τοῦ αἵματος τοῦ ἀδίκως ἐκκεχυμένου. ἀνῃρέθησαν οἱ ἅγιοι, ἀλλ' ὑπὲρ εὐσεβείας ἀπέθανον. μὴ γάρ μοι πρόσχῃς τῷ σχήματι τῆς αἰχμαλωσίας καὶ τοῦ πολέμου, ἀλλ' ὅτι ὑπὲρ σωφροσύνης τὸν ἀγῶνα δεξάμενοι, πολλοὶ τὸν θάνατον ὑπέμειναν, πολλαὶ παρθένοι ἐν εὐκαίρῳ καιρῷ, ὡς ἐν καιρῷ διωγμοῦ ἐστέφθησαν, καὶ ψυχαὶ πολλαὶ δι' αὐτῶν ἐπολεμήθησαν. καὶ μὴ νομίσῃς ἀναξίους εἶναι Θεοῦ, ὧν τὰ αἵματα ἐξεχύθη. ἀρχαῖον τοῦτο εἶδός ἐστιν εὐσεβείας· ἀεὶ ὁ Θεὸς τοὺς ἁγίους τοῖς κινδύνοις ἐκδίδωσιν, ἵνα δι' ἐκείνων δειχθῇ τῆς εὐσεβείας ἡ δύναμις. μή τις λεγέτω, ἆρ' οὖν εἰ ἦσαν ὅσιοι, ἀνῃροῦντο; εἰ ἦσαν τῷ Θεῷ μεμαρτυρημένοι, τοσαύτην ὑπέμενον πόρθησιν; ἄκουε τοῦ Δαβὶδ διὰ τῶν παλαιῶν τὰ νέα ᾄδοντος. Ὁ Θεός, εἰσήλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναόν· καὶ οὐχ ἁπλῶς τὸν ναόν, ἀλλὰ τὸν ἅγιόν σου. ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων τοῖς θηρίοις τῆς γῆς. εἰ οὗτοι ὡς ἀνάξιοι εὐσεβείας παρεδόθησαν, ἐκεῖνοι

πῶς

4. Βασ. κα. γ.

κατὰ σάθμιον
οἴκου Ἀχαάβ

Ψαλ. οη. α.

πῶς προεδόθησαν; εἰ ταῦτα νῦν πάσχουσί τινες ὡς ἀνάξιοι, πῶς τὰ αὐτὰ καὶ οἱ πρὶν ἔπαθον ἅγιοι; εἰ δὲ ὁ αὐτὸς συγχωρῶν, τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομεῖ, καὶ διὰ τῶν ἁγίων ἀναστέλλει τὴν ῥύμην τῆς ἁμαρτίας, οὐδὲν ἄδικον οὐδαμοῦ τῶν παρὰ τῆς θείας δυνάμεως συγχωρουμένων. Ταῦτα συγχωρεῖ Θεὸς εἰς τὸ γυμνασθῆναι ἡμῶν τὰς γνώμας, καὶ ὑφίστανται δίκαιοι πολλάκις τὸν ὑπὲρ τῶν ἀδίκων θάνατον. ἔχεις παλαιὰν ἀκολουθίαν διὰ τῶν ἀρχαίων ἱστοριῶν. ἀποφαίνεται ὁ Θεὸς κατὰ τοῦ Ἀδὰμ λέγων· Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ ὁ μὲν τὴν ἀπόφασιν δεξάμενος ἐν ζῶσιν ἐξητάζετο, ὁ δὲ μηδὲν ἡμαρτηκὼς Ἄβελ ἐσφάττετο· καὶ ὁ ὑπόδικος ζωῆς ἀπήλαυε, καὶ ὁ δίκαιος θανάτῳ ὑπεβάλλετο. καὶ τοῦτο χρησίμως. ἐπειδὴ γὰρ ἀπεφήνατο ὁ Θεὸς κατὰ τοῦ Ἀδάμ, Ὅτι ᾗ ἂν ἡμέρᾳ φάγῃς, θανάτῳ ἀποθανῇ· οὐκ ἔδωκε τῷ θανάτῳ ἐξουσίαν τοῦ ὑποδίκου πρῶτον ἅψασθαι, ἵνα μὴ ἀληθεῖς καὶ ἀσφαλεῖς λάβῃ τὰς νομὰς κατὰ τοῦ γένους ἡμῶν ὁ θάνατος. εἰ γὰρ τῶν παρανομησάντων πρῶτον ἥψατο, ἦν ἂν ἀμετάστατος καὶ ἀμετανόητος ἡ τιμωρία. ἀλλ' εἰσῆλθεν ἀπ' ἀδικίας, ἵνα ἐξορισθῇ διὰ δικαιοσύνης. ἀνῃρέθησαν δίκαιοι, ἀλλ' οὐκ ἐσβέσθησαν. Εἰς μνημόσυνον γὰρ αἰώνιον ἔσται δίκαιος. αἵματα ἐξεχύθη δικαίων, ἀλλ' ὁ Θεὸς τοὺς παραδοθέντας ὡς εὐτελεῖς, τούτους ὡς υἱοὺς καλεῖ, καὶ ὡς υἱοὺς ἐκδικεῖ. ὅτι δὲ οἱ ἀναιρούμενοι ἁπλῶς ὑπὸ ἐχθρῶν υἱοὶ Θεοῦ λέγονται, καὶ ὡς υἱοὶ τὴν ἐκδίκησιν δέχονται, ἐγγυᾶταί μου τὸν λόγον ὁ μακάριος Μωϋσῆς. τί γάρ φησι διὰ τῆς ᾠδῆς; Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι αὐτοῦ, ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται. εἰ υἱοὶ Θεοῦ, πῶς ἀνῃρέθησαν ὑπὸ τῶν ἐναντίων; ὁρᾷς ὅτι συγχωρεῖ ὁ Θεὸς δικαίους ἀναιρεῖσθαι εἰς ἄσκησιν εὐσεβείας, καὶ οὐ βεβίασται τὸ ῥῆμα, ἵνα βεβαιώσῃ τὸ φρόνημα; εὐφράνθητε οὐρανοί, ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται. προεδόθησαν ὡς ἀλλότριοι, καὶ ἐκδικοῦνται ὡς υἱοί. τὸ γυμνάσιον τῆς εὐσεβείας, μαρτύριόν ἐστι περιφανὲς καὶ ὡμολογημένον. καὶ ὅπως, ἄκουε καὶ σκόπησον, παρακαλῶ, βαθύνας πρὸς τὴν ἀκρόασιν τὴν ἔννοιαν. ἐπὶ βήματος ἑκάστῳ μάρτυρι τί ἕτερον προτείνεται, ἢ Θεὸν ἀρνήσασθαι, καὶ πρὸς ταύτην τὴν πρότασιν ἀγωνισάμενος, ὁμολογούμενον καὶ ἀναντίρρητον δέχεται τὸν στέφανον τοῦ μαρτυρίου; ἐπὶ δὲ τῶν νῦν εἰρημένων ἁγίων, οὐκ ἦν δικαστὴς δικάζων, ἀλλ' ἡ συνείδησις. πολλοὶ ἔσθ' ὅτε (οὐ γὰρ κατακρίνω, ἀλλὰ τοὺς ἀνθρωπίνους λογισμοὺς ἀναξαίνω) προέβησαν ἐν διανοίᾳ· οἷον εἴ τις ποτὲ ἐν θλίψει εἶπε· ποῦ ὁ Θεός, ᾧ ἐλάτρευον; ποῦ ὁ Θεός, ᾧ ἐξωμολογούμην; ἐκεῖ κλυδὼν ἦν καὶ χειμών, καὶ τὸ σκάφος ἐκινδύνευεν. εἰ δέ τις ἐν τοῖς χειμῶσιν ἐξεταζόμενος ἐκείνοις, πάλιν ἀνένηψε, καὶ εἶπεν· μὴ γὰρ ἐνταῦθά μοι περιώρισται τὰ τῆς ζωῆς; μὴ γὰρ τὰ τῆς γῆς ἀνέμενον ἀγαθά; οὐ βασιλείαν ἐξεδεχόμην; οὐκ ἀνάστασιν νεκρῶν προσεδόκων; οὐ τὴν μετ' ἀγγέλων διαγωγήν; οὐ τὴν ἀγήρω ζωήν; τί τοίνυν ἀδικεῖ με θάνατος ἔχοντα αἰώνια ἀγαθά; οὐ ταράττομαι πρὸς τὰ πρόσκαιρα· ἐκδέχομαι γὰρ τὰ αἰώνια. ὁ ταῦτα ἐν τῇ διανοίᾳ βασανίσας, ἔχει δικαστὴν τὸν Θεὸν τῆς διανοίας, ἔχει συνήγορον τὸν λογισμὸν τῆς εὐσεβείας. ὁ γὰρ τὰ κρυπτὰ ὁρῶν, ἐν τῷ περιφανεῖ στεφανοῖ· Πρόσευξαι σύ, φησι, τῷ πατρί σου ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ ἐν τῷ κρυπτῷ ἀποδώσει σοι. ἆρ' οὖν ὁ ἐν τῷ κρυπτῷ προσευχόμενος στεφανοῦται, ὁ δὲ ἐν τῷ κρυπτῷ βασανίζων τὴν διάνοιαν εἰς ὁμολογίαν οὐ στεφανοῦται; τὸ μαρτύριον, ἀδελφοί, οὐ τῇ ἀποβάσει κρίνεται μόνον, ἀλλὰ καὶ τῇ προθέσει. οὐκ ἐπειδὰν ἀποτμηθῇ ὁ μάρτυς, τότε γίνεται μάρτυς, ἀλλ' ἀφ' οὗ ἂν τὴν πρόθεσιν ἐπιδείξηται τῆς ὁμολογίας, μάρτυς ἐστί, κἂν μὴ πάθῃ τὰ μαρτύρια. καὶ τίς ὁ τούτοις μαρτυρῶν; ὁ μακάριος Παῦλος. οὗτος γὰρ ἅπαξ ἀποθανών, καθ' ἡμέραν ἑαυτὸν ἀποθνήσκοντα δείκνυσι. τί γάρ φησι; Καθ' ἡμέραν ἀποθνήσκω.

Γεν. γ. ιθ.

Γεν. β. ιζ.

Δευτ. λβ. μγ.

ἴσ. δοκιμασίαν

Ματθ. ς. ς.

α. Κορινθ. ιε. λα.

θνήσκω, διὰ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ. καθ' ἡμέραν ἀποθνήσκω. πῶς ἀποθνήσκεις ὁ ζῶν; ἀπέθανον τῇ προαιρέσει, ἀλλ' ἐσώθην τῇ χάριτι. ὅσον ἐπ' ἀνθρώποις τοῖς διώκουσι, καὶ ἐπ' ἐμοὶ ὅσον, ἐμαυτὸν ἐξέδωκα, καθ' ἡμέραν ἀποθνήσκω· ὅσον δὲ ἐπὶ τῇ θείᾳ χάριτι, ὡς διδάσκαλος ἐφυλάχθην τῇ ἐκκλησίᾳ. οἰκονομεῖ γὰρ ὁ Θεὸς τὰ πράγματα πρὸς τὸ συμφέρον, καὶ τοὺς μὲν ἐκδίδωσιν, ἵνα δειχθῇ τὸ δόκιμον τῆς τῶν πιστῶν διανοίας, τοὺς δὲ φυλάττει, ἵνα φυλάξῃ ζύμην ταῖς ἐκκλησίαις. οὐκ ἐμολύνθησαν αἱ παρθένοι. ἡ γὰρ προαίρεσις ἄσπιλος καὶ ἡ γνώμη ἀμίαντος. καί μοι σκόπησον, ἀδελφέ· ἡ παρθενία δέχεται τοὺς στεφάνους ὡμολογημένους. ποία; ἡ ἐκ προαιρέσεως, ἢ ἡ ἐξ ἀνάγκης; οὐκ οἶδας ὅτι μυριάδες παρθένων καὶ ἀμιάντων σωμάτων ἀπῆλθον; οὐ πολλαὶ θυγατέρες Ἑλλήνων καὶ μιαρῶν καὶ ἀσεβῶν, ὥραν ἐκδεξάμεναι γάμου, ἡρπάσθησαν; οὐ πολλοὶ νέοι ἄσπιλοι τὸ σῶμα ἀπὸ γάμου καὶ συζυγίας θανάτῳ παρεδόθησαν; νέοι λέγω, Ἑλλήνων υἱοὶ, Ἰουδαίων υἱοὶ, ἀσεβῶν υἱοὶ, αἱρετικῶν· καὶ ἀπῆλθον μυριάδες πολλαὶ παρθενίαν ἔχουσαι σώματος. ἆρα ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ στέφανοι δίδονται τῆς παρθενίας ἐκείνης, καὶ τὰ πλήθη ἐκεῖνα στέφανον δέχεται παρθενίας; οὐ δέχεται. εἰ μὴ οὖν δέχεται στέφανον παρθενίας, καρπὸν ἔχει ἡ ἀνάγκη. εἰ δὲ οὐδεὶς καρπὸς ἀνάγκης, ἀλλὰ πᾶς μισθὸς προαιρέσεως, ἀστεφάνωτοι μένουσιν αἱ μυριάδες ἐκεῖναι, παρθενίαν μὲν ἔχουσαι, προαίρεσιν δὲ παρθενίας οὐκ ἔχουσαι. οὐ γὰρ λογίζεται ὁ Θεὸς τὰ ἐξ ἀνάγκης, ἀλλὰ τὸ ἐκ προαιρέσεως κατορθούμενον. εἰ τοίνυν ἐκείναις ταῖς μυριάσιν ἡ παρθενία οὐ λογίζεται εἰς παρθενίαν, οὐδὲ ταῖς παρὰ προαίρεσιν μιανθείσαις. ἐμολύνθη τὸ σῶμα, ἀλλ' ὁ τῆς ψυχῆς ναὸς οὐκ ἐμολύνθη· ὑβρίσθη τὸ σῶμα, ἀλλ' οὐκ ἐφθάρη τὰ νοήματα. μηδεὶς τοίνυν ἀπαγορευέτω τὸ πλῆθος τῶν ἁγίων τῇ ὕβρει παραδεδομένων καὶ αἰχμαλωσίᾳ. ἴδιον ἁγίων πολλάκις πάσχειν ὑπὸ τῶν ἀσεβούντων. ὁ σωτὴρ μηδὲν ἡμαρτηκὼς ὑπὸ τῶν ἁμαρτωλῶν

Ησ. νγ. ϛ.

παραδίδοται. καὶ βοᾷ Ἡσαΐας, Ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἦλθεν εἰς θάνατον. ὁρᾷς; μιμηταὶ τοῦ Χριστοῦ εἰσὶν ὑπὲρ ἀδίκων πάσχοντες. συμβαίνει δὲ, ἀδελφοὶ, καὶ ἄλλως, ἵνα πληρώσω μικρὸν τὴν ἱστορίαν, συμβαίνει καὶ τῶν ἀναιρεθέντων τινὰς σφάλμασιν ὑποκεῖσθαι. ὁ δὲ Θεὸς διὰ τῆς προσκαίρου συμφορᾶς ἔλυσε τὴν ἁμαρτίαν, διὰ τῆς τῶν σωμάτων πληγῆς ἔπαυσε τὰ τραύματα τῆς ψυχῆς. λογίζεται δὲ καὶ ὁ θάνατος εἰς τιμωρίαν, λογίζεται δὲ καὶ νόσος τοῖς ἁμαρτάνουσι τῶν εὐσεβῶν εἰς τιμωρίαν. καὶ τίς ὁ ταῦτα ἐγγυώμενος; Παῦλος. οὐδὲν γὰρ δεῖ λέγειν ἀμάρτυρον, οὐδὲ ἀπὸ λογισμῶν μόνον. ἐπὰν γὰρ ἄγραφον λέγηται, ἡ διάνοια τῶν ἀκροατῶν σκάζει, πῇ μὲν ἐπινεύουσα, πῇ δὲ παραγραφομένη, καὶ ποτὲ μὲν τὸν λόγον ὡς ἕωλον ἀποστρεφομένη, ποτὲ δὲ ὡς πιθανὸν παραδεχομένη. ὅταν δὲ ἔγγραφος ἡ μαρτυρία τῆς θείας φωνῆς παρέλθῃ, καὶ τοῦ λέγοντος τὸν λόγον, καὶ τοῦ ἀκούοντος τὴν διάνοιαν ἐβεβαίωσε. τίς οὖν ἡμῖν λόγος μαρτυρήσει, ὅτι αἱ συμφοραὶ καὶ αἱ παιδεῖαι αἱ ἐπαγόμεναι τοῖς ἀνθρώποις, εἰς λύσιν ἁμαρτημάτων λογίζονται; ἄκουε τοίνυν τοῦ μακαρίου Παύλου λέγοντος περὶ τῶν ἀναξίως προσιόντων τῇ τρα-

α. Κορ. ια. κθ.

πέζῃ τῇ μυστικῇ· Οὐκ οἴδατε ὅτι οἱ ἀναξίως ἐσθίοντες, εἰς κρίμα ἑαυτοῖς ἐσθίουσι καὶ πίνουσι; καὶ τί εὐθέως ἐπήγαγε; διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἄρρωστοι· διὰ τί; διὰ τὸ ἀναξίως προσέρχεσθαι τῇ τραπέζῃ. διὰ τοῦτο πολλοὶ ἄρρωστοι, πολλοὶ ἀσθενεῖς, καὶ κοιμῶνται ἱκανοί, ἀντὶ τοῦ, ἀποθνήσκουσιν, ὡς καὶ τοῦ θανάτου αἰτίᾳ ἁμαρτίας ἐπερχομένου. τούτοις εὐθέως συνάπτει, Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ Κυρίου. οὐκοῦν κρίσις Θεοῦ, καὶ νόσος καὶ θάνατος. καὶ τί ὄφελός μοι μετὰ τὴν τελευτήν; τί τὸ κέρδος μετὰ τὸν θάνατον; εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ἐδικαίωσε γὰρ ὁ Θεὸς μὴ συναπολέσαι τοὺς δικαίους τοῖς ἀσεβέσι, μηδὲ συγκατακρῖναι τοῖς βεβήλοις τοὺς ἁγίους. καὶ μάλα εἰκότως. οὐ γὰρ ἔχει λόγον, τὸν προσκυνητὴν τοῦ Χριστοῦ κολάζεσθαι μετὰ τοῦ βλασφημοῦντος· ὡσαύτως τὸν εὐσεβοῦντα καὶ ὑμνοῦντα ὑποβάλλεσθαι μετὰ τῶν βλασφημούντων καὶ ἀτιμαζόντων τὴν ἀλήθειαν. διὰ τοῦτο ὁ Θεὸς ἀποκρύφοις καὶ ἀοράτοις τρόποις διαφόρως μαστίζει τοὺς ἁμαρτάνοντας τῶν εὐσεβῶν, ἵνα ἀκεραίους παραστήσῃ τῷ μεγάλῳ βήματι, ἵνα ἐνταῦθα παιδεύσας, ἐκεῖσε τὸν μισθὸν λογίσηται. ἔτι ἀναλαμβάνετε τὸ ῥῆμα τῆς ἀποστολικῆς ἐννοίας· εἰ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. συμφωνεῖ τούτῳ καὶ ὁ μακάριος Δαβὶδ περὶ λόγου. Μακάριος γάρ, φησιν, ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτὸν τοῦ πραΰναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν. ὁ γὰρ ἐνταῦθα παιδευθεὶς ἐν ἀναπαύσει ἔσται, καὶ πραϋτέρου πειραθήσεται τοῦ θείου κριτηρίου. καὶ μὴ θαυμάσῃς, εἰ τὸν εὐσεβῆ ἐνταῦθα παιδευθέντα ἐν τῷ μέλλοντι ἐλευθεροῖ. εὑρίσκεις γὰρ ἐν τῇ θείᾳ γραφῇ ἀσφαλέστερον ἐνέχυρον. Σοδομιτῶν οὐδὲν χεῖρον, καὶ τῶν τὰ Γόμορρα οἰκούντων οὐδὲν ἀσεβέστερον· ἀλλ' ὅμως ἐπειδὴ ἐνταῦθα δίκην ὑπέσχον, πραϋτέραν αὐτοῖς ποιῆσαι διεξέτασιν ὁ σωτὴρ ἐπαγγέλλεται. Καὶ σὺ γὰρ, Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου κατενεχθήσῃ, ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν ἕως ἄρτι· πλὴν ἀνεκτότερον ἔσται γῇ Σοδόμων, καὶ γῇ Γομόρρας ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἢ ὑμῖν. εἰ τοίνυν Σοδομίταις ἀνεκτοτέραν ποιεῖ τὴν κρίσιν ἡ ἐνταῦθα κόλασις, ἐννόησον ὅπως οἱ ἐνταῦθα κολαζόμενοι τῶν εὐσεβῶν τὴν μέλλουσαν διαφεύγουσι κρίσιν, ἵνα γένοιτο ἡμᾶς διαφυγόντας πάντας παραστῆναι μετὰ παρρησίας τῷ βήματι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. 93. ιβ.

Ματθ. ια. κγ.

Ψαλμ. ρ.

ΠΑλιν″ ἡμῖν, ἀγαπητοί, πνευματικῶς ᾄδειν ὁ″ μακάριος Δαβὶδ ὁ προφήτης παρακελεύεται· πάλιν τὸ καλὸν ᾆσμα μελῳδεῖν ἡμᾶς ὁμοφρόνως παρασκευάζει· πάλιν τὸ πνευματικὸν καὶ ἐπουράνιον μέλος προβαλλόμενος, πνευματικοὺς ἡμᾶς διὰ τῆς ᾠδῆς ἀπεργάζεται. πνεύματι γὰρ ἁγίῳ τὴν μελῳδίαν ποιούμενος, καὶ ὥσπερ κιθάρα ἔμψυχος καὶ λογικὴ ὑπὸ τοῦ ἁγίου πνεύματος διακρουόμενος, πνευματικῶς καὶ ἡμᾶς ᾄδειν κατὰ πάντα διδάσκει. ᾄδει δὲ, οὐ τέρψαι καὶ ἡδῦναι τὰ ὦτα προθέμενος, ἀλλ' εὐφρᾶναι καὶ ὠφελῆσαι τὴν διάνοιαν βουλόμενος. οὐδὲ γὰρ μόνον ἕως ἀκοῆς ἵστησι τὰ ᾀδόμενα, ἀλλὰ καὶ ἕως ψυχῆς παραπέμπει τὰ λεγόμενα. ἀκοῇ μὲν γὰρ παραδίδωσι πρὸς παίδευσιν καὶ γνῶσιν τῆς ἀληθείας, ψυχῇ δὲ ἐντίθησι πρὸς ἀσφάλειαν καὶ βεβαίωσιν τῆς σωτηρίας. ᾄδει γὰρ τὸ ᾆσμα, οὐ ψιλοῖς ῥήμασι [τὰς λέξεις] προφερόμενος, ἀλλὰ ὠφελίμοις τῶν ᾀδόντων τὸν βίον ἐπανορθούμενος. οὐδὲ γὰρ βιωτικὸν ἢ κοσμικὸν τὸ ᾆσμα τοῦτο, ἀλλὰ θεϊκὸν καὶ πνευματικὸν, καὶ πάσης κοσμιότητος πεπληρωμένον. τὰ μὲν γὰρ βιωτικὰ ᾄσματα, καὶ αἱ τοῦ κόσμου μελῳδίαι ἀπηχοῦσαι τὴν ἀκοὴν, καὶ ἀπατῶσαι τὴν διάνοιαν, μακρὰν ἀπάγουσι τῆς ὠφελείας εἰς ἐπιθυμίας καθέλκουσαι τῆς ἀπωλείας. αἰσχρῶν γὰρ ῥημάτων ἀνάπλεοι τυγχάνουσαι καὶ ἀθέσμων ὀρέξεων ἔμπλεοι καθεστηκυῖαι, πρὸς τὴν τῶν ᾀδομένων ἡδυπάθειαν, καὶ πρὸς τὴν″ ἕλκυσιν τῆς μελῳδίας, ″ἐκθηλύνουσι τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ συνεκλύουσι τὴν τοῦ σώματος εὐγένειαν. τὰ δὲ ἐπουράνια, καὶ ἐκ πνεύματος ἁγίου ἔχοντα τὴν χορηγίαν, πρὸς τὴν τῶν ῥημάτων εὐταξίαν, καὶ πρὸς τὴν τῶν νοημάτων εὐκοσμίαν εἰς πέρας ἄγοντα τὴν διάνοιαν, κοσμίαν δὲ τὴν ψυχὴν ἀπεργάζεται. συγκινουμένη γὰρ ἡ ψυχὴ τοῖς λαλουμένοις, καὶ συνεπινεύουσα τοῖς νοουμένοις, ἐκεῖ φέρει τὴν ἕξιν, ἔνθα καὶ λέξις ἐφέλκεται τὸ κινητικὸν ὄργανον τῆς τοῦ πνεύματος μελῳδίας. Τοσαύτης οὖν οὔσης τῆς ἐν τῷ ᾄσματι δυνάμεως, καὶ τηλικαύτης ὑπαρχούσης τῆς ἐν τῇ μελῳδίᾳ ἐνεργείας, φέρε δὴ θεασόμεθα, τί περιέχει καὶ τὸ σήμερον ἡμῖν ὑπαναγνωσθὲν μελῴδημα τῆς προφητείας. τί οὖν φησιν;

1 Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. Πάνυ ὠφέλιμον, ἀγαπητοί, καὶ σωτήριον τὸ ᾆσμα τοῦτο, ἐξ ἐλέους καὶ κρίσεως τὴν ἀρχὴν ποιούμενον. τὸ μὲν γὰρ ἐπιδείκνυσι τὴν ἀφθονίαν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ δὲ τὴν μεγάλην αὐτοῦ εἰς ἡμᾶς γεγενημένην εὐεργεσίαν. σημαίνει μὲν γὰρ τὸ ἔλεος τὴν ἐκ χάριτος εἰς ἀνθρώπους γεγενημένην εὐδοκίαν (Δόξα γὰρ ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία) ἡ δὲ κρίσις τὴν ἄνωθεν προωρισμένην σωτηρίαν. Οὓς γὰρ προώρισε, τούτους καὶ ἐκάλεσεν· οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. ἔκρινε γὰρ ὁ ἀγαθὸς Θεὸς ἐλέει καὶ φιλανθρωπίᾳ σῶσαι τοὺς ὑπὸ τῆς ἁμαρτίας ἀπολλυμένους. τοῦτο οὖν κατανοήσας ὁ προφήτης, κηρύττει διδάσκων ἡμᾶς διὰ τοῦ ᾄσματος ἀδιάλειπτον ποιεῖσθαι τὴν εὐχαριστίαν, λέγων· ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. σημαίνει δὲ καὶ ἑτέραν, καὶ κατὰ διάνοιαν προφητεύων, καὶ πνεύματι ἁγίῳ τὰ μέλλοντα ὡς παρόντα ἐκδιηγούμενος. θεωρῶν γὰρ τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ, τὴν ἐπὶ τὸν ἄπιστον λαὸν τῶν Ἰουδαίων γεγενημένην, τὸν μὴ δεξάμενον τὸν ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κηρυττόμενον, δικαίως μὲν δι' ἀπιστίαν τιμωρούμενον, δικαίως δὲ καὶ [ἐκ] τῆς τοῦ νόμου ἐπαγγελίας ἀποστερούμενον· ὁρῶν δὲ καὶ τὸν ἐξ ἐθνῶν λαὸν ἐν ἐλέει σωζόμενον, διὰ τὸ εὐπειθὲς τῆς περὶ τὸν δεσπότην ὑπακοῆς τε καὶ πίστεως, προσαναφωνεῖ ἡδείᾳ φωνῇ καὶ γλυκείᾳ τὴν ἀγαθότητα τοῦ δεσπότου τοῖς πᾶσι παρατιθέμενος· ἵν' ἕκαστος ἐπὶ γλώσσης φέρων τὸ ᾆσμα, καὶ ἡδυφώνως ἀναφθεγγόμενος τὴν ἐν τῷ ᾄσματι μελῳδίαν, ἀειμνημόνευτον ἔχῃ τῆς δεσποτικῆς εὐεργεσίας τὴν χάριν. ἔλεον, φησι, καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. καλὸν οὖν καὶ ἡμᾶς ᾄδειν ἀδιαλείπτως τὸ ᾆσμα τοῦτο, ἵν' ὁμοῦ ἐπὶ τὸ αὐτὸ εὐχάριστοι γενώμεθα περὶ τὸν εὐεργέτην Θεόν, καὶ τὸν ἑαυτῶν βίον διορθώμεθα, ἐλέει καὶ κρίσει τὰ πάντα διαπραττόμενοι. Ποιεῖτε γάρ, φησιν, ἔλεον καὶ κρίσιν ἐν μέσῳ τῆς γῆς· Διότι ἔλεον θέλω, καὶ οὐ θυσίαν, λέγει Κύριος. ἀλλὰ καὶ ἔλεον, φησι, ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρίμα δίκαιον κατευθύνετε, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει Κύριος. ἐὰν γὰρ οὕτω προθυμώμεθα, καὶ ἐν τούτοις ἀναστρεφώμεθα, λέξομεν καὶ ἡμεῖς μετὰ παρρησίας ᾄδοντες, ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, κατανόησον τὴν τῶν γεγραμμένων ἀκολουθίαν, καὶ εὑρήσεις τὴν τῶν εἰρημένων ἀλήθειαν. ἐπιφέρει γὰρ λέγων·

Λουκ. β. ιδ'.

Ῥωμ. η. λ.

γρ. προκηρύττει

Ὠσηὲ ιβ. ϛ.
Ζαχ. ζ. θ.
Ὠσηὲ ϛ. ϛ.

2 Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρὸς μέ;

Ὁρᾷς ὡς διορθωσάμενος τὸν ἑαυτοῦ βίον, καὶ πορευθεὶς πάσῃ ὁδῷ δικαιοσύνης, μηδένα δὲ μῶμον ἢ σπίλον θέμενος ταῖς ἑαυτοῦ ὁδοῖς, συνιείς τε πᾶσαν εὐθύτητα καὶ κρίσιν καὶ τὴν ἐν ἔργοις μαρτυρουμένην ἔννομον πολιτείαν, ᾄδει ἐν τῷ ᾄσματι ἱλαρῷ τῷ προσώπῳ τὰς πράξεις ἐκδιηγούμενος. ἔψαλε δὲ ἐν συνέσει, ἀκαταγνώστῳ καρδίᾳ τὰ ἔργα κατορθούμενος. ἑτοιμάσας δὲ κατὰ τὸ γεγραμμένον τὰς ὁδοὺς Κυρίου, καὶ εὐθείας ποιήσας τὰς τρίβους τοῦ Θεοῦ, ἐξεδέχετο δὴ τὴν δεσποτικὴν παρουσίαν προσκαλούμενος καὶ λέγων, πότε ἥξεις πρὸς μέ; μονονουχὶ τοιαῦτα ἀποκρινόμενος ἔλεγεν· ἑτοίμασαί μοι τὸ δοχεῖον

Ματθ. γ. γ.

τῆς διανοίας, ἐξωμάλισά μου τὰ σκληρὰ τῆς καρδίας, πάντα σκάνδαλα ἀπέρριψα μὴ ἐάσας ἐμπόδιόν τι τῆς σῆς παρουσίας. εὐθεῖαν ἐποίησα τὴν ὁδὸν τῆς ψυχῆς μου, ἀπέσμηξα τὰ αἰσθητήρια τῆς καρδίας μου, καθαροὺς ἀπειργασάμην τοὺς ἐν ἐμοὶ λογισμούς· ἕτοιμός εἰμι πρὸς ὑποδοχὴν τῆς σῆς παρουσίας. πότε ἥξεις πρός με; ἐπίβαινε ἀκωλύτως, δέσποτά μου, οὐχ εὑρήσεις ἐν ἐμοὶ οὐδὲν κακίας.

κ. τὸ αἰσθητήριον,

3 Διεπορευόμην γὰρ ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου.

Καὶ ἵνα γνῷς, ὡς ἕτοιμος ἦν πᾶσαν δικαιοσύνην κατεργαζόμενος, ἄκουε αὐτοῦ τὰ ἔργα μετὰ ἀδείας τῆς φωνῆς ἐξαγγέλλοντος. διεπορευόμην, φησὶν, ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου· 4 Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα.

5 Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. 6 Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

7 Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

8 Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.

Βλέπεις, ἀγαπητὲ, πόσων καὶ πηλίκων ἐργάτης ἐτύγχανεν ὁ μακάριος; καὶ πῶς μετὰ πολλῆς τῆς παρρησίας καὶ πεποιθήσεως διεξήει τῶν πράξεων τὰ κατορθώματα; ἆρ' οὖν ἑρμηνεύσω τὰ εἰρημένα, ἢ καταλείψω ὑμῖν ἐκ τῶν λέξεων γινώσκειν τὴν δύναμιν τῶν γεγραμμένων; τί γὰρ φανερώτερον τῶν εἰρημένων; τί δὲ οὕτως αὐθερμήνευτον τῶν νῦν καταλελεγμένων; ἀλλ' ἵνα καὶ κατὰ μέρος ἐξετάσωμεν αὐτὰς, ὡς ἔχει, τὰς λέξεις παραθέμενοι, φέρε δὴ πάλιν αὐτὰ ἐπαναλαβόντες, μνημονεύσωμεν καὶ ἴδωμεν, πόσην ὠφέλειαν παρέχουσι συνεχῶς μνημονευόμενα. διεπορευόμην, φησὶν, ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. πρῶτον, μέγα καὶ καλὸν κατόρθωμα, ἡ ἀκακία, οὐχ ἕως δὲ τούτου μόνου ἱσταμένη τοῦ κεκτημένου, ἀλλὰ καὶ ἐπὶ τοὺς πλησίον διαπεμπομένη· καθὼς ἔφη ἡ σοφία· Τέκνον, ἐὰν ἀγαθὸς ᾖς, σεαυτῷ [σοφὸς] ἔσῃ καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά. καλὴ οὖν ἀκακία· δεσποτικὴ ἡ μίμησις, θεϊκὴ ἡ ὁμοίωσις. ἄκακος γὰρ καὶ ὅσιος ὁ Κύριος. αὕτη ἡ ἀκακία ψυχῆς ἐστὶ φυλακτήριον, διανοίας καθάρσιον, ἠθῶν καταστολὴ, λογισμῶν ἡσυχία, προσώπου ἡμερότης, πραότης ὀφθαλμῶν, φιλίας καθηγεμὼν, μήτηρ ἀγάπης, πίστεως ὁμοδίαιτος, τελείωσις δικαιοσύνης, καὶ ἁπαξαπλῶς ῥίζα πάσης ἀρετῆς, καὶ θεμέλιος τῆς ὅλης ἀγαθότητος ὑπάρχει ἡ ἀκακία. οὐκ οἶδεν ἔχθρας τὴν ὑπόστασιν, οὐκ ἐπίσταται ὀργῆς τὴν ἀγριότητα, οὐ γινώσκει κακίας τὴν ἐνέργειαν· ἀλλ' ἔστιν ὥσπερ βασίλισσα ὑπὸ πασῶν τῶν ἀρετῶν δορυφορουμένη. καλὴ οὖν ἡ ἀκακία, τοσούτων ἀγαθῶν αἰτία τυγχάνουσα. ἐκ ταύτης κατάρχεται λέγων· διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου. καὶ οὐχ ἁπλῶς εἶπεν ἐν ἀκακίᾳ, ἀλλ' ἐν ἀκακίᾳ καρδίας μου, ἀντὶ τοῦ, οὐχ ἕτερα μὲν εἶχον ἐπὶ στόματος, ἕτερα δὲ ἐν καρδίᾳ· οὐδὲ τῷ μὲν στόματι ἐλάλουν εἰρηνικὰ, τῇ δὲ καρδίᾳ διελογιζόμην κακά· ἀλλ' οἷος ἤμην τῷ στόματι, τοιοῦτος καὶ τῇ καρδίᾳ διαλογιζόμενος. διεπορευόμην οὖν ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. ἐνταῦθα οἶκον, ἀγαπητοὶ, οὐ τὸν χειροποίητον τοῦτον ἐκ λίθων καὶ ξύλων συγκείμενον, [οὐδὲ τὸν ἐξ ἀμόρφου ὕλης σκευαζόμενον,] ἀλλὰ τὸν λογικὸν τῆς ψυχῆς ναὸν, τὸν πρὸς τὴν ἔνδοθεν ἀόρατον εἰκόνα τὴν ἔξωθεν ἀποτυπούμενον, τὸν ὑπὸ τῆς νοερᾶς καὶ λογικῆς φύσεως μορφούμενον, τὸν ὑπὸ τοῦ θείου ἐμφυσήματος ζωοποιούμενον, τὸν φέροντα τὴν ψυχὴν καὶ ὑπὸ τῆς ψυχῆς φερόμενον, τὸν δεκτικὸν χαρισμάτων τῆς ἀκινήτου δυνάμεως, ἐν μέσῳ τούτου ἐπορευόμην. μέσον δὲ καλεῖ τὸ ἡγεμονικὸν τῆς καρδίας, ἐπειδὴ μέσον κεῖται τοῦ ὅλου σώματος τοῦ ἀνθρωπίνου. καὶ γὰρ οὐδὲ ὑ-

Παροιμ. θ. ιβ.

κ. ὁ[illegible]

Matth. 15. 19.

πάρχουσιν οἱ διαλογισμοὶ, καὶ αἱ ἐνθυμήσεις, ὡς καὶ ὁ σωτὴρ φησιν, Ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. ἐν ταύτῃ γὰρ καὶ πᾶσα ἡ κίνησις τῆς φύσεως τῆς ἀνθρωπίνης. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· θόρυβος ἐὰν γένηται, ἡ καρδία κινεῖται· πόλεμος ἐὰν συμβῇ, ἡ καρδία θορυβεῖται· ἐχθρῶν ἐπανάστασις ἐὰν τύχῃ, ἡ καρδία ταράσσεται· φόβος ἐὰν γένηται, ἡ καρδία παλμοῖς ἔνδοθεν τινασσομένη, συντινάσσει καὶ τὸ παρακείμενον μέλος τοῦ σώματος, καὶ ἀπολείπουσα καὶ πάλιν ἐπισπωμένη οὐ συγχωρεῖ ἡσυχάζειν, ἀλλὰ συχνότερον κινουμένη μείζονα τὸν ἀγῶνα παρέχει, καὶ ὅλον ταράσσει τὸ σῶμα, ἀλλοιοῖ καὶ τὸ χρῶμα, μεταβάλλει καὶ τὸ σχῆμα, μεταποιεῖ τε καὶ τὴν ἕξιν, πελιδνὸν καὶ τὸ πρόσωπον ἀπεργάζεται, ἵστησι τῶν ὀφθαλμῶν τὴν ἐνέργειαν, ὑπότρομα ποιεῖ τὰ χείλη, τῶν γονάτων παραλύει τὴν εὐτονίαν, καὶ τὴν τὰ πολλὰ κινοῦσαν γλῶσσαν συνδήσασα, ψελλὴν ἀποδείκνυσι, καὶ ὅλον, ὡς ἔστιν εἰπεῖν, ἄχρειον καὶ νεκροειδῆ ἀποτελεῖ τὸν ἄνθρωπον· καὶ πολέμου συμβάντος, σπεύδει μὲν ἐπείγουσα πρὸς τὴν μάχην· ἀγωνιᾷ δὲ μὴ ἠρεμοῦσα, ἕως ἂν καταγωνίσηται τὴν πάλην. ταύτης δὲ παυσαμένης, καὶ νίκης γενομένης, ὑπὸ τὴν αὐτὴν ῥοπὴν μεταβληθεῖσα τρέπεται εἰς εὐφροσύνην, ἡσυχίαν ἀσπάζεται, καὶ χαίρειν ποιεῖ τὸν ἄρτι τεταραγμένον, καὶ πάλιν εἰς τὴν πρώτην ἐπανακαλεῖται κατάστασιν, ἑνὶ ἑκάστῳ μέλει ἀποδιδοῦσα τὴν χρῆσιν, πάλιν χαροποιεῖ τοὺς ὀφθαλμοὺς, καταστέλλει τὰ χείλη, ὑγιὲς ἀποτελεῖ τὸ τῆς γλώσσης ὄργανον, ἡμεροῖ τὴν ὄψιν, καὶ ὥσπερ τις καλὸς ἡνίοχος ἐπαναστρέφουσα εἰς τὴν ἀρχαίαν τάξιν φέρει τὸν ἄνθρωπον. ἀλλ᾽ οὐ τοιοῦτος ὁ δίκαιος, οὐδὲ τάραχον ἢ φόβον δεχόμενος ἐν τῇ καρδίᾳ. κἂν γὰρ ἐχθρῶν συμβῇ ἐπανάστασις, λέγει θαρρῶν· [illegible] Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν τούτῳ ἐγὼ ἐλπίζω. διὰ τοῦτό φησι, διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου· τουτέστι, διεσκόπουν, ἠρεύνων τὰ κατ᾽ ἐμαυτὸν, ἵνα μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ μιάνῃ τὸ αἰσθητήριον τῆς καρδίας μου· ἀλλ᾽ ἵνα ἡ ἀκακία ἐν ἐμοὶ σωζομένη πάντων γένηταί μοι πρόξενος τῶν ἀρετῶν· ὅθεν οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. οὐ γὰρ εἶχον σκοπὸν τοῦ ἁμαρτάνειν, οὐδὲ προέκειτό μοι παρανομεῖν, ἀλλότρια τῆς σωτηρίας κατεργαζομένῳ· ἀλλ᾽ ἦν πρὸ τῶν ὀφθαλμῶν μου φόβος Θεοῦ, τήρησις ἐντολῶν, ἔργα δικαιοσύνης, πᾶσα κατὰ νόμον πολιτεία. οὐ προεπιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. ὅσοις γὰρ σκοπὸς τοῦ ἁμαρτάνειν, τούτοις πρόκειται καὶ τὸ παρανομεῖν, καὶ ἔχουσιν ὥσπερ προηγουμένην τὴν ἁμαρτίαν, πρότερον ὁριζόμενοι κατὰ καρδίαν, ἔπειτα καὶ ὅλον εἰς αὐτὴν ἀνατείναντες τὸ ὄμμα τῆς διανοίας, οὕτως τρέχουσιν ἐπὶ τὴν παρανομίαν. ἐγὼ δὲ τούτων ἀλλότριος ἤμην. οὐ γὰρ ἦν πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ἀλλ᾽ ὅλος μοι ὁ σκοπὸς ἦν, τὸ κατὰ νόμον πολιτεύεσθαι. ἀλλὰ καὶ ποιοῦντας παραβάσεις ἐμίσησα. οὐ μόνον αὐτὸς ἐγὼ οὐδὲν παρὰ τὸν τοῦ Θεοῦ νόμον πράττειν ἠβουλόμην, ἀλλὰ καὶ τοὺς παραβαίνοντάς τι τῶν ἐντολῶν ἐμίσουν. ποιοῦντας γὰρ παραβάσεις ἐμίσησα. ἐνταῦθα δὲ διπλῶς νοητέον τὸ, ποιοῦντας παραβάσεις ἐμίσησα. οἱ μὲν γάρ εἰσι παραβαίνοντες τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα· καί εἰσιν οὗτοι παραβάται νόμου. ἄλλοι πάλιν παραβαίνουσιν αὐτὴν τὴν σωτήριον τοῦ δεσπότου ὁμολογίαν, καί εἰσι παραβάται Θεοῦ. πολλὴ δὲ διαφορὰ μεταξὺ τῆς τῶν ἀμφοτέρων παραβάσεως. οἱ μὲν γὰρ ἔτι ἐλπίδα ἔχουσι σωτηρίας, τὴν ῥίζαν τῆς τοῦ Θεοῦ γνώσεως κεκτημένοι· οἱ δὲ πάντη τῆς σωτηρίας ἐκπεπτώκασιν, αὐτὸν τὸν αἴτιον τῆς σωτηρίας ἀρνησάμενοι. ἐγὼ οὖν, φησι, πάντας τοὺς ποιοῦντας παραβάσεις ἐμίσησα. [illegible] Ἀρχὴ γὰρ ἁμαρτίας, ἀφίστασθαι ἀπὸ τοῦ Θεοῦ, ὡς

φησιν

φησὶν ὁ σοφώτατος. ἡμεῖς δὲ οὐ μόνον μισοῦμεν τοὺς παραβάτας, ἀλλὰ καὶ ὡς φίλους ἀσπαζόμεθα, δέον τοῖς τοιούτοις μηδὲ τὸ χαίρειν λέγειν (Οὐκ ἔστι γὰρ εἰρήνη ἀσεβέσι, λέγει Κύριος) καὶ μετ' αὐτῶν ἐσθίομεν καὶ πίνομεν, ὧν καὶ τὴν ἀπάντησιν ἀποφεύγειν ὀφείλομεν, καὶ μηδὲ ἀνθρώπους ἡγεῖσθαι τοῖς δαίμοσιν ἑαυτοὺς παραδεδωκότας, καὶ ἀψύχοις λίθοις καὶ ξύλοις τὴν ἑαυτῶν ζωὴν ἀνατεθεικότας. ἢ οὐ διδάσκει ἡμᾶς ἀλλαχοῦ ὁ αὐτὸς προφήτης λέγων; Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. μιμησώμεθα οὖν καὶ ἡμεῖς τὸν προφήτην, καὶ μισήσωμεν τοὺς ποιοῦντας τὰς παραβάσεις, ἵνα μὴ διὰ τῆς ἀδιαφόρου ἡμῶν κοινωνίας πρὸς αὐτοὺς συνεργοὶ τῆς παραβάσεως αὐτῶν εὑρεθῶμεν. κατὰ πάντα γὰρ μισητέον τὴν πρὸς αὐτοὺς κοινωνίαν, ὅτι τὸ φῶς ἀποστραφέντες, ἐν δὲ σκότει πορεύονται (Τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;) καὶ ὅτι τοῦ Χριστοῦ τὸ ὄνομα ἀρνησάμενοι, τὸ τοῦ Βελιὰρ ὄνομα ἑαυτοῖς περιτεθείκασι (τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελιάρ;) καὶ ὅτι ἀποφυγόντες τὴν ἐνταῦθα εἴσοδον, ναοῖς εἰδώλων προσμεμήνασι τὴν ἑαυτῶν ζωὴν τοῖς μιάσμασι συμμιάναντες. τίς δὴ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ποιοῦντας οὖν παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. πάλιν ἐνταῦθα, ἀγαπητέ, πρόσεχε τὴν δύναμιν τῶν εἰρημένων. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. οὐδὲν ἦν ἐν ἐμοὶ σκολιόν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ κἂν μυρία ἦν τὰ θλίβοντα, κἂν πονηρὰ τὰ συμβαίνοντα, κἂν ἐναντία τὰ ἀντιπίπτοντα, ἐμοὶ οὐκ ἐκολλήθη καρδία σκαμβή, οὐ διαλογισμὸς πονηρός, οὐκ ἐνθύμησις ἀλλοτρία. οὐχ ὅτι θλίβομαι, οὐχ ὅτι στενοχωροῦμαι, οὐκ ἐπειδὴ ὁρῶ ἁμαρτωλοὺς εὐθηνοῦντας, καὶ ἀσεβεῖς πλουτοῦντας, καὶ πάντας τοὺς παρανόμους κατευθυνομένους, ἐγὼ διαστρέφομαι τῇ καρδίᾳ πονηρὰ λογιζόμενος, καὶ λέγων· ἵνα τί ἀσεβεῖς ζῶσι, καὶ κραταιοῦνται ἐν τῷ πλούτῳ; Ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, καὶ οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, Οἱ βόες αὐτῶν παχεῖς. οὐκ ἐλογισάμην περὶ τούτων οὐδαμοῦ, ἀλλὰ κἂν ἐκεῖνοι εὐθηνῶσιν, ἐγὼ δὲ θλίβωμαι, Οἶδα ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. οὕτω λογιζόμενος ὀρθῶς, καὶ κατ' εὐθὺ πορευόμενος, τοῦ πονηροῦ ἀναβαίνοντος ἐπὶ τὴν καρδίαν μου, καὶ μου τόπον αὐτῷ μὴ διδόντος, ἐν τῷ μὴ ἔχειν χώραν κατ' ἐμοῦ, οὐκ ἐγίνωσκον πότε παρεγίνετο, ἐμοῦ μὴ παραδεχομένου αὐτόν· οὕτως οὐδὲ ἐγίνωσκον ὅτι ἐξέκλινεν. ἡ πονηρία γὰρ ὡς σκιὰ παρατρέχουσα ὑπεχώρει, μηδεμίαν ἐν ἐμοὶ κατεργαζομένη βλάβην. καὶ ἡμεῖς οὖν παιδευώμεθα, ἐάν ποτε συμβῇ τινι ὑμῶν χαλεπὸν ἢ πειρασμικὸν πρᾶγμα, καὶ ἐπέλθῃ λογισμὸς τοῦ πονηροῦ, μὴ κυριεύσῃ ἡμῶν τοῦ ἡγεμονικοῦ, ἀλλὰ παρέλθῃ ἀβλαβῆ τηρήσας ἡμῶν τὴν καρδίαν, ὥστε λέγειν καὶ ἡμᾶς, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. μάθωμεν καλὸν μάθημα, ἀγαπητοί, μὴ μόνον μὴ καταλαλεῖν, ἀλλὰ μηδὲ ἀκούειν καταλαλιᾶς. δεινὸν γὰρ κακὸν ἡ καταλαλιά, ἀκατάστατον δαιμόνιον, μηδέποτε εἰρηνικὸν τὸν ἄνθρωπον ἀπεργαζόμενον. τί γὰρ οὐκ ἔστι κακὸν ἀπὸ καταλαλιᾶς; ἐξ αὐτῆς ἔχθραι ἀναφύονται, ἔρεις δι' αὐτῆς συνίστανται, διχοστασίαι ἀπ' αὐτῆς τὴν ἀρχὴν λαμβάνουσιν, ὑπόνοιαι πονηραὶ ἐκεῖθεν γινόμεναι τῶν μυρίων κακῶν τὰς αἰτίας παρέχουσι, μῖσος ὥσπερ ἀπὸ πηγῆς ἐξ αὐτῆς βρύει, καὶ ὅσα ἄν τις λογισάμενος εὑρήσει κακά, ταῦτα πάντα ἐκ τῆς καταλαλιᾶς εὕρῃ προχεόμενα. πάντας εἰς κακίαν ἑλκύσασα οἶδεν ἡ καταλαλιά, θυμοῦ πληρώσασα τὸν ἄνθρωπον, καὶ φόνον ἐξ αὐτῆς μεταλαμβάνοντα, φονικὸν αὐτὸν κατὰ

Ησ. νζ. κα.

Ψαλμ. ρλη. κ.

β. Κορ. ϛ. ιδ.

Ιωβ κα. η.

Ψαλμ. ρμγ. ιδ.

Ρω. ε. γ.

…τοῖς ἐχθροῖς

…κατευθυνο-μένους,

…κατεργαζό-μενον,

Matth. 15. 19. πάρχουσιν οἱ διαλογισμοὶ, καὶ αἱ ἐνθυμήσεις, ὡς καὶ ὁ σωτὴρ φησιν, Ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. ἐν ταύτῃ γὰρ καὶ πᾶσα ἡ κίνησις τῆς φύσεως τῆς ἀνθρωπίνης. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· θόρυβος ἐὰν γένηται, ἡ καρδία κινεῖται· πάθος ἐὰν συμβῇ, ἡ καρδία θορυβεῖται· ἐχθρῶν ἐπανάστασις ἐὰν τύχῃ, ἡ καρδία ταράττεται· φόβος ἐὰν γένηται, ἡ καρδία παλμοῖς ἔνδοθεν τιναττομένη, συντινάσσει καὶ τὸ παρακείμενον μέλος τοῦ σώματος, καὶ ἀπολείπουσα καὶ πάλιν ἐπισπωμένη οὐ συγχωρεῖ ἡσυχάζειν, ἀλλὰ συχνότερον κινουμένη μείζονα τὸν ἀγῶνα παρέχει, καὶ ὅλον ταράττει τὸ σῶμα, ἀλλοιοῖ καὶ τὸ χρῶμα, μεταβάλλει καὶ τὸ σχῆμα, μεταποιεῖ τε καὶ τὴν ἕξιν, πελιδνὸν καὶ τὸ πρόσωπον ἀπεργάζεται, ἵστησι τῶν ὀφθαλμῶν τὴν ἐνέργειαν, ὑπότρομα ποιεῖ τὰ χείλη, τῶν γονάτων παραλύει τὴν εὐτονίαν, καὶ τὴν τὰ πολλὰ κινοῦσαν γλῶτταν συνδήσασα, ψελλὴν ἀποδείκνυσι, καὶ ὅλον, ὡς ἔστιν εἰπεῖν, ἀργὸν καὶ νεκροειδῆ ἀποτελεῖ τὸν ἄνθρωπον· καὶ πολέμου συμβάντος, σπεύδει μὲν ἐπείγουσα πρὸς τὴν μάχην· ἀγωνιᾷ δὲ μὴ ἠρεμοῦσα, ἕως ἂν καταγωνίσηται τὴν πάλην. ταύτης δὲ παυσαμένης, καὶ νίκης γενομένης, ὑπὸ τὴν αὐτὴν ῥοπὴν μεταβληθεῖσα στρέφεται εἰς εὐφροσύνην, ἡσυχίαν ἀσπάζεται, καὶ χαίρειν ποιεῖ τὸν ἄρτι τεταραγμένον, καὶ πάλιν εἰς τὴν προτέραν ἐπανακαλεῖται κατάστασιν, ἑνὶ ἑκάστῳ μέλει ἀποδιδοῦσα τὴν χρῆσιν, πάλιν χαροποιεῖ τοὺς ὀφθαλμοὺς, καταστέλλει τὰ χείλη, ὑγιὲς ἀποτελεῖ τὸ τῆς γλώττης ὄργανον, ἡμεροῖ τὴν ὄψιν, καὶ ὥσπερ τις καλὸς ἡνίοχος ἐπαναστρέφουσα εἰς τὴν ἀρχαίαν τάξιν φέρει τὸν ἄνθρωπον. ἀλλ᾽ οὐ τοιοῦτος ὁ δίκαιος, οὐδὲ ταραχὴν ἢ φόβον δεχόμενος ἐν τῇ καρδίᾳ. Ψαλ. κς. γ. κἂν γὰρ ἐχθρῶν συμβῇ ἐπανάστασις, λέγει θαρρῶν· Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν τούτῳ ἐγὼ ἐλπίζω. διὰ τοῦτό φησι, διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου· τουτέστι, διεσκόπουν, ἠρεύνων τὰ κατ᾽ ἐμαυτὸν, ἵνα μή τις ῥίζα πικρίας ἀναφύουσα ἐνοχλῇ, καὶ μιάνῃ τὸ αἰσθητήριον τῆς καρδίας μου· ἀλλ᾽ ἵνα ἡ ἀκακία ἐν ἐμοὶ σωζομένη πάντων γένηταί μοι πρόξενος τῶν ἀρετῶν· ὅθεν οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. οὐ γὰρ εἶχον σκοπὸν τοῦ ἁμαρτάνειν, οὐδὲ προέκειτό μοι παρανομεῖν, ἀλλότρια τῆς σωτηρίας κατεργαζομένῳ· ἀλλ᾽ ἦν πρὸ τῶν ὀφθαλμῶν μου φόβος Θεοῦ, τήρησις ἐντολῶν, ἔργα δικαιοσύνης, πᾶσα κατὰ νόμον πολιτεία. οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. ὅσοις γὰρ σκοπὸς τοῦ ἁμαρτάνειν, τούτοις πρόκειται καὶ τὸ παρανομεῖν, καὶ ἔχουσιν ὥσπερ προηγουμένην τὴν ἁμαρτίαν, πρότερον ῥιζούμενοι κατὰ καρδίαν, ἔπειτα καὶ ὅλον εἰς αὐτὴν ἀνατείνοντες τὸ ὄμμα τῆς διανοίας, οὕτως τρέχουσιν ἐπὶ τὴν παρανομίαν. ἐγὼ δὲ τούτων ἀλλότριος ἤμην. οὐ γὰρ ἦν πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ἀλλ᾽ ὅλος μοι ὁ σκοπὸς ἦν, τὸ κατὰ νόμον πολιτεύεσθαι. ἀλλὰ καὶ ποιοῦντας παραβάσεις ἐμίσησα. οὐ μόνον αὐτὸς ἐγὼ οὐδὲν παρὰ τὸν τοῦ Θεοῦ νόμον πράττειν ἠβουλόμην, ἀλλὰ καὶ τοὺς παραβαίνοντάς τι τῶν ἐντολῶν ἐμίσουν. ποιοῦντας γὰρ παραβάσεις ἐμίσησα. ἐνταῦθα δὲ διπλῶς νοητέον τὸ, ποιοῦντας παραβάσεις ἐμίσησα. οἱ μὲν γὰρ εἰσὶν παραβαίνοντες τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα· καὶ εἰσὶν οὗτοι παραβάται νόμου. ἄλλοι πάλιν παραβαίνουσιν αὐτὴν τὴν σωτήριον τοῦ δεσπότου ὁμολογίαν, καὶ εἰσὶ παραβάται Θεοῦ. πολλὴ δὲ διαφορὰ μεταξὺ τῆς τῶν ἀμφοτέρων παραβάσεως. οἱ μὲν γὰρ ἔτι ἐλπίδα ἔχουσι σωτηρίας, τὴν ῥίζαν τῆς τοῦ Θεοῦ γνώσεως κεκτημένοι· οἱ δὲ πάντη τῆς σωτηρίας ἐκπεπτώκασιν, αὐτὸν τὸν αἴτιον τῆς σωτηρίας ἀρνησάμενοι. ἐγὼ οὖν, φησι, πάντας τοὺς Eccl. 10. 12. ποιοῦντας παραβάσεις ἐμίσησα. Ἀρχὴ γὰρ ἁμαρτίας, ἀφίστασθαι ἀπὸ τοῦ Θεοῦ, ὡς φησὶν ὁ σοφώτατος. ἡμεῖς δὲ οὐ μόνον μισοῦμεν τοὺς παραβάτας, ἀλλὰ καὶ ὡς φίλους ἀσπαζόμεθα, δέον τοῖς τοιούτοις μηδὲ τὸ χαίρειν λέγειν (Οὐκ ἔστι γὰρ εἰρήνη ἀσεβέσι, λέγει Κύριος) καὶ μετ' αὐτῶν ἐσθίομεν καὶ πίνομεν, ὧν καὶ τὴν" ἀπάντησιν ἀποφεύγειν ὀφείλομεν, καὶ μηδὲ ἀνθρώπους ἡγεῖσθαι τοὺς δαίμοσιν ἑαυτοὺς παραδεδωκότας, καὶ ἀψύχοις λίθοις καὶ ξύλοις τὴν ἑαυτῶν ζωὴν ἀνατεθεικότας. ἢ οὐ διδάσκει ἡμᾶς ἀλλαχοῦ ὁ αὐτὸς προφήτης λέγων; Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ" τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. μιμησώμεθα οὖν καὶ ἡμεῖς τὸν προφήτην, καὶ μισήσωμεν τοὺς ποιοῦντας τὰς παραβάσεις, ἵνα μὴ διὰ τῆς ἀδιαφόρου ἡμῶν κοινωνίας πρὸς αὐτοὺς συνεργοὶ τῆς παραβάσεως αὐτῶν εὑρεθῶμεν. κατὰ πάντα γὰρ μισητέον τὴν πρὸς αὐτοὺς κοινωνίαν, ὅτι τὸ φῶς ἀποστραφέντες, ἐν τῷ σκότει πορεύονται (Τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;) καὶ ὅτι τοῦ Χριστοῦ τὸ ὄνομα ἀρνησάμενοι, τὸ τοῦ Βελίαρ ὄνομα ἑαυτοῖς περιτεθείκασι (τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ;) καὶ ὅτι ἀποφυγόντες τὴν ἐνταῦθα εἴσοδον, ναοῖς εἰδώλων προσμεμήνασι τὴν ἑαυτῶν ζωὴν τοῖς μιάσμασι συμμιάναντες. τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ποιοῦντας οὖν παραβάσεις ἐμίσησα, οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. πάλιν ἐνταῦθα, ἀγαπητέ, πρόσεχε τὴν δύναμιν τῶν εἰρημένων. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. οὐδὲν ἦν ἐν ἐμοὶ σκολιόν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ κἂν μυρία ᾖ τὰ θλίβοντα, κἂν πονηρὰ τὰ συμβαίνοντα, κἂν ἐναντία τὰ ἀντιπίπτοντα, ἐμοὶ οὐκ ἐκολλήθη καρδία σκαμβή, οὐ διαλογισμὸς πονηρός, οὐκ ἐνθύμησις ἀλλοτρία. οὐχ ὅτι θλίβομαι, οὐχ ὅτι στενοχωροῦμαι, οὐκ ἐπειδὴ ὁρῶ ἀνθρώπους εὐθηνοῦντας, καὶ ἀσεβεῖς πλουτοῦντας, καὶ πάντας τοὺς παρανόμως" κατευθυνομένους, ἐγὼ διαστρέφομαι τῇ καρδίᾳ πονηρὰ λογιζόμενος, καὶ λέγων· ἵνα τί ἀσεβεῖς ζῶσι, καὶ κραταιοῦνται ἐν τῷ πλούτῳ; Ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, καὶ οἶκοι αὐτῶν εὐθηνοῦσιν, Οἱ βόες αὐτῶν παχεῖς. οὐκ ἐλογισάμην περὶ τούτων οὐδαμοῦ, ἀλλὰ κἂν ἐκεῖνοι εὐθηνῶσιν, ἐγὼ δὲ θλίβωμαι, Οἶδα ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. οὕτω λογιζόμενος ὀρθῶς, καὶ κατ' εὐθὺ πορευόμενος, τοῦ πονηροῦ ἀναβαίνοντος ἐπὶ τὴν καρδίαν μου, καὶ μου τόπον αὐτῷ μὴ διδόντος, ἐν τῷ μὴ ἔχειν χώραν κατ' ἐμοῦ, οὐκ ἐγίνωσκον πότε παρεγένετο, ἐμοῦ μὴ παραδεχομένου αὐτόν· οὕτως οὐδὲ ἐγίνωσκον ὅτι ἐξέκλινεν. ἡ πονηρία γὰρ ὡς σκιὰ παρατρέχουσα ὑπεχώρει, μηδεμίαν ἐν ἐμοὶ" κατεργαζομένη βλάβην. καὶ ἡμεῖς οὖν παιδευώμεθα, ἐάν ποτε συμβῇ τινι ὑμῶν χαλεπὸν ἢ περιστατικὸν πρᾶγμα, καὶ ἐπέλθῃ λογισμὸς τοῦ πονηροῦ, μὴ κυριεύσῃ ἡμῶν τοῦ ἡγεμονικοῦ, ἀλλὰ παρέλθῃ ἀβλαβῆ τηρήσας ἡμῶν τὴν καρδίαν, ὥστε λέγειν καὶ ἡμᾶς, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. μάθωμεν καλὸν μάθημα, ἀγαπητοί, μὴ μόνον μὴ καταλαλεῖν, ἀλλὰ μηδὲ ἀκούειν καταλαλιᾶς. δεινὸν γὰρ κακὸν ἡ καταλαλιά, ἀκατάστατον δαιμόνιον, μηδέποτε εἰρηνικὸν τὸν ἄνθρωπον" ἀπεργαζόμενον. τί γὰρ οὐκ ἔστι κακὸν ἀπὸ καταλαλιᾶς; ἐξ αὐτῆς ἔχθραι ἀναφύονται, ἔρεις δι' αὐτῆς (ζωνίσαν), διχοστασίαι ἀπ' αὐτῆς τὴν ἀρχὴν λαμβάνουσιν, ὑπόνοιαι πονηραὶ ἐκεῖθεν γινόμεναι τῶν μυρίων κακῶν τὰς αἰτίας παρέχουσι, μῖσος ὥσπερ ἀπὸ πηγῆς ἐξ αὐτῆς βρύει, καὶ ὅσα ἄν τις λογισάμενος εὑρήσει κακά, ταῦτα πάντα ἐκ τῆς καταλαλιᾶς εὕρη παρεχόμενα. πάντας εἰς κακίαν" ἕλκουσα οἶδεν ἡ καταλαλιά, θυμῷ πληρώσασα τὸν ἄνθρωπον, καὶ φόνον ἐξ αὐτῆς μεταλαμβάνοντα, φονικὸν αὐτὸν κατὰ

τοῖς ἐχθροῖς

κατευθυνομένους,

κατεργαζόμενον,

Ησ. νζ. κα.

Ψαλμ. ρλη. κ.

β. Κορ. ϛ. ιδ.

Ιωβ κα. η.

Ψαλμ. ρμγ. ιδ.

Ρω. ε. γ.

τοῦ πλησίον ἐργάζεσθαι. οἶδε καὶ τὴν ψυχὴν ἀγελμυάσασαν ἀποστῆσαι τῆς ἀδελφι- χ. ἀπεργάζεσθαι.
κῆς κοινωνίας, καὶ ἐχθροὺς τοὺς πρὸ ὀλίγου φίλους ἄνευ αἰτίας ἀποδεῖξαι. αὕτη καὶ Μαρίαν χ. ὑποστῆσαι
τὴν ἀδελφὴν Μωϋσέως ἁψαμένην, λεπρῶσαν ἀφ᾽ ἑαυτῆς παρευθὺ ἀπέδειξεν, ὀργὴν
δὲ κατ᾽ αὐτῆς καὶ θυμὸν ἐπήγαγε παρὰ τοῦ δεσπότου. αὕτη καὶ ὅλους οἴκους ἀνατρέπει, καὶ
πόλεις εἰρηνευούσας εἰς πόλεμον ἐξεγείρει. αὕτη καὶ τῆς καλῆς εἰρήνης τὰ δεσμὰ δια-
λύει, καὶ τῆς μεγάλης ἀγάπης τὸν σύνδεσμον διαρρήσσει. αὕτη καὶ τὴν ἐντολὴν τοῦ Θε-
οῦ ἀφιστῶσα παρανομεῖν ἐκδιδάσκει, καὶ τῆς τοῦ Θεοῦ φιλίας ἀποσπῶσα, μακρὰν τῆς
ἀληθείας ἀπάγει. αὕτη παρὰ τὴν πρώτην καὶ τῆς ἀπωλείας τοῦ πρωτοπλάστου Ἀ-
δὰμ αἰτία γεγένηται, καὶ τῆς ἐν τῷ παραδείσῳ διαίτης, καὶ τῆς ἐπουρανίου τρυφῆς ἀ-
πεστέρησεν. εἰσελθοῦσα γὰρ εἰς τὸ στόμα τοῦ ὄφεως καὶ ψευδῶς ἐργασαμένη κατὰ τῆς ἀ-
Γεν. γ. α. ψευδοῦς τοῦ Θεοῦ ἀγαθότητος, καὶ εἰποῦσα, Τί ὅτι εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπὸ
παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; παράβασιν ἤγαγε τῆς ἐντολῆς ἀπὸ τῆς ἀλη-
θείας διαστρέψασα τὸν ὑπήκοον· καὶ τὸν συνόμιλον ὄντα δεσπότῃ πρὸς ἑαυτὴν ἐπι-
σπασαμένη, ἄρτι ἐχθρὸν διὰ τῆς ἀπάτης κατέστησε, καὶ ἀλλότριον εἰς ἅπαξ τῶν ἀ-
γαθῶν ἀπέδειξε. φεισώμεθα τοίνυν τῆς καταλαλιᾶς, μακρὰν αὐτῆς γινόμενοι, ἵνα μὴ
μάτην ἔχθραν πρὸς τὸν ἑαυτῶν δεσπότην κτησώμεθα. παυσώμεθα τῆς καταλαλιᾶς,
ἵνα μὴ ἄδικοι κριταὶ τῆς ἀληθείας γινώμεθα, καὶ κατὰ τοῦ νόμου ὡς ψευδεῖς μάρτυρες εὑρεθῶ-
Ιακ. δ. ια. μεν. Ὁ γὰρ καταλαλῶν, ἔφη, ἀδελφοῦ, ἢ κρίνων τὸν ἀδελφὸν, καταλαλεῖ νό-
μου, καὶ κρίνει νόμον. εἰ δὲ νόμον κρίνεις, οὐκέτι ποιητὴς νόμου εἶ, ἀλλὰ κριτής. εἷς χ. τῆς,
δέ ἐστιν ὁ κριτὴς καὶ νομοθέτης, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι. βλέπεις, ἀγαπητὲ, πό-
σον ἔχει βάρος ἡ καταλαλιά; παυσώμεθα ταύτης, ἵνα μὴ κρίσιν αὐτοῖς ἐπαγάγωμεν.
ἀποδιώξωμεν ἀφ᾽ ἡμῶν καὶ τοὺς καταλαλεῖν βουλομένους, ἵνα μὴ ἀλλοτρίοις κακοῖς
συντιθέμενοι, ἑαυτοῖς ἀπώλειαν προξενήσωμεν· καὶ μὴ ἡδέως ἀκούωμεν τῶν κατα-
λαλούντων, ἵνα μὴ διαβολικῶν ἐνθυμημάτων πληρωθῶμεν. καὶ γὰρ αὕτη κατα-
λαλιὰ διαβολικὴ ὀνομάζεται, φυσικὴν ἐκ [τῆς] τοῦ γεγεννηκότος δεξαμένη προσ- χ. ἐπ᾽ αὐτῷ τῇ
ηγορίαν, ὅταν τῇ καταλαλιᾷ σχολάζων δουλεύῃ τῷ διαβόλῳ, τὰ τῆς δια-
βολῆς ἔργα διαπραττόμενος. ὁ δὲ τὸν τοιοῦτον μὴ προσιέμενος, ἑαυτὸν μὲν ἐ-
λευθεροῖ τῆς διὰ κενῆς ταύτης ἁμαρτίας. τὸν δὲ ἁμαρτάνοντα διατρέπει μὴ ἄδικον
ἐπιφέρειν κατὰ τοῦ πλησίον κατηγορίαν· ἐλεύθερον δὲ καὶ τὸν καταλαλούμενον τῆς κατηγο-
ρίας ἀπεργάζεται), εἰρήνης δὲ βραβευτὴς καὶ φιλίας καθηγητὴς γίνεται, τὴν τοῦ καταλα-
λοῦ προαίρεσιν μυσαττόμενος. μάθωμεν καὶ ἡμεῖς τὸ ἔργον μυσαττόμενοι λέγειν, τὸν
καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. ἵνα δὲ μάθῃς, ἀγαπητὲ,
πῶς ἡ καταλαλιὰ οὐδὲ μιᾶς ἀληθείας ἐστὶν ἐργάτις, πρόσεχες καὶ αὐτῇ τῇ τοῦ ὀνόματος
προσηγορίᾳ καὶ τῷ ἐπακολουθοῦντι ῥητῷ τὴν διάκρισιν ποιούμενος. ἡ μὲν γὰρ καταλα-
λιὰ κατηγορίας ἐστὶ διδάσκαλος· τὸ δὲ λάθρα, τὸ ψευδὲς τοῦ πράγματος καὶ ἀπαρ-
ρησίαστον ἐπιδείκνυται. εἰ γὰρ ἀληθὲς, καλὸν τὸ εἰς πρόσωπον ἐλέγχειν, καὶ μετὰ παρρη-
σίας εἰρηνοποιεῖν. εἰ δὴ λάθρα, φέρεις τὴν κατηγορίαν ψευδῆ, κακὴν ὑπόνοιαν
κατὰ τοῦ πλησίον ἐργαζόμενος, μηδὲ ἐλέγξαι τὰ ὑπὸ σοῦ προφερόμενα δυνάμε- χ. ἐργαζόμενος.
νος. καλὸν οὖν ὡς ψεύστην καὶ λωποδύτην, τὸν κατάλαλον ἀποδιώκειν, ἵνα μὴ τὴν εἰ-
ρηνεύουσαν ψυχὴν ταράσσοντες, πολεμικὴν αὐτὴν πρὸς τὸν πλησίον διὰ τῆς κατα-
λαλιᾶς ἐργαζώμεθα. τὸν καταλαλοῦντα οὖν λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξε-
δίωκον. ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. ὅτι δὲ ὑπερη-
Ιακ. δ. ς. φανία μισητὴ καὶ παρ᾽ αὐτῷ τῷ Θεῷ, ἄκουε τῆς γραφῆς λεγούσης, Ὁ Θεὸς ὑπερηφά-

νοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. καὶ πάλιν ἀλλαχοῦ· Μισητὴ ὑπερηφανία ἐναντίον Κυρίου καὶ ἀνθρώπων. καὶ, Ἵνα τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καὶ πολλαχοῦ εὑρήσεις τὴν ὑπερηφανίαν βδελυκτὴν, καὶ πάνυ μεμισημένην. οὕτως οὖν καὶ ἐνταῦθά φησιν, ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον, ὡς πάνυ βλαβερωτάτης καὶ ἐπιζημίου τῆς ὑπερηφανίας οὔσης, οὐ μόνον αὐτῷ τῷ ταύτην ἀνειληφότι, ἀλλὰ καὶ τῷ πρὸς ὀλίγον αὐτὴν ὑποκρινομένῳ. ἐπισυνῆψε δὲ καὶ τὸν ἄπληστον τῇ καρδίᾳ τῷ ὑπερηφάνῳ, ὡς μιᾶς οὔσης τῆς τῶν ἀμφοτέρων προαιρέσεως, τοῦ τε κατὰ τοῦ πλησίον ἐπαιρομένου, καὶ τοῦ ὁμοίως κατὰ τοῦ πλησίον ἀπληστευομένου. καλὸν οὖν, ἀγαπητοὶ, ἀποθέσθαι ὑμᾶς τὴν ὑπερηφανίαν, ἀναλαβεῖν δὲ τὴν ταπεινοφροσύνην, ἵνα μὴ ἀκούσωμεν, Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ἀλλ' ἀκούσωμεν, ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. ἀρκεσθῆναι δὲ καὶ τῇ συμμέτρῳ αὐταρκείᾳ, καὶ μὴ τῇ ἀπληστίᾳ τῆς καρδίας ἐκκλῖναι τῆς δικαιοσύνης, ἵνα μὴ ἀκούσωμεν, Διὰ τὸ πλῆθος τῆς ἀδικίας αὐτοῦ ἀνεκαλύφθη τὰ ὀπίσθιά σου, τοῦ παραδειγματισθῆναι τὰς πτέρνας σου. ἀποφύγωμεν οὖν καὶ τὴν δίαιταν τῶν ὑπερηφάνων καὶ τῶν ἀπλήστων τῇ καρδίᾳ, ἵνα μὴ τῇ συνηθείᾳ τῆς πρὸς αὐτοὺς κοινωνίας μιμηταὶ τῆς κακίας αὐτῶν γενώμεθα. ἀσκῶμεν οὖν τὸ πράττειν καὶ λέγειν· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. καὶ ταῦτα ὡς ἐκ προσώπου τοῦ δικαίου λέγεται. πάλιν δὲ ὡς ἐκ προσώπου τοῦ Θεοῦ τὸ πνεῦμα τὸ ἅγιον τὴν ἀπόκρισιν ποιούμενόν φησιν, Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἀληθῶς γὰρ οἱ ὀφθαλμοὶ τοῦ Θεοῦ ἐπὶ τοὺς πιστούς εἰσι, προσέχοντες αὐτοῖς, ἵνα μὴ ἔξω γένωνται τῆς ἀληθείας. Εἰ δὲ βούλει μαθεῖν, ὡς ἀληθὲς τὸ εἰρημένον, κατανόησον τοὺς μακαρίους ἀποστόλους, καὶ βλέπε τούτους πιστοὺς ὄντας τῆς γῆς, τὸ καὶ διὰ τῆς αὐτῶν πίστεως ὅλην τὴν οἰκουμένην πεπληρῶσθαι τὸ κήρυγμα τῆς σωτηρίας. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. καὶ γὰρ πᾶσα ἡ οἰκουμένη τῆς αὐτῶν πίστεως μεταλαβοῦσα πεπλήρωται, ἀκένωτον ἔχουσα τὸν πλοῦτον τῆς εὐσεβείας. οὗτοι οὖν οἱ πιστοὶ συγκαθέζονται τῷ δεσπότῃ ἀκούοντες, Ὑμεῖς δὲ οἱ δώδεκα καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ὢ τοῦ θαύματος. οἱ πήλινοι καθέζονται, καὶ οἱ ἀσώματοι "παρεστήκουσιν. ἀλλ' οὐ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἐξουθενῶ (μὴ γένοιτο) ἀλλὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ κηρύττω, δι' ἣν ἐτίμησε τὴν ἀνθρωπίνην φύσιν. Εἰ δὲ ἅγιοι ἀπόστολοι καθίσονται κριταὶ γενόμενοι τῶν ἀπίστων, ἐπάναγκες καὶ τοὺς τῶν ἀποστόλων τὴν πίστιν ἐσχηκότας καὶ ὁμοίως αὐτοῖς πεπιστευκότας, καὶ αὐτοὺς συγκαθεσθῆναι τοῖς ἀποστόλοις, κριτὰς ἐσομένους τῶν μὴ παραδεξαμένων τὴν πίστιν, μηδὲ ὁμολογησάντων τὸν σωτήριον λόγον. τάχα γὰρ, ἵνα οὕτως εἴπω, ἔσονται δώδεκα ἔθνη πιστὰ, τὰ ὑπὸ τῶν ἀποστόλων κατηχηθέντα, ἅτινα κρινοῦσι σὺν τοῖς ἀποστόλοις τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, τὰς μηδὲ τῷ ἀποστολικῷ πεισθείσας κηρύγματι, μηδὲ τῷ δεσποτικῷ πεπιστευκυίας θελήματι, ὥστε καὶ αὐτὰς τῇ πίστει "συναχθείσας ἀκοῦσαι, Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἔπειτα ἴδωμεν τὰ ἑξῆς. τί φησι;

Σοφ. ιζ. θ.
Λουκ. ιδ.
Ιερεμ. ιγ. κβ.
Ρωμ. ι.
Ματθ. ιθ. κη.
γρ. ἀφεστήκουσιν.
γρ. συναφθείσας

Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. 9 Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. ὁ λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Πρὸς τὴν καύχησιν τοῦ δικαίου καὶ ὁ Θεὸς ὁμοίως ἀνταποκρίνεται, καὶ παρατίθησι ὡς τοιούτους εἶναι δεῖ, τοὺς τῇ πίστει διεληλυθότας. φησὶ, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ,

μῳ, οὗτός μοι ἐλειτούργει. τοιούτους γὰρ ἐγὼ ἐκλέγομαι λειτουργούς, τοὺς πορευομένους ἐν ὁδῷ ἀμώμῳ, καὶ μήτε δεξιὰ ἐκκλίνοντας, μήτε ἀριστερά, μήτε διαστρεφομένους τὴν εὐθεῖαν ὁδὸν τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας. Μακάριοι γὰρ οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. πρὸς οὖν τὴν εἰρημένην φωνὴν ὑπὸ τοῦ προφήτου τήν, ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, ἐνταῦθα λέγει, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. καὶ πάλιν, ὥς φησι, διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. καὶ, ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον, ἀνταποκρίνεται λέγων· οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, ἀλλὰ καὶ λαλῶν, φησιν, ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. ὡς γὰρ ἐκεῖ φησί, τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· οὕτως ἐνταῦθα, λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἶτα ὅρα τί φησιν·

Ψαλμ. ριη. α.

10 Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐνταῦθα λοιπὸν αἰνίττεται τὰ περὶ τοῦ μέλλοντος αἰῶνος. ἐπειδὴ γὰρ νύξ ἐστιν ὁ παρὼν αἰών, ἡμέρα δὲ ὁ μέλλων, ὥς φησιν ὁ σοφώτατος Παῦλος, Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν, πρωΐαν ὀνομάζει τὴν ἀνατολὴν τοῦ ἀϊδίου φωτός, οὗ μέλλουσιν οἱ δίκαιοι ἀπολαύειν. Εἰς ταύτην οὖν τὴν πρωΐαν ἀποκτενεῖ τοὺς ἁμαρτωλούς, ἀποστέλλων αὐτοὺς εἰς τὸ πῦρ τὸ αἰώνιον. τοῦτο γάρ ἐστι καὶ ὁ τῶν ἁμαρτωλῶν θάνατος, ὥς φησι καὶ αὐτὸς ὁ σωτήρ. Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον ἀποκτεῖναι καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ. Εἰς τὰς πρωΐας οὖν ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας, τουτέστι, τῆς ἄνω Ἱερουσαλήμ, τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Εἰς ἐκείνην γὰρ μόνον οἱ δίκαιοι ἀναπαύονται, ἀπολαύοντες τῆς αἰωνίου βασιλείας, ἧς γένοιτο καὶ ἡμᾶς καὶ ὑμᾶς πάντας ἀπολαῦσαι εὐαρεστήσαντας αὐτῷ ὁσίως πολιτευσαμένους ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν," ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρω. ιγ. ιβ.

Ματθ. ι. κη.

χ. δι' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ρα. ΠΡΟΣΕΥΧΗ ΤΩ ΠΤΩΧΩ, ΟΤΑΝ ΑΚΗΔΙΑΣῌ, καὶ ἔναντι Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

Πρόρρησιν μὲν ὁ ψαλμὸς ἔχει τῆς ἐν Βαβυλῶνι τοῦ λαοῦ τῶν Ἰουδαίων ταλαιπωρίας, καὶ τῆς ἐκεῖθεν ἐπανόδου· προαγορεύει δὲ κατὰ ταυτὸν καὶ τῶν ἐθνῶν τὴν κλῆσιν καὶ σωτηρίαν· ἁρμόττει καὶ παντὶ συμφορᾷ τινι περιπαλαίοντι, καὶ τῆς θείας ῥοπῆς τυχεῖν ἱκετεύοντι. πτωχὸν γὰρ καλεῖ τὸν τῆς θείας ἐνδεᾶ προμηθείας, συμβάλλων αὐτὸν τῷ μακαριζομένῳ, κατὰ τό, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. πᾶς τοιγαροῦν τῷ Θεῷ ἀνακείμενος, πτωχεύων ἐν τοῖς τοῦ βίου πράγμασι, παρὰ δὲ τῷ Θεῷ πλουτῶν, ἀκηδίᾳ λυπούμενος, ἢ ἀθυμεῖ κατὰ τὸν Σύμμαχον, ἐπὶ τῇ τῶν πολλῶν κακίᾳ τε καὶ ἀπωλείᾳ, οἷος ἦν ὁ λέγων· Οἴμοι ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· καὶ ὁ εἰπών, Οὐκ ἔστι ποιῶν χρηστότητα.

Ματθ. ε. γ.

Μιχ. ζ. α. β.

Ψαλμ. ιγ. γ.

1 Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Ἡ μὲν προσευχὴ τὴν ἱκετηρίαν δηλοῖ τὴν πρὸς τὸν Θεόν, καὶ τὴν παράκλησιν· ἡ δὲ δέησις, τὴν αἴτησιν τὴν περὶ ὧν βούλεται αὐτῷ δεομένῳ παρασχεθῆναι. λέγει δέ, δέξαι μου τὴν ἱκετηρίαν, ὦ δέσποτα, καὶ ποτνιωμένῳ τὴν σὴν βοήθειαν ὄρεξον. τὴν γὰρ κραυγήν, οἰμωγὴν ὁ Σύμμαχος εἴρηκεν.

2 Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἀποστρέφει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ ἀπό τινων προσευχομένων κατὰ τρόπους πλείονας· ἢ διὰ τῶν αἰτουμένων μὴ παρακαλούντων λαβεῖν ἃ πρέπει Θεῷ χαρίζεσθαι, καὶ αὐτοῖς λυσιτελὲς λαβεῖν, ἢ τὰ μὲν ἃ ἁρμόζει Θεῷ παρέχειν, αἰτεῖσθαι, μὴ μὴν αὐτοῖς καιρὸν ἔχειν τὸ ὠφελίμως χωρῆσαι ταῦτα. Εἰσὶ δὲ καὶ οἱ ἐπὶ τὸ ἁμαρτωλὸν τυχεῖν τινων ἀξιοῦντες. ὁ ἅγιος οὖν παρακαλῶν λέγει· μὴ εἴη τοιαῦτά με αἰτῆσαι, ἐφ' οἷς δυσωπήσας ″ἀποστρέφεις ἀπ' ἐμοῦ τὸ πρόσωπον. εὐχόμεθα δὲ, οὐχ ὅπως μὴ θλιβῶ (ἀδύνατον γὰρ τοῦτο) ἀλλ' ὅπως θλιβόμενος μὴ ἡττηθῶ, καὶ ὅπως τῇ ἐλπίδι χαρῶ, ὑπομένων ταῖς θλίψεσι, καὶ καυχώμενος ἐν αὐταῖς. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου·

ἴσ. ἀποστρέψῃς

3 Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί σε, ταχὺ ἐπάκουσόν μου.

Δηλοῖ καὶ ταῦτα τοῦ ψαλμοῦ τὰ ῥήματα, ὡς μελλόντων ἐστὶ πρόρρησις, καὶ οὐ γεγενημένων διήγησις. ἐπειδὴ γὰρ ἐν εὐκληρίᾳ πολλῇ καὶ περιφανείᾳ ἐτύγχανεν ὢν ὁ λαὸς ἐν τῇ τοῦ θεσπεσίου Δαβὶδ βασιλείᾳ, εἰκότως ὁ προφήτης τῷ ἐκείνων κεχρημένος προσώπῳ προσφέρει τὴν ἱκετείαν, καὶ τυχεῖν ἀντιβολεῖ τῆς θείας κηδεμονίας, ἡνίκα ἂν γένοιτο τούτου καιρός. 4 Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου· καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐντεῦθεν κατὰ τὸ οἰκεῖον ἰδίωμα τὰς ἐσομένας ὡς γεγενημένας συμφορὰς διηγεῖται, καί φησι καπνῷ παραπλησίως τὸν τῆς ζωῆς ἀναλωθῆναι χρόνον, καὶ ἐξ ἀθυμίας δαλὸν ξηρὸν γεγενῆσθαι τὸ σῶμα, ὡς ὑπό τινος καταφλεχθὲν πυρὸς προσβολῆς. οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσε· καὶ τὰ ὀστᾶ μου, ὡς καῦσις ἐψαθυρώθη.

5 Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου. Ἀλλὰ γὰρ καὶ χόρτῳ παραπλησίως ἀπέσβην, καὶ τὸ πρότερον ἄνθος ἀπώλεσα.

Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου· 6 Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Πάσης μὲν γὰρ τροφῆς ἀπεβαλόμην ὄρεξιν, τῆς δὲ προτέρας εὐπαθείας παντελῶς ἐγυμνώθην. τῇ γὰρ ἐξ ἀθυμίας τηκεδόνι κατηναλώθη τὸ σῶμα, γυμνοῖς δὲ τοῖς ὀστέοις ἐπίκειταί μου τὸ δέρμα.

7 Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ· ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

8 Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Πολλαῖς κέχρηται παραβολαῖς, ἀξίως βουλόμενος παραστῆσαι τὰς συμφοράς· δι' ἑκάστου δὲ τῶν εἰρημένων ὀρνίθων, τὴν δειλίαν δηλοῖ καὶ τοῦ κηδεμόνος τὴν ἐρημίαν. τό τε γὰρ στρουθίον ὑπ' ἀγωνίας ἐξελαύνει τὸν ὕπνον, καὶ ὁ νυκτικόραξ τὰς οἰκουμένας φεύγων τῶν οἰκιῶν, ταῖς ἐρήμοις καὶ ″καταλελυμέναις προστρέχει. τὰ γὰρ οἰκόπεδα, ἐρείπια ὁ Σύμμαχος εἴρηκεν. οὕτω καὶ τὸ ἄλλον ὄρνεον ταῖς ἐρήμοις ἐνδιαιτᾶται.

ἴσ. καταλελυμέναις

9 Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Καταγέλαστος ἐγενόμην τοῖς δυσμενέσι· καὶ ὁ ποτὲ ζηλωτὸς καὶ περίβλεπτος, νῦν ὅρκος γέγονα τοῖς πάλαι θαυμάζουσι. κατὰ γὰρ τῶν ἐμῶν ὀμνύουσι συμφορῶν· μὴ πάθοιμι, ἃ οἱ δεῖνες πεπόνθασιν.

10 Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων,

11 Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου.

Ταῦτα καὶ ἐν τῷ ἑβδομηκοστῷ καὶ ἐνάτῳ ψαλμῷ ἔφη· ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. τὴν δὲ τῆς ὀδύνης ὑπερβολὴν διὰ τούτων δηλοῖ. Εἰ γὰρ ὁ τῆς τροφῆς καιρὸς ὀδύνης ὑπῆρχε μεστὸς, σχολῇ γε ἄλλος καιρὸς ταύτης ἐλεύθερος ἂν εἴη. τούτοις δέ, φησι, περικλυζόμεθα τοῖς κακοῖς, ἐπειδὴ, δέσποτα, κεκίνηκας κατ' ἐμοῦ τὴν ὀργήν· Ὅτι ἐπάρας κατέῤῥαξάς με.

Ἐδοξάσθη γὰρ ὅ τε λαὸς καὶ ὁ ναὸς χρηματίζοντες τοῦ Θεοῦ· καὶ ὅσον ἐπήρθη, κατέπεσεν, ὁ μὲν λαὸς ἀπαχθεὶς, ἐρημωθεὶς δὲ μετὰ τῆς Ἱερουσαλὴμ ὁ ναὸς, ἐν ᾧ ὁ νόμος καὶ ἡ κατ' αὐτὸν ἐτελεῖτο λατρεία, σκιὰν ἔχοντα τῶν μελλόντων ἀγαθῶν, καὶ ἤρθη καὶ ταῦτα ἐκ μέσου. λέγει δὲ καὶ τὸ καθ' ἑαυτόν· ὑψηλόν με γὰρ δείξας καὶ περίβλεπτον ἀποφήνας, ἐξαίφνης ἀπέῤῥιψας. τὸ γὰρ κατέῤῥαξας, ἐκ μεταφορᾶς τέθεικε τῶν ἐπαιρομένων εἰς ὕψος τι, καὶ κατὰ τοῦ ἐδάφους καταῤῥηγνυμένων.

12 Αἱ ἡμέραι μου, ὡσεὶ σκιὰ, ἐκλίθησαν· κἀγὼ, ὡσεὶ χόρτος, ἐξηράνθην.

Παρ' αὐτάς εἰμι, φησὶ, τὰς τοῦ βίου δυσμὰς, καὶ ἔοικα σκιᾷ κλινάσῃ καὶ ληγούσῃ λοιπόν· καὶ χόρτου δὲ μιμοῦμαι τὴν ξηρότητα, τῶν θεριζόντων προσδοκούμενος τὰς χεῖρας.

13 Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Τὰ μὲν ἀνθρώπινα τοιαῦτα, διὰ δὲ κακίαν μετὰ τὴν ἔπαρσιν ταπεινούμενα, καὶ μηδέποτε μένοντα, ὅπερ εἰσί· σὺ δὲ μηδὲν ἔχων ἐπίκηρον, ἄτρεπτός τε εἶ καὶ ἀναλλοίωτος, καὶ αἱ παρὰ σοῦ δὲ ἐπαγγελίαι βέβαιοι. καὶ μὴ τῇ παρούσῃ γενεᾷ φησιν, ἀλλ' ἑτέρᾳ, περὶ Ψαλμ. κα. λβ. ἧς τὸ, Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη· καὶ τὸ, γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν. τὸ γὰρ τῶν ἐπαγγελιῶν σου μνημόσυνον πληρωθήσεται, καὶ μεταβολὴν ἴσως τῶν παρόντων κακῶν ῥᾳδίως ἂν ἐπιχαρίσαιο. διό φημι θαῤῥῶν, ὅτι τὴν Σιὼν ἀναστήσεις. τοῦτο γὰρ ἐπιφέρει·

14 Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.

Δὸς, φησὶ, μεταβολὴν ἀμείνω τῇ συμφορᾷ. ὁ γὰρ καιρὸς τὸν ἔλεον ἀπαιτεῖ. ἀνύεται δὲ διὰ τούτων τῆς τοῖς ἑβδομήκοντα ἔτεσι περιωρισμένης τιμωρίας τὸ τέλος. Δαν. θ. β. οὕτω καὶ ὁ θαυμάσιος Δανιὴλ ἀριθμήσας τῆς αἰχμαλωσίας τὸν χρόνον, προσφέρει Ζαχ. α. ιβ. τὴν ἱκετηρίαν κατὰ τὸν Ζαχαρίαν εἰπόντα· Κύριε παντοκράτωρ, μέχρι τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλήμ; τούτοις συνᾴδει καὶ τῆς πνευματικῆς μελῳδίας τὰ ῥήματα. ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. οἶμαι δὲ προφητεύειν ἐν τούτοις τοῦ Θεοῦ λόγου αὐτοῦ διὰ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν εἰς ἀνθρώπους ἐπιφάνειαν, αἰτίαν ἐσομένην τῆς ἀνοικοδομῆς τῆς Σιών. ἔνθα δὴ γενόμενος, μή μοι τὴν ἐπὶ γῆς πόλιν ὑπολάμβανε, μηδὲ τὴν ἐπίγειον Ἱερουσαλὴμ νόμιζε δηλοῦσθαι· δηλοῖ δὲ τοῦ τῆς εὐσεβείας πολιτεύματος τὴν ἀνανέωσιν. ἐκεῖνος γὰρ ἐστὶν ὁ καιρὸς, περὶ οὗ αὐτὸς Ησ. μθ. η. διὰ Ἡσαΐου φησὶ, Καιρῷ δεκτῷ ἐπήκουσά σου. τοῦτον δὲ καὶ ὁ Παῦλος πεπληρῶσθαι τὸν β. Κορ. ϛ. β. καιρὸν, ἐπιδημήσαντος τοῦ σωτῆρος, γράφει λέγων· Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος.

15 Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσιν.

Θρήν. δ. α. καὶ Ζαχ. θ. ις. α. Πέτρ. β. ε. Λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς, εἴρηταί που ἐν προφήταις. ἀλλὰ καὶ ὁ Πέτρος. Ὑμεῖς δὲ πάντες λίθοι ζῶντες, φησὶν, οἰκοδομεῖσθε οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον. τοῦτον δὲ καλεῖ τὸν τρόπον τοὺς εἰς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας τοῦ Θεοῦ παραλαμβανομένους. διὰ γὰρ τῆς συμφωνίας καὶ ἁρμονίας τῆς πρὸς ἀλλήλους, διά τε τοῦ τὰ αὐτὰ φρονεῖν καὶ τὰ αὐτὰ λέγειν, ὥστε αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ στοιχεῖν, ἕνα οἶκον ἀπεργάζονται τῷ Θεῷ. τούτους δὲ οὖν τοὺς λίθους ηὐδόκησαν οἱ δοῦλοί σου, δηλαδὴ οἱ προφῆται. οὗτοι γὰρ θείῳ πνεύματι προορῶντες τῆς μελλούσης οἰκοδομεῖσθαι καθ' ὅλης τῆς οἰκουμένης νέας Σιὼν τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν συναχθησομένους εἰς τὴν οἰκοδομὴν λίθους ηὐδόκησαν, ἀρεσθέντες ἐν αὐτοῖς. εἴποις δ' ἂν χοῦν εἶναι τῆς νενοημένης ἡμῖν Σιὼν [ἤ τοι] τοὺς χοϊκώτερον μὲν βιοῦντας, τοῖς δὲ λίθοις τῆς οἰκοδομῆς συναριθμουμένους. ὅθεν καὶ οἴκτου τυγχάνειν ἀξιοῖ τοὺς ἐκ τοῦ Ἰουδαίων ἔθνους εἰσ-

ἐλ

ἔτι καὶ νῦν δὴ καθάπερ εἰ θεοσεβεῖν προσποιουμένους, καὶ διὰ τοῦτο χριστιανοὺς ὀνομαζομένους. οἴκτου καὶ ἐλέους ἀξίους εἶναί φησι. διὸ οἱ δοῦλοι τοῦ Θεοῦ τούτους μὲν οἰκτειρήσειν προφητεύονται, τοὺς δὲ λίθους τῆς νέας οἰκοδομῆς εὐδοκιμήσειν. ἢ λίθους, τοὺς πιστεύσαντας τῷ Χριστῷ μετὰ τὴν ἀνάστασίν φησι, δούλους δὲ, τοὺς ἁγίους ἀποστόλους, δι' ὧν ἐσώθησαν οἱ πιστεύσαντες εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

16 Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Αἴτιον τούτων, τὸ ἀπὸ τῆς Σιὼν εἰς πᾶσαν γενόμενον τὴν οἰκουμένην κήρυγμα. καλῶς δὲ εἶπε, φοβηθήσονται. τότε γὰρ αὐτοῦ τὸν φόβον τὰ ἔθνη οὐκ ἐκέκλειστο· ἀφ' οὗ δὲ τοῖς ἀποστόλοις προσέταξε, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. ἀλλὰ μὴν καὶ οἱ βασιλεῖς τῆς γῆς, οὔ τινες, ἀλλὰ πάντες· διόπερ ἐρείσματα τῶν βασιλέων καὶ τοὺς δικαίους λέγεσθαι. αὐτοχειροτόνητοι γὰρ οὗτοι· μᾶλλον δὲ τὰ παρὰ Θεοῦ χειροτονηθέντες βασιλεῖς, διὰ τὸ δεσπόζειν τῶν ἡδονῶν, καὶ φυλάξαι τὴν βασιλικὴν εἰκόνα, τυγχάνουσιν. Ματθ. κη. ιθ.

17 Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπειδὴ γὰρ οἱ τὰς θείας ἀγνοοῦντες οἰκονομίας, ἀσθένειαν ὑπελάμβανον τοῦ Θεοῦ τὴν Ἰουδαίων δουλείαν καὶ τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν, εἰκότως ἐκάλεσε δόξαν τοῦ Θεοῦ τὴν τῆς πόλεως νεουργίαν· ἀντὶ τοῦ, πάλιν τῆς Σιὼν οἰκοδομηθείσης, ἐν τῇ προτέρᾳ δόξῃ πάντες ὄψονται τὸν τῶν ὅλων Θεόν. ἡνίκα πάντως μέσος τοῦ χοροῦ τῶν ἀποστόλων ἵστατο, τότε ἐν τῇ δόξῃ αὐτοῦ δηλαδὴ τοῖς σημείοις τῶν παθημάτων ἐφαίνετο. φησὶ γὰρ πρὸς τὸν Θωμᾶν· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ τὰ ἑξῆς. δόξαν δὲ τὰ πάθη καλεῖ, ἐπειδὴ δι' αὐτῶν τὴν οἰκουμένην ὑπέταξε. νοήσεις δὲ καὶ ἑτέρως τὸ, οἰκοδομήσει Κύριος τὴν Σιών. γενόμενος γὰρ σὰρξ ὁ Θεὸς λόγος, καὶ σκηνώσας ἐν ἡμῖν, ᾠκοδόμησε τὴν ἐκκλησίαν, πνευματικῶς Σιὼν ὀνομαζομένην· ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ, ὅταν σκηνώσαντος ἐν ἡμῖν αὐτοῦ θεασώμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. ἐκ παντὸς Ἰω. κ. κζ. Ἰω. α. ιδ.

18 Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Οὐ κατεφρόνησε, φησιν, ὡς αἰχμαλώτων καὶ δούλων, ἀλλ' ἐδέξατο τὴν ἱκετείαν καὶ δέδωκε τὴν ἐλευθερίαν. ταπεινοὺς δὲ τοὺς ταπεινόφρονάς φησι, περὶ ὧν ὁ Κύριος ἔλεγεν· Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; αἰνίττεται δὲ τοὺς ἀποστόλους. ἢ καὶ προσευχὴν λέγει τῶν ταπεινούντων ἑαυτοὺς προφητῶν, περὶ οὗ εἴρηται τὸ, προσευχὴ τῷ πτωχῷ. καὶ περὶ τῆς δεήσεως ἔλεγε· καὶ ἐνώπιον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ, δι' ἣν ἀνοικοδομήσει τὴν Σιὼν, καὶ τὰ ῥηθέντα ποιήσει. Ησ. ξς. β.

19 Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ἡ διὰ τοῦ ψαλμοῦ προσευχὴ, καὶ ἡ περὶ τῶν ἐθνῶν ἐπαγγελία προφητευομένη, καθάπερ ἐν στήλῃ τυπωθεῖσα, δέδοται τοῖς Ἰουδαίοις εἰς τὸ φυλάττεσθαι τῷ νέῳ λαῷ καὶ τῇ κατὰ Χριστὸν γενεᾷ, καθ' ἣν ἐκτίσθη τὰ ἔθνη διὰ τῆς πίστεως· περὶ ὧν καὶ ὁ μακάριος λέγει Παῦλος· Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις. καὶ αὐτὸς δὲ ὁ θεσπέσιος Δαβὶδ ἐν τῷ εἰκοστῷ πρώτῳ ἔφη ψαλμῷ· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. ἐν αὐτῷ τε τῷ Χριστῷ κτίζονται οἱ δύο, ὅ τε ἐξ ἐθνῶν καὶ ὁ ἐκ περιτομῆς λαὸς, εἰς ἕνα καινὸν ἄνθρωπον. ἀλλοίωσιν γὰρ νῦν, ἀλλ' οὐκ οὐσίωσιν ἡ κτίσις δηλοῖ· ὁποῖον καὶ τὸ, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός· καὶ τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. οὐ γὰρ καθάπαξ ἐκτίσθη τὸ λέγον πρόσωπον, ἀλλ' εἰς ἀρχὴν ὁδῶν Θεοῦ τῶν β. Κορ. ε. ιζ. Ψαλμ. ν. ιβ. Παροιμ. η. κβ.

εἰς τὰ ἔργα αὐτοῦ. τὸ γὰρ ἀρχὴν τινῶν κτισθῆναι, δηλοῖ σχέσιν, ἀλλ' οὐκ ἀλλοίωσιν. ὁ κτιζόμενος οὖν οὗτος λαὸς, αἰνέσει τὸν Κύριον, εἰς γνῶσιν ἐρχόμενος τοῦ μόνου Θεοῦ. εἰ δὲ οὐσίωσιν ἐσήμαινεν, οὐχ ὁ κτιζόμενος ἂν εἶπεν, ἀλλ' ὁ κτισθείς. οὐ γὰρ δὴ ἐν τῷ οὐσιοῦσθαι, ἀλλ' ἐν τῷ μετασκευάζεσθαι μένειν δυνατόν. οὕτως ὁ λαὸς καὶ τὰ παλαιὰ καὶ τὰ νέα παιδευόμενος, τὸν προσήκοντα ὕμνον ἀναπέμπει τῷ σωτῆρι Θεῷ.

20 Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ· Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν. Ἐκκύψαι ἀπὸ τοῦ ὕψους ὁ σωτὴρ λέγεται κατὰ τὸν καιρὸν τῆς σαρκώσεως, ὡς ἄνω μείνας καὶ κάτω φανείς. τοῦτο γὰρ τῶν ἐκκυπτόντων ἀπὸ τοῦ ὕψους ἴδιον. ἐξέκυψε δὲ τὴν γῆν ἐπιδεῖν, τοῦτ' ἔστιν ἐπισκέψασθαι. ὑπάρχων δὲ ὁ Κύριος ἀσώματος οὐσία καὶ νοερὰ, μᾶλλον δὲ ὑπὲρ ταῦτα, μηδαμοῦ περατούμενος, οὐ περιγράφεται τόπῳ· διαφοιτᾷ δὲ τῇ δυνάμει δι' ὅλης τῆς κτίσεως. Ιω.α.ι. Ἐν τῷ κόσμῳ γὰρ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Ψαλμ.β.δ. καὶ λέγεται διατελεῖν ἐν τοῖς κρείττοσι τοῦ κόσμου μέρεσι, κατὰ τὸ, Ὁ κατοικῶν ἐν οὐρανοῖς· Ματθ.ς.θ. καὶ, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, οὐ κατὰ περιοχὴν, ἀλλ' ἀφάτῳ δυνάμει τοῖς ἰδίοις ἔργοις παρών. ἐν οὐρανῷ τοίνυν οὕτω λεγόμενος εἶναι, τῷ προνοεῖσθαι καὶ τῆς γῆς, ἐπέβλεψεν εἰς αὐτήν. 21 Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων· τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων· 22 Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Τὴν αἰτίαν ἡμῖν τῆς κλήσεως τῶν ἐθνῶν παρατίθεται. αὕτη δέ ἐστιν, ἡ τοῦ σωτῆρος ἐπιφάνεια, ἣν ἐποίησε κλίνας οὐρανούς. τίνες δὲ οἱ πεπεδημένοι, ἢ οὓς σειραῖς ἁμαρτιῶν ἔσφιγξεν ὁ μισόκαλος δαίμων; υἱοὶ δὲ τῶν τεθανατωμένων εἶεν ἂν οἱ ἐξ ἐθνῶν, καθ' ὃ ἀπέθανον οἱ πατέρες αὐτῶν ταῖς ἰδίαις ἁμαρτίαις εἰδωλολατροῦντες ἔτι, σειραῖς τε τῶν οἰκείων ἁμαρτημάτων ἕκαστος σφιγγόμενοι· Ησ.με.ιδ. ὧν τὴν ἐπιστροφὴν μηνύων ὁ Ἡσαΐας πρὸς τὸν Θεὸν ἔλεγε· Καί σοι ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσεύξονται καὶ προσκυνήσουσί σοι. ἐκ Σιὼν Ησ.β.γ. γὰρ ἀρξάμενον τὸ εὐαγγέλιον, εἰς πᾶσαν τὴν γῆν διεδόθη. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν πολλῶν.

23 Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

24 Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· 25 Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου.

Ὁδὸν ἰσχύος αὐτοῦ τὴν ἐπὶ γῆς παρουσίαν φησίν. ἦλθε γὰρ ἵνα δήσῃ τὸν ἰσχυρόν. ηὔχετο γὰρ ἰδεῖν, εἰ φθάσει εἰς ἐκείνας τὰς ἡμέρας ἡ ζωὴ αὐτοῦ, καθ' ἃς ἔμελλεν ἐνανθρωπήσας ἐπὶ γῆς φαίνεσθαι ὁ μονογενής. τέως μὲν γὰρ ἐπὶ τοῦ παρόντος, ὅτι ταῦτα προφητεύω, καὶ μέλλοντα ἔσεσθαι προορῶ, ἔοικα ἐν μέρει ἡμέρας εἶναι Θεοῦ· λείπει δέ μοι ἡ αὐτοψία τῆς τῶν προφητευομένων ἐκβάσεως, ἧς εἰ τύχοιμι, τελείαν λήψομαι τὴν ἐμαυτοῦ ζωήν· εἰ δὲ ἀστοχήσω τῆς εὐχῆς, ἔοικα τοῖς ἐν ἡμίσει ἡμερῶν τὴν ζωὴν ἀτελῆ καὶ ἄωρον ἀποτιθεμένοις. καί μοι δοκεῖ διὰ τὰς τοιαύτας τῶν προφητῶν φωνὰς ὁ Ματθ.ιγ.ιζ. σωτὴρ ἡμῶν εἰρηκέναι, Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ὑμεῖς ἀκούετε, καὶ οὐκ ἤκουσαν.

Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Τὸν λόγον πάλιν πρὸς τὸν Κύριον ἔστρεψεν. αὐτοῦ γὰρ τὰ ἔτη, ἃ ἐν σαρκὶ πεποίηκεν, ἐν γενεᾷ γενεῶν, ὡς ἀπηρτισμένην καὶ ὁλόκληρον τὴν πολιτείαν ἔχοντα. ὅθεν καὶ ὁ Παῦλος τοὺς ἐν τελειότητι παραστῆσαι βουλόμενος, ἔλεγεν· Εφ.δ.ιγ. Ἵνα καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. 26 Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. 27 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις.

Δυνάτα

Δείκνυται τὸ, κατ' ἀρχὰς, κείμενον ἀναιροῦν δόξαν τῶν λεγόντων, πάντων τὴν γῆν στοιχεῖον εἶναι, ὡς πάντα ἐξ αὐτῆς γεγενῆσθαι, οὐδενὸς προτέρου αὐτῆς ὄντος. φαίνεται γὰρ οὐκ ἀρχὴ, ἀλλὰ κατά τινας προεπινοουμένας ἀρχὰς "θεμελίους αὐτῆς ὑπάρχειν. Εἴρηται καὶ τῷ Ἰὼβ ὑπ' αὐτοῦ τοῦ Κυρίου, ὡς θεμελιώσαντος τὴν γῆν· Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; θεμελιοῦντος δὲ τοῦ Κυρίου, δι' οὗ τὰ πάντα γεγένηται, τὴν γῆν. καὶ περὶ τοῦ πατρὸς λέγεται, Ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν. καὶ τὸ εἰρημένον δὲ περὶ Θεοῦ, Κρεμάζων τὴν γῆν ἐπ' οὐδενὸς, ἐμφαίνει τὴν ἐν τῷ μεσωτάτῳ τοῦ παντὸς χώραν αὐτὴν εἰληχέναι.

χ. θεμέλιος

Ἰὼβ λη. δ.

Παροιμ. γ. ιθ.

Ἰὼβ κϛ. ζ.

Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· 28 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Ἅπαντα μὲν γὰρ τὰ ὁρώμενα καταγηράσει, καὶ ἱματίου μιμήσεται παλαιότητα· σὺ δὲ αὐτὰ ἀλλάξεις καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν. τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Ῥωμ. η. κα.

Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Τὴν μὲν οὖν κτίσιν μεταρρυθμίζεις ὡς θέλεις, ὦ δέσποτα, σὺ δὲ ἄτρεπτον ἔχεις τὴν φύσιν καὶ ἀλλοιώσεως κρείττονα. Ταῦτα μέντοι ὁ θεῖος ἀπόστολος τῇ τοῦ υἱοῦ περιτέθεικεν ἰδιότητι ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ. ἀλλ' ὅμως ἐν τῷ υἱῷ θεωροῦμεν τὸν πατέρα. ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὡσαύτως ποιεῖ, καὶ τὸ ταυτὸν τῆς φύσεως ἐν ἑκατέρῳ γνωρίζεται. μίαν γὰρ ἴσμεν τῆς τριάδος ἐνέργειαν.

Ἑβρ. α. ι.

29 Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται. Ἀντὶ δὲ τοῦ κατευθυνθήσεται, ὁ Σύμμαχος, διαμενεῖ, τέθεικε. σημαίνει δὲ ὡς οἱ μετὰ τῆς δουλείας ἀπαλλαγέντες, τὴν Ἱερουσαλὴμ οἰκήσουσι· τὸ δὲ ἐξ αὐτῶν σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. υἱοὺς δὲ δούλων τοῦ Θεοῦ οὐ πάντως κατὰ σάρκα δεῖ λαβεῖν, ἀλλὰ κατὰ παίδευσιν καὶ μίμησιν ἀληθινῆς πολιτείας (ταύτῃ γὰρ καὶ υἱοὶ τῶν προφητῶν τινες ἐκαλοῦντο, "ὃ κατὰ προφητικὴν ἕξιν ἴσως" γεγενῆσθαι παρ' αὐτῶν) σπέρμα δὲ αὐτῶν τούτων οἱ πρὸς αὐτῶν ὠφελούμενοι ἐτύγχανον. περὶ δὲ τούτου τοῦ σπέρματος ὁ θεῖος ἀπόστολος ἔφη· Μέχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται. καὶ τῷ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει δὲ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστιν ὁ Χριστός. τοῦτο τὸ σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. ἑνωθὲν γὰρ τῷ Θεῷ λόγῳ ἀνώλεθρον ἔχει τὸ εἶναι, καὶ δωρεῖται ζωὴν τοῖς πιστεύουσι, κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν. λέγει γάρ· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ζήσεται εἰς τὸν αἰῶνα ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. τοῦ
δ. γεγενῆσθαι

Γαλ. γ. ιθ. ιϛ.

Ἰω. ϛ. νδ.

Ψαλμ. ρβ.

ΔΟκεῖ μὲν ὁ ψαλμὸς οὗτος ἀκόλουθος εἶναι τῷ προτεταγμένῳ καὶ κατ' αὐτὴν τὴν ὑπόθεσιν. ἐν ἐκείνῳ μὲν γὰρ οἱ τὰς ἐν Βαβυλῶνι συμφορὰς ὀλοφυρόμενοι τὸν Θεὸν ἱκέτευον τῆς ἐπανόδου τυχεῖν· ἐνταῦθα δὲ τετυχηκότες ὧν ᾔτησαν, ὑμνοῦσι τὸν εὐεργέτην. ἐγὼ δὲ οἶμαι πᾶσιν ἀνθρώποις ταύτην ἁρμόττειν τὴν ὑμνῳδίαν καὶ πικροτέρας ἀπαλλαγεῖσι δουλείας, καὶ μείζονος ἀξιωθεῖσιν ἐλευθερίας. δηλώσει δὲ καὶ τῶν ῥητῶν ἡ διάνοια, ὡς αὕτη μᾶλλον ἡ ὑπόθεσις ἐκείνης ἀληθεστέρα.

1 Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Μέση οὖσα ἡ ψυχή. τὸ μὲν σῶμα πρὸς ἡδονὰς κατασπᾷ, τὸ δὲ πνεῦμα πρὸς Θεὸν ἀνέλκει, προστάττον αὐτὸν εὐλογεῖν, τοῦτ' ἔστι θεολογεῖν καὶ δοξάζειν διαπαντός. τῶν δὲ τριῶν καὶ Παῦλος ἐμνήσθη λέγων· Ὁ δὲ Θεὸς καταρτίσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον τὸ σῶμα καὶ τὸ πνεῦμα καὶ ἡ ψυχὴ τηρηθείη. τοῦτο δὲ λέγεται τὸ πνεῦμα τὸ ἀνθρώπου τὸ ἐν αὐτῷ, περὶ οὗ πάλιν φησί· Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ. μέμνηται δὲ καὶ Μωϋσῆς σώματος μὲν ἐν τῷ, Ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον· ψυχῆς δὲ ἐν τῷ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· τοῦ δὲ πνεύματος, λέγων καὶ ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. πάσας δὲ τῆς ψυχῆς τὰς δυνάμεις παρακαλεῖ τὸ πνεῦμα τὸν Θεὸν εὐλογεῖν, οἷον τὴν νοεράν, τὴν λογικήν, τὴν θυμικήν, τὴν ἐπιθυμητικήν, τὴν δοξαστικήν, τὴν φανταστικήν, τὴν αἰσθητικήν, ἃς δὲ πάσας εἶπεν ἐντός· ὅπερ ἑρμηνεύων ὁ Παῦλός φησιν· Εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. καὶ τὰ ἐντὸς δὲ τοῦ σώματος, ὕμνον προξενεῖ τῷ Θεῷ· ἀλλὰ καὶ διὰ τῶν ὀργανικῶν τοῦ σώματος μερῶν τὰς ἐνεργητικὰς τῆς ψυχῆς δυνάμεις πρὸς ὕμνον κινεῖ. καὶ οἱ τὴν ψυχὴν δὲ λέγοντες εἶναι τοῦ πνεύματος, οὐχ ὡς ψυχοῦσαν αὐτὸ φασιν, ἀλλ' ὡς ὑπὸ τὴν αὐτοῦ κηδεμονίαν τυγχάνουσαν. τὴν λογικὴν δὲ δύναμιν ἐντὸς εἶναι λέγει, καθ' ἃ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἔλεξεν ὁ σωτήρ. καὶ αἱ ψυχικαὶ δὲ δυνάμεις ἠρεμοῦσαι μέν, ὧν δύνανται ποιῆσαι καλῶν, ἐντὸς εἶναι λέγονται· κινηθεῖσαι δὲ ταῖς ἐνεργείαις εἰς ἄτοπα, τῶν ἐντὸς ἐξιέναι· ἃ οὖν δὴ νῦν πρὸς ὕμνον ἀνακινεῖ τοῦ Θεοῦ. ἁρμόττει οὖν πᾶσι τὸ λέγειν, Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. οἱ γὰρ εὐγνωμόνως περὶ τὰς θείας χάριτας διακείμενοι, εἰς ὑμνῳδίαν ἑαυτοὺς διεγείρουσι, τὸν εὐεργέτην οἷς δυνατὸν ἀμειβόμενοι. δυνατὸν δὲ ὑμνεῖν ἀεί, καὶ τῶν εὐεργεσιῶν ἔναυλον περιφέρειν τὴν μνήμην. οὗτοι καὶ πάντα τὰ ἐντὸς καθιεροῦσι, καὶ πάντα λογισμὸν εἰς τὸν θεῖον ὕμνον ἀνακινοῦσιν. ἐντὸς γὰρ ἐκάλεσε τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις καὶ πάντα τῆς ψυχῆς τὰ κινήματα.

α. Θεσ. ε. κγ.
α. Κορ. β. ια.
α. Κορ. ιδ. ιε.
Γεν. β. ζ.
Γεν. α. κϛ.
α. Κορ. ι. λα.
Λουκ. ιζ. κα.

2 Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Πάλιν ἑαυτὴν ἡ ψυχὴ διεγείρειν διδάσκεται, καὶ τῆς λήθης ἐξελαύνειν τὸ νέφος, καὶ τῶν εὐεργεσιῶν ἀνανεοῦσθαι τὴν μνήμην. ὁ γὰρ τῶν θείων εὐεργεσιῶν μεμνημένος οὐ παύεται τοῦτον ὑμνῶν. τὰς μέντοι ἀνταποδόσεις, εὐεργεσίας ὁ Σύμμαχος εἴρηκεν. εἶτα ταύτας κατὰ μέρος διέξεισι. 3 Τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Ουτος γάρ σοι δεδώρηται τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, οὗτός σοι κεχάρισται τῶν παθημάτων τὴν ἴασιν. τούτων ὁ παρειμένος ἀπήλαυσεν. ἤκουσε γάρ, Αφέωνταί σοι αἱ ἁμαρτίαι σου· καί, Αρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. οὕτως ἡ ἁμαρτωλὸς γυνὴ τετύχηκε τῆς ἰάσεώς τε καὶ ἀφέσεως· οὕτως ὁ λῃστής, οὕτως οἱ τελῶναι, οὕτως ἅπαντες οἱ πιστεύσαντες.

Ματθ. θ. β.
Μαρκ. β. ια.
Λουκ. ζ. μζ.
Λουκ. κγ. μγ.

4 Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. Τοὺς μὲν ἀπαχθέντας ἐν Βαβυλῶνι δορυαλώτους δουλείας μὲν ἠλευθέρωσε, τῆς δὲ φθαρτῆς οὐκ ἀπήλλαξε βιοτῆς· ἡμῖν δὲ κεχάρισται τῆς ἀναστάσεως τὰς ἐλπίδας, καὶ τὸν ἀρραβῶνα τοῦ πνεύματος ἔδωκε, καὶ τὸν τῆς ἀφθαρσίας ἡμᾶς ἐνέδυσε χιτῶνα. Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Χάριτί ἐστε σεσωσμένοι, βοᾷ ὁ θεῖος ἀπόστολος, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον, ἵνα μή τις καυχήσηται. καὶ πάλιν, Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλ' ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν πᾶσαν αὐτοῦ μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόν-

Εφ. β. η.
α. Τιμ. α. ιε.

τὸν πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. χάριτος τοίνυν καὶ φιλανθρωπίας ὁ στέφανος. Οὕτω καὶ ὁ θεσπέσιος Ἡσαΐας ἐκ προσώπου τῆς νύμφης βοᾷ· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. ὡς νυμφίῳ περιέθηκέ με μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. καὶ μετ' ὀλίγα, Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. Ταῦτα δὲ ἀπόλυτα ἔδνα τοῦ νυμφίου καὶ δῶρα. πίστιν γὰρ ἡ νύμφη προσενήνοχε μόνην.

Ησ. ξα. ι.

Ησ. ξβ. γ.

5 Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου.

Ἐπειδὴ ἔστιν ἐπιθυμία φαύλη, ἣν καὶ ὁ θεῖος νόμος ἀπαγορεύει, καλῶς τὸ, ἐν ἀγαθοῖς προστέθεικε. τὰς γὰρ ἀγαθὰς ἡμῶν ἐπιθυμίας ὁ δεσπότης πληροῖ. Αἰτεῖτε γάρ, φησι, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται. Αἰτεῖτε δὲ τὴν βασιλείαν αὐτοῦ, καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ ταῦτα πάντα ἐκ περιουσίας προστεθήσεται ὑμῖν.

Ματθ. ζ. ζ.

Ματθ. ς. λγ.

Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ταύτην δὲ πάλιν τὴν εὐεργεσίαν ἡμῖν ὁ δεσπότης διὰ τοῦ παναγίου βαπτίσματος ἐδωρήσατο, καὶ τῆς ἁμαρτίας ἀποξύσας τὸ γῆρας, νέους αὐτῇ γεγηρακότας εἰργάσατο. Συνῳδὰ τούτοις διὰ Ἡσαΐου τοῦ προφήτου φησὶν ὁ Θεός· Οἱ δὲ ὑπομένοντες μεταλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί. ἐπειδὴ γὰρ τοὺς θείους καὶ βασιλικοὺς δημιουργηθέντες ἐδεξάμεθα χαρακτῆρας, εἶτα τούτους ἠμαυρώσαμέν τε καὶ διεφθείραμεν τοῖς παντοδαποῖς τῆς ἁμαρτίας ἐπιτηδεύμασιν, ὑπισχνεῖται ἡμῖν ὁ προφητικὸς λόγος τὴν τῆς βασιλείας ἀνάκλησιν. βασιλικὸς γὰρ ἐστὶν ὁ ὄρνις, καὶ τῶν πτηνῶν τὴν βασιλείαν περιεστεμμένος. διδάσκει δὲ ἡμᾶς καὶ τῆς θείας φιλοτιμίας τὸν τρόπον, ὥστε ἀνακαινίζεσθαι αὐτὴν τὸν παλαιὸν ἀποτιθεμένην ἄνθρωπον, τὸν δὲ νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν τοῦ κτίσαντος ἀναλαμβάνουσαν. οὕτω δέ φησιν· ἡ νεότης σου ἀνακαινισθήσεται, ὡς ἀεὶ παραμένειν ἐν τῷ νεάζειν ἐν τῇ ἀφθάρτῳ ζωῇ. ἐπειδὴ ὁ ἀετὸς πάντων ὀρνέων ἐστὶ τὸ βασιλικώτατον, καὶ ὑψιπετέστατον, μόνον δὲ ζῶον ἡλίου φωτὸς μαρμαρυγαῖς ἀντωπεῖν δυνατόν, καὶ ἀτενὲς ἀφορᾷν αὐτῷ, εἰκότως τὴν ἀνανέωσιν τῆς ψυχῆς, καὶ τὴν ἀπὸ γῆς εἰς οὐρανὸν πτῆσιν, τόν τε βίον αὐτῆς τὸν ἐν ἄκρῳ φωτὶ γενησόμενον, ἀετοῦ φύσει παρέβαλε.

Ησ. μ. λα.

6 Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

Οὐ γὰρ διὰ τὰς δικαιοσύνας ἃς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως πνεύματος ἁγίου. καὶ θεασάμενος ἡμᾶς ἠδικημένους ὑπὸ τοῦ τῆς ἀδικίας διαβόλου, τοῦ ἐχθροῦ τῆς ἀληθείας, ἡμῖν μὲν ἠνέῳξε τὰς τοῦ ἐλέους πηγάς· κατ' ἐκείνου δὲ τὴν δικαίαν ἐξενήνοχε ψῆφον. ὡς γὰρ πατὴρ οἰκτίρμων καὶ μόνος ὢν ἀγαθός, τῶν καταδυναστευομένων ὑπὸ τοῦ Σατανᾶ λυτρούμενος τὰς ψυχὰς ἐξ ἀδικίας καὶ τόκου, τὸ καθ' ἡμῶν ἄρας χειρόγραφον καὶ τῷ σταυρῷ προσηλώσας, ἀπέδειξεν ἐλευθέρους. τοῦτο γὰρ κατέχων ὁ διάβολος, ὑποχρέους εἶχεν ἡμᾶς, δι' ὧν ἐπράττομεν, τοῦτο ποιήσαντας ἡμᾶς. τοῦτο τὸ κρίμα πεποίηκεν ὁ Θεὸς ἀδικουμένοις ἡμῖν, διὰ τοῦ αἵματος τοῦ υἱοῦ αὐτοῦ καθαρίσας ἡμᾶς ἀφ' ὧν τε ἠδικοῦμεν, καὶ ἠδικούμεθα παρὰ τοῦ διαβόλου. διόπερ ἡμᾶς καὶ ὁ Παῦλος ἐδίδαξεν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν. τοῖς μὲν γὰρ ἀδικουμένοις ὁ Θεὸς ποιεῖ κρίμα δι' εὐεργεσίας· τοῖς δὲ ἀδικοῦσι, διὰ κολάσεως, ὡς ἐκπίπτειν αὐτοὺς τῆς ἐπαγγελίας. Ἄδικοι γάρ, φησι, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Τιτ. γ. ε.

α. Κορ. ς. ζ.

α. Κορ. ς. θ.

7 Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οὐκ ἐκ μεταμελείας δὲ ταῦτα ἡμῖν ἐπραγματεύσατο τὴν σωτηρίαν, ἀλλ' ἄνωθεν ταῦτα διὰ τῶν προφητῶν προεθέσπισε, καὶ διὰ τοῦ θεσπεσίου Μωϋσέως τὴν ἡμετέραν ἐσκιαγράφησε σωτηρίαν. καὶ τοῦ πνευματικοῦ βαπτίσματος ἡ θάλασσα τύπον ἐδέξατο, ἡ πέτρα δὲ τῶν ἀθανάτων κρουνῶν ἀπεφάνθη σκιά, τῆς ἐπουρανίου δὲ τροφῆς εἰκὼν τὸ μάννα, καὶ τὰ ἄλλα δέ, ἵνα μὴ καθ᾽ ἕκαστον διεξέρχωμαι, οὕτως ἐστὶν εὑρεῖν παρ᾽ ἐκείνοις ἐσκιαγραφημένα. ὁδοὺς τοίνυν καὶ θελήματα, τὰς ἀρετὰς ἀμφότερα σημαίνουσι, κατὰ τό, Κύριε, γνώρισόν μοι τὰς ὁδούς σου· καὶ τὸ παρὰ Παύλου πρὸς Ἐλύμαν· Οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; τοιοῦτον καὶ τό, Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. λέγει τοίνυν, ὅτι τὰς μεταβάσεις τὰς ἀπὸ τῶν τυπικῶν τοῦ νόμου καὶ τῆς σκιᾶς ἐπὶ τὰ μέλλοντα ἀγαθά, ἅπερ ἐστὶ πνευματικὰ καὶ πρωτότυπα, τὸν Μωϋσέα, διδοὺς αὐτῷ τὸν νόμον, ἐδίδαξεν, οἷον τίς ἡ περιτομή, τίνα τὰ Σάββατα, τίνες αἱ θυσίαι, ταῦτα διδάξας καὶ τὸν ὅστις ἐστὶν υἱὸς Ἰσραήλ, περὶ οὗ λέλεκται, Ἰσραὴλ ὁ ἐκλεκτός μου. ταῦτα γὰρ γνωρίζει τοῖς διορατικοῖς ὁ Θεός, τὸν ἐν κρυπτῷ Ἰουδαῖον, καρδίας περιτομήν, θυσίαν αἰνέσεως καὶ δικαιοσύνης.

Ψαλμ. κδ. δ.

Πραξ. ιγ. ι.

Πραξ. ιγ. κβ.

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Ταῦτα γὰρ καὶ τῆς τοσαύτης εὐεργεσίας καὶ πάλαι γέγονε καὶ νῦν αἴτια, φύσει ὄντος καὶ Μωϋσέως· Κύριος μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, ποιῶν ἔλεος εἰς χιλιάδας. ταύτας οὖν αὐτοῦ τὰς δυνάμεις ἐγνώρισε τῷ Μωϋσεῖ λεγομένας ὁδούς, καὶ τὰς ἀρετὰς κατὰ τὰ πάντα διέπει τῆς θείας ἀγαθότητος ἄβυσσος, ὁ ἀμέτρητος ἔλεος, τῆς φιλανθρωπίας τὸ πέλαγος.

Ἐξοδ. λδ. ϛ. ζ.

9 Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐκοῦν οὔτε διὰ παντὸς τῷ θυμῷ (τοῦτο γάρ ἐστι τό, εἰς τέλος) χρήσεται, οὔτε τὸν ἔλεον διηνεκῶς τοῖς ἀναξίοις χαρίζεται. ἐπεὶ πῶς, ὅτι Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, πῶς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ; κιρνᾷ τοίνυν τῷ ἐλέῳ τὴν ὀργήν, ὅτε μὲν ἐλέους καιρός, αὐτὸν προβαλλόμενος, ὅτε δὲ ὀργῆς, ἐπιφέρων αὐτὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας, ἐν ᾗ, φησὶν ὁ Παῦλος, Ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. διόπερ φησίν, οὐκ εἰς τὸν αἰῶνα μηνιεῖ, τὸν παρόντα λέγων αἰῶνα· τῷ μέλλοντι γὰρ τὴν κρίσιν καὶ τὴν ὀργὴν ἐφύλαξεν.

Ῥωμ. β. ε. ϛ.

10 Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν· οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Οὐκ ἠνέσχετο γὰρ ταῖς ἡμετέραις ἁμαρτίαις μετρῆσαι τὴν τιμωρίαν, οὐδὲ ἐπὶ πλεῖστον καθ᾽ ἡμῶν ἐκτεῖναι τὴν ἀγανάκτησιν. ἀληθινὸς γὰρ ὢν ὁ Θεός, ταύτας οὐ καθ᾽ ἕξιν ἔχει τὰς ἀρετάς, πηγὴ δὲ ὢν αὐτῶν καὶ οὐσία. ὅθεν οὐκ ἐπὶ τῷ συντελέσαι κολάζει, τῇ ὀργῇ μέχρι φθορᾶς ἐπιμένων. αὐτὸς γὰρ ὁ λέγων· ὅταν ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. ἐλαττοῖ δὲ καὶ τὰς τιμωρίας, μὴ πρὸς ἀξίαν κολάζων.

11 Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. 12 Καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. Εἰ καὶ τούτων εὗρε μακρότερα διαστήματα, πάντως ἂν καὶ ταῦτα εἰς μέσον παρήγαγε, δεῖξαι τὸ ἄπειρον τῆς θείας βουλόμενος ἀγαθότητος· ἀλλ᾽ οὐχ εὗρεν ὁ ἀνθρώπινος λογισμὸς οὔτε οὐρανοῦ ὑψηλότερον μέτρον, οὔτε τοῦ μέσου τῆς ἑσπέρας καὶ τῆς ἑῴας μακρότερον. ἐν σκότῳ δέ εἰσι καὶ δυσμαῖς οἱ ἐν ἁμαρτίαις τυγχάνοντες ἄνθρωποι· ἀπαλλαγέντες δὲ τῶν πλημμελημάτων, ἐν φωτὶ δῆλον ὅτι μετατεθέντες γίνονται). ὥστε εἰκότως τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγήν, μετάβασιν τὴν ἀπὸ δυσμῶν εἰς ἀνατολὰς κέκληκεν, ὁμοῦ δὲ καὶ ἡμᾶς διδάξαι, τί μέσον ἁμαρτίας καὶ δικαιοσύνης, βουλόμενος.

13 Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

Πατρὸς ἀγαθότητα δείκνυσιν ὁ δημιουργός τε καὶ ποιητής, μᾶλλον δὲ τοὺς φοβουμένους αὐτὸν οἰκτείρων εἰς υἱῶν ἔθετο τάξιν. οὐδὲ γὰρ μισῶν κατεσκεύασεν, ἀλλ' ἐπιστάμενος τὰς καρδίας τῶν ἀνθρώπων, ἃς κατὰ μόνας ἔπλασεν, οἶδε τί ἑκάστῳ συμφέρει· καὶ ὧν ἐχρῄζομεν δύναμίν τε καὶ ἀφορμὴν, ταῦτα δίδωσιν, ἐπὶ τῷ κατ' ἐνέργειαν ἔχοντας αὐτὰ υἱοὺς αὐτοῦ γενέσθαι. λέγει δ' ὅτι καὶ ὡς πατὴρ ἔλαβε τοῦ πλάσματος ἡμῶν γινόμενος σὰρξ, καὶ φυσικὴν ἔσχε διάθεσιν, υἱοὺς ἡμᾶς λογισάμενος.

Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· 14 Ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Οἶδε γὰρ ὁ δημιουργὸς τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν· οἶδε καὶ πόθεν διεπλάσθημεν, καὶ ποῦ πάλιν χωρήσομεν. ὡς ἐν ἱκετείᾳ δὲ, τῶν ἐν ἡμῖν τὸ χεῖρον προτείνουσιν. οὐ γὰρ τὸ πᾶν ἐσμεν χοῦς, ἀλλὰ καὶ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν. ὁ χοῦς οὖν ἐλεεινῶς δηλοῖ τὴν ἀσθένειαν. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. 15 Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Οὐδὲν χόρτου καὶ ἄνθους διενηνόχαμεν, ὃ ἐν ἔαρι μὲν τέθηλε, μετὰ δὲ βραχὺ μαραίνεταί τε καὶ διαρρεῖ. περὶ γὰρ τοῦ ἔξω πάλιν ὁ λόγος ἀνθρώπου. κατὰ γὰρ τὴν ἔνυλον ζωὴν, καθ' ἣν ἐσμὲν χοῦς, ἐφ' ἡμέρας τινὰς τὸν παρόντα παρεκτείνοντες χρόνον, παραβαλλόμεθα χόρτῳ ξηραινομένῳ. καὶ κατὰ τὸν Ἡσαΐαν γὰρ, Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. ἀνέτειλεν ὁ ἥλιος, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· δι' ὧν τὰς δοκούσας ἀνθρώπων εὐημερίας παρίστησι, πλοῦτον, δόξαν, ἀξίας, ἃ δὴ χόρτου δίκην μαραίνεται. ὁ δὲ Σύμμαχος ἐξέδωκεν, ὅτι πνεῦμα διέρχεται αὐτὸν, εἶτα οὐχ ὑπάρχει. πνεῦμα δὲ τὴν ψυχὴν λέγει, ἧς παρούσης καὶ ζῇ τὸ σῶμα καὶ ἐνεργεῖ· ἀποπτάσης δὲ κατασβέννυταί τε καὶ φθείρεται, ὡς μηδὲ τοὺς προτέρους ἐπιγνώσκεσθαι χαρακτῆρας, μηδὲ εἰδέναι, ὡς τοῦτο τοῦ δεῖνος, ἐκεῖνο δὲ τοῦ δεῖνος τὸ σῶμα. καὶ τοῦτο ἴδοι τις ἂν ἀκριβέστερον, διασκάψας εἰς τάφον. πάντα γὰρ ὁμοίως φθορᾶς γέγονε παρανάλωμα, καὶ τοὺς προτέρους χαρακτῆρας οὐ διασώζει. Ησ. μ. ζ.

16 Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν· 17 Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, 18 Καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

Ἡ μὲν οὖν φύσις οὕτως ἐπίκηρος· ἡ δὲ θεία φιλανθρωπία τὸν μακραίωνα χαρίζεται βίον, καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τῆς δικαιοσύνης ἀντίδοσιν. τοιγαροῦν διὰ τοὺς πατριάρχας τὸν ἐξ αὐτῶν φύντα μετὰ ταῦτα λαὸν τῆς κλήσεως καὶ τῆς οἰκείας ἐπισκοπῆς κατηξίωσεν. ὅπερ διὰ Μωϋσέως ἐδήλωσε, λέγων· Μὴ εἴπῃς, διὰ τὰς δικαιοσύνας μου ἐξελέξατό με Κύριος (σὺ γὰρ λαὸς σκληροτράχηλος) ἀλλὰ διὰ τὸ ἀγαπᾶν τοὺς πατέρας σου. νοήσεις δὲ καὶ ἄλλως υἱοὺς τῶν δικαίων ἀνδρῶν, τοὺς τῶν ἔργων αὐτῶν ζηλωτάς. παρατείνει δὲ διὰ παντὸς τὸ ἔλεος αὐτοῦ. ἀεὶ γὰρ ὡς φύσει ὢν ἀγαθὸς ἐλεεῖ, τὴν σύζυγον ἔχων τῷ ἐλέῳ τούτῳ δικαιοσύνην ἐπὶ τοὺς φυλάσσοντας τὴν διαθήκην αὐτοῦ, ἣν καὶ ἐνεγράφησαν δι' ἀρετῆς κληρονόμοι τῶν μελλουσῶν ἐπαγγελιῶν. οὐ γὰρ ἁπλῶς μέμνηνται τῶν ἐντολῶν, ἀλλὰ πράττουσιν, ἐφ' ᾧ καὶ δέδονται· καὶ τοῦ σωτῆρος εἰπόντος, Ὁ ἔχων τὰς ἐντολάς μου καὶ ποιῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. κληρονομεῖ δὲ τὰς ἐπαγγελίας οὐχ ὁ μεμνημένος, ἀλλ' ὁ ποιήσας τὰς ἐντολάς. οὕτω τὸν Ἰοὺ μέχρι τετάρτης γενεᾶς τὴν βασιλείαν τετήρηκε, καίτοι μηδὲ τελείαν εὐσέβειαν κτησαμένου, ἀλλ' ἐν τῇ ἀρχῇ τῆς βασιλείας ἐπιδειξαμένου τὸν ζῆλον. οὕτω τῷ θεσπεσίῳ Δαβὶδ ἄσβεστον διετήρησε τὸν τοῦ γένους σπινθῆρα, καὶ ταῦτα πολλῶν δυσσεβῶν ἐν μέσῳ βεβασιλευκότων. τοῦτον δὲ, φησιν, ὀρέξει τὸν ἔλεον τοῖς φυλάσσουσι τὴν Δευτ. θ. δ. ε. Ιω. ιδ. κα.

διαθήκην αὐτοῦ, καὶ οὐχ ἁπλῶς μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, ἀλλ' ἐπιτιθεῖσι τοῖς λόγοις τὰ ἔργα, καὶ κατὰ ταύτας τὸν οἰκεῖον ῥυθμίζουσι βίον.

19 Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Δεσπόζει πάντων, ἀλλ' οὐ βασιλεύει εἴρηται, ἐπεὶ μὴ πάντες ἄξιοι τῆς αὐτοῦ βασιλείας. διὸ τοῖς τὸν εὐαγγελικὸν κατορθοῦσι βίον τὴν τῶν οὐρανῶν βασιλείαν ὁ σωτὴρ ἐπηγγείλατο· κρατεῖ δὲ καὶ τῶν ἀναξίων, ὡς κύριος. ἔοικε δὲ τοῦτο τοῖς ἐν ἑτέρῳ Ψαλμ. ρκβ. α. εἰρημένοις ψαλμῷ· Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. καὶ γὰρ ἐνταῦθα ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος, ὡς ἐν οὐρανῷ μὲν ἔχει τὸν θρόνον τῶν ὅλων ὁ Κύριος, ἐφορᾷ δὲ καὶ πρυτανεύει τὴν κτίσιν, ἅτε δὴ πάντων ὢν δημιουργὸς καὶ βασιλεὺς καὶ δεσπότης.

20 Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εἰκότως τὰς ἀοράτους δυνάμεις εἰς κοινωνίαν τῆς ὑμνῳδίας ἐκάλεσεν. οὐκ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία φύσις ἀξίως ὑμνῆσαι τὸν εὐεργέτην· αἱ δὲ ἀσώματοι καὶ ἅγιαι φύσεις ἐλευθέραν ἔχουσαι παθημάτων ζωήν, ἰσχύουσι πληροῦν τὰ θεῖα προστάγματα. λέγει δέ τινα καὶ ἑτέραν ἔννοιαν ὁ προφήτης. τὰ μὲν κατὰ σέ, φησίν, ὦ ψυχή, ἐξασθενεῖ πρὸς τὸ κατ' ἀξίαν ὑμνεῖν τὸν Θεόν· ἐκ μέρους δὲ τοῦτο ὅμως ποιεῖται. ἴσθι δὲ ὅτι οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ὄντες, καὶ ἀδιαπτώτως τὸν λόγον αὐτοῦ ποιοῦντες, ἄξιοί τε ὄντες ἀκούειν αὐτοῦ τῆς φωνῆς καὶ τῶν αὐτοῦ λόγων, πρεπόντως καὶ κατ' ἀξίαν εὐλογοῦσιν αὐτόν. εἰ δὲ καὶ ἐν ἀνθρώποις εἶεν τινὲς ἰσάγγελον βίον μετερχόμενοι (κατὰ τὸν φή- Φιλιπ. δ. ιγ. σαντα, Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ) καὶ οὗτοι εὐλογείτωσαν αὐτόν· μηδεὶς δὲ τῶν παραβαινόντων τὸν λόγον αὐτοῦ, καὶ παρακουόντων τῆς φωνῆς αὐτοῦ, προπετέστερον τολμάτω τοῦτο ποιεῖν.

21 Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ. Ἀγγέλους εἰπών, ἵνα μὴ κατὰ μέρος τὰ ἐν οὐρανῷ τάγματα κατα- Εφεσ. α. κα. λέγῃ, ὧν ἐμνημόνευσεν ἐκ μέρους ὁ Παῦλος, Ὑπεράνω πάσης, εἰπών, ἀρχῆς καὶ ἐξου- Κολ. α. ις. σίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου· καὶ πάλιν, Εἴτε ἀόρατα, εἴτε ὁρατά, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, ἐν λόγῳ πάντα περιλαβών, δυνάμεις ἐκάλεσε. ποιοῦντας δὲ τὸ θέλημα αὐτοῦ λειτουρ- Εφεσ. ϛ. ιϐ. γοὺς εἰπών, ἀντιδιέστειλε ταῖς ὁμωνύμοις ἐναντίαις δυνάμεσιν. οὐ γὰρ καὶ ταύτας καλεῖ πρὸς τὸν ὕμνον, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου καὶ τὰ πνευματικὰ τῆς πονηρίας. πάντα δὲ τὰ οὐράνια τάγματα, ἀγγέλους καὶ δυνάμεις ἐκάλεσε, τὸ μέν, ὡς τοῖς θείοις ὑπουργοῦντας προστάγμασι καὶ τοὺς θείους λόγους διαπορθμεύοντας· δυνάμεις δέ, ὡς ἰσχύουσι τὸ κελευόμενον πράττειν, καὶ τὸ δυνατὸν ἐν τῇ φύσει παρὰ τοῦ πεποιηκότος λαβόντας.

22 Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Διὰ τούτων πείθει τὴν ψυχὴν μὴ ἀποκνεῖν πρὸς τὸν ὕμνον ὡς πολὺ λειπομένην τῶν οὐρανίων. οὐ γὰρ αὐτὰ μόνα, πάντα δὲ προστέτακται τὰ ἔργα Κυρίου κοινῶς τὸν Κύριον εὐλογεῖν πρὸς δύναμιν ἕκαστον. πρὸς γὰρ τὸν ὕμνον πᾶς τόπος, ἀλλ' οὐ μόνος οὐρανὸς ἐπιτήδειος. διὰ πράξεων γὰρ ἀγαθῶν ἡ τοῦ εὐλογεῖν ἐστιν ἀξία. καὶ πᾶν δὲ ἄψυχον καὶ ἄλογον, κἂν δοκῇ βλαπτικόν, ὡς δι' ἀρρήτου σοφίας λυσιτελὲς τῷ παντί, πρὸς δοξολογίαν συντείνει Θεοῦ, ὡς ἕκαστον κατ' ἀξίαν τοῦ ἐν ᾧ ἐστι τόπου τὸν Θεὸν εὐλογεῖν. ὃ δὴ ποίει, φησίν, ὦ ψυχή, ἐν ᾧ τυγχάνεις διατρίβουσα τόπῳ, κἄν τε ἐν τῇ γῇ, κἄν τε κρείττονι χωρίῳ. κακεῖ γὰρ εὐλογεῖ σὺν ἀγγέλων χοροῖς ὑ-

τῶν ἐπουρανίων ἀγαθῶν καὶ πλείων. τοῖς δὲ Ἰουδαίοις οὐδὲ τοῦτο ἐφαρμόττει. ἐκεῖνοι γὰρ ὑπὸ τῶν ἀνδραποδισάντων ᾆσαι παρακληθέντες ἐκ τῶν ᾠδῶν Σιών, ἔφασαν ἐνομαδρεῦντες, Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ἡμῖν δὲ ὁ θεῖος ἀπόστολος παρεγγυᾷ ἐν παντὶ τόπῳ προσευχομένους αἴρειν ὁσίους χεῖρας. τοῦτο καὶ ὁ δεσπότης Χριστὸς πρὸς τὴν Σαμαρεῖτιν ἔφη· Ἀμήν, ἀμήν, λέγω σοι, γύναι, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ τόπῳ τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί. πνεῦμα γὰρ ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. τὸ δέ, Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, σύμφωνον ὑπάρχει τῷ προοιμίῳ τὸ τέλος. καλέσας γὰρ εἰς κοινωνίαν τῆς ὑμνῳδίας τὰς νοητὰς οὐσίας, διδάσκει καὶ ἡμᾶς, ὡς δυνατόν, γεραίρειν τὸν ποιητήν, καὶ ἰσόμετρον τῇ δυνάμει προσφέρειν τὸν χαριστήριον ὕμνον· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλ. ρλϛ. δ.
α. Τιμ. β. η.
Ἰω. δ. κα. κδ.

Ψαλμ. ργ.

Ἡ τοῦ παναγίου πνεύματος χάρις οὐ μόνον ἠθικὴν καὶ δογματικὴν διδασκαλίαν τοῖς ἀνθρώποις προσφέρει, ἀλλὰ καὶ ὅπως ὑμνεῖν χρὴ τὸν ποιητήν, ἀκριβῶς ἐκπαιδεύει. διά τοι τοῦτο τόνδε τὸν συνεγράψατο τὸν ψαλμόν, τῷ μακαρίῳ Δαβὶδ ὑπουργῷ χρησαμένη, ὡς ἂν μάθοιεν ἅπαντες ποίοις ὕμνοις χρὴ τὸν εὐεργέτην ἀμείβεσθαι. τὰς μέντοι κοινὰς εὐεργεσίας ἐνταῦθα διέξεισι, καὶ δείκνυσι ποιητὴν ἁπάντων ὁμοῦ καὶ πρύτανιν τὸν τῶν ὅλων Θεόν.

1 Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ὁ μὲν Θεὸς ἄνθρωπον εὐλογεῖ, ἐν ἀσφαλείᾳ καθιστῶν καὶ λαμπρότερον ποιῶν, καθάπερ τὸν Ἀβραάμ· ὁ δὲ ἄνθρωπος οὐχ οὕτως, ἀλλ᾽ αὐτὸν τότε λαμπρότερον ποιῶν. ἄν τε γὰρ ὁ Θεὸς εὐλογῇ, ἄν τε ἄνθρωπος τὸν Θεόν, ἑκατέρωθεν τὸ κέρδος εἰς τὸν ἄνθρωπον διαβαίνει. τὸ γὰρ θεῖον ἀπροσδεές. ὑμνεῖν τε διδάσκει τὸν εὐεργέτην Θεόν, ἕκαστον τὸν τῆς εὐσεβείας τρόφιμον.

Κύριος ὁ Θεός μου, ὡς ἐμεγαλύνθης σφόδρα. Ἐπιτάσεως καὶ ἐνταῦθα τὸ ὡς· τὸ δὲ ἐμεγαλύνθης σφόδρα, οὐκ αὐξήσεως δηλωτικόν, ἀλλὰ τοῦ ἀμετρήτου μεγέθους σημαντικόν. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· Κύριε ὁ Θεός μου, μέγας εἶ σφόδρα. οὐ γὰρ σμικρὸς ὢν ἐμεγαλύνθης· ἀλλὰ φύσει μέγας ὤν, τοῦτο τοῖς εὐσεβέσιν ἐδείχθης. πῶς δὲ γίνεται μέγας, ὁ ἀεὶ ὢν μέγας, καὶ μὴ δεόμενος προσθήκης, ἀλλ᾽ ἀεὶ τέλειος ὤν; πῶς μεγαλύνεται; ὅταν οἱ ἀνακείμενοι αὐτῷ βίον ἄριστον ἐπιδείξωνται, ὅταν καὶ διὰ ῥημάτων καὶ δι᾽ ἔργων αὐτὸν ἀνυμνῶσι, μεγαλύνεται τότε, οὐκ αὐτός τι προσλαμβάνων εἰς μέγεθος, ἀλλὰ τοῖς ἀγνοοῦσιν αὐτὸν διὰ τῶν θεραπευόντων μέγας δεικνύμενος διὰ μεγαλουργίας κτισμάτων ποικιλίας τε καὶ προνοίας. χαίρουσα δὲ ἡ ψυχὴ τῷ τοσούτῳ φησί· Κύριε ὁ Θεός μου. σεμνυνομένης γὰρ ἡ φωνή. ἵνα δὲ τρόπον ἐμεγαλύνθη, ἐπάγει.

2 Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω.

Ὁ δὲ Σύμμαχος οὕτως, Ὕμνον καὶ εὐδοξίαν ἠμφιάσω. Οὐκ ἔτι γάρ σε ἀγνοοῦσιν οἱ τῶν σῶν ἀπολαύοντες ἀγαθῶν, οὐδὲ τοῖς εἰδώλοις τὸ σὸν σέβας προσφέρουσιν, ἀλλά σε ὑμνοῦσι, καί σοι τὸ τῆς δοξολογίας ἐκτίνουσι χρέος. εἰ γὰρ καὶ ἱκανὴ εἰς δήλωσιν τοῦ μεγέθους τοῦ Θεοῦ ἡ τῶν ἀγγέλων δημιουργία, ἡ τῶν οὐρανῶν ἔκτασις, ἡ τῆς γῆς θεμελίωσις, καὶ ἄλλα ὅσα τούτοις ὁ ψαλμῳδὸς ἐπήγαγεν, ἀλλὰ τούτων ἱκανώτερον τὸ γενέσθαι τὸν σωτῆρα ἄνθρωπον, καὶ μεῖναι Θεόν, παθεῖν τε τὰ ἡμέτερα, καὶ φυλάξαι τὴν οἰκείαν ἀπάθειαν. διόπερ δεύτερα ταῦτα τῇ τάξει ὄντα, πρότερα τῶν ἄλλων ὅμως ἔταξεν, ὡς τῇ δυνάμει τυγχάνοντι περιττοτέρᾳ. ἐξομολόγησιν τὴν ἀφ' ἡμῶν σάρκα φησίν, ἐπειδὴ δι' αὐτῆς τῷ Θεῷ τὴν ὑπὲρ ἡμῶν προσήγαγεν ἐξομολόγησιν, ὥστε βοᾶν τῷ πατρί· Ματθ. ια. κε. Ἐξομολογοῦμαί σοι Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ὅσα τοιαῦτα· μεγαλοπρέπειαν δέ, ἐπειδήπερ μεγάλως καὶ λίαν ὑπερβαλλόντως ἔπρεπε διασῶσαι τὸ ἡμέτερον φύραμα. ἀλλὰ γὰρ καὶ ἐνδύσασθαι ταύτην αὐτὸν τὴν ἐξομολόγησιν καὶ τὴν μεγαλοπρέπειάν φησιν, οὐχ ὡς πάλιν ἀποδύεσθαι μέλλοντα, ἀλλ' ὥστε δειχθῆναι, ὅτι σαρκωθεὶς οὐ μετεβλήθη εἰς ἄνθρωπον, ἀλλὰ καὶ Θεὸς μένει καὶ ἄνθρωπος γέγονε. Ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον.

Περιβάλλεται φῶς ὡς ἱμάτιον, ὡς γνώσεως πανταχόθεν πεπληρωμένος, ὡς ἀκατάληπτον ἔχων οὐσίαν. α. Τιμ. ϛ. ιϛ. καὶ τὴν ἀκραιφνεστάτην δὲ τοῦ Θεοῦ γνῶσιν σημαίνει τὸ φῶς. οἰκεῖ γὰρ φῶς κατὰ Παῦλον ἀπρόσιτον. τὸ γὰρ οἰκεῖν, τὸ ὅλον εἶναι γνῶσιν σημαίνει, δυσπερινόητον ὑπάρχοντα τοῖς νοητοῖς. ἀπρόσιτον γὰρ εἶπε τὸ φῶς. συνῳδὰ γὰρ τούτοις καὶ ὁ ἀπόστολος λέγει· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. τοιοῦτον γάρ ἐστιν ἐκεῖνο τὸ φῶς, ὡς μηδένα πελάζειν τολμᾶν· ἀποστρέφει γὰρ τὰς ὄψεις ἡ τῆς αἴγλης ὑπερβολή. εἰ γὰρ ὁ αἰσθητὸς τοῦτο ποιῶν ἥλιος ἀναγκάζει τοὺς ἀπλήστως καθορᾶν πειρωμένους, τίς ἱκανὸς τοῦ ἀπροσίτου φωτὸς ἐν περινοίᾳ γενέσθαι; ἔπι μὲν οὖν καὶ αὐτὸς φῶς ἀληθινόν, ἀναβάλλεται δὲ καὶ φῶς ὡς ἱμάτιον, καὶ φῶς οἰκεῖ ἀπρόσιτον, καὶ νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. καὶ οὐκ ἐναντία ταῦτα ἀλλήλοις. τὸ γὰρ ἀπρόσιτον φῶς, τοῖς ὁρᾶν οὐ δυναμένοις τῷ γνόφῳ καὶ τῷ σκότει ταυτόν ἐστιν. οὔτε γὰρ τὰ ἐν τούτῳ, οὔτε τὰ ἐν ἐκείνῳ δυνατὸν κατιδεῖν. καὶ τοῦτο μέντοι κἀκεῖνο τῆς θείας φύσεως δηλοῖ τὸ ἀόρατον. οὐ μὴν ἀλλὰ καὶ Ἰωάννης ὁ θεολόγος περὶ τῆς αὐτῆς οἰκονομίας Ιω. α. ε. διηγούμενος, φῶς αὐτὴν ἐκάλεσε λέγων· Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε. ταύτην ὡς ἱμάτιον ἐνδύεται μέν, ὅτε ὁλοκλήρως τοῖς ὑστερήμασι τῆς σαρκὸς σκέπει τε καὶ κρύπτει τὴν δύναμιν τῆς θεότητος, οἷον πεινῶν, διψῶν, κοπιῶν, καὶ τὰ τούτων ὑπομένων παραπλήσια. ἀναβάλλεται δὲ φῶς, ἡνίκα ἑαυτοῦ φανεροῖ τὴν θεότητα, ἐπιτιμῶν τῇ θαλάσσῃ, σαλεύων τὴν γῆν, σκοτίζων τὸν ἥλιον. οὐκ ἔτι γὰρ συγχωρεῖ τὴν θεότητα ὑπὸ τῆς ἀνθρωπότητος κρύπτεσθαι.

3 Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Τὴν τῆς δημιουργίας εὐκολίαν διὰ τούτων ἐδίδαξεν. ὡς γὰρ ἀνθρώπῳ ῥᾴδιον δέρριν ἐκτεῖναι καὶ ποιῆσαι σκηνήν, οὕτως ὁ τῶν ὅλων Θεὸς τὰ μεγάλα τῶν οὐρανῶν διεπέτασε κύτη, λόγῳ χρησάμενος μόνῳ.

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Τοῦτο καὶ ὁ μακάριος ἐδίδαξε Γεν. α. ϛ. ζ. Μωϋσῆς. ἔφη γὰρ τὸν Θεὸν εἰρηκέναι· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος.

4 Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Διὰ τούτων τὴν πανταχοῦ διήκουσαν ἐδήλωσε πρόνοιαν. ἐφέστηκε γὰρ καὶ ἀνέμοις καὶ νέφεσι, καὶ αὐτὸς ἰθύνει ταῦτα καὶ κυβερνᾷ, καὶ τὴν ἐντεῦθεν φυομένην εἰς καιρὸν δίδωσι χρείαν. διδάσκει δὲ κατὰ ταυτόν, ὡς ἡ θεία φύσις πανταχοῦ πάρεστι καὶ τοῖς πᾶσιν ἐφίσταται. ἐπειδὴ γὰρ τῶν αἰσθητῶν ἁπάντων ὀξυτάτη τῶν ἀνέμων ἡ φύσις (ἐν ἀκαρεῖ γὰρ ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὴν ἕω διατρέχει, καὶ ἀπὸ τῆς ἕω πρὸς τὴν ἑσπέραν) οὐχ εὑρὼν ἑτέραν ἀκριβεστέραν ἐν τοῖς αἰσθητοῖς εἰκόνα, ἐπὶ πτερύγων ἀνέμων ἔφη τὸν Θεὸν ἐποχεῖσθαι, πανταχοῦ αὐτὸν παρεῖναι διὰ τούτων παραδηλῶν. εὑρίσκομεν δὲ καὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐν νεφέλῃ τὸν τῶν ὅλων ἐπιφαινέντα Θεόν, καὶ ἐν τῇ σκηνῇ διὰ νεφέλης τὴν οἰκείαν ποιησάμενον σταμένων ἐπιφάνειαν. καὶ μέντοι τοῦ Σολομῶντος τὸν οἶκον ἐγκαινίζοντος, νεφέλη τὸν οἶκον ἐκάλυψε. καὶ ὁ δεσπότης Χριστὸς ἐν τῷ ὄρει τοῖς τρισὶν ἀποστόλοις φωτεινὴν περὶ αὐτὸν νεφέλην ὑπέδειξε, καὶ ἀναλαμβανόμενον νεφέλη φωτεινὴ ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. 5 Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. Ἔδειξεν οὐ τῶν ὁρατῶν αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν ἀοράτων δημιουργόν. τοὺς δὲ αὐτοὺς καὶ πνεύματα καὶ πῦρ προσηγόρευσε, τὸ δυνατὸν καὶ τὸ ταχὺ δι' ἑκατέρων διδάσκων. ὀξεῖα μὲν γὰρ τοῦ πνεύματος ἡ φύσις· ἰσχυρὰ δὲ τοῦ πυρὸς ἡ ἐνέργεια. ἀγγέλοις δὲ χρώμενος ὑπουργοῖς ὁ τῶν ὅλων Θεὸς καὶ εὐεργετεῖ τοὺς ἀξίους, καὶ κολάζει τοὺς ἐναντίους. διὰ τοῦτο καὶ πυρὸς ἐμνημόνευσε, τὴν κολαστικὴν σημαίνων ἐνέργειαν.

γ. Βασ. η. ι.
Ματθ. ιζ. α.

6 Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς.

Ὁ δὲ Ἀκύλας καὶ Σύμμαχος, Ἐπὶ τῆς ἕδρας αὐτῆς. Ποίαν ἀσφάλειαν, ὦ προφῆτα, ὅπου τοσοῦτον ὕδωρ ὑπόκειται καὶ πέλαγος ἀχανὲς τὸ φέρον ὑπὲρ τῶν νώτων αὐτήν; καὶ γὰρ ἀλλαχοῦ τοῦτο δηλῶν ἔλεγε· Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ἐπειδὴ γὰρ ὁ θεμέλιος οὐκ ἀσφαλὴς, ἀλλὰ σφόδρα σαθρὸς ἦν, ἐν αὐτῇ τὴν ἀσφάλειαν ἔθηκεν ὁ ποιήσας. τίς δὲ αὕτη ἡ ἀσφάλεια; ἡ δύναμις τοῦ ἐργασαμένου. Ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. γῆν δὲ καλεῖ, τὸν ἄνθρωπον. τοῦτον τοίνυν ἐπὶ τὴν ἀσφάλειαν θεμελιοῖ τῆς πίστεως, ὅστις οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, δηλαδὴ ἐν τῷ μέλλοντι. Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ψαλ. ρλε. ς.
Ψαλ. ϟδ. δ.

Αὐτὴν γὰρ ἐφ' ἑαυτὴν ἑδράσας δέδωκεν αὐτῇ τὸ ἀκίνητον· καὶ τοῦτον διαμένει τὸν τρόπον, ἐφ' ὅσον ἂν αὐτὸς ἐθελήσῃ. οὕτω καὶ ἀλλαχοῦ φησί· Κρεμάζων τὴν γῆν ἐπ' οὐδενός.

Ἰὼβ κς. ζ.

7 Ἄβυσσος, ὡς ἱμάτιον, τὸ περιβόλαιον αὐτοῦ.

Τὸ αὐτοῦ ἀντὶ τοῦ αὐτῆς τέθεικεν. οὕτω γὰρ καὶ ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· Ἄβυσσον ὡσεὶ ἔνδυμα περιέβαλες αὐτήν. Ἄβυσσον δὲ καλεῖ ἡ θεία γραφὴ τὴν ὑγρὰν οὐσίαν. οὕτω καὶ ἐν ἀρχῇ τῆς κτίσεως ὁ μακάριος ἔφη Μωϋσῆς· Ἡ δὲ γῆ ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. ἐπειδὴ τοίνυν ἡ γῆ πανταχόθεν ὕδατι περιέχεται, καὶ τὰ μεγάλα μὲν καὶ ἄπλωτα πελάγη ταύτης ἐστὶ τέρματα, μέσην δὲ αὐτὴν διατέμνει ἕτερα πλεόμενα, εἰκότως ἔφη τὴν ἄβυσσον καθάπερ ἱμάτιον ἐπικεῖσθαι τῇ γῇ. καὶ ἄλλως δὲ, τὴν ἄβυσσον ἐπὶ ἀκαταληψίας εὑρήσεις κειμένην, ἐν τῷ· Τὰ κρίματά σου, Κύριε, ἄβυσσος πολλή. ἀνεξερευνήτων γὰρ ὄντων τῶν κριμάτων αὐτοῦ, οὐκ ἔστι κατάληψιν αὐτῶν εὑρεῖν. διὸ καὶ οὐχ ἁπλῶς ἀβύσσῳ, ἀλλὰ πολλῇ παραβάλλονται. καὶ τὸν Θεὸν δὴ, οὗ πολλὴ ἄβυσσος τὰ κρίματά ἐστι, περιβολαίου δίκην καλύπτει ἀκαταληψία, ἄβυσσος ὀνομαζομένη. Ἐπὶ τῶν ὀρέων στήσεται ὕδατα,

Γεν. α. β.
Ψαλ. λε. ς.

8 Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

9 Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς.

Διὰ πάντων διδάσκει τοῦ Θεοῦ τὴν προμήθειαν ἐφεστῶσαν τῇ κτίσει. τούτου χάριν γὰρ τὰς τῶν ὀρῶν κορυφὰς ἡ θάλαττα μιμουμένη τοῖς κύμασιν οὐκ ἐπικλύζει τὴν ἤπειρον, ἀλλὰ καθάπερ ἡμεῖς τὴν βροντὴν καταπεπλήγαμεν, οὕτως ἐκείνη τὸν κείμενον δέδιεν ὅρον. τὸ δὲ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα, ἀντὶ τοῦ, ὡς ὄρος ἕστηκε. τὸ δὲ ἀναβαίνουσιν ὄρη, ἀντὶ τοῦ, ὡς ὄρη. νεφέλας δὲ οἶμαι δηλοῦν αὐτὸν τὰς ὑπὲρ τὰς κορυφὰς τῶν ὀρέων. τούτοις γὰρ τοῖς χωρίοις μάλιστα ἐμφιλοχωροῦσιν αἱ νεφέλαι, ὥστε μὴ τὰ οἰκούμενα σκοτίζεσθαι συνεχῶς· αἳ, ὅταν βουληθῇς, φησὶ, πᾶσαι τὸν οἰκεῖον ἀπολαμβάνουσι χῶρον, καὶ διαλύονται, καὶ ὅθεν γίνονται. καὶ ἄλλως δὲ, ὄρη τοὺς προφήτας διὰ τὸ ὕψος τῆς θεωρίας καλεῖ. ἐν αὐτοῖς ὕδατα ἵστανται, οἱ διψῶντες τὸ ὕδωρ τῆς διδασκαλίας ποτίζονται. ποίας δὲ ἐπιτιμήσεως; τῆς κατὰ τῶν Ἰουδαίων.

Ἀμὼς η. ια.

διψῶν. τοῦτο γὰρ ὁ προφήτης ἑτέρως δείκνυσι. φησὶ γὰρ, Καὶ δώσω αὐτοῖς, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ὅταν γὰρ ὁ Θεὸς ὀργισθῇ, ἀφανίζεται τὰ τῶν προφητῶν ὕδατα, ἐπειδήπερ οὐκ ἀφ' ἑαυτῶν τὴν χορηγίαν κέκτηνται. φωνὴν δὲ βροντῆς λέγει τὴν τοῦ εὐαγγελίου, ἣν οὐκ ἀποφθέγγεται, ἀλλὰ δειλιᾷ τὰ τῶν προφητῶν ὕδατα διὰ τὸ παρέχοι τῆς ἐν″ αὐτοῖς γνώσεως.

ἴσ. αὐτῷ
γρ. παρεχούσαις

10 Ὅριον ἔθου, ὃ οὐ″ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Αἰσχύνεται τὴν ψάμμον ἡ θάλασσα, καὶ μέχρις ἐκείνης λυττῶσα, καθάπερ χαλινῷ, τῷ ὅρῳ τῷ θείῳ κωλυομένη, ἀναχαιτίζεται πάλιν καὶ εἰς τοὐπίσω χωρεῖ. ἢ τοῦτο· οὐδὲ γὰρ πάσας αὐτῶν τὰς ἀποκαλύψεις οἱ προφῆται ἀπαγγέλλουσι· μόνα δὲ ἅπερ αὐτοῖς ἀποκαλύψαι προστάττεται, ἵνα μὴ τὰ πλήθη καλύψωσι τὴν γῆν, τουτέστι, τὸν ἄνθρωπον χωρῆσαι μὴ δυνάμενον. καὶ μαρτυρεῖ Παῦλος λέγων· Ἤκουσα ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

β. Κορ. ιβ. δ.

11 Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν· ἀνὰ μέσον τῶν ὀρέων διελεύσεται ὕδατα. Εἶτα τὴν τούτων ἀποδείκνυσι χρείαν. 12 Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ· προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

13 Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσουσιν· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Καὶ τοῦτο τῆς θείας προνοίας τεκμήριον μέγιστον, τὸ μὴ μόνον τὴν ἀνθρώπων τὴν χρείαν, ἀλλὰ καὶ τῶν ἀλόγων πληροῦν. διὰ τοῦτο ὄρη τεμὼν παρόδους τοῖς ὕδασιν ἐτεκτήνατο, ὥστε μὴ μόνον ἀνθρώπους ἔχειν ἀφθόνως τὰ νάματα τῶν πηγῶν, ἀλλὰ καὶ τῶν χερσαίων καὶ τῶν ἀεροπόρων ζώων τὰ γένη. τὸ δὲ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, ἀνακλήσεται ὄναγρος εἰς δίψαν ἑαυτοῦ. περὶ δὲ τῆς μέχρι τούτων προνοίας ἔλεγεν ὁ σωτήρ· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. θηρία δὲ τοῦ δρυμοῦ οἱ δαίμονες ὀνομάζονται· θηρία δὲ τοῦ ἀγροῦ, [ταῦτα Θεοῦ,] τουτέστι τοῦ κόσμου, τοὺς ἁμαρτωλοὺς καλεῖ. ἐπειδὴ καθάπερ τὰ ἐν ἀγρῷ θηρία χειροήθη γενέσθαι″ δύναται, οὕτω καὶ οἱ ἁμαρτωλοὶ μεταβληθῆναι. διόπερ καὶ″ ποτίζεται τοῖς προφητικοῖς καὶ ἀποστολικοῖς ὕδασιν. ὀνάγρους δὲ τοὺς μηκέτι νωτοφοροῦντας τῇ ἁμαρτίᾳ ἐκάλεσεν, ἐλευθερωθέντας δὲ αὐτῆς. διόπερ αὐτοὺς καὶ διψῶντας τῶν νοητῶν ὑδάτων εἰσήγαγε. τούτους ὁ Θεὸς πρὸς τὸν Ἰὼβ ἠνίξατο· Τίς ἐστιν ὁ ἀφεὶς ὄναγρον ἐλεύθερον; δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσε;

Ματθ. ς. κς.

γρ. δύνανται
γρ. ποτίζονται

Ἰὼβ λθ. ε.

14 Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Τίνος ἕνεκεν τὰ ὄρη ποτίζεται; ὅτι κἀκεῖνα δεῖται ὑετῶν, ἔνθα βοτάναι καὶ δένδρα ἄκαρπα. οὐ γὰρ μόνον κάτωθεν ἀναβλύζειν παρασκευάζει τῶν ὑδάτων τὴν φύσιν, ἀλλὰ καὶ ἄνωθεν διὰ νεφῶν τὴν ἀρδείαν προσφέρει. ὑπερῷα δὲ Θεοῦ, τὸν ἀέρα καλεῖ, καθάπερ ἐπὶ μιᾶς οἰκίας τοῦ παντὸς κόσμου, ἔργον Θεοῦ. τὸ δὲ λέγει τοῦ ὑετοῦ· διὰ τὴν ἐκ τῆς θαλάσσης τῶν ὑδάτων ἀναγωγήν. 15 Ὁ ἐξαποστέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, 16 Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Φύεται γὰρ ἡ πόα, καὶ διατρέφει τὰ κτήνη τὰ εἰς χρείαν ἀνθρώπων γεννώμενα. τρέφονται δὲ καὶ οἱ καρποὶ διὰ τῶν ὑετῶν, καὶ ὠφέλιμοι γίνονται, καὶ τοῖς ἀνθρώποις προσφέρονται. τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε. ἀλλ' ὅμως διὰ τὴν τῶν ἀνθρώπων χρείαν καὶ τὰ κτήνη ταύτης ἀπολαύει τῆς προμηθείας. πιαινομένη γάρ, φησιν, ἡ γῆ, τοῖς ἐπ' αὐτῇ πᾶσιν ἀναδίδωσι τὰς ἐπιτηδείους τροφάς, σῖτον μὲν, καὶ οἶνον, καὶ ἔλαιον τροφὴν ἐξαίρετον ἀνθρώπῳ, ″ τά τε εὐθυμεῖ καὶ τιμηθέντι

Ψαλμ. λε. ζ.

ἴσ. ἀπὸ

προσ

παρὰ Θεοῦ· τὸν μὲν εἰς δύναμιν καρδίας, τὸν δὲ εἰς εὐφροσύνην ψυχῆς, ἔλαιον δὲ τῆς ἐπιπόνου σκληραγωγίας ἁπαλυνόν τε καὶ φαιδρυνόν τὸ σῶμα. καὶ τῆς δὲ τῶν ἄλλων φροντίζων διαμονῆς, τοῖς μὲν ποηφάγοις κτήνεσιν ἀπέδωκε χόρτον· τοῖς δὲ πρὸς ὑπηρεσίαν ἀνθρώπων ἐπιτηδείοις διὰ ἡμερότητα καὶ ἰσχὺν, τὴν ὑπὸ τῶν ἀνθρώπων σπαρεῖσαν καὶ γεωργηθεῖσαν ἀπένειμε χλόην, τοῖς ἄλλοις ἀποδοὺς τὴν αὐτομάτως βλαστάνουσαν. πλὴν δύναται ἀμφοτέροις καὶ ἡ χλόη καὶ ὁ χόρτος δεδόσθαι. οὔτε δὲ θηρίων ἐν τούτοις, οὔτε ἑρπετῶν ἐμνημόνευσε, διὰ τὸ ἑτέρᾳ κεχρῆσθαι ταῦτα τροφῇ. τὰ μὲν γὰρ γῆν, τὰ δὲ σάρκας ἐσθίει. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου,

17 Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Σαφέστερον δὲ ὁ Σύμμαχος εἴρηκεν· Ἐκβλαστῶν χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, εἰς τὸ ἐκφῦσαι τροφὴν ἀπὸ γῆς, καὶ οἶνον εὐφραίνειν καρδίαν ἀνθρώπου· στίλβειν πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτον καρδίαν ἀνθρώπου στηρίζειν. ἐπὶ τοῦτο γάρ, φησιν, ὁ τῶν ὅλων Θεὸς τῇ γῇ τοὺς ὑετοὺς συνεχῶς χορηγεῖ, ὥστε τοὺς παντοδαποὺς βλαστῆσαι καρπούς· καὶ ἄρτῳ μὲν στηρίξαι καὶ διαθρέψαι τῶν ἀνθρώπων τὴν φύσιν, οἴνῳ δὲ εὐφρᾶναι καὶ θυμηρεστέραν ἐργάσασθαι τὴν ζωήν, ἐλαίῳ δὲ οὐ μόνον ἔνδοθεν διαθρέψαι, ἀλλὰ καὶ ἔξωθεν λαμπρῦναι τὰ σώματα, ἱλαρῦναι δὲ καὶ φαιδρῦναι τὸ πρόσωπον τοῦ ἔσω ἀνθρώπου ἐλαίῳ τῷ θρεπτικῷ τοῦ θείου φωτός, ἐπινοίᾳ μόνῃ διαφέροντι τοῦ ἀποδοθέντος οἴνου. ὁ γὰρ τοῦ Θεοῦ λόγος, ὥσπερ ἄμπελος, οὕτω καὶ ἐλαία ἐστίν. Ἐγὼ γάρ, φησιν, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Ψαλμ. να. ι. ἡ γὰρ αὐτοῦ διδασκαλία κατὰ διάφορον χρῆσιν οἶνός τε καὶ ἔλαιόν ἐστι καὶ ἄρτος.

18 Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου· Ὁ δὲ Ἑβραῖος καὶ οἱ λοιποί, Τοῦ Κυρίου τεθείκασι. Διεξελθὼν τὰ κάρπιμα ἀναγκαίως μνημονεύει καὶ τῶν ἀκάρπων, ὡς ἀναγκαίαν τοῖς ἀνθρώποις καὶ αὐτῶν παρεχόντων χρείαν. διὰ τοῦτο καὶ Κυρίου αὐτὰ προσηγόρευσεν, ὡς αὐτοφυῆ καὶ οὐ χειροποίητα, ἀλλὰ τῷ θείῳ λόγῳ βλαστήσαντα. τίνος δὲ χορτασθήσεται; θεογνωσίας δηλονότι. πῶς δὲ χορτάζονται; τῇ μελέτῃ τοῦ νόμου. τοιγαροῦν αὐτοὺς καὶ ξύλα τοῦ Κυρίου ἐκάλεσεν, ἐπειδὴ οἱ μελετῶντες τὸν νόμον ἡμέρας καὶ νυκτός, ξύλον παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον λέγονται. Ψαλ. α. γ.

γ. ἐφύτευσεν. Αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. ἐκεῖ στρουθία ἐννοσσεύσουσι.

19 Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὁ δὲ Ἀκύλας οὕτως, Ἐκεῖ ὄρνεα νοσσεύσουσιν. Ὡς ἀναγκαίων δὲ μετὰ τὰ κάρπιμα μνημονεύει καὶ τῶν ἀκάρπων. διὰ δὲ τοῦ Λιβάνου ἐπισήμου ὄρους καὶ τῶν αὐτοῦ κέδρων τὰ λοιπὰ τῆς γῆς ὄρη καὶ δένδρα δεδήλωκε. τὰ δένδρα δὲ ταῦτα ἀνθρώποις μὲν (συνίστησιν οἴκους, ὀρνέων δὲ δέχεται) τὰς οἰκήσεις. γ. αὐτῷ. Ἀκύλας δὲ ἐξέδωκεν, ἐκεῖ ὄρνεα νοσσεύσουσιν, ἐρωδιῷ ἐλάται οἶκος αὐτῶν. τῶν δὲ πατέρων τις ἔφη· ἐρωδιῷ πᾶς τόπος εἰς οἴκησιν ἐπιτήδειος, καὶ ὡς εἰς προετοιμασθέντα οἶκον πανταχοῦ παραγίνεται. γ. αὐτοῦ τοῦτο γάρ, ὅ ἡγεῖται αὐτῶν. στρουθία δὲ καλεῖ, τὰς παρὰ τοῦ διαβόλου καὶ τῶν αὐτῶν περιπολούντων διωκομένας ψυχὰς δι' εὐσέβειαν, δυνηθείσας δὲ αὐτοῦ τὰς παγίδας φυγεῖν, περὶ ὧν ὁ Δαβὶδ ἔλεγεν· Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος θηρευόντων. Ψαλ. ρκγ. ζ. γ. τῷ Χριστῷ ἐρωδιὸν δὲ οὐκ ἂν ἁμάρτοις τὸν Πέτρον εἰπών, ἐπειδὴ τὸν Χριστὸν συνεχῶς ἠκολούθει, ὥσπερ ὁ ἐρωδιὸς οὐκ ἐθέλειν χωρίζεσθαι τῶν κεκτημένων λέγεται. οὗτος τῶν στρουθίων ἡγεῖται. δείκνυσι γὰρ αὐτοῖς, πῶς χρὴ τὰς τῶν θηρευόντων παγίδας ὑπεράλλεσθαι· καὶ αὐτὸς τῇ ἀρνήσει παγιδευθείς, διὰ μετανοίας τὴν παγίδα ἐξέφυγεν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις· πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Οὐ παρέδραμε, φησιν, οὐδὲ τὰ σμικρὰ τῶν ζώων ἡ πρόνοια, ἀλλὰ ταῖς μὲν ἐλάφοις

"ἔδωκεν ἐνδιαίτημα, τὰς τῶν ὀρέων κορυφάς· τοῖς δὲ σμικροτέροις τῶν ζώων, τὰς τῶν πετρῶν καταδύσεις. καὶ οὐδὲν ἄρα μάτην παρὰ σοῦ τοῦ Θεοῦ γέγονε. τούτων γὰρ μὴ ὄντων, ἐν πεδιάσι ῥᾳδίως τὰ τῶν ζώων ἀσθενῆ πρὸς τῶν ἰσχυροτέρων ἡλίσκετο, καὶ θᾶττον ἐξέλιπον ἂν κατὰ τὸν τοῦ ὕπνου καιρὸν μάλιστα θηρευόμενα. διὰ δὲ τῶν πετρῶν ἀσύλειά τε σημαίνει καὶ φωλεούς, εἰς ἃ καταφεύγουσι λαγωοί τε καὶ χοιρογρύλλιοι. καὶ γὰρ τὸ τῶν ἐλάφων γένος πολεμίως ἔχει πρὸς τὸ τῶν ὄφεων. τοιοῦτοι πάντες καὶ οἱ Χριστοῦ μαθηταί, τὴν κατὰ τῶν νοητῶν ὄφεων δύναμιν ἔχοντες, κατὰ τὸ εἰρημένον ὑπὸ Χριστοῦ· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. ὁ δὲ Σύμμαχος ἐξέδωκεν, οἱ λαγωοὶ καὶ οἱ χοιρογρύλλιοι, οἳ ἐν τοῖς ἀκαθάρτοις ζώοις τάττονται καὶ ἀσθενέσι. Μωϋσῆς τοίνυν τὴν κάμηλον καὶ τὸν μῦν καὶ τὸν δασύποδα, ὅπερ ἐστὶ λαγωός, οὐκ "ἔδεσθαί φησι. διὰ τούτων οὖν ὁ Δαβὶδ τὰ ἔθνη αἰνίττεται. οὗτοι γὰρ καταφυγὴν, τὴν νοητὴν πέτραν, τὴν ἐκκλησίαν ἔχουσι, δι' ἧς δυναμοῦνται καὶ καθαίρονται. ἔλαφοι δέ, ἐπειδὴ καθαρὰ ζῶα κατὰ τὸν νόμον τυγχάνουσιν, ἀναγκαίως αἱ ψυχαὶ τῶν δικαίων εἰσίν, ὅσαι τὸν νόμον ἐφύλαξαν.

Λουκ. ι. θ.

Λευϊτ. ια. δ. ας. ζ.

20 Ἐποίησε σελήνην εἰς καιρούς. Τὰ κατὰ γῆν ἅπαντα διεξελθών, καὶ τῶν ἀοράτων φύσεων τὴν δημιουργίαν δείξας, καὶ τῶν οὐρανῶν ὑποδείξας τὴν ποίησιν, καὶ τῶν φωστήρων ποιεῖται τὴν μνήμην, ἃ κατὰ τὴν τετάρτην ἡμέραν ἐγένετο, καὶ λέγει τὴν τῆς σελήνης δημιουργίαν διὰ τὴν τῶν καιρῶν γεγενῆσθαι διδασκαλίαν. αἱ γὰρ αὐτῆς ἀλλοιώσεις μετρεῖσθαι τὸν χρόνον παρασκευάζουσι. τοῦ γὰρ μηνὸς τὸ μέτρον αὕτη ποιεῖ, ἐν τοσαύταις ἡμέραις αὔξουσά τε καὶ φθίνουσα. σελήνην δὲ ἐνταῦθα τὴν τῶν Ἰουδαίων λέγει συναγωγήν, ἥντινα μέχρι καιρῶν νόμου καὶ τῶν προφητῶν ἔθετο· ἥλιον δὲ τὸν Χριστόν. οὕτω γὰρ αὐτὸν καὶ Μαλαχίας ἔλεγεν· Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομα Κυρίου, ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ, ὅστις ἔγνω τὴν ἑαυτοῦ δύσιν. τὸν γὰρ καιρόν, καθ' ὃν ἔδει τὸ πάθος οἰκονομῆσαι, ἐγίνωσκεν· ὥστε πρὶν ἐλθεῖν τοῦτον, ἔλεγεν· οὔπω ἥκει ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.

Μαλαχ. δ. β.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Οὐκ ἔμψυχος ὤν, οὐδὲ λόγῳ χρώμενος, ἀλλὰ κατὰ τὸν θεῖον ὅρον ὁδεύων, οὕτω ποιεῖ τὴν ἡμέραν φαινόμενος, καὶ τὴν νύκτα κρυπτόμενος, καὶ τὸν αὐτοῦ δρόμον τρέχει καὶ τὰ μέτρα φυλάττει.

21 Ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ἀναγκαία καὶ ταύτης χρεία, καὶ τῇ μὲν τοῦ φωτὸς ὑποχωρήσει συνισταμένη, ἀνάπαυλαν δὲ τοῖς ἀνθρώποις παρεχομένη. σαφῶς δὲ τὸν σταυροῦ λέγει καιρόν. τότε γὰρ σκότος ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης ἐγένετο, ὅπερ εἰς ὁλόκληρον νύκτα ἕνεκα τοῦ τεκμηρίου τῆς ἀναστάσεως παρείληπται μυστηρίου.

Ἐν αὐτῇ διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ. 22 Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

Ἡ γὰρ νὺξ τοῖς μὲν ἀνθρώποις ἀνάπαυλαν πραγματεύεται, ἄδειαν δὲ τοῖς θηρίοις παρέχει, ὥστε τὰς πεινώσας ἐμπλῆσαι γαστέρας. τὸ δὲ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς, ἀντὶ τοῦ, καὶ τούτοις ἡ θεία πρόνοια παρέχει τὴν χρείαν. τὸ μὲν γὰρ παρὰ τοῦ Θεοῦ αἰτεῖν, λογικῶν· τὸ δὲ ζητεῖν, καὶ τῶν ἀλόγων. ἀλλ' ὅμως καὶ τούτοις ὁ Θεὸς τὴν ἀναγκαίαν παρέχει τροφήν. θηρία δὲ τοῦ δρυμοῦ καὶ σκύμνους, τοὺς δαίμονάς φησιν, οἵτινες ἐν τῷ καιρῷ τοῦ δεσποτικοῦ σταυροῦ ὠρύοντο, νομίζοντες τότε θήρας ἔχειν καιρόν. ἔβλεπον γὰρ Ἰούδαν προδεδωκότα, τὸν Πέτρον ἀρνούμενον, τοὺς λοιποὺς ἀποστόλους σκορπισθέντας. ὠρύοντο τοίνυν ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς· πρότερον ἁρπάσαι· οὐκ ἐπιτυχόντες δὲ τῆς ἁρπαγῆς, ζητῆσαι. οὐδὲ γὰρ ὀκνοῦσι παρὰ τοῦ Θεοῦ ὑπὸ ἀσφαλείας τοὺς δικαίους ἐξαιτεῖν εἰς πειρατήρια. ἢ οὐχὶ τὸν Ἰὼβ ἐξῄτησεν ὁ διάβολος; ἐξῄτησε δὲ καὶ τοὺς ἀποστόλους παρὰ Χριστοῦ, ὥστε τὸν Κύριον λέγειν· Σίμων, Σίμων, ποσάκις ἐξῄτησεν ὁ Σατανᾶς σινιάσαι σε, ὡς τὸν σῖτον; ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.

Λουκ. κβ. λα.

23 Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἡλίου ἀνίσχοντος τὰ μὲν εἰς τὰς οἰκείας καταδύσεις χωρεῖ· οἱ δὲ ἄνθρωποι τὸν πρὸ τῆς χθὲς ἡμέρας ἀποθέμενοι πόνον, προθύμως πάλιν ἐπὶ τοῖς ἔργοις διημερεύουσιν. ἀναστάντος γὰρ τοῦ Χριστοῦ ὑπεχώρησαν. ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ συνήχθησαν, ὑποχωρήσουσιν ἔγραψε. ποῦ δὲ ὑπεχώρησαν; εἰς τὰς ἑαυτῶν μάνδρας, ἔνθα κοιτάζονται ἑρπετῶν δίκην φωλεύοντες. 24 Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Εἰκότως· ἐπειδὴ τὸ θαῤῥεῖν τοῖς ὄντως ἀνθρώποις δέδωκεν ἡ τοῦ Χριστοῦ ἀνάστασις, καὶ προετρέψατο μέχρις ἑσπέρας, δηλαδὴ τῆς τοῦ βίου συντελείας, τὸ οἰκεῖον ἔργον ἐργάζεσθαι, τουτέστι τὴν ἀρετήν. ταύτην γὰρ ἡμῖν ὁ Θεὸς εἰς ἐργασίαν ἔθετο.

25 Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Ἕκαστον τῶν εἰρημένων λογισάμενος ὁ προφήτης, καὶ τὴν πολλὴν τοῦ Θεοῦ κηδεμονίαν καταμαθὼν, ἐν μέσῳ τῆς διηγήσεως τὸν ὕμνον ἀνέπεμψε, θαυμαστὰ καὶ λίαν ἀξιάγαστα καὶ σοφίας μεστὰ φήσας εἶναι πάντα τοῦ Θεοῦ τὰ ποιήματα. εὗρε γὰρ καὶ τὴν ὑπό τινων δυσσεβῶν διαβαλλομένην νύκτα σφόδρα χρησιμωτάτην, καὶ τὰ ἄκαρπα ξύλα χρείαν ἑτέραν εἰσφέροντα, καὶ τῶν θηρίων τὰ γένη εἰς πολλὰ τοῖς ἀνθρώποις ἁρμόδια. θαυμαστὸν δὲ τὸ ὡς, καὶ σοφία, ἐν ᾗ πάντα ἐποίησεν ὁ Κύριος. ἔστι Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἣν ὡς ὑπερβάλλουσαν καὶ λίαν ἀπόκρυφον οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν, καθώς φησιν ὁ Παῦλος. Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου·

α. Κορ. β. η.

Ἀντὶ τοῦ, παντοδαπῶν ταύτην ἐνέπλησας ἀγαθῶν, τουτέστι, τοῦ ἐγκαινισμοῦ καὶ τῆς ἀνανεώσεως. Εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ κτίσις. διὰ τί δὲ ἡ γῆ; ἐπειδὴ εἰς αὐτὴν ὁ κλίνας οὐρανοὺς καταβέβηκε. πῶς δὲ αὐτὴν ἀνεκαίνισε; δι᾽ ὑδάτων, ὥσπερ αὐτὴν καὶ ἀπ᾽ ἀρχῆς παρήγαγε· δι᾽ ὑδάτων δὲ τοῦ βαπτίσματος εὔδηλον ὅτι. δηλοῖ γὰρ τὸ ἑπόμενον·

26 Αὕτη ἡ θάλασσα ἡ μεγάλη. Μεγάλη μὲν γὰρ ἡ χάρις τοῦ βαπτίσματος, ὡς μεγάλα περιέχουσα μυστήρια· εὐρύχωρος δὲ, ὡς ὅλην χωροῦσα τὴν ἐνέργειαν τοῦ πνεύματος. ἑρπετὰ δὲ τοὺς ἁμαρτωλοὺς, διὰ τὸ ἕρπειν αὐτοὺς ἐπὶ τὰ γήϊνα· οἵτινες διὰ τὸ πλῆθος, εἰκότως ὑπὲρ ἀριθμὸν λέγονται· ἢ ὅτι μόνοις τοῖς δικαίοις ἀριθμεῖσθαι πρέπει. φησὶ γὰρ, Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός· ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Ψαλμ. ρλη.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός, 27 Ζῶα μικρὰ μετὰ μεγάλων. Καὶ τοῦτο δὲ τῆς θείας κηδεμονίας τεκμήριον, τὸ τὰ μικρὰ γένη τοῖς μεγάλοις ἐνδιαιτᾶσθαι, καὶ μὴ παντελῶς ὑπ᾽ ἐκείνων καταναλίσκεσθαι. θαλάττῃ δέ τινι τῇ καθ᾽ ἡμᾶς παραβάλλει τὸν ἀνθρώπινον βίον διὰ τὸ ἀστάθμητον καὶ ἀεικίνητον τῶν ἐν αὐτῷ πραγμάτων· ἑρπετῶν δὲ γένος τὸ ἀναρίθμητον, τὸ πολυειδὲς καὶ οἱονεὶ πολυπρόσωπον τῶν ἀνθρώπων πλῆθος, εἰς τὸ τῆς ἕξεως ποικίλον νοουμένης τῆς διαλλαγῆς. φύσις μὲν γὰρ πᾶσιν ἡ αὐτὴ, καὶ ὁ τῆς γενέσεως τρόπος οὐχ ἕτερος· πολυειδὴς δὲ ὁ νοῦς, καὶ πολυγνώμων ἐν ἡμῖν ἡ καρδία. καὶ τοῦτο εἰδώς τις ἔφασκεν· Ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ αἱ διάνοιαι τῶν ἀνθρώπων. πλοῖα

Παροιμ. κζ. ιθ.

δὲ εἶναί φαμεν διαπορευόμενα ἐν ταύτῃ τῇ θαλάσσῃ, τὰς ἁγίας τοῦ Σωτῆρος ἡμῶν ἐκκλησίας, οὔσας μὲν ἐν κόσμῳ, ἀνωτέρω δὲ τοῦ κόσμου· καθάπερ καὶ τὰς ὁλκάδας ἐστὶν ὁρᾶν, οὔσας μὲν ἐν ὕδασι, πλὴν ὑδάτων ἀνωτέρω. αἱ τοίνυν ἐν τάξει πλοίων ἐκκλησίαι τὴν νοητὴν ταύτην ἰδίᾳ νηχόμεναι θάλασσαν, δέχονται μὲν τοὺς πιστεύοντας, ἀποκομίζουσι δὲ, καθάπερ εἰς ἑτέραν γῆν ἵνα ἢ χώραν, τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ ἐλπίδα τὴν ἐν Χριστῷ, καὶ εἰς ἁγιασμὸν τοῦ πνεύματος, καὶ εἰς τὴν τῶν ἁγίων πατρίδα, τὴν ἀρετήν. Ἑβρ. ια. ιγ. καὶ ιγ. ιδ. καὶ α. Πετρ. β. ια. γρ. τῆς πάροικοι γὰρ ὄντες κατὰ τὸ γεγραμμένον, καὶ παρεπίδημοι ἐπὶ τῆς γῆς, οὐκ ἔχουσιν ὧδε μένουσαν πόλιν· ἐπείγονται δὲ πρὸς ἐκείνην, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

Ἐκεῖ πλοῖα διαπορεύεται. Χρεία καὶ αὕτη τῶν ἀνθρώπων μεγίστη. διὰ ναυπηγικῆς γὰρ τέχνης καὶ κυβερνητικῆς ἐπιστήμης παρ' ἀλλήλων κομιζόμεθα τὰ ἐνδέοντα, καὶ τὸν παρ' ἡμῖν φυόμενον καρπὸν χορηγοῦμεν ἑτέροις, καὶ δεχόμεθα τὸν παρ' ἐκείνοις γινόμενον. 28 Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

Διὰ τοῦ δράκοντος τὰ μεγάλα παρεδήλωσε κήτη, ἃ τοῖς μεγάλοις πελάγεσιν ἐμφιλοχωρεῖ. τὸ δὲ ἐμπαίζειν αὐτῷ, ἀντὶ τοῦ, αὐτῇ τῇ θαλάσσῃ. ἀρρενικῶς γὰρ αὐτὴν καὶ ὁ Ἑβραῖος καὶ ὁ Σύρος καλεῖ. οὕτω, φησὶν, ἐστὶ μεγάλη, ὅτι καὶ τὰ μυρία τῶν ἰχθύων περίκειται γένη, καὶ τὰ μέγιστα κήτη ἀδεῶς ἐν αὐτῇ νήχεται. ἴσ. περιέχεται Εἰ δέ τισι δοκεῖ καὶ ἀλληγορῆσαι τὸν δράκοντα, διὰ τὸ καὶ ἐν τῷ Ἡσαΐᾳ τὴν μάχαιραν τὴν μεγάλην καὶ τὴν ἁγίαν καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα χωρεῖν, τὸν ὄφιν τὸν σκολιὸν τὸν ἐν τῇ θαλάσσῃ, Ἡσ. κζ. α. οὐδὲ ἡμεῖς παραιτησόμεθα τὴν τοιαύτην διάνοιαν· ἐπειδὴ καὶ παρὰ τῷ Ἰὼβ εὑρίσκομεν τὸν Θεὸν διαλεγόμενον, Ἰὼβ μα. α. Ἄξεις, φησὶ, δράκοντα ἐν ἀγκίστρῳ; οὗτος παρὰ τοῦ Θεοῦ πλασθεὶς, ἐπαρθεὶς δὲ κατὰ τοῦ δημιουργήσαντος, εἰς τὸ παίζεσθαι δέδοται, περὶ οὗ πάλιν ὁ Θεὸς πρὸς τὸν Ἰὼβ διελέγετο· Ἰὼβ μα. κε. Οὐκ ἔστιν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων, δηλαδὴ τῶν δικαίων. οὗτοι γὰρ διὰ τὴν ἀρετὴν καὶ εἰς ἀγγέλων τάξιν ἀνελθόντες παίζουσι τὸν διὰ κακίαν ἐξ ἐκείνης ἐκπεσόντα τῆς τάξεως. καὶ ὁ Κύριος ἐξουσίαν ἔδωκε τοῖς ἑαυτοῦ μαθηταῖς πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Λουκ. ι. ιθ. καὶ ἀλλαχοῦ φησι· Ψαλμ. ογ. ιδ. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. καὶ εἰκότως ἐν τῷ περὶ τῆς θαλάσσης λόγῳ τούτου ἐμνημόνευσεν, ἅτε δὴ καὶ τοῦ βίου παντὸς τοῦ ἡμετέρου ἁλμυροῦ τινος ὄντος, καὶ πανταχόθεν περιρριπιζομένου καὶ κύμασιν ἀγρίοις συγκινουμένου. Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Παρὰ σοῦ, φησιν, εἰς καιρὸν ἅπαντα τὴν χρείαν κομίζεται. τὰ γὰρ ἄλογα ζητεῖ μὲν τὴν τροφὴν, ἀγνοεῖ δὲ τὸν χορηγόν· δέχεται δὲ ὅμως ταύτην παρὰ τοῦ ποιητοῦ.

29 Δόντος σου, αὐτοὶ συλλέξουσι. Σοῦ παρέχοντος τὴν ἀφθονίαν, τούτων ἕκαστον καρποῦται τὰ πρόσφορα. Ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσεται χρηστότητος. Τὴν εὐκολίαν τῆς τῶν ἀγαθῶν χορηγίας διὰ τούτων ἐδήλωσεν. ὥσπερ γὰρ εὐπετὲς εἴσω νενευκότας ἐκτεῖναι δακτύλους, οὕτω ῥᾴδιον τῷ Θεῷ τῶν ἀγαθῶν ἁπάντων δωρήσασθαι τὴν εἰσφοράν. ἄνοιξιν δὲ χειρῶν αὐτοῦ, καὶ τὴν ἐπὶ τοῦ σταυροῦ ἔκτασιν χρὴ λογίζεσθαι, ἀφ' ἧς πάντα ἐπλήσθη χρηστότητος, τουτέστι φιλανθρωπίας· ἐπειδὴ πᾶσα ἁμαρτία διὰ σταυροῦ συγκεχώρηται.

30 Ἀποστρέψαντος δὲ τὸ πρόσωπον, ταραχθήσονται. Καθάπερ δὲ πάσης ἐμφορεῖς θυμηδίας τοὺς τῶν σῶν ἀγαθῶν ἀπολαύοντας, ἐν εὐμενείᾳ ταῦτα δωρούμενος· οὕτως ἀποστρεφομένου σου, ταραχῆς ἅπαντα καὶ δέους ἐμπίμπλαται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτὸν ἐπιστρέψουσι. γρ. αὐτῶν

Σοῦ γὰρ βουλομένου καὶ ὁ τῆς ψυχῆς καὶ τοῦ σώματος γίνεται χωρισμός, μεθ' ὃ τὸ σῶμα φθορᾷ παραδίδοται καὶ εἰς τὴν προτέραν ἀναλύεται χοῦν. πνεῦμα δὲ ἐνταῦθα, τὴν ψυχὴν προσηγόρευσεν. 31 Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται· καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἐνταῦθα σαφῶς ἡμῖν τὴν ἀνάστασιν προεκήρυξε, καὶ τὴν διὰ τοῦ παναγίου πνεύματος ἀναβίωσιν. οὕτω δὲ καὶ Ἠλίας ὁ πάνυ τῆς χήρας ἀνέστησε τὸν υἱόν, τρὶς ἐμφυσήσας γ. Βασ. ιζ. κα. τῷ παιδαρίῳ, διὰ τῆς ἐνοικούσης πνευματικῆς χάριτος ἐπαναγαγὼν εἰς ζωήν. οὕτω καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος ἐζωοποίησε παῖδα, τῷ πνευματικῷ χρησάμενος δ. Βασ. δ. λδ. ἐμφυσήματι, καὶ τῷ ζωοποιῷ πνεύματι πραγματευσάμενος τὴν ζωήν. οὕτω τῆς θείας δυνάμεως καὶ ταύτην τὴν ἐνέργειαν δείξας, εἰς ὑμνῳδίαν μεταφέρει τὴν γλῶτταν. 32 Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας. Ἀεί, φησι, παρὰ πάντων αὐτὸν ὑμνεῖσθαι δίκαιον. Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Τὴν ἐσομένην τῶν ἀνθρώπων θεογνωσίαν διὰ τούτων ἐθέσπισε. τῆς γὰρ προτέρας ἀπάτης τῶν ἀνθρώπων ἀπαλλαγέντων καὶ δεξαμένων τοῦ Θεοῦ τὴν ἐπίγνωσιν, εὐφραίνεται Θεός, οὐ προσκυνούμενος, ἀλλὰ σωζομένους ὁρῶν. 33 Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Εἰκότως ταῦτα προστέθεικε, τὸ ἀνενδεὲς διδάσκων τῆς θείας φύσεως. οὐ γὰρ ὡς δεόμενος τέρπεται προσκυνούμενος, ἀλλ' ὡς σώζειν βουλόμενος, τὴν ἀλήθειαν δείκνυσι, καὶ κολάζειν δυνάμενος, οὐκ ἐπιφέρει τὴν κόλασιν, καίτοι μόνῃ τῇ ἐπιφανείᾳ σείων τὴν γῆν, καὶ πυρὸς καὶ καπνοῦ τὰ ὄρη πληρῶν. τοῦτο δὲ καὶ ἐν τῷ Σινᾶ ὄρει πεποίηκε. Ἐξοδ. ιθ. ιη. τὴν οἰκείαν γὰρ ποιησάμενος ἐπιφάνειαν, τὸ ὄρος ἅπαν ἔδειξε καπνιζόμενον.

34 Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου. ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Καὶ ταῦτα εἰκότως προσέθηκεν. Οὐ γάρ ἐστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων αὐτοῦ· Ψαλμ. ϛ. ϛ. ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεται αὐτῷ; οὕτως ἀπεκλείσθη ταῖς μωραῖς παρθένοις τοῦ νυμφῶνος ἡ θύρα, τὸν τῆς λαμπαδηφορίας καιρὸν εἰς ἀγορασίαν ἐλαίου δαπανησάσαις. Ματθ. κε. ι. 35 Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. Διαλογὴν φησὶ τὴν αἴνεσιν. ὁ γὰρ ψάλλων Θεῷ διαλέγεται. ὁ δὲ Σύμμαχος τὴν διαλογήν, διάλεξιν εἴρηκεν· ὁ δὲ Ἀκύλας ὁμιλίαν. εὔχομαι δέ, φησι, ταύτην μου τὴν ὑμνῳδίαν ἡδίστην καὶ τερπνοτάτην ὀφθῆναι. Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Τούτου γάρ, φησι, γινομένου, ἐγὼ τὴν ἐντεῦθεν εὐθυμίαν καρπώσομαι.

36 Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Τὸ θεῖον κάλλος καὶ τὸν ἄῤῥητον πλοῦτον, ὡς ἐνῆν ἀνθρωπείᾳ φύσει, διεξελθών, πάντας ἀνθρώπους τῆς αὐτῆς μεταλαχεῖν ἱμείρεται γνώσεως, καὶ τὴν τῶν ἁμαρτωλῶν παντελῶς ἐκλεῖψαι συμμορίαν ἱκετεύει, οὐκ αὐτοὺς ἀπολέσθαι παρακαλῶν, ἀλλὰ μεταβληθῆναι δεόμενος, καὶ παύσασθαι αὐτῶν τὸ ξίφος ἀντιβολῶν μεταταξαμένων καὶ μεταμαθόντων τὰ θεῖα. Εἰ δέ τις ἑτέρως ταῦτα βούλεται νοεῖν τὰ ῥήματα, ὡς οὐ προφήτου τοὺς δυσσεβείᾳ συζῶντας ὑποβάλλοντος ἀραῖς, καὶ οὕτως εὑρήσει τῇ ἀποστολικῇ διδασκαλίᾳ τὴν προφητείαν συμβαίνουσαν. καὶ γὰρ ὁ μακάριος Παῦλος Κορινθίοις ἐπιστέλλων φησίν· Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἤτω ἀνάθεμα. α. Κορ. ις. κβ. ἴδιον γὰρ τῶν θερμῶς ἀγαπώντων. καὶ γὰρ ἅπαντες ἦμεν ἐν ἁμαρτίαις, ἀνομίας ἦν πλήρης ἡ γῆ· ἐπεὶ δὲ ἐπέφανεν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, καὶ γέγονεν ἄνθρωπος, ἐξέλειψαν οἱ ἁμαρτωλοί, ἐκλελοίπασιν οἱ ὄντες ἐν ἀνομίαις. πῶς ἢ τίνα τρόπον; ἐδικαίωσε γὰρ ἅπαντας, ἀπήλλαξε τῶν πεπλημμελημένων. οὐκοῦν ὀλίγοι γεγόνασιν οἱ ἁμαρτωλοί, πολλοὶ δὴ λίαν τῶν δεδικαιωμένοι. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Οἱ μὲν οὖν ὑμνοῦσι τὸν τοσούτων ἀγαθῶν χορηγὸν οὐ βουλόμενοι, ἐκεῖνα πεπόνθασιν ἅπερ εἴρηται· σὺ δέ, ὦ ψυχή, ἐνδελεχῶς τὸν σὸν ὕμνει δημιουργὸν καὶ σωτῆρα.

Ψαλμ. ρδ΄. ἀλληλούϊα.

Ὑμνεῖν καὶ ἐστὶν ὁ ψαλμὸς παρακελεύεται τὸν τῶν ὅλων Θεόν. δηλοῖ δὲ καὶ ἡ ἐπιγραφή. τὸ γὰρ ἀλληλούϊα, αἰνεῖτε τὸν Κύριον, ἑρμηνεύεται. ἀναμιμνήσκει δὲ τῶν τε πρὸς τοὺς πατριάρχας ὑπὸ τοῦ Θεοῦ γεγενημένων ὑποσχέσεων, καὶ τῶν δι' ἐκείνους ὑπ' αὐτοῦ παρασχεθέντων ἀγαθῶν τοῖς ἐκείνων ἐκγόνοις (ἱκανὴ γὰρ καὶ τούτων κἀκείνων ἡ μνήμη τοὺς τοσούτων ἀγαθῶν ἀπολαύσαντας εἰς ζῆλον τῆς τῶν προγόνων ἀρετῆς ἐρεθίσαι καὶ παραθῆξαι) διδάσκει δὲ κατὰ ταυτὸν καὶ τὸν νέον λαόν, ὡς οὐκ ἀδίκως τὸν ἀχάριστον ἐκεῖνον λαὸν τῆς οἰκείας κηδεμονίας ἐγύμνωσεν. ἐπειδὴ γὰρ λαὸς Θεοῦ ἐχρημάτιζον, καὶ περιφανῶς τῆς θείας προμηθείας ἀπέλαυον, ἔρημοι δὲ ταύτης ὕστερον ἐγένοντο παντελῶς, διὰ τῶν προκειμένων ψαλμῶν διδάσκει πάντας ἀνθρώπους, ὅσα μὲν αὐτοὺς εὐεργέτησεν, ὅπως δὲ ἀχάριστοι περὶ τὰς εὐεργεσίας ἐκεῖνοι γεγένηνται· ὡς ἂν ὁμοῦ καὶ τῆς κατ' ἐκείνων ἐξενεχθείσης ψήφου τὸ δικαίωμα καταμάθοιεν ἅπαντες, καὶ τῆς ἀχαριστίας ὁρῶντες τὰ ἐπίχειρα, μὴ τὴν αὐτὴν ἐκείνοις βαδίζοιεν ὁδόν, ἀλλὰ τὴν εὐθεῖαν ὁδεύοιεν. τὴν δὲ τοῦ ἀλληλούϊα ἑρμηνείαν ἐν τούτοις εἶναι λέγουσιν, αἶνον τῷ Θεῷ ἰαώ· τὸ δὲ ἰαὼ Ἑβραῖοι ὀνομασίαν ὥσπερ τινὰ τῷ Θεῷ κατέλιπον ἀνερμήνευτον. ἀναγκαίως τοίνυν ἡγεῖται τοῦτο τοῦ παρόντος ψαλμοῦ. πρὸς δοξολογίαν γὰρ Θεοῦ τείνει τὰ ἐν αὐτῷ, ὥσπερ οὖν γινόμενα, οὕτω δὴ καὶ λεγόμενα. προσφόρως τοίνυν ὁ παρὼν τυγχάνει ψαλμὸς τῶν ἐπιγεγραμμένων τὸ ἀλληλούϊα. οἶμαι δὲ ταύτην ἔχειν τὴν ἐπιγραφήν, διὰ τὸ ξένου τυγχάνειν χαρακτῆρος παρὰ τοὺς ψαλμοὺς καὶ τὰς περὶ τὴν ᾠδήν. δι' ὅλου γάρ μοι δοκοῦσιν οὗτοι αἴνους καὶ ὕμνους περιέχειν εἰς τὸν Θεόν. καὶ εἰκότως (τὸ γὰρ ἀλληλούϊα ἑρμηνεύεται, αἰνεῖτε τὸν Κύριον) οὔτε διὰ ψαλτηρίου κρουσθέντες, οὔτε δι' ᾠδῆς λεχθέντες, ἀλλ' αὐτὸ τοῦτο αἶνοι καὶ ὕμνοι τυγχάνοντες, καὶ τὰς τοῦ Θεοῦ εὐεργεσίας εἰς ἀνθρώπους περιέχοντες.

1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.

Ἐν τούτῳ τῷ ψαλμῷ προστάττει τοῖς ἁγίοις ἀποστόλοις τὸ πνεῦμα τὸ ἅγιον, τῷ ἐξ ἐθνῶν λαῷ φανερὰς ποιῆσαι πάσας τὰς θαυματουργίας, ἃς πεποίηται ἐπὶ τῆς παρουσίας αὐτοῦ ὁ Κύριος. τὸ δὲ ἐπικαλεῖσθε, κηρύσσετε ὁ Σύμμαχος ἡρμήνευσε. παρακελεύεται δὲ ὁ λόγος τὴν εὐχαριστήριον ὑμνῳδίαν προσφέρειν, καὶ διηγεῖσθαι τὰς θείας εὐεργεσίας.

Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. Δῆλόν ἐστι καὶ σαφές, ὡς ὅπισιν οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἔθνεσιν ἅπασι πραγματεύεται.

2 Ἄσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

Ἄσατε μέν, τὰς γλώσσας εἰς ἐκφώνησιν τῶν ὕμνων παρέχοντες· ψάλατε δέ, συνιέντες τὰ μελῳδούμενα, ὕμνοις τε αὐτὸν καὶ μελῳδίαις ἀμείβεσθε, καὶ τοὺς ἀγνοοῦντας τὰ παρ' αὐτοῦ γεγενημένα διδάξατε θαύματα.

3 Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Ὁ δὲ Ἀκύλας, Καυχᾶσθε, ἀντὶ τοῦ ἐπαινεῖσθε, τέθεικε. Παρακελεύεται δὲ ὁ λόγος μὴ ἐπὶ πλούτῳ, μὴ ἐπὶ ῥώμῃ, μὴ ἐπὶ δυναστείᾳ μέγα φρονεῖν· ἀλλ' ἐν τῇ τοῦ Θεοῦ γνώσει καὶ προμηθείᾳ. τοῦτο

παρηγγύησε καὶ ὁ θεῖος ἀπόστολος· Ὁ καυχώμενος γάρ, φησίν, ἐν Κυρίῳ καυχάσθω. Ταῦτα καὶ ἡ σοφωτάτη Ἄννα διέξεισι· Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ.

α. Κορ. α. λα.
α. Βασ. β. ι.

Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. Ἀπὸ ἐξομολογήσεως ἀρξάμενος εἰς εὐφροσύνην κατέληξεν. ἀρχὴ γὰρ τοῦ προκόπτειν, τὸ τὰς ἰδίας ἐξαγορεύειν ἁμαρτίας μετανοοῦντας διὰ καρπῶν ἀγαθῶν, κατὰ τό, Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας. τότε γὰρ θαρρήσομεν ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ, καὶ τευξόμεθα τῶν ἐξ αὐτοῦ χαρισμάτων, ἐξ ὧν αὐτοὶ ἔγνωμεν καὶ ἑτέρους ὠφελοῦντες, εἶτα καταξιωθέντες τῆς κατὰ Θεὸν εὐθυμίας, ᾄδειν αὐτῷ καὶ ψάλλειν δυνησόμεθα, καὶ λοιπὸν τὰ τῆς θείας γραφῆς ἑρμηνεύειν ἀπόρρητα. ταῦτα γὰρ αὐτοῦ τὰ θαυμάσια. τότε γάρ, ὡς τοσαῦτα κατωρθωκότες, ἐν τῷ ὀνόματι αὐτοῦ ἐπαινεθησόμεθα. τῆς γὰρ εἰς τὸν Θεὸν ἐλπίδος εὐφροσύνη καρπός. 4 Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε.

Ματθ. γ. η.

Καὶ διδάσκων πῶς δεῖ τοῦτο ποιεῖν, ἐπήγαγε· Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός. Οὐ γὰρ ἅπαξ ἢ δίς, ἀλλὰ παρὰ πάντα τὸν βίον τὴν ἄνωθεν ἐπικουρίαν προσήκει ζητεῖν, καὶ τὴν ὠφέλειαν καρποῦσθαι. ἄμαχοι γὰρ οἱ ζητοῦντες ἔσονται καὶ ἀήττητοι. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Τί δέ ἐστι ζήτησις; τὸ συνεχῶς ἐκεῖνον ἐννοεῖν. ὁ γὰρ ζητῶν, ἐπὶ διανοίας ἐκεῖνος ἔχει τὸ ζητούμενον. διεγείρει δὲ τῶν ἐθνῶν τοὺς κήρυκας εἰς τὸ ζητῆσαι τὸν Κύριον. κραταιοῦσθαι γὰρ ἐντεῦθεν αὐτούς, ὡς ἂν κράτους ὑπάρχοντας ἐνδεεῖς πρὸς τὸ ποιεῖν τὰ προστεταγμένα, καὶ πᾶσιν Ἕλλησι καὶ βαρβάροις κηρύξαντας, κατὰ τό, Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. τὸ δὲ διαπαντὸς ζητεῖν, ἀντέσταλται τῷ κατὰ Μωϋσέα, τρίτον φαίνεσθαι τοῦ ἐνιαυτοῦ ἐνώπιον αὐτοῦ. ὥσπερ δὲ κατὰ τὴν ἱστορίαν ὁ Σαμουὴλ ἐν τῇ τοῦ μαρτυρίου σκηνῇ λειτουργῶν ἑώρα τοῦ Θεοῦ τὸ πρόσωπον, οὕτως οἱ προκόπτοντες ἐν ἐξετάσει δογμάτων ἀεὶ καὶ πράξει τῶν ἀρετῶν, διαπαντὸς αὐτοῦ ζητοῦσι τὸ πρόσωπον, ἰδεῖν βουλόμενοι τοῦτον νοῒ καθαρῷ, ὅσπερ ἐστὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τοῦ Θεοῦ τοῦ ἀοράτου τυγχάνων εἰκών. διὸ καὶ ὁ ὁρῶν αὐτόν, εὐθὺς ὁρᾷ τὸν πατέρα.

ζητῆσαι
κηρύξαι
Ματθ. ζ. ζ.
Ψαλμ. ξζ. ια.
Δευτ. ις. ις.

5 Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Μὴ παραδῶτε λήθῃ τὰς ἀρρήτους θαυματουργίας, ἃς ὁ δεσπότης εἰργάσατο. κρίματα γὰρ ἐνταῦθα προσηγόρευσε τὰ ἐνδίκως ὑπὸ τοῦ Θεοῦ γεγενημένα θαύματα. ἐπειδὴ γὰρ τῶν ἐν Αἰγύπτῳ γεγενημένων ποιεῖται διήγησιν, προδιδάσκει τῆς Αἰγυπτίων τιμωρίας τὸ δίκαιον. στόμα δὲ ὁ λόγος αὐτοῦ, ὡς ἀκριβοῦς δικαίου νομοθέτου καὶ παιδευτοῦ τὰ κεκριμένα παρήγγειλε. δοκεῖ δέ μοι ἐνταῦθα τοὺς νόμους λέγειν, τοὺς ἐν οὐρανῷ, τοὺς ἐν γῇ, τοὺς ἐν θαλάττῃ, τοὺς ὑπὸ γῆν, τοὺς ὑπὲρ οὐρανόν. οὐ γὰρ δὴ μόνος ἄνθρωπος ἔλαβε νόμον, ἀλλὰ τὰ ὁρώμενα πάντα· ἡ θάλαττα, τὸ μὴ ὑπερβαίνειν τοὺς αἰγιαλούς· τὰ ὄρη, τὸ πεπηγέναι· ἡ γῆ, τὸ ἑστάναι· καὶ πάντα ὁμοίως τοῖς οἰκείοις διοικεῖται νόμοις. καὶ ταῦτα ἅπαντα ἐπιτάγματι γέγονε.

[illegible]

6 Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Τοὺς αὐτοὺς καὶ τοῦτο κἀκεῖνο καλεῖ, ὡς τοὺς μὲν ἀπογόνους, τοὺς δὲ υἱοὺς χρηματίσαντας. ἐκλεκτοὺς δὲ προσηγόρευσεν, ὡς παρὰ πάντα τὰ ἔθνη λαὸν κληθέντας Θεοῦ. τοῦτο δὲ καὶ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. Ἐπεὶ μὴ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· μηδ' ὅσοι σπέρμα Ἀβραάμ, πάντες τέκνα. καὶ γὰρ ὁ σωτὴρ ἔλεγεν· Οἶδα ὅτι σπέρμα τοῦ Ἀβραάμ ἐστε. καὶ πάλιν· Εἰ σπέρμα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. οἱ μὲν γὰρ σπέρμα μόνον, οἱ δὲ καὶ διὰ τῶν τρόπων εἰσὶ μιμηταὶ τυγχάνοντες ἐκλεκτοὶ καὶ

Ρω. θ. ς.
Ιω. η. λζ. λθ.

υἱοὶ ὄντες· ὅπερ οὐκ ἔφη περὶ τοῦ σπέρματος, ἀλλ' ὅτι δοῦλοι· ἐκλάβοιμεν δὲ νῦν εἶναι περὶ τῶν μαθητῶν. καὶ γὰρ ἦσαν ἀμφότερα καὶ δοῦλοι ὡς σπέρμα, καὶ ἐκλεκτοὶ ὡς υἱοί· κατὰ τό, Τούτους τοὺς δώδεκα ἐξελέξατο ὁ Ἰησοῦς, οὓς καὶ ἀποστόλους ὠνόμασε· καὶ τό· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; τὸ δὲ τῶν ἐκλεκτῶν νοήσεις ἐξαίρετον ἀπὸ τοῦ· Πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. 7 Αὐτὸς ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Ὁ γὰρ αὐτὸς ὢν ἁπάντων Θεὸς καὶ Κύριος, καὶ πάσης δεσπόζων τῆς οἰκουμένης, τούτους ἴδιον λαὸν προσηγόρευσε. διὸ προσέταξεν ἀπαγγεῖλαι τὰ κρίματα τοῦ στόματος αὐτοῦ, διὰ τὸ πάντας ὑποκεῖσθαι τοῖς αὐτοῦ κρίμασι. διὸ οὐκ Ἰουδαίους μόνον, ἀλλὰ καὶ πάντας ἠξίωσε κλήσεως. καὶ ἄλλος δέ φησιν, ὡς ἡ πρόνοια τοῦ Θεοῦ ἡμῶν τὸν ἅπαντα κόσμον θείοις κρίμασι διοικεῖ. 8 Ἐμνήσθη διὰ τὸν αἰῶνα διαθήκης αὐτοῦ· λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς.

Ιωα. ϛ. ιγ.
Ιω. ϛ. ο.
Ματθ. κ. ιϛ.
γρ. ἄλλως

Τὸ διαρκὲς καὶ μόνιμον τῶν πρὸς τὸν Ἀβραὰμ γεγενημένων ὑποσχέσεων διὰ τούτων διδάσκει. οὐ γάρ, ὥς τινες ὑπέλαβον, ὑπερβολικὸς ὁ λόγος, ἀλλ' ἀληθὴς καὶ θεῖος. Ὑπέσχετο δὲ ὁ τῶν ὅλων Θεὸς ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη· σπέρμα δὲ αὐτοῦ, ὁ δεσπότης Χριστὸς κατὰ σάρκα, ὃς αἰώνιον ἔχει τὸ κράτος καὶ τὴν βασιλείαν ἀνώλεθρον. τοῦτο δὲ καὶ τῶν χιλίων γενεῶν ἡ μνήμη παραδηλοῖ. οὐ γὰρ ἐτῶν ἀριθμὸν ὁ λόγος σημαίνει, ἀλλὰ τὸ διαρκὲς καὶ αἰώνιον τῶν γενεῶν τὸ πλῆθος αἰνίττεται, ἢ καὶ διὰ τὴν πρὸς μονάδα οἰκείωσιν, ὡς κἀν τῷ, Χιλιάδες εὐθηνούντων. καὶ πάλιν, Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρείου.

Γεν. ιη. ιη.
Ψαλμ. ξζ. ιη.
ψαλ. ριη. οβ.

9 Ὃν διέθετο τῷ Ἀβραάμ· καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ·

10 Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. Τοῦτον τὸν ὅρκον καὶ ὁ θεσπέσιος ἐμνημόνευσε Μωϋσῆς. Εἶπε γάρ, φησιν, ὁ Θεὸς πρὸς Ἀβραάμ· Κατ' ἐμαυτοῦ ὤμοσα· ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ· καί, ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς. τούτῳ τῷ ὅρκῳ καὶ τὸν Ἰσαὰκ ἀναμιμνήσκει, βεβαιοῖ δὲ καὶ πρὸς τὸν Ἰακὼβ τὰς συνθήκας. καὶ μέντοι καὶ πληροῖ ταύτας, διὰ μὲν Μωϋσέως τοὺς ἐκείνων ἐκγόνους τῆς Αἰγυπτίων ἐλευθερώσας δουλείας, διὰ δὲ Ἰησοῦ τοῦ Ναυῆ τὴν ἐπηγγελμένην γῆν ἀποδούς, τὸ δὲ τέλος τῆς ἐπαγγελίας διὰ τοῦ δεσπότου συμπεράνας Χριστοῦ. 11 Λέγων, σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν. Σχοίνισμα τὴν τῆς γῆς ἐκάλεσε δεσποτείαν· τῶν κεκληρωμένων γὰρ ἴδιον, μέτρῳ τὴν γῆν ὑποβάλλειν. 12 Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστούς, καὶ παροίκους ἐν αὐτῇ. Ταῦτα δέ, φησιν, ὑπέσχετο τοῖς πατράσιν ὀλίγοις οὖσι καὶ σφόδρα εὐαριθμήτοις. δηλοῖ δὲ διὰ τούτου τοῦ ὑπισχνουμένου τὴν δύναμιν, ὅτι καὶ τοῖς οὕτως ὀλίγοις τοσαύτης γῆς δεσποτείαν παρασχεῖν ἠδύνατο. ἐπηγγείλατο γὰρ τοῖς ἀμφὶ τὸν Ἀβραάμ, ἀντὶ μὲν τοῦ ὀλίγους αὐτοὺς εἶναι, πληθυνθήσεσθαι ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ ἐνευλογήσειν ἐν αὐτοῖς πάντα τὰ ἔθνη· ἀντὶ δὲ τοῦ τότε παροικεῖν ἐν γῇ Χαναάν, δεσπότας αὐτοὺς καταστῆσαι τῆς γῆς· ἃ δὴ καὶ γέγονεν ἄμφω τοῖς ἐξ αὐτῶν, οἵτινες εἰς πλῆθος ἄμμου δίκην ἐπέδωκαν. διὰ δὲ τοῦ σπέρματος αὐτοῦ, ἐν ᾧ εὐλογήθη τὰ ἔθνη, καὶ ταῦτα γέγονεν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. τούτοις γὰρ λέλεκται, Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες. 13 Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Παροικοῦντες γὰρ οἱ πατριάρχαι διετέλεσαν, καὶ οὐδὲ ἐφ' ἑνὸς ἱδρυμένοι τόπου, ἀλλὰ νῦν μὲν ὧδε, νῦν δὲ τὰς σκηνὰς ἀλλαχοῦ μεταφέροντες.

Γεν. κβ. ιϛ. ιζ.
ἴσ. τούτῳ τῷ ὅρκῳ
Φιλιπ. β. ιε.

τος. βασιλείαν δὲ τὴν ἐν Αἰγύπτῳ λέγει, ἐξ ἧς διαβάντες, εἰς τὸν λαὸν Χαναναίων κατῴκησαν. 14 Διὸ καὶ οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς.

Κρείττους γὰρ αὐτοὺς τῶν ἀδικεῖν πειραθέντων ἀπέφηνε.

Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς· 15 Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. Ταῦτα τῆς τῶν ἐξ αὐτῶν ἀποβολῆς δικαίας ἀπολογία, ὅτι μηδὲ τὰς ἐπὶ προγόνων εὐεργεσίας ᾐδέσθησαν, ἅπερ καὶ τοὺς ἐξ ἐθνῶν ὠφελεῖ. Οἱ προπάτορες δὲ αὐτῶν, φησιν, ὀλιγοστοὶ καὶ πάροικοι ὄντες, τοσαύτης οὔσης ἀμιξίας τότε καὶ τῆς κρατούντων ὠμότητος, ἀσφαλεῖς ἐποιοῦντο Θεοῦ προνοίᾳ τὰς μεταβάσεις. μετῆλθε γὰρ ὁ μὲν Ἀβραὰμ ἀπὸ Χαλδαίων εἰς Χαναάν, ἀπὸ δὲ Παλαιστίνης εἰς Αἴγυπτον, κἀκεῖθεν εἰς Γέραρα, ἔνθα μετ' αὐτὸν κατῴκησεν Ἰσαάκ· Ἰακὼβ δὲ μετῆλθεν ἀπὸ Παλαιστίνης εἰς Αἴγυπτον. γράφει δὲ Μωϋσῆς, πῶς ἐτάσας ὑπὲρ αὐτῶν ὁ Θεὸς βασιλεῖς, οὐκ ἀφῆκεν αὐτοὺς ἀδικεῖσθαι. οὕτω τὸν Φαραὼ ἤτασεν ἐτασμοῖς μεγάλοις καὶ φοβεροῖς περὶ Σάρρας τῆς γυναικὸς Ἀβραάμ. οὕτω νύκτωρ τὸν Ἀβιμέλεχ ἐξεδειμάτωσεν, εἰρηκώς· Ἰδοὺ σὺ ἀποθνήσκεις περὶ Σάρρας τῆς γυναικὸς Ἀβραάμ, αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. Γεν. κ. γ. οὕτω τὸν Ἰσαὰκ αἰδέσιμον τοῖς τὴν καδτα τὴν Παλαιστίνην ἀπέφηνεν. οὕτω φονῶντι τῷ Λάβαν ἠπείλησεν· Ὅρα γάρ, ἔφη, μὴ λαλήσῃς σκληρὰ μετὰ τοῦ παιδός μου Ἰακώβ. Γεν. λα. κδ. χριστοὺς δὲ προσαγορεύει, οὐχ ὡς ἐλαίῳ κεχρισμένους, ἀλλ' ὡς ἐκλεκτοὺς γενομένους. προφήτην δὲ ὁ Θεὸς καὶ τὸν Ἀβραὰμ προσηγόρευσεν. Ἀπόδος γάρ, φησι, τὴν γυναῖκα τῷ ἀνδρί, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ καὶ σωθήσῃ. Γεν. κ. ζ. ἢ χριστοὺς φησιν, ὡς διὰ τοῦ πνεύματος χάριν λαβόντας ἀόρατον. ὅτι γὰρ αὐτὸς ἦν ὁ λαλήσας αὐτοῖς ἐδήλωσε λέγων· Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη. Ιω. η. νϛ. πότε δὲ εἶδεν; ὅτε ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν ἐπιστάντα αὐτῷ τὸν Θεὸν πρὸς τῇ δρυῒ τῇ Μαμβρῆ· ἡνίκα εἶπεν ἡ γραφή, Ὤφθη ὁ Θεὸς τῷ Ἀβραάμ. Γεν. ιη. α.

16 Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν. Ἡ ἁμαρτία τὴν παιδείαν ἐφέλκεται· ἡ δὲ παιδεία τὸν θηριώδη βίον ἐλέγχει· ὁ δὲ ἔλεγχος τὴν τοῦ βίου μεταβολὴν πραγματεύεται. τὸν τοίνυν λιμὸν ἐπήγαγε διὰ τὸν παράνομον βίον τῶν τηνικαῦτα ἀνθρώπων· ἀλλ' ὅμως καὶ οὕτω τῶν οἰκείων θεραπόντων ἐπεμελήθη, ὁ δὲ Θεὸς οἰκονομικῶς ἐποίησε τὸν λιμόν, ἵνα δι' αὐτὸν κατελθόντες καὶ αὐξηθέντες τὴν γῆν ἀπολάβωσι τῆς ἐπαγγελίας.

Πᾶν στήριγμα ἄρτου συνέτριψεν. Ἀντὶ τοῦ, πάντα διαθρέψαι δυνάμενον ἀφανίσαι πεποίηκεν, οὐ μόνον σῖτον, ἀλλὰ καὶ κριθὰς καὶ ὄσπρια, καὶ ἄλλα δι' ὧν διαζῶσιν ἄνθρωποι. τοῦτο δὲ κατ' ὀργὴν Θεοῦ ἐν καιρῷ λιμοῦ εἴωθε συμβαίνειν, τὸ μὴ στηρίζεσθαι τοὺς ἀνθρώπους ἐσθίοντας.

17 Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον· εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

Ἀμφότερα κατὰ ταὐτὸν ἐδήλωσε, καὶ τῶν ἀδελφῶν τὴν μοχθηρίαν, καὶ τὴν αὐτοῦ σοφίαν. γρ. τοῦ Θεοῦ τῇ γὰρ ἐκείνων εἰς δέον ἐχρήσατο πονηρίᾳ. οὐ γὰρ αὐτὸς ἐκείνους ἠνάγκασεν ἀπεμπολῆσαι τὸν ἀδελφόν, ἀλλὰ τῇ κακοηθείᾳ μὲν ἐκείνων ἐνδέδωκεν, αὐτὸς δὲ εἰς δέον ταύτῃ χρησάμενος, βασιλέα τὸν δοῦλον ἀπέφηνε, καὶ τῷ γένει τὴν εἰς Αἴγυπτον κάθοδον ἐπρυτάνευσεν. ἔδει γὰρ τὸν λαὸν Θεοῦ μέλλοντας χρηματίζειν, περιφανεῖς γενέσθαι καὶ περιβλέπτους διὰ τῶν παρ' αὐτῶν γινομένων θαυμάτων. ἡ γὰρ εἰς αὐτοὺς γινομένη κηδεμονία τὸν τούτων Θεὸν ἀνεκήρυττε, καὶ τοὺς ἀκούοντας τῷ φωτὶ τῆς θεογνωσίας κατέλαμπεν. 18 Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ· σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ. Μετὰ γὰρ τὴν τῆς μοιχείας συκοφαντίαν, τὸ δεσμωτή-

ειον ᾤκησε, καὶ παραμυθητικὰ ὡς εἰκὸς προσελελήκει αὐτῷ τὰ ἐκ σιδήρου δεσμά. ὅπερ γὰρ ὁ Σύμμαχος εἴρηκεν· εἰς σίδηρον ἦλθεν ἡ ψυχὴ αὐτοῦ, ἀντὶ τοῦ, μέχρι σφαγῆς ἐκινδύνευσεν· ἢ τὸ στερρὸν τῶν πειρασμῶν καὶ τὸ ἰσχυρὸν προσηγόρευσε σίδηρον· ὅπερ διὰ τῆς ὑπομονῆς ὁ Ἰωσὴφ διέβαινε, καὶ πάρεδρος αὐτῷ τὰ λυπηρὰ διὰ μακροθυμίαν ἐγένετο.

Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ· τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.

Ταῦτα δὲ ὑπέμενεν ἄπαντα, χρυσοῦ δίκην δοκιμαζόμενος, οὐχ ἵνα δὲ τὸ ἀκίβδηλον τῆς τοῦ Ἰωσὴφ ἀρετῆς ὁ τῶν ὅλων μάθῃ Θεός, ὁ γινώσκων τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ' ἵνα τοῖς ἀνθρώποις τὴν ἐκείνου φιλοσοφίαν καὶ ἀρχέτυπον ἀληθείας προθῇ. καὶ μὴν οὔπω νόμος δοθεὶς ὑπῆρχεν ἔγγραφος, ἀλλ' ἐκεῖνος ὁ λογικὸς λόγιον παρὰ Θεοῦ ὁ φυσικὸς νόμος, δι' ὃν καὶ λογικοὶ λεγόμεθα. τὸ δέ, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐ- Γεν. λζ. δ. κ. τοῦ, τὸν λόγον αὐτοῦ φησιν, ὃν ἐπὶ τοῖς ὁράμασιν ἰδὼν ἐξεῖπε τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς περί τε τῶν δραγμάτων καὶ τῶν ἀστέρων. μέχρι γὰρ ἐξέβη ταῦτα, τοῖς κακοῖς ἐγυμνάζετο.

19 Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν· ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν.

20 Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.

Καὶ τὴν ἀπὸ τῆς οἰκονομίας ὠφέλειαν δεικνὺς ἐπήγαγε·

21 Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν· καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Ψαλ. κε. β. Χρυσοῦ δίκην πυρωθεὶς (κατὰ τό, Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με) τοῦ Θεοῦ πρὸς νοῦν ἀγαγόντος τῷ Φαραὼ λύεταί τε καὶ ἄρχει. οὐχ ὁ τυχὼν δὲ φαίνεται τοῦ Φαραὼ λογισμός. τί γὰρ ἐκώλυεν αὐτὸν μαθόντα τὰ περὶ τοῦ λιμοῦ, τοῦτον μὲν ἀπολῦσαι, τὰ δὲ περὶ τὸν σῖτον διοικῆσαι μετὰ τῶν ἰδίων ἀρχόντων; ἀλλ' οὐ τοσοῦτον τῆς τῶν καρπῶν ἐφρόντισε φυλακῆς, ὅσον τῆς ψυχικῆς ὠφελείας τῶν ὑπ' αὐτοῦ σωθῆναι μελλόντων ἀρχόντων τε καὶ πρεσβυτέρων αὐτοῦ, καὶ ὑπ' αὐτοῦ σοφισθῆναι· δι' ὧν ἔδει βελτίους καὶ τοὺς ὑπηκόους γενέσθαι. ἐπίσημος γὰρ διὰ τῆς τῶν ὀνείρων ἑρμηνείας τῷ βασιλεῖ γενόμενος καὶ τὴν ἐξουσίαν λαχών, εἰς θεογνωσίαν ἐποδήγει τοὺς ἄλλους, οὐ λόγοις μόνον χρώμενος, ἀλλὰ καὶ τοῖς ἔργοις εἰς τὴν αὐτὴν εὐσέβειαν ἐφελκόμενος.

22 Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Υἱοὶ Νῶε Σήμ, Χάμ, Ἰάφεθ. τοῦ δὲ Χὰμ παῖς Χαναάν· τούτου δὲ Μεσραΐμ, ὃς ἑρμηνεύεται Αἴγυπτος, ἀφ' οὗ καὶ ἡ χώρα. ὅτε τοίνυν εἰσῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον, εἰκὸς ἦν τὸν Χὰμ πάππον ὄντα τοῦ Μεσραῒμ ἐν Αἰγύπτῳ κατοικῆσαι, τοῦ Χαναὰν ἐπὶ τῆς καλουμένης Παλαιστίνης οἰκοῦντος. διὰ δὲ τοῦ Ἰσραὴλ καὶ Ἰακὼβ* εἰσῆλθεν εἰς Αἴγυπτον, καὶ οἱ τούτου παῖδες δηλοῦνται. Ἐν ἑβδομήκον- Πράξ. ζ. ιδ. καὶ Γεν. μς. κη. τα δὲ ψυχαῖς κατέβη Ἰσραὴλ εἰς Αἴγυπτον, εἶπεν ἡ γραφή. ἐξεδόθη δὲ καὶ ἑτέρως αὕτη, φησίν, ἡ πρόφασις ἐγένετο τῷ πατριάρχῃ τῆς εἰς Αἴγυπτον ἐκδημίας. γῆν Γεν. ι. ς. δὲ Χάμ, τὴν Αἴγυπτον ὀνομάζει, ἐπειδὴ ὁ Μεσραῒμ υἱὸς τοῦ Χὰμ ἐγένετο δεύτερος. Χὰμ γάρ, φησιν, ἐγέννησε τὸν Χοὺς πρωτότοκον, καὶ Μεσραῒμ τὸν ἀδελφὸν αὐτοῦ. Χοὺς δὲ τὴν Αἰθιοπίαν ἡ θεία καλεῖ γραφή, Μεσραῒμ δὲ τὴν Αἴγυπτον. Ἰακὼβ δὲ καὶ Ἰσραὴλ τὸν αὐτὸν ὀνομάζει. τὸ μὲν γὰρ ἐκ τῶν πατέρων ἔλαχεν ὄνομα, τὸ δὲ ὁ Θεὸς αὐτῷ τέθεικε, τὴν γενομένην αὐτῷ θείαν ἐπιφάνειαν διὰ τῆς προσηγορίας δηλῶν. ἐμνήσθη γὰρ ὁ Θεὸς Γεν. ιε. ιγ. τῆς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας. ὅτε γὰρ εἶπεν Ἀβραάμ, Πῶς ἔσται τοῦτο; ἐπήγαγε· γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια.

23 Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἐξοδ. α. ιβ. Τοῦτο καὶ τῆς ἐξόδου ἡ ἱστορία διδάσκει. ὅσῳ γάρ, φησιν, ἐκάκουν αὐτούς οἱ Αἰγύπτιοι, τοσούτῳ πλείους ἐγένοντο, καὶ ἐπλήθυνεν αὐτοὺς ἡ γῆ. δείκνυσι τοιγαροῦν, ὅτι οὐ φύσιος ἦν ἡ ἐπίδοσις, ἀλλὰ τῆς ἐπαγγελίας αὐτοῦ. ὅτε γὰρ ὀλιγωτέρους ἔδει γενέσθαι ὑπὸ τῶν ἐργοδιωκτῶν ἐλαυνομένους, τῶν παίδων εἰς τὸν ποταμὸν ῥιπτομένων, τῆς φύσεως ἐπηρεαζομένης, τότε μᾶλλον ἐπέδοσαν οὕτως, ὡς καὶ σφόδρα γενέσθαι φοβεροὺς τοῖς ἐνοικοῦσιν· ὥστε τὸν Φαραὼ λέγειν, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ· Ἰδοὺ νῦν πολυπληθεῖ τὸ ἔθνος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς. οὐκ ἂν δὲ αὐξηθέντες ἐκραταιώθησαν, εἰ μὴ τῆς Ἰωσὴφ ἔτυχον προστασίας καὶ τῆς τοῦ Φαραὼ ἀξιώσεως. Ἐξόδ. α. θ. 24 Μετέστρεψε τὴν καρδίαν αὐτῶν, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

Ἐπειδὴ ἐκ τοῦ τιμᾶσθαι παρὰ τῶν Αἰγυπτίων αὐτοὺς, εἰς τὴν ὁμοίαν εἰδωλολατρείαν ἐξέβησαν, τούτου χάριν παρεσκεύασε μισῆσαι αὐτοὺς, καὶ τὰ βαρέα τῶν ἔργων ἐπιτεῖναι· ἵνα κακωθέντες καταφύγωσιν πρὸς τὸν Θεὸν, καὶ εὕρῃ χώραν πληρωθῆναι ἡ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελία. ὡς γὰρ τὸν Ἰωσὴφ πειράσας ἐδόξασεν, ἄξιον ὀφθέντα διὰ τῆς πείρας· οὕτω νῦν τὸν λαόν. πειρασθέντες γὰρ ἐστέναξαν καὶ ἐκέκραξαν πρὸς τὸν Θεὸν αὐτῶν. διὸ νῦν εἰς μῖσος μετεγράφη τοῖς Αἰγυπτίοις ἡ πρὸς αὐτοὺς τιμή. ἐν ἀνέσει γὰρ γενόμενοι καὶ τιμῇ παρὰ Αἰγυπτίοις ἐπελάθοντο τοῦ πατρῴου Θεοῦ, καὶ τῆς αὐτῶν εἰδωλολατρείας γεγόνασι κοινωνοί, ὥς φησιν Ἰησοῦς ὁ τοῦ Ναυῆ, Καὶ νῦν φοβήθητε, λέγων, τὸν Κύριον καὶ λατρεύσατε αὐτῷ ἐν εὐθύτητι δικαιοσύνης, καὶ περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἷς ἐλάτρευσαν οἱ πατέρες ὑμῶν ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ ἐν Αἰγύπτῳ. Ἰησ. κδ. ιδ. μετέστρεψε δὲ τῶν Αἰγυπτίων τὴν καρδίαν, οὐ βιασάμενος, ἀλλὰ τῷ αὐτεξουσίῳ παραχωρῶν. ἐδολιώσαντο δὲ ποτὲ μὲν ταῖς μαίαις ἐπιτάξαντες ἀνελεῖν τῶν Ἑβραίων τὰ ἄρρενα, ποτὲ δὲ τῷ ποταμῷ ταῦτα παραπέμψαι κελεύσαντες. ἀλλ' ὅμως καὶ οὕτω τὸ γένος διέφυγε τοῦ θανάτου τὰ μηχανήματα.

25 Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ.

26 Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.

Τῆς ἱστορίας τὰ κεφάλαια τίθησι διηγήματα. Συντεμὼν γάρ φησιν, ὡς ἱκανῶς αὐτοὺς πρὸς τὴν ἀξίαν τιμωρησάμενος, πέμπει τούτους δι' ὧν ἐποίησε τεράτων τοὺς μὲν Αἰγυπτίους κολάζων, πρὸς τὴν ἰδίαν δὲ γνῶσιν τοὺς Ἑβραίους παιδεύων. τῶν σημείων δὲ τὰς αἰτίας τοῖς ἀμφὶ Μωϋσέα μόνοις ἐξέφηνε, λογικὴν κατάληψιν ὡς λογικοῖς μόνοις οὖσι δηλώσας, ὡς εἰδέναι δι' ἣν αἰτίαν ποτὲ μὲν τὰ ὕδατα τῶν Αἰγυπτίων μετέβαλε, ποτὲ δὲ τὸ καθ' ἕκαστον, καὶ διατί κατὰ τήνδε τὴν τάξιν ἐγένετο, καὶ ταῦτα τίνων εἰκόνες ἢ σύμβολα. ἐπειδὴ γὰρ μὴ πάντες οἷοί τέ εἰσιν ἐξ ἑαυτῶν καὶ δι' ἑαυτῶν ἀναχωρεῖν τῶν βλαβερῶν, τοῖς οὕτως ἀσθενέσιν ἀποστέλλει Θεὸς τοὺς δυναμένους, ὁδηγοὺς καὶ ἡγεμόνας τῆς ὁδοῦ τῆς ἐπὶ τὰ ἀγαθὰ φερούσης. Εἰσὶ δὲ οὗτοι· ὁ Θεοῦ νόμος, Μωϋσῆς, καὶ ὁ ἀρχιερατικὸς λόγος, οὗ σύμβολον Ἀαρών. καὶ ἐκεῖνοι μὲν τὴν γλῶτταν ἐκίνουν, καὶ τὸ στόμα ἐδάνειζον τῷ Θεῷ καὶ τὰ ῥήματα ἐξέβαλλον· ἡ δὲ δύναμις παρ' αὐτοῦ πᾶσα ἐπέμπετο.

27 Ἐξαπέστειλε σκότος καὶ ἐσκότασε· διότι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

Καὶ οὐκ ἀντεῖπον οἱ θαυμάσιοι θεράποντες τοῖς θείοις προστάγμασιν, ἀλλὰ τὰ κελευόμενα ἔδρων, καὶ τὴν μακροτάτην αὐτοῖς καὶ τριήμερον ἐπήγαγον νύκτα, μᾶλλον δὲ νυκτὸς ζοφωδέστερον σκότος. ἡ μὲν γὰρ νὺξ, κἂν ἀσέληνος ᾖ, τῇ αἴγλῃ τῶν ἀστέρων κεράννυται· ἐκεῖνο δὲ τὸ σκότος ψηλαφητὸν ἡ θεία καλεῖ γραφή. Ἐξόδ. ι. κα. ὁ γὰρ τοῦ λαοῦ κηδεμὼν Θεὸς, οὐ διὰ μεγάλων τινῶν τοὺς Αἰγυπτίους ἐκόλαζεν (οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος χεὶρ ἀθρόαν αὐτοῖς ὀργὴν ἐπιπέμψαι, λέοντας, ἄρκτους, λιμὸν, ἢ λοιμὸν, ἢ θάνατον) ἀλλὰ δι' ὧν εἶπεν, ἐτιμωρεῖτο, καὶ αὐτοὺς ἠρέμα καλῶν εἰς μετάνοιαν. ἡ δὲ μεγίστη τοῦ

λαιοῦ κάκωσις, οὐ διὰ πηλοῦ καὶ πλινθείας ἁπλῶς· διὰ δὲ τοῦ παρατρέπειν ἐπὶ σέβας εἰδώλων. διὸ κατὰ βραχὺ τοὺς εἰς τὴν πλάνην ὁδηγοῦντας ἐκόλαζεν, εἰς ἐπίγνωσιν καὶ τούτους ἄγων τοῦ πάντων δεσπότου, δι' ὧν ἡ κτίσις ἐξυπηρετεῖτο ταῖς μάστιξιν. ἀὴρ μὲν εἰς σκότος, τὸ δὲ ὕδωρ εἰς αἷμα, εἰς δὲ βατράχους ἡ γῆ, τὸ δὲ πῦρ παραδόξως ὑπεφέρετο σὺν ὑετῷ καὶ χαλάζῃ. τὸ δὲ σκότος, φησίν, ἐξαποσταλὲν ἐκ Θεοῦ οὐ παρεπίκρανε τοὺς λόγους αὐτοῦ, ἀλλ' ὑπήκουσε προθύμως, κατὰ μόνης ὑφαπλωθὲν τῆς Αἰγύπτου. λέγει γοῦν ἡ γραφή, τοῖς υἱοῖς Ἰσραὴλ φῶς ἦν. Ἐξοδ. ι. κγ. εἰ γὰρ ἦν κατὰ παντὸς τοῦ κόσμου, πῶς ἐπὶ τρεῖς ἡμέρας αὐτὸ καὶ νύκτας μεμενηκέναι φησί; τί γὰρ ἦν τὸ διορίζον ἡμέρας καὶ νύκτας, μιᾶς μόνης οὔσης ἐπιτεταμένης νυκτός; ἵνα γὰρ μή τις λέγῃ, ὅτι ἔκλειψις τὸ συμβὰν ἦν, μηδ' ὅτι δρόμος φύσεως, τὴν αὐτὴν χώραν οἰκοῦντες Ἑβραῖοι ταύτης οὐκ ᾔσθοντο τῆς πληγῆς· ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συνέβαινε πληγῶν.

28 Μετέτρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Οὐ γὰρ τὴν χροιὰν τῶν ὑδάτων μόνην, ἀλλὰ καὶ αὐτὴν μετέβαλε τῆς γεύσεως τὴν ποιότητα, ὥστε ἅπαντα διαφθαρῆναι τῶν ἰχθύων τὰ γένη.

29 Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμείοις τῶν βασιλείων αὐτῶν.

Ἐπειδὴ γὰρ τῷ ποταμῷ τὰ βρέφη τῶν Ἑβραίων παρέδωσαν, μετέβαλε μὲν εἰς αἷμα τοῦ ποταμοῦ τὸ ὕδωρ, τὴν ἐν αὐτῷ γεγενημένην μιαιφονίαν ἐλέγχων· βατράχους δὲ ἐκεῖθεν ἀναβλῦσαι πεποίηκε τοῖς ἀνῃρημένοις παραπλησίως βρέφεσιν ἕρποντας, καὶ ταῖς οἰκίαις ἐπεμβαίνοντας, καὶ ἄχρις αὐτῶν χωροῦντας τῶν τοῦ βασιλέως θαλάμων. τῶν οὖν βασιλικῶν ταμείων ἐμνημόνευσεν, ὥστε δηλῶσαι καὶ τοῦ θαύματος μέγεθος, ὅτι μηδὲ πλῆθος οἰκετῶν ἢ στρατιωτῶν (ὅπερ εἰκὸς ἐν τοῖς βασιλείοις διάγειν) ἀποσοβῆσαι τοὺς βατράχους δεδύνασθαι.

30 Εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Ἠκολούθει γὰρ τοῖς λεγομένοις τὰ ἔργα, καὶ παραυτίκα Θεοῦ μὲν κελεύοντος, Μωϋσέως δὲ λέγοντος, καὶ κυνόμυια καὶ σκνῖπες ἐπλήρουν τὴν γῆν, τοὺς Αἰγυπτίων ὅρους οὐ παρελόντες, οὐδὲ ἄλλοις ἀνθρώποις τὴν λύμην ἐπιφέροντες, ἀλλὰ τοῖς ἀντιθέοις τὴν παιδείαν ἐπάγοντες. τοῦτο γὰρ σημαίνει τό, ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν, ἀντὶ τοῦ, ἔξω τῶν Αἰγυπτίων ὅρων οὐδὲν τοιοῦτον γινόμενον ἦν ἰδεῖν. 31 Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. 32 Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

Τὰ νέφη μὲν γὰρ τὰς συνήθεις ὠδῖνας ἐνήλλαξε, καὶ ἀντὶ βροχῶν καὶ ὄμβρων χάλαζαν ἀπεκύησε, κεραυνοὶ δὲ καὶ πρηστῆρες μετὰ τῆς χαλάζης ἐφέροντο, καὶ ἐναντίαι ἀλλήλαις φύσεις, ὕδωρ καὶ πῦρ, ἀλλήλας οὐκ ἐλυμαίνοντο. οὔτε γὰρ τὸ πῦρ τὸ πεπηγὸς ὕδωρ τῆς χαλάζης ἐξέτηκεν, οὔτε τὸ ὕδωρ κατέσβεννυ τὴν φλόγα· ἀλλὰ τὴν φυσικὴν ἀποθέμενα μάχην, σύμφωνον Αἰγυπτίοις τὴν παιδείαν ἐπῆγον, καὶ τὴν ἐκείνων θηριωδίαν διήλεγχον, ὅτι ἄνθρωποι ὄντες οὐκ ᾐδοῦντο τὴν φύσιν, ἀλλὰ τοὺς ὁμοφυεῖς παραδουλεύειν ἠνάγκαζον. τούτου δὴ χάριν καὶ αἱ ἄμπελοι καὶ αἱ συκαῖ αὐτῶν, καὶ τὰ ἄλλα τῶν φυτῶν γένη ἄρδην ὑπ' αὐτῶν διεφθείρετο.

33 Εἶπε, καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός· 34 Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Διὰ μὲν τῆς χαλάζης καὶ τοῦ πυρός, τὰ δένδρα διέφθειρε· διὰ δὲ τῆς ἀκρίδος καὶ τοῦ βρούχου, τὰ ἕλη, τοὺς λειμῶνας, τὰ λήϊα. οὐ γὰρ μόνον τὸν καρπόν, ἀλλὰ καὶ τὸν χόρτον αὐτῶν κατηνάλωσε. καὶ μὴν οὐκ ἔθος ἐν ταὐτῷ ἀκρίδα καὶ βροῦχον ἐπιγίνεσθαι. ἡ γὰρ τίκτει τὸν βρούχου ἢ ἀκρὶς προελθοῦσα, ἢ ὁ βροῦχος αὐξηθεὶς, ἀκρὶς [illegible]λας γῆς, ὥστε τὸ μὲν πρότερον, τὸ δὲ χρόνῳ τινὶ ἀκολουθῆσαι ὕστερον. ἀλλ' ὅπερ θαῦμα ἦν, καὶ προστάγματι Θεοῦ τὸ σημεῖον ἐγένετο, ἅμα παρῆλθεν ἑκάτερον, καὶ κατέφαγεν ἅμα τὸν χόρτον καὶ τὸν καρπόν· ὥστε πρὸς τῇ τροφῇ τῶν ἀνθρώπων, καὶ ἡ τῶν κτηνῶν ἐφθείρετο.

35 Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν. Ταύτην Αἰγυπτίοις ἐπήγαγε τελευταίαν πληγὴν, μεθ' ἣν ἐξελθεῖν τοὺς Ἰουδαίους κατήπειξαν. ἅπασα γὰρ οἰκία θρήνων καὶ ὀλοφύρσεως ἐπέπληστο, τῶν πρωτοτόκων ἀπάντων ἀθρόαν τελευτὴν δεξαμένων. κατὰ γὰρ τῶν ποθεινοτέρων ἐπήγαγε τὴν πληγὴν, πικροτέραις βάλλων ἀκίσι τοὺς ἀναλγήτως περὶ τὰς προτέρας διατεθέντας πληγάς. 36 Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ.

Ἐπειδὴ γὰρ οὐδὲ τὰ οἰκεῖα λαβεῖν οἱ Αἰγύπτιοι τοὺς Ἰουδαίους ἐπέτρεπον, πρὸς τοῖς οἰκείοις ἔλαβον καὶ τὸν Αἰγυπτίων τὸν πλοῦτον, οἱονεὶ μισθὸν τῆς χαλεπῆς δουλείας κομισάμενοι τὸν χρυσὸν καὶ τὸν ἄργυρον. οὐ γὰρ ἀδίκως τοῦτο γενέσθαι προσέταξεν ὁ Θεός, ἀλλὰ καὶ τοὺς ἀδικοῦντας παιδεύων καὶ τοὺς ἀδικηθέντας ψυχαγωγῶν. Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Τῶν γὰρ τοῖς Αἰγυπτίοις ἐπαγομένων πληγῶν οὐκ ἐλάμβανον πεῖραν. προσέταξε γὰρ ὁ Θεὸς σκυλεῦσαι τοὺς Αἰγυπτίους, ὡς νενικημένους, καὶ μισθὸν ὀφείλοντας τῆς μακροχρονίου δουλείας. μέγα δὲ καὶ τὸ, ἐκ χώρας τὰ χείριστα παθούσης ἀπαθεῖς ἀπαλλάττεσθαι μέχρι ἑνὸς ἐν μυριάσι τοσαύταις, ἕως ἂν ἐναπομείνῃ τῇ Αἰγύπτῳ μηδεὶς ὑπὸ τῆς τοῦ σώματος ἀῤῥωστίας κεκρατημένος. τοῦτο δὲ Μωϋσῆς ἱστόρησεν. 37 Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν· ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. Οὕτω δὲ ταῖς παντοδαπαῖς ἐξεδειματώθησαν τιμωρίαις, ὡς εὐεργεσίαν οἰκείαν νομίσαι τὴν τῶν Ἑβραίων ἐλευθερίαν.

38 Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἡ γὰρ αὐτὴ νεφέλη, σκηνὴ μὲν αὐτοῖς μεθ' ἡμέραν ἐγίνετο, καὶ τῆς ἀκτῖνος ἐκώλυε τὸ λυποῦν· νύκτωρ δὲ πυροειδὴς γινομένη, τοῦ φωτὸς αὐτοῖς ἐχορήγει τὴν χρείαν.

39 Ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Ἐπειδὴ γὰρ καὶ κρεῶν ὠρέχθησαν, παρέσχεν αὐτοῖς θήραν ὀρνίθων αὐτόματον· καὶ δεηθεῖσιν ἄρτων ἄνωθεν ἐχορήγησε, διὰ τῶν νεφελῶν οὐχ ὑετὸν, ἀλλ' αὐτὴν δωρησάμενος τὴν τροφήν. τὸ δὲ μάννα λέγει, οὐχ ὡς ἐξ αὐτοῦ τοῦ οὐρανοῦ, ἀλλ' ἐκ τοῦ ὑπὲρ κεφαλῆς ἀέρος (ὅπερ ἡ θεία γραφὴ οὐρανὸν προσαγορεύει) φερόμενον, ἅμα δὲ καὶ ὡς εἰκόνα τοῦ οὐρανίου ἄρτου τοῦ δοθέντος ἐν μυστηρίῳ τῇ ἐκκλησίᾳ φέρον.

40 Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

Ἐθεράπευσε δὲ αὐτῶν καὶ τὸ δίψος ταῖς παραδόξοις ὠδῖσι τῆς πέτρας. ἐν ἀνύδρῳ γὰρ καὶ ξηρᾷ ποταμοὺς ἀναβλύσαι προσέταξε. καλεῖ δὲ ποταμοὺς, τῶν ἀναβλυσθέντων ἐκ τῆς πέτρας ὑδάτων τοὺς ὀχετούς. εἰ δὲ γράφοιτο, ποταμοῖς, ἐρεῖς ὡς κατὰ τὴν ἱστορίαν τοῦτον μόνον τὸν Ἰορδάνην διέβησαν, δυνάμει δὲ καὶ ἄλλους, ὅσοι πρὸς διάβασιν ἐνεπόδιζον.

41 Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ·

42 Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Ἀψευδῆ γὰρ ὅσα Θεὸς τοῖς ἀμφὶ τὸν Ἀβραὰμ ἐπηγγείλατο περὶ τοῦ τὸ γένος αὐξῆσαι πλήθει καὶ δόξῃ. καὶ Μωϋσῆς δὲ πρὸς αὐτοὺς ἐν τῷ Δευτερονομίῳ φησί· Μὴ εἴπῃς, διὰ τὰς δικαιοσύνας μου ἐξήγαγέ με Κύριος ἐκ γῆς Αἰγύπτου, ἀλλὰ διὰ τὸν ὅρκον, ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν. ὁ γὰρ Θεὸς ποιῶν ἐστιν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσιν αὐτὸν, ἅμα καὶ προτρεπόμενος τοὺς ἐξ αὐτῶν, ὅπως ἂν φυλάξωσι τὰ δικαιώ- Δευτ. θ. δ.

ματα αὐτοῦ. 43 Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν. Οὐ γὰρ μόνον τῆς Αἰγυπτίων ἠλευθέρωσε δουλείας, ἀλλὰ καὶ τὴν Χαναναίων αὐτοῖς ἐδωρήσατο γῆν, καὶ τῶν ἀλλοτρίων πόνων δεσπότας ἀπέφηνε, κἀκείνους κολάσας ἐνδίκως, καὶ τὰς οἰκείας ἐμπεδώσας ἐπαγγελίας. ὅτι δὲ οὐκ ἀδίκως ἐξέβαλε τοὺς πρότερον τὴν Παλαιστίνην οἰκοῦντας, διδάσκει μὲν καὶ δι' ὧν Ἰουδαίοις ἐνομοθέτησε, φεύγειν κελεύσας τῆς ἐκείνων πολιτείας τὴν μίμησιν, διδάσκει δὲ καὶ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας*. τί δήποτε δὲ μὴ εὐθὺς αὐτῷ δίδωσι τῆς γῆς ἐκείνης τὴν δεσποτείαν, ἀλλὰ παροικεῖν ἐπὶ πλεῖστον ἐᾷ; Οὔπω γάρ, φησιν, ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν, ἀντὶ τοῦ, οὐδέπω πανωλεθρίας τετολμήκασιν ἄξια· καὶ οὐ δίκαιον αὐτοῖς τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐδὲ τῇ προγνώσει τῆς μείζονος ἁμαρτίας τῆς τιμωρίας τὴν ψῆφον ἐξενεγκεῖν, ἀλλὰ ἀναμεῖναι τῶν πραγμάτων τὸ τέλος. μέτρῳ γὰρ χρῶμαι καὶ σταθμῷ τρυτάνῃ, καὶ οὐδὲν ἀστάθμητον παρ' ἐμοί. διὰ τοῦτο τετρακοσίων ἐτῶν ἀναμείνας περίοδον, οὕτω κἀκείνους ἐξέβαλε, καὶ τούτοις τὰς ἐπαγγελίας ἀπέδωκεν.

Γεν. ιε. ιϛ.

* ποιήσας.

44 Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.

Δέδωκε δὲ αὐτοῖς, φησιν, ἣν ἐπηγγείλατο γῆν, νόμον αὐτοῖς δεδωκώς, καὶ κατὰ τοῦτον βιοτεύειν κελεύσας.

Ψαλμ. ρε. ἀλληλούϊα.

ΕΝ τούτῳ τῷ ψαλμῷ τὰς ἁμαρτίας καταλέγει τοῦ προτέρου λαοῦ, διδάσκων πῶς, καὶ δι' ἃ γέγονεν ἡ ἀποβολὴ αὐτῶν. ἐν μὲν οὖν τῷ ἑκατοστῷ καὶ τετάρτῳ ψαλμῷ τὰς θείας ὁ προφητικὸς λόγος διεξῆλθεν εὐεργεσίας· ἐν τούτῳ δὲ καὶ τῶν εὐεργεσιῶν μέμνηται, καὶ τῆς τῶν εὐεργετηθέντων ἀχαριστίας κατηγορεῖ, καὶ τὰς ἐπενεχθείσας αὐτοῖς" διαφόρως τιμωρίας διδάσκει. ἐσχημάτισται δὲ ὡς ἐκ προσώπου τῶν εὐσεβεστέρων τὰς κοινὰς ὀλοφυρομένων συμφοράς, καὶ φειδοῦς τυχεῖν ἀντιβολούντων. τὴν γὰρ αὐτὴν ἐπιγραφὴν ὁ ψαλμὸς εἰκότως ἔχει τῷ φθάσαντι· τῆς γὰρ αὐτῆς ὑποθέσεως ἔχεται.

" γρ. διαφόρους

1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἡ ἐπιγραφὴ σημαίνουσα τό, αἰνεῖτε τὸν Κύριον, δηλοῖ τὸν ψαλμὸν αἶνον περιέχειν Θεοῦ. διδάσκει δὲ νῦν ἐξ ἀρχῆς τοὺς ἀπὸ ἁμαρτημάτων ἐπιστρέφοντας, καθάπερ ἰατρῷ, προσιέναι τῷ σωτῆρι, δεικνύντας ὥσπερ τῇ ἐξομολογήσει τῶν πεπλημμελημένων τὰ τραύματα· διαθέσει δηλονότι ψυχῆς, ἀλλ' οὐ λόγῳ τοῦτο ποιοῦντας ψιλῷ. ἕτοιμος γάρ, φησι, διὰ χρηστότητα τοῖς μετανοοῦσιν εἰς ἔλεον, εἰδὼς ἐλέους δεῖσθαι τὰ τοῦ παρόντος αἰῶνος, οἷα δὴ θνητὰ καὶ ἐπίκηρα. τί δέ ἐστιν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; διαπαντὸς ἐλεεῖ· διαπαντὸς φιλανθρωπεύεται· ἕτοιμός ἐστιν ἀεὶ τὰ αὐτοῦ διδόναι· οὐ γάρ ἐστι καιρὸς ὡρισμένος αὐτῷ, ἀλλὰ τῆς γνώμης τῆς σῆς.

2 Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Ὅσα ὁ Θεὸς ἐν ἡμῖν ὑπὲρ θνητὴν φύσιν ποιεῖ, ταῦτα δυναστεία Κυρίου, ἅπερ ἐνεργήματα δυνάμεων ὁ Παῦλός φησι, λέγων· Ὧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων. καὶ πάλιν ἑτέρωθι· μὴ πάντες προφῆται; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; διαιρεῖται δὲ τὰς δυνάμεις ἀπὸ τῶν ἰαμάτων. τὰς μὲν γὰρ Ἰησοῦς ἐπετέλει περιπατῶν τυχὸν ἐπὶ τῆς θαλάσσης,

α. Κορ. ιβ. η. κθ.

θαλάσσης, ἐπιτιμῶν δὲ τοῖς ἀνέμοις καὶ τῷ κλύδωνι, καὶ μεταμορφῶν ἑαυτὸν ἐν τῷ ὄρει· τοὺς δὲ λεπροὺς καθαρίζων, καὶ πᾶσαν νόσον ἰώμενος. καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ δυνάμεις μὲν αἱ κατὰ τῶν Αἰγυπτίων πληγαί, θάλαττά τε διαιρουμένη, καὶ ποταμὸς Ἰορδάνης ὑποχωρῶν, ἡλίου τε στάσις ἐπὶ τοῦ Ἰησοῦ· ἰάσεις δέ, ὅτι Μαρίαν λεπρωθεῖσαν ἰάσατο Μωϋσῆς, ὅσα τε Ἡλίας καὶ Ἐλισσαῖος εἰργάσαντο. ταύτας δὲ πάσας τὰς δυναστείας οἱ ἀπόστολοι εἰς πᾶσαν τὴν γῆν ἐποίησαν ἀκουστὰς μετὰ καὶ τῶν αἰνέσεων αὐτοῦ. ἑκάστη γὰρ πρᾶξις τοῦ Κυρίου αἰνέσεως γέμει. τάχα δὲ αἱ μὲν δυναστεῖαι τοῦ Κυρίου τὰ θαυμάσια αὐτοῦ περιέχουσι, τὰ δὲ χαρίσματα τῶν ἰαμάτων τὰς αἰνέσεις αὐτοῦ.

3 Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Τῇ αἰσθήσει τῆς ἁμαρτίας ὁ τῆς ἀρετῆς καρπὸς ἤτοι μακαρισμὸς ἀντεισέρχεται. ὁ γὰρ τὰς ὑπὲρ ταύτης εὐθύνας ἐκτίνων μακαρίζει τοὺς ταύτης ἀπηλλαγμένους, καὶ δικαιοσύνῃ τὸν οἰκεῖον βίον διακοσμοῦντας. μακαρίζει δὲ οὐ τὸν ἅπαξ τῇ δικαιοσύνῃ χρησάμενον, ἀλλὰ τὸν ἀεὶ καὶ συνεχῶς τοῖς ταύτης ἑπόμενον ἴχνεσι.

4 Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Ἐνταῦθα τὸν νέον λαὸν αἰνίττεται καὶ τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν, ἣν τῆς σωτηρίας ἠξίωσεν, ἧς ἁρπάσαι διδάσκεται τὴν κοινωνίαν ἡ Ἰουδαίων πληθύς. ποίαν δὲ εὐδοκίαν ἐνταῦθα, ἢ ποίαν ὅλως ἐπίσκεψιν ὑποτίθεται, ἀλλ' ἥνπερ ἡμῖν ὁ Θεὸς λόγος διὰ σαρκὸς πεποίηται; ὅθεν καὶ τὸ μυστήριον εὐδοκίαν προσηγόρευον οἱ τοῖς ποιμέσιν ἐπιφανέντες ἄγγελοι. Δόξα γὰρ ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, δοξολογοῦντες ἐβόησαν. Λουκ. β. ιδ. 5 Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. Ἀντιβολοῦμεν, φησί, τοῦ νέου σου ἔθνους μεταλαχεῖν εὐφροσύνης, καὶ κοινωνοὶ γενέσθαι τῆς χορηγουμένης ἐκείνοις χρηστότητος. χρηστότητα δὲ τῶν ἐκλεκτῶν, τὴν παρὰ τοῦ Θεοῦ φιλανθρωπίαν γινομένην τοῖς ἐκλεκτοῖς νόησον πολλὴν οὖσαν, ὥστε καὶ πόρνους καὶ τελώνας καὶ ἁμαρτωλοὺς καὶ πτωχοὺς ἁλιεῖς τὴν ἐκλογὴν ὑποδέξασθαι. ταύτην ἰδεῖν ὁ προφήτης ἐπεθύμει (θεωρίας γὰρ ἄξιον τὸ θαῦμα ἐτύγχανεν) εὐφρανθῆναι δὲ ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, ὥστε τῆς κοινωνίας τῶν μυστηρίων ἀπολαῦσαι.

6 Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν. Ὥσπερ γὰρ ἵνα φησὶ κλῆρον, παρὰ τῶν πατέρων διεδεξάμεθα τὴν τῶν σῶν νόμων παράβασιν. πατέρας δὲ καλεῖ, οὐ τοὺς ἁγίους πατριάρχας, ἀλλὰ τοὺς μετ' ἐκείνους γινομένους. τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. 7 Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου· καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου.

Ἄνωθεν γάρ, φησίν, ἡμῶν τὸ γένος ἁμαρτητικόν. τοσούτων γὰρ ἐν Αἰγύπτῳ δι' αὐτοὺς γεγενημένων θαυμάτων συνιδεῖν τὴν σὴν οὐκ ἐθέλησαν δύναμιν. διὸ καὶ ὁ προφήτης λέγει· Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἀνομιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι. Ησ. α. δ. οὐ συνῆκαν οὖν, φησί, τὰ ἐν Αἰγύπτῳ γινόμενα τέρατα, καίπερ ἐν μέσῳ τῶν Αἰγυπτίων αἴσθησιν μὴ λαβόντες τῶν γινομένων κολάσεων· οὔτε μὴν ἐλευθερωθέντες τῶν Αἰγυπτίων ἐνόησαν, ὅτι οὐ διὰ τὰς αὐτῶν δικαιοσύνας, διὰ δὲ τὸ θεῖον ἔλεος τῆς ἐκεῖθεν ἐπισκοπῆς. ταῦτα δὲ καὶ τὰ ἐν τῇ ἐρήμῳ συντόμως εἶπεν ὁ φθάσας ψαλμός, μηδὲν τοῦ λαοῦ κατηγορήσας· ὁ δὲ νῦν ἐπαναλαβὼν τὴν διήγησιν, ὅπως δι' ἃ ἥμαρτον οἱ Ἰουδαῖοι παρήγαγε· — 8 Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν ἐρυθρᾷ θαλάσσῃ.

Θεασάμενοι γὰρ τοὺς Αἰγυπτίους διώκοντας καὶ τὴν θάλασσαν ἐπέχουσαν τὴν φυγήν, τὴν ἐπικουρίαν προσμεῖναι τὴν σὴν οὐκ ἠθέλησαν, ἀλλὰ τοῦ μεγάλου Μωϋ-

Ἐξοδ. ιδ. ια.

σέως κατεβόων λέγοντες· Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ ταύτῃ· ἀλλ᾽ ὅμως καὶ ἀγνώμονας φανέντας σωτηρίας ἠξίωσας. τοῦτο γὰρ καὶ ἐπήγαγε· 9 Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ· 10 Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ· 11 Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς ″ μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.

π. μισούντων

Λόγῳ γὰρ τῆς θαλάττης τὸν πυθμένα γυμνώσας, τὴν πολλὴν ἐκείνην ἄβυσσον ἱππήλατον αὐτοῖς ἀπέφηνε καὶ ἔρημον. ἐπειδὴ γὰρ ἐν ταῖς ἐρήμοις πολλὴ τοῖς τρέχουσιν εὐκολία, μήτε φυτῶν ὄντων, μήτε φραγμῶν κωλυόντων, τὴν τῆς διαβάσεως εὐκολίαν δεδήλωκε τῇ τῆς ἐρήμου παραβολῇ.

12 Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς· εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

Πάντας γὰρ τοὺς Αἰγυπτίους ὑποβρυχίους πεποίηκε. καὶ ἡ αὐτὴ θάλαττα Ἑβραίοις μὲν σωτηρίαν, Αἰγυπτίοις δὲ τιμωρίαν ἐπήγαγε.

13 Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.

Ἐξοδ. ιε.

Τῶν γὰρ ἀνδρῶν ὑμνούντων Μωϋσῆς ὁ μέγας ἡγεῖτο, τοῦ δὲ χοροῦ τῶν γυναικῶν Μαριὰμ ἡ προφῆτις. ἀνάγραπτος δὲ καὶ ἡ ᾠδή. 14 Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ· οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ, 15 Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Τοσαῦτα γὰρ ἔχοντες καὶ τοιαῦτα ἐχέγγυα τῆς θείας δυνάμεως οὐκ ᾔτησαν τὴν χρείαν λαβεῖν, οὐδὲ τὴν θείαν προσέμειναν δωρεάν, ἀλλ᾽ εὐθὺς λοιδορίαις κατὰ τῶν θείων ἐχρήσαντο θεραπόντων. δύο δὲ τῶν Ἰουδαίων συνῆψεν ἁμαρτήματα, ἓν μὲν, ὅτι σαρκικὴν ἐπιθυμίαν ἐπεθύμουν ἐν τῇ ἐρήμῳ, ἐν ᾗ φιλοσοφεῖν ἔδει καὶ ἀπὸ πάσης ἐπιθυμίας ἐγκρατεύεσθαι· δεύτερον δὲ, ὅτι δεηθέντες ὕδατος, οὐκ ᾔτουν, ἀλλ᾽ ἐπείραζον. πλὴν θαυματουργῶν ὁ Θεὸς οὐκ ἐπαύετο.

Ἀριθμ. ια. δ. ε. καὶ Ἐξοδ. ις. γ.

16 Καὶ ἔδωκεν αὐτοῖς τὰ αἰτήματα αὐτῶν· ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Οὐ γὰρ, ἐξ ὧν εὖ ἔπαθον ἤδη, περὶ τῶν ἐλλειπόντων ἐπίστευσαν· τοῦ δὲ Θεοῦ κατελάλησαν λέγοντες, ἐμνήσθημεν τῶν κρεῶν καὶ τῶν λεβήτων τῶν ἐν Αἰγύπτῳ. αἴτημα δὲ τὴν ἐπιθυμίαν ἐκάλεσεν. οὐ γὰρ ᾔτησαν, ἀλλὰ κατελάλησαν. δέδωκε δὲ ὅμως αὐτοῖς καὶ κρεῶν ἀφθονίαν καὶ ἄρτον ἀχειροποίητον καὶ ὕδωρ ἥδιστον καὶ ἄφθονον.

17 Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου.

Ἀριθμ. ις. γ. καὶ ιβ. β.

Ῥωμ. ια. κβ.

Οὔτε παραπικράναντας ἐν ἐρυθρᾷ θαλάσσῃ, οὔτε ἐν ἐρήμῳ πειράσαντας αὐτὸν μετῆλθεν αὐτοὺς ὁ παρορῶν ἁμαρτίας, ἀλλὰ καὶ ἔδωκεν αὐτοῖς τὴν ἐπιθυμίαν αὐτῶν· ὅτε δὲ Μωϋσῆν παρώργισαν οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν εἰπόντες· Μὴ Μωϋσῇ μόνῳ λελάληκεν ὁ Θεός; οὐχὶ καὶ ἡμῖν; παγγενῆ διανοιχθείσῃ παρεδίδου τῇ γῇ τούτους· τοὺς δὲ Κορὲ καὶ τοὺς σὺν αὐτῷ μέλλοντας προσφέρειν τὰ θυμιατήρια αὐτῶν ἀντὶ τοῦ Ἀαρὼν, φλὸξ ἀπὸ τῆς σκηνῆς προελθοῦσα κατέφλεξεν. οὐ γὰρ θέλει Θεὸς τοὺς ἑαυτοῦ καταφρονεῖσθαι θεράποντας, ἀλλὰ καὶ δείξας τὴν χρηστότητα, δείκνυσι καὶ τὴν ἀποτομίαν, κατὰ τὸ, Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ. ταῦτα γὰρ Θεοῦ κατάλληλα φάρμακα.

18 Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. 19 Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν· φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Δαθὰν μὲν καὶ Ἀβειρὼν μετὰ πάσης τῆς πατριᾶς κατεπόθησαν· Κορὲ δὲ καὶ οἱ σὺν αὐτῷ θεηλάτῳ πυρὶ κατεφλέχθησαν. τὰς δὲ τιμωρίας ἐπήγαγεν ὁ Θεὸς, τοὺς ἄλλους σωφρονίζειν προτρεπόμενος· οὐδεμίαν δὲ λαβεῖν ἐντεῦθεν ὄνησιν ἠβουλήθησαν. καὶ τοῦτο δηλοῖ ἡ τῶν τετολμημένων ἐξήγησις.

20 Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ.

Οὐχ ἁπλῶς τοῦ ὄρους ἐμνημόνευσεν, ἀλλὰ τὴν τῆς ἀσεβείας διδάσκων ὑπερβολήν. ἐν τούτῳ γὰρ ὤφθη τῶν ὅλων ὁ Κύριος, ἐν τούτῳ δείματος αὐτοὺς ἐνέπλησε, μετὰ πλείστου πυρὸς φανείς, σάλπιγξι χρώμενος, καὶ καταπληκτικῶν βρονταῖς, καὶ μετὰ τοσούτου δέους τὴν νομοθεσίαν προσφέρων· ἐν τούτῳ τετολμήκασι τὴν ἀσέβειαν. τὸ δὲ, προσεκύνησαν τῷ γλυπτῷ, ἑτέρας καὶ τοῦτο παραπληξίας κατηγορία. ὃ γὰρ ἑώρων διὰ τέχνης ἀνθρωπίνης τὸ εἶδος δεξάμενον, τούτῳ τὸ σέβας τὸ θεῖον προσήνεγκαν.

21 Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

Σφόδρα αὐτῶν ἁρμοδίως τὴν ἄνοιαν ἐτραγῴδησεν, ἀντὶ τοσαῦτα θαυματουργήσαντος, καὶ τὴν παράδοξον ἐκείνην σωτηρίαν χαρισαμένου, καὶ τοσαῦτα ἐνεργεῖν δυναμένου, εἰκόνα τετιμήκασι μόσχου, ἧς τὸ ἀρχέτυπον τροφῆς ἐνδεές. τροφὴ δὲ τοῦ μόσχου, οὐκ ἄρτος ὁ τοῖς λογικοῖς προσφερόμενος, ἀλλὰ πόα καὶ χόρτος. τοῦ δὲ μόσχου, οὐκ ἄλογος ἡ φύσις, καὶ ὁ χόρτος τροφή, καὶ ἡ δουλεία δεδωρημένη ἀνθρώποις, ἡ εἰκὼν ἀτελεστέρα πολλῷ. οὐ γὰρ μόνον ἄλογος, ἀλλὰ καὶ ἄψυχος, οὐκ ἐνεργεῖν, οὐ κινεῖσθαι, οὐκ ἐσθίειν ἰσχύουσα· ἀλλ' ὅμως τὴν οὕτως ἀδρανῆ τοῦ Θεοῦ τῶν ὅλων προτετιμήκασιν. ἔχοντες γὰρ ἐξ Αἰγύπτου φαντασίαν τοῦ Ἄπιδος, ὅστις ἦν ἐν τῇ Μέμφιδι· καὶ οὐχὶ τούτῳ, ἀλλὰ καὶ πολλοῖς γλυπτοῖς προσεκύνησαν. ἕνα γοῦν μόσχον πεποιηκότες, πολλοὺς ἐδείκνυον φάσκοντες· Οὗτοι οἱ θεοί σου, Ισραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου. Ἐξοδ. λβ.

22 Ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

Οὐκ εἰκῇ τούτων μέμνηται, δεῖξαι δὲ θέλων, ὡς ἐπὶ τοσούτοις οὐκ ἀπέβαλεν αὐτοὺς ὁ Θεός, μέχρι κατὰ Χριστοῦ τὸ πάντων ἀσεβέστατον ἔργον ἐτόλμησαν, τὴν δοθεῖσαν αὐτοῖς παραιτησάμενοι χάριν. διό φησιν αὐτοῖς ὁ σωτήρ· Ὁσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. Ματθ. κγ. λζ. μὴ ἀρκεσθέντες οὖν, φησι, τοῖς προτέροις κακοῖς, τὴν δόξαν αὐτῶν, ἥτις ἦν ὁ Θεός, ἠλλάξαντο ἐν ὁμοιώματι μόσχου. οὔτε γὰρ τῆς οἰκείας ἐμνημόνευσαν σωτηρίας, οὔτε τῆς τῶν Αἰγυπτίων τιμωρίας, οὔτε τοῦ μεγάλου τῆς θαλάττης θαύματος· ἀλλὰ πάντα ἀθρόως ἀπέπλυσαν.

23 Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ ὁ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, 24 Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

Τοῦ γὰρ Θεοῦ τῶν ὅλων εἰρηκότος, Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, Ἐξοδ. λβ. ι. εἶπεν ὁ μακάριος Μωϋσῆς· Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ἐνταῦθα ζήτημα οὐ μικρὸν κεῖται. τί γάρ φησιν; εἰ μὴ Μωϋσῆς, ἀπώλοντο ἄν. τί οὖν; Μωϋσῆς τὸ πᾶν ἤνυσε, καὶ αὐτὸν αἰδεσθεὶς, οὐ τῇ οἰκείᾳ φιλανθρωπίᾳ χρησάμενος ἔστησε τὴν ὀργήν; καὶ τίς ἂν τοῦτο εἴποι; τί οὖν ἐστι τὸ λεγόμενον; σχήματι κέχρηται ὁ Θεὸς εἰς τὴν ἐκείνων ὠφέλειαν, καί φησιν αἰδούμενος αὐτὸν χαλᾷν τὴν ὀργήν, καὶ λέγει· ἄφες με, καὶ ἐξαλείψω αὐτούς. καίτοιγε οὐδὲν ἐφθέγξατο Μωϋσῆς, οὐδὲ προσῆλθεν, οὐδὲ ἱκέτευσεν· ἀλλὰ βουλόμενος αὐτὸν εἰς ἀρχὴν ἱκετηρίας ἀγαγεῖν, ἐνταῦθα προοιμιάζεται. μετὰ μὲν οὖν τὸ δίκαιον καὶ τὴν πρόγνωσιν τῆς ὅλης αὐτῶν κακίας, ὁ τῆς ἀπωλείας ὅρος· μετὰ δὲ τὸ φιλάνθρωπον, ἡ τοῦ σωθῆναι συγχώρησις διὰ τὴν ὁσιότητα γινομένη τοῦ πρεσβευτοῦ, μετὰ τὴν ὑπὲρ κόσμου πρόνοιαν ἱκετεύσαντος, ὡς ἂν ἡ τοῦ Θεοῦ χάρις ἀτελὴς μὴ δόξῃ περὶ τὸν Ἰσραὴλ καὶ διὰ τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν, ἧς ἱκετεύων ἀπεμνημόνευσε.

Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν. 25 Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν· οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Πέμπτον ἔγκλημα τοῦτο μετὰ τὴν ἐρυθρὰν καὶ τὴν ἔρημον καὶ τὴν εἰς Μωϋσῆν παροινίαν καὶ τὸν μόσχον τὸν ἐν Χωρήβ. ἐπανελθόντες γὰρ οἱ κατάσκοποι κακῶς λέγοντες τὴν γῆν καὶ τοὺς ἄλλους ἀπέτρεψαν, χωρὶς Ἰησοῦ τοῦ Ναυῆ, καὶ Χαλὲφ τοῦ τοῦ Ἰεφοννῆ. τοῦ γὰρ Θεοῦ παρεγγυήσαντος τῆς ἐπηγγελμένης ἐπιβῆναι γῆς, τῆς δειλίας τὸ πάθος δεξάμενοι ἀντέτεινον περιφανῶς, τοὺς μὲν Χαναναίους γενναίους εἶναι λέγοντες, αὐτοὺς δὲ δύναμιν ἀξιόχρεων οὐκ ἔχειν πρὸς τὴν ἐκείνων παράταξιν. τοῦτο δὲ ἀπιστίας περιφανὲς τεκμήριον. τοὺς γὰρ τοιούτων καὶ τοσούτων θαυμάτων αὐτόπτας θαῤῥεῖν εἰς ἅπαντα δίκαιον ἦν τῇ τοῦ σεσωκότος δυνάμει. 26 Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ, 27 Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Τὴν δὲ περὶ τῆς γῆς ἀντιλογίαν, καίτοι πρεσβυτέραν οὖσαν τῆς Κορὲ καὶ Δαθὰν στάσεως, ὡς μείζονί τε καὶ δυσσεβεῖ διὰ τὴν πρὸς Θεὸν ἀπιστίαν, τῇ μοσχοποιΐᾳ φέρων ὑπέταξεν. ἡ δειλία γὰρ αὐτοῖς τὴν κατὰ πίστιν ἀνεῖλεν ἐλπίδα, μηδὲ τῇ τῶν προλαβόντων πείρᾳ βεβαιουμένοις· ὅθεν καὶ μείζω τὴν δίκην ὑπέσχον τῆς ἐπὶ τῇ μοσχοποιΐᾳ κολάσεως. μερικῶς γὰρ τότε παθόντες, νῦν ἅπαντες ἄρδην πλὴν τῶν παίδων ἀπώλοντο, μηδὲ τῆς ἐπαγγελίας ἀξιωθέντες. ἠβουλήθη γὰρ ὁ Θεὸς τῇ ἀπιστίᾳ κατάλληλον ἐπιθεῖναι τὴν τιμωρίαν, καὶ πᾶσι κατὰ ταυτὸν ἐπενεγκεῖν τὸν ὄλεθρον. ἀλλ' ὅμως τῇ συνήθει φιλανθρωπίᾳ χρώμενος μερικὴν αὐτοῖς ἐπήγαγε κόλασιν.

28 Καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, καὶ ἔφαγον θυσίας νεκρῶν,

29 Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Ἕκτον ἁμάρτημα τοῦτο δὲ, ἐν τοῖς Ἀριθμοῖς. εἰς ἀκολασίαν γὰρ πάλιν ἐξοκείλαντες, καὶ ταῖς τῶν Μωαβιτῶν μιγνύμενοι γυναιξὶ, μετέμαθον τὴν ἐκείνων ἀσέβειαν. Βεελφεγὼρ δέ ἐστιν εἴδωλον παρ' ἐκείνοις τιμώμενον. καὶ Φεγὼρ μὲν ἐκαλεῖτο, τοῦ εἰδώλου ὁ τόπος· Βαὰλ δὲ, τὸ εἴδωλον. τοῦτον δέ φασί τινες Κρόνον καλεῖσθαι τῇ Ἑλλάδι φωνῇ· λέγεται δὲ καὶ Βήλ. θυσίας δὲ νεκρῶν καλεῖ τὰς καλουμένας παρ' Ἕλλησι χοὰς, ἃς τοῖς νεκροῖς προσφέρειν εἰώθασιν, ἢ ἣν ἐποίουν διὰ νεκρικῶν τινων τῶν κατὰ γοητείαν ἔργων, ἢ διὰ τὸ νεκρῶν ἀνδρῶν περιέχειν μνήμας· καὶ αὐτοὺς δὲ τοὺς καλουμένους θεοὺς, νεκροὺς οὐκ ἄν τις ἁμάρτοι προσαγορεύσας. Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Οὐκ εἶπε δὲ τῆς εἰδωλολατρείας τὸ αἴτιον, ὅπερ ἦν ἡ πορνεία, δι' ἣν ἠσέβησαν, ᾗ τε ἡ γαστριμαργία συνῆπτο· τὸ δὲ ἀποτέλεσμα κατηγορεῖ τὴν ἀσέβειαν. τούτου γὰρ χάριν καὶ τὴν ἐπιμιξίαν τῶν ἀλλοφύλων γυναικῶν ἀπεῖπεν ὁ νόμος. γυναικῶν γὰρ συμπάθεια καὶ πρὸς ἀσέλγειαν οἶδε κινεῖν.

30 Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο· καὶ ἐκόπασεν ἡ θραῦσις. 31 Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

Ἀριθμ. κε.

Τὴν θραῦσιν, ὁ Σύμμαχος πληγὴν εἴρηκε. Διδάσκει δὲ καὶ τοῦτο ἡ ἱστορία, ὡς λαβὼν τὸν σειρομάστην ὁ Φινεὲς διέπειρε μετὰ τῆς Μωαβίτιδος τὸν πορνεύοντα Ζαμβρῆ, καὶ τῷ δόρατι συνδιεῖλε τὴν γυναῖκα. τοῦτον τὸν ζῆλον ἀποδεξάμενος ὁ Θεὸς, αὐτὸν μὲν ἀνεκήρυξε, τὴν δὲ τοῖς ἄλλοις ἐπαγομένην τιμωρίαν ἐκήρυξε. Τοσοῦτον ἀνδρὸς ἰσχύει δικαιοσύνη παρὰ Θεῷ, κοινὴν πληγὴν ἀναστέλλουσα. 32 Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας. καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτοὺς, ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ.

αὐτοῦ· 33 Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Ἕτερον ἁμάρτημα, ἐφ' ᾧ καὶ Μωϋσῆς ἐνεκλήθη. πενθοῦντι γὰρ τὴν ἀδελφὴν προσελθόντες μετὰ πολλῆς ἀταξίας τὴν χρείαν ᾔτησαν. ὁ δὲ καὶ τῇ ἀθυμίᾳ τοῦ πένθους βαλλόμενος, καὶ τὴν τούτων ἀκαιρίαν θαυμάζων, θυμῷ καὶ λύπῃ προαχθεὶς οὐ μετὰ τῆς συνήθους ἁρμονίας τῷ θείῳ προστάγματι διηκόνει· ἀλλ' ἀμφιβολίαν τινὰ τοῖς λόγοις ἀναμίξας, τὴν πέτραν ἐπάταξε, καὶ τὸ ὕδωρ ἐξήγαγε. τοῦτο γὰρ δηλοῖ τὸ, διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ· ἀντὶ τοῦ, οὐκ ἀναμφιβόλως τοῖς λόγοις ἐχρήσατο. εἶπε γάρ, φησι, Μωϋσῆς πρὸς αὐτούς· Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ; τούτου χάριν ἀγανακτήσας δῆθεν ὁ τῶν ὅλων Θεός, οὐ διὰ αὐτοῦ τὴν τοῖς πατράσιν ἐπηγγελμένην ἀποδέδωκε γῆν, ἀλλ' αὐτὸν μὲν ἐκέλευσε δέξασθαι τοῦ βίου τὸ τέλος, διὰ Ἰησοῦ δὲ τοῦ Ναυῆ πεπλήρωκε τὴν ὑπόσχεσιν. καὶ δοκεῖ μὲν αὐτῷ ταύτην τὴν τιμωρίαν ἐπιτεθεικέναι ὁ τῶν ὅλων πρύτανις· ἕτερα δὲ οἰκονομῶν ἐν προσχήματι ἐβουλεύσατο τοῦτο. πρῶτον μὲν γὰρ τὴν τῶν Ἰουδαίων ἐπιστάμενος ἄνοιαν, οὐκ εἴασε δι' αὐτοῦ τὴν ὑπόσχεσιν πᾶσαν πέρας λαβεῖν, ἵνα μὴ αὐτὸν Θεὸν ὑπολάβωσιν. οἱ γὰρ εἰκόνα μόσχου θεοποιήσαντες, ποῖον οὐκ ἂν προσήνεγκαν σέβας τῷ τοσούτων θαυμάτων ὑπουργῷ γενομένῳ; διά τοι τοῦτο καὶ τὸν τάφον αὐτοῦ λαθεῖν πεποίηκεν ὁ Θεός. πρὸς δὲ τούτῳ καὶ τῆς νομοθεσίας ἠβουλήθη δεῖξαι τὸ πρόσκαιρον ἀπὸ τῶν αὐτῷ τῷ νομοθέτῃ συμβάντων. εἰ γὰρ αὐτὸς ὁ νομοθέτης τῆς ἐπηγγελμένης οὐκ ἀπήλαυσε γῆς, συνιδεῖν ἐντεῦθεν ῥᾴδιον ἦν, ὡς οὐδὲ αὐτοὶ ταύτης ἀπολαύσουσιν. οὕτω τὰ κατὰ τὴν ἔρημον διηγησάμενος, τὴν ἐν τῇ γῇ τῆς ἐπαγγελίας γεγενημένην αὐτῶν διελέγχει παρανομίαν.

Ἀριθμ. κ. ι.

Δευτ. λδ. ς.

34 Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς· καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Τὴν γὰρ ἐπιμιξίαν διὰ τὴν τῆς ἀσεβείας ἐκώλυσε κοινωνίαν, τῇ ἀρχῇ τὸ τέλος συναναιρῶν, καὶ σὺν τῇ ῥίζῃ τὸν καρπὸν ἀφανίζων, καὶ τῷ ἐλάττονι κακῷ τὸ χεῖρον προαναστέλλων. ἀλλ' ὅμως οὗτοι καὶ ἐν τούτῳ τὸν θεῖον παραβαίνοντες νόμον οὔτε τὰ δυσσεβῆ ἐξωλόθρευσαν ἔθνη, οὔτε τὴν πρὸς αὐτὰ ἔφυγον κοινωνίαν· ἀλλὰ τὴν πονηρὰν αὐτῶν πολιτείαν ἐζήλωσαν. δηλῶν τοίνυν ὁ προφήτης, ὡς οὐ μισανθρωπίαν ἐδίδασκεν ὁ Θεός, ἀλλ' ἐν ἀσφαλείᾳ αὐτοὺς καταστῆσαι βουλόμενος, ἐπήγαγε, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον ἡ ἐπιμιξία καὶ ἡ συνουσία αὕτη, καὶ σκάνδαλον οὐ τὸ τυχόν. κατὰ γὰρ τῆς φύσεως αὐτῆς ἐμάνησαν· ὅπερ ἐπάγει λέγων· 35 Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις, 36 Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν,

37 Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμολύνθη ἐν τοῖς ἔργοις αὐτῶν.

Τὸν κολοφῶνα τῆς ἀσεβείας τελευταῖον κατέλιπε. ποίαν γὰρ δυσσεβείας ὑπερβολὴν καταλείψει τὸ αἵμασιν υἱῶν καὶ θυγατέρων μολῦναι τὴν γῆν, καὶ τοῖς αἱμοβόροις δαίμοσι τὰς τούτων θυσίας προσενεγκεῖν; τῷ Θεῷ μὲν γὰρ οὐδὲ τὰ νενομισμένα προσέφερον, τοῖς δὲ εἰδώλοις καὶ τὰς τῶν παίδων σφαγάς. Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Πορνείαν ἐνταῦθα οὐ τὴν ἀκολασίαν μόνον, ἀλλὰ καὶ τὴν τῶν εἰδώλων λατρείαν καλεῖ. ἐπειδὴ γὰρ τῷ Θεῷ συνημμένοι τὴν ἐκείνων θεραπείαν ἠγάπησαν, τὴν δεισιδαιμονίαν εἰκότως πορνείαν ἐκάλεσε.

38 Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. 39 Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐθνῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς, 40 Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώ-

θησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Ταῦτα καὶ ἡ τῶν κριτῶν ἱστορία διδάσκει, καὶ μέντοι καὶ ἡ τῶν βασιλειῶν συγγραφή. ποτὲ μὲν γὰρ αὐτοὺς Μωαβίταις, ποτὲ δὲ Ἀμμανίταις, Ἀμαληκίταις, Μαδιηναίοις καὶ ἀλλοφύλοις παρεδίδου, τῇ παιδείᾳ τὴν ὠφέλειαν πραγματευόμενος. ἐναντίον δέ πως εἶναι δοκεῖ, τὸ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ, τοῖς προῤῥηθεῖσι, τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. ἀλλὰ τὴν βδελυχθεῖσαν λέγει νῦν, περὶ ἑτέρας προθεσπίσας κληρονομίας, ἑτέρου δὲ λαοῦ καὶ ἔθνους, μεθ' ὧν ηὔξατο καταριθμηθῆναι. πρότερον δὲ τὸ βδελυχθῆναι, εἶτα τὸ παραδοθῆναι ὑπὸ Θεοῦ, εἶτα τὸ κυριευθῆναι παρὰ τῶν ἐχθρῶν. ἐν ὅσῳ γὰρ ἄρχει τινὸς ὁ Θεὸς, ἄρχειν οὐ δύναται. καὶ ἐπάγει·

Πλεονάκις ἐῤῥύσατο αὐτούς· 41 Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Ἐπάγων γὰρ τὴν παιδείαν, πάλιν μετεδίδου φιλανθρωπίας· οἱ δὲ αὐτὸν τοῖς ἐναντίοις ἠμείβοντο. καὶ ὁ μὲν ἦν αὐτοῖς ἐκ φιλανθρωπίας γλυκὺς, οἱ δὲ πικρὸν ἑαυτοῖς ἠνάγκαζον φανῆναι· καὶ πάλιν ἔσωζεν αὐτοὺς οἷα σωτὴρ, οἱ δὲ ἀπώλλυντο ἔργοις ἀπωλείας ἑαυτοὺς περιπείροντες, μέχρι πολλάκις αὐτὸ ποιοῦντες τέλος ἀπώλοντο. τὸ δὲ πλεονάκις, ὅμοιόν ἐστι, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου; τὸ δὲ, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν, τὸ, καὶ οὐκ ἠθελήσατε. Ματθ. κγ. λζ. 42 Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτοὺς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Ταῦτα καὶ αἱ ἱστορίαι διδάσκουσι, καὶ ὅτι ἐδεήθησαν τοῦ Θεοῦ ὑπὸ τῆς ἀνάγκης ὠθούμενοι, καὶ ὅτι δεηθέντες ἠκούσθησαν. 43 Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Διὰ γὰρ τὰς πρὸς τοὺς πατέρας ἐπαγγελίας τὸν ἔλεον ἐχορήγησε. μεταμέλειαν δὲ καλεῖ, τῆς παιδείας τὴν παῦλαν. ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται, ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων καὶ παιδείας ἐπάγει καὶ φιλανθρωπίαν ὀρέγει. 44 Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Λέγει γὰρ Ἔσδρας, ὡς ἐνέβαλε Κύριος ὁ Θεὸς εἰς τὴν καρδίαν Κύρου τοῦ βασιλέως, καὶ μετὰ ταῦτα Δαρείου καὶ Ἀρταξέρξου, χρῆσθαι φιλανθρώπως τῷ τῶν Ἰουδαίων λαῷ. ἐν οἰκτιρμοῖς δὲ καὶ νῦν εἰσι Ῥωμαίοις δουλεύοντες, διὰ θείους οἰκτιρμοὺς, οὐ δι' ἀξίαν ἰδίαν. οὐ πάθος δὲ Θεοῦ μεταμέλεια, παιδείας δὲ παῦσις.

45 Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν,

46 Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ μεγάλῳ καὶ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Καὶ ταῦτα δηλοῖ, ὡς ὁ προφητικὸς αὐτοὺς διδάσκει λόγος, πῶς δεῖ τὸν Θεὸν ἱλεώσασθαι, καὶ τῆς παρ' αὐτοῦ κηδεμονίας τυχεῖν. καὶ ὁ θεσπέσιος δὲ ἀπόστολος τὴν ἐσομένην Ἰουδαίοις σωτηρίαν διὰ Ἡλιοῦ τοῦ Θεσβίτου προηγόρευσεν. Ῥω. ια. κς. κζ. Ἥξει γὰρ, φησὶν, ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. Ησ. νθ. κ. κζ. θ. οὐ μὴν τὴν οἰκοδομίαν τῆς Ἱερουσαλὴμ προσμένειν δεῖ κατὰ τοὺς μύθους τῶν ἀνοήτων, καὶ τὴν κατὰ νόμον λατρείαν, καὶ τὰς ἀλόγους θυσίας, καὶ περιτομὴν, καὶ σάββατον, καὶ σκιώδη περιῤῥαντήρια μετὰ τὸ πολυάγιον βδέλυγμα (ταῦτα γὰρ γραϊδίων μεθυόντων παραληρήματα) ἀλλὰ κλῆσιν καὶ ἐπίγνωσιν ἀληθείας καὶ πίστιν εἰς τὸν δεσπότην Χριστὸν καὶ τῆς καινῆς διαθήκης τὴν πολιτείαν. διδάσκονται δὲ καὶ πῶς εὔχεσθαι δεῖ, ὅπερ Ἰουδαῖοι μὲν προσδοκῶσι, ἡμεῖς δὲ πληρωθῆναι διὰ τῆς τοῦ σωτῆρος ἐπιδημίας φαμὲν, πάντων πανταχόθεν προσιόντων τῷ σωτηρίῳ κηρύγματι,

ῥήματι κρείττονι τὰ προσδεδεγμένων συναγαγεῖν ἐπὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ἥτις ἀληθὴς οὖσα γῆ [illegible] τὴν ἀντίδοσιν ἐπαγγέλλεται, κατὰ τό· Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν, ἔνθα οἱ συναχθέντες εὐχαριστήσουσιν ὑπὲρ ὧν ἠξιώθησαν, ἐπὶ τῇ τοῦ σώματος ἀφθαρσίᾳ καυχώμενοι.

Ματθ. ε.

47 Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο, γένοιτο.

Ὑμνητὸς γὰρ ἐπὶ πᾶσι τῶν ὅλων ὁ Κύριος, ὁ τοῦ Ἰσραὴλ χρηματίσας Θεός, ὁ τοσαῦτα τῆς τῶν ἀνθρώπων ἕνεκα πραγματευσάμενος σωτηρίας. προσήκει δὲ τὸν λαὸν ἅπαντα τὸ ἀμὴν τῇ τῶν ὑμνούντων ἐπιφέρειν φωνῇ. τὸ γὰρ γένοιτο, γένοιτο, ἀμὴν καὶ ἀμὴν ὁ Ἑβραῖος περιέχει· ὅθεν καὶ τὸ ἔθος ἐν ταῖς ἐκκλησίαις ἐκμεμαθήκαμεν, τὸ τῇ δοξολογίᾳ τοῦ ἱερέως διὰ τοῦ ἀμὴν συντίθεσθαι τὸν λαόν, καὶ τὴν ἐντεῦθεν κοινωνίαν προσφέρειν, καὶ τὴν εὐλογίαν λαμβάνειν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλμ. ρϛ. ἀλληλούϊα.

Πολλάκις ἀπεδείξαμεν ὅτι σκιὰ τῆς καινῆς ἡ παλαιὰ διαθήκη· οὐδὲν δὲ ἧττον καὶ ἐκ τοῦδε τοῦ ψαλμοῦ ῥᾴδιον τοῦτο καταμαθεῖν, τήν τε γὰρ Ἰουδαίων ἐλευθερίαν θεσπίζει, καὶ τὴν πολύτροπον ἀνθρώπων σωτηρίαν προαγορεύει. ἔχει δὲ πολλὴν πρὸς τοὺς προτεταγμένους ἀκολουθίαν. ὁ μὲν γὰρ τέταρτος καὶ ἑκατοστὸς διήγησιν εἶχε τῶν ἀπὸ τοῦ Θεοῦ πρὸς τοὺς πατριάρχας γεγενημένων ἐπαγγελιῶν, καὶ τῶν τοῖς ἐκείνων ἐκγόνοις παρασχεθεισῶν δωρεῶν· ὁ δὲ μετ' ἐκεῖνον πρὸς ταῖς εὐεργεσίαις καὶ τὴν Ἰουδαίων ἀχαριστίαν ἐδίδαξε, καὶ τὰς δι' ἐκείνην ἐπενεχθείσας τιμωρίας αὐτοῖς. οὗτος δὲ προαγορεύει τὴν τῆς αἰχμαλωσίας ἀπαλλαγὴν διὰ τὴν ἄρρητον τοῦ Θεοῦ φιλανθρωπίαν γεγενημένην. ἐπειδὴ δὲ καὶ ἐν ἐκείνοις ἐσκιαγραφεῖτο τὰ ἡμέτερα, ὁρῶμεν καὶ τῆς ἡμετέρας σωτηρίας καὶ ἐν τῷδε τῷ ψαλμῷ τὰ θεσπίσματα. μᾶλλον γὰρ ἡμῖν, ἢ ἐκείνοις ἁρμόττει τῆς προφητείας τὸ πλεῖστον.

1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πάλιν ὑμνεῖν ὁ προφητικὸς παρακελεύεται λόγος τὸν εὐεργέτην Θεόν. αἰτίαν δὲ τῆς ὑμνῳδίας τὴν φιλανθρωπίαν εἶναί φησι. ταῦτα δὲ λέγειν ἂν εἶεν ἱκανοὶ οἱ πειρασμοὺς διαφυγόντες, ἐλέῳ Θεοῦ μόνῳ χωρίς τινος ἐξ ἡμῶν συντελείας. ὁ δὴ τοιοῦτος ἔλεος τοῖς μὲν τυγχάνουσί τινος προσκαίρου, βραχύς· τοῖς δὲ τῶν αἰωνίων ἀξιουμένοις, αἰώνιος. εἴρηται γοῦν, Τῷ ἐλέῳ αἰωνίῳ ἠλέησά σε, πρὸς τοῦ ποιοῦντος ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσιν αὐτόν, ἑτοιμάζοντος αὐτοῖς, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε. Συνωνυμεῖ δὲ τὸ ἀγαθὸν τῷ χρηστῷ.

Ησ. νδ.

2 Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.

Τὴν ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους διὰ τοῦ προτέρου δηλώσας ψαλμοῦ, ἐν ᾧ ἦν καὶ τὸ, ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ· νῦν τὴν τῶν ἐθνῶν δηλοῖ κλῆσιν πανταχόθεν τῆς οἰκουμένης διὰ τοῦ σωτῆρος συναγομένων καὶ ἁρπαζομένων ἐκ τῶν τοῦ διαβόλου χειρῶν ἐπὶ τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν. μάτην γὰρ Ἰουδαῖοι προσδοκῶσιν ἐκ τῶν ἐθνῶν συναχθέντας καθ' ἑαυτοὺς τὴν Ἰουδαίαν οἰκήσειν. ἐν χιλίοις γὰρ ἔτεσιν ἀπὸ τῆς εἰς Βαβυλῶνα γενομένης αἰχμαλωσίας τοῦτο μὲν οὐ γέγονεν, ἡ δὲ τῶν ἐθνῶν κλῆσις διὰ τῶν ἔργων ἀποτελεῖται.

Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς, 3 Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης.

Τοῦτο ἐπὶ μὲν Ἰουδαίων οὔπω γεγενημένον μεμαθήκαμεν (κατὰ πᾶσαν γὰρ τὴν οἰκουμένην ἐσκεδασμένοι [illegible]· τὴν δὲ ἐξ ἐθνῶν ἐκκλησίαν ἐν ἅπασι τῆς οἰκουμένης τοῖς τμήμασιν ἑῴοις τε καὶ ἑσπερίοις, νοτίοις τε καὶ βορείοις ἐκάλεσε καὶ συνήθροισε, καὶ τοὺς τοιούτους συλλέγει πανταχοῦ γῆς [illegible]. ἐπειδὴ μέντοι Ἰουδαίων ἀμυδρῶς τοῦτο γεγένηται, τῶν μὲν ἀπὸ Βαβυλῶνος ἐπανελθόντων, ὀλίγων δὲ ἴσως καὶ ἐκ μέσου τοῦ καιροῦ συλλεγέντων ἐξ Αἰγύπτου καὶ τῶν πλησιοχώρων ἐθνῶν.

4 Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ. Ἦν γὰρ τοῖς ἀπὸ τῶν ἐθνῶν πρότερον ἄνυδρός τε καὶ ἄγονος ἡ ζωή, ἐπλανήθησάν τε ἔθνη ὄντες ἄλογα πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ἀπαγόμενοι, ἀλλότριοί τε τῆς πολιτείας τοῦ Ἰσραήλ, λιμῷ τε καὶ δίψῃ τὴν ψυχὴν ἐκλείποντες, τῆς λογικῆς ἐστερημένοι τροφῆς ποτοῦ τε τοῦ πνευματικοῦ, κατὰ τό, Αμώς η. ια. Οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ἀλλὰ καὶ Βαβυλὼν ἔρημος καὶ ἄνυδρος. ἔρημος γὰρ ὑπῆρχε Θεοῦ, καὶ τῆς πνευματικῆς ἀρδείας· δουλεῦον ἐκεῖ ἐστέρητο τῶν Ἰουδαίων τὸ πλῆθος, καὶ οἱ ἐξ ἐθνῶν πεπιστευκότες ὡσαύτως ἐν ἐρήμῳ καὶ ἀνύδρῳ διῆγον, Ἐφ. β. ιβ. ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ὄντες, καθώς φησιν ὁ ἀπόστολος.

Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. Οὔτε γὰρ Ἰουδαῖοι διαφυγεῖν τοὺς ἀνδραποδίσαντας ἴσχυον, καὶ τὴν οἰκείαν πατρίδα καταλαβεῖν, οὔτε οἱ ἐξ ἐθνῶν πεπιστευκότες πρὸ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως τὴν ἐπὶ τὴν θείαν πόλιν ἄγουσαν εὗρον ὁδόν. πόλιν δὲ ἐνταῦθα νοητέον τὴν εὐσεβῆ πολιτείαν.

5 Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλειπε.

Θείας διδασκαλίας λιμὸς καὶ τούτους κἀκείνους ἐπίεζεν. Ἰουδαῖοι μὲν γὰρ ἐν Βαβυλῶνι δουλεύοντες καὶ ἱερέων ἐστέρηντο, καὶ τὴν κατὰ νόμον λατρείαν πληροῦν οὐκ ἐδύναντο· τὰ δὲ ἔθνη πάλιν οὔτε νόμον θεῖον ἐδέξατο, οὔτε πνευματικῆς διδασκαλίας ἀπέλαυε, δι᾽ ὧν αἱ ψυχαὶ πεφύκασι τρέφεσθαι. τοῦτον μέντοι τὸν λιμὸν Ἰουδαίοις ἠπείλησεν ὁ Θεός. ἐπάξω γάρ, ἔφη, λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου.

6 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς. Τῶν μὲν Ἰουδαίων οἱ εὐσεβέστεροι τῷ Θεῷ τὴν ἱκετείαν προσενήνεγκαν. καὶ τοῦτο ἡμᾶς ἡ τοῦ Δανιὴλ προφητεία διδάσκει. καὶ αὐτὸς γὰρ καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ὑπὲρ ἁπάντων ποτνιώμενοι τὸν θεῖον ἐξῄτησαν ἔλεον. τὰ δὲ ἔθνη ἔστενε μὲν ταῖς παντοδαπαῖς προσπαλαίοντα συμφοραῖς, καὶ οἰμωγαῖς καὶ θρήνοις ἀπαραμυθήτοις ἐκέχρηντο, τῆς ἀναστάσεως οὐκ ἔχοντα τὴν ἐλπίδα· οὐ μὴν τὴν λύσιν τῶν κατεχόντων δεινῶν ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἐξῄτησαν. εἶδε δὲ ὅμως στένοντα ὁ φιλάνθρωπος, καὶ τὸν ἔλεον ὤρεξε. τῶν γὰρ ἐθνῶν, ὡς ἔφην, ταλαιπωρουμένων ἐν τῇ τῶν εἰρημένων ἀγαθῶν στερήσει, οἱ προεστῶτες αὐτῶν ἄγγελοι τοῦ Θεοῦ, οἷα δὴ ποιμένες τῆς ἀνθρωπίνης ἀγέλης, ἐβόων πρὸς τὸν Θεόν, [illegible] αὐτοῖς καταπεμφθῆναι σωτῆρα. ὁ δὲ φιλάνθρωπος ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ εὐθείᾳ, ἥτις ἐστὶν ὁ σωτήριος λόγος ὁ εὐαγγελικός. ἡμᾶς γὰρ αὐτὸς ἀνήγαγεν εἰς τὴν ἐπουράνιον πόλιν, ἐφ᾽ οἷς ἡμῖν προσκελεύεται τὰ θαυμάσια τοῦ Θεοῦ κηρύττειν εἰς πάντας ἀνθρώπους· ὅπως πάντες τὴν γενομένην εἰς ἡμᾶς χάριν μαθόντες, ἐπὶ τὴν αὐτὴν σπεύσωσι σωτηρίαν. ἄλλως δέ φησι, τοὺς Ἰουδαίους ἐν Αἰγύπτῳ πάλαι μοχθοῦντας βοῆσαι πρὸς τὸν Θεόν· ὃ καὶ νῦν εἴγε δρῷεν, τῆς διὰ Χριστοῦ τελείας ἐλευθερίας ἐπιτεύξονται.

7 Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἰουδαίοις μὲν γὰρ διὰ Κύρου τοῦ Πέρσου τὴν ἐπάνοδον ἐδωρήσατο· τὰ δὲ ἔθνη διὰ τῶν ἁγίων ὡδήγησεν ἀποστόλων, καὶ τὴν ἄνω πόλιν ὑπέδειξε τὴν τοὺς θεμελίους ἔχουσαν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

8 Ἐξομολογησάσθωσ

8 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὁ δὲ Σύμμαχος οὕτω, καὶ τὰ τεράστια αὐτοῦ τὰ εἰς τοὺς υἱοὺς τῶν ἀνθρώπων. Τὸν μέντοι χαριστήριον ὕμνον οὐχ ὁ ἔλεος τῷ Θεῷ προσφέρει, οὔτε μὴν τὰ θαυμάσια, ἀλλ' οἱ τῶν τοσούτων ἀγαθῶν ἀπολαύσαντες. θαυμαστὴ μὲν γὰρ καὶ ἀξιάγαστος καὶ ἡ Ἰουδαίων ἐλευθερία· θαυμασιωτέρα δὲ καὶ ἀξιαγαστοτέρα τῆς οἰκουμένης ἡ σωτηρία, καὶ ἡ ἐπὶ τὸ κρεῖττον μεταβολή, καὶ τῆς πλάνης ἡ παῦλα, καὶ τῆς ἀληθείας ἡ γνῶσις. τούτων δὲ πάντων ὁ θεῖος πρόξενος ἔλεος. οὐ γὰρ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν, φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως.

Τιτ. γ. ε.

9 Ὅτι ἐχόρτασε ψυχὴν κενήν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν·

10 Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

Καὶ Ἰουδαίους δουλείᾳ καὶ κακουχίᾳ συνεζευγμένους καὶ λιμῷ τηκομένους τῶν κατεχόντων δεινῶν ἠλευθέρωσε, καὶ ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν ταῖς θείαις διδασκαλίαις διέθρεψε, καὶ τοῦ ζόφου τῆς ἀγνοίας ἐλευθερώσας, τῷ φωτὶ τῆς θεογνωσίας κατηύγασε, καὶ τὴν ἐπικειμένην τοῦ θανάτου σκιὰν ἀπεσκέδασε, τῆς ἀναστάσεως δεδωκὼς τὴν ἐλπίδα, καὶ διέῤῥηξε τὰ ἰσχυρὰ δεσμὰ τῆς ἁμαρτίας. Σειραῖς γάρ, φησι, τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται· καί, Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν. ἐκείνη δὲ ἂν λέγοιτο κυρίως ψυχὴ κενή, ἡ Ἑλληνική, ἡ Ἰουδαϊκή, ἡ τῆς πνευματικῆς ἐστερημένη τροφῆς. Ἐμὸν γὰρ βρῶμά ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ πατρός μου. ἄρα καὶ τοῦτο τροφή, καὶ τροφὴ ἀρίστη. διὸ καὶ ἔλεγε· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. τοῦτο δὲ ὁ Χριστὸς ἐποίησε χορτάσας τὴν οἰκουμένην τῆς τοιαύτης τροφῆς. σκιὰν δὲ θανάτου οὐκ ἂν ἁμάρτοις λέγων τὴν εἰδωλολατρείαν καὶ τὰς ἐν ἀθεότητι πράξεις. αὗται γάρ εἰσιν αἱ χωρίζουσαι ἡμᾶς ἀπὸ τῆς ἀληθινῆς ζωῆς. ἐν ταύταις δὲ ἡμεῖς πάλαι περιέπεσον διὰ τὸ παραπικραίνειν τὸν Θεόν, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παροξύνειν. δέον γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων τὸν γενεσιουργὸν τῶν ὅλων θεωρεῖν καὶ τὴν ἀΐδιον αὐτοῦ δύναμιν καὶ θεότητα ἀπὸ κτίσεως κόσμου νοεῖν, ἡμεῖς οἷα τυφλοὶ ἐν σκότῳ καὶ σκιᾷ θανάτου διάγοντες καὶ τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις πεπεδημένοι καὶ πεπηρωμένοι ἐνηλλάττομεν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.

Παροιμ. ε. κβ.
Ησ. ε. ιη.
Ιω. δ. λδ.
Ματθ. ε. ϛ.

11 Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν.

12 Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν· ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν.

Τούτων δὲ πάντων τῶν ἀλγεινῶν αἰτία καὶ Ἰουδαίοις καὶ πᾶσιν ἀνθρώποις, ἡ ἁμαρτία. κἀκεῖνοι γὰρ δίκας τίνοντες ἐξεδόθησαν τῇ Βαβυλωνίων δουλείᾳ, καὶ πάντες ἄνθρωποι μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ὑπεβλήθησαν τῇ τῶν πόνων ταλαιπωρίᾳ. μετὰ ταῦτα γὰρ ἤκουσεν Ἀδάμ· Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, ἐν λύπῃ φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. τοσαύταις δὲ περιστοιχιζόμενοι συμφοραῖς, λύσιν οὐδεμίαν εὕραντο τῶν ἐπικειμένων κακῶν, ἀλλ' ὁ ταύταις αὐτοὺς συγκληρώσας αὐτὸς καὶ τὴν τούτων ἀπαλλαγὴν ἐδωρήσατο. 13 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς·

Γεν. γ. ιζ.

14 Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν.

ῥηξεν. Οἰκτείρας γὰρ καὶ τούτους κἀκείνους, τῶν μὲν τῶν ἐπικειμένων ἀπήλλαξε συμφορῶν, τοὺς δὲ τοῦ τῆς ἀγνοίας ἠλευθέρωσε σκότους, καὶ τῆς δουλείας διέρρηξε τὰ δεσμά. λέγοις δ' ἂν σκιὰν θανάτου, τὴν εἰδωλολατρείαν, καὶ τὰς ἐν ἀθεότητι πράξεις, αἳ τῆς ἀληθινῆς ἡμᾶς ἐχώριζον πάλαι ζωῆς παραπικραίνοντας τὸν Θεὸν καὶ τὴν βουλὴν τοῦ ὑψίστου παροξύνοντας. τότε μὲν γὰρ ἡ καρδία ἡμῶν ἐν τοῖς τῆς ἁμαρτίας ἐταπεινοῦτο κόποις, παρειμένης ἡμῶν τῆς ἐμφύτου καὶ λογικῆς δυνάμεως, ἣν οὐδεὶς ἀνεκτήσατο (ἠσθένησαν γὰρ, καὶ οὐκ ἦν ὁ βοηθῶν) μόνῳ δὲ τετήρητο τῷ τοῦ Θεοῦ λόγῳ τὸ μέγα τοῦτο κατόρθωμα. τὸ δὲ, διέρρηξε τοὺς δεσμοὺς αὐτῶν, δηλοῖ τοῦτο τὴν ἀθρόαν τῶν ἁμαρτιῶν ἄφεσιν, ἧς ἡμᾶς ἡ τοῦ σωτῆρος κατηξίωσε χάρις.

15 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων· 16 Ὅτι συνέτριψε πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασε. Πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς τὸ ἄφυκτον ἐκάλεσε τῶν κακῶν. καθάπερ γὰρ τὸν καθειργμένον ἔσωθεν τῶν θυρῶν καὶ τῶν μοχλῶν διαφυγεῖν τῶν ἀδυνάτων ἐστὶν, οὕτως ἀμήχανον ἦν καὶ Ἰουδαίοις τὴν Βαβυλωνίων διαδρᾶναι δουλείαν, καὶ πάντας ἀνθρώπους τοῦ θανάτου τὴν δυναστείαν. μόνος δὲ ὁ θεῖος ἔλεος ἤρκεσε κἀκείνων καὶ τούτου διαλῦσαι τὸ κράτος, καὶ τῶν ἀνιαρῶν τὴν λύσιν χαρίσασθαι. τὰ αὐτὰ δὲ δεύτερον εἶπεν ἐπὶ ταῖς δευτέραις αὐτοῦ εὐεργεσίαις. δηλοῖ δὲ τὴν μέχρι θανάτου κατάπτωσιν τῶν ἀνθρωπίνων ψυχῶν, δι' ἣν ἐδέησεν αὐτοῦ τῆς μέχρι θανάτου καθόδου· ἔνθα γενόμενος, τὰς μηδενὶ θνητῷ διανοιχθείσας πύλας, καὶ διὰ τοῦτο σιδηρᾶς καὶ χαλκᾶς λεγομένας, συνέτριψε. λέγει δὲ καὶ ἐν Ἰὼβ ὁ Κύριος. Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπληξαν; καὶ τὰς ἡμετέρας δὲ μόνος ἀφεῖλεν ἀνομίας, δι' ἃς μέχρι τῶν τοῦ θανάτου πυλῶν ἐφθάσαμεν.

Ἰὼβ λη. ιζ.

17 Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Οὔτε Ἰουδαῖοι, οὔτε πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ἀδίκως τοῖς ἀνιαροῖς περιέπεσεν· ἀλλὰ καὶ οὗτοι κἀκεῖνοι δίκας ὧν ἐπλημμέλησαν τίνουσιν· ἀλλ' ὅμως καὶ τούτους κἀκείνους τοσούτοις ἐγκαλινδουμένους κακοῖς σωτηρίας ἠξίωσε.

18 Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

Ἰουδαῖοι μὲν γὰρ τῷ πλήθει συνεχόμενοι τῶν κακῶν καὶ αὐτὴν ἀπεστρέφοντο τὴν τροφήν. τοῦτο γὰρ καὶ ἐν ἑτέρῳ ψαλμῷ, ὡς ἐξ ἐκείνων, εἴρηκεν ὁ προφήτης· ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. τὰ δὲ ἔθνη οὐδὲ ταῖς τῶν οἰκείων φιλοσόφων διδασκαλίαις προσέχειν ἐβούλετο· οὗ δὴ χάριν οἱ μὲν Σωκράτους κατεψηφίσαντο θάνατον, οἱ δὲ τὸν Ἀνάξαρχον ξένῃ παρέδοσαν τιμωρίας ἰδέᾳ, ἄλλοι τοὺς Πυθαγόρου διαδόχους πικρῶς αἰκισάμενοι πρόωρον αὐτοῖς ἐπήγαγον θάνατον. ἀλλ' ὅμως καὶ τούτοις ὁ τῶν ὅλων Θεὸς παρεσκεύασε μεταδοθῆναι τῆς ἀθανάτου τροφῆς, καὶ μετὰ πάσης ταύτῃ προσδραμεῖν προθυμίας ἀνέπεισε, καὶ τῶν τοῦ θανάτου πυλῶν ἠλευθέρωσε. καὶ ἄλλως βρῶμα ἐνταῦθα τὴν λογικὴν νοήσομεν τροφὴν, περὶ ἧς ὁ Κύριος τοῖς ἀποστόλοις ἔλεγεν, Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον. ταύτης πᾶν εἶδος ὁ ἄνθρωπος ἐβδελύξατο. οὔτε γὰρ φυσικὸν νόμον οὔτε γραπτὸν ἐφύλαξε, καὶ διὰ τοῦτο ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. πύλαι δὲ θανάτου, τὰ ἁμαρτήματα οἷς ἤγγισαν, δέον αὐτοὺς μακρύνεσθαι. ὅσον γὰρ ταύταις ἤγγισαν, πόρρω τῶν πυλῶν τῆς ζωῆς ἀναγκαίως ἐγίνοντο. ἀλλ' ὁ Χριστὸς αὐτοὺς καὶ μακρὰν ὄντας, ἐγγὺς διὰ τοῦ αἵματος τοῦ οἰκείου πεποίηκε. 19 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς,

Ἰω. ϛ. κζ.

καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Κραυγὴν ὁ Θεὸς οὐ τὴν διὰ φωνῆς γινομένην, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας λογίζεται· ἐπεὶ καὶ Μωϋσέως σιωπῶντος ἔλεγε, Τί βοᾷς πρός με; Ἐξοδ. ιδ. ιε.

20 Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς· καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ὁ γὰρ Θεὸς λόγος ἐνανθρωπήσας, καὶ ἀποσταλεὶς ὡς ἄνθρωπος (ὡς γὰρ Θεὸς, ἀπερίγραπτος, καὶ πανταχοῦ πάρεστι, καὶ περιέχει τὰ σύμπαντα) τὰ παντοδαπὰ τῶν ψυχῶν ἰάσατο τραύματα, καὶ τοὺς φθαρέντας ἀνέρρωσε λογισμούς. οὕτω τὴν Λουκ. ζ. μζ. ἁμαρτωλὸν ἐκείνην ἰάσατο γυναῖκα, καὶ θαρρεῖν παρηγγύησεν· οὕτω τὸν παρειμένον συνέσφιγξεν εἰρηκώς, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· οὕτως ἀνέῳξε τῷ λῃστῇ τὸν παράδεισον· Ματθ. θ. β. οὕτω τοὺς τελώνας διδασκάλους τῆς οἰκουμένης ἀπέφηνεν· οὕτω τοὺς τῷ παναγίῳ προσιόντας βαπτίσματι νευρεῖ καὶ καθαίρει καὶ τῶν τῆς ἁμαρτίας ἀπαλλάττει τραυμάτων.

21 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. 22 Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. Ὑπὲρ δὴ τούτων ἁπάντων ὑμνεῖν, φησὶ, δίκαιον τὸν φιλάνθρωπον Θεὸν ἐλέῳ τοσούτῳ χρησάμενον, καὶ τὴν παράδοξον ἡμῖν δωρησάμενον σωτηρίαν. χρὴ δὲ μὴ μόνον εἰδέναι τὰς θείας θαυματουργίας, ἀλλὰ καὶ τοὺς ἀγνοοῦντας διδάσκειν, καὶ πάντας διεγείρειν εἰς ὑμνῳδίαν. ἐπισημαίνεσθαι μέντοι δεῖ, ὡς αἰνέσεως θυσίαν καὶ ἐνταῦθα προσενεγκεῖν τῷ Θεῷ παρηγγύησε, καὶ οὐ τὴν ἀλόγων τὰ θύματα. τοιγαροῦν ἐκβάλλει καὶ ἐνταῦθα τὴν κατὰ νόμον λατρείαν. τὴν δὲ τῆς αἰνέσεως θυσίαν ὁ Ἀκύλας θυσίαν εὐχαριστίας προσηγόρευσεν.

23 Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. Τῶν ἀποστόλων καὶ τῶν ἅμα αὐτοῖς ἡ παροῦσα προφητεία τὴν μνήμην σφόδρα ἀκολούθως συνῆψε τῇ τοῦ Θεοῦ λόγου εἰς ἀνθρώπους παρουσίᾳ. αὐτοὶ γὰρ ἦσαν οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις ῥητῶς καὶ κατὰ λέξιν, ὥσπερ οὖν ἡ θεία γραφὴ τῶν εὐαγγελίων μαρτυρεῖ αὐτοῖς. καὶ τὰ νέα μυστήρια τῆς καινῆς διαθήκης πράττειν παρακελεύεται λέγων· Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως.

Ἔχει δὲ οὕτως. Παράγων γάρ, φησιν, ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε Ματθ. δ. ιη. δύο ἀδελφούς, Σίμωνα τὸν καλούμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς) καὶ εἶπεν αὐτοῖς· δεῦτε, ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς Ἰάκωβον καὶ Ἰωάννην καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ τούτους ὁμοίως ἐκάλεσε. περὶ τῶν ἀποστόλων τοίνυν ὁ λόγος. οἷα γὰρ τινος ζητοῦντος, καὶ τίνες οὗτοι τυγχάνουσιν; ἐπήγαγεν, οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, καὶ τὰ ἑξῆς· καὶ δι' αὐτῶν ἐπληροῦτο τῶν ἔργων ἡ δύναμις. Ματθ. η. κδ. τῶν γὰρ μαθητῶν τοῦ σωτῆρος ἡμῶν πλεόντων σὺν αὐτῷ σεισμὸς ἐγένετο, φησὶ, μέγας ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων. οἱ δὲ προσπεσόντες εἶπον αὐτῷ, Κύριε, σῶσον ἡμᾶς. καὶ ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη· ὅπερ ἦν, ἰδεῖν τὰ ἔργα Κυρίου καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

24 Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Παραβολικῶς ταῦτα τέθεικεν ὁ προφήτης. λέγει δὲ τοῦτο, ὅτι καθάπερ οἱ ναυτιλλόμενοι καὶ τὰ μεγάλα διαπερῶντες πελάγη διαφερόντως τὰς θείας μεγαλουργίας ὁρῶσι, κλύδωσι μὲν χαλεποῖς περιπίπτοντες, παρὰ πᾶσαν δὲ ἀνθρωπίνην ἐλπίδα τῆς σωτηρίας ἀπολαύοντες· οὕτω καὶ Ἰουδαῖοι ταῖς συμφοραῖς ἐκείναις περιπεσόντες καὶ τῆς

ἐλευθερίας

ἐλευθερίαν ἀπειληφότες, τὴν θείαν κατέμαθον δύναμιν. καὶ μὲν δὴ καὶ ἄπαντες οἱ ἄνθρωποι τὴν ξένην τῶν πραγμάτων ὁρῶντες μεταβολὴν, καὶ τῆς προτέρας πλάνης τὴν παῦλαν, καὶ τῶν ψυχῶν τὴν γαλήνην, καὶ τῆς ἀναστάσεως τὸν λιμένα, τὴν τούτων θαυμάζουσι χορηγόν. ἐνταῦθα δὲ θάλασσαν νόησαι χρὴ τὸν βίον τὸν ἡμέτερον· πλοῖα, τὰς ἐκκλησίας, ἐν αἷς οἱ ἀπόστολοι εἰργάσαντο σωτηρίαν, ἐν τῷ πλήθει δηλαδὴ τῶν ἀνθρώπων· εἴδοσαν δὲ καὶ τοῦ Θεοῦ τὰ ἔργα, τουτέστι, τὰ δημιουργήματα καὶ τὰ θαυμάσια, τὰ σημεῖα ὅσα τὴν σωτηρίαν οἰκονομουμένην τὴν ἡμετέραν ἔθετο ἐν τῷ βυθῷ, τουτέστιν, ἐν τῇ σοφίᾳ, μεθ᾽ ἧς οἰκονομεῖ τὰ ἡμέτερα. βάθος γὰρ ἡ τοῦ Θεοῦ σοφία, διὰ τὸ ἀνείκαστον αὐτῆς καὶ ἀμέτρητον. 25 Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

25 Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων.

Καὶ διὰ τούτων ἐδίδαξεν, ὡς αὐτοῦ νεύοντος καὶ τὰ λυπηρὰ γίνεται, καὶ τὰ θυμήρη προσγίνεται. λέγει δὲ τοὺς πειρασμοὺς οὓς ἐγείρει τὸ πνεῦμα τῆς καταιγίδος, δηλαδὴ τὸ ἀντικείμενον πνεῦμα, ἐπιτρέψαντος τοῦ Θεοῦ εἰς τὴν τῶν δικαίων γυμνασίαν καὶ φανέρωσιν. δηλοῖ δὲ αὐτὸς ὁ Θεός, ἡνίκα τῷ διαβόλῳ πειράσαι ἐπέτρεψε, λέγων πρὸς τὸν Ἰώβ· Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ὅπερ γάρ ἐστι τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ταῖς ψυχαῖς οἱ πειρασμοὶ τυγχάνουσι, τήκοντες αὐτὰς, οὐχ ὥστε διαφθεῖραι, ἀλλ᾽ ὥστε φανερωθῆναι, πῶς λαμπρότητος ἔχουσιν.

Ἰὼβ μ. γ.

Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο· 27 Ἐταράχθησαν, ἐσαλεύθησαν, ὡς ὁ μεθύων· καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Ἐπέμεινε τῇ τροπῇ· καὶ δοκεῖ μοι περὶ τῶν ναυτιλλομένων λέγειν, αἰνίττεται δὲ διὰ τούτων τὰς παντοδαπὰς τῆς ψυχῆς συμφορὰς, ἃς οὐδεὶς ἀνθρωπίνῃ σοφίᾳ χρώμενος ἱκανὸς διαλῦσαι. οὐδὲ γὰρ οἱ κυβερνῆται τῇδε κἀκεῖσε μεθυόντων δίκην περιφερόμενοι, ὅταν ὑπερσχῇ τὸ κλυδώνιον, πᾶσαν εἰσφέροντες τὴν τέχνην, περιγενέσθαι δύνανται τῶν δεινῶν.

28 Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς· καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. 29 Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν· καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς, 30 Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν.

Κἀκείνοις τοῖς πλέουσιν ἐπικαλουμένοις τὴν οἰκείαν ῥοπὴν ὀρέγει, καὶ νεύει, καὶ παραχρῆμα εἰς αὔραν πραεῖαν ἡ καταιγὶς μεταβάλλεται, καὶ τῆς ζάλης τὸ πέλαγος ἀπαλλάττεται, καὶ οἱ λυπηροῖς τισι προσπαλαίοντες διὰ τῆς αὐτοῦ χάριτος μεταβολὴν εὑρίσκουσι τῶν κακῶν. οὕτως Ἰουδαῖοι τῆς πικρᾶς δουλείας ἐκείνης ἠλευθερώθησαν.

Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ. Ἅμα γὰρ ἠθέλησε, καὶ λύσις ἐγένετο τῶν κακῶν, καὶ ἀντὶ τοῦ κλύδωνος ὁ λιμὴν ἀνεφάνη. καὶ τοῦτο δὲ μᾶλλον ἡμῖν ἢ ἐκείνοις ἁρμόδιον. ἡμᾶς γὰρ εἰς τὸν τοῦ θελήματος λιμένα καθώρμισε τὴν θείαν αὐτοῦ δωρησάμενος γνῶσιν, δηλαδὴ τὴν βασιλείαν· ἥτις λιμήν, ὡς οὐκ ἔχουσα τῶν πειρασμῶν τὰ κύματα, εἰκότως προσηγόρευται, καὶ λιμὴν θελήματος τοῦ Χριστοῦ ἀναγκαίως, τοῦ λέγοντος· Πάτερ, οὓς δέδωκάς μοι, θέλω, ἵνα ὅπου ἐγὼ εἰμι, κἀκεῖνοι ὦσιν.

Ἰω. ιζ. κδ.

31 Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. 32 Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. Ἀκολούθως μετὰ τοὺς ἀποστόλους τῆς ἐκκλησίας καὶ τοῦ πρεσβυτερίου τοῦ ἐν ταύτῃ μνήμην ποιεῖται. προστεθῆναι γὰρ τοῖς τῶν ἀγαθῶν εὐαγγελίοις ἔδει καὶ ταῦτα. δεῖ δέ, φησιν, ἐν τῇ τῶν ἐθνῶν ἐκκλησίᾳ δοξάζειν τὸν παράδοξα ποιοῦντα Θεόν. ἔθνη γὰρ καὶ Ἰουδαῖοι τὴν ἀλλήλων μετειλήφασι τάξιν. οἱ μὲν γὰρ διὰ κακίας ἀποβληθέντες, ἀγγελικῆς ἐπιφανείας καὶ προφητικῶν χαρισμάτων

ἐστερημένοι, ἥ τε τούτων χώρα καὶ πόλις οἰστικὴ πρότερον οὖσα καρπῶν ἀγαθῶν, ἐκ τῆς εἰς Χριστὸν παρανομίας ἄκαρπος ἔπι διατελεῖ, οὐ μητρόπολις οὖσα, οὐχ ἱερόν, οὐχ ἅγια ἁγίων ἔχουσα, οὐχ ἱερωσύνην, οὐ βασιλείαν· ἐθνικοῖς δὲ δουλεύουσι νόμοις ἐκπεσόντες ἐλευθερίας. ἡ δὲ, πρὶν ἄνυδρος, ἐθνῶν ἐκκλησία, ἔρημός τε καὶ πλανωμένη, πλήρης νῦν ἀγαθῶν, καὶ τοὺς πεινῶντας πληροῖ, καὶ συνεστήσατο τὴν ἔνθεον πολιτείαν. αὕτη γὰρ πόλις κατοικεσίας, ἐν ᾗ καὶ λογικὴ τροφὴ καὶ ἄρτος οὐράνιος.

33 Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν,

34 Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Καὶ τοῦτο παρὰ τῶν πεπιστευκότων ἐθνῶν διηνεκῶς γινόμενόν ἐστιν ἰδεῖν. ἐν ἁπάσαις γὰρ ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις τοῦ ἱεροῦ καθηγουμένου συλλόγου ἅπας ὁ λαὸς τὸν εὐεργέτην ὑμνεῖ, τῆς θείας φιλανθρωπίας τὰς θαυματουργίας διεξιών. ὑμνοῦσι δὲ αὐτὸν οἱ τῆς σωτηρίας τετυχηκότες, τὴν ξένην ὁρῶντες μεταβολήν. οἱ γὰρ πάλαι πολλοῖς ἀρδόμενοι προφητικοῖς ποταμοῖς, καὶ καρπὸν ὥριμον″ προσφέροντες τῷ Θεῷ, νῦν οὐδὲ νοτίδος μικρᾶς ἀπολαύουσιν· ἀλλ' ἔρημοι παντελῶς διὰ τὴν οἰκείαν πονηρίαν τῆς προτέρας ἀρδείας γεγένηνται.

κ. προσφέρ.

35 Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

Τὰ δὲ πάλαι ἔρημα ἔθνη καὶ οὐδὲ βραχεῖαν ἐσχηκότα λιβάδα, τοῖς τῆς διδασκαλίας ὕδασι περικλύζεται, ὑπὲρ τὴν χρείαν τὰ λογικὰ δεχόμενα ῥεύματα. ἰδοὺ τοίνυν πῶς τὰ περὶ τῆς ἐκκλησίας συμφώνως τῷ Ἡσαΐᾳ ἐκτίθεται. φησὶ γὰρ κἀκεῖνος· Θήσω τὴν ἔρημον εἰς ἕλη, καὶ διψῶσαν γῆν εἰς ὑδραγωγούς.

Ησ. μα. ιη.

36 Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας.

Τοὺς γὰρ πάλαι λιμῷ τηκομένους καὶ τῆς πνευματικῆς τροφῆς ἐνδεεῖς ἐν ἐκείνοις κατῴκισε τοῖς ποταμοῖς, καὶ τὴν εὐσεβῆ συνεστήσατο πολιτείαν.

37 Καὶ ἔσπειραν ἀγρούς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος. Ὁ γὰρ οὐράνιος σπόρος ἐκ τῶν ἀποστόλων ἐκ διαδοχῆς ἀεὶ παραδιδόμενος ἐν ταῖς τοῦ μετανοίας βίου ψυχαῖς κατασπείρεται, περὶ οὗ φησιν ὁ σωτήρ· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἃ μὲν ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, ἃ δὲ ἐπὶ τὴν πέτραν, ἃ δὲ παρὰ τὴν ὁδόν, ἃ δὲ ἐπὶ τὴν καλὴν καὶ ἀγαθὴν γῆν. φυτεύονται δὲ καὶ ἀμπελῶνες, αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι, κατὰ τό· Ἐγώ σε ἐφύτευσα ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν· καὶ, Ἄμπελος ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι. ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ἐστί, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. ὡς γὰρ τὴν τῶν Ἰουδαίων ἐδήλου διὰ τούτων συναγωγήν, οὕτω νῦν τὴν τῶν ἐθνῶν ἐκκλησίαν. ὅτι δὲ καρπὸν δικαιοσύνης ἐποίησαν τὰ ἔθνη, φησὶν ὁ σωτήρ· Ἀρθήσεται ἡ βασιλεία τοῦ Θεοῦ ἐκ τοῦ προτέρου λαοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τὸν καρπὸν αὐτῆς. 38 Καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα· καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε. Ταῦτα τροπικῶς εἴρηκεν ὁ προφήτης. καὶ ὁ Κύριος δὲ παραβολαῖς τοιαύταις ἐχρήσατο, καὶ ποτὲ μὲν τοὺς ἀποστόλους ἐκάλεσε θεριστάς, ποτὲ δὲ ἑαυτὸν σπορέα καὶ γεωργόν, καὶ γῆν καλὴν τοὺς εὐπειθῶς δεχομένους τοῦ λόγου τὰ σπέρματα. καὶ ὁ ἀπόστολος δέ φησιν· Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανε. καὶ πάλιν· Θεοῦ γεώργιόν ἐστε, Θεοῦ οἰκοδομή ἐστε. καὶ ἔσπειραν τοίνυν οἱ ἀπόστολοι τὰ σωτήρια κηρύγματα, καὶ τοὺς λογικοὺς τῷ Θεῷ κατεφύτευσαν παραδείσους, καὶ τὸν ὥριμον τῆς δικαιοσύνης καρπὸν τῷ Θεῷ προσεκόμισαν· καὶ ἅπαντες δὲ οἱ μετ' ἐκείνους τὴν διδασκαλίαν πεπιστευμένοι, ταυτὸ τοῦτο δρῶντες διατελοῦσιν. Ὁ γὰρ σπείρων ἐπ'

Λου. η. ε.

Ιερ. β. κα.

Ησ. ε. α.

Ματθ. κα. μγ.

α. Κορ. γ. ς. θ.

β. Κορ. θ. ς.

εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει, κατὰ τὸν θεῖον ἀπόστολον. κτήνη δὲ καλεῖ τοὺς ὑπ' αὐτῶν νεμομένους, οὓς αὐτὸς ηὔξησε, τῆς θαυματουργίας χορηγήσας τὴν δύναμιν. καὶ μάρτυς ὁ μακάριος Λουκᾶς ἐν ταῖς πράξεσι λέγων· Ο δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν. καὶ αὐτὸς δὲ ὁ Κύριος πρόβατα καλεῖ τοὺς πεπιστευκότας. Τὰ πρόβατα γάρ, φησι, τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει.

Πράξ. β. μζ.
Ιω. ι. κζ.

39 Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.

Οὗτοι μὲν οὖν, φησιν, οἱ πάλαι τὴν ἔρημον οἰκοῦντες καὶ ἄνυδρον, τοσαύτης εὐθηνίας καὶ εὐλογίας πεπιστευκότες ἀπήλαυσαν· οἱ δὲ πάλαι τῆς τῶν προφητῶν ἀπολαύσαντες ὠφελείας, εἶτα ταύτης ἐστερηθέντες διὰ τὴν πονηρίαν τῆς γνώμης, καὶ ἔρημοι παντελῶς μεμενηκότες καὶ ἄκαρποι, παντοδαπαῖς περιέπεσον συμφοραῖς, καὶ εἰς ἅπασαν τὴν οἰκουμένην διεσκεδάσθησαν, ὥστε τὴν πολυάνθρωπον αὐτῶν μητρόπολιν ὑπὸ ὀλίγων οἰκεῖσθαι. 40 Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν.

Μαρτυρεῖ δὲ τῇ προρρήσει τὰ πράγματα. καὶ γὰρ οἱ δοκοῦντες αὐτῶν ἄρχοντες εἶναι καὶ διδάσκαλοι, οὐδενὸς ἄξιοι καθεστήκασι λόγου, ἀλλ' οἱ πάλαι περιφανεῖς καὶ περίβλεπτοι, ἄσημοι παντελῶς εἰσι, καὶ ὑπ' αὐτῶν ἐκείνων καταφρονούμενοι. Εἰ γὰρ καὶ σωματικῶς οἱ Ἰουδαῖοι πληθύνουσι κατὰ τό, Καὶ ἔσται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἀλλ' οὐ πάντας ἀξίους ἀποφαίνει τὸ πνεῦμα τὸ ἅγιον. λέγει γὰρ διὰ Ἡσαΐου τοῦ προφήτου· Ἐὰν γένωνται υἱοὶ Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. ὅπερ νῦν λέγει, ὅτι ὠλιγώθησαν, καὶ κατεφθάρησαν ἀπὸ συνοχῆς κακῆς καὶ ταλαιπωρίας. ἀλλὰ ταῦτα μὲν οἱ πολλοί· οἱ δὲ προέχοντες ἐν ἀξιώμασι καὶ γνώσει, παρεδόθησαν ἐξουδενώσει, οὓς δὴ καὶ ἐπλάνησεν ὁ Θεὸς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ. Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ.

Γεν. κβ. ιζ.
Ησ. ι. κβ.

Ο δὲ Σύμμαχος οὕτως· Καὶ πλανήσει αὐτοὺς ἐν ματαιότητι διανοίας. Ο δὲ Θεὸς οὐκ ἐπάγει πλάνην, ἀλλὰ τοὺς μὴ πειθομένους αὐτῷ, ἀκυβερνήτους ἐᾷ· οἱ δὲ ἀκυβέρνητοι τῇδε κἀκεῖσε περιφερόμενοι, πλανῶνται. τοῦτο καὶ Ἰουδαῖοι πεπόνθασι. τὴν εὐθεῖαν γὰρ καταλιπόντες ὁδὸν τοῖς οἰκείοις ἕπονται λογισμοῖς.

41 Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας· καὶ ἔθετο, ὡς πρόβατα, πατριάς.

Ο δὲ Σύμμαχος· Καὶ ὀχυρώσεις πένητα ἀπὸ κακώσεως. Πένητα δὲ λέγει τὸν ἐξ ἐθνῶν λαόν. καὶ ἔθετο, ὡς πρόβατα, πατριάς. Ο δὲ Ἀκύλας· Καὶ θήσει ὡς ποίμνιον συγγενείας. καὶ ὁ Σύμμαχος, καὶ τάξει ὡς ποίμνια τὰς συγγενείας. λέγει δὲ τὰς κατὰ πόλιν καὶ χώραν συστάσας ἐκκλησίας. καὶ ὁ σωτὴρ δέ φησι περὶ τοῦ ἰδίου λαοῦ, Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει. ὡς δὲ περὶ μελλόντων καὶ μήπω παρόντων φησίν·

Ιω. ι. κζ.

42 Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει στόμα αὐτῆς.

Ταῦτα γὰρ ὁρῶντες οἱ εὐθύτητι λογισμῶν κεχρημένοι θυμηδίας ἐμπίμπλανται· οἱ δὲ δυσσεβείᾳ καὶ παρανομίᾳ συζῆν προαιρούμενοι, κύπτειν εἰς γῆν καὶ σιγᾶν ἀναγκάζονται, τῇ δικαίᾳ χαλινούμενοι ψήφῳ. Τίνα δὲ ὄψονται, ἀλλ' ἢ τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω μεταβολήν; διὸ τοῖς τὰ τέλη τῶν προφητικῶν τεθεαμένοις ἔλεγεν ὁ σωτήρ· Ὑμῶν δὲ μακάριοι ὀφθαλμοὶ, ὅτι βλέπουσιν, ἃ πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν, καὶ οὐκ εἶδον. ἀνομίαν δὲ νοήσεις τὸν διάβολον, καὶ πάντα τὸν κατ' αὐτὴν πεποιωμένον.

κ. τό.
Ματθ. ιγ. ιϛ.

43 Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου;

Τὸ πολὺ γὰρ αὐτῶν ἀνάκειται πνευματικῇ διανοίᾳ, καὶ δεῖται σοφίας εἰς νόησιν. ἀλλ' ὸ διαγνῶναι τὰς φιλανθρώπους τοῦ σωτῆρος οἰκονομίας, οὔτε τὸ τὰς θείας νομοθεσίας φυλάξαι,

λάξαι, πολυτὸς, ἀλλὰ τοῦ βοῶντος πρὸς τὸν δεσπότην· Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. δι' ὧν δὲ λέγει, Συνήσουσιν, ὡς μέλλουσαν τοῖς ἐξ ἐθνῶν τὴν θεωρίαν ἀναπέμψειν· ᾧ ἡ δόξα Χριστῷ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ριη.

Ψαλμ. ρζ. ΩΔΗ ΨΑΛΜΟΥ ΤΩ ΔΑΒΙΔ.

ΚΑὶ οὗτος ὡσαύτως ὁ ψαλμὸς τὴν Ἰουδαίων ἐπάνοδον προθεσπίζει, καὶ τῶν ἐθνῶν προαγορεύει τὴν σωτηρίαν. πολλὴν δὲ ἔχει τὴν συγγένειαν πρός τε τὸν πεντηκοστὸν ἕκτον, καὶ πρὸς τὸν πεντηκοστὸν ἔνατον. ᾠδὴν δὲ ψαλμοῦ, τὴν ἐν συνέσει δοξολογίαν λέγει. τοῦτο γὰρ καὶ ἐν τοῖς ἑξῆς δειχθήσεται. 1 Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς· ἑτοίμη ἡ καρδία μου. ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Καὶ ἤδη προειρήκαμεν, ὡς δόξαν οἰκείαν ὁ προφήτης, τὴν προφητικὴν χάριν καλεῖ. τῇ τῆς προφητείας, φησὶ, χρώμενος μελῳδίᾳ λέγω σοι τῷ δεσπότῃ, ὡς ἑδραίαν ἔχω μου τὴν καρδίαν καὶ ἑτοίμην εἰς ὑποδοχὴν τῆς θείας σου χάριτος. Μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· οἱ δὲ θαρροῦντες ἐροῦσιν, ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. δυνάμει δέ φησιν ὁ προφήτης· ἰδού σοι, δέσποτα, τὰ παρὰ τῆς ἐμῆς δυνάμεως προεσκεύασαι· πέμπε σου τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν προφητικὴν δωρέου χάριν. εἰς γὰρ τὴν ταύτης ὑπηρεσίαν τὴν ἐμὴν ἡτοίμασα γλῶσσαν. ᾄσω τε καὶ ψαλῶ, εἴ μου πληρώσῃς τὴν ἐπιθυμίαν, μᾶλλον δὲ τὴν καρδίαν. ἡ ἐμὴ δόξα, ἡ χάρις ἡ προφητική, ἤγουν ἕξις ἡ θεωρητική τε καὶ πρακτική.

Matth. 5. b.

2 Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα. ἐξεγερθήσομαι ὄρθρου.

3 Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσι.

Ψαλτήριον καὶ κιθάραν ἑαυτὸν ὁ προφήτης καλεῖ. * ἐν ὀργάνῳ γὰρ μουσικῷ τοῦ πνεύματος ἡ χάρις, ἐν αὐτῷ τὴν προφητικὴν ἀνεκρούετο μελῳδίαν. ἐντρεπίζεται γὰρ πρὸς τὴν θείαν ἐπίπνοιαν, ψυχήν τε καὶ σῶμα κινῶν· διὰ μὲν τῆς κιθάρας τὰ μέλη τοῦ σώματος καὶ τὰ αἰσθητήρια, δι' ὧν ὁ νοῦς ἀνακρούεται πᾶν ὅ,τι βούλεται· διὰ δὲ τοῦ ψαλτηρίου τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις. ὡς δὲ τὰς ἀπαρχὰς τῆς ἑαυτοῦ ζωῆς ἀνατιθεὶς τῷ Θεῷ, τοὺς ὄρθρους ἀπολαμβάνει καὶ τοὺς καιροὺς τοῦ φωτὸς, ὡς ἐπιτηδειοτέρους τῆς ὅλης ἡμέρας. διεγείρας τοίνυν ἑαυτὸν εἰς ὑμνῳδίαν τοῦ δεσπότου, ἀποκρίνεται πάλιν καὶ ὑπισχνεῖται ὄρθρου τοῦτο ποιήσειν· ἅτε δὴ τηνικαῦτα οὐκ αὐτὸς μόνος προσοίσων τὸν ὕμνον, ἀλλὰ καὶ μετὰ μυρίων ἐθνῶν καὶ λαῶν τὴν θείαν ᾠδὴν ποιησόμενος. ὄρθρον δὲ καλεῖ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐνανθρώπησιν. ἐξ ἐκείνου γὰρ ἀνέτειλε τῆς ἀληθείας τὸ φῶς· ἐξ ἐκείνου κατὰ πᾶσαν τὴν οἰκουμένην ἐν τοῖς ἁπάντων στόμασιν ὁ μακάριος ᾄδει Δαβὶδ, καὶ τὰς θείας εὐεργεσίας ὑμνεῖ.

4 Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Νικᾷ τῶν οὐρανῶν τὰ κύτη τοῦ σοῦ ἐλέους τὸ μέγεθος· πανταχόσε τῆς σῆς ἀληθείας αἱ ἀκτῖνες διέδραμον. καὶ ἤδη δὲ εἰρήκαμεν ὡς νεφέλας καὶ τοὺς προφήτας καὶ τοὺς ἀποστόλους καὶ τοὺς διδασκαλικῆς χάριτος τετυχηκότας καλεῖ. διὰ τούτων γὰρ, ὥσπερ διά τινων νεφελῶν, τὴν πνευματικὴν ἀρδείαν τοῖς ἀνθρώποις προσφέρει. δι' αὐτῶν γὰρ τὰ ἀληθῆ μεμαθήκαμεν δόγματα. ἔλεος δὲ καὶ ἀλήθεια τῆς οἰκονομίας Χριστοῦ τὸ μυστήριον, ὥστε τὸν προφήτην τοῦτον ἀλλαχόσε λέγειν· Ἔλεος καὶ ἀλήθεια συνήντησαν εἰς

Ψαλμ. πδ.

ἐν· ἡ τοῦ Χριστοῦ θεότης καὶ ἀνθρωπότης τῇ τοῦ λόγου σαρκώσει κατεμήνυσεν. ἀλλὰ τὸ μὲν ἔλεος ἁρμόττει τῇ τοῦ λόγου σαρκωθέντος θεότητι (αὕτη γὰρ τὸ πλάσμα τὸ οἰκεῖον ἠλέησεν) ἡ ἀλήθεια δὲ τῇ σαρκί. οὐδὲ γὰρ κατὰ φαντασίαν, ὥς τινες τῶν αἱρετικῶν δοκοῦσιν, ψαλ. πδ. ιβ. ἀλήθεια δὲ ὁ Θεὸς λόγος σεσάρκωται. τοῦτο γὰρ ἑρμηνεύων ὁ Δαβὶδ πάλαι ἔλεγεν, Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, τὴν ἀνθρωπότητα τοῦ Κυρίου λέγων, τὴν ἀπὸ τῆς ἡμετέρας γῆς δηλαδὴ τῆς ἀνθρωπότητος ἀνατείλασαν. μέγα τοίνυν ἐπάνω τῶν οὐρανῶν ἡ τοῦ Χριστοῦ θεότης διὰ τὴν δόξαν, ἣν παρὰ τῶν οἰκείων δυνάμεων ἐδοξάζετο. ἐπὶ γῆς γὰρ ἠγνοεῖτο καὶ τῇ σαρκὶ συνεσκιάζετο.

5 Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ἀββακ. γ. β. Τοῦτο καὶ ὁ μακάριος ἔφησεν Ἀμβακούμ· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς "συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. γρ. αἰνέσεως τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἐν τῷ ὀγδόῳ ψαλμῷ ἔφη· Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. τὸ οὖν ὑψώθητι, ἀντὶ τοῦ, δείχθητι ὑψηλὸς καὶ πάντων ὑπέρτερος, καὶ πᾶσα ἡ γῆ τὴν σὴν μαθέτω δόξαν.

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου· 6 Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.

Αἰτεῖ γὰρ ταχέως ἐπιστῆναι τὴν χάριν, καὶ τὸν ὑψούμενον ἐν οὐρανοῖς φανερῶσαι τὴν δόξαν ἐπὶ πᾶσαν τὴν γῆν, ὅπως ἂν ῥυσθῶσιν οἱ δυνάμενοι λέγειν, Ἐφεσ. α. δ. Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. ἀγαπητοὶ δὲ τοῦ Θεοῦ εἰσὶν οἱ σωθέντες διὰ τῆς ἀγάπης αὐτοῦ τῆς πρὸς τὸ γένος τὸ ἡμέτερον ἄνθρωποι, ὥσπερ καὶ ὑψωθεὶς εἰς οὐρανὸν ἀπὸ τῆς ἀρχαίας αἰχμαλωσίας ἐρρύσατο, Ἐφεσ. δ. η. καθά φησιν ὁ Παῦλος· Ἀναβὰς εἰς ὕψος ἠχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. δεξιὰν δὲ τοῦ Θεοῦ λέγει, τὴν ἀγαθὴν ἐνέργειαν, ἢ τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ καὶ Θεοῦ δάκτυλος ὀνομάζεται, ὡς τῆς τριάδος μίαν ἐχούσης οὐσίαν δύναμίν τε καὶ ἐνέργειαν. σωθῆναι τοίνυν ἡμᾶς ὁ προφήτης καὶ ἐπακουσθῆναι παρακαλεῖ τῷ πνεύματι, ἵνα πνευματικοὶ γενώμεθα καὶ τῆς θείας χάριτος μέτοχοι.

Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· 7 Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Οὗπερ ᾔτησεν ὁ προφήτης ἀπέλαυσε, καὶ ἐπειδὴ εἶπεν, ὑψώθητι, ἀποκρίνεται λέγων ὁ δεσπότης, ὑψωθήσομαι. δείκνυσι καὶ τὸν τρόπον· διαμεριῶ Σίκιμα. πόλις δὲ αὕτη κατ᾽ ἐξαίρετον τῷ Ἰωσὴφ δεδομένη. ἀλλὰ καὶ τὴν κοιλάδα τὴν ἔρημον γενομένην καὶ ποιμένων δεξαμένην σκηνὰς ἄνωθεν, οἰκητόρων πληρώσω, καὶ διανεμηθῆναι τοῖς ἐπανελθοῦσι παρασκευάσω. τούτοις τοῖς ὀνόμασι τὴν δωρεὰν χαρακτηρίζει τοῦ πνεύματος. κοιλάδα μὲν τῶν σκηνῶν, τῶν ἐκκλησιῶν δηλονότι τυγχάνουσαν, ἐπειδὴ τὴν τῶν νοητῶν ὑδάτων συναγωγὴν (φημὶ δὲ τοῦ βαπτίσματος) ἐν τῇ κοιλάδι ταύτῃ τῇ χορηγίᾳ τοῦ πνεύματος κέκτηνται, Ψαλμ. ξδ. ιδ. περὶ ἧς ἀλλαχοῦ φησιν ὁ Δαβίδ· Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· ἐπειδὴ τῆς ἡμετέρας σωτηρίας ὁ καρπὸς ἐν ταῖς κολυμβήθραις πληθύνεται τοῦ βαπτίσματος. Σίκιμα δὲ, ὠμίασις ἑρμηνεύεται, τουτέστιν, ἐξοχή. τοῦτο γὰρ ὁ ὦμος παρὰ τῇ α. Βασ. ι. κγ. θείᾳ γραφῇ δηλοῖ. ὅθεν περὶ τοῦ Σαούλ· ὑψηλὸς ὑπὲρ ὠμίας καὶ ἐπάνω. τί δὲ τοῦ πνεύματος ὑψηλότερον; ἢ ποία ὑπεροχὴ κατὰ τὴν δωρεὰν τὴν ἐκεῖθεν εὑρίσκεται, ἣν ὑψούμενος ὁ Χριστὸς διαμερίζει, ἀλλὰ μὴν καὶ διαμετρεῖ, τουτέστι, πρὸς μέτρον διαιρεῖ; α. Κορ. ιβ. ζ. Ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον δίδοται.

8 Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς· καὶ Ἐφραῒμ ἀντίληψις τῆς κεφαλῆς μου, 9 Ἰούδας βασιλεύς μου.

Οἰκειώσομαι γὰρ οὐ μόνον τὸν Μανασσῆ, ἀλλὰ καὶ τὴν ἐκείνου χώραν. Γαλαὰδ γὰρ ὄνομα τόπου, Μανασσῆς δὲ προσηγορία φυλῆς. ἀλλὰ καὶ τῷ Ἐφραῒμ τὴν προτέραν ἀποδώσω δύναμιν. τὸν μέντοι Ἰούδαν πασῶν τῶν φυλῶν βασιλεύειν παρασκευάσω. μετὰ γὰρ τὴν ἐπάνοδον ἀδιαίρετοι μεμενήκασιν αἱ φυλαί· ὁ δὲ Ζοροβάβελ καὶ τούτων κἀκείνων ἡγεῖτο· κυρίως δὲ καὶ ἀληθῶς ὁ δεσπότης Χριστὸς, ὁ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας, πάσης βασιλεύει τῆς κτίσεως.

Μωὰβ λέβης τῆς ἐλπίδος μου· 10 Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τοσαύτην δὲ τῷ ἐμῷ λαῷ παρέξω ἰσχὺν, ὥστε καὶ τῶν ἀλλοφύλων κρατῆσαι, καὶ Μωαβίτας καὶ Ἰδουμαίους ὑπηκόους λαβεῖν. ἀκριβέστερον δὲ ταῦτα ἐν τῷ πεντηκοστῷ καὶ ἐνάτῳ ψαλμῷ εἴρηται. λευκότερον καὶ σαφέστερον ἡρμήνευσεν ὁ Ἀκύλας καὶ ἡ πέμπτη ἔκδοσις, παρ' οἷς εἴρηται· Μωὰβ λέβης τοῦ λουτροῦ μου, τουτ' ἔστι, δοχεῖον τοῦ λουτροῦ μου. οἶδα δ' ἐγὼ ἀκούσας λέγειν ἐν ἀπορρήτῳ παραδεδομένον ὑπό τινος Ἑβραίου. μυστικῶς γὰρ ἔφασκε δηλοῦσθαι διὰ τῶν προκειμένων τὴν κατὰ σάρκα τοῦ Χριστοῦ γέννησιν ἀπὸ τοῦ γένους τοῦ Μωὰβ παραληφθεῖσαν διὰ τὴν Μωαβῖτιν Ῥοὺθ, ἀφ' ἧς γέγονε Δαβὶδ ὁ βασιλεύς· οὗ ἐκ σπέρματος ὁ κατὰ σάρκα ὁ Χριστὸς γεγέννηται. δοκεῖ δέ μοι ὁ Θεὸς διὰ τούτων καὶ τῷ Μωὰβ ἐπαγγέλλεσθαι τὴν χάριν τῆς κλήσεως, διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. ἐπειδὴ δὲ τῷ Μωὰβ τοιαῦτα ἐπαγγέλλεται, ἡμῖν καταλιμπάνει νοεῖν καὶ περὶ τῶν λοιπῶν ἐθνῶν τὰ ὅμοια. δηλοῖ δὲ τὴν ἑξῆς ἡ προαγόρευσις. Ἰδουμαῖοι γὰρ ἦσαν ἀπὸ τοῦ μεμισημένου Ἠσαῦ. ἐπιβαλῶ οὖν τὸ ὑπόδημά μου ἐπ' αὐτὴν ἐκείνην τὴν τοῦ μεμισημένου χώραν. ἐπιβήσομαι οὖν τοῖς πάλαι ἐχθροῖς, ἐν χώρᾳ φίλων καταπατῶν αὐτούς.

11 Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

12 Οὐχὶ σὺ, ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς;

Μαθὼν ὁ προφήτης τὴν τῶν ἐθνῶν κλῆσιν, καὶ διὰ τοῦ νθ' ψαλμοῦ μακαρίζει τοὺς ἀξιουμένους ἰδεῖν τὰ περὶ τῶν Ἰουδαίων, εὐχόμενος εἰς ὑπάρχειν αὐτῶν. τὸ δὲ περιοχῆς, περιπεφραγμένην ἐξέδωκε Σύμμαχος, ἥτις ἐστὶν ἡ ἐκκλησία. εὔχεται δὲ καὶ εἰς τὴν Ἰδουμαίαν ἐλθεῖν, ἐφ' ἣν ἐκτενεῖ τὸ ὑπόδημα καὶ τὴν χάριν τὴν δοθησομένην τοῖς ἔθνεσι. τὸ δὲ οὐχὶ σὺ, εἰ μὴ σὺ ὁ Θεὸς, ἐξέδωκε Σύμμαχος, ὁ μηκέτι συμμαχῶν ἡμῖν, ἀλλὰ δούλους ποιήσας. οὐ γὰρ ἡττώμεθά σου στρατηγοῦντος ἡμῶν· πλὴν καὶ τότε τῇ σῇ δυνάμει ἄλλων ἀποβληθέντων, ἡμεῖς τῆς μακαρίας μερίδος ἐσόμεθα διὰ σοῦ δυναμούμενοι. διὸ καὶ ἐπήνεγκε· Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

Ὁ δὲ Σύμμαχος· Καὶ μὴ προελθὼν Θεὸς ἐν ταῖς στρατεύσεσιν ἡμῶν. Οὐ γὰρ ἡττήθημεν πώποτέ σου στρατηγοῦντος καὶ τῆς φάλαγγος ἡγουμένου.

13 Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, Κύριε· καὶ ματαία σωτηρία ἀνθρώπου.

14 Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Παῦσον τοίνυν τὰ λυπηρὰ, καὶ τὴν σὴν ῥοπὴν ὄρεξον· οὐδαμόθεν γὰρ ἄλλοθεν τούτου τυχεῖν δυνατόν. πᾶσα γὰρ ἡ παρὰ ἀνθρώπων συμμαχία, σοῦ μὴ συνεργοῦντος, ματαία καὶ ἄχρηστος. διά τοι τοῦτο τὴν σὴν ἐπικαλούμεθα πρόνοιαν. διὰ ταύτης γὰρ μόνης περιγενέσθαι τῶν δυσμενῶν δυνησόμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΟΝ ριη. ΨΑΛΜΟΝ, ΗΤΟΙ ΤΟΝ ΑΜΩΜΟΝ.

στάσις α.

Μέγα θησαύρισμα καὶ πλοῦτον πνευματικὸν καὶ ψυχῶν θυμηρεστάτην λυσιτέλειαν πρός τε τὴν τοῦ Θεοῦ αἴνεσιν καὶ δοξολογίαν, καὶ τοῦ βίου ἡμῶν ἀσφάλειαν καὶ ὑποτύπωσιν ἀγαθῶν ἔργων, κατὰ ἀνακύκλησιν τῆς ἑβδομάδος τῇ πρώτῃ ἡμέρᾳ (ἥτις καὶ κυριακὴ παρ' ἡμῶν ὀνομάζεται), διὰ τὸν ἐν αὐτῇ ἀναστάντα Κύριον) οἱ κλεινοὶ καθηγεμόνες καὶ διδάσκαλοι, ἅγιοι πατέρες ἡμῶν, παρέδοσαν ἡμῖν ᾄδειν καὶ ψάλλειν τὸν ἑκατοστὸν ὀκτωκαιδέκατον ψαλμόν. στοιχείωσις γάρ ἐστι καὶ ὁδήγησις τοῦ κατὰ Θεὸν βίου. οὕτω γὰρ καὶ τὴν ἐπιγραφὴν ἔχει, ἐπειδὴ τοὺς προσέχοντας καὶ ἐρευνῶντας ἀκριβῶς τὴν τούτου σαφήνειαν ῥυθμίζει πρὸς τελειότητα βίου, καὶ κατὰ τὴν αὐτοῦ ὀνομασίαν ἀμώμους ἀποτελεῖ. ἄμωμος δέ ἐστιν, ὁ παντὸς ἄγους καὶ μύσους καὶ ῥύπου ἀπηλλαγμένος, καὶ κηλῖδος ἁπάσης ἐκτὸς καὶ ἀνομίας καὶ ἁμαρτίας· ὁ αὐτὸς δὲ καὶ μακάριος, ὅτι μετὰ τὴν ἐντεῦθεν τοῦ βίου ἐκδημίαν τῆς ἀληθινῆς μακαριότητος ἀξιωθήσεται, καὶ τῷ φωτὶ καταγλαϊσθήσεται τῆς θείας γνώσεως, καὶ εἰς ἀνάπαυσιν καὶ τρυφὴν αἰωνίαν αὐλισθήσεται, ἥτις ἐστὶν οὐρανῶν βασιλεία. ὅθεν καὶ ὁ ὑμνογράφος Δαβὶδ τοῖς προφητικοῖς ὄμμασι κατανοήσας τὴν τοῦ ἁγίου βαπτίσματος χάριν ἐβόα· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι. τοὺς δὲ τηρήσαντας ταύτην τὴν χάριν, καὶ κατὰ τὴν συνταγὴν ποιήσαντας, καὶ τῷ Θεῷ προσαγομένους καὶ τῷ ἁγίῳ βαπτίσματι, τούτους ὡς κατορθοῦντας τὴν πρακτικὴν ἀρετὴν ἐν τούτῳ τῷ ψαλμῷ μακαρίζει. ἔχει δὲ καὶ ἑτέραν τινὰ ὑψηλοτάτην ἔννοιαν ἡ τοῦ ψαλμοῦ τοῦδε ὑπόθεσις. αὐτὸς γὰρ οὗτος ὁ θεῖος Δαβὶδ πολλὰς καὶ διαφόρους πραγμάτων ἔσχε μεταβολάς. καὶ γὰρ ἔφυγε πολεμίους, καὶ ἐδίωξε πολεμίους, καὶ περιέπεσεν ἀθυμίαις, καὶ θυμηρεστέραν ἔσχε ζωήν· καὶ τὴν θείαν ὁδὸν ἔδραμε, καὶ προσέπταισεν ὁδεύων, καὶ αὖθις τοῖς θείοις ἠκολούθησε νόμοις. ταῦτα τοίνυν ἅπαντα κατὰ ταὐτὸν ἐν τῷδε συνήγαγε τῷ ψαλμῷ, καὶ τὰς καθ' ἕκαστον καιρὸν ὑπ' αὐτοῦ προσενεχθείσας τῷ Θεῷ προσευχὰς προσαρμόσας ἀλλήλαις, μίαν τοῖς ἀνθρώποις ὀνησιφόρον διδασκαλίαν προτέθεικε, καὶ διδάσκει δι' ὧν λέγει, πῶς δυνατὸν κατορθῶσαι τὴν πρακτικὴν ἀρετήν. οὐκ ἀμελεῖ δὲ οὐδὲ τῆς τῶν δογμάτων ἀκριβείας, ἀλλὰ ταῖς ἠθικαῖς ὑποθήκαις καὶ τὴν περὶ τούτων διδασκαλίαν προστίθησιν, ὡς ἀρκεῖν τοῦτον τὸν ψαλμὸν καὶ τοὺς τῆς τελείας ἀρετῆς ἐφιεμένους ἐν αὐτῇ τελειῶσαι, καὶ τοὺς ῥαστώνῃ συζῶντας πρὸς σπουδὴν διεγεῖραι, καὶ ψυχαγωγῆσαι τοὺς ἀθυμοῦντας, καὶ ῥυθμίσαι τοὺς ῥαθυμοῦντας, καὶ ἁπαξαπλῶς παντοδαπὴν θεραπείαν ἐνθεῖναι τοῖς ποικίλοις τῶν ἀνθρώπων ″μαθήμασι.

Ψαλ. λα. α.

ἴσ. παθήμασι.

1 Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Χ. ἄσπιλοι

″Ως ἵνα εἴπωμεν, μακάριοι οἱ ἐν τῷδε τῷ προσκαίρῳ βίῳ πορευόμενοι ἐν νόμῳ Κυρίου. ὁδὸς γὰρ παρὰ τῷ προφήτῃ ὁ παρὼν βίος εἴρηται, διὰ τὸ μηδὲν στάσιμον ἢ βέβαιον ἔχειν. σκιὰ γάρ ἐστιν ὁ βίος ἡμῶν, καὶ καπνοῦ δίκην συντόμως παρέρχεται. οὕτω γὰρ ἔφη ὁ ἀπόστολος Ἰάκωβος. Ποία γάρ ἐστιν ἡ ζωὴ ἡμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα ἀφανιζομένη. τοιοῦτον δέ τι καὶ ὁ θεολόγος Γρηγόριος ἐφιλοσόφησε· κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως ἐπὶ μιᾶς ἡμέρας, ἐστὶ δὲ ὅτε καὶ ὥρας, φέρων μεταβολάς. Οὐδὲν οὖν, ἀδελφοί, εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, καθὼς ὁ θεῖος ἀπόστολος λέγει, οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα. περὶ τῶν

Ἰακ. δ. ιδ.

α. Τιμ. ς. ζ.

τῶν μελετώντων φροντίσωμεν· ταῦτα γὰρ καὶ μηνύουσι. μακαρίζει τοίνυν τοὺς τὴν βασιλικὴν ὁδὸν ὁδεύσαντας ἀκλινῶς, καὶ μήτε δεξιᾷ μήτε ἀριστερᾷ κατὰ τὰς ὑποθήκας τοῦ νόμου παρατραπέντας. τίνες δὲ οὗτοι, διδάσκει· οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. οἱ γὰρ κατὰ τοῦτον πολιτευόμενοι τὸ ἄμωμοι ἔχουσιν. οὐδὲν γάρ, ὡς προέφην, τῶν βίων καλλίων. τοῦτον γὰρ ἐξ ὠδίνων μέχρι τάφου διοδεύομεν ἅπαντες.

ἰσ. ὁδῷ

2 Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Καὶ τὸν ὀκτωκαιδέκατον ψαλμὸν ἑρμηνεύοντες εἰρήκαμεν, τίνι διαφέρει νόμος, καὶ μαρτύρια, καὶ δικαιώματα, καὶ κρίματα, καὶ ἐντολαί. ἀναμνήσομεν δὲ ὅμως ἐν κεφαλαίῳ τῶν εἰρημένων. νόμον καλεῖ τὸν ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων διὰ τοῦ θεσπεσίου Μωϋσέως δεδομένον· ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτόν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα· δικαιώματα, ὡς δικαιοῦν τὸν κατορθοῦντα δυνάμενοι· κρίματα δέ, ὡς τὰς θείας ψήφους ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων· μαρτύρια δέ, ὡς διαμαρτυρόμενον καὶ δεικνύντα, οἵαις ὑποστήσονται τιμωρίαις οἱ παραβαίνοντες. μακαρίζει τοίνυν καὶ ἐνταῦθα τοὺς τὰ μαρτύρια τοῦ Θεοῦ διηνεκῶς ἐρευνῶντας, καὶ ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν ἐκζητοῦντας. οὐ παντὸς δὲ τοῦτο, ἀλλὰ τοῦ τὴν κορυφὴν κατειληφότος αὐτῆς τῆς ἀρετῆς. ὁ γὰρ τοιοῦτος οὐ μερίζει τὴν διάνοιαν εἰς Θεὸν καὶ φροντίδας βιωτικάς, ἀλλ' ὅλον ἑαυτὸν ἀνατίθησι τῷ Θεῷ. καὶ γὰρ διὰ τῆς ἀναγνώσεως καὶ διὰ τῆς ἀκροάσεως τῶν θείων γραφῶν κατορθοῦται ὁ βίος ἡμῶν. ὁ οὖν προφήτης μακαρίζει τοὺς ἐξερευνῶντας τὰ μαρτύρια αὐτοῦ. τοῦτο γὰρ καὶ ὁ Κύριος ἔφη, Ἐρευνᾶτε τὰς γραφάς, ὅτι δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν. ὁ δὲ προκόπτων ἐν τῷδε τῷ βίῳ τῇ ἐρεύνῃ τῶν θείων γραφῶν, καὶ μὴ μερίζων τὸν βίον αὐτοῦ εἰς ἡδονὰς καὶ πάθη ἁμαρτημάτων, ἀλλὰ καὶ πνεύματι ζῶν καὶ πνεύματι στοιχῶν, ἐρευνῶν τὰς γραφάς, τότε τελείως ἐν ὅλῃ καρδίᾳ ἐκζητεῖ τὸν Θεόν. καὶ ἐπειδὴ ὁ ψαλμὸς οὗτος νόμον καὶ ἐντολὰς καὶ δικαιώματα καὶ κρίματα καὶ μαρτύρια πεπυκνωμένως διαγορεύει, χρήσιμόν ἐστι περὶ τούτων διαλαβεῖν ἄνωθεν. νόμος οὖν ἐδόθη παρὰ τοῦ Θεοῦ, ὅτι αὐτός ἐστι βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων. ἔστι δὲ νόμος, κοινὸν παράγγελμα ἐπὶ πᾶσιν ἀνθρώποις· ἄρχουσιν, ἀρχομένοις· δούλοις, δεσπόταις· πλουσίοις, πένησιν. εἴρηται δὲ παρὰ τὸ νέμειν. ἐπὶ πᾶσι γὰρ ἀνθρώποις νενομοθέτηται, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις τὸν ἀγρὸν τοῦ πλησίον σου, τίμα τὸν πατέρα σου καὶ μητέρα σου. τὸ αὐτὸ δὲ καὶ ἐντολὴ εἴρηται, ὅτι ἐντέλλεται ἡμῖν ὁ Θεὸς τὸ ἀγαθὸν ποιεῖν καὶ τοῦ φαύλου ἀπέχεσθαι. δικαιώματα δὲ καὶ κρίματα, καθ' ὃ καὶ οἱ δίκαιοι φυλάττοντες τὰς ἐντολὰς δικαιοῦνται παρὰ τῷ Θεῷ· οἱ δὲ παραβαίνοντες ἁμαρτωλοὶ κατακρίνονται. μαρτύρια δὲ εἴρηται, ἐπειδὴ διαμαρτύρεται ὁ Θεὸς διὰ τῶν θείων αὐτοῦ γραφῶν φυλάττειν πάσας τὰς ἐντολὰς αὐτοῦ.

ἰσ. δυνάμεν. α

ἰσ. διαμαρτυ-
ρόμενα

Ἰω. ε. λθ.

3 Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Τὴν διαίρεσιν ταύτην πεποίηκε καὶ ἐν τῷ πρώτῳ ψαλμῷ. καὶ γὰρ ἐκεῖ μακαρίσας τὸν ἐν νόμῳ Κυρίου μελετῶντα ἡμέρας καὶ νυκτός, καὶ τὸν τῆς μελέτης ἐπιδείξας καρπόν, ἐπήγαγεν· οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως. καὶ ἐνταῦθα τοίνυν μακαρίσας τοὺς ἀμώμους, διδάσκει ὡς οἱ τῆς ἀνομίας ἐργάται ἑτέραν ἑαυτοῖς ὁδὸν κατεσκεύασαν, καὶ τὴν ὑπὸ Θεοῦ παγεῖσαν κατέλιπον. μακαρίσας οὖν ὁ προφήτης τοὺς ἐκζητοῦντας τὸν Θεὸν ἐν ὅλῃ καρδίᾳ, ἐπιφέρει λέγων· οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. 4 Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα.

Τοῦτο καὶ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων ὁ δεσπότης παρακελεύεται, καὶ μεστὴ πᾶσα ἡ θεία γραφὴ τῆς τοιαύτης νομοθεσίας. οὐ γὰρ ἁπλῶς φυλάττειν, ἀλλὰ σφόδρα φυλάττειν παρεγγυᾷ, τοῦτ᾽ ἔστι, σὺν ἀκριβείᾳ πάσῃ· καὶ οὐχὶ τὴν μὲν φυλάττειν, τὴν δὲ ἀθετεῖν, ἀλλὰ πάσας τὰς ἐντολὰς φυλάττειν σφόδρα εἴρηκε. διὸ καὶ ἕτερος προφήτης ἔλεγεν· ἀπὸ τῶν ἐντολῶν σου οὐ μὴ παρέλθω, ἵνα μὴ ἀποθάνω.

5 Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Διὰ τοῦτό, φησιν, ἀντιβολῶ, οἷόν τινι κανόνι, τῷ σῷ νόμῳ τὴν ἐμὴν ὁδὸν εὐθυνθῆναι, ὡς ἂν διατηρήσαιμί σου τὰ δικαιώματα. εὐχῆς δέ ἐστι πρόσρημα τὸ ὄφελον, ἀντὶ τοῦ εἰπεῖν, γένοιτό μοι κατευθυνθῆναι φυλάττειν πάσας τὰς ἐντολάς σου. ἐπειδὴ πᾶς ἄνθρωπος πόθον ἔχων φυλάττειν τὰς ἐντολὰς τοῦ Θεοῦ, εἰ μὴ συνεργὸν ἔχῃ τῆς ἀγαθοεργίας αὐτόν, οὐκ ἂν εἰς πέρας πρὸς τὸ ποθούμενον φθάσοι. γέγραπται γάρ, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. οὐκοῦν ἐξ ἡμῶν μέν ἐστιν ἡ ἀρχὴ τοῦ ἀγαθοῦ, τὸ δὲ εἰς πέρας ἐλθεῖν τῆς τοῦ Θεοῦ δέεται βοηθείας. Ἐγγίσατε γάρ, φησι, τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. 6 Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Παρανομίας γὰρ αἰσχύνη καρπός. οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη· Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε; οἱ δὲ πάσας τοῦ Θεοῦ πληροῦντες τὰς ἐντολὰς τὴν ἀπὸ τοῦ συνειδότος ἔχουσι παρρησίαν. τότε δέ, πότε; ὅταν, κατὰ τὸν προφήτην Δανιήλ, Οἱ δίκαιοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον, οἱ δὲ ἁμαρτωλοὶ εἰς αἰσχύνην αἰώνιον. παρακαλεῖ οὖν ὁ προφήτης μὴ αἰσχυνθῆναι τότε. καὶ πῶς γίνεται τοῦτο; ἐν τῷ ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς· οὐχὶ τὴν μὲν ποιεῖν, τὴν δὲ ἀφιέναι. ὁ γὰρ εἰπὼν μὴ μοιχεύσῃς, εἶπε καὶ μὴ πορνεύσῃς· καὶ ὁ εἰπὼν μὴ πορνεύσῃς, εἶπε καὶ μὴ ἀδικήσῃς. Καὶ ὅστις ὅλον τὸν νόμον πληρώσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος κατὰ τὸν ἀπόστολον Ἰάκωβον.

Ρω. θ. ιϛ.
Ιακ. ιδ. η.
Ρω. ϛ. κα.
Δαν. ιβ. β.
Ιακ. β. ι.

7 Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐξομολόγησιν, τὴν εὐχαριστίαν καλεῖ. τότε δυνήσομαι ὕμνον καθαρόν σοι προσενεγκεῖν, ὅταν σου πάντα καταμάθω τὰ κρίματα, καὶ κατὰ ταῦτα βιώσω. ὁ γὰρ ἀγαθὰς πράξεις ἔχων, ἐκεῖνος ἐξομολογεῖται ἐν εὐθύτητι καρδίας, ἐξ ὅλης καρδίας μετανοῶν, ὡς ὁ Δαβὶδ ἐπὶ τῇ μοιχείᾳ, καὶ ὡς ὁ τελώνης βοῶν τό, ἥμαρτον· καὶ τό, ἱλάσθητι. ἐξωμολογήσατο καὶ Ἰούδας, εἰπών· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· ἀλλ᾽ οὐκ ἐν εὐθύτητι καρδίας. τῇ γὰρ φιλαργυρείᾳ συνείχετο. ἐξωμολόγητο καὶ ὁ Φαρισαῖος· ἀλλὰ τὴν καρδίαν ὑψηλὴν ἔχων καὶ οὐκ εὐθεῖαν κατέβη μὴ δικαιωθείς, λέγων, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης.

Λουκ. ιη. ιγ.
Ματθ. κζ. δ.
Λουκ. ιη. ια.

8 Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Τινὰς πρὸς βραχὺ πολλάκις ἡ θεία χάρις ἀφίησιν, ὠφέλειαν αὐτοῖς ἐντεῦθεν μηχανωμένη. οὕτως ὁ μέγας Ἠλίας ἐγκαταλειφθεὶς τῷ τῆς δειλίας περιέπεσε πάθει, καὶ τῆς ἀνθρωπείας φύσεως μεμάθηκε τὴν ἀσθένειαν, ἀλλ᾽ εὐθὺς πάλιν τῆς θείας ἀπήλαυσε χάριτος. οὕτως ὁ θεῖος Πέτρος ὠλίσθησεν ἀρνηθείς, ἀλλ᾽ εὐθὺς αὐτὸν ὁ δεσπότης ὑπήρεισε. γυμνὸς δὲ παντελῶς Ἰούδας τῆς θείας γενόμενος προμηθείας ἕτοιμον ἐγένετο θήραμα τοῦ διαβόλου. ἐγκατελείφθη καὶ ὁ μακάριος Δαβὶδ μετὰ τὴν ἁμαρτίαν ἐκείνην, καὶ ταῖς χαλεπαῖς ἐκείναις περιέπεσε συμφοραῖς, ἀλλὰ πάλιν τὴν πρὸς τὸν Θεὸν ἀπέλαβε παρρησίαν, καὶ τῆς ἐκεῖθεν κηδεμονίας ἀπήλαυσεν. ὁ δὲ Σαοὺλ ταύτης ἔρημος γενόμενος παντελῶς, ἐγυμνώθη μὲν τῆς τοῦ πνεύματος χάριτος, πονηρῷ δὲ πνεύματι συνεζύγη. Εἰκότως τοίνυν ὁ προφήτης ἱκετεύει μὴ ἐγκαταλειφθῆναι ἕως σφόδρα, τοῦτ᾽ ἔστι, μὴ παντάπασι τῆς προμηθουμένης χάριτος γυμνωθῆναι. καὶ

πάλιν

γρ. χρησώμε

πάλιν τίνων τῇ αὐτῇ ἐννοίᾳ χρησόμεθα, διὰ τοῦ εἰπεῖν τὸν προφήτην, μή με ἐγκαταλείπῃς ἕως σφόδρα. γίνεται τοίνυν πολλαχῶς ἐγκατάλειψις τοῦ Θεοῦ διά τινας οἰκονομίας καὶ εὐεργεσίας· ὡς ὅταν κατελείφθη ὁ Ἰὼβ πρὸς τὸ ἀναδειχθῆναι αὐτὸν μᾶλλον τέλειον. κατελείφθη καὶ Ἡλίας, ὡς φθάσαντες εἰρήκαμεν, πρὸς βραχὺ ὑποχωρήσας ἀπὸ προσώπου τοῦ Ἀχαὰβ καὶ τῆς Ἰεζάβελ· ἀλλ' ἕτερόν τι ᾠκονομεῖτο πρὸς τὸ ἐλθεῖν αὐτὸν εἰς Σαρεφθὰ τῆς Σιδῶνος, καὶ φιλοφρονηθῆναι ὑπὸ γυναικὸς χήρας, καὶ ταύτῃ παρέξαι τροφήν (γ. Βασ. ιζ. ι.) (οὐ μὴ γὰρ ἐκλείψῃ, φησὶν, ἡ δρὰξ τοῦ ἀλεύρου, οὐδὲ τὸ ἔλαιον τοῦ καψάκου) (γρ. ἐκλείψῃ) καὶ ἵνα διὰ τὴν κακίαν τῶν Ἰουδαίων στήσῃ τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἓξ μὴ βρέξαι. φησὶ γάρ· Ζῇ Κύριος, εἰ ἔσται ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ λόγου στόματός μου. (γ. Βασ. ιζ. α.) τὸ δὲ ἕως σφόδρα καταλειφθῆναι ὑπὸ τοῦ Θεοῦ, τοῦτο δεινὸν, ὥσπερ κατελείφθη ὁ Σαοὺλ καὶ ὁ Ἀβεσσαλὼμ μηκέτι πρὸς σωτηρίαν ἀναστρέψαντες. ἐγυμνώθησαν γὰρ τῆς τοῦ Θεοῦ προμηθείας.

9 Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ὀξύῤῥοπον πρὸς ἁμαρτίαν ἡ νεότης, εἰς ἡδονὰς καὶ πάθη ἀτιμίας ἀπαγομένη. ἐὰν δὲ τῇ φυλακῇ τῶν ἐντολῶν τοῦ Θεοῦ κρατῆται, μένει ἀβλαβής. ὅπερ γάρ ἐστιν ἀγελαίῳ πώλῳ χαλινὸς καὶ πωλοδάμνης, τοῦτο τοῖς νέοις γίνεται ὁ θεῖος λόγος. ἐπεὶ καὶ Δανιὴλ νέος ἦν· ἀλλ' ἐφύλαττε τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ προφητικῆς χάριτος ἠξιώθη, καὶ τῶν ἀποῤῥήτων μυστηρίων εἰσηγητὴς γέγονεν. ὡσαύτως καὶ οἱ τρεῖς παῖδες νέοι ὄντες τὸ πῦρ τῇ πίστει καὶ τοῖς ἔργοις αὐτῶν εἰς ἐναντίαν φύσιν μετήγαγον. ἀνεψύχοντο γὰρ ἐν μέσῳ τούτου, καὶ ἐδροσίζοντο τῇ παῤῥησίᾳ τῆς πίστεως καὶ τῇ αὔρᾳ τοῦ πνεύματος. οὕτως οὖν καὶ ἡμῖν πρόσεστιν. οἵτινες νέοι ὑπάρχουσι, διὰ τῆς συντηρήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ κοσμήσωσιν ἑαυτοὺς, καὶ μὴ γίνωνται ἥλικες ἀργοὶ, ὡς Ἀβεσσαλὼμ, ὁ τῇ κακίᾳ συζῶν· ὅστις καὶ συνεπομένην ταύτῃ εἶχε κομῶσαν τὴν κεφαλὴν, ὁ ἀναίσθητος ἐν ταῖς φρεσίν. ἡ γὰρ θρὶξ, νεκρότητος σύμβολον. καὶ ἐκείνῳ μὲν αἰτίαι τῆς ἀπωλείας αἱ τρίχες γεγόνασι, κρεμασθέντι ἐξ αὐτῶν ἐν τῇ δρυῒ, ὡς ἡ τῶν βασιλέων ἱστορία διηγεῖται. (β. Βασ. ιη. θ.) ἀλλ' ἔστι χαλεπὸν, ὅτι καὶ νῦν τινες τοῦτον ζηλοῦντες, ἀπαιωροῦσι πολυμήκεις βοστρύχους καὶ πλοκαμίδας, τὰ τῆς γυναικωνίτιδος ἔργα τῇ ψοίᾳ καθαπλοῦντες τῇ βλακείᾳ, εἰκῆ φυσιούμενοι ἐν τῷ ἰδίῳ νοΐ. καὶ οὐκ οἴδασιν ὅτι μᾶλλον ἀτιμίαν ἑαυτοῖς ἐπάγουσι, τοῦ ἀποστόλου λέγοντος· Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν. (α. Κορ. ια. ιδ.) Ἕλληνες δὲ παρὰ Ὁμήρῳ ἱστόρηνται τοῦτο ποιοῦντες. φησὶ γὰρ, καρηκομόωντες Ἀχαιοί. ἐπεὶ καὶ οἱ τῶν ἰατρῶν σοφοί φασι. πρὸς οὖν εὐπρέπειαν τῆς κεφαλῆς μεμετρημένας τὰς τρίχας ἔχοντες κατὰ τὴν τῶν ἀρχαίων ἀνδρῶν κόσμησιν ἀρκεσθησώμεθα, καὶ μὴ ὑπορχεῖσθαι ταύτας τῇ ψοίᾳ θελήσωμεν μηδὲ τοῖς μεταφρένοις· ἀτιμία γάρ ἐστι τῷ τοιούτῳ ποιοῦντι, ὡς ἠκούσαμεν τοῦ ἀποστόλου παραινοῦντος. (γρ. τοῦτο)

10 Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ζητοῦσι μὲν γὰρ πολλοὶ τὸν Θεὸν, ἀλλ' οὐκ ἐν ὅλῃ καρδίᾳ. μερίζουσι γὰρ ταύτην οὐ μόνον εἰς φροντίδας πραγμάτων βιωτικῶν, ἀλλὰ καὶ εἰς ἐπιθυμίας ἀτόπους καὶ φθόνους καὶ δόλους καὶ τὰς τῶν πλησίον ἐπιβουλάς. ὁ δὲ τῶν θείων ἐραστὴς πᾶσαν ἀφιεροῖ τῷ Θεῷ τὴν διάνοιαν, καὶ τῆς ἐκεῖθεν ἀπολαύει προνοίας, μὴ καταπίπτων ἀπὸ τῶν αὐτοῦ ἐντολῶν εἰς βάραθρον ἀπωλείας, ἀλλὰ στοιχῶν τῷ ζῶντι Θεῷ, καὶ πᾶσαν τὴν ἑαυτοῦ διάνοιαν αὐτῷ ἀνατιθέμενος. 11 Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Ὁ χρυσὸν κεκτημένος ἢ ἄργυρον ἢ λίθους τιμίους οὐκ ἔξω ταῦτα προτίθησιν, ἀλλ' ἔνδον ἐν τοῖς ταμείοις καὶ τοῖς θαλάμοις ἐναποκρύπτει, ὥστε διαφυγεῖν τῶν τοιχωρύχων τὰς χεῖρας· οὕτως ὁ τὸν πλοῦτον ἔχων τῆς ἀρετῆς κρύπτει τοῦτον ἐν τῇ ψυχῇ, ὡς ἂν μὴ διὰ δόξης κενῆς τὸν ἐπὶ τῶν ψυχῶν συλήσαιεν λωποδύται. καὶ ἄλλως· οὐ κατέκρυψα, φησι, χρυσὸν ἢ ἄργυρον ἢ ἐσθῆτα μαλακήν τε καὶ περιρρέουσαν, ὅπου σὴς καὶ σκώληξ ἀφανίζει, καὶ κλέπται διορύσσουσι καὶ κλέπτουσιν· ἀλλ' ἐν τοῖς ταμείοις τῆς καρδίας ἔκρυψα τὰ λόγιά σου φησὶν ὁ προφήτης, ἵνα μὴ καταπέσω εἰς ἁμαρτίαν. διδάσκει δὲ καὶ ἕτερον ὁ λόγος. οὐ γὰρ ἅπασι τὰ θεῖα λόγια προσφέρειν παρεγγυᾷ. Μὴ δῶτε γάρ, φησι, τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. ταῦτα δὲ εἰ καὶ περὶ αὐτοῦ εἴρηται, ἀλλ' οὖν ἡμεῖς οἱ ψάλλοντες ὀφειλέται ἐσμὲν συντηρεῖν τῆς ὑμνῳδίας ἡμῶν τὴν ὁμολογίαν. ἔχει δὲ καὶ ἕτερον νοῦν ὁ λόγος. οὐχὶ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις τὰ ἀγαθὰ πράττω, ἐπεὶ ἀπέχω τὸν μισθόν μου· ἀλλ' ἐμαυτῷ ποιῶ τὸ καλόν, ἵνα ὁ βλέπων Θεὸς ἐν τῷ κρυπτῷ ἀποδώσῃ μοι ἐν τῷ φανερῷ.

Ματθ. ζ. ς.

12 Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου· Ἀντὶ τοῦ, ἥμερος εἶ καὶ φιλάνθρωπος, καὶ ἄξιος παρὰ πάντων ὑμνεῖσθαι· οὗ δὴ χάριν ἀντιβολῶ σε μαθεῖν παρὰ σοῦ τὰ δικαιῶσαι δυνάμενα. ἢ οὕτως· εὐλογημένος εἶ καὶ δεδοξασμένος παρὰ πάντας, ὅτι φιλάνθρωπος εἶ, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος· ἱκετεύω, δίδαξόν με τὰ δικαιώματά σου. οὐ πλούτου ἐφίεμαι, οὐ χρυσὸν ζητῶ, οὐκ ἄργυρον, οὐκ ἀξίαν, οὔτε τι τῶν τερπνῶν τοῦ κόσμου τούτου· ἀλλὰ τὰ δικαιώματά σου μαθεῖν ζητῶ, ὅτι ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. τοῦτο γάρ ἐστι χριστιανοῦ ζήτησις. 13 Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Οὐ γὰρ γινώσκοντι τὰ κρίματα τοῦ Θεοῦ πρέπον ἐστὶ σιωπᾶν ἐν ἑαυτῷ, ἀλλ' ἐξαγγέλλειν, καὶ ἑτέρους ἐπανορθοῦν. Θεοῦ γὰρ ἀναγγέλλειν ἔργα ἔνδοξον. ἃ γὰρ ἂν παρὰ τῆς σῆς ἀγαθότητος μάθοιμι, ταῦτα διδάξω τοὺς ἀγνοοῦντας.

14 Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐπίπονος μὲν ἡ τῆς ἀρετῆς ὁδός, ἀλλὰ τοῖς τελείοις περιπόθητος. διό τοι τοῦτο καὶ ὁ δεσπότης ἔφη Χριστός· Λάβετε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος· ὅτι πλούτου παντὸς θυμηρεστέρα μοι τῶν σῶν μαρτυρίων ἡ κλῆσις. τὸ δέ, ἐπὶ παντὶ πλούτῳ, οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τὸν παντοδαπὸν πλοῦτον παραδηλοῖ. πολλὰ γὰρ τοῦ πλούτου τὰ εἴδη. ὁ μὲν γὰρ χρυσὸν ἔχων ὀνομάζεται πλούσιος· ὁ δὲ ἄργυρον· ὁ δὲ γῆν πλείστην, τὴν μὲν πεφυτευμένην, τὴν δὲ καὶ ἀπειρομένην· ὁ δὲ βοσκήματα. ἀλλὰ ταῦτα πάντα περιλαβὼν ὁ προφήτης, καὶ τοῖς θείοις μαρτυρίοις παραβαλών, ἔφησεν ἀξιέραστα αὐτῷ εἶναι τὰ θεῖα μαρτύρια, ὡς τοῖς φιλοπλούτοις ἅπαντα τοῦ πλούτου τὰ εἴδη. καὶ ὥσπερ ὁ ταῦτα πλουτῶν εὐφραίνεται, οὕτω καὶ μάλα εἰκότως ἐπὶ τοῖς δικαιώμασι τοῦ Θεοῦ, ὡς ἐπὶ παντὶ πλούτῳ, ἀγάλλεται.

Ματθ. ια. κθ. λ.

15 Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Σχολάζειν καὶ μελετᾶν ἐπαγγέλλεται ὁ προφήτης ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ οὐχὶ παρέργως ταύτας ἔχειν. τούτου γὰρ χάριν, φησίν, ἐνδελεχῶς τῶν σῶν λόγων τὴν μελέτην σχήσω, καὶ ἐν ταῖς σαῖς ὁδοῖς τὴν πορείαν ποιήσομαι. διὰ γὰρ τοῦτο κατενόησε καὶ τὰς ὁδοὺς αὐτοῦ· διὸ καὶ ἐπιφέρει

16 Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Τοῦτ' ἔστιν, ἄληστον τῶν σῶν λογίων ἐν ἐμαυτῷ φυλάξω τὴν μνήμην.

17 Ἀνταπόδος τῷ δούλῳ σου. Οὐ πάντες τοῦτο παρακαλοῦμεν. τῶν γὰρ

δικαίων ἐστὶν ἡ παράκλησις. οἱ σωφρόνως καὶ εὐσεβῶς καὶ δικαίως ζῶντες, αὐτοὶ τεθαῤῥηκότως λέγουσιν· ἀνταπόδος τῷ δούλῳ σου. οἱ δὲ ἐν ἁμαρτίαις καὶ ἡδοναῖς καὶ πάθεσιν ἀτιμίας, οὐ δύνανται λέγειν· ἀνταπόδος τῷ δούλῳ σου. οὐδεὶς γὰρ πονηρὸν συνειδὸς περιφέρων εἰς ἀνταπόδοσιν τὸν κριτὴν διεγείρει· ὁ δὲ καθαροῖς χρώμενος λογισμοῖς, σὺν παῤῥησίᾳ ταύτῃ κέχρηται τῇ φωνῇ. Ζήσομαι, καὶ φυλάξω τοὺς λόγους σου.

γ. Ζῆσόν με,

Ταύτην τὴν ζωὴν αἰτῶ, ἵνα ἐν φυλακῇ τῶν λόγων σου πορεύωμαι. τῆς σῆς γὰρ ἀπολαύων ἐπικουρίας, διαφεύξομαι τῆς ἁμαρτίας τὸν θάνατον, καὶ τὴν ἐκ τῶν λόγων σου τευξήσω ζωήν. 18 Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Οὐκ ἅπαντες οἱ τοῖς θείοις ἐντυγχάνοντες λογίοις, τὰ τούτων κατανοοῦσι θαυμάσια· ἀλλ' οἱ τῆς ἄνωθεν ἀπολαύοντες αἴγλης. οὗ δὴ χάριν καὶ ὁ μακάριος ἔφη Παῦλος· Ὅταν δ' ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. αὐτὸς μέντοι τῷ φωτὶ τῷ θείῳ καταυγαζόμενος εἰκότως ἐβόα· ἡμεῖς δὲ ἅπαντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι εἰς τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος. ἡμᾶς δὲ προσήκει τὸν δεσπότην ἀντιβολεῖν, ἵνα τὸ κάλυμμα τὸ τῆς διανοίας ἡμῶν περιελὼν ὀφθαλμῶν, ἀποδείξῃ τῶν θείων λογίων τὴν δύναμιν. τὰς γὰρ θείας γραφὰς κατὰ ἀναγωγὴν καὶ θεωρίαν κατοπτριζόμεθα καὶ νοοῦμεν· ὡς ὅτι ὁ ἀμνὸς ὁ πάλαι σφαζόμενος παρὰ τῶν Ἰσραηλιτῶν, τύπος ἦν τοῦ ἀληθινοῦ ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τοῦ σφαγιασθέντος ὑπὲρ ἡμῶν. καὶ ὥσπερ ἐκεῖ ἡ χρίσις τοῦ αἵματος τῶν φλιῶν ἔσωσε τοὺς χρίσαντας· οὕτω τὸ αἷμα τοῦ ἀληθινοῦ ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐλυτρώσατο ἡμᾶς ἐκ τῆς κατάρας τοῦ ἐχθροῦ καὶ τῆς τοῦ θανάτου διαμονῆς. πάλιν δὲ καὶ ὁ Ἰσραηλίτης λαὸς τὸν Ἰορδάνην διαβὰς καὶ εἰσελθὼν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τύπος ἡμῶν τῶν χριστιανῶν γέγονεν· ὅτι ἡμεῖς δι' ὕδατος τοῦ ἁγίου βαπτίσματος εἰς τὴν ἐπηγγελμένην γῆν, τὴν βασιλείαν τῶν οὐρανῶν, εἰσαγόμεθα. Ἑβραῖοι δὲ οὐδὲν τοιοῦτον κατανοοῦσιν, ὅτι κάλυμμα ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῶν κεῖται, καθὼς λέγει ὁ θεῖος ἀπόστολος Παῦλος.

β. Κορ. γ. 15

β. Κορ. γ. 12.

19 Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

Δικαίου φωνὴ, καὶ κατὰ Θεὸν βιοῦντος, καὶ μὴ λογιζομένου τὰ τοῦ κόσμου πράγματα. διὸ καὶ πάροικον ἑαυτὸν λέγει· καθὼς καὶ Ἀβραὰμ καὶ πάντες οἱ ἅγιοι πάροικοί εἰσιν ἐν τῷδε τῷ βίῳ, ἔχοντες τὴν κατοικίαν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ. τὴν γὰρ γῆν ταύτην πάντες ἡμεῖς οὐ κατοικοῦμεν, ἀλλὰ παροικοῦμεν. βραχὺν γὰρ διαβιώσαντες χρόνον εἰς ἕτερον μεταβαίνομεν βίον. τοῦτο δὲ οὐ πάντες ἐθέλουσιν εἰδέναι, ἀλλ' ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ὡς ἐπὶ μονίμοις καὶ διαρκέσι βρενθύονται· ὁ δὲ τὰ θεῖα πεπαιδευμένος οἶδε τοῦ βίου τὸ πρόσκαιρον. διὸ δὴ καὶ πάροικον ἑαυτὸν ὀνομάζει, καὶ ἱκετεύει τὰς θείας ἐντολὰς μηδαμῶς ἀγνοῆσαι. 20 Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπιθυμοῦσι τῶν θείων κριμάτων πολλοὶ, καὶ τῆς τῶν οὐρανῶν ἐφίενται βασιλείας, ἀλλ' οὐκ ἀεὶ, ἀλλὰ νῦν μὲν τοῖς θείοις ἀρέσκονται, νῦν δὲ τοῖς τοῦ σώματος ἀκολουθοῦσι παθήμασιν. ὁ δὲ προφήτης ἱμείρεται τοῦτον τὸν πόθον ἔχειν διηνεκῶς. ἐν παντὶ οὖν καιρῷ λέγει, οὐχ ὡς ποτὲ μὲν ἐπιποθεῖν, ποτὲ δὲ οὔ. ἴσασι γάρ τινες, ὅτι γίνονται αὐτοῖς κατανύξεις, ποτὲ μὲν ἐπιποθεῖν τὰς τοῦ Θεοῦ ἐντολὰς διὰ τὸν φόβον τῆς αἰωνίου κολάσεως καὶ διὰ πόθον τῆς τῶν οὐρανῶν βασιλείας, ποτὲ δὲ ἀπάγονται ταῖς σαρκικαῖς ἐπιθυμίαις. οἱ τοιοῦτοι οὖν ἐν παντὶ καιρῷ τὸν Θεὸν οὐκ ἐπιποθοῦσιν· οἱ δὲ διὰ τὴν τοῦ Θεοῦ ἀγάπην τοῦτο ποιοῦντες οὐδὲ ὅλως ἀφίστανται τῶν τοῦ Θεοῦ κριμάτων.

δπ

κριμάτων. 21 Ἐπετίμησας ὑπερηφάνοις. Οἱ τὸν θεῖον νόμον καταφρονοῦντες, τῇ τῆς ὑπερηφανίας περιπίπτουσι νόσῳ, καὶ τὴν παρὰ τοῦ δικαίου κριτοῦ δέχονται τιμωρίαν. ἐπήρθησαν οὖν τινες κατὰ τοῦ Θεοῦ, ἀλλ᾽ ἐπετιμήθησαν παρ᾽ αὐτοῦ, ὡς ὁ Φαραὼ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ ἀπώλετο ὑπερηφανευθείς, καὶ ὁ Σεναχειρεὶμ εἰς ὕψος ἐπαρθεὶς ὑπὸ τῶν ἰδίων υἱῶν ὤλετο. ὡσαύτως δὲ Ναβουχοδονόσορ ὑψωθεὶς τὴν καρδίαν, ἴσα κτήνεσιν ἐβόσκετο. Τοιοῦτοι γὰρ τῶν ἀλαζόνων οἱ μισθοί. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, καθὼς ἐν παροιμίαις γέγραπται. Παροιμ. γ λδ.

Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Τῇ τοῦ θείου πνεύματος ἐμπνεύσει προφῆται ἐλάλησαν, καθὼς καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως ἡμῶν ὁμολογοῦμεν, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. αὐτὸ οὖν τὸ πνεῦμα τὸ ἅγιον βοᾷ· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. φοβηθῶμεν οὖν, ἀδελφοί, μὴ ἔλθοι ἐφ᾽ ἡμᾶς ἡ κατάρα τοῦ ἁγίου πνεύματος. Ταύτην δὲ ὁ νόμος τὴν ἀρὰν τοῖς παραβάταις προσφέρει. Δευτ. κζ. κϛ. Ἐπικατάρατος γάρ, φησι, πᾶς ὃς οὐκ ἐμμένει τοῖς ἐγκειμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. καὶ ἡμεῖς δὲ ψάλλοντες τῷ ἁγίῳ πνεύματι σύμφωνοι γινόμεθα, τῇ ἀρᾷ παραπέμποντες τοὺς ἐκκλίνοντας ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ. προσέχωμεν οὖν, μήποτε ἄλλους ἐπικαταράτους λέγοντες, αὐτοὶ ἡμεῖς ἐσόμεθα τῇ παρεκτροπῇ τῶν ἐντολῶν τοῦ Θεοῦ.

22 Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν· ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Ὠνείδισε τὸν προφήτην ὁ Νάβαλ, δοῦλον δραπέτην ἀποκαλέσας· ὠνείδισαν αὐτὸν καὶ οἱ Γεθαῖοι. ἀλγυνόμενος τοίνυν ἐπὶ τούτοις, ἀποτείψασθαι τὰ ὀνείδη παρακαλεῖ, ἅτε δὴ τὰ θεῖα ἐκζητήσας μαρτύρια. οὐχ ἁρμόζει τοίνυν τοῖς παρὰ τοῦ Σεμεεὶ ὀνείδεσι τὰ παρόντα ῥητά. ἐκεῖνα γὰρ μετὰ τὴν ἁμαρτίαν ἐγένετο· τὰ δὲ τοῦ Νάβαλ καὶ τῶν ἄλλων πρὸ τῆς ἁμαρτίας. ἐν ἑτέρῳ οὖν ψαλμῷ λέγει ὁ αὐτὸς προφήτης· Ψαλ. ρκβ. δ. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις· καί, Ψαλ. οβ. ιβ. Οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλοῦτον. καὶ πάλιν ἕτερος προφήτης λέγει· Ἱερ. ιβ. α. Ἵνα τί ἁμαρτωλοὶ εὐθηνοῦσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ; εὔχεται οὖν ὁ προφήτης ἐξ αὐτῶν περιαιρεθῆναι τοῦτο τὸ ὄνειδος καὶ τὴν ἐξουδένωσιν. τὰ γὰρ τοῦ κόσμου τούτου πράγματα, πλοῦτος καὶ δόξα, αὐτὰ λέγει ὄνειδος καὶ ἐξουδένωσιν· τοῦτο κλέος καὶ τιμὴν ἡγούμενος, τὸ ζητεῖν τὰ μαρτύρια τοῦ Θεοῦ. 23 Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ᾽ ἐμοῦ κατελάλουν. Κατὰ μὲν τὸ γράμμα ὁ Σαοὺλ καὶ ὁ Ἀβεννὴρ καὶ ὁ Ἀχιτόφελ ἐλοιδόρουν τὸν Δαβίδ· κατὰ δὲ διάνοιαν εἰς τὸν Χριστὸν ἀναφέρεται ὁ στίχος. καὶ γὰρ Ἡρώδης καὶ Πόντιος Πιλάτος καὶ Ἄννας καὶ Καϊάφας συνεβουλεύοντο αὐτὸν ἀποκτεῖναι· αὐτὸς δὲ ἦν μετὰ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κήπῳ διαλεγόμενος τὰ τοῦ Θεοῦ καὶ πατρός. εἶπε γὰρ πρὸς αὐτούς· Ἰω. ιε. ιε. Ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ταῦτα ἀνήγγειλα ὑμῖν. ὡς δὲ γινόμενος τέλειος ἄνθρωπος καὶ μορφὴν δούλου λαβών, ὠνόμασται καὶ δοῦλος.

Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Ἐγὼ δὲ τὴν σὴν δεσποτείαν ὁμολογῶν, μελέτην εἶχον τὰ σὰ δικαιώματα.

24 Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι· καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Πᾶσαν γὰρ ἀνθρωπίνην εἰσήγησιν ἀπωσάμενος, ταῖς σαῖς ὑποθήκαις ἀκολουθῶ, καὶ οὐδὲν ἕτερον λαλῶ, οὔτε ἐν μελέτῃ εἰμὶ ἄλλων πραγμάτων, εἰ μὴ περὶ τῶν μαρτυρίων σου καὶ τῶν δικαιωμάτων σου. τοῦτο γὰρ τελείου ἀνδρός.

25 Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου. Τὴν ὑπερβολὴν τῆς ταπεινώσεως διὰ τούτων ἐδήλωσεν. οὕτω γὰρ καὶ ἐν τῷ τεσσαρακοστῷ τρίτῳ ἔφη ψαλμῷ· ὅτι

ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν· τοῦτ᾽ ἔστιν, οὐχ ὑψώθην, οὐχ ὑπερήφανος ἐγενόμην, ἀλλὰ ταπεινόφρων. τοῦτο γάρ ἐστι τὸ ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου. διὸ αἰτοῦμαι· Ζῆσόν με κατὰ τὸν λόγον σου·

Τοῦτ᾽ ἔστι, κατὰ τὸν νόμον σου τὴν ζωήν μου διεύθυνον. δηλοῖ δὲ πρῶτον μὲν τὴν πρὸς τὸ σῶμα αὐτῆς κοινωνίαν ἐκ τοῦ ἐδάφους οὔσης τοῦ χοός, ἔπειτα καὶ τὴν ἑκούσιον ταπείνωσιν αὐτοῦ, ἣν ἐφ᾽ οἷς ἡμάρτομεν ἐπεδείξατο, ζῆσαι δι᾽ αὐτῆς διὰ τὸν λόγον τοῦ Θεοῦ προσδοκήσας τὸν ταπεινοῦντα ἑαυτὸν ἀνυψοῦντος. ζῆσόν με κατὰ τὸν λόγον σου. οὐκ ἀορίστως αἰτεῖ ζωήν, ἀλλὰ τὴν κατὰ νόμον ζωήν.

26 Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Πάσας σοι, δέσποτα, τὰς ἐμὰς δεδήλωκα πράξεις, καὶ οὐδέν σε λαθεῖν τῶν ἐμῶν ἠνεσχόμην. διά τοι τοῦτο ταῖς ἐμαῖς ἱκετείαις ἐπένευσας. ἀντιβολῶ μαθεῖν ἀκριβῶς τὰ σὰ δικαιώματα. λέγει δὲ ὁ αὐτὸς προφήτης καὶ ἐν ἑτέρῳ ψαλμῷ· Εἶπα, ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ ἐν ἄλλῳ προφήτῃ εἴρηται· Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. ἁμαρτάνοντας οὖν ἡμᾶς ἐξαγγέλλειν ἐνώπιον τοῦ Θεοῦ τὰς ἁμαρτίας χρή, καὶ ταύτας ἐκκόπτειν (ἐκκοπὴ γὰρ ἁμαρτίας ἡ ἐξαγόρευσις, ταύτης ἄφεσιν ἐργάζεται) καὶ μάλιστα διδασκάλῳ τινὶ ἐξαγγέλλειν, καὶ λαμβάνειν παρ᾽ αὐτοῦ διδαχήν, τί ὀφείλομεν ποιεῖν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν. χωρὶς δὲ κόπου μετάνοια ἀργεῖ. ἔφη γὰρ ἐν ἑτέρῳ ψαλμῷ ὁ αὐτὸς προφήτης· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ ἐπὶ τῇ ἁμαρτίᾳ αὐτοῦ ἐθρήνει λέγων· Λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ψαλμ. λα. ε.
Ησ. μγ. κϛ.
Ψαλμ. κδ. ιη.
Ψαλ. ϛ. ϛ.

27 Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Οἱ ἐν ταῖς ὁδοῖς τοῦ Θεοῦ πορευόμενοι καὶ συνετιζόμενοι παρ᾽ αὐτοῦ ἐνδελεχῶς, πάντοτε (τοῦτο γάρ ἐστι τὸ ἀδολεσχήσω) ἐν τοῖς θαυμασίοις τοῦ Θεοῦ μελετῶσιν, ἐννοούμενοι ὅτι αὐτός ἐστιν οὐρανοῦ καὶ γῆς ποιητής, αὐτὸς τροφεὺς ἡμῶν, αὐτὸς χορηγὸς τῶν ἀγαθῶν, αὐτὸς πέμπει ὑετόν, αὐτὸς φέρει ἔαρ καὶ θέρος, πάντα ποιῶν πρὸς διατροφὴν ἡμῶν, αὐτὸς ἁρμονίᾳ καὶ τάξει, ὡς ποιητής, τὰ πάντα συντηρεῖ. καὶ γὰρ θείας ἡμῖν συνέσεως δεῖ, ὥστε κατὰ τὸν θεῖον νόμον τὴν ἀρετὴν μετελθεῖν, καὶ τῇ φιλανθρωπίᾳ χρώμενον μὴ πρὸς κενοδοξίαν ἰδεῖν, καὶ τὸν ἀσκητικὸν μὴ θηρᾶσθαι τὸν ἀνθρώπινον ἔπαινον, τὸν σώφρονα μὴ διὰ τὴν τῆς ἀκολασίας αἰσχύνην, ἀλλὰ διὰ τὸν πόθον τῆς ἀρετῆς εἶναι τὴν σωφροσύνην. εἰκότως τοίνυν ὁ προφήτης ἀντιβολεῖ συνέσεως θείας μεταλαχεῖν, ὡς διαγνῶναι τὴν τῆς δικαιοσύνης ὁδόν.

28 Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ἡ συνεχὴς προσβολὴ τῆς ἁμαρτίας διαλύει πολλάκις τὸν τόνον τῶν λογισμῶν, καὶ ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητήν, καὶ τὴν καλουμένην ἀκηδίαν ἐργάζεται. χαυνουμένη δὲ ἡ ψυχὴ τὸν ὕπνον εἰσδέχεται, ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον· διόπερ βεβαιωθῆναι καὶ στηριχθῆναι ὁ προφήτης ἀντιβολεῖ. τὸ δὲ καταπίπτειν εἰς ἁμαρτίαν, καὶ ῥᾳθυμίᾳ καὶ ὀλιγωρίᾳ καὶ ἀκηδίᾳ κρατεῖσθαι, καὶ μὴ πρόθυμον εἶναι πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ, νυσταγμός ἐστι. καὶ ἐν ἑτέρῳ ψαλμῷ ταύτην τὴν ἔννοιαν εὔχεται ὁ προφήτης λέγων· Φώτισον ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, θάνατον τὴν ἁμαρτίαν καλῶν.

Ψαλμ. ιβ.

29 Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

30 Ὁδὸν ἀληθείας ᾑρετισάμην· τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἀναγκαία καὶ αὕτη ἡ δέησις. προσήκει γὰρ ἡμᾶς αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων βοήθειαν, ὥστε τῆς ἀδικίας ἐκτρέπεσθαι τὴν ὁδόν, καὶ τὴν τῆς ἀληθείας περιαιρεῖσθαι πορείαν, καὶ ἄληστον περιφέρειν τὴν τοῦ Θεοῦ μαρτυρίων τὴν μνήμην. πᾶσαν δὲ πρᾶξιν πονηρὰν ἐξ αὐτοῦ εὔχεται ὁ προφήτης ἀφαιρεθῆναι (ἔργον γάρ ἐστιν ἡ ἀδικία) καὶ τῷ νόμῳ αὐτοῦ καὶ ταῖς ἐντολαῖς αὐτοῦ ἐλεηθῆναι. λέγει γάρ, ὁδὸν ἀληθείας ᾑρετισάμην· τοῦτ᾽ ἔστιν ἠγάπησα, ἐξελεξάμην· καὶ τούτου ἕνεκεν οὐδὲ τὰ κρίματά σου ἐπελαθόμην, καὶ οὐδὲ τῆς μνήμης τῶν μαρτυρίων σου λήσμων γέγονα.

31 Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς.

Οὐχ ἁπλῶς, εἶπεν, ἠκολούθησα τοῖς μαρτυρίοις σου, οὐδὲ τοῖς ἔργοις, ἀλλ᾽ ἐκολλήθην· τοῦτ᾽ ἔστιν, οὐδὲ πρὸς βραχὺ τούτων ἐχώρισα τὸν ἐμαυτοῦ λογισμόν, ἀλλὰ διαπαντὸς ἐν αὐτοῖς ἀνετρεφόμην μὴ ἀποσπώμενος ἐξ αὐτῶν. διὸ δὴ μηδὲ καταισχύνῃς με, ὅταν ἑκάστῳ ἀποδιδῷς κατὰ τὰ ἔργα αὐτοῦ. ζητῶ δὲ τευγῆσαι τῆς τοιαύτης διαθέσεως καρπόν, τὸ μηδεμιᾶς πεῖραν αἰσχύνης λαβεῖν.

32 Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Ἀμφοτέρων χρεία, καὶ τῆς ἡμετέρας προθυμίας, καὶ τῆς τοῦ Θεοῦ προμηθείας. οὔτε γὰρ ἡ θεία χάρις δίδοται τοῖς τὴν ἀγαθὴν οὐκ ἔχουσι προθυμίαν, οὔτε ἀνθρωπεία φύσις δύναται ἀρετὴν κατορθῶσαι δίχα τῆς ἄνωθεν βοηθείας. τοῦτο καὶ ὁ προφήτης διδάσκει, ὅτι τὴν ἐντολῶν σου τὴν ὁδὸν ἔτρεχον ἀκωλύτως, τὴν παρ᾽ αὐτοῦ λαμβάνων τοῦ δρόμου τὴν εὐκολίαν· πλατύτητα γὰρ τὴν εὐκολίαν ἐκάλεσε. καὶ ἀλλαχοῦ φησιν· Ἐν θλίψει ἐπλάτυνάς μοι. καὶ πάλιν· Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου, ὅταν εὔκολα καὶ εὐχερῆ ἐποίησας τὰ κατ᾽ ἐμέ, καὶ ἀπεδίωξας ἀπ᾽ ἐμοῦ πᾶσαν στραγγαλιώδη καὶ σκολιὰν προσβολὴν τοῦ ἐχθροῦ. τοῦτο γάρ ἐστιν, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου, ὁδὸν ἐντολῶν σου ἔδραμον. τοιοῦτος ἦν ὁ Παῦλος λέγων· Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ᾽ ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. ὡσαύτως καὶ πάντες οἱ ἅγιοι.

γρ. παρὰ σοῦ

Ψαλ. δ. α.

Ψαλ. ιζ. μ.

α. Κορ. θ. κϛ.

33 Νομοθέτησόν μοι, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Τὸ νομοθέτησον ὁ Σύμμαχος, ὑπόδειξον εἶπεν· Ἀκύλας δὲ καὶ Θεοδοτίων, Φώτισον. Διαπαντός, φησι, τῆς σῆς δέομαι φωταγωγίας καὶ νομοθεσίας, ὥστε καὶ γνῶναι τῶν δικαιωμάτων σου τὴν ὁδόν, καὶ ταύτην ἀκολούθως ὁδεύειν. Πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον παρὰ τοῦ πατρὸς τῶν φώτων· καὶ ἡμεῖς προαιρούμενοι ἀγαθόν τι ποιεῖν, εἰ μὴ αὐτόθεν ἔχομεν τὴν συνεργίαν, ἀτελής ἐστιν ἡ ἔφεσις ἡμῶν. εὔχεται οὖν ὁ προφήτης, καὶ ἡμεῖς οἱ ψάλλοντες (Ὅσα γὰρ προεγράφη, διὰ τὴν ἡμετέραν σωτηρίαν προεγράφη) τὸν Θεὸν συνεργὸν ἔχειν. διὸ καὶ ἐπιφέρει· 34 Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου· καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Τῆς αὐτῆς θεωρίας ἔχεται καὶ ὁ στίχος οὗτος, καὶ οὐ δέεται ἑτέρας ἐννοίας εἰς ἑρμηνείαν. καὶ γὰρ ὁ Κύριος προσέταξεν ἐρευνᾶν τὰς γραφάς· ἀλλὰ τοῖς ἐρευνῶσι χρεία τῆς ἄνωθεν αἴγλης, ἵνα καὶ εὕρωσι τὸ ζητούμενον, καὶ φυλάξωσι τὸ θηρώμενον. 35 Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Οὐχ ἁπλῶς αἰτεῖ ποδηγὸν αὐτοῦ γενέσθαι τὸν τῶν ὅλων Θεόν, ἀλλὰ δείκνυσι τῆς πορείας τὸν πόθον.

Ιακ. α. ιζ.

χρηστή

Ρω. ιε. δ.

36 Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Ἐπὶ τὸ πρανὲς φέρεσθαι πέφυκε τῶν ὑδάτων ἡ φύσις, κἂν τινος ἐπιλάβηται διεξόδου, ἐκεῖσε πᾶσα χωρεῖ· οὕτω τοῦ διαβόλου τὴν ἐπὶ τὴν ἁμαρτίαν ὁδὸν διανοίξαντος, τῶν ἀνθρώπων ἔρρεψεν ἐπὶ τὸ χεῖρον ἡ φύσις. σφόδρα τοίνυν ὁ προφήτης ἁρμοδίως ἀντιβολεῖ ἐπὶ τὰ θεῖα μαρτύρια τὴν καρδίαν κλιθῆναι, καὶ τῆς ἐπὶ θάτερον φορᾶς τὴν πεῖραν διαφυγεῖν. καὶ γὰρ ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἔγκειται ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, καθὼς γέγραπται. εὐχόμεθα οὖν διδασκόμενοι ὑπὸ τοῦ προφήτου κλῖναι τὰς καρδίας ἡμῶν εἰς τὰ μαρτύρια αὐτοῦ, καὶ μὴ εἰς πλεονεξίαν, εἰς ἁρπαγὰς καὶ ἀδικίας, καὶ εἰς περισπασμοὺς τοῦ κόσμου τούτου. Ὅτι πᾶς ὁ βίος τῶν ἀσεβῶν ἐν φροντίδι, κατὰ τὸν πολύαθλον Ἰώβ. ἐκ τούτων γὰρ καὶ συνάγεται πλοῦτος, ὅστις καὶ μαμωνᾶς καλεῖται.

Γεν. η. κα.

Ἰὼβ ιε. κ.

37 Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με. Παρακαλεῖ ὁ προφήτης μὴ μετεωρίζεσθαι τοῖς ὀφθαλμοῖς διά τινων θεάτρων, ἵππων τε καὶ ἡλίκων δρομέων καὶ ὀρχηστικῶν λυγισμάτων, ἅτινά ἐστι ματαιότητος, καὶ ἀκερδῆ καὶ ἀνόητα· ἐπεὶ καὶ πάντα τὰ πράγματα καὶ αἱ φροντίδες αἱ πολλαὶ τοῦ κόσμου τούτου αἱ συντείνουσαι πρὸς πάθη σαρκικά, ματαιότητές εἰσι. διὸ καὶ ἐν τῷ Ἐκκλησιαστῇ εἴρηται· Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης· τὰ γήϊνα δηλονότι. ἐπάγει γάρ· Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται. καὶ αὖθις, Ὠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους, κολυμβήθρας ὑδάτων τοῦ ποτίσαι ἀπ' αὐτῶν. ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι. καί γε κτῆσις βουκολίων καὶ ποιμνίων πολλὴ ἐγένετό μοι ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ. Συνήγαγόν μοι καί γε ἀργύριον καὶ χρυσίον, καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν. ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, καὶ ἐντρυφήματα υἱῶν τοῦ ἀνθρώπου, οἰνοχόους καὶ οἰνοχοούσας, καὶ οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης. καὶ ἰδοὺ τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος. μάταιον δέ ἐστι τὸ ἀκερδὲς καὶ ἀνόητον. τοιαῦτα δὲ τὰ δοκοῦντα τοῦ βίου τερπνά. ἱκετεύει τοίνυν ὁ προφήτης εἰς ἑτέραν θεωρίαν ῥέψαι τῆς διανοίας τὰ ὄμματα, καὶ τῇ τῶν παρόντων ματαιότητι μὴ θελχθῆναι. τὸ δέ, ἐν τῇ ὁδῷ σου ζῆσόν με, κατὰ τοὺς σοὺς δός μοι πολιτεύεσθαι νόμους.

Ἐκκλησιαστ. α. β. γ.
Ἐκκλησιαστ. β. δ. ι.

38 Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Βέβαιον ἐν τοῖς σοῖς λόγοις ἀπόφηνόν με, ἀπερίτρεπτον φυλάττων τῷ φόβῳ σου, ἀντὶ τοῦ, ἐπικείσθω μοι ὁ φόβος σου, δεδιττόμενος καὶ μὴ ἐῶν ἐκτραπῆναι τῶν λογίων σου, εἰς τὸ περιελεῖν ἀπ' ἐμοῦ πᾶσαν κακίαν καὶ ἁμαρτίαν. οὕτω τοίνυν δέομαι γενέσθαι ἐν ἐμοὶ τῷ δούλῳ σου. Φόβος γὰρ Θεοῦ (γέγραπται) εἰς ζωὴν ἀνδρί. καί, Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καὶ ἐν τοῖς ἑξῆς δὲ τοῦ αὐτοῦ ψαλμοῦ ὁ προφήτης λέγει· Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἐπικείσθω μοι οὖν ὁ φόβος σου, μὴ ἐῶν με πρᾶξαι θέλημα σαρκός. Τὸ γὰρ θέλημα τῆς σαρκός, ἔχθρα εἰς Θεόν ἐστι, κατὰ τὸν θεῖον Παῦλον τὸν ἀπόστολον.

Παροιμ. ιθ. κγ.
Παροιμ. γ. ζ. καὶ ιδ. ιϛ.
ψαλμ. ριη. ριθ.
Ρωμ. η. ζ.

39 Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα· ὅτι τὰ κρίματά σου χρηστά.

Ὁ δὲ Ἀκύλας ἀντὶ τοῦ, ὑπώπτευσα, Ὑπεστάλην εἴρηκεν· οὕτω δὲ καὶ ὁ Θεοδοτίων. Ὁ δὲ Σύμμαχος, Ὃν εὐλαβοῦμαι. Ὀνειδισμὸν δὲ ἐνταῦθα καλεῖ τὸν ὑπὸ τῆς ἁμαρτίας γενόμενον. τοῦτον γὰρ καὶ ὑπεστέλλετο καὶ ἐδεδίει, καὶ ὕποπτον εἶχε ζωήν. διὰ τοῦτο οὐκ ἐπήγαγε συνήθως, ὅτι τὰ κρίματά σου ἐξεζήτησα, ἢ ἐφύλαξα, ἀλλ' ὅτι τὰ κρίματά σου χρηστά. κρίματα δὲ καλεῖ, τὰς τοῦ Θεοῦ δικαίας ψήφους. τὸ δὲ ὑπώπτευσα, τοῦτό ἐστι, συνέγνων ἐμαυτὸν ἁμαρτήσαντα· καὶ ὄνειδός μοι τοῦτό ἐστιν, ὅτι καὶ εἰκόνα σου κληθεὶς, εἰς ἁμαρτίαν κατωλίσθησα. περίελε οὖν ταύτην ἀπ' ἐμοῦ, ὅτι οὐ μόνον τοῖς ἁμαρτάνουσιν ἐπάγεις τιμωρίαν, ἀλλὰ καὶ τοῖς μετανοοῦσι πλέον σωτηρίαν. χρηστὰ γὰρ τὰ κρίματά σου, κατ' ἐπίτασιν τοῦ ἀγαθοῦ ὄντα. πλεοναζούσης γὰρ τῆς ἀγαθότητος ἡ χρηστότης γίνεται, ὡς οἱ περὶ αὐτὰ σοφοὶ λέγουσιν.

40 Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Ἐπιθυμία μοί ἐστι τελεία τὸ ἐν ταῖς ἐντολαῖς σου πορεύεσθαι· γλιχομένῳ δέ μοι παράσχου τὴν ἐν δικαιοσύνῃ ζωήν. τοῦτο γὰρ ποιῶν, τὸ κεφάλαιον πασῶν τῶν ἀρετῶν κέκτημαι. 41 Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε. Πάντες γὰρ ἐνδεεῖς ἐσμεν τῆς θείας φιλανθρωπίας· καὶ ὁ αὐτὴν κατειληφὼς τὴν ἀκροτάτην τῆς ἀρετῆς κορυφήν, ταύτης δεῖται διηνεκῶς· ἐπεὶ καὶ οἱ ἁμαρτάνοντες καὶ οἱ τὸν βίον κατωρθωκότες χρῄζομεν τοῦ ἐλέους τοῦ Θεοῦ. ἐνδεεῖς γὰρ πάντες τῆς θείας φιλανθρωπίας, Καὶ πάντες ὑστερούμενοι τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. μετὰ γὰρ τῆς τοῦ Θεοῦ συνεργίας καὶ ὁ ἁμαρτάνων ἐπιστρέφει ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ὁ ἀγαθὸς ἀγαθύνεται καὶ συντηρεῖται τῇ ἀγαθωσύνῃ. Τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου· 42 Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον. Ἣν ὑπέσχου, δέσποτα, σωτηρίαν ἐν τοῖς ἱεροῖς σου λόγοις, παράσχου· ἵνα τοῖς τωθάζουσί μοι σὺν παρρησίᾳ διαλεχθῶ. ὁ γὰρ ἐν συμφοραῖς ὤν, φέρει τὰ ὀνείδη σιγῶν· ὁ δὲ τὸν θυμήρη βιοτεύων βίον, διελέγχει τοὺς κακῶς ὀνειδίζοντας. καὶ γὰρ ἴσως τινὲς ἄπιστοι ὁρῶντές με ἐν τῷ βίῳ ἐν θλίψεσι καὶ συμφοραῖς ὄντα, ὀνειδίζουσί με· ἀλλ' οὕτως ἀποκριθήσομαι αὐτοῖς λέγων· ὅτι ἔστησεν ἡμέραν Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην καὶ ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δὲ ἐξ ἐριθείας, ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ στενοχωρία, καὶ ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος. διὸ καὶ ὁ πλούσιος ἤκουσεν· Ἀπέλαβες ἐν τῇ ζωῇ σου τὰ ἀγαθά σου, ὁμοίως καὶ ὁ Λάζαρος τὰ κακά· διὰ τοῦτο ἐκεῖνος μὲν ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. τὸ δὲ ἤλπισα ἐπὶ τοὺς λόγους σου, τί ἐστι; τῆς γὰρ σῆς ἐπαγγελίας ἐξήρτημαι, καὶ ἐπὶ ταύτης ὁδεύω τῆς ἐλπίδος.

Ρω. γ. κγ.
Ρω. β. ζ.
Λου. ις. κε.

43 Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα· ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Τίμιον ἡ ἀλήθεια, ὥστε καὶ αὐτὸς ὁ Χριστὸς ἔφη· Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. καὶ ἕτερος προφήτης διδάσκει· Οὗτοι οἱ λόγοι οὓς ποιήσετε, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. τὸ δὲ ἐναντίον τῆς ἀληθείας τὸ ψεῦδος, ὃ καὶ ἐκ τοῦ πονηροῦ ἐστιν. αὐτὸς γὰρ πρῶτος ψευσάμενος ἐψιθύρισε τῇ Εὔᾳ. ἐρᾷν τοίνυν ἡμᾶς τῆς ἀληθείας ὁ προφήτης διδάσκει, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων σὺν προθυμίᾳ πολλῇ.

Ιω. ιδ. ς.
Ζαχ. η. ις. ιζ.

44 Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐντεῦθεν μὲν ἐν τῇ ζωῇ ταύτῃ φυλάξω τὸν νόμον σου καὶ τὰς ἐντολάς σου διατηρήσω· ἀπόκειται δέ μοι τὰ ἀγαθὰ τοῦτο ποιοῦντι. οὕτω γὰρ καὶ προθυμότερος περὶ τὴν τῶν σῶν νόμων γενήσομαι φυλακήν. διὰ μέντοι τοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἐδήλωσε τὸν μέλλοντα βίον, ἐν ᾧ καθαρὰ καὶ ἀκραιφνὴς δοθήσεται ἅπασι τῶν θείων νόμων ἡ φυλακή, καὶ τὰ ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὓς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα γὰρ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

α. Κορ. β. θ.

45 Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα·

46 Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

Μετὰ πολλῆς, φησιν, εὐκολίας, καὶ κατὰ τὰς σὰς ἐντολὰς βιοτεύων, οὐδὲ βασιλικὴν ἔδεισα δυναστείαν, ἀλλὰ σὺν παρρησίᾳ πολλῇ τὴν πρὸς αὐτοὺς ἐποιούμην διάλεξιν. ἡ γὰρ

σάπις α.

ἔννομος ζωὴ παῤῥησίας δημιουργός. καὶ τούτου μάρτυς ὁ μέγας Δαβίδ. πρὸ μὲν γὰρ τῆς ἁμαρτίας μετὰ πολλῆς τῷ Σαοὺλ διαλέγεται παῤῥησίας· μετὰ δὲ τὴν ἁμαρτίαν, καὶ τὸν πατραλοίαν ἀποδιδράσκων υἱόν, κύπτων εἰς γῆν καὶ τὴν κεφαλὴν καλύπτων ἐβάδιζε. πλατυσμὸν δὲ ἐνταῦθα τὴν εὐχέρειαν καὶ τὴν εὐκολίαν λέγει, ἣν οἱ ἀγαθῶς βιοῦντες πορεύονται, καὶ οὐκ ἐκκλίνουσι δεξιᾷ οὔτε ἀριστερᾷ, εἰ μὴ πρὸς τὴν ὁδὸν τοῦ Θεοῦ ἔχουσι τὸν νοῦν αὐτῶν. πρὸς γὰρ τοὺς σκολιούς, σκολιὰς ὁδοὺς ἐπαποστέλλει Κύριος. καὶ ἐπειδὴ ἐν πλατυσμῷ τῶν ἐντολῶν σου ἐπορευόμην, ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην. τοιοῦτος ἦν Ἠλίας ὁ πολύς, τῇ δικαιοσύνῃ θαῤῥῶν, ἐλέγχων τὴν παρανομίαν τοῦ Ἀχαάβ. τοιοῦτος ἦν ὁ θεσπέσιος Δανιὴλ λέγων τῷ Ναβουχοδονόσορ· Καὶ νῦν βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἀνομίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. τοιοῦτος ἦν Ἰωάννης, ἐλέγχων τὴν μοιχείαν τοῦ Ἡρώδου, λέγων αὐτῷ· Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. οὕτως ὁ θεῖος Παῦλος πρὸς τὸν Ἀγρίππαν καὶ τὸν Φῆστον καὶ τὸν Φίληκα διελέγετο. οὕτως οἱ καλλίνικοι μάρτυρες τῶν δυσσεβῶν κατεφρόνησαν βασιλέων.

Δαν. δ. κδ.

Μαρκ. ς. ιη.

γρ. φήλικα

47 Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα·

48 καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει. καί, Ὁ ποιήσας καὶ διδάξας, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. διό τοι καὶ ὁ θεῖος προφήτης τῇ μελέτῃ τὴν πρᾶξιν προστέθεικεν. εἰρηκὼς γάρ, ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου ἃς ἠγάπησα σφόδρα, καὶ τὸν θερμὸν ἐπιδείξας πόθον, ἐπήγαγε· καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. ἃ γὰρ διὰ τῶν θείων λόγων ἐδιδασκόμην, ταῦτα διὰ τῶν ἔργων μετῄειν. ἡ γὰρ μελέτη τῶν θείων λόγων καὶ ἡ ἀκρόασις τῆς ἀναγνώσεως πρὸς ἔργα ἀγαθὰ καταρτυτᾷ. τοῦτο γάρ ἐστι τό, ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου. αἱ χεῖρες γὰρ πράξεών εἰσι δηλωτικαί. ἔφη γὰρ ὁ ἀπόστολος· Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καί, Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως. διὸ καὶ ὁ Κύριος ἔλεγε· Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέῤῥιψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. ὅστις δὲ ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. τὸ δέ, ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου, ἐνδελεχῶς, φησι, τὴν τούτων ἐποιούμην μελέτην.

α. Κορ. δ. κ.

Ματθ. ε. ιθ.

Ρω. β. ιγ.

Ιακ. β. κ. κς.

Ματθ. ζ. κς. κζ.

γρ. προσέκοψαν

49 Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Νομοθετῶν ὁ Θεός, καὶ τοῖς φυλάττουσι νόμον τὴν οἰκείαν εὐμένειαν ἐπηγγείλατο, καὶ τοῖς παραβάταις τὴν τιμωρίαν. μνησθῆναι τοίνυν τὸν Θεὸν τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. εἰς ἐκείνας γάρ, φησιν, ἐλπίζειν ἐδίδαξάς με. μνήσθητι οὖν, δέσποτα, τῶν ὑποσχέσεων, ὧν ἐπηγγείλω ἡμῖν. ἔφης γὰρ τοῖς μαθηταῖς σου, Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ οὐ μόνον αὐτοῖς τοῦτο ἐπηγγείλω, ἀλλὰ καὶ ἡμῖν πᾶσι τοῖς πιστεύουσι δι' αὐτῶν εἰς τὸ ὄνομά σου. μνήσθητι οὖν ἡμῶν καὶ μεθ' ἡμῶν γενοῦ, καὶ μὴ ἀποστῇς ἀφ' ἡμῶν, ἵνα μὴ ἀπολώμεθα.

Ματθ. κη. κ.

Ιω. ιζ. κ.

50 Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ταύτην γὰρ ἔχω παραψυχὴν ἐν ταῖς συμφοραῖς καὶ ἐν ταῖς θλίψεσιν. αὕτη ἡ ὑπόσχεσις, παράκλησίς μοι γέγονε καὶ ἀνάψυξις, καὶ ἐπὶ ταύτης ὀχούμενος ὑπερέπλευσα τῶν κυμάτων. διὰ τοῦτό μοι ἐν τοῖς λόγοις σου τὴν ζωήν μου ποίησον.

51 Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου οὐκ ἐξέκλινα.

Ὑπερηφάνους καλεῖ τὸν Σαοὺλ, τὸν Ἀβεσαλὼμ, τὸν τῶν Ἀμμανιτῶν βασιλέα, τὸν τὰ παράνομα ἐκεῖνα εἰς τοὺς ἀποσταλέντας παρ' αὐτοῦ πεποιηκότα. ἀλλ' ἐκεῖνοι μὲν παράνομον ἠσπάσαντο βίον, ἐγὼ δὲ τοῖς σοῖς ἠκολούθησα νόμοις: ταῦτα δὲ εἴποιεν ἂν καὶ οἱ καλλίνικοι μάρτυρες, ὑπὸ τῶν ἀπίστων καὶ δυσσεβῶν τυράννων τὰ δεινὰ ἐκεῖνα καὶ χαλεπὰ πεπονθότες. ὑπερηφανεύοντο δὲ σφόδρα καὶ οἱ Φαρισαῖοι μὴ προαιρούμενοι ἀκοῦσαι τῆς διδασκαλίας τοῦ Χριστοῦ. διὸ καὶ ἔλεγεν αὐτοῖς, Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν. οὐ μόνον γὰρ ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς θέλοντας εἰσελθεῖν κωλύετε. ἔτι ὑπερηφανεύοντο οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς τῶν Ἰουδαίων κατὰ τῶν ἀποστόλων, λέγοντες αὐτοῖς· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μηδενὶ λαλεῖν τὸν λόγον τοῦτον; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν. οἱ δὲ ἀπεκρίναντο αὐτοῖς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν μᾶλλον ἀκούειν, ἢ τοῦ Θεοῦ, κρίνατε. 52 Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Ματθ. κγ. ιγ.

Πράξ. ε. κη.

Πράξ. δ. ιθ.

Διωκόμενος οὖν ὁ χορὸς τῶν ἀποστόλων καὶ μαρτύρων, πάντων ἐμιμνήσκοντο τῶν κριμάτων τοῦ Θεοῦ τῶν ἀπ' αἰῶνος· οἷα πέπονθεν ὁ Ἄβελ ὑπὸ τοῦ ἀδελφοκτόνου Κάϊν, οἷα ὁ Ἀβραὰμ, οἷα ὁ Μωϋσῆς· τὰ κατὰ τὸν Ἰσαὰκ, τὰ κατὰ τὸν Ἰακὼβ, τὰ κατὰ τὸν Ἰωσὴφ, τὰ κατὰ τὸν Ἰὼβ (καὶ ταῦτα ἐγίνετο αὐτοῖς παράκλησις καὶ παραμυθία) καὶ ὅπως ποικίλοις περιπεσεῖν συνεχωρήθησαν πειρασμοῖς, καὶ περιφανεῖς ὕστερον καὶ περίβλεπτοι ἐγένοντο. ταῦτα τοίνυν εἰς νοῦν καὶ ἐγὼ λαμβάνων ψυχαγωγίαν ἐντεῦθεν ἀποχρῶσαν ἐκαρπωσάμην.

53 Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ἐγὼ μὲν πάσχων κακῶς, τῇ μνήμῃ τῶν σῶν ἐψυχαγωγούμην κριμάτων· ἠνιώμην δὲ ὅλως καὶ διετέλουν ἀσχάλλων, πολλοὺς ὁρῶν ἀδεῶς τοὺς σοὺς παραβαίνοντας νόμους. ταῦτα καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγε (τῶν γὰρ τελείων ἐστὶν ὁ λόγος) Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ, Ἐν Ἀθήναις ὢν, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ. ἐθεώρει γὰρ κατείδωλον τὴν πόλιν οὖσαν. καὶ ἡμεῖς οὖν, ἀδελφοὶ, ὁρῶντές τινας καταλιμπάνοντας τὸν νόμον τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ, ἐν ἀθυμίᾳ γινώμεθα, ἐπειδὴ γέγραπται· Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν, καὶ κατόπιν ἐν τούτῳ τῷ ψαλμῷ εἴρηται· Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. 54 Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

β. Κορ. ια. κθ.
Πράξ. ιζ. ις.

Ματθ. κβ. λθ.

Παρῴκησε μὲν ὁ μακάριος Δαβὶδ, ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, παρὰ τοῖς ἀλλοφύλοις· παροικίαν δὲ αὐτὸν οἶμαι καλεῖν οὐκ ἐκεῖνον τὸν χρόνον, ἀλλὰ πάντα τὸν βίον. οὐ γὰρ ὡς κατοικῶν, ἀλλ' ὡς παροικῶν, αὐτὸν διετέλεσε, καὶ ᾄδων τὰ τοῦ Θεοῦ δικαιώματα, τὸν βίον διώδευσεν. οὕτω γὰρ ἡρμήνευσαν καὶ οἱ λοιποὶ ἑρμηνευταί. ᾄσματά ἦν μοι τὰ προστάγματά σου ἐν τόπῳ τῆς παροικίας μου. πάντες οὖν οἱ ἅγιοι καὶ οἱ κατὰ Θεὸν ζῶντες, ὡς παροικίαν, εἶχον ταύτην τὴν ζωὴν, κατοικίαν ἔχοντες τὴν μέλλουσαν. ψαλτὰ οὖν αὐτοῖς εἰσι τὰ δικαιώματα τοῦ Θεοῦ ἐν τῷδε τῷ βίῳ. εἰς τοῦτο γὰρ καὶ ἔκτισται ἄνθρωπος, ἵνα αἰνῇ καὶ δοξάζῃ τὸν Θεόν. 55 Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Οὐ μόνον γὰρ διημερεύων τοῦτο πεποίηκα, ἀλλὰ καὶ ἐν νυκτὶ, ὅτε ἡ ἀνάπαυσίς ἐστι τοῦ σώματος, καὶ πρὸς φαντασίας ἀνυπάρκτους ὀνειροπολεῖ, καὶ λογισμοὶ ἀηδεῖς ἀνατυποῦνται, οὐ δέδωκα χώραν τούτοις, ἀλλ' ἐμιμνησκόμην τοῦ ὀνόματός σου. [διὸ καὶ ἐφύλαξα τὸν νόμον σου.] καὶ ὁ τῶν ἁγίων δὲ χορὸς νύκτωρ ἀεὶ διανιστάμενος καὶ προσεύχεται καὶ ὑμνεῖ τὸν τῶν ὅλων Θεόν. οἶμαι δὲ νύκτα ἐν τούτῳ τὸν τῶν πειρασμῶν τὸν καιρὸν ὀνομάζεσθαι. ζόφον γὰρ ἐπιφέρει, καὶ νυκτὸς δίκην τοῖς ἀνθρώποις ἐπέρχεται. ἐν δὲ τούτῳ διαφερόντως ἀναγκαία τοῦ Θεοῦ τῶν ὅλων ἡ μνήμη, ψυχαγωγοῦσα καὶ παραθαρρύνουσα καὶ τοὺς ἐναντίους ἐξελαύνουσα λογισμούς. 56 Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Τίς αὕτη; ἡ νυκτερινὴ μελέτη. οὕτω γάρ, φησιν, ἠδυνήθην περιγενέσθαι, καὶ τῶν σῶν δικαιωμάτων περιελέσθαι τὴν μνήμην ἢ τὴν κτῆσιν, ἐπειδὴ τὰ δικαιώματά σου ἐξεζήτησα, καὶ ἐν νυκτὶ οὐ διέλιπον μνήμην σου ποιούμενος. Ἀκούωμεν, ἀδελφοί, διδασκώμεθα διανυκτερεύειν ἐν προσευχῇ καὶ ψαλμῳδίᾳ.

57 Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Οὐ πάντων ἐστὶ μερὶς ὁ Θεός, ἀλλὰ τῶν ἀσπαζομένων τὰ τέλεια. οὕτω τῶν ἱερέων καὶ Λευϊτῶν μερὶς καὶ κλῆρος ἐγένετο. Τοῖς γὰρ υἱοῖς, φησι, Λευῒ οὐκ ἔσται μερὶς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν, ὅτι μερὶς αὐτῶν ἐγὼ Κύριος. οὕτω καὶ ἐν τῷ πεντεκαιδεκάτῳ ἔφη ψαλμῷ· Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. λέγει τοίνυν καὶ ἐνταῦθα, ὅτι τῶν ἄλλων ἁπάντων ὑπεριδών, σὲ ἔχω μερίδα καὶ περιουσίαν καὶ πλοῦτον. διὸ δὴ καὶ φυλάξαι τοὺς σοὺς ἐπείγομαι νόμους. ἔστι τοίνυν τῶν τελείων αὕτη φωνή, οἵτινες ὅλους ἑαυτοὺς τῷ Θεῷ ἀνατίθενται, καὶ εἰς ἡδονὰς καὶ πολλὰς φροντίδας μὴ ἀπαγόμενοι. Εἶπε γὰρ ὁ Κύριος· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. 58 Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου. Διδάσκει ἡμᾶς ὁ λόγος, ὁποίους δεῖ ἡμᾶς παρεστᾶναι, ὅταν δεώμεθα τοῦ Θεοῦ, ὡς ὅτι κατ' ὄψιν παριστάμεθα. ἐδεήθην γὰρ τοῦ προσώπου σου. ἢ καὶ πρόσωπον ὁ υἱὸς τοῦ πατρός, καθὼς ὁ θεῖος ἀπόστολος ἔφη· Ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· καὶ δι' αὐτοῦ ἀναφέρομεν θυσίαν εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ἡμῶν. πανταχοῦ δὲ τό, ἐν ὅλῃ καρδίᾳ, ὁ Δαβὶδ προστίθησι τῷ νόμῳ, καὶ ἐν τούτῳ πειθόμενος προσκεῖσθαι Θεῷ, διδάσκων ἡμᾶς τὸ ἀγαπᾶν αὐτὸν ἐν ὅλῃ καρδίᾳ. Ἀγαπήσεις γὰρ Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου. τὸ δέ, ἐλέησόν με κατὰ τὸ λόγιόν σου, ἕτερον οὐδέν ἐστιν, ἢ ὅτι ἐν σοὶ ἀνατίθημι πάντα τὰ κατ' ἐμέ· καὶ ὡς βούλει, ἐλέησόν με.

Ἀριθμ. ιη. καὶ Δευτ. ιθ.

Ματθ. ς. κδ.

Ἑβρ. α. γ.

Ματθ. κβ. λζ.

Ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Οὐκ ἀορίστως ἐλεηθῆναι παρακαλεῖ, ἀλλὰ κατὰ τὸ θεῖον λόγιον τοῦ ἐλέους τυχεῖν. τοῦτο δ' ἂν εἴποι καὶ συνετὸς ἄρρωστος τῷ ἰατρῷ· ὡς οἶδας, θεράπευσον· ὡς ἡ τέχνη διαγορεύει. τοῦτο καὶ ὁ συνετὸς ἔμπορος εἴποι ἂν τῷ κυβερνήτῃ· κατὰ τοὺς νόμους τῆς τέχνης ἴθυνον τὸ σκάφος· ὡς ἡ ἐπιστήμη κελεύει, κυβέρνησον. οὕτω καὶ ἡμᾶς προσήκει τὸ θεῖον ἔλεον ἐπαγγέλλειν. ὁ γὰρ αἰτούμενος οἶδε τοῦ ἐλέους τὸν τρόπον. πολλάκις γὰρ διὰ παιδείας πραγματεύεται σωτηρίαν, καὶ γίνεται ἡ τιμωρία, φιλανθρωπία. οὕτω καὶ ἰατρὸς καὶ τέμνει καὶ καίει τῷ κάμνοντι τὴν ὑγείαν πραγματευόμενος. οὕτω καὶ ἡμᾶς αἰτεῖν τὸν ἔλεον χρή. ἔστι γὰρ ὅτε καὶ διὰ πενίας ἔλεος χορηγεῖται, καὶ δι' ἀρρωστίας φιλανθρωπία παρέχεται, καὶ κατὰ τὸν ἰατρικὸν λόγον τοῖς ἐναντίοις τὰ ἐναντία ἰᾶται. 59 Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἐπειδὴ πᾶσάν μου τὴν προαίρεσιν εἰς τὰς σὰς ἐντολὰς ἀνέθηκα, τούτου χάριν τὴν τῶν μαρτυρίων σου ἐπορεύθην ὁδόν. ὁ δὲ Ἑβραῖος τὰς ὁδούς μου ἔχει. ὡσαύτως δὲ καὶ οἱ ἄλλοι ἡρμήνευσαν ἑρμηνευταί, καὶ οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ. λέγει δέ, ὅτι λογιστεύων μου τὰς ὁδούς, πρὸς τὰ μαρτύριά σου τοὺς ἐμοὺς πόδας κατεύθυνον, καὶ οὐκ εἴων ἐκτρέπεσθαι τῆς πρὸς σὲ φερούσης ὁδοῦ.

60 Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Εὐτρεπῆ γὰρ ἐμαυτὸν πρὸς τὰς τῶν δεινῶν ἐμβολὰς καταστήσας, ἐκ τῆς ἀθρόας προσβολῆς οὐχ ὑπέμεινα ζάλην. τοιοῦτος ἦν ὁ μακάριος Δανιὴλ ὁ στόματα λεόντων χαλινώσας· τοιοῦτοι ἦσαν οἱ τρεῖς παῖδες, οἷς ἡ κάμινος δίαιτα δρόσου γέγονεν· οὕτως οἱ θαυμάσιοι Μακκαβαῖοι· τοιοῦτοι ἦσαν οἱ ἅγιοι ἀπόστολοι, προφῆται, καὶ μάρτυρες. οὕτως ἅπαντες τὰς τῶν δυσσεβῶν ἐνίκησαν προσβολάς. πρὸ γὰρ τῶν κινδύνων ἡτοίμαζον ἑαυτούς, διὰ τὴν τοῦ Θεοῦ ἀγάπην καθ' ἡμέραν ἀποθνήσκοντες, πάντα ἐν δευτέρῳ ἔχοντες καὶ εἰς οὐδέν. τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἁγίοις εὐαγγελίοις παρεγγυᾷ, γρηγορεῖτε, λέγων, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται.

61 Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι· καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Τὰς ἐπιβουλὰς ἤτοι δαιμόνων, ἤτοι ἀνθρώπων, σχοινία ἐκάλεσεν, ἐκ τῆς πλοκῆς τὴν ἀφορμὴν λαβὼν τῆς τροπῆς. οὕτω καὶ ὁ Ἠσαΐας· Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς σχοινίῳ μακρῷ. τούτων δέ, φησι, τῶν σχοινίων περιτεθέντων μοι οὐκ ἀπεσεισάμην τοῦ θείου νόμου τὴν μνήμην. σχοινία δὲ τῶν ἁμαρτωλῶν λεκτέον τὰς τῶν δαιμόνων προσβολάς, καὶ τοὺς πονηροὺς λογισμούς, τὰς σαρκικὰς κινήσεις. σειραῖς γὰρ τῶν ἰδίων ἁμαρτιῶν ἕκαστος σφίγγεται· καὶ ὅτε ἂν ἁμαρτήσῃ τις, ἐὰν μὴ συντόμως ἑαυτὸν ἀνακαλέσηται καὶ ἔλθῃ εἰς συναίσθησιν, εἰς ἑτέραν πάλιν καταπίπτει ἁμαρτίαν. οὕτως οὖν ἁμαρτήσας ὁ Κάϊν, τὸν ἴδιον ἀδελφὸν ἀποκτείνας, ψεῦδος ἔσχεν ἀκόλουθον, ὡς σχοινίον συμπεπλεγμένον. Εἶπε γὰρ αὐτῷ ὁ Θεός· Ποῦ Ἄβελ ὁ ἀδελφός σου; καὶ αὐτὸς ἀπεκρίνατο· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμι; καὶ ἐψεύσατο τῷ Θεῷ τῷ πάντα ἐρευνῶντι, καὶ τὰ βάθη τῶν καρδιῶν ἡμῶν. οὕτως ὁ Ἑβραῖος λαός, καθίσαντες φαγεῖν καὶ πιεῖν, ἀνέστησαν παίζειν, καὶ ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ συνείραντες, ἐμοσχοποίησαν εἰδωλολατρεύσαντες ἐν τῇ ἐρήμῳ. οὕτως οὖν καὶ ὁ Ἰούδας φιλάργυρος ὤν, προδότης τοῦ διδασκάλου ἐγένετο, καὶ τέλος ἀπήγξατο. ὁ δὲ Πέτρος ἀρνησάμενος, κλαύσας πικρῶς ἐπὶ τῇ ἀρνήσει, ἐδικαιώθη, μὴ προσθεὶς ἁμαρτίαν. οὕτως οὖν καὶ ἡμεῖς, ἀδελφοί, εἰ ἁμαρτάνομεν, ἐπιστρέψωμεν, καὶ μὴ γινώμεθα καταφρονηταί, ἵνα μὴ ἀκολουθήσῃ ἡμῖν ἁμαρτία ἐφ' ἁμαρτίαι, ὡς σχοινίον μακρόν.

Ἠσα. ε. ιη.

Γεν δ. θ.

Ἐξοδ. λβ. δ. ς.

62 Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Οὐ γὰρ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ, κατ' αὐτὸ τὸ μεσαίτατον τῆς νυκτός, ἐν ᾧ μετὰ πλείονος ἡδονῆς ὁ ὕπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῶν σε διετέλουν, καὶ τὰς δικαίας σου ψήφους ἀνευφημῶν. προείρηται οὖν, ὅταν πάντες τὴν ἀνάπαυσιν ἔχωσιν, ὅταν τῷ ὕπνῳ τῷ σώματι ἀναπαύωνται, ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. ποῖα δέ εἰσι ταῦτα; ὅτι μέλλει κρίνειν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ Χριστὸς ὁ Θεὸς ἡμῶν. τοῦτο γὰρ ἡ δικαιοσύνη. καὶ διδάσκει ἡμᾶς, ἵνα καὶ ἡμεῖς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐξομολογώμεθα καὶ παρακαλῶμεν τὸν Θεὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. λέγει γὰρ καὶ ὁ εὐαγγελιστὴς Λουκᾶς· Καὶ ἦν Ἰησοῦς διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ, ἡμᾶς διδάσκων τοῦτο ποιεῖν. τοῦτο καὶ ὁ θεῖος ἀπόστολος μετὰ τοῦ Σίλα πεποίηκε. πεπεδημένος γὰρ σὺν τῷ Σίλᾳ, καὶ τῇ ποδοκάκκῃ προσδεδεμένος μετὰ αἰκίας καὶ μάστιγας τῇ προσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε, καὶ τῆς καλῆς ἀγρυπνίας ἐτρύγησε τὸν καρπόν. τῆς θείας γὰρ φιλοτιμίας ἀπέλαυσαν. 63 Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ μέτοχος, συνημμένος εἴρηκεν· ὁ δὲ Σύρος, Φίλος. Ἀποστρεφόμενος γὰρ τοὺς τἀναντία τοῖς σοῖς νόμοις προαιρουμένους, κοινωνοὺς εἶχον καὶ συνήθεις τοὺς τὸν σὸν φόβον περὶ πολλοῦ ποιουμένους καὶ βιοτεύειν ἐν

Λουκ. ς. ιβ.

νόμους παραιρούμενοι. τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός. παροιμιακῶς δὲ ἠκούσαμεν, Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι, γνωσθήσεται. ὅσοι δὲ τὴν φιλοξενίαν τοῦ Ἀβραὰμ κέκτηνται, μέτοχοι τούτου γεγόνασιν· ὡσαύτως τοῦ Ἠλιοῦ τὸν ζῆλον, Μωϋσέως καὶ Δαβὶδ τὴν πραότητα. ἐπεὶ ὅσοι μιμηταὶ κακῶν γεγόνασιν ἔργων, ἀκούουσιν, Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. μὴ δὴ γινώμεθα, ἀδελφοί, συμμέτοχοι τούτων, ἀλλὰ τῶν τὰ ἀγαθὰ πραξάντων. πολλαχῶς γὰρ ἀπολώλασί τινες ἁμαρτίας ποιοῦντες, καὶ ἑτέρους μετ᾽ αὐτῶν συναπολλύντες. ἀλλ᾽ ὅταν τις προσκαλῆται ὑμᾶς πρὸς ἁμαρτίαν, ἀποκρίθητε αὐτῷ· Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω, καὶ ποιοῦντας παραβάσεις ἐμίσησα.

Ψαλμ. ρλη. ιζ.
Παροιμ. ιγ. κ.
Ψαλμ. μθ. ιη.
Ψαλμ. κε. δ.

64 Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

γρ. ἀλαζόνες

Ἐπὶ πάντας, φησί, πλουσίως ἐκχέεις τὰς τοῦ ἐλέους σου πηγάς, καὶ ἀνατέλλεις τὸν ἥλιόν σου ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχεις ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ οὐκ ἐπάγεις τὴν ὀργὴν καθ᾽ ἑκάστην ἡμέραν· ἀλλὰ φέρεις μὲν τοὺς διαθρύπτοντας γάμους ἀλλοτρίους, καὶ τοὺς αἵματι μιαινομένους ἀδίκῳ, καὶ ἄλλους σφετεριζομένους τὰ μὴ προσήκοντα, καὶ ταῖς βλασφημίαις τὴν γλῶτταν μολύνοντας, καὶ ἄλλους ἄλλο τι τῶν παρανόμων τολμῶντας. τοσαύτῃ τοίνυν φιλανθρωπίᾳ χρώμενος, κἀμὲ ταύτης ἀξίωσον, δέσποτα, τῶν σῶν δικαιωμάτων παρέχων τὴν γνῶσιν. ὅμοιον τοίνυν καὶ ὁ προφήτης Ἡσαΐας λέγει· Γῆ σύμπασα γνώσεται τὸν Κύριον. καὶ γὰρ ἐπὶ τῆς γῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐλθόντος, πάντα τὰ πέρατα τῆς χάριτος αὐτοῦ ἐνεπλήσθη, καὶ τὰ δικαιώματα αὐτοῦ ἐδιδάχθησαν παρὰ τῶν αὐτοῦ μαθητῶν. ἔχει δὲ καὶ ἑτέραν ἔννοιαν ὁ λόγος, ὅτι τοῦ ἐλέους αὐτοῦ πάντες ἀπολαύομεν. βρέχει γὰρ ἐπὶ δικαίους καὶ ἁμαρτωλούς, καὶ μακροθύμως φέρει ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ οὐκ ἐπάγει ὀργήν.

Ησ. ια. θ.

65 Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Πεῖραν τῆς σῆς ἔλαβον ἀγαθότητος, διόπερ αὖθις ταύτης ἀπολαῦσαι παρακαλῶ, καὶ κατὰ τοὺς σοὺς διαβιῶναι νόμους ἀντιβολῶ. ἐπεὶ δὲ τοῦ ἐλέους σου πεπλήρωται ἡ γῆ, χρηστότητα ἐποίησας μετὰ τοῦ σοῦ θεράποντος [illegible], καθὼς ἐπηγγείλω διὰ τῶν προφητῶν σου. ἀγαθὸς δὲ ὢν ὁ Θεὸς ἀγαθὰ ἡμῖν ἐδωρήσατο, καὶ ἁμαρτανόντων ἡμῶν παιδεύει ἡμᾶς πρὸς νουθεσίαν ἐπιστρέφων. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται, κατὰ τὸν παροιμιακὸν λόγον. οὐκοῦν πταίομεν, καὶ δικαίως σωφρονίζει, ἵνα ἐπιστρέφωμεν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς. γέγραπται γάρ· Καὶ ὁ λαὸς οὐκ ἐπεστράφη ἕως ἐπλήγη. καὶ διδασκόμεθα διὰ τῆς χρηστότητος αὐτοῦ καὶ παιδείαν καὶ γνῶσιν, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ πιστεύειν ἡμῖν τὴν σωτηρίαν δοθήσεσθαι.

Παροιμ. γ. ιβ.
Ησ. θ. ιγ.

66 Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με· ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Οἶδεν ὁ προφήτης τῆς παιδείας τὸ χρήσιμον· καὶ ὅτι φιλανθρωπίᾳ χρώμενος ὁ δεσπότης, ταύτην ἐπιφέρει τοῖς ἀνθρώποις· ὃ δὴ χάριν ταύτης μεταλαχεῖν ἀξιοῖ. χρηστότητι γὰρ χρώμενος ὁ Θεός, τὴν παιδείαν ἐπάγει· ἡ δὲ παιδεία, τὴν γνῶσιν. οὕτω καὶ ὁ προφήτης Ἱερεμίας ἀντιβολεῖ· Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ποιήσῃς ἡμᾶς. οὕτω καὶ ἄρρωστος ὑγείαν ποθῶν, καὶ σιδήρου τομὴν καὶ καυστῆρα ἐπιζητεῖ. Εἶτα διδάσκει, πόθεν ἔγνω τῆς παιδείας τὸ χρήσιμον.

Ιερ. ι. κδ.

67 Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Ἐπειδὴ εὐημερῶν ἐν τῷ κόσμῳ τούτῳ καὶ πλουτῶν πάντως ἥμαρτον (τοῦ-

το γὰρ δηλοῖ, περὶ τοῦ με ταπεινωθῆναι. ὁ πλοῦτος γὰρ πάντως ἐξ ἀδικίας συνάγεται) ἀλλ' ἐπίστρεψόν με, ἵνα φυλάξω τοὺς λόγους σου. ἐγὼ γὰρ, φησιν, ἐμαυτὸν εἰς παιδείαν προὐξένησα. ἀδικίας γὰρ ἐλευθέρα τῆς τιμωρίας ἡ ψῆφος. τῇ ἁμαρτίᾳ ἠκολούθησεν ἡ παιδεία, τῇ δὲ παιδείᾳ τῶν νόμων ἡ φυλακή. ἠῤῥώστησα, ἐτμήθην, ἐῤῥώσθην. 68 Χρηστὸς εἶ σὺ, Κύριε. Τῷ ὄντι γὰρ χρηστὸς ὑπάρχεις καὶ φιλάνθρωπος, ἀγαθός τε καὶ καθ' ὑπερβολὴν ἀγαθός· καὶ τῇ σῇ ἀγαθότητι ἐν τοῖς δικαιώμασί σου διατήρησόν με. παρὰ σοῦ γάρ ἐστι πάντα σωτήρια.

Καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. Διὰ τοῦτο θαῤῥῶν αἰτῶ παρὰ σοῦ λαβεῖν τῶν σῶν δικαιωμάτων τὴν γνῶσιν.

69 Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Πάντες οἱ μὴ φυλάσσοντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ κατεπαιρόμενοι κατὰ τῆς γνώσεως αὐτοῦ, οὗτοί εἰσιν ὑπερήφανοι. καὶ εἰ καὶ μέσον τούτων τῶν ἀνθρώπων ἀναστρέφομαί, φησιν, ἀλλ' οὕτω τούτοις οὐκ ἐπακολουθήσω, ἀλλ' ἐξερευνήσω ἐν ὅλῃ καρδίᾳ μου τὰς ἐντολάς σου, μένων πεπαγιωμένος ἐν αὐταῖς. οἱ μὲν γὰρ ἀλαζονείᾳ χρώμενοι, πᾶν εἶδος ἐπιβουλῆς καττύουσι κατ' ἐμοῦ· ἀλλ' ὅμως πρὸς τὴν αὐτῶν παρανομίαν οὐκ ἐρεθίζομαι, ταῖς σαῖς ἐντολαῖς ῥυθμιζόμενος. ταῦτα δὲ πρὸς νουθεσίαν ἡμῶν ἐγράφησαν, ἵνα ὦμεν ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι εἰς τὸ ἀγαθόν.

Ησ.ς.ι. 70 Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Ἔοικε τοῦτο τῷ προφητικῷ ῥητῷ, Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. ἔοικε δὲ καὶ τοῖς ἐν ἐξόδῳ
Ἐξοδ.ζ.κβ. περὶ τοῦ Φαραὼ εἰρημένοις· Καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ. οἱ οὖν Ἰουδαῖοι, ὡς τυρὸς ἐπάγησαν· ὁ δὲ τῶν ἀποστόλων χορὸς καὶ οἱ πιστεύσαντες δι' αὐτῶν, ἐν μελέτῃ τῶν λόγων τοῦ Θεοῦ ἀναστρέφονται, τῷ εὐαγγελίῳ τοῦ Θεοῦ πειθαρχήσαντες. ἐκεῖνοι μὲν οὖν, φησιν, ἀντίτυπον ἐσχήκασι τὴν καρδίαν, οὗτοι τὸ ἁπαλὸν αὐτῆς σκληρὸν ἐργασάμενοι, καὶ καθάπερ γάλα πήξαντες καὶ τυρώσαντες· ἐγὼ δὲ τῇ μελέτῃ τοῦ νόμου τοῦ σοῦ προστέτηκα.

71 Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με· ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Χαίρων ὁ προφήτης ὁμολογεῖ τοῖς αὐστηροτέροις τοῦ ἰατροῦ φαρμάκοις, τὴν ἐντεῦθεν γινομένην καταμαθὼν ὑγίειαν. ἀνωτέρω μὲν γὰρ εἶπε, πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα· ἐνταῦθα δὲ λέγει, ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με. πρὸς παιδείαν γὰρ καὶ ἐπιστροφὴν περιπίπτει τις εἰς θλίψεις καὶ συμφοράς· καὶ οἱ ἐν ὑπομονῇ ταύτας δεχόμενοι λέγουσιν· ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ἵνα τὰ δικαιώματά σου μάθω. 72 Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. Εἰ γὰρ καὶ τῆς βασιλείας ὑπὸ τοῦ παιδὸς ἐξηλάθην, ἀλλὰ διὰ τῆς παιδείας τὸν σὸν νόμον ἀνελαβόμην, ὃν τοῦ πλούτου παντὸς τιμιώτερον ἔχω. ὁ αὐτὸς δὲ προφήτης ἐν τοῖς ἐπιοῦσι λέγει, ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς εὑρίσκων σκῦλα πολλά· ὧδε δὲ λέγει, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου ἀγαθώτερός μοι ὁ νόμος σου, ἡμᾶς ἀσφαλιζόμενος, ἵνα τοῦτον τηρῶμεν· τοῦτ' ἔστι τὰς ἐντολὰς αὐτοῦ, καὶ ταύτας φυλάττωμεν, καὶ ἐν αὐταῖς ἀναστρεφώμεθα. ἐν αἷς ἀξιωθείητε, ἀδελφοὶ, τὸν βίον ὑμῶν διευθύνειν· ἵνα καταντήσητε ἐν τοῖς ἀποκειμένοις αἰωνίοις ἀγαθοῖς, καὶ ἐν τῷ νῦν αἰῶνι φυλαχθείητε ἀπὸ πάσης κακίας καὶ ἁμαρτίας, χάριτι καὶ οἰκτιρμοῖς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

73 ΑΙ ΧΕΙΡΕΣ ΣΟΥ ΕΠΟΙΗΣΑΝ ΜΕ ΚΑΙ ΕΠΛΑΣΑΝ ΜΕ· Συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ὁ Προφήτης Δαβὶδ πολλῶν ἐν πείρᾳ γεγονὼς πραγμάτων, ἀρχοντικῆς ἐξουσίας, βασιλείας, πλούτου, δόξης, τιμῆς, τρυφῆς καὶ πολέμων ἀνδραγαθίας, πάντα σκύβαλα ἡγησάμενος, εἰς τὸ ὄντως ἐραστὸν καὶ ἐφετὸν καὶ ἀγαπητὸν ἀπέβλεψεν, εἰπών· ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. καὶ ἡμεῖς ἀδελφοὶ (πρὸς νουθεσίαν γὰρ ἡμῶν ταῦτα προεγράφη) πάντα εἰς οὐδὲν λογισάμενοι, τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ φυλάξωμεν. δεῖξαι δὲ θέλων, ὅσης τιμῆς ἠξίωται ὁ ἄνθρωπος, μελῳδήσας ἔφη· αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. λόγῳ γὰρ τὰ πάντα συνέστησεν ὁ Θεός, καὶ παρήγαγεν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι. ποιήσας γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν εἶπε, Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ γενηθήτω στερέωμα, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν, κτήνη, ἑρπετά, θηρία κατὰ γένος αὐτῶν. τὸν δὲ ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ἔπλασεν. ὁ τοίνυν προφήτης πνεύματι θείῳ κινούμενος, τῆς περὶ τὴν ἀνθρωπείαν φύσιν φιλοστοργίας ἀναμιμνήσκει τὸν ποιητήν. λόγῳ γὰρ ἅπαντα τεκτηνάμενος αὐτὸς λέγεται διαπλάσαι τῶν ἀνθρώπων τὴν φύσιν, οὐ χερσὶ χρησάμενος (ἀσώματος γὰρ καὶ ἀσχημάτιστος· Πνεῦμα γὰρ ὁ Θεός, κατὰ τὴν τοῦ Κυρίου φωνήν) ἀλλὰ τὴν πλείονα περὶ τόδε τὸ ποίημα διάθεσιν ἐνδειξάμενος καὶ οἰκείωσιν, ἣν ἔχομεν ἡμεῖς οἱ ἄνθρωποι. κατ' εἰκόνα γὰρ αὐτοῦ ἐκτίσθημεν. διὸ καὶ αὐτὸ τὸ ζῶον ὁ ἄνθρωπος μόνος συνετίζεται. ἱκετεύει τοίνυν τὸν διαπλάσαντα χορηγῆσαι τῷ ποιήματι σύνεσιν. ἐπήγαγε γάρ·

Γεν. α. γ. ε.
Ιω. δ. κδ.

Συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. 74 Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Πρόφασίς, φησιν, εὐφροσύνης τοῖς εὐσεβέσι γενήσομαι, ἐλπίσας εἰς σέ, καὶ κατάλληλον εὑρὼν τῇ ἐλπίδι τὸ τέλος. καὶ ὅπου χαίρει ὁ Θεὸς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι κατὰ τὴν κυριακὴν φωνήν, οἱ δίκαιοι ὡς μιμηταὶ αὐτοῦ ὄντες, εὐφραίνονται ἐπὶ ἀνδρὶ συνετῷ καὶ ἐλπίζοντι εἰς τοὺς λόγους τοῦ Θεοῦ. 75 Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Ταῦτα διαφόρως λέγει, τὴν οἰκείαν εὐγνωμοσύνην δεικνύς. οἶδα, φησιν, ἀκριβῶς, ὡς ὀρθῶς μου καὶ δικαίως κατεψηφίσω, καὶ ταῖς παντοδαπαῖς περιέβαλες συμφοραῖς. ἁμαρτανόντων γὰρ ἡμῶν ἐστὶν ὅτε ὁ Θεὸς ὀργίζεται, ἔστι δὲ ὅτε καὶ μακροθυμεῖ, ἐκδεχόμενος ἡμῶν τὴν μετάνοιαν. ἵνα οὖν μὴ ἐπιμένωμεν τῇ ἁμαρτίᾳ, πρὸς παίδευσιν καὶ διόρθωσιν ἡμῶν ἐπάγει ὀργήν, καὶ κρίνει δικαίως. γέγραπται γὰρ διὰ τοῦ προφήτου· Ἐν θυμῷ μικρῷ ἐπάταξά σε, καὶ ἐν ἐλέει αἰωνίῳ ἐδόξασά σε. καί, Κύριος ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησι. καί, Ὁ λαὸς οὐκ ἐπεστράφη, ἕως ἐπλήγη. ἀληθείᾳ γὰρ ἐπιφέρει συμφορὰς καὶ θλίψεις. τοῦτο γὰρ δηλοῖ τὴν ταπείνωσιν.

Λουκ. ιε. ζ.
Ησ. νδ. η. καὶ ζ.
Ιωβ ε. ιη.
Ησ. θ. ιγ.

76 Γενηθήτω δὴ τὸ ἔλεός σου, τοῦ παρακαλέσαι με.

Φιλανθρωπίας γὰρ λοιπὸν καὶ ψυχαγωγίας καιρός. ἔλεος οὖν τοῦ Θεοῦ, ἡ ἐν σαρκὶ παρουσία Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ἐποίησε γὰρ μεθ' ἡμῶν ἔλεος, καὶ αὐτός ἐστι παράκλητος πρὸς τὸν πατέρα, καὶ ἱλασμὸς τῶν ἁμαρτιῶν ἡμῶν, ὡς φησιν Ἰωάννης ὁ ἀπόστολος. Καὶ

α. Ιω. β. α. β.
Ιω. ιδ. ιϛ.

ἄλλον παράκλητον ἐπηγγείλατο, τὸ πνεῦμα τὸ ἅγιον. αὐτὸς γὰρ εἶπε τοῖς μαθηταῖς· Ιω. ιε. κϛ. Ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. αἰτεῖται οὖν ὁ προφήτης γενηθῆναι τὸ ἔλεος τοῦτο εἰς τὸ ἀνθρώπινον γένος, καθὼς ἐπηγγείλατο διὰ τῶν πατριαρχῶν, τοῦ νόμου καὶ προφητῶν. τοῦτο γάρ ἐστι·

Κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Τοῖς γὰρ μεταμελείᾳ χρωμένοις τὴν σὴν εὔνοιαν ἐπηγγείλω. τοῦτο καὶ διὰ Ἡσαΐου ἔφη· Ησ. λ. ιε. Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ. καὶ διὰ τοῦ Ἱερεμίου βοᾷ· Ιερ. δ. α. Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς.

77 Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι· ὅτι ὁ νόμος σου μελέτη μού ἐστι.

Νεκρὸν ἑαυτὸν ἡγεῖται, τῆς θείας ἐστερημένος εὐμενείας· οὗ δὴ χάριν ὥσπερ ἀναβιῶναι διὰ τῆς θείας φιλανθρωπίας παρακαλεῖ. αὐτοὺς οὖν τοὺς οἰκτιρμοὺς λέγει, οὓς δέδωκεν ἡμῖν ὁ Κύριος ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, τὸν εὐαγγελικὸν λόγον, τὰ ἀποστολικὰ διδάγματα· ἵνα ἐν τούτοις ζῶντες ἔχωμεν αὐτὰ μελέτην διαπαντός.

78 Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Οὐκ ἐπεύχεται τοῖς ἐχθροῖς, ἀλλὰ ὑπερεύχεται τούτων. ἡ γὰρ αἰσχύνη τὴν σωτηρίαν πραγματεύεται. ἧς οὔπω ἀπέλαυσαν ἰατρείας, κἀκείνους τυχεῖν ἀξιοῖ. ὑπερηφανεύθη οὖν ὁ διάβολος καὶ αἱ ὑπ' αὐτὸν ἀντικείμεναι δυνάμεις κατὰ τοῦ ἀνθρωπίνου γένους διὰ τῆς παραβάσεως· ἀλλ' οὖν ᾐσχύνθησαν ἐπὶ τῇ παρουσίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ματ. η. λα. κθ. αὐτοὶ γὰρ ἔλεγον· Ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων· καί, τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; τὸ δέ, ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου, ὁ μὲν τῶν ἑρμηνευτῶν ἐξέδωκε, διηγούμην ἐν ταῖς ἐντολαῖς σου· ὁ δέ, λαλήσω· ἕτερος δέ, ὁμιλήσω.

79 Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Ὡς πόρρω που τοῦ χοροῦ τῶν δικαίων διὰ τὴν ἁμαρτίαν γενόμενος, καὶ πάντων αὐτὸν τῷ Θεῷ παραπλησίως ἀποστραφέντων, ἱκετεύει πάλιν αὐτοῖς ἑνωθῆναι, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν ἀπολαβεῖν. τοῦτο γὰρ ὁ Σύμμαχος σαφέστερον πως ἐδήλωσεν· Ἀναστρεψάτωσάν με οἱ φοβούμενοί σε. Ὁ δὲ προφήτης ἐκ προσώπου τοῦ ἀνθρωπίνου γένους διαλέγεται. οἱ γὰρ ἀπόστολοι καὶ οἱ φοβούμενοι τὸν Θεὸν ἐπέστρεψαν πάντα τὰ ἔθνη εἰς ἐπίγνωσιν τῆς ἀληθείας. Ματθ. κη. ιθ. εἶπε γὰρ αὐτοῖς ὁ Κύριος· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. αὐτοὶ γὰρ τῷ ὄντι ἔγνωσαν τὰ μαρτύρια τοῦ Θεοῦ.

80 Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Μώμου παντὸς ἐλευθέραν καρδίαν ἔχειν ἐφίεται. ἡ τοιαύτη γὰρ αἰσχύνης ἀπήλλακται. διά τοι τοῦτο καὶ εὐθὺς ἀρξάμενος τοῦ ψαλμοῦ, τοὺς ἀμώμους ἐμακάρισε. πότε οὖν ἐστὶν ἄμωμος ἡ καρδία ἡμῶν, ἢ ὅτε ἀνεγεννήθημεν δι' ὕδατος καὶ πνεύματος, καὶ καθαροὶ γεγόναμεν ψυχῇ καὶ σώματι, καὶ διὰ τοῦ ἁγίου βαπτίσματος ἐν τοῖς δικαιώμασι τοῦ Θεοῦ πολιτευόμεθα, ἵνα μὴ αἰσχυνθῶμεν, ὅτε οἱ δίκαιοι εἰς τιμὴν ἑαυτῶν καὶ δόξαν ἀναστήσωνται, οἱ δὲ ἁμαρτωλοὶ εἰς αἰσχύνην αἰώνιον; ἐπεὶ καὶ ἐν τῷδε τῷ βίῳ αἰσχύνη ἐστὶ χριστιανῷ, λέγεσθαι πόρνον, ἢ ἀδικητήν, ἢ λοίδορον, ἢ ἐπίορκον, ἢ μισάδελφον, ἢ μέθυσον, ἢ φλύαρον, ἢ ψεύστην, ἢ τι τοιοῦτον.

81 Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Οἱ σφόδρα τι ποθοῦντες, καὶ ἐστερημένοι τοῦ ποθουμένου, ἐκλείπειν φασίν. οὕτως οἱ τινα τῶν γνωρίμων ἐξ ἀποδημίας προσμένοντες, ἱμείρονται μὲν ἀεί, κατατήκονται δὲ τῷ πόθῳ διαμαρτάνοντες· οὕτως οἱ ἄγαν διψῶντες καὶ ἀγωνίζοντες ὕδατος· οὕτω καὶ οἱ συμφοραῖς τισι προσπαλαίοντες καὶ τὴν θείαν εὐμένειαν προσμένοντες, ἀναβαλλομένην

θυμίαν ταύτην ὁρῶντες ἐκλείπουσι. σωτήριον οὖν τοῦ ἀνθρωπείου γένους ἐστὶν ἡ τοῦ ἑνὸς τῆς ἁγίας τριάδος πρὸς ἡμᾶς συγκατάβασις· ἐπειδὴ καὶ ἐν ἑτέρῳ ψαλμῷ λέγει· Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. οὕτως οὖν καὶ αὐτὸς τοῦτο τὸ σωτήριον, ὃ ἀπέκειτο, ηὔχετο τάχιον γενέσθαι. 82 Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· πότε παρακαλέσεις με; Λόγιον καὶ ἡ ὑπόσχεσις ἡ θεία καλεῖται, καὶ ἡ θεόπνευστος γραφή. ἐκλείπει τοίνυν οὐ μόνον ὁ τὴν ὑπόσχεσιν θείαν ἀναμένων, καὶ τὴν λύσιν τῶν ἐπικειμένων κακῶν προσδεχόμενος, ἀλλὰ καὶ ὁ τοῖς θείοις ἐντυγχάνων λογίοις, καὶ τὴν τούτων διάνοιαν καταμαθεῖν ἀκριβῶς ἐφιέμενος, καὶ παράκλησιν καὶ ψυχαγωγίαν ὑπολαμβάνει τὴν εὕρεσιν. ἐπιτείνει οὖν τὸν λόγον, ἐκδεχόμενος ταύτην τὴν παράκλησιν, ἥτις ἐστὶν ὁ εὐαγγελικὸς λόγος. αὐτὸς γὰρ ὁ Σωτὴρ ἐλθὼν, παρεκάλεσεν ἡμᾶς εἰπών· Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ, ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ψαλ. πδ. ζ.

Ματθ. ια. κη.

83 Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ὁ ἀσκὸς θερμαινόμενος χαυνοῦται, καὶ φυσώμενος ἐξογκοῦται· ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται. οἱ οὖν τὸν εὐαγγελικὸν λόγον δεξάμενοι, πᾶσαν τρυφὴν καὶ σωμάτων χαυνώσεις καὶ ὀγκώσεις ἀποβάλλονται, καὶ βιοῦσι κατὰ τὴν ὧδε τὴν ζωὴν ἐν σεμνότητι καὶ ἐν εὐλαβείᾳ καὶ ἐγκρατείᾳ. οὕτω γάρ ἐστιν ἡ τοῦ σώματος φύσις· χαυνοῦται μὲν τῇ τρυφῇ καὶ ἐξογκοῦται, καὶ κατὰ τῆς ψυχῆς ἐξανίσταται, τῇ δὲ ἀσκητικῇ κακουχίᾳ ταπεινοῦται καὶ πιέζεται. καὶ τούτου μάρτυς ὁ Παῦλος βοῶν· Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. τοιγαροῦν καὶ ὁ προφήτης ἐπεὶ μὲν διωκόμενος ὑπὸ τοῦ Σαοὺλ κρείττων ἦν τῶν παθῶν, εἰρήνης δὲ ἀπολαύσας, τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα, τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο.

α. Κορ. θ. κζ.

84 Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Ὀλίγαι οὖν εἰσιν αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν, καὶ καταδιωκόμεθα ὑπὸ λογισμῶν πονηρῶν καὶ ὑπὸ σαρκικῶν ἐπιθυμιῶν καὶ τῶν τοῦ κόσμου φροντίδων. Ἡ γὰρ σὰρξ κατὰ τοῦ πνεύματος ἀγωνίζεται, ὥς φησιν ὁ ἀπόστολος. Αἱ γὰρ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. πότε τοίνυν μοι δικάσεις, καὶ τῶν δυσμενῶν ἀπαλλάξεις; κρῖνον οὖν, καὶ ταῦτα ἀποδίωξον ἀφ' ἡμῶν. 85 Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε. Τῷ μὲν προφήτῃ οἱ ἐχθροὶ ἀνελεῖν συνεβούλευσαν· αὐτὸς δὲ τῷ θείῳ νόμῳ πειθόμενος, τὴν θείαν ψῆφον ἀνέμενεν. ἀλλὰ καὶ ἡμῖν τῶν λογίων τούτων ἡ διδασκαλία χρησιμωτάτη. προσήκει τοίνυν φυγεῖν οὐ μόνον τοὺς Ἑλλήνων μύθους καὶ τὴν Ἰουδαίων ἀπιστίαν, ἀλλὰ καὶ τῶν αἱρετικῶν τὰ βλάσφημα δόγματα. ἐπειδὴ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καὶ αἱρετικοὶ διηγοῦνται, καὶ δοκοῦσιν ὡς διδάσκαλοι, τὸ ψεῦδος ἔχοντες εἰς συνασπισμὸν, καὶ οὐδὲν ἐκ τῶν θείων γραφῶν φθέγγονται. εἰ δὲ καὶ φθέγγονται, κατὰ τὰς ἰδίας ἐπιθυμίας, ἀλλ' ὡς παράνομοι καταφλυαροῦσι καὶ ἐξαπατῶσιν· ὅτι καὶ ἐν τῇ γενεᾷ ἡμῶν γέγονε τοῦτο. οἱ χριστιανοκατήγοροι, ἤγουν εἰκονοκλάσται, πολλοὺς συνήρπασαν, καὶ οἱ παυλικιανοὶ οἱ μετέχοντες τῆς αἱρέσεως τῶν μανιχαίων. οὐδὲ γὰρ ἐκ τῶν θείων γραφῶν ἐλάλησαν, ἀλλὰ τῷ ψεύδει συγκαλύπτονται, καὶ αὐτῷ διϊσχυρίζονται. ἡμεῖς δὲ οἱ τὸ εὐαγγέλιον ἀκολουθοῦντες καὶ ὀρθοδόξως πιστεύοντες, καθὼς παρέλαβεν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ ἐκκλησία, λέγομεν.

Γαλ. ε. ιζ.

Ψαλ. πθ. ι.

86 Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Διὰ τοῦτο γάρ σου προῃρούμην τὸν νόμον, ἐπειδὴ πάσας σου τὰς ἐντολὰς ἀληθείᾳ κοσμουμένας ὁρῶ. Ἀδίκως κατεδίωξάν με·

βοήθησόν μοι. 87 Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Πολλή, φησι, καὶ ἡ ἀδικία καὶ ἡ δυναστεία τῶν δυσμενῶν· καὶ αὐτῆς γάρ με, μικροῦ δεῖν, ἐστέρησαν τῆς ζωῆς. διδάσκει δὲ ἡμᾶς κρατεῖν τὰς παραδόσεις, ἃς παρελάβομεν· καθοδηγεῖ δὲ καὶ πρὸς ἑτέραν διδασκαλίαν, τὸ μὴ ἑαυτοὺς ἐκδικεῖν, μηδὲ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ· ἀλλὰ τῆς παρὰ τοῦ Θεοῦ δέεσθαι βοηθείας, καὶ αὐτῷ ἀποδιδόναι τὴν κρίσιν. γέγραπται γὰρ διὰ τοῦ προφήτου· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. ἐπειδὴ παρὰ μικρὸν προσήγγισα τῷ θανάτῳ ἔκ τε τῆς τοῦ πονηροῦ προσβολῆς καὶ τῶν σωματικῶν ἡδονῶν, ἀλλ' οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. τοιαῦτα τὰ τῶν ἁγίων καυχήματα, ἃ πρὸς ἡμετέραν νουθεσίαν ὁ προφήτης διαγορεύει.

Ἑβρ. ι. λ. καὶ Δευτ. λβ. λε.

88 Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Ποῖον ἔλεος; ὃ ἐποίησας, δέσποτα, τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ. οὐκοῦν ταύτην μοι τὴν χάριν δός, ἵνα φυλάττω τὰ μαρτύριά σου. ταπεινοφροσύνῃ δὲ ὁ προφήτης τὸν λόγον ἐκόσμησεν. οὐ γὰρ τῆς δικαιοσύνης ἀντίδοσιν ᾔτησε τὴν ζωήν, ἀλλὰ δωρεὰν ἐλέου ταύτην λαβεῖν ἠντιβόλησε, φυλάττειν ὑποσχόμενος τοῦ Θεοῦ τὰ μαρτύρια.

89 Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Πάντα γάρ, φησι, ῥᾴδιά σοι τῷ δεσπότῃ καὶ δυνατά. τὸ πρόσταγμα γὰρ τὸ σὸν ἀκίνητα φυλάττει τῶν οὐρανῶν τὰ κύτη. τοῦτο δὲ καὶ ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ ὀγδόῳ ἔφη ψαλμῷ· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. αὐτὸς οὖν ὁ οὐρανὸς διαμένει, καθὼς παρὰ σοῦ ἔκτισται, δέσποτα, καὶ οἱ ἐν αὐτῷ ἐνδιαιτώμενοι ἄγγελοι τὸν θεῖον διαφυλάττουσι νόμον, καὶ παραβάσεως ἁπάσης εἰσὶν ἐλεύθεροι. Δυνατοὶ γάρ εἰσι, καὶ ἰσχυροὶ ποιοῦντες τὸν λόγον σου. 90 Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου.

Ψαλ. ρβ. κ.

Πάλαι μὲν τοῖς Ἰσραηλίταις ἐδόθη νόμος, οἵτινές εἰσι πρώτη γενεά· μετὰ τοῦτο δὲ ἡμῖν τοῖς ἔθνεσιν ὁ εὐαγγελικός· αὕτη ἐστὶν ἡ ἀλήθεια. ταύτην γὰρ καὶ τῇ Ἰουδαίων ἐφύλαξας γενεᾷ, καὶ τῇ ἑτέρᾳ τῇ μετ' ἐκείνους γεγενημένῃ. λέγει δὲ τὸν ἐξ ἐθνῶν λαόν, τὸν διὰ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τῆς σωτηρίας τετυχηκότα. 91 Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει· τῇ διατάξει σου διαμένει ἡ ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

γρ. ἐφύλαξε

Ἔδωκας τῇ γῇ τὸ ἐπὶ πλεῖστον διαρκές, καὶ μεμένηκεν, ὡς προσέταξας. διώρισας ἀπὸ τῆς νυκτὸς τὴν ἡμέραν, καὶ κατὰ τοὺς σοὺς ὁδεύει νόμους. μένει καὶ ἡ γῆ κατὰ τὴν σὴν δημιουργίαν, βλαστάνουσα κατὰ τὸν καιρὸν αὐτῆς βοτάνας, φυτά, δένδρα, φέρουσα καρπούς, σπέρματα πρὸς ἀποτροφὴν πάντων τῶν ζώων. καὶ τῇ διατάξει σου διαμένει ἡ ἡμέρα. ἀνατέλλων γὰρ ὁ ἥλιος πορεύεται πρὸς δύσιν. πάντα γάρ σοι δουλεύει, καὶ τοῖς σοῖς νεύμασιν εἴκει. σὺ γὰρ εἶ ὁ δημιουργὸς τῶν ὅλων, καὶ πάντα σοι τῷ Θεῷ ὑπακούει.

92 Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Ταῦτα ἕκαστος εἴποι ἂν τῶν εὐσεβῶν περιπεσὼν συμφορᾷ, καὶ ὁ Ἰωσὴφ δουλείαν καὶ μοιχείαν καὶ συκοφαντίαν φυγών, καὶ ὁ Δανιὴλ εὔξασθαι κωλυθείς, καὶ οἱ τρεῖς ἐκεῖνοι παῖδες προσκυνῆσαι καταναγκαζόμενοι τὴν εἰκόνα, καὶ οἱ νικηφόροι μάρτυρες παντοδαπῆς τιμωρίας ὑπομείναντες εἴδη. εἰκότως δὲ ταῦτα ἔφη ὁ μακάριος Δαβίδ, ἐξελαθεὶς μὲν ὑπὸ τοῦ Σαούλ, ἀλλοφύλοις δὲ καὶ δυσμενέσιν ἀνθρώποις συνδιάγειν ἀναγκαζόμενος. ἐκοινώνησε γὰρ ἂν τῆς ἀσεβείας, εἰ μὴ τῷ θείῳ νόμῳ συμπεριέφερε τὴν μελέτην. διὸ καὶ ἐπιφέρει·

93 Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Μακάριος τοίνυν, ὃς τὴν φωνὴν ταύτην ἐν ἀληθείᾳ ἀναπέμπει πρὸς τὸν Θεόν, καὶ ἐν τοῖς δικαιώμασιν αὐτοῦ βιοῖ ἐν τῷ κόσμῳ τούτῳ. ὁ γὰρ ἁμαρτωλὸς οὐ δύναται εἰπεῖν, εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, παραβαίνων τὰς ἐντολὰς τοῦ Θεοῦ. τῇ γὰρ πείρᾳ μαθὼν ὁ προφήτης λέγει, ὅτι ζωὴν τὰ σὰ δικαιώματα φύει, καὶ ἄσβεστον τούτων διατηρήσω τὴν μνήμην. 94 Σός εἰμι ἐγώ, σῶσόν με· ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Εἰς διάφορα προσυπακούεται τό, σός εἰμι. σὸς γάρ εἰμι δοῦλος, σὸς θεράπων, σὸς κατὰ χάριν υἱός. Εἴ τις οὖν θαῤῥεῖ φυλάττειν τὰς ἐντολὰς τοῦ Θεοῦ, αὐτὸς ″ λέγει, σός εἰμι ἐγώ, σῶσόν με. διὰ τί; ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. οἱ γὰρ τὰ τοῦ ἐναντίου ἔργα ποιοῦντες, οὐκ ἐκζητοῦσι τὰς ἐντολάς, καὶ οὐ δύνανται εἰπεῖν· σός εἰμι ἐγώ, σῶσόν με. οὐ πάντες τοίνυν ταύτῃ κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ. ψεύδεται γὰρ τῆς ἁμαρτίας ὁ δοῦλος, τοῦ Θεοῦ ἑαυτὸν ὀνομάζων. Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. ἐὰν τοίνυν ἐκείνης ἀπαλλαγέντες τοὺς θείους προελώμεθα νόμους, ταύτῃ κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ.

κ. λέγῃ,

β. Πετρ. β. 19.

95 Ἐμὲ ὑπέμειναν ἁμαρτωλοί, τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

Τό, ὑπέμειναν, προσεδόκησαν ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων εἰρήκασιν. Ἐχθροὶ μὲν οὖν ἤλπιζον παραδοῦναί με θανάτῳ· ἐγὼ δὲ τοῖς σοῖς προσέχων μαρτυρίοις, τὴν ἐντεῦθεν ἐκαρπωσάμην ζωήν. πολλάκις δὲ οἱ ἐν ἁμαρτίαις ζῶντες κατεπολμίσανται τῶν δικαίων, μὴ προσδοκῶντες τὴν κρίσιν καὶ ἀνταπόδοσιν, μηδὲ ἰσόῤῥοπον δίκην τῆς κακίας αὐτῶν, ἔχοντες βέβαια τὰ παρόντα, ἐξ ἀδικίας συνάγοντες πλοῦτον, ἐξ ἀλλοτρίων κατασπαταλῶντες. οἱ δὲ δίκαιοι τὰ μαρτύρια τοῦ Θεοῦ ἐκζητοῦσι, καὶ εἴ τι ἂν γένηται εἰς αὐτούς, οὐ παρεκτρέπονται ἐκ τῶν ἐντολῶν αὐτοῦ.

96 Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὁ δὲ Σύμμαχος οὕτω, Πάσης κατασκευῆς εἶδον πέρας· εὐρύχωρος ἡ ἐντολή σου σφόδρα. Πάντα, φησί, τὰ ἀνθρώπινα, καὶ πλοῦτος καὶ περιουσία καὶ δυναστεία, ἡγεμονίαι καὶ στρατηγίαι, τυραννίδες καὶ βασιλεῖαι, τέλος ἔχουσι, καὶ τέλος ταχύ· ἡ δὲ σὴ ἐντολὴ πλατεῖά ἐστι καὶ ἀνώλεθρος, καὶ τοῖς φυλάττουσιν αὐτὴν παρέξει τὸν ἀπέραντον καὶ αἰώνιον πλοῦτον καὶ τὰ ἀγαθὰ τὰ μηδεμίαν μεταβολὴν δεχόμενα. αὐτοὶ μὲν γὰρ οἱ ἁμαρτωλοὶ πλουτοῦντες καὶ εὐφραινόμενοι ἐν τῷδε τῷ βίῳ καὶ ἐν εὐημερίᾳ παρερχόμενοι καὶ δυναστείᾳ, τέλος λογίζονται εἶναι τῶν ἀγαθῶν τὰ παρόντα· ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ ψάλλει· πάσης συντελείας εἶδον πέρας· ἡ ἐντολὴ τοῦ Θεοῦ πλατεῖά ἐστι σφόδρα, καὶ διαμένει εἰς τὸν αἰῶνα, καὶ τὴν ἀντίδοσιν ἔχει τῶν αἰωνιζόντων ἀγαθῶν.

97 Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε; ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.

Οὐ πᾶς ὁ τὸν θεῖον νόμον πληρῶν, ἀγαπῶν τοῦτον πληροῖ· ἀλλ᾽ οἱ μὲν δέει καὶ φόβῳ τῆς τιμωρίας, οἱ δὲ δόξαν τὴν παρὰ ἀνθρώπων θηρώμενοι· οἱ δὲ γνήσιοι τῆς ἀρετῆς ἐρασταί, τῇ περὶ τὰ ἀγαθὰ διαθέσει πληροῦν ἐπείγονται τὰ θεῖα προστάγματα. προσέχωμεν οὖν, ἀδελφοί, τοῖς λεγομένοις. ὅλην τὴν ἡμέραν μελετᾶν προστάττει ἡμῖν τὸν θεῖον νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ· καὶ ἡμεῖς δύο ὥρας ἢ τρεῖς οὐκ ἀκροώμεθα θείας ἀναγνώσεως, δι᾽ ἧς ὁ βίος ἡμῶν κατορθοῦται. Εἰσὶ γάρ τινες, οἳ δίκην ἀσπίδος κωφῆς κλείουσι τὰ ὦτα αὐτῶν, καὶ ἀποχωροῦσι, μὴ ἀκοῦσαι θέλοντες θείων λόγων καὶ διδασκαλίας ψυχωφελοῦς· τὸ δὲ δεινότερον, ὅτι καὶ κληρικοί τινες τοῦτο ποιοῦσι καὶ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν. καὶ εἰ μὴ παρὰ τοῦ ἀποστόλου εἴχομεν ἐντολὴν τὴν λέγουσαν, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, θύραν ἐπὶ στόματος ἐπεθήκαμεν ἄν, καὶ τὰ βάρη τούτων ὑπενεγκεῖν καὶ βαστάσαι. πλὴν ἄνδρες σοφοὶ καὶ συνετοί εἰσι, καὶ ἑ-

Παροιμ. ιγ. ι. αὐτοὺς δύνανται ἐξορθῶσαι. γέγραπται γὰρ, Σοφοὶ ἑαυτῶν ἐπιγνώμονες.

98 Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστι. Θερμῶς τὸν θεῖον ἀγαπᾶν ὁ προφήτης ὁμολογήσας νόμον, τῇ θείᾳ χάριτι τὸ πᾶν ἀνατίθησι. παρά σου γὰρ, φησι, σοφίαν καὶ γνῶσιν δεξάμενος, τὸν σὸν ἔστερξα νόμον. πλείονα γάρ μοι τῶν ἐχθρῶν εἴδησιν ἔδωκας. διὸ οἱ μὲν ἀμελεῖν με σπουδάζουσιν, ἐγὼ δὲ οὐδὲ ἀμύνασθαι τοὺς ἀδικοῦντας ἀνέχομαι. τὸ γὰρ αἰώνιον τῆς ἀρετῆς φαντάζομαι κέρδος. καὶ ὁ χορὸς τῶν ἀποστόλων ταῦτα βοᾷ. ἐχθροὶ γὰρ αὐτῶν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι. αὐτοὶ οὖν παρὰ Χριστοῦ τοῦ Θεοῦ σοφισθέντες τὸν εὐαγγελικὸν λόγον ἐκήρυξαν, καὶ εἰς τὸν αἰῶνα ἡ αὐτῶν διδασκαλία κεκράτηκε· τῶν γὰρ γραμματέων καὶ φαρισαίων πρόσκαιρος ἦν. 99 Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα· ὅτι τὰ μαρτύριά σου, μελέτη μού ἐστιν.

100 Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Βασιλέων ἴδιον, τὸ διδάσκειν· τὸ δὲ διδάσκεσθαι, τῶν ἀρχομένων. ἐβασίλευσεν ὁ Σαοὺλ, πρεσβύτερος δὲ ἦν καὶ τῷ χρόνῳ· ἀλλ᾽ ὅμως οὔτε ἡ ἐξουσία τῆς βασιλείας, οὔτε τῆς ἡλικίας ὁ χρόνος σωφρονεῖν αὐτὸν παρεσκεύασεν· ἀλλὰ τὸν εὐεργέτην ἀμελεῖν ἐπεθύμει. ὁ δὲ μέγας Δαβὶδ τοῖς ὑπηκόοις ἔτι συντεταγμένος καὶ νέαν ἄγων τὴν ἡλικίαν, τὴν φιλοσοφίαν ἠγάπησε, καὶ οὔτε ἄρξαι χειρῶν ἀδίκων ἠνέσχετο, οὔτε τοὺς ἀδικοῦντας ἀμύνασθαι. τῆς αὐτῆς οὖν ἐννοίας ἔχεται ὁ προφήτης. οἱ γὰρ νομοδιδάσκαλοι καὶ οἱ γραμματεῖς θέλοντες καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββὶ, ἐδίδασκον ἃ μὴ θέμις· οἱ δὲ ἀπόστολοι τὴν ἀληθῆ γνῶσιν μαρτυρουμένην ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν συνιέντες ἐκήρυττον. αὐτοὶ οὖν οἱ διδάσκαλοι τῶν Ἰουδαίων πρεσβύτεροι ὀνομάζονται, διὰ τὸ ἐν χρόνῳ εἶναι αὐτοὺς πρὸ τῶν ἀποστόλων· οἱ δὲ ἀπόστολοι συνῆκαν τόν τε νόμον καὶ τοὺς προφήτας, πνευματικῶς ταῦτα νοοῦντες. τούτου ἕνεκεν καὶ αἱ ἐντολαὶ τοῦ Θεοῦ παρ᾽ αὐτῶν τῷ ὄντι ἐξεζητήθησαν. 101 Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Οὔτε γὰρ κατὰ ταυτὸν δυνατὸν δύο ὁδεύειν ὁδοὺς, ἀκολασίας καὶ σωφροσύνης, δικαιοσύνης καὶ ἀδικίας· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν εὐθεῖαν ὁδεῦσαι. οὕτω γὰρ οἷόν τε γενέσθαι τῶν θείων φύλακας λόγων. ὁ πάσας τοίνυν τὰς ἐντολὰς φυλάττων, αὐτὸς λέγει, ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας. οὔτε γὰρ ὁ ἀδικητὴς τοῦτο δύναται λέγειν, οὔτε ὁ λοίδορος, οὔτε ὁ πλεονέκτης, οὔτε ὁ φθόνον ἔχων ἢ μισαδελφίαν, ἢ ὁ κακὸν ἀντὶ κακοῦ ἀποδιδούς.

102 Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Διδάσκει ἡμᾶς ὁ λόγος μὴ ἐκτρέπεσθαί ποτε ἀπὸ τῶν ἐντολῶν καὶ τῶν κριμάτων τοῦ Θεοῦ. σὲ γὰρ τούτων ἐπιστάμενος νομοθέτην, μετὰ πάσης αὐτὰ διαθέσεως ἠσπαζόμην. διὸ καὶ ἐπήγαγεν· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου; ὑπὲρ μέλι τῷ στόματί μου. Γλυκὺ μὲν τὸ μέλι ἕως τοῦ φάρυγγος, ἐπεὶ εἰς κοιλίαν καὶ εἰς ἀφεδρῶνα χωρεῖ· τὰ δὲ λόγια τοῦ Θεοῦ γλυκαίνουσι καρδίαν καὶ ψυχήν. καὶ γὰρ ἐν ἑτέρῳ Ψαλμ. ιη. ια. ψαλμῷ λέγει· Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. οὐ γὰρ οὕτως ἡδύνει μου τὴν τοῦ στόματος αἴσθησιν ἡ γλυκύτης τοῦ μέλιτος, ὡς εὐφραίνει μου τὴν ψυχὴν ἡ τῶν σῶν λογίων μελέτη. τὸν γὰρ λάρυγγα τέθεικεν, ὡς ὄργανον ὄντα φωνῆς· διὰ φωνῆς δὲ ἡ μελέτη· τούτοις δὲ ἡ ψυχὴ κεχρημένη τὴν ἐντεῦθεν ὠφέλειαν καρποῦται. 103 Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Συνεὶς γὰρ τίσιν ἀρέσκῃ, ἀπεστράφην ἅπαντα τῆς κακίας τὰ εἴδη. πᾶς δὲ ὁ χαρακτὴρ τῆς ἐννοίας τοῦ προκειμένου ψαλμοῦ τὴν

τῶν ἐντολῶν φυλακήν τε καὶ τήρησιν ἡμῖν ἐμφαίνει, καὶ οὐ νομική τις ἐστιν ἡ φράσις καὶ σκιώδης, ἀλλ' εὐαγγελικὴ καὶ τῆς χάριτος ἡμῶν τῶν χριστιανῶν προφυλακτήριον, καὶ τοῦ βίου ἡμῶν ὑπογραμμὸς καὶ ἀσφάλεια. Συνεχῶς γὰρ προστίθεται νόμον, ἐντολάς, δικαιώματα, κρίματά τε καὶ μαρτύρια, περὶ ὧν ἐν τῇ κατ' ἀρχὰς ἐξηγήσει τοῦ ψαλμοῦ εἴρηται τίς ἡ τούτων δήλωσις· νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἴωμεν. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· ὡς ἵνα εἴπωμεν, ἀπὸ τῶν ἐντολῶν σου προσέσχομεν καὶ ἐνοήσαμεν· καὶ διὰ τοῦτο ἐμισήσαμεν πᾶσαν ὁδὸν ἀδικίας. αὗται γὰρ αἱ ἐντολαὶ διατάσσονται, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ πορνεύσεις, οὐ κλέψεις, οὐκ ἀδικήσεις, οὐ ψεύσῃ, οὐ λοιδορήσεις, οὐκ ἐπιθυμήσεις τὰ ἀλλότρια, οὔτε τὸν ἀγρὸν τοῦ πλησίον σου, οὔτε τὸν παῖδα, οὔτε τὴν παιδίσκην, οὔτε πᾶν κτῆνος αὐτοῦ. Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου καὶ τόκον χρυσίου καὶ τόκον βρωμάτων. αἱ ἐντολαὶ τοῦ Θεοῦ, ἃς καθ' ἑκάστην ἐνωτιζόμεθα διὰ τῆς ἀναγνώσεως τῆς τε τοῦ ἁγίου εὐαγγελίου καὶ τῶν ἀποστολικῶν μαθημάτων, αὗται γὰρ ἡμᾶς ὁδηγοῦσι πρὸς τὸ μισῆσαι πᾶσαν ὁδὸν ἀδικίας. πάντα γὰρ τὰ ἁμαρτήματα καὶ τὰ τῆς κακίας εἴδη, ἀδικία προσαγορεύεται, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, μᾶλλον δὲ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ἐξ ὧν φυλαχθείητε, ἀδελφοί, καὶ στηριχθείητε εἰς τὸ θέλημα τοῦ Θεοῦ, καὶ αὐτὸς ὑμῖν δωρήσεται πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, ὅτι σωτὴρ ἡμῶν ὑπάρχει.

Δευτ. κγ. κ.

104 Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ἐν σκότει βαδίζω, ἀλλ' οἱονεί τινι λύχνῳ, τῷ σῷ φωτιζόμενος νόμῳ. Εἰδέναι μέντοι χρή, ὡς ὁ μὲν νόμος λύχνος ὠνόμασται· ὁ δὲ σωτὴρ καὶ Κύριος ἡμῶν, δικαιοσύνης ἥλιος. ὁ μὲν γάρ, οἷα δὴ λύχνος, μόλις ἓν κατηύγασεν ἔθνος· ὁ δὲ πᾶσαν τὴν οἰκουμένην ἐφώτισεν. οὕτω καὶ τὸν θεσπέσιον Ἰωάννην λύχνον προσηγόρευσεν ὁ δεσπότης Χριστός, ἔτι νυκτὸς οὔσης ἐπιφανέντος Ἰουδαίοις. ἐπειδὴ δὲ τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀνέτειλε, καὶ τοὺς ἱεροὺς ἀποστόλους φῶς προσηγόρευσεν, ὡς ἐκείνου τοῦ φωτὸς μετειληφότας τοῦ πάντας ἀνθρώπους φωτίσαντος. καὶ ἐπειδήπερ κατὰ τὴν τοῦ Κυρίου φωνήν, Πᾶς ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, καὶ ἐν συγχύσει καὶ ἐν ἁμαρτίαις ἐστίν, ἅτινά ἐστι σκότος (ἔφη γὰρ ὁ αὐτὸς Δαβίδ, ὡς γέγραπται ἐν τοῖς Βασιλείοις· νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον, ὃς ἠγνόουν) λύχνου δεόμεθα. δίδοται ἡμῖν ὁ νόμος εἰς βοήθειαν, καὶ γίνεται φῶς ἐν ταῖς πορείαις ἡμῶν. γέγραπται γάρ, Διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. ἔχει δὲ καὶ ἕτερον ὁ λόγος. λύχνος ἐστὶν ἡ παλαιὰ διαθήκη ἡ δοθεῖσά ποτε τοῖς Ἰσραηλίταις. ἓν γὰρ ἔθνος μόνον ἐφώτιζεν. ὅτε δὲ ἦλθεν ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, αὐτὸς ἐφώτισε τὰ πέρατα, καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, ἐξ οὗ φωτὸς ἡμεῖς πάντες ἐλάβομεν.

γρ. ἐπιφανέντα

Μαλαχ. δ. β.
Ἰω. ε. λε.
Ἰω. α. θ.
Ματθ. ε. ιδ.
α. Ἰω. ε. ιθ.
Ἡσ. κς. θ.

105 Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐπειδὴ ὅρκῳ βεβαιοῦται τῶν πραγμάτων τὰ πλεῖστα, τὸ στερρὸν καὶ ἀμετάθετον, ὃ ἐκέκλικεν ὁ προφήτης πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ, ὅρκον ἐκάλεσε. Σύνηθες γὰρ τοῦτο τῇ θείᾳ γραφῇ, ὡς τό, Ὤμοσε Κύριος ὁ Θεὸς τῷ Ἀβραάμ· καί, Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν, διὰ τὸ βέβαιον τῆς θείας ἐπαγγελίας· ἐπεὶ ὁ ὅρκος παρὰ πάσης τῆς θείας γραφῆς ἀπάδεται, καὶ παρὰ μὲν τῆς παλαιᾶς· Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· καί, Οὐκ ὀμεῖσθε τὸ ὄνομά μου ἐπ' ἀδίκῳ· καί, Ὅρκῳ οὐκ ἐθίσεις τὸ στόμα σου, δηλαδὴ ἐπὶ τοῖς κοσμικοῖς πράγμασιν. ἔφη γὰρ ὁ Ἐκκλησιαστής, Ἐκτησάμην χρυσίον, ἀργύριον, ἱματισμόν· ἐποίησά μοι κήπους, ἀμπελῶνας,

Γεν. κβ. ις.
Ψαλμ. ρλα. ια.
Ἐξοδ. κ. ζ.
Λευϊτ. ιθ. ιβ.
Σειρ. κγ. η.
Ἐκκλησ. β. δ.

Παροι. ιγ. ι.

αὐτοὺς δύνανται ἐξορθῶσαι. γέγραπται γάρ, Σοφοὶ ἑαυτῶν ἐπιγνώμονες.

98 Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστι. Θερμῶς τὸν θεῖον ἀγαπᾷν ὁ προφήτης ὁμολογήσας νόμον, τῇ θείᾳ χάριτι τὸ πᾶν ἀνατίθησι. παρὰ σοῦ γάρ, φησι, σοφίαν καὶ γνῶσιν δεξάμενος, τὸν σὸν ἔστερξα νόμον. πλείονα γάρ μοι τῶν ἐχθρῶν εἴδησιν ἔδωκας. διὸ οἱ μὲν ἀμύνεσθαί με σπουδάζουσιν, ἐγὼ δὲ οὐδὲ ἀμύνασθαι τοὺς ἀδικοῦντας ἀνέχομαι. τὸ γὰρ αἰώνιον τῆς ἀρετῆς φαντάζομαι κέρδος. καὶ ὁ χορὸς τῶν ἀποστόλων ταῦτα βοᾷ. ἐχθροὶ γὰρ αὐτῶν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. αὐτοὶ οὖν παρὰ Χριστοῦ τοῦ Θεοῦ σοφισθέντες τὸν εὐαγγελικὸν λόγον ἐκήρυξαν, καὶ εἰς τὸν αἰῶνα ἡ αὐτῶν διδασκαλία κεκράτηκε· τῶν γὰρ γραμματέων καὶ Φαρισαίων πρόσκαιρος ἦν. 99 Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα· ὅτι τὰ μαρτύριά σου, μελέτη μού ἐστιν.

100 Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Βασιλέων ἴδιον, τὸ διδάσκειν· τὸ δὲ διδάσκεσθαι, τῶν ἀρχομένων. ἐβασίλευσεν ὁ Σαούλ, πρεσβύτερος δὲ ἦν καὶ τῷ χρόνῳ· ἀλλ' ὅμως οὔτε ἡ ἐξουσία τῆς βασιλείας, οὔτε τῆς ἡλικίας ὁ χρόνος σωφρονεῖν αὐτὸν παρεσκεύασεν· ἀλλὰ τὸν εὐεργέτην ἀνελεῖν ἐπεθύμει. ὁ δὲ μέγας Δαβὶδ τοῖς ὑπηκόοις ἔτι συντεταγμένος καὶ νέαν ἄγων τὴν ἡλικίαν, τὴν φιλοσοφίαν ἠγάπησε, καὶ οὔτε ἄρξαι χειρῶν ἀδίκων ἠνέσχετο, οὔτε τοὺς ἀδικοῦντας ἀμύνασθαι. τῆς αὐτῆς οὖν ἐννοίας ἔχεται ὁ προφήτης. οἱ γὰρ νομοδιδάσκαλοι καὶ οἱ γραμματεῖς θέλοντες καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββί, ἐδίδασκον ἃ μὴ θέμις· οἱ δὲ ἀπόστολοι τὴν ἀληθῆ γνῶσιν μαρτυρουμένην ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν συνιέντες ἐκήρυττον. αὐτοὶ οὖν οἱ διδάσκαλοι τῶν Ἰουδαίων πρεσβύτεροι ὀνομάζονται, διὰ τὸ ἐν χρόνῳ εἶναι αὐτοὺς πρὸ τῶν ἀποστόλων· οἱ δὲ ἀπόστολοι συνῆκαν τόν τε νόμον καὶ τοὺς προφήτας, πνευματικῶς ταῦτα νοοῦντες. τούτου ἕνεκεν καὶ αἱ ἐντολαὶ τοῦ Θεοῦ παρ' αὐτῶν τῷ ὄντι ἐξεζητήθησαν. 101 Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Οὔτε γὰρ κατὰ ταυτὸν δυνατὸν δύο ὁδεύειν ὁδούς, ἀκολασίας καὶ σωφροσύνης, δικαιοσύνης καὶ ἀδικίας· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν εὐθεῖαν ὁδεῦσαι. οὕτω γὰρ οἷόν τε γενέσθαι τῶν θείων φύλακας λόγων. ὁ πάσας τοίνυν τὰς ἐντολὰς φυλάττων, αὐτὸς λέγει, ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας. οὔτε γὰρ ὁ ἀδικητὴς τοῦτο δύναται λέγειν, οὔτε ὁ λοίδορος, οὔτε ὁ πλεονέκτης, οὔτε ὁ φθόνον ἔχων ἢ μισαδελφίαν, ἢ ὁ κακὸν ἀντὶ κακοῦ ἀποδιδούς.

102 Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Διδάσκει ἡμᾶς ὁ λόγος μὴ ἐκτρέπεσθαί ποτε ἀπὸ τῶν ἐντολῶν καὶ τῶν κριμάτων τοῦ Θεοῦ. σὲ γὰρ τούτων ἐπιστάμενος νομοθέτην, μετὰ πάσης αὐτὰ διαθέσεως ἠσπαζόμην. διὸ καὶ ἐπήγαγεν· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου; ὑπὲρ μέλι τῷ στόματί μου. Γλυκὺ μὲν τὸ μέλι ἕως τοῦ φάρυγγος, ἐπεὶ εἰς κοιλίαν καὶ εἰς ἀφεδρῶνα χωρεῖ· τὰ δὲ λόγια τοῦ Θεοῦ γλυκαίνουσι καρδίαν καὶ ψυχήν. καὶ γὰρ ἐν ἑτέρῳ ψαλμῷ λέγει· Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. οὐ γὰρ οὕτως ἡδύνει μου τὴν τοῦ στόματος αἴσθησιν ἡ γλυκύτης τοῦ μέλιτος, ὡς εὐφραίνει μου τὴν ψυχὴν ἡ τῶν σῶν λογίων μελέτη, τὸν γὰρ λάρυγγα τέθεικεν, ὡς ὄργανον ὄντα φωνῆς· διὰ φωνῆς δὲ ἡ μελέτη· τούτοις δὲ ἡ ψυχὴ κεχρημένη τὴν ἐντεῦθεν ὠφέλειαν καρποῦται. 103 Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Συνεὶς γὰρ τὴν ἀρέσκην, ἀπεστράφην ἅπαντα τῆς κακίας τὰ εἴδη. πᾶς δὲ ὁ χαρακτὴρ τῆς ἐννοίας τοῦ προκειμένου ψαλμοῦ τὴν

Ψαλμ. ιη. ια.

τῶν ἐντολῶν φυλακήν τε καὶ τήρησιν ἡμῖν ἐμφαίνει, καὶ οὐ νομική τίς ἐστιν ἡ φράσις καὶ σκιώδης, ἀλλ' εὐαγγελικὴ καὶ τῆς χάριτος ἡμῶν τῶν χριστιανῶν προφυλακτήριον, καὶ τοῦ βίου ἡμῶν ὑπογραμμὸς καὶ ἀσφάλεια. Συνεχῶς γὰρ προστίθεται νόμον, ἐντολάς, δικαιώματα, κρίματά τε καὶ μαρτύρια, περὶ ὧν ἐν τῇ κατ' ἀρχὰς ἐξηγήσει τοῦ ψαλμοῦ εἴρηται τίς ἡ τούτων δήλωσις· νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἴωμεν. ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· ὡς ἵνα εἴπωμεν, ἀπὸ τῶν ἐντολῶν σου προσεσχόμεθα καὶ ἐνοήσαμεν· καὶ διὰ τοῦτο ἐμισήσαμεν πᾶσαν ὁδὸν ἀδικίας. αὗται γὰρ αἱ ἐντολαὶ διαταίσσονται, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ πορνεύσεις, οὐ κλέψεις, οὐκ ἀδικήσεις, οὐ ψεύσῃ, οὐ λοιδορήσεις, οὐκ ἐπιθυμήσεις τὰ ἀλλότρια, οὔτε τὸν ἀγρὸν τοῦ πλησίον σου, οὔτε τὸν παῖδα, οὔτε τὴν παιδίσκην, οὔτε πᾶν κτῆνος αὐτοῦ. Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου καὶ τόκον χρυσίου καὶ τόκον βρωμάτων. αἱ ἐντολαὶ τοῦ Θεοῦ, ἃς καθ' ἑκάστην ἐνωτιζόμεθα διὰ τῆς ἀναγνώσεως τῆς τε τοῦ ἁγίου εὐαγγελίου καὶ τῶν ἀποστολικῶν μαθημάτων, αὗται γὰρ ἡμᾶς ὁδηγοῦσι πρὸς τὸ μισῆσαι πᾶσαν ὁδὸν ἀδικίας. πάντα γὰρ τὰ ἁμαρτήματα καὶ τὰ τῆς κακίας εἴδη, ἀδικία προσαγορεύεται, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, μᾶλλον δὲ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ἐξ ὧν φυλαχθείητε, ἀδελφοί, καὶ στηριχθείητε εἰς τὸ θέλημα τοῦ Θεοῦ, καὶ αὐτὸς ὑμῖν δωρήσεται πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, ὅτι σωτὴρ ἡμῶν ὑπάρχει.

Δευτ. κγ. κ.

104 Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ἐν σκότει βαδίζω, ἀλλ' οἱονεί τινι λύχνῳ, τῷ σῷ φωτιζόμενος νόμῳ. Εἰδέναι μέντοι χρή, ὡς ὁ μὲν νόμος λύχνος ὠνόμασται· ὁ δὲ σωτὴρ καὶ Κύριος ἡμῶν, δικαιοσύνης ἥλιος. ὁ μὲν γάρ, οἷα δὴ λύχνος, μόλις ἓν κατηύγασεν ἔθνος· ὁ δὲ πᾶσαν τὴν οἰκουμένην ἐφώτισεν. οὕτω καὶ τὸν θεσπέσιον Ἰωάννην λύχνον προσηγόρευσεν ὁ δεσπότης Χριστός, ἔτι νυκτὸς οὔσης ἐπιφανέντος Ἰουδαίοις. ἐπεὶ δὲ τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀνέτειλε, καὶ τοὺς ἱεροὺς ἀποστόλους φῶς προσηγόρευσεν, ὡς ἐκείνου τοῦ φωτὸς μετειληφότας τοῦ πάντας ἀνθρώπους φωτίσαντος. καὶ ἐπειδήπερ κατὰ τὴν τοῦ Κυρίου φωνήν, Πᾶς ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, καὶ ἐν συγχύσει καὶ ἐν ἁμαρτίαις ἐστίν, ἅτινά ἐστι σκότος (ἔφη γὰρ ὁ αὐτὸς Δαβίδ, ὡς γέγραπται ἐν τοῖς βασιλείοις· νὺξ ἦν περὶ ἐμὲ τὸ δείλαιον, ὃ ἠγνόουν) λύχνου δεόμεθα. δίδοται ἡμῖν ὁ νόμος εἰς βοήθειαν, καὶ γίνεται φῶς ἐν ταῖς πορείαις ἡμῶν. γέγραπται γάρ, Διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. ἔχει δὲ καὶ ἕτερον ὁ λόγος. λύχνος ἐστὶν ἡ παλαιὰ διαθήκη ἡ δοθεῖσά ποτε τοῖς Ἰσραηλίταις. ἓν γὰρ ἔθνος μόνον ἐφώτιζεν. ὅτε δὲ ἦλθεν ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, αὐτὸς ἐφώτισε τὰ πέρατα, καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, ἐξ οὗ φωτὸς ἡμεῖς πάντες ἐλάβομεν.

Μαλαχ. δ. β.
γρ. ὅτι ἐπιφανέντα
Ἰω. ε. λε.
Ἰω. α. θ.
Ματθ. ε. ιδ.
α. Ἰω. ε. ιθ.
Ἡσ. κς. θ.

105 Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐπειδὴ ὅρκῳ βεβαιοῦται τῶν πραγμάτων τὰ πλεῖστα, τὸ στερρὸν καὶ ἀμετάθετον, ὃ ἐκέκλητο ὁ προφήτης πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ, ὅρκον ἐκάλεσε. Σύνηθες γὰρ τοῦτο τῇ θείᾳ γραφῇ, ὡς τό, Ὤμοσε Κύριος ὁ Θεὸς τῷ Ἀβραάμ· καί, Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν, διὰ τὸ βέβαιον τῆς θείας ἐπαγγελίας· ἐπεὶ ὁ ὅρκος παρὰ πάσης τῆς θείας γραφῆς ἀπᾴδεται, καὶ παρὰ μὲν τῆς παλαιᾶς· Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· καί, Οὐκ ὀμεῖσθε τὸ ὄνομά μου ἐπ' ἀδίκῳ· καί, Ὅρκῳ οὐκ ἐθίσεις τὸ στόμα σου, δηλαδὴ ἐπὶ τοῖς κοσμικοῖς πράγμασιν. ἔφη γὰρ ὁ Ἐκκλησιαστής, Ἐκτησάμην χρυσίον, ἀργύριον, ἱματισμόν· ἐποίησά μοι κήπους, ἀμπελῶνας,

Γεν. κβ. ις.
Ψαλμ. ρλα. ια.
Ἐξοδ. κ. ζ.
Λευϊτ. ιθ. ιβ.
Σειρ. κγ. θ.
Ἐκκλησ. β. δ.

λωνας, ὑδραγωγεῖς· καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις τοῦ πνεύματος. ὁ ἐπὶ τούτων τὸ ὄνομα τοῦ Θεοῦ ἐπὶ γλώσσης φέρων, ἐπὶ ματαιότητι λαμβάνει τὸν ὅρκον καὶ ἐπ' ἀδίκῳ. καὶ αὖθις ὁ Κύριος· Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. καὶ ὁ αὐτοῦ μαθητὴς Ἰάκωβος· Πρὸ πάντων, ἀδελφοί, μὴ ὀμνύετε. ὥσπερ οὖν ἐστιν ἐντολή, μὴ φονεύσῃς, μὴ ἀδικήσῃς, οὕτω καὶ τὸ μὴ ὀμόσῃς.

Ματθ.ε.λϛ

Ιακ.ε.ιβ.

γρ. ὀμνύετε.

105 Ἐταπεινώθην ἕως σφόδρα, Κύριε· ζῆσόν με κατὰ τὸ λόγιόν σου.

Οὐχ ἁπλῶς ἔφη τεταπεινῶσθαι, ἀλλὰ σφόδρα ταπεινωθῆναι, καὶ ταῦτα βασιλεὺς ὢν καὶ προφήτης, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς παρρησίαν ἔχων, καὶ πλούτῳ κομῶν, καὶ τῶν πολεμίων κρατῶν. ἀλλ' οὔτε τῇ σοφίᾳ, οὔτε τῇ ἀνδρείᾳ, οὔτε τῇ δικαιοσύνῃ θαρρῆσαι ηὔχετο πώποτε· τῆς θείας ταῦτα χάριτος ὑπελάμβανε δῶρα. καὶ ζωὴν δὲ αὐτὴν τὸν δοῦναι δυνάμενον, οὐκ ἀορίστως αἰτεῖ, ἀλλὰ τὴν λογικήν, τὴν ἔννομον, τὴν τῷ θείῳ νόμῳ λαμπρυνομένην. καὶ ἐπειδὴ πάντως βιοῦντες εἰς ἁμαρτίαν καταλισθαίνομεν (καθαρὸς γὰρ ἀπὸ ῥύπου παντελῶς οὐδεὶς ἐναντίον Κυρίου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ) ἀσπαζώμεθα στεναγμόν, δάκρυα, ἐγκράτειαν, τῆξιν σώματος. τοῦτο γάρ ἐστι ταπείνωσις ἕως σφόδρα. ὅτε δὲ λέγει ὁ προφήτης, ζῆσόν με, οὐ περὶ ταύτης τῆς ζωῆς παρακαλεῖ τῆς ἐν βρώμασι καὶ πόμασιν, ἀλλὰ τῆς λογικῆς, τῆς πρακτικῆς, τῆς ἐναρέτου, ἥτις τὰς θείας ἐντολὰς φυλάττει.

107 Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον, Κύριε· καὶ τὰ κρίματά σου δίδαξόν με.

Τῶν τῆς ἀρετῆς κατορθωμάτων τὰ μὲν πλεῖστα οἱ θεῖοι νόμοι διαγορεύουσιν, ἔνια δὲ καὶ ἡ γνώμη προστίθησιν. οὕτω καὶ τῶν θυσιῶν τὰ μὲν νομικά, τὰ δὲ γνωμικά. τὰ μὲν γὰρ περὶ ἁμαρτίας καὶ πλημμελείας καὶ περὶ ἀγνοίας, ἃς ὁ νόμος προσφέρειν ἐκέλευε, καὶ ταῦτα οἷόν τι χρέος ἀπεδίδοτο τῷ Θεῷ· τὰ δὲ τῇ φιλοτιμίᾳ τῆς γνώμης προσφερόμενα, δῶρα προσηγόρευσεν. οὕτω καὶ νῦν, τὴν μὲν σωφροσύνην καὶ τὴν δικαιοσύνην οἱ εὐαγγελικοὶ διαγορεύουσι λόγοι· παρθενία δέ, καὶ μετὰ νόμον ἐγκράτεια, καὶ ἀκτημοσύνη, καὶ μονήρης βίος, καὶ ἡ ἐν ἐρήμοις διαγωγή, τῆς γνώμης ἔργα, τοὺς νόμους ὑπερπηδῶντα. τὰ τοιαῦτα τοίνυν ὁ προφήτης ἑκούσια προσηγόρευσεν. ἃ γὰρ οὐχ ὑπόκειται νόμων ἀνάγκῃ, ἀλλὰ φιλοθέου γνώμης ὑπάρχει καρπός, εἰκότως ἑκούσια προσηγόρευται. πολλαχῶς τε ἐμπίπτοντες εἰς περιστάσεις καὶ θλίψεις, τασσόμεθα τῷ Θεῷ, ὡς τό, Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. ταῦτα χρὴ ἡμᾶς πάντως ἐκπληροῦν. ἔχει δὲ καὶ ἑτέραν ἔννοιαν ὁ λόγος. ἑκούσια οὖν εἰσιν, ὅσα καθ' ὑπερβολὴν τῶν ἐντολῶν τοῦ Θεοῦ εἰσιν. ἐντολὴ τοῦ Θεοῦ ἐστι, μιᾷ γυναικὶ ζεύγνυσθαι. Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. εἰ δέ τις παρθενίαν θέλει ἀσκῆσαι, τοῦτο ἑκούσιον αὐτοῦ ἐστιν. ὡσαύτως ἐπιτρεπόμεθα ἔχειν διατροφὰς καὶ σκεπάσματα καὶ ἐνδύματα· ἐὰν δὲ ἀκτημοσύνην προαιρώμεθα ἀσκῆσαι, ἑκούσιον ἡμῶν ἐστι· καὶ ἐὰν τὸν μονήρη καὶ μοναχικὸν βίον ἐπιποθῶμεν ἀσκῆσαι, ἑκούσιον ἡμῶν ἐστιν. ἐν τούτοις οὖν εὔχεται ὁ προφήτης κατευοδωθῆναι τοῖς θέλουσι ποιεῖν αὐτά. 108 Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός· καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ὑπὸ τῆς σῆς γὰρ προνοίας φρουρούμενος, τὴν λήθην τῶν σῶν ἐξώρισα νόμων. πᾶς γὰρ ὁ ἀναθεὶς ἑαυτὸν τῷ Θεῷ, τὴν ψυχὴν αὐτοῦ παρατίθεται εἰς τὰς χεῖρας αὐτοῦ, καθὼς καὶ ἐν ἑτέρῳ ψαλμῷ λέγει· Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. εἰ δὲ μερίζει τις ἑαυτὸν πρὸς ἡδονὰς καὶ πάθη σωματικά, οὐδαμῶς τὴν ψυχὴν αὐτοῦ τίθησιν ἐν ταῖς χερσὶ τοῦ Θεοῦ. ἐὰν γὰρ ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας εἰς βιωτικὰς

Ψαλ.ξε.ιβ.

Εβ.ιγ.δ.

Ψαλ.λ.ε.ϛ

ωτικαῖς φροντίσιν ἀπασχολούμεθα, καὶ ἡ σχολὴ ἡμῶν ἐν αὐταῖς τῇ ὥρᾳ ἐκείνῃ γίνεται, καὶ καταλίπωμεν τὴν αἴνεσιν τοῦ Θεοῦ, οὐκ ἀνατεθείκαμεν ἐν ταῖς χερσὶν αὐτοῦ τὰς ψυχὰς ἡμῶν. ἐὰν τοὺς ἑωθινοὺς ὕμνους ἐκλείπωμεν καθεύδοντες καὶ ἐπὶ κλίνης ἀναπαυόμενοι, καὶ κατὰ τὰς ἑσπερινὰς αἰνέσεις τῇ κραιπάλῃ καὶ τῇ μέθῃ προσκείμεθα καὶ οἱονεὶ προσπηγνύμεθα, οὐ παρατεθείκαμεν τὰς ψυχὰς ἡμῶν ἐν ταῖς χερσὶ τοῦ Θεοῦ. ἐὰν ἐν τῷ καιρῷ τῆς θείας ἀναγνώσεως, καὶ μάλιστα ἐν ταῖς τῆς ἁγίας κυριακῆς ἡμέραις, ἀφιῶμεν τὴν ἐκκλησίαν, καὶ ἐμπεριάγωμεν συμβολοκοποιοῦντες καὶ ἐμπορευόμενοι, καὶ ἐν ταῖς ὁδοῖς καὶ πλατείαις διατρίβωμεν, οὐκ ἀνατεθείκαμεν τὰς ψυχὰς ἡμῶν ἐν ταῖς χερσὶ τοῦ Θεοῦ. ἐὰν παριστάμενοι ἐν τῇ θείᾳ λειτουργίᾳ, ἀφιῶμεν καὶ τὴν προσευχὴν καὶ τὴν αἴνεσιν, καὶ πρὸς ἀλλήλους ὁμιλῶμεν περὶ κοσμικῶν πραγμάτων καὶ φροντίδων, οὐ παρατεθείκαμεν τὰς ψυχὰς ἡμῶν ἐν ταῖς χερσὶ τοῦ Θεοῦ.

109 Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι· καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Πολλὰς καὶ παντοδαπὰς καὶ ἄνθρωποι καὶ δαίμονες ἐπιβουλὰς τυρεύουσί μοι· ἐγὼ δὲ τὴν ἀπλανῆ τῶν σῶν ἐντολῶν πορείαν προειλόμην ὁδεύειν. καὶ γὰρ καὶ δαίμονες καὶ λογισμοὶ πολλαχῶς παγιδεύουσι τοὺς κατὰ Θεὸν ζῶντας, εἶτα καὶ πονηροὶ ἄνθρωποι· ἀλλ' αὐτοὶ ἐγκαυχῶνται μὴ ἀποπλανηθῆναι ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ. αὐτὸν γὰρ τὸν Δαβὶδ παγιδεύων ὁ Σαοὺλ καὶ ζητῶν αὐτὸν ἀνελεῖν, ἐκ τῶν ἐντολῶν τοῦ Θεοῦ οὐκ ἀπέστησε. καίτοιγε εὑρὼν ὁ Δαβὶδ τὸν Σαοὺλ καὶ ἅπαξ καὶ δίς, οὐκ ἀπέδωκεν αὐτῷ κακὸν ἀντὶ κακοῦ. καὶ πάλαι τῷ Ἰωσὴφ ἔθετο παγίδα ἡ Αἴγυπτος, ἀλλ' αὐτὸς οὐκ ἐπλανήθη, φυλάξας τὴν ἑαυτοῦ σωφροσύνην. τοῦτο καὶ ἡ Σωσάννα πέπονθε παρὰ τῶν πρεσβυτέρων.

110 Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἀγαλλιῶνται οἱ ἅγιοι καὶ οἱ εὐσεβῶς ζῶντες, καὶ χαίρουσιν ἐπὶ τῇ τηρήσει τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ πατέρα τὸν Θεὸν ἔχοντες αὐτοὶ καὶ κληρονόμοι τῶν μαρτυρίων αὐτοῦ γεγόνασι, καὶ ὡς πατρῴαν κληρονομίαν ταῦτα κατέχουσιν ἀγαλλιώμενοι. γλυκεῖα γὰρ ἡ τῶν γονέων κληρονομία. διὰ τοῦτο δὴ καὶ ὁ προφήτης ἐπευχόμενος λέγει· ὅτι κλῆρον αἰώνιόν τε καὶ ἄσυλον τὰ μαρτύριά σου εἶναι πιστεύων, ἐπὶ τῇ μνήμῃ τούτων ἀγάλλομαι καὶ εὐφραίνομαι.

111 Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Τρυτάνῃ ἔοικε τὸ τῆς ψυχῆς βουλευτήριον· κατέχει δὲ τὴν τρυτάνην ὁ νοῦς, ἡγεμονεύειν λαχών. ἐὰν τοίνυν τοῖς εὐσεβέσι προσθῆται λογισμοῖς, ἀνάγκη κλίνειν ἐπὶ τὸ ἄμεινον τὰ ζυγά. τοῦτο δεδρακέναι ὁ προφήτης φησί· καὶ οὐχὶ ποτὲ μὲν ἔκλινα, ποτὲ δὲ οὐκ· ἀλλ' εἰς τὸν αἰῶνα, τοῦτ' ἔστι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. ἐν αὐτοῖς γὰρ ἀγαλλιῶμαι εὑρίσκων τὴν ἀντίδοσιν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα γάρ ἐστιν ἀνταμείψεις· ἀγαθὰ γὰρ τοῖς ἀγαθοῖς ἔκεισαι.

112 Παρανόμους ἐμίσησα· τὸν δὲ νόμον σου ἠγάπησα.

Τοὺς γὰρ παρανομεῖν ὑποτιθεμένους ἀποσεισάμενος λογισμούς, τὸν σὸν προτετίμηκα νόμον. τοιαῦτα γὰρ τὰ καυχήματα τῶν ἁγίων. καὶ ἐν ἑτέρῳ γὰρ ψαλμῷ λέγει· Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα; καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. ὥσπερ ὁ ἀγαπῶν τὸ φῶς, τὸ σκότος ἀπεχθάνεται· οὕτως ὁ τὸν νόμον τοῦ Θεοῦ ἀγαπῶν, τοὺς παρανόμους λογισμοὺς καὶ πράξεις μισεῖ, καὶ ἡ τούτων ἀποστροφὴ ἀγάπησίς ἐστι πρὸς τὰς τοῦ νόμου ἐπαγγελίας. ὅθεν ταῦτα οὕτως ἔχων, ἀναβοᾷ· 113 Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα.

ψαλ. ρλη. κ.

Οὐ δίχα δὲ τοῦτο τῆς σῆς βοηθείας κατώρθωσα· ἀλλὰ τῆς σῆς ἀπολαύσας ῥοπῆς, καὶ τῇ σῇ ἐλπίδι τρεφόμενος. καὶ οὐκ ἤλπισα εἰς πλοῦτον, οὐδὲ εἰς τιμὴν καὶ δόξαν κοσμικὴν καὶ εἰς ἀνθρώπων βοήθειαν, ἀλλ' εἰς τοὺς λόγους σου. ὅθεν καί τις τῶν σοφῶν ἔλεγεν, ἀνθρώπων βοήθειαν μή μοι δῷς.

114 Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Πᾶσαν προσβολὴν δαιμόνων καὶ λογισμῶν πονηρῶν ἐκκλίνειν ἐπιτάττει, ὅπως τὰς ἐντολὰς τοῦ Θεοῦ ἐν ἑαυτῷ φυλάττῃ, ἔργῳ καὶ λόγῳ. τοῦτο γάρ ἐστι τὸ, ἐξερευνήσω. ταῦτα γάρ, φησι, καὶ τοῖς ἀτόποις ἔλεγον λογισμοῖς καὶ τοῖς τὰ φαῦλα συμβουλεύειν ἐπιχειροῦσιν, ὅτι μηδεμίαν μοι τοιαύτην ὑποτίθεσθε συμβουλήν. ἐμοὶ γὰρ κατὰ τὰς θείας ἐντολὰς προαιρεταία ζωή. οὐχ ἁπλῶς δὲ ταύταις ἀκολουθήσω, ἀλλὰ μετὰ πάσης αὐτὰς ἀκριβείας διερευνήσω, ὥστε μηδέν με τούτων λαθεῖν, ἀλλὰ πάντα πληρῶσαι, ὅσα τῶν ὅλων ὁ Κύριος ἐνετείλατο. **115** Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με· καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Τοῦτον τοίνυν ἔχοντα τὸν σκοπὸν τῆς σῆς προνοίας ἀξίωσον, ἵνα μὴ διαμαρτὼν τῆς ἐλπίδος, αἰσχύνης ἀναπλησθῶ. τὸ δὲ λόγιον ἐνταῦθα, τὴν ὑπόσχεσιν λέγει, ἀντὶ τοῦ, τὴν ἐπαγγελθεῖσάν μοι παρὰ σοῦ σωτηρίαν. ὡς οὖν τέλειος καὶ φυλάξας τὰς ἐντολὰς τοῦ Θεοῦ προσδοκᾷ τιμὴν καὶ δόξαν ὁ προφήτης ἐν τῇ δευτέρᾳ παρουσίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἔνθα καὶ ζήσεσθαι ἐλπίζει τὴν αἰώνιον ζωήν, καὶ μὴ καταισχυνθῆναι μετὰ τῶν ἁμαρτωλῶν, καὶ ἀπειθησάντων, καὶ τῶν ἐντολῶν τοῦ Θεοῦ ἑαυτοὺς ἀπομακρυνάντων.

116 Βοήθησόν μοι, καὶ σωθήσομαι· καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Καὶ γὰρ τυχὼν τῆς σωτηρίας, τῶν σῶν δικαιωμάτων οὐκ ἀμελήσω· ἀλλὰ διαπαντὸς τὴν τούτων μελέτην ποιήσομαι. μελέτην δὲ λέγει, οὐ τὴν ἐν λόγοις μόνον, ἀλλὰ καὶ τὴν ἐν ἔργοις. ἡ γὰρ πάντοτε γινομένη τῶν τοῦ Θεοῦ δικαιωμάτων μελέτη τὴν βοήθειαν ἡμῖν τὴν αὐτοῦ ἐπισπᾶται, καὶ ἐξ αὐτῆς τίκτεται ἡ σωτηρία. **117** Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου· ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Ταύτην δὲ περὶ τὰς σὰς ἐντολὰς ἔξω τὴν προθυμίαν, ἐπονειδίστους καὶ καταγελάστους γεγενημένους τοὺς τούτων παραβάτας εἰδώς. καὶ ἐν ἑτέρῳ δὲ ψαλμῷ λέγει περὶ τῶν ἁμαρτωλῶν· Ψαλ. νζ. ζ. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον. καὶ πάλιν, Ψαλ. ρκβ. δ. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. **118** Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Τὸ, παραβαίνοντας, ὁ μὲν Θεοδοτίων εἰς οὐδὲν εἴρηκεν, ὁ δὲ Σύμμαχος, σκωρίαν. ὁ δὲ προφήτης δεδήλωκεν, ὡς ἐξουθενῶν καὶ αὐτὸς, τῷ Θεῷ παραπλησίως, τοὺς παραβάτας, πᾶσαν προθυμίαν εἰς τὴν ἐκπλήρωσιν τῶν θείων λογίων προσήνεγκεν, ἅτε δὴ τὴν τῆς παρανομίας ζημίαν εἰδώς. α. Ιω. γ. δ. Ἰωάννης οὖν ὁ ἀπόστολος ἔφη· Ὁ ποιῶν τὴν ἀνομίαν, καὶ τὴν ἁμαρτίαν ποιεῖ. παρὰ οὖν τοῖς εὐσεβῶς ζῶσιν οἱ ἁμαρτωλοὶ παραβάται τοῦ νόμου γνωρίζονται. **119** Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἡ ψυχή μου, φησι, τὸν σὸν περιέχεται φόβον· ἀλλ' ἐπειδὴ τὸ σῶμα κατεξανίσταται ταύτης, καὶ τὰ τούτου μέλη παρακαλῶ τούτῳ καθηλωθῆναι τῷ φόβῳ· ὥστε αὐτὰ νεκρὰ τῇ ἁμαρτίᾳ γενόμενα τῇ τῆς ψυχῆς ἀκολουθεῖν ποδηγίᾳ. Κολ. γ. ε. τούτῳ ἔοικε τὸ ἀποστολικὸν ἐκεῖνο ῥητόν· Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία. Γαλ. β. κ. καὶ πάλιν· Χριστῷ συνεσταύρωμαι· ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὥσπερ γὰρ ὁ καθηλωμένος ἐν λίθῳ, οὐ δύναται κινεῖσθαι· οὕτως οὐδὲ ὁ ἐν τῷ φόβῳ τοῦ Θεοῦ καθηλωμένος, τῷ φόβῳ τοῦ Θεοῦ χαλινίζεσθαι. καὶ πάλιν ὁ αὐτὸς ἀπόστολος ἔφη· Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. α. Κο. θ. κζ. 120 Ἐποίησα κρίμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Τοῖς σοῖς, φησιν, ἀκολουθεῖν προελόμενος νόμοις, μὴ γένωμαι τοῖς δυσμενέσιν εὐάλωτος. τίς δὲ νῦν ἔχει τοσαύτην ψυχῆς καθαρότητα, ὥστε σὺν παρρησίᾳ τοιούτοις χρήσασθαι λόγοις; τούτοις μέντοι καὶ ὁ θεῖος ἀπόστολος παρόμοια εἴρηκεν· Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστί, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. β. Κο. α. ιβ. μέγας ὁ ταῦτα θαρρῶν προσομιλῆσαι Θεῷ. διὰ γὰρ τοῦ εἰπεῖν, ἐποίησα κρίμα καὶ δικαιοσύνην, πασῶν τῶν ἀρετῶν καὶ τῶν ἐντολῶν τὴν κατόρθωσιν ἐπεσπάσατο. ἔνθεν καὶ ἱκετεύει μὴ παραδοθῆναι τοῖς ἀδικοῦσι, πονηροῖς δαίμοσι καὶ ἀλογίστοις ὁρμαῖς καὶ λογισμοῖς ἀτάκτοις.

121 Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν. Ὁ δὲ Σύμμαχος, Ἀνάδεξαί με τὸν δοῦλόν σου εἰς ἀγαθόν· Ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, Ἐγγύησαι· ἀντὶ τοῦ, ἀληθεύω, οὐ ψεύδομαι· πίστευσον ὑποσχομένῳ τῷ δούλῳ σου· αὐτὸς ἐγγυητὴς γενοῦ τῆς ἐμῆς ὑποσχέσεως, ὅτι σου σπουδάσω πληρῶσαι τοὺς νόμους. ἀνάδεξαί με, δέσποτα, φησι, καὶ πίστευσον τῷ δούλῳ σου, καὶ ἐγγυητής μου γενοῦ εἰς τὸ ἀγαθὸν, ὅτι φυλάττω τὰ προστάγματά σου, καὶ μὴ γένωμαι συκοφαντούμενος ὑπὸ ὑπερηφάνων. πάντες γὰρ οἱ μὴ τὰς ἐντολὰς τοῦ Θεοῦ φυλάττοντες, ὑπερήφανοι ὀνομάζονται, κατὰ τὸ ῥητὸν τὸ λέγον· Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. Ψαλμ. ριη. να. Μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Ἀλγεινὸν ἡ συκοφαντία, κἂν μέγαν ἔχῃ μισθόν. ταύτῃ καὶ ὁ θαυμάσιος περιπέπτωκεν Ἰωσὴφ, καὶ ἕτεροι δὲ μυρίοι. παρακελεύεται δὲ καὶ ὁ Κύριος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. οὐδὲν οὖν ἀπεικὸς οὐδὲ ὁ προφήτης πεποίηκε ταύτην αἰτήσας τὴν αἴτησιν. διαφερόντως γὰρ ἡ τῶν ἀλαζόνων καὶ δυνατῶν συκοφαντία χαλεπωτέρα. ἀδικία γὰρ προσλαβοῦσα τὴν δυναστείαν μείζονα τὴν λώβην ἐργάζεται.

122 Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Πάλιν ἐνταῦθα λόγιον, τὴν ὑπόσχεσιν καλεῖ. διηνεκῶς, φησι, τὴν παρὰ σοῦ σωτηρίαν προσμένω, καὶ τῆς ὑποσχέσεως ἀναμένω τὸ τέλος. τὸ δὲ ἐξέλιπον τέθεικε, τὴν ἐπιτεταμένην ἐπιθυμίαν δηλῶν. τοῦτο καὶ δευτέρῳ ἐδήλωσεν εἰπών· ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου. ποῖον δὲ σωτήριον; ὃ ὁ Συμεὼν ἀγκαλιζόμενος τὸν Κύριον ἔφη· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. τοῦτο οὖν εὔχεται ὁ προφήτης τάχιον γενέσθαι διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. τὸ γὰρ, ἐκλείπει ἡ ψυχή μου, ἕτερον οὐδέν ἐστιν, ἢ ἡ ἐπίτασις τῆς ἐπιθυμίας. 123 Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου· καὶ τὰ δικαιώματά σου δίδαξόν με. Ὁ τοσαύτης ἀρετῆς ἐργάτης ἐλέους τυχεῖν ἀξιοῖ, καὶ σωτηρίας ἀπολαῦσαι αἰτεῖ· καὶ οὐκ ἀπαιτεῖ μισθὸν, ἀλλὰ φιλανθρωπίαν αἰτεῖ. καὶ γὰρ εἰ καὶ προέκοπτεν ὁ προφήτης ἐν ἀρεταῖς, ἀλλ' οὖν τὸν ἔλεον τοῦ Θεοῦ ἐζήτει. οὕτω καὶ ἡμεῖς, ἀδελφοί, εἰ καί τι ἀγαθὸν ποιοῦμεν, αὐτὸν αἰτησώμεθα συνεργὸν ἡμῶν γενέσθαι, καὶ τῷ ἐλέει αὐτοῦ σωθῆναι.

124 Δοῦλός σου εἰμὶ ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Ἅπαντες μὲν ἄνθρωποι φύσει δοῦλοι Θεοῦ· διαθέσει δὲ, οἱ τοῦ Θεοῦ τὴν δεσποτείαν γνησίως αἱρούμενοι. ταύτης οὖν τῆς συμμορίας ὁ προφήτης δοῦλον ἑαυτὸν ὀνομάζει, καὶ συνέσεως ἀξιωθῆναι παρακαλεῖ, ὥστε γνῶναι τοῦ Θεοῦ τὰ μαρτύρια.

125 Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου.

β. Κορ. ϛ. β.

Ο πάντα σταθμῷ καὶ μέτρῳ πρυτανεύων Θεὸς φέρει μὲν ἐπὶ πλεῖστον τῶν ἀνθρώπων τὰς ἁμαρτίας· ὅταν δὲ αὐξηθεῖσαν ἴδῃ τῇ μακροθυμίᾳ τὴν πονηρίαν, τότε τὴν τιμωρίαν ἐπάγει. τοῦτο τοίνυν καὶ ἐνταῦθά φησι· καιρὸς διαναστῆναί σε εἰς ἐπικουρίαν τῶν ἀδικουμένων, ὦ δέσποτα. κομιδῇ γάρ σου τὸν νόμον ἐπάτησαν οἱ πολέμιοι. ἔφη δὲ καὶ ὁ ἀπόστολος Παῦλος περὶ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν· Ιδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. καιρὸς ἦν καὶ τοὺς Ἰουδαίους πιστεῦσαι· ἀλλ᾽ οὗτοι τοὐναντίον ἔπραξαν, ἀπιστήσαντες καὶ ἀθετήσαντες τὸ εὐαγγέλιον. τοῦτο γάρ ἐστι τό, διεσκέδασαν τὸν νόμον σου.

126 Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

ψαλ. ριη. οβ.

Εκεῖνοι μὲν οὕτως οὐ σοῦ κατεφρόνησαν νόμου· ἐγὼ δὲ ἀξιεραστοτέρας ἡγοῦμαι τὰς σὰς ἐντολὰς ὑπὲρ χρυσίον, καὶ λίθον πολυτελῆ. τῶν γὰρ τιμίων λίθων τοπάζιον· ἀπὸ δὲ τοῦ ἑνὸς παρεδήλωσεν ἅπαντας τοὺς λίθους. Εἰκὸς δὲ κατ᾽ ἐκεῖνον τὸν χρόνον τοῦτον προτιμᾶσθαι τῶν ἄλλων λίθων. καὶ ἀλλαχοῦ δὲ ἔλεγεν· Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. ὑπεμφαίνει δὲ ὁ λόγος ὑπὲρ πάντα πλοῦτον καὶ τὸν καθ᾽ ὅλου καὶ τὸν ἐκ μέρους ἀγαπᾶν τὰς ἐντολάς. τοῦτο γάρ τελειότης χριστιανοῦ. ἔφη γάρ ὁ Κύριος, Οτε ἂν τὰς ἐντολάς μου τηρῆτε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου.

Ιω. ιε. ι.

127 Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Ιακ. β. ι.

Ὁ γὰρ πόθος τὴν προθυμίαν ἐργάζεται· ἡ δὲ προθυμία τὴν μὲν εὐθεῖαν παραινεῖν ὁδὸν παρεσκεύαζε, τὴν δὲ τῆς ἀδικίας ἐμυσάττετο τρίβον. ὁ πάσας τοίνυν τὰς ἐντολὰς κατορθῶν, πάντως καὶ ὁδὸν ἄδικον μισεῖ. Οστις γὰρ ὅλον τὸν νόμον πληρώσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. ὁ γὰρ εἰπών, μὴ φονεύσῃς, εἶπε καὶ μὴ πορνεύσῃς· καὶ ὁ εἰπών, μὴ ἀδικήσῃς, εἶπε καὶ μὴ λοιδορήσῃς· καὶ ὁ εἰπὼν μὴ ψεύσῃ, εἶπε καὶ μὴ ὀμόσῃς.

128 Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Εδειξεν ὡς οὐ μάτην τούτων ἠράσθη. ἀξιάγαστα γάρ, φησίν, ἐστι καὶ ἱκανὰ καταθέλξαι καὶ εἰς ἔρωτα διεγεῖραι τοὺς κατιδεῖν δυναμένους. καὶ πῶς τοίνυν οὐκ εἰσὶ θαυμαστά; ὁδηγοῦσι γὰρ πρὸς βίον κατωρθωμένον καὶ σεμνὸν καὶ πολιτείαν ἐνάρετον, πρὸς σωφροσύνην καὶ ἐγκράτειαν, πραότητα καὶ μακροθυμίαν, ἐλεημοσύνην, δικαιοσύνην καὶ ἀγαθωσύνην. διὰ τοῦτο καὶ ὁ προφήτης καυχᾶται ἐρευνῆσαι αὐτά· οὐχὶ τῷ στόματι λαλεῖν, τὴν δὲ διάνοιαν ῥέμβεσθαι· ἀλλ᾽ ὥσπερ τὸν Θεὸν ἐξ ὅλης ψυχῆς ἀγαπᾶν προσετάχθημεν, οὕτως αὐτοῦ καὶ τὰς ἐντολὰς ποθεῖν καὶ πράττειν ἐδιδάχθημεν.

129 Η δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

Ματθ. ια. κε.

Τῷ σῷ, φησί, καταυγαζόμενος φωτὶ ταύτην ἐδεξάμην τὴν γνῶσιν, καὶ ἅπαντας δὲ τοὺς ἀγνοίᾳ κατεχομένους καὶ βρέφεσιν ἐοικότας ὁ σὸς νόμος συνέσεως ἐμφορεῖ. τῶν εὐαγγελικῶν δὲ λόγων ἡ δήλωσις φωτίζει οὐ μόνον τοὺς τελείους, ἀλλὰ καὶ τοὺς ἐλλιπὲς ἔχοντας. διδάσκει δὲ καὶ ἕτερον ὁ λόγος. ἔφη γὰρ ὁ Κύριος· Εξομολογοῦμαί σοι, πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις, περὶ τῶν ἀποστόλων λέγων. τῇ γὰρ κακίᾳ αὐτοὶ ἐνηπίαζον.

130 Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα· ὅτι τὰς ἐντολάς σου ἐπεπόθησα.

ψαλ. π. ια.

ψαλ. ξζ. ιβ.

Στόμα ἐνταῦθα καλεῖ τῆς διανοίας τὴν προθυμίαν. αὐτὴ γὰρ ἕλκει τὴν χάριν τοῦ πνεύματος. καὶ γὰρ ἀλλαχοῦ φησι· Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. καὶ ὁ θεῖος ἀπόστολος ἐν ἀνοίξει τοῦ στόματος λόγον δοθῆναι παρεκάλεσε. καὶ αὐτὸς δὲ ὁ προφήτης ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. τοῦτο δὲ καὶ ἐνταῦθα ἔφη· τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολὰς λαῖς σου ἐπεπόθησα. γλιχόμενόν με γὰρ τῶν σῶν ἐντολῶν θεασάμενος, τῆς σῆς ἠξίωσας χάριτος. Οἱ μὲν οὖν ἐπιποθοῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀνοίξαντες τὸ στόμα πληροῦσι πνεύματος. καὶ Δαβὶδ ἐπιποθῶν τὰς ἐντολὰς τοῦ Θεοῦ, τῆς προφητικῆς χάριτος ἠξίωται, καὶ πλατύνας τὸ στόμα, ἐπλήρωσε πνεύματος. τοῖς δὲ ἀπειθοῦσι ταῖς ἐντολαῖς τοῦ Θεοῦ εἴρηται· Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ· καὶ, πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ. διὸ, ἀδελφοὶ, προσέχοντες τῇ τῶν λαλουμένων διηγήσει, ῥυσθείητε τῇ τοῦ Θεοῦ βοηθείᾳ καὶ ἀντιλήψει, καὶ σώσει ὑμᾶς Κύριος ὁ Θεὸς καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· ἀμήν, γένοιτο· ᾧ πρέπει δόξα καὶ ἡ τιμὴ νῦν, καὶ εἰς τοὺς αἰῶνας.

γρ. τοῖς ἐντολαῖς

γρ. σώσῃ

Ψαλμ. λα. ιβ. γ.

στάσις γ.

131 ΕΠΙΒΛΕΨΟΝ ΕΠ' ΕΜΕ, ΚΑΙ ΕΛΕΗΣΟΝ με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Συνηθές ἐστιν, ἀδελφοὶ, τῷ μακαρίῳ Δαβὶδ πολυτρόπους ἐπινοεῖν ἐμφάσεις ἐπὶ τοῖς προφητικῶς παρ' αὐτοῦ ᾀδομένοις. καὶ γὰρ καὶ ἐν τούτῳ τῷ ψαλμῷ τὰ αὐτὰ περὶ τῶν αὐτῶν πολλαχῶς φθέγγεται. σκοπὸς δὲ αὐτῷ ἐστιν, ἡ ἀποχὴ τῆς ἁμαρτίας καὶ ἡ ἀποτροπὴ τοῦ κακοῦ, τήρησις δὲ καὶ φυλακὴ τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ ἐλέγχειν τοὺς παραβαίνοντας, καὶ ἐξ αὐτῶν ἀποστρέφεσθαι, δέεσθαί τε τῆς τοῦ Θεοῦ βοηθείας καὶ τοῦ ἐλέους αὐτοῦ. διὸ λέγει· ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. ἔστιν ὅτε ὁ Θεὸς ἐπιβλέπει κατ' ὀργήν, ὡς εἴρηται παρὰ τῷ προφήτῃ Ἀμβακούμ· Ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη· ὅτε δὲ ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν ἐπιβλέπει, ἔλεος καὶ σωτηρίαν ἐργάζεται. ταύτην οὖν ἐζήτησεν ὁ προφήτης· διὸ τοῦτο καὶ ἐπήγαγε· κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. ἱκετεύει τοίνυν τῆς θείας τυχεῖν εὐμενείας, οὐχ ἁπλῶς, ἀλλ' ὡς εἴωθας, φησὶ, τοῖς ἀγαπῶσί σε παρέχειν τὸν ἔλεον. τοῦτο γὰρ εἶπε, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου· ἀντὶ τοῦ, τῆς ἴσης τούτοις ἀπολαῦσαι ψήφου παρακαλῶ. 132 Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου· καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Ἡμῶν γὰρ προεισφερόντων τὴν προθυμίαν, καὶ Θεοῦ παρέχοντος τὴν βοήθειαν καὶ τὴν πορείαν εὐθύνοντος, χώραν οὐκ ἔχει τῆς ἁμαρτίας ἡ δυναστεία. τοῦ οὖν Θεοῦ κατευθύνοντος ἡμᾶς ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἡμῶν παρεχόντων τὸ πρόθυμον, οὐκ ἕξει καθ' ἡμῶν ἡ ἁμαρτία δύναμιν, οὔτε ἡ ἀνομία. ἐπαγγέλλεται γὰρ ἐν ἑτέρῳ ψαλμῷ τῷ φοβουμένῳ αὐτόν, Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ· ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ὅ ἐστιν ἡ ἀνομία. 133 Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Κατὰ μὲν τὸ ῥητὸν πολλοὺς πειρασμοὺς ὁ Δαβὶδ ὑπέμεινεν ὑπὸ τῶν ἀνθρώπων, τοῦ τε Σαοὺλ, καὶ ἑτέρων τινῶν. λέγει γὰρ καὶ ἐν τῷ ἑξῆς ψαλμῷ· Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; καὶ αὖθις πάλιν ἐν ἑτέρῳ ψαλμῷ· Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. εὔχεται οὖν λυτρωθῆναι ἀπ' αὐτῶν. καὶ ὁ δεσπότης Χριστὸς τοὺς ὀνειδιζομένους καὶ συκοφαντουμένους, ζηλωτοὺς καὶ μακαρίους ἐκάλεσεν· ἀλλὰ καὶ εὔχεσθαι παρηγγύησε μὴ εἰσελθεῖν εἰς πειρασμόν. συμβαίνει τοίνυν τοῖς εὐαγγελικοῖς νόμοις καὶ τοῦ προφήτου ἡ προσευχή. ὁ δὲ ἅγιος Ἀθανάσιος κατὰ διάνοιαν ἑρμηνεύων τὸ ῥητὸν, συκοφαντίας ἀνθρώπων λέγει, τὰς

τῶν

Ἀββ. γ. ϛ.

Ψαλμ. ϙ. ε.

Ψαλμ. ριθ. β.

Ψαλμ. νϛ. ε.

Ματθ. κϛ. μα.

τῶν αἱρετικῶν καὶ παρανόμων ἀθυροστομίας καὶ γλωσσαλγίας. καὶ ἡμεῖς οὖν, ἀδελφοί, τῷ πατρὶ ἐξακολουθοῦντες ἐκφύγωμεν ἀπὸ πάσης αἱρέσεως, τέως δὲ ἐκ τῶν νυνὶ ἐπιπολαζόντων ἡμῖν τῶν τε Εἰκονοκλαστῶν καὶ τῶν Παυλικιανῶν καὶ Μανιχαίων· καὶ ἐὰν εἴ- Παροι. α΄. ια. ιε. πωσί τινι ἡμῶν, ἐλθὲ μεθ' ἡμῶν, ἐκκλίνωμεν τὸν πόδα καὶ παραλλάξωμεν κατὰ τὸν παροιμιακὸν λόγον, καὶ μὴ συμπορευθῶμεν μετ' αὐτῶν. 134 Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Ἀσώματον μὲν τὸ θεῖον, τὸ ἁπλοῦν καὶ ἀσύνθετον· σωματικώτερον δὲ καὶ παχύτερον ἡ θεία γραφὴ περὶ αὐτοῦ διαλέγεται, τῇ φύσει τῇ τῶν ἀνθρώπων μετροῦσα τοὺς λόγους· ἐπεὶ χαρακτὴρ τῆς ὑπο- Εβρ. α. γ. στάσεως τοῦ πατρὸς ὁ υἱός, καὶ ἀπαύγασμα, ὡς τῇ ἀληθείᾳ καὶ τῷ μακαρίῳ Παύλῳ δοκεῖ. ἐπιποθεῖ οὖν τὴν παρουσίαν αὐτοῦ ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρωπείου γένους κατιδεῖν. αὐτὸς γὰρ ἡμῖν ἐπιφανεὶς ἐδίδαξε πᾶσαν δικαιοσύνην. τοιγαροῦν τοῦ θείου προσώπου τὴν ἐπιφάνειαν νοητέον τὴν λύσιν τῶν λυπηρῶν καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν.

135 Διεξόδους ὑδάτων ″ κατέδυσαν οἱ ὀφθαλμοί μου· ἐπεὶ οὐκ ἐφύλαξαν τὸν (γρ. κατέβησαν) α. Κορ. ιβ. κϛ. νόμον σου. Ἀποστολικὸς καὶ οὗτος ὁ νόμος. Εἰ γὰρ πάσχει, φησίν, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. τὴν εὐαγγελικὴν τοίνυν ὁ προφήτης μετέρχεται τελειότητα, τὰς τῶν ἄλλων παρανομίας ὀλοφυρόμενος. διεξόδους δὲ ὑδάτων τὸ πλῆθος τῶν δακρύων ἐκάλεσεν, ἀντὶ τοῦ, κρουνηδὸν ἔφερον τὰ δάκρυα, τὰς τῶν ἀνθρώπων παρανομίας θεώμενος. τοιαύτης λύπης συνέχονται οἱ ἅγιοι ἐπὶ τοῖς παραβεβηκόσιν. ὠλοφύρετο γὰρ καὶ ὁ Μωϋσῆς, ὅτε ὁ Ἰσραηλίτης λαὸς ἐξέκλινεν ἐκ τοῦ Θεοῦ μοσχοποιήσας, λέγων πρὸς τὸν Εξοδ. λβ. λα. Θεόν· Εἰ μὲν ″ ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βί- (γρ. ἀφίης) βλου τῶν ζώντων. καὶ πάλιν ὁ ἀπόστολος ὁρῶν τοὺς Ἰουδαίους ἀλλοτριουμένους τοῦ εὐαγγελίου, Ρω θ. γ. ἔφη· Ηὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ἀπὸ τοῦ Θεοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. 136 Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

137 Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα.

Δικαίως ἅπαντα διέπεις, ὦ δέσποτα, καὶ τῶν ἀνθρώπων κηδόμενος, καὶ δικαιοσύνης ἐργάτας ἀποφῆναι βουλόμενος. καὶ νόμον ἔδωκας, καὶ διαμαρτύρῃ τοὺς παραβαίνοντας, ὁποίας τίσουσι δίκας, καὶ ὑπισχνῇ τοῖς φυλάττουσι τὰς ἀγαθὰς ἀντιδόσεις, καὶ βεβαιοῖς τὰς ἐπαγγελίας τοῖς ἔργοις. τοῦτο γὰρ δηλοῖ τό, ἀλήθειαν σφόδρα. ἔστησε γὰρ ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, καὶ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δὲ πειθομένοις τῇ ἀδικίᾳ, ἀπειθοῦσι δὲ τῇ ἀληθείᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν. διὰ δὲ τοῦ εἰπεῖν, ἀλήθειαν σφόδρα, τὴν βεβαιότητα καὶ τὴν ἔκβασιν τοῦ πράγματος ἐδήλωσεν.

138 Ἐξέτηξέ με ὁ ζῆλός σου· ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Καὶ τοὺς παρανομίᾳ συζῶντας ὁ προφήτης θρηνεῖ, καὶ καταφρονούμενον ὁρῶν τὸν νομοθέτην ἐνδίκως ἀγανακτεῖ. οὗτος ὁ ζῆλος τὸν Φινεὲς ἀνεκήρυξεν· οὗτος τὸν μέγαν Ἠλίαν ἀοίδιμον ἀπετέλεσε· τούτῳ πυρπολούμενος ὁ καλλίνικος Στέφανος, τὴν Ἰουδαίων ἀπιστίαν διήλεγξεν. ἔχει δὲ τοῦ δευτέρου στίχου τὴν ἔννοιαν. ὅπερ γὰρ ἐκεῖ ἔλεγε, διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ὧδε λέγει, ἐξέτηξέ με ὁ ζῆλός σου· ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. τοιοῦτος ἦν, ὡς ἔφην, ὁ Φινεὲς ἐκκεντήσας τὸν πορνεύσαντα, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τοιοῦτος ἦν ὁ θεσπέσιος Παῦλος ὅλον β. Κορ. ια. κθ. ἐν ἑαυτῷ τὸν Χριστὸν περιφέρων· διὸ καὶ ἔλεγε· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδα- Πραξ. ιζ. ιϛ. λίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ ὁ μακάριος δὲ Λουκᾶς περὶ αὐτοῦ φησιν, ὡς ἐν Ἀθήναις συνείχετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν.

Πράξ. ιζ. ιϛ.

139 Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Δόκιμος, φησί, καὶ ἀκίβδηλός ἐστιν ὁ σὸς λόγος καὶ μώμου παντὸς ἐλεύθερος· ἐγὼ δὲ περὶ τοῦτον θερμὸν ἔχω τὸ φίλτρον. καὶ ἐν ἑτέρῳ δὲ ψαλμῷ λέγει· Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. οὐδὲν οὖν τῶν τοῦ Θεοῦ κριμάτων ἀδόκιμον ἢ νόθον ἢ κίβδηλον, ἀλλὰ πάντα μώμου παντὸς ἐλεύθερα. ἐν τῇ καθαρότητι οὖν αὐτῶν, ἀδελφοί, τὸν βίον ἡμῶν διευθύνωμεν.

Ψαλ. ιβ. ζ.

140 Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Μικρὸς ἦν ὁ Δαβίδ, καὶ ἐλάχιστος ἐν τοῖς υἱοῖς τοῦ πατρὸς αὐτοῦ· ἀλλὰ διὰ τὸν πόθον, ὃν εἶχε πρὸς τὸν Θεόν, ἐξελέγη, καὶ τὴν βασιλείαν ἔλαβε καὶ χάριν προφητικήν. οἶδε γὰρ ὁ Θεὸς μισθοὺς ἀποδιδόναι τοῖς ἀγαπῶσιν αὐτὸν καὶ ἐν τῷ νῦν αἰῶνι, πλέον δὲ ἐν τῷ μέλλοντι. ἡνίκα τοίνυν τῷ θείῳ Σαμουὴλ παρηγγύησεν ὁ Θεὸς ἕνα τῶν παίδων τοῦ Ἰεσσαὶ βασιλέα χειροτονῆσαι, τοὺς μὲν ἄλλους καὶ ῥώμῃ καὶ μεγέθει καὶ κάλλει σώματος κεκοσμημένους ἀπεδοκίμασεν ἅπαντας· ἤρετο δὲ τὸν Ἰεσσαί, εἰ ἐκλέλοιπε τὰ παιδάρια. τοῦ δὲ εἰρηκότος ὑπολελεῖφθαι μειράκιον, ὃ ποιμαίνει τὰ ποίμνια, καὶ ὡς ἀνάρμοστον εἰς βασιλέα, ἐκέλευσεν ὁ προφήτης τοῦτον ἀχθῆναι, καὶ ἔχρισεν ἀφικόμενον παραχρῆμα. ταύτης ἐνταῦθα τῆς δωρεᾶς ὁ προφήτης ἐμνήσθη, καί φησι· Καὶ νέον ὄντα με καὶ τοῖς γεγεννημένοις ἐντελῆ νομισθέντα σὺ τοσαύτης ἠξίωσας χάριτος, καὶ προφήτην ὁμοῦ καὶ βασιλέα ἐποίησας· οὗ δὴ χάριν σὺν πάσῃ προθυμίᾳ τὰ σὰ φυλάττειν ἐφίεμαι δικαιώματα. 141 Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς αἰῶνα· καὶ ὁ νόμος σου, ἀλήθεια.

α. Βασ. ιϛ. ζ.

Ὁ τοῖς ἀνθρωπίνοις νόμοις πειθόμενος, οὐδὲ κατὰ τὸν παρόντα βίον τῆς παρὰ τῶν νομοθετούντων ἀπολαύει τιμῆς· ὁ δὲ ταῖς θείαις ἀκολουθῶν ἐντολαῖς, μισθὸν ἔχει τῶν πόνων τὴν ζωὴν τὴν αἰώνιον. καὶ οἱ νόμοι δὲ οἱ ἀνθρώπινοι οὐ πάντες τὸ δίκαιον ἔχουσιν, ὁ δὲ τοῦ Θεοῦ νόμος ἀληθείᾳ λαμπρύνεται. εἰκότως τοίνυν ἔφη· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα· καὶ ὁ νόμος σου, ἀλήθεια. ἡ οὖν τοῦ Θεοῦ δικαιοσύνη καὶ ὁ νόμος, ἀλήθεια εἰς τὸν αἰῶνα. διὸ καὶ πρὸς τοὺς Ἰουδαίους ἔλεγεν ὁ μακάριος Παῦλος· Τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

Ρωμ. ι. γ.

142 Θλῖψις καὶ ἀνάγκαι εὕροσάν με. Ταῦτα γὰρ συνέζευκται τοῖς ἐργάταις τῆς ἀρετῆς. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ παρὰ τῷ Παύλῳ εἰρημένῳ· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης; ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. τοιοῦτοι τῶν ἁγίων οἱ ἀγῶνες καὶ τὰ σκάμματα. Αἱ ἐντολαί σου μελέτη μου.

Ρωμ. η. λε.

Ἐκ τῆς γὰρ τούτων διδασκαλίας τὴν ἀνδρείαν μανθάνω, καὶ φέρω γενναίως τὰ λυπηρά. 143 Δικαιοσύνη, τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα·

Ἀντὶ τοῦ, πρόξενα τῶν αἰωνίων ἀγαθῶν. Συνέτισόν με, καὶ ζήσομαι.

Ὑπὸ γάρ σου φωτιζόμενος, τῆς ἀληθοῦς ζωῆς ἀπολαύσω. 144 Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε· τὰ δικαιώματά σου ἐκζητήσω.

Κραυγὴν πάλιν τῆς ψυχῆς τὴν προθυμίαν καλεῖ. διὰ τοῦτο προστέθεικε τό, ἐν ὅλῃ καρδίᾳ μου. οὕτω καὶ Μωϋσῆς ἐβόα σιγῶν, καὶ προσευχομένῳ κατὰ διάνοιαν ὁ Θεὸς ἔφη· Τί βοᾷς πρός με; ἐν ὅλῃ δὲ καρδίᾳ λέγει, τὸ πρόθυμον τῆς ψυχῆς δηλῶν, οὐχὶ τὴν κραυγὴν διὰ στόματος. ἔφη γὰρ καὶ ὁ θεῖος Παῦλος· Ἄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ.

Ἐξοδ. ιδ. ιε.
Ἐφεσ. ε. ιθ.

145 Ἐκέκραξά σοι· σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Παρὰ σοῦ γὰρ τὴν

τὴν σωτηρίαν δεχόμενος, φύλαξ τῶν σῶν γενήσομαι νόμων. οἱ γὰρ φυλάττοντες τὰ μαρτύρια τοῦ Θεοῦ πάντως καὶ σώζονται παρ' αὐτοῦ. 146 Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα· εἰς τοὺς λόγους σου ἐπήλπισα. Βασιλεὺς ὢν ὁ προφήτης, καὶ μυρίαις φροντίσι περικλυζόμενος, καὶ πολεμικοὺς πρὸς ταύτης ἀναδεδεγμένος ἀγῶνας, οὐ μόνον ἡμέρας ὑπολαμπούσης τῷ Θεῷ τὰς ἱκετείας προσέφερεν, ἀλλὰ καὶ τῆς μεσούσης νυκτὸς, οὐκ ἀναμένων τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. οὕτως ἐπόθει τὸν πεποιηκότα Θεόν· οὕτω προθύμως τὴν ἐκεῖθεν ᾔτει βοήθειαν. οὐκ ἤρκει γὰρ καιρὸς ὁ προφήτης τοῦ αἰνεῖν καὶ εὐχαριστεῖν τῷ Θεῷ, ἀλλὰ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ (τοῦτο γὰρ δηλοῖ τὸ, ἐν ἀωρίᾳ) διδάσκων καὶ ἡμᾶς πάντοτε ἐπὶ μνήμης φέρειν τὸν Θεόν. μνημονευτέον γὰρ Θεοῦ μᾶλλον, ἢ ἀναπνευστέον, ὡς ὁ θεολόγος ἔφη Γρηγόριος.

147 Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾶν τὰ λόγιά σου.

Οὐ μόνον δὲ κατὰ τὸν καιρὸν τοῦ γλυκυτάτου ὕπνου, ἀλλὰ καὶ παρὰ τὸν ὄρθρον τὴν τῶν θείων νόμων πεποίητο μελέτην. ἡμεῖς δὲ πενίᾳ συζῶντες καὶ πάσης φροντίδος ἀπηλλαγμένοι, ἐπὶ τῆς κλίνης διανυκτερεύομεν καλινδούμενοι, καὶ οὐδὲ ἀρχομένης ἡμέρας τῷ δοτῆρι τῶν ἀγαθῶν τὸν ὕμνον προσφέρομεν. παρασφαλίζεται δὲ ἡμᾶς ὁ προφήτης μελετᾶν τὰ λόγια τοῦ Θεοῦ κατὰ τὴν ὥραν τοῦ ὄρθρου. καὶ ὁ Κύριος ἔφη, Γρηγορεῖτε, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς. καί τις τῶν προφητῶν ἀποδυρόμενος τοῖς τοιούτοις ἔφη· ὅλην τὴν νύκτα ὕπνος Ἐφραίμ. 148 Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου· κατὰ τὸ κρίμα σου ζῆσόν με. Ὁ τοσούτοις κομῶν ἀγαθοῖς, ἐλέους τυχεῖν ἀξιοῖ· καὶ οὐκ ἀορίστως αἰτεῖ τὸν ἔλεον, ἀλλὰ τὴν ὀνησιφόρον ψῆφον. παρακαλεῖ τοίνυν καὶ ἱκετεύει τὸν Θεὸν, ἵνα τὴν ζωὴν ἐν τοῖς κρίμασι τοῦ Θεοῦ ἕξῃ, δι' ἑαυτοῦ δὲ καὶ ἡμᾶς καθοδηγήσῃ τοῦτο προσεύχεσθαι. 149 Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Πόρρω γὰρ τῶν θείων νόμων εἰσὶν οἱ τὸν δίκαιον πειρώμενοι πολεμεῖν. καὶ γὰρ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι κατεδίωκον τοὺς ἀποστόλους προσεγγίζοντες τῇ ἀνομίᾳ, οἷς ὁ Κύριος ἔφη· Ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· καὶ ὁ ἀθετῶν ἐμὲ, ἀθετεῖ τὸν ἀποστείλαντά με. καὶ, Ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι. διὰ τοῦτο καὶ ἐμακρύνθησαν ἀπὸ τοῦ νόμου τοῦ εὐαγγελικοῦ, ἀπειθήσαντες τῇ διδασκαλίᾳ τῶν ἀποστόλων.

Λουκ. κα. λϛ.

Λουκ. ι. ις.

Εξοδ. κγ. κβ.

150 Ἐγγὺς εἶ σὺ, Κύριε· καὶ πᾶσαι αἱ ὁδοί σου, ἀλήθεια.

Ὁρᾷς, φησιν, ἅπαντα, δέσποτα· οὐ γὰρ ἀφέστηκας ἀφ' ἡμῶν, ἀλλὰ τὴν οἰκουμένην πληροῖς, καὶ ἀληθείᾳ χρώμενος πρυτανεύεις τὴν κτίσιν. τοῦτο καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ προφήτου φησί· Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν. Πάντα γὰρ οἶδε καὶ ἐρευνᾷ, καὶ τὰ βάθη τῶν καρδιῶν ἡμῶν. καὶ ὁ μακάριος Παῦλος· Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν.

Ιερ. κγ. κγ.

Ψαλ. μγ. κγ.

Πραξ. ιζ. κη.

151 Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου· ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Μαρτύρια καλεῖ τὸν οὐρανὸν καὶ τὴν γῆν. καταβὰς γὰρ, φησι, διαμαρτύρομαι αὐτοῖς τὸν οὐρανὸν καὶ τὴν γῆν. διὰ τοῦτο καὶ Μωϋσῆς ὁ μέγας τῆς ᾠδῆς ἀρχόμενος ἔφη· Πρόσεχε οὐρανὲ, καὶ λαλήσω· ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. ἐν δὲ τούτοις ὁρᾶται διηνεκῶς ἡ τοῦ Θεοῦ πρόνοια. μετὰ πολλῆς γὰρ ὁδεύει τάξεως ἅπαντα. ἐντεῦθέν, φησιν, ἔγνων ἀκριβῶς, ὡς ἐγγὺς εἶ, καὶ πάρει τοῖς γινομένοις, καὶ λανθάνει σε τῶν πραττομένων οὐδέν. καὶ ἄλλως ἐκ προοιμίων φησὶν, ἔγνων ὅτι βέβαιά εἰσι τὰ παρὰ σοῦ λαλούμενα, δέσποτα, καὶ διηνεκεῖς σου αἱ ἐντολαί. οὐδὲ γὰρ ὥσπερ τῶν βασιλέων

Δευτ. λβ. α.

Ψαλ. ρια. ρνα.

ων καὶ τῶν πόλεων οἱ νόμοι μετατίθενται, οὕτω καὶ οἱ τοῦ Θεοῦ· ἀλλ᾽ ὥσπερ ὁ οὐρανὸς καὶ ἡ γῆ εἰς τὸν αἰῶνα μένει, οὕτω καὶ αἱ τοῦ Θεοῦ ἐντολαί. ἐπ᾽ αὐτοῖς γάρ, φησιν, οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. ἔφη δὲ καὶ ὁ Κύριος· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. Ματθ. κδ. λε.

152 Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με· ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται κατὰ τὴν τοῦ Κυρίου φωνήν· καί, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Ματθ. κγ. ιβ. Ματθ. ε. γ. ταύτῃ καὶ ὁ θεῖος προφήτης τὰς ἄλλας ἐκόσμησεν ἀρετάς, καὶ ταύτην προϊσχόμενος τὴν θείαν ἐπαγγέλλεται βοήθειαν. πολλὰ δὲ εἰσιν εἴδη τῆς ταπεινώσεως. ταπεινοῦται γάρ τις καὶ ἐν θλίψει καὶ ἐν συμφοραῖς καὶ ὑπὸ ἀνθρωπίνων ἐπηρειῶν. ἡ δὲ ἀληθὴς ταπείνωσίς ἐστιν, ὅταν διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπιστρεφώμεθα· οἷα ἐταπεινώθη αὐτὸς ὁ Δαβὶδ εἰπὼν καὶ ποιήσας· Ψαλμ. ϛ. ϛ. Λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. καί, Ἴδε τὴν Ψαλμ. κδ. ιη. ταπείνωσίν μου, καὶ τὸν κόπον μου· καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. ὡσαύτως, καὶ ἐὰν ταπεινωθῶμεν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἀγαπῶντες καὶ φυλάττοντες τὰ προστάγματα αὐτοῦ, περὶ ὧν ὁ Κύριός φησι· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

153 Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με.

Ἐπειδὴ ἐκ τοῦ ἀρχεκάκου ἐχθροῦ διὰ τῆς ἀναβάσεως ἀπέση τὸ ἀνθρώπινον γένος ἐκ τοῦ Θεοῦ, εὔχεται ὁ προφήτης κριθῆναι, καὶ σωτηρίας τυχεῖν τὸ ἀνθρώπινον γένος. αὕτη δὲ γίνεται διὰ τοῦ λόγου τοῦ εὐαγγελικοῦ. τοῦ γὰρ εὐαγγελίου κηρυχθέντος ἐν πάσῃ τῇ οἰκουμένῃ, κατηργήθη ὁ διάβολος, καὶ σέσωσται τὸ ἀνθρώπινον γένος ζωοποιηθὲν πνεύματι. ἀναμιμνήσκει τοίνυν τῶν ὑποσχέσεων τὸν δεσπότην, καὶ παρ᾽ αὐτοῦ τὴν σωτηρίαν αἰτεῖ, καὶ κρῖναι αὐτῷ καὶ τοῖς δυσμενέσιν ἀντιβολεῖ.

154 Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία· ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Τῆς παρὰ σοῦ, φησι, σωτηρίας ἑαυτοὺς ἐστέρησαν οἱ παρανομίᾳ συζῶντες, μὴ βουληθέντες καταμαθεῖν, τίνα πράττειν ἐνομοθέτησας. τοῦτο δὲ αἴτιον τῆς ἀπωλείας, τὸ μὴ ἐκζητεῖν ἡμᾶς τὰ τοῦ Θεοῦ δικαιώματα. καὶ οὐκ εἶπε μόνον ὅτι οὐκ ἐπίστευσαν, ἀλλ᾽ ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. ἐν γὰρ τῷ καταφρονεῖν ἡμᾶς τῶν ἐντολῶν τοῦ Θεοῦ μακρύνει ἀφ᾽ ἡμῶν τὴν σωτηρίαν.

155 Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε· κατὰ τὸ κρίμα σου ζῆσόν με.

Οὗτος ὁ στίχος προφανῆ τὴν διάνοιαν ἔχει, καὶ οὐ δέεται λόγων εἰς ἑρμηνείαν. λέγει γάρ, πολὺς τῆς σῆς φιλανθρωπίας ὁ πλοῦτος, δικαία σου ἡ ψῆφος· τὴν ἀπὸ τούτων σωτηρίαν αἰτῶ. 156 Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Πολλαῖς, φησι, περιστοιχιζόμενος συμφοραῖς, τῶν ὑπὸ σοῦ νενομοθετημένων οὐκ ἠνεσχόμην τι παραβῆναι. καὶ τὴν ὑπόθεσιν εἰρηκότες τοῦ ψαλμοῦ εἴπομεν, ὡς ἅπαντα ὁ θεῖος Δαβὶδ τὰ συμβεβηκότα αὐτῷ ἐν τούτῳ συνήγαγε τῷ ψαλμῷ, καὶ ὅτι τὰ μὲν ἁρμόττει τοῖς ὑπὸ τοῦ Σαοὺλ παρηνωχλημένοις αὐτῷ λυπηροῖς, τὰ δὲ τοῖς ὑπὸ τοῦ Ἀβεσσαλώμ. ταῦτα μέντοι δηλοῖ, ὡς ὑπὸ τοῦ Σαοὺλ διωκόμενος εἴρηκε. τηνικαῦτα γὰρ τῆς ἁμαρτίας ἀπείρατος ἦν. πολλοὶ οὖν τότε ἀγίους ἐδίωκον, καὶ εἰς θάνατον ἀπήγαγον, ἀλλ᾽ αὐτὸς ἐκ τῶν μαρτυρίων τοῦ Θεοῦ οὐκ ἐξέκλιναν. ἐμέμνητο γὰρ τοῦ Κυρίου λέγοντος· Μακάριοι οἱ διωκόμενοι ἕνεκεν δικαιοσύνης, Ματθ. ε. ι. ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· ὡσαύτως καὶ τοῦ ἀποστόλου Παύλου, Ὅτι διὰ πολλῶν Πράξ. ιδ. κβ. θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τούτου ἕνεκεν διῆλθον διὰ πυρὸς καὶ ὕδατος οἱ μακάριοι καὶ ἀοίδιμοι μάρτυρες, καὶ ἔδωκαν τὰ σώματα αὐτὴν ἀρχὴν τὴν τοῦ Θεοῦ ὁμολογίαν καὶ ἀγάπην· ἀλλ' ἔχουσιν [illegible], γεγονότες σύσσωμοι καὶ συμμέτοχοι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

157 Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην· ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Οὕτως ὁ μακάριος Παῦλος Ἰουδαίους ὠδύρετο· οὕτως αὐτὸς ὁ δεσπότης τὴν Ἱερουσαλὴμ ὠλοφύρετο· οὕτως ὁ θεῖος Ἱερεμίας τὴν τοῦ λαοῦ παρανομίαν ἐθρήνησε. Τοιούτους χρὴ εἶναι ἡμᾶς, ἀδελφοὶ, ἐκτήκεσθαι καὶ λυπεῖσθαι ἐπὶ τῶν ἀτάκτως περιπατούντων, καὶ ἐλέγχειν αὐτοὺς καὶ παρακαλεῖν, πρόδηλον τὴν ἡμετέραν ζωὴν διαδεικνύντες. Ὁ γὰρ ἐπιστρέφων ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. Εἰ δὲ ἀδιόρθωτοι μένουσι, στέλλεσθαι ἀπὸ τῶν τοιούτων, ὡς ὁ ἀπόστολος διδάσκει. Στέλλεσθε γὰρ, φησὶν, ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος. καὶ, Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ μέθυσος ἢ λοίδορος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ιακ. ε. κ.
β. Θεσ. γ. ς.
α. Κορ. ε. ια.

158 Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε· ἐν τῷ ἐλέει σου ζῆσόν με.

Συνεχῶς ἐντολῶν καὶ δικαιωμάτων καὶ νόμων μνημονεύει καὶ μαρτυρίων, τὸν περὶ ταῦτα πόθον δεικνύς. διδάσκει δὲ ἡμᾶς τὸ ῥητὸν, ἵνα κατὰ τὸν ἀδελφόθεον Ἰάκωβον ἀγαπῶμεν μὴ λόγῳ καὶ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. οὕτω γὰρ δὴ ἐν τῷ ἐλέει τοῦ Θεοῦ ζησόμεθα.

α. Ιω. γ. ιη.

159 Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἀψευδεῖς ἔχεις τὰς ὑποσχέσεις, ἀληθείᾳ τὰς ἐπαγγελίας κοσμεῖς, ἔργῳ βεβαιοῖς σου τοὺς λόγους. ἐν τῇ κατ' ἀρχὰς τοίνυν κοσμογονίᾳ Εἶπεν ὁ Θεὸς τῷ Ἀδάμ· Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. ἐκράτησεν οὖν αὕτη ἡ ἀπόφασις εἰς τὸν αἰῶνα. τὸ γὰρ παρακοῦσαι Θεοῦ, θάνατον ἐπεισφέρει. ἔχει δὲ καὶ ἕτερον ὁ λόγος. γέγραπται γάρ· Εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ· Ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη, ὅς ἐστι Χριστός. δι' αὐτοῦ οὖν εἰς τὸν αἰῶνα γέγονεν ἡ δικαιοσύνη τῷ γένει τῶν ἀνθρώπων. ἀρχὴν δὲ λόγων καλεῖ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας. ἐξ ἐκείνου γὰρ τὸ Ἰουδαίων συνέστη γένος. ἀλλ' ἐπλήρωσε τὰς ὑποσχέσεις, καὶ ηὔξησε τὸν λαὸν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει· καὶ ἐν τῷ σπέρματι δὲ αὐτοῦ ηὐλόγησε κατὰ τὰς ἐπαγγελίας πάντα τὰ ἔθνη. τοῦτο γὰρ προεδήλωσεν εἰρηκώς· καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. προφήτης γὰρ ὢν ἑώρα τοῦ Χριστοῦ τὸ αἰώνιον κράτος. διὸ καὶ ἀληθείᾳ ἔφησε κεκοσμῆσθαι τὴν τῶν θείων λογίων ἀρχήν. λέγει δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ· Ἔργα χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις.

Γε. β. ιζ.
Γεν. κβ. ιη.
Ψαλμ. ρια.

160 Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Τοὺς πολεμοῦντας, φησὶ, καὶ διώκοντας οὐκ ἐφοβήθην· τοὺς δὲ σοὺς ἔδεισα νόμους. διὸ καὶ καθεύδοντα τὸν πολέμιον εὑρὼν, ἀνελεῖν οὐκ ἐτόλμησα. καὶ τὸν πατραλοίαν δὲ ἐκεῖνον καὶ μυσαρὸν παῖδα οἰκτείρων ἔλεγε· Φείσασθέ μοι τοῦ παιδαρίου. Ταῦτα μὲν ὁ Δαβὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ ἔλεγε· κατὰ δὲ θεωρίαν καὶ διάνοιαν ἄρχοντές εἰσι τὰ πονηρὰ πνεύματα, ὡς ὁ μακάριος Παῦλος ἡμᾶς διδάσκει· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. αὗται οὖν προσβάλλουσιν ἡμῖν, βουλόμενοι ἀπατῆσαι, ἀλλ' ἀπὸ τῶν λόγων τοῦ Θεοῦ φοβηθῶμεν. Εἶπε γὰρ ὁ Κύριος, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων τι βλάψαι. φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Εφ. ς. ιβ.
Ματθ. ι. κη.
γρ. ἀποκτεννόντων

161 Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς εὑρίσκων σκῦλα πολλά.

Ἐπειδὴ πολεμίων ἐμνημόνευσε διωκόντων, εἰκότως καὶ τῶν σκύλων τὴν μνήμην παρήγαγε. λέγει δὲ, ὅτι πάντας εἰ ἀνεῖλον ἐκείνους καὶ σκυλεύσας πλεῖστα ὅσα συνήγαγον λάφυρα, οὐκ ἂν οὕτως εὐφράνθην, ὡς τοῖς σοῖς ἀγαλλόμενος νόμοις. ὅπερ δὲ ἄνω εἶπε, τοῦτο καὶ ἐνταῦθα λέγει. ἐκεῖ γὰρ ἔφη· ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. καὶ, ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. διδάσκει οὖν, ἵνα ὑπὲρ πᾶσαν εὐφροσύνην χαίρωμεν, καὶ ἀγαλλιώμεθα ἐπὶ ταῖς ἐντολαῖς τοῦ Θεοῦ.

καὶ ηὑρεσ-

162 Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα.

Ἀληθὴς καὶ οὗτος ὁ λόγος. ὁ γὰρ θερμῶς περὶ τὰ θεῖα διακείμενος, τἀναντία μυσάττεται. καὶ γὰρ ὁ μισῶν τὴν ἀδικίαν, πάντως τὴν δικαιοσύνην ἐπισπᾶται. δύο γὰρ ἐναντίους λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἀληθεῖς εἶναι, φύσιν οὐκ ἔχει. Εἶπε δὲ καὶ ὁ Κύριος· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ματθ. ϛ. κδ.

163 Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τινὲς τὸ, ἑπτάκις, πλειστάκις ἡρμήνευσαν. καὶ τοῦτο δὲ κἀκεῖνο τὸν θερμὸν ἔρωτα τοῦ προφήτου δηλοῖ. τῆς γὰρ θείας ὑμνῳδίας οὐκ ἐλάμβανε κόρον. ἀδιαλείπτως τοίνυν χρὴ καὶ ἡμᾶς αἰνεῖν τὸν Θεὸν, τουτέστιν, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ. οἱ δὲ ἐπιεικέστεροι καὶ εὐλαβεῖς ἑπτάκις ποιοῦνται τὴν στάσιν αὐτῶν πρὸς τὸν Θεὸν νύκτωρ καὶ μεθ' ἡμέραν· πρῶτα μὲν, διανυκτερεύοντες, ὃ καὶ ὄρθρον ὀνομάζομεν· εἶθ' οὕτως ἀνατέλλοντος τοῦ ἡλίου, εὐχαριστοῦσι τῷ ἀναγαγόντι τὴν ἡμέραν· τρίτῃ ὥρᾳ, ὅτε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τοὺς ἀποστόλους ἐπεδήμησε· τῇ ἕκτῃ, ὅτε Χριστὸς ὁ Θεὸς ἡμῶν σαρκὶ ἐπὶ τῷ σταυρῷ προσηλώθη, καὶ ἐξήλειψε τὸ καθ' ἡμῶν χειρόγραφον· τῇ ἐννάτῃ, ὅτε τὸ αἷμα ἐξέχεε καὶ παρέδωκε τὸ πνεῦμα, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῆς τοῦ διαβόλου κατοχῆς· περὶ ἡλίου δυσμὰς (ὃ καὶ λυχνικὸν ὀνομάζομεν) διὰ τὸ εὐχαριστεῖν ἡμᾶς ἐπὶ τῇ παρελεύσει τῆς ἡμέρας· πάλιν δὲ, ὅταν πρὸς τὸν ὕπνον ὑπάγωμεν. ταῦτα οὖν συναριθμούμενα, ἑπτάκις γίνεται.

164 Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Οἱ τῷ θείῳ πυρπολούμενοι φίλτρῳ, καὶ τὴν πρὸς αὐτὸν εἰρήνην διὰ τῆς τῶν ἐντολῶν προσκτώμενοι φυλακῆς, κἂν ὑπὸ πάντων ἀνθρώπων πολεμῶνται, θυμήρη ζῶσι ζωήν. καὶ μάρτυς ὁ θεσπέσιος Παῦλος βοῶν· Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐ καταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. καὶ ὁ Κύριος δὲ τοὺς ἱεροὺς ἀποστόλους ὡς πρόβατα ἐν μέσῳ λύκων εἰς πᾶσαν ἀποστείλας τὴν οἰκουμένην, ἔφη πρὸς αὐτούς· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. αὐτοὶ γὰρ καὶ τὸν εὐαγγελικὸν νόμον ἔλαβον, καὶ πανταχοῦ ἐκήρυξαν· τοῦτο γὰρ δηλοῖ τὸ, πολλή. καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. συνετρίβη γὰρ ὁ Σατανᾶς ὑπὸ τοὺς πόδας αὐτῶν.

β. Κορ. δ. η.

Ιωάν. ιδ. κζ.

165 Προσεδόκων τὸ σωτήριόν σου, Κύριε· καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Οὐδὲ συμφοραῖς περιστοιχιζόμενος ἀπέκοψα τὰς χρηστοτέρας ἐλπίδας, ἀλλὰ τὴν σὴν ἀναμένων σωτηρίαν διετέλεσα, καὶ ταῖς σαῖς ἑπόμενος ἐντολαῖς. ἐπειδήπερ οἱ ἀγαπῶντες τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀντάμειψιν ζητοῦσι τῆς ἀγάπης καὶ τῆς φυλακῆς, καὶ προσδοκῶσιν ἀποκεῖσθαι αὐτοῖς τὴν τῶν οὐρανίων ἀγαθῶν ἀπόλαυσιν.

166 Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

167 Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου· ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε. Εἰδὼς γὰρ ὡς ἅπαντα ἐφορᾷς, ὡς ὑπὸ σοὶ θεατῇ πολιτευό

μένος, οὐ μόνον ἐπλήρωσά σου τὰς ἐντολὰς, ἀλλὰ καὶ μετὰ θερμῆς τοῦτο δέδρακα διαθέσεως. Ταῦτα δὲ ὁ προφήτης πρὸς ἡμετέραν νουθεσίαν καὶ παράκλησιν διαλέγεται, ἵνα φυλάττωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὰ μαρτύρια αὐτοῦ. ὅσοι δὲ οὐ δι' εὐπορίαν καὶ αἰσχροκέρδειαν, οὐδὲ διὰ τὸ θεαθῆναι καὶ ἐπαινεθῆναι παρὰ τῶν ἀνθρώπων ἀγαθὰ ποιοῦσιν, οὗτοι λέγουσι· πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε. 168 Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με. Πᾶσαν τὴν ἱκετηρίαν προσενεγκὼν, ἀντιβολεῖ δεχθῆναι, καὶ μὴ ἀποῤῥιφῆναι τὴν δέησιν. καὶ παρακαλεῖ σύνεσιν λαβεῖν, οὐκ ἀνθρωπίνην, ἀλλὰ τὴν θείων λογίων τὴν γνῶσιν. ὁ δὲ ἐν ἁμαρτίαις ζῶν καὶ ἀναστρεφόμενος, οὐ δύναται εἰπεῖν· ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε. ἔφη γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου· Αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. ὥστε ἐκ τῶν ἁμαρτημάτων πρότερον ἐπιστρέψαι δεῖ, καὶ τότε εἰπεῖν, ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· ἐπεὶ οὐδὲ ψάλλειν ἁμαρτωλῷ ἔξεστι. γέγραπται γάρ· Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ· Καὶ τῷ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. καὶ, Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, οὐχ οἱ ἀνόσιοι.

Ἡσ. νθ. β.
Σειρ. ιε. θ.
Ψαλμ. μθ. ιϛ.
Ψαλμ. λβ. α.

169 Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἀξίωμα, τὴν ἱκεσίαν καλεῖ. τοῦτο γὰρ καὶ παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς, ἵνα ᾖ ἡ ἔννοια οὕτως· Εἰσέλθοι ἡ ἱκεσία καὶ ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε. καὶ ἐπειδὴ προσδέχῃ τὴν δέησίν μου κατὰ τὸ λόγιόν σου, ὃ ἐπηγγείλω μετανοοῦσιν ἁμαρτωλοῖς, ῥῦσαί με τῶν ἁμαρτιῶν μου. διαφόροις μέντοι χρώμενος λόγοις ὁ προφήτης, τὸν δεσπότην μειλίσσεται. 170 Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Κατάλληλος ἡ ἐρυγὴ τῇ τροφῇ. τὰ γὰρ σὰ, φησι, μανθάνων δικαιώματα, τῷ τῶν τοιούτων διδασκάλῳ προσοίσω τὴν ὑμνῳδίαν. ὅταν τοίνυν τὰς ἀρετὰς καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ κατορθώσωμεν, τοῦτον ἐξερευγόμεθα ὕμνον αἰνέσεως, καὶ ἐλκύομεν πνεῦμα συνέσεως· ἐπεὶ ἐν ἁμαρτίαις ζῶντες, οὐδαμῶς ἐρευγόμεθα ὕμνον.

171 Φθέγξοιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Εἰς μελέτην τῶν σῶν λογίων τὴν γλῶτταν ἀφιερώσω, εἰδὼς πάσῃ δικαιοσύνῃ κεκοσμημένας τὰς ἐντολάς σου. καὶ ἡ φωνὴ εὐκτικὴ, διδάσκουσα ἡμᾶς, ὅσης κατακρίσεως ὑπεύθυνοι γίνονται οἱ τὰ πορνικὰ ᾄσματα φθεγγόμενοι, οἱ κολακείας καὶ εὐφημίας ἀνθρώποις προσφέροντες, οἱ κωμικὰς φλυαρίας ἀναφωνοῦντες, οἱ διὰ λοιδορίας ψιθυρίζοντες, οἱ ψευδηγορίας, οἱ κραυγὰς ἐν ἱπποδρομίαις θρυλλοῦντες. οὐδὲ γὰρ ἕτερόν τι χρὴ φθέγγεσθαι, ἢ τὰ λόγια τοῦ Θεοῦ. τούτου ἕνεκεν καὶ ἐπιφέρει λέγων· ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. 172 Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με· ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. Τὸ ᾑρετισάμην, ὁ μὲν Σύμμαχος, Εἱλόμην· ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, Ἐξελεξάμην, εἰρήκασι. Χεῖρα δὲ καλεῖ, τὴν θείαν ἐνέργειαν, ὑφ' ἧς ἀντιβολεῖ τῆς θείας σωτηρίας τυχεῖν. τοῦτο γὰρ χεὶρ τοῦ Θεοῦ. οἱ γὰρ ἐκλεγόμενοι τὰς ἐντολὰς τοῦ Θεοῦ, πάντως καὶ τὴν παρ' αὐτοῦ σωτηρίαν κομίζονται.

173 Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε· καὶ ὁ νόμος σου μελέτη μού ἐστιν.

Ἱμείρομαί, φησι, παρὰ σοῦ σωτηρίας τυχεῖν, τὸν σὸν νόμον μελέτην ἔχων ἐνδελεχῆ. ποῖον δὲ σωτήριον; ὃ γέγονεν, ἐνανθρωπήσαντος τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. τότε γὰρ ἐσώθημεν ἐκ τῆς κατοχῆς τοῦ ἐχθροῦ, καὶ ἐμάθομεν μελετᾶν τὰ εὐαγγελικὰ προστάγματα. 174 Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε· κατὰ τὰ κρίματά

Σ. καὶ τὰ κρίματά σου βοηθήσει μοι.

ματά σου βοηθῆσαί μοι. Ζωὴν ἐνταῦθα τὴν ἔνθεον λέγει, τὴν αἴνεσιν τοῦ Θεοῦ γινομένην. αἰτεῖ δὲ συνέπεσθαι αὐτῷ εἰς βοήθειαν τὰ κρίματα τοῦ Θεοῦ. οἶδα δὲ ὡς οὐχ ἁμαρτήσομαι τῆς ἐλπίδος, ἀλλὰ τῆς ἀληθοῦς ζωῆς παρὰ σοῦ τεύξομαι, καὶ αἰνέσω σε τὸν δοτῆρα τῶν ἀγαθῶν. 175 Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός.

Τοῦτο καὶ τῷ προφήτῃ λέγειν μετὰ τὴν ἁμαρτίαν ἥρμοττε, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει.

Ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Ἐκπεπτωκότος τοῦ Ἀδὰμ διὰ τῆς παραβάσεως τοῦ παραδείσου εἰς πάντας διῆλθε Ρωμ. ε. ιβ. τὸ ἁμάρτημα, ὡς ὁ ἀπόστολος ἔφη, καὶ ὡς πρόβατον ἀπολωλὸς ἐπλανήθησαν ἐπὶ τὰ ὄρη καὶ τοὺς κρημνοὺς καὶ τὰς φάραγγας τῆς ἁμαρτίας, ὅπου οὐκ ἦν ἐπισκοπὴ τοῦ Θεοῦ, λατρεύοντες δαίμοσι καὶ εἰδώλοις. ἀλλ' ἦλθεν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, τοῦ ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός· καὶ ζητήσας πλανώμενον, εὗρε, καὶ τοῦτο ἀνεκαλέσατο, καὶ ἐπὶ τῶν ὤμων ἐβάστασε, καὶ συγκατέμιξεν αὐτὸ τῇ ἰδίᾳ ποίμνῃ. εἰρηνοποίησε γὰρ τὰ ἐπίγεια τοῖς οὐρανίοις ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. διὸ καὶ ποιμένες μετ' ἀγγέλων ἐν τῇ γεννήσει αὐτοῦ ἐδόξαζον λέγοντες· Δόξα ἐν Λουκ. β. ιδ. ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. εἰ γὰρ καὶ παρέβη τινάς, ἀλλὰ λήθην τούτων οὐκ ἐδέξατο παντελῆ. ἀλλὰ ταύτην μὲν ὁ προφήτης προσενήνοχε τὴν εὐχήν, τετύχηκε δὲ ἅπασα τῶν ἀνθρώπων ἡ φύσις τῆς σωτηρίας. ὡς δὲ ἀνωτέρω εἴρηται, ἔδραμεν ὁ ποιμὴν ὁ καλὸς ἐπὶ τὸ πλανώμενον πρόβατον, Λουκ. ιε. δ. καὶ ζητήσας εὗρε, καὶ ἐπὶ τῶν ὤμων λαβὼν ἐπανήγαγε, καὶ εὐφράνθη ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις· τοῦτο δηλοῦντος τοῦ λόγου, ὁσάκις τὰς ἐντολὰς αὐτοῦ οὐκ ἐπιλανθανόμεθα, ζητεῖ ἡμᾶς ὁ Θεὸς εἰς ἑαυτὸν ἀνακαλούμενος. σκοπήσωμεν δὲ τὴν τοῦ ψαλμοῦ ἀρχὴν καὶ τὸ τέλος. λέγει γὰρ ἐν προοιμίοις· μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου· καὶ ἐν τῷ τέλει τοῦτο, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. οἱ οὖν πορευόμενοι ἐν νόμῳ Κυρίου, πάντως τὰς ἐντολὰς αὐτοῦ οὐκ ἐπιλανθάνονται· καὶ οἱ μὴ ἐπιλανθανόμενοι τὰς ἐντολάς, πορεύονται ἐν νόμῳ Κυρίου. ἡμεῖς δὲ τοῦ ψαλμοῦ τὴν ἑρμηνείαν ἐν κεφαλαίῳ ποιησάμενοι παρακαλοῦμεν τοὺς ἐντυγχάνοντας μὴ ἀρκεσθῆναι τοῖς γεγραμμένοις, μηδὲ νομίσαι μόνῳ ταῦτα τῷ προφήτῃ προσήκειν· ἀλλ' ἕκαστον τὴν πρόσφορον ἐκ τούτων ὠφέλειαν λαβεῖν, καὶ φάρμακον ἀλεξιτήριον τοῖς οἰκείοις κατασκευάσαι παθήμασι. καὶ ταῦτα μέν, ἀδελφοί, τῶν πατέρων τὰ ὑπομνήματα καὶ τὰ διδάγματα, ἐξ ὧν καὶ ἡμεῖς ἀρυσάμενοι μετεδώκαμεν ὑμῖν μετὰ τῆς δεούσης ἐπιφροσύνης, ὅπως αἱ ἐντολαὶ τοῦ Θεοῦ προκόπτωσιν εἰς ὑμᾶς. τοῦτο γάρ ἐστι χριστιανοῦ ἴδιον, ἵνα κατὰ τὴν εἰλικρινῆ ἡμῶν πίστιν, καὶ αἱ πράξεις ἀγαθαὶ ὦσιν· ἐν αἷς στηρίξει ὑμᾶς Κύριος ὁ Θεός, δωρούμενος ὑμῖν πλούσια τὰ ἐλέη αὐτοῦ καὶ τοὺς οἰκτιρμοὺς
αὐτοῦ, φυλάττων ὑμᾶς ἀπὸ παντὸς κακοῦ, καὶ τῆς οὐρανίου αὐτοῦ βασιλείας ὑμᾶς
ἀξιῶν, πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρ-
θένου, καὶ πάντων αὐτοῦ τῶν ἁγίων, εἰς δόξαν πατρὸς καὶ υἱοῦ
καὶ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὸν
προφήτην Ἡσαΐαν.

Τοῦ προφήτου τούτου τὸ ἐξαίρετον, μάλιστα μὲν καὶ αὐτόθεν ἐστὶν ἰδεῖν· δείκνυσι δὲ αὐτὸ ἐντελέστερον ὁ πάντων ἀκριβέστερον τὰς ἀρετὰς αὐτοῦ εἰδὼς Παῦλος, ἅτε πνεύματι τοσούτῳ φθεγγόμενος. τὴν γὰρ ἐλευθεροστομίαν αὐτοῦ, καὶ τὸ φρόνημα τὸ ἀδούλωτον, καὶ τὴν ὑψηλὴν γνώμην, καὶ τὴν πολλὴν ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ σαφήνειαν ἐνδεικνύμενος, ἅπαντα ταῦτα ἑνὶ ῥήματι παρέστησεν εἰπών· Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. πολὺ δὲ αὐτοῦ καὶ τὸ συμπαθές. οὐ γὰρ δὴ μόνον κατεξανίστατο τῆς τοῦ δήμου μανίας, οὐδὲ ἐλευθέρᾳ γλώττῃ καὶ ὑψηλοτέρᾳ γνώμῃ τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι λυπηρὰ μετὰ πολλῆς ἀπήγγειλε τῆς παρρησίας· ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς τῶν πραγμάτων περιστάσεσιν αὐτῶν, οὐκ ἔλαττον τῶν ἐμπιπτόντων ἀλγεῖ καὶ δάκνεται, καὶ πικρότερον τῶν ἁλόντων ὀδύρεται. καὶ πάντων δέ, ὡς εἰπεῖν, τῶν προφητῶν καὶ τῶν ἁγίων τοιοῦτον τὸ ἦθος· πατέρων φιλοστοργίαν τῇ περὶ τοὺς ἀρχομένους ἀπέκρυψαν διαθέσει, καὶ τὴν τῆς φύσεως τυραννίδα ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισαν. οὐδεὶς γάρ, οὐδείς ποτε φιλόπαις οὕτω τῶν ἐκγόνων περιεκαίετο, ὡς οὗτοι τῶν ἀρχομένων ὑπεραπέθνησκον, ὀδυρόμενοι, θρηνοῦντες, κακῶς παθόντων αὐτῶν τὸν Θεὸν παρακαλοῦντες, συναπαγόμενοι, κοινωνοῦντες τῶν δεινῶν, πάντα καὶ ποιοῦντες καὶ πάσχοντες, ὥστε αὐτοὺς ἐξελέσθαι καὶ τῆς ἄνωθεν ὀργῆς, καὶ τῆς τῶν πραγμάτων ἐπιδρομῆς. καὶ γὰρ οὐδὲν οὕτως ἐπιτήδειον εἰς ἀρχῆς αἵρεσιν, ὡς ψυχὴ φιλόστοργος καὶ συναλγεῖν ἐπισταμένη. διὰ τοῦτο καὶ Μωϋσέα τὸν μέγαν ἐπὶ τὸν θρόνον τῆς δημαγωγίας ἀνεβίβασεν ὁ Θεός, ἐπειδὴ προλαβὼν διὰ τῶν ἔργων ἐπεδείξατο τὴν ὑπὲρ τοῦ δήμου φιλοστοργίαν. καὶ μετὰ ταῦτα ἔλεγεν, Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. καὶ αὐτὸς δὲ οὗτος ὁρῶν ἀπολλυμένους ″ αὐτόν, ἔλεγεν· Ἄφετέ με, πικρῶς κλαύσομαι. μὴ ″ κατισχύσετε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγα-

Ἠσ. ξε. α.

Ἐξοδ. λβ. λα.

Ἠσ. κβ. δ.

ἴσ. αὐτούς,

[illegible]

τρὸς

τὰς τῶν θρήνων μου. ὁ δὲ Ἱερεμίας καὶ θρηνῳδίας μακρὰς συνέθηκε τῆς πόλεως κατενεχθείσης. Ἰεζεκιὴλ δὲ καὶ συναπήχθη, καὶ τὴν ἀλλοτρίαν τῆς οἰκείας χαλεπωτέραν εἶναι ἐνόμιζε, μάλιστα εἰς παραμυθίαν τῆς συμφορᾶς ἔχων τὸ παρεῖναι τοῖς κάμνουσι, καὶ διορθοῦν τὰ ἑτέρων πράγματα. καὶ ὁ Δανιὴλ δὲ ὑπὲρ τῆς καθόδου τῆς τούτων εἴκοσι καὶ πλείους ἡμέρας διέμεινεν ἄσιτος, καὶ πᾶσαν σπουδὴν ἐπεδείξατο, τὸν Θεὸν ἱκετεύων ἀφεθῆναι τῆς πικρᾶς δουλείας αὐτούς· καὶ τῶν ἁγίων δὲ ἕκαστος ἐντεῦθεν φαίνεται λάμπων. οὕτω καὶ ὁ Δαβὶδ ὁρῶν τὴν ἀπαραίτητον ὀργὴν ἐκείνην ἐπὶ τὸν δῆμον φερομένην, ἐφ' ἑαυτὸν ἐκάλει τὴν πληγὴν λέγων· Ἐγώ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγώ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμοί, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ Ἀβραὰμ ὁ πατριάρχης πόρρω τῶν κακῶν ἑστηκώς, καὶ οὐδὲν ἔχων κοινὸν πρὸς τὰ καταληψόμενα τοὺς ἐν Σοδόμοις κακά, ὡς ἐν αὐτοῖς μέσοις τοῖς δεινοῖς ἐμβεβηκώς, οὕτω παρεκάλει καὶ ἐδέετο τοῦ Θεοῦ, καὶ οὐκ ἀπέστη πάντα ποιῶν καὶ λέγων, ὥστε λῦσαι τὸν χαλεπὸν ἐμπυρισμὸν ἐκεῖνον, εἰ μὴ ὁ Θεὸς αὐτὸν ἀφεὶς ἀπῆλθεν. οἱ δὲ ἐν τῇ καινῇ καὶ μείζονα ἐπεδείξαντο ταύτης τὴν ἀρετήν, ἅτε καὶ πλείονος ἀπολελαυκότες χάριτος, καὶ πρὸς μακρότερα κληθέντες σκάμματα. διὰ τοῦτο καὶ Πέτρος ἀκούων τοῦ Χριστοῦ λέγοντος, ὅτι τοῖς πλουτοῦσι δυσκολωτάτη ἡ πρὸς τὸν οὐρανὸν εἴσοδος, ἠγωνία καὶ ἔτρεμε, καὶ πᾶσιν προσέστη λέγων· τίς ἄρα δύναται σωθῆναι; καίτοιγε ὑπὲρ τῶν καθ' ἑαυτὸν θαρρῶν πραγμάτων. οὐ γὰρ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τῆς οἰκουμένης ἐφρόντιζον. καὶ Παῦλος δὲ δι' ὅλου τοῦτο ἡμῖν ἐνδείκνυται τῶν ἐπιστολῶν· ὃς οὐδὲ τὸν Χριστὸν ἰδεῖν ἠνέσχετο πρὸ τῆς τῶν ἀνθρώπων σωτηρίας, οὕτω λέγων· Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι κρεῖσσον, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. τοιοῦτον καὶ τοῦτον ἡμῖν διατηρεῖ τὸν χαρακτῆρα ὁ προφήτης, καὶ λέγων τὰς ἀποφάσεις τοῦ Θεοῦ μετὰ πολλῆς τῆς παρρησίας, καὶ ἐπιτιμῶν τοῖς ἁμαρτάνουσι, καὶ παρακαλῶν αὐτὸν συνεχῶς καὶ διὰ μακρῶν τῶν λόγων παροξυνόμενον κατ' αὐτῶν. καὶ τοῦτο μάλιστα πρὸς τῷ τέλει τῆς προφητείας ἐστὶν ἰδεῖν· τέως δὲ αὐτῶν ἀναγκαῖον ἄρξασθαι τῶν προοιμίων.

β Βασ. κδ. ιζ.
Γεν. ιη.
Λουκ. ιη. κϛ.
Φιλιπ. α. κγ.

1 Ὅρασις, ἣν εἶδεν Ἡσαΐας. Ὅρασιν καλεῖ τὴν προφητείαν, ἢ διὰ τὸ πολλὰ τῶν ἐκβησομένων ἐπ' αὐτῆς ὁρᾶν τῆς ὄψεως· ὡς ὁ Μιχαίας εἶδε τὸν λαὸν ἐσπαρμένον· καὶ ὁ Ἰεζεκιὴλ τὴν αἰχμαλωσίαν καὶ τὴν παρανομίαν τῶν τὸν ἥλιον προσκυνούντων καὶ τὸν θαμμούζιν· ἢ διὰ τὸ τὴν ἀκοὴν τῶν προφητῶν τὴν ἐκ τοῦ Θεοῦ γενομένην αὐτοῖς, μηδὲν ἔλαττον ἔχειν τῆς ὄψεως, ἀλλ' ὁμοίως πληροφορεῖν, ὅπερ ἐν τοῖς βιωτικοῖς οὐκ ἔνι. ὅτι γὰρ ἑτέρως ἤκουον παρὰ τοὺς λοιποὺς τῶν ἀνθρώπων, φησί, Προσέθηκέ μοι ὠτίον ἀκούειν. ποιεῖ δὲ καὶ τὸν λόγον ἀξιόπιστον, ὅρασιν εἰπών, καὶ διανίστησι τὸν ἀκροατήν, καὶ παραπέμπει πρὸς τὸ τὰ πράγματα δείξοντα. ἔθος γὰρ αὐτοῖς ἅπασι τοῖς παρὰ τοῦ Θεοῦ διαπορθμεύουσι τὰ λεγόμενα, τοῦτο πρὸ τῶν ἄλλων κατασκευάζειν, ὡς οὐδὲν οἴκοθεν φθέγγονται, ἀλλ' ὅτι θεῖοι χρησμοί τινές εἰσι τὰ λεγόμενα, καὶ γράμματα ἐκ τῶν οὐρανῶν καταβάντα. οὕτω καὶ ὁ Δαβίδ· Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. μὴ τοίνυν τοῦ καλάμου νόμιζε εἶναι τὰ γράμματα, ἀλλὰ τῆς κατεχούσης αὐτὸν δεξιᾶς, τουτέστι μὴ τῆς γλώττης τοῦ Δαβίδ, ἀλλὰ τῆς κινούσης αὐτὴν χάριτος. καὶ ἕτερος δὲ προφήτης τοῦτο αὐτὸ ἐνδεικνύμενος ἔλεγεν, Ὅτι αἰπόλος ἤμην, φησί, συκάμινα κνίζων· ἵνα μὴ ἀνθρωπίνῃ σοφίᾳ τὰ λεγόμενά τις λογίσηται. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἕτερόν τι προστέθεικεν εἰπών· ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι Κυρίου, καὶ κρίματος, καὶ δυναστείας. οὐ γὰρ δὴ μόνον σοφοὺς αὐτοὺς ἡ χάρις, ἀλλὰ καὶ ἰσχυροὺς εἰργάζετο, οὐ τῇ τοῦ σώματος κατασκευῇ, ἀλλὰ τῇ γνώμῃ. ἐπεὶ γὰρ πρὸς δῆμον εἶχον ἰταμὸν

κεφ. α.
γ Βασ. κβ. ιθ.
Ἰεζ. η. ιδ. ιϛ.
Ησ. ν. δ.
Ψαλ. μδ. β.
Ἀμώς ζ. ιδ.

ταμὸν

παμὸν καὶ ἀναίσχυντον, αἱμάτων διψῶντα προφητικῶν, καὶ σφαγαῖς ἁγίων ἐμμελετῶντα, εἰκότως πολλῆς ἐδέοντο τῆς δυνάμεως, ὥστε μὴ καταπλαγῆναι τὴν ἄφατον αὐτῶν ῥύμην. διὰ δὴ τοῦτο μὲν Ιερεμίας φησί, Τέθεικά σε ὡς στύλον σιδηροῦν, καὶ ὡς τεῖχος χαλκοῦν. ὁ δὲ Ιεζεκιὴλ, Εν μέσῳ σκορπίων σὺ κατοικεῖς, μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, μηδὲ πτοηθῇς. καὶ Μωϋσῆς δὲ, ἡνίκα ἀπεστέλλετο, οὐχὶ τὸν Φαραὼ δεδοικὼς, ἀναδύεσθαί μοι δοκεῖ μόνον, ἀλλ᾽ αὐτὸν μάλιστα τὸν δῆμον τῶν Ιουδαίων. τῷ γοῦν Θεῷ διαλεγόμενος, καὶ τὸν βάρβαρον, μετὰ πολλῆς τῆς σπουδῆς μαθεῖν ἐζήτει, τί δεῖ πρὸς αὐτοὺς εἰπεῖν ἀπιστοῦντας, ὅτι δὴ παρὰ Θεοῦ ἀφιγμένος εἴη, καὶ τὰ σημεῖα τῆς ἐκείνων ἕνεκεν ἐλάμβανε γνώμης· καὶ μάλα εἰκότως. Εἰ γὰρ εἰς αὐτὸν οὕτως ἐφόβησε, καὶ ταῦτα εὐεργετηθεὶς, τί εἰκὸς ἦν παθεῖν ἐννοοῦντα τὸν ἄτακτον δῆμον ἐκεῖνον; διὰ τοῦτο οὐχὶ σοφίας μόνον, ἀλλὰ καὶ δυνάμεως ἐλάμβανε πνεῦμα, καὶ ἔλεγεν· ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι Κυρίου, καὶ κρίματος, καὶ δυναστείας. καὶ ἕτερος δὲ πάλιν, Ρῆμα Θεοῦ ἐγένετο πρὸς Ιερεμίαν τὸν τοῦ Χελκίου. καὶ ἕτερος δὲ πάλιν, Λῆμμα Νινευΐ, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ελκεσαίου. καὶ αὐτὸς γὰρ οὗτος ἑτέρῳ ῥήματι τὸ αὐτὸ τοῖς προτέροις ἐνδείκνυται, τοῦ πνεύματος τὴν κατοχὴν λῆμμα καλέσας. ἐπειδὴ γὰρ λαμβανόμενοι ὑπὸ τοῦ πνεύματος οὕτως ἔλεγον, τὴν ἐνέργειαν τῆς χάριτος οὕτως ὠνόμασε. διὰ τοῦτο καὶ Παῦλος πανταχοῦ προστίθησι τῶν ἐπιστολῶν τὸ τῆς ἀποστολῆς ὄνομα· ὅπερ οἱ προφῆται ἐποίουν διὰ τοῦ λέγειν, ὅρασις, καὶ λόγος, καὶ λῆμμα, καὶ ῥῆμα, τοῦτο διὰ τοῦ τῆς ἀποστολῆς κατασκευάζων ὀνόματος. ὥσπερ γὰρ ὁ λέγων ὅρασιν καὶ ῥῆμα Θεοῦ, οὐ τὰ οἰκεῖα φθέγγεται, οὕτω καὶ ὁ ἀπόστολον ἑαυτὸν καλῶν, οὐ τὰ παρ᾽ ἑαυτοῦ διδάσκει, ἀλλ᾽ ἅπερ ὁ ἀποστέλλων ἐκέλευσεν. ἀποστόλου γὰρ ἀξίωμα, μηδὲν οἴκοθεν ἐπεισάγειν. διὸ καὶ ὁ Χριστὸς ἔλεγε· Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ὑμῶν ἐστιν ὁ διδάσκαλος ὁ ἐν τοῖς οὐρανοῖς· δεικνὺς, ὅτι πᾶσα τῶν παρ᾽ ἡμῖν δογμάτων ἡ ἀρχὴ τὴν ῥίζαν ἄνωθεν ἔλαβεν ἐκ τοῦ τῶν οὐρανῶν δεσπότου, κἂν ἄνθρωποι ὦσι πρὸς τὰ λεγόμενα διακονούμενοι. ἣν εἶδεν Ησαΐας. τὸ πῶς ὁρῶσιν οἱ προφῆται ταῦτα, ἅπερ ὁρῶσιν, οὐχ ἡμέτερον εἰπεῖν (οὐ γὰρ δυνατὸν ἑρμηνευθῆναι λόγῳ τὸν τρόπον τῆς ὄψεως) ἀλλ᾽ ἐκεῖνος μόνος οἶδε σαφῶς, ὁ τῇ πείρᾳ μαθών. εἰ γὰρ φύσεως ἔργα καὶ πάθη πολλάκις οὐδεὶς ἂν παραστήσειε λόγῳ, πολλῷ μᾶλλον τὸν τρόπον τῆς τοῦ πνεύματος ἐνεργείας. Εἰ δὲ ἀμυδρᾶς εἰκόσιν ἀποχρησάμενον δεῖ κατατολμῆσαι, οὐχ ὥστε τὸ σαφὲς παραστῆναι, ἀλλ᾽ ὥστε αἰνίγματι παρασχεῖν, ἐμοὶ δοκεῖ ταυτὸ καὶ ἐπὶ τῶν προφητῶν γίνεσθαι, οἷόν περ εἰ ἡ καθαρῶν ὑδάτων φύσις ἡλιακὰς ἀκτῖνας δεξαμένη καταυγασθείη· οὕτω καὶ τῶν προφητῶν τὰς ψυχὰς καθαιρομένας οἰκείᾳ ἀρετῇ πρότερον ὑποδέχεσθαι τὴν τοῦ πνεύματος δωρεὰν, καὶ πρὸς τὴν λαμπηδόνα ποιουμένας ἐκείνην, οὕτω δέχεσθαι τῶν μελλόντων τὴν γνῶσιν. Υἱὸς Ἀμμώς. Τίνος ἕνεκεν τοῦ πατρὸς μέμνηται; ἢ διὰ τὰς ὁμωνυμίας, ἢ ὥστε μαθεῖν ὅτι οὐδὲν εὐτέλεια πατρὸς ἐπισκιάζει παιδὸς ἀρετήν. οὐδὲ εὐγένεια τοῦτο τὸ ἐκ μεγάλων φῦναι, ἀλλὰ τὸ μεγάλους αὐτοὺς γενέσθαι· οὗτός τε ἄσημος πατρὸς ὢν, πάντων φαιδρότερος γέγονε, τῇ τῆς οἰκείας ἀρετῆς λάμψας ὑπερβολῇ.

Ιερ α. ιη. καὶ ς. κζ.

Ιεζ. β. ς.

Εξοδ. δ. ι.

Ιερ. α. α.

Ναυμ. α. α.

Ματθ. θ. ια.

Ἣν εἶδε κατὰ τῆς Ιουδαίας καὶ κατὰ Ιερουσαλήμ.

Τίνος ἕνεκεν διῃρημένως ἑκατέρων ἐμνημόνευσε τῶν χωρίων; ἐπειδὴ καὶ αἱ τιμωρίαι διῃρημένως γεγόνασι, καὶ ἐν διαφόροις καιροῖς, τοῦ Θεοῦ καὶ τοῦτο σοφῶς οἰκονομήσαντος, τὸ μὴ πάντας ἀθρόον ἀπολέσαι, ἀλλ᾽ ἠρέμα καὶ κατὰ μικρὸν, ὥστε τῇ τῶν ἀπαχθέντων τιμωρίᾳ τοὺς λειπομένους γενέσθαι σωφρονεστέρους. Εἰ δὲ οὐκ ἐχρήσαντο εἰς δέον τῷ φαρμάκῳ, οὐχὶ τοῦ ἰατροῦ, ἀλλὰ τῶν καμνόντων τὸ ἔγκλημα. ποιεῖ δὲ αὐτὸ διὰ πάντος, καὶ καθ' ἑκάστην ἡμέραν, οὐ πάντας ὁμοῦ τοὺς τὰ αὐτὰ ἁμαρτάνοντας, ὁμοῦ καὶ κολάζων (εἰ γὰρ, ἂν ἅπαν ἡμῶν πάλαι προανηρπάσθη τὸ γένος) ἀλλὰ τοὺς μὲν ἐνταῦθα ἀπαιτεῖ δίκην, αὐτούς τε ἐκείνους κουφοτέραν τὴν ἐκεῖ κατασκευάζων κόλασιν, καὶ τοῖς συνακμάζουσιν αὐτοῖς μεγίστην τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς παρατιθέμενος ὑπόθεσιν· τοὺς δὲ μήτε οἴκοθεν, μήτε ἐκ τῆς τοιαύτης οἰκονομίας βουληθέντας τι κερδαίνειν, τῇ ἀπαραιτήτῳ καὶ φοβερᾷ τῆς κρίσεως ταμιευόμενος ἡμέρᾳ.

Ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαν καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας.

γρ. προςίθησι,

Καὶ τὸν χρόνον ἀναγκαίως προστίθησι, τὸν φιλόπονον ἀκροατὴν παραπέμπων εἰς τὴν ἱστορίαν τῶν γεγενημένων. οὕτω γὰρ εὐμαθεστέρα ἡ προφητεία, εἰ μάθοιμεν, πῶς τῶν πραγμάτων διακειμένων, καὶ πῶς τῶν τραυμάτων ἐχόντων τῶν Ἰουδαϊκῶν, οὗτοι τὰ φάρμακα κατεσκεύασαν. 2 Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησε. Πολλοῦ γέμει τοῦ θυμοῦ τὸ προοίμιον. εἰ γὰρ μὴ σφοδρά τις ἦν καὶ ἄφατος ἡ ὀργὴ, οὐκ ἂν τοὺς ἀνθρώπους ἀφεὶς, πρὸς τὰ στοιχεῖα τὸν λόγον ἀνέτρεψε. ποιεῖ δὲ αὐτὸ, οὐχ ὥστε τὴν ὀργὴν ἐνδείξασθαι μόνον, ἀλλ' ὥστε καὶ αὐτοὺς τοὺς ἀκούειν μέλλοντας μετὰ πολλῆς ἐντρέψαι τῆς ὑπερβολῆς, δεικνὺς ὅτι τῶν ἀναισθήτων φύσει στοιχείων χεῖρον οἱ λόγῳ τετιμημένοι διάκεινται. τοῦτο δὲ καὶ ἑτέροις ἔθος προφήταις ποιεῖν. διά τοι τοῦτο καὶ ὁ πρὸς τὸν Ἱεροβοὰμ ἀποσταλεὶς, ἀφεὶς τὸν βασιλέα, πρὸς ὃν ἀπεστέλλετο, τῷ θυσιαστηρίῳ διαλέγεται· καὶ Ἱερεμίας τὴν γῆν ἐκάλει λέγων, Γῆ, γῆ, γῆ, γράψον τὸν ἄνδρα τοῦτον, ἄνδρα ἐκκήρυκτον. καὶ ἕτερος πάλιν ἔλεγεν, ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς. Υἱοὺς ἐγέννησα. Οὐ τὴν κοινὴν πρὸς πάντας ἀνθρώπους τίθησιν εἰς αὐτοὺς εὐεργεσίαν, ὅπερ ἦν τὸ γενέσθαι· ἀλλὰ τὴν ἐξαίρετον, ὅπερ ἦν τοὺς υἱοὺς γενέσθαι. πανταχοῦ γὰρ ἄρχει τῶν εὐεργεσιῶν ὁ Θεός. καὶ ὥσπερ τὸν ἄνθρωπον πλάττων, οὐδέπω γενόμενον ἐτίμησε τῇ ἀρχῇ εἰπὼν, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ἐπὶ δὲ τῆς καινῆς καὶ μείζονος (οὐ γὰρ δὴ μόνον μηδὲν εἰργασμένους, ἀλλὰ καὶ μυρία κακὰ εἰργασμένους ἐτίμησε διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας) οὕτω καὶ ἐνταῦθά ἐστιν ἰδεῖν, ὅτι τῇ υἱοθεσίᾳ οὐχὶ [οὐ] μόνον κατορθωκότας, ἀλλὰ καὶ ἐπταικότας ἐτίμησεν. οὐ μὴν ἐπειδὴ τιμᾷ πρὸ τῶν πόνων, ἀποστερεῖ μετὰ τοὺς πόνους, ἀλλὰ καὶ τότε μείζονα δίδωσι τὰ ἔπαθλα. Καὶ ὕψωσα.

ἄλ. ἔτρεψεν, ἢ ἀνέστρεψε.

γ. Βασ. ιγ.

Ἱερ. κβ. λ.

Τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν Παλαιστίνῃ, ἑνὶ ῥήματι παρέδραμεν. ἔθος γὰρ τῷ Θεῷ τοῦτο, διὰ τὴν περιουσίαν τῶν εὐεργεσιῶν μὴ κατὰ μικρὸν ἐνδιατρίβειν τῇ διηγήσει τῶν γεγενημένων. Αὐτοὶ δέ με ἠθέτησαν. Παρέβησάν μου, φησὶ, τὸν νόμον, τὰ προστάγματα κατέλιπον. 3 Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. Αἱ συγκρίσεις αὔξησιν τῆς κατηγορίας ποιοῦσι, καὶ μάλιστα ὅταν ἐξ ἀνίσων ὦσι· καθὼς καὶ ὁ Χριστός φησι· Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν. καὶ πάλιν, βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει, καὶ κατακρινεῖ γενεὰν ταύτην, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος. καὶ Ἱερεμίας δὲ πάλιν φησὶ, Πορεύθητε εἰς νήσους Χεττιεὶμ, καὶ ἴδετε εἰς Κηδάρ· ἀποστείλατε καὶ γνῶτε, εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν· (ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται). τὸ ἀνεπαχθὲς τῆς νομοθεσίας δείκνυσι, καὶ ὅσον ἀπαιτεῖ παρὰ τῶν ἀνθρώπων μέτρον, ὃ καὶ ἀλόγοις εὔκολον κατορθῶσαι, καὶ ἀλόγων τοῖς ἀνοητοτέροις. ἀλλ' ἐρεῖ τις, ὅτι ἐκεῖνα ἐν τῇ φύσει ἔχει τὸ γνωρίζειν. ἀλλὰ δυνατὸν τὰ φύσει κατορθούμενα ἐκείνοις, ἐκ προαιρέσεως ὑφ' ἡμῶν γίνεσθαι. ἔγνω βοῦς τὸν κτησάμενον· οὐ τῷ ἐξαιρέτῳ τῆς δωρεᾶς τιθεὶς αὐτοὺς, ἀλ-

Λουκ. ια. λβ.

Ἱερ. β. ι.

λεῖ καὶ τῇ ὑπερβολῇ τῆς κακίας αὐτῶν αὔξει τὴν κατηγορίαν. ὥσπερ γὰρ εἰς ἐντροπὴν αὐτῶν τὰ στοιχεῖα καλεῖ, οὕτω πάλιν οὐκ ἀνθρώποις, ἀλλὰ ἀλόγοις αὐτοὺς συγκρίνει, καὶ τούτων τοῖς ἀνοητοτάτοις καὶ δείκνυσι χείρους κἀκείνων. οὕτω καὶ Ἱερεμίας ποιεῖ, τρυγόνα καὶ χελιδόνα παράγων εἰς μέσον, καὶ ὁ Σολομὼν δὲ νῦν πρὸς τὴν μύρμηκα, νῦν δὲ πρὸς τὴν μέλιτταν πέμπει τὸν ἀργὸν βίον ζῶντα. Ἰσραὴλ δέ με οὐκ ἔγνω.

Ιερ. η. ζ.
Παρ. ς.
χ. φύλλω.

Ἐπίτασις κακίας, ὅταν καὶ οἱ οἰκειωμένοι, καὶ μετὰ τοσαύτας τιμάς, καὶ πάντες ἀθρόον πρὸς τὴν κακίαν ὦσιν ηὐτομοληκότες. Οὐκ εἶπεν, Ἰακώβ, ἀλλ' Ἰσραήλ, ὥστε τῇ ἀρετῇ τοῦ προγόνου τὴν ἐκείνων μείζονα δεῖξαι τὴν ἀγνωμοσύνην. ὁ μὲν γὰρ τῇ τῆς ψυχῆς ἀρετῇ τὴν εὐλογίαν ἐπεσπάσατο τὴν τῆς προσηγορίας, οἱ δὲ διὰ τῆς παρανομίας αὐτὴν προὔδωκαν. Καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν. Ἐμέ, φησι, τὸν τοῦ ἡλίου φανερώτερον.

Ματθ. ια. κα.

4 Οὐαὶ ἔθνος ἁμαρτωλόν. Καὶ τοῦτο τοῖς προφήταις ἔθος, τοὺς ἀνίατα νοσοῦντας θρηνεῖν. οὕτω καὶ Ἱερεμίας πολλαχοῦ· οὕτω καὶ ὁ Χριστὸς λέγων· Οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδά· ἐπεὶ καὶ τοῦτο διδασκαλίας εἶδος. οὓς γὰρ οὐκ ἀνεκτήσατο λόγος, τούτους πολλάκις διώρθωσε θρῆνος. Λαὸς πλήρης ἁμαρτιῶν. Ἄλλη προσθήκη κατηγορίας, ὅτι καὶ πάντας, καὶ μετ' ἐπιτάσεως. Σπέρμα πονηρόν.

ἐν. φύλλω

Οὐ τὴν γένεσιν αὐτῶν διαβάλλει, ἀλλὰ δείκνυσιν ἐκ πρώτης ἡλικίας ὄντας κακούς. ὥσπερ γὰρ ὁ Ἰωάννης λέγων, ὄφεις, γεννήματα ἐχιδνῶν, οὐ τὴν φύσιν ἀτιμάζει (οὐ γὰρ ἂν εἶπε, ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, εἰ φύσει καὶ ἀπὸ γεννήσεως ἦσαν τοιοῦτοι) οὕτω καὶ ἐνταῦθα, λέγων σπέρμα πονηρόν, οὐ τὴν γέννησιν αὐτῶν διαβάλλει. Υἱοὶ ἄνομοι. Οὐκ εἶπε παράνομοι, ἀλλ' ἄνομοι, τῶν οὐδαμῶς εἰληφότων νόμον οὐδὲν ἄμεινον διακείμενοι. ἀλλὰ τῆς προαιρέσεως τὴν διαφορὰν δηλοῖ. Ἐγκατελείπατε τὸν Κύριον, καὶ παρωργίσατε.

Ἐμφαντικῶς τοῦτο εἴρηκε. καὶ γὰρ ἤρκει τὸ ὄνομα τοῦ Θεοῦ εἰς κατηγορίαν· ὅπερ Ἱερεμίας ἐγκαλεῖ λέγων, ὅτι καὶ αὐτοῦ ἀπέστησαν, καὶ δαίμοσι προσεσπλώθησαν. Τὸν ἅγιον τοῦ Ἰσραήλ. Καὶ τοῦτο κατηγορίας ἐπίτασις, ὅτι κοινὸς ὢν ἁπάντων δεσπότης, αὐτοῖς ἐγνωρίζετο τότε.

Ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω. 5 Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Μεγίστη κατάγνωσις, ὅταν μηδὲ ταῖς τιμωρίαις γίνωνται βελτίους. καὶ τοῦτο δὲ εἶδος εὐεργεσίας τὸ κολάζειν. οὐδὲ γὰρ ἂν ἔχοιεν εἰπεῖν, ὅτι ἐτίμησε καὶ εὐεργέτησε μόνον, ἁμαρτάνοντας δὲ ἠφίει, ἀλλὰ καὶ τιμαῖς ἐφείλκετο, καὶ φόβῳ τῶν κολάσεων ἐσωφρόνισε, καὶ ἐν ἑκατέροις ἔμειναν ἀνίατα νοσοῦντες. πᾶν εἶδος ἰατρείας ἐπεδείξατο, τέμνων, καίων· τὰ δὲ τῆς νόσου οὐδὲ οὕτως εἶξε, ὃ μάλιστα τοῦ νοσεῖν ἀνίατα σημεῖόν ἐστι, τὸ μηδὲ δύνασθαι δέξασθαι θεραπείαν. Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην.

6 Ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα. Εἶτα λέγει τὰς κολάσεις καὶ τὰς τιμωρίας. οὐκ ἔλαττον γὰρ τοῦτο εἶδος εὐεργεσίας ἐστὶ καὶ τῆς τιμῆς τῆς εἰς αὐτοὺς γεγενημένης. πάντας γάρ, φησιν, ἐπάταξα, καὶ εἰς λύπην αὐτοὺς ἐνέβαλον. εἰ πᾶσα κεφαλὴ εἰς πόνον, πῶς οὐκ ἔστιν οὔτε τραῦμα, οὔτε μώλωψ; τὸ τραῦμα, τοῦ λοιποῦ σώματος ὑγιαίνοντος, τότε φαίνεται τραῦμα ὄν· εἰ δὲ ὅλον ἡλκωμένον τύχοι, οὐκέτι ἂν φανείη τὸ ἕλκος. τοῦτο οὖν ἐνδείξασθαι βούλεται, ὅτι ὅλον τὸ σῶμα ἥλκωτο, καὶ οὐχὶ τὸ μὲν ὑγίαινε, τὸ δὲ ἐξῳδηκὸς ἦν, ἀλλ' ἅπαν φλεγμονῆς, ἅπαν μώλωψ εἷς. Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι. Τοῦτο τοῦ προτέρου βαρύτερον. οὐ γὰρ τὸ νοσεῖν οὕτω χαλεπόν,

πὸν, ὡς τὸν νοσοῦντα μηδὲ θεραπεύεσθαι δύνασθαι, καὶ μάλιστα ὅταν ὁ ἰατρὸς τοιοῦτος ᾖ.

Οὔτε ἔλαιον, οὔτε καταδεσμούς. Ὥστε ποιῆσαι τὸν λόγον ἐμφατικῶς, ἐπέμεινε τῇ μεταφορᾷ. τοῦτο γὰρ αὐτῆς τὸ ἐξαίρετον. 7 Ἡ γῆ ὑμῶν ἔρημος.

Ταῦτα οὐχ ὡς γεγενημένα ἀπαγγέλλει, ἀλλ' ὡς ἐσόμενα προαναφωνεῖ. κέχρηνται δὲ τῷ ἔθει οἱ προφῆται τούτῳ ὁμοῦ τε φοβοῦντες τὸν ἀκροατὴν, καὶ τῆς οἰκείας ἀληθείας τὴν δύναμιν ἐνδεικνύμενοι. ὡς γὰρ τὰ παρελθόντα οὐκ ἔνι μὴ γεγενῆσθαι, οὕτω τὰ μέλλοντα ὑπὸ τῶν προφητῶν λέγεσθαι, οὐκ ἔνι μὴ συμβῆναι, πλὴν εἰ μή ποτε μετανοήσαιεν οἱ κολάζεσθαι μέλλοντες. Αἱ πόλεις ὑμῶν πυρίκαυστοι.

Οὐ γὰρ ἠφάνισεν αὐτὰς παντελῶς, ἀλλ' ἀφῆκεν ἑστάναι τὰ λείψανα τοῦ ἐμπρησμοῦ τοῦ βαρβαρικοῦ, μᾶλλον δυνάμενα καθικέσθαι τῆς τῶν ὁρώντων ὄψεως. Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. Ἐπίτασις συμφορᾶς, ὅταν καὶ θεαταὶ τῶν οἰκείων γίνωνται συμφορῶν, καὶ μηδὲ ἐξ ἀκοῆς αὐτὰ μανθάνωσι μόνον.

γρ. σικυηράτῳ.
ἴσ. παράστασιν

8 Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν " σικυηλάτῳ. Μέγα τι ἔχουσι καὶ αἱ εἰκόνες, καὶ μάλιστα ἐν τῇ γραφῇ, εἰς " παράτασιν τῶν λεγομένων. τὴν Ἱερουσαλὴμ δὲ καλεῖ θυγατέρα Σιὼν, διὰ τὸ ὑποκεῖσθαι τῷ ὄρει. ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ. τοῦ καρποῦ γὰρ ἀνῃρημένου, καὶ τῶν γεωργῶν ἀπενεχθέντων, περιττὴ λοιπὸν ἡ τῆς πόλεως οἰκοδομή. Ὡς πόλις πολιορκουμένη. Τοῦτο τῆς ἀσθενείας αὐτῶν καὶ τῆς ἐγκαταλείψεως αἴνιγμα. ὅταν γὰρ μηδεὶς ὁ βοηθῶν ᾖ, τότε ἀνάγκη συγκεκλεῖσθαι, τὴν ἀπὸ τῶν τειχῶν ἀσφάλειαν μόνην ἐκδεχομένους.

9 Καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Ἔθος ἀεὶ τοῖς προφήταις, μὴ μόνον ἐκεῖνα προλέγειν, ἃ μέλλουσι πάσχειν οἱ πλημμελοῦντες δεινὰ, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι· ἵνα καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς τιμωρίας πολλὰς ἴδωσι τοῦ Θεοῦ χάριτας, οὐ τὴν ἀξίαν τῶν πλημμελημάτων, ἀλλὰ ἐλάττονα πολλῷ τὴν δίκην τίνοντες. οὕτω γοῦν καὶ ἐνταῦθά φησιν, ὅτι τὰ μὲν ἁμαρτήματα αὐτῶν, οὐ ταῦτα τὰ εἰρημένα, ἀλλὰ πανωλεθρίαν ἀπῄτει, καὶ ὁλοκλήρου τοῦ γένους ἀφανισμὸν παντελῆ· ἃ δὴ καὶ ἐπὶ Σοδόμων συνέβη. ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία οὐκ ἀφῆκε τοῦτο γενέσθαι, πολλῷ τῆς ἁμαρτίας ἐλάττονα τὴν τιμωρίαν ἐπάγουσα. ἐπειδὴ δὲ πολλὴ τῆς παλαιᾶς πρὸς τὴν καινήν ἐστι συγγένεια, εἰκότως τούτῳ καὶ ὁ Παῦλος ἀπεχρήσατο. καὶ ἐπιτηδειότερον εἶπεν ὁ προφήτης. ὥσπερ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ, εἰ μὴ πολὺς ὁ τοῦ Θεοῦ γέγονει ἔλεος, πάντες ἂν ἀνηρπάσθησαν· οὕτω καὶ ἐν τῷ καιρῷ τῆς τοῦ Χριστοῦ παρουσίας, εἰ μὴ τὰ τῆς χάριτος ἐφάνη, χαλεπώτερα τούτων πάντες ἂν ἔπαθον. ἐγκατέλιπε δὲ ἡμῖν σπέρμα· τοὺς σωθέντας ἀπὸ τῆς αἰχμαλωσίας λέγει.

10 Ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων, προσέχετε νόμῳ Θεοῦ ἡμῶν λαὸς Γομόρρας. Ἐπειδὴ εἶπεν, ὅτι τὰ Σοδόμων ἦσαν ἄξιοι παθεῖν, δείκνυσιν, ὅτι καὶ τὰ Σοδόμων ἐτόλμων. διὸ καὶ ἀπὸ τῆς κοινῆς αὐτοὺς ὀνομάζει προσηγορίας. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲ καιρὸν εἶχεν ὁ λόγος. ὅτι γὰρ οὐ πρὸς Σοδομηνοὺς ἀποτείνεται νῦν, ἀλλὰ πρὸς Ἰουδαίους, καλῶν αὐτοὺς τῇ τῆς προσηγορίας κοινωνίᾳ, δείκνυσι τὰ μετὰ ταῦτα λεγόμενα. θυσιῶν γὰρ μέμνηται καὶ προσφορῶν καὶ τῆς ἄλλης τῆς νομικῆς λατρείας, ἧς οὐδὲ ἴχνος ἦν παρὰ Σοδομίταις. νόμῳ Θεοῦ ἡμῶν, τῷ ἐλέγχῳ φησί.

11 Τί μοι πλῆθος, φησι, τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυ-

τωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι.

Ὁ ψαλμὸς ὁ πεντηκοστὸς ἔνατος ἅπας τῷ χωρίῳ τούτῳ προσέοικε, δι' ἑτέρων μὲν ῥημάτων, διὰ δὲ τῶν αὐτῶν ὑφαινόμενος νοημάτων. τῷ γὰρ ἐν τῷ ψαλμῷ προσκαλέσασθαι τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ, ἴσον ἐστὶ τὸ ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησε· καὶ τὰ ἑξῆς δὲ τοιαῦτα. ὥσπερ γὰρ ὁ Δαβὶδ φησιν, οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διαπαντός· οὕτω καὶ ὁ Ἡσαΐας φησὶ, τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν λέγει Κύριος; καὶ πάλιν ὁ μὲν Δαβὶδ φησιν, οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους· ὁ δὲ Ἡσαΐας, ὁλοκαυτώματα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. ἐπειδὴ γὰρ ἐγκαλούμενοι συνεχῶς ἐπὶ τῷ τῆς ἄλλης ἀρετῆς εἶναι ἔρημοι, ἀντὶ μεγίστης ἀπολογίας τὰς θυσίας προεβάλλοντο, συνεχῶς αὐτὰς ἐπιτελοῦντες, εἰκότως ἑκάτερος ὁ προφήτης, μᾶλλον δὲ καὶ οἱ ἄλλοι πάντες ταύτης ἐκβάλλουσιν αὐτοὺς τῆς ἀπολογίας. ὅθεν δῆλον ὅτι οὐ προηγουμένως αὐταὶ ἐδόθησαν, ἀλλ' ὥστε παιδαγωγίαν γενέσθαι τῆς ἄλλης ἐντεῦθεν αὐτοῖς πολιτείας. ἐπεὶ δὲ τῶν ἀναγκαίων καὶ κατεπειγόντων ἀμελοῦντες, ἐν τούτοις ἠσχολοῦντο, οὐδὲ ταύτας λοιπὸν προσίεσθαί φησιν ὁ Θεός.

12 Οὐδὲ ἂν ἔρχησθε ὀφθῆναί μοι. Ἐὰν παραγένησθε, φησὶν, εἰς τὸν ναόν. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;

Καὶ μὴν ὁλόκληρον σύγκειται βιβλίον, τὸ λευϊτικὸν λεγόμενον, περὶ τῆς τῶν θυσιῶν ἀκριβείας νομοθετοῦν· καὶ ἐν τῷ δευτερονομίῳ δὲ, καὶ ἐν ἑτέροις πλείοσι πολλοὶ περὶ τούτων εἰσὶ διεσπαρμένοι νόμοι. πῶς οὖν φησι, τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; ἵνα μάθῃς, ὅτι οὐ προηγούμενον ἦν Θεοῦ θέλημα, τὸ τὰ τοιαῦτα νομοθετεῖν, ἀλλ' ἀπὸ τῆς αὐτῶν ἀσθενείας τὴν ἀρχὴν ἔλαβεν ἡ περὶ τούτων νομοθεσία. ὥσπερ γὰρ οὐκ ἐβούλετο γυναῖκα ἐκβάλλεσθαι τὴν ἅπαξ ἀνδρὶ συναφθεῖσαν· μειζόνων δὲ ἐκκόπτων κακῶν, τὸ μὴ, κωλυομένους ἐκβαλεῖν, ἀναγκάζεσθαι σφάττειν ἔνδον οὔσας καὶ μισουμένας, τὸ ἔλαττον συνεχώρησεν· οὕτω δὴ καὶ ἐνταῦθα, κωλύων τὸ δαίμοσι θύειν, κατεδέξατο ὅπερ οὐκ ἐβούλετο, ἵν' ὅπερ ἐβούλετο κατορθώσῃ. τοῦτο γοῦν αὐτὸ πάλιν Μιχαίας ὁ προφήτης ἐνδεικνύμενος ἔλεγε· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα, λέγει Κύριος; καὶ ὁ Ἱερεμίας δέ φησιν, Οὐ ταῦτά ἐστιν, ἃ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν. ἐπειδὴ γὰρ καὶ δαίμονες τοῦτον ἐθεραπεύθησαν τὸν τρόπον, καὶ αὐτὸς ἐδέξατο, ἵνα μηδεμία τοῖς ἀσθενεστέροις ἐντεῦθεν ἀπωλείας γένηται πρόφασις, συνεχῶς διὰ πάντων ταῦτά φησι τῶν προφητῶν. ἐκεῖνοι μὲν γὰρ καὶ μὴ διδομένων ἠγανάκτουν, καὶ συνεχῶς ἐπέκειντο τὴν κνίσαν καὶ τὸν καπνὸν ἀπαιτοῦντες καὶ λέγοντες, Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς· αὐτὸς δὲ οὔτε ἐξ ἀρχῆς ᾔτησε, καὶ ἡνίκα ἐκέλευσεν, ἔδειξεν, ὅτι οὐχὶ βουλόμενος τοῦτο ἐπέτρεψεν· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ καταλῦσαι ταχέως αὐτὰς, καὶ ἡνίκα ἐπετέλουν τὸ, μὴ προσίεσθαι, καὶ διὰ πάντων ἁπαξαπλῶς ἐδήλου ὅτι πολλῷ τῆς μεγαλωσύνης αὐτοῦ τῆς λατρείας ἐστὶν ὁ τρόπος ἀνάξιος.

Αμώς ε κε.

Ιερ.γ.δ.

Ιλιαδ.ω.

13 Πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσετε. Ἢ τὴν αἰχμαλωσίαν προλέγει, ἢ ἀπαγορεύει· καὶ τοῦτο, ἐπειδὴ οὐ μετ' ὀρθῆς εἰσίεσαν γνώμης.

Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον. Τῶν γὰρ ἐπιταγμάτων τὰ μὲν δι' ἑαυτὰ, τὰ δὲ δι' ἕτερα γίνεσθαι ἐκέλευε· οἷον τὸ τὸν Θεὸν εἰδέναι, τὸ μὴ φονεύειν, μὴ μοιχεύειν, καὶ ὅσα τοιαῦτα, διὰ τὴν ἐξ αὐτῶν ὠφέλειαν ἐνομοθέτει· τὸ μέντοι θῦσαι καὶ θυμίαμα προσενεγκεῖν, καὶ τηρῆσαι σάββατον, καὶ ὅσα τοιαῦτα πάλιν, οὐχ ἵνα τὰ αὐτὰ ταῦτα γίνηται ἁπλῶς, ἀλλ' ἵνα ἐκ τῆς τούτων μελέτης, τῆς τῶν δαιμόνων ἀπά-

γωνται

γονται θεραπείας. ἐπεὶ οὖν οὗτοι ταῦτα μὲν ἐπετέλουν, τὸ δὲ ἐξ αὐτῶν οὐκ ἐκαρποῦντο κέρδος, ἀλλ' ἔτι τοῖς δαίμοσιν ἦσαν προσηλωμένοι, εἰκότως καὶ ταῦτα ἐκβάλλεται· ἐπεὶ καὶ δένδρον εἰκότως τις ἐκτέμνοι, φύλλα μὲν ἔχον καὶ κλάδους, καρπῶν δὲ ἔρημον ὄν. καὶ γὰρ τῷ γηπόνῳ πᾶσα περὶ τὸ φυτὸν ἡ ἐπιμέλεια, οὐ διὰ τὸν φλοιὸν καὶ τὸ στέλεχος, ἀλλ' ἵνα τῶν καρπῶν ἀπολαύῃ. Θυμίαμα, βδέλυγμά μοί ἐστιν.

κ. τοῦ καρποῦ

Ὁρᾷς ὅτι οὐ τῇ φύσει τῶν προσφερομένων ἔχαιρεν, ἀλλὰ τὴν γνώμην τῶν προσαγόντων ἐξήταζε. διὰ δὴ τοῦτο τὸν μὲν καπνὸν καὶ τὴν κνίσσαν τὴν ἀπὸ τῆς θυσίας τοῦ Νῶε, ὀσμὴν εὐωδίας ἐκάλεσε, τὸ δὲ θυμίαμα, βδέλυγμα. ὅπερ γὰρ ἔφην, οὐ τὴν θυσίαν τῶν δώρων, ἀλλὰ τὴν διάθεσιν τῶν προσφερομένων ἐπιζητεῖ.

ἴσ. τῆς θυσίας τὸ δῶρον,

14 Τὰς νεομηνίας ὑμῶν, καὶ τὰ σάββατα. Παρατηρητέον ὡς οὐδὲν τῶν ἀναγκαίων ἐκβάλλει, ἀλλὰ ταῦτα ἃ καὶ παραγινόμενος ὁ Χριστὸς κατέλυσε. διὸ καὶ ὁ Παῦλος εὐτονώτερον τῷ λόγῳ κεχρημένος, ἡνίκα πρὸς Ἰουδαίους ἐμάχετο, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἕτερα πλείονα τούτων θείς, αὐτοὺς οὐδὲν οἴκοθεν ἐπιδεικνυμένους οὐδὲν ἐκεῖθεν κερδαίνειν ἔφησεν, οὕτω λέγων· Εἰ δὲ σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου. καὶ πάλιν, περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. καὶ οὐδὲ ἀπὸ τοῦ πιστευθῆναι" αὐτὸν τὸν νόμον ἔφησεν αὐτοὺς πιστευθέντας καρπώσασθαι, ἐπειδὴ ἠπίστησαν. ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἑτέρως αἰνιττόμενος ἔλεγε· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τῇ ἀκροάσει τοῦ νόμου μέγα ἐφρόνουν, τῆς πράξεως ὄντες ἔρημοι, καὶ ὁ Παῦλος αὐτοὺς ἐξέβαλε τοῦ καυχήματος εἰπών· Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; καὶ ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; καὶ ὁ Δαβὶδ ὁμοίως, λέγων· Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. Καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. Τὴν πεντηκοστὴν λέγει, τὴν σκηνοπηγίαν, τὸ πάσχα, καὶ τὰς λοιπὰς ἑορτάς. Νηστείαν καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου.

Ρω. β. κζ.

ἴσ. αὐτοῖς

Ψαλμ. μθ. ιζ.

Ρω. β. κα.

Ψαλμ. μθ. ιη.

Ἀνθρωπινώτερον πρὸς αὐτοὺς διαλέγεται. Ἐγενήθητέ μοι εἰς πλησμονήν. Εἰς κόρον, εἰς μῖσος. τοῦτο γὰρ αὐτοῦ δείκνυσι τὴν ἄφατον μακροθυμίαν, καὶ τὸ πολλάκις ἁμαρτόντας ἐνεγκεῖν, καὶ μὴ πρότερον ἐπεξελθεῖν, ἕως αὐτὸν αὐτοὶ οἱ πεπλημμεληκότες τῇ ὑπερβολῇ τῆς πονηρίας ἐξεκαλέσαντο. Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Οὐκέτι μακροθυμήσω. Ταὐτόν ἐστι τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. 15 Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι. Ὅθεν δῆλον, ὅτι εὐχῆς ὄφελος οὐδὲν καὶ μακρᾶς γινομένης, ὅταν ἐπιμείνῃ τοῖς ἁμαρτήμασιν ὁ εὐχόμενος. οὐδὲν γὰρ ἀρετῆς ἴσον, καὶ τῆς ἀπὸ τῶν ἔργων φωνῆς.

Ψαλμ. μθ. κα.

Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Τουτέστι, φονικαί· ἀλλ' οὐκ εἶπε φονικαί, ἀλλὰ πλήρεις, δεικνὺς, ὅτι μελέτην ἐποιοῦντο τὴν ἁμαρτίαν, καὶ πολυπαγεῖς μετ' ἐπιτάσεως. καὶ τοῦτο δὲ τῆς ἡμερότητος αὐτοῦ, τὸ ἀπειλοῦντα ἀπολογεῖσθαι. τίθησι γὰρ τὰς αἰτίας, δι' ἃς οὐ προσίεται τὴν εὐχήν.

16 Λούσασθε, καθαροὶ γένεσθε. Πῶς, εἰπὼν οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν, συμβουλεύει, καὶ δείξας ἀνίατα νοσοῦντας, διόρθωσιν εἰσάγει; ἔθος τῷ Θεῷ, καὶ ἡνίκα ἂν ἀπειλῇ, ἀπαγορεύειν τὴν συντέλειαν, ὥστε αὐξῆσαι τὸν φόβον, καὶ μὴ ἐνταῦθα καταλύειν τὸν λόγον, ὥστε χρηστὰς ὑποτεῖναι τὰς ἐλπίδας, καὶ ταύτῃ πάλιν εἰς μετά-

νοιαν ἐπαγαγεῖν. καὶ τοῦτο πανταχοῦ γινόμενον ἴδοι τις ἄν. ἐπὶ μὲν τῶν Νινευιτῶν, οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων αὐτὸ πεποίηκεν. ἐν γὰρ τοῖς λόγοις οὐδὲν χρηστὸν ὑποσχόμενος, ἀλλὰ γυμνὴν ἐπὶ τῆς ἀπειλῆς κεῖσθαι τὴν τιμωρίαν ἀφεὶς, ἐπειδὴ τὰ παρ᾽ ἑαυτῶν ἐπεδείξαντο πάντες οἱ βάρβαροι, ταχέως ἔλυσε τὴν ὀργήν. οὕτω καὶ ἐν τῷ ψαλμῷ πάλιν ὁ Δαβίδ. ἔφθην γὰρ εἰπὼν, ὅτι ὅλως δι᾽ ὅλου τὸ προοίμιον τοῦτο προσέοικε· καὶ ὥσπερ οὗτός φησι, λούσασθε, καθαροὶ γένεσθε, μετὰ τὰς ἀπειλὰς, οὕτω καὶ ἐκεῖνος μετὰ τὸ εἰπεῖν, ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου, ἐπήγαγε, θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτοῖς, τὸ σωτήριον τοῦ Θεοῦ, αἴνεσιν λέγων τὴν διὰ τῶν ἔργων δοξολογίαν, καὶ τὴν ἐπίγνωσιν τὴν εἰς αὐτόν. ἵνα δὲ, λούσασθε, καθαροὶ γένεσθε, ἀκούσαντες, μὴ τοὺς εἰωθότας νομίσωσι καθαρμοὺς, ἐπήγαγεν·

Ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. Τὸ τῆς ἀρετῆς εὔκολον ἔδειξε, καὶ τὴν τῆς ἐξουσίας ἐλευθερίαν, ὅτι ἐν αὐτοῖς ἦν τὸ μεταβαλέσθαι. 17 Μάθετε καλὸν ποιεῖν.

Οὕτως ὑπὸ τῆς πολλῆς πονηρίας, καὶ τὴν ἐπιστήμην τῆς ἀρετῆς ἦσαν ἐκβεβληκότες. οὕτω καὶ ὁ προφήτης Δαβὶδ φησι· δεῦτε τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς. πασῶν γὰρ ἐπιστημῶν αὕτη ἀνωτέρα καὶ πλείονος δεομένη σπουδῆς, ὅσῳ καὶ πλείονα ἔχει τὰ διακωλύοντα, φύσεως τυραννίδα, καὶ προαιρέσεως ῥαθυμίαν, καὶ δαιμόνων ἐπιβουλὰς, καὶ πραγμάτων ὄχλον. οὕτω δὴ καὶ ὁ Βαρούχ· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης. Ἐκζητήσατε κρίσιν. Τοῦτ᾽ ἔστι, καὶ ἐκδικεῖν τοὺς ἀδικουμένους, ὅπερ πολλοῦ πόνου δεῖται καὶ νηφούσης ψυχῆς (διὸ καὶ ἐκζητήσατε εἶπε. πολλὰ γάρ ἐστι τὰ συσκιάζοντα τὸ δίκαιον, καὶ δωροδοκία, καὶ ἄγνοια, καὶ δυναστεία, καὶ αἰδὼς, καὶ φόβος, καὶ θεραπεία προσώπων) καὶ δὴ πολλῆς τῆς ἀγρυπνίας. Ῥύσασθε ἀδικούμενον. Τοῦτο πλέον τοῦ προτέρου. οὐ γὰρ ἀπαιτεῖ τὸ ψηφίζεσθαι τὰ δίκαια, ἀλλὰ καὶ τὸ εἰς πέρας ἄγειν. Κρίνατε ὀρφανὸν, καὶ δικαιώσατε χήραν. Πολὺς τῷ Θεῷ λόγος τοῦ μηδένα πάσχειν κακῶς, πλείων δὲ, ὅταν μετὰ τοῦ πάσχειν κακῶς, καὶ ἑτέρᾳ τινὲς ὦσιν" ἐνδεδυμένοι συμφορᾷ: ἡ γὰρ" χηρανεία καὶ ὀρφανία καὶ καθ᾽ ἑαυτὸ ἀφόρητον· ὅταν δὲ καὶ παρ᾽ ἑτέρων ἐπηρεάζωνται, διπλοῦν τὸ ναυάγιον.

ἴσ. ἐνδεδυμένοι
ἴσ. χηρεία

18 Καὶ δεῦτε, καὶ" διαλεχθῶμεν, λέγει Κύριος. Παρατηρητέον ὅτι πανταχοῦ τῶν προφητῶν οὐδὲν οὕτως ὁ Θεὸς ἐπιζητεῖ, ὡς τὸ τοῖς ἀδικουμένοις ἐπαμύνειν. οὕτω γοῦν καὶ ἀλλαχοῦ, ὡς ἐν τῷ Μιχαίᾳ λέγων * τῶν Ἰουδαίων· Εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου, ἐπήγαγε λέγων, ἀπαγγελῶ σοι, ἄνθρωπε, τί καλὸν, καὶ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ᾽ ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾷν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαί σε ὀπίσω Κυρίου τοῦ Θεοῦ σου. καὶ πάλιν ὁ προφήτης Δαβὶδ ἔλεγεν, Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. καὶ δεῦτε δή. πρότερον τοῖς δικαιώμασιν ὁπλίσας, τότε ἐπὶ τὸ δικαστήριον ἕλκει, καὶ διδάξας ὅπως ἂν ἀποδύσαιντο τὰ ἐγκλήματα, τότε ἀπαιτεῖ τὰς εὐθύνας, ἵνα μὴ γυμνοὺς αὐτοὺς τῆς ἀπολογίας λαβὼν κατακρίνῃ. καὶ διελεγχθῶμεν, δικασώμεθά φησιν. ὁ δικαζόμενος, συνήγορος γίνεται καὶ ἰατρός. Εἶτα δεικνὺς, ὅτι κἂν μεγάλα ἐργασώμεθα, ἔτι τῆς αὐτοῦ δεόμεθα φιλανθρωπίας εἰς τὸ τῶν ἁμαρτημάτων ἀπαλλαγῆναι, φησιν· Ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· Τὰς ἐκ διαμέτρου ποιότητας ἐναντίας λαβὼν, καὶ ὑποσχόμενος πρὸς τὸ ἐναντίον μεταστήσειν αὐτό. ἐὰν δὲ ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. πολλὴ τῆς τῶν χηρῶν προστασίας ἡ δύναμις, εἴγε τὴν ὑ-

γρ. διελεγχθῶμεν
Μιχ. ς. ζ.
* οὐ
Ψαλμ. ρ. α.

πο

το καταῤῥυπωθεῖσαν ψυχὴν, ὡς καὶ αὐτὸ βαφὴν δέξασθαι πονηρίας, μὴ μόνον ἀπαλλάττει τῆς κακίας, ἀλλὰ καὶ λαμπρὰν οὕτως ἐργάζοιτο.

19 Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε.

20 Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Ἐπειδὴ γὰρ τοῖς παχυτέροις οὐχ οὕτως ἁμαρτημάτων ἀπαλλαγὴ ποθεινὸν καὶ εὐσπούδαστον, ὡς τῶν ἐν τῷ παρόντι βίῳ δοκούντων εἶναι καλῶν ἡ ἀπόλαυσις, μετ' ἐκείνων καὶ ταῦτα ἐπαγγέλλεται). καὶ γὰρ καὶ τοῦτο ἐξ ἐκείνου. εἶτα δεικνὺς ὅτι εὔκολον ἡ ἀρετὴ, ἐν τῷ θέλειν αὐτὸν τίθησι μόνον. ὥστε δὲ μὴ τοῖς χρηστοῖς ἐκλῦσαι, πάλιν εἰς τὰ φοβερὰ κατακλείσας τὸν λόγον, ἀξιόπιστον ποιεῖ τῇ δυνάμει τοῦ ταῦτα ἀποφηναμένου. 21 Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών;

ἴσ. αὐτὴν

Καὶ τῆς ὀδύνης τοῦ λέγοντος, καὶ τῆς πολλῆς τῶν Ἰουδαίων ἀναισθησίας ἡ διαπόρησις, καὶ τοῦ παρὰ ἐλπίδα γενέσθαι τὸ γεγενημένον. τοιαῦτα καὶ Παῦλος ἐπὶ Γαλατῶν διαπορεῖ λέγων· θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε· ὅπερ ἐν ἐγκλημάτων τάξει καὶ προτροπῆς εἶδός ἐστι, πρὸς ἀρετὴν ἀνακαλουμένου. εἰ γὰρ καὶ θαυμαστὸν τὸ λεγόμενον, καὶ ἐγκωμίων ἀναμέμικται τῇ κατηγορίᾳ, τὴν κατηγορίαν χαλεπωτέραν ποιοῦν. οὐ γὰρ οὕτω κακίζομεν τοὺς οὐδὲν ὄντας, καὶ φαῦλον μετιόντας βίον, ὡς τοὺς σπουδαίους μὲν εἶναι δόξαντας ἔμπροσθεν, τὰ δὲ τῶν πονηρῶν ὕστερον ἐπιδεικνυμένους. πόρνην δὲ ἐνταῦθα καλεῖ, οὐ τὴν σωματικὴν ἀσέλγειαν αἰνιττόμενος, ἀλλὰ τὴν περὶ τὸν Θεὸν ἀγνωμοσύνην, ὃ πορνείας ἐκείνης ἐστὶ χαλεπώτερον. ἐκεῖ μὲν γὰρ ἄνθρωπος ὑβριζόμενος, ἐνταῦθα δὲ Θεὸς ὁ ἀθετούμενος. ποιεῖ δὲ καὶ αὐτὸ τοῦτο, καὶ οἱ ἄλλοι πάντες προφῆται, ἐπειδὴ καὶ ὁ Θεὸς κατηξίωσεν ἐν ἀνδρὸς τάξει τῇ πόλει γενέσθαι, τὴν ἄφατον ἀγάπην τὴν περὶ αὐτοὺς ἐνδεικνύμενος· καὶ ὡς περὶ ἀνδρὸς καὶ γυναικὸς πολλαχοῦ διαλέγονται, οὐχ ἵνα εἰς ἀνθρωπίνην παχύτητα κατενέγκωσι τὸν λόγον, ἀλλ' ἵνα διὰ τῶν συντρόφων αὐτοῖς πραγμάτων ἐπὶ τὴν γνῶσιν τῆς τοῦ Θεοῦ χειραγωγήσωσιν αὐτοὺς φιλοστοργίας· ὁμοῦ δὲ καὶ τῷ αἴσχει τῆς προσηγορίας καθάψασθαι βούλονται. πιστὴ τουτέστιν ἡ εὐσεβὴς καὶ πάσης ἀρετῆς γέμουσα· ὥστε κἀντεῦθεν δῆλον ὅτι πορνείαν, οὐ τὴν τῶν σωμάτων λέγει· ἐπεὶ εἶπεν ἂν, πόλις ἡ σώφρων (οὕτω γὰρ ἦν τὸ ἀντιδιαστελλόμενον τῇ πόρνῃ) νῦν δὲ δεικνὺς, ὅτι τὴν ἀσέβειαν αἰνίττεται διὰ τῆς πορνείας, τὸ ἀντικείμενον αὐτῇ τέθεικε τῇ πίστει. Πλήρης κρίσεως.

ἴσ. Θεὸν

ἴσ. τὸ πιστῇ

Τουτέστι πλήρης δικαιοσύνης. πάλιν μέγιστον ἔγκλημα, οὐχ ὅτι πρὸς ὀλόκληρον τὴν κακίαν ηὐτομόλησαν, ἀλλ' ὅτι καὶ ὀλόκληρον προέδωκαν τὴν ἀρετὴν, καὶ τὸν πλοῦτον ἅπαντα τῶν ἀγαθῶν ἀθρόον ἀπὸ τῶν χειρῶν ῥίψαντες, καὶ πρὸς ἐσχάτην τῶν κακῶν κατενεχθέντες πενίαν. Ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ.

Ηὐλίσθη, φησὶ, κατεσκήνωσε, τουτέστι πεφύτευται, ἐῤῥίζωτο, μετὰ προθυμίας ὑπὸ πάντων κατωρθοῦτο τῶν πολιτῶν. ἐνδιατρίβει τοῖς ἐγκωμίοις τοῖς προτέροις, ὁμοῦ μὲν αὔξων τὴν κατηγορίαν τὴν ἐκ τῆς μεταβολῆς, ὁμοῦ δὲ χρηστὰς ὑποτείνων τὰς ἐλπίδας, καὶ δεικνὺς, ὅτι ῥᾴδιον αὐτοὺς ἀνακλήσασθαι πάλιν.

Νῦν δὲ φονευταί. Ἀνδροφόνοι, φησί.

22 Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον. Τουτέστι παράσημον, νόθον, κίβδηλον.

Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. Ἐπειδὴ παροιμιαζόμενος οὐ καθ' εἶδος εἶπεν αὐτῶν τὴν κακίαν, ἀλλ' ὅτι ἠθέτησαν, καὶ ὅτι σπέρμα πονηρὸν ἦσαν, καὶ υἱοὶ ἄνομοι (ὃ λοιδορίας ἐδόκει μᾶλλον, ἢ κατηγορίας εἶναι) ἐνταῦθα καὶ αὐτὰ τίθησι καθ' εἶδος τὰ ἐγκλήματα, καὶ πρῶτον, ὃ πρῶτόν ἐστι καὶ μέσον καὶ τελευταῖον τῶν κακῶν, τὴν φιλαργυρίαν, καὶ τὴν περὶ τὰ συμβόλαια καπηλείαν. ἀλλὰ ἴσως συνιέντες τὴν ἀφατὸν τοῦ Θεοῦ σοφίαν, κατ' ἀνάγκην τὸ εἰρημένον ἐξέλαβον. οὐ γὰρ ἂν, φησὶν, ὁ μέγας καὶ ὑψηλὸς Ἡσαΐας περὶ τραπεζιτῶν κακουργίας, καὶ καπήλων διαφθορᾶς διελέχθη· ἀλλὰ ἀργύριον ἐνταῦθα τὰ λόγιά φησι τοῦ Θεοῦ, καὶ οἶνον τὴν διδασκαλίαν, ἣν ἐθόλουν ἐπεισάγοντες αὐτῶν τὰ διδάγματα. ἐγὼ δὲ οὔτε ταύτην ἀτιμάζω τὴν ἐξήγησιν, καὶ τὴν ἑτέραν ἀληθεστέραν εἶναί φημι. οὐ γὰρ μόνον οὐκ ἀνάξιον τοῦ προφήτου τὸ περὶ τούτων διαλέγεσθαι, ἀλλὰ καὶ σφόδρα ἄξιον καὶ αὐτοῦ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὅτε γοῦν τὰ ὑψηλὰ διδάγματα φέρων ἦλθεν ὁ μονογενὴς τοῦ Θεοῦ παῖς, καὶ τὴν τῶν ἀγγέλων καταφυτεύειν ἔμελλε πολιτείαν, οὐκ ὀλίγα περὶ μέτρων καὶ αὐτὸς διείλεκται, καὶ τῶν τούτων εὐτελεστέρων εἶναι δοκούντων, ἀσπασμῶν, καὶ μεσασμῶν, καὶ πρωτοκλισιῶν. τὰ γὰρ μικρὰ ταῦτα εἶναι δοκοῦντα παραμελούμενα, μεγάλα ἁμαρτημάτων ὑπεκκαύματα γίνεται. εἰ δὲ ἐπὶ τῆς καινῆς ταῦτα διορθοῦσθαι ἔδει, πολλῷ μᾶλλον ἐπὶ τῆς παλαιᾶς, ὅτε καὶ παχύτεροι οἱ ἀκροαταί, καὶ πᾶς αὐτῶν ὁ βίος ἐντεῦθεν ὠρθοῦτο, τοῦ δήμου οὕτω πλέον ἐν τούτοισι παιδευομένου πόρρω πάσης ἀδικίας γίνεσθαι, καὶ ἐν μηδενὶ τὸν πλησίον πλεονεκτεῖν, μηδὲ τὰς καταδεεστέρων ἐπιτρίβειν πενίας τῇ κακουργίᾳ τῆς καπηλείας. τούτων γοῦν ἀμελουμένων, καὶ πόλεις πολλάκις ἀνετράπησαν, καὶ ἀπὸ θρόνων ἄρχοντες κατηνέχθησαν, καὶ πόλεμος ἄσπονδος γέγονεν· ὥσπερ κατορθουμένων, εἰρήνη πολλὴ καὶ εὐνομία καὶ ἀσφάλεια πρὸς ἀρετὴν χειραγωγοῦσα.

23 Οἱ ἄρχοντές σου ἀπειθοῦσι. Μεγίστης νόσου καὶ διαστροφῆς σημεῖον, ὅταν οἱ ἰατροὶ τὰς νόσους ἐπιτείνωσιν. ἀρχόντων γὰρ τοῦ δήμου τὰς ἀταξίας καταστέλλειν, καὶ πρὸς τὸ δέον ῥυθμίζειν, καὶ τῷ νόμῳ ποιεῖν καταπειθεῖς· ὅταν δὲ αὐτοὶ πρῶτοι τοὺς νόμους παραβαίνωσι, πῶς ἂν ἑτέροις γένοιντο διδάσκαλοι; τὸ γὰρ ἀπειθοῦσι, τουτέστιν, οὐ πείθονται τῷ νόμῳ, οὐκ ἀνέχονται τῶν ἐντολῶν· ὃ καὶ Παῦλος ἐγκαλεῖ λέγων, Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὅταν οὖν ἡ ῥίζα διεφθαρμένη ᾖ, τί χρηστὸν ἔστι περὶ τῶν κλάδων ὑποπτεύειν; Κοινωνοὶ κλεπτῶν.

Ρω. β. κα.

Προσθήκη κατηγορίας, ὅτι οὐ μόνον οὐ καταστέλλουσι τὰ δεινά, ἀλλὰ καὶ αὐτὰ ἐπιτείνουσιν· οὐ μόνον οὐ πολεμοῦσι τοῖς κλέπταις, ἀλλὰ καὶ συμπράττουσιν, ἐκ διαμέτρου τῆς προσηκούσης ἀρετῆς ἄρχοντι τὴν κακίαν μετιόντες. Ἀγαπῶντες δῶρα. Ἕτερον φιλοχρυσίας εἶδος χαλεπὸν, εὐπρόσωπον μὲν ὑπόθεσιν ἔχον, ἐν προσχήματι δὲ φιλοφροσύνης τὴν ἐσχάτην πλεονεξίαν ἐπιδεικνύμενον.

Διώκοντες ἀνταπόδομα. Μνησικακοῦντες τοῖς ἐχθροῖς, ἀνταποδοῦναι σπουδάζοντες τοῖς λελυπηκόσιν, ὅπερ μέγιστον κακίας εἶδος. διὸ οὐκ ἐν τῇ καινῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ παλαιᾷ μετὰ πολλῆς εἴργεται τῆς σπουδῆς. κακίαν γὰρ ἕκαστος, φησὶ, τοῦ πλησίον αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. μάλιστα μὲν γὰρ καὶ τὸ δημοτικὸν, πολλῷ δὲ μᾶλλον τὸν ἄρχοντα ταύτης δεῖ καθαρεύειν τῆς κακίας, καὶ τοῦ πρὸς ἀπέχθειαν ψηφίζεσθαι τοῖς κρινομένοις ἀπηλλάχθαι, ἵνα μὴ ὁ λιμὴν σκόπελος γένηται.

Ὀρφανοῖς οὐ κρίνοντες. Τουτέστιν οὐ προϊστάμενοι, ὡς καὶ τῶν δικαίων τυχεῖν.

Καὶ κρίσει χηρῶν οὐ προσέχοντες. Παρατηρητέον ὅτι οὐ τὸ κακοποιεῖν, ἀλλ' ὅτι καὶ τὸ ἀγαθὸν μὴ ἐργάζεσθαι ἐν τάξει κεῖται πονηρίας, καθάπερ οὖν καὶ ἐν τῇ καινῇ. οἱ γὰρ πεινῶντα μὴ θρέψαντες, οὐχ ὅτι τὰ ἀλλότρια ἥρπασαν, ἀλλ' ὅτι τὰ αὐτῶν οὐ προήκαντο τοῖς δεομένοις, εἰς τὸ τῆς γεέννης πέμπονται πῦρ· ὥσπερ οὖν καὶ οὗτοι νῦν ἐγκαλοῦνται, οὐχ ὅτι πλεονεκτοῦσιν, οὐδ' ὅτι καταδυναστεύουσιν, ἀλλ' ὅτι καὶ τοῖς δεομένοις τῆς αὐτῶν βοηθείας οὐκ ὀρέγουσι χεῖρα.

24 Διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης Κύριος σαβαώθ, ὁ δυνάστης τοῦ Ἰσραήλ·

Τουτέστι τοῦ λαοῦ. οὐχ ἁπλῶς δὲ τέθεικε, ὁ δυνάστης, ἀλλὰ ἀναμιμνήσκων αὐτοὺς καὶ τῶν παρ' ἐλπίδας εὐεργεσιῶν, καὶ τῶν χαλεπῶν κολάσεων, ἃς ὑπέμειναν. ἐπειδὴ γὰρ πολλάκις ἁμαρτάνοντες, καὶ πολλῆς ἀπολαύοντες τῆς μακροθυμίας εἰς ῥαθυμίαν ἔπιπτον, τοῦτο ἐνδείξασθαι βούλεται, ὅτι δυνατὸν ὅτε βούλεται ἐπεξελθεῖν, καὶ οὐ δεῖται καιρῶν οὐδὲ χρόνων, ἀλλ' ἕτοιμα αὐτῷ πάντα καὶ παρεσκευασμένα. Οὐαὶ τοῖς ἰσχύουσιν ἐν Ἰσραήλ. οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις μου. Τί γὰρ ἀθλιώτερον τῶν τὸν Θεὸν πολέμιον ἐχόντων; οὐ παύσεται δὲ ἔλεγεν, οὐχ ἵνα εἰς ἀπόγνωσιν ἐμβάλλῃ, ἀλλ' ἵνα αὐξήσας τὸν φόβον εἰς μετάνοιαν καλέσῃ. τοῦ γὰρ οὐ παύσεται ὁ θυμὸς, φοβερώτερον τὸ ἐν τοῖς ὑπεναντίοις μου. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν παροξύνειν εἴωθεν, ὡς ἡ κατὰ τῶν πενήτων ἀδικία κατ' αὐτοὺς γινομένη. οὐαὶ δὲ τοῖς ἰσχύουσιν ἔλεγεν, οὐχ ἁπλῶς τὴν δύναμιν διαβάλλων, ἀλλὰ τὴν ἐπὶ κακῷ δύναμιν. ἰσχὺν δὲ ἐνταῦθα, οὐ τὴν τοῦ σώματός φησιν, ἀλλὰ τὴν ἀπὸ τῆς τῶν πραγμάτων περιβολῆς δυναστείαν.

ἴσ. τύπῳ

Καὶ κρίσιν ποιήσω ἐκ τῶν ἐχθρῶν μου. Κολάσω τοὺς ἐχθρούς μου, ἐχθροὺς αὐτοῦ λέγων, τοὺς τῶν πενήτων ἐχθροὺς διὰ τὸ ἐπηρεάζειν ὄντας. τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃς τῆς ἀδικίας τὸ μέγεθος. 25 Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ πυρώσω σε εἰς καθαρόν. Ἵνα μάθῃς, ὅτι οἵα αὕτη ἡ ὀργὴ τοῦ Θεοῦ καὶ ἡ τιμωρία, οὐκ ἐπὶ κακῷ, καὶ τὸ δοῦναι δίκην γίνεται μόνον, ἀλλ' ἐπὶ τῷ βελτίους γενέσθαι καὶ αὐτοὺς τοὺς κολαζομένους. καὶ πυρώσω σε, φησὶν, εἰς καθαρόν. οὐ τοίνυν ὅταν κολαζώμεθα, ἀλλ' ὅταν ἁμαρτάνωμεν, τότε ἀλγεῖν δίκαιον. τὸ μὲν γὰρ ῥύπον, τὸ δὲ καθαρμὸν ἐργάζεται. τί δέ ἐστιν εἰς καθαρμόν; ὡς μηδὲ ἴχνος εἶναι περὶ σοὶ κηλῖδος. ὅπερ γάρ ἐστι τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο τοῖς ῥαθύμοις ἡ τιμωρία.

Τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω. Οἱ μὲν γὰρ ἀνίατα νοσοῦντές, φησι, καὶ οὐδὲ τιμωρίαις εἴκοντες, ἀπολοῦνται. τί γὰρ ὄφελος τῆς τούτων ζωῆς, ὅταν καὶ ἑαυτοῖς καὶ ἑτέροις ἐπιβουλεύωσιν ἐκ τοῦ ζῆν; οἱ δὲ ἐκ τῆς ἐκείνων τιμωρίας δυνάμενοι βελτίους γενέσθαι, μενοῦσι. δοκεῖ δέ μοι ἐνταῦθα καὶ τὴν αἰχμαλωσίαν αἰνίττεσθαι.

26 Καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου, ὡς τὸ ἀπ' ἀρχῆς. Ἐνταῦθα τὴν ἐπάνοδόν φησι. τῶν τε γὰρ ἀνίατα νοσούντων ἀναιρεθέντων, τῶν τε ἐπιμέλειαν ἐνδείξασθαι δυναμένων διορθωθέντων, εὐκαίρως καὶ τὸ λοιπὸν τῆς θεραπείας εἶδος προστίθεται, δοκίμων ἀρχόντων ἐπιστασία, καὶ συμβούλων ἀγαθῶν φορά, ἵνα καὶ τοῦ σώματος εἴκοντος τοῖς φαρμάκοις, καὶ τῶν ἰατρῶν ἀρίστων ὄντων, πανταχόθεν πρὸς ὑγίειαν ἐπανίῃ τὰ τῆς πόλεως μέρη. οὐ γὰρ μικρὸν εὐεργεσίας εἶδος, ἀρχόντων ἐπιτυγχάνειν ἀγαθῶν. Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις Σιών. Καίτοιγε οὐδαμοῦ τοῦτο εὑρίσκομεν τὸ ὄνομα τῇ πόλει τῶν Ἱεροσολύμων ἐπιτεθέν. ὅτι τὴν ἀπὸ τῶν πραγμάτων προσηγορίαν ἐνταῦθά φησι. τοῦτο δὲ ἡμῖν οὐ μικρὸν συμβάλλεται, ὅταν ἀπαιτῶσιν ἡμᾶς Ἰουδαῖοι τοῦ Ἐμμανουὴλ τὴν ἑρμηνείαν. ἐπειδὴ γὰρ Ἡσαΐας ἔφησε τὸν Χριστὸν οὕτως ὀνομασθήσεσθαι, οὐδαμοῦ δὲ ὠνόμασται, εἴποιμεν ἂν πρὸς αὐτοὺς, ὅτι τὴν ἀπὸ τῶν πραγμάτων σημασίαν ἔφησεν ὄνομα εἶναι, ὥσπερ οὖν καὶ ἐνταῦθα.

ἴσ. -μετά

27 Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης.

Κρίματος, τουτέστι μετὰ δίκης καὶ κολάσεως καὶ τιμωρίας τῶν πολεμίων· μετὰ ἐλεημοσύνης, τουτέστι πολλῆς τῆς φιλανθρωπίας. δύο ἐνταῦθα ἐπαγγέλλεται μέγιστα αὐτοῖς δῶρα, τό τε δίκην δοῦναι τοὺς ἀπαγαγόντας, τό τε αὐτοὺς πολλῆς ἀπολαῦσαι τῆς ἐπιμελείας.

μερίας, ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ μεγίστην ἱκανὸν παρασχεῖν ἡδονήν. ὅταν δὲ καὶ ἀμφότερα συνδράμῃ, ἄφατος γένοιτ' ἂν ἡ εὐφροσύνη. ἄλλως τε καὶ δεῖξαι βουλόμενος, ὅτι καὶ μετὰ τὴν μακρὰν αἰχμαλωσίαν, οὐ διὰ τὸ δοῦναι δίκην ἀξίαν, καὶ τὸ τὰ ἁμαρτήματα ἀποκείρασθαι, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν τὴν αὐτοῦ πρὸς τὴν οἰκείαν ἐπανάγονται, καὶ ἐλέους μᾶλλόν ἐστιν ἡ σωτηρία, ἢ ἀντιδόσεως καὶ ἀμοιβῆς, ἐπήγαγε, καὶ μετ' ἐλεημοσύνης.

28 Καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα. Τρίτον καὶ τοῦτο εὐεργεσίας εἶδος, τὸ μηδένα εἶναι τῶν παρασύροντα καὶ πρὸς ἀπάτην ἕλκοντα, ἀλλ' ἐκποδὼν γίνεσθαι τοὺς τῆς πονηρίας διδασκάλους. Καὶ οἱ ἐγκαταλείποντες τὸν Κύριον συντελεσθήσονται. Οἱ δὲ ἀσεβεῖς, φησὶν, ἀπολοῦνται. 29 Διότι νῦν αἰσχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἐφ' οἷς αὐτοὶ ἐβούλοντο. Τινὲς μὲν καὶ κατὰ τὸν παρόντα καιρὸν τὰ εἰρημένα ἁρμόζειν ἐπιχειροῦσιν· ἀλλ' ἡμεῖς οὔτε ἐκείνους αἰτιασόμεθα, καὶ τῇ ἀκολουθίᾳ ἑψόμεθα. Ταῦτα γάρ ἐστιν, ἃ συμβήσεσθαί φησιν ἐπὶ τῆς τῶν πολεμίων ἐφόδου. ὅταν γὰρ τοῦ βαρβάρου τὴν χώραν κατατρέχοντος, καὶ τὴν πόλιν περικαθημένου, καὶ πάντας ὡς ἐν δικτύοις μέσοις ἔχοντος, μηδεὶς ὁ ἀμύνων ᾖ, καὶ τὸ νέφος ἐκεῖνο διακρουόμενος διὰ τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ, εἰκότως καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων τῆς πείρας πολλὴ κατασκεδασθήσεται τῶν τὰ εἴδωλα θεραπευόντων ἡ αἰσχύνη. ἐφ' οἷς ἐβούλοντο, περὶ ἃ ἐσπουδάκεισάν φησι. Καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν, ἐφ' οἷς ἐποίησαν. Ἐν τάξει διηγήσεως, κατηγορίαν τίθησιν. ἤρκει γὰρ καὶ περὶ τῆς τῶν πραγμάτων ἐκβάσεως, καὶ αὐτὸς τῆς τοιαύτης εἰδωλοποιΐας ὁ τρόπος αὐτοὺς καταισχῦναι. τί γὰρ αἰσχρότερον τοῦ θεὸν τινὰ ἑαυτῷ ποιεῖν.

Καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν, ἐφ' οἷς ἐπεθύμησαν. Οὐ γὰρ δὴ ξόανα προσεκύνουν μόνον, ἀλλὰ καὶ δένδρα ἐν κήποις ἐθεράπευον.

30 Ἔσονται γὰρ, ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα. Ἢ αὐτοὶ οἱ τὴν πόλιν οἰκοῦντες. τὴν δὲ εἰκόνα τοῦ δένδρου τούτου παρήγαγε, διά τε τὸ ἐγχώριον εἶναι μάλιστα τὸ φυτὸν καὶ πολὺ παρ' αὐτοῖς, καὶ διὰ τὸ σφόδρα ἀνθεῖν καὶ τεθηλέναι, ἡνίκα ἀκμάζῃ· καὶ ἐσχάτην ἀμορφίαν ἐνδείκνυσθαι, ἐπειδὰν ἀποβάλλῃ τὰ φύλλα.

Καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. Καὶ ἡ δευτέρα εἰκὼν τῆς προτέρας σαφεστέρα, καὶ πιστουμένη τῶν ἐπὶ τῇ προτέρᾳ λόγων" εἰρημένων. οὔτε γὰρ παραδείσου θάλλοντος τερπνότερον, οὔτε ἐρημωθέντος ἀτερπέστερον, ἅπερ ἀμφότερα γέγονεν ἐπὶ τῆς μητροπόλεως ἐκείνης. πάντοτε γὰρ τῶν ἀμείνων καὶ λαμπροτέρα, μυρίοις καλλωπιζομένη κόσμοις· καὶ πάντων εὐτελεστέρα γέγονε καὶ αἰσχροτέρα, τοσοῦτον ἀθρόον εὐκοσμίας ἀποβαλοῦσα πλοῦτον. 31 Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν, ὡς καλάμη στυππίου.

Αἱ προτέραι μὲν εἰκόνες εἰς τὸ ἀτερπὲς παρελήφθησαν, αὕτη δὲ εἰς τὸ ἀσθενές· πᾶσαι δὲ σφόδρα ἐναργεῖς, καὶ πολὺ τὸ σαφὲς καὶ ἐμφαντικὸν ἔχουσαι. ὡς καλάμη στυππίου, τουτέστιν ἀσθενεῖς. Καὶ αἱ ἐργασίαι αὐτῶν, ὡς σπινθὴρ πυρός.

Ἐνταῦθα δείκνυσιν ὅτι οἴκοθεν τὰ κακά, καὶ αὐτοὶ τὴν αἰχμαλωσίαν ἔτεκον, καὶ τὴν κάμινον ἀνῆψαν. ὥσπερ γὰρ σπινθῆρες ἐμπίπτοντες πῦρ ἀνεγείρουσιν, οὕτω τὰ ἁμαρτήματα τούτων συναχθέντα, τοῦ Θεοῦ τὴν ὀργὴν ἀνῆψε. Καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. Πάλιν ἀπαγορεύει τὴν σωτηρίαν διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, οὐχ ἵνα ἀπογνῶσιν, ἀλλ' ἵνα ταύτῃ γοῦν ἀκμάζοντα τὸν φόβον δεξάμενοι, τὴν πολλὴν ἀποτινάξωνται ῥᾳθυμίαν. Καὶ ἕτερον δέ τι ἐνταῦθα αἰνίττεται, τὸ ἄμαχον αὐτοῦ τῆς δυνάμεως, καὶ ὅτι κολάζοντος αὐτοῦ καὶ τιμωρουμένου οὐδεὶς ἀντιστῆναι καὶ καταλῦσαι" δυνήσεται τὰ δεινά.

Κεφάλαιον β.

ΚΕΦΑΛΑΙΟΝ β.

Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμμώς. Ἐντεῦθεν δῆλον, ὡς οὐ πάσας ὑφ' ἓν τὰς προφητείας εἴρηκεν· ἀλλὰ κατὰ διαφόρους ἐμπνεόμενοι καιρούς, προσεχῶς ταύτας ἀπήγγελλον, αἳ συντεθεῖσαι ὕστερον ὑφ' ἕν, ὁλόκληρον βιβλίον ἐποίησαν. διὸ καὶ οὕτως ἄρχεται. οὐκ ἐντεῦθεν δὲ μόνον δῆλον ἔσται καὶ σαφὲς ἡμῖν, ἀλλ' ἐξ ὧν προοιμίων καὶ τοὺς καιροὺς ἐπισημαίνεται, νῦν μὲν λέγων, τοῦ ἐνιαυτοῦ, οὗ εἰσῆλθε Ναθαν εἰς Ἄζωτον, νῦν δὲ λέγων, καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. οὐ γὰρ ὥσπερ αἱ ἐπιστολαὶ αἱ Παύλου καὶ τὰ εὐαγγέλια ὑφ' ἓν συνετέθησαν, οὕτω δὴ καὶ αἱ προφητεῖαι, ἀλλ', ὅπερ ἔφθην εἰπών, ἐν διαφόροις καιροῖς. ὅθεν καὶ ἀπ' ἀρχῆς ἑτέρας ἄρχεται τοῦ λόγου· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὴν ὑπόθεσιν, περὶ ἧς μέλλει διαλέγεσθαι, σφόδρα ἀπηρτῆσθαι τῶν προειρημένων, καὶ ὑψηλοτέραν εἶναι. περὶ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς τοῦ κηρύγματος ἐπιφανείας, καὶ τῆς πανταχοῦ τῆς οἰκουμένης ἐκταθείσης γνώσεως, καὶ τῆς καταληψομένης τὴν γῆν εἰρήνης ἡμῖν διαλέγεται. εἰ δὲ μέλλων τοιούτων ἅπτεσθαι δογμάτων, Ἰουδαίας μέμνηται καὶ Ἱερουσαλήμ, ξένον οὐδέν. προφητεία γάρ ἐστι τὸ λεγόμενον, συνεσκιασμένη τέως ταῖς τῶν ὀνομάτων προσηγορίαις. ἐπεὶ καὶ τὸν ψαλμὸν τὸν ἑβδομηκοστὸν πρῶτον ὁ Δαβὶδ συντιθέναι μέλλων, ἐπέγραψεν αὐτὸν τῷ Σολομῶντι· καὶ προοιμίων πολλῷ μείζονα τῆς Σολομῶντος ἀξίας, μᾶλλον δὲ καὶ τῆς ἁπάντων ἀνθρώπων φύσεως εἶδε. ἴσ. εἶπε. τὸ γάρ, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης ὁ θρόνος αὐτοῦ, καὶ ὅσα τοιαῦτα, οὐδεὶς ἂν οὐδὲ τῶν σφόδρα ἀνοήτων περὶ ἀνθρωπίνης εἴποι λέγεσθαι φύσεως. καὶ ὁ Ἰακὼβ δέ, ἡνίκα ἂν ὁ Ἡσαΐας μέλλει νῦν ταῦτα λέγειν, καὶ πλείονα τούτων προανεφώνει. μετὰ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τὸν θάνατον εἶπε, καὶ τὴν ἀνάστασιν, καὶ τὸν καιρόν, καθ' ὃν ἔμελλε παρέσεσθαι. οὐδὲ ἐκεῖνος ἀπογυμνώσας αὐτὰ τέθεικεν, ἀλλὰ τὸ προσωπεῖον τῆς προσηγορίας τοῦ υἱοῦ κρύψας, ἃ ἔμελλεν ἐρεῖν, οὕτως αὐτὰ προανεφώνησε· ὡς μὲν δοκεῖν τὰ συμβησόμενα τῷ Ἰούδᾳ λέγων· καθὼς δὲ τὸ τῶν πραγμάτων μαρτυρεῖ τέλος, ἅπερ ἔμελλε κατορθοῦν, προανεφώνει. οὔτε γὰρ προσδοκία ἐθνῶν Ἰούδας γέγονεν, οὔτε τότε ἔλαμψεν ἡ φυλή, ὅτε ἐξέλιπεν αὐτῶν ἡ πολιτεία· ἀλλὰ ταῦτα πάντα, ὅτε ὁ Χριστὸς παρεγένετο, γέγονεν. εἰ δὲ ἀναισχυντοῖεν Ἰουδαῖοι τοῦτον παρακρουόμενοι τῆς προφητείας τὸν νόμον, μάλιστα μὲν οὖν καὶ ἐξ αὐτῶν τῶν εἰρημένων ῥᾳδίως διελεγχθεῖεν, εἴ τις μετὰ ἀκριβείας τὰς προφητείας ἀναπληρώσας, καὶ πᾶσαν ῥῆσιν μετὰ τῆς προσηκούσης ἐξετάζων προσοχῆς, ἁρμόζοι τὰ εἰρημένα τοῖς γεγενημένοις. ἴσ. ἀναπλώσας, ὥστε δὲ καὶ ἐκ περιουσίας αὐτῶν ἀποῤῥάψαι τὰ στόματα, οὐκ ἀπὸ τῶν εἰς τὸν Χριστὸν εἰρημένων, ἀλλ' ἀπὸ τῶν εἰς τοὺς αὐτῶν πατριάρχας προφητευθέντων, τοῦτο πειράσομαι ποιῆσαι φανερόν, δεικνὺς ὅτι αἱ πολλαὶ τῶν προφητειῶν εἴρηνται μὲν εἰς τοὺς φυλάρχους, ἐξέβησαν δὲ εἰς τοὺς ἐξ ἐκείνων. καὶ παραδείγματος ἕνεκεν μίαν καὶ δευτέραν εἰπὼν ἱστορίαν, ἅψομαι τῶν προκειμένων. καὶ γὰρ ὅτε τὸν Συμεὼν καὶ τὸν Λευὶ καλέσας ὁ Ἰακώβ, προανεφώνει τὰ συμβησόμενα αὐτοῖς, οὕτως ἔλεγε· Συμεὼν καὶ Λευὶ ἀδελφοί, καὶ κατηγορήσας αὐτῶν τῆς παρανομίας, καὶ τῆς ἀδίκου σφαγῆς τῆς εἰς τοὺς Σικιμίτας γεγενημένης, προϊὼν φησί· διαμεριῶ αὐτοὺς ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ. τοῦτο δὲ ἐπὶ τοῦ Λευὶ καὶ τοῦ Συμεὼν οὐδεὶς ἂν ἴδοι γεγενημένον, ἀλλ' ἐπὶ τῶν φυλῶν τῶν ἐξ αὐτῶν. καὶ γὰρ ἡ τοῦ Λευὶ φυλὴ διεσπάρη, τὸ δέκατον μέρος αὐτῆς ἑκάστης φυλῆς ἐχούσης· ἥ τε τοῦ Συμεὼν.

ὢν, ἥτις τὸ αὐτὸ τοῦτο σχεδὸν ἔπαθε, πάσαις αὐταῖς παρεκλαθεῖσα κατὰ τὴν κλῆσιν, καὶ οὐχ ὡς ἑκάστη τῶν ἄλλων, συνημμένην ἔλαβε τὴν κληρουχίαν, καὶ πρὸς ἑαυτὴν συγκεκροτημένην. καὶ ὁ Ἰακὼβ δεξάμενος εὐλογίας παρὰ τοῦ πατρὸς, οὐδεμίας αὐτῶν ἀπήλαυσεν αὐτός. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ προὔλεγεν εὐετηρίαν πολλὴν, καὶ διηνεκῆ δεσποτείαν τοῦ Ἠσαῦ· οὗτος δὲ καὶ τῶν ἀναγκαίων ἠπόρει, καὶ θητεύων ἐτρέφετο· καὶ τοσοῦτον ἀπέσχε κρατῆσαι τἀδελφοῦ, ὅτι δὴ καὶ περὶ αὐτῶν ἐκινδύνευε τῶν ἐσχάτων, καὶ ἅπαξ αὐτῷ συντυχὼν μόνον μετὰ πολλοῦ τοῦ δέους, ἠγάπησε τὸ δυνηθῆναι διαφυγὼν αὐτὸν σωθῆναι. τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι ψευδὴς ἡ προφητεία· ἄπαγε· ἀλλ' ὅτι τοιοῦτον αὐτῆς πολλαχοῦ τὸ ἔθος, τὰ ἐκβησόμενα, ἑτέρων ὑποκειμένων προσώπων, λέγειν, καὶ ἀποκεχρῆσθαι ὀνόμασιν ἄλλοις ἀνθ' ἑτέρων· ὃ καὶ ἐπὶ τοῦ Χαναὰν γέγονεν. οὐδὲ γὰρ ὁρῶμεν ἐκεῖνον δουλεύσαντα τοῖς ἀδελφοῖς· οὐ μὴν οὐδὲ τὴν ἀρὰν διαπεσοῦσαν, ἀλλ' ἐπὶ τῶν Γαβαωνιτῶν λαβοῦσαν τὸ τέλος τῶν ἐκ τοῦ Χαναὰν γεγονότων. καὶ γὰρ ἐν τάξει ἀρᾶς προφητεία τὸ λεγόμενον ἦν. τοσούτων καὶ τοιούτων ὄντων παραδειγμάτων τῶν ἀποδεικνύντων ἡμῖν, ὅτι πολλὰ τῶν εἰρημένων λέγεται μὲν ἐφ' ἑτέρων, ἐκβαίνει δὲ ἐπ' ἄλλων, καὶ ὀνόμασιν ἀποκέχρηνται οἱ προφῆται, τί θαυμαστὸν, εἰ καὶ νῦν τῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ προθεὶς ὄνομα ὁ προφήτης, περὶ τῆς ἐκκλησίας προαναφωνεῖ. καὶ γὰρ ἐπειδὴ πρὸς ἀγνώμονας ὁ λόγος ἦν αὐτῷ, προφήτας ἀναιροῦντας, τὰ βιβλία καίοντας, τὰ θυσιαστήρια κατασκάπτοντας, εἰκότως τὸ κάλυμμα ἔκειτο ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης, κατὰ τὸν μακάριον Παῦλον. ἦ γὰρ ἂν καὶ ἠφάνισαν τὰ βιβλία, εἰ συνῆκαν τῆς προφητείας τὴν δύναμιν τῆς περὶ τοῦ Χριστοῦ. ὅπου γὰρ παρόντα αὐτὸν καὶ θαυματουργοῦντα, καὶ ἐντελῆ τῆς οἰκείας δυνάμεως καὶ τῆς πρὸς τὸν πατέρα συμφωνίας τε καὶ ὁμονοίας παρεχόμενον τὴν ἀπόδειξιν, οὐκ ᾐδέσθησαν, οὐδὲ ἀπέστησαν ἕως ἐσταύρωσαν· σχολῇ γε τῶν περὶ αὐτοῦ λεγόντων ἐφείσαντο, οὓς καὶ χωρὶς τούτου κατέλυον συνεχῶς. διὰ τοῦτο τοῖς οἰκείοις καὶ γνωρίμοις αὐτοῖς ἐμφιλοχωροῦντες ὀνόμασι, τὰς προφητείας τούτῳ συσκιάζουσι τῷ προσώπῳ. ὅτι γὰρ οὐ περὶ τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ ὁ λόγος, ἑκάστην παράγοντες λέξιν εἰς μέσον, μετὰ ἀκριβείας εἰσόμεθα τὰ εἰρημένα.

2 Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου.

Ὅρα ἀκρίβειαν προφήτου, οὐ τὰ πράγματα λέγοντος μόνον, ἀλλὰ καὶ τὸν χρόνον ἐπισημαινομένου. Γαλ. δ. ὅπερ γὰρ φησὶν ὁ Παῦλος, Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, καὶ ἑτέρωθι πάλιν, Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, τοῦτο ὁ προφήτης φησὶν ἐν ταῖς ἐσχάταις ἡμέραις. ὄρος δὲ τὴν ἐκκλησίαν καὶ τὸ τῶν δογμάτων ἀκαταγώνιστον καλεῖ. καθάπερ γὰρ ὄρεσι κἂν μυρία προσβάλλῃ στρατόπεδα, τόξα τείνοντες, καὶ δόρατα ἀφιέντες, καὶ μηχανήματα προσάγοντες, ἐκεῖνα μὲν οὐδὲ παραβλάψαι δυνήσονται, τὴν δὲ οἰκείαν καταλύσαντες ἰσχὺν ἀπελεύσονται· οὕτω δὴ καὶ οἱ τῇ ἐκκλησίᾳ πολεμήσαντες ἅπαντες, ταύτην μὲν οὐκ ἔσεισαν, τὴν δὲ οἰκείαν ἀπολέσαντες δύναμιν κατῃσχύνθησαν, ἐν τῷ παίειν διαλυόμενοι, καὶ ἐν τῷ βάλλειν ἀσθενοῦντες, καὶ ἐν τῷ ποιεῖν ὑπὸ τῶν πασχόντων νικώμενοι· ὥσπερ καὶ παράδοξος νίκης τρόπος ἐστὶ, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ μόνον δυνατός. τὸ γὰρ θαυμαστὸν τῆς ἐκκλησίας, οὐχ ὅτι ἐνίκησεν, ἀλλ' ὅτι καὶ οὕτως ἐνίκησεν. ἐλαυνομένη γὰρ, διωκομένη, μυρίοις κατακοπτομένη τρόποις, οὐ μόνον οὐκ ἠλαττοῦτο, ἀλλὰ καὶ μείζων ἐγίνετο, καὶ τοὺς ταῦτα ποιεῖν ἐπιχειροῦντας, αὐτὸ τὸ πάσχειν μόνον κατέλυεν· ὅπερ ἀδάμας ποιεῖ περὶ τὸν σίδηρον, τῷ παίεσθαι μόνον διαλύων τοῦ παίοντος τὴν ἰσχύν· καὶ κέντρα πρὸς τοὺς λακτίζοντας, αὐτὰ μὲν οὐδὲν ἀμ-

βλύτερα

λύτερα ἐντεῦθεν γινόμενα, τῶν δὲ λακτιζόντων αἱμάσσονται πόδες. διὰ δὴ τοῦτο ὄρος ἐκάλεσεν. εἰ δὲ οὐκ ἀνέχεται τῆς μεταφορᾶς ὁ Ἰουδαῖος, οἴκοθεν πάλιν δεχέσθω τὸν ἔλεγχον. αὐτὸς γὰρ οὗτος ὁ προφήτης λύκους καὶ ἄρνας ἔφησε τῆς αὐτῆς νομῆς κοινωνήσειν, καὶ μυίαις τὸν Θεὸν συρίζειν καὶ ταῖς μελίσσαις, καὶ ποταμὸν ἀνάγειν ῥαγδαῖον ἐπὶ τοὺς Ἰουδαίους, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς ἔχειν τὸ ὕδωρ τοῦ Σιλωάμ. ἅπερ εἴ τις ἐπὶ τῆς λέξεως ἐκλάβοι, πολὺ τὸ ἀπρονόητον ἔχει· ἀλλὰ διὰ τὰ ἐκ τούτων σημαινόμενα δεξάμενος, αὐτὰ ποικίλλει τὴν νοημάτων * τὴν ἀκολουθίαν. τί οὖν ἐστι τὰ ἐκ τούτων σημαινόμενα; διὰ μὲν τῶν λύκων καὶ τῶν ἀρνῶν, τὸ τῶν ἀνθρώπων τρόπον τὸ θηριῶδες καὶ ἥμερον· διὰ δὲ τῶν μυιῶν, τὸ ἀναίσχυντον τῶν Αἰγυπτίων· διὰ δὲ τοῦ ποταμοῦ, τὸ σφοδρὸν τῆς στρατείας τοῦ βαρβάρου· διὰ δὲ τοῦ Σιλωάμ, τὸ πρᾶον καὶ ἐπιεικὲς τοῦ τότε ἄρχοντος, τοῦ τῶν Ἰουδαίων βασιλέως. καὶ οὐδεὶς οὐδὲ τῶν σφόδρα ἀνοήτων πρὸς ταῦτα ἡμῖν ἀντερεῖ. ὥσπερ γὰρ οὖν ἐκεῖνα ἑτέροις ὀνόμασι παρεδηλώθη, οὕτω καὶ τῆς ἐκκλησίας τὸ στερρόν, τὸ ἀκίνητον, τὸ ὑψηλόν, τὸ ἀχείρωτον διὰ τῆς τοῦ ὄρους ᾐνίξατο προσηγορίας. καὶ γὰρ ἕτερος προφήτης τοὺς πεποιθότας ἐπὶ τὸν Θεὸν ὄρει παραβάλλει, τὸ ἀκαταγώνιστον αὐτῶν ἐνδεικνύμενος. ἐμφανὲς τοῦτο, οὐδὲ τῆς ἀπὸ τοῦ λόγου λοιπὸν ἑρμηνείας δεῖται. οὕτως αὐτὴ τῶν πραγμάτων ἡ φύσις, σάλπιγγος λαμπροτέραν φωνὴν ἀφίησι, τὸ περιφανὲς ἐνδεικνυμένη τῆς ἐκκλησίας. οὐ γὰρ οὕτως ἥλιος φανός, οὐδὲ τὸ ἐκ τούτου φῶς, ὡς τῆς ἐκκλησίας τὰ πράγματα.

σ ἐπάγ.

* ἀρίστην

ισ στρατιᾶς

Καὶ γὰρ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. Πῶς ἂν τοῦτο ἑρμηνεύσειεν ὁ Ἰουδαῖος; οὐδαμοῦ γὰρ ἐπ' ἄκρων τῶν ὀρέων ὁ ναός ἐστιν. ἡ μέντοι τῆς ἐκκλησίας δύναμις αὐτῶν ἥψατο τῶν οὐρανῶν. καὶ ὡσανεὶ οἶκος ὑπὲρ κορυφῆς ὀρῶν κείμενος, πᾶσίν ἐστι κατάδηλος, οὕτω καὶ πολλῷ πλέον αὐτὴ περιφανὴς πᾶσιν ἀνθρώποις γέγονε. Καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. Τὸ αὐτὸ τοῦτο πάλιν ἡρμήνευσεν, ὅπερ ἐπὶ τοῦ ναοῦ οὐδέποτε συνέβη, οὐδὲ ἡνίκα ἄριστα πράττειν ἐδόκει. πῶς γάρ, ὅπου γε καὶ ὑπ' αὐτῶν τῶν Ἰουδαίων πολλάκις ἠτιμάζετο, καὶ ὑπὸ βαρβαρικῶν ἠφανίζετο χειρῶν; ἡ δὲ τῆς ἐκκλησίας ἰσχὺς ἐπολεμήθη μὲν ἐκείνου χαλεπώτερον καὶ πλέον, εἶξε δὲ οὐδέποτε ταῖς τῶν πολεμούντων χερσίν, ἀλλ' ὑψηλοτέρα καὶ περιφανεστέρα μάλιστα ὑπὸ τῶν πολεμίων ἐγίνετο. τότε γοῦν τῶν μαρτύρων οἱ δῆμοι, τότε τῶν ὁμολογητῶν τὰ πλήθη, τότε αἱ σιδήρου στερρότεραι ἀπεδείκνυντο ψυχαί, καὶ τῶν ἀστέρων αὐτῶν ἀκριβέστεραι ἔλαμπον, τῶν μὲν σωμάτων αὐτοῖς κατακοπτομένων, τῆς γνώμης δὲ οὐ νικωμένης, ἀλλὰ κρατούσης καὶ στεφανουμένης. τίς εἶδε, τίς ἤκουσε φόνον στέφανον φέροντα, καὶ σφαγὴν νίκην ἐργαζομένην, καὶ τότε τὸ στρατόπεδον λαμπρότερον γινόμενον, ὅτε πλείους οἱ σφαττόμενοι παρὰ τῶν πολεμίων ἐφαίνοντο; Καὶ ἥξουσιν ἐπ' αὐτῷ πάντα τὰ ἔθνη. Περιφανῶς σαφέστερος ὁ προφήτης γίνεται, καὶ μᾶλλον ἀνακαλύπτει τὸν λόγον, καὶ τρανότερον δείκνυσι τὴν προφητείαν, καὶ ἀκριβέστερον ἀπορράπτει τῶν Ἰουδαίων τὰ στόματα. τοῦτο γάρ, καὶ εἰ σφόδρα ἀναισχυντοῖεν, οὐ δυνήσονται τῷ ναῷ τῶν Ἰουδαίων ἁρμόσαι. καὶ γὰρ καὶ ἀπηγόρευτο καὶ μετὰ ὑπερβολῆς κεκώλυτο ἔθνη εἰς τὸν ναὸν εἰσιέναι, ὅπου γε καὶ αὐτοῖς μετὰ πολλῆς τῆς ἀπειλῆς ὁ νόμος ἀπηγόρευε τὰς τῶν ἐθνῶν ἐπιμιξίας, καὶ τὴν ἐσχάτην ὑπὲρ τούτων ἀπῄτει δίκην. ὁ γοῦν προφήτης Ἀγγαῖος ἅπασαν εἰς τοῦτο κατηνάλωσε τὴν προφητείαν, ἐγκαλῶν, ἀπειλῶν, εὐθύνας ἀπαιτῶν τῆς οὐ προσηκούσης ἐπιγαμβρείας. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ μετὰ ἀδείας ἁπάσης ἀναπετάσασα τοὺς κόλπους ἡ ἐκκλησία, χερσὶν ὑπτίαις ἅπαντα τὰ τῆς οἰκουμένης καθ' ἑκάστην ἡμέραν ὑποδέχεται ἔθνη. οὕτω γὰρ καὶ οἱ προφῆται τῶν δογμάτων

διδάσκαλοι παρὰ τοῦ μονογενοῦς ἐκελεύσθησαν, ταύτην εὐθέως ἀκούσαντες τὴν φωνὴν πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. σκόπει δέ μοι, πῶς οὐ τὴν κλῆσιν τῶν ἐθνῶν ἠνίξατο μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὴν μετὰ προθυμίας αὐτῶν ὑπακοήν. οὐ γὰρ εἶπεν, ἀχθήσονται, ἀλλὰ ἥξουσιν. ὅπερ ἕτερος προφήτης σαφέστερον ἐνδεικνύμενος ἔλεγε· καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. ἐπὶ μὲν γὰρ τῶν Ἰουδαίων καὶ ἡ κτίσις ἀνεστοιχειοῦτο, καὶ ἀπειλαὶ συνεχεῖς, καὶ κολάσεις διηνεκεῖς, καὶ θαύματα ἐπάλληλα, καὶ προφητῶν δρόμοι, καὶ νομοθέτου φόβος, καὶ πολέμων ἀπειλαὶ, καὶ βαρβάρων ἔφοδοι, καὶ ὀργαὶ θεήλατοι, καὶ κολάσεις ἐκ τῶν οὐρανῶν πεμπόμεναι· καὶ ἔμενον σκληροτράχηλοι καὶ ἀπερίτμητοι ὄντες, καθὼς ὁ Στέφανος ἔλεγεν, ἀτενεῖς καὶ δυσένδοτοι. ἐπὶ δὲ τῶν ἐθνῶν ἤρκεσε ῥῆμα ψιλὸν καὶ ἀκοὴ μόνη, καὶ πάντες εὐθέως προσέδραμον.
Ψαλ. ιζ. μη. ὅπερ οὖν καὶ ὁ Δαβὶδ αἰνιττόμενος ἔλεγε· Λαὸς, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι. καὶ τὸν τρόπον τῆς ὑπακοῆς θαυμάζων προσετίθει· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. τοῦτο
Γεν. μθ. ια. αὐτὸ καὶ ὁ Ἰακὼβ αἰνιγματωδέστερον ἐμφαίνων ἔλεγε· Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ. καίτοι τίς εἶδεν ἕλικι πῶλον δεσμούμενον, καὶ παρεστῶτα ''ἄμπελον καὶ μὴ λυμαινόμενον τὸ **; ἐπὶ μὲν τῶν ἀλόγων οὐδείς, ἐπὶ δὲ ἴσ. ἀμπέλῳ
τῶν ἀνθρώπων μετὰ πολλῆς τοῦτο γέγονε τῆς ἀκριβείας. οἱ μὲν γὰρ Ἰουδαῖοι μυρίοις δεθέντες δεσμοῖς συνέτριψαν τὸν ζυγὸν, διέρρηξαν τὸν δεσμόν, καθὼς ὁ προφήτης φησί· τὰ δὲ ἔθνη οὐδεμιᾶς τοιαύτης δεθέντα ἀνάγκης, ἑτοίμως ὑπήκουσαν, ὡς ἂν ἕλικι πῶλος δεσμούμενος, καὶ οὐδὲν ἐλυμήναντο τῶν ἐπιταγμάτων, ἀλλὰ παρειστήκεισαν πολλὴν ἐνδεικνύμενοι τὴν ὑπακοήν.

3 Καὶ πορεύσονται λαοὶ πολλοὶ, καὶ ἐροῦσι· δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ. Ὁρᾷ χορεύοντας καὶ πανηγυρίζοντας, καὶ ἀλλήλοις ἐγκελευομένους, πάντας διδασκάλους γινομένους, καὶ οὐχ ἕν, καὶ δεύτερον, καὶ τρίτον, ἀλλὰ καὶ πολλὰ ἔθνη συντρέχοντα. ἥξουσι γάρ, φησι, λαοὶ πολλοὶ, καὶ ἐκ διαφόρων χωρῶν, ὅπερ ἐπὶ τῶν Ἰουδαίων οὐδέποτε γέγονεν. ἀλλ' εἰ καί τινες προσῆλθον, ὀλίγοι ποτὲ προσήλυτοι, μετὰ πολλῆς καὶ αὐτοὶ τῆς πραγματείας, καὶ οὐδέποτε ἔθνη ἐκλήθησαν, ἀλλὰ προσήλυτοι. προσήλυτοι γὰρ ἐπὶ σὲ διελεύσονται, καί σοι ἔσονται δοῦλοι, φησιν. εἰ δὲ ἐπιμένει τῇ μεταφορᾷ ὁ προφήτης, ὄρος καλῶν καὶ οἶκον τοῦ Θεοῦ Ἰακὼβ, μὴ θαυμάσῃς. ὅπερ γὰρ ἔφθην εἰπὼν, νῦν μὲν παρανοίγει, νῦν δὲ συσκιάζει τὴν προφητείαν· τὸ μὲν, ἵνα τοῖς συνετωτέροις ἀφορμὰς παράσχοι τοῦ συνιδεῖν τὰ λεγόμενα· τὸ δὲ, ἵνα τῶν ἀγνωμόνων κατάσχοι τὴν ἄτακτον ῥύμην· καὶ πανταχόθεν ποικίλλει τὸν λόγον. εἰ δὲ τοῦ Θεοῦ Ἰακὼβ εἶπε, μὴ θορυβηθῇς, ἀγαπητέ. καὶ γὰρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, Θεὸς Ἰακὼβ ἦν. αὐτὸς γὰρ καὶ τὸν νόμον ἔδωκε, καὶ τὰ κατ' αὐτοὺς ἐθαυματούργησεν ἅπαντα. καὶ τοῦτο ἐκ τῆς παλαιᾶς αὐτῆς μάλιστά ἐστιν ἰδεῖν,
Ἱερ. λβ. λβ. ἐπεὶ τῆς καινῆς οὐδὲ εἷς Ἰουδαίοις λόγος. ὁ οὖν Ἱερεμίας φησί· Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, δεικνὺς ὅτι ἑκατέρων τῶν νόμων αὐτὸς ὁ νομοθέτης ἦν. ὅτι δὲ καὶ τῆς Αἰγύπτου αὐτὸς αὐτοὺς ἀπήλλαξεν, ἐπήγαγεν· ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. εἰ δὲ αὐτὸς ἐξήγαγε, καὶ πάντα ἐκεῖνα τὰ ἐν τῇ Αἰγύπτῳ καὶ τὰ ἐν τῇ ἐρήμῳ ἐποίησε θαύματα. Καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ὁρᾷς ἕτερόν τινα ἐπιζητοῦντας νόμον. ὁδὸν γὰρ ἡ γραφὴ τὰς ἐντολὰς τοῦ Θεοῦ εἴωθε λέγειν. εἰ δὲ ''ἐπὶ τῆς προτέρας ἔλεγε διαθήκης, οὐκ ἂν εἶπεν, ἀ- ἴσ. ἀεὶ

ναγγελεῖ

κεφ. β.

ναγγελεῖ ἡμῖν. δήλη γὰρ ἦν αὕτη σαφὴς καὶ γνώριμος ἅπασι. καὶ ὅτι οὐ σοφιζόμενοι ταῦτα φαμὲν, τὰ μὲν εἰρημένα καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἱκανὰ πεῖσαι. ἐπειδὴ γὰρ ὁδοῦ μόνον ἐμνήσθη, λέγει καὶ ποίας ὁδοῦ, καὶ πολλὰ τίθησιν αὐτῆς τὰ παράσημα. ἐπήγαγε γοῦν λέγων· Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. Πρὸς ταῦτα καὶ σφόδρα ἀναισχυντοῦντες Ἰουδαίων παῖδες οὐδὲ διᾶραι τὸ στόμα δυνήσονται. ὅτι γὰρ περὶ τῆς καινῆς ταῦτα εἴρηται διαθήκης, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τῶν δεξαμένων τὸν νόμον, καὶ ἀπὸ τοῦ πράγματος τοῦ μετὰ νόμον, καὶ πάντοθεν ἁπλῶς ἐστι σαφῶς ἰδεῖν. καὶ πρῶτον ἀπὸ τοῦ τόπου, τοῦ Σιὼν ὄρους. ὁ γὰρ διὰ Μωϋσέως νόμος ἐν τῷ Σιναίῳ ὄρει τοῖς προγόνοις αὐτῶν ἐδόθη. πῶς οὖν ἐνταῦθα ἐκ Σιών φησι; καὶ οὐκ ἠρκέσθη μόνον, ἀλλὰ καὶ τὸν χρόνον προσέθηκεν. οὐ γὰρ εἶπεν, ἐξῆλθε νόμος, ἀλλ' ἐξελεύσεται νόμος· ὅπερ ἐστὶ μέλλοντος χρόνου, καὶ πράγματος οὐδέπω γεγενημένου. ὅτε δὲ ὁ προφήτης ταῦτα ἔλεγε, πρὸ πολλῶν ἐτῶν ἦν δεδομένος ὁ νόμος· ὁ δὲ τῆς καινῆς ἔμελλε μετὰ ἔτη πλείονα δίδοσθαι. διὰ τοῦτο οὐκ εἶπεν, ἐξῆλθεν, ἀλλ' ἐξελεύσεται, τουτέστι μετὰ ταῦτα. καὶ πάλιν ἐπὶ τὸν τόπον αὐτὸν καταφεύγει λέγων· καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. μετὰ ἀκριβείας ἡμῖν τὸ παράσημον τῆς καινῆς διαθήκης ἐνταῦθα τίθησι. καὶ γὰρ νῦν μὲν ἐν τῷ ὄρει καθήμενος, τὰ ὑψηλὰ καὶ τῶν οὐρανῶν ἄξια προστάγματα ἐνομοθέτει, νῦν δὲ ἐν Ἱερουσαλὴμ διατρίβων. εἰπὼν τοίνυν καὶ τὸν τόπον, καὶ τὸν χρόνον, προστίθησι καὶ τοὺς ὑποδέχεσθαι αὐτὸν μέλλοντας, πανταχόθεν ἀπορράπτων τῶν ἀντιλεγόντων τὰ στόματα. τίνες οὖν οἱ μέλλοντες αὐτὸν ὑποδέχεσθαι; ἆρα τῶν Ἑβραίων ὁ δῆμος καὶ Ἰουδαίων παῖδες; οὐδαμῶς, ἀλλ' οἱ ἐξ ἐθνῶν. διὸ καὶ ἐπήγαγε, 4 Καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν.

Τοῦτο γὰρ μάλιστα νόμου, τὸ δικάζειν τοῖς μαχομένοις αὐτόν. ὅτι δὲ οὐ περὶ τῆς παλαιᾶς ὁ λόγος, δῆλον ἀπὸ τῶν πραγμάτων αὐτῶν. οὔτε γὰρ σαββατίζομεν, οὐ περιτομὴν ἐδεξάμεθα, οὐ τὰς ἑορτὰς ἐκείνων, οὐκ ἄλλο τῶν παλαιῶν οὐδέν. ἠκούσαμεν γὰρ Παύλου λέγοντος, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμῖν οὐδὲν ὠφελήσει καὶ, Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. φοβοῦμαι μή πως εἰκῆ κεκοπίακα εἰς ὑμᾶς. ὅθεν δῆλον ὅτι περὶ τῆς καινῆς ὁ λόγος, ὅτι ἀνὰ μέσον ἐθνῶν ἔκρινε· καθὼς καὶ ὁ Παῦλός φησιν, ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. πῶς κρινεῖ, εἰπέ μοι; κατὰ τὴν παλαιὰν διαθήκην; οὐδαμῶς, ἀλλὰ κατὰ τὸ εὐαγγέλιόν μου. εἶδες διάφορα μὲν τὰ ῥήματα, συμφωνοῦντα δὲ τὰ νοήματα. Ἡσαΐας φησὶ, κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν· Παῦλός φησι, κρινεῖ κατὰ τὸ εὐαγγέλιόν μου.

Γαλ. ε.
Γαλ. δ.

Καὶ ἐλέγξει λαὸν πολύν. Τοὺς μαχομένους καὶ παραβαίνοντας. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· οὐκ ἐγὼ κρινῶ ὑμᾶς, ἀλλ' ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ ὑμᾶς.

Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.

Οὐκ ἠρκέσθη σημείοις τοῖς προτέροις ὁ προφήτης. πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. διὰ τοῦτο καὶ ἕτερον τίθησι γνώρισμα τῆς καινῆς διαθήκης κατὰ τὴν οἰκουμένην λάμπον ἅπασαν. τί δὲ τοῦτό ἐστιν; εἰρήνη καὶ πολέμων ἀναίρεσις. ὅταν γὰρ ταῦτα γένηται, φησι, τοσαύτη λήψεται εὐνομία τὴν οἰκουμένην, ὡς καὶ αὐτὰ τὰ ὅπλα τὰ πολεμικὰ εἰς γεωργικὰ χαλκεύεσθαι ὄργανα· ὅπερ ἐπὶ τῶν καιρῶν τῶν Ἰουδαίων οὐκ ἄν τις ἴδοι γεγενημένον, ἀλλὰ τοὐναντίον ἅπαν. οὐ γὰρ διέλειπον ἅπαντα τῆς πολιτείας αὐτῶν τὸν χρόνον πολεμοῦντες καὶ πολεμούμενοι, καὶ διὰ μακροῦ καὶ δι' ὀλίγου τῶν πολεμίων αὐτοῖς ἐπιόντων. καὶ γὰρ οἱ ἐκ γειτόνων οἰκοῦντες, μᾶλλον δὲ καὶ οἱ ἐν αὐτῇ τῇ Παλαιστίνῃ χαλεἴσ. πολέμων

τὰ πράγματα παρέσχον αὐτοῖς πολλάκις, καὶ περὶ τῶν ἐσχάτων ἐπεκρέμασαν κινδύνων. καὶ ταῦτα δηλοῖ μὲν ἡ τῶν βασιλείων ἱστορία σαφῶς, ὅλη δι' ὅλης ἐκ πολεμίων ὑφαινομένη· δηλοῦσι δὲ οἱ προφῆται πάντες, τὰ γινόμενα ἀπαγγέλλοντες ταῦτα, καὶ πρὶν ἢ γενέσθαι προαναφωνοῦντες· καὶ ἐξ αὐτῆς, ὡς εἰπεῖν, τῆς ἡμέρας, ἧς ἀπηλλάγησαν τῆς Αἰγυπτίων τυραννίδος, ἐν πολέμοις τὸν ἅπαντα χρόνον ἐβίωσαν. ἀλλ' οὐχὶ νῦν οὕτως, ἀλλὰ πολλὴ κατὰ τὴν οἰκουμένην εἰρήνη. εἰ δέ τινες γίνονται πόλεμοι, ἀλλ' οὐχ ὁμοίως ὡς πρότερον. τότε μὲν γὰρ καὶ πόλεις πόλεσι, καὶ χώραι χώραις, καὶ δῆμοι συνερρήγνυντο δήμοις, καὶ ἔθνος ἓν εἰς πολλὰ διετέμνετο μέρη. καὶ τοῦ Ἰησοῦ τὸ βιβλίον τις ἀναγνοὺς καὶ τῶν κριτῶν, εἴσεται πόσους ἡ Παλαιστίνη ἐν βραχεῖ πολέμους τότε ἐδέξατο καιρῷ. καὶ οὐ τοῦτο μόνον ἦν τὸ χαλεπόν, ἀλλ' ὅτι πάντας ὅπλα τίθεσθαι ὁ νόμος ἐκέλευσε, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν. καὶ οὐ παρὰ Ἰουδαίοις μόνον οὗτος ὁ νόμος ἐκράτει, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης· ὅπου γε καὶ ῥήτορες καὶ φιλόσοφοι ἐξωμίδος πλέον οὐδὲν ἔχοντες, πολέμου καλοῦντος, καὶ ἀσπίδα μετεχειρίζοντο, καὶ ἐπὶ παρατάξεως ἵσταντο. ὁ γοῦν παρ' Ἀθηναίοις μάλιστα λάμψας ἀπραγμοσύνης ἕνεκεν καὶ φιλοσοφίας Σωκράτης ὁ Σωφρονίσκου καὶ ἅπαξ ἢ δὶς ἐπὶ παρατάξεως ἔστη. καὶ τῶν ῥητόρων τῶν παρ' αὐτοῖς τὸ κεφάλαιον Δημοσθένης, ἀπὸ τοῦ βήματος ἐπὶ τὸν πόλεμον ἐξῄει πολλάκις. εἰ δὲ ῥήτορας καὶ φιλοσόφους οὐδεὶς ἐξῄρητο νόμος τοῦ πολεμεῖν, σχολῇ γε ἕτερός τις τοῦ δήμου ταύτης ἀπήλαυσε τῆς ἀτελείας. ἀλλ' οὐχὶ τούτων οὐδὲν νῦν γινόμενον ἴδοι τις ἄν. ἐπειδὴ γὰρ ὁ τῆς δικαιοσύνης ἔλαμψεν ἥλιος, καὶ πόλεις καὶ δῆμοι καὶ ἔθνη πάντα τοσοῦτον ἀπέχουσι τοῦ ζῆν ἐν κινδύνοις τοιούτοις, ὅτι οὐδὲ μεταχειρίζεσθαί τι τῶν πολεμικῶν ἴσασιν, ἀλλ' εἴσω πόλεων καὶ τειχῶν καθήμενοι, πόρρω τὰ τῶν πολέμων μανθάνουσι πράγματα, καὶ δῆμος ἅπας ἐν ἐλευθερίᾳ ζῇ, καὶ ἀτελείᾳ τῆς πικροτάτης ταύτης λειτουργίας. εἰ δέ που καὶ νῦν γίγνονται πόλεμοι, πόρρω που καὶ πρὸς τὰ ἔσχατα τῆς Ῥωμαίων ἀρχῆς, οὐ κατὰ πόλιν καὶ χώρας ὡς ἔμπροσθεν. τότε μὲν γάρ, ὡς ἔφθην εἰπών, καὶ ἐν ἑνὶ ἔθνει μυρίαι συνεχῶς ἐπαναστάσεις ἐγίγνοντο, καὶ πολυπρόσωποι πόλεμοι. νυνὶ δὲ ὅσην ἥλιος ἐφορᾷ γῆν ἀπὸ τοῦ Τίγρητος ἐπὶ τὰς Βρεττανικὰς νήσους, αὕτη πᾶσα, καὶ μετὰ ταύτης Λιβύη καὶ Αἴγυπτος καὶ Παλαιστινῶν ἔθνος, μᾶλλον δὲ ἅπαν τὸ ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν κείμενον· ἴστε δὲ ὡς αὗται αἱ πόλεις ἀδείας ἀπολαύουσι πάσης, ἀκοῇ τοὺς πολέμους μανθάνουσαι μόνον. ἠδύνατο μὲν γὰρ καὶ τὰ λείψανα καθελεῖν ὁ Χριστός· ἀλλ' ἀφῆκε σωφρονισμοῦ τινος ὑπόθεσιν, τοῖς ῥαθυμοῦσι καὶ ὑπὸ τῆς εἰρήνης χαυνοτέροις γινομένοις, τῶν βαρβάρων εἶναι τὰς ἐπιδρομάς. καὶ ὁ προφήτης δὲ τοῖς δυναμένοις ἀκριβῶς συνιδεῖν, αὐτὸ τοῦτο ἠνίξατο, ὅπερ ἔφθην εἰπών, τὸ μηκέτι τὰς δι' ὀλίγου γίνεσθαι ἐπαναστάσεις. οὐ γὰρ εἶπεν, οὐκ ἔσται πόλεμος παντελῶς, ἀλλὰ τί; οὐ μὴ ἀρῇ ἔθνος ἐπ' ἔθνος μάχαιραν. καὶ τὴν τῶν δήμων ἐλευθερίαν προστέθεικεν εἰπών, οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν, πλὴν ὀλίγων τῶν εἰς τοῦτο τεταγμένων στρατιωτῶν.

5 Καὶ νῦν σὺ ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου.

6 Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ.

Ἀπαρτίσας τὴν περὶ τῆς ἐκκλησίας προφητείαν, πάλιν ἐπὶ τὴν ἱστορίαν μεταβαίνει, ὡς δὴ τῶν ἀκολούθων ἐχόμενος ῥημάτων. τοιοῦτον γὰρ ἔθος αὐτοῖς, μὴ τῇ τῶν εἰρημένων ἀσφαλείᾳ μόνον, ἀλλὰ καὶ τῷ σχήματι τῆς ἀκολουθίας συσκιάζειν τὴν προφητείαν. διόπερ οὐδὲ ἀπηρτισμένον ποιεῖ τὸν λόγον, ἀλλ' ὡς μίαν τινὰ ἕλκων σειράν, οὕτω πρὸς τὴν τῶν Ἰουδαίων νουθεσίαν μεταβαίνει πάλιν, καί φησι· καὶ νῦν σὺ ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου· τουτέστι, ταῖς ἐντολαῖς αὐτοῦ, τῷ νόμῳ αὐτοῦ.

λύχνος γὰρ ἐντολὴ νόμου, καὶ φῶς καὶ ζωή, καὶ ἔλεγχος καὶ παιδεία. καὶ ὁ Δαβὶδ πάλιν φησίν· Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. καί, Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. καὶ πολλαχοῦ οὕτω τὸν νόμον καλούμενον κατίδοι τις ἄν. οὕτω καὶ Παῦλός φησι· Πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων. οὐ γὰρ οὕτως αἱ τοῦ ἡλίου ἀκτῖνες χειραγωγοῦσιν ἡμῶν τοῦ σώματος τοὺς ὀφθαλμούς, ὡς αἱ τοῦ νόμου ἐντολαὶ καταυγάζουσι τὰ τῆς ψυχῆς ὄμματα. Δεικνὺς τοίνυν ὁ προφήτης, ὅτι καὶ πρὸ τῆς ἀνταποδόσεως, καὶ πρὸ τῆς ἀμοιβῆς, ἐν αὐτῷ τῷ πληροῦσθαι, τὴν ἀμοιβὴν παρέχουσιν ἡμῖν αἱ ἐντολαί, φῶς αὐτὰς ἐκάλεσεν. ὥσπερ γὰρ ὀφθαλμὸς ἐν αὐτῷ τῷ φωτίζεσθαι κερδαίνει, οὕτω καὶ ψυχὴ ἐν αὐτῷ τῷ πείθεσθαι τῷ νόμῳ, τὰ μέγιστα καρποῦται, ἐκκαθαιρομένη καὶ κακίας ἀπαλλαττομένη, καὶ πρὸς αὐτὴν ἀναβᾶσα τὴν ἀρετήν. ὥσπερ οὖν τοὐναντίον οἱ παραβαίνοντες, καὶ πρὸ τῆς κολάσεως ἐν αὐτῷ τῷ παραβαίνειν δίκην διδόασι, τῶν ἐν σκότει καθημένων ἀθλιώτερον διακείμενοι, φόβου καὶ τρόμου καὶ πονηροῦ γέμοντες συνειδότος, καὶ ἐν μεσημβρίᾳ μέσῃ δεδοικότες καὶ τρέμοντες ἅπαντας, τοὺς συνειδότας, τοὺς οὐδὲν συνειδότας. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ. τουτέστιν, ἴασεν, ἀφῆκε, περιεῖδε, τῆς αὐτοῦ προνοίας ἐγύμνωσεν. Εἶτα φοβήσας, λέγει καὶ τὴν αἰτίαν, ὥστε αὐτοὺς διορθῶσαι τὰ πεπλημμελημένα. Τίς οὖν ἐστιν ἡ αἰτία;

Ψαλμ. ιθ.
Ψαλμ. ριη.
Ρωμ. β. ιθ.
ἴσ. εἴασεν,

Ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων.

Ἔμπροσθεν μὲν γὰρ καπηλείαν αὐτοῖς καὶ φιλαργυρίαν καὶ τὴν τῶν χηρῶν ὑπεροψίαν ἐνεκάλει· ἐνταῦθα δὲ καὶ δόγματα πονηρά, καὶ ἀσεβείας λείψανα κατὰ μικρὸν αὐτοὺς ὑποσύροντα πρὸς τὴν τῶν δαιμόνων πλάνην. Εἶτα καθαπτόμενος αὐτῶν, οὐκ εἶπεν ὅτι κληδονίζονται ἁπλῶς, ἀλλ' ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν, μετὰ πολλῆς ὑπερβολῆς ἡ κακία αὐτῶν πάλιν ηὔξετο, φησιν. ὥσπερ ἀνωτέρω ἔλεγε, λαὸς οὐχ ἁπλῶς ἁμαρτωλός, ἀλλὰ πλήρης ἁμαρτιῶν, οὕτω καὶ ἐνταῦθα, ἐνεπλήσθη. Εἶτα πάλιν ἐπιτείνων τὸ ὄνειδος προσέθηκεν, Ὡς τὸ ἀπ' ἀρχῆς. Ἀπ' ἀρχῆς· πότε; ὅτε Θεὸν οὐκ ἐγνώκεισαν, ὅτε νόμον οὐκ εἰλήφεισαν, ὅτε τῆς εὐεργεσίας αὐτοῦ πεῖραν εἰληφότες οὐκ ἦσαν, ὅτε μετὰ τῶν ἐθνῶν ἔζων, ὅπερ ἐσχάτης καταγνώσεως ἦν, μηδὲν ἄμεινον διακεῖσθαι νῦν μετὰ τὴν τοσαύτην πρόνοιάν τε καὶ ἐπιμέλειαν τῶν μηδενὸς τούτων ἀπολελαυκότων. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καταπλήττων αὐτοὺς πάλιν προσέθηκεν· ὡς ἡ τῶν ἀλλοφύλων, τῇ συγκρίσει τοῦ προσώπου τὴν κατηγορίαν χαλεπωτέραν ποιῶν. ὃ καὶ Παῦλος εἴωθεν ἐργάζεσθαι συνεχῶς ὡς ὅταν λέγῃ, Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ πάλιν, Εἰδέναι ἕκαστον τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας. καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προσέθηκε λέγων, καθὼς καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. μάλιστα γὰρ οὗτος ὁ λόγος δάκνειν εἴωθε καὶ τοὺς σφόδρα ἀναπεπτωκότας. Εἰ δὲ Ἰουδαῖοι ταῦτα ἐγκαλοῦνται, τίνος ἂν τύχοιμεν συγγνώμης ἡμεῖς, ποίας ἀπολογίας οἱ μετὰ χάριν τοσαύτην, καὶ τιμὴν ἄφατον, καὶ τὰς ἀθανάτους ἐλπίδας, πρὸς τὴν αὐτὴν ἐκείνοις καταπίπτοντες πενίαν; καὶ γὰρ πολλοὶ καὶ νῦν εἰσι τῷ νοσήματι κεχρημένοι τούτῳ, καὶ τὸν ἑαυτῶν διαφθείροντες βίον, οἱ τῇ τῶν κληδόνων ἀλογίᾳ ἐκδιδόντες ἑαυτούς, μετὰ τοῦ τῷ Θεῷ προσκρούειν, καὶ περιττὰς καρποῦνται λύπας, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλύονται πόνους. καὶ γὰρ ἐσπούδακεν ὁ διάβολος διὰ πάντων τοῦτο πεῖσαι τοὺς ἀνοητοτέρους, ὅτι οὐκ ἐπ' αὐτοῖς τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας, οὐδὲ ἐλευθερίᾳ τινὶ προαιρέσεως εἰσι τετιμημένοι, δύο δὲ ταῦ-

α. Θεσ. δ. ιγ.
α. Θεσ. δ. δ.

πε τὰ ἄριστα κατορθῶσαι βουλόμενος, καὶ τὸν ὑπὲρ τῆς ἀρετῆς ἐκλῦσαι τόνον, καὶ τὸ κάλλιστον τῆς ἐλευθερίας ἀφελέσθαι δῶρον. τοῦτο διὰ κληδόνων, τοῦτο διὰ συμβόλων, τοῦτο διὰ παρατηρήσεως ἡμερῶν, τοῦτο διὰ τοῦ πονηροῦ τῆς εἱμαρμένης δόγματος, τοῦτο δι' ἑτέρων πολλῶν εἰς τὸν βίον εἰσήγαγε τὸ χαλεπὸν νόσημα, πάντα ἄνω καὶ κάτω ποιῶν. δι' ὃ δὴ καὶ ὁ προφήτης σφοδρῶς ἔστη κατηγορῶν, ὥστε πρόρριζον ἀνασπάσαι τὸ πάθος. Καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγεννήθη αὐτοῖς.

Τί ἐστι τέκνα ἀλλόφυλα; νόμος ἦν αὐτοῖς ἄνωθεν κείμενος διὰ τὸ τῆς γνώσεως εὐόλισθον, καὶ τὸ τῆς διανοίας εὐεξαπάτητον, μηδενὶ τῶν λοιπῶν ἀνθρώπων ἐπιμίγνυσθαι, ὥστε μὴ τὰς τοιαύτας συγγενείας, ἀσεβείας ὑπόθεσιν γίνεσθαι. ἐπειδὴ γὰρ οὐ μόνον ἑτέρους διορθῶσαι οὐκ ἴσχυον, ἀλλ' οὐδὲ τὴν παρ' ἑτέρων οἷοί τε ἦσαν διακρούεσθαι βλάβην, τῷ νόμῳ τειχίσας αὐτοὺς, καὶ τῆς πρὸς τοὺς λοιποὺς ἐπιμιξίας αὐτοὺς ἀποστήσας, κατ' ἰδίαν αὐτοὺς ἔπλαττε καὶ ἐρρύθμιζεν. ἀγαπητὸν γὰρ ἦν, καὶ οὕτως ἀμιγμένους δυνηθῆναι διατηρῆσαι τὴν παρὰ τοῦ Θεοῦ δεδομένην πολιτείαν αὐτοῖς. ἀλλ' ὥσπερ τὰς ἄλλας παρέβαινον ἐντολὰς, οὕτω δὴ καὶ ταύτης ὑπεριδόντες, μετέβησαν πρὸς τὰς τῶν πλησίον ἀγχιστείας, καὶ νύμφας ἐκεῖθεν ἀναγόμενοι παρὰ Μωαβιτῶν, παρὰ Ἀμμωνιτῶν, παρ' ἑτέρων ἀσεβῶν ἐθνῶν, καὶ τὰς ἄλλας ἀσπαζόμενοι συγγενείας, διδασκάλους πονηρίας ἐδέχοντο, καὶ τὸ τῆς εὐγενείας ἀκέραιον διέφθειρον. τοῦτο τοίνυν μετὰ τῶν ἄλλων ὁ προφήτης ἐγκαλεῖ. 7 Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν, φησιν, ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· 8 Καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. Καὶ ποῖον ἔγκλημα τοῦτο, ἴσως εἴποι τις ἂν, τὸ χρήματα ἔχειν, καὶ ἵππους κεκτῆσθαι, καὶ μάλιστα ἐπὶ τῆς γενεᾶς ἐκείνης, ὅτε οὐ πολλὴ φιλοσοφίας ἦν ἀκρίβεια; τί οὖν ἂν εἴποιμεν; ὅτι οὐ τὴν χρῆσιν διέβαλλεν, ἀλλὰ τὴν γνώμην τὴν οὐκ εἰς δέον αὐτοῖς κεχρημένην. ὥσπερ γὰρ ὅταν λέγῃ, οὐαὶ οἱ ἰσχύοντες, οὐ τὴν δυναστείαν αἰτιᾶται, ἀλλὰ τοὺς κακῶς τῇ δυναστείᾳ κεχρημένους· οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ὅτι χρήματα ἐκέκτηντο, ἀλλ' ὅτι μετὰ πολλῆς τῆς περιουσίας, καὶ ὑπὲρ τὴν χρείαν συνῆγον. οὐκ ἦν, φησιν, ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι πεφυσημένοι τῷ πλούτῳ καὶ τῇ τῶν ἵππων δυναστείᾳ κατὰ μικρὸν ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος παρεσύροντο, ὃ καὶ ἀλλαχοῦ αὐτοῖς ὁ προφήτης ἔλεγεν· οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν ἐγκαυχώμενοι. καὶ πάλιν ἑτέρωθι, Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. καὶ ἑτέρῳ δὲ πάλιν ψαλμῷ φησιν, Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὔτε ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, εὐδοκεῖ Κύριος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν.

Ψαλ. λβ. ις.

Ψαλ. ρμϛ. ια.

Ὥσπερ σοφὸς ἰατρὸς ὁ προφήτης, τοῦ νοσήματος τὴν αἰτίαν λέγει, καὶ τὴν πληγὴν τοῦ νοσήματος. μέλλων γὰρ κατηγορεῖν αὐτῶν τὴν ἀσέβειαν, προλαβὼν εἶπε τὰς ἀφορμὰς τῆς ἀρρωστίας, φιλαργυρίαν, ἀπόνοιαν, τὰς οὐ προσηκούσας ἐπιμιξίας· δηλῶν ὅτι ἐντεῦθεν κατὰ μικρὸν ὑπεσκελίσθησαν εἰς τὸ τῆς ἀπωλείας βάραθρον, καὶ εἴδωλα προσεκύνησαν. εἶτα κωμῳδῶν αὐτῶν τὴν θρησκείαν, ἐπήγαγε, τὰ ἔργα τῶν χειρῶν αὐτῶν. τί γὰρ ἂν γένοιτο καταγελαστότερον ἄλλο, ἢ ὅταν ἄνθρωπος δημιουργὸς ᾖ Θεοῦ; βδέλυγμα δὲ εἴωθεν ἡ γραφὴ καλεῖν τὰ εἴδωλα. ἐντεῦθεν καὶ βδέλυγμα ἐρημώσεως λέγεται) ὁ ἀνδριὰς ὁ ἐπὶ τοῦ ναοῦ ἑστώς. Ὅταν γὰρ ἴδητε, φησὶ, τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω. ἐπειδὴ γὰρ αὐτοὺς ἀπήγαγε τῆς

Ματθ. κδ. ιε.
Δαν. θ. κζ.

πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι, ἀπηγόρευσεν αὐτοῖς πᾶν ἐξεικόνισμα ποιῆσαι· καὶ βδέλυγμα τοῦτο ἐκάλεσε, πόρρωθεν αὐτοὺς ἀναστέλλων τῆς ἀσεβείας. τὸ γὰρ βδελύττεσθαι, τὸ μὲν ὑπερβολῆς ἐστι μισεῖν, ὡς ἀκάθαρτον, ὡς ἐναγές. τὸ τοίνυν βδέλυγμα, τὸ μισητὸν καὶ ἀποστροφῆς ἄξιον ἐν τῇ γραφῇ λέγεται. πᾶν δὲ εἴδωλον τοιοῦτον. καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν.

9 Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ. Ὥσπερ γὰρ ἡ τοῦ Θεοῦ προσκύνησις εἰς ὕψος ἀνάγει, οὕτως ἡ ἐκείνων ταπεινοῖ καὶ κατάγει. τί γὰρ ταπεινότερον ἀνθρώπου σωτηρίας ἐκπεπτωκότος, καὶ τὸν τῶν ὅλων Θεὸν ἐσχηκότος ἐχθρὸν, καὶ τοῖς ἀψύχοις ὑποκύπτοντος, καὶ λίθους θεραπεύοντος; ὁ μὲν γὰρ Θεὸς εἰς τοσαύτην ἡμᾶς ἀνήγαγε τιμὴν, ὡς καὶ τῶν οὐρανῶν ὑψηλοτέρους ποιῆσαι· ὁ δὲ διάβολος εἰς τοσαύτην ἐσπούδασε καταγαγεῖν εὐτέλειαν τοὺς πειθομένους, ὡς καὶ τῶν ἀναισθήτων ἀναισθητοτέρους ἐργάσασθαι· διὸ δή φησιν ὁ προφήτης, ἐταπεινώθη ἀνήρ. ἤρκει μὲν καὶ αὕτη ἡ κατηγορία τὸν νοῦν ἔχοντα ἀπαγαγεῖν τοῦ νοσήματος· ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τὰς ἁμαρτίας, ὡς τὰς τιμωρίας δεδοίκασιν, ἐπήγαγε καὶ τὴν κόλασιν, λέγων·

Οὐ μὴ ἀνήσω αὐτοῖς. Οὐ συγχωρήσω, φησὶν, οὐκ ἀφήσω, οὐ παρόψομαι, ἀλλὰ ἀπαιτήσω δίκας καὶ εὐθύνας τῶν πεπλημμελημένων.

10 Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου. Κωμῳδήσας ἱκανῶς τὴν ἄνοιαν τῶν τὰ εἴδωλα προσκυνούντων, καὶ ἀπὸ τοῦ τρόπου τῆς δημιουργίας δείξας κἀκείνων τὴν παραπληξίαν, καὶ τῶν εἰδώλων τὴν ἀσθένειαν, ἐπαγωνίζεται τῷ λόγῳ πάλιν, τῇ πείρᾳ τῶν πραγμάτων ἐπιτρέπων τῶν εἰρημένων τὴν ἐξέτασιν, καί φησιν· ἤρκει μοι καὶ αὐτὸ τοῦτο παρὰ ἀνθρώπων αὐτὰ γλύφεσθαι, δεῖξαι τὴν ἄνοιαν τῶν ἀπατωμένων· ἐπειδὴ δὲ ὥσπερ τῇ μέθῃ τῇ ἀσεβείᾳ κεκαρωμένοι πρὸς τὰ φανερὰ καὶ σαφῆ τῶν πραγμάτων πεπήρωνται, τοιαῦτα καταλήψονται τὴν πόλιν κακὰ, ὡς καὶ τοὺς σφόδρα ἀναισθήτους διδάξαι, πόση ἡ ἐκείνων ἀσθένεια, καὶ πόση ἡ τοῦ Θεοῦ δύναμις. διὰ δὴ τοῦτο πρὶν ἢ τὸν πόλεμον εἰπεῖν, τὰ ἐξ αὐτοῦ συμβησόμενα λέγει, κελεύων εἰς πέτρας εἰσιέναι, καὶ ὑπ' αὐτὴν καταδῦναι τὴν γῆν, οὐχ ἵνα τοῦτο ποιήσωσιν, ἀλλ' ἵνα ἐκ τούτων μάθωσιν, ὡς ἀφόρητός ἐστιν ἡ παρὰ τοῦ Θεοῦ τότε φερομένη ὀργή.

Κρύπτεσθε γὰρ, φησιν, εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Οὐκ εἶπεν ἁπλῶς, ἀπὸ τῆς ἰσχύος αὐτοῦ, ἀλλὰ ἀπὸ τῆς δόξης τῆς ἰσχύος. τοιαῦτα γὰρ αὐτοῦ τὰ κατορθώματα, τοιαῦτα τὰ τρόπαια, πολλὴν ἔχοντα τὴν περιφάνειαν καὶ τὴν λαμπρότητα. ἐνταῦθά μοι δοκεῖ τὴν νίκην τὴν ἐπὶ τοῦ Ἐζεκίου σημαίνειν, γῆν τὸ πλῆθος τῶν ἀνθρώπων καλῶν, καὶ θραῦσιν τὴν κατάπτωσιν, ἀνάστασιν δὲ, αὐτοῦ τὴν ἐπὶ τὴν ἀντίληψιν ἔξοδον· ἐπεὶ καὶ ὁ Δαβὶδ οὕτω φησὶν, ἀναστήτω ὁ Θεὸς κρίνων τὴν γῆν, ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας χαρακτηρίζων.

11 Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοὶ, ὁ δὲ ἄνθρωπος ταπεινός.

Εἶτα ἵνα μηδεὶς τῶν ἀκουόντων τότε ἀπιστῇ τοῖς λεγομένοις (πολλοῖς γὰρ παρ' ἐλπίδας τὸ συμβησόμενον, καὶ προσδοκίας ἁπάσης ἀνώτερον) καταφεύγει ἐπὶ τὴν δύναμιν τοῦ ποιοῦντος, καὶ τὴν εὐτέλειαν τῶν πασχόντων. οὔτε γὰρ Θεοῦ, φησιν, ὑψηλότερόν τί ἐστιν, οὔτε ἀνθρώπων εὐτελέστερον. μὴ τοίνυν ἀπόρει, εἰ ὁ μέγας οὗτος καὶ ἰσχυρὸς οὗτος εὐτελὴς ἀθρόον οὕτω ταπεινωθῆναι δυνήσεται. καὶ καλῶς εἶπεν, οἱ ὀφθαλμοὶ Κυρίου ὑψηλοί. οὐκ εἶπεν ἡ δύναμις, ἀλλ' οἱ ὀφθαλμοὶ Κυρίου, ὡς ἀρκούσης καὶ τῆς ὄψε-

Ψαλμ. ργ. λβ.
Ὡσηὲ ια. ε.

ὡς μόνης ἀπόλυτα τὰ ἐναντιούμενα καθελεῖν· ὅπερ καὶ ὁ Δαβὶδ ἑτέρωθι ἔλεγεν, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· καὶ ἕτερος πάλιν προφήτης, Ἐπιβλέψομαι πρὸς αὐτήν, καὶ διωνήσομαι " αὐτόν.

Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Τῆς γὰρ παραδόξου γινομένης νίκης, καὶ τῶν λαμπρῶν καὶ θαυμαστῶν τροπαίων ἐκείνων, καὶ δαίμονες ἠλέγχθησαν καὶ εἴδωλα ἠτιμώθη, καὶ ψευδοπροφῆται ἐπεστομίσθησαν, καὶ τῶν βαρβάρων ἡ τυραννὶς κατελύθη, καὶ πᾶν τῷ Θεῷ στόμα ἐναντιούμενον ἐνεφράγη. Διὰ τοῦτό φησιν, ὑψωθήσεται Κύριος μόνος. Οὐδεὶς ἔσται λοιπὸν ὁ ἀντερῶν, οὐδὲ ἀμφιβάλλων περὶ τῆς τοῦ Θεοῦ δυνάμεως, τῆς τῶν πραγμάτων ἀποδείξεως οὕτω σαφεστάτης γεγενημένης. Τὸ μὲν γὰρ τῆς φύσεως ὕψος ἔχει διηνεκές, οὐδέποτε ἀρξάμενον, ἀλλὰ ἀεὶ ὄν· ὑψοῦσθαι δὲ λέγεται ἐν τῇ διανοίᾳ τῶν ἀνθρώπων, ὅταν οἱ ἀντιλέγοντες καὶ ἐναντιούμενοι ἀπ' αὐτῆς τῶν πραγμάτων πεισθέντες τῆς ἀποδείξεως ὑποκύψωσι, καὶ τὴν προσήκουσαν ἀνενέγκωσιν εὐφημίαν.

ἴσ. αὐτῷ. ἀλλ' αὐτῇ.

12 Ἡμέρα γὰρ Κυρίου σαβαὼθ παρέσται ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται· 13 Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον " Λιβάνου βασᾶν, 14 Καὶ ἐπὶ πᾶν ὄρος ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν, 15 Καὶ ἐπὶ πάντα πύργον ὑψηλόν· 16 Καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν κάλλους πλοίων.

ἴσ. βαλάνου

17 Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Τεῖχος ἐνταῦθα καὶ κέδρον καὶ βουνὸν καὶ δρῦν, τοὺς δυνάστας ἀνθρώπους φησί, τῷ ὕψει τῶν δένδρων τούτων " μεταφορητικῶς τὴν δυναστείαν αὐτῶν ἐνδεικνύμενος, καὶ πλοῦτον· καὶ θέαν κάλλους πλοίων λέγων, τοὺς εὐπορωτέρους αὐτῶν αἰνίττεται. Ὃ δὲ βούλεται τοῦτο εἰπεῖν, αὐτό ἐστιν· ὅτι πᾶς ἰσχυρός, πᾶς δυνάστης, πᾶς στρατηγός, πᾶς περιβεβλημένος πλοῦτον, πᾶσα, ὡς εἰπεῖν, τῶν ἀνθρώπων ἡ εὐπρέπεια καὶ ἰσχὺς τότε οἰχήσεται καὶ διαλυθήσεται· καὶ οὐδὲν αὐτοὺς προστήσεται πρὸς τὸ διαφυγεῖν τοῦ Θεοῦ τὴν ὀργήν, οὐκ ἰσχὺς σώματος, οὐκ ἐμπειρία πολέμου, οὐ χρημάτων περιουσία, οὐ δυναστείας περιβολή, οὐ στρατοπέδου πλῆθος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Κέδρους δὲ Λιβάνου διὰ τοῦτό φησι, διὰ τὸ αὐτόθι τοῦτο μάλιστα φύεσθαι τὸ δένδρον, ἢ διὰ τὸ πλησίον τὰ πράγματα γίνεσθαι· θέαν δὲ κάλλους πλοίων, τὴν εὐπρέπειαν τῶν στρατηγῶν, τὴν ἀπὸ πλούτου καὶ ὅπλων καὶ δορυφόρων κεκαλλωπισμένων. Δοκεῖ δέ μοι καὶ τὴν διὰ μακροῦ γινομένην ἀποδημίαν τῶν βαρβάρων αἰνίττεσθαι.

ἴσ. μεταφορικῶς

18 Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, 19 Εἰσενέγκαντες εἰς τὰ σπήλαια, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.

Τοσοῦτον γὰρ ἀφέξουσιν αὐτῶν, φησιν, οἱ θεοὶ παρέχειν ἵνα συμμαχίαν, ὅτι τῆς παρὰ τῶν ἀνθρώπων δεήσονται βοηθείας, καὶ τόπων ἀσφαλείας, ὥστε μὴ ἁλῶναι, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Ἵνα γὰρ μή τις τῇ τῶν βαρβάρων ἐφόδῳ ταῦτα λογίζηται, μηδὲ τῆς ἰσχύος τῆς ἐκείνων εἶναι νομίζῃ τὸν φόβον, ἀνάγει τὸν λόγον ἐπὶ τὸν τῶν ὅλων Θεὸν λέγων, ὅτι αὐτὸς τοῦ πολέμου στρατηγεῖ τούτου, καὶ παρ' ἐκείνου δύναμις ἐν τοσούτῳ κινδύνῳ τῶν ἤδη πεπλημμελημένων. 20 Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ, τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν ἑαυτοῖς εἰς τὸ προσκυνεῖν τοῖς ματαίοις αὐτῶν καὶ ταῖς νυκτερίσι, 21 Τοῦ εἰσελθεῖν εἰς τὰς στερεὰς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πε-

τρῶν

πετρῶν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Ἱκανῶς αὐτοὺς ἐκωμῴδησε, δεικνὺς μετὰ τῶν θεῶν κρυπτομένους καὶ εἰς τὴν γῆν καταδυομένους, καὶ οὔτε τὴν πολυτέλειαν τῆς ὕλης ἀρκέσαι τι δυναμένην πρὸς τὴν ἐπικειμένην συμφοράν. νυκτερίδας δὲ ἐκάλεσε τὰ εἴδωλα, ἢ διὰ τὴν ἀσθένειαν, ἢ διὰ τὸ τῆς πλάνης ἐσκοτισμένον, καὶ τὸ πάντα λάθρα παρὰ τῶν δαιμόνων πράττεσθαι. ὥσπερ γὰρ ταῖς νυκτερίσιν, ὁ μὲν ἥλιος πολέμιον, καὶ τὸ φῶς, ἡ δὲ νὺξ καὶ τὸ σκότος φίλον· οὕτω καὶ τοῖς δαίμοσι, καὶ τοῖς ὑπ᾽ ἐκείνων πλανωμένοις, ἡ πονηρία μὲν, καὶ τὰ παράνομα ἅπαντα συνήθη καὶ φίλα, ἐχθρὰ δὲ ἡ ἀρετὴ καὶ τὰ τοῦ φωτὸς ἔργα· καὶ λαμψάντων αὐτῶν εὐθέως σκοτίζονται, οὐ δεομένου τοῦ ἐν ἀρετῇ ζῶντος πόνου τινὸς καὶ καμάτου. ἀρκεῖ γὰρ φανῆναι μόνον, καὶ πάντα καταλύσει ἐκεῖνα.

22 Παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ, ὅτι ἐν τίνι ἐλογίσθη αὐτὸς οὗτος; Ἐνταῦθά μοι δοκεῖ τὸν Ἐζεκίαν αἰνίττεσθαι, ἐκ τοῦ δέους καὶ τῆς πολλῆς ἀγωνίας πρὸς ἐσχάτας ὄντα ἀναπνοάς. ἐπεὶ οὖν ὥσπερ ἐν δικτύοις αὐτὸν λαβόντες οἱ βάρβαροι, ἕτοιμον ἐνόμιζον θήραν ἔχειν, καὶ οὐδὲ πόνου δεῖσθαι εἰς τὴν τῆς πόλεως ἅλωσιν, καὶ τὴν αἰχμαλωσίαν τὴν ἐκείνου, συνέβη τοὐναντίον τοῖς βαρβάροις. διὰ τοῦτό φησι, παύσασθε ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτὸς οὗτος; τουτέστιν ἐν οὐδενὶ ἐλογίσθη. καὶ γὰρ ὡς ἐξ ἐπιδρομῆς πάντα ἤλπισαν ἀναιρήσεσθαι· ἐξέβη δὲ τοὐναντίον ἅπαν. καὶ ὁ μηδὲν εἶναι νομιζόμενος παρ᾽ ὑμῖν, ἀλλ᾽ εὐκαταγώνιστος, οὗτος λαμπρότερος πάντων φαίνεται τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύων ῥοπῆς.

ΚΕΦΑΛΑΙΟΝ γ.

κεφ. γ.

1 Ἰδοὺ ὁ δεσπότης Κύριος σαββαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν. Καθάπερ ἰατρὸς ἄριστος, νῦν μὲν καίων, νῦν δὲ τέμνων, νῦν δὲ πικρὰ διδοὺς φάρμακα, μεθοδεύει τῶν ἀρρωστούντων τὴν ὑγίειαν· οὕτω δὲ καὶ ὁ φιλάνθρωπος Θεὸς, ποικίλαις καὶ διαφόροις τιμωρίαις τὸ διαρρέον καὶ ἀναπεπτωκὸς τῶν Ἰουδαίων ἐπισφίγγων, νῦν μὲν τῇ τῶν βαρβάρων ἐφόδῳ φοβεῖ τοὺς ἀγνώμονας, νῦν δὲ καὶ πρὸ τῆς ἐκείνων ἐπιθέσεως ἑτέραις αὐτοὺς ἀπειλαῖς καταστέλλει, τῇ ποικιλίᾳ τῶν ἀπειλῶν ἀκμάζοντα διατηρῶν ἐν αὐτοῖς τὸν φόβον. νῦν γοῦν ἀσθένειαν″ αὐτοῖς ἀπειλεῖ, καὶ λιμὸν, καὶ αὐχμὸν, οὐχὶ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκείνων τῶν οὐδὲν ἔλαττον τῶν ἐπιτηδείων τὴν ἡμετέραν συνεχόντων ζωήν. οὐ γὰρ δὴ λιμὸς χαλεπὸν μόνον, ἀλλὰ καὶ τὸ ἐν ἐρημίᾳ καθεστάναι τῶν κυβερνώντων τὰ πράγματα· ὃ καὶ τὴν εὐθηνίαν λιμοῦ χαλεπωτέραν ἀποφαίνειν εἴωθε. τί γὰρ ὄφελος ἐκ πληγῶν ἅπαντα ἐπιτηρεῖν, ὅταν ἐμφύλιοι τίκτωνται πόλεμοι, καὶ ἡ θάλασσα διεγείρηται, καὶ τῶν κυμάτων μαινομένων, μήτε κυβερνήτης μήτε πρωρεὺς, μήτε ἄλλος τις ᾖ δυνάμενος διαθεῖναι τὸν τῶν πραγμάτων χειμῶνα, καὶ καταστῆσαι γαλήνην; ὅταν δὲ μετὰ τούτων καὶ λιμὸς ᾖ, ἐννόησον τῶν κακῶν τὴν ὑπερβολήν. Ταῦτα οὖν ἅπαντα ἀπειλεῖ ὁ Θεὸς, καὶ πρῶτον τὸ πάντων χαλεπώτερον. ἰδοὺ γάρ, φησιν, ὁ δεσπότης Κύριος σαβαώθ. τῇ λέξει ταύτῃ ἰδοὺ, συνεχῶς οἱ προφῆται κέχρηνται, ὅταν πληροφορῆσαι τὸν ἀκροατὴν βούλωνται περὶ τῶν λεγομένων. οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἐστιν ἰδεῖν, ὅτι τῆς σωματικῆς ἀσθενείας αἱ ἁμαρτίαι προηγήσαντο πολλάκις, ὡς ἐπὶ τοῦ Κάϊν. ἐπειδὴ γὰρ οὐ καλῶς ἐχρήσατο τῇ ἰσχύϊ, παρελύθη καλῶς· οὕτω καὶ ὁ ἐπὶ τῆς κολυμβήθρας. ὅτι γὰρ ἡ πηγὴ τῆς παρέσεως τὰ ἁμαρτήματα ἦν, φησὶν ὁ Χριστὸς, Ἴδε, ὑγιὴς γέγονας, μηκέτι

ἴσ. αὐτοῖς

Io. c. 5.

α. Κορ. ια. λ.

κέτι ἁμαρτάνομεν. καὶ ὁ Παῦλος δέ φησι, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, ἐπειδὴ ἡμαρτάνον οὐ καθαρῷ συνειδότι τῶν μυστηρίων μεταλαμβάνοντες. καὶ τὸν πεπορνευκότα δὲ ἀσθενείᾳ σώματος παραδίδωσι, ταύτην ὑπὲρ ἁμαρτημάτων ἀπαιτῶν δίκην. οὐ μὴν πανταχοῦ ἁμαρτημάτων ἐπιτίμιον τοῦτο, ἀλλ' ἔστιν ὅπου καὶ στεφάνων ὑπόθεσις τὸ πρᾶγμα γίνεται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ Ἰώβ. οὐκ ἀσθένειαι δὲ μόνον, ἀλλὰ καὶ λῶβαι ἕτεραι σώματος ἐξ ἁμαρτημάτων ἐγίνοντο, ὡς ἡ λέπρα τοῦ Ὀζία διὰ τὴν ἀναισχυντίαν τῆς γνώμης, ὡς ἡ χεὶρ τοῦ βασιλέως Ἱεροβοὰμ τὴν ξηρότητα ὑπομείνασα διὰ τὴν ἀπόνοιαν αὐτοῦ καὶ ἀλαζονείαν. καὶ τοῦ Ζαχαρίου δὲ ἡ γλῶττα οὐχ ἑτέρωθεν ἐπαιδεύθη, ἀλλ' ἢ διὰ τὴν τῆς ψυχῆς ἁμαρτίαν. ἐπεὶ οὖν καὶ τοῖς Ἰουδαίοις εὐσωματεῖν καὶ σφριγᾶν καὶ τούτοις κομᾶν τοῖς πλεονεκτήμασιν ἀπονοίας ὑπόθεσις ἐγένετο, ὑπέσυρε τῆς ἀλαζονείας τὴν ῥίζαν, νουθετῶν αὐτοὺς καὶ βελτίους ποιῶν, καὶ μείζονα διδούς; ἢ ἀφαιρούμενος ἐξ αὐτῶν. ποῖον γὰρ βλάβος, τὸ σῶμα ἀσθενεῖν, ὅταν ἐντεῦθεν παιδεύηται ἡ ψυχή; εἶτα ἵνα μὴ νομίσωσι φύσεως ἀσθένειαν εἶναι τὸ γινόμενον, προανεφώνησεν αὐτὰ ὁ προφήτης, καὶ οὐ μέχρι τῶν ἀνδρῶν ἔστησε τὴν ἀπειλήν, ἀλλὰ καὶ ἐπὶ τὸ γυναικεῖον γένος διεβίβασε τὴν τιμωρίαν. ἐπειδὴ καὶ ἑκατέρα ἡ φύσις διέφθαρτο, καὶ προϊὼν διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας καὶ πρὸς αὐτὰς ἀποτείνεται τὰς γυναῖκας, ἐγκαλῶν αὐταῖς ἐγκλήματα, ἃ τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνέτρεπον. διὰ δὴ τοῦτο καὶ αὐτὰς τῷ λιμῷ περιβάλλει. καὶ γὰρ λοιμὸν αἰνίττεσθαί μοι δοκεῖ, λέγων, ἀφελῶ ἰσχύοντα καὶ ἰσχύουσαν, ἢ ἄλλην τινὰ σωματικὴν ἀσθένειαν οὐδὲ ἰατρῶν εἴκουσαν τέχναις. τοιαῦται γὰρ αἱ τοῦ Θεοῦ πληγαί.

Ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. Χαλεπωτάτη ἡ τιμωρία, ὅταν μὴ αὐτὴν ἀναιρῇ τὴν οὐσίαν, ἀλλὰ τὴν ἐξ αὐτῆς ἐγγινομένην δύναμιν, ὥστε καὶ τῇ ὄψει κολάζεσθαι μηδέποτε ἐμπιπλαμένους, καὶ αὐτόθεν συνορᾶν, ὅτι θεήλατος ἐστὶν ἡ ὀργή.

2 Γίγαντα καὶ ἰσχύοντα. Γίγαντα ἀεὶ ἡ γραφὴ τὸν ἰσχυρὸν λέγειν εἴωθεν, ἢ τὸν ὑπερέχοντα τῶν πολλῶν τῇ τῶν μελῶν ἀναλογίᾳ. καὶ γὰρ ἐν τῇ κτίσει ὅταν λέγῃ, οὗτοι ἦσαν οἱ γίγαντες οἱ ἄνθρωποι οἱ ὀνομαστοί, οὐκ ἄλλο τι γένος γεγενῆσθαι διηγουμένη ταῦτά φησιν, ἀλλὰ καὶ τοὺς ἰσχυροὺς καὶ εὐρρώστους καὶ σφριγῶντας ἡμῖν αἰνίττεται. Καὶ ἄνθρωπον πολεμιστήν, καὶ δικαστήν. Ἀφόρητος ἡ τιμωρία καὶ ἐσχάτης ἀπωλείας ἀπόδειξις τὰ εἰρημένα, καὶ τῶν τειχῶν ἑστώτων καὶ τῶν πύργων, αὔτανδρον τοῖς πολεμίοις τὴν πόλιν παραδιδόναι δύναιτ' ἄν. ἀσφάλεια γὰρ πόλεων οὐκ ἐν λίθοις καὶ ξύλοις καὶ περιβόλοις, ἀλλ' ἐν τῇ συνέσει τῶν τὴν πόλιν οἰκούντων. οἳ τηνίκα μὲν ἂν ὦσι, καὶ πολεμίων ὄντων, ἀσφαλέστερον ἁπάντων αὐτὴν τειχίζουσι· τηνίκα δὲ ἂν ἀπῶσι, καὶ μηδενὸς ἐνοχλοῦντος τῆς πολιορκουμένης ἀθλιωτέραν αὐτὴν ἀποφαίνουσιν. ὥστε κἀκείνους, καὶ τοὺς ἀκούοντας ἅπαντας οὐ μικρὸν φιλοσοφίας δόγμα διὰ τούτων ὁ προφήτης ἐπαίδευσε, πείθων μηδέποτε μεγέθει πόλεως θαρρεῖν, μηδὲ τάφροις καὶ μηχανήμασιν, ἀλλ' ἀνδρῶν ἐπιεικῶν ἀρετῇ. φοβῶν τοίνυν αὐτούς, φησιν, ὅτι ἐρημώσει τῆς ἀσφαλείας αὐτήν, οὐ τοὺς πολεμεῖν εἰδότας ἀναρπάζων μόνον, ἀλλὰ καὶ τοὺς δικάζειν ἐπισταμένους, οἳ τῶν πολεμούντων οὐκ ἔλαττον συντελοῦσι ταῖς πόλεσιν, εἰρήνην τε εὖ διατιθέντες, καὶ πολεμίους πολλάκις ἐπιόντας ἀποκρουόμενοι. ἐπειδὴ γὰρ οὗτοι συνεχῶς ἀπὸ τῆς τῶν ἁμαρτημάτων φύονται ῥίζης, δυνατὸν τοὺς τῶν νόμων φύλακας, καὶ τοῦ δικαίου μετὰ ἀκριβείας περιϊσταμένους, τὰ πλείονα τῶν ἁμαρτημάτων ἀναστέλλοντας ἀναιρεῖν, καὶ τοῦ πολέμου τὴν ὑπόθεσιν. τίνος οὖν ἕνεκεν ὁ Θεὸς αὐτοὺς ἀνασπᾷ; ἐπειδὴ πρόσοδον αὐτοῖς οὐκ εἰς δέον ἐκέχρηντο. ὥσπερ γὰρ τὰ σωτήρια αὐτοῦ διδάγματα πολλὴν ἔφερον τοῖς ἀκροωμένοις

τὴν ὠφέλειαν, ἐπεὶ δὲ τῶν Ἰουδαίων δημηγορῶν ἡ ἀσάφεια τὰ λεγόμενα ἔκρυπτεν, ἐπειδὴ μὴ προσεῖχον τοῖς λεγομένοις· οὕτω δὴ καὶ τὰ δῶρα αὐτοῦ τὰ μεγάλα ταῦτα, καὶ σωτηρίαν ἡμῖν πολλὴν κομίζοντα ἐκ μέσου πολλάκις ἀναιρεῖ, ὅταν οἱ λαμβάνοντες μηδὲν ἀπ' αὐτῶν βουληθῶσι καρπώσασθαι.

Καὶ προφήτην καὶ στοχαστήν.

Οὐ μικρὸν δὲ ὀργῆς εἶδος καὶ τὸ τὰς προφητείας ἐπιλιπεῖν. ὅτε γοῦν τὸν τῶν Ἰουδαίων δῆμον διὰ τὰ ἁμαρτήματα τῶν τοῦ Ἠλὶ παίδων ὁ Θεὸς ἀπεστράφη, καὶ τὴν πολλὴν τοῦ πλήθους κακίαν, ἐπέλιπεν ἡ προφητεία. ῥῆμα γὰρ τίμιον, φησὶν, ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα. τίμιον, τουτέστι, σπάνιον. καὶ ἐπὶ τοῦ Ὀζία δὲ αὐτὸ τοῦτο γέγονεν. οὐ γὰρ μικρὰ καὶ ἐντεῦθεν ἐκαρποῦντο, εἴ γε ἐβούλοντο. τὸ γὰρ μανθάνειν τὰ παρὰ τοῦ Θεοῦ, καὶ πρὸς τὰ μέλλοντα παρασκευάζεσθαι δεινὰ, καὶ ὑπὲρ τῶν ἀδήλων πυνθάνεσθαι, καὶ πότε μὲν ἐπιθέσθαι δεῖ πολεμίοις, πότε δὲ ἡσυχάζειν, καὶ πῶς ἅπαντα τὰ λυπηρὰ διακρούεσθαι δέοι, πολλὴν ἔφερεν αὐτοῖς σωτηρίας εὐκολίαν. ἀλλ' ἐπειδὴ μανθάνοντες οὐκ ἐποίουν, διὰ τοῦτο καὶ τὸ μανθάνειν αὐτῶν ἀφεῖλεν, ὃ πολλῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖγμα ἦν, τὸ καὶ προειδότα τὰ μέλλοντα, καὶ ὡς οὐ χρήσονται εἰς δέον τοῖς παρ' αὐτοῦ δώροις, τὰ γοῦν παρ' αὐτοῦ ἅπαντα παρασχεῖν. μετὰ δὲ τοῦ προφήτου, καὶ στοχαστὴν φησὶν ἀναιρεῖ. ἐνταῦθά μοι δοκεῖ λέγειν στοχαστὴν, τὸν ἀπὸ συνέσεως πολλῆς τῶν μελλόντων "στοχάζεσθαι, καὶ ἀπ' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. ἕτερον μὲν γὰρ στοχασμὸς, καὶ προφητεία ἄλλο. ὁ μὲν γὰρ πνεύματι θείῳ φθέγγεται, οὐδὲν οἴκοθεν εἰσφέρων· ὁ δὲ τὰς ἀφορμὰς ἀπὸ τῶν ἤδη γεγενημένων λαμβάνων, καὶ τὴν οἰκείαν σύνεσιν διεγείρων, πολλὰ τῶν μελλόντων προορᾷ, ὡς εἰκὸς ἄνθρωπον ὄντα συνετὸν προϊδεῖν. ἀλλὰ πολὺ τὸ μέσον τούτου κἀκείνου, καὶ τοσοῦτον, ὅσον συνέσεως ἀνθρωπίνης καὶ θείας χάριτος τὸ διάφορον. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος τὸν λόγον ποιήσω φανερὸν, ἐννοήσωμεν τὸν Σολομῶντα καὶ τὸν Ἐλισσαῖον. ἀμφότεροι γὰρ κεκρυμμένα πράγματα εἰς μέσον ἤγαγον, καὶ κεκρυμμένα ἀνεκάλυψαν· ἀμφότεροι δὲ οὐ τῇ αὐτῇ δυνάμει. ἀλλ' ὁ μὲν ἀπὸ συνέσεως ἀνθρωπίνης παρὰ τῆς φύσεως λαβὼν ἀφορμὰς ἐπὶ τῶν πόρνων γυναικῶν ἐκείνων· ὁ δὲ λογισμῷ μὲν οὐδενὶ χρησάμενος (ποῖος γὰρ λογισμὸς ἀνακαλύψαι δυνατὸς ἦν τοῦ Γιεζῆ τὴν κλοπήν;) θείᾳ δὲ χάριτι τὰ πόῤῥωθεν γεγενημένα προειδώς.

ἴσ. στοχαζόμενον, ἢ στοχάζεσθαι δυνάμενον,

Καὶ πρεσβύτερον καὶ πεντηκόνταρχον.

Μετὰ δὴ τούτων καὶ πρεσβύτερον καὶ πεντηκόνταρχόν φησιν ἀναιρεῖν, πρεσβύτερον οὐχ ἁπλῶς γεγηρακότα λέγων, ἀλλὰ τὸν μετὰ τῆς πολιᾶς τὴν προσήκουσαν τῇ πολιᾷ διατηροῦντα σύνεσιν. καὶ πεντηκόνταρχον δὲ ὅταν λέγῃ, οὐχ ἕνα τινὰ πεντηκόνταρχόν φησιν, ἀλλὰ τῷ ὀνόματι τούτῳ τοὺς ἄρχοντας πάντας αἰνίττεται. οὐδὲν γὰρ, οὐδὲν ἀναρχίας χαλεπώτερον, ὥσπερ οὐδὲ πλοίου τι σφαλερώτερον γένοιτ' ἂν κυβερνήτην οὐκ ἔχοντος. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἑτέραν μεγάλην ἀσφάλειαν ἀναιρήσειν ἀπειλεῖ, τοὺς τὰ ἄριστα βουλεύειν εἰδότας, οἳ τῶν ὅπλων οὐκ ἐλάττονα εἰσφέρουσι σωτηρίαν ταῖς πόλεσιν. Ἀφελῶ γὰρ, φησὶ, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα. --- Οὐχὶ τὸν οἰκοδόμον λέγων, ἀλλὰ τὸν πραγμάτων ἔμπειρον, καὶ πολλὰ ἐπιστάμενον, καὶ μετὰ συνέσεως ἅπαντα τὰ τῆς πόλεως διατιθέναι πράγματα εἰδότα. καὶ μετὰ τούτων, Καὶ συνετὸν ἀκροατήν. Ἂν γὰρ τοῦτο ἀπῇ, κἂν τἄλλα ἅπαντα παρῇ, πλέον οὐδὲν ἔσται ταῖς πόλεσι. κἂν προφῆται ὦσι, κἂν σύμβουλοι, κἂν δυνάσται, ὁ δὲ ἀκουσόμενος μηδεὶς ᾖ, πάντα εἰκῇ καὶ μάτην. ἐμοὶ δοκεῖ ἐνταῦθα τὸ ἀφελῶ λέγειν, τὸ ἐάσω καὶ ἀφήσω, ὥσπερ ὁ Παῦλός φησι·

παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν, οὐ τοῦτο δεικνὺς, ὅτι ἐνέβαλεν εἰς ἄνοιαν, ἀλλ' ὅτι ἀφῆκε καὶ εἴασεν ἀνοήτους ὄντας.

3 Καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν. Τοῦτο ἀναρχίας χεῖρον καὶ πολλῷ χαλεπώτερον. ὁ μὲν γὰρ οὐκ ἔχων ἄρχοντα, ἀπεστέρηται τοῦ χειραγωγοῦντος· ὁ δὲ πονηρὸν ἔχων, τὸν ἐμβάλλοντα εἰς κρημνοὺς ἔχει. νεανίσκους δὲ ἐνταῦθα, οὐχὶ ἁπλῶς τὴν ἡλικίαν διαβάλλων ἔφησεν, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος τὴν ἄνοιαν αὐτῶν ἐπιδείκνυται. ἔστι γὰρ καὶ νέους εἶναι συνετοὺς, καὶ γεγηρακότας ἀνοίᾳ συζῆν. ἀλλ' ἐπειδὴ τοῦτο μὲν σπανιάκις συμβαίνειν εἴωθε, τὸ δὲ πλεονάζον τοὐναντίον ἐστὶν, ἐξ ἐκείνου ἀνοήτους ὠνόμασεν. ἐπεὶ καὶ Τιμόθεος νέος ὢν, καὶ μυρίων γεγηρακότων σοφώτερος τὰς ἐκκλησίας διώρθωσε· καὶ Σολομὼν ἡνίκα μὲν δωδεκαέτης ἦν, τῷ Θεῷ διελέγετο, καὶ πολλῆς ἀπήλαυε παῤῥησίας, καὶ ἀνεκηρύττετο καὶ ἐστεφανοῦτο, καὶ θέατρον ἀπὸ τῶν βαρβάρων τῆς αὐτοῦ σοφίας ἐκάθιζε. καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ ἤδη καὶ γυναῖκες, πόῤῥωθεν ἐπιοῦσαι, ταύτην μόνην τῆς ἀποδημίας τὴν ὑπόθεσιν εἶχον τὸ μαθεῖν τι καὶ ἀκοῦσαι παρὰ τῆς ἐκείνου φωνῆς. ἐπειδὴ δὲ εἰς γῆρας ἦλθε, πολλῷ τῆς ἀρετῆς καθυφῆκε. καὶ ὁ τούτου δὲ πατὴρ ὁ μακάριος Δαβὶδ, τὴν χαλεπὴν ἁμαρτίαν ἐκείνην, οὐχ ἡνίκα παῖς καὶ μειράκιον ἦν, ἀλλ' ἡνίκα τὴν ἡλικίαν ὑπερέβη ταύτην, τότε ἥμαρτεν: ὅτε δὲ παιδίον μικρὸν ἐτύγχανεν ὂν, καὶ τρόπαιον ἀνέστησε θαυμαστὸν, καὶ τὸν βάρβαρον κατήνεγκε, καὶ πᾶσαν ἐπεδείξατο φιλοσοφίαν, καὶ οὐδὲν ἡ νεότης αὐτῷ πρὸς τὰ κατορθώματα ταῦτα κώλυμα γέγονε. καὶ τὴν Ἱερεμίου δὲ τὴν ἀπὸ τῆς ἡλικίας προβαλλομένου παραίτησιν οὐκ ἀπεδέξατο ὁ Θεὸς, ἀλλ' ἐξήγαγεν ἐπὶ τὸν τῶν Ἰουδαίων δῆμον, οὐδὲν ἐντεῦθεν αὐτὸν κωλύεσθαι λέγων, εἰ τὰ τῆς διανοίας ἐῤῥωμένα εἴη. ταύτην ἄγων τὴν ἡλικίαν, μᾶλλον δὲ καὶ ταύτης ἐλάττονα πολλῷ, τοὺς πρεσβυτέρους ἔκρινεν ὁ Δανιήλ· καὶ Ἰωσίας δὲ οὐδὲ δέκα ἔτη γεγονὼς ὅλα, ἐπὶ τοῦ τῆς βασιλείας ἀνέβη θρόνου· καὶ τότε μὲν εὐδοκίμει, μετὰ δὲ ταῦτα κατολιγωρήσας μικρὸν, ἐλυμήνατο τὴν τῆς ψυχῆς ἀρετήν. τί δὲ ὁ Ἰωσήφ; οὐχὶ νέος ὢν, καὶ σφόδρα νέος, τὸν χαλεπὸν ἐκεῖνον ἀνείλετο πόλεμον, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς αὐτὴν τῆς φύσεως τὴν τυραννίδα μαχόμενος, καὶ ἐκ μέσου καμίνου καὶ φλογὸς πολὺ τῆς Περσικῆς χαλεπωτέρας ἐξεπήδησεν ἀσινὴς, τῶν τριῶν παίδων οὐκ ἔλαττον ἀβλαβὴς διαμείνας; ὥσπερ γὰρ ἐκεῖνοι τὰ σώματα μετ' αὐτῶν τῶν τριχῶν ἀκέραια τότε ἐξαγαγόντες ἔδειξαν, ὡς ἀπὸ πηγῆς μᾶλλον ἢ καμίνου ἐξιόντες· οὕτω δὴ καὶ οὗτος τῶν ἐν ἀγῶνι τῆς Αἰγυπτίας χειρῶν ἀπαλλαγεὶς, ἐξῄει, μήτε ἀπὸ τῆς ἁφῆς, μήτε ἀπὸ τῶν ῥημάτων, μήτε ἀπὸ τῆς ὄψεως, μήτε ἀπὸ τῶν ἱματίων, μήτε ἀπὸ τῶν μύρων, ἃ κληματίδος καὶ πίσσης χαλεπωτέραν ἀνῆπτε τῆς ἐπιθυμίας τὴν φλόγα, μήτε ἀπ' αὐτῆς τῆς ἡλικίας παθών τι τοιοῦτον, οἷον εἰκὸς ἦν ἄνθρωπον ὄντα παθεῖν. καὶ αὐτοὶ δὲ οἱ παῖδες οἱ τρεῖς οὗτοι ἐν αὐτῇ τῆς ἡλικίας ὄντες τῇ ἀνθῇ, καὶ γαστρὸς ἐκράτησαν, καὶ θανάτου φόβον ἐπάτησαν, καὶ στρατοπέδου τοσούτου, καὶ βασιλέως αὐτῆς τῆς καμίνου σφοδρότερον ἀφιέντος θυμὸν περιεγένοντο, καὶ οὐδὲν αὐτοὺς κατέπληξεν, ἀλλ' ἔμενον διηνεκῶς ἀδούλωτον τὸ φρόνημα ἔχοντες. ἴσ. πῶν οὐ τοίνυν τὴν ἡλικίαν διαβάλλων ταύτην φησίν· ἐπεὶ καὶ ὁ Παῦλος, ὅταν λέγῃ, Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου, (α. Τιμ. γ. ϛ.) οὐ τὸν νέον τὴν ἡλικίαν φησὶν, ἀλλὰ τὸν νεωστὶ φυτευθέντα, τουτέστι κατηχηθέντα. φυτεῦσαι γὰρ τὸ κατηχῆσαί φησι καὶ διδάξαι, ὥσπερ ὅταν λέγῃ· Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε. (α. Κορ. γ. ϛ.) καὶ Χριστὸς φυτείαν τὸ τοιοῦτο καλεῖ λέγων· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. ἐπεὶ εἰ νεόφυτον τὸν νέον ἔλεγεν, οὐκ ἂν Τιμόθεον σφόδρα νέον ὄντα, καὶ οὕτω νέον, ὡς λέγειν, Μηδείς σου τῆς νεότη-

τος καταφρονείτω, πρὸς τοσοῦτον ὄγκον ἀρχῆς ἀνήγαγεν αὐτόν, καὶ τοσαύτας φέρειν ἐπέτρεψεν ἐκκλησίας. Καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. Ὁρᾷς ὡς οὐ τὴν ἡλικίαν διαβάλλει ἁπλῶς, ἀλλὰ τὴν διεφθαρμένην γνώμην. τῇ γὰρ ἐπαγωγῇ τοῦτο σαφέστερον ἐποίησεν. ἐμπαίκτας δὲ ἐνταῦθά φησι τοὺς ἀπατεῶνας, τοὺς εἴρωνας, τοὺς κόλακας, τοὺς διὰ τῆς τῶν ῥημάτων χάριτος προπίνοντας αὐτοὺς τῷ διαβόλῳ.

4 Καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ. Ὥσπερ γὰρ τῶν τὰς οἰκοδομὰς συνεχόντων ξύλων διαφθαρέντων, ἢ καὶ ἀναιρεθέντων, τοὺς τοίχους ἀνάγκη συρρήγνυσθαι, οὐδενὸς ὄντος τοῦ κατέχοντος· οὕτω καὶ τούτων τῶν ἔμπροσθεν εἰρημένων ἀναιρεθέντων, ἀρχόντων, συμβούλων, δικαστῶν, προφητῶν, οὐδὲν τὸ κωλῦον ἦν τὸν δῆμον ἑαυτῷ συρραγῆναι, καὶ πολλὴν γενέσθαι τὴν σύγχυσιν. Προσκόψει τὸ παιδάριον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον.

Ἐναντιώσεται, φησιν, ὁ νέος τῷ γεγηρακότι, ὑπερόψεται, καταφρονήσει. Ταῦτα δὲ περὶ τῆς τῶν πολεμίων ἐφόδου, πολέμου παντὸς ἦν χαλεπώτερα. ὅταν γὰρ ἀτιμάζηται μὲν γῆρας παρὰ νεότητος, οἱ δὲ εὐτελεῖς καὶ ἀπερριμμένοι τοὺς προτέρους αἰδεσίμους καταπατῶσιν, οὐδενὸς ἔλαττον κληδονιζομένης ἡ τοιαύτη διακείσεται πόλις.

5 Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω.

6 Καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ, οὐκ ἔσομαι ἀρχηγός. οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον. οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου.

Ἐνταῦθά μοι δοκεῖ, ἢ πολιορκίαν τινὰ χαλεπωτάτην αἰνίττεσθαι εἰς τὴν ἐσχάτην στενοχωρίαν αὐτοὺς κατενεγκοῦσαν, ἢ χωρὶς πολιορκίας λιμόν τινα ἀφόρητον, καὶ πολλὴν τῶν ἀναγκαίων ἀπορίαν. κέχρηται δὲ κοινῇ συνηθείᾳ. καὶ ὥσπερ πολλοί φασιν, εἰ συνέβη τὴν πόλιν ἅπασαν ὀβολοῦ πωλεῖσθαι, οὐκ ἂν σχοίην αὐτὴν πρίασθαι, τὴν ἐσχάτην πενίαν ἐνδεικνύμενος· οὕτω καὶ ὁ προφήτης φησίν, ὅτι εἰ ἱματίου ἑνὸς καὶ ἄρτου μόνου γένοιντο ἂν αἱ ἀρχαὶ ὠνηταί, οὐδεὶς ἔσται ὁ ὠνούμενος. τοσαύτη ἀπορία ἔσται τῶν ἀναγκαίων.

7 Ὅτι ἀνεῖται Ἱερουσαλήμ· Τουτέστιν ἐγκαταλέλειπται, ἠρήμωται, τῆς τοῦ Θεοῦ προνοίας γεγύμνωται. Καὶ ἡ Ἰουδαία συμπέπτωκε.

Ταραχῆς, φησιν, ἐμπέπλησται καὶ θορύβου, συγχύσεως καὶ ἀταξίας.

Καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς τὸν Κύριον ἀπειθοῦσιν.

Εἶτα καὶ ἡ αἰτία τῶν κακῶν, τῆς γλώττης ἡ ἀκρασία, ὃ καὶ Ὠσηὲ ἐγκαλεῖ λέγων, Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένοντο ἐν ἡμέραις ἐλέγχου, ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά. καὶ ὁ Μαλαχίας τὰ αὐτὰ πάλιν λέγων· οἱ προφῆται ὀνειδίζοντες τοὺς παροξύναντας τὸν Θεὸν ἐν λόγοις· καὶ εἴπατε, ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης; τοῦτο δὴ καὶ αὐτὸς αἰτιᾶται, διπλοῦν προσφέρων ἔγκλημα, ὅτι οὐ μόνον ἀπειθοῦσιν, οὐδὲ οὐ μόνον παραβαίνουσι τὸν νόμον, ὀφείλοντες γοῦν αἰσχύνεσθαι ἐπὶ τούτῳ καὶ ἐρυθριᾶν, ἐγκαλύπτεσθαι καὶ κάτω κύπτειν, οἱ δὲ καὶ ἐπαγωνίζονται τοῖς προτέροις μετὰ τοῦ μὴ ποιεῖν τὰ ἐπιτεταγμένα, καὶ φορτικὰ φθεγγόμενοι ῥήματα· ὡσανεὶ οἰκέτης τις ἀγνώμων ἐγκαταλιμπάνων τὰ ἐπιτάγματα τοῦ δεσπότου, ἔτι καὶ θρασύνοιτο.

ἴσ. καλὸς

Μαλα. ζ. ά.

Διὸ νῦν ἐταπεινώθη ἡ δόξα αὐτοῦ, 8 Καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτοῦ ἀντέστη αὐτοῖς. Πάλιν τὰ μέλλοντα ὡς παρεληλυθότα λέγει, τῷ συνήθει κεχρημένος νόμῳ τῆς προφητείας. Ταπείνωσιν δὲ δόξης, τὴν αἰχμαλωσίαν καλεῖ. οὐ γὰρ τῆς τυχού-

κεφ. γ.

σης αἰσχύνης ἦν, τοὺς ἐν τάξει τῶν βασιλευόντων τῆς οἰκουμένης ὄντας, τούτους νῦν ἀνθρώποις βεβήλοις καὶ βαρβάροις ὑποτετάχθαι. αἰσχύνην δὲ προσώπου ἐνταῦθα τὴν ἀπὸ τῆς ἁμαρτίας ἐγινομένην φησί. τοιοῦτος γὰρ ἦν αὐτῶν ὁ βίος. ἐπεὶ οὖν προλαβόντες ἑαυτοὺς κατῄσχυναν δι' ὧν ἔπραττον, διὰ δὴ τοῦτο ὁ Θεὸς τῆς δόξης αὐτοὺς ἐξέβαλεν, ἐλάττονι παραδιδοὺς τιμωρίᾳ τῆς ὑπ' αὐτῶν ἐπενεχθείσης αὐτοῖς. οὐ γὰρ οὕτως ἦσαν ἐπονείδιστοι τὴν ἀλλοτρίαν οἰκοῦντες, ὡς τὴν μητρόπολιν ἔχοντες παρενόμουν. τότε μὲν γὰρ καὶ ἐνεκόπτετο αὐτοῖς τὰ τῆς κακίας· ἐπὶ δὲ τῆς πατρίδος καὶ πρὸς τὸ μεῖζον ἤρετο. μέγα τοίνυν αὐτοὺς ὁ προφήτης ἐπαίδευε δόγμα, πανταχοῦ πείθων πρὸ τῆς κολάσεως τὴν πονηρίαν φεύγειν, καὶ ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι, οὐχ ὅταν βάρβαροι λαβόντες δούλους ἀπάγωσιν, ἀλλ' ὅταν ἡ τῆς ἁμαρτίας τυραννὶς αἰχμαλώτους ἔχῃ.

Τὴν δὲ ἁμαρτίαν αὐτῶν, ὡς Σοδόμων, ἀνήγγειλαν καὶ ἐνεφάνισαν.

Ὃ πολλάκις εἶπον, λέγω καὶ νῦν· ὅτι δεικνὺς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ὁ προφήτης, οὐχ ἃ μέλλουσι πάσχειν προλέγει, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι. τὰ μὲν γὰρ ἡμαρτημένα αὐτοῖς, ἴσα Σοδόμοις ἦν, τὰ δὲ τῆς τιμωρίας καταδεέστερα. οὐ γὰρ προρρίζους αὐτοὺς ἀνήρπασεν, οὐδὲ λείψανα τοῦ γένους ἠφάνισε. τὸ δὲ ἀνήγγειλαν καὶ ἐνεφάνισαν ἀνθρωπινώτερον εἴρηται. οὐ γὰρ τότε μανθάνει ὁ Θεὸς τὰ γεγενημένα, ὅταν γένηται. πῶς γὰρ, ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; ἀλλ' ἵνα δείξῃ τὸ μέγεθος τῆς συμφορᾶς, οὕτως εἶπεν. ὥσπερ γὰρ ἀλλαχοῦ φησιν, ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρὸς μὲ, οὐχὶ τὸν Θεὸν ἀποικίζων που πόρρω, καὶ εἰς τὸν οὐρανὸν περικλείων, ταῦτά φησιν, ἀλλὰ τὸ μέγεθος τῆς ἁμαρτίας δηλῶν· οὕτω δὴ καὶ ἐνταῦθα, ἀνήγγειλαν, τὴν ὑπερβολὴν τῆς πονηρίας δεικνύμενος λέγει. τὰ μὲν γὰρ καταδεέστερα τῶν ἁμαρτημάτων καὶ λαθεῖν δύναιτ' ἄν· τὰ δὲ ὑπερβάλλοντα καὶ μεγάλα πᾶσίν ἐστι γνώριμα καὶ καταφανῆ, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, μηδὲ ἐλέγχων. αὐτὰ γὰρ ἑαυτὰ καταγγέλλει καὶ δῆλα ποιεῖ. βουλόμενος ὁ προφήτης ἐνταῦθα δείξασθαι τὸ μέγεθος τῶν κακῶν, φησιν, ἀνήγγειλαν καὶ ἐνεφάνισαν, τουτέστι μετὰ πολλῆς τῆς ὑπερβολῆς, μετὰ πολλῆς τῆς ὑπερηφανίας τὰ κακὰ ἔπραττον, οὐδὲ αἰσχυνόμενοι, οὐδὲ ἐγκαλυπτόμενοι, ἀλλὰ μελέτην τὴν πονηρίαν ποιούμενοι.

Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν,

9 Εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Ἐπίτασις πονηρίας, ὅταν μὴ μόνον ἁμαρτάνωσι, μηδὲ μὴ μόνον μετὰ παρρησίας ἁμαρτάνωσιν, ἀλλ' ὅταν καὶ τοὺς δυναμένους τὰ τοιαῦτα διορθοῦν ἀπελαύνωσιν. ὥσπερ γὰρ οἱ φρενίτιδι κατεχόμενοι τὸν ἰατρὸν πολλάκις συνέκοψαν, οὕτω δὴ καὶ οὗτοι τοῦ νοσεῖν μάλιστα μέγιστον δεῖγμα τοῦτο ἐξέφερον τὸ τοὺς δικαίους ἐκβάλλειν. τοιοῦτον γὰρ ἡ ἀρετή· καὶ φαινομένη μόνον ἀρκεῖ λυπῆσαι τὸν ἐν κακίᾳ ζῶντα. τοιοῦτον ἡ κακία, οὐδὲ ἐλεγχομένη πολλάκις καὶ τὴν παρουσίαν αὐτὴν βαρύνεται τῶν ἐν ἐπιεικείᾳ προαιρουμένη. διπλῆ δὲ ἐνταῦθα ἡ κατηγορία, καὶ τὸ δεσμεῖν τὸν δίκαιον, καὶ τὸ ὡς ἄχρηστον δεσμεῖν. ὅταν οὖν τις τὰ ὠφελοῦντα μὴ μόνον οὐ προσίεται, ἀλλὰ καὶ βλαβερὰ αὐτὰ νομίζῃ εἶναι, ποία λείπεται λοιπὸν διορθώσεως πρόφασις; διὸ καὶ ὁ προφήτης ἰδὼν εἰς ἔσχατον ἐξοκείλαντας, ἀπὸ θρήνων ἄρχεται πάλιν, οὐκ ἀπὸ κατηγορίας καὶ ἐγκλημάτων, λέγων, οὐαὶ τῇ ψυχῇ αὐτῶν. καὶ τὸ ἑξῆς μετὰ πολλῆς συνέσεως, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν. καίτοι τὰ γινόμενα δοκεῖ κατὰ τοῦ δικαίου τολμᾶσθαι, ἀλλ' εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐ κατὰ τοῦ πάσχοντος, ἀλλὰ τῶν ποιούντων ἡ βουλὴ τρέπεται. ἐνταῦθα μανθάνομεν, ὅτι ὁ μὲν καλὸς, κἂν μυρία πάσχῃ δεινὰ, οὐδὲν βέβλαπται παρὰ τῶν ποιούντων· οἱ δὲ ἐπιβουλεύοντες,

βουλεύοντες, οὗτοι μᾶλλόν εἰσιν οἱ καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦντες, καθάπερ καὶ οὗτοι. τὸν μὲν γὰρ δίκαιον οὐδὲν ἔβλαψαν δεσμοῦντες, ἑαυτοὺς δὲ ἐν πλείονι ζόφῳ καὶ ἐρημίᾳ καθιστῶν, τὸν λύχνον ἐκποδὼν ἁρπάζοντες. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Τοιοῦτον γὰρ ἡ κακία. αὐτὴ ἐν ἑαυτῇ τὴν τιμωρίαν ἔχει, καὶ ὃ ἐνταῦθά φησι, τοῦτ' ἔστιν, ἀπολαύσονται τῶν καρπῶν αὐτῶν, ἐν πλείονι καθιστῶντες ἑαυτοὺς ἐρημίᾳ, καὶ πολλοὺς κατασκευάζοντες ἑαυτοῖς κρημνούς.

10 Οὐαὶ τῷ ἀνόμῳ. πονηρὰ γὰρ συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ.

Ὁρᾷς πῶς ἡμῖν τὰ μέτρα τῆς τιμωρίας ἀεὶ καὶ τὰς ἀρχὰς γινομένας. διὰ δὴ τοῦτο πάλιν ὁ προφήτης θρηνεῖ καὶ ὀδύρεται καὶ διακόπτεται, ὅτι αὐτοὶ ἑαυτοὺς ἐπεβούλευον οἱ Ἰουδαῖοι, καὶ πολεμίου παντὸς χαλεπώτερον τὴν ἑαυτῶν ἐλυμαίνοντο σωτηρίαν· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; 11 Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς. Τοῦτο ἀρίστου διδασκάλου, ποικίλλειν τὸν λόγον, καὶ μήτε τραχύνειν μόνον, μήτε προσηνῆ ποιεῖν, ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο μεταχειρίζειν τὸ εἶδος, ὥστε πολλὴν ἐκ τῆς μίξεως γίνεσθαι τὴν ὠφέλειαν. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὐκ ἐγκαλεῖ μόνον, ἀλλὰ καὶ θρηνεῖ, ὃ βαρύτερον μέν ἐστι τῶν ἐγκλημάτων, ἐλάττονα δὲ παρέχει τὴν ὀδύνην· καὶ τὸ θαυμαστὸν τοῦτο, ὅτι ἐν βαθυτέρᾳ τῇ τομῇ προσηνεστέρα ἡ ἀλγηδών· καὶ οὐ θρηνεῖ μόνον, ἀλλὰ καὶ θεραπεύει, καὶ ἕτερον πάλιν θαυμαστὸν διδασκαλίας ἀνακινεῖ τρόπον. ποῖον δὴ τοῦτον; τὸ μὴ πᾶσιν ὑφ' ἓν ἐπιτιμᾶν, ἀλλὰ ἀποσχίσαι τὸν δῆμον τῶν ἀρχόντων, καὶ εἰς τὴν ἐκείνων περιτρέψαι κεφαλὴν τὰ ἐγκλήματα. τοσοῦτον γάρ ἐστι τούτου τοῦ εἴδους τὸ κέρδος, ὡς τὸν Μωϋσέα καὶ μετὰ πλείονος αὐτὸ ποιῆσαι τῆς ὑπερβολῆς. οὗτος μὲν γὰρ, πάντων ὄντων ὑπευθύνων τοῖς ἐγκλήμασιν, ἐπὶ τοὺς ἄρχοντας τρέπει τὸν λόγον· ὁ δὲ Μωϋσῆς εὑρὼν τὸν δῆμον τότε μάλιστα ὄντα τὸν τὴν παρανομίαν ἐργασάμενον ἐκείνην, τὸν δὲ Ἀαρὼν οὐ τοσαύτης ὄντα κατηγορίας ἄξιον, ἀφεὶς τοὺς ὑπευθύνους, ἐπὶ τὸν οὐχ οὕτως ὑπεύθυνον τρέπει τὴν κατηγορίαν, τοῖς ἐγκλήμασι τοῖς κατ' ἐκείνου διδοὺς τῷ συνειδότι τούτων μείζονα ἑαυτοῦ καταψηφίσασθαι τιμωρίαν· ὃ δὴ καὶ ἐγένετο. οὐ γὰρ ἐδεήθη λοιπὸν λόγων πρὸς τὸν δῆμον ἑτέρων· ἀλλ' ἤρκεσε τὰ ψιλὰ ἐκεῖνα ῥήματα τὰ πρὸς τὸν Ἀαρὼν εἰρημένα χιλιάδας τοσαύτας, ὡς ἕνα ἄνθρωπον, καταστεῖλαι, καὶ ἀπὸ τοσαύτης θρασύτητος εἰς δειλίαν καὶ ἀγωνίαν κατενεγκεῖν τὴν ἐσχάτην. ἃ δὴ προορῶν ὁ Μωϋσῆς, καταβὰς εὐθέως, τάς τε πλάκας ἔρριψε, καὶ πρὸς τὸν Ἀαρὼν ἔλεγε· τί ἐποίησέ σοι ὁ λαὸς οὗτος, ὅτι ἐποίησας αὐτὸν ἐπίχαρμα τοῖς ἐχθροῖς; τοῦτο καὶ ὁ προφήτης οὗτος ποιεῖ, τὸν ἅγιον ἐκεῖνον μιμούμενος διπλῷ τῷ τρόπῳ. οὐ γὰρ δὴ μόνον ἐνεκάλεσε τότε ὁ Μωϋσῆς, ἀλλὰ καὶ συναλγοῦντος προσωπεῖον λαβὼν, οὕτως ἐποιεῖτο τὴν κατηγορίαν ἐκείνην. οὕτω καὶ οὗτος ἀμφότερα ἐμιμήσατο λέγων, λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς. καὶ γὰρ κατηγόρησεν ἐκείνων, καὶ ὡς συναλγῶν τῷ δήμῳ ταῦτα ἔλεγε. πράκτορας δὲ ἐνταῦθα δοκεῖ μοι τοὺς ἀπαιτοῦντας λέγειν· ἐγὼ δὲ οἶμαι τοὺς ἅρπαγας, τοὺς πλεονέκτας αὐτῶν αἰνίττεσθαι· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τοὺς φορολογοῦντας. ὅρα αὐτοῦ κἀνταῦθα τὴν σύνεσιν. οὐ γὰρ τὸ πρᾶγμα ἐκβάλλει, ἀλλὰ τὴν ἀμετρίαν. οὐ γὰρ εἶπεν, ἀπαιτοῦσιν, ἀλλὰ καλαμῶνται, τουτέστι γυμνοῦσι τῶν ὄντων, ἀποστεροῦσιν ἁπάντων προσχήματι τῆς ἀπαιτήσεως. ταύτην δὲ εἴρηκε τὴν λέξιν ἀπὸ μεταφορᾶς τῶν καλαμώντων. καλαμᾶσθαι γὰρ λέγεται τὸ μετὰ τὸν ἀμητὸν τοὺς ἐκπεσόντας ἐκ τῶν θεριζόντων ἀστάχυας ἀναλέγεσθαι· καὶ μηδὲν οὕτως ἐπὶ ἀρούρας ἀφίεται. ὃ δὴ καὶ τότε οὗτοι ἐποίουν, ὁλόκληρα τὰ ὄντα ἁρπάζοντες, καὶ γυμνοὺς ἀφιέντες αὐτούς.

Καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἐνταῦθα τῆς πλεονεξίας ἵσταντο, ἀλλὰ καὶ περαιτέρω προῆγον τὴν τυραννίδα, δούλους τοὺς ἐλευθέρους ποιοῦντες. Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς.

Ἐνταῦθά μοι τοὺς ψευδοπροφήτας αἰνίττεσθαι δοκεῖ, ἢ τοὺς πρὸς χάριν αὐτοῖς διαλεγομένους, ὃ τῆς ἐσχάτης διαφθορᾶς αἴτιον γίνεται πολλαχοῦ. τὴν γοῦν ἐκ τούτου βλάβην δηλῶν ἐπήγαγε, Καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι·

Τουτέστιν, οὐκ ἐῶσιν ὀρθὰ βαδίζειν, διαστρέφοντες, ἐκλύοντες, ῥαθυμοτέρους ποιοῦντες. 12 Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. 13 Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτῶν. Ἐπὶ τῷ αὐτῷ εἴδει ἐπιμένει τῆς διορθώσεως, ἀπὸ τοῦ δήμου πρὸς τοὺς γεγηρακότας καὶ τοὺς ἄρχοντας τρέπων τὴν ἐπιτίμησιν, καὶ φοβερώτερον μεταχειρίζων τὸν λόγον. αὐτὸν δὲ εἰσάγει τὸν Θεὸν δικαζόμενον καὶ καταδικάζοντα, καὶ ὑπὲρ τῶν εἰς τὸν δῆμον ἁμαρτημάτων ἐγκαλοῦντα τοῖς τὸν δῆμον ἀλγοῦσι. διὸ καὶ ἔλεγεν, ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος. ἐπειδὴ γὰρ εἰς ἐγκλήματα τὸν λόγον ἀνήλωσε, τοῖς δὲ ἀναισθήτως διακειμένοις τὸ μὲν ἐγκαλεῖσθαι οὐ σφόδρα βαρύ, τὸ δὲ κολάζεσθαι φοβερόν, φησὶν, ὅτι οὐ μέχρι κατηγορίας τὰ πράγματα στήσεται, ἀλλὰ καὶ δίκη τοῖς ἁμαρτήμασιν ἕψεται, αὐτοῦ τοῦ μέλλοντος καταδικάζειν εὐθύνας λοιπὸν ἀπαιτοῦντος καὶ κρινομένου πρὸς τοὺς πεπλημμεληκότας· ὃ καὶ τὴν συγκατάβασιν τοῦ Θεοῦ πολλὴν δείκνυσιν, ἀνεχομένου δικάζεσθαι μετ᾽ ἐκείνων, καὶ ἐκπεπληκὸν ποιεῖ τὸν λόγον, ὃ καὶ τοὺς νοῦν ἔχοντας εἰς μεγάλην ἀγωνίαν ἐμβαλεῖν εἴωθεν. οὐκ ἐκείνης δὲ μόνον ἕνεκεν τῆς αἰτίας, ἧς ἔμπροσθεν εἶπον, πρὸς τοὺς ἄρχοντας καὶ τοὺς γεγηρακότας τρέπει τὸν λόγον, ἀλλὰ καὶ διδάσκων ἅπαντας, ὅτι βαρύτεραι τῶν ἀρχομένων τοῖς ἄρχουσιν αἱ εὐθῦναι. ὁ μὲν γὰρ ὑπὲρ ἑαυτοῦ μόνον, ὁ δὲ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ δήμου, οὗ τὴν ἀρχὴν ἐγκεχειρισμένος τυγχάνει, παρέχει τὸν λόγον· καὶ οἱ πρεσβύτεροι δὲ οὐκ ἀπεικότως τοσαύτην ἀπαιτοῦνται τὴν ἀκρίβειαν. ὅπερ γὰρ ἐκείνοις ἡ ἀρχή, τοῦτο τούτοις ἡ ἡλικία. ἄξιος μὲν γὰρ καὶ ὁ νέος ἐπιτιμήσεως δεινὰ ἁμαρτάνων· ὁ δὲ τὴν ἀπὸ τῆς ἡλικίας ἐντέλειαν ἔχων, καὶ τοσούτοις παθῶν οὐ πολιορκούμενος κύμασιν, ἀλλὰ καὶ σωφρονεῖν εὐκολώτερον, καὶ τῶν ἄλλων ἀνέχεσθαι τῶν βιωτικῶν ῥᾷον δυνάμενος, καὶ πλείονα κεκτημένος καὶ σύνεσιν ἀπὸ τῆς τῶν πραγμάτων ἐμπειρίας, δικαίως ἂν μᾶλλον ἁπάντων καταδικάζοιτο, τὰ τῶν ἀκολάστων νέων ἐν γήρᾳ ἐπιδεικνύμενος.

ἴσ. ἄγουσι.

Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; Πανταχοῦ τῷ Θεῷ πολλὴ τῶν ἀδικουμένων ἡ πρόνοια· καὶ τῶν εἰς αὐτὸν ἁμαρτημάτων οὐκ ἔλαττον, ἀλλ᾽ ἔστιν ὅπου καὶ πλέον παροξύνεται ὑπὲρ τῶν εἰς τοὺς ὁμοδούλους πλημμελημάτων. καὶ γὰρ τὸν μὲν πόρνην ἔχοντα γυναῖκα ἐκβάλλειν ἐπέτρεψε, τὴν δὲ Ἑλληνίδα οὐκέτι· καίτοι τὸ μὲν εἰς αὐτόν, τὸ δὲ εἰς ἄνθρωπον τὸ ἁμάρτημα. καὶ τῆς θυσίας προκειμένης, καταλιμπάνειν τὸ δῶρον ἐκέλευσε, καὶ μὴ πρότερον αὐτὸ προσάγειν, ἕως ἂν τὰ πρὸς τὸν ἀδελφὸν εὖ διατεθῆται ὁ τὸν πλησίον λελυπηκώς. καὶ ἡνίκα τὸν τὰ μυρία τάλαντα κατεδηδοκότα ἔκρινεν, ὑπὲρ μὲν τῶν εἰς αὐτὸν ἐγκαλῶν ἁμαρτημάτων, οὔτε πονηρὸν ἐκάλεσεν, ἀλλὰ καὶ κατηλλάγη ταχέως, καὶ τὸ δάνειον ἅπαν ἀφῆκεν· ὑπὲρ δὲ τῶν ἑκατὸν δηναρίων καὶ πονηρὸν δοῦλον καλεῖ, καὶ τοῖς βασανισταῖς παραδίδωσι, καὶ οὐ πρότερον ἔφησεν λύσειν, ἕως ἅπαν ἀποδῷ τὸ χρέος. καὶ ἡνίκα μὲν αὐτὸς ἐρραπίζετο ὁ Χριστός, οὐδὲν τὸν δοῦλον εἰργάσατο τὸν τὴν πληγὴν ἐπαγαγόντα, ἀλλὰ καὶ πρᾴως ἀπεκρίνατο λέγων· Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ὅτε δὲ ὁ Ἱεροβοὰμ τὴν χεῖρα ἐκτείνας ἐπιλαβέσθαι τοῦ προφήτου τοῦ τότε ἐλέγξαντος αὐτὸν ἐπεχείρησε, ξηρὰν τὴν χεῖρα εἰργάσατο, παιδεύων καὶ σὲ τὰ μὲν ἑαυτοῦ πράως φέρειν, τὰ δὲ εἰς τὸν δεσπότην μετὰ πολλῆς ἐκδικεῖν τῆς σφοδρότητος. διὰ τοῦτο καὶ νομοθετῶν, εἰ καὶ δευτέραν ἔφησε τὴν εἰς τὸν πλησίον ἀγάπην εἶναι, ἀλλ' ὁμοίαν τῇ προτέρᾳ· καὶ ὥσπερ ἐκείνην μετὰ πάσης ἀπαιτεῖ τῆς ὑπερβολῆς, οὕτω καὶ ταύτην. ἐπ' ἐκείνου μὲν γάρ φησιν, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου· ἐπὶ δὲ ταύτης, ὡς ἑαυτόν. καὶ ἑτέρωθεν μὲν πολλαχόθεν ἴδοι τις ἄν, ὅσην ἀκρίβειαν ὑπὲρ τῶν πρὸς ἀλλήλους ἡμᾶς ἀπαιτεῖ δικαίων ὁ Θεός. ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα σφοδρῶς ἐπικείμενον καὶ αὔξοντα τὴν κατηγορίαν βαρυτάτοις ῥήμασιν. ὑμεῖς δέ, φησι, τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου; ὅπερ ἂν εἰργάσαντο πολέμιοι καὶ βάρβαροί τινες ἀπηνεῖς, ταῦτα ὑμεῖς τοὺς οἰκείους διεθήκατε. ἀμπελῶνα δὲ καλεῖ τὸν λαὸν διὰ τὴν πολλὴν περὶ " αὐτῶν σπουδὴν καὶ τὴν ἄνωθεν ἐπιμέλειαν. καὶ αὔξων τὸ ἔγκλημα, οὐκ εἶπε, τί τοὺς ὁμοδούλους, τοὺς πλησίον, τοὺς ἀδελφούς, ἀλλὰ τὰ ἐμά, φησιν, ἀπωλέσατε, τὰ ἐμὰ διεφθείρατε. εἶτα δηλῶν τοῦ ἐμπρησμοῦ τὸ εἶδος, φησιν, ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. οὐ γὰρ οὕτω λυμαίνεσθαι τὰς ἀμπέλους εἴωθε χάλαζα, ὡς ἡ ἀδικία τοῦ πτωχοῦ καὶ πένητος ἐμπιπρᾶν πέφυκε τὴν ψυχήν, θανάτου παντὸς χαλεπωτέρᾳ κατατείνουσα αὐτὴν ἀθυμίᾳ. πανταχοῦ μὲν οὖν τὸ ἁρπάζειν, κακόν, μάλιστα δὲ ὅταν ὁ ἐπηρεαζόμενος ἐν ἐσχάτῃ πτωχείᾳ ᾖ. οὐκ ἐπιτιμᾷ δὲ τοῦτο μόνον λέγων, ἀλλὰ καὶ διορθοῦται, πρὸς τὴν θεωρίαν αὐτοὺς παραπέμπων τῆς ἁρπαγῆς. ἱκανὴ μὲν γὰρ μετὰ τὴν ῥῆσιν αὐτὴν ἡ ὄψις πρὸ τῶν ὀφθαλμῶν κειμένη κατανύξαι τὸν μὴ σφόδρα ἀναισθήτως διακείμενον.

ἰσ. αὐτῶν

14 Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου; Τῷ αὐτῷ πάλιν ἐπέμεινε τρόπῳ, ὥσπερ ἐκεῖ τὸν ἀμπελῶνά μου, οὕτω καὶ ἐνταῦθα, τὸν λαόν μου λέγων. Καὶ τὰ πρόσωπα τῶν ταπεινῶν καταισχύνετε. Οὓς ὀρθοῦν ἔδει, τούτους ὠθοῦντες, οὓς ἀνιστᾶν, τούτους καταῤῥηγνῦντες. μετὰ γὰρ τῆς ἁρπαγῆς, καὶ διέπτυον τοὺς εὐτελεστέρους, καὶ ἀνδραπόδων χαλεπώτερον αὐτοῖς ἐκέχρηντο, πρὸς τῇ πλεονεξίᾳ καὶ τὴν ἀλαζονείαν ἐπιτείνοντες, καὶ ἀπὸ τῆς ἀδικίας τοῦ πλούτου τούτου πολλὴν τὴν ἀπόνοιαν κτώμενοι. Συνέζευκται γὰρ τῇ πλεονεξίᾳ τὸ τῆς ὑπερηφανίας νόσημα, καὶ ὅσον ἄν τις ἐπιτείνῃ τὸν πλοῦτον, τοσοῦτο καὶ τὸ νόσημα ἐπιτείνει. Τοῦτό φησι Κύριος, Κύριος, Κύριος στρατιῶν.

Τί δέ ἐστι στρατιῶν; τῶν ἀγγέλων λέγει, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν τὸν ἀκροατὴν ἀνάγων, εἰς ἔννοιαν τῆς μεγάλης αὐτοῦ βασιλείας αὐτὸν ἐμβάλλων· ἵνα τούτῳ γοῦν καταπλήξας, σωφρονέστερον ἐργάσηται, καὶ δείξῃ τὴν τοσαύτην ἀνοχὴν οὐκ ἀσθενείας, ἀλλὰ μακροθυμίας οὖσαν.

κ. ἐπορεύθησαν
* ἐν

15 Τάδε λέγει Κύριος· ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ " ἐξεπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ * νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι·

16 Καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν· 17 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς " κορύμβους,

κ. κοσύμβους,
κ. κάθεμα,

18 Καὶ τοὺς μηνίσκους, καὶ τὸ " κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης, 19 Καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τὸ ἐμπλόκιον, καὶ τοὺς δακτυλίους, καὶ τὰ " περιδέξια, καὶ τὰ ἐνώτια, 20 Καὶ τὰ περιπόρφυρα, * καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν,

κ. περιδέξια,
* καὶ τὰ μεταπόρφυρα,

21 Καὶ τὰ διαφανῆ λακωνικά, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, 22 Καὶ τὰ κόκ-

κινα, καὶ τὴν βύσσον τὴν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα″ κατάπεπλα τοῦ χρυσίου. 23 Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς″ σου, φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περιζώσῃ σάκκον· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ.

γρ. καταπέλματα

γρ. τῷ χρυσῷ,

24 Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται· καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται.

25 Καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. Ξένον τοῦτο ὁ προφήτης αὐτὸς πεποίηκε, μακρὸν πρὸς τὰς γυναῖκας ἀποτείνας λόγον, ὅπερ οὐδαμοῦ τῶν γραφῶν ὁρῶμεν γεγενημένον οὕτω. τί ποτ' οὖν τὸ αἴτιον τοῦ ξένου; ἐμοὶ δοκεῖ πολλὴν τότε τὴν βλακείαν τῶν γυναικῶν γεγενῆσθαι, καὶ τὸ πλέον εἰς τὴν τῶν ἀνδρῶν κακίαν εἰσφέρειν μέρος αὐτάς. διὸ δὴ καὶ ἰδιαζόντως πρὸς αὐτὰς ἀποτείνεται, τὰ χαλεπώτατα αὐταῖς ἐγκαλῶν ἐγκλήματα, καὶ εἰς ἀρχὴν ἀνάγει τὸν λόγον, ἐκ προσώπου τοῦ Θεοῦ πάλιν φθεγγόμενος· τάδε λέγει Κύριος. ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. τὸ κεφάλαιον τῶν κακῶν αὐταῖς ἐγκαλεῖ, ἀπόνοιαν καὶ ἀλαζονείαν. τοῦτο γὰρ πανταχοῦ μὲν χαλεπόν, μάλιστα δὲ ἐπὶ τῆς γυναικείας τικτόμενον φύσεως. φρονήματος γὰρ ἐμπλησθεῖσα γυνή, ἅτε κουφοτέρα καὶ ἀλογωτέρα οὖσα, εὐκόλως περιτρέπεται καὶ βαπτίζεται καὶ ναυάγιον ὑπομένει″ πάντως τοῦ πονηροῦ πνεύματος, τοῦ τύφου καὶ τῆς ἀλαζονείας αὐτὴν βαπτιζούσης. δοκεῖ δὲ πρὸς τὰς ἐν Ἱεροσολύμοις ἀποτείνεσθαι· διὸ καὶ θυγατέρας Σιὼν ἐκάλεσε. καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. ἐνταῦθα αὐτὰς καὶ κωμῳδεῖ, καὶ τὸ γυναικεῖον δείκνυσι φρόνημα, οὐδὲ ἐν διανοίαις″ τε ἀλύεσθαι δυνάμενον, ἀλλ' ἐκρηγνύμενον, καὶ διὰ τῶν τοῦ σώματος ἐπιδεικνύμενον κινήσεων. οὐκ εἰς ἀπόνοιαν δὲ μόνον, ἀλλὰ καὶ εἰς ἀσέλγειαν αὐτὰς διαβάλλει, τοῦτο λέγων καὶ δηλῶν ἐκ τῶν ἑξῆς. ἐπήγαγεν οὖν· καὶ νεύμασιν ὀφθαλμῶν, ὃ τῶν ἑταιριζομένων ἐστὶ γυναικῶν, διαστρέφειν τὰς κόρας, καὶ τὴν πολλὴν βλακείαν καὶ τὸν μαλακισμὸν ἐντεῦθεν ἐμφαίνειν. τοῦ δὲ θρύπτεσθαι καὶ μαλακίζεσθαι, οὐδὲν οὕτω σημεῖόν ἐστιν, ὡς τοῦτο. καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας. οὐ μικρὸν τοῦτο ἔγκλημα, κἂν μικρὸν εἶναι δοκῇ, ἀλλ' ἐξωλείας τῆς ἐσχάτης ἔλεγχος, καὶ τοῦ μαλακίζεσθαι, καὶ κατακλᾶσθαι, καὶ διαλύεσθαι, τὸ τοὺς χιτῶνας σύρειν. τοῦτο γοῦν τις καὶ τῶν ἔξωθεν κωμῳδῶν, τὸν ἀντίδικον τὸν αὐτοῦ τέθεικε λέγων, θοἰμάτιον καθεὶς ἕλκει τῶν σφυρῶν. καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. καὶ τοῦτο τῆς αὐτῆς πάλιν ἀσχημοσύνης ἀπόδειξις. διὰ γὰρ πάντων, δι' ὀφθαλμῶν, δι' ἱματίων, διὰ ποδῶν, διὰ βαδίσεως ἥ τε σωφροσύνη καὶ ἡ ἀσέλγεια φαίνεται. τῆς γὰρ ἔνδον καθημένης ψυχῆς ὥσπερ κήρυκές τινές εἰσι τῶν αἰσθητηρίων αἱ κινήσεις. καὶ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα κεραννῦντες, τὰς εἰκόνας ἃς βούλονται χαρακτηρίζουσιν, οὕτω δὴ καὶ τὰ κινήματα τῶν μελῶν τοῦ σώματος, τοὺς χαρακτῆρας ἔξω τῆς ψυχῆς ἄγει, καὶ περὶ τῶν ὀφθαλμῶν τίθησι τῶν ἡμετέρων. διὸ καὶ ἕτερός τις σοφὸς ἔλεγε· Στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων, βῆμα ποδὸς ἀναγγελεῖ τὰ περὶ αὐτοῦ. καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν. δύο θεὶς ἐγκλήματα, ἀπόνοιαν καὶ ἀσέλγειαν, ἑκάστῳ κατάλληλον ἐπάγει φάρμακον, καὶ προτέρῳ τὸ πρότερον, τῷ δευτέρῳ τὸ ἐχόμενον· τῇ μὲν ἀπονοίᾳ, τὴν ταπείνωσιν, τῷ δὲ καλλωπισμῷ τοῦ σχήματος, ἀφαίρεσιν ἐκείνου. πολέμου γὰρ καταλαβόντος τότε τὰ πάντα οἰχήσεται, φησίν. αἵ τε γὰρ φλεγμαίνουσαι καὶ ἀπονενοημέναι, τῷ φόβῳ″ κατασέσταλται, τοῦ νοσήματος ἀπαλλάττονται· αἵ τε μαλα-

ἴσ. παρὰ τοῦ

ἴσ. στήκειν

Σοφ. ιθ. κϛ.

ἴσ. [illegible]

μαλακιζόμεναι καὶ διὰ πάντων θρυπτόμεναι εἰς τὸν τῆς αἰχμαλωσίας ἐμπεσοῦσαι ζυγόν, πάσης ἐκείνης ἐλευθερωθήσονται τῆς βλακείας. ὥστε δὲ ποιῆσαι τὸν λόγον αὖθις φορτικώτερον, καὶ καθάψασθαι τῆς τῶν ἀκροωμένων διανοίας, καὶ κατ' εἶδος διηγεῖται τὸν καλλωπισμὸν τῶν ἱματίων, τῶν χρυσίων, τὸν ἐπὶ τῆς ὄψεως, τὸν ἐπὶ τοῦ λοιποῦ σώματος, καὶ προσέτι καὶ ἐπὶ τὸν τῆς οἰκίας κόσμον. οὐ γὰρ δὴ μόνον τὰ σώματα ἐνεκαλλώπιζον, ἀλλὰ τὴν ὕβριν ταύτην καὶ μέχρι τῶν τοίχων ἐξῆγον, εἰς οὐδὲν δέον δαπανώμεναι· καὶ τὰς τρίχας δὲ στρεβλοῦσαι, τὰ πέρα τῆς τοιαύτης ἀπάτης πάντοθεν ἐτόλμων. καὶ τοῦτο γοῦν ἐγκαλεῖ λέγων, ὅτι ἀφελεῖ τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια αὐτῶν, καὶ τοὺς κορύμβους. κορύμβους δὲ λέγει, ἢ κόσμον τινὰ περὶ τὴν κεφαλήν, ἢ αὐτὸ τοῦ κεφαλοδέσμου τὸ σχῆμα. καὶ τοὺς μηνίσκους· κόσμον περὶ τὸν τράχηλον σεληνοειδῆ. καὶ τὸ κάθεμα, τὸ θέριστρον λέγει. καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν. ἐνταῦθά μοι δοκεῖ ἐπιτρίμματα καὶ ὑπογραφὰς αἰνίττεσθαι. καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης· τὸ περιχρύσιον" φησί. καὶ τοὺς χλιδῶνας· τὰ περὶ τοὺς βραχίονας χρυσία. καὶ τὰ ψέλλια· τὰ περὶ τοὺς καρπούς. καὶ τὸ ἐμπλόκιον· κόσμον χρυσοῦν περὶ τὴν κεφαλήν. καὶ τοὺς" δακτύλους, καὶ τὰ περιδέξια· ἃ λέγουσι δεξιάρια. καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικά. τοσαύτη γὰρ ἦν αὐτῶν ἡ περὶ τὴν ἀσέλγειαν σπουδή, ὡς μὴ μόνον τοῖς ἐγχωρίοις κεχρῆσθαι, ἀλλὰ καὶ πόρρωθεν ἐκ τῆς ἀλλοτρίας αὐτὰ συλλέγειν, καὶ διαποντίους ἀποδημίας ὑπὲρ αὐτῶν στέλλεσθαι. πολὺ γὰρ τὸ μέσον τῆς Παλαιστίνης καὶ τῆς Λακεδαίμονος, καὶ πέλαγος ἄπειρον. οὐχ ἁπλῶς τοίνυν τὴν πατρίδα τέθεικεν ἀφεὶς τὰ" ἀναθήματα, ἀλλ' ὥστε τὴν ὑπερβάλλουσαν αὐτῶν ἀκολασίαν" ἔφηναι. καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάκλειστα τοῦ χρυσίου. οὐδὲν γὰρ εἶδος, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τῷ λοιπῷ κόσμῳ κατέλιπον, ἀλλὰ πᾶσαν ἐπῆλθον πολυτελείας ὁδόν, τῇ τῆς ἀσελγείας ἐκβακχευθεῖσαι τυραννίδι. ταῦτα δὲ εἰ τότε ἐγκλήματα ἦν πρὸ τῆς χάριτος καὶ τῆς τοσαύτης φιλοσοφίας, ποίας ἂν τύχοιμεν συγγνώμης αἱ πρὸς τὸν οὐρανὸν κληθεῖσαι νῦν, καὶ εἰς μακρότερα σκάμματα, καὶ πρὸς τὸν τῶν ἀγγέλων ἑλκόμεναι ζῆλον, καὶ μετὰ πλείονος τῆς ὑπερβολῆς ταύτην νικῶσαι τὴν ἀσέλγειαν, καὶ τὰς ἐπὶ τῆς σκηνῆς ἀποκρύπτουσαι; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἁμαρτάνειν ἡγοῦνται. διὸ καὶ πρὸς αὐτὰς ἀνάγκη τὴν τοῦ προφήτου φωνὴν ὁπλίσαι. οὐ γὰρ δὴ μόνον πρὸς ἐκείνας, ἀλλὰ καὶ πρὸς ταύτας εἴρηται τὸ ἐπαγόμενον· ὅτι ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός. ὁρᾷς πῶς καὶ τὴν τῶν μύρων ἀλοιφὴν ἐκβάλλει, καὶ μεγάλην αὐτῇ ἐπιτίθησι τιμωρίαν. κονιορτὸν γὰρ ἐνταῦθά φησι, τὸν αἰρόμενον μετὰ τὴν τῆς πόλεως κατασκαφὴν καὶ τὴν τῶν βαρβάρων ἔφοδον. καὶ γὰρ καὶ πυρὶ καὶ σιδήρῳ τότε αὐτὴν διενείμαντο, οἱ μὲν αὐτῆς κατασκάψαντες, οἱ δὲ ἐμπρησμῷ παραδιδόντες. ταῦτα οὖν προλέγων ἔλεγεν, ὅτι ἀντὶ ὀσμῆς ἡδείας ἔσται κονιορτός, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, ὑπὸ ὄψιν ἄγων τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ τὴν ἐπὶ τὴν βάρβαρον χώραν ἀπαγωγήν. καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις, ἢ τῶν τριχῶν ἀπὸ τῆς ταλαιπωρίας ἀπορρυεισῶν, ἢ τῶν πολεμίων τοῦτο ἐργαζομένων, ἢ αὐτῶν ἑαυτάς. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς ἐν πένθει καὶ συμφορᾷ ἀποκείρεσθαι καὶ ξύρεσθαι. καὶ γὰρ ὁ Ἰὼβ ἀπεκείρατο τὴν κεφαλήν, ἀκούσας τὴν τῶν παίδων συμφοράν· καὶ προϊὼν ὁ προφήτης μετὰ σάκκου καὶ κοπετοῦ καὶ ξύρησιν ἔφησε γίνεσθαι. καὶ ἄλλος πάλιν φησί, καὶ ξυρῆσαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερά. καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου

γρ. φασί.

γρ. δακτυλίους,

γρ. ἐνθήματα,

ἴσ. ἐμφῆναι.

Ἰὼβ α.

κια, καὶ τὴν βύσσον τὴν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα καταπέπλα τοῦ χρυσίου. 23 Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτὸς, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περιζώσῃ σάκκον· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ.

24 Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται· καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται.

25 Καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. Ξένον τοῦτο ὁ προφήτης αὐτὸς πεποίηκε, μακρὸν πρὸς τὰς γυναῖκας ἀποτείνας λόγον, ὅπερ οὐδαμοῦ τῶν γραφῶν ὁρῶμεν γεγενημένον οὔπω. τί ποτ᾽ οὖν τὸ αἴτιον τοῦ ξένου; ἐμοὶ δοκεῖ πολλὴν τότε τὴν βλακείαν τῶν γυναικῶν γεγενῆσθαι, καὶ τὸ πλέον εἰς τὴν τῶν ἀνδρῶν κακίαν εἰσφέρειν μέρος αὐτάς. διὸ δὴ καὶ ἰδιαζόντως πρὸς αὐτὰς ἀποτείνεται, τὰ χαλεπώτατα αὐταῖς ἐγκαλῶν ἐγκλήματα, καὶ εἰς ἀρχὴν ἀνάγει τὸν λόγον, ἐκ προσώπου τοῦ Θεοῦ πάλιν φθεγγόμενος· τάδε λέγει Κύριος. ἀνθ᾽ ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. τὸ κεφάλαιον τῶν κακῶν αὐταῖς ἐγκαλεῖ, ἀπόνοιαν καὶ ἀλαζονείαν. τοῦτο γὰρ πάντων μὲν χαλεπὸν, μάλιστα δὲ ἐπὶ τῆς γυναικείας τικτόμενον φύσεως. φρονήματος γὰρ ἐμπλησθεῖσα γυνὴ, ἅτε κουφοτέρα καὶ ἀλογωτέρα οὖσα, εὐκόλως περιτρέπεται καὶ βαπτίζεται καὶ ναυάγιον ὑπομένει παντὸς πονηροῦ πνεύματος, τοῦ τύφου καὶ τῆς ἀλαζονείας αὐτὴν βαπτιζούσης. δοκεῖ δὲ πρὸς τὰς ἐν Ἱεροσολύμοις ἀποτείνεσθαι· διὸ καὶ θυγατέρας Σιὼν ἐκάλεσε. καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. ἐνταῦθα αὐτὰς καὶ κωμῳδεῖ, καὶ τὸ γυναικεῖον δείκνυσι φρόνημα, οὐδὲ ἐν διανοίαις τε γλύεσθαι δυνάμενον, ἀλλ᾽ ἐκρηγνύμενον, καὶ διὰ τῶν τοῦ σώματος ἐπιδεικνύμενον κινήσεων. οὐκ εἰς ἀπόνοιαν δὲ μόνον, ἀλλὰ καὶ εἰς ἀσέλγειαν αὐτὰς διαβάλλει, τοῦτο λέγων καὶ δηλῶν ἐκ τῶν ἑξῆς. ἐπήγαγεν οὖν· καὶ νεύμασιν ὀφθαλμῶν, ὃ τῶν ἑταιριζομένων ἐστὶ γυναικῶν, διαστρέφειν τὰς κόρας, καὶ τὴν πολλὴν βλακείαν καὶ τὸν μαλακισμὸν ἐντεῦθεν ἐμφαίνειν. οὐ γὰρ θρύπτεσθαι καὶ μαλακίζεσθαι, οὐδὲν οὕτω σημεῖόν ἐστιν, ὡς τοῦτο. καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας. οὐ μικρὸν τοῦτο ἔγκλημα, κἂν μικρὸν εἶναι δοκῇ, ἀλλ᾽ ἐξωλείας τῆς ἐσχάτης ἔλεγχος, καὶ τοῦ μαλακίζεσθαι, καὶ κατακλᾶσθαι, καὶ διαλύεσθαι, τὸ τοὺς χιτῶνας σύρειν. τοῦτο γοῦν τις καὶ τῶν ἔξωθεν κωμῳδῶν, τὸν ἀντίδικον τοῦ αὐτοῦ τέθεικε λέγων, θοιμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν. καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. καὶ τοῦτο τῆς αὐτῆς πάλιν ἀσχημοσύνης ἀπόδειξις. διὰ γὰρ πάντων, δι᾽ ὀφθαλμῶν, δι᾽ ἱματίων, διὰ ποδῶν, διὰ βαδίσεως ἥ τε σωφροσύνη καὶ ἡ ἀσέλγεια φαίνεται. τῆς γὰρ ἔνδον καθημένης ψυχῆς ὥσπερ κήρυκές τινές εἰσι τῶν αἰσθητηρίων αἱ κινήσεις. καὶ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα κεραννύντες, τὰς εἰκόνας ἃς βούλονται χαρακτηρίζουσιν, οὕτω δὴ καὶ τὰ κινήματα τῶν μελῶν τοῦ σώματος, τοὺς χαρακτῆρας ἔξω τῆς ψυχῆς ἄγει, καὶ πρὸ τῶν ὀφθαλμῶν ἵστησι τῶν ἡμετέρων. διὸ καὶ ἕτερός τις σοφὸς ἔλεγε· Στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, βῆμα ποδὸς ἀναγγελεῖ τὰ περὶ αὐτοῦ. Σειρ. ιθ. κς. καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν. δύο θεὶς ἐγκλήματα, ἀπόνοιαν καὶ ἀσέλγειαν, ἑκάστῳ κατάλληλον ἐπάγει φάρμακον, καὶ προτέρῳ τὸ πρότερον, τῷ δευτέρῳ τὸ ἐχόμενον· τῇ μὲν ἀπονοίᾳ, τὴν ταπείνωσιν, τῷ δὲ καλλωπισμῷ τοῦ σχήματος, ἀναίρεσιν ἐκείνου. πολέμου γὰρ καταλαβόντος τότε τὰ πάντα οἰχήσεται, φησίν. αἵ τε γὰρ φλεγμαίνουσαι καὶ ἀπονενοημέναι, τῷ φόβῳ καταστέλλονται, τοῦ νοσήματος ἀπαλλάττονται· αἵ τε

μαλακιζόμεναι καὶ διὰ παντὸς θρυπτόμεναι εἰς τὸν τῆς αἰχμαλωσίας ἐμπεσοῦσαι ζυγόν, πάσης ἐκείνης ἐλευθερωθήσονται τῆς βλακείας. ὥστε δὲ ποιῆσαι τὸν λόγον αὐτοῖς φορτικώτερον, καὶ καθάψασθαι τῆς τῶν ἀκροωμένων διανοίας, καὶ κατ' εἶδος διηγεῖται τὸν καλλωπισμὸν τῶν ἱματίων, τῶν χρυσίων, τὸν ἐπὶ τῆς ὄψεως, τὸν ἐπὶ τοῦ λοιποῦ σώματος, καὶ πρόεισι καὶ ἐπὶ τὸν τῆς οἰκίας κόσμον. οὐ γὰρ δὴ μόνον τὰ σώματα ἐνεκαλλώπιζον, ἀλλὰ τὴν ὕβριν ταύτην καὶ μέχρι τῶν τοίχων ἐξῆγον, εἰς οὐδὲν δέον δαπανώμεναι· καὶ τὰς τρίχας δὲ στρεβλοῦσαι, τὰ πέρα τῆς τοιαύτης ἀπάτης πάντοθεν ἐτόλμων. καὶ τοῦτο γοῦν ἐγκαλεῖ λέγων, ὅτι ἀφελεῖ τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια αὐτῶν, καὶ τοὺς κορύμβους. κορύμβους δὲ λέγει, ἢ κόσμον τινὰ περὶ τὴν κεφαλήν, ἢ αὐτὸ τοῦ κεφαλοδέσμου τὸ σχῆμα. καὶ τοὺς μηνίσκους· κόσμον περὶ τὸν τράχηλον σεληνοειδῆ. καὶ τὸ κάθεμα, τὸ θέριστρον λέγει. καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν. ἐνταῦθά μοι δοκεῖ ἐπιτρίμματα καὶ ὑπογραφὰς αἰνίττεσθαι. καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης· τουτέστι τὸ περιχρύσιον″ φησί. καὶ τοὺς χλιδῶνας· τὰ περὶ τοὺς βραχίονας χρυσία. καὶ τὰ ψέλλια· τὰ περὶ τοὺς καρπούς. καὶ τὸ ἐμπλόκιον· κόσμον χρυσοῦν περὶ τὴν κεφαλήν. καὶ τοὺς″ δακτύλους, καὶ τὰ περιδέξια· ἃ λέγουσι δεξιάρια. καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικά. τοσαύτη γὰρ ἦν αὐτῶν ἡ περὶ τὴν ἀσέλγειαν σπουδή, ὡς μὴ μόνον τοῖς ἐγχωρίοις κεχρῆσθαι, ἀλλὰ καὶ πόρρωθεν ἐκ τῆς ἀλλοτρίας αὐτὰ συλλέγειν, καὶ διαποντίους ἀποδημίας ὑπὲρ αὐτῶν στέλλεσθαι. πολὺ γὰρ τὸ μέσον τῆς Παλαιστίνης καὶ τῆς Λακεδαίμονος, καὶ πέλαγος ἄπειρον. οὐχ ἁπλῶς τοίνυν τὴν πατρίδα τέθεικεν ἀφεὶς τὰ″ αἰσθήματα, ἀλλ' ὥστε τὴν ὑπερβάλλουσαν αὐτῶν ἀκολασίαν″ ἐφῆναι. καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάκλειστα τοῦ χρυσίου. οὐδὲν γὰρ εἶδος, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τῷ λοιπῷ κόσμῳ κατέλιπον, ἀλλὰ πᾶσαν ἐπῆλθον πολυτελείας ὁδόν, τῇ τῆς ἀσελγείας ἐκβακχευθεῖσαι τυραννίδι. ταῦτα δὲ εἰ τότε ἐγκλήματα ἦν πρὸ τῆς χάριτος καὶ τῆς τοσαύτης φιλοσοφίας, ποίας ἂν τύχοιμεν συγγνώμης αἱ πρὸς τὸν οὐρανὸν κληθεῖσαι νῦν, καὶ εἰς μακρότερα σκάμματα, καὶ πρὸς τὸν τῶν ἀγγέλων ἑλκόμεναι ζῆλον, καὶ μετὰ πλείονος τῆς ὑπερβολῆς ταύτην νικῶσαι τὴν ἀσέλγειαν, καὶ τὰς ἐπὶ τῆς σκηνῆς ἀποκρύπτουσαι; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἁμαρτάνειν ἡγοῦνται. διὸ καὶ πρὸς αὐτὰς ἀνάγκη τὴν τοῦ προφήτου φωνὴν ὁπλίσαι. οὐ γὰρ δὴ μόνον πρὸς ἐκείνας, ἀλλὰ καὶ πρὸς ταύτας εἴρηται τὸ ἐπαγόμενον· ὅτι ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός. ὁρᾷς πῶς καὶ τὴν τῶν μύρων ἀλοιφὴν ἐκβάλλει, καὶ μεγάλην αὐτῇ τίθησι τιμωρίαν. κονιορτὸν γὰρ ἐνταῦθά φησι, τὸν αἰρόμενον μετὰ τὴν τῆς πόλεως κατασκαφὴν καὶ τὴν τῶν βαρβάρων ἔφοδον. καὶ γὰρ καὶ πυρὶ καὶ σιδήρῳ τότε αὐτὴν διενείμαντο, τὸ μὲν αὐτῆς κατασκάψαντες, τὸ δὲ ἐμπρησμῷ παραδιδόντες. ταῦτα οὖν προλέγων ἔλεγεν, ὅτι ἀντὶ ὀσμῆς ἡδείας ἔσται κονιορτός, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, ὑπὸ ὄψιν ἄγων τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ τὴν ἐπὶ τὴν βάρβαρον χώραν ἀπαγωγήν. καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις, ἢ τῶν τριχῶν ἀπὸ τῆς ταλαιπωρίας ἀπορρυεισῶν, ἢ τῶν πολεμίων τοῦτο ἐργαζομένων, ἢ αὐτῶν ἑαυτάς. ἔθος γὰρ ἦν τὸ παλαιὸν ἐν πένθει καὶ συμφορᾷ ἀποκείρεσθαι καὶ ξύρεσθαι. καὶ γὰρ ὁ Ἰὼβ ἀπεκείρατο τὴν κεφαλήν, ἀκούσας τῶν παίδων τὴν συμφοράν· καὶ προϊὼν ὁ προφήτης μετὰ σάκκου καὶ κοπετοῦ καὶ ξύρησιν ἔφησε γενέσθαι. καὶ ἄλλος πάλιν φησί, καὶ ξυρῆσαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερά. καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσο-

γρ. φασι.

γρ. δακτυλίους,

γρ. ἐνδύματα,

ἴσ. ἐμφῆναι.

Ἰὼβ α.

μεσοπορφύρου περιζώσῃ σάκκον. ἆρα οὐ δοκεῖ φοβερὰ εἶναι ταῦτα καὶ ἀφόρητα; ἀλλ' ἐφ' ἡμῶν οὐ μέχρι τούτων στήσεται τὰ τῆς τιμωρίας, ἀλλὰ σκώληξ ἰοβόλος καὶ σκότος ἀτελεύτητον διαδέξεται. εἰ γὰρ ἐκείνοις αἰχμαλωσία καὶ δουλεία καὶ τὰ ἔσχατα συνέβη κακὰ ἀντὶ τοῦ καλλωπισμοῦ (ὅτι γὰρ τούτου ἀπῄτει δίκην, καὶ ἰδικῶς τὴν ἁμαρτίαν ταύτην ἐκόλαζεν, ἄκουσον πῶς καταλέξας ἐκεῖνα, ἐπήγαγε καὶ τὴν αἰτίαν· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ) εἰ τοίνυν Ἰουδαῖαι γυναῖκες κεκαλλωπισμέναι τοσαύτην ὑπέμειναν τιμωρίαν, τῆς πατρίδος ἐκ βάθρων ἀνασπασθείσης, καὶ μετὰ τὴν πολλὴν τρυφὴν, δοῦλαι καὶ αἰχμάλωτοι καὶ ἀπόλιδες εἰς τὴν ἀλλοτρίαν ἀπενεχθεῖσαι χώραν, καὶ λιμῷ καὶ λοιμῷ καὶ θανάτοις παραδοθεῖσαι μυρίοις, πῶς οὐκ εὔδηλον, ὅτι χαλεπώτερα ἡμεῖς πεισόμεθα τοῖς αὐτοῖς περιπίπτοντες; ὥσπερ γὰρ αἱ τιμαὶ μείζους, οὕτω καὶ αἱ τιμωρίαι βαρύτεραι. εἰ δὲ μή τις οὐδέπω τὸ τοιοῦτον ἔπαθε γυνὴ καλλωπισαμένη, μὴ θαῤῥείτω. ἔθος γὰρ τῷ Θεῷ τοῦτο, τὰς τιμωρίας ὁρίζειν ἐφ' ἑνὸς καὶ δευτέρου, καὶ δι' ἐκείνων νομοθετεῖν τοῖς λοιποῖς ἅπασι τὰ καταληψόμενα αὐτοῖς δεινά. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω ποιήσω, ἥμαρτον ἁμαρτίαν χαλεπὴν οἱ τὰ Σόδομα οἰκοῦντές ποτε, ἔδοσαν δίκην τὴν ἐσχάτην, τῶν σκηπτῶν ἐκείνων κατενεχθέντων, καὶ τῶν πόλεων καὶ τῶν δήμων καὶ τῆς γῆς αὐτοῖς σώμασιν ἐμπρησθέντων ἀπολομένων. τί οὖν; οὐδεὶς μετ' ἐκείνους τὰ ἐκείνων ἐτόλμησε; πολλοὶ μὲν οὖν, καὶ πολλαχοῦ τῆς οἰκουμένης. πῶς οὖν οὐδὲν τοιοῦτον ἔπαθον; ὅτι ἑτέρα χαλεπωτέρα τηρεῖται τιμωρία. διὰ γὰρ τοῦτο ἅπαξ αὐτὸ ποιήσας ὁ Θεὸς ἀπέστη, ἵνα οἱ τὰ αὐτὰ τολμῶντες, κἂν μὴ δῶσιν ἐνταῦθα δίκην, εἰδότες ὦσι σαφῶς, ὅτι οὐδέποτε διαφεύξονται. πῶς γὰρ ἂν ἔχοι λόγον, πρὸ μὲν τῆς χάριτος καὶ τοῦ νόμου, καὶ μήτε προφητῶν, μήτε ἄλλου τινὸς ἀκηκοότας, ἁμαρτόντας τοιαῦτα παθεῖν, τοὺς δὲ μετ' ἐκείνους τοσαύτης ἀπολαύσαντας προνοίας, καὶ μηδὲ τῷ παραδείγματι γενομένους σωφρονεστέρους (ὃ πολλῷ χαλεπωτάτην ποιεῖ τὴν ἁμαρτίαν) διαφυγεῖν τὴν ἐπὶ τούτῳ κειμένην δίκην; πῶς οὖν οὐκ ἔδοσαν οὐδέπω καὶ σήμερον; ἵνα μάθῃς ὅτι πολὺ χαλεπωτέρα τηρεῖται τιμωρία. ὅτι γὰρ ἔστι χαλεπώτερα Σοδόμων παθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ταύτῃ. ὥστε κἂν καλλωπιζόμεναι νῦν γυναῖκες μὴ πάθωσιν, ἅπερ ἔπαθον αἱ τότε καλλωπιζόμεναι, μὴ θαῤῥείτωσαν. ἡ γὰρ ἀνοχὴ αὕτη καὶ ἡ μακροθυμία χαλεπωτέραν σωρεύει τοῦ πυρὸς τὴν κάμινον, καὶ μείζονα τὴν φλόγα ἐργάζεται. τοῦτο καὶ ἐπὶ Ἀνανίου καὶ Σαπφείρης γέγονε. καὶ γὰρ ἐκεῖνοι ἐν ἀρχῇ καὶ προοιμίῳ τοῦ κηρύγματος ὑφελόμενοι τῶν χρημάτων ἐκείνων, ἀθρόον ἀνηρπάσθησαν· μετὰ δὲ ἐκείνους πολλοὶ τοιαῦτα τολμήσαντες, οὐδὲν ἔπαθον. πῶς οὖν ἂν ἔχοι λόγον, τὸν δίκαιον κριτὴν καὶ πᾶσι τὰ ἴσα νέμοντα, τοὺς μὲν ἧττον ἡμαρτηκότας κολάσαι, τοὺς δὲ χαλεπώτερα ποιήσαντας ἀφεῖναι; οὐκ εὔδηλον, ὅτι ἐπειδὴ ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, διὰ τοῦτο ἀνεβάλλετο τὴν τιμωρίαν; ἵνα ἢ τῇ μακροθυμίᾳ γένωνται βελτίους, ἢ τοῖς αὐτοῖς ἐπιμένοντες χαλεπώτερα πάθωσιν; ὅταν τοίνυν ἁμαρτάνοντες τὰ αὐτὰ τοῖς ἤδη πεπλημμεληκόσι καὶ κολασθεῖσι, μὴ τὰ αὐτὰ πάθωμεν, μὴ θαῤῥῶμεν, ἀλλὰ μᾶλλον φοβώμεθα. ὥσπερ γὰρ νόμον, τὴν ἐπ' ἐκείνων τιμωρίαν ἐξήνεγκεν ὁ Θεὸς, πᾶσι παραινῶν, καὶ λέγων, ὅτι διὰ τοῦτο τὸν ἐξ ἀρχῆς ἁμαρτόντα ἐκόλασα, ἵνα καὶ σὺ ὁ μετ' ἐκείνους πλημμελῶν, τὰ αὐτὰ ἀναμένῃς, ἵνα μεταβάλῃ καὶ γένῃ βελτίων. τοῖς γὰρ τοιούτοις ἁμαρτήμασι τοιαῦται κεῖνται τιμωρίαι, κἂν μὴ παραχρῆμα ἔρχωνται. τούτοις δὲ οὐχ ἁπλῶς ἐνδιέτριψα, ἀλλ' ἐπειδὴ πονηρὸν νόσημα εἰς τὰς τῶν ἀνθρώπων εἰσῆλθεν οἰκίας διὰ τῆς τῶν γυναικῶν βλακείας, ὁ τῆς φιλοκοσμίας ἔρως, ὃς καὶ τὴν τῶν χρημάτων

ἴσ. αὐτοῦ

ἴσ. τούτῳ

Λουκ. ι. ιβ.

ἐπέτεινε

γρ. ἐμβαλὼν,

ἐπέτεινε ῥανίδα, εἰς ἀναγκαίους δαπάνας τοὺς ἄνδρας ἐκβαλών, καὶ πολέμου καὶ στάσεως καὶ φιλονεικίας ὑπόθεσις γινομένη καθημερινῆς, καὶ τὰς τῶν πενήτων κατατείνων γαστέρας. ὅταν γὰρ ἅπασαν τὴν οὐσίαν γυνή, ἢ καὶ τὸ πλέον τῶν ὄντων, εἰς τὴν τοῦ σώματος ὕβριν ἀναγκάζῃ τὸν ἄνδρα δαπανᾶν (ὕβρεις γὰρ σώματος, τὸ περικείμενον χρυσίον) ἀνάγκη τὴν χεῖρα συστέλλεσθαι πρὸς τὴν τῆς ἐλεημοσύνης φιλοτιμίαν. καὶ πολλὰ δὲ ἕτερα ἐκ τούτου τικτόμενά ἐστιν ἰδεῖν ἁμαρτημάτων εἴδη. ἀλλὰ ταῦτα ἀφέντες τῇ πείρᾳ τῶν παρόντων εἰδέναι σαφῶς, τῶν ἐχομένων ἁπτώμεθα. μετὰ γὰρ τὸ παραστῆσαι τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ εἰπεῖν, ὅτι ἀντὶ τοῦ καλλωπισμοῦ ταύτην ἐπάγω, ἐπιτείνει τὴν συμφοράν, λέγων· καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται. τοῦτο γὰρ αἰχμαλωσίας χαλεπώτερον. καὶ γάρ ἐστι ζωὴ θανάτου πικροτέρα. ὅταν γὰρ μετὰ τῆς δουλείας καὶ ἄωρα πένθη θρηνεῖν ἀναγκάζωνται, ἐννόησον ὅσον τῆς συμφορᾶς τὸ μέγεθος, τῶν καθ' ἑαυτὰ πικρῶν ὄντων συναπτομένων ἀλλήλοις. καὶ γὰρ εἰ αἰχμαλωσία μόνη ἦν, ἀφόρητον ἦν τὸ δεινόν· καὶ εἰ ἐν ἐλευθερίᾳ ζώντων τοιαῦτα συνέβαινε πένθη, θανάτου πικροτέρα ἦν ἡ ζωή. ἀλλὰ νῦν ἀμφότερα ἔσται, φησί, "συνηγμένα ἀλλήλοις. μᾶλλον δὲ διπλῆν δεῖ ταύτην καλεῖν συμφοράν, καὶ τριπλῆν, καὶ τετραπλῆν, ὅταν καὶ υἱός, καὶ κάλλιστος, καὶ ποθούμενος, καὶ ὑπὸ βαρβάρων, ἀλλὰ μὴ τῷ κοινῷ τῆς φύσεως καταλύει νόμῳ τὸν βίον· καὶ μετὰ τούτου, καὶ οἱ ἐν ἡλικίᾳ πάντες, ὥστε μηδὲ ἐλπίδα αὖθις εἶναι χρηστὴν, ὅσον εἰς ἀνθρωπίνην ἧκε βοήθειαν καὶ συμμαχίαν. καὶ ταπεινωθήσεται καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. διὰ πάντων αὔξει τὸν θρῆνον, ἐπιτείνει τὸν φόβον, ἀκμάζουσαν τὴν ἀγωνίαν ἐργάζεται, ὑπ' ὄψιν ἄγει τὰ δεινά, εὐρύνει τῆς συμφορᾶς τὴν διήγησιν, πανταχοῦ περιτρέχων, πάντοθεν συνάγων τὰ λυπηρὰ διὰ τὴν τῶν ἀκουόντων ἀναισθησίαν. ἀγαπητὸν γὰρ ἦν τοσαύταις κατασειομένας αὐτὰς ἀπειλαῖς ἀνενεγκεῖν, καὶ λαβεῖν αἴσθησιν τῶν μελλόντων συμβήσεσθαι λυπηρῶν. διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν, ὃ σφόδρα ἐλεεινὸν εἶναι δοκεῖ, τὸ χρυσίου θήκην ὁρᾶν κεκενωμένην, ὑπόμνημα τῆς παλαιᾶς εὐπραγίας, διὰ τῆς ὄψεως ἀκμάζουσαν διατηροῦν τὴν ἀλγηδόνα. καὶ γὰρ τότε μάλιστα δάκνειν ἡμᾶς εἰώθασιν αἱ συμφοραί, ὅταν αὐτὰς ταῖς προτέραις παραβάλλωμεν εὐημερίαις, καὶ ἡ σύγκρισις χαλεπώτερον τὸ ἕλκος ἐργάζεται. τοῦτο γοῦν ποτε καὶ ὁ Ἰὼβ θρηνῶν ἔλεγε, Τίς ἄν με θείη κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν; καὶ διηγεῖται τὸν πλοῦτον ἅπαντα, καὶ τὰ ὥσπερ ἐκ πηγῶν ἐπιρρέοντα ἀγαθά, τὰς τιμάς, τὰς προσόδους, τὴν περιφάνειαν ἅπασαν, ὥστε τῇ συγκρίσει τούτων πολλῷ χαλεπώτερα δεῖξαι τὰ παρόντα καὶ κατειληφότα αὐτὸν δεινά· ὃ δὴ καὶ ὁ προφήτης νῦν ἐποίησε, τῶν θηκῶν ἀναμνήσας, καὶ οὐδὲ τούτοις ἀρκεσθείς, ἀλλὰ καὶ εἰσαγαγὼν αὐτὰς πενθούσας. ἐμφαντικώτερον γὰρ τοῦτο τοῦ λόγου τὸ εἶδος, ὅταν τοιαύτας ἐργάζηται προσωποποιΐας. ἤδη γοῦν καὶ ἀμπέλους θρηνούσας εἰσάγει, καὶ οἶνον, ὥστε μᾶλλον καθικέσθαι τῶν ἀκροωμένων, καὶ τῆς παχύτητος αὐτῶν καθάψασθαι. τί δέ ἐστι, καταλειφθήσῃ μόνη; καὶ συμμάχων, φησί, καὶ τῆς τοῦ Θεοῦ προνοίας ἐρημωθεῖσα, καὶ τῆς ἄλλης περιφανείας γυμνωθεῖσα πάσης, καὶ πανταχόθεν ὑπὸ τῶν πολεμίων κυκλουμένη, καὶ ἐν μέσοις ἀπειλημμένη βαρβάροις. εἶτα τὴν ὑπερβολὴν τῆς ταπεινώσεως παραστῆσαι θέλων, φησὶ καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. οὐδὲ πεσῇ εἶπεν, οὐδὲ κατενεχθήσῃ, ἀλλ' ἑτέρᾳ λέξει σαφεστέρᾳ ἐνδεικνυμένη τὴν εὐτέλειαν αὐτῆς ἅπασαν ἀπειργάσατο.

γρ. συνημμένα

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ δ.

1 Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνθρώπου ἑνὸς λέγουσαι, τὸν ἄρτον ἡμῶν φαγώμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλώμεθα· πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ᾽ ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν.

Τὴν ἐκ τοῦ πολέμου συμβᾶσαν ὀλιγανθρωπίαν ἐμφῆναι βούλεται, καὶ πῶς εἰς ἐλάχιστον περίεστιν ὁ δῆμος τῶν Ἰουδαίων. οὐδὲ γὰρ προστασίας ἔφησαν δεῖσθαι, ταῖς γυναιξὶ προσηκούσης ὑπὸ ἀνδρῶν παρέχεσθαι, ἀλλὰ ἀτελῆ τῆς λειτουργίας αὐτὸν ἀφεῖναι ταύτης, καὶ στέργειν καὶ ἀγαπᾶν, εἰ ἁπλῶς γοῦν καὶ ὡς ἔτυχε τοῦ τῆς χηρείας ἀπαλλάγειεν ὀνόματος. τοῦτο γάρ ἐστιν, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν· ἐπειδὴ τὸ παλαιὸν ὄνειδος εἶναι ἐδόκει. 2 Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ τοῦ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ.

Ἐπειδὴ σφόδρα κατέσεισε τὴν διάνοιαν αὐτῶν τῇ τῶν λυπηρῶν ἀπειλῇ, καὶ τὴν συμφορὰν ἱκανῶς ἐτραγῴδησε, καὶ μακρὸν ἀπέτεινε λόγον τὰ φοβερὰ διηγούμενος, μεταλαμβάνει λοιπὸν ἐπὶ τὰ χρηστότερα. τοῦτο γὰρ ἰατρείας ἀρίστης τρόπος, μὴ τέμνειν μηδὲ καίειν μόνον, ἀλλὰ καὶ τὰς ἐκεῖθεν γινομένας ὀδύνας προσηνέσι παραμυθεῖσθαι φαρμάκοις. τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. οὐ γὰρ δὴ εἰς τὰ σκυθρωπὰ καταλύσειν ἔφησε τὸν λόγον, ἀλλὰ τῶν πονηρῶν ἐκ μέσου ληφθέντων, διαδέχεσθαι τὰ χρηστότερα, καὶ οὐκ ἀπαλλαγὴν ἔσεσθαι μόνον τῶν ἀηδῶν, ἀλλὰ καὶ πολλὴν τὴν περιφάνειαν καὶ μεγάλην λαμπρότητα. τοῦτο γὰρ ἐπίλαμψιν Θεοῦ καλεῖ, τὸ σκότος τῆς ἀθυμίας λύουσαν, καὶ φαιδρὰν ποιοῦσαν ἡμέραν, καὶ περιφανῶς καθιστῶσα. τὸ δὲ ἐν βουλῇ, ὅτι συνετῶς, φησι, πάντα ἐργάσεται, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας.

ἴσ. μεταβαίνει

3 Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ.

Ἵνα μάθῃς ὅτι οὐ συντυχίας τινὸς ἡ σωτηρία γέγονε τῶν διαφυγόντων τὸν κίνδυνον, ἀλλ᾽ ἐκ τῆς ἄνωθεν ψήφου τειχισθέντες, καὶ ἐν μέσοις τοῖς δεινοῖς ὄντες οὐκ ἑάλωσαν, διὰ τοῦτό φησιν, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ· οἱ ἀφορισθέντες, φησὶν, οἱ δοκιμασθέντες μηδὲν παθεῖν δεινόν. εἰκότως δὲ αὐτοὺς ἁγίους καλεῖ, δεικνὺς, ὅτι οὐχ ἁπλῶς ὁ ἀφορισμὸς αὐτοὺς ἀπήλλαξεν, οὐδὲ ἁπλῶς ἡ τοῦ Θεοῦ ψῆφος· ἀλλά τι καὶ ἡ τῶν τρόπων εἰσήνεγκεν ἀρετὴ, εἴτε προτέρα, εἴτε μετὰ ταῦτα. εἰ γὰρ καὶ χρηστοί τινες ἦσαν καὶ ἐπιεικεῖς, ἀλλ᾽ ὅμως ὑπὸ τῶν συμβάντων βελτίους ἐγίνοντο καὶ ἀκριβέστεροι. καθάπερ γὰρ τὸ χρυσίον τῷ πυρὶ παραδιδόμενον πᾶσαν ἀποτίθεται κηλῖδα, οὕτω καὶ οἱ σπουδαῖοι σπουδαιότεροι καθίστανται ἐν τοῖς πειρασμοῖς πᾶσαν ἀπονιπτόμενοι ῥᾳθυμίαν.

4 Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως.

Διπλοῦν ἐνταῦθά μοι δοκεῖ λέγειν καθαρμὸν, καὶ τὸ δοῦναι δίκην ὧν ἥμαρτον, καὶ τὸ σπουδαιοτέρους γενέσθαι πρὸς τὸ μέλλον ἐντεῦθεν. αἷμα δὲ Ἱερουσαλὴμ τοὺς φόνους λέγει, τὰς σφαγὰς τὰς ἀδίκους. εἶτα αὔξων τὸ ἔγκλημά φησιν, ἐκ μέσου αὐτῶν. οὐδὲ γὰρ λανθάνοντες καὶ κρυπτόμενοι τὰς ἀνδροφονίας ἐτόλμων, ἀλλὰ τῶν λῃστῶν καὶ τῶν τὰς λεωφόρους ἐφεδρευόντων χεῖρον. ἐκεῖνοι μὲν γὰρ καὶ τῷ σκότῳ κρυπτόμενοι καὶ ταῖς ἐρημίαις τολμῶσι τὰ εἰωθότα· οὗτοι δὲ ἐν μέσαις ταῖς ἀγοραῖς, ἐν μέσῃ τῇ πόλει, ἐν αὐτοῖς τοῖς δικαστηρίοις τὰ ἐκείνων παρενόμουν. ἀλλὰ καὶ τὴν ἐκεῖθεν, φησι, γινομένην κηλῖ-

δα

διὰ ἐπελθὼν ὁ πόλεμος ἀναλώσει. καὶ γὰρ ἐν τῷ καιρῷ τῶν χρηστῶν ὑπὲρ τῶν προτέρων ἀπολογεῖται λυπηρῶν, ὅτι καὶ αὐτὰ ἐκεῖνα τὰ συμβαίνοντα διὰ τοῦτο συνέβη, ἵνα ἐκπλυθῶσιν, ἵνα καθαρθῶσιν, ἵνα πᾶσαν ἀποθῶνται κηλῖδα, ἵνα τὸ ἐκ τῶν ἁμαρτημάτων καὶ τῶν σφαγῶν ἀπονίψωνται ὄνειδος. τί δέ ἐστιν ὅ φησι, πνεύματι κρίσεως καὶ πνεύματι καύσεως; τῇ μεταφορᾷ τῶν χωνευομένων ὑλῶν ἐπέμεινεν. ὥσπερ γὰρ ἐκεῖ τὸ πνεῦμα εἰς τὸ χωνευτήριον ἐμπίπτον καὶ τὴν φλόγα ἀναρριπίζον, καὶ θερμοτέρους ποιοῦν τοὺς ἄνθρακας, ἅπαντα δαπανᾷ ῥύπον· οὕτω καὶ ἐνταῦθα ἡ θεήλατος ὀργὴ καὶ ἡ τῶν πολεμίων ἔφοδος ἐμπεσοῦσα, ἀντὶ πυρὸς τῇ πόλει γέγονε, πυρὸς οὐκ ἀπολλύντος, ἀλλὰ καίοντος, καὶ καθαίροντος, καὶ κολάζοντος, καὶ διορθουμένου. τὸ γὰρ πνεύματι κρίσεως, τουτέστι, κολάσεως, τιμωρίας, ἐκδικήσεως.

5 Καὶ ἥξει Κύριος. Παρουσίαν αὐτοῦ τὴν ἐνέργειαν καλεῖ. Καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός, 6 Πάσῃ τῇ δόξῃ σκεπασθήσεται, καὶ ἔσται εἰς σκιὰν ἡμέρας ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Νεφέλην ἐνταῦθα τὴν ἐκ τῶν κακῶν γινομένην παραψυχήν φησι· πυρὰν δὲ τὴν μετὰ τῆς παραμυθίας περιφάνειαν παραγινομένην. ὅπερ γάρ ἐστιν ἐν καύματι νεφέλη, τοῦτο ἐν σκότῳ καὶ νυκτὶ βαθυτάτῃ πυρὰ λαμπρὸν ἀναπτομένη. ἡ μὲν γὰρ τὸν αὐχμὸν ἀποκρούεται, ἡ δὲ διαλύει τὸν ζόφον. τὴν μὲν οὖν περιφάνειαν τῇ λαμπρότητι τῆς πυρᾶς, τὴν δὲ ἄνεσιν τῇ σκιᾷ τῆς νεφέλης παρέβαλεν. εἶτα δεικνὺς ὡς οὐ κατὰ μικρὸν τῶν δεινῶν λυομένων ταῦτα ἔσται, ἀλλὰ ἀθρόον ἐν αὐτῇ τῶν λυπηρῶν ἀκμῇ ἡ μεταβολὴ γενήσεται, ἵνα καὶ ἐντεῦθεν μάθωσιν, ὅτι οὐχὶ ἐκ περιφορᾶς τινος καὶ συντυχίας ἡ πρὸς τὸ βέλτιον γέγονε μετάστασις, ἀλλ' ἐκ τῆς ἄνωθεν δυνάμεως τὸ πᾶν κατώρθωται, ὡς πυρὸς καιομένου νυκτός φησιν, οὕτως ἡ μεταβολὴ γενήσεται, καὶ ἔσται εἰς σκιὰν ἡμέρας. τίς ἔσται; ἡ τοῦ Θεοῦ βοήθεια, φησι, καὶ ἡ συμμαχία ὥσπερ σκιὰ ἐν καύματι. καὶ ὥσπερ ὄροφος ἢ κατάδυσίς τις σπηλαίου, ὄμβρου καταρρηγνυμένου σφοδροῦ, ἐν ἀσφαλείᾳ τὸν ἐκεῖ καταφυγόντα διατηροῦσα· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ συμμαχία οὐκ ἀφήσει δεινὸν οὐδὲν παθεῖν, καὶ τοσούτου καταρρηγνυμένου πολέμου, οὓς ἀνέλαβεν ἐξ ἀρχῆς διασώσασα.

ἴσ. διατηρεῖν

ΚΕΦΑΛΑΙΟΝ ε.

κεφ. ε.

1 Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. Φοβήσας τοῖς λυπηροῖς, εὐφράνας τοῖς χρηστοῖς, ποικίλην τὴν θεραπείαν ἐργασάμενος, εἰς ἀρχὴν πάλιν ἑτέραν ἀνάγει τὸν λόγον, ἀρχὴν ἐοικυῖαν τῷ προοιμίῳ τῆς προφητείας. καθάπερ γὰρ ἀρχόμενος τὰς εὐεργεσίας ἀπήγγειλε τοῦ Θεοῦ τὰς εἰς αὐτοὺς γεγενημένας, λέγων, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, καὶ τὰς παρανομίας τὰς ὑπ' αὐτῶν τολμηθείσας ἐπῆγεν καὶ προστιθείς, ὅτι αὐτοί με ἠθέτησαν, καὶ ὅτι Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν· οὕτω δὴ καὶ ἐνταῦθα λέξεσι μὲν ἑτέραις, νοήμασι δὲ τοῖς αὐτοῖς τὰ αὐτὰ τοῖς προτέροις ἐνδείκνυται. ἀλλὰ τίνος ἕνεκεν κατηγορεῖν μέλλων, ᾆσμα τὴν κατηγορίαν καλεῖ; Μωϋσῆς μὲν γὰρ εἰκότως τοῦτο ἐποίησε μετὰ τῆς Μαρίας, ἅτε τὴν ἐπινίκιον μέλλων ᾄδειν ᾠδὴν, καὶ εἰκότως οὕτως ἀρχόμενος ἔλεγεν· ᾄσωμεν τῷ Κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. καὶ ἡ Δεβόρρα δὲ μετὰ τὸ θαυμαστὸν ἐκεῖνο τρόπαιον, καὶ τὴν παράδοξον νίκην, εἰκότως ᾠδὴν ὑφαίνει τὴν ἐπινίκιον ἐκείνην, εὐφημίαν ἀναφέρουσα τῷ Θεῷ. ἐνταῦθα δὲ κατηγορεῖν

Δευτ. λβ. ε.

Ωσ. θ. ιβ.

τηγορεῖν μέλλων, καὶ συντόνου λόγου δεόμενος, καὶ ψυχῆς οὐκ ἀνειμένης, ἀλλὰ συντεταμένης, ᾄσειν ἡμῖν ἐπαγγέλλεται), καὶ ᾆσμα τὰ ἐγκλήματα καλεῖ. οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ μέγας ἐκεῖνος Μωϋσῆς τὴν ἐπινίκιον τότε ᾄσας ᾠδὴν, κατηγορῶν τῶν Ἰουδαίων, μακρὰν ᾠδὴν τὰ ἐγκλήματα, λέγων· Ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε; οὕτως ὁ λαὸς μωρὸς, καὶ οὐχὶ σοφός· καὶ πολλὰς συνθεὶς κατηγορίας, ᾄδοντας αὐτοὺς ταῦτα λέγειν ἐνομοθέτει· καὶ ἔτι καὶ νῦν ᾄδοντες ταῦτα λεγόμεθα καὶ ἡμεῖς. τίνος οὖν ἕνεκεν τὰς κατηγορίας ᾠδὴν ποιοῦσι; σοφίᾳ κεχρημένοι πνευματικῇ καὶ πολὺ τὸ κέρδος ἐνθεῖναι ταῖς τῶν ἀκουόντων βουλόμενοι ψυχαῖς. ἐπειδὴ γὰρ οὐδὲν οὕτω χρήσιμον, ὡς τὸ πλημμελημάτων μεμνῆσθαι διηνεκῶς, μνήμην δὲ οὐδὲν οὕτω μόνιμον ὡς μελῳδία ποιεῖ· ἵνα μὴ διὰ τὴν ὑπερβολὴν τῶν κατηγοριῶν ὀκνοῦντες καὶ ἀναδυόμενοι, φεύγωσι τὸ συνεχῶς μεμνῆσθαι τῶν οἰκείων ἁμαρτημάτων, τῷ μέλει τῆς ᾠδῆς ὑποκλέπτων τὴν ἀπὸ τῆς μνήμης ἀηδίαν, καὶ τὴν ἀφόρητον ἀθυμίαν παραμυθούμενος, ᾄσματα αὐτὰ πεποίηκεν, ἵνα τῷ πόθῳ τῆς μελῳδίας ἀναγκαζόμενοι συνεχῶς αὐτὰ φθέγγεσθαι, συνεχῶς αὐτῶν ὦσι μεμνημένοι, διηνεκῶς ἔχωσί τινα διδασκαλίαν ἀρετῆς, τὴν διηνεκῆ τῶν ἁμαρτημάτων μνήμην. ἴστε γοῦν ὅτι καὶ νῦν τὰ μὲν ἄλλα οὐδὲ ἐξ ὀνόματος τοῖς πολλοῖς ἐστι βιβλία γνώριμα· τὴν δὲ τῶν ψαλμῶν πραγματείαν ἐπὶ στόματος ἅπαντες φέρουσι, καὶ αὐτὰς ταύτας τὰς ᾠδάς. οὕτω δι' αὐτῶν τῶν πραγμάτων δείκνυται, πόσον ἀπὸ τῆς μελῳδίας τὸ κέρδος ἐστί. διὰ δὴ τοῦτο καὶ αὐτός φησιν, ᾄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. ᾆσμα τῷ ἠγαπημένῳ, φησὶν, ἀμπελῶνι ᾄσω περὶ αὐτοῦ τοῦ ἠγαπημένου. καὶ αὐτῷ γὰρ ᾄδω, φησι, καὶ ἡ ὑπόθεσις τῆς ᾠδῆς περὶ αὐτοῦ καὶ τῶν αὐτοῦ πραγμάτων ἐστίν. εἰ δὲ μέλλων κατηγορεῖν, ἀγαπητὸν καλεῖ καὶ ἠγαπημένον, μὴ θαυμάσῃς. καὶ τοῦτο μέγιστον κατηγορίας ἐφόδιον, ὅτι δὴ ἀγαπηθέντες, καὶ τοσαύτης ἀπολαύσαντες παρὰ Θεοῦ τῆς εὐνοίας, οὐδὲ οὕτω βελτίους ἐγένοντο. τοῦτο γοῦν καὶ ἕτερος προφήτης αἰνιττόμενος ἔλεγεν· Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, ὡς σκοπὸν ἐν συκῇ πρώϊμον εἶδον πατέρας αὐτῶν, τὸ ποθεινὸν αὐτῶν καὶ ἐπέραστον διὰ τῶν καρπῶν τούτων ἐνδεικνύμενος· ποθεινὸν δὲ αὐτὸν καὶ ἐπέραστον, οὐ παρὰ τὴν οἰκείαν ἀρετὴν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι ἐγὼ μὲν οὕτως ἠγάπησα, ὡς ἄν τις σταφυλὴν εὑρὼν ἐν ἐρήμῳ, ἢ ὡς ἄν τις σκοπὸν ἐν συκῇ. εἰ γὰρ καὶ ἀνάξια τοῦ Θεοῦ τὰ παραδείγματα, ἀλλὰ κατάλληλα τῆς ἐκείνων γαστριμαργίας. αὐτοὶ δέ, φησι, τοσαύτης ἀπολαύσαντες τῆς ἀγάπης, ἀπηλλοτριώθησαν, καὶ εἰσῆλθον πρὸς τὸ Φεελφαγώρ. οὕτω δὴ καὶ ἐνταῦθα ἠγαπημένον αὐτὸν καλεῖ καὶ ἀγαπητὸν, δεικνὺς, ὅτι ὁ μὲν Θεὸς τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, οὐκ αὐτῶν ἀρξαμένων, ἀλλὰ τοῦ Θεοῦ ἀγαπησαμένου· ἐκεῖνοι δὲ οὐδὲ μετὰ ταῦτα ἀξίους ἑαυτοὺς τῆς εὐεργεσίας ἔδειξαν, ἀλλὰ τἀναντία ἐπεδείξαντο ἅπαντα.

Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι.

Τῷ ὀνόματι τοῦ ἀμπελῶνος πᾶσαν ἐνέφηνε τὴν πρόνοιαν, καὶ τὴν περὶ αὐτὸν ἐπιμέλειαν. οὐ μὴν ἵσταται μέχρι τούτου, ἀλλὰ καὶ τὰ ἕτερα ἀπαριθμεῖται εὐεργετήματα· καὶ πρότερον ἀπὸ τῆς θέσεως τοῦ τόπου τοῦτο ποιεῖ. τὸ γὰρ ἐν κέρατι, ἐν τόπῳ πίονι, τὸ μὲν τὴν φύσιν τῆς γῆς ἐπαινῶν ἔλεγε, τὸ δὲ τὴν θέσιν. ὅπερ καὶ ὁ Δαβὶδ ψάλλων ἔφησεν· ὅτι Ἱερουσαλὴμ, ὄρη κύκλῳ αὐτῆς, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. ἐτείχισε μὲν γὰρ αὐτὴν, φησι, καὶ τῇ θέσει τοῦ τόπου· πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ τὸ μέγιστον τεῖχος αὐτὸς αὐτῇ γέγονεν. ὃ δὴ καὶ οὗτος αἰνίττεται λέγων, ἐν κέρατι, τό τε ἀχείρωτον καὶ τὸ ἀκαταγώνιστον τοῦ τόπου, καὶ πρὸ τούτου τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν δηλῶν, ἀπὸ μεταφορᾶς τοῦ κέρως τοῦ βοός. καὶ γὰρ καὶ παροιμία τοιαύτη δημώδης ἐξενήνεκται περὶ τῶν εἰς ἀσφαλές τι χωρίον καταφυγόντων. ἐπειδὴ γὰρ ἰσχυρότατον πάντων ὁ ταῦρος, αὐτοῦ δὲ τοῦ ζώου τὸ ἰσχυρότερον τὸ κέρας (ὅπλῳ γὰρ αὐτῷ κέχρηται) διὰ τὸ δυσχείρωτον εἰώθασι λέγειν οἱ πολλοί. καὶ ἡ γραφὴ δὲ πολλάκις κέρας μονοκέρωτος καλεῖ τοὺς ἐν ἀσφαλείᾳ ὄντας. ἐν κέρατι οὖν ἐνταῦθα φησιν, ἐν ἀσφαλείᾳ, ἐν ὕψει, ὅπερ ἀρχόμενος ἔλεγεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα. ἐν τόπῳ πίονι. ὅπερ ὁ Μωϋσῆς εἶπε γῆν ῥέουσαν γάλα καὶ μέλι. 2 Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα. φραγμὸν, ἢ τὸ τεῖχός φησιν, ἢ τὸν νόμον, ἢ τὴν αὐτοῦ πρόνοιαν. καὶ γὰρ ὁ νόμος τείχους ἀσφαλέστερον αὐτοῖς περιέκειτο. καὶ ἐχαράκωσα, τουτέστιν, ἰσχυρὰν τὴν ἀσφάλειαν ἐποιησάμην. ἐπειδὴ γὰρ πολλάκις φραγμὸς εὐεπιχείρητον, καὶ ἑτέραν, φησὶ, περιέβαλλον αὐτοῖς συμμαχίαν. Καὶ ἐφύτευσα ἄμπελον σωρείχ. Ἐπιμένει τῇ μεταφορᾷ, ἣν οὐ δεῖ κατὰ λέξιν ἑρμηνεύειν, ἀλλὰ τὸν σκοπὸν εἰδότας ἀρκεῖσθαι τούτῳ. σωρεὶχ δὲ ἐνταῦθα, ἀληθινήν φησιν, εὐγενῆ, οὐχὶ τῶν φαύλων φυτῶν, οὐδὲ τῶν καταδεεστέρων, ἀλλὰ τῶν δοκίμων καὶ προφόρων. πολλὰ γὰρ ἀμπέλων γένη.

Καὶ ᾠκοδόμησα πύργον καὶ προλήνιον ἐν μέσῳ αὐτοῦ.

Τινὲς τὸν ναὸν φασὶ καὶ προλήνιον τὸ θυσιαστήριον, ἅτε τῶν καρπῶν ἐκεῖ συναγομένων τῆς ἀρετῆς τῆς ἑκάστου, καὶ τῶν προσφορῶν, καὶ τῶν θυσιῶν ἁπασῶν· ἐγὼ μέντοι τοῦτο, ὅπερ ἔφθην εἰπὼν, καὶ νῦν ἐρῶ, ὅτι τῷ σκοπῷ δεῖ προσέχειν τῆς μεταφορᾶς. διὰ γὰρ πάντων τοῦτο βούλεται εἰπεῖν, ὅτι τὰ παρ' ἐμαυτοῦ πάντα ἐπλήρωσα, πᾶσαν ἐπιμέλειαν ἐπεδειξάμην, οὐ κατέτεινα καμάτοις, οὐ συνέτριψα πόνοις, οὐκ αὐτοὺς οἰκοδομῆσαι ἐκέλευσα, οὐκ αὐτοὺς σκάψαι, οὐκ αὐτοὺς φυτεῦσαι, ἀλλ' ἀπηρτισμένον τὸ ἔργον παρέδωκα. καὶ οὐδὲ μέχρι τούτου τὰ τῆς φιλανθρωπίας ἔστησα μόνον·

Ἀλλὰ καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν. Καὶ ἀνέμεινα τὸν προσήκοντα καιρὸν τῆς καρποφορίας, μακροθυμίᾳ πολλῇ χρησάμενος. τὸ γὰρ ἔμεινα, τοῦτο δηλοῖ.

Ἐποίησε δὲ ἀκάνθας. Τὸν ἄκαρπον αὐτῶν βίον ἐνδείκνυται, τὸν τραχὺν, τὸν σκληρόν. τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι μετὰ τοσαύτην ἐπιμέλειαν τούτους ἀποδόντες τῷ γεωργῷ τοὺς καρπούς; 3 Καὶ νῦν ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου.

Πολλὴ τῶν δικαιωμάτων ἡ περιουσία, ὅταν αὐτοὺς τοὺς ὑπευθύνους δικαστὰς καθίζῃ τοῖς ὑπ' αὐτοῦ γεγενημένοις καὶ τοῖς ὑπ' ἐκείνων. καὶ νῦν οὐ λέγω τὰ παλαιά, φησιν, ἀλλὰ καὶ σήμερον ἕτοιμός εἰμι δικάζεσθαι. οὕτως οὐδέποτε διαλείπω τὰ ἐμαυτοῦ πληρῶν, οὐδὲ ὑμεῖς τὰ ἑαυτῶν πληροῦτε.

4 Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου; Ἐπειδὴ τὴν νίκην ἤρατο, καὶ τὴν ἀγνωμοσύνην ἔδειξε τὴν ἐκείνων, τότε λοιπὸν ἐνάγει καὶ τὴν ψῆφον, καὶ λέγει ταῦτα ἃ μέλλει ποιεῖν, οὐχ ἵνα καταδικάσῃ, ἀλλ' ἵνα τῷ φόβῳ τῆς ἀπειλῆς ἐπιεικεστέρους ποιήσῃ. 5 Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸ τεῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. Ἀποστήσω, φησὶ, τὴν ἐμὴν συμμαχίαν, γυμνώσω τῆς βοηθείας, ἐρήμους καταστήσω τῆς τοσαύτης προνοίας, καὶ εἴσονται διὰ τῶν ἐναντίων ὧν ἀπήλαυον ἔμπροσθεν, ὅταν ὦσι πᾶσιν εἰς ἁρπαγὴν προκείμενοι. 6 Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ.

σ. ἐπάγει

Πάλιν λέγω, ὅτι τῇ μεταφορᾷ κέχρηται. εἰ δέ τις καὶ θερμότερον ἐξετάζειν βούλοιτο, τὴν ἀπὸ τῆς διδασκαλίας, τὴν ἀπὸ τῶν ἐντολῶν ἐπιμέλειάν φησιν. οὐ γὰρ ἀπολαύσονται τῶν αὐτῶν, ὧν καὶ ἔμπροσθεν, οὐ διδασκάλους ἕξουσιν, οὐκ ἄρχοντας, οὐ προφήτας ὁμοίως τοὺς διορθουμένους αὐτοὺς, τοὺς ἐπιμελουμένους αὐτῶν. ὥσπερ γὰρ οἱ τὴν ἄμπελον θεραπεύοντες σκάπτουσι, τέμνουσιν, οὕτως οἱ ψυχὰς διορθούμενοι ἀπειλοῦσι, φοβοῦσι, διδάσκουσιν. ἀλλ᾽ ἐν ἐρημίᾳ τούτων ἔσονται, φησιν, εἰς τὴν ἀλλοτρίαν ἀπενεχθέντες. Καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Ἡ τὴν ἐρημίαν τῆς πόλεως φησιν, ἢ τὴν ἐρημίαν τὴν ἑαυτῶν, καὶ τῆς ἑκάστου ψυχῆς. νεφέλας δὲ ἐνταῦθα, τοὺς προφήτας τινὲς λέγουσιν, ἅτε ἄνωθεν τὸν ὑετὸν δεχομένους καὶ παραπέμποντας τῷ δήμῳ τὰ λεγόμενα. ἀλλ᾽ οὐδὲ οὗτοί, φησι, τὰ συνήθη ποιήσουσιν. εἰ γὰρ καὶ εἷς που καὶ δεύτερος συναπῆλθεν, ἀλλ᾽ ὁ δῆμος τῶν προφητῶν τότε ἐσίγα.

7 Ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστί· καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. Ἐπειδὴ πολλῇ τῇ μεταφορᾷ διὰ τῶν ὀνομάτων ἐχρήσατο, ἀμπελῶνα, καὶ πύργον, καὶ προλήνιον, καὶ φραγμὸν, καὶ σκαφητὸν, καὶ τμῆσιν ἀμπέλου λέγων, ἵνα μὴ περὶ ἀμπελῶνός τις τῶν τότε ἀνοήτων νομίσῃ εἶναι τὰ λεγόμενα, ταχέως πρὸς τῷ τέλει τὸ πᾶν ἡρμήνευσεν. ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστίν. οὐ γὰρ περὶ φυτῶν ὁ λόγος μοί, φησιν, οὐδὲ περὶ ψυχῆς ἀψύχου, οὐδὲ περὶ λίθων καὶ τοίχων, ἀλλὰ περὶ δήμου τοῦ ἡμετέρου. γρ. φύσεως διὸ καὶ ἐπήγαγε, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον· ἐπειδὴ πλέον τι εἶχε τῶν δέκα φυλῶν, καὶ ὁ ναὸς αὐτόθι πλησίον ἦν, καὶ ἡ λοιπὴ θεραπεία, καὶ τῶν ἄλλων μᾶλλον ἤνθει, καὶ βασιλικωτέρα ἦν ἡ φυλὴ καὶ δυνατωτέρα. ἠγαπημένον δὲ εἶπε, πάλιν αὐτῶν καθαπτόμενος, ὅτι περὶ τὸν σφοδρὸν ἐραστὴν τοιοῦτοι γεγόνασι. τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος, μηδὲ ἐν αὐτοῖς τοῖς ἐγκλήμασι κρύπτειν τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν. ἐντεῦθεν οὐ μικρὸν καὶ ἕτερον μανθάνομεν. ποῖον δὴ τοῦτο; τὸ πότε καὶ τίνα ἀλληγορεῖν χρὴ τῶν γραφῶν· καὶ ὡς οὐκ ἐσμὲν κύριοι τῶν νόμων τούτων αὐτοὶ, ἀλλὰ δεῖ αὐτῇ τῇ διανοίᾳ τῆς γραφῆς ἑπομένους, οὕτω τῷ τῆς ἀληγορίας κεχρῆσθαι τρόπῳ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· εἶπεν ἀμπελῶνα νῦν ἡ γραφὴ, φραγμὸν, προλήνιον· οὐκ ἀφῆκε κύριον γενέσθαι τὸν ἀκροατὴν ἁρμόσαι τὰ εἰρημένα οἷς ἐβούλετο πράγμασιν, ἢ προσώποις, ἀλλὰ προϊοῦσα ἑαυτὴν ἡρμήνευσεν, εἰποῦσα· ὁ γὰρ ἀμπελὼν Κυρίου σαββαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστί. καὶ Ἰεζ. ιζ. γ. Ἰεζεκιὴλ δὲ πάλιν ἀετὸν καλῶν μέγαν καὶ μεγαλοπτέρυγον εἰσιόντα εἰς τὸν Λίβανον, καὶ ἀποκνίζοντα τὸ ἄκρον τῆς κέδρου, οὐδὲ ἐκεῖ ἀφίησιν ἐπὶ τῇ γνώμῃ τῶν ἀκροατῶν κεῖσθαι τῆς ἀλληγορίας τὴν ἑρμηνείαν, ἀλλὰ καὶ αὐτὸς λέγει, τίνα μὲν τὸν ἀετόν φησι, τίνα δὲ τὴν κέδρον. καὶ οὗτος δὲ πάλιν προϊὼν, ποταμόν τινα σφοδρὸν ἀνάγει, λέγων, ἐπὶ τὴν Ἰουδαίαν, ἵνα μὴ ἐξῇ τῷ ἀκούοντι κατὰ τὴν οἰκείαν γνώμην ἁρμόζειν τὸ εἰρημένον προσώπῳ ᾧ βούλεται, εἶπε καὶ τὸν βασιλέα τοῦτον, ὃν ποταμὸν ἐκάλεσε. καὶ πανταχοῦ τῆς γραφῆς οὗτος ὁ νόμος, ἐπειδὰν ἀλληγορῇ, λέγειν καὶ τῆς ἀλληγορίας τὴν ἑρμηνείαν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, τὴν ἀκόλαστον ἐπιθυμίαν τῶν ἀλληγορεῖν βουλομένων πλανᾶσθαι καὶ πανταχοῦ φέρεσθαι. καὶ τί θαυμάζεις, εἰ οἱ προφῆται; καὶ ὁ παροιμιαστὴς δὲ οὕτω ποιεῖ. εἰπὼν γὰρ, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, καὶ ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι μόνῳ, ἡρμήνευσε τίνος ἕνεκεν ταῦτα ἔλεγεν, ὅτι περὶ γυναικὸς ἐννόμου καὶ ἐλευθέρας, ἀποτρέπων πόρνης καὶ ἀλλοτρίας ἀπέχεσθαι· οὕτω δὴ καὶ οὗτος ἐνταῦθα εἶπε τίνα ἔφησε τὸν ἀμπελῶνα εἶναι. εἶτα ἐπειδὴ εἶπεν αὐτῶν τὰ ἐγκλήματα, εἶπε τὰς τιμωρίας. πάλιν πρὸς τῷ τέλει τὴν ἀπολογίαν τίθησι λέγων, ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλ-

λά

λὰ κραυγήν. ὅτι δικαίως, φησὶν, ἀπαιτῶ δίκην. ἀνέμεινα γὰρ, ἵνα ποιήσῃ κρίσιν, τουτέστι δικαιοσύνην, αὐτοὶ δὲ τὰ ἐναντία ἐπεδείξαντο, ἀνομίαν, ἀδικίαν καὶ κραυγήν. κραυγὴν ἐνταῦθα τὴν πλεονεξίαν λέγει, τὸν ἄδικον θυμὸν, τὴν ὀργὴν τὴν ἀλόγιστον, τὰς μάχας, τὰς φιλονεικίας.

8 Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Εἰπὼν ὅτι κραυγὴν ἐποίησε, τουτέστι πλεονεξίαν, ἁρπαγὰς, λέγει καὶ τὸ εἶδος τῆς ἀδικίας, πολλῆς ἐμπεπλησμένον τῆς κακουργίας. καὶ πάλιν ἀπὸ ἁπλῶν ἀνθρωπίνων ἄρχεται, τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐνδεικνύμενος, καὶ τοὺς τὰ δυσίατα νοσοῦντας ἐμφαίνων. Ταῦτα δὲ καὶ νῦν τολμώμενα ἴδοι τις ἂν παρὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων, οἳ τὰς γειτνιάσεις ἐπινοοῦσιν, οὐκ εἰς ἀσφάλειαν, ἀλλ' εἰς ἐπιβουλὴν τῶν πλησίον, καθάπερ πῦρ ὁδῷ βαδίζον, οὕτω τοὺς ἐκ γειτόνων πάντας ἐπινεμόμενοι.

Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; 9 Ηκούσθη γὰρ νῦν εἰς τὰ ὦτα Κυρίου σαβαὼθ ταῦτα. Δείκνυσιν ἀνόνητα κάμνοντας καὶ εἰκῆ καὶ μάτην. ἐπειδὴ γὰρ οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι τοὺς τοιούτους ἀπάγειν εἰώθασιν, ὡς τὸ μαθεῖν ἀκριβῶς, ὅτι οὐκ ἀπολαύσονται τῆς ἁρπαγῆς, ταύτην αὐτοῖς ἐπάγει τὴν ἀπειλὴν λέγων, ὅτι καμοῦνται μὲν καὶ ταλαιπωρήσουσι καὶ τὴν ἁμαρτίαν καρπώσονται, τῆς δὲ ἀπολαύσεως ἐκπεσοῦνται. οὐκ ἐφησυχάζει γὰρ, φησὶ, τοῖς γινομένοις ὁ ἀκοίμητος ὀφθαλμός. τὸ δὲ ἠκούσθη νῦν, οὐχ ὡς τότε τῶν πραγμάτων γνωρίμων γενομένων αὐτῷ ταῦτά φησιν, ἀλλ' ὡς τῆς δίκης κατὰ πόδας ἰούσης λοιπὸν καὶ τῆς ἀνταποδόσεως γινομένης.

Ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ κατοικοῦντες ἐν αὐταῖς. Τοιοῦτον γὰρ ἡ πλεονεξία, ὅταν πλείονα περιβάλλῃ τοῖς ἔχουσι, καὶ τῶν προτέρων αὐτοὺς ἐξήγαγεν. ὃ δὴ καὶ ἐνταῦθα αἰνίττεται λέγων, ὅτι ὅταν οἰκοδομήσητε λαμπρὰς, καὶ τὰ πάντων ὑμῶν αὐτῶν ποιήσησθε, καὶ ἑστήσονται αἱ οἰκίαι οἰκήτορας μὲν οὐκ ἔχουσαι, σάλπιγγος δὲ πάσης λαμπροτέραν ἀφιεῖσαι φωνὴν κατὰ τῶν παρὰ τὴν ἀρχὴν ἡρπακότων αὐτὰς, τῆς ἐρημώσεως τῆς ἐπιτεταμένης ἀντὶ τροπαίου τινὸς φαινομένης. 10 Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία. Ἀπὸ τῆς πόλεως ἐπὶ τὴν τῆς χώρας ἐρημίαν ἐξάγει τὸν λόγον, ὥστε πάντοθεν καταπλῆξαι τὸν ἀκροατήν. οὔτε γὰρ αἱ οἰκίαι, φησὶ, καθέξουσι τοὺς ἐνοικοῦντας, οὔτε ἡ γῆ τὴν αὐτῆς ἐπιδείξεται δύναμιν. καὶ γὰρ ἐξ ἀρχῆς διὰ τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν ἀκάνθας καὶ τριβόλους ἐξήνεγκε, καὶ μετ' ἐκεῖνον διὰ τὴν τοῦ Κάϊν παρανομίαν, ἐλάττονα πολλῷ τῶν πόνων τῶν ἐκείνου καὶ τῆς οἰκείας ἰσχύος τὴν φορὰν ἐπεδείκνυτο. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ ἴδοι τις ἂν διὰ τὰς τῶν ἀνθρώπων ἁμαρτίας αὐτὴν κολαζομένην. καὶ τί θαυμάζεις, εἰ πηροῖ τὰς γονὰς αὐτῆς καὶ τὰς ὠδῖνας τῶν ἀνθρώπων ἡ παρανομία, ὅπουγε καὶ φθαρτὴ δι' ἡμᾶς ἐγένετο, καὶ ἄφθαρτος πάλιν δι' ἡμᾶς γίνεται; ἐπειδὴ γὰρ ὅλως τὸ εἶναι δι' ἡμᾶς ἔλαβε καὶ τὴν ἡμετέραν διακονίαν, καὶ τὸ οὕτως ἢ ἐκείνως εἶναι πάλιν ἐντεῦθεν λαμβάνει τὴν ἀρχὴν καὶ τὴν ῥίζαν. οὕτω γοῦν καὶ ἐπὶ τοῦ Νῶε. ἐπειδὴ πρὸς κακίαν ἐσχάτην ἐξώκειλε τῶν ἀνθρώπων ἡ φύσις, πάντα ἐφύρετο τὰ πράγματα, καὶ σπέρματα καὶ φυτὰ, καὶ ἀλόγων γένη, καὶ ἡ γῆ, καὶ θάλαττα, καὶ ἀὴρ, καὶ ὄρη, καὶ νάπαι, καὶ βουνοὶ, καὶ πόλεις καὶ τείχη, καὶ οἰκίαι καὶ πύργοι· καὶ πάντα ἁπλῶς ἐκείνῳ τῷ φοβερῷ τότε ἐκρύπτετο πελάγει· καὶ ἐπειδὴ πάλιν ἐπιδοῦναι τὸ γένος ἔδει, τὴν οἰκείαν εὐταξίαν ἀπελάμβανεν ἡ γῆ, καὶ εἰς τὴν προτέραν εὐμορφίαν ἐπανῄει πάλιν. ἴδοι δ' ἂν τις τοῦτο καὶ ἐπὶ μέρους γινόμενον διὰ τὴν εἰς

ἴσ. τῶν πόνων τῶν ἐκείνου

ἀνθρώποις τιμήν. καὶ γὰρ πέλαγος ἠφανίσθη, καὶ πάλιν ἐφάνη, καὶ ἥλιος ἐχαλινώθη μετὰ σελήνης, καὶ τὸν οἰκεῖον δρόμον ἐπέλιπε, καὶ πῦρ τὰ ὕδατος ἐπεδείξατο, καὶ γῆ τὰ πελάγους, καὶ πέλαγος τὰ τῆς γῆς· καὶ πάντα, ὡς εἰπεῖν ἁπλῶς, πρὸς τὴν τῶν ἀνθρώπων μετασχηματίζεται λυσιτέλειαν. καὶ ἐπειδὴ πάντων τιμιώτερος ἄνθρωπος, καὶ δι' αὐτὸν τὰ γινόμενα ἅπαντα, διά τοι τοῦτο καὶ νῦν, ἐπειδὴ ἥμαρτεν ὁ τῶν Ἰουδαίων δῆμος, ἐπέχει τῆς γῆς τὰς ὠδῖνας ὁ Θεός, καὶ μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας οὐκ ἀφίησι τὰς ἐκείνης λαγόνας τὴν εἰωθυῖαν φορὰν ἐνεγκεῖν, ἵνα κἀντεῦθεν μάθωσιν, ὅτι οὐ γεωργικῶν χειρῶν τέχνη, οὐδὲ βόες καὶ ἄροτρον, οὐδὲ γῆς φύσις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὁ τούτων ἁπάντων δεσπότης οὗτός ἐστιν, ὁ καὶ δαψιλῶς τῇ χειρὶ πάντα ἐκχέων, καὶ πάλιν, ἐπειδὰν βούληται, συστέλλων ἅπαντα.

11 Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει.

12 Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι.

Κατηγορήσας αὐτῶν πλεονεξίαν πολλήν, καὶ τὴν ῥίζαν τοῦ κακοῦ τίθησιν. αὕτη δὲ ἦν ἡ μέθη μυρίων γινομένη κακῶν ὑπόθεσις, καὶ μάλιστα ὅταν μετὰ τοσαύτης τολμᾶται τῆς ὑπερβολῆς. σκόπει γοῦν, πῶς μετὰ ἀκριβείας αὐτοὺς κωμῳδεῖ. πᾶσαν γὰρ τὴν ἡμέραν εἰς τοῦτο δαπανᾶσθαί φησιν. οὐ γὰρ ὅταν ἀριστοποιεῖσθαι δέῃ, τοῦτο πράττουσί, φησιν, ἀλλὰ πάντα τὸν καιρὸν μέθης ποιοῦντες καιρόν, καὶ ἐκ προοιμίων τῆς ἡμέρας, ὅτε μάλιστα αὐτοῖς προσέχειν ἐχρῆν, πολλῷ τῷ ἀκράτῳ διδόντες ἑαυτούς, καὶ ἄκοντες λοιπὸν καὶ μέχρι τῆς ἑσπέρας ἐναπομένοντες τῷ νοσήματι. ἐπειδὰν γὰρ ἅπαξ φθάσωσι καταποντισθῆναι εἰς τὸν τῆς ἀκρασίας βυθόν, καὶ τῶν κατὰ φύσιν ἐκπέσωσι φρενῶν, καὶ τὴν ψυχὴν αἰχμάλωτον τῇ πονηρᾷ τῆς μέθης παραδώσουσι τυραννίδι, καθάπερ πλοῖον ἀνερμάτιστον καὶ κυβερνήτου καὶ ναυτῶν ἀπεστερημένον ἁπλῶς καὶ εἰκῇ φέρεται τῇ τῶν ὑδάτων ἀτάκτῳ ῥύμῃ πανταχοῦ περιαγόμενον, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι ὑπὸ τῆς μέθης ὑποβρύχιοι γινόμενοι. διό φησιν, οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες. οὐ γὰρ τὴν χρείαν ἐπλήρουν, οὐδὲ αἰτούμενον ἐπιθυμίας γινομένης πληρῶσαι τὴν ἔνδειαν, ἀλλ' ἔργον ἐποιοῦντο τοῦτο καὶ μελέτην, τὸ διηνεκῶς μεθύειν. διό φησιν, οἱ διώκοντες σίκερα. σίκερα δὲ ἐνταῦθά φησι τῶν φοινίκων τὸν ὀπόν, ὃν ἐπετήδευον, συντρίβοντες τὸν καρπὸν καὶ καταθλῶντες, εἰς οἴνου μετασχηματίζειν φύσιν. καρωτικὸν δὲ ἐστὶ τὸ τοιοῦτο, καὶ μέθης ἐργαστικόν. ἀλλ' οὐδὲν ὑφωρῶντο τούτων ἐκεῖνοι, τὴν ἡδονὴν πανταχοῦ διώκοντες. μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. τοιαύτη γὰρ τῆς μέθης ἡ φύσις, προϊοῦσα αὔξεται, καὶ χαλεπώτερον τὸ δίψος ποιεῖ. εἶτα καὶ ἕτερον οὐκ ἔλαττον ἔγκλημα τοῦ προτέρου προστίθησι, λέγων· μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι. τοῦτο καὶ ἕτερος ἐγκαλεῖ προφήτης λέγων, Οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ κροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων. ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. καὶ γὰρ ἐσχάτης ἀναλγησίας τοῦτο τὸ σημεῖον, καὶ ψυχῆς ἐκλελυμένης, τὸ θέατρον ποιεῖν τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ τοιούτοις ᾄσμασιν ἑαυτοὺς ἐκδιδόναι. ὅπερ γὰρ ἡ μέθη ποιεῖ σκοτοῦσα, τοῦτο ἡ μουσικὴ μαλάττουσα τὸ εὔτονον τῆς διανοίας, καὶ κατακλῶσα τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ἐπὶ μείζονας ἐξάγουσα ἀσελγείας. τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. ἢ τὰ θαύματα αὐτοῦ φησιν, ἢ τῆς κτίσεως τὴν θεωρίαν. πῶς δ' ἂν δύναιντο γενέσθαι θεαταί, τὴν μὲν ἡμέραν νύκτα ἐργαζόμενοι, τὴν δὲ νύκτα τῶν

Ἀμὼς ϛ. ϛ.

νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι; πῶς δυνήσονται ἥλιον ἰδεῖν ἀνατέλλοντα, καὶ οὐρανοῦ κάλλος λάμπον, καὶ τὸν ποικίλον τῶν ἄστρων ἐν ἑσπέρᾳ χορόν, καὶ τὴν ἄλλην τῆς κτίσεως εὐταξίαν τε καὶ διακονίαν, τῶν ἔξωθεν καὶ τῶν ἔνδοθεν ὀφθαλμῶν ἀπεστερημένοι; οὐ μικρὸν δὲ τοῦτο ἡ δίκη ἐστί, τὸ ἀθέατοι τῶν τοῦ Θεοῦ θαυμάτων ἐκ τοῦ παρόντος ἀπελθεῖν βίου, πάντα τὸν χρόνον ἐν τῷ σκότει τῆς μέθης κατορωρυγμένοι.

13 Τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον.

Πάλιν τὸ μέλλον ὡς γεγενημένον ἀπαγγέλλει, καὶ τιμωρίαν ἐπάγει τῇ πλημμελείᾳ ταύτῃ. ἱκανὴ μὲν γὰρ καὶ αὐτὴ ἡ μέθη ἀντὶ πάσης γενέσθαι κολάσεως, θορύβους ἐμποιοῦσα τῇ ψυχῇ, ζόφου πληροῦσα τὴν διάνοιαν, αἰχμάλωτον καθιστῶσα αὐτήν, μυρίων αὐτοὺς ἐμπιπλῶσα νοσημάτων, τῶν ἔνδοθεν, τῶν ἔξωθεν. οἶδε τοῦτο καὶ Παῦλος, ὅτι κακία ἀντὶ τιμωρίας γίνεται. διό φησι, Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. Ρωμ. κζ. ἀλλ' ἐπειδὴ καὶ τοῦτο τῆς ἀναισθησίας αὐτῶν, τὸ κολάζεσθαι, καὶ μηδὲ αἰσθάνεσθαι τὸ νοσεῖν, καὶ μὴ εἰδέναι ὅτι νοσοῦσιν, ἐπάγει καὶ τῶν ἔξωθεν τιμωρίαν λέγων· ισ. τὴν τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον·

Καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος.

Ὅρα καὶ ἐν τῇ τιμωρίᾳ πολλὴν τὴν νουθεσίαν, καὶ οὐκ ἀθρόον τὴν βαρυτάτην ἐπαγομένην τόλμαν. οὐ γὰρ εὐθέως τὴν αἰχμαλωσίαν ἐπήγαγεν, ἀλλὰ λιμὸν πρότερον καὶ αὐχμόν, ἵνα οἴκοι μένοντες γένωνται βελτίους, μηδὲ ἀνίατα νοσοῦντες ἐφελκύσωνται τὸ τῶν βαρβάρων στρατόπεδον. ἐπειδὴ δὲ οὐκ εἶξαν, οὐδὲ ἐκέρδαναν ἐντεῦθεν, ἐπάγει λοιπὸν τὴν ἐσχάτην τιμωρίαν αὐτοῖς. ἀλλ' ὅμως περὶ ἐκείνων ταύτην ἐπαίρει καὶ ἐξογκοῖ τῷ λόγῳ τὴν τοῦ λιμοῦ, λέγων·

14 Ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ· Οὐχ ὡς ψυχὴν τοῦ ᾅδου ἔχοντος, ἀλλὰ προσωποποιεῖ τὴν ἀπειλήν, ἐμφατικώτερον τὸν λόγον ποιῆσαι βουλόμενος, καὶ φόβον ἀκμάζοντα ἐναποθέσθαι τῇ διανοίᾳ τῶν ἀκουόντων. διὸ καὶ ἐπιμένει λέγων·

Καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν·

Ὡς περὶ θηρίου τινὸς διηγούμενος, καὶ ἐγγὺς αὐτῶν τὴν εἰκόνα τῶν πραγμάτων ἄγων. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ ἤνοιξε τὸ στόμα μόνον, ἀλλὰ καὶ μένει κεχηνώς, καὶ κόρον οὐ λαμβάνων τῶν ἐν αὐτῷ κατορυττομένων. Καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ οἱ λοιμοὶ αὐτῆς.

Εἶτα ἵνα μάθῃς, ὅτι οὐ κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενόν ἐστιν, ἀλλὰ θεήλατος ἐστὶν ἡ πληγή, καὶ ψῆφος ἐκ τῶν οὐρανῶν κατενεχθεῖσα, τοὺς ἐν περιφανείᾳ, τοὺς ἐν δυναστείᾳ, τοὺς πάντα συγχέοντας, καὶ ἄνω καὶ κάτω τὰ τῶν Ἰουδαίων ποιοῦντας πράγματα, τούτους ἐκεῖ καταβήσεσθαι ἔφησε. λοιμοὺς δὲ εἰκότως αὐτοὺς καλεῖ, ἅτε οὐ μέχρι ἑαυτῶν τὴν κακίαν διατηροῦντας, ἀλλὰ καὶ εἰς ἄλλους τὴν νόσον διαβιβάζοντας. τοιαύτη γὰρ ἡ τοῦ λοιμοῦ φύσις· ἐπειδὰν ἀφ' ἑνὸς ἄρξηται σώματος, ὁδῷ βαδίζουσα τὸ λοιπὸν ἐπινέμεται πλῆθος. Καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ. Ὁ τρυφῶν, ὁ σκιρτῶν, ὁ νομίζων ἀκίνητα ἔχειν τὰ ἀγαθά, καὶ αὐτὸς ἐμπεσεῖται καὶ ἁλώσεται.

15 Καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ· καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται Κύριος μόνος σαβαὼθ ἐν κρίματι.

Ὅρα πάλιν Θεοῦ κηδεμονίαν. οὐ γὰρ πανωλεθρίαν ἐργάζεται, οὐδὲ ὅλον ἐκ μέσου τὸν δῆμον αὐτῶν ἀνάρπαστον ποιεῖ, ἀλλ' ἀφίησί τινας, ὥστε τῇ τιμωρίᾳ τῶν ἀπολλυμένων γενέσθαι βελτίους. τοῦτο γοῦν αἰνιττόμενος ἔφησεν, ὅτι ταπεινωθήσονται, τουτέστιν οἱ μένοντες, οἱ ὑπολιμπανόμενοι. 16 Καὶ ὑψωθήσεται Κύριος σαβαὼθ ἐν κρίματι,

ματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ. Δύο τίθησιν ἀγαθά, ὅτι κἀκεῖνοι τῆς φλεγμονῆς ἀπαλλαγήσονται, καὶ ἔσονται βελτίους, καὶ ὁ Θεὸς θαυμασθήσεται παρὰ πᾶσι (τοῦτο γάρ ἐστιν, ὑψωθήσεται καὶ δοξασθήσεται) διὰ τῆς κολάσεως.

17 Καὶ βοσκηθήσονται οἱ διεσπαρμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. Τὴν ὀλιγότητα ἐνταῦθα αἰνίττεται τῶν ὑπολειφθέντων, καὶ τὴν ἐπιτεταμένην ἐρημίαν τῆς χώρας.

18 Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν· 19 Οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν.

Τῶν προφητῶν ἀπειλούντων συνεχῶς, καὶ τὰ φοβερὰ προαναφωνούντων, οἱ ψευδοπροφῆται πρὸς χάριν διαλεγόμενοι, καὶ τοῦ δήμου τὸν τόνον ἐκλύοντες, τὰ μὲν ἐκείνων ἔφασκον εἶναι ψευδῆ, τὰ δὲ αὐτῶν ἀληθῆ. πολλοὶ τοίνυν ἀπαγόμενοι ἠπίστουν καὶ αὐτοῖς τοῖς ῥήμασιν. Εἶτα ἐπειδὴ αἱ προφητεῖαι οὐχ ὁμοῦ τε ἐλέγοντο καὶ ἐξέβαινον (προφητείας γὰρ αὕτη ἡ φύσις, τὸ πρὸ πολλοῦ χρόνου τὰ μέλλοντα ἐκβήσεσθαι προαναφωνεῖν) ἐπεὶ οὖν συνεχῶς μὲν ἔλεγον οἱ προφῆται τοὺς λιμούς, τοὺς λοιμούς, τοὺς πολέμους, ἐπὶ δὲ τῶν ἔργων αὐτὰ οὐκ ἐδείκνυον, τέως τὴν τοῦ χρόνου μέλλησιν ἀφορμὴν εἰς ἀπιστίαν λαμβάνοντες οἱ πολλοὶ τῶν ἠπατημένων ἔλεγον· ἐλθέτω τὰ λεγόμενα, εἰ ἀληθεύετε, ἐγγισάτω τὰ πράγματα, δείξατε ἡμῖν ἐπὶ τῶν ἔργων τὴν βουλὴν τοῦ Θεοῦ. ἐπεὶ οὖν τὴν αὐτοῦ μακροθυμίαν ὑπόθεσιν ἀπιστίας ἐποιοῦντο, καὶ ἐντεῦθεν προσετίθησαν αὐτῶν τοῖς ἁμαρτήμασι τό τε ἀπιστεῖν, τό τε διὰ τὴν ἀπιστίαν ῥαθυμότεροι γίνεσθαι, Εἰκότως αὐτοὺς ὁ προφήτης θρηνεῖ λέγων· ὅτι καθάπερ σχοινίῳ μακρῷ, οὕτως ἕλκετε καθ᾽ ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ αὔξετε ὑμῖν τὴν πονηρίαν. ἐπειδὴ γὰρ ἀπιστεῖτε τοῖς λεγομένοις ῥήμασι, λείπεται λοιπὸν τὴν διὰ τῶν ἔργων ἐπενεχθῆναι πεῖραν ὑμῖν. ὥστε οἱ τὰ κακὰ ἐπισπώμενοι, ὑμεῖς ἐστε, οἱ τοῖς λεγομένοις ἀπιστοῦντες. διὰ τοῦτό φησιν, οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, τουτέστι τὴν ἀντίδοσιν τῶν ἁμαρτημάτων. ὡς σχοινίῳ μακρῷ πόρρωθεν ἕλκετε, φησι, τὴν ὡρισμένην τοῖς ἁμαρτήμασιν ὑμῶν δίκην, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως ὑπὸ ζυγὸν οὔσης· ἵνα εἴπῃ τὸ εὔτονον, τὸ μετὰ σπουδῆς. ὡς ἐάν τις ἱμάντι εὐτόνῳ ἐφελκύσαιτό τι, οὕτως ὑμεῖς διὰ τῆς ἀπιστίας ἐφέλκετε καθ᾽ ὑμῶν τοῦ Θεοῦ τὴν ὀργήν. Εἶτα λέγει καὶ πῶς ἐφέλκονται. Οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν. ὃ καὶ ἕτερος προφήτης ἐγκαλεῖ λέγων· Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. καὶ ἵνα τί ὑμῖν ἡ ἡμέρα αὕτη, καὶ αὐτή ἐστι σκότος καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχον φέγγος αὐτῆς; καὶ γὰρ καὶ ἐκεῖνοι ἀπιστοῦντες ἔλεγον, πότε ἥξει ἡ ἡμέρα τῆς κολάσεως καὶ τῆς τιμωρίας;

Ἀμὼς ε. ιη.

20 Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ.

Πάλιν περὶ τῶν αὐτῶν διαλέγεται. ἐπειδὴ τοὺς μὲν προφήτας ὕβριζον καὶ ἀπατεῶνας ἔλεγον, τοὺς δὲ ψευδοπροφήτας ἐτίμων, καὶ ἀνέστρεφον τῶν πραγμάτων τὴν τάξιν, ταλανίζει αὐτοὺς ἐπὶ τῇ κρίσει τῇ διεφθαρμένῃ· οὐαί, φησιν, οἱ λέγοντες τὸ πονηρὸν καλόν, τουτέστι τὴν ψευδοπροφητείαν, καὶ τὸ καλὸν πονηρόν, τὴν προφητείαν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ. Εἰ γὰρ καὶ φορτικά, φησι, τὰ ῥήματα, ἀλλ᾽ οὐδὲν γλυκύτερον τῶν προφητῶν, τῇ τῶν ῥημάτων ἀπειλῇ τὴν διὰ τῶν πραγμάτων ἀποκρουομένων πεῖραν. Εἰ καὶ γλυκέα τὰ τῶν ψευδοπροφητῶν, ἀλλ᾽ οὐδὲν αὐτῶν πικρότερον, τῇ χάριτι τῶν λόγων τὴν

διαδιὰ τῶν ἔργων ἐπαγόντων ἀπειλήν. ἰδοὺ προφήτου σοφίαν, πῶς ἀνέστρεψεν αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ γὰρ τοῖς μὲν ὡς πικρότατα φθεγγομένοις οὐ προσεῖχον, τοῖς δὲ ὡς προσηνεστάτοις, καὶ γλυκύτητα πολλὴν ἔχουσιν, ἔφησεν, ὅτι τοὐναντίον μὲν οὖν ἐστι· πολὺ τῶν προφητῶν τὸ μέλι, πολὺ δὲ τῶν ψευδοπροφητῶν ἡ πικρία. οὕτω καὶ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους τὸν λόγον μεταχειριστέον ἡμῖν. οἱ μὲν γὰρ πρὸς τὴν πλάνην ἦγαγον, οἱ δὲ καὶ πρὸς τὴν ἀλήθειαν ἐχειραγώγουν· καὶ οἱ μὲν τῷ ζόφῳ τῆς αἰχμαλωσίας μονονουχὶ τὰς χεῖρας δήσαντες παρεδίδοσαν, οἱ δὲ ὅπως ἐν τῷ φωτὶ τῆς ἐλευθερίας ἀγαπῶσι, πάντα ἔπραττον. ἐπεὶ οὖν τὰς ἐναντίας περὶ τούτων δόξας εἶχον καὶ τὰς οὐ προσηκούσας, εἰκότως αὐτοὺς διορθοῦται λέγων, οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς. 21 Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

Οὐ μικρὸν καὶ τοῦτο ἐλάττωμα, τὸ σοφὸν εἶναι νομίζειν ἑαυτὸν, καὶ τοῖς ἑαυτοῦ λογισμοῖς τὸ πᾶν ἐπιτρέπειν. καὶ γὰρ ἐντεῦθεν ἐκεῖνο γίνεται. τοῦτο καὶ ὁ Παῦλος τοῖς ἔξω φιλοσόφοις ἐγκαλῶν ἔλεγεν, Ὅτι φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν· καὶ ὁ παροιμιώδης λόγος πάλιν φησὶν, Εἶδον ἄνθρωπον δοκοῦντα εἶναι σοφὸν παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον ἄφρων αὐτοῦ. τοῦτο καὶ Παῦλος ἐγκαλεῖ πάλιν λέγων, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. καὶ πάλιν, Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός. μὴ τῇ οἰκείᾳ σοφίᾳ, φησὶ, μηδὲ τοῖς ἑαυτοῦ ἐπιτρέπων λογισμοῖς, ἀλλ' ἐκείνους κατευνάσας, ἐκδιδότω τὴν ψυχὴν τῇ τοῦ πνεύματος διδασκαλίᾳ. ἐπεὶ οὖν καὶ παρὰ Ἰουδαίοις τοιοῦτοί τινες ἦσαν, ὑπερορῶντες μὲν τῶν προφητῶν ὡς ποιμένων καὶ αἰπόλων, βουλόμενοι δὲ σοφίζεσθαι οἴκοθεν, ὃ καὶ ἀπονοίας αὐτοῖς ὑπόθεσις ἐγίνετο καὶ τοῦ καταφρονεῖν τῶν λεγομένων, εἰκότως αὐτοὺς θρηνεῖ λέγων· οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

Ρω. α. κβ.

Παροιμ. κς. ιβ.

α. Κορ. γ. ιη.

22 Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. Μὴ θαυμάσῃς, εἰ παρὰ μικρὸν τοσαῦτα κατὰ μέθης εἰπὼν, πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνει λόγον. ἐπειδὴ γὰρ χαλεπὸν τὸ ἕλκος καὶ δυσίατον, διὰ τοῦτο καὶ συνεχῶς ἐπαντλεῖν ἔδει. χαλεπὸν δὲ καὶ δυσίατον, τῷ μὴ δοκεῖν παρὰ τοῖς πολλοῖς ἁμάρτημα εἶναι, πάντων ἁμαρτημάτων χαλεπώτερον ὂν, καὶ μυρία βλαστάνον νοσήματα. διό φησιν· οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. διπλοῦς ὁ κρημνὸς, τυραννὶς μέθης, καὶ δυναστείας ὑπερβολή. πᾶσι μὲν γὰρ ἀνθρώποις λογισμοῦ χρεία, μάλιστα δὲ τοῖς ἐν ἀξιώμασι καὶ δυναστείαις οὖσιν, ὥστε μὴ καθάπερ ἀτάκτων ὑδάτων ῥύμῃ τινὶ, τῷ τῆς ἀρχῆς ἐκφερομένους ὄγκῳ κατακρημνίζεσθαι.

23 Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες ἀπ' αὐτοῦ.

Διπλοῦν τὸ ἔγκλημα πάλιν, τὸ τὸν ὑπεύθυνον ἀφιέναι, καὶ τὸν ἀνεύθυνον καταδικάζειν. ἑκατέρου ἁμαρτήματος ἡ ῥίζα, δωροδοκία.

24 Διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνημμένης. Τὸ τῆς τιμωρίας ταχὺ, τὸ εὔκολον τῆς κολάσεως παρίστησι, διὰ τῆς εἰκόνος τὴν πανωλεθρίαν αὐτῶν δηλῶν. ἅπαντα γὰρ ταῦτα ἡ φλὸξ καὶ οἱ ἄνθρακες καὶ ἡ καλάμη καὶ τὰ ἑξῆς ἡμῖν παρεδήλωσεν. Ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται. Τὰ πεπηγότα καὶ τὰ βέβαια ἀπολεῖται, καὶ διαχυθήσεται τὰ λαμπρὰ, καὶ τὰ φαιδρὰ οἰχήσεται καὶ διαρρυήσεται. Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου σαβαὼθ ποιεῖν, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου παρώξυναν. Λόγιον τὸν νόμον λέγει.

25 Καὶ ἐθυμώθη Κύριος σαβαὼθ ὀργῇ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα

αὐτοῦ ἐπ' αὐτούς, καὶ ἐπάταξεν αὐτούς. καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγένετο τὰ θνησιμαῖα αὐτῶν, ὡς κοπρία ἐν μέσῳ ὁδοῦ, καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Ἐνταῦθα αἰνίττεται χαλεπόν, ὡς οὐδὲ ταφῇ τὰ σώματα συγχωρήσει παραδοθῆναι, ἀλλ' ἵνα οἱ ζῶντες ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τῆς οἰκείας ἀποτέμνωνταί τι κακίας. καὶ ὅπερ πρὸς χαλεπώτερον τὸν λόγον ἐποίησεν. οὐ γὰρ εἶπεν, ὅτι οὐκ ἐτάφησαν, ἀλλ' ὅτι κόπρου πάσης ἀτιμότερον ἐρριμμένοι ἦσαν οἱ τετελευτηκότες, ὃ τοῖς ζῶσι φρικωδέστερον ἁπάντων εἶναι δοκεῖ, καὶ τῆς τελευτῆς αὐτῆς χαλεπώτερον. καὶ τὸ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησίν, ἐπιεικέστεροι γεγόνασιν, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένουσιν. ἐπεὶ οὖν οὐδὲν βελτίους ἐγένοντο, ἀπειλεῖ πάλιν αὐτοῖς τὴν χαλεπωτάτην ἐκείνην πληγὴν τὴν τῶν βαρβάρων. διὸ καὶ ἐπάγει λέγων·

26 Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν. Ἵνα μὴ τῆς ὁδοῦ τὸ μῆκος εἰς ῥᾳθυμίαν αὐτοὺς ἐμβάλλῃ, φησὶν ὅτι οὕτω τῷ Θεῷ ῥᾴδιον ἀγαγεῖν αὐτούς, ὡς τὸ σύσσημον αἴροντι, καὶ τοὺς παρεσκευασμένους καὶ ἑτοίμους ἐξάγειν πρὸς παράταξιν, ὅπερ καὶ ἐπὶ τῶν ἵππων γίνεται τῶν ἁμιλλητηρίων. ὁμοῦ τε γὰρ τὸ σύμβολον τῆς ἀφέσεως αἴρεται, κἀκεῖνοι τῶν βαλβίδων ἐκπηδῶσιν εὐθέως. δύο τοίνυν ἐνταῦθα ὁ προφήτης αἰνίττεται, ὅτι καὶ εὔκολον αὐτοὺς ἐλθεῖν, τοῦ Θεοῦ καλοῦντος, καὶ πάλαι ἂν ἦλθον, εἰ μὴ ἡ πολλὴ κατεῖχεν αὐτοὺς μακροθυμία. εἶτα τῇ ἐπεξηγήσει πλείονα τὴν εὐκολίαν ἐνδείκνυται λέγων· Καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς.

Μὴ θαυμάσῃς δέ, εἰ περὶ Θεοῦ διαλεγόμενος, οὕτω παχυτάταις κέχρηται λέξεσι. πρὸς γὰρ τὴν διάνοιαν τῶν ἀκουόντων σχηματίζει τὰ ῥήματα, ἓν βουλόμενος δεῖξαι διὰ πάντων, ὅτι καὶ τῷ Θεῷ ῥᾴδιον τοῦτο, καὶ ὅτι πάντως ἀπαντήσονται. διὸ καὶ ἐπήγαγε λέγων· Καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. 27 Οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσι. Ταῦτα ὑπερβολικῶς εἴρηται. πῶς γὰρ ἐνῆν μήτε πεινῆν μήτε καθεύδειν ἀνθρώπους ὄντας, καὶ τὴν κοινὴν λαχόντας λῆξιν; ἀλλὰ τὸ τάχος τῆς στρατιᾶς, τὴν εὐκολίαν, τὴν ταχύτητα, ὅπερ ἔφθην εἰπών, διὰ πάντων ἐνδείκνυται.

Οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν·

⌈ 28 Ὧν τὰ βέλη ὀξέα ἐστί, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες.

29 Ὁρμῶσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς σκύμνοι λεόντων.

30 Καὶ ἐπιλήψεται καὶ βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτούς. καὶ βοήσεται δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω· καὶ ἰδοὺ σκότος σκληρόν, σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν. Διὰ πάντων τὸν λόγον ἐξώγκωσε, καὶ τὸν φόβον ἐπῆρε, κατὰ μικρὸν ἕκαστα διηγούμενος, τὰ περὶ τῆς γνώμης, τὰ περὶ τῆς ἰσχύος, τὰ περὶ τῶν ὅπλων, τὰ περὶ τῶν ἁρμάτων, ὥστε τῷ πλήθει τῶν λεγομένων πολλὴν ποιῆσαι τὴν ἀγωνίαν, καὶ τῇ σαφηνείᾳ τῶν εἰκόνων εἰς αὐτὰ τὰ πράγματα αὐτῶν ἀγάγῃ. διὸ καὶ λέουσι αὐτοὺς παραβάλλει, καὶ οὐδὲ ἐνταῦθα ἔστη τοῦ παραδείγματος, ἀλλὰ καὶ φωνὴν διαπλάττει καὶ ὁρμὴν τοῦ θηρίου, καὶ ἐπιμένει τῇ μεταφορᾷ, καὶ πολλὴν ποιεῖται τὴν τροπήν. καὶ ἐντεῦθεν ἐπὶ θάλατταν ἐξάγει τὸν λόγον, λέγων, ὅτι τοσοῦτος ἔσται ὁ θόρυβος, τοσαύτη ἡ ταραχή, ὅση ἂν γένοιτο μαινομένης θαλάσσης καὶ κύματα διεγειρούσης· καὶ πάντα κινεῖ τρόπον, αὔξων τὸν φόβον, ὥστε μὴ δεηθῆναι αὐτοὺς τῆς διὰ τῶν πραγμάτων πείρας. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ὁ παραστησόμενος ἔσται, φησίν, οὐκ ἀπὸ

κεφ. ϛ.

τῆς γῆς, οὐκ ἀπὸ τῶν οὐρανίων· ἀλλ' ἔρημοι καὶ τῆς ἄνωθεν συμμαχίας, καὶ τῆς κάτωθεν βοηθείας, ἐκδοθήσονται τοῖς πολεμίοις. σκότος δὲ ἐνταῦθά φησι, τὸ ἀπὸ τῆς συμφορᾶς αὐτοῖς ἐγγινόμενον, οὐχ ὡς τῆς ἀκτῖνος ἀφανιζομένης, ἀλλὰ τῆς διαθέσεως τῶν πασχόντων ἐν τῇ μέσῃ τῇ μεσημβρίᾳ ἀντὶ φωτὸς σκότος ὁρώντων· ὅπερ τοῖς ὀδυνωμένοις καὶ θλιβομένοις συμβαίνειν εἴωθε. καὶ ἵνα μάθῃς, ὅτι οὐ τῆς φύσεως τοῦ ἀέρος τὸ σκότος ἦν, ἀλλὰ τῆς ἐκείνων διαθέσεως, ἐπήγαγε· σκληρὸν σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

κεφ. ϛ.

1 Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. Τί δήποτε τοὺς μὲν ἄλλους χρόνοις ἀπὸ τῆς ζωῆς τῶν βασιλέων, τοῦτον δὲ ἀπὸ τῆς τελευτῆς χαρακτηρίζει νῦν ὁ προφήτης; οὐ γὰρ εἶπεν, ἐγένετο ἐν ταῖς ἡμέραις Ὀζίου, οὐδὲ ἐν τῇ βασιλείᾳ Ὀζίου, ἀλλ' ἐγένετο, ἡνίκα ἀπέθανε. τί δήποτε ἐν τούτῳ ποιεῖ; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλά τι ἀπόρρητον ἡμῖν αἰνίττεται. τί δὲ τοῦτό ἐστι; Ὀζίας οὗτος τῇ τῶν γεγενημένων εὐπραγίᾳ μεθύων, καὶ ὑπὸ τῆς εὐημερίας ἐγχαυνούμενος, μεῖζον τῆς ἀξίας ἐφρόνησε· καὶ ἐπειδὴ βασιλεὺς ἦν, ἐνόμισεν αὐτῷ προσήκειν ἱερᾶσθαι, καὶ ἐπεπήδησε τῷ ναῷ, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε, καὶ, τοῦ ἱερέως κωλύοντος καὶ ἀπαγορεύοντος αὐτῷ τὴν ἐκεῖσε εἴσοδον, οὐκ ἠνέσχετο, ἀλλ' ἐνέμεινε τῇ μανίᾳ, ὀλίγον τοῦ ἱερέως ποιούμενος λόγον. ταύτης ἕνεκεν τῆς ἀναισχυντίας ἐπαφῆκεν αὐτῷ λέπραν ὁ Θεὸς κατὰ τοῦ μετώπου. βουληθεὶς γὰρ πλείονα τῆς οὔσης τιμὴν λαβεῖν, καὶ ἧς εἶχεν, ἐξέπεσεν. οὐ γὰρ δὴ μόνον ἱερωσύνην οὐ προσέλαβεν, ἀλλὰ καὶ γενόμενος ἀκάθαρτος, τῶν βασιλείων ἐξεβάλλετο, καὶ τὸν ἅπαντα χρόνον ἐν οἴκῳ τινὶ κεκρυμμένος κατῴκει, τὴν αἰσχύνην οὐ φέρων. καὶ ὁ λαὸς δὲ συναπέλαυσεν ἅπας τῆς τοιαύτης ὀργῆς, ὅτι τοὺς τοῦ Θεοῦ νόμους παρεῖδον, καὶ τὴν ἱερωσύνην ὑβριζομένην οὐκ ἐξεδίκησαν. πῶς οὖν συναπήλαυσε τῆς ὀργῆς; τῷ τὴν προφητείαν ἀνασταλῆναι. ὀργιζόμενος γὰρ αὐτοῖς ὁ Θεὸς περὶ οὐδενὸς οὐδὲν ἀπεκρίνατο. ἀλλ' οὐ μέχρι παντὸς τοῦτο ἐποίησεν, ἀλλὰ τῷ μέτρῳ τῆς ζωῆς τοῦ βασιλέως καὶ μέτρον τῆς τιμωρίας ὥρισεν. ὁμοῦ γοῦν ἐκείνου καταλύσαντος τὴν ζωὴν, καὶ ὁ Θεὸς τὴν ὀργὴν κατέλυσε, καὶ τὰς θύρας πάλιν τῆς προφητείας ἀνέῳξε. τοῦτο γοῦν αἰνιττόμενος ὁ προφήτης ἀνέμνησεν ἡμᾶς τοῦ καιροῦ τῆς τελευτῆς τοῦ βασιλέως. διόπερ οὕτως ἄρχεται τῆς προφητείας, λέγων· Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον. Καίτοιγε ὁ Χριστός φησι, Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ πάλιν, Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. καὶ πρὸς τὸν Μωϋσέα αὐτός φησιν, Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται. πῶς οὖν οὗτός φησιν ἑωρακέναι τὸν Κύριον; εἶδον γάρ, φησι, τὸν Κύριον. οὐκ ἐναντία τοῖς τοῦ Χριστοῦ λέγων, ἀλλὰ καὶ σφόδρα συνῳδά. ὁ μὲν γὰρ Χριστὸς τὴν ἀκριβῆ κατανόησιν φησιν, ἣν οὐδεὶς εἶδε (γυμνὴν γὰρ τὴν θεότητα καὶ ἀκραιφνῆ τὴν οὐσίαν οὐδεὶς ἐθεάσατο, πλὴν τοῦ μονογενοῦς) ὁ δὲ προφήτης τὴν αὐτῷ δυνατὴν ἰδεῖν ἀπαγγέλλει. οὐδὲ γὰρ αὐτὸς, ὅπερ ἐστὶν ὁ Θεὸς, ἰδεῖν ἠδυνήθη, ἀλλὰ σχηματισθέντα αὐτὸν θεωρεῖ, καὶ τοσοῦτον καταβάντα, ὅσον ἀναβῆναι ἡ τοῦ θεωροῦντος ἀσθένεια ἐχώρει. ὅτι γὰρ οὐ γυμνὴν εἶδε τὴν θεότητα, οὔτε αὐτὸς, οὔτε ἄλλος οὐδεὶς, ἀπ' αὐτῶν, ὧν ἀπαγγέλλουσιν, εὔδηλον. εἶδον γάρ, φησι, τὸν Κύριον καθήμενον. Θεὸς δὲ οὐ κάθηται. σωμάτων γὰρ ὁ σχηματισμός. καὶ οὐχ ἁπλῶς καθήμενον, ἀλλ' ἐπὶ θρόνου. Θεὸς δὲ οὐ περιέχεται. πῶς γὰρ ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς; ὅθεν δῆλον ὅτι συγ-

Ιω. α. ιη.

Ιω. ϛ. μ. μϛ.

Εξοδ. λγ. κ.

κατάβασις ἦν τὸ ὁρώμενον. οὕτω γοῦν ἕτερος προφήτης αἰνιττόμενος ἔλεγεν ἐκ προσώπου
Ὡσ. ιβ΄ ι. τοῦ Θεοῦ, Ἐγὼ ὁράσεις ἐπλήθυνα, τουτέστι, διαφόρως ὤφθην. εἰ δὲ αὐτὴ ἡ
οὐσία γυμνὴ ἐφαίνετο, οὐκ ἂν διαφόρως ἐφάνη. ἀλλ' ἐπειδὴ οὖν καταβαίνων, νῦν μὲν
τούτῳ τῷ τρόπῳ, νῦν δὲ ἐκείνῳ τοῖς προφήταις ἑαυτὸν ἐδείκνυε, καταλλήλως τοῖς ὑποκειμένοις
καιροῖς σχηματίζων τὰς ὄψεις, διὰ τοῦτό φησιν, ὁράσεις ἐπλήθυνα, καὶ ἐν
χερσὶ προφητῶν ὡμοιώθην. οὐχ, ὥσπερ ἦν, ἐφάνην, φησὶν, ἀλλ' ὡμοιώθην
πρὸς ὅπερ ἰδεῖν ἠδύναντο οἱ θεωροῦντες. ὁρᾷς γοῦν αὐτὸν νῦν μὲν καθήμενον, νῦν δὲ
ὡπλισμένον, νῦν δὲ τρίχα πολιὰν ἔχοντα, νῦν δὲ ἐν αὔρᾳ, νῦν δὲ ἐν πυρὶ, νῦν δὲ ἐκ τῶν ὀπισθίων
φαινόμενον, νῦν δὲ ἐπὶ τῶν χερουβὶμ, καὶ πρὸς μείζονα τῶν ὑλῶν λαμπρότητα τῶν διαφανεστάτων
τὴν ὄψιν ἐξεικονιζόμενον. τίνος μὲν οὖν ἕνεκεν νῦν μὲν ὡπλισμένος φαίνεται καὶ ἡμαγμένος,
νῦν δὲ ἐν τῷ πυρὶ, νῦν δὲ τὰ ὀπίσθια δεικνὺς, νῦν δὲ ἐν οὐρανῷ, νῦν δὲ ἐν θρόνῳ, νῦν δὲ ἐπὶ τῶν
χερουβὶμ, οὐ τοῦ παρόντος ἂν εἴη λέγειν καιροῦ, ὥστε μὴ τὸ πάρεργον τοῦ ἔργου γενέσθαι
μεῖζον· τέως δὲ ἀναγκαῖον ὑπὲρ τῆς παρούσης ὄψεως διαλεχθῆναι. τίνος οὖν ἕνεκεν
οὕτω φαίνεται νῦν ἐπὶ θρόνου καθήμενος, καὶ μετὰ τῶν σεραφίμ; ἀνθρώπινον ἔθος μιμεῖται,
ἐπειδὴ καὶ πρὸς ἀνθρώπους ἦν ὁ λόγος αὐτῷ. ἐπειδὴ γὰρ ἀπόφασιν ἐκφέρειν μέλλει, ὑπὲρ
μὲν ἄλλων πραγμάτων καὶ τῆς οἰκουμένης ἁπάσης, ἔτι δὲ καὶ περὶ τῶν Ἱεροσολύμων,
καὶ διπλῆν τίθησι ψῆφον, τὴν μὲν κόλασιν τῇ πόλει φέρουσαν καὶ τῷ ἔθνει παντὶ, τὴν
δὲ εὐεργεσίαν τῇ οἰκουμένῃ, καὶ μεγάλας ἐπαγγελλομένην ἐλπίδας καὶ τιμὰς ἀθανάτους·
ἔθος δὲ τοῖς δικάζουσι ταῦτα ποιεῖν μὴ λάθρα, ἀλλ' ἐφ' ὑψηλοῦ τοῦ βήματος καθημένους,
παρεστώτων ἁπάντων, καὶ τῶν παραπετασμάτων συνελκομένων τοῦτο ποιεῖν· τούτους καὶ
αὐτὸς μιμούμενος, παρέστησεν αὐτῷ τὰ σεραφὶμ, καὶ ἐφ' ὑψηλοῦ κάθηται θρόνου, καὶ
οὕτω τὴν ἀπόφασιν ταύτην ἐκφέρει. καὶ ἵνα μάθῃς, ὅτι οὐχ ὑποψία τὸ πρᾶγμα,
ἀλλὰ τοῦτο ἔθος αὐτῷ, καὶ ἐξ ἑτέρου προφήτου τοῦτο πειράσομαι ποιῆσαι φανερόν. καὶ
γὰρ ἐπὶ τοῦ Δανιὴλ, ἐπειδὴ καὶ ἐκεῖ ψῆφόν τινα μεγάλην ἐκφέρειν ἔμελλε περὶ κολάσεων
καὶ τιμωριῶν Ἰουδαϊκῶν, καὶ τῶν ἀγαθῶν τῶν μελλόντων τῇ οἰκουμένῃ δίδοσθαι, κἀκεῖ
θρόνος φαίνεται λαμπρὸς καὶ περιφανὴς, καὶ δῆμος ἀγγέλων παρεστηκὼς, καὶ ἔθνη ἀρχαγγέλων,
καὶ ὁ μονογενὴς συγκαθήμενος, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμοὶ πυρὸς ἕλκονται,
καὶ πανταχόθεν σχῆμα δικαστηρίου συνίσταται. καὶ ἔστι κἀκεῖνα συγγενῆ τοῖς ἐνταῦθα λεγομένοις
ἅπαντα, ἢ καὶ σαφέστερον ἐκεῖνος αὐτὰ ἀπαγγέλλει, ἅτε τῶν χρόνων ἐγγύτερον
γινομένων, καὶ πρὸς αὐτὰς λοιπὸν τὰς θύρας τῆς προφητείας ἀφικνουμένης. ἀλλὰ ταῦτα
τοῖς φιλοπόνοις ἀφέντες συναγαγεῖν καὶ παραθεῖναι, καὶ τὴν ἑκατέρας τῆς προφητείας
κοινωνίαν καταμανθάνειν, ὅπερ ἔφην, τῆς προκειμένης ἡμεῖς ἁψώμεθα μετὰ
ἀκριβείας, ὡς ἂν οἷόν τε ᾖ, ῥῆσιν ἑκάστην ἐξηγούμενοι. οὕτω γὰρ καὶ ἡμῖν καὶ ὑμῖν σαφέστερα
ἔσται τὰ εἰρημένα. τί οὖν φησιν; Εἶδε τὸν Κύριον καθήμενον. τὸ καθῆσθαι ἐπὶ
θρόνου, σύμβολον ἀεὶ κρίσεώς ἐστιν, ὥσπερ ὁ Δαβὶδ φησιν, Ἐκάθισας ἐπὶ θρόνου ὁ
Ψαλ. θ΄. δ. Δαν. ζ΄. θ. κρίνων δικαιοσύνην· καὶ ὁ Δανιὴλ, Θρόνοι ἐτέθησαν, καὶ κριτήριον ἐκάθισε. τὸ δὲ ἁπλῶς
καθῆσθαι, ἑτέρου σύμβολον εἶναί φησιν ὁ προφήτης. τίνος δὴ τούτου; τοῦ παγίου, τοῦ
μονίμου, τοῦ βεβηκότος, τοῦ ἀτρέπτου, τοῦ ἀτελευτήτου, τῆς ζωῆς τῆς ἀπεράντου. διὰ
τοῦτό φησι σὺ καθήμενος * τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα. σὺ, φησι, μένων, * εἰς
ὢν, ζῶν, ἀεὶ ὡσαύτως ὤν. ὅτι γὰρ οὐ περὶ καθέδρας ἔλεγεν, ἡ ἀντιδιαστολὴ δῆλον ἐποίησεν.
οὐ γὰρ εἶπεν, ἡμεῖς ἑστῶτες, ἀλλὰ ἀπολλύμενοι. τὸ δὲ ἐπὶ θρόνου καθῆσθαι,
τὸ κρίνειν ἐστί. διὰ τοῦτο αὐτὸν οὕτως ὁρᾷ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ἢ
ἕτερον μὲν τοῦτο, ἕτερον δὲ ἐκεῖνο αἰνίττεται. καὶ γὰρ ὑψηλὸς ἦν ὁ θρόνος, τουτέστι, μέγας καὶ

ὑπὲρ

ὑπερμήκης καὶ ἐπηρμένος, τουτέστι καὶ ἐν ὕψει φαινόμενος ἀφάτῳ, καὶ μετέωρος.

Καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ.

Ποῖος οἶκος, εἰπέ μοι; ὁ ναός. ἐπειδὴ γὰρ ἐκεῖθεν ἡ ἔχθρα, εἰκότως καὶ ἐν τῇ ὄψει τῇ θαυμασίᾳ ταύτῃ ἐκεῖ καθήμενος φαίνεται. δόξαν δὲ ἐνταῦθά φησι λαμπρότητα, φῶς ἀπόρρητον, ὅπερ ἑρμηνεῦσαι τῷ λόγῳ μὴ δυνάμενος, δόξαν ἐκάλεσε, καὶ οὐχ ἁπλῶς δόξαν, ἀλλὰ Θεοῦ δόξαν.

2 Καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. Τίνα λέγει ταῦτα τὰ σεραφίμ; δυνάμεις ʺ ἀσώματοι τῶν ἄνω δήμων, ὧν τὴν ἀρετὴν καὶ τὴν μακαριότητα καὶ ἀπὸ τῆς προσηγορίας ἐστὶν ἰδεῖν. τῇ γὰρ Ἑβραίων γλώττῃ ἔμπυρα στόματα ἑρμηνεύεται τὰ σεραφίμ. τί οὖν ἐκ τούτου μανθάνομεν; τὸ καθαρὸν τῆς οὐσίας, τὸ ἄγρυπνον, τὸ διεγηγερμένον, τὸ γοργόν, τὸ ἐνεργητικόν, τὸ ἀκηλίδωτον. οὕτω γοῦν καὶ ὁ προφήτης Δαβὶδ τῶν ἄνω δυνάμεων τὴν ἀπαραπόδιστον διακονίαν βουλόμενος ἡμῖν ἐνδείξασθαι, καὶ τὸ ταχὺ τῆς ὑπηρεσίας καὶ σφόδρα ἐνεργὲς ἔλεγεν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, τὸ ταχύ, τὸ κοῦφον, τὸ δραστήριον ἡμῖν διὰ τῶν στοιχείων τούτων ἐνδεικνύμενος. τοιαῦται καὶ αἱ δυνάμεις αὐταί, καθαροῖς στόμασιν ὑμνοῦσαι τὸν δεσπότην, ἔργον τοῦτο ἔχουσαι διηνεκῶς, εὐφημίας ἀναφέρουσαι, λειτουργίαν ἀδιάλειπτον. δείκνυσι δὲ αὐτῶν τὸ ἀξίωμα καὶ τὸ πλησίον εἶναι τοῦ θρόνου. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων τῶν ἐπὶ γῆς οἱ ἐν μείζοσιν ἀξιώμασιν ὄντες, περὶ αὐτὸν ἑστήκασι τὸν θρόνον τὸν βασιλικόν· οὕτω δὴ καὶ αὗται αἱ δυνάμεις διὰ τὴν ὑπερβάλλουσαν ἀρετήν, τὸν ἄνω θρόνον κυκλοῦσι, τῆς ἀπορρήτου μακαριότητος ἀπολαύουσαι διηνεκῶς, καὶ ἐντρυφῶσαι τῇ μακαρίᾳ λήξει τῆς λειτουργίας ταύτης.

ἴσ. ἀσώματοι

Ψαλ. ργ. δ. Ἑβρ. α. ζ.

Ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τοὺς πόδας ἑαυτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, καὶ ταῖς δυσὶν ἐπέτοντο.

3 Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Τί βούλεται ἡμῖν ταῦτα τὰ πτερά, καὶ τί αἰνίττονται ἡμῖν αἱ πτέρυγες; οὐ γὰρ δὴ πτερὰ ἐπὶ τὰς ἀσωμάτους δυνάμεις ἐκείνας. ἀλλὰ πάλιν διὰ παχυτέρων ῥημάτων ἀπόρρητά τινα ἡμῖν ὁ προφήτης παραδηλοῖ, συγκαταβαίνων μὲν τῇ ἀσθενείᾳ τῶν τότε ἀκροωμένων, ὅμως δὲ καὶ διὰ τῆς συγκαταβάσεως πᾶσαν διάνοιαν ὑπερβαίνων, τὰ νοήματα μετὰ ἀκριβείας ἡμῖν ἐνδεικνύμενος. τί οὖν αἰνίττονται αἱ πτέρυγες; τὸ ὑψηλὸν καὶ μετάρσιον τῶν δυνάμεων τούτων. οὕτω καὶ ὁ Γαβριὴλ πετόμενος, καὶ ἐκ τῶν οὐρανῶν καταβαίνων φαίνεται, ἵνα μάθῃς τὸ ταχὺ καὶ κοῦφον. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν λειτουργικῶν δυνάμεων ταύταις ταῖς λέξεσι κέχρηται, ὅπου γε καὶ ἐπ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ οὐ παρῃτήσατο ταύτην μεταχειρίσασθαι τὴν συγκατάβασιν; βουλόμενος γὰρ αὐτοῦ δεῖξαι ἢ τὸ ἀσώματον, ἢ τὸ ταχὺ τῆς πανταχοῦ παρουσίας, φησὶν ὁ Δαβίδ· Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. καίτοιγε οὔτε ἄνεμοι πτέρυγας ἔχουσιν, οὔτε αὐτὸς ἐπὶ πτερύγων περιπατεῖ. πῶς γάρ, ὁ πανταχοῦ παρών; ἀλλ', ὅπερ ἔφθην εἰπών, τῇ ἀσθενείᾳ τῶν ἀκουόντων συγκαταβαίνων, ἀπὸ τῶν ἐγχωρίων ἀνῆγεν αὐτῶν τὴν διάνοιαν. καὶ πάλιν τὴν βοήθειαν αὐτοῦ βουλόμενος, καὶ τὴν ἐκ ταύτης ἀσφάλειαν ἐνδείξασθαι, ταῖς αὐταῖς κέχρηται λέξεσιν, οὕτω λέγων· Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. ἐνταῦθα μέντοι οὐ τὸ μετάρσιον καὶ κοῦφον ἡμῖν αἰνίττεται μόνον ὁ προφήτης διὰ τῶν πτερύγων τούτων, ἀλλὰ καὶ ἕτερόν τι φρικῶδες. δείκνυσι γάρ, ὅτι εἰ καὶ συγκατάβασις ἦν τὸ ὁρώμενον, ὥσπερ οὖν καὶ ἦν, οὐδὲ αἱ ἄνω δυνάμεις πρὸς τὸ μέγεθος τούτου χωρῆσαι ἠδύναντο. τὸ γὰρ καλύπτειν τοὺς πόδας, καὶ καλύπτειν τὰ νῶτα, ἐκπληττομένων

Ψαλμ. ιζ. ιβ.

Ψαλμ. ιϛ. η.

τομένων ἦν, τρεμουσῶν τὴν ἀστραπὴν, οὐ φερουσῶν τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν ἀστραπήν. διὰ τοῦτο καθάπερ τινὶ τειχίῳ, τῇ τῶν πτερύγων προβολῇ συνεσκίαζον τὰς ἑαυτῶν ὄψεις. καὶ ὥσπερ ἡμεῖς πάσχειν εἰώθαμεν, ἢ βροντῶν καταρρηγνυμένων, ἢ ἀστραπῶν φαινομένων, ἐπὶ τὸ ἔδαφος κλινόμενοι, τοῦτο δὴ καὶ ἐκεῖναι ἔπασχον. Εἰ δὲ τὰ σεραφὶμ, αἱ μεγάλαι καὶ θαυμασίαι δυνάμεις ἐκεῖναι, Θεὸν καθήμενον, καὶ ἐπὶ θρόνου καθήμενον ἰδεῖν ἀδεῶς οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ τὰς ὄψεις καὶ τοὺς πόδας ἐκάλυπτον, τίς ἂν παραστήσειε λόγος τὴν μανίαν τῶν αὐτὸν τὸν Θεὸν εἰδέναι σαφῶς λεγόντων, καὶ τὴν ἀκήρατον ἐκείνην περιεργαζομένων οὐσίαν; ταῖς δυσὶν ἐπέτοντο, καὶ ἐκέκραγον. τί ποτέ ἐστι τοῦτο, τὸ ἐπέτοντο, καὶ τί παρασημαίνειν βούλεται; ὅτι διηνεκῶς περὶ τὸν Θεόν εἰσι, καὶ παρ' αὐτοῦ οὐκ ἀφίστανται, ἀλλ' αὕτη αὐτοῖς ἡ πολιτεία, τὸ διηνεκῶς εἰς αὐτὸν ᾄδειν, τὸ διαπαντὸς εὐφημεῖν τὸν ποιήσαντα. οὐ γὰρ εἶπεν, ἐκέκραξαν, ἀλλ' ἐκέκραγον, τουτέστι διηνεκῶς τοῦτο ἔργον ἔχουσιν ἕτερος πρὸς τὸν ἕτερον. καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος. τοῦτο τὴν παναρμόνιον αὐτῶν συμφωνίαν δηλοῖ, καὶ τὴν μετὰ πολλῆς ὁμονοίας εὐφημίαν. οὗτος ὁ ὕμνος οὐκ εὐφημία μόνον ἐστὶν, ἀλλὰ καὶ προφητεία τῶν καταληψομένων τὴν οἰκουμένην ἀγαθῶν, καὶ δογμάτων ἀκρίβεια. τίνος δὲ ἕνεκεν, οὐκ εἶπον ἅπαξ, καὶ ἐσίγησαν, οὐδὲ δεύτερον, καὶ ἔστησαν, οὐδὲ τρίτον, καὶ προσέθηκαν; οὐκ εὔδηλον, ὅτι τῇ τριάδι τὸν ὕμνον ἀναφέρουσαι τοῦτο ἐποίουν; διά τοι τοῦτο ὁ μὲν Ἰωάννης περὶ τοῦ υἱοῦ φησιν εἰρῆσθαι, ὁ δὲ Λουκᾶς περὶ τοῦ πνεύματος, ὁ δὲ προφήτης περὶ τοῦ πατρός. καὶ τὰ ἑξῆς δὲ ταύτην ἡμῖν ἐμφαίνει τὴν ἔννοιαν. μετὰ γὰρ τὸν ὕμνον ἐπήγαγον· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. ὅπερ ἦν προφητείας ἀκριβοῦς, τὴν μέλλουσαν γνῶσιν προαναφωνοῦσι, δι' ἧς ἡ οἰκουμένη τῆς δόξης ἐνεπλήσθη τοῦ Θεοῦ. ὡς τό γε παλαιὸν, καὶ ἡνίκα ταῦτα ἐλέγετο, οὐ μόνον τὸ λοιπὸν τῆς οἰκουμένης μέρος, ἀλλὰ καὶ αὐτὴ τῆς Ἰουδαίας ἡ χώρα πολλῆς ἀσεβείας ἦν ἐμπεπλησμένη, καὶ οὐδεὶς οὐδαμοῦ τὸν Θεὸν ἐδόξαζε. καὶ μάρτυς αὐτὸς ὁ προφήτης λέγων, Ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. πότε οὖν πλήρης ἐγένετο ἡ γῆ τῆς δόξης αὐτοῦ; ὅτε ὁ ὕμνος οὗτος εἰς τὴν γῆν κατηνέχθη, καὶ συγχορευταὶ τῶν ἄνω δυνάμεων οἱ κάτω γεγόνασιν ἄνθρωποι, καὶ μίαν τὴν μελῳδίαν ἀνήγαγον, καὶ κοινὴν τὴν εὐφημίαν ἐποιήσαντο. Εἰ δὲ ἀναισχυντεῖ πρὸς ταῦτα Ἰουδαῖος, δειξάτω, πότε πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ πλήρης ἐγένετο, ταύτης τῆς ἀπὸ τῆς γνώσεως; ἀλλ' οὐκ ἂν ἔχοι δεῖξαι, κἂν μυριάκις ἀναισχυντῇ.

Ρω. β. κδ.

4 Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον.

Εἶδες προφητείας εὐκολίαν, τὰ πράγματα ἀλλήλων ἐχόμενα. μετὰ γὰρ τὸν ὕμνον τοῦτον, καὶ τὸ πληρωθῆναι τὴν γῆν τῆς δόξης αὐτοῦ, ἐπαύσατο τὰ Ἰουδαϊκὰ ἅπαντα, ὅπερ καὶ αὐτὸ διὰ τοῦ ἐπαρθῆναι τὸ ὑπέρθυρον ἐδήλωσεν. ἐρημώσεως γὰρ τοῦτο τὸ σημεῖον ἦν, καὶ ἀνατροπῆς τοῦ ναοῦ. τοῦ ναοῦ δὲ ἀφανισθέντος, καὶ τἄλλα κατελύοντο πάντα. καὶ ἵνα μάθῃς, ὅτι ἡ καινὴ τὴν παλαιὰν ἔπαυσεν, ἀπὸ τῆς φωνῆς, φησιν, ἐπήρθη τὸ ὑπέρθυρον· τουτέστιν ἀπὸ τοῦ παραγενέσθαι τὴν δοξολογίαν ταύτην, καὶ λάμψαι τὴν χάριν, καὶ τὴν δόξαν ἐκχυθῆναι πανταχοῦ τῆς οἰκουμένης, τὰ τῆς σκιᾶς ἐκποδὼν γέγονε.

Καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. Ἐμοὶ καὶ τοῦτο δοκεῖ σημεῖον εἶναι τῆς ἁλώσεως τῆς αὐτοὺς καταληψομένης, καὶ τοῦ βαρβαρικοῦ πυρὸς, καὶ τοῦ χαλεπωτάτου ἐμπρησμοῦ.

5 Καὶ εἶπον· ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, καὶ ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Ἐξέπληξε τὸν προφήτην ἡ ὄψις, διανέστησεν, εἰς

πολλῷ τῷ φόβῳ ἐνέβαλε, πρὸς ἐξομολόγησιν ἐκίνησεν, ἀκριβέστερον τὴν εὐτέλειαν τῆς οἰκείας οὐσίας ἐπιγνῶναι παρεσκεύασε. Τοιοῦτοι γὰρ οἱ ἅγιοι πάντες· ἐπειδὰν μείζονος ἀπολαύσωσι τιμῆς, τότε ταπεινοῦνται μειζόνως. οὕτω καὶ ὁ Ἀβραὰμ τῷ Θεῷ διαλεγόμενος, γῆν καὶ σποδὸν ἑαυτὸν ἐκάλει· οὕτω καὶ Παῦλος, ὅτε τῆς ὄψεως ἐκείνης κατηξιώθη, τότε ἔκτρωμα ἑαυτὸν ὠνόμασεν· οὕτω δὴ καὶ οὗτος ταλανίζει ἑαυτόν, πρότερον ἀπὸ τῆς φύσεως, λέγων· ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὤν. Εἶτα ἀπὸ τῆς γνώμης, καὶ ἀκάθαρτα χείλη ἔχων. ἀκάθαρτα αὐτοῦ τὰ χείλη ἐκάλεσεν, ὡς ἐγώ γε οἶμαι, πρὸς τὴν παράθεσιν τῶν ἐμπύρων σωμάτων ἐκείνων, τῶν καθαρῶν δυνάμεων, τῆς ἀκριβεστάτης λειτουργίας ἐκείνης. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ὑπὲρ τοῦ λαοῦ παντὸς ἐξομολογεῖται, ἐπάγων καὶ λέγων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ. καὶ τίνος ἕνεκεν χείλη ἐνταῦθα αἰτιᾶται; τὸ ἀπαρρησίαστον ἐμφαίνων. ἐπεὶ καὶ οἱ παῖδες οἱ πρὸς τοῦτο αὐτὸ ἔλεγον σχεδὸν ἐν τῇ καμίνῳ ὄντες· οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. καὶ νῦν, ἐπειδὴ ὑμνῳδίας ἤκουσε καὶ εὐφημίας, καὶ τὰς ἄνω δυνάμεις ἑώρα τοῦτο ποιούσας, εἰκότως ἐπὶ τὰ χείλη τρέπει τὸν λόγον, τὰ μάλιστα πρὸς τὴν τοιαύτην διακονίαν καλούμενα. ἀλλὰ τὰ μὲν αὐτοῦ διὰ τοῦτο ἀκάθαρτα ἐκάλεσε, τὰ δὲ τοῦ λαοῦ οὐχ οὕτως, ἀλλ᾽ ἐπειδὴ πολλῆς ἀνομίας ἦσαν ἐμπεπλησμένοι. καὶ τὸν βασιλέα Κύριον εἶδον τοῖς ὀφθαλμοῖς μου. διὰ τοῦτο στένω καὶ θρηνῶ, φησιν, ὅτι τοσαύτης ἠξιώθην τιμῆς ἀνάξιος ὤν, ὑπερβαινούσης μου τὴν ἀξίαν, ἀναβεβηκυίας μου τὴν φύσιν. ὅταν δὲ λέγῃ, εἶδον, μὴ τὴν ἀκριβῆ κατανόησιν νόμιζε, ἀλλὰ τὴν αὐτῷ δυνατήν. καὶ σκόπει, πόσον τῆς ἐξομολογήσεως τὸ κέρδος. κατηγόρησεν ἑαυτοῦ, καὶ εὐθέως ἐκαθάρθη. ἐπειδὴ γὰρ ταῦτα εἶπε τὰ ῥήματα,

Γεν. ιη. κζ΄.

6 Ἀπεστάλη πρός με, φησιν, ἓν τῶν σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου.

7 Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν, ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. Τινὲς μὲν καὶ τῶν μυστηρίων τῶν μελλόντων σύμβολα ταῦτα εἶναί φασι, τὸ θυσιαστήριον, τὸ πῦρ τὸ ἐπικείμενον, τὴν διακονουμένην δύναμιν, τὸ ἐν τῷ στόματι δίδοσθαι, τὸ καθαίρειν τὰ ἁμαρτήματα. ἡμεῖς δὲ τέως τῆς ἱστορίας "ἐχόμεθα, καὶ" λέγωμεν, τίνος ἕνεκεν τοῦτο γέγονεν. μέλλει πέμπεσθαι πρὸς τὸν δῆμον τὸν Ἰουδαϊκόν, φοβερὰ τινὰ ἀπαγγέλλων καὶ ἀφόρητα. πέμπεται τοίνυν τὰ σεραφίμ, ὥστε φόβου καὶ παρρησίας αὐτὸν ἐμπλῆσαι. καὶ ἵνα μὴ προβάλληται, καθάπερ Μωϋσῆς, λέγων ἰσχνόφωνός εἰμι, καὶ Ἱερεμίας, νεώτερός εἰμι, οὕτω καὶ οὗτος ἀκάθαρτα χείλη ἔχειν καὶ μὴ δύνασθαι διακονῆσαι τοῖς λεγομένοις, ἔρχεται τὰ σεραφὶμ ἐκκαθαίροντα αὐτοῦ τὰ ἁμαρτήματα, οὐκ οἰκείᾳ δυνάμει (τοῦτο γὰρ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μόνον) ἀλλ᾽ ἐπιτάγματι καὶ δόσει τῶν ἀνθράκων. οὐ γὰρ εἶπεν, ἰδοὺ ἀφαιρῶ ἐγώ· ἀλλ᾽ ἰδοὺ τοῦτο ἀφαιρεῖται τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ διὰ τὸ ἐπίταγμα τοῦ πέμψαντος. τίνος δὲ ἕνεκεν ἐν τῇ λαβίδι τὰ σεραφὶμ ἔλαβε τὸν ἄνθρακα; οὐ γὰρ δὴ ἡ ἀσώματος δύναμις ἐγκατακαίεσθαι ἔμελλεν ὑπὸ τῶν ἀνθράκων. τίνος ἕνεκεν ταῦτα γέγονε; διὰ πολλὴν συγκατάβασιν. διὰ δὴ τοῦτο καὶ ἀπὸ τοῦ θυσιαστηρίου λαμβάνει, ἔνθα αἱ θυσίαι προσεφέροντο, καὶ οἱ καθαρμοὶ τῶν ἁμαρτημάτων. Εἰ δὲ λέγοις, πῶς τὸ στόμα οὐ κατεκάη τοῦ προφήτου; μάλιστα μὲν οὐδὲ πῦρ αἰσθητὸν ἦν τὸ φαινόμενον· ἄλλως δὲ ὅταν ὁ Θεὸς ἐργάζηταί τι, μὴ πολυπραγμόνει, μηδὲ περιεργάζου. καὶ γὰρ ἐνεργοῦν καὶ αἰσθητὸν πῦρ σώμασιν ὁμιλῆσαι, τὰ τοῦ πυρὸς οὐκ ἐπεδείξατο. Εἰ δὲ ἔνθα κληματίδες καὶ πίσσα, τῆς οἰκείας ἐπελάθετο φύσεως ἡ φλόξ,

ἴσ. ἐχώμεθα,
ἴσ. δ᾽ ἐχόμεθα,

Ἐξο. γ.
Ἱερ. α.

τί θαυμάζεις, εἰ νῦν τοσαύτης παραδοξοποιΐας γινομένης ἐκάθηρεν, ἀλλ' οὐκ ἔκαυσε τουτὶ τὸ πῦρ;

Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος, 8 Τίνα ἀποστελῶ; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Ὁρᾷς πόσον ἴσχυσεν ἡ ὄψις, πόσον κατώρθωσεν ὁ φόβος. καίτοιγε καὶ ἐπὶ Μωϋσέως τοιοῦτόν τι γέγονεν. Εἰ γὰρ μὴ σεραφὶμ ἐφάνη, μηδὲ αὐτὸς ἐπὶ θρόνου καθήμενος, ἀλλ' ὅμως ἕτερον παράδοξον θέαμα τότε ἐδείχθη τῷ προφήτῃ, καὶ τοιοῦτον, ὡς μηδένα ἀντιβλέψαι δυνηθῆναι τῷ φαινομένῳ. ὁ γὰρ βάτος ἐκαίετο, φησί, καὶ οὐ κατεκαίετο. ἀλλ' ὅμως καὶ μετ' ἐκεῖνα καὶ τὴν πολλὴν τοῦ Θεοῦ παραίνεσιν ὁ μέγας ἀναδύεται Μωϋσῆς, καὶ σκήπτεται, καὶ μυρίας ἐπινοεῖ προφάσεις παραιτήσεως, λέγων· ἰσχνόφωνός εἰμι καὶ βραδύγλωσσος, καὶ προχείρισαι σὺ ἄλλον, ὃν ἐξαποστελεῖς. καὶ Ἱερεμίας δὲ τὴν ἡλικίαν προβάλλεται· καὶ Ἰεζεκιὴλ δὲ μετὰ τὸ κελευσθῆναι, ἑπτὰ διατρίβει παρὰ τὸν ποταμὸν ἡμέρας ἀναδυόμενος καὶ ὀκνῶν. διὸ καὶ τὴν παραβολὴν ἐκείνην προσέθηκεν ὁ Θεὸς λέγων· σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ὅτι τὴν ψυχὴν αὐτοῦ ἐκ χειρός σου ἐκζητήσω. Ἰωνᾶς δὲ οὐ μόνον παρῃτήσατο, ἀλλὰ καὶ ἐδραπέτευσε. τί οὖν; τολμηρότερος πάντων ὁ Ἡσαΐας, καὶ Μωϋσέως τοῦ μεγάλου; καὶ τίς ἂν τοῦτο εἴποι; πόθεν οὖν κελευόμενος ἐκεῖνος ἀνεδύετο, οὗτος δὲ μὴ φανερῶς ἐπιταγεὶς ἐπήδησεν; οὐδὲ γὰρ εἶπεν, ἄπελθε· ἀλλὰ τοῦ Θεοῦ λέγοντος, τίνα ἀποστελῶ, ἥρπασε τὸ ἐπίταγμα. τινὲς μὲν οὖν φασιν, ὅτι ἐπειδὴ ἥμαρτε, τὸν Ὀζίαν οὐκ ἐλέγξας κατατολμῶντα τῶν ἀδύτων, ὑπὲρ ἐκείνης βουλόμενος ἀπολογήσασθαι τῆς ἁμαρτίας, τῇ μετὰ ταῦτα προθυμίᾳ τῆς ὑπακοῆς ἐπεπήδησε ταχέως, ὥστε ἐξιλεώσασθαι τὸν Θεόν. διὰ γὰρ τοῦτο καὶ ἀκάθαρτα τὰ χείλη αὐτοῦ ἔλεγεν εἶναι, διὰ τὸ ἀπαρρησίαστον. ἐγὼ δὲ οὐκ ἂν ἀνασχοίμην τῶν ταῦτα λεγόντων. ἀξιοπιστότερος γὰρ αὐτῶν ὁ Παῦλος, ὁ τολμηρὸν αὐτὸν καλῶν καὶ λέγων, Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει. διὰ γοῦν τοῦτο οὐδὲ τῷ κοινῷ, ὥς φασι, νόμῳ τὴν ζωὴν κατέλυσεν, ἀλλὰ χαλεπωτάτην ὑπέστη τιμωρίαν, τῶν Ἰουδαίων οὐκ ἐνεγκόντων αὐτοῦ τὴν παρρησίαν. χωρὶς δὲ τούτων οὐδέ φησιν ἡ γραφὴ τοῦτο, ὅτι παρῆν, ἡνίκα τὰ κατὰ τὸν Ὀζίαν ἐγένετο, καὶ παρὼν ἐσίγα, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτῶν ταῦτα οὗτοι λέγοντες στοχάζονται. τί οὖν ἐστιν εἰπεῖν; ὅτι οὐκ ἦν ἴσον τὸ Μωϋσέως, καὶ τοῦτο. ὁ μὲν γὰρ εἰς ἀλλοτρίαν ἐπέμπετο καὶ εἰς βάρβαρον χώραν, καὶ πρὸς τύραννον, καὶ μαινόμενον, καὶ λυττῶντα· οὗτος δὲ πρὸς τοὺς οἰκείους, καὶ πολλάκις ἀκηκοότας, καὶ ἐν πολλῷ παιδευθέντας χρόνῳ. καὶ οὐ τῆς αὐτῆς ἀνδρείας ἦν τὸ ὑπακοῦσαι ἐκεῖ τε καὶ ἐνταῦθα. τινὲς δέ φασιν, ὅτι καὶ ἕτερόν τι αὐτῷ τὴν προθυμίαν ἐποίησε ταύτην. ἐπειδὴ γὰρ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ λαοῦ ἐξωμολογήσατο, καὶ τὰ σεραφὶμ εἶδεν ἀποσταλέντα καὶ ἐκκαθάραντα αὐτοῦ τὰ χείλη, προσδοκήσας, ὅτι καὶ τῷ λαῷ ταῦτα συμβήσεται, καὶ ταῦτα ἀπελεύσεται ἀπαγγέλλων, προθύμως ἥρπασε τὸ λεχθέν. ὥσπερ γὰρ ἦσαν φιλόθεοι, οὕτω καὶ φιλόστοργοι μάλιστα πάντων ἀνθρώπων οἱ ἅγιοι. ἐλπίσας οὖν λύσιν τινὰ τῶν κακῶν ἀπαγγέλλειν, ἐπεπήδησε ταχέως, καί φησιν·

Ρω. ι. κ.

Ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με.

Ἄλλως δὲ καὶ ψυχὴν σφόδρα πρὸς κινδύνους παρατεταγμένην εἶχε· καὶ δῆλον αὐτοῦ τοῦτο τὸ ἦθος διὰ πάσης τῆς προφητείας ἐστίν. ἐπεὶ οὖν ὑπέσχετο ἀπελεύσεσθαι, καὶ οὐκ ἐτόλμα λοιπὸν ἀναδῦσαι, τότε ἀκούει τὰ λυπηρά. καὶ γὰρ καὶ ὁ Θεὸς αὐτὸν σοφῶς μετεχείρισεν. οὐ γὰρ ἐξ ἀρχῆς εἶπε, πορεύθητι, καὶ εἰπέ· ἀλλὰ πρότερον μετέωρον ποιήσας τὸ ἐπίταγμα, καὶ ἄδηλον τῆς ἀποστολῆς τὸν τρόπον, ἐπειδὴ ῥᾳδίως ὑπήκουσε, λέγει τὰ καταληψόμενα τοὺς Ἰουδαίους κακά. τίνα δὲ ταῦτα ἦν;

9 Πορεύθητι, φησι, καὶ εἰπὲ τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.

10 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.

γρ. -σωμαι

Ταῦτα οὐδὲ ἑρμηνείας οἶμαι δεῖσθαι, τῶν ἀκριβῶς ταῦτα ἐπισταμένων προλαβόντων καὶ ἐξηγησαμένων αὐτά, Ἰωάννου τε τοῦ υἱοῦ τῆς βροντῆς, καὶ Παύλου τοῦ τὰ παλαιὰ καὶ τὰ καινὰ μετὰ ἀκριβείας εἰδότος. ὁ μὲν γὰρ ἐν τῇ Ῥώμῃ πρὸς τοὺς συνελθόντας μέν, ἀποπηδήσαντας δέ, καὶ οὐκ ἀναδεχομένους τῶν λεγομένων, δημηγορῶν ἔλεγε, Καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὁ δὲ τῆς βροντῆς υἱός, ἐπειδὴ θαύματα ἑώρων, καὶ οὐκ ἐπίστευον, καὶ δογμάτων ἤκουον, καὶ οὐ προσεῖχον (ἀνέστησε γὰρ Λάζαρον ὁ Χριστός, καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρουν, δαίμονας ἤλαυνε, καὶ δαιμονῶντα ἐκάλουν, τῷ πατρὶ προσῆγε, καὶ πλάνον ὠνόμαζον, καὶ τὰς ἐναντίας ἐδέχοντο δόξας) μνημονεύει τῆς προφητείας ταύτης λέγων· καλῶς εἶπεν Ἡσαΐας ὁ προφήτης, ὅτι ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπειδὴ γὰρ τὰ ἔνδον ὄμματα τῆς διανοίας πεπήρωντο, οὐδὲν ὄφελος ἦν αὐτοῖς τῶν ἔξωθεν ὀφθαλμῶν, τοῦ κριτηρίου τῆς διανοίας διεφθαρμένου. διὰ τοῦτο βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον. καὶ τὴν αἰτίαν προστίθησιν· ὅτι οὐχὶ τὰ αἰσθητήρια ἦν διεφθαρμένα, οὐδὲ ἡ φύσις λελωβημένη, ἀλλὰ ἡ καρδία πεπηρωμένη. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, φησί· πάχος δὲ διανοίας γίνεται, ἀπό τε ἁμαρτημάτων, ἀπό τε βιωτικῆς ἐπιθυμίας. καὶ ταύτην ἐξηγούμενος τὴν παχύτητα ὁ Παῦλος ἔλεγεν, Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδ' ἔτι δύνασθε. καὶ τὴν αἰτίαν προστίθησι λέγων· ὅπου γὰρ ἐν ὑμῖν ἔρεις καὶ ζῆλοι καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; ἐπεὶ οὖν κατεχόμενοι φθόνῳ πολλῷ, καὶ βασκανίας τηκόμενοι πάθεσι, παχὺ τὸ ὄμμα τῆς διανοίας εἰργάσαντο, καθαρὰ βλέπειν οὐκ ἔτι λοιπὸν ἠδύναντο. διὰ ἑτέρας περὶ τῶν ὁρωμένων δόξας ἐλάμβανον, καὶ τὰς ἐναντίας. ταῦτα οὖν μετὰ ἀκριβείας ὁρῶν ὁ προφήτης, προανεφώνησε καὶ τοῦ νοσήματος τὴν αἰτίαν. σὺ δέ μοι σκόπει, ὡς δυοῖν προφητειῶν οὐσῶν, τὴν μὲν περὶ τῆς ἐκκλησίας καὶ τῶν τῆς οἰκουμένης ἀγαθῶν τὰ σεραφὶμ ἐδέξαντο λέγοντα, ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· τὴν δὲ περὶ τῆς ἁλώσεως, καὶ τῶν τιμωριῶν τῶν Ἰουδαϊκῶν τῷ προφήτῃ κατέλειπον, ἵνα κἀντεῦθεν μάθῃς τῆς ἐκκλησίας τὴν ὑπεροχήν.

Πραξ. κη. κϛ

Ιω. ιβ. λη.

α. Κορ. γ. α.

11 Καὶ εἶπον, ἕως πότε, Κύριε; Ὁρᾷς ὡς οὐ μάτην, οὐδὲ εἰκῇ ἐστοχασάμεθα τῆς ὑπακοῆς τοῦ προφήτου τῆς μετὰ πολλῆς προθυμίας γεγενημένης. ἐπειδὴ γοῦν τελευταῖα ὧν προσεδόκησεν ἤκουσεν, ἐρημίαν, πανωλεθρίαν, ἀξιοῖ τὸ γοῦν μέτρον μαθεῖν τῆς τιμωρίας. οὐδὲ γὰρ ἐτόλμα ὁλόκληρον τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι, διὰ τὸ προλαβόντα τὸν Θεὸν δεῖξαι ἀσύγγνωστα ἁμαρτάνοντας. οὐ γὰρ συναρπαγῆς ἦν αὐτῶν τὰ τολμήματα, οὐδὲ γνώμης ἐπηρεαζομένης, ἀλλὰ ψυχῆς ἔργον ποιουμένης τὴν παρανομίαν, καὶ διανοίας φιλονείκου, καθάπερ ἐκ μελέτης τινὸς καὶ σπουδῆς, ἀνθισταμένης τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις. τοῦτο γοῦν αἰνιττόμενος ἔλεγε, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. ὡσανεὶ δεδοικότες γάρ, φησι, μήποτέ τι τῶν δεόντων μάθωσιν, οὕτω μετὰ πολλῆς τῆς σπουδῆς τὴν διάνοιαν αὐτῶν ἐπήρωσαν. ἐπεὶ οὖν καὶ ἡ κατηγορία βαρυτάτη καὶ ἡ τιμωρία ἀπαραίτητος, ὅπερ ἦν λειπόμενον, τοῦτο ζητεῖ μαθεῖν. ἀλλ' ἐν τάξει τοῦ μαθεῖν, ἱκετηρίαν εἰσάγει. ἐπει-

δὴ δὲ οὐδὲ ὑπὲρ τούτου φανερῶς ἱκετεῦσαι ἐτόλμα, διὰ τοῦτο μαθήσεως προσχήματι ἐρώτησιν ἐπινοεῖ λέγων· ἕως πότε, Κύριε; Καὶ εἶπεν· ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. 12 Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς, 13 Καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς ἐνθήκης αὐτῆς. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. Τὴν προφητείαν ἀπαρτίσας ἐκείνην, ἐπὶ τὴν ἱστορίαν πάλιν ἐξάγει τὸν λόγον, τήν τε ἅλωσιν τῶν δέκα φυλῶν προαναφωνῶν, τήν τε διὰ τὴν αἰχμαλωσίαν ἐκείνην ἐπὶ ταῖς δύο φυλαῖς μακροθυμίαν γεγενημένην, εἶτα καὶ τὴν τούτων αὐτῶν ἀπαγωγὴν (ἐπειδὴ εἰς οὐδὲν δέον ἐχρήσαντο τῇ μακροθυμίᾳ) καὶ τὴν ἐκ τοῦ λειψάνου πάλιν ἀναφθησομένην αὐτοῖς εὐημερίαν. ὅταν μὲν γὰρ λέγῃ, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, τῶν δέκα φυλῶν τὴν αἰχμαλωσίαν αἰνίττεται. καὶ γὰρ ἄρδην ἠφανίσθησαν ἅπαντες, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀνάρπαστοι γενόμενοι, πάντες εἰς τὴν ἀλλοτρίαν ἀπῳκίσθησαν, ὡς καὶ τὰς πόλεις ἁπάσας ἑστάναι κενὰς ἀνθρώπων, καὶ τὴν γῆν ἔρημον τῶν θεραπευσόντων αὐτήν, εἰς ὠφέλειαν τῶν ὑπολειφθησομένων. ὅταν μὲν οὖν λέγῃ, ἕως ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, τότε λέγει καὶ τὴν αἰχμαλωσίαν. ὅταν δὲ λέγῃ, ὅτι καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, ἢ τὴν ὁλοσχερῆ πάντων εὐπραγίαν αἰνίττεται, ἢ τὴν μετὰ τὴν ἀπαγωγὴν τῶν δέκα φυλῶν γενομένην ταῖς δύο φυλαῖς εὐημερίαν. ἀπαλλαγέντες γὰρ τοῦ Σεναχειρεὶμ καὶ τοῦ βαρβαρικοῦ στρατοπέδου, καὶ τῆς παραδόξου νίκης ἀπολαύσαντες, εἰς πλῆθος πάλιν ἐπέδωσαν, καὶ εἰς βίου μῆκος, οὐδενὸς πολέμου θορυβοῦντος αὐτούς. ὅταν δὲ εἴπῃ, ὅτι μακρυνεῖ, ἢ τὸ πλῆθος τῶν ἀνθρώπων, ἢ τὸ μῆκος τῶν ἐτῶν αἰνίττεται. καὶ ἵνα μάθῃς, ὅτι περὶ τῶν δύο φυλῶν ταῦτά φησιν, ἐπήγαγεν· ὅτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, ἐπιδέκατον λέγων τὸ ἐπάνω τῶν δέκα, τὸ περισσὸν τῶν δέκα, ὅπερ ἦσαν αἱ δύο φυλαί. ταύτῃ καὶ Παῦλος τῇ λέξει κέχρηται λέγων, Ἐπάνω πεντακοσίοις ἀδελφοῖς, τουτέστι πλείοσι πεντακοσίων. καὶ πάλιν ἔσται εἰς προνομήν, ὡς τερέβινθος· τουτέστιν αἱ δύο φυλαί. καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ τῆς θήκης αὐτῆς. ὥσπερ γὰρ ἀτερπὴς ἐκεῖνος ὁ καρπὸς ἐκπεσὼν τῆς θήκης, οὕτω καὶ οὗτοι καταγέλαστοι καὶ ἐπονείδιστοι ἔσονται τῆς πόλεως ἐκπεσόντες, καὶ τῆς δόξης ἐκείνης γυμνωθέντες ἅπαντες. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. οὐ μὴν ἀνίατα τὰ κακὰ ἔσται, φησίν, οὐδὲ ἀτελεύτητα, ἀλλὰ τὸ σπέρμα αὐτῆς ἅγιον ἔσται, καὶ στήλωμα, τουτέστι βέβαιον, πεπηγός, ἀκίνητον, ἀναμένον τὴν τῶν πραγμάτων μεταβολήν. τῆς μὲν γὰρ εὐπραγίας ἐκπεσοῦνται, αὐτοὶ δὲ οὐ πανωλεθρίαν ὑποστήσονται, ἀλλὰ μένουσι καὶ στήσονται, ἕως ἀπολάβωσι τὴν προτέραν πολιτείαν πάλιν, καὶ ἐπὶ τὴν προτέραν ἐπανέλθωσιν ἀγιστείαν.

α.Κορ.ιε.ς.

ΚΕΦΑΛΑΙΟΝ ζ.

κεφ. ζ.

1 Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωαθὰν τοῦ Ὀζίου, βασιλέως Ἰούδα.

Ὅπερ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τὸ παλαιὸν αἱ προφητεῖαι οὐ διὰ τοῦτο ἐγίνοντο, ἵνα ἁπλῶς οἱ Ἰουδαῖοι τὰ μέλλοντα μάθωσιν, ἀλλ' ἵνα μαθόντες ἐντεῦθεν κερδάνωσι, καὶ τῷ φόβῳ τῆς ἀπειλῆς γένωνται σωφρονέστεροι, καὶ τῇ τῶν ἀγαθῶν ὑποσχέσει προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, ἑκατέρωθεν μανθάνοντες τοῦ Θεοῦ τήν τε δύναμιν, καὶ τὴν περὶ αὐτοὺς κηδεμονίαν. καὶ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας προελέγετο τὰ λεγόμενα· καὶ ἵνα μὴ νομίσωσιν ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ συμβαίνοντα ἐπιέναι κατά τινα ἀκολουθίαν φύσεως, ἢ πραγμάτων φοράν, ἀλλ' ἴδωσιν, ὅτι ἄνωθεν καὶ ἐκ τῆς τοῦ Θεοῦ ψήφου ταῦτα ἑκάτερα γίγνεται· ὅπερ αὐτοὺς τὰ μέγιστα εἰς θεογνωσίαν ὠφέλει. ἀλλ' ἐπειδή, καθάπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, ἡ προφητεία οὐκ ἐν αὐτῷ τῷ καιρῷ τὴν ἀπόδειξιν εἶχεν, ἀλλὰ τὰ μὲν ῥήματα τότε ἐλέγετο, τὰ δὲ πράγματα μακροῖς ὕστερον ἔμελλον ἐκβήσεσθαι χρόνοις, ἐνίων τῶν ἀκουόντων πολλάκις καὶ προαπερχομένων, καὶ δυναμένων δικάσαι τῇ τῶν λεγομένων ἀκολουθίᾳ, ὅρα τί ποιεῖ καὶ πραγματεύεται ὁ Θεός. προφητείαν προφητείαις συνάπτει μακροτέραις ἐγγυτέραν, τὴν ἐπὶ τῆς γενεᾶς αὐτῶν γινομένην τῶν" μακρῶν ὕστερον ἐσομένων μεγίστην ἀπόδειξιν παρεχόμενος. ἐπὶ δὲ τῶν εὐαγγελίων καὶ ἑτέρως μετοδεύει τοῦτο τῆς ὠφελείας τὸ εἶδος, θαύματα προφητείαις συνάπτων, καὶ θάτερον θατέρῳ κατασκευάζων. οἷόν τι λέγω. προσῆλθεν αὐτῷ ὁ λεπρὸς ποτε καὶ ἐκαθάρθη, καὶ μετ' ἐκεῖνον πάλιν ὁ τοῦ ἑκατοντάρχου παῖς ἀπηλλάγη τῆς χαλεπῆς ἀρρωστίας ἐκείνης, καὶ σημεῖα ταῦτα μεγάλα ἦν, ἀλλ' ὅμως οὐκ ἔστη μέχρι τῶν σημείων, ἀλλὰ καὶ προφητείαν προσέθηκεν. ἐπειδὴ γὰρ ὁ ἑκατόνταρχος τὴν θαυμαστὴν ἐκείνην καὶ μεγάλην ἐπεδείξατο πίστιν, δι' ἧς τὸν παῖδα ἀπήλλαξε τῆς ἀρρωστίας, ἐπήγαγεν ὁ Χριστὸς λέγων, Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω. ταῦτα δὲ ἔλεγε, καὶ τὴν τῶν ἐθνῶν ἐκκλησίαν, καὶ τὴν τῶν Ἰουδαίων ἀποβολὴν προαναφωνῶν, ὃ δὴ νῦν ἐπὶ τῶν ἔργων ἐξέβη, καὶ τοῦ ἡλίου φανερώτερον ἅπασι δείκνυται. ἀλλὰ τότε τέως ἄδηλον ἦν, καὶ τοῖς ἀπίστοις οὐκ εὐπαράδεκτον. διὰ δὴ τοῦτο σημεῖον προέλαβε τὸ τότε ἐκβάν, τῷ μετὰ ταῦτα συμβησομένῳ πολλὴν προαποτιθέμενος τὴν πίστιν· ὥσπερ οὖν καὶ αὐτὴ ἡ προφητεία ἐπὶ τῶν ἔργων φαινομένη νῦν, τῷ σημείῳ τῷ τότε γινομένῳ πολλὴν παρέχει τὴν βεβαίωσιν. τί γὰρ ἂν εἴποι ὁ ἄπιστος; ὅτι οὐκ ἐκαθάρθη ὁ λεπρός; βλεπέτω τῆς προφητείας τὴν ἀλήθειαν, καὶ ἀπὸ ταύτης καὶ τῷ σημείῳ πιστευέτω. τί δὲ ἂν εἴποιεν οἱ τότε Ἰουδαῖοι; ὅτι ἃ προλέγει οὐκ ἔστιν ἀληθῆ; ὁράτωσαν τὸν λεπρὸν καθαιρόμενον, καὶ ἀπὸ τῶν ἐπ' ἐκείνου γινομένων, καὶ περὶ τῶν μελλόντων μὴ ἀπιστείτωσαν, μέγιστον λαμβάνοντες ἐνέχυρον ἐκεῖνοι μὲν τῆς προφητείας τὸ σημεῖον, οἱ δὲ νῦν τοῦ σημείου τὴν προφητείαν. εἶδες πῶς θάτερον διὰ θατέρου κατασκευάζεται. τοῦτο καὶ ἐπὶ τῆς παλαιᾶς γινόμενον ἴδοι τις ἄν. ἐπεὶ γὰρ καὶ ὁ Ἱεροβοὰμ τὴν χαλεπὴν ἐκείνην ἐμάνη μανίαν, καὶ δαμάλεις ἔστησε χρυσᾶς, ἐλθὼν ὁ προφήτης τά τε μέλλοντα προανεφώνησε, καὶ σημεῖον εὐθέως ἔδωκεν. ἵνα γὰρ μηδεὶς ἀπιστῇ τοῖς μετὰ τριακόσια συμβησομένοις ἔτη, τὸν βωμὸν ἔρρηξε, καὶ τὴν πιότητα ἐξέχεε, καὶ τὴν χεῖρα τοῦ βασιλέως ἐξήρανεν, ἀπὸ τῶν πρὸ τῶν ὀφθαλμῶν γινομένων, τῶν μετὰ πολὺν χρόνον συμβησομένων σαφῆ παρεχόμενος τὴν ἀπόδειξιν. καὶ πολλὰ τοιαῦτα ἴδοι τις ἂν καὶ ἐν τῇ καινῇ καὶ ἐν τῇ παλαιᾷ γινόμενα, τοῦ Θεοῦ διαφόρως τὴν ἡμετέραν οἰκονομοῦντος σωτηρίαν· ὃ δὴ καὶ ἐνταῦθα γέγονε, καὶ μετὰ πλείονος τῆς περιουσίας. οὐ γὰρ δὴ σημεῖον μόνον, ἀλλὰ καὶ προφητείαν ὁμοῦ καὶ σημεῖον συνέπλεξεν. ἀλλ' ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα, αὐτὴν μετ' ἀκριβείας τὴν ἱστορίαν διέλθωμεν.

ἴσ. μακρῶν

Ματθ. η 12.

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ, τοῦ Ἰωαθάν, τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη "Ῥασὴμ βασιλεὺς Ἀρὰμ, καὶ Φακὲε υἱὸς Ῥωμελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν.

Ῥαζὶν

2 Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβίδ, λεγόντων· Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν

Ἐφραΐμ. Ἔστι μὲν ἱστορία τὰ εἰρημένα, καὶ πραγμάτων διήγησις. ἀλλ' ὁ νοῦν ἔχων, καὶ ὀξὺ βλέπων, πολὺ καὶ ἐντεῦθεν καρπώσεται τὸ κέρδος, τοῦ Θεοῦ τὴν πολλὴν σοφίαν, καὶ τὴν ὑπὲρ τῶν Ἰουδαίων κηδεμονίαν καταμανθάνων. οὔτε γὰρ ἐκ προοιμίων τὸν πόλεμον ἀνεχαίτισεν, οὔτε ἐπελθόντα κρατῆσαι τῆς πόλεως συνεχώρησεν, ἀλλὰ τὴν ἀπειλὴν ἀφεὶς γενέσθαι τὴν διὰ τῶν ῥημάτων, τὴν πεῖραν ἐκώλυσεν, ὁμοῦ μὲν ἐκείνους ἀφυπνίζων καὶ τῆς ῥαθυμίας ἀπαλλάττων, ὁμοῦ δὲ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, ὅτι δυνατὸν αὐτῷ καὶ πρὸς αὐτὸ τῶν δεινῶν τὸ τέλος ἐλθόντων, ὥσπερ οὐδὲ ἀρχὴν εἰληφότων, οὕτω τοὺς ἐμπίπτοντας ἀκεραίους διατηρῆσαι, ὃ πολλαχοῦ ποιοῦντα αὐτόν ἐστιν ἰδεῖν· οἷον ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, ἐπὶ τοῦ λάκκου τῶν λεόντων, καὶ ἐφ' ἑτέρων μυρίων πραγμάτων. καὶ γὰρ ἦλθον οὗτοι, καὶ ἐπολιόρκησαν, καὶ τῶν τειχῶν ἁψάμενοι, καὶ τὴν διάνοιαν τῶν ἔνδον οἰκούντων κατασείσαντες, οὐδὲν ἴσχυσαν περαιτέρω. ἔστι δὲ κἀντεῦθεν ἰδεῖν τῶν δέκα φυλῶν τὴν παρανομίαν, ὅτι οὐ μόνον ἐμφύλιον εἵλοντο πόλεμον, οὐδ' ὅτι πρὸς τοὺς ἀδελφοὺς ἐστασίασαν, ἀλλ' ὅτι καὶ ἀλλοφύλοις καὶ ἀλλογενέσιν ἑαυτοὺς συνῆψαν, καὶ τὸ μηδὲ ἁπλῶς κοινωνεῖν αὐτοῖς ἐπιτραπέντες, καὶ συμμάχους ἐκάλουν, καὶ συνεφράττοντο, καὶ κατὰ τῆς πόλεως ἵσταντο. τὸν γὰρ Ῥασὶν ἀλλόφυλον ὄντα κατὰ τῆς μητροπόλεως ἦγον· καὶ ἦν τὰ τῆς μάχης ἀνώμαλα. παρὰ μὲν γὰρ ἐκείνοις πλῆθος ἄπειρον, καὶ πόλεις, καὶ ἔθνη, καὶ δῆμοι· ἐνταῦθα δὲ τούτων οὐδέν, ἀλλὰ πόλις μία ἡ μητρόπολις, ὥστε ἐκ περιουσίας φανῆναι τοῦ Θεοῦ τὴν ἰσχύν. οὐδενὸς γὰρ ὅπλα κινοῦντος, οὐδὲ ἐξιόντος καὶ παρατατομένου, ἐξέπιπτον ἐκεῖνοι τῶν πονηρῶν τούτων ἐγχειρημάτων. οὐ γὰρ ἠδυνήθησαν, φησί, πολιορκῆσαι αὐτήν. καίτοι τί τὸ κωλῦον ἦν; οὐδὲν ἕτερον, ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἀοράτως αὐτοὺς ἀποκρουομένη. πλὴν ἀλλ' ὅπερ εἶπον, τὸν μὲν πόλεμον ἀπεκρούσατο, τὸν δὲ φόβον οὐκ εὐθέως ἔλυσεν. ἀνηγγέλη γάρ, φησιν, εἰς τὸν οἶκον Δαβίδ, ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ.

Καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ. Ὅταν μέλλῃ τι παράδοξον ὁ Θεὸς ποιεῖν, οὐκ εὐθέως ἐπάγει τὸ θαῦμα· ἀλλὰ πρότερον τοὺς μέλλοντας ἀπολαύειν, ἐν αἰσθήσει τῶν δεινῶν ἀφήσει γενέσθαι, ἵνα μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν μηδεμίαν ἀγνωμοσύνην ἐπιδείξωνται. ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, τὰ μὲν ὑπὸ τύφου, τὰ δὲ ὑπὸ ῥαθυμίας ἐπιλανθάνονται τῶν δεινῶν μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἢ μὴ ἐπιλανθανόμενοι ἑαυτοῖς λογίζεσθαι βούλονται τὰ κατορθώματα, πρότερον ἀφεὶς αὐτοὺς ὑπὸ τῶν λυπηρῶν κατασείεσθαι, τότε τὴν ἐλευθερίαν δίδωσι τῶν ἐνοχλούντων, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἀφῆκεν αὐτῶν τὰς καρδίας ἐκστῆναι, ἀφῆκεν εἰς ἀγωνίαν γενέσθαι πολλήν, καὶ τότε τὴν λύσιν ἐπήγαγε. τοῦτο καὶ ἐπὶ τοῦ μεγάλου πεποίηκε Δαβίδ. ἐπειδὴ γὰρ ἤμελλεν αὐτὸν εἰς τὴν παράταξιν ἐξαγαγεῖν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἐγείρειν διὰ τῶν ἐκείνου χειρῶν, οὐκ ἐκ προοιμίων τοῦ πολέμου τοῦτο ἐποίησεν, ἀλλ' ἀφεὶς τεσσαράκοντα ἡμέρας αὐτοὺς κατεργασθῆναι τῷ φόβῳ, ὅτε τὴν οἰκείαν ἀπέγνωσαν σωτηρίαν, καὶ μυρία ὀνειδίζοντος τοῦ βαρβάρου, οὐδὲ οὕτω τις ἐτόλμησε διεγερθῆναι καὶ δέξασθαι τὸν ἀντίπαλον, τότε δή, τότε τῆς ἥττης αὐτῶν ὁμολογηθείσης, καὶ τῆς ἀσθενείας φανερᾶς γενομένης, ἤγαγε τὸ μειράκιον ἐπὶ τὸν πόλεμον, καὶ τὴν παράδοξον ἐκείνην νίκην εἰργάσατο. εἰ γὰρ καὶ μετὰ ταῦτα καὶ τὴν τοσαύτην τῆς ἀσθενείας αὐτῶν ἀπόδειξιν, ὁ σωθεὶς βασιλεύς, ὑπὸ φθόνου καὶ βασκανίας νικώμενος, ἐπεβούλευε τῷ Δαβίδ, τῷ πάθει γενόμενος ὅλος, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην ἐφάνη· εἰ μὴ τοσοῦτον ἔδωκεν ἔλεγχον καὶ τῆς αὐτοῦ καὶ τοῦ στρατοπέδου παντὸς ἀνανδρίας, τί οὐκ ἂν ἐποίησε; τοῦτο αὐτὸ καὶ ἀλλαχοῦ πολλαχοῦ τὸν Θεὸν ποιοῦντα ἴδοι τις ἄν· ὃ δὴ καὶ ἐνταῦθα γέγονεν.

ἐπειδὴ γὰρ μέλλει λύειν τὸν πόλεμον, καὶ ἀπαλλάττειν αὐτοὺς τῆς λυπηρᾶς, ἀφίησι πρότερον τῶν δεινῶν αἰσθέσθαι. ἐξέστη γάρ, φησιν, ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ,

Ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ.

Καὶ τοῦτο προφητείας ἴδιον, τὸ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν. τὸ γὰρ πάθος ἡμῖν ἑρμηνεύει τῆς ἑκάστου διανοίας, καὶ σαφηνείας ἕνεκεν καὶ εἰκόνα παρίστησιν, ὥστε δεῖξαι τὴν ἐπίτασιν τῆς ἀγωνίας. διεσείσθη γὰρ αὐτῶν, φησιν, ἡ ψυχή, κατεβλήθη τὸ φρόνημα, ἀπέγνωσαν τῆς σωτηρίας, ἐν ἐσχάτοις ἐνόμιζον εἶναι, οὐδὲν χρηστὸν προσεδόκων, ἕκαστος ὑπὸ τῶν οἰκείων λογισμῶν προδεδομένος ἦν. τί οὖν ὁ Θεός; προλέγει τὴν ἀπαλλαγήν, καὶ τότε αὐτὴν ἐργάζεται, ἵνα μὴ ἄλλῳ τινὶ λογίσωνται πάλιν τῆς πόλεως ἐλευθερίαν, καὶ πέμπει τὸν προφήτην προαναφωνοῦντα τὰ μέλλοντα.

3 Εἶπε γάρ, φησι, Κύριος πρὸς Ἡσαΐαν· ἔξελθε εἰς συνάντησιν τοῦ Ἀχαζ, σὺ καὶ ὁ καταλειφθεὶς "Ἰασοὺβ ὁ υἱός σου πρὸς κολυμβήθραν τῆς "ἀνόδου τοῦ ἀγροῦ τοῦ γναφέως,

γρ. Ἰασουὺ
γρ. ἄνω ὁδοῦ

4 Καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω μηδὲ φοβηθῇς ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. Τί ἐστιν, ἔξελθε εἰς συνάντησιν; ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐχ ἡσύχαζεν ὁ βασιλεύς, οὐδὲ οἴκοι μένειν "εἴχετο, ἀλλ' ὅπερ ἔθος τοῖς πολιορκουμένοις ὑπομένειν, συνεχῶς ἐξῄει, τὰ τείχη περισκοπῶν, πρὸς ταῖς πύλαις γινόμενος, περιεργαζόμενος καὶ πολυπραγμονῶν, πῶς τὰ τῶν πολεμίων ἔχει πράγματα. διὰ τοῦτό φησιν, ἔξελθε εἰς συνάντησιν. τί δέ ἐστι, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου; Ἰασοὺβ τῇ Ἑβραίων γλώττῃ, ἡ ἀναστροφὴ λέγεται, καὶ ἡ διαγωγή. διὰ τοῦτο καὶ ὁ Ἰεσσαὶ πέμπων τὸν Δαβὶδ ἔλεγε, καὶ τὸ ἐσοὺβ "αὐτὸν λήψῃ, τουτέστι, τὴν ἀναστροφὴν αὐτῶν ἀπαγγελεῖς μοι, καὶ τί διάγουσι πράττοντες. καὶ ἐνταῦθα τοίνυν, ἐμοὶ δοκεῖ, ὁ προφήτης κελεύεται πλῆθος μεθ' ἑαυτοῦ λαβεῖν, ἵν', ὅταν ἐκβῇ τὰ γεγενημένα, μὴ ἔχῃ ἀγνωμονεῖν ὁ βασιλεύς, ὡς οὐδὲν τούτων ἀκηκοὼς παρὰ τοῦ προφήτου. τί οὖν φησι, τοῦτό ἐστιν· ἔξελθε εἰς συνάντησιν σὺ καὶ οἱ ἀναστρεφόμενοι μετὰ σοῦ, οἱ καταλειφθέντες τοῦ λαοῦ. μὴ θαυμάσῃς δέ, εἰ υἱὸν αὐτοῦ καλεῖ τὸν λαόν. καὶ γὰρ ἑτέρωθί φησιν, ἰδοὺ ἐγώ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. καὶ γὰρ πατέρων τάξιν ἐπεῖχον οἱ ἅγιοι, τῇ ἀγάπῃ καὶ τῇ κηδεμονίᾳ τῇ περὶ τὸν δῆμον ἐκεῖνον πάντας τοὺς τῆς φύσεως ἀποκρύπτοντες πατέρας. καταλειφθέντας δέ φησι, διὰ τὸ πολλοὺς ἀπενηνέχθαι ὑπὸ τῶν πολεμίων. ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. πολλῆς μοι ἀπορίας καὶ τοῦτο εἶναι δοκεῖ, εἴγε οἱ συγκεκλεισμένοι, καὶ πολιορκούμενοι, καὶ μηδὲ προκύψαι τολμῶντες, ἔξω πυλῶν ἐφαίνοντο. καὶ γὰρ ἔξω τοιχῶν ἡ ὁδὸς αὕτη φαίνεται νῦν οὖσα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας ταύτης; ὅτι τὸ παλαιὸν ἕτερον περιεβέβλητο τεῖχος. καὶ γὰρ διπλᾶ τὰ τείχη ἐν τῇ πόλει. καὶ τοῦτο ῥᾴδιον ἐξ ἑτέρου προφήτου κατιδεῖν ἐστι τοῖς βουλομένοις προσέχειν. ἐξελθὼν τοίνυν ἀνίστησιν αὐτῶν τὰ φρονήματα καταπεπτωκότα, καὶ κελεύει θαρρεῖν ὑπὲρ τῶν μελλόντων. ἡσύχασον γάρ, φησι, καὶ μὴ φοβοῦ, καὶ δαλοὺς ξύλων καλεῖ τοὺς βασιλέας, ὁμοῦ μὲν αὐτῶν τὸ σφοδρόν, ὁμοῦ δὲ τὸ εὐχείρωτον ἐνδεικνύμενος. καὶ γὰρ τὸ καπνιζομένων διὰ τοῦτο προσέθηκε, τουτέστιν ἐγγὺς ὄντων τοῦ σβεσθῆναι λοιπόν. εἶτα δηλῶν, ὡς οὐ τῆς ἐκείνων δυνάμεως, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως ἡ ἔφοδος ἦν, φησιν·

ἴσ. ἠνείχετο,

ἴσ. αὐτῶν

α. Βασ. ιζ. ιη.

Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ, καὶ ὁ υἱὸς τοῦ Ῥωμελίου, 5 Ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν, Ἐφραῒμ, καὶ ὁ υἱὸς τοῦ Ῥωμελίου κατὰ σοῦ λέγοντες· 6 Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ κακώσομεν αὐτὴν, καὶ συλλαλήσαντες ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ. 7 Τάδε λέγει Κύριος σαβαώθ, οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, 8 Ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασὶν, καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ, 9 Καὶ ἡ κεφαλὴ Ἐφραῒμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων ὁ υἱὸς τοῦ Ῥωμελίου. καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε.

Πάλιν ὁ προφήτης μεγίστην ἀπόδειξιν παρέχεται τῆς προφητείας. ἐπειδὴ γὰρ ὁ φόβος κατέσεισε, καὶ πρὸ ὀφθαλμῶν ἦν τὰ δεινὰ, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι, καὶ προσδοκίαν ὑπερβαίνοντα πᾶσαν, καὶ οἱ ἀκροώμενοι οὐ σφόδρα πιστοὶ, ὅρα τί ποιεῖ. δίδωσι σημεῖον μέγιστον τῶν ἐκβησομένων, τὰ βουλεύματα τῶν πολεμίων εἰς μέσον ἐκφέρων. λέγει γὰρ αὐτῶν τὴν γνώμην, μεθ' ἧς ἐπεστράτευσαν τῇ πόλει, καὶ τί πρὸς ἀλλήλους διελέχθησαν, καὶ τί συνθέντες ἐπελήλυθον, καὶ δείκνυσιν ἢ προδοσίαν τὸ πρᾶγμα ὂν (συλλαλήσαντες γάρ, φησιν, αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς) ἢ πολλῇ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ νομίζοντας μηδὲ ὅπλων αὐτοῖς δεῖν, μηδὲ παρατάξεως καὶ συμβολῆς εἰς τὸ τὴν πόλιν λαβεῖν. ἀρκεῖ γὰρ ἡμῖν φανῆναι, φησι, μόνον καὶ διαλεχθῆναι, καὶ πάντας αἰχμαλώτους λαβόντας ἀπελθεῖν. εἶτα, ὅπερ πάσχουσιν οἱ ἀλαζόνες, ὑπὸ τῆς ἐλπίδος ταύτης φυσηθέντες, καὶ περὶ βασιλέως βουλεύονται, ὡς ἤδη τῆς πόλεως ἁλούσης, καὶ τίνα ἐπιστῆσαι δεῖ τῇ μηδέπω πόλει. καὶ τὰ μὲν ἐκείνων τοιαῦτα, φησί· τὰ δὲ τοῦ Θεοῦ, πάντων ἐκείνων ἀναιρετικά. διὸ καὶ ἐπήγαγε· τάδε λέγει Κύριος· καὶ οὐκ ἔστη, ἀλλὰ προσέθηκε, σαβαώθ. ὅταν γάρ τι μέγα ἀπαγγέλλειν μέλλῃ, τῆς δυνάμεως ἀναμιμνήσκει τοῦ Θεοῦ, καὶ τῆς βασιλείας τῆς ἄνω, καὶ θαυμαστῆς ἐκείνης ἀρχῆς καὶ παραδόξου. τί οὖν φησιν ὁ Θεός; οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται· ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός. ἡ ἀρχὴ αὐτοῦ, φησιν, ἡ ἐξουσία αὐτοῦ ἐν Δαμασκῷ στήσεται, καὶ περαιτέρω οὐ προβήσεται. καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασίν. καὶ ὁ ἄρχων Δαμασκοῦ, φησι, καὶ ὁ κρατῶν Ῥασὶν ἔσται· τουτέστιν, ἐν τοῖς αὐτοῦ μενεῖ, καὶ πλείονα οὐ προσθήσει δύναμιν αὐτῷ. καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ. μεγίστη τῆς ἀληθείας ἀπόδειξις, ὅταν καὶ τοὺς καιροὺς προλέγωσιν οἱ προφῆται, παρέχοντες τοῖς βουλομένοις ἐξετάζειν μετὰ ἀκριβείας τῆς προφητείας τὴν δύναμιν. νῦν μὲν γάρ, φησιν, ἀποστήσονται τῆς πόλεως· μετὰ δὲ πέντε καὶ ἑξήκοντα ἔτη, ὁλόκληρον ἀπολεῖται τὸ ἔθνος, καὶ ἡ βασιλεία τοῦ Ἰσραὴλ οἰχήσεται, καὶ οἱ πολέμιοι λαβόντες αὐτοὺς, ἀπελάσονται πάντας. νῦν μέντοι περὶ τῆς ἁλώσεως ἐκείνης, οὐδὲν πλέον τῶν οἰκείων λήψονται. ἵνα γὰρ μὴ ἀκούσας ὁ βασιλεὺς, ὅτι μετὰ ἑξήκοντα πέντε ἔτη ἀπολοῦνται, λέγῃ πρὸς ἑαυτὸν, τί οὖν; ἐὰν νῦν ἡμᾶς λαβόντες, τότε ἀπολοῦνται, τί τὸ ὄφελος ἡμῖν; θάρρει, φησι, καὶ περὶ τῶν παρόντων. ἁλώσονται γὰρ τότε παντελῶς. νῦν μέντοι πλέον οὐδὲν τῶν οἰκείων ἕξουσιν· ἀλλ' ἔσται ἡ κεφαλὴ Ἐφραῒμ, τουτέστι τῶν δέκα φυλῶν, ἡ Σαμάρεια (ἐκεῖ γὰρ ἦν αὐτοῖς ἡ βασιλεία) καὶ οὐκ ἐκταθήσεται περαιτέρω· καὶ ἡ κεφαλὴ Σαμαρείας ὁ βασιλεὺς τοῦ Ἰσραήλ· ὅπερ ἐπὶ τοῦ Δαμασκηνοῦ ἔλεγε, τοῦτο καὶ ἐνταῦθα δηλῶν, ὅτι οὐδὲν πλέον ἕξουσιν, ἢ ταῦτα ἃ νῦν κατέχουσιν. εἶτα ἐπειδὴ πράγματα εἶπεν ὑπερβαίνοντα λόγον ἀνθρώπινον, καὶ ἀνώτερα τῆς τῶν λογισμῶν ἀκολουθίας, καὶ προφητεία τὸ λεγόμενον ἦν, εἰκότως ἐπήγαγεν· ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. μὴ ζήτει, φησί, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται. Θεὸς γάρ ἐστιν ὁ ἐργαζόμενος, καὶ πίστεώς σοι δεῖ μόνης, καὶ ἐννοήσεις τοῦ ποιοῦντος τὴν δύναμιν. πᾶσαν ἔλαβες τῶν εἰρημένων τὴν ἀπόδεῖξιν. διὸ καὶ ὁ προφήτης Δαβίδ· Ἐπίστευσα, διὸ ἐλάλησα. καὶ ὁ Παῦλος εἰκότως ἐπιλαβόμενος τῆς ῥήσεως ταύτης, ἐπὶ μείζονα αὐτὴν εἵλκυσε πράγματα λέγων· Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ καὶ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. εἰ γὰρ τὰ παλαιὰ πίστεως ἐχρῄζε, τοσοῦτον ἀπέχοντα τῶν ἐν τῇ καινῇ, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ, πολλῷ μᾶλλον ἡ τῶν οὕτως ὑψηλῶν δογμάτων γνῶσις καὶ οὐδὲ εἰς νοῦν ἐλθόντων τινί ποτε. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγεν· Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Ψαλ. ριε. α.
β. Κορ. δ. ιγ.
α. Κορ. β. θ.

10 Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· 11 Αἴτησαι σεαυ-
τῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. 12 Καὶ εἶπεν Ἄ-
χαζ, Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. 13 Καὶ εἶπεν Ἡσαΐας, Ἀκούσατε
δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέ-
χετε ἀγῶνα; 14 Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ, ἡ παρθέ-
νος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

Πολλὴ τοῦ Θεοῦ συγκατάβασις, καὶ τοῦ βασιλέως ἡ ἀγνωμοσύνη. ἔδει μὲν γὰρ αὐτὸν ἀκούσαντα τοῦ προφήτου, μηδὲν ἀμφιβάλλειν περὶ τῶν εἰρημένων. εἰ δὲ καὶ ἀμφέβαλλε, κἂν σημεῖον λαβόντα πιστεῦσαι, ὅπερ πολλοὶ τῶν παρὰ Ἰουδαίοις πεποιήκασι. καὶ γὰρ ὁ Θεὸς φιλάνθρωπος ὢν, οὐδὲ τοῦτο παρῃτήσατο παρασχεῖν πολλάκις τοῖς παχυτέροις καὶ χαμαὶ συρομένοις, καὶ τῇ γῇ προσηλωμένοις, οἷον ἐποίησεν ἐπὶ τοῦ Γεδεών. ἐπειδὴ γὰρ πάντων καταδεέστερος ἦν καὶ παχύτατος, ὅρα πῶς καταβαίνει πάλιν ὁ Θεός. αὐτὸς αὐτὸν ἐφέλκεται, καὶ προτρέπει πρὸς τὸ σημεῖον αἰτῆσαι. καίτοιγε οὐδὲ μικρὸν τοῦτο σημεῖον ἦν, τὸ ἐλέγξαι αὐτοῦ τὰ ἀπόρρητα, καὶ εἰς μέσον ἀγαγεῖν αὐτοῦ τὴν γνώμην ἅπασαν, καὶ τὴν ὑπόκρισιν διελέγξαι πᾶσαν. ἐπειδὴ γὰρ ὁ μὲν προφήτης εἶπεν, αἴτησαι σεαυτῷ σημεῖον, ἐκεῖνος δὲ τὸ σφόδρα πιστὸν ὑποκρινόμενος ἔλεγεν, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον, ὅρα πῶς μετὰ πολλῆς τῆς σφοδρότητος ἐπάγει τὴν τομὴν ὁ προφήτης, εἰκότως μετὰ τὴν ἀπόδειξιν τῆς ὑποκρίσεως βαρυτέραν ποιούμενος τὴν κατηγορίαν. διὰ δὴ τοῦτο ἐκεῖνον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῖ, πρὸς δὲ τὸν δῆμον ἀποστρέφεται λέγων· ἀκούσατε οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; ἀσαφὲς τὸ εἰρημένον· διὸ δὴ δεῖ τὴν ῥῆσιν ἀνακαλύψαι μετὰ ἀκριβείας. ὃ γὰρ λέγει, τοῦτό ἐστι· μὴ γὰρ ἐμὰ τὰ ῥήματά ἐστι; μὴ γὰρ ἐμὴ ἡ ἀπόφασις; εἰ δὲ ἀνθρώποις ἀπιστεῖν ἁπλῶς καὶ ἀνὰ λόγον, βαρὺ καὶ ἐγκλημάτων ἄξιον, πολλῷ μᾶλλον Θεῷ. τὸ οὖν ἀγῶνα παρέχειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀπιστεῖν. τοῦτο οὖν, φησὶ, μὴ μικρόν ἐστιν ἔγκλημα, μὴ ἡ τυχοῦσα κατηγορία τοῖς ἀνθρώποις ἀπιστεῖν; εἰ δὲ τοῦτο βαρὺ, πολλῷ μᾶλλον τῷ Θεῷ. καὶ τοῦτο δὲ ἔλεγεν, ἵνα μάθωσι πάντες, ὅτι ἀνεξαπάτητος ἔμενεν ὁ προφήτης, οὐκ ἀπὸ τῶν ῥημάτων παραλογιζόμενος τῶν εἰρημένων, ἀλλ' ἀπὸ τῶν ἐν τῇ διανοίᾳ Ἄχαζ φέρων τὴν ψῆφον. τοῦτο καὶ ὁ Χριστὸς πολλάκις ἐπὶ τῶν εὐαγγελίων ἐποίησε. πρὶν ἢ γὰρ τὴν ἀπὸ τῶν σημείων παρασχεῖν ἀπόδειξιν, τὴν κακίαν τῶν Ἰουδαίων εἰς μέσον ἄγων τὴν ἐν διανοίᾳ πορευομένην, οὐ μικρὸν τοῦτο παρέσχε τὸ σημεῖον· οἷον ἐπὶ τοῦ παραλυτικοῦ πεποίηκεν. ἐπειδὴ γὰρ εἶπε πρὸς αὐτὸν, θάρσει τέκνον· ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἐκεῖνοι δὲ ἔλεγον ἐν ἑαυτοῖς, βλασφημεῖ, φησὶ, πρὶν ἢ σφίγξαι τὸν παραλελυμένον, τί βουλεύεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; μέγιστον θεότητος τοῦτο παρέχων τεκμήριον, τὸ τὰ ἀπόρρητα εἰδέναι τῆς διανοίας. Σὺ γὰρ ἐπίστασαι, φησὶ, καρδίας μονώτατος· καὶ ὁ Παῦλος πάλιν φησίν, Ἐτάζων καρδίας

Ιερεμ. κ.
Ρωμ. ηζ.

καρδίας καὶ νεφροὺς ὁ Θεός. τοῦτο καὶ τοῖς προφήταις ἐδίδου πολλάκις ὁ Θεὸς εἰδέναι, ἵν' οἱ ἀκούοντες μανθάνωσιν, ὅτι οὐδὲν ἀνθρώπινον τῶν εἰρημένων, ἀλλ' ἄνωθεν, καὶ ἐκ τῶν οὐρανῶν ἡ ψῆφος ἅπασα κατενήνεκται. διὰ τοῦτο καὶ ὁ μεγαλοφωνότατος οὗτος Ἡσαΐας, ἐπειδὴ μετὰ πολλῆς τῆς ἐπιεικείας διελέχθη τῷ βασιλεῖ, καὶ τῶν δεινῶν ἀπήλλαξε, καὶ θαρρεῖν ἐκέλευσεν ὑπὲρ τῶν παρόντων, καὶ τεκμήρια τούτου παρέσχεν αὐτῷ, τὸ τῶν βασιλέων ἐξαγγεῖλαι (κ. τῷ) τῶν ἐπιστρατευσάντων, καὶ τὴν προδοσίαν ἐλέγξαι, καὶ τὴν ἅλωσιν τοῦ Ἰσραὴλ προειπεῖν τὴν παντελῆ καὶ ὁλόκληρον, καὶ τὸν χρόνον προσθεῖναι, οὐκ ἠρκέσθη τούτοις, καὶ περαιτέρω πρόεισι, καὶ οὐκ ἀναμένει σημεῖον αὐτὸν αἰτῆσαι, ἀλλὰ καὶ μὴ βουλόμενον δι' ὑπερβολὴν ἀπιστίας προτρέπεται. καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ κύριον τῆς αἱρέσεως ποιεῖ. οὐδὲ γάρ φησι, τὸ καὶ τὸ σημεῖον, ἀλλ' ὅπου βούλει, φησί, πλούσιος ὁ δεσπότης, παναλκὴς ἡ δύναμις, ἄφατος ἡ ἐξουσία. ἂν ἐκ τῶν οὐρανῶν βουληθῇς, οὐδὲν τὸ κωλῦον, ἂν ἐκ τῆς γῆς, οὐδὲν τὸ ἐμποδίζον. τοῦτο γάρ ἐστιν, ἢ εἰς βάθος ἢ εἰς ὕψος. ἐπειδὴ δὲ οὐδὲ οὕτως αὐτὸν ἐπεσπάσατο, οὐδὲ ἐνταῦθα ἐσίγησεν, ἀλλ' ἔλεγχον ἐπαγαγὼν, καὶ τοῦτον ὑπὲρ διορθώσεως τοῦ ἀκούοντος, καὶ τοῦ δεῖξαι, ὡς οὐκ ἠπάτησεν (οὐδὲ γὰρ ἐλογίσατο) ἀνακέμπλει προφη- (ἴσ. ἀνακρύπτει) τείαν ἀπόρρητον, τὴν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης ἐσομένην, καὶ ἐπὶ διορθώσει τῶν πραγμάτων ἁπάντων· καί φησι τὸ σημεῖον οὐχὶ τῷ Ἄχαζ δίδοσθαι λοιπὸν, ἀλλὰ τῷ κοινῷ τῶν Ἰουδαίων δήμῳ. παρὰ μὲν γὰρ τὴν ἀρχὴν πρὸς αὐτὸν τὸν λόγον ἀπέτεινεν· ἐπειδὴ δὲ ἀνάξιον ἐκεῖνος ἑαυτὸν ἀπέφηνε, τῷ κοινῷ τοῦ λαοῦ διαλέγεται). διὰ τοῦτο γάρ φησι, δώσει, οὐχί σοι, ἀλλ' ὑμῖν σημεῖον. ὑμῖν, τίσι; τοῖς ἐν τῷ οἴκῳ Δαβίδ. καὶ γὰρ ἐκεῖθεν ἐβλάστησε. τὸ σημεῖόν ἐστιν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. παρατηρητέον, ὅπερ καὶ ἔμπροσθεν εἶπον, ὅτι οὐ τῷ Ἄχαζ δίδοται λοιπὸν τὸ σημεῖον. καὶ ὅτι οὐ στοχασμός, αὐτὸς ὁ προφήτης καὶ ἐνεκάλεσε καὶ κατηγόρησε λέγων, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ προσέθηκε· διὰ τοῦτο δώσει Κύριος ὑμῖν σημεῖον, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. εἰ δὲ μὴ παρθένος ἦν, οὐδὲ σημεῖον ἦν. τὸ γὰρ σημεῖον ἐκβαίνειν δεῖ τὴν κοινὴν ἀκολουθίαν, καὶ τὴν τῆς φύσεως ὑπερβαίνειν συνήθειαν, καὶ ξένον εἶναι καὶ παράδοξον, ὥστε ἕκαστον ἐπισημαίνεσθαι τῶν ὁρώντων καὶ ἀκουόντων. διὰ γὰρ τοῦτο καὶ σημεῖον λέγεται, διὰ τὸ ἐπίσημον. ἐπίσημον δὲ οὐκ ἂν γένοιτο, εἰ μέλλοι κρύπτεσθαι τῇ κοινωνίᾳ τῶν ἄλλων πραγμάτων. ὥστε εἰ περὶ γυναικὸς ὁ λόγος ἦν νόμῳ φύσεως τικτούσης, τίνος ἕνεκεν σημεῖον καλεῖ τὸ καθ' ἑκάστην γινόμενον ἡμέραν. διὰ δὴ τοῦτο καὶ ἀρχόμενος, οὐχ ἁπλῶς εἶπεν, ἰδοὺ παρθένος, ἀλλ' ἰδοὺ ἡ παρθένος, τῇ προσθήκῃ τοῦ ἄρθρου ἐπίσημόν τινα καὶ μόνην τοιαύτην γεγενημένην ἡμῖν ἀποτιθέμενος. ὅτι γὰρ ἡ προσθήκη αὕτη τοῦτο ἐνδείκνυται, δυνατὸν καὶ ἀπὸ τῶν εὐαγγελίων μαθεῖν. ἐπειδὴ γὰρ ἔπεμψαν πρὸς τὸν Ἰωάννην οἱ Ἰουδαῖοι ἐρωτῶντες, τίς εἶ; οὐκ ἔλεγον, σὺ εἶ Χριστός, ἀλλ' εἰ σὺ εἶ ὁ Χριστός. οὐδὲ ἔλεγον, σὺ εἶ προφήτης, ἀλλ' εἶ σὺ ὁ προφήτης, ὧν ἕκαστον ἐξαίρετον ἦν. διὰ τοῦτο καὶ ἀρχόμενος ὁ Ἰωάννης οὐκ ἔλεγεν· ἐν ἀρχῇ ἦν λόγος, ἀλλ' ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ εἶπεν, ἰδοὺ παρθένος, ἀλλ' ἰδοὺ ἡ παρθένος· καὶ μετὰ ἀξιώματος προφήτῃ πρέποντος, τὸ ἰδού. μόνον γὰρ οὐχὶ ὁρῶντος ἦν τὰ γινόμενα καὶ φανταζομένου, καὶ πολλὴν ἔχοντος ὑπὲρ τῶν εἰρημένων πληροφορίαν. τῶν γὰρ ἡμετέρων ὀφθαλμῶν ἐκεῖνοι σαφέστερον τὰ μὴ ὁρώμενα ἔβλεπον. τὴν μὲν γὰρ αἴσθησιν εἰκὸς καὶ ἀπατηθῆναι· ἡ δὲ τοῦ πνεύματος χάρις ἀνεξαπάτητον παρείχετο τὴν ἀπόφασιν. καὶ τίνος ἕνεκεν οὐ προσέθηκε, φησὶν, ὅτι ἐκ πνεύματος ἁγίου ὁ τόκος ἔσται; προφητεία ἦν τὸ λεγόμενον, καὶ συνεσκιασμένως ἀπαγγεῖλαι ἔδει, ὃ πολλάκις εἶπον, διὰ τὴν τῶν ἀκουόντων ἀγνωμοσύνην, ἵνα μὴ σαφῶς πάντα μανθάνοντες, καὶ τὰ βιβλία πάντα κατακαύσωσι. Εἰ γὰρ τῶν προφητῶν οὐκ ἐφείσαντο, πολλῷ μᾶλλον τῶν γραμμάτων οὐκ ἂν ἀπέσχοντο. καὶ ὅτι οὐ στοχασμός ἐστι τὸ εἰρημένον, ἕτερός τις βασιλεὺς ἐπὶ τοῦ Ἱερεμίου αὐτὰ τὰ βιβλία λαβὼν κατέτεμε, καὶ πυρὶ παρεδίδου. Εἶδες μανίαν ἀφόρητον, εἶδες ὀργὴν ἀλόγιστον. οὐκ ἤρκεσεν αὐτῷ τὸ ἀφανίσαι τὰ γράμματα, ἀλλὰ καὶ ἐνέπρησε, τὸ ἀλόγιστον αὐτοῦ πάθος πληρῶσαι βουλόμενος. ἀλλ' ὅμως καὶ ἀσαφῶς εἰπὼν ὁ θαυμάσιος οὗτος προφήτης, τὸ πᾶν ἐνεδείξατο. παρθένος γάρ, ἕως ἂν μένῃ παρθένος, πόθεν ἄλλοθεν κυήσειεν, εἰ μὴ ἀπὸ πνεύματος ἁγίου; τὸ γὰρ νόμον λῦσαι φύσεως, οὐδενὸς ἑτέρου ἦν, ἀλλ' ἢ τοῦ δημιουργοῦ τῆς φύσεως. ὥστε εἰπών, ὅτι τέξεται ἡ παρθένος, τὸ πᾶν ἐνέφηνεν. Εἰπὼν τοίνυν τὸν τόκον, λέγει καὶ τὸ ὄνομα τοῦ τικτομένου, οὐ τὸ τεθέν, ἀλλὰ τὸ ἀπὸ τῶν πραγμάτων· ὥσπερ γὰρ τὴν Ἱερουσαλὴμ καλεῖ πόλιν δικαιοσύνης, καίτοι γε οὐδαμοῦ δικαιοσύνης ἐκλήθη πόλις, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ταύτην εἶχε τὴν προσηγορίαν, διὰ τὸ πολλὴν γενέσθαι τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολήν, καὶ τὴν τοῦ δικαίου προστασίαν. καὶ γὰρ ὅταν πόρνην καλῇ, οὐχ ὡς τῆς πόλεως οὕτω ποτὲ κληθείσης, ἀλλὰ ἀπὸ τῆς κακίας τὸ ὄνομα τίθησιν· οὕτω δὴ καὶ μετὰ ταῦτα ἀπὸ τῆς ἀρετῆς. τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ λεκτέον, ὅτι τὸ ἀπὸ τῶν πραγμάτων αὐτῷ ὄνομα τέθεικε. τότε γὰρ μάλιστα μεθ' ἡμῶν ὁ Θεὸς γέγονεν, ἐπὶ τῆς γῆς ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος, καὶ τὴν πολλὴν ἐπιδεικνύμενος περὶ ἡμᾶς κηδεμονίαν. οὐκέτι γὰρ ἄγγελος, οὐδὲ ἀρχάγγελος μεθ' ἡμῶν, ἀλλ' αὐτὸς καταβὰς ὁ δεσπότης, τὴν πᾶσαν ἐνεδείξατο διόρθωσιν, πόρναις διαλεγόμενος, τελώναις συνανακείμενος, ἁμαρτωλῶν οἰκίας εἰσιών, λῃσταῖς παῤῥησίαν διδούς, μάγους ἐφελκόμενος, πάντα περιιὼν καὶ διορθούμενος, καὶ αὐτὴν τὴν φύσιν ἑνῶν πρὸς ἑαυτόν. Ταῦτα οὖν πάντα ὁ προφήτης προαναφωνεῖ, ὁμοῦ καὶ τὸν τόκον λέγων, καὶ τὸ κέρδος τῶν ὠδίνων τὸ ἄφατον ἐκεῖνο καὶ ἄπειρον. ὅταν γὰρ ὁ Θεὸς μετ' ἀνθρώπων ᾖ, οὐδὲν δεῖ λοιπὸν δεδοικέναι οὐδὲ τρέμειν, ἀλλ' ὑπὲρ ἁπάντων θαῤῥεῖν· ὅπερ οὖν καὶ ἐγένετο. καὶ γὰρ τὰ ἀρχαῖα ἐκεῖνα καὶ ἀκίνητα ἐλύθη κακά, καὶ ἡ κατὰ τοῦ κοινοῦ γένους ἀπόφασις ἀνῄρητο, καὶ τῆς ἁμαρτίας τὰ νεῦρα ἐξέκοπτο, καὶ διαβόλου τυραννὶς κατελύετο, καὶ ὁ πᾶσιν ἄβατος παράδεισος ἀνδροφόνῳ καὶ λῃστῇ πρῶτον ἠνοίγετο, καὶ οὐράνιοι ἁψῖδες ἀνεπεπτάννυντο, καὶ ἀγγέλοις ἄνθρωπος συνανεμίγνυτο, καὶ πρὸς τὸν βασιλικὸν θρόνον ἡ φύσις ἡ ἡμετέρα ἀνήγετο, καὶ τοῦ ᾅδου τὸ δεσμωτήριον ἄχρηστον ἦν, καὶ ὁ θάνατος ὄνομα λοιπὸν ἔμενεν ὄν, πράγματος ἀπεστερημένον, καὶ μαρτύρων χοροί, καὶ γυναῖκες κατακλάσασαι τοῦ ᾅδου τὰ κέντρα. Ταῦτα οὖν πάντα προορῶν ὁ προφήτης ἐσκίρτα καὶ ἐχόρευε, καὶ δι' ἑνὸς ῥήματος ἡμῖν αὐτὰ ἐνεδείκνυτο, προφητεύων ἡμῖν τὸν Ἐμμανουήλ.

Ιερ. λς. κγ.

15 Βούτυρον καὶ μέλι φάγεται. πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν.

16 Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν, ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν.

Ἐπειδὴ τὸ τικτόμενον παιδίον οὔτε ἄνθρωπος ἦν ψιλός, οὔτε Θεὸς μόνον, ἀλλὰ Θεὸς ἐν ἀνθρώπῳ, εἰκότως καὶ ὁ προφήτης ποικίλλει τὸν λόγον, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο λέγων, καὶ τὰ παράδοξα τιθείς, καὶ οὐκ ἀφιεὶς ἀπιστηθῆναι τὴν οἰκονομίαν διὰ τὴν τοῦ θαύματος ὑπερβολήν. Εἰπὼν γὰρ ὅτι τέξεται ἡ παρθένος, ὅπερ ἦν ἀνωτέρω φύσεως, καὶ ὅτι κληθήσεται Ἐμμανουήλ, ὃ καὶ αὐτὸ μεῖζον προσδοκίας ἦν.

ἦν, ἵνα μή τις τὸν Ἐμμανουὴλ ἀκούσας, τὰ Μαρκίωνος πάθῃ, καὶ νοσήσῃ τὰ τοῦ Οὐαλεντίνου, διὰ τὴν οἰκονομίαν διαρρήδην ἐπήγαγε καὶ τῆς οἰκονομίας σαφεστάτην ἀπόδειξιν, ἀπὸ τῆς τραπέζης αὐτὴν πιστούμενος. τί γάρ φησι; βούτυρον καὶ μέλι φάγεται· τοῦτο δὲ οὐκ ἂν εἴη θεότητος, ἀλλὰ τῆς φύσεως τῆς ἡμετέρας. διὰ γὰρ τοῦτο οὐδὲ ἄνθρωπον ἁπλῶς πλάσας ἐνῴκησεν αὐτῷ, ἀλλὰ καὶ τῆς κυήσεως ἠνέσχετο, καὶ ταύτης ἐννεαμηνιαίου, καὶ ὠδίνων καὶ σπαργάνων, καὶ τῆς ἐκ πρώτης ἡλικίας τροφῆς, ἵνα διὰ πάντων ἐμφράξῃ τὰ στόματα τῶν ἀρνεῖσθαι τὴν οἰκονομίαν ἐπιχειρούντων. ταῦτα οὖν ἄνωθεν προορῶν ὁ προφήτης, οὐχὶ τὰς ὠδῖνας λέγει, καὶ τὸν θαυμαστὸν τόκον μόνον, ἀλλὰ καὶ τὴν ἐν πρώτῃ ἡλικίᾳ τροφήν, τὴν ἐν αὐτοῖς τοῖς σπαργάνοις, οὐδὲν τῶν λοιπῶν ἐξαλλάττουσαν ἀνθρώπων, οὐδέ τι ξένον κατὰ τοῦτο ἔχουσαν. οὔτε γὰρ ἅπαντα ἐξηλλαγμένα ἦν αὐτῷ, οὔτε πάντα κοινά. τὸ μὲν γὰρ ἐκ γυναικὸς τεχθῆναι, κοινόν, τὸ δὲ ἀπὸ παρθένου, μεῖζον ἢ καθ' ἡμᾶς. τὸ τραφῆναι πάλιν τῷ κοινῷ τῆς φύσεως νόμῳ καὶ τῷ αὐτῷ τοῖς πολλοῖς, κοινόν· τὸ δὲ ἄβατον γενέσθαι πονηρίᾳ τὸν ναὸν ἐκεῖνον, καὶ μηδὲ εἰς πεῖραν ἐλθεῖν πονηρίας, τοῦτο ξένον καὶ παράδοξον, καὶ αὐτοῦ μόνου. διὰ δὴ κἀκεῖνο, καὶ τοῦτο τέθεικεν. οὐ γὰρ μετὰ τὴν πεῖραν τῆς κακίας ἀπέστη τῆς κακίας, φησίν, ἀλλ' ἄνωθεν καὶ ἐκ προοιμίων αὐτῶν πᾶσαν ἀρετὴν ἐπεδείκνυτο. ὃ καὶ αὐτὸς ἔλεγε, Τίς ἐξ αὐτῶν ἐλέγχει με περὶ ἁμαρτίας; καί, Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν. καὶ αὐτὸς ἑξῆς προϊὼν ὁ προφήτης λέγει, Ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. τοῦτο δὴ καὶ ἐνταῦθα φησιν· ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἀπὸ τῆς ἡλικίας ἐκείνης τῆς ἀπειροκάκου, ἀπ' αὐτῶν τῶν προοιμίων τὴν ἀρετὴν ἐπιδείξεται, καὶ οὐδὲν ἕξει πρὸς τὴν κακίαν κοινόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. πάλιν ταῖς αὐταῖς λέξεσι τὸ αὐτὸ νόημα αἰνίττεται, καὶ ἐνδιατρίβει τῷ λόγῳ. ἐπειδὴ γὰρ σφόδρα ἦν ὑψηλὸν τὸ εἰρημένον, τῇ συνεχείᾳ τῆς διηγήσεως αὐτὸ πιστοῦται. ὅπερ γὰρ ἀνωτέρω ἐδήλωσεν εἰπών, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, τοῦτο προϊὼν ᾐνίξατο, εἰπών· πρὶν ἢ γνῶναι τὸ παιδίον. καὶ ἐπεξηγήσει κέχρηται πάλιν λέγων· ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. τοῦτο γὰρ αὐτοῦ μόνον ἦν τὸ ἐξαίρετον. διὸ καὶ ὁ Παῦλος αὐτὸ στρέφει συνεχῶς, καὶ Ἰωάννης δὲ ἰδὼν αὐτόν, τοῦτο ἀνεκήρυξε λέγων· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ὁ δὲ τὴν ἑτέρων αἴρων, πολλῷ μᾶλλον αὐτὸς ἀναμάρτητος ἦν. καὶ ὁ Παῦλος, ὅπερ ἔφθην εἰπών, συνεχῶς αὐτὸ ἀναβοᾷ. ἐπειδὴ γὰρ ἔμελλεν ἀποθνήσκειν, ἵνα μή τις νομίσῃ τῶν ἀπίστων, ὅτι οἰκείας ἁμαρτίας τίνει δίκην, συνεχῶς αὐτοῦ τὸ ἀναμάρτητον εἰς μέσον ἄγει, ἵνα τὸν θάνατον αὐτοῦ τῆς ἡμετέρας ἁμαρτίας λυτήριον ὄντα δείξῃ. διὸ καὶ ἔλεγε, Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. καὶ γὰρ ὃ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν. οὐδὲ ἐκεῖνον τὸν θάνατον, ὡς ὑπεύθυνος ὤν, φησι, κατὰ τὸν τῆς ἁμαρτίας λόγον ἀπέθανεν, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁπάντων πλημμελείας. εἰ τοίνυν τὸν πρότερον κατὰ τὸ ὑπεύθυνος οὐκ ἦν, ἐκ περιουσίας ἀποδέδεικται, ὅτι οὐκέτι ἀποθανεῖται.

Ιω. η. μϛ.
Ιω. ιδ. λ.
Ησ. νγ. θ.
Ιω. α. κθ.
Ρω. ϛ. θ.
ἴσ. κατὰ τὸν

Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων.

Ὅπερ συνεχῶς ὁ προφήτης ποιεῖ, τοῦτο καὶ ἐνταῦθα πεποίηκε. μετὰ τὴν προφητείαν ἐπὶ τὴν ἱστορίαν ἐξάγει τὸν λόγον. τοῦτο καὶ ἐπὶ τῶν σεραφὶμ κατασκευάσαντα σαφῶς ἀπεδείξαμεν, ὃ καὶ ἐνταῦθα εἰργάσατο. εἰπὼν γὰρ τὰ μέλλοντα ἔσεσθαι τῆς οἰκουμένης ἀγαθά, εἰς τὸν βασιλέα λοιπὸν τρέπει τὸν λόγον. διὸ καὶ ἐπήγαγε λέγων· καταλειφθήσεται ἡ γῆ. τί ἐστι, καταλειφθήσεται; ἀνέπαφος ἔσται, οὐδὲν πείσεται ἀηδές, τὰ τοῦ πολέμου οὐχ ὑποστήσεται. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ὑπὲρ ἧς δέδοικας, ὑπὲρ ἧς τρέμεις, ἀπὸ προσώπου τῶν δύο βασιλέων, τοῦ τε Δαμασκηνοῦ, καὶ τοῦ Ἰσραηλίτου. Εἶτα ἵνα μὴ τῇ τῶν ἀγαθῶν προφητείᾳ ῥαθυμότερος γένηται, μηδὲ ὑπὸ τῆς εἰρήνης χαυνότερος, ἐπισφίγγει πάλιν αὐτοῦ τὴν ψυχὴν λέγων·

17 Ἀλλὰ ἐπάξει ὁ Θεὸς ἐπὶ σὲ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων.

Διὰ γὰρ τούτων, τῶν βαρβάρων τὴν ἔφοδον δηλοῖ, δι' ἧς τὴν πόλιν πρόρριζον ἀνέσπασαν, καὶ λαβόντες αὐτοὺς αἰχμαλώτους ἀπῆλθον. καὶ προλέγει ταῦτα, οὐχ ἵνα γένηται, ἀλλ' ἵνα τῷ φόβῳ γενόμενοι σωφρονέστεροι, τὴν ἀπειλὴν ἀποκρούσωνται. ἐπειδὴ δὲ οὔτε ὑπὸ τῶν χρηστῶν, ὧν παρὰ τὴν ἀξίαν ἀπήλαυσαν, ἐγένοντο βελτίους (ὅτι δὲ παρὰ ἀξίαν ἀπήλαυσαν, ἔδειξεν ἡ γνώμη τοῦ βασιλέως καὶ ἡ ὑπερβάλλουσα ἀπιστία) οὔτε τῇ ἀπειλῇ τῶν φοβερῶν μετεβάλλοντο, ἀλλὰ πρὸς ἑκάτερον τῆς ὠφελείας τὸ φάρμακον ἀντέστησαν χαλεπῶς, ἐπάγει λοιπὸν βαρυτέραν τὴν τομὴν, τὴν σηπεδόνα ἐκτέμνων καὶ τοὺς ἀνίατα νοσοῦντας ἐκκόπτων. τί δέ ἐστιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων; ἐπῆλθον οἱ βάρβαροι, πάντας αὐτοὺς ἀναρπαζόμενοι· ἀλλ' ἀφέντες τὸν Ἰούδα καὶ τὰς δύο φυλὰς, ἐτράπησαν κατὰ τοῦ Ἰσραήλ. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αἱ δέκα φυλαὶ πρὸς ἑαυτὰς "ἐφελκύονται τὸ τῶν βαρβάρων στρατόπεδον, ὑμῶν ἀποστήσαντες, τῇ τῆς οἰκείας ἁμαρτίας ὑπερβολῇ, καὶ καθ' ἑαυτῶν καλέσαντες αὐτοὺς "ἀπενεχθῶσιν, ἀπ' ἐκείνης χρὴ δεδοικέναι καὶ φοβεῖσθαι λοιπόν. ὁδῷ γὰρ προβαίνοντες, καὶ ἐφ' ὑμᾶς ἥξουσιν, εἰ μὴ μεταβάλλοισθε. καὶ φησιν, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπάξει αὐτούς. οὐ γὰρ ὁμοῦ τῶν Ἰσραηλιτῶν ἀπενεχθέντων, κἀκεῖνοι ἑάλωσαν, ἀλλὰ βραχὺς μεταξὺ γέγονε χρόνος. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ὅτι τῇ ψήφῳ ἐκ τότε ἐπήγαγεν αὐτὰς ἡμέρας· ἀλλ' ἀνέμενεν ὁ Θεὸς, καὶ ἐμακροθύμει, καίτοι τῆς ἀξίας τῶν ἁμαρτημάτων ἐκ τότε ἀπαιτούσης τὴν τιμωρίαν· ὅπερ πολλαχοῦ ποιεῖν εἴωθε, τῆς κυρίας παραγενομένης ἡμέρας, ἀναβάλλεσθαι καὶ ἀναδύεσθαι, ὃ καὶ τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον μέγιστον, καὶ τῆς ἀγνωμοσύνης τῶν οὐκ ἐθελόντων εἰς δέον αὐτοῦ κεχρῆσθαι τῇ μακροθυμίᾳ ἀπόδειξις σαφεστάτη. τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι ἀπὸ τότε ἡ ἀπειλὴ, ἀπὸ τότε ἡ ἀπόφασις, ἐκ τότε ἡ θεήλατος ὀργὴ, ἵνα ἐπὶ θύραις ἀγαγὼν τὴν τιμωρίαν, διαναστήσῃ πρὸς μετάνοιαν, καὶ βελτίους ἐργάσηται), καὶ μετὰ τὴν ἐκείνων ἅλωσιν ἐν ἀγωνίᾳ καταστήσῃ, μηδὲ, ἐπειδὴ οἱ μὲν ἀπηνέχθησαν, οἱ δὲ διέφυγον, ῥαθυμότεροι ταύτῃ γένωνται.

ἴσ. ἐφειλκύσαντο

ἴσ. ἀπηνέχθησαν,

18 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συριεῖ Κύριος μυίαις, αἳ κυριεύσουσι μέρους ποταμοῦ Αἰγύπτου.

Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι τὸν φόβον αὐξῆσαι βουλόμενος, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπιθήσει τὴν ἀπειλήν. τὰ γοῦν ἑξῆς τοῦτο δηλοῖ, δι' ὧν ἐπαίρει τὸν φόβον τῷ λόγῳ, καὶ τὰ στρατόπεδα αὐτοῖς δῆλα ποιῶν, ἅπερ ἦν αὐτοῖς φοβερώτατα, καὶ τὴν εὐκολίαν τῆς ἐφόδου δηλῶν, ὃ μετὰ ὑπερβολῆς αὐτοὺς κατέσειε, καὶ "τὸ ξίφος τῆς στρατείας ἐμφαίνων, ὃ μάλιστα αὐτῶν ἐξέστησε τὴν διάνοιαν. ταῦτα δὲ ἅπαντα διὰ τῶν ἑξῆς ᾐνίξατο. σκόπει δέ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶ, συριεῖ Κύριος μυίαις. ἐνταῦθα τοὺς Αἰγυπτίους ἐκάλεσε διὰ τὸ ἀναιδὲς καὶ ἀναίσχυντον, καὶ ὅτι συνεχῶς διακρουόμενοι συνεχῶς ἐπῄεσαν, καὶ οὐδὲ μικρὸν ἀναπνεῖν συνεχώρουν, ἀλλὰ

ἴσ. τὸ ξίφος τῆς στρατιᾶς

μυρία πρότερον αὐτοῖς πράγματα πολλάκις, καθάπερ αἱ μυῖαι τοῖς τραύμασιν, οὕτω διηνεκῶς ταῖς τούτων ἐφιζάνοντες συμφοραῖς. τούτους οὖν "ἕξει, φησὶν, ὁ Θεός. ἀλλ' οὐκ εἶπεν," αὔξει, ἀλλὰ συριεῖ, τὴν εὐκολίαν ἐμφαίνων τῆς ἀνόδου, καὶ τὸ ἄμαχον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ὅτι ἀρκεῖ νεῦσαι μόνον, καὶ πάντα ἕπεται. καὶ εἰκότως ἀπὸ τούτων πρότερον ἄρχεται τῆς ἀπειλῆς, ὧν ἤδη πεῖραν εἰλήφασι.

Καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων.

Ὁ Σύρος καὶ ὁ Ἑβραῖος, ὥς φασιν, οὐ λέγουσι μελίσσας, ἀλλὰ σφῆκας. ἐπειδὴ γὰρ οὐ σφόδρα αὐτῶν ἦσαν "ἔμπειρα, τῇ εἰκόνι τοῦ ζώου εἰς πολλὴν αὐτοὺς ἐνέβαλλεν ἀγωνίαν, τὸ σφοδρὸν αὐτῶν, τὸ πληκτικὸν, τὸ ἀμυντικὸν, τὸ πικρὸν τῶν τραυμάτων, τὸ ταχὺ τῆς παρουσίας, τὸ δυσφύλακτον διὰ τοῦ ζώου τούτου δηλῶν.

19 Καὶ ἐλεύσονται, καὶ ἀναπαύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ.

Εἰπὼν τὸ φοβερὸν τῶν ἐθνῶν, καὶ τὸ τάχιστον τῆς στρατείας, λέγει καὶ τὸ πλῆθος λοιπόν. καὶ οὐκ εἶπε στρατοπεδεύσονται, ἀλλὰ ἀναπαύσονται, οὐδὲ ὡς εἰς πολεμίαν ἀφικνούμενοι χώραν, ἀλλ' ὡς τῇ οἰκείᾳ ἐντρυφῶντες, οὐδὲ ὡς καμάτου δεόμενοι καὶ πόνου, ἀλλ' ὡς ἐπὶ φανερὰν ἀπαντήσοντες νίκην, καὶ ἕτοιμον ληψόμενοι τὴν ἁρπαγήν. διὰ τοῦτό φησιν, ἐλεύσονται, καὶ ἀναπαύσονται, ὃ τῶν νενικηκότων ἐστὶ, καὶ τρόπαιον στησάντων, καὶ μετὰ τὸν πολὺν ἱδρῶτα καὶ τὰς σφαγὰς ἀναπαυομένων. καὶ οὐκ ἀναπαύσονται ἐν πεδίοις μόνον· ἀλλ' ἐπειδὴ τὸ πλῆθος ἄπειρον, καὶ οὐχ ἱκανὴ ἡ χώρα δέξασθαι τῶν σωμάτων τὸν ἀριθμὸν, καὶ φάραγγες καὶ πέτραι καὶ ὄρη καὶ νάπαι, καὶ πάντα καλυφθήσεται τοῖς βαρβαρικοῖς σώμασι. καίτοι εἰ καὶ μὴ σφοδροὶ ἦσαν, μηδὲ οὕτω "ῥᾴδιοι, ἤρκει τὸ πλῆθος αὐτοὺς καταπλῆξαι· ὅταν δὲ ἀμφότερα ᾖ, καὶ πλῆθος τοσοῦτον, καὶ δύναμις τηλικαύτη, καὶ, τὸ πάντων χαλεπώτερον, ἡ τοῦ Θεοῦ ὀργὴ στρατηγοῦσα, ποία λοιπὸν ἐστὶ σωτηρίας ἐλπίς; τὸ δὲ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ, ὑπερβολικῶς εἴρηται. οὐ γὰρ δὴ ἐπὶ τῶν δένδρων ἔμελλον ἀναπαύεσθαι, ἀλλ' ὁμοῦ, καθάπερ εἶπον, καὶ τὴν ὑπερβολὴν ἠνίξατο καὶ τῇ μεταφορᾷ ἐκείνῃ.

20 Ξυρήσει Κύριος τῷ ξυρῷ τῷ μεμεθυσμένῳ. Αὐξήσας τὸν φόβον ἀπὸ τῶν στρατοπέδων, ἐπιτείνει πάλιν αὐτὸν, ἐπὶ τὸν οὐρανὸν τὸν λόγον ἀνάγων, δεικνὺς ὅτι οὐ βάρβαροί τινες Αἰγύπτιοι καὶ Πέρσαι, ἀλλ' ὁ Θεός ἐστιν ὁ πολεμῶν τοῖς Ἰουδαίοις. ξυρὸν δὲ ἐνταῦθα τὴν ἀφόρητον ὀργὴν αὐτοῦ φησι, καὶ ἣν οὐδεὶς ὑποστῆναι δυνήσεται, μετ' εὐκολίας ἐπιοῦσαν καὶ ἀναλίσκουσαν. ὥσπερ γὰρ αἱ τρίχες τοῦ σώματος τοῦ ξυροῦ τὴν ἀκμὴν οὐκ ἂν ἐνέγκοιεν, ἀλλ' εἴκουσιν εὐθέως καὶ παραχωροῦσιν· οὕτω δὴ καὶ τὰ Ἰουδαϊκὰ πράγματα τὴν θεήλατον ὀργὴν ἐκείνην οὐκ ἂν ὑποσταῖεν ποτέ φησι. ξυρὸν τοίνυν μεμεθυσμένον, τὴν ἀκμάζουσαν, τὴν μεμεστωμένην τοῦ Θεοῦ ὀργὴν, τὴν πεπληρωμένην ἀπόφασιν ἡμῖν ἐνδείκνυται. Πέραν δὲ τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, πέραν τοῦ Εὐφράτου, φησίν·

Ἅπερ ἦν ἡ Ἰουδαία, καὶ ἡ Παλαιστίνη πᾶσα ἀπὸ Περσίδος ἐπανιοῦσι. Ταῦτα οὖν ἅπαντα ἀφανιεῖ, φησιν, ἄρδην. Κεφαλὴν δὲ καὶ τρίχας καὶ πώγωνα καὶ πόδας.

Ὁλόκληρον τὴν χώραν φησὶ τῇ παραβολῇ τοῦ σώματος, πᾶσαν αὐτῶν τὴν χώραν

ἴσ. ἄξει,
ἴσ. ἄξει,

ἴσ. ἔμπειροι,

ἴσ. ῥαγδαῖοι

ἐστι παραλαμβανομένων τῷ λόγῳ. ὥσπερ καὶ ἀρχόμενος ἔλεγε, πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην, ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὐ περὶ ἑνὸς ἀνθρώπου λέγων, ἀλλ' ὁλόκληρον τὴν χώραν ἑνὶ σώματι παραβάλλων· τοῦτο δὴ καὶ ἐνταῦθά φησιν, ὅτι καὶ χαλεπὴν ὑποστήσεται λιμώδη πᾶσα ἡ γῆ. καὶ τὸ μὲν διὰ τοῦ ξυροῦ, τὸ δὲ διὰ τῆς τοῦ σώματος εἰκόνος ἐνέφηνε, δηλῶν ὅτι ξυροῦ παντὸς χαλεπώτερον καὶ τοὺς ἀνθρώπους καὶ τὰ ἀπὸ τῆς γῆς ἀναλώσει ἡ παρὰ τοῦ Θεοῦ φερομένη ψῆφος, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον καταλείψει. εἶτα τὴν ἐρημίαν ταύτην δι' ἑτέρας εἰκόνος ἐνδείκνυται. ποιεῖ δὲ αὐτό, ὥστε διὰ παντὸς ἀκμάζοντα μένειν τὸν φόβον, καὶ μὴ καταμαραίνεσθαι τῷ μήκει τοῦ λόγου τὴν ἀγωνίαν. καὶ δοκεῖ μὲν τοῖς οὐ προσέχουσι χρηστῶν τινων ἐπαγγελίας εἶναι τὸ λεγόμενον· οἱ δὲ ἀκριβῶς ἐξετάζοντες, ἴσασιν ὅτι ἐπιτεταμένης ἐρημίας ἐστὶν ἀπόδειξις. τί γάρ φησι;

21 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα.

22 Καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, φάγεται βούτυρον, ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. Ταῦτα πολλήν, ὡς ἔφθην εἰπών, ἐρημίαν ἐνδείκνυται. ἡ γὰρ πυροὺς καὶ κριθὰς φέρουσα γῆ, τῶν ἀνθρώπων ἐρημωθεῖσα, δαψιλῆ παρέξει νομὴν τοῖς προβάτοις, καὶ οὕτω δαψιλῆ, ὡς διὰ τὴν εὐθηνίαν τῆς τοιαύτης τραπέζης ἀρκεῖν καὶ δύο πρόβατα καὶ δάμαλιν μίαν πηγὰς τῷ κεκτημένῳ παρέχειν γάλακτος. ὥστε ἡ εὐθηνία τῆς εὐωχίας τῶν ἀλόγων τῆς τῶν ἀνθρώπων ἐρημίας μέγιστόν ἐστι τεκμήριον. καὶ τὸ μέλι δὲ τοῦτο αἰνίττεται. εἰώθασι γὰρ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν αἱ μέλιτται, καὶ ἔνθα ἂν πολλῆς νομῆς ἀπολαύωσι, καὶ ἔνθα μηδεὶς ὁ ἐνοχλῶν ᾖ. καὶ ἵνα μάθῃς ὅτι τὴν ἐπιτεταμένην ἐρημίαν αἰνίττεται, τὰ ἑξῆς δηλοῖ.

23 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται, καὶ εἰς ἄκανθαν·

24 Μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ.

Πολλῆς καὶ τοῦτο δυσπραγίας σημεῖον, ὅτι μὴ ὄρη καὶ νάπαι, ἀλλ' αὐτὴ ἡ βαθύγεος καὶ πολλῆς ἀπολαύουσα τῆς ἐπιμελείας, ἀκάνθας φέρει. οὐδὲ γὰρ ἁπλῶς τὸ τίμημα τῶν ἀμπέλων τέθεικεν, ἀλλ' ἵνα καὶ τὴν φύσιν τῆς γῆς ἐπιδείξηται, καὶ τὴν πολλὴν τῶν γεωργῶν ἐπιμέλειαν. ἀλλ' ὅμως ἐκεῖνα τὰ οὕτως εὐθηνούμενα, φησί, καὶ γεωργικῶν ἀπολαύοντα χειρῶν, εἰς τοσαύτην καταστρέψει τὴν ἐρημίαν, ὡς ἀκάνθας μὲν ἀντὶ ἀμπέλων φέρειν, τοσοῦτον δὲ παρέχειν τοῖς εἰσιοῦσι τὸν φόβον, ὡς μηδένα τολμᾶν γυμνὸν καὶ ἄοπλον εἰσιέναι. τοῦτο δὲ λέγει, τὴν ἐρημίαν ἐμφαίνων τοῦ τόπου, καὶ τὴν πολλὴν αὐτόθι τῶν θηρίων διατριβήν. κατασείσας τοίνυν αὐτῶν τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας κατεργασάμενος αὐτοὺς τῷ φόβῳ, πάλιν ἀνίησιν ὀλίγον, τὰ χρηστὰ ἀναμίξας, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, ἵνα ἑκατέρωθεν μάθωσι τοῦ Θεοῦ τὴν ἰσχύν. ἀλλὰ τοῖς μὲν φοβεροῖς ἐνδιατρίβει, τὰ δὲ χρηστὰ εὐθέως εἰπὼν ἀπαλλάττεται. τί δήποτε; ὅτι μάλιστα τούτου ἐδέοντο τοῦ τῆς ἐπιτιμήσεως φαρμάκου τότε. διὸ δὴ αὐτὸ μετὰ δαψιλείας ἐπιθείς, ὥστε ἐνδοῦναι μικρὸν ἀναπνεῦσαι, καὶ ταύτῃ πάλιν εἰς ἀρετὴν ἐκκαλέσασθαι, καὶ τὰ χρηστὰ ἀναμίγνυσι, λέγων·

25 Πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται. Ὥσπερ γὰρ ἐν τῇ ὀργῇ τοῦ Θεοῦ καὶ ἡ βαθύγειος ἔρημος ἔσται, οὕτω καὶ ἐν τῇ καταλλαγῇ πάλιν καὶ ἡ τραχεῖα τῶν

τῆς λιπαρᾶς ἐπιδείξεται γῆς, ἀρότρον δεχομένη καὶ σπέρμα. τούτων δὲ γινομένων, καὶ τὰ ἐκ τούτων ἅπαντα ἔσται, εἰρήνη καὶ ἄδεια, καὶ τὸ θαρσεῖν, καὶ μὴ δεδοικέναι, καθάπερ ἔμπροσθεν. Οὐ γὰρ μὴ ἐπέλθῃ, φησίν, ἐκεῖ φόβος. ἔσται δὲ ἀπὸ τῆς χέρσου καὶ ἀπὸ τῆς ἀκάνθης εἰς βόσκημα προβάτου καὶ πάτημα βοός.

Ησ. λβ. κ.

Καὶ διὰ τούτων πάλιν τὴν εὐθηνίαν αἰνίττεται, ὥσπερ καὶ ἔμπροσθεν προϊὼν λέγει· Μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ. ὥσπερ γάρ, ὅταν ἐρημίαν παραστῆσαι βούληται, σειρῆνας καὶ ὀνοκενταύρους εἰς μέσον ἄγει τῷ λόγῳ· οὕτως, ὅταν εἰρήνην καὶ ἀσφάλειαν, τὰ χειροήθη καὶ τιθασσὰ τῶν ζώων καὶ συνεφαπτόμενα τῶν γεωργικῶν ἔργων ἡμῖν ταῦτα πανταχοῦ δείκνυσι φαινόμενα, ἀπὸ τούτων τὰ ἐκ τούτων ἐμφαίνων, γεωργίαν καὶ τὴν ἄλλην αὐτῶν διακονίαν.

ΚΕΦΑΛΑΙΟΝ η.

1 ΚΑὶ εἶπε Κύριος πρός με· λάβε σεαυτῷ τόμον χάρτου καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων.

2 Παρέσι γὰρ καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου.

3 Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπέ μοι Κύριος, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον.

4 Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων.

Δοκεῖ μὲν ἀπηρτῆσθαι κατὰ τὴν λέξιν ταῦτα τὰ δύο προστάγματα, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς ἄλληλα. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε τῶν νοημάτων τὴν δύναμιν, πολλὴν ὄψεται τὴν συνέργειαν, καὶ τὸν σκοπὸν ἕνα. ἀναγκαῖον δὲ πρότερον εἰπεῖν, τίνος ἕνεκεν τὸ τῆς προφητείας εἶδος εἰς τὸν τῶν ἀνθρώπων εἰσηνέχθη βίον. τίνος οὖν ἕνεκεν εἰσηνέχθη, ἀναγκαῖον εἰπεῖν. μέλλειν εἴωθεν ὁ Θεὸς καὶ βραδύνειν πρὸς τὰς τῶν ἁμαρτανόντων τιμωρίας, ὥσπερ οὖν ταχύς ἐστι καὶ ὀξὺς εἰς τὰς τῶν κατορθούντων εὐεργεσίας. τοῦτο οὖν ῥαθυμοτέρους ἀναπίπτειν παρασκευάζει, τὸ μὴ καταπόδας ἕπεσθαι τῶν πλημμελημάτων τὴν δίκην. ἵνα οὖν καὶ ὁ Θεὸς τὴν μακροθυμίαν ἐπιδεικνύηται τὴν ἑαυτοῦ, καὶ μηδὲν ἐντεῦθεν ἐκεῖνοι γίνωνται ῥαθυμότεροι, τὸ τῆς προφητείας κατασκευάζει φάρμακον, οὐ τῇ πείρᾳ τῶν κολάσεων, ἀλλὰ τῇ προγνώσει παιδεύων τοὺς ἁμαρτάνοντας τέως· ἵνα, ἂν μὲν βελτίους γένωνται τὰς ἀπειλὰς ἀκούοντες, τὴν διὰ τῆς πείρας κόλασιν διακρούσωνται· ἂν δὲ ἐπιμείνωσιν ἀναισθητοῦντες, τότε δὴ καὶ τὴν τιμωρίαν αὐτοῖς ἐπαγάγῃ. τοῦτο συνιδὼν ὁ διάβολος, καὶ τὸ κέρδος ἡλίκον ἐστὶν ἐννοῶν, τοὺς ψευδοπροφήτας ἀνῆκεν, οἳ τοῖς προφήταις ἀπειλοῦσι λιμούς, λοιμούς, πολέμους, βαρβάρων ἔφοδον, ἀντέλεγον χρηστὰ ἀπαγγέλλοντες. ὥσπερ γὰρ ὁ Θεὸς τῷ φόβῳ τῶν ῥημάτων ἐβούλετο τὴν διὰ τῆς πείρας ἀποκρούεσθαι τιμωρίαν, οὕτω καὶ ὁ διάβολος τοὐναντίον εἰργάζετο· τῇ χάριτι τῶν λόγων ἐκλύων καὶ ῥαθυμοτέρους ποιῶν, εἰς ἀνάγκην καθίστησι τοῦ τὴν διὰ τῶν πραγμάτων ὑπομεῖναι τιμωρίαν. εἶτα, ἐπειδὴ μετὰ ταῦτα τοῖς ψευδοπροφήταις πιστεύοντες, καὶ ἀρετῆς οὐδένα ποιούμενοι λόγον, ἀλλὰ ταῖς ἑαυτῶν ἁμαρτίαις ἐμμένοντες, ἐφείλκοντο καὶ τὴν κόλασιν, καὶ ἀπὸ τοῦ τέλους καὶ ἡ τῶν προφητῶν ἀλήθεια ἐδείκνυτο, καὶ τὸ τῶν ψευδοπροφητῶν ψεῦδος διηλέγχετο, ἕτερον πάλιν κατασκευάζει μηχάνημα πρὸς ἀπώλειαν τῶν ἁλισκομένων. ἀνέπειθε

ἴσ. συνέχειαν

ἴσ. τῶν λόγω

γὰρ αὐτοὺς, ἀνεξαπατήτους ὄντας, ὅτι δὴ ταῦτα τὰ δεινὰ τὰ συμβάντα ἀπὸ τῆς τῶν δαιμόνων ὀργῆς ἐγένετο ἀμελουμένων παρ' αὐτῶν καὶ καταφρονουμένων. τοῦτο τοίνυν τὸ δέλεαρ ἀναιρῶν ὁ Θεός, πρὸ πολλῶν ἄνωθεν χρόνων τὰ μέλλοντα αὐτοῖς συμβαίνειν, μᾶλλον δὲ καταλήψεσθαι δεινὰ προλέγει, ἵνα μὴ ἐξῇ τοῖς ἐξαπατῶσιν αὐτοὺς τῇ τῶν δαιμόνων ὀργῇ λογίζεσθαι τὰ συμβαίνοντα. καὶ ὅτι οὐ στοχαζόμενος ταῦτα λέγω, ἄκουσον Ἡσαΐου λέγοντος· Ἔγνων ὅτι σκληρὸς εἶ, νευροσιδηροῦς ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. διὰ τοῦτο ἐξ ἀρχῆς ἐλάλησά σοι, ἵνα μὴ εἴπῃς, ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ τὰ γλυπτὰ, καὶ τὰ χωνευτά μοι ἐποίησεν. οὔτε ἠπίστω, οὔτε ἀκουστά σοι ἐγένετο. ἐπεὶ οὖν, ὅπερ ἔφην, ὡς καὶ ἐκ τῆς μαρτυρίας ἔστιν ἰδεῖν, ἐκείνοις ταῦτα ἀνετίθεσαν, φθάνει ἡ προφητεία ταύτην ἀναιροῦσα τὴν ἀπάτην, καὶ πρὸ πολλῶν αὐτὰ διαγορεύουσα χρόνων. ἀλλ' ἐπειδὴ καὶ οὕτως εἰκὸς ἦν αὐτοὺς ἀγνωμονοῦντας λέγειν, οὐ προείπετε, οὐ προηκούσαμεν, νῦν πλάττεσθε μετὰ τὴν ἔκβασιν, οὐ γὰρ εἴδετε τὰ συμβησόμενα· πόθεν οὖν τοῦτο δῆλον, ὅτι εἴρηται; ὅρα πῶς σαφῶς ἄφυκτον αὐτοῖς κατασκευάζει τὸν ἔλεγχον, καὶ τὰ ἀναίσχυντα ἀποῤῥάπτων στόματα. οὐ γὰρ ἀφίησιν εἰπεῖν μόνον, ἀλλὰ κελεύει καὶ ἐν χάρτῃ γραφῆναι τὰ λεγόμενα, καὶ οὐδὲ ἁπλῶς γραφῆναι, ἵνα μὴ ἐξῇ αὐτοῖς λέγειν, ὅτι μετὰ ταῦτα ἔπλασεν, ἀλλὰ καὶ μάρτυρας τῶν γραμμάτων καλεῖ ἄνδρας ἀξιοπίστους καὶ ἀπὸ τοῦ ἀξιώματος, καὶ ἀπὸ τοῦ τρόπου. ποίησον γάρ μοι, φησὶ, μάρτυρας πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν· ἵνα ὅταν ἐξέλθῃ, καὶ λέγωσιν, ὅτι οὐκ ἐλέχθη ταῦτα πρὸ πολλῶν χρόνων, τὸ βιβλίον ἐξενεχθὲν, καὶ οἱ μάρτυρες οἱ παρόντες καὶ ἀναισχυντοῦντας αὐτοὺς ἐπιστομίσωσι. διὰ τοῦτό φησι, λάβε χάρτου τόμον καινὸν, ἵνα μὴ παλαιωθεὶς ἀπόληται, ἀλλὰ μένῃ τῷ χρόνῳ παρεκτεινόμενος, καὶ κατηγορῶν διὰ τῶν γραμμάτων αὐτῶν· καὶ γράψον γραφίδι ἀνθρώπου, τουτέστι καλάμῳ, τὰ μέλλοντα ἔσεσθαι. τίνα δὲ τὰ μέλλοντα; πόλεμος, νίκη βαρβαρικὴ, λαφύρων διανομὴ, σκύλων ἁρπαγή. ταῦτα τοίνυν, φησὶν, ἅπαντα γράψον, τοῦ ταχέως προνομὴν ποιῆσαι σκύλων. πάρεστι γάρ. τί ἐστι, πάρεστι γάρ; δύο ταῦτα δηλοῖ αὐτὴ ἡ κρίσις· ὅτι τότε ἤδη τῶν ἁμαρτημάτων αὐτῶν τὸ μέγεθος ἀπῄτει τὴν δίκην, καὶ ἐπὶ θύραις ἡ τιμωρία, αὐτὸς δὲ ἀναβάλλεται, τῇ μακροθυμίᾳ βουλόμενος αὐτοὺς βελτίους ποιῆσαι καὶ ἀποκρούεσθαι τὴν τιμωρίαν· καὶ ὅτι ῥᾴδιον αὐτῷ καὶ εὔκολον νεῦσαι μόνον, καὶ πάντα εἰς πέρας ἀγαγεῖν. ἐπειδὴ γὰρ περὶ βαρβάρων ὁ λόγος ἦν τῶν μελλόντων ἐπιστρατεύειν, μὴ νομίσητε, φησὶν, ὅτι τῆς ὁδοῦ μῆκος, καὶ τῆς ″στρατείας τὸ πλῆθος μέλλησιν τινὰ ποιεῖ, ἅπερ ἐπ' ἀνθρώπων ἔσεσθαι πέφυκε. τῷ γὰρ Θεῷ παρέστηκεν ὁ πόῤῥωθεν ὤν. οὕτως αὐτῷ ῥᾴδιον καὶ εὔκολον ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ ἐν ἀκαρειαίῳ, ἀπὸ τῶν ἐσχάτων τῆς γῆς, κἂν πλείους ὦσιν, ἀγαγεῖν εὐθέως καὶ ἐπιστῆσαι. καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. μάρτυρας τίνος; τοῦ χρόνου· ἵνα κἂν τὰ γράμματα συκοφαντῆται, οἱ ζῶντες ἄνθρωποι καὶ παρόντες ἡνίκα ἐγράφετο, καὶ τὸν χρόνον σαφῶς εἰδότες, πότε ταῦτα ἐλέγετο, δυνηθῶσιν ἐπιστομίζειν τοὺς ἀναισχυντεῖν ἐπιχειροῦντας. τῆς αὐτῆς ὑποθέσεως ἔχεται καὶ τὸ ἑξῆς, σαφέστερον ἐπάγον τὸν ἔλεγχον. πῶς καὶ τίνι τρόπῳ, τῶν ῥημάτων αὐτῶν ἀκούσωμεν. προσῆλθε γάρ, φησι, πρὸς τὴν προφῆτιν. τὴν γυναῖκα τὴν ἰδίαν οὕτως ἐκάλεσεν ἴσως, διὰ τὸ καὶ αὐτὴν πνεύματος ἠξιῶσθαι προφητικοῦ. οὐ γὰρ ἐν ἀνδράσι τὰ τῶν χαρισμάτων εἱστήκει μόνον, ἀλλὰ καὶ εἰς τὸ γυναικεῖον διέβαινε φῦλον. οὐ γὰρ ὥσπερ ἐν ταῖς βιωτικαῖς χρείαις διῄρηται τὰ γένη, καὶ ἄλλα μὲν ἀνδρῶν, ἄλλα δὲ γυναικῶν τὰ ἐπιτηδεύματα, καὶ οὐκ ἂν δυνηθεῖεν τὰ ἀλλήλων ἀνταλλάξασθαι, οὕτω δὴ

Ἡσ. μη. δ.

ἴσ. στρατοῦ

καὶ ἐπὶ τῶν πνευματικῶν· ἀλλ' ἴσοι οἱ ἀγῶνες καὶ κοινοὶ οἱ στέφανοι. καὶ τοῦτο δὲ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ μετὰ ἀκριβείας ἴδοι τις ἂν, καὶ παρὰ πάντα τὸν βίον συμβαῖνον. Ταύτῃ τοίνυν ὁμιλήσας νόμῳ γάμου, κύειν παρεσκεύασε· καὶ ἐπειδὴ τὸ παιδίον ἐτέχθη, ἐπετίθεσαν αὐτῷ ὄνομα καινὸν καὶ παράδοξον, τὴν ἱστορίαν τῶν ἐσομένων ἔχον. Τί γάρ φησι; κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον· ἵνα κἂν τὰ γράμματα ἀπιστηθῇ τὰ ἐν τῷ τόμῳ κείμενα, ἡ προσηγορία τοῦ παιδίου τὴν ἱστορίαν τῶν ἐκβησομένων ἔχουσα, καὶ πρὸ τῆς ἐκβάσεως τῶν γινομένων τεθεῖσα, καὶ συνεχῶς παρὰ πάντα καλουμένη τὸν χρόνον, καὶ τῶν σφόδρα ἀναισχυντεῖν ἐπιχειρούντων ἀποῤῥάψῃ τὰ στόματα. ὅτι γὰρ οὐ μετὰ τὴν ἔκβασιν ἔπλασε ταῦτα ὁ προφήτης, ἀλλ' ἄνωθεν αὐτὰ προεῖδε, καὶ οἱ σφόδρα ἀγνωμονεῖν ἐπιχειροῦντες ἠδύναντο πείθεσθαι, οἱ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ τὸ παιδίον ὁρῶντες καλούμενον, καὶ τὴν διδασκαλίαν τῶν ἐσομένων συμφορῶν ἀνακηρύττον. διά τοι τοῦτο καὶ ἑρμηνεύει τῆς προφητείας τὴν δύναμιν, καὶ τὸν χρόνον ἐπισημαίνεται μετὰ ἀκριβείας, οὕτω λέγων·

4 Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ασσυρίων.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐν τῷ χρόνῳ, φησὶ, τῆς ἡλικίας τῆς ἀώρου, καὶ μηδέπω φθέγγεσθαι δυναμένης, τὰ τῆς νίκης ἔσται καὶ τῶν τροπαίων, οὐχ ὡς τοῦ παιδίου δυναμένου παρατάξασθαι, καὶ καθελεῖν τοὺς πολεμίους, ἀλλ' ὡς τῆς ἡλικίας ἐκείνης, τουτέστι, τοῦ χρόνου τοῦ πρὸ τῆς τοῦ παιδίου διαλέξεως παραδιδόντος ἅπαντα τοῖς πολεμίοις.

5 Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι.

6 Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῆ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ρασὶν, καὶ τὸν υἱὸν τοῦ Ρωμελίου βασιλέα ἐφ' ὑμῶν,

7 Διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα Ασσυρίων.

Ὅπερ ἔθος ἐστὶ τῷ Θεῷ, μὴ μόνον τὰς τιμωρίας προλέγειν, ἀλλὰ καὶ τὰς αἰτίας τιθέναι, ὥστε καὶ ταύτῃ παιδεῦσαι τοὺς ἀκούοντας, τοῦτο δὲ ἐνταῦθα ποιεῖ. Εἰπὼν γὰρ τὴν τῶν ἀλλοφύλων διανομὴν, καὶ τὰ σκῦλα, καὶ προλέγων καὶ τὴν τῶν βαρβάρων ἔφοδον, λέγει καὶ τὴν αἰτίαν τοῦ πολέμου. τίς δέ ἐστιν αὕτη; ἡ ἀγνωμοσύνη τῶν τὴν πόλιν οἰκούντων. ἐπεὶ γὰρ βασιλέα ἔχοντες, φησὶν, ἐπιεικῆ καὶ πρᾶον καὶ ἥμερον, ἀπεσκίρτησαν, καὶ τυράννων ἐπεθύμησαν, καὶ πρὸς ἀλλοτρίαν ἀρχὴν αὐτομολῆσαι ἠπείχθησαν, τὴν οἰκείαν εὐπραγίαν οὐ φέροντες, μετὰ πλείονος τῆς περιουσίας πληρώσω τὴν ἐπιθυμίαν αὐτῶν, βάρβαρόν τινα καὶ ἀνήμερον ἄγων ἄνθρωπον. κέχρηται δὲ μεταφορικῶς ταῖς λέξεσι, τό τε ἦθος τοῦ ἐγχωρίου δηλῶν βασιλέως, καὶ τὴν δύναμιν τοῦ βαρβάρου. ποιεῖ δὲ αὐτὸ, ὅπερ ἔφην ἀεὶ, τὸν λόγον ἐμφαντικώτερον κατασκευάζων. Διὰ τοῦτό φησι, Διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς τὸ ὕδωρ τοῦ σιλωὰμ, οὐ περὶ ὕδατος λέγων· ἀλλ' ἐπειδὴ ἡ πηγὴ ἠρέμα καὶ ἀψοφητὶ πρόεισι, τὸ ἀτάρακτον καὶ ἐπιεικῆ τὸν τρόπον τοῦ τότε βασιλεύοντος τῇ ἠρέμῃ τῶν ὑδάτων διεξόδῳ παραβάλλει, καὶ σιλωὰμ αὐτὸν καλεῖ, διὰ τὸ ἀνεπαχθὲς καὶ ἤρεμον· ὃ μεγίστην φέρει τοῖς ἀρχομένοις κατηγορίαν, ὅτι μὴ βαρὺν ἔχοντες ζυγὸν, νεωτερίζειν ἐπεχείρουν, καὶ ἀλλοτρίοις ἑαυτοὺς διδόναι βασιλεῦσι. ἐπεὶ οὖν οὐ βούλονται, φησὶ, τὸν ἥμερον καὶ ἐπιεικῆ, ἀλλὰ τὸν Ρασὶν καὶ τὸν υἱὸν τοῦ Ρωμελίου, ἐπάγω, φησὶ, τὸν Βαβυλώνιον· καὶ τὸ ῥαγδαῖον αὐτοῦ τῆς στρατιᾶς, ὕδωρ ποταμοῦ φησι πολὺ καὶ ἰσχυρόν. Εἶτα ἑρμηνεύων τὴν μεταφοράν φησι, τὸν βασιλέα τῶν Ἀσσυρίων. ὁρᾷς πῶς ἀνεξάντλητος ὁ λόγος ὃ ἔμπροσθεν ἡμῖν λεχθεὶς φαίνεται, ὅτι πανταχοῦ ἐν ταῖς μεταφοραῖς ἑαυτὴν ἑρμηνεύειν εἴωθεν ἡ γραφή· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. Εἰποῦσα γὰρ ποταμὸν, οὐκ ἐναπέμεινε τῇ μεταφορᾷ, ἀλλ' εἶπε, τίνα φησὶ ποταμὸν, τὸν βασιλέα τῶν Ἀσσυρίων,

Καὶ πᾶσαν τὴν δόξαν αὐτοῦ. καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν,

8 Καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου.

Δείκνυσιν ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλ' ὀργῇ θεηλάτῳ συμβήσεται τὰ λεγόμενα, οὐχ ὡς πολέμιον αὐτὸν παραταττόμενον ὑπογράφει, ἀλλ' ὡς ἐπὶ παρεσκευασμένην ἁρπαγὴν ἥκοντα. οὐ γὰρ στήσεται, φησὶ, καὶ παρατάξεται, ἀλλὰ τῷ πλήθει τῶν σωμάτων καλύψει τῆς γῆς τὴν ὄψιν, καὶ μετ' εὐκολίας περιέσται. Εἶτα καὶ ἐν τῇ ὀργῇ πολὺ τὸ τῆς φιλανθρωπίας. οὐ γὰρ ἀνασπάσεσθαι αὐτῶν τὴν πόλιν ἀπειλεῖ, ἀλλ' αἰχμαλωσίαν τινὰ καὶ ἀπαγωγὴν προλέγει, τοὺς λειπομένους βουλόμενος τῇ τῶν ληφθέντων τιμωρίᾳ σωφρονεστέρους ποιῆσαι. ἀφελεῖ γὰρ ἀπὸ τῆς Ἰουδαίας, φησὶν, ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, τοὺς ἐν δυναστείᾳ φησὶ, τοὺς πάντα ἄγοντας καὶ ″φέρεσθαι, τοὺς τῷ πλήθει λυμαινομένους, αἰχμαλώτους ποιήσει καὶ δούλους· ὥστε τότε τοὺς καταδεεστέρους ἀναπνεῦσαι μικρὸν, καὶ τῷ φόβῳ τῶν ἀπαχθέντων, καὶ τῆς οἰκείας ἐλευθερίας ἀδείᾳ γενέσθαι βελτίους. Διὰ τοῦτό φησι, δυνατὸν συντελέσασθαί τι, τουτέστι, τὸν ἰσχυρὸν, τὸν ἐνεργεῖν δυνάμενον, τὸν ὁπωσοῦν πρᾶξαι ἰσχύοντα. καὶ περὶ τῆς ἀπαγωγῆς δὲ, δι' αὐτῆς τῆς ὄψεως ἱκανῶς ὑμᾶς καταπλήξει, φησὶν, ὁ βάρβαρος, πᾶσαν τὴν γῆν πληρῶν τῶν βαρβαρικῶν σωμάτων. διὰ τοῦτο ἐπήγαγε· καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου.

ἴσ. φέροντας.

Μεθ' ἡμῶν ὁ Θεός· 9 Γνῶτε ἔθνη, καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ ἰσχύοντες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε·

10 Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός. Ἐμοὶ δοκεῖ τὴν τοῦ Ἐζεκίου νίκην ἐνταῦθα προλέγειν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον καὶ τῆς νίκης αὐτῆς τὴν αἰτίαν. Εἰ γὰρ καὶ ὅπλα παρ' ἐκείνοις, φησὶ, καὶ στρατόπεδα ἄπειρα, καὶ ἐμπειρία πολεμικὴ, ἀλλ' ἡ πάντων δυνατωτέρα συμμαχία μεθ' ἡμῶν, τουτέστιν ὁ Θεός. ἦλθε μὲν γὰρ ὁ βάρβαρος, καθὼς ἠπείλησεν ἔμπροσθεν, καὶ πολλὰς λαβὼν πόλεις ἀπῆλθε. μετὰ δὲ ταῦτα ἐπιστρατεύσας, τἀναντία ἔπαθε. καὶ ταῦτα τοίνυν ὁ προφήτης προλέγει, καὶ τὸν τῆς νίκης αἴτιον ἀνακηρύττει, καὶ πρὸς αὐτοὺς τοὺς βαρβάρους ἀποτείνει τὸν λόγον. μὴ γὰρ δὴ τῇ προτέρᾳ νίκῃ θαρρήσητε, φησίν. ἐν γὰρ τῇ νῦν ἐφόδῳ μεγίστη παρ' ἡμῖν ἡ συμμαχία. γνῶτε τοίνυν τοῦτο αὐτὸ, καὶ ἀπόστητε, ὡς ἀδυνάτοις ἐπιχειροῦντες. Εἶτα τὸν αἴτιον τῆς νίκης ἐκείνης ἐμφαίνων, καὶ ὅτι πρὸς τὰς ἐσχατιὰς ἀφίξεται τῆς γῆς ἡ φήμη τὰ κατορθώματα φέρουσα, φησίν· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. οὐδεὶς γὰρ ἀνήκοος τῶν τότε συμβάντων ἐν Ἱεροσολύμοις γέγονε. διὰ τοῦτό φησιν, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ οἱ ἰσχύοντες ἡττᾶσθε. μεγάλην

γὰρ ἐπὶ ῥώμῃ δόξαν ὁ βάρβαρος τότε ἐκέκλητο. ἰσχυροὺς δὲ ἐνταῦθα οὐ τοὺς ἐν τῇ τοῦ σώματος εὐεξίᾳ μεγάλους φησὶν, ἀλλὰ καὶ τοὺς ἐν τῇ τῶν χρημάτων περιουσίᾳ, καὶ τῇ τῆς δόξης περιφανείᾳ. ἐὰν γὰρ πάλιν ἰσχύσητε, φησὶ, πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει Κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός. ἐπειδὴ πονηρὰ πρὸς αὐτοῖς ἦν βουλεύματα, καὶ προσεδόκων τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνασπᾶσθαι, καὶ οὕτως οἴκαδε ἀπελεύσεσθαι, καὶ τὰ βουλεύματα αὐτῶν ὁ προφήτης εἰς μέσον ἄγει, καί φησι, μέχρι τῶν ῥημάτων ἄπολυτα στήσεται. Εἶτα ἐπειδὴ πράγματα ἀπήγγειλε φύσιν ἀνθρωπίνην ὑπερβαίνοντα, ἀξιόπιστον ποιῶν τὸν λόγον, ἐπὶ τὸ ἀξίωμα τοῦ κατορθοῦντος καταφεύγει συνεχῶς, λέγων, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ὅτι αὐτὸς ἄπολυτα ταῦτα διασκεδάσει τὰ μηχανήματα.

** λείπει **

MVSEVM BRITANNICVM

Errata typographica, quanquam omnia pene leuiſſima, ne quid more *typographorum noſtri temporis diſſimulaſſe videamur, ſic reſtitue. Prior numerus paginam indicat, poſterior lineam.*

IN GENESIM.

Pag. 1. *l.* 36. *lege* τῆς ἀλόγ. 4. 13. *poſt* δοῦλοι *pone colon.* 6. 33. πλεῖον. 20. 43. εἶδεν. 23. 40. *poſt* γνώμῃσι *dele comma.* 42. 11. περὶ. 71. 17. & 18. *pro* διε, φύ *lege* διε-φύ. *p. ead.* 19. ἐρραβδίσθω. 89. 41. *poſt* πνὸς *pone comma.* 92. 22. καλοπιδίσαντας. 97. 8. *poſt* κράτος *pone comma.* 159. 37. τοῦ δικ. 203. 9. εὐχαριστεῖν. 208. 31. *poſt* ἀπόλλυσι, & 32. *poſt* κατακλυσμὸν *deletis plenis diſtinctionib. ſubſtituantur notæ parentheſeos, vt melius fluat ſententia.* 231. 18. αὐτῷ φησ. 235. 15. τὸν ἀγῶνα. 245. 34. φρονῇ. 248. 27. *poſt* Ἰσαὰκ *pone interrogationis notam.* 251. 40. ἐδυσχέρ. 267. 8. παραρρίπτ. 274. 5. *poſt* ἀβραὰμ & *l.* 6. *poſt* αὐτοῦ *pone commata.* 275. 21. μέρους. 30. 16. *ante* καὶ πυγ. *inſere* καὶ κριὸν πεντήκοντα. 301. 31. & 37. & 302. 5. & 7. *pro* γραφεὶς *lege* ταφείς. 305. 14. *poſt* εἰπὼν & σκεπάσματα *pro notis parentheſeos repone commata.* 312. 16. ἀντιποιήσ. *ib.* 22. *poſt* συγγνώμην *pone comma.* 329. 16. ποιήσ. 360. 40. ἐρῶ. 364. 8. εἰσελθοῦσα. & *l.* 19. ἀνεπαισθήτως. 371. 40. δίδραχμα. & *ſic pag. ſeq. bis.* 390. 34. πυθομένου. 392. 13. ἐφθεγξάμην. 429. 43. ἐρράβδ. 486. 3. τυμβωρύχων. 488. 12. πάντα. 505. 4. θείων.

IN PSALMOS.

Pag. 547. 31. *poſt* ἑαυτοῦ *pone notam interrogationis.* 549. 3. ἓν. 560. 34. ἐχθρόν. 576. 24. καταλῦσαι. 577. 39. ἴχνος. 611. 37. χεῖρα. 617. 33. βιβλία. 620. 27. *pro* καὶ *lege* γὰρ. 645. 34. *poſt* λέγῃ *repone colon.* 675. 27. ἐνθεῦθεν. 679. 17. ἤρξαντο. 685. 36. χελιδὼν ἀχεῖ. 696. 24. γίνηται. 697. 1. βρέχων. 702. 42. ἐνδεῶν. 709. 3. *ante* ξέσον *pone comma.* 729. 2. *poſt* Χειρὸν *plena diſtinctio collocanda.* 740. 3. παρατηρήσῃς. 746. 7. *poſt* ζῆν *plena diſtinctio.* 755. 21. *poſt* μνεία *pone notam interrogationis.* 769. 33. *poſt* ἄνθρωπος *dele notam interrogationis.* 781. 20. *pro* ἀνε *reſcribe* ἀνόδου. 792. 3. *poſt* ἐξαντελιζόντων *plena diſtinctio.* 816. 41. *poſt* σπουδῆς *pone comma.* 820. 9. *in marg. pro* στιρ. *repone* ἐκκλ. 837. 20. ἄλλοις. 858. 41. *in marg. pro* στιρ. *pone* ἐκκλ. 864. 14. εὐδοκίαις. 869. 26. *poſt* περιφερ. *pone comma.* 905. 13. πρεσβύτεροι. 907. 12. αἰνεσάτωσαν. 917. 28. πρῶτον. 924. 21. αἰχμαλωσίᾳ. 925. 11. *inter* αὐτὸν & τοῦ *pone comma.* 938. 30. εὐϊλατεύοντα. 940. 18. *poſt* δῶμα *deeſt* ἡ. 942. 30. *poſt* οὕτως *deeſt* τοῦ αἰῶνος. *ibid.* 43. κρείττονι. 949. 33. ἐξαριθμήσομαι. 950. 31. χεῖραν. 955. 28. *poſt* ἐπιμελήθη *plena diſtinctio.* 995. 20. *poſt* κηρύξαι *dele plenam diſtinctionem.* 1014. 9. ἐγγισάτω.

IN ESAIAM.

Pag. 1622. 3. & 4. προσκαλέσεται. 1050. 35. *poſt* σημεῖαν, *dele notam interrogationis, & repone comma.* 1052. 21. καθίσωσιν.

ETONÆ,
Excuſum in Collegio Regali.
MDCX.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
Πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ
εὑρισκομένων

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

ETONÆ, *in Collegio Regali*,
Excudebat *Joannes Norton*, in Græcis, &c.
Regius Typographus.
1610.

MVSEVM
BRITAN
NICVM

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ὁμιλία α.

ΕΔΕΙ μὲν ἡμᾶς μηδὲ δεῖσθαι τῆς ἀπὸ τῶν γραμμάτων βοηθείας, ἀλλ' οὕτω βίον παρέχεσθαι καθαρὸν, ὡς τὴν τοῦ πνεύματος τὴν χάριν ἀντὶ βιβλίων γίνεσθαι ταῖς ἡμετέραις ψυχαῖς· καὶ καθάπερ ταῦτα διὰ μέλανος, οὕτω τὰς καρδίας τὰς ἡμετέρας διὰ πνεύματος ἐγγεγράφθαι. ἐπειδὴ δὲ ταύτην διεκρουσάμεθα τὴν χάριν, "φέρε κἂν τὸν δεύτερον ἀσπασώμεθα πλοῦν. ἐπεὶ ὅτι τὸ πρότερον ἄμεινον *, καὶ δι' ὧν εἶπε, καὶ δι' ὧν ἐποίησεν, ἐδήλωσεν ὁ Θεός. καὶ γὰρ τῷ Νῶε, καὶ τῷ Ἀβραὰμ καὶ τοῖς "ἐκγόνοις τοῖς ἐκείνου, καὶ τῷ Ἰὼβ, καὶ τῷ Μωϋσεῖ * οὐ διὰ γραμμάτων διελέγετο, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, καθαρὰν εὑρίσκων αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ δὲ εἰς αὐτὸν τῆς κακίας ἐνέπεσε τὸν πυθμένα ἅπας τῶν Ἑβραίων ὁ δῆμος, "ἀναγκαίως λοιπὸν γράμματα καὶ πλάκες, καὶ ἡ διὰ τούτων ὑπόμνησις. καὶ τοῦτο οὐκ ἐπὶ τῶν ἐν τῇ παλαιᾷ ἁγίων [μόνον], ἀλλὰ καὶ ἐπὶ τῶν ἐν τῇ καινῇ συμβὰν ἴδοι τις ἄν. οὐδὲ γὰρ τοῖς ἀποστόλοις ἔδωκέ τι γραπτὸν ὁ Θεὸς, ἀλλ' ἀντὶ γραμμάτων τὴν τοῦ πνεύματος ἐπηγγείλατο δώσειν χάριν. Ἐκεῖνος γὰρ ὑμᾶς ἀναμνήσει, φησὶ, πάντα. Ιω. ιδ. κϛ. καὶ ἵνα μάθῃς ὅτι τοῦτο πολὺ ἄμεινον ἦν, ἄκουσον διὰ τοῦ προφήτου τί φησι· Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ Ιερ. λα. λα. καρδίας αὐτῶν γράψω αὐτοὺς, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. καὶ ὁ Παῦλος δὲ ταύτην ἐνδεικνύ- β. Κορ. γ. γ. μενος τὴν ὑπεροχὴν, ἔλεγεν εἰληφέναι νόμον, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. ἐπειδὴ δὲ * τοῦ χρόνου προϊόντος ἐξώκειλαν, οἱ μὲν δογμάτων ἕνεκεν, οἱ δὲ βίου καὶ τρόπων, ἐδέησε πάλιν τῆς ἀπὸ τῶν γραμμάτων ὑπομνήσεως. ἐννόησον οὖν ἡλίκον ἐστὶ κακὸν, τοὺς οὕτως ὀφείλοντας ζῆν καθαρῶς ὡς μηδὲ δεῖσθαι γραμμάτων, ἀλλ' ἀντὶ "βιβλίων παρέχειν τὰς καρδίας τῷ πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ἐκείνην, καὶ κατέστημεν εἰς τὴν τούτων χρείαν, μηδὲ τῷ δευτέρῳ πάλιν κεχρῆσθαι φαρμάκῳ εἰς δέον. εἰ γὰρ ἔγκλημα, τὸ γραμμάτων δεηθῆναι, καὶ μὴ τὴν τοῦ πνεύματος ἐπισπάσασθαι χάριν, σκόπησον ἡλίκη κατηγορία, τὸ μηδὲ μετὰ τὴν βοήθειαν ταύτην ἐθέλειν κερδαίνειν, ἀλλ' ὡς εἰκῇ καὶ μάτην κείμενα τὰ γράμματα περιορᾶν, καὶ μείζονα ἐπισπάσασθαι τὴν κόλασιν. ὅπερ ἵνα μὴ γίνηται, προσέχωμεν μετ' ἀκριβείας τοῖς γεγραμμένοις, καὶ μάθωμεν πῶς μὲν ὁ παλαιὸς ἐδόθη νόμος, πῶς δὲ * ἡ καινὴ διαθήκη. πῶς οὖν ὁ νόμος ἐκεῖνος ἐδόθη τότε, καὶ πότε, καὶ ποῦ; μετὰ τὸν τῶν Αἰγυπτίων ὄλεθρον, ἐπὶ τῆς ἐρήμου, ἐν τῷ ὄρει Σινᾶ [καὶ τοῦ] καπνοῦ καὶ [τοῦ] πυρὸς ἀνιόντος ἀπὸ τοῦ ὄρους, σάλπιγγος ἠχούσης, βροντῶν καὶ ἀστραπῶν γινομένων, τοῦ Μωϋσέως εἰς αὐτὸν εἰσιόντος τὸν γνόφον. ἐν τῇ καινῇ δὲ, οὐχ οὕτως. οὔτε γὰρ ἐν ἐρήμῳ, οὔτε ἐν ὄρει, οὔτε μετὰ καπνοῦ καὶ σκότους καὶ γνόφου καὶ θυέλλης, ἀλλ' ἀρχομένης ἡμέρας, ἐν οἰκίᾳ πάντων συγκαθημένων, μετὰ πολλῆς τῆς ἡμερότητος πάντα "ἐγίνετο. τοῖς μὲν γὰρ ἀλογωτέροις καὶ δυσηνίοις σωματικῆς ἔδει φαντασίας, οἷον ἐρημίας, ὄρους, καπνοῦ, σάλπιγγος ἠχῆς, καὶ τῶν ἄλλων * τοιούτων· τοῖς δὲ ὑψηλοτέροις καὶ καταπειθέσι καὶ τὴν τῶν σωματικῶν ἔννοιαν ὑπερβεβηκόσιν, οὐδενὸς ἦν τούτων χρεία. εἰ δὲ καὶ ἐπ' αὐτῶν ἦχος ἐγένετο, οὐ διὰ τοὺς ἀποστόλους, ἀλλὰ διὰ τοὺς παρόντας Ἰουδαίους, δι' οὓς καὶ "αἱ τοῦ πυρὸς ὤφθησαν γλῶσσαι. εἰ γὰρ καὶ μετὰ " τούτων ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσί, πολλῷ μᾶλλον, εἰ μηδὲν τούτων εἶδον, ταῦτα ἂν εἶπον. καὶ ἐπὶ μὲν τῆς παλαιᾶς Μωϋσέως ἀναβάντος, οὕτως ὁ Θεὸς κατέβη· ἐνταῦθα δὲ τῆς φύσεως τῆς ἡμετέρας εἰς τὸν οὐρανὸν, μᾶλλον δὲ εἰς τὸν θρόνον τὸν βασιλικὸν ἀνενεχθείσης, οὕτω τὸ πνεῦμα "κατῄει. εἰ δὲ τὸ πνεῦμα ἔλαττον, οὐκ ἂν μείζονα ἦν τὰ γινόμενα καὶ θαυμαστότερα. καὶ γὰρ αἱ πλάκες αὗται πολλῷ βελτίους ἐκείνων, καὶ τὰ κατορθώματα λαμπρότερα. οὐ γὰρ ἐξ ὄρους κατῄεσαν στήλας φέροντες λιθίνας ἐπὶ τῶν χειρῶν οἱ ἀπόστολοι, καθάπερ Μωϋσῆς, ἀλλὰ τὸ πνεῦμα ἐν τῇ διανοίᾳ περιφέροντες, καὶ θησαυρόν τινα [καὶ] πηγὴν [καὶ] δογμάτων καὶ χαρισμάτων καὶ πάντων τῶν ἀγαθῶν ἀναβλύζοντες, οὕτω πανταχοῦ περιῄεσαν, βιβλία καὶ νόμοι * διὰ τῆς χάριτος ἔμψυχοι. οὕτω καὶ τοὺς τρισχιλίους, οὕτω καὶ τοὺς πεντακισχιλίους, οὕτω τοὺς τῆς οἰκουμένης ἐπεσπάσαντο δήμους, τοῦ Θεοῦ διὰ τῆς ἐκείνων γλώττης τοῖς προσιοῦσιν ἅπασι διαλεγομένου. ἀφ' οὗ καὶ ὁ Ματθαῖος τοῦ πνεύματος ἐμπλησθεὶς, ἔγραψεν, ἅπερ ἔγραψε, Ματθαῖος ὁ τελώνης. οὐ γὰρ "αἰσχύνομαι καλῶν αὐτὸν ἀπὸ τῆς τέχνης, οὔτε τοῦτον, οὔτε τοὺς ἄλλους. τοῦτο γὰρ μάλιστα δείκνυσι καὶ τὴν τοῦ πνεύματος χάριν, καὶ τὴν ἐκείνων ἀρετήν. εὐαγγέλιον δὲ αὐτοῦ τὴν πραγματείαν εἰκότως ἐκάλεσε. καὶ γὰρ κολάσεως ἀναίρεσιν, καὶ ἁμαρτημάτων λύσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ κληρονομίαν τῶν οὐρανῶν, καὶ συγγένειαν πρὸς τὸν υἱὸν τοῦ Θεοῦ πᾶσιν ἦλθεν ἀπαγγέλλων, τοῖς ἐχθροῖς, τοῖς ἀγνώμοσι, τοῖς ἐν σκότῳ * καθημένοις. Τί ποτ' οὖν ἴσον τῶν εὐαγγελίων τούτων γένοιτ' ἄν; Θεὸς ἐπὶ γῆς, ἄνθρωπος ἐν οὐρανῷ, καὶ πάντα ἀναμὶξ *, ἄγγελοι συνεχόρευον ἀνθρώποις, ἄνθρωποι τοῖς ἀγγέλοις ἐκοινώνουν καὶ ταῖς ἄλλαις ταῖς ἄνω δυνάμεσι. καὶ ἦν ἰδεῖν τὸν χρόνιον λυθέντα πόλεμον, καὶ καταλλαγὰς Θεοῦ πρὸς τὴν ἡμετέραν γεγενημένας φύσιν, διάβολον αἰσχυνόμενον, δαίμονας δραπετεύοντας, θάνατον δεδεμένον, παράδεισον ἀνοιγόμενον, κατάραν ἠφανισμένην, ἁμαρτίαν ἐκποδὼν γεγενημένην, πλάνην ἀπεληλαμένην, ἀλήθειαν ἐπανελθοῦσαν, τῆς εὐσεβείας τὸν λόγον πανταχοῦ κατασπειρόμενον καὶ κομῶντα, τὴν τῶν ἄνω πολιτείαν ἐπὶ τῆς γῆς πεφυτευμένην, μετὰ ἀδείας τὰς δυνάμεις ἐκείνας ὁμιλούσας ἡμῖν, καὶ τῇ γῇ συνεχῶς ἀγγέλους ἐπιχωριάζοντας, καὶ πολλὴν ὑπὲρ τῶν μελλόντων τὴν ἐλπίδα οὖσαν. διὰ τοῦτο εὐαγγέλιον τὴν ἱστορίαν ἐκάλεσεν· ὡς τά γε ἄλλα πάντα, ῥήματα μόνον ἐστὶ πραγμάτων ἔρημα, οἷον χρημάτων περιουσία, δυναστείας μέγεθος, καὶ ἀρχαὶ καὶ δόξαι καὶ τιμαὶ, καὶ τὰ ἄλλα ὅσα παρὰ ἀνθρώποις ἀγαθὰ εἶναι νομίζεται· τὰ δὲ παρὰ τῶν ἁλιέων "ἀπαγγελθέντα, γνησίως τε καὶ κυρίως εὐαγγέλια ἂν καλοῖντο· οὐκ ἐπειδὴ βέβαια καὶ ἀκίνητα μόνον ἐστὶν ἀγαθὰ, καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας ἁπάσης ἡμῖν ἐδόθη. οὐδὲ γὰρ πονήσαντες καὶ ἱδρώσαντες, "οὐ καμόντες καὶ "ταλαιπωρηθέντες, ἀλλ' ἀγαπηθέντες παρὰ τοῦ Θεοῦ μόνον, ἐλάβομεν ἅπερ ἐλάβομεν. καὶ τί δήποτε, τοσούτων ὄντων τῶν μαθητῶν, δύο γράφουσιν ἐκ τῶν ἀποστόλων "μόνοι, καὶ δύο ἐκ τῶν τούτοις ἀκολούθων; (ὁ μὲν γὰρ Παύλου, ὁ δὲ Πέτρου μαθητὴς ὢν, μετὰ Ἰωάννου καὶ Ματθαίου τὰ εὐαγγέλια ἔγραψαν) ὅτι οὐδὲν πρὸς φιλοτιμίαν ἐποίουν, ἀλλὰ πάντα πρὸς χρείαν.

* καὶ
γρ. ἐγένετο
* τῶν
γρ. αὐτοῦ
γρ. τούτων
γρ. κατῄει
* γινόμενοι
γρ. ἐπαισχ.
* καὶ σκιᾷ
* ἐγένετο
γρ. ἐπαγγ.
γρ. οὐ κάμνοντες
γρ. ταλαιπωρήσαντες
γρ. ἔλαβον
περ ἔλαβον
γρ. μόνοι

χρείαν. τί οὖν; οὐκ ἤρκει εἷς εὐαγγελιστὴς πάντα εἰπεῖν; ἤρκει μέν· ἀλλὰ κἂν τέσσαρες οἱ γράφοντες ὦσι, μήτε κατὰ τοὺς αὐτοὺς καιρούς, μήτε ἐν τοῖς αὐτοῖς τόποις, μήτε συνελθόντες καὶ διαλεχθέντες ἀλλήλοις, εἶτα ὥσπερ ἀφ' ἑνὸς στόματος πάντα φθέγγωνται, μεγίστη τῆς ἀληθείας ἀπόδειξις τοῦτο γίνεται. καὶ μὴν τοὐναντίον συνέβη, φησί. πολλαχοῦ γὰρ διαφωνοῦντες ἐλέγχονται. αὐτὸ μὲν οὖν τοῦτο μέγιστον δεῖγμα τῆς ἀληθείας ἐστίν. εἰ γὰρ πάντα συνεφώνησαν μετὰ ἀκριβείας, καὶ μέχρι καιροῦ, καὶ μέχρι τόπου, καὶ μέχρι ῥημάτων αὐτῶν, οὐδεὶς ἂν ἐπίστευσε τῶν ἐχθρῶν, ὅτι μὴ συνελθόντες ἀπὸ συνθήκης τινὸς ἀνθρωπίνης ἔγραψαν, ἅπερ ἔγραψαν. οὐ γὰρ εἶναι τῆς ἁπλότητος τὴν τοσαύτην συμφωνίαν. νυνὶ δὲ καὶ ἡ δοκοῦσα ἐν μικροῖς εἶναι διαφωνία, πάσης ἀπαλλάττει αὐτοὺς ὑποψίας, καὶ λαμπρῶς ὑπὲρ τοῦ τρόπου τῶν γραψάντων ἀπολογεῖται. εἰ δέ τι περὶ καιρῶν ἢ τόπων διαφόρως ἀπήγγειλαν, τοῦτο οὐδὲν βλάπτει τῶν εἰρημένων τὴν ἀλήθειαν. καὶ ταῦτα δέ, ὡς ἂν ὁ Θεὸς παρέχῃ, πειρασόμεθα προϊόντες ἀποδεῖξαι· ἐκεῖνο μετὰ τῶν εἰρημένων ἀξιοῦντες ὑμᾶς παρατηρεῖν, ὅτι ἐν τοῖς κεφαλαίοις καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν καὶ τὸ κήρυγμα συγκροτοῦσιν, οὐδαμοῦ τις αὐτῶν οὐδὲ μικρὸν διαφωνήσας εὑρίσκεται. τίνα δὲ ταῦτά ἐστιν; οἷον, ὅτι ὁ Θεὸς ἄνθρωπος ἐγένετο, ὅτι θαύματα ἐποίησεν, ὅτι ἐσταυρώθη, ὅτι ἐτάφη, ὅτι ἀνέστη, ὅτι ἀνῆλθεν, ὅτι μέλλει κρίνειν, ὅτι ἔδωκε σωτηριώδεις ἐντολάς, ὅτι οὐκ ἐναντίον τῇ παλαιᾷ νόμον εἰσήνεγκεν, ὅτι υἱός, ὅτι μονογενής, ὅτι γνήσιος, ὅτι τῆς αὐτῆς οὐσίας τῷ πατρί, καὶ ὅσα τοιαῦτα. περὶ γὰρ ταῦτα πολλὴν εὑρήσομεν οὖσαν * αὐτοῖς συμφωνίαν. εἰ δὲ ἐν τοῖς θαύμασι μὴ πάντες πάντα εἶπον, ἀλλ' ὁ μὲν ταῦτα, ὁ δὲ ἐκεῖνα, τοῦτό σε μὴ θορυβείτω. εἴτε γὰρ εἷς πάντα εἶπε, περιττὸς ἦν ὁ τῶν λοιπῶν ἀριθμός· εἴτε πάντες ἐξηλλαγμένα καὶ καινὰ πρὸς ἀλλήλους ἔγραψαν, οὐκ ἂν ἐφάνη τῆς συμφωνίας ἡ ἀπόδειξις. διὰ τοῦτο καὶ κοινῇ πολλὰ διελέχθησαν, καὶ ἕκαστος αὐτῶν ἴδιόν τι λαβὼν εἶπεν, ἵνα μήτε περιττὸς εἶναι δόξῃ καὶ παρερρίφθαι ἁπλῶς, καὶ τῆς ἀληθείας τῶν λεγομένων ἀκριβῆ παράσχηται τὴν βάσανον ἡμῖν. ὁ μὲν οὖν Λουκᾶς καὶ τὴν αἰτίαν φησί, δι' ἣν ἐπὶ τὸ γράφειν ἔρχεται. Ἵνα ἔχῃς γάρ, φησι, περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν· τουτέστιν, ἵνα συνεχῶς ὑπομιμνησκόμενος, τὴν ἀσφάλειαν ἔχῃς, καὶ ἐν ἀσφαλείᾳ μένῃς. ὁ δὲ Ἰωάννης, αὐτὸς μὲν ἐσίγησε τὴν αἰτίαν· ὡς δὲ λόγος ἔχει ἄνωθεν * ἐκ πατέρων εἰς ἡμᾶς καταβάς, οὐδὲ αὐτὸς ἁπλῶς ἐπὶ τὸ γράφειν ἦλθεν, ἀλλ' ἐπειδὴ τοῖς τρισὶν ἡ σπουδὴ γέγονε τῷ τῆς οἰκονομίας ἐνδιατρῖψαι λόγῳ, καὶ τὰ τῆς θεότητος ἐκινδύνευεν ἀποσιωπᾶσθαι δόγματα, τοῦ Χριστοῦ κινήσαντος αὐτὸν λοιπόν, οὕτως ἦλθεν ἐπὶ τὴν εὐαγγελικὴν συγγραφήν. καὶ τοῦτο δῆλον καὶ ἐξ αὐτῆς τῆς ἱστορίας, καὶ τῶν τοῦ εὐαγγελίου προοιμίων. οὐδὲ γὰρ ὁμοίως τοῖς λοιποῖς κάτωθεν ἄρχεται, ἀλλ' ἄνωθεν, πρὸς ὅπερ ἠπείγετο, καὶ διὰ τοῦτο τὸ πᾶν βιβλίον συνέθηκεν. οὐκ ἐν τοῖς προοιμίοις δὲ μόνον, ἀλλὰ καὶ διὰ παντὸς τοῦ εὐαγγελίου, τῶν ἄλλων ἐστὶν ὑψηλότερος. λέγεται δὲ καὶ Ματθαῖος, τῶν ἐξ Ἰουδαίων πιστευσάντων προσελθόντων αὐτῷ καὶ παρακαλεσάντων, ἅπερ εἶπε διὰ ῥημάτων, ταῦτα ἀφεῖναι διὰ γραμμάτων αὐτοῖς, καὶ τῇ τῶν Ἑβραίων φωνῇ συνθεῖναι τὸ εὐαγγέλιον· καὶ Μάρκος δὲ ἐν Αἰγύπτῳ, τῶν μαθητῶν παρακαλεσάντων αὐτόν, αὐτὸ τοῦτο ποιῆσαι. διὰ δὴ τοῦτο ὁ μὲν Ματθαῖος, ἅτε Ἑβραίοις γράφων, οὐδὲν πλέον ἐζήτησε δεῖξαι, ἢ ὅτι ἀπὸ Ἀβραὰμ καὶ Δαβὶδ ἦν· ὁ δὲ Λουκᾶς, ἅτε κοινῇ πᾶσι διαλεγόμενος, * ἀνωτέρω τὸν λόγον ἀνάγει, μέχρι τοῦ Ἀδὰμ προϊών. καὶ ὁ μὲν ἀπὸ τῆς γενέσεως ἄρχεται. (οὐδὲν γὰρ οὕτως ἀνέπαυε τὸν Ἰουδαῖον, ὡς τὸ μαθεῖν αὐτόν, ὅτι τοῦ Ἀβραὰμ καὶ Δαβὶδ ἔκγονος ἦν ὁ Χριστός) ὁ δὲ οὐχ οὕτως, ἀλλ' ἑτέρων πλειόνων μέμνηται πραγμάτων, καὶ τότε ἐπὶ τὴν γενεαλογίαν πρόεισι. τὴν δὲ συμφωνίαν αὐτῶν καὶ ἀπὸ τῆς οἰκουμένης παραστήσομεν τῆς δεξαμένης τὰ εἰρημένα, καὶ ἀπ' αὐτῶν τῶν τῆς ἀληθείας ἐχθρῶν. καὶ γὰρ πολλαὶ μετ' ἐκείνους αἱρέσεις ἐτέχθησαν, ἐναντία δοξάζουσαι τοῖς εἰρημένοις. καὶ αἱ μὲν πάντα κατεδέξαντο τὰ λεχθέντα, αἱ δὲ μέρη τῶν εἰρημένων ἀποκόψασαι τῶν λοιπῶν, οὕτω παρ' ἑαυτοῖς ἔχουσιν. εἰ δὲ μάχη τις ἦν ἐν τοῖς εἰρη-

Luc. 1. a.

ὅτι παρατηρεῖ

φαίνεται.

πάντα

μήτε

σιν,

γονος

μένοις, οὔτ' ἂν αἱ τἀναντία λέγουσαι ἅπαντα ἂν ἐδέξαντο, ἀλλὰ μέρος τὸ δοκοῦν αὐταῖς συνᾴδειν· οὔτ' ἂν αἱ μέρος ἀπολαβοῦσαι διελέγχθησαν ἀπὸ τοῦ μέρους, ὡς μηδὲ τὰ κόμματα αὐτὰ λανθάνειν, ἀλλὰ βοᾶν τὴν πρὸς τὸ ὅλον σῶμα συγγένειαν. Καὶ καθάπερ ἂν ἀπὸ πλευρᾶς λάβῃς τι μέρος, κἀν ἐκείνῳ τῷ μέρει τὰ πάντα εὑρήσεις, ἀφ' ὧν τὸ ὅλον ζῶον συνέστηκε, καὶ νεῦρα, καὶ φλέβας, καὶ ὀστᾶ, καὶ ἀρτηρίας, καὶ αἷμα, καὶ ὁλοκλήρου, ὡς ἂν εἴποι τις, τοῦ φυράματος δεῖγμα· οὕτω καὶ ἐπὶ τῶν γραφῶν ἔστιν ἰδεῖν, ἐν ἑκάστῳ τῶν εἰρημένων μέρει τὴν τοῦ παντὸς συγγένειαν διαφαινομένην. Εἰ δὲ διεφώνουν, οὔτ' ἂν τοσοῦτον ἐδέχθη, καὶ αὐτὸ πάλαι ἂν διελύθη τὸ δόγμα. Πᾶσα γὰρ βασιλεία, φησὶν, ἐφ' ἑαυτὴν μερισθεῖσα, οὐ σταθήσεται. Νῦν δὲ κἂν τούτῳ τοῦ πνεύματος ἡ ἰσχὺς λάμπει, πείσασα τοὺς ἀνθρώπους περὶ τὰ ἀναγκαιότερα καὶ κατεπείγοντα γενομένους, μηδὲν ἀπὸ τῶν μικρῶν τούτων παραβλάπτεσθαι. Ἔνθα μὲν οὖν ἕκαστος διατρίβων ἔγραψεν, οὐ σφόδρα ἡμῖν δυνατὸν διϊσχυρίσασθαι· ὅτι δὲ οὐ κατ' ἀλλήλων ἔστησαν, τοῦτο διὰ πάσης τῆς πραγματείας πειρασόμεθα ἀποδεῖξαι. Σὺ δὲ ταὐτὸν ποιεῖς, διαφωνίαν αἰτιώμενος, ὥσπερ ἂν εἰ καὶ ῥήματα τὰ αὐτὰ ἐκέλευες εἰπεῖν, καὶ τρόπους λέξεων. Καὶ οὔπω λέγω ὅτι καὶ οἱ μέγα ἐπὶ ῥητορικῇ καὶ φιλοσοφίᾳ κομπάζοντες, πολλοὶ πολλὰ βιβλία γράψαντες περὶ τῶν αὐτῶν πραγμάτων, οὐ μόνον ἁπλῶς διεφώνησαν, ἀλλὰ καὶ ἐναντίως ἀλλήλοις εἶπον (καὶ γὰρ ἕτερόν ἐστι διαφόρως εἰπεῖν, καὶ μαχομένους εἰπεῖν) ἀλλ' οὐδὲν τούτων λέγω· μή μοι γένοιτο ἐκ τῆς ἐκείνων παρανοίας συνθεῖναι τὴν ἀπολογίαν. Οὐδὲ γὰρ ἀπὸ τοῦ ψεύδους τὴν ἀλήθειαν συστήσασθαι βούλομαι. Ἀλλ' ἐκεῖνο ἡδέως ἂν ἐροίμην, πῶς ἐπιστεύθη τὰ διαφωνοῦντα, πῶς ἐκράτησε; πῶς ἐναντία λέγοντες ἐθαυμάζοντο, ἐπιστεύοντο, ἀνεκηρύττοντο πανταχοῦ τῆς οἰκουμένης; καίτοι πολλοὶ οἱ μάρτυρες τῶν λεγομένων ἦσαν, πολλοὶ δὲ καὶ οἱ ἐχθροὶ καὶ πολέμιοι. Οὐ γὰρ ἐν γωνίᾳ μιᾷ γράψαντες αὐτὰ κατώρυξαν, ἀλλὰ πανταχοῦ [τῆς] γῆς καὶ θαλάττης ἥπλωσαν ὑπὸ ταῖς πάντων ἀκοαῖς. Καὶ ἐχθρῶν παρόντων ταῦτα ἀνεγινώσκετο, καθάπερ καὶ νῦν· καὶ οὐδένα οὐδὲν τῶν εἰρημένων ἐσκανδάλισε· καὶ μάλα εἰκότως. Θεία γὰρ δύναμις ἦν ἡ πάντα ἐπιοῦσα καὶ κατορθοῦσα παρὰ πᾶσιν. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, πῶς ὁ τελώνης καὶ ὁ ἁλιεὺς καὶ ὁ ἀγράμματος τοιαῦτα ἐφιλοσόφει; ἃ γὰρ οὐδὲ ὄναρ οἱ ἔξωθεν φαντασθῆναι ἠδυνήθησάν ποτε, ταῦτα οὗτοι μετὰ πολλῆς τῆς πληροφορίας καὶ ἀπαγγέλλουσι καὶ πείθουσι· καὶ οὐχὶ ζῶντες μόνον, ἀλλὰ καὶ τελευτήσαντες· οὐδὲ δύο καὶ εἴκοσιν ἀνθρώπους, οὐδὲ ἑκατὸν καὶ χιλίους καὶ μυρίους, ἀλλὰ πόλεις καὶ ἔθνη καὶ δήμους, καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ τὴν οἰκουμένην καὶ τὴν ἀοίκητον, καὶ περὶ πραγμάτων σφόδρα τὴν ἡμετέραν ὑπερβαινόντων φύσιν. Τὴν γὰρ γῆν ἀφέντες, πάντα περὶ τῶν ἐν οὐρανοῖς διαλέγονται, ἑτέραν ἡμῖν ζωὴν εἰσάγοντες, καὶ βίον ἄλλον καὶ πλοῦτον, καὶ πενίαν· καὶ ἐλευθερίαν, καὶ δουλείαν· καὶ ζωὴν, καὶ θάνατον· καὶ κόσμον καὶ πολιτείαν, πάντα ἐξηλλαγμένα· οὐ καθάπερ Πλάτων ὁ τὴν καταγέλαστον ἐκείνην πολιτείαν συνθεὶς, καὶ Ζήνων, καὶ εἴ τις ἕτερος πολιτείαν συνέγραψεν, ἢ νόμους συνέθηκε. Καὶ γὰρ αὐτόθεν ἅπαντες ἐδείκνυντο οὗτοι, ὅτι πνεῦμα πονηρὸν, καὶ δαίμων τις ἄγριος πολεμῶν ἡμῶν τῇ φύσει, καὶ σωφροσύνης ἐχθρὸς, καὶ εὐταξίας πολέμιος, πάντα ἄνω καὶ κάτω ποιῶν, ἐνήχησεν αὐτοῦ τῇ ψυχῇ. Ὅταν γὰρ κοινὰς πᾶσι τὰς γυναῖκας ποιῶσι, καὶ παρθένους γυμνώσαντες ἐπὶ τῆς παλαίστρας ἄγωσιν ἐπὶ θέαν ἀνθρώπων, καὶ λαθραίους κατασκευάζωσι γάμους, πάντα ὁμοῦ πράγματα μιγνύντες καὶ συνταράττοντες, καὶ τοὺς ὅρους τῆς φύσεως ἀνατρέποντες, τί ἕτερόν ἐστιν εἰπεῖν; ὅτι γὰρ δαιμόνων ἐκεῖνα ἅπαντα εὑρήματα, καὶ παρὰ φύσιν τὰ λεγόμενα, καὶ αὐτὴ μαρτυρήσειεν ἂν ἡμῖν ἡ φύσις, οὐκ ἀναδεχομένη τῶν εἰρημένων· καὶ ταῦτα οὐ μετὰ διωγμῶν, οὐ μετὰ κινδύνων, οὐ μετὰ πολέμων, ἀλλὰ μετὰ ἀδείας καὶ ἐλευθερίας ἁπάσης γραφόντων, καὶ πολλοῖς πολλαχόθεν καλλωπιζόντων. Τὰ δὲ τῶν ἁλιέων ἐλαυνομένων, μαστιζομένων, κινδυνευόντων, καὶ ἰδιῶται καὶ σοφοὶ, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ βασιλεῖς καὶ στρατιῶται, καὶ βάρβαροι καὶ Ἕλληνες μετὰ πάσης ἐδέξαντο τῆς εὐνοίας. Καὶ οὐκ ἂν ἔχοις εἰπεῖν, ὅτι διὰ τὸ μικρὰ εἶναι ταῦτα καὶ χαμαίζηλα,

Λουκ. ια. ιζ.

γρ. εἴπῃ

γρ. ἐδέχθη,
γρ. ἑαυτῆς

γρ. δεῖ ἰσχυρίσασθαι.

γρ. πολλαχοῦ

γρ. ποιοῦσα

γρ. ἔγραψεν,

γρ. τὰς

γρ. χρήματα
γρ. συνταράττοντες,

γρ. πολλῶν

λα, "εὐπαράδεκτα γέγονεν ἅπασι. καὶ γὰρ πολλῷ ταῦτα ἐκείνων ὑψηλότερα. παρθενίας μὲν γὰρ ἐκεῖνοι οὐδὲ ὄναρ οὐδὲ ὄνομα ἐφαντάσθησαν, οὐδὲ ἀκτημοσύνης, οὐδὲ νηστείας, οὐδὲ τινος "ἄλλου τῶν ὑψηλῶν. οἱ δὲ παρ' ἡμῖν οὐκ ἐπιθυμίαν ἐξορίζουσι μόνον, οὐδὲ πρᾶξιν κολάζουσιν, ἀλλὰ καὶ ὄψιν ἀκόλαστον, καὶ ῥήματα ὑβριστικὰ, καὶ γέλωτα ἄτακτον, καὶ σχῆμα, καὶ βάδισμα, καὶ κραυγὴν, καὶ μέχρι τῶν μικροτάτων "παράγουσι τὴν * ἀκρίβειαν, καὶ τὴν οἰκουμένην ἅπασαν τῶν τῆς παρθενίας ἐνέπλησαν φυτῶν. καὶ περὶ Θεοῦ δὲ ταῦτα φιλοσοφεῖν πείθουσι, καὶ τῶν ἐν οὐρανοῖς πραγμάτων, ἃ μηδεὶς μηδέποτε ἐκείνων μηδὲ εἰς νοῦν λαβεῖν ἴσχυσε. πῶς γὰρ, οἱ κνωδάλων καὶ θηρίων χαμαὶ ἑρπόντων καὶ ἑτέρων ἀτιμοτέρων εἰκόνας θεοποιήσαντες; ἀλλ' ὅμως καὶ ἐδέχθη καὶ ἐπιστεύθη τὰ ὑψηλὰ ταῦτα δόγματα, καὶ καθ' ἑκάστην ἀνθεῖ τὴν ἡμέραν, καὶ ἐπιδίδωσι. τὰ δὲ ἐκείνων οἴχεται καὶ ἀπόλωλεν, ἀραχνίων "εὐκολώτερον ἀφανισθέντα. καὶ μάλα εἰκότως. δαίμονες γὰρ ταῦτα διηγόρευον. διὸ καὶ μετὰ τῆς ἀσελγείας καὶ πολὺν ἔχει τὸν ζόφον, καὶ πλέον "τὸ ἄτοπον. τί γὰρ ἂν γένοιτο καταγελαστότερον τῆς πολιτείας ἐκείνης, ἐν ᾗ μετὰ τῶν εἰρημένων μυρίους ἀναλώσας στίχους ὁ φιλόσοφος, ὥστε δυνηθῆναι δεῖξαι τί ποτέ ἐστι τὸ δίκαιον, μετὰ τῆς μακρηγορίας, καὶ ἀσαφείας πολλῆς τὰ εἰρημένα ἐνέπλησεν; ὅπερ εἰ καί τι συμφέρον εἶχε, σφόδρα ἄχρηστον ἔμελλεν εἶναι πρὸς τὸν τῶν ἀνθρώπων βίον. εἰ γὰρ ὁ γεωργὸς, καὶ ὁ χαλκοτύπος, καὶ ὁ οἰκοδόμος, καὶ ὁ κυβερνήτης, καὶ ἕκαστος ἀπὸ τῶν χειρῶν τρεφόμενος ἐργασίας, μέλλοι τῆς τέχνης μὲν ἀφίστασθαι καὶ τῶν δικαίων πόνων, "ἀναλίσκειν δὲ ἔτη τόσα καὶ τόσα, ὥστε μαθεῖν τί ποτέ ἐστι τὸ δίκαιον, καὶ πρὶν ἢ μαθεῖν, πολλάκις φθάσῃ λιμῷ διαφθαρεὶς, καὶ ἀπελεύσεται, διὰ τὸ δίκαιον τοῦτο, μήτε τῶν ἄλλων τῶν χρησίμων μηδὲν μαθὼν, καὶ βιαίῳ θανάτῳ καταλύσας τὸν βίον. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα. ἀλλὰ τὸ δίκαιον καὶ τὸ πρέπον καὶ τὸ συμφέρον καὶ πᾶσαν τὴν ἄλλην ἀρετὴν ἐν βραχέσι καὶ σαφέσι συλλαβὼν ῥήμασιν ἐδίδαξεν ἡμᾶς ὁ Χριστὸς "ποτὲ μὲν λέγων, Ὅτι ἐν δυσὶν ἐντολαῖς ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, τουτέστι, τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ τῇ τοῦ πλησίον "ποτὲ δὲ λέγων, Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. ἅπερ καὶ γηπόνῳ καὶ οἰκέτῃ καὶ γυναικὶ χήρᾳ, καὶ παιδὶ αὐτῷ, καὶ τῷ σφόδρα ἀνοήτῳ δοκοῦντι εἶναι, πάντα εὐσύνοπτα καὶ ῥᾴδια καταμαθεῖν. τοιαῦτα γὰρ τὰ τῆς ἀληθείας. καὶ μάρτυρες τῶν πραγμάτων τὸ τέλος. πάντες γοῦν ἔμαθον τὰ πρακτέα· καὶ οὐκ ἔμαθον μόνον, ἀλλὰ καὶ ἐζήλωσαν· καὶ οὐκ ἐν ταῖς πόλεσι μόνον, οὐδὲ ἐν μέσαις ταῖς ἀγοραῖς, ἀλλὰ καὶ ἐν ταῖς κορυφαῖς τῶν ὀρῶν. καὶ γὰρ ἐκεῖ πολλὴν ὄψει τὴν φιλοσοφίαν οὖσαν, καὶ χοροὺς ἀγγέλων ἐν ἀνθρωπίνῳ σώματι λάμποντας, καὶ τὴν τῶν οὐρανῶν πολιτείαν ἐνταῦθα φαινομένην. καὶ γὰρ καὶ πολιτείαν ἔγραψαν ἡμῖν οἱ ἁλιεῖς, οὐκ ἀπὸ παίδων κελεύσαντες λαμβάνεσθαι, καθάπερ ἐκεῖνοι, οὐδὲ τόσων καὶ τόσων ἐτῶν νομοθετοῦντες εἶναι "τὸν ἐνάρετον, ἀλλ' ἁπλῶς πάσῃ διαλεγόμενοι ἡλικίᾳ. ἐκεῖνα μὲν γὰρ παίδων παίγνια ταῦτα δὲ, πραγμάτων ἀλήθεια. καὶ τόπον δὲ ἀπέδωκαν τῇ πολιτείᾳ ταύτῃ, τὸν οὐρανὸν, καὶ "τεχνίτην αὐτὸν τὸν Θεὸν εἰσήγαγον, καὶ νομοθέτην τῶν ἐκεῖ *νόμων, ὥσπερ οὖν καὶ ἐχρῆν. τὰ δὲ ἔπαθλα τῆς πολιτείας, οὐ φύλλα δάφνης, οὐδὲ κότινος, οὐδὲ ἡ ἐν πρυτανείῳ σίτησις, οὐδὲ εἰκόνες χαλκαῖ, τὰ ψυχρὰ ταῦτα καὶ εὐτελῆ· ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα, καὶ τὸ Θεοῦ γενέσθαι παῖδας, καὶ τὸ μετ' ἀγγέλων χορεύειν, καὶ τῷ θρόνῳ παρεστάναι τῷ βασιλικῷ, καὶ διηνεκῶς εἶναι μετὰ τοῦ Χριστοῦ. δημαγωγοὶ δὲ τῆς πολιτείας * εἰσὶ ταύτης, τελῶναι, ἁλιεῖς, καὶ σκηνοποιοὶ, οὐκ ἐν χρόνῳ ζήσαντες ὀλίγῳ, ἀλλὰ διαπαντὸς ζῶντες. διὸ καὶ μετὰ τελευτὴν τοὺς πολιτευομένους τὰ μέγιστα ὀνῆσαι δύναιντ' ἄν. ταύτῃ τῇ πολιτείᾳ πόλεμος οὐ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς δαίμονας καὶ τὰς ἀσωμάτους δυνάμεις ἐκείνας ἐστί. διὸ καὶ στρατηγὸς αὐτοῖς, οὐκ ἀνθρώπων, οὐδὲ ἀγγέλων οὐδεὶς, ἀλλ' αὐτὸς ὁ Θεός· καὶ τὰ ὅπλα δὲ τῶν στρατιωτῶν τούτων μιμεῖται τοῦ πολέμου τὴν φύσιν. οὐδὲ γὰρ ἀπὸ δέρματος καὶ σιδήρου κατεσκευασμένα εἰσὶν, ἀλλ' ἐξ ἀληθείας καὶ δικαιοσύνης καὶ πίστεως καὶ φιλοσοφίας ἁπάσης. ἐπεὶ οὖν πρὸς

γρ. ἀπαρείσδε-[illegible]
γρ. τῶν ἄλλων
γρ. παραστάγ-[illegible]
γρ. [illegible]τελίσε-[illegible]
γρ. τὸν πόνον.
γρ. [illegible]ναι
γρ. τότε
γρ. τότε
γρ. τὸν
γρ. τῷ τέχνῃ [illegible] τὸν Θεὸν [illegible]ητίω, [illegible]ων,
* [illegible] τοῖς βασι-[illegible]

Ματθ. κβ. μ.
Ματθ. ζ. ιβ.

περὶ τῆς πολιτείας ταύτης καὶ τὸ βιβλίον τοῦτο γέγραπται, καὶ ἡμῖν προσήκει δὲ νῦν εἰπεῖν, προσέχωμεν ἀκριβῶς τῷ Ματθαίῳ περὶ ταύτης τελείως διαλεγομένῳ. οὐ γὰρ αὐτοῦ, ἀλλὰ τοῦ τὴν πολιτείαν νομοθετήσαντος Χριστοῦ, πάντα ἐστὶ τὰ λεγόμενα. προσέχωμεν δὲ, ἵνα καὶ ἐγγραφῆναι δυνηθῶμεν εἰς αὐτὴν, καὶ λάμψαι μετὰ τῶν ἤδη πολιτευσαμένων, καὶ τοὺς ἀμαράντους ἐκείνους ἐκδεχομένων στεφάνους. καίτοιγε πολλοῖς εὔκολος ὁ λόγος οὗτος εἶναι δοκεῖ, τὰ δὲ τῶν προφητῶν δυσκολίαν ἔχειν. ἀλλὰ καὶ τοῦτο ἀγνοούντων ἐστὶ τὸ βάθος τῶν ἐναποκειμένων αὐτοῖς νοημάτων. διὸ παρακαλῶ μετὰ πολλῆς ἡμῖν ἕπεσθαι τῆς σπουδῆς, ὥστε εἰς αὐτὸ τὸ πέλαγος τῶν γεγραμμένων εἰσελθεῖν, τοῦ Χριστοῦ προηγουμένου ταύτης ἡμῖν τῆς εἰσόδου. ὥστε δὲ εὐμαθέστερον γενέσθαι τὸν λόγον, δεόμεθα καὶ παρακαλοῦμεν, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων γραφῶν πεποιήκαμεν, προλαμβάνειν τὴν περικοπὴν τῆς γραφῆς, ἣν ἂν μέλλωμεν ἐξηγεῖσθαι, ἵνα τῇ γνώσει ἡ ἀνάγνωσις προοδοποιοῦσα (ὃ καὶ ἐπὶ τοῦ εὐνούχου γέγονε) πολλὴν παράσχοι τὴν εὐκολίαν ἡμῖν. καὶ γὰρ τὰ ζητούμενα, πολλὰ καὶ ἐπάλληλα. ὅρα γοῦν εὐθέως ἐν προοιμίοις τοῦ εὐαγγελίου αὐτοῦ, πόσα ἄν τις ἐπαπορήσειε. πρῶτον μὲν, τίνος ἕνεκεν ὁ Ἰωσὴφ γενεαλογεῖται, οὐκ ὢν τοῦ Χριστοῦ πατήρ. δεύτερον δὲ, πόθεν ἔσται δῆλος ἡμῖν ἀπὸ τοῦ Δαβὶδ κατάγων τὸ γένος, τῆς Μαρίας, ἀφ' ἧς ἐτέχθη ὁ Χριστὸς, τῶν προγόνων ἀγνοουμένων. οὐδὲ γὰρ ἐγενεαλογήθη ἡ παρθένος. τρίτον, τίνος ἕνεκεν ὁ μὲν Ἰωσὴφ, ὁ μηδὲν συντελῶν πρὸς τὴν γέννησιν, γενεαλογεῖται· ἡ δὲ παρθένος, ἡ καὶ μήτηρ γενομένη, οὐ δείκνυται τίνων πατέρων καὶ πάππων καὶ ἐπιπάππων ἐστί. μετὰ δὲ τοῦτο ἄξιον κἀκεῖνο ζητῆσαι, τί δήποτε διὰ τῶν ἀνδρῶν προάγων τὴν γενεαλογίαν, ἐμνήσθη καὶ γυναικῶν. καὶ ἐπειδὴ τοῦτο δήπου αὐτῷ ἔδοξεν, οὐδὲ πάσας τέθεικε τὰς γυναῖκας· ἀλλὰ τὰς εὐδοκίμους παραδραμὼν, οἷον τὴν Σάῤῥαν, τὴν Ῥεβέκκαν, καὶ ὅσαι τοιαῦται, τὰς ἐπὶ κακίᾳ βεβοημένας, ταύτας εἰς μέσον ἤγαγε μόνον, οἷον εἴ τις πόρνη καὶ μοιχαλὶς, εἴ τις ἐκ παρανόμων γάμων, εἴ τις ἀλλόφυλος καὶ βάρβαρος ἦν. καὶ γὰρ τῆς τοῦ Οὐρίου [δὲ] καὶ τῆς Θάμαρ καὶ τῆς Ῥοὺθ ἐμνημόνευσεν· ὧν ἡ μὲν ἀλλόφυλος ἦν, ἡ δὲ πόρνη, ἡ δὲ τῷ κηδεστῇ προσεφθάρη, καὶ οὐδὲ τοῦτο νόμῳ γάμου, ἀλλὰ κλέψασα τὴν μῖξιν, καὶ πόρνης περιθεμένη προσωπεῖον ἑαυτῇ. καὶ τὴν τοῦ Οὐρίου δὲ οὐδεὶς ἀγνοεῖ διὰ τὴν περιφάνειαν τοῦ πλημμελήματος. ἀλλ' ὅμως πάσας τὰς ἄλλας ἀφεὶς ὁ εὐαγγελιστὴς, ταύτας ἐνέθηκε τῇ γενεαλογίᾳ μόνας. καίτοι εἰ μνησθῆναι γυναικῶν ἔδει, πασῶν ἐχρῆν· εἰ δὲ μὴ πασῶν, ἀλλ' ἐνίων, τῶν ἐν ἀρετῇ, οὐ τῶν ἐν ἁμαρτήμασι βεβοημένων. εἴδετε πόσης ἡμῖν δεῖ προσοχῆς ἐν τοῖς προοιμίοις εὐθέως, καίτοι δοκεῖ σαφέστερον εἶναι τῶν ἄλλων τὸ προοίμιον· τάχα δὲ πολλοῖς καὶ περιττὸν, διὰ τὸ ὀνομάτων ἀριθμὸν εἶναι μόνον. μετὰ τοῦτο ἄξιον κἀκεῖνο ζητῆσαι, τίνος ἕνεκεν τρεῖς παρέδραμε βασιλεῖς. εἰ γὰρ ὡς σφόδρα ἀσεβῶν ἀπεσιώπησε τὴν προσηγορίαν, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων μνησθῆναι ἔδει. καὶ γὰρ καὶ τοῦτο ἕτερόν ἐστι ζήτημα. δεκατέσσαρας γὰρ εἰπὼν γενεὰς, ἐν τῇ τρίτῃ μερίδι τὸν ἀριθμὸν οὐ διέσωσε. καὶ τίνος ἕνεκεν ὁ μὲν Λουκᾶς ἑτέρων ἐμνημόνευσεν ὀνομάτων, καὶ οὐ μόνον οὐ τῶν αὐτῶν ἁπάντων, ἀλλὰ καὶ πολλῷ πλειόνων· ὁ δὲ Ματθαῖος, καὶ ἐλαττόνων, καὶ ἑτέρων· καίτοιγε εἰς τὸν Ἰωσὴφ καὶ αὐτὸς τελευτήσας, εἰς ὃν καὶ ὁ Λουκᾶς κατέληξεν. ὁρᾶτε ὅσης ἀγρυπνίας ἡμῖν χρεία, οὐκ εἰς τὸ λῦσαι μόνον, ἀλλὰ καὶ εἰς τὸ μαθεῖν, τίνα χρὴ λῦσαι. οὐδὲ γὰρ τοῦτο μικρὸν, τὸ τὰ διαπορούμενα δυνηθῆναι εὑρεῖν. καὶ γὰρ κἀκεῖνο ἄπορον, πῶς ἡ Ἐλισάβετ ἀπὸ τῆς Λευϊτικῆς φυλῆς οὖσα, συγγενὴς ἦν τῆς Μαρίας.

γρ. αὐτῇ γνώσει

γρ. προάγων

γρ. αὐτό

ΗΘΙΚΟΝ

Ἀλλ' ἵνα μὴ καταχώσωμεν ὑμῶν τὴν μνήμην πολλὰ συνείροντες, ἐνταῦθα τέως τὸν λόγον στήσωμεν. ἀρκεῖ γὰρ ὑμῖν εἰς τὸ διεγερθῆναι, καὶ * τὰ ζητούμενα ἐνταῦθα μαθεῖν. εἰ δὲ καὶ τῆς λύσεως ἐρᾶτε, καὶ τοῦτο πρὸ τῶν λόγων τῶν ἡμετέρων ὑμεῖς κύριοι. ἂν μὲν γὰρ ἴδω διεγερθέντας καὶ ἐπιθυμοῦντας μαθεῖν, πειράσομαι καὶ τὴν λύσιν ἐπαγαγεῖν. ἂν δὲ χασμωμένους, καὶ μὴ προσέχοντας, ἀποκρύψομαι καὶ τὰ ζητήματα καὶ τὴν λύσιν, θείῳ νόμῳ πειθόμενος. Μὴ δότε γὰρ, φησι,

γρ. ἡμῖν * τὸ

Ματθ. ζ. ς.

φησι, τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ἵνα μὴ καταπατήσωσι τοῖς ποσὶν αὐτῶν. τίς δέ ἐστιν ὁ καταπατῶν; ὁ μὴ τίμια ταῦτα ἡγούμενος καὶ σεμνά. καὶ τίς οὕτως ἄθλιος, φησὶν, ὡς μὴ σεμνὰ ταῦτα καὶ πάντων ἡγεῖσθαι τιμιώτερα; ὁ μηδὲ τοσαύτην παρέχων αὐτοῖς σχολὴν, ὅσην ταῖς πόρναις γυναιξὶν ἐν τοῖς σατανικοῖς θεάτροις. ἐκεῖ μὲν γὰρ καὶ διημερεύουσιν οἱ πολλοὶ, καὶ πολλὰ τῶν ἐπὶ τῆς οἰκίας προδιδόασι, διὰ τὴν ἄκαιρον ἀσχολίαν ταύτην, καὶ μετ᾽ ἀκριβείας ὅσαπερ ἂν ἀκούσωσι, κατέχουσι, καὶ ταῦτα ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς φυλάττοντες. ἐνταῦθα δὲ τοῦ Θεοῦ φθεγγομένου οὐδὲ μικρὸν ἀνέχονται παραμεῖναι χρόνον. διά τοι τοῦτο οὐδὲν κοινὸν ἔχομεν πρὸς τὸν οὐρανὸν, ἀλλὰ μέχρι ῥημάτων ἡμῖν ἡ πολιτεία. καίτοιγε καὶ γέενναν διὰ τοῦτο ἠπείλησεν ὁ Θεὸς, οὐχ ἵνα ἐμβάλῃ, ἀλλ᾽ ἵνα πείσῃ φυγεῖν τὴν χαλεπὴν συνήθειαν ταύτην, δι᾽ ὧν ἀκούομεν. ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν. ἀκούομεν, καὶ καθ᾽ ἑκάστην ἡμέραν πρὸς τὴν ἐκεῖ φέρουσαν ὁδὸν τρέχομεν· καὶ τοῦ Θεοῦ κελεύοντος μὴ μόνον ἀκούειν, ἀλλὰ καὶ ποιεῖν τὰ λεγόμενα, οὐδὲ ἀκοῦσαι ἀνεχόμεθα. πότε οὖν πράξομεν, εἰπέ μοι, τὰ κελευόμενα, καὶ τῶν ἔργων ἁψόμεθα, ὅταν μηδὲ τοὺς ὑπὲρ τούτων λόγους ἀκούειν ἀνεχώμεθα, ἀλλὰ καὶ ἀσχάλλωμεν καὶ ἀλύωμεν πρὸς τὴν ἐνταῦθα διατριβὴν, καίτοι βραχεῖαν οὖσαν σφόδρα; εἶτα ἡμεῖς μὲν περὶ ψυχρῶν διαλεγόμενοι πραγμάτων, ἂν τοὺς συγκαθημένους μὴ προσέχοντας ἴδωμεν, ὕβριν τὸ πρᾶγμά φαμεν· τὸν δὲ Θεὸν οὐχ ἡγούμεθα παροξύνειν, ὅταν αὐτοῦ περὶ τοιούτων διαλεγομένου, καταφρονήσαντες τῶν λεγομένων, ἑτέρωσε βλέπωμεν; ἀλλ᾽ ὁ μὲν γεγηρακὼς καὶ πολλὴν ἐπελθὼν γῆν, καὶ σταδίων ἀριθμὸν, καὶ πόλεων θέσεις, καὶ σχήματα καὶ λιμένας καὶ ἀγορὰς μετ᾽ ἀκριβείας ἡμῖν ἀπαγγέλλει πάσης· αὐτοὶ δὲ, οὐδὲ ὅσον ἀπέχομεν τῆς ἐν τοῖς οὐρανοῖς πόλεως ἴσμεν. ἦ γὰρ ἂν καὶ ἐσπουδάσαμεν ἐπιτεμεῖν τὸ μῆκος, εἰ τὸ διάστημα ἔγνωμεν. οὐ γὰρ τοσοῦτον ἡμῶν ἀφέστηκεν ἡ πόλις ἐκείνη, ὅσον οὐρανοῦ πρὸς τὴν γῆν τὸ μέσον, ἀλλὰ καὶ πολλῷ πλέον, ἐὰν ἀμελῶμεν· ὥσπερ οὖν ἐὰν σπουδάζωμεν, καὶ ἐν ἀκαρεῖ χρόνῳ ἐπὶ τὰς πύλας αὐτῆς ἥξομεν. οὐ γὰρ μήκει τόπων, ἀλλὰ γνώμῃ τρόπων τὰ διαστήματα ταῦτα ὥρισται. σὺ δὲ τὰ μὲν τοῦ βίου πράγματα μετ᾽ ἀκριβείας οἶδας, καὶ τὰ νέα καὶ τὰ ἀρχαῖα καὶ τὰ παλαιὰ, καὶ ἄρχοντας ἀριθμεῖν δύνασαι, οἷς ἐστρατεύσω τὸν ἔμπροσθεν χρόνον, καὶ ἀγωνοθέτην, καὶ ἀθλοφόρους, καὶ στρατηγοὺς, τὰ μηδέν σοι διαφέροντα· τίς δὲ ἄρχων ἐν τῇ πόλει ταύτῃ γέγονεν ἢ πρῶτος ἢ δεύτερος ἢ τρίτος, ἢ πόσον ἕκαστος χρόνον, ἢ τί κατορθώσας καὶ ἐργασάμενος, οὐδὲ ὄναρ ἐφαντάσθης ποτέ. νόμων δὲ τῶν ἐν τῇ πόλει ταύτῃ κειμένων, οὐδὲ ἑτέρων λεγόντων ἀκοῦσαι καὶ προσέχειν ὑπομένεις. πῶς οὖν, εἰπέ μοι, προσδοκᾷς τεύξασθαι τῶν ἐπηγγελμένων ἀγαθῶν, μηδὲ τοῖς λεγομένοις προσέχων; ἀλλ᾽ εἰ καὶ μὴ πρότερον, νῦν γοῦν τοῦτο ποιῶμεν. καὶ γὰρ εἰς πόλιν μέλλομεν εἰσιέναι, ἐὰν ὁ Θεὸς ἐπιτρέπῃ, χρυσῆν, καὶ χρυσοῦ παντὸς τιμιωτέραν. καταμάθωμεν οὖν αὐτῆς τὰ θεμέλια, τὰς πύλας τὰς ἀπὸ σαπφείρου καὶ μαργαριτῶν συγκειμένας. καὶ γὰρ ἔχομεν ἄριστον χειραγωγὸν, τὸν Ματθαῖον. διὰ γὰρ τῆς αὐτοῦ πύλης εἰσίμεν νῦν, καὶ δεῖ πολλῆς ἡμῖν τῆς σπουδῆς. ἂν γὰρ ἴδῃ τινὰ μὴ προσέχοντα, ἐκβάλλει τῆς πόλεως. καὶ γάρ ἐστι βασιλικωτάτη ἡ πόλις καὶ περιφανὴς, οὐχ ὥσπερ αἱ παρ᾽ ἡμῖν, εἰς ἀγορὰν καὶ βασίλεια διῃρημένη, ἀλλὰ πάντα βασίλεια τὰ ἐκεῖ. ἀναπετάσωμεν τοίνυν τὰς πύλας τῆς διανοίας, ἀναπετάσωμεν τὴν ἀκοὴν, καὶ μετὰ φρίκης πολλῆς, μέλλοντες ἐπιβαίνειν τῶν προθύρων, προσκυνήσωμεν τὸν ἐν αὐτῇ βασιλέα. καὶ γὰρ εὐθέως ἡ πρώτη προσβολὴ καταπλῆξαι δύναται τὸν θεατήν. κεκλεισμέναι μὲν νῦν εἰσιν ἡμῖν αἱ πύλαι· ὅταν δὲ ἴδωμεν αὐτὰς ἀναπετασθείσας (τοῦτο γάρ ἐστιν ἡ τῶν ζητημάτων λύσις) τότε ὀψόμεθα πολλὴν ἔνδον τὴν ἀστραπήν. καὶ γὰρ τοῖς τοῦ πνεύματος ὁδηγούμενος ὀφθαλμοῖς πάντα σοι ἐπαγγέλλεται δεικνύναι ὁ τελώνης οὗτος, ποῦ μὲν ὁ βασιλεὺς κάθηται, καὶ ἵνα αὐτῷ τῶν στρατευμάτων παρεστήκασι, καὶ ποῦ μὲν ἄγγελοι, ποῦ δὲ ἀρχάγγελοι, καὶ τίς τοῖς νέοις πολίταις ἐν τῇ πόλει ταύτῃ τόπος ἀφώρισται, καὶ ποία ἡ ἐκεῖ φέρουσα ὁδὸς, καὶ ἵνα ἔλα-

ἄωρ

νεανίδα

αὐτοὶ δέ;

ἀθλοφόρους

κεῖνα κατω-
θώσε καὶ ἐπ...
σατο

τεύξεσθαι

τίνες

βον λῆξιν τὸν πρῶτον πολιτευσάμενοι ἐκεῖ, καὶ τὸν μετ' ἐκείνους, καὶ τὸν μετὰ τούτους, καὶ ὅσα τῶν δήμων ἐκείνων τάγματα, καὶ ὅσα τῆς βουλῆς, καὶ πόσαι ἀξιωμάτων διαφοραί. μὴ τοίνυν μετὰ θορύβου καὶ ταραχῆς εἰσίωμεν, ἀλλὰ μετὰ σιγῆς μυστικῆς. εἰ γὰρ ἐπὶ θεάτρου πολλῆς σιγῆς γενομένης, τότε τὰ τοῦ βασιλέως ἀναγινώσκεται γράμματα, πολλῷ μᾶλλον ἐπὶ τῆς πόλεως ταύτης ἅπαντας δεῖ κατεστάλθαι, καὶ ὀρθαῖς ταῖς ψυχαῖς καὶ ταῖς ἀκοαῖς ἑστάναι. οὐ γὰρ ἐπιγείου τινός, ἀλλὰ τοῦ τῶν ἀγγέλων δεσπότου τὰ γράμματα ἀναγινώσκεσθαι μέλλει. ἂν οὕτως ἑαυτοὺς ῥυθμίσωμεν, καὶ αὐτὴ τοῦ πνεύματος ἡ χάρις ὁδηγήσει μετὰ πολλῆς ἀκριβείας ἡμᾶς, καὶ πρὸς αὐτὸν ἥξομεν τὸν θρόνον τὸν βασιλικόν, καὶ πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. πολιτευσάμενοι
γρ. ὀρθοὺς

Ὁμιλ. β. 1 ΒΙΒΛΟΣ ΓΕΝΕΣΕΩΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ.

Ἆρα μέμνησθε τῆς παραγγελίας, ἣν πρώην ἐποιησάμεθα πρὸς ὑμᾶς, παρακαλοῦντες μετὰ σιγῆς ἁπάσης καὶ μυστικῆς ἡσυχίας ἀκούειν τῶν λεγομένων ἁπάντων; καὶ νῦν μέλλομεν τῶν ἱερῶν σήμερον ἐπιβαίνειν προθύρων· διὸ καὶ τῆς παραγγελίας ἀνέμνησα. εἰ γὰρ Ἰουδαῖοι κεκαυμένῳ ὄρει καὶ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ προσιέναι μέλλοντες (μᾶλλον δὲ οὐδὲ προσιέναι, ἀλλὰ πόρρωθεν ταῦτα καὶ ὁρᾶν καὶ ἀκούειν) πρὸ τριῶν ἡμερῶν ἐκελεύοντο γυναικὸς ἀπέχεσθαι, καὶ τὰ ἱμάτια ἀποπλῦναι, καὶ ἐν τρόμῳ ἦσαν καὶ φόβῳ καὶ αὐτοί, καὶ μετ' ἐκείνων Μωϋσῆς· πολλῷ μᾶλλον ὑμᾶς τοιούτων μέλλοντας ἀκούειν λόγων, καὶ οὐ πόρρω ὄρους ἑστάναι καπνιζομένου, ἀλλ' εἰς αὐτὸν εἰσιέναι τὸν οὐρανόν, πλείονα χρὴ ἐπιδείκνυσθαι φιλοσοφίαν, οὐχ ἱμάτια ἀποπλύνοντας, ἀλλὰ τὴν στολὴν τῆς ψυχῆς ἀποσμήχοντας, καὶ πάσης βιωτικῆς ἀπαλλαττομένους μίξεως. οὐ γὰρ γνόφον ὄψεσθε, οὐδὲ καπνόν, οὐδὲ θύελλαν· ἀλλ' αὐτὸν τὸν βασιλέα καθήμενον ἐπὶ τοῦ θρόνου τῆς ἀπορρήτου δόξης ἐκείνης, καὶ ἀγγέλους καὶ ἀρχαγγέλους παρεστῶτας αὐτῷ, καὶ τοὺς δήμους τῶν ἁγίων μετὰ τῶν ἀπείρων μυριάδων ἐκείνων. τοιαύτη γάρ ἐστιν ἡ τούτου πόλις, τὴν ἐκκλησίαν ἔχουσα τῶν πρωτοτόκων, τὰ πνεύματα τῶν δικαίων, τὴν πανήγυριν τῶν ἀγγέλων, τὸ αἷμα τοῦ ῥαντισμοῦ, δι' οὗ πάντα συνήφθη, καὶ οὐρανὸς ἐδέξατο τὰ ἀπὸ τῆς γῆς, καὶ γῆ τὰ ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἡ πάλαι ποθουμένη καὶ ἀγγέλοις καὶ ἁγίοις παραγέγονεν εἰρήνη. ἐν ταύτῃ τὸ τρόπαιον ἔστι τοῦ σταυροῦ τὸ λαμπρὸν καὶ περιφανές, τὰ λάφυρα τοῦ Χριστοῦ, τὰ ἀκροθίνια τῆς φύσεως τῆς ἡμετέρας, τὰ σκῦλα τὰ τοῦ βασιλέως ἡμῶν. ταῦτα γὰρ ἅπαντα ἀπὸ τῶν εὐαγγελίων εἰσόμεθα μετὰ ἀκριβείας. κἂν ἀκολουθῇς μετὰ ἡσυχίας τῆς προσηκούσης, δυνησόμεθά σε περιαγαγεῖν πανταχοῦ, καὶ δεῖξαι, ποῦ μὲν ὁ θάνατος ἀνεσκολοπισμένος κεῖται· ποῦ δὲ ἡ ἁμαρτία κρεμαμένη· ποῦ δὲ τὰ πολλὰ καὶ παράδοξα ἀπὸ τοῦ πολέμου τούτου, ἀπὸ τῆς μάχης ταύτης [τὰ] ἀναθήματα. ὄψει καὶ τὸν τύραννον ἐνταῦθα δεδεμένον, καὶ τῶν αἰχμαλώτων τὸ πλῆθος ἑπόμενον, καὶ τὴν ἀκρόπολιν ἀφ' ἧς ὁ μιαρὸς δαίμων ἐκεῖνος ἅπαντα κατέδραμε τὸν ἔμπροσθεν χρόνον· ὄψει τοῦ λῃστοῦ τὰς καταδύσεις καὶ τὰ σπήλαια διερρωγότα λοιπὸν καὶ ἀναπεπταμένα. καὶ γὰρ καὶ ἐκεῖ παρεγένετο ὁ βασιλεύς. ἀλλὰ μὴ ἀποκάμῃς, ἀγαπητέ. οὐδὲ γὰρ εἰ πόλεμόν τις διηγεῖτο αἰσθητὸν καὶ τρόπαια καὶ νίκας, κόρον ἐλάμβανες ἄν· ἀλλ' οὐδὲ σιτίων οὐδὲ ποτῶν πρὸ ταύτης ἂν ἔθου τῆς ἱστορίας. εἰ δὲ ἐκείνη ποθητὴ ἡ διήγησις, πολλῷ μᾶλλον αὕτη. ἐννόησον γὰρ ἡλίκον ἐστὶν ἀκοῦσαι, πῶς μὲν ἐκ τῶν οὐρανῶν καὶ τῶν θρόνων ἀναστὰς τῶν βασιλικῶν, καὶ εἰς τὴν γῆν καὶ εἰς αὐτὸν τὸν

ᾅδην

γρ. τὸ
γρ. ἡμ.
γρ. ἀκούσοντας
γρ. τοῦ Θεοῦ
γρ. τὰ πάντα
γρ. ἀκολουθίας
γρ. ἐλάβετε
γρ. ἢ
γρ. ποθεινή

ᾅδην ἥλατο ὁ Θεός, καὶ ἐπὶ τῆς παρατάξεως ἔστη· πῶς δὲ Θεῷ ἀντετάξατο ὁ διάβολος, μᾶλλον δὲ οὐ Θεῷ γυμνῷ, ἀλλὰ Θεῷ ἀνθρωπίνῃ κρυπτομένῳ φύσει. καὶ τὸ δὲ θαυμαστόν, ὅτι θανάτῳ θάνατον ὄψει λυόμενον, καὶ κατάραν ἀφανιζομένην κατάρᾳ, καὶ δι' ὧν ἴσχυσεν ὁ διάβολος, διὰ τούτων αὐτοῦ καταλυομένην τὴν τυραννίδα. διαναστῶμεν τοίνυν, καὶ μὴ καθεύδωμεν. ἰδοὺ γὰρ ὁρῶ τὰς πύλας ἡμῖν ἀνοιγομένας· ἀλλ' εἰσίωμεν μετὰ εὐταξίας ἁπάσης καὶ τρόμου, τῶν προθύρων αὐτῶν εὐθέως ἐπιβαίνοντες. τίνα δέ ἐστι ταῦτα τὰ πρόθυρα; βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ. τί λέγεις; περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ διαλέξασθαι ἐπηγγείλω, καὶ τοῦ Δαβὶδ μνημονεύεις, ἀνθρώπου μετὰ μυρίας γενεὰς γενομένου, καὶ αὐτὸν εἶναι φὴς καὶ πατέρα καὶ πρόγονον; ἐπίσχες, καὶ μὴ πάντα ἀθρόως ζήτει μαθεῖν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. ἐν γὰρ τοῖς προθύροις ἕστηκας ἔτι πρὸς αὐτὰ τὰ προπύλαια. τί τοίνυν σπεύδεις πρὸς τὰ ἄδυτα; οὔπω τὰ ἔξω καλῶς κατοπτεύσας ἅπαντα. οὐδὲ γὰρ ἐκείνην σοι τέως διηγοῦμαι τὴν γέννησιν· μᾶλλον δὲ οὐδὲ τὴν μετὰ ταῦτα. ἀνέκφραστος γὰρ καὶ ἀπόρρητος καὶ αὐτή. καὶ πρὸ ἐμοῦ σοι οὕτω ὁ προφήτης εἶπεν Ἡσαΐας. ἀνακηρύττων γὰρ αὐτοῦ τὸ πάθος καὶ τὴν πολλὴν ὑπὲρ τῆς οἰκουμένης " κηδεμονίαν, καὶ ἐκπληττόμενος, τίς ὢν τί γέγονε, καὶ ποῦ κατέβη, ἀνεβόησε μέγα καὶ λαμπρὸν οὕτω λέγων· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; οὐ τοίνυν περὶ ἐκείνης ἡμῖν ὁ λόγος νῦν, ἀλλὰ περὶ ταύτης τῆς κάτω, τῆς ἐν τῇ γῇ γενομένης, τῆς μετὰ μυρίων μαρτύρων. καὶ περὶ ταύτης δέ, ὡς ἡμῖν δυνατὸν εἰπεῖν δεξαμένοις τὴν τοῦ πνεύματος χάριν, οὕτω διηγησόμεθα. οὐδὲ γὰρ ταύτην μετὰ σαφηνείας πάσης " παραστῆσαι ἔνι· ἐπεὶ καὶ " αὕτη φρικωδεστάτη. μὴ τοίνυν μικρὰ νομίσῃς ἀκούειν, ταύτην ἀκούων τὴν γέννησιν· ἀλλ' ἀνάστησόν σου τὴν διάνοιαν, καὶ εὐθέως φρίξον, ἀκούσας ὅτι * Θεὸς ἐπὶ * γῆς ἦλθεν. οὕτω γὰρ τοῦτο θαυμαστὸν καὶ παράδοξον ἦν, ὡς καὶ τοὺς ἀγγέλους χορὸν ὑπὲρ " τούτου στήσαντας τὴν ὑπὲρ τῆς οἰκουμένης ἐπὶ τούτοις ἀναφέρειν εὐφημίαν· καὶ τοὺς προφήτας ἄνωθεν τοῦτο ἐκπλήττεσθαι, ὅτι ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ γὰρ καὶ σφόδρα παράδοξον ἀκοῦσαι, ὅτι ὁ Θεὸς ὁ " ἀπρόσιτος, καὶ ἀνέκφραστος, καὶ ἀπερινόητος, καὶ τῷ πατρὶ ἴσος, διὰ μήτρας ἦλθε παρθενικῆς, καὶ γενέσθαι ἐκ γυναικὸς κατεδέξατο, καὶ ἔχειν προγόνους τὸν Δαβὶδ καὶ τὸν Ἀβραάμ. καὶ τί λέγω τὸν Δαβὶδ καὶ τὸν Ἀβραάμ; τὸ γὰρ δὴ φρικωδέστερον, τὰς γυναῖκας ἐκείνας τὰς πόρνας, ὧν ἀρτίως ἐμνήσθημεν. ταῦτα ἀκούων ἀνάστηθι, καὶ μηδὲν ταπεινὸν ὑποπτεύσῃς· ἀλλὰ καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαύμασον, ὅτι υἱὸς ὢν τοῦ ἀνάρχου " Θεοῦ, καὶ γνήσιος υἱός, ἠνέσχετο ἀκοῦσαι καὶ Δαβὶδ υἱός, ἵνα σε ποιήσῃ καὶ Θεοῦ υἱόν· ἠνέσχετο πατέρα αὐτῷ γενέσθαι δοῦλον, ἵνα σοὶ τῷ δούλῳ πατέρα ποιήσῃ τὸν δεσπότην. εἶδες ἐκ προοιμίων εὐθέως οἷα τὰ εὐαγγέλια; εἰ δὲ ἀμφιβάλλεις περὶ τῶν σῶν, ἀπὸ τῶν ἐκείνου καὶ ταῦτα πίστευε. πολὺ γὰρ δυσκολώτερον, ὅσον εἰς ἀνθρώπινον λογισμόν, Θεὸν ἄνθρωπον γενέσθαι, ἢ ἄνθρωπον υἱὸν Θεοῦ χρηματίσαι. ὅταν οὖν ἀκούσῃς, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ, υἱὸς τοῦ Δαβίδ ἐστι καὶ τοῦ Ἀβραάμ, μὴ ἀμφίβαλλε λοιπόν, ὅτι καὶ σὺ ὁ υἱὸς τοῦ Ἀδάμ, υἱὸς ἔσῃ τοῦ Θεοῦ. οὐδὲ γὰρ εἰκῇ καὶ μάτην τοσοῦτον ἑαυτὸν ἐταπείνωσεν, εἰ μὴ ἔμελλεν ἡμᾶς ἀνυψοῦν. ἐγεννήθη [μὲν] γὰρ κατὰ σάρκα, ἵνα σὺ γεννηθῇς κατὰ πνεῦμα· ἐγεννήθη ἐκ γυναικός, ἵνα σὺ παύσῃ γυναικὸς ὢν υἱός. διὰ τοῦτο διπλῆ γέγονεν ἡ γέννησις, καὶ ἐοικυῖα ἡμῖν, καὶ ὑπερβαίνουσα τὴν ἡμετέραν φύσιν. τὸ μὲν γὰρ ἐκ γυναικὸς γεννηθῆναι, ἡμῖν συνέβαινε· τὸ δὲ μὴ ἐξ αἵματος, μηδὲ ἐκ θελήματος ἀνδρὸς ἢ σαρκός, ἀλλ' ἐκ πνεύματος ἁγίου, τὴν ὑπερβαίνουσαν ἡμᾶς καὶ τὴν μέλλουσαν " προαναφωνοῦσα γέννησιν, ἣν ἡμῖν ἔμελλεν ἐκ πνεύματος χαρίζεσθαι. καὶ πάντα δὲ τὰ ἄλλα τοιαῦτα ἦν. καὶ γὰρ τὸ λουτρὸν τοιοῦτον ἦν. εἶχε γάρ τι τοῦ παλαιοῦ, εἶχέ τι καὶ τοῦ καινοῦ." τὸ μὲν " γὰρ ὑπὸ τοῦ προφήτου βαπτισθῆναι, τὸ παλαιὸν ἐδείκνυ· [τὸ δὲ τὸ πνεῦμα κατελθεῖν, τὸ νέον ὑπέγραφε. καὶ καθάπερ τις ἐν μεταιχμίῳ στὰς δύο τι-

Ἡσ. νγ. η.

Βαρ. γ. κγ.

γρ. φιλανθρωπίαν.

γρ. [illegible]

γρ. τούτων.

γρ. ἀπόρρητος

γρ. [illegible]

γρ. [illegible]

νων ἀλλήλων διεστηκότων, ἀμφοτέρας ἁπλώσας τὰς χεῖρας ἑκατέρωθεν λαβὼν συνάψειεν·
οὕτω καὶ αὐτὸς ἐποίησε, τὴν παλαιὰν τῇ καινῇ συνάπτων, τὴν θείαν φύσιν τῇ ἀνθρωπίνῃ,
τὰ αὐτοῦ τοῖς ἡμετέροις. Εἶδες τὴν ἀστραπὴν τῆς πόλεως, ὅση σε ἐκ προοιμίων κατηύγασε
τῇ λαμπηδόνι; πῶς σοι τὸν βασιλέα ἔδειξεν εὐθέως ἐν τῷ σῷ σχήματι, ὡσανεὶ ἐν
τῷ στρατοπέδῳ; οὐδὲ γὰρ ἐκεῖ τὴν οἰκείαν ἀξίαν φαίνεται ἔχων διηνεκῶς ὁ βασιλεύς,
ἀλλὰ τὴν ἁλουργίδα ἀφεὶς καὶ τὸ διάδημα, στρατιώτου σχῆμα ὑπέδυ πολλάκις. ἀλλὰ
ἐκεῖ μὲν, ἵνα μὴ γνώριμος γενόμενος ἐφ᾽ ἑαυτὸν ἑλκύσῃ τοὺς πολεμίους· ἐνταῦθα δὲ τοὐναντίον,
ἵνα μὴ γνώριμος γενόμενος, φυγεῖν παρασκευάσῃ τῆς πρὸς αὐτὸν συμπλοκῆς τὸν
ἐχθρόν, καὶ τοὺς οἰκείους διαταράξῃ πάντας. σῶσαι γὰρ, οὐκ ἐκπλῆξαι ἐσπούδασε. διὰ τοῦτο
καὶ εὐθέως αὐτὸν ἀπὸ ταύτης ἐκάλεσε τῆς προσηγορίας, Ἰησοῦν προσειπών. τὸ γὰρ Ἰησοῦς
τοῦτο ὄνομα, οὐκ ἔστιν Ἑλληνικόν, ἀλλὰ τῇ Ἑβραίων φωνῇ οὕτω λέγεται) Ἰησοῦς· ὅ ἐστιν εἰς
τὴν "Ἑλλάδα γλῶτταν" ἑρμηνευόμενον, σωτήρ· σωτὴρ δὲ, ἀπὸ τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ.
Εἶδες πῶς ἀνεπτέρωσε τὸν ἀκροατὴν, τά τε ἐν συνηθείᾳ φθεγξάμενος, καὶ δι᾽ αὐτῶν τὰ ὑπὲρ
ἐλπίδα" πᾶσαν ἡμῖν ἐμφήνας; καὶ γὰρ ἀμφοτέρων τῶν ὀνομάτων τούτων πολλὴ ἡ γνῶσις
παρὰ τοῖς Ἰουδαίοις [ἦν]. ἐπειδὴ γὰρ παράδοξα ἦν τὰ μέλλοντα γίνεσθαι, καὶ αὐτῶν τῶν ὀνομάτων
προέδραμον τύποι, ὥστε ἄνωθεν πάντα καινοτομίας περιαιρεθῆναι θόρυβον. καὶ
γὰρ Ἰησοῦς ὁ μετὰ Μωϋσέα εἰσαγαγὼν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγεται). Εἶδες τὸν
τύπον, βλέπε καὶ τὴν ἀλήθειαν. ἐκεῖνος εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὗτος εἰς τὸν οὐρανὸν
καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ἐκεῖνος μετὰ τὸ τελευτῆσαι Μωϋσέα, οὗτος μετὰ τὸ παύσασθαι
τὸν νόμον· ἐκεῖνος ὡς δημαγωγὸς, οὗτος ὡς βασιλεύς. ἀλλ᾽ ἵνα μὴ Ἰησοῦν ἀκούσας, διὰ τὴν
ὁμωνυμίαν πλανηθῇς, ἐπήγαγεν· Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ. ἐκεῖνος δὲ οὐκ ἦν τοῦ Δαβίδ,
ἀλλ᾽ ἑτέρας φυλῆς. τίνος δὲ ἕνεκεν βίβλον αὐτὴν γενέσεως καλεῖ Ἰησοῦ Χριστοῦ, καίτοι γε
οὐ τοῦτο ἔχει μόνον τὴν γέννησιν, ἀλλὰ πᾶσαν τὴν οἰκονομίαν; ὅτι πάσης τῆς οἰκονομίας τὸ
κεφάλαιον τοῦτο, καὶ ἀρχὴ καὶ ῥίζα πάντων ἡμῖν τῶν ἀγαθῶν γίνεται. ὥσπερ οὖν βίβλον οὐρανοῦ
καὶ γῆς καλεῖ Μωϋσῆς, καίτοιγε οὐ περὶ οὐρανοῦ καὶ γῆς διαλεχθεὶς μόνον, ἀλλὰ καὶ περὶ
τῶν ἐν μέσῳ πάντων· οὕτω καὶ οὗτος, ἀπὸ τοῦ κεφαλαίου τῶν κατορθωμάτων τὸ βιβλίον ἐκάλεσε.
τὸ γὰρ ἐκπλήξεως γέμον καὶ ὑπὲρ ἐλπίδα καὶ προσδοκίαν πᾶσαν, ἄνθρωπον γενέσθαι
Θεόν. τούτου δὲ γενομένου, τὰ μετὰ ταῦτα ἅπαντα κατὰ λόγον καὶ ἀκολουθίαν ἕπεται. τίνος
δὲ ἕνεκεν οὐκ εἶπεν, υἱοῦ Ἀβραάμ, καὶ τότε υἱοῦ Δαβίδ; οὐχ, ὡς τινες οἴονται, κάτωθεν ἄνω
βουλόμενος ἐλθεῖν. ἐπεὶ ἐποίησεν ἄν, ὅπερ καὶ ὁ Λουκᾶς. νῦν δὲ τοὐναντίον ποιεῖ. τίνος οὖν ἕνεκεν
πρότερον τοῦ Δαβὶδ ἐμνημόνευσεν; ἐν τοῖς πάντων στόμασιν ὁ ἄνθρωπος ἦν, ἀπό τε τῆς περιφανείας,
ἀπό τε τοῦ χρόνου. οὐ γὰρ πάλαι ἦν τετελευτηκώς, ὥσπερ ὁ Ἀβραάμ. εἰ δὲ ἀμφοτέροις ἐπηγγείλατο
ὁ Θεός, ἀλλ᾽ ὅμως ἐκεῖνο μὲν, ὡς παλαιὸν ἐσιγᾶτο, τοῦτο δὲ ὡς πρόσφατον καὶ
νέον ὑπὸ πάντων περιεφέρετο. αὐτοὶ γοῦν λέγουσιν· Οὐκ ἐκ τοῦ σπέρματος Δαβίδ, καὶ
Ἰω. ζ. μβ. ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαβίδ, ἔρχεται ὁ Χριστός; καὶ οὐδεὶς αὐτὸν υἱὸν Ἀβραάμ,
ἀλλὰ πάντες υἱὸν Δαβὶδ ἐκάλουν. καὶ γὰρ διὰ τὸν χρόνον, ὡς ἔφθην εἰπὼν, καὶ διὰ
τὴν βασιλείαν μᾶλλον ἐν μνήμῃ πᾶσιν οὗτος ἦν. οὕτω γοῦν, καὶ οὓς ἐτίμων βασιλέας μετ᾽
ἐκεῖνον, ἐξ ἐκείνου ἅπαντας ἐκάλουν καὶ αὐτοὶ καὶ ὁ Θεός. καὶ γὰρ καὶ Ἰεζεκιὴλ, καὶ ἕτεροι δὲ
προφῆται λέγουσιν αὐτοῖς παραγίνεσθαι Δαβὶδ καὶ ἀνίστασθαι· οὐ περὶ ἐκείνου λέγοντες
τοῦ τετελευτηκότος, ἀλλὰ τῶν ζηλούντων τὴν ἀρετὴν τὴν ἐκείνου. καὶ ὁ Θεὸς τῷ Ἐζεκίᾳ δὲ
δ. Βασ. ιθ. λδ. φησίν· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι᾽ ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. καὶ τῷ
γ. Βασ. ια. λδ. "Σολομῶντι δὲ ἔλεγεν· Ὅτι διὰ τὸν Δαβὶδ οὐ διέῤῥηξε ζῶντος αὐτοῦ τὴν βασιλείαν. πολλὴ γὰρ
ἡ δόξα τοῦ ἀνδρὸς ἦν καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις. διὰ τοῦτο εὐθέως ἐκ τοῦ γνωριμωτέρου
τὴν ἀρχὴν ποιεῖται, καὶ τότε ἐπὶ τὸν πατέρα ἀνατρέχει, περιττὸν ἡγούμενος, ὅσον πρὸς

Ἰουδαίους, ἀνωτέρω τὸν λόγον ἀναγαγεῖν. οὗτοι γὰρ μάλιστα ἦσαν οἱ θαυμαζόμενοι, ὁ μὲν, ὡς προφήτης καὶ βασιλεύς· ὁ δὲ, ὡς πατριάρχης καὶ προφήτης. καὶ πόθεν δῆλον ὅτι ἐκ τοῦ Δαβὶδ ἐστί, φησιν; εἰ γὰρ οὐκ ἐξ ἀνδρὸς ἐγεννήθη, ἀλλ' ἀπὸ γυναικὸς μόνον, ἡ δὲ παρθένος οὐ γενεαλογεῖται, πῶς εἰσόμεθα ὅτι τοῦ Δαβὶδ ἔκγονος ἦν; δύο γὰρ ἐστὶ τὰ ζητούμενα· τίνος τε ἕνεκεν ἡ μήτηρ οὐ γενεαλογεῖται, καὶ τί δήποτε ὁ Ἰωσὴφ, ὁ μηδὲν συντελῶν πρὸς τὴν γέννησιν, μνημονεύεται παρ' αὐτῶν. ἐδόκει γὰρ τὸ μὲν περιττὸν εἶναι, τὸ δὲ ἐνδεές. ποῖον οὖν πρότερον ἀναγκαῖον εἰπεῖν; πῶς ἐκ τοῦ Δαβὶδ ἡ παρθένος. πῶς οὖν εἰσόμεθα ὅτι ἐκ τοῦ Δαβίδ; ἄκουσον τοῦ Θεοῦ λέγοντος τῷ Γαβριὴλ ἀπελθεῖν πρὸς τὴν παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ.

Λουκ. α. κζ.

τί τοίνυν βούλει τούτου σαφέστερον, ὅταν ἀκούσῃς, ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ ἦν ἡ παρθένος; ὅθεν δῆλον, ὅτι καὶ ὁ Ἰωσὴφ ἐκεῖθεν ἦν. καὶ γὰρ νόμος ἦν, ὁ κελεύων μὴ ἐξεῖναι γαμεῖν ἄλλοθεν, ἀλλ' ἢ ἐκ τῆς αὐτῆς φυλῆς. καὶ ὁ πατριάρχης δὲ Ἰακὼβ ἀπὸ τῆς Ἰούδα φυλῆς ἀναστήσεσθαι αὐτὸν προὔλεγεν, οὕτω λέγων· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν.

Γεν. μθ. ι.

ἡ γὰρ προφητεία αὕτη, ὅτι μὲν ἐκ τῆς φυλῆς Ἰούδα γέγονε δηλοῖ· ὅτι δὲ καὶ τοῦ γένους Δαβίδ, οὐκέτι. ἆρ' οὖν τῇ φυλῇ Ἰούδα οὐχὶ γένος ἓν ἦν μόνον τὸ τοῦ Δαβίδ; ἀλλὰ καὶ πολλὰ ἕτερα· καὶ συνέβαινε τῆς μὲν φυλῆς εἶναι τοῦ Ἰούδα, οὐκ ἔτι δὲ καὶ τοῦ γένους Δαβίδ. ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, ἀνεῖλέ σου τὴν ὑπόνοιαν ταύτην ὁ εὐαγγελιστὴς, εἰπών· ὅτι καὶ ἐξ οἴκου καὶ πατριᾶς ἦν Δαβίδ. εἰ δὲ καὶ ἑτέρωθεν τοῦτο βούλει μαθεῖν, οὐδὲ ἑτέρας ἀπορήσομεν ἀποδείξεως. οὐ γὰρ δὴ μόνον ἀπὸ φυλῆς οὐκ ἐξῆν ἑτέρας, ἀλλ' οὐδὲ ἀπὸ πατριᾶς ἑτέρας, τουτέστι συγγενείας, γαμεῖν. ὥστε ἄν τε τῇ παρθένῳ τὸ ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ ἁρμόσωμεν, ἕστηκε τὸ εἰρημένον· ἄν τε τῷ Ἰωσὴφ, δι' ἐκείνου καὶ τοῦτο κατασκευάζεται. εἰ γὰρ ἐξ οἴκου Δαβὶδ καὶ πατριᾶς ἦν ὁ Ἰωσὴφ, οὐκ ἂν ἄλλοθεν ἔλαβε τὴν γυναῖκα, ἢ ὅθεν καὶ αὐτὸς ἦν. τί οὖν εἰ παρέβη τὸν νόμον, φησίν; ἀλλὰ διὰ τοῦτο προλαβὼν ἐμαρτύρησεν, ὅτι δίκαιος ἦν ὁ Ἰωσὴφ, ἵνα μὴ τοῦτο λέγῃ· ἀλλὰ μαθὼν αὐτοῦ τὴν ἀρετὴν, κἀκεῖνο εἰδῇς, ὅτι οὐκ ἂν παρέβη τὸν νόμον. ὁ γὰρ οὕτω φιλάνθρωπος καὶ πάθους ἐκτὸς, ὡς μηδὲ ὑποψίας ἀναγκαζούσης βουληθῆναι ἐπιχειρῆσαι κολάσαι τὴν παρθένον, πῶς ἂν δι' ἡδονὴν παρέβη τὸν νόμον; ὁ γὰρ ὑπὲρ νόμον φιλοσοφήσας (καὶ γὰρ τὸ ἀφιέναι, καὶ λάθρα ἀφιέναι, ὑπὲρ νόμον φιλοσοφοῦντος ἦν) πῶς ἂν παρὰ νόμον ἔπραξέ τι, καὶ ταῦτα οὐδὲ μιᾶς ἀναγκαζούσης αἰτίας; ἀλλ' ὅτι μὲν ἐκ τοῦ γένους τοῦ Δαβὶδ ἦν ἡ παρθένος, ἐκ τούτων δῆλον. τίνος δὲ ἕνεκεν αὐτὴν οὐκ ἐγενεαλόγησεν, ἀλλὰ τὸν Ἰωσὴφ, ἀναγκαῖον εἰπεῖν. τίνος οὖν ἕνεκεν; οὐκ ἦν νόμος παρὰ Ἰουδαίοις γενεαλογεῖσθαι γυναῖκας. ἵν' οὖν τὸ ἔθος φυλάξῃ καὶ μὴ δόξῃ παραχαράττειν ἐκ προοιμίων, καὶ τὴν κόρην ἡμῖν γνωρίσῃ, διὰ τοῦτο τοὺς προγόνους αὐτῆς σιγήσας, τὸν Ἰωσὴφ ἐγενεαλόγησεν. εἴτε γὰρ ἐπὶ τῆς παρθένου τοῦτο ἐποίησεν, ἔδοξεν ἂν καινοτομεῖν· εἴτε τὸν Ἰωσὴφ ἐσίγησεν, οὐκ ἂν ἔγνωμεν τῆς παρθένου τοὺς προγόνους. ἵν' οὖν μάθωμεν τὴν Μαρίαν, τίς ἦν, καὶ πόθεν, καὶ τὰ τῶν νόμων ἀκίνητα μείνῃ, τὸν μνηστῆρα [αὐτῆς] ἐγενεαλόγησε, καὶ ἔδειξεν ὄντα ἐκ τῆς οἰκίας Δαβίδ. τούτου γὰρ ἀποδειχθέντος, κἀκεῖνο συναποδέδεικται, τὸ καὶ τὴν παρθένον ἐκεῖθεν εἶναι, διὰ τὸ τὸν δίκαιον τοῦτον, καθάπερ ἔφθην εἰπὼν, μὴ ἀνασχέσθαι ἑτέρωθεν ἀγαγέσθαι γυναῖκα. ἔστι δὲ καὶ ἕτερον λόγον εἰπεῖν μυστικώτερον, δι' ὃν ἐσιγήθησαν οἱ τῆς παρθένου πρόγονοι· ὅνπερ οὐκ εὔκαιρον νῦν ἐκκαλύψαι, διὰ τὸ πολλὰ εἶναι τὰ εἰρημένα.

ΗΘΙΚΟΝ

Διόπερ ἐνταῦθα στήσαντες τὸν περὶ τῶν ζητημάτων λόγον, κατέχωμεν τέως μετὰ ἀκριβείας τὰ ἐκκαλυφθέντα ἡμῖν· οἷον, διατί τοῦ Δαβὶδ ἐμνήσθη πρῶτον· διατί τὸ βιβλίον, γενέσεως ἐκάλεσε βιβλίον· διατί εἶπεν Ἰησοῦ Χριστοῦ· πῶς ἡ γέννησις κοινὴ, καὶ οὐ κοινή· πόθεν ὅτι ἡ Μαρία ἐκ τοῦ Δαβὶδ οὖσα ἐδείχθη· καὶ τίνος ἕνεκεν ὁ Ἰωσὴφ ἐγενεαλογήθη,

σιγηθέντων

στηθέντων τῶν ἐκείνης προσόντων. ἂν μὲν γὰρ φυλάττητε ταῦτα, προθυμοτέρους ἡμᾶς καὶ πρὸς τὰ μέλλοντα ἐργάσεσθε· ἂν δὲ ἀποπλύσητε καὶ ἐκβάλητε αὐτὰ τῆς ψυχῆς, καὶ πρὸς τὰ λοιπὰ ὀκνηρότερον διακεισόμεθα. οὐδὲ γὰρ γῆς τὰ πρότερα "διαφθειράσης σπέρματα, ἕλοιτ' ἂν "ἐπιμελήσασθαι γεωργός. διὸ παρακαλῶ ταῦτα στρέφειν. ἀπὸ γὰρ τοῦ τὰ τοιαῦτα μεριμνᾶν μέγα τι τῇ ψυχῇ καὶ σωτήριον ἐγγίνεται ἀγαθόν. καὶ γὰρ καὶ τῷ Θεῷ δυνησόμεθα ἀρέσαι ταῦτα φροντίζοντες, καὶ ὕβρεων καὶ αἰσχρολογίας καὶ λοιδοριῶν τὰ στόματα καθαρὰ ἔσται, πνευματικὰ μελετῶντα ῥήματα· καὶ δαίμοσιν ἐσόμεθα φοβεροὶ, καθοπλίζοντες ἡμῶν τὴν γλῶτταν τοιούτοις ῥήμασι· καὶ τοῦ Θεοῦ τὴν χάριν ἐπισπασόμεθα μᾶλλον, καὶ διορατικώτερον ἡμῖν "ἐργάσηται [μᾶλλον] τὸ ὄμμα. καὶ γὰρ καὶ ὀφθαλμοὺς, καὶ στόμα, καὶ ἀκοὴν διὰ τοῦτο ἡμῖν ἐνέθηκεν, ἵνα αὐτῷ πάντα δουλεύῃ· ἵνα τὰ αὐτοῦ φθεγγώμεθα· ἵνα τὰ αὐτοῦ πράττωμεν· ἵνα ᾄδωμεν αὐτῷ ὕμνους "διηνεκεῖς· ἵνα εὐχαριστίας ἀναπέμπωμεν, καὶ διὰ τούτων τὸ συνειδὸς ἑαυτῶν "ἐκκαθαίρωμεν. ὥσπερ γὰρ σῶμα ἀέρος ἀπολαῦον καθαροῦ ὑγιεινότερον ἔσται· οὕτω καὶ ψυχὴ φιλοσοφωτέρα ταῖς τοιαύταις "ἐντρεφομένη μελέταις. οὐχ ὁρᾷς καὶ τοὺς τοῦ σώματος ὀφθαλμοὺς, ὅταν μὲν ἐν καπνῷ διατρίβωσι, διὰ παντὸς δακρύοντας· ὅταν δὲ ἐν ἀέρι λεπτῷ καὶ λειμῶνι καὶ πηγαῖς καὶ παραδείσοις, ὀξυτέρους τε γινομένους καὶ ὑγιεινοτέρους; τοιοῦτος καὶ ὁ τῆς ψυχῆς ὀφθαλμός. ἂν μὲν γὰρ ἐν τῷ λειμῶνι τῶν πνευματικῶν βόσκηται λογίων, καθαρὸς ἔσται καὶ διαυγὴς καὶ ὀξυδερκής· ἂν δὲ εἰς τὸν καπνὸν τῶν βιωτικῶν ἀπίῃ πραγμάτων, δακρύσεται μυρία καὶ κλαύσεται, καὶ νῦν, καὶ τότε. καὶ γὰρ καπνῷ ἔοικε τὰ ἀνθρώπινα πράγματα. διὰ τοῦτο καὶ "τις ἔλεγεν· Ἐξέλειπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου. ἀλλ' ἐκεῖνος μὲν πρὸς τὸ ὀλιγοχρόνιον ἰδὼν καὶ ἀνυπόστατον· ἐγὼ δὲ οὐκ εἰς τοῦτο μόνον, ἀλλὰ καὶ εἰς τὸ "ταραχῶδες εἴποιμι ἂν δεῖν ἐκλαμβάνειν τὰ εἰρημένα. οὐδὲν γὰρ οὕτω λυπεῖ ψυχῆς ὀφθαλμὸν καὶ θολοῖ, ὡς ὁ τῶν βιωτικῶν φροντίδων ὄχλος, καὶ ὁ τῶν ἐπιθυμιῶν ἑσμός. ταῦτα γὰρ τοῦ καπνοῦ τούτου τὰ ξύλα. καὶ καθάπερ τὸ πῦρ, ὅταν ὑγρᾶς καὶ διαβρόχου τινὸς ἐπιλάβηται ὕλης, πολὺν ἀνάπτει τὸν καπνόν· οὕτω καὶ ἡ ἐπιθυμία ἡ σφοδρὰ αὕτη καὶ φλογώδης, ὅταν ὑγρᾶς τινος καὶ διαλελυμένης ἐπιλάβηται ψυχῆς, πολὺν καὶ αὐτὴ τίκτει τὸν καπνόν. διὰ τοῦτο χρεία τῆς δρόσου τοῦ πνεύματος καὶ τῆς αὔρας ἐκείνης, ἵνα τὸ πῦρ σβέσῃ, καὶ τὸν καπνὸν διαχέῃ, καὶ πτηνὸν ποιήσῃ ἡμῖν τὸν λογισμόν. οὐ γάρ ἐστιν, οὐκ ἔστι τοσούτοις βαρυνόμενον κακοῖς πρὸς τὸν οὐρανὸν ἀναπτῆναι, ἀλλ' ἀγαπητὸν εὐζώνους ἡμᾶς ὄντας, δυνηθῆναι ταύτην τεμεῖν τὴν ὁδόν· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατόν, ἂν μὴ τοῦ πνεύματος λάβωμεν τὸ πτερόν. εἰ τοίνυν καὶ κούφης ἡμῖν διανοίας καὶ πνευματικῆς χάριτος δεῖ, ἵνα ἀναβῶμεν εἰς τὸ ὕψος ἐκεῖνο, ὅταν μηδὲν τούτων, ἀλλὰ καὶ τἀναντία πάντα ἐφελκώμεθα, καὶ βάρος σατανικόν, πῶς δυνησόμεθα ἀναπτῆναι, τοσούτῳ βάρει καθελκόμενοι; καὶ γὰρ εἴ τις ὥσπερ ἐν δικαίοις σταθμοῖς τοὺς "λόγους ἡμῶν στῆσαι ἐπιχειρήσειεν, ἐν μυρίοις ταλάντοις βιωτικῶν λόγων μόλις εὑρήσει δηνάρια ἑκατὸν ῥημάτων πνευματικῶν· μᾶλλον δὲ οὐδὲ ὀβολοὺς δέκα. ἆρ' οὖν οὐκ αἰσχύνη καὶ γέλως ἔσχατος, οἰκέτην μὲν ἔχοντας, τὰ πλείονα εἰς τὰ ἀναγκαῖα κεχρῆσθαι αὐτῷ πράγματα· στόμα δὲ κεκτημένους, μηδὲ οἰκέτῃ ὁμοίως προσφέρεσθαι τῷ μέλει τῷ ἡμετέρῳ, ἀλλ' ἀντιστρόφως εἰς ἄχρηστα καὶ περιέλκοντα πράγματα; καὶ εἴθε εἰς περιέλκοντα μόνον· νῦν δὲ εἰς ἐναντία καὶ βλαβερὰ, καὶ εἰς οὐδὲν ἡμῖν χρήσιμα. εἰ γὰρ ἦν ἡμῖν χρήσιμα, ἃ ἐφθεγγόμεθα, καὶ τῷ Θεῷ πάντως φίλα ἦν τὰ λεγόμενα. νυνὶ δὲ ἅπερ ἂν ὁ διάβολος ὑποβάλλῃ, πάντα φθεγγόμεθα, νῦν μὲν γελῶντες, νῦν δὲ ἀστεῖα λέγοντες· νῦν μὲν καταρώμενοι καὶ ὑβρίζοντες, νῦν δὲ ὀμνύοντες καὶ ψευδόμενοι καὶ ἐπιορκοῦντες· καὶ νῦν μὲν ἀποδυσπετοῦντες, νῦν δὲ βαττολογοῦντες, καὶ γραϊδίων ληροῦντες πλέον, τὰ μηδὲν πρὸς ἡμᾶς πάντα εἰς μέσον φέροντες. τίς γὰρ ὑμῶν, εἰπέ μοι, τῶν ἐνταῦθα ἑστηκότων, ψαλμὸν ἕνα ἀπαιτηθεὶς εἰπεῖν δύναιτ' ἂν, ἢ ἄλλο τι μέρος τῶν θείων γραφῶν; οὐκ ἔστιν οὐδείς. καὶ οὐ τοῦτο μόνον

ἐστὶ

Ψαλμ. ρα. δ.

γρ. -ρύσαι
γρ. -λεῖψαι
γρ. -σιτε
γρ. διηνε
γρ. ἐκκαθαί
ρωμεν.
γρ. ἐντρεφο
γρ. ὁ Δαβὶ
γρ. ἀρχαῖ

ἐστι τὸ δεινὸν, ἀλλ᾽ ὅτι πρὸς τὰ πνευματικὰ ἀναπεπτωκότες οὕτω, πρὸς τὰ σατανικὰ πυρὸς ἐστὲ σφοδρότεροι. καὶ γὰρ εἰ βουληθείη τις ὑμᾶς ᾠδὰς ἐξετάσαι διαβολικὰς, καὶ πορνικὰ καὶ κατακεκλασμένα μέλη, πολλοὺς εὑρήσει μετὰ ἀκριβείας ταῦτα εἰδότας, καὶ μετὰ πολλῆς αὐτὰ ἀπαγγέλλοντας τῆς ἡδονῆς. ἀλλὰ τίς ἡ ἀπολογία τῶν ἐγκλημάτων; οὐκ εἰμὶ, φησι, τῶν μοναχῶν, ἀλλὰ καὶ γυναῖκα ἔχω καὶ παιδία, καὶ οἰκίας ἐπιμελοῦμαι. τοῦτο γάρ ἐστιν ὃ πάντα ἐλυμήνατο, ὅτι ἐκείνοις μόνοις νομίζετε προσήκειν τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν, πολλῷ πλέον ἐκείνων ὑμεῖς δεόμενοι. τοῖς γὰρ ἐν μέσῳ στρεφομένοις, καὶ καθ᾽ ἑκάστην ἡμέραν τραύματα δεχομένοις, τούτοις μάλιστα δεῖ φαρμάκων. ὥστε τοῦ μὴ ἀναγινώσκειν, πολλῷ χεῖρόν ἐστι καὶ περιττὸν εἶναι τὸ πρᾶγμα νομίζειν. ταῦτα γὰρ σατανικῆς μελέτης τὰ ῥήματα. οὐκ ἀκούετε Παύλου λέγοντος· ὅτι πρὸς νουθεσίαν ἡμῶν ταῦτα πάντα ἐγράφη; σὺ δὲ ἂν μὲν εὐαγγέλιον δέξασθαι δέῃ, χερσὶν ἀνίπτοις οὐκ ἂν ἕλοιο τοῦτο ποιῆσαι· τὰ δὲ ἔνδον ἐγκείμενα οὐχ ἡγῇ σφόδρα " ἀναγκαῖον εἶναι; διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. εἰ γὰρ βούλει μαθεῖν ὅσον τῶν γραφῶν τὸ κέρδος, ἐξέτασον σεαυτὸν, τίς μὲν γίνῃ ψαλμῶν ἀκούων, τίς δὲ σατανικῆς ᾠδῆς· καὶ πῶς διάκεισαι ἐν ἐκκλησίᾳ διατρίβων, καὶ πῶς ἐν θεάτρῳ καθήμενος· καὶ ὄψει πολὺ τὸ μέσον ταύτης κἀκείνης τῆς ψυχῆς, καίτοιγε μιᾶς οὔσης. διὰ τοῦτο Παῦλος ἔλεγε· Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. διὰ τοῦτο συνεχῶν ἡμῖν δεῖ τῶν ἀπὸ τοῦ πνεύματος ἐπῳδῶν. τοῦτο γὰρ τοῦτό ἐστιν, ᾧ τῶν ἀλόγων πλεονεκτοῦμεν, ὡς τῶν γε ἄλλων ἕνεκεν καὶ σφόδρα αὐτῶν ἐλαττούμεθα. τοῦτό ἐστι τροφὴ ψυχῆς, τοῦτο κόσμος, τοῦτο ἀσφάλεια· ὥσπερ οὖν τὸ μὴ ἀκούειν, λιμὸς καὶ φθορά. Δώσω γάρ, φησιν, αὐτοῖς οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. τί γένοιτ᾽ ἂν οὖν ἀθλιώτερον, ὅταν ὅπερ ὁ Θεὸς ἐν τάξει κολάσεως ἀπειλῇ, τοῦτο αὐτομάτως σὺ κατὰ τῆς σαυτοῦ κεφαλῆς ἕλκῃς τὸ κακὸν, λιμόν τινα χαλεπὸν ἐπεισάγων τῇ ψυχῇ, καὶ " πάντων αὐτὴν ἀσθενεστέραν ποιῶν; ἀπὸ γὰρ λόγων καὶ φθείρεσθαι καὶ σώζεσθαι πέφυκε. καὶ γὰρ εἰς ὀργὴν τοῦτο αὐτὴν ἐξάγει, τοῦτο πραΰνει τὸ αὐτὸ τοῦτο πάλιν· καὶ πρὸς ἐπιθυμίαν ἐξῆψε ῥῆμα αἰσχρὸν, καὶ εἰς σωφροσύνην ἤγαγε λόγος σεμνότητος γέμων. εἰ δὲ λόγος " ἁπλῶς τοσαύτην ἔχει τὴν ἰσχὺν, πῶς τῶν γραφῶν καταφρονεῖς, εἰπέ μοι; εἰ γὰρ παραινέσεις τοσαῦτα δύναται, πολλῷ μᾶλλον ὅταν μετὰ πνεύματος ὦσιν αἱ παραινέσεις. καὶ γὰρ πυρὸς μᾶλλον τὴν πεπωρωμένην μαλάττει ψυχὴν, καὶ πρὸς ἅπαντα ἐπιτηδείαν κατασκευάζει τὰ καλὰ λόγος ἀπὸ τῶν θείων ἐκχούμενος γραφῶν. οὕτω καὶ Κορινθίους πεφυσιωμένους λαβὼν ὁ Παῦλος καὶ φλεγμαίνοντας, κατέστειλε καὶ ἐπιεικεστέρους ἐποίησε. καὶ γὰρ ἐφ᾽ οἷς αἰσχύνεσθαι ἔδει καὶ ἐγκαλύπτεσθαι, ἐπὶ τούτοις μέγα ἐφρόνουν. ἀλλ᾽ ἐπειδὴ τὴν ἐπιστολὴν ἐδέξαντο, ἄκουσον αὐτῶν τὴν μεταβολὴν, ἣν αὐτὸς ὁ διδάσκαλος αὐτοῖς ἐμαρτύρησεν, οὕτω λέγων· Αὐτὸ γὰρ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην " εἰργάσατο ἐν ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, * ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. οὕτω καὶ οἰκέτας, καὶ παῖδας, καὶ γυναῖκας καὶ φίλους " ῥυθμίζομεν, καὶ τοὺς ἐχθροὺς φίλους " ποιοῦμεν· οὕτω καὶ οἱ μεγάλοι ἄνδρες [καὶ] τῷ Θεῷ φίλοι * βελτίους ἐγένοντο. καὶ γὰρ ὁ Δαβὶδ μετὰ τὴν ἁμαρτίαν, ἐπειδὴ λόγων ἀπήλαυσε, τότε εἰς τὴν καλλίστην ἐκείνην ἦλθε μετάνοιαν· καὶ οἱ ἀπόστολοι δὲ οὕτω γεγόνασιν ὅπερ γεγόνασι, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπεσπάσαντο. καὶ τί τὸ κέρδος, φησὶν, ὅταν ἀκούσῃ τις, καὶ μὴ ποιῇ τὰ λεγόμενα; οὐ μικρὸν μὲν καὶ ἀπὸ τῆς ἀκροάσεως ἔσται τὸ κέρδος. καὶ γὰρ καταγνώσεται ἑαυτοῦ καὶ στενάξει, καὶ ἥξει ποτὲ καὶ ἐπὶ τὸ ποιεῖν τὰ λεγόμενα· ὁ δὲ μηδ᾽ ὅτι ἥμαρτεν εἰδὼς, πότε ἀποστήσεται τοῦ πλημμελεῖν; πότε καταγνώσεται ἑαυτοῦ; μὴ τοίνυν καταφρονῶμεν τῆς ἀκροάσεως τῶν θείων γραφῶν. σατανικῆς γὰρ ταῦτα διανοίας, οὐκ ἀφιείσης τὸν θησαυρὸν ἰδεῖν, ἵνα μὴ τὸν πλοῦτον κερδάνωμεν. διὰ τοῦτο οὐδὲν εἶναί φησι τὴν ἀκρόασιν τῶν θείων νόμων, ἵνα μὴ τὴν πρᾶξιν ἀπὸ τῆς ἀκροάσεως ἴδῃ προσγινομένην ἡμῖν. εἰδότες τοίνυν

α. Κορ. ιε. λγ.

Αμ. η. ια.

β. Κορ. ζ. ια.

β. Βασ. ιβ. ιγ.

τὴν πονηρὰν ταύτην αὐτοῦ τέχνην, πάντοθεν ἑαυτοὺς ″ἀποτειχίζωμεν· ἵνα τοῖς ὅπλοις τούτοις φραξάμενοι, αὐτοί τε ἀνάλωτοι μένωμεν, καὶ τὴν ἐκείνου βάλωμεν κεφαλήν, καὶ οὕτω λαμπρὰ τὰ νικητήρια ἀναδησάμενοι, τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἐπιτειχίζωμεν.

Ομιλ. γ. ΒΙΒΛΟΣ ΓΕΝΕΣΕΩΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

ὑοῦ Δαβίδ, ὑοῦ Ἀβραάμ.

ΙΔοὺ τρίτη διάλεξις, καὶ τὰ ἐν προοιμίοις οὐδέπω διελυσάμεθα. οὐκ ἄρα μάτην ἔλεγον, ὅτι πολὺ τὸ βάθος ἔχει τῶν νοημάτων τούτων ἡ φύσις. φέρε δὴ τὰ λειπόμενα σήμερον εἴπωμεν. τί ποτ' οὖν ἐστι τὸ ζητούμενον νῦν; τίνος ἕνεκεν ὁ Ἰωσὴφ γενεαλογεῖται, οὐδὲν πρὸς τὴν γέννησιν συντελῶν. καὶ μίαν μὲν αἰτίαν εἰρήκαμεν ἤδη· ἀναγκαῖον δὲ καὶ τὴν ἑτέραν εἰπεῖν τὴν μυστικωτέραν καὶ ἀπορρητοτέραν ἐκείνης. τίς οὖν ἐστιν αὕτη; οὐκ ἐβούλετο τοῖς Ἰουδαίοις εἶναι δῆλον ″παρὰ τὸν τῶν ὠδίνων καιρὸν, ὅτι ἐκ παρθένου γεγέννηται ὁ Χριστός. ἀλλὰ μὴ θορυβεῖσθε πρὸς τὸ παράδοξον τοῦ λεγομένου. οὐδὲ γὰρ ἐμὸς ὁ λόγος, ἀλλὰ πατέρων ἡμετέρων θαυμαστῶν καὶ ἐπισήμων ἀνδρῶν. εἰ γὰρ πολλὰ συνεσκίασεν ἐξ ἀρχῆς, ὑὸν ἀνθρώπου καλῶν ἑαυτὸν, καὶ οὐδὲ τὴν πρὸς τὸν πατέρα ἰσότητα πανταχοῦ σαφῶς ἡμῖν ἐξεκάλυψε, τί θαυμάζεις εἰ καὶ τοῦτο συνεσκίασε τέως, θαυμαστόν τι καὶ μέγα οἰκονομῶν; καὶ ποῖον θαυμαστόν, φησί; τὸ διασωθῆναι τὴν παρθένον, καὶ ὑποψίας ἀπαλλαγῆναι πονηρᾶς. εἰ γὰρ τοῦτο ἐξ ἀρχῆς τοῖς Ἰουδαίοις γέγονε κατάδηλον, ″κἂν κατέλευσαν τὴν παρθένον, κακουργοῦντες τῷ λεγομένῳ, καὶ μοιχείας αὐτὴν ἔκριναν ἄν. εἰ γὰρ ὑπὲρ τῶν ἄλλων, ὧν πολλάκις καὶ ὑποδείγματα εἶχον ἐν τῇ παλαιᾷ, φανερῶς ἠναισχύντουν (καὶ γὰρ ἐπειδὴ δαίμονας ἐξέβαλε, δαιμονῶντα ἐκάλουν, καὶ ἐπειδὴ ἐν σαββάτῳ ἐθεράπευσεν, ἀντίθεον εἶναι ἐνόμιζον, καίτοιγε πολλάκις καὶ πρότερον ἐλύθη τὸ σάββατον) τί οὐκ ἂν εἶπον τούτου λεχθέντος; καὶ γὰρ εἶχον πάντα τὸν πρὸ τούτου συναγωνιζόμενον αὐτοῖς καιρὸν, οὐδέποτέ τι τοιοῦτον ἐνεγκόντα. εἰ γὰρ μετὰ τοσαῦτα σημεῖα ἔτι αὐτὸν τοῦ Ἰωσὴφ ἐκάλουν [ὑὸν,] πῶς ἂν πρὸ τῶν σημείων ἐπίστευσαν ὅτι [καὶ] ἐκ παρθένου ἦν; διὰ δὴ τοῦτο καὶ γενεαλογεῖται, καὶ μνηστεύεται τὴν παρθένον. ὅπου γὰρ ὁ Ἰωσὴφ, καὶ δίκαιος ὢν καὶ θαυμαστὸς ἀνὴρ, πολλῶν ἐδεήθη ὥστε δέξασθαι τὸ γεγενημένον, καὶ ἀγγέλου, καὶ τῆς δι' ὀνειράτων ὄψεως, καὶ τῆς ἀπὸ τῶν προφητῶν μαρτυρίας, πῶς ἂν οἱ Ἰουδαῖοι, καὶ σκαιοὶ ὄντες καὶ διεφθαρμένοι, καὶ πολεμίως οὕτω πρὸς αὐτὸν ἔχοντες, ταύτην ἂν παρεδέξαντο τὴν ὑπόνοιαν; σφόδρα γὰρ αὐτοὺς ἔμελλε θορυβεῖν τὸ ξένον καὶ καινὸν, καὶ τὸ μηδέποτέ τι τοιοῦτον μηδὲ ἀκοῇ παραδέξασθαι ἐπὶ τῶν προγόνων συμβεβηκός. ὁ μὲν γὰρ ἅπαξ πεισθεὶς ὅτι τοῦ Θεοῦ ὑός ἐστιν, ″οὐδὲ περὶ τούτου λοιπὸν ἀμφισβητεῖν εἶχεν· ὁ δὲ καὶ πλάνον καὶ ἀντίθεον αὐτὸν εἶναι νομίζων, πῶς οὐκ ἂν ἀπὸ τούτου καὶ ἐσκανδαλίσθη μειζόνως, καὶ πρὸς ἐκείνην ὡδηγήθη τὴν ὑπόνοιαν; διὰ τοῦτο οὐδὲ οἱ ἀπόστολοι παρὰ τὴν ἀρχὴν εὐθέως τοῦτο λέγουσιν· ἀλλ' ὑπὲρ μὲν τῆς ἀναστάσεως πολλὰ διαλέγονται καὶ πολλάκις, ἐπειδὴ ταύτης ὑποδείγματα ἦν ἐν τοῖς ἔμπροσθεν χρόνοις, εἰ καὶ μὴ τοιαῦτα. ὅτι δὲ ἐκ παρθένου γέγονεν, οὐ συνεχῶς λέγουσιν· ἀλλ' οὐδὲ αὐτὴ ἡ μήτηρ ἐξενεγκεῖν τοῦτο ἐτόλμησεν. ὅρα γοῦν καὶ πρὸς αὐτὸν τί φησιν ἡ παρθένος· Ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ἐζητοῦμέν σε. εἰ γὰρ τοῦτο ὑπωπτεύθη, οὐδ' ἂν τοῦ Δαβὶδ λοιπὸν ἐνομίσθη εἶναι ὑός· τούτου δὲ μὴ νομισθέντος, πολλὰ ἂν ἐτέχθη καὶ ἕτερα κακά. διὰ τοῦτο οὐδὲ οἱ ἄγγελοι πᾶσι ταῦτα λέγουσιν· ἀλλὰ τῇ Μαρίᾳ μόνῃ καὶ

τῷ

γρ. τὸν πρὸ τῶν ὠδίνων καιρόν.

γρ. ἂν

γρ. οὐδὲν

Λουκ. β. μη.

παρὰ Ἰωσὴφ διεσάφησαν· τοῖς δὲ ποιμέσιν εὐαγγελιζόμενοι τὸ γεγεννημένον, οὐκέτι τοῦτο προσέθηκαν. τίνος δὲ ἕνεκεν μνησθεὶς τοῦ Ἀβραὰμ, καὶ εἰπὼν, ὅτι

γρ. [illegible] μνημο- [illegible] τοῦ ἀ- [illegible] αὐτοῦ·

γρ. [illegible]

2 Ἐγέννησε τὸν Ἰσαάκ, καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, οὐκ ἐμνημόνευσε τῶν ἀδελφῶν αὐτῶν· ὅτε δὲ εἰς τὸν Ἰακὼβ ἦλθε, καὶ τοῦ Ἰούδα καὶ τῶν ἀδελφῶν τῶν τούτου μέμνηται; τινὲς μὲν οὖν φασι, διὰ τὸ δύστροπον τοῦ Ἠσαῦ, καὶ τῶν ἄλλων τῶν προτέρων. ἐγὼ δὲ οὐκ ἂν τοῦτο φαίην. εἰ γὰρ τοῦτο ἦν, πῶς μικρὸν ὕστερον τοιούτων μέμνηται γυναικῶν; ἀπὸ γὰρ τῶν ἐναντίων ἐνταῦθα ἡ δόξα αὐτοῦ φαίνεται, οὐκ ἀπὸ τοῦ μεγάλους ἔχειν προγόνους, ἀλλ' ἀπὸ τοῦ μικροὺς καὶ εὐτελεῖς. τῷ γὰρ ὑψηλῷ δόξα πολλὴ, τὸ δυνηθῆναι ταπεινωθῆναι σφόδρα. τίνος οὖν ἕνεκεν οὐκ ἐμνημόνευσεν; ἐπειδὴ κοινὸν οὐδὲν εἶχον ἐκεῖνοι πρὸς τὸ τῶν Ἰσραηλιτῶν γένος, Σαρακηνοὶ καὶ Ἰσμαηλῖται καὶ Ἄραβες, καὶ ὅσοι γεγόνασιν ἐκ τῶν προγόνων ἐκείνων. διὰ δὴ τοῦτο ἐκείνους μὲν ἐσίγησεν, ἐπείγεται δὲ πρὸς τοὺς αὐτοῦ προγόνους, καὶ τοῦ δήμου τοῦ Ἰουδαϊκοῦ. διό φησιν· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.

γρ. Ἀράβιοι,

Ἐνταῦθα γὰρ τὸ τῶν Ἰουδαίων λοιπὸν χαρακτηρίζεται γένος.

3 Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ.

[illegible] μιγεῖς [illegible] τῶν·

Τί ποιεῖς, ὦ ἄνθρωπε, ἱστορίας ἡμᾶς ἀναμιμνήσκων * παράνομον μίξιν ἐχούσης; καὶ τί τοῦτο, φησιν; εἰ μὲν γὰρ ἀνθρώπου κατελέγομεν γένος ψιλοῦ, εἰκότως ἂν ταῦτά τις ἐσίγησεν· εἰ δὲ Θεοῦ σαρκωθέντος, οὐ μόνον οὐ σιγᾶν, ἀλλὰ καὶ ἐκπομπεύειν αὐτὰ χρὴ, δεικνύντα αὐτοῦ τὴν κηδεμονίαν καὶ τὴν δύναμιν. διὰ γὰρ τοῦτο ἦλθεν, οὐχ ἵνα φύγῃ τὰ ὀνείδη τὰ ἡμέτερα, ἀλλ' ἵνα αὐτὰ ἀνέλῃ. ὥσπερ οὖν οὐκ ἐπειδὴ ἀπέθανεν, ἀλλ' ἐπειδὴ καὶ ἐσταυρώθη, μᾶλλον θαυμάζεται, καίτοι ἐπονείδιστον τὸ πρᾶγμα, ἀλλ' ὅσῳ ἐπονείδιστον τὸ πρᾶγμα, τοσούτῳ φιλάνθρωπον αὐτὸν δείκνυσιν· οὕτω καὶ ἐπὶ τῆς γεννήσεώς ἐστιν εἰπεῖν, οὐκ ἐπειδὴ σάρκα ἀνέλαβε καὶ ἄνθρωπος ἐγένετο, θαυμάζειν αὐτὸν δίκαιον μόνον, ἀλλ' ὅτι καὶ τοιούτους συγγενεῖς κατηξίωσεν ἔχειν, οὐδαμοῦ τὰ ἡμέτερα ἐπαισχυνόμενος κακά. καὶ τοῦτο διὰ αὐτῶν τῆς γεννήσεως ἐκήρυττε τῶν προοιμίων, ὅτι οὐδὲν ἐπαισχύνεται τῶν ἡμετέρων, παιδεύων καὶ ἡμᾶς διὰ τούτων μηδέποτε ἐγκαλύπτεσθαι ἐπὶ τῇ τῶν προγόνων κακίᾳ, ἀλλ' ἓν μόνον ἐπιζητεῖν, τὴν ἀρετήν. ὁ γὰρ τοιοῦτος, κἂν ἀλλόφυλον ἔχῃ πρόγονον, κἂν πεπορνευμένην μητέρα, κἂν ὁποιῶν ἕτερον οὖσαν, οὐδὲν παραβλαβῆναι δυνήσεται. εἰ γὰρ αὐτὸν τὸν πόρνον μεταβληθέντα οὐδὲν ὁ πρότερος αἰσχύνει βίος, πολλῷ μᾶλλον τὸν ἐκ πόρνης καὶ μοιχαλίδος ἐνάρετον ὄντα, οὐδὲν ἡ τῶν προγόνων κακία καταισχῦναι δυνήσεται. οὐχ ἡμᾶς δὲ μόνον ταῦτα παιδεύων ἐποίει· ἀλλὰ καὶ Ἰουδαίων καταστέλλων τὸ φύσημα. ἐπειδὴ γὰρ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντες ἐκεῖνοι, τὸν Ἀβραὰμ ἄνω καὶ κάτω περιέφερον, νομίζοντες ἔχειν ἀπολογίαν, τὴν τῶν προγόνων ἀρετὴν, δείκνυσιν ἐξ αὐτῶν τῶν προοιμίων, ὅτι οὐκ ἐπὶ τούτοις αὐχεῖν δεῖ, ἀλλ' ἐπὶ τοῖς οἰκείοις κατορθώμασι. μετὰ τοῦτο καὶ ἕτερον κατασκευάζει, τὸ δεῖξαι πάντας ὑπευθύνους ἁμαρτήμασιν ὄντας, καὶ τοὺς προγόνους αὐτούς. ὁ γοῦν πατριάρχης αὐτῶν καὶ ὁμώνυμος, οὐ μικρὸν φαίνεται ἡμαρτηκώς. καὶ γὰρ ἐφέστηκεν ἡ Θάμαρ κατηγοροῦσα αὐτοῦ τὴν πορνείαν. καὶ ὁ Δαβὶδ δὲ ἀπὸ τῆς πορνευθείσης γυναικὸς τὸν Σολομῶντα ἐκτήσατο. εἰ δὲ ὑπὸ τῶν μεγάλων ὁ νόμος οὐκ ἐπληρώθη, πολλῷ μᾶλλον * ὑπὸ τῶν ἐλαττόνων. εἰ δὲ οὐκ ἐπληρώθη, πάντες ἥμαρτον, καὶ ἀναγκαία γέγονεν ἡ τοῦ Χριστοῦ παρουσία. Διὰ τοῦτο καὶ τῶν δώδεκα πατριαρχῶν ἐμνημόνευσε, κἀντεῦθεν πάλιν τὸ ἐπὶ τῇ τῶν προγόνων εὐγενείᾳ φύσημα κατασπῶν. καὶ γὰρ πολλοὶ τούτων ἀπὸ δουλίδων ἦσαν τεχθέντες γυναικῶν· ἀλλ' ὅμως ἡ τῶν γονέων διαφορὰ, διαφορὰν τοῖς τεχθεῖσιν οὐκ ἐποίησε. πάντες γὰρ ὁμοίως ἦσαν καὶ πατριάρχαι καὶ φύλαρχοι. τοῦτο γὰρ τῆς ἐκκλησίας ἐστὶ τὸ προτέρημα, αὕτη τῆς παρ' ἡμῖν εὐγενείας ἡ προεδρία, ἄνωθεν τὸν τύπον λαμβάνουσα. ὥστε, κἂν δοῦλος ᾖς, κἂν ἐλεύθερος, οὐδέν σοι πλέον, οὐδὲν ἔλαττον ἐντεῦθεν γίνεται, ἀλλ' ἕν ἐστι τὸ ζητούμενον,

πούμενον, ἡ γνώμη καὶ ὁ τῆς ψυχῆς τρόπος. ἔστι δέ τι μετὰ τῶν εἰρημένων καὶ ἕτερον, δι' ὃ καὶ
τῆς ἱστορίας ταύτης ἐμνημόνευσεν. οὐδὲ γὰρ ἁπλῶς προσέρριπται τῷ Φαρὲς ὁ Ζαρά.
καὶ γὰρ περιέλκον ἦν καὶ περιττὸν τοῦ Φαρὲς μεμνημένον, ἀφ' οὗ τὸν Κύριον ἔμελλε γενεαλογεῖν,
καὶ τοῦ Ζαρὰ μνησθῆναι πάλιν. τίνος οὖν ἕνεκεν ἐμνήσθη; ἡνίκα ἔμελλεν αὐτοὺς τίκτειν ἡ Θά-
μαρ, τῶν ὠδίνων διαγενομένων, ἐξήνεγκε″ πρῶτον ὁ Ζαρὰ τὴν χεῖρα. εἶτα ἡ μαῖα θεα- γρ. πρῶτ
σαμένη τοῦτο, ὥστε γνώριμον εἶναι τὸν πρῶτον, κοκκίνῳ τὴν χεῖρα ἔδησεν. ὡς δὲ ἐδέθη, συν-
έστειλε τὸ παιδίον τὴν χεῖρα, καὶ συστείλαντος ἐκείνου προῆλθεν ὁ Φαρές, καὶ τότε ὁ Ζα-
Γεν. λη. κθ. ρά. ταῦτα ἰδοῦσα ἡ μαῖα, φησίν· Τί διεκόπη διὰ σὲ φραγμός; εἶδες μυστηρίων αἰνίγματα;
οὐ γὰρ ἁπλῶς ταῦτα ἡμῖν ἀναγέγραπται. οὐδὲ γὰρ ἱστορίας ἄξιον ἦν τὸ μαθεῖν, τί ποτε ἐφθέγξατο
ἡ μαῖα· οὐδὲ διηγήσεως, τὸ γνῶναι, ὅτι τὴν χεῖρα προεθήκατο πρῶτος ὁ δεύτερος ἐξελθών. τί οὖν
ἐστι τὸ αἴνιγμα; πρῶτον ἀπὸ τῆς προσηγορίας τοῦ παιδίου μανθάνομεν τὸ ζητούμενον. τὸ γὰρ
Φαρές, διαίρεσίς ἐστι καὶ διακοπή. ἔπειτα ἀπ' αὐτοῦ τοῦ συμβάντος. οὐδὲ γὰρ φυσικῆς ἀκολουθίας
ἦν, τὴν χεῖρα″ ἐκβαλόντα συστεῖλαι πάλιν δεθέντα. οὐδὲ γὰρ κινήσεως ἦν λογικῆς ταῦτα, ″οὐδὲ γρ. ἐκβαλόντα
ἀπὸ φυσικῆς γέγονεν ἀκολουθίας.″ προεκπεσούσης μὲν γὰρ τῆς χειρὸς ἕτερον προεξελθεῖν, ἴ- γρ. ἀλλ'
σως φυσικόν· τὸ δὲ συστεῖλαι ταύτην, καὶ ἑτέρῳ δοῦναι πάροδον, οὐκ ἔτι κατὰ τὸν τῶν τικτομέ- γρ. προεξελ-
νων νόμον ἦν, ἀλλ' ἡ τοῦ Θεοῦ χάρις παρῆν τοῖς παιδίοις ταῦτα οἰκονομοῦσα, καὶ εἰκόνα ἡ- θούσης
μῖν τινα τῶν μελλόντων ὑπογράφουσα δι' αὐτῶν. τί οὖν φασί τινες τῶν ταῦτα ἀκριβῶς ἐξητα-
κότων; ὅτι τῶν δύο λαῶν τύπος ἐστὶ ταῦτα τὰ παιδία. εἶτα ἵνα μάθῃς, ὅτι τοῦ δευτέρου λαοῦ ἡ
πολιτεία προεξέλαμψε τῆς τοῦ προτέρου γεννήσεως, τὴν χεῖρα ἐκτεινομένην ἔχον τὸ
παιδίον, οὐχ ὁλόκληρον ἑαυτὸ δείκνυσιν, ἀλλὰ καὶ αὐτὴν συστέλλει πάλιν· καὶ μετὰ τὸ ὁλόκλη-
ρον ἐξολισθῆσαι τὸν ἀδελφόν, τότε καὶ αὐτὸς ὅλος φαίνεται· ὃ καὶ ἐπὶ τῶν λαῶν ἀμφοτέρων
γέγονε. τῆς γὰρ πολιτείας τῆς ἐκκλησιαστικῆς ἐν τοῖς κατὰ τὸν Ἀβραὰμ χρόνοις φανείσης, εἶ-
τα ἐν τῷ μέσῳ συσταλείσης, ἦλθεν ὁ Ἰουδαϊκὸς λαὸς καὶ ἡ νομικὴ πολιτεία, καὶ τότε ὁλόκληρος
ὁ νέος ἐφάνη λαὸς μετὰ τῶν αὐτοῦ νόμων. διὸ καὶ ἡ μαῖά φησιν· Τί διεκόπη διὰ σὲ φραγμός; ὅτι τὴν
ἐλευθερίαν τῆς πολιτείας ἐπεισελθὼν ὁ νόμος διέκοψε. καὶ γὰρ φραγμὸν ἀεὶ τὸν νόμον ἡ γραφὴ
Ψαλ. πθ. ια. ιβ. καλεῖν εἴωθεν. ὥσπερ καὶ ὁ προφήτης Δαβίδ φησι· Καθεῖλες τὸν φραγμὸν αὐτοῦ, καὶ τρυγῶσιν
Ησ. ε. β. αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. καὶ [ὁ Ἡσαΐας, Καὶ] φραγμὸν″ αὐτῇ περιέθηκα. καὶ ὁ γρ. αὐτὴν
Ἐφ. β. ιδ. *Παῦλος, Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. ἄλλοι δὲ τό, τί διεκόπη διὰ σὲ φραγμός; ἐπὶ * παύσοφ
τοῦ νέου φασὶν εἰρῆσθαι λαοῦ. οὗτος γὰρ παραγενόμενος τὸν νόμον κατέλυσεν. ὁρᾷς ὡς οὐκ ὀλίγων
οὐδὲ μικρῶν ἕνεκεν ἐμνημόνευσε τῆς κατὰ τὸν Ἰούδαν ἱστορίας ἁπάσης; διὰ τοῦτο καὶ τῆς Ῥοὺθ καὶ τῆς
Ῥαὰβ μέμνηται, τῆς μὲν ἀλλοφύλου, τῆς δὲ πόρνης, ἵνα μάθῃς, ὅτι πάντα ἦλθε τὰ κακὰ
λύσων τὰ ἡμέτερα. ὡς γὰρ ἰατρός, οὐχ ὡς δικαστὴς παραγέγονεν. ὥσπερ οὖν πόρνας ἔλαβον
γυναῖκας ἐκεῖνοι· οὕτω καὶ ὁ Θεὸς τὴν φύσιν τὴν ἐκπορνεύσασαν ἡρμόσατο ἑαυτῷ. ὃ καὶ οἱ
προφῆται ἄνωθεν προλέγουσιν ἐπὶ τῆς συναγωγῆς γεγονέναι. ἀλλ' ἐκείνη μὲν ἀγνώμων γε-
γένηται περὶ τὸν συνοικήσαντα· ἡ δὲ ἐκκλησία ἅπαξ ἀπαλλαγεῖσα τῶν πατρῴων κακῶν,
ἔμεινεν ἀσπαζομένη τὸν νυμφίον. ὅρα γοῦν καὶ τὰ ἐπὶ τῆς Ῥοὺθ″ γινόμενα ἐοικότα τοῖς ἡμετέ-
ροις. αὕτη γὰρ ἀλλόφυλός τε ἦν, καὶ εἰς ἐσχάτην κατηνέχθη πενίαν. ἀλλ' ὅμως ἰδὼν αὐ- γρ. γιν.
τὴν ὁ Βοόζ, οὔτε τῆς πενίας κατεφρόνησεν, οὔτε τὴν δυσγένειαν ἐβδελύξατο. ὥσπερ οὖν καὶ
ὁ Χριστὸς τὴν ἐκκλησίαν δεξάμενος, καὶ ἀλλόφυλον, καὶ ἐν πενίᾳ πολλῇ, τῶν μεγάλων ἀ-
γαθῶν ἔλαβεν αὐτὴν κοινωνόν. ἀλλ' ὥσπερ″ αὕτη εἰ μὴ πρότερον ἀφῆκε πατέρα, καὶ ἠ- γρ. αὐτὴ
τίμασεν οἰκίαν καὶ γένος καὶ πατρίδα καὶ συγγενεῖς, οὐκ ἂν ἐπέτυχε τῆς ἀγχιστείας ταύτης· οὕ-
τω καὶ ἡ ἐκκλησία τὰ πατρῷα ἔθη καταλιποῦσα, τότε ἐπέραστος ἐγένετο τῷ νυμφίῳ. ὅπερ
Ψαλμ. μδ. ιβ. οὖν καὶ ὁ προφήτης [αὐτῇ] διαλεγόμενός φησιν· Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πα-
τρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· τοῦτο καὶ ἡ Ῥοὺθ ἐποίησε. διὰ τοῦτο καὶ

μήτηρ ἐγένετο βασιλέων, ὥσπερ οὖν καὶ ἡ ἐκκλησία. καὶ γὰρ ἐκ ταύτης ἐστὶν ὁ Δαβίδ. διὰ δὴ τούτων πάντων ἐντρέπων αὐτούς, καὶ πείθων μὴ μέγα φρονεῖν, τήν τε γενεαλογίαν συνέθηκε, καὶ τὰς γυναῖκας ταύτας εἰς μέσον ἤγαγε. καὶ γὰρ τὸν βασιλέα τὸν μέγαν αὕτη διὰ τῶν μέσων ἐγέννησε. καὶ οὐκ αἰσχύνεται ὁ Δαβὶδ ἐπὶ τούτοις. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὔτε ἐξ ἀρετῆς, οὔτε ἀπὸ κακίας προγόνων εἶναι σπουδαῖον, ἢ φαῦλον, ἢ ἄσημον, ἢ λαμπρόν· ἀλλ' εἰ χρή τι καὶ παράδοξον εἰπεῖν, ἐκεῖνος ἐκλάμπει μειζόνως, ὁ μὴ [ἐκ] τῶν σπουδαίων προγόνων ὤν, γινόμενος δὲ ἀγαθός.

Μηδεὶς τοίνυν ἐπὶ τούτοις μέγα φρονείτω· ἀλλ' ἐννοήσας τοῦ δεσπότου τοὺς προγόνους, τὸ φύσημα ἅπαν κενούτω, καὶ ἐπὶ κατορθώμασι μέγα φρονείτω· μᾶλλον δὲ μηδὲ ἐπὶ τούτοις. οὕτω γὰρ καὶ ὁ Φαρισαῖος τοῦ τελώνου γέγονεν ὕστερος. εἰ γὰρ βούλει μέγα δεῖξαι τὸ κατόρθωμα, μὴ μέγα φρόνει, καὶ τότε τοῦτο μεῖζον ἀπέφηνας· μὴ νομίσῃς τι πεποιηκέναι, καὶ τὸ πᾶν εἰργάσω. εἰ γάρ, ὅταν ἁμαρτωλοὶ ὦμεν, ἂν νομίσωμεν τοῦτο εἶναι ὅπερ ἐσμέν, δίκαιοι γινόμεθα, ὥσπερ οὖν καὶ ὁ τελώνης· πόσῳ μᾶλλον, ὅταν δίκαιοι ὄντες ἁμαρτωλοὺς ἑαυτοὺς εἶναι νομίζωμεν; εἰ γὰρ ἐξ ἁμαρτωλῶν δικαίους ποιεῖ τὸ ταπεινοφρονεῖν (καίτοιγε οὐδὲ ταπεινοφροσύνη ἦν ἐκεῖνο, ἀλλ' εὐγνωμοσύνη) εἰ οὖν εὐγνωμοσύνη τοσοῦτον δύναται ἐπὶ ἁμαρτωλῶν, ἡ ταπεινοφροσύνη σκόπησον ἐπὶ δικαίων τί οὐκ ἐργάσεται; μὴ τοίνυν λυμήνῃ τοὺς πόνους, μηδὲ ἀποτέμνε τοὺς ἱδρῶτας, μηδὲ εἰκῇ δράμῃς, μετὰ τοὺς μυρίους διαύλους πάντα κενῶν τὸν πόνον. καὶ γάρ σου μᾶλλον οἶδε τὰ κατορθώματα ὁ δεσπότης τὰ σά. κἂν ποτήριον ψυχροῦ δῷς, οὐδὲ τοῦτο παρορᾷ· κἂν ὀβολὸν καταβάλῃς, κἂν στενάξῃς μόνον, μετὰ πολλῆς πάντα δέχεται τῆς εὐνοίας, καὶ μέμνηται, καὶ μεγάλους αὐτοῖς ὁρίζει μισθούς. τίνος δὲ ἕνεκεν ἐξετάζεις τὰ σά, καὶ φέρεις ἡμῖν εἰς μέσον διηνεκῶς; οὐκ οἶδας, ὅτι ἐὰν ἐπαινέσῃς σαυτόν, οὐκ ἔτι σε ὁ Θεὸς ἐπαινέσεται; ὥσπερ οὖν, ἂν ταλανίσῃς [σαυτόν,] οὐ παύσεταί σε παρὰ πᾶσιν ἀνακηρύττων. οὐδὲ γὰρ βούλεταί σου τοὺς πόνους ἐλαττωθῆναι· καὶ τί λέγω ἐλαττωθῆναι; πάντα μὲν οὖν ποιεῖ καὶ πραγματεύεται, ὥστε καὶ ἀπὸ μικρῶν σε στεφανωθῆναι· καὶ περιΐεισι προφάσεις ζητῶν, δι' ὧν δυνήσῃ ἀπαλλαγῆναι τῆς γεέννης. διὰ τοῦτο κἂν ἑνδεκάτην ὥραν ἐργάσῃ τῆς ἡμέρας, ὁλόκληρον τὸν μισθὸν δίδωσι. κἂν μηδεμίαν ἔχῃς ἀφορμὴν σωτηρίας, φησί, δι' ἐμὲ ποιῶ, ὅπως μὴ τὸ ὄνομά μου βεβηλωθῇ. κἂν στενάξῃς μόνον, κἂν δακρύσῃς, ἁρπάζει ταῦτα πάντα ταχέως εἰς ἀφορμὴν τῆς σῆς σωτηρίας αὐτός. μὴ τοίνυν ἐπαιρώμεθα· ἀλλὰ [καὶ] λέγωμεν ἑαυτοὺς ἀχρείους, ἵνα γενώμεθα εὔχρηστοι. ἂν μὲν γὰρ σὺ εἴπῃς σαυτὸν εὐδόκιμον, γέγονας ἄχρηστος, κἂν εὐδόκιμος ᾖς· ἂν δὲ ἀχρεῖον ὀνομάσῃς, γέγονας εὔχρηστος, κἂν ἀδόκιμος ᾖς. διὸ ἀναγκαῖον ἐπιλαθέσθαι κατορθωμάτων. καὶ πῶς δυνατὸν τοῦτο, φησιν, ἅπερ ἐπιστάμεθα, ταῦτα μὴ εἰδέναι; τί λέγεις; προσκρούων διηνεκῶς τῷ δεσπότῃ τρυφᾷς καὶ γελᾷς, καὶ οὐδὲ οἶδας ὅτι ἥμαρτες, λήθῃ παραδοὺς πάντα· κατορθωμάτων δὲ οὐ δύνασαι ἐκβαλεῖν τὴν μνήμην; καίτοι ἰσχυρότερος ὁ φόβος. ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν. καθ' ἑκάστην μὲν [γὰρ] ἡμέραν προσκρούοντες οὐδὲ εἰς νοῦν βαλλόμεθα· ἂν δὲ μικρὸν ἀργύριον πένητι δῶμεν, ἄνω καὶ κάτω τοῦτο στρέφομεν· ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας, καὶ μεγίστη τοῦ συλλέγοντος ζημία. ἀσφαλὲς γὰρ ταμεῖον κατορθωμάτων, λήθη κατορθωμάτων. καὶ καθάπερ τὰ ἱμάτια καὶ ὁ χρυσός, ὅταν μὲν ἐπ' ἀγορᾶς ταῦτα προθῶμεν, πολλοὺς ἐπισπώμεθα τοὺς ἐπιβούλους, ἂν δὲ ἀποθώμεθα οἴκοι καὶ κατακρύψωμεν, ἐν ἀσφαλείᾳ καταθήσομεν ἅπαντα· οὕτω δὴ καὶ τὰ κατορθώματα, ἂν μὲν συνεχῶς ἐπὶ τῆς μνήμης φέρωμεν, παροξύνομεν τὸν δεσπότην, τὸν ἐχθρὸν ὁπλίζομεν, ἐπὶ τὴν κλοπὴν καλοῦμεν· ἂν δὲ μηδεὶς εἰδῇ αὐτά, ἀλλ' ὃν εἰδέναι χρὴ μόνον, ἐν ἀσφαλείᾳ κείσεται. μὴ τοίνυν περίστρεφε συνεχῶς, ἵνα μή τις αὐτὰ ἀφέληται, μηδὲ πάθῃς ὃ καὶ ὁ Φαρισαῖος ἔπαθεν, ἐπὶ τῆς γλώττης αὐτὰ περιφέρων. ὅθεν καὶ ἥρπασεν αὐτὰ ὁ

ΗΘΙΚΟΝ

Ἐζ. λϛ. κβ λϛ.

διάβολος· καίτοιγε μετὰ″ εὐχαριστίας αὐτῶν ἐμέμνητο, καὶ τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ. ἀλλ' οὐδὲ τοῦτο ἤρκεσεν αὐτῷ. οὐ γὰρ″ εὐχαριστίας τὸ ὀνειδίζειν ἑτέροις, τὸ φιλοτιμεῖσθαι ἐπὶ πολλοῖς, τὸ κατεξανίστασθαι τῶν πεπλημμεληκότων. εἰ γὰρ εὐχαριστεῖς τῷ Θεῷ, ἀρκέσθητι μόνον αὐτῷ, καὶ μὴ ἐξενέγκῃς εἰς ἀνθρώπους, μηδὲ καταδικάσῃς τὸν πλησίον. οὐ γάρ ἐστι τοῦτο″ εὐχαριστίας. βούλει μαθεῖν εὐχαριστίας λόγους; ἄκουσον τῶν τριῶν παίδων λεγόντων· ἡμάρτομεν, ἠνομήσαμεν, δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν οἷς ἐποίησας″ ἡμῖν, ὅτι ἐν ἀληθινῇ κρίσει πάντα ἐπήγαγες. τὸ γὰρ τὰ οἰκεῖα ἁμαρτήματα ὁμολογεῖν, τοῦτό ἐστιν εὐχαριστεῖν τῷ Θεῷ ὁμολογοῦντα, ὅπερ δείκνυσι μυρίων μὲν αὐτὸν ὄντα ὑπεύθυνον, οὐκ ἀπαιτούμενον δὲ τὴν ἀξίαν δίκην. οὗτος μάλιστά ἐστιν ὁ εὐχαριστῶν. φυλαξώμεθα τοίνυν τὸ περὶ ἑαυτῶν τι λέγειν. τοῦτο γὰρ καὶ παρὰ ἀνθρώποις μισητούς, καὶ παρὰ Θεῷ″ βδελυρούς ἐργάζεται. διὰ τοῦτο ὅσῳ ἂν μεγάλα κατορθώσωμεν, τοσούτῳ μικρὰ περὶ ἑαυτῶν λέγωμεν. οὕτω γὰρ μεγίστην καρπωσόμεθα δόξαν, καὶ παρὰ ἀνθρώποις, καὶ παρὰ Θεῷ· μᾶλλον δὲ οὐ δόξαν μόνον παρὰ Θεῷ, ἀλλὰ καὶ μισθὸν καὶ ἀντίδοσιν μεγάλην. μὴ τοίνυν ἀπαίτει μισθόν, ἵνα λάβῃς″ μισθόν. χάριτι ὁμολόγει σώζεσθαι, ἵνα σοι αὐτὸς ὀφειλέτην ἑαυτὸν ὁμολογήσῃ, οὐχὶ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῆς τοιαύτης εὐγνωμοσύνης. ὅταν μὲν γὰρ κατορθῶμεν, τῶν κατορθωμάτων ὀφειλέτην ἔχομεν μόνον· ὅταν δὲ″ μὴ ἡγώμεθά τι κατωρθωκέναι, καὶ αὐτοῦ τοῦ οὕτω διακεῖσθαι, καὶ μειζόνως ἢ ἐκείνων. ὥστε ἀντίρροπον τῶν κατορθωμάτων τοῦτό ἐστιν. ἂν γὰρ μὴ τοῦτο παρῇ*, οὐδὲ ἐκεῖνα φανεῖται μεγάλα. καὶ γὰρ καὶ ἡμεῖς οἰκέτας ἔχοντες, τότε αὐτοὺς μάλιστα ἀποδεχόμεθα, ὅταν πάντα μετ' εὐνοίας διακονησάμενοι, μηδὲν ἡγῶνται πεποιηκέναι μέγα. ὥστε εἰ βούλει καὶ σὺ μεγάλα σου ποιῆσαι τὰ κατορθώματα, μὴ νόμιζε αὐτὰ εἶναι μεγάλα, καὶ τότε ἔσται μεγάλα. οὕτω καὶ ὁ ἑκατοντάρχης ἔλεγεν· Οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. διὰ τοῦτο ἄξιος γέγονε, καὶ ὑπὲρ πάντας Ἰουδαίους ἐθαυμάζετο. οὕτω καὶ Παῦλος λέγων, Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διὰ τοῦτο πρῶτος πάντων ἐγένετο. οὕτω καὶ Ἰωάννης, Οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος, διὰ τοῦτο καὶ φίλος ἦν τοῦ νυμφίου, καὶ τὴν χεῖρα, ἣν ἀναξίαν ἔφησεν εἶναι τῶν ὑποδημάτων, ταύτην ὁ Χριστὸς ἐπὶ τὴν κεφαλὴν εἵλκυσε τὴν ἑαυτοῦ. οὕτω καὶ ὁ Πέτρος ἔλεγεν· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι*. διὰ τοῦτο θεμέλιος τῆς ἐκκλησίας γέγονεν. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τὸ μετὰ τῶν ἐσχάτων ἁμαρτωλῶν ἑαυτὸν ἀριθμεῖν. τοῦτο φιλοσοφίας πάσης ἀρχή. ὁ γὰρ* τεταπεινωμένος καὶ συντετριμμένος οὐ κενοδοξήσει, οὐκ ὀργιεῖται, οὐ φθονήσει τῷ πλησίον, οὐκ ἄλλο τι δέξεται πάθος. οὐδὲ γὰρ χεῖρα συντετριμμένην, κἂν μυριάκις φιλονεικήσωμεν, εἰς ὕψος ἆραι δυνησόμεθα. ἂν τοίνυν καὶ τὴν ψυχὴν οὕτω συντρίψωμεν, κἂν μυρία αὐτὴν ἐπαίρῃ φυσῶντα [τὰ] πάθη, οὐδὲ μικρὸν ἀρθῆναι δυνήσεται. εἰ γὰρ ὁ ὑπὲρ βιωτικῶν τις πενθῶν πραγμάτων, πάντα ἐξορίζει τὰ νοσήματα τῆς ψυχῆς· πολλῷ μᾶλλον ὁ ὑπὲρ ἁμαρτιῶν τοῦτο ποιῶν, ἀπολαύσεται τῆς φιλοσοφίας. καὶ τίς οὕτω δυνήσεται συντρῖψαι τὴν ἑαυτοῦ καρδίαν, φησίν; ἄκουσον τοῦ Δαβὶδ τοῦ διὰ τοῦτο μάλιστα λάμψαντος, καὶ″ εἴσῃ αὐτοῦ τὴν συντριβὴν τῆς ψυχῆς. μετὰ γὰρ μυρία κατορθώματα καὶ πατρίδος καὶ οἰκίας, καὶ αὐτῆς μέλλων ἐκπίπτειν τῆς ζωῆς, παρ' αὐτὸν τὸν καιρὸν τῆς συμφορᾶς, στρατιώτην εὐτελῆ καὶ ἀπερριμμένον ὁρῶν ἐπεμβαίνοντα αὐτοῦ τῷ καιρῷ καὶ λοιδορούμενον, οὐ μόνον οὐκ ἀντελοιδόρησεν, ἀλλὰ καὶ τῶν στρατηγῶν τινα βουλόμενον αὐτὸν ἀνελεῖν διεκώλυσεν, εἰπών· Ἄφετε αὐτόν, ὅτι ὁ Κύριος ἐνετείλατο αὐτῷ. καὶ πάλιν, τῶν ἱερέων ἀξιούντων μετ' αὐτοῦ τὴν κιβωτὸν συμπεριφέρειν, ″οὐ κατεδέξατο· ἀλλὰ τί″ φησιν; Ἀπόστρεψον τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς τὴν πόλιν, καὶ καθισάτω εἰς τὸν τόπον αὐτῆς. ἐὰν εὕρω χάριν ἐνώπιον Κυρίου, καὶ ἀπαλλάξῃ με τῶν ἐν χερσὶ δεινῶν ὁ Θεός, ὄψομαι τὴν εὐπρέπειαν αὐτῆς· ἂν δὲ εἴπῃ μοι, οὐ τεθέλη-

κα

Ματθ. η. η.
α. Κορ. ιε. θ.
Ματθ. γ. ια
Λουκ. ε. η.
β. Βασ. ιϛ. ια.
β. Βασ. ιε. κε.

γρ. χαρᾶς
γρ. -σία
γρ. εὐχαριστ.
γρ. -μᾶς,
γρ. βδελυκ.
γρ. αὐτόν.
γρ. μηδὲ
*τι κατόρθω- μα,
*Κύριε.
*οὕτω
γρ. βλέπε
γρ. οὐκ ἐδέξ- το. φησιν; τοῦ ναοῦ σω κἂν αἰ λά;

κα σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. τὸ δὲ ἐπὶ τοῦ Σαοὺλ καὶ ἅπαξ καὶ δὶς δὲ καὶ πολλάκις γεγενημένον, ποίαν οὐκ ἐνδείκνυται φιλοσοφίας ὑπερβολήν; καὶ γὰρ [καὶ] τὸν παλαιὸν ὑπερέβη νόμον, καὶ τῶν ἀποστολικῶν ἐγγὺς ἐγένετο προσταγμάτων. διὰ τοῦτο πάντα ἔστεργε τὰ παρὰ τοῦ δεσπότου, οὐ δικάζων τοῖς γινομένοις· ἀλλ' ἓν μόνον σπουδάζων, πανταχοῦ πείθεσθαι καὶ ἕπεσθαι τοῖς παρ' αὐτοῦ κειμένοις νόμοις. καὶ ὁρῶν μετὰ τοσαῦτα αὐτοῦ κατορθώματα τὸν τύραννον, τὸν πατραλοίαν, τὸν ἀδελφοκτόνον, τὸν ὑβριστήν, τὸν μαινόμενον ἀντ' αὐτοῦ τὴν αὐτοῦ ἔχοντα βασιλείαν, οὐδὲ οὕτως ἐσκανδαλίζετο· ἀλλ', ἂν τῷ Θεῷ ταῦτα δοκῇ, φησίν, ἐμὲ μὲν ἐλαύνεσθαι [καὶ πλανᾶσθαι] καὶ φεύγειν, ἐκεῖνον δὲ εἶναι ἐν τιμῇ, στέργω καὶ δέχομαι, καὶ χάριν ἔχω τῶν μυρίων αὐτοῦ καλῶν· οὐχ ὡς πολλοὶ τῶν ἀναισχύντων καὶ ἰταμῶν, οὐδὲ τὸ πολλοστὸν κατορθοῦντες τῶν ἐκείνῳ κατορθωμένων, ἂν ἴδωσί τινας ἐν εὐημερίαις ὄντας, ἑαυτοὺς δὲ μικρὰν ὑπομείναντας ἀθυμίαν, μυρίαις τὰς ἑαυτῶν ψυχὰς ἀπολλύουσι βλασφημίαις. ἀλλ' οὐχ ὁ Δαβὶδ τοιοῦτος, ἀλλὰ πᾶσαν ἐπεδείκνυτο ἐπιείκειαν. διὸ καὶ ἔλεγεν ὁ Θεός· Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου. (Ψαλμ. οθ. γ. κ.) τοιαύτην καὶ ἡμεῖς κτησώμεθα ψυχήν, καὶ ὅπερ ἂν πάθωμεν, οἴσομεν ῥᾳδίως, καὶ πρὸ τῆς βασιλείας ἐντεῦθεν καρπωσόμεθα τῆς ταπεινοφροσύνης τὴν πρόσοδον. Μάθετε γάρ, φησίν, ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. (Ματθ. ια. κθ.) ἵν' οὖν ἀπολαύσωμεν ἀναπαύσεως καὶ ἐνταῦθα καὶ ἐκεῖ, μετὰ πολλῆς [τῆς] σπουδῆς τὴν πάντων μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην λέγω, ἐν ταῖς ἑαυτῶν φυτεύσωμεν ψυχαῖς. οὕτω γὰρ καὶ τὸ τοῦ βίου τούτου πέλαγος χωρὶς κυμάτων δυνησόμεθα διαβῆναι, καὶ εἰς τὸν γαληνὸν ἐκεῖνον καταπλεῦσαι λιμένα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. δ. 17 ΠΑΣΑΙ ΟΥΝ ΑΙ ΓΕΝΕΑΙ ΑΠΟ ΑΒΡΑΑΜ

ἕως Δαβίδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες.

Εἰς τρεῖς διεῖλε μοίρας τὰς γενεὰς ἁπάσας, δεικνὺς ὅτι οὐδὲ τῶν πολιτειῶν μεταβληθεισῶν ἐγένοντο βελτίους· ἀλλὰ καὶ ἀριστοκρατούμενοι, καὶ βασιλευόμενοι, καὶ ὀλιγαρχούμενοι, ἐν τοῖς αὐτοῖς ἦσαν κακοῖς· καὶ οὔτε δημαγωγῶν, οὔτε ἱερέων, οὔτε βασιλέων αὐτοὺς διεπόντων, ἔσχον τι πλέον εἰς ἀρετῆς λόγον. τίνος δὲ ἕνεκεν ἐν μὲν τῇ μέσῃ μοίρᾳ τρεῖς παρέδραμε βασιλεῖς· ἐν δὲ τῇ ἐσχάτῃ δώδεκα θεὶς γενεάς, δεκατέσσαρας αὐτὰς [εἶναι] ἔφησε; τὸ μὲν πρότερον ὑμῖν ἀφίημι ζητεῖν (οὐδὲ γὰρ πάντα ἐπιλύειν ὑμῖν ἀναγκαῖον, ἵνα μὴ ἀναπέσητε) τὸ δὲ δεύτερον ἡμεῖς ἐροῦμεν. ἐμοὶ γὰρ ἐνταῦθα δοκεῖ καὶ τὸν χρόνον τῆς αἰχμαλωσίας ἐν τάξει γενεᾶς τιθέναι, καὶ αὐτὸν τὸν Χριστόν, πανταχόθεν συνάπτων ἡμῖν αὐτόν. ἀναμιμνήσκει δὲ τῆς αἰχμαλωσίας ἐκείνης καλῶς, δηλῶν ὅτι οὐδὲ ἐκεῖ κατελθόντες, ἐγένοντο σωφρονέστεροι· ὥστε πάντοθεν ἀναγκαίαν φανῆναι τὴν αὐτοῦ παρουσίαν. τί οὖν ὁ Μάρκος, φησίν, οὐ ποιεῖ τοῦτο, οὐδὲ γενεαλογεῖ τὸν Ἰησοῦν, ἀλλ' ἐπιτόμως ἅπαντα φθέγγεται; ἐμοὶ δοκεῖ ὁ μὲν Ματθαῖος, πρὸ τῶν ἄλλων ἦρχθαι τοῦ πράγματος, διὸ καὶ τὴν γενεαλογίαν τίθησι μετὰ ἀκριβείας, καὶ πρὸς τὰ κατεπείγοντα ἵσταται· ὁ δὲ Μάρκος μετ' ἐκεῖνον. διὸ ἐπὶ σύντομον ἦλθεν ὁδόν, ἅτε τοῖς ἤδη λεχθεῖσι καὶ δήλοις γεγενημένοις ἐπιχειρῶν. πῶς οὖν ὁ Λουκᾶς καὶ γενεαλογεῖ, καὶ διὰ πλειόνων τοῦτο ποιεῖ; ἅτε τοῦ Ματθαίου προοδοποιήσαντος, βούλεταί τι τῶν εἰρημένων διδάξαι πλέον ἡμᾶς. καὶ ἑκαϛος δὲ ὁμοίως τὸν διδάσκαλον ἐμιμήσατο· ὁ μὲν τὸν Παῦλον ὑπὲρ τοὺς ποταμοὺς ῥέοντα· ὁ δὲ τὸν Πέτρον, βραχυλογίας ἐπιμελούμενον. Καὶ τί δήποτε ἀρχόμενος ὁ Ματθαῖος οὐκ εἶπεν, ὥσπερ οἱ προφῆται· ὅρασις ἣν εἶδον, καὶ ὁ λόγος ὁ γενόμενος πρός με; ὅτι πρὸς εὐγνώμονας ἔγραφε καὶ σφόδρα αὐτῷ προσέχοντας. καὶ γὰρ καὶ τὰ γενόμενα θαύματα ἐβόα, καὶ οἱ δεχόμενοι σφόδρα ἦσαν πιστοί. ἐπὶ δὲ τῶν προφητῶν, οὔτε θαύματα ἦν τοσαῦτα αὐτοὺς ἀνακηρύττοντα, καὶ πολὺ τὸ τῶν ψευδοπροφητῶν "ἐκώμασεν ἔθνος, οἷς καὶ μᾶλλον προσεῖχεν ὁ τῶν Ἰουδαίων δῆμος. διόπερ ἀναγκαῖος οὗτος τῶν προοιμίων ὁ τρόπος ἦν παρ' αὐτοῖς. Εἰ δέ ποτε καὶ ἐγένετο σημεῖα, τῶν βαρβάρων ἕνεκεν ἐγίνετο, ὥστε πολλοὺς γενέσθαι τοὺς προσηλύτους, καὶ εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ δυνάμεως, εἴ ποτε αὐτοὺς οἱ πολέμιοι λαβόντες, ὡς τῶν παρ' αὐτοῖς θεῶν ἰσχυρῶν ὄντων, ἐνόμιζον κεκρατηκέναι· καθάπερ ἐν Αἰγύπτῳ, ὅθεν καὶ πολὺς ὁ σύμμικτος ἀνέβη λαός· καὶ μετὰ ταῦτα ἐν Βαβυλῶνι, τὰ κατὰ τὴν κάμινον καὶ τὰ ὀνείρατα. ἐγένετο δὲ, καὶ ἡνίκα καθ' ἑαυτοὺς ἦσαν, σημεῖα ἐν τῇ ἐρήμῳ, καθάπερ καὶ ἐφ' "ἡμῶν. καὶ γὰρ καὶ ἐφ' ἡμῶν, ἡνίκα τῆς πλάνης "ἐξῄειμεν, πολλὰ θαύματα ἐδείχθη. μετὰ δὲ ταῦτα ἔστη, τῆς "εὐσεβείας πανταχοῦ φυτευθείσης. Εἰ δὲ καὶ μετὰ ταῦτα γέγονεν, ὀλίγα καὶ σποράδην· οἷον, ἡνίκα ὁ ἥλιος ἔστη τοῦ δρόμου, καὶ πάλιν ἀνεχαίτισεν εἰς τὰ ὀπίσω. ἴδοι δ' ἄν τις τοῦτο πάλιν καὶ ἐφ' ἡμῶν γεγενημένον. καὶ γὰρ [καὶ] ἐν τῇ γενεᾷ* τῇ ἡμετέρᾳ, ἐπὶ τοῦ πάντας ἀσεβείᾳ νικήσαντος Ἰουλιανοῦ, πολλὰ καὶ παράδοξα συνέβη. καὶ γὰρ τῶν Ἰουδαίων τὸν ἐν Ἱεροσολύμοις ναὸν ἀναστῆσαι ἐπιχειρούντων, πῦρ τῶν θεμελίων "ἐκπηδῆσαν ἅπαντας διεκώλυσε· καὶ ὅτε ἐπὶ τὰ σκεύη τὰ ἱερὰ τὴν αὐτοῦ "παροινίαν ἐπεδείξατο ὅ τε ταμίας, ὅ τε θεῖος καὶ "ὁμώνυμος ἐκείνου, ὁ μὲν σκωληκόβρωτος γενόμενος ἐξέψυξεν, ὁ δὲ "ἐλάκησε μέσος. καὶ τὸ τὰς πηγὰς δὲ ἐπιλιπεῖν θυσιῶν ἐκεῖ γινομένων, καὶ τὸ μετ' αὐτοῦ τοῦ βασιλέως τὸν λιμὸν εἰς τὰς πόλεις συνεμπεσεῖν, σημεῖον μέγιστον ἦν. ἔθος γὰρ τοιαῦτα ποιεῖν τῷ Θεῷ, ὅταν αὐξηθῇ τὰ κακὰ, καὶ τοὺς μὲν αὐτοῦ κακουμένους ἴδῃ, τοὺς δὲ ἐναντίους σφόδρα τῇ κατ' αὐτῶν τυραννίδι μεθύοντας, τότε τὴν οἰκείαν ἐπιδείκνυσθαι δυναστείαν· ὃ καὶ ἐν Περσίδι πεποίηκεν ἐπὶ τῶν Ἰουδαίων. ὅτι μὲν οὖν οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ποιῶν εἰς τρεῖς μοίρας τοὺς προγόνους διένειμε τοῦ Χριστοῦ, δῆλον ἐκ τῶν εἰρημένων. σκόπει δὲ καὶ πόθεν ἄρχεται, καὶ ποῦ τελευτᾷ. ἀπὸ τοῦ Ἀβραὰμ εἰς τὸν Δαβίδ· ἀπὸ τοῦ Δαβὶδ εἰς τὴν μετοικεσίαν Βαβυλῶνος· ἀπὸ ταύτης εἰς αὐτὸν τὸν Χριστόν. καὶ γὰρ [καὶ] ἀρχόμενος τοὺς δύο τέθεικεν ἐφεξῆς, τόν τε Δαβὶδ καὶ τὸν Ἀβραὰμ, καὶ ἀνακεφαλαιούμενος ἀμφοτέρων ἐμνημόνευσεν ὁμοίως. καὶ γάρ, ὅπερ ἔφθην εἰπών, πρὸς αὐτοὺς ἦσαν αἱ ἐπαγγελίαι γεγενημέναι. τί δήποτε δὲ, ὥσπερ τῆς μετοικεσίας Βαβυλῶνος ἐμνήσθη, οὐκ ἐμνήσθη καὶ τῆς καθόδου τῆς εἰς Αἴγυπτον; ὅτι ἐκείνους μὲν οὐκέτ' ἐδεδοίκεσαν, τούτους δὲ ἔτρεμον ἔτι· καὶ τὸ μὲν ἀρχαῖον ἦν, τὸ δὲ νεαρὸν καὶ ἄρτι γεγενημένον· κἀκεῖ μὲν οὐ δι' ἁμαρτήματα κατηνέχθησαν, ἐνταῦθα δὲ διὰ παρανομίας "ἀπήχθησαν. Εἰ δέ τις καὶ τῶν ὀνομάτων αὐτῶν τὰς ἑρμηνείας μεταβαλεῖν ἐπιχειρήσει, πολλὴν "εὑρήσει καὶ ἐνταῦθα τὴν θεωρίαν οὖσαν, καὶ μεγάλα πρὸς τὴν καινὴν "συντελοῦσαν διαθήκην· οἷον, ἀπὸ τοῦ Ἀβραὰμ, ἀπὸ τοῦ Ἰακὼβ, ἀπὸ τοῦ Σολομῶντος, ἀπὸ τοῦ Ζοροβάβελ. οὐ γὰρ ἁπλῶς ταῦτα αὐτοῖς ἐπετίθετο τὰ ὀνόματα. ἀλλ', ἵνα μὴ δόξωμεν πολὺ μῆκος ποιοῦντες ἐνοχλεῖν, ταῦτα παρέντες ἐπὶ τὰ κατεπείγοντα ἴωμεν. εἰπὼν τοίνυν τοὺς προγόνους ἅπαντας, καὶ τελευτήσας εἰς τὸν Ἰωσήφ, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, δεικνὺς ὅτι δι' ἐκείνην καὶ τοῦτον ἐγενεαλόγησεν. Εἶτα, ἵνα μὴ ἀκούσας ἄνδρα Μαρίας, τῷ κοινῷ νομίσῃς τετέχθαι τῆς φύσεως νόμῳ, σκόπει πῶς αὐτὸ διορθοῦται τῇ ἐπαγωγῇ. ἤκουσας, φησιν, ἄνδρα, ἤκουσας μητέρα, ἤκουσας ὄνομα τῷ παιδίῳ τεθέν· οὐκοῦν ἄκουε καὶ τὸν τρόπον τῆς γεννήσεως.

18 Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν.

γρ. ἐκώμ
ἀλ. ἐπεκώ
ζεν

γρ. ἡμᾶς

γρ. ἐξῄειμ

γρ. ἀλαβ

* ταύτῃ

γρ. ἀναπη

γρ. παρο
γρ. ἐπώνυμ
γρ. ἐλακ

γρ. οὐκ ἐνδ
θηκ.

γρ. εὑρήσει
θεωρίαν
τοῖς θεί

γρ. συντ

κεφ. α.

Ποίαν [μοι] γέννησιν λέγεις, εἰπέ μοι; καίτοι γε τοὺς προγόνους εἶπας· ἀλλὰ βούλομαι καὶ τὸν τρόπον τῆς γεννήσεως εἰπεῖν. Εἶδες πῶς διανέστησε τὸν ἀκροατήν; ὡς γὰρ μέλλων τι καινότερον ἐρεῖν, ἐπαγγέλλεται καὶ τὸν τρόπον λέγειν. καὶ σκόπει τῶν εἰρημένων ἀκολουθίαν ἀρίστην. οὐδὲ γὰρ εὐθέως ἐπὶ τὴν γέννησιν ἦλθεν, ἀλλ' ἀναμιμνήσκει πρότερον ἡμᾶς, πόσος ἦν ἀπὸ τοῦ Ἀβραάμ, πόσος ἀπὸ τοῦ Δαβίδ, πόσος ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος, καὶ τὸν ἀκριβῆ διὰ τούτων ἀκροατὴν εἰς ἐξέτασιν ἐμβάλλει τῶν χρόνων, δεικνὺς, ὅτι οὗτός ἐστιν ἐκεῖνος ὁ Χριστός, ὁ διὰ τῶν προφητῶν κηρυχθείς. ὅταν γὰρ ἀριθμήσῃς τὰς γενεάς, καὶ μάθῃς ἀπὸ τοῦ χρόνου, ὅτι οὗτος ἐκεῖνός ἐστιν, εὐκόλως δέξῃ καὶ τὸ θαῦμα τὸ περὶ τὴν γέννησιν συμβάν. ἐπειδὴ γὰρ ἔμελλε μέγα τι φθέγγεσθαι, ὅτι ἐκ παρθένου ἐτέχθη, πρὶν ἢ μὲν ἀριθμῆσαι τὸν χρόνον, συσκιάζει τὸ εἰρημένον, ἄνδρα Μαρίας εἰπών, μᾶλλον δὲ καὶ συντέμνει τὴν διήγησιν αὐτῆς τῆς γεννήσεως. ἀριθμεῖ δὲ καὶ τὰ ἔτη λοιπόν, ἀναμιμνήσκων τὸν ἀκροατὴν, ὅτι οὗτος ἐκεῖνός ἐστιν, ὃν ὁ πατριάρχης Ἰακὼβ, ἐπιλειπόντων λοιπὸν τῶν Ἰουδαϊκῶν ἀρχόντων, παρέσεσθαι ἔφησεν· ὃν ὁ προφήτης Δανιὴλ μετὰ τὰς ἑβδομάδας τὰς πολλὰς ἐκείνας ἥξειν προανεφώνησε. κἂν ἐθελήσῃ τις τὰ ἔτη ταῦτα τὰ ἐν ἑβδομάδων ἀριθμῷ παρὰ τοῦ ἀγγέλου εἰρημένα τῷ Δανιὴλ ἀπὸ τῆς οἰκοδομῆς τῆς πόλεως ἀριθμῶν, καταβῆναι εἰς τὴν αὐτοῦ γέννησιν, ὄψεται ταῦτα ἐκείνοις συμφωνοῦντα. πῶς οὖν ἐγεννήθη εἰπέ;

Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας.. Οὐκ εἶπεν, παρθένου· ἀλλ' ἁπλῶς μητρὸς, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον. διὸ πρότερον παρασκευάσας προσδοκᾷν τὸν ἀκροατὴν ἀκούσεσθαί τι τῶν συνήθων, καὶ κατασχὼν τοῦτο, τότε ἐκπλήττει τῇ τοῦ παραδόξου πράγματος ἐπαγωγῇ, λέγων·

Ὅτι πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου.

Οὐκ εἶπε, πρὶν ἢ ἀχθῆναι αὐτὴν εἰς τὴν οἰκίαν τοῦ νυμφίου. καὶ γὰρ ἔνδον ἦν. ἔθος γὰρ τοῖς παλαιοῖς ὡς τὰ πολλὰ ἐν οἰκίᾳ τὰς μεμνηστευμένας ἔχειν, ὅπου γε καὶ νῦν τοῦτο γινόμενον ἴδοι τις ἄν· καὶ οἱ γαμβροὶ δὲ τοῦ Λὼτ ἔνδον ἦσαν μετ' αὐτοῦ. ἔνδον οὖν καὶ αὐτὴ μετὰ τοῦ Ἰωσὴφ ἦν. καὶ τίνος ἕνεκεν οὐ πρὸ τῆς μνηστείας ἐκύησεν; ἵνα, ὅπερ ἔφθην εἰπὼν [ἐξ ἀρχῆς,] συσκιασθῇ τὸ γινόμενον τέως, καὶ ἵνα πᾶσαν πονηρὰν διαφύγῃ ἡ παρθένος ὑπόνοιαν. ὅταν γὰρ ὁ ζηλοτυπεῖν ὀφείλων μάλιστα πάντων, φαίνηται μὴ μόνον μὴ ἐκπομπεύων αὐτὴν, μηδὲ ἀτιμάζων, ἀλλὰ καὶ δεχόμενος καὶ θεραπεύων μετὰ τὴν κύησιν, εὔδηλον ὅτι, εἰ μὴ σαφῶς ἦν πεπεικὼς ἑαυτὸν, ὅτι ἐκ τῆς τοῦ πνεύματος ἦν ἐνεργείας τὸ γεγεννημένον, οὐκ ἂν κατέσχε, καὶ τἄλλα πάντα ὑπηρέτησε. κυρίως δὲ σφόδρα καὶ τὸ εὑρέθη ἐν γαστρὶ ἔχουσα τέθεικεν· ὅπερ ἐπὶ τῶν παραδόξων καὶ παρ' ἐλπίδα πᾶσαν ἐκβαινόντων, καὶ οὐ προσδοκωμένων λέγεσθαι εἴωθε. μὴ τοίνυν περαιτέρω χώρει, μηδὲ ζήτει πλέον τι τῶν εἰρημένων, μηδὲ λέγε, καὶ πῶς τὸ πνεῦμα εἰργάσατο τοῦτο ἐκ παρθένου; εἰ γὰρ, τῆς φύσεως ἐργαζομένης, ἀδύνατον ἑρμηνεῦσαι τῆς διαπλάσεως τὸν τρόπον· πῶς, τοῦ πνεύματος θαυματουργοῦντος, δυνησόμεθα ταῦτα εἰπεῖν; ἵνα γὰρ μὴ σκώπτῃς τὸν εὐαγγελιστὴν, μηδὲ ἐνοχλῇς συνεχῶς ταῦτα ἐρωτῶν, εἰπὼν τὸν ἐργασάμενον τὸ θαῦμα, ἀπηλλάγη. οὐδὲν γὰρ οἶδα, φησί, πλέον, ἀλλ' ἢ ὅτι ἐκ πνεύματος ἁγίου γέγονε τὸ γεγεννημένον. αἰσχυνέσθωσαν οἱ τὴν ἄνω περιεργαζόμενοι γέννησιν. εἰ γὰρ ταύτην τὴν μυρίους ἔχουσαν μάρτυρας, καὶ πρὸ τοσούτων ἀνακηρυχθεῖσαν χρόνων, καὶ φανεῖσαν καὶ ψηλαφηθεῖσαν, οὐδεὶς ἑρμηνεῦσαι δύναται, ποίαν καταλείπουσι μανίας ὑπερβολὴν οἱ τὴν ἀπόρρητον ἐκείνην περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες; οὐδὲ γὰρ ὁ Γαβριὴλ, οὐδὲ ὁ Ματθαῖος ἐδυνήθησάν τι πλέον εἰπεῖν, ἀλλ' ἢ ὅτι ἐκ πνεύματος μόνον· τὸ δὲ, πῶς ἐκ πνεύματος, καὶ τίνι τρόπῳ, οὐδεὶς τούτων ἡρμήνευσεν. οὐδὲ γὰρ δυνατὸν ἦν. μὴ δὲ νομίσῃς τὸ πᾶν μεμαθηκέναι, ἐκ πνεύματος ἀκούων. καὶ γὰρ πολλὰ ἀγνοοῦμεν ἔτι, καὶ τοῦτο μανθάνοντες, οἷον· ″πῶς ὁ ἄπειρος ἐν μήτρᾳ″ ἐστί· πῶς ὁ πάντα συν-

ἔχων κυοφορεῖται ὑπὸ γυναικός· πῶς τίκτει ἡ παρθένος, καὶ μένει παρθένος· πῶς ἔπλασεν,
εἰπέ μοι, τὸ πνεῦμα τὸν ναὸν ἐκεῖνον· πῶς οὐ πᾶσαν τὴν σάρκα ἀπὸ τῆς μήτρας ἔλαβεν,
ἀλλὰ μέρος αὐτῆς, καὶ ηὔξησε καὶ διετύπωσεν. ὅτι μὲν γὰρ ἀπὸ τῆς σαρκὸς τῆς παρθένου προῆλθεν,
Γαλ. δ. δ. ἐδήλωσεν εἰπών· τὸ γὰρ ἐν αὐτῇ γεννηθέν· καὶ ὁ Παῦλος, Γενόμενον ἐκ γυναικός.
ἐκ γυναικός φησιν, ἐπιστομίζων τοὺς λέγοντας, ὅτι ὥσπερ διά τινος σωλῆνος παρῆλθεν ὁ
Χριστός. εἰ γὰρ τοῦτο ἦν, τίς χρεία τῆς μήτρας; εἰ τοῦτο ἦν, οὐδὲν ἔχει κοινὸν πρὸς ἡμᾶς·
ἀλλ' ἄλλη τίς ἐστιν ἐκείνη ἡ σάρξ, οὐ τοῦ φυράματος τοῦ ἡμετέρου. πῶς οὖν ἐκ τῆς ῥίζης
Ἰεσσαί; πῶς δὲ ῥάβδος; πῶς δὲ υἱὸς ἀνθρώπου; πῶς δὲ μήτηρ ἡ Μαριάμ; πῶς δὲ ἐκ σπέρματος
Δαβίδ; πῶς δὲ μορφὴν δούλου ἔλαβε; πῶς δὲ ὁ λόγος ἐγένετο σάρξ; πῶς δὲ Ῥωμαίοις
Ρω. θ. ε. φησὶν ὁ Παῦλος· Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός; ὅτι μὲν οὖν ἐξ ἡμῶν
καὶ τοῦ φυράματος τοῦ ἡμετέρου, καὶ τῆς μήτρας τῆς παρθενικῆς, δῆλον ἐκ τούτων καὶ ἐξ ἑτέρων
πλειόνων· τὸ δὲ, πῶς, οὐκέτι δῆλον. μὴ τοίνυν μηδὲ σὺ ζήτει, ἀλλὰ δέχου τὸ ἀποκαλυφθὲν,
καὶ μὴ περιεργάζου τὸ σιγηθέν. 19 Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὤν, φησι, καὶ
μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Εἰπὼν ὅτι
ἐκ πνεύματός ἐστιν ἁγίου, καὶ συνουσίας χωρίς, καὶ ἑτέρωθεν κατασκευάζει τὸν λόγον. ἵνα γὰρ
μή τις λέγῃ, πόθεν τοῦτο δῆλον; τίς εἶδε, τίς ἤκουσε τοιοῦτόν τι ποτὲ συμβεβηκός; μὴ δὲ ὑποπτεύσῃς
τὸν μαθητὴν, ὡς χαριζόμενον τῷ διδασκάλῳ [καὶ] ταῦτα πλάττοντα, εἰσάγει
τὸν Ἰωσὴφ, δι' ὧν ἔπαθε, πρὸς τὴν τῶν εἰρημένων συντελοῦντα πίστιν, μονονουχὶ λέγων
δι' ὧν ἀπαγγέλλει· εἰ ἀπιστεῖς ἐμοὶ, καὶ ὑποπτεύεις μου τὴν μαρτυρίαν, πίστευσον τῷ ἀνδρί.
Ἰωσὴφ γάρ, φησιν, ὁ ἀνὴρ αὐτῆς δίκαιος ὤν. δίκαιον ἐνταῦθα, τὸν ἐνάρετον ἐν ἅπασι λέγει.
ἔστι μὲν γὰρ δικαιοσύνη, καὶ τὸ μὴ πλεονεκτεῖν· ἔστι δὲ καὶ ἡ καθόλου ἀρετή. καὶ μάλιστα ἐπὶ τούτου
τῇ τῆς δικαιοσύνης προσηγορίᾳ κέχρηται ἡ γραφή, ὡς ὅταν λέγῃ· Ἄνθρωπος δίκαιος, ἀληθινός·
Λουκ. α. ς. καὶ πάλιν, ἦσαν δὲ δίκαιοι ἀμφότεροι. δίκαιος οὖν ὤν, τουτέστι χρηστὸς καὶ ἐπιεικής,
ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. διὰ τοῦτο λέγει τὸ συμβὰν πρὸ τῆς γνώσεως, ἵνα μὴ
ἀπιστήσῃς τοῖς μετὰ τὴν γνῶσιν γεγενημένοις. καίτοιγε οὐ παραδειγματισμοῦ μόνον ἦν ὑπεύθυνος
ἡ τοιαύτη, ἀλλὰ καὶ κολάζεσθαι αὐτὴν ὁ νόμος ἐκέλευεν. ἀλλ' ὁ Ἰωσὴφ οὐ μόνον τὸ
μεῖζον ἐκεῖνο, ἀλλὰ καὶ τὸ ἔλαττον συνεχώρησε, τὴν αἰσχύνην. οὐ γὰρ μόνον οὐ κολάσαι, ἀλλ'
οὐδὲ παραδειγματίσαι ἐβούλετο. εἶδες φιλόσοφον ἄνδρα καὶ πάθους ἀπηλλαγμένον τοῦ
τυραννικωτάτου; ἴστε γὰρ ἡλίκον ζηλοτυπία. διὰ τοῦτο καὶ ὁ ταῦτα σαφῶς εἰδὼς ἔλεγε·
Παρ. ς. λδ. Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς [αὐτῆς,] οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως· καὶ, Σκληρὸς ὡς ᾅδης
Ασμ. η. ς. ζῆλος. καὶ ἡμεῖς δὲ πολλοὺς ἴσμεν τὴν ψυχὴν ἑλομένους προέσθαι μᾶλλον, ἢ εἰς ζηλοτυπίας
ὑποψίαν ἐμπεσεῖν. ἐνταῦθα δὲ οὐδὲ ὑποψία ἦν, τοῦ τῆς γαστρὸς ὄγκου διελέγχοντος.
ἀλλ' ὅμως οὕτως ἦν πάθους καθαρὸς, ὡς μὴ θελῆσαι μηδὲ ἐν τοῖς μικροτάτοις λυπῆσαι
τὴν παρθένον. ἐπειδὴ γὰρ τὸ μὲν κατέχειν ἔνδον, παρανομίας εἶναι ἐδόκει· τὸ δὲ ἐκπομπεύειν
καὶ εἰς δικαστήριον ἄγειν, θανάτῳ παραδοῦναι ἠνάγκαζεν, οὐδὲν τούτων ποιεῖ, ἀλλ'
ὑπὲρ νόμον ἤδη πολιτεύεται. ἔδει γὰρ, τῆς χάριτος παραγενομένης, πολλὰ λοιπὸν εἶναι τὰ σημεῖα
τῆς ὑψηλῆς πολιτείας. καθάπερ γὰρ ὁ ἥλιος καὶ μηδέπω τὰς ἀκτῖνας δείξας, πόρρωθεν
τῷ φωτὶ καταυγάζει τῆς οἰκουμένης τὸ πλέον· οὕτω καὶ ὁ Χριστὸς μέλλων ἀνίσχειν ἀπὸ τῆς
μήτρας ἐκείνης, καὶ πρὶν ἢ ἐξελθεῖν, τὴν οἰκουμένην κατέλαμψεν ἅπασαν. διὸ [καὶ] πρὸ
τῶν ὠδίνων προφῆται ἐσκίρτων, καὶ γυναῖκες τὰ μέλλοντα προὔλεγον, καὶ Ἰωάννης οὔπω τῆς
νηδύος προελθὼν, ἀπὸ τῆς μήτρας αὐτῆς ἐπήδα· ἐντεῦθεν καὶ οὗτος πολλὴν ἐνεδείκνυτο
φιλοσοφίαν. οὔτε γὰρ ἐνεκάλεσεν, οὔτε ὠνείδισεν· ἀλλ' ἐκβαλεῖν ἐπεχείρησε μόνον. ἐν τούτῳ
τοίνυν τῶν πραγμάτων ὄντων, καὶ πάντων ἐν ἀμηχανίᾳ καθεστώτων, παραγίνεται [ὁ] ἄγγελος
πάντα λύων τὰ ἄπορα. ἄξιον δὲ ἐξετάσαι, διατί μὴ πρὸ τούτου εἶπεν ὁ ἄγγελος,

πρὸ

περὶ τοῦ διακονηθῆναι τὸν ἄνδρα τοῦτο· ἀλλ' ἐπεὶ ἐνεθυμήθη, τότε ἀφικνεῖται. Ταῦτα γὰρ αὐτοῦ, φησὶν, ἐνθυμηθέντος, ὁ ἄγγελος ἔρχεται· καίτοιγε αὐτὴν καὶ πρὸ τοῦ συλλαβεῖν εὐαγγελίζεται, ὃ καὶ αὐτὸ πάλιν ἑτέραν ἀπορίαν ἔχει. Εἰ γὰρ καὶ ὁ ἄγγελος οὐκ εἶπε, τίνος ἕνεκεν ἡ παρθένος ἐσίγησεν, ἀκούσασα παρὰ τοῦ ἀγγέλου, καὶ τὸν μνηστῆρα ὁρῶσα θορυβούμενον, οὐκ ἔλυσεν αὐτοῦ τὴν ἀπορίαν. τίνος οὖν ἕνεκεν πρὸ τοῦ θορυβηθῆναι αὐτὸν ὁ ἄγγελος οὐκ εἶπε; καὶ γὰρ ἀναγκαῖον τὸ πρότερον λῦσαι πρῶτον. τίνος οὖν ἕνεκεν οὐκ εἶπεν; ἵνα μὴ ἀπιστήσῃ, καὶ πάθῃ τὸ αὐτὸ τῷ Ζαχαρίᾳ. ὁρωμένου μὲν γὰρ τοῦ πράγματος, εὔκολος ἡ πίστις λοιπόν· μηδέπω δὲ ἀρχὴν λαβόντος, οὐχ ὁμοίως εὐπαράδεκτον ἦν τὸ λεγόμενον. διὰ τοῦτο οὐκ εἶπεν ἐξ ἀρχῆς ὁ ἄγγελος· καὶ ἡ παρθένος δὲ τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐσίγησεν. οὐ γὰρ ἐνόμιζε πιστεύεσθαι παρὰ τῷ μνηστῆρι, πρᾶγμα ἀπαγγέλλουσα ξένον· ἀλλὰ καὶ προσκρούειν μᾶλλον αὐτῷ, ὡς ἁμάρτημα γεγενημένον συσκιάζουσα. Εἰ γὰρ αὐτὴ ἡ ὑποδέχεσθαι μέλλουσα τοσαύτην τὴν χάριν, ἀνθρώπινόν τι πάσχει, καί φησι, πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; πολλῷ μᾶλλον ἐκεῖνος ἀμφέβαλλεν ἄν, καὶ μάλιστα παρὰ γυναικὸς ἀκούων τῆς ὑποπτευομένης. διὰ ταῦτα ἡ παρθένος μὲν οὐδὲν αὐτῷ λέγει, ὁ δὲ ἄγγελος τοῦ καιροῦ καλοῦντος ἐφίσταται. τίνος οὖν ἕνεκεν, φησιν, οὐχὶ ἐπὶ τῆς παρθένου τοῦτο ἐποίησε, καὶ μετὰ τὴν κύησιν αὐτὴν εὐηγγελίσατο; ἵνα μὴ ἐν ταραχῇ ᾖ καὶ φόβῳ πολλῷ. καὶ γὰρ εἰκὸς ἦν, τὸ σαφὲς οὐκ εἰδυῖαν, καὶ βουλεύσασθαί τι περὶ ἑαυτῆς ἄτοπον, καὶ ἐπὶ βρόχον ἐλθεῖν καὶ ἐπὶ ξίφος, οὐ φέρουσαν τὴν αἰσχύνην. καὶ γὰρ θαυμαστὴ ἦν ἡ παρθένος, καὶ δείκνυσιν αὐτῆς τὴν ἀρετὴν ὁ Λουκᾶς, λέγων· ὅτι, ἐπειδὴ τὸν ἀσπασμὸν ἤκουσεν, οὐκ εὐθέως ἑαυτὴν ἐξέχεεν, οὐδὲ ἐδέξατο τὸ λεχθέν· ἀλλ' ἐταράχθη ζητοῦσα, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. ἡ δὲ οὕτως οὖσα διηκριβωμένη, κἂν ἐξέστη τῇ ἀθυμίᾳ, τὴν αἰσχύνην λογιζομένη, καὶ οὐ προσδοκῶσα, ὅσα ἂν λέγῃ, πείσειν τινὰ τῶν ἀκουόντων, ὅτι οὐ μοιχεία τὸ γεγενημένον. ἵν' οὖν ταῦτα μὴ γένηται, ἦλθε πρὸ τῆς συλλήψεως ὁ ἄγγελος. καὶ γὰρ ἔδει ταραχῆς ἐκτὸς εἶναι τὴν νηδὺν ἐκείνην, ἧς ὁ πάντων δημιουργὸς ἐπέβη· καὶ παντὸς ἀπηλλάχθαι θορύβου τὴν ψυχὴν, τὴν καταξιωθεῖσαν τοιούτων γενέσθαι διάκονον μυστηρίων. διὰ ταῦτα τῇ μὲν παρθένῳ πρὸ τῆς κυήσεως, τῷ δὲ Ἰωσὴφ ἐν τῷ καιρῷ τῶν ὠδίνων διαλέγεται. ὃ πολλοὶ τῶν ἀφελεστέρων οὐ συνειδότες, διαφωνίαν ἔφασαν εἶναι, διὰ τὸ τὸν μὲν Λουκᾶν λέγειν, ὅτι τῇ Μαρίᾳ εὐηγγελίζετο· τὸν δὲ Ματθαῖον, ὅτι τῷ Ἰωσὴφ, οὐκ εἰδότες, ὅτι ἀμφότερα γέγονεν· ὅπερ ἀναγκαῖον παρὰ πᾶσαν τὴν ἱστορίαν παρατηρεῖν. καὶ γὰρ πολλὰς οὕτω λύσομεν δοκούσας εἶναι διαφωνίας. ἔρχεται τοίνυν ὁ ἄγγελος θορυβουμένου τοῦ Ἰωσήφ. καὶ γὰρ καὶ τῶν εἰρημένων ἕνεκεν, καὶ ἵνα φανῇ αὐτοῦ ἡ φιλοσοφία, ἀναβάλλεται τὴν παρουσίαν. ἐπειδὴ δὲ τὸ ἔργον ἔμελλεν ἐκβαίνειν, παραγίνεται λοιπόν.

20 Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἄγγελος κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ. Ὅρα τοῦ ἀνδρὸς τὴν ἐπιείκειαν· οὐ μόνον ὅτι οὐκ ἐκόλασεν, ἀλλ' ὅτι οὐδὲ ἐξεῖπέ τινι, οὐδὲ αὐτῇ τῇ ὑποπτευομένῃ, ἀλλὰ καθ' ἑαυτὸν ἐλογίζετο, καὶ αὐτῇ τῇ παρθένῳ σπουδάζων κρύψαι τὴν αἰτίαν. οὐδὲ γὰρ εἶπεν, ἐκβαλεῖν αὐτὴν ἤθελεν, ἀλλ' ἀπολῦσαι. τοσοῦτον ἦν ἥμερος καὶ ἐπιεικὴς ὁ ἀνήρ. Ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, κατ' ὄναρ φαίνεται ὁ ἄγγελος τῷ Ἰωσήφ. καὶ διὰ τί μὴ φανερῶς, καθὼς τοῖς ποιμέσι καὶ τῷ Ζαχαρίᾳ, καὶ τῇ παρθένῳ; σφόδρα πιστὸς ἦν ὁ ἀνήρ, καὶ οὐκ ἐδεῖτο τῆς ὄψεως ταύτης. ἡ μὲν γὰρ παρθένος, ἅτε πολὺ μέγα εὐαγγελιζομένη, καὶ τοῦ Ζαχαρίου μεῖζον, καὶ πρὸ τοῦ πράγματος ἔχρῃζε καὶ παραδόξου ὄψεως· οἱ δὲ ποιμένες, ἅτε ἀγροικικώτερον διακείμενοι. οὗτος δὲ μετὰ τὸν τόκον, τῆς ψυχῆς λοιπὸν ὑπὸ τῆς πονηρᾶς ὑποψίας καταληφθείσης καὶ ἑτοίμου οὔσης πρὸς τὰς χρηστὰς μεταθέσθαι ἐλπίδας, εἰ φανείη τις ὁ πρὸς τοῦτο ὁδηγῶν, εὐκόλως δέχεται τὴν ἀποκάλυψιν. διὸ μετὰ τὴν ὑποψίαν εὐαγγελίζεται· ἵνα αὐτὸ τοῦτο γένηται αὐτῷ τῶν λεγομένων

γεγενημένων ἀπόδειξις. τὸ γὰρ μηδενὶ ἐξειπεῖν, "ἀλλ' ἃ κατὰ διάνοιαν ἐνεθυμήθη, ταῦτα ἀκοῦσαι λέγοντος τοῦ ἀγγέλου, ἀναμφισβήτητον αὐτῷ παρεῖχε σημεῖον τοῦ παρὰ * Θεοῦ * λέγοντα ἀφῖχθαι. αὐτοῦ γὰρ μόνου τὰ ἀπόῤῥητα τῆς καρδίας εἰδέναι ἐστίν. ὁρᾷς γοῦν πόσα γίνεται; καὶ ἡ τοῦ ἀνδρὸς φιλοσοφία διαδείκνυται· καὶ πρὸς τὴν πίστιν αὐτῷ συμβάλλεται τὸ εὐκαίρως λεχθέν· καὶ ὁ λόγος ἀνύποπτος γίνεται, δεικνὺς ὅτι ἔπαθεν ἅπερ εἰκὸς ἦν παθεῖν ἄνδρα. πῶς οὖν αὐτὸν πιστοῦται ὁ ἄγγελος; ἄκουσον καὶ θαύμασον τὴν σοφίαν τῶν εἰρημένων. ἐλθὼν γάρ φησιν·

γρ. ἀλλὰ
διάνοιαν
μηθῆναι
τα, καὶ αὐ
λέγοντος
* τοῦ
* τὸν

Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου.

Εὐθέως αὐτὸν ἀναμιμνήσκει τοῦ Δαβίδ, ὅθεν ὁ Χριστὸς ἔμελλεν ἔσεσθαι, καὶ οὐκ ἀφίησιν αὐτὸν διαταραχθῆναι, διὰ τῆς τῶν προγόνων προσηγορείας τῆς ἐπαγγελίας τῆς πρὸς τὸ ὅλον γένος γενομένης ἀναμνήσας. ἐπεὶ τίνος ἕνεκεν * υἱὸν Δαβὶδ αὐτὸν ἐκάλεσε; μὴ φοβηθῇς. καίτοι γε ἀλλαχοῦ ὁ Θεὸς οὐχ οὕτω ποιεῖ, ἀλλὰ "βουλευομένου τινὸς περὶ γυναικὸς τοῦ Ἀβραὰμ ὅπερ οὐκ ἔδει, ἐπιπληκτικώτερον καὶ μετ' ἀπειλῆς τῷ λόγῳ κέχρηται· καίτοι γε τὸ πρᾶγμα ἐξ ἀγνοίας ἦν. οὐδὲ γὰρ εἰδὼς ἔλαβε τὴν Σάῤῥαν ἐκεῖνος, ἀλλ' ὅμως ἐπέπληξεν. ἐνταῦθα δὲ ἡμερώτερον. πολὺ γὰρ τὸ μέγεθος τῶν οἰκονομουμένων ἦν, καὶ τὸ μέσον ἑκατέρων τῶν ἀνδρῶν. διόπερ οὐδὲ "ἐπιπλήξεως ἔδει. εἰπὼν δὲ, μὴ φοβηθῇς, δείκνυσιν αὐτὸν δεδοικότα, μὴ προσκρούσῃ τῷ Θεῷ, ὡς μοιχαλίδα ἔχων. ὡς εἰ μὴ τοῦτο ἦν, οὐδ' ἂν ἐνενόησεν ἐκβαλεῖν. διὰ πάντων τοίνυν δείκνυσιν, ὅτι παρὰ τοῦ Θεοῦ ὁ ἄγγελος ἥκει, καὶ ἅπερ ἐνενόησε καὶ ἅπερ ἔπαθε κατὰ διάνοιαν "ἅπαντα, εἰς μέσον ἐκφέρων καὶ προτιθείς. εἰπὼν δὲ αὐτῆς τὸ ὄνομα, οὐκ ἔστη μέχρι τούτου, "ἀλλ' ἐπήγαγε· τὴν γυναῖκά σου, οὐκ ἂν οὕτω καλέσας, εἰ διέφθαρτο. γυναῖκα δὲ ἐνταῦθα τὴν μνηστὴν λέγει· ὥσπερ οὖν καὶ γαμβροὺς εἴωθεν ἡ γραφὴ λέγειν καὶ πρὸ τοῦ γάμου τοὺς μνηστῆρας. τί δέ ἐστι παραλαβεῖν; ἔνδον κατέχειν. ἤδη γὰρ "αὐτῷ τῇ διανοίᾳ ἀπολέλυτο." ταύτην τὴν ἀπολελυμένην, φησί, κάτεχε, ἣν σοι παραδίδωσιν ὁ Θεὸς, οὐχ οἱ γονεῖς. παραδίδωσι δὲ, οὐκ εἰς γάμον, ἀλλ' εἰς τὸ συνοικεῖν· καὶ παραδίδωσι διὰ φωνῆς τῆς ἐμῆς. ὥσπερ οὖν καὶ αὐτὴν ὁ Χριστὸς ὕστερον παρέδωκε τῷ μαθητῇ, οὕτω καὶ νῦν τῷ Ἰωσήφ. εἶτα καὶ τὴν ὑπόθεσιν αἰνιξάμενος, τὴν μὲν πονηρὰν ὑποψίαν οὐκ εἶπε· σεμνότερον δὲ καὶ πρεπωδέστερον "τῇ τῶν ὠδίνων αἰτίᾳ κἀκείνην ἀνεῖλε, δεικνὺς ὅτι, δι' ὅπερ ἐδεδοίκει καὶ ἐκβαλεῖν ἤθελε, δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ λαβεῖν καὶ κατασχεῖν ἔνδον ἂν εἴη δίκαιος, ἐκ περιουσίας λύων τὴν ἀγωνίαν. οὐ γὰρ μόνον παρανόμου, φησὶν, ἀπήλλακται μίξεως· ἀλλὰ καὶ ὑπὲρ φύσιν κυεῖ. μὴ τοίνυν τὸν φόβον ἐκλύσῃς μόνον, ἀλλὰ καὶ εὐφραίνου μειζόνως.

* υἱοῦ
γρ. βουλευο

γρ. ἐπιπλήξ
ὡς ἔδει.

γρ. ταῦτα,
γρ. ἀλλὰ
πήγ.

γρ. αὐτῆ
γρ. ἀλλὰ

γρ. καὶ

Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. Παράδοξον τὸ εἰρημένον, ὑπερβαῖνον ἀνθρώπινον λογισμὸν, καὶ ἀνώτερον τῶν τῆς φύσεως νόμων. πῶς οὖν "πιστεύσει ὁ τούτων ἄπειρος τῶν διηγημάτων ἀνήρ; "ἀπὸ τῆς τῶν προελθόντων, φησὶν, ἀποκαλύψεως. διὰ γὰρ τοῦτο τὰ ἐν τῇ διανοίᾳ ἅπαντα ἐξεκάλυψεν, ἅπερ ἔπαθεν, ἅπερ ἔδεισεν, ἅπερ ποιῆσαι "ἐβουλεύσατο· ἵνα ἐξ ἐκείνων καὶ τοῦτο πιστώσηται. μᾶλλον δὲ, οὐκ ἀπὸ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων αὐτὸν ἐπάγεται.

γρ. ἵνα πι
γρ. ἀπὸ τῶν
ρελθόντων,
φησὶν, ἀπ
ἀποκαλύψ
γρ. ἐβουλ

21 Τέξεται δέ, φησιν, υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Μὴ γὰρ, ἐπειδὴ ἐκ πνεύματός ἐστιν ἁγίου, νομίσῃς ἀλλότριόν σε τῆς διακονίας εἶναι τῆς κατὰ τὴν οἰκονομίαν. εἰ γὰρ καὶ εἰς τὴν γέννησιν οὐδὲν συντελεῖς, ἀλλ' ἀνέπαφος ἔμεινεν ἡ παρθένος, ὅμως ὅπερ ἐστὶ πατρὸς ἴδιον, οὐ λυμαινόμενον τὸ τῆς παρθενίας ἀξίωμα, τοῦτό σοι δίδωμι, τὸ ὄνομα ἐπιθεῖναι τῷ τικτομένῳ. σὺ γὰρ αὐτὸν καλέσεις. εἰ γὰρ καὶ μὴ σὸς ὁ τόκος, ἀλλὰ τὰ πατρὸς ἐπιδείξῃ περὶ αὐτόν. διὰ τοῦτό σε καὶ ἀπὸ τῆς τοῦ ὀνόματος θέσεως εὐθέως οἰκειῶ τῷ τικτομένῳ. εἶτα ἵνα μὴ πάλιν ἐκ τούτου πατέρα τις αὐτὸν ὑποπτεύσῃ, ἄκουσον τὰ ἑξῆς πῶς μετ' ἀκριβείας τίθησι. "τέξεται γάρ, φησιν, υἱόν· οὐκ εἶπε, τέξεταί σοι, ἀλλ' ἁπλῶς τέξεται. διὸ με-

γρ. τέξεται
τίθησιν αὐ
θείς.

τέως ἐν αὐτὸ τέθεικεν. οὐ γὰρ αὐτῷ ἔτικτεν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ. διὰ τοῦτο καὶ τὸ ὄνομα ἐκ τῶν οὐρανῶν ἦλθε κομίζων ὁ ἄγγελος, καὶ ἐντεῦθεν δεικνὺς θαυμαστὸν ὄντα τὸν τόκον, ὅτι τὸν Θεὸν εἶναι τὸν τὴν προσηγορίαν ἄνωθεν πέμποντα διὰ τοῦ ἀγγέλου τῷ Ἰωσήφ. οὐδὲ γὰρ, οὐδὲ τοῦτο ″ἁπλῶς ἦν, ἀλλὰ μυρίων ἀγαθῶν θησαυρός. διὸ καὶ ἑρμηνεύει τοῦτο ὁ ἄγγελος, καὶ χρηστὰς ″ὑποτείνει ἐλπίδας, καὶ ταύτῃ πρὸς πίστιν αὐτὸν ἐπαγόμενος. πρὸς γὰρ ταῦτα ἐπιρρεπέστερον εἰώθαμεν ἔχειν· διὸ καὶ μᾶλλον αὐτοῖς πιστεύειν ″φιλοῦμεν. ἀπὸ πάντων τοίνυν κατασκευάσας τὴν πίστιν, ἀπὸ τῶν παρελθόντων, ἀπὸ τῶν μελλόντων, ἀπὸ τῶν ἐνεστώτων, ἀπὸ τῆς εἰς αὐτὸν τιμῆς, εἰσάγει καὶ τὸν προφήτην εὐκαίρως τούτοις ἅπασι ψηφιζόμενον. πρὶν ἢ δὲ αὐτὸν εἰσαγαγεῖν, τὰ μέλλοντα τῇ οἰκουμένῃ δι' αὐτοῦ συμβήσεσθαι ἀγαθὰ προαναφωνεῖ. τίνα δὲ ταῦτά ″ἐστιν; ἁμαρτιῶν ἀπαλλαγὴ καὶ ἀναίρεσις.

γρ. [illegible]
γρ. ὑποτείνει.
[illegible]
γρ. ἐνθυμού-
μεθα.
γρ. [illegible]

Αὐτὸς γὰρ σώσει, φησί, τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

Καὶ ἐνταῦθα τὸ παράδοξον ἐνδείκνυται. οὐ γὰρ πολέμων αἰσθητῶν, οὐδὲ βαρβάρων, ἀλλ' ὃ πολλῷ τούτων μεῖζον ἦν, ἁμαρτημάτων ἀπαλλαγὴν εὐαγγελίζεται· ὃ μηδενί ποτε ἔμπροσθεν ἐγένετο δυνατόν. καὶ τίνος ἕνεκεν, φησι, τὸν λαὸν αὐτοῦ εἶπε, καὶ οὐχὶ καὶ τὰ ἔθνη προσέθηκεν; ἵνα μὴ πτοήσῃ τὸν ἀκροατὴν τέως. τῷ γὰρ συνετῶς ἀκροωμένῳ καὶ τὰ ἔθνη ᾐνίξατο. λαὸς γὰρ αὐτοῦ, οὐχ οἱ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ πάντες οἱ προσιόντες καὶ δεχόμενοι τὴν παρ' αὐτοῦ γνῶσιν. σκόπει δὲ πῶς αὐτοῦ καὶ τὸ ἀξίωμα ἡμῖν παρήνοιξε, λαὸν αὐτοῦ καλῶν τὸν δῆμον τὸν Ἰουδαϊκόν. τοῦτο γὰρ οὐδὲν ἄλλο δεικνῦντός ἐστιν, ἢ ὅτι Θεοῦ παῖς ὁ τικτόμενος, καὶ περὶ τοῦ τῶν ἄνω βασιλέως ὁ λόγος ἐστὶν αὐτῷ. οὐδὲ γὰρ ἁμαρτήματα ἀφιέναι ἑτέρας ἐστὶ δυνάμεως, ἀλλ' ἢ τῆς οὐσίας μόνης ἐκείνης.

Ἐπεὶ οὖν τοσαύτης ἀπελαύσαμεν δωρεᾶς, πάντα ποιῶμεν ὥστε μὴ τὴν εὐεργεσίαν ″καθυβρίσαι [τὴν] τοσαύτην. εἰ γὰρ καὶ πρὸ τῆς τιμῆς ταύτης ἄξια κολάσεως τὰ γινόμενα ἦν, πολλῷ μᾶλλον μετὰ τὴν ἄφατον ταύτην εὐεργεσίαν. καὶ ταῦτα οὐχ ἁπλῶς λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ μετὰ τὸ βάπτισμα ῥαθυμότερον τῶν ἀμυήτων διατελοῦντας, καὶ οὐδὲν ἔχοντας ἴδιον γνώρισμα πολιτείας. διά τοι τοῦτο οὐκ ἐν ἀγορᾷ, οὐκ ἐν ἐκκλησίᾳ δυνατὸν εἰδέναι ταχέως, τίς μὲν ὁ πιστὸς, τίς δὲ ὁ ″μὴ πιστός· πλὴν εἴ τις κατὰ τὸν καιρὸν ἐπισταίη τῶν μυστηρίων, καὶ ἴδοι τοὺς μὲν ἐκβαλλομένους, τοὺς δὲ ἔνδον μένοντας. ἐχρῆν δὲ οὐκ ἀπὸ τοῦ τόπου, ἀλλ' ἀπὸ τοῦ τρόπου γνωρίζεσθαι. τὰ μὲν γὰρ τῶν ἔξωθεν ἀξιώματα εἰκότως ἀπὸ τῶν ἔξωθεν περικειμένων τεκμηρίων ἐστὶ κατάδηλα· τὰ δὲ ἡμέτερα ἀπὸ τῆς ψυχῆς εἶναι γνώριμα χρή. τὸν γὰρ πιστὸν οὐκ ἀπὸ τῆς δωρεᾶς χρὴ φαίνεσθαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ζωῆς τῆς καινῆς. τὸν πιστὸν φωστῆρα δεῖ εἶναι τοῦ κόσμου καὶ ἅλας. ὅταν δὲ μηδὲ σαυτῷ φαίνῃς, μηδὲ τὴν οἰκείαν σηπεδόνα ἐπισφίγγῃς, πόθεν σε εἰσόμεθα λοιπόν; ὅτι τῶν ναμάτων ἐπέβης τῶν ἱερῶν; ἀλλὰ τοῦτό σοι κολάσεως ἐφόδιον γίνεται. τιμῆς γὰρ μέγεθος τοῖς οὐκ ἀξίως τῆς τιμῆς ζῆν προαιρουμένοις, προσθήκη τιμωρίας ἐστί. τὸν γὰρ πιστὸν, οὐκ ἀφ' ὧν ἔλαβε παρὰ τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀφ' ὧν αὐτὸς εἰσήνεγκε, λάμπειν δίκαιον, καὶ πανταχόθεν εἶναι γνώριμον, [καὶ] ἀπὸ τοῦ βαδίσματος, [καὶ] ἀπὸ τοῦ βλέμματος, [καὶ] ἀπὸ τοῦ σχήματος, [καὶ] ἀπὸ τῆς φωνῆς. ταῦτα δὲ εἶπον, οὐχ ἵνα πρὸς ἐπίδειξιν, ἀλλ' ἵνα πρὸς ὠφέλειαν τῶν ὁρώντων ἑαυτοὺς ῥυθμίσωμεν. νυνὶ δὲ ὅθεν ἂν ζητήσω σε ἐπιγνῶναι, πανταχοῦ σε ἀπὸ τῶν ἐναντίων εὑρίσκω φαινόμενον. ἄν τε γὰρ ἀπὸ τοῦ τόπου βουληθῶ σε καταμαθεῖν, ἐν ἱπποδρομίαις καὶ θεάτροις καὶ παρανομίαις ὁρῶ διημερεύοντα, ἐν πονηροῖς συλλόγοις τοῖς ἐν ἀγορᾷ, καὶ ἀνθρώπων συνουσίαις διεφθαρμένων· ἄν τε ἀπὸ τοῦ σχήματος τῆς ὄψεως, ἀνακαγχάζοντα βλέπω διηνεκῶς καὶ διαλελυμένον, καθάπερ [″ἀνοικτὸν ἔχουσαν τὸ στόμα] σεσηρυῖαν ἑταιρίδα καὶ ἀπολελυμένην· ἄν τε ἀπὸ τῶν ἱματίων, τῶν ἐπὶ σκηνῆς οὐδὲν ἄμεινον διακείμενον ὁρῶ· ἄν τε ἀπὸ τῶν ἑπομένων, παρασίτους περιφέρεις καὶ κόλακας· ἄν τε ἀπὸ τῶν ῥημάτων, οὐδὲν ὑγιὲς οὐδὲ ἀναγ-

γρ. ἐνυβρίσαι
γρ. ἄπιστος.
γρ. [illegible]

ΗΘΙΚΟΝ

καῖον οὐδὲ συνέχον ἡμῶν τὴν ζωὴν ἀκούω φθεγγόμενον ἀλλά τε ἀπὸ τῆς τραπέζης, μείζων ἐντεῦθεν ἡ κατηγορεία φαίνεται. πόθεν οὖν, εἰπέ μοι, δυνήσομαί σε ἐπιγνῶναι τὸν πιστὸν, τῶν εἰρημένων ἁπάντων τἀναντία ψηφιζομένων; καὶ τί λέγω τὸν πιστόν; οὐδὲ γὰρ, εἰ ἄνθρωπος εἶ, σαφῶς δύναμαι μαθεῖν. ὅταν μὲν γὰρ λακτίζῃς μὲν ὥσπερ ὄνος, σκιρτᾷς δὲ ὥσπερ ταῦρος, χρεμετίζῃς δὲ ἐπὶ γυναιξὶν ὥσπερ ἵππος· καὶ γαστριμαργῇς μὲν ὥσπερ ἄρκτος, πιαίνῃς δὲ τὴν σάρκα ὥσπερ ἡμίονος, μνησικακῇς δὲ ὥσπερ κάμηλος· καὶ ἁρπάζῃς μὲν ὡς λύκος, ὀργίζῃ δὲ ὡς ὄφις, πλήττῃς καὶ ὡς σκορπίος, ὕπουλος δὲ [ᾖς] ὥσπερ ἀλώπηξ, ἰὸν δὲ πονηρίας διατηρῇς ὥσπερ ἀσπὶς καὶ ἔχις, πολεμῇς δὲ κατὰ τῶν ἀδελφῶν ὥσπερ ὁ πονηρὸς δαίμων ἐκεῖνος· πῶς δυνήσομαί σε μετὰ τῶν ἀνθρώπων ἀριθμεῖν, οὐχ ὁρῶν ἐν σοὶ τῆς τοιαύτης φύσεως τοὺς χαρακτῆρας; κατηχουμένου γὰρ καὶ πιστοῦ διαφορὰν ζητῶν, κινδυνεύω μηδὲ ἀνθρώπου καὶ θηρίου εὑρεῖν διαφοράν. τί γάρ σε εἴπω; θηρίον; ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμάτων κατέχεται· σὺ δὲ ὁμοῦ συμφορήσας πάντα, πορρωτέρω τῆς ἐκείνων ἀλογίας ὁδεύεις. ἀλλὰ δαίμονά σε προσείπω; ἀλλὰ δαίμων οὔτε γαστρὸς δουλεύει τυραννίδι, οὔτε χρημάτων ἐρᾷ. ὅταν οὖν καὶ θηρίων καὶ δαιμόνων ἐλαττώματα πλείονα ἔχῃς, πῶς σε ἄνθρωπον καλέσομεν, εἰπέ μοι; εἰ δὲ ἄνθρωπόν σε οὐκ ἔστιν εἰπεῖν, πῶς σε προσεροῦμεν πιστόν; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὕτω διακείμενοι κακῶς, οὐδὲ ἐννοοῦμεν τῆς ψυχῆς ἡμῶν τὴν ἀμορφίαν, οὐδὲ καταμανθάνομεν αὐτῆς τὸ δυσειδές. ἀλλ' ἐν κουρείῳ μὲν καθήμενος καὶ τὴν κόμην ἀποκείρων, [καὶ] τὸ κάτοπτρον λαβὼν περισκοπεῖς μετὰ ἀκριβείας τὴν τῶν τριχῶν σύνθεσιν, καὶ τοὺς παρεστῶτας ἐρωτᾷς, καὶ τὸν ἀποκείραντα αὐτὸν, εἰ καλῶς τὰ πρὸς τῷ μετώπῳ συνέθηκε, καὶ γέρων ὢν πολλάκις οὐκ αἰσχύνῃ νεωτερικαῖς φαντασίαις ἐπιμαινόμενος· τῆς δὲ ψυχῆς ἡμῶν οὐκ ἀμόρφου μόνον, ἀλλὰ καὶ θηριομόρφου, καὶ σκύλλης τινὸς ἢ χιμαίρας κατὰ τὸν ἔξω μῦθον γεγενημένης οὐδὲ μικρὸν αἰσθανόμεθα. καίτοιγε καὶ ἐνταῦθα κάτοπτρόν ἐστι πνευματικὸν, καὶ πολλῷ βέλτιον ἐκείνου καὶ χρησιμώτερον. οὐδὲ γὰρ δείκνυσι τὴν ἀμορφίαν μόνον, ἀλλὰ καὶ μετατίθησιν αὐτὴν πρὸς κάλλος ἀμήχανον, ἂν θέλωμεν. τοῦτο δέ ἐστιν, ἡ τῶν ἀγαθῶν ἀνδρῶν μνήμη καὶ τῆς μακαρίας ζωῆς αὐτῶν ἱστορία, ἡ τῶν γραφῶν ἀνάγνωσις, οἱ παρὰ τοῦ Θεοῦ δοθέντες νόμοι. κἂν βουληθῇς ἅπαξ μόνον ἰδεῖν εἰς τὰς τῶν ἁγίων ἐκείνων εἰκόνας, καὶ τὸ δυσειδὲς ὄψει τῆς διανοίας τῆς σῆς· καὶ ἰδὼν οὐδενὸς δεήσῃ λοιπὸν ἑτέρου εἰς τὸ ἀπαλλαγῆναι τῆς αἰσχρότητος ταύτης. καὶ γὰρ εἰς τοῦτο χρήσιμον ἡμῖν τὸ κάτοπτρον, καὶ ῥᾳδίαν ποιεῖ τὴν μετάθεσιν. μηδεὶς τοίνυν ἐν τῇ τῶν ἀλόγων μενέτω μορφῇ. εἰ γὰρ ὁ δοῦλος εἰς τὴν οἰκίαν τοῦ πατρὸς οὐκ εἰσέρχεται, ὅταν αὐτὸς καὶ θηρίον μένῃ, πῶς δυνήσῃ τῶν προθύρων ἐπιβῆναι ἐκείνων; καὶ τί λέγω θηρίον; θηρίου μὲν παντὸς χαλεπώτερος ὁ τοιοῦτός ἐστιν. ἐκεῖνα μὲν γὰρ, καίτοι κατὰ φύσιν [ὄντα] ἄγρια, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης πολλάκις ἥμερα γίνεται· σὺ δὲ ὁ τὴν ἐκείνων θηριωδίαν τὴν κατὰ φύσιν εἰς τὴν παρὰ φύσιν ἡμερότητα μεταβαλών, ποίαν ἕξεις ἀπολογίαν τὴν σεαυτοῦ πραότητα τὴν κατὰ φύσιν εἰς τὴν παρὰ φύσιν θηριωδίαν ἐξαγαγών; καὶ τὸ μὲν ἄγριον φύσει δεικνὺς ἥμερον, σαυτὸν δὲ τὸν ἥμερον φύσει παρὰ φύσιν ἄγριον ἱστάς; καὶ λέοντα μὲν τιθασσεύων καὶ χειροήθη ποιῶν· τὸν δὲ θυμὸν τὸν σὸν λέοντος ἀγριώτερον κατασκευάζων; καίτοι δύο ἐκεῖ τὰ κωλύματα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι τὸ θηρίον, καὶ τὸ πάντων εἶναι θυμωδέστερον· ἀλλ' ὅμως τῇ περιουσίᾳ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης σοι σοφίας, καὶ τῆς φύσεως κρατεῖς. ὁ τοίνυν ἐπὶ τῶν θηρίων καὶ τὴν φύσιν νικῶν, πῶς ἐπὶ σαυτοῦ μετὰ τῆς φύσεως καὶ τὸ τῆς προαιρέσεως προδίδως καλόν; καὶ εἰ μὲν ἄλλον ἐκέλευον ἄνθρωπον ποιῆσαι πρᾶον, οὐδὲ οὕτω μὲν ἀδύνατα ἔδοξα ἂν ἐπιτάττειν· πλὴν ἀλλ' ἐνῆν σοι προβαλέσθαι τὸ μὴ κύριον εἶναι τῆς ἑτέρου γνώμης, μηδὲ ἐπὶ σοὶ κεῖσθαι τὸ πᾶν. νυνὶ δὲ τὸ σαυτοῦ λέγω ποιῆσαι θηρίον ἥμερον, καὶ οὗ πάντως κύριος εἶ. τίνα οὖν ἔχεις ἀπολογίαν, τῆς φύσεως μὴ κρατῶν; τίνα δὲ πρόφασιν εὐπρόσωπον προβαλέσθαι δυνήσῃ, λέοντα μὲν ποιῶν ἄνθρωπον, σαυτὸν

τὸν

γρ. ἄρκθ.

γρ. καὶ

γρ. καὶ

γρ. ἔξωθεν

γρ. ἥμερα γέγονε.

γρ. ποιῶν

γρ. ποίαν

τὸν δὲ περιορῶν ἐξ ἀνθρώπου γινόμενον λέοντα; κἀκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαριζόμενος, σαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν τηρῶν· ἀλλὰ τοὺς μὲν ἀγρίους θῆρας εἰς τὴν ἡμετέραν φιλονεικίαν ″ἐνάγεις εὐγένειαν, σαυτὸν δὲ ἀπὸ τοῦ θρόνου τῆς βασιλείας καταστρέφων, καὶ εἰς τὴν μανίαν ἐξωθῶν τὴν ἐκείνων; νόμισον γάρ, εἰ βούλει, καὶ τὸν θυμὸν θηρίον εἶναι· καὶ ὅσην περὶ τοὺς λέοντας ἕτεροι, τοσαύτην σὺ περὶ σαυτὸν ἐπίδειξαι τὴν σπουδήν· καὶ ποίησον ἥμερον καὶ πρᾶον εἶναι τὸν τοιοῦτον λογισμόν. καὶ γὰρ οὗτος χαλεποὺς ὀδόντας ἔχει καὶ ὄνυχας· κἂν μὴ ἡμερώσῃς αὐτόν, πάντα ἀπολεῖ. οὐδὲ γὰρ οὕτω λέων καὶ ἔχις τὰ σπλάγχνα διασπαράξαι δύναται, ὡς θυμὸς, τοῖς σιδηροῖς ὄνυξι διηνεκῶς τοῦτο ποιῶν. οὐ γὰρ δὴ τὸ σῶμα λυμαίνεται μόνον, ἀλλὰ καὶ αὐτὴν τῆς ψυχῆς διαφθείρει τὴν ὑγίειαν, κατεσθίων, σπαράττων, διαξαίνων τὴν δύναμιν αὐτῆς ἅπασαν, καὶ ἄχρηστον πρὸς πάντα ″τιθείς. εἰ γὰρ σκώληκάς τις ἐν τοῖς ἐγκάτοις τρέφων, οὐδὲ ἀναπνεῦσαι δυνήσεται, ″πάντως τῶν ἔνδον ″αὐτοῦ δαπανωμένων· πῶς ὄφιν ἡμεῖς τηλικοῦτον ἔχοντες κατατρώγοντα πάντα ″τὰ ἔνδον, τὸν θυμὸν λέγω, δυνησόμεθά τι γενναῖον τεκεῖν; πῶς οὖν ταύτης ἀπαλλαγησόμεθα τῆς λύμης; ἂν πίωμεν ποτὸν νεκρῶσαι δυνάμενον τοὺς ἔνδον σκώληκας καὶ τοὺς ὄφεις. καὶ ποῖον ἂν εἴη τὸ ποτόν, φησι, τὸ τὴν ἰσχὺν ταύτην ἔχον; τὸ τίμιον αἷμα τοῦ Χριστοῦ, εἰ μετὰ παρρησίας ληφθείη (πᾶσαν γὰρ νόσον σβέσαι δυνήσεται τοῦτο) καὶ μετὰ ″τούτου τῶν θείων γραφῶν ἡ μετὰ ἀκριβείας ἀκρόασις, καὶ ἐλεημοσύνη τῇ ἀκροάσει προσγινομένη. διὰ γὰρ τούτων πάντων δυνήσεται νεκρωθῆναι τὰ λυμαινόμενα τὴν ψυχὴν ἡμῶν πάθη· καὶ τότε ζησόμεθα μόνον. ὡς νῦν γε οὐδὲν τῶν τεθνεώτων ἄμεινον διακείμεθα· ἐπειδήπερ οὐκ ἔστι ζώντων ἐκείνων καὶ ἡμᾶς ζῆν, ἀλλ' ἀνάγκη ἡμᾶς ἀπολέσθαι. ″ἂν γὰρ μὴ φθάσωμεν αὐτὰ ἀποκτείναντες ἐνταῦθα, ἐκεῖ πάντως ἡμᾶς [αὐτὰ] ἀποκτενεῖ· μᾶλλον δὲ καὶ πρὸ ἐκείνου τοῦ θανάτου τὴν ἐσχάτην ἡμᾶς καὶ ἐνταῦθα ἀπαιτήσει δίκην. καὶ γὰρ ἕκαστον τῶν παθῶν τῶν τοιούτων, καὶ ὠμὸν καὶ τυραννικὸν καὶ ἀκόρεστον, καὶ καθ' ἑκάστην ἡμᾶς ἐσθίον τὴν ἡμέραν οὐδέποτε ἵσταται. ὀδόντες γὰρ λέοντος οἱ ὀδόντες αὐτῶν, μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτεροι. ὁ μὲν γὰρ λέων ὁμοῦ τε ἐκορέσθη, καὶ ἀπέστη τοῦ ″περιπεσόντος αὐτῷ σώματος· ταῦτα δὲ τὰ πάθη, οὔτε ἐμπίμπλαται, οὔτε ἀφίσταται, ἕως ἂν ἐγγὺς τοῦ διαβόλου στήσῃ τὸν ἁλόντα ἄνθρωπον. τοσαύτη γὰρ αὐτῶν ἡ δύναμις, ὡς τὴν δουλείαν, ἣν ὁ Παῦλος περὶ τὸν Χριστὸν ἐπεδείκνυτο, καὶ γεέννης καὶ βασιλείας δι' αὐτὸν καταφρονῶν, τὴν αὐτὴν καὶ παρὰ τῶν ἁλόντων ἀπαιτεῖν. ἄν τε γὰρ σωμάτων ἐρῶντι, ἄν τε χρημάτων, ἄν τε δόξης περιπέσῃ τις, καὶ γεέννης καταγελᾷ λοιπόν, καὶ βασιλείας καταφρονεῖ, ἵνα τὸ θέλημα τούτων ἐργάσηται. μὴ τοίνυν ἀπιστῶμεν Παύλῳ λέγοντι, ὅτι τὸν Χριστὸν οὕτως ἐφίλησεν. ὅταν γὰρ εὑρεθῶσί τινες τοῖς πάθεσιν οὕτω δουλεύοντες, πῶς ἄπιστον ἐκεῖνο δόξει εἶναι λοιπόν; καὶ γὰρ διὰ τοῦτο ὁ περὶ τὸν Χριστὸν πόθος ἀσθενέστερος, ἐπειδὴ πᾶσα ἡμῖν ἡ δύναμις εἰς τοῦτον καταναλοῦται τὸν ἔρωτα, καὶ ἁρπάζομεν, καὶ πλεονεκτοῦμεν, καὶ δόξῃ δουλεύομεν κενῇ· ἧς τί γένοιτ' ἂν εὐτελέστερον; κἂν γὰρ μυριάκις γένῃ περίβλεπτος, οὐδὲν τῶν ἀτίμων ἔσῃ βελτίων· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ ἀτιμότερος. ὅταν γὰρ οἱ βουλόμενοί σε δοξάζειν καὶ λαμπρὸν ἀποδεικνύναι, δι' αὐτὸ τοῦτό σε γελῶσιν, ὅτι τῆς παρ' αὐτῶν ἐπιθυμεῖς δόξης, πῶς οὐκ εἰς τὸ ἐναντίον ″περιτραπήσεταί σοι τὰ τῆς τοιαύτης σπουδῆς; καὶ γὰρ τῶν κατηγορουμένων τὸ πρᾶγμά ἐστιν. ὥσπερ γὰρ τὸν ἐπιθυμοῦντα μοιχεύειν ἢ πορνεύειν ἂν ἐπαινῇ τις καὶ κολακεύῃ, αὐτῷ τούτῳ μᾶλλον κατήγορος γίνεται, ἢ ἐπαινέτης τοῦ τὰ τοιαῦτα ἐπιθυμοῦντος· οὕτω καὶ τὸν δόξης ἐπιθυμοῦντα ὅταν ἐπαινῶμεν ἅπαντες, κατήγοροι μᾶλλόν ἐσμεν, ἢ ἐπαινέται τῶν βουλομένων δοξάζεσθαι. τί τοίνυν ἐφέλκεις τὸ πρᾶγμα, ἀφ' οὗ τὸ ἐναντίον σοι συμβαίνειν εἴωθεν; εἰ [γὰρ] δοξάζεσθαι βούλει, καταφρόνει δόξης, καὶ πάντων ἔσῃ λαμπρότερος. τί πάσχεις ὅπερ ἔπαθεν ὁ Ναβουχοδονόσορ; καὶ γὰρ ἐκεῖνος εἰκόνα ἔστησεν, ἀπὸ τοῦ ξύλου καὶ ″τῆς ἀναισθήτου μορφῆς προσθήκην νομίζων ἑαυτῷ πορίζειν εὐφημίας, καὶ ὁ ζῶν ἀπὸ τοῦ μὴ ζῶντος λαμπρότερος ἤθελε φαίνεσθαι. Εἶδες τοῦ μανίας τὴν ὑπερβολήν; δοκῶν γὰρ ἑαυτὸν τιμᾷν, μᾶλλον ἐξύβρισεν. ὅταν γὰρ φαίνηται τῷ ἀψύχῳ θαῤῥῶν μᾶλλον, ἢ ἑαυτῷ καὶ τῇ ἐν αὐτῷ ζώσῃ ψυχῇ, καὶ διὰ τοῦτο τὸ ξύλον ἐπὶ τοσαύτην ἄγῃ προεδρίαν, πῶς οὐκ ἂν εἴη γέλωτος ἄξιος, οὐκ ἀπὸ τρόπων, ἀλλ' ἀπὸ σανίδων καλλωπίζεσθαι σπεύδων; ὥσπερ ἂν εἴ τις διὰ τὸ βάθρον τὸ ἐν τῇ οἰκίᾳ καὶ διὰ τὴν κλίμακα καλὴν οὖσαν ἀξιοῖ μᾶλλον, ἢ διὰ τὸ ἄνθρωπος εἶναι, ἐναβρύνεσθαι. τοῦτον καὶ ἐφ' ἡμῶν πολλοὶ μιμοῦνται νῦν. ὥσπερ γὰρ ἐκεῖνος ἀπὸ τῆς εἰκόνος· οὕτως ἀπὸ τῶν ἱματίων ἕτεροι, καὶ ἐξ οἰκίας ἄλλοι, καὶ ἐξ ἡμιόνων καὶ ὀχημάτων, καὶ ἀπὸ κιόνων τῶν ἐν ταῖς οἰκίαις ἀξιοῦσι θαυμάζεσθαι. ἐπειδὴ γὰρ τὸ ἄνθρωποι εἶναι ἀπώλεσαν, περιέρχονται συλλέγοντες ἑαυτοῖς ἑτέρωθεν τὴν πολλοῦ γέλωτος γέμουσαν δόξαν. ἀλλ' οὐχ οἱ γενναῖοι καὶ μεγάλοι τοῦ Θεοῦ θεράποντες ἐντεῦθεν, ἀλλ' ἀφ' ὧν ἔδει μάλιστα, ἐκ τούτων ἔλαμπον. καὶ γὰρ [καὶ] αἰχμάλωτοι, καὶ δοῦλοι, καὶ νέοι, καὶ ξένοι, καὶ πάντων τῶν οἴκοθεν ὄντες ἔρημοι, τοῦ πάντα περιβεβλημένου ταῦτα σεμνότεροι πολλῷ τότε ἐφάνησαν. καὶ τῷ μὲν Ναβουχοδονόσορ, οὐκ εἰκὼν τοσαύτη, οὐ σατράπαι, οὐ στρατηγοί, οὐ στρατόπεδα ἄπειρα, οὐ χρυσίου πλῆθος, οὐκ ἄλλη φαντασία πρὸς τὴν ἐπιθυμίαν ἤρκεσε καὶ τὸ "δεῖξαι μέγαν· τούτοις δὲ τούτων πάντων γεγυμνωμένοις ἤρκεσεν ἡ φιλοσοφία μόνον, καὶ τοῦ τὸ διάδημα καὶ τὴν πορφυρίδα ἔχοντος καὶ τοιαῦτα περιβεβλημένου αὐτοὺς οὐδὲν τούτων κεκτημένους λαμπροτέρους ἀπέφηνε, τοσοῦτον, ὅσον ὁ ἥλιός ἐστι "μαργάρου λαμπρότερος. καὶ γὰρ ἐν μέσῳ τῆς οἰκουμένης ἁπάσης ἤγοντο, νέοι τε ὄντες καὶ αἰχμάλωτοι καὶ δοῦλοι, καὶ φανέντων εὐθέως ὁ βασιλεὺς πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἠφίει, καὶ στρατηγοὶ, καὶ τοπάρχαι, καὶ ὕπαρχοι, καὶ ἅπαν τοῦ διαβόλου τὸ θέατρον περιεστήκει, καὶ φωνὴ συρίγγων "πανταχόθεν καὶ σαλπίγγων καὶ πάσης μουσικῆς πρὸς τὸν οὐρανὸν φερομένη περιήχει τὰς ἐκείνων ἀκοάς· καὶ κάμινος ἀνεκαίετο πρὸς ὕψος ἄπειρον, καὶ αὐτῶν ἡ φλὸξ ἥπτετο τῶν νεφελῶν, καὶ πάντα φόβου καὶ "ἐκπλήξεως ἦν ἀνάμεστα. ἀλλ' ἐκείνους οὐδὲν τούτων "ἐξέπληξεν· ἀλλ' ὥσπερ "παίδων παιζόντων καταγελάσαντες, τὴν ἀνδρείαν καὶ τὴν "ἐπιείκειαν ἐπεδείκνυντο, καὶ τῶν σαλπίγγων ἐκείνων λαμπροτέραν ἀφιέντες φωνὴν ἔλεγον· Γνωστὸν ἔστω σοι, βασιλεῦ. οὐδὲ γὰρ μέχρι ῥήματος ὑβρίσαι ἐβούλοντο τὸν τύραννον, ἀλλὰ τὴν εὐσέβειαν ἐπιδείξασθαι μόνον. διόπερ οὐδὲ μακροὺς "ἀπετείναντο λόγους, ἀλλ' ἐν βραχεῖ πάντα ἐπιδείκνυνται. ἔστι γάρ, φησι, Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς. τί μοι τὸ πλῆθος δεικνύεις; τί μοι τὴν κάμινον; "τί μοι τὰ ξίφη τὰ ἠκονημένα; τί τοὺς φοβεροὺς δορυφόρους; πάντων τούτων ἀνώτερος ἡμῶν ὁ δεσπότης καὶ δυνατώτερος. Εἶτα, ἐννοήσαντες ὅτι συμβαίνει τὸν Θεὸν βουληθῆναι καὶ συγχωρῆσαι αὐτοὺς καυθῆναι, ἵνα μὴ τούτου γινομένου δόξωσι ψευδῆ λέγειν, προστιθέασι καὶ τοῦτο, λέγοντες· ὅτι ἐὰν μὴ τοῦτο γίνηται, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν. εἰ γὰρ εἶπον, ὅτι δι' ἁμαρτήματα οὐ ῥύεται, κἂν μὴ ῥύσηται, ἠπιστήθησαν ἄν. διὰ τοῦτο ἐνταῦθα μὲν τοῦτο σιγῶσι· λέγουσι δὲ αὐτὸ ἐπὶ τῆς καμίνου, ἄνω καὶ κάτω τὰ ἁμαρτήματα προβαλλόμενοι· ἐπὶ δὲ τοῦ βασιλέως οὐδὲν τοιοῦτον, ἀλλ' ὅτι κἂν καίεσθαι μέλλωσι, τὴν εὐσέβειαν οὐ προδώσουσιν. οὐ γὰρ ἐπ' ἀμοιβαῖς καὶ ἀντιδόσεσιν ἔπραττον ἅπερ ἔπραττον, ἀλλ' ἐξ ἀγάπης μόνης· καίτοιγε ἐν αἰχμαλωσίᾳ ἦσαν καὶ ἐν δουλείᾳ, καὶ οὐδενὸς ἀπολελαυκότες χρηστοῦ. καὶ γὰρ καὶ πατρίδος, καὶ ἐλευθερίας, καὶ τῶν ὄντων πάντων ἐξέπεσον. μὴ γάρ μοι τὰς ἐν ταῖς βασιλικαῖς αὐλαῖς εἴπῃς τιμάς. ὅσιοι γὰρ ὄντες καὶ δίκαιοι, μυριάκις ἂν εἵλοντο προσαιτεῖν οἴκοι, καὶ τῶν ἐν τῷ ναῷ καλῶν ἀπολαύειν. Ἐξελεξάμην γάρ, φησι, παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν· καὶ, κρείττων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. μυριάκις [οὖν] ἂν εἵλοντο ἀπεῤῥίφθαι οἴκοι, ἢ βασιλεύειν ἐν Βαβυλῶνι. καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ ἐν τῇ καμίνῳ

δηλοῦσι,

Δαν. γ. ιη.

Ψαλμ. πγ. ια.

δηλονότι, βαρούμενοι τὴν αὐτόθι διατριβήν. Εἰ γὰρ καὶ αὐτοὶ πολλῆς ἀπέλαυον τιμῆς, τὰς τῶν ἄλλων ὁρῶντες συμφορὰς σφόδρα ἐδάκνοντο. Ὅπερ μάλιστά ἐστιν ἁγίων ἴδιον, μὴ δόξαν, μὴ τιμὴν, μηδὲν ἄλλο προτιμᾷν τῆς τοῦ πλησίον σωτηρίας. Ἐννόει γοῦν, πῶς ἐν καμίνῳ ὄντες, ὑπὲρ τοῦ δήμου παντὸς τὴν ἱκετηρίαν ἐποιοῦντο· ἡμεῖς δὲ οὐδ' ἐν ἀνέσει ὄντες, τῶν ἀδελφῶν μνημονεύομεν. Καὶ ἡνίκα δὲ τὰ ἐνύπνια ἐζήτουν, οὐ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τὸ τῶν πολλῶν. Ὅτι γὰρ θανάτου κατεφρόνουν, διὰ πολλῶν μετὰ ταῦτα ἔδειξαν. Πανταχοῦ δὲ ἑαυτοὺς προβάλλονται, τὸν Θεὸν δυσωπῆσαι βουλόμενοι. Εἶτα ἐπειδὴ οὐδὲ ἑαυτοὺς ἀρκεῖν ἡγοῦντο, ἐπὶ τοὺς πατέρας καταφεύγουσιν· αὐτοὶ δὲ οὐδὲν πλέον ἔφασαν εἰσφέρειν, ἀλλ' ἢ πνεῦμα συντετριμμένον. Τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. Καὶ γὰρ καὶ νῦν ἕστηκεν εἰκὼν χρυσῆ, ἡ τοῦ μαμωνᾶ τυραννίς. Ἀλλὰ μὴ προσέχωμεν τοῖς τυμπάνοις, μηδὲ τοῖς αὐλοῖς, μηδὲ ταῖς κινύραις, μηδὲ τῇ λοιπῇ τοῦ πλούτου φαντασίᾳ· ἀλλὰ κἂν εἰς κάμινον ἐμπεσεῖν δέῃ πενίας, ἑλώμεθα ὥστε μὴ προσκυνῆσαι ἐκείνῳ· καὶ ἔσται δρόσος ἐν μέσῳ διασυρίζουσα. Μὴ τοίνυν φρίττωμεν, πενίας ἀκούοντες κάμινον. Καὶ γὰρ καὶ τότε, οἱ μὲν ἐμπεσόντες εἰς τὴν κάμινον ἀπεδείχθησαν λαμπρότεροι· οἱ δὲ προσκυνήσαντες ἀνῃρέθησαν. Ἀλλὰ τότε μὲν ὁμοῦ πάντα ἐγένετο· νῦν δὲ τὰ μὲν ἐνταῦθα ἔσται, τὰ δὲ ἐκεῖ, τὰ δὲ καὶ ἐνταῦθα καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ. Οἱ μὲν γὰρ ὑπὲρ τοῦ μὴ προσκυνῆσαι τῷ μαμωνᾷ πενίαν ἑλόμενοι, καὶ ἐνταῦθα καὶ τότε ἔσονται λαμπρότεροι· οἱ δὲ πλουτοῦντες ἐνταῦθα ἀδίκως, τότε τὴν ἐσχάτην δώσουσι δίκην. Ἀπὸ ταύτης καὶ ὁ Λάζαρος τῆς καμίνου ἐξῆλθε, τῶν παίδων ἐκείνων οὐχ ἧττον λαμπρός· ὁ δὲ ἐν τῇ τάξει τῶν προσκυνησάντων τὴν εἰκόνα πλούσιος, ἐν γεέννῃ κατεδικάζετο. Καὶ γὰρ τὰ εἰρημένα τύπος ἐκείνων. Ὥσπερ οὖν ἐνταῦθα, οἱ μὲν ἐμπεσόντες οὐδὲν ἔπαθον, οἱ δὲ ἔξω καθήμενοι μετὰ πολλῆς ἡρπάγησαν τῆς σφοδρότητος· οὕτω καὶ τότε ἔσται, οἱ μὲν ἅγιοι διὰ τοῦ ποταμοῦ τοῦ πυρὸς βαδίζοντες οὐδὲν πείσονται ἀηδὲς, ἀλλὰ καὶ φαιδροὶ φανοῦνται· οἱ δὲ τὴν εἰκόνα προσκυνήσαντες, ὄψονται τὸ πῦρ αὐτοῖς θηρίου χαλεπώτερον παντὸς ἐπιπηδῶν καὶ καθέλκον ἔνδον. Ὥστε εἴ τις διαπιστεῖ τῇ γεέννῃ, ταύτην ἰδὼν τὴν κάμινον, ἀπὸ τῶν παρόντων πιστευέτω τοῖς μέλλουσι, καὶ μὴ φοβείσθω πενίας κάμινον, ἀλλὰ ἁμαρτίας κάμινον. Τοῦτο μὲν γὰρ φλὸξ καὶ ὀδύνη, ἐκεῖνο δὲ δρόσος καὶ ἄνεσις· κἀκείνῃ μὲν τῇ καμίνῳ παρέστηκεν ὁ διάβολος, ταύτῃ δὲ ἄγγελοι, τινάσσοντες τὴν φλόγα. Ταῦτα ἀκουέτωσαν οἱ πλουτοῦντες, οἱ τὴν κάμινον τῆς πενίας ἀνάπτοντες. Ἐκείνους μὲν γὰρ οὐδὲν βλάψουσι, τῆς δρόσου παραγινομένης αὐτοῖς· ἑαυτοὺς δὲ εὐχειρώτους ἐργάσονται τῇ φλογὶ, ἣν ἀπὸ τῶν ἰδίων ἀνῆψαν χειρῶν. Τότε μὲν οὖν ἄγγελος συγκατέβη τοῖς παισὶν ἐκείνοις· νυνὶ δὲ ἡμεῖς τοῖς ἐν καμίνῳ πενίας οὖσι συγκαταβῶμεν, καὶ διὰ τῆς ἐλεημοσύνης ἐργασώμεθα δρόσον, καὶ ἐκτινάξωμεν [τὴν] φλόγα, ἵνα καὶ τῶν στεφάνων αὐτῶν γενώμεθα κοινωνοί· ἵνα καὶ τὴν φλόγα τῆς γεέννης ἡ τοῦ Χριστοῦ διασκεδάσῃ φωνὴ ἡ λέγουσα· Πεινῶντα ἐμὲ εἴδετε καὶ ἐθρέψατε. Αὕτη γὰρ ἡ φωνὴ τότε ἀντὶ δρόσου παραστήσεται ἡμῖν, διὰ μέσης συρίζουσα τῆς φλογός. Κατέλθωμεν τοίνυν μετὰ ἐλεημοσύνης εἰς τὴν τῆς πτωχείας κάμινον· ἴδωμεν τοὺς φιλοσοφοῦντας βαδίζοντας ἐν αὐτῇ, καὶ τοὺς ἄνθρακας πατοῦντας· ἴδωμεν τὸ θαῦμα τὸ καινὸν καὶ παράδοξον, ἄνθρωπον ἐν καμίνῳ ψάλλοντα, ἄνθρωπον ἐν πυρὶ εὐχαριστοῦντα, πενίᾳ προσδεδεμένον ἐσχάτῃ, καὶ πολλὴν φέροντα τὴν εὐφημίαν τῷ Χριστῷ. Καὶ γὰρ τοῖς παισὶν ἐκείνοις ἴσοι γίνονται οἱ πενίαν μετ' εὐχαριστίας φέροντες. Καὶ γὰρ πυρὸς φοβερώτερον ἡ πτωχεία, καὶ μᾶλλον ἐμπιπρᾷν εἴωθεν· ἀλλὰ τοὺς παῖδας οὐκ ἐνέπρησεν ἐκείνους, ἀλλ', ἐπειδὴ χάριτας ὡμολόγησαν τῷ δεσπότῃ, καὶ τὰ δεσμὰ εὐθέως αὐτοῖς διελύετο. Οὕτω καὶ νῦν, ἂν ἐμπεσὼν εἰς πενίαν εὐχαριστήσῃς, καὶ τὰ δεσμὰ λύεται, καὶ ἡ φλὸξ σβέννυται. Κἂν μὴ σβεσθῇ, τὸ πολλῷ θαυμαστότερον, ἀντὶ φλογὸς πηγὴ γίνεται. Ὃ δὴ καὶ τότε συνέβη· καὶ ἐν τῇ καμίνῳ μέσῃ δρόσου καθαρᾶς ἀπέλαυον. Τὸ μὲν γὰρ πῦρ οὐκ ἔσβεσε, τὸ δὲ καυθῆναι τοὺς ἐμβληθέντας

γρ. τοῦ

γρ. τοῦ

γρ. πενίαν

γρ. διαπιστοῦντες

γρ. ἀπιστεῖ

γρ. οὖν

γρ. ὑψαυχένας

γρ. Θεῷ

γρ. ὃ καὶ ἐπὶ τῶν φιλοσοφούντων ἔστιν ἰδεῖν, ὅτι ἐν πενίᾳ, [illegible] ἀ-[illegible] καὶ ἐν [illegible] μέσῃ δρόσου καθα-ρᾶς ἀπολαύο-[illegible] καὶ τί-[illegible] συνέβη· τὸ [illegible] πῦρ οὐ [illegible] τὸ δὲ [illegible] τοὺς ἐμβληθέν-τας διεκώλυσε· [illegible]

Ματθ. κε. λε.

διεκώλυσε. τοῦτο καὶ ἐπὶ τῶν φιλοσοφούντων ἐστὶν ἰδεῖν. καὶ γὰρ ἐν πενίᾳ τῶν πλουτούντων ἀδεέστερον διάκεινται. μὴ τοίνυν ἔξω τῆς καμίνου καθεζώμεθα, ἀνηλεῶς πρὸς τοὺς πένητας ἔχοντες, ἵνα μὴ πάθωμεν ὅπερ ἔπαθον τότε ἐκεῖνοι. ἂν μὲν γὰρ καταβὰς πρὸς αὐτοὺς στήσῃ μετὰ τῶν παίδων, οὐκέτι σε οὐδὲν ἐργάσεται δεινὸν τὸ πῦρ· ἐὰν δὲ ἄνω καθήμενος περιίδῃς αὐτοὺς ἐν τῇ φλογὶ τῆς πενίας, κατακαύσει σε ἡ φλόξ. κατάβηθι τοίνυν εἰς τὸ πῦρ, ἵνα μὴ κατακαῇς ὑπὸ τοῦ πυρός· μὴ καθίσῃς ἔξω τοῦ πυρὸς, ἵνα μή σε ἁρπάσῃ ἡ φλόξ. ἂν μὲν γὰρ ἴδῃ σε μετὰ τῶν πενήτων, ἀποστήσεταί σου· ἂν δὲ ἀλλοτριούμενον αὐτῶν, ἐπιδραμεῖταί σοι ταχέως, καὶ ἁρπάσεταί σε. μὴ τοίνυν ἀποστῇς αὐτῶν ἐμβληθέντων. ἀλλ' ὅταν ὁ διάβολος κελεύῃ τοὺς μὴ προσκυνήσαντας τῷ χρυσῷ βαλεῖν εἰς τὴν κάμινον τῆς πενίας, μὴ τῶν ἐμβαλλόντων, ἀλλὰ τῶν ἐμβαλλομένων γίνου· ἵνα γένῃ τῶν σωζομένων καὶ μὴ τῶν καιομένων. καὶ γὰρ μεγίστη δρόσος, τὸ μὴ κατέχεσθαι ἐπιθυμίᾳ πλούτου, τὸ πένησιν ὁμιλεῖν. οὗτοι πάντων εἰσὶν εὐπορώτεροι, οἱ τὴν ἐπιθυμίαν τοῦ πλούτου καταπατήσαντες· ἐπεὶ καὶ ἐκεῖνοι καταφρονήσαντες τότε τοῦ βασιλέως, ἐγένοντο τοῦ βασιλέως λαμπρότεροι. καὶ σὺ τοίνυν ἂν ὑπερίδῃς τῶν ἐν τῷ κόσμῳ πραγμάτων, τοῦ κόσμου παντὸς ἔσῃ τιμιώτερος, κατὰ τοὺς ἁγίους ἐκείνους, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἵν' οὖν ἄξιος γένῃ τῶν οὐρανῶν, καταγέλασον τῶν παρόντων. οὕτω γὰρ καὶ ἐνταῦθα ἔσῃ λαμπρότερος, καὶ τῶν μελλόντων ἀπολαύσεις ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰ 12. λη.

Ὁμιλ. ε. 22 ΤΟΥΤΟ ΔΕ ΟΛΟΝ ΓΕΓΟΝΕΝ, ΙΝΑ ΠΛΗΡΩΘΗ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος·

23 Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

Πολλῶν ἀκούω λεγόντων, ὅτι παρόντες μὲν καὶ τῆς ἀκροάσεως ἀπολαύοντες, συστελλόμεθα· ἐξελθόντες δὲ ἕτεροι πάλιν ἀνθ' ἑτέρων γινόμεθα, τὸ πῦρ τῆς προθυμίας σβεννύντες. τί οὖν ἂν γένοιτο, ὅπως τοῦτο μὴ γίνηται; σκοπήσωμεν ὅθεν γίνεται. πόθεν οὖν γίνεται ἡμῖν ἡ τοσαύτη μεταβολή; ἀπὸ τῆς διατριβῆς τῆς μὴ προσηκούσης, καὶ τῆς τῶν πονηρῶν ἀνθρώπων συνουσίας. οὐ γὰρ ἐχρῆν ἀπὸ τῆς συνάξεως ἀναχωροῦντας εἰς τὰ μὴ προσήκοντα τῇ συνάξει ἐμβάλλειν ἑαυτοὺς πράγματα· ἀλλ' εὐθέως οἴκαδε ἐλθόντας τὸ βιβλίον μεταχειρίζεσθαι, καὶ τὴν γυναῖκα καὶ τὰ παιδία πρὸς τὴν κοινωνίαν τῆς τῶν εἰρημένων καλεῖν συλλογῆς, καὶ τότε τῶν βιωτικῶν ἅπτεσθαι πραγμάτων. εἰ γὰρ ἀπὸ βαλανείου οὐκ ἂν ἕλοιο εἰς ἀγορὰν ἐμβάλλειν, ὥστε μὴ τὴν ἐκεῖθεν ἄνεσιν λυμήνασθαι τοῖς ἐν ἀγορᾷ πράγμασι· πολλῷ μᾶλλον ἀπὸ συνάξεως τοῦτο ποιεῖν ἐχρῆν. νῦν δὲ τοὐναντίον ποιοῦμεν. διὰ δὴ τοῦτο καὶ πάντα ἀπόλλυμεν. οὔπω γὰρ τῆς ὠφελείας τῶν λεχθέντων παγείσης καλῶς, ἡ πολλὴ ῥύμη τῶν ἔξωθεν προσπιπτόντων πάντα παρασύρουσα οἴχεται. ἵν' οὖν μὴ τοῦτο γίνηται, ἀπὸ συνάξεως ἀναχωρῶν, μηδὲν ποιοῦ τῆς τῶν εἰρημένων συλλογῆς ἀναγκαιότερον. καὶ γὰρ ἐσχάτης ἀγνωμοσύνης ἂν εἴη, πέντε καὶ ἓξ ἡμέρας τοῖς βιωτικοῖς ἀπονέμοντας, τοῖς πνευματικοῖς μηδεμίαν ἡμέραν, μᾶλλον δὲ μηδὲ μικρὸν τῆς ἡμέρας μέρος διδόναι. οὐχ ὁρᾶτε τὰ παιδία τὰ ἡμέτερα, ὅτι τὰ μαθήματα, ἅπερ ἂν δέξωνται, ταῦτα δι' ὅλης μελετῶσι τῆς ἡμέρας; τοῦτο δὴ καὶ ἡμεῖς ἐργασώμεθα· ἐπεὶ πλέον οὐδὲν ἡμῖν ἔσται τῆς ἐνταῦθα ἀφίξεως, εἰς πίθον τετρημένον ἀντλοῦσι καθ' ἑκάστην ἡμέραν, καὶ μηδὲ τοσαύτην παρεχομένοις σπουδὴν τῇ τῶν εἰρημένων φυλακῇ, ὅσην περὶ χρυσὸν καὶ ἄργυρον ἐπιδεικνύμεθα. δωρεὰ μὲν

γὰρ

γάρ τις ὀλίγα λαβὼν, καὶ εἰς βαλλάντιον ἀποτίθεται, καὶ σφραγῖδα ἐπιτίθησιν· ἡμεῖς δὲ καὶ "χρυσίου καὶ λίθων πολυτελῶν τιμιώτερα δεχόμενοι λόγια, καὶ τὸν τοῦ πνεύματος ὑποδεχόμενοι θησαυρὸν, οὐκ εἰς τὰ ταμιεῖα τῆς ψυχῆς ἀποτιθέμεθα· ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν ἐῶμεν τῆς ἡμετέρας διανοίας ἐκρεῖν. τίς οὖν ἡμᾶς ἐλεήσει λοιπὸν, ἐπιβουλεύοντας ἑαυτοῖς, καὶ εἰς τοσαύτην ἐμβάλλοντας πενίαν; ἵν' οὖν μὴ τοῦτο γίνηται, γράψωμεν ἑαυτοῖς νόμον ἀκίνητον, καὶ ταῖς γυναιξὶ καὶ τοῖς παισὶ τοῖς ἡμετέροις, μίαν τῆς ἑβδομάδος ἡμέραν "ταύτην ὅλην ἀνατιθέναι τῇ ἀκροάσει καὶ τῇ τῶν ἀκουσθέντων τῇ συλλογῇ. οὕτω γὰρ καὶ εὐμαθέστεροι πρὸς τὰ μέλλοντα ῥηθήσεσθαι ἀπαντήσομεν, καὶ ἡμῖν ἐλάττων ὁ πόνος ἔσται, καὶ ὑμῖν τὸ κέρδος πλέον, ὅταν τὰ πρότερον εἰρημένα φέροντες ἐπὶ μνήμης, οὕτω τὰ μετὰ ταῦτα ἀκούητε. οὐ γὰρ μικρόν τι καὶ τοῦτο συντελεῖ πρὸς τὴν τῶν λεγομένων σύνεσιν, τὸ τὴν ἀκολουθίαν εἰδέναι μετ' ἀκριβείας τῶν παρ' ἡμῶν ὑφαινομένων ὑμῖν νοημάτων. ἐπειδὴ γὰρ οὐκ ἔνι πάντα ἐν μιᾷ "καταβάλλειν ἡμέρᾳ, τὰ ἐν πολλαῖς ὑμῖν ἡμέραις κατατιθέμενα τῇ τῆς μνήμης συνεχείᾳ ὥσπερ σειράν τινα ποιήσαντες, οὕτω δὴ περιτίθεσθε τῇ ψυχῇ, ὥστε ὁλόκληρον φαίνεσθαι τὸ σῶμα τῶν γραφῶν. ἀναμνήσαντες τοίνυν τῶν ἔναγχος εἰρημένων ἑαυτοὺς, οὕτω καὶ σήμερον ἐπὶ τὰ προκείμενα ἴωμεν. τίνα δέ ἐστι τὰ προκείμενα σήμερον; τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος. ἀξίως τοῦ θαύματος, ὡς αὐτῷ "δυνατὸν ἦν, ἀνεβόησεν, εἰπών· τοῦτο δὲ ὅλον γέγονεν. ἐπειδὴ γὰρ εἶδε τὸ πέλαγος καὶ τὴν ἄβυσσον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ τὸ μηδέποτε ἐλπισθὲν εἰς ἔργον ἐλθὸν, καὶ φύσεως λυθέντας νόμους, καὶ καταλλαγὰς γινομένας, καὶ τὸν πάντων ἀνώτερον πρὸς τὸν πάντων κατώτερον κατιόντα, καὶ τὰ μεσότοιχα λυόμενα, καὶ τὰ κωλύματα ἀναιρούμενα, καὶ πολλῷ πλείονα τούτων ἕτερα γινόμενα, ἑνὶ ῥήματι τὸ θαῦμα περιέστησεν, εἰπών· τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου. μὴ γὰρ νομίσῃς, φησὶν, ὅτι νῦν ταῦτα ἔδοξε· πάλαι προετυποῦτο. ὅπερ καὶ ὁ Παῦλος πανταχοῦ δεῖξαι ἐσπούδασε. καὶ παραπέμπει τὸν Ἰωσὴφ τῷ Ἠσαΐᾳ λοιπόν· ἵνα κἂν τῶν αὐτοῦ ῥημάτων ἐπιλάθηται ἀφυπνισθεὶς, ἅτε πρόσφατον εἰρημένων, τῶν προφητικῶν, οἷς "συνανετράφη, διὰ παντὸς ἀναμνησθεὶς, καὶ τὰ περὶ αὐτοῦ λεχθέντα κατάσχῃ. καὶ τῇ μὲν γυναικὶ οὐδὲν τούτων εἴρηκεν, ἅτε κόρῃ οὔσῃ καὶ ἀπείρως τούτων ἐχούσῃ· τῷ δὲ ἀνδρὶ, ἅτε δικαίῳ [τε] ὄντι καὶ μελετῶντι προφήτας, ἐντεῦθεν διαλέγεται. καὶ πρὸ μὲν τούτου Μαριὰμ τὴν γυναῖκά σου λέγει· ἐνταῦθα δὲ ὅτε τὸν προφήτην εἵλκυσεν εἰς τὸ μέσον, τότε αὐτῷ πιστεύει τὸ τῆς παρθενίας ὄνομα. οὐ γὰρ ἂν οὕτως "ἀτάρακτος ἔμεινε, περὶ παρθένον περὶ αὐτοῦ ἀκούων, εἰ μὴ πρότερον καὶ παρὰ Ἠσαΐου. καὶ γὰρ οὐδὲν ξένον, ἀλλὰ τὸ σύνηθες καὶ τὸ ἐν πολλῷ χρόνῳ μελετηθὲν ἔμελλεν ἀκούσεσθαι παρὰ τοῦ προφήτου. διὰ τοῦτο ποιῶν εὐπαράδεκτον τὸ εἰρημένον ὁ ἄγγελος, παράγει εἰς μέσον τὸν Ἠσαΐαν. καὶ οὐδὲ ἐνταῦθα ἵσταται· ἀλλ' ἐπὶ τὸν Θεὸν ἀναρτᾷ τὸν λόγον. οὐ γὰρ αὐτοῦ φησιν εἶναι τὸ εἰρημένον, ἀλλὰ τοῦ τῶν ὅλων Θεοῦ. διὰ τοῦτο οὐκ εἶπεν· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἠσαΐου, ἀλλὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου. τὸ μὲν γὰρ στόμα ἦν Ἠσαΐου· ὁ δὲ χρησμὸς ἄνωθεν ἐφέρετο. τί οὖν οὗτός φησιν ὁ χρησμός; Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. πῶς οὖν οὐκ ἐκλήθη, φησὶ, τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ἀλλὰ Ἰησοῦς Χριστός; ὅτι οὐκ εἶπε, καλέσεις, ἀλλὰ καλέσουσιν, οἱ ὄχλοι τουτέστι, καὶ ἡ τῶν πραγμάτων ἔκβασις. ἐνταῦθα γὰρ "τὸ συμβαῖνον ὄνομα τίθησι. καὶ ἔθος τοῦτο τῇ γραφῇ, τὰ συμβαίνοντα πράγματα ἀντὶ ὀνομάτων τιθέναι. οὐδὲν οὖν ἄλλο "δηλοῖ τὸ, καλέσουσιν Ἐμμανουὴλ, ἢ ὅτι ὄψονται Θεὸν μετ' ἀνθρώπων. ἀεὶ μὲν γὰρ γέγονε μετ' ἀνθρώπων· οὐδέποτε δὲ οὕτω σαφῶς. εἰ δὲ ἀναισχυντοῖεν Ἰουδαῖοι, ἐρησόμεθα αὐτούς· πότε παιδίον ἐκλήθη, ταχέως σκύλευσον, ὀξέως προνόμευσον; ἀλλ' οὐκ ἂν ἔχοιεν εἰπεῖν. πῶς οὖν ὁ προφήτης ἔλεγε· Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον; ὅτι γεννηθέντος αὐτοῦ, "προνομὴ σκύλων ἐγίνετο καὶ διανομή, διὰ τοῦτο τὸ ἐπ' αὐτοῦ πρᾶγμα συμβεβηκὸς, ὡς ὄνομα αὐτοῦ

χ. ἀργυρίου

χ. παιδίοις τῆς ἑβδομάδος ς, ὅλην ἀνατιθέναι τῇ τῶν εἰρημένων συλλογῇ.

χ. καταβαλεῖν

χ. ἀξίως

χ. συνανεστράφη,

χ. ἀτάραχος

χ. τὸ συμβαῖνον

χ. ὅτι

χ. προνομὴ καὶ σκ. ὅπλα διανομ.

Ἡσ. ζ. ιδ.

Ἡσ. η. γ.

αὐτοῦ τίθησι. καὶ ἡ πόλις δέ, φησι, κληθήσεται πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών. καὶ οὐδαμοῦ εὑρίσκομεν ὅτι δικαιοσύνη ἐκλήθη ἡ πόλις, ἀλλ' ἔμεινεν Ἱεροσόλυμα καλουμένη. ἀλλ' ἐπειδὴ τοῦτο ἐξέβη, πρὸς τὸ βέλτιον αὐτῆς μεταβληθείσης, διὰ τοῦτο αὐτὴν οὕτω καλεῖσθαι ἔφησεν. ὅταν γάρ τι συμβῇ πρᾶγμα, ὃ τῆς προσηγορίας σαφέστερον γνωρίζει τὸν κατορθοῦντα αὐτό, ἢ καὶ ἀπολαύοντα αὐτοῦ, ὄνομα αὐτῷ φησιν εἶναι τὴν τοῦ πράγματος ἀλήθειαν. εἰ δὲ ἐντεῦθεν ἐπιστομισθέντες ἕτερον ζητοῖεν τὸ περὶ τῆς παρθενίας λεχθέν, καὶ προβάλλοιντο ἡμῖν ἑτέρους ἑρμηνευτὰς λέγοντες, ὅτι οὐκ εἶπον παρθένον, ἀλλὰ νεᾶνιν· πρῶτον μὲν ἐκεῖνο ἐροῦμεν, ὅτι τῶν ἄλλων μᾶλλον ἁπάντων τὸ ἀξιόπιστον οἱ ἑβδομήκοντα ἔχοιεν ἂν δικαίως. οἱ μὲν γὰρ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ἡρμήνευσαν, Ἰουδαῖοι μείναντες, καὶ δικαίως ἂν ὑποπτεύοιντο, ἅτε ἀπεχθείᾳ μᾶλλον εἰρηκότες, καὶ τὰς προφητείας συσκιάζοντες ἐπίτηδες· οἱ δὲ ἑβδομήκοντα πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας ἐπὶ τοῦτο ἐλθόντες, καὶ τοσοῦτοι ὄντες, πάσης τοιαύτης εἰσὶν ὑποψίας ἀπηλλαγμένοι, καὶ διὰ τὸν χρόνον καὶ διὰ τὸ πλῆθος καὶ διὰ τὴν συμφωνίαν μᾶλλον ἂν εἶεν πιστεύεσθαι δίκαιοι. εἰ δὲ καὶ τὴν ἐκείνων παράγοιεν μαρτυρίαν, καὶ οὕτω τὰ νικητήρια παρ' ἡμῖν. καὶ γὰρ τὸ τῆς νεανιότητος ὄνομα ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ γραφὴ τιθέναι, οὐκ ἐπὶ γυναικῶν [δὲ] μόνον, ἀλλὰ καὶ ἐπὶ ἀνδρῶν. νεανίσκοι γάρ, φησι, καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων. καὶ ἐπὶ κόρης δὲ ἐπιβουλευομένης διαλεγομένη πάλιν φησίν· ἐὰν φωνήσῃ ἡ νεᾶνις, τουτέστιν ἡ παρθένος. καὶ τὰ πρὸ τούτου δὲ εἰρημένα, τοῦτον τὸν λόγον συνίστησιν. οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει· ἀλλὰ πρότερον εἰπών, ἰδοὺ δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον, τότε ἐπήγαγεν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. καίτοι εἰ μὴ παρθένος ἦν ἡ μέλλουσα κύειν, ἀλλὰ νόμῳ γάμου τοῦτο ἐγένετο, ποῖον ἂν εἴη σημεῖον τὸ γινόμενον; τὸ γὰρ σημεῖον ὑπερβαίνειν δεῖ τὴν τῶν πολλῶν ἀκολουθίαν, καὶ ξένον εἶναι καὶ παρηλλαγμένον. ἐπεὶ πῶς ἂν εἴη σημεῖον;

γρ. νεότητος

24 Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου. Εἶδες ὑπακοήν, καὶ καταπειθῆ διάνοιαν; εἶδες ψυχὴν διεγηγερμένην καὶ ἐν ἅπασιν ἀδέκαστον; οὔτε γὰρ ἡνίκα ὑπώπτευεν ἀηδές τι καὶ ἄτοπον, κατασχεῖν ἠνέσχετο τὴν παρθένον· οὔτε ἐπειδὴ ταύτης ἀπηλλάγη τῆς ὑποψίας, ἐκβαλεῖν ὑπέμεινεν, ἀλλὰ κατέχει καὶ διακονεῖται τῇ οἰκονομίᾳ πάσῃ.

Καὶ παρέλαβε [γάρ φησι] Μαριὰμ τὴν γυναῖκα αὐτοῦ.

Εἶδες πῶς συνεχῶς τοῦτο τίθησι τὸ ὄνομα ὁ εὐαγγελιστής, οὐ βουλόμενος ἐκκαλυφθῆναι τὸ μυστήριον ἐκεῖνο τέως, καὶ τὴν πονηρὰν δὲ ἐκείνην ἀναιρῶν ὑποψίαν; παραλαβὼν δὲ αὐτήν,

25 Οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.

Τὸ ἕως, ἐνταῦθα εἴρηκεν, οὐχ ἵνα ὑποπτεύσῃς ὅτι μετὰ ταῦτα αὐτὴν ἔγνω, ἀλλ' ἵνα μάθῃς, ὅτι πρὸ τῶν ὠδίνων πάντως ἀνέπαφος ἦν ἡ παρθένος. τίνος οὖν ἕνεκεν, φησι, τὸ ἕως τέθεικεν; ὅτι ἔθος τῇ γραφῇ τοῦτο πολλάκις ποιεῖν, καὶ τὴν ῥῆσιν ταύτην μὴ ἐπὶ διωρισμένον τιθέναι χρόνον. καὶ γὰρ καὶ ἐπὶ τῆς κιβωτοῦ φησιν, Οὐκ ἐπέστρεψεν ὁ κόραξ ἕως οὗ ἐξηράνθη ἡ γῆ· καίτοιγε οὐδὲ μετὰ ταῦτα ὑπέστρεψε. καὶ περὶ τοῦ Θεοῦ δὲ διαλεγομένη φησίν, Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ, οὐχ ὅρους τιθεῖσα ἐνταῦθα. καὶ πάλιν εὐαγγελιζομένη καὶ λέγουσα· Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη· οὐ πέρας διδοῦσα τῷ καλῷ τούτῳ στοιχείῳ. οὕτω δὴ καὶ ἐνταῦθα τὸ ἕως εἶπε, τὰ πρὸ τῶν ὠδίνων ἀσφαλιζομένη, τὰ δὲ μετὰ ταῦτα *σοι καταλιμπάνουσα συλλογίζεσθαι. ὃ μὲν γὰρ ἀναγκαῖον ἦν παρ' αὐτοῦ σε μαθεῖν, τοῦτο αὐτὸς εἴρηκεν, ὅτι ἀνέπαφος ἦν ἡ παρθένος ἕως τοῦ τόκου· ὃ δὲ ἐκ τῶν εἰρημένων ἀκόλουθόν τε ἐφαίνετο καὶ ὡμολογημένον, τοῦτο

Γεν. η. ζ.

Ψαλμ. ϙθ. β.

σοι λοιπὸν ἀφίησι συνιδεῖν· οἷον, ὅτι οὐδὲ μετὰ ταῦτα τὴν οὕτω γενομένην μητέρα, καὶ καινῶν ὠδίνων καὶ ξένων καταξιωθεῖσαν λοχευμάτων, οὐκ ἂν δίκαιος ὢν ἐκεῖνος ὑπέμεινε λοιπὸν γνῶναι. Εἰ γὰρ ἔγνω αὐτὴν, καὶ ἐν τάξει γυναικὸς εἶχε, πῶς ὡς ἀπροστάτευτον αὐτὴν καὶ οὐδένα ἔχουσαν τῷ μαθητῇ παρατίθεται, καὶ κελεύει αὐτῷ εἰς τὰ ἴδια αὐτὴν λαβεῖν; πῶς οὖν, φησιν, ἀδελφοὶ αὐτοῦ χρηματίζουσιν οἱ περὶ Ἰάκωβον; ὥσπερ καὶ αὐτὸς ἐνομίζετο ἀνὴρ τῆς Μαρίας. πολλὰ γὰρ ἐγένετο τὰ παραπετάσματα, ὥστε συσκιασθῆναι τέως τὸν τοιοῦτον τόκον. διὸ καὶ ὁ Ἰωάννης οὕτως αὐτοὺς ἐκάλει λέγων· Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. ἀλλ' ὅμως οἱ μὴ πιστεύοντες πρότερον, θαυμαστοὶ καὶ περιφανεῖς γεγόνασιν ὕστερον. ὅτε γοῦν εἰς Ἱεροσόλυμα ἀνῆλθον οἱ περὶ Παῦλον δογμάτων ἕνεκεν, πρὸς Ἰάκωβον εὐθέως εἰσῆλθον. οὕτω γάρ ἦν θαυμαστὸς, ὡς καὶ τὴν ἐπισκοπὴν ἐγχειρισθῆναι πρῶτος. Φασὶ δὲ αὐτὸν καὶ σκληραγωγίᾳ προσέχειν τοσαύτῃ, ὡς καὶ τὰ μέλη νεκρωθῆναι ἅπαντα, καὶ ἀπὸ τῆς συνεχοῦς εὐχῆς καὶ τῆς διηνεκοῦς πρὸς τὸ ἔδαφος ὁμιλίας τὸ μέτωπον οὕτως αὐτῷ κατεσκληκέναι, ὡς μηδὲν ἄμεινον γονάτων καμήλου διακεῖσθαι τῆς ἀντιτυπίας ἕνεκεν αὐτῆς. οὗτος καὶ τὸν Παῦλον μετὰ ταῦτα πάλιν εἰς τὰ Ἱεροσόλυμα ἀνελθόντα ῥυθμίζει λέγων· Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶ τῶν συνεληλυθότων; τοσαύτη ἦν αὐτοῦ ἡ σύνεσις καὶ ὁ ζῆλος· μᾶλλον δὲ τοσαύτη ἡ τοῦ Χριστοῦ δύναμις. οἱ γὰρ διασύροντες αὐτὸν ζῶντα, μετὰ τὸ ἀποθανεῖν οὕτως αὐτὸν ἐξεπλάγησαν, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ μετὰ πολλῆς τῆς προθυμίας· ἅπερ μάλιστα δείκνυσι τῆς ἀναστάσεως τὴν ἰσχύν. διὰ γάρ τοι τοῦτο τὰ λαμπρότερα ὕστερον ἐτηρεῖτο, ἵνα ἀναμφισβήτητος αὕτη ἡ ἀπόδειξις γένηται. Εἰ γὰρ καὶ τῶν ἐν τῇ ζωῇ θαυμαζομένων παρ' ἡμῖν ἀπελθόντων ἐπιλανθανόμεθα, πῶς οἱ ζῶντα διαχλευάζοντες τοῦτον ὕστερον Θεὸν εἶναι ἐνόμισαν, εἰ τῶν πολλῶν εἷς ἦν ὁ Χριστός; πῶς δ' ἂν ὑπὲρ αὐτοῦ καὶ σφαγῆναι κατεδέξαντο, εἰ μὴ σαφῆ τῆς ἀναστάσεως ἔλαβον τὴν ἀπόδειξιν;

Ἰωαν. ζ. ε.

Πραξ. κα. κ.

ΗΘΙΚΟΝ

Ταῦτα δὲ οὐχ ἵνα ἀκούσητε μόνον λέγομεν, ἀλλ' ἵνα καὶ μιμῆσθε τήν τε ἀνδρείαν, τήν τε παρρησίαν, τήν τε δικαιοσύνην ἅπασαν, ἵνα μηδεὶς ἑαυτοῦ ἀπογινώσκῃ, κἂν πρὸ τούτου ῥᾴθυμος ᾖ, ἵνα εἰς μηδὲν ἕτερον ἔχῃ τὰς ἐλπίδας μετὰ τὸν ἔλεον τοῦ Θεοῦ, ἀλλ' εἰς ἀρετὴν οἰκείαν. Εἰ γὰρ οὗτοι τῆς τοιαύτης οὐδὲν ἀπώναντο συγγενείας καὶ οἴκου, καὶ πατρίας τῆς αὐτῆς ὄντες τῷ Χριστῷ, ἕως ἀρετὴν ἐπεδείξαντο, τίνος δυνησόμεθα ἀπολαῦσαι συγγνώμης ἡμεῖς, συγγενεῖς καὶ ἀδελφοὺς δικαίους προβαλλόμενοι, ἂν μὴ σφόδρα ὦμεν ἐπιεικεῖς καὶ ἐν ἀρετῇ βεβιωκότες; καὶ γάρ ὁ προφήτης αὐτὸ τοῦτο αἰνιττόμενος ἔλεγεν· Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; κἂν Μωϋσῆς ᾖ, κἂν Σαμουὴλ, κἂν Ἱερεμίας. ἄκουσον γοῦν τί φησι πρὸς αὐτὸν ὁ Θεός· Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. καὶ τί θαυμάζεις εἰ σοῦ οὐκ ἀκούω; καὶ γὰρ αὐτὸς ὁ Μωϋσῆς, φησιν, εἰ παρῆν καὶ Σαμουὴλ, οὐκ ἂν αὐτῶν ἐδεξάμην τὴν ὑπὲρ τούτων ἱκετείαν. κἂν Ἰεζεκιὴλ ᾖ ὁ παρακαλῶν, ἀκούσεται, ὅτι ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται. κἂν Ἀβραὰμ ὁ πατριάρχης ᾖ ὑπὲρ τῶν σφόδρα ἀνίατα νοσούντων καὶ μὴ μεταβαλλομένων δεόμενος, ἀπελεύσεται ὁ Θεὸς αὐτὸν καταλιμπάνων, ὥστε μὴ δέξασθαι τὴν ὑπὲρ τούτων φωνήν. κἂν Σαμουὴλ πάλιν ᾖ ὁ τοῦτο ποιῶν, ἐρεῖ πρὸς αὐτὸν, μὴ πένθει περὶ τοῦ Σαούλ. κἂν ὑπὲρ ἀδελφῆς τις παρακαλῇ μὴ προσηκόντως, ἀκούσεται πάλιν ὅπερ Μωϋσῆς· Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ εἰς τὸ πρόσωπον αὐτῆς. μὴ δὴ πρὸς ἑτέρους ὦμεν κεχηνότες. ἔχουσι μὲν γὰρ δύναμιν αἱ εὐχαὶ τῶν ἁγίων μεγίστην· ἀλλ' ὅταν καὶ ἡμεῖς μετανοῶμεν καὶ γινώμεθα βελτίους. ἐπεὶ καὶ Μωϋσῆς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ καὶ μυριάδας ἑξήκοντα τῆς θεηλάτου ταύτης ὀργῆς ἐξαρπάσας, τὴν ἀδελφὴν οὐκ ἴσχυσεν ἐξελέσθαι· καίτοιγε οὐκ ἴσον τὸ ἁμάρτημα ἦν. ἐκείνη μὲν γὰρ τὸν Μωϋσέα ὕβρισεν· ἐνταῦθα δὲ ἀσέβεια ἦν τὸ τολμηθέν.

Ψαλμ. μη. ζ.

Ἱερ. ια. ιδ.

Ἐζε. ιδ. ιδ.

α. Βασ. ιε. α.

Ἀριθ. ιβ. ιδ.

ἀλλά

ἀλλὰ τοῦτο μὲν ὑμῖν ἀφίημι τὸ ζήτημα· τὸ δὲ ἔτι τούτου χαλεπώτερον ἐπιλῦσαι πειρασόμεθα.
τί γὰρ χρὴ λέγειν τὴν ἀδελφήν; ὁ γὰρ τοσούτου δήμου προστάς, ἑαυτῷ
ἀρκέσαι οὐκ ἴσχυσεν, ἀλλὰ μετὰ τοὺς μυρίους πόνους καὶ τὰς ταλαιπωρίας,
καὶ τὴν ἐν τεσσαράκοντα ἔτεσι προεδρίαν, ἐκωλύετο τῆς γῆς ἐπιβῆναι, ὑπὲρ ἧς ἐπαγγελίαι
τοσαῦται καὶ ὑποσχέσεις. τί οὖν τὸ αἴτιον; οὐκ ἦν λυσιτελοῦσα ἡ χάρις αὕτη,
ἀλλὰ καὶ πολὺ τὸ βλάβος ἔχουσα, καὶ πολλοὺς τῶν Ἰουδαίων ὑποσκελίζειν ἔμελλεν. εἰ γάρ,
ἐπειδὴ τῆς Αἰγύπτου μόνης ἀπηλλάγησαν, τὸν Θεὸν ἀφέντες, Μωϋσέα ἐζήτουν, καὶ αὐτῷ τὸ
πᾶν ἐλογίζοντο, εἰ καὶ εἰσαγαγόντα εἶδον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ποῦ οὐκ ἂν ἐξώκειλαν
Δευτ. δ. λε. ἀσεβείας; διά τοι τοῦτο οὐδὲ ὁ τάφος αὐτοῦ κατάδηλος γέγονε. καὶ Σαμουὴλ δέ, τὸν μὲν
α. Βασ. ιε. α. Σαοὺλ οὐκ ἴσχυσεν ἀπαλλάξαι τῆς ἄνωθεν ὀργῆς· τοὺς δὲ Ἰσραηλίτας πολλάκις διέσωσε. καὶ
Δαν. β. ὁ Ἱερεμίας Ἰουδαίοις μὲν οὐκ ἤρκεσεν· ἑτέρῳ δὲ ἵνα ἐκάλυψεν ἐν τῇ προφητείᾳ. καὶ ὁ Δανιὴλ
τοὺς μὲν βαρβάρους ἐξείλετο σφαττομένους· τοὺς δὲ Ἰουδαίους οὐκ ἐξείλετο αἰχμαλωτιζομένους.
καὶ ἐν τοῖς εὐαγγελίοις δὲ ὀψόμεθα οὐκ ἐφ' ἑτέρων, ἀλλ' ἐπὶ τῶν αὐτῶν ἀμφότερα
ταῦτα γινόμενα· καὶ τὸν αὐτὸν νῦν μὲν ἀρκέσαντα ἑαυτῷ, νῦν δὲ προδεδομένον. ὁ γὰρ
Ματθ. ιη. τὰ μυρία τάλαντα ὀφείλων, καὶ ἐξείλετο ἑαυτὸν τοῦ κινδύνου δεηθείς, καὶ πάλιν οὐκ ἴσχυσεν.
ἕτερος δὲ ἀντιστρόφως πρότερον ἑαυτὸν προδούς, ὕστερον τὰ μέγιστα ἑαυτῷ βοηθῆσαι ἴσχυσε.
Λουκ. ιε. τίς δὲ οὗτός ἐστιν; ὁ τὴν πατρῴαν καταφαγὼν οὐσίαν. ὥστε ἐὰν μὲν ῥαθυμῶμεν, οὐδὲ δι' ἑτέρων
δυνησόμεθα σώζεσθαι· ἐὰν δὲ νήφωμεν, καὶ δι' ἑαυτῶν τοῦτο ἰσχύσομεν, καὶ δι' ἑαυτῶν
μᾶλλον, ἢ δι' ἑτέρων. καὶ γὰρ ὁ Θεὸς ἡμῖν μᾶλλον δοῦναι βούλεται τὴν χάριν, ἢ ἑτέροις ὑπὲρ
ἡμῶν· ἵνα καὶ παρρησίας ἀπολαύωμεν, καὶ βελτίους γινώμεθα, σπουδάζοντες αὐτοὶ λῦσαι τὴν
ὀργήν. οὕτω τὴν Χαναναίαν ἠλέησεν· οὕτω τὴν πόρνην ἔσωσεν· οὕτω τὸν λῃστήν, οὐδενὸς γενομένου
μεσίτου καὶ προστάτου. καὶ ταῦτα λέγω, οὐχ ἵνα μὴ ἱκετεύωμεν τοὺς ἁγίους, ἀλλ' ἵνα
μὴ ῥαθυμῶμεν, μηδὲ ἀναπίπτοντες αὐτοὶ καὶ καθεύδοντες, ἑτέροις τὰ καθ' ἡμᾶς ἐπιτρέπωμεν
μόνοις. καὶ γὰρ εἰπών, ποιήσατε ὑμῖν φίλους, οὐ μέχρι τούτου ἔστη μόνον, ἀλλὰ προσέθηκεν,
ἐκ τοῦ ἀδίκου μαμωνᾶ· ἵνα πάλιν σὸν τὸ κατόρθωμα γένηται. οὐδὲν γὰρ ἕτερον, ἢ ἐλεημοσύνην
ἐνταῦθα ᾐνίξατο. καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐδὲν ἀκριβολογεῖται πρὸς ἡμᾶς, ἐὰν
ἀποστῶμεν τῆς ἀδικίας. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· * ἐκτήσω κακῶς; ἀνάλωσον καλῶς. * συνέλεξας
ἀδίκως; σκόρπισον δικαίως. καίτοιγε ποία τοῦτο ἀρετὴ τὸ ἐκ τῶν τοιούτων διδόναι;
ἀλλ' ὅμως ὁ Θεὸς φιλάνθρωπος ὤν, καὶ μέχρι τούτου συγκαταβαίνει· κἂν οὕτω ποιῶμεν,
πολλὰ ἡμῖν ἐπαγγέλλεται ἀγαθά. ἀλλ' ἡμεῖς εἰς τοσοῦτον ἀναισθησίας ἥκομεν, ὡς μηδὲ ἐκ
τοῦ ἀδίκου διδόναι· ἀλλὰ μυρία ἁρπάζοντες, ἂν πολλοστὸν μέρος καταβάλωμεν, τὸ πᾶν
β. Κορ. θ. ς. νομίζομεν πεπληρωκέναι. οὐκ ἤκουσας Παύλου λέγοντος, Ὅτι ὁ σπείρων φειδομένως, φειδομένως
καὶ θερίσει; τίνος οὖν ἕνεκεν φείδῃ; μὴ γὰρ ἀνάλωμα τὸ πρᾶγμά ἐστι; μὴ γὰρ
δαπάνη; πρόσοδός ἐστι καὶ ἐμπορεία. ὅπου γὰρ σπορός, ἐκεῖ καὶ ἀμητός· ὅπου ἐμπορεία,
ἐκεῖ καὶ πλεονασμός. σὺ δέ, εἰ μὲν γῆν λιπαρὰν καὶ βαθεῖαν, καὶ πολλὰ δυναμένην δέξασθαι
σπέρματα γεωργεῖν ἔμελλες, καὶ τὰ ὄντα ἂν ἐξέβαλες, καὶ παρ' ἑτέρων ἂν ἐδανείσω, ζημίαν τὴν
ἐν τοῖς τοιούτοις φειδὼ νομίζων εἶναι· τὸν δὲ οὐρανὸν μέλλων γεωργεῖν, τὸν οὐδεμιᾷ ἀνωμαλίᾳ
ἀέρων ὑποκείμενον, ἀλλὰ πάντως ἀποδώσοντα μετὰ πλείονος προσθήκης τὰ καταβαλλόμενα,
ὀκνεῖς καὶ ἀναδύῃ, καὶ οὐκ ἐννοεῖς ὅτι ἔστι φειδόμενον ἀπολέσαι, καὶ μὴ φειδόμενον κερδᾶναι;
σκόρπισον τοίνυν, ἵνα μὴ ἀπολέσῃς· μὴ κατάσχῃς, ἵνα κατάσχῃς· ἔκβαλε, ἵνα φυλάξῃς·
ἀνάλωσον, ἵνα κερδάνῃς. κἂν φυλάξαι αὐτὰ δέῃ, μὴ σὺ φύλαττε (πάντως γὰρ
[αὐτὰ] ἀπολεῖς) ἀλλ' ἐπίτρεψον τῷ Θεῷ. οὐδεὶς γὰρ ἐκεῖθεν ἁρπάζει. μὴ σὺ πραγματεύου
(οὐδὲ γὰρ οἶσθα κερδαίνειν) ἀλλὰ δάνεισον τὸ πλέον τοῦ κεφαλαίου τῷ τὸν τόκον παρέχοντι·
δάνεισον, ἔνθα μηδεὶς φθόνος, ἔνθα μηδεμία κατηγορία, μηδὲ ἐπιβουλή, μηδὲ φόβος.

χε ζ β.

βος. δάνεισον τῷ μηδενὸς δεομένῳ, καὶ χάριν ἔχοντι διὰ σέ· τῷ πάντας τρέφοντι, καὶ πεινῶντι, ἵνα σὺ μὴ λιμώξῃς· τῷ πενομένῳ, ἵνα σὺ πλουτήσῃς. δάνεισον, ὅθεν οὐκ ἔστι θάνατον, ἀλλὰ ζωὴν ἀντὶ θανάτου καρπώσασθαι. οὗτοι μὲν γὰρ βασιλείαν, ἐκεῖνοι δὲ γέενναν προξενοῦσιν οἱ τόκοι. οἱ μὲν γὰρ φιλαργυρίας*, οἱ δὲ φιλοσοφίας εἰσί· καὶ οἱ μὲν ὠμότητος, οἱ δὲ φιλανθρωπίας. τίνα οὖν ἕξομεν ἀπολογίαν, ὅταν καὶ πλείονα ἐξὸν λαβεῖν, καὶ μετὰ ἀσφαλείας, καὶ ἐν καιρῷ τῷ προσήκοντι, καὶ ἐν ἐλευθερίᾳ πολλῇ, καὶ σκωμμάτων χωρὶς καὶ φόβων καὶ κινδύνων, ἀφέντες ταῦτα κερδᾶναι, διώκωμεν ἐκεῖνα τὰ αἰσχρὰ καὶ εὐτελῆ καὶ σφαλερὰ καὶ διαπίπτοντα, καὶ πολλὴν προξενοῦντα τὴν κάμινον ἡμῖν; οὐδὲν γὰρ, οὐδὲν τῶν ἐνταῦθα τόκων αἰσχρότερον, οὐδὲν ὠμότερον. τὰς γὰρ ἀλλοτρίας ὁ τοιοῦτος πραγματεύεται συμφορὰς, καὶ πρόσοδον τὴν ἑτέρου δυσημερίαν ποιεῖται, καὶ μισθὸν ἀπαιτεῖ φιλανθρωπίας, καὶ καθάπερ δεδοικὼς μὴ ἀνελεήμων φανῇ, προσχήματι φιλανθρωπίας βαθύτερον ὀρύττει τὸν βόθρον, ἐν τῷ βοηθεῖν ἐπιτρίβων τὴν πενίαν, καὶ ἐν τῷ χεῖρα ὀρέγειν ὠθῶν, καὶ δεχόμενος μὲν ὡς εἰς λιμένα, ναυαγίῳ δὲ περιβάλλων, ὡς ἐν σκοπέλῳ καὶ ὑφάλῳ καὶ σπιλάδι τοῦτον. ἀλλὰ τί κελεύεις, φησί; τὸ συλλεχθὲν ἀργύριον καὶ ἐμοὶ χρήσιμον ἑτέρῳ διδόναι εἰς ἐργασίαν, καὶ μηδένα μισθὸν ἀπαιτεῖν; ἄπαγε· οὔ φημι τοῦτο ἐγὼ, ἀλλὰ καὶ σφόδρα βούλομαί σε μισθὸν λαβεῖν, οὐ μὴν εὐτελῆ καὶ μικρὸν, ἀλλὰ πολλῷ μείζονα. ἀντὶ γὰρ χρυσίου, τὸν οὐρανὸν βούλομαί σε τόκον λαβεῖν. τί τοίνυν εἰς πτωχείαν σεαυτὸν κατακλείεις, περὶ τὴν γῆν συρόμενος, καὶ μικρὰ ἀντὶ μεγάλων ἀπαιτῶν; τοῦτο γὰρ οὐκ εἰδότος ἐστὶ πλουτεῖν. ὅταν [γὰρ] ὁ μὲν Θεὸς ἀντὶ χρημάτων ὀλίγων ἐπαγγέλληταί σοι τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ· σὺ δὲ λέγῃς, μὴ οὐρανόν μοι δῷς, ἀλλ' ἀντὶ τοῦ οὐρανοῦ χρυσίον τὸ ἀπολλύμενον· τοῦτο βουλομένου μένειν ἐστὶν ἐν πενίᾳ· ὥς γε ἐπιθυμῶν πλούτου καὶ εὐπορίας τὰ μένοντα πρὸ τῶν ἀπολλυμένων, τὰ ἀνάλωτα πρὸ τῶν δαπανωμένων, τὰ πολλὰ πρὸ τῶν ὀλίγων, τὰ ἀκήρατα πρὸ τῶν φθειρομένων αἱρήσεται. οὕτω γὰρ κἀκεῖνα ἕψεται. ὁ μὲν γὰρ τὴν γῆν πρὸ τοῦ οὐρανοῦ ζητῶν, καὶ ταύτης ἐκπεσεῖται πάντως· ὁ δὲ ἐκεῖνον ταύτης προτιθεὶς, ἀμφοτέρων ἀπολαύσεται μετὰ πολλῆς τῆς ὑπερβολῆς. ὅπερ ἵνα καὶ ἐφ' ἡμῶν γένηται, καταφρονήσαντες τῶν ἐνταῦθα πάντων, ἑλώμεθα τὰ μέλλοντα ἀγαθά. οὕτω γὰρ καὶ τούτων κἀκείνων τευξόμεθα χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ϛ. 1 ΤΟΥ ΔΕ ΙΗΣΟΥ ΓΕΝΝΗΘΕΝΤΟΣ ΕΝ ΒΗΘΛΕΕΜ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, 2 Λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.

χε ζ β.

ΠΟλλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, πολλῶν τῶν εὐχῶν, ὥστε δυνηθῆναι ἐπεξελθεῖν τῷ παρόντι χωρίῳ, καὶ μαθεῖν τίνες οἱ μάγοι οὗτοι, καὶ πόθεν ἦλθον, καὶ πῶς, καὶ τίνος αὐτοὺς πείσαντος, καὶ τίς ὁ ἀστήρ. μᾶλλον δὲ, εἰ βούλεσθε, πρότερον ἅ φασιν οἱ τῆς ἀληθείας ἐχθροὶ, ταῦτα εἰς μέσον ἀγάγωμεν. καὶ γὰρ τοσοῦτον κατ' αὐτῶν ἔπνευσεν ὁ διάβολος, ὥστε καὶ ἐντεῦθεν αὐτοὺς ἐπιχειρεῖν ὁπλίζειν κατὰ τῶν τῆς ἀληθείας λόγων. τί οὖν φασιν; ἰδοὺ, φησὶ, καὶ τοῦ Χριστοῦ γεννηθέντος, ἀστὴρ ἐφάνη, ὅπερ ἐστὶ σημεῖον τοῦ τὴν ἀστρολογίαν εἶναι βεβαίαν. πῶς οὖν, εἰ κατ' ἐκεῖνον ἐτέχθη τὸν νόμον, ἀστρολογίαν ἔλυσε, καὶ εἱμαρμένην ἀνεῖλε, καὶ δαίμονας ἐπεστόμισε, καὶ πλάνην ἐξέβαλε, καὶ πᾶσαν τοιαύτην

Ἰωαν. ιη. λϛ.

τὴν μαγγανείαν ἀνέτρεψε; τί δαὶ καὶ οἱ μάγοι παρὰ τοῦ ἀστέρος αὐτοῦ μανθάνουσιν, ὅτι βασιλεὺς τῶν Ἰουδαίων ἦν; καὶ μὴν οὐ ταύτης ἦν τῆς βασιλείας βασιλεύς, καθὼς καὶ τῷ Πιλάτῳ ἔλεγεν· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. οὐδὲν γοῦν ἐπεδείξατο τοιοῦτον. οὐδὲ γὰρ δορυφόρους, οὔτε ὑπασπιστὰς, οὔτε ἵππους, οὔτε ἡμιόνων ζεύγη, οὔτε ἄλλο τι τοιοῦτον εἶχε περὶ ἑαυτόν· ἀλλὰ τὸν εὐτελῆ τοῦτον βίον καὶ πτωχὸν μετῄει, δώδεκα εὐτελεῖς ἀνθρώπους μεθ' ἑαυτοῦ περιφέρων. Εἰ δὲ καὶ βασιλέα ᾔδεσαν ὄντα, τίνος ἕνεκεν παραγίνονται; οὐ γὰρ δὴ τοῦτο ἀστρονομίας ἔργον ἐστὶν, ἀπὸ τῶν ἄστρων εἰδέναι τοὺς τικτομένους, ἀλλ' ἀπὸ τῆς ὥρας τῶν τικτομένων προαναφωνεῖν τὰ μέλλοντα ἔσεσθαι, ὥς φασιν. οὗτοι δὲ, οὔτε ὠδινούσῃ τῇ μητρὶ παρῆσαν, οὔτε τὸν καιρὸν ἔγνωσαν, καθ' ὃν ἐτέχθη, οὔτε ἐντεῦθεν λαβόντες τὴν ἀρχὴν, συνέθηκαν ἀπὸ τῆς τῶν ἄστρων κινήσεως τὰ μέλλοντα ἔσεσθαι· ἀλλ' ἀντιστρόφως, ἀστέρα πρὸ πολλοῦ τοῦ χρόνου θεασάμενοι φανέντα ἐπὶ τῆς αὐτῶν χώρας, ἔρχονται ὀψόμενοι τὸν τεχθέντα· ὅπερ καὶ αὐτὸ τοῦτο τοῦ προτέρου σφόδρα ἀπορώτερον ἂν εἴη. τίς γὰρ αὐτοὺς ἔπεισε λόγος, ποίων ἀγαθῶν ἐλπὶς τὸν ἐκ τοσούτου διαστήματος προσκυνῆσαι βασιλέα; Εἰ μὲν γὰρ αὐτῶν ἔμελλε βασιλεύειν, μάλιστα μὲν οὐδὲ οὕτω λόγον εἶχε τὸ γινόμενον. καὶ γὰρ εἰ μὲν ἐν βασιλικαῖς αὐλαῖς ἐτίκτετο, καὶ πατρὸς αὐτῷ βασιλέως παρόντος, εἰκότως ἄν τις ἔφη τούτους, βουλομένους τὸν πατέρα θεραπεῦσαι, προσκυνῆσαι τὸ τεχθὲν παιδίον, καὶ ταύτῃ πολλὴν ἑαυτοῖς ὑπόθεσιν προαποθέσθαι εὐνοίας. νυνὶ δὲ μὴ αὐτῶν προσδοκῶντες ἔσεσθαι βασιλέα, ἀλλὰ ἔθνους ἀλλοκότου καὶ πολὺ τῆς αὐτῶν ἀφεστηκότος χώρας, οὔτε ἄνδρα ὁρῶντες ἤδη γενόμενον, τίνος ἕνεκεν τοσαύτην στέλλονται ἀποδημίαν, καὶ δῶρα προσφέρουσι, καὶ ταῦτα μέλλοντες μετὰ κινδύνων ἅπαντα πράττειν; καὶ γὰρ καὶ Ἡρώδης ἀκούσας διεταράχθη, καὶ ὁ δῆμος ἅπας ἐθορυβεῖτο, ταῦτα ἀκούσαντες παρ' αὐτῶν. ἀλλ' οὐ προῄδεσαν οὗτοι ταῦτα; ἀλλ' οὐκ ἂν ἔχοι λόγον. εἰ γὰρ καὶ σφόδρα ἦσαν ἀνόητοι, τοῦτο οὐκ ἂν ἠγνόησαν, ὅτι εἰς πόλιν βασιλευομένην ἐλθόντες, καὶ τοιαῦτα κηρύξαντες, καὶ βασιλέα ἕτερον παρὰ τὸν τότε οἰκοῦντα δείξαντες, οὐχὶ μυρίους καθ' ἑαυτῶν ἂν ἐπεσπάσαντο θανάτους; τί δὲ ὅλως καὶ προσεκύνουν ἐν σπαργάνοις ὄντα; Εἰ μὲν γὰρ ἀνὴρ ἦν, εἶχεν ἄν τις εἰπεῖν, ὅτι προσδοκῶντες τὴν παρ' αὐτοῦ βοήθειαν εἰς προὖπτον ἑαυτοὺς ἔρριψαν κίνδυνον· ὅπερ καὶ αὐτὸ τῆς ἐσχάτης ἀλογίας ἦν, τὸν Πέρσην, τὸν βάρβαρον, καὶ οὐδὲν κοινὸν ἔχοντα πρὸς τὸ Ἰουδαίων ἔθνος, βούλεσθαι μὲν τῆς οἰκείας * ἀφίστασθαι, καὶ πατρίδα καὶ συγγενεῖς καὶ οἰκείους ἀφεῖναι, ἑτέρᾳ δὲ ἑαυτοὺς ὑποβάλλειν βασιλείᾳ. Εἰ δὲ τοῦτο ἀνόητον, τὸ μετὰ τοῦτο ἀνοητότερον πολλῷ πλέον. ποῖον δὴ τοῦτο; τὸ μακρὰν οὕτως ἀποδημίαν ἐλθόντας, καὶ προσκυνήσαντας καὶ ταράξαντας πάντας, ἀπελθεῖν εὐθέως. τί δὲ ὅλως καὶ βασιλείας σύμβολον εἶδον, καλύβην καὶ φάτνην, καὶ παιδίον ἐν σπαργάνοις, καὶ μητέρα πτωχὴν ἰδόντες; τίνι δὲ καὶ [τὰ] δῶρα προσέφερον; καὶ τίνος ἕνεκεν; ἆρα νόμος ἦν καὶ ἔθος, τοὺς πανταχοῦ τικτομένους βασιλέας οὕτω θεραπεύειν; καὶ πᾶσαν περιῄεσαν ἀεὶ τὴν οἰκουμένην, οὓς ᾔδεσαν ἐσομένους βασιλέας ἀπὸ μικρῶν καὶ εὐτελῶν, πρὶν ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν ἀναβῆναι, προσκυνοῦντες; ἀλλ' οὐκ ἂν ἔχοι τις τοῦτο εἰπεῖν. τίνος δὲ ἕνεκεν καὶ προσεκύνουν; εἰ μὲν τῶν παρόντων ἕνεκεν, καὶ τί προσεδόκων παρὰ παιδίου καὶ μητρὸς εὐτελοῦς λήψεσθαι; Εἰ δὲ τῶν μελλόντων ἕνεκεν, καὶ πόθεν ᾔδεσαν ὅτι ἀπομνημονεύσει τῶν τότε γινομένων ὁ παῖς, ἐν σπαργάνοις προσκυνηθείς; Εἰ δὲ ἡ μήτηρ ἔμελλεν ἀναμιμνήσκειν αὐτόν, οὐδὲ οὕτω τιμῆς, ἀλλὰ κολάσεως ἦσαν ἄξιοι, εἰς προὖπτον ἐμβάλλοντες αὐτὸν κίνδυνον. ἐντεῦθεν γοῦν ὁ Ἡρώδης ταραχθεὶς, καὶ ἐζήτει καὶ περιειργάζετο, καὶ ἀνελεῖν ἐπεχείρει. καὶ πανταχοῦ δὲ, ὁ τὸν μέλλοντα βασιλεύειν κατάδηλον ποιῶν, ἐκ πρώτης ἡλικίας ἰδιώτην ὄντα, οὐδὲν ἕτερον ἢ σφαγῇ παραδίδωσι, καὶ μυρίους ἀνάπτει πολέμους αὐτῷ. Εἶδες πόσα τὰ ἄτοπα φαίνεται, εἰ κατὰ ἀνθρωπίνην ἀκολουθίαν καὶ κοινὴν συνήθειαν ταῦτα ἐξετάσαιμεν; οὐδὲ γὰρ ταῦτα μόνον, ἀλλὰ καὶ

πλείονα

κεφ. β.

πλείονα τούτων ἔνεστιν εἰπεῖν, ζήτησιν ἔχοντα πλείω τῶν εἰρημένων. ἀλλ' ἵνα μὴ συνάπτοντες ἀπορίας ἀπορίαις ἰλιγγιᾶν ὑμᾶς ποιῶμεν, φέρε δὴ λοιπὸν καὶ ἐπὶ τὴν λύσιν τῶν ζητουμένων ἔλθωμεν, ἀρχὴν τῆς λύσεως ἀπὸ τοῦ ἀστέρος αὐτοῦ ποιούμενοι. ἂν γὰρ μάθωμεν τίς ὁ ἀστήρ, καὶ ποταπός, καὶ εἰ τῶν πολλῶν εἷς, ἢ ξένος παρὰ τοὺς ἄλλους· καὶ εἰ φύσει ἀστήρ, ἢ ὄψει μόνον ἀστήρ, εὐκόλως καὶ τὰ ἄλλα πάντα εἰσόμεθα. πόθεν οὖν ταῦτα ἔσται δῆλα; ἀπὸ τῶν γεγραμμένων αὐτῶν. ὅτι γὰρ οὐ τῶν πολλῶν εἷς ὁ ἀστὴρ οὗτος ἦν· μᾶλλον δὲ οὐδὲ ἀστήρ (ὡς ἔμοιγε δοκεῖ) ἀλλὰ δύναμίς τις ἀόρατος εἰς ταύτην μετασχηματισθεῖσα τὴν ὄψιν, πρῶτον ἀπὸ τῆς πορείας αὐτῆς δῆλον. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀστήρ τις ταύτην βαδίζων τὴν ὁδόν· ἀλλὰ κἂν ἥλιον εἴπῃς, κἂν σελήνην, κἂν τοὺς ἄλλους ἅπαντας ἀστέρας, ἐξ ἀνατολῶν ἐπὶ δύσιν ὁρῶμεν χωροῦντας· οὗτος δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίαν ἐφέρετο. οὕτω γὰρ ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα κεῖται. δεύτερον καὶ ἀπὸ τοῦ καιροῦ τοῦτο ἔστιν ἰδεῖν. οὐ γὰρ ἐν νυκτὶ φαίνεται, ἀλλ' ἐν ἡμέρᾳ μέσῃ λάμποντος ἡλίου· ὅπερ οὐκ ἔστι δυνάμεως ἀστέρος, ἀλλ' οὐδὲ σελήνης. ἡ γὰρ τοσοῦτον πάντων ὑπερέχουσα τῶν ἀστέρων, τῆς ἀκτῖνος φανείσης τῆς ἡλιακῆς κρύπτεται εὐθέως καὶ ἀφανίζεται. οὗτος δὲ τῇ τῆς οἰκείας λαμπρότητος ὑπερβολῇ, καὶ τὰς ἀκτῖνας ἐνίκησε τὰς ἡλιακάς, φανότερος ἐκείνων φανείς, καὶ ἐν τοσούτῳ φωτὶ μεῖζον λάμψας. τρίτον, ἀπὸ τοῦ φαίνεσθαι, καὶ πάλιν κρύπτεσθαι. τὴν μὲν γὰρ ἕως Παλαιστίνης ὁδὸν ἐφαίνετο χειραγωγῶν. ἐπειδὴ δὲ ἐπέβησαν τῶν Ἱεροσολύμων, ἔκρυψεν ἑαυτόν. εἶτα πάλιν ὅτε τὸν Ἡρώδην ἀφέντες, καὶ διδάξαντες αὐτὸν ὑπὲρ ὧν ἦλθον, ἔμελλον ἀπιέναι, δείκνυσιν ἑαυτόν· ὅπερ οὐκ ἔστιν ἄστρου κινήσεως, ἀλλὰ δυνάμεώς τινος λογικωτάτης. οὐδὲ γὰρ ἰδίαν τινὰ πορείαν εἶχεν· ἀλλ' ὅτε μὲν ἔδει βαδίσαι αὐτούς, ἐβάδιζεν· ὅτε δὲ στῆναι, ἵστατο, πρὸς τὸ δέον πάντα οἰκονομῶν· καθάπερ ὁ στῦλος τῆς νεφέλης, καθίζων καὶ ἐγείρων τὸ στρατόπεδον τῶν Ἰουδαίων, ἡνίκα ἐχρῆν. τέταρτον, ἀπὸ τοῦ τρόπου τῆς δείξεως τοῦτο ἄν τις καταμάθοι σαφῶς. οὐ γὰρ ἄνω μένων τὸν τόπον ἐδείκνυ (οὐδὲ γὰρ δυνατὸν ἦν αὐτοῖς οὕτω μαθεῖν) ἀλλὰ κάτω καταβὰς τοῦτο ἐποίει. ἴστε γὰρ ὅτι τόπον οὕτω μικρὸν καὶ ὅσον εἰκὸς καλύβην κατασχεῖν, μᾶλλον δὲ ὅσον εἰκὸς σῶμα παιδίου μικροῦ κατέχειν, οὐχ οἷόν τε ἀστέρα γνωρίζειν. ἐπειδὴ γὰρ ἄπειρον τὸ ὕψος, οὐκ ἤρκει οὕτω στενὸν τόπον διαχαρακτηρίσαι καὶ γνωρίσαι τοῖς βουλομένοις ἰδεῖν. καὶ τοῦτο ἀπὸ τῆς σελήνης ἴδοι τις ἄν· ἣ τοσοῦτον ὑπερφερὴς οὖσα τῶν ἄστρων, πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην οἰκοῦσι, καὶ εἰς τοσοῦτον πλάτος γῆς ἐκκεχυμένοις ἅπασιν ἐγγὺς εἶναι δοκεῖ. πῶς οὖν ὁ ἀστήρ, εἰπέ μοι, τόπον οὕτω στενὸν φάτνης καὶ καλύβης ἐδείκνυ, εἰ μὴ τὸ ὑψηλὸν ἐκεῖνο ἀφείς, κάτω κατέβη καὶ ὑπὲρ αὐτῆς ἔστη τῆς κεφαλῆς τοῦ παιδίου; ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν· ἰδοὺ ὁ ἀστὴρ προῆγεν αὐτούς, ἕως *ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. ὁρᾷς δι' ὅσων δείκνυται οὐ τῶν πολλῶν εἷς ὢν οὗτος ὁ ἀστήρ, οὐδὲ κατὰ τὴν ἀκολουθίαν τῆς ἔξω κινήσεως δεικνὺς ἑαυτόν; καὶ τίνος ἕνεκεν ἐφάνη; ὥστε καθικέσθαι τῆς Ἰουδαίων ἀναισθησίας, καὶ πᾶσαν αὐτοῖς ἀποκλεῖσαι ἀπολογίας ἀφορμὴν ἀγνωμονοῦσιν. ἐπειδὴ γὰρ ὁ παραγινόμενος, τὴν μὲν παλαιὰν ἀναπαύειν ἔμελλε πολιτείαν, τὴν δὲ οἰκουμένην εἰς τὴν αὐτοῦ προσκύνησιν καλεῖν, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ προσκυνεῖσθαι πάσῃ, ἐκ προοιμίων εὐθέως τοῖς ἔθνεσιν ἀνοίγει τὴν θύραν, διὰ τῶν ἀλλοτρίων τοὺς οἰκείους παιδεῦσαι θέλων. ἐπειδὴ γὰρ τῶν προφητῶν συνεχῶς ἀκούοντες λεγόντων περὶ τῆς αὐτοῦ παρουσίας οὐ σφόδρα προσεῖχον, ἐποίησε καὶ βαρβάρους ἐλθεῖν ἀπὸ γῆς μακρᾶς, τὸν παρ' αὐτοῖς βασιλέα ἐπιζητοῦντας, καὶ παρὰ Περσικῆς πρῶτον τῆς φωνῆς μανθάνουσιν, ἃ παρὰ τῶν προφητῶν μαθεῖν οὐκ ἠνέσχοντο· ἵνα ἂν μὲν εὐγνωμονῶσι, μεγίστην ἔχωσι τοῦ πείθεσθαι πρόφασιν· ἐὰν δὲ φιλονεικῶσι, πάσης ὦσιν ἀπεστερημένοι λοιπὸν ἀπολογίας. τί γὰρ ἂν ἔχοιεν εἰπεῖν, μὴ δεξάμενοι τὸν Χριστὸν μετὰ τοὺς τοσούτους προφήτας, ὅταν ἴδωσι μάγους ἀπὸ ὄψεως ἑνὸς ἄστρου τοῦτον δεξαμένους, καὶ προσκυνήσαντας τὸν φανέν-

Ἐξοδ. ιγ.
Ἀριθ. θ.

τα; ὅπερ [οὖν] ἐπὶ τῶν Νινευϊτῶν ἐποίησε, πέμψας τὸν Ἰωνᾶν, καὶ ὅπερ ἐπὶ τῆς Σαμαρείτιδος καὶ τῆς Χαναναίας, τοῦτο καὶ ἐπὶ τῶν μάγων. διὰ τοῦτο καὶ ἔλεγεν· Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι, καὶ βασίλισσα νότου ἀναστήσεται καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην· ὅτι ἐκεῖνοι μὲν τοῖς ἐλάττοσιν ἐπίστευσαν, οὗτοι δὲ οὐδὲ τοῖς μείζοσι. καὶ τίνος ἕνεκεν διὰ τοιαύτης αὐτοὺς εἵλκυσεν ὄψεως, φησίν; ἀλλὰ πῶς ἐχρῆν; προφήτας πέμψαι; ἀλλ' οὐκ ἂν οἱ μάγοι προφητῶν ἠνέσχοντο. ἀλλὰ φωνὴν ἄνωθεν ἀφεῖναι; ἀλλ' οὐκ ἂν προσέσχον. ἀλλ' ἄγγελον ἀποστεῖλαι; ἀλλὰ καὶ τοῦτον ἂν παρέδραμον. διὰ δὴ τοῦτο πάντα ἐκεῖνα ἀφεὶς ὁ Θεός, διὰ τῶν συνήθων αὐτοὺς καλεῖ, σφόδρα συγκαταβαίνων, καὶ δείκνυσιν ἀστέρα μέγα καὶ ἐξηλλαγμένον· ὥστε καὶ τῷ μεγέθει καὶ τῷ κάλλει τῆς ὄψεως αὐτοὺς ἐκπλῆξαι, καὶ τῷ τρόπῳ τῆς πορείας. ταῦτα καὶ ὁ Παῦλος μιμούμενος ἀπὸ βωμοῦ τοῖς Ἕλλησι διαλέγεται, καὶ ποιητῶν μαρτυρίας παράγει εἰς μέσον, καὶ μετὰ περιτομῆς τοῖς Ἰουδαίοις δημηγορεῖ, καὶ ἀπὸ θυσιῶν πρὸς τοὺς ἐν νόμῳ ζῶντας τὴν ἀρχὴν ποιεῖται τῆς διδασκαλίας. ἐπειδὴ γὰρ ἑκάστῳ τὰ συνήθη φίλα, καὶ ὁ Θεὸς καὶ οἱ παρ' αὐτοῦ πεμφθέντες ἄνθρωποι πρὸς τὴν τῆς οἰκουμένης σωτηρίαν, οὕτω τὰ πράγματα μεταχειρίζουσι. μὴ τοίνυν ἀνάξιον εἶναι νομίσῃς αὐτοῦ, τὸ δι' ἀστέρος αὐτοὺς καλέσαι· ἐπεὶ οὕτω καὶ τὰ Ἰουδαϊκὰ πάντα διαβαλεῖς, καὶ τὰς θυσίας, καὶ τοὺς καθαρμούς, καὶ τὰς νεομηνίας, καὶ τὴν κιβωτόν, καὶ τὸν ναὸν δὲ αὐτόν. καὶ γὰρ ἐξ Ἑλληνικῆς ταῦτα παχύτητος ἔλαβε τὴν ἀρχήν. ἀλλ' ὅμως ὁ Θεὸς διὰ τὴν τῶν πλανηθέντων σωτηρίαν ἠνέσχετο διὰ τούτων θεραπευθῆναι, δι' ὧν οἱ ἔξωθεν δαίμονας ἐθεράπευον, μικρὸν παραλλάξας αὐτά· ἵνα αὐτοὺς κατὰ μικρὸν τῆς συνηθείας ἀποσπάσας, ἐπὶ τὴν ὑψηλὴν ἀγάγῃ φιλοσοφίαν· ὃ δὴ καὶ ἐπὶ τῶν μάγων ἐποίησε, δι' ὄψεως ἀστέρου καλέσαι αὐτοὺς ἀναδεξάμενος, ἵνα λοιπὸν ὑψηλοτέρους ἐργάσηται. ἐπεὶ οὖν ἤγαγε καὶ ἐχειραγώγησε καὶ πρὸς τὴν φάτνην ἔστησεν, οὐκ ἔτι δι' ἀστέρου, ἀλλὰ δι' ἀγγέλου λοιπὸν αὐτοῖς διαλέγεται· οὕτω κατὰ μικρὸν βελτίους ἐγένοντο. τοῦτο καὶ ἐπὶ τῶν Ἀσκαλωνιτῶν καὶ Γαζαίων ἐποίησε. καὶ γὰρ αἱ πέντε πόλεις ἐκεῖναι, ἐπειδὴ τῆς κιβωτοῦ παραγενομένης ἐπλήγησαν καιρίαν πληγήν, καὶ ἀπαλλαγὴν οὐδεμίαν εὕρισκον τῶν ἐπικειμένων κακῶν, τοὺς μάντεις καλέσαντες, καὶ ἐκκλησίαν συναγαγόντες, ἐζήτουν λύσιν εὑρεῖν τῆς θεηλάτου πληγῆς ἐκείνης· εἶτα τῶν μάντεων ἐκείνων εἰπόντων, ὅτι δαμάλεις ἀδαμάστους καὶ πρωτοτοκούσας ὑποζεῦξαι τῇ κιβωτῷ χρή, καὶ μηδενὸς χειραγωγοῦντος ἀφεῖναι βαδίζειν· οὕτω γὰρ ἔσται κατάδηλον, εἴτε θεήλατος ἦν ἡ πληγή, εἴτε ἐκ περιφορᾶς τινος ἡ νόσος. ἂν μὲν γάρ, φησι, τὸν ζυγὸν ὑπὸ τῆς ἀπειρίας συντρίψωσιν, ἢ πρὸς τὰς δαμάλεις μυκωμένας ἐπιστραφῶσι, συντυχία τὸ γεγενημένον ἐστίν· ἂν δὲ ὀρθὰ βαδίσωσι, καὶ οὔτε πρὸς τὸν μυκηθμὸν τῶν παιδίων πάθωσί τι, οὔτε ὑπὸ τῆς ἀγνοίας τῆς κατὰ τὴν ὁδὸν πλανηθῶσιν, εὔδηλον ὅτι ἡ τοῦ Θεοῦ χεὶρ ἐστὶν ἡ ἁψαμένη τῶν πόλεων τούτων. ἐπεὶ οὖν ταῦτα τῶν μάντεων εἰπόντων ἐπείσθησαν οἱ τὰς πόλεις οἰκοῦντες ἐκείνας, καὶ ἐποίησαν ὡς ἐκελεύσθησαν· καὶ ὁ Θεὸς τῇ τῶν μάντεων ἠκολούθησε γνώμῃ, συγκαταβαίνων πάλιν, καὶ οὐκ ἐνόμισεν ἀνάξιον εἶναι αὐτοῦ τῶν αὐτῶν μάντεων τὴν πρόρρησιν εἰς ἔργον ἐξαγαγεῖν, καὶ ποιῆσαι πιστοὺς εἶναι δοκεῖν, ἐν οἷς τότε εἰρήκασι. καὶ γὰρ μεῖζον τὸ κατορθούμενον ἦν, τῷ καὶ αὐτοὺς τοὺς ἐναντίους μαρτυρῆσαι τῇ τοῦ Θεοῦ δυνάμει, καὶ τὴν περὶ αὐτοῦ ψῆφον τοὺς αὐτῶν διδασκάλους ἐξενεγκεῖν. καὶ ἕτερα δὲ πολλὰ τοιαῦτα ἴδοι τις ἂν οἰκονομοῦντα τὸν Θεόν. καὶ γὰρ καὶ τὸ ἐπὶ τῆς ἐγγαστριμύθου τούτῳ προσέοικε τῆς οἰκονομίας τῷ τρόπῳ, ὃ καὶ ὑμεῖς λοιπὸν ἀπὸ τῶν εἰρημένων ἐπιλῦσαι δυνήσεσθε. τοῦ μὲν οὖν ἀστέρος ἕνεκεν παρὰ μὲν ἡμῶν ταῦτα εἴρηται· παρὰ δὲ ὑμῶν καὶ πλείονα λεχθῆναι δύναιτ' ἄν. Δίδου γάρ, φησι, σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται. δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀρχὴν τῶν ἀναγνωσθέντων ἐλθεῖν. τίς δὲ ἡ ἀρχή; Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν ἔρχονται εἰς Ἱεροσόλυμα. μάγοι μὲν ἀστέρος καταρχοντος ἠκολούθησαν, οὗτοι δὲ οὐδὲ προ-

φητῶν

Ματθ. ιβ. μβ.
Λυκ. ια. λα.
α. Βασ. ε.
α. Βασ. ϛ.
α. Βασ. κη.
Παρ. θ. θ.

φητῶν ἐνηχούντων ἐπίστευσαν. τίνος δὲ ἕνεκεν ἡμῖν καὶ τὸν χρόνον λέγει καὶ τὸν τόπον, ἐν Βηθλεὲμ εἰπών, καὶ ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως; τίνος δὲ ἕνεκεν καὶ τὸ ἀξίωμα προστίθησι; τὸ ἀξίωμα μέν, ἐπειδὴ καὶ ἕτερος ἦν Ἡρώδης, ὁ τὸν Ἰωάννην ἀνελών· ἀλλ' ἐκεῖνος τετράρχης ἦν, οὗτος δὲ βασιλεύς. τὸν τόπον δὲ καὶ τὸν χρόνον τίθησι, προφητείας ἡμᾶς ἀναμιμνήσκων ″παλαιᾶς· ὧν τὴν μὲν ὁ Μιχαίας προεφήτευσε λέγων· Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· τὴν δὲ ὁ πατριάρχης Ἰακώβ, ἀκριβῶς ἡμῖν χαρακτηρίζων τὸν χρόνον,″ καὶ μέγα τὸ παράσημον τῆς αὐτοῦ παρουσίας τίθησιν. οὐκ ἐκλείψει γάρ, φησιν, ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, πόθεν εἰς τοιαύτην ἦλθον ἔννοιαν, καὶ τίς αὐτοὺς εἰς τοῦτο διήγειρεν; οὐ γὰρ δὴ τοῦ ἀστέρος ἐμοὶ δοκεῖ τὸ ἔργον εἶναι μόνον, ἀλλὰ καὶ τοῦ Θεοῦ τοῦ τὴν ἀρχὴν αὐτῶν κινήσαντος τὴν ψυχήν· ὅπερ καὶ ἐπὶ Κύρου πεποίηκε, παρασκευάζων αὐτὸν ἀφεῖναι τοὺς Ἰουδαίους. οὐχ οὕτως μέντοι τοῦτο εἰργάσατο, ὥστε τὸ αὐτεξούσιον λυμήνασθαι· ἐπεὶ καὶ Παῦλον καλέσας ἄνωθεν διὰ φωνῆς, καὶ τὴν αὐτοῦ χάριν καὶ τὴν ἐκείνου ὑπακοὴν δήλην ἐποίησε. καὶ τίνος ἕνεκεν μὴ πᾶσι τοῖς μάγοις τοῦτο, φησιν, ἀπεκάλυψεν; ὅτι οὐδὲ πάντες πιστεύειν ἔμελλον, ἀλλ' οὗτοι τῶν ἄλλων ἦσαν ἐπιτηδειότεροι· ἐπεὶ καὶ μυρία ἔθνη ἀπώλλυντο, καὶ Νινευΐταις ὁ προφήτης ἐπέμπετο μόνοις· καὶ δύο ἦσαν λῃσταὶ ἐν τῷ σταυρῷ, καὶ ὁ εἷς διεσώθη μόνος. ὅρα γοῦν τούτων τὴν ἀρετήν, οὐκ ἀφ' ὧν ἦλθον, ἀλλὰ καὶ ἀφ' ὧν παρρησιάζονται. καὶ γὰρ ἵνα μὴ δόξωσιν ὑποβολιμαῖοί τινες εἶναι, λέγουσι τὸν ὁδηγήσαντα, καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ τὴν παρρησίαν ἐνδείκνυνται (ἤλθομεν γάρ, φησι, προσκυνῆσαι αὐτῷ) καὶ οὔτε τοῦ δήμου τὸν θυμόν, οὔτε τοῦ βασιλέως τὴν τυραννίδα ἐδεδοίκεισαν. ὅθεν ἐμοί γε δοκοῦσιν οὗτοι καὶ ″ οἴκοι διδάσκαλοι γενέσθαι τῶν ἐγχωρίων. οἱ γὰρ ἐνταῦθα μὴ παραιτησάμενοι τοῦτο εἰπεῖν, πολλῷ μᾶλλον εἰς τὴν αὐτῶν ἐπαρρησιάσαντο, ἅτε καὶ τὸν χρησμὸν τὸν παρὰ τοῦ ἀγγέλου λαβόντες, καὶ τὴν παρὰ τοῦ προφήτου μαρτυρίαν.

3 Ἀκούσας δὲ [ὁ] Ἡρώδης *, φησίν, ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ.

Ὁ μὲν Ἡρώδης εἰκότως, ἅτε βασιλεὺς ὤν, καὶ δεδοικὼς ὑπέρ τε ″ αὐτοῦ καὶ τῶν παίδων· τὰ δὲ Ἱεροσόλυμα τίνος ἕνεκεν; καίτοιγε σωτῆρα καὶ εὐεργέτην καὶ ἐλευθερωτὴν ἄνωθεν αὐτὴν οἱ προφῆται προύλεγον. τίνος οὖν ἕνεκεν ἐταράχθησαν; ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς καὶ ἔμπροσθεν καὶ τὸν Θεὸν εὐεργετοῦντα ἀπεστρέφοντο, καὶ τῶν Αἰγυπτιακῶν ἐμέμνηντο κρεῶν, τοσαύτης ἀπολαύοντες ἐλευθερίας. σὺ δέ μοι σκόπει τῶν προφητῶν τὴν ἀκρίβειαν. καὶ γὰρ καὶ αὐτὸ τοῦτο προανεφώνησεν ὁ προφήτης ἄνωθεν λέγων· Θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν. ἀλλ' ὅμως ταραχθέντες, οὐ ζητοῦσι τὸ συμβὰν ἰδεῖν, οὐδὲ τοῖς μάγοις ἀκολουθοῦσι καὶ περιεργάζονται. οὕτως ὁμοῦ καὶ φιλόνεικοι καὶ ῥάθυμοι μάλιστα πάντων ἦσαν. δέον γὰρ ″ αὐτοὺς καὶ ἐγκαλλωπίζεσθαι, ὅτι παρ' αὐτοῖς ὁ βασιλεὺς ἐτέχθη, καὶ τὴν Περσῶν εἵλκυσε χώραν, καὶ μέλλουσιν ἔχειν ἅπαντας ὑποχειρίους, ἅτε τῶν πραγμάτων ἐπὶ τὸ βέλτιον προελθόντων, καὶ ἀπὸ προοιμίου λαμπρᾶς οὕτω τῆς ἀρχῆς γενομένης, οὐδὲ ταύτῃ γίνονται ἀμείνους. καίτοι ἄρτι τῆς αἰχμαλωσίας ἦσαν τῆς ἐκεῖθεν ἀπηλλαγέντες, καὶ εἰκὸς ἦν αὐτοὺς ″ ἐννοεῖν, εἰ καὶ μηδὲν τῶν ἀπορρήτων καὶ ὑψηλῶν ᾔδεσαν, ἀλλ' ἀπὸ τῶν παρόντων γοῦν ″ ἐψηφίσαντο μόνον, ὅτι εἰ τεχθέντα οὕτω τρέμουσιν ἡμῶν τὸν βασιλέα, πολλῷ μᾶλλον αὐξηθέντα φοβηθήσονται καὶ ὑπακούσουσι, καὶ ″ τῶν βαρβαρικῶν ἔσται ″ λαμπρότερα τὰ ἡμέτερα. ἀλλ' οὐδὲν τούτων αὐτοὺς διανίστησι. τοσαύτη ἦν αὐτῶν ἡ νωθεία, ″ μετὰ ταύτης δὲ καὶ ἡ βασκανία.

Ἄπερ ἀμφότερα δεῖ μετ' ἀκριβείας ἐξορίζειν τῆς ἡμετέρας διανοίας, καὶ πυρὸς εἶναι σφοδρότερον τὸν μέλλοντα ἐπὶ τῆς τοιαύτης παρατάξεως ἵστασθαι. διὸ καὶ ὁ Χριστὸς ἔλεγε·

Μιχ. ι. β.

β. Παραλ. λϛ.

Πραξ. θ.

Ησ. θ. ϛ.

ΗΘΙΚΟΝ

Λουκ. ιβ. μθ. Πῦρ ἦλθον βαλεῖν ″ἐπὶ τὴν γῆν. καὶ τί ἤθελον, εἰ ἤδη ἀνήφθη; καὶ τὸ πνεῦμα ἐν πυρὶ διὰ τοῦτο φαίνεται. ἀλλ' ἡμεῖς τέφρας ψυχρότεροι γεγόναμεν, καὶ τῶν τεθνηκότων νεκρότεροι· καὶ ταῦτα Παῦλον ὁρῶντες ὑπὲρ τὸν οὐρανὸν ἱπτάμενον, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ φλογὸς ἁπάσης σφοδρότερον ἅπαντα νικῶντα καὶ ὑπερβαίνοντα, τὰ κάτω, τὰ ἄνω, τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὄντα, τὰ οὐκ ὄντα. εἰ δὲ μεῖζόν σου ἐκεῖνο τὸ ὑπόδειγμα, μάλιστα μὲν ὅπου καὶ τοῦτο νωθείας ὁ λόγος. τί γὰρ σου πλέον εἶχεν ὁ Παῦλος, ὅτι ἀδύνατον τὸν πρὸς ἐκεῖνόν σοί φῂς εἶναι ζῆλον; πλὴν ἀλλ' ἵνα μὴ φιλονεικῶμεν, τὸν Παῦλον ἀφέντες, τοὺς πρώτους πιστεύσαντας ἐννοήσωμεν, οἳ καὶ χρήματα, καὶ κτήματα, καὶ φροντίδα, καὶ διατριβὴν ἅπασαν βιωτικὴν ἐξέβαλον, καὶ ὅλους ἑαυτοὺς ἀνέθηκαν τῷ Θεῷ, καθ' ἑκάστην νύκτα καὶ ἡμέραν τῇ τοῦ λόγου διδασκαλίᾳ προσεδρεύοντες. τοιοῦτον γὰρ τὸ πῦρ τὸ πνευματικόν, οὐδεμίαν ἐπιθυμίαν ἀφίησιν ἔχειν τῶν ἐνταῦθα, ἀλλ' εἰς ἕτερον ἡμᾶς μεθίστησιν ἔρωτα. διὰ τοῦτο ὁ τοιούτων ἐρῶν πραγμάτων, κἂν τὰ ὄντα προέσθαι δέῃ, κἂν τρυφῆς, κἂν δόξης καταγελάσαι, κἂν αὐτὴν ἐκδοῦναι τὴν ψυχήν, μετὰ πάσης εὐκολίας πάντα ταῦτα ποιεῖ. ἡ γὰρ τοῦ πυρὸς ἐκείνου θερμότης εἰς τὴν ψυχὴν εἰσιοῦσα, πᾶσαν ἐκβάλλει νωθείαν, καὶ πτεροῦ ποιεῖ κουφότερον τὸν ἁλόντα, καὶ πάντων τῶν ὁρωμένων ὑπερορᾷν. λοιπὸν ὁ τοιοῦτος ἐν κατανύξει μένει διηνεκεῖ, πηγὰς συνεχεῖς ἀφιεὶς δακρύων, καὶ πολλὴν ἐντεῦθεν καρπούμενος τὴν ἡδονήν. οὐδὲν γὰρ οὕτως συγκολλᾷ καὶ ἑνοῖ τῷ Θεῷ, ὡς τὰ τοιαῦτα δάκρυα. ὁ τοιοῦτος κἂν ἐν μέσαις πόλεσιν ᾖ κατοικῶν, ὡς ἐν ἐρημίᾳ διατρίβει καὶ ὄρεσι καὶ ″σπηλαίοις, οὐδ' ἕνα τῶν παρόντων ὁρῶν, οὐδὲ κόρον τῶν τοιούτων λαμβάνων θρήνων, ἄν τε ὑπὲρ ἑαυτοῦ, ἄν τε ὑπὲρ τῶν ἑτέροις ″πεπλημμελημένων δακρύῃ. διὰ τοῦτο πρὸ τῶν ἄλλων τούτους ἐμακάρισεν ὁ Θεός, Μακάριοι οἱ πενθοῦντες * λέγων. καὶ πῶς ὁ Παῦλός φησι, Χαίρετε ἐν Κυρίῳ πάντοτε; τὴν ἐκ τῶν δακρύων τούτων λέγων ἡδονήν. ὥσπερ γὰρ ἡ διὰ κόσμον χαρά, λύπην ἔχει συγκεκληρωμένην· οὕτω τὰ κατὰ Θεὸν δάκρυα χαρὰν βλαστάνει διηνεκῆ καὶ ἀμάραντον. οὕτω καὶ ἡ πόρνη παρθένων ἐγένετο σεμνοτέρα, τούτῳ κατασχεθεῖσα τῷ πυρί. ἐπειδὴ γὰρ διεθερμάνθη τῇ μετανοίᾳ, ἐξεβακχεύθη λοιπὸν τῷ πρὸς τὸν Χριστὸν πόθῳ, τὰς τρίχας λύουσα, καὶ τοὺς ἁγίους αὐτοῦ βρέχουσα πόδας τοῖς δάκρυσι, καὶ ταῖς ἰδίαις ″αὐτοὺς ἀπομάττουσα κόμαις, καὶ τὸ μύρον κενοῦσα. καὶ ταῦτα μὲν ἅπαντα ἔξωθεν ἐγίνετο· τὰ δὲ ἐν τῇ διανοίᾳ τελούμενα, πολλῷ τούτων θερμότερα ἦν, ἃ μόνος αὐτὸς ἔβλεπεν ὁ Θεός. διὰ δὴ τοῦτο ἕκαστος [ἡμῶν] ἀκούων, συγχαίρει τε αὐτῇ, καὶ ″εὐφραίνεται τοῖς ἐκείνης κατορθώμασι, καὶ πάντων ἀπαλλάττει τῶν ἐγκλημάτων αὐτήν. εἰ δὲ ἡμεῖς οἱ πονηροὶ ταύτην φέρομεν τὴν ψῆφον, ἐννόησον, τίνος ἀπήλαυσε παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ πόσα καὶ πρὸ τῶν ″τοῦ Θεοῦ δωρεῶν ἀπὸ τῆς μετανοίας ἐκαρπώσατο τὰ ἀγαθά. καθάπερ γὰρ, ὑετοῦ καταρραγέντος σφοδροῦ, αἰθρία γίνεται καθαρά· οὕτω καὶ δακρύων καταφερομένων, γαλήνη γίνεται καὶ εὐδία τῇ ψυχῇ, καὶ τὸ ἐκ τῶν ἁμαρτημάτων ἀφανίζεται σκότος. καὶ ὥσπερ ἐξ ὕδατος καὶ πνεύματος, οὕτως ἀπὸ δακρύων καὶ ἐξομολογήσεως καθαιρόμεθα πάλιν, ἂν μὴ πρὸς ἐπίδειξιν τοῦτο ποιῶμεν καὶ πρὸς φιλοτιμίαν. τὴν γὰρ οὕτω δακρύουσαν τῆς καλλωπιζομένης ″ἐν ὑπογραφαῖς καὶ ἐπιτρίμμασι μᾶλλον κατηγορεῖσθαι φαίην ἂν εἶναι δίκαιον. ἐγὼ γὰρ ἐκεῖνα ζητῶ τὰ δάκρυα τὰ μὴ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς κατάνυξιν γινόμενα· τὰ λάθρα καὶ ἐν τοῖς ταμιείοις καὶ μηδενὸς ὁρῶντος, ἀλλ' ἠρέμα καὶ ἀψοφητὶ στάζοντα· τὰ ἀπὸ βάθους διανοίας· τὰ ἐν τῷ θλίβεσθαι καὶ ὀδυνᾶσθαι· τὰ διὰ τὸν Θεὸν [μόνον] γινόμενα, οἷα ″καὶ τὰ Ἄννης ἦν. τὰ γὰρ χείλη αὐτῆς, φησιν, ″ἐκινοῦντο, καὶ ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο· ἀλλὰ τὰ δάκρυα μόνα σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν. διὰ δὴ τοῦτο καὶ τὴν μήτραν ″ἠνέῳξεν ὁ Θεός, καὶ τὴν σκληρὰν πέτραν ἁπαλὴν ἄρουραν εἰργάσατο. ἂν οὕτω καὶ αὐτὸς δακρύῃς, μιμητὴς τοῦ δεσπότου σου γέγονας. καὶ γὰρ καὶ αὐτὸς ἐδάκρυσε, καὶ ἐπὶ Λαζάρου, καὶ ἐπὶ τῆς πόλεως, καὶ ἐπὶ τοῦ Ἰούδα διεταράχθη.

Ματθ. ε. δ.
Φιλ. δ. δ.
α. Βασ. α.
Ἰωάν. ια. λε.
Λουκ. ιθ. μα.

γρ. ὁ εἰς
γρ. πεπλη-
γων
* ὅτι αὐτοὶ
γρ. αὐτὸ
γρ. συνευ-
φραίνετ
γρ. καὶ

χ ζ β.

διεταράχθη. καὶ τοῦτο μὲν πολλάκις ἐστὶν ἰδεῖν αὐτὸν ποιοῦντα, γελῶντα δὲ οὐδαμοῦ· ἀλλ' οὐδὲ μειδιῶντα ἠρέμα. οὐκοῦν τῶν εὐαγγελιστῶν οὐδεὶς τοῦτο εἴρηκε. διὰ τοῦτο καὶ Παῦλος ὅτι μὲν ἐδάκρυσε, καὶ τριετίαν νύκτα καὶ ἡμέραν τοῦτο ἐποίει, καὶ αὐτὸς περὶ ἑαυτοῦ, καὶ ἕτεροι περὶ αὐτοῦ τοῦτο λέγουσιν· ὅτι δὲ ἐγέλασεν, οὐδαμοῦ οὔτε αὐτὸς εἴρηκεν, οὐδὲ ἄλλος, οὐδὲ εἷς τῶν ἁγίων, οὔτε περὶ αὐτοῦ, οὔτε περὶ ἑτέρου τινὸς τοιούτου· ἀλλ' ἢ περὶ Σάρρας μόνης τοῦτο εἴρηται, ἡνίκα ἐπετιμήθη· καὶ περὶ τοῦ υἱοῦ Νῶε, ὅτε ἀντ' ἐλευθέρου δοῦλος γέγονε. καὶ ταῦτα λέγω, οὐ τὸν γέλωτα ἐκκόπτων, ἀλλὰ τὴν διάχυσιν ἀναιρῶν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, θρύπτῃ καὶ διαρρέεις τοσαύταις εὐθύναις ἔνοχος ὢν ἔτι, καὶ φοβερῷ μέλλων παρίστασθαι δικαστηρίῳ, καὶ πάντων παρέχειν λόγον μετὰ ἀκριβείας τῶν ἐνταῦθα γεγενημένων; καὶ γὰρ ὧν ἑκόντες καὶ ὧν ἄκοντες ἡμάρτομεν, δώσομεν λόγον. Ὃς γὰρ ἂν ἀρνήσεταί με, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. καίτοιγε ἀκούσιος ἡ τοιαύτη ἄρνησις, ἀλλ' ὅμως οὐ διαφεύγει τὴν κόλασιν, ἀλλὰ καὶ ταύτης δίδομεν εὐθύνας, καὶ ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν (Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, φησὶν, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι) καὶ ὧν κατ' ἄγνοιαν, καὶ ὧν κατὰ γνῶσιν. Μαρτυρῶ γὰρ αὐτοῖς, φησὶν, ὅτι ζῆλον Θεοῦ ἔχουσιν· ἀλλ' οὐ κατ' ἐπίγνωσιν. ἀλλ' ὅμως οὐκ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν αὐτοῖς. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγε· Φοβοῦμαι μή πως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. τοσούτων τοίνυν μέλλων διδόναι εὐθύνας, κάθῃ γελῶν, καὶ ἀστεῖα λέγων, καὶ τρυφῇ προσέχων; ἂν γὰρ μὴ ταῦτα ποιήσω, φησὶν, ἀλλὰ πενθήσω, τί τὸ ὄφελος; μέγιστον μὲν οὖν, καὶ τοσοῦτον, ὅσον οὐδὲ τῷ λόγῳ παραστῆσαι δυνατόν. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων, ὅσα ἂν δακρύσῃς, οὐκ ἐκφεύξῃ τὴν κόλασιν μετὰ τὴν ἀπόφασιν· ἐνταῦθα δὲ, ἂν στενάξῃς μόνον, ἔλυσας τὴν ψῆφον, καὶ συγγνώμης ἀπήλαυσας. διὰ τοῦτο πολλὰ περὶ πένθους ἡμῖν ὁ Χριστὸς διαλέγεται, καὶ μακαρίζει τοὺς πενθοῦντας, καὶ ταλανίζει τοὺς γελῶντας. οὐ γάρ ἐστι τὸ θέατρον τοῦτο γέλωτος, οὐδὲ διὰ τοῦτο συνήλθομεν, ἵνα ἀνακαγχάζωμεν, ἀλλ' ἵνα στενάζωμεν καὶ βασιλείαν ἐκ τοῦ στεναγμοῦ τούτου κληρονομήσωμεν. σὺ δὲ βασιλεῖ μὲν παρεστὼς, οὐδὲ ἁπλῶς μειδιάσαι ἀνέχῃ· τὸν δὲ τῶν ἀγγέλων δεσπότην ἔχων ἔνοικον, οὐχ ἕστηκας τρέμων καὶ μετὰ σωφροσύνης τῆς προσηκούσης, ἀλλὰ γελᾷς, αὐτοῦ πολλάκις ὀργιζομένου, καὶ οὐκ ἐννοεῖς ὅτι τῶν ἁμαρτημάτων ταύτῃ μειζόνως παροξύνεις αὐτόν; οὐ γὰρ οὕτω τοὺς ἁμαρτάνοντας, ὡς τοὺς μετὰ τὴν ἁμαρτίαν μὴ συστελλομένους ἀποστρέφεσθαι εἴωθεν ὁ Θεός. ἀλλ' ὅμως οὕτως εἰσὶν ἀναισθήτως τινὲς διακείμενοι, ὡς καὶ μετὰ ταῦτα τὰ ῥήματα λέγειν· ἐμοὶ δὲ μὴ γένοιτο δακρῦσαι ποτὲ, ἀλλὰ δῴη μοι γελᾶν καὶ παίζειν ὁ Θεὸς πάντα τὸν χρόνον. καὶ τί ταύτης παιδικώτερον τῆς διανοίας γένοιτ' ἄν; οὐ γὰρ ὁ Θεὸς δίδωσι παίζειν, ἀλλ' ὁ διάβολος. ἄκουσον γοῦν οἱ παίζοντες τί ἔπαθον. Ἐκάθισε, φησὶν, ὁ λαὸς τοῦ φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. τοιοῦτοι ἦσαν οἱ ἐν Σοδόμοις, τοιοῦτοι οἱ ἐπὶ τοῦ κατακλυσμοῦ. καὶ γὰρ καὶ περὶ ἐκείνων φησὶν, ὅτι ἐν ὑπερηφανίᾳ καὶ ἐν εὐθηνίαις καὶ ἐν πλησμονῇ ἄρτων ἐσπατάλων· καὶ οἱ κατὰ τὸν Νῶε ὄντες τὴν κιβωτὸν ἐπὶ τοσοῦτον ὁρῶντες κατασκευαζομένην χρόνον, ἀναλγήτως εὐφραίνοντο, μηδὲν τῶν μελλόντων προορώμενοι. διὰ τοῦτο καὶ πάντας αὐτοὺς ἐπελθὼν παρέσυρεν ὁ κατακλυσμὸς, καὶ τὸ κοινὸν τῆς οἰκουμένης ναυάγιον τότε εἰργάσατο. μὴ τοίνυν αἴτει παρὰ τοῦ Θεοῦ ταῦτα, ἃ παρὰ τοῦ διαβόλου λαμβάνεις. τοῦ γὰρ Θεοῦ ἐστι δοῦναι συντετριμμένην καρδίαν καὶ τεταπεινωμένην, νήφουσαν, σωφρονοῦσαν καὶ κατεσταλμένην, μετανοοῦσαν καὶ κατανενυγμένην. ταῦτα ἐκείνου τὰ δῶρα ἐπεὶ καὶ τούτων ἡμῖν χρεία μάλιστα. καὶ γὰρ ἀγὼν ἐφέστηκε χαλεπὸς, καὶ πρὸς τὰς ἀοράτους ἡμῖν δυνάμεις ἡ πάλη, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἡ μάχη, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας ὁ πόλεμος, καὶ ἀγαπητὸν σπουδάζοντας ἡμᾶς καὶ νήφοντας καὶ διεγηγερμένους δυνη-

Ματθ. ι. λγ.
Λυκ. ιβ. θ.
α. Κορ. δ. δ.
Ρω. ι. β.
β. Κορ. ια. γ.
Εξο. λβ. ϛ.

θεῖναι τὴν ἀγρίαν ἐκείνων φάλαγγα ἐνεγκεῖν. ἂν δὲ γελῶμεν, καὶ παίζωμεν, καὶ διὰ πάντος ῥᾳθυμῶμεν, καὶ περὶ τῆς συμβολῆς ὑπὸ τῆς οἰκείας καταπεσούμεθα ῥᾳθυμίας. οὐ τοίνυν ἡμέτερον τὸ γελᾶν διηνεκῶς καὶ θρύπτεσθαι καὶ τρυφᾶν, ἀλλὰ τῶν ἐπὶ σκηνῆς, τῶν πορνευομένων γυναικῶν, τῶν εἰς τοῦτο ἐξευρημένων ἀνδρῶν, τῶν παρασίτων, τῶν κολάκων· οὐ τῶν ἐπὶ τὸν οὐρανὸν κεκλημένων, οὐ τῶν εἰς τὴν ἄνω πόλιν ἐγγεγραμμένων, οὐ τῶν ὅπλα βασταζόντων πνευματικά, ἀλλὰ τῶν τῷ διαβόλῳ τελουμένων. ἐκεῖνος γάρ ἐστιν ἐκεῖνος ὁ καὶ τέχνην τὸ πρᾶγμα ποιήσας, ἵνα τοὺς στρατιώτας ἑλκύσῃ τοῦ Χριστοῦ, καὶ μαλακώτερα αὐτῶν ποιήσῃ τῆς προθυμίας τὰ νεῦρα. διὰ τοῦτο καὶ θέατρα ᾠκοδόμησεν ἐν ταῖς πόλεσι, καὶ τοὺς γελωτοποιοὺς ἐκείνους ἀσκήσας, διὰ τῆς ἐκείνων λύμης κατὰ τῆς πόλεως ἁπάσης τὸν τοιοῦτον ἐγείρει λοιμόν, ἃ φεύγειν ὁ Παῦλος ἐκέλευσε, Τὴν μωρολογίαν, καὶ τὴν εὐτραπελίαν [φημί,] ταῦτα διώκειν ἀναπείθων· καὶ τὸ δὴ χαλεπώτερον τούτων, ἡ τοῦ γέλωτός ἐστιν ὑπόθεσις. ὅταν μὲν γὰρ βλάσφημόν τι εἴπωσιν ἢ αἰσχρὸν οἱ μῖμοι τῶν γελοίων ἐκείνων, τότε πολλοὶ τῶν ἀνοητοτέρων γελῶσι καὶ τέρπονται, ὑπὲρ ὧν αὐτοὺς λιθάζειν ἐχρῆν, ὑπὲρ τούτων κροτοῦντες, καὶ τὴν κάμινον τοῦ πυρὸς διὰ τῆς ἡδονῆς ταύτης κατὰ τῆς ἑαυτῶν ἕλκοντες κεφαλῆς. οἱ γὰρ ἐπαινοῦντες τοὺς τὰ τοιαῦτα λέγοντας, οὗτοι μάλιστά εἰσιν οἱ λέγειν ἀναπείθοντες. διὸ καὶ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης, δικαιότερον ἂν εἶεν ὑπεύθυνοι. εἰ γὰρ μηδεὶς ἦν ὁ τὰ τοιαῦτα θεώμενος, οὐδ᾽ ἂν ὁ ἀγωνιζόμενος ἦν. ὅταν δὲ ἴδωσιν ὑμᾶς καὶ ἐργαστήρια καὶ τέχνας καὶ τὴν ἐκ τούτων πρόσοδον, καὶ πάντα ἁπλῶς ὑπὲρ τῆς ἐκεῖ διατριβῆς ἀφέντας, μείζονα δέχονται τὴν προθυμίαν, καὶ πλείονα περὶ ταῦτα ποιοῦνται σπουδήν. καὶ ταῦτα οὐκ ἐκείνους ἀπαλλάττων ἐγκλημάτων λέγω, ἀλλ᾽ ἵνα ὑμεῖς μάθητε, ὅτι τὴν ἀρχὴν καὶ τὴν ῥίζαν τῆς τοιαύτης παρανομίας ὑμεῖς μάλιστά ἐστε οἱ πάντ᾽ ἔχοντες, οἱ τὴν ἡμέραν ἅπασαν εἰς ταῦτα ἀναλίσκοντες, καὶ τὰ σεμνὰ τοῦ γάμου πράγματα ἐκπομπεύοντες, καὶ τὸ μυστήριον τὸ μέγα παραδειγματίζοντες. οὐδὲ γὰρ οὕτως ἐκεῖνος ὁ ταῦτα ὑποκρινόμενός ἐστιν ὁ πλημμελῶν, ὡς πρὸ ἐκείνου σύ, ὁ ταῦτα κελεύων ποιεῖν· μᾶλλον δὲ οὐ κελεύων μόνον, ἀλλὰ καὶ σπουδάζων καὶ εὐφραινόμενος, καὶ γελῶν, καὶ ἐπαινῶν τὰ γινόμενα, καὶ παντὶ τρόπῳ συγκροτῶν τὰ τοιαῦτα ἐργαστήρια τῶν δαιμόνων. ποίοις οὖν ὀφθαλμοῖς, εἰπέ μοι, λοιπὸν τὴν γυναῖκα ἐπὶ τῆς οἰκίας ὄψῃ, ἰδὼν αὐτὴν ὑβριζομένην ἐκεῖ; πῶς δὲ οὐκ ἐρυθριᾷς ἀναμιμνησκόμενος τῆς συνοίκου, ἡνίκα ἂν τὴν φύσιν αὐτὴν παραδειγματιζομένην ἴδῃς; μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ὑπόκρισίς ἐστι τὰ γινόμενα. ἡ γὰρ ὑπόκρισις αὕτη πολλοὺς εἰργάσατο μοιχούς, καὶ πολλὰς ἀνέτρεψεν οἰκίας. καὶ διὰ τοῦτο μάλιστα στένω, ὅτι οὐδὲ δοκεῖ πονηρὸν εἶναι τὸ γινόμενον· ἀλλὰ καὶ κρότοι, καὶ κραυγή, καὶ γέλως πολύς, μοιχείας τελουμένης τοσαύτης. τί λέγεις; ὑπόκρισις τὰ γινόμενα; δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μυρίων ἂν εἶεν ἐκεῖνοι θανάτων ἄξιοι, ὅτι ἃ φεύγειν οἱ νόμοι κελεύουσιν ἅπαντες, ταῦτα μιμεῖσθαι ἐσπουδάκασιν ἐκεῖνοι. εἰ γὰρ αὐτὸ κακόν, καὶ ἡ μίμησις τούτου κακόν. καὶ οὔπω λέγω, πόσους ἐργάζονται μοιχοὺς οἱ [τὰ] τοιαῦτα τῆς μοιχείας ὑποκρινόμενοι δράματα· πῶς ἰταμοὺς καὶ ἀναισχύντους κατασκευάζουσι τοὺς τῶν τοιούτων θεωρούς. οὐδὲν γὰρ πορνικώτερον οὐδὲ ἰταμώτερον ὀφθαλμοῦ τοιαῦτα βλέπειν ἀνεχομένου. σὺ δὲ ἐν ἀγορᾷ μὲν οὐκ ἂν ἕλοιο γυναῖκα γυμνουμένην ἰδεῖν· μᾶλλον δὲ οὐδὲ ἐν οἰκίᾳ, ἀλλὰ καὶ ὕβριν τὸ πρᾶγμα καλεῖς· ἐπὶ δὲ τὸ θέατρον ἀναβαίνεις, ἵνα τὸ κοινὸν τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν ἐνυβρίσῃς γένος, καὶ τοὺς σαυτοῦ αἰσχύνῃς ὀφθαλμούς; μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι πόρνη ἐστὶν ἡ γυμνουμένη, ἀλλ᾽ ὅτι ἡ αὐτὴ φύσις, καὶ τὸ σῶμα τὸ αὐτὸ καὶ τῆς πόρνης καὶ τῆς ἐλευθέρας. εἰ γὰρ οὐδὲν ἄτοπον τοῦτο, τίνος ἕνεκεν ἐπ᾽ ἀγορᾶς ἂν ἴδῃς τοῦτο γινόμενον, καὶ αὐτὸς ἀποπηδᾷς, καὶ τὴν ἀσχημονοῦσαν ἐλαύνεις; ἢ ὅταν μὲν διῃρημένοι ὦμεν, τότε ἄτοπον τὸ τοιοῦτον· ὅταν δὲ συνηγμένοι καὶ πάντες ὁμοῦ καθήμενοι, οὐκ ἔτι ὁμοίως

Ep. ε δ.

ὡς αἰσχρόν; ἀλλὰ γέλως ταῦτα καὶ ὄνειδος, καὶ ἐσχάτης παραπληξίας ῥήματα· καὶ βέλτιον πηλῷ καὶ βορβόρῳ τὴν ὄψιν ἀναχρῶσαι πᾶσαν, ἢ τοιαύτην θεωρῆσαι παρανομίαν. οὔτε γὰρ οὕτως ὀφθαλμῷ βλάβη βόρβορος, ὡς ἀκόλαστος ὄψις καὶ γεγυμνωμένης γυναικὸς θεωρία. ἄκουσον γοῦν τί τὴν γύμνωσιν ἐποίησεν ἐξ ἀρχῆς, καὶ φοβήθητι τῆς ἀσχημοσύνης τῆς τοιαύτης τὴν ὑπόθεσιν. τί οὖν ἐποίησε τὴν γύμνωσιν; ἡ παρακοή, καὶ ἡ τοῦ διαβόλου συμβουλή. οὕτως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐκείνου τοῦτο γέγονε [τὸ] ἐπιτήδευμα. ἀλλ' ἐκεῖνοι μὲν κἂν ᾐσχύνοντο γυμνοὶ ὄντες· ὑμεῖς δὲ καὶ ἐγκαλλωπίζεσθε, κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο, ἐν τῇ αἰσχύνῃ τὴν δόξαν ἔχοντες. πῶς οὖν ὄψεταί σε λοιπὸν ἡ γυνὴ ἀπὸ τῆς τοιαύτης ἐπανελθόντα "παρανομίας; πῶς δέξεται; πῶς προσερεῖ, οὕτως ἀτίμως τὸ κοινὸν τῆς γυναικείας παραδειγματίσαντα φύσεως, καὶ αἰχμάλωτον ὑπὸ τῆς τοιαύτης ὄψεως, καὶ δοῦλον γεγενημένον τῆς πορνευθείσης γυναικός; εἰ δὲ ἀλγεῖτε ταῦτα ἀκούοντες, χάριν ὑμῖν ἔχω πολλήν. τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; μὴ δὴ παύσησθέ ποτε στένοντες ἐπὶ τούτοις καὶ "δακνόμενοι. καὶ γὰρ προοίμιον ὑμῖν ἔσται τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἡ ἐκ τῶν τοιούτων ὀδύνη. διὰ τοῦτο κἀγὼ σφοδρότερον τὸν λόγον ἐποιησάμην, ἵνα βαθυτέραν δοὺς τὴν τομήν, ἀπαλλάξω τῆς σηπεδόνος τῶν "μεθυσκόντων ὑμᾶς, "ἵνα πρὸς καθαρὰν ἐπαναγάγω ψυχῆς ὑγείαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύοντας διὰ παντός, καὶ τῶν κειμένων ἐπάθλων τοῖς κατορθώμασι τούτοις ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ζ. 4 ΚΑΙ ΣΥΝΑΓΑΓΩΝ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΡΧΙερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. 5 Οἱ δὲ εἶπον αὐτῷ· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Εἶδες ἅπαντα εἰς ἔλεγχον γινόμενα "Ἰουδαίων; ἕως μὲν γὰρ αὐτὸν οὐκ "ἐθεώρουν, οὐδὲ ὑπὸ τῆς βασκανίας ἡλίσκοντο, μετ' ἀληθείας τὰς μαρτυρίας διηγόρευον. ἐπειδὴ δὲ εἶδον τὴν ἀπὸ τῶν θαυμάτων "ἐπιγινομένην δόξαν, ὑπὸ τοῦ φθόνου κατασχεθέντες λοιπὸν προὔδωκαν τὴν ἀλήθειαν. ἀλλ' ἡ ἀλήθεια διὰ πάντων ἤρετο, καὶ ὑπὸ τῶν ἐχθρῶν μειζόνως συνεκροτεῖτο. ὅρα γοῦν καὶ ἐνταῦθα πῶς θαυμαστὰ καὶ παράδοξα οἰκονομεῖται πράγματα. ὁμοῦ τε γὰρ καὶ μανθάνουσί τι πλέον παρ' ἀλλήλων, καὶ διδάσκουσιν ἀλλήλους, οἵ τε βάρβαροι καὶ οἱ Ἰουδαῖοι. οἱ μὲν γὰρ Ἰουδαῖοι παρὰ τῶν μάγων ἤκουον, ὅτι καὶ ἀστὴρ αὐτὸν ἐπὶ τῆς Περσῶν ἐκήρυξε χώρας· οἱ δὲ μάγοι παρὰ τῶν Ἰουδαίων ἐμάνθανον, ὅτι τοῦτον, ὃν ὁ ἀστὴρ "ἀνεκήρυξε, καὶ προφῆται πρὸ πολλῶν ἄνωθεν διηγόρευον χρόνων· καὶ τῆς ἐρωτήσεως ἡ ὑπόθεσις, διδασκαλίας σαφεστέρας τε καὶ ἀκριβεστέρας ἑκατέροις ἀπόδειξις γέγονε· καὶ οἱ τῆς ἀληθείας ἐχθροὶ τὰ ὑπὲρ τῆς ἀληθείας καὶ ἄκοντες ἀναγκάζονται ἀναγινώσκειν γράμματα, καὶ τὴν προφητείαν "ἑρμηνεύειν, εἰ καὶ μὴ πᾶσαν. εἰπόντες γὰρ τὴν Βηθλεέμ, καὶ ὅτι ἐξ αὐτῆς ἐξελεύσεται ὁ ποιμαίνων τὸν Ἰσραήλ, λοιπὸν οὐκ ἔτι προσέθηκαν τὸ ἑξῆς, κολακεύοντες τὸν βασιλέα. τί δὲ τοῦτο ἦν; Ὅτι αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. καὶ τίνος ἕνεκεν, φησίν, εἰ ἐκεῖθεν ἔμελλε παραγίνεσθαι, ἐν Ναζαρὲτ μετὰ τὸν τόκον διῆγε, καὶ συνεσκίαζε τὴν προφητείαν; καὶ μὴν οὐ συνεσκίασεν, ἀλλὰ καὶ μᾶλλον ἐξεκάλυψε. τὸ γάρ, ἐκεῖ τῆς μητρὸς οἰκούσης διὰ παντός, ἐνταῦθα γεννηθῆναι, δείκνυσιν ἐξ οἰκονομίας τὸ πρᾶγμα γινόμενον. διά τοι τοῦτο οὐδὲ εὐθέως τεχθεὶς ἐξῆλθεν ἐκεῖθεν, ἀλλ' ἐποίησεν ἡμέρας τεσσαράκοντα, τοῖς βουλομένοις περιεργάζεσθαι διδοὺς μετ' ἀκριβείας ἐξετάζειν ἅπαντα. καὶ γὰρ πολλὰ ἦν τὰ

Μιχ. ε. β.

κινοῦντα

θεῖναι τὴν ἀγρίαν ″ἐκείνων φάλαγγα ἐνεγκεῖν. ἂν δὲ γελῶμεν, καὶ παίζωμεν, καὶ διὰ παντὸς ῥαθυμῶμεν, καὶ πρὸ τῆς συμβολῆς ὑπὸ τῆς οἰκείας καταπεσούμεθα ῥαθυμίας. οὐ τοίνυν ἡμέτερον τὸ γελᾶν διηνεκῶς καὶ θρύπτεσθαι καὶ τρυφᾶν, ἀλλὰ τῶν ἐπὶ σκηνῆς, τῶν πορνευομένων γυναικῶν, τῶν εἰς τοῦτο ἐξευρημένων ἀνδρῶν, τῶν παρασίτων, τῶν κολάκων· οὐ τῶν ἐπὶ τὸν οὐρανὸν κεκλημένων, οὐ τῶν εἰς τὴν ἄνω πόλιν ἐγγεγραμμένων, οὐ τῶν ὅπλα βασταζόντων πνευματικά, ἀλλὰ τῶν τῷ διαβόλῳ τελουμένων. ἐκεῖνος γάρ ἐστιν ἐκεῖνος ὁ καὶ τέχνην τὸ πρᾶγμα ποιήσας, ἵνα τοὺς στρατιώτας ἐλκύσῃ τοῦ Χριστοῦ, καὶ μαλακώτερα αὐτῶν ποιήσῃ τῆς προθυμίας τὰ νεῦρα. διὰ τοῦτο καὶ θέατρα ᾠκοδόμησεν ἐν ταῖς πόλεσι, καὶ τοὺς γελωτοποιοὺς ἐκείνους ἀσκήσας, διὰ τῆς ἐκείνων λύμης κατὰ τῆς πόλεως ἁπάσης τὸν τοιοῦτον ″ἐγείρει λοιμόν, ἃ φεύγειν ὁ Παῦλος ἐκέλευσε, Τὴν μωρολογίαν, καὶ τὴν εὐτραπελίαν [φημί,] ταῦτα διώκειν ἀναπείθων· καὶ τὸ δὴ χαλεπώτερον τούτων, ἡ τοῦ γέλωτός ἐστιν ὑπόθεσις. ὅταν μὲν γὰρ βλάσφημόν τι εἴπωσιν ἢ αἰσχρὸν οἱ μῖμοι τῶν γελοίων ἐκείνων, τότε πολλοὶ τῶν ἀνοητοτέρων γελῶσι καὶ τέρπονται, ὑπὲρ ὧν αὐτοὺς λιθάζειν ἐχρῆν, ὑπὲρ τούτων κροτοῦντες, καὶ τὴν κάμινον τοῦ πυρὸς διὰ τῆς ἡδονῆς ταύτης κατὰ τῆς ἑαυτῶν ἕλκοντες κεφαλῆς. οἱ γὰρ ἐπαινοῦντες τοὺς τὰ τοιαῦτα λέγοντας, οὗτοι μάλιστά εἰσιν οἱ λέγειν ἀναπείθοντες. διὸ καὶ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης, δικαιότερον ἂν εἶεν ὑπεύθυνοι. εἰ γὰρ μηδεὶς ἦν ὁ τὰ τοιαῦτα θεώμενος, οὐδ' ἂν ὁ ἀγωνιζόμενος ἦν. ὅταν δὲ ἴδωσιν″ ὑμᾶς καὶ ἐργαστήρια καὶ τέχνας καὶ τὴν ἐκ τούτων πρόσοδον, καὶ πάντα ἁπλῶς ὑπὲρ τῆς ἐκεῖ διατριβῆς ἀφέντας, μείζονα δέχονται τὴν προθυμίαν, καὶ πλείονα περὶ ταῦτα ποιοῦνται σπουδήν. καὶ ταῦτα οὐκ ἐκείνους ἀπαλλάττων ἐγκλημάτων λέγω, ἀλλ' ἵνα ὑμεῖς μάθητε, ὅτι τὴν ἀρχὴν καὶ τὴν ῥίζαν τῆς τοιαύτης παρανομίας ὑμεῖς μάλιστά ἐστε οἱ ″παρέχοντες, οἱ τὴν ἡμέραν ἅπασαν εἰς ταῦτα ″ἀναλίσκοντες, καὶ τὰ σεμνὰ τοῦ γάμου πράγματα ἐκπομπεύοντες, καὶ τὸ μυστήριον τὸ μέγα παραδειγματίζοντες. οὐδὲ γὰρ οὕτως ἐκεῖνος ὁ ταῦτα ὑποκρινόμενός ἐστιν ὁ πλημμελῶν, ὡς πρὸ ἐκείνου σύ, ὁ ταῦτα κελεύων ποιεῖν· μᾶλλον δὲ οὐ κελεύων μόνον, ἀλλὰ καὶ σπουδάζων καὶ εὐφραινόμενος, καὶ γελῶν, καὶ ἐπαινῶν τὰ ″γινόμενα, καὶ παντὶ ″τρόπῳ συγκροτῶν τὰ τοιαῦτα ἐργαστήρια τῶν δαιμόνων. ποίοις οὖν ὀφθαλμοῖς, εἰπέ μοι, λοιπὸν τὴν γυναῖκα ἐπὶ τῆς οἰκίας ὄψῃ, ἰδὼν αὐτὴν ὑβριζομένην ἐκεῖ; πῶς δὲ οὐκ ἐρυθριᾷς ἀναμιμνησκόμενος τῆς συνοίκου, ἡνίκα ἂν τὴν φύσιν αὐτὴν παραδειγματιζομένην ἴδῃς; μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ὑπόκρισίς ἐστι τὰ γινόμενα. ἡ γὰρ ὑπόκρισις αὕτη πολλοὺς εἰργάσατο μοιχούς, καὶ πολλὰς ἀνέτρεψεν οἰκίας. καὶ διὰ τοῦτο μάλιστα στένω, ὅτι ″ οὐδὲ δοκεῖ πονηρὸν εἶναι τὸ γινόμενον· ἀλλὰ καὶ κρότοι, καὶ κραυγή, καὶ γέλως πολύς, μοιχείας τελουμένης τοσαύτης. τί λέγεις; ὑπόκρισις τὰ γινόμενα; δι' αὐτὸ μὲν οὖν τοῦτο μυρίων ἂν εἶεν ἐκεῖνοι θανάτων ἄξιοι, ὅτι ἃ φεύγειν οἱ νόμοι κελεύουσιν ἅπαντες, ταῦτα μιμεῖσθαι ἐσπουδάκασιν ἐκεῖνοι. εἰ γὰρ αὐτὸ κακόν, καὶ ἡ μίμησις τούτου κακόν. καὶ οὔπω λέγω, πόσους ἐργάζονται μοιχοὺς οἱ [τὰ] τοιαῦτα τῆς μοιχείας ὑποκρινόμενοι δράματα· πῶς ἰταμοὺς καὶ ἀναισχύντους κατασκευάζουσι τοὺς τῶν τοιούτων θεωρούς. οὐδὲν γὰρ πορνικώτερον οὐδὲ ″ἰταμώτερον ὀφθαλμοῦ τοιαῦτα βλέπειν ἀνεχομένου. σὺ δὲ ἐν ἀγορᾷ μὲν οὐκ ἂν ἕλοιο γυναῖκα γυμνουμένην ἰδεῖν· μᾶλλον δὲ οὐδὲ ἐν οἰκίᾳ, ἀλλὰ καὶ ὕβριν τὸ πρᾶγμα καλεῖς· ἐπὶ δὲ τὸ θέατρον ἀναβαίνεις, ἵνα τὸ κοινὸν τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν ἐνυβρίσῃς γένος, καὶ τοὺς σαυτοῦ αἰσχύνῃς ὀφθαλμούς; μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι πόρνη ἐστὶν ἡ γυμνουμένη, ἀλλ' ὅτι ἡ αὐτὴ φύσις, καὶ τὸ σῶμα τὸ αὐτὸ καὶ τῆς πόρνης καὶ τῆς ἐλευθέρας. εἰ γὰρ οὐδὲν ἄτοπον τοῦτο, τίνος ἕνεκεν ἐπ' ἀγορᾶς ἂν ἴδῃς τοῦτο γινόμενον, καὶ αὐτὸς ἀποπηδᾷς, καὶ τὴν ἀσχημονοῦσαν ἐλαύνεις; ἢ ″ ὅταν μὲν διῃρημένοι ὦμεν, τότε ἄτοπον τὸ τοιοῦτον· ὅταν δὲ συνηγμένοι καὶ πάντες ὁμοῦ καθήμενοι, οὐκ ἔτι ὁμοί-

Ep. ε δ.

ως

ὡς αἰσχρόν; ἀλλὰ γέλως ταῦτα καὶ ὄνειδος, καὶ ἐσχάτης παραπληξίας ῥήματα· καὶ βέλτιον πηλῷ καὶ βορβόρῳ τὴν ὄψιν ἀναχρῶσαι πᾶσαν, ἢ τοιαύτην θεωρῆσαι παρανομίαν. οὔτε γὰρ οὕτως ὀφθαλμῷ βλάβην βόρβορος, ὡς ἀκόλαστος ὄψις καὶ γεγυμνωμένης γυναικὸς θεωρία. ἄκουσον γοῦν τί τὴν γύμνωσιν ἐποίησεν ἐξ ἀρχῆς, καὶ φοβήθητι τῆς ἀσχημοσύνης τῆς τοιαύτης τὴν ὑπόθεσιν. τί οὖν ἐποίησε τὴν γύμνωσιν; ἡ παρακοή, καὶ ἡ τοῦ διαβόλου συμβουλή. οὕτως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐκείνου τοῦτο γέγονε [τὸ] ἐπιτήδευμα. ἀλλ' ἐκεῖνοι μὲν καὶ ᾐσχύνοντο γυμνοὶ ὄντες· ὑμεῖς δὲ καὶ ἐγκαλλωπίζεσθε, κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο, ἐν τῇ αἰσχύνῃ τὴν δόξαν ἔχοντες. πῶς οὖν ὄψεταί σε λοιπὸν ἡ γυνὴ ἀπὸ τῆς τοιαύτης ἐπανελθόντα παρανομίας; πῶς δέξεται; πῶς προσερεῖ, οὕτως ἀτίμως τὸ κοινὸν τῆς γυναικείας παραδειγματίσαντα φύσεως, καὶ αἰχμάλωτον ὑπὸ τῆς τοιαύτης ὄψεως, καὶ δοῦλον γεγενημένον τῆς πορνευθείσης γυναικός; εἰ δὲ ἀλγεῖτε ταῦτα ἀκούοντες, χάριν ὑμῖν ἔχω πολλήν. τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; μὴ δὴ παύσησθέ ποτε στένοντες ἐπὶ τούτοις καὶ δακνόμενοι. καὶ γὰρ προοίμιον ὑμῖν ἔσται τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἡ ἐκ τῶν τοιούτων ὀδύνη. διὰ τοῦτο κἀγὼ σφοδρότερον τοὺς λόγους ἐποιησάμην, ἵνα βαθυτέραν δοὺς τὴν τομήν, ἀπαλλάξω τῆς σηπεδόνος τῶν μεθυσκόντων ὑμᾶς, ἵνα πρὸς καθαρὰν ἐπαναγάγω ψυχῆς ὑγείαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύοντας διὰ παντός, καὶ τῶν κειμένων ἐπάθλων τοῖς κατορθώμασι τούτοις ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ζ. 4 ΚΑΙ ΣΥΝΑΓΑΓΩΝ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΡΧΙερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. 5 Οἱ δὲ εἶπον αὐτῷ· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Εἶδες ἅπαντα εἰς ἔλεγχον γινόμενα Ἰουδαίων; ἕως μὲν γὰρ αὐτὸν οὐκ ἐθεώρουν, οὐδὲ ὑπὸ τῆς βασκανίας ἡλίσκοντο, μετ' ἀληθείας τὰς μαρτυρίας διηγόρευον. ἐπειδὴ δὲ εἶδον τὴν ἀπὸ τῶν θαυμάτων ἐπιγινομένην δόξαν, ὑπὸ τοῦ φθόνου κατασχεθέντες λοιπὸν προὔδωκαν τὴν ἀλήθειαν. ἀλλ' ἡ ἀλήθεια διὰ πάντων ᾔρετο, καὶ ὑπὸ τῶν ἐχθρῶν μειζόνως συνεκροτεῖτο. ὅρα γοῦν καὶ ἐνταῦθα πῶς θαυμαστὰ καὶ παράδοξα οἰκονομεῖται πράγματα. ὁμοῦ τε γὰρ καὶ μανθάνουσί τι πλέον παρ' ἀλλήλων, καὶ διδάσκουσιν ἀλλήλους, οἵ τε βάρβαροι καὶ οἱ Ἰουδαῖοι. οἱ μὲν γὰρ Ἰουδαῖοι παρὰ τῶν μάγων ἤκουον, ὅτι καὶ ἀστὴρ αὐτὸν ἐπὶ τῆς Περσῶν ἐκήρυξε χώρας· οἱ δὲ μάγοι παρὰ τῶν Ἰουδαίων ἐμάνθανον, ὅτι τοῦτον, ὃν ὁ ἀστὴρ ἀνεκήρυξε, καὶ προφῆται πρὸ πολλῶν ἄνωθεν διηγόρευον χρόνων· καὶ τῆς ἐρωτήσεως ἡ ὑπόθεσις, διδασκαλίας σαφεστέρας τε καὶ ἀκριβεστέρας ἑκατέροις ἀπόδειξις γέγονε· καὶ οἱ τῆς ἀληθείας ἐχθροὶ τὰ ὑπὲρ τῆς ἀληθείας καὶ ἄκοντες ἀναγκάζονται ἀναγινώσκειν γράμματα, καὶ τὴν προφητείαν ἑρμηνεύειν, εἰ καὶ μὴ πᾶσαν. εἰπόντες γὰρ τὴν Βηθλεέμ, καὶ ὅτι ἐξ αὐτῆς ἐξελεύσεται ὁ ποιμαίνων τὸν Ἰσραήλ, λοιπὸν οὐκ ἔτι προσέθηκαν τὸ ἑξῆς, κολακεύοντες τὸν βασιλέα. τί δὲ τοῦτο ἦν; Ὅτι αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. καὶ τίνος ἕνεκεν, φησίν, εἰ ἐκεῖθεν ἔμελλε παραγενέσθαι, ἐν Ναζαρὲτ μετὰ τὸν τόκον διῆγε, καὶ συνεσκίαζε τὴν προφητείαν; καὶ μὴν οὐ συνεσκίασεν, ἀλλὰ καὶ μᾶλλον ἐξεκάλυψε. τὸ γάρ, ἐκεῖ τῆς μητρὸς οἰκούσης διαπαντός, ἐνταῦθα γεννηθῆναι, δείκνυσιν ἐξ οἰκονομίας τὸ πρᾶγμα γινόμενον. διά τοι τοῦτο οὐδὲ εὐθέως τεχθεὶς ἐξῆλθεν ἐκεῖθεν, ἀλλ' ἐποίησεν ἡμέρας τεσσαράκοντα, τοῖς βουλομένοις περιεργάζεσθαι διδοὺς μετὰ ἀκριβείας ἐξετάζειν ἅπαντα. καὶ γὰρ πολλὰ ἦν τὰ Μιχ. ε. β.

κινοῦντα πρὸς τὴν τοιαύτην ζήτησιν, εἴγε προσέχειν ἐβούλοντο. καὶ γὰρ ἐλθόντων τῶν μάγων, ἀνεπτερώθη πᾶσα ἡ πόλις, καὶ μετὰ τῆς πόλεως ὁ βασιλεύς· καὶ ὁ προφήτης εἰς μέσον παρήγετο, καὶ δικαστήριον μέγιστον συνεκροτεῖτο· καὶ ἕτερα δὲ πλείονα γέγονεν αὐτόθι, ἅπερ ὁ Λουκᾶς μετὰ ἀκριβείας διηγεῖται ἅπαντα· οἷον, τὰ κατὰ τὴν Ἄνναν καὶ τὸν Συμεὼν καὶ τὸν Ζαχαρίαν, καὶ τοὺς ἀγγέλους, καὶ τοὺς ποιμένας, ἅπερ ἅπαντα τοῖς προσέχουσιν ἱκανὰ ἦν παρέχειν ἀφορμὰς τὸ γεγενημένον εὑρεῖν. εἰ γὰρ ἀπὸ Περσίδος ἐλθόντες οἱ μάγοι οὐκ ἠγνόησαν τὸν τόπον, πολλῷ μᾶλλον οἱ ἐκεῖ διατρίβοντες ταῦτα μαθεῖν ἠδύναντο. ἔδειξε μὲν οὖν ἑαυτὸν ἐξ ἀρχῆς διὰ πολλῶν θαυμάτων. ἐπειδὴ δὲ οὐκ ἠθέλησαν ἰδεῖν, κρύψας τὸν μεταξὺ χρόνον ἑαυτὸν πάλιν ἐξ ἑτέρας ἀπεκάλυψε λαμπροτέρας ἀρχῆς. οὐδὲ γὰρ οἱ μάγοι λοιπὸν, οὐδὲ ὁ ἀστὴρ, ἀλλ' ὁ πατὴρ ἄνωθεν ἀνεκήρυττεν ἐπὶ τῶν Ἰορδανείων ῥείθρων, καὶ τὸ πνεῦμα ἐπεφοίτα, τὴν φωνὴν ἐκείνην ἕλκον ἐπὶ τὴν κεφαλὴν τοῦ βαπτιζομένου· καὶ Ἰωάννης μετὰ παῤῥησίας ἁπάσης πανταχοῦ τῆς Ἰουδαίας ἐβόα, τὴν οἰκουμένην, τὴν ἀοίκητον τῆς τοιαύτης διδασκαλίας πληρῶν. καὶ ἡ τῶν θαυμάτων δὲ μαρτυρία· καὶ γῆ, καὶ θάλαττα, καὶ ἡ κτίσις ἅπασα λαμπρὰν ἠφίει ὑπὲρ αὐτοῦ φωνήν. παρὰ δὲ τὸν καιρὸν τῶν ὠδίνων τοσαῦτα ἐγίνετο, ὅσα ἦν εἰκὸς ἠρέμα δεῖξαι τὸν παραγεγονότα. ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι οὐκ ἴσμεν πότε ἐτέχθη, οὐδὲ ἐν ποίῳ χωρίῳ, τά τε κατὰ τοὺς μάγους πάντα ᾠκονομήθη, καὶ τὰ ἄλλα, ἅπερ εἰρήκαμεν, ὥστε οὐδεμίαν αἰτίαν ἂν ἔχοιεν εἰπεῖν, μὴ ζητήσαντες τὸ γεγενημένον. σκόπει δὲ καὶ τῆς προφητείας τὴν ἀκρίβειαν. οὐ γὰρ εἶπεν, ὅτι ἐν Βηθλεὲμ μενεῖ, ἀλλ' ἐξελεύσεται. ὥστε καὶ τοῦτο προφητείας ἦν, τὸ γεννηθῆναι ἐκεῖ μόνον. τινὲς δὲ αὐτῶν ἀναισχυντοῦντές φασι περὶ τοῦ Ζοροβάβελ ταῦτα εἰρῆσθαι. καὶ πῶς ἂν ἔχοιεν λόγον; οὐ γὰρ δὴ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. πῶς δὲ τὸ ἐν ἀρχῇ λεχθὲν, ὅτι ἐκ σοῦ ἐξελεύσεται, ἁρμόσειεν ἂν ἐκείνῳ; οὐ γὰρ ἐν τῇ Ἰουδαίᾳ, ἀλλ' ἐν τῇ Βαβυλῶνι ἐτέχθη, ὅθεν καὶ Ζοροβάβελ ἐκλήθη, διὰ τὸ ἐκεῖ σπαρῆναι· καὶ ὅσοι τὴν Σύρων ἴσασι γλῶτταν, ἴσασι τὸ λεγόμενον. μετὰ δὲ τῶν εἰρημένων καὶ ὁ μετὰ ταῦτα χρόνος ἅπας ἱκανὸς συστῆσαι τὴν μαρτυρίαν. τί γάρ φησιν;

6 Οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα.

Καὶ τὴν αἰτίαν προστίθησι τῆς περιφανείας, λέγων, Ὅτι ἐκ σοῦ ἐξελεύσεται.

Οὐδεὶς δὲ ἕτερος ″λαμπρὸν καὶ περιφανὲς ἐκεῖνο τὸ χωρίον ἐποίησεν, ἀλλ' ἢ μόνος αὐτός. μετὰ γοῦν τὸν τόκον ἐκεῖνον, ἀπὸ τῶν περάτων τῆς οἰκουμένης ἔρχονται ὀψόμενοι τὴν φάτνην καὶ τῆς καλύβης τὸν τόπον· ὅπερ ἄνωθεν ὁ προφήτης προανεφώνησε λέγων· οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· τουτέστιν, ἐν τοῖς φυλάρχοις. τοῦτο δὲ εἰπὼν, καὶ τὴν Ἱερουσαλὴμ περιέλαβεν. ἀλλ' οὐδὲ οὕτω προσεῖχον, καίτοι τῆς ὠφελείας εἰς αὐτοὺς διαβαινούσης. καὶ γὰρ διὰ τοῦτο οὐδαμοῦ περὶ τῆς ἀξίας αὐτοῦ διαλέγονται οἱ προφῆται ἐν ἀρχῇ τοσοῦτον, ὅσον περὶ τῆς εὐεργεσίας τῆς παρ' αὐτοῦ γινομένης εἰς αὐτούς. καὶ γὰρ ἡνίκα ἔτικτεν ἡ παρθένος, καλέσεις, φησὶ, τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· καὶ ἐπάγει λέγων, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. καὶ οἱ μάγοι δὲ οὐκ ἔλεγον, ποῦ ἐστιν ὁ ὑὸς τοῦ Θεοῦ, ἀλλ' ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐνταῦθα πάλιν οὐκ εἶπεν, ὅτι ἐκ σοῦ ἐξελεύσεται ὁ ὑὸς τοῦ Θεοῦ,

Ἀλλ' ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.

Ἔδει γὰρ καὶ συγκαταβατικώτερον διαλέγεσθαι ἐν προοιμίοις, ἵνα μὴ σκανδαλίζωνται, καὶ τὰ περὶ τῆς σωτηρίας αὐτῶν κηρύττειν, ἵνα τούτῳ μᾶλλον ἐνάγωνται. ὅσαι γοῦν πρῶται προφέρονται μαρτυρίαι, καὶ ὧν εὐθέως παρὰ τὴν γέννησιν καιρὸς ἦν, οὐδὲν μέγα οὐδὲ ὑψηλὸν περὶ αὐτοῦ λέγουσιν, οὐδὲ οἷαι μετὰ τὴν τῶν σημείων ἐπίδειξιν. ″ἐκεῖναι γὰρ τρανώτερον περὶ τῆς αὐτοῦ ἀξίας διαλέγονται. ὅτε γοῦν μετὰ πολλὰ θαύματα, παιδία εἰς αὐτὸν ὕμνους ᾖδον, ἄκουσον τί φησιν ὁ προφήτης· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Ψα. μ.η. β.γ. καὶ πάλιν, ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου· ὅπερ δημιουργὸν αὐτὸν δείκνυσι τοῦ παντὸς ὄντα. καὶ ἡ μετὰ τὴν ἀνάληψιν δὲ παραχθεῖσα μαρτυρία τὸ πρὸς τὸν πατέρα ὁμότιμον δηλοῖ. Εἶπε γάρ, φησιν, ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Ψαλμ. ρθ. α. καὶ ὁ Ἡσαΐας δέ φησιν· Ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Ησ. ια. ι. πῶς δέ φησι τὴν Βηθλεὲμ ἐν τοῖς ἡγεμόσιν Ἰούδα οὐκ εἶναι ἐλαχίστην; οὐδὲ γὰρ ἐν Παλαιστίνῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ οἰκουμένῃ πάσῃ περίβλεπτος γέγονεν ἡ κώμη. ἀλλὰ τέως πρὸς Ἰουδαίους ὁ λόγος. διὸ καὶ ἐπήγαγε, ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ, καίτοιγε τὴν οἰκουμένην ἐποίμανεν. ἀλλ' * ὅπερ ἔφην, οὐ βούλεται σκανδαλίσαι τέως, τὸ περὶ τῶν ἐθνῶν " ἐγκαλύπτων λέγειν. καὶ πῶς οὐκ ἐποίμανε, φησί, τὸν λαὸν τὸν Ἰουδαϊκόν; μάλιστα μὲν καὶ αὐτὸ γέγονε." τὸν γὰρ Ἰσραὴλ ἐνταῦθα εἰπών, τοὺς αὐτῷ πεπιστευκότας ἐξ Ἰουδαίων ᾐνίξατο. καὶ τοῦτο ἑρμηνεύων ὁ Παῦλος ἔλεγεν· Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, Ρω. θ. ζ. ἀλλ' ὅσοι διὰ πίστεως καὶ ἐπαγγελίας ἐγεννήθησαν. Εἰ δὲ μὴ πάντας ἐποίμανε, τοῦτο αὐτῶν ἔγκλημα καὶ κατηγορία. δέον γὰρ αὐτοὺς προσκυνῆσαι μετὰ τῶν μάγων καὶ δοξάσαι τὸν Θεόν, ὅτι ἐπέστη καιρὸς τοιοῦτος πάντα " λύων αὐτῶν τὰ ἁμαρτήματα (καὶ γὰρ οὐδὲν περὶ δικαστηρίων " ἤκουσαν, οὐδὲ εὐθυνῶν, ἀλλὰ περὶ ἡμέρου καὶ πράου ποιμένος) τὸ ἐναντίον ποιοῦσι, καὶ ταράττονται, καὶ θορυβοῦσι, καὶ μυρίας μετὰ ταῦτα κατασκευάζουσιν ἐπιβουλάς.

7 Τότε Ἡρώδης καλέσας λάθρα τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος·

Ἐπιχειρῶν ἀνελεῖν τὸ τεχθέν, ὅπερ ἐσχάτης ἀνοίας ἦν, οὐχὶ μανίας μόνον. καὶ γὰρ τὰ εἰρημένα καὶ τὰ γεγενημένα ἱκανὰ ἦν ἀποστῆσαι αὐτὸν πάσης [τῆς] τοιαύτης ἐπιχειρήσεως. οὐδὲ γὰρ κατὰ ἄνθρωπον ἦν τὰ συμβάντα. τὸ γὰρ ἀστέρα καλέσαι τοὺς μάγους ἄνωθεν, καὶ τὸ βαρβάρους ἄνδρας τοσαύτην ἀποδημίαν στείλασθαι, ὥστε προσκυνῆσαι τὸν ἐν σπαργάνοις καὶ φάτνῃ κείμενον, καὶ τὸ προφήτας δὲ ἄνωθεν ταῦτα πάντα προαναφωνεῖν, καὶ τὰ ἄλλα πάντα, μείζονα ἢ κατὰ ἄνθρωπον ἦν. ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων κατεῖχε. τοιοῦτον γὰρ ἡ πονηρία· ἑαυτῇ περιπίπτει, καὶ ἀνηνύτοις ἀεὶ πράγμασιν ἐπιχειρεῖ. σκόπει δὲ τὴν ἄνοιαν. εἰ μὲν ἐπίστευε τῇ προφητείᾳ, καὶ ἀκίνητον αὐτὴν εἶναι ἐνόμιζεν, εὔδηλον ὅτι " ἀνηνύτοις ἐπιχειρεῖ πράγμασιν· Εἰ δὲ ἠπίστει πάλιν, καὶ οὐ προσεδόκα ἐκβήσεσθαι τὰ λεγόμενα, δεδοικέναι καὶ φοβεῖσθαι οὐκ ἐχρῆν, οὐδὲ διὰ τοῦτο ἐπιβουλεύειν. ὥστε ἑκατέρωθεν περιττὸς ὁ " δόλος ἦν. καὶ τοῦτο δὲ ἀνοίας ἐσχάτης, τὸ νομίσαι τοὺς μάγους " αὐτὸν προτιμήσειν τοῦ τεχθέντος, δι' ὃν τοσαύτην ἦλθον ἀποδημίαν. Εἰ γὰρ πρὶν ἰδεῖν οὕτως ἦσαν ἐκκεκαυμένοι τῷ πόθῳ, μετὰ τὸ θεάσασθαι καὶ πιστωθῆναι παρὰ τῆς προφητείας, πῶς ἤλπιζεν αὐτοὺς πεῖσαι προδοῦναι τὸ παιδίον αὐτῷ; ἀλλ' ὅμως καὶ τοσούτων ὄντων τῶν ἀπαγόντων αὐτόν, ἐπεχείρει· καὶ καλέσας λάθρα τοὺς μάγους, ἐπυνθάνετο παρ' αὐτῶν. καὶ γὰρ ἐνόμιζεν Ἰουδαίους κήδεσθαι τοῦ παιδίου· καὶ οὐκ ἂν προσεδόκησεν εἰς τοῦτο μανίας ἐξολισθαίνειν αὐτούς, ὡς [" διὰ τοῦτο] τὸν προστάτην καὶ σωτῆρα καὶ ἐπ' ἐλευθερίᾳ τοῦ ἔθνους παραγενόμενον βούλεσθαι ἐκδιδόναι τοῖς ἐχθροῖς. διὰ τοῦτο καὶ λάθρα καλεῖ, καὶ ζητεῖ τὸν χρόνον, οὐ τοῦ παιδίου, ἀλλὰ τοῦ ἀστέρος, ἐκ πολλῆς τῆς περιουσίας τιθεὶς τὸ θήραμα. καὶ γὰρ πρὸ πολλοῦ χρόνου δοκεῖ μοι ὁ ἀστὴρ φανῆναι. ἐπειδὴ γὰρ πολὺν κατὰ τὴν ὁδοιπορίαν ἔμελλον ἀναλίσκειν χρόνον οἱ μάγοι, ἵνα εὐθέως ἐπιστῶσι τῷ τεχθέντι (ἔδει γὰρ ἐν αὐτοῖς προσκυνηθῆναι τοῖς σπαργάνοις αὐτόν, ὥστε τὸ θαυμαστὸν καὶ παράδοξον φανῆναι τοῦ πράγματος) πρὸ πολλοῦ τοῦ χρόνου δείκνυσιν ἑαυτὸν ὁ ἀστήρ. Εἰ γὰρ ἡνίκα ἐτέχθη ἐν Παλαιστίνῃ, τότε αὐτοῖς ὤφθη ἐν τῇ ἀνατολῇ, πολὺν κατὰ τὴν ὁδοιπορίαν διατρίβοντες χρόνον, οὐκ ἂν ἐν σπαργάνοις εἶδον αὐτὸν παραγενόμενοι. Εἰ δὲ ἀπὸ διετοῦς ἀναιρεῖ καὶ κατωτέρω, μὴ θαυμάσωμεν. ὁ γὰρ θυμὸς καὶ τὸ δέος ὑπὲρ πλείονος ἀσφαλείας καὶ πλείονα προστίθησι χρόνον, ὥστε μηδένα διαφυγεῖν. καλέσας οὖν αὐτούς, φησί·

8 Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.

Εἶδες τὴν ἄνοιαν; Εἰ μὲν γὰρ ἐξ ἀληθείας ταῦτα λέγεις, τίνος ἕνεκεν * λάθρα ἐρωτᾷς; Εἰ δὲ ἐπιβουλεῦσαι βουλόμενος, πῶς οὐ συνεῖδες ὅτι ἐκ τοῦ λάθρα ἐρωτᾷν δυνήσονται συνιδεῖν οἱ μάγοι τὸν δόλον; ἀλλ', ὅπερ ἔφην, ψυχὴ ὑπὸ πονηρίας ἁλοῦσα, πάντων ἀνοητοτέρα γίνεται. καὶ οὐκ εἶπεν, ἀπελθόντες μάθετε περὶ τοῦ βασιλέως, ἀλλὰ περὶ τοῦ παιδίου. οὐδὲ γὰρ τὸ ὄνομα τῆς ἀρχῆς καλέσαι ἠνέσχετο. ἀλλ' οἱ μάγοι τούτων οὐδὲν συνιδόντες, ὑπὸ πολλῆς εὐλαβείας (οὐ γὰρ ἂν προσεδόκησαν, ὅτι εἰς τοσοῦτον πονηρίας ἐξῆλθεν ἂν ἐκεῖνος, καὶ οὕτω θαυμαστῇ οἰκονομίᾳ ἐπιβουλεῦσαι ἐπιχειρήσειεν) ἀπέρχονται τούτων οὐδὲν ὑφορώμενοι, ἀλλ' ἐκ τῆς καθ' ἑαυτοὺς καὶ τὰ τῶν ἄλλων στοχαζόμενοι ἅπαντα.

9 Καὶ ἰδού, ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς.

Διὰ γὰρ τοῦτο καὶ ἐκρύβη, ἵνα ἀπολέσαντες τὸν χειραγωγοῦντα, εἰς ἀνάγκην ἐμπέσωσιν ἐρωτῆσαι τοὺς Ἰουδαίους, καὶ πᾶσι κατάδηλον τὸ πρᾶγμα γένηται). ἐπειδὴ γὰρ ἠρώτησαν, καὶ διδασκάλους ἔσχον τοὺς Ἰουδαίους, φαίνεται πάλιν αὐτοῖς. καὶ σκόπει ἀκολουθίαν ἀρίστην γινομένην. ἀπὸ μὲν γὰρ τοῦ ἀστέρος δέχεται αὐτοὺς ὁ τῶν Ἰουδαίων δῆμος καὶ ὁ βασιλεύς, καὶ τὸν προφήτην εἰσάγουσι διδάσκοντα τὸ φαινόμενον. ἀπὸ δὲ τοῦ προφήτου πάλιν ἄγγελος αὐτοὺς παραλαβὼν πάντα ἐδίδαξε. τέως δὲ ἀπὸ Ἱεροσολύμων εἰς Βηθλεὲμ διὰ τοῦ ἀστέρος βαδίζουσιν. ὁ γὰρ ἀστὴρ πάλιν κἀκεῖθεν συνώδευεν· ἵνα μάθῃς κἀντεῦθεν ὅτι οὐ τῶν πολλῶν εἷς ἦν οὗτος. οὐδὲ γὰρ ἔχει ταύτην τὴν φύσιν ἀστὴρ οὐδὲ εἷς. καὶ οὐχ ἁπλῶς ἐβάδιζεν, ἀλλὰ προῆγεν αὐτοὺς ἕλκων καὶ χειραγωγῶν ἐν ἡμέρᾳ μέσῃ. καὶ τί τοῦ ἀστέρος τούτου ἔδει, φησί, λοιπόν, τοῦ χωρίου γνωρισθέντος; ἵνα καὶ τὸ παιδίον ὀφθῇ. οὐδὲ γὰρ ἦν τι τὸ δηλοῦν αὐτό· ἐπειδὴ μηδὲ ἡ οἰκία περιφανὴς ἦν, μήτε ἡ μήτηρ λαμπρὰ καὶ ἐπίσημος. ἔδει τοίνυν τοῦ ἀστέρος τοῦ ἐπιστήσαντος αὐτοὺς τῷ τόπῳ. διὸ καὶ ἀπὸ Ἱεροσολύμων ἐξελθοῦσι φαίνεται, καὶ οὐ πρότερον ἵσταται, ἕως τὴν φάτνην κατέλαβε, καὶ θαῦμα συνῆπτε τῷ θαύματι. καὶ γὰρ ἀμφότερα παράδοξα ἦν, καὶ τὸ τοὺς μάγους προσκυνεῖν, καὶ τὸ τὸν ἀστέρα προσάγειν, καὶ ἱκανὰ καὶ τοὺς σφόδρα λιθίνους ἐπισπάσασθαι. εἰ μὲν γὰρ εἶπον οἱ μάγοι, ὅτι προφητῶν ἤκουσαν ταῦτα λεγόντων, ἢ ὅτι ἄγγελοι κατ' ἰδίαν αὐτοῖς διελέχθησαν, κἂν ἠπιστήθησαν· νῦν δὲ τῆς ὄψεως τοῦ ἀστέρος ἄνωθεν φαινομένης, καὶ οἱ σφόδρα ἀναισχυντοῦντες ἐπεστομίζοντο. εἶτα ἐπειδὴ ἐπέστη τῷ παιδίῳ, ἔστη πάλιν ὁ ἀστήρ· ὅπερ καὶ αὐτὸ μείζονος δυνάμεως, ἢ κατὰ ἀστέρα ἦν, τὸ νῦν μὲν κρύπτεσθαι, νῦν δὲ φαίνεσθαι, καὶ φανέντα ἵστασθαι. ἐντεῦθεν κἀκεῖνοι προσθήκην πίστεως ἐλάμβανον. διὰ τοῦτο καὶ ἐχάρησαν, ὅτι ὃ ζητούμενον εὗρον, ὅτι ἄγγελοι ἀληθείας γεγόνασιν, ὅτι οὐκ εἰκῆ τοσαύτην ἦλθον ὁδόν. οὕτω πολύν τινα πόθον περὶ τὸν Χριστὸν εἶχον. καὶ γὰρ ἐλθών, κατ' αὐτῆς ἔστη τῆς κεφαλῆς, δεικνὺς ὅτι θεῖόν ἐστι τὸ γέννημα· καὶ στάς, ἐπὶ τὴν προσκύνησιν ἄγει, οὐχ ἁπλῶς βαρβάρους, ἀλλὰ τοὺς σοφωτέρους παρ' ἐκείνοις. ὁρᾷς ὅτι εἰκότως ἀστὴρ ἐφάνη; καὶ γὰρ καὶ μετὰ τὴν προφητείαν, καὶ μετὰ τὴν τῶν ἀρχιερέων καὶ γραμματέων ἐξήγησιν, ἔτι τούτῳ προσεῖχον.

ΗΘΙΚΟΝ

Αἰσχυνέσθω Μαρκίων, αἰσχυνέσθω Παῦλος ὁ Σαμοσατεύς, μὴ βουληθέντες ἰδεῖν ἅπερ οἱ μάγοι εἶδον, οἱ τῆς ἐκκλησίας πρόγονοι (οὐδὲ γὰρ αἰσχύνομαι οὕτως αὐτοὺς καλῶν) αἰσχυνέσθω Μαρκίων, ὁρῶν Θεὸν ἐν σαρκὶ προσκυνούμενον· αἰσχυνέσθω ὁ Παῦλος, ὁρῶν οὐχ ὡς ἄνθρωπον προσκυνούμενον ἁπλῶς. ἀλλ' ὅτι μὲν ἐν σαρκί, τὰ σπάργανα δείκνυσι καὶ ἡ φάτνη· ὅτι δὲ οὐχ ὡς ψιλὸν ἄνθρωπον προσεκύνουν, δηλοῦσιν ἐν ἀώρῳ τῆς ἡλικίας

τοιαῦτα

γ. τοῦτο

γ. αὐτοῦ

γ. μείζονι

τοιαῦτα δῶρα προσάγοντες, ἃ Θεῷ προσάγειν εἰκὸς ἦν. αἰσχυνέσθωσαν μετ' αὐτῶν καὶ Ἰουδαῖοι, βαρβάρους καὶ μάγους ὁρῶντες αὐτοὺς φθάνοντας, καὶ οὐδὲ μετ' ἐκείνους ἐλθεῖν ἀνεχόμενοι. καὶ γὰρ τύπος ἦν τῶν μελλόντων τὰ τότε γινόμενα, καὶ ἐξ αὐτῶν τῶν προοιμίων ἐδηλοῦτο, ὅτι φθάσει τὸν δῆμον τὸν ″ἐκεῖνον τὰ ἔθνη. καὶ πῶς, φησιν, οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μετὰ ταῦτα ἔλεγε, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη; ὅτι τοῦ μέλλοντος (ὅπερ ἔφην) γίνεσθαι τύπος ἦν τὸ συμβαῖνον καὶ προαναφώνησίς τις. τὸ μὲν γὰρ ἀκόλουθον ἦν, Ἰουδαίους προσελθεῖν πρώτους· ἐπειδὴ δὲ ἑκόντες προὔδωκαν τὴν οἰκείαν εὐεργεσίαν, ἀντιστρόφως τὰ πράγματα γέγονεν. ἐπεὶ οὐδὲ ἐνταῦθα πρὸ τῶν Ἰουδαίων ἔδει τοὺς μάγους ἐλθεῖν, οὐδὲ τοὺς ἐκ τοσούτου διαστήματος προλαβεῖν τοὺς πρὸς αὐτὴν τὴν πόλιν καθημένους, οὐδὲ τοὺς οὐδὲν ἀκηκοότας φθάσαι τοὺς προφητείαις συντραφέντας τοσαύταις. ἐπειδὴ δὲ μεθ' ὑπερβολῆς τὰ οἰκεῖα ἠγνόησαν καλὰ, οἱ ἀπὸ Περσίδος τοὺς ἐν Ἱεροσολύμοις προλαμβάνουσιν. ὅπερ οὖν καὶ ὁ * Παῦλός φησιν· Ὑμῖν [ἦν] ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. εἰ γὰρ καὶ μὴ πρὸ τούτου ἐπείθοντο, παρὰ γοῦν τῶν μάγων ἀκούσαντας ἔδει δραμεῖν. ἀλλ' οὐκ ἠθέλησαν. διὰ τοῦτο καθευδόντων ἐκείνων οὗτοι προτρέχουσιν. ἀκολουθήσωμεν τοίνυν καὶ ἡμεῖς τοῖς μάγοις, καὶ τῆς βαρβάρου συνηθείας ἀπαλλαγῶμεν, καὶ πολὺ τὸ διάστημα ποιήσωμεν, ἵνα ἴδωμεν τὸν Χριστόν. ἐπεὶ κἀκεῖνοι, εἰ μὴ μακρὰν τῆς αὐτῶν ἐγένοντο χώρας, οὐκ ἂν αὐτὸν εἶδον. ἀποστῶμεν τῶν γηΐνων πραγμάτων. καὶ γὰρ οἱ μάγοι, ἕως μὲν ἦσαν ἐν τῇ Περσίδι, τὸν ἀστέρα ἑώρων· ἐπειδὴ δὲ ἀπέστησαν τῆς Περσίδος, τὸν ἥλιον τῆς δικαιοσύνης ἐθεάσαντο· μᾶλλον δὲ οὐδὲ τὸν ἀστέρα εἶδον ἂν, εἰ μὴ προθύμως ἐκεῖθεν ἀνέστησαν. ἀναστῶμεν οὖν καὶ ἡμεῖς· κἂν πάντες ταράττωνται, ἡμεῖς ἐπὶ τὴν οἰκίαν τοῦ παιδίου τρέχωμεν. κἂν βασιλεῖς, κἂν δῆμοι, κἂν τύραννοι τὴν ὁδὸν ταύτην ἐκκόπτωσι, μὴ καταλύωμεν τὸν πόθον. οὕτω γὰρ πάντα τὰ ἐπικείμενα διακρουσόμεθα δεινά. ἐπεὶ καὶ οὗτοι, εἰ μὴ τὸ παιδίον εἶδον, οὐκ ἂν τὸν κίνδυνον ἐξέφυγον τὸν παρὰ τοῦ βασιλέως. πρὶν ἢ τὸ παιδίον ἰδεῖν, φόβοι καὶ κίνδυνοι καὶ ταραχαὶ πάντοθεν ἐπέκειντο· μετὰ δὲ τὴν προσκύνησιν, γαλήνη καὶ ἀσφάλεια, καὶ οὐκ ἔτι ἀστὴρ, ἀλλ' ἄγγελος αὐτοὺς δέχεται, ἱερέας ἀπὸ τῆς προσκυνήσεως γενομένους. καὶ γὰρ καὶ δῶρα προσέφερον. ἀφεὶς τοίνυν καὶ σὺ τὸν Ἰουδαϊκὸν λαὸν, τὴν ταραττομένην πόλιν, τὸν φονῶντα τύραννον, τὴν βιωτικὴν φαντασίαν, σπεῦσον ἐπὶ τὴν Βηθλεὲμ, ὅπου ὁ οἶκος τοῦ ἄρτου τοῦ πνευματικοῦ. κἂν γὰρ ποιμὴν ᾖς, καὶ ἐνταῦθα ἔλθῃς, ὄψει τὸ παιδίον ἐν καταλύματι· κἂν βασιλεὺς ᾖς, καὶ μὴ παραγένῃ, οὐδέν σοι τῆς πορφυρίδος ὄφελος· κἂν μάγος ᾖς, οὐδέν σε ″κωλύσει τοῦτο, μόνον ἂν ἐπὶ τῷ τιμῆσαι ἔλθῃς καὶ προσκυνῆσαι, καὶ μὴ καταπατῆσαι τὸν υἱὸν τοῦ Θεοῦ, ἂν μετὰ τρόμου καὶ χαρᾶς τοῦτο ποιῇς. ἔστι γὰρ ταῦτα ὁμοῦ συνελθεῖν ἀμφότερα. ἀλλ' ὅρα μὴ κατὰ τὸν Ἡρώδην γένῃ, καὶ εἴπῃς· ὅπως ἐλθὼν προσκυνήσω αὐτῷ, καὶ ἐλθὼν ἀνελεῖν βουληθῇς. τούτῳ γὰρ ἐοίκασιν οἱ τῶν μυστηρίων ἀναξίως μετέχοντες. Ἔνοχος γὰρ ὁ τοιοῦτος ἔσται, φησὶ, τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ ″Κυρίου. καὶ γὰρ ἔχουσιν ἐν ἑαυτοῖς τὸν τύραννον ἀλγοῦντα τῇ βασιλείᾳ τοῦ Χριστοῦ, τὸν ἐκείνου τοῦ Ἡρώδου παρανομώτερον, μαμωνᾶν. οὗτος γὰρ βούλεται κρατεῖν, καὶ πέμπει τοὺς οἰκείους τοὺς ἑαυτοῦ προσκυνήσοντας μὲν σχήματι, σφάττοντας δὲ ἐν τῷ προσκυνεῖν. φοβηθῶμεν τοίνυν μή ποτε σχῆμα μὲν ″ἱκετῶν καὶ προσκυνητῶν ἔχωμεν, ἐν δὲ τῷ ἔργῳ τὰ ἐναντία ″ἐπιδειξώμεθα· καὶ πάντα ἀπὸ τῶν χειρῶν ῥίψωμεν, προσκυνεῖν μέλλοντες. κἂν χρυσὸν ἔχωμεν, αὐτῷ προσενέγκωμεν, καὶ μὴ κατορύξωμεν. εἰ γὰρ οἱ βάρβαροι τότε ἐκεῖνοι εἰς τιμὴν προσήνεγκαν, τίς ἔσῃ μηδὲ τῷ χρείαν ἔχοντι διδούς; εἰ ἐκεῖνοι τοσαύτην ἦλθον ὁδὸν, ἵνα τεχθέντα ἴδωσι, ποίαν ἕξεις ἀπολογίαν σὺ, μήτε στενωπὸν ἕνα ἀπιὼν, ἵνα ″ἀρρωστοῦντας ἐπισκέψῃ καὶ ″δεδεμένους; καίτοιγε κάμνοντας καὶ δεδεμένους, καὶ τοὺς ἐχθροὺς ἐλεοῦμεν· σὺ δὲ οὐ-

Πραξ. ιγ΄ μϛ΄.

α. Κορ. ια. κζ.

δὲ τὸν εὐεργέτην τὸν σὸν καὶ δεσπότην; κἀκεῖνοι μὲν χρυσίον προσήνεγκαν, σὺ δὲ ἄρτον μόλις δίδως; ἐκεῖνοι εἶδον τὸν ἀστέρα, καὶ ἐχάρησαν· σὺ δὲ αὐτὸν ὁρῶν τὸν Χριστὸν ξένον ὄντα καὶ γυμνὸν, οὐκ ἐπικάμπτῃ; τίς γὰρ ὑμῶν διὰ τὸν Χριστὸν τοσαύτην ἀποδημίαν ἀπεδήμησε τῶν μυρία εὐεργετηθέντων, ὅσην ἐκεῖνοι οἱ βάρβαροι, μᾶλλον δὲ οἱ φιλοσόφων "φιλοσοφώτεροι; καὶ τί λέγω τοσαύτην ὁδόν; πολλαὶ γὰρ τῶν γυναικῶν οὕτως ἡμῖν μαλακίζονται, ὡς μηδὲ ἄμφοδον ἓν ὑπερβῆναι καὶ ἰδεῖν αὐτὸν ἐπὶ * τῆς πνευματικῆς [τραπέζης], εἰ μὴ ἡμιόνων ἐπιλάβοιντο. ἕτεροι δὲ ἐπειδὴ βαδίζειν ἔχουσιν, οἱ μὲν βιωτικῶν πραγμάτων ὄχλον, οἱ δὲ θέατρα τῆς ἐνταῦθα ἀφίξεως προτιθέασι. καὶ οἱ μὲν βάρβαροι πρὶν ἰδεῖν αὐτὸν, τοσαύτην ἤνυσαν ὁδὸν δι᾽ αὐτόν· σὺ δὲ οὐδὲ μετὰ τὸ ἰδεῖν, ἐκείνους ζηλοῖς· ἀλλ᾽ ἀφεὶς αὐτὸν μετὰ τὸ ἰδεῖν, τρέχεις ἵνα τὸν μῖμον ἴδῃς (τῆς γὰρ αὐτῆς ἅπτομαι πάλιν ὧν καὶ πρῴην) καὶ κείμενον τὸν Χριστὸν ὁρῶν ἐπὶ τῆς φάτνης καταλιμπάνεις, ἵνα γυναῖκας ἐπὶ σκηνῆς ἴδῃς. πόσων οὐκ ἄξια ταῦτα σκηπτῶν; εἰπὲ γάρ μοι, εἴ τίς σε εἰς βασίλεια εἰσαγαγεῖν "ἐπηγγέλλετο, καὶ δείξειν τὸν βασιλέα καθήμενον, ἆρα ἂν εἵλου τὸ θέατρον ἀντὶ τούτων ἰδεῖν; καίτοιγε οὐδὲν οὔτε "ἐκεῖ κερδᾶναι ἦν· ἐνταῦθα δὲ πηγὴ πυρὸς "πνευματικὴ ἀπὸ ταύτης ἀναβλύζει τῆς τραπέζης· καὶ σὺ ταύτην ἀφεὶς, "κατατρέχεις εἰς τὸ θέατρον ἰδεῖν νηχομένας γυναῖκας, καὶ φύσιν παραδειγματιζομένην, καταλιπὼν τὸν Χριστὸν παρὰ τὴν πηγὴν καθήμενον; καὶ γὰρ καὶ νῦν παρὰ τὴν πηγὴν κάθηται, οὐ Σαμαρείτιδι διαλεγόμενος, ἀλλ᾽ ὁλοκλήρῳ πόλει· τάχα δὲ καὶ νῦν Σαμαρείτιδι μόνῃ. οὐδεὶς γὰρ αὐτῷ πάρεστιν οὐδὲ νῦν· ἀλλ᾽ οἱ μὲν τοῖς σώμασι μόνον, οἱ δὲ οὐδὲ αὐτοῖς. ἀλλ᾽ ὅμως αὐτὸς οὐκ ἀναχωρεῖ, ἀλλὰ "μένει, καὶ παρ᾽ ἡμῶν αἰτεῖ πιεῖν, οὐχ ὕδωρ, ἀλλ᾽ ἁγιωσύνην. τὰ γὰρ ἅγια τοῖς ἁγίοις δίδωσιν. οὐδὲ γὰρ ὕδωρ ἀπὸ ταύτης ἡμῖν παρέχει τῆς πηγῆς, ἀλλ᾽ αἷμα ζῶν. καὶ μὴν θανάτου ἐστὶ σύμβολον, ἀλλὰ ζωῆς γέγονεν αἴτιον. σὺ δὲ ἀφεὶς τὴν πηγὴν τοῦ αἵματος, τὸ ποτήριον τὸ φρικῶδες, εἰς τὴν πηγὴν ἀπέρχῃ τὴν διαβολικὴν, ὥστε νηχομένην πόρνην ἰδεῖν, καὶ ναυάγιον ὑπομεῖναι ψυχῆς. τὸ γὰρ ὕδωρ ἐκεῖνο πέλαγος ἀσελγείας ἐστὶν, οὐ σώματα ποιοῦν ὑποβρύχια, ἀλλὰ ψυχῶν ναυάγια ἐργαζόμενον. ἀλλ᾽ ἡ μὲν νήχεται γυμνουμένη τὸ σῶμα, σὺ δὲ ὁρῶν καταποντίζῃ πρὸς τὸν τῆς ἀσελγείας βυθόν. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου σαγήνη· οὐκ εἰς αὐτὸ κατιόντας τὸ ὕδωρ, ἀλλ᾽ ἄνωθεν καθημένους τῶν ἐκεῖ καλινδουμένων μᾶλλον ὑποβρυχίους ποιεῖ, καὶ χαλεπώτερον ἀποπνίγει τοῦ Φαραὼ, τοῦ μετὰ τῶν ἵππων καὶ τῶν ἁρμάτων καταποντισθέντος τότε. καὶ εἴγε ἦν ψυχὰς ἰδεῖν, πολλὰς ἂν ὑμῖν ἔδειξα ἐπιπλεούσας τοῖς ὕδασι τούτοις, ὥσπερ τῶν Αἰγυπτίων τότε τὰ σώματα. ἀλλὰ τὸ χαλεπώτερον ἐκεῖνό ἐστιν, ὅτι καὶ τέρψιν τὴν τοιαύτην πανωλεθρίαν καλοῦσι, καὶ τὸ πέλαγος τῆς ἀπωλείας ἡδονῆς εὔριπον ὀνομάζουσι. καίτοιγε εὐκολώτερον ἄν τις τὸ Αἰγαῖον καὶ τὸ Τυρρηνικὸν παραδράμοι πέλαγος μετὰ ἀσφαλείας, ἢ τὴν θεωρίαν ταύτην. πρότερον μὲν γὰρ δι᾽ ὅλης νυκτὸς προλαμβάνει τῇ προσδοκίᾳ τὰς ψυχὰς ὁ διάβολος· εἶτα, δείξας τὸ προσδοκηθὲν, ἔδησεν εὐθέως καὶ αἰχμαλώτους ἐποίησε. μὴ γὰρ ἐπειδὴ μὴ ἐμίγης τῇ πόρνῃ, καθαρὸς εἶναι νομίσῃς τῆς ἁμαρτίας. τῇ γὰρ προθυμίᾳ τὸ πᾶν ἀπήρτισας. εἰ μὲν γὰρ ὑπὸ ἐπιθυμίας κατέχῃ, μείζονα τὴν φλόγα ἀνῆψας. εἰ δὲ οὐδὲν πάσχεις πρὸς τὰ ὁρώμενα, μείζονος εἶ ἄξιος κατηγορίας, ἑτέροις σκάνδαλον γινόμενος, καὶ τῇ τῶν θεαμάτων τούτων προτρέπῃ καὶ τὴν σαυτοῦ καταισχύνων ὄψιν, καὶ μετὰ τῆς ὄψεως τὴν ψυχήν. ἀλλὰ γὰρ ἵνα μὴ μόνον ἐπιτιμῶμεν, φέρε καὶ τρόπον ἐπινοήσωμεν διορθώσεως. τίς οὖν ὁ τρόπος ἔσται; ταῖς γυναιξὶν ὑμᾶς παραδοῦναι βούλομαι ταῖς ὑμετέραις, ἵνα αὗται ὑμᾶς παιδεύσωσιν. ἔδει "μὲν, κατὰ τὸν τοῦ Παύλου "νόμον, ὑμᾶς εἶναι διδασκάλους· ἐπειδὴ δὲ ἡ τάξις ἀνεστράφη διὰ τῆς ἁμαρτίας, καὶ ἄνω μὲν τὸ σῶμα, κάτω δὲ ἡ κεφαλὴ γέγονε, κἂν ταύτην ἑλώμεθα τὴν ὁδόν. εἰ δὲ αἰσχύνῃ διδάσκαλον ἔχων γυναῖκα, φεῦγε τὴν ἁμαρτίαν, καὶ δυνήσῃ ταχέως ἐπὶ τὸν θρόνον ἀναβῆναι τὸν παρὰ τοῦ Θεοῦ σοι δοθέντα. ὡς ἕως ἂν πλημμελῇς,

Ἰωαν. δ. α.

γ. σοφώτε

* τῆς φάτν

γ. ἐπηγγέλ-το,

γ. ἐκεῖθι

γ. - ἦν

γ. ἀπορρεῖ

γ. ἀναμέν

γ. γὰρ
γ.. λόγοι,

μένης, οὐχὶ πρὸς γυναῖκας μόνον, ἀλλὰ καὶ πρὸς ἄλογά σε εὐτελέστατα πέμπει ἡ γραφή· καὶ οὐκ αἰσχύνεται τὸν τῷ λόγῳ τετιμημένον τῷ μύρμηκι πέμπουσα μαθητήν. οὐ γὰρ τῆς γραφῆς τοῦτο κατηγορία, ἀλλὰ τῶν οὕτω τὴν ἑαυτῶν εὐγένειαν προδιδόντων. τοῦτο δὴ καὶ ἡμεῖς ποιήσομεν, καὶ νῦν μέν σε τῇ γυναικὶ παραδώσομεν. ἂν δὲ ταύτης καταφρονήσῃς, καὶ εἰς τὸ τῶν ἀλόγων διδασκαλεῖον ἀποστελοῦμεν, καὶ δείξομεν πόσοι μὲν ὄρνιθες, πόσοι δὲ ἰχθύες, πόσα δὲ τετράποδα καὶ ἑρπετά σου σεμνότερα καὶ σωφρονέστερα φαίνεται. εἰ δὲ αἰσχύνῃ καὶ ἐρυθριᾷς τὴν σύγκρισιν, ἀνάβηθι πρὸς τὴν οἰκείαν εὐγένειαν, καὶ τὸ τῆς γεέννης πέλαγος, καὶ τὸν τοῦ πυρὸς ποταμὸν λαβὼν κατὰ νοῦν, φεῦγε τὴν ἐν τῷ θεάτρῳ κολυμβήθραν. αὕτη γὰρ ἡ κολυμβήθρα ἐκεῖνο τὸ πέλαγος προξενεῖ, καὶ τὴν ἄβυσσον ἐκείνην ἀνάπτει τῆς φλογός. εἰ γὰρ ὁ ἐμβλέπων εἰς γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν, ὁ καὶ γυμνὴν ἀναγκαζόμενος ἰδεῖν, πῶς οὐ μυριάκις αἰχμάλωτος γίνεται; οὐχ οὕτως ὁ ἐπὶ τοῦ Νῶε κατακλυσμὸς τὸ τῶν ἀνθρώπων ἀπώλεσε γένος, ὡς αὗται αἱ νηχόμεναι ἁπάσας ἐκεῖ μετὰ πολλῆς ἀποπνίγουσι τῆς αἰσχύνης. ἐκεῖνος μὲν γὰρ ὁ ὑετός, εἰ καὶ θάνατον εἰργάσατο σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς κακίαν ἀνέκοψεν· οὗτος δὲ τοὐναντίον ποιεῖ· τῶν σωμάτων μενόντων, τὴν ψυχὴν ἀπόλλυσιν. ὑμεῖς δέ, ὅταν μὲν προεδρίας ᾖ λόγος, ἀξιοῦτε τῆς οἰκουμένης προκαθῆσθαι πάσης, ἐπειδὴ πρώτη ἡ πόλις ἡμῶν τὸ τῶν χριστιανῶν ἀνεδήσατο ὄνομα· ἐν δὲ τῷ τῆς σωφροσύνης ἀγῶνι, καὶ τῶν ἀγροικοτέρων πόλεων ἔλαττον φέροντες οὐκ αἰσχύνεσθε; ναί φησι. καὶ τί οὖν κελεύεις ποιεῖν; τὰ ὄρη καταλαμβάνειν καὶ μοναχοὺς γίνεσθαι; διὰ γὰρ τοῦτο στένω, ὅτι μόνοις ἐκείνοις ἡγεῖσθε ἁρμόζειν κοσμιότητα καὶ σωφροσύνην· καίτοιγε ὁ Χριστὸς κοινοὺς τοὺς νόμους ἔθηκε. καὶ γὰρ ὅταν λέγῃ· Ἐάν τις ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, οὐ τῷ μονάζοντι λέγει, ἀλλὰ καὶ τῷ γυναῖκα ἔχοντι. καὶ γὰρ τὸ ὄρος ἐκεῖνο τότε, πάντων τῶν τοιούτων πεπληρωμένον ἦν. ἐννόησον τοίνυν ἐκεῖνο τὸ θέατρον, καὶ μίσησον τοῦτο τὸ διαβολικόν, καὶ μὴ καταγνῷς τοῦ λόγου βαρύτητα. οὐδὲ γὰρ κωλύω γαμεῖν, οὐδὲ ἐμποδίζω τέρπεσθαι· ἀλλὰ μετὰ σωφροσύνης τοῦτο βούλομαι γίνεσθαι, οὐ μετὰ αἰσχύνης καὶ κατηγορίας καὶ μυρίων ἐγκλημάτων. οὐ νομοθετῶ τὰ ὄρη καταλαμβάνειν καὶ τὰς ἐρημίας, ἀλλὰ χρηστὸν εἶναι καὶ ἐπιεικῆ καὶ σώφρονα, μέσην οἰκοῦντα τὴν πόλιν. καὶ γὰρ πάντα ἡμῖν τὰ τῶν νόμων κοινὰ πρὸς τοὺς μοναχούς ἐστι, πλὴν τοῦ γάμου. μᾶλλον δὲ καὶ ἐν τούτῳ κελεύει ὁ Παῦλος ἐν ἅπασιν ἐξισοῦσθαι αὐτοῖς, λέγων· Παράγει [γὰρ] τὸ σχῆμα τοῦ κόσμου τούτου, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν. ὥστε οὐ κελεύω τὰς κορυφὰς τῶν ὀρέων καταλαμβάνειν. ἐβουλόμην μὲν γάρ, διὰ τὸ τὰς πόλεις μιμεῖσθαι τὰ ἐν Σοδόμοις γινόμενα· πλὴν οὐ καταναγκάζω τοῦτο. μένε οἰκίαν ἔχων καὶ παιδία καὶ γυναῖκα· ἀλλὰ μὴ ὕβριζε τὴν γυναῖκα, μηδὲ παραδειγμάτιζε τὰ παιδία, μηδὲ εἴσαγε εἰς τὴν οἰκίαν τὴν ἀπὸ τῶν θεάτρων λύμην. οὐκ ἀκούεις Παύλου λέγοντος· ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή, καὶ κοινοὺς ἀμφοτέροις τιθέντος νόμους; σὺ δέ, ἂν μὲν εἰς ἐκκλησίαν συνεχῶς ἐμβάλῃ ἡ γυνή, βαρὺς κατήγορος γίνῃ· αὐτὸς δὲ εἰς θέατρα διημερεύων, οὐχ ἡγῇ κατηγορίας ἄξιος εἶναι; ἀλλὰ περὶ μὲν τὴν τῆς γυναικὸς σωφροσύνην οὕτως εἶ ἀκριβής, ὡς καὶ περιττὸς εἶναι καὶ ἄμετρος, καὶ μηδὲ τὰς ἀναγκαίας ἐξόδους συγχωρεῖν, σαυτῷ δὲ νομίζεις πάντα ἐξεῖναι. ἀλλ' οὐκ ἐπιτρέπει σοι Παῦλος, ὁ καὶ τῇ γυναικὶ τὴν αὐτὴν ἐξουσίαν διδούς. καὶ γὰρ τῇ γυναικί, φησιν, ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω. ποία οὖν αὕτη ἡ τιμή, ὅταν ἐν τοῖς χοιρείοις αὐτὴν ὑβρίζῃς, καὶ τὸ σῶμα αὐτῆς ταῖς πόρναις παρέχῃς; (τὸ γὰρ σὸν ἐκείνης σῶμά ἐστιν) ὅταν θορύβους καὶ πολέμους εἰσάγῃς εἰς τὴν οἰκίαν; ὅταν τοιαῦτα ποιῇς ἐν ἀγορᾷ, ἃ διηγούμενος ἐν οἰκίᾳ, καταισχύνεις μὲν τὴν ἀκούουσαν γυναῖκα, αἰσχύνεις δὲ τὴν παροῦσαν θυγατέρα, καὶ πρό γε ἐκείνων σαυτόν. ἀνάγκη γὰρ ἢ σιγᾶν, ἢ τοιαῦτα ἀσχημονεῖν, ἐφ' οἷς καὶ τοὺς οἰκέτας φθεγγομένους μαστίζεσθαι δίκαιον. τίνα οὖν ἕξεις

Ματθ. ε. κη.

α. Κορ. ζ. κθ.

ἀπολογίαν, εἰπέ μοι, ἃ μηδὲ εἰπεῖν καλόν, ταῦτα βλέπων μετὰ πολλῆς τῆς σπουδῆς; ἃ μηδὲ διηγήσασθαι ἀνεκτόν, ταῦτα πάντων προτιθείς; τέως μὲν οὖν, ὥστε μὴ γενέσθαι φορτικώτερος, ἐνταῦθα καταλύσω τὸν λόγον· ἐὰν δὲ τοῖς αὐτοῖς ἐπιμείνητε, ὀξύτερον τὸ σιδήριον ποιήσας, βαθυτέραν δώσω τὴν τομήν· καὶ οὐ παύσομαι, ἕως ἂν διασκεδάσας τοῦ διαβόλου τὸ θέατρον, καθαρὸν ποιήσω τῆς ἐκκλησίας τὸν σύλλογον. οὕτω γὰρ καὶ τῆς παρούσης αἰσχύνης ἀπαλλαγησόμεθα, καὶ τὴν μέλλουσαν καρπωσόμεθα ζωήν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. η. 11 ΚΑΙ ″ΕΙΣΕΛΘΟΝΤΕΣ ΕΙΣ ΤΗΝ ΟΙΚΙαν, ″εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

γρ. ἐλθόντες

γρ. εὗρον

Πῶς οὖν φησιν ὁ Λουκᾶς, ὅτι ἐπὶ τῆς φάτνης κείμενον ἦν; ὅτι τεκοῦσα μὲν εὐθέως αὐτὸ κατέκλινεν ἐκεῖ. ἅτε γὰρ πολλῶν συνιόντων διὰ τὴν ἀπογραφήν, οὐκ ἦν οἰκίαν εὑρεῖν. ὅπερ οὖν καὶ ὁ Λουκᾶς ἐπισημαίνεται λέγων· ὅτι διὰ τὸ μὴ εἶναι τόπον, ἀνέκλινεν αὐτόν. μετὰ δὲ ταῦτα καὶ ἀνείλετο, καὶ ἐπὶ τῶν γονάτων εἶχεν. ὁμοῦ τε γὰρ ἐπέβη τῆς Βηθλεέμ, καὶ τὰς ὠδῖνας ἔλυσεν· ἵνα μάθῃς κἀντεῦθεν τὴν οἰκονομίαν ἅπασαν, καὶ ὅτι οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ταῦτα ἐγένετο· ἀλλὰ κατὰ πρόνοιάν τινα θείαν καὶ προφητείας ἀκολουθίαν ταῦτα πάντα ἐπληροῦτο. ἀλλὰ τί τὸ πεῖσαν αὐτοὺς προσκυνῆσαι; οὔτε γὰρ ἡ παρθένος ἐπίσημος ἦν, οὔτε ἡ οἰκία περιφανής, οὔτε ἄλλο τι τῶν ὁρωμένων ἱκανὸν ἦν ἐκπλῆξαι καὶ ἐπισπάσασθαι. οἱ δὲ οὐ μόνον προσκυνοῦσιν,

Λουκ. β. 7.

Ἀλλὰ καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, δῶρα προσάγουσι·

Καὶ δῶρα, οὐχ ὡς ἀνθρώπῳ, ἀλλ' ὡς Θεῷ. ὁ γὰρ λιβανωτὸς καὶ ἡ σμύρνα τούτου σύμβολον ἦν. τί οὖν τὸ πεῖσαν αὐτούς; τὸ παρασκευάσαν οἴκοθεν ἀναστῆναι καὶ τοσαύτην ἐλθεῖν ὁδόν; τοῦτο δὲ ἦν, ὅ τε ἀστήρ, καὶ ἡ παρὰ τοῦ Θεοῦ γενομένη τῇ διανοίᾳ αὐτῶν ἔλλαμψις, κατὰ μικρὸν αὐτοὺς πρὸς τὴν τελειοτέραν ὁδηγοῦσα γνῶσιν. οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τῶν φαινομένων εὐτελῶν ὄντων ἁπάντων, τοσαύτην ἐπεδείξαντο τιμήν. διὰ τοῦτο οὐδὲν τῶν αἰσθητῶν μέγα ἦν ἐκεῖ, ἀλλὰ φάτνη, καὶ καλύβη, καὶ μήτηρ πτωχή· ἵνα γυμνὴν τῶν μάγων ἴδῃς τὴν φιλοσοφίαν, καὶ μάθῃς, ὅτι οὐχ ὡς ἀνθρώπῳ ψιλῷ, ἀλλ' ὡς Θεῷ προσῄεσαν καὶ ″εὐεργέτῃ. διόπερ οὐδενὶ τῶν ὁρωμένων ἔξωθεν ἐσκανδαλίζοντο, ἀλλὰ καὶ προσεκύνουν καὶ δῶρα προσῆγον, τῆς μὲν Ἰουδαϊκῆς ἀπηλλαγμένα παχύτητος (οὐδὲ γὰρ πρόβατα καὶ μόσχους ἔθυσαν) τῆς δὲ ἐκκλησιαστικῆς ἐγγὺς ὄντα φιλοσοφίας. ἐπίγνωσιν γὰρ καὶ ὑπακοὴν καὶ ἀγάπην αὐτῷ προσῆγον.

γρ. δεσπότῃ

12 Χρηματισθέντες δὲ κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Θέα κἀντεῦθεν τὴν πίστιν αὐτῶν, πῶς οὐκ ἐσκανδαλίσθησαν, ἀλλ' εἰσὶν εὐήνιοι καὶ εὐγνώμονες, καὶ οὐ θορυβοῦνται, οὐδὲ διαλογίζονται πρὸς ἑαυτοὺς λέγοντες· καὶ μὴν εἰ μέγα τὸ παιδίον ἐστὶ τοῦτο καὶ ἔχει τινὰ ἰσχύν, τίς χρεία φυγῆς καὶ ″λαθραίας ἀναχωρήσεως; καὶ τί δήποτε φανερῶς ἐλθόντας ἡμᾶς, καὶ μετὰ παρρησίας καὶ πρὸς δῆμον τοσοῦτον καὶ πρὸς βασιλέως μανίαν στάντας, ὡς δραπέτας καὶ φυγάδας ἐκπέμπει ὁ ἄγγελος τῆς πόλεως; ἀλλ' οὐδὲν τούτων οὔτε εἶπον, οὔτε ἐνενόησαν. τοῦτο γὰρ μάλιστα πίστεως, τὸ μὴ ζητεῖν εὐθύνας τῶν προστεταγμένων, ἀλλὰ πείθεσθαι τοῖς ἐπιταττομένοις μόνον.

γρ. λαθραίας

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδού, ἄγγελος Κυρίου φαίνεται τῷ Ἰωσὴφ κατ' ὄναρ λέγων, ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον.

Ἄξιον ἐνταῦθα διαπορῆσαι καὶ ὑπὲρ τῶν μάγων, καὶ ὑπὲρ τοῦ παιδίου. Εἰ γὰρ καὶ ἐκεῖνοι μὴ ἐθορυβήθησαν, ἀλλὰ μετὰ πίστεως πάντα ἐδέξαντο, ἡμᾶς ἄξιον ζητῆσαι, διατί μὴ παρόντες σώζονται ἐκεῖνοι καὶ τὸ παιδίον, ἀλλ' οἱ μὲν εἰς Περσίδα, τὸ δὲ εἰς Αἴγυπτον φυγαδεύεται μετὰ τῆς μητρός; ἀλλὰ τί; ἔδει αὐτὸν ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ Ἡρώδου, καὶ ἐμπεσόντα μὴ κατακόπτεσθαι; ἀλλ' οὐκ ἂν ἐνομίσθη σάρκα ἀνειληφέναι, οὐκ ἂν ἐπιστεύθη τῆς οἰκονομίας τὸ μέγεθος. Εἰ γὰρ τούτων γινομένων, καὶ πολλῶν ἀνθρωπίνως οἰκονομουμένων, ἐτόλμησαν εἰπεῖν τινες, ὅτι μῦθος ἡ τῆς σαρκὸς ἀνάληψις, ποῦ οὐκ ἂν ἐξέπεσαν ἀσεβείας, εἰ πάντα θεοπρεπῶς καὶ κατὰ τὴν αὐτοῦ δύναμιν ἔπραττε; τοὺς δὲ μάγους ἐκπέμπει ταχέως, ὁμοῦ μὲν διδασκάλους ἀποστέλλων τῇ Περσῶν χώρᾳ, ὁμοῦ δὲ ἐκκόπτων τοῦ τυράννου τὴν μανίαν, ἵνα μάθῃ ὅτι ἀνηνύτοις ἐπιχειρεῖ πράγμασι, καὶ τὸν θυμὸν σβέσῃ, καὶ τῆς ματαιοπονίας ″αὐτὸν ἀπαγάγῃ ταύτης. οὐ γὰρ δὴ τὸ μετὰ παρρησίας περιγενέσθαι τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ τὸ μετ' εὐκολίας αὐτοὺς ἀπατῆσαι, τῆς αὐτοῦ δυνάμεως ἄξιον. οὕτω γοῦν καὶ τοὺς Αἰγυπτίους ἐπὶ τῶν Ἰουδαίων ἠπάτησε, καὶ δυνάμενος φανερῶς τὸν ἐκείνων πλοῦτον εἰς τὰς τῶν Ἑβραίων μεταστῆσαι χεῖρας, λάθρα καὶ μετὰ ἀπάτης κελεύει τοῦτο ποιεῖν· ὅπερ οὐκ ἔλαττον τῶν ἄλλων σημείων φοβερὸν αὐτὸν παρὰ τοῖς ἐναντίοις ἐποίησεν. οἱ γοῦν Ἀσκαλωνῖται, καὶ οἱ λοιποὶ πάντες, ἡνίκα τὴν κιβωτὸν ἔλαβον, καὶ πληγέντες λοιπὸν παρῄνουν τοῖς οἰκείοις μὴ πολεμεῖν, μηδὲ ἐξ ἐναντίας ἵστασθαι, μετὰ τῶν ἄλλων θαυμάτων καὶ τοῦτο εἰς μέσον ἦγον, λέγοντες· Ινα τί βαρύνετε τὰς καρδίας ὑμῶν, καθὼς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραώ; οὐχ, ὅτε ἐνέπαιξεν αὐτοῖς, τότε ″ἐξαπέστειλε τὸν λαὸν αὐτοῦ, καὶ ″ἀπῆλθον; ταῦτα δὲ ἔλεγον, τῶν ἄλλων σημείων τῶν φανερῶς ″γινομένων οὐκ ἔλαττον καὶ τοῦτο νομίζοντες εἶναι εἰς τὴν τῆς δυνάμεως αὐτοῦ καὶ τῆς μεγαλωσύνης ἀπόδειξιν. ὃ δὴ καὶ ἐνταῦθα γέγονεν, ἱκανὸν ἐκπλῆξαι τὸν τύραννον ἐκεῖνον. ἐννόησον γὰρ οἷα πάσχειν εἰκὸς ἦν τὸν Ἡρώδην, καὶ πῶς ἀποπνίγεσθαι ἀπατηθέντα παρὰ τῶν μάγων καὶ οὕτω καταγελασθέντα. τί γάρ, εἰ μὴ γέγονε βελτίων; οὐ τοῦ ταῦτα οἰκονομήσαντος ἔγκλημα, ἀλλὰ τῆς ἐκείνου μανίας ἡ ὑπερβολή, μηδὲ τοῖς δυναμένοις αὐτὸν παραμυθήσασθαι καὶ ἀποστῆσαι τῆς πονηρίας εἴκοντος, ἀλλ' ἐπεξιόντος περαιτέρω, ἵνα καὶ χαλεπωτέραν δέξηται δίκην τῆς ″τοσαύτης ἀνοίας. καὶ τίνος ἕνεκεν, φησιν, εἰς Αἴγυπτον τὸ παιδίον πέμπεται; μάλιστα μὲν καὶ ὁ εὐαγγελιστὴς τὴν αἰτίαν εἴρηκεν· ἵνα πληρωθῇ γάρ, φησιν, Οτι ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. ἅμα δὲ καὶ χρηστῶν προοίμια λοιπὸν ἐλπίδων τῇ οἰκουμένῃ προανεφωνεῖτο. ἐπειδὴ γὰρ Βαβυλὼν καὶ Αἴγυπτος μάλιστα τῆς γῆς ἁπάσης τῇ φλογὶ τῆς ἀσεβείας ἦσαν ἐκκεκαυμέναι, ἐκ προοιμίων δεικνὺς ὅτι ἀμφοτέρας διορθώσεται, καὶ βελτίους ποιήσει, καὶ πείθων διὰ τούτων καὶ περὶ τῆς ὅλης οἰκουμένης τὰ χρηστὰ προσδοκᾶν, τῇ μὲν τοὺς μάγους ἀπέστειλε, τῇ δὲ αὐτὸς ἐπέβη μετὰ τῆς μητρός. πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἕτερον ″ἐντεῦθεν παιδευόμεθα, οὐ μικρὸν εἰς φιλοσοφίαν ἡμῖν συντεῖνον. ποῖον δὴ τοῦτο; τὸ ἐκ προοιμίων πειρασμοὺς προσδοκᾶν καὶ ἐπιβουλάς. ὅρα γοῦν καὶ ἀπὸ τῶν σπαργάνων εὐθέως τοῦτο γινόμενον. καὶ γὰρ τεχθέντος αὐτοῦ, καὶ τύραννος μαίνεται, καὶ φυγὴ καὶ μετάστασις γίνεται πρὸς τὴν ὑπερορίαν, καὶ οὐδὲν ἀδικήσασα ἡ μήτηρ, εἰς ~~τὴν~~ τῶν βαρβάρων φυγαδεύεται χώραν· ἵνα σὺ ταῦτα ἀκούων, ὅταν καταξιωθῇς διακονήσασθαί τινι πνευματικῷ πράγματι, εἶτα ἂν ἴδῃς σαυτὸν πάσχοντα τὰ ἀνήκεστα καὶ μυρίους ὑπομένοντα κινδύνους, μὴ διαταραχθῇς, μηδὲ εἴπῃς, τί ποτε τοῦτο ἐστί; καὶ μὴν στεφανοῦσθαί με ἔδει καὶ ἀνακηρύττεσθαι, καὶ λαμπρὸν εἶναι καὶ περιφανῆ, ″πρόσταγμα πληροῦντα δεσποτικόν· ἀλλ' ἔχων τοῦτο τὸ ὑπόδειγμα, φέρῃς πάντα γενναίως, εἰδὼς ὅτι μάλιστα αὕτη τῶν πνευματικῶν ἡ ἀκολουθία ἐστί, τὸ πανταχοῦ πειρασμοὺς συγκεκληρωμένους ἔχειν. ὅρα γοῦν οὐκ ἐπὶ τῆς μητρὸς* τοῦ παιδίου τοῦτο γινόμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν βαρβάρων ἐκείνων. καὶ γὰρ ἐκεῖνοι λάθρα ἀνα-

α. Βασ. ς. ς.

Ωσ. ια α.

αὐτὴν

ἀπέστει-
ω

ἀπῆλθε;

γίν-

τοιαύτης

-ταῦθα

πρᾶγμα

καὶ

χωρεῖ δοῦσιν ἐν τάξει φυγάδων· καὶ αὐτὴ πάλιν οὐδέποτε τὴν οἰκίαν ὑπερβᾶσα, μακρὰν οὕτω ταλαιπωρίας ὁδὸν ὑπομένειν κελεύεται, διὰ τὸν θαυμαστὸν τοῦτον τόκον καὶ τὰς πνευματικὰς ὠδῖνας. καὶ θέα τὸ παράδοξον πάλιν. Παλαιστίνη μὲν ἐπιβουλεύει, Αἴγυπτος δὲ ὑποδέχεται καὶ διασώζει τὸν ἐπιβουλευόμενον. οὐ γὰρ δὴ μόνον ἐπὶ τῶν παίδων τοῦ πατριάρχου τύποι συνέβαινον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ δεσπότου. πολλὰ γοῦν, διὰ τῶν ὑπ' αὐτοῦ γινομένων τότε, προανεκήρυττετο τῶν ὕστερον συμβαίνειν μελλόντων· ὅπερ οὖν καὶ ἐπὶ τῆς ὄνου καὶ ἐπὶ τοῦ πώλου γέγονε. φανεὶς τοίνυν ὁ ἄγγελος, οὐχὶ τῇ Μαρίᾳ, ἀλλὰ τῷ Ἰωσὴφ διαλέγεται· καὶ τί φησιν; ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. ἐνταῦθα οὐκ ἔτι λέγει, τὴν γυναῖκά σου, ἀλλὰ τὴν μητέρα αὐτοῦ. ἐπειδὴ γὰρ ὁ τόκος ἐξέβη, καὶ ἡ ὑποψία ἐλύθη, καὶ ὁ ἀνὴρ "ἐπιστώθη, μετὰ παῤῥησίας λοιπὸν διαλέγεται ὁ ἄγγελος, οὔτε παιδίον, οὔτε γυναῖκα αὐτοῦ καλῶν· ἀλλά, τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. καὶ τὴν αἰτίαν λέγει τῆς φυγῆς. Μέλλει γὰρ [ὁ] Ἡρώδης, φησί, ζητεῖν "τὴν ψυχὴν τοῦ παιδίου.

γρ. ἐπιστεύθη,

γρ. τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό.

Ταῦτα ἀκούσας ὁ Ἰωσὴφ, οὐκ ἐσκανδαλίσθη, οὐδὲ εἶπεν, αἴνιγμα τὸ πρᾶγμά ἐστι. σὺ πρῴην ἔλεγες, ὅτι σώσει τὸν λαὸν αὐτοῦ· καὶ νῦν οὐδὲ ἑαυτὸν σώζει, ἀλλὰ φυγῆς ἡμῖν χρεία, καὶ ἀποδημίας καὶ μακρᾶς "μεταναστάσεως; ἐναντία τῇ ὑποσχέσει τὰ γινόμενα. ἀλλ' οὐδὲν τούτων λέγει (πιστὸς γὰρ ἦν ὁ ἀνήρ) οὐδὲ περιεργάζεται τῆς "ἐπανόδου τὸν χρόνον, καὶ ταῦτα τοῦ ἀγγέλου ἀδιορίστως αὐτὸν τεθεικότος. Ἕως γὰρ ἂν εἴπω σοι, ἴσθι ἐκεῖ.

γρ. μεταστάσεως;

γρ. ἀνόδου

Ἀλλ' ὅμως οὐδὲ πρὸς τοῦτο ἐνάρκησεν, ἀλλ' ὑπακούει καὶ πείθεται, πάντας μετὰ χαρᾶς τοὺς πειρασμοὺς ὑπομένων. καὶ γὰρ ὁ φιλάνθρωπος Θεὸς τοῖς ἐπιπόνοις τούτοις καὶ ἡδέα ἀνέμιξεν. ὅπερ καὶ ἐπὶ πάντων τῶν ἁγίων ποιεῖ, οὔτε τοὺς κινδύνους, οὔτε τὰς ἀνέσεις συνεχεῖς τιθείς, ἀλλὰ καὶ διὰ τούτων καὶ δι' ἐκείνων ὑφαίνων τὸν τῶν δικαίων βίον· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε. σκόπει γάρ. εἶδε κύουσαν τὴν παρθένον· εἰς ταραχὴν αὐτὸν ἐνέβαλε τοῦτο καὶ τὸν ἔσχατον "θόρυβον. ἐπὶ μοιχείᾳ γὰρ τὴν κόρην ὑπώπτευεν. ἀλλ' εὐθέως ἐπέστη ὁ ἄγγελος, τήν τε ὑποψίαν λύων, καὶ τὸν φόβον ἀναιρῶν τοῦτον· καὶ τὸ παιδίον τεχθὲν ὁρῶν, χαρὰν ἐκαρπώσατο μεγίστην. πάλιν τὴν χαρὰν ταύτην κίνδυνος οὐ μικρὸς διαδέχεται, τῆς πόλεως ταραττομένης, καὶ τοῦ βασιλέως μαινομένου, καὶ τὸν τεχθέντα ἐπιζητοῦντος. ἀλλὰ τὸν θόρυβον τοῦτον ἑτέρα πάλιν διεδέξατο χαρά· ὁ ἀστήρ, καὶ ἡ τῶν μάγων προσκύνησις. πάλιν μετὰ τὴν ἡδονὴν ταύτην φόβος καὶ κίνδυνος. ζητεῖ γάρ, φησιν, Ἡρώδης τὴν ψυχὴν τοῦ παιδίου. καὶ πάλιν ὁ ἄγγελος μηνύει καὶ φυγεῖν καὶ "μετανίστασθαι ἀνθρωπίνως. θαυματουργεῖν γὰρ τέως οὐκ ἔδει. εἰ γὰρ ἐκ πρώτης ἡλικίας θαύματα ἐπεδείξατο, οὐδ' ἂν ἐνομίσθη ἄνθρωπος εἶναι. διὰ τοι τοῦτο, οὐδὲ ἁπλῶς ναὸς πλάττεται, ἀλλὰ καὶ κύησις γίνεται, καὶ ἐννεαμηνιαῖος χρόνος, καὶ ὠδῖνες καὶ τόκος, καὶ γαλακτοτροφία, καὶ διὰ παντὸς ἡσυχία τοῦ χρόνου, καὶ ἀναμένει τὴν ἀνδράσι πρέπουσαν ἡλικίαν· ἵνα διὰ πάντων εὐπαράδεκτον γένηται τῆς οἰκονομίας τὸ μυστήριον. τίνος οὖν ἕνεκεν καὶ ταῦτα τὰ σημεῖα ἐγένετο, φησιν, ἐξ ἀρχῆς; διὰ τὴν μητέρα, διὰ τὸν Ἰωσήφ, διὰ τὸν "Συμεὼν μέλλοντα ἀπιέναι λοιπόν, διὰ τοὺς ποιμένας, διὰ τοὺς μάγους, διὰ τοὺς Ἰουδαίους. εἰ γὰρ ἐβούλοντο προσέχειν μετὰ ἀκριβείας τοῖς γινομένοις, οὐ μικρὰ καὶ ἐντεῦθεν ἂν πρὸς τὰ μέλλοντα ἐκαρπώσαντο. εἰ δὲ μὴ λέγουσιν οἱ προφῆται τὰ περὶ τῶν μάγων, μὴ θορυβηθῇς. οὔτε γὰρ πάντα προεῖπον, οὔτε πάντα ἐσιώπησαν. ὥσπερ γὰρ τό, μηδὲν ἀκούσαντας ἰδεῖν παραγινόμενα τὰ πράγματα, πολλὴν ἐποίει τὴν ἔκπληξιν καὶ τὸν θόρυβον· οὕτω καὶ τὸ πάντα μαθεῖν, καθεύδειν παρεσκεύαζε τὸν ἀκροατήν, καὶ τοῖς εὐαγγελισταῖς οὐδὲν ἠφίει πλέον. εἰ δὲ περὶ τῆς προφητείας ἀμφιβάλλοιεν Ἰουδαῖοι λέγοντες, τὸ ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν "μου, μὴ ἐπ' αὐτὸν εἰρῆσθαι, εἴποιμεν ἂν πρὸς αὐτούς· ὅτι καὶ οὗτος προφητείας νόμος, τὸ πολλὰ πολλάκις λέγεσθαι μὲν ἐπ' ἄλλων, πληροῦσθαι δὲ ἐφ' ἑτέρων, οἷον τὸ ἐπὶ τοῦ Συμεὼν καὶ Λευῒ εἰρημένον ἐστί· Διαμεριῶ γὰρ αὐτούς, φησιν, ἐν Ἰακώβ,

γρ. κίνδυνον.

γρ. μεθίστασθαι

γρ. ῶνα

γρ. μου ἐπ' αὐτὸν εἰρῆσθαι.

Γεν. μθ.

Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ. καίτοιγε οὐκ ἐπ' αὐτῶν τούτων γέγονεν, ἀλλ' ἐπὶ τῶν ἐκγόνων. καὶ τὸ ἐπὶ τοῦ Χαναὰν δὲ παρὰ τοῦ Νῶε λεχθέν, εἰς τοὺς Γαβαωνίτας τοὺς ἐκγόνους τοῦ Χαναὰν ἐξέβη· καὶ τὸ ἐπὶ τοῦ Ἰακὼβ οὕτως ἴδοι τις ἂν συμβάν. αἱ γὰρ εὐλογίαι ἐκεῖναι αἱ λέγουσαι· Γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνησάτωσάν σε οἱ υἱοὶ τοῦ πατρός σου, (Γεν. κζ. κθ.) οὐκ ἐπ' αὐτοῦ τέλος ἔσχον (πῶς γάρ, τοῦ δεδοικότος καὶ τρέμοντος, καὶ μυριάκις αὐτὸν προσκυνοῦντος;) ἀλλ' ἐπὶ τῶν ἐκγόνων τῶν αὐτοῦ. ὃ δὴ καὶ ἐνταῦθα εἴποι τις ἄν. τίς γὰρ ″ἀληθέστερον υἱὸς Θεοῦ λεχθείη· ὁ μόσχῳ προσκυνῶν καὶ τῷ Βεελφεγὼρ τελούμενος, καὶ τοὺς υἱοὺς θύων τοῖς δαιμονίοις, (Γεν. λγ. Ἐξ. λβ. Ψαλμ. ρε. κη. Ψαλμ. ρε. λζ.) ἢ ὁ φύσει υἱός, καὶ τὸν γεγεννηκότα τιμῶν; ὥστε εἰ μὴ παρεγένετο οὗτος, οὐκ ἂν ἡ προφητεία τέλος ἔλαβε τὸ προσῆκον. ὅρα γοῦν πῶς αὐτὸ καὶ ὁ εὐαγγελιστὴς αἰνίττεται λέγων· ἵνα πληρωθῇ, δεικνὺς ὅτι οὐκ ἂν ἐπληρώθη, εἰ μὴ παραγέγονεν. οὐχ ὡς ἔτυχε δὲ καὶ τὴν παρθένον λαμπρὰν τοῦτο ποιεῖ καὶ περιφανῆ. ὅπερ γὰρ εἶχεν ὁ δῆμος ἅπας ἐν ἐγκωμίου τάξει, τοῦτο καὶ αὐτὴ λοιπὸν ἔχειν ἠδύνατο. ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπὶ τῷ ἀνελθεῖν ἐξ Αἰγύπτου, καὶ ἐκόμπαζον (ὅπερ οὖν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, Οὐχὶ τοὺς ἀλλοφύλους ″ἀνήγαγον ἐκ Καππαδοκίας, καὶ τοὺς Ἀσσυρίους ἐκ βόθρου;) (Ἀμ. θ. ζ.) ποιεῖ καὶ τῆς παρθένου τὸ προτέρημα τοῦτο [εἶναι.] μᾶλλον δὲ καὶ ὁ λαὸς καὶ ὁ πατριάρχης καταβάντες ἐκεῖ, καὶ ἀναβάντες ἐκεῖθεν, τὸν τῆς ἀνόδου ταύτης τύπον ἐπλήρουν. καὶ γὰρ ἐκεῖνοι θάνατον φεύγοντες τὸν ἀπὸ τοῦ λιμοῦ, κατῄεσαν· καὶ οὗτος θάνατον τὸν ἐξ ἐπιβουλῆς. ἀλλ' ἐκεῖνοι μὲν ἐλθόντες ἐκ τοῦ λιμοῦ τότε ἀπηλλάγησαν· οὗτος δὲ καταβάς, τὴν χώραν πᾶσαν διὰ τῆς ἐπιβάσεως ἡγίασε. σκόπει γοῦν πῶς μεταξὺ τῶν ταπεινῶν, καὶ τὰ τῆς θεότητος ἐκκαλύπτεται. καὶ γὰρ ὁ ἄγγελος εἰπών, φεῦγε εἰς Αἴγυπτον, οὐκ ἐπηγγείλατο αὐτοῖς συνοδοιπορεῖν, οὔτε κατιοῦσιν, οὔτε ἀνιοῦσιν, αἰνιττόμενος ὅτι μέγαν ἔχουσι συνοδοιπόρον, τὸ τεχθὲν παιδίον· ὃς καὶ τὰ πράγματα πάντα μετέβαλεν ὁμοῦ φανείς, καὶ τοὺς ἐχθροὺς παρεσκεύασε πολλὰ πρὸς τὴν οἰκονομίαν διακονήσασθαι ταύτην. καὶ γὰρ μάγοι καὶ βάρβαροι τὴν πατρῴαν δεισιδαιμονίαν ἀφέντες, ἔρχονται προσκυνήσοντες, καὶ ὁ Αὔγουστος ὑπηρετεῖται τῷ ἐν Βηθλεὲμ τόκῳ διὰ τοῦ προστάγματος τῆς ἀπογραφῆς, ἡ Αἴγυπτος διασώζει δεξαμένη φεύγοντα καὶ ἐπιβουλευόμενον, καὶ λαμβάνει τινὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀφορμήν· ἵν', ὅταν μέλλῃ κηρυττόμενον αὐτὸν ἀκούειν παρὰ τῶν ἀποστόλων, καὶ ἐπὶ τούτων καλλωπίζηται, ἅτε αὐτὸν δεξαμένη πρώτη. καὶ μὴν τῆς Παλαιστίνης ἦν τὸ προτέρημα τοῦτο μόνης, ἀλλ' αὕτη θερμοτέρα ἐκείνης γέγονε.

ΗΘΙΚΟΝ

Καὶ σὺ νῦν ἐλθὼν εἰς τὴν ἔρημον τῆς Αἰγύπτου, παραδείσου παντὸς βελτίω τὴν ἔρημον ταύτην ὄψει γεγενημένην, καὶ χοροὺς ἀγγέλων μυρίους ἐν ″ἀνθρωπίνῳ σχήματι, καὶ δήμους μαρτύρων, καὶ συλλόγους παρθένων· καὶ πᾶσαν μὲν τοῦ διαβόλου τὴν τυραννίδα καταλελυμένην, τὴν δὲ τοῦ Χριστοῦ βασιλείαν ″λάμπουσαν· καὶ τὴν ποιητῶν καὶ ″φιλοσόφων καὶ μάγων μητέρα, καὶ τὴν παντὸς εἶδος μαγγανείας εὑροῦσαν καὶ τοῖς ἄλλοις διαδοῦσαν, ταύτην ὄψει νῦν ἐπὶ τοῖς ἁλιεῦσι καλλωπιζομένην, καὶ ἐκείνων μὲν καταφρονοῦσαν ἁπάντων, ″τὸν δὲ τελώνην καὶ σκηνοποιὸν πανταχοῦ περιφέρουσαν, καὶ τὸν σταυρὸν προβαλλομένην. καὶ ταῦτα οὐκ ἐν ταῖς πόλεσι μόνον τὰ ἀγαθά, ἀλλὰ καὶ ἐν ταῖς ἐρήμοις μᾶλλον ἢ ἐν ταῖς πόλεσι. καὶ γάρ ἐστιν ἰδεῖν πανταχοῦ τῆς χώρας ἐκείνης τοῦ Χριστοῦ τὸ στρατόπεδον, καὶ τὴν βασιλικὴν ἀγέλην, καὶ τὴν τῶν ἄνω δυνάμεων πολιτείαν· καὶ ταῦτα οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἐν γυναικείᾳ φύσει κατορθοῦντα εὕροι τις ἄν. καὶ γὰρ καὶ ἐκεῖναι ἀνδρῶν οὐχ ἧττον φιλοσοφοῦσιν· οὐκ ἀσπίδα λαμβάνουσαι καὶ ἀναβαίνουσαι ἵππον, καθάπερ οἱ σεμνοὶ τῶν Ἑλλήνων″ κελεύουσι νομοθέται καὶ φιλόσοφοι, ἀλλ' ἑτέραν πολὺ χαλεπωτέραν δεχόμεναι μάχην. κοινὸς γὰρ αὐταῖς καὶ ἀνδράσιν ὁ πόλεμος πρὸς τὸν διάβολον καὶ τὰς ἐξουσίας τοῦ σκότους. καὶ οὐδαμοῦ τὸ τῆς φύσεως ἁπαλὸν ἐμπόδιον γίνεται ταῖς τοιαύταις συμβολαῖς.

ς-τερος

-γῶν

-πίνοις ἡλι-κία,

-διαλάμπ. -σοφῶν

καὶ τὸν

-ποιῶσι

οὐ γὰρ σωμάτων φύσει, ἀλλὰ ψυχῆς προαιρέσει ταῦτα κρίνεται τὰ παλαίσματα. διὰ τοῦτο καὶ γυναῖκες ἀνδρῶν μᾶλλον ἠγωνίσαντο πολλάκις, καὶ φαιδρότερα τρόπαια ἔστησαν. οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ ποικίλῳ τῶν ἄστρων χορῷ, ὡς ἡ ἔρημος Αἰγύπτου τὰς σκηνὰς πανταχόθεν ἡμῖν δεικνύουσα τῶν μοναχῶν. εἴ τις τὴν παλαιὰν Αἴγυπτον ἐκείνην τὴν θεομάχον καὶ μαινομένην, τὴν τῶν αἰλούρων δούλην, τὴν κρόμμυα δεδοικυῖαν καὶ τρέμουσαν εἶδεν, οὗτος εἴσεται καλῶς τοῦ Χριστοῦ τὴν ἰσχύν. μᾶλλον δὲ οὐ χρεία ἡμῖν παλαιῶν διηγημάτων. ἔτι γὰρ καὶ νῦν τῆς ἀνοήτου ἐκείνης λείψανα μένει πρὸς ἀπόδειξιν τῆς προτέρας μανίας. ἀλλ' ὅμως οὗτοι οἱ τὸ παλαιὸν πάντες πρὸς τοσαύτην ἀπορραγέντες μανίαν, περὶ οὐρανοῦ καὶ τῶν ὑπὲρ τὸν οὐρανὸν φιλοσοφοῦσι πραγμάτων, καὶ καταγελῶσι τῶν πατρῴων ἐθῶν, καὶ τοὺς προγόνους ταλανίζουσι, καὶ τῶν φιλοσόφων οὐδένα ποιοῦνται λόγον. ἔμαθον γὰρ διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι τὰ μὲν ἐκείνων, γραϊδίων μεθυόντων ἐστὶν εὑρέματα· ἡ δὲ ὄντως σοφία καὶ τῶν οὐρανῶν ἀξία αὕτη ἐστὶν ἡ διὰ τῶν ἁλιέων αὐτοῖς καταγγελθεῖσα. διὰ δὴ τοῦτο μετὰ τῆς τοσαύτης ἀκριβείας τῶν δογμάτων, καὶ τὴν ἀπὸ τοῦ βίου πολλὴν ἐνδείκνυνται σπουδήν. τὰ γὰρ ὄντα ἀποδυσάμενοι πάντα, καὶ τῷ κόσμῳ σταυρωθέντες παντὶ, καὶ περαιτέρω πάλιν ἐλαύνουσι, τὴν τοῦ σώματος ἐργασίαν πρὸς τὴν τῶν δεομένων ἀποχρώμενοι τροφήν. οὐδὲ γὰρ, ἐπειδὴ νηστεύουσι καὶ ἀγρυπνοῦσιν, ἀργεῖν μεθ' ἡμέραν ἀξιοῦσιν· ἀλλὰ τὰς μὲν νύκτας τοῖς ἱεροῖς ὕμνοις καὶ ταῖς παννυχίσι, τὰς δὲ ἡμέρας εἰς εὐχάς τε ὁμοῦ καὶ τὴν ἀπὸ τῶν χειρῶν ἐργασίαν καταναλίσκουσι, τὸν ἀποστολικὸν μιμούμενοι ζῆλον. εἰ γὰρ ἐκεῖνος, τῆς οἰκουμένης πρὸς αὐτὸν βλεπούσης, ἵνα τοὺς δεομένους διατρέφῃ, καὶ ἐργαστήριον κατέλαβε, καὶ τέχνην μετεχείρησε, καὶ οὐδὲ τὰς νύκτας ἐκάθευδε τοῦτο ποιῶν· πολλῷ μᾶλλον ἡμᾶς, φησὶ, τοὺς ἔρημον κατειληφότας, καὶ οὐδὲν κοινὸν πρὸς τοὺς ἐν ταῖς πόλεσι θορύβους ἔχοντας, τῇ τῆς ἡσυχίας σχολῇ εἰς ἐργασίαν πνευματικὴν καταχρήσασθαι δίκαιον. αἰσχυνώμεθα τοίνυν ἅπαντες καὶ οἱ πλουτοῦντες καὶ οἱ πενόμενοι, ὅταν ἐκεῖνοι μὲν μηδὲν ὅλως ἔχοντες, ἀλλ' ἢ σῶμα μόνον καὶ χεῖρας, βιάζωνται καὶ φιλονεικῶσι πρόσοδον τοῖς δεομένοις ἐντεῦθεν εὑρεῖν· ἡμεῖς δὲ, μυρίων ἔνδον ἀποκειμένων, μηδὲ τῶν περιττῶν εἰς ταῦτα ἁπτώμεθα. ποίαν οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι; ποίαν δὲ συγγνώμην; καίτοι γε ἐννόησον, πῶς οἱ παλαιὸν ἦσαν οὗτοι καὶ φιλοχρήματοι, καὶ γαστρίμαργοι μετὰ τῶν ἄλλων κακῶν. ἐκεῖ γὰρ ἦσαν οἱ λέβητες τῶν κρεῶν, ὧν οἱ Ἰουδαῖοι μέμνηνται· ἐκεῖ ἡ πολλὴ τῆς γαστρὸς τυραννίς. ἀλλ' ὅμως ἐπειδὴ ἐβουλήθησαν, μετεβάλοντο, καὶ τὸ πῦρ τοῦ Χριστοῦ δεξάμενοι, πρὸς τὸν οὐρανὸν ἀθρόον μεθωρμίσαντο· καὶ θερμότεροι τῶν ἄλλων ὄντες, καὶ πρὸς ὀργὴν καὶ πρὸς ἡδονὴν σωμάτων προπετέστεροι, τὰς ἀσωμάτους δυνάμεις τῇ ἐπιεικείᾳ καὶ τῇ λοιπῇ τῆς φιλοσοφίας ἀπαθείᾳ μιμοῦνται. καὶ εἴ τις ἐν τῇ χώρᾳ γέγονεν, οἶδεν ἃ λέγω. εἰ δέ τις οὐδέποτε ἐπέβη τῶν σκηνῶν ἐκείνων, ἐννοείτω τὸν μέχρι νῦν ἐν τοῖς ἁπάντων στόμασιν ὄντα, ὃν μετὰ τοὺς ἀποστόλους ἡ Αἴγυπτος ἤνεγκε, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον· καὶ λογιζέσθω ὅτι καὶ οὗτος ἐν ἐκείνῃ τῇ χώρᾳ γέγονεν, ἐν ᾗ καὶ Φαραώ· ἀλλ' ὅμως οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ θείας ὄψεως κατηξιώθη, καὶ τοιοῦτον ἐπεδείξατο βίον, οἷον οἱ τοῦ Χριστοῦ νόμοι ζητοῦσι. καὶ τοῦτο εἴσεταί τις μετὰ ἀκριβείας ἐντυχὼν τῷ βιβλίῳ τῷ τὴν ἱστορίαν ἔχοντι τῆς ἐκείνου ζωῆς, ἐν ᾧ καὶ πολλὴν ὄψεται τὴν προφητείαν. καὶ γὰρ περὶ τῶν τὰ Ἀρείου νοσούντων προανεφώνησέ τε, καὶ εἶπε τὴν ἐξ ἐκείνων μέλλουσαν βλάβην γίνεσθαι, τοῦ Θεοῦ δείξαντος αὐτῷ τότε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὰ μέλλοντα ὑπογράψαντος ἅπαντα. ὃ δὴ μάλιστα μετὰ τῶν ἄλλων τῆς ἀληθείας ἐστὶν ἀπόδειξις, τὸ μηδένα τῶν ἔξωθεν αἱρέσεων ἄνδρα τοιοῦτον ἔχειν. ἀλλ' ἵνα μὴ παρ' ἡμῶν ταῦτα ἀκούσητε, τοῖς γράμμασιν ἐγκύψαντες τοῖς τοῦ βιβλίου, πάντα μαθήσεσθε μετὰ ἀκριβείας, καὶ πολλὴν παιδευθήσεσθε τὴν φιλοσοφίαν ἐκεῖθεν. τοῦτο δὲ παρακαλῶ, οὐχ

ἵνα

γρ. σφοδρότ
ερα ἀλλαφ

γρ. οἶδεν,

γρ. ἀπορρή-
γνῦντες

γρ. φιλοσοφία

γρ. ἐπιδείκ.

Ἐξοδ. ιϛ.

γρ. σώματα

γρ. μεθωρμί-
σαντο

γρ. τὸ

ἵνα ἐπέλθωμεν τὰ γεγραμμένα μόνον, ἀλλ' ἵνα καὶ ζηλώσωμεν, καὶ μήτε χώραν, μήτε ἀνατροφὴν, μήτε προγόνων πονηρίαν προβαλλώμεθα. ἂν γὰρ θέλωμεν ἑαυτοῖς προσέχειν, οὐδὲν τούτων ἡμῖν ἔσται κώλυμα. ἐπεὶ καὶ Ἀβραὰμ ἀσεβῆ πατέρα ἔσχεν, ἀλλ' οὐ διεδέξατο τὴν παρανομίαν· καὶ ὁ Ἐζεκίας τοῦ Ἀχὰζ, ἀλλ' ὅμως οὗτος φίλος τῷ Θεῷ ἐγένετο· καὶ ὁ Ἰωσὴφ δὲ ἐν μέσῃ τότε Αἰγύπτῳ τοὺς τῆς σωφροσύνης ἀνεδήσατο στεφάνους· καὶ οἱ παῖδες [δὲ] οἱ τρεῖς ἐν Βαβυλῶνι μέσῃ, καὶ ἐν οἰκίᾳ μέσῃ, συβαριτικῆς παρακειμένης τραπέζης, τὴν ἄκραν ἐπεδείξαντο φιλοσοφίαν· καὶ Μωϋσῆς δὲ ἐν Αἰγύπτῳ· καὶ ὁ Παῦλος ἐν τῇ οἰκουμένῃ· καὶ οὐδὲν οὐδενὶ τούτων ἐγένετο κώλυμα πρὸς τὸν τῆς ἀρετῆς δρόμον. ταῦτ' οὖν καὶ ἡμεῖς πάντα ἐννοοῦντες, τὰς μὲν περιττὰς ταύτας σκήψεις καὶ προφάσεις ἐκ μέσου ποιησώμεθα· τῶν δὲ ὑπὲρ τῆς ἀρετῆς ἱδρώτων ἁψώμεθα. οὕτω γὰρ καὶ τὸν Θεὸν ἐπὶ μείζονα ἐπισπασόμεθα εὔνοιαν, καὶ πείσομεν συνεφάπτεσθαι τῶν ἀγώνων ἡμῖν, καὶ τῶν αἰωνίων ἀπολαύσομεν στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. θ. 16 ΤΟΤΕ ΗΡΩΔΗΣ ΙΔΩΝ ΟΤΙ ΕΝΕΠΑΙΧΘΗ ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν.

ΚΑὶ μὴν οὐκ ἐχρῆν θυμωθῆναι, ἀλλὰ φοβηθῆναι καὶ συσταλῆναι, καὶ ἰδεῖν ὅτι ἀδυνάτοις ἐπιχειρεῖ πράγμασιν. ἀλλ' οὐ καταστέλλεται. ὅταν γὰρ ἀγνώμων ἡ ψυχὴ καὶ ἀνίατος, οὐδενὶ εἴκει τῶν παρὰ τοῦ Θεοῦ δεδομένων φαρμάκων. ὅρα γοῦν καὶ τοῦτον τοῖς προτέροις ἐπαγωνιζόμενον, καὶ φόνῳ φόνον συνάπτοντα, καὶ κατὰ κρημνοῦ πανταχοῦ φερόμενον. ὥσπερ γὰρ ὑπό τινος δαίμονος, τῆς ὀργῆς ταύτης καὶ τῆς βασκανίας ἐκβακχευθεὶς, οὐδενὸς ποιεῖται λόγον· ἀλλὰ καὶ κατὰ τῆς φύσεως αὐτῆς μαίνεται, καὶ τὴν ὀργὴν τὴν κατὰ τῶν ἐμπαιξάντων μάγων, κατὰ τῶν οὐδὲν ἠδικηκότων παίδων ἀφίησι, συγγενὲς δρᾶμα τῶν ἐν Αἰγύπτῳ πεπραγμένων τότε ἐν Παλαιστίνῃ τολμῶν. κεφ. β.

Ἀποστείλας γάρ, φησιν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε. καὶ γὰρ πολλοὶ πολλὰ φληναροῦσιν ὑπὲρ τῶν παίδων τούτων, ἀδικίαν ἐγκαλοῦντες τοῖς γεγενημένοις. καὶ οἱ μὲν ἐπιεικέστερον ὑπὲρ αὐτῶν διαποροῦσιν· οἱ δὲ θρασύτερον καὶ μανικώτερον. ἵν' οὖν τοὺς μὲν τῆς μανίας, τοὺς δὲ τῆς ἀπορίας ἀπαλλάξωμεν, ἀνάσχεσθε μικρὸν διαλεγομένων ἡμῶν περὶ τῆς ὑποθέσεως ταύτης. εἰ γὰρ δὴ τοῦτο ἐγκαλοῦσιν, ὅτι περιώφθη τὰ παιδία ἀναιρούμενα, ἐγκαλέσωσιν καὶ τῇ τῶν στρατιωτῶν σφαγῇ, τῶν τὸν Πέτρον φυλαττόντων. ὥσπερ γὰρ ἐνταῦθα τοῦ παιδίου φυγόντος, ἕτερα παιδία ἀντὶ τοῦ ζητουμένου κατασφάττεται, οὕτω δὴ τότε καὶ τὸν Πέτρον τοῦ δεσμωτηρίου καὶ τῶν ἁλύσεων ἀπαλλάξαντος τοῦ ἀγγέλου, ὁμώνυμός τις τοῦ τυράννου τούτου καὶ ὁμότροπος, ζητήσας αὐτὸν καὶ οὐχ εὑρὼν, τοὺς τηροῦντας αὐτὸν στρατιώτας ἀπέκτεινεν ἀντ' ἐκείνου. καὶ τί τοῦτό φησι; τοῦτο γὰρ οὐ λύσις, ἀλλὰ προσθήκη τοῦ ζητουμένου. οἶδα κἀγὼ, καὶ διὰ τοῦτο εἰς μέσον πάντα φέρω τὰ τοιαῦτα, ἵνα πᾶσι μίαν ἐπαγάγω τὴν λύσιν. τίς οὖν ἐστι τούτων ἡ λύσις; καὶ τίνα ἂν ἔχοιμεν λόγον εὐπρόσωπον εἰπεῖν; ὅτι οὐχ ὁ Χριστὸς τῆς σφαγῆς αὐτοῖς αἴτιος γέγονεν, ἀλλ' ἡ ὠμότης τοῦ βασιλέως· ὥσπερ οὖν οὐδὲ ἐκείνοις ὁ Πέτρος, ἀλλ' ἡ ἄνοια τοῦ Ἡρώδου. εἰ μὲν γὰρ τοῖχον διορυχθέντα εἶδεν, ἢ θύρας ἀνατραπείσας, εἶχεν ἴσως ῥαθυμίαν ἐγκαλέσαι τοῖς φυλάττουσι τὸν ἀπόστολον στρατιώταις· νυνὶ δὲ πάντων ἐπὶ σχήματος μενόντων, καὶ τῶν θυρῶν ἀποκεκλεισμένων, καὶ τῶν ἁλύσεων ταῖς χερσὶ τῶν φυλαττόντων συμβεβλημένων (καὶ γὰρ ἦσαν αὐτῷ συνδεδεμένοι) ἠδύνατο συλλογίσασθαι ἐκ τούτων (εἴγε ὀρθῶς ἐδίκαζε τοῖς γινομένοις) ὅτι οὐκ ἀνθρωπίνης δυνάμεως ἦν, οὐδὲ κακουργίας τὸ γινόμενον, ἀλλὰ θείας τινὸς καὶ παραδοξοποιοῦ δυνάμεως, καὶ προσκυνῆσαι τὸν ποιήσαντα ταῦτα, ἀλλ' οὐ πολεμῆσαι τοῖς φυλάττουσιν. οὕτω γὰρ ὁ Θεὸς ἐποίησεν, ἅπερ ἐποίησεν, ἅπαντα, ὡς μὴ μόνον τοὺς φύλακας μὴ προδοῦναι, ἀλλὰ καὶ τὸν βασιλέα δι' αὐτῶν χειραγωγῆσαι πρὸς τὴν ἀλήθειαν. εἰ δ' ἀγνώμων ἐκεῖνος ἐφάνη, τί πρὸς τὸν σοφὸν τῶν ψυχῶν ἰατρόν, καὶ πάντα ἐπ' εὐεργεσίᾳ πραγματευόμενον, τῆς τοῦ κάμνοντος ἀταξίας; ὃ δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. τίνος γὰρ ἕνεκεν ἐθυμώθης, ὦ Ἡρώδη, παρὰ τῶν μάγων ἐμπαιχθείς; οὐκ ἔγνως ὅτι θεῖος ὁ τόκος ἦν; οὐ σὺ τοὺς ἀρχιερεῖς ἐκάλεσας; οὐ σὺ τοὺς γραμματέας συνήγαγες; οὐχὶ κληθέντες ἐκεῖνοι καὶ τὸν προφήτην μεθ' ἑαυτῶν ἤγαγον εἰς τὸ σὸν δικαστήριον ταῦτα ἄνωθεν προαναφωνοῦντα; οὐκ εἶδες τὰ παλαιὰ τοῖς νέοις συμφωνοῦντα; οὐκ ἤκουσας ὅτι καὶ ἀστὴρ τούτοις διηκονήσατο; οὐκ ᾐδέσθης τῶν βαρβάρων τὴν σπουδήν; οὐκ ἐθαύμασας αὐτῶν τὴν παρρησίαν; οὐκ ἔφριξας τοῦ προφήτου τὴν ἀλήθειαν; οὐκ ἐνενόησας ἀπὸ τῶν προτέρων καὶ τὰ ἔσχατα; τίνος ἕνεκεν οὐκ ἐλογίσω κατὰ σεαυτὸν ἐκ τούτων ἁπάντων, ὅτι οὐ τῆς ἀπάτης τῶν μάγων ἦν τὸ γινόμενον, ἀλλὰ θείας δυνάμεως πάντα πρὸς τὸ δέον οἰκονομούσης; εἰ δὲ καὶ ἠπατήθης παρὰ τῶν μάγων, τί πρὸς τὰ παιδία τὰ οὐδὲν ἠδικηκότα; ναί φησιν. ἀλλὰ τὸν μὲν Ἡρώδην καλῶς ἀπεστέρησας τῆς ἀπολογίας, καὶ μιαιφόνον ἔδειξας· οὐδέπω δὲ τὸν περὶ τῆς ἀδικίας τῶν γεγενημένων ἔλυσας λόγον. εἰ γὰρ καὶ ἐκεῖνος ἀδίκως ἔπραττε, τίνος ἕνεκεν ὁ Θεὸς συνεχώρησε; τί οὖν ἂν εἴποιμι πρὸς τοῦτο; ὅπερ ἀεὶ καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ λέγων οὐ παύομαι, ὃ καὶ ὑμᾶς βούλομαι μετὰ ἀκριβείας διατηρεῖν. κανὼν γάρ τίς ἐστι πρὸς ἅπασαν ἡμῖν τοιαύτην ἁρμόττων ἀπορίαν. τίς οὖν οὗτός ἐστιν ὁ κανών, καὶ τίς ὁ λόγος; ὅτι τῶν μὲν ἀδικούντων πολλοί, ὁ δὲ ἀδικούμενος οὐδὲ εἷς. καὶ ἵνα μὴ ἐπὶ πλέον ὑμᾶς τὸ αἴνιγμα ταράττῃ, καὶ τὴν λύσιν ἐπάγω ταχέως. ὅσα γὰρ ἂν πάθωμεν ἀδίκως παρ' ὁτουοῦν, ἢ εἰς ἁμαρτημάτων διάλυσιν ὁ Θεὸς ἡμῖν λογίζεται τὴν ἀδικίαν ἐκείνην, ἢ εἰς μισθῶν ἀνταπόδοσιν. καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ ὑποδείγματος τὸν λόγον ἀγάγωμεν. θῶμεν γὰρ εἶναί τινα οἰκέτην πολλὰ ὀφείλοντα τῷ δεσπότῃ χρήματα· εἶτα παρὰ ἀδίκων ἀνδρῶν ἐπηρεασθῆναι τὸν οἰκέτην τοῦτον, καὶ ἀφαιρεθῆναί τινα τῶν αὐτοῦ. ἂν τοίνυν ὁ δεσπότης ὁ κωλῦσαι δυνάμενος τὸν ἅρπαγα καὶ πλεονέκτην, ἐκεῖνα μὲν μὴ ἀποκαταστήσῃ τὰ χρήματα, εἰς δὲ τὰ ὀφειλόμενα αὐτῷ παρὰ τοῦ δούλου λογίσηται τὰ ἀφαιρεθέντα, ἆρα μὴ ἠδίκηται ὁ οἰκέτης; οὐδαμῶς. τί δέ, ἂν καὶ πλείονα ἀποδῷ; ἆρα οὐχὶ καὶ μειζόνως ἐκέρδανε; παντί που δῆλον. τοῦτο τοίνυν καὶ ἐφ' ὧν ἡμεῖς πάσχομεν, λογισώμεθα. ὅτι γὰρ ὑπὲρ ὧν ἂν πάθωμεν κακῶς, ἢ ἁμαρτήματα διαλυόμεθα, ἢ λαμπροτέρους λαμβάνομεν στεφάνους, ἂν μὴ ἁμαρτήματα τοσαῦτα ἔχωμεν, ἄκουσον τοῦ Παύλου λέγοντος περὶ τοῦ πεπορνευκότος· Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ. καὶ τί τοῦτό φησι; περὶ γὰρ τῶν ἀδικημένων ὑπὲρ ἑτέρων ὁ λόγος ἦν, οὐ περὶ τῶν παρὰ τῶν διδασκάλων διορθουμένων. μάλιστα μὲν οὐδὲν τὸ μέσον. τὸ γὰρ ζητούμενον τοῦτο ἦν, εἰ τὸ παθεῖν κακῶς οὐκ ἔστιν ἐπήρεια τῷ παθόντι. ἀλλ' ἵνα καὶ πρὸς τὸ ἐγγύτερον τὸ ζητούμενον ἀγάγω τὸν λόγον, ἀναμνήσθητι τοῦ Δαβίδ, ὃς τὸν Σεμεεὶ τότε ὁρῶν ἐπικείμενον καὶ ἐναλλόμενον αὐτοῦ τῇ συμφορᾷ, καὶ μυρίοις αὐτὸν ὀνείδεσι πλύνοντα, βουλομένων ἀνελεῖν τῶν στρατηγῶν, διεκώλυσε λέγων· Ἄφετε αὐτὸν καταράσασθαι, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας ταύτης ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἐν τοῖς ψαλμοῖς δὲ ᾄδων ἔλεγεν· Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ ὁ Λάζαρος δὲ διὰ τοῦτο ἀπήλαυσεν ἀνέσεως, ἐπειδὴ μυρία κατὰ τὸν βίον τοῦτον ἔπαθε κακά.

α. Κο. ε. ε.

β. Βασ. ιϛ. ια. ιβ.

Ψ. ϗ. κδ. ιθ.

γρ. ἐσπόρη

γρ. ἐνόησας

γρ. παύομαι

γρ. ἀντίδοσιν

γρ. ἦν

γρ. Σεμεῒ

γρ. ῥᾳδ.

γρ. αὐτοῦ

οὐκ

χυλ β.

οὐκ ἄρα ἠδίκηνται οἱ ἀδικηθέντες, εἰ μὴ γενναίως ἐνέγκωσιν ἅπερ πάσχουσιν ἅπαντα, ἀλλὰ καὶ μειζόνως "κερδαίνουσιν, ἄν τε παρὰ τοῦ Θεοῦ πλήττωνται), ἄν τε παρὰ τοῦ διαβόλου μαστίζωνται. καὶ ποίαν εἶχον ἁμαρτίαν τὰ παιδία, φησὶν, ἵνα ταύτην "διαλύσωνται; περὶ μὲν γὰρ τῶν ἐν ἡλικίᾳ γενομένων καὶ πολλὰ πεπλημμεληκότων εἰκότως ἄν τις ταῦτα εἴποι· τὰ δὲ ἄωρα οὕτως ὑπομείναντες τελευτὴν, ποῖα ἁμαρτήματα, δι' ὧν κακῶς ἔπαθον, ἀπέθεντο; οὐκ ἤκουσάς μου λέγοντος, ὅτι κἂν ἁμαρτήματα μὴ ᾖ, μισθῶν "ἀνταπόδοσις ἐκεῖ γίνεται τοῖς πάσχουσι κακῶς ἐνταῦθα; τί τοίνυν ἔβλαψε τὰ παιδία ἀναιρεθέντα ἐπὶ ὑποθέσει τοιαύτῃ, καὶ πρὸς τὸν ἀκύμαντον ταχέως ἀπενεχθέντα λιμένα; ὅτι πολλὰ καὶ μεγάλα [πολλάκις], φησὶν, ἔμελλον ζήσαντες κατορθοῦν. ἀλλὰ διὰ τοῦτο οὐ μικρὸν αὐτοῖς προαποτίθεται τὸν μισθὸν τὸ ἐπὶ ὑποθέσει τοιαύτῃ καταλῦσαι τὸν βίον. ἄλλως δὲ, οὐδ' ἂν εἴασεν, εἰ μεγάλοι τινὲς ἔμελλον ἔσεσθαι οἱ παῖδες, προαναρπασθῆναι. εἰ γὰρ τοὺς ἐν πονηρίᾳ μέλλοντας ζῆν διηνεκῶς, μετὰ μακροθυμίας φέρει τοσαύτης, πολλῷ μᾶλλον τούτους οὐκ ἂν εἴασεν οὕτως ἀπενεχθῆναι, εἴ τινα μεγάλα προῄδει ἀνύσοντας. καὶ οὗτοι μὲν οἱ παρ' "ἡμῶν λόγοι οὐ μὴν ἅπαντες οὗτοι, ἀλλ' εἰσὶ καὶ τούτων ἀπορρητότεροι ἕτεροι, οὓς μετ' ἀκριβείας οἶδεν ὁ ταῦτα οἰκονομῶν αὐτός. παραχωρήσαντες τοίνυν αὐτῷ τῆς ἀκριβεστέρας ἐν τούτῳ καταλήψεως, τῶν ἑξῆς ἡμεῖς ἐχώμεθα, καὶ ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευώμεθα πάντα φέρειν γενναίως. καὶ γὰρ οὐ μικρὰ τότε κατέλαβε τραγῳδία τὴν Βηθλεέμ, τῶν παίδων ἁρπαζομένων ἀπὸ τῆς θηλῆς τῶν μητέρων καὶ ἐπὶ τὴν ἄδικον ταύτην ἀγομένων σφαγήν. εἰ δὲ ἔτι μικροψυχεῖς, καὶ ἐλάττων εἶ τῆς ἐπὶ "τοιούτοις φιλοσοφίας, μάθε τοῦ ταῦτα τολμήσαντος τὸ τέλος, καὶ μικρὸν ἀνάπνευσον· ταχίστη γὰρ αὐτὸν ὑπὲρ τούτων κατέλαβε δίκη, καὶ τοῦ μιάσματος τούτου τὴν προσήκουσαν ἐδίδου τιμωρίαν, θανάτῳ χαλεπῷ καὶ τοῦ νῦν τολμηθέντος ἐλεεινοτέρῳ καταλύων τὸν βίον, καὶ ἕτερα μυρία πάσχων κακὰ ἅπερ εἴσεσθε, τὴν "Ἰωσήπου περὶ τούτων ἱστορίαν ἐπελθόντες· ἣν, ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον καὶ τὴν συνέχειαν διακόπτωμεν, οὐκ ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοῖς παροῦσιν ἐνθεῖναι.

17 Τότε ἐπληρώθη τὸ ῥηθὲν "διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος·

18 Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν.

Ἐπειδὴ γὰρ φρίκης ἐνέπλησε τὸν ἀκροατὴν, ταύτην διηγησάμενος τὴν σφαγὴν τὴν βιαίαν, τὴν ἄδικον, τὴν ὠμοτάτην, τὴν παράνομον, παραμυθεῖται πάλιν αὐτὸν λέγων· ὅτι οὐκ ἀδυνατοῦντος τοῦ Θεοῦ κωλῦσαι, ταῦτα ἐγένετο, οὐδὲ ἀγνοοῦντος, ἀλλὰ καὶ προειδότος καὶ προανακηρύττοντος διὰ τοῦ προφήτου. μὴ τοίνυν θορυβηθῇς, μηδὲ καταπέσῃς, εἰς τὴν ἀπόρρητον αὐτοῦ πρόνοιαν ἀφορῶν, ἣν καὶ δι' ὧν ἐνεργεῖ, καὶ δι' ὧν συγχωρεῖ μάλιστά ἐστιν ἰδεῖν· ὅπερ οὖν καὶ ἀλλαχοῦ τοῖς μαθηταῖς διαλεγόμενος ᾐνίξατο. ἐπειδὴ γὰρ τὰ δικαστήρια καὶ τὰς "ἀπαγωγὰς, καὶ τοὺς τῆς οἰκουμένης πολέμους, καὶ τὴν ἄσπονδον μάχην αὐτοῖς προανεκήρυττεν, ἀνέχων αὐτῶν τὴν ψυχὴν καὶ παραμυθούμενος, φησίν· Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐδὲν ἀγνοοῦντος αὐτοῦ γίνεται, ἀλλ' εἰδότος μὲν ἅπαντα, οὐ μὴν πάντα ἐνεργοῦντος. μὴ τοίνυν, φησὶ, ταράττεσθε, μηδὲ θορυβεῖσθε. ὁ γὰρ εἰδὼς ἃ πάσχετε, καὶ κωλῦσαι δυνάμενος, εὔδηλον ὅτι προνοῶν ὑμῶν καὶ κηδόμενος οὐ κωλύει. ὅπερ καὶ ἐπὶ τῶν πειρασμῶν τῶν ἡμετέρων "ἐννοεῖν δεῖ, καὶ ἱκανὴν ἐντεῦθεν ληψόμεθα τὴν παράκλησιν. καὶ τί κοινὸν τῇ Ῥαχὴλ πρὸς τὴν Βηθλεέμ, ἴσως εἴποι τις ἄν; Ῥαχὴλ γὰρ, φησὶ, κλαίουσα τὰ τέκνα αὐτῆς. τί δὲ τῇ Ῥαμᾶ πρὸς τὴν Ῥαχήλ; ἡ Ῥαχὴλ μήτηρ ἦν τοῦ Βενιαμὶν τελευτήσασαν δὲ αὐτὴν ἔθαψαν εἰς τὸν ἱππόδρομον τὸν πλησίον ὄντα τοῦ χωρίου τούτου. ἐπεὶ οὖν καὶ ὁ τάφος πλησίον, καὶ ὁ κλῆρος τοῦ παιδίου

τούτου

κερδαίνουσι.

— ουτοι;

ἀντίδοσις

ἡμῖν

τούτοις

Ἰωσήπου

ὑπὸ

ἀπαγωγάς.

ἐννοοῦν.

Ματθ. ι. κθ.

τούτου ταύτης οὔσης τοῦ Βενιαμίν (ἡ γὰρ Ῥαμᾶ τῆς Βενιαμίτιδος ἦν φυλῆς) ἀπό τε τοῦ φυλάρχου, ἀπό τε τοῦ τόπου τῆς ταφῆς εἰκότως αὐτῆς τὰ παιδία τὰ σφαγιασθέντα καλεῖ. Εἶτα δεικνὺς ὅτι ἀνίατον ἦν τὸ συμβὰν ἕλκος καὶ ὠμόν, φησίν· οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. πάλιν κἀντεῦθεν παιδευόμεθα τοῦτο, ὅπερ ἔμπροσθεν ἔλεγον, τὸ μηδέποτε θορυβεῖσθαι, ὅταν τῇ τοῦ Θεοῦ ὑποσχέσει τὰ γινόμενα ἐναντία ᾖ. ἰδοὺ γοῦν παραγινομένου αὐτοῦ ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ, μᾶλλον δὲ ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, οἷα γέγονε τὰ προοίμια; "ἐν φυγῇ μὲν [γὰρ] ἡ μήτηρ, συμφοραῖς δὲ ἀνηκέστοις ἡ πατρὶς περιπίπτει, καὶ τολμᾶται φόνος πάντων φόνων ὁ πικρότατος, καὶ θρῆνος καὶ ὀδυρμὸς πολύς, καὶ οἰμωγαὶ πανταχοῦ. ἀλλὰ μὴ ταραχθῇς. εἴωθε γὰρ ἀεὶ διὰ τῶν ἐναντίων τὰς οἰκονομίας τὰς ἑαυτοῦ πληροῦν, μεγίστην ἐντεῦθεν τῆς αὐτοῦ δυνάμεως παρεχόμενος ἡμῖν ἀπόδειξιν. οὕτω καὶ τοὺς μαθητὰς ἦγε τοὺς ἑαυτοῦ, καὶ κατορθοῦν πάντα παρεσκεύαζε, διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομῶν, ἵνα μεῖζον τὸ θαῦμα γίνηται. μαστιζόμενοι γοῦν κἀκεῖνοι καὶ ἐλαυνόμενοι, καὶ μυρία πάσχοντες δεινά, οὕτω τῶν μαστιζόντων καὶ ἐλαυνόντων περιεγίνοντο.

γρ. φεύγει

19 Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ*,

* ἐν Αἰγύπτῳ

20 Λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. Οὐκέτι φησί, φεῦγε, ἀλλὰ πορεύου. Εἶδες πάλιν μετὰ τὸν πειρασμὸν ἄνεσιν, εἶτα μετὰ τὴν ἄνεσιν κίνδυνον πάλιν. τῆς μὲν γὰρ παροικίας ἀφείθη καὶ πρὸς τὴν οἰκείαν ἐπανῆλθε χώραν, καὶ τὸν φονέα τῶν παίδων σφαγιασθέντα εἶδεν. ἐπιβὰς δὲ τῆς "οἰκείας, πάλιν λείψανα τῶν προτέρων εὑρίσκει κινδύνων, τὸν υἱὸν τοῦ τυράννου ζῶντα, καὶ βασιλεύοντα. καὶ πῶς Ἀρχέλαος ἐβασίλευσε τῆς Ἰουδαίας, Ποντίου Πιλάτου ἡγεμονεύοντος; πρόσφατος ἦν ἡ τελευτὴ γεγενημένη, καὶ οὐδέπω εἰς πολλὰ ἦν διαιρεθεῖσα ἡ βασιλεία· ἀλλ᾽ ὡς ἄρτι καταλύσαντος ἐκείνου τὸν βίον, τέως ὁ υἱὸς τὴν ἀρχὴν κατεῖχεν ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ. καὶ γὰρ καὶ τῷ ἀδελφῷ αὐτοῦ τοῦτο ὄνομα ἦν. "διὰ τοῦτο προσέθηκεν ὁ εὐαγγελιστής,

γρ. οἰκίας

γρ. διὸ

22 Ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ. Ἀλλ᾽ εἰ τὴν Ἰουδαίαν ἐδεδοίκει, φησί, καταλαβεῖν διὰ τὸν Ἀρχέλαον, ἔδει καὶ τὴν Γαλιλαίαν διὰ τὸν Ἡρώδην φοβηθῆναι. ἀλλ᾽ εἰ τὸ χωρίον ἤμειψε, τὸ πρᾶγμα συνεσκιάζετο λοιπόν. ἡ γὰρ ὁρμὴ πᾶσα κατὰ τῆς Βηθλεὲμ ἦν καὶ τῶν ὁρίων αὐτῆς. τῆς τοίνυν σφαγῆς γενομένης, ᾤετο λοιπὸν ὁ "παῖς Ἀρχέλαος ἐσχηκέναι τέλος τὸ πᾶν, καὶ ἐν τοῖς πολλοῖς καὶ τὸν ζητούμενον "ἀναιρεθῆναι. ἄλλως δὲ καὶ τὸν πατέρα οὕτω καταλύσαντα τὸν βίον ἰδών, εὐλαβέστερος πρὸς τὸ περαιτέρω προελθεῖν ἐγίνετο, καὶ ἐπαγωνίσασθαι τῇ παρανομίᾳ. ἔρχεται τοίνυν ὁ Ἰωσὴφ εἰς τὴν Ναζαρέτ, ὁμοῦ τε τὸν κίνδυνον φεύγων, ὁμοῦ τε ἐμφιλοχωρῶν τῇ πατρίδι· ἵνα δὲ μᾶλλον θαρρῇ, καὶ χρηματισμὸν δέχεται παρὰ τοῦ ἀγγέλου περὶ τούτου. καὶ μὴν ὁ Λουκᾶς οὔ φησι κατὰ "χρηματισμὸν ἐληλυθέναι αὐτὸν ἐκεῖ, ἀλλ᾽ ὅτι τὸν "καθαρισμὸν πληρώσαντες πάντα, ὑπέστρεψαν εἰς Ναζαρέτ. τί οὖν ἐστιν εἰπεῖν; ὅτι τὸν χρόνον τὸν πρὸ τῆς καθόδου τῆς εἰς Αἴγυπτον ἱστορῶν ὁ Λουκᾶς ταῦτα λέγει. οὐδὲ γὰρ ἂν πρὸ τοῦ καθαρμοῦ κατήγαγεν αὐτοὺς ἐκεῖσε, ὥστε μηδὲν γίνεσθαι παράνομον, ἀλλ᾽ ἔμεινε καθαρθῆναι καὶ ἐλθεῖν εἰς Ναζαρέτ, καὶ τότε καταβῆναι εἰς Αἴγυπτον· εἶτα μετὰ τὸ ἀνελθεῖν, κελεύει αὖθις εἰς τὴν Ναζαρὲτ ἐλθεῖν. πρὸ δὲ τούτου οὐκ ἦσαν χρηματισθέντες ἐκεῖσε ἐλθεῖν, ἀλλ᾽ ἐμφιλοχωροῦντες τῇ πατρίδι, αὐτομάτως τοῦτο ἐποίουν. ἐπειδὴ γὰρ δι᾽ οὐδὲν ἕτερον, ἢ διὰ τὴν ἀπογραφὴν ἀνέβησαν, καὶ "οὐδὲ που στῆναι εἶχον, πληρώσαντες δι᾽ ὅπερ ἀνῆλθον, κατέβησαν εἰς τὴν Ναζαρέτ. διὰ δὴ τοῦτο καὶ ὁ ἄγγελος αὐτοὺς λοιπὸν ἀναπαύων ἀποδίδωσι "τῇ οἰκίᾳ· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ αὐτὸ μετὰ προφητείας ποιεῖ.

γρ. υἱὸς

γρ. ἀναιρεῖσθαι

γρ. χρησμὸν

γρ. καθαρμὸν

γρ. οὐδὲ στῆναι που εἶχον

γρ. τὴν οἰκίαν

23 Ἵνα πληρωθῇ γάρ, φησι, τὸ ῥηθὲν "ὑπὸ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

γρ. διὰ

θήσεται. Καὶ ποῖος προφήτης τοῦτο εἶπε; μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει. πολλὰ γὰρ τῶν προφητικῶν ἠφάνισται βιβλίων. καὶ ταῦτα ἐκ τῆς ἱστορίας τῶν παραλειπομένων ἴδοι τις ἄν. ῥᾴθυμοι γὰρ ὄντες καὶ εἰς ἀσέβειαν συνεχῶς ἐμπίπτοντες, τὰ μὲν ἠφίεσαν ἀπόλλυσθαι, τὰ δὲ αὐτοὶ κατέκαιον καὶ κατέκοπτον. καὶ τὸ μὲν Ιερεμίας διηγεῖται· τὸ δὲ ὁ τὴν τετάρτην συνθεὶς τῶν βασιλειῶν, λέγων μετὰ πολὺν χρόνον μόλις τὸ δευτερονόμιον εὑρῆσθαι ″κατορωρυγμένον που καὶ ἠφανισμένον. εἰ δὲ οὐκ ὄντος βαρβάρου, οὕτω τὰ βιβλία προὔδωκαν, πολλῷ μᾶλλον τῶν βαρβάρων ἐπελθόντων. ἐπεὶ ὅτι γε προεῖπον οἱ προφῆται, καὶ οἱ ἀπόστολοι πολλαχοῦ Ναζωραῖον [αὐτὸν] καλοῦσι. τοῦτο οὖν συνεσκίαζε τὴν προφητείαν, φησί, τὴν περὶ τῆς Βηθλεέμ; οὐδαμῶς· ἀλλ᾽ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐκίνει, καὶ πρὸς τὴν ἔρευναν διήγειρε τῶν περὶ αὐτοῦ λεγομένων. οὕτω γοῦν καὶ ὁ Ναθαναὴλ πρὸς τὴν ζήτησιν ἔρχεται τὴν περὶ αὐτοῦ, λέγων· Εκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; καὶ γὰρ ἦν εὐτελὲς τὸ χωρίον· μᾶλλον δὲ οὐ τὸ χωρίον μόνον, ἀλλὰ καὶ ἅπαν τὸ μέρος τῆς Γαλιλαίας. διὰ τοῦτο ἔλεγον οἱ Φαρισαῖοι· Ερώτησον, καὶ ἴδε ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται.

κατορυγ-μένον

Ιω.α.μϛ.

Ιω.ζ.ιβ.

ΗΘΙΚΟΝ

Ἀλλ᾽ ὅμως αὐτὸς οὐδὲ ἐντεῦθεν ἐπαισχύνεται καλεῖσθαι, δεικνὺς ὅτι οὐδενὸς δεῖται τῶν ἀνθρωπίνων. καὶ τοὺς μαθητὰς δὲ ἐκ τῆς Γαλιλαίας ἐκλέγεται, πανταχοῦ τὰς σκήψεις περικόπτων τῶν ῥᾳθυμεῖν βουλομένων, καὶ δεικνὺς ὅτι οὐδενὸς ἡμῖν τῶν ἔξωθεν δεῖ, ἐὰν ἀρετὴν ἀσκήσωμεν. διὰ τοῦτο οὐδὲ οἰκίαν ἐκλέγεται· Ο γὰρ υἱὸς τοῦ ἀνθρώπου, φησίν, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ· καὶ Ηρώδου ἐπιβουλεύοντος φεύγει, καὶ ἐν φάτνῃ τεχθεὶς ἀνακλίνεται, καὶ ἐν καταλύματι μένει, καὶ μητέρα εὐτελῆ λαμβάνει, διδάσκων ἡμᾶς μηδὲν ″τούτων αἰσχρὸν εἶναι νομίζειν, καὶ τὸν ἀνθρώπινον καταπατῶν ἐκ προοιμίων τῦφον, καὶ μόνης εἶναι τῆς ἀρετῆς κελεύων. τί γὰρ ἐπὶ πατρίδι μέγα φρονεῖς, ὅταν πάσης τῆς οἰκουμένης ξένον εἶναί σε κελεύω, φησίν; ὅταν ἐξῇ σοι γενέσθαι τοιοῦτον, ὡς τὸν κόσμον ἅπαντα μὴ εἶναί σου ἄξιον; οὕτω γὰρ ταῦτα ″εὐκαταφρόνητα, ὡς μηδὲ παρὰ τοῖς φιλοσοφοῦσι τῶν Ελλήνων ἀξιοῦσθαι λόγου τινός, ἀλλὰ τὰ ἐκτὸς καλεῖσθαι, καὶ τὴν ἐσχάτην χώραν κατέχειν. καίτοιγε ὁ Παῦλος καταδέχεται, φησιν, οὕτω λέγων· Κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας. ἀλλ᾽ εἰπέ, πότε, καὶ περὶ τίνων, καὶ πρὸς τίνας διαλεγόμενος; πρὸς [γὰρ] τοὺς ἐξ ἐθνῶν ″μέγα φυσῶντας ἐπὶ τῇ πίστει, καὶ τῶν Ιουδαίων κατεξανισαμένοις, καὶ ταύτῃ μειζόνως αὐτοὺς ἀπορρηγνῦντας, καταστέλλων μὲν ἐκείνων τὸ φύσημα, τούτους δὲ ἐφελκόμενος καὶ πρὸς τὸν αὐτὸν διεγείρων ζῆλον. ἐπεὶ ὅταν περὶ τῶν γενναίων ἐκείνων καὶ μεγάλων ἀνδρῶν λέγῃ, ἄκουσον πῶς φησιν· Οἱ δὲ ταῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ᾽ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ ἑτέρας κρείττονος ὀρέγονται. καὶ πάλιν· Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. καὶ Ιωάννης δὲ τοῖς πρὸς αὐτὸν ἐρχομένοις ἔλεγε· Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Αβραάμ. καὶ ὁ Παῦλος πάλιν· Ου γὰρ πάντες οἱ ἐξ Ισραήλ, οὗτοι Ισραήλ, οὐδὲ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ. τί γὰρ οἱ τοῦ Σαμουὴλ ἀπώναντο παῖδες, εἰπέ μοι, τῆς εὐγενείας τοῦ πατρός, μὴ γενόμενοι τῆς ἀρετῆς τοῦ πατρὸς κληρονόμοι; τί δὲ οἱ τοῦ Μωϋσέως ἐκέρδανον, μὴ ζηλώσαντες αὐτοῦ τὴν ἀκρίβειαν; οὐκοῦν οὐδὲ διεδέξαντο τὴν ἀρχήν· ἀλλ᾽ ″οὗτοι μὲν αὐτὸν ἐπεγράφοντο πατέρα, ἡ δὲ δημαγωγία πρὸς ἕτερον μετέβαινε, τὸν κατ᾽ ἀρετὴν αὐτοῦ γενόμενον υἱόν. τί δὲ ὁ Τιμόθεος πατρὸς Ἕλληνος ὢν ἐβλάβη; τί δαὶ αὖ πάλιν ὁ τοῦ Νῶε υἱὸς ἐκέρδανε ἐκ τῆς τοῦ πατρὸς ἀρετῆς, δοῦλος ἀντ᾽ ἐλευθέρου γενόμενος; εἶδες πῶς οὐκ ἀρκεῖ πατρὸς εὐγένεια τοῖς γενομένοις εἰς προστασίαν; ἡ γὰρ κακία τῆς προαιρέσεως τοὺς τῆς φύσεως ἐνίκησε νόμους· καὶ οὐ μόνον αὐτὸν τῆς εὐγενείας τῆς πρὸς τὸν γεγεννηκότα, ἀλλὰ καὶ τῆς ἐλευθερίας ἐξέβαλε.

τοιοῦτον ἀλ. τούτων

σοι κατα-φρόνητα,

μεγάλα

αὐτοὶ

Λουκ.θ.νη.

Γω.ια.κη.

Εβ.ια.ιδ.

Εβ.ια.ιγ.

Λουκ.γ.η.

Ρω.θ.ϛ.η.

Τί δὲ οὐχὶ καὶ ὁ Ἡσαῦ υἱὸς ἦν τοῦ Ἰσαάκ, καὶ τὸν γεννήσαντα εἶχε προϊστάμενον αὐτοῦ; καὶ γὰρ καὶ ὁ πατὴρ ἐσπούδαζε καὶ ἐπεθύμει μεταγεῖν" αὐτὸν τὴν εὐλογίαν, καὶ αὐτὸς ὑπὲρ τούτου τὰ κελευσθέντα πάντα ἐποίει· ἀλλ' ὅμως ἐπειδὴ σκαιὸς ἦν, οὐδὲν αὐτὸν τούτων ὤνησεν· ἀλλὰ καὶ τῇ φύσει" πρότερος ὤν, καὶ τὸν πατέρα μεθ' ἑαυτοῦ πάντα ὑπὲρ τούτου πράττοντα ἔχων, ἐπειδὴ τὸν Θεὸν οὐκ εἶχε μεθ' ἑαυτοῦ, πάντων ἐξέπεσε. καὶ τί λέγω τοὺς ἀνθρώπους; υἱοὶ τοῦ Θεοῦ γεγόνασιν οἱ Ἰουδαῖοι, καὶ οὐδὲν ἀπὸ τῆς εὐγενείας ταύτης ἐκέρδαναν. εἰ δὲ υἱὸς τοῦ Θεοῦ τις γενόμενος, ἂν μὴ τῆς εὐγενείας ταύτης ἀρετὴν ἐπιδείξηται ἀξίαν λόγου, καὶ κολάζεται μειζόνως, τί μοι προγόνων καὶ πάππων εὐγένειαν προφέρεις εἰς μέσον; οὐδὲ γὰρ ἐν τῇ παλαιᾷ μόνον, ἀλλὰ καὶ ἐν τῇ καινῇ τοῦτο κεκρατηκὸς εὕροι τις ἄν. Ιω α. β. Ὅσοι γὰρ ἔλαβον αὐτόν, φησιν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· ἀλλ' ὅμως τῶν τέκνων τούτων πολλοὺς ἔφησε μηδὲν ὠφελεῖσθαι παρὰ τοῦ πατρὸς ὁ Παῦλος. Γαλ. ε. β. Ἐὰν γὰρ περιτέμνησθε, φησι, Χριστὸς ὑμᾶς οὐδὲν" ὠφελήσει. Εἰ δὲ Χριστὸς οὐδὲν ὠφελεῖ τοὺς μὴ βουλομένους ἑαυτοῖς προσέχειν, πῶς ἂν ἄνθρωπος προστήσεται; μὴ τοίνυν μήτε ἐπ' εὐγενείᾳ, μήτε ἐπὶ πλούτῳ μέγα φρονῶμεν, ἀλλὰ καὶ καταφρονῶμεν τῶν οὕτω διακειμένων· μήτε ἐπὶ πενίᾳ καταπίπτωμεν, ἀλλ' ἐκεῖνον ζητῶμεν τὸν πλοῦτον, τὸν ἐν ἔργοις ἀγαθοῖς· ἐκείνην φεύγωμεν τὴν πενίαν, τὴν ἐν κακίᾳ καθιστῶσαν ἡμᾶς, δι' ἣν καὶ ὁ πλούσιος ἐκεῖνος πένης ἦν· διόπερ οὐδὲ σταγόνος ἐγένετο κύριος, καὶ ταῦτα πολλὴν θεὶς ἱκετηρίαν. καί τοι τίς ἂν οὕτω γένοιτο πένης παρ' ἡμῖν, ὡς καὶ ὕδατος πρὸς ἀπόλαυσιν ἀπορεῖν; οὐκ ἔστιν οὐδείς. καὶ γὰρ [καὶ] οἱ ἔσχατα λιμῷ τηκόμενοι, σταγόνος ἀπολαῦσαι δύνανται· καὶ οὐδὲ σταγόνος μόνης, ἀλλὰ καὶ πολλῷ πλείονος ἄλλης παραμυθίας. ἀλλ' οὐχ ὁ πλούσιος ἐκεῖνος, ἀλλὰ καὶ μέχρι τούτου πένης ἦν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ παραμυθήσασθαί ποθεν τὴν πενίαν" ἠδύνατο. τί τοίνυν περὶ τὰ χρήματα κεχήναμεν, ὅταν εἰς τὸν οὐρανὸν ἡμᾶς μὴ" εἰσάγῃ; εἰπὲ γάρ μοι· εἰ βασιλεύς τις τῶν ἐπὶ γῆς εἶπεν, ὅτι τὸν πλουτοῦντα ἀμήχανον ἐν βασιλείοις λάμψαι, ἢ τιμῆς ἀπολαῦσαί τινος, ἆρα οὐκ ἂν ἅπαντες ἀτιμάσαντες ἐρρίψατε τὰ χρήματα; εἶτα, ἂν μὲν τῆς ἐν τοῖς κάτω βασιλείοις τιμῆς ἡμᾶς ἐκβάλλῃ, εὐκαταφρόνητα ἔσται· τοῦ δὲ τῶν οὐρανῶν βασιλέως καθ' ἑκάστην ἡμέραν βοῶντος καὶ λέγοντος, ὅτι δύσκολον μετ' αὐτῶν ἐπιβῆναι τῶν προθύρων ἐκείνων τῶν ἱερῶν, οὐ παρησόμεθα πάντα, καὶ ἀποστησόμεθα πάντων τῶν ὄντων, ἵνα μετὰ παρρησίας εἰς τὴν βασιλείαν εἰσέλθωμεν; καὶ ποίας ἄξιοι συγγνώμης ἐσμέν, τὰ ἀποτειχίζοντα τὴν ἐκεῖσε" εἴσοδον μετὰ πολλῆς περιβαλλόμενοι σπουδῆς, καὶ οὐ μόνον ἐν κιβωτίοις, ἀλλὰ καὶ ἐν γῇ κατακρύπτοντες, παρὸν ἐν τῇ τῶν οὐρανῶν" παραδοῦναι φυλακῇ; ὡς νῦν γε τὸ αὐτὸ ποιεῖς, οἷον ἂν εἴ τις γεωργὸς σῖτον λαβὼν ὥστε σπεῖραι * λιπαρὰν ἄρουραν, ἀφεὶς τὴν ἄρουραν, εἰς λάκκον τὸν σῖτον πάντα κατορύξῃ, ἵνα μήτε αὐτὸς ἀπολαύσῃ, καὶ ὁ σῖτος διαφθαρεὶς ἀπόληται). ἀλλὰ τίς ὁ πολὺς λόγος αὐτῶν, ὅταν ταῦτα ἐγκαλῶμεν ἡμεῖς; οὐ μικράν τινα παραμυθίαν, φησί, φέρει τὸ εἰδέναι, ὅτι μετὰ ἀσφαλείας ἡμῖν ἀπόκειται ἔνδον ἅπαντα. τὸ μὴ εἰδέναι μὲν οὖν, ὅτι ἀπόκειται, παραμυθία. εἰ γὰρ καὶ μὴ λιμὸν δέδοικας, ἀλλ' ἕτερα χαλεπώτερα διὰ τὴν ἀποθήκην ταύτην δεδοικέναι ἀνάγκη, θανάτους, πολέμους, ἐπιβουλάς. εἰ δὲ λιμός ποτε καταλάβοι, πάλιν ὁ δῆμος ὑπὸ τῆς γαστρὸς καταναγκαζόμενος, τὴν δεξιὰν ὁπλίζει κατὰ τῆς * οἰκίας. μᾶλλον δέ, ὅταν ταῦτα ποιῇς, σὺ καὶ τὸν λιμὸν" εἰσφέρεις εἰς τὰς πόλεις, καὶ τοῦ λιμοῦ χαλεπώτερον τουτὶ τὸ βάραθρον τῇ σῇ κατασκευάζεις οἰκίᾳ. λιμοῦ μὲν γὰρ ἀνάγκῃ οὐκ οἶδά τινας τετελευτηκότας ταχέως (καὶ γὰρ ἐστὶ πολλὰ πολλαχόθεν ἐπινοῆσαι πρὸς τὴν τοῦ κακοῦ τούτου παραμυθίαν) διὰ δὲ χρήματα καὶ πλοῦτον καὶ τὰς τοιαύτας πραγματείας, πολλοὺς ἀνῃρημένους δείκνυμι, τοὺς μὲν λάθρᾳ, τοὺς δὲ δημοσίᾳ. καὶ πολλῶν μὲν τοιούτων παραδειγμάτων γέμουσιν αἱ ὁδοί, πολλῶν δὲ τὰ δικαστήρια καὶ αἱ ἀγοραί. καὶ τί λέγω τὰς ὁδοὺς καὶ τὰ δικαστήρια καὶ τὰς ἀγοράς; καὶ γὰρ τὴν

θάλατταν

γρ. δεῖ
γρ. αὐτῷ
γρ. πρότερος
γρ. ὠφελεῖ.
γρ. δυνατὸν
γρ. εἰσάγει
γρ. οὐδὲ
γρ. παραδοῦναι αὐτὰ φυλ.
* εἰς
* σῆς
γρ. εἰσάγεις

θάλατταν αὐτὴν ὄψει τῶν τοιούτων αἱμάτων ἐμπεπλησμένην. οὐ γὰρ διὰ γῆς ἐκράτησε μόνον ἡ τυραννὶς αὕτη, ἀλλὰ καὶ εἰς τὸ πέλαγος μετὰ πολλῆς εἰσεκώμασε τῆς παρρησίας. καὶ ὁ μὲν πλεῖ διὰ χρυσὸν, ὁ δὲ σφάττεται δι᾽ αὐτὸ τοῦτο πάλιν· καὶ ἡ αὐτὴ τυραννὶς, τὸν μὲν ἔμπορον ἐποίησε, τὸν δὲ ἀνδροφόνον. τί τοίνυν ἀπιστότερον γένοιτ᾽ ἂν τοῦ μαμωνᾶ, ὅταν δι᾽ αὐτὸν ἀποδημῇ καὶ κινδυνεύῃ καὶ σφάττηται; Ἀλλὰ τίς ἐλεήσει, φησὶν, ἐπαοιδὸν ὀφιόδηκτον; ἔδει γὰρ εἰδότας τὴν ὠμὴν τυραννίδα, φεύγειν τὴν δουλείαν, καὶ καταλῦσαι τὸν χαλεπὸν ἔρωτα. καὶ πῶς, φησὶ, τοῦτο δυνατόν; ἂν ἕτερον εἰσαγάγῃς ἔρωτα, τὸν τῶν οὐρανῶν. ὁ γὰρ ἐπιθυμῶν βασιλείας, καταγελάσεται πλεονεξίας, ὁ γενόμενος τοῦ Χριστοῦ δοῦλος, οὐκ ἔσται δοῦλος τοῦ μαμωνᾶ, ἀλλὰ καὶ δεσπότης. τὸν μὲν γὰρ φεύγοντα, διώκειν εἴωθε· τὸν δὲ διώκοντα, φεύγειν· οὐχ οὕτω τὸν διώκοντα τιμᾷ, ὡς τὸν καταφρονοῦντα αὐτοῦ· οὐδενὸς οὕτω καταγελᾷ, ὡς τῶν ἐπιθυμούντων αὐτοῦ· οὐ καταγελᾷ δὲ μόνον, ἀλλὰ καὶ μυρίοις αὐτοὺς περιβάλλει δεσμοῖς. λύσωμεν οὖν ὀψέ ποτε τὰς χαλεπὰς ταύτας σειράς. τί καταδουλοῖς τὴν λογικὴν ψυχὴν τῇ ἀλόγῳ ὕλῃ, τῇ μητρὶ τῶν μυρίων κακῶν; ἀλλ᾽ ὢ τοῦ γέλωτος· ἡμεῖς μὲν γὰρ αὐτῷ πολεμοῦμεν λόγοις, αὐτὸς δὲ ἡμῖν πολεμεῖ διὰ τῶν ἔργων, καὶ ἄγει πανταχοῦ καὶ περιφέρει, καθάπερ ἀργυρωνήτους καὶ μαστιγίας ἀτιμάζων· οὗ τί γένοιτ᾽ ἂν αἴσχιόν τε καὶ ἀτιμότερον; εἰ γὰρ ὑλῶν ἀναισθήτων οὐ περιγινόμεθα, πῶς τῶν ἀσωμάτων περιεσόμεθα δυνάμεων; εἰ τῆς εὐτελοῦς [ὕλης] οὐ καταφρονοῦμεν καὶ λίθων ἀπερριμμένων, πῶς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ὑποτάξομεν; πῶς σωφροσύνην ἀσκήσομεν; εἰ γὰρ ἄργυρος καταλάμπων ἡμᾶς ἐκπλήττει, πότε κάλλος ὄψεως δυνησόμεθα παραδραμεῖν; καὶ γὰρ οὕτω τινὲς ἐκδεδομένοι πρὸς ταύτην εἰσὶ τὴν τυραννίδα, ὡς καὶ πρὸς αὐτὴν πάσχειν τι τοῦ χρυσίου τὴν ὄψιν, καὶ χαριεντιζόμενοι λέγειν, ὅτι καὶ ὀφθαλμοὺς ὠφελεῖ νόμισμα χρυσοῦν φαινόμενον. ἀλλὰ μὴ παῖζε τοιαῦτα, ἄνθρωπε. οὐδὲν γὰρ οὕτως ἀδικεῖ ὀφθαλμοὺς, καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς ψυχῆς, ὡς ἡ τούτων ἐπιθυμία. οὗτος γοῦν ὁ χαλεπὸς ἔρως τῶν παρθένων ἐκείνων τὰς λαμπάδας ἔσβεσε, καὶ τοῦ νυμφῶνος ἐξέβαλεν. αὕτη ἡ ὄψις, ἡ τοὺς ὀφθαλμοὺς ὠφελοῦσα, καθὼς ἔφης, τὸν ἄθλιον Ἰούδαν οὐκ ἀφῆκεν ἀκοῦσαι τῆς δεσποτικῆς φωνῆς, ἀλλὰ καὶ εἰς βρόχον ἤγαγε, καὶ μέσον λακῆσαι πεποίηκε, καὶ μετ᾽ ἐκεῖνα πάντα, εἰς γέενναν παρέπεμψε. τί τοίνυν ταύτης παρανομώτερον γένοιτ᾽ ἄν; τί δὲ φρικωδέστερον; οὐ τῆς ὕλης τῶν χρημάτων λέγω, ἀλλὰ τῆς ἐπιθυμίας αὐτῶν τῆς ἀκαίρου καὶ μανικῆς. καὶ γὰρ αἱμάτων ἀνθρωπίνων στάζει, καὶ φόνον βλέπει, καὶ θηρίου παντός ἐστι χαλεπωτέρα, καὶ σπαράττουσα τοὺς ἐμπεσόντας, καὶ ὃ πολλῷ χεῖρόν ἐστιν, οὐδὲ τῶν σπαραττομένων ἀφίησιν αἰσθάνεσθαι τούτων. δέον γὰρ οὕτω τοὺς τὰ τοιαῦτα πάσχοντας, καὶ πρὸς τοὺς παριόντας χεῖρα ἐκτείνειν καὶ εἰς συμμαχίαν καλεῖν· οἱ δὲ καὶ χάριν ἔχουσι τούτων τῶν ἑλκηθμῶν· οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτερον; ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, φύγωμεν τὴν ἀνίατον νόσον, θεραπεύσωμεν αὐτῆς τὰ * ῥήγματα, καὶ μακρὰν ἀποστῶμεν τῆς τοιαύτης λύμης· ἵνα καὶ ἐνταῦθα ἀσφαλῆ καὶ ἀτάραχον ζήσωμεν βίον, καὶ τῶν μελλόντων ἐπιτύχωμεν θησαυρῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. ιβ. ιγ.

Ὁμιλ. ι.

1 ΕΝ ΤΑΙΣ ΗΜΕΡΑΙΣ ΕΚΕΙΝΑΙΣ ΠΑΡΑΓΙνεται Ἰωάννης ὁ Βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας,

2 Καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

ΠΟίαις ἡμέραις ἐκείναις; οὐδὲ γὰρ τότε, ἡνίκα παῖς ἦν, καὶ εἰς Ναζαρὲτ
ἦλθεν, ἀλλὰ μετὰ τριάκοντα ἔτη παραγίνεται ὁ Ἰωάννης,
καθὼς καὶ ὁ Λουκᾶς μαρτυρεῖ. πῶς οὖν φησιν, ἐν ταῖς ἡμέραις ἐκείναις;
ἔθος ἀεὶ τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ· οὐχ ὅταν τὰ
ἐν τῷ ἑξῆς χρόνῳ συμβαίνοντα λέγῃ μόνον, ἀλλ᾽ ὅταν καὶ τὰ πολλοῖς
ὕστερον ἔτεσιν ἐκβησόμενα. οὕτω γοῦν καὶ ἡνίκα ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν
αὐτῷ καθημένῳ προσῆλθον οἱ μαθηταί, καὶ περὶ τῆς παρουσίας αὐτοῦ μαθεῖν ἐζήτουν,
καὶ τῆς τῶν Ἱεροσολύμων ἁλώσεως· καίτοιγε ἴστε ὅσον τὸ μέσον ἑκατέρων τῶν καιρῶν. εἰπὼν
γὰρ τὴν κατασκαφὴν τῆς μητροπόλεως, καὶ τὸν περὶ τούτων ἀπαρτίσας λόγον, καὶ μέλλων
εἰς τὸν περὶ τῆς συντελείας ἐκβαίνειν, ἐπήγαγε· τότε καὶ ταῦτα ἔσται· οὐ συνάγων
τοὺς χρόνους τῷ τότε εἰπεῖν, ἀλλ᾽ ἐκεῖνον μόνον δηλῶν τὸν καιρόν, ἐν ᾧ ταῦτα συμβήσεσθαι
ἔμελλεν. ὅπερ καὶ νῦν ποιεῖ, λέγων· ἐν ταῖς ἡμέραις ἐκείναις. οὐ γὰρ τὰς ἑξῆς δηλῶν, τοῦτο τέθεικεν,
ἀλλ᾽ ἐκείνας, ἐν αἷς ταῦτα συμβαίνειν ἔμελλεν, ἃ διηγήσασθαι παρεσκευάζετο. καὶ τίνος
ἕνεκεν μετὰ τριάκοντα ἔτη, φησίν, ἐπὶ τὸ βάπτισμα ἦλθεν ὁ Ἰησοῦς; λύειν τὸν νόμον ἔμελλε μετὰ
τὸ βάπτισμα τοῦτο λοιπόν. διὰ τοῦτο μέχρι ταύτης τῆς ἡλικίας τῆς πάντα δεχομένης τὰ
ἁμαρτήματα, μένει αὐτὸν πληρῶν ἅπαντα, ἵνα μηδεὶς λέγῃ, ὅτι διὰ τὸ μὴ δυνηθῆναι αὐτὸν
πληρῶσαι ἔλυσεν. οὐδὲ γὰρ ἀεὶ πάντα ἡμῖν ἐπιτίθεται τὰ πάθη· ἀλλ᾽ ἐν μὲν τῇ πρώτῃ
ἡλικίᾳ πολὺ τὸ ἀνόητον καὶ μικρόψυχον· ἐν δὲ τῇ μετ᾽ ἐκείνην σφοδροτέρα ἡ ἡδονή· καὶ μετὰ
ταύτην πάλιν, ἡ τῶν χρημάτων ἐπιθυμία. διὰ τοῦτο πᾶσαν τὴν ἡλικίαν ἀναμείνας, καὶ διὰ
πάσης πληρώσας αὐτόν, οὕτως ἐπὶ τὸ βάπτισμα ἔρχεται, ὕστερον αὐτὸ ἐπιτιθεὶς τῇ τῶν ἄλλων
ἐντολῶν ἐκπληρώσει. ὅτι γὰρ τοῦτο ἔσχατον ἦν αὐτῷ κατόρθωμα τῶν νομίμων, ἄκουσον
τί φησιν· οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. ὃ δὲ λέγει, τοιοῦτόν
ἐστι· πάντα ἠνύσαμεν τὰ νομικά, οὐδεμίαν παρέβημεν ἐντολήν. ἐπεὶ οὖν τοῦτο περιλείπεται
μόνον, δεῖ καὶ τοῦτο προστεθῆναι, καὶ οὕτω πᾶσαν πληρώσομεν τὴν δικαιοσύνην. δικαιοσύνην γὰρ ἐνταῦθα,
τὴν ἐκπλήρωσιν καλεῖ τῶν ἐντολῶν ἁπασῶν. ἀλλ᾽ ὅτι μὲν ὁ Χριστὸς διὰ τοῦτο ἐπὶ τὸ βάπτισμα ἦλθε,
δῆλον ἐκ τούτου. τίνος δὲ ἕνεκεν τὸ βάπτισμα αὐτῷ ἐπενοήθη τοῦτο; ὅτι μὲν γὰρ οὐκ οἴκοθεν ὁ Ζαχαρίου
Λυκ. γ. β. παῖς, ἀλλὰ τοῦ Θεοῦ κινήσαντος αὐτόν, ἐπὶ τοῦτο ἦλθε, καὶ ὁ Λουκᾶς αὐτὸ δηλοῖ λέγων· Ῥῆμα
Ἰωάν. α. λγ. Θεοῦ ἐγένετο ἐπ᾽ αὐτόν, τουτέστι, πρόσταγμα. καὶ αὐτὸς δέ φησιν· Ὁ ἀποστείλας με βαπτίζειν ἐν
ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, ὡσεὶ περιστεράν, καὶ μένον ἐπ᾽
αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. τίνος οὖν ἕνεκεν ἐπέμφθη βαπτίζειν; πάλιν
Ἰωάν. α. λα. καὶ τοῦτο ὁ βαπτιστὴς δῆλον ἡμῖν ποιεῖ, λέγων· Ὅτι ἐγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ἵνα φανερωθῇ
τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐν ὕδατι βαπτίζων. καὶ εἰ αὕτη ἦν μόνη ἡ αἰτία, πῶς φησιν
ὁ Λουκᾶς, ὅτι ἦλθεν εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς
ἄφεσιν ἁμαρτιῶν· καίτοιγε οὐκ εἶχεν ἄφεσιν, ἀλλὰ τοῦτο τὸ δῶρον τοῦ μετὰ ταῦτα δοθέντος
βαπτίσματος ἦν; ἐν τούτῳ γὰρ συνετάφημεν, καὶ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος τότε συνεσταυρώθη,
καὶ πρὸ τοῦ σταυροῦ οὐδαμοῦ φαίνεται ἄφεσις οὖσα. πανταχοῦ γὰρ τῷ αἵματι
α. Κορ. ς. ια. αὐτοῦ τοῦτο λογίζεται. καὶ ὁ Παῦλος δέ φησιν· Ἀλλ᾽ ἀπελούσασθε, ἀλλ᾽ ἡγιάσθητε, οὐ
διὰ τοῦ βαπτίσματος Ἰωάννου, ἀλλ᾽ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ
Πράξ. ιθ. δ. πνεύματι τοῦ Θεοῦ ἡμῶν. καὶ ἀλλαχοῦ δέ φησιν· Ἰωάννης μὲν ἐκήρυξε βάπτισμα μετανοίας
(καὶ οὐ λέγει ἀφέσεως) ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτόν. οὔπω γὰρ τῆς θυσίας
προσενηνεγμένης, οὐδὲ τοῦ πνεύματος καταβάντος, οὐδὲ τῆς ἁμαρτίας λυθείσης, οὐδὲ τῆς
ἔχθρας ἀνῃρημένης, οὐδὲ τῆς κατάρας ἀφανισθείσης, πῶς ἔμελλεν ἄφεσις γίνεσθαι; τί οὖν
ἐστι τό, εἰς ἄφεσιν ἁμαρτιῶν; ἀγνώμονες ἦσαν οἱ Ἰουδαῖοι, καὶ τῶν οἰκείων οὐδέποτε ᾐσθάνον-

τὸ ἁμαρτημάτων, ἀλλὰ τοῖς ἐσχάτοις ὄντες ὑπεύθυνοι κακοῖς, ἐδικαίουν ἑαυτοὺς πανταχοῦ· ὅπερ αὐτοὺς μάλιστα ἀπώλεσε καὶ τῆς πίστεως ἀπήγαγε. τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐγκαλῶν αὐτοῖς ἔλεγεν· Ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. καὶ πάλιν, Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ, διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε; διατί; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ᾽ ὡς ἐξ ἔργων. ἐπεὶ οὖν τοῦτο ἦν τὸ αἴτιον τῶν κακῶν, παραγίνεται ὁ Ἰωάννης, οὐδὲν ἕτερον ποιῶν, ἢ εἰς ἔννοιαν αὐτοὺς ἄγων τῶν οἰκείων ἁμαρτημάτων. τοῦτο γοῦν καὶ τὸ σχῆμα αὐτοῦ ἐδήλου, μετανοίας καὶ ἐξομολογήσεως ὄν· τοῦτο καὶ τὸ κήρυγμα ἐδείκνυ. οὐδὲν γὰρ ἄλλο ἔλεγεν, ἀλλ᾽ ἢ, ὅτι ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας. ἐπεὶ οὖν τὸ μὴ καταγινώσκειν τῶν οἰκείων ἁμαρτημάτων, ὡς καὶ ὁ Παῦλος ἐδήλωσεν, ἀποσκιρτᾶν αὐτοὺς ἐποίησε τοῦ Χριστοῦ· τὸ δὲ εἰς ἔννοιαν ἔρχεσθαι, εἰς ἐπιθυμίαν καθίστησι τοῦ τὸν λυτρωτὴν ἐπιζητεῖν καὶ τῆς ἀφέσεως ἐπιθυμεῖν, τοῦτο ἦλθε κατασκευάζων Ἰωάννης καὶ πείθων αὐτοὺς μετανοεῖν· οὐχ ἵνα κολασθῶσιν, ἀλλ᾽ ἵνα τῇ μετανοίᾳ γενόμενοι ταπεινότεροι, καὶ καταγνόντες ἑαυτῶν, εἰς τὸ λαβεῖν τὴν ἄφεσιν δράμωσιν. ὅρα γοῦν πῶς αὐτὸ τέθεικεν ἀκριβῶς. εἰπὼν γὰρ, ὅτι ἦλθε κηρύσσων βάπτισμα μετανοίας ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ἐπήγαγεν, εἰς ἄφεσιν· ὡσανεὶ ἔλεγε, διὰ τοῦτο αὐτοὺς ἔπειθον ὁμολογεῖν καὶ μετανοεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν· οὐχ ἵνα κολασθῶσιν, ἀλλ᾽ ἵνα εὐκολώτερον τὴν μετὰ ταῦτα ἄφεσιν δέξωνται. εἰ μὴ γὰρ κατέγνωσαν ἑαυτῶν, οὐκ ἂν οὐδὲ τὴν χάριν ᾐτησαν· μὴ ζητοῦντες δὲ, οὐκ ἂν οὐδὲ τῆς ἀφέσεως ἔτυχον. ὥστε τοῦτο ἐκείνῳ προοδοποιεῖ τὸ βάπτισμα. διὸ καὶ ἔλεγεν, ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν, μετὰ τῆς εἰρημένης καὶ ταύτην ἑτέραν αἰτίαν τιθεὶς τοῦ βαπτίσματος. οὐδὲ γὰρ ἴσον ἦν περιϊέναι τὰς οἰκίας, καὶ περιάγειν τὸν Χριστὸν τῆς χειρὸς λαβόμενον, καὶ λέγειν, εἰς τοῦτον πιστεύσατε, καὶ πάντων παραγινομένων καὶ ὁρώντων τὴν μακαρίαν ἐκείνην ἀνενεχθῆναι φωνὴν, καὶ τὰ ἄλλα ἐπιτελεσθῆναι ἅπαντα. διὰ τοῦτο ἔρχεται ἐπὶ τὸ βάπτισμα. καὶ γὰρ ἡ τοῦ βαπτίζοντος ὑπόληψις, καὶ ἡ τοῦ πράγματος ὑπόθεσις, πᾶσαν τὴν πόλιν εἷλκε, καὶ πρὸς τὸν Ἰορδάνην ἐκάλει, καὶ θέατρον ἐγένετο μέγα. διὰ τοῦτο αὐτοὺς καὶ παραγινομένους καταστέλλει, καὶ πείθει μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι, δεικνὺς τῶν ἐσχάτων ὄντας ὑπευθύνους κακῶν, εἰ μὴ μετανοήσαιεν, καὶ τοὺς προγόνους ἀφέντες καὶ τὸ ἐπ᾽ ἐκείνοις ἀγάλλεσθαι, δέξωνται τὸν παραγινόμενον. καὶ γὰρ συνεσκίαστο τὰ κατὰ τὸν Χριστὸν τέως, καὶ ἐδόκει τεθνάναι παρὰ πολλοῖς διὰ τὴν εἰς Βηθλεὲμ γεγενημένην σφαγήν. εἰ γὰρ καὶ δώδεκα ἐτῶν γενόμενος ἐξέφηνεν ἑαυτὸν, ἀλλὰ ταχέως καὶ συνεσκίασε πάλιν. διὰ δὴ τοῦτο λαμπροῦ ἔδει τῶν προοιμίων καὶ ὑψηλοτέρας ἀρχῆς. διὸ καὶ πρῶτον τότε, ἃ μηδέποτε ἤκουσαν Ἰουδαῖοι, μήτε παρὰ προφητῶν, μήτε παρ᾽ ἄλλων τινῶν, ἀνακηρύττει λαμπρᾷ τῇ φωνῇ, τῶν οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας μεμνημένος, * οὐδὲν περὶ τῆς γῆς λέγων λοιπόν. βασιλείαν δὲ ἐνταῦθα, τὴν παρουσίαν αὐτοῦ τήν τε προτέραν καὶ τὴν ἐσχάτην λέγει. καὶ τί τοῦτο πρὸς Ἰουδαίους, φησίν; οὐδὲ γὰρ ἴσασι τί λέγεις. διὰ γὰρ τοῦτο οὕτω λέγω, φησὶν, ἵνα ὑπὸ τῆς ἀσαφείας τῶν λεγομένων διεγειρόμενοι, ἔλθωσιν εἰς τὸ ζητῆσαι τὸν κηρυττόμενον. οὕτω γοῦν αὐτοὺς ἐπῆρε ταῖς χρησταῖς ἐλπίσι παραγινομένους, ὡς καὶ τελώνας καὶ στρατιώτας πολλοὺς ἐρωτᾶν, τί δεῖ πράττειν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅπερ ἦν σημεῖον τοῦ τῶν βιωτικῶν λοιπὸν ἀπηλλάχθαι πραγμάτων, καὶ πρὸς ἕτερα μείζονα ὁρᾶν, καὶ τὰ μέλλοντα ὀνειροπολεῖν. καὶ γὰρ ἅπαντα αὐτοὺς, καὶ τὰ ὁρώμενα καὶ τὰ λεγόμενα, εἰς ὑψηλὸν ἦγε φρόνημα. ἐννόησον γοῦν ἡλίκον ἦν ἰδεῖν ἄνθρωπον μετὰ τριάκοντα ἔτη καταβαίνοντα ἀπὸ τῆς ἐρήμου, ἀρχιερέως υἱὸν γενόμενον, μηδὲν δεηθέντα τῶν ἀνθρωπίνων πώποτε, καὶ πάντοθεν ὄντα αἰδέσιμον, καὶ τὸν Ἡσαΐαν ἔχοντα μεθ᾽ ἑαυτοῦ. παρῆν γὰρ καὶ οὗτος αὐτὸν ἀνακηρύττων, καὶ λέγων· οὗτός ἐστιν, ὃν παρέσεσθαι ἔφην βοῶντα, καὶ κατὰ τὴν ἔρημον λαμπρᾷ τῇ φωνῇ κη-

Ρωμ. ι. γ.

Ρωμ. θ. λ.

ρύττοντα ἅπαντα. τοσαύτη γὰρ σπουδὴ τοῖς προφήταις περὶ τούτων ἐγένετο τῶν πραγμάτων, ὡς μὴ τὸν δεσπότην τὸν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὸν μέλλοντα αὐτῷ διακονεῖσθαι ἐκ πολλοῦ προανακηρύττειν τῶν χρόνων· καὶ μὴ μόνον αὐτὸν λέγειν, ἀλλὰ καὶ τὸν τόπον, ἐν ᾧ διατρίβειν ἔμελλε, καὶ τὸν τοῦ κηρύγματος τρόπον, ὃν διδάξαι παραγενόμενος εἶχε, καὶ τὸ ἀπ᾽ αὐτοῦ συμβαῖνον κατόρθωμα. ὅρα γοῦν πῶς ἐπ᾽ αὐτῶν ἔρχονται τῶν νοημάτων, εἰ καὶ μὴ ἐπ᾽ αὐτῶν τῶν ῥημάτων, ὅ τε προφήτης, καὶ ὁ βαπτιστής. ὁ μὲν γὰρ προφήτης φησὶν, ὅτι παρέσται λέγων,

3 Ετοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

Ησ. μ. γ. Αυτὸς δὲ παραγενόμενος ἔλεγε· Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας, ὅπερ ἴσον ἐστὶ ʺ τῷ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. ὁρᾷς ὅτι καὶ δι᾽ ὧν ὁ προφήτης εἶπε, καὶ δι᾽ ὧν αὐτὸς ἐκήρυττεν, ἓν τοῦτο δηλοῦται μόνον, ὅτι προοδοποιῶν παρεγένετο καὶ προετοιμάζων, οὐ τὴν δωρεὰν χαριζόμενος, ὅπερ ἦν ἡ ἄφεσις, ἀλλὰ προπαρασκευάζων τὰς ψυχὰς τῶν μελλόντων δέχεσθαι τὸν τῶν ὅλων Θεόν. ὁ δὲ Λουκᾶς καὶ πλέον τί φησιν. οὐ γὰρ τὸ προοίμιον εἰπὼν ἀπηλλάγη, ἀλλὰ καὶ πᾶσαν τίθησι τὴν προφητείαν. Ησ. μ. δ. Πᾶσα γὰρ φάραγξ, φησὶ, πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. εἶδες πῶς προλαβὼν ὁ προφήτης πάντα εἶπε, καὶ τὴν τοῦ δήμου συνδρομὴν, καὶ τὴν τῶν πραγμάτων ἐπὶ τὸ βέλτιον μεταβολὴν, καὶ τὴν τοῦ κηρύγματος εὐκολίαν, καὶ τὴν αἰτίαν τῶν γινομένων ἁπάντων, εἰ καὶ τροπικώτερον ταῦτα τέθεικε. καὶ γὰρ ἦν προφητεία τὸ λεγόμενον. ὅταν γὰρ εἴπῃ, πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσονται αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ τοὺς ταπεινοὺς ὑψουμένους δείκνυσι, καὶ τοὺς ἀπονενοημένους ταπεινουμένους, καὶ τὴν τοῦ νόμου δυσκολίαν εἰς εὐκολίαν πίστεως μεταβαλλομένην. οὐκ ἔτι γὰρ ἱδρῶτες καὶ πόνοι, φησὶν, ἀλλὰ χάρις καὶ συγχώρησις ἁμαρτημάτων, πολλὴν παρέχουσα τῆς σωτηρίας τὴν εὐκολίαν. εἶτα τὸ αἴτιον τούτων τίθησι, λέγων· ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. οὐκ ἔτι Ἰουδαῖοι καὶ προσήλυτοι μόνον, ἀλλὰ καὶ πᾶσα γῆ καὶ θάλαττα, καὶ ὅλη τῶν ἀνθρώπων ἡ φύσις. διὰ γὰρ τῶν σκολιῶν, πάντα τὸν διεφθαρμένον βίον ᾐνίξατο, τελώνας, καὶ ʺ πόρνους, καὶ λῃστὰς, καὶ μάγους, οἵτινες ὄντες διεστραμμένοι πρότερον, Ματθ. κα. λα. τὴν ὀρθὴν ὕστερον ἐβάδισαν ὁδόν· ὅπερ οὖν καὶ αὐτὸς ἔλεγεν, Οτι τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι ἐπίστευσαν. καὶ δι᾽ ἑτέρων δὲ ἐδήλωσε ῥημάτων ὁ Ησ. ξε. κε. προφήτης πάλιν τὸ αὐτὸ τοῦτο, οὕτω λέγων· Τότε λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. ὥσπερ γὰρ ἐνταῦθα διὰ τῶν βουνῶν καὶ φαράγγων, τὸ ἀνώμαλον ἦθος εἰς μίαν φιλοσοφίας ἰσότητα κίρνασθαι ἔφησεν· οὕτω καὶ ἐκεῖ τοῖς τῶν ἀλόγων ἤθεσι τοὺς διαφόρους τῶν ἀνθρώπων ἐμφαίνων τρόπους, πάλιν εἰς μίαν αὐτοὺς εὐσεβείας συμφωνίαν συνάπτεσθαι ἔλεγε· Ησ. ια. ι. καὶ ἐκεῖ πάλιν τὴν αἰτίαν τιθείς· αὕτη δέ ἐστιν. Εσται γὰρ, φησιν, ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, καὶ ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν· ὅπερ οὖν καὶ ἐνταῦθα ἔλεγεν, ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· πανταχοῦ δηλῶν ὅτι πρὸς τὰ πέρατα τῆς οἰκουμένης χυθήσεται τῶν εὐαγγελίων τούτων ἡ δύναμις καὶ ἡ γνῶσις, ἀπὸ θηριώδους τρόπου καὶ σκληρότητος γνώμης εἰς ἡμερότητα πολλὴν καὶ ʺ ἁπαλότητα μεταβάλλουσα τῶν ἀνθρώπων τὸ γένος.

4 ʺ Οὗτος δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Εἶδες πῶς τὰ μὲν οἱ προφῆται προεῖπον, τὰ δὲ τοῖς εὐαγγελισταῖς κατέλιπον; διόπερ καὶ ὁ Ματθαῖος καὶ τὰς προφητείας τίθησι, καὶ τὰ παρ᾽ ἑαυτοῦ προστίθησιν, οὐδὲ τοῦτο περίεργον ἡγούμενος εἶναι, τὸ περὶ τῆς στολῆς εἰπεῖν τοῦ δικαίου. καὶ γὰρ ἦν θαυμαστὸν καὶ παράδοξον ἐν ἀνθρωπίνῳ σώματι τοσαύτην καρτερίαν ἰδεῖν· ὃ δὴ καὶ τοὺς Ἰουδαίους μᾶλλον ἐφείλκετο, τὸν μέγαν Ηλίαν ἐν αὐτῷ βλέποντας, καὶ πρὸς τὴν

γρ. τοῦ ἑτοιμάσαι

γρ. πόρνας,

γρ. ἁπαλότητα

γρ. αὐτῆς

τὴν τοῦ μακαρίου μνήμην ἐκείνου παραπεμπομένοις ἐκ τῶν ὁρωμένων τότε· μᾶλλον δὲ καὶ πρὸς πλείονα ἔκπληξιν. ἐκεῖνος μὲν γὰρ καὶ ἐν πόλεσι, καὶ ἐν οἰκίαις ἐτρέφετο, οὗτος δὲ δι' ὅλου τὴν ἔρημον ᾤκησεν ἐκ σπαργάνων αὐτῶν. ἔδει γὰρ τὸν πρόδρομον τοῦ μέλλοντος τὰ παλαιὰ λύειν ἅπαντα (οἷον, τὸν πόνον, τὴν κατάραν, τὴν λύπην, τὸν ἱδρῶτα) ἔχειν τινὰ καὶ αὐτὸν σύμβολα τῆς τοιαύτης δωρεᾶς, καὶ ἀνωτέρω γίνεσθαι λοιπὸν τῆς καταδίκης ἐκείνης. οὔτε γοῦν γῆν ἤροσεν, οὔτε αὔλακα ἔτεμεν, οὐκ ἐν ἱδρῶτι τοῦ προσώπου τὸν ἄρτον ἔφαγεν, ἀλλ' ἦν ἐσχεδιασμένη αὐτῷ ἡ τράπεζα, καὶ εὐκολωτέρα τῆς τραπέζης ἡ περιβολή, καὶ ἀπραγμονεστέρα τῆς περιβολῆς ἡ οἴκησις. οὔτε γὰρ στέγης, οὔτε κλίνης, οὔτε τραπέζης, οὔτε ἄλλου τινὸς τούτων ἐδεήθη· ἀλλὰ ἀγγελικόν τινα βίον ἐν τῇ σαρκὶ ταύτῃ ἐπεδείκνυτο. διὰ τοῦτο καὶ τρίχινον ἱμάτιον αὐτῷ ἦν, ἵνα διὰ τοῦ σχήματος παιδεύσῃ τῶν ἀνθρωπίνων ἀφίστασθαι, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ἀλλ' ἐπὶ τὴν προτέραν ἐπανατρέχειν εὐγένειαν, ἐν ᾗ ἦν πρὶν ἢ δεηθῆναι ἱματίων καὶ περιβολῆς ὁ Ἀδάμ. οὕτω καὶ βασιλείας καὶ μετανοίας εἶχε σύμβολα τὸ σχῆμα ἐκεῖνο. καὶ μή μοι λέγε, πόθεν αὐτῷ τρίχινον ἱμάτιον καὶ ζώνη, τὴν ἔρημον οἰκοῦντι; εἰ γὰρ τοῦτο μέλλοις διαπορεῖν, καὶ ἕτερα πλείονα ζητήσεις· πῶς ἐν τοῖς χειμῶσι, πῶς ἐν τοῖς καύμασι διέτριβεν ἐπὶ τῆς ἐρημίας, καὶ ταῦτα ἐν ἁπαλῷ σώματι καὶ ἀώρῳ ἡλικίᾳ· πῶς ἤρκεσεν ἡ τῆς παιδικῆς σαρκὸς φύσις ἀνωμαλίᾳ ἀέρων τοσαύτῃ, καὶ τραπέζῃ οὕτως ἐξηλλαγμένῃ, καὶ τῇ ἄλλῃ τῇ ἀπὸ τῆς ἐρημίας ταλαιπωρίᾳ. ″ποῦ νῦν εἰσιν οἱ τῶν Ἑλλήνων φιλόσοφοι, οἱ εἰκῇ καὶ μάτην τὴν Κυνικὴν ἀναισχυντίαν ζηλώσαντες; τί γὰρ ὄφελος τοῦ ″κατακλείεσθαι ἐν πίθῳ, καὶ τοιαῦτα ἀσελγαίνειν ὕστερον; οἱ καὶ δακτυλίους, καὶ φιάλας, καὶ θεράποντας, καὶ θεραπαινίδας, καὶ πολλὴν ἄλλην περιεβάλλοντο φαντασίαν, εἰς ἑκατέραν ἀμετρίαν ἐκπίπτοντες. ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλ' ὥσπερ τὸν οὐρανόν, τὴν ἔρημον ᾤκησε, πᾶσαν ἀκριβῆ φιλοσοφίαν ἐπιδεικνύμενος, κἀκεῖθεν, ὡς ἄγγελός τις ἐξ οὐρανῶν, ″ἐπὶ τὰς πόλεις κατέβαινεν, ἀθλητὴς εὐσεβείας ὤν, καὶ τῆς οἰκουμένης στεφανίτης, καὶ φιλόσοφος τῆς τῶν οὐρανῶν ἀξίας φιλοσοφίας. καὶ ταῦτα ἦν, οὔπω τῆς ἁμαρτίας λυθείσης, οὔπω τοῦ νόμου παυσαμένου, οὔπω τοῦ θανάτου δεθέντος, οὔπω τῶν χαλκῶν πυλῶν κατακλασθεισῶν, ἀλλ' ἔτι τῆς παλαιᾶς κρατούσης πολιτείας. τοιοῦτόν ἐστι γενναία ψυχὴ καὶ διεγηγερμένη. καὶ γὰρ πανταχοῦ προπηδᾷ, καὶ τὰ κείμενα ὑπερβαίνει σκάμματα· καθάπερ καὶ ὁ Παῦλος ἐπὶ τῆς καινῆς ἐποίει πολιτείας. ἀλλὰ τίνος ἕνεκεν, φησί, καὶ ζώνη μετὰ τοῦ ἱματίου ἐκέχρητο; ἔθος τοῦτο τοῖς παλαιοῖς ἦν, πρὶν εἰς τὸ μαλακὸν τοῦτο καὶ διαρρέον σχῆμα ἐξελθεῖν. οὕτω γοῦν καὶ ὁ Πέτρος φαίνεται ἐζωσμένος, καὶ ὁ Παῦλος. Τὸν γὰρ ἄνδρα, φησίν, οὗ ἐστιν ἡ ζώνη αὕτη. καὶ ὁ Ἠλίας δὲ οὕτως ἦν ἐσταλμένος, καὶ τῶν ἁγίων ἕκαστος, διὰ τὸ εἶναι ἐν ἔργῳ διηνεκῶς, ἤτοι ὁδοιπορίαις, ἤτοι * ἕτερόν τι τῶν ἀναγκαίων πονουμένους καὶ σπουδάζοντας· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ καλλωπισμὸν ἅπαντα καταπατεῖν, καὶ σκληραγωγίαν ἅπασαν μελετᾶν. ὅπερ οὖν καὶ αὐτὸ μέγιστον ἀρετῆς ἐγκώμιον εἶναί φησιν ὁ Χριστός, οὕτω λέγων· Τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Εἰ δὲ ἐκεῖνος ὁ καθαρὸς οὕτω, καὶ τοῦ οὐρανοῦ λαμπρότερος ὤν, καὶ ὑπὲρ προφήτας πάντας, καὶ οὗ μείζων οὐδεὶς ἐγένετο, καὶ παρρησίαν ἔχων τοσαύτην, οὕτως ἑαυτὸν ἐσκληραγώγει, τὴν μὲν διαρρέουσαν τρυφὴν ἀτιμάζων μετὰ πολλῆς τῆς περιουσίας, ἐπὶ δὲ τὸν σκληρὸν τοῦτον ἄγων βίον ἑαυτόν, τίνα ἕξομεν ἀπολογίαν οἱ μετὰ τοσαύτην εὐεργεσίαν καὶ τὰ μυρία φορτία τῶν ἁμαρτημάτων, μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἐξομολογήσεως ἐπιδεικνύμενοι τῆς ἐκείνου, ἀλλὰ μεθύοντες καὶ γαστριζόμενοι καὶ μύρων ὄζοντες, καὶ τῶν ἐν τῇ σκηνῇ πορνευομένων γυναικῶν οὐδὲν ἄμεινον διακείμενοι, καὶ πανταχόθεν ἑαυτοὺς καταμαλακίζοντες, καὶ εὐχειρώτους τῷ διαβόλῳ ποιοῦντες;

Λουκ. ζ. κδ. κε.

. ποῦ τοίνυν
σιν
. κατακλει-]
σθαι
. ὅπως οὗτος :

5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία καὶ Ἱεροσόλυμα, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου,

6 Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Ὁρᾷς πόσον ἴσχυσεν ἡ παρουσία τοῦ προφήτου; πῶς πάντα τὸν δῆμον ἀνεπτέρωσε; πῶς αὐτοὺς εἰς ἔννοιαν ἤγαγε τῶν οἰκείων ἁμαρτημάτων; καὶ γὰρ θαύματος ἄξιον ἦν ἰδεῖν ἐν ἀνθρωπίνῳ σχήματι τοιαῦτα ἐπιδεικνύμενον αὐτὸν καὶ τοσαύτῃ κεχρημένον τῇ παρρησίᾳ, καὶ πάντων, ὡς παίδων, κατεξανιστάμενον, καὶ πολλὴν ἀπὸ τοῦ προσώπου τὴν χάριν ἔχοντα ἀπολάμπουσαν. Συνετέλει δὲ εἰς ἔκπληξιν, καὶ τὸ διὰ πολλοῦ τοῦ χρόνου προφήτην φανῆναι (″καὶ γὰρ ἐνέλιπεν αὐτοὺς τὸ χάρισμα, καὶ διὰ μακροῦ πρὸς αὐτοὺς ἐπανῆλθε τοῦ χρόνου) καὶ ὁ τοῦ κηρύγματος δὲ τρόπος, ξένος καὶ παρηλλαγμένος. οὐδὲν γὰρ τῶν συνήθων ἤκουον, οἷον, πολέμους καὶ μάχας, καὶ νίκας τὰς κάτω, καὶ λιμοὺς καὶ λοιμούς, καὶ *Βαβυλωνίους, καὶ Πέρσας, καὶ πόλεως ἁλώσεις, καὶ τὰ ἄλλα τὰ συνήθη· ἀλλ' οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλείαν, καὶ τὴν ἐν τῇ γεέννῃ κόλασιν. διά τοι ταῦτα, καὶ τῶν κατὰ τὴν ἔρημον ἀποστατῶν σφαγέντων πάντων οὐ πρὸ πολλοῦ τοῦ χρόνου, τῶν μετὰ Ἰούδα καὶ Θευδᾶ, οὐκ ἐγένοντο ὀκνηρότεροι οὗτοι πρὸς τὴν ἔξοδον τὴν ἐκεῖσε. οὐδὲ γὰρ ἐπὶ τοῖς αὐτοῖς αὐτοὺς ἐκάλει, οἷον, ἐπὶ τυραννίδι καὶ ἀποστασίᾳ, καὶ νεωτεροποιΐᾳ· ἀλλ' ὥστε πρὸς τὴν ἄνω χειραγωγῆσαι βασιλείαν. διόπερ οὐδὲ κατεῖχεν ἐν τῇ ἐρήμῳ μεθ' ἑαυτοῦ περιφέρων· ἀλλὰ βαπτίζων, καὶ τοὺς περὶ φιλοσοφίας παιδεύων λόγους, ἀπέλυε· διὰ πάντων αὐτοὺς διδάσκων, τῶν μὲν ἐν τῇ γῇ πάντων ὑπερορᾶν, πρὸς δὲ τὰ μέλλοντα αἴρεσθαι, καὶ καθ' ἑκάστην ἐπείγεσθαι τὴν ἡμέραν.

γρ. καὶ ἐπάν

* τὰς κατ

ΗΘΙΚΟΝ Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τὰς τρυφὰς καὶ τὴν μέθην ἀφέντες, ἐπὶ τὸν ″συνεσταλμένον μεταθώμεθα βίον. καὶ γὰρ ἐξομολογήσεως ὁ καιρός, καὶ τοῖς ἀμυήτοις καὶ τοῖς βαπτισθεῖσι· τοῖς μὲν, ἵνα μετανοήσαντες, τῶν ἱερῶν τύχωσι μυστηρίων, τοῖς δὲ, ἵνα ἀπονιψάμενοι ἐν τῷ βαπτίσματι τὰς κηλῖδας, καθαρῷ συνειδότι τῇ τραπέζῃ προσέλθωσιν. ἀποστῶμεν τοίνυν τοῦ ὑγροῦ τούτου καὶ διαλελυμένου βίου. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁμοῦ καὶ ἐξομολογεῖσθαι καὶ τρυφᾶν. καὶ ταῦτα διδασκέτω ὑμᾶς ὁ Ἰωάννης, ἀπὸ τοῦ ἐνδύματος, ἀπὸ τῆς τροφῆς, ἀπὸ τῆς οἰκίας. τί οὖν; οὕτω κελεύεις ἡμᾶς κατεστάλθαι, φησίν; οὐ κελεύω, ἀλλὰ συμβουλεύω καὶ παραινῶ. εἰ δὲ μὴ δυνατὸν ὑμῖν τοῦτο, κἂν ἐν ταῖς πόλεσιν ὄντες ἐπιδειξώμεθα τὴν μετάνοιαν. καὶ γὰρ ἐπὶ θύραις τὸ δικαστήριον. εἰ δὲ καὶ μακροτέρω ἦν, οὐδὲ οὕτω θαρρεῖν ἔδει. τὸ γὰρ ἑκάστου πέρας τῆς ζωῆς, τῆς συντελείας ἐπέχει δύναμιν τῷ καλουμένῳ. ὅτι δὲ καὶ ἐπὶ θύραις, ἄκουσον τοῦ Παύλου λέγοντος· Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. καὶ πάλιν· Ἥξει γὰρ ὁ ἐρχόμενος, καὶ οὐ χρονιεῖ. καὶ γὰρ τὰ σημεῖα λοιπὸν ἀπήρτισται, τὰ καλοῦντα τὴν ἡμέραν ἐκείνην. Κηρυχθήσεται γάρ, φησι, τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. προσέχετε μετὰ ἀκριβείας τῷ λεγομένῳ. οὐκ εἶπεν, ὅταν πιστευθῇ παρὰ πάντων ἀνθρώπων, ἀλλ' ὅταν κηρυχθῇ παρὰ πᾶσι. διὰ τοῦτο καὶ ἔλεγεν, εἰς μαρτύριον * τοῖς ἔθνεσι· δεικνὺς, ὅτι οὐκ ἀναμένει πιστεῦσαι πάντας, καὶ τότε παραγενέσθαι. τὸ γὰρ εἰς μαρτύριον, τοῦτό ἐστιν, εἰς κατηγορίαν, εἰς ἔλεγχον, εἰς κατάκρισιν τῶν μὴ πιστευσάντων. ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες καὶ ὁρῶντες, καθεύδομεν καὶ ὀνείρατα βλέπομεν, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ, μέθῃ κεκαρωμένοι. οὐδὲν γὰρ ὀνειράτων ἄμεινον τὰ παρόντα πράγματα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά. διὸ δὴ παρακαλῶ λοιπὸν ἀφυπνισθῆναι, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἀπιδεῖν. οὐδεὶς γὰρ καθεύδων ἥλιον ἰδεῖν δύναται, οὐδὲ ″εὐφρᾶναι τὰς ὄψεις τῷ κάλλει τῆς ἀκτῖνος· ἀλλ' ἅπερ ἂν ἴδῃ, πάντα ὡς ἐν ὀνείρῳ βλέπει. διὰ τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ἐξομολογήσεως καὶ πολλῶν τῶν δακρύων, καὶ ὅτι ἀναλγήτως διακείμεθα πλημμελοῦντες, καὶ ὅτι μεγάλα τὰ ἁμαρτήματα καὶ συγγνώμης μείζονα. καὶ ὅτι οὐ ψεύδομαι, μάρτυρες οἱ πλείους τῶν

γρ. κατηχου μένων

Ῥωμ. ιγ. ιβ.
Ἑβρ. ι. λζ.

Ματθ. κδ. ιδ.

* πᾶσι

γρ. εὐφρ

ἀκουόντων.

ἀκούοντων. ἀλλ' ὅμως εἰ καὶ συγνώμης μείζονα, μετανοήσωμεν, καὶ στεφάνων ἀπολαυσόμεθα. μετάνοιαν δὲ λέγω, οὐ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ ″ ἄμεινον, ἐπιδείξασθαι καλά. ποιήσατε γάρ, φησι, καρποὺς ἀξίους τῆς μετανοίας. πῶς δὲ ποιήσομεν; ἂν τὰ ἐναντία πράττωμεν. οἷόν τι λέγω· ἥρπασας τὰ ἀλλότρια; δὸς καὶ τὰ σὰ λοιπόν. πολὺν ἐπόρνευσας χρόνον; ἀπόσχου καὶ τῆς γυναικὸς τῆς σῆς ὡρισμένας ἡμέρας, ἄσκησον ἐγκράτειαν. ὕβρισας καὶ ἐτύπτησας παριόντας; εὐλόγει λοιπὸν τοὺς ὑβρίζοντας, καὶ εὐεργέτει τοὺς πλήττοντας. οὐ γὰρ ἀρκεῖ εἰς ὑγείαν ἡμῖν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ δεῖ καὶ τῷ τραύματι φάρμακα ἐπιθεῖναι. ἐτρύφησας καὶ ἐμεθύσθης τὸν ἔμπροσθεν χρόνον; νήστευε καὶ ″ ὑδροπότει· πρόσεχε, ἵνα τὴν ἐκεῖθεν ἐγγινομένην λύμην ἀνέλῃς. εἶδες ἀκολάστοις ὀφθαλμοῖς κάλλος ἀλλότριον; μηδὲ ὅλως ἴδῃς γυναῖκα λοιπόν, ἵν' ″ ἐν πλείονι καταστῇς ἀσφαλείᾳ. Ἔκκλινον γάρ, φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ πάλιν, Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου * μὴ λαλῆσαι δόλον. ἀλλ' εἰπέ μοι καὶ τὸ ἀγαθόν. Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν· οὐ τὴν πρὸς ἀνθρώπους λέγω μόνον, ἀλλὰ καὶ τὴν πρὸς τὸν Θεόν. καὶ καλῶς εἶπε, δίωξον. ἀπελήλαται γὰρ καὶ ἐκβέβληται, καὶ τὴν γῆν ἀφεῖσα, εἰς τὸν οὐρανὸν ″ ἀπεδήμησεν. ἀλλὰ ″ δυνάμεθα πάλιν αὐτὴν ἐπαναγαγεῖν, ἐὰν θέλωμεν, ἀπόνοιαν καὶ ἀλαζονείαν καὶ πάντα τὰ κωλύματα αὐτῆς ἐκβαλόντες, τὸν σώφρονα τοῦτον καὶ λιτὸν διώκειν βίον. οὐδὲν γὰρ ὀργῆς χαλεπώτερον καὶ θρασύτητος. αὕτη γὰρ καὶ τετυφωμένους καὶ δουλοπρεπεῖς ἐργάζεται, δι' ἐκείνου μὲν καταγελάστους, διὰ τούτου δὲ μισητοὺς ποιοῦσα, καὶ ἐναντίας εἰσάγουσα κακίας, ἀπόνοιάν τε ὁμοῦ καὶ ″ κολακείαν. ἀλλ' ἐὰν τὴν πλεονεξίαν τοῦ πάθους περικόψωμεν, καὶ ταπεινοὶ μετ' ἀκριβείας, καὶ ὑψηλοὶ μετ' ἀσφαλείας ἐσόμεθα. καὶ γὰρ καὶ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις ἀπὸ πλεονεξίας αἱ δυσκρασίαι γίνονται· καὶ ὅτε τοὺς οἰκείους ὅρους ἀφέντα τὰ στοιχεῖα εἰς ἀμετρίαν ἐξέλθῃ, τότε αἱ μυρίαι νόσοι καὶ οἱ χαλεποὶ τίκτονται θάνατοι· ὅπερ καὶ ἐπὶ τῆς ψυχῆς συμβαῖνον ἴδοις ἄν. περικόψωμεν τοίνυν τὴν ἀμετρίαν, καὶ τὸ σωτήριον τῆς συμμετρίας ″ πίνοντες φάρμακον, μένωμεν ἐπὶ τῆς εὐκρασίας τῆς προσηκούσης, καὶ ταῖς εὐχαῖς μετ' ἀκριβείας προσέχωμεν. κἂν μὴ λάβωμεν, παραμείνωμεν ἵνα λάβωμεν· κἂν λάβωμεν, ἐπειδὴ ἐλάβομεν, μὴ ἀποστῶμεν. οὐδὲ γὰρ αὐτὸς βούλεται ἀναβάλλεσθαι τὴν δόσιν, ἀλλὰ τῇ μελλήσει τὴν προσεδρίαν ἡμῶν σοφίζεται. διὰ τοῦτο καὶ ὑπερτίθεται τὴν αἴτησιν, καὶ πειρασμὸν συγχωρεῖ πολλάκις ἐπελθεῖν, ἵνα συνεχῶς πρὸς αὐτὸν καταφεύγωμεν, καὶ καταφεύγοντες μένωμεν. οὕτω καὶ πατέρες φιλόστοργοι ποιοῦσι, καὶ μητέρες φιλόπαιδες. ἐπειδὰν γὰρ ἴδωσι τὰ παιδία τὴν πρὸς αὐτοὺς συνουσίαν ἀφέντα, καὶ μετὰ τῶν ὁμηλίκων παίζοντα, πολλὰ τοὺς οἰκέτας ὑποκρίνασθαι παρασκευάζουσι φοβερά, ὥστε ὑπὸ τοῦ δέους καταναγκασθῆναι πρὸς τὸν μητρικὸν κόλπον καταφυγεῖν. οὕτω καὶ ὁ Θεὸς ἀνατείνεται πολλάκις ἀπειλήν, οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα πρὸς αὐτὸν ἐφελκύσηται. ὅταν γοῦν ἐπανέλθωμεν πρὸς αὐτόν, λύει τὸν φόβον εὐθέως· ὡς εἴγε ὅμοιοι ἦμεν ἐν πειρασμοῖς καὶ ἐν ἀνέσει, οὐδ' ἂν ἐδέησε πειρασμῶν. καὶ τί λέγω ″ περὶ ἡμῶν; καὶ γὰρ τοῖς ἁγίοις ἐκείνοις πολὺς ἐντεῦθεν ὁ σωφρονισμὸς ἦν. διὰ τοῦτο καὶ ὁ προφήτης λέγει· Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με. καὶ αὐτὸς δὲ τοῖς ἀποστόλοις ἔλεγεν· Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. καὶ ὁ Παῦλος τοῦτο αὐτὸ αἰνίττεται, ὅταν λέγῃ· Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ. διὸ καὶ δεηθεὶς ἀπαλλαγῆναι τοῦ πειρασμοῦ, οὐκ ἐπέτυχε, διὰ τὸ πολλὴν ἐξ αὐτοῦ τὴν ὠφέλειαν ″ ἐπιγίνεσθαι. ἐὰν δὲ καὶ τοῦ Δαβὶδ τὸν βίον ἐπέλθωμεν ἅπαντα, εὑρήσομεν αὐτὸν ἐν τοῖς κινδύνοις λαμπρότερον ὄντα, καὶ αὐτόν, καὶ τοὺς ἄλλους ἅπαντας τοὺς κατ' ἐκεῖνον. καὶ γὰρ ὁ Ἰὼβ τότε μειζόνως ἔλαμψε, καὶ ὁ Ἰωσὴφ οὕτως ἐπὶ πλέον εὐδοκίμησε, καὶ ὁ Ἰακὼβ δέ, καὶ ὁ τούτου πατήρ, καὶ ὁ ἐκείνου, καὶ πάντες, ὅσοι πώποτε ἔλαμψαν καὶ λαμπροτέρους ἀνεδήσαντο στεφάνους,

μείζονα,

ὑδροποσίᾳ. πρόσεχε. ἵνα τὴν ἐπὶ

ἐπαναδυνησόμεθα

ἀκολασίαν.

πιόντες;

πειρασμῶν;

ἐγγίνεσθαι.

Ψαλ. λγ. κη.

Ψαλ. λγ. ιγ.

Ψαλ. λγ. ιδ.

Ψαλ. ρια. οα.

Ἰωαν. ιϛ. λγ.

β. Κορ. ιβ. ζ.

νοις, ἀπὸ θλίψεων καὶ πειρασμῶν καὶ ἐστεφανώθησαν καὶ ἀνεκηρύχθησαν. ἅπερ πάντα συνειδότες, κατὰ τὸν σοφὸν λέγον, Σειρ. β. β. Μὴ σπεύδωμεν ἐν καιρῷ ἐπαγωγῆς, ἀλλ' ἓν μόνον ἑαυτοὺς παιδεύσωμεν, τὸ φέρειν πάντα γενναίως καὶ μηδὲν πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι τῶν γινομένων. τὸ μὲν γὰρ εἰδέναι πότε δεῖ λυθῆναι τὰς θλίψεις, τοῦ συγχωροῦντος αὐτὰς προσελθεῖν Θεοῦ· τὸ δὲ ἐπενεχθείσας μετὰ πάσης φέρειν εὐχαριστίας, τῆς ἡμετέρας εὐγνωμοσύνης λοιπὸν ἔργον ἐστίν. ὅπερ ἐὰν γένηται, πάντα ἕψεται τὰ ἀγαθά. ἵν' οὖν ταῦτα ἕπηται, καὶ δοκιμώτεροι μὲν ἐνταῦθα, λαμπρότεροι δὲ ἐκεῖσε γενώμεθα, πᾶν, ὃ ἐὰν ἐπενεχθῇ, δεχώμεθα, χάριν εἰδότες ὑπὲρ πάντων τῷ εἰδότι μᾶλλον ἡμῶν τὸ συμφέρον, καὶ τῶν γεγεννηκότων σφοδρότερον ἡμᾶς φιλοῦντι· καὶ τούτους ἀμφοτέρους τοὺς λογισμοὺς καθ' ἕκαστον τῶν δεινῶν ἑαυτοῖς ἐπᾴδοντες, καταστέλλωμεν τὴν ἀθυμίαν, καὶ δοξάζωμεν ἐν πᾶσι τὸν πάντα ὑπὲρ ἡμῶν ποιοῦντα καὶ πραγματευόμενον Θεόν. οὕτω γὰρ καὶ τὰς ἐπιβουλὰς διακρουσόμεθα ῥᾳδίως, καὶ τῶν ἀκηράτων ἐπιτευξόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ, σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ια.

7 ΙΔΩΝ ΔΕ ΠΟΛΛΟΥΣ ΤΩΝ ΣΑΔΔΟΥΚΑΙων καὶ Φαρισαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς.

Πῶς οὖν φησιν ὁ Χριστὸς, ὅτι οὐκ ἐπίστευσαν Ἰωάννῃ; ὅτι οὐκ ἦν τοῦτο πιστεῦσαι, τὸ τὸν κηρυττόμενον ὑπ' αὐτοῦ μὴ δέξασθαι. ἐπεὶ καὶ τοῖς προφήταις ἐδόκουν προσεσχηκέναι καὶ τῷ νομοθέτῃ· ἀλλ' ὅμως ἔφησεν αὐτοὺς μὴ προσεσχηκέναι, ἐπειδὴ τὸν παρ' ἐκείνων προφητευόμενον οὐκ ἐδέξαντο. Ιωαν. ε. μϛ. Εἰ γὰρ ἐπιστεύσατε, φησὶ, Μωϋσῇ, ἐπιστεύσατε ἂν ἐμοί. καὶ μετὰ ταῦτα δὲ ἐρωτώμενοι παρὰ τοῦ Χριστοῦ, τὸ βάπτισμα Ἰωάννου πόθεν ἐστίν· ἔλεγον, ὅτι ἐὰν εἴπωμεν, ἀπὸ γῆς, φοβούμεθα τὸν ὄχλον· Ματ. κα. κε. κϛ. ἐὰν δὲ εἴπωμεν, ἀπὸ οὐρανοῦ, ἐρεῖ ἡμῖν, πῶς οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ὥστε δῆλον ἐξ ἁπάντων τούτων δῆλον, ὅτι παρεγίνοντο μὲν καὶ ἐβαπτίσθησαν· οὐ μὴν ἔμειναν ἐπὶ τῆς πίστεως τοῦ κηρύγματος. Ιω. α. κα. κδ. καὶ γὰρ ὁ Ἰωάννης δείκνυσιν αὐτῶν τὴν πονηρίαν, ἐξ ὧν πρὸς τὸν Βαπτιστὴν ἔπεμπον, λέγοντες· Εἰ σὺ εἶ Ἠλίας; εἰ σὺ εἶ ὁ Χριστός; διὸ καὶ ἐπήγαγεν· οἱ δὲ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. τί οὖν; οὐχὶ καὶ οἱ ὄχλοι τὸ αὐτὸ τοῦτο ἐνόμιζον; ναὶ, ἐνόμιζον. ἀλλ' οἱ μὲν ὄχλοι ἀπὸ γνώμης ἀπλάστου τοῦτο ὑπώπτευον· οἱ δὲ Φαρισαῖοι, ἐπιλαβέσθαι βουλόμενοι. ἐπειδὴ γὰρ ὡμολόγητο ἀπὸ τῆς κώμης τοῦ Δαβὶδ ἔρχεσθαι τὸν Χριστὸν, οὗτος δὲ ἀπὸ τῆς Λευϊτικῆς φυλῆς ἦν, ἐνέδραν ἐτίθεσαν ἐκ τῆς ἐρωτήσεως· ἵνα, εἴ τι τοιοῦτον εἴποι, ταχέως ἐπιθῶνται. τοῦτο γοῦν καὶ ἐκ τῶν ἑξῆς ἐδήλωσε. μηδὲν γὰρ ὧν προσεδόκησαν ὁμολογήσαντος, καὶ οὕτως ἐπιλαμβάνονται λέγοντες· τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός; καὶ ἵνα μάθῃς, ὅτι ἑτέρᾳ μὲν οἱ Φαρισαῖοι, ἑτέρᾳ δὲ ὁ δῆμος παρεγένοντο γνώμῃ, ἄκουσον πῶς καὶ ὁ εὐαγγελιστὴς καὶ τοῦτο ἐδήλωσε· περὶ μὲν τοῦ δήμου λέγων, ὅτι παρεγίνοντο, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν· περὶ δὲ τῶν Φαρισαίων οὐκ ἔτι ὁμοίως, ἀλλ' ὅτι ἰδὼν πολλοὺς τῶν Σαδδουκαίων καὶ Φαρισαίων ἐρχομένους ἔλεγε· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; βαβαὶ τῆς μεγαλονοίας. πῶς διαλέγεται πρὸς ἀνθρώπους αἱμάτων ἀεὶ διψῶντας προφητικῶν, καὶ ὄφεων οὐδὲν ἄμεινον διακειμένους; πῶς καὶ αὐτοὺς καὶ τοὺς γεγεννηκότας μετὰ πολλῆς διαβάλλει τῆς παῤῥησίας; ναί φησιν· ἀλλ' ἡ μὲν παῤῥησία πολλή· τὸ δὲ ζητούμενον, εἰ λόγον ἔχει τινὰ ἡ παῤῥησία αὕτη. οὐδὲ γὰρ ἁμαρτάνοντας εἶδεν, ἀλλὰ μεταβαλλομένους· διόπερ οὐδὲ ἐγκαλέσαι ἐχρῆν, ἀλλὰ καὶ ἐπαινέσαι καὶ ἀποδέξασθαι, ὅτι πόλιν ἀφέντες καὶ οἰκίας, ἔδραμον ἀκουσόμενοι τοῦ κηρύγματος. Τί οὖν ἂν εἴποιμεν; ὅτι οὐ τοῖς παροῦσιν, οὐδὲ τοῖς γινομένοις προσεῖχεν· ἀλλὰ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν ἠπίστατο, τοῦτο ἐκκαλύψαντος τοῦ Θεοῦ. ἐπεὶ οὖν μέγα ἐφρόνουν ἐπὶ τοῖς προγόνοις, καὶ τοῦτο αἴτιον αὐτοῖς τῆς ἀπωλείας ἐγένετο καὶ εἰς ῥαθυμίαν ἐνέβαλε, τὴν ῥίζαν τῆς ἀπονοίας περικόπτει. διὰ τοῦτο καὶ Ἡσαΐας ἄρχοντας Σοδόμων καλεῖ, καὶ λαὸν Γομόρρας. καὶ ἕτερος προφήτης φησίν, Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε; καὶ πάντες αὐτοὺς ταύτης ἀπάγουσι τῆς ὑπολήψεως, τὸ φύσημα αὐτῶν κενοῦντες, τὸ μυρίων αὐτοῖς αἴτιον γινόμενον κακῶν. ἀλλ' οἱ μὲν προφῆται, φησιν, εἰκότως (ἁμαρτάνοντας γὰρ ἑώρων) ἐνταῦθα δὲ τίνος ἕνεκεν καὶ διατί, πειθομένους ὁρῶν, τοῦτο αὐτὸ ποιεῖ; ἵνα ἁπαλωτέρους ἐργάσηται. εἰ δέ τις μετὰ ἀκριβείας προσέχει τοῖς λεγομένοις, καὶ ἐγκωμίῳ τὴν ἐπιτίμησιν ἐνέκερασε. θαυμάζων γὰρ αὐτούς, ὅτι ὀψέ ποτε τὰ ἀδύνατα αὐτοῖς σχεδὸν εἶναι δοκοῦντα ἠδυνήθησαν, ταῦτα ἔλεγεν. ἐφελκομένου τοίνυν αὐτοὺς μᾶλλόν ἐστιν ἡ ἐπιτίμησις, καὶ παρασκευάζοντος ἀνανῆψαι. ὅταν γὰρ φαίνηται ἐκπληττόμενος, καὶ τὴν ἔμπροσθεν δείκνυσιν αὐτῶν πονηρίαν πολλὴν οὖσαν, καὶ τὴν μεταβολὴν θαυμαστὴν καὶ παράδοξον. Τί γάρ γέγονε, φησιν, ὅτι παῖδες ὄντες ἐκείνων, καὶ οὕτω τραφέντες κακῶς, μετενόησαν; πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; τίς τὸ τραχὺ τῆς γνώμης ὑμῶν κατεμάλαξε; τίς διώρθωσε τὸν ἀνίατον; καὶ ὅρα πῶς αὐτοὺς εὐθέως ἀπὸ τῶν προοιμίων ἐξέπληξε, τοὺς περὶ τῆς γεέννης καταβαλλόμενος λόγους. οὐ γὰρ εἶπε τὰ εἰωθότα· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν τοὺς πολέμους, τὰς τῶν βαρβάρων ἐφόδους, τὰς αἰχμαλωσίας, τοὺς λιμούς, τοὺς λοιμούς; ἀλλ' ἄλλην τινὰ κόλασιν προανεκρούετο μηδέποτε αὐτοῖς φανερὰν γεγενημένην, οὕτω λέγων· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; καλῶς δὲ αὐτοὺς καὶ γεννήματα ἐχιδνῶν ἐκάλεσε. καὶ γὰρ ἐκεῖνο τὸ θηρίον διαφθείρει τὴν ὠδίνουσαν, καὶ διατρῶγον τὴν γαστέρα αὐτῆς, οὕτω λέγεται προϊέναι εἰς φῶς. ὅπερ καὶ οὗτοι ἐποίουν, πατραλοῖαι καὶ μητραλοῖαι γινόμενοι, καὶ τοὺς διδασκάλους ταῖς ἑαυτῶν διαφθείροντες χερσίν. ἀλλ' οὐχ ἵσταται μέχρι ταύτης τῆς ἐπιτιμήσεως, ἀλλὰ καὶ συμβουλὴν εἰσάγει.

8 Ποιήσατε, φησι, καρποὺς ἀξίους τῆς μετανοίας. Οὐ γὰρ ἀρκεῖ τὸ φυγεῖν τὴν πονηρίαν, ἀλλὰ καὶ ἀρετὴν δεῖ πολλὴν ἐπιδείξασθαι. μὴ γάρ μοι τὰ ἐνδύτια καὶ συνήθη· ὅτι πρὸς ὀλίγον συνεσταλμένοι χρόνον, πρὸς τὴν αὐτὴν ἐπανίετε πονηρίαν. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς παραγενόμεθα, ὡς καὶ οἱ ἔμπροσθεν προφῆται. ἐξηλλαγμένα γὰρ τὰ παρόντα καὶ ὑψηλότερα· ἐπεὶ [καὶ] αὐτὸς παραγίνεται λοιπὸν ὁ κριτής, αὐτὸς ὁ τῆς βασιλείας δεσπότης, πρὸς μείζονα ἄγων φιλοσοφίαν, εἰς τὸν οὐρανὸν καλῶν, καὶ πρὸς τὰς ἐκεῖ διατριβὰς ἀνέλκων. διὰ τοῦτο καὶ τὸν περὶ τῆς γεέννης ἀνακαλύπτω λόγον. καὶ γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ λυπηρὰ, ἀθάνατα. μὴ τοίνυν τοῖς αὐτοῖς ἐμμένετε [κακοῖς,] μηδὲ τὰς εἰωθυίας προβάλλεσθε προφάσεις, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τῶν προγόνων τὴν εὐγένειαν. Ταῦτα δὲ ἔλεγεν, οὐ κωλύων αὐτοὺς λέγειν ἐξ ἐκείνων εἶναι τῶν ἁγίων, ἀλλὰ κωλύων μὴ τούτῳ θαρρεῖν, τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντας, καὶ τὰ κατὰ διάνοιαν εἰς μέσον ἐκφέρων, καὶ τὰ μέλλοντα προφητεύων. καὶ γὰρ μετὰ ταῦτα φαίνονται λέγοντες· Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. ἐπεὶ οὖν τοῦτο ἦν, ὃ μάλιστα αὐτοὺς εἰς ἀπόνοιαν ἦρε καὶ ἀπώλεσε, πρῶτον αὐτὸ καταστέλλει. ὅρα δὲ πῶς μετὰ τῆς εἰς τὸν πατριάρχην τιμῆς, τὴν ὑπὲρ τούτων ποιεῖται διόρθωσιν. Εἰπὼν γάρ,

9 Μὴ δόξητε λέγειν ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ, Οὐκ εἶπεν, οὐδὲν γὰρ ὑμᾶς ὁ πατριάρχης ὠφελῆσαι δυνήσεται· ἀλλ' ἡμερώτερόν πως καὶ προσηνέστερον αὐτὸ τοῦτο ἠνίξατο, εἰπών· Δύναται γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Τινὲς μὲν οὖν φασιν, ὅτι περὶ τῶν ἐθνῶν ταῦτα λέγει, λίθους αὐτοὺς μεταφορικῶς

Ησ. α. ι.
Αμ. θ ζ.
Ιωαν. η. λγ.

…ρδίας
ἐστὲ μοι;
αὐτῶν
δὲ ὤρθωσε
ἀνίατον;
μελλούσης
…ῆς προ-
…βαλλόμε-
…φθείρουσι
συστελλόμε-
πονηρί-
…αν.
ἐκείνω
…λύπηρα

φορικῶς καλῶν· ἐγὼ δὲ καὶ ἑτέραν ἔννοιαν τῷ εἰρημένῳ φημὶ ἔχειν. ποίαν δὴ ταύτην; μὴ νομίζετε, φησιν, ὅτι, ἐὰν ὑμεῖς ἀπόλησθε, ἄπαιδα ποιήσετε τὸν πατριάρχην. οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. τῷ γὰρ Θεῷ δυνατὸν καὶ ἀπὸ λίθων ἀνθρώπους αὐτῷ δοῦναι, καὶ εἰς τὴν συγγένειαν ἐκείνην ἀγαγεῖν, ἐπεὶ καὶ ἐξ ἀρχῆς οὕτως ἐγένετο. τὸ γὰρ ἐκ λίθων ἀνθρώπους γενέσθαι, ὅμοιον ἦν τῷ ἀπὸ τῆς μήτρας ἐκείνης τῆς σκληρᾶς προελθεῖν παιδίον. ὅπερ οὖν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν· Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν "βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς [τὴν] Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς. ταύτης τοίνυν τῆς προφητείας αὐτοὺς ἀναμιμνήσκων, καὶ δεικνὺς ὅτι καὶ ἐξ ἀρχῆς οὕτω "θαυμαστῶς αὐτὸν ἐποίησε πατέρα, ὡσανεὶ καὶ ἐκ λίθων αὐτὸν ἐποίησε, φησὶ δυνατὸν καὶ νῦν τοῦτο γενέσθαι. καὶ ὅρα πῶς καὶ φοβεῖ, καὶ ἐκκόπτει. οὐ γὰρ εἶπεν, ὅτι ἤγειρεν ἤδη, ἵνα μὴ ἀπογνῶσιν ἑαυτῶν· ἀλλ' ὅτι δύναται ἐγεῖραι. καὶ οὐκ εἶπεν, ὅτι δύναται ἀνθρώπους ποιῆσαι "ἀπὸ λίθων, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, καὶ συγγενεῖς καὶ παῖδας τοῦ Ἀβραάμ. Εἶδες πῶς τέως ἀπέστησεν αὐτοὺς τῆς περὶ τὰ σωματικὰ φαντασίας, καὶ τῆς εἰς τοὺς προγόνους καταφυγῆς, ἵνα ἐν τῇ οἰκείᾳ μετανοίᾳ καὶ σωφροσύνῃ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχωσιν; Εἶδες πῶς τὴν τῆς σαρκὸς " ἐκβάλλων συγγένειαν, τὴν ἀπὸ τῆς πίστεως εἰσάγει; σκόπει τοίνυν πῶς καὶ διὰ τῶν ἑξῆς αὔξει τούτων τὸν φόβον, καὶ ἐπιτείνει τὴν ἀγωνίαν. Εἰπὼν γὰρ, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ, ἐπήγαγεν· 10 Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, Διὰ πάντων τὸν λόγον φοβερὸν ποιῶν. καὶ γὰρ καὶ αὐτὸς πολλὴν ἀπὸ τοῦ βίου τὴν παῤῥησίαν εἶχε, κἀκεῖνοι σφοδρᾶς ἐδέοντο τῆς ἐπιπλήξεως, πολὺν ἤδη χερσωθέντες χρόνον. τί γὰρ λέγω, φησίν; ὅτι "ἀποπίπτειν μέλλετε τῆς πρὸς τὸν πατριάρχην συγγενείας, καὶ ἑτέρους ὁρᾶν τοὺς ἀπὸ λίθων εἰς τὴν ὑμετέραν εἰσαγομένους προεδρίαν; οὐδὲ γὰρ μέχρι τούτου τὰ τῆς τιμωρίας ὑμῖν, ἀλλὰ καὶ περαιτέρω προβήσεται τὰ τῆς κολάσεως. ἤδη γάρ, φησιν, ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. οὐδὲν φοβερώτερον ταύτης τοῦ λόγου τῆς τροπῆς. "οὐκέτι γὰρ δρέπανον πετόμενον, οὐδὲ φραγμοῦ καθαίρεσις, οὐδὲ τὸ καταπατεῖσθαι τὸν ἀμπελῶνα· ἀλλὰ ἀξίνη σφόδρα ἀκμάζουσα, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἐπὶ θύραις αὐτή. ἐπειδὴ γὰρ τοῖς προφήταις συνεχῶς ἀπιστοῦντες ἔλεγον· Ποῦ ἐστιν ἡ ἡμέρα Κυρίου; καὶ, ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν, διὰ τὸ μετὰ πολλὰ πολλάκις ἔτη ἐκβαίνειν τὰ λεγόμενα, καὶ ταύτης αὐτοὺς ἀπάγων τῆς παραμυθίας, ἐγγὺς αὐτῶν ἵστησι τὰ δεινά. καὶ τοῦτο ἐδήλωσε τῷ εἰπεῖν, ἤδη, καὶ τῷ τῇ ῥίζῃ αὐτὴν "προσαγαγεῖν. οὐδὲν γὰρ τὸ μέσον λοιπόν, φησιν· ἀλλ' αὐτὴ γὰρ ἐπίκειται τῇ ῥίζῃ. καὶ οὐκ εἶπε, τοῖς κλάδοις, οὐδὲ τοῖς καρποῖς, ἀλλὰ τῇ ῥίζῃ· δεικνὺς αὐτοὺς, εἰ ῥαθυμήσαιεν, ἀνίατα πεισομένους δεινά, καὶ οὐδὲ ἐλπίδα ἔχοντας θεραπείας. οὐδὲ γὰρ δοῦλός ἐστιν ὁ παραγενόμενος, ὡς τὸ πρότερον· ἀλλ' αὐτὸς ὁ τῶν ὅλων δεσπότης, "σφοδρὰν ἐπάγων τὴν τιμωρίαν καὶ δυνατωτάτην. ἀλλ' ὅμως καὶ φοβήσας πάλιν αὐτοὺς, οὐκ ἀφίησιν εἰς ἀπόγνωσιν ἐμπεσεῖν· ἀλλ' ὥσπερ ἀνωτέρω οὐκ εἶπεν, ὅτι ἤγειρεν, ἀλλ' ὅτι δύναται ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ, φοβῶν τε ὁμοῦ καὶ "παραμυθούμενος, οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι ἥψατο τῆς ῥίζης, ἀλλ' ὅτι ἐπίκειται καὶ ὁμιλεῖ τῇ ῥίζῃ. καὶ οὐδεμίαν ἀναβολὴν ἐνδείκνυται, πλὴν ἀλλὰ καὶ οὕτως ἐγγὺς αὐτὴν ἀγαγὼν, ὑμᾶς κυρίους ποιεῖ τῆς τομῆς. ἂν μὲν γὰρ μεταβάλησθε καὶ γένησθε βελτίους, ἀπελεύσεται μηδὲν ἐργασαμένη ἡ ἀξίνη αὕτη· ἂν δὲ τοῖς αὐτοῖς ἐπιμείνητε, πρόῤῥιζον ἀνασπάσει τὸ δένδρον. διά τοι τοῦτο οὔτε ἀφέστηκε τῆς ῥίζης, οὔτε ἐπικειμένη τέμνει· τὸ μὲν, ἵνα μὴ ἀναπέσητε, τὸ δὲ, ἵνα μάθητε ὅτι δυνατὸν καὶ ἐν [τῷ] βραχεῖ χρόνῳ μεταβαλλομένους σωθῆναι· διὸ καὶ πανταχόθεν αὔξει τὸν φόβον, διεγείρων αὐτοὺς καὶ ὠθῶν πρὸς μετάνοιαν. καὶ γὰρ [καὶ] τὸ τῶν προγόνων ἐκπεσεῖν, καὶ τὸ ἑτέρους ἀντεισαχθῆναι,

Ἠσαΐα.

γρ. ὠδίνουσι

γρ. θαυμαστ

γρ. ἐκ

γρ. -βαλὼν

γρ. ἐκπι

γρ. οὐκ ἔτι

γρ. -άγειν

γρ. σφόδρα

γρ. παραμυθού
μεν Θ.

καὶ τὸ ἐπὶ θύραις εἶναι) τὰ δεινὰ, καὶ τὸ ἀνήκεστα πείσεσθαι (ἅπερ ἀμφότερα διὰ τῆς ῥίζης καὶ τῆς ἀξίνης ἐδήλωσεν) ἱκανὰ ἦν καὶ τοὺς σφόδρα ἀναπεπτωκότας διαναστῆσαι καὶ ἐναγωνίους ἐργάσασθαι. τοῦτο γοῦν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τὴν οἰκουμένην ὅλην. ἀλλὰ μὴ φοβηθῇς, μᾶλλον δὲ φοβήθητι μὲν, μὴ ἀπογνῷς δέ. ἔτι γὰρ ἔχεις ἐλπίδα μεταβολῆς. οὐ γὰρ αὐτοτελὴς ἡ ἀπόφασις, οὐδὲ ἐπὶ τὸ "τέμνειν ἡ ἀξίνη ἦλθεν (ἐπεὶ τί ἐκώλυεν αὐτὴν τεμεῖν ὁμιλοῦσαν τῇ ῥίζῃ;) ἀλλ' ἐπὶ τό σε τῷ φόβῳ τούτῳ ποιῆσαι βελτίονα, καὶ παρασκευάσαι καρπὸν ἐνεγκεῖν. διὰ τοῦτο ἐπήγαγε·

Ησ. ι. κγ.
Ρω. θ. κη.

Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Ὅταν δὲ εἴπῃ, πᾶν, ἐκβάλλει πάλιν τὴν ἀπὸ τῆς εὐγενείας προεδρίαν. κἂν γὰρ αὐτοῦ τοῦ Ἀβραὰμ ἔκγονος ᾖς, φησὶ, κἂν μυρίους ἔχῃς ἀριθμεῖν πατριάρχας, διπλῆν ὑποστήσῃ τὴν κόλασιν, ἄκαρπος μένων. ἀπὸ τούτων τῶν ῥημάτων, καὶ τελώνας ἐφόβησε, καὶ "στρατιωτῶν διάνοιαν κατέσεισεν, οὔτε εἰς ἀπόγνωσιν ἐμβαλὼν, καὶ ῥαθυμίας ἀπαλλάττων ἁπάσης. μετὰ γὰρ τοῦ φόβου καὶ πολλὴν παράκλησιν ἔχει τὸ εἰρημένον. τῷ γὰρ εἰπεῖν, μὴ ποιοῦν καρπὸν καλὸν, ἔδειξεν ὅτι τὸ ποιοῦν "καλὸν, πάσης "ἀπήλλακται τιμωρίας. καὶ πῶς δυνησόμεθα, φησὶ, ποιῆσαι καρπὸν, τῆς τομῆς ἐπικειμένης, καὶ τοῦ χρόνου οὕτω "στενοῦντος, καὶ τῆς προθεσμίας συντετμημένης; δυνήσῃ, φησίν. οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καρπὸς, οἷος ὁ τῶν δένδρων, χρόνον ἀναμένων πολὺν καὶ ὡρῶν δουλεύων ἀνάγκαις, καὶ πολλῆς ἑτέρας δεόμενος πραγματείας· ἀλλ' ἀρκεῖ θελῆσαι, καὶ τὸ δένδρον εὐθέως ἐβλάστησεν. οὐ γὰρ ἡ φύσις τῆς ῥίζης μόνον *, ἀλλὰ καὶ ἡ τέχνη τοῦ γεωργοῦ πρὸς τὴν τοιαύτην τὰ μέγιστα συντελεῖ τὴν καρποφορίαν. διὰ γάρ τοι τοῦτο, ἵνα μὴ ταῦτα λέγωσιν, ὅτι θορυβεῖς ἡμᾶς καὶ κατεπείγεις καὶ "ἄγχεις, ἀξίνην τε ἐπιτιθεὶς καὶ τομὴν ἀπειλῶν, καὶ προσδοκεῖς ἐν καιρῷ τιμωρίας αἰτῶν, ἐπήγαγε, δεικνὺς τὴν εὐκολίαν τῆς καρποφορίας·

11 Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι *· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ "ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος λῦσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· Διὰ τούτων δεικνὺς, ὅτι γνώμης μόνης δεῖται καὶ πίστεως, οὐ πόνων καὶ ἱδρώτων· καὶ ὥσπερ εὔκολον βαπτισθῆναι, οὕτως εὔκολον μεταβληθῆναι καὶ γενέσθαι ἀμείνους. κατασείσας τοίνυν αὐτῶν τὴν διάνοιαν τῷ φόβῳ τῆς κρίσεως, καὶ τῇ προσδοκίᾳ τῆς κολάσεως, καὶ τῷ ὀνόματι τῆς ἀξίνης, καὶ τῇ ἀποβολῇ τῶν προγόνων, καὶ τῇ εἰσαγωγῇ τῶν ἑτέρων τέκνων, καὶ τῇ διπλῇ τιμωρίᾳ, "τῇ ἐκτομῇ καὶ τῷ ἐμπρησμῷ, καὶ πάντοθεν αὐτῶν καταμαλάξας τὸ σκληρὸν, καὶ καταστήσας εἰς ἐπιθυμίαν τῆς ἀπαλλαγῆς [τῶν] τοσούτων κακῶν, τότε εἰσάγει τὸν περὶ τοῦ Χριστοῦ λόγον· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς ὑπεροχῆς. εἶτα τὸ μέσον αὐτοῦ καὶ ἐκείνου τιθεὶς, ἵνα μὴ δόξῃ χαριζόμενος τοῦτο λέγειν, ἀπὸ τῆς συγκρίσεως τῶν παρ' ἑκατέρου διδομένων τοῦτο κατασκευάζει. οὐ γὰρ εὐθέως εἶπεν, οὐκ εἰμὶ ἄξιος αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος, ἀλλὰ πρότερον τὸ εὐτελὲς τοῦ βαπτίσματος τοῦ ἑαυτοῦ θεὶς, καὶ δείξας ὡς οὐδὲν πλέον ἔχει τοῦ πρὸς μετάνοιαν αὐτοὺς ἀγαγεῖν (οὐ γὰρ εἶπεν, ὅτι ὕδατι ἀφέσεως, ἀλλὰ μετανοίας) τίθησι καὶ τὸ αὐτοῦ, τὸ τῆς ἀφάτου δωρεᾶς γέμον. ἵνα γὰρ μὴ ἀκούσας, φησὶν, ὅτι μετ' ἐμὲ ἔρχεται, καταφρονήσῃς αὐτοῦ ὡς "ὕστερον παραγινομένου, μάθε αὐτοῦ τῆς δωρεᾶς τὴν δύναμιν, καὶ εἴσῃ σαφῶς, ὅτι οὐδὲν ἄξιον εἴρηκα, οὐδὲ μέγα, εἰπὼν [ὅτι] οὐκ εἰμὶ ἄξιος λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. ὥστε, ὅταν ἀκούσῃς, ὅτι ἰσχυρότερός μου ἐστὶ, μὴ νομίσῃς κατὰ σύγκρισίν με τοῦτο εἰρηκέναι. οὐδὲ γὰρ εἰς δούλους ἄξιός εἰμι τάττεσθαι ἐκείνου, οὐδὲ εἰς δούλους ἐσχάτους, οὐδὲ τὸ εὐτελὲς τῆς διακονίας ἀναδέξασθαι μέρος. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, τὰ ὑποδήματα, ἀλλ' οὐδὲ τὸν ἱμάντα, ὅπερ ἔσχατον πάντων ἐδόκει εἶναι). εἶτα, ἵνα μὴ νομίσῃς ταπεινοφροσύνης εἶναι τὰ εἰρημένα, ἐπάγει καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν. ἐκεῖνος γὰρ ὑμᾶς, φησι, βαπτί-

σει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. εἶδες πόση τοῦ βαπτιστοῦ ἡ σοφία; ὅταν γὰρ αὐτὸς κηρύττῃ, τὰ φοβερὰ πάντα λέγει καὶ ἀγωνίαν ἐμβάλλοντα· ὅταν δὲ πρὸς ἐκεῖνον πέμπῃ, τὰ χρηστὰ καὶ ἀνακτήσασθαι ἱκανά. οὐ γὰρ τὴν ἀξίνην, οὐδὲ τὸ δένδρον τὸ ἐκκοπτόμενον καὶ καιόμενον, καὶ εἰς πῦρ βαλλόμενον, οὔτε τὴν μέλλουσαν ὀργὴν εἰς μέσον ἄγει· ἀλλ' ἁμαρτημάτων ἄφεσιν, καὶ τιμωρίας ἀναίρεσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμόν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ ἀδελφότητα, καὶ κληρονομίας κοινωνίαν, καὶ πνεύματος ἁγίου δαψιλῆ χορηγίαν. ταῦτα γὰρ πάντα ᾐνίξατο, εἰπών, βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ, καὶ αὐτῇ τῇ μεταφορᾷ τῆς λέξεως τὸ δαψιλὲς τῆς χάριτος ἐμφαίνων. οὐ γὰρ εἶπε, δώσει ὑμῖν πνεῦμα ἅγιον· ἀλλὰ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ, καὶ τῇ ἐπεξηγήσει τοῦ πυρὸς πάλιν τὸ σφοδρὸν καὶ ἀκάθεκτον τῆς χάριτος ἐνδεικνύμενος. ἐννόησον γοῦν τίνας εἰκὸς ἦν γενέσθαι τοὺς ἀκούοντας, λογιζομένους ὅτι κατὰ τοὺς προφήτας ἀθρόον ἔσονται [καὶ κατὰ] τοὺς μεγάλοις ἐκείνοις. διὰ γάρ τοι τοῦτο καὶ πυρὸς ἐμνημόνευσεν, ἵνα εἰς ἔννοιαν αὐτοὺς τῆς μνήμης ἐκείνων ἀγάγῃ. καὶ γὰρ ὅσαι σχεδὸν αὐτοῖς ὄψεις ἐφάνησαν, αἱ πλείους διὰ πυρὸς ἐφάνησαν. οὕτω τῷ Μωϋσῇ διελέχθη ἐν τῇ βάτῳ ὁ Θεός· οὕτω τῷ δήμῳ παντὶ ἐν τῷ ὄρει Σινᾶ· οὕτω τῷ Ἰεζεκιὴλ ἐπὶ τῶν χερουβίμ. σκόπει δὲ πῶς καὶ διεγείρει τὸν ἀκροατήν, πρότερον μὲν θεὶς ὃ μετὰ πάντα ἔμελλε γενέσθαι. ἔδει γὰρ σφαγῆναι τὸν ἀμνόν, καὶ τὴν ἁμαρτίαν ἀφανισθῆναι, καὶ καταλυθῆναι τὴν ἔχθραν, καὶ τὴν ταφὴν γενέσθαι καὶ τὴν ἀνάστασιν, καὶ τότε τὸ πνεῦμα παραγενέσθαι. ἀλλὰ τούτων οὐδὲν λέγει τέως· ἀλλὰ πρῶτον τὸ τελευταῖον, καὶ δι' ὃ πάντα ἐκεῖνα ἐγίνετο, καὶ ὃ μάλιστα ἱκανὸν ἦν αὐτοῦ τὴν ἀξίαν κηρύξαι· ἵν', ὅταν ἀκούσῃ ὁ ἀκροατής, ὅτι πνεῦμα λήψεται τοσοῦτον, ζητήσῃ πρὸς ἑαυτόν, πῶς, καὶ τίνι τρόπῳ τοῦτο ἔσται, τῆς ἁμαρτίας οὕτω κρατούσης· ἵνα λαβὼν αὐτὸν μεμεριμνημένον καὶ ἐμπαρεσκευασμένον πρὸς τὴν ἀκρόασιν, οὕτω τὸν περὶ τοῦ πάθους εἰσαγάγῃ λόγον, μηδενὸς λοιπὸν σκανδαλιζομένου τῇ προσδοκίᾳ τῆς τοιαύτης δωρεᾶς. διὸ πάλιν ἐβόα λέγων· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὐκ εἶπεν, ὁ ἀφείς, ἀλλ', ὃ μείζονος ἦν κηδεμονίας, ὁ αἴρων. οὐ γάρ ἐστιν ἴσον ἀφεῖναι ἁπλῶς, καὶ τὸ αὐτὸν ἀναλαβεῖν. τὸ μὲν γὰρ ἐξ ἀκινδύνου ἐγίνετο, τὸ δὲ μετὰ θανάτου. καὶ πάλιν ἔλεγεν, ὅτι υἱὸς τοῦ Θεοῦ ἐστιν. ἀλλ' οὐδὲ τοῦτο τρανῶς τοῖς ἀκούουσι τὴν ἀξίαν ἐδήλου (οὐδὲ γὰρ ᾔδεσαν οὐδέπω γνήσιον αὐτὸν ἐννοεῖν υἱόν) ἀπὸ δὲ τῆς τοσαύτης τοῦ πνεύματος δόσεως κἀκεῖνο συνίστα. διὰ δὴ τοῦτο καὶ ὁ πατὴρ πέμπων τὸν Ἰωάννην, τοῦτο αὐτῷ δεῖγμα πρῶτον τῆς τοῦ παραγινομένου δέδωκεν ἀξίας, εἰπών· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. διὸ καὶ αὐτός φησιν· ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὡς ἀπὸ τούτου κἀκείνου λοιπὸν σαφῶς συνισταμένου. Εἶτα, ἐπειδὴ τὰ χρηστὰ εἶπε, καὶ ἀνῆκε τὸν ἀκροατήν, καὶ ἐχάλασε, πάλιν ἐπισφίγγει, ὥστε μὴ γενέσθαι ῥάθυμον. τοιοῦτον γὰρ τὸ γένος τὸ Ἰουδαϊκόν, ὑπὸ τῶν χρηστῶν ἐχαυνοῦντο ῥᾳδίως καὶ χείρους ἐγίνοντο. διόπερ πάλιν ἐπάγει τὰ φοβερά, λέγων·

Ἰωαν. α. λγ.

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ. Ἀνωτέρω μὲν γὰρ τὴν κόλασιν εἶπεν, ἐνταῦθα δὲ καὶ τὸν κριτὴν δείκνυσι, καὶ τὴν τιμωρίαν ἀθάνατον εἰσάγει.

Κατακαύσει γάρ, φησι, τὸ ἄχυρον πυρὶ ἀσβέστῳ. Ὁρᾷς αὐτὸν τὸν τῶν πραγμάτων κύριον, καὶ αὐτὸν ὄντα τὸν γεωργόν, κἂν τὸν πατέρα ἀλλαχοῦ τοῦτο λέγῃ; Ὁ πατήρ μου γάρ, φησιν, ὁ γεωργός ἐστιν. Εἶτα, ἐπειδὴ εἶπεν, ἀξίνη, ἵνα μὴ νομίσῃς πόνου δεῖσθαι τὸ πρᾶγμα, καὶ δυσδιάκριτον εἶναι, ἐξ ἑτέρου παραδείγματος καὶ τὴν εὐκολίαν εἰσάγει, δεικνὺς πάντα αὐτοῦ ὄντα τὸν κόσμον. οὐ γὰρ ἂν τοὺς μὴ ἑαυτοῦ ἐκόλασε. νῦν μὲν οὖν πάντα ἀναμέμικται. κἂν γὰρ φαίνηται διαλάμπων ὁ σῖτος, ἀλλ' ὅμως μετὰ τῶν ἀχύρων κεῖται, ὡς ἐν ἅλωνι, οὐχ ὡς ἐν ἀποθήκῃ· τότε δὲ πολλὴ ἔσται ἡ διάκρισις. ποῦ νῦν εἰσιν οἱ τῇ γεέννῃ διαπιστοῦντες; καὶ γὰρ δύο τέθεικε, καὶ ὅτι βαπτίσει πνεύματι ἁγίῳ, καὶ ὅτι

Ἰωαν. ιε α.

κατακαύσει τοὺς ἀπιστοῦντας. Εἰ τοίνυν ἐκεῖνο πιστὸν, καὶ τοῦτο πάντως. Διὰ γὰρ τοῦτο ἐφεξῆς τὰς δύο προῤῥήσεις τέθεικεν, ἵνα ἀπὸ τῆς ἤδη γενομένης καὶ τὴν μηδέπω συμβᾶσαν πιστώσηται. καὶ γὰρ [καὶ] ὁ Χριστὸς πολλαχοῦ τοῦτο ποιεῖ, πολλάκις μὲν ἐπὶ τῶν αὐτῶν πραγμάτων, πολλάκις δὲ ἐπὶ τῶν ἐναντίων, δύο τιθεὶς προφητείας· καὶ τὴν μὲν ἐνταῦθα παρεχόμενος, τὴν δὲ ἐν τῷ μέλλοντι ὑπισχνούμενος, ἵνα ἀπὸ τῆς ἤδη γενομένης καὶ τῇ μηδέπω γενομένῃ πιστεύσωσιν οἱ φιλονεικότεροι. καὶ γὰρ τοῖς δι' αὐτὸν ἀποδυομένοις τὰ ὄντα πάντα, ἑκατονταπλασίονα ὑπέσχετο δώσειν ἐν τῷ παρόντι βίῳ, καὶ ζωὴν αἰώνιον ἐν τῷ μέλλοντι, ἀπὸ τῶν ἤδη δοθέντων καὶ τὰ μέλλοντα " ἀξιόπιστα καθιστάς. ὃ δὴ καὶ Ἰωάννης ἐνταῦθα πεποίηκε δύο θείς· ὅτι καὶ βαπτίσει πνεύματι ἁγίῳ, καὶ κατακαύσει πυρὶ ἀσβέστῳ. Εἰ τοίνυν μὴ ἐβάπτισεν [ἐν] πνεύματι τοὺς ἀποστόλους καὶ πάντας καθ' ἑκάστην ἡμέραν τοὺς βουλομένους, " ἔχοις ἂν καὶ περὶ ἐκείνων ἀμφιβάλλειν. Εἰ δὲ τὸ μεῖζον καὶ δυσκολώτερον εἶναι δοκοῦν καὶ πάντα ὑπερβαῖνον λόγον, καὶ γέγονε, καὶ καθ' ἑκάστην γίνεται, πῶς τὸ εὔκολον καὶ κατὰ λόγον γινόμενον οὐ φῂς εἶναι ἀληθές; ἐπειδὴ γὰρ εἶπεν, ὅτι βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ, καὶ μεγάλα " ἐνταῦθα ὑπέσχετο ἀγαθὰ, ἵνα μὴ ἀναπέσῃς τῶν προτέρων ἁπάντων ἀφεθεὶς, ἐπήγαγε τὸ πτύον, καὶ τὴν διὰ τούτου κρίσιν ἐμφαινομένην. μὴ γὰρ δὴ νομίσητε, φησὶν, ἀρκεῖν τὸ βάπτισμα, εἰ φαῦλοι μετὰ ταῦτα γένοισθε. δεῖ γὰρ ἡμῖν καὶ ἀρετῆς καὶ πολλῆς τῆς φιλοσοφίας. διὰ τοῦτο εἰς μὲν τὴν χάριν ἐκ τοῦ λουτροῦ ἀπὸ τῆς ἀξίνης αὐτοὺς ὠθεῖ· μετὰ δὲ τὴν χάριν, ἀπὸ τοῦ πτύου καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου φοβεῖ. καὶ τῶν μὲν πρὸ τοῦ βαπτίσματος οὐδεμίαν ποιεῖται διάκρισιν, ἀλλ' ἁπλῶς· Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, φησὶ, τοὺς ἀπίστους ἅπαντας κολάζων· μετὰ δὲ τὸ βάπτισμα διαίρεσίν τινα ἐργάζεται, ἐπειδὴ πολλοὶ τῶν πιστευσάντων ἀνάξιον ἔμελλον τῆς πίστεως ἐπιδείκνυσθαι βίον. μηδεὶς τοίνυν γινέσθω ἄχυρον, μηδεὶς εὐρίπιστος ἔστω, μηδὲ ταῖς πονηραῖς ἐπιθυμίαις προκείσθω, πάντοτε ῥᾳδίως ὑπ' αὐτῶν ἀναῤῥιπιζόμενος. ἂν μὲν γὰρ μείνῃς σῖτος, κἂν πειρασμὸς ἐπενεχθῇ, οὐδὲν πείσῃ δεινόν (καὶ γὰρ κατὰ τὴν ἅλω τῆς ἁμάξης οἱ τροχοὶ οἱ πριστηροειδεῖς τὸν σῖτον οὐ διατέμνουσιν) ἂν δὲ εἰς ἀχύρου μεταπέσῃς ἀσθένειαν, καὶ ἐνταῦθα ἀνήκεστα πείσῃ κοπτόμενος ὑπὸ πάντων, καὶ ἐκεῖ τὴν ἀθάνατον ὑποστήσῃ κόλασιν. οἱ γὰρ τοιοῦτοι πάντες καὶ πρὸ τῆς ἐκεῖ καμίνου τροφὴ τοῖς ἀλόγοις γίνονται ἐνταῦθα πάθεσιν, ὥσπερ τὸ ἄχυρον τοῖς ἀλόγοις ζώοις· καὶ ἐκεῖ πάλιν ὕλη καὶ τροφὴ τῷ πυρί. τὸ μὲν οὖν εἰπεῖν ἐξ εὐθείας, ὅτι αὐτὸς δικάσει τοῖς γινομένοις, οὐχ οὕτως ἐποίει εὐπαράδεκτον τὸν λόγον· τὸ δὲ ἀναμῖξαι τὴν παραβολὴν καὶ διὰ ταύτης κατασκευάσαι τὸ πᾶν, μᾶλλον ἔπειθε, καὶ μετὰ πλείονος παραμυθίας ἐφείλκετο τὸν ἀκροατήν. διὸ καὶ τὰ πλείονα οὕτως αὐτὸς αὐτοῖς διαλέγεται, ἅλωνα, καὶ ἀμητὸν, καὶ ἀμπελῶνα, καὶ ληνὸν, καὶ ἄρουραν, καὶ σαγήνην, καὶ " ἁλιείαν, καὶ πάντα τὰ συνήθη καὶ ἐν οἷς " ἐστρέφοντο, τοῖς λόγοις μιγνὺς τοῖς αὑτοῦ. ὅπερ οὖν καὶ ὁ βαπτιστὴς ἐνταῦθα πεποίηκε, καὶ ἀπόδειξιν μεγίστην παρέσχετο τῶν εἰρημένων, τὴν τοῦ πνεύματος δόσιν. ὁ γὰρ τοσαῦτα δυνάμενος, ὡς καὶ ἁμαρτήματα ἀφεῖναι, καὶ πνεῦμα δοῦναι, καὶ ταῦτα πολλῷ μᾶλλον δυνήσεται, φησιν. Εἶδες πῶς ἤδη τὸ μυστήριον " προκατεβάλλετο ἀκολούθως τῆς ἀναστάσεως καὶ τῆς κρίσεως. καὶ τίνος ἕνεκεν, φησιν, οὐκ εἶπε τὰ εὐθέως ἐσόμενα παρ' αὐτοῦ σημεῖα καὶ τέρατα; ὅτι τοῦτο μεῖζον ἁπάντων ἦν, καὶ διὰ τοῦτο πάντα ἐκεῖνα ἐγίνετο. τὸ γὰρ κεφάλαιον θεὶς, πάντα περιέλαβε, θανάτου " λύσιν, ἁμαρτημάτων ἀναίρεσιν, κατάρας ἀφανισμὸν, τῶν χρονίων πολέμων ἀπαλλαγὴν, τὴν εἰς τὸν παράδεισον εἴσοδον, τὴν εἰς οὐρανοὺς ἄνοδον, τὴν μετ' ἀγγέλων πολιτείαν, τὴν τῶν μελλόντων ἀγαθῶν κοινωνίαν· καὶ γὰρ τοῦτο ἀῤῥαβὼν ἐκείνων ἐστίν. Εἰπὼν τοίνυν τοῦτο, εἶπε καὶ τὴν τῶν σωμάτων ἀνάστασιν, καὶ τὴν τῶν ἐνταῦθα σημείων ἐπίδειξιν, καὶ τὴν τῆς βασιλείας κοινωνίαν, καὶ τὰ ἀγαθά, Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα γὰρ πάντα δι' ἐκείνου τοῦ χαρίσ-

Λυκ. γ. θ.

α. Κορ. β. θ.

ματος ἡμῖν παρέχετο. περιττὸν τοίνυν ἦν περὶ τῶν σημείων εἰπεῖν τῶν εὐθέως ἐκβησομένων, καὶ τῇ ὄψει κρινομένων· ἀλλ' ὑπὲρ ἐκείνων ἔδει διαλεχθῆναι, ὧν ἀμφέβαλλον ἔτι, ὅτι υἱὸς Θεοῦ ἐστιν, ὅτι ὑπερέχων τοῦ Ἰωάννου ἀσυγκρίτως, ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, ὅτι δίκην ἀπαιτήσει τῶν πεπραγμένων, ὅτι οὐ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα, ἀλλ' ἐκεῖ τὴν ἀξίαν ἕκαστος ὑποστήσεται τιμωρίαν. ταῦτα γὰρ ὄψει παραστῆσαι τέως οὐκ ἦν.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν εἰδότες, πολλῇ τῇ σπουδῇ χρώμεθα ἕως ἂν ὦμεν ἐν τῇ ἅλωνι. καὶ γὰρ ἔξεστι [καὶ] ἐνταῦθα οὖσι καὶ ἐξ ἀχύρου μεταβάλλεσθαι εἰς σῖτον, ὥσπερ οὖν καὶ ἀπὸ σίτου πολλοὶ γεγόνασιν ἄχυρον. μὴ τοίνυν ἀναπέσωμεν, μηδὲ ἀνέμῳ παντὶ περιφερώμεθα, μηδὲ τῶν ἀδελφῶν ἀποσχιζώμεθα τῶν ἡμετέρων, κἂν μικροὶ δοκῶσιν εἶναι καὶ εὐτελεῖς· ἐπεὶ καὶ ὁ σῖτος τοῦ ἀχύρου κατὰ μὲν τὸ μέγεθος, ἐλάττων, κατὰ δὲ τὴν φύσιν, βελτίων. μὴ δὴ τὰς ἔξωθεν φαντασίας ἴδῃς (τῷ πυρὶ γὰρ εἰσὶ παρεσκευασμέναι) ἀλλὰ τὴν κατὰ Θεὸν ταπεινότητα, τὴν στερρὰν ταύτην καὶ ἀδιάλυτον, καὶ τμηθῆναι μὴ δυναμένην, μηδὲ ὑπὸ τοῦ πυρὸς καιομένην. διὰ γὰρ τούτους καὶ τῷ ἀχύρῳ μακροθυμεῖ, ἵνα ἀπὸ τῆς πρὸς αὐτοὺς ὁμιλίας βελτίους γίνωνται. διὰ τοῦτο οὔπω κρίσις, ἵνα κοινῇ πάντες στεφανωθῶμεν, ἵνα ἀπὸ πονηρίας πολλοὶ" μεταβληθῶμεν εἰς ἀρετήν. φρίξωμεν τοίνυν τῆς παραβολῆς ταύτης ἀκούοντες. καὶ γὰρ ἄσβεστόν ἐστιν ἐκεῖνο τὸ πῦρ. καὶ "πῶς ἄσβεστον, φησιν; οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον καιόμενον ἀεὶ, καὶ μηδέποτε σβεννύμενον; οὐκ εἶδες τὴν βάτον καιομένην, καὶ μὴ κατακαιομένην; εἰ τοίνυν καὶ αὐτὸς βούλει διαφυγεῖν τὴν φλόγα, τὴν ἐλεημοσύνην" προαπόθου, καὶ οὕτως οὐδὲ πεῖραν λήψῃ τοῦ πυρὸς ἐκείνου. ἂν μὲν γὰρ ἐνταῦθα πιστεύσῃς τοῖς λεγομένοις, οὐδὲ ὄψει τὴν κάμινον ταύτην ἀπελθὼν ἐκεῖσε· ἐὰν δὲ ἀπιστήσῃς αὐτῇ νῦν, ἐκεῖ διὰ τῆς πείρας εἴσῃ καλῶς, ὅτι οὔτε διαφυγεῖν δυνατόν. καὶ γὰρ ἀπαραίτητος ἡ κόλασις τοῖς οὐκ ὀρθὸν ἐπιδεδειγμένοις βίον. οὐδὲ γὰρ ἀρκεῖ τὸ πιστεῦσαι μόνον, ἐπεὶ καὶ δαίμονες φρίττουσι τὸν Θεόν, ἀλλὰ καὶ οὕτω τιμωρηθήσονται· διὸ πολλῆς ἡμῖν τῆς κατὰ τὸν βίον ἐπιμελείας δεῖ. διὰ γὰρ τοῦτο καὶ ἐνταῦθα ὑμᾶς συνεχῶς συνάγομεν, οὐχ ἵνα εἰσέλθητε μόνον, ἀλλ' ἵνα τι καὶ καρπώσησθε ἀπὸ τῆς ἐνταῦθα διατριβῆς. ἂν δὲ παραγίνησθε μὲν ἀεὶ, μηδὲν δὲ ἐντεῦθεν καρπούμενοι ἀναχωρῆτε, "οὐδὲ τῆς ἐνταῦθα εἰσόδου καὶ προσεδρίας ἔσται τι πλέον. εἰ γὰρ παιδία πρὸς διδασκάλους πέμποντες, ἂν ἴδωμεν ἐκεῖθεν μηδὲν καρπούμενα, σφοδροὶ κατήγοροι τῶν διδασκάλων γινόμεθα, καὶ πρὸς ἑτέρους αὐτὰ μεθίσταμεν πολλάκις· τίνα ἕξομεν ἀπολογίαν, μηδὲ, ὅσην ἐν τοῖς γηΐνοις τούτοις, τοσαύτην τῇ ἀρετῇ παρέχοντες τὴν σπουδὴν, ἀλλὰ κενὰς ἀεὶ τὰς δέλτους οἴκαδε φέροντες· καίτοι καὶ πλείους καὶ μείζους ἐνταῦθα οἱ διδάσκαλοι; καὶ γὰρ προφήτας καὶ ἀποστόλους καὶ πατριάρχας καὶ δικαίους ἅπαντας καθ' ἑκάστην ὑμῖν ἐφιστῶμεν ἐκκλησίαν διδασκάλους· καὶ οὐδὲ οὕτω γίνεταί τι πλέον· ἀλλ' ἂν δύο ψαλμοὺς ἢ τρεῖς ὑπηχήσαντες, καὶ τὰς συνήθεις εὐχὰς ἁπλῶς καὶ ὡς ἔτυχε ποιούμενοι διαλυθῆτε, νομίζετε ἀρκεῖν τοῦτο εἰς σωτηρίαν ὑμῖν. οὐκ ἠκούσατε τοῦ προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου, Ὅτι ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ; ἵν' οὖν τοῦτο μὴ γίνηται καὶ ἐφ' ἡμῶν, ἐξάλειψον τὰ γράμματα, μᾶλλον δὲ τὰ χαράγματα, ἅπερ ὁ διάβολος ἐνετύπωσέ σου τῇ ψυχῇ, καὶ φέρε μοι καρδίαν βιωτικῶν ἀπηλλαγμένην θορύβων, ἵνα μετὰ ἀδείας, ἃ βούλομαι, ἐγγράψω. ὡς νῦν γε οὐδὲν ἕτερον ἐστι γινώσκειν, ἢ τὰ ἐκείνου γράμματα, ἁρπαγὰς, πλεονεξίας, φθόνον, βασκανίαν. διὰ δὴ τοῦτο, ὅταν τὰς δέλτους λάβω τὰς ὑμετέρας, οὐδὲ ἀναγνῶναι δύναμαι. οὐ γὰρ εὑρίσκω τὰ γράμματα, ἅπερ ἡμεῖς κατὰ κυριακὴν ἐγγράφοντες ὑμῖν ἀφίεμεν· ἀλλ' ἕτερα ἀνθ' ἑτέρων, ἄσημα καὶ διεστραμμένα· εἶτα, ὅταν "ἐξαλείψαντες αὐτὰ, "γράψωμεν τὰ ἀπὸ τοῦ πνεύματος, ἀπελθόντες ὑμεῖς, καὶ ταῖς διαβολικαῖς

γρ. -θῶσιν εἰς ἀρ.

γρ. πῶς φησὶν ἄσβ.

γρ. ἀπόθου,

γρ. οὐδὲν

Ησ. κθ. ιγ.

γρ. -ψας

γρ. -ψω

λιχῆς ἐνεργείαις δόντες τὰς καρδίας ὑμῶν, παρέχετε ἐκείνῳ πάλιν τὰ ἑαυτοῦ ἀντεγγράφειν ὑμῖν. τί οὖν ἔσται τούτων τὸ πέρας; κἂν ἐγὼ μὴ λέξω, τὸ ἑκάστου συνειδὸς οἶδεν. ἐγὼ μὲν γὰρ οὐ παύσομαι τὸ ἐμαυτοῦ ποιῶν, καὶ τὰ ὀρθὰ γράμματα ἐγγράφων. εἰ δὲ ὑμεῖς λυμαίνεσθε ἡμῶν τὴν σπουδήν, ἡμῖν μὲν ὁ μισθὸς ἀκίνητος· ὑμῖν δὲ οὐ μικρὸς ὁ κίνδυνος. ἀλλ' οὐδὲν βούλομαι φορτικὸν εἰπεῖν· ἀλλὰ δέομαι πάλιν καὶ παρακαλῶ, κἂν τῶν παίδων τῶν μικρῶν μιμήσασθε τὴν περὶ ταῦτα σπουδήν. καὶ γὰρ ἐκεῖνοι πρῶτον μὲν τὸν τύπον μανθάνουσι τῶν στοιχείων· ἔπειτα διεστραμμένα αὐτὰ γινώσκειν μελετῶσι· καὶ τότε καὶ ἐπὶ τῆς ἀναγνώσεως ὁδῷ βαδίζουσι τῇ διὰ ἐκείνων. οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν· διελόμενοι τὴν ἀρετήν, μανθάνωμεν πρότερον τὸ μὴ ὀμνύναι, μηδὲ ἐπιορκεῖν, μηδὲ κατηγορεῖν· εἶτα, ἐπ' ἄλλο στοιχεῖον ἐλθόντες, τὸ μὴ βασκαίνειν, μηδὲ σωμάτων ἐρᾷν, μὴ γαστρίζεσθαι, μὴ μεθύσκεσθαι· μὴ ὠμοί, μὴ νωθεῖς, ἵνα ἀπὸ τούτων πάλιν εἰς τὰ πνευματικὰ μεταβάντες, μελετῶμεν ἐγκράτειαν καὶ γαστρὸς ὑπεροψίαν, σωφροσύνην, δικαιοσύνην, τὸ δόξης εἶναι κρείττους, καὶ ἐπιεικεῖς, καὶ τῇ διανοίᾳ συντετριμμένους, καὶ συνάπτωμεν ταῦτα ἀλλήλοις, καὶ ἐγγράφωμεν ἡμῶν τῇ ψυχῇ. καὶ ταῦτα ἐπὶ τῆς οἰκίας, ἐπὶ τῶν φίλων, ἐπὶ τῆς γυναικός, ἐπὶ τῶν παίδων γυμνάζωμεν ἅπαντα· καὶ τέως ἀπὸ τῶν προτέρων ἀρχώμεθα τῶν εὐκολωτέρων, οἷον ἀπὸ τοῦ μὴ ὀμνύναι, καὶ τοῦτο συνεχῶς μελετῶμεν τὸ στοιχεῖον ἐπὶ τῆς οἰκίας. καὶ γὰρ πολλοὶ οἱ ἐμποδίζοντες οἴκοι τῇ μελέτῃ ταύτῃ. καὶ γὰρ οἰκέτης παροξύνει, καὶ γυνὴ λυποῦσα εἰς ὀργὴν ἐμβάλλει, καὶ παιδίον ἀμαθαῖνον καὶ ἀτακτοῦν εἰς ἀπειλὴν καὶ ὅρκον ἐξάγει. ἂν τοίνυν ἐπὶ τῆς οἰκίας συνεχῶς ὑπὸ τούτων παρακνιζόμενος, κατορθώσῃς τὸ μὴ παρασύρεσθαι εἰς ὅρκους, εὐκόλως καὶ ἐπὶ τῆς ἀγορᾶς δυνήσῃ μεῖναι ἀνάλωτος. ἀλλὰ μὴν καὶ τὸ μὴ ὑβρίζειν κατορθώσεις, μήτε τὴν γυναῖκα ὑβρίζων, μήτε τὸν οἰκέτην, μήτε τῶν ἐπὶ τῆς οἰκίας ἕτερόν τινα. καὶ γὰρ γυνὴ πολλάκις ἐπαινοῦσα τὸν δεῖνα καὶ ταλανίζουσα ἑαυτήν, ἐξάπτει εἰς τὸ κακῶς ἐκεῖνον εἰπεῖν. ἀλλὰ σὺ μὴ ἀναγκασθῇς κατηγορῆσαι τὸν ἐπαινούμενον, ἀλλὰ φέρε πάντα γενναίως. κἂν τοὺς οἰκέτας ἑτέρους ἐπαινοῦντας δεσπότας ἴδῃς, μὴ ταραχθῇς, ἀλλὰ στῆθι γενναῖος. ἀγὼν ἔστω καὶ παλαίστρα ἀρετῆς ἡ οἰκία, ἵνα ἐκεῖ καλῶς γυμνασάμενος, μετὰ πολλῆς τῆς ἐπιστήμης τοῖς ἐν ἀγορᾷ προσβάλλῃς. τοῦτο καὶ ἐπὶ τῆς κενοδοξίας ποίει. ἂν γὰρ μελετήσῃς μὴ κενοδοξεῖν ἐπὶ τῆς γυναικὸς καὶ τῶν τέκνων καὶ τῶν οἰκετῶν, ἐπ' οὐδενὸς λοιπὸν ἑτέρου ῥᾳδίως ἁλώσῃ τούτῳ τῷ πάθει. πανταχοῦ μὲν γὰρ τὸ νόσημα τοῦτο χαλεπὸν καὶ τυραννικόν, μάλιστα δὲ ὅταν γυνὴ παρῇ. ἂν τοίνυν ἐκεῖ καταλύσωμεν αὐτοῦ τὴν ἰσχύν, ῥᾳδίως αὐτοῦ καὶ ἐν τοῖς ἄλλοις περιεσόμεθα. καὶ ἐπὶ τῶν ἄλλων δὲ παθῶν τὸ αὐτὸ τοῦτο ποιῶμεν, ἐπὶ τῆς οἰκίας γυμναζόμενοι κατ' αὐτῶν, καὶ καθ' ἑκάστην ἀλειφόμενοι τὴν ἡμέραν. καὶ ἵνα εὐκολωτέρα ἡμῖν ἡ γυμνασία γένηται, καὶ ἐπιτίμιον καθ' ἑαυτῶν ἐκφέρωμεν, ὅταν τι τῶν προκειμένων παραβῶμεν. ἔστω δὲ καὶ τὸ ἐπιτίμιον πάλιν, μὴ ζημίαν, ἀλλὰ μισθὸν ἔχον, καὶ κέρδος προξενοῦν μέγιστον. τοῦτο δέ ἐστιν, ἂν νηστείαις ἐπιτεταμέναις ἑαυτοὺς καταδικάζωμεν καὶ χαμευνίαις, καὶ ἑτέρᾳ τοιαύτῃ σκληραγωγίᾳ. οὕτω γὰρ πάντοθεν ἡμῖν πολλὰ ἥξει τὰ κέρδη· καὶ ἐνταῦθα τὸν ἡδὺν τῆς ἀρετῆς βιωσόμεθα βίον, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, καὶ τοῦ Θεοῦ διηνεκῶς ἐσόμεθα φίλοι. ἀλλ' ὅπως [ἂν] μὴ τὰ αὐτὰ γένηται πάλιν, καὶ θαυμάσαντες ἐνταῦθα τὰ εἰρημένα, ἀπελθόντες ἁπλῶς καὶ ὡς ἔτυχε τὴν δέλτον τῆς διανοίας ὑμῶν ῥίψαντες, παράσχητε τῷ διαβόλῳ ταῦτα ἐξαλεῖψαι, ἀναχωρήσας οἴκαδε ἕκαστος καλείτω τὴν γυναῖκα τὴν ἑαυτοῦ, καὶ ἀπαγγελλέτω ταῦτα καὶ λαμβανέτω βοηθόν, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας εἰς τὴν καλὴν ταύτην εἰσίτω παλαίστραν, ἐλαίῳ τῇ τοῦ πνεύματος χρώμενος χορηγίᾳ. κἂν ἅπαξ, κἂν δίς, κἂν πολλάκις καταπέσῃς γυμναζόμενος, μὴ ἀπογνῷς, ἀλλὰ στῆθι πάλιν καὶ πάλαισον, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν λαμπρὸν ἀναδήσῃ κατὰ τοῦ διαβόλου τὸν στέφανον, καὶ ἐν ἀσύλῳ θησαυρῷ λοιπὸν τῆς ἀρετῆς ἀπάθη τὴν κλῆσιν. ἂν γὰρ ἐν συνηθείᾳ τῆς καλῆς ταύτης σαυτὸν καταστήσῃς φιλοσοφίας, οὐδὲ ῥαθυμῶν λοιπὸν δυνήσῃ παραβῆναί τι τῶν ἐπιτεταγμένων, τῆς συνηθείας τὴν τῆς φύσεως μιμουμένης στερρότητα. ὥσπερ γὰρ τὸ καθεύδειν εὔκολον, καὶ ἐσθίειν καὶ πίνειν καὶ ἀναπνεῖν, οὕτως ἔσται καὶ τὰ τῆς ἀρετῆς ἡμῖν ῥᾴδια, καὶ τὴν εἰλικρινῆ καρπωσόμεθα ἡδονὴν, ἐν ἀκυμάντῳ λιμένι καθήμενοι, καὶ γαλήνης διηνεκοῦς ἀπολαύοντες, καὶ μετὰ πολλοῦ τοῦ φόρτου τὸ πλοῖον εἰς ἐκείνην ὁρμίζοντες τὴν πόλιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ τῶν ἀκηράτων ἐπιτευξόμενοι στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ιβ. 13 ΤΟΤΕ ΠΑΡΑΓΙΝΕΤΑΙ Ο ΙΗΣΟΥΣ ΑΠΟ τῆς Γαλιλαίας εἰς τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ.

ΜΕτὰ τῶν δούλων ὁ δεσπότης, μετὰ τῶν ὑπευθύνων ὁ κριτὴς ἔρχεται βαπτισθησόμενος. ἀλλὰ μὴ θορυβηθῇς. ἐν γὰρ τοῖς ταπεινοῖς τούτοις μάλιστα διαλάμπει αὐτοῦ τὸ ὑψηλόν. ὁ γὰρ κυοφορηθῆναι τοσοῦτον χρόνον ἐν μήτρᾳ καταδεξάμενος παρθενικῇ, καὶ προελθεῖν ἐκεῖθεν μετὰ τῆς ἡμετέρας φύσεως, καὶ ῥαπισθῆναι καὶ σταυρωθῆναι *, καὶ τὰ ἄλλα παθεῖν ἅπερ ἔπαθε, τί θαυμάζεις εἰ καὶ βαπτισθῆναι κατεδέξατο, καὶ μετὰ τῶν ἄλλων ἐλθεῖν πρὸς τὸν δοῦλον; τὸ γὰρ ἐκπλῆττον ἐκεῖνο ἦν, τὸ Θεὸν ὄντα βουληθῆναι γενέσθαι ἄνθρωπον· τὰ δὲ ἄλλα [λοιπὸν] κατὰ λόγον ἕπεται ἅπαντα. διά τοι τοῦτο καὶ ὁ Ἰωάννης προλαβὼν, ἔλεγεν ἐκεῖνα ἅπερ εἶπεν· ὅτι οὐκ ἔστιν ἄξιος λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος, καὶ τὰ ἄλλα πάντα· οἷον, ὅτι κριτής ἐστι, καὶ κατ᾽ ἀξίαν ἀποδίδωσιν ἑκάστῳ, καὶ πνεῦμα παρέξει δαψιλὲς ἅπασιν· ἵνα, ὅταν ἴδῃς αὐτὸν ἐπὶ τὸ βάπτισμα ἐρχόμενον, μηδὲν ταπεινὸν ὑποπτεύσῃς. διὰ τοῦτο καὶ παρόντα

14 Αὐτὸν διακωλύει λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

Ἐπειδὴ γὰρ τὸ βάπτισμα μετανοίας ἦν, καὶ εἰς κατηγορίαν τῶν πεπλημμελημένων ἐνῆγεν, ἵνα μή τις νομίσῃ, ὅτι καὶ αὐτὸς μετὰ τῆς τοιαύτης γνώμης ἐπὶ τὸν Ἰορδάνην ἔρχεται, προδιορθοῦσαι αὐτὸ, τῷ τε ἀμνὸν καλέσαι, καὶ λυτρωτὴν τῆς κατὰ τὴν οἰκουμένην ἁμαρτίας ἁπάσης. ὁ γὰρ τὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους ἁμαρτήματα δυνάμενος ἀνελεῖν, πολλῷ μᾶλλον αὐτὸς ἀναμάρτητος ἦν. διὰ δὴ τοῦτο οὐκ εἶπεν· ἴδε ὁ ἀναμάρτητος· ἀλλ᾽ ὃ πολλῷ πλέον ἦν, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἵνα μετὰ τούτου κἀκεῖνο μετὰ πάσης δέξῃ πληροφορίας, καὶ δεξάμενος ἴδῃς, ὅτι ἑτέραν τινὰ οἰκονομῶν, ἐπὶ τὸ βάπτισμα ἔρχεται· διὸ καὶ ἐλθόντι αὐτῷ ἔλεγεν· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; καὶ οὐκ εἶπε, καὶ σὺ βαπτίζῃ ὑπ᾽ ἐμοῦ (καὶ γὰρ [καὶ] τοῦτο ἔδεισεν εἰπεῖν) ἀλλὰ τί; καὶ σὺ ἔρχῃ πρός με; τί οὖν ὁ Χριστός; ὅπερ ἐπὶ τοῦ Πέτρου πεποίηκεν ὕστερον, τοῦτο καὶ τότε ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖνος διεκώλυεν αὐτὸν νίψαι τοὺς πόδας· ἀλλ᾽, ἐπεὶ ἤκουσεν, ὃ ποιῶ νῦν, σὺ οὐκ οἶδας, γνώσῃ δὲ μετὰ ταῦτα, καὶ, ὅτι οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ, ταχέως ἀπέστη τοῦ τόνου, καὶ πρὸς τὸ ἐναντίον μετέστη. καὶ οὗτος ὁμοίως πάλιν, ἀκούσας,

15 Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην,

Εὐθέως ὑπήκουεν. οὐ γὰρ ἀμέτρως ἦσαν φιλόνεικοι· ἀλλὰ καὶ τὴν ἀγάπην ἐπεδείκνυντο, καὶ τὴν ὑπακοὴν, καὶ πάντα πείθεσθαι ἐμελέτων τῷ δεσπότῃ. σκόπει δὲ πῶς ἐντεῦθεν αὐτὸν ἐναγῆ, ἀφ' ὧν μάλιστα ὑπώπτευε τὸ γινόμενον. οὐδὲ γὰρ εἶπεν, οὕτω δίκαιόν ἐστιν, ἀλλ' οὕτω πρέπον ἐστίν. ἐπειδὴ γὰρ ἀνάξιον αὐτοῦ μάλιστα εἶναι ἐνόμιζε τοῦτο, τὸ παρὰ τοῦ δούλου βαπτισθῆναι, τοῦτο μάλιστα τέθεικε τὸ πρὸς ἐκεῖνο ἀντιδιαστελλόμενον. ὡσανεὶ ἔλεγεν· οὐχ ὡς ἀπρεπὲς τοῦτο φεύγεις καὶ διακωλύεις; διὰ τοῦτο μὲν οὖν τοῦτο ἄφες, ὅτι καὶ μάλιστα πρέπον ἐστί. καὶ οὐχ ἁπλῶς εἶπεν, ἄφες· ἀλλὰ τὸ, ἄρτι, προσέθηκεν. οὐ γὰρ διηνεκῶς ταῦτα ἔσται, φησὶν, ἀλλ' ὄψει με ἐν τούτοις οἷς ἐπιθυμεῖς· ἄρτι μέντοι ὑπόμεινον τοῦτο. εἶτα καὶ δείκνυσι πῶς τοῦτο πρέπον ἐστί. πῶς οὖν πρέπον ἐστίν; ὅτι τὸν νόμον πληροῦμεν ἅπαντα· ὅπερ οὖν δηλῶν, ἔλεγε, πᾶσαν δικαιοσύνην. δικαιοσύνη γάρ ἐστιν ἡ τῶν ἐντολῶν ἐκπλήρωσις. ἐπεὶ οὖν πάσας τὰς ἄλλας ἐντολὰς ἠνύσαμεν, φησι, τοῦτο δὲ ὑπολείπεται μόνον, δεῖ προστεθῆναι καὶ τοῦτο. καὶ γὰρ ἦλθον λῦσαι τὴν ἀρὰν τὴν ἐπὶ τῇ παραβάσει τοῦ νόμου κειμένην. δεῖ τοίνυν πρότερόν με αὐτὸν πάντα πληρώσαντα, καὶ ἐξελόμενον ὑμᾶς τῆς καταδίκης, οὕτως αὐτὸν ἀναπαῦσαι. πρέπον οὖν ἐστιν ἐμοὶ πληρῶσαι τὸν νόμον ἅπαντα· ἐπειδὴ καὶ πρέπον ἐστὶ λῦσαι τὴν καθ' ὑμῶν ἐπὶ τῷ νόμῳ γεγραμμένην κατάραν. διὰ γὰρ τοῦτο καὶ σάρκα ἀνέλαβον, καὶ παραγενόμην.

Τότε ἀφίησιν αὐτόν. 16 Καὶ βαπτισθεὶς ὁ Ιησοῦς, εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος. καὶ ἰδοὺ, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. Επειδὴ γὰρ πολλῷ μείζονα αὐτοῦ τὸν Ιωάννην εἶναι ἐνόμιζον, διὰ τὸ τὸν μὲν ἐν ἐρήμῳ πάντα τραφῆναι τὸν χρόνον, καὶ υἱὸν ἀρχιερέως εἶναι, καὶ στολὴν περικεῖσθαι τοιαύτην, καὶ πάντας ἐπὶ τὸ βάπτισμα καλεῖν, καὶ ἀπὸ στείρας τετέχθαι· τὸν δὲ Ιησοῦν καὶ ἀπὸ εὐτελοῦς κόρης εἶναι (ὁ γὰρ τῆς παρθενίας τόκος οὐδέπω πᾶσι κατάδηλος ἦν) καὶ διὰ τὸ ἐν οἰκίᾳ τραφῆναι, καὶ μετὰ πάντων ἀναστρέφεσθαι, καὶ τὴν κοινὴν ταύτην ἐσθῆτα περικεῖσθαι, ἐλάττονα αὐτοῦ εἶναι ὑπώπτευον, οὐδὲν οὐδέπω τῶν ἀπορρήτων εἰδότες ἐκείνων· συνέβη δὲ καὶ βαπτισθῆναι αὐτὸν ὑπὸ τοῦ Ιωάννου (ὅπερ ταύτην μᾶλλον ἐβεβαίου τὴν ὑπόνοιαν, εἰ καὶ μηδὲν τῶν προτέρων ἦν. ἐνενόουν γὰρ ὅτι οὗτος μὲν τῶν πολλῶν εἷς ἦν· οὐδὲ γὰρ, εἰ μὴ τῶν πολλῶν εἷς ἦν, οὐκ ἂν μετὰ τῶν πολλῶν ἐπὶ τὸ βάπτισμα ἦλθεν· ἐκεῖνος δὲ μείζων αὐτοῦ καὶ πολλῷ θαυμαστότερος) ἵν' οὖν μὴ αὕτη κρατήσῃ παρὰ τοῖς πολλοῖς ἡ δόξα, καὶ οἱ οὐρανοὶ ἀνοίγονται βαπτισθέντος αὐτοῦ, καὶ τὸ πνεῦμα κάτεισι, καὶ φωνὴ μετὰ τοῦ πνεύματος κηρύττουσα τοῦ μονογενοῦς τὴν ἀξίαν. ἐπεὶ γὰρ ἡ φωνὴ ἡ λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, παρὰ τοῖς πολλοῖς μᾶλλον ἁρμόττειν ἐδόκει τῷ Ιωάννῃ (οὐ γὰρ προσέθηκεν, οὗτος ὁ βαπτιζόμενος, ἀλλ' ἁπλῶς οὗτος· καὶ τῶν ἀκροατῶν ἕκαστος περὶ τοῦ βαπτίζοντος μᾶλλον, ἢ τοῦ βαπτιζομένου εἰρῆσθαι αὐτὴν ὑπενόει, διά τε αὐτὸ τοῦ βαπτιστοῦ τὸ ἀξίωμα, διά τε τὰ εἰρημένα ἅπαντα) ἦλθε τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς, τὴν φωνὴν ἕλκον ἐπὶ τὸν Ιησοῦν, καὶ πᾶσι δῆλον ποιοῦν, ὅτι τὸ, οὗτος, οὐ περὶ Ιωάννου τοῦ βαπτίζοντος, ἀλλὰ περὶ Ιησοῦ τοῦ βαπτιζομένου εἴρηται. καὶ πῶς, φησιν, οὐκ ἐπίστευσαν τούτων γινομένων; ὅτι καὶ ἐπὶ Μωϋσέως πολλὰ γέγονε θαύματα, εἰ καὶ μὴ τοιαῦτα, καὶ μετὰ πάντα ἐκεῖνα καὶ τὰς φωνὰς καὶ τὰς σάλπιγγας καὶ τὰς ἀστραπὰς, καὶ μόσχον ἐχάλκευον, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθησαν. καὶ αὐτοὶ δὲ οὗτοι οἱ τότε παρόντες, καὶ τὸν Λάζαρον ἀναστάντα ἰδόντες, τοσοῦτον ἀπεῖχον πιστεῦσαι τῷ ταῦτα ἐργασαμένῳ, ὅτι καὶ αὐτὸν ἀνελεῖν ἐπεχείρησαν πολλάκις. εἰ τοίνυν πρὸ ὀφθαλμῶν ὁρῶντες νεκρῶν ἀνάστασιν, οὕτως ἦσαν πονηροὶ, τί θαυμάζεις, εἰ φωνὴν οὐκ ἐδέξαντο φερομένην ἄνωθεν; ὅταν γὰρ ἀγνώμων ᾖ ἡ ψυχὴ καὶ διεστραμμένη, καὶ τῷ τῆς βασκανίας κατεχομένη νοσήματι, οὐδενὶ εἴκει τούτων· ὥσπερ οὖν ὅταν εὐγνώμων ᾖ, μετὰ πίστεως ἅπαντα δέχεται, καὶ τούτων οὐ σφόδρα δεῖται. μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι οὐκ ἐπίστευσαν· ἀλλ' ἐκεῖνο ζήτει, εἰ μὴ πάντα γέγονεν ἀφ' ὧν αὐτοὺς πιστεῦσαι ἐχρῆν. καὶ γὰρ διὰ τοῦ προφήτου ὑπὲρ τῶν καθ' ἑαυτὸν ἁπάντων τούτων συντίθησι τὸν τρόπον τῆς ἀπολογίας ὁ Θεός. ἐ-

νομίζετο

ι αὐτοῦ

ὑπολέλει-

ἐρημίᾳ

ἀναστραφῆ-

απτισμοῦ

χάλκευσαν,

ἢ καὶ πιθή-
, τούτων

Ησ. ε.

πειδὴ γὰρ ἀπόλλυσθαι ἔμελλον Ἰουδαῖοι καὶ ἐσχάτῃ παραδίδοσθαι κολάσει, ἵνα μή τις ἀπὸ τῆς ἐκείνων πονηρίας τὴν αὐτοῦ διαβάλλῃ πρόνοιαν, φησίν· Ὅτι τί με ἔδει ποιῆσαι τῷ ἀμπελῶνι τούτῳ, καὶ οὐκ ἐποίησα; τοῦτο δὴ καὶ ἐνταῦθα σκόπει· τί ἔδει γενέσθαι καὶ οὐκ ἐγένετο; εἰ δέ ποτε λόγοι γίνοιντο περὶ τῆς τοῦ Θεοῦ προνοίας, τούτῳ κέχρησο τῷ σχήματι τῆς ἀπολογίας πρὸς τοὺς ἀπὸ τῆς "πολλῆς κακίας διαβάλλειν αὐτὴν ἐπιχειροῦντας. ὅρα γοῦν, οἷα τὰ παράδοξα γίνεται, καὶ τῶν μελλόντων προοίμια. οὐκ ἔτι γὰρ παράδεισος, ἀλλ' οὐρανὸς ἀνοίγεται. ἀλλ' ὁ μὲν πρὸς Ἰουδαίους λόγος εἰς ἑτέραν ἡμῖν ἀποκείσθω καιρόν· νυνὶ δὲ, τοῦ Θεοῦ συνεργοῦντος ἡμῖν, ἐπὶ τὰ προκείμενα τὸν λόγον ἀγάγωμεν. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. τίνος οὖν ἕνεκεν ἀνεῴχθησαν οἱ οὐρανοί; ἵνα μάθῃς, ὅτι καὶ σοῦ βαπτιζομένου τοῦτο γίνεται, πρὸς τὴν ἄνω πατρίδα τοῦ Θεοῦ σε καλοῦντος, καὶ πείθοντος μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν. εἰ δὲ μὴ ὁρᾷς, μὴ ἀπιστήσῃς. καὶ γὰρ ἐν προοιμίοις ἀεὶ τῶν παραδόξων καὶ πνευματικῶν πραγμάτων αἰσθηταὶ φαίνονται αἱ ὄψεις καὶ σημεῖα τοιαῦτα, διὰ τοὺς ἀνοητότερον διακειμένους καὶ χρῄζοντας ὄψεως αἰσθητῆς, καὶ μηδεμίαν ἔννοιαν ἀσωμάτου φύσεως λαβεῖν δυναμένους, πρὸς δὲ τὰ ὁρατὰ μόνον ἐπτοημένους· ἵνα, κἂν μετὰ ταῦτα μὴ γίνηται ταῦτα, τὰ ἐξ αὐτῶν δηλωθέντα ἅπαξ καὶ ἐν ἀρχῇ "παραδέξῃ τῇ πίστει. καὶ γὰρ ἐπὶ τῶν ἀποστόλων ἦχος ἐγένετο πνοῆς βιαίας, καὶ ὄψεις γλωσσῶν πυρίνων ἐφάνησαν· ἀλλ' οὐ διὰ τοὺς ἀποστόλους, ἀλλὰ διὰ τοὺς παρόντας τότε Ἰουδαίους. ἀλλ' ὅμως εἰ καὶ μὴ αἰσθητὰ γίνεται σημεῖα, τὰ ἐξ αὐτῶν δηλωθέντα ἅπαξ καταδεχόμεθα· ἐπεὶ καὶ ἡ περιστερὰ διὰ τοῦτο τότε ἐφάνη, ἵν' ὥσπερ ἀντὶ δακτύλου τινὸς δείξῃ τοῖς παροῦσι καὶ τῷ Ἰωάννῃ τὸν υἱὸν τοῦ Θεοῦ· οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ἵνα καὶ σὺ μάθῃς, ὅτι καὶ ἐπὶ σὲ βαπτιζόμενον τὸ πνεῦμα ἔρχεται. λοιπὸν δὲ ἡμῖν αἰσθητῆς οὐ χρεία ὄψεως, τῆς πίστεως ἀντὶ πάντων ἀρκούσης. τὰ γὰρ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς "ἀπιστοῦσι. διὰ τί δὲ ἐν εἴδει περιστερᾶς; ἥμερον τὸ ζῶον καὶ καθαρόν. ἐπεὶ οὖν καὶ τὸ πνεῦμα πρᾳότητός ἐστι πνεῦμα, διὰ τοῦτο ἐν τούτῳ φαίνεται. ἄλλως δὲ, καὶ παλαιᾶς ἡμᾶς ἀναμιμνήσκει ἱστορίας. καὶ γὰρ ναυαγίου ποτὲ κοινοῦ τὴν οἰκουμένην καταλαβόντος ἅπασαν, καὶ τοῦ γένους ἡμῶν κινδυνεύοντος ἀφανισθῆναι, τοῦτο ἐφάνη τὸ ζῶον, καὶ τὴν λύσιν τοῦ χειμῶνος ἔδειξε, καὶ κλάδον φέρον ἐλαίας, τὴν κοινὴν τῆς οἰκουμένης γαλήνην εὐηγγελίσατο· ἅπερ πάντα τύπος τῶν μελλόντων ἦν. καὶ γὰρ τότε πολλῷ χεῖρον τὰ τῶν ἀνθρώπων διέκειτο, καὶ πολλῷ μείζονος τιμωρίας ἄξιοι ἦσαν. ἵν' οὖν μὴ ἀπογνῷς, ἀναμιμνήσκει σε τῆς ἱστορίας ἐκείνης. καὶ γὰρ τότε τῶν πραγμάτων ἀπογνωσθέντων, γέγονε λύσις τις καὶ διόρθωσις· ἀλλὰ τότε διὰ τιμωρίας, νῦν δὲ διὰ χάριτος καὶ δωρεᾶς ἀφάτου. διὰ τοῦτο καὶ ἡ περιστερὰ φαίνεται, οὐ κλάδον ἐλαίας φέρουσα, ἀλλὰ τὸν πάντων τῶν κακῶν ἐλευθερωτὴν ἡμῖν δεικνῦσα, καὶ χρηστὰς ὑποτείνουσα τὰς ἐλπίδας. οὐδὲ γὰρ ἀπὸ κιβωτοῦ ἄνθρωπον ἐξάγει ἕνα, ἀλλὰ τὴν οἰκουμένην ἅπαξ εἰς τὸν οὐρανὸν ἀνάγει φανεῖσα, καὶ ἀντὶ "κλάδου ἐλαίας τὴν υἱοθεσίαν τῷ κοινῷ τῆς οἰκουμένης κομίζει γένει. ἐννοήσας τοίνυν τὸ μέγεθος τῆς δωρεᾶς, μὴ δὲ ἐλάττονα αὐτοῦ τὴν ἀξίαν νομίσῃς εἶναι, διὰ τὸ ἐν τοιαύτῃ φανῆναι ὄψει. καὶ γὰρ ἀκούω τινῶν λεγόντων, ὅτι ὅσον ἀνθρώπου καὶ περιστερᾶς τὸ μέσον, τοσοῦτον τοῦ Χριστοῦ καὶ τοῦ πνεύματος· ἐπεὶ ὁ μὲν ἐν τῇ ἡμετέρᾳ φύσει, τὸ δὲ ἐν ὄψει περιστερᾶς ἐφάνη. τί οὖν πρὸς ταῦτα ἐστὶν εἰπεῖν; ὅτι ὁ μὲν υἱὸς τοῦ Θεοῦ φύσιν ἀνθρώπου ἀνέλαβε· τὸ δὲ πνεῦμα οὐ φύσιν ἀνέλαβε περιστερᾶς. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι ἐν φύσει περιστερᾶς, ἀλλ' ἐν εἴδει περιστερᾶς. οὐκοῦν οὐδὲ μετὰ ταῦτα ὤφθη ἐν τούτῳ τῷ σχήματι, ἀλλὰ τότε μόνον. εἰ δὲ διὰ τοῦτο ἐλάττονα αὐτοῦ τὴν ἀξίαν φὴς εἶναι, εὑρεθήσεται καὶ τὰ χερουβὶμ κατὰ τὸν λόγον τοῦτον ἀμείνω πολλῷ, καὶ τοσοῦτον, ὅσον περιστερᾶς ἀετός· καὶ γὰρ εἰς "ταύτην κἀκεῖνα ἐσχηματίσθη τὴν ὄψιν. καὶ οἱ ἄγγελοι δὲ ἀμείνους πάλιν· καὶ γὰρ ἐν σχήματι ἀνθρώπων πολλάκις ἐφάνησαν.

γρ. τῶν πολ

γρ. δέξωντ

γρ. ἀπιστ

γρ. δωρ

γρ. αὐτὴν

ἐφάνησαν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. καὶ γὰρ ἑτέρας οἰκονομίας ἀλήθεια, καὶ ὄψεως πρόσκαιρος συγκατάβασις. μὴ τοίνυν ἀχάριστος γίνου περὶ τὸν εὐεργέτην, μηδὲ τοῖς ἐναντίοις ἀμείβου τὸν τὴν πηγήν σοι τῆς μακαριότητος δωρησάμενον. ὅπου γὰρ υἱοθεσίας ἀξίωμα, ἐκεῖ καὶ ἡ τῶν κακῶν ἀναίρεσις, καὶ ἡ τῶν ἀγαθῶν ἁπάντων δόσις. διὰ δὴ τοῦτο, τὸ μὲν Ἰουδαϊκὸν παύεται βάπτισμα, τὸ δὲ ἡμέτερον ἀρχὴν λαμβάνει· καὶ ὅπερ ἐπὶ τοῦ πάσχα γέγονε, τοῦτο καὶ ἐπὶ τοῦ βαπτίσματος συμβαίνει. καὶ γὰρ καὶ ἐκεῖ ἀμφότερα μετελθὼν, τὸ μὲν ἀνέπαυσε, τῷ δὲ ἀρχὴν δέδωκε· καὶ ἐνταῦθα πάλιν πληρώσας τὸ Ἰουδαϊκὸν βάπτισμα, ὁμοῦ καὶ τοῦ τῆς ἐκκλησίας τὰς θύρας ἀνοίγνυσιν, ὥσπερ ἐν μιᾷ τραπέζῃ τότε, οὕτως ἐν ἑνὶ ποταμῷ νῦν καὶ τὴν σκιὰν ὑπογράψας, καὶ τὴν ἀλήθειαν προσθείς. πνεύματος γὰρ χάριν τοῦτο ἔχει τὸ βάπτισμα μόνον· τὸ δὲ Ἰωάννου, ταύτης ἔρημον τῆς δωρεᾶς ἦν. διὰ δὴ τοῦτο ἐπὶ μὲν τῶν ἄλλων τῶν βαπτιζομένων οὐδὲν τοιοῦτον συνέβη, ἐπὶ δὲ αὐτοῦ μόνου τοῦ μέλλοντος τοῦτο παραδιδόναι· ἵνα μετὰ τῶν εἰρημένων καὶ τοῦτο μάθῃς, ὅτι οὐχ ἡ καθαρότης τοῦ βαπτίζοντος, ἀλλ' ἡ δύναμις τοῦ βαπτιζομένου τοῦτο ἐποίησε. τότε γοῦν καὶ οἱ οὐρανοὶ ἀνεῴχθησαν, καὶ τὸ πνεῦμα ἐπῆλθεν. ἀπὸ γὰρ τῆς παλαιᾶς λοιπὸν ἐπὶ τὴν καινὴν ἐξάγει πολιτείαν ἡμᾶς, τάς τε πύλας ἡμῖν ἀνοιγνὺς τὰς ἄνω, καὶ πνεῦμα πέμπων ἐκεῖθεν, καλοῦν εἰς τὴν ἐκεῖ πατρίδα· καὶ οὐχ ἁπλῶς καλοῦν, ἀλλὰ καὶ μετὰ ἀξιώματος τοῦ μεγίστου. οὐ γὰρ ἀγγέλους καὶ ἀρχαγγέλους ἐποίησεν, ἀλλὰ υἱοὺς Θεοῦ κατασκευάσας καὶ ἀγαπητοὺς, οὕτως ἕλκει πρὸς ἐκείνην τὴν λῆξιν ἡμᾶς.

Ταῦτ' οὖν ἐννοήσας ἅπαντα, καὶ τῆς ἀγάπης τοῦ καλοῦντος, καὶ τῆς πολιτείας τῆς ἐκεῖ, καὶ τῆς τιμῆς τῆς δοθείσης ἄξιον ἐπιδεῖξαι βίον, τῷ κόσμῳ σταυρωθεὶς καὶ σταυρώσας αὐτὸν ἑαυτῷ, τὴν τῶν οὐρανῶν πολιτεύου πολιτείαν μετὰ ἀκριβείας ἁπάσης· μηδὲ, ἐπειδὴ τὸ σῶμά σου μὴ μετέστη πρὸς τὸν οὐρανὸν, νομίσῃς ἔχειν τι κοινὸν πρὸς τὴν γῆν. τὴν γὰρ κεφαλὴν ἄνω ἔχεις καθημένην. καὶ διὰ τοῦτο δὲ πρότερον ἐνταῦθα παραγενόμενος ὁ δεσπότης, καὶ τοὺς ἀγγέλους ἀγαγὼν, τότε σε ἀναλαβὼν ἀπῆλθεν ἐκεῖ· ἵνα καὶ πρὸ τῆς ἀνόδου τῆς ἐκεῖσε μάθῃς, ὅτι δυνατόν σοι τὴν γῆν ὡς τὸν οὐρανὸν οἰκεῖν. μένωμεν τοίνυν τὴν εὐγένειαν τηροῦντες, ἣν ἐδεξάμεθα ἐξ ἀρχῆς, καὶ τὰ ἐκεῖ βασίλεια καθ' ἑκάστην τὴν ἡμέραν ἐπιζητῶμεν, καὶ πάντα τὰ ἐνταῦθα σκιὰν καὶ ὄναρ εἶναι νομίζωμεν. οὐδὲ γὰρ, εἰ βασιλεύς τις τῶν ἐπὶ τῆς γῆς πτωχὸν ὄντα καὶ προσαιτοῦντα λαβὼν, υἱὸν ἐξαίφνης ἐποιήσατό σε, τὴν καλύβην καὶ τὴν εὐτέλειαν τῆς καλύβης τῆς σῆς ἐνενόησας ἄν· καίτοιγε οὐ πολὺ τὸ μέσον ἐκεῖ. μὴ τοίνυν μηδὲ ἐνταῦθα λογίζου τι τῶν προτέρων. καὶ γὰρ ἐπὶ πολλῷ μείζοσιν ἐκλήθης. ὅ τε γὰρ καλῶν, ὁ τῶν ἀγγέλων δεσπότης ἐστί, τά τε διδόμενα ἀγαθὰ, καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει πᾶσαν (οὐ γὰρ ἀπὸ γῆς εἰς γῆν σε μεθίστησι, καθάπερ ὁ βασιλεὺς, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανὸν, καὶ ἀπὸ φύσεως θνητῆς εἰς ἀθάνατον δόξαν καὶ ἄρρητον, τότε δυναμένην μόνον φανῆναι καλῶς, ὅταν αὐτῆς ἀπολαύσωμεν) τοιούτων τοίνυν μέλλων μετέχειν ἀγαθῶν, χρημάτων μοι μέμνησαι καὶ τῆς ἐνταῦθα φαντασίας ἀντέχῃ; καὶ οὐ νομίζεις ἅπαντα τὰ ὁρώμενα τῶν τοῦ προσαιτοῦντος ῥακίων εὐτελέστερα εἶναι; καὶ πῶς ἄξιος φανήσῃ ταύτης τῆς τιμῆς; ποίαν δὲ ἕξεις ἀπολογίαν εἰπεῖν; μᾶλλον δὲ ποίαν οὐ δώσεις δίκην, μετὰ τοσαύτην δωρεὰν ἐπὶ τὸν πρότερον ἔμετον τρέχων; οὐκ ἔτι γὰρ ὡς ἄνθρωπος ἁπλῶς, ἀλλ' ὡς υἱὸς Θεοῦ ἁμαρτάνων κολάζῃ, καὶ γίνεταί σοι τὸ τῆς τιμῆς μέγεθος, ἐφόδιον τιμωρίας μείζονος. καὶ γὰρ καὶ ἡμεῖς οὐχ ὁμοίως δούλους ἁμαρτάνοντας, καὶ υἱοὺς τὸ αὐτὸ πλημμελοῦντας κολάζομεν· καὶ μάλιστα, ὅταν μεγάλα παρ' ἡμῶν εὐεργετούμενοι τυγχάνωσιν. εἰ γὰρ ὁ παράδεισον λαχὼν, διὰ μίαν παρακοὴν τοσαῦτα μετὰ τὴν τιμὴν ὑπέστη δεινὰ, οἱ τὸν οὐρανὸν ἀπολαβόντες ἡμεῖς, καὶ τῷ μονογενεῖ γενόμενοι συγκληρονόμοι, τίνα ἕξομεν συγγνώμην, τῷ ὄφει μετὰ τὴν περιστερὰν προστρέχοντες; οὐκ ἔτι γὰρ, Γῆ εἶ, καὶ εἰς

ΗΘΙΚΟΝ

Γεν. γ. ιθ.

γῆν ἀπελεύσῃ, καὶ ἐργᾷ τὴν γῆν, καὶ τὰ πρότερα ἀκουσόμεθα ἐκεῖνα, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, τὸν σκώληκα τὸν ἰοβόλον, τὸν βρυγμὸν τῶν ὀδόντων· καὶ μάλα εἰκότως. ὁ γὰρ μηδὲ εὐεργεσίᾳ τοσαύτῃ γενόμενος βελτίων, δικαίως ἂν τὴν ἐσχάτην καὶ χαλεπωτέραν δοίη δίκην. ἤνοιξέ ποτε καὶ ἔκλεισε τὸν οὐρανὸν ὁ Ἠλίας, ἀλλ᾽ ὥστε ὑετὸν κατενεγκεῖν καὶ ἀναστεῖλαι· σοὶ δὲ οὐχ οὕτως ἀνοίγεται ὁ οὐρανός, ἀλλ᾽ ὥστε ἀναβῆναί σε ἐκεῖ. καὶ τὸ δὴ μεῖζον, οὐχ ὥστε ἀναβῆναι, ἀλλ᾽ ὥστε καὶ ἑτέρους ἀναγαγεῖν, ἐὰν βουληθείης. τοσαύτην σοι παρρησίαν καὶ ἐξουσίαν ἐν τοῖς ἑαυτοῦ ἔδωκεν ἅπασιν. ἐπεὶ οὖν ἐκεῖ ἡμῶν ἡ οἰκία, ἐκεῖ πάντα ἀποθώμεθα, καὶ μηδὲν ἐνταῦθα καταλείπωμεν, ἵνα μὴ αὐτὰ ἀπολέσωμεν. ἐνταῦθα μὲν γὰρ κἂν κλεῖν ἐπιθῇς, κἂν θύρας καὶ μοχλούς, κἂν μυρίους ἐπιστήσῃς οἰκέτας, καὶ πάντων περιγένῃ τῶν κακούργων, καὶ τοὺς τῶν βασκάνων διαφύγῃς ὀφθαλμούς, κἂν τοὺς σῆτας, κἂν τὴν ἀπὸ τοῦ χρόνου γινομένην ἀπώλειαν (ὅπερ ἀδύνατον) τὸν γοῦν θάνατον οὐ διαφεύξῃ ποτέ, ἀλλ᾽ ἀφαιρεθήσεται ἅπαντα ἐκεῖνα ἐν μιᾷ καιροῦ ῥοπῇ· καὶ οὐκ ἀφαιρεθήσεται μόνον, ἀλλὰ καὶ εἰς τὰς τῶν ἐχθρῶν πολλάκις παραπέμψεις χεῖρας. ἂν δὲ εἰς ἐκείνην παραπέμψῃς τὴν οἰκίαν, πάντων ἀνώτερος ἔσῃ. οὔτε γὰρ κλεῖν οὔτε θύρας καὶ μοχλοὺς ἐπιθεῖναι δεῖ. τοιαύτη τῆς πόλεως ἐκείνης ἡ δύναμις· οὕτως ἄσυλον τὸ χωρίον ἐστί, καὶ φθορᾷ καὶ πονηρίᾳ πάσῃ ἄβατον τοῦτο ὑφέστηκε. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, ἔνθα μὲν ἀπόλλυται καὶ διαφθείρεται τὰ ἀποτιθέμενα, σωρεύειν ἅπαντα· ἔνθα δὲ ἀνέπαφα μένει καὶ πλείω γίνεται, ἐνταῦθα μηδὲ τὸ πολλοστὸν ἀποτίθεσθαι μέρος· καὶ ταῦτα τὸν ἅπαντα μέλλοντας ἐκεῖ βιώσασθαι χρόνον; διὰ τοῦτο καὶ Ἕλληνες ἀπιστοῦσι τοῖς παρ᾽ ἡμῶν λεγομένοις. ἀφ᾽ ὧν γὰρ πράττομεν, οὐκ ἀφ᾽ ὧν λέγομεν, τὴν παρ᾽ ἡμῶν ἀπόδειξιν λαμβάνειν ἐθέλουσι· καὶ ἐπειδὰν ἴδωσιν οἰκίας οἰκοδομουμένους λαμπράς, καὶ παραδείσους κατασκευάζοντας, καὶ λουτρὰ καὶ ἀγροὺς ὠνουμένους, οὐκ ἐθέλουσι πιστεύειν, ὅτι πρὸς ἑτέραν παρασκευαζόμεθα πόλεως ἀποδημίαν. εἰ γὰρ τοῦτο ἦν, φασίν, ἅπαντα τὰ ἐνταῦθα ἂν ἐξαργυρίσαντες, ἐκεῖ προαπέθεντο. καὶ τοῦτο ἀπὸ τῶν ἐνταῦθα γινομένων στοχάζονται. καὶ γὰρ ὁρῶμεν τοὺς σφόδρα εὐπόρους ἐν ἐκείναις μάλιστα ταῖς πόλεσιν οἰκίας καὶ ἀγροὺς καὶ τὰ ἄλλα πάντα κεκτημένους, ἐν αἷς διατρίβειν μέλλουσιν. ἀλλ᾽ ἡμεῖς τοὐναντίον ποιοῦμεν· καὶ τὴν μὲν γῆν, ἣν μικρὸν ὕστερον ἀφιέναι μέλλομεν, μετὰ πολλῆς κτώμεθα τῆς σπουδῆς, οὐχὶ χρήματα μόνον, ἀλλὰ καὶ τὸ αἷμα αὐτὸ προϊέμενοι ὑπὲρ πλέθρων γῆς καὶ οἰκημάτων ὀλίγων· ὑπὲρ δὲ τοῦ τὸν οὐρανὸν πριάσασθαι, οὐδὲ τὰ περιττὰ τῆς χρείας ἀνεχόμεθα δοῦναι, καὶ ταῦτα ὀλίγης αὐτὸν μέλλοντες ὠνεῖσθαι τιμῆς, καὶ διὰ παντὸς ἔχειν, εἴγε αὐτὸν ὠνησαίμεθα. διά τοι τοῦτο τὴν ἐσχάτην δώσομεν δίκην, γυμνοὶ καὶ πένητες ἀπιόντες ἐκεῖ· μᾶλλον δὲ οὐχ ὑπὲρ τῆς ἡμετέρας πτωχείας μόνης, ἀλλὰ καὶ ὑπὲρ ὧν ἄλλους τοιούτους ποιοῦμεν, τὰς ἀνηκέστους ὑποστησόμεθα συμφοράς. ὅταν γὰρ ἴδωσιν Ἕλληνες περὶ ταῦτα σπουδάζοντας τοὺς τοσούτων ἀπολαύσαντας μυστηρίων, πολλῷ μᾶλλον αὐτοὶ τῶν παρόντων ἀνθέξονται, καὶ πολὺ καὶ ἐντεῦθεν ἐπὶ τὴν ἡμετέραν κεφαλὴν σωρεύοντες πῦρ. ὅταν γὰρ τὸ διδάσκειν αὐτοὺς ὀφείλοντες ὑπεροπᾶν τῶν φαινομένων ἁπάντων, αὐτοὶ μάλιστα πάντων αὐτοὺς εἰς τὴν τούτων ἐμβάλλωμεν ἐπιθυμίαν, πότε δυνησόμεθα σωθῆναι, τῆς ἑτέρων ἀπωλείας τὰς εὐθύνας ὑπέχοντες; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, ὅτι ἀντὶ ἁλῶν καὶ λαμπάδων ἀφῆκεν ἡμᾶς εἶναι ὁ Χριστὸς ἐν τῷ κόσμῳ τούτῳ· ἵνα καὶ τοὺς διαρρέοντας ὑπὸ τρυφῆς ἐπισφίγγωμεν, καὶ τοὺς τῇ μερίμνῃ τῶν χρημάτων ἐσκοτωμένους φωτίζωμεν; ὅταν οὖν καὶ εἰς σκότος αὐτοὺς ἐμβάλλωμεν πλεῖον, καὶ χαυνοτέρους ποιῶμεν, τίς ἔσται σωτηρίας ἡμῖν ἐλπίς; οὐκ ἔστιν οὐδεμία· ἀλλ᾽ οἰμώζοντες καὶ τοὺς ὀδόντας βρύχοντες, καὶ δεδεμένοι πόδας καὶ χεῖρας εἰς τὸ τῆς γεέννης ἀπελευσόμεθα πῦρ, μετὰ τὸ κατεργασθῆναι καλῶς ταῖς τοῦ πλούτου φροντίσι. ταῦτ᾽ οὖν ἐννοήσαντες ἅπαντα, τὰ δεσμὰ λύσωμεν τῆς τοιαύτης ἀπάτης, ἵνα μηδὲ εἰς ἐκεῖνα ἐμπέσωμεν τὰ τῷ πυρὶ παραδιδόντα ἡμᾶς τῷ ἀσβέστῳ. ὁ μὲν γὰρ χρήμασι δουλεύων, καὶ ταῖς ἐνταῦθα ἁλύσεσι καὶ ταῖς ἐκεῖ διηνεκῶς ἔσται ὑπεύθυνος· ὁ δὲ ταύτης ἀπηλλαγμένος τῆς ἐπιθυμίας, ἑκατέρας τεύξεται τῆς ἐλευθερίας· ἧς ἵνα καὶ ἡμεῖς ἐπιτύχωμεν, τὸν χαλεπὸν τῆς φιλοχρηματίας συντρίψαντες ζυγὸν, πτερώσωμεν ἑαυτοὺς πρὸς τὸν οὐρανόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ιγ΄. 1 ΤΟΤΕ Ο ΙΗΣΟΥΣ ΑΝΗΧΘΗ ΕΙΣ ΤΗΝ ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι [ὑπὸ τοῦ διαβόλου.]

ΤΟτε· πότε; μετὰ τὴν τοῦ πνεύματος κάθοδον, μετὰ τὴν φωνὴν τὴν ἐνεχθεῖσαν ἄνωθεν καὶ λέγουσαν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου. τοῦτο γὰρ αὐτὸν ἐνταῦθά φησιν ἀνάγειν. ἐπειδὴ γὰρ πάντα πρὸς διδασκαλίαν ἡμῶν ἔπραττέ τε καὶ ὑπέμενεν, ἀνέχεται καὶ τῆς ἐκεῖσε ἀναγωγῆς, καὶ τῆς πρὸς τὸν διάβολον πάλης, ἵνα ἕκαστος τῶν βαπτιζομένων, εἰ μετὰ τὸ βάπτισμα μείζονας ὑπομείνειε πειρασμοὺς, μὴ ταράττηται, ὡς παρὰ προσδοκίαν τοῦ πράγματος γινομένου, ἀλλὰ μένῃ γενναίως πάντα φέρων, ὡς κατὰ ἀκολουθίαν τούτου συμβαίνοντος. καὶ γὰρ διὰ τοῦτο ἔλαβες ὅπλα, οὐχ ἵνα ἀργῇς, ἀλλ᾽ ἵνα πολεμῇς. διὰ τοῦτο οὐδὲ ἐπιόντας κωλύει τοὺς πειρασμοὺς ὁ Θεός· πρῶτον μὲν, ἵνα μάθῃς, ὅτι πολλῷ γέγονας ἰσχυρότερος· ἔπειτα, ἵνα μένῃς μετριάζων, [καὶ] μηδὲ τῷ μεγέθει τῶν δωρεῶν ἐπαρθῇς, τῶν πειρασμῶν συστέλλειν σε δυναμένων· πρὸς τούτοις, ἵνα ὁ πονηρὸς δαίμων ἐκεῖνος, "ὁ τέως ἀμφιβάλλων περὶ τῆς σῆς" ἀποστάσεως, ἀπὸ τῆς βασάνου τῶν πειρασμῶν πληροφορηθῇ, ὅτι τέλεον αὐτὸν ἐγκαταλιπὼν ἀπέστης· [τὸ] τέταρτον, ἵνα ἰσχυρότερος καὶ σιδήρου παντὸς εὐτονώτερος ταύτῃ κατασκευασθῇς· πέμπτον, ἵνα ἀπόδειξιν λάβῃς σαφῆ τῶν πιστευθέντων σοι θησαυρῶν. οὐδὲ γὰρ ἂν ἐπῆλθεν ὁ διάβολος, εἰ μή σε ἐν μείζονι γενόμενον εἶδε τιμῇ. ἐντεῦθεν γοῦν καὶ ἐξ ἀρχῆς ἐπανέστη τῷ Ἀδάμ, ἐπειδὴ πολλῆς αὐτὸν εἶδεν ἀπολαύσαντα τῆς ἀξίας. διὰ τοῦτο παρετάξατο πρὸς τὸν Ἰώβ, ἐπειδὴ στεφανούμενον αὐτὸν καὶ ἀνακηρυττόμενον ἐθεάσατο παρὰ τοῦ τῶν ὅλων Θεοῦ. Καὶ πῶς οὖν, φησιν, εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν; διὰ τοῦτο οὐκ ἀνιόντα αὐτὸν ἁπλῶς δείκνυσί σοι τὸν Ἰησοῦν, ἀλλ᾽ ἀναγόμενον κατὰ τὸν τῆς οἰκονομίας λόγον, αἰνιττόμενος διὰ τούτων, ὅτι αὐτοὺς οὐκ ἐπιπηδᾶν χρή; ἀλλ᾽ ἑλκομένους ἑστάναι γενναίως. καὶ ὅρα ποῦ λαβὸν αὐτὸν τὸ πνεῦμα ἀνήγαγεν· οὐκ εἰς πόλιν καὶ [εἰς] ἀγορὰν, ἀλλ᾽ εἰς τὴν ἔρημον. ἐπειδὴ γὰρ τὸν διάβολον ἐπισπάσασθαι ἐβούλετο, οὐ διὰ τῆς πείνης μόνον, ἀλλὰ καὶ διὰ τοῦ τόπου δίδωσιν αὐτῷ λαβήν. τότε γὰρ μάλιστα ἐπιτίθεται ὁ διάβολος, ὅταν ἴδῃ μεμονωμένους καὶ καθ᾽ ἑαυτοὺς ὄντας. οὕτω καὶ τῇ γυναικὶ παρὰ τὴν ἀρχὴν" ἐπέθετο, μόνην αὐτὴν ἀπολαβὼν, καὶ τοῦ ἀνδρὸς χωρὶς οὖσαν εὑρών. ὅταν μὲν γὰρ μεθ᾽ ἑτέρων ὄντας ἴδῃ καὶ συγκεκροτημένους, οὐχ ὁμοίως θαρρεῖ, οὐδὲ ἔπεισι. διὸ χρὴ μάλιστα καὶ διὰ τοῦτο μετ᾽ ἀλλήλων ἀγελάζεσθαι συνεχῶς, ὥστε μὴ εὐχειρώτους εἶναι τῷ διαβόλῳ. εὑρὼν τοίνυν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἐρήμῳ ἀβάτῳ (ὅτι γὰρ τοιαύτη ἡ ἔρημος ἦν, ὁ Μάρκος ἐδήλωσεν εἰπὼν, ὅτι μετὰ τῶν θηρίων ἦν) ὅρα μεθ᾽ ὅσης προσέρχεται κακουργίας καὶ πονηρίας, καὶ ποῖον παρατηρεῖ καιρόν. οὐδὲ γὰρ νηστεύοντι, ἀλλὰ πεινῶντι προσέρχεται· ἵνα σὺ μάθῃς, ἡλίκον ἡ νηστεία καλὸν, καὶ πῶς ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου μέγιστον, καὶ ὅτι μετὰ τὸ λουτρὸν οὐ τρυφῇ καὶ μέθῃ καὶ τραπέζῃ πληθούσῃ, ἀλλὰ νηστείᾳ προσέχειν δεῖ. διὰ γὰρ τοῦτο καὶ αὐτὸς ἐνήστευσεν, οὐκ αὐτὸς ταύτης δεόμενος, ἀλλ᾽ ἡμᾶς παιδεύων.

ἐπειδὴ γὰρ τὰ ἁμαρτήματα τὰ πρὸ τοῦ λουτροῦ, τὸ γαστρὶ δουλεύειν εἰσήγαγεν· ὥσπερ ἂν εἴ τις νοσοῦντα ὑγιῆ ποιήσας, κελεύοι μὴ ποιεῖν ἐκεῖνα, ἐξ ὧν ἡ νόσος γέγονεν, οὕτω δὴ καὶ ἐνταῦθα καὶ αὐτὸς μετὰ τὸ λουτρὸν νηστείαν εἰσήγαγε. καὶ γὰρ καὶ τὸν Ἀδὰμ ἡ ἀκρασία τῆς γαστρὸς ἐξέβαλε τοῦ παραδείσου, καὶ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε αὕτη πεποίηκε, καὶ τοὺς Σοδόμων κεραυνοὺς αὕτη κατήγαγεν. εἰ γὰρ καὶ πορνείας ἔγκλημα ἦν, ἀλλ' ὅμως ἑκατέρας τῆς κολάσεως ἡ ῥίζα ἐντεῦθεν ἔφυ. ὅπερ καὶ ὁ Ἰεζεκιὴλ αἰνιττόμενος ἔλεγε· Ιεζ. ις. μθ. Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν ὑπερηφανίᾳ καὶ πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίαις ἐσπατάλων. οὕτω καὶ Ἰουδαῖοι τὰ μέγιστα εἰργάσαντο κακά, ἀπὸ τῆς μέθης καὶ τῆς τρυφῆς ἐπὶ τὴν ἀνομίαν ἐξοκείλαντες. διὰ δὴ τοῦτο καὶ αὐτὸς νηστεύει τεσσαράκοντα ἡμέρας, ἡμῖν τὰ φάρμακα τῆς σωτηρίας δεικνύς· καὶ οὐ προέρχεται περαιτέρω, ὥστε μὴ πάλιν τῇ ὑπερβολῇ τοῦ θαύματος ἀπιστηθῆναι τῆς οἰκονομίας τὴν ἀλήθειαν. νῦν μὲν γὰρ τοῦτο οὐκ ἂν ἐγένετο, ἐπειδὴ καὶ Μωϋσῆς καὶ Ἠλίας προλαβόντες εἰς τοσοῦτον ἴσχυσαν ἐξελθεῖν μῆκος, τῇ τοῦ Θεοῦ κρατούμενοι δυνάμει. εἰ δὲ περαιτέρω προέβη, πολλοῖς ἂν καὶ ἐντεῦθεν ἄπιστος ἔδοξεν εἶναι ἡ τῆς σαρκὸς ἀνάληψις.

2 Νηστεύσας τοίνυν τεσσαράκοντα ἡμέρας καὶ νύκτας τοσαύτας, ὕστερον ἐπείνασε,

Λαβὴν αὐτῷ παρέχων εἰς τὸ προσελθεῖν, ἵνα συμπλακεὶς δείξῃ πῶς δεῖ περιγίνεσθαι καὶ νικᾶν. οὕτω δὴ καὶ ἀθληταὶ ποιοῦσι. τοὺς [γὰρ] μαθητὰς τοὺς ἑαυτῶν διδάσκοντες περιγίνεσθαι καὶ νικᾶν, ἑκόντες ἐν ταῖς παλαίστραις συμπλέκονται ἑτέροις, ἐν τοῖς τῶν ἀντιπάλων σώμασι παρέχοντες τούτοις θεωρεῖν, καὶ παιδεύεσθαι τῆς νίκης τὸν τρόπον· ὃ δὴ καὶ τότε ἐγίνετο. ἐπειδὴ γὰρ ἐβούλετο αὐτὸν ἐπισπάσασθαι εἰς τοῦτο, καὶ τὸ πεινῆν αὐτῷ κατάδηλον ἐποίησε, καὶ προσελθόντα ἐδέξατο, καὶ δεξάμενος, ἅπαξ καὶ δὶς καὶ τρὶς αὐτὸν κατέρρηξε μετ' εὐκολίας τῆς αὐτῷ προσηκούσης. ἀλλ' ἵνα μὴ παρατρέχοντες τὰς νίκας ταύτας, λυμαινώμεθα ὑμῶν τὴν ὠφέλειαν, ἀπὸ τῆς πρώτης ἀρξάμενοι προσβολῆς, ἑκάστην μετὰ ἀκριβείας ἐξετάζωμεν. ἐπειδὴ γὰρ ἐπείνασε, φησί·

3 Προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

Ἐπειδὴ γὰρ ἤκουσε φωνῆς ἄνωθεν φερομένης καὶ λεγούσης, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἤκουσε δὲ καὶ Ἰωάννου τοσαῦτα περὶ αὐτοῦ μαρτυροῦντος, εἶτα εἶδε πεινῶντα, ἐν ἀμηχανίᾳ λοιπὸν ἦν· καὶ οὔτε ὅτι ἄνθρωπος ἦν ψιλὸς πιστεῦσαι ἠδύνατο διὰ τὰ περὶ αὐτοῦ λεχθέντα, οὔτ' αὖ πάλιν παραδέξασθαι ὅτι υἱὸς ἦν τοῦ Θεοῦ, διὰ τὸ βλέπειν αὐτὸν πεινῶντα· ὅθεν ἐν ἀμηχανίᾳ γενόμενος, ἀμφιβόλους ἀφίησι φωνάς. καὶ ὥσπερ τῷ Ἀδὰμ προσελθὼν παρὰ τὴν ἀρχὴν πλάττει τὰ μὴ ὄντα, ἵνα μάθῃ τὰ ὄντα, οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ εἰδὼς σαφῶς τὸ ἀπόρρητον τῆς οἰκονομίας μυστήριον, καὶ τίς ποτέ ἐστιν ὁ παρών, ἕτερα ἐπιχειρεῖ πλέκειν δίκτυα, δι' ὧν ᾤετο εἴσεσθαι τὸ κεκρυμμένον καὶ ἀσαφές. καὶ τί φησιν; Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. οὐκ εἶπεν, ἐπειδὴ πεινᾷς, ἀλλ' εἰ υἱὸς εἶ τοῦ Θεοῦ, νομίζων ὑποκλέπτειν αὐτὸν τοῖς ἐγκωμίοις. διὸ καὶ τὴν πεῖναν ἐσίγησεν, ἵνα μὴ δόξῃ προσφέρειν αὐτῷ τοῦτο καὶ ὀνειδίζειν. οὐ γὰρ εἰδὼς τῶν οἰκονομουμένων τὸ μέγεθος, αἰσχρὸν αὐτῷ τοῦτο ἐνόμιζεν εἶναι· διὸ κολακεύων αὐτὸν, ὑπούλως τῆς ἀξίας μέμνηται μόνης. τί οὖν ὁ Χριστός; τὸν τῦφον αὐτοῦ καθαιρῶν, καὶ δεικνὺς οὐκ αἰσχύνης ἄξιον ὂν τὸ συμβάν, οὐδὲ ἀνάξιον τῆς αὐτοῦ σοφίας, ὅπερ κολακεύων αὐτὸν ἐκεῖνος ἀπεσίγησε, τοῦτο εἰς μέσον αὐτὸς προφέρει καὶ τίθησι, λέγων·

4 Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος·

Ὅθεν ἄρχεται ἀπὸ τῆς κατὰ τὴν γαστέρα ἀνάγκης. σὺ δέ μοι σκόπει τοῦ πονηροῦ δαίμονος ἐκείνου τὴν κακουργίαν, καὶ πόθεν ἄρχεται τῶν παλαισμάτων, καὶ πῶς τῆς οἰκείας οὐκ ἐπιλανθάνεται τέχνης. ἀφ' ὧν γὰρ καὶ τὸν πρῶτον ἐξέβαλεν ἄνθρωπον, καὶ ἑτέροις μυρίοις περιέβαλε κακοῖς, ἀπὸ τούτων καὶ ἐνταῦθα χεζ δ.

διαπλέκει τὸν δόλον, τῆς κατὰ τὴν γαστέρα ἀκρασίας λέγω. πολλῶν γοῦν καὶ νῦν ἐστιν ἀκοῦσαι ἀνοήτων λεγόντων τὰ μυρία διὰ τὴν κοιλίαν κακά· ἀλλ' ὁ Χριστὸς δείκνυσιν ὅτι τὸν ἐνάρετον οὐδὲ αὐτὴ ἡ τυραννὶς καταναγκάζει τι τῶν μὴ προσηκόντων ποιεῖν, καὶ πεινᾷ, καὶ οὐχ ὑπακούει τῷ ἐπιτάγματι, παιδεύων ἡμᾶς ἐν μηδενὶ πείθεσθαι τῷ διαβόλῳ. ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος ἐντεῦθεν καὶ τῷ Θεῷ προσέκρουσε καὶ νόμον παρέβη, ἐκ περιουσίας σε διδάσκει, κἂν μὴ παράβασις ᾖ τὸ παρ' αὐτοῦ κελευόμενον, μηδὲ οὕτω πείθεσθαι. καὶ τί λέγω παράβασιν; κἂν γάρ τι χρήσιμον λέγωσιν οἱ δαίμονες, φησί, μηδὲ οὕτω προσέχειν αὐτοῖς. οὕτω γοῦν καὶ τοὺς δαίμονας ἐπεστόμισεν ἐκείνους, κηρύττοντας αὐτὸν υἱὸν Θεοῦ· καὶ ὁ Παῦλος δὲ πάλιν αὐτὸ τοῦτο βοῶσιν ἐπετίμησε, καίτοι τὸ λεγόμενον χρήσιμον ἦν. ἀλλ' ἐκ περιουσίας ἀτιμάζων αὐτούς, καὶ ἀποτειχίζων τὴν καθ' ἡμῶν ἐπιβουλήν, καὶ σωτήρια δόγματα κηρύττοντας ἤλαυνεν, ἐμφράττων αὐτῶν τὰ στόματα καὶ σιγᾶν κελεύων. [καὶ] διὰ τοῦτο οὐδὲ ἐνταῦθα τοῖς λεγομένοις ἐπένευσεν· ἀλλὰ τί φησιν; οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος (ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι δύναται ὁ Θεὸς καὶ ῥήματι θρέψαι τὸν πεινῶντα) ἀπὸ τῆς παλαιᾶς φέρων αὐτῷ μαρτυρίαν γραφῆς, καὶ παιδεύων, κἂν λιμώττωμεν, κἂν ὁτιοῦν πάσχωμεν, μηδέποτε ἀφίστασθαι τοῦ δεσπότου. εἰ δὲ λέγοι τις, [ὅτι] καὶ μὴν ἐπιδείξασθαι ἐχρῆν, ἐροίμην ἂν αὐτόν, τίνος ἕνεκεν καὶ διὰ τί; οὐδὲ γὰρ ἵνα πιστεύσῃ, ταῦτα ἔλεγεν ἐκεῖνος, ἀλλ' ἵνα ὡς ᾤετο [εἰς] ἀπιστίαν ἐλέγξῃ· ἐπεὶ καὶ τοὺς πρώτους οὕτως ἠπάτησε καὶ ἤλεγξεν, οὐ σφόδρα πιστεύοντας τῷ Θεῷ. ἐναντία γὰρ ὧν εἶπεν ὁ Θεός, ἐκεῖνος ὑποσχόμενος, καὶ κεναῖς αὐτοὺς φυσήσας ἐλπίσι, καὶ εἰς ἀπιστίαν ἐμβαλών, οὕτω καὶ ὧν εἶχον ἀγαθῶν ἐξέβαλεν. ἀλλ' ὁ Χριστὸς δείκνυσιν ἑαυτὸν μήτε τούτῳ τότε, μήτε ὕστερον τοῖς τὰ αὐτοῦ φρονοῦσιν Ἰουδαίοις σημεῖα αἰτοῦσιν ἐπινεύοντα, πανταχοῦ παιδεύων ἡμᾶς, κἂν δυνώμεθά τι ποιεῖν, μηδὲν πράττειν εἰκῆ καὶ μάτην, μηδὲ ἀνάγκης ἐπικειμένης πείθεσθαι τῷ διαβόλῳ. τί οὖν ὁ μιαρὸς ἐκεῖνος ἡττηθείς, καὶ πεῖσαι μὴ δυνηθεὶς τὸ κελευόμενον ποιῆσαι, καὶ ταῦτα πείνης ἐπικειμένης τοσαύτης; ἐφ' ἕτερον πρόεισι, λέγων·

6 Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε. Τί δήποτε καθ' ἑκάστην πεῖραν τοῦτο προστίθησιν, εἰ υἱὸς εἶ τοῦ Θεοῦ; ὅπερ ἐπὶ τῶν προτέρων ἐποίησε, τοῦτο καὶ νῦν ποιεῖ. ὥσπερ γὰρ τότε διέβαλε τὸν Θεόν, λέγων, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, διὰ τούτων δεῖξαι βουλόμενος, ὅτι ἠπάτηνται καὶ παρελογίσθησαν, καὶ οὐδὲν εἰσὶν εὐηργετημένοι· οὕτω δὴ καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο αἰνίττεται, λέγων, ὅτι εἰκῆ σε ἐκάλεσεν υἱὸν καὶ ἠπάτησε τῇ δωρεᾷ. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, παράσχου ἡμῖν ἀπόδειξιν τοῦ τῆς δυνάμεως εἶναι ἐκείνης. εἶτα, ἐπειδὴ ἀπὸ γραφῶν αὐτῷ διελέχθη, καὶ αὐτὸς τοῦ προφήτου παράγει μαρτυρίαν. πῶς οὖν ὁ Χριστὸς οὐκ ἠγανάκτησεν, οὐδὲ παρωξύνθη, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας πάλιν ἀπὸ τῶν γραφῶν αὐτῷ διαλέγεται, λέγων,

7 Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου; Παιδεύων ἡμᾶς, ὅτι τὸν διάβολον οὐ διὰ σημείων, ἀλλὰ δι' ἀνεξικακίας καὶ μακροθυμίας περιγίνεσθαι χρή, καὶ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν καὶ φιλοτιμίαν ἁπλῶς. σκόπει δὲ αὐτοῦ τὸ ἀνόητον καὶ ἀπὸ τῆς μαρτυρίας αὐτῆς ἧς παρήγαγεν. αἱ μὲν γὰρ παρὰ τοῦ Κυρίου παρενεχθεῖσαι μαρτυρίαι, σφόδρα ἁρμοδίως ἀμφότεραι εἴρηνται· αἱ δὲ παρ' ἐκείνου, ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ οὐδὲ τοῖς προκειμένοις τὸ προσῆκον αὐτεπιφέρειν. οὐ γὰρ δὴ τὸ γεγράφθαι, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, παραινεῖ ῥίπτειν ἑαυτὸν καὶ κρημνίζειν· ἄλλως δέ, οὐδὲ περὶ τοῦ Κυρίου τοῦτο εἰρημένον ἐστίν. ἀλλὰ τοῦτο μὲν τέως οὐκ ἤλεγξε, καίτοιγε καὶ ὑβριστικῶς αὐτοῦ χρησαμένου τῷ λόγῳ καὶ σφόδρα ἐναντίως. οὐδεὶς γὰρ παρὰ τοῦ υἱοῦ τοῦ Θεοῦ ταῦτα αἰτεῖ, ἀλλὰ διαβόλου καὶ δαιμόνων τὸ βάλλειν ἑαυτὸν κάτω· [τοῦ] Θεοῦ δὲ καὶ τοὺς κειμένους ἀνιστᾶν. εἰ γὰρ δυνά-

μιν ἐπιδείξασθαι ἔδει, οὐχ ἑαυτὸν ῥιπτοῦντα εἰκῇ καὶ κρημνίζοντα, ἀλλ' ἑτέρους σώζοντα. τὸ δὲ ἑαυτοὺς ῥίπτειν εἰς φάραγγας καὶ κρημνούς, τῆς ἐκείνου φάλαγγός ἐστιν. οὕτω γοῦν ὁ [παρ' αὐτοῖς] πλάνος ποιεῖ πανταχοῦ. ἀλλ' ὁ Χριστὸς καὶ τούτων εἰρημένων, οὐδέπω ἑαυτὸν ἐκκαλύπτει, ἀλλ' ὡς ἄνθρωπος τέως αὐτῷ διαλέγεται. τὸ γὰρ εἰπεῖν, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, καὶ τό, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου, οὐ σφόδρα ἑαυτὸν ἐκκαλύπτοντος ἦν, ἀλλ' ἕνα τῶν πολλῶν δεικνύντος. μὴ θαυμάσῃς δέ, εἰ τῷ Χριστῷ διαλεγόμενος περιετρέπετο πολλάκις. καθάπερ γὰρ οἱ πυκτεύοντες, ὅταν καιρίας δέξωνται πληγάς, αἵματι περιρρεόμενοι πολλῷ καὶ σκοτούμενοι περιφέρονται· οὕτω δὴ καὶ αὐτὸς ἀπὸ τῆς προτέρας καὶ δευτέρας πληγῆς σκοτωθείς, ἁπλῶς τὰ ἐπιόντα φθέγγεται, καὶ πρόεισιν ἐπὶ τὴν τρίτην προσβολήν. 8 Καὶ ἀναγαγὼν αὐτὸν εἰς ὄρος ὑψηλόν, δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας*, 9 Καὶ φησι· πάντα ταῦτά σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. 10 Τότε λέγει αὐτῷ*· ὕπαγε ὀπίσω μου Σατανᾶ. γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

γρ. αὐτοῖς,

* τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν,

* ὁ Ἰησοῦς

Ἐπειδὴ γὰρ λοιπὸν εἰς τὸν πατέρα ἡμάρτανε, τὰ ἐκείνου πάντα αὐτοῦ λέγων εἶναι, καὶ Θεὸν ἐσπούδαζεν ἑαυτὸν ἀποφῆναι, ὡς δημιουργὸν τοῦ παντός, τότε ἐπετίμησε· καὶ οὐδὲ τότε μετὰ σφοδρότητος, ἀλλ' ἁπλῶς, ὕπαγε [ὀπίσω μου] Σατανᾶ· ὅπερ καὶ πρόσταγμα μᾶλλον ἦν, ἢ ἐπιτίμησις. ὁμοῦ τε γὰρ εἶπεν αὐτῷ, ὕπαγε, καὶ δραπετεῦσαι αὐτὸν ἐποίησεν. οὔτε γὰρ ἑτέρους πειρασμοὺς προσήγαγε. καὶ πῶς ὁ Λουκᾶς φησιν, ὅτι πάντα συνετέλεσε πειρασμόν; ἐμοὶ δοκεῖ τὰ κεφάλαια τῶν πειρασμῶν εἰπών, πάντα εἰρηκέναι, ὡς καὶ τῶν ἄλλων ἐν τούτοις περιειλημμένων. τὰ γὰρ μυρία συνέχοντα κακά, ταῦτά ἐστι, τὸ γαστρὶ δουλεύειν, τὸ πρὸς κενοδοξίαν τι ποιεῖν, τὸ χρημάτων μανίᾳ ὑπεύθυνον εἶναι. ὅπερ οὖν καὶ ὁ μιαρὸς οὗτος συνιδών, τὸ πάντων ἰσχυρότερον ὕστερον τέθεικε, τὴν τοῦ πλείονος ἐπιθυμίαν, ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς ὠδίνων ἐλθεῖν ἐπὶ τοῦτο, ἔσχατον δὲ αὐτὸ τηρῶν, ὡς τῶν ἄλλων δυνατώτερον ὄν. καὶ γὰρ οὗτος αὐτοῦ τῆς πάλης ὁ νόμος· τὰ " δυνάμενα μᾶλλον ὑποσκελίζειν, ταῦτα προσάγειν ἔσχατον· ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε. διὸ δὴ καὶ ἐνταῦθα ἀπὸ τῶν δοκούντων εὐτελεστέρων εἶναι καὶ ἀσθενεστέρων ἀρξάμενος, ἐπὶ τὸ ἰσχυρότερον πρόεισι. πῶς οὖν τοῦτο περιγενέσθαι δεῖ; οὕτως ὡς ὁ Χριστὸς ἐπαίδευσεν, ἐπὶ τὸν Θεὸν καταφεύγοντας· καὶ μήτε ἐν λιμῷ ταπεινοῦσθαι, πιστεύοντας τῷ δυναμένῳ καὶ διὰ λόγου τρέφειν· μήτε ἐν οἷς ἂν λαμβάνωμεν ἀγαθοῖς, πειράζειν τὸν δεδωκότα, ἀλλ' ἀρκεῖσθαι τῇ ἄνωθεν δόξῃ, τῆς ἀνθρωπίνης οὐδένα ποιουμένους λόγον, καὶ πανταχοῦ τῆς χρείας τὸ περιττὸν ἀτιμάζειν. οὐδὲν γὰρ οὕτω τῷ διαβόλῳ ὑποπίπτειν ποιεῖ, ὡς τὸ τοῦ πλείονος ἐφίεσθαι καὶ πλεονεξίας ἐρᾶν. καὶ τοῦτο καὶ ἀπὸ τῶν νῦν γινομένων ἐστὶν ἰδεῖν. καὶ γὰρ καὶ νῦν εἰσιν οἱ λέγοντες, ταῦτά σοι πάντα " δώσομεν, ἐὰν πεσὼν προσκυνήσῃς*, ἄνθρωποι μὲν ὄντες τὴν φύσιν, ὄργανα δὲ ἐκείνου γενόμενοι. ἐπεὶ καὶ τότε οὐ δι' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ δι' ἑτέρων αὐτῷ προσῄει. ὅπερ καὶ ὁ Λουκᾶς δηλῶν ἔλεγεν, ὅτι ἕως καιροῦ ἀπέστη ἀπ' αὐτοῦ, δηλῶν ὅτι μετὰ ταῦτα διὰ τῶν οἰκείων αὐτῷ ὀργάνων προσῄει.

11 Καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. Ἡνίκα γὰρ τὰ τῆς προσβολῆς ἐγίνετο, οὐκ εἴασεν αὐτοὺς φαίνεσθαι, ὥστε μὴ ταύτῃ σοβῆσαι τὴν ἄγραν. ἐπειδὴ δὲ αὐτὸν ἐν ἅπασιν ἤλεγξε καὶ δραπετεῦσαι παρεσκεύαζε, τότε φαίνονται ἐκεῖνοι· ἵνα μάθῃς καὶ σύ, ὅτι καὶ σὲ μετὰ τὰς κατ' " ἐκείνων νίκας ἄγγελοι δέξονται, κροτοῦντες καὶ δορυφοροῦντες ἐν ἅπασιν. οὕτω γοῦν καὶ τὸν Λάζαρον, μετὰ τὴν κάμινον τῆς πτωχείας καὶ τοῦ λιμοῦ καὶ τῆς στενοχωρίας ἁπάσης, ἄγγελοι λαβόντες ἀπῆλθον. ὅπερ γὰρ ἔφθην εἰπών, πολλὰ ὁ Χριστὸς ἐπιδείκνυται νῦν, ὧν καὶ ἡμεῖς ἀπολαύειν μέλλομεν.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ταῦτα πάντα διὰ σὲ γέγονε, ζήλωσον καὶ μίμησαι τὴν νίκην. κἂν προσέλθῃ ἔλθῃ σοί τις τῶν τοῦ δαίμονος ἐκείνου θεραπευτῶν καὶ τὰ ἐκείνου φρονούντων, ὀνειδίζων καὶ λέγων, Εἰ θαυμαστὸς εἶ καὶ μέγας, μετάστησον τὸ ὄρος, μὴ ταραχθῇς μηδὲ θορυβηθῇς· ἀλλὰ [καὶ] μετ' ἐπιεικείας ἀπόκριναι καὶ εἰπέ, "ὥσπερ τοῦ δεσπότου σου ἤκουσας λέγοντος· Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. κἂν ἐκεῖνος δόξαν καὶ δυναστείαν προβαλλόμενος καὶ χρημάτων πλῆθος ἄπειρον, "κελεύσῃ προσκυνεῖν, στῆθι πάλιν γενναίως. οὐδὲ γὰρ ἐπὶ τοῦ κοινοῦ δεσπότου πάντων ἡμῶν τοῦτο πεποίηκεν ὁ διάβολος μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν ἐφ' ἑκάστου τῶν ἐκείνου δούλων ταύτας προσάγει τὰς μηχανάς, οὐκ ἐν ὄρεσι μόνον" καὶ ἐν ἐρημίαις, ἀλλὰ καὶ ἐν πόλεσι, καὶ ἐν ἀγοραῖς, καὶ ἐν δικαστηρίοις· καὶ οὐδὲ δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ τῶν συγγενῶν ἡμῖν ἀνθρώπων. τί οὖν δεῖ ποιεῖν; ἀπιστεῖν αὐτῷ καθόλου, καὶ τὰς ἀκοὰς ἀποφράττειν, καὶ κολακεύοντα μισεῖν, καὶ ὅταν μείζονα ἐπαγγέλληται, τότε μειζόνως ἀποστρέφεσθαι. ἐπεὶ καὶ τὴν Εὔαν, ὅτε μάλιστα ἐπῆρε ταῖς ἐλπίσι, τότε κατέβαλε, καὶ τὰ μέγιστα εἰργάσατο κακά. καὶ γὰρ ἐχθρός ἐστιν ἄσπονδος, καὶ πόλεμον ἀκήρυκτον "ἀνεδέξατο πρὸς ἡμᾶς· καὶ οὐχ οὕτως ἡμεῖς σπουδάζομεν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐκεῖνος ὑπὲρ τῆς ἀπωλείας τῆς ἡμετέρας. ἀποστρεφώμεθα τοίνυν αὐτόν, μὴ ῥήμασι μόνον, ἀλλὰ καὶ ἔργοις, μὴ διανοίᾳ, ἀλλὰ καὶ πράξεσι, καὶ μηδὲν ποιῶμεν τῶν ἐκείνῳ δοκούντων. οὕτω γὰρ πάντα ποιήσομεν τὰ τῷ Θεῷ δοκοῦντα. καὶ γὰρ καὶ ἐπαγγέλλεται πολλά, οὐχ ἵνα δῷ, ἀλλ' ἵνα λάβῃ. ἐπαγγέλλεται ἐξ ἁρπαγῆς, ἵνα ἀφέληται βασιλείαν καὶ δικαιοσύνην· καὶ τίθησιν, ὥσπερ τινὰς παγίδας καὶ θήρατρα, θησαυροὺς ἐν τῇ γῇ, ἵνα καὶ τούτων καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀποστερήσῃ θησαυρῶν· καὶ βούλεται * ἐνταῦθα πλουτεῖν, ἵνα μὴ πλουτήσωμεν ἐκεῖ. κἂν μὴ δυνηθῇ διὰ πλούτου τῆς ἐκεῖ λήξεως ἡμᾶς ἐκβαλεῖν, ἑτέραν ἔρχεται τὴν διὰ τῆς πενίας ὁδόν· ὅπερ ἐπὶ τοῦ Ἰὼβ πεποίηκεν. ἐπειδὴ γὰρ εἶδεν, ὅτι οὐδὲν αὐτὸν ὁ πλοῦτος ἠδίκησε, διὰ τῆς πενίας πλέκει τὰ δίκτυα, ἐκεῖθεν αὐτοῦ περιέσεσθαι προσδοκῶν· οὗ τί γένοιτ' ἂν ἀνοητότερον; ὁ γὰρ πλοῦτον δυνηθεὶς ἐνεγκεῖν σωφρόνως, πολλῷ μᾶλλον πενίαν οἴσει γενναίως· καὶ ὁ παρόντων οὐκ ἐπιθυμῶν χρημάτων, οὐδὲ ἀπόντα "ζητήσειεν. ὥσπερ οὖν οὐδὲ ὁ μακάριος τότε ἐκεῖνος, ἀλλ' ἀπὸ τῆς πενίας λαμπρότερος ἐγίνετο πάλιν. τὰ μὲν γὰρ χρήματα ἴσχυσεν ἀφελέσθαι ὁ πονηρὸς δαίμων ἐκεῖνος· τὴν δὲ ἀγάπην τὴν πρὸς τὸν Θεὸν οὐ μόνον ἀφελεῖν οὐκ ἠδυνήθη, ἀλλὰ καὶ δυνατωτέραν ἐποίησε, καὶ πάντων αὐτὸν γυμνώσας, πλείοσιν ἐποίησε κομᾶν ἀγαθοῖς· διὸ καὶ ἐν ἀμηχανίᾳ ἦν. ὅσῳ γὰρ πλείους ἐπήγαγε πληγάς, τοσούτῳ τότε δυνατώτερον ἑώρα γινόμενον. διὸ δὴ πάντα ἐπελθὼν καὶ διακωδωνίσας, ἐπειδὴ πλέον οὐδὲν ἤνυσεν, ἐπὶ τὸ παλαιὸν ὅπλον ἔδραμε, τὴν γυναῖκα, καὶ προσωπεῖον ὑποδύεται κηδεμονίας, καὶ τὰς συμφορὰς ἐκτραγῳδεῖ τὰς ἐκείνου σφόδρα ἐλεεινῶς, καὶ προσποιεῖται ὑπὲρ ἀπαλλαγῆς τῶν ἐκείνου κακῶν τὴν ὀλεθρίαν ἐκείνην "εἰσάγειν συμβουλήν. ἀλλ' οὐδὲ οὕτως ἐκράτησε. καὶ γὰρ συνεῖδεν αὐτοῦ τὸ δέλεαρ ὁ θαυμαστὸς ἐκεῖνος ἀνήρ, καὶ μετὰ πολλῆς τῆς συνέσεως τὴν ἐξ ἐκείνου φθεγγομένην γυναῖκα ἐπεστόμισεν· ὃ δὴ καὶ ἡμᾶς χρὴ ποιεῖν· κἂν ἀδελφόν, κἂν φίλον γνήσιον, κἂν γυναῖκα, κἂν ὁντιναοῦν τῶν ἀναγκαιοτάτων ἡμῖν ὑποδύς, φθέγγηταί τι τῶν οὐ προσηκόντων, μὴ ἀπὸ τοῦ προσώπου τοῦ ταῦτα λέγοντος δέχεσθαι τὴν συμβουλήν· ἀλλ' ἀπὸ τῆς συμβουλῆς τῆς ὀλεθρίας τὸν ταῦτα λέγοντα ἀποστρέφεσθαι. καὶ γὰρ καὶ νῦν πολλὰ τοιαῦτα ποιεῖ, καὶ συμπαθείας προβάλλεται προσωπεῖον· καὶ δοκεῖ μὲν εὔνους εἶναι, τὰ δὲ ὀλέθρια καὶ δηλητηρίων χαλεπώτερα ἐνίησι ῥήματα. τὸ μὲν γὰρ ἐπὶ βλάβῃ κολακεύειν, ἐκείνου· τὸ δὲ ἐπὶ τῷ συμφέροντι παιδεύειν, "Θεοῦ. μὴ δὴ παραλογιζώμεθα, μηδὲ ἐκ παντὸς τρόπου τὸν "ἄνετον ἐπιζητῶμεν βίον. ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, φησίν. ὥστε ὅταν εὐημερίας ἀπολαύωμεν ἐν πονηρίᾳ ζῶντες, τότε μάλιστα ἀλγῶμεν. ἀεὶ μὲν γὰρ ἁμαρτάνοντας δεδοικέναι χρή· μάλιστα δέ, ὅταν μηδὲν πάσχωμεν δεινόν. ὅταν μὲν γὰρ κατὰ μέρος ἀπαιτῇ τὰς

πηρ

κελδῃ

ὐδὲ

ἐδέξατο

μᾶς

-τήσει.

-γων.

οὐκ ἐπ.
ἄνεκτον

τιμωρίας ὁ Θεός, κούφην ἡμῖν" ποιεῖται τὴν ὑπὲρ τούτων ἔκλισιν· ὅταν δὲ ἐφ' ἑκάστου τῶν πλημμελουμένων μακροθυμῇ, εἰς μεγάλην ἡμᾶς τοῖς" αὐτοῖς ἐπιμένοντας ταμιεύεται δίκην. εἰ γὰρ τοῖς" κατορθωκόσιν ἀναγκαῖον ἡ θλίψις, πολλῷ μᾶλλον τοῖς ἁμαρτάνουσιν. ὅρα γοῦν πόσης μακροθυμίας ἀπολαύσας ὁ Φαραὼ, ἐσχάτην ὕστερον ὑπὲρ" ἁπάντων ἔδωκε δίκην· πόσα ὁ Ναβουχοδονόσορ πλημμελήσας, πρὸς τῷ τέλει δὲ πάντα ἐξέτισε. καὶ ὁ πλούσιος, ἐπεὶ μηδὲν ἔπαθεν ἐνταῦθα δεινὸν, δι' αὐτὸ τοῦτο μάλιστα γέγονεν ἄθλιος, ὅτι τρυφήσας ἐν τῷ παρόντι βίῳ, ἀπῆλθεν ἐκεῖ πάντων τούτων δώσων δίκην, ἔνθα οὐδὲ παραμυθίαν ἦν εὑρεῖν τοῦ κακοῦ. ἀλλ' ὅμως εἰσί τινες οὕτω ψυχροὶ καὶ ἀνόητοι, ὡς τὰ ἐνταῦθα ἐπιζητεῖν" ἀεὶ μόνον, καὶ τὰ καταγέλαστα ἐκεῖνα λέγειν ῥήματα· ἀπολαύσω τῶν παρόντων τέως πάντων, καὶ τότε" σκέψομαι περὶ τῶν ἀδήλων· χαρίσομαι τῇ γαστρὶ, δουλεύσω ταῖς ἡδοναῖς, παραχρήσομαι καὶ τῷ παρόντι βίῳ· δίδου μοι τὴν σήμερον, καὶ λάμβανε τὴν αὔριον. ὢ ὑπερβολὴ ἀνοίας· καὶ τί τράγων καὶ χοίρων οἱ ταῦτα λέγοντες διαφέρουσιν; εἰ γὰρ τοὺς ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον χρεμετίζοντας οὐκ ἀφίησιν ὁ προφήτης ἀνθρώπους νομίζεσθαι· τίς ἡμῖν ἐγκαλέσει τούτους τράγους καὶ χοίρους καὶ ὄνων ἀνοητοτέρους εἶναι νομίζουσιν, οἳ τὰ τῶν ὁρωμένων" φανερώτερα, ταῦτα ἄδηλα εἶναι νομίζουσιν; εἰ γὰρ μηδενὶ τῶν ἄλλων πιστεύεις, παράστηθι δαίμοσι μαστιζομένοις, τοῖς ἐπὶ [τῇ] βλάβῃ τῇ ἡμετέρᾳ ἅπαντα καὶ λέγειν καὶ πράττειν μεμελετηκόσιν. οὐ γὰρ δὴ πρὸς τοῦτο ἀντερεῖς· ὅτι οὐ πάντα ὥστε αὐξῆσαι τὴν ῥᾳθυμίαν ἡμῶν πράττουσι, καὶ τὸν τῆς γεέννης ἐκλῦσαι φόβον, καὶ ἀπιστηθῆναι τὰ ἐκεῖ δικαστήρια. ἀλλ' ὅμως οἱ ταῦτα βουλόμενοι, βοῶντες καὶ ὀλολύζοντες πολλάκις τὰς ἐκεῖ βασάνους ἀνακηρύττουσι. πόθεν οὖν ταῦτα λέγουσι, καὶ ἐναντία ὧν βούλονται φθέγγονται; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἐκ τοῦ πλείονα ὑπομένειν ἀνάγκην. οὐ γὰρ ἂν ἠβουλήθησαν ἑκόντες ὁμολογεῖν, οὐδὲ ὅτι ὑπὸ νεκρῶν ἀνθρώπων βασανίζονται, οὐδὲ" ὅτι ὅλως πάσχουσί τι δεινόν. πρὸς τί οὖν μοι ταῦτα εἴρηται; ὅτι δαίμονες ὁμολογοῦσι γέενναν, οἱ βουλόμενοι ἀπιστεῖσθαι γέενναν· σὺ δὲ ὁ τοσαύτης ἀπολαύων τιμῆς καὶ ἀπορρήτων κοινωνήσας μυστηρίων, οὐδὲ ἐκείνους μιμῇ, ἀλλὰ καὶ τούτων ἀγνωμονέστερος γέγονας; καὶ τίς ἦλθεν ἐκ τῶν ἐν ᾅδου, φησὶ, καὶ ταῦτα ἀπήγγειλεν; ἀπὸ γὰρ τῶν οὐρανῶν τίς παρεγένετο, καὶ εἶπεν ὅτι Θεός ἐστιν ὁ τὰ πάντα δημιουργήσας; ὅτι δὲ ψυχὴν ἔχομεν πόθεν δῆλον; εἰ γὰρ δὴ τοῖς ὁρωμένοις μέλλεις πιστεύειν, καὶ περὶ Θεοῦ, καὶ περὶ ἀγγέλων, καὶ περὶ νοῦ καὶ περὶ ψυχῆς" ἀμφιβάλλεις, καὶ οὕτω σοι πάντα οἰχήσεται τὰ τῆς ἀληθείας δόγματα. καίτοιγε εἰ τοῖς φανεροῖς πιστεύειν βούλει, τοῖς ἀοράτοις μᾶλλον, ἢ τοῖς ὁρωμένοις πιστεύειν δεῖ. εἰ γὰρ καὶ παράδοξον τὸ εἰρημένον, ἀλλ' ὅμως ἀληθὲς, καὶ παρὰ τοῖς νοῦν ἔχουσι σφόδρα ὡμολογημένον. οἱ μὲν γὰρ ὀφθαλμοὶ πολλὰ σφάλλονται, οὐκ ἐν τοῖς ἀοράτοις" μόνοις (ἐκεῖνα γὰρ οὐδὲ ἴσασιν) ἀλλὰ καὶ ἐν αὐτοῖς οἷς δοκοῦσιν ὁρᾷν, καὶ διαστήματος, καὶ ἀέρος, καὶ διανοίας ἀλλαχοῦ τετραμμένης, καὶ θυμοῦ, καὶ φροντίδος, καὶ μυρίων ἑτέρων ἐμποδιζόντων αὐτῶν τὴν ἀκρίβειαν· ὁ δὲ τῆς ψυχῆς λογισμὸς, ἂν τὸ φῶς δέξηται τῶν θείων γραφῶν, ἀκριβέστερον καὶ ἀνεξαπάτητον τῶν ὄντων ἔσται κριτήριον. μὴ δὴ μάτην ἑαυτοὺς ἀπατῶμεν, μηδὲ πρὸς τῇ ῥᾳθυμίᾳ τοῦ βίου τῇ διὰ τῶν τοιούτων τικτομένῃ δογμάτων, καὶ ὑπὲρ αὐτῶν τῶν δογμάτων χαλεπώτερον ἑαυτοῖς ἐπισωρεύσωμεν πῦρ. εἰ γὰρ μὴ ἔστι κρίσις, μηδὲ εὐθύνας δώσομεν τῶν πεπραγμένων, οὐδὲ τιμὰς τῶν πεπονημένων ληψόμεθα, ἐννόησον" οἷ τείνει τὰ τῆς βλασφημίας ὑμῶν, ὅταν λέγητε τὸν δίκαιον Θεὸν καὶ φιλάνθρωπον καὶ ἥμερον τοσούτους πόνους καὶ ἱδρῶτας ὑπερορᾷν. καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; εἰ γὰρ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ γοῦν τῶν κατὰ τὴν οἰκίαν τὴν σὴν ταῦτα" συλλογίζου, καὶ τότε ὄψει τὸ ἄτοπον. κἂν γὰρ μυριάκις ᾖς αὐτὸς ὠμὸς καὶ ἀπάνθρωπος καὶ θηρίων αὐτῶν" ἀγριώτερος, οὐκ ἂν ἕλοιο τὸν οἰκέτην τὸν εὔνουν γενόμενον τελευτῶν ἀφεῖναι ἄτιμον, ἀλλὰ καὶ ἐλευθερίᾳ ἀμείβεις καὶ χρημάτων δωρεᾷ. καὶ ἐπειδὴ αὐτὸς λοιπὸν ἀπιὼν

οὐδὲν

γρ. ποιεῖ

γρ. τοιούτοις

γρ. κατορθ

γρ. τούτων

γρ. ἀμειν

γρ. σκέψ

γρ. φανερὰ ἄδηλα

γρ. ὅλ. ὅτ.

ἴσ. ἀμφιβάλλεις

γρ. μόνον

γρ. οὐ τίνω τὰ

γρ. λογίζου

γρ. ἀλογώτερος

οὐδὲν δυνάσαι εἰς αὐτὸν ἐργάσασθαι ἀγαθὸν, τοῖς μέλλουσί σου κληρονομεῖν τὴν οὐσίαν ἐπισκήπτεις ὑπὲρ αὐτοῦ, δεόμενος, παρακαλῶν, πάντα ποιῶν, ὥστε μὴ μεῖναι αὐτὸν ἀγέραστον. εἶτα σὺ μὲν ὁ πονηρὸς, οὕτω χρηστὸς καὶ φιλάνθρωπος γίνῃ πρὸς τὸν οἰκέτην· ἡ δὲ ἄπειρος ἀγαθότης, ὁ Θεὸς, ἡ ἄφατος φιλανθρωπία, ἡ τοσαύτη χρηστότης, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ τοὺς περὶ Πέτρον καὶ Παῦλον καὶ Ἰάκωβον καὶ Ἰωάννην, τοὺς καθ' ἑκάστην ἡμέραν δι' αὐτὸν λιμώξαντας, δεσμευθέντας, μαστιχθέντας, καταποντισθέντας, θηρίοις παραδοθέντας, ἀποθνήσκοντας, τοσαῦτα παθόντας, ἃ μηδὲ ἀριθμῆσαι ἔνι, ἀστεφανώτους περιόψεται; καὶ ὁ μὲν ἀγωνοθέτης τὸν Ὀλυμπιονίκην ἀνακηρύττει καὶ στεφανοῖ, καὶ ὁ δεσπότης τὸν οἰκέτην, καὶ ὁ βασιλεὺς τὸν στρατιώτην, καὶ ἕκαστος ἁπλῶς τὸν θεραπεύσαντα αὐτὸν, οἷς δύναται, ἀμείβεται καλοῖς· ὁ δὲ Θεὸς μόνος μετὰ τοὺς τοσούτους ἱδρῶτας καὶ πόνους, οὐ μικρὸν, οὐ μέγα αὐτοῖς ἀγαθὸν ἀποδίδωσιν· ἀλλ' οἱ δίκαιοι καὶ εὐσεβεῖς ἐκεῖνοι, καὶ πᾶσαν ἀρετὴν ἐπελθόντες, ἐν τοῖς αὐτοῖς κείσονται τοῖς μοιχοῖς, καὶ πατραλῴαις, καὶ ἀνδροφόνοις, καὶ τοιχωρύχοις; καὶ ποῦ ταῦτα ἔχοιεν ἂν λόγον; εἰ γὰρ μηδὲν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐστὶν, ἀλλὰ μέχρι τῶν παρόντων τὰ ἡμέτερα, ἐν τοῖς αὐτοῖς ἐκεῖνοι τούτοις· μᾶλλον δὲ οὐδὲ ἐν τοῖς αὐτοῖς. εἰ γὰρ καὶ μετὰ ταῦτα ἐν τοῖς αὐτοῖς κατὰ τὸν σὸν λόγον, ἀλλ' ἐνταῦθα ἐν ἀνέσει μὲν οὗτοι, ἐν κολάσει δὲ ἐκεῖνοι τὸν πάντα γεγόνασι χρόνον. καὶ ποῖος τοῦτο τύραννος, τίς ὠμὸς ἄνθρωπος καὶ ἀπηνὴς οὕτω περὶ τῶν αὐτοῦ ποτε ἐβουλεύσατο θεραπόντων καὶ ὑπηκόων; εἶδες τῆς ἀτοπίας τὴν ὑπερβολὴν, καὶ ποῦ τελευτᾷ ὁ λόγος οὗτος; οὐκοῦν εἰ καὶ μηδαμόθεν ἄλλοθεν βούλει, ἀπὸ τούτων τῶν λογισμῶν παιδευθεὶς, ἀπαλλάγηθι τῆς πονηρᾶς ταύτης ὑπονοίας, καὶ φεῦγε κακίαν, καὶ τῶν ὑπὲρ [τῆς] ἀρετῆς ἀντέχου πόνων· καὶ τότε εἴσῃ σαφῶς, ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα ἕστηκε. κἄν τις ἐρωτᾷ σε· τίς ἐλθὼν ἐκεῖθεν ἀπήγγειλε τὰ ἐκεῖ; εἰπὲ πρὸς αὐτόν· ἀνθρώπων μὲν οὐδείς (ἢ γὰρ ἂν, καὶ ἠπιστήθη πολλάκις, ἅτε κομπάζων καὶ ἐπαίρων τὸ πρᾶγμα) ὁ δὲ τῶν ἀγγέλων δεσπότης, πάντα μετὰ ἀκριβείας ἐκεῖνα ἀπήγγειλε. τί τοίνυν ἡμῖν δεῖ ἀνθρώπου, τοῦ μέλλοντος ἡμᾶς εὐθύνας ἀπαιτεῖν καθ' ἑκάστην βοῶντος [τὴν] ἡμέραν, ὅτι καὶ γέενναν ἡτοίμασε, καὶ βασιλείαν παρεσκεύασε, καὶ τούτων ἡμῖν ἀποδείξεις παρεχομένου σαφεῖς; εἰ γὰρ μὴ ἔμελλε κρίνειν, οὐδ' ἂν ἐνταῦθα δίκην ἀπῄτησε. καὶ γὰρ καὶ αὐτὸ τοῦτο πῶς ἂν ἔχοι λόγον, τὸ τῶν πονηρῶν τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ μὴ προσωπολήπτης ἐστὶν ὁ Θεὸς (ὥσπερ οὖν οὐδέ ἐστι) τί δήποτε τὸν μὲν ἀπῄτησε δίκην, τὸν δὲ ἀφῆκεν ἀτιμώρητον ἀπελθεῖν; τοῦτο γὰρ τοῦ προτέρου πάλιν ἐστὶν ἀπορώτερον. ἀλλ' εἰ βούλεσθε μετ' εὐγνωμοσύνης ἀκούειν τῶν λεγομένων, καὶ ταύτην διαλυσόμεθα τὴν ἀπορίαν. τίς οὖν ἐστιν ἡ λύσις; οὐδὲ πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὐδὲ πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι τὰ πάντα νομίσῃς· ἀλλὰ καὶ κολάζει, καὶ οὐ κολάζει· δι' ὧν μὲν κολάζει, δεικνὺς ὅτι καὶ ἐκεῖ τοὺς οὐ κολασθέντας ἐνταῦθα ἀπαιτήσει λόγον· δι' ὧν δὲ οὐ κολάζει, παρασκευάζων σε πιστεύειν, ὅτι ἐστί τι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν κριτήριον φοβερόν. εἰ δὲ καθ' ὅλου τῶν προτέρων ἠμέλει, οὐδ' ἂν ἐκόλασέ τινας ἐνταῦθα, οὐδ' ἂν εὐηργέτησε. νῦν δὲ ὁρᾷς αὐτὸν διὰ σὲ καὶ οὐρανὸν τείνοντα, καὶ ἥλιον ἀνάπτοντα, καὶ γῆν θεμελιοῦντα, καὶ θάλατταν χέοντα, καὶ ἀέρα ἁπλοῦντα, καὶ σελήνης τάττοντα δρόμους, καὶ ταῖς ὥραις τοῦ ἔτους ἀκινήτους τιθέντα νόμους, καὶ τὰ ἄλλα δὲ ἅπαντα τῷ νεύματι τῷ ἐκείνου τὸν ἑαυτῶν μετὰ ἀκριβείας ἀνύοντα δρόμον. καὶ γὰρ ἡ φύσις ἡ ἡμετέρα, καὶ ἡ τῶν ἀλόγων, τῶν ἑρπόντων, τῶν βαδιζόντων, τῶν πετομένων, τῶν νηχομένων, τῶν ἐν λίμναις, τῶν ἐν πηγαῖς, τῶν ἐν ποταμοῖς, τῶν ἐν ὄρεσι, τῶν ἐν νάπαις, τῶν ἐν οἰκίαις, τῶν ἐν ἀέρι, τῶν ἐν πεδίοις, καὶ φυτὰ, καὶ σπέρματα, καὶ δένδρα, τά τε ἄγρια, τά τε ἥμερα, τά τε ἔγκαρπα, καὶ πάντα ἁπλῶς ὑπὸ τῆς ἀκαμάτου κινούμενα χειρὸς ἐκείνης, τὴν ἡμετέραν οἰκονομεῖ ζωὴν, οὐ πρὸς

κληρονό-
ς τῆς οὐσίας

ἀριθμή-
σαι,
- θεῖν

ἀμείβεται

τιμωρύ-
ς;
πῶς

ποῖος

. πνεύματι

. ἀκινήτως

κεφ. δ.

χρείαν μόνον, ἀλλὰ καὶ πρὸς φιλοτιμίαν τὴν διακονίαν ἡμῖν ἐξ αὐτῶν παρεχόμενα. τοσαύτην τοίνυν ὁρῶν εὐταξίαν (καίτοιγε οὐδὲ τὸ πολλοστὸν εἴπομεν μέρος) τολμᾷς εἰπεῖν, ὅτι ὁ τοσαῦτα καὶ τηλικαῦτα ἐργασάμενος διὰ σὲ, ἐν τοῖς καιρίοις σε περιόψεται, καὶ μετὰ τῶν ὄνων καὶ τῶν χοίρων ″ ἀφίησι τελευτήσαντα κεῖσθαι; καὶ δώρῳ σε τιμήσας τοσούτῳ, τῷ τῆς εὐσεβείας, ᾧ καὶ τῶν ἀγγέλων ἐποίησεν ἴσον, περιόψεταί σε μετὰ τοὺς μυρίους πόνους καὶ ἱδρῶτας; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; ταῦτα γὰρ κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι κεκράξονται· οὕτω σαφῆ καὶ δῆλα, καὶ τῆς ἀκτῖνος αὐτῆς ″ φανώτερα. ταῦτα οὖν ἅπαντα λογισάμενοι, καὶ πείσαντες τὴν ἑαυτῶν ψυχὴν, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, καὶ βήματι παραστησόμεθα φοβερῷ, καὶ λόγον δώσομεν τῶν πεπραγμένων ἁπάντων, καὶ εὐθύνας ὑφέξομεν καὶ δίκην ὑποστησόμεθα, ἂν μένωμεν πλημμελοῦντες· καὶ στεφάνων ″ ἀπολαύσομεν καὶ ἀγαθῶν ἀπορρήτων, ἂν μικρὸν ἑαυτοῖς προσέχειν βουληθῶμεν, τούς τε ἀντιλέγοντας ἐπὶ τούτοις ἐπιστομίζωμεν, καὶ αὐτοὶ τὴν τῆς ἀρετῆς ὁδὸν ἑλώμεθα, ἵνα μετὰ παρρησίας τῆς προσηκούσης εἰς ἐκεῖνο τὸ δικαστήριον ἀπελθόντες ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀφήσει

ἴσ. φανώτ

γρ. ἀπολαυ
μεθα

Ὁμιλ. ιδ. 12 ΑΚΟΥΣΑΣ ΔΕ Ο ΙΗΣΟΥΣ ΟΤΙ ΙΩΑΝΝΗΣ παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.

Τίνος ἕνεκεν ἀνεχώρησε πάλιν; παιδεύων ἡμᾶς μὴ ὁμόσε χωρεῖν τοῖς πειρασμοῖς, ἀλλ᾽ εἴκειν καὶ παραχωρεῖν. οὐ γὰρ ἔγκλημα τὸ μὴ ῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, ἀλλὰ τὸ ἐμπεσόντα μὴ στῆναι γενναίως. τοῦτο τοίνυν διδάσκων, καὶ τὸν φθόνον τὸν Ἰουδαϊκὸν παραμυθούμενος, ἀναχωρεῖ εἰς τὴν Καπερναοὺμ, ὁμοῦ μὲν τὴν προφητείαν πληρῶν, ὁμοῦ δὲ καὶ τοὺς διδασκάλους τῆς οἰκουμένης ἁλιεῦσαι σπεύδων, ἐπειδὴ ἐκεῖ διέτριβον τῇ τέχνῃ χρώμενοι. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ μέλλων ἐπὶ τὰ ἔθνη ἀπιέναι, παρὰ Ἰουδαίων λαμβάνει τὰς αἰτίας. καὶ γὰρ ἐνταῦθα ἐπιβουλεύσαντες τῷ προδρόμῳ, καὶ εἰς δεσμωτήριον ἐμβαλόντες, ὠθοῦσιν αὐτὸν εἰς τὴν Γαλιλαίαν τῶν ἐθνῶν. ὅτι γὰρ οὔτε ἀπὸ μέρους λέγει τὸ ἔθνος τὸ Ἰουδαϊκὸν, οὔτε πάσας αἰνίττεται τὰς φυλὰς, σκόπει πῶς διορίζει τὸ χωρίον ἐκεῖνο ὁ προφήτης, οὕτω λέγων·

15 Γῆ * ″ Νεφθαλὶμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν,
16 Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, φῶς εἶδε μέγα·

* Ζαβουλ
γῆ
γρ. λήμ

Σκότος ἐνταῦθα οὐ τὸ αἰσθητὸν καλῶν, ἀλλὰ τὴν πλάνην καὶ τὴν ἀσέβειαν. διὸ καὶ ἐπήγαγε, Τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς.

Ἵνα γὰρ μάθῃς, ὅτι οὔτε φῶς οὔτε σκότος αἰσθητόν φησι, περὶ μὲν τοῦ φωτὸς διαλεγόμενος οὐχ ἁπλῶς φῶς ἐκάλεσεν, ἀλλὰ φῶς μέγα, ὅπερ ἀλλαχοῦ ἀληθινόν φησι· τὸ δὲ σκότος ἐπεξηγούμενος, σκιὰν θανάτου ὠνόμασεν. εἶτα, δεικνὺς ὅτι οὐκ αὐτοὶ ζητήσαντες εὗρον, ἀλλ᾽ ὁ Θεὸς αὐτοῖς ἄνωθεν ἐπεφάνη, φησὶ, φῶς ἀνέτειλεν αὐτοῖς· τουτέστιν, αὐτὸ τὸ φῶς ἀνέτειλε καὶ ἔλαμψεν, οὐκ αὐτοὶ πρότεροι τῷ φωτὶ προσέδραμον. καὶ γὰρ ἐν ἐσχάτοις τὰ ἀνθρώπινα ἦν πρὸ τῆς Χριστοῦ παρουσίας. οὐδὲ γὰρ ἐβάδιζον ἐν σκότει, ἀλλ᾽ ἐκάθηντο ἐν σκότει· ὅπερ σημεῖον ἦν, τοῦ μηδὲ ἐλπίζειν αὐτοὺς ἀπαλλάττεσθαι. ὥσπερ γὰρ οὐδὲ εἰδότες ποῦ δεῖ προβῆναι, οὕτω καταληφθέντες ὑπὸ τοῦ σκότους ἐκάθηντο, μὴ δυνάμενοι μηδὲ στῆναι λοιπόν.

17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀπὸ τότε ποτέ; ἐξ οὗ ἐνεβλήθη Ἰωάννης. καὶ διατί μὴ ἐξ ἀρχῆς αὐτοῖς

ἐκήρυξε; τί δὲ ὅλως Ἰωάννου ἔδει, τῆς τῶν ἔργων μαρτυρίας αὐτὸν κηρυττούσης; ἵνα κἀντεῦθεν μάθῃς αὐτοῦ τὴν ἀξίαν, ὅτι καθάπερ ὁ πατὴρ, οὕτω καὶ αὐτὸς προφήτας ἔχει· ὅπερ καὶ ὁ Ζαχαρίας ἔλεγε, Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ· καὶ ἵνα μηδεμίαν τοῖς ἀναισχύντοις αἰτίαν καταλείπῃ Ἰουδαίοις. ὅπερ οὖν καὶ αὐτὸς τέθεικε λέγων· Ἦλθεν Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι, δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. ἄλλως δὲ, καὶ ἀναγκαῖον ἦν παρ' ἑτέρου πρότερον λεχθῆναι τὰ περὶ αὐτοῦ, καὶ μὴ παρ' αὐτοῦ. εἰ γὰρ καὶ μετὰ τοσαύτας καὶ τηλικαύτας μαρτυρίας τε καὶ ἀποδείξεις ἔλεγον, σὺ μαρτυρεῖς περὶ σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· εἰ μηδὲν εἰρηκότος Ἰωάννου, παρελθὼν εἰς μέσους πρῶτος αὐτὸς ἐμαρτύρησε, τί οὐκ ἂν ἐφθέγξαντο; διὰ τοῦτο οὔτε ἐκήρυξε πρὸ ἐκείνου, οὔτε ἐθαυματούργησεν, ἕως ἐνέπεσεν εἰς τὸ δεσμωτήριον ἐκεῖνος, ἵνα μὴ ταύτῃ τὸ πλῆθος σχίζηται. διὰ τοῦτο οὐδὲ σημεῖον οὐδὲν ἐποίησεν Ἰωάννης, ἵνα καὶ ἐντεῦθεν τὸ πλῆθος τῷ Ἰησοῦ παραδῷ, τῶν θαυμάτων πρὸς ἐκεῖνον ἑλκόντων αὐτούς. εἰ γὰρ καὶ τοσούτων οἰκονομηθέντων καὶ πρὸ τοῦ δεσμωτηρίου, καὶ μετὰ τὸ δεσμωτήριον, ζηλοτύπως πρὸς αὐτὸν εἶχον οἱ μαθηταὶ Ἰωάννου, καὶ οἱ πολλοὶ δὲ οὐκ αὐτὸν, ἀλλὰ τὸν Ἰωάννην ὑπώπτευον εἶναι ἢ τὸν Ἰησοῦν, εἰ μηδὲν τούτων ἐγένετο, τί οὐκ ἂν συνέβη; διὰ τοῦτο καὶ ὁ Ματθαῖος ἐπισημαίνεται, ὅτι ἀπὸ τότε ἤρξατο κηρύσσειν· καὶ ἀρξάμενος τὸ κήρυγμα, ὃ ἐκεῖνος ἐκήρυττε, τοῦτο καὶ αὐτὸς ἐδίδασκε, καὶ οὐδὲν οὐδέπω περὶ ἑαυτοῦ κηρύττων λέγει. καὶ γὰρ καὶ τοῦτο τέως ἀγαπητὸν ἦν παραδεχθῆναι, ἐπεὶ μηδέπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον. διὰ τοῦτο καὶ ἀρχόμενος οὐδὲν φορτικόν τι φησὶ καὶ ἐπαχθὲς, οἷον ἐκεῖνος, ἀξίνην, καὶ δένδρον κοπτόμενον, καὶ πτύου καὶ ἅλωνος καὶ πυρὸς ἀσβέστου μνημονεύων· ἀλλὰ χρηστὰ προοιμιάζεται, τοὺς οὐρανοὺς καὶ τὴν βασιλείαν τὴν ἐκεῖ τοῖς ἀκούουσιν εὐαγγελιζόμενος.

Λυκ. α.

Ματθ. ια. ιη.

18 Καὶ περιπατῶν* παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς)

Ἰησοῦς

19 Καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.

20 Οἱ δὲ * ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.

ὐθέως

Καίτοι Ἰωάννης φησὶν ἑτέρως αὐτοὺς κεκλῆσθαι· ὅθεν δῆλον ὅτι δευτέρα αὕτη ἡ κλῆσις ἦν, καὶ πολλαχόθεν τοῦτο ἄν τις συνίδοι. ἐκεῖ μὲν γάρ φησιν, ὅτι οὔπω βληθέντος Ἰωάννου εἰς τὴν φυλακὴν προσῆλθον· ἐνταῦθα δὲ μετὰ τὸ ἐμπεσεῖν αὐτόν. κἀκεῖ μὲν ὁ Ἀνδρέας" ἐκάλει τὸν Πέτρον· ἐνταῦθα δὲ ἀμφοτέρους ὁ Ἰησοῦς. καὶ Ἰωάννης μέν φησιν, ὅτι ἰδὼν ὁ Ἰησοῦς τὸν Σίμωνα ἐρχόμενον λέγει· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος· ὁ δὲ Ματθαῖός φησιν, ὅτι ἤδη τοῦτο ἦν" κεκλημένος τὸ ὄνομα. ἰδὼν γάρ, φησι, Σίμωνα τὸν λεγόμενον Πέτρον. καὶ ἀπὸ τοῦ τόπου δὲ ὅθεν ἐκλήθησαν, καὶ πολλαχόθεν ἄλλοθεν ἄν τις τοῦτο συνίδοι, καὶ ἐκ τοῦ ῥᾳδίως ὑπακοῦσαι, καὶ ἐκ τοῦ πάντα ἀφεῖναι. ἤδη γὰρ ἦσαν προπεπαιδευμένοι καλῶς. ἐκεῖ μὲν γὰρ εἰς τὴν οἰκίαν φαίνεται ὁ Ἀνδρέας ἐρχόμενος καὶ πολλὰ ἀκούων· ἐνταῦθα δὲ ψιλὸν ῥῆμα ἀκούσαντες εὐθέως ἠκολούθησαν. καὶ γὰρ εἰκὸς ἀκολουθήσαντας ἐξ ἀρχῆς ἀφεῖναι πάλιν, τόν τε Ἰωάννην ἰδόντας εἰς δεσμωτήριον ἐμπεσόντα καὶ" αὖθις ἀναχωρῆσαι, καὶ ἐπὶ τὴν οἰκείαν πάλιν τέχνην ἐπανελθεῖν. οὕτω γοῦν αὐτοὺς εὑρίσκει ἁλιεύοντας. αὐτὸς δὲ οὔτε βουλομένους ἀναχωρῆσαι τὴν ἀρχὴν ἐκώλυσεν, οὔτε ἀναχωρήσαντας εἰς τέλος ἀφῆκεν· ἀλλ' ἐνδοὺς ὅτε ἀπεπήδησαν, ἔρχεται πάλιν αὐτοὺς ἀνακτησόμενος· ὅπερ μέγιστος τρόπος ἁλιείας ἐστί. σκόπει δὲ αὐτῶν καὶ τὴν πίστιν καὶ τὴν ὑπακοήν. καὶ γὰρ ἐν μέσοις τοῖς ἔργοις ὄντες (ἴστε δὲ πῶς λίχνον ἡ ἁλιεία) ἀκούσαντες αὐτοῦ κελεύοντος, οὐκ ἀνεβάλλοντο,

κάλει

προσκε-
μένος

ὐτὸν ἀνα-
ωροῦντα ἐπὶ
οἰκείαν
λιν τέχνην
λθεῖν.

λοντο, οὐχ ὑπερέθεντο, οὐκ εἶπον, ὑποστρέψαντες οἴκαδε διαλεχθῶμεν τοῖς προσήκουσιν· ἀλλὰ πάντα ἀφέντες εἵποντο, καθάπερ καὶ Ἐλισσαῖος ἐποίησεν ἐπὶ Ἠλίου. τοιαύτην γὰρ ὁ Χριστὸς ὑπακοὴν ζητεῖ παρ' ἡμῶν, ὥστε μήτε ἀκαριαῖον ἀναβάλλεσθαι χρόνον, κἂν σφόδρα τι τῶν ἀναγκαιοτάτων ἡμᾶς κατεπείγῃ. διὸ καὶ ἕτερόν τινα προσελθόντα καὶ ἀξιοῦντα θάψαι τὸν ἑαυτοῦ πατέρα, οὐδὲ τοῦτο ποιῆσαι ἀφῆκε, δεικνὺς ὅτι πάντων τὴν ἀκολούθησιν τὴν ἑαυτοῦ προτιμᾶν δεῖ. εἰ δὲ λέγοις, ὅτι μεγίστη ἡ ὑπόσχεσις· καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς θαυμάζω, ὅτι μηδὲν μηδέπω σημεῖον ἰδόντες, μεγέθει τοσούτῳ ἐπαγγελίας ἐπίστευσαν, καὶ πάντα δεύτερα ἔθεντο τῆς ἀκολουθήσεως ἐκείνης. καὶ γὰρ δι' ὧν ἡλιεύθησαν λόγων, ἐπίστευσαν ὅτι καὶ ἑτέρους διὰ τούτων ἁλιεύειν δυνήσονται. τούτοις μὲν οὖν τοῦτο ὑπέσχετο· τοῖς δὲ περὶ Ἰάκωβον καὶ Ἰωάννην οὐδὲν τοιοῦτόν φησιν. ἡ γὰρ τῶν ″φθασάντων ὑπακοὴ προωδοποίησε λοιπὸν τούτοις· ἄλλως δὲ, καὶ πολλὰ ἦσαν πρότερον ἀκηκοότες περὶ αὐτοῦ. θέα δὲ πῶς καὶ τὴν πενίαν αὐτῶν ἡμῖν μετὰ ἀκριβείας αἰνίττεται. εὗρε γὰρ αὐτοὺς ῥάπτοντας τὰ δίκτυα αὐτῶν. τοσαύτη ἦν τῆς πτωχίας ἡ ὑπερβολὴ, ὡς τὰ πεπονηκότα διορθοῦν, μὴ δυναμένους ὠνήσασθαι ἕτερα. οὐ μικρὰ δὲ τέως καὶ αὕτη ἔνδειξις ἀρετῆς, τὸ πενίαν φέρειν εὐκόλως, τὸ ἀπὸ δικαίων πόνων τρέφεσθαι, τὸ συνδεδέσθαι ἀλλήλοις τῇ τῆς ἀγάπης δυνάμει, τὸ τὸν πατέρα ἔχειν μεθ' ἑαυτῶν καὶ θεραπεύειν. ἐπειδὴ τοίνυν αὐτοὺς ἡλίευσε, τότε ἄρχεται παρόντων θαυματουργεῖν, δι' ὧν ἐποίει, τὰ ὑπὸ Ἰωάννου περὶ αὐτοῦ εἰρημένα βεβαιῶν. συνεχῶς δὲ ταῖς συναγωγαῖς ἐπεχωρίαζε, καὶ ἐντεῦθεν αὐτοὺς παιδεύων, ὅτι οὐκ ἔστιν ἀντίθεός τις καὶ πλάνος, ἀλλὰ συμφωνῶν τῷ πατρὶ παραγέγονεν. ἐπιχωριάζων δὲ, οὐκ ἐκήρυττε μόνον, ἀλλὰ καὶ σημεῖα ἐπεδείκνυτο. καὶ γὰρ πανταχοῦ, εἴ πού τι ξένον γίνεται καὶ παράδοξον καὶ πολιτείας τινὸς εἰσαγωγὴ, σημεῖα ποιεῖν εἴωθεν ὁ Θεὸς, ἐνέχυρα τῆς αὐτοῦ δυνάμεως παρέχων τοῖς τοὺς νόμους δέχεσθαι μέλλουσιν. οὕτω γοῦν ὅτε τὸν ἄνθρωπον ποιεῖν ἔμελλε, τὸν κόσμον ἔκτισεν ἅπαντα, καὶ τότε αὐτῷ τὸν ″νόμον ἐκεῖνον ἔδωκε τὸν ἐν τῷ παραδείσῳ. καὶ ὅτε τῷ Νῶε νομοθετεῖν ἔμελλε, πάλιν μεγάλα ἐπεδείξατο θαύματα, δι' ὧν ἅπασαν ἀνεστοιχείου τὴν κτίσιν, καὶ τὸ φοβερὸν ἐκεῖνο πέλαγος ἐπ' ἐνιαυτὸν ὁλόκληρον ἐποίει κρατεῖν, καὶ δι' ὧν ἐν τοσαύτῃ ζάλῃ τὸν δίκαιον ἐκεῖνον διέσωσε. καὶ ἐπὶ τοῦ Ἀβραὰμ δὲ πολλὰ σημεῖα παρέσχετο· οἷον, τὴν νίκην τὴν ἐν τῷ πολέμῳ, τὴν πληγὴν τὴν κατὰ τοῦ Φαραὼ, τὴν ἐκ τῶν κινδύνων ἀπαλλαγήν. καὶ Ἰουδαίοις νομοθετεῖν μέλλων, τὰ θαύματα ἐκεῖνα καὶ μεγάλα τεράστια ἐπεδείξατο, καὶ τότε τὸν νόμον ἔδωκεν. οὕτω δὴ καὶ ἐνταῦθα μέλλων ὑψηλήν τινα εἰσάγειν πολιτείαν, καὶ ἃ μηδέποτε ἤκουσαν λέγειν αὐτοῖς, τῇ τῶν θαυμάτων ἐπιδείξει βεβαιοῖ τὰ λεγόμενα. ἐπειδὴ γὰρ ἡ κηρυττομένη βασιλεία οὐκ ἐφαίνετο, ἀπὸ τῶν φαινομένων τὴν ἄδηλον ποιεῖ φανεράν. καὶ σκόπει τὸ ἀπέριττον τοῦ εὐαγγελιστοῦ, πῶς οὐ καθ' ἕκαστον ἡμῖν διηγεῖται τῶν θεραπευομένων, ἀλλὰ βραχέσι ῥήμασι νιφάδας παρατρέχει σημείων.

γρ. θεα- σάντων

γρ. κόσμον

24 Προσήνεγκαν γὰρ αὐτῷ, φησὶ, πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτικοὺς, καὶ ἐθεράπευσεν αὐτούς.

Ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ″ἐστι, τί δήποτε παρ' οὐδενὸς αὐτῶν πίστιν ″ἐπεζήτησεν. οὐδὲ γὰρ εἶπεν, ὃ μετὰ ταῦτα φαίνεται λέγων· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; ὅτι οὐδέπω τῆς αὐτοῦ δυνάμεως ἀπόδειξιν ἦν δεδωκώς· ἄλλως δὲ, καὶ αὐτὸ τὸ προσιέναι καὶ ″προσαγαγεῖν, οὐ τὴν τυχοῦσαν ἐπεδείκνυτο πίστιν. καὶ γὰρ πόρρωθεν αὐτοὺς ἔφερον, οὐκ ἂν ἐνεγκόντες, εἰ μὴ μεγάλα ἦσαν περὶ αὐτοῦ πεπεικότες ἑαυτούς.

γρ. ἰῶ,
γρ. ἐπεζή- σεν.
γρ. προσ-

ΗΘΙΚΟΝ

Ἀκολουθήσωμεν τοίνυν αὐτῷ καὶ ἡμεῖς. καὶ γὰρ νοσήματα πολλὰ ἔχομεν ψυχῶν, καὶ ταῦτα προηγουμένως βούλεται θεραπεύειν. διὰ γὰρ τοῦτο κἀκεῖνα διορθοῦται, ἵνα ταῦτα ἐξορίσῃ τῆς ψυχῆς τῆς ἡμετέρας. προσέλθωμεν τοίνυν αὐτῷ, καὶ μηδὲν βιωτικὸν αἰτῶμεν·

κεφ. δ.

ἀλλ' ἁμαρτημάτων ἄφεσιν. καὶ γὰρ δίδωσι καὶ νῦν, ἐὰν σπουδάζωμεν. τότε μὲν γὰρ εἰς τὴν Συρίαν ἐξῆλθεν αὐτοῦ ἡ ἀκοή· νῦν δὲ εἰς τὴν οἰκουμένην ὅλην. κἀκεῖνοι μὲν ἀκούσαντες, ὅτι δαιμονῶντας ἐθεράπευσε, συνέτρεχον· σὺ δὲ πολλῷ πλείονα πεῖραν αὐτοῦ λαβὼν τῆς δυνάμεως καὶ μείζονα, οὐ διανίστασαι καὶ τρέχεις; ἀλλ' ἐκεῖνοι μὲν καὶ πατρίδα ἀφῆκαν, καὶ φίλους, καὶ συγγενεῖς· σὺ δὲ οὐδὲ οἰκίαν ἀφεῖναι ἀνέχῃ ὑπὲρ τοῦ προσελθεῖν, καὶ πολλῷ μειζόνων τυχεῖν; μᾶλλον δὲ οὐδὲ τοῦτο ἀπαιτοῦμεν παρὰ σοῦ· ἀλλὰ συνήθειαν ἄφες πονηρὰν μόνον, καὶ μένων οἴκοι μετὰ τῶν σεαυτοῦ, δυνήσῃ σωθῆναι ῥᾳδίως. νῦν δὲ ἂν μὲν σωματικὸν ἔχωμεν πάθος, πάντα ποιοῦμεν καὶ πραγματευόμεθα, ὥστε ἀπαλλαγῆναι τοῦ λυποῦντος ἡμᾶς· τῆς δὲ ψυχῆς ἡμῶν κακῶς διακειμένης, μέλλομεν καὶ ἀναδυόμεθα. διὰ τοῦτο οὐδὲ ἐκείνων ἀπαλλασσόμεθα· ἐπειδὴ τὰ μὲν ἀναγκαῖα ἡμῖν πάρεργα γίνεται, τὰ δὲ πάρεργα ἀναγκαῖα, καὶ τὴν πηγὴν τῶν κακῶν ἀφέντες, τοὺς ῥύακας ἐκκαθαίρειν ἐθέλομεν. ὅτι γὰρ τῶν ἐν τῷ σώματι κακῶν ἡ πονηρία τῆς ψυχῆς αἰτία, καὶ ὁ παραλελυμένος τριάκοντα καὶ ὀκτὼ ἔτη, καὶ ὁ διὰ τοῦ στέγους χαλασθεὶς, καὶ πρὸ τούτων δὲ ὁ Κάϊν ἐδήλωσε. καὶ πολλαχόθεν δὲ ἑτέρωθεν τοῦτο ἄν τις ἴδοι. ἀνέλωμεν τοίνυν τῶν κακῶν τὴν πηγὴν, καὶ πάντα στήσεται τῶν νοσημάτων τὰ ῥεύματα. οὐ γὰρ τὸ παραλελύσθαι μόνον, νόσημα, ἀλλὰ καὶ τὸ ἁμαρτάνειν· καὶ τοῦτο μᾶλλον, ἢ ἐκεῖνο, ὅσῳ καὶ ψυχὴ σώματος ἀμείνων. προσέλθωμεν τοίνυν αὐτῷ καὶ νῦν, καὶ παρακαλέσωμεν ἵνα σφίγξῃ τὴν ψυχὴν ἡμῶν παραλελυμένην, καὶ τὰ βιωτικὰ ἀφέντες πάντα, ὑπὲρ τῶν πνευματικῶν μόνον ποιώμεθα λόγον. εἰ δὲ καὶ τούτων ἀντέχῃ, μετ' ἐκεῖνα αὐτῶν φρόντιζε. μηδὲ ὅτι οὐκ ἀλγεῖς ἁμαρτάνων καταφρόνει, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα στέναζον, ἐπειδὴ οὐκ αἰσθάνῃ τῆς ὀδύνης τῶν πλημμελημάτων. οὐ γὰρ παρὰ τὸ μὴ δάκνειν τὴν ἁμαρτίαν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὸ ἀναίσθητον εἶναι τὴν πλημμελοῦσαν ψυχήν. ἐννόησον γοῦν τοὺς αἰσθανομένους τῶν οἰκείων ἁμαρτημάτων, πῶς τῶν τεμνομένων καὶ καιομένων πικρότερον ὀλολύζουσι; πόσα πράττουσι; πόσα πάσχουσι; πόσα πενθοῦσι καὶ ὀδύρονται, ὥστε ἀπαλλαγῆναι τοῦ πονηροῦ συνειδότος; ὅπερ οὐκ ἂν ἐποίησαν, εἰ μὴ σφόδρα ἤλγουν κατὰ ψυχήν. τὸ μὲν οὖν ἄμεινον, τὸ μηδὲ ὅλως ἁμαρτάνειν· τὸ δὲ μετ' ἐκεῖνο, τὸ ἁμαρτάνοντας αἰσθάνεσθαι καὶ διορθοῦσθαι. εἰ δὲ μὴ τοῦτο ἔχοιμεν, πῶς δεησόμεθα τοῦ Θεοῦ, καὶ ἄφεσιν αἰτησόμεθα ἁμαρτημάτων, τῶν τούτων μηδένα ποιούμενοι λόγον; ὅταν γὰρ σὺ αὐτὸς ὁ πεπλημμεληκὼς, μηδὲ αὐτὸ τοῦτο, ὅτι ἥμαρτες, εἰδέναι ἐθέλῃς, ὑπὲρ ποίων παρακαλέσεις τὸν Θεὸν πλημμελημάτων; ὑπὲρ ὧν οὐκ οἶδας; καὶ πῶς εἴσῃ τῆς εὐεργεσίας τὸ μέγεθος; εἰπὲ τοίνυν σου τὰ πλημμελήματα κατ' εἶδος, ἵνα μάθῃς τίνων λαμβάνεις συγχώρησιν, ἵν' οὕτως εὐγνώμων γένῃ περὶ τὸν εὐεργέτην. σὺ δὲ ἄνθρωπον μὲν παροξύνων, καὶ φίλους, καὶ γείτονας, καὶ θυρωροὺς παρακαλεῖς, καὶ χρήματα δαπανᾷς, καὶ πολλὰς ἀναλίσκεις ἡμέρας προσιὼν καὶ δεόμενος· κἂν ἅπαξ, κἂν δὶς, κἂν μυριάκις σε διακρούσηται ὁ παροξυνθεὶς, οὐκ ἀναπίπτεις· ἀλλ' ἐναγώνιος μᾶλλον γινόμενος, πλείονα τὴν ἱκετηρίαν τίθης· τοῦ δὲ τῶν ὅλων Θεοῦ παροξυνομένου, χασμώμεθα, καὶ ἀναπίπτομεν, καὶ τρυφῶμεν, καὶ μεθύομεν, καὶ τὰ κατὰ συνήθειαν πάντα πράττομεν· καὶ πότε αὐτὸν δυνησόμεθα ἵλεων ποιῆσαι; πῶς δὲ οὐκ αὐτῷ τούτῳ μειζόνως παροξυνοῦμεν αὐτόν; τοῦ γὰρ ἁμαρτάνειν τὸ μηδὲ ἀλγεῖν ἁμαρτάνοντας μᾶλλον ἀγανακτεῖν αὐτὸν ποιεῖ καὶ ὀργίζεσθαι. διόπερ εἰς αὐτὴν λοιπὸν ἄξιον καταδῦναι τὴν γῆν, καὶ μηδὲ τὸν ἥλιον ὁρᾶν τοῦτον, μηδὲ ἀναπνεῖν ὅλως, ὅτι οὕτως εὐκατάλλακτον δεσπότην ἔχοντες, παροξύνομέν τε αὐτὸν, καὶ παροξύνοντες οὐδὲ μετανοοῦμεν· καίτοιγε αὐτὸς, οὐδ' ὅταν ὀργίζηται, μισῶν καὶ ἀποστρεφόμενος ἡμᾶς τοῦτο ποιεῖ, ἀλλ' ἵνα κἂν οὕτως ἡμᾶς ἐπισπάσηται πρὸς ἑαυτόν. εἰ γὰρ ὑβριζόμενος διηνεκῶς εὐηργέτει, μᾶλλον ἂν κατεφρόνησας. ἵν' οὖν μὴ τοῦτο γένηται, ἀποστρέφεται πρὸς ὀλίγον, ἵνα διὰ παντός σε ἔχῃ μεθ' ἑαυτοῦ. θαῤῥήσωμεν τοίνυν αὐτοῦ τῇ φιλανθρωπίᾳ, καὶ μετάνοιαν ἐπιδειξώμεθα

μεμε-

-πείδας

χατίσδει.

μᾶλλον

μεμεριμνημένην, πρὶν ἢ τὴν ἡμέραν ἐπιστῆναι τὴν οὐκ ἐῶσαν ἡμᾶς κερδᾶναι ἐκ τούτου. νῦν μὲν γὰρ ἐφ' ἡμῖν τὸ πᾶν κεῖται· τότε δὲ, ὁ δικάζων μόνος τῆς ψήφου γίνεται κύριος. προφθάσωμεν τοίνυν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, κλαύσωμεν, θρηνήσωμεν. ἂν γὰρ δυνηθῶμεν παρακαλέσαι τὸν δικαστὴν πρὸ τῆς κυρίας ἀφεῖναι ἡμῖν τὰ ἁμαρτήματα, οὐδὲ εἰσόδου χρεία λοιπόν· ὥσπερ οὖν ἐὰν μὴ τοῦτο γένηται, δημοσίᾳ τῆς οἰκουμένης παρούσης, ἕκαστος ἡμῶν εἰσαχθήσεται, καὶ οὐδεμία ἡμῖν ἔσται λοιπὸν συγγνώμης ἐλπίς. οὐδεὶς γὰρ τῶν ἐνταῦθα, μὴ διαλυσάμενος τὰ ἁμαρτήματα, ἀπελθὼν ἐκεῖ δυνήσεται τὰς ἐπὶ τούτοις εὐθύνας διαφυγεῖν· ἀλλ' ὥσπερ οἱ ἀπὸ τῶν δεσμωτηρίων τούτων μετὰ τῶν ἁλύσεων προσάγονται εἰς τὸ δικαστήριον· οὕτω καὶ ψυχαὶ πᾶσαι, ὅταν ἐντεῦθεν ἀπέλθωσι, τὰς ποικίλας περικείμεναι σειρὰς τῶν ἁμαρτημάτων, ἐπὶ τὸ βῆμα ἄγονται τὸ φοβερόν. καὶ γὰρ δεσμωτηρίου οὐδὲν ἄμεινον ὁ παρὼν βίος διάκειται. ἀλλ' ὥσπερ εἰς τὸ οἴκημα εἰσελθόντες ἐκεῖνο, πάντας ὁρῶμεν "ἁλύσεις περικειμένους, οὕτω καὶ νῦν, ἂν τῆς φαντασίας τῆς ἔξωθεν ἑαυτοὺς ἀποστήσαντες, εἰς τὸν ἑκάστου βίον εἰσέλθωμεν, εἰς τὴν ἑκάστου ψυχὴν, ὀψόμεθα σιδήρου χαλεπώτερα δεσμὰ περικειμένην, καὶ μάλιστα, ἂν εἰς τὰς τῶν πλουτούντων εἰσέλθῃς ψυχάς. ὅσῳ γὰρ ἂν πλείονα ὦσι περιβεβλημένοι, τοσούτῳ μᾶλλόν εἰσι δεδεμένοι. ὥσπερ οὖν τὸν δεσμώτην, ἐπειδὰν ἴδῃς καὶ ἐπὶ τοῦ "τραχήλου καὶ ἐπὶ τῶν χειρῶν, πολλάκις δὲ καὶ ἐπὶ τῶν ποδῶν σεσιδηρωμένον, διὰ τοῦτο μάλιστα ταλανίζεις· οὕτω καὶ τὸν πλούσιον, ὅταν θεάσῃ μυρία περιβεβλημένον πράγματα, μὴ διὰ ταῦτα πλούσιον, ἀλλὰ δι' αὐτὰ μὲν οὖν ταῦτα ἄθλιον εἶναι νόμιζε. μετὰ γὰρ τῶν δεσμῶν τούτων, καὶ δεσμοφύλακα ἔχει χαλεπὸν, τὸν πονηρὸν ἔρωτα τῶν χρημάτων· ὃς οὐκ ἀφίησιν ὑπερβῆναι τοῦτο τὸ δεσμωτήριον, ἀλλὰ μυρίας αὐτῷ κατασκευάζει πέδας καὶ φυλακὰς, καὶ θύρας, καὶ μοχλούς· καὶ εἰς τὴν ἐνδοτέραν αὐτὸν ἐμβαλὼν φυλακὴν, πείθει καὶ ἥδεσθαι τοῖς δεσμοῖς τούτοις, ἵνα μηδὲ ἐλπίδα τινὰ ἀπαλλαγῆς εὕρῃ τῶν ἐπικειμένων κακῶν. κἂν ἀποκαλύψῃς τῷ λογισμῷ τὴν ψυχὴν τὴν ἐκείνου, οὐ δεδεμένην μόνον, ἀλλὰ καὶ αὐχμῶσαν καὶ ῥυπῶσαν καὶ φθειρῶν γέμουσαν ὄψει. οὐδὲν γὰρ ἐκείνων ἀμείνους αἱ τῆς τρυφῆς ἡδοναὶ, ἀλλὰ καὶ βδελυρώτεραι, καὶ μᾶλλον τὸ σῶμα αὐτῶν λυμαίνονται μετὰ [καὶ] τῆς ψυχῆς, καὶ τούτῳ κἀκείνῃ μυρίας "ἐπιφέρουσι νοσημάτων πληγάς. διὰ δὴ ταῦτα πάντα, τὸν λυτρωτὴν τῶν ψυχῶν τῶν ἡμετέρων παρακαλέσωμεν, ἵνα καὶ τὰ δεσμὰ διαῤῥήξῃ, καὶ τὸν χαλεπὸν ἡμῶν τοῦτον ἀποστήσῃ φύλακα, καὶ τοῦ φορτίου τῶν σιδηρῶν ἐκείνων ἁλύσεων ἀπαλλάξας, πτεροῦ κουφότερον ἡμῖν ποιήσῃ τὸ φρόνημα. παρακαλοῦντες δὲ αὐτὸν, καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, σπουδὴν καὶ γνώμην καὶ προθυμίαν ἀγαθήν. οὕτω γὰρ δυνησόμεθα καὶ ἐν βραχεῖ καιρῷ τῶν κατεχόντων ἡμᾶς ἀπαλλαγῆναι κακῶν, καὶ μαθεῖν ἐν οἷς ἦμεν τὸ πρότερον, καὶ τῆς προσηκούσης ἀντιλαβέσθαι ἐλευθερίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ε.

Ὁμιλ. ιε΄. 1. ΙΔΩΝ ΔΕ [Ο ΙΗΣΟΥΣ] ΤΟΥΣ ΟΧΛΟΥΣ, Ἀνέβη εἰς τὸ ὄρος. καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· 2 Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων.

ΟΡα τὸ ἀφιλότιμον καὶ ἀκόμπαστον. οὐ γὰρ περιῆγεν αὐτοὺς μεθ' ἑαυτοῦ· ἀλλ' ὅτε μὲν θεραπεῦσαι ἔδει, αὐτὸς περιῄει πανταχοῦ, καὶ πόλεις καὶ χώρας ἐπισκοπούμενος· ὅτε δὲ πολὺς ὄχλος γέγονεν, ἐν ἑνὶ καθέζεται χωρίῳ· καὶ οὐκ ἐν πόλει καὶ ἀγορᾷ μέσῃ, ἀλλ' ἐν ὄρει καὶ ἐρημίᾳ, παιδεύων ἡμᾶς μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν, καὶ τῶν ἐν μέσῳ θορύβων ἀπαλλάττεσθαι, καὶ μάλιστα ὅταν φιλοσοφεῖν δέῃ, καὶ περὶ ἀναγκαίων διαλέγεσθαι πραγμάτων. ἀναβάντος δὲ αὐτοῦ καὶ καθίσαντος, προσῆλθον οἱ μαθηταί. Εἶδες αὐτῶν τὴν ἐπίδοσιν τῆς ἀρετῆς, καὶ πῶς ἀθρόον βελτίους ἐγένοντο; οἱ μὲν γὰρ πολλοὶ τῶν θαυμάτων ἦσαν θεαταί, οὗτοι δὲ καὶ ἀκοῦσαί τι λοιπὸν ἐπεθύμουν μέγα καὶ ὑψηλόν· ὅπερ οὖν αὐτὸν καὶ εἰς τὴν διδασκαλίαν ἐνέβαλε, καὶ τῶν λόγων ἄρξασθαι τούτων ἐποίησεν. οὐδὲ γὰρ σώματα ἐθεράπευε μόνον, ἀλλὰ καὶ ψυχὰς διώρθου, καὶ πάλιν ἀπὸ τῆς τούτων ἐπιμελείας ἐπὶ τὴν ἐκείνων μετέβαινεν ἐπιμέλειαν, ποικίλλων τε ὁμοῦ τὴν ὠφέλειαν, καὶ ἀναμιγνὺς τῇ τῶν λόγων διδασκαλίᾳ τὴν ἀπὸ τῶν ἔργων ἐπίδειξιν, καὶ τὰ ἀναίσχυντα τῶν αἱρετικῶν ἐμφράττων στόματα, δι' ὧν ἑκατέρας οὐσίας ἐκήδετο, δεικνὺς ὅτι ὁλοκλήρου τοῦ ζώου αὐτός ἐστι δημιουργός. διὸ καὶ πολλῆς ἑκατέρᾳ τῇ φύσει μετεδίδου προνοίας, νῦν μὲν ἐκείνην, νῦν δὲ ταύτην διορθούμενος· ὃ δὴ καὶ τότε ἐποίει. ἀνοίξας γάρ, φησι, τὸ στόμα αὐτοῦ, ἐδίδαξεν αὐτούς. καὶ τίνος ἕνεκεν πρόσκειται τό, ἀνοίξας τὸ στόμα αὐτοῦ; ἵνα μάθῃς ὅτι καὶ σιγῶν ἐπαίδευεν, οὐχὶ φθεγγόμενος μόνον· ἀλλὰ νῦν μὲν τὸ στόμα ἀνοίγων, νῦν δὲ τὴν ἀπὸ τῶν ἔργων ἀφιεὶς φωνήν. ὅταν δὲ ἀκούσῃς ὅτι ἐδίδασκεν αὐτούς, μὴ τοῖς μαθηταῖς αὐτὸν νόμιζε διαλέγεσθαι μόνοις, ἀλλὰ καὶ δι' ἐκείνων ἅπασιν. ἐπειδὴ γὰρ τὸ πλῆθος δημῶδες ἦν, ἔτι δὲ καὶ τῶν χαμαὶ ἐρχομένων, τὸν τῶν μαθητῶν χορὸν ὑποστησάμενος, πρὸς ἐκείνους ποιεῖται τοὺς λόγους, ἐν τῇ πρὸς αὐτοὺς διαλέξει καὶ τοῖς λοιποῖς ἅπασι τοῖς σφόδρα ἀποδέουσι τῶν λεγομένων, ἀνεπαχθῆ γίνεσθαι παρασκευάζων τῆς φιλοσοφίας τὴν διδασκαλίαν. ὅπερ οὖν καὶ ὁ Λουκᾶς αἰνιττόμενος ἔλεγεν, ὅτι τὸν λόγον ἀπέτρεψε πρὸς αὐτούς· καὶ ὁ Ματθαῖος δὲ αὐτὸ τοῦτο δηλῶν ἔγραφεν, ὅτι προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ αὐτοῖς ἐδίδασκεν. οὕτω γὰρ καὶ οἱ λοιποὶ προσέχειν ἔμελλον προθυμότερον, ἢ εἰ πρὸς ἅπαντας ἀπετείνατο αὐτόν. πόθεν οὖν ἄρχεται, καὶ ποῖα θεμέλια τίθησι τῆς καινῆς πολιτείας ἡμῖν; ἀκούσωμεν μετ' ἀκριβείας τῶν λεγομένων. Εἴρηται μὲν γὰρ πρὸς ἐκείνους, ἐγράφη δὲ καὶ διὰ τοὺς μετὰ ταῦτα ἅπαντας. διὰ δὴ τοῦτο προσέχει μὲν τοῖς μαθηταῖς δημηγορῶν, οὐκ εἰς ἐκείνους δὲ περικλείει τὰ λεγόμενα, ἀλλ' ἀδιορίστως προσάγει τοὺς μακαρισμοὺς ἅπαντας. οὐδὲ γὰρ εἶπε, μακάριοι ἐστὲ ὑμεῖς, ἐὰν πτωχοὶ γένησθε, ἀλλὰ μακάριοι οἱ πτωχοί. καίτοι καὶ εἰ ἐκείνοις εἰρήκει, κοινὰ τὰ τῆς συμβουλῆς ἔμελλε γίνεσθαι. καὶ γὰρ ὅταν λέγῃ, Ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, οὐ πρὸς ἐκείνους διαλέγεται μόνους, ἀλλὰ καὶ δι' ἐκείνων πρὸς τὴν οἰκουμένην ἅπασαν. Ματθ. κη. κ. καὶ ὅταν αὐτοὺς μακαρίζῃ διωκομένους καὶ ἐλαυνομένους καὶ τὰ ἀνήκεστα πάσχοντας, οὐκ ἐκείνοις μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς τὰ αὐτὰ κατορθοῦσι πλέκει τὸν στέφανον. πλὴν ἀλλ' ἵνα καὶ σαφέστερον τοῦτο γένηται, καὶ μάθῃς ὅτι καὶ πρὸς σὲ ἔχει κοινωνίαν πολλὴν τὰ λεγόμενα, καὶ πρὸς τὴν φύσιν δὲ ἅπασαν τὴν ἀνθρωπίνην, εἴ τις βούλοιτο προσέχειν, ἄκουσον πῶς τῶν θαυμαστῶν τούτων ἄρχεται λόγων.

3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Τί ἐστιν, οἱ πτωχοὶ τῷ πνεύματι; οἱ ταπεινοὶ καὶ συντετριμμένοι τὴν διάνοιαν. πνεῦμα γὰρ ἐνταῦθα, τὴν ψυχὴν καὶ τὴν προαίρεσιν εἴρηκεν. ἐπειδὴ γὰρ εἰσὶ πολλοὶ ταπεινοὶ οὐχ ἑκόντες, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης βιαζόμενοι, ἀφεὶς ἐκείνους (οὐδὲ γὰρ ἂν εἴη τοῦτο ἐγκώμιον) τοὺς ἀπὸ προαιρέσεως ἑαυτοὺς ταπεινοῦντας καὶ καταστέλλοντας μακαρίζει πρότερον. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, οἱ ταπεινοί, ἀλλ' οἱ πτωχοί; ἔτι τοῦτο ἐκείνου πλέον. τοὺς γὰρ κατεπτηχότας ἐνταῦθά φησι καὶ τρέμοντας τοῦ Θεοῦ τὰ ἐπιτάγματα, οὓς καὶ διὰ Ἡσαΐου τοῦ προφήτου σφόδρα ἀποδεχόμενος ὁ Θεός, ἔλεγεν· Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Ησ. ξς. β. καὶ γὰρ πολλοὶ τῆς ταπεινοφροσύνης οἱ τρόποι· καὶ ὁ μέν ἐστι ταπεινὸς συμμέτρως, ὁ δὲ μεθ' ὑπερβολῆς ἁπάσης. ταύτην καὶ ὁ μακάριος προφήτης* ἐπαινεῖ τὴν ταπεινοφροσύνην, οὐ τὴν ἁπλῶς κατεσταλμένην ἡμῖν διάνοιαν ὑπογράφων, ἀλλὰ τὴν σφόδρα συντεθραυσμένην, δι' ὧν φησι· Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ψαλμ. ν. ιη. καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ταύτην ἀντὶ θυσίας μεγάλης προσάγουσι τῷ Θεῷ, λέγοντες· Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. ταύτην καὶ ὁ Χριστὸς μακαρίζει νῦν. ἐπειδὴ γὰρ τὰ μέγιστα τῶν κακῶν καὶ τὴν οἰκουμένην" λυμαινόμενα ἅπασαν ἐξ ἀπονοίας εἰσῆλθεν (γρ. λυμ μενα) (ὅ τε γὰρ διάβολος οὐκ ὢν πρὸ τούτου τοιοῦτος, οὕτω διάβολος γέγονεν· ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, α. Τιμ. γ. ς. Ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου· ὅ τε πρῶτος ἄνθρωπος ταύταις παρὰ τοῦ διαβόλου φυσηθεὶς ταῖς ἐλπίσιν, ἐξετραχηλίσθη καὶ θνητὸς ἐγένετο. προσδοκήσας γὰρ ἔσεσθαι Θεὸς, καὶ ὅπερ εἶχεν ἀπώλεσεν. ὅπερ οὖν καὶ ὁ Θεὸς ὀνειδίζων αὐτῷ, καὶ τὴν ἄνοιαν αὐτοῦ κωμῳδῶν ἔλεγεν· ἰδοὺ, Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν. καὶ ἕκαστος δὲ τῶν μετὰ ταῦτα ἐντεῦθεν εἰς ἀσέβειαν ἐξώκειλεν, ἰσοθεΐαν φαντασθείς) ἐπεὶ οὖν αὕτη ἡ ἀκρόπολις τῶν κακῶν ἦν, καὶ ἡ ῥίζα καὶ ἡ πηγὴ τῆς πονηρίας ἁπάσης, τῷ νοσήματι τὸ κατάλληλον κατασκευάζων φάρμακον, ὥσπερ θεμέλιον ἰσχυρὸν τινὰ καὶ ἀσφαλῆ, τοῦτον πρῶτον" κατεβάλετο τὸν νόμον. ταύτης γὰρ ὑποκειμένης μετὰ ἀσφαλείας (γρ. προ βάλλεται) ἅπαντα τὰ ἄλλα ἐπιτίθησιν ὁ οἰκοδομῶν· ταύτης δὲ ἀνῃρημένης, κἂν μέχρι τῶν οὐρανῶν φθάσῃ πολιτευόμενος, ἅπαντα ὑποσύρεται ῥᾳδίως, καὶ εἰς χαλεπὸν καταστρέφει τέλος. κἂν νηστείαν, κἂν εὐχὴν, κἂν ἐλεημοσύνην, κἂν σωφροσύνην, κἂν ἄλλο τι οὖν συνάγῃς ἀγαθὸν, ταπεινοφροσύνης χωρὶς διαῤῥεῖ καὶ ἀπόλλυται ἅπαντα· Λουκ. ιη. ὅπερ οὖν καὶ ἐπὶ τοῦ Φαρισαίου γέγονε. καὶ γὰρ μετὰ τὸ φθάσαι εἰς αὐτὴν τὴν κορυφὴν, πάντα ἀπολέσας κατέβη, ἐπειδὴ τὴν μητέρα τῶν ἀγαθῶν οὐκ εἶχεν. ὥσπερ γὰρ ἡ ἀπόνοια πηγὴ κακίας ἁπάσης ἐστὶν, οὕτως ἡ ταπεινοφροσύνη φιλοσοφίας ἁπάσης ἀρχή. διὸ καὶ ἐντεῦθεν ἄρχεται, πρόῤῥιζον ἀνασπῶν τὴν ἀλαζονείαν ἐκ τῆς τῶν ἀκουόντων ψυχῆς. καὶ τί τοῦτο πρὸς τοὺς μαθητὰς, φησι, τοὺς πάντοθεν ὄντας ταπεινούς; οὐδὲ γὰρ εἶχον ἀφορμὴν ἀπονοίας τινὰ, ἁλιεῖς ὄντες καὶ πένητες, καὶ ἄσημοι καὶ ἰδιῶται. εἰ καὶ μὴ πρὸς τοὺς μαθητὰς ταῦτα, ἀλλὰ πρός γε τοὺς παρόντας τότε," καὶ τοὺς μετὰ ταῦτα μέλλοντας αὐτοὺς ὑποδέχεσθαι, ἵνα μὴ (γρ. τοὺ) διὰ ταῦτα αὐτῶν καταφρονῶσι· μᾶλλον δὲ καὶ πρὸς τοὺς μαθητὰς ταῦτα. εἰ γὰρ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον δεῖσθαι τῆς ὠφελείας" ταύτης μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα, καὶ (γρ. ἐκείν) τὴν τῆς οἰκουμένης τιμὴν καὶ τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν. οὔτε γὰρ πλοῦτος, οὔτε δυναστεία, οὐκ αὐτὴ ἡ βασιλεία οὕτως ἐπᾶραι ἦν ἱκανὴ, ὡς τὰ ἐκείνοις ὑπάρξαντα ἅπαντα. ἄλλως δὲ, καὶ πρὸ τῶν σημείων εἰκὸς ἦν αὐτοὺς καὶ τότε ἐπαρθῆναι, τὸ πλῆθος ὁρῶντας καὶ τὸ θέατρον ἐκεῖνο τὸ περιεστηκὸς τὸν διδάσκαλον, καὶ παθεῖν τι ἀνθρώπινον. διόπερ αὐτῶν εὐθέως καταστέλλει τὸ φρόνημα. καὶ οὐκ εἰσάγει ἐν τάξει" παραινέσεως τὰ λεγόμενα καὶ (γρ. -των) ἐπιταγμάτων, ἀλλ' ἐν τάξει μακαρισμοῦ, ἀνεπαχθέστερον τὸν λόγον ποιῶν, καὶ πᾶσιν ἀνοίγων τὸ τῆς διδασκαλίας στάδιον. οὐ γὰρ εἶπεν, ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' οἱ ταῦτα ποιοῦντες μακάριοι πάντες. ὥστε, κἂν δοῦλος ᾖς, κἂν πτωχὸς, κἂν πένης, κἂν ξένος, κἂν ἰδιώτης, οὐδέν ἐστι τὸ κωλῦον ἔσεσθαί σε μακάριον, ἂν τὴν ἀρετὴν ταύτην ζηλώσῃς. ἀρξάμενος τοίνυν ἐντεῦθεν, ὅθεν μάλιστα ἐχρῆν, πρόεισιν ἐφ' ἑτέραν ἐντολὴν," ἀπεναντίας δοκοῦσαν (γρ. ὑπεν αι) εἶναι τῇ τῆς οἰκουμένης ψήφῳ. ἁπάντων γὰρ τοὺς χαίροντας ζηλωτοὺς εἶναι νομιζόντων, τοὺς δὲ ἐν ἀθυμίᾳ καὶ πενίᾳ καὶ πένθει ἀθλίους, αὐτὸς τούτους ἀντ' ἐκείνων μακαρίζει, λέγων οὕτω·

4 Μακάριοι οἱ πενθοῦντες. Καίτοιγε πάντες αὐτοὺς ταλανίζουσι. διά γάρ τοι τοῦτο προλαβὼν τὰ σημεῖα εἰργάσατο, ἵνα τοιαῦτα νομοθετῶν ἀξιόπιστος ᾖ. καὶ ἐνταῦθα δὲ πάλιν οὐχ ἁπλῶς τοὺς πενθοῦντας τέθεικεν, ἀλλὰ τοὺς ὑπὲρ ἁμαρτημάτων τοῦτο ποιοῦντας· ὡς τό γε ἕτερον καὶ σφόδρα ἐστὶ κεκωλυμένον, τὸ ἐπί τινι τῶν βιωτικῶν θρηνεῖν. ὅπερ οὖν

καὶ

β.Κορ. ζ.ι.

καὶ ὁ Παῦλος ἐδήλου λέγων· Ὅτι ἡ μὲν τοῦ κόσμου λύπη θάνατον κατεργάζεται· ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. τούτους τοίνυν καὶ αὐτὸς ἐνταῦθα μακαρίζει τοὺς οὕτω λυπουμένους· καὶ οὐδὲ ἁπλῶς τοὺς λυπουμένους τέθεικεν, ἀλλὰ τοὺς μετ' ἐπιτάσεως. διόπερ οὐδὲ εἶπεν, οἱ λυπούμενοι, ἀλλὰ οἱ πενθοῦντες. καὶ γὰρ [καὶ] αὕτη πάλιν ἡ ἐντολὴ πάσης ἐστὶ φιλοσοφίας διδάσκαλος. εἰ γὰρ οἱ παῖδας καὶ γυναῖκα, ἢ ἄλλον τινὰ τῶν προσηκόντων ἀπελθόντα" πενθοῦντες, οὐ χρημάτων, οὐ σωμάτων ἐρῶσι κατ' ἐκεῖνον τῆς ὀδύνης τὸν καιρὸν, οὐ δόξης ἐφίενται, οὐχ ὕβρει παροξύνονται, οὐχ ὑπὸ βασκανίας ἁλίσκονται, οὐχ ὑπ' ἄλλου πολιορκοῦνταί τινος πάθους, τῷ πένθει γινόμενοι μόνον· πολλῷ μᾶλλον οἱ τὰ ἁμαρτήματα πενθοῦντες τὰ ἑαυτῶν, ὡς πενθεῖν ἄξιον, μείζονα ταύτης ἐπιδείξονται φιλοσοφίαν. Εἶτα, τί τὸ ἔπαθλον αὐτοῖς;

Ὅτι αὐτοὶ παρακληθήσονται, φησίν. Εἰπέ μοι, ποῦ παρακληθήσονται οὗτοι; καὶ ἐνταῦθα, καὶ ἐκεῖ. ἐπειδὴ γὰρ τὸ ἐπίταγμα σφόδρα ἦν φορτικὸν καὶ ἐπαχθὲς, ὃ μάλιστα αὐτὸ κοῦφον ἐποίει, τοῦτο ὑπέσχετο δώσειν. ὥστε εἰ θέλεις παρακαλεῖσθαι, πένθει. καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον. ὅταν γὰρ ὁ Θεὸς παρακαλῇ, κἂν μυρίαι νιφάδες ἐπέλθωσι λυπηρῶν, πάντων ἀνώτερος ἔσῃ. καὶ γὰρ πολλῷ μείζους ἀεὶ δίδωσι τῶν πόνων ὁ Θεὸς τὰς ἀμοιβάς· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε, μακαρίους ἀποφαίνων τοὺς πενθοῦντας, οὐ κατὰ τὴν τοῦ πράγματος ἀξίαν, ἀλλὰ κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν· ὅπερ οὐ τῆς τοῦ πράγματος ἀξίας, ἀλλὰ τῆς αὐτοῦ φιλανθρωπίας ἐστίν. οἱ γὰρ πενθοῦντες, πλημμελήματα πενθοῦσι· τοῖς δὲ τοιούτοις ἀρκεῖ [καὶ] τὸ συγγνώμης ἀπολαῦσαι καὶ ἀπολογίας τυχεῖν. ἀλλ' ἐπειδὴ αὐτὸς σφόδρα ἐστὶ φιλάνθρωπος, οὐδὲ ἐν τῇ τῶν κολάσεων διαιρέσει, οὐδὲ ἐν τῇ τῶν ἁμαρτημάτων ἀπαλλαγῇ τὴν ἀντίδοσιν ἵστησιν· ἀλλὰ καὶ μακαρίους ποιεῖ, καὶ πολλῆς μεταδίδωσι παρακλήσεως. πενθεῖν δὲ ἡμᾶς οὐχ ὑπὲρ τῶν οἰκείων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων κελεύει πλημμελημάτων· οἷαι τῶν ἁγίων ἦσαν αἱ ψυχαί, οἵα ἦν ἡ τοῦ Μωϋσέως, οἵα ἡ τοῦ Παύλου, οἵα ἡ τοῦ Δαβίδ. καὶ γὰρ καὶ οὗτοι πάντες ἀλλότρια πολλάκις ἐπένθησαν κακά.

5 Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Ποίαν γῆν, εἰπέ μοι; τινὲς νοητήν φασιν· ἀλλ' οὐκ ἔστι τοῦτο. οὐδαμοῦ γὰρ εὑρίσκομεν ἐν τῇ γραφῇ γῆν νοητήν. ἀλλὰ τί ποτέ ἐστι τὸ εἰρημένον; αἰσθητὸν τίθησιν ἔπαθλον," ὥσπερ καὶ ὁ Παῦλος. εἰπὼν γὰρ, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἐπήγαγεν· οὕτω γὰρ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. καὶ αὐτὸς τῷ λῃστῇ πάλιν· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὔτε γὰρ ἀπὸ τῶν μελλόντων ἀγαθῶν προτρέπει μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, διὰ τοὺς παχυτέρους τῶν ἀκροωμένων, καὶ πρὸ τῶν μελλόντων ἐκεῖνα ζητοῦντας. διὰ τοῦτο γοῦν καὶ προϊὼν, ἔλεγεν· ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου. εἶτα τῆς τοιαύτης φιλοσοφίας τὸ ἔπαθλον τίθησι, καί φησι· μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ. ὁρᾷς πόθεν ἐφόβησεν; ἀπὸ τῶν αἰσθητῶν, ἀπὸ τῶν παρὰ πόδας συμβαινόντων. καὶ πάλιν· ὃς ἐὰν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ." καὶ ὁ Παῦλος δὲ αἰσθητὰ τιθεὶς ἔπαθλα, πολύς ἐστι καὶ ἀπὸ τῶν παρόντων προτρέπων· οἷον, ὡς ὅταν περὶ παρθενίας διαλέγηται. οὐδὲν γὰρ περὶ τῶν οὐρανῶν εἰπὼν ἐκεῖ τέως, [ἀλλ'] ἀπὸ τῶν παρόντων ἐνάγει, λέγων, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην· καὶ, ἐγὼ δὲ ὑμῶν φείδομαι· καὶ, θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. οὕτω δὴ καὶ ὁ Χριστὸς τοῖς πνευματικοῖς τὰ αἰσθητὰ ἀνέμιξεν. ἐπειδὴ γὰρ νομίζεται ὁ πρᾶος ἅπαντα ἀπολλύναι τὰ ἑαυτοῦ, τὸ ἐναντίον ὑπισχνεῖται, λέγων· ὅτι οὗτος μὲν οὖν ἐστιν ὁ μετὰ ἀσφαλείας τὰ ὄντα κεκτημένος, ὁ μὴ θρασὺς, μηδὲ ἀλαζών· ὁ δὲ τοιοῦτος, καὶ τῶν πατρῴων ἐκστήσεται πολλάκις, καὶ αὐτῆς τῆς ψυχῆς. ἄλλως δὲ, καὶ ἐπειδὴ ἐν τῇ παλαιᾷ συνεχῶς ὁ προφήτης, οἱ γὰρ πρᾳεῖς κληρονομήσουσι τὴν γῆν, ἔλεγεν, ἀπὸ τῶν συνήθων αὐτοῖς ῥημάτων ἐνυφαίνει τὸν λόγον, ὥστε μὴ πανταχοῦ ξενοφωνεῖσθαι.

Ματθ. ς. λγ.
Ματθ. ιθ. κθ.
Μαρ. ι. κθ.

σθαι. Ταῦτα δὲ λέγει, οὐ μέχρι τῶν παρόντων ἱστὰς τὰς ἀμοιβάς, ἀλλὰ μετὰ τούτων κἀκεῖνα παρέχων. ἄν τε γὰρ πνευματικόν εἴπῃ τι, οὐκ ἀφαιρεῖται τὰ ἐν τῷ παρόντι βίῳ· ἄν τε τῶν ἐν τῷ βίῳ τι πάλιν ὑπόσχηται, οὐ μέχρι " τούτου τὴν ὑπόσχεσιν ἵστησι. Ζητεῖτε γάρ, φησι, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ πάλιν· Ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφούς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει.

6 Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην.

Ποίαν δικαιοσύνην; ἢ τὴν καθόλου φησὶν ἀρετήν, ἢ τὴν μερικὴν ταύτην τὴν ἀπεναντίας τῇ πλεονεξίᾳ κειμένην. ἐπειδὴ γὰρ μέλλει περὶ ἐλεημοσύνης ἐπιτάττειν, " δεικνὺς πῶς ἐλεεῖν χρὴ (οἷον, ὅτι οὐκ ἐξ ἁρπαγῆς, οὐδὲ ἐκ πλεονεξίας) μακαρίζει τοὺς δικαιοσύνης " ἀντιποιουμένους. καὶ ὅρα μεθ᾽ ὅσης αὐτὸ τίθησι τῆς ὑπερβολῆς. οὐ γὰρ εἶπε, μακάριοι οἱ δικαιοσύνης ἀντεχόμενοι, ἀλλὰ μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ἵνα μὴ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιθυμίας ἁπάσης αὐτὴν μετίωμεν. ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἴδιον τῆς πλεονεξίας ἐστί, καὶ οὐχ οὕτως ἐρῶμεν σιτίων καὶ ποτῶν, ὡς τοῦ πλείονα κτᾶσθαι καὶ περιβάλλεσθαι, τὴν ἐπιθυμίαν ταύτην περὶ τὸ μὴ πλεονεκτεῖν μεταθεῖναι ἐκέλευσεν. εἶτα πάλιν αἰσθητὸν τὸ ἔπαθλον ὁρίζει, λέγων·

Ὅτι αὐτοὶ χορτασθήσονται. Διὰ γὰρ τὸ νομίζεσθαι τὴν πλεονεξίαν εὐπόρους ποιεῖν τοὺς πολλούς, λέγει ὅτι τοὐναντίον μὲν οὖν ἐστιν. ἡ γὰρ δικαιοσύνη τοῦτο ἐργάζεται. μὴ τοίνυν δίκαια πράττων φοβοῦ πενίαν, μηδὲ τρέμε λιμόν. οἱ γὰρ ἁρπάζοντες, οὗτοι μάλιστά εἰσιν οἱ πάντων ἐκπίπτοντες· ὡς ὅ γε τῆς δικαιοσύνης ἐρῶν, τὰ " πάντα αὐτὸς ἔχει μετὰ ἀσφαλείας. εἰ δὲ οἱ τῶν ἀλλοτρίων μὴ ἐφιέμενοι, τοσαύτης ἀπολαύουσιν εὐπορίας, πολλῷ μᾶλλον οἱ τὰ αὐτῶν προϊέμενοι.

7 Μακάριοι οἱ ἐλεήμονες. Ἐνταῦθα οὐ τοὺς διὰ χρημάτων ἐλεοῦντας μόνον ἐμοὶ δοκεῖ λέγειν, ἀλλὰ καὶ τοὺς διὰ πραγμάτων. ποικίλος γὰρ ὁ τῆς ἐλεημοσύνης τρόπος, καὶ πλατεῖα αὕτη ἡ ἐντολή. τί οὖν αὐτῆς τὸ ἔπαθλον;

Ὅτι αὐτοὶ ἐλεηθήσονται. Καὶ δοκεῖ μὲν ἀντίδοσις εἶναί τις ἴση· ἔστι δὲ πολὺ μεῖζον τοῦ κατορθώματος. αὐτοὶ μὲν γὰρ ἐλεοῦσιν ὡς ἄνθρωποι· ἐλεοῦνται δὲ παρὰ τοῦ τῶν ὅλων Θεοῦ. οὐκ ἔστι δὲ ἴσον ἀνθρώπινος ἔλεος καὶ θεῖος, ἀλλ᾽ ὅσον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον τοῦτο ἐκείνου διέστηκε.

Εβ. ιϛ. ιδ.

8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Ἰδοὺ πάλιν πνευματικὸν τὸ ἔπαθλον. καθαροὺς δὲ ἐνταῦθά φησιν, ἤτοι τοὺς καθολικὴν ἀρετὴν κεκτημένους, καὶ μηδὲν ἑαυτοῖς συνειδότας πονηρόν, ἢ τοὺς ἐν σωφροσύνῃ διάγοντας. οὐδενὸς γὰρ ἡμῖν οὕτω δεῖ πρὸς τὸ τὸν Θεὸν ἰδεῖν, ὡς τῆς ἀρετῆς ταύτης. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ὄψιν δὲ ἐνταῦθά φησιν, ἣν ἀνθρώπῳ δυνατὸν ἰδεῖν. ἐπειδὴ γὰρ πολλοὶ ἐλεοῦσι μέν, καὶ οὐχ ἁρπάζουσιν, οὐδὲ πλεονεκτοῦσι, πορνεύουσι δὲ καὶ ἀσελγαίνουσι, δεικνὺς ὅτι οὐκ ἀρκεῖ τὸ πρότερον, καὶ τοῦτο προσέθηκεν· " ὅπερ δὴ καὶ ὁ Παῦλος Μακεδόσιν ἐμαρτύρησε, Κορινθίοις ἐπιστέλλων, ὅτι οὐ μόνον ἐλεημοσύνῃ ἐπλούτουν, ἀλλὰ καὶ ἐν τῇ ἄλλῃ ἀρετῇ. εἰπὼν γὰρ περὶ τῆς φιλοτιμίας αὐτῶν τῆς ἐν τοῖς χρήμασί, φησιν ὅτι καὶ ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ καὶ ἡμῖν.

9 Μακάριοι οἱ εἰρηνοποιοί. Ἐνταῦθα οὐ τὸ μὴ στασιάζειν " ἑαυτοῖς μόνον καὶ ἀπεχθάνεσθαι πρὸς ἀλλήλους ἀναιρεῖ, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ, ἵνα καὶ ἑτέρους στασιάζοντας συνάγωμεν. καὶ πάλιν πνευματικὸν ἐπάγει τὸ ἔπαθλον. ποῖον δὴ τοῦτο;

Ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Καὶ γὰρ τοῦ μονογενοῦς ἔργον ἐγένετο τοῦτο, συναγαγεῖν τὰ διεστῶτα, καὶ καταλλάξαι τὰ ἐκπεπολεμωμένα. Εἶτα, ἵνα μὴ νομίσῃς, ὅτι πανταχοῦ ἡ εἰρήνη καλὸν, ἐπήγαγε·

10 Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· Τουτέστι, τῆς ἀρετῆς ἕνεκεν, τῆς ὑπὲρ ἑτέρων προστασίας, τῆς εὐσεβείας. δικαιοσύνην γὰρ εἴωθεν ἀεὶ τὴν ἅπασαν λέγειν τῆς ψυχῆς φιλοσοφίαν.

11 Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. 12 Χαίρετε καὶ ἀγαλλιᾶσθε. Οἷον, κἂν γόητας, κἂν πλάνους, κἂν λυμεῶνας, κἂν ὁτιοῦν ἕτερον καλέσωσι, μακάριοί ἐστέ, φησι. Τί τούτων καινότερον γένοιτ' ἂν τῶν ἐπιταγμάτων, ὅταν τὰ τοῖς ἄλλοις φευκτὰ, ταῦτα ποθεινὰ εἶναι λέγῃ; τὸ πτωχεύειν λέγω καὶ πενθεῖν καὶ διώκεσθαι καὶ κακῶς ἀκούειν. Ἀλλ' ὅμως καὶ εἶπε, καὶ ἔπεισεν, οὐχὶ δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν καὶ χιλίους ἀνθρώπους, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν. καὶ ἀκούοντες τὰ φορτικὰ καὶ ἐπαχθῆ καὶ ἀπεναντίας τῇ τῶν πολλῶν συνηθείᾳ, ἐξεπλήττοντο οἱ ὄχλοι· τοσαύτη ἡ τοῦ λέγοντος δύναμις ἦν. πλὴν ἀλλ' ἵνα μὴ νομίσῃς, ὅτι τὸ κακῶς ἀκούειν ἁπλῶς μακαρίους ποιεῖ, δύο τέθεικε διορισμούς· ὅταν καὶ δι' αὐτὸν, καὶ ψευδῆ ᾖ τὰ λεγόμενα. ἐπεὶ ἐὰν μὴ ταῦτα προσῇ, οὐ μόνον οὐ μακάριος, ἀλλὰ καὶ ἄθλιος ὁ κακῶς ἀκούων. Εἶτα ὅρα τὸ ἔπαθλον πάλιν· Ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Σὺ δὲ εἰ καὶ μὴ καθ' ἕκαστον τῶν μακαρισμῶν βασιλείαν ἀκούεις δωρουμένην, μὴ ἀθύμει. εἰ γὰρ καὶ διαφόρως ὀνομάζει τὰς ἀμοιβὰς, ἀλλὰ πάντας εἰς τὴν βασιλείαν εἰσάγει. καὶ γὰρ ὅταν εἴπῃ, παρακληθήσονται οἱ πενθοῦντες, καὶ ἐλεηθήσονται οἱ ἐλεοῦντες, καὶ τὸν Θεὸν ὄψονται οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ υἱοὶ Θεοῦ κληθήσονται οἱ εἰρηνοποιοὶ, οὐδὲν ἄλλο, ἢ τὴν βασιλείαν διὰ τούτων ἁπάντων αἰνίττεται. οἱ γὰρ τούτων ἀπολαύοντες, ἐκείνης ἐπιτεύξονται πάντως. μὴ τοίνυν τῶν τῷ πνεύματι πτωχῶν μόνων νόμιζε εἶναι τὸ ἔπαθλον, ἀλλὰ καὶ τῶν πεινώντων τὴν δικαιοσύνην, καὶ τῶν πρᾳέων καὶ τῶν ἄλλων ἁπάντων ἁπαξαπλῶς. διὰ γὰρ τοῦτο ἐπὶ πάντων τὸν μακαρισμὸν ἔθηκεν, ἵνα μηδὲν αἰσθητὸν ἀναμένῃς. οὐδὲ γὰρ ἂν εἴη μακάριος ὁ ἐν τούτοις στεφανούμενος, ἃ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ σκιᾶς ταχύτερον παρατρέχει. εἰπὼν δὲ, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς, ἐπήγαγε καὶ ἑτέραν παράκλησιν, λέγων· Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. Ἐπειδὴ γὰρ ἐκεῖνο ἔμελλε, τὸ τῆς βασιλείας, καὶ ἐν ἐλπίσιν ἦν, ἐντεῦθεν αὐτοῖς παρέχεται τὴν παραμυθίαν, ἀπὸ τῆς κοινωνίας τῶν πρὸ αὐτῶν πεπονθότων κακῶς. μὴ γὰρ νομίσητέ, φησιν, ὅτι ἐναντία τινὰ λέγοντες καὶ νομοθετοῦντες ταῦτα πάσχετε· ἢ ὅτι πονηρῶν δογμάτων ὄντες διδάσκαλοι, μέλλετε ἐλαύνεσθαι παρ' αὐτῶν. οὐ γὰρ τῆς πονηρίας τῶν λεγομένων, ἀλλὰ τῆς κακίας τῶν ἀκουόντων αἱ ἐπιβουλαὶ καὶ οἱ κίνδυνοι· ὅθεν οὐδὲ ὑμᾶς τοὺς κακῶς πάσχοντας διαβάλλουσιν, ἀλλὰ τοὺς κακῶς ποιοῦντας ἐκείνους. καὶ μαρτυρεῖ τούτοις ἅπας ὁ ἔμπροσθεν χρόνος. οὐδὲ γὰρ τοῖς προφήταις παρανομίαν καὶ ἀντίθεον φρόνημα ἐγκαλοῦντες, τοὺς μὲν ἐλίθαζον, τοὺς δὲ ἤλαυνον, τοὺς δὲ μυρίοις ἑτέροις περιέβαλλον κακοῖς. μὴ δὴ οὖν τοῦτο θορυβείτω ὑμᾶς. ἀπὸ γὰρ τῆς αὐτῆς γνώμης καὶ τὰ νῦν ἅπαντα πράττουσιν. εἶδες πῶς τὰ φρονήματα αὐτῶν ἀνέστησεν, ἐγγὺς τῶν περὶ Μωϋσέα καὶ Ἠλίαν στήσας αὐτούς; οὕτω καὶ ὁ Παῦλος Θεσσαλονικεῦσι γράφων, φησίν· Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. καὶ γὰρ καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων. ὃ δὴ καὶ ἐνταῦθα κατεσκεύασεν ὁ Χριστός. καὶ ἐπὶ μὲν τῶν ἄλλων μακαρισμῶν ἔλεγε, μακάριοι οἱ πτωχοὶ καὶ οἱ ἐλεήμονες· ἐνταῦθα δὲ οὐκ ἀδιορίστως αὐτὸ τέθεικεν, ἀλλὰ πρὸς αὐτοὺς τρέπει τὸν λόγον, λέγων· μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆ-

Εβ. ια.

α. Θεσ. β. ιδ.

μα καθ' ὑμῶν, δεικνὺς ὅτι αὐτῶν τοῦτο μάλιστα ἐξαίρετόν ἐστι, καὶ ὑπὲρ τοὺς ἄλλους ἅπαντας, τῶν διδασκάλων ἴδιον τοῦτο. ὁμοῦ δὲ καὶ τὸ αὐτοῦ ἀξίωμα ἐνταῦθα αἰνίττεται, καὶ τὴν πρὸς τὸν γεγεννηκότα ὁμοτιμίαν. ὥσπερ γὰρ ἐκεῖνοι διὰ τὸν πατέρα, φησὶν, οὕτω καὶ ὑμεῖς δι' ἐμὲ ταῦτα πείσεσθε. ὅταν δὲ εἴπῃ, τοὺς προφήτας τοὺς πρὸ ὑμῶν, δείκνυσι καὶ αὐτοὺς προφήτας ἤδη γεγενημένους. εἶτα, δηλῶν ὅτι τοῦτο μάλιστα αὐτοὺς ὠφελεῖ καὶ ποιεῖ λαμπροὺς, οὐκ εἶπεν, ὅτι κακῶς μὲν ἐροῦσι καὶ διώξουσιν, ἐγὼ δὲ κωλύσω τοῦτο. οὐ γὰρ ἐν τῷ μὴ ἀκούειν κακῶς, ἀλλ' ἐν τῷ κακῶς ἀκούοντας φέρειν γενναίως, καὶ διὰ τῶν ἔργων αὐτοὺς ἐλέγχειν, τὴν ἀσφάλειαν αὐτοῖς βούλεται εἶναι. πολλῷ γὰρ τοῦτο ἐκείνου μεῖζον· ὥσπερ τοῦ μὴ πλήττεσθαι, τὸ τὸν πληττόμενον μηδὲν πάσχειν δεινὸν πολλῷ μεῖζόν ἐστιν. ἐνταῦθα μὲν οὖν φησιν, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· ὁ δὲ Λουκᾶς καὶ ἐπιτεταμένως καὶ μετὰ πλείονος αὐτὸν "παραμυθίας τοῦτο εἰρηκέναι φησίν. οὐ γὰρ δὴ μόνον τοὺς κακῶς διὰ τὸν Θεὸν ἀκούοντας "μακαρίζει, ἀλλὰ καὶ τοὺς παρὰ πάντων καλῶς ἀκούοντας "ταλανίζει. οὐαὶ γὰρ ὑμῖν, φησιν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. καίτοι καὶ τοὺς ἀποστόλους καλῶς ἔλεγον· ἀλλ' οὐ πάντες. διὰ τοῦτο οὐκ εἶπεν, ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι, ἀλλ' ὅταν πάντες. οὐδὲ γὰρ δυνατὸν τοὺς ἐν ἀρετῇ ζῶντας παρὰ πάντων ἀκούειν καλῶς. καὶ πάλιν φησίν· ὅταν ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, χαίρετε καὶ σκιρτήσατε. οὐδὲ γὰρ τῶν κινδύνων μόνον ὧν ὑπέμενον, ἀλλὰ καὶ τῆς κακηγορίας πολλὴν ὁρίζει τὴν ἀντίδοσιν. διὰ τοῦτο οὐκ εἶπεν, ὅταν ἐλάσωσιν ὑμᾶς καὶ ἀποκτείνωσιν· ἀλλ' ὅταν ὀνειδίσωσι καὶ εἴπωσι πᾶν πονηρόν. μάλιστα γὰρ τῶν πραγμάτων αὐτῶν χαλεπώτερον δάκνουσιν αἱ κακηγορίαι. ἐν μὲν γὰρ τοῖς κινδύνοις πολλὰ τὰ κουφίζοντα τὸν πόνον ἐστίν· οἷον, τὸ παρὰ πάντων ἀλείφεσθαι, τὸ πολλοὺς ἔχειν τοὺς κροτοῦντας καὶ στεφανοῦντας καὶ ἀνακηρύττοντας· ἐνταῦθα δὲ ἐν τῇ κακηγορίᾳ, καὶ αὐτὴ ἀνῄρηται ἡ παραμυθία. οὐ γὰρ δοκεῖ τι μέγα εἶναι τὸ κατόρθωμα, καὶ μᾶλλον τῶν κινδύνων δάκνει τὸν ἀγωνιζόμενον. πολλοὶ γοῦν καὶ ἐπὶ βρόχον ἦλθον, πονηρὰν οὐ φέροντες δόξαν. καὶ τί θαυμάζεις "ἐπὶ τῶν ἄλλων; τὸν γὰρ προδότην ἐκεῖνον, τὸν ἀναίσχυντον καὶ μιαρὸν, καὶ πρὸς πάντα ἀπερυθριάσαντα ἁπλῶς, τοῦτο μάλιστα ἐπὶ βρόχον ὁρμῆσαι παρεσκεύασε. καὶ ὁ Ἰὼβ δὲ, ὁ ἀδάμας, καὶ πέτρας στερρότερος, ἡνίκα μὲν τὰ χρήματα ἀφῄρητο, καὶ τὰ ἀνήκεστα ἔπασχε δεινὰ, καὶ ἄπαις ἐξαίφνης ἐγένετο, καὶ πηγὴν σκωλήκων τὸ σῶμα ἀναβλύζον ἑώρα, καὶ τὴν γυναῖκα* ἐπικειμένην, διεκρούσατο μετ' εὐκολίας ἅπαντα· ἐπειδὴ δὲ εἶδε τοὺς φίλους ὀνειδίζοντας καὶ ἐπεμβαίνοντας, καὶ πονηρὰν δόξαν περὶ αὐτοῦ ἔχοντας, καὶ λέγοντας ὑπὲρ ἁμαρτημάτων ταῦτα πάσχειν, καὶ κακίας διδόναι δίκην, τότε ἐθορυβήθη, τότε ἐταράχθη ὁ γενναῖος καὶ μέγας "ἀνήρ. καὶ ὁ Δαβὶδ δὲ πάντα ἀφεὶς ἅπερ ἔπαθεν, ἀντὶ τῆς κακηγορίας "μόνης ἀμοιβὴν ἐζήτει παρὰ τοῦ Θεοῦ. β. Βασ. ις. ια. Ἄφες γὰρ αὐτὸν καταρᾶσθαι, φησιν, ὅτι Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ ὁ Παῦλος δὲ οὐχὶ τοὺς κινδυνεύοντας μόνον, οὐδὲ τοὺς ἀφαιρουμένους τὰ ὄντα, ἀλλὰ καὶ τούτους ἀνακηρύττει οὕτω λέγων· Ἑβ. ι. λβ. Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. διὰ δὴ τοῦτο καὶ τὸν μισθὸν πολὺν τέθεικεν ὁ Χριστός. εἶτα ἵνα μή τις λέγῃ, ἐνταῦθα οὐκ ἀμύνεις οὐδὲ ἀποῤῥάπτεις αὐτῶν τὰ στόματα, κἀκεῖ μισθὸν δίδως; τέθεικε τοὺς προφήτας, δεικνὺς, ὅτι οὐδὲ ἐκεῖ ἤμυνεν ὁ Θεός. εἰ δὲ ὅπου παρὰ πόδας ἦσαν αἱ ἀντιδόσεις, ἀπὸ τῶν μελλόντων αὐτοὺς ἤλειφε· πολλῷ μᾶλλον νῦν, ὅτε τρανωτέρα αὕτη γέγονεν ἡ ἐλπὶς, καὶ μείζων ἡ φιλοσοφία. θέα δὲ καὶ μετὰ πόσας ἐντολὰς αὐτὸ τέθεικεν. οὐδὲ γὰρ ἁπλῶς αὐτὸ πεποίηκεν, ἀλλὰ δηλῶν ὅτι οὐκ ἔνι τὸν μὴ πᾶσιν ἐκείνοις κατεσκευασμένον καὶ συγκεκροτημένον πρὸς τούτους ἐκδῦναι τοὺς ἀγῶνας. διά τοι τοῦτο ἀπὸ τῆς προτέ-

ρας

γρ. παῤῥη

γρ. -ρίζει αὐτὸν, φησιν, ἀλλὰ

γρ. -ρίζειν.

γρ. περὶ τ.

* ἔγχ.

γρ. ἀθλητ

γρ. ἐκείνης

ερας ἀεὶ τῇ ἐπιούσῃ προοδοποιῶν ἐντολῇ, σειρὰν ἡμῖν" ἐκ χρυσοῦ ὕφηνεν. ὅ τε γὰρ ταπεινὸς, καὶ τὰ οἰκεῖα πάντως πενθήσει ἁμαρτήματα· ὁ πενθῶν, καὶ πρᾶος ἔσται καὶ " ἐπιεικὴς καὶ ἐλεήμων· ὁ ἐλεήμων, καὶ δίκαιος καὶ κατανενυγμένος πάντως καὶ καθαρὸς" τὴν καρδίαν· ὁ δὲ τοιοῦτος, καὶ εἰρηνοποιός· ὁ δὲ πάντα ταῦτα κατωρθωκὼς, καὶ πρὸς κινδύνους ἔσται παρατεταγμένος, καὶ οὐ ταραχθήσεται ἀκούων κακῶς " καὶ τὰ μυρία πάσχων δεινά. παραινέσας τοίνυν ἃ προσῆκε, πάλιν ἀναπαύει τοῖς ἐγκωμίοις αὐτούς. ἐπειδὴ γὰρ ὑψηλὰ τὰ ἐπιτάγματα ἦν, καὶ πολλῷ μείζονα τῶν ἐν τῇ παλαιᾷ, ἵνα μὴ θορυβῶνται καὶ ταράττωνται καὶ λέγωσι· πῶς δυνησόμεθα ταῦτα κατορθοῦν; ἄκουσον τί φησιν·

13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, Δεικνὺς ὅτι ἀναγκαίως ταῦτα ἐπιτάττει. οὐ γὰρ ὑπὲρ τῆς καθ' ἑαυτοὺς ζωῆς, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης, φησὶν, ἁπάσης ὁ λόγος ἔσται ὑμῖν. οὐδὲ γὰρ εἰς δύο πόλεις, οὐδὲ δέκα καὶ εἴκοσιν, οὐδὲ εἰς ἓν ἔθνος ὑμᾶς ἀποστέλλω, καθάπερ τοὺς προφήτας, ἀλλ' εἰς γῆν καὶ θάλατταν καὶ τὴν οἰκουμένην ἅπασαν, καὶ ταύτην κακῶς διακειμένην. "τὸ γὰρ εἰπεῖν, ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ἔδειξε μωρανθεῖσαν ἅπασαν τὴν ἀνθρωπίνην φύσιν καὶ κατασαπεῖσαν ὑπὸ τῶν ἁμαρτημάτων. διά τοι τοῦτο ταύτας παρ' αὐτῶν " ἐπιζητεῖ τὰς ἀρετὰς, αἳ μάλιστα πρὸς τὴν τῶν πολλῶν ἐπιμέλειάν εἰσιν ἀναγκαῖαι καὶ χρήσιμοι. ὅ τε γὰρ πρᾶος καὶ ἐπιεικὴς καὶ ἐλεήμων καὶ δίκαιος οὐκ εἰς αὐτὸν συγκλείει τὰ κατορθώματα μόνον, ἀλλὰ καὶ εἰς τὴν [τῶν] ἑτέρων ὠφέλειαν τὰς καλὰς ταύτας ὑπερχεῖσθαι πηγὰς παρασκευάζει· "ὁ δ' αὖ καθαρὸς τὴν καρδίαν καὶ εἰρηνοποιὸς, καὶ ἐλαυνόμενος ὑπὲρ τῆς ἀληθείας, πάλιν πρὸς τὸ κοινῇ συμφέρον τὸν βίον καθίσταται. μὴ τοίνυν νομίσητε, φησὶν, ἐπὶ τοὺς τυχόντας ἀγῶνας ἕλκεσθαι, μηδὲ ὑπὲρ μικρῶν τινων εἶναι τὸν λόγον ὑμῖν· ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. τί οὖν; τὰ σεσηπότα αὐτοὶ διώρθωσαν; οὐδαμῶς. οὔτε γὰρ δυνατὸν τὰ διεφθορότα ἤδη ἐπιπάσσοντας ἅλας ὠφελεῖν. οὐ δὴ τοῦτο ἐποίουν· ἀλλὰ ἀνανεωθέντα πρότερον καὶ παραδοθέντα αὐτοῖς, καὶ τῆς δυσωδίας ἀπαλλαγέντα ἐκείνης, τότε ἥλιζον, κατέχοντες καὶ διατηροῦντες ἐν τῇ νεαρότητι ταύτῃ, ἣν παρὰ τοῦ δεσπότου παρέλαβον. τὸ μὲν γὰρ ἀπαλλαγῆναι τῆς σηπεδόνος τῶν ἁμαρτημάτων, τοῦ Χριστοῦ κατόρθωμα γέγονε· τὸ δ' αὖ πάλιν μηκέτι ἐπ' ἐκείνην ἐπανελθεῖν, τῆς τούτων σπουδῆς καὶ ταλαιπωρίας ἔργον ἦν. ὁρᾷς πῶς κατὰ μικρὸν δείκνυσι καὶ τῶν προφητῶν ὄντας βελτίους; οὐ γὰρ τῆς Παλαιστίνης διδασκάλους εἶναί φησιν, ἀλλὰ τῆς γῆς ἁπάσης· καὶ οὐχ ἁπλῶς διδασκάλους, ἀλλὰ καὶ φοβερούς. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ κολακεύοντες, οὐδὲ θεραπεύοντες, ἀλλ' ἐπιστύφοντες, ὥσπερ τὸ ἅλας, οὕτω ποθεινοὶ πᾶσι γεγόνασι. μὴ τοίνυν θαυμάσητε, φησιν, εἰ τοὺς ἄλλους ἀφεὶς, ὑμῖν διαλέγομαι, καὶ πρὸς τοσούτους ἕλκω κινδύνους. ἐννοήσατε γὰρ ὅσαις πόλεσι καὶ δήμοις καὶ ἔθνεσι μέλλω πέμπειν ὑμᾶς ἐπιστάτας. διὰ τοῦτο οὐχ ὑμᾶς εἶναι βούλομαι φρονίμους μόνον, ἀλλὰ καὶ ἑτέρους τοιούτους ποιεῖν. τοὺς δὲ τοιούτους πολὺ δεῖ συνετοὺς εἶναι, ἐν οἷς ἡ τῶν ἄλλων" κινδυνεύεται σωτηρία, καὶ τοσαύτην αὐτοῖς τὴν περιουσίαν εἶναι τῆς ἀρετῆς, ὡς καὶ ἄλλοις μεταδιδόναι τῆς ὠφελείας. εἰ γὰρ τοιοῦτοι μὴ γένησθε, οὐδὲ ὑμῖν αὐτοῖς ἀρκέσετε. μὴ τοίνυν δυσχεράνητε, ὡς ἐπαχθῶν ὄντων τῶν λεγομένων. τοῖς μὲν γὰρ ἄλλοις μωρανθεῖσι δυνατὸν ἐπανελθεῖν δι' ὑμῶν· ὑμεῖς δὲ, εἰ τοῦτο πάθοιτε, μεθ' ἑαυτῶν καὶ ἑτέρους προσαπολεῖτε. ὥστε ὅσῳ μεγάλα ἐγχειρίζεσθε" πράγματα, τοσούτῳ καὶ μείζονος δεῖσθε σπουδῆς. διό φησιν·

Ἂν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

Οἱ μὲν γὰρ ἄλλοι μυριάκις πίπτοντες, δύνανται τυχεῖν συγγνώμης· ὁ δὲ διδάσκαλος, ἐὰν τοῦτο πάθῃ, πάσης ἀπεστέρηται ἀπολογίας, καὶ τὴν ἐσχάτην δώσει τιμωρίαν. ἵνα γὰρ μὴ ἀκούσαντες, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμὴ, δειλιάσωσιν εἰς μέσον παρελθεῖν, λέγει ὅτι, ἂν μὴ πρὸς ταῦτα ἦτε παρατεταγμένοι, εἰκῇ ἐξελέγητε. οὐ γὰρ τὸ κακῶς ἀκούειν χρὴ δεδοικέναι, ἀλλὰ τὸ συνυποκρινομένους φαίνεσθαι. τότε γὰρ μωρανθήσεσθε καὶ καταπατηθήσεσθε. ἐὰν δὲ μένητε αὐτοῦ ἐπιστύφοντες, εἶτα κακῶς ἀκούητε, χαίρετε. τοῦτο γὰρ ἁλὸς ἔργον ἐστὶ, τὸ δάκνειν καὶ λυπεῖν τοὺς χαύνους. ὥστε ἀναγκαίως ἡ κακηγορία ἕπεται οὐδὲν ὑμᾶς βλάπτουσα, ἀλλὰ καὶ μαρτυροῦσα ὑμῶν τῇ στερρότητι. ἂν δὲ φοβηθέντες αὐτὴν, προδῶτε τὴν προσήκουσαν ὑμῶν σφοδρότητα, πολλῷ χαλεπώτερα πείσεσθε, καὶ κακῶς ἀκούοντες καὶ καταφρονούμενοι παρὰ πάντων. τοῦτο γάρ ἐστι καταπατηθήσεσθε. εἶτα ἐφ᾽ ἕτερον ὑψηλότερον ἄγει παράδειγμα· 14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Πάλιν τοῦ κόσμου, οὐκ ἔθνους ἑνὸς, οὐδὲ εἴκοσι πόλεων, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης· καὶ φῶς νοητὸν, καὶ τῆς ἀκτῖνος ταύτης πολὺ βέλτιον, ὥσπερ οὖν καὶ ἅλας πνευματικόν. καὶ πρότερον ἅλας, καὶ τότε φῶς· ἵνα μάθῃς ἡλίκον τῶν κατεστυμμένων ῥημάτων τὸ κέρδος, καὶ τῆς σεμνῆς διδασκαλίας τὸ ὄφελος. καὶ γὰρ σφίγγει, καὶ οὐκ ἀφίησι διαρρεῦσαι, καὶ διαβλέψαι ποιεῖ πρὸς ἀρετὴν χειραγωγοῦσα.

γ. ἑαυτοῦ

γ. καταπατεῖσθαι.

Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· 15 Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον. Πάλιν αὐτοὺς διὰ τούτων εἰς ἀκρίβειαν ἄγει βίου, παιδεύων ἐναγωνίους εἶναι, ὡς ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς κειμένους, καὶ ἐν μέσῳ τῷ τῆς οἰκουμένης ἀγωνιζομένους θεάτρῳ. μὴ γὰρ δὴ τοῦτο εἴδητε, φησιν, ὅτι ἐνταῦθα καθήμεθα νῦν, καὶ ἐν μικρῷ γωνίας ἐσμὲν μέρει· οὕτω γὰρ κατάδηλοι ἔσεσθε πᾶσιν, ὡσανεὶ πόλις ὑπὲρ κορυφῆς ὄρους κειμένη, ὡσανεὶ λύχνος ἐν οἰκίᾳ ὑπὲρ τῆς λυχνίας φαίνων. ποῦ νῦν εἰσιν οἱ τῇ δυνάμει τοῦ Χριστοῦ διαπιστοῦντες; ἀκουέτωσαν ταῦτα, καὶ τῆς προφητείας τὴν δύναμιν ἐκπλαγέντες, προσκυνείτωσαν αὐτοῦ τὴν ἰσχύν. ἐννόησον γὰρ ἡλίκα ὑπέσχετο τοῖς οὐδὲ ἐν τῇ χώρᾳ γνωρίμοις οὖσι τῇ αὐτῶν· ὅτι γῆ καὶ θάλαττα αὐτοὺς εἴσεται, καὶ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἥξουσι τῇ φήμῃ· μᾶλλον δὲ οὐδὲ τῇ φήμῃ, ἀλλὰ καὶ τῇ τῆς εὐεργεσίας ἐνεργείᾳ. οὐδὲ γὰρ ἡ φήμη φέρουσα πανταχοῦ δήλους αὐτοὺς ἐποίησεν, ἀλλὰ καὶ αὐτὴ ἡ διὰ τῶν ἔργων ἐπίδειξις. καθάπερ γὰρ ὑπόπτεροι γενόμενοι, τῆς ἀκτῖνος σφοδρότερον τὴν γῆν ἐπέδραμον ἅπασαν, σπείροντες τῆς εὐσεβείας τὸ φῶς. ἐνταῦθα δέ μοι αὐτοὺς καὶ πρὸς παρρησίαν ἀλείφειν δοκεῖ. τὸ μὲν γὰρ εἰπεῖν, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, τὴν αὐτοῦ δύναμίν ἐστιν ἐμφαίνοντος. ὥσπερ γὰρ ἐκείνην κρυβῆναι ἀμήχανον, οὕτω τὸ κήρυγμα ἀδύνατον σιγηθῆναι καὶ λαθεῖν. ἐπειδὴ γὰρ εἶπε διωγμοὺς καὶ κακηγορίας καὶ ἐπιβουλὰς καὶ πολέμους, ἵνα μὴ νομίσωσιν ὅτι ταῦτα αὐτοὺς ἐπιστομίσαι δυνήσεται, θαρρύνων αὐτοὺς, φησιν, ὅτι οὐ μόνον οὐ λήσεται, ἀλλὰ καὶ καταλάμψει τὴν οἰκουμένην ἅπασαν· καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο ἔσονται λαμπροὶ καὶ ἐπίσημοι. τούτῳ μὲν οὖν τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται, τῷ δὲ ἑξῆς τὴν παρρησίαν ἀπαιτεῖ τὴν παρ᾽ αὐτῶν, οὕτω λέγων· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον,

γ. ἴδητε.

Ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· 16 Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἐγὼ μὲν γὰρ ἧψα τὸ φῶς, φησί· τὸ δὲ μεῖναι καιόμενον, τῆς ὑμετέρας γινέσθω σπουδῆς· οὐ δι᾽ ὑμᾶς αὐτοὺς μόνον, ἀλλὰ καὶ διὰ τοὺς μέλλοντας τῆς αὐγῆς ἀπολαύειν ταύτης, καὶ πρὸς τὴν ἀλήθειαν χειραγωγεῖσθαι. οὐ γὰρ δὴ δυνήσονται αἱ κακηγορίαι συσκιάσαι ὑμῶν τὴν λαμπηδόνα, ἐὰν ὑμεῖς ἦτε μετ᾽ ἀκριβείας βιοῦντες, καὶ οὕτως, ὡς μέλλοντες ἅπασαν ἐπιστρέφειν τὴν οἰκουμένην. ἄξιον τοίνυν τῆς χάριτος ἐπιδείξασθε βίον, ἵν᾽, ὥσπερ ἐκείνη πανταχοῦ κηρύττεται, οὕτω καὶ αὕτη ἐκείνῃ συντρέχῃ. Εἶτα καὶ ἕτερον κέρδος τίθησι μετὰ τῆς

γρ. τῆς αὐ
ἀπ. λαμ
πτος, καὶ

τῶν ἀνθρώπων σωτηρίας, ἱκανὸν αὐτοὺς ἐναγωνίους ποιῆσαι καὶ εἰς πᾶσαν ἀγαγεῖν σπουδήν. οὐ γὰρ δὴ τὴν οἰκουμένην διορθώσετε, φησί, μόνον ὀρθῶς βιοῦντες, ἀλλὰ καὶ τὸν Θεὸν δοξάζεσθαι παρασκευάσετε· ὥσπερ οὖν τὰ ἐναντία ποιοῦντες, καὶ τοὺς ἀνθρώπους ἀπολεῖτε, καὶ τοῦ Θεοῦ τὸ ὄνομα βλασφημεῖσθαι ποιήσετε. καὶ πῶς, φησίν, ὁ Θεὸς δοξασθήσεται δι' ἡμῶν, εἴγε μέλλοιεν ἡμᾶς οἱ ἄνθρωποι κακηγορεῖν; ἀλλ' οὐ πάντες, κἀκεῖνοι δὲ αὐτοὶ ἀπὸ βασκανίας· καὶ οἱ ἐν βασκανίᾳ τοῦτο ποιοῦντες, κατὰ τὸ συνειδὸς ὑμᾶς θαυμάσονται καὶ ἀποδέξονται)· ὥσπερ οὖν οἱ φανερῶς κολακεύοντες τοὺς ἐν πονηρίᾳ ζῶντας, κατὰ νοῦν διαβάλλουσι. τί οὖν κελεύεις; πρὸς ἐπίδειξιν ἡμᾶς ζῆν καὶ πρὸς φιλοτιμίαν; ἄπαγε, οὐ τοῦτο φημί· οὐδὲ γὰρ εἶπον, σπουδάζετε ὑμεῖς εἰς μέσον φέρειν τὰ κατορθώματα ὑμῶν, οὐδὲ εἶπον, δείξατε αὐτά, ἀλλὰ λαμψάτω τὸ φῶς ὑμῶν, τουτέστι, πολλὴ ἔστω ἡ ἀρετή, δαψιλὲς ἔστω τὸ πῦρ, καὶ τὸ φῶς ἄφατον. ὅταν γὰρ τοσαύτη ᾖ ἡ ἀρετή, ἀδύνατον αὐτὴν λαθεῖν, κἂν μυριάκις ὁ μετιὼν αὐτὴν συσκιάσῃ. ἄληπτον τοίνυν ἑαυτοῖς παράσχεσθε βίον, καὶ μηδεμίαν ἐχέτωσαν ἀληθῆ κατηγορίας ἀφορμήν· καί, κἂν μυρίοι οἱ κατηγοροῦντες ὦσιν, οὐδεὶς ὑμῖν ἐπισκιάσαι δυνήσεται. καὶ καλῶς εἶπε, τὸ φῶς. οὐδὲν γὰρ οὕτως ἐπίσημον ἄνθρωπον ποιεῖ, κἂν μυριάκις λανθάνειν βούληται, ὡς ἀρετῆς ἐπίδειξις. ὥσπερ γὰρ αὐτὴν τὴν ἀκτῖνα περιβεβλημένος, οὕτως αὐτῆς φαιδρότερος λάμπει, οὐκ εἰς γῆν τὰς μαρμαρυγὰς ἀφιείς, ἀλλὰ καὶ αὐτὸν ὑπερβαίνων τὸν οὐρανόν. ἐντεῦθεν καὶ παραμυθεῖται αὐτοὺς μειζόνως. εἰ γὰρ ἀλγεῖτε, φησί, βλασφημούμενοι, ἀλλ' ἕξετε πολλοὺς τοὺς καὶ δι' ὑμᾶς θαυμάζοντας τὸν Θεόν. ἑκατέρωθεν δὲ ὁ μισθὸς ὑμῖν συλλέγεται, καὶ δοξαζομένου τοῦ Θεοῦ δι' ὑμᾶς, καὶ βλασφημουμένων ὑμῶν διὰ τὸν Θεόν. ἵνα γὰρ μὴ ἐπιτηδεύωμεν κακῶς ἀκούειν, μαθόντες ὅτι μισθὸν ἔχει τὸ πρᾶγμα, οὔτε ἐκεῖνο ἁπλῶς τέθεικεν, ἀλλὰ μετὰ δύο διορισμῶν· οἷς, ὅταν ψευδῆ λέγηται, καὶ ὅταν διὰ τὸν Θεόν· καὶ δείκνυσιν, ὅτι οὐκ ἐκεῖνο μόνον, ἀλλὰ καὶ τὸ καλῶς ἀκούειν πολὺ φέρει τὸ κέρδος, τῆς δόξης εἰς τὸν Θεὸν διαβαινούσης· καὶ χρηστὰς αὐτοῖς ὑποτείνει τὰς ἐλπίδας. οὐ γὰρ τοσοῦτον, φησίν, ἰσχύει ἡ κακηγορία τῶν πονηρῶν, ὡς καὶ τοῖς ἄλλοις ἐπισκοτεῖν εἰς τὸ ἰδεῖν ὑμῶν τὸ φῶς. ὅταν μὲν γὰρ μωρανθῆτε, τότε ὑμᾶς καταπατήσουσι μόνον, οὐχ ὅταν τὰ ὀρθὰ πράττοντες διαβάλλησθε. τότε γὰρ καὶ πολλοὶ ἔσονται οἱ θαυμάζοντες, οὐχ ὑμᾶς μόνον, ἀλλὰ δι' ὑμᾶς καὶ τὸν πατέρα τὸν ὑμέτερον. καὶ οὐκ εἶπε, τὸν Θεόν, ἀλλὰ τὸν πατέρα, τῆς μελλούσης δίδοσθαι αὐτοῖς εὐγενείας ἤδη προκαταβάλλων τὰ σπέρματα. εἶτα, δεικνὺς τὸ ὁμότιμον, ἀνωτέρω μὲν ἔλεγε, μὴ λυπεῖσθε ὅταν κακῶς ἀκούητε (ἀρκεῖ γὰρ ὑμῖν τὸ δι' ἐμὲ ταῦτα ἀκούειν) ἐνταῦθα δὲ τὸν πατέρα τίθησι, πανταχοῦ τὸ ἴσον δηλῶν.

ΗΘΙΚΟΝ

Εἰδότες τοίνυν τὸ ἀπὸ τῆς σπουδῆς ταύτης κέρδος, καὶ τὸν τῆς ῥᾳθυμίας κίνδυνον (τῆς γὰρ ἡμετέρας ἀπωλείας πολλῷ χεῖρον τὸ τὸν δεσπότην τὸν ἡμέτερον βλασφημεῖσθαι δι' ἡμᾶς) ἀπρόσκοποι γινώμεθα καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, τὸν [τε] βίον ἡλίου λαμπρότερον παρεχόμενοι, κἂν τις βούληται κακηγορεῖν, μὴ τὸ κακῶς ἀκούειν ἀλγοῦντες, ἀλλὰ τὸ δικαίως ἀκούειν κακῶς. ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν, κἂν μηδεὶς ὁ κακηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλιώτεροι· ἂν δὲ τῆς ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγῃ κακῶς, τότε πάντων ἐσόμεθα ζηλωτότεροι, καὶ πάντας ἐπισπασόμεθα τοὺς σώζεσθαι προαιρουμένους. οὐδὲ γὰρ τῇ κακηγορίᾳ τῶν πονηρῶν, ἀλλὰ τῇ ἀρετῇ τοῦ βίου προσέξουσι. καὶ γὰρ σάλπιγγος ἁπάσης λαμπροτέρα ἡ διὰ τῶν ἔργων ἐπίδειξις, καὶ τοῦ φωτὸς αὐτοῦ* φανερώτερος βίος καθαρός, κἂν μυρίοι οἱ διαβάλλοντες ὦσιν. ἂν γὰρ τὰ προειρημένα ἅπαντα ἔχωμεν, καὶ πρᾶοι, καὶ ταπεινοὶ καὶ ἐλεήμονες ὦμεν, καὶ καθαροὶ καὶ εἰρηνοποιοί, καὶ κακῶς ἀκούοντες μὴ ἀντιϋβρίζωμεν, ἀλλὰ καὶ χαίρωμεν, τῶν σημείων οὐκ ἔλαττον ἐπισπασόμεθα τοὺς θεωροῦντας ἡμᾶς, καὶ ἡδέως ἅπαντες πρὸς ἡμᾶς ἥξουσι, κἂν θηρίον, κἂν δαίμων ᾖ τις, κἂν ὁτιοῦν. εἰ δὲ εἶέν τινες οἱ κακηγοροῦντες,

μηδὲν θορυβηθῇς ἐντεῦθεν, μηδ' ὅτι σε δημοσίᾳ ὑβρίζουσιν ἴδῃς, ἀλλ' ἐξέτασον αὐτῶν τὸ συνει-
Δαν. γ. δὸς, καὶ ὄψει κροτοῦντάς σε καὶ θαυμάζοντας, καὶ μυρίους ἀριθμοῦντας ἐπαίνους. ὅρα γοῦν πῶς ὁ
Ναβουχοδονόσορ ἐπαινεῖ τοὺς παῖδας τοὺς ἐν τῇ καμίνῳ, καίτοιγε ἐχθρὸς ὢν καὶ πολέμιος·
ἀλλ' ἐπειδὴ εἶδε γενναίως ἑστῶτας, ἀνακηρύττει καὶ στεφανοῖ· δι' ἕτερον μὲν οὐδὲν, ὅτι δὲ αὐτοῦ
παρήκουσε, καὶ τοῦ νόμου ἤκουσαν τοῦ Θεοῦ. ὁ γὰρ διάβολος ὅταν ἴδῃ ἑαυτὸν μηδὲν ἀνύον-
τα, ἀφίσταται λοιπὸν, δεδοικὼς μὴ πλειόνων ἡμῖν στεφάνων αἴτιος γένηται· ἐκείνου δὲ ἀπο-
στάντος, κἂν μιαρὸς ᾖ τις καὶ διεφθαρμένος, γνώσεται τὴν ἀρετὴν, τῆς ἀχλύος ἐκείνης ἀ-
ναιρεθείσης. ἂν δὲ καὶ ἄνθρωποι παραλογίσωνται, παρὰ τοῦ Θεοῦ ἕξεις τὸν ἔπαινον καὶ τὸ θαῦ-
μα μεῖζον. μὴ τοίνυν ἄλγει, μηδὲ καταπίπτε· ἐπεὶ καὶ οἱ ἀπόστολοι, τοῖς μὲν ὀσμὴ θανά-
β. Κορ. β. ιε. του ἦσαν, τοῖς δὲ ὀσμὴ ζωῆς. ἂν γὰρ σὺ μηδεμίαν παράσχῃς λαβὴν, πάντων ἀπήλλαξαι τῶν
ἐγκλημάτων, μᾶλλον δὲ καὶ μακαριώτερος γέγονας. λάμπε τοίνυν κατὰ τὸν βίον, καὶ τῶν κα-
κηγορούντων μηδένα ποιοῦ λόγον. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἀρετῆς ἐπιμελούμενον μὴ πολ-
λοὺς ἔχειν ἐχθρούς· ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν ἐνάρετον. διὰ γὰρ τῶν τοιούτων λαμπρό-
τερος ἔσται μειζόνως. ταῦτ' οὖν ἐννοοῦντες, ἓν μόνον σκοπῶμεν, μετ' ἀκριβείας τὸν ἑαυτῶν
οἰκονομεῖν βίον. οὕτω γὰρ πρὸς τὴν ἐκεῖ χειραγωγήσομεν ζωὴν τοὺς ἐν σκότῳ καθημέ-
νους. τοιαύτη γὰρ τοῦ φωτὸς τούτου ἡ δύναμις, ὡς μὴ ἐνταῦθα μόνον λάμπειν, ἀλλὰ καὶ
ἐκεῖ ἐφοδηγεῖν τοὺς ἑπομένους. ὅταν γὰρ ἴδωσι πάντων τῶν παρόντων καταφρονοῦντας, καὶ
πρὸς τὸ μέλλον παρασκευαζομένους, πρὸ λόγου παντὸς τοῖς ἔργοις ἡμῶν πεισθήσονται. τίς
γὰρ οὕτως ἀνόητος, ὡς ὁρῶν τὸν χθὲς καὶ πρώην τρυφῶντα καὶ πλουτοῦντα, πάντα ἀποδυόμενον
καὶ πτερούμενον, καὶ πρὸς λιμὸν καὶ πενίαν, καὶ πρὸς σκληραγωγίαν ἅπασαν, καὶ πρὸς κιν-
δύνους καὶ πρὸς αἷμα, καὶ πρὸς σφαγὴν καὶ πρὸς πάντα τὰ δοκοῦντα εἶναι δεινὰ παρα-
τεταγμένον, μὴ σαφῆ λαβεῖν τῶν μελλόντων ἐντεῦθεν ἀπόδειξιν; ἂν δὲ τοῖς παροῦσιν ἑαυτοὺς
ἐμπλέκωμεν, [καὶ ἐνδοτέρω ὠθῶμεν,] πῶς δυνήσονται πεισθῆναι, ὅτι πρὸς ἀποδημίαν
ἐπειγόμεθα ἑτέραν; τίς δὲ ἡμῖν ἔσται ἀπολογία λοιπὸν, ὅταν, ὅσον ἴσχυσεν ἡ ἀνθρωπίνη δόξα
παρὰ τοῖς Ἑλλήνων φιλοσόφοις, μὴ ἰσχύσῃ παρ' ἡμῖν ὁ τοῦ Θεοῦ φόβος; καὶ γὰρ ἐκείνων τινὲς
καὶ χρήματα ἀπεδύσαντο, καὶ θανάτου κατεφρόνησαν, ἵνα ἀνθρώποις ἐπιδείξωνται· διὸ καὶ
κεναὶ γεγόνασιν αὐτῶν αἱ ἐλπίδες. τίς οὖν ἡμᾶς ἐξαιρήσεται λόγος, ὅταν, τοσούτων προκει-
μένων, καὶ τοσαύτης τῆς φιλοσοφίας ἡμῖν ἀνοιχθείσης, μηδὲ τὰ αὐτὰ δυνηθῶμεν ἐκείνοις,
ἀλλὰ καὶ ἑαυτοὺς καὶ ἑτέρους προσαπολλύωμεν; οὐδὲ γὰρ οὕτω βλάπτει Ἕλλην παράνο-
μα πράττων, ὡς Χριστιανὸς ταῦτα ποιῶν· καὶ μάλα εἰκότως. ἐκείνων μὲν γὰρ διεφθαρ-
μένη ἡ δόξα· ἡ δὲ ἡμετέρα διὰ τὴν τοῦ Θεοῦ χάριν, καὶ παρὰ τοῖς ἀσεβέσι σεμνὴ καὶ περι-
φανής. διὸ ὅταν μάλιστα ἡμῖν ὀνειδίσαι βούλωνται καὶ τὴν κακηγορίαν αὐξῆσαι, τοῦτο ἐπι-
λέγουσιν· οἷς, ὁ Χριστιανός (οὐκ ἂν εἰπόντες, εἰ μὴ μεγάλην περὶ τοῦ δόγματος εἶχον ὑπό-
νοιαν) οὐκ ἤκουσας πόσα ὁ Χριστὸς ἐπέταξε καὶ ἡλίκα; πότε οὖν δυνήσῃ μίαν ἐκείνων
ἀνύσαι τῶν ἐντολῶν, ὅταν πάντα ἀφεὶς περιέρχῃ τόκους συλλέγων, δανείσματα ῥάπτων,
πραγματείας συντιθεὶς, ἀγέλας ἀνδραπόδων ὠνούμενος, ἀργυρᾶ σκεύη κατασκευάζων,
ἀγροὺς καὶ οἰκίας καὶ ἔπιπλα ἀγοράζων μυρία; καὶ εἴθε τοῦτο μόνον· ὅταν δὲ ταῖς ἀκαίροις
ταύταις σπουδαῖς καὶ ἀδικίαν προστιθῇς, γῆν ἀποτεμνόμενος, οἰκίας ἀποσπῶν, πενίαν
ἐπιτείνων, λιμὸν αὔξων, πότε δυνήσῃ τῶν θυρῶν ἐπιβῆναι τούτων; ἀλλ' ἔστιν ὅτε καὶ πέ-
νητας ἐλεεῖς· οἶδα κἀγώ. ἀλλὰ καὶ ἐκεῖ πολλὴ πάλιν ἡ λύμη. ἢ γὰρ μετὰ τύφου, ἢ μετὰ κε-
νοδοξίας τοῦτο ποιεῖς, ἵνα μηδὲ ἐν τοῖς ἀγαθοῖς κερδαίνῃς· τί γένοιτ' ἂν ἀθλιώτερον, ὅταν
καὶ ἐν τῷ λιμένι ναυαγῇς; ἵν' οὖν μὴ τοῦτο γένηται, ποιήσας τι καλὸν, μὴ ζήτει παρ' ἐμοῦ τὴν
Λουκ. ϛ. λε. χάριν, ἵνα τὸν Θεὸν ἔχῃς ὀφειλέτην. Δανείζετε γὰρ, φησὶ, παρ' ὧν μὴ προσδοκᾶτε λήψε-
σθαι. ἔχεις χρεώστην· τί ἐκεῖνον ἀφεὶς, ἐμὲ ἀπαιτεῖς, ἄνθρωπον πένητα καὶ ταλαίπωρον;

μὴ γὰρ ἀγανακτεῖ ὁ χρεώστης ἀπαιτούμενος; μὴ γὰρ πένης ἐστί; μὴ γὰρ οὐ βούλεται καταθεῖναι; οὐχ ὁρᾷς αὐτοῦ τοὺς ἀφάτους θησαυρούς; οὐχ ὁρᾷς τὴν ἀνεκδιήγητον φιλοτιμίαν; αὐτὸν τοίνυν κατάσχε καὶ ″ἀπαίτησον. οὕτω γὰρ ἀπαιτούμενος χαίρει. ἂν γὰρ ἕτερον ἀπαιτούμενον ἴδῃ ἀνθ' ὧν αὐτὸς ὀφείλει, ὡς ὑβρισθεὶς οὕτω διακείσεται, καὶ οὐκέτι σοι ἀποδίδωσιν, ἀλλὰ καὶ ἐγκαλεῖ δικαίως. ποίαν γάρ μου ἀγνωμοσύνην κατέγνως, φησί; ποίαν μοι πενίαν συνοίδας, ὅτι παραδραμὼν ἐμὲ, ἐφ' ἑτέρους ἔρχῃ; ἄλλῳ ἐδάνεισας, καὶ ἄλλον ἀπαιτεῖς; εἰ γὰρ καὶ ἄνθρωπος ὑπεδέξατο, ἀλλ' ὁ Θεὸς ἐκέλευσε καταβαλεῖν· καὶ αὐτὸς καὶ πρωτότυπος ὀφειλέτης, καὶ ἐγγυητὴς εἶναι βούλεται, μυρίας σοι παρέχων ἀφορμὰς τοῦ πανταχόθεν αὐτὸν ἀπαιτεῖν. μὴ δὴ οὖν τοσαύτην εὐκολίαν καὶ εὐπορίαν ἀφεὶς, παρ' ἐμοῦ ζήτει λαβεῖν τοῦ μηδὲν ἔχοντος. τίνος γὰρ ἕνεκεν ἐμοὶ ἐπιδείκνυσαι ἐλεῶν πένητα; μὴ γὰρ ἐγώ σοι εἶπον, δός; μὴ γὰρ παρ' ἐμοῦ ἤκουσας, ἵνα καὶ παρ' ἐμοῦ ἀπαιτήσῃς; αὐτὸς εἶπεν, Ὁ ἐλεῶν πένητα, δανείζει Θεῷ. Θεῷ ἐδάνεισας, αὐτῷ″ ἀπαίτει. ἀλλ' οὐκ ἀποδίδωσι τὸ πᾶν νῦν; καὶ τοῦτο ὑπὲρ σοῦ ποιεῖ. τοιοῦτος γὰρ ὁ ὀφειλέτης· οὐχ ὡς πολλοὶ τὸ δανεισθὲν σπουδάζουσιν ἀποδοῦναι μόνον, ἀλλ' ὥστε καὶ τὸ δοθὲν ἐν ἀσφαλείᾳ καταθεῖναι, πάντα πραγματεύεται· καὶ ποιεῖ διὰ τοῦτο τὰ μὲν ἐνταῦθα καταβάλλει, τὰ δὲ ἐκεῖ ταμιεύεται. ταῦτ' οὖν εἰδότες πολὺν ποιῶμεν τὸν ἔλεον, καὶ πολλὴν τὴν φιλανθρωπίαν ἐπιδειξώμεθα, καὶ διὰ ″χρημάτων, καὶ διὰ πραγμάτων. κἂν ἴδωμέν τινα κακῶς πάσχοντα καὶ τυπτόμενον ἐν ἀγορᾷ, κἂν ἀργύριον δυνατὸν καταβαλεῖν, ποιῶμεν· κἂν λόγοις δυνατὸν διαλῦσαι, μὴ ὀκνῶμεν. ἔστι γὰρ καὶ λόγου μισθὸς, μᾶλλον δὲ καὶ στεναγμοῦ. καὶ τοῦτο ὁ μακάριος Ἰὼβ ἔλεγεν· Ἐγὼ δὲ ἔκλαυσα ἐπὶ παντὶ ἀδυνάτῳ, ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. εἰ δὲ δακρύων καὶ στεναγμῶν ἐστι μισθὸς, ὅταν καὶ λόγοι καὶ σπουδὴ, καὶ πολλὰ ἕτερα προσῇ, ἐννόησον ἡλίκη ἡ ἀντίδοσις γίνεται. καὶ γὰρ καὶ ἡμεῖς ἐχθροὶ ἦμεν τῷ Θεῷ· καὶ ὁ Μονογενὴς ἡμᾶς κατήλλαξε, μέσον ἑαυτὸν ἐμβαλὼν, καὶ πληγὰς ὑπὲρ ἡμῶν δεξάμενος, καὶ θάνατον ὑπὲρ ἡμῶν ὑπομείνας. σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς τοὺς ἐμπίπτοντας μυρίων ἀπαλλάττειν κακῶν, ἀλλὰ μὴ ὡς νῦν ποιοῦμεν, ἐπειδὰν ἴδωμέν τινας συγκρουομένους καὶ συρρηγνυμένους ἀλλήλοις, ″ἱστάμενοι καὶ εὐφραινόμενοι ταῖς ἑτέρων ἀσχημοσύναις, καὶ θέατρον περιϊστῶντες διαβολικόν· οὗ τί γένοιτ' ἂν ″ὠμότερον; ὁρᾷς κακῶς ἀκούοντας, διαρρηγνυμένους, κατατέμνοντας τὴν ἐσθῆτα, συγκοπτομένους τὸ πρόσωπον, καὶ ὑπομένεις ἡσυχῇ παρεστάναι; μὴ γὰρ ἄρκτος ἐστὶν ὁ μαχόμενος; μὴ γὰρ θηρίον; μὴ γὰρ ὄφις; ἄνθρωπός ἐστιν ὁ πανταχοῦ σοι κοινωνῶν, ἀδελφός ἐστι, μέλος ἐστί. μὴ θεώρει, ἀλλὰ διάλυε· μὴ τέρπου, ἀλλὰ διόρθου· μὴ ἑτέρους παρακίνει ἐπὶ τὴν ἀσχημοσύνην, ἀλλὰ καὶ τοὺς συνειλεγμένους ἀποσόβει καὶ διάλυε. ἀναισχύντων γὰρ καὶ οἰκοτρίβων τὸ χαίρειν ταῖς τοιαύταις συμφοραῖς, καὶ καθαρμάτων καὶ ὄνων ἀλόγων. ὁρᾷς ἄνθρωπον ἀσχημονοῦντα, καὶ οὐχ ἡγῇ αὐτὸς ἀσχημονεῖν, οὐδὲ εἰσέρχῃ μέσος καὶ διασκεδάζεις τοῦ διαβόλου τὴν″ φάλαγγα, καὶ τὰ ἀνθρώπινα διαλύεις κακά; ἵνα καὶ αὐτὸς πληγὰς λάβω, φησὶ, καὶ σὺ τοῦτο κελεύεις; μάλιστα μὲν οὐδὲ τοῦτο πείσῃ. ἂν δὲ καὶ τοῦτο πάθῃς, μαρτύριόν σοι τὸ πρᾶγμά ἐστι. διὰ γὰρ (τὸν) Θεὸν ἔπαθες. εἰ δὲ πληγὰς ὀκνεῖς λαβεῖν, ἐννόησον ὅτι ὁ δεσπότης σου σταυρὸν οὐκ ὤκνησεν ὑπομεῖναι διὰ σέ. ἐκεῖνοι μὲν γὰρ μεθύουσι καὶ ἐσκότωνται, τοῦ θυμοῦ τυραννοῦντος καὶ στρατηγοῦντος αὐτοῖς· δέονται δέ τινος ὑγιαίνοντος τοῦ βοηθήσοντος αὐτοῖς, ὅ τε ἀδικῶν, ″ὅ τε ἀδικούμενος· ὁ μὲν, ἵνα ἀπαλλαγῇ πάσχων κακῶς, ὁ δὲ, ἵνα παύσηται ποιῶν κακῶς. πρόσελθε τοίνυν καὶ χεῖρα ὄρεξον, ὁ νήφων τῷ μεθύοντι. ἔστι γὰρ καὶ ὀργῆς μέθη, καὶ τῆς ἐκ τοῦ οἴνου χαλεπωτέρα. οὐχ ὁρᾷς τοὺς ναύτας, [οἳ] ὅταν ναυαγίῳ τινὰς περιπεσόντας ἴδωσι, πῶς τὰ ἱστία πετάσαντες μετὰ πολλῆς ἀπέρχονται σπουδῆς, ὥστε τοὺς ὁμοτέχνους ἐξαρπάσαι τοῦ κλύδωνος; εἰ δὲ τέχνης κοινωνοὶ τοσαύτην ἐπιδείκνυνται προστασίαν, ″πόσῳ μᾶλλον τοὺς τῆς φύσεως κοινωνοὺς ταῦτα πάντα ποιεῖν δίκαιον; καὶ γὰρ καὶ ἐνταῦθα ναυάγιόν ἐστιν

ἐκείνου

ἐπαίτησον.

ειδες.

ημάτων,

ἑστήκαμεν

αῖον τότε-

καὶ ὅ

πολλῇ

Παρ. ιθ. ιζ.

Ἰὼβ λ. κε.

ἐκείνου χαλεπώτερον. ἢ γὰρ ἐβλασφήμησεν ἐπηρεασθεὶς, καὶ πάντα ἐκένωσεν· ἢ ἐπιώρκησεν ὑπὸ τοῦ θυμοῦ τυραννούμενος, καὶ πάλιν εἰς γέενναν ἐνέπεσεν· ἢ πληγὴν δίδωσι καὶ φόνον ἐργάζεται, καὶ τὸ αὐτὸ τοῦτο πάλιν ὑπομένει ναυάγιον. ἄπελθε τοίνυν, καὶ στῆσον τὸ κακὸν, καὶ καταποντιζομένους ἀνάσπασον, εἰς αὐτὸ τῆς ζάλης τὸ πέλαγος καταβὰς, καὶ διαλύσας τοῦ διαβόλου τὸ θέατρον, καὶ κατ' ἰδίαν λαβὼν ἕκαστον, παραίνεσον, κατάστειλαι τὴν φλόγα, καὶ τὰ κύματα κοίμισαι. εἰ δὲ μείζων ἡ πυρὰ, καὶ χαλεπωτέρα γέγονεν ἡ κάμινος, μὴ φοβηθῇς. πολλοὺς γὰρ ἔχεις τοὺς συνεφαπτομένους καὶ χεῖρα ὀρέγοντας, ἂν ἀρχὴν παράσχῃς μόνον, καὶ πρό γε πάντων τὸν τῆς εἰρήνης Θεόν. κἂν πρῶτος διατινάξῃς τὴν φλόγα, πολλοὶ καὶ ἕτεροι ἀκολουθήσουσι, καὶ τῶν ὑπ' ἐκείνων κατορθουμένων αὐτὸς λήψῃ τὸν μισθόν. ἄκουσον τί παρήνεσεν ὁ Χριστὸς τοῖς Ἰουδαίοις τοῖς χαμαὶ ἕρπουσιν· ἂν τὸ ὑποζύγιον ἴδῃς τοῦ ἐχθροῦ σου, φησὶ, καταπῖπτον, μὴ παραδράμῃς, ἀλλὰ ἀνάστησον. καίτοι τοῦ κειμένου ὑποζύγιον ἀναστῆσαι, πολὺ κουφότερον τὸ μαχομένους ἀνθρώπους διαλῦσαι καὶ διαλλάξαι. εἰ δὲ ἐχθρῶν ὄνον, πολλῷ μᾶλλον φίλων ψυχὰς συνδιαναστῆσαι χρή· καὶ μάλιστα, ὅταν χαλεπώτερον ᾖ τὸ πτῶμα. οὐ γὰρ εἰς βόρβορον αὗται πίπτουσιν, ἀλλ' εἰς τὸ τῆς γεέννης πῦρ, τὸ φορτίον οὐ φέρουσαι τοῦ θυμοῦ. σὺ δὲ ὁρῶν τὸν ἀδελφὸν ὑπὸ τὸν γόμον κείμενον, καὶ τὸν διάβολον ἐφεστῶτα καὶ τὴν πυρὰν ἀνάπτοντα, παρατρέχεις ὠμῶς καὶ ἀνιλέως· ὅπερ οὐδὲ ἐπὶ ἀλόγων ποιῆσαι ἀκίνδυνον. καὶ ὁ μὲν Σαμαρείτης τραυματίαν ἰδὼν ἀγνῶτα καὶ οὐδὲν αὐτῷ προσήκοντα, καὶ ἐπέστη, καὶ ἐπὶ τὸ ὑποζύγιον ἀνεβίβασε, καὶ εἰς τὸ πανδοχεῖον κατήγαγε, καὶ ἰατρὸν ἐμισθώσατο, καὶ τὸ μὲν ἔδωκεν ἀργύριον, τὸ δὲ ὑπέσχετο. σὺ δὲ οὐ λῃσταῖς περιπεσόντα βλέπων, ἀλλὰ δαιμόνων φάλαγγι καὶ θυμοῦ πολιορκίᾳ, οὐκ ἐν ἐρημίᾳ, ἀλλ' ἐν ἀγορᾷ μέσῃ, οὐ χρήματα ἀναλίσκειν μέλλων, οὐδὲ ὑποζύγιον μισθοῦσθαι, οὐδὲ μακρὰν πεμπειν ὁδὸν, ἀλλὰ ῥήματα φθέγξασθαι μόνον, ὀκνεῖς καὶ ἀναδύῃ, καὶ παρατρέχεις ὠμῶς καὶ ἀνιλέως; καὶ πῶς προσδοκᾷς, τὸν Θεὸν καλῶν, ἵλεω ποτὲ ἕξειν; εἴπω δὲ καὶ πρὸς ὑμᾶς τοὺς ἀσχημονοῦντας δημοσίᾳ, πρὸς τὸν ἐπηρεάζοντα καὶ ἀδικοῦντα· πληγὰς ἐντείνεις, εἰπέ μοι, καὶ λακτίζεις καὶ δάκνεις; ὗς ἄγριος ἐγένου, καὶ ὄνος ἄγριος; καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς ἐκθηριούμενος, καὶ τὴν οἰκείαν εὐγένειαν προδιδούς; εἰ γὰρ πένης εἶ, ἀλλ' ἐλεύθερος· εἰ γὰρ χειροτέχνης εἶ, ἀλλὰ χριστιανός. δι' αὐτὸ μὲν οὖν τοῦτο ὅτι πένης εἶ, ἀναγκαῖον ἡσυχάζειν. τῶν γὰρ πλουτούντων ἐστὶ τὸ μάχεσθαι, οὐ τῶν πενήτων, τῶν πλουτούντων, τῶν πολλὰς ἐχόντων ἀνάγκας πολέμων. σὺ δὲ τὴν ἡδονὴν οὐκ ἔχων τοῦ πλούτου, τὰ κακὰ τοῦ πλούτου περιέρχῃ συνάγων σεαυτῷ, ἔχθρας, καὶ φιλονεικίας, καὶ μάχας, καὶ ἀποπνίγεις τὸν ἀδελφὸν καὶ ἄγχεις, καὶ καταβάλλεις δημοσίᾳ ἁπάντων ὁρώντων· καὶ οὐχ ἡγῇ αὐτὸς μᾶλλον ἀσχημονεῖν, τῶν ἀλόγων μιμούμενος τὰς ὁρμὰς, μᾶλλον δὲ καὶ ἐκείνων χείρων γινόμενος; πάντα γὰρ ἐκείνοις κοινὰ, καὶ συναγελάζονται ἀλλήλοις καὶ συμβαδίζουσιν· ἡμῖν δὲ οὐδὲν κοινὸν, ἀλλὰ πάντα ἄνω καὶ κάτω, μάχαι, [καὶ] φιλονεικίαι, λοιδορίαι, καὶ ἀπέχθειαι καὶ ὕβρεις. καὶ οὔτε τὸν οὐρανὸν αἰδούμεθα, εἰς ὃν ἐκλήθημεν κοινῇ ἅπαντες, οὐδὲ τὴν γῆν, ἣν κοινῇ πᾶσιν ἀνῆκεν, οὐκ αὐτὴν τὴν φύσιν· ἀλλὰ πάντα ὁ θυμὸς καὶ ὁ τῶν χρημάτων ἔρως παρασύρας οἴχεται. οὐκ εἶδες ἐκεῖνον τὸν τὰ μυρία τάλαντα ὀφείλοντα, εἶτα μετὰ τὴν ἐκείνων ἄφεσιν ἀποπνίγοντα τὸν ἑαυτοῦ σύνδουλον ὑπὲρ ἑκατὸν δηναρίων, ὅσα ὑπέστη κακὰ, καὶ πῶς ἀθανάτῳ παρεδόθη κολάσει; οὐ δέδοικας τὸ ὑπόδειγμα; οὐ φοβῇ μὴ καὶ αὐτὸς τὰ αὐτὰ πάθῃς; καὶ γὰρ καὶ ἡμεῖς ὀφείλομεν τῷ δεσπότῃ πολλὰ καὶ μεγάλα ὀφλήματα· ἀλλ' ὅμως ἀνέχεται καὶ μακροθυμεῖ, καὶ οὐδὲ ἐπίκειται, καθάπερ ἡμεῖς τοῖς συνδούλοις, οὔτε ἄγχει καὶ ἀποπνίγει· καίτοιγε εἰ καὶ τὸ πολλοστὸν μέρος αὐτῶν ἡμᾶς ἐβουλήθη ἀπαιτῆσαι, πάλαι ἂν ἀπολώλειμεν. ταῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοὶ, ταπεινωθῶμεν, καὶ χάριν ἔχωμεν τοῖς ὀφείλουσιν ἡμῖν. γίνονται γὰρ ἡμῖν, ἂν φιλοσοφῶμεν, ἀφορμαὶ συγχωρήσεως

Λουκ. ι. λδ.

Ματθ. ιη. κη.

συγχωρήσεως μεγίστης, καὶ ὀλίγα διδόντες, πολλὰ ληψόμεθα. τί τοίνυν ἀπαιτεῖς μετὰ βίας, δέον, εἰ καὶ ἐκεῖνος ἐβούλετο δοῦναι, αὐτὸν συγχωρῆσαι, ἵνα παρὰ τοῦ Θεοῦ τὸ πᾶν λάβῃς; νυνὶ δὲ πάντα ποιεῖς, καὶ βιάζῃ καὶ φιλονεικεῖς, ὥστε σοι μηδὲν ἀφεθῆναι τῶν σῶν· καὶ δοκεῖς μὲν ἐπηρεάζειν τὸν πλησίον, κατὰ δὲ σαυτοῦ τὸ ξίφος ὠθεῖς, αὔξων τὴν ἐν τῇ γεέννῃ κόλασιν· εἰ δὲ μικρὸν ἐνταῦθα φιλοσοφήσεις, ἡμέρους σαυτῷ τὰς εὐθύνας ποιεῖς. καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο ἡμᾶς βούλεται ἄρχεσθαι τῆς τοιαύτης φιλοτιμίας, ἵνα ἀφορμὴν λάβῃ τοῦ πλείονα ἡμῖν ἀντιδοῦναι. ὅσους τοίνυν ὀφειλέτας ἔχεις καὶ χρημάτων καὶ ἁμαρτημάτων, πάντας ἀφεὶς ἐλευθέρους, τὸν Θεὸν ἀπαίτει τῆς τοιαύτης μεγαλοψυχίας τὴν ἀμοιβήν. ἕως μὲν γὰρ ἂν ἐκεῖνοί σοι μένωσιν ὀφείλοντες, οὐχ ἕξεις τὸν Θεὸν ὀφειλέτην· ἐὰν δὲ ἐκείνους ἀφῇς, δυνήσῃ τὸν Θεὸν κατασχεῖν καὶ ἀπαιτῆσαι μετὰ πολλῆς τῆς φιλοτιμίας τῆς τοσαύτης φιλοσοφίας τὴν ἀμοιβήν. εἰ γὰρ ἄνθρωπος παρελθὼν καὶ ἰδών σε τὸν ὑπεύθυνον κατέχοντα, καὶ κελεύσας ἐκεῖνον μὲν ἀφεῖναι, πρὸς δὲ αὐτὸν ἔχειν τὸν ὑπὲρ ἐκείνου λόγον, οὐκ ἂν ἕλοιτο ἀγνωμονῆσαι μετὰ τὴν ἄφεσιν (" ἅτε ἐφ᾽ ἑαυτὸν τὸ πᾶν " μεταθεὶς) πῶς ὁ Θεὸς οὐ πολλαπλασίονα καὶ μυριοπλασίονα ἀποδώσει, ὅταν διὰ τὸ αὐτοῦ πρόσταγμα τοὺς ὑπευθύνους ἡμῖν ὄντας, μὴ μικρόν, μὴ μέγα ἐγκαλέσαντες, ἀφῶμεν ἀπελθεῖν ἀνευθύνους γενομένους; μὴ δὴ τὴν πρόσκαιρον ἐννοῶμεν ἡδονὴν τὴν ἐγγινομένην ἡμῖν ἐκ τοῦ τοὺς ὑπευθύνους ἀπαιτεῖν, ἀλλὰ τὴν ζημίαν, ὅσην εἰς τὸ μέλλον ἐντεῦθεν ὑπομένομεν, ἐν τοῖς ἀθανάτοις [ἀγαθοῖς] ἑαυτοὺς καταβλάπτοντες. πάντων οὖν ἀνώτεροι γενόμενοι, χαρισώμεθα καὶ χρήματα καὶ πλημμελήματα τοῖς ὑπευθύνοις ἡμῖν, ἵνα ἡμέρους αὐτοῖς ἡμῖν τὰς εὐθύνας κατασκευάσωμεν· καὶ ὅπερ οὐκ ἰσχύσαμεν διὰ τῆς ἄλλης ἀρετῆς ἀνύσαι, " τοῦτο διὰ τοῦ μὴ μνησικακεῖν τοῖς πλησίον ἐπιτυχόντες, τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιϛ. 17 ΜΗ ΝΟΜΙΣΗΤΕ ΟΤΙ ΗΛΘΟΝ ΚΑΤΑΛΥΣΑΙ τὸν νόμον ἢ τοὺς προφήτας.

Τίς γὰρ τοῦτο ὑπώπτευσεν; ἢ τίς ἐνεκάλεσεν, ἵνα πρὸς τοῦτο ποιήσηται ἀπάντησιν; οὐδὲ γὰρ ἐκ τῶν εἰρημένων τοιαύτη τις ὑποψία ἐτίκτετο. τὸ γὰρ κελεύειν πρᾴους εἶναι καὶ ἐπιεικεῖς καὶ ἐλεήμονας, καὶ καθαροὺς τῇ καρδίᾳ, καὶ ὑπὲρ δικαιοσύνης ἀγωνίζεσθαι, οὐδὲν τοιοῦτον ἐνεδείκνυτο, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. τί δήποτε οὖν τοῦτο εἴρηκεν; οὐχ ἁπλῶς οὐδὲ εἰκῆ, ἀλλ᾽ ἐπειδὴ μείζονα τῶν παλαιῶν ἔμελλε νομοθετεῖν παραγγελμάτων (λέγων· ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀργίζεσθε) καὶ θείας τινὸς καὶ " ἐπουρανίου πολιτείας τέμνειν ὁδόν, ἵνα μὴ τὸ ξένον ταράξῃ τῶν ἀκουόντων τὰς ψυχάς, καὶ " διστάζειν παρασκευάσῃ πρὸς τὰ λεγόμενα, ταύτῃ κέχρηται τῇ προδιορθώσει. εἰ γὰρ καὶ μὴ ἐπλήρουν τὸν νόμον, ἀλλ᾽ ὅμως πολλῇ κατείχοντο πρὸς αὐτὸν συνειδήσει, καὶ τοῖς πράγμασι καθ᾽ ἑκάστην αὐτὸν παραλύοντες τὴν ἡμέραν, τὰ γράμματα ἤθελον μένειν ἀκίνητα, καὶ μηδένα προσθεῖναι πλέον αὐτοῖς· μᾶλλον δὲ προστιθέντων μὲν ἠνείχοντο τῶν ἀρχόντων, οὐκ ἐπὶ τὸ κρεῖττον δέ, ἀλλ᾽ ἐπὶ τὸ χεῖρον. καὶ γὰρ τὴν εἰς τοὺς γονέας τιμὴν οὕτω παρέλυον ταῖς ἑαυτῶν προσθήκαις, καὶ ἕτερα δὲ πλείονα τῶν ἐγκειμένων ἐξέλυον τοῖς ἀκαίροις τούτοις πλεονασμοῖς. ἐπεὶ οὖν ὁ Χριστὸς οὔτε ἐξ ἱερατικῆς φυλῆς ἐτύγχανεν ὤν, καὶ ἅπερ ἔμελλεν εἰσηγεῖσθαι, προσθήκη τις ἦν, οὐ μὴν ἐλαττοῦσα, ἀλλ᾽ ἐπιτείνουσα τὴν ἀρετήν, προειδὼς ἀμφότερα ταῦτα μέλλοντα αὐτοὺς ταράττειν, πρὶν ἢ τοὺς θαυμαστοὺς ἐκείνους ἐγγράψαι νόμους, ἐκβάλλει τὸ μέλλον αὐτῶν ὑφορμεῖν τῇ διανοίᾳ. τί δὲ

ἦν δὲ ὑφορμοῦσα καὶ ἀντικρὺς οὖσα; ἐνόμιζον αὐτὸν ταῦτα λέγοντα, ἐπ' ἀναιρέσει τῶν παλαιῶν νομίμων
ποιεῖν. ταύτην τοίνυν ἰᾶται τὴν ὑπόνοιαν· καὶ οὐκ ἐνταῦθα μόνον οὕτω ποιεῖ, ἀλλὰ καὶ ἑτέρωθι
πάλιν. ἐπειδὴ γὰρ καὶ ἀντίθεον ἐντεῦθεν αὐτὸν ἐνόμιζον εἶναι, ἀπὸ τοῦ τὸ σάββατον μὴ τηρεῖν,
θεραπεύων αὐτῶν τὴν τοιαύτην ὑποψίαν, κἀκεῖ πάλιν τίθησιν ἀπολογίας, τὰς
Ιω. ε. ιζ. μὲν ἑαυτῷ πρεπούσας· ὥσπερ ὅταν λέγῃ, Ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι· τὰς
Ματθ. ιβ. δὲ πολὺ τὸ συγκαταβατικὸν ἐχούσας· οἷον, ὡς ὅταν εἰς μέσον παραγάγῃ πρόβατον ἀπολλύμενον
ἐν σαββάτῳ, καὶ δεικνύῃ διὰ τὴν ἐκείνου σωτηρίαν τὸν νόμον κινούμενον, καὶ περιτομῆς
μνημονεύῃ τὸ αὐτὸ τοῦτο ποιούσης πάλιν. διὸ δὴ καὶ ταπεινότερα φθέγγεται πολλάκις γρ. ποιού
ῥήματα, ἵνα τὸ δοκεῖν εἶναι ἀντίθεος ἀνέλῃ. διὰ τοῦτο ὁ μυρίους νεκροὺς ἐγείρας λόγῳ
Ιω. ια. μα. μβ. μόνῳ, ἡνίκα τὸν Λάζαρον ἐκάλει, καὶ εὐχὴν προσέθηκεν. Εἶτα, ἵνα μὴ τοῦτο ἐλάττονα
αὐτὸν δείξῃ τοῦ γεγεννηκότος, διορθούμενος τὴν ὑπόνοιαν, ἐπήγαγεν ὅτι ταῦτα εἶπον διὰ
τὸν ὄχλον τὸν περιεστῶτα, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. καὶ οὔτε πάντα ὡς αὐθεντῶν ἐργάζεται,
ἵνα τὴν ἐκείνων ἀσθένειαν διορθώσηται· οὔτε πάντα εὐχόμενος ποιεῖ, ἵνα μὴ τοῖς
μετὰ ταῦτα καταλίπῃ πονηρᾶς ὑποψίας ὑπόθεσιν, ὡς ἀσθενῶν καὶ ἀδυνάτως ἔχων, ἀλλὰ
μίγνυσι ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις· καὶ οὐδὲ τοῦτο ἁπλῶς ποιεῖ, ἀλλὰ μετὰ τῆς
αὐτῷ προσηκούσης συνέσεως. τὰ γὰρ μείζονα ἐξουσιαστικῶς ποιῶν, ἐν τοῖς ἐλάττοσιν εἰς τὸν
οὐρανὸν ἀναβλέπει. ἁμαρτήματα μὲν γὰρ λύων, καὶ τὰ ἀπόῤῥητα ἀποκαλύπτων, καὶ παράδεισον γρ. ἀποβλέ-
ἀνοιγνὺς, καὶ δαίμονας ἀπελαύνων, καὶ λεπροὺς καθαίρων, καὶ θάνατον χαλινῶν, καὶ νεκροὺς πει,
ἐγείρων μυρίους, ἐξ ἐπιτάγματος πάντα ἐποίει· ἡνίκα δὲ, ὃ πολλῷ τούτων ἔλαττον
ἦν, ἄρτους ἐξ ὀλίγων πολλοὺς παρεσκεύαζε πηγάζειν, τότε εἰς οὐρανὸν ἀνέβλεπε,
δεικνὺς ὅτι οὐ διὰ ἀσθένειαν τοῦτο ἐργάζεται. ὁ γὰρ τὰ μείζονα δυνηθεὶς μετ' ἐξουσίας ἁπάσης
ποιῆσαι, πῶς ἂν ἐν τοῖς ἐλάττοσιν εὐχῆς ἐδεήθη; ἀλλ' ὅπερ ἔφθην εἰπὼν, ἵνα ἐκείνων
ἐπιστομίσῃ τὴν ἀναισχυντίαν, τοῦτο ποιεῖ. τὸ αὐτὸ τοίνυν καὶ ἐν τοῖς ῥήμασιν, ὅταν
ἀκούσῃς αὐτοῦ ταπεινὰ φθεγγομένου, λογίζου. καὶ γὰρ πολλαὶ καὶ τῶν ῥημάτων καὶ τῶν πραγμάτων
τῶν τοιούτων εἰσὶν αἱ αἰτίαι· οἷον, τὸ μὴ νομίζεσθαι ἀλλότριον εἶναι τοῦ Θεοῦ, τὸ πάντας
παιδεύειν αὐτὸν καὶ θεραπεύειν, τὸ ταπεινοφροσύνην διδάσκειν, τὸ σάρκα περικεῖσθαι,
τὸ μὴ δύνασθαι Ἰουδαίους πάντα ἀθρόως ἀκούειν, τὸ διδάσκειν μηδὲν μέγα περὶ ἑαυτῶν
φθέγγεσθαι. διὰ τοῦτο πολλὰ ταπεινὰ αὐτὸς περὶ ἑαυτοῦ πολλάκις εἰπὼν, τὰ μεγάλα ἑτέροις
Ιω. η. νη. ἀφίησι λέγειν. αὐτὸς μὲν γὰρ Ἰουδαίοις διαλεγόμενος, ἔλεγε· Πρὸ τοῦ Ἀβραὰμ
Ιω. α. α. γενέσθαι, ἐγώ εἰμι. ὁ μαθητὴς δὲ αὐτοῦ οὐχ οὕτως· ἀλλ', Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν
πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. πάλιν, ὅτι οὐρανὸν καὶ γῆν καὶ θάλατταν αὐτὸς ἐποίησε,
καὶ τὰ ὁρώμενα καὶ τὰ ἀόρατα πάντα, αὐτὸς μὲν οὐδαμοῦ σαφῶς εἴρηκεν· ὁ δὲ μαθητὴς μετὰ
πολλῆς τῆς παῤῥησίας οὐδὲν ὑποστειλάμενος, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις τοῦτό φησι, Πάντα δι'
Ιωαν. α. γ. αὐτοῦ ἐγένετο, γράφων, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· καὶ, ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο.
καὶ τί θαυμάζεις εἰ ἕτεροι μείζονα περὶ αὐτοῦ εἰρήκασιν, ὧν αὐτὸς εἴρηκεν; ὅπου γε πολλὰ
διὰ τῶν πραγμάτων ἐπιδεικνύμενος, διὰ τῶν ῥημάτων σαφῶς οὐκ ἔλεγεν; ὅτι γὰρ τὸν ἄνθρωπον αὐτὸς
ἐποίησεν, ἔδειξε σαφῶς καὶ διὰ τοῦ τυφλοῦ. ἡνίκα δὲ περὶ τῆς ἐν ἀρχῇ πλάσεως ὁ λόγος ἦν
αὐτῷ, οὐκ εἶπεν, ὅτι ἐγὼ ἐποίησα· ἀλλ' ὁ ποιήσας, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. πάλιν, ὅτι
τὸν κόσμον ἐδημιούργησε καὶ τὰ ἐν αὐτῷ, διὰ τῶν ἰχθύων, διὰ τοῦ οἴνου, διὰ τῶν ἄρτων, διὰ
τῆς γαλήνης τῆς ἐν τῇ θαλάσσῃ, διὰ τῆς ἀκτῖνος, ἧς ἀπέστρεψεν ἐν τῷ σταυρῷ, διὰ
πλειόνων ἑτέρων ἀπέδειξε· ῥήματι δὲ οὐδαμοῦ τοῦτο σαφῶς εἶπεν, ἀλλ' οἱ μαθηταὶ συνεχῶς
τοῦτο φθέγγονται, καὶ Ἰωάννης, καὶ Παῦλος, καὶ Πέτρος. εἰ γὰρ ἐκεῖνοι οἱ νύκτωρ καὶ
μεθ' ἡμέραν ἀκούοντες αὐτοῦ διαλεγομένου, καὶ θαυματουργοῦντα βλέποντες, καὶ οἷς κατ' ἰδίαν
πολλὰ ἐπέλυσε, καὶ τοσαύτην ἔδωκε δύναμιν, ὡς καὶ νεκροὺς ἐγείρειν, καὶ οὕτως ἀπηρτισμένους

ισμένους εἰργάσατο, ὡς πάντα ἀφεῖναι δι᾽ αὐτόν, μετὰ τὴν τοσαύτην ἀρετὴν καὶ φιλοσοφίαν οὐκ ἴσχυον τὰ πάντα βαστάσαι πρὸ τῆς τοῦ πνεύματος χορηγίας· πῶς δῆμος Ἰουδαϊκὸς καὶ συνέσεως ἄμοιρος, καὶ τῆς τοσαύτης ἀρετῆς ἀπολιμπανόμενος, καὶ ἐκ τοῦ παρατυγχάνοντος παραγινόμενος τοῖς γινομένοις ἢ τοῖς λεγομένοις ποτέ, μὴ ἀλλότριον αὐτὸν εἶναι τοῦ τῶν ὅλων Θεοῦ ἐπείσθη, εἰ μὴ συγκαταβάσει τοσαύτῃ διὰ πάντων ἐκεχρήσατο; διὰ γάρ τοι τοῦτο, καὶ ὅτε τὸ σάββατον ἔλυεν, οὐ προηγουμένως τὴν τοιαύτην εἰσῆγε νομοθεσίαν, ἀλλὰ ποικίλας καὶ πολλὰς προτέρας συντίθησιν ἀπολογίας. Εἰ δὲ μίαν ἐντολὴν μέλλων ἀπολύειν, τοσαύτῃ κέχρηται λόγων οἰκονομίᾳ, ἵνα μὴ πλήξῃ τοὺς ἀκούοντας, πολλῷ μᾶλλον προστιθεὶς ὁλοκλήρῳ τῷ νόμῳ ὁλόκληρον ἑτέραν νομοθεσίαν, πολλῆς ἐδεῖτο τῆς κατασκευῆς καὶ τῆς θεραπείας, ὥστε μὴ θορυβῆσαι τοὺς ἀκροωμένους τότε. Διὰ δὴ τοῦτο οὐδὲ περὶ τῆς θεότητος τῆς ἑαυτοῦ πανταχοῦ φαίνεται σαφῶς παιδεύων. Εἰ γὰρ ἡ τοῦ νόμου προσθήκη τοσοῦτον αὐτοὺς ἐθορύβει, πολλῷ μᾶλλον τὸ Θεὸν ἑαυτὸν ἀποφαίνειν. Διὰ τοῦτο πολλὰ καταδεέστερα τῆς οἰκείας φθέγγεται ἀξίας· καὶ ἐνταῦθα, μέλλων ἐμβαίνειν εἰς τὴν τοῦ νόμου προσθήκην, πολλῇ τῇ προδιορθώσει κέχρηται. Οὐδὲ γὰρ ἅπαξ εἶπεν, ὅτι οὐ λύω τὸν νόμον, ἀλλὰ καὶ δεύτερον αὐτὸ ἀνέλαβε. πάλιν καὶ ἕτερον προσέθηκε μεῖζον. Εἰπὼν γάρ· μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἐπήγαγεν· Ὅτι οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Τοῦτο δὲ οὐκ Ἰουδαίων ἐμφράττει τὴν ἀναισχυντίαν μόνον, ἀλλὰ καὶ τῶν αἱρετικῶν ἀπορράπτει τὰ στόματα, τῶν ἐκ τοῦ διαβόλου λεγόντων εἶναι τὴν παλαιάν. Εἰ γὰρ καταλῦσαι τὴν ἐκείνου τυραννίδα παρεγένετο ὁ Χριστός, πῶς ταύτην οὐ μόνον οὐ καταλύει, ἀλλὰ καὶ πληροῖ; οὐ γὰρ μόνον εἴρηκεν, ὅτι οὐ καταλύω (καίτοι ἤρκει τοῦτο) ἀλλ᾽ ὅτι καὶ πληρῶ· ὅπερ οὐ μόνον οὐκ ἐναντιουμένου ἦν, ἀλλὰ καὶ συγκροτοῦντος αὐτήν. καὶ πῶς οὐ κατέλυσε, φησί; πῶς δὲ καὶ ἐπλήρωσεν, ἢ τὸν νόμον, ἢ τοὺς προφήτας; τοὺς προφήτας μέν, δι᾽ ὧν τὰ περὶ αὐτοῦ λεχθέντα ἅπαντα τοῖς ἔργοις ἐβεβαίωσε. διὸ καὶ καθ᾽ ἕκαστον ὁ εὐαγγελιστὴς ἔλεγεν· Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου, καὶ ἡνίκα ἐτέχθη, καὶ ἡνίκα τὰ παιδία τὸν θαυμαστὸν ὕμνον ᾖδεν εἰς αὐτόν, καὶ ἡνίκα ἐπὶ τῆς ὄνου ἐκάθισε, καὶ ἐφ᾽ ἑτέρων δὲ πλειόνων τὸ αὐτὸ τοῦτο ἐπλήρωσεν· ἅπερ πάντα ἀπλήρωτα ἔμελλον εἶναι, εἰ μὴ παρεγένετο. τὸν δὲ νόμον οὐχ ἑνὶ μόνον, ἀλλὰ καὶ δευτέρῳ καὶ τρίτῳ ἐπλήρωσε τρόπῳ. ἑνὶ μέν, τῷ μηδὲν παραβιῶσαι τῶν νομίμων. ὅτι γὰρ πάντα αὐτὸν ἐπλήρωσεν, ἄκουσον τί φησι τῷ Ἰωάννῃ· Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. καὶ Ἰουδαίοις δὲ ἔλεγε, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ τοῖς μαθηταῖς δὲ πάλιν· Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. καὶ ὁ προφήτης δὲ ἄνωθεν ἔλεγεν, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν. ἑνὶ μὲν οὖν αὐτὸν ἐπλήρωσε τούτῳ τῷ τρόπῳ· ἑτέρῳ δέ, τῷ καὶ δι᾽ ἡμῶν τοῦτο ποιῆσαι. τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ μόνον αὐτὸς ἐπλήρωσεν, ἀλλὰ καὶ ἡμῖν ἐχαρίσατο τοῦτο· ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὅτι τέλος νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. καὶ τὴν ἁμαρτίαν δὲ αὐτὸν ἔλεγε κρῖναι ἐν τῇ σαρκί· Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι. καὶ πάλιν· Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν. ἐπειδὴ γὰρ ὁ νόμος τοῦτο ἐσπούδαζε δίκαιον ποιῆσαι τὸν ἄνθρωπον, ἠτόνει δέ, ἐλθὼν αὐτὸς καὶ τρόπον εἰσαγαγὼν δικαιοσύνης τὸν διὰ τῆς πίστεως, ἔστησε τοῦ νόμου τὸ βούλημα· καὶ ὅπερ οὐκ ἴσχυσε διὰ γραμμάτων ἐκεῖνος, τοῦτο αὐτὸς διὰ τῆς πίστεως ἤνυσε. Διὰ τοῦτό φησιν, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἕτερον τρίτον τρόπον εὑρήσει καθ᾽ ὃν τοῦτο γέγονε. ποῖον δὲ τοῦτον; τὸν τῆς μελλούσης νομοθεσίας, ἥνπερ ἔμελλεν παραδιδόναι. οὐ γὰρ ἀναίρεσις τῶν προτέρων, ἀλλ᾽ ἐπίτασις καὶ πλήρωσις ἦν τὰ λεγόμενα. τοῦ γὰρ μὴ φονεύειν, οὐκ ἀναίρεσις τὸ μὴ ὀργίζεσθαι, ἀλλὰ πλήρωσις καὶ πλείων ἀσφάλεια, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. διὸ δὴ καὶ τὰ σπέρματα τούτων

Λυκ. κα. κβ.
Λυκ. κδ. μδ.
Ματθ. γ. ιε.
Ιω. η. μϛ.
Ιω. ιδ. λ.
Ησ. να.
Ρω. ι. δ.
Ρω. η. γ.
Ρω. γ. λα.

των προκαταβαλόμενος ἀνυπόπτως, τότε, ὅτε σαφέστερον ἔμελλεν ἐκ τῆς παραθέσεως τῶν παλαιῶν καὶ νέων νομίμων ἐπὶ ἐναντιώσει ὑποπτεύεσθαι, τῇ προδιορθώσει κέχρηται. αἰνιγματωδῶς μὲν γὰρ αὐτὰ καὶ ἤδη κατεβάλετο διὰ τῶν εἰρημένων. τὸ γάρ, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ταυτόν ἐστι τῷ μὴ ὀργίζεσθαι· καὶ τό, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, τῷ μὴ ἐμβλέψαι εἰς γυναῖκα πρὸς ἐπιθυμίαν· καὶ τὸ μὴ θησαυρίζειν θησαυροὺς ἐπὶ τῆς γῆς, τῷ μακάριοι οἱ ἐλεήμονες συνᾴδει· καὶ τὸ πενθεῖν δὲ καὶ τὸ διώκεσθαι καὶ ὀνειδίζεσθαι, ἴσον ἐστὶ τῷ διὰ τῆς στενῆς πύλης εἰσιέναι· καὶ τὸ πεινᾷν καὶ διψᾷν τὴν δικαιοσύνην, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐκεῖνο, ὃ μετὰ ταῦτά φησιν, ὅτι ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· καὶ τὸν εἰρηνοποιὸν μακαρίσας, πάλιν τὸ αὐτὸ σχεδὸν εἴρηκεν, ὅτε ἐκέλευσεν ἀφεῖναι τὸ δῶρον, καὶ ἐπὶ τὴν καταλλαγὴν σπεύδειν τοῦ λελυπημένου, καὶ τὸ εὐνοεῖν τῷ ἀντιδίκῳ. ἀλλ' ἐκεῖ μὲν τὰ ἔπαθλα τῶν κατορθούντων τέθεικεν· ἐνταῦθα δὲ τῶν μὴ ποιούντων τὰς τιμωρίας. διόπερ ἐκεῖ μὲν ἔλεγεν· ὅτι οἱ πρᾶοι κληρονομήσουσι τὴν γῆν· ἐνταῦθα δέ, ὁ μωρὸν καλῶν τὸν ἀδελφὸν αὐτοῦ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. καὶ ἐκεῖ μέν, ὅτι τὸν Θεὸν ὄψονται οἱ καθαροὶ τῇ καρδίᾳ· ἐνταῦθα δέ, ὅτι μοιχός ἐστιν ἀπηρτισμένος ὁ ἀκολάστως ἰδών· καὶ τοὺς εἰρηνοποιοὺς υἱοὺς Θεοῦ καλέσας ἐκεῖ, ἐνταῦθα δὲ ἑτέρωθεν φοβεῖ, λέγων· μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ. οὕτω καὶ τοὺς πενθοῦντας καὶ τοὺς διωκομένους μακαρίζων ἐν τοῖς ἔμπροσθεν, ἐν τοῖς μετὰ ταῦτα τὸ αὐτὸ τοῦτο κατασκευάζων, ἀπώλειαν ἀπειλεῖ τοῖς μὴ ταύτην ἐρχομένοις τὴν ὁδόν. οἱ γὰρ διὰ τῆς πλατείας βαδίζοντές, φησιν, ἐκεῖ καταστρέφουσι. καὶ τὸ οὐ δύνασθαι Θεῷ δουλεύειν καὶ μαμωνᾷ, ἴσον εἶναί μοι δοκεῖ, τῷ μακάριοι οἱ ἐλεήμονες καὶ οἱ πεινῶντες τὴν δικαιοσύνην. ἀλλ' ὅπερ ἔφθην εἰπών, ἐπειδὴ μέλλει σαφέστερον αὐτὰ λέγειν, καὶ οὐ σαφέστερον μόνον, ἀλλὰ καὶ πλείονα τῶν εἰρημένων προστιθέναι πάλιν (οὐκέτι γὰρ ἐλεήμονα ζητεῖ μόνον, ἀλλὰ καὶ τοῦ χιτωνίσκου ἐξίστασθαι κελεύει· οὐδὲ πρᾶον ἁπλῶς, ἀλλὰ καὶ τὴν ἑτέραν σιαγόνα στρέφειν τῷ βουλομένῳ ῥαπίζειν) τὴν δοκοῦσαν ἀντίθεσιν εἶναι πρότερον ἀναιρεῖ. διὰ δὴ τοῦτο, ὅπερ ἔφθην εἰπών, οὐδὲ ἅπαξ τοῦτο εἴρηκεν, ἀλλὰ καὶ δεύτερον. εἰπὼν γάρ, μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι, ἐπήγαγεν· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι, [πάλιν φησίν.]

18 Ἀμὴν [γὰρ] λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ* τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀμήχανον ἀτέλεστον μεῖναι, ἀλλὰ καὶ τὸ βραχύτατον αὐτοῦ πληρωθῆναι δεῖ· ὅπερ αὐτὸς ἐποίησε, μετὰ ἀκριβείας αὐτοῦ ἁπάσης ἀπαρτίσας. ἐνταῦθα δὲ ἡμῖν αἰνίττεται, ὅτι καὶ ὁ κόσμος ἅπας μετασχηματίζεται. καὶ οὐχ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ' ἵνα ἐπάρῃ τὸν ἀκροατήν, καὶ δείξῃ δικαίως ἑτέραν εἰσάγων πολιτείαν· εἴγε μέλλοι καὶ τὰ τῆς κτίσεως ἅπαντα μετασχηματίζεσθαι, καὶ τὸ τῶν ἀνθρώπων γένος πρὸς ἑτέραν καλεῖσθαι πατρίδα, καὶ βίου παρασκευὴν ὑψηλοτέρου.

19 Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἐπειδὴ γὰρ ἀπήλλαξεν ἑαυτὸν τῆς πονηρᾶς ὑπονοίας, καὶ τοὺς βουλομένους ἀντιλέγειν ἐπεστόμισε· τότε λοιπὸν καὶ φοβεῖ, καὶ ἀπειλὴν τίθησι μεγίστην ὑπὲρ τῆς μελλούσης νομοθεσίας. ὅτι γὰρ οὐχ ὑπὲρ τῶν παλαιῶν νόμων τοῦτο εἴρηκεν, ἀλλ' ὑπὲρ ὧν αὐτὸς ἔμελλε νομοθετεῖν, ἄκουσον τῶν ἑξῆς.

20 Λέγω γάρ, φησιν, ὑμῖν· ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Εἰ δὲ περὶ τῶν παλαιῶν ἠπείλει νόμων, πῶς ἔλεγεν· ἐὰν μὴ περισσεύσῃ; τοὺς γὰρ ταὐτὰ ποιοῦντας, ἅπερ ἐκεῖνοι ἐποίουν, οὐκ ἦν περισσεύουσα κατὰ τὸν τῆς δικαιοσύνης λόγον. ἀλλὰ ποῖον ἦν τὸ περιττόν; τὸ μὴ ὀργισθῆναι, τὸ μηδὲ ἐμβλέψαι εἰς γυναῖκα ἀκολάστως. τίνος οὖν ἕνεκεν ἐλαχίστας αὐτὰς ἐκάλεσε, καίτοι οὕτω μεγάλας καὶ ὑψηλὰς οὔσας; ἐπειδὴ αὐτὸς τὴν νομοθεσίαν εἰσάγειν ἔμελλεν. ὥσπερ γὰρ ἑαυτὸν ἐταπείνωσε, καὶ μέτρια περὶ ἑαυτοῦ πολλαχοῦ φθέγγεται· οὕτω καὶ περὶ τῆς ἑαυτοῦ νομοθεσίας, παιδεύων ἡμᾶς κἀν τούτῳ πανταχοῦ μετριάζειν. ἄλλως δὲ, καὶ ἐπειδὴ καινοτομίας ἐδόκει τις ὑποψία εἶναι, ὑπεσταλμένως τέως κέχρηται τῷ λόγῳ. ὅταν δὲ ἀκούσῃς ἐλάχιστον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μηδὲν ἄλλο ὑπόπτευε, ἢ γέενναν καὶ κόλασιν. βασιλείαν γὰρ οἶδεν οὐχὶ τὴν ἀπόλαυσιν μόνον λέγειν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναστάσεως, καὶ τὴν παρουσίαν ἐκείνην τὴν φοβεράν. ἐπεὶ πῶς ἂν ἔχοι λόγον, τὸν μὲν εἰπόντα τὸν ἀδελφὸν μωρὸν, καὶ μίαν παραβάντα ἐντολὴν εἰς τὴν γέενναν ἐμπεσεῖν· τὸν δὲ ὅλας λύοντα, καὶ ἑτέρους εἰς τοῦτο ἐνάγοντα ἐν τῇ βασιλείᾳ εἶναι; οὐ τοίνυν τοῦτό φησιν, ἀλλ' ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ ἐλάχιστος ἔσται, τουτέστιν ἀπερριμμένος, ἔσχατος. ὁ δὲ ἔσχατος πάντως εἰς τὴν γέενναν ἐμπεσεῖται τότε. καὶ γὰρ Θεὸς ὢν, προῄδει τὴν τῶν πολλῶν ῥαθυμίαν, καὶ ὅτι μέλλουσί τινες ὑπερβολῆς νομίζειν εἶναι τὰ εἰρημένα μόνης, καὶ συλλογίζεσθαι τοὺς νόμους, καὶ λέγειν· ἐὰν οὖν τις μωρὸν καλέσῃ, κολάζεται; ἐὰν οὖν ἴδῃ τις ἁπλῶς, μοιχὸς γίνεται; διὰ δὴ ταύτην προαναιρῶν τὴν ὀλιγωρίαν, ἀπειλὴν τέθεικε μεγίστην ἑκατέροις, καὶ τοῖς παραβαίνουσι, καὶ τοῖς ἑτέρους εἰς τοῦτο ἐνάγουσιν. εἰδότες τοίνυν τὴν ἀπειλὴν, μήτε αὐτοὶ παραβαίνωμεν, μήτε τοὺς βουλομένους ταῦτα φυλάττειν ἐκλύωμεν. ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, φησὶ, μέγας κληθήσεται. οὐ γὰρ ἑαυτοῖς δεῖ χρησίμους εἶναι μόνον, ἀλλὰ καὶ ἑτέροις. οὐδὲ γὰρ ἴσος ὁ μισθὸς τῷ ἑαυτὸν κατορθοῦντι, καὶ τῷ μεθ' ἑαυτοῦ ἕτερον προσθέντι. ὥσπερ γὰρ τὸ διδάσκειν ἄνευ τοῦ ποιεῖν κρίνει τὸν διδάσκοντα (Ὁ γὰρ διδάσκων, φησὶν, ἕτερον, σεαυτὸν οὐ διδάσκεις;) οὕτω τὸ ποιεῖν μὲν, ἑτέροις δὲ μὴ ὑφηγεῖσθαι, ἐλαττοῖ τὸν μισθόν. δεῖ τοίνυν ἐν ἑκατέροις ἄκρον εἶναι, καὶ πρότερον ἑαυτὸν κατορθώσαντα, οὕτω καὶ ἐπὶ τὴν τῶν ἄλλων ἐκβαίνειν ἐπιμέλειαν. διὰ γὰρ τοῦτο καὶ αὐτὸς τὴν ποίησιν πρὸ τῆς διδασκαλίας ἔθηκε, δεικνὺς ὅτι οὕτω μάλιστά τις διδάξαι δυνήσεται, ἑτέρως δὲ οὐδαμῶς. ἀκούσεται γὰρ, ἰατρὲ, θεράπευσον σεαυτόν. ὁ γὰρ ἑαυτὸν διδάξαι μὴ δυνηθεὶς, καὶ ἑτέρους ἐπιχειρῶν διορθοῦν, πολλοὺς ἕξει τοὺς κωμῳδοῦντας αὐτόν· μᾶλλον δὲ οὐδὲ διδάξαι ὁ τοιοῦτος δυνήσεται, τῶν πραγμάτων ἀντιφθεγγομένων αὐτῷ. ἂν δὲ ἑκατέρωθεν ἀπηρτισμένος ᾖ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. λέγω γὰρ ὑμῖν· ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐνταῦθα δικαιοσύνην τὴν πᾶσαν ἀρετὴν λέγει, ὥσπερ καὶ περὶ τοῦ Ἰὼβ διαλεγόμενος ἔλεγε· καὶ ἦν ἄνθρωπος ἄμεμπτος, δίκαιος. κατὰ τοῦτο καὶ ὁ Παῦλος τὸ σημαινόμενον δίκαιον ἐκεῖνον ἐκάλεσεν, ᾧ μηδὲ κεῖσθαι νόμον ἔλεγε. Δικαίῳ γὰρ, νόμος οὐ κεῖται, φησί. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο τὸ ὄνομα ἐπὶ τῆς ἀρετῆς τῆς καθόλου κείμενον εὕροι τις ἄν. σὺ δέ μοι σκόπει τῆς χάριτος τὴν ἐπίδοσιν, ὅπου τοὺς μαθητὰς τοὺς νεήλυδας τῶν ἐν τῇ παλαιᾷ διδασκάλων κρείττους εἶναι βούλεται. γραμματέων γὰρ ἐνταῦθα καὶ Φαρισαίων, οὐχ ἁπλῶς εἶπε τῶν παρανόμων, ἀλλὰ τῶν κατορθούντων. οὐ γὰρ εἰ μὴ κατώρθουν, ἔφησεν αὐτοὺς ἔχειν δικαιοσύνην, οὐδὲ ἂν παρέβαλε τὴν οὐκ οὖσαν τῇ οὔσῃ. ὅρα δὲ καὶ ἐνταῦθα πῶς συνίστησι τὴν παλαιὰν, σύγκρισιν ποιούμενος ταύτης πρὸς ἐκείνην· ὅπερ δείκνυσιν ὁμόφυλον αὐτὴν οὖσαν καὶ συγγενῆ. τὸ γὰρ πλέον καὶ ἔλαττον, τοῦ αὐτοῦ γένους ἐστίν. οὐ τοίνυν διαβάλλει τὴν παλαιὰν, ἀλλ' ἐπιτεῖναι αὐτὴν βούλεται. εἰ δὲ ἦν πονηρὰ, οὐκ ἂν τὸ πλέον ἐζήτησεν, οὐδ' ἂν αὐτὴν διώρθωσεν, ἀλλ' ἐξέβαλεν ἄν. καὶ πῶς, φησὶν, εἰ τοιαύτη ἐστὶν, εἰς τὴν βασιλείαν οὐκ εἰσάγει νῦν; οὐκ εἰσάγει τοὺς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πολιτευομένους, ἅτε δὴ πλείονος ἀπολελαυκότας δυνάμεως, καὶ μείζονα ὀφείλοντας ἀγωνίζεσθαι·

Ρω. β. κα.

α. Τιμ. α. θ.

ἐπεὶ τούς γε αὐτῆς τροφίμους εἰσάγει ἅπαντας. Ματθ. η. ια. Καὶ γὰρ πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, φησὶ, καὶ ἀνακλιθήσονται εἰς τοὺς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Λουκ. ις. καὶ ὁ Λάζαρος δὲ τῶν μεγάλων ἀπολαύων ἐπάθλων, ἐν τοῖς ἐκείνου κόλποις φαίνεται ἐνδιαιτώμενος· καὶ πάντες ὅσοι μεθ' ὑπερβολῆς ἔλαμψαν ἐν τῇ παλαιᾷ, διὰ ταύτης ἔλαμψαν ἅπαντες. καὶ ὁ Χριστὸς δὲ, εἰ πονηρά τις ἦν καὶ ἀλλοτρία, οὐκ ἂν αὐτὴν ἐπλήρωσεν ἐλθὼν ἅπαξ. εἰ γὰρ ὑπὲρ τοῦ τοὺς Ἰουδαίους ἐπισπάσασθαι τοῦτο ἐποίει μόνον, καὶ οὐχ ὥστε δεῖξαι συγγενῆ ταύτην οὖσαν τῇ καινῇ καὶ συμβαίνουσαν, τίνος ἕνεκεν οὐχὶ καὶ τὰ τῶν Ἑλλήνων ἐπλήρου νόμιμά τε καὶ ἔθη, ἵνα καὶ Ἕλληνας ἐπισπάσηται; ὥστε πανταχόθεν δῆλον, ὅτι οὐ διὰ τὸ πονηρὰν εἶναι οὐκ εἰσάγει, ἀλλὰ διὰ τὸ μειζόνων ἐντολῶν εἶναι καιρόν. εἰ δὲ ἀτελεστέρα ἐστὶ τῆς καινῆς, οὐδὲ τοῦτο δείκνυσιν αὐτὴν πονηράν· ἐπεὶ κατὰ τοῦτο καὶ ἡ καινὴ τὸ αὐτὸ τοῦτο πείσεται. καὶ γὰρ ἡ ταύτης γνῶσις πρὸς τὴν μέλλουσαν συγκρινομένη, μερική τίς ἐστι καὶ ἀτελὴς, καὶ καταργεῖται ἐκείνης ἐλθούσης. α. Κορ. ιγ. ι. Ὅταν γὰρ ἔλθῃ, φησὶ, τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται· ὅπερ ἔπαθεν ἡ παλαιὰ διὰ τῆς καινῆς. ἀλλ' οὐ διὰ τοῦτο αὐτὴν διαβαλοῦμεν· καίτοι καὶ αὐτὴ ὑπεξίσταται, ὅταν τῆς βασιλείας ἐπιτύχωμεν (τότε γὰρ τὸ ἐκ μέρους καταργηθήσεταί, φησιν) ἀλλ' ὅμως μεγάλην αὐτὴν εἶναί φαμεν. ἐπεὶ οὖν καὶ μείζονα τὰ ἔπαθλα, καὶ πλείων ἡ παρὰ τοῦ πνεύματος δύναμις, εἰκότως καὶ μείζονα ἀπαιτεῖ τὰ χαρίσματα. οὐκέτι γὰρ γῆ ῥέουσα γάλα καὶ μέλι, οὐδὲ γῆρας λιπαρὸν, οὐδὲ πολυπαιδία, οὐδὲ σῖτος καὶ οἶνος, καὶ ποίμνια καὶ βουκόλια· ἀλλ' οὐρανὸς καὶ τὰ ἐν οὐρανοῖς ἀγαθὰ, καὶ υἱοθεσία, καὶ ἀδελφότης ἡ πρὸς τὸν μονογενῆ, καὶ κοινωνία κληρονομίας, καὶ τὸ συνδοξασθῆναι καὶ συμβασιλεῦσαι, καὶ τὰ μυρία ἔπαθλα ἐκεῖνα. ὅτι δὲ καὶ πλείονος βοηθείας ἀπελαύσαμεν, ἄκουσον τοῦ Παύλου λέγοντος· Ρω. η. α. Οὐδὲν ἄρα κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. ἀπειλήσας τοίνυν τοῖς παραβαίνουσι, καὶ μεγάλα ἔπαθλα θεὶς τοῖς κατορθοῦσι, καὶ δείξας ὅτι δικαίως πλέον ἡμᾶς ἀπαιτεῖ τῶν προτέρων μέτρων, ἄρχεται τῆς νομοθεσίας λοιπὸν, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ σύγκρισιν τῶν παλαιῶν νομίμων· δύο ταῦτα δεῖξαι βουλόμενος, ὅτι τε οὐ μαχόμενος τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συμφωνῶν ταῦτα νομοθετεῖ· καὶ ὅτι εἰκότως καὶ σφόδρα εὐκαίρως τὰ δεύτερα ἐκείνοις προστίθησιν. ὅπερ ἵνα καὶ σαφέστερον γένηται, αὐτῶν ἐπακούσωμεν τῶν τοῦ νομοθέτου ῥημάτων. τί οὖν αὐτός φησιν;

21 Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις.

Καίτοι ὁ καὶ ἐκεῖνα δοὺς αὐτός ἐστιν· ἀλλὰ τέως ἀπροσώπως αὐτὰ τίθησιν. Εἴτε γὰρ εἶπεν, ὅτι ἠκούσατε ὅτι εἶπον τοῖς ἀρχαίοις, δυσπαράδεκτος ὁ λόγος ἐγίνετο, καὶ πᾶσιν ἂν προσέστη τοῖς ἀκούουσιν· εἴτε αὖ πάλιν εἰπὼν, ὅτι ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις παρὰ τοῦ πατρός μου, ἐπήγαγεν· ἐγὼ δὲ λέγω, μείζων ἂν ἔδοξεν εἶναι ὁ αὐθαδιασμός. διὸ δὴ ἁπλῶς αὐτὸ τέθεικεν, ἓν μόνον ἀπ' αὐτοῦ κατασκευάζων, τὸ δεῖξαι ὅτι εἰς καιρὸν ἦλθε τὸν προσήκοντα ταῦτα λέγων. τὸ γὰρ εἰπεῖν, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, ἐνέφηνε πολὺν τὸν χρόνον, ἐξ οὗ τὴν ἐντολὴν ταύτην ἔλαβον. τοῦτο δὲ ἐποίησεν, ἵνα ἐντρέψῃ τὸν ἀκροατὴν τὸν ἀναδυόμενον πρὸς τὰ ὑψηλότερα ἐκβῆναι τῶν ἐπιταγμάτων· ὡσανεὶ διδάσκαλος παιδίῳ ῥαθυμοῦντι λέγοι, οὐκ οἶσθα πόσον ἀνήλωσας χρόνον συλλαβὰς μελετῶν; τοῦτο δὴ καὶ αὐτὸς αἰνιττόμενος τῷ τῶν ἀρχαίων ὀνόματι, ἐκκαλεῖται λοιπὸν αὐτοὺς πρὸς τὰ μείζονα τῶν διδαγμάτων, ὡσανεὶ ἔλεγεν· ἀρκοῦντα ἔχετε τὸν χρόνον ταῦτα μελετῶντες, καὶ δεῖ λοιπὸν πρὸς τὰ ὑψηλότερα τούτων ἐπείγεσθαι. εὖ δὲ καὶ τὸ μὴ συγχεῖν τὴν τάξιν τῶν ἐντολῶν, ἀλλ' ἀπὸ τῆς προτέρας ἄρξασθαι πρότερον, ἀφ' ἧς καὶ ὁ νόμος ἤρξατο. καὶ γὰρ καὶ τοῦτο δεικνύντος ἐστὶ τὴν συμφωνίαν.

22 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ

κρίσει. Εἶδες ἐξουσίαν ἀπηρτισμένην; εἶδες σχῆμα νομοθέτῃ πρέπον; τίς γὰρ προφητῶν οὕτω ποτὲ ἐφθέγξατο; τίς δικαίων; τίς πατριαρχῶν; οὐδείς· ἀλλά, τάδε λέγει Κύριος. ἀλλ' οὐχ ὁ υἱὸς οὕτως. ἐκεῖνοι γὰρ τὰ τοῦ δεσπότου διήγγελον, οὗτος δὲ τὰ τοῦ πατρός. ὅταν δὲ εἴπω τὰ τοῦ πατρός, τὰ αὐτοῦ λέγω. τὰ γὰρ ἐμά, φησι, σά ἐστι, καὶ τὰ σὰ ἐμά. καὶ ἐκεῖνοι μὲν τοῖς ὁμοδούλοις [ἔλεγον]· ὁ δὲ τοῖς αὐτοῦ δούλοις ἐνομοθέτει. ἐρωτήσωμεν τοίνυν τοὺς τὸν νόμον ἐκβάλλοντας, τὸ μὴ ὀργίζεσθαι τοῦ μὴ φονεύειν ἐναντίον, ἢ μᾶλλον ἐκείνου τελείωσις τοῦτο καὶ κατασκευή; ἢ δῆλον ὅτι τοῦτο ἐκείνου πλήρωσις καὶ μεῖζον τούτου ἕνεκεν. ὁ γὰρ πρὸς ὀργὴν οὐκ ἐκφερόμενος, πολλῷ μᾶλλον φόνου ἀφέξεται· καὶ ὁ θυμὸν χαλινῶν, πολλῷ μᾶλλον τὰς χεῖρας καθέξει παρ' ἑαυτῷ. ῥίζα γὰρ τοῦ φόνου ὁ θυμός. ὁ τοίνυν τὴν ῥίζαν ἐκκόπτων, πολλῷ μᾶλλον ἀναιρήσει τοὺς κλάδους· μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ἀρχὴν ἐάσει. οὐκοῦν οὐκ ἐπ' ἀναιρέσει τοῦ νόμου, ἀλλ' ἐπὶ πλείονι ταῦτα ἐνομοθέτει φυλακῇ. τί γὰρ βουλόμενος ὁ νόμος ταῦτα ἐπέταξεν; οὐχ ἵνα μηδεὶς φονεύῃ τὸν πλησίον; οὐκοῦν τοῦ μαχομένου τῷ νόμῳ τὸ κελεύειν φονεύειν ἦν. τὸ γὰρ φονεύειν τοῦ μὴ φονεύειν ἐναντίον. εἰ δὲ μηδὲ ὀργίζεσθαι ἐπιτρέπει, ὅπερ ὁ νόμος ἐβούλετο, τοῦτο μᾶλλον ἵστησιν. οὐ γὰρ ὁμοίως ἀφέξεται φόνου ὁ μελετῶν μὴ φονεύειν τῷ καὶ τὴν ὀργὴν ἀνῃρηκότι. πορρωτέρω γὰρ οὗτος ἕστηκε τοῦ τολμήματος. ἵνα δὲ καὶ ἑτέρως αὐτοὺς ἕλωμεν, εἰς μέσον ἃ λέγουσιν ἀγάγωμεν ἅπαντα. τίνα οὖν ἐστιν ἅ φασι; λέγουσιν ὅτι ὁ τὸν κόσμον ποιήσας Θεός, ὁ τὸν ἥλιον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρός τίς ἐστιν. οἱ δὲ ἐπιεικέστεροι δῆθεν αὐτῶν, τοῦτο μὲν παραιτοῦνται, δίκαιον δὲ αὐτὸν λέγοντες εἶναι, ἀποστεροῦσι τοῦ εἶναι ἀγαθόν· ἕτερον δέ τινα τὸν οὐκ ὄντα, οὔτε ποιήσαντά τι τῶν ὄντων, πατέρα διδόασι τῷ Χριστῷ. καὶ τὸν μὲν οὐκ ἀγαθὸν * ἐν τοῖς ἑαυτοῦ μένειν, καὶ τὰ ἑαυτοῦ διατηρεῖν, φασί· τὸν δὲ ἀγαθὸν τῶν ἀλλοτρίων ἐφίεσθαι, καὶ ὧν οὐκ ἐγένετο δημιουργός, τούτων ἐξαίφνης βούλεσθαι γενέσθαι σωτῆρα. Εἶδες τοῦ διαβόλου τὰ τέκνα, πῶς ἀπὸ τῆς πηγῆς τοῦ πατρὸς αὐτῶν φθέγγονται, ἀλλοτριοῦντες τοῦ Θεοῦ τὴν δημιουργίαν, τοῦ Ἰωάννου βοῶντος, ὅτι εἰς τὰ ἴδια ἦλθε, καὶ ὅτι ὁ κόσμος δι' αὐτοῦ ἐγένετο; εἶτα τὸν νόμον ἐξετάζοντες τὸν ἐν τῇ παλαιᾷ, τὸν κελεύοντα ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκβάλλειν, ἐπεμβαίνουσιν εὐθέως λέγοντες· καὶ πῶς ἂν δύναιτο ἀγαθὸς εἶναι ὁ ταῦτα λέγων; τί οὖν πρὸς ταῦτά φαμεν; ὅτι μέγιστον εἶδος φιλανθρωπίας ἐστίν. οὐ γὰρ ἵνα τοὺς ἀλλήλων ἐκκόπτωμεν ὀφθαλμοὺς τὸν νόμον ἔθηκε τοῦτον· ἀλλ' ἵνα φόβῳ τοῦ μὴ παθεῖν ὑφ' ἑτέρων, ἀπεχώμεθα τοῦ δρᾶσαί τι τοιοῦτον ἑτέρους. ὥσπερ οὖν τοῖς Νινευίταις ἠπείλησε καταστροφήν, οὐχ ἵνα αὐτοὺς ἀνέλῃ (εἰ γὰρ τοῦτο ἐβούλετο, σιγᾶν ἐχρῆν) ἀλλ' ἵνα τῷ φόβῳ βελτίους ποιήσας, παύσῃ τὴν ὀργήν· οὕτω καὶ τοῖς προχείρως ἐπιπηδῶσι τοῖς ἑτέρων ὀφθαλμοῖς τιμωρίαν ἔθηκεν, ἵνα, κἂν ἀπὸ προαιρέσεως ἀγαθῆς μὴ βούλωνται ἀπέχεσθαι τῆς ὠμότητος, ἀπὸ τοῦ φόβου κωλυθῶσι λυμαίνεσθαι ταῖς τῶν πλησίον ὄψεσιν. εἰ δὲ ἐκεῖνο ὠμότητος, καὶ τὸ κατέχεσθαι τὸν ἀνδροφόνον, καὶ τὸ κωλύεσθαι τὸν μοιχόν. ἀλλ' ἀνοήτων ταῦτα τὰ ῥήματα, καὶ τὴν ἐσχάτην μαινομένων μανίαν. ἐγὼ γὰρ τοσοῦτον δέω ταῦτα ὠμότητος εἶναι λέγειν, ὡς τἀναντία τούτοις φάναι εἶναι παράνομα κατὰ τὸν ἀνθρώπινον λογισμόν. σὺ μὲν γὰρ λέγεις, ὅτι ἐπειδὴ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐκβάλλειν ἐκέλευσε, διὰ τοῦτο ὠμός· ἐγὼ δὲ λέγω, ὅτι εἰ μὴ τοῦτο ἐκέλευσε, τότε ἂν ἔδοξε παρὰ τοῖς πολλοῖς τοῦτο εἶναι, ὃ σὺ φῄς. θῶμεν γὰρ τῷ λόγῳ λελύσθαι τὸν νόμον ἅπαντα, καὶ μηδένα τὴν ἐκ τούτου δεδοικέναι τιμωρίαν, ἀλλ' ἐξεῖναι τοῖς πονηροῖς ἅπασι μετ' ἀδείας ἁπάσης τοῖς ἑαυτῶν κεχρῆσθαι τρόποις, καὶ τοῖς μοιχοῖς, καὶ τοῖς ἀνδροφόνοις, καὶ τοῖς κλέπταις, καὶ τοῖς ἐπιόρκοις, καὶ τοῖς πατραλοίαις· ἆρα οὐκ ἂν πάντα ἄνω καὶ κάτω γέγονε, καὶ μυρίων μιασμάτων καὶ φόνων πόλεις, καὶ ἀγοραί, καὶ οἰκίαι, καὶ γῆ καὶ θάλαττα, καὶ πᾶσα ἐνεπλήσθη ἡ οἰκουμένη; παντί που δῆλον. εἰ γὰρ νόμων ὄντων καὶ φόβου καὶ ἀπειλῆς, μόλις αἱ πονηραὶ ἐπέχονται γνῶμαι· εἰ καὶ αὕτη ἀνῄρητο ἡ ἀσφάλεια, τί τὸ κωλῦον αἱρεῖσθαι τὴν κακίαν; πόση δ' οὐκ ἂν εἰσεκώμασεν εἰς τὸν ἀνθρώπινον βίον [ἡ] λύμη; οὐδὲ γὰρ τοῦτο ὠμότητος μόνον, τὸ συγχωρεῖν τοῖς κακοῖς ἃ βούλονται πράττειν· ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου, τὸ τὸν ἠδικηκότα μὲν οὐδὲν, κακῶς δὲ πάσχοντα εἰκῆ καὶ μάτην περιορᾶν ἀπρονόητον. εἰπὲ γάρ μοι, εἴ τις ἀνθρώπους μοχθηροὺς πανταχόθεν συναγαγὼν καὶ ξίφεσιν ὁπλίσας ἐκέλευσε [κατὰ] τὴν πόλιν περιιέναι πᾶσαν, καὶ τοὺς ἀπαντῶντας κατασφάττειν ἅπαντας, ἆρα ἂν ἦν τι τούτου θηριωδέστερον; τί δ' εἴ τις ἑτέρους τοὺς μὲν ὑπ' ἐκείνου καθοπλισθέντας ἔδησε καὶ καθεῖρξε μετὰ σφοδρότητος πάσης, τοὺς δὲ ἀποσφάττεσθαι μέλλοντας τῶν ἀνόμων ἐκείνων ἐξήρπασε χειρῶν, ἆρα ἂν ἦν τι τούτου φιλανθρωπότερον; ταῦτα τοίνυν καὶ ἐπὶ τὸν νόμον μετάθες τὰ ὑποδείγματα. ὁ μὲν γὰρ κελεύων ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐξορύττειν, ὥσπερ τινὰ δεσμὸν ἰσχυρὸν, τὸν φόβον ταῖς τῶν πονηρῶν ἐνέβαλε ψυχαῖς, κἀκείνῳ προσέοικε τῷ τοὺς ξιφήρεις ἐκείνους καθειργνύντι· ὁ δὲ μηδεμίαν αὐτοῖς τιμωρίαν τιθεὶς, μονονουχὶ ὁπλίζει τῇ ἀδείᾳ, κἀκεῖνον μιμεῖται τὸν ἐγχειρίσαντα αὐτοῖς τὰ ξίφη, καὶ κατὰ τῆς πόλεως ἀφέντα πάσης. ὁρᾷς πῶς οὐ μόνον οὐχ ὠμότητος, ἀλλὰ καὶ πολλῆς φιλανθρωπίας ἐστὶ τὰ ἐπιτάγματα; εἰ δὲ βαρὺν καλεῖς διὰ ταῦτα τὸν νομοθέτην καὶ φορτικὸν, ποῖον ἐπιπονώτερον, εἰπέ μοι, καὶ βαρύτερον; τὸ μὴ φονεύειν, ἢ τὸ μηδὲ ὀργίζεσθαι; τίς σφοδρότερος, ὁ τοῦ φόνου δίκας ἀπαιτῶν, ἢ καὶ ὁ τῆς ὀργῆς; ὁ τὸν μοιχὸν μετὰ τὴν πρᾶξιν ὑποβάλλων τῇ τιμωρίᾳ, ἢ ὁ καὶ τῆς ἐπιθυμίας αὐτῆς κελεύων δίκας διδόναι καὶ δίκας ἀθανάτους; ὁρᾶτε ὅτι εἰς τοὐναντίον αὐτοῖς ὁ λόγος περιετράπη; καὶ ὁ μὲν τῆς παλαιᾶς Θεὸς, ὅν φασιν ὠμὸν εἶναι, εὑρεθήσεται ἥμερος καὶ πρᾶος· ὁ δὲ τῆς καινῆς, ὃν ἀγαθὸν ὁμολογοῦσι, φορτικὸς καὶ βαρὺς κατὰ τὴν ἐκείνων ἄνοιαν; ἡμεῖς γὰρ ἕνα καὶ τὸν αὐτὸν φαμὲν ἑκατέρων τῶν διαθηκῶν νομοθέτην, πρὸς τὸ δέον πάντα οἰκονομήσαντα, καὶ τῇ τῶν καιρῶν διαφορᾷ τὴν διαφορὰν ἑκατέρας τῆς νομοθεσίας ἁρμόσαντα. οὐκοῦν οὔτε ἐκεῖνα ὠμὰ τὰ ἐπιτάγματα, οὔτε ταῦτα ἐπαχθῆ καὶ φορτικὰ, ἀλλὰ μιᾶς καὶ τῆς αὐτῆς κηδεμονίας ἅπαντα. ὅτι γὰρ καὶ τὴν παλαιὰν αὐτὸς δέδωκεν, ἄκουσον τί φησιν ὁ προφήτης· μᾶλλον δὲ τί, χρὴ λέγειν, ἐκεῖνος καὶ οὗτος. Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. εἰ δὲ οὐ δέχεται ταῦτα ὁ τὰ Μανιχαίων νοσῶν, ἀκουέτω τοῦ Παύλου λέγοντος τὸ αὐτὸ τοῦτο πάλιν· Ἀβραὰμ γὰρ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. αὗται δέ εἰσι δύο διαθῆκαι. ὥσπερ οὖν ἐκεῖ διάφοροι μὲν αἱ γυναῖκες, εἷς δὲ ὁ ἀνήρ· οὕτω καὶ ἐνταῦθα, δύο μὲν αἱ διαθῆκαι, εἷς δὲ ὁ νομοθέτης. καὶ ἵνα μάθῃς, ὅτι μιᾶς καὶ τῆς αὐτῆς ἡμερότητός ἐστιν, κἀκεῖ μὲν φησιν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ· ἐνταῦθα δὲ, ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν σιαγόνα τὴν δεξιὰν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. ὥσπερ γὰρ ἐκεῖ τῷ φόβῳ τοῦ πάθους σωφρονίζει τὸν ἀδικοῦντα· οὕτω καὶ ἐνταῦθα. καὶ πῶς, φησιν, ὁ κελεύων αὐτῷ καὶ τὴν ἄλλην παρέχειν; καὶ τί τοῦτο; οὐ γὰρ τὸν φόβον ἐκλύων τοῦτο ἐπέταξεν, ἀλλὰ αὐτῷ κελεύων παρέχειν τοῦ παντὸς ἐμφορεῖσθαι· οὐδὲ εἶπεν, ὅτι ἀτιμώρητος ἐκεῖνος μένει, ἀλλὰ σὺ μὴ κολάσῃς· ὁμοῦ καὶ τὸν πλήττοντα μειζόνως φοβῶν ἐπιμένοντα, καὶ τὸν πληττόμενον παραμυθούμενος. ἀλλὰ ταῦτα μὲν, ὡς ἄν τις ἐν παρόδῳ περὶ πασῶν εἴποι τῶν ἐντολῶν, ἡμῖν εἴρηται. ἀναγκαῖον δὲ ἐπὶ τὸ προκείμενον ἐλθεῖν, καὶ τῆς ἀκολουθίας ἔχεσθαι τῶν ἔμπροσθεν εἰρημένων. ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει, φησίν. οὐ γὰρ πάντη τὸ πρᾶγμα ἀνεῖλε· πρῶτον μὲν, ὅτι οὐκ ἔστιν ἄνθρωπον ὄντα, παθῶν ἀπηλλάχθαι· ἀλλὰ κρατεῖν μὲν δυνατὸν, ἐκτὸς δὲ αὐτῶν παντελῶς εἶναι ἀμήχανον. ἔπειτα δὲ, ὅτι καὶ χρήσιμον ταύτης τὸ πάθος, ἂν μετὰ τοῦ προσήκοντος οἴδαμεν αὐτῷ χρῆσθαι καιροῦ. σκόπει γοῦν ἡλίκα εἰργάσατο ἀγαθὰ ἡ τοῦ Παύλου ὀργὴ ἡ κατὰ Κορινθίων τότε γενομένη (καὶ γὰρ καὶ ἐκείνους αὕτη μεγάλης λύμης ἀπήλλαξε) καὶ

ὁ

Ἱερ. λα. κϛ.

χ. αἱρε

ἀλλ. ἀ

χ. ὠμότ

χ. μὴ

ἰσ. τοῦ

τὸ Γαλατῶν δὲ ἔθνος ταύτῃ πάλιν ἐκπεπτωκὸς ἀνεκτήσατο, καὶ ἑτέρους δὲ πλείους τούτων. Τίς οὖν ὁ προσήκων τῆς ὀργῆς καιρός; ὅταν μὴ ἑαυτοῖς ἀμυνώμεθα, ἀλλ' ἑτέρους σκιρτῶντας ἄγχωμεν, καὶ ῥᾳθυμοῦντας ἐπιστρέφωμεν. Τίς δὲ ὁ μὴ προσήκων; ὅταν ἑαυτοὺς ἐκδικοῦντες τοῦτο ποιῶμεν (ὅπερ οὖν καὶ ὁ Παῦλος κωλύων ἔλεγε· Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ) ὅταν περὶ χρημάτων μαχώμεθα. Ρω.ιβ.ιθ. καὶ γὰρ καὶ τοῦτο ἀνεῖλεν εἰπών· Διατί οὐ μᾶλλον ἀδικεῖσθε; διατί οὐ μᾶλλον ἀποστερεῖσθε; α.Κορ.ϛ.ζ. ὥσπερ γὰρ αὕτη περιττή, οὕτως ἐκείνη ἀναγκαία καὶ λυσιτελής. ἀλλ' οἱ πολλοὶ τοὐναντίον ποιοῦσιν, ἐκθηριούμενοι μέν, ἡνίκα ἂν ἀδικῶνται· ἐκλυόμενοι δὲ καὶ μαλακιζόμενοι, ἡνίκα ἂν ἑτέρους ἐπηρεαζομένους βλέπωσιν· ἅπερ ἀμφότερα ἀπεναντίας ἐστὶ τοῖς νόμοις τοῖς εὐαγγελικοῖς. οὐ τοίνυν τὸ ὀργίζεσθαι, παράνομον, ἀλλὰ τὸ ἀκαίρως τοῦτο ποιεῖν. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Ψαλ.δ.ε.

Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ.

Συνέδριον ἐνταῦθα, τὸ δικαστήριον τῶν Ἑβραίων φησί. τέθεικε δὲ αὐτὸ νῦν, ἵνα μὴ πανταχοῦ δόξῃ ξενίζειν καὶ καινοτομεῖν. τὸ δὲ ῥακὰ τοῦτο, οὐ μεγάλης ἐστὶν ὕβρεως ῥῆμα, ἀλλὰ μᾶλλον καταφρονήσεως καὶ ὀλιγωρίας τινὸς τοῦ λέγοντος. καθάπερ γὰρ ἡμεῖς, ἢ οἰκέταις ἢ τισι τῶν καταδεεστέρων ἐπιτάττοντες λέγομεν, ἄπελθε σύ, ἢ εἰπὲ τῷ δεῖνι σύ· οὕτω καὶ οἱ τῇ Σύρων κεχρημένοι γλώττῃ ῥακὰ λέγουσιν, ἀντὶ τοῦ, σύ, τοῦτο τιθέντες. ἀλλ' ὁ φιλάνθρωπος Θεὸς καὶ τὰ μικρότατα ἀνασπᾷ, καθηκόντως ἡμᾶς κεχρῆσθαι ἀλλήλοις κελεύων καὶ μετὰ τῆς προσηκούσης τιμῆς, καὶ ἵνα διὰ τούτων καὶ τὰ μείζονα ἀναιρῆται.

Ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός.

Πολλοῖς τοῦτο βαρὺ καὶ φορτικὸν ἔδοξεν εἶναι τὸ ἐπίταγμα, εἴ γε ῥήματος ψιλοῦ τοσαύτην μέλλομεν διδόναι τιμωρίαν· καί τινες αὐτὸ [καὶ] ὑπερβολικῶς μᾶλλον εἰρῆσθαί φασιν. ἀλλὰ δέδοικα μὴ λόγοις ἑαυτοὺς ἐνταῦθα ἀπατήσαντες, τοῖς ἔργοις ἐκεῖ τὴν ἐσχάτην ὑπομένωμεν τιμωρίαν. διατί γάρ, εἰπέ μοι, φορτικὸν εἶναι δοκεῖ τὸ ἐπίταγμα; οὐκ οἶσθα, ὅτι αἱ πλείους τῶν τιμωριῶν καὶ τῶν ἁμαρτιῶν ἀπὸ ῥημάτων ἔχουσι τὴν ἀρχήν; καὶ γὰρ διὰ ῥημάτων βλασφημίαι, καὶ ἀρνήσεις διὰ ῥημάτων, καὶ λοιδορίαι, καὶ ὕβρεις, καὶ ἐπιορκίαι, καὶ τὸ ψευδομαρτυρεῖν [καὶ ἀναιρεῖν.] μὴ τοίνυν ὅτι ῥῆμα ψιλόν ἐστιν ἴδῃς· ἀλλ' εἰ μὴ πολὺν ἔχει τὸν κίνδυνον, τοῦτο ἐξέταζε. ἢ ἀγνοεῖς, ὅτι ἐν τῷ τῆς ἔχθρας καιρῷ, τῆς ὀργῆς ἐκκαιομένης καὶ τῆς ψυχῆς ἐμπιπραμένης, καὶ τὸ μικρότατον μέγα φαίνεται, καὶ τὸ μὴ λίαν ὑβριστικόν, φορτικὸν εἶναι δοκεῖ; καὶ πολλάκις τὰ μικρὰ ταῦτα καὶ φόνον ἔτεκε καὶ πόλεις ὁλοκλήρους ἀνέστρεψεν. ὥσπερ γὰρ φιλίας οὔσης καὶ τὰ ἐπαχθῆ, κοῦφα· οὕτως ἔχθρας ὑποκειμένης, καὶ τὰ μικρά, ἀφόρητα φαίνεται· κἂν ἁπλῶς λεχθῇ, μετὰ πονηρᾶς ὑπονοίας εἰρῆσθαι νομίζεται. καὶ καθάπερ ἐπὶ πυρός, ἂν μὲν μικρὸς σπινθὴρ ᾖ, κἂν μυρία παράκειται ξύλα, οὐ ῥᾳδίως αὐτῶν ἐπιλαμβάνεται· ἂν δὲ σφοδρὰ καὶ ὑψηλὴ γένηται ἡ φλόξ, οὐ ξύλων μόνον, ἀλλὰ καὶ λίθων καὶ πάσης εὐκόλως τῆς ἐμπεσούσης ὕλης ἀντέχεται· καὶ δι' ὧν εἴωθε σβέννυσθαι, διὰ τούτων ἀνάπτεται μειζόνως (τινὲς γάρ φασιν, ὅτι τὸ τηνικαῦτα, οὐχὶ ξύλα μόνον καὶ στυππεῖον καὶ τὰ ἄλλα τὰ καυστικά, ἀλλὰ καὶ ὕδωρ ἐξακοντιζόμενον μᾶλλον αὐτῆς ἀναρριπίζει τὴν δύναμιν) οὕτω δὴ καὶ ἐπὶ τῆς ὀργῆς, ὅπερ ἂν φθέγξηταί τις, τροφὴ γέγονεν εὐθέως τῇ πονηρᾷ ταύτῃ πυρᾷ. ἅπερ ἅπαντα προαναστέλλων ὁ Χριστός, τὸν μὲν ὀργιζόμενον εἰκῇ, κατεδίκασε τῇ κρίσει (διὰ τοῦτο καὶ εἴρηκεν, ὁ ὀργιζόμενος ἔνοχος ἔσται τῇ κρίσει) τὸν δὲ λέγοντα ῥακά, τῷ συνεδρίῳ. ἀλλ' οὔπω ταῦτα μεγάλα. ἐνταῦθα γὰρ αἱ τιμωρίαι. διὰ τοῦτο τῷ μωρὸν ὀνομάζοντι τὸ τῆς γεέννης προσέθηκε πῦρ, νῦν πρῶτον ὄνομα γεέννης εἰπών. πρότερον γὰρ πολλὰ περὶ βασιλείας διαλεχθείς, τότε ταύτης ἐμνήσθη, δεικνύς, ὅτι ἐκείνη μὲν τῆς αὐτοῦ φιλανθρωπίας καὶ γνώμης ἐστίν, αὕτη δὲ τῆς

ἡμετέρας ῥᾳθυμίας. καὶ ὅρα πῶς κατὰ μικρὸν προΐεισιν ἐν ταῖς τιμωρίαις, μονονουχὶ ἀπολογούμενός σοι καὶ δεικνὺς, ὅτι αὐτὸς μὲν οὐδὲν βούλεται τοιοῦτον ἀπειλεῖν, ἡμεῖς δὲ αὐτὸν εἰς τὰς τοιαύτας ἕλκομεν ἀποφάσεις. σκόπει γάρ· Εἶπον, φησὶ, μὴ ὀργισθῇς μάτην, ἐπεὶ ἔνοχος ἔσῃ τῇ κρίσει. κατεφρόνησας τοῦ προτέρου; *ὅρα τί ἔτεκεν ἡ ὀργή· εἰς ὕβριν σε εὐθέως ἐξήγαγε. ῥακὰ γὰρ ἐκάλεσας τὸν ἀδελφόν. πάλιν ἔθηκα ἑτέραν τιμωρίαν, τὸ συνέδριον. ἂν καὶ ταύτην παριδὼν, ἐπὶ τὸ χαλεπώτερον προέλθῃς, οὐκ ἔτι σε τοῖς συμμέτροις τούτοις τιμωροῦμαι, ἀλλὰ τῇ τῆς γεέννης ἀθανάτῳ κολάσει, ἵνα μὴ λοιπὸν καὶ πρὸς φόνον ἀποπηδήσῃς. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ὕβρεως ἀφορητότερον, καὶ ὃ μάλιστα δύναται δάκνειν ἀνθρώπου ψυχήν. ὅταν δὲ καὶ αὐτὸ τὸ ῥῆμα τῆς ὕβρεως πληκτικώτερον ᾖ, διπλῆ γίνεται ἡ πυρά. μὴ τοίνυν τὸ τυχὸν νομίσῃς εἶναι, τὸ καλέσαι μωρόν. ὅταν γὰρ ᾧ τῶν ἀλόγων διεστήκαμεν, καὶ ᾧ μάλιστά ἐσμεν ἄνθρωποι, τῷ νῷ καὶ τῇ συνέσει, τοῦτο ἀφέλῃ τοῦ ἀδελφοῦ, πάσης αὐτὸν ἀπεστέρησας τῆς εὐγενείας. μὴ δὴ τοῖς ῥήμασιν ἁπλῶς προσέχωμεν, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτῶν γενόμενοι καὶ τοῦ πάθους, λογισώμεθα ὅσην ἐργάζεται τὸ ῥῆμα τοῦτο πληγὴν, καὶ εἰς ὅσον προέρχεται κακόν. διὰ τοῦτο καὶ ὁ Παῦλος οὐ τοὺς μοιχοὺς μόνον καὶ τοὺς μαλακοὺς, ἀλλὰ καὶ τοὺς λοιδόρους τῆς βασιλείας ἐξέβαλε· καὶ μάλα εἰκότως. ὁ γὰρ ὑβριστὴς τὸ τῆς ἀγάπης ''καλὸν λυμαίνεται, καὶ μυρίοις τὸν πλησίον περιβάλλει δεινοῖς, καὶ διηνεκεῖς ἀπεχθείας ἐργάζεται, καὶ τὰ τοῦ Χριστοῦ διασπᾷ μέλη, καὶ τὴν τῷ Θεῷ ποθεινὴν εἰρήνην καθ' ἑκάστην ἀπελαύνει τὴν ἡμέραν, πολλὴν τῷ διαβόλῳ διὰ τῶν ὕβρεων διδοὺς τὴν εὐρυχωρίαν, καὶ ἰσχυρότερον ἐκεῖνον ποιῶν. διὰ τοῦτο καὶ ὁ Χριστὸς τὰ νεῦρα τῆς ἐκείνου δυνάμεως ἐκκόπτων, τοῦτον τὸν νόμον εἰσήγαγε. καὶ γὰρ πολὺς αὐτῷ τῆς ἀγάπης ὁ λόγος. ἡ γὰρ τῶν ἀγαθῶν μήτηρ ἁπάντων, καὶ τὸ τῶν μαθητῶν γνώρισμα, καὶ ἡ πάντα συνέχουσα τὰ καθ' ἡμᾶς, αὕτη μάλιστα πάντων ἐστίν. εἰκότως οὖν τὰς ῥίζας τῆς λυμαινομένης αὐτὴν ἀπεχθείας καὶ τὰς πηγὰς μετὰ πολλῆς ἀναιρεῖ τῆς σφοδρότητος. μὴ τοίνυν ὑπερβολῆς τινος εἶναι νόμιζε τὰ λεγόμενα, ἀλλ' ἐννοήσας τὰ ἐξ αὐτῶν κατορθούμενα, θαύμασον τῶν νόμων τούτων τὴν ἡμερότητα. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς τὸ ἡνῶσθαι καὶ συνδεδέσθαι ἡμᾶς ἀλλήλοις. διὰ τοῦτο καὶ δι' ἑαυτοῦ καὶ διὰ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν ἐν τῇ καινῇ, καὶ τῶν ἐν τῇ παλαιᾷ, πολὺν ὑπὲρ τῆς ἐντολῆς ταύτης ποιεῖται τὸν λόγον, καὶ σφοδρός ἐστιν ἔκδικος καὶ τιμωρὸς τῶν τοῦ πράγματος καταφρονούντων. καὶ γὰρ οὐδὲν οὕτω τὴν πονηρίαν εἰσάγει πᾶσαν καὶ ῥιζοῖ, ὡς ἡ τῆς ἀγάπης ἀναίρεσις. διὰ τοῦτο καὶ ἔλεγεν· Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. οὕτως ὁ Κάϊν ἀδελφοκτόνος ἐγένετο· οὕτως [ὁ] Ἡσαῦ· οὕτως οἱ τοῦ Ἰωσὴφ ἀδελφοί· οὕτω τὰ μυρία εἰσεκώμασε κακὰ, ταύτης διασπωμένης. διὰ δὴ τοῦτο καὶ αὐτὸς τὰ λυμαινόμενα ταύτην μετὰ πολλῆς πάντοθεν ἀναιρεῖ τῆς ἀκριβείας. καὶ οὐδὲ μέχρι τῶν εἰρημένων ἵσταται μόνον, ἀλλὰ καὶ ἕτερα τῶν εἰρημένων ἐπάγει πλείονα, δι' ὧν δείκνυσιν ὅσον αὐτῆς ποιεῖται λόγον. ἀπειλήσας γὰρ διὰ τοῦ συνεδρίου καὶ τῆς κρίσεως καὶ τῆς γεέννης, ἐπήγαγεν ἕτερα πάλιν σύνῳδα τοῖς προτέροις, οὕτω λέγων·

Ματθ. κδ. ιβ.

23 Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, 24 Ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ''ἄπελθε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Ὢ τῆς ἀγαθότητος, ὢ τῆς φιλανθρωπίας τῆς πάντα λόγον ὑπερβαινούσης. τῆς εἰς αὐτὸν καταφρονεῖ τιμῆς ὑπὲρ τῆς εἰς τὸν πλησίον ἀγάπης, δεικνὺς ὅτι οὐδὲ τὰ πρότερα, ἅπερ ἠπείλησεν, ἐξ ἀπεχθείας τινὸς, οὐδὲ ἐπιθυμίᾳ κολάσεως ἠπείλησεν, ἀλλὰ φιλοστοργίας πολλῆς. τί γὰρ ἂν γένοιτο τούτων ἡμερώτερον τῶν ῥημάτων; ''ἐγκοπτέσθω, φησὶν, ἡ ἐμὴ λατρεία, ἵνα ἡ σὴ ἀγάπη μείνῃ· ἐπεὶ καὶ τοῦτο θυσία, ἡ πρὸς τὸν ἀδελφὸν καταλλαγή. διὰ γὰρ τοῦτο οὐκ εἶπε, μετὰ τὸ προσενεγκεῖν, ἢ πρὶν ἢ προσενεγκεῖν· ἀλλ' αὐτοῦ τοῦ δώρου κειμένου, καὶ τῆς θυσίας

ἀρχὴν

ὀργὴν ἐχούσης, πέμπει διαλλαγησόμενον τῷ ἀδελφῷ· καὶ οὔτε συνελθόντα τὰ προκείμενα, οὔτε πρὶν ἢ προθεῖναι, ἀλλ' ἐν τῷ μέσῳ κειμένης κελεύει τρέχειν ἐκεῖσε. τίνος οὖν ἕνεκεν οὕτω κελεύει τοῦτο ποιεῖν, καὶ διατί; δύο ταῦτα, ὡς ἐμοὶ δοκεῖ, διὰ τούτων αἰνιττόμενος καὶ κατασκευάζων· ἓν μὲν, ὅπερ ἔφην, δεῖξαι θέλων ὅτι πολλοῦ τιμᾶται τὴν ἀγάπην, καὶ ταύτην μεγίστην ἡγεῖται εἶναι τὴν θυσίαν, καὶ ταύτης ἄνευ οὐδὲ ἐκείνην προσδέχεται· ἕτερον δὲ, ἀνάγκην ἐπιτιθεὶς ἀπαραίτητον τῆς καταλλαγῆς. ὁ γὰρ κελευσθεὶς μὴ πρότερον προσενεγκεῖν, ἕως ἂν καταλλαγῇ, κἂν μὴ διὰ τὴν πρὸς τὸν πλησίον ἀγάπην, διὰ γοῦν τὸ μὴ κεῖσθαι ἀτέλεστον, ἐπειχθήσεται δραμεῖν πρὸς τὸν λελυπημένον καὶ καταλῦσαι τὴν ἔχθραν. διὰ τοῦτο καὶ "ἐμφαντικώτατα ἅπαντα εἴρηκε, φοβῶν αὐτὸν καὶ διεγείρων. εἰπὼν γὰρ· ἄφες τὸ δῶρόν σου, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπὸ τοῦ τόπου πάλιν εἰς φρίκην αὐτὸν ἐμβάλλων, καὶ ἄπελθε. καὶ οὐχ ἁπλῶς εἶπεν, ἄπελθε, ἀλλὰ προσέθηκε, πρῶτον, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου, διὰ πάντων "τούτων δηλῶν, ὅτι οὐ δέχεται τοὺς ἀπεχθῶς πρὸς ἀλλήλους ἔχοντας αὕτη ἡ τράπεζα. ἀκουέτωσαν οἱ μεμυημένοι, ὅσοι μετ' ἔχθρας προσέρχονται· ἀκουέτωσαν καὶ οἱ ἀμύητοι. καὶ γὰρ καὶ πρὸς τούτους ἔχει τι κοινὸν ὁ λόγος. προσάγουσι γὰρ καὶ αὐτοὶ δῶρον καὶ θυσίαν, εὐχὴν λέγω καὶ ἐλεημοσύνην. ὅτι γὰρ καὶ τοῦτο θυσία, ἄκουσον τί φησιν ὁ προφήτης· Θυσία αἰνέσεως δοξάσει με. καὶ πάλιν· Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. καὶ, ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. Ψαλμ. μθ. ιδ. ὥστε κἂν εὐχὴν μετὰ τοιαύτης γνώμης προσαγάγῃς, βέλτιον ἀφεῖναι τὴν εὐχὴν, καὶ ἐπὶ τὴν καταλλαγὴν ἐλθεῖν τοῦ ἀδελφοῦ, καὶ τότε τὴν εὐχὴν προσφέρειν. διὰ γὰρ τοῦτο πάντα ἐγένετο· διὰ τοῦτο καὶ ὁ Θεὸς ἄνθρωπος γέγονε, καὶ πάντα ἐκεῖνα ἐπραγματεύσατο, ἵνα ἡμᾶς συναγάγῃ. ἐνταῦθα μὲν οὖν τὸν ἠδικηκότα πέμπει πρὸς τὸν ἠδικημένον· ἐν δὲ τῇ εὐχῇ, τὸν ἠδικημένον ἄγει πρὸς τὸν ἠδικηκότα, καὶ καταλλάττει. ἐκεῖ μὲν γάρ φησιν· Ἄφετε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν· ἐνταῦθα δὲ, ἐὰν ἔχῃ τι κατὰ σοῦ, ἄπελθε πρὸς αὐτόν. Ματθ. ϛ. ιδ. μᾶλλον δὲ κἀνταῦθά μοι δοκεῖ τὸν ἠδικημένον ἀποστέλλειν. διόπερ οὐδὲ εἶπε, καταλλάξον σεαυτῷ τὸν ἀδελφόν σου, ἀλλὰ, καταλλάγηθι. καὶ δοκεῖ μὲν ὑπὲρ τοῦ λελυπηκότος εἶναι τὸ λεγόμενον, τὸ δὲ πᾶν ὑπὲρ τοῦ λελυπημένου ἐστίν. ἂν γὰρ ἐκείνῳ καταλλαγῇς, φησὶ, διὰ τὴν εἰς ἐκεῖνον ἀγάπην καὶ ἐμὲ ἕξεις ἵλεων, καὶ μετὰ πολλῆς δυνήσῃ τῆς παρρησίας τὴν θυσίαν προσαγαγεῖν. εἰ δὲ "φλεγμαίνοις ἔτι, ἐννόησον ὅτι κἀγὼ ἡδέως τὰ ἐμὰ καταφρονεῖσθαι κελεύω, ἵνα ὑμεῖς φίλοι γένησθε. καὶ ταῦτά σοι γινέσθω παραμυθία τῆς ὀργῆς. καὶ οὐκ εἶπεν, ὅταν τὰ μεγάλα ἠδικημένος ᾖς, τότε καταλλάγηθι· ἀλλὰ κἂν τὸ τυχὸν ἔχῃ τι κατὰ σοῦ. καὶ οὐ προσέθηκεν, εἴτε δικαίως, εἴτε ἀδίκως· ἀλλ' ἁπλῶς, ἐὰν ἔχῃ τι κατὰ σοῦ. κἂν γὰρ δικαίως, οὐδὲ οὕτως ἐπιτείνειν δεῖ τὴν ἔχθραν· ἐπεὶ καὶ ὁ Χριστὸς δικαίως ἡμῖν ὠργίζετο, ἀλλ' ὅμως ἑαυτὸν ὑπὲρ ἡμῶν ἐξέδωκεν εἰς σφαγὴν, μὴ λογισάμενος [ἡμῖν] ἐκεῖνα τὰ παραπτώματα. διὰ τοῦτο καὶ ὁ Παῦλος ἑτέρῳ τρόπῳ ἐπὶ τὰς καταλλαγὰς ἐπείγων ἡμᾶς, ἔλεγεν· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. ὥσπερ γὰρ ἐντεῦθεν ἀπὸ τῆς θυσίας ὁ Χριστὸς· οὕτως ἀπὸ τῆς ἡμέρας ἐκεῖ συνωθεῖ πρὸς τὸ αὐτὸ τοῦτο ὁ Παῦλος. καὶ γὰρ δέδοικε τὴν νύκτα, μήποτε μόνον ἀπολαβοῦσα τὸν πεπληγότα, μεῖζον τὸ ἕλκος ἐργάσηται. ἐν ἡμέρᾳ μὲν γὰρ πολλοὶ οἱ περισπῶντες καὶ ἀνθέλκοντες· ἐν νυκτὶ δὲ, ἐπειδὰν μόνος γένηται, καὶ καθ' ἑαυτὸν ἀναλογίζηται, ὀγκοῦται τὰ κύματα, καὶ μείζων ἡ ζάλη γίνεται. διὰ τοῦτο οὖν προκαταλαμβάνων ὁ Παῦλος, καταλλαγέντα βούλεται παραδοῦναι τῇ νυκτὶ, ἵνα μηδεμίαν ἀπὸ τῆς ἠρεμίας ἀφορμὴν ἔχῃ λοιπὸν ὁ διάβολος εἰς τὸ τὴν κάμινον ἀνάψαι τῆς ὀργῆς καὶ ποιῆσαι σφοδροτέραν. οὕτω καὶ ὁ Χριστὸς οὐκ ἀφίησιν οὐδὲ μικρὸν ὑπερτίθεσθαι, ἵνα μὴ, τῆς θυσίας πληρωθείσης, ῥαθυμότερος ὁ τοιοῦτος γένηται, ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενος. οἶδε γὰρ τὸ πάθος πολλῆς δεόμενον τῆς ταχύτητος. καὶ καθάπερ σοφὸς ἰατρὸς οὐ μόνον τὰ προφυλακτικὰ τῶν νοσημάτων τίθησιν, ἀλλὰ καὶ τὰ διορθωτικὰ [δείκνυσιν·] οὕτω καὶ αὐτὸς ποιεῖ. τὸ μὲν γὰρ κωλύειν καλεῖν μωρὸν, προφυλακτικόν ἐστι τῆς ἔχθρας· τὸ δὲ κελεύειν καταλλαγῆναι, τῶν μετὰ τὴν ἔχθραν γινομένων νοσημάτων ἀναιρετικόν. καὶ ὅρα ἑκάτερον πῶς μετὰ σφοδρότητος κεῖται. ἐκεῖ μὲν γὰρ γέενναν ἠπείλησεν, ἐνταῦθα δὲ τὸ δῶρον οὐ δέχεται πρὸ τῆς καταλλαγῆς, πολλὴν ἐνδεικνύμενος τὴν ὀργὴν, καὶ διὰ τούτων πάντων καὶ τὴν ῥίζαν καὶ τὸν καρπὸν ἀναιρῶν. καὶ πρότερον μέν φησι, μὴ ὀργίζου· μετὰ δὲ ταῦτα, μὴ λοιδόρει. καὶ γὰρ ἀμφότερα ταῦτα δι' ἀλλήλων αὔξεται· ἀπὸ τῆς ἔχθρας, ἡ λοιδορία· ἀπὸ τῆς λοιδορίας, ἡ ἔχθρα. διὰ δὴ τοῦτο νῦν μὲν τὴν ῥίζαν, νῦν δὲ τὸν καρπὸν ἰᾶται, κωλύων μὲν καὶ φῦναι τὸ κακὸν τὴν ἀρχήν· ἂν δ' ἄρα βλαστήσῃ καὶ καρπὸν ἐνέγκῃ τὸν πονηρότατον, πάντοθεν αὐτὸ κατακαίων μειζόνως. διά τοι τοῦτο καὶ κρίσιν εἰπὼν καὶ συνέδριον καὶ γέενναν, καὶ περὶ τῆς αὐτοῦ θυσίας διαλεχθεὶς, καὶ ἕτερα προστίθησι πάλιν, οὕτω λέγων·

25 Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ.

Ἵνα γὰρ μὴ λέγῃς· τί οὖν, ἂν ἀδικῶμαι; τί οὖν, ἂν ἁρπάζωμαι καὶ εἰς δικαστήριον ἕλκωμαι; καὶ ταύτην ἀνεῖλε τὴν ἀφορμὴν καὶ τὴν πρόφασιν. κελεύει γὰρ μηδὲ οὕτως ἐχθραίνειν. εἶτα, ἐπειδὴ τοῦτο μέγα ἦν τὸ ἐπίταγμα, ἀπὸ τῶν παρόντων πιστοῦται τὴν συμβουλὴν, ἃ [καὶ] τοὺς παχυτέρους μᾶλλον τῶν μελλόντων κατέχειν εἴωθε. τί γὰρ λέγεις, φησίν; ὅτι δυνατώτερός ἐστι καὶ ἀδικεῖ; οὐκοῦν μᾶλλόν σε ἀδικήσει, ἐὰν μὴ καταλύσῃς, ἀλλὰ ἀναγκασθῇς εἰς δεσμωτήριον ἐλθεῖν. τότε μὲν γὰρ χρήματα ἀποστάς, τὸ σῶμα ἕξεις ἐλεύθερον· ὑπὸ δὲ τῇ ψήφῳ γενόμενος τοῦ δικαστοῦ, καὶ δεσμευθήσῃ, καὶ τὴν ἐσχάτην δώσεις δίκην. ἂν δὲ φύγῃς τὴν ἐκεῖ μάχην, δύο καρπώσῃ καλά· καὶ τὸ μηδὲν παθεῖν ἀηδὲς, καὶ τὸ σὸν γενέσθαι τὸ κατόρθωμα λοιπὸν, καὶ μηκέτι τῆς ἐκείνου βίας. εἰ δὲ οὐ βούλει πεισθῆναι τοῖς λεγομένοις, οὐκ ἐκεῖνον ἀδικήσεις τοσοῦτον, ὅσον σαυτόν. ὅρα δὲ καὶ ἐνταῦθα πῶς αὐτὸν ἐπάγει. εἰπὼν γὰρ, ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, ἐπήγαγε, ταχύ. καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ταύτης τῆς ταχύτητος ἑτέραν ἐζήτησεν ἐπίτασιν, εἰπών· ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, διὰ τούτων ὠθῶν αὐτὸν καὶ κατεπείγων μετὰ πολλῆς τῆς σφοδρότητος. οὐδὲν γὰρ οὕτω τὸν βίον ἀνατρέπει τὸν ἡμέτερον, ὡς τὸ μέλλειν καὶ ἀναβάλλεσθαι ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ. πολλάκις γοῦν τοῦτο καὶ ἐκπεσεῖν ἡμᾶς τοῦ παντὸς ἐποίησεν· ὥσπερ οὖν καὶ ὁ Παῦλός φησι· πρὶν ἢ τὸν ἥλιον δῦναι, λῦσον τὴν ἔχθραν· καὶ ἐν τοῖς ἔμπροσθεν αὐτὸς, πρὶν ἢ τὴν προσφορὰν ἀπαρτίσαι, καταλλάγηθι. οὕτω καὶ ἐνταῦθά φησι, ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, πρὶν ἐπὶ τὰς θύρας ἐλθεῖν τοῦ δικαστηρίου, πρὶν ἢ τῷ βήματι παραστῆναι, καὶ γενέσθαι λοιπὸν ὑπὸ τῇ τοῦ δικάζοντος ἐξουσίᾳ. πρὸ μὲν γὰρ τῆς εἰσόδου, σὺ κύριος εἶ τοῦ παντός· ἐὰν δὲ ἐπιβῇς ἐκείνων τῶν προθύρων, οὐδὲ σφόδρα σπουδάζων δυνήσῃ τὰ καθ' ἑαυτὸν, ὡς βούλει, διαθεῖναι, ὑπὸ τὴν ἑτέρου γενόμενος ἀνάγκην. τί δέ ἐστιν εὐνοεῖν; ἢ τοῦτό φησιν, ὅτι καταδέχου μᾶλλον ἀδικεῖσθαι, ἢ οὕτω δίκασον τὴν δίκην, ὡσανεὶ τὴν ἐκείνου τάξιν ἔχων, ἵνα μὴ τῇ φιλαυτίᾳ τὸ δίκαιον διαφθείρῃς, ἀλλ' ὡς περὶ οἰκείου, τοῦ ἀλλοτρίου βουλευόμενος πράγματος, ἵνα ταύτην ἐξενέγκῃς τὴν ψῆφον. εἰ δὲ μέγα τοῦτο, μὴ θαυμάσῃς. διὰ γὰρ τοῦτο πάντας ἐκείνους ἔθηκε τοὺς μακαρισμοὺς, ἵνα προλεάνας καὶ προπαρασκευάσας τοῦ ἀκροατοῦ τὴν ψυχὴν, ἐπιτηδειοτέραν ἐργάσηται πρὸς τὴν ὑποδοχὴν τῆς νομοθεσίας ταύτης ἁπάσης. τινὲς μὲν οὖν τὸν διάβολον αὐτὸν αἰνίττεσθαί φασι τῇ τοῦ ἀντιδίκου προσηγορίᾳ, καὶ κελεύειν μηδὲν ἔχειν τῶν ἐκείνου (τοῦτο γὰρ εἶναι τὸ εὐνοεῖν αὐτῷ) ὡς οὐκ ἐνὸν διαλύσασθαι μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν, τῆς ἀπαραιτήτου λοιπὸν ἐκδεχομένης ἡμᾶς κολάσεως. ἐμοὶ δὲ περὶ τῶν ἐνταῦθα δοκεῖ λέγειν δικαστῶν, καὶ τῆς ἐπὶ τὸ δικαστήριον ὁδοῦ, καὶ τοῦ δεσμωτηρίου τούτου. ἐπειδὴ γὰρ ἀπὸ τῶν ὑψηλοτέρων ἐνέτρεψε καὶ τῶν μελλόντων, καὶ ἀπὸ τῶν ἐν τῷ παρόντι βίῳ φοβεῖ. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐργάζεται, ἀπό τε τῶν μελλόντων, ἀπό τε τῶν παρόντων ἐνάγων τὸν ἀκροατήν· οἷον ὡς ὅταν ἀπάγων κακίας, τοὺς ἄρχοντας ὁπλιζομένους δεικνύῃ τῷ πονηρευομένῳ, οὕτω λέγων· Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστι. καὶ πάλιν κελεύων ὑποτάσσεσθαι αὐτοῖς, οὐ τὸν τοῦ Θεοῦ φόβον τίθησι μόνον, ἀλλὰ καὶ τὴν ἀπειλὴν τὴν ἐκείνου καὶ τὴν κηδεμονίαν. ἀνάγκη γὰρ ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. τοὺς γὰρ ἀλογωτέρους, ὅπερ ἔφθην εἰπών, ταῦτα μᾶλλον εἴωθε διορθοῦν τὰ φαινόμενα καὶ παρὰ πόδας. διὸ καὶ ὁ Χριστὸς οὐ γεέννης μόνον ἐμνημόνευσεν, ἀλλὰ καὶ δικαστηρίου καὶ ἀπαγωγῆς καὶ δεσμωτηρίου, καὶ τῆς ἐκεῖ ταλαιπωρίας ἁπάσης, διὰ πάντων τούτων τὰς ῥίζας ἀναιρῶν τοῦ φόνου. ὁ γὰρ μήτε λοιδορούμενος, μήτε δικαζόμενος, μήτε τὴν ἔχθραν ἐκτείνων, πῶς φονεύσει ποτέ; ὥστε κἀντεῦθεν δῆλον, ὅτι ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ ἡμέτερον κεῖται συμφέρον. ὁ γὰρ τῷ ἀντιδίκῳ εὐνοῶν, πολλῷ μείζονα ἑαυτὸν ὠφελήσει, δικαστηρίων καὶ δεσμωτηρίων καὶ τῆς ἐκεῖ ταλαιπωρίας ἑαυτὸν ἀπαλλάττων.

Ρω. ιγ. δ.

ΗΘΙΚΟΝ

Πειθώμεθα τοίνυν τοῖς λεγομένοις, καὶ μὴ ἀντιτείνωμεν, μηδὲ ἀντιφιλονεικῶμεν. μάλιστα μὲν γὰρ καὶ πρὸ τῶν ἐπάθλων ἐν ἑαυτοῖς ἔχει τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν τὰ ἐπιτάγματα ταῦτα. εἰ δὲ τοῖς πολλοῖς ἐπαχθῆ εἶναι δοκεῖ καὶ πολὺν παρέχειν τὸν πόνον, ἐννόησον ὅτι διὰ τὸν Χριστὸν ταῦτα ποιεῖς, καὶ τὸ λυπηρὸν ἔσται ἡδύ. ἐὰν γὰρ τὸν λογισμὸν τοῦτον ἔχωμεν διαπαντός, οὐδενὸς πειρασόμεθα φορτικοῦ, ἀλλὰ πολλὴν πάντοθεν καρπωσόμεθα τὴν ἡδονήν. ὁ γὰρ πόνος οὐκ ἔτι πόνος φανεῖται· ἀλλ' ὅσωπερ ἂν ἐπιτείνηται, τοσούτῳ γλυκύτερος καὶ ἡδίων γίνεται. ὅταν τοίνυν ἐπιμένῃ ἡ συνήθειά σε τῶν κακῶν γοητεύουσα, καὶ ἡ τῶν χρημάτων ἐπιθυμία, ἀντιστράτευσον αὐτῇ τὸν λογισμὸν ἐκεῖνον τὸν λέγοντα, ὅτι πολὺν ληψόμεθα τὸν μισθὸν τῆς προσκαίρου καταφρονήσαντες ἡδονῆς· καὶ εἰπὲ πρὸς τὴν ψυχήν, [πάνυ] ἀθυμεῖς, ὅτι σε ἡδονῆς ἀποστερῶ· * ἀλλ' εὐφραίνου, ὅτι σοι τὸν οὐρανὸν προξενῶ· οὐ δι' ἄνθρωπον ποιεῖς, ἀλλὰ διὰ τὸν Θεόν. ἀνάσχου τοίνυν μικρόν, καὶ ὄψει τὸ κέρδος ἡλίκον· καρτέρησον κατὰ τὸν παρόντα βίον, καὶ λήψῃ παρρησίαν ἄφατον. ἂν γὰρ τοιαῦτα αὐτῇ διαλεγώμεθα, καὶ μὴ μόνον τὸ φορτικὸν ἐννοῶμεν τῆς ἀρετῆς, ἀλλὰ καὶ τὸν ἐξ αὐτῆς λογιζώμεθα στέφανον, ταχέως αὐτὴν τῆς κακίας ἀποστήσομεν ἁπάσης. Εἰ γὰρ ὁ διάβολος δεικνὺς τὸ μὲν ἡδὺ πρόσκαιρον, τὸ δὲ ὀδυνηρὸν διηνεκές, ὅμως ἰσχύει καὶ περιγίνεται· ὅταν ἀντιστρόφως παρ' ἡμῖν ταῦτα φαίνηται, τὸ μὲν ἐπίπονον, πρόσκαιρον, τὸ δὲ ἡδὺ καὶ χρήσιμον, ἀθάνατον, τίς ἡμῖν ἐστι λόγος μὴ μετιοῦσιν ἀρετὴν μετὰ τοσαύτην παραμυθίαν; ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάντων ἡ τῶν πόνων ὑπόθεσις, καὶ τὸ πεπεῖσθαι σαφῶς, ὅτι διὰ τὸν Θεὸν ὑπομένομεν ταῦτα πάντα. Εἰ γὰρ τὸν βασιλέα ἔχων τις ὀφειλέτην, ἀρκοῦσαν εἰς πάντα νομίζει τὸν βίον ἀσφάλειαν ἔχειν, ἐννόησον ἡλίκος ἐστὶν ὁ τὸν φιλάνθρωπον καὶ ἀεὶ ζῶντα Θεόν, καὶ μικρῶν καὶ μεγάλων κατορθωμάτων χρεώστην ἑαυτῷ καταστήσας. μὴ τοίνυν προβάλλου μοι πόνους καὶ ἱδρῶτας. οὐδὲ γὰρ τῇ τῶν μελλόντων ἐλπίδι μόνον, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ κούφην τὴν ἀρετὴν ἐποίησεν ὁ Θεός, συνεφαπτόμενος ἡμῖν πανταχοῦ καὶ συναντιλαμβανόμενος. κἂν βουληθῇς μόνον ὀλίγην εἰσενεγκεῖν προθυμίαν, τὰ ἄλλα πάντα ἕπεται. διὰ γὰρ τοῦτο βούλεται καὶ σὲ μικρὰ πονεῖν, ἵνα καὶ σὴ ἡ νίκη γένηται. καὶ καθάπερ βασιλεὺς βούλεται μὲν τὸν ἑαυτοῦ παῖδα παρεῖναι ἐπὶ τῆς παρατάξεως, καὶ τοξεύειν, καὶ φαίνεσθαι, ὥστε αὐτῷ λογισθῆναι τὸ τρόπαιον, τὸ δὲ πᾶν αὐτὸς ἀνύει· οὕτω καὶ ὁ Θεὸς ἐν τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου ποιεῖ. ἓν γὰρ ἀπαιτεῖ παρὰ σοῦ μόνον, ὥστε ἔχθραν πρὸς ἐκεῖνον ἐπιδείξασθαι γνησίαν· κἂν ταῦτα αὐτῷ παράσχῃς, αὐτὸς πάντα λύει τὸν πόλεμον. κἂν ὀργὴ φλεγμαίνῃ, κἂν χρημάτων ἐπιθυμία, κἂν ὁποιονοῦν ἕτερον πάθος τυραννικὸν παραγίνηται, ταχέως, ἂν ἴδῃ σε μόνον πρὸς αὐτὸν ἀποδυόμενον καὶ παρεσκευασμένον, καὶ ῥᾴδια πάντα ποιεῖ, καὶ ἀνώτερον ἵστησι τῆς φλογός, καθάπερ τοὺς παῖδας τότε ἐκείνους ἐπὶ τῆς Βαβυλωνίας καμίνου. καὶ γὰρ ἐκεῖνοι πλέον οὐδὲν τῆς γνώμης εἰσήνεγκαν.

χαν. ἵν᾽ οὖν καὶ ἡμεῖς, πᾶσαν κάμινον ἡδονῆς ἀτάκτου καταλύσαντες ἐνταῦθα, τὴν ἐκεῖ διαφύγωμεν γέενναν, ταῦτα καθ᾽ ἑκάστην ἡμέραν καὶ ″βουλευώμεθα καὶ μεριμνῶμεν καὶ πράττωμεν, τῇ τε περὶ τὰ ἀγαθὰ προθέσει, καὶ ταῖς πυκναῖς εὐχαῖς τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπώμενοι. οὕτω γὰρ καὶ τὰ δοκοῦντα ἀφόρητα εἶναι νῦν, ῥᾷστα ἔσται καὶ κοῦφα καὶ ἐπέραστα. ἕως μὲν γὰρ ἐν τοῖς πάθεσιν ὦμεν, τραχεῖαν καὶ δύσκολον καὶ ″ἀνάντη τὴν ἀρετὴν εἶναι νομίζομεν, τὴν δὲ κακίαν ποθεινὴν καὶ ἡδίστην· ἂν δὲ μικρὸν ἀποστῶμεν τούτων, τότε κἀκείνη φανεῖται βδελυρὰ καὶ δυσειδής, καὶ αὕτη ῥᾳδία καὶ εὔκολος καὶ ποθεινή. καὶ ταῦτα ἐκ τῶν κατορθωκότων ἔστι σαφῶς μαθεῖν. ἄκουσον γοῦν πῶς ὁ Παῦλος ἐκεῖνα μὲν καὶ μετὰ τὴν ἀπαλλαγὴν αἰσχύνεται, λέγων· Τίνα γὰρ καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε;

Ρω. ς. κα.

ταύτην δὲ καὶ μετὰ τὸν πόνον κούφην εἶναί φησι, τὸ παραυτίκα τῆς θλίψεως καὶ τὸ ἐπίπονον ἐλαφρὸν καλῶν, καὶ χαίρων ἐν τοῖς παθήμασι, καὶ ἀγαλλόμενος ἐν ταῖς θλίψεσι, καὶ μέγα φρονῶν ἐπὶ τοῖς στίγμασι τοῖς διὰ Χριστόν. ἵν᾽ οὖν καὶ ἡμεῖς ἐν ταύτῃ καταστῶμεν τῇ ἕξει, τοῖς εἰρημένοις καθ᾽ ἑκάστην ἡμέραν ἑαυτοὺς ῥυθμίζοντες, καὶ τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενοι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, διώκωμεν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ιζ. 27 ΗΚΟΥΣΑΤΕ ΟΤΙ ΕΡΡΕΘΗ ΤΟΙΣ ΑΡχαίοις, οὐ μοιχεύσεις. 28 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ″ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ″αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

Ἀπαρτίσας* τὴν προτέραν ἐντολὴν, καὶ εἰς ″ἄκρον φιλοσοφίας αὐτὴν ἐκτείνας, ὁδῷ καὶ τάξει προβαίνων, λοιπὸν ἐπὶ τὴν δευτέραν πρόεισι, κἀνταῦθα τῷ νόμῳ πειθόμενος. καὶ μὴν οὐ δευτέρα αὕτη, φασίν, ἀλλὰ τρίτη. οὐ γὰρ προτέρα ἐστὶν, οὐ φονεύσεις· ἀλλὰ Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. διὸ καὶ ζητῆσαι ἄξιον, τίνος ἕνεκεν οὐκ ἐκεῖθεν ἤρξατο. τίνος οὖν ἕνεκεν; ὅτι ἀρξάμενον ἐκεῖθεν, ἔδει καὶ αὐτὴν αὐξῆσαι, καὶ ἑαυτὸν συνεισαγαγεῖν. οὔπω δὲ καιρὸς ἦν περὶ ἑαυτοῦ διδάσκειν τι τοιοῦτον· ἄλλως δὲ, καὶ τὸν ἠθικὸν τέως ἐγύμναζε λόγον, ἐντεῦθεν βουλόμενος πρότερον, καὶ ἐκ τῶν θαυμάτων πεῖσαι τοὺς ἀκούοντας, ὅτι υἱὸς ἦν τοῦ Θεοῦ. τὸ μὲν οὖν εὐθέως, πρὶν ἤ τι φθέγξασθαι καὶ ποιῆσαι, λέγειν· ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, ἐγὼ Κύριος ὁ Θεός σου, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν ἄλλος, ἐγὼ δὲ λέγω ὑμῖν καὶ ἐμὲ προσκυνεῖτε ὡς ἐκεῖνον, ἐποίει πάντας ὡς μαινομένῳ προσέχειν αὐτῷ. εἰ γὰρ καὶ μετὰ τὴν διδασκαλίαν καὶ τὰ τοσαῦτα σημεῖα

Ιω. η. νβ.
καὶ ι. κ.

οὐδέπω φανερῶς αὐτοῦ τοῦτο λέγοντος, δαιμονῶντα ἐκάλουν, εἰ πρὸ τούτων ἁπάντων ἐπεχείρησέ τι τοιοῦτον εἰπεῖν, τί οὐκ ἂν εἶπον; τί οὐκ ἂν ἐνενόησαν; τῷ δὲ ἐν καιρῷ τῷ προσήκοντι τὴν περὶ τούτων τηρῆσαι διδασκαλίαν, εὐπαράδεκτον ἐποίει τοῖς πολλοῖς γίνεσθαι τὸ δόγμα. διόπερ νῦν μὲν αὐτὸ παρέδραμεν, ἀπὸ τῶν σημείων αὐτὸ πανταχοῦ κατασκευάσας καὶ τῆς ἀρίστης διδασκαλίας· ὕστερον δὲ αὐτὸ καὶ διὰ ῥημάτων ἐξεκάλυψε. νῦν μέντοι τῇ τῶν σημείων ἐπιδείξει καὶ αὐτῷ τῆς διδασκαλίας τῷ τρόπῳ κατὰ μικρὸν καὶ ἠρέμα αὐτὸ ″παραδείκνυσι. τὸ γὰρ μετ᾽ ἐξουσίας τὰ τοιαῦτα νομοθετεῖν καὶ διορθοῦν, τὸν

Ματθ. ζ. κθ.
Μαρκ. α. κβ.

προσέχοντα καὶ νοῦν ἔχοντα ″ἀνήγαγε καὶ κατὰ τὸν τοῦ δόγματος λόγον. Ἐξεπλήττοντο γὰρ αὐτὸν, φησιν, ὅτι οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν ἐδίδασκεν. ἀρξάμενος γὰρ ἀπὸ τῶν γενικωτάτων ἐν ἡμῖν παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας (ταῦτα γάρ ἐστι μάλιστα τὰ τυραννοοῦντα ἐν ἡμῖν, καὶ τῶν ἄλλων ὄντα φυσικώτερα) μετὰ πολλῆς τῆς αὐθεντίας καὶ ὅσης νομοθέτῃ προσῆκον ἦν, διώρθωσέ τε αὐτά, καὶ μετὰ πάσης ἐκόσμησε τῆς ἀκριβείας. οὐδὲ γὰρ εἶπεν, ὅτι ὁ μοιχὸς κολάζεται μόνον, ἀλλ᾽ ὅπερ ἐποίησεν ἐπὶ τοῦ φονεύοντος, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, καὶ τὴν ἀκόλαστον ὄψιν κολάζων, ἵνα μάθῃς τὸ πλέον τῶν γραμματέων ποῦ τίθεται. διόπερ φησίν· ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· τουτέστιν, ὁ ποιούμενος ἔργον τὸ τὰ λαμπρὰ σώματα περιεργάζεσθαι, καὶ τὰς εὐμόρφους ὄψεις θηρᾶν, καὶ ἑστιᾶν τῇ θέᾳ τὴν ψυχήν, καὶ προσηλοῦν τὰ ὄμματα τοῖς καλοῖς προσώποις. οὐ γὰρ τὸ σῶμα ἦλθεν ἀπαλλάξαι τῶν πονηρῶν πράξεων μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν πρὸ ἐκείνου. ἐπειδὴ γὰρ ἐν τῇ καρδίᾳ τὴν τοῦ πνεύματος δεχόμεθα χάριν, αὐτὴν ἐκκαθαίρει πρώτην. καὶ πῶς δυνατὸν ἐπιθυμίας, φησίν, ἀπηλλάχθαι; μάλιστα μέν, εἰ βουληθείημεν, δυνατὸν καὶ αὐτὴν νεκρωθῆναι καὶ ἀνενέργητον μένειν· ἄλλως δὲ ἐνταῦθα οὐχ ἁπλῶς τὴν ἐπιθυμίαν ἀναιρεῖ, ἀλλὰ τὴν ἐκ τῆς ὄψεως ἐπιγινομένην ἐπιθυμίαν. ὁ γὰρ σπουδάζων ὁρᾶν τὰς εὐμόρφους ὄψεις, αὐτὸς μάλιστα τὴν κάμινον ἀνάπτει τοῦ πάθους, καὶ τὴν ψυχὴν αἰχμάλωτον ποιεῖ, καὶ ταχέως καὶ ἐπὶ τὴν πρᾶξιν ἔρχεται. διὰ δὴ τοῦτο οὐκ εἶπεν, ὃς ἐὰν ἐπιθυμήσῃ πρὸς τὸ μοιχεῦσαι· ἀλλ᾽, ὃς ἂν ἴδῃ πρὸς τὸ ἐπιθυμῆσαι. καὶ ἐπὶ μὲν τῆς ὀργῆς διορισμὸν τινὰ τέθεικεν, ἐπαγαγὼν καὶ εἰπὼν τὸ εἰκῆ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καθάπαξ τὴν ἐπιθυμίαν ἀνεῖλε. καίτοιγε ἀμφότερα ἔμφυτα, καὶ χρησίμως ἡμῖν ἀμφότερα ἔγκειται, καὶ ὀργὴ καὶ ἐπιθυμία· ἡ μέν, ἵνα τοὺς πονηροὺς κολάζωμεν καὶ τοὺς ἀκοσμοῦντας διορθῶμεν· ἡ δέ, ἵνα παιδοποιῶμεν καὶ τὸ γένος ἡμῖν συγκροτῆται ταῖς τοιαύταις διαδοχαῖς. τίνος οὖν ἕνεκεν οὐκ ἔθηκε διορισμὸν καὶ ἐνταῦθα; μέγιστον μὲν οὖν, ἐὰν προσέχῃς, ὄψει καὶ ἐνταῦθα διορισμὸν ἐγκείμενον. οὐ γὰρ ἁπλῶς εἶπεν, ὃς ἂν ἐπιθυμήσῃ (ἐπεί ἐστι καὶ ἐν ὄρεσι καθήμενον ἐπιθυμεῖν) ἀλλ᾽ ὃς ἂν ἐμβλέψῃ πρὸς τὸ ἐπιθυμῆσαι· τουτέστιν, ὁ ἑαυτῷ τὴν ἐπιθυμίαν συλλέγων, ὁ μηδενὸς ἀναγκάζοντος τὸ θηρίον ἐπεισάγων ἠρεμοῦντι τῷ λογισμῷ. τοῦτο γὰρ οὐκ ἔτι τῆς φύσεως γίνεται, ἀλλὰ τῆς σῆς ῥαθυμίας. τοῦτο καὶ ἡ παλαιὰ διορθοῦται ἄνωθεν λέγουσα· Μὴ καταμάνθανε κάλλος ἀλλότριον. εἶτα, ἵνα μή τις λέγῃ· τί οὖν, ἐὰν [καὶ] καταμάθω, καὶ μὴ ἁλῶ; κολάζει τὴν ὄψιν· ἵνα μὴ τῇ ἀδείᾳ ταύτῃ θαρρῶν, καταπέσῃς ποτὲ εἰς τὸ ἁμαρτάνειν. τί οὖν, ἐὰν ἴδω, φησί, καὶ ἐπιθυμήσω μέν, μηδὲν δὲ πράξω πονηρόν; καὶ οὕτω μετὰ τῶν μοιχῶν ἕστηκας. ἀπεφήνατο γὰρ ὁ νομοθέτης, καὶ οὐδὲν δεῖ περιεργάζεσθαι πλέον. ἅπαξ μὲν γὰρ καὶ δὶς καὶ τρὶς οὕτως ἰδών, ἴσως δυνήσῃ κρατεῖν· ἂν δὲ συνεχῶς τοῦτο ποιῇς καὶ ἀνάπτῃς τὴν κάμινον, ἁλώσῃ πάντως. οὐ γὰρ ἔξω τῆς ἀνθρωπίνης ἕστηκας φύσεως. ὥσπερ οὖν ἡμεῖς, ἐὰν ἴδωμεν παιδίον μάχαιραν κατέχον, κἂν μὴ πληγὴν ἴδωμεν, μαστιγοῦμεν καὶ ἀπαγορεύομεν αὐτῷ μηδέποτε αὐτῆς κατέχειν· οὕτω καὶ ὁ Θεὸς τὴν ἀκόλαστον ὄψιν καὶ πρὸ τῆς πράξεως ἀναιρεῖ, μήποτε καὶ εἰς πρᾶξιν ἐμπέσῃ. ὁ γὰρ τὴν φλόγα ἀνάψας ἅπαξ, καὶ ἀπούσης τῆς ὀφθείσης γυναικός, πλάττει παρ᾽ ἑαυτῷ διηνεκῶς εἴδωλα πραγμάτων αἰσχρῶν, καὶ ἀπ᾽ αὐτῶν πολλάκις καὶ ἐπὶ τὸ ἔργον πρόεισι. διὰ τοῦτο καὶ τὴν διὰ τῆς καρδίας συμπλοκὴν ὁ Χριστὸς ἀναιρεῖ. τί τοίνυν εἴποιεν ἂν οἱ τὰς συνοικούσας ἔχοντες παρθένους; ἀπὸ γὰρ τῆς τοῦ νόμου θέσεως μυρίων ἂν εἶεν μοιχειῶν ὑπεύθυνοι, καθ᾽ ἑκάστην ἡμέραν μετὰ ἐπιθυμίας ὁρῶντες αὐτάς. διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ τοῦτον ἐξ ἀρχῆς ἔθηκε τὸν νόμον, ἀποτειχίζων ἑαυτῷ πανταχοῦ τὴν τοιαύτην θεωρίαν. καὶ γὰρ μείζων ὁ ἀγὼν μετὰ τὸ ἰδεῖν, καὶ μὴ ἀπολαῦσαι τῆς ἐρωμένης· καὶ οὐ τοσαύτην ἀπὸ τῆς ὄψεως καρπούμεθα τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ τὴν ἐπιθυμίαν αὐξῆσαι ταύτην ὑπομένομεν τὴν λύμην, ἰσχυρὸν ποιοῦντες τὸν ἀνταγωνιστήν, καὶ πλείονα διδόντες τὴν εὐρυχωρίαν τῷ διαβόλῳ, καὶ οὐκ ἔτι ἰσχύοντες αὐτὸν ἀποκρούσασθαι, ὅταν εἰς τὰ ἐνδότατα εἰσαγάγωμεν καὶ ἀναπετάσωμεν αὐτῷ τὴν διάνοιαν. διὰ τοῦτό φησι, μὴ μοιχεύσῃς τοῖς ὀφθαλμοῖς,

καὶ

Σειρ. θ. η.

Ἰὼβ ιγ. α.

καὶ οὐ μοιχεύσεις τῇ διανοίᾳ. ἔστι γὰρ καὶ ἄλλως ἰδεῖν, ὡς οἱ σώφρονες βλέπουσι. διὰ τοῦτο οὐχ ἁπλῶς τὴν ὄψιν ἀνεῖλεν, ἀλλὰ τὴν μετὰ ἐπιθυμίας ὄψιν. εἰ δὲ μὴ τοῦτο ἐβούλετο, εἶπεν ἄν, ὁ βλέπων γυναῖκα ἁπλῶς· νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλ᾿ ὁ βλέπων πρὸς τὸ ἐπιθυμῆσαι, ὁ βλέπων ὥστε τέρψαι τὴν ὄψιν. οὐδὲ γὰρ εἰς τοῦτό σοι τοὺς ὀφθαλμοὺς ἐποίησεν ὁ Θεός, ἵνα διὰ τούτων μοιχείαν εἰσαγάγῃς, ἀλλ᾿ ἵνα αὐτοῦ τὰ κτίσματα βλέπων θαυμάζῃς τὸν δημιουργόν. ὥσπερ οὖν ἐστιν εἰκῆ ὀργίζεσθαι, οὕτως ἐστὶν εἰκῆ ὁρᾶν, ὅταν πρὸς ἐπιθυμίαν τοῦτο ποιῇς. εἰ γὰρ βούλει ὁρᾶν καὶ τέρπεσθαι, ὅρα τὴν σαυτοῦ γυναῖκα, καὶ ταύτης ἔρα διηνεκῶς· οὐδεὶς κωλύει νόμος. εἰ δὲ τὰ ἀλλότρια μέλλεις περιεργάζεσθαι κάλλη, κἀκείνην ἀδικεῖς ἀλλαχοῦ μετεωρίζων τοὺς ὀφθαλμούς, καὶ ταύτην, ἣν εἶδες, ἁπτόμενος αὐτῆς παρανόμως. εἰ γὰρ καὶ μὴ ἥψω τῇ χειρί, ἀλλ᾿ ἐψηλάφησας τοῖς ὀφθαλμοῖς. διὰ τοῦτο καὶ τοῦτο μοιχεία νενόμισται, καὶ πρὸ τῆς κολάσεως ἐκείνης κόλασιν οὐ τὴν τυχοῦσαν ἐπάγει. καὶ γὰρ θορύβου καὶ ταραχῆς πάντα τὰ ἔνδον πληροῦται, καὶ πολλὴ μὲν ἡ ζάλη, χαλεπωτάτη δὲ ἡ ὀδύνη, καὶ τῶν αἰχμαλώτων καὶ δεδεμένων οὐδὲν ἄμεινον ὁ ταῦτα παθὼν διακείσεται. καὶ ἡ μὲν τὸ βέλος ἀφεῖσα πολλάκις ἀπέπτη, ἡ δὲ πληγὴ καὶ οὕτω μένει· μᾶλλον δὲ οὐδὲ ἐκείνη τὸ βέλος ἀφῆκεν, ἀλλὰ σὺ καιρίαν ἔδωκας ἑαυτῷ τὴν πληγὴν ἀκολάστως ἰδών. καὶ ταῦτα λέγω, τὰς σωφρονούσας ἀπαλλάττων τῆς κατηγορίας. ὡς εἴγε τις καλλωπίζοιτο καὶ καλοῖ πρὸς ἑαυτὴν τοὺς τῶν ἁπάντων ὀφθαλμούς, κἂν μὴ πλήξῃ τὸν ἐντυχόντα, δίκην δώσει τὴν ἐσχάτην. τὸ γὰρ φάρμακον ἐκέρασε, καὶ τὸ κώνειον κατεσκεύασεν, εἰ καὶ μὴ τὴν κύλικα προσήγαγε· μᾶλλον δὲ καὶ τὴν κύλικα προσήγαγεν, εἰ καὶ μηδεὶς ὁ πίνων εὑρέθη. τί οὖν; οὐχὶ καὶ πρὸς αὐτὰς διαλέγεται, φησίν; ὅτι κοινοὺς τοὺς νόμους πανταχοῦ τίθησιν, εἰ καὶ πρὸς τοὺς ἄνδρας ἀποτείνεσθαι δοκεῖ μόνους. τῇ γὰρ κεφαλῇ διαλεγόμενος, κοινὴν καὶ πρὸς τὸ σῶμα ἅπαν ποιεῖται τὴν παραίνεσιν. γυναῖκα γὰρ καὶ ἄνδρα ἓν οἶδε ζῶον, καὶ οὐδαμοῦ διαιρεῖ τὸ γένος. εἰ δὲ καὶ ἰδίως ἀκοῦσαι βούλει τῆς κατ᾿ αὐτῶν ἐπιπλήξεως, ἄκουσον τοῦ Ἠσαΐου πολλὰ πρὸς αὐτὰς ἀποτεινομένου, καὶ κωμῳδοῦντος αὐτῶν τὸ σχῆμα, τὸ βλέμμα, τὴν βάδισιν, τοὺς συρομένους χιτῶνας, τοὺς παίζοντας πόδας, τοὺς διακλωμένους τραχήλους· ἄκουσον μετ᾿ ἐκείνου καὶ τοῦ μακαρίου Παύλου πολλοὺς αὐταῖς τιθέντος νόμους, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ χρυσίων, καὶ ὑπὲρ τριχῶν πλοκῆς, καὶ ὑπὲρ σπατάλης, καὶ ὑπὲρ τῶν ἄλλων τῶν τοιούτων σφοδρῶς ἐπιτιμῶντος τῷ γένει τούτῳ. ὁ Χριστὸς δὲ διὰ τῶν ἑξῆς αἰνιγματωδῶς αὐτὸ τοῦτο ἐνέφηνεν. ὅταν γὰρ λέγῃ, ἔξελε καὶ ἔκκοψον τὸν σκανδαλίζοντα, τὴν πρὸς ἐκείνας ὀργὴν ἐνδεικνύμενός φησι. διὰ τοῦτο καὶ ἐπήγαγεν·

Ἡσ. γ. 15.

α. Τιμ. β.

29 Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ.

Ἵνα γὰρ μὴ λέγῃς· τί οὖν, ἐὰν συγγενὴς ᾖ; τί οὖν, ἐὰν ἄλλως μοι προσήκῃ; διὰ τοῦτο ταῦτα προσέταξεν, οὐ περὶ μελῶν διαλεγόμενος, ἄπαγε· οὐδαμοῦ γὰρ τῆς σαρκὸς τὰ ἐγκλήματα εἶναί φησιν, ἀλλὰ πανταχοῦ τῆς γνώμης τῆς πονηρᾶς ἡ κατηγορία. οὐ γὰρ ὁ ὀφθαλμός ἐστιν ὁ ὁρῶν, ἀλλ᾿ ὁ νοῦς καὶ ὁ λογισμός. πολλάκις γοῦν ἀλλαχοῦ τετραμμένων ἡμῶν ὁ ὀφθαλμὸς τοὺς παρόντας οὐ βλέπει· ὥστε οὐκ ἔστιν αὐτοῦ τῆς ἐνεργείας τὸ πᾶν. εἰ γὰρ περὶ μελῶν ἔλεγεν, οὐκ ἂν περὶ ἑνὸς εἶπεν ὀφθαλμοῦ, οὐδ᾿ ἂν τοῦ δεξιοῦ μόνου, ἀλλὰ περὶ ἀμφοτέρων. ὁ γὰρ ὑπὸ τοῦ δεξιοῦ σκανδαλιζόμενος, εὔδηλον ὅτι καὶ ὑπὸ τοῦ ἀριστεροῦ τὸ αὐτὸ τοῦτο πείσεται. τίνος οὖν ἕνεκεν τὸν δεξιὸν ὀφθαλμὸν ἔθηκε, καὶ τὴν χεῖρα προσέθηκεν; ἵνα μάθῃς, ὅτι οὐ περὶ μελῶν ὁ λόγος, ἀλλὰ περὶ τῶν οἰκείως πρὸς ἡμᾶς ἐχόντων. ἂν γάρ τινα οὕτω φιλῇς, φησίν, ὡς ἐν χώρᾳ τιθέναι δεξιοῦ ὀφθαλμοῦ, ἢ οὕτω χρήσιμον εἶναι νομίσῃς, ὡς ἐν τάξει ἔχειν χειρός, καὶ βλάπτει σου τὴν ψυχήν, καὶ τοῦτον ἀπότεμε. καὶ ὅρα τὴν ἔμφασιν. οὐ γὰρ εἶπεν, ἀπόστηθι· ἀλλὰ τὸν πολὺν χωρισμὸν ἐμφαίνων, ἔξελε, φησί, καὶ βάλε λε ἀπὸ σοῦ. Εἶτα, ἐπειδὴ ἀποτόμως ἐκέλευσε, δείκνυσι καὶ τὸ κέρδος ἑκατέρωθεν, ἀπό τε τῶν ἀγαθῶν, ἀπό τε τῶν κακῶν, ἐπιμένων τῇ μεταφορᾷ.

Συμφέρει γάρ σοί, φησιν, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. Ὅταν γὰρ μήτε ἑαυτὸν διασώζῃ, καὶ σὲ προσαπολλύῃ, ποία φιλανθρωπία ἀμφοτέρους καταποντίζεσθαι, ἐξὸν χωρισθέντων κἂν ἕνα σωθῆναι; τί οὖν ὁ Παῦλος εἵλετο, φησιν, ἀνάθεμα γενέσθαι; οὐχ ὥστε "μηδὲν κερδᾶναι, ἀλλ' ὥστε "ἑτέρους σωθῆναι. (Ρω. θ. γ.) ἐνταῦθα δὲ ἀμφοτέρων ἡ βλάβη γίνεται. διόπερ οὐκ εἶπεν, ἔξελε μόνον· ἀλλὰ, καὶ βάλε ἀπὸ σοῦ," ὥστε μηκέτι λαμβάνειν, ἐὰν τοιοῦτος μένῃ. οὕτω γὰρ κἀκεῖνον μείζονος ἀπαλλάξεις ἐγκλήματος, καὶ σαυτὸν ἀπωλείας ἐλευθερώσεις. ἵνα δὲ καὶ σαφέστερον ἴδῃς τοῦ νόμου τὸ κέρδος, εἰ δοκεῖ, καὶ ἐπὶ σώματος καθ' ὑπόθεσιν ἐξετάσωμεν τὸ εἰρημένον. εἰ γὰρ αἵρεσις προὔκειτο καὶ ἀνάγκη ἦν ἢ τὸν ὀφθαλμὸν ἔχοντα ἐμβληθῆναι εἰς ὄρυγμα καὶ ἀπολέσθαι, ἢ ἐξελόντα τὸ λοιπὸν σῶσαι σῶμα, ἆρα οὐκ ἂν τὸ δεύτερον ἐδέξω; παντί που δῆλόν ἐστιν. οὐ γὰρ μισοῦντος ἦν τοῦτο τὸν ὀφθαλμὸν, ἀλλὰ τὸ λοιπὸν φιλοῦντος σῶμα. τοῦτο δὴ καὶ ἐπ' ἀνδρῶν λογίζου καὶ γυναικῶν. εἰ γὰρ ὁ βλάπτων σε τῇ φιλίᾳ ἀνίατος μένοι, καὶ σὲ λύμης ἀπαλλάξει πάσης ἐκκοπτόμενος οὕτω, καὶ αὐτὸς τῶν μειζόνων ἀπαλλαγήσεται ἐγκλημάτων, οὐκέτι μετὰ τῶν αὐτοῦ κακῶν καὶ τῆς σῆς ἀπωλείας τὸν λόγον ὑπέχων. ἴδε ὅσης ἡμερότητος ὁ νόμος γέμει καὶ κηδεμονίας, καὶ ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς ἀποτομία εἶναι, πόσην ἐνδείκνυται φιλανθρωπίαν. ἀκουέτωσαν τούτων οἱ πρὸς τὰ θέατρα σπεύδοντες, καὶ μοιχοὺς ἑαυτοὺς καθ' ἑκάστην ποιοῦντες τὴν ἡμέραν. εἰ γὰρ τὸν οἰκειωθέντα ἐπὶ βλάβῃ ἐκκόπτειν ὁ νόμος κελεύει, τίνα ἂν ἔχοιεν ἀπολογίαν, οἱ τοὺς οὐδέπω γενομένους γνωρίμους διὰ τῆς ἐκεῖ διατριβῆς καθ' ἑκάστην ἐπισπώμενοι τὴν ἡμέραν, καὶ μυρίας κατασκευάζοντες ἑαυτοῖς ἀπωλείας ἀφορμάς; οὐ γὰρ μόνον ἀκολάστως ἰδεῖν οὐ συγχωρεῖ λοιπόν· ἀλλ' ἐπειδὴ τὴν ἐκ τοῦ πράγματος ἔδειξε βλάβην, καὶ ἐπιτείνει τὸν νόμον προϊὼν, ἐκκόπτειν κελεύων καὶ ἀποτέμνειν καὶ πόρρω" που βάλλειν. καὶ ταῦτα ὁ μυρίους περὶ ἀγάπης κινήσας λόγους νομοθετεῖ, ἵνα ἑκατέρωθεν αὐτοῦ μάθῃς τὴν πρόνοιαν, καὶ πῶς πανταχόθεν τὸ σοὶ συμφέρον ζητεῖ.

31 Ἐρρέθη δὲ, * ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ "βιβλίον ἀποστασίου.

32 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν "μοιχευθῆναι· καὶ ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.

Οὐ πρότερον ἐπὶ τὰ ἔμπροσθεν πρόεισιν, ἕως τὰ πρότερα ἐκκαθάρῃ καλῶς. ἰδοὺ γὰρ καὶ "ἕτερον δείκνυσιν ἡμῖν πάλιν μοιχείας εἶδος. τί δὲ τοῦτό ἐστι; νόμος ἦν [κείμενος] παλαιὸς, τὸν μισοῦντα τὴν γυναῖκα τὴν ἑαυτοῦ ἐξ οἵας δήποτε αἰτίας, μὴ κωλύεσθαι ἐκβάλλειν, καὶ ἑτέραν ἀντ' ἐκείνης εἰσάγειν. οὐ μὴν τοῦτο ἁπλῶς ποιεῖν ὁ νόμος ἐκέλευσεν, ἀλλὰ δόντα βιβλίον ἀποστασίου τῇ γυναικὶ, ὥστε μὴ εἶναι κυρίαν πάλιν ἐπ' αὐτὸν ἐπανελθεῖν, ἵνα κἂν τὸ σχῆμα μένῃ τοῦ γάμου. εἰ γὰρ μὴ τοῦτο ἐπέταξεν, ἀλλ' ἐξῆν ἐκβάλλειν τε αὐτὴν καὶ ἑτέραν λαμβάνειν, εἶτα τὴν προτέραν ἐπαναγαγεῖν, πολλὴ ἡ σύγχυσις ἔμελλεν εἶναι, συνεχῶς τὰς ἀλλήλων λαμβανόντων ἁπάντων, καὶ μοιχεία τὸ πρᾶγμα λοιπὸν ἦν σαφής. διόπερ οὐ μικρὰν ἐπενόησε παραμυθίαν τὸ βιβλίον τοῦ ἀποστασίου. ἐγένετο δὲ ταῦτα διὶ ἑτέραν πολλῷ μείζονα κακίαν. εἰ γὰρ ἠνάγκασε καὶ μισουμένην κατέχειν ἔνδον, ἔσφαξεν ἂν ὁ μισῶν. τοιοῦτον γὰρ τῶν Ἰουδαίων τὸ "ἔθνος. οἱ γὰρ παίδων μὴ φειδόμενοι, καὶ προφήτας ἀναιροῦντες, καὶ ὡς ὕδωρ αἷμα ἐκχέοντες, πολλῷ μᾶλλον γυναικῶν οὐκ ἂν ἐφείσαντο. διὰ τοῦτο τὸ ἔλαττον συνεχώρησε, τὸ μεῖζον ἐκκόπτων. ἐπεὶ ὅτι οὐ "προηγούμενος οὗτος ὁ νόμος ἦν, ἄκουσον αὐτοῦ λέγοντος· Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ταῦτα ἔγραψεν, (Ματθ. ιθ. η.) ἵνα μὴ "ἔνδον σφάττητε, ἀλλ' ἔξω ἐκβάλλητε. ἐπειδὴ δὲ αὐτὸς τὴν ὀργὴν πασαν ἀνεῖλεν, οὐχὶ τὸν φόνον μόνον, ἀλλὰ καὶ τὸ ἁπλῶς θυμοῦσθαι κωλύσας, μετ' εὐκολίας καὶ τοῦτον εἰσάγει τὸν νόμον. διὰ τοῦτο καὶ τῶν προτέρων ἀεὶ ῥημάτων ἀναμιμνήσκει, ἵνα δείξῃ ὅτι οὐκ ἐναντία ἐκείνοις, ἀλλὰ συμβαίνοντα λέγει, ἐπιτείνων αὐτά, οὐκ ἀνατρέπων· καὶ διορθούμενος, οὐ λύων. ὅρα δὲ αὐτὸν πανταχοῦ τῷ ἀνδρὶ διαλεγόμενον. ὁ γὰρ ἀπολύων, φησί, τὴν γυναῖκα αὐτοῦ, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ γαμῶν ἀπολελυμένην, μοιχᾶται. ὁ μὲν γάρ, κἂν ἑτέραν μὴ λάβῃ, τούτῳ αὐτῷ κατέστησεν ἑαυτὸν ἐγκλήματος ὑπεύθυνον, μοιχαλίδα ποιήσας ἐκείνην· ὁ δέ, τῷ τὴν ἀλλοτρίαν λαβεῖν, μοιχὸς γέγονε πάλιν. μὴ γάρ μοι τοῦτο εἴπῃς ὅτι ἐξέβαλεν ἐκεῖνος. καὶ γὰρ καὶ ἐκβληθεῖσα μένει τοῦ ἐκβάλλοντος οὖσα γυνή. εἶτα, ἵνα μὴ τὸ ὅλον ἐπὶ τὸν ἐκβάλλοντα ῥίψας, αὐθαδεστέραν ἐργάσηται τὴν γυναῖκα, καὶ τὰς τοῦ δεχομένου μετὰ ταῦτα ἀπέκλεισεν αὐτῇ θύρας, τῷ μὲν εἰπεῖν, ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται, τὴν γυναῖκα καὶ ἄκουσαν σωφρονίζων, καὶ τὴν πρὸς ἕτερον ἄνδρα πάντως ἀποτειχίζων εἴσοδον αὐτῇ, καὶ οὐκ ἐπιτρέπων ἀφορμὰς παρέχειν μικροψυχίας. ἡ γὰρ μαθοῦσα ὅτι πᾶσα ἀνάγκη ἢ τὸν ἐξ ἀρχῆς κληρωθέντα ἔχειν, ἢ τῆς οἰκίας ἐκπεσοῦσαν ἐκείνης, μηδεμίαν ἑτέραν ἔχειν καταφυγήν, καὶ ἄκουσα ἠναγκάζετο στέργειν τὸν σύνοικον. εἰ δὲ μηδὲν αὐτῇ περὶ τούτων διαλέγεται, μὴ θαυμάσῃς. ἀσθενέστερον γὰρ ἡ γυνή. διὰ τοῦτο αὐτὴν ἀφείς, ἐν τῇ κατὰ τῶν ἀνδρῶν ἀπειλῇ τὴν αὐτῆς διορθοῦται ῥαθυμίαν. ὥσπερ ἂν εἴ τις παῖδα ἄσωτον ἔχων, ἐκεῖνον ἀφείς, τοῖς ποιοῦσιν αὐτὸν τοιοῦτον ἐπιπλήττοι, κἀκείνοις ἀπαγορεύοι μὴ συγγίνεσθαι μηδὲ πλησιάζειν αὐτῷ. εἰ δὲ φορτικὸν τοῦτο, ἀναμνήσθητί μοι τῶν ἔμπροσθεν εἰρημένων, ἐφ' οἷς ἐμακάρισε τοὺς ἀκούοντας, καὶ ὄψει πολὺ δυνατὸν καὶ εὔκολον ὄν. ὁ γὰρ πρᾶος καὶ εἰρηνοποιὸς καὶ πτωχὸς τῷ πνεύματι καὶ ἐλεήμων πῶς ἐκβαλεῖ τὴν γυναῖκα; [καὶ] ὁ ἑτέρους καταλλάττων, πῶς αὐτὸς διαστασιάσει πρὸς τὴν ἑαυτοῦ; οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ κοῦφον ἐποίησε τὸν νόμον. καὶ γὰρ καὶ τούτῳ καταλιμπάνει τρόπον ἕνα ἀφέσεως, εἰπών, παρεκτὸς λόγου πορνείας· ἐπεὶ πάλιν εἰς τὸ αὐτὸ περιίστατο. εἰ γὰρ ἐκέλευσε καὶ πολλοῖς συγγινομένην κατέχειν ἔνδον, πάλιν εἰς μοιχείαν τὸ πρᾶγμα κατέστρεφεν. ὁρᾷς πῶς συμβαίνουσι ταῦτα τοῖς ἔμπροσθεν; ὁ γὰρ μὴ βλέπων ἑτέραν γυναῖκα ἀκολάστοις ὀφθαλμοῖς, οὐ πορνεύσει· μὴ πορνεύων δέ, οὐ παρέξει [τῷ ἀνδρὶ] ἀφορμὴν ἐκβαλεῖν τὴν ἑαυτοῦ γυναῖκα. διὰ δὴ τοῦτο λοιπὸν μετὰ ἀδείας ἐπισφίγγει καὶ τὸν φόβον ἐπιτειχίζει, μέγαν ἐπισείων τῷ ἀνδρὶ τὸν κίνδυνον, εἴγε ἐκβάλοι. τῆς γὰρ μοιχείας τῆς ἐκείνης ὑπεύθυνον ἑαυτὸν ποιεῖ. ἵνα γὰρ μὴ ἀκούσας, ἔξελε τὸν ὀφθαλμόν, νομίσῃς καὶ περὶ γυναικὸς ταῦτα λέγεσθαι, εὐκαίρως ἐπήγαγε τὴν ἐπιδιόρθωσιν ταύτην, ἑνὶ τρόπῳ μόνῳ συγχωρῶν ἐκβάλλειν αὐτήν, ἑτέρῳ δὲ οὐδενί.

γρ. πα

33 Πάλιν ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου· 34 Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως.

Τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθεν ἐπὶ τὴν κλοπήν, ἀλλ' ἐπὶ τὴν ψευδομαρτυρίαν, ὑπερβὰς ἐκείνην τὴν ἐντολήν; ὅτι ὁ μὲν κλέπτων ἔστιν ὅτε καὶ ὀμνύει· ὁ δὲ μήτε ὀμνύναι μήτε ψεύδεσθαι εἰδώς, πολλῷ μᾶλλον οὐχ αἱρήσεται κλέπτειν· ὥστε διὰ ταύτης κἀκείνην ἀνέτρεψε τὴν ἁμαρτίαν· τὸ γὰρ ψεῦδος ἀπὸ τοῦ κλέπτειν. τί δέ ἐστιν, ἀποδώσεις τῷ Κυρίῳ τοὺς ὅρκους σου; τουτέστιν, ἀληθεύσεις ὀμνύς. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. εἶτα περαιτέρω αὐτοὺς ἀπάγων τοῦ κατὰ Θεοῦ ὀμνύναι, φησί·

Ἐξοδ. κ.
Δευτ. ε.

γρ. ὀμ
γρ. πα

Μήτε κατὰ τοῦ οὐρανοῦ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· 35 Μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε κατὰ Ἱερουσαλήμ, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως.

Ἀπὸ τῶν προφητικῶν ἔτι φθεγγόμενος, καὶ δεικνὺς ἑαυτὸν οὐκ ἐναντιούμενον τοῖς παλαιοῖς· καὶ γὰρ ἔθος εἶχον κατὰ τούτων ὀμνύναι· καὶ δείκνυσι πρὸς τῷ τέλει τοῦ εὐαγγελίου τοῦτο τὸ ἔθος. σὺ δέ μοι θέα πόθεν ἐπαίρει τὰ στοιχεῖα, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως, ἀλλ'

ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ πρὸς αὐτὰ σχέσεως τῆς κατὰ συγκατάβασιν εἰρημένης. ἐπειδὴ γὰρ πολλὴ ἡ τῆς εἰδωλολατρείας τυραννὶς ἦν, ἵνα μὴ δόξῃ τὰ στοιχεῖα δι' ἑαυτὰ εἶναι τίμια, ταύτην τέθεικε τὴν αἰτίαν ἣν εἰρήκαμεν, καὶ πάλιν εἰς τὴν τοῦ Θεοῦ δόξαν διέβαινεν. οὐδὲ γὰρ εἶπεν, ἐπειδὴ καλὸς καὶ μέγας ὁ οὐρανός· οὐδέ, ἐπειδὴ χρησίμη ἡ γῆ· ἀλλ', ἐπειδὴ τοῦ Θεοῦ ὁ μέν ἐστι θρόνος, ἡ δὲ ὑποπόδιον, πανταχόθεν αὐτοὺς ἐπὶ τὸν δεσπότην συνωθῶν.

36 Μήτε κατὰ τῆς κεφαλῆς σου, φησίν, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν.

Πάλιν ἐνταῦθα οὐ θαυμάζων τὸν ἄνθρωπον, ἀπήγαγε τοῦ μηδὲ κατὰ τῆς κεφαλῆς ὀμνύναι (καὶ γὰρ ἂν καὶ αὐτὸς προσεκυνήθη) ἀλλὰ τὴν δόξαν ἐπὶ τὸν Θεὸν ἀνάγων, καὶ δεικνὺς ὅτι οὐδὲ σαυτοῦ εἶ κύριος· οὐκοῦν οὐδὲ τῶν κατὰ τῆς κεφαλῆς ὅρκων. εἰ γὰρ τὸ παιδίον οὐκ ἄν τις δοίη τὸ ἑαυτοῦ ἑτέρῳ· πολλῷ μᾶλλον ὁ Θεὸς τὸ ἔργον τὸ ἑαυτοῦ οὐ παρήσεταί σοι. εἰ γὰρ καὶ σὴ ἡ κεφαλή, ἀλλ' ἑτέρου τὸ κτῆμα· καὶ τοσοῦτον ἀφέστηκας τοῦ κύριος εἶναι, ὅτι οὐδὲ τὸ πάντων ἔσχατον ἐργάσασθαι ἐν αὐτῇ δυνήσῃ. οὐ γὰρ εἶπεν, οὐ δύνασαι ἐξενεγκεῖν τρίχα· ἀλλ' οὐδὲ ἀλλάξαι αὐτῆς τὴν ποιότητα. τί οὖν, ἂν ἀπαιτῇ τις ὅρκον, φησί, καὶ ἀνάγκην ἐπάγῃ; ὁ τοῦ Θεοῦ φόβος τῆς ἀνάγκης ἔστω δυνατώτερος. ἐπεί, εἰ μέλλοις τοιαύτας προβάλλεσθαι προφάσεις, οὐδὲν φυλάξεις τῶν ἐπιταχθέντων. καὶ γὰρ καὶ ἐπὶ τῆς γυναικὸς ἐρεῖς· τί οὖν; ἐὰν μάχιμος ᾖ καὶ δαπανηρά; καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ· τί οὖν, ἐὰν ἀφέλω αὐτόν, καὶ διακαίωμαι; καὶ ἐπὶ τῆς ὄψεως τῆς ἀκολάστου· τί οὖν; δύναμαι μὴ ὁρᾶν; καὶ ἐπὶ τῆς πρὸς τὸν ἀδελφὸν ὀργῆς· τί οὖν, ἐὰν προπετὴς ὦ καὶ μὴ δύνωμαι γλώττης κρατεῖν; καὶ πάντα ἁπλῶς οὕτω καταπατήσεις τὰ εἰρημένα. καίτοιγε ἐπὶ τῶν νόμων τῶν ἀνθρωπίνων οὐδαμοῦ τοῦτο τολμᾷς προβάλλεσθαι, οὐδὲ εἰπεῖν, τί οὖν, ἐὰν τὸ καὶ τό; ἀλλὰ καὶ ἑκὼν καὶ ἄκων καταδέχῃ τὰ γεγραμμένα. ἄλλως δέ, οὐδὲ ἀνάγκην ὑποστήσῃ ποτέ. ὁ γὰρ τῶν ἔμπροσθεν μακαρισμῶν ἀκούσας, καὶ τοιοῦτον ἑαυτὸν παρασκευάσας, οἷον ἐπέταξεν ὁ Χριστός, οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσεται τοιαύτην ἀνάγκην, αἰδέσιμος ὢν παρὰ πᾶσι καὶ σεμνός.

37 Ἔστω δὲ ὁ λόγος ὑμῶν [τὸ] ναί, ναί, [καὶ τὸ] οὔ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι.

Τί οὖν ἐστι τὸ περισσὸν τοῦ ναὶ καὶ τοῦ οὔ; ὁ ὅρκος, οὐ τὸ ἐπιορκεῖν. ἐκεῖνο γὰρ καὶ ὡμολογημένον ἐστί, καὶ οὐδεὶς δεῖται μαθεῖν, ὅτι ἐκ τοῦ πονηροῦ ἐστι, καὶ οὐ περιττόν, ἀλλ' ἐναντίον· τὸ δὲ περιττόν, τὸ πλέον καὶ ἐκ περιουσίας προσκείμενον, ὅπερ ἐστὶν ὁ ὅρκος. τί οὖν, φησίν; ἐκ τοῦ πονηροῦ ἦν; καὶ εἰ ἐκ τοῦ πονηροῦ ἦν, πῶς νόμος ἦν; τὸ αὐτὸ δὴ τοῦτο καὶ περὶ τῆς γυναικὸς ἐρεῖς· πῶς μοιχεία νῦν νενόμισται τὸ πρότερον ἐπιτετραμμένον; τί οὖν πρὸς ταῦτά ἐστιν εἰπεῖν; ὅτι τῆς ἀσθενείας τῶν δεχομένων τοὺς νόμους ἦν τὰ λεγόμενα τότε. ἐπεὶ καὶ τὸ κνίσῃ θεραπεύεσθαι σφόδρα ἀνάξιον Θεοῦ, ὥσπερ καὶ τὸ ψελλίζειν ἀνάξιον φιλοσόφου. μοιχεία τοίνυν ἐνομίσθη νῦν τὸ τοιοῦτον, καὶ ἐκ τοῦ πονηροῦ τὸ ὀμνύναι, ὅτε ἐπέδωκε τὰ τῆς ἀρετῆς. εἰ δὲ διαβόλου ταῦτα ἐξ ἀρχῆς ἦσαν νόμοι, οὐκ ἂν τοσοῦτον κατώρθωσε. καὶ γὰρ εἰ μὴ ἐκεῖνα πρότερον προεδράμεν, οὐκ ἂν οὕτως εὐκόλως ἐδέχθη τὰ νῦν. μὴ τοίνυν αὐτῶν ἀπαίτει τὴν ἀρετήν, ὅτε παρῆλθεν αὐτῶν ἡ χρεία· ἀλλὰ τότε, ὅτε ὁ καιρὸς αὐτὰ ἐκάλει· μᾶλλον δέ, εἰ βούλει, καὶ νῦν. καὶ γὰρ καὶ νῦν ἡ ἀρετὴ αὐτῶν δείκνυται, καὶ διὰ τοῦτο μάλιστα παρ' αὐτῶν διαβάλλεται. τὸ γὰρ τοιαῦτα αὐτὰ φαίνεσθαι νῦν, ἐγκώμιον αὐτῶν μέγιστόν ἐστιν. εἰ γὰρ μὴ καλῶς ἡμᾶς ἔθρεψε, καὶ πρὸς τὴν τῶν μειζόνων ὑποδοχὴν ἐπιτηδείους ἐποίησεν, οὐκ ἂν ἐφάνη τοιαῦτα. ὥσπερ οὖν ὁ μαστός, ὅταν τὸ αὐτοῦ πληρώσῃ πᾶν, καὶ πρὸς τὴν τελειοτέραν τράπεζαν τὸ παιδίον παραπέμπῃ, λοιπὸν ἄχρηστος φαίνεται, καὶ τὸν πρότερον ἀναγκαῖον αὐτὸν εἶναι νομίζοντες τῷ παιδίῳ γονεῖς, μυρίοις αὐτὸν διαβάλλουσι σκώμμασι· πολλοὶ δὲ οὐδὲ ῥήμασιν αὐτὸν μόνον διαβάλλουσιν, ἀλλὰ καὶ πικροῖς ἐπιχρίουσι φαρμάκοις, ἵν', ὅταν μὴ ἰσχύσῃ τὰ ῥήματα τὴν ἄκαιρον περὶ αὐτὸν διάθεσιν ἀνελεῖν τοῦ παιδίου, τὰ πράγματα σβέσῃ τὸν πόθον· οὕτω καὶ ὁ Χριστὸς ἐκ τοῦ πονηροῦ ἔφησεν αὐτὰ εἶναι, οὐχ ἵνα δείξῃ τοῦ διαβόλου τὴν παλαιὰν οὖσαν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς ὑπερβολῆς ἀπαγάγῃ τῆς παλαιᾶς εὐτελείας. καὶ πρὸς μὲν αὐτοὺς ταῦτα λέγει· ἐπὶ δὲ τῶν ἀναισθήτων Ἰουδαίων καὶ ἐπιμενόντων τοῖς αὐτοῖς, καθάπερ πικρίᾳ τινὶ, τῷ τῆς αἰχμαλωσίας φόβῳ τὴν πόλιν περιχρίσας, ἄβατον ἐποίησεν. ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἴσχυσεν αὐτοὺς κατέχειν, ἀλλὰ πάλιν αὐτὴν ἐπεθύμουν ἰδεῖν, ὥσπερ παιδίον ἐπὶ τὴν θηλὴν κατατρέχοντες, τέλεον αὐτὴν ἀπέκρυψε, καθελών τε αὐτὴν καὶ τοὺς πλείονας πόρρω ταύτης ἀπαγαγών· καθάπερ ἐπὶ τῶν βοῶν πολλοὶ τὰς δαμάλεις ἀποκλείοντες, τῷ χρόνῳ πείθουσιν ἀποστῆναι τῆς παλαιᾶς τοῦ γάλακτος συνηθείας. εἰ δὲ τοῦ διαβόλου ἦν ἡ παλαιά, οὐκ ἂν τῆς εἰδωλολατρείας ἀπήγαγεν· ἀλλὰ τοὐναντίον ἐνῆγεν ἂν εἰς αὐτὴν, καὶ ἐνέβαλε. τοῦτο γὰρ ὁ διάβολος ἤθελε. νῦν δὲ τοὐναντίον ὁρῶμεν ὑπὸ τῆς παλαιᾶς γινόμενον. καὶ αὐτὸ δὲ τοῦτο ὁ ὅρκος τὸ παλαιὸν διὰ τοῦτο ἐνομοθετήθη, ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμνύωσιν. Ἰερ. δ. β. Ὀμεῖσθε γάρ, φησι, τὸν Θεὸν τὸν ἀληθινόν. οὐ τοίνυν μικρὰ κατώρθωσεν ὁ νόμος, ἀλλὰ καὶ σφόδρα μεγάλα. τὸ γὰρ ἐπὶ τὴν στερεὰν αὐτοὺς ἐλθεῖν τροφὴν, τῆς ἐκείνου σπουδῆς γέγονεν ἔργον. τί οὖν; οὐχὶ τοῦ πονηροῦ, φησίν, ἐστι τὸ ὀμνύναι; καὶ σφόδρα μὲν οὖν τοῦ πονηροῦ· ἀλλὰ νῦν μετὰ τὴν τοσαύτην φιλοσοφίαν, τότε δὲ οὔ. καὶ πῶς ἂν τὸ αὐτὸ γένοιτο, φησι, νῦν μὲν καλὸν, νῦν δὲ οὐ καλόν; ἐγὼ δὲ τοὐναντίον λέγω· πῶς δὲ οὐκ ἂν γένοιτο καλὸν καὶ οὐ καλὸν, τῶν πραγμάτων ἁπάντων αὐτὰ βοώντων, τῶν τεχνῶν, τῶν καρπῶν, τῶν ἄλλων ἁπάντων; ὅρα γοῦν ἐπὶ τῆς φύσεως τῆς ἡμετέρας αὐτὸ πρῶτον συμβαῖνον. τὸ γὰρ βαστάζεσθαι ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ καλὸν, μετὰ δὲ ταῦτα ὀλέθριον· τὸ μεμασημένην τροφὴν ἐσθίειν, ἐν μὲν προοιμίοις τῆς ζωῆς ἡμῶν καλὸν, μετὰ δὲ ταῦτα βδελυγμίας γέμει· τὸ γάλακτι τρέφεσθαι καὶ πρὸς τὴν θηλὴν φεύγειν, ἐν ἀρχῇ μὲν χρήσιμον καὶ σωτήριον, μετὰ δὲ ταῦτα ὀλέθριον καὶ βλαβερόν. ὁρᾷς πῶς τὰ αὐτὰ πράγματα ὑπὸ τῶν καιρῶν καλὰ, καὶ οὐ τοιαῦτα φαίνεται πάλιν; καὶ γὰρ τὸ ἱμάτιον φορεῖν παιδικὸν, μειρακίῳ μὲν ὄντι καλὸν, ἀνδρὶ δὲ γενομένῳ πάλιν αἰσχρόν. βούλει [δὲ] καὶ ἐκ τῶν ἐναντίων μαθεῖν πῶς τῷ παιδὶ τὰ τοῦ ἀνδρὸς ἀνάρμοστα πάλιν; δὸς τῷ παιδὶ ἱμάτιον ἀνδρικὸν, καὶ πολὺς ἔσται ὁ γέλως, καὶ μείζων ὁ κίνδυνος ἐν τῷ βαδίζειν οὕτω περιτρεπομένου πολλάκις. δὸς αὐτῷ μεταχειρίζειν πράγματα πολιτικὰ, καὶ ἐμπορεύεσθαι καὶ σπείρειν καὶ ἀμᾶσθαι, καὶ πάλιν πολὺς ἔσται ὁ γέλως. καὶ τί λέγω ταῦτα; ὁ γὰρ φόνος ὁ παρὰ πᾶσιν ὡμολογημένος εὕρεμα εἶναι τοῦ πονηροῦ, οὗτος Ἀριθ. κε. ια. ἐπιλαβόμενος καιροῦ τοῦ προσήκοντος, τὸν ἐργασάμενον αὐτὸν Φινεὲς ἱερωσύνῃ τιμηθῆναι Ψαλμ. ρε. λ. ἐποίησεν. ὅτι γὰρ ὁ φόνος ἔργον ἐκείνου, ἄκουσον τί φησιν· Ἰωαν. μ. μα. μβ. Ὑμεῖς τὰ ἔργα τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. ἀλλ' ἐγένετο ἀνθρωποκτόνος ὁ Φινεὲς, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, φησίν. Γεν. κβ. ὁ δὲ Ἀβραὰμ οὐκ ἀνθρωποκτόνος μόνον, ἀλλὰ καὶ παιδοκτόνος (ὃ πολλῷ χεῖρον ἦν) γενόμενος, μειζόνως εὐδοκίμησε πάλιν. Πρ. ε. καὶ ὁ Πέτρος δὲ διπλοῦν εἰργάσατο φόνον, ἀλλ' ὅμως πνευματικὸν τὸ γενόμενον ἦν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἁπλῶς τὰ πράγματα ἐξετάζωμεν· ἀλλὰ καὶ καιρὸν, καὶ αἰτίαν, καὶ γνώμην, καὶ προσώπων διαφορὰν, καὶ ὅσα ἂν αὐτοῖς ἕτερα συμβαίνοι, πάντα μετὰ ἀκριβείας ζητῶμεν (οὐδὲ γάρ ἐστιν ἑτέρως ἐφικέσθαι τῆς ἀληθείας) καὶ σπουδάζωμεν, εἰ βουλοίμεθα βασιλείας ἐπιτυχεῖν, πλέον τι τῶν παλαιῶν ἐπιδείξασθαι ἐπιταγμάτων, ὡς οὐκ ἔνι ἄλλως ἐπιλαβέσθαι τῶν οὐρανίων. ἂν γὰρ εἰς τὸ αὐτὸ μέτρον τῶν παλαιῶν φθάσωμεν, ἔξω τῶν προθύρων στησόμεθα τούτων. ἂν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, φησιν. ἀλλ' ὅμως καὶ τοσαύτης ἀπειλῆς κειμένης, εἰσί τινες, οἳ οὐ μόνον οὐχ ὑπερβαίνουσι τὴν δικαιοσύνην ἐκείνην, ἀλλὰ καὶ ὑστεροῦσιν αὐτῆς. οὐ γὰρ μόνον ὅρκους οὐ φεύγουσιν, ἀλλὰ καὶ ἐπιορκοῦσιν· οὐ μόνον ἀκόλαστον ὄψιν οὐκ ἐκκλίνουσιν, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν πονηρὰν ἐμπίπτουσι πρᾶξιν, καὶ τὰ ἄλλα πάντα ἀνεξηγήτως τὰ κεκωλυμένα τολμῶσιν, ἓν μόνον ἀναμένοντες, τῆς κολάσεως τὴν ἡμέραν, καὶ πότε τὴν ἐσχάτην τῶν πεπλημμελημένων δώσουσι δίκην· ὁ τῶν ἐν πονηρίᾳ καταλυσάντων τὸν βίον ἐστὶ μόνον. ἐκείνους γὰρ ἀπογινώσκειν χρὴ, καὶ μηδὲν ἕτερον, ἢ τὴν κόλασιν λοιπὸν ἀναμένειν. οἱ γὰρ ἐνταῦθα ὄντες ἔτι, καὶ μαχέσασθαι δυνήσονται, καὶ νικῆσαι καὶ στεφανωθῆναι ῥᾳδίως. μὴ τοίνυν ἀναπέσῃς, ἄνθρωπε, μηδὲ τὴν καλὴν καταλύσῃς προθυμίαν. οὐδὲ γὰρ φορτικὰ τὰ ἐπιταττόμενα. ποῖος πόνος, εἰπέ μοι, ὅρκον φυγεῖν; μὴ γὰρ χρημάτων δαπάνη ἐστί; μὴ γὰρ ἱδρὼς καὶ ταλαιπωρία; ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν γέγονεν. εἰ δὲ τὴν συνήθειάν μοι προβάλλῃ, δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα εὔκολον εἶναί φημι τὸ κατόρθωμα. ἂν γὰρ εἰς ἑτέραν σαυτὸν καταστήσῃς συνήθειαν, τὸ πᾶν κατώρθωσας. ἐννόησον γοῦν ὅτι παρ' Ἕλλησι πολλοὶ, οἱ μὲν τραυλίζοντες, μελέτῃ πολλῇ χωλεύουσαν αὐτοῖς τὴν γλῶτταν διώρθωσαν· οἱ δὲ τοὺς ὤμους ἀτάκτως ἀναφερομένους καὶ κινουμένους συνεχῶς, ξίφος ἐπιτιθέντες ἀπέστησαν. ἐπειδὴ γὰρ ἀπὸ γραφῶν οὐ πείθεσθε, ἀπὸ τῶν ἔξωθεν ἀναγκάζομαι ἐντρέπειν. τοῦτο καὶ ὁ Θεὸς πρὸς Ἰουδαίους ἐποίει λέγων· Πορεύθητε εἰς νήσους Χεπείμ, καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ γνῶτε εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν· καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί. Ιερ. β. ι. καὶ πρὸς τὰ ἄλογα δὲ πέμπει πολλάκις οὕτω λέγων· Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ πορεύθητι πρὸς τὴν μέλισσαν. Παρ. ϛ. ϛ. καὶ λ. κη. τοῦτο τοίνυν καὶ ἐγὼ νῦν ὑμῖν ἐρῶ· ἐννοήσατε τοὺς Ἑλλήνων φιλοσόφους, καὶ τότε εἴσεσθε πόσης εἰσὶν ἄξιοι κολάσεως οἱ τῶν νόμων τῶν θείων παρακούοντες· ὅταν ἐκεῖνοι μὲν ὑπὲρ εὐσχημοσύνης ἀνθρωπίνης μυρία ὦσι πεπονηκότες, ὑμεῖς δὲ μηδὲ ὑπὲρ τῶν οὐρανίων τὴν αὐτὴν παρέχησθε σπουδήν. εἰ δὲ καὶ μετὰ ταῦτα λέγοις, ὅτι δεινὸν ἡ συνήθεια κλέψαι καὶ τοὺς σφόδρα σπουδάζοντας, ὁμολογῶ μὲν τοῦτο κἀγώ. πλὴν κἀκεῖνο μετὰ τούτου φημὶ, ὅτι ὥσπερ δεινὸν ἀπατῆσαι, οὕτω καὶ εὔκολον διορθωθῆναι. ἂν γὰρ ἐπιστήσῃς ἐπὶ τῆς οἰκίας πολλοὺς σαυτῷ φύλακας, οἷον, τὸν οἰκέτην, τὴν γυναῖκα, τὸν φίλον, ῥᾳδίως ὑπὸ πάντων συνωθούμενός τε καὶ συνελαυνόμενος ἀποστήσῃ τῆς πονηρᾶς συνηθείας. κἂν δέκα ἡμέρας μόνον αὐτὸ κοτορθώσῃς, οὐκ ἔτι δεήσῃ λοιπὸν ἑτέρου χρόνου, ἀλλὰ κείσεταί σοι μετὰ ἀσφαλείας τὸ πᾶν, τῇ τῆς καλλίστης συνηθείας στερρότητι πάλιν ῥιζωθέν. ὅταν οὖν ἄρξῃ τοῦτο διορθοῦν, κἂν ἅπαξ, κἂν δεύτερον παραβῇς τὸν νόμον, κἂν τρίτον, κἂν εἰκοστὸν, μὴ ἀπογνῷς· ἀλλὰ πάλιν ἀνάστηθι καὶ ἐπιλαβοῦ τῆς αὐτῆς σπουδῆς, καὶ περιέσῃ πάντως. οὐδὲ γὰρ τὸ τυχόν ἐστι κακὸν ἡ ἐπιορκία. εἰ δὲ τὸ ὀμνύναι τοῦ πονηροῦ, τὸ ἐπιορκεῖν πόσην οἴσει τὴν τιμωρίαν; ἐπῃνέσατε τὰ εἰρημένα; ἀλλ' ἐμοὶ κρότων οὐ δεῖ, οὐδὲ θορύβων, οὐδὲ ἤχης· ἓν βούλομαι μόνον, μεθ' ἡσυχίας καὶ ἐπιστήμης ἀκούοντας ποιεῖν τὰ λεγόμενα. τοῦτό μοι κρότος, τοῦτο ἐγκώμιον. ἂν δὲ ἐπαινῇς μὲν τὰ εἰρημένα, μὴ ποιῇς δὲ ἅπερ ἐπαινεῖς, μείζων μὲν ἡ κόλασις, πλείων δὲ ἡ κατηγορία, καὶ ἡμῶν αἰσχύνη καὶ γέλως. οὐδὲ γὰρ θέατρόν ἐστι τὰ παρόντα, οὐ τραγῳδοὺς κάθησθε θεώμενοι νῦν, ἵνα κροτῆτε μόνον· διδασκαλεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικόν. διὸ καὶ τὸ σπουδαζόμενόν ἐστιν ἓν, ὥστε κατορθῶσαι τὰ εἰρημένα, καὶ διὰ τῶν ἔργων ἐπιδεῖξαι τὴν ὑπακοήν. τότε γὰρ τὸ πᾶν ἐσόμεθα ἀπειληφότες· ὡς νῦν γε καὶ ἀπηγορεύσαμεν λοιπόν. καὶ γὰρ [καὶ] τοῖς ἰδίᾳ συντυγχάνουσιν οὐ διέλιπον ταῦτα παραινῶν, καὶ ὑμῖν κοινῇ διαλεγόμενος, καὶ οὐδὲν ὅμως ὁρῶ γεγενημένον πλέον, ἀλλ' ἔτι τῶν προτέρων ὑμᾶς ἐχομένους στοιχείων· ὅπερ ἱκανὸν τὸν διδάσκοντα πολὺν ἐνθεῖναι τὸν ὄκνον. ὅρα γοῦν καὶ Παῦλον διὰ τοῦτο δυσαναχετοῦντα, ὅτι πολὺν χρόνον τοῖς προτέροις ἐνδιέτριβον μαθήμασιν οἱ ἀκροαταί. Εβ. ε. ιβ. Καὶ γὰρ ὀφείλοντες εἶναι, φησὶ, διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκεσθαι ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. διὸ καὶ ἡμεῖς θρηνοῦμεν καὶ ὀδυρόμεθα. κἂν ἐπιμένοντας ἴδω, ἀπαγορεύσω λοιπὸν ὑμῖν τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων, καὶ τῶν ἀθανάτων μεταλαβεῖν μυστηρίων, ὥσπερ τοῖς πορνεύουσι καὶ μοιχεύουσι καὶ ἐπὶ φόνοις ἐγκαλουμένοις. καὶ γὰρ βέλτιον μετὰ δύο καὶ τριῶν τοὺς τοῦ Θεοῦ φυλαττόντων νόμους τὰς συνήθεις ἀναφέρειν εὐχάς, ἢ πλῆθος ἐπισύρεσθαι παρανομούντων καὶ τοὺς ἄλλους διαφθειρόντων. μή μοί τις πλούσιος, μή μοί τις δυνάστης ἐνταῦθα φυσάτω καὶ τὰς ὀφρῦς ἀνασπάτω· πάντα μοι ταῦτα μῦθος καὶ σκιὰ καὶ ὄναρ. οὐδεὶς γὰρ τῶν νῦν πλουτούντων ἐκεῖ μου προστήσεται, ὅταν ἐγκαλῶμαι καὶ κατηγορῶμαι, ὡς μὴ μετὰ τῆς προσηκούσης σφοδρότητος τοὺς τοῦ Θεοῦ διεκδικήσας νόμους. τοῦτο γάρ, τοῦτο καὶ τὸν θαυμαστὸν ἐκεῖνον πρεσβύτην, ἐκεῖνον τὸν Ἡλὶ λέγω, ἀπώλεσε, καίτοι βίον παρεχόμενον ἄληπτον· ἀλλ' ὅμως ἐπειδὴ τοὺς τοῦ Θεοῦ νόμους πατουμένους ὑπερεῖδεν, ἐκολάζετο μετὰ τῶν παίδων, καὶ τὴν χαλεπὴν ἐδίδου τιμωρίαν. Εἰ δὲ ἔνθα τοσαύτη τῆς φύσεως ἦν ἡ τυραννίς, ὁ μὴ μετὰ τῆς προσηκούσης ἀνδρείας τοῖς ἑαυτοῦ παισὶ χρησάμενος, οὕτω χαλεπὴν ἔδωκε δίκην· τίνα ἕξομεν συγγνώμην ἡμεῖς, καὶ τῆς τυραννίδος ἐκείνης ἀπηλλαγμένοι, καὶ κολακείᾳ τὸ πᾶν διαφθείροντες; ἵν' οὖν μὴ καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς προσαπολέσητε, πείσθητε, παρακαλῶ, καὶ μυρίους ἐξεταστὰς καὶ λογιστὰς ἑαυτοῖς καταστήσαντες, ἀπαλλάγητε τῆς τῶν ὅρκων συνηθείας· ἵνα ὁδῷ προβαίνοντες, ἐντεῦθεν καὶ τὴν ἄλλην ἀρετὴν μετ' εὐκολίας κατορθώσητε πᾶσαν, καὶ τῶν μελλόντων ἀπολαύσητε ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἐγκαλοῦμαι καὶ κατηγοροῦμαι.

Ομιλ. ιη. 38 ΗΚΟΥΣΑΤΕ ΟΤΙ ΕΡΡΕΘΗ, ΟΦΘΑΛΜΟΝ

ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. 39 Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· 40 Καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

ΟΡᾷς ὅτι οὐ περὶ ὀφθαλμοῦ τὰ πρότερα ἔλεγεν, ἡνίκα ἐνομοθέτει τὸν ὀφθαλμὸν ἐκκόπτειν τὸν σκανδαλίζοντα· ἀλλὰ περὶ τοῦ διὰ φιλίας βλάπτοντος ἡμᾶς, καὶ εἰς τὸ τῆς ἀπωλείας ἐμβάλλοντος βάραθρον; ὁ γὰρ τοσαύτην ἐνταῦθα ποιούμενος τὴν ὑπερβολήν, καὶ μηδὲ ἑτέρου ἐξορύττοντος τὸν ὀφθαλμὸν ἐπιτρέπων ἐκκόψαι τὸν ἐκείνου, πῶς ἂν τὸν ἑαυτοῦ ἐκκόπτειν ἐνομοθέτησεν; Εἰ δέ τις τοῦ παλαιοῦ κατηγορεῖ νόμου, διὰ τὸ κελεύειν οὕτως ἀμύνεσθαι, σφόδρα μοι δοκεῖ σοφίας νομοθέτῃ πρεπούσης ἄπειρος εἶναι, καὶ καιρῶν δύναμιν ἀγνοεῖν καὶ συγκαταβάσεως κέρδος. ἂν γὰρ ἐννοήσῃς, τίνες ἦσαν οἱ ταῦτα ἀκούοντες, καὶ πῶς διακείμενοι, καὶ πότε τὴν νομοθεσίαν ἐδέξαντο ταύτην, σφόδρα ἀποδέξῃ τοῦ νομοθέτου τὴν σοφίαν, καὶ ὄψει ὅτι εἷς καὶ ὁ αὐτὸς ὁ ἐκεῖνα καὶ ταῦτα νομοθετήσας ἐστί, καὶ σφόδρα χρησίμως ἑκάτερα καὶ μετὰ τοῦ προσήκοντος γράψας καιροῦ. καὶ γάρ, εἰ παρὰ τὴν ἀρχὴν τὰ ὑψηλὰ ταῦτα καὶ ὑπέρογκα εἰσήγαγε παραγγέλματα, οὔτ' ἂν ταῦτα ἐδέξαντο, οὔτε ἐκεῖνα· νυνὶ δὲ ἐν καιρῷ τῷ προσήκοντι ἑκάτερα διαθείς, τὴν οἰκουμένην δι' ἀμφοτέρων κατώρθωσεν ἅπασαν. ἄλλως δὲ καὶ τοῦτο ἐκέλευσεν, οὐχ ἵνα τοὺς ἀλλήλων ἐκκόπτωμεν ὀφθαλμούς, ἀλλ' ἵνα παρ' ἑαυτοῖς τὰς χεῖρας κατέχωμεν. ἡ γὰρ ἀπειλὴ τοῦ παθεῖν, τὴν ἐπὶ τὸ δρᾶσαι ὁρμὴν διεκώλυε· καὶ οὕτω δὴ πολλὴν ἠρέμα ὑποσπείρει τὴν φιλοσοφίαν, ὅπουγε παθόντα τοῖς ἴσοις ἀμύνεσθαι κελεύει· καίτοιγε μείζονος κολάσεως ἄξιος ἦν ὁ τῆς παρανομίας ταύτης κατάρξας, καὶ τοῦτο ὁ τοῦ δικαίου λόγος ἀπαιτεῖ. ἀλλ' ἐπειδὴ καὶ φιλανθρωπίαν ἐβούλετο κεράσαι τῷ δικαίῳ, τὸν μείζονα πλημμελήσαντα ἐλάττονι τῆς ἀξίας καταδικάζει τιμωρίᾳ, παιδεύων καὶ ἐν τῷ πάσχειν πολλὴν ἐπιδείκνυσθαι τὴν ἐπιείκειαν. Εἰπὼν τοίνυν τὸν παλαιὸν νόμον, καὶ ἀναγνοὺς αὐτὸν ἅπάντα, δείκνυσι πάλιν οὐ τὸν ἀδελφὸν ὄντα τὸν ταῦτα ἐργασάμενον, ἀλλὰ τὸν πονηρόν. διὰ τοῦτο καὶ ἐπήγαγεν· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ. οὐκ εἶπε μὴ ἀντιστῆναι τῷ ἀδελφῷ, ἀλλὰ τῷ πονηρῷ, δεικνὺς ὅτι ἐκείνου κινοῦντος ταῦτα τολμᾶται, καὶ ταύτῃ τὸ πολὺ τῆς ὀργῆς τῆς πρὸς τὸν πεποιηκότα χαλῶν καὶ ὑποτεμνόμενος τῷ τὴν αἰτίαν ἐφ' ἕτερον μεταθεῖναι. τί οὖν; οὐ χρὴ ἡμᾶς ἀνθίστασθαι τῷ πονηρῷ, φησί; δεῖ μὲν, οὐ τούτῳ δὲ τῷ τρόπῳ· ἀλλ' ὡς αὐτὸς ἐπέταξε, τῷ παρέχειν ʺ ἑαυτὸν πάσχειν κακῶς· οὕτω γὰρ αὐτοῦ περιέσῃ. οὐδὲ γὰρ πυρὶ σβέννυται πῦρ, ἀλλ' ὕδατι πῦρ. ἵνα δὲ μάθῃς ὅτι καὶ ἐν τῷ παλαιῷ νόμῳ ὁ παθὼν κρατεῖ μᾶλλον, καὶ οὗτός ἐστιν ὁ στεφανούμενος, ἐξέτασον αὐτὸ τὸ γινόμενον, καὶ ὄψει πολλὴν αὐτοῦ τὴν προεδρίαν οὖσαν. ὁ μὲν γὰρ ἄρξας χειρῶν ἀδίκων, ἀμφοτέρους αὐτὸς ἔσται ἀνῃρηκὼς τοὺς ὀφθαλμοὺς, καὶ τὸν τοῦ πλησίον, καὶ τὸν αὐτοῦ. διὸ καὶ μισεῖται παρὰ πάντων δικαίως, καὶ ʺ μυρίαις βάλλεται κατηγορίαις· ὁ δὲ ἠδικημένος, καὶ μετὰ τὸ τοῖς ἴσοις ἀμύνεσθαι οὐδὲν ἔσται δεινὸν πεποιηκώς. διὸ καὶ πολλοὺς ἔχει τοὺς συναλγοῦντας, ἅτε καθαρὸς ὢν καὶ μετὰ τὸ ποιῆσαι ταύτης τῆς πλημμελείας. καὶ τὰ μὲν τῆς συμφορᾶς ἴσα ἀμφοτέροις· τὰ δὲ τῆς δόξης οὐκ ἴσα, οὐδὲ παρὰ Θεῷ, οὐδὲ παρὰ ἀνθρώποις· διόπερ λοιπὸν οὔτε τὰ τῆς συμφορᾶς ἴσα. ἀρχόμενος μὲν οὖν ἔλεγεν· ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, καὶ ὁ μωρὸν καλῶν, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός· ἐνταῦθα δὲ καὶ πλείονα ἀπαιτεῖ φιλοσοφίαν, οὐ μόνον κελεύων ἡσυχάζειν τὸν πάσχοντα κακῶς, ἀλλὰ καὶ ἀντιφιλοτιμεῖσθαι μειζόνως τὴν ἑτέραν παρέχοντα σιαγόνα. τοῦτο δὲ λέγει, οὐ περὶ τῆς τοιαύτης πληγῆς νομοθετῶν μόνον, ἀλλὰ καὶ τὴν ἐν ἅπασι τοῖς ἄλλοις ἀνεξικακίαν παιδεύων ἡμᾶς. ὥσπερ γὰρ ὅταν λέγῃ, ὅτι ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός, οὐ περὶ τοῦ ῥήματος τούτου λέγει μόνον, ἀλλὰ καὶ περὶ λοιδορίας ἁπάσης· οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ἵνα ῥαπιζόμενοι μόνον φέρωμεν γενναίως νομοθετεῖ, ἀλλ' ἵνα καὶ πᾶν ὁτιοῦν πάσχοντες μὴ θορυβώμεθα. διὰ τοῦτο κακεῖ τὴν ἐσχάτην ὕβριν ἐπελέξατο, καὶ ἐνταῦθα τὴν μάλιστα δοκοῦσαν εἶναι πληγὴν ἐπονείδιστον, τὴν ἐπὶ σιαγόνος, καὶ πολλὴν ἔχουσαν τὴν ὕβριν τέθεικε. κελεύει δὲ τοῦτο, ὑπέρ τε τοῦ πλήττοντος, ὑπέρ τε τοῦ πληττομένου τὸν λόγον ποιούμενος. ὅ τε γὰρ ὑβρισμένος, οὐδὲν ἡγήσεται πάσχειν δεινὸν οὕτω παρεσκευασμένος φιλοσοφεῖν (οὐδὲ γὰρ τῆς ὕβρεως αἴσθησιν λήψεται, ἅτε ἀγωνιζόμενος μᾶλλον ἢ τυπτόμενος) ὅ τε ἐπηρεάζων καταισχυνθεὶς οὐκ ἐπιδευτέραν ἐπάξει πληγὴν, κἂν θηρίου παντὸς χαλεπώτερος ᾖ, ἀλλὰ καὶ ἐπὶ τῇ προτέρᾳ σφόδρα ἑαυτοῦ καταγνώσεται. οὐδὲν γὰρ οὕτω κατέχει τοὺς ἀδικοῦντας, ὡς τὸ φέρειν τοὺς ἀδικουμένους ἐπιεικῶς τὰ γινόμενα. οὐ κατέχει δὲ μόνον τῆς ʺ προσωτέρω ῥύμης, ἀλλὰ καὶ ἐπὶ τοῖς φθάσασι μετανοῆσαι παρασκευάζει, καὶ θαυμάζοντας τὴν ἐπιείκειαν ἀναχωρεῖν, καὶ οἰκειοτέρους καθίστησι, καὶ δούλους, οὐχὶ φίλους μόνον, ἀντὶ ἐχθρῶν καὶ πολεμίων ποιεῖ· ὥσπερ οὖν τὸ ἀμύνεσθαι, τὰ ἐναντία ἅπαντα. ἀμφοτέρους τε [γὰρ] καταισχύνει, καὶ χείρους κατασκευάζει, καὶ τὴν ὀργὴν εἰς μείζονα ἀνάπτει φλόγα, καὶ πολλάκις δὲ καὶ εἰς θάνατον καταστρέφει περαιτέρω τὸ δεινὸν προβαῖνον. διὰ τοῦτο οὐ μόνον ῥαπιζόμενον ἐκέλευσε μὴ ὀργίζεσθαι, ἀλλὰ καὶ ἐμπιπλᾶν αὐτοῦ τὴν ἐπιθυμίαν ἐπέταξεν, ἵνα μηδὲ τὸ πρότερον δόξῃς ἄκων ὑπομεμενηκέναι. οὕτω γὰρ καὶ ἀναίσχυντον ὄντα ʺ καιρία δυνήσῃ πλῆξαι ʺ πληγῇ μᾶλλον, ἢ εἰ τῇ χειρὶ ἔπληξας, καὶ ἀναισχυντότερον ὄντα ἐπιεικέστερον ποιήσεις. τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. οὐδὲ γὰρ ἐπὶ ʺ πληγῶν μόνον, ἀλλὰ καὶ ἐπὶ χρημάτων ζημίας βούλεται τὴν τοιαύτην ἀνεξικακίαν παρέχεσθαι. διὸ πάλιν τὴν αὐτὴν τίθησιν ὑπερβολήν. ὥσπερ γὰρ ἐκεῖ κελεύει νικᾶν ἐν τῷ πάσχειν, οὕτω καὶ ἐνταῦθα τῷ ἀφαιρεῖσθαι πλείονα, ὧν ὁ ʺ πλεονεκτεῖν θέλων προσεδόκησε. πλὴν οὐχ οὕτως ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλὰ μετὰ προσθήκης. οὐ γὰρ εἶπε, δὸς τῷ αἰτοῦντι τὸ ἱμάτιον, ἀλλὰ τῷ θέλοντί σοι κριθῆναι· τουτέστιν, ἐὰν εἰς δικαστήριον ἕλκῃ καὶ πράγματά σοι παρέχῃ. καὶ

ὥσπερ

γρ. σαυτὸν

γρ. μυριάκις

γρ. πορρωτέρω

γρ. -ρίαν

γρ. -γὴν

γρ. -γῆς

γρ. πλεονεκτεῖ

ὥσπερ εἰπὼν μὴ καλεῖν μωρὸν μηδὲ ὀργίζεσθαι εἰκῆ, περιττὸν πλέον ἀπῄτησεν, ἡνίκα ἐκέλευσε καὶ τὴν δεξιὰν σιαγόνα παρέχειν· οὕτω καὶ ἐνταῦθα, εἰπὼν εὐνοεῖν τῷ ἀντιδίκῳ, πάλιν ἐπιτείνει τὸ ἐπίταγμα. οὐ γὰρ δὴ μόνον ἃ βούλεται λαβεῖν, κελεύει δοῦναι, ἀλλὰ καὶ πλείονα ἐπιδείξασθαι φιλοτιμίαν. τί οὖν; γυμνὸς μέλλω περιιέναι, φησίν; οὐκ ἂν ἦμεν γυμνοὶ, εἰ τούτοις ἐπειθόμεθα μετ' ἀκριβείας· ἀλλὰ καὶ πολλῷ πλείονα "ἁπάντων ἂν ἦμεν περιβεβλημένοι. πρῶτον μὲν γὰρ οὐδεὶς ἂν οὕτω διακειμένοις ἐπέθετο· δεύτερον δὲ, εἰ καὶ ἔτυχέ τις οὕτως ἄγριος ὢν καὶ ἀνήμερος, ὡς καὶ μέχρι τοσούτου προελθεῖν· ἀλλὰ πολλῷ πλείους ἂν ἐφάνησαν οἱ τὸν οὕτω φιλοσοφοῦντα οὐχ ἱματίοις μόνον, ἀλλὰ καὶ τῇ σαρκὶ τῇ ἑαυτῶν, εἴγε οἷόν τε ἦν, περιβάλλοντες. εἰ δὲ καὶ ἔδει γυμνὸν περιιέναι διὰ τὴν τοιαύτην φιλοσοφίαν, οὐδὲ οὕτως αἰσχρὸν ἦν· ἐπεὶ καὶ ὁ Ἀδὰμ γυμνὸς ἦν ἐν τῷ παραδείσῳ, καὶ οὐκ ᾐσχύνετο· καὶ ὁ Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδητος, καὶ πάντων Ἰουδαίων λαμπρότερος ἦν· καὶ ὁ Ἰωσὴφ δὲ, ὅτε ἀπεδύσατο, τότε μάλιστα ἔλαμψεν. οὐ γὰρ τὸ οὕτω γυμνοῦσθαι κακὸν, ἀλλὰ τὸ οὕτως ἐνδύεσθαι, καθάπερ νῦν ἡμεῖς, ἱματίοις πολυτελέσι, τοῦτο καὶ αἰσχρὸν καὶ καταγέλαστον. διά τοι τοῦτο ἐκείνους μὲν ὁ Θεὸς ἐπῄνεσε, τούτοις δὲ ἐγκαλεῖ, καὶ διὰ προφητῶν καὶ δι' ἀποστόλων. μὴ τοίνυν ἀδύνατα εἶναι νομίζωμεν τὰ ἐπιτάγματα. καὶ γὰρ μετὰ τοῦ συμφέροντος σφόδρα ἐστὶν εὔκολα, ἐὰν νήφωμεν· καὶ τοσοῦτον ἔχει τὸ κέρδος, ὡς μὴ μόνον ἡμᾶς, ἀλλὰ καὶ ἐκείνους τοὺς ἐπηρεάζοντας τὰ μέγιστα ὠφελεῖν. καὶ τοῦτο μάλιστα αὐτῶν ἐστι τὸ ἐξαίρετον, ὅτι πείθοντες ἡμᾶς πάσχειν κακῶς, διὰ τῶν αὐτῶν καὶ τοὺς ποιοῦντας διδάσκουσι φιλοσοφεῖν. ὅταν γὰρ ἐκεῖνος μὲν ἡγῆται μέγα τὸ τὰ ἑτέρων λαμβάνειν, σὺ δὲ αὐτῷ δείξῃς, ὅτι σοι κοῦφον καὶ ἃ μὴ αἰτεῖ δοῦναι, καὶ ἀντίρροπον φιλοτιμίαν εἰσαγάγῃς τῆς ἐκείνου πτωχείας, καὶ φιλοσοφίαν τῆς ἐκείνου πλεονεξίας, ἐννόησον ὅσης ἀπολαύσεται διδασκαλίας, οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ τῶν ἔργων αὐτῶν παιδευόμενος καταφρονεῖν μὲν κακίας, ἐφίεσθαι δὲ ἀρετῆς. οὐδὲ γὰρ ἑαυτοῖς χρησίμους ἡμᾶς εἶναι μόνον βούλεται ὁ Θεὸς, ἀλλὰ καὶ τοῖς πλησίον ἅπασιν. ἂν μὲν οὖν δῷς καὶ μὴ δικάσῃ, τὸ σαυτοῦ συμφέρον ἐζήτησας μόνον· ἂν δὲ προσδῷς καὶ ἕτερον, κἀκεῖνον βελτίω ποιήσας ἐξέπεμψας. τοιοῦτόν ἐστι τὸ ἅλας, ὅπερ αὐτοὺς εἶναι βούλεται. καὶ γὰρ ἑαυτὸ "συγκροτεῖ, καὶ τὰ ἄλλα διακρατεῖ σώματα οἷς ἂν ὁμιλήσῃ. "τοιοῦτός ἐστιν ὁ ὀφθαλμός· καὶ γὰρ ἑαυτῷ καὶ τοῖς ἄλλοις φαίνει. ἐπεὶ οὖν ἐν τάξει σε τούτων κατέστησεν, ὠφέλησον καὶ τὸν ἐν "σκότῳ καθήμενον, καὶ δίδαξον αὐτὸν ὅτι οὐδὲ τὸ "πρότερον βίᾳ ἔλαβε· πεῖσον ὅτι οὐκ ἐπηρέασεν. οὕτω γὰρ καὶ αὐτὸς αἰδεσιμώτερος ἔσῃ καὶ σεμνότερος, ἐὰν "δείξῃς ὅτι ἐχαρίσω, καὶ οὐχ ἡρπάγης. ποίησον τοίνυν αὐτοῦ τὴν ἁμαρτίαν διὰ τῆς σῆς ἐπιεικείας φιλοτιμίαν σήν. εἰ δὲ μέγα τοῦτο εἶναι νομίζεις, ἀνάμεινον, καὶ ὄψει σαφῶς, ὅτι οὐδέπω πρὸς τὸ τέλειον ἀπήντηκας. οὐδὲ γὰρ ἐνταῦθα ἵσταταί σοι ὁ τοὺς περὶ ἀνεξικακίας τιθεὶς νόμους, ἀλλὰ καὶ περαιτέρω πρόεισιν, οὕτω λέγων·

Γεν. β.
Ησ. κ. γ.
Γεν. λθ.

γρ. ἅπαντη
γρ. ἐπίδον
γρ. συγκρατ
γρ. τοιοῦτον
τὸ φῶς·
γρ. -τει
γρ. πρότερον
γρ. δόξῃς

41 Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο.

Εἶδες ὑπερβολὴν φιλοσοφίας; μετὰ γὰρ τὸ δοῦναι τὸν χιτῶνα καὶ τὸ ἱμάτιον, οὐδὲ εἰ γυμνῷ τῷ σώματι χρήσασθαι βούλοιτο ὁ ἐχθρὸς πρὸς "ταλαιπωρίας καὶ πόνους, οὐδὲ οὕτως αὐτὸν δεῖ κωλύειν, φησί. πάντα γὰρ βούλεται κεκτῆσθαι ἡμᾶς κοινὰ, καὶ τὰ σώματα καὶ τὰ χρήματα, καὶ τοῖς δεομένοις παρέχειν καὶ τοῖς ὑβρίζουσι. τὸ μὲν γὰρ ἀνδρείας, τὸ δὲ φιλανθρωπίας ἐστί. διὰ τοῦτο ἔλεγεν· ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο, ἀνωτέρω σε ἀνάγων πάλιν, καὶ τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείκνυσθαι κελεύων. εἰ γὰρ, ἅπερ ἀρχόμενος ἔλεγεν ἐλάττονα ὄντα τούτων πολλῷ, τοσούτους ἔχει μακαρισμοὺς, ἐννόησον οἵα λῆξις τοὺς ταῦτα κατορθοῦντας ἀναμένει, καὶ τίνες πρὸ τῶν ἐπάθλων γίνονται, ἐν ἀνθρωπίνῳ σώματι καὶ παθητῷ ἀπάθειαν ἅπασαν κατορθοῦντες. ὅταν γὰρ μηδὲ ὕβρεσι καὶ πληγαῖς, μήτε χρημάτων ἀφαιρέσει δάκνωνται, μήτε ἄλλῳ μηδενὶ εἴκωσι τοιούτῳ, ἀλλὰ καὶ ἐπιδαψιλεύωνται

γρ. τιμωρία

τῷ πάθει μᾶλλον, σκόπησον οἷα αὐτοῖς κατασκευάζεται ἡ ψυχή. διὰ δὴ τοῦτο ὅπερ ἐπὶ τῶν πληγῶν, ὅπερ ἐπὶ τῶν χρημάτων, τοῦτο καὶ ἐνταῦθα ἐκέλευσε ποιεῖν. τί γὰρ λέγω, φησὶν, ὕβριν καὶ χρήματα; κἂν αὐτῷ τῷ σώματί σου βούληται εἰς πόνον χρήσασθαι καὶ κάματον, καὶ τοῦτο ἀδίκως, πάλιν νίκησον καὶ ὑπέρβηθι τὴν ἄδικον ἐπιθυμίαν ἐκείνου. τὸ γὰρ ἀγγαρεῦσαι, τοῦτό ἐστι, τὸ ἀδίκως ἑλκῦσαι, καὶ ἄνευ λόγου τινὸς, καὶ ἐπηρεάζοντα. ἀλλ᾽ ὅμως καὶ πρὸς τοῦτο ἔσο παρατεταγμένος, ὥστε πλέον παθεῖν, ἢ ἐκεῖνος βούλεται ποιῆσαι.

42 Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς.

Ταῦτα ἐκείνων ἐλάττονα· ἀλλὰ μὴ θαυμάσῃς. τοῦτο γὰρ εἴωθεν ἀεὶ ποιεῖν, ἀναμίγνυσι τοῖς μεγάλοις τὰ μικρά. εἰ δὲ ταῦτα μικρὰ πρὸς ἐκεῖνα, ἀκουέτωσαν οἱ τὰ ἑτέρων λαμβάνοντες, οἱ πόρναις τὰ ἑαυτῶν διανέμοντες καὶ διπλῆν ἑαυτοῖς ἀνάπτοντες πυρὰν, καὶ διὰ τῆς προσόδου τῆς ἀδίκου, καὶ διὰ τῆς δαπάνης τῆς ὀλεθρίας. δάνεισμα δὲ ἐνταῦθα, οὐ τὸ μετὰ τῶν τόκων λέγει συμβόλαιον· ἀλλὰ τὴν χρῆσιν ἁπλῶς. ἀλλαχοῦ δὲ αὐτὸ καὶ ἐπιτείνει, λέγων ἐκείνοις διδόναι, παρ᾽ ὧν οὐ προσδοκῶμεν ἀπολαμβάνειν.

43 Ἠκούσατε ὅτι ἐρρέθη· ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου· Λευ. ιθ. ιζ.

44 Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς· εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,

45 Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Ὅρα τὴν κορωνίδα τῶν ἀγαθῶν πῶς ἐπέθηκεν ἐσχάτην. διὰ γὰρ τοῦτο παιδεύει μὴ μόνον ῥαπιζομένους φέρειν, ἀλλὰ καὶ παρέχειν τὴν δεξιὰν σιαγόνα· μηδὲ μόνον τῷ χιτῶνι τὸ ἱμάτιον προστιθέναι, ἀλλὰ καὶ δύο συνοδεύειν μίλια τῷ ἓν ἀγγαρεύοντι, ἵνα τὸ πολλῷ πλέον τούτων μετ᾽ εὐκολίας δέξῃ πάσης. καὶ τί τούτων πλέον ἐστὶ, φησί; τὸ τὸν ποιοῦντα ταῦτα μηδὲ ἐχθρὸν ἔχειν· μᾶλλον δὲ καὶ τούτου ἕτερόν τι πλέον. οὐ γὰρ εἶπε, μὴ μισήσῃς, ἀλλὰ καὶ ἀγάπησον. οὐκ εἶπε, μὴ ἀδικήσῃς, ἀλλὰ καὶ καλῶς ποίησον. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ τούτων αὐτῶν ἑτέραν ὄψεται προσθήκην πολλῷ μείζονα τούτων. οὐδὲ γὰρ ἁπλῶς ἐκέλευσεν ἀγαπᾷν, ἀλλὰ καὶ εὔχεσθαι. εἶδες πόσους ἀνέβη βαθμοὺς, καὶ πῶς εἰς αὐτὴν ἡμᾶς τὴν κορυφὴν ἔστησε τῆς ἀρετῆς; σκόπει δὲ ἄνωθεν ἀριθμῶν· πρῶτός ἐστι βαθμὸς, μὴ ἄρχειν ἀδικίας· δεύτερος, μετὰ τὸ ἄρξαι, τὸν ἀδικοῦντα τοῖς ἴσοις μὴ ἀμύνεσθαι· τρίτος, μὴ δρᾶσαι τὸν ἐπηρεάζοντα ταῦτα, ἅπερ ἔπαθεν, ἀλλ᾽ ἡσυχάσαι· τέταρτος, τὸ καὶ παρέχειν ἑαυτὸν εἰς τὸ παθεῖν κακῶς· πέμπτος, τὸ καὶ πλέον παρέχειν ἢ ἐκεῖνος βούλεται ὁ ποιήσας· ἕκτος, τὸ μὴ μισῆσαι τὸν ταῦτα ἐργαζόμενον· ἕβδομος, τὸ καὶ ἀγαπῆσαι· ὄγδοος, τὸ καὶ εὐεργετῆσαι· ἔννατος, τὸ καὶ τὸν Θεὸν ὑπὲρ αὐτοῦ παρακαλεῖν. εἶδες ὕψος φιλοσοφίας; διά τοι τοῦτο καὶ λαμπρὸν τὸ ἔπαθλον ἔχει. ἐπειδὴ γὰρ μέγα ἦν τὸ ἐπίταγμα καὶ νεανικῆς δεόμενον ψυχῆς καὶ πολλῆς τῆς σπουδῆς, καὶ μισθὸν αὐτῷ τίθησι τοιοῦτον, οἷον οὐδενὶ τῶν προτέρων. οὐ γὰρ γῆς ἐνταῦθα μέμνηται, καθάπερ ἐπὶ τῶν πρᾴων· οὔτε παρακλήσεως καὶ ἐλέου, καθάπερ ἐπὶ τῶν πενθούντων καὶ ἐλεημόνων· οὔτε βασιλείας οὐρανῶν· ἀλλ᾽ ὃ πάντων τούτων ἦν φρικωδέστερον, τὸ γενέσθαι ὁμοίους τῷ Θεῷ, ὡς ἀνθρώπους γενέσθαι εἰκός. ὅπως γένησθε, φησὶν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. σὺ δέ μοι παρατήρει, πῶς οὐδὲ ἐνταῦθα, οὐδὲ ἐν τοῖς ἔμπροσθεν πατέρα ἑαυτοῦ καλεῖ· ἀλλ᾽ ἐκεῖ μὲν Θεὸν καὶ βασιλέα μέγαν, ὅτε περὶ τῶν ὅρκων διελέγετο· ἐνταῦθα δὲ πατέρα αὐτῶν. ποιεῖ δὲ τοῦτο, τῷ προσήκοντι καιρῷ τοὺς περὶ τούτων τηρῶν λόγους. εἶτα ἐπεξηγούμενος τὴν ὁμοιότητα, ἐπάγει, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ γὰρ αὐτὸς οὐ μόνον οὐ μισεῖ, φησὶν, ἀλλὰ καὶ εὐεργετεῖ τοὺς ὑβρίζοντας· καίτοιγε οὐδαμοῦ τὸ γινόμενον ἴσον, οὐ μόνον διὰ τὴν τῆς εὐεργεσίας ὑπερβολήν, ἀλλὰ καὶ διὰ τὴν τῆς ἀξίας ὑπεροχήν. σὺ μὲν γὰρ παρὰ τοῦ ὁμοδούλου καταφρονῇ, ἐκεῖνος δὲ παρὰ τοῦ δούλου καὶ μυρία εὐεργετηθέντος· καὶ σὺ μὲν ῥήματα χαρίζῃ εὐχόμενος ὑπὲρ αὐτοῦ, αὐτὸς δὲ πράγματα πολὺ μεγάλα καὶ θαυμαστά, τὸν ἥλιον ἀνατέλλων, καὶ τοὺς ἐτησίους ὄμβρους διδούς. ἀλλ' ὅμως καὶ οὕτω δίδωμι ἴσον εἶναι, ὡς ἄνθρωπον ἐγχωρεῖ εἶναι. μὴ τοίνυν μίσει τὸν ποιοῦντα κακῶς, τοιούτων ὄντα σοι πρόξενον ἀγαθῶν, καὶ εἰς τοσαύτην ἄγοντά σε τιμήν. μὴ καταρῶ τῷ ἐπηρεάζοντι· ἐπεὶ τὸν μὲν πόνον ὑπέστης, τοῦ δὲ καρποῦ ἀπεστερήθης· καὶ τὴν μὲν ζημίαν οἴσεις, τὸν δὲ μισθὸν ἀπολέσεις· ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας, τὸ χαλεπώτερον ὑπομείναντας τὸ ἔλαττον τούτου μὴ φέρειν. καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησί; Θεὸν ἰδὼν ἄνθρωπον γενόμενον, καὶ τοσοῦτον καταβάντα, καὶ τοσαῦτα παθόντα διὰ σέ, ἐρωτᾷς ἔτι καὶ ἀμφιβάλλεις, πῶς δυνατὸν τοῖς ὁμοδούλοις ἀφεῖναι τὰς ἀδικίας; οὐκ ἀκούεις αὐτοῦ ἐν τῷ σταυρῷ λέγοντος, Ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν; οὐκ ἀκούεις Παύλου λέγοντος, Ὅτι ὁ ἀναβὰς ἄνω καὶ καθήμενος ἐν δεξιᾷ, ἐντυγχάνει ὑπὲρ ἡμῶν; οὐχ ὁρᾷς ὅτι καὶ μετὰ τὸν σταυρὸν καὶ μετὰ τὴν ἀνάληψιν τοῖς ἀνῃρηκόσιν Ἰουδαίοις ἔπεμπε τοὺς ἀποστόλους τὰ μυρία οἴσοντας ἀγαθά, καὶ ταῦτα μέλλοντας μυρία παρ' αὐτῶν πάσχειν δεινά; ἀλλὰ σὺ μεγάλα ἠδίκησαι; καὶ τί τοιοῦτον πέπονθας, οἷον ὁ σὸς δεσπότης, δεσμούμενος, ῥαπιζόμενος, μαστιζόμενος, παρὰ οἰκετῶν ἐμπτυόμενος, θάνατον ὑπομένων, καὶ θάνατον τὸν θανάτων ἁπάντων αἴσχιστον, μετὰ τὰς μυρίας εὐεργεσίας; εἰ δὲ καὶ μεγάλα ἠδίκησαι, καὶ διὰ τοῦτο μάλιστα εὐεργέτησον, ἵνα καὶ σαυτῷ λαμπρότερον ποιήσῃς τὸν στέφανον, καὶ τὸν ἀδελφὸν τῆς ἐσχάτης ἀπαλλάξῃς ἀρρωστίας. ἐπεὶ καὶ οἱ ἰατροί, ὅταν λακτίζωνται καὶ ὑβρίζωνται παρὰ τῶν μαινομένων, τότε μάλιστα αὐτοὺς ἐλεοῦσι καὶ παρασκευάζονται πρὸς τὴν ἐκείνων διόρθωσιν, εἰδότες ὅτι τῆς ὑπερβολῆς τοῦ νοσήματος ἡ ὕβρις ἐστί. καὶ σὺ τοίνυν ταύτην περὶ τῶν ἐπιβουλευόντων ἔχε τὴν γνώμην, καὶ οὕτω κέχρησο τοῖς ἀδικοῦσιν. ἐκεῖνοι γάρ εἰσι μάλιστα οἱ νοσοῦντες καὶ τὴν βίαν ὑπομένοντες [ἅπασαν.] ἀπάλλαξον τοίνυν αὐτοὺς τῆς χαλεπῆς ταύτης ἐπηρείας, καὶ δὸς ἀφεῖναι τὴν ὀργήν, καὶ δαίμονος ἐλευθέρωσον χαλεποῦ, τοῦ θυμοῦ. καὶ γὰρ δαιμονῶντας ἐὰν ἴδωμεν, δακρύομεν· οὐχὶ καὶ αὐτοὶ δὲ σπουδάζομεν δαιμονᾷν. τοῦτο καὶ νῦν ποιῶμεν ἐπὶ τῶν ὀργιζομένων. καὶ γὰρ ἐκείνοις ἐοίκασιν οἱ θυμούμενοι, μᾶλλον δὲ κἀκείνων εἰσὶν ἀθλιώτεροι, μετ' αἰσθήσεως μαινόμενοι· διὸ καὶ ἀσύγγνωστος αὐτῶν ἡ παραπληξία. μὴ τοίνυν ἐπέμβαινε κειμένῳ, ἀλλὰ καὶ ἐλέει. καὶ γὰρ ἂν ὑπὸ χολῆς τινα ἐνοχλούμενον καὶ σκοτοδινιῶντα καὶ ἐμέσαι ἐπειγόμενον τὸν πονηρὸν τοῦτον χυμὸν ἴδωμεν, χεῖρα ὀρέγομεν καὶ διαβαστάζομεν σπαραττόμενον, κἂν τὸ ἱμάτιον μολύνωμεν, οὐκ ἀποστρεφόμεθα· ἀλλ' ἓν μόνον ζητοῦμεν, ὅπως ἐκεῖνον ἀπαλλάξωμεν τῆς χαλεπῆς ταύτης στενοχωρίας. τοῦτο τοίνυν καὶ ἐπὶ τούτων ποιῶμεν, καὶ διαβαστάζωμεν ἐμοῦντας καὶ σπαραττομένους· μὴ δὴ πρότερον ἀφῶμεν, ἕως ἂν ἅπασαν ἀποθῆται τὴν πικρίαν· καὶ τότε σοι χάριν εἴσεται μεγίστην, ἐπειδὰν παύσηται, τότε γνώσεται σαφῶς, ὅσης αὐτὸν ἀπήλλαξας ταραχῆς. καὶ τί λέγω τὴν παρ' ἐκείνου χάριν; ὁ γὰρ Θεὸς σε εὐθέως στεφανώσει καὶ μυρίοις ἀμείψεται καλοῖς, ὅτι σου τὸν ἀδελφὸν νοσήματος ἠλευθέρωσας χαλεποῦ· κἀκεῖνος δὲ ὡς δεσπότην τιμήσει, διὰ παντὸς αἰδούμενός σου τὴν ἐπιείκειαν. οὐχ ὁρᾷς τὰς τικτούσας γυναῖκας, πῶς δάκνουσι τὰς παρεστώσας, καὶ οὐκ ἀλγοῦσιν ἐκεῖναι; μᾶλλον δὲ ἀλγοῦσι μέν, φέρουσι δὲ γενναίως, καὶ συναλγοῦσι ταῖς ὀδυνωμέναις καὶ διακοπτομέναις ὑπὸ τῆς ὠδῖνος. ταύτας καὶ σὺ ζήλωσον, καὶ μὴ γίνου σὺ μαλακώτερος γυναικῶν. ἐπειδὰν γὰρ τέκωσιν αἱ γυναῖκες αὗται (γυναικῶν γάρ εἰσι μικροψυχότεροι) τότε σε τὸν ἄνδρα εἴσονται. εἰ δὲ βαρέα τὰ ἐπιτάγματα, ἐννόησον ὅτι διὰ τοῦτο παρεγένετο ὁ Χριστός, ἵνα ταῦτα ἐν τῇ ἡμετέρᾳ καταφυτεύσῃ διανοίᾳ, ἵνα καὶ ἐχθροῖς καὶ φίλοις χρησίμους κατασκευάσῃ. διὰ τοῦτο καὶ ἑκατέρων τούτων ἐπιμελεῖσθαι κελεύει· τῶν μὲν ἀδελφῶν, ἡνίκα ἂν λέγῃ, ἐὰν προσφέρῃς τὸ δῶρόν σου· τῶν δὲ ἐχθρῶν, ἐπειδὰν νομοθετῇ φιλεῖν

Λουκ. κγ. λδ.
Ρω. η. λδ.

τε καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν. καὶ οὐκ ἀπὸ τοῦ ὑποδείγματος τοῦ Χριστοῦ τοῦ Θεοῦ ἐνάγει μόνον εἰς τοῦτο, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου.

46 Ἐὰν γὰρ ἀγαπήσητε, φησὶ, τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ [τοῦτο] ποιοῦσι; Τοῦτο καὶ ὁ Παῦλός φησιν· Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. ἂν μὲν οὖν ταῦτα ποιῇς, μετὰ τοῦ Θεοῦ ἕστηκας· ἂν δὲ ἐγκαταλιμπάνῃς αὐτὰ, μετὰ τῶν τελωνῶν. εἶδες πῶς οὐ τοσοῦτον τῶν ἐντολῶν τὸ "μέγεθος, ὅσον τῶν προσώπων ἡ διαφορά; μὴ τοίνυν τοῦτο λογιζώμεθα, ὅτι δυσχερὲς τὸ ἐπίταγμα, ἀλλὰ καὶ τὸ ἔπαθλον ἐννοήσωμεν, καὶ λογισώμεθα τίνος ὅμοιοι γινόμεθα κατορθώσαντες, καὶ τίνος ἴσοι διαμαρτάνοντες. τῷ μὲν οὖν ἀδελφῷ κελεύει καταλλάττεσθαι, καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἂν τὴν ἔχθραν ἀνέλωμεν· ὅταν δὲ περὶ πάντων διαλέγηται, οὐκ ἔτι ταύτῃ ἡμᾶς ὑποβάλλει τῇ ἀνάγκῃ, ἀλλὰ τὰ παρ' ἡμῶν ἀπαιτεῖ μόνον, εὔκολον καὶ ταύτῃ ποιῶν τὸν νόμον. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν, ἵνα μὴ διὰ ταῦτα αὐτὰ ἀηδῶς πρὸς αὐτοὺς ἔχωσι, κελεύει μὴ μόνον φέρειν ταῦτα ποιοῦντας, ἀλλὰ καὶ ἀγαπᾷν. ὁρᾷς πῶς πρόρριζον τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ σώματα, τὴν περὶ τὰ χρήματα, τὴν περὶ τὴν δόξαν, τὴν περὶ τὸν παρόντα βίον ἀναιρεῖ; τοῦτο γὰρ ἐποίησε μὲν ἐξ ἀρχῆς, πολλῷ πλέον δὲ νῦν. ὅ τε γὰρ πτωχὸς καὶ ὁ πρᾶος καὶ ὁ πενθῶν κενοῖ τῆς ὀργῆς· ὅ τε δίκαιος καὶ ἐλεήμων κενοῖ τῆς τῶν χρημάτων ἐπιθυμίας· ὁ καθαρὸς τὴν καρδίαν ἀπήλλακται ἐπιθυμίας πονηρᾶς· ὁ δεδιωγμένος καὶ φέρων τὰς ὕβρεις καὶ κακῶς ἀκούων πᾶσαν ἀσκεῖ λοιπὸν τὴν τῶν παρόντων πραγμάτων ὑπεροψίαν, καὶ τύφου καὶ κενοδοξίας ἐστὶ καθαρός. λύσας τοίνυν τῶν δεσμῶν τούτων τὸν ἀκροατὴν καὶ εἰς τοὺς ἀγῶνας ἀλείψας, πάλιν ἑτέρως ἀνασπᾷ ταῦτα τὰ πάθη, καὶ μετὰ πλείονος τῆς ἀκριβείας. ἀρξάμενος γὰρ ἀπὸ τῆς ὀργῆς καὶ πάντοθεν ἐκκόψας τοῦ πάθους τούτου τὰ νεῦρα, καὶ εἰπὼν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ [αὐτοῦ,] καὶ ὁ μωρὸν καλῶν, καὶ ὁ ῥακὰ, κολαζέσθω· καὶ ὁ προσφέρων τὸ δῶρον μὴ πρότερον προσίτω τῇ τραπέζῃ, ἕως ἂν καταλύσῃ τὴν ἔχθραν· καὶ ὁ ἀντίδικον ἔχων, πρὶν ἢ τὸ δικαστήριον ἰδεῖν, φίλον ποιείτω τὸν ἐχθρόν, ἐπὶ τὴν ἐπιθυμίαν μεταβαίνει πάλιν. καὶ τί φησιν; ὁ ἐμβλέπων ἀκολάστοις ὀφθαλμοῖς, ὡς μοιχὸς τιμωρείσθω· ὁ σκανδαλιζόμενος ὑπὸ γυναικὸς ἀκολάστου ἢ ὑπὸ ἀνδρὸς, ἢ ὑπὸ ἄλλου τινὸς τῶν αὐτῷ προσηκόντων, ἅπαντας ἐκκοπτέτω τούτους· ὁ νόμῳ γάμου κατέχων γυναῖκα, "μηδέποτε αὐτὴν ἐκβαλλέτω καὶ πρὸς ἑτέραν βλεπέτω. διὰ γὰρ τούτων τῆς πονηρᾶς ἐπιθυμίας τὰς ῥίζας ἀνεῖλεν. εἶτα ἐντεῦθεν τῶν χρημάτων τὸν ἔρωτα ἀναστέλλει, κελεύων μήτε ὀμνύναι, μήτε ψεύδεσθαι, μήτε αὐτοῦ "ἀντέχεσθαι τοῦ χιτωνίσκου, ὃν ἂν τις ἐνδεδυμένος τύχῃ· ἀλλὰ καὶ τὸ ἱμάτιον προΐεσθαι τῷ βουλομένῳ, καὶ τὴν τοῦ σώματος χρῆσιν, ἐκ πολλῆς περιουσίας τὸν περὶ τὰ χρήματα ἀναιρῶν πόθον· καὶ τότε μετὰ ταῦτα πάντα καὶ τὸν ποικίλον τῶν ἐπιταγμάτων τούτων στέφανον ἐπάγει, λέγων· Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐπ' αὐτὴν ἄνω τὴν ἀκροτάτην τῆς φιλοσοφίας ἀνάγων [τὴν] κορυφήν. ὥσπερ γὰρ τοῦ πρᾶον εἶναι μεῖζον τὸ ῥαπίζεσθαι, καὶ τοῦ ἐλεήμονα εἶναι τὸ καὶ τὸ ἱμάτιον "προΐεσθαι μετὰ τοῦ χιτωνίσκου, καὶ τοῦ δίκαιον εἶναι τὸ καὶ ἀδικούμενον φέρειν, καὶ τοῦ εἰρηνοποιὸν εἶναι τὸ καὶ ῥαπιζόμενον καὶ ἀγγαρευόμενον ἕπεσθαι· οὕτω καὶ τοῦ διώκεσθαι τὸ διωκόμενον εὐλογεῖν. ὁρᾷς πῶς κατὰ μικρὸν εἰς αὐτὰς ἡμᾶς ἀνάγει "τοῦ οὐρανοῦ τὰς ἁψῖδας; τίνος οὖν ἂν εἴημεν ἄξιοι, οἱ πρὸς τὸν Θεὸν κελευόμενοι τὸν ζῆλον ἔχειν, καὶ τάχα μηδὲ τῶν τελωνῶν γινόμενοι ἴσοι; εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας, τελωνῶν καὶ ἁμαρτωλῶν καὶ ἐθνικῶν· ὅταν μηδὲ τοῦτο ποιῶμεν (οὐ γὰρ ποιοῦμεν, οἱ αὐτοὶ βασκαίνοντες εὐδοκιμοῦσι τοῖς ἀδελφοῖς) ποίαν οὐχ ὑποστησόμεθα δίκην, ὑπερβαίνειν τοὺς γραμματεῖς κελευόμενοι, καὶ τῶν ἐθνικῶν ἑστῶτες κατώτεροι; πῶς οὖν ὀψόμεθα "βασιλείαν, εἰπέ μοι; πῶς ἐπιβησόμεθα τῶν ἱερῶν προθύρων ἐκείνων, "οὐδὲ τῶν τελωνῶν ἀμείνους γινόμενοι;

Ἑβρ. ιβ. δ.

μόνον,

μηδέπω

φείδεσθαι

προέσθαι

τῶν οὐρα-νῶν

-λέα,

οὐδὲ

νόμενοι; τοῦτο γὰρ ἠνίξατο εἰπών· οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ὃ καὶ μάλιστα θαυμάσαι αὐτοῦ τῆς διδασκαλίας ἐστίν· ὅτι πανταχοῦ τὰ ἔπαθλα τῶν ἀγώνων τιθεὶς μετὰ πολλῆς τῆς περιουσίας, οἷον καὶ τὸ τὸν Θεὸν ὁρᾶν, καὶ βασιλείαν οὐρανῶν κληρονομεῖν, καὶ τὸ υἱοὺς Θεοῦ γενέσθαι, καὶ τὸ ὁμοίους Θεοῦ, καὶ τὸ ἐλεεῖσθαι, καὶ τὸ παρακληθῆναι, καὶ τὸ ἐν οὐρανοῖς ἔχειν πολὺν τὸν μισθόν· εἴ που δὲ καὶ λυπηρῶν μνησθῆναι ἔδει, ὑφειμένως τοῦτο ποιεῖ. τὸ μὲν γὰρ τῆς γεέννης ὄνομα ἅπαξ ἐν τοσούτοις τέθεικε λόγοις· καὶ ἑτέροις δέ τισιν ὑπεσταλμένως καὶ ἐντρεπτικώτερον μᾶλλον, ἢ ἀπειλητικώτερον κεχρημένος τῷ λόγῳ, διορθοῦται τὸν ἀκροατὴν λέγων· Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; καί, Ἐὰν τὸ ἅλας μωρανθῇ· καί, Ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ἔστι δὲ ὅπου καὶ τὰ ἁμαρτήματα ἀντὶ κολάσεως τίθησι, τὸ φορτικὸν τῆς κολάσεως τῷ ἀκροατῇ διδοὺς συνιδεῖν. ὡς ὅταν λέγῃ· ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ ὁ ἀπολύων ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ τὸ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι. τοῖς γὰρ νοῦν ἔχουσιν ἀντὶ τοῦ τῆς κολάσεως ὀνόματος ἀρκεῖ καὶ τὸ τῆς ἁμαρτίας μέγεθος εἰς σωφρονισμόν. διὸ δὴ καὶ ἐνταῦθα τοὺς ἐθνικοὺς καὶ τοὺς τελώνας εἰς μέσον ἄγει, τῇ ποιότητι τοῦ προσώπου τὸν μαθητὴν ἐντρέπων. ὃ καὶ ὁ Παῦλος ἐποίει λέγων· Μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα· καὶ πάλιν, καθάπερ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. καὶ δεικνὺς ὅτι οὐδὲν ὑπέρογκον ἀπαιτεῖ, ἀλλὰ μικρῷ πλέον τοῦ εἰωθότος, φησίν· οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; ἀλλ' ὅμως οὐχ ἵστησιν ἐνταῦθα τὸν λόγον· ἀλλ' εἰς τὰ ἔπαθλα αὐτὸν καταλύει καὶ τὰς χρηστὰς ἐλπίδας, λέγων·

Μαρ. θ. ν.
Λουκ. ιδ. λδ.
Ματθ. ε. ιθ.
α. Θεσ. δ. ιγ.

ΗΘΙΚΟΝ

48 Γίνεσθε οὖν τέλειοι, ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. Καὶ πολὺ τὸ τῶν οὐρανῶν ὄνομα διασπείρει πανταχοῦ, καὶ ἀπὸ τοῦ τόπου τὰ φρονήματα αὐτῶν διεγείρων. τέως γὰρ ἀσθενέστερον καὶ παχύτερόν πως ἦσαν διακείμενοι. Ἅπαντα οὖν ἐννοοῦντες τὰ εἰρημένα, πολλὴν καὶ πρὸς τοὺς ἐχθροὺς ἐπιδειξώμεθα τὴν ἀγάπην· καὶ τὸ καταγέλαστον ἐκεῖνο ἔθος ἐκβάλωμεν, ὅπερ πολλοὶ τῶν ἀλογωτέρων ὑπομένουσιν, ἀναμένοντες τοὺς ἀπαντῶντας προτέρους προσειπεῖν, ὃ μὲν ἔχει πολὺν μακαρισμόν, μὴ ζηλοῦντες, ὃ δέ ἐστι καταγέλαστον, τοῦτο διώκοντες. τίνος οὖν ἕνεκεν οὐ προσερεῖς αὐτὸν πρότερος; ἐπειδὴ τοῦτο ἀναμένει, φησίν. οὐκοῦν δι' αὐτὸ τοῦτο μάλιστα ἐπιπηδᾷν ἔδει, ἵνα σὺ λάβῃς τὸν στέφανον. οὔ, φησιν· ἐπειδὴ τοῦτο ἐσπούδακε. καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; ἐπειδὴ γὰρ οὗτος ἐσπούδακε, φησί, μισθοῦ μοι γενέσθαι πρόξενος, οὐ βούλομαι ἐπιλαβέσθαι τῆς ὑποθέσεως ταύτης. ἂν μὲν οὖν ἐκεῖνός σε προσείπῃ πρότερος, οὐδέν σοι γίνεται πλέον καὶ προσειπόντι· ἐὰν δὲ σὺ πρότερος ἐπιπηδήσῃς τῇ προσρήσει, ἐπραγματεύσω τὸν τῦφον ἐκείνου, καὶ δαψιλῆ τινα ἐκ τῆς ἀπονοίας αὐτοῦ τὸν καρπὸν ἐτρύγησας. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας τοσαῦτα μέλλοντας καρποῦσθαι ἀπὸ ψιλῶν ῥημάτων, προδιδόναι τὸ κέρδος, καὶ καταγινώσκοντας αὐτοῦ, τοῖς αὐτοῖς περιπίπτειν; εἰ γὰρ διὰ τοῦτο αὐτὸν αἰτιᾷ, ὅτι πρότερος ἀναμένει τὴν παρ' ἑτέρου πρόσρησιν, τίνος ἕνεκεν ζηλοῖς ὅπερ ἐγκαλεῖς, καὶ ὅπερ ἔφης εἶναι πονηρόν, τοῦτο ὡς ἀγαθὸν μιμεῖσθαι ἐσπούδακας; ὁρᾷς πῶς οὐδὲν ἀνθρώπου κακίᾳ συζῶντος ἀνοητότερον; διὸ παρακαλῶ, φύγωμεν τὸ πονηρὸν τοῦτο ἔθος καὶ καταγέλαστον. καὶ γὰρ μυρίας ἀνέτρεψε φιλίας τὸ νόσημα τοῦτο, καὶ πολλὰς ἔχθρας εἰργάσατο. διὰ δὴ τοῦτο φθάνωμεν αὐτοὺς ἡμεῖς. οἱ γὰρ ῥαπίζεσθαι καὶ ἀγγαρεύεσθαι καὶ γυμνοῦσθαι παρὰ ἐχθρῶν κελευόμενοι, καὶ φέρειν, ποίας ἂν εἴημεν συγγνώμης ἄξιοι, ἐν προσρήσει ψιλῇ τοσαύτην ἐπιδεικνύμενοι φιλονεικίαν; ἀλλὰ καταφρονούμεθα, φησί, καὶ διαπτυόμεθα, ὅταν αὐτῷ χαρισώμεθα τοῦτο. καὶ ἵνα μὴ καταφρονήσῃ ἄνθρωπος, προσκρούεις Θεῷ; καὶ ἵνα μὴ καταφρονήσῃ σου ὁ μαινόμενος ὁμόδουλος, καταφρονεῖς τοῦ δεσπότου, οὐ τοσαῦτά σε εὐεργετηκότος; εἰ γὰρ ἄτοπον τὸ καταφρονεῖν σου τὸν ὁμότιμον, πολλῷ μᾶλλον τὸ σὲ καταφρονεῖν τοῦ σε πεποιηκότος Θεοῦ. μετὰ δὲ τούτου κἀκεῖνο σκόπει, ὅτι ὅταν σου καταφρονήσῃ, τότε σοι μείζονος μισθοῦ γίνεται πρόξενος.

διὰ γὰρ τὸν Θεὸν ταῦτα ὑπομένεις, ἐπειδὴ "τῶν αὐτοῦ νόμων ἤκουσας. τοῦτο δὲ ποίας οὐκ ἂν εἴη τιμῆς ἀντάξιον; πόσων διαδημάτων; ἐμοὶ γένοιτο καὶ ὑβρίζεσθαι καὶ καταφρονεῖσθαι διὰ τὸν Θεὸν, ἢ τιμᾶσθαι παρὰ βασιλέων ἁπάντων. οὐδὲν γὰρ, οὐδὲν τῆς δόξης ταύτης ἴσον. ταύτην τοίνυν διώκωμεν οὕτως, ὡς αὐτὸς ἐκέλευσε, καὶ τῶν ἀνθρωπίνων μηδένα "ποιούμενοι λόγον, ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν ἐπιδεικνύμενοι διὰ πάντων*, οὕτω τὸν ἑαυτῶν βίον οἰκονομῶμεν. καὶ γὰρ τῶν οὐρανίων καὶ τῶν ἐκεῖσε στεφάνων ἐντεῦθεν ἤδη καρπωσόμεθα τὰ ἀγαθὰ, ὡς ἄγγελοι μετὰ τῶν ἀνθρώπων βαδίζοντες, ὡς αἱ τῶν "ἀγγέλων δυνάμεις ἐν τῇ γῇ "περιπολοῦντες, καὶ πάσης μὲν "ἐπιθυμίας, πάσης δὲ ἐκτὸς μένοντες ταραχῆς· καὶ μετὰ τούτων δὲ πάντων, καὶ τὰ ἀπόῤῥητα ἀποληψόμεθα ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

αὐτοῦ νό-
μους πας.

ποιούμεθα
πων,

οὐρανῶν
περιπατοῦν-
θυμίας,

Ὁμιλ. ιθ. 1 ΠΡΟΣΕΧΕΤΕ ΤΗΝ ΕΛΕΗΜΟΣΥΝΗΝ Υμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς.

κεφ. ς.

ΤΟ τυραννικώτερον πάντων λοιπὸν ἐξορίζει πάθος, τὴν λύσσαν καὶ τὴν μανίαν τὴν περὶ τὴν "κενὴν δόξαν ἐγγινομένην τοῖς κατορθοῦσιν. ἐξ ἀρχῆς μὲν γὰρ οὐδὲν περὶ αὐτοῦ διελέχθη. καὶ γὰρ ἦν περιττὸν, πρὶν ἢ πεῖσαι ποιεῖν τι τῶν δεόντων, περὶ τοῦ πῶς δεῖ ποιεῖν αὐτὰ καὶ μετιέναι διδάσκειν. ἐπειδὴ δὲ ἐνῆγεν εἰς φιλοσοφίαν, τότε λοιπὸν καὶ τὴν παρυφισταμένην αὐτῇ καθαιρεῖ λύμην. οὐδὲ γὰρ ἁπλῶς τίκτεται τοῦτο τὸ νόσημα, ἀλλ' ὅταν πολλὰ κατορθώσωμεν τῶν ἐπιταττομένων. ἔδει τοίνυν πρότερον φυτεῦσαι τὴν ἀρετὴν, καὶ τότε τὸ ἐπηρεάζον αὐτῆς τὸν καρπὸν ἀνελεῖν πάθος. καὶ ὅρα πόθεν ἄρχεται. ἀπὸ νηστείας καὶ εὐχῆς καὶ ἐλεημοσύνης. τούτοις γὰρ μάλιστα ἐμφιλοχωρεῖν εἴωθε τοῖς κατορθώμασιν. ὁ γοῦν Φαρισαῖος ἐντεῦθεν ἐφυσᾶτο, λέγων· Νηστεύω δὶς τῆς ἑβδομάδος, ἀποδεκατῶ μου τὰ ὑπάρχοντα· καὶ ἐν αὐτῇ δὲ ἐκενοδόξει τῇ εὐχῇ, πρὸς ἐπίδειξιν αὐτὴν ποιούμενος. ἐπειδὴ γὰρ οὐδεὶς ἄλλος παρῆν, τῷ τελώνῃ ἐνεδείκνυτο, λέγων· οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, οὐδὲ ὡς οὗτος ὁ τελώνης. καὶ σκόπει πῶς ἤρξατο, ὡς περὶ θηρίου τινὸς δυσφορωτάτου διαλεγόμενος, καὶ δεινοῦ κλέψαι τὸν μὴ σφόδρα ἐγρηγορότα. προσέχετε γὰρ, φησι, τὴν ἐλεημοσύνην ὑμῶν. οὕτω καὶ ὁ Παῦλος λέγει Φιλιππησίοις· Βλέπετε τοὺς κύνας. καὶ γὰρ λάθρα ἐπεισέρχεται τὸ θηρίον, καὶ πάντα ἐκφυσᾷ ἀψοφητὶ, καὶ ἀνεπαισθήτως ἐκφέρει τὰ ἔνδον ἅπαντα. ἐπεὶ οὖν πολὺν περὶ τῆς ἐλεημοσύνης ἐποιήσατο λόγον, καὶ τὸν Θεὸν εἰς μέσον ἤγαγε, τὸν ἀνατέλλοντα τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ πανταχόθεν προέτρεψεν εἰς τοῦτο, καὶ κομᾷν ἔπεισε τῇ δαψιλείᾳ τῆς χορηγίας, ἀναιρεῖ λοιπὸν καὶ τὰ ἐνοχλοῦντα τῇ καλῇ ταύτῃ ἐλαίᾳ πάντα. διό φησι, προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων. ἐκείνη γὰρ ἡ ἔμπροσθεν εἰρημένη, τοῦ Θεοῦ ἐστιν ἐλεημοσύνη. καὶ εἰπὼν, μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, ἐπήγαγε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. καὶ δοκεῖ μὲν "πρότερον εἰρῆσθαι τὸ αὐτό· ἂν δέ τις ἀκριβῶς προσέχῃ, οὐκ ἔστι τὸ αὐτὸ, ἀλλ' ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο, καὶ πολλὴν ἔχει τὴν ἀσφάλειαν καὶ ἄφατον τὴν κηδεμονίαν καὶ τὴν φειδώ. ἔστι γὰρ καὶ ἔμπροσθεν τῶν ἀνθρώπων ποιοῦντα, μὴ πρὸς τὸ θεαθῆναι ποιεῖν· καὶ μὴ ποιοῦντα [πάλιν] ἔμπροσθεν, πρὸς τὸ θεαθῆναι ποιεῖν. διόπερ οὐχ ἁπλῶς τὸ γινόμενον, ἀλλὰ τὴν γνώμην κολάζει καὶ στεφανοῖ. εἰ γὰρ μὴ αὕτη ἡ ἀκρίβεια "προσκειμένη ἦν, πολλοὺς ἂν τοῦτο ὀκνηροτέρους ἐποίησε περὶ τὴν τῆς ἐλεημοσύνης δόσιν, διὰ τὸ μὴ

κενοδοξίαν

Λουκ. ιη. ιβ.

Φιλιπ. γ. β.

δεύτερον

προσκειμένη

πανταχοῦ πάντως δυνατὸν εἶναι λανθανόντως ποιεῖν. διὰ τοῦτο ἀπολύων σε τῆς ἀνάγκης ταύτης, οὐ τῷ τέλει τοῦ πράγματος, ἀλλὰ τῇ προαιρέσει τοῦ ποιοῦντος καὶ τὴν ζημίαν καὶ τὸν μισθὸν ὁρίζει. ἵνα γὰρ μὴ λέγῃς, τί γὰρ ἐγὼ πάθω, ἂν ἕτερος ἴδῃ; οὐ τοῦτο ζητῶ, φησιν, ἀλλὰ τὴν διάνοιαν τὴν σὴν, καὶ τὸν τρόπον τοῦ γινομένου. τὴν γὰρ ψυχὴν διαπλάσαι βούλεται, καὶ παντὸς ἀπαλλάξαι νοσήματος. ἀπαγορεύσας τοίνυν τὸ πρὸς ἐπίδειξιν ποιεῖν, καὶ τὴν ἐκ τούτου ζημίαν διδάξας, τὸ μάτην καὶ εἰκῇ τοῦτο ποιεῖν, πάλιν αὐτῶν ἐγείρει τὰ ″ φρονήματα, τοῦ πατρὸς ἀναμνήσας καὶ τοῦ οὐρανοῦ, ἵνα μὴ τῇ ζημίᾳ μόνῃ καθάψηται, ἀλλὰ καὶ τῇ μνήμῃ τοῦ γεγεννηκότος ἐντρέψῃ.

χ. φρόνημα

Οὐκ ἔχετε γὰρ τὸν μισθόν, φησι, παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ περαιτέρω πρόεισι, καὶ δι' ἑτέρων πολλὴν τὴν ἀποτροπὴν ἐργαζόμενος. ὥσπερ γὰρ ἀνωτέρω τελώνας καὶ ἐθνικοὺς τέθεικε, τῇ ποιότητι τοῦ προσώπου καταισχύνων τοὺς μιμουμένους, οὕτω καὶ ἐνταῦθα τοὺς ὑποκριτάς.

2 Ὅταν οὖν ποιῇς, φησιν, ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί. Οὐχ ὅτι σάλπιγγας εἶχον ἐκεῖνοι, τοῦτο λέγει, ἀλλὰ τὴν πολλὴν αὐτῶν ἐπιδεῖξαι βούλεται μανίαν, τῇ λέξει τῆς μεταφορᾶς ταύτης κωμῳδῶν καὶ ἐκπομπεύων αὐτούς. καὶ καλῶς ὑποκριτὰς εἶπε. τὸ μὲν γὰρ προσωπεῖον, ἐλεημοσύνης ἦν· ἡ δὲ διάνοια, ὠμότητος καὶ ἀπανθρωπίας. οὐ γὰρ διὰ τὸ ″ τὸν πλησίον ἐλεεῖν ποιοῦσιν, ἀλλὰ διὰ τὸ δόξης ἀπολαύειν αὐτούς· ὅπερ ἐσχάτης ἦν ὠμότητος, ἑτέρου λιμῷ διαφθειρομένου φιλοτιμίαν ζητεῖν, καὶ μὴ λύειν τὴν συμφοράν. οὐκ ἄρα τὸ δοῦναι ἐλεημοσύνην, ἀλλὰ τό, ὡς χρή, δοῦναί ἐστι τὸ ζητούμενον, καὶ διὰ τοῦτο δοῦναι. κωμῳδήσας τοίνυν αὐτοὺς ἱκανῶς, καὶ καθαψάμενος αὐτῶν, ὡς καὶ αἰσχυνθῆναι τὸν ἀκροατήν, διορθοῦται πάλιν τὴν τὰ τοιαῦτα νοσοῦσαν γνώμην, καὶ εἰπὼν πῶς δεῖ μὴ ποιεῖν, δείκνυσι πάλιν πῶς δεῖ ποιεῖν. πῶς οὖν δεῖ ποιεῖν;

χ. τοῦ

3 Μὴ γνώτω, φησίν, ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου. Πάλιν ἐνταῦθα οὐ χεῖρας αἰνίττεται, ἀλλ' ὑπερβολικῶς αὐτὸ τέθεικεν. εἰ γὰρ οἷόν τέ ἐστι, φησι, καὶ σεαυτὸν ἀγνοῆσαι, περισπούδαστον ἔστω σοι τοῦτο, κἂν αὐτὰς δυνατὸν ᾖ τὰς διακονουμένας χεῖρας λαθεῖν· οὐχ ὥς τινές φασιν, ὅτι τοὺς σκαιοὺς δεῖ κρύπτειν ἀνθρώπους. πάντας γὰρ ἐνταῦθα λανθάνειν ἐκέλευσεν. εἶτα καὶ ὁ μισθὸς ἐννόησον ὅσος. ἐπειδὴ γὰρ εἶπε τὴν ἐκεῖθεν κόλασιν, δείκνυσι καὶ τὴν ″ ἐντεῦθεν τιμήν, ἑκατέρωθεν αὐτοὺς ὠθῶν καὶ εἰς ὑψηλὰ ″ ἄγων διδάγματα. καὶ γὰρ πείθει εἰδέναι, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός, καὶ ὅτι οὐ μέχρι τοῦ παρόντος βίου ἕστηκε τὰ ἡμέτερα, ἀλλὰ καὶ φοβερώτερον ἡμᾶς ἐντεῦθεν ἐκδέξεται δικαστήριον, καὶ αἱ τῶν πεπραγμένων εὐθῦναι ἁπάντων καὶ τιμαὶ καὶ κολάσεις, καὶ ὅτι οὐδέν, οὐ μικρόν, οὐ μέγα τις ποιῶν λήσεται, κἂν δόξῃ τοὺς ἀνθρώπους λανθάνειν. ταῦτα γὰρ ἅπαντα ἠνίξατο εἰπών,

χ. ἐνταῦθα

χ. ἀνάγει

4 Ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Μέγα καὶ σεμνὸν αὐτῷ καθίζων θέατρον, καὶ ὅπερ ἐπιθυμεῖ, τοῦτο μετὰ πολλῆς αὐτῷ διδοὺς τῆς περιουσίας. τί γὰρ βούλει, φησίν; οὐχὶ θεατὰς ″ ἔχειν τῶν γινομένων τινάς; ἰδοὺ τοίνυν ἔχεις, οὐχὶ ἀγγέλους ″ καὶ ἀρχαγγέλους, ἀλλὰ τὸν τῶν ὅλων Θεόν. εἰ δὲ καὶ ἀνθρώπους ἐπιθυμεῖς ἔχειν θεωρούς, οὐδὲ ταύτης σε ἀποστερεῖ τῆς ἐπιθυμίας καιρῷ τῷ προσήκοντι, ἀλλὰ καὶ μετὰ πλείονός σοι αὐτὸ παρέχει τῆς ὑπερβολῆς. νῦν μὲν γὰρ ἂν ἐπιδείξῃ, δέκα καὶ εἴκοσιν, ἢ καὶ ἑκατὸν ἀνθρώποις ἐπιδείξασθαι δυνήσῃ μόνοις· ἂν δὲ σπουδάζῃς νῦν λανθάνειν, τότε σε αὐτὸς ὁ Θεὸς ἀνακηρύξει, τῆς οἰκουμένης παρούσης ἁπάσης. ὥστε μάλιστα, εἰ βούλει ἀνθρώπους ἰδεῖν σου τὰ κατορθώματα, κρύψον αὐτὰ νῦν, ἵνα μετὰ πλείονος τιμῆς τότε αὐτὰ πάντες θεάσωνται, τοῦ Θεοῦ φανερὰ ποιοῦντος καὶ ἐπαίροντος καὶ παρὰ πᾶσιν ἀνακηρύττοντος. νῦν

χ. ἔχεις

χ. οὐδὲ

μὲν γάρ σου καὶ καταγνώσονται οἱ ὁρῶντες, ὡς κενοδόξου· στεφανούμενον δὲ ἰδόντες, οὐ μόνον οὐ καταγνώσονται, ἀλλὰ καὶ θαυμάσονται ἅπαντες. ὅταν οὖν καὶ μισθὸν ″ ᾖ λαβεῖν, καὶ θαῦμα καρπώσασθαι μεῖζον, ὀλίγον ἀναμείναντα χρόνον, ἐννόησον ἡλίκης ἀνοίας ἐστὶν ἀμφοτέρων ἐκπεσεῖν τούτων, καὶ παρὰ τοῦ Θεοῦ τὸν μισθὸν αἰτοῦντα, καὶ, τοῦ Θεοῦ ὁρῶντος, τοὺς ἀνθρώπους καλεῖν πρὸς τὴν ἐπίδειξιν τῶν γινομένων. εἰ γὰρ ἐπιδείκνυσθαι δεῖ, τῷ πατρὶ πρὸ πάντων ἐπιδείκνυσθαι χρή· καὶ μάλιστα, ὅταν καὶ τοῦ στεφανῶσαι καὶ τοῦ ζημιῶσαι κύριος ὁ πατὴρ ᾖ. καίτοι εἰ καὶ ζημία μὴ ἦν, οὐκ ἔδει τὸ θέατρον τοῦτο ἀφιέντα, ἀνταλλάξασθαι τὸ τῶν ἀνθρώπων, τὸν τῆς δόξης ἐπιθυμοῦντα. τίς γὰρ οὕτως ἄθλιος, ὡς τοῦ βασιλέως σπεύδοντος ἐπὶ τὴν θεωρίαν τῶν αὐτοῦ κατορθωμάτων ἐλθεῖν, ἐκεῖνον μὲν ἀφιέναι, ἀπὸ δὲ τῶν πτωχῶν καὶ τῶν προσαιτῶν καθίζειν αὐτοῦ τὸ θέατρον; διὰ δὴ τοῦτο, οὐχὶ μόνον οὐκ ἐπιδείκνυσθαι κελεύει, ἀλλὰ καὶ σπουδάζειν λανθάνειν. οὐδὲ γάρ ἐστιν ἴσον, μὴ σπουδάσαι φανῆναι, καὶ σπουδάσαι λαθεῖν.

5 Καὶ ὅταν προσεύχησθε, φησιν, οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, * ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

6 Σὺ δὲ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ.

Πάλιν καὶ τούτους ὑποκριτὰς καλεῖ· καὶ μάλα εἰκότως, ὅτι Θεῷ προσποιούμενοι προσεύχεσθαι, ἀνθρώπους περισκοποῦσιν, οὐχ ἱκετῶν περικείμενοι σχῆμα, ἀλλ' ἀνθρώπων καταγελάστων. ὁ γὰρ μέλλων ἱκετεύειν, ἅπαντας ἀφεὶς, πρὸς ἐκεῖνον μόνον ὁρᾷ τὸν κύριον ὄντα δοῦναι τὴν αἴτησιν. ἂν δὲ τοῦτον ἀφεὶς, περιέρχῃ πλανώμενος καὶ πανταχοῦ περιφέρων τοὺς ὀφθαλμοὺς, κεναῖς ἀπελεύσῃ χερσί. τοῦτο γὰρ αὐτὸς ἐβουλήθης. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι οὐ λήψονται μισθὸν οἱ τοιοῦτοι, ἀλλ' ὅτι ἀπέχουσι· τουτέστιν, ὅτι λήψονται μὲν, παρ' ὧν δὲ ἐπιθυμοῦσιν αὐτοί. οὐ γὰρ ὁ Θεὸς τοῦτο βούλεται, ἀλλ' αὐτὸς μὲν τὴν παρ' ″ἑαυτοῦ παρέχειν ἤθελεν ἀμοιβήν· ἐκεῖνοι δὲ τὴν παρὰ τῶν ἀνθρώπων ζητοῦντες, οὐκ ἔτ' ἂν εἶεν δίκαιοι λαβεῖν παρ' ἐκείνου, δι' ὃν οὐδὲν πεποιήκασι. σὺ δέ μοι σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅταν καὶ, ὑπὲρ ὧν ″αἰτεῖται παρ' ἡμῶν ἀγαθῶν, ἐπαγγέλληται μισθὸν παρέξειν. διαβαλὼν τοίνυν τοὺς οὐ προσηκόντως τῷ πράγματι χρωμένους, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τῆς διαθέσεως, καὶ δείξας σφόδρα καταγελάστους ὄντας, εἰσάγει τὸν ἄριστον τῆς προσευχῆς τρόπον, καὶ πάλιν τὸν μισθὸν δίδωσιν, εἰπών· εἴσελθε εἰς τὸ ταμιεῖόν σου. τί οὖν; ἐν ἐκκλησίᾳ, φησίν, οὐ δεῖ προσεύχεσθαι; καὶ σφόδρα μὲν οὖν, ἀλλὰ μετὰ γνώμης τοιαύτης. πανταχοῦ γὰρ ὁ Θεὸς τὸν σκοπὸν ζητεῖ τῶν γινομένων· ἐπεὶ, κἂν εἰς τὸ ταμιεῖον εἰσέλθῃς, καὶ ἀποκλείσας πρὸς ἐπίδειξιν αὐτὸ ἐργάσῃ, οὐδέν σοι τῶν θυρῶν ὄφελος. ὅρα γοῦν καὶ ἐνταῦθα πῶς ἀκριβῆ τὸν διορισμὸν τέθεικεν, εἰπὼν, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ὥστε, κἂν τὰς θύρας ἀποκλείσῃς, τοῦτο πρὸ τῆς τῶν θυρῶν ἀποκλείσεως κατορθῶσαί σε βούλεται, καὶ τὰς τῆς διανοίας ἀποκλείειν θύρας. κενοδοξίας γὰρ πανταχοῦ μὲν ἀπηλλάχθαι καλὸν, μάλιστα δὲ ἐν εὐχῇ. εἰ γὰρ καὶ τούτου χωρὶς πλανώμεθα καὶ περιφερόμεθα, ἂν καὶ ταύτην εἰσερχώμεθα τὴν νόσον ἔχοντες, πότε ἀκουσόμεθα τῶν παρ' ἡμῶν λεγομένων; εἰ δὲ ἡμεῖς οἱ δεόμενοι καὶ παρακαλοῦντες οὐκ ἀκούομεν, πῶς τὸν Θεὸν ἀξιοῦμεν ἀκούειν; ἀλλ' ὅμως εἰσί τινες, οἱ μετὰ τοιαῦτα καὶ τοσαῦτα παραγγέλματα οὕτως ἀσχημονοῦντες ἐν [τῇ] εὐχῇ, ὡς καὶ τοῦ σώματος κρυπτομένου διὰ τῆς φωνῆς πᾶσι καταδήλους ἑαυτοὺς ποιεῖν, συρφετωδῶς βοῶντες, καὶ τῷ σχήματι καὶ τῇ φωνῇ καταγελάστους ποιοῦντες ἑαυτούς. οὐχ ὁρᾷς ὅτι καὶ ἐν ἀγορᾷ, ἂν μὲν τοιαῦτα προσέλθῃ τις ποιῶν καὶ μετὰ βοῆς ἱκετεύων,″ σοβήσει τὸν ἱκετευόμενον· ἂν δὲ ἡσυχῇ καὶ μετὰ τοῦ προσήκοντος σχήματος, τότε ἐπισπᾶται μᾶλλον τὸν δυνάμενον δοῦναι τὴν χάριν; μὴ τοίνυν τῷ

σχήματι τοῦ σώματος, μηδὲ τῇ κραυγῇ τῆς φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς γνώμης τὰς εὐχὰς ποιώμεθα, μήτε μετὰ ψόφου καὶ ἤχου καὶ πρὸς ἐπίδειξιν, ὡς καὶ τοὺς πλησίον ἐκκρούειν, γρ. ἐγκρ ἀλλὰ μετὰ ἐπιεικείας πάσης καὶ τῆς κατὰ διάνοιαν συντριβῆς καὶ δακρύων τῶν ἔνδοθεν. Ἀλλ' ἀλγεῖς τὴν ψυχὴν, καὶ οὐκ ἂν δύναιο μὴ βοᾶν; Καὶ μὴν τοῦ σφόδρα ἀλγοῦντός ἐστι, τὸ οὕτως εὔχεσθαι καὶ παρακαλεῖν ὥσπερ εἶπον· ἐπεὶ καὶ Μωϋσῆς ἤλγει, καὶ οὕτως ηὔχετο, καὶ ἠκούετο. Ἐξ. ιδ. ιε. Διὰ τοῦτο καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· Τί βοᾷς πρός με; α. Βασ. α. Καὶ ἡ Ἄννα δὲ πάλιν, τῆς φωνῆς αὐτῆς οὐκ ἀκουομένης, πάντα ἤνυσεν ὅσα ἠθέλησεν, ἐπειδὴ ἡ καρδία αὐτῆς ἐβόα. Γεν. δ. ια. Ὁ δὲ Ἄβελ οὐχὶ σιγῶν, ἀλλὰ καὶ τελευτῶν ηὔχετο, καὶ τὸ αἷμα αὐτοῦ σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν. Ἰωὴλ β. ιγ. Στέναξον τοίνυν καὶ σὺ οὕτως ὡς ὁ ἅγιος ἐκεῖνος· οὐ κωλύω. Διάῤῥηξον, ὡς ὁ προφήτης ἐκέλευσε, τὴν καρδίαν σου, καὶ μὴ τὰ ἱμάτιά σου. Ἐκ βαθέων κάλεσον τὸν Θεόν. Ψαλμ. ρκθ. α. Ἐκ βαθέων γάρ, φησιν, ἐκέκραξά σοι, Κύριε. Κάτωθεν ἀπὸ τῆς καρδίας σου ἕλκυσον φωνὴν, μυστήριον ποίησόν σου τὴν εὐχήν. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν τοῖς βασιλείοις θόρυβος ἐκποδὼν ἅπας, καὶ πολλὴ πανταχόθεν ἡ σιγή; Καὶ σὺ τοίνυν ὡς εἰς βασίλεια εἰσιὼν, οὐ τὰ ἐν τῇ γῇ, ἀλλὰ τὰ πολλῷ φρικωδέστερα τούτων, τὰ ἐν τοῖς οὐρανοῖς, πολλὴν ἐπιδείκνυσο τὴν εὐσχημοσύνην. Καὶ γὰρ καὶ ἀγγέλων εἶ συγχορευτὴς, καὶ ἀρχαγγέλων κοινωνὸς, καὶ μετὰ τῶν σεραφὶμ ᾄδεις. γρ. συγκ νός, γρ. τὰ Πάντες δὲ οὗτοι οἱ δῆμοι πολλὴν ἐπιδείκνυνται τὴν εὐταξίαν, μετὰ πολλῆς τῆς φρίκης τὸ μυστικὸν ἐκεῖνο μέλος καὶ τοὺς ἱεροὺς ὕμνους ᾄδοντες τῷ βασιλεῖ τῶν ὅλων Θεῷ. Τούτοις τοίνυν ἐγκατάμιξον σαυτὸν εὐχόμενος, καὶ τὸν μυστικὸν αὐτῶν ζήλωσον κόσμον. Οὐδὲ γὰρ ἀνθρώποις εὔχῃ, ἀλλὰ τῷ Θεῷ τῷ πανταχοῦ παρόντι, τῷ καὶ πρὸ τῆς φωνῆς ἀκούοντι, τῷ τὰ ἀπόῤῥητα τῆς διανοίας ἐπισταμένῳ. Ἂν οὕτως εὔχῃ, πολὺν ἀπολήψῃ τὸν μισθόν.

Ὁ πατήρ γάρ σου, φησιν, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Οὐκ εἶπε, χαριεῖταί σοι, ἀλλ' ἀποδώσει σοι. Καὶ γὰρ χρεώστην ἑαυτόν σοι κατέστησε, καὶ μεγάλῃ σε καὶ ἐντεῦθεν ἐτίμησε τιμῇ. Ἐπειδὴ γὰρ αὐτός ἐστιν ἀόρατος, καὶ τὴν εὐχήν σου τοιαύτην εἶναι βούλεται. Εἶτα λέγει καὶ τὰ ῥήματα αὐτὰ τῆς εὐχῆς.

7 Προσευχόμενοι γάρ, φησι, μὴ βαττολογῆτε, ὥσπερ οἱ ἐθνικοὶ ποιοῦσιν.

Ὅτε μὲν γὰρ περὶ τῆς ἐλεημοσύνης διελέγετο, τὴν ἀπὸ τῆς κενοδοξίας λύμην ἀπέστησε μόνον, καὶ οὐδὲν πλέον προσέθηκεν, οὐδὲ εἶπε πόθεν ἐλεημοσύνην δεῖ ποιεῖν, ὅτι ἀπὸ δικαίων πόνων, ἀλλὰ μὴ ἐξ ἁρπαγῆς, μηδὲ ἀπὸ πλεονεξίας· καὶ γὰρ σφόδρα ἦν ὡμολογημένον παρὰ πᾶσι. Καὶ ἀνωτέρω δὲ τοῦτο προδιεκάθαρεν, ὅτε τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην ἐμακάρισεν. Ἐπὶ δὲ τῆς εὐχῆς καὶ ἕτερόν τι προστίθησι πλέον, τὸ μὴ βαττολογεῖν. Καὶ ὥσπερ ἐκεῖ τοὺς ὑποκριτὰς, οὕτως ἐνταῦθα τοὺς ἐθνικοὺς κωμῳδεῖ, πανταχοῦ τῇ τῶν προσώπων εὐτελείᾳ μάλιστα ἐντρέπων τὸν ἀκροώμενον. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ τοῦτο μάλιστα δάκνει καὶ καθάπτεται, τὸ δοκεῖν ἀπειρημένοις ἀνθρώποις ἐξομοιοῦσθαι, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει, βαττολογίαν ἐνταῦθα τὴν φλυαρίαν λέγων· οἷον ὅταν τὰ μὴ προσήκοντα αἰτῶμεν παρὰ τοῦ Θεοῦ, δυναστείας καὶ δόξας, καὶ τὸ τῶν ἐχθρῶν περιγενέσθαι, καὶ χρημάτων περιουσίας, καὶ ἁπλῶς τὰ μηδὲν ἡμῖν διαφέροντα. Οἶδε γάρ, φησιν, ὧν χρείαν ἔχετε. Μετὰ δὲ τούτων δοκεῖ μοι κελεύειν ἐνταῦθα μηδὲ μακρὰς ποιεῖσθαι τὰς εὐχάς· μακρὰς δὲ οὐχὶ τῷ χρόνῳ, ἀλλὰ τῷ πλήθει καὶ μήκει τῶν λεγομένων. Παραμένειν Ῥω. ιβ. ιβ. μὲν γὰρ χρὴ τὰ αὐτὰ αἰτοῦντας. Τῇ γὰρ εὐχῇ, φησι, προσκαρτεροῦντες. Καὶ αὐτὸς δὲ διὰ τοῦ παραδείγματος ἐκείνου τοῦ κατὰ τὴν χήραν, ἣ τὸν ἀνελεῆ καὶ ὠμὸν ἐπέκαμψεν ἄρχοντα τῇ συνεχείᾳ τῆς ἐντεύξεως, καὶ τοῦ κατὰ τὸν φίλον τὸν ἀωρεὶ τῶν νυκτῶν παραγινόμενον καὶ τὸν καθεύδοντα ἀπὸ τῆς κλίνης ἀναστήσαντα οὐ διὰ τὴν φιλίαν ἀλλὰ διὰ τὴν προσεδρίαν, οὐδὲν ἕτερον ἢ τὸ συνεχῶς ἐντυγχάνειν αὐτῷ ἅπαντας ἐνομοθέτησεν, οὐ μὴν μυρίων στίχων εὐχὴν

κεφ. ς.

εὐχὴν συντιθέντας αὐτῷ προσιέναι καὶ ἀπαγγέλλειν ἁπλῶς κελεύει. τοῦτο γὰρ ἠνίξατο εἰπών·

Δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται·

8 Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Καὶ εἰ οἶδε, φησιν, ὧν χρείαν ἔχομεν, τίνος ἕνεκεν εὔχεσθαι δεῖ; οὐχ ἵνα διδάξῃς, ἀλλ' ἵνα ἐπικάμψῃς, ἵνα οἰκειωθῇς τῇ συνεχείᾳ τῆς ἐντεύξεως, ἵνα ταπεινωθῇς, ἵνα ἀναμνησθῇς τῶν ἁμαρτημάτων τῶν σῶν.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς, φησι· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὅρα πῶς εὐθέως ἀνέστησε τὸν ἀκροατήν, καὶ πάσης ἀνέμνησε τῆς εὐεργεσίας ἐν προοιμίοις. ὁ γὰρ πατέρα εἰπὼν τὸν Θεόν, καὶ ἁμαρτημάτων ἄφεσιν, καὶ κολάσεως ἀναίρεσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμόν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ κληρονομίαν, καὶ ἀδελφότητα τὴν πρὸς τὸν μονογενῆ, καὶ πνεύματος χορηγίαν διὰ τῆς μιᾶς ταύτης ὡμολόγησε προσηγορίας. οὐδὲ γὰρ δυνατὸν καλέσαι πατέρα τὸν Θεόν, μὴ πάντων ἐκείνων ἐπιτυχόντα τῶν ἀγαθῶν. διπλῇ τοίνυν αὐτῶν διεγείρει τὸ φρόνημα, καὶ τῷ ἀξιώματι τοῦ καλουμένου, καὶ τῷ μεγέθει τῶν εὐεργετημάτων ὧν ἀπήλαυσαν. τὸ δέ, ἐν τοῖς οὐρανοῖς, ὅταν εἴπῃ, οὐκ ἐκεῖ τὸν Θεὸν συγκλείων τοῦτό φησιν· ἀλλὰ τῆς γῆς ἀπάγων τὸν εὐχόμενον, καὶ τοῖς ὑψηλοῖς προσηλῶν χωρίοις καὶ ταῖς ἄνω διατριβαῖς. παιδεύει δὲ καὶ κοινὴν ὑπὲρ τῶν ἀδελφῶν ποιεῖσθαι τὴν εὐχήν. οὐ γὰρ λέγει, ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· ἀλλ' ὁ πατὴρ ἡμῶν, ὑπὲρ τοῦ κοινοῦ σώματος τὰς δεήσεις ἀναφέρων, καὶ οὐδαμοῦ σκοπῶν τὸ ἑαυτοῦ, ἀλλὰ πανταχοῦ τὸ τοῦ πλησίον. ἀπὸ δὲ τούτου καὶ ἔχθραν ἀναιρεῖ, καὶ ἀπόνοιαν καταστέλλει, καὶ βασκανίαν ἐκβάλλει, καὶ τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων τὴν ἀγάπην εἰσάγει, καὶ τὴν ἀνωμαλίαν τῶν ἀνθρωπίνων ἐξορίζει πραγμάτων, καὶ πολλὴν δείκνυσι τῷ βασιλεῖ πρὸς τὸν πτωχὸν τὴν ὁμοτιμίαν, εἴγε ἐν τοῖς μεγίστοις καὶ ἀναγκαιοτάτοις κοινωνοῦμεν ἅπαντες. τί γὰρ βλάβος ἐκ τῆς κάτω συγγενείας, ὅταν κατὰ τὴν ἄνω ἅπαντες ὦμεν συνημμένοι, καὶ μηδεὶς ἑτέρου πλέον ἔχῃ μηδέν, μήτε ὁ πλούσιος τοῦ πένητος, μήτε ὁ δεσπότης τοῦ δούλου, μήτε ὁ ἄρχων τοῦ ἀρχομένου, μήτε ὁ βασιλεὺς τοῦ στρατιώτου, μήτε ὁ φιλόσοφος τοῦ βαρβάρου, μήτε ὁ σοφὸς τοῦ ἰδιώτου; πᾶσι γὰρ μίαν ἐχαρίσατο "εὐγένειαν, πάντων ὁμοίως καλεῖσθαι καταξιώσας πατήρ. ἀναμνήσας τοίνυν τῆς εὐγενείας ταύτης καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς ὁμοτιμίας καὶ τῆς ἀγάπης, καὶ τῆς γῆς ἀποστήσας, καὶ τοῖς "οὐρανοῖς προσηλώσας, ἴδωμεν τί κελεύει λοιπὸν αἰτεῖν. μάλιστα μὲν γὰρ καὶ αὐτὴ ἡ λέξις ἱκανὴ πάσης ἀρετῆς διδασκαλίαν ἐνθεῖναι. ὁ γὰρ πατέρα καλέσας τὸν Θεόν. καὶ πατέρα κοινόν, δίκαιος ἂν εἴη τοιαύτην ἐπιδείκνυσθαι πολιτείαν, ὡς μὴ τῆς "εὐγενείας ταύτης ἀνάξιος φανῆναι, καὶ ἴσην τῇ δωρεᾷ παρέχεσθαι τὴν σπουδήν. πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἑτέραν προστίθησιν, οὕτω λέγων·

Ἁγιασθήτω τὸ ὄνομά σου. Ἀξία τοῦ τὸν Θεὸν πατέρα καλοῦντος ἡ εὐχή, τὸ μηδὲν αἰτεῖν πρὸ τῆς τοῦ πατρὸς δόξης, ἀλλὰ πάντα δεύτερα ἡγεῖσθαι τῆς εἰς ἐκεῖνον εὐφημίας. τὸ γὰρ ἁγιασθήτω, τοῦτό ἐστι, δοξασθήτω. τὴν μὲν γὰρ οἰκείαν ἔχει δόξαν πεπληρωμένην, καὶ ὡσαύτως ἀεὶ μένουσαν· ἀξιοῦν δὲ κελεύει τὸν εὐχόμενον καὶ διὰ τῆς ἡμετέρας αὐτὸν δοξάζεσθαι ζωῆς. ὅπερ καὶ ἔμπροσθεν ἔλεγε· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ τὰ σεραφὶμ δοξάζοντα οὕτως ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος· ὥστε τὸ, ἁγιασθήτω, τοῦτό ἐστι, δοξασθήτω. καταξίωσον γάρ, φησιν, οὕτως ἡμᾶς βιοῦν καθαρῶς, ὡς δι' ἡμῶν ἅπαντάς σε δοξάζειν· ὅπερ πάλιν ἀπηρτισμένης ἐστὶ φιλοσοφίας, τὸ οὕτω βίον ἄληπτον παρέχεσθαι ἐν πᾶσιν, ὡς ἕκαστον τῶν ὁρώντων τῷ δεσπότῃ τὴν ὑπὲρ τούτων ἀναφέρειν εὐφημίαν.

Ησ. ς. γ.

10 Ἐλθέτω ἡ βασιλεία σου. Καὶ τοῦτο πάλιν παιδὸς εὐγνώμονος τὸ ῥῆμα, τὸ μὴ προσηλῶσθαι τοῖς ὁρωμένοις, μηδὲ μέγα τι τὰ παρόντα ἡγεῖσθαι, ἀλλ᾽ ἐπείγεσθαι πρὸς τὸν πατέρα, καὶ τῶν μελλόντων ἐφίεσθαι· ὅπερ ἀπὸ συνειδότος ἀγαθοῦ γίνεται, καὶ ψυχῆς ἀπηλλαγμένης τῶν ἐν τῇ γῇ πραγμάτων. τοῦτο γοῦν καὶ ὁ Παῦλος καθ᾽ ἑκάστην ἐπεθύμει τὴν ἡμέραν. διὰ τοῦτο καὶ ἔλεγεν· Ὅτι καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ὁ γὰρ τοῦτον ἔχων τὸν ἔρωτα, οὔτε ὑπὸ τῶν χρηστῶν τοῦ βίου τούτου δύναται φυσηθῆναι, οὔτε ὑπὸ τῶν λυπηρῶν ταπεινωθῆναι· ἀλλ᾽ ὡς ἐν αὐτοῖς διατρίβων τοῖς οὐρανοῖς, ἑκατέρας ἀπήλλακται τῆς ἀνωμαλίας.

Ρω. η. κγ.

Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Εἶδες ἀκολουθίαν ἀρίστην; ἐπιθυμεῖν μὲν γὰρ ἐκέλευσε τῶν μελλόντων, καὶ πρὸς ἐκείνην ἐπείγεσθαι τὴν ἀποδημίαν· ἕως δ᾽ ἂν τοῦτο μὴ γένηται, καὶ ἐνταῦθα διατρίβοντας τέως σπουδάζειν τὴν αὐτὴν τοῖς ἄνω πολιτείαν ἐπιδείκνυσθαι. ἐπιθυμεῖν μὲν γὰρ δεῖ τῶν οὐρανῶν, φησὶ, καὶ τῶν ἐν τοῖς οὐρανοῖς· πλὴν καὶ πρὸ τοῦ οὐρανοῦ τὴν γῆν οὐρανὸν ἐκέλευσε ποιῆσαι, καὶ ἐν αὐτῇ διατρίβοντας, ὡς ἐκεῖ πολιτευομένους, οὕτω πάντα ποιεῖν καὶ λέγειν, ὡς καὶ ὑπὲρ τούτων παρακαλεῖν τὸν δεσπότην. οὐδὲν γὰρ τὸ κωλῦον φθάσαι τὴν τῶν ἄνω δυνάμεων ἀκρίβειαν διὰ τὸ τὴν γῆν οἰκεῖν· ἀλλ᾽ ἔνι καὶ ἐνταῦθα διατρίβοντα, ὡς ἄνω γενόμενον ἤδη, πάντα ποιεῖν. ὃ λέγει τοίνυν, τοιοῦτόν ἐστιν· ὥσπερ ἐκεῖ πάντα ἀκωλύτως γίνεται, καὶ οὐ τὰ μὲν ὑπακούουσιν οἱ ἄγγελοι, τὰ δὲ παρακούουσιν, ἀλλὰ πάντα εἴκουσι καὶ πείθονται (δυνατοὶ γὰρ, φησὶν, ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ) οὕτω καὶ ἡμᾶς καταξίωσον τοὺς ἀνθρώπους μὴ ἐξ ἡμισείας τὸ θέλημά σου ποιεῖν, ἀλλὰ πάντα, καθάπερ θέλεις, πληροῦν. Εἶδες πῶς καὶ μετριάζειν ἐδίδαξε, δηλώσας ὅτι οὐ τῆς ἡμετέρας σπουδῆς ἡ ἀρετὴ μόνον, ἀλλὰ καὶ τῆς ἄνωθεν χάριτος; καὶ πάλιν τὴν ὑπὲρ τῆς οἰκουμένης πρόνοιαν ἕκαστον ἡμῶν τῶν προσευχομένων ἀναδέχεσθαι ἐπέταξεν. οὐδὲ γὰρ εἶπε, γενηθήτω τὸ θέλημά σου ἐν ἐμοὶ, ἢ ἐν ἡμῖν· ἀλλὰ πανταχοῦ τῆς γῆς, ὥστε λυθῆναι τὴν πλάνην, καὶ φυτευθῆναι τὴν ἀλήθειαν, καὶ ἐκβληθῆναι κακίαν ἅπασαν, καὶ ἐπανελθεῖν ἀρετὴν, καὶ μηδὲν ταύτῃ διαφέρειν λοιπὸν τὸν οὐρανὸν τῆς γῆς. εἰ γὰρ τοῦτο γένοιτο, φησιν, οὐδὲν διοίσει τὰ κάτω τῶν ἄνω, εἰ καὶ τῇ φύσει διέστηκεν, ἀγγέλους ἑτέρους τῆς γῆς ἡμῖν ἐπιδεικνυμένης.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Τί ἐστι, τὸν ἄρτον τὸν ἐπιούσιον; τὸν ἐφήμερον. ἐπειδὴ γὰρ εἶπεν, οὕτω γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ἀνθρώποις δὲ διελέγετο σάρκα περικειμένοις, καὶ ἀνάγκῃ φύσεως ὑποκειμένοις, καὶ οὐ δυναμένοις τὴν αὐτὴν ἔχειν ἀπάθειαν τοῖς ἀγγέλοις· τὰ μὲν ἐπιτάγματα ὁμοίως κελεύει γίνεσθαι καὶ παρ᾽ ἡμῶν, καθάπερ αὐτὰ κἀκεῖνοι πληροῦσι· συγκαταβαίνει δὲ καὶ τῇ τῆς φύσεως ἀσθενείᾳ λοιπόν. ἀκρίβειαν μὲν γὰρ, φησι, πολιτείας ἀπαιτῶ τοσαύτην, οὐ μὴν ἀπάθειαν. οὐδὲ γὰρ ἐπιτρέπει τῆς φύσεως ἡ τυραννίς. δεῖται γὰρ τροφῆς τῆς ἀναγκαίας. σὺ δέ μοι σκόπει πῶς καὶ ἐν τοῖς σωματικοῖς πολὺ τὸ πνευματικόν. οὐδὲ γὰρ ὑπὲρ χρημάτων, οὐδὲ ὑπὲρ τρυφῆς, οὐδὲ ὑπὲρ πολυτελείας ἱματίων, οὐδὲ ὑπὲρ ἄλλου οὐδενὸς τῶν τοιούτων· ἀλλ᾽ ὑπὲρ ἄρτου μόνον ἐκέλευσε τὴν εὐχὴν ποιεῖσθαι, καὶ ὑπὲρ ἄρτου τοῦ ἐφημέρου, ὥστε μὴ ὑπὲρ τῆς αὔριον μεριμνᾶν. διὰ τοῦτο προσέθηκε, τὸν ἄρτον τὸν ἐπιούσιον, τουτέστι, τὸν ἐφήμερον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη τῷ ῥήματι, ἀλλὰ καὶ ἕτερον μετὰ τοῦτο προσέθηκεν, εἰπὼν, δὸς ἡμῖν σήμερον· ὥστε μὴ περαιτέρω συντρίβειν ἑαυτοὺς τῇ φροντίδι τῆς ἐπιούσης ἡμέρας. ἧς γὰρ οὐκ οἶδας εἰ τὸ διάστημα ὄψει, τίνος ἕνεκεν ὑπομένεις τὴν μέριμναν; τοῦτο καὶ προϊὼν διὰ πλειόνων ἐπέταξε, λέγων· μὴ μεριμνήσητε εἰς τὴν αὔριον. καὶ γὰρ βούλεται πάντοθεν ἡμᾶς εὐζώνους εἶναι καὶ ἐπτερωμένους, τοσοῦτον εἴκοντας τῇ φύσει, ὅσον ἡ τῆς χρεί-

ας ἀνάγκη παρ' ἡμῶν ἀπαιτεῖ. Εἶτα, ἐπειδὴ συμβαίνει καὶ μετὰ τὸ λουτρὸν τῆς παλιγγενεσίας ἁμαρτάνειν, πολλὴν κἀνταῦθα τὴν φιλανθρωπίαν αὐτοῦ ἐπιδεικνύμενος, κελεύει περὶ τῆς τῶν ἁμαρτημάτων [τούτων] ἀφέσεως προσιέναι τῷ φιλανθρώπῳ Θεῷ, καὶ λέγειν οὕτως·

12 Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Εἶδες φιλανθρωπίας ὑπερβολήν; μετὰ τοσούτων κακῶν ἀναίρεσιν καὶ δωρεᾶς μέγεθος ἄφατον, πάλιν ἁμαρτάνοντας ἀξιοῖ συγγνώμης. ὅτι γὰρ πιστοῖς αὕτη ἡ προσευχὴ προσήκει, καὶ οἱ νόμοι τῆς ἐκκλησίας διδάσκουσι, καὶ τὸ προοίμιον τῆς εὐχῆς. ὁ γὰρ ἀμύητος οὐκ ἂν δύναιτο πατέρα καλεῖν τὸν Θεόν. εἰ τοίνυν πιστοῖς προσήκει ἡ εὐχή, εὔχονται δὲ οὗτοι ἁμαρτήματα ἑαυτοῖς ἀφεθῆναι [δεόμενοι,] δῆλον ὅτι οὐδὲ μετὰ τὸ λουτρὸν ἀνήρηται τῆς μετανοίας τὸ κέρδος. εἰ γὰρ μὴ τοῦτο ἐβούλετο δεῖξαι, οὐδ' ἂν τοῦτο ἐνομοθέτησεν εὔχεσθαι. ὁ δὲ καὶ ἁμαρτημάτων ἀναμιμνήσκων, καὶ κελεύων αἰτεῖν ἄφεσιν, καὶ διδάσκων ὅπως ἂν ἐπιτύχωμεν τῆς ἀφέσεως, καὶ εὔκολον ταύτῃ ποιῶν τὴν ὁδόν, εὔδηλον ὅτι εἰδὼς καὶ δεικνὺς, ὅτι καὶ μετὰ τὸ λουτρὸν ἐστὶν ἀπονίψασθαι τὰ πεπλημμελημένα, τοῦτον τῆς ἱκετηρίας τὸν νόμον εἰσήνεγκε· τῷ μὲν ὑπομνῆσαι τῶν ἁμαρτημάτων, μετριάζειν πείθων· τῷ δὲ ἑτέροις ἀφεῖναι κελεῦσαι, μνησικακίας ἁπάσης ἀπαλλάττων ἡμᾶς· τῷ δὲ ἀντὶ τούτων καὶ ἡμῖν ἐπαγγέλλεσθαι συγχωρεῖν, χρηστὰς ὑποτείνων ἐλπίδας, καὶ περὶ τῆς ἀφάτου τοῦ Θεοῦ φιλανθρωπίας φιλοσοφεῖν ἡμᾶς παιδεύων. ὃ δὲ μάλιστα χρὴ παρατηρῆσαι, τοῦτο ἐστιν· ὅτι καθ' ἕκαστον τῶν εἰρημένων ὁλοκλήρου μνημονεύσας τῆς ἀρετῆς, καὶ ταύτῃ καὶ τὸ μνησικακεῖν περιλαβὼν (καὶ γὰρ τὸ ἁγιασθῆναι τὸ ὄνομα αὐτοῦ, ἀπηρτισμένης ἐστὶ πολιτείας ἀκρίβεια· καὶ τὸ γενηθῆναι τὸ θέλημα αὐτοῦ, τὸ αὐτὸ τοῦτο πάλιν [δηλοῖ]· καὶ τὸ πατέρα δύνασθαι καλεῖν τὸν Θεόν, ἀμώμου πολιτείας ἐπίδειξίς ἐστιν· ἐν οἷς ἅπασι συνείληπτο καὶ τὸ δεῖν ἀφεῖναι τοῖς πεπλημμεληκόσι τὴν ὀργὴν) ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτοις, ἀλλὰ δεῖξαι βουλόμενος ὅσην ὑπὲρ τοῦ πράγματος ποιεῖται τὴν σπουδὴν, καὶ ἰδικῶς αὐτὸ τίθησι, καὶ μετὰ τὴν εὐχὴν οὐδεμιᾶς ἄλλης ἐντολῆς μέμνηται ἢ ταύτης, οὕτω λέγων· ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει ὑμῖν καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ὥστε παρ' ἡμῶν ἡ ἀρχὴ, καὶ κύριοι τῆς κρίσεως τῆς περὶ ἡμῶν ἡμεῖς. ἵνα γὰρ μηδὲ τῶν ἀναισθήτων μηδεὶς ἐγκαλεῖν ἔχῃ δικαζόμενος, μὴ μικρὸν, μὴ μέγα, σὲ τὸν ὑπεύθυνον κύριον ποιεῖ τῆς ψήφου· καὶ ὡς ἂν αὐτὸς ἐδίκασας σαυτῷ, φησιν, οὕτω σοι δικάζω κἀγώ. κἂν ἀφῇς τῷ συνδούλῳ, καὶ παρ' ἐμοῦ τῆς αὐτῆς τεύξῃ χάριτος· καίτοιγε οὐκ ἴσον τοῦτο ἐκείνῳ. σὺ μὲν γὰρ δεόμενος ἀφίης, ὁ δὲ Θεὸς μηδενὸς χρείαν ἔχων· σὺ τῷ ὁμοδούλῳ, ὁ δὲ Θεὸς τῷ δούλῳ· σὺ μὲν ὑπεύθυνος ὢν μυρίοις κακοῖς, ὁ δὲ Θεὸς ἀναμάρτητος ὤν. ἀλλ' ὅμως καὶ οὕτω τὴν αὐτοῦ φιλανθρωπίαν ἐνδείκνυται. ἠδύνατο μὲν γὰρ καὶ χωρὶς τούτου πάντα σοι ἀφεῖναι τὰ πεπλημμελημένα, ἀλλὰ βούλεταί σε καὶ ἐντεῦθεν εὐεργετεῖσθαι, μυρίας σοι πανταχόθεν παρέχων ἡμερότητος καὶ φιλανθρωπίας ἀφορμὰς, καὶ τὸ ἐν σοὶ θηριῶδες ἐκβάλλων, καὶ τὸν θυμὸν σβεννὺς, καὶ πανταχόθεν σε συγκολλῶν τῷ μέλει τῷ σῷ. τί γὰρ ἂν ἔχοις εἰπεῖν; ὅτι ἀδίκως ἔπαθές τι κακὸν παρὰ τοῦ πλησίον; ταῦτα γάρ ἐστι τὰ ἁμαρτήματα· ὡς εἰ δικαίως, οὐδὲ ἁμάρτημα τὸ πρᾶγμά ἐστιν. ἀλλὰ καὶ σὺ τοιούτων προσέρχῃ ληψόμενος ἄφεσιν, καὶ πολλῷ μειζόνων. καὶ πρὸ τῆς ἀφέσεως δὲ οὐ μικρᾶς ἀπήλαυσας δωρεᾶς, διδασκόμενος ἀνθρωπίνην ἔχειν ψυχὴν, καὶ πᾶσαν παιδευόμενος ἡμερότητα, καὶ μετὰ τούτων δὲ καὶ μισθός σοι μέγας κείσεται ἐκεῖ, τὸ μηδενὸς ἀπαιτηθῆναι λόγον τῶν πεπλημμελημένων. ποίας οὖν οὐκ ἂν εἴημεν κολάσεως ἄξιοι, ὅταν τὴν ἐξουσίαν λαβόντες, προδῶμεν ἡμῶν τὴν σωτηρίαν; πῶς δὲ ἐν τοῖς ἄλλοις πράγμασιν ἀξιώσομεν ἀκούεσθαι, αὐτοὶ μὴ θέλοντες, ἐν οἷς ἐσμὲν κύριοι, φείδεσθαι ἑαυτῶν;

13 Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ

ἐστιν

χρώμεν

ἐπιδείκνυται.

συνάπτων

τοῦτο καὶ

ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Ἐνταῦθα ἡμᾶς τὴν ἡμετέραν παιδεύει σαφῶς εὐτέλειαν, καὶ καταστέλλει τὸ φύσημα, διδάσκων "μήτε παραιτεῖσθαι τοὺς ἀγῶνας," μήτε μὴν ἐπιπηδᾶν. οὕτω γὰρ καὶ ἡμῖν ἡ νίκη λαμπροτέρα ἔσται, καὶ ἡ ἧττα τῷ διαβόλῳ καταγελαστοτέρα. ἑλκυσθέντας μὲν γὰρ δεῖ γενναίως ἑστάναι· μὴ καλουμένους δὲ, ἡσυχάζειν καὶ τὸν καιρὸν ἀναμένειν τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα. πονηρὸν δὲ ἐνταῦθα τὸν διάβολον καλεῖ, κελεύων ἡμᾶς ἄσπονδον πρὸς αὐτὸν ἔχειν πόλεμον, καὶ δεικνὺς ὅτι οὐ φύσει τοιοῦτός ἐστιν. οὐ γὰρ τῶν ἐκ φύσεως, ἀλλὰ τῶν ἐκ προαιρέσεως ἐπιγινομένων ἐστὶν ἡ πονηρία. κατ᾽ ἐξοχὴν δὲ οὕτως ἐκεῖνος καλεῖται, διὰ τὴν ὑπερβολὴν τῆς κακίας, καὶ ἐπειδὴ μηδὲν παρ᾽ ἡμῶν ἀδικηθεὶς, ἄσπονδον πρὸς ἡμᾶς ἔχει τὸν πόλεμον. διὰ τοῦτο οὐδὲ εἶπε, ῥῦσαι ἡμᾶς ἀπὸ τῶν πονηρῶν, ἀλλ᾽ ἀπὸ τοῦ πονηροῦ· παιδεύων ἡμᾶς "μηδαμοῦ πρὸς τοὺς πλησίον ἀηδῶς ἔχειν, ἐν οἷς ἂν πάθωμεν παρ᾽ αὐτῶν κακῶς, ἀλλ᾽ ἀπὸ τούτων πρὸς ἐκεῖνον μεταθεῖναι τὴν ἔχθραν, ὡς πάντων αὐτὸν αἴτιον τῶν κακῶν ὄντα. ἐναγωνίους τοίνυν ποιήσας τῇ μνήμῃ τοῦ ἐχθροῦ, καὶ τὴν ῥαθυμίαν ἡμῶν ἅπασαν ἐκκόψας, πάλιν θαρρύνει καὶ ἀνίστησι τὰ φρονήματα, τοῦ βασιλέως ἀναμνήσας ὑφ᾽ ᾧ ταττόμεθα, καὶ δείξας πάντων αὐτὸν ὄντα δυνατώτερον. σοῦ γάρ ἐστι, φησιν, ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα. οὐκοῦν εἰ αὐτοῦ ἐστιν ἡ βασιλεία, οὐδένα δεδοικέναι χρή· ἅτε οὐδενὸς ὄντος τοῦ ἀνθισταμένου, καὶ πρὸς αὐτὸν τὴν ἀρχὴν διανεμομένου. ὅταν γὰρ εἴπῃ· σοῦ ἐστιν ἡ βασιλεία, δείκνυσι καὶ ἐκεῖνον τὸν πολεμοῦντα ἡμῖν "ὑποτεταγμένον, κἂν ἐναντιοῦσθαι δοκῇ τοῦ Θεοῦ συγχωροῦντος τέως. καὶ γὰρ καὶ αὐτὸς τῶν δούλων ἐστὶν, εἰ καὶ τῶν ἠτιμωμένων καὶ προσκεκρουκότων. καὶ οὐκ ἂν τολμήσειεν οὐδενὶ τῶν ὁμοδούλων ἐπιθέσθαι, μὴ πρότερον ἄνωθεν τὴν ἐξουσίαν λαβών. καὶ τί λέγω τῶν ὁμοδούλων; οὐδὲ χοίρων κατατολμῆσαι ὑπέμεινεν, ἕως ὅτε αὐτὸς ἐπέτρεψεν, οὔτε ποιμνίων, οὔτε βουκολίων, ἕως ὅτε τὴν ἐξουσίαν ἄνωθεν ἔλαβε καὶ τὴν δύναμιν. οὐκοῦν κἂν μυριάκις ἀσθενὴς ᾖς, δίκαιος ἂν εἴης θαρρεῖν τοιοῦτον ἔχων τὸν βασιλεύοντα, πάντα εὐκόλως καὶ διὰ σοῦ κατορθοῦν δυνάμενον. καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. οὐδὲ γὰρ "ἀπαλλάττει σε τῶν ἐπιόντων δεινῶν μόνον, ἀλλὰ καὶ ἔνδοξον δύναται ποιεῖν καὶ λαμπρόν. ὥσπερ γὰρ ἡ δύναμις αὐτοῦ πολλὴ, οὕτω καὶ ἡ δόξα ἄφατος, καὶ τὰ πάντα ἀπέραντα, καὶ τέλος αὐτῶν οὐδέν. εἶδες πῶς πανταχόθεν ἤλειψε τὸν ἀθλητὴν καὶ θαρρεῖν παρεσκεύασεν; εἶτα, "ὥσπερ ἔφθην εἰπὼν, δεῖξαι βουλόμενος ὅτι πάντων μάλιστα μνησικακίαν ἀποστρέφεται καὶ μισεῖ, καὶ μάλιστα πάντων τὴν ἐναντίαν [τῇ κακίᾳ] ταύτῃ ἀποδέχεται ἀρετὴν, καὶ μετὰ τὴν εὐχὴν πάλιν αὐτοῦ τοῦ κατορθώματος ὑπέμνησε, καὶ ἀπὸ τῆς κειμένης κολάσεως, καὶ ἀπὸ τῆς ὡρισμένης τιμῆς τὸν ἀκροατὴν ἐνάγων εἰς τὴν τῆς ἐντολῆς ταύτης ὑπακοήν.

14 Ἐὰν γὰρ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν·
15 Ἐὰν δὲ μὴ ἀφῆτε, οὐδὲ αὐτὸς ὑμῖν ἀφήσει.

Διὰ τοῦτο τῶν οὐρανῶν πάλιν καὶ τοῦ πατρὸς ἐμνημόνευσεν, ὥστε καὶ τούτῳ τὸν ἀκροατὴν ἐντρέψαι· εἴγε τοιούτου πατρὸς ὢν ἐκθηριοῦσθαι μέλλοι, καὶ πρὸς τὸν οὐρανὸν κληθεὶς, γήϊνόν τι καὶ βιωτικὸν ἔχοι φρόνημα. οὐ γὰρ δὴ χάριτι δεῖ γίνεσθαι παῖδας μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις. οὐδὲν δὲ οὕτως ὁμοιοῖ τῷ Θεῷ, ὡς τὸ τοῖς πονηροῖς καὶ τοῖς ἀδικοῦσιν εἶναι συγγνωμονικόν· ὥσπερ οὖν καὶ ἔφθη διδάξας, "ἡνίκα ἐλέγετο τὸν ἥλιον ἀνατέλλειν ἐπὶ πονηροὺς καὶ ἀγαθούς. διὰ δὴ τοῦτο καὶ καθ᾽ ἕκαστον τῶν ῥημάτων κοινὰς κελεύει ποιεῖν τὰς εὐχὰς, πάτερ ἡμῶν λέγων, καὶ γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ δὸς ἡμῖν τὸν ἄρτον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, καὶ ῥῦσαι ἡμᾶς, πανταχοῦ τῷ πληθυντικῷ ῥήματι τούτῳ κελεύων κεχρῆσθαι, ἵνα μηδὲ ἴχνος ὀργῆς πρὸς τὸν πλησίον ἔχωμεν.

χ. ἐ
χ. καὶ ἡ
χ. ἡμῶν
χ. ὑποτε
μένον,
χ. ἀπαλ
πτει
χ. ἐφ
χ. ἐπιλέ
ἔλεγε

ΗΘΙΚΟΝ

Πόσης οὖν ἂν εἶεν κολάσεως ἄξιοι οἱ μετὰ ταῦτα πάντα μὴ μόνον αὐτοὶ μὴ ἀφέντες, ἀλλὰ καὶ τὸν Θεὸν ἐπὶ τὴν ἄμυναν τῶν ἐχθρῶν παρακαλοῦντες, καὶ ὥσπερ ἐκ διαμέτρου τινὸς τὸν νόμον τοῦτον παραβαίνοντες· καὶ ταῦτα αὐτοῦ πάντα ποιοῦντος καὶ πραγματευομένου, ὥστε μὴ διαστασιάζειν ἡμᾶς πρὸς ἀλλήλους; ἐπειδὴ γὰρ ῥίζα πάντων τῶν ἀγαθῶν ἐστιν ἡ ἀγάπη, τὰ λυμαινόμενα αὐτὴν ἀναιρῶν, πάντοθεν ἡμᾶς πρὸς ἀλλήλους [συνάγει] συγκολλῶν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν φίλος, κἂν ὅστις οὖν, ὃς οὕτως ἡμᾶς ἠγάπησεν, ὡς ὁ ποιήσας ἡμᾶς Θεός. καὶ τοῦτο μάλιστα καὶ ἐξ ὧν εὐεργετεῖ καθ' ἑκάστην ἡμέραν, καὶ ἐξ ὧν ἐπιτάττει, δῆλον. εἰ δὲ τὰς λύπας μοι λέγεις καὶ τὰς ὀδύνας καὶ τὰ τοῦ βίου κακὰ, ἐννόησον ὅσα αὐτῷ προσκρούεις καθ' ἑκάστην ἡμέραν, καὶ οὐκ ἔτι θαυμάσῃ, κἂν πλείονα τούτων ἐπέλθῃ κακά· ἀλλ' ἂν ἀγαθοῦ τινος ἀπολαύσῃς, τότε καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ. νῦν δὲ εἰς μὲν τὰς συμφορὰς ὁρῶμεν τὰς ἐπιούσας καὶ τὰ τοῦ βίου κακά· τὰ δὲ προσκρούσματα, ἃ καθ' ἑκάστην προσκρούομεν τὴν ἡμέραν, οὐκ ἐννοοῦμεν· διὰ τοῦτο ἀλύομεν. ὡς εἴγε μιᾶς ἡμέρας μόνον μετ' ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλογισάμεθα, τότε ἂν ἔγνωμεν καλῶς πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν. καὶ ἵνα τὰ ἄλλα ἀφεὶς τὰ ἴδια πεπλημμελημένα ἑκάστῳ, τὰ σήμερον εἴπω γινόμενα (καίτοιγε οὐκ οἶδα τί ποτ' ἕκαστος ἡμῶν ἥμαρτεν, ἀλλ' ὅμως τοσαύτη ἡ περιουσία τῶν πλημμελημάτων, ὡς μηδὲ τὸν ἀκριβῶς ἅπαντα εἰδότα δύνασθαι καὶ ἐκ τούτων ἑλεῖν) τίς οὖν ἡμῶν οὐκ ἐρρᾳθύμησεν εὐχόμενος; τίς οὐκ ἀπενοήθη; τίς οὐκ ἐκενοδόξησε; τίς οὐ κακῶς εἶπε τὸν ἀδελφὸν, οὐδὲ ἐδέξατο πονηρὰν ἐπιθυμίαν; οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς; οὐκ ἐμνήσθη μετὰ πάθους ἐχθροῦ, καὶ οἰδαίνειν τὴν καρδίαν ἐποίησεν; εἰ δὲ ἐν ἐκκλησίᾳ ὄντες, καὶ ἐν καιρῷ βραχεῖ τοσούτοις ὑπεύθυνοι γεγόναμεν κακοῖς, τίνες ἐσόμεθα ἐξελθόντες ἐντεῦθεν; εἰ ἐν τῷ λιμένι τοσαῦτα τὰ κύματα, ὅταν ἐξέλθωμεν εἰς τὸν εὔριπον τῶν κακῶν, τὴν ἀγορὰν λέγω, καὶ τὰ πολιτικὰ πράγματα, καὶ τὰς ἐν οἰκίᾳ φροντίδας, ἆρα ἑαυτοὺς γοῦν ἐπιγνῶναι δυνησόμεθα; ἀλλ' ὅμως τῆς τῶν τοσούτων καὶ τηλικούτων ἁμαρτημάτων ἀπαλλαγῆς ἔδωκεν ἡμῖν σύντομον καὶ ῥᾳδίαν ὁδὸν καὶ παντὸς ἀπηλλαγμένην πόνου ὁ Θεός. ποῖος γὰρ πόνος ἀφεῖναι τῷ λελυπηκότι; πόνος μὲν οὖν, τὸ μὴ ἀφεῖναι, ἀλλὰ κατέχειν τὴν ἔχθραν· ὡς τόγε ἀπαλλαγῆναι θυμοῦ, καὶ ἄνεσιν πολλὴν ἐμποιεῖ, καὶ σφόδρα εὔκολον τῷ βουλομένῳ. οὐδὲ γὰρ πέλαγος διαβῆναι δεῖ, οὐδὲ ὁδὸν ἀποδημῆσαι μακρὰν, οὐδὲ ὀρῶν ὑπερβῆναι κορυφὰς, οὐδὲ χρήματα δαπανῆσαι, οὐδὲ κατατεῖναι τὸ σῶμα· ἀλλ' ἀρκεῖ τὸ θελῆσαι μόνον, καὶ πάντα λέλυται τὰ ἁμαρτήματα. ἂν δὲ μὴ μόνον αὐτὸς μὴ ἀφῇς, ἀλλὰ καὶ τῷ Θεῷ κατ' αὐτοῦ ἐντυγχάνῃς, τίνα λοιπὸν ἕξεις σωτηρίας ἐλπίδα, ὅταν, ἡνίκα ἐξιλεοῦσθαι αὐτὸν δέῃ, καὶ τότε αὐτὸν παροξύνῃς, ἱκέτου μὲν σχῆμα περικείμενος, θηρίου δὲ φωνὰς ἀφιεὶς, καὶ καθ' ἑαυτοῦ τὰ βέλη τοῦ πονηροῦ ἐξακοντίζων ἐκεῖνα; διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχῆς μεμνημένος, οὐδὲν οὕτως ἐξεζήτησεν ὡς τῆς ἐντολῆς ταύτης τὴν φυλακήν. Ἐπαίροντας γὰρ ὁσίους χεῖρας, φησὶ, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. εἰ γὰρ ὅτε ἐλέους χρείαν ἔχεις, οὐδὲ τότε ἀφίης τὴν ὀργὴν, ἀλλὰ καὶ σφόδρα αὐτῆς μέμνησαι, καὶ ταῦτα εἰδὼς ὅτι κατὰ σεαυτοῦ τὸ ξίφος ὠθεῖς, πότε δυνήσῃ γενέσθαι φιλάνθρωπος, καὶ τὸν πονηρὸν ἀποβλύσαι τῆς πονηρίας ταύτης ἰόν; εἰ δὲ οὐδέπω τῆς ἀτοπίας ταύτης εἶδες τὸ μέγεθος, ἐπ' ἀνθρώπων αὐτὸ λογίζου γινόμενον, καὶ τότε ὄψει τῆς ὕβρεως τὴν ὑπερβολήν. εἰ γὰρ ἀνθρώπῳ σοι ὄντι προσῆλθέ τις ἀξιῶν ἐλεηθῆναι, εἶτα μεταξὺ κείμενος ἐπὶ τῆς γῆς εἶδεν ἐχθρὸν, καὶ ἀφεὶς σε ἱκετεῦσαι, ἐκεῖνον ἔτυπτεν, ἆρα οὐκ ἂν μείζονα ἐποιήσω τὴν ὀργήν; τοῦτο λογίζου καὶ ἐπὶ τοῦ Θεοῦ συμβαίνειν. καὶ γὰρ καὶ σὺ τὸν Θεὸν ἱκετεύων, μεταξὺ τὴν ἱκετηρίαν ἀφεὶς, τὸν ἐχθρὸν τοῖς ῥήμασι τύπτεις, καὶ τοὺς τοῦ Θεοῦ νόμους ὑβρίζεις, τὸν νομοθετήσαντα πᾶσαν ὀργὴν ἀφιέναι κατὰ τῶν λελυπηκότων καλῶν, καὶ ἀξιῶν ἐναντία τοῖς ἑαυτοῦ προστάγμασι ποιεῖν. οὐκ ἄρα ἀρκεῖ εἰς

α. Τιμ. β. η.

τιμωρίας

ἁμαρτίας σοι λέγω, ὅτι σὺ παραβαίνεις τὸν νόμον τὸν τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὸν τοῦτο παρακαλεῖς
ποιεῖν; μὴ γὰρ ἐπελάθετο ὧν ἐπέταξε; μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ ταῦτα εἰπών; Θεός
ἐστιν ὁ τὰ πάντα εἰδώς, καὶ μετ' ἀκριβείας ἁπάσης τοὺς ἑαυτοῦ βουλόμενος φυλάττεσθαι νόμους,
καὶ τοσοῦτον ἀπέχων τοῦ ποιῆσαι ταῦτα, ἅπερ ἀξιοῖς, ὅτι καὶ σὲ τὸν ταῦτα λέγοντα καὶ ὑπὲρ τοῦ
λέγειν μόνον ἀποστρέφεται καὶ μισεῖ καὶ δίκην ἀπαιτεῖ τὴν ἐσχάτην. πῶς οὖν ἀξιοῖς παρ' αὐτοῦ τυχεῖν,
ὧν αὐτὸς μετὰ πολλῆς ἀπέχεσθαί σε κελεύει σπουδῆς; ἀλλὰ γάρ εἰσί τινες, οἳ καὶ εἰς
τοσοῦτον ἀλογίας ἥκασιν, ὡς μὴ μόνον τῶν ἐχθρῶν κατεύχεσθαι, ἀλλὰ καὶ τέκνοις ἐπαρᾶσθαι
τοῖς ἐκείνων, καὶ αὐτῶν, εἴγε ἐνῆν, ἀπογεύσασθαι τῶν σαρκῶν προαιρεῖσθαι, μᾶλλον δὲ καὶ ἀπογευόμενοι.
μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι τοὺς ὀδόντας οὐκ ἐνέπηξας τῷ σώματι τοῦ λελυπηκότος.
πολὺ γὰρ χαλεπώτερον ἐποίησας, τό γε εἰς σὲ ἧκον, ἀξιῶν ἄνωθεν ὀργὴν ἐπενεχθῆναι
κατ' αὐτοῦ, καὶ ἀθανάτῳ παραδοθῆναι κολάσει, καὶ μετὰ τῆς οἰκίας ἀνατραπῆναι ἁπάσης.
ποίων γὰρ ταῦτα οὐ χαλεπώτερα δηγμάτων; ποίων βελῶν οὐ πικρότερα; οὐ ταῦτά
σε ἐπαίδευσεν ὁ Χριστός, οὐχ οὕτω τὸ στόμα αἱμάττειν ἐκέλευσε. καὶ γὰρ ᾑμαγμένων στομάτων
ἀπὸ σαρκῶν ἀνθρωπίνων χαλεπώτεραι αἱ τοιαῦται γλῶτται. πῶς οὖν ἀσπάσῃ τὸν
ἀδελφόν; πῶς ἅψῃ τῆς θυσίας; πῶς ἀπογεύσῃ τοῦ αἵματος τοῦ δεσποτικοῦ, τοσοῦτον ἔχων
ἐπὶ τῆς διανοίας τὸν ἰόν; ὅταν γὰρ εἴπῃς, κατάρραξον αὐτόν, καὶ τὴν οἰκίαν ἀνάτρεψον,
καὶ πάντα ἀπόλεσον, καὶ μυρίοις αὐτῷ ὀλέθροις κατεύχῃ, οὐδὲν ἀνθρωποκτόνου διενήνοχας,
μᾶλλον δὲ ἀνθρωποφάγου θηρίου. παυσώμεθα τοίνυν τῆς νόσου ταύτης καὶ τῆς μανίας, καὶ
τὴν φιλοφροσύνην, ἣν ἐκέλευσεν, ἐπιδειξώμεθα περὶ τοὺς λελυπηκότας, ἵνα γενώμεθα
ὅμοιοι τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. παυσόμεθα δέ, ἂν τῶν οἰκείων ἀναμνησθῶμεν ἁμαρτημάτων,
ἂν μετ' ἀκριβείας ἅπαντα ἐξετάσωμεν τὰ πεπλημμελημένα ἡμῖν, τὰ ἔνδον, τὰ
ἔξω, τὰ ἐν ἀγορᾷ, τὰ ἐν ἐκκλησίᾳ. εἰ γὰρ μηδενὸς ἑτέρου, τῆς γοῦν ἐνταῦθα ὀλιγωρίας
τὴν ἐσχάτην ἄξιοί ἐσμεν δίκην ὑποσχεῖν. καὶ γὰρ προφητῶν ψαλλόντων, καὶ ἀποστόλων ὑμνούντων,
καὶ Θεοῦ διαλεγομένου, ἔξω πλανώμεθα, καὶ βιωτικῶν πραγμάτων ″ἐπεισαγόμεθα γρ. ἐπισύρ μεθα
θόρυβον· καὶ οὐδὲ τοσαύτην ἀπονέμομεν τοῖς τοῦ Θεοῦ νόμοις τὴν ἡσυχίαν, ὅσην τοῖς τοῦ
βασιλέως γράμμασιν ἐν τοῖς θεάτροις οἱ θεαταὶ παρέχουσι τὴν σιγήν. ἐκεῖ μὲν γὰρ τῶν
γραμμάτων τούτων ἀναγινωσκομένων, καὶ ὕπατοι, καὶ ὕπαρχοι, καὶ βουλὴ καὶ δῆμος ὀρθοὶ πάντες ἑστήκασι
μεθ' ἡσυχίας ἀκούοντες τῶν λεγομένων· κἂν μεταξὺ τῆς ἡσυχίας τῆς βαθυτάτης ἐκείνης
ἀναθορὼν [ἄν] τις πηδήσας καταβοήσῃ, ἅτε εἰς τὸν βασιλέα ὑβρικώς, τὴν ἐσχάτην δίδωσι
δίκην. ἐνταῦθα δέ, τῶν ἐκ τοῦ οὐρανοῦ γραμμάτων ἀναγινωσκομένων, πολὺς πάντοθεν
ὁ θόρυβος γίνεται· καίτοι καὶ ὁ πέμψας τὰ γράμματα πολὺ τοῦ βασιλέως τούτου μείζων ἐστί, καὶ
τὸ θέατρον σεμνότερον (οὐ γὰρ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἀγγέλων ἐστί) καὶ τὰ ἐπινίκια ταῦτα,
ἃ τὰ γράμματα εὐαγγελίζεται, πολλῷ τῶν ἐν τῇ γῇ φρικωδέστερα. διόπερ οὐκ ἄνθρωποι
μόνον, ἀλλὰ καὶ ἄγγελοι, καὶ ἀρχάγγελοι, καὶ οἱ τῶν οὐρανῶν δῆμοι, καὶ οἱ ἐν τῇ γῇ πάντες εὐφημεῖν
Ψαλμ. ρβ. κβ. κελευόμεθα. Εὐλογεῖτε γάρ, φησι, τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ. καὶ γὰρ οὐ μικρὰ
τὰ κατορθούμενα, ἀλλὰ πάντα ὑπερβαίνει λόγον καὶ νοῦν καὶ διάνοιαν ἀνθρωπίνην. καὶ
ταῦτα καθ' ἑκάστην ἡμέραν διακηρύττουσιν οἱ προφῆται, διαφόρως ἕκαστος τὸ λαμπρὸν
Ψαλμ. ξη. ιη. τοῦ τροπαίου ἀναγορεύων. ὁ μὲν γάρ, Ἀνέβης εἰς ὕψος, φησίν, ᾐχμαλώτευσας αἰχμαλωσίαν,
Ἐφεσ. δ. η. Ψαλμ. κγ. η. καὶ ἔλαβες δόματα ἐν ἀνθρώποις· καί, Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. ὁ δέ
φησι, τῶν ἰσχυρῶν″ μεριεῖται τὰ σκῦλα. καὶ γὰρ διὰ τοῦτο ἦλθεν, ὥστε κηρύξαι αἰχμαλώτοις γρ. μεριεῖ
α. Κορ. ιε. νε. ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ὁ δὲ κατὰ τοῦ θανάτου τὴν ἐπινίκιον ἀλαλάζων″ ᾠδὴν ἔλεγε· γρ. φωνὴν
Ὠσ. ιγ. ιδ. Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον; ἕτερος δὲ [αὖ] πάλιν τὴν βαθυτάτην εἰρήνην
Ἰωὴλ γ. ι. εὐαγγελιζόμενος ἔλεγε· Συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ
Ζαχ. θ. θ. τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. καὶ ὁ μὲν τὴν Ἱερουσαλὴμ καλεῖ, λέγων, Χαῖρε σφόδρα

δρα θύγατερ Σιών, * ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· ὁ δὲ καὶ τὴν δευτέραν αὐτοῦ ἀνακηρύττει παρουσίαν, οὕτω λέγων· Ἥξει Κύριος ὃν ὑμεῖς ζητεῖτε, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; Σκιρτήσατε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. καὶ ἕτερος πάλιν τοιαῦτα ἐκπληττόμενος ἔλεγεν· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἀλλ' ὅμως καὶ τούτων καὶ πολλῷ πλειόνων λεγομένων, δέον φρίττειν καὶ μηδὲ ἐπὶ γῆς νομίζειν εἶναι· ὡς ἐν ἀγορᾷ μέσῃ θορυβούμεθα, ταραττόμεθα, τὰ μηδὲν πρὸς ἡμᾶς ὄντα διαλεγόμενοι ἅπαντα ἀναλίσκομεν τῆς συνάξεως τὸν καιρόν. ὅταν οὖν καὶ ἐν μικροῖς καὶ ἐν μεγάλοις, καὶ ἐν ἀκροάσει, καὶ ἐν πράξει, καὶ ἔξω, καὶ ἔνδον ἐν ἐκκλησίᾳ οὕτως ὦμεν ῥάθυμοι, καὶ μετὰ τούτων ἁπάντων καὶ κατ' ἐχθρῶν εὐχώμεθα, πόθεν ἕξομεν σωτηρίας ἐλπίδα, τοῖς τοσούτοις ἁμαρτήμασι προσθήκην ἑτέραν χαλεπὴν καὶ τούτων ἀντίρροπον, τὴν παράνομον ταύτην προστιθέντες εὐχήν; εἶτ' οὖν θαυμάζειν δίκαιον, ἂν συμβῇ τι τῶν ἀδοκήτων ἡμῖν καὶ λυπηρῶν; δέον ὅταν μὴ συμβῇ θαυμάζειν. ἐκεῖνο μὲν γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας· τοῦτο δὲ ὑπὲρ λόγον πάντα καὶ προσδοκίαν. καὶ γὰρ ὑπὲρ λόγον, ἐχθροὺς τοῦ Θεοῦ γινομένους καὶ παροργίζοντας αὐτὸν ἀπολαύειν ἡλίου καὶ ὑετῶν, καὶ τῶν ἄλλων ἁπάντων, ἀνθρώπους θηρίων ὠμότητα νικῶντας καὶ κατ' ἀλλήλων ἱσταμένους, καὶ τοῖς τῶν πλησίον δήγμασι τὴν γλῶτταν αἱμάττοντας, μετὰ τὴν τράπεζαν τὴν πνευματικὴν καὶ τὰς τοσαύτας εὐεργεσίας καὶ τὰ μυρία παραγγέλματα. ταῦτ' οὖν ἐννοοῦντες ἐμέσωμεν τὸν ἰόν, καταλύσωμεν τὰς ἔχθρας, καὶ τὰς ἡμῖν πρεπούσας εὐχὰς ποιώμεθα, ἀντὶ δαιμόνων θηριωδίας ἀγγέλων λάβωμεν ἡμερότητα, καὶ ὅσα ἂν ὦμεν ἠδικημένοι, τὰ αὐτῶν ἡμέτερα ἐννοήσαντες, καὶ τὸν ὑπὲρ ταύτης τῆς ἐντολῆς κείμενον ἡμῖν μισθόν, μαλάξωμεν τὴν ὀργήν, καταστείλωμεν τὰ κύματα, ἵνα καὶ τὸν παρόντα βίον ἀταράχως διέλθωμεν, καὶ ἀπελθόντες ἐκεῖ τοιούτου τύχωμεν τοῦ δεσπότου, οἷοι περὶ τοὺς συνδούλους γεγόναμεν. εἰ δὲ βαρὺ τοῦτο καὶ φοβερόν, ποιήσωμεν ἡμεῖς αὐτὸ κοῦφον καὶ ποθεινόν, καὶ τὰς τῆς παρρησίας τῆς πρὸς αὐτὸν λαμπρὰς ἀνοίξωμεν θύρας· καὶ ὅπερ οὐκ ἰσχύσαμεν ἀνύσαι διὰ τοῦ τῶν ἁμαρτημάτων ἀπέχεσθαι, τοῦτο ἀνύσωμεν διὰ τοῦ γενέσθαι τοῖς ἡμαρτηκόσιν εἰς ἡμᾶς ἥμεροι (οὐδὲ γὰρ βαρὺ τοῦτο, οὐδὲ ἐπαχθές) καὶ τοὺς ἐχθροὺς εὐεργετοῦντες τοὺς ἡμετέρους, πολὺν ἑαυτοῖς προαποθώμεθα ἔλεον. οὕτω γὰρ καὶ κατὰ τὸν παρόντα βίον ἅπαντες ἡμᾶς ἀγαπήσουσι, καὶ πρὸ τῶν ἄλλων ἁπάντων ὁ Θεὸς καὶ φιλήσει καὶ στεφανώσει, καὶ τῶν μελλόντων ἡμᾶς πάντων ἀξιώσει ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ήρυσσε,
περ Ἱε-
λήμ,

Μαλ. δ. β.

ἐλαφρόν,

φορτικόν.

Ομιλ. κ. 16 ΟΤΑΝ ΔΕ ΝΗΣΤΕΥΗΤΕ, ΜΗ ΓΙΝΕΣΘΕ, ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί. ἀφανίζουσι γὰρ τὰ πρόσωπα ἑαυτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες.

ΚΑλὸν ἐνταῦθα στενάξαι μέγα καὶ οἰμῶξαι πικρόν. οὐ γὰρ μόνον τοὺς ὑποκριτὰς μιμούμεθα, ἀλλὰ καὶ ἐκείνους παρεληλύθαμεν. οἶδα γάρ, οἶδα πολλούς, οὐχὶ νηστεύοντας καὶ ἐπιδεικνυμένους μόνον, ἀλλὰ καὶ μὴ νηστεύοντας καὶ τὰ τῶν νηστευόντων προσωπεῖα περικειμένους, καὶ ἀπολογίαν χείρονα τῆς ἁμαρτίας προβαλλομένους. ἵνα γὰρ μὴ σκανδαλίσω, φησί, τοὺς πολλούς, τοῦτο ποιῶ. τί λέγεις; νόμος ἐστὶ θεῖος ὁ ταῦτα κελεύων, καὶ σκανδάλου μέμνησαι; καὶ φυλάττων μὲν αὐτὸν σκανδαλίζειν νομίζεις· παραβαίνων δὲ ἀπαλλάττειν σκανδάλου; καὶ τί ταύτης τῆς ἀπολογίας χεῖρον γένοιτ' ἄν; οὐ

αὶ οἰμῶξαι

λογίας

παύσῃ καὶ τῶν ὑποκριτῶν χείρων γινόμενος, καὶ διπλῆν τὴν ὑπόκρισιν ἐργαζόμενος. καὶ πλὴν τῆς κακίας ταύτης τὴν ὑπερβολὴν ἐννοῶν; οὐκ αἰσχυνθήσῃ τῆς λέξεως ταύτης τὴν ἔμφασιν; οὐδὲ γὰρ εἶπεν, ὅτι ὑποκρίνονται ἁπλῶς· ἀλλὰ καὶ μειζόνως καθάψασθαι βουλόμενος, φησὶν ἀφανίζουσι γὰρ τὰ πρόσωπα ἑαυτῶν, τουτέστι, διαφθείρουσιν, ἀπολλύουσιν. εἰ δὲ τοῦτο ἀφανισμὸς προσώπου, τὸ πρὸς κενοδοξίαν ὠχρὸν φαίνεσθαι, τί ἂν εἴποιμεν περὶ τῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς διαφθειρουσῶν τὰ πρόσωπα γυναικῶν, ἐπὶ λύμῃ τῶν ἀκολάστων νέων; ἐκεῖνοι μὲν γὰρ ἑαυτοὺς βλάπτουσι μόνον· αὗται δὲ καὶ ἑαυτὰς καὶ τοὺς ὁρῶντας· διὸ χρὴ φεύγειν καὶ ταύτην κἀκείνην τὴν λύμην ἐκ πολλοῦ τοῦ περιόντος. οὐδὲ γὰρ μόνον μὴ ἐπιδείκνυσθαι, ἀλλὰ καὶ σπουδάζειν λανθάνειν ἐκέλευσεν· ὅπερ καὶ ἔμπροσθεν ἐποίησε. καὶ ἐπὶ μὲν τῆς ἐλεημοσύνης οὐχ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ' εἰπών, προσέχετε μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, προσέθηκε, πρὸς τὸ θεαθῆναι αὐτοῖς· ἐπὶ δὲ τῆς νηστείας καὶ τῆς προσευχῆς οὐδὲν τοιοῦτον διώρισε. τί δήποτε; ὅτι ἐλεημοσύνην μὲν ἀδύνατον πάντη λαθεῖν, εὐχὴν δὲ καὶ νηστείαν δυνατόν. ὥσπερ οὖν εἰπών, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, οὐ περὶ χειρῶν ἔλεγεν, ἀλλὰ περὶ τοῦ δεῖν * μετὰ ἀκριβείας ἅπαντας λανθάνειν· καὶ κελεύσας εἰς τὸ ταμιεῖον εἰσιέναι, οὐ πάντως, οὐδὲ προηγουμένως ἐκεῖ μόνον ἐπέταξεν εὔχεσθαι, ἀλλὰ τὸ αὐτὸ πάλιν ᾐνίξατο· οὕτω καὶ ἐνταῦθα ἀλείφεσθαι κελεύσας, οὐχ ἵνα ἀλειφώμεθα πάντως ἐνομοθέτησεν (ἐπεὶ πάντες εὑρεθησόμεθα τὸν νόμον παραβαίνοντες τοῦτον, καὶ πρό γε πάντων οἱ μάλιστα αὐτὸν φυλάττειν ἐσπουδακότες, οἱ τῶν μοναχῶν δῆμοι, οἱ τὰ ὄρη κατειληφότες) οὐ τοίνυν τοῦτο ἐπέταξεν, ἀλλ' ἐπειδὴ τοῖς παλαιοῖς ἔθος ἀλείφεσθαι συνεχῶς ἦν εὐφραινομένοις καὶ χαίρουσι (καὶ τοῦτο ἀπὸ τοῦ Δαβὶδ καὶ ἀπὸ τοῦ Δανιὴλ ἄν τις κατίδοι σαφῶς) εἶπεν ἀλείφεσθαι· οὐχ ἵνα πάντως τοῦτο ποιῶμεν, ἀλλ' ἵνα διὰ πάντων σπουδάζωμεν μετὰ ἀκριβείας πολλῆς κρύπτειν τὸ κτῆμα τοῦτο. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, αὐτὸς τοῦτο, ὅπερ διὰ τῶν λόγων ἐπέταξε, διὰ τῶν ἔργων ἐπιδειξάμενος, καὶ νηστεύσας τεσσαράκοντα ἡμέρας, καὶ μετὰ τοῦ λαθεῖν νηστεύσας, οὔτε ἠλείψατο, οὔτε ἐνίψατο· ἀλλ' ὅμως καὶ ταῦτα μὴ ποιήσας, μάλιστα πάντων χωρὶς κενοδοξίας τὸ πᾶν ἤνυσεν. ὃ δὴ καὶ ἡμῖν ἐπιτάττει, καὶ τοὺς ὑποκριτὰς εἰς μέσον ἀγαγών, καὶ διπλῇ παραγγελίᾳ τοὺς ἀκούοντας ἀποτρέψας· καὶ ἕτερόν τι διὰ τῆς προσηγορίας ταύτης ᾐνίξατο, τῆς τῶν ὑποκριτῶν λέγω. οὐ γὰρ μόνον τῷ τὸ πρᾶγμα εἶναι καταγέλαστον, οὐδὲ τῷ ζημίαν ἔχειν ἐσχάτην, ἀλλὰ καὶ τῷ πρόσκαιρον δεῖξαι τὴν τοιαύτην ἀπάτην, ἀπάγει τῆς πονηρᾶς ἐπιθυμίας. ὁ γὰρ ὑποκριτὴς μέχρι τότε φαίνεται λαμπρός, ἕως ἂν τὸ θέατρον κάθηται· μᾶλλον δὲ οὐδὲ τότε παρὰ πᾶσιν· ἴσασι γὰρ οἱ πλείους τῶν θεωμένων, τίς ὢν τίνα ὑποκρίνεται· πλὴν ἀλλὰ τοῦ θεάτρου λυθέντος, σαφέστερον ἅπασιν ἐκκαλύπτεται. τοῦτο τοίνυν καὶ τοὺς κενοδόξους ὑπομένειν ἀνάγκη πᾶσα. καὶ ἐνταῦθα μὲν γὰρ τοῖς πλείοσίν εἰσι κατάδηλοι, ὅτι οὐκ εἰσὶ τοῦτο ὅπερ φαίνονται, ἀλλὰ προσωπεῖον περίκεινται μόνον· πολλῷ δὲ πλέον μετὰ ταῦτα ἁλώσονται, ὅτε πάντα γυμνὰ καὶ τετραχηλισμένα φαίνεται. καὶ ἑτέρωθεν δὲ πάλιν αὐτοὺς ἀπάγει τῶν ὑποκριτῶν, τῷ δεῖξαι κοῦφον τὸ ἐπίταγμα ὄν. οὐ γὰρ τὴν νηστείαν ἐπιτείνει, οὐδὲ μείζονα ἐπιδείξασθαι κελεύει· ἀλλὰ μὴ τὸν ἐξ αὐτῆς ἀπολέσαι στέφανον [ἀσφαλίζεται.] ὥστε ὃ μὲν δοκεῖ φορτικὸν εἶναι, κοινὸν ἡμῖν καὶ τοῖς ὑποκριταῖς (νηστεύουσι γὰρ κἀκεῖνοι) ὃ δέ ἐστι κουφότατον, τὸ κάμνοντας μὴ ἀπολέσαι τὸν μισθόν, τοῦτό ἐστιν ὃ κελεύω, φησί· τοῖς μὲν πόνοις οὐδὲν προστιθείς, τοὺς δὲ μισθοὺς ἡμῖν συνάγων μετὰ ἀσφαλείας ἁπάσης, καὶ οὐκ ἀφιεὶς ἀστεφανώτους ἀπελθεῖν, καθάπερ ἐκείνους. καὶ οὐδὲ τοὺς ἐν τοῖς ὀλυμπιακοῖς ἀγῶσι παλαίοντας μιμεῖσθαι ἐθέλουσιν, οἳ, τοσούτου καθημένου δήμου καὶ ἀρχόντων τοσούτων, ἑνὶ βούλονται ἀρέσαι τῷ βραβεύοντι τὴν νίκην αὐτοῖς, καίτοι πολλῷ ὄντι καταδεεστέρῳ· σὺ δὲ διπλῆν ἔχων τὴν ἀφορμὴν τοῦ τὴν νίκην ἐπιδείκνυσθαι ἐκείνῳ, τῷ

α. Βασ. ιε.

καὶ αὐτὸν εἶναι τὸν βραβεύοντα, καὶ τῷ πάντων ἀσυγκρίτως ὑπερέχειν τῶν ἐν τῷ θεάτρῳ καθημένων, ἑτέροις ἐπιδείκνυσθαι τοῖς οὐ μόνον οὐδὲν ὠφελοῦσιν, ἀλλὰ καὶ τὰ μέγιστά σε παραβλάπτουσι. πλὴν οὐδὲ τοῦτο κωλύω, φησίν· ἀλλ' εἰ καὶ ἀνθρώποις ἐπιδείξασθαι βούλει, ἀνάμεινον, καὶ ἐγώ σοι καὶ τοῦτο μετὰ πλείονος παρέξομαι τῆς περιουσίας καὶ πολλοῦ τοῦ κέρδους. νῦν μὲν γάρ σε ἀπορρήγνυσι τῆς παρ' ἐμὲ δόξης τοῦτο, ὥσπερ οὖν συγκολλᾷ τὸ τούτων ὑπερορᾷν· τότε δὲ πάντων ἀπολαύσῃ μετὰ ἀδείας ἁπάσης, οὐ μικρὸν καὶ πρὸ ἐκείνων καὶ ἐνταῦθα καρπωσάμενος, τὸ πᾶσαν καταπατῆσαι τὴν ἀνθρωπίνην δόξαν, καὶ τῆς χαλεπῆς τῶν ἀνθρώπων ἐλευθερωθῆναι δουλείας, καὶ γνήσιον γενέσθαι τῆς ἀρετῆς ἐργάτην· ὡς νῦν γε οὕτω διακείμενος, ἂν ἐν ἐρημίᾳ γένῃ, πάσης ἔρημος ἔσῃ τῆς ἀρετῆς, οὐκ ἔχων τοὺς θεωροῦντας. ὃ καὶ αὐτὴν ὑβρίζοντός ἐστι τὴν ἀρετὴν, εἴγε μὴ δι' αὐτὴν, ἀλλὰ διὰ τὸν χοιροτρόφον, καὶ τὸν χαλκοτύπον, καὶ τὸν πολὺν τῶν ἀγοραίων δῆμον μέλλοις αὐτὴν μετιέναι· ἵνα καὶ οἱ κακοὶ καὶ οἱ πόρρω ταύτης ὄντες σε θαυμάσωσι, καὶ τοὺς ἐχθροὺς αὐτῆς καλεῖς ἐπὶ τὴν ἐπίδειξιν αὐτῆς καὶ τὴν θεωρίαν· ὥσπερ ἂν εἴ τις σωφρονεῖν ἕλοιτο, μὴ διὰ τὸ τῆς σωφροσύνης καλὸν, ἀλλ' ἵνα ἐπιδείξηται τοῖς ἡταιρηκόσι. καὶ σὺ τοίνυν οὐκ ἂν εἵλου τὴν ἀρετὴν, εἰ μὴ διὰ τοὺς ἐχθροὺς τῆς ἀρετῆς· δέον αὐτὴν καὶ ἐντεῦθεν θαυμάσαι, ὅτι καὶ τοὺς ἐχθροὺς ἐπαινέτας ἔχει· θαυμάσαι δὲ, ὡς χρὴ, μὴ δι' ἑτέρους, ἀλλὰ δι' αὐτήν· ἐπεὶ καὶ ἡμεῖς ὅταν μὴ δι' ἑαυτοὺς, ἀλλὰ δι' ἑτέρους φιλώμεθα, ὕβριν τὸ πρᾶγμα νομίζομεν. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἀρετῆς λογίζου, καὶ μηδὲ δι' ἑτέρους αὐτὴν δίωκε, μήτε δι' ἀνθρώπους ὑπάκουε τῷ Θεῷ, ἀλλὰ διὰ τὸν Θεὸν ἀνθρώποις· ὡς ἂν τὸ ἐναντίον ποιῇς, κἂν μετιέναι δοκῇς ἀρετὴν, ὁμοίως τῷ μὴ μετιόντι παρώξυνας. ὥσπερ γὰρ ἐκεῖνος τῷ μὴ ποιῆσαι παρήκουσεν, οὕτω καὶ σὺ τῷ παρανόμως ποιῆσαι.

19 Μὴ θησαυρίζητε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς.

Ἐπειδὴ τὸ τῆς κενοδοξίας ἐξέβαλε νόσημα, εὐκαίρως λοιπὸν καὶ τὸν περὶ ἀκτημοσύνης εἰσάγει λόγον. οὐδὲν γὰρ οὕτω χρημάτων ἐρᾷν παρασκευάζει, ὡς ὁ τῆς κενοδοξίας ἔρως. διὰ γοῦν τοῦτο καὶ τὰς τῶν ἀνδραπόδων ἀγέλας, καὶ τὸν ἑσμὸν τῶν εὐνούχων, καὶ τοὺς χρυσοφοροῦντας ἵππους, καὶ τὰς ἀργυρᾶς τραπέζας, καὶ τὰ ἄλλα τὰ καταγελαστότερα ἐπινοοῦσιν ἄνθρωποι, οὐχ ἵνα χρείαν πληρώσωσιν, οὐδ' ἵνα ἡδονῆς ἀπολαύσωσιν, ἀλλ' ἵνα τοῖς πολλοῖς ἐπιδείξωνται. ἀνωτέρω μὲν οὖν, ὅτι ἐλεεῖν δεῖ μόνον ἔλεγεν· ἐνταῦθα δὲ καὶ πόσον ἐλεεῖν χρὴ δείκνυσιν, εἰπὼν, μὴ θησαυρίζητε. ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἐξ ἀρχῆς ἀθρόον τὸν περὶ τῆς ὑπεροψίας τῶν χρημάτων εἰσαγαγεῖν λόγον διὰ τὴν τυραννίδα τοῦ πάθους, κατὰ μικρὸν αὐτὸν διατεμὼν καὶ ἐλευθερώσας, ἐνίησιν ἐν τῇ τῶν ἀκροατῶν διανοίᾳ, ὥστε εὐπαράδεκτον γενέσθαι. διὰ δὴ τοῦτο πρότερον μὲν ἔλεγε, μακάριοι οἱ ἐλεήμονες· μετὰ δὲ τοῦτο, ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου· καὶ μετ' ἐκεῖνο πάλιν, ἐάν τίς σοι θέλει κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, δὸς αὐτῷ καὶ τὸ ἱμάτιον· ἐνταῦθα δὲ τὸ πολλῷ μεῖζον πάντων ἐκείνων. ἐκεῖ μὲν γὰρ εἶπεν, ὅτι ἂν δίκην ἴδῃς ἐπικειμένην, τοῦτο ποίησον (τὸ γὰρ μάχεσθαι ἔχοντα βέλτιον τὸ μὴ ἔχοντα ἀπηλλάχθαι μάχης) ἐνταῦθα δὲ οὔτε ἀντίδικον, οὔτε τὸν κρινόμενον θεὶς, οὔτε ἄλλου οὐδενὸς τοιούτου μνημονεύσας, αὐτὴν καθ' ἑαυτὴν διδάσκει τὴν τῶν χρημάτων ὑπεροψίαν, δεικνὺς ὅτι οὐ διὰ τοὺς ἐλεουμένους τοσοῦτον, ὅσον διὰ τὸν διδόντα ταῦτα νομοθετεῖ, ἵνα κἂν μηδεὶς ᾖ ὁ ἀδικῶν καὶ ἕλκων εἰς δικαστήριον, καὶ οὕτω καταφρονῶμεν τῶν ὄντων, παρέχοντες αὐτὰ τοῖς δεομένοις. καὶ οὐδὲ ἐνταῦθα τὸ ὅλον τέθεικεν, ἀλλὰ καὶ ἐνταῦθα ἠρέμα· καίτοιγε τοὺς ἀγῶνας τοὺς περὶ τούτων μετὰ πολλῆς ἐν τῇ ἐρήμῳ τῆς ὑπερβολῆς ἐπιδειξάμενος. ἀλλ' ὅμως οὐ τίθησι τοῦτο, οὐδὲ εἰς μέσον ἄγει (οὐδέπω γὰρ ἐκκαλύψαι καιρὸς ἦν) ἀλλὰ λογισμοῖς ἐξετάζει τέως, συμβούλου μᾶλλον ἢ νομοθέτου τάξιν ἐν τοῖς περὶ τούτων φυλάττων λόγοις. εἰπὼν γὰρ, μὴ θησαυρίζητε ἐπὶ τῆς γῆς, ἐπήγαγεν·

Ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύττουσι καὶ κλέπτουσι.

Τέως δείκνυσι τοῦ ἐνταῦθα θησαυροῦ τὴν βλάβην, καὶ τοῦ ἐκεῖ τὴν ὠφέλειαν, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῶν " ὑπερεχομένων· καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ ἕτερον ἐπάγει λογισμόν. καὶ προφέρει, ἀφ' ὧν μάλιστα δεδοίκασιν, ἀπὸ τούτων αὐτοὺς προτρέπει. τί γὰρ δέδοικας, φησί; μὴ ἀναλωθῇ τὰ χρήματα, ἐὰν ἐλεημοσύνην δῷς; οὐκοῦν δὸς ἐλεημοσύνην, καὶ τότε οὐκ ἀναλωθήσεται· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἀναλωθήσεται, ἀλλ' ὅτι καὶ προσθήκην λήψεται " πλείονα. καὶ γὰρ τὰ ἐν τοῖς οὐρανοῖς προστίθεται. ἀλλὰ τέως αὐτὸ οὐ λέγει, ἀλλ' ὕστερον αὐτὸ τίθησι. τέως δὲ ὃ μάλιστα αὐτοὺς προτρέψαι ἠδύνατο, τοῦτο εἰς μέσον ἄγει, τὸ μένειν ἀνάλωτον αὐτοῖς τὸν θησαυρόν, καὶ ἑκατέρωθεν αὐτοὺς ἐφέλκεται. οὐδὲ γὰρ εἶπεν, ὅτι ἐὰν δῷς ἐλεημοσύνην, τηρεῖται μόνον, ἀλλὰ καὶ τὸ ἐναντίον ἠπείλησεν· ὅτι καὶ ἐὰν μὴ δῷς, ἀπόλλυται. καὶ ὅρα τὴν ἄφατον σύνεσιν. οὐδὲ γὰρ εἶπεν, ὅτι καὶ ἑτέροις αὐτὰ καταλιμπάνεις (ἐπεὶ καὶ τοῦτο πολλάκις ἡδὺ τοῖς ἀνθρώποις) ἀλλ' ἑτέρωθεν αὐτοὺς φοβεῖ, δεικνὺς ὅτι οὐδὲ τούτου τυγχάνουσι. κἂν γὰρ ἄνθρωποι μὴ ἀδικήσωσιν, εἰσὶν οἱ ἀδικοῦντες πάντως, ὁ σὴς καὶ ἡ βρῶσις. εἰ γὰρ καὶ σφόδρα εὐάλωτος εἶναι δοκεῖ αὕτη ἡ λύμη, ἀλλ' ὅμως ἄμαχός ἐστι καὶ ἀκάθεκτος. κἂν ὁποιονοῦν ἐπινοῇς, οὐ δυνήσῃ ταύτην ἐπισχεῖν τὴν βλάβην. τί οὖν; τὸ χρυσίον σὴς ἀφανίζει; εἰ καὶ μὴ σὴς, ἀλλὰ κλέπται. τί οὖν; ἅπαντες ἐσυλήθησαν; εἰ καὶ μὴ πάντες, ἀλλ' οἱ πλείους. διὰ δὴ τοῦτο καὶ ἕτερον, ὅπερ ἔφθην εἰπὼν, ἐπάγει λογισμὸν, λέγων·

γρ. λυσ
ἀλ. λυμαιν-
μένων·
γρ. μείζον

21 Ὅπου * ὁ θησαυρὸς " τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία " αὐτοῦ.

Κἂν γὰρ μηδὲν τούτων γίνηται, φησὶν, οὐ μικρὰν ὑποστήσῃ βλάβην, τοῖς κάτω προσηλωμένος, καὶ δοῦλος ἀντ' ἐλευθέρου " γινόμενος, καὶ τῶν " οὐρανίων ἐκπίπτων, καὶ μηδὲν τῶν ὑψηλῶν ἐννοῆσαι δυνάμενος, ἀλλὰ " πάντα χρήματα καὶ τόκους καὶ δανείσματα καὶ κέρδη καὶ καπηλείας ἀνελευθέρους, οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; καὶ γὰρ ἀνδραπόδου παντὸς ὁ " τοιοῦτος διακείσεται χεῖρον, τυραννίδα χαλεπωτάτην ἐπισπώμενος, καὶ τὸ πάντων κυριώτατον προδιδοὺς, τὴν εὐγένειαν τοῦ ἀνθρώπου καὶ τὴν ἐλευθερίαν. ὅσα γὰρ ἄν τις σοι διαλέγεται, τῆς διανοίας προσηλωμένης τοῖς χρήμασιν, οὐδὲν ἀκοῦσαι δυνήσῃ τῶν σοι προσηκόντων· ἀλλ', ὥσπερ κύων " τάφρῳ, προσδεδεμένος ἀλύσεως ἁπάσης χαλεπώτερον τῇ τῶν χρημάτων τυραννίδι, κατὰ τῶν προσιόντων ἁπάντων ὑλακτῶν, ἓν ἔργον τοῦτο ἔχεις διηνεκὲς, τὸ τηρεῖν ἑτέροις τὰ κείμενα, οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; ἀλλ' ὅμως ἐπειδὴ τοῦτο ὑψηλότερον ἦν τῆς τῶν ἀκροωμένων διανοίας, καὶ οὔτε ἡ βλάβη αὐτοῦ τοῖς πολλοῖς εὐσύνοπτος, οὔτε τὸ κέρδος φανερὸν, ἀλλὰ φιλοσοφωτέρας ἐδεῖτο γνώμης, ὥστε ἑκάτερα ταῦτα συνιδεῖν, τέθηκε μὲν αὐτὸ μετ' ἐκεῖνα τὰ δῆλα, εἰπών· ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ. ποιεῖ δὲ αὐτὸ [τοῦτο] σαφέστερον πάλιν, ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ ἐξάγων τὸν λόγον, καὶ λέγων·

* γάρ ἐστι
γρ. ὑμῶν,
γρ. ὑμῶν.
γρ. γενόμ.
γρ. οὐρανῶν
ἴσ. πάντη
γρ. τοιοῦτο
χαλεπωτά-
την ἐπισπώ
τὴν δουλεί
γρ. τάφρῳ,

22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ κατορύξῃς χρυσίον ἐν τῇ γῇ, μηδὲ ἄλλο τι τῶν τοιούτων μηδέν. τῷ γὰρ σητὶ καὶ τῇ βρώσει καὶ τοῖς κλέπταις αὐτὰ συνάγεις. ἐὰν δὲ καὶ ταύτας διαφύγῃς τὰς βλάβας, τὸ δουλωθῆναί σου τὴν καρδίαν καὶ προσηλωθῆναι τοῖς κάτω πᾶσιν οὐ διαφεύξῃ. ὅπου γὰρ ἂν ᾖ ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία σου. ὥσπερ " οὖν εἰς τὸν οὐρανὸν ἀποτιθέμενος, οὐ τοῦτο " καρποῦσαι μόνον τὸ τυχεῖν τῶν ἐπὶ τούτοις " ἐπάθλων, ἀλλ' ἐντεῦθεν ἤδη τὸν μισθὸν λαμβάνεις, ἐκεῖ μεθορμιζόμενος καὶ τὰ ἐκεῖ φρονῶν καὶ ὑπὲρ τῶν ἐκεῖ μεριμνῶν (ὅπου γὰρ ἀπέθου τὸν θησαυρὸν, εὔδηλον ὅτι καὶ τὴν διάνοιαν ἐκεῖ μετατίθης) οὕτως ἂν ἐπὶ τῆς γῆς τοῦτο ποιήσῃς, τἀναντία πείσῃ. εἰ δὲ ἀσαφές σοι τὸ εἰρημένον, ἄκουσον τῶν ἑξῆς.

γρ. ὁ
γρ. καρπώσ
γρ. ἄθλων,

Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται·

23 Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον; Ἐπὶ τὰ αἰσθητότερα ἐξάγει τὸν λόγον. ἐπειδὴ γὰρ ἐμνημόνευσε τοῦ νοῦ, ὡς καταδουλουμένου καὶ αἰχμαλωτιζομένου, τοῦτο δὲ οὐ πολλοῖς εὐσύνοπτον ἦν, ἐπὶ τὰ ἔξω καὶ πρὸ τῶν ὀφθαλμῶν κείμενα τὴν διδασκαλίαν μετατίθησιν, ἵνα ἀπὸ τούτων καὶ περὶ ἐκείνων νοήσωσιν. Εἰ γὰρ μὴ οἶσθα, φησὶ, τί ποτέ ἐστι βλάβη νοῦ, ἀπὸ τῶν σωματικῶν τοῦτο καταμάνθανε. ὅπερ γάρ ἐστιν ὀφθαλμὸς τῷ σώματι, τοῦτο ὁ νοῦς τῇ ψυχῇ. ὥσπερ οὖν οὐκ ἂν ἕλοιο χρυσοφορεῖν καὶ σηρικὰ περιβεβλῆσθαι ἱμάτια, καὶ πεπηρῶσθαί σου τοὺς ὀφθαλμοὺς, ἀλλὰ τὴν ὑγείαν τὴν τούτων ἁπάσης τῆς τοιαύτης περιουσίας ποθεινοτέραν εἶναι νομίζεις (ἂν γὰρ αὐτὴν ἀπολέσῃς καὶ διαφθείρῃς, οὐδέν σοι τῆς λοιπῆς ὄφελος ζωῆς. ὥσπερ γὰρ τῶν ὀφθαλμῶν τυφλωθέντων, τὸ πολὺ τῆς τῶν λοιπῶν μελῶν ἐνεργείας οἴχεται, τοῦ φωτὸς αὐτοῖς σβεσθέντος· οὕτω καὶ τῆς διανοίας διαφθαρείσης, μυρίων ἡ ζωή σου κακῶν ἐμπλησθήσεται) καθάπερ οὖν ἐν σώματι τοῦτο σκοποῦμεν, ὥστε τὸν ὀφθαλμὸν ἔχειν ὑγιῆ, οὕτω καὶ ἐν τῇ ψυχῇ τὸν νοῦν. ἂν δὲ τοῦτον πηρώσωμεν τὸν καὶ τοῖς ἄλλοις παρέχειν ὀφείλοντα τὸ φῶς, πόθεν διαβλέψωμεν λοιπόν; ὥσπερ γὰρ ὁ τὴν πηγὴν ἀνελὼν, καὶ τὸν ποταμὸν ἐξήρανεν, οὕτως ὁ τὸν νοῦν ἀφανίσας, πᾶσαν αὐτοῦ τὴν ἐν τῇ ζωῇ ταύτῃ πρᾶξιν ἐθόλωσε. διό φησιν, Εἰ τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον; ὅταν γὰρ ὁ κυβερνήτης ὑποβρύχιος γένηται, καὶ ὁ λύχνος σβεσθῇ, καὶ ὁ ἡγεμὼν αἰχμάλωτος γένηται, ποία λοιπὸν ἔσται τοῖς ὑπηκόοις ἐλπίς; διὰ δὴ τοῦτο ἀφεὶς εἰπεῖν νῦν τὰς ἐπιβουλὰς τὰς διὰ τὸν πλοῦτον, τὰς μάχας, τὰς δίκας (ἠνίξατο μὲν γὰρ αὐτὰς ἀνωτέρω εἰπὼν, παραδώσει σε ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ) τὰ πάντων χαλεπώτερα τούτων συμβαίνοντα πάντως θεὶς, οὕτως ἀπάγει τῆς πονηρᾶς ἐπιθυμίας. τοῦ γὰρ τὸ δεσμωτήριον οἰκῆσαι, πολλῷ χαλεπώτερον τὸ δεδουλῶσθαι τὸν νοῦν τῷ νοσήματι τούτῳ. καὶ τὸ μὲν οὐ πάντως συμβαίνει, τὸ δὲ ἐφεξῆς συγκεκλήρωται τῇ τῶν χρημάτων ἐπιθυμίᾳ. διόπερ αὐτὸ μετ' ἐκεῖνο τίθησιν, ἅτε χαλεπώτερον ὂν, καὶ πάντως συμβαῖνον. ὁ γὰρ Θεὸς, φησιν, ἔδωκεν ἡμῖν νοῦν, ἵνα τὴν ἄγνοιαν διασκεδάσωμεν, καὶ τὴν τῶν πραγμάτων κρίσιν ὀρθὴν ἔχωμεν, καὶ πρὸς τὰ λυποῦντα πάντα καὶ ἐπιβλαβῆ, τούτῳ ὥσπερ ὅπλῳ τινὶ καὶ φωτὶ χρώμενοι, μένωμεν ἐν ἀσφαλείᾳ· ἡμεῖς δὲ προδίδομεν τὴν δωρεὰν διὰ τὰ περιττὰ καὶ ἀνόητα. τί γὰρ ὄφελος στρατιωτῶν χρυσοφορούντων, ὅταν ὁ στρατηγὸς αἰχμάλωτος γένηται; τί δὲ κέρδος νηὸς καλλωπιζομένης, ὅταν ὁ κυβερνήτης ὑποβρύχιος γένηται; τί δὲ σώματος εὖ συγκειμένου πλέον, ὅταν οἱ ὀφθαλμοὶ τῆς ὄψεως ὦσιν ἐκκεκομμένοι; ὥσπερ οὖν τὸν ἰατρὸν τὸν ὀφείλοντα ὑγιαίνειν, ἵνα λύῃ τὰς νόσους, ἄν τις ἐμβαλὼν εἰς νόσον, εἰς ἀργυρᾶν κελεύσῃ κεῖσθαι κλίνην καὶ χρυσοῦν θάλαμον, οὐδὲν ὄφελος ἔσται τοῖς κάμνουσιν· οὕτως ἂν τὸν νοῦν διαφθείρας τὸν δυνάμενον λύειν τὰ πάθη, θησαυρῷ παρακαθίσῃς, οὐ μόνον οὐδὲν ὤνησας, ἀλλὰ καὶ τὰ μέγιστα ἐζημίωσας καὶ πᾶσαν ἔβλαψας τὴν ψυχήν. Εἶδες πῶς δι' ὧν μάλιστα ἐπιθυμοῦσιν ἄνθρωποι τῆς πονηρίας πανταχοῦ, διὰ τούτων αὐτοὺς μάλιστα ἐκείνης ἀπάγει, καὶ πρὸς ἀρετὴν ἐπανάγει; τίνος γὰρ ἕνεκεν ἐπιθυμεῖς χρημάτων, φησίν; οὐχ ἵνα ἡδονῆς ἀπολαύσῃς καὶ τρυφῆς; τοῦτο μὲν οὖν μάλιστα οὐκ ἔσται σοι ἐντεῦθεν, ἀλλὰ τοὐναντίον ἅπαν. Εἰ γὰρ ὀφθαλμῶν ἐκκοπέντων οὐδενὸς αἰσθανόμεθα τῶν ἡδέων διὰ τὴν συμφορὰν τὴν ἐκεῖθεν· πολλῷ μᾶλλον ἐν τῇ τοῦ νοῦ διαστροφῇ καὶ πηρώσει τοῦτο πεισόμεθα. τίνος δὲ ἕνεκεν κατορύττεις ἐν τῇ γῇ; ἵνα φυλάττηται μετὰ ἀσφαλείας; ἀλλὰ κἀνταῦθα πάλιν τοὐναντίον, φησίν. ὥσπερ οὖν τὸν νηστεύοντα καὶ ἐλεοῦντα καὶ προσευχόμενον πρὸς κενοδοξίαν, ἀφ' ὧν ἐπιθυμεῖ μάλιστα, ἀπὸ τούτων αὐτὸν ἐπεσπάσατο εἰς τὸ μὴ κενοδοξεῖν (τίνος γὰρ ἕνεκεν οὕτως εὔχῃ καὶ ἐλεεῖς, φησιν; οὐχὶ τῆς παρὰ τῶν ἀνθρώπων δόξης ἐρῶν; οὐκοῦν μὴ οὕτως εὔχου, φησὶ, καὶ τότε αὐτῆς τεύξῃ κατὰ τὴν ἡμέραν τὴν μέλλουσαν) οὕτω καὶ τὸν φιλάργυρον,

ἀφ' ὧν μάλιστα ἐσπούδακεν, ἀπὸ τούτων εἷλε. τί γὰρ βούλει, φησί; τὰ χρήματά σοι φυλάττεσθαι; οὐ διὰ τὸ τρυφᾶν καὶ δοξάζεσθαι καὶ ἡδονῆς ἀπολαύειν; ταῦτά σοι ἀμφότερα παρέξομεν μετὰ πολλῆς τῆς περιουσίας, ἐὰν ἐκεῖ καταθῇς τὸ χρυσίον, ὅπου κελεύω. σαφέστερον μὲν οὖν ἐν τοῖς μετὰ ταῦτα τὴν τοῦ νοῦ βλάβην τὴν "ἐντεῦθεν γινομένην ἐπέδειξεν, ὅτε τῶν ἀκανθῶν ἐμνημόνευσε· τέως δὲ καὶ ἐνταῦθα οὐχ ὡς ἔτυχε τοῦτο ᾐνίξατο, δείξας "ἐσκοτωμένον τὸν περὶ ταῦτα μεμηνότα. καὶ καθάπερ οἱ ὄντες ἐν σκότῳ οὐδὲν ὁρῶσι σαφές, ἀλλ' ἄν τε σχοινίον ἴδωσιν, ὄφιν εἶναι νομίζουσιν, ἄν τε ὄρη καὶ φάραγγας, ἀποτεθνήκασι τῷ δέει· οὕτω καὶ "οὗτοι, τὰ μὴ φοβερὰ τοῖς ὁρῶσι, ταῦτα δι' ὑποψίας ἔχουσι. καὶ γὰρ πενίαν τρέμουσι· μᾶλλον δὲ οὐχὶ πενίαν μόνον, ἀλλὰ καὶ τὴν τυχοῦσαν ζημίαν. καὶ γὰρ ἂν μικρόν τι παραπολέσωσι, τῶν τῆς ἀναγκαίας ἀπορούντων τροφῆς μᾶλλον ἀλγοῦσι καὶ διακόπτονται. πολλοὶ γοῦν τῶν πλουτούντων [τούτων] καὶ ἐπὶ βρόχον ἦλθον, τὴν τοιαύτην οὐκ ἐνεγκόντες δυσημερίαν. καὶ τὸ ὑβρίζεσθαι δὲ καὶ τὸ ἐπηρεάζεσθαι οὕτως ἀφόρητον αὐτοῖς εἶναι δοκεῖ, ὡς καὶ διὰ τοῦτο πάλιν τῆς παρούσης πολλοὺς "ἀπαλλαγῆναι ζωῆς. πρὸς γὰρ πάντα μαλακοὺς αὐτοὺς ὁ πλοῦτος ἐποίησε, πλὴν τῆς αὐτοῦ διακονίας. ὅταν γὰρ "αὐτῷ δουλεύειν κελεύῃ, καὶ φόνων κατατολμῶσι, καὶ μαστίγων καὶ ὀνειδῶν, καὶ αἰσχύνης ἁπάσης, ὅπερ τῆς ἐσχάτης ἐστὶν ἀθλιότητος, ἐν μὲν οἷς δεῖ φιλοσοφεῖν, πάντων εἶναι μαλακωτέρους· ἐν δὲ οἷς εὐλαβεστέρους εἶναι ἐχρῆν, ἀναισχυντοτέρους πάλιν καὶ ἰταμωτέρους γίνεσθαι. καὶ γὰρ τὸ αὐτὸ συμβαίνει τούτοις, οἷον ἂν εἴ τις πάθοι τὰ ὄντα πάντα ἀναλώσας εἰς τὰ μὴ δέοντα. ὁ γὰρ τοιοῦτος τοῦ καιροῦ τῆς ἀναγκαίας δαπάνης ἐπιστάντος, οὐδὲν ἔχων ἐπιδοῦναι, τὰ ἀνήκεστα πάσχει δεινά, πάντων τῶν αὐτοῦ προαναλωθέντων κακῶς. καὶ καθάπερ οἱ ἐπὶ τῆς σκηνῆς τὰς πονηρὰς τέχνας εἰδότες ἐκείνας, ἐν μὲν ταύταις πολλὰ τῶν παραδόξων καὶ ἐπικινδύνων ὑπομένουσιν, ἐν δὲ "ἑτέροις χρησίμοις καὶ ἀναγκαίοις πράγμασι πάντων εἰσὶ καταγελαστότεροι, οὕτω καὶ οὗτοι. καὶ γὰρ οἱ ἐπὶ σχοινίου τεταμένης βαδίζοντες, τοσαύτην ἀνδρείαν [ἐν ἐκείνῃ] ἐπιδεικνύμενοι, ἡνίκα ἄν τι τῶν ἀναγκαίων τόλμαν ἀπαιτῇ καὶ ἀνδρείαν, οὐδὲ ἐννοῆσαί τι δύνανται, ἢ ἀνέχονται τοιοῦτον. οὕτω δὴ καὶ οἱ πλουτοῦντες, πάντα ὑπὲρ χρημάτων τολμῶντες, ὑπὲρ τοῦ φιλοσοφεῖν οὐ μικρόν, οὐ μέγα τι τοιοῦτον ὑπομεῖναι ἀνέχονται. καὶ καθάπερ ἐκεῖνοι καὶ σφαλερὸν καὶ ἀκερδὲς πρᾶγμα μεταχειρίζουσιν· οὕτω καὶ οὗτοι κινδύνους μὲν ὑπομένουσι πολλοὺς καὶ κρημνούς, εἰς οὐδὲν δὲ χρήσιμον ἀπαντῶσι τέλος, καὶ διπλοῦν ὑπομένουσι σκότος, ἀπό τε τῆς τοῦ νοῦ διαστροφῆς πεπηρωμένοι, ἀπό τε τῆς τῶν φροντίδων ἀπάτης πολλὴν τὴν ἀχλὺν ὑπομένοντες· διόπερ οὐδὲ διαβλέψαι ῥᾳδίως δύνανται. ὁ μὲν γὰρ ἐν σκότει ὤν, μόνον [τοῦ] ἡλίου φανέντος ἀπαλλάττεται τοῦ σκότους· ὁ δὲ τὰς ὄψεις πεπηρωμένος, οὐδὲ ἡλίου φανέντος· ὃ δὴ καὶ οὗτοι πεπόνθασιν. οὐδὲ γὰρ τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος καὶ παραινοῦντος ἀκούουσιν, ἀποκλείσαντος αὐτοῖς τοὺς ὀφθαλμοὺς τοῦ πλούτου. διὸ καὶ διπλοῦν σκότος ὑπομένουσι, τὸ μὲν ἐξ "αὐτῶν, τὸ δὲ ἐκ τοῦ μὴ προσέχειν τῷ διδασκάλῳ.

ΗΘΙΚΟΝ

Προσέχωμεν τοίνυν αὐτῷ μετὰ ἀκριβείας, ἵνα ὀψὲ γοῦν ποτε ἀναβλέψωμεν. καὶ πῶς ἀναβλέψαι δυνατόν; ἐὰν μάθῃς πῶς ἐτυφλώθης. πῶς οὖν ἐτυφλώθης; ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας. καθάπερ γὰρ κόρην [ὀφθαλμοῦ] καθαρὰν χυμὸς ἐπιρρεύσας πονηρός, ὁ τῶν χρημάτων ἔρως, παχεῖαν τὴν νεφέλην ἐποίησεν· ἀλλὰ καὶ διασκεδασθῆναι καὶ "ῥαγῆναι τὴν νεφέλην ταύτην ῥᾴδιον, ἐὰν τὴν ἀκτῖνα τῆς τοῦ Χριστοῦ δεξώμεθα διδασκαλίας· ἂν ἀκούσωμεν αὐτοῦ παραινοῦντος καὶ λέγοντος, μὴ θησαυρίζητε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς. καὶ τί μοι, φησί, πλέον ἀπὸ τῆς ἀκροάσεως, ὅταν ὑπὸ τῆς ἐπιθυμίας κατέχωμαι; μάλιστα μὲν οὖν καὶ τὴν ἐπιθυμίαν ἡ συνεχὴς ἀκρόασις καταλῦσαι δυνήσεται. ἂν δ' ἄρα ἐπιμείνῃς κατεχόμενος, ἐννόησον ὅτι οὐδὲ ἐπιθυμία τὸ πρᾶγμά ἐστι. ποία γὰρ ἐπιθυμία, χαλεπῶς δουλεύειν καὶ ὑποκεῖσθαι τυραννίδι, καὶ δεδέσθαι πανταχόθεν, καὶ ἐν σκότῳ διατρίβειν, καὶ θορύβου γέμειν, καὶ πόνους ὑπομένειν ἀκερδεῖς, καὶ ἑτέροις φυλάττειν τὰ χρήματα, πολλάκις δὲ καὶ ἐχθροῖς; ποίας ταῦτα ἐπιθυμίας ἄξια; ποίας δὲ οὐ φυγῆς καὶ δρόμων; ποία ἐπιθυμία θησαυρὸν ἀποτίθεσθαι μεταξὺ κλεπτῶν; εἰ γὰρ ὅλως ἐπιθυμεῖς χρημάτων, μετάθες ἔνθα δύναται μένειν ἀσφαλῆ καὶ ἀνεπηρέαστα. ὡς ἅ γε νῦν ποιεῖς, οὐ χρημάτων ἐπιθυμοῦντός ἐστιν, ἀλλὰ δουλείας, καὶ ἐπηρείας, καὶ ζημίας, καὶ ὀδύνης διηνεκοῦς. σὺ δὲ ἂν μέν τις ἀνθρώπων ἐπὶ τῆς γῆς τόπον ἀνεπηρέαστόν [σοι] δείξῃ, κἂν εἰς αὐτὴν ἐξαγάγῃ τὴν ἔρημον, ὑπισχνούμενος ἀσφάλειαν τῇ φυλακῇ τῶν χρημάτων, οὐ κατοκνεῖς οὐδὲ ἀναδύῃ, ἀλλὰ καὶ ἐμπιστεύεις καὶ ″ἐκβάλλεις ἐκεῖ τὰ χρήματα· τοῦ Θεοῦ δὲ ἀντὶ ἀνθρώπων ὑπισχνουμένου σοι τοῦτο, καὶ οὐχὶ τὴν ἔρημον, ἀλλὰ τὸν οὐρανὸν προτιθέντος, τὰ ἐναντία καταδέχῃ. καίτοιγε κἂν μυριάκις ἐν ἀσφαλείᾳ ″κεῖται κάτω, τῆς φροντίδος οὐδέποτε ἐλεύθερος γενήσεσθαι δυνήσῃ. κἂν γὰρ μὴ ἀπολέσῃς, τοῦ φροντίζειν οὐδέποτε ἀπαλλαγήσῃ. ἐκεῖ δὲ οὐδὲν ὑποστήσῃ τούτων. καὶ τὸ δὴ πλέον, ὅτι οὐ κατορύττεις τὸ χρυσίον μόνον, ἀλλὰ καὶ φυτεύεις. τὸ γὰρ αὐτὸ καὶ θησαυρός ἐστι καὶ σπόρος· μᾶλλον δὲ ἑκατέρων τούτων πλέον. ὁ μὲν γὰρ σπόρος οὐ μένει διαπαντός, τοῦτο δὲ μένει διηνεκῶς. πάλιν ὁ θησαυρὸς οὐ βλαστάνει, τοῦτο δὲ ἀθανάτους σοι φέρει καρπούς. εἰ δὲ τὸν χρόνον μοι λέγεις καὶ τὴν ἀναβολὴν τῆς ἀποδόσεως, ἔχω μὲν καὶ ἐγὼ δεῖξαι καὶ εἰπεῖν, ὅσα καὶ ἐνταῦθα ἀπολαμβάνεις· χωρὶς δὲ τούτων, καὶ ἀπ' αὐτῶν τῶν βιωτικῶν σε ἐλέγξαι πειράσομαι μάτην ταῦτα προφασιζόμενον. πολλὰ γὰρ καὶ ἐν τῷ παρόντι βίῳ κατασκευάζεις, ὧν οὐ μέλλεις αὐτὸς ἀπολαύειν· κἂν ἐγκαλῇ τις, τοὺς παῖδας καὶ τοὺς ἐκείνων παῖδας προβαλλόμενος, ἱκανὴν δοκεῖς παραμυθίαν τῶν περιττῶν εὑρηκέναι πόνων. ὅταν γὰρ ἐν ἐσχάτῳ γήρᾳ γενόμενος οἰκοδομῇς λαμπρὰς οἰκίας, ὧν πρὸ τοῦ τέλους ἀπελεύσῃ πολλάκις, καὶ δένδρα φυτεύῃς, ἃ μετὰ πολλὰ ἔτη τὸν καρπὸν οἴσει· ὅταν φυτεύῃς ἐν χωρίῳ δένδρα, ὧν μετὰ μυρία ἔτη ὁ καρπὸς ἥξει, καὶ οὐσίας ἀγοράζῃς καὶ κλήρους, ὧν μετὰ πολὺν δέξῃ χρόνον τὴν δεσποτείαν, καὶ ἕτερα πολλὰ τοιαῦτα φιλοπονῇς, ὧν οὐ καρπώσῃ τὴν ἀπόλαυσιν, ἆρα διὰ σεαυτόν, ἢ διὰ τοὺς μετὰ ταῦτα ποιεῖς; πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, ἐνταῦθα μὲν μηδὲν ἀλύειν πρὸς τὴν τοῦ χρόνου μέλλησιν, καὶ ταῦτα ″μέλλοντας ἐκ τῆς μελλήσεως ταύτης, ἁπάσης τῶν πόνων ἐκπίπτειν τῆς ἀμοιβῆς· ἐκεῖ δὲ διὰ τὴν ἀναβολὴν ναρκᾶν, καὶ ταῦτα πλέον σοι φερούσης τὸ κέρδος, καὶ οὐκ εἰς ἑτέρους παραπεμπούσης τὰ ἀγαθά, ἀλλά σοι κομιζούσης τὰς δωρεάς; χωρὶς δὲ τούτων οὐδὲ ἡ ἀναβολὴ πολλή. καὶ γὰρ ἐπὶ θύραις τὰ πράγματα, καὶ οὐκ ἴσμεν μή ποτε καὶ ἐν τῇ ἡμετέρᾳ γενεᾷ τέλος ἕξει τὰ καθ' ἡμᾶς ἅπαντα, καὶ ἡ φοβερὰ παραγένηται) ἡμέρα ἐκείνη, τὸ φρικῶδες ἡμῖν ἐνδεικνυμένη καὶ ἀδέκαστον ″δικαστήριον. καὶ γὰρ τὰ πλείονα τῶν σημείων ἀπήρτισται, καὶ τὸ εὐαγγέλιον λοιπὸν πανταχοῦ τῆς οἰκουμένης κεκήρυκται, καὶ τὰ τῶν πολέμων, καὶ τὰ τῶν σεισμῶν, καὶ τὰ τῶν λιμῶν ἐξέβη, καὶ οὐ πολὺ τὸ μέσον. ἀλλ' οὐχ ὁρᾷς τὰ σημεῖα; καὶ τοῦτο αὐτὸ μέγιστον σημεῖον. οὐδὲ γὰρ οἱ ἐπὶ Νῶε εἶδον προοίμια τῆς πανωλεθρίας ἐκείνης, ἀλλὰ μεταξὺ παίζοντες, ἐσθίοντες, γαμοῦντες, τὰ συνήθη πράττοντες ἅπαντα, οὕτω κατελήφθησαν ὑπὸ τῆς φοβερᾶς δίκης ἐκείνης· καὶ οἱ ἐν Σοδόμοις δὲ ὁμοίως, τρυφῶντες καὶ οὐδὲν ὑφορώμενοι τῶν γενησομένων, ὑπὸ τῶν κεραυνῶν κατεφλέχθησαν τῶν τότε κατενεχθέντων. ἅπερ οὖν ἅπαντα ἐννοοῦντες, ἐπιστρέψωμεν ἑαυτοὺς πρὸς τὴν τῆς ἐντεῦθεν ἀποδημίας παρασκευήν. κἂν γὰρ ἡ κοινὴ τῆς συντελείας ἡμέρα ″μηδέπω ἐπιστῇ, τὸ ἑκάστου τέλος ἐπὶ θύραις, κἂν γεγηρακώς τις ᾖ, κἂν νέος· καὶ οὐκ ἔστιν ἐντεῦθεν ἀπελθόντας οὔτε ἔλαιον πρίασθαι λοιπόν, οὔτε δεηθέντας ἐπιτυχεῖν συγγνώμης, κἂν Ἀβραὰμ ὁ ″παρακαλῶν ᾖ, κἂν Νῶε, κἂν ″Ἰώβ, κἂν Δανιήλ. ἕως οὖν καιρὸν ἔχομεν, προαποθώμεθα ἑαυτοῖς πολλὴν τὴν παρρησίαν, συναγάγωμεν ἔλαιον δαψιλές, μεταθῶμεν ἅπαντα εἰς τὸν οὐρανόν· ἵνα ἐν καιρῷ τῷ προσήκοντι καὶ ″ᾧ μάλιστα αὐτῶν δεόμεθα, πάντων ἀπολαύσωμεν· χάριτι καὶ φιλαν-

θρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κα.

24 ΟΥΔΕΙΣ ΔΥΝΑΤΑΙ ΔΥΣΙ ΚΥΡΙΟΙΣ δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.

Ὁρᾷς πῶς κατὰ μικρὸν τῶν ὄντων ἀφίστησι, καὶ διὰ πλειόνων τὸν περὶ τῆς ἀκτημοσύνης εἰσάγει λόγον, καὶ τὴν τῆς φιλαργυρίας ″ καταστέλλει τυραννίδα; οὐδὲ γὰρ ἠρκέσθη τοῖς ἔμπροσθεν, καίτοι πολλοῖς καὶ μεγάλοις οὖσιν· ἀλλὰ καὶ ἕτερα προστίθησι πλείονα καὶ φοβερώτερα. τί γὰρ τῶν νῦν εἰρημένων φοβερώτερον, εἴγε μέλλοιμεν τῆς τοῦ Χριστοῦ δουλείας ἐκπίπτειν διὰ τὰ χρήματα; τί δὲ ποθεινότερον, εἴγε μέλλοιμεν αὐτῶν ὑπεριδόντες ἀκριβῆ τὴν πρὸς αὐτὸν εὔνοιαν ἔχειν καὶ τὴν ἀγάπην; ὅπερ γὰρ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι δι' ἑκατέρων ὠθεῖ τὸν ἀκροατὴν εἰς τὴν ὑπακοὴν τῶν λεγομένων, καὶ διὰ τῶν ὠφελίμων καὶ διὰ τῶν βλαβερῶν· καθάπερ ἰατρὸς ἄριστος, καὶ τὴν ἐκ τῆς ἀπροσεξίας νόσον, καὶ τὴν ἀπὸ τῆς ὑπακοῆς ὑγείαν ἐνδεικνύμενος. ὅρα γοῦν πῶς πάλιν δείκνυσι τὸ κέρδος τοῦτο, καὶ πῶς κατασκευάζει τὸ συμφέρον ἀπὸ τῆς τῶν ἐναντίων ἀπαλλαγῆς. οὐ γὰρ τοῦτο μόνον ὑμᾶς βλάπτει, φησὶν, ὁ πλοῦτος, ὅτι λῃστὰς ὁπλίζει καθ' ὑμῶν· οὐδ' ὅτι τὸν νοῦν σκοτοῖ μετ' ἐπιτάσεως ἁπάσης· ἀλλ' ὅτι καὶ τῆς δουλείας ὑμᾶς ἐκβάλλει τοῦ Θεοῦ, αἰχμαλώτους τῶν ἀψύχων χρημάτων ποιῶν, καὶ ἑκατέρωθεν βλάπτων, καὶ τῷ δούλους ποιεῖν ὧν κρατεῖν ἔδει, καὶ τῷ τῆς δουλείας ἐκβάλλειν τοῦ Θεοῦ, ᾧ μάλιστα πάντων δουλεύειν ἀναγκαῖον ὑμῖν. ὥσπερ γὰρ ἐκεῖ διπλῆν ἔδειξε τὴν βλάβην, τῷ καὶ ἐνταῦθα τιθέναι, ὅπου σὴς ἀφανίζει, καὶ ἐκεῖ μὴ τιθέναι, ἔνθα ἀνάλωτος ἡ φυλακή· οὕτω καὶ ἐνταῦθα διπλῆν δείκνυσι τὴν ζημίαν, καὶ δι' ὧν ἀφέλκει τοῦ Θεοῦ, καὶ δι' ὧν ὑποτάττει τῷ μαμωνᾷ. ἀλλ' οὐκ εὐθέως αὐτὸ τίθησιν, ἀλλ' ἀπὸ κοινῶν αὐτὸ πρότερον κατασκευάζει λογισμῶν, οὕτω λέγων· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, δύο τοὺς τὰ ἐναντία ἐπιτάττοντας λέγων ἐνταῦθα. ἐπεὶ, εἰ μὴ τοῦτο ″ εἴη, οὐδὲ δύο ἂν εἶεν. Καὶ γὰρ τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καίτοι εἰς πολλὰ σώματα ἦσαν διῃρημένοι, ἀλλ' ὅμως ἡ ὁμόνοια τοὺς πολλοὺς ἓν ἐποίησεν. Εἶτα ἐπιτείνων ″ αὐτό, φησιν· οὐ μόνον οὐ ″ δουλεύσει, ἀλλὰ καὶ μισήσει καὶ ἀποστραφήσεται. ἢ γὰρ τὸν ἕνα μισήσει, φησί, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. καὶ δοκεῖ μὲν δεύτερον εἰρῆσθαι τὸ αὐτό· οὐ μὴν ἁπλῶς οὕτως αὐτὸ συνέθηκεν, ἀλλ' ἵνα δείξῃ ῥᾳδίαν οὖσαν τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. ἵνα γὰρ μὴ λέγῃς, ἐδουλώθην ἅπαξ, ἐτυραννήθην ὑπὸ τῶν χρημάτων, δείκνυσιν ὅτι δυνατὸν μεταθέσθαι, καὶ ὥσπερ ἐκεῖθεν ἐπὶ τοῦτο, οὕτω καὶ ἐντεῦθεν ἐπ' ἐκεῖνο ἐλθεῖν. Εἰπὼν τοίνυν ″ ἀδιορίστως, ἵνα πείσῃ τὸν ἀκροατὴν ἀδέκαστον κριτὴν γενέσθαι τῶν λεγομένων, καὶ ἀπ' αὐτῆς τῶν πραγμάτων τῆς φύσεως τὴν ψῆφον ἐξενεγκεῖν, ὅτε ἔλαβεν αὐτὸν συμφωνοῦντα, τότε καὶ ἑαυτὸν ἀποκαλύπτει. ἐπήγαγε γοῦν·

Πραξ. δ. λβ.

χ. καταβάλ-
λει ἐλ...
βάλλει

χ. ἦν,

χ. αὐτό,
χ. δουλ...

χ. ἀορίσ...

Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ ″ μαμωνᾷ.

Φρίξωμεν ″ ἐννοήσαντες τί παρεσκευάσαμεν τὸν Χριστὸν εἰπεῖν, καὶ μετὰ Θεοῦ θεῖναι τὸν χρυσόν. εἰ δὲ τοῦτο φρικτὸν, τὸ διὰ τῶν ἔργων γίνεσθαι καὶ προτιμᾶσθαι τοῦ φόβου τοῦ Θεοῦ τὴν τοῦ χρυσοῦ τυραννίδα πολλῷ φρικωδέστερον. τί οὖν; ἐπὶ τῶν παλαιῶν οὐκ ἦν τοῦτο δυνατόν; οὐδαμῶς. πῶς οὖν ὁ Ἀβραάμ, φησι, πῶς ὁ Ἰὼβ εὐδοκίμησε; μή μοι τοὺς πλουτοῦντας εἴπῃς, ἀλλὰ τοὺς δουλεύοντας. ἐπεὶ καὶ ὁ Ἰὼβ πλούσιος ἦν· ἀλλ' οὐκ ἐδούλευε τῷ μαμωνᾷ,

χ. μαμων...
χ. ἐννοή...

μωνᾷ, ἀλλ' εἶχεν αὐτὸν καὶ ἐκράτει, καὶ δεσπότης, οὐ δοῦλος, ἦν. ὥσπερ οὖν ἀλλοτρίων οἰκονόμος ὢν χρημάτων, οὕτω πάντα ἐκεῖνα ἐκέκτητο· οὐ μόνον τὰ ἑτέρων οὐχ ἁρπάζων, ἀλλὰ καὶ τὰ ἴδια περιϊέμενος τοῖς δεομένοις· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ παροῦσιν ἔχαιρεν. ὃ καὶ ἐδήλου λέγων· Εἰ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου. διὰ τοῦτο οὐδὲ ἤλγησεν ἀπελθόντος. ἀλλ' οὐχὶ νῦν τοιοῦτοι οἱ πλουτοῦντές εἰσιν, ἀλλὰ καὶ παντὸς ἀνδραπόδου χεῖρον διακείμενοι, καθάπερ τυράννῳ τινὶ χαλεπῷ φόρους ἄγοντες. ὥσπερ γὰρ ἀκρόπολίν τινα αὐτῶν καταλαβὼν τὴν διάνοιαν ὁ τῶν χρημάτων ἔρως, τὰ πάσης παρανομίας γέμοντα ἐπιτάγματα ἐκεῖθεν αὐτοῖς καθ' ἑκάστην πέμπει ποιεῖν τὴν ἡμέραν, καὶ ὁ παρακούων οὐδείς. μὴ τοίνυν περιττὰ φιλοσόφει. καὶ γὰρ ἀπεφήνατο ἅπαξ ὁ Θεός, καὶ εἶπεν ἀδύνατον εἶναι ταύτην κἀκείνην συμβῆναι τὴν δουλείαν. μὴ τοίνυν σὺ λέγε, ὅτι δυνατόν. ὅταν γὰρ ὁ μὲν ἁρπάζειν κελεύῃ, ὁ δὲ τὰ ὄντα ἀποδύεσθαι· ὁ μὲν σωφρονεῖν, ὁ δὲ πορνεύειν· ὁ μὲν μεθύειν καὶ τρυφᾶν, ὁ δὲ γαστρὸς κατέχειν· καὶ ὁ μὲν ὑπερορᾶν τῶν ὄντων, ὁ δὲ προσηλῶσθαι τοῖς παροῦσιν· ὁ μὲν θαυμάζειν μάρμαρα καὶ τοίχους καὶ ὀρόφους, ὁ δὲ ταῦτα ἀτιμάζειν, τιμᾶν δὲ φιλοσοφίαν, πῶς δυνατὸν ταῦτα συμβῆναι; κύριον δὲ ἐνταῦθα τὸν μαμωνᾶν ἐκάλεσεν, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ διὰ τὴν τῶν ὑποκλινομένων αὐτῷ ταλαιπωρίαν. οὕτω καὶ τὴν κοιλίαν Θεὸν καλεῖ, οὐκ ἀπὸ τοῦ τῆς δεσποίνης ἀξιώματος, ἀλλ' ἀπὸ τῆς τῶν δουλευόντων ἀθλιότητος· ὃ πάσης κολάσεως χεῖρόν ἐστι, καὶ πρὸ τῆς κολάσεως ἱκανὸν τιμωρήσασθαι τὸν ἁλόντα. ποίων γὰρ καταδίκων οὐκ ἂν εἶεν ἀθλιώτεροι, οἱ τὸν Θεὸν δεσπότην ἔχοντες, καὶ ἀπὸ τῆς ἡμέρου βασιλείας ἐκείνης ἐπὶ τὴν χαλεπὴν αὐτομολοῦντες τυραννίδα, καὶ ταῦτα τοσαύτης ἀπὸ τοῦ πράγματος βλάβης καὶ ἐνταῦθα γινομένης; καὶ γὰρ ζημία ἄφατος ἀπὸ τοῦ πράγματος, καὶ δίκαι, καὶ ἐπήρειαι, καὶ ἀγῶνες, καὶ πόνοι, καὶ ψυχῆς πήρωσις, καὶ τὸ πάντων χαλεπώτερον, ὅτι τῶν ἀγαθῶν ″ἐκπίπτειν ποιεῖ τῶν ἀνωτάτω ἡ τοῦ μαμωνᾶ δουλεία. δείξας τοίνυν διὰ πάντων τὸ συμφέρον τῆς τῶν ″χρημάτων ὑπεροψίας καὶ πρὸς αὐτὴν τῶν χρημάτων τὴν φυλακήν, καὶ πρὸς τὴν τῆς ψυχῆς ἡδονήν, καὶ πρὸς τὴν τῆς φιλοσοφίας κτῆσιν, καὶ πρὸς τὴν τῆς εὐσεβείας ἀσφάλειαν, κατασκευάζει λοιπὸν ὅτι καὶ δυνατὴ αὕτη ἡ παραίνεσις. τοῦτο γὰρ μάλιστα νομοθεσίας ἀρίστης, τὸ μὴ τὰ συμφέροντα μόνον ἐπιτάττειν, ἀλλὰ καὶ δυνατὰ αὐτὰ ποιεῖν. διὰ τοῦτο καὶ ἐπάγει λέγων·

ἐκπίπτει τῶν
τάτω, ὁ γὰρ
ἡ τοῦ Θεοῦ
λεία. δι-
ξας τοίνυν
χρησίμων

25 Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε.

Ἵνα γὰρ μὴ λέγωσι, τί οὖν; ἂν πάντα ῥίψωμεν, πῶς δυνησόμεθα ζῆσαι; πρὸς ταύτην λοιπὸν ἵσταται τὴν ἀντίθεσιν σφόδρα εὐκαίρως. ὥσπερ γὰρ εἰ παρὰ τὴν ἀρχὴν εἶπε, μὴ μεριμνήσητε, ἐδόκει βαρὺς εἶναι ὁ λόγος· οὕτως, ἐπειδὴ ἔδειξε τὴν λύμην τὴν ἐγγινομένην ἀπὸ τῆς φιλαργυρίας, εὐπαράδεκτον λοιπὸν ποιεῖ τὴν παραίνεσιν. διόπερ οὐδὲ νῦν ἁπλῶς εἶπε, μὴ μεριμνήσητε, ἀλλὰ τὴν αἰτίαν προσθείς, οὕτω τοῦτο ἐπέταξε. μετὰ γὰρ τὸ εἰπεῖν, οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, ἐπήγαγε· διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσητε. τούτου, ποίου; τοῦ τῆς ζημίας ἀφάτου. οὐδὲ γὰρ ἐν χρήμασι μόνον ὑμῖν ἡ βλάβη, ἀλλὰ καὶ ἐν τοῖς καιριωτάτοις ἡ πληγή, καὶ τῇ τῆς σωτηρίας ὑμῶν ἀνατροπῇ. τοῦ γὰρ ποιήσαντος ὑμᾶς καὶ κηδομένου καὶ φιλοῦντος ἐκβάλλει Θεοῦ. διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσητε. ἐπειδὴ γὰρ τὴν βλάβην ἔδειξεν ἄφατον, ἐπιτείνει λοιπὸν τὸ ἐπίταγμα. οὐδὲ γὰρ τὰ ὄντα κελεύει ῥίπτειν μόνον, ἀλλὰ μηδὲ ὑπὲρ τῆς ἀναγκαίας μεριμνᾶν τροφῆς, λέγων· μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε. οὐκ ἐπειδὴ ἡ ψυχὴ τροφῆς δεῖται (ἀσώματος γάρ) ἀλλὰ κατὰ τὴν κοινὴν ἐφθέγξατο συνήθειαν. εἰ γὰρ καὶ μὴ δεῖται τροφῆς, ἄλλως οὐκ ἂν ἀνάσχοιτο μένειν ἐν τῷ σώματι, ἀλλ' ἢ τρεφομένου αὐτοῦ. καὶ τοῦτο εἰπών, οὐχ ἁπλῶς αὐτὸ τίθησιν, ἀλλὰ καὶ ἐνταῦθα λογισμοὺς ἀνακινεῖ· τοὺς μὲν ἐκ τῶν ὑπηργμένων ἡμῖν ἤδη, τοὺς δὲ ἐξ ἑτέρων παραδειγμάτων. ἀπὸ μὲν τῶν ὑπηργμένων, οὕτω λέγων·

Ἰὼβ λα.

Οὐχὶ πλεῖόν ἐστιν ἡ ψυχὴ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

Ὁ τοίνυν τὸ μεῖζον δοὺς, πῶς τὸ ἔλαττον οὐ δώσει; ὁ τὴν τρεφομένην σάρκα διαπλάσας, πῶς τὴν τροφὴν οὐ παρέξει; διόπερ οὐδὲ ἁπλῶς εἶπε, μὴ μεριμνήσητε τί φάγητε καὶ τί ἐνδύσησθε, ἀλλὰ τῷ σώματι καὶ τῇ ψυχῇ· ἐπειδὴ ἀπ' αὐτῶν ἔμελλε τὰς ἀποδείξεις ποιεῖσθαι, κατὰ σύγκρισιν τὸν λόγον προάγων. ἀλλὰ τὴν μὲν ψυχὴν ἅπαξ ἔδωκε, καὶ μένει τοιαύτη· τὸ δὲ σῶμα καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. ἅπερ οὖν ἀμφότερα ἐνδεικνύμενος, καὶ τῆς μὲν τὸ ἀθάνατον, τοῦ δὲ τὸ ἐπίκηρον, ἐπήγαγε λέγων· τίς δύναται ἐξ ὑμῶν προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; καὶ τὴν ψυχὴν σιγήσας, ἅτε οὐ λαμβάνουσαν ἐπίδοσιν, περὶ τοῦ σώματος διελέχθη μόνου· ἀπὸ τούτου κἀκεῖνο δηλῶν, ὅτι οὐχ ἡ τροφὴ αὐτὸ αὔξει, ἀλλ' ἡ τοῦ Θεοῦ
α. Κορ. γ. ζ. πρόνοια. ὃ καὶ δι' ἄλλων ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὥστε οὔτε ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι, ἀλλ' ὁ αὐξάνων Θεός. ἀπὸ μὲν οὖν τῶν ὑπηργμένων οὕτω προέτρεψεν· ἀπὸ δὲ ἑτέρων παραδειγμάτων,

26 Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, λέγων. Ἵνα γὰρ μή τις λέγῃ ὅτι ὠφελούμεθα μεριμνῶντες, καὶ ἀπὸ τοῦ μείζονος καὶ ἀπὸ τοῦ ἐλάττονος αὐτοὺς ἀποτρέπει· τοῦ μείζονος μὲν, τῆς ψυχῆς καὶ τοῦ σώματος· τοῦ ἐλάττονος δὲ, τῶν πετεινῶν. εἰ γὰρ τῶν σφόδρα καταδεεστέρων τοσοῦτος λόγος αὐτῷ, πῶς ὑμῖν οὐ δώσει, φησί; καὶ πρὸς μὲν τούτους οὕτως (ὄχλος γὰρ ἦν τέως δημώδης) τῷ διαβόλῳ δὲ οὐχ οὕτως, ἀλλὰ πῶς; οὐκ ἐπ' ἄρτῳ μόνον ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. ἐνταῦθα δὲ τῶν ὀρνίθων μέμνηται, καὶ σφόδρα ἐντρεπτικῶς· ὅπερ μεγίστην εἰς παραινέσεως λόγον ἔχει τὴν ἰσχύν. ἀλλὰ γὰρ εἰς τοσοῦτον ἀνοίας ἦλθόν τινες τῶν ἀσεβῶν, ὡς καὶ ἐπιλαβέσθαι τοῦ παραδείγματος. οὐ γὰρ ἔδει, φησὶ, προαίρεσιν ἀλείφοντα, ἀπὸ φυσικῶν πλεονεκτημάτων εἰς τοῦτο ἐνάγειν. ἐκείνοις γὰρ τοῦτο κατὰ φύσιν πρόσεστι, φησί. τί οὖν πρὸς τοῦτο ἂν εἴποιμεν; ὅτι εἰ καὶ κατὰ φύσιν ἐκείνοις πρόσεστιν, ἀλλὰ δυνατὸν καὶ ἡμῖν ἐκ προαιρέσεως προσγενέσθαι τοῦτο. οὐδὲ γὰρ εἶπεν, ὅτι ἐμβλέψατε ὅτι πέτεται τὰ πετεινὰ, ὅπερ ἀδύνατον ἦν ἀνθρώπῳ· ἀλλ' ὅτι τρέφεται χωρὶς μερίμνης, ὅπερ, ἂν θέλωμεν, καὶ ἡμῖν εὔκολον κατορθωθῆναι. καὶ τοῦτο ἔδειξαν οἱ διὰ τῶν ἔργων αὐτὸ ἀνύσαντες. διὸ δὴ ἄξιον μάλιστα θαυμάσαι τὴν τοῦ νομοθέτου σύνεσιν, ὅτι ἐξ ἀνθρώπων ἔχων τὸ ὑπόδειγμα παραγαγεῖν, καὶ δυνάμενος εἰπεῖν τὸν Ἠλίαν καὶ τὸν Μωϋσέα καὶ τὸν Ἰωάννην καὶ ἑτέρους τοιούτους μὴ μεριμνήσαντας, ἵνα αὐτῶν καθάψηται μᾶλλον, τῶν ἀλόγων ἐμνημόνευσεν. εἰ μὲν γὰρ εἶπε τοὺς δικαίους ἐκείνους, εἶχον οὗτοι λέγειν, ὅτι οὐδέπω κατ' ἐκείνους γεγόναμεν. νυνὶ δὲ σιγήσας αὐτοὺς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ παραγαγὼν, πᾶσαν αὐτῶν ἐξέκοψε πρόφασιν, καὶ ἐνταῦθα παλαιὸν μιμούμενος νόμον. καὶ γὰρ ἡ παλαιὰ διαθήκη καὶ πρὸς τὴν μέλισσαν πέμπει, καὶ πρὸς τὸν μύρμηκα, καὶ πρὸς τὴν τρυγόνα, καὶ πρὸς τὴν χελιδόνα. οὐ μικρὸν δὲ καὶ τοῦτο δεῖγμα τιμῆς, ὅταν ἅπερ ἐκεῖνα ἀπὸ φύσεως ἔχῃ, ταῦτα δυνώμεθα ἡμεῖς κατορθοῦν τῇ προαιρέσει. εἰ τοίνυν τῶν δι' ἡμᾶς τοσαύτην ποιεῖται πρόνοιαν, πολλῷ μᾶλλον ἡμῶν· εἰ τῶν δούλων, πολλῷ μᾶλλον τοῦ δεσπότου. διὰ τοῦτο ἔλεγεν, ἐμβλέψατε εἰς τὰ πετεινά. καὶ οὐκ εἶπεν, ὅτι οὐ καπηλεύουσιν, οὐδὲ ἐμπορεύονται (ταῦτα γὰρ τῶν σφόδρα ἀπειρημένων ἦν)

Ἀλλ' ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι. γρ. ἀλλὰ Τί οὖν; οὐ δεῖ σπείρειν, φησίν; οὐκ εἶπεν, ὅτι σπείρειν οὐ δεῖ, ἀλλ' ὅτι μεριμνᾷν οὐ δεῖ· οὐδ' ὅτι ἐργάζεσθαι οὐ χρὴ, ἀλλ' ὅτι μικρόψυχον εἶναι καὶ κατατείνειν ἑαυτὸν ταῖς φροντίσιν οὐ χρή. ἐπεὶ καὶ τρέφεσθαι ἐκέλευσεν, ἀλλὰ μὴ μεριμνῶντας. τοῦτον καὶ ὁ Δαβὶδ ἄνωθεν προκαταβάλλεται τὸν λόγον αἰνιγματωδῶς
Ψαλ. ρμδ. ιζ. οὕτω λέγων· Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας. καὶ πάλιν,
Ψαλ. ρμς. ι. Τῷ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. τίνες οὖν οὐκ ἐμερίμνησαν, φησίν; οὐκ ἤκουσας πόσους παρήγαγον τῶν δικαίων;

δικαίων; οὐχ ὁρᾷς μετ' ἐκείνων τὸν Ἰακὼβ [ἀπὸ] τῆς πατρῴας οἰκίας γυμνὸν ἁπάντων ἀναχωροῦντα; οὐκ ἀκούεις αὐτοῦ εὐχομένου καὶ λέγοντος· Ἐὰν δῴη μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι; ὅπερ οὐχὶ μεριμνῶντος, ἀλλὰ παρὰ τοῦ Θεοῦ τὸ πᾶν "ζητοῦντος ἦν. τοῦτο καὶ οἱ ἀπόστολοι κατώρθωσαν, ἅπαντα ῥίψαντες καὶ μὴ μεριμνήσαντες· καὶ οἱ πεντακισχίλιοι, καὶ οἱ τρισχίλιοι. εἰ δὲ οὐκ ἀνέχῃ τοσούτων ἀκούων ῥημάτων ἀπολῦσαι σαυτὸν τῶν χαλεπῶν τούτων δεσμῶν, τὸ ἀνόνητον τοῦ πράγματος ἐννοήσας, κατάλυσον τὴν φροντίδα.

Γεν. κη. κ.

ποιοῦντο

27 Τίς γὰρ ἐξ ὑμῶν, φησι, μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Ἴδε πῶς ἀπὸ τοῦ φανεροῦ καὶ τὸ ἀφανὲς κατάδηλον ἐποίησεν. ὥσπερ γὰρ τῷ σώματι, φησιν, οὐδὲ μικρὸν προσθεῖναι δυνήσῃ μεριμνῶν· οὕτως οὐδὲ τροφὴν συναγαγεῖν, εἰ καὶ οὕτω νομίζεις. ἀπὸ τούτου δῆλον ὅτι οὐχὶ ἡ ἡμετέρα σπουδή, ἀλλ' ἡ τοῦ Θεοῦ πρόνοια καὶ ἐν οἷς δοκοῦμεν ἐνεργεῖν τὸ πᾶν ἀνύει· ὡς ἂν [εἰ] ἐκεῖνος ἡμᾶς ἐγκαταλίπῃ, οὐ φροντίς, οὐ μέριμνα, οὐ πόνος, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν φανεῖταί ποτε, ἀλλὰ πάντα οἰχήσεται.

ΗΘΙΚΟΝ

γ. Βασ. ιθ. ιη.

Ρω. ια. δ.

Μὴ τοίνυν νομίζωμεν ἀδύνατα εἶναι τὰ ἐπιτάγματα· πολλοὶ γάρ εἰσιν οἱ κατορθοῦντες αὐτὰ καὶ νῦν. εἰ δὲ ἀγνοεῖς, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ Ἠλίας ἐνόμιζεν εἶναι μόνος, ἀλλ' ἤκουσεν, Ὅτι κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας. ὅθεν δῆλον ὅτι καὶ νῦν πολλοί εἰσι τὸν ἀποστολικὸν ἐπιδεικνύμενοι βίον, καθάπερ καὶ οἱ τρισχίλιοι τότε, καὶ οἱ πεντακισχίλιοι. εἰ δὲ οὐ πιστεύομεν, οὐ παρὰ τὸ μὴ εἶναι τοὺς κατορθοῦντας, ἀλλὰ παρὰ τὸ πολὺ τοῦ πράγματος ἀπέχειν. ὥσπερ οὖν ὁ μεθύων οὐκ ἂν εὐκόλως πιστεύσειεν ὅτι ἔστιν ἄνθρωπός τις οὐδὲ ὕδατος ἀπογευόμενος, καίτοιγε καὶ τοῦτο πολλοὶ κατώρθωσαν ἐφ' ἡμῶν μοναχοί· καὶ ὁ μυρίαις γυναιξὶ μιγνύμενος, ὅτι εὔκολον παρθενεύειν· οὐδ' ὁ τὰ ἀλλότρια ἁρπάζων, ὅτι καὶ τὰ αὐτοῦ τις ῥᾳδίως προήσεται· οὕτως [οὐδὲ] οἱ καθ' ἑκάστην ἡμέραν μυρίαις φροντίσιν ἑαυτοὺς "κατατήκοντες, οὐκ εὐκόλως ἂν τοῦτο" παραδέξοιντο. ὅτι μὲν οὖν πολλοὶ οἱ τοῦτο κατωρθωκότες εἰσίν, ἀπ' αὐτῶν δυνατὸν ἡμῖν δεῖξαι τῶν ταῦτα φιλοσοφούντων καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς. ἀλλ' ὑμῖν τέως ἀρκεῖ τὸ μὴ πλεονεκτεῖν μαθεῖν, καὶ ὅτι καλὸν ἡ ἐλεημοσύνη, καὶ τὸ εἰδέναι ὅτι χρὴ τῶν ὄντων μεταδιδόναι. ταῦτα γὰρ ἂν κατορθώσῃς, ἀγαπητέ, ταχέως καὶ ἐπ' ἐκεῖνα βαδιεῖς. τέως τοίνυν τὴν πολυτέλειαν ἀποθώμεθα τὴν περιττήν, καὶ ἀνθεξώμεθα τῆς συμμετρίας, καὶ μάθωμεν ἀπὸ δικαίων πόνων κτᾶσθαι ἅπαντα, ἅπερ μέλλομεν ἔχειν. ἐπεὶ καὶ ὁ μακάριος Ἰωάννης ὅτε διελέγετο τοῖς περὶ τὴν τελωνίαν ἐσχολακόσι καὶ τοῖς στρατευομένοις, ἀρκεῖσθαι τοῖς ὀψωνίοις" ἐπέταττεν. ἐβούλετο μὲν γὰρ καὶ ἐφ' ἑτέραν μείζονα αὐτοὺς ἀγαγεῖν φιλοσοφίαν· ἐπειδὴ δὲ οὐδέπω πρὸς ταῦτα ἦσαν ἐπιτήδειοι, τὰ ἐλάττονα λέγει· ὡς εἰ τὰ ὑψηλότερα τούτων εἶπεν, οὔτ' ἂν ἐκείνοις προσέσχον, καὶ τούτων ἐξέπεσον ἄν. διὰ δὴ τοῦτο καὶ ἡμεῖς ἐν τοῖς καταδεεστέροις ὑμᾶς γυμνάζομεν. καὶ γὰρ τέως ἴσμεν, ὅτι μεῖζον ὑμῶν τῆς ἀκτημοσύνης τὸ φορτίον, καὶ ὅσον ἀφέστηκεν ὁ οὐρανὸς τῆς γῆς, τοσοῦτον ὑμῶν ἡ φιλοσοφία ἐκείνη. οὐκοῦν κἂν τῶν ἐσχάτων ἐπιλαβώμεθα ἐπιταγμάτων· οὐδὲ γὰρ αὕτη μικρὰ παραμυθία. καίτοιγε παρ' Ἕλλησί τινες καὶ τοῦτο κατώρθωσαν, εἰ καὶ μὴ μετὰ τῆς προσηκούσης γνώμης, καὶ τὰ ὄντα ἅπαντα ἀπεδύσαντο. ἀλλ' ὅμως ἡμεῖς ἀρκούμεθα ἐφ' ὑμῶν τῷ τὴν ἐλεημοσύνην δαψιλῆ παρέχεσθαι παρ' ὑμῶν. ταχέως γὰρ καὶ ἐπ' ἐκεῖνα ἥξομεν, ἂν οὕτω προβαίνωμεν. εἰ δὲ μηδὲ τοῦτο ποιῶμεν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, οἱ τοὺς ἐν τῇ παλαιᾷ ὑπερβῆναι κελευόμενοι, καὶ τῶν παρ' Ἕλλησι φιλοσόφων ἐλάττους φαινόμενοι; τί ἂν εἴποιμεν ὅταν ὀφείλοντες εἶναι ἄγγελοι καὶ υἱοὶ Θεοῦ, μηδὲ τὸ ἄνθρωποι εἶναι διατηρῶμεν; τὸ γὰρ ἁρπάζειν καὶ πλεονεκτεῖν, οὐ τῆς ἀνθρώπων ἡμερότητος, ἀλλὰ τῆς τῶν θηρίων ὠμότητος· μᾶλλον δὲ καὶ ἐκείνων χείρους οἱ τοῖς ἀλλοτρίοις ἐπιτιθέμενοι. τοῖς μὲν

κατατεί.
τες,
-δέξονται.

Λυκ. γ.

-ροσέτατγὰρ θηρίοις ἀπὸ φύσεως τοῦτο πρόσεστιν· ἡμεῖς δὲ τῷ λόγῳ τιμηθέντες, καὶ πρὸς τὴν παρὰ φύσιν καταπίπτοντες δυσχημοσύνην, τίνος ἀπολαυσόμεθα συγγνώμης; ἐννοήσαντες τοίνυν τὰ μέτρα τῆς προκειμένης ἡμῖν φιλοσοφίας, κἂν εἰς τὰ μέσα φθάσωμεν, ἵνα καὶ τῆς μελλούσης ἀπαλλαγῶμεν κολάσεως, καὶ ὁδῷ προβαίνοντες, ἐπ' αὐτὴν ἔλθωμεν τὴν κορυφὴν τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. κβ. 28 ΚΑΤΑΜΑΘΕΤΕ ΤΑ ΚΡΙΝΑ ΤΟΥ ΑΓΡΟΥ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. 29 Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

Εἰπὼν περὶ τῆς ἀναγκαίας τροφῆς, καὶ δείξας ὅτι οὐδὲ ὑπὲρ ταύτης χρὴ μεριμνᾶν, ἐπὶ τὸ κουφότερον μεταβαίνει λοιπόν. οὐδὲ γὰρ οὕτως ἀναγκαῖον ἔνδυμα, ὡς τροφή. τίνος οὖν ἕνεκεν οὐ κέχρηται καὶ ἐνταῦθα τῷ αὐτῷ ὑποδείγματι τῷ τῶν ὀρνίθων, οὐδὲ λέγει τὸν ταῶνα ἡμῖν, καὶ τὸν κύκνον, καὶ τὸ πρόβατον; καὶ γὰρ πολλὰ τοιαῦτα παραδείγματα ἐκεῖθεν ἦν λαβεῖν. ὅτι βούλεται ἑκατέρωθεν δεῖξαι τὴν ὑπερβολήν, ἀπό τε τῆς εὐτελείας τῶν τῆς τοιαύτης μετασχόντων εὐπρεπείας, ἀπό τε τῆς φιλοτιμίας τοῦ καλλωπισμοῦ τῆς δοθείσης τοῖς κρίνοις. διὰ τοῦτο ὅτε αὐτὰ κατεσκεύασεν, οὐδὲ κρίνα αὐτὰ καλεῖ λοιπόν,

30 Ἀλλὰ χόρτον ἀγροῦ. Καὶ οὐ τῷ ὀνόματι ἀρκεῖται τούτῳ, ἀλλὰ πάλιν ἑτέραν εὐτέλειαν προστίθησιν, εἰπών, Σήμερον ὄντα· Καὶ οὐκ εἶπεν,

γρ. οὐδὲ

γρ. δευτέ

Αὔριον Οὐκ ὄντα, ἀλλὰ τὸ πολλῷ πάλιν καταδεέστερον,

Εἰς κλίβανον βαλλόμενον. Καὶ οὐκ εἶπεν, ἁπλῶς ἀμφιέννυσιν·

Ἀλλ' οὕτως ἀμφιέννυσιν. Ὁρᾷς πανταχοῦ πολλὰς τὰς ὑπερβολὰς καὶ τὰς ἐπιτάσεις; ποιεῖ δὲ τοῦτο, ἵνα αὐτῶν καθάψηται. διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν·

Οὐ πολλῷ μᾶλλον ὑμᾶς; Καὶ γὰρ πολλὴν καὶ τοῦτο ἔχει τὴν ἔμφασιν. τὸ γάρ, ὑμᾶς, οὐδὲν ἕτερόν ἐστιν αἰνιττομένου, ἢ τὸ πολυτίμητον καὶ περισπούδαστον τοῦ γένους· ὡσανεὶ ἔλεγεν, ὑμᾶς, οἷς ψυχὴν ἔδωκεν, οἷς σῶμα διέπλασε, δι' οὓς τὰ ὁρώμενα ἅπαντα ἐποίησε, δι' οὓς προφήτας ἔπεμψε καὶ νόμον ἔδωκε, καὶ τὰ μυρία εἰργάσατο ἀγαθά· δι' οὓς τὸν μονογενῆ παῖδα ἐξέδωκε, καὶ τὰ μυρία δι' αὐτοῦ χαρίσματα ἐδωρήσατο. ἐπειδὴ δὲ ἀπέδειξε σαφῶς, τότε καὶ ἐπιπλήττει, λέγων· Ὀλιγόπιστοι. Τοιοῦτον γὰρ ὁ συμβουλεύων· οὐ μόνον παραινεῖ, ἀλλὰ καὶ καθάπτεται, ἵνα διεγείρῃ πλέον πρὸς τὴν πειθὼ τῶν λεγομένων. ἀπὸ τούτων δὲ ἡμᾶς οὐχὶ μὴ μεριμνᾶν διδάσκει μόνον, ἀλλὰ μηδὲ ἐπτοῆσθαι πρὸς τὴν πολυτέλειαν τῶν ἱματίων. χλόης γὰρ ἡ εὐπρέπεια, καὶ πόας τὸ κάλλος, μᾶλλον δὲ καὶ τιμιώτερος ὁ χόρτος τῆς τοιαύτης στολῆς. τί τοίνυν μέγα φρονεῖς, ἐν οἷς τὰ νικητήρια παρὰ τῇ βοτάνῃ μετὰ πολλῆς τῆς περιουσίας; καὶ ὅρα πῶς ἀπὸ τῶν προοιμίων κοῦφον δείκνυσι τὸ ἐπίταγμα, πάλιν ἀπὸ τῶν ἐναντίων αὖθις, καὶ ἀφ' ὧν δεδοίκασιν, ἀπὸ τούτων ἀπάγων. εἰπὼν γὰρ καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, ἐπήγαγεν· οὐ κοπιῶσιν. ὥστε κόπων ἡμᾶς ἀπαλλάξαι βουλόμενος ταῦτα ἐκέλευσεν. οὐ τοίνυν τὸ μὴ μεριμνᾶν ταῦτα πόνος, ἀλλὰ τὸ μεριμνᾶν. καὶ καθάπερ εἰπών, οὐ σπείρουσιν, οὐ τὸν σπόρον ἀνέτρεψεν, ἀλλὰ τὴν φροντίδα· οὕτως εἰπών, οὐ κοπιῶσιν, οὐδὲ νήθουσιν, οὐ τὸ ἔργον ἀνεῖλεν, ἀλλὰ τὴν μέριμναν. εἰ δὲ Σολομὼν ἡττήθη τοῦ κάλλους αὐτῶν, καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ δι' ὅλης τῆς βασιλείας αὐτοῦ (οὐδὲ γὰρ ἔχει τις εἰπεῖν ὅτι νῦν μὲν τοιαῦτα περιεβάλετο, μετὰ δὲ ταῦτα οὐκ ἔτι, ἀλλὰ

γρ. -πι

γρ. πόνον

γρ. ἔχει

ἀλλ' οὐδὲ ἐν μιᾷ ἡμέρᾳ οὕτως ἐκαλλωπίσατο. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ) καὶ οὐχ ὑπὸ τούτου μὲν ἡττήθη τοῦ ἄνθους, τὸ δὲ ἕτερον ἐμιμήσατο, ἀλλὰ πᾶσιν ὁμοῦ παρεχώρησε, διὸ καὶ ἔλεγεν, ὡς ἓν τούτων (ὅσον γὰρ τῆς ἀληθείας πρὸς τὸ ψεῦδος, τοσοῦτον τῶν ἱματίων ἐκείνων καὶ τῶν ἀνθέων τούτων τὸ μέσον) εἰ τοίνυν ἐκεῖνος ὡμολόγησε τὴν ἧτταν, ὁ πάντων βασιλέων τῶν πώποτε γενομένων λαμπρότερος, πότε σὺ περιγενέσθαι δυνήσῃ, μᾶλλον δὲ ἐγγὺς γενέσθαι κἂν μικρὸν τῆς τοιαύτης εὐμορφίας; ἐντεῦθεν ἡμᾶς παιδεύει μηδ' ὅλως ἐφίεσθαι τοῦ τοιούτου καλλωπισμοῦ. ὅρα γοῦν αὐτοῦ τὸ τέλος· μετὰ τὴν νίκην εἰς κλίβανον βάλλεται. εἰ δὲ περὶ τὰ εὐτελῆ καὶ οὐδενὸς λόγου ἄξια, καὶ τὴν τυχοῦσαν παρεχόμενα χρείαν τοσαύτην πρόνοιαν ὁ Θεὸς ἐπεδείξατο, πῶς σε προήσεται τὸ πάντων ἀναγκαιότερον ζῶον; τίνος οὖν ἕνεκεν οὕτω καλὰ αὐτὰ ἐποίησεν; ἵνα τὴν αὐτοῦ σοφίαν ἐπιδείξηται καὶ τὴν περιουσίαν τῆς δυνάμεως, ἵνα πανταχόθεν αὐτοῦ τὴν δόξαν μάθωμεν. οὐ γὰρ οἱ οὐρανοὶ μόνοι διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἡ γῆ. Ψαλ. ιη. α. καὶ τοῦτο ὁ Δαβὶδ δηλῶν ἔλεγεν· Αἰνεῖτε τὸν Κύριον ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι. Ψαλμ. ρμη. θ. τὰ μὲν γὰρ διὰ τοῦ καρποῦ, τὰ δὲ διὰ τοῦ μεγέθους, τὰ δὲ διὰ τοῦ κάλλους ἀναπέμπει τῷ ποιήσαντι τὴν εὐφημίαν. πολλῆς γὰρ καὶ τοῦτο σοφίας καὶ περιουσίας σημεῖον, ὅταν καὶ εἰς τὰ σφόδρα εὐτελῆ (τί γὰρ εὐτελέστερον τοῦ σήμερον ὄντος καὶ αὔριον οὐκ ὄντος;) τοσοῦτον ἐκχέῃ τὸ κάλλος. εἰ τοίνυν τῷ χόρτῳ τὸ μὴ ἐν χρείᾳ δέδωκε (τί γὰρ αὐτοῦ τὸ κάλλος πρὸς τὴν τοῦ πυρὸς τροφὴν συντελεῖ;) πῶς σοι τὸ ἐν χρείᾳ οὐ δίδωσιν; εἰ τὸ πάντων εὐτελέστερον ἐκαλλώπισεν ἐκ περιουσίας, καὶ ταῦτα οὐ πρὸς χρείαν, ἀλλὰ πρὸς φιλοτιμίαν τοῦτο ποιῶν· πολλῷ μᾶλλόν σε τὸν ἁπάντων τιμιώτερον ἐν τοῖς κατὰ τὴν χρείαν τιμήσει. ἐπεὶ τοίνυν ἀπέδειξε πολλὴν τοῦ Θεοῦ τὴν πρόνοιαν οὖσαν, καὶ ἔδει καὶ ἐπιπλῆξαι λοιπὸν, καὶ ἐνταῦθα κέχρηται τῇ φειδοῖ, οὐκ ἀπιστίαν, ἀλλ' ὀλιγοπιστίαν αὐτοῖς ἐγκαλῶν. Εἰ γὰρ τὸν χόρτον, φησὶ, τοῦ ἀγροῦ ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι. καίτοι ταῦτα πάντα αὐτὸς ἐργάζεται. πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἀλλ' ὅμως οὐδαμοῦ ἑαυτοῦ μέμνηται τέως. ἤρκει γὰρ εἰς τὸ δεῖξαι τὴν αὐθεντίαν τέως, τὸ λέγειν καθ' ἑκάστην τῶν ἐντολῶν, ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, ἐγὼ δὲ λέγω ὑμῖν. μὴ τοίνυν θαυμάσῃς, ὅταν καὶ ἐν τοῖς μετὰ ταῦτα κρύπτῃ ἑαυτὸν, ἢ ταπεινόν τι περὶ ἑαυτοῦ φθέγγηται. ἓν γὰρ ἐσπούδαζε τέως, εὐπαράδεκτον αὐτοῖς γενέσθαι τὸν λόγον, καὶ διὰ πάντων ἀποδεῖξαι οὐκ ἀντίθεόν τινα ὄντα, ἀλλ' ὁμονοοῦντα καὶ συμβαίνοντα τῷ πατρί· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. τοσούτους γὰρ ἀναλώσας λόγους συνεχῶς αὐτὸν ἐν τῷ μέσῳ τίθησι, τὴν σοφίαν αὐτοῦ θαυμάζων, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν διὰ πάντων, καὶ τῶν μεγάλων καὶ τῶν μικρῶν. καὶ γὰρ ὅτε περὶ τῆς Ἱερουσαλὴμ ἔλεγε, τὴν πόλιν τοῦ μεγάλου βασιλέως αὐτὴν ἐκάλεσε· καὶ ὅτε τοῦ οὐρανοῦ ἐμνημόνευσε, θρόνον πάλιν ὠνόμασε τοῦ Θεοῦ· καὶ ὅτε περὶ τῆς κατὰ τὸν κόσμον οἰκονομίας διελέγετο, αὐτῷ πάλιν τὸ πᾶν ἀνατίθησι, λέγων· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ ἐν τῇ εὐχῇ δὲ ἐδίδασκε λέγειν, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα. καὶ ἐνταῦθα περὶ τῆς προνοίας αὐτοῦ διαλεγόμενος, καὶ δεικνὺς πῶς καὶ ἐν τοῖς μικροῖς ἀριστοτέχνης ἐστί, φησιν, ὅτι τὸν χόρτον τοῦ ἀγροῦ ἀμφιέννυσι· καὶ οὐδαμοῦ ἑαυτοῦ πατέρα καλεῖ, ἀλλ' ἐκεῖνον, ἵνα καὶ τῇ τιμῇ καθάψηται, καὶ ὅταν ἑαυτοῦ λέγῃ πατέρα, μηκέτι ἀγανακτῶσιν. εἰ δὲ ὑπὲρ ψιλῶν καὶ ἀναγκαίων οὐ δεῖ μεριμνᾶν, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης οἱ ὑπὲρ τῶν πολυτελῶν μεριμνῶντες; μᾶλλον δὲ τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ μηδὲ καθεύδοντες, ἵνα τὰ τῶν ἄλλων λάβωσι;

31 Μὴ οὖν μεριμνήσητε, λέγοντες, τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα;

32 Πάντα γὰρ ταῦτα τὰ ἔθνη [τοῦ κόσμου] ἐπιζητεῖ.

Εἶδες πῶς πάλιν αὐτοὺς καὶ ἐνέτρεψε μειζόνως, καὶ παρεδήλωσεν ὅτι οὐδὲν φορτικόν, οὐδὲ ἐπαχθὲς ἐπέταξεν; ὥσπερ οὖν ὅτε ἔλεγεν, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, οὐδὲν μέγα ποιεῖτε (καὶ γὰρ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν) ἀπὸ τῆς μνήμης τῶν ἐθνικῶν αὐτοὺς διήγειρε πρὸς τὸ μεῖζον· οὕτω καὶ νῦν ἐκείνους εἰς μέσον ἄγει, καθαπτόμενος καὶ δεικνὺς ὅτι ἀναγκαῖον ἀπαιτεῖ παρ' ἡμῶν ὀφείλημα. Εἰ γὰρ τῶν γραμματέων καὶ Φαρισαίων πλέον ἐπιδείξασθαι χρή, τίνος ἂν εἴημεν ἄξιοι, καὶ μὴ μόνον ἐκείνους μὴ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐν τῇ τῶν ἐθνικῶν εὐτελείᾳ μένοντες, καὶ τὴν αὐτῶν μικροψυχίαν ζηλοῦντες; οὐ μὴν μέχρι τῆς ἐπιπλήξεως ἔστη, ἀλλὰ καθαψάμενος ἐντεῦθεν καὶ διεγείρας αὐτοὺς καὶ ἐντρέψας μετὰ ὑπερβολῆς ἁπάσης, καὶ ἑτέρωθεν παρακαλεῖ λέγων·

Οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρήζετε τούτων ἁπάντων.

Οὐκ εἶπεν, οἶδεν ὁ Θεός, ἀλλ' οἶδεν ὁ πατήρ, ὥστε αὐτοὺς εἰς μείζονα ἐλπίδα ἀγαγεῖν. Εἰ γὰρ πατήρ ἐστι, καὶ πατὴρ τοιοῦτος, οὐ δυνήσεται περιιδεῖν τοὺς υἱοὺς ἐν ἐσχάτοις ὄντας κακοῖς· ὅπου γε οὐδὲ ἄνθρωποι πατέρες ὄντες τοῦτο ὑπομένουσι. Καὶ ἕτερον δὲ μετὰ τοῦτο πάλιν ἐπάγει λογισμόν. Ποῖον δὴ τοῦτον; ὅτι χρήζετε τούτων ἁπάντων. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. Μὴ γὰρ περιττά ἐστι ταῦτα, ἵνα καταφρονήσῃ; καίτοιγε οὐδὲ ἐν τοῖς περιττοῖς κατεφρόνησεν, ἐπὶ τοῦ χόρτου· νῦν δὲ καὶ ἀναγκαῖά ἐστιν· ὥστε ὃ νομίζεις αἴτιον εἶναί σοι τῆς φροντίδος, τοῦτο ἱκανὸν εἶναί φημι τῆς φροντίδος σε ταύτης ἀπαγαγεῖν. Εἰ δὲ λέγοις, ὅτι διὰ τοῦτό με χρὴ μεριμνᾶν, ἐπειδὴ ἀναγκαῖά ἐστι, τοὐναντίον ἐγώ φημι· ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο μὴ μεριμνήσῃς, ἐπειδὴ ἀναγκαῖά ἐστιν. Εἰ γὰρ περιττὰ ἦν, οὐδ' οὕτως ἀπογινώσκειν, ἀλλὰ θαρρεῖν ὑπὲρ τῆς αὐτῶν χορηγίας ἐχρῆν· ἐπειδὴ δὲ ἀναγκαῖά ἐστιν, οὐκέτι ἀμφιβάλλειν δεῖ. Ποῖος γάρ ἐστι πατήρ, ὃς ὑπομένει μηδὲ τὰ ἀναγκαῖα παρασχεῖν τοῖς παισίν; ὥστε καὶ διὰ τοῦτο πάντως παρέξει ὁ Θεός. Καὶ γὰρ δημιουργὸς τῆς φύσεως αὐτός ἐστι, καὶ τὴν χρείαν αὐτῆς μετὰ ἀκριβείας αὐτὸς ἐπίσταται. Οὐδὲ γὰρ τοῦτο ἂν ἔχοις εἰπεῖν, ὅτι πατὴρ μέν ἐστι καὶ ἀναγκαῖά ἐστι τὰ ζητούμενα, ἀγνοεῖ δὲ ὅτι ἐν χρείᾳ αὐτῶν καθεστήκαμεν. Ὁ γὰρ τὴν φύσιν αὐτὴν εἰδώς, καὶ δημιουργὸς αὐτῆς γεγενημένος, καὶ τοιαύτην αὐτὴν διαπλάσας, εὔδηλον ὅτι καὶ τὴν χρείαν αὐτῆς ἐπίσταται σοῦ μᾶλλον τοῦ ἐν χρείᾳ αὐτοῦ καθεστῶτος. Καὶ γὰρ αὐτῷ τοῦτο ἔδοξεν, ὥστε ἐν τοιαύτῃ χρείᾳ εἶναι αὐτήν. Οὐ τοίνυν ἐναντιώσεται οἷς ἠθέλησε, καταστήσας μὲν ἐν ἀνάγκῃ τοσαύτῃ τῆς χρείας, ἀποστερῶν δὲ αὖ πάλιν τῆς χρείας καὶ τῶν ἀναγκαίων αὐτήν. Μὴ τοίνυν φροντίζωμεν. Οὐδὲν γὰρ ἡμῖν περιέσται πλέον, ἢ τὸ κατατείνειν ἑαυτούς. Ὅταν γὰρ καὶ μεριμνώντων ἡμῶν καὶ μὴ μεριμνώντων παρέχῃ, καὶ μᾶλλον μὴ μεριμνώντων, τί σοι πλέον ἀπὸ τῆς φροντίδος, ἢ τὸ δίκην σαυτὸν περιττὴν ἀπαιτεῖν; οὐδὲ γὰρ ἐπὶ δαψιλὲς ἀπιέναι μέλλων ἄριστόν τις, ὑπὲρ τροφῆς ἀνέξεται μεριμνᾶν· οὐδὲ ὁ ἐπὶ πηγὴν βαδίζων, ὑπὲρ τοῦ πίνειν φροντίζει. Μὴ τοίνυν μηδὲ ἡμεῖς, καὶ πηγῆς ἁπάσης καὶ μυρίων δείπνων παρεσκευασμένων δαψιλεστέραν ἔχοντες χορηγίαν τοῦ Θεοῦ τὴν πρόνοιαν, μεριμνῶμεν μηδὲ μικροψυχῶμεν. Μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον λογισμὸν πάλιν ὑπὲρ τοῦ θαρρεῖν περὶ τῶν τοιούτων τίθησι, λέγων·

33 Ζητεῖτε* τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἐπειδὴ γὰρ ἀνῆκε τῆς φροντίδος τὴν ψυχήν, τότε καὶ τῶν οὐρανῶν ἐμνημόνευσε. Καὶ γὰρ τὰ παλαιὰ ἀναλύσων παραγέγονε, καὶ πρὸς μείζονα καλέσων πατρίδα. Διὰ τοῦτο πάντα ποιεῖ, ὥστε τῶν περιττῶν ἡμᾶς ἀπαλλάττειν καὶ τῆς πρὸς τὴν γῆν συμπαθείας. Διὰ τοῦτο καὶ τῶν ἐθνικῶν ἐμνημόνευσεν, εἰπὼν ὅτι τὰ ἔθνη ἐπιζητεῖ ταῦτα, οἷς ὁ πόνος ἅπας κατὰ τὸν παρόντα βίον, οἷς λόγος οὐδεὶς περὶ τῶν μελλόντων, οὐδὲ ἔννοια τῶν οὐρανῶν· ὑμῖν δὲ οὐχὶ ταῦτά ἐστι τὰ προηγούμενα, ἀλλ' ἕτερα. Οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα, ἵνα φάγωμεν καὶ πίωμεν καὶ περιβαλώμεθα· ἀλλ' ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν. Ὥσπερ οὖν ἐν τῇ σπουδῇ πάρεργα ταῦτα, οὕτω καὶ ἐν τῇ αἰτήσει πάρεργα ἔστω. Διὰ

τοῦτο καὶ ἔλεγε· ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ οὐκ εἶπε, δοθήσεται, ἀλλὰ, προστεθήσεται, ἵνα μάθῃς, ὅτι οὐδὲν ″ μετὰ τῶν διδομένων τὰ παρόντα ἐστὶ πρὸς τὸ μέγεθος τῶν μελλόντων. διὰ δὴ τοῦτο οὐδὲ αἰτεῖν αὐτὰ κελεύει· ἀλλ᾽ αἰτεῖν μὲν ἕτερα, θαρρεῖν δὲ ὡς καὶ τούτων ἐκείνοις προστιθεμένων. ζήτει τοίνυν τὰ μέλλοντα, καὶ λήψῃ καὶ τὰ παρόντα· μὴ ζήτει τὰ ὁρώμενα, καὶ πάντως αὐτῶν ἐπιτεύξῃ. καὶ γὰρ ἀνάξιόν σου τὸ ″ περὶ τοιούτων προσιέναι τῷ δεσπότῃ. ὁ γὰρ τὴν ἅπασαν σπουδὴν καὶ τὴν μέριμναν ὑπὲρ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων ὀφείλων ποιεῖσθαι, σφόδρα σεαυτὸν καταισχύνεις, εἰς τὴν τῶν ῥεόντων πραγμάτων ἐπιθυμίαν καταναλίσκων σαυτόν. πῶς οὖν, φησιν, ἐκέλευσε τὸν ἄρτον αἰτεῖν; ἀλλὰ τὸν ἐπιούσιον προσέθηκε, καὶ τούτῳ πάλιν τὸ σήμερον· ὅπερ οὖν καὶ ἐνταῦθα ποιεῖ. οὐ γὰρ εἶπε, μὴ μεριμνήσητε, ἀλλὰ μὴ μεριμνήσητε ὑπὲρ τῆς αὔριον, ὁμοῦ καὶ τὴν ἐλευθερίαν ἡμῖν παρέχων, καὶ τὴν ψυχὴν ἡμῶν προσηλῶν τοῖς ″ ἀναγκαιοτέροις. καὶ γὰρ ἐκεῖνα αἰτεῖν διὰ τοῦτο ἐκέλευσεν, οὐχ ὡς τοῦ Θεοῦ δεομένου τῆς παρ᾽ ἡμῶν ὑπομνήσεως, ἀλλ᾽ ἵνα μάθωμεν ὅτι μετὰ τῆς αὐτοῦ βοηθείας κατορθοῦμεν, ἅπερ ἂν κατορθώσωμεν, καὶ ἵνα οἰκειωθῶμεν τῇ συνεχεῖ περὶ τούτων αἰτήσει. εἶδες πῶς καὶ ἐντεῦθεν ἔπεισεν ὅτι λήψονται τὰ παρόντα πάντως; ὁ γὰρ τὰ μείζω παρέχων, πολλῷ μᾶλλον τὰ ἐλάττω δώσει. οὐ γὰρ διὰ τοῦτο, φησιν, εἶπον μὴ μεριμνᾶν μηδὲ αἰτεῖν, ἵνα ταλαιπωρῆτε καὶ γυμνοὶ περιέρχησθε, ἀλλ᾽ ἵνα καὶ τούτων ἐν ἀφθονίᾳ ἦτε· ὃ δὴ μάλιστα πάντων ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι. ὥσπερ οὖν ἐπὶ τῆς ἐλεημοσύνης ἀποτρέπων αὐτοὺς ἐπιδείκνυσθαι τοῖς ἀνθρώποις, τούτῳ μάλιστα ἔπειθε τῷ μετὰ πλείονος αὐτὸ παρέξειν ὑποσχέσθαι τῆς φιλοτιμίας αὐτοῖς (ὁ γὰρ πατήρ σου, φησιν, ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ) οὕτω καὶ ἐνταῦθα ἀφέλκων αὐτοὺς τοῦ μὴ ζητεῖν ″ αὐτά, τούτῳ μάλιστα πείθει τῷ μὴ ζητοῦσι μετὰ πλείονος ὑποσχέσθαι παρέχειν τῆς περιουσίας. διὰ γὰρ τοῦτο κελεύω, φησί, μὴ ζητεῖν, οὐχ ἵνα μὴ λάβῃς· ἀλλ᾽ ἵνα λάβῃς δαψιλῶς· ἵνα λάβῃς μετὰ τοῦ σοι προσήκοντος σχήματος, μετὰ τῆς ἁρμοζούσης σοι λυσιτελείας· ἵνα μὴ μεριμνῶν μηδὲ ″ διασχιζόμενος εἰς τὴν τούτων φροντίδα ἀνάξιον σαυτὸν καὶ τούτων καὶ τῶν πνευματικῶν καταστήσῃς· ἵνα μὴ ταλαιπωρίαν περιττὴν ὑπομείνῃς, καὶ τοῦ προκειμένου πάλιν ἐκπέσῃς.

34 Μὴ οὖν μεριμνήσητε ″ περὶ τῆς αὔριον· ἀρκετὸν [γὰρ] τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς·

Τουτέστιν, ἡ ταλαιπωρία [αὐτῆς,] ἡ συντριβή. οὐκ ἀρκεῖ σοι τὸ, Ἐν ἱδρῶτι τοῦ προσώπου σου ἐσθίειν τὸν ἄρτον [σου]; Γεν. γ. ιθ. τί καὶ ἑτέραν ″ προστιθεὶς τὴν ἀπὸ τῆς φροντίδος ταλαιπωρίαν, μέλλων λοιπὸν καὶ τῶν προτέρων ἀπολύεσθαι κόπων; κακίαν δὲ ἐνταῦθά φησιν, οὐ τὴν πονηρίαν (μὴ γένοιτο) ἀλλὰ τὴν ταλαιπωρίαν καὶ τὸν πόνον καὶ τὰς συμφοράς, ὥσπερ οὖν καὶ ἀλλαχοῦ φησιν· Εἰ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν; Αμ. γ. ϛ. οὐχ ἁρπαγὰς * λέγων οὐδὲ ″ πλεονεξίας, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλὰ τὰς ἄνωθεν φερομένας πληγάς. καὶ πάλιν, Ἐγώ, φησι, ποιῶν εἰρήνην καὶ κτίζων κακά. Ησα. με. ζ. ″ οὐδὲ γὰρ ἐνταῦθα τὴν κακίαν φησίν, ἀλλὰ τοὺς λιμοὺς καὶ τοὺς λοιμούς, τὰ δοκοῦντα εἶναι κακὰ παρὰ τοῖς πολλοῖς. ἔθος γὰρ τοῖς πολλοῖς ταῦτα λέγειν κακά. α. Βασ. ϛ. οὕτω γοῦν καὶ οἱ τῶν πέντε σατραπειῶν ἐκείνων ἱερεῖς καὶ μάντεις, ἡνίκα τὰς βοῦς ὑποζεύξαντες τῇ κιβωτῷ χωρὶς τῶν δαμάλεων ἀφῆκαν βαδίζειν, κακίαν τὰς θεηλάτους ἐκάλουν πληγὰς ἐκείνας, καὶ τὴν ἐξ αὐτῶν ἀθυμίαν καὶ ὀδύνην ἐγγινομένην αὐτοῖς. τοῦτο τοίνυν καὶ ἐνταῦθα δηλοῖ, λέγων, ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. οὐδὲν γὰρ οὕτως ἀλγύνει ψυχήν, ὡς μέριμνα καὶ φροντίς. οὕτω καὶ *Παῦλος εἰς παρθενίαν ἐνάγων συνεβούλευε, λέγων· θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. ὅταν δὲ λέγῃ, ὅτι ἡ αὔριον μεριμνήσει περὶ ἑαυτῆς, οὐχ ὡς τῆς ἡμέρας μεριμνώσης ταῦτά φησιν, ἀλλ᾽ ἐπειδὴ πρὸς δῆμον ἀτελέστερον ὁ λόγος ἦν αὐτῷ, βουλόμενος ἐμφαντικώτερον ποιῆσαι τὸ λεγόμενον, προσωποποιεῖται τὸν καιρόν, κατὰ τὴν τῶν πολλῶν συνήθειαν φθεγγόμενος πρὸς αὐ-

Λουκ. ι. δ.

τοῦ. καὶ ἐνταῦθα μὲν συμβουλεύει· προϊὼν δὲ αὐτὸ καὶ νομοθετεῖ λέγων· Μὴ κτήσησθε χρυσίον, μηδὲ ἀργύριον, μήτε πήραν εἰς ὁδόν. ἐπειδὴ γὰρ διὰ τῶν ἔργων αὐτὸ ἐπεδείξατο, τότε λοιπὸν καὶ τὴν ἀπὸ τῶν ῥημάτων εἰσάγει νομοθεσίαν εὐτονωτέραν, ὅτε καὶ εὐπαράδεκτος ὁ λόγος ἐγένετο, τοῖς ἔργοις τοῖς ἑαυτοῦ πρότερον βεβαιωθείς. ποῦ οὖν ἔδειξε διὰ τῶν ἔργων; ἄκουσον αὐτοῦ λέγοντος· Ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ οὐδὲ τούτῳ ἀρκεῖται μόνῳ· ἀλλὰ καὶ ἐν τοῖς μαθηταῖς παρέχεται τὴν ὑπὲρ τούτων ἀπόδειξιν, καὶ αὐτοὺς οὕτω σχηματίσας, καὶ οὐκ ἀφεὶς οὐδενὸς δεηθῆναι. σκόπει δὲ αὐτοῦ καὶ τὴν κηδεμονίαν, πῶς πάντως πατρὸς ὑπερβαίνει φιλοστοργίαν. τοῦτο γὰρ κελεύω, φησὶ, δι᾽ ἕτερον μὲν οὐδὲν, ἵνα δὲ ὑμᾶς ἀπαλλάξω περιττῶν φροντίδων. κἂν γὰρ σήμερον μεριμνήσῃς ὑπὲρ τῆς αὔριον, καὶ πάλιν αὔριον μεριμνήσεις. τί οὖν τὸ περιττόν; τί καταναγκάζεις τὴν ἡμέραν πλέον τῆς συγκεκληρωμένης αὐτῇ ταλαιπωρίας καταδέχεσθαι; καὶ μετὰ τῶν οἰκείων πόνων καὶ τὸ τῆς ἐπιούσης προστιθεὶς αὐτῇ φορτίον· καὶ ταῦτα οὐδὲν τὴν ἑτέραν μέλλων ἀπὸ τῆς προσθήκης τῆς γινομένης ἐπικουφίζειν, ἀλλὰ πλεονεξίαν μόνον περιττῶν ἐπιδείκνυσθαι πόνων; ἵνα γὰρ μειζόνως αὐτῆς καθάψηται, μονονουχὶ τὸν καιρὸν αὐτὸν ψυχώσας, ὡς ἀδικούμενον εἰσάγει καὶ καταβοῶντα αὐτῆς ὑπὲρ τῆς περιττῆς ἐπηρείας. καὶ γὰρ ἔλαβες τὴν ἡμέραν, ἵνα τὰ αὐτῆς φροντίζῃς. τίνος οὖν ἕνεκεν καὶ τὰ τῆς ἑτέρας αὐτῇ προστιθεὶς; μὴ γὰρ οὐκ ἀρκοῦν ἔχει φορτίον τὴν ἑαυτῆς φροντίδα; τί τοίνυν βαρύνεις αὐτὴν μειζόνως;

Λουκ. θ. νη.

γ. μήτε

γ. αὐτό

γ. προσ

γ. πλεονεξ

γ. περιττῶν

γ. πόνον;

γ. καὶ αὐτὴ τὰς ἡμέρ καταβοῶ αὐτῆ

γ. προσ

ΗΘΙΚΟΝ

Ὅταν δὲ ὁ νομοθέτης ταῦτα λέγῃ καὶ ὁ μέλλων ἡμῖν δικάζειν, ἐννόησον πῶς ἡμῖν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας, ὅταν αὐτὸς μαρτυρῇ ὅτι ταλαίπωρος ὁ βίος οὗτος καὶ ἐπίμοχθος, ὡς καὶ τὴν τῆς μιᾶς ἡμέρας φροντίδα ἀρκεῖν εἰς τὸ κακοῦν ἡμᾶς καὶ συντρίβειν. ἀλλ᾽ ὅμως τοιούτων εἰρημένων καὶ τηλικούτων, ἡμεῖς ὑπὲρ μὲν τούτων μεριμνῶμεν, ὑπὲρ δὲ τῶν ἐν τοῖς οὐρανοῖς οὐκ ἔτι, ἀλλ᾽ ἀντεστρέψαμεν τὴν τάξιν, ἑκατέρωθεν μαχόμενοι τοῖς λεγομένοις. σκόπει γάρ· μὴ ζητεῖτε τὰ παρόντα, φησὶ, καθόλου· ἡμεῖς δὲ ζητοῦμεν ταῦτα διηνεκῶς. ζητεῖτε τὰ ἐπουράνια, φησίν· ἡμεῖς δὲ οὐδὲ μικρὰν ὥραν ἐκεῖνα ζητοῦμεν, ἀλλ᾽ ὅσην ὑπὲρ τῶν βιωτικῶν ἐπιδεικνύμεθα τὴν μέριμναν, τοσαύτην ἐν τοῖς πνευματικοῖς ἔχομεν τὴν ὀλιγωρίαν, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. ἀλλ᾽ οὐκ ἀεὶ ταῦτα προχωρεῖ, οὐδὲ ἀεὶ ταῦτα ἐνδέχεται. ἰδοὺ δέκα ἡμέρας καταφρονοῦμεν· ἰδοὺ εἴκοσι· ἰδοὺ ἑκατόν. οὐκ ἀνάγκη πάντως ἀπελθεῖν καὶ ἐμπεσεῖν εἰς τὰς τοῦ δικάζοντος χεῖρας; ἀλλ᾽ ἔχει παραμυθίαν ἡ ἀναβολή. καὶ ποία παραμυθία τὸ καθ᾽ ἑκάστην ἡμέραν προσδοκᾶν κόλασιν καὶ τιμωρίαν; εἰ γὰρ βούλει παραμυθίαν λαβεῖν τινὰ ἀπὸ τῆς ἀναβολῆς ταύτης, λάβε τὴν ἀπὸ τῆς μετανοίας καρπούμενος διόρθωσιν. καὶ γὰρ εἰ τὸ μέλλειν τὴν τιμωρίαν παραψυχήν τινα εἶναι νομίζεις, πολλῷ μᾶλλον κέρδος τὸ μὴ περιπεσεῖν τῇ τιμωρίᾳ. καταχρησώμεθα τοίνυν τῇ μελλήσει ταύτῃ πρὸς τὸ ἀπαλλαγῆναι παντελῶς τῶν ἐπικειμένων δεινῶν. οὐδὲ γὰρ φορτικὸν οὐδ᾽ ἐπαχθές τι τῶν ἐπιταχθέντων ἐστίν· ἀλλ᾽ οὕτως εὔκολα πάντα καὶ ῥᾴδια, ὡς προαίρεσιν μόνον εἰσενεγκόντας γνησίαν πάντα δυνηθῆναι ἀνύσαι, κἂν μυρίων ὦμεν ὑπεύθυνοι πλημμελημάτων. καὶ γὰρ ὁ Μανασσῆς μιάσματα ἄπειρα ἦν τετολμηκώς. καὶ γὰρ κατὰ τῶν ἁγίων τὰς χεῖρας ἐξέτεινε, καὶ τὰ βδελύγματα εἰς τὸν ναὸν εἰσήγαγε, καὶ φόνων τὴν πόλιν ἐνέπλησε, καὶ πολλὰ ἕτερα εἰργάσατο συγγνώμης μείζονα· ἀλλ᾽ ὅμως μετὰ τὴν τοσαύτην καὶ τηλικαύτην παρανομίαν, ἅπαντα ἀπενίψατο ἐκεῖνα. πῶς, καὶ τίνι τρόπῳ; μετανοίᾳ καὶ γνώμῃ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ τῆς μετανοίας δυνάμει, μᾶλλον δὲ τῇ τοῦ Χριστοῦ χάριτι. καὶ γὰρ ἂν μεταβαλώμεθα μόνον, αὐτὸν ἔχομεν συνεφαπτόμενον ἡμῖν. κἂν θελήσῃς γενέσθαι καλὸς, οὐδεὶς ὁ κωλύων· μᾶλλον δὲ ἔστι μὲν ὁ κωλύων ὁ διάβολος, οὐ μὴν δὲ ἰσχύει, σοῦ τὰ ἄριστα προαιρουμένου, καὶ ταύτῃ τὸν Θεὸν ἐπισπωμένου πρὸς συμμαχίαν. ἂν δὲ σὺ μὴ βουληθῇς, ἀλλ᾽ ἀποπηδήσῃς, πῶς σε προστήσεται;

γ. μετὰ τιμωρίαν.

Δ. Βασ. κα.

στήσεται; οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλ' ἑκόντα βούλεται σώζεσθαι. Εἰ γὰρ αὐτὸς οἰκέτην ἔχων μισοῦντά σε καὶ ἀποστρεφόμενον καὶ συνεχῶς ἀποπηδῶντα καὶ φεύγοντα, οὐκ ἂν ἕλοιο κατέχειν, καὶ ταῦτα δεόμενος αὐτοῦ τῆς διακονίας· πολλῷ μᾶλλον ὁ Θεὸς, ὁ μὴ διὰ τὴν οἰκείαν χρείαν, ἀλλὰ διὰ τὴν σὴν σωτηρίαν πάντα ποιῶν, οὐκ ἂν ἕλοιτό σε πρὸς βίαν κατέχειν· ὥσπερ οὖν ἐὰν προαίρεσιν ἐπιδείξῃ μόνον, οὐκ ἂν ἕλοιτό σέ ποτε προέσθαι, οὐδ' ἂν ὁποιοῦν ὁ διάβολος ποιῇ. ὥστε ἡμεῖς αἴτιοι τῆς ἀπωλείας τῆς ἡμετέρας ἐσμέν. οὐδὲ γὰρ προσερχόμεθα αὐτῷ, οὐδὲ ἐντυγχάνομεν, οὐδὲ παρακαλοῦμεν, ὡς χρή· ἀλλὰ κἂν προσέλθωμεν, τοῦτο ποιοῦμεν οὐχ ὡς ὀφείλοντες λαβεῖν, οὐδὲ μετὰ τῆς προσηκούσης πίστεως, οὐδὲ ὡς ἀπαιτοῦντες, ἀλλὰ χασμώμενοι καὶ ἀναπεπτωκότες πάντα ποιοῦμεν. καίτοιγε βούλεται ἀπαιτεῖσθαι παρ' ἡμῶν ὁ Θεὸς, καὶ χάριν ἔχει σοι τούτου πολλήν. μόνος γάρ ἐστιν ὁ χρεώστης, ὅταν ἀπαιτῆται, χάριν ἔχει, καὶ ἃ μὴ ἐδανεισάμεθα δίδωσι. κἂν μὲν σφοδρῶς ἴδῃ ἐπικείμενον τὸν ἀπαιτοῦντα, καὶ ἃ μὴ ἔλαβε παρ' ἡμῶν καταβάλλει· ἂν δὲ νωθρῶς, καὶ αὐτὸς διαναβάλλεται, οὐ διὰ τὸ μὴ βούλεσθαι δοῦναι, ἀλλ' ἐπειδὴ παρ' ἡμῶν ἡδέως ἔχει ἀπαιτεῖσθαι. διὰ τοῦτό σοι καὶ τὸ ὑπόδειγμα εἶπεν ἐκείνου τοῦ φίλου τοῦ νύκτωρ παραγινομένου καὶ ἄρτον αἰτοῦντος, καὶ τοῦ δικαστοῦ τοῦ τὸν Θεὸν μὴ φοβουμένου, μηδὲ ἀνθρώπους ἐντρεπομένου. καὶ οὐκ ἔστη μέχρι τῶν παραδειγμάτων, ἀλλὰ καὶ ἐπ' αὐτῶν αὐτὸ τῶν ἔργων ἔδειξεν, ἡνίκα τὴν "Φοίνισσαν ἐκείνην γυναῖκα τῆς μεγάλης δωρεᾶς ἐμπλήσας ἐξέπεμψε. διὰ μὲν γὰρ ταύτης, ὅτι καὶ τὰ μὴ προσήκοντα τοῖς ἀπαιτοῦσι σφοδρῶς δίδωσιν, ἔδειξεν. Οὐ γάρ καλόν ἐστι, φησὶ, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ "βαλεῖν τοῖς κυναρίοις· ἀλλ' ὅμως ἔδωκεν, ἐπειδὴ σφόδρα" αὐτὴ ἀπήτησε. διὰ δὲ τῶν Ἰουδαίων ἐδήλωσεν, ὅτι τοῖς ῥαθυμοῦσιν οὐδὲ τὰ αὐτῶν δίδωσιν. οὐκοῦν ἔλαβον ἐκεῖνοι οὐδὲν, ἀλλὰ καὶ τὰ αὐτῶν ἀπώλεσαν. καὶ οὗτοι μὲν, ἐπειδὴ" ῥαθύμως ᾔτησαν, οὐδὲ τὰ ἴδια ἔλαβον· ἐκείνη δὲ, ἐπειδὴ σφοδρῶς ἐπετέθη, καὶ τὰ ἀλλότρια ἴσχυσεν ἐκδικῆσαι, καὶ τὰ τῶν τέκνων ἔλαβε τὸ κυνάριον. τοσοῦτον ἡ προσεδρία ἀγαθόν. κἂν γὰρ κύων ᾖς, προσεδρεύων προτιμηθήσῃ τοῦ τέκνου ῥαθυμοῦντος. ὅσα γὰρ οὐκ ἤνυσεν ἡ φιλία, τοσαῦτα ἤνυσεν ἡ προσεδρία. μὴ τοίνυν λέγε, ὅτι ἐχθρός μου ἐστὶν ὁ Θεὸς, καὶ οὐκ εἰσακούσεταί [μου]. εὐθέως σοι ἀποκρίνεται συνεχῶς ἐνοχλοῦντι, εἰ καὶ μὴ διὰ τὸ [μὴ] εἶναι φίλον, ἀλλὰ διὰ τὸ προσεδρεύειν· καὶ οὔτε ἡ ἔχθρα, οὔτε ἡ ἀκαιρεία, οὔτε ἄλλο οὐδὲν γίνεται κώλυμα. μὴ εἴπῃς, οὐκ εἰμὶ ἄξιος καὶ οὐκ εὔχομαι. καὶ γὰρ ἡ Συροφοίνισσα τοιαύτη ἦν. μὴ εἴπῃς ὅτι πολλὰ ἥμαρτον, καὶ οὐ δύναμαι παρακαλέσαι τὸν ὠργισμένον. οὐ γὰρ τὴν ἀξίαν ὁ Θεὸς σκοπεῖ, ἀλλὰ τὴν γνώμην. Εἰ γὰρ τὸν ἄρχοντα τὸν Θεὸν μὴ φοβούμενον καὶ ἀνθρώπους μὴ αἰσχυνόμενον ἔκαμψεν ἡ χήρα· πολλῷ μᾶλλον τὸν ἀγαθὸν ἐπισπάσεται ἡ συνεχὴς ἔντευξις. ὥστε κἂν μὴ φίλος ᾖς, κἂν μὴ τὰ ὀφειλόμενα ἀπαιτῇς, κἂν τὰ πατρῷα κατεδηδοκὼς ᾖς καὶ καταναλωκὼς, καὶ πολὺν χρόνον ἐξ ὄψεως γενόμενος, κἂν ἄτιμος, κἂν πάντων ἔσχατος, κἂν ὀργιζομένῳ, κἂν ἀγανακτοῦντι προσέλθῃς· θέλησον μόνον εὔξασθαι καὶ ἐπανελθεῖν, καὶ πάντα ἀπολήψῃ, καὶ τὴν ὀργὴν καὶ τὴν καταδίκην σβέσεις εὐθέως. ἀλλ' ἰδοὺ εὔχομαι, φησὶ, καὶ οὐδὲν γίνεται πλέον. οὐ [δὲ] γὰρ εὔχῃ κατ' ἐκείνους, οἷον τὴν Συροφοίνισσαν λέγω, καὶ τὸν φίλον τὸν ἀωρεὶ παραγινόμενον, καὶ τὴν χήραν τὴν συνεχῶς ἐνοχλοῦσαν τὸν δικαστὴν, καὶ τὸν υἱὸν τὸν τὰ πατρῷα καταναλώσαντα. Εἰ γὰρ οὕτως ηὔχου, ταχέως ἐπετύγχανες. καὶ γὰρ εἰ καὶ ὑβρίσθη, πατήρ ἐστι· καὶ εἰ ὠργίσθη, φιλόπαις ἐστί· καὶ ἓν ζητεῖ μόνον, οὐ δίκην λαβεῖν τῶν ὕβρεων, ἀλλ' ἰδεῖν σε " μεταβαλλόμενον καὶ παρακαλοῦντα. ὄφελον καὶ ἡμεῖς οὕτω διεθερμάνθημεν, ὡς ἐκεῖνα τὰ σπλάγχνα πρὸς τὴν ἀγάπην διανίσταται τὴν ἡμετέραν. ἀλλ' ἀφορμὴν ἐπιζητεῖ μόνον τοῦτο τὸ πῦρ· κἂν μικρὸν αὐτῷ παράσχῃς σπινθῆρα, ὁλόκληρον " ἀνάπτει φλόγα εὐεργεσίας. οὐδὲ γὰρ ἐπειδὴ ὕβρισαι, ἀγανακτεῖ, ἀλλ' ἐπειδὴ σὺ ὁ ὑβρίζων εἶ, καὶ ταύτῃ γινόμενος πάροινος. Εἰ γὰρ ἡμεῖς πονηροὶ ὄν-

Μαρ. ζ. κζ.

τες τῶν παίδων ὑβριζόντων ὑπ' ἐκείνων ἀλγοῦμεν, πολλῷ μᾶλλον ὁ Θεός, ὁ μηδὲ ὑβρισθῆναι δυνάμενος, ὑπὲρ σοῦ τοῦ ὑβρικότος ἀγανακτεῖ. Εἰ ἡμεῖς οἱ φύσει ἀγαπῶντες, πολλῷ μᾶλλον ὁ ὑπὲρ φύσιν φιλόστοργος. Ησ. μθ. ιε. Εἰ γὰρ καὶ ἐπιλανθάνοιτο γυνή, φησί, τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. Προσέλθωμεν τοίνυν αὐτῷ, καὶ εἴπωμεν· Ματθ. ιε. κζ. Ναὶ Κύριε· καὶ γὰρ καὶ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Προσέλθωμεν εὐκαίρως, ἀκαίρως· μᾶλλον δὲ οὐδέποτέ ἐστιν ἀκαίρως προσελθεῖν. ἄκαιρον γάρ ἐστι τὸ μὴ διηνεκῶς προσιέναι. τὸν γὰρ ἐπιθυμοῦντα διδόναι διὰ παντὸς εὔκαιρον αἰτεῖν. ὥσπερ γὰρ τὸ ἀναπνεῖν οὐδέποτε ἄκαιρον· οὕτως οὐδὲ τὸ αἰτεῖν, ἀλλὰ τὸ μὴ αἰτεῖν, ἄκαιρον. καὶ γὰρ καθάπερ τῆς ἀναπνοῆς δεόμεθα ταύτης· οὕτω καὶ τῆς παρ' αὐτοῦ βοηθείας. κἂν θέλωμεν, ῥᾳδίως αὐτὸν ἐπισπασόμεθα. καὶ τοῦτο δηλῶν ὁ προφήτης καὶ δεικνὺς τῆς εὐεργεσίας τὸ ἀεὶ παρεσκευασμένον, ἔλεγεν· Ωσ. ς. γ. Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν. ὁσάκις γὰρ ἂν προσέλθωμεν, ἀναμένοντα τὰ παρ' ἡμῶν ὀψόμεθα. Εἰ δὲ οὐδὲν ἀπὸ τῆς πηγαζούσης αὐτοῦ ἀρετῆς ἀρυόμεθα, ἡμέτερον τὸ ἔγκλημα ἅπαν. τοῦτο γοῦν καὶ Ἰουδαίοις ἐγκαλῶν ἔλεγε· τὸ δὲ ἔλεός μου, ὡς νεφέλη πρωϊνή, καὶ ὡς δρόσος ὀρθρινὴ παραπορευομένη. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐγὼ μὲν τὰ παρ' ἐμαυτοῦ ἅπαντα παρέσχον· ὑμεῖς δέ, ὥσπερ ἥλιος θερμὸς ἐπιὼν καὶ τὴν νεφέλην καὶ τὴν δρόσον διακρούεται καὶ ἀποκρύπτει, οὕτω διὰ τῆς πολλῆς πονηρίας τὴν ἄφατον ἀνεστείλατε φιλοτιμίαν· ὃ καὶ αὐτὸ πάλιν προνοίας ἐστίν. ὅταν γὰρ καὶ ἀναξίους ἴδῃ τοῦ παθεῖν εὖ, ἐπέχει τὰς εὐεργεσίας, ἵνα μὴ ῥαθύμους ἡμᾶς ἐργάσηται. ἂν δὲ μεταβαλώμεθα μικρόν, καὶ τοσοῦτον ὅσον γνῶναι ὅτι ἡμάρτομεν, ὑπὲρ τὰς πηγὰς ἀναβλύζει, ὑπὲρ τὸ πέλαγος χεῖται· καὶ ὅσῳ ἂν πλείονα λάβῃς, τοσούτῳ μᾶλλον χαίρει· καὶ ταύτῃ πρὸς τὸ πλείονα δοῦναι διανίσταται πάλιν. καὶ γὰρ πλοῦτον οἰκεῖον τὴν ἡμετέραν ἡγεῖται σωτηρίαν, καὶ τὸ δοῦναι δαψιλῶς τοῖς αἰτοῦσιν. ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· Ρω. ι. ιβ. Πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ὅταν γὰρ μὴ αἰτήσωμεν, τότε ὀργίζεται· ὅταν μὴ αἰτήσωμεν, τότε ἀποστρέφεται. διὰ τοῦτο ἐπτώχευσεν, ἵνα ἡμᾶς πλουσίους ἐργάσηται· διὰ τοῦτο πάντα ὑπέστη ἐκεῖνα, ἵνα ἡμᾶς ἐκκαλέσηται πρὸς τὸ αἰτεῖν. μὴ τοίνυν ἀπογνῶμεν· ἀλλ' ἔχοντες τοσαύτας ἀφορμὰς καὶ χρηστὰς ἐλπίδας, κἂν καθ' ἑκάστην τὴν ἡμέραν ἁμαρτάνωμεν, προσίωμεν παρακαλοῦντες, δεόμενοι, τὴν ἄφεσιν τῶν πλημμελημάτων αἰτοῦντες. οὕτω γὰρ καὶ πρὸς τὸ ἁμαρτάνειν ὀκνηρότεροι λοιπὸν ἐσόμεθα, καὶ τὸν διάβολον ἀποσοβήσομεν, καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐκκαλεσόμεθα, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ζ.

Ὁμιλ. κγ. 1 ΜΗ ΚΡΙΝΕΤΕ, ΙΝΑ ΜΗ ΚΡΙΘΗΤΕ.

ΤΙ οὖν; οὐ χρὴ τοῖς ἁμαρτάνουσιν ἐγκαλεῖν; καὶ γὰρ ὁ Παῦλος τὸ αὐτὸ τοῦτό φησι· μᾶλλον δὲ καὶ ἐκεῖ ὁ Χριστὸς διὰ Παύλου, λέγων· σὺ τί κρίνεις τὸν ἀδελφόν σου; καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; καὶ σὺ τίς εἶ, ὁ κρίνων τὸν ἀλλότριον οἰκέτην; καὶ πάλιν· ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος. πῶς οὖν ἑτέρωθί φησιν· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον; καὶ πάλιν, τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε; καὶ ὁ Χριστὸς δὲ τῷ Πέτρῳ· ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· κἂν παρακούσῃ, καὶ ἕτερον σαυτῷ πρόσθες· ἂν δὲ μηδὲ οὕτως ἐνδῷ, καὶ τῇ ἐκκλησίᾳ κατάγγειλον. καὶ τοσούτους ἐπέστησε τοὺς ἐπιτιμῶντας, καὶ οὐ μόνον τοὺς ἐπιτιμῶντας, ἀλλὰ καὶ κολάζοντας. τὸν γὰρ οὐδενὸς τούτων ἀκούσαντα ἐκέλευσεν ὡς ἐθνικὸν εἶναι καὶ τελώνην. πῶς

δὲ

καὶ αὐτοῖς τὰς κλεῖς ἔδωκεν; Εἰ γὰρ μὴ μέλλουσι κρίνειν, ἀπὸ πάντων ἔσονται ἄκυροι, καὶ μάτην τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ τοῦ λύειν εἰλήφασι. Καὶ ἄλλως δέ, εἰ τοῦτο κρατήσειεν, ἅπαντα οἰχήσεται, καὶ τὰ ἐν ταῖς ἐκκλησίαις, καὶ τὰ ἐν ταῖς πόλεσι, καὶ τὰ ἐν ταῖς οἰκίαις. Καὶ γὰρ ὁ δεσπότης τὸν οἰκέτην, καὶ ἡ δέσποινα τὴν θεραπαινίδα, καὶ ὁ πατὴρ τὸν υἱόν, καὶ ὁ φίλος τὸν φίλον ἐὰν μὴ κρίνωσιν, ἐπιδώσει τὰ τῆς κακίας. Καὶ τί λέγω ὁ φίλος τὸν φίλον; τοὺς ἐχθροὺς ἐὰν μὴ κρίνωμεν, οὐδέποτε καταλῦσαι δυνησόμεθα τὴν ἔχθραν, ἀλλ' ἄνω καὶ κάτω πάντα γενήσεται. Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; προσέχωμεν μετ' ἀκριβείας, ἵνα μὴ τὰ φάρμακα τῆς σωτηρίας καὶ τοὺς τῆς εἰρήνης νόμους νομίζῃ τις ἀνατροπῆς εἶναι καὶ συγχύσεως νόμους. Μάλιστα μὲν γὰρ καὶ διὰ τῶν ἑξῆς ἐνεδείξατο τοῖς νοῦν ἔχουσι τοῦ νόμου τούτου τὴν ἀρετήν, εἰπών· Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; Εἰ δὲ πολλοῖς τῶν ῥᾳθυμοτέρων τὸ εἰρημένον ἀσαφέστερον ἔτι εἶναι δοκεῖ, ἄνωθεν αὐτὸ διαλῦσαι πειράσομαι. Ἐνταῦθα γάρ, ὥς ἔμοιγε δοκεῖ, οὐχ ἁπλῶς ἅπαντα τὰ ἁμαρτήματα κελεύει μὴ κρίνειν, οὐδὲ ἁπλῶς* ἀπαγορεύει τὸ τοιοῦτον ποιεῖν· ἀλλὰ τοῖς μυρίων γέμουσι κακῶν, καὶ ἄλλοις ὑπὲρ τῶν τυχόντων ἐπεμβαίνουσι. Δοκεῖ δέ μοι καὶ Ἰουδαίους ἐνταῦθα αἰνίττεσθαι, ὅτι πικροὶ τῶν πλησίον ὄντες κατήγοροι μικρῶν ἕνεκεν καὶ οὐδαμινῶν, αὐτοὶ τὰ μεγάλα ἀνεπαισθήτως ἡμάρτανον· ὃ καὶ πρὸς τῷ τέλει ὀνειδίζων αὐτοὺς ἔλεγεν· Ὅτι δεσμεύετε φορτία βαρέα καὶ δυσβάστακτα, ὑμεῖς δὲ τῷ δακτύλῳ οὐ θέλετε κινῆσαι αὐτά· καί, Ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ κατελείψατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν. Δοκεῖ μὲν οὖν καὶ πρὸς τούτους ἀποτείνεσθαι, προαναστέλλων αὐτοὺς ἐν οἷς ἔμελλον τῶν μαθητῶν κατηγορεῖν. Εἰ γὰρ καὶ μηδὲν ἥμαρτον ἐκεῖνοι τοιοῦτον, ἀλλ' ὅμως ἐκείνοις πλημμελήματα ἐνομίζετο εἶναι, οἷον, τὸ σάββατον μὴ τηρεῖν, τὸ χερσὶν ἀνίπτοις ἐσθίειν, τὸ μετὰ τελωνῶν κατακεῖσθαι. Ὃ καὶ ἀλλαχοῦ φησιν· Οἱ τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες. Πλὴν καὶ κοινὸν τὸν περὶ τούτων τίθησι νόμον. Καὶ Κορινθίοις δὲ ὁ Παῦλος οὐχ ἁπλῶς ἐκέλευσε μὴ κρίνειν, ἀλλὰ τοὺς ὑπὲρ ἑαυτοὺς μὴ κρίνειν, καὶ δι' ὑπόθεσιν ὡμολογημένην, [ἀλλὰ περὶ τῶν κρυπτῶν καὶ ἀδήλων,] οὐχ ἁπλῶς τοὺς ἁμαρτάνοντας μὴ διορθοῦν. Καὶ οὐδὲ ἀδιακρίτως ἅπασι τότε ἐπετίμα, ἀλλὰ μαθηταῖς περὶ διδασκάλων τοῦτο ποιοῦσιν ἐπέπληττε, καὶ τοῖς μυρίων κακῶν ὑπευθύνοις οὖσι καὶ τοὺς ἀνευθύνους διαβάλλουσιν. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἐνταῦθα ᾐνίξατο· καὶ οὐχ ἁπλῶς ᾐνίξατο, ἀλλὰ καὶ πολὺν ἐπέστησε τὸν φόβον καὶ τὴν κόλασιν ἀπαραίτητον.

Ματθ. κγ. δ.

· 2 Ἐν ᾧ γὰρ κρίματι κρίνετε, φησί, κριθήσεσθε.

Οὐ γὰρ ἐκεῖνον καταδικάζεις,* φησίν, ἀλλὰ σαυτόν, καὶ φοβερόν σοι ποιεῖς τὸ δικαστήριον, καὶ ἀκριβεῖς τὰς εὐθύνας. Ὥσπερ οὖν ἐν τῇ τῶν ἁμαρτημάτων ἀφέσει παρ' ἡμῶν αἱ ἀρχαί, οὕτω καὶ ἐν ταύτῃ τῇ κρίσει παρ' ἡμῶν τὰ μέτρα τῆς καταδίκης τίθεται. Οὐδὲ γὰρ ὀνειδίζειν δεῖ οὐδὲ ἐπεμβαίνειν, ἀλλὰ νουθετεῖν· οὐ κακηγορεῖν, ἀλλὰ συμβουλεύειν· οὐδὲ μετ' ἀπονοίας ἐπιτίθεσθαι, ἀλλὰ μετὰ φιλοστοργίας διορθοῦν. Οὐ γὰρ ἐκεῖνον, ἀλλὰ σαυτὸν παραδώσεις ἐσχάτῃ τιμωρίᾳ, μὴ φειδόμενος αὐτοῦ, ἡνίκα ἂν δέησῃ ψηφίζεσθαι περὶ τῶν πεπλημμελημένων αὐτῷ. Ὁρᾷς πῶς αὗται αἱ δύο ἐντολαὶ καὶ κοῦφαι καὶ μεγάλων αἴτιαι ἀγαθῶν τοῖς πειθομένοις, ὥσπερ οὖν καὶ κακῶν τοῖς μὴ προσέχουσιν; Ὅ τε γὰρ ἀφιεὶς τῷ πλησίον, ἑαυτὸν περὶ ἐκείνου τῶν ἐγκλημάτων ἀπήλλαξεν, οὐδὲν καμών· ὅ τε μετὰ φειδοῦς καὶ συγγνώμης τὰ πεπλημμελημένα ἑτέροις ἐξετάσας, πολὺν ἑαυτῷ τῆς συγγνώμης τὸν ἔρανον ἀπὸ τῆς ψήφου προαπέθετο. Τί οὖν, ἂν πορνεύῃ, φησί, μὴ εἴπω ὅτι κακὸν ἡ πορνεία, μηδὲ διορθώσομαι τὸν ἀσελγαίνοντα; Διόρθωσον μέν, ἀλλὰ μὴ ὡς πολέμιος, μηδὲ ὡς ἐχθρὸς ἀπαιτῶν δίκην, ἀλλ' ὡς ἰατρὸς φάρμακα κατασκευάζων. Οὐδὲ γὰρ εἶπε, μὴ παύσῃς ἁμαρτάνοντα, ἀλλὰ μὴ κρίνῃς· τουτέστι, μὴ πικρὸς γίνου δικαστής. Ἄλλως δέ, οὐδὲ περὶ τῶν μεγάλων καὶ ἀπηγορευμένων, ὅπερ ἔφθην εἰπών, ἀλλὰ περὶ τῶν οὐδὲ δοκούντων εἶναι πλημμελημάτων τοῦτο εἴρηται. διὸ καὶ ἔλεγε·

3 Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου;

Καὶ γὰρ καὶ πολλοὶ νῦν τοῦτο ποιοῦσι. κἂν ἴδωσι μοναχὸν περιττὸν ἱμάτιον ἔχοντα, τὸν νόμον αὐτῷ προβάλλονται τὸν δεσποτικόν, αὐτοὶ μυρία ἁρπάζοντες καὶ καθ' ἑκάστην πλεονεκτοῦντες τὴν ἡμέραν· κἂν ἴδωσι δαψιλεστέρας τροφῆς ἀπολαύοντα, πικροὶ γίνονται κατήγοροι, καθ' ἡμέραν αὐτοὶ μεθύοντες καὶ κραιπαλῶντες, οὐκ εἰδότες ὅτι μετὰ τῶν οἰκείων ἁμαρτημάτων μεῖζον ἑαυτοῖς ἐντεῦθεν συνάγουσι τὸ πῦρ, καὶ πάσης ἑαυτοὺς ἀποστεροῦσι τῆς ἀπολογίας. ὅτι μὲν γὰρ δεῖ μετὰ ἀκριβείας ἐξετάζειν τὰ σά, σὺ πρῶτος νόμον ἔθηκας, οὕτω τοῖς τοῦ πλησίον δικάσας. μὴ τοίνυν βαρὺ εἶναι νόμιζε, εἰ καὶ αὐτὸς μέλλεις τοιαύτας ὑπέχειν εὐθύνας.

5 Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου.

Ἐνταῦθα τὴν ὀργὴν ἐνδείξασθαι βούλεται τὴν πολλήν, ἣν ἔχει πρὸς τοὺς τὰ τοιαῦτα ποιοῦντας. καὶ γὰρ ὅπουπερ ἂν βουληθῇ δεῖξαι τὸ ἁμάρτημα μέγα ὄν, καὶ πολλὴν τὴν ἐπ' αὐτῷ κόλασιν καὶ ὀργήν, ἀπὸ ὕβρεως ἄρχεται. ὥσπερ οὖν καὶ πρὸς ἐκεῖνον τὸν τὰ ἑκατὸν Ματθ. ιη. λβ. δηνάρια ἀπαιτοῦντα ἀγανακτῶν ἔλεγε, Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι· οὕτω καὶ ἐνταῦθα, ὑποκριτά. οὐ γὰρ κηδεμονίας ἡ τοιαύτη ψῆφος, ἀλλὰ μισανθρωπίας ἐστί. καὶ γὰρ προσωπεῖον μὲν φιλανθρωπίας προβάλλεται, ἔργον δὲ ἐσχάτης πονηρίας πληροῖ, ὀνείδη περιττὰ καὶ ἐγκλήματα περιτριβόμενος τοῖς πλησίον, καὶ διδασκάλου τάξιν ἁρπάζων, οὐδὲ μαθητὴς ἄξιος ὢν εἶναι. διὸ καὶ ὑποκριτὴν αὐτὸν ἐκάλεσεν. ὁ γὰρ ἐν τοῖς ἑτέρων οὕτως ὢν πικρός, ὡς καὶ τὰ μικρὰ ἰδεῖν· πῶς ἐν τοῖς σοῖς οὕτω γέγονας ῥᾴθυμος, ὡς καὶ τὰ μεγάλα παραδραμεῖν; ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου. ὁρᾷς, ὅτι οὐ κωλύει τὸ κρίνειν, ἀλλὰ κελεύει ἐκβαλεῖν πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ, καὶ τότε τὰ τῶν ἄλλων διορθοῦν; καὶ γὰρ τὰ ἑαυτοῦ τις μᾶλλον οἶδεν, ἢ τὰ ἑτέρων· καὶ τὰ μείζονα μᾶλλον ὁρᾷ, ἢ τὰ ἐλάττω· καὶ ἑαυτὸν μᾶλλον φιλεῖ, ἢ τὸν πλησίον. ὥστε εἰ κηδόμενος ποιεῖς, σαυτοῦ κήδου πρότερον, ἔνθα καὶ σαφέστερον καὶ μεῖζον τὸ ἁμάρτημα. εἰ δὲ σαυτοῦ καταφρονεῖς, εὔδηλον ὅτι καὶ τὸν ἀδελφόν σου οὐ κηδόμενος κρίνεις, ἀλλὰ μισῶν καὶ ἐκπομπεῦσαι βουλόμενος. εἰ γὰρ καὶ δέοι τοῦτον κρίνεσθαι, παρὰ τοῦ μηδὲν τοιοῦτον ἁμαρτάνοντος, οὐ παρὰ σοῦ. ἐπειδὴ γὰρ μεγάλα καὶ ὑψηλὰ φιλοσοφίας ἐνέθηκε δόγματα· ἵνα μή τις λέγῃ, ὅτι τὰ τοιαῦτα φιλοσοφεῖν λόγοις εὔκολον, δεῖξαι βουλόμενος τὴν παρρησίαν, καὶ τὸ μηδενὶ τῶν εἰρημένων ὑπεύθυνον εἶναι, ἀλλὰ πάντα κατωρθωκέναι, ταύτην εἶπε τὴν παρα-Ματθ. κγ. ιδ. βολήν. καὶ γὰρ καὶ αὐτὸς ἔμελλε κρίνειν μετὰ ταῦτα, Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, λέγων. ἀλλ' οὐκ ἦν ὑπεύθυνος τοῖς εἰρημένοις. οὔτε γὰρ κάρφος ἐξέβαλεν, οὔτε δοκὸν εἶχεν ἐπὶ τῶν ὀμμάτων, ἀλλὰ πάντων τούτων ὢν καθαρός, οὕτω τὰ πάντων διώρθου πλημμελήματα. οὐδὲ γὰρ δεῖ, φησί, κρίνειν ἑτέρους, ὅταν τις τῶν αὐτῶν ὑπεύθυνος ᾖ. καὶ τί θαυμάζεις, εἰ τὸν νόμον τοῦτον αὐτὸς ἔθηκεν, ὅπου γε καὶ ὁ λῃστὴς αὐτὸν ἐγίνωσκεν ἐπὶ Λυκ. κγ. μ. τοῦ σταυροῦ, τῷ ἑτέρῳ λῃστῇ λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι ἐσμέν; τὰ αὐτὰ τῷ Χριστῷ νοήματα λέγων. σὺ δὲ τὴν μὲν σαυτοῦ δοκὸν οὐ μόνον οὐκ ἐκβάλλεις, ἀλλ' οὐδὲ ὁρᾷς· τὸ δὲ ἑτέρου κάρφος οὐ μόνον ὁρᾷς, ἀλλὰ καὶ κρίνεις καὶ ἐκβάλλειν ἐπιχειρεῖς· ὥσπερ εἴ τις ὑδέρῳ συνεχόμενος χαλεπῷ, ἢ καὶ ἑτέρῳ τινὶ νοσήματι ἀνιάτῳ, τούτου μὲν ἀμελοίη, ἐγκαλοίη δὲ ἑτέρῳ φυσήματος ἀμελοῦντι μικροῦ. εἰ δὲ κακὸν τὸ μὴ ὁρᾶν τὰ ἑαυτοῦ ἁμαρτήματα, διπλοῦν καὶ τριπλοῦν κακόν, τὸ καὶ ἑτέροις δικάζειν, αὐτοὺς ἀναλγήτως ἐπὶ τῶν ὀφθαλμῶν περιφέροντας τὰς δοκούς. καὶ γὰρ δοκοῦ βαρυτέρα ἁμαρτία. ὃ τοίνυν ἐκέλευσε διὰ τῶν εἰρημένων τοῦτό ἐστι, τὸν ὑπεύθυνον ὄντα μυρίοις κακοῖς μὴ πικρὸν εἶναι δικαστὴν τῶν ἑτέροις πλημμελουμένων, καὶ μάλιστα ὅταν μικρὰ ταῦτα ᾖ· οὐ τὸ ἐλέγχειν, οὐδὲ τὸ διορθοῦν ἀνατρέπων, ἀλλὰ τὸ τῶν οἰκείων ἀμελεῖν κωλύων, καὶ * τοῖς ἀλλοτρίοις ἐνάλλεσθαι. καὶ γὰρ εἰς μεγάλην ἐπιδιδόναι κακίαν ἐποίει τοῦτο, διπλῆν πονηρίαν ″εἰσάγων. ὁ γὰρ μελετήσας ἀμελεῖν μὲν τῶν ἑαυτοῦ μεγάλων ὄντων, ἐξετάζειν δὲ τὰ ἑτέρων πικρῶς μικρὰ ὄντα καὶ εὐτελῆ, διπλῆ διεφθείρετο, τῷ τε τῶν οἰκείων καταφρονεῖν, τῷ τε ἔχθρας καὶ ἀπεχθείας πρὸς ἅπαντας ἀναδέχεσθαι, καὶ εἰς ἐσχάτην ὠμότητα καὶ τὸ ἀσυμπαθὲς καθ' ἑκάστην ἀλείφεσθαι τὴν ἡμέραν. Ταῦτ' οὖν ἅπαντα ἀνελὼν διὰ τῆς καλῆς ταύτης νομοθεσίας, ἐπήγαγε πάλιν ἕτερον παράγγελμα, λέγων·

6 Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρείτας [ὑμῶν] ἔμπροσθεν τῶν χοίρων. Καίτοιγε προϊὼν ἐκέλευσε, φησί, [καὶ] Ηκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων. ἀλλ' οὐδὲ τοῦτο ἐναντίον ἐστὶ τῷ προτέρῳ. οὐδὲ γὰρ ἐκεῖ πᾶσιν ἁπλῶς ἐπέταξεν εἰπεῖν, ἀλλ' οἷς δεῖ εἰπεῖν, μετὰ παρρησίας εἰπεῖν. κύνας δὲ ἐνταῦθα, τοὺς ἐν ἀσεβείᾳ ζῶντας ἀνιάτῳ καὶ μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον οὐκ ἔχοντας ″ἐλπίδα ἠνίξατο, καὶ χοίρους τοὺς ἐν ἀκολάστῳ βίῳ διατρίβοντας διαπαντός, οὕσπερ ἅπαντας ἀναξίους ἔφησεν εἶναι τῆς τοιαύτης ἀκροάσεως. Τοῦτο γοῦν καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι. καὶ πολλαχοῦ δὲ ἑτέρωθι βίου διαφθορὰν αἰτίαν φησὶν εἶναι τοῦ μὴ δέχεσθαι τὰ τελειότερα δόγματα· διὸ κελεύει μὴ ″ἀναπετάσαι τὰς θύρας αὐτοῖς. καὶ γὰρ θρασύτεροι γίνονται μετὰ τὸ μαθεῖν. τοῖς μὲν γὰρ εὐγνώμοσι καὶ νοῦν ἔχουσιν ἐκκαλυπτόμενα, σεμνὰ φαίνεται· τοῖς δὲ ἀναισθήτοις, ὅταν ἀγνοῆται μᾶλλον. ἐπειδὴ οὖν ἀπὸ τῆς φύσεως οὐ δύνανται αὐτὰ καταμαθεῖν, καλυπτέσθωσαν, φησίν, ἵνα κἂν ἀπὸ τῆς ἀγνοίας αἰδεσθῶσιν. οὐδὲ γὰρ ὁ χοῖρος οἶδε τί ποτέ ἐστι μαργαρείτης. οὐκοῦν ἐπειδὴ οὐκ οἶδε, μηδὲ ὁράτω, ἵνα μὴ καταπατήσῃ ἃ οὐκ οἶδεν. οὐδὲν γὰρ γίνεται πλέον, ἢ βλάβη μείζων τοῖς οὕτω διακειμένοις καὶ ἀκούουσι. καὶ γὰρ τὰ ἅγια ἐμπαροινεῖται παρ' ἐκείνων οὐκ εἰδότων τίνα ἐστὶ ταῦτα, καὶ ἐκεῖνοι μᾶλλον ἐπαίρονται καὶ ὁπλίζονται καθ' ἡμῶν. τοῦτο γάρ ἐστι, Μὴ καταπατήσωσι, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

Καὶ μὴν οὕτως ἰσχυρὰ ἔδει εἶναι, φησίν, ὡς καὶ μετὰ τὸ μαθεῖν ἀνάλωτα μένειν, καὶ μὴ παρέχειν ἑτέροις λαβὰς καθ' ἡμῶν. ἀλλ' οὐκ ἐκεῖνα παρέχει, ἀλλὰ τὸ χοίρους εἶναι τούτους· ὥσπερ οὖν καὶ ὁ μαργαρείτης καταπατούμενος, οὐκ ἐπειδὴ εὐκαταφρόνητός ἐστι, καταπατεῖται, ἀλλ' ἐπειδὴ εἰς χοίρους ἐνέπεσε. καὶ καλῶς εἶπε, στραφέντες ῥήξωσιν ὑμᾶς. ὑποκρίνονται γὰρ ἐπιείκειαν, ὥστε μαθεῖν· εἶτα ἐπειδὰν μάθωσιν, ἕτεροι ἀνθ' ἑτέρων γενόμενοι κωμῳδοῦσι, χλευάζουσι, ″γελῶσιν ὡς ἀπατηθέντας ἡμᾶς. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε τῷ Τιμοθέῳ· Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. καὶ πάλιν ἀλλαχοῦ· Τοὺς τοιούτους ἀποτρέπου· καί, Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. οὐ τοίνυν παρ' ἐκείνων ὁπλίζονται, ἀλλ' αὐτοὶ ἀνόητοι ταύτῃ γίνονται, πλείονος ″ἀπονοίας πληρούμενοι. διὰ τοῦτο οὐ μικρὸν κέρδος, τὸ ἐν ἀγνοίᾳ μένειν αὐτούς. ″οὐδὲ γὰρ οὕτω καταφρονοῦσιν. ἂν δὲ μάθωσι, διπλῆ ἡ ζημία. αὐτοί τε γὰρ ἐντεῦθεν οὐδὲν καρποῦνται, ἀλλὰ καὶ βλαβήσονται μειζόνως, καὶ σοὶ μυρία παρέξουσι πράγματα. ἀκουέτωσαν οἱ πᾶσιν ἀναιδῶς συμπλεκόμενοι καὶ τὰ σεμνὰ εὐκαταφρόνητα ποιοῦντες. καὶ γὰρ τὰ μυστήρια διὰ τοῦτο τὰς θύρας ″κλείσαντες ἐπιτελοῦμεν, καὶ τοὺς ἀμυήτους εἴργομεν, οὐκ ἐπειδὴ ἀσθένειαν ″κατέγνωμεν τῶν τελουμένων, ἀλλ' ἐπειδὴ ἀτελέστερον οἱ πολλοὶ πρὸς αὐτὰ ἔτι διάκεινται. διὰ δὴ τοῦτο καὶ ″αὐτὸς ἐν παραβολαῖς πολλὰ τοῖς Ἰουδαίοις διελέγετο, ἐπειδὴ βλέποντες οὐκ ἔβλεπον. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐκέλευσεν εἰδέναι, πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

7 Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

Ματθ. ι. κζ.

α. Κορ. β. ιδ.

β. Τιμ. δ. ιε.

Τιτ. γ. ι.

Ἐπειδὴ γὰρ μεγάλα καὶ θαυμαστὰ ἐπέταξε, καὶ πάντων ἐκέλευσε τῶν παθῶν εἶναι ἀνωτέρους, καὶ πρὸς αὐτὸν ἤγαγε τὸν οὐρανόν, καὶ σπουδάζειν ἐπέταξεν, οὐκ ἀγγέλοις οὐδὲ ἀρχαγγέλοις, ἀλλ' αὐτῷ τῷ '' τῶν ὅλων δεσπότῃ, κατὰ τὸ ἐγχωροῦν, ὁμοίους γίνεσθαι, τοὺς δὲ μαθητὰς οὐκ αὐτοὺς μόνους ταῦτα κατορθοῦν, ἀλλὰ καὶ ἑτέρους διορθοῦν ἐκέλευσε, καὶ διακρίνειν τοὺς πονηροὺς καὶ τοὺς οὐ τοιούτους, τοὺς κύνας καὶ τοὺς οὐ κύνας (πολὺ δὲ τὸ ἐπικεκρυμμένον ἐν ἀνθρώποις) ἵνα μὴ λέγωσιν ὅτι χαλεπὰ ταῦτα καὶ ἀφόρητα (καὶ γὰρ ἐν τοῖς μετὰ ταῦτα ὁ Πέτρος ἐφθέγξατό τι τοιοῦτον, εἰπών· Τίς δύναται σωθῆναι; καὶ πάλιν· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου, οὐ συμφέρει γαμῆσαι) ἵνα οὖν μὴ ταῦτα λέγωσι καὶ νῦν, μάλιστα μὲν καὶ διὰ τῶν ἔμπροσθεν ἀπέδειξεν εὔκολα ὄντα, λογισμοὺς τιθεὶς πολλοὺς καὶ συνεχεῖς, τοὺς δυναμένους πεῖσαι· λοιπὸν δὲ καὶ τὴν κορωνίδα ἐπάγει τῆς εὐκολίας, οὐ τὴν τυχοῦσαν ἐπινοῶν παραμυθίαν τοῖς πόνοις, τὴν ἀπὸ τῶν εὐχῶν τῶν '' ἐπιμόνων συμμαχίαν. οὐ γὰρ αὐτοὺς σπουδάζειν δεῖ μόνους, φησίν, ἀλλὰ καὶ τὴν ἄνωθεν καλεῖν βοήθειαν, καὶ πάντως ἥξει καὶ παρέσται καὶ συνεφάψεται τῶν ἀγώνων ἡμῖν, καὶ πάντα ποιήσει ῥᾴδια. διὰ τοῦτο καὶ αἰτεῖν ἐκέλευσε, καὶ τὴν δόσιν ἐνηγγυήσατο. πλὴν οὐχ ἁπλῶς αἰτεῖν ἐκέλευσεν, ἀλλὰ μετὰ προσεδρίας πολλῆς καὶ εὐτονίας. τοῦτο γάρ ἐστι τό, ζητεῖτε. καὶ γὰρ ὁ ζητῶν, πάντα ἐκβαλὼν τῆς διανοίας, πρὸς ἐκεῖνο γίνεται μόνον τὸ ζητούμενον, καὶ οὐδένα τῶν παρόντων ἐννοεῖ. καὶ ἴσασι τοῦτο ὃ λέγω, ὅσοι ἢ χρυσίον ἢ οἰκέτας ἀπολέσαντες ἐπιζητοῦσιν. ἀπὸ μὲν οὖν τοῦ ζητεῖν, τοῦτο· ἀπὸ δὲ τοῦ κρούειν, τὸ μετὰ σφοδρότητος προσιέναι καὶ θερμῆς διανοίας ἐδήλωσε. μὴ τοίνυν καταπέσῃς, ἄνθρωπε, μηδὲ ἐλάττονα ἐπιδείξῃ περὶ τὴν ἀρετὴν σπουδὴν τῆς περὶ τὰ χρήματα ἐπιθυμίας. ἐκεῖνα μὲν γὰρ πολλάκις ζητήσας οὐχ εὗρες· ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ὅτι οὐ πάντως εὑρήσεις, πάντα κινεῖς ἐρεύνης τρόπον· ἐνταῦθα δὲ καὶ ἐπαγγελίαν ἔχων ὅτι λήψῃ πάντως, οὐδὲ τὸ πολλοστὸν τῆς σπουδῆς ἐκείνης ἐπιδείκνυσαι μέρος. εἰ δὲ μὴ εὐθέως λαμβάνεις, μηδὲ οὕτως ἀπογνῷς. διὰ γὰρ τοῦτο εἶπε, κρούετε, ἵνα δείξῃ, ὅτι κἂν εὐθέως μὴ ἀνοίξῃ τὴν θύραν, παραμένειν δεῖ. εἰ δὲ ἀπιστεῖς μου τῇ ἀποφάσει, κἂν τῷ ὑποδείγματι πίστευσον.

Ματθ. 19. 1.

9 Τίς γάρ ἐστιν ἐξ ὑμῶν, φησί, πατήρ, ὃν ἐὰν ὁ υἱὸς αὐτοῦ αἰτήσῃ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Ἐπ' ἀνθρώπων μὲν γὰρ ἂν συνεχῶς τοῦτο ποιῇς, καὶ ὀχληρὸς καὶ βαρὺς εἶναι δοκεῖς· ἐπὶ δὲ τοῦ Θεοῦ ὅταν μὴ τοῦτο ποιῇς, τότε παροξύνεις μειζόνως. ἂν δὲ ἐπιμείνῃς αἰτῶν, κἂν μὴ εὐθέως λάβῃς, λήψῃ πάντως. διὰ γὰρ τοῦτο κέκλεισται ἡ θύρα, ἵνα σε εἰς τὸ κρούειν ἐναγάγῃ· διὰ τοῦτο οὐκ εὐθέως ἐπινεύει, ἵνα αἰτήσῃς. μένε τοίνυν ταῦτα ποιῶν, καὶ λήψῃ πάντως. ἵνα γὰρ μὴ λέγῃς· τί οὖν ἂν αἰτήσω, καὶ μὴ λάβω; ἐπετείχισέ σοι τὴν παραβολήν, λογισμοὺς πάλιν τιθείς, καὶ ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων εἰς τὸ περὶ τούτων θαρρεῖν ἐνάγων, * δεικνὺς διὰ τούτων, ὅτι οὐκ αἰτεῖν χρὴ μόνον, ἀλλὰ καὶ ἃ χρὴ αἰτεῖν. τίς γάρ ἐστιν ἐξ ὑμῶν πατήρ, ὃν ὁ υἱὸς αὐτοῦ αἰτήσει ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ὥστε ἂν μὴ λάβῃς, ἐπειδὴ λίθον αἰτεῖς, οὐ λαμβάνεις. εἰ γὰρ καὶ υἱὸς εἶ, οὐκ ἀρκεῖ τοῦτο εἰς τὸ λαβεῖν· ἀλλὰ καὶ αὐτὸ μὲν οὖν τοῦτο κωλύει τὸ λαβεῖν, τὸ υἱὸν ὄντα, ἃ μὴ συμφέρει, αἰτεῖν. καὶ σὺ τοίνυν μηδὲν αἰτήσῃς κοσμικόν, ἀλλὰ πνευματικὰ πάντα, καὶ λήψῃ πάντως. καὶ γὰρ ὁ Σολομών, ἐπειδήπερ ᾔτησεν ἅπερ αἰτῆσαι ἐχρῆν, ὅρα πῶς ταχέως ἔλαβε. δύο τοίνυν εἶναι χρὴ τῷ εὐχομένῳ, καὶ τὸ αἰτεῖν σφοδρῶς, καὶ τὸ ἃ χρὴ αἰτεῖν. ἐπεὶ καὶ ὑμεῖς, φησί, κἂν πατέρες ἦτε, μένετε αἰτῆσαι τοὺς υἱούς· κἂν ἀσύμφορόν τι παρ' ὑμῶν αἰτήσωσι, κωλύετε τὴν δόσιν· ὥσπερ οὖν ἐὰν συμφέρῃ, ἐπινεύετε καὶ παρέχετε. [τοίνυν] καὶ σὺ ταῦτα ἐννοῶν, μὴ ἀποστῇς, ἕως ἂν λάβῃς, ἕως ἂν εὕρῃς, μὴ ἀναχωρήσῃς, μὴ καταλύσῃς τὴν σπουδήν, ἕως ἂν ἀνοιχθῇ ἡ θύρα. ἐὰν γὰρ μετὰ ταύτης προσέλθῃς τῆς διανοίας, καὶ εἴπῃς, ἐὰν μὴ λάβω, οὐκ ἀπέρχομαι, λήψῃ πάντως, ἐὰν τοιαῦτα αἰτῇς, οἷα καὶ τῷ αἰτουμένῳ δοῦναι πρέπει, καὶ σοὶ τῷ αἰτοῦντι συμφέρει.

* ἢ

τίνα δέ ἐστι ταῦτα; τὸ τὰ πνευματικὰ ζητεῖν ἅπαντα· τὸ ἀφέντα τοῖς πεπλημμεληκόσιν οὕτω προσιέναι τὴν ἄφεσιν αἰτοῦντα· τὸ χωρὶς ὀργῆς καὶ διαλογισμῶν χεῖρας ἐπαίρειν ὁσίους. ἂν οὕτως ″αἰτῶμεν, ληψόμεθα. ὡς νῦν γε γέλως ἐστὶν ἡ αἴτησις ἡμῶν, καὶ μεθυόντων ἀνθρώπων, ἢ νηφόντων. τί οὖν, φησιν, ὅταν καὶ πνευματικὰ αἰτήσω, καὶ μὴ λάβω; οὐ μετὰ σπουδῆς ἔκρουσας πάντως, ἢ σαυτὸν ἀνάξιον παρεσκεύασας τοῦ λαβεῖν, ἢ ταχέως ″ἀπέστης. καὶ τίνος ἕνεκεν, φησι, μὴ εἶπεν ἃ χρὴ αἰτεῖν; καὶ μὴν εἶπεν ἅπαντα ἐν τοῖς ἔμπροσθεν, καὶ ἔδειξεν ὑπὲρ τίνων χρὴ προσιέναι. μὴ τοίνυν λέγε, ὅτι προσῆλθον, καὶ οὐκ ἔλαβον. οὐδαμοῦ γὰρ παρὰ ″τῷ Θεῷ τὸ μὴ λαβεῖν, τῷ οὕτω φιλοῦντι, ὡς καὶ πατέρας νικῆσαι, καὶ τοσοῦτον νικῆσαι, ὅσον τὴν πονηρίαν ταύτην ἡ ἀγαθότης.

11 Εἰ γὰρ ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος;

Ταῦτα δὲ ἔλεγεν, οὐ διαβάλλων τὴν ἀνθρωπίνην φύσιν (ἄπαγε) οὐδὲ κακίζων τὸ γένος· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς ἀγαθότητος τῆς αὐτοῦ, τὴν φιλοστοργίαν τὴν πατρικὴν πονηρίαν καλῶν. τοσαύτη αὐτοῦ τῆς φιλανθρωπίας ἡ ὑπερβολή. εἶδες λογισμὸν ″ἀναντίρρητον, ἱκανὸν καὶ τὸν σφόδρα ἀπεγνωκότα πρὸς χρηστὰς διαναστῆσαι ἐλπίδας; ἐνταῦθα μὲν οὖν ἀπὸ τῶν πατέρων τὴν ἀγαθότητα δείκνυσιν· ἐν δὲ τοῖς ἔμπροσθεν ἀπὸ τῶν μειζόνων ὧν ἔδωκεν, ἀπὸ τῆς ψυχῆς, ἀπὸ τοῦ σώματος. καὶ οὐδαμοῦ τὸ κεφάλαιον τῶν ἀγαθῶν τίθησιν, οὐδὲ εἰς μέσον παράγει τὴν ἑαυτοῦ παρουσίαν. ὁ γὰρ οὕτω τὸν υἱὸν πρὸς σφαγὴν ἐκδοῦναι ″σπεύσας, πῶς οὐ πάντα ἡμῖν χαριεῖται; οὐδέπω γὰρ ἦν ἐκβεβηκός. ἀλλ' ὁ μὲν Παῦλος τοῦτο τίθησιν, οὕτω λέγων· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; αὐτὸς δὲ ἀπὸ τῶν ἀνθρωπίνων αὐτοῖς ἔτι διαλέγεται. εἶτα δεικνὺς ὅτι οὔτε εὐχῇ δεῖ θαρρεῖν ἀμελοῦντας τῶν καθ' ἑαυτούς, οὔτε σπουδάζοντας τῇ οἰκείᾳ μόνον πιστεύειν σπουδῇ, ἀλλὰ καὶ τὴν ἄνωθεν ἐπιζητεῖν βοήθειαν, καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, συνεχῶς τοῦτο κἀκεῖνο τίθησι. καὶ γὰρ παραινέσας πολλὰ, καὶ εὔχεσθαι ἐδίδαξε, καὶ διδάξας εὔχεσθαι, πάλιν ἐπὶ τὴν παραίνεσιν τῶν πρακτέων ἦλθεν· εἶτα ἀπ' ἐκείνου πάλιν ἐπὶ τὸ δεῖν εὔχεσθαι συνεχῶς, εἰπών· αἰτεῖτε καὶ ζητεῖτε καὶ κρούετε· καὶ ἐντεῦθεν πάλιν ἐπὶ τὸ δεῖν καὶ αὐτοὺς σπουδαίους εἶναι. Ρω. η. λϐ.

12 Πάντα ″οὖν, φησιν, ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς,

Ἐν βραχεῖ πάντα ἀνακεφαλαιούμενος, καὶ δεικνὺς ὅτι σύντομος ἡ ἀρετὴ καὶ ῥᾳδία καὶ πᾶσι γνώριμος. καὶ οὐδὲ ἁπλῶς εἶπε, πάντα ὅσα ἂν θέλητε, ἀλλὰ πάντα οὖν ὅσα ἂν θέλητε. τὸ γὰρ, οὖν, τοῦτο οὐχ ἁπλῶς προσέθηκεν, ἀλλ' αἰνιττόμενος· εἰ βούλεσθε, φησιν, ἀκούεσθαι, μετ' ἐκείνων ὧν εἶπον καὶ ταῦτα ποιεῖτε. ποῖα δὴ ταῦτα; ὅσα ἂν βούλησθε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι. εἶδες πῶς ἔδειξε καὶ ἐντεῦθεν ὅτι μετὰ τῆς εὐχῆς καὶ πολιτείας ἡμῖν ἀκριβοῦς δεῖ; καὶ οὐκ εἶπεν, πάντα ″ὅσα ἂν θέλῃς γενέσθαι σοι παρὰ τοῦ Θεοῦ, ταῦτα ποίει εἰς τὸν πλησίον, ἵνα μὴ λέγῃς, καὶ πῶς δυνατόν; ἐκεῖνος Θεός, ἐγὼ δὲ ἄνθρωπος· ἀλλ' ὅσα ἂν θέλῃς γενέσθαι σοι παρὰ τοῦ ὁμοδούλου, ταῦτα καὶ αὐτὸς περὶ τὸν πλησίον ἐπιδείκνυσο. τί τούτου κουφότερον; τί δικαιότερον; εἶτα καὶ τὸ ἐγκώμιον πρὸ τῶν ἐπάθλων μέγιστον.

Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Ὅθεν δῆλον, ὅτι κατὰ φύσιν ἡμῖν ἡ ἀρετή, καὶ οἴκοθεν τὰ δέοντα ἅπαντες ἴσμεν, καὶ οὐχ οἷόν τε εἰς ἄγνοιαν οὐδέποτε καταφυγεῖν.

13 Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς·

14 Καὶ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

Καὶ μὴν μετὰ ταῦτα ἔλεγεν· ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι· καὶ ἐν τοῖς ἔναγχος δὲ εἰρημένοις τὸ αὐτὸ ἠνίξατο. πῶς οὖν ἐνταῦθα στενὴν αὐτὴν εἶναί φησι καὶ τεθλιμμένην; μάλιστα μέν, ἐὰν προσέχῃς, καὶ ἐνταῦθα δείκνυσι πολὺ κούφην οὖσαν καὶ ῥᾳδίαν καὶ εὔκολον. καὶ πῶς, φησιν, ἡ στενὴ καὶ τεθλιμμένη, ῥᾳδία; ὅτι ὁδός ἐστι καὶ πύλη· ὥσπερ οὖν καὶ ἡ ἑτέρα κἂν πλατεῖα" καὶ εὐρύχωρος," καὶ αὐτὴ ὁδὸς καὶ πύλη· τούτων δὲ οὐδὲν μόνιμον, ἀλλὰ πάντα παροδεύεται), καὶ τὰ λυπηρὰ καὶ τὰ χρηστὰ τοῦ βίου. καὶ οὐ ταύτῃ μόνον ῥᾴδια τὰ τῆς ἀρετῆς, ἀλλὰ καὶ τῷ τέλει πάλιν εὐκολώτερα γίνεται. οὐ γὰρ τὸ" παροδεύεσθαι τοὺς πόνους καὶ τοὺς ἱδρῶτας, ἀλλὰ καὶ τὸ εἰς χρηστὸν τέλος" ἀπαντᾶν (εἰς ζωὴν γὰρ τελευτᾷ) ἱκανὸν παραμυθήσασθαι τοὺς ἀγωνιζομένους. ὥστε καὶ τὸ πρόσκαιρον τῶν πόνων, καὶ τὸ διηνεκὲς τῶν στεφάνων, καὶ τὸ ταῦτα μὲν εἶναι πρῶτα, ἐκεῖνα δὲ μετὰ ταῦτα, μεγίστη τῶν πόνων γένοιτ' ἂν παραμυθία. διὸ καὶ ὁ Παῦλος ἐλαφρὰν τὴν θλῖψιν ἐκάλεσεν, οὐ διὰ τὴν φύσιν τῶν γινομένων, ἀλλὰ διὰ τὴν προαίρεσιν τῶν ἀγωνιζομένων καὶ τὴν τῶν μελλόντων ἐλπίδα. τὸ γὰρ * ἐλαφρὸν τῆς θλίψεως, φησι, [καθ' ὑπερβολὴν] αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. εἰ γὰρ τὰ κύματα καὶ τὰ πελάγη τοῖς ναύταις, καὶ αἱ σφαγαὶ καὶ τὰ τραύματα τοῖς στρατιώταις, καὶ οἱ χειμῶνες καὶ οἱ κρυμοὶ τοῖς γεωργοῖς, καὶ τοῖς πυκτεύουσιν αἱ δριμεῖαι πληγαί, κοῦφα καὶ φορητὰ πάντα διὰ τὴν ἐλπίδα τῶν ἐπάθλων τῶν ἐπικήρων καὶ ἀπολλυμένων· πολλῷ μᾶλλον, ὅταν ὁ οὐρανὸς προκείμενος ᾖ, καὶ τὰ ἀπόρρητα ἀγαθά, καὶ τὰ ἀθάνατα ἔπαθλα, οὐδενός τις αἰσθήσεται τῶν παρόντων δεινῶν. εἰ δέ τινες αὐτὴν καὶ οὕτως ἐπίπονον εἶναι νομίζουσι, τῆς αὐτῶν ῥᾳθυμίας ἡ ὑπόνοια μόνον. ὅρα γοῦν πῶς καὶ ἑτέρωθεν αὐτὴν εὔκολον ποιεῖ, κελεύων μὴ συμπλέκεσθαι τοῖς κυσί, μηδὲ ἐκδιδόναι ἑαυτοὺς τοῖς χοίροις, καὶ φυλάττεσθαι ἀπὸ τῶν ψευδοπροφητῶν, καὶ πανταχόθεν αὐτοὺς ἐναγωνίους ἐργαζόμενος. καὶ αὐτὸ δὲ τὸ στενὴν καλέσαι, μέγιστον εἰς τὸ ποιῆσαι αὐτὴν εὔκολον συνεβάλετο. νήφειν γὰρ αὐτοὺς παρεσκεύαζεν. καὶ

Εφ. ς. ιβ. ὥσπερ οὖν ὁ Παῦλος, ὅταν λέγῃ, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· οὐχ ἵνα καταβάλῃ, ἀλλ' ἵνα διεγείρῃ τὰ φρονήματα τῶν στρατιωτῶν τοῦτο ποιεῖ· οὕτω δὴ καὶ αὐτὸς ἀφυπνίζων τοὺς ὁδοιπόρους, τραχεῖαν ἐκάλεσε τὴν ὁδόν. καὶ οὐ ταύτῃ μόνον νήφειν παρεσκεύασεν, ἀλλὰ καὶ τῷ προσθεῖναι, ὅτι πολλοὺς ἔχει τοὺς ὑποσκελίζοντας· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ φανερῶς προσβάλλουσιν, ἀλλὰ κρύπτοντες ἑαυτούς. τοιοῦτον γὰρ τῶν ψευδοπροφητῶν τὸ γένος. ἀλλὰ μὴ τοῦτο ἴδῃς, φησίν, ὅτι τραχεῖα καὶ στενή, ἀλλὰ ποῦ τελευτᾷ· μηδ' ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ἐναντία, ἀλλὰ ποῦ καταστρέφει. ταῦτα δὲ

Ματθ. ια. ιβ. πάντα λέγει, διεγείρων ἡμῶν τὴν προθυμίαν· ὥσπερ οὖν καὶ ἀλλαχοῦ ἔλεγεν, Ὅτι βιασταὶ ἁρπάζουσιν αὐτήν. ὁ γὰρ ἀγωνιζόμενος, ἐπειδὰν ἴδῃ σαφῶς τὸν ἀγωνοθέτην θαυμάζοντα τὸ ἐπίπονον τῶν" ἀγωνισμάτων, προθυμότερος γίνεται. μὴ τοίνυν ἀλύωμεν, ὅταν πολλὰ ἡμῖν ἐντεῦθεν συμβαίνῃ λυπηρά. τεθλιμμένη γὰρ ἡ ὁδὸς καὶ στενὴ ἡ πύλη, ἀλλ' οὐχ ἡ πόλις. διὰ δὴ τοῦτο οὐδὲ ἐνταῦθα ἄνεσιν χρὴ προσδοκᾶν, οὐδὲ ἐκεῖ λυπηρόν τι λοιπὸν ἐκδέχεσθαι. εἰπὼν δέ, ὅτι ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν, πάλιν καὶ ἐνταῦθα τὴν τῶν πολλῶν ῥαθυμίαν ἐδήλωσε, καὶ τοὺς ἀκούοντας ἐπαίδευσε μὴ ταῖς τῶν πολλῶν εὐημερίαις προσέχειν, ἀλλὰ τοῖς τῶν ὀλίγων πόνοις. οἱ γὰρ πλείους, φησίν, οὐ μόνον αὐτὴν οὐ βαδίζουσιν, ἀλλ' οὐδὲ αἱροῦνται, ὅπερ ἐσχάτης" ἀνοίας ἐστίν. ἀλλ' οὐ τοῖς πολλοῖς δεῖ προσέχειν, οὐδὲ ἐντεῦθεν θορυβεῖσθαι, ἀλλὰ ζηλοῦν τοὺς ὀλίγους, καὶ πανταχόθεν ἑαυτοὺς συγκροτοῦντας οὕτως αὐτὴν βαδίζειν. καὶ γὰρ πρὸς τῷ στενὴν αὐτὴν εἶναι, πολλοὶ καὶ οἱ ὑποσκελίζοντές εἰσι τὴν ἐκεῖσε φέρουσαν" εἴσοδον. διὸ καὶ ἐπήγαγε·

15 Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν. ἐλεύσονται γὰρ πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων· ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἰδοὺ μετὰ τῶν κυνῶν καὶ χοίρων ἕτερον εἶδος ἐνέδρας καὶ ἐπιβουλῆς πολὺ χαλεπώτερον ἐκείνων. ἐκεῖνοι μὲν γὰρ ὡμολογημένοι καὶ φανεροί, οὗτοι δὲ συνεσκιασμένοι. διὸ καὶ ἐκείνων μὲν ἀπέχεσθαι ἐκέλευσε· τούτους δὲ καὶ διασκέπτεσθαι μετὰ ἀκριβείας, ὡς οὐκ ἐνὸν ἐκ πρώτης αὐτοὺς ἰδεῖν προσβολῆς. διὸ καὶ ἔλεγε· προσέχετε, πρὸς τὴν διάγνωσιν αὐτῶν ἀκριβεστέρους ποιῶν. Εἶτα, ἵνα μὴ στενὴν ἀκούσαντες καὶ τεθλιμμένην, καὶ ὅτι ἐναντίαν τοῖς πολλοῖς δεῖ βαδίζειν, καὶ χοίρους φυλάττεσθαι καὶ κύνας, καὶ μετὰ τούτων καὶ ἕτερον πονηρότερον γένος τοῦτο τὸ τῶν λύκων· ἵνα μὴ τῷ πλήθει τῶν λυπηρῶν καταπέσωσι, μέλλοντες καὶ τὴν ἐναντίαν τοῖς πολλοῖς ἰέναι, καὶ μετὰ τούτων πάλιν καὶ τὴν ὑπὲρ τούτων ἔχειν φροντίδα, ἀνέμνησε τῶν ἐπὶ τῶν πατέρων αὐτῶν γενομένων, ψευδοπροφήτας καλέσας. καὶ γὰρ καὶ τότε τοιαῦτα συνέβαινε. μὴ τοίνυν θορυβεῖσθε, φησίν. οὐδὲν γὰρ καινὸν οὐδὲ ξένον συμβήσεται. τῇ γὰρ ἀληθείᾳ παρυφίστησιν ἀεὶ τὴν ἀπάτην ὁ διάβολος. ψευδοπροφήτας δὲ ἐνταῦθα, οὐ τοὺς αἱρετικοὺς αἰνίττεσθαί μοι δοκεῖ, ἀλλὰ τοὺς βίου μὲν ὄντας διεφθαρμένου, προσωπεῖον δὲ ἀρετῆς περικειμένους, οὓς τῇ τῶν ἐπιθέτων προσηγορίᾳ καλεῖν εἰώθασιν οἱ πολλοί. διὸ καὶ ἐπήγαγε λέγων·

Λυκ.κα.

16 Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

Παρὰ γὰρ αἱρετικοῖς ἔστι πολλάκις καὶ βίον εὑρεῖν· παρὰ δὲ τούτοις οἷς εἶπον, οὐδαμῶς. τί οὖν, φησίν, ἂν καὶ ἐν τούτοις ὑποκρίνωνται; ἀλλὰ ἁλώσονται ῥᾳδίως. τοιαύτη γὰρ ἡ τῆς ὁδοῦ [ταύτης] φύσις, ἣν ἐκέλευσα βαδίζειν, ἐπίπονος καὶ μοχθηρά· ὁ δὲ ὑποκριτὴς πονεῖν οὐκ ἂν ἕλοιτο, ἀλλ᾽ ἐπιδείκνυσθαι μόνον. διὸ καὶ ἐλέγχεται ῥᾳδίως. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν, ἐκκαθαίρει πάλιν αὐτοὺς ἀπὸ τῶν οὐχ εὑρισκόντων μέν, ὑποκρινομένων δέ, κελεύων μὴ τοὺς τὰ προσωπεῖα περικειμένους μόνον ὁρᾶν, ἀλλὰ καὶ τοὺς μετὰ ἀληθείας μετιόντας αὐτήν. καὶ τίνος ἕνεκεν οὐ καταδήλους αὐτοὺς ἐποίησε, φησίν, ἀλλ᾽ ἡμᾶς εἰς τὴν ἔρευναν ἐνέβαλεν; ἵνα γρηγορῶμεν καὶ ἐναγώνιοι διὰ παντὸς ὦμεν, μὴ τοὺς φανεροὺς μόνους, ἀλλὰ καὶ τοὺς κρυπτομένους ἐχθροὺς φυλαττόμενοι. ὅπερ οὖν καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν· Ὅτι τῇ χρηστολογίᾳ ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. μὴ τοίνυν θορυβώμεθα, ἐπειδὰν πολλοὺς τοιούτους καὶ νῦν ὄντας ἴδωμεν. καὶ γὰρ καὶ τοῦτο προεῖπεν ἄνωθεν ὁ Χριστός. καὶ ὅρα τὴν ἡμερότητα. οὐδὲ γὰρ εἶπε, κολάσατε αὐτούς, ἀλλὰ μὴ βλαβῆτε παρ᾽ αὐτῶν, μὴ ἀφύλακτοι αὐτοῖς περιπέσητε. Εἶτα, ἵνα μὴ λέγῃς ὅτι ἀδύνατον ἐπιγνῶναι τοὺς τοιούτους, πάλιν λογισμὸν ἀπὸ παραδείγματος ἀνθρωπίνου τίθησιν, οὕτω λέγων·

Ρω.ις.ιη.

Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν; ἢ ἀπὸ τριβόλων σῦκα;

17 Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

18 Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν ἔχουσιν ἥμερον, οὐδὲ γλυκὺ μέχρι τῆς δορᾶς τὸ πρόβατον· διὸ καὶ εὔκολος ἡ διάγνωσις. καὶ ἵνα μὴ [δὲ] τὸ τυχὸν ἐνδοιάζῃς, φυσικαῖς ἀνάγκαις παραβάλλει τὰ οὐκ ἐγχωροῦντα ἄλλως γενέσθαι· ὅπερ καὶ ὁ Παῦλος ἔλεγε, Τὸ [γὰρ] φρόνημα τῆς σαρκὸς θάνατος. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται. Εἰ δὲ δεύτερον τὸ αὐτὸ τίθησιν, οὐκ ἔστι ταυτολογία. ἵνα γὰρ μή τις εἴπῃ, ὅτι τὸ πονηρὸν δένδρον φέρει μὲν καρποὺς πονηρούς, φέρει δὲ καὶ ἀγαθούς, καὶ δύσκολον ποιεῖ τὴν διάγνωσιν διπλῆς τῆς φορᾶς οὔσης, οὐκ ἔστι, φησί, τοῦτο. πονηροὺς γὰρ φέρει μόνον, καὶ ἀγαθοὺς οὐκ ἄν ποτε ἐνέγκοι· ὥσπερ οὖν καὶ τὸ ἐναντίον. τί οὖν; οὐκ ἔστιν ἀνὴρ ἀγαθός, γινόμενος πονηρός; καὶ τοὐναντίον πάλιν ἐστί, καὶ πολλῶν ὁ βίος τοιούτων γέμει παραδειγμάτων.

Ρω.η.ϛ.

ὁ δὲ Χριστὸς οὐ τοῦτο λέγει, ὅτι τὸν πονηρὸν ἀμήχανον μεταβάλλεσθαι, ἢ τὸν ἀγαθὸν ἀδύνατον μεταπεσεῖν· ἀλλ' ὅτι ἕως ἂν ᾖ πονηρίᾳ συζῶν, οὐ δυνήσεται καρπὸν ἀγαθὸν ἐνεγκεῖν. μεταβάλλειν μὲν γὰρ εἰς ἀρετὴν δύναται πονηρὸς ὤν· μένων δὲ ἐν πονηρίᾳ, καρπὸν οὐκ οἴσει καλόν. τί οὖν; ὁ Δαβὶδ ἀγαθὸς ὢν οὐ πονηρὸν καρπὸν ἤνεγκεν; οὐχὶ μένων ἀγαθός, ἀλλὰ μεταβληθείς· ὡς, εἴγε ἔμεινεν ὅπερ ἦν διηνεκῶς, οὐκ ἂν καρπὸν τοιοῦτον ἤνεγκεν. οὐ γὰρ δὴ μένων ἐν τῇ τάξει τῆς ἀρετῆς ἐτόλμησεν ἅπερ ἐτόλμησε. ταῦτα δὲ καὶ τοὺς ἁπλῶς διαβάλλοντας ἐπιστομίζων ἔλεγε, καὶ τῶν κακηγόρων χαλινῶν τὰ στόματα. ἐπειδὴ γὰρ πολλοὶ τοὺς ἀγαθοὺς ἀπὸ τῶν πονηρῶν ὑποπτεύουσι, πάσης ἀποστερῶν αὐτοὺς ἀπολογίας τοῦτο εἴρηκεν. οὐδὲ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι ἠπάτημαι παρελογίσθην. καὶ γὰρ ἀκριβῆ σοι παρέσχον τὴν ἀπὸ τῶν ἔργων διάγνωσιν, προστάξας βαδίζειν ἐπὶ τὰς πράξεις, καὶ μὴ πάντα ἁπλῶς συνταράττειν. εἶτα ἐπειδὴ κολάζειν μὲν αὐτοὺς οὐκ ἐκέλευσε, φυλάττεσθαι δὲ μόνον, ὁμοῦ καὶ τοὺς ἐπηρεαζομένους παρ' αὐτῶν παραμυθούμενος, κἀκείνους φοβῶν καὶ μεταβάλλων, ἐπετείχισεν αὐτοῖς τὴν παρ' αὐτοῦ κόλασιν, εἰπών·

19 Ὅτι πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Εἶτα ἀνεπαχθέστερον ποιῶν τὸν λόγον, ἐπήγαγεν·

20 Ἄρα οὖν ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

Ἵνα [δὲ] μὴ προηγουμένην τὴν ἀπειλὴν δόξῃ εἰσάγειν, * ἐν τάξει παραινέσεως καὶ συμβουλῆς κατασείει αὐτῶν τὴν διάνοιαν. ἐνταῦθά μοι καὶ Ἰουδαίους αἰνίττεσθαι δοκεῖ, τοιούτους καρποὺς ἐπιδεικνυμένους. διὸ καὶ τῶν Ἰωάννου ῥημάτων ὑπέμνησε, διὰ τῶν αὐτῶν ὀνομάτων τὴν τιμωρίαν αὐτοῖς ὑπογράψας. καὶ γὰρ καὶ ἐκεῖνος ταῦτα ἔλεγεν, ἀξίνης, καὶ δένδρου κοπτομένου, καὶ πυρὸς ἀσβέστου πρὸς αὐτοὺς μεμνημένος.

ΗΘΙΚΟΝ

Καὶ δοκεῖ μὲν μία τις εἶναι τιμωρία, τὸ κατακαίεσθαι· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, δύο αὗται κολάσεις εἰσίν. ὁ γὰρ καιόμενος καὶ τῆς βασιλείας ἐκπίπτει πάντως· αὕτη δὲ ἐκείνης χαλεπωτέρα ἡ τιμωρία. καὶ οἶδα μὲν ὅτι πολλοὶ τὴν γέενναν μόνον πεφρίκασιν· ἐγὼ δὲ τὴν ἔκπτωσιν τῆς δόξης ἐκείνης πολὺ τῆς γεέννης κόλασιν πικροτέραν εἶναί φημι. εἰ δὲ μὴ δυνατὸν παραστῆσαι τῷ λόγῳ, θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ ἴσμεν ἐκείνων τῶν ἀγαθῶν τὴν μακαριότητα, ἵνα καὶ τὴν ἀθλιότητα τὴν ἀπὸ τῆς στερήσεως αὐτῶν σαφῶς εἰδῶμεν· ἐπεὶ καὶ Παῦλος ὁ ταῦτα σαφῶς εἰδώς, οἶδεν ὅτι τὸ ἐκπεσεῖν τῆς δόξης τοῦ Χριστοῦ πάντων ἐστὶ χαλεπώτερον. καὶ τοῦτο καὶ ἡμεῖς εἰσόμεθα τότε, ὅταν εἰς αὐτὴν τὴν πεῖραν ἐμπέσωμεν. ἀλλὰ μή ποτε τοῦτο πάθοιμεν, ὦ μονογενὲς τοῦ Θεοῦ παῖ, μηδὲ λάβοιμεν ποτέ τινα πεῖραν τῆς ἀνηκέστου ταύτης κολάσεως. ὅσον γάρ ἐστι κακὸν ἐκπεσεῖν τῶν ἀγαθῶν ἐκείνων, σαφῶς μὲν εἰπεῖν οὐκ ἔνι· πλήν, ὡς ἂν οἷός τε ὦ, βιάσομαι καὶ φιλονεικήσω δι' ὑποδείγματος ὑμῖν αὐτὸ κἂν κατὰ μικρὸν ποιῆσαι φανερόν. ὑποθώμεθα γὰρ εἶναι παιδίον θαυμαστόν, καὶ μετὰ τῆς ἀρετῆς καὶ τὴν βασιλείαν τῆς οἰκουμένης ἔχειν, καὶ οὕτως εἶναι ἐνάρετον πανταχοῦ, ὡς δύνασθαι ἅπαντας αὐτῷ ἐν φιλοστοργίᾳ πατρικῆς καταστῆσαι διαθέσεως. τί τοίνυν οὐκ ἂν οἴεσθε τὸν πατέρα τὸν τούτου παθεῖν ἂν ἡδέως, ὥστε μὴ ἐκπεσεῖν αὐτοῦ τῆς ὁμιλίας; τί δὲ ἢ μικρὸν ἢ μέγα κακὸν οὐκ ἂν δέξασθαι, ὥστε ὁρᾶν καὶ ἀπολαύειν αὐτοῦ; τοῦτο τοίνυν καὶ ἐπὶ τῆς δόξης ἐκείνης λογιζώμεθα. οὐ γὰρ οὕτω πατρὶ παιδίον, κἂν μυριάκις ἐνάρετον ᾖ, ποθεινόν ἐστι καὶ ἐπέραστον, ὡς τῶν ἀγαθῶν ἡ λῆξις ἐκείνων, καὶ τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. ἀφόρητον καὶ ἡ γέεννα καὶ ἡ κόλασις ἐκείνη. πλὴν κἂν μυρίας τις θῇ γεέννας, οὐδὲν τοιοῦτον ἐρεῖ, οἷον τὸ τῆς μακαρίας ἐκείνης ἐκπεσεῖν δόξης, τὸ μισηθῆναι παρὰ τοῦ Χριστοῦ, τὸ ἀκοῦσαι, ὅτι οὐκ οἶδα ὑμᾶς, τὸ ἐγκληθῆναι ὅτι πεινῶντα αὐτὸν ἰδόντες οὐκ ἐθρέψαμεν. καὶ γὰρ βέλτιον μυρίους ὑπομεῖναι κεραυνούς, ἢ τὸ πρόσωπον ἐκεῖνο τὸ ἥμερον ἰδεῖν ἀποστρεφόμενον ἡμᾶς, καὶ τὸν γαληνὸν ὀφθαλμὸν οὐκ ἀνεχόμενον εἰς ἡμᾶς βλέπειν. εἰ γὰρ αὐτὸς ἐχθρὸν ὄντα με καὶ μισοῦντα αὐτὸν καὶ ἀποστρεφόμενον οὕτως ἐδεξιώσατο, ὡς μηδὲ ἑαυτοῦ φείσασθαι, ἀλλ' ἐκδοῦναι ἑαυτὸν εἰς θάνατον· ὅταν μετὰ πάντα ἐκεῖνα μηδὲ ἄρτου ἀξιώσω αὐτὸν λιμώττοντα, ποίοις λοιπὸν αὐτὸν ὀφθαλμοῖς ὄψομαι; σκόπει δὲ αὐτοῦ καὶ ἐνταῦθα τὴν ἡμερότητα. οὐδὲ γὰρ καταλέγει τὰς εὐεργεσίας, οὐδ' ὅτι τὸν τοσαῦτα ὠφελήσαντα ὑπερεῖδες. οὐδὲ γὰρ λέγει, ἐμὲ τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναί σε παραγαγόντα, τὸν ψυχὴν ἐμπνεύσαντα καὶ ἐπιστήσαντά σε πᾶσι τοῖς ἐν τῇ γῇ, τὸν διὰ σὲ γῆν καὶ οὐρανὸν καὶ θάλατταν καὶ ἀέρα καὶ πάντα τὰ ὄντα ποιήσαντα, τὸν ἀτιμασθέντα παρὰ σοῦ, καὶ τοῦ διαβόλου ἀτιμότερον εἶναι δόξαντα, καὶ μηδὲ οὕτως ἀποστάντα, ἀλλὰ μυρία μετὰ ταῦτα ἐπινοήσαντα, τὸν ἑλόμενον γενέσθαι δοῦλον, τὸν ῥαπισθέντα καὶ ἐμπτυσθέντα, τὸν σφαγέντα καὶ ἀποθανόντα τὸν αἴσχιστον θάνατον, τὸν καὶ ἄνω ὑπὲρ σοῦ ἐντυγχάνοντα, τὸν πνεῦμά σοι χαριζόμενον, τὸν βασιλείας σε καταξιοῦντα, τὸν τοιαῦτα ἐπαγγελλόμενον, τὸν κεφαλὴν σου βουληθέντα εἶναι, καὶ νυμφίον, καὶ ἱμάτιον, καὶ οἶκον, καὶ ῥίζαν, καὶ τροφὴν καὶ πόμα, καὶ ποιμένα καὶ βασιλέα, καὶ ἀδελφὸν, καὶ κληρονόμον καὶ συγκληρονόμον σε ἑλόμενον, τὸν ἀπὸ σκότους εἰς ἐξουσίαν φωτὸς σε ἀγαγόντα (ταῦτα γὰρ καὶ πλείονα τούτων ἔχων εἰπεῖν, οὐδὲν τούτων λέγει) ἀλλὰ τί; μόνον αὐτὸ τὸ ἁμάρτημα. καὶ ἐνταῦθα δείκνυσι τὴν ἀγάπην, καὶ τὸν πόθον, ὃν ἔχει περὶ σὲ, ἐνδείκνυται. οὐδὲ γὰρ εἶπε, πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον ὑμῖν, ἀλλὰ [τὸ ἡτοιμασμένον] τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. καὶ πρότερον λέγει ἃ ἠδίκησαν, καὶ οὐδὲ οὕτως ὑπομένει πάντα εἰπεῖν, ἀλλ' ὀλίγα. καὶ πρὸ τούτων ἐκείνους καλεῖ τοὺς κατωρθωκότας, ἵνα δείξῃ καὶ ἐντεῦθεν δίκαια ἐγκαλῶν. πόσης οὖν κολάσεως τὰ ῥήματα ταῦτα οὐ χαλεπώτερα; εἰ γὰρ ἄνθρωπόν τις εὐεργέτην λιμώττοντα ἰδὼν, οὐκ ἂν περιεῖδεν· εἰ δὲ καὶ περιεῖδεν, ὀνειδιζόμενος εἵλετο μᾶλλον καταδῦναι εἰς τὴν γῆν, ἢ ἐπὶ δύο ἢ [καὶ] τριῶν φίλων ταῦτα ἀκοῦσαι, τί πεισόμεθα ἡμεῖς ἐπὶ τῆς οἰκουμένης ἁπάσης ταῦτα ἀκούοντες, ἅπερ οὐδ' ἂν τότε εἶπεν, εἰ μὴ ὑπὲρ τοῦ καθ' ἑαυτὸν ἀπολογήσασθαι ἐσπούδασεν; ὅτι γὰρ οὐκ ὀνειδίζων αὐτὰ προέφερεν, ἀλλ' ἀπολογούμενος, καὶ ὑπὲρ τοῦ δεῖξαι ὅτι οὐ μάτην οὐδὲ εἰκῆ πρὸς αὐτοὺς ἔλεγε, πορεύεσθε ἀπ' ἐμοῦ, δῆλον ἐκ τῶν ἀφάτων εὐεργεσιῶν. εἰ γὰρ ἐβούλετο ὀνειδίσαι, πάντα ἂν ἐκεῖνα εἰς μέσον ἤγαγε· νυνὶ δὲ ἅπερ ἔπαθε λέγει μόνον. φοβηθῶμεν τοίνυν, ἀγαπητοὶ, τὸ ταῦτα ἀκοῦσαι τὰ ῥήματα. οὐκ ἔστι παίγνιον ὁ βίος· μᾶλλον δὲ ὁ μὲν παρὼν βίος παίγνιον, τὰ δὲ μέλλοντα οὐ παίγνια. τάχα δὲ οὐδὲ παίγνιον μόνον ὁ βίος, ἀλλὰ καὶ τούτου χεῖρον. οὐ γὰρ εἰς γέλωτα τελευτᾷ, ἀλλὰ καὶ πολλὴν φέρει τὴν βλάβην τοῖς μὴ μετὰ ἀκριβείας τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν βουλομένοις. τί γὰρ παίδων, εἰπέ μοι, διεστήκαμεν τῶν παιζόντων καὶ οἰκίας οἰκοδομούντων ἡμεῖς οἱ τὰς λαμπρὰς οἰκίας οἰκοδομοῦντες; τί δὲ ἀριστοποιουμένων αὐτῶν ἡμεῖς οἱ τρυφῶντες; οὐδὲν, πλὴν ὅσον μετὰ κολάσεως ταῦτα πράττομεν. εἰ δὲ οὐδέπω συνορῶμεν τὴν εὐτέλειαν τῶν γινομένων, θαυμαστὸν οὐδέν. οὔπω γὰρ ἄνδρες γεγόναμεν· ὅταν δὲ γενώμεθα, εἰσόμεθα ὅτι πάντα ταῦτα παιδικά. ἐπεὶ καὶ ἐκείνων γινόμενοι ἄνδρες καταγελῶμεν· παῖδες δὲ ὄντες νομίζομεν περισπούδαστα εἶναι, καὶ ὄστρακα καὶ πηλὸν συνάγοντες, τῶν τοὺς μεγάλους ἀνιστώντων περιβόλους οὐκ ἔλαττον φρονοῦμεν. ἀλλ' ὅμως εὐθέως ἀπόλλυνται καὶ καταπίπτει, καὶ οὔτε ἑστῶτά που χρήσιμα γένοιτ' ἂν ἡμῖν· ὥσπερ οὖν οὐδὲ αὗται αἱ λαμπραὶ οἰκίαι. τὸν γὰρ τοῦ οὐρανοῦ πολίτην οὐκ ἂν δύναιντο δέξασθαι, οὐδ' ἂν ἀνάσχοιτο μεῖναι ἐν αὐταῖς ὁ τὴν ἄνω πατρίδα ἔχων· ἀλλ' ὥσπερ ἡμεῖς τοῖς ποσὶ ταῦτα καθαιροῦμεν, οὕτω κἀκεῖνος τῷ φρονήματι καταστρέφει. καὶ καθάπερ ἡμεῖς τῶν παίδων ἐπὶ τῇ καταστροφῇ κλαιόντων καταγελῶμεν· οὕτω καὶ οὗτοι, ταῦτα ὀδυρομένων ἡμῶν, οὐ γελῶσι μόνον, ἀλλὰ καὶ κλαίουσιν· ἐπειδὴ καὶ συμπαθῆ αὐτῶν τὰ σπλάγχνα, καὶ πολλὴ ἐντεῦθεν ἡ βλάβη. γενώμεθα τοίνυν ἄνδρες. μέχρι τίνος χαμαὶ συρόμεθα, ἐπὶ λίθοις καὶ ξύλοις μέγα φρονοῦντες; μέχρι τίνος παίζομεν; καὶ εἴθε μόνον ἐπαίζομεν· νυνὶ δὲ καὶ τὴν ἑαυτῶν προδίδομεν σωτηρίαν. καὶ καθάπερ τὰ παιδία, ὅταν τὴν ἐν τούτοις σχολὴν ἄγῃ τῶν γραμμάτων ἀμελήσαντα, ἐσχάτας ὑπομένουσι πληγάς· οὕτω καὶ ἡμεῖς ἐν τούτοις ἅπασαν τὴν σπουδὴν καταναλίσκοντες, καὶ τὰ πνευματικὰ ἀπαιτούμενοι μαθήματα τότε διὰ τῶν ἔργων, καὶ οὐκ ἔχοντες παρασχεῖν, τὴν ἐσχάτην τιμωρίαν δώσομεν· καὶ οὐδεὶς ὁ ἐξαιρούμενος, κἂν πατὴρ ᾖ, κἂν ἀδελφὸς, κἂν ὁστισοῦν. ἀλλὰ ταῦτα μὲν οἰχήσεται πάντα, ἡ δὲ ἐξ αὐτῶν γινομένη βάσανος, ἀθάνατος μένει καὶ διηνεκής· ὅπερ οὖν καὶ ἐπὶ τῶν παίδων γίνεται, τὰ μὲν παιδικὰ ἀθύρματα τοῦ πατρὸς διὰ τὴν ῥαθυμίαν αὐτῶν τέλεον ἀφανίζοντος, αὐτοὺς δὲ εἰς τὸ διηνεκῶς κλαίειν καθιστῶντος. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοιαῦτά ἐστιν, ὃ μάλιστα πάντων εἶναι δοκεῖ περισπούδαστον, τὸν πλοῦτον εἰς μέσον ἀγάγωμεν, καὶ ἀντιστῶμεν αὐτῷ ψυχῆς ἀρετὴν ἣν ἂν θέλῃς, καὶ τότε αὐτοῦ μάλιστα ὄψει τὴν εὐτέλειαν. θῶμεν τοίνυν δύο ἀνθρώπους εἶναι δύο (καὶ οὔπω λέγω περὶ πλεονεξίας, ἀλλὰ περὶ δικαίου πλούτου τέως) καὶ τῶν δύο τούτων, ὁ μὲν συνακεφ. ζ.

γέτω χρήματα, καὶ πλείτω θάλατταν, καὶ γεωργείτω γῆν, καὶ πολλοὺς ἑτέρους ἐμπορίας εὑρισκέτω τρόπους (καίτοιγε οὐκ οἶδα εἰ ταῦτα ποιῶν δύναται δικαίως κερδαίνειν, πλὴν ἀλλ᾽ ἔστω, καὶ ὑποκείσθω δίκαια κέρδη κερδαίνειν αὐτὸν) καὶ ἀγροὺς ὠνείσθω καὶ ἀνδράποδα καὶ ὅσα τοιαῦτα, καὶ μηδεμία προσέστω τούτοις ἀδικία· ὁ δὲ ἕτερος [τις] τοσαῦτα κεκτημένος, πωλείτω ἀγροὺς, πωλείτω οἰκίας, καὶ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ παρεχέτω τοῖς δεομένοις, ἐπαρκείτω τοῖς πενομένοις, θεραπευέτω νοσοῦντας, τοὺς ἐν ἀνάγκῃ λυέτω, τοὺς ὑπὸ δεσμὰ ἐκβαλλέτω, τοὺς ἐν μετάλλοις ἐλευθερούτω, τοὺς ἐπὶ βρόχον καταγέτω, τοὺς αἰχμαλώτους λυέτω τῆς τιμωρίας. τίνος οὖν βούλεσθε μερίδος εἶναι; καὶ οὐδέπω τὰ μέλλοντα, ἀλλὰ τέως τὰ ἐνταῦθα εἰρήκαμεν. τίνος οὖν εἶναι βούλεσθε; τοῦ συνάγοντος χρυσίον, ἢ τοῦ λύοντος συμφοράς; τοῦ τοὺς ἀγροὺς ὠνουμένου, ἢ τοῦ λιμένα κατασκευάζοντος ἑαυτὸν τῇ τῶν ἀνθρώπων φύσει; τοῦ τὸ πολὺ περιβεβλημένου χρυσίον, ἢ τοῦ μυρίαις εὐφημίαις ἐστεφανωμένου; οὐχ ὁ μὲν ἀγγέλῳ τινὶ προσέοικεν ἐξ οὐρανοῦ καταβάντι πρὸς τὴν τῶν λοιπῶν ἀνθρώπων διόρθωσιν· ὁ δὲ οὐδὲ ἀνθρώπῳ, ἀλλὰ παιδίῳ τινὶ μάτην καὶ ἁπλῶς πάντα συνάγοντι; εἰ δὲ τὸ δικαίως χρηματίζεσθαι οὕτω καταγέλαστον καὶ ἀνοίας ἐσχάτης· ὅταν μηδὲ τὸ δικαίως προσῇ, πῶς οὐ πάντων ἀθλιώτερος ὁ τοιοῦτος; εἰ γὰρ ὁ γέλως τοσοῦτος, ὅταν καὶ γέεννα προσῇ καὶ βασιλείας ἔκπτωσις, πόσων ἂν εἴη θρήνων ἄξιος καὶ ζῶν καὶ τετελευτηκώς; ἀλλὰ καὶ ἕτερον, εἰ βούλει, τῆς ἀρετῆς μεταχειρισώμεθα μέρος. οὐκοῦν ἀγάγωμεν [πάλιν] ἕτερον ἄνθρωπον ἐν δυναστείᾳ ὄντα, πᾶσιν ἐπιτάττοντα, ἀξίωμα περιβεβλημένον μέγα, κήρυκα ἔχοντα λαμπρὸν καὶ ζώνην καὶ ῥαβδούχους, καὶ πολλὴν τὴν τῆς θεραπείας χορόν, οὐχὶ δοκεῖ τοῦτο μέγα εἶναι καὶ μακαριστόν; φέρε οὖν καὶ τούτῳ ἀντιθῶμεν πάλιν ἕτερον, τὸν ἀνεξίκακον καὶ πρᾶον καὶ ταπεινὸν καὶ μακρόθυμον· καὶ οὗτος ὑβριζέσθω, τυπτέσθω, καὶ φερέτω εὐκόλως, καὶ τοὺς τὰ τοιαῦτα ποιοῦντας εὐλογείτω. τίς οὖν ὁ θαυμαστός, εἰπέ μοι, ὁ πεφυσιωμένος καὶ φλεγμαίνων, ἢ ὁ κατεσταλμένος; οὐχ ὁ μὲν ἔοικε πάλιν ταῖς ἄνω δυνάμεσι, ταῖς πολλὴν ἐχούσαις τὴν ἀπάθειαν· ὁ δὲ φύσῃ προσωμένῃ, ἢ ὕδερον ἀνθρώπῳ ἔχοντι καὶ πολλὴν τὴν φλεγμονήν; καὶ ὁ μὲν ἰατρῷ πνευματικῷ, ὁ δὲ τὰς γνάθους φυσῶντι παιδίῳ καταγελάστως; τί γὰρ μέγα φρονεῖς, ἄνθρωπε; ὅτι ὑψηλὸς ἐπὶ ὀχήματος φέρῃ; ὅτι σε ζεῦγος ἡμιόνων ἕλκει; καὶ τί τοῦτο; τοῦτο γὰρ καὶ ἐπὶ ξύλων καὶ ἐπὶ λίθων γινόμενον ἴδοι τις ἄν. ἀλλ᾽ ὅτι ἱμάτια καλὰ περιβέβλησαι; ἀλλ᾽ ὅρα τὸν ἀρετὴν ἀντὶ ἱματίων ἐνδεδυμένον, καὶ ὄψει σαυτὸν μὲν χόρτῳ ἐοικότα σηπομένῳ· ἐκεῖνον δὲ δένδρῳ θαυμαστὸν φέροντι καρπόν, καὶ πολλὴν τοῖς ὁρῶσι παρέχοντι τὴν εὐφροσύνην. σὺ μὲν γὰρ τροφὴν σκωλήκων περιφέρεις καὶ σητῶν· οἳ, ἂν ἐπιθῶνταί σοι, ταχέως σε γυμνὸν ποιήσουσι τοῦ κόσμου τούτου. καὶ γὰρ καὶ ἱμάτια καὶ χρυσὸς καὶ ἄργυρος, τὰ μὲν σκωλήκων νήματα, τὰ δὲ γῆ καὶ κόνις, καὶ πάλιν γῆ καὶ πλέον οὐδέν· ὁ δὲ ἀρετὴν περιβεβλημένος, τοιαύτην ἔχει στολήν, ἣν οὐ μόνον σῆτες, ἀλλ᾽ οὐδὲ αὐτὸς ὁ θάνατος λυμήνασθαι δύναται· καὶ μάλα εἰκότως. οὐ γὰρ ἀπὸ γῆς ἔχουσι τὴν ἀρχὴν αὗται τῆς ψυχῆς αἱ ἀρεταί, ἀλλὰ πνεύματός εἰσι καρπός· διὸ οὐδὲ σκωλήκων ὑπόκεινται στόμασι. καὶ γὰρ ἐν οὐρανῷ τὰ ἱμάτια ταῦτα ὑφαίνονται, ὅπου οὐδὲ σής, οὐδὲ σκώληξ, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. τί τοίνυν, εἰπέ μοι, βέλτιον; πλουτεῖν, ἢ πένεσθαι; ἐν δυναστείᾳ εἶναι, ἢ ἐν ἀτιμίᾳ; ἐν τρυφῇ, ἢ ἐν λιμῷ; εὔδηλον ὅτι ἐν τιμῇ καὶ τρυφῇ καὶ πλούτῳ. οὐκοῦν εἰ τὰ πράγματα βούλει καὶ μὴ τὰ ὀνόματα, τὴν γῆν ἀφεὶς καὶ τὰ ἐν αὐτῇ, μεθορμίζου πρὸς τὸν οὐρανόν. τὰ μὲν γὰρ ἐνταῦθα, σκιά· τὰ δὲ ἐκεῖ, πράγματα ἀκίνητα καὶ πεπηγότα καὶ πᾶσιν ἀχείρωτα. ἑλώμεθα τοίνυν αὐτὰ μετ᾽ ἀκριβείας ἁπάσης, ἵνα καὶ τοῦ θορύβου τοῦ ἐνταῦθα ἀπαλλαγῶμεν, καὶ πρὸς τὸν γαληνὸν ἐκεῖνον καταπλεύσαντες λιμένα, μετὰ πολλῶν τῶν φορτίων φανῶμεν καὶ ἀφάτου τῆς ἐλεημοσύνης πλούτου· οὗ γένοιτο πάντας ἡμᾶς [πλήρεις ἐπὶ τοῦ φοβεροῦ βήματος παραστάντας, τῆς τῶν οὐρανῶν βασιλείας] ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κδ'. 21 Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

Διὰ τί μὴ εἶπεν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τὸ ἐμόν; ὅτι τέως ἀγαπητὸν ἦν [καὶ] τοῦτο πρότερον δέξασθαι. καὶ γὰρ πολὺ τοῦτο μέγα ἦν πρὸς τὴν ἀσθένειαν τὴν ἐκείνων. ἄλλως δὲ καὶ τοῦτο δι᾽ ἐκείνου ᾐνίξατο. μετὰ δὲ τούτων κἀκεῖνό ἐστιν εἰπεῖν ὅτι οὐδὲ ἔστι θέλημα ἕτερον τοῦ υἱοῦ παρὰ τὸ τοῦ πατρός. ἐνταῦθα δέ μοι τῶν Ἰουδαίων μάλιστα καθάπτεσθαι δοκεῖ ἐν τοῖς δόγμασι τιθεμένων τὸ πᾶν, καὶ τοῦ βίου πρόνοιαν οὐδεμίαν ποιουμένων. διὸ καὶ [ὁ] Παῦλος αὐτοῖς ἐγκαλεῖ, λέγων· Ἴδε, σὺ

Ρω. β. ιζ.

Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέλημα· ἀλλ' οὐδέν σοι πλέον ἐντεῦθεν, ὅταν ἡ τοῦ βίου καὶ τῶν ἔργων ἐπίδειξις μὴ προσῇ. αὐτὸς δὲ οὐ [δὲ] μέχρι τούτων ἔστη, ἀλλὰ καὶ τὸ πολλῷ πλέον εἶπε. 22 Πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; Οὐ γὰρ δὴ μόνον, φησὶν, ὁ πίστιν ἔχων, τοῦ βίου ἠμελημένου, τῶν οὐρανῶν ἐκβάλλεται, ἀλλὰ κἂν μετὰ τῆς πίστεως σημεῖα πολλὰ πεποιηκὼς ᾖ, καὶ οὐδὲν ἀγαθὸν ἐργασάμενος, καὶ οὗτος ὁμοίως τῶν ἱερῶν εἴργεται θυρῶν ἐκείνων. πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; ὁρᾷς πῶς λανθανόντως ἑαυτὸν συνεισάγει λοιπὸν, ἐπειδὴ τὴν πᾶσαν ἀπήρτισε δημηγορίαν, καὶ δείκνυσιν ἑαυτὸν ὄντα κριτήν; ὅτι μὲν γὰρ κόλασις ἐκδέξεται τοὺς ἁμαρτάνοντας, ἐν τοῖς ἔμπροσθεν ἔδειξε· τίς δὲ ὁ κολάζων, ἐνταῦθα λοιπὸν ἐκκαλύπτει. καὶ οὐκ εἶπε φανερῶς, ὅτι ἐγώ εἰμι· ἀλλὰ πολλοὶ ἐροῦσί μοι, τὸ αὐτὸ τοῦτο πάλιν κατασκευάζων. εἰ γὰρ μὴ αὐτὸς ἦν ὁ κριτὴς, πῶς ἂν πρὸς αὐτοὺς εἶπε· 23 Καὶ τότε ὁμολογήσω αὐτοῖς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οὐδέποτε ἔγνων ὑμᾶς; Οὐχὶ μόνον ἐν τῷ καιρῷ τῆς κρίσεως· ἀλλ' οὐδὲ τότε, ἡνίκα ἐθαυματουργεῖτε, φησί. διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἔλεγε· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. Λουκ. ι. κ. καὶ πανταχοῦ πολλὴν κελεύει τοῦ βίου σπουδὴν ποιεῖσθαι. οὐ γάρ ἐστιν ἄνθρωπον ὀρθῶς βιοῦντα, καὶ πάντων ἀπηλλαγμένον τῶν παθῶν παροφθῆναί ποτε· ἀλλὰ κἂν πλανώμενος τύχῃ, ταχέως αὐτὸν ὁ Θεὸς πρὸς τὴν ἀλήθειαν ἐπισπάσεται. ἀλλ' εἰσί τινες οἵ φασιν, ὅτι ψευδόμενοι οὗτοι ταῦτα ἔλεγον· διόπερ οὐδὲ ἐσώθησαν, φησίν. οὐκοῦν τὸ ἐναντίον οὗ βούλεται κατασκευάζει. καὶ γὰρ βούλεται ἐνταῦθα δεῖξαι, ὅτι ἡ πίστις οὐδὲν ἰσχύει χωρὶς τῶν ἔργων· εἶτα ἐπιτείνων αὐτὸ, προσέθηκε καὶ τὰ σημεῖα· δηλῶν ὅτι οὐ μόνον ἡ πίστις, ἀλλ' οὐδὲ ἡ τῶν σημείων ἐπίδειξις ὀνίνησί τι τὸν θαυματουργοῦντα ἀρετῆς χωρίς. εἰ δὲ μὴ ἐποίησαν, πῶς ἂν ἐδυνήθη ταῦτα συστῆναι ἐνταῦθα; ἄλλως δὲ, οὐδὲ ἂν ἐτόλμησαν τῆς κρίσεως παρούσης πρὸς αὐτὸν ταῦτα εἰπεῖν. καὶ αὐτὴ δὲ ἡ ἀπόκρισις, καὶ τὸ κατ' ἐρώτησιν λέγειν, δείκνυσιν αὐτοὺς πεποιηκότας. ἐπειδὴ γὰρ ἐναντίον τῇ προσδοκίᾳ τὸ τέλος εἶδον, καὶ ἐνταῦθα μὲν θαυμαστοὶ ἦσαν παρὰ πᾶσι θαυματουργοῦντες, ἐκεῖ δὲ ὁρῶσιν ἑαυτοὺς λοιπὸν κολαζομένους, ὡς ἐκπληττόμενοι καὶ θαυμάζοντες λέγουσι· Κύριε, Κύριε, οὐχὶ ἐν τῷ σῷ ὀνόματι προεφητεύσαμεν; πῶς οὖν ἡμᾶς ἀποστρέφῃ νῦν; τί βούλεται τὸ ξένον καὶ παράδοξον τοῦτο τέλος; ἀλλ' ἐκεῖνοι μὲν θαυμάζουσιν, ὅτι τοιαῦτα θαυματουργήσαντες ἐκολάσθησαν· σὺ δὲ μὴ θαύμαζε. ἡ γὰρ χάρις πᾶσα τοῦ δεδωκότος δωρεᾶς· ἐκεῖνοι δὲ οὐδὲν παρ' ἑαυτῶν εἰσήνεγκαν. διὸ καὶ κολάζεσθαι δίκαιοι, ὅτι περὶ τὸν οὕτω τιμήσαντα, ὡς καὶ ἀναξίοις δοῦναι τὴν χάριν, ἀγνώμονες γεγόνασι καὶ ἀναίσθητοι. τί οὖν, φησίν; ἐργαζόμενοι τὴν ἀνομίαν τοιαῦτα ἐποίουν; καὶ τινὲς μέν φασιν, ὅτι οὐκ ἐν τῷ καιρῷ, ἐν ᾧ ταῦτα ἐθαυματούργουν, καὶ ἠνόμουν, ἀλλ' ὕστερον μετεβάλοντο, καὶ τὴν ἀνομίαν ἐποίουν. ἀλλ' ἐὰν τοῦτο ᾖ, πάλιν τὸ σπουδαζόμενον οὐχ ἵσταται. ὃ γὰρ δεῖξαι ἐσπούδακε, τοῦτό ἐστιν· ὅτι οὔτε πίστις, οὔτε θαύματα ἰσχύει, βίου μὴ παρόντος. ὅπερ οὖν καὶ ὁ Παῦλος ἔλεγεν· Ἐὰν ἔχω πίστιν ὥστε ὄρη μεθιστάνειν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, α. Κορ. ιγ. β. ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. τίνες οὖν εἰσιν οὗτοί, φησι; πολλοὶ τῶν πιστευσάντων ἔλαβον χαρίσματα, οἷος ἦν ὁ τὰ δαιμόνια ἐκβάλλων καὶ οὐκ ὢν μετ' αὐτοῦ, οἷος ἦν ὁ Ἰούδας. καὶ γὰρ καὶ οὗτος πονηρὸς ὢν χάρισμα εἶχε. καὶ ἐν τῇ παλαιᾷ δὲ τοῦτο εὕροι τις ἂν, εἰς ἀναξίους τὴν χάριν ἐνεργήσασαν πολλάκις, ἵνα ἑτέρους εὐεργετήσῃ. ἐπειδὴ γὰρ οὐ πάντες πρὸς πάντα ἐπιτηδείως εἶχον, ἀλλ' οἱ μὲν ἦσαν βίου καθαροῦ, πίστιν δὲ οὐ τοσαύτην εἶχον, οἱ δὲ τοὐναντίον· κἀκείνους διὰ τούτων προτρέπει, ὥστε πολλὴν ἐπιδείξασθαι πίστιν, καὶ τούτους διὰ τῆς ἀφάτου ταύτης δωρεᾶς ὥστε γενέσθαι βελτίους ἐξεκαλεῖτο. διὸ καὶ μετὰ πολλῆς [τῆς] δαψιλείας τὴν χάριν ἐδίδου. δυνάμεις γάρ, φησι, πολλὰς ἐποιήσαμεν· ἀλλ' ὁμολογήσω αὐτοῖς τότε, ὅτι οὐκ οἶδα ὑμᾶς. νῦν μὲν γὰρ νομίζουσιν εἶναί μοι φίλοι· τότε δὲ εἴσονται, ὅτι οὐχ ὡς φίλοις ἔδωκα. καὶ τί θαυμάζεις εἰ ἀνδράσι πεπιστευκόσι μὲν εἰς αὐτὸν, βίον δὲ οὐκ ἔχουσι τῇ πίστει συμβαίνοντα, τὰ χαρίσματα δέδωκεν· ὅπου γε καὶ εἰς τοὺς ἀμφοτέρων τούτων

θύρων

προάγ-
βύλε)
ἐδά-

το σῆναι

Αρ. κβ. Γεν. μα. Δαν. β.

ἐκπεπτωκότας εὑρίσκεται ἐνεργῶν; καὶ γὰρ ὁ Βαλαὰμ καὶ πίστεως καὶ πολιτείας ἀρίστης ἀλλότριος ἦν· ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις διὰ τὴν ἑτέρων οἰκονομίαν. καὶ ὁ Φαραὼ τοιοῦτος· ἀλλ' ὅμως κἀκείνῳ τὰ μέλλοντα ἔδειξε. καὶ ὁ Ναβουχοδονόσορ παρανομώτατος· καὶ τούτῳ πάλιν τὰ μετὰ πολλὰς ὕστερον ἐσόμενα γενεὰς ἀπεκάλυψε· καὶ τῷ παιδὶ πάλιν τῷ ἐκείνου νικῶντι τὸν πατέρα τῇ παρανομίᾳ τὰ μέλλοντα ἔδειξε, θαυμαστὰ καὶ μεγάλα οἰκονομῶν πράγματα. ἐπεὶ οὖν καὶ τότε ἀρχὰς τὸ κήρυγμα εἶχε, καὶ πολλὴν ἔδει γενέσθαι τῆς δυνάμεως αὐτοῦ τὴν ἐπίδειξιν, πολλοὶ καὶ τῶν ἀναξίων δῶρα ἐλάμβανον. ἀλλ' ὅμως ἀπὸ τῶν σημείων τούτων οὐδὲν ἐκέρδαινον ἐκεῖνοι, ἀλλὰ καὶ μᾶλλον κολάζονται. διὸ καὶ τὸ φοβερὸν ἐκεῖνο ῥῆμα εἶπεν αὐτοῖς· οὐδέποτε ἔγνων ὑμᾶς. πολλοὺς γὰρ καὶ ἐντεῦθεν ἤδη μισεῖ, καὶ πρὸ τῆς "κρίσεως ἀποστρέφεται. φοβηθῶμεν τοίνυν, ἀγαπητοί, καὶ πολλὴν ἐπιμέλειαν ποιησώμεθα βίου, μηδὲ νομίζωμεν ἔλαττον ἔχειν, ἐπειδὴ σημεῖα οὐ ποιοῦμεν νῦν. οὐδὲν γὰρ ἐκ τούτου πλέον ἔσται ἡμῖν ποτε, ὥσπερ οὖν οὐδὲ ἔλαττον ἐκ τοῦ μὴ ποιεῖν, ἐὰν ἀρετῆς ἐπιμελώμεθα πάσης. τῶν μὲν γὰρ σημείων οὐκ αὐτοὶ ὀφειλέται ἐσμέν, τοῦ δὲ βίου καὶ τῶν πράξεων τὸν Θεὸν ἔχομεν ὀφειλέτην. ἐπειδὴ τοίνυν πάντα ἀπήρτισε, καὶ περὶ ἀρετῆς διελέχθη μετὰ ἀκριβείας ἁπάσης, καὶ τοὺς ὑποκρινομένους αὐτὴν ἔδειξε διαφόρους ὄντας, τούς τε νηστεύοντας πρὸς ἐπίδειξιν καὶ εὐχομένους, τούς τε ἐν δορᾷ προβάτων παραγινομένους, τούς τε λυμαινομένους αὐτήν, οὓς καὶ χοίρους καὶ κύνας ἐκάλεσε, δεικνὺς λοιπὸν πόσον μὲν τῆς ἀρετῆς καὶ ἐνταῦθα τὸ κέρδος, πόσον δὲ τῆς κακίας τὸ βλάβος, φησί· 24 Πᾶς οὖν, ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ.

"Οἱ μὲν γὰρ μὴ ποιοῦντες, κἂν σημεῖα ἐργάζωνται, πείσονται ἃ ἀκηκόατε. δεῖ δὲ ὑμᾶς εἰδέναι καὶ τίνων οἱ πειθόμενοι τοῖς εἰρημένοις ἅπασιν ἀπολαύσονται, οὐκ ἐν τῷ μέλλοντι αἰῶνι μόνον, ἀλλὰ καὶ ἐνταῦθα. πᾶς γάρ, φησιν, ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ. Εἶδες πῶς ποικίλλει τὸν λόγον, ποτὲ μὲν λέγων· οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, καὶ ἑαυτὸν ἐκκαλύπτων· ποτὲ δὲ λέγων, ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου, καὶ πάλιν κριτὴν ἑαυτὸν εἰσάγων; πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ ἐρῶ, οὐκ οἶδα ὑμᾶς. καὶ ἐνταῦθα πάλιν δείκνυσιν ἑαυτὸν τὴν ἐξουσίαν ἔχοντα τοῦ παντός. διὸ καὶ ἔλεγεν· ὅστις ἀκούει μου τοὺς λόγους τούτους. ἐπειδὴ γὰρ πάντα περὶ τῶν μελλόντων διελέχθη, καὶ βασιλείαν λέγων καὶ μισθὸν ἄφατον, καὶ παράκλησιν, καὶ ὅσα τοιαῦτα, βούλεται καὶ ἐντεῦθεν αὐτοῖς δοῦναι τοὺς καρπούς, καὶ "δεῖξαι πόση καὶ κατὰ τὸν παρόντα βίον ἡ ἰσχὺς τῆς ἀρετῆς. Τίς οὖν ἐστιν ἡ ἰσχὺς τῆς ἀρετῆς; τὸ μετὰ ἀσφαλείας ζῆν, τὸ μηδενὶ τῶν δεινῶν εὐχείρωτον εἶναι, τὸ πάντων ἀνώτερον ἑστάναι τῶν ἐπηρεαζόντων· οὗ τί γένοιτ' ἂν ἴσον; τοῦτο γὰρ οὐδὲ αὐτὸς ὁ τὸ διάδημα περικείμενος ἑαυτῷ "κατασκευάσαι δύναιτ' ἄν, ἀλλ' ὁ ἀρετὴν μετιών. αὐτὸς γὰρ μόνος μετὰ πολλῆς τοῦτο κέκτηται τῆς περιουσίας, ἐν τῷ τῶν παρόντων εὐρίπῳ πραγμάτων πολλῆς ἀπολαύων γαλήνης. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐκ εὐδίας οὔσης, ἀλλὰ σφοδροῦ τοῦ χειμῶνος, καὶ πολλῆς τῆς ταραχῆς, καὶ "πολλῶν τῶν πειρασμῶν, αὐτὸς οὐδὲ μικρὸν σαλευθῆναι δύναται.

25 Κατέβη γάρ, φησιν, ἡ βροχή, ἦλθον οἱ ποταμοί, ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν·

Βροχὴν ἐνταῦθα καὶ ποταμοὺς καὶ ἀνέμους μεταφορικῶς τὰς ἀνθρωπίνας λέγων συμφορὰς καὶ δυσπραγίας· οἷον, συκοφαντίας, ἐπιβουλάς, πένθη, θανάτους, οἰκείων "ἀπωλείας, ἀλλοτρίων ἐπηρείας, πάντα ὅσα ἂν εἴποι τις τὰ ἐν τῷ παρόντι βίῳ κακά. ἀλλ' οὐδενὶ εἴκει, φησίν, ἡ τοιαύτη ψυχή· τὸ δὲ αἴτιον, ὅτι ἐπὶ τῆς πέτρας τεθεμελίωται, πέτραν δὲ τὴν ἀσφάλειαν τῆς ἑαυτοῦ διδασκαλίας "καλεῖ. καὶ γὰρ πέτρας ἰσχυρότερα τὰ προστάγματα αὐτοῦ, ὑψηλότερον πάντων ποιοῦντα τῶν ἀνθρωπίνων κυμάτων. ὁ γὰρ ταῦτα μετὰ ἀκριβείας φυλάττων, οὐκ ἀνθρώπων περιέσται μόνον ἐπηρεαζόντων, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων ἐπιβουλευόντων αὐτῷ. καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, μάρτυς ἡμῖν ὁ Ἰώβ, πάσας δεξάμενος τοῦ διαβόλου τὰς προσβολάς, καὶ μείνας ἀκίνητος· μαρτυρήσειαν δ' ἂν καὶ οἱ ἀπόστολοι, οἱ τῶν κυμάτων τῆς οἰκουμένης προσρηγνυμένων αὐτοῖς, καὶ δήμων, καὶ τυράννων, καὶ οἰκείων, καὶ ἀλλοτρίων, καὶ δαιμόνων, καὶ διαβόλου, καὶ πάσης μηχανῆς κινηθείσης, πέτρας στερρότερον στάντες καὶ ταῦτα πάντα διαλύσαντες. τί τοίνυν τοῦ βίου τούτου μακαριώτερον γένοιτ' ἄν; τοῦτο γὰρ οὐ πλοῦτος, οὐ σώματος ἰσχύς, οὐ δόξα, οὐ δυναστεία, οὐκ ἄλλο οὐδὲν ὑποσχέσθαι δυνήσεται, ἀλλ' ἡ τῆς ἀρετῆς κτῆσις μόνη. οὐ γάρ ἐστιν, οὐκ ἔστι βίον εὑρεῖν ἕτερον κακῶν ἐλεύθερον ἁπάντων, ἀλλ' ἢ τοῦτον μόνον. καὶ μάρτυρες ὑμεῖς, οἱ τὰς ἐν τοῖς βασιλείοις εἰδότες ἐπιβουλάς, οἱ τοὺς θορύβους καὶ τὰς ταραχὰς τὰς ἐν ταῖς τῶν πλουτούντων οἰκίαις. ἀλλ' οὐκ ἐν τοῖς ἀποστόλοις τοιοῦτον οὐδέν. τί οὖν; οὐδὲν γέγονε τοιοῦτον, οὐδ' ἔπαθόν τι δεινὸν παρ' οὐδενὸς ἐκεῖνοι; ὃ γὰρ θαυμαστὸν τοῦτο μάλιστα πάντων ἐστίν, ὅτι πολλὰς μὲν ὑπέμειναν ἐπιβουλάς, καὶ πολλοὶ κατερράγησαν ἐπ' αὐτοὺς οἱ χειμῶνες, τὴν δὲ ψυχὴν αὐτῶν οὐ περιέτρεψαν, οὐδὲ εἰς ἀθυμίαν ἐνέβαλον· ἀλλὰ καὶ γυμνοῖς σώμασι παλαίοντες ἐκράτησαν καὶ περιεγένοντο. καὶ σὺ τοίνυν, ἐὰν θέλῃς ταῦτα ποιεῖν μετὰ ἀκριβείας, πάντων καταγελάσῃ. κἂν γὰρ ᾖς ὠχυρωμένος τῇ τῶν παραινέσεων τούτων φιλοσοφίᾳ, οὐδέν σε λυπῆσαι δυνήσεται. τί γάρ σε βλάψει ὁ βουλόμενος ἐπιβουλεύειν; χρήματά σου ἀφαιρεθήσεται; ἀλλὰ καὶ πρὸ τῆς ἀπειλῆς τῆς ἐκείνου ἐκελεύσθης αὐτῶν καταφρονεῖν, καὶ μετὰ τοσαύτης ἀπέχεσθαι τῆς ὑπερβολῆς, ὡς μηδὲ παρὰ τοῦ δεσπότου τί ποτε τοιοῦτον αἰτεῖν. ἀλλ' εἰς δεσμωτήριον ἐμβάλλει; ἀλλὰ πρὸ τοῦ δεσμωτηρίου οὕτω ζῆν ἐκελεύσθης, ὡς καὶ παντὶ ἐσταυρῶσθαι τῷ κόσμῳ. ἀλλὰ λέγει κακῶς; ἀλλὰ καὶ ταύτης ἀπήλλαξέ σε τῆς ὀδύνης ὁ Χριστός, πολὺν σοι ἀπονητὶ τῆς ἀνεξικακίας ἐπαγγελλόμενος τὸν μισθόν, καὶ οὕτω σε καθαρὸν τῆς ἐντεῦθεν ὀργῆς καὶ λύπης ποιήσας, ὡς καὶ κελεῦσαι ὑπὲρ ἐχθρῶν εὔχεσθαι. ἀλλ' ἐλαύνει, καὶ μυρίοις σε περιβάλλει κακοῖς; ἀλλὰ λαμπρότερόν σοι ποιεῖ τὸν στέφανον. ἀλλ' ἀναιρεῖ καὶ κατασφάττει; καὶ διὰ τούτου τὰ μέγιστά σε ὠφελεῖ πάλιν, τὰ τῶν μαρτύρων σοι ἔπαθλα κατασκευάζων, καὶ ταχύτερον εἰς τὸν ἀκύμαντον λιμένα παραπέμπων, καὶ μείζονος ἀμοιβῆς ὑπόθεσίν σοι παρέχων, καὶ τὴν κοινὴν δίκην πραγματεύεσθαί σε παρασκευάζων. ὃ δὴ καὶ μάλιστα πάντων ἐστὶ θαυμαστότερον· ὅτι οὐ μόνον οὐδὲν παραβλάπτουσιν οἱ ἐπιβουλεύοντες, ἀλλὰ καὶ εὐδοκιμωτέρους ποιοῦσι τοὺς ἐπηρεαζομένους· οὗ τί γένοιτ' ἂν ἴσον, τοιοῦτον ἑλέσθαι βίον, οἷος μόνος οὗτός ἐστιν; ἐπειδὴ γὰρ εἶπε στενὴν καὶ τεθλιμμένην τὴν ὁδόν, κἀντεῦθεν παραμυθούμενος τοὺς πόνους, δείκνυσι πολλὴν αὐτῆς οὖσαν τὴν ἀσφάλειαν, πολλὴν τὴν ἡδονήν· ὥσπερ οὖν καὶ τῆς ἐναντίας πολλὴν τὴν σαθρότητα καὶ τὴν ζημίαν. καθάπερ γὰρ τῆς ἀρετῆς κἀντεῦθεν ἔδειξε τὰ ἔπαθλα, οὕτω καὶ τῆς κακίας τὰ ἐπίχειρα. καὶ γὰρ ὅπερ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ, δι' ἀμφοτέρων πανταχοῦ κατασκευάζει τὴν τῶν ἀκροατῶν σωτηρίαν, διά τε τοῦ ζήλου τῆς ἀρετῆς, διά τε τοῦ τῆς κακίας μίσους. ἐπειδὴ γὰρ ἔμελλόν τινες εἶναι, τὰ μὲν λεγόμενα θαυμάζοντες, τὴν δὲ διὰ τῶν ἔργων οὐ παρέχοντες ἐπίδειξιν, προκαταλαμβάνων αὐτοὺς φοβεῖ, λέγων· ὅτι εἰ καὶ καλὰ τὰ εἰρημένα, οὐκ ἀρκεῖ εἰς ἀσφάλειαν ἡ ἀκρόασις, ἀλλὰ δεῖ καὶ τῆς διὰ τῶν ἔργων ὑπακοῆς, καὶ ὃ πάντων ἐν τούτῳ μάλιστά ἐστι. καὶ ἐνταῦθα καταλύει τὸν λόγον, τὸν φόβον αὐτοῖς ἀκμάζοντα ἀφείς. ὥσπερ γὰρ ἐπὶ τῆς ἀρετῆς, οὐκ ἀπὸ τῶν μελλόντων προέτρεψε μόνον, βασιλείαν εἰπὼν καὶ οὐρανούς, καὶ μισθὸν ἄφατον καὶ παράκλησιν, καὶ τὰ μυρία ἀγαθά, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, τὸ στερρὸν καὶ ἀκίνητον ἐνδειξάμενος τῆς πέτρας· οὕτω καὶ ἐπὶ τῆς κακίας, οὐκ ἀπὸ τῶν προσδοκωμένων φοβεῖ μόνον, οἷον, τοῦ κοπτομένου δένδρου καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ τοῦ μὴ εἰσελθεῖν εἰς τὴν βασιλείαν, καὶ τοῦ λέγειν, Οὐκ οἶδα ὑμᾶς, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, τῆς πτώσεως λέγω τῆς κατὰ τὴν οἰκίαν. διὸ καὶ ἐμφαντικώτερον τὸν λόγον ἐποίησεν ἐπὶ παραβολῆς αὐτὸν γυμνάζων. οὐδὲ γὰρ ἦν εἰπεῖν ἴσον, ὅτι ἀχείρωτος ἔσται ὁ ἐνάρετος, καὶ εὐάλωτος ὁ πονηρὸς, καὶ πέτραν θεῖναι, καὶ οἰκίαν, καὶ ποταμοὺς, καὶ βροχὴν, καὶ ἄνεμον, καὶ ὅσα τοιαῦτα.

26 Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, φησὶ, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ψάμμον.

Καλῶς δὲ μωρὸν ἐκάλεσε τοῦτον. τί γὰρ ἂν γένοιτο ἀνοητότερον τοῦ οἰκίαν οἰκοδομοῦντος ἐπὶ τῆς ψάμμου, καὶ τὸν μὲν πόνον ὑπομένοντος, τοῦ δὲ καρποῦ καὶ τῆς ἀναπαύσεως ἀποστερουμένου, καὶ ἀντὶ τούτου κόλασιν ὑπομένοντος; ὅτι γὰρ καὶ οἱ κακίαν μετιόντες κάμνουσι, παντί που δῆλόν ἐστι. καὶ γὰρ καὶ ὁ ἅρπαξ, καὶ ὁ μοιχὸς, καὶ ὁ συκοφάντης πολλὰ "ποιοῦσι καὶ ταλαιπωροῦνται, ὥστε τὴν αὐτῶν κακίαν εἰς τέλος "ἀγαγεῖν· ἀλλ' οὐ μόνον οὐδὲν ἀπὸ τῶν πόνων τούτων καρποῦνται * κέρδος, ἀλλὰ καὶ πολλὴν ὑπομένουσι τὴν ζημίαν. ἐπεὶ καὶ ὁ Παῦλος "τὸ αὐτὸ αἰνιττόμενος ἔλεγεν· Ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ θερίσει φθοράν. τούτῳ ἐοίκασι "καὶ οἱ ἐπὶ τῆς ψάμμου οἰκοδομοῦντες· οἷον οἱ ἐπὶ πορνείᾳ, οἱ ἐπὶ ἀσελγείᾳ, οἱ ἐπὶ μέθῃ, οἱ ἐπὶ θυμῷ, οἱ ἐπὶ τοῖς ἄλλοις ἅπασι. τοιοῦτος ἦν ὁ Ἀχαάβ, ἀλλ' οὐ τοιοῦτος ὁ Ἠλίας. καὶ γὰρ παράλληλα θέντες τὴν ἀρετὴν καὶ τὴν κακίαν, ἀκριβέστερον εἰσόμεθα τὴν διαφοράν. ὁ μὲν γὰρ ἐπὶ τῆς πέτρας ᾠκοδόμησεν, ὁ δὲ ἐπὶ τῆς ψάμμου· διὸ καὶ βασιλεὺς ὢν ἐδεδοίκει καὶ ἔτρεμε τὸν προφήτην, τὸν τὴν μηλωτὴν ἔχοντα μόνον. τοιοῦτοι οἱ Ἰουδαῖοι, ἀλλ' οὐχ οἱ ἀπόστολοι. διὸ καὶ ὀλίγοι ὄντες καὶ δεδεμένοι, τῆς πέτρας ἐνεδείκνυντο τὸ στερρόν· ἐκεῖνοι δὲ καὶ πολλοὶ καὶ ὡπλισμένοι, τῆς ψάμμου τὸ ἀσθενές*. καὶ γὰρ ἔλεγον, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὁρᾷς ἐν ἀπορίᾳ ὄντας, οὐ τοὺς ὑποχειρίους καὶ δεδεμένους, ἀλλὰ τοὺς κατέχοντας καὶ δεσμεύοντας· οὗ τί γένοιτ' ἂν καινότερον; σὺ κατέχεις, καὶ διαπορεῖς; καὶ μάλα εἰκότως. ἐπειδὴ γὰρ ἐπὶ τῆς ψάμμου [πάντα] ᾠκοδόμηντο, διὰ τοῦτο καὶ ἀσθενέστεροι πάντων ἦσαν. διὰ τοῦτο καὶ πάλιν ἔλεγον· τί ποιεῖτε βουλόμενοι ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; τί φησι; σὺ μαστίζεις, καὶ σὺ φοβῇ; σὺ ἐπηρεάζεις, καὶ σὺ "δέδιας; σὺ κρίνεις, καὶ σὺ τρέμεις; οὕτως ἀσθενὴς ἡ κακία. ἀλλ' οἱ ἀπόστολοι οὐχ οὕτως· * οὐ δυνάμεθα ἡμεῖς ἃ "εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. εἶδες φρόνημα ὑψηλόν; εἶδες πέτραν κυμάτων καταγελῶσαν; εἶδες οἰκίαν ἄσειστον; καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐ μόνον οὐδὲ ἐγίνοντο αὐτοὶ δειλοὶ δι' ὧν ἐπεβουλεύοντο, ἀλλ' ὅτι καὶ πλεῖον ἐλάμβανον θάρσος, κἀκείνους εἰς μείζονα ἐνέβαλον ἀγωνίαν. καὶ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτός ἐστιν ὁ πληττόμενος· καὶ ὁ τὰ κέντρα λακτίζων, αὐτός ἐστιν ὁ κεντούμενος καὶ τὰ χαλεπὰ δεχόμενος τραύματα· καὶ ὁ τοῖς ἐναρέτοις ἐπιβουλεύων, αὐτός ἐστιν ὁ κινδυνεύων. ἡ γὰρ κακία τοσούτῳ μᾶλλον ἀσθενεστέρα γίνεται, ὅσῳπερ ἂν πρὸς τὴν ἀρετὴν παρατάττηται. καὶ καθάπερ ὁ πῦρ ἐν ἱματίῳ δεσμεύων, τὴν μὲν φλόγα οὐκ ἔσβεσε, τὸ δὲ ἱμάτιον ἐδαπάνησεν· οὕτως ὁ τοῖς ἐναρέτοις ἐπηρεάζων, καὶ κατέχων, καὶ δεσμεύων, ἐκείνους μὲν λαμπροτέρους εἰργάσατο, ἑαυτὸν δὲ ἠφάνισε. καὶ γὰρ ὅσα ἂν δεινὰ πάθῃς ἐπιεικῶς ζῶν, τοσούτῳ γέγονας ἰσχυρότερος. ὅσῳ γὰρ ἂν "ἐπιτείνωμεν τὴν φιλοσοφίαν, τοσούτῳ μᾶλλον οὐδενὸς δεησόμεθα· καὶ ὅσῳ ἂν μηδενὸς δεηθῶμεν, τοσούτῳ μᾶλλον ἰσχυροὶ γινόμεθα καὶ πάντων ἀνώτεροι. "οὕτως ἦν ὁ Ἰωάννης· διὸ ἐκεῖνον μὲν οὐδεὶς ἐλύπει, αὐτὸς δὲ ἐλύπει τὸν Ἡρώδην· καὶ ὁ μὲν μηδὲν ἔχων, κατεξανέστη τοῦ κρατοῦντος· ὁ δὲ διάδημα καὶ ἁλουργίδα καὶ μυρίαν φαντασίαν περιβεβλημένος, τρέμει καὶ δέδοικε τὸν πάντων γεγυμνωμένον, καὶ οὐδὲ ἀποτετμημένον τὴν κεφαλὴν ἀδεῶς ἰδεῖν "ἐδύνατο. ὅτι γὰρ καὶ μετὰ τὴν τελευτὴν ἀκμάζοντα εἶχε τὸν φόβον, ἄκουσον τί φησιν· Οὗτός ἐστιν [ὁ] Ἰωάννης, ὃν ἀνεῖλον ἐγώ. τὸ δὲ, ἀνεῖλον, οὐκ ἐπαιρομένου ἦν, ἀλλὰ τὸν φόβον παραμυθουμένου, καὶ πείθοντος τὴν ψυχὴν τὴν ταραττομένην ἀναμνησθῆναι, ὅτι αὐτὸς αὐτὸν ἔσφαξε. Τοσαύτη τῆς ἀρετῆς ἡ ἰσχὺς, ὅτι

Γαλ. ϛ. η.

ὅτι καὶ μετὰ πλοῦτον τὴν ζώντων ἐστὶ δυνατωτέρα. διὰ δὴ τοῦτο καὶ, ἡνίκα ἔζη, οἱ τὰ πολλὰ κεκτημένοι χρήματα πρὸς αὐτὸν ἐρχόμενοι ἔλεγον· τί ποιήσομεν; τοσαῦτα ἔχετε, καὶ παρὰ τοῦ μηδὲν ἔχοντος βούλεσθε μαθεῖν τῆς ὑμετέρας εὐημερίας τὴν ὁδόν; παρὰ τοῦ πένητος οἱ πλουτοῦντες; παρὰ τοῦ οὐδὲ οἰκίαν ἔχοντος οἱ στρατευόμενοι; τοιοῦτος καὶ ὁ Ἠλίας ἦν· διὸ καὶ μετὰ τῆς αὐτῆς παρρησίας τῷ δήμῳ διελέγετο. ὁ μὲν γὰρ ἔλεγε, γεννήματα ἐχιδνῶν· ἐκεῖνος δὲ, Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; καὶ ὁ μὲν ἔλεγεν· Ἐφόνευσας καὶ ἐκληρονόμησας; ὁ δὲ ἔλεγεν· Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. Εἶδες τὴν πέτραν; εἶδες τὴν ψάμμον πῶς εὐκόλως καταπίπτει; πῶς εἴκει ταῖς συμφοραῖς; πῶς περιτρέπεται, κἂν μετὰ βασιλέως, κἂν μετὰ πλήθους ᾖ, κἂν μετὰ δυναστείας; ἁπάντων γὰρ τούτων μετιόντας αὐτὴν ἀναισθητοτέρους ποιεῖ· καὶ οὐδὲ ἁπλῶς καταπίπτει, ἀλλὰ μετὰ πολλῆς τῆς συμφορᾶς.

γ. Βασ. ιη. κα.
γ Βασ. ιη.
Ματθ. ιδ. δ.

27 Καὶ [γὰρ] ἦν, φησιν, ἡ πτῶσις αὐτῆς μεγάλη [σφόδρα.]

ΗΘΙΚΟΝ

Οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ὁ κίνδυνος, ἀλλ' ὑπὲρ ψυχῆς, ὑπὲρ ἐκπτώσεως οὐρανῶν καὶ τῶν ἀθανάτων ἐκείνων ἀγαθῶν· μᾶλλον δὲ καὶ πρὸ ἐκείνων πάντων ἀθλιώτερον ὁ ταύτην διώκων βιώσεται βίον, ἀθυμίαις διηνεκέσι, δειλίαις, φροντίσιν, ἀγωνίαις συζῶν· ὅπερ οὖν καί τις σοφὸς αἰνιττόμενος ἔλεγε, Φεύγει ἀσεβὴς, οὐδενὸς διώκοντος. οἱ γὰρ τοιοῦτοι τὰς σκιὰς τρέμουσι, τοὺς φίλους ὑποπτεύουσι, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας αὐτούς, καὶ πρὸ τῆς κολάσεως ἐνταῦθα τὴν ἐσχάτην τίνουσι κόλασιν. καὶ ταῦτα πάντα δηλῶν ὁ Χριστὸς ἔλεγε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη [σφόδρα,] εἰς τὸ προσῆκον τέλος κατακλείων τὰ καλὰ ταῦτα παραγγέλματα, καὶ τοὺς σφόδρα ἀπίστους πείθων ἐκ τῶν παρόντων φεύγειν κακίαν. εἰ γὰρ καὶ μείζων ὁ περὶ τῶν μελλόντων λόγος, ἀλλὰ τοὺς παχυτέρους οὗτος μᾶλλον ἱκανὸς [ἦν] κατασχεῖν καὶ ἀπαγαγεῖν τῆς πονηρίας. διὸ καὶ εἰς αὐτὸν κατέληξεν, ὥστε ἔναυλον εἶναι τὴν ὠφέλειαν αὐτοῖς. πάντα τοίνυν ταῦτα συνιδόντες, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα, φύγωμεν [τὴν] κακίαν, ζηλώσωμεν ἀρετὴν, ἵνα μὴ μάτην μηδὲ εἰκῆ κάμνωμεν, ἀλλὰ καὶ τῆς ἐνταῦθα ἀπολαύσωμεν ἀσφαλείας, καὶ τῆς ἐκεῖ μετάσχωμεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παροιμ. κη. α.

Ὁμιλ. κε. 28 ΚΑΙ ΕΓΕΝΕΤΟ ΟΤΕ ΕΤΕΛΕΣΕΝ Ο Ἰησοῦς* τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Καὶ μὴν ἀκόλουθον ἦν ἀλγεῖν αὐτοὺς πρὸς τὸ φορτικὸν τῶν εἰρημένων, καὶ ναρκᾶν πρὸς τὸ ὕψος τῶν ἐπιτεταγμένων· νῦν δὲ τοσαύτη ἡ ἰσχὺς τοῦ διδάσκοντος ἦν, ὡς πολλοὺς αὐτῶν καὶ ἑλεῖν, καὶ εἰς θαῦμα μέγιστον ἐμβαλεῖν, καὶ πεῖσαι διὰ τὴν ἡδονὴν τῶν εἰρημένων μηδὲ παυσαμένου τοῦ λέγειν ἀποστῆναι λοιπόν. οὐδὲ γὰρ ἐπειδὴ ἐκ τοῦ ὄρους κατέβη, ἀπέστησαν οἱ ἀκροαταὶ, ἀλλὰ καὶ οὕτω τὸ θέατρον ἅπαν ἠκολούθησε· τοσοῦτον ἐνέθηκεν αὐτοῖς τῶν εἰρημένων ἔρωτα. ἐξεπλήσσοντο δὲ αὐτοῦ μάλιστα τὴν ἐξουσίαν. οὐ γὰρ εἰς ἕτερον ἀναφέρων, ὡς ὁ προφήτης* Μωϋσῆς, ἔλεγεν, ἅπερ ἔλεγεν, ἀλλὰ πανταχοῦ ἑαυτὸν ἐνδεικνύμενος εἶναι τὸν τὸ κῦρος ἔχοντα. καὶ γὰρ νομοθετῶν συνεχῶς προσετίθει, ἐγὼ δὲ λέγω ὑμῖν· καὶ τῆς ἡμέρας ἀναμιμνήσκων ἐκείνης, ἑαυτὸν ἐδείκνυ τὸν δικάζοντα εἶναι, καὶ διὰ τῶν κολάσεων, καὶ διὰ τῶν τιμῶν. καίτοι καὶ ἐντεῦθεν θορυβηθῆναι εἰκὸς ἦν. εἰ γὰρ διὰ τῶν ἔργων ὁρῶντες ἐπιδεικνύμενον αὐτὸν τὴν ἐξουσίαν ἐλίθαζον οἱ γραμματεῖς καὶ ἤλαυνον, ὅπου ῥήματα [ἦν] μόνον τοῦτο ἐμφαίνοντα, πῶς οὐκ εἰκὸς ἦν αὐτοὺς σκανδαλίζεσθαι, [καὶ] μάλιστα ὁπότε ἐν προοιμίοις ταῦτα ἐλέγετο, καὶ πρὶν ἢ πεῖραν αὐτὸν δεδωκέναι τῆς ἑαυτοῦ δυνάμεως; ἀλλ' ὅμως οὐδὲν τούτων ἔπαθον. ὅταν γὰρ ψυχὴ καὶ διάνοια εὐγνώμων ᾖ, ῥᾳδίως πείθεται τοῖς τῆς ἀληθείας λόγοις. διὰ δὴ τοῦτο ἐκεῖνοι μὲν καὶ τῶν σημείων ἀνακηρυττόντων αὐτοῦ τὴν δύναμιν ἐσκανδαλίζοντο· οὗτοι δὲ "λόγον ἀκούοντες "ψιλὸν, ἐπείθοντο καὶ ἠκολούθουν. τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν· ὅτι ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· οὐχὶ τῶν ἀρχόντων τινὲς οὐδὲ τῶν γραμματέων, ἀλλ' ὅσοι κακίας ἦσαν ἀπηλλαγμένοι, καὶ γνώμην εἶχον ἀδέκαστον. διὰ παντὸς δὲ τοῦ εὐαγγελίου τούτους ὁρᾷς αὐτῷ προσηλωμένους. καὶ γὰρ ἡνίκα ἔλεγε, μετὰ σιγῆς ἤκουον, οὐδὲν παρεμβάλλοντες οὔτε διακόπτοντες τὴν ἀκολουθίαν, οὐδὲ ἀποπειρώμενοι καὶ λαβὴν ἐπιθυμοῦντες εὑρεῖν, καθάπερ οἱ Φαρισαῖοι· καὶ μετὰ τὴν δημηγορίαν ἠκολούθουν πάλιν θαυμάζοντες. σὺ δέ μοι σκόπει τοῦ δεσπότου τὴν σύνεσιν, πῶς ποικίλλει τὴν ὠφέλειαν τῶν παρόντων, ἀπὸ θαυμάτων εἰς λόγους "ἐμβαίνων, καὶ πάλιν ἀπὸ τῆς τῶν λόγων διδασκαλίας εἰς θαύματα μεταβαίνων. καὶ γὰρ πρὶν ἢ ἀναβῆναι εἰς τὸ ὄρος, πολλοὺς ἐθεράπευσε, προοδοποιῶν τοῖς λεγομένοις, καὶ μετὰ τὸ τὴν μακρὰν ταύτην ἀπαρτίσαι δημηγορίαν, πάλιν ἐπὶ θαύματα ἔρχεται, βεβαιῶν ἐκ τῶν γινομένων τὰ εἰρημένα. ἐπειδὴ γὰρ

29 Ὡς ἐξουσίαν ἔχων ἐδίδασκεν,

Ἵνα μὴ νομισθῇ κόμπος εἶναι καὶ αὐθαδιασμὸς οὗτος τῆς διδασκαλίας ὁ τρόπος, καὶ ἐν τοῖς ἔργοις τὸ αὐτὸ τοῦτο ποιεῖ, καὶ ὡς ἐξουσίαν ἔχων "θεραπεύει, ἵνα μηκέτι θορυβῶνται ὁρῶντες αὐτὸν οὕτω διδάσκοντα, ὁπότε καὶ τὰ θαύματα οὕτως ἐποίει.

κεφ. η. 1 Καταβάντι γὰρ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.

2 Καὶ προσῆλθε λεπρὸς λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

Πολλὴ ἡ σύνεσις καὶ ἡ πίστις τοῦ προσελθόντος. οὐ γὰρ διέκοψε τὴν διδασκαλίαν, οὐδὲ ἔτεμε τὸ θέατρον, ἀλλ' "ἀνέμεινε τὸν προσήκοντα καιρὸν, καὶ καταβάντι αὐτῷ προσέρχεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ [καὶ] μετὰ πολλῆς τῆς θερμότητος, καὶ "πρὸς τῶν γονάτων αὐτὸν παρακαλεῖ, ὥς ἕτερός φησιν εὐαγγελιστὴς, καὶ μετὰ γνησίας τῆς πίστεως καὶ τῆς προσηκούσης περὶ αὐτοῦ δόξης. οὐδὲ γὰρ εἶπεν, ἐὰν ἀξιώσῃς τὸν Θεὸν, οὐδὲ, ἐὰν εὔξῃ· ἀλλ' ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· οὐδὲ εἶπε· Κύριε, καθάρισον, ἀλλ' αὐτῷ τὸ πᾶν ἐπιτρέπει, καὶ κύριον "ποιεῖται τῆς διορθώσεως, καὶ τὴν ἐξουσίαν αὐτῷ μαρτυρεῖ ἅπασαν. τί οὖν, φησιν, εἰ ἐσφαλμένη ἡ δόξα τοῦ λεπροῦ ἦν; καταλῦσαι αὐτὴν ἐχρῆν καὶ ἐπιτιμῆσαι καὶ διορθῶσαι. ἆρ' οὖν τοῦτο ἐποίησεν; οὐδαμῶς· ἀλλὰ καὶ τοὐναντίον ἅπαν, καὶ συνίστησι καὶ βεβαιοῖ τὸ εἰρημένον. διά τοι τοῦτο οὐδὲ εἶπε, καθαρίσθητι·

3 Ἀλλὰ, θέλω, καθαρίσθητι, Ἵνα μηκέτι τῆς ὑπονοίας τῆς ἐκείνου, ἀλλὰ τῆς γνώμης τῆς αὐτοῦ τὸ δόγμα γένηται. ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως· ἀλλὰ πῶς; ἐπειδὴ ὁ δῆμος ἐξεπλήττετο ἅπας, ἔλεγον· τί προσέχετε ἡμῖν, ὡς ἰδίᾳ δυνάμει ἢ ἐξουσίᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ὁ δὲ δεσπότης, καίτοι πολλὰ μέτρια φθεγξάμενος πολλάκις καὶ καταδεέστερα τῆς αὐτοῦ δόξης, ὥστε πῆξαι τὸ δόγμα ἐνταῦθα τῶν ἐκπληττομένων αὐτὸν ἐπὶ τῇ ἐξουσίᾳ, [τί] φησι; θέλω, καθαρίσθητι. καίτοι τοσαῦτα καὶ τηλικαῦτα ποιήσας σημεῖα, οὐδαμοῦ φαίνεται τοῦτο εἰρηκὼς τὸ ῥῆμα· ἐνταῦθα μέντοι ὥστε κυρῶσαι τὴν ὑπόνοιαν καὶ τοῦ δήμου παντὸς καὶ τοῦ λεπροῦ τὴν περὶ τῆς ἐξουσίας, διὰ τοῦτο προσέθηκε, θέλω. καὶ οὐκ εἶπε μὲν τοῦτο, οὐκ ἐποίησε δέ· ἀλλὰ καὶ τὸ ἔργον εὐθέως ἠκολούθησεν. εἰ δὲ μὴ καλῶς ἔλεγεν, ἀλλὰ βλασφημία ἦν τὸ εἰρημένον, ἔδει διακοπῆναι τὸ ἔργον· νυνὶ δὲ καὶ εἶξεν ἡ φύσις ἐπιταττομένη, καὶ μετὰ τοῦ προσήκοντος τάχους, καὶ μείζονος ἢ ὁ εὐαγγελιστὴς εἶπε. καὶ γὰρ

τὸ εὐθέως, πολὺ βραδύτερόν ἐστι τοῦ τάχους τοῦ κατὰ τὸ ἔργον γεγενημένου. οὐχ ἁπλῶς δὲ εἶπε, θέλω, καθαρίσθητι· ἀλλὰ καὶ

Τὴν χεῖρα ἐκτείνας ἥψατο αὐτοῦ· Ὃ δὴ μάλιστα ἄξιον ζητήσεως. τίνος γὰρ ἕνεκεν θελήματι καθαίρων αὐτὸν καὶ λόγῳ, τὴν τῆς χειρὸς προσέθηκεν ἁφήν; ἐμοὶ δοκεῖ δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα δείξῃ καὶ ἐντεῦθεν ὅτι οὐχ ὑπόκειται τῷ νόμῳ, ἀλλ' ἐπίκειται· καὶ ὅτι τῷ καθαρῷ λοιπὸν οὐδὲν ἀκάθαρτον. διὰ δὴ τοῦτο Ἐλισσαῖος μὲν οὐδὲ ἑώρα τὸν Νεεμάν, ἀλλὰ καὶ σκανδαλισθέντα ἰδών, ἐπειδὴ μὴ ἐξῆλθε μηδὲ ἥψατο, τηρῶν τοῦ νόμου τὴν ἀκρίβειαν οἴκοι μένει, καὶ πέμπει πρὸς τὸν Ἰορδάνην αὐτὸν λουσόμενον· ὁ δὲ δεσπότης, δεικνὺς ὅτι οὐχ ὡς δοῦλος ἀλλ' ὡς Κύριος θεραπεύει, καὶ ἅπτεται. οὐ γὰρ ἡ χεὶρ ἀπὸ τῆς λέπρας ἐγένετο ἀκάθαρτος, ἀλλὰ τὸ σῶμα τὸ λεπρὸν ἀπὸ τῆς χειρὸς τῆς ἁγίας καθίστατο καθαρόν. οὐ γὰρ δὴ μόνον σώματα παρεγένετο θεραπεύσων, ἀλλὰ καὶ ψυχὴν εἰς φιλοσοφίαν ἐνάξων. ὥσπερ οὖν [καὶ] χερσὶν ἀνίπτοις ἐσθίειν οὐκ ἔτι λοιπὸν ἐκώλυε, τὸν ἄριστον ἐκεῖνον εἰσάγων νόμον, τὸν περὶ τῆς τῶν βρωμάτων ἀδιαφορίας· οὕτω δὴ καὶ ἐνταῦθα [λοιπὸν] παιδεύων ὅτι τῆς ψυχῆς ἐπιμελεῖσθαι χρή, καὶ τῶν ἔξωθεν ἀπαλλαγέντας καθαρμῶν ἐκείνην ἀποσμήχειν καὶ τὴν αὐτῆς λέπραν δεδοικέναι μόνον, ὅπερ ἐστὶν ἁμαρτία (τὸ γὰρ λεπρὸν εἶναι οὐδὲν κώλυμα εἰς ἀρετήν) πρῶτος αὐτὸς ἅπτεται τοῦ λεπροῦ, καὶ οὐδεὶς ἐγκαλεῖ. οὐδὲ γὰρ ἦν διεφθαρμένον τὸ δικαστήριον, οὐδὲ ὑπὸ φθόνου κατεχόμενοι οἱ ἀκροαταί. διὰ τοῦτο οὐ μόνον οὐκ ἐπέσκηψαν, ἀλλὰ καὶ ἐξεπλάγησαν τὸ θαῦμα καὶ παρεχώρησαν, ἀπό τε τῶν εἰρημένων, ἀπό τε τῶν γινομένων τὴν ἀμήχανον αὐτοῦ δύναμιν προσκυνήσαντες. θεραπεύσας τοίνυν αὐτοῦ τὸ σῶμα, κελεύει

4 Μηδενὶ εἰπεῖν, ἀλλὰ δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ, καὶ προσενεγκεῖν τὸ δῶρον ὃ προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. Τινὲς μὲν οὖν φασιν, ὅτι διὰ τοῦτο ἐκέλευσε μηδενὶ μηδὲν εἰπεῖν, ἵνα μὴ κακουργήσωσι περὶ τὴν διάκρισιν τοῦ καθαρμοῦ, σφόδρα ἀνοήτως τοῦτο ὑποπτεύοντες. οὐ γὰρ οὕτως ἐκάθηρεν, ὡς καὶ ἀμφισβητήσιμον εἶναι τὸν καθαρμόν· ἀλλὰ μηδενὶ εἰπεῖν κελεύει, διδάσκων τὸ ἀκόμπαστον καὶ ἀφιλότιμον. καίτοιγε ᾔδει ὅτι οὐ πεισθήσεται ἐκεῖνος, ἀλλ' ἀνακηρύξει τὸν εὐεργέτην· ἀλλ' ὅμως τὸ αὐτοῦ ποιεῖ. πῶς οὖν ἀλλαχοῦ κελεύει εἰπεῖν, φησιν; οὐχὶ ἑαυτῷ περιπίπτων οὐδὲ ἐναντιούμενος, ἀλλὰ παιδεύων εὐγνώμονας εἶναι. οὐδὲ γὰρ ἐκεῖ ἀνακηρύττειν ἑαυτὸν ἐκέλευσεν, ἀλλὰ δοῦναι δόξαν τῷ Θεῷ· διὰ μὲν τοῦ λεπροῦ τούτου, ἀτύφους ἡμᾶς παρασκευάζων καὶ ἀκενοδόξους, διὰ δὲ ἐκείνου, εὐχαρίστους καὶ εὐγνώμονας εἶναι, καὶ παιδεύων πανταχοῦ τῶν γινομένων τὴν εὐφημίαν ἀναφέρειν τῷ δεσπότῃ. ἐπειδὴ γάρ, ὡς τὰ πολλά, οἱ ἄνθρωποι νοσοῦντες μὲν μέμνηνται τοῦ Θεοῦ, τῆς δὲ ἀρρωστίας ἀπαλλαγέντες ῥᾳθυμότεροι γίνονται), κελεύων διηνεκῶς καὶ νοσοῦντας καὶ ὑγιαίνοντας προσέχειν τῷ δεσπότῃ, φησί· δὸς δόξαν τῷ Θεῷ. τίνος δὲ ἕνεκεν καὶ δεῖξαι ἑαυτὸν ἐκέλευσε τῷ ἱερεῖ καὶ δῶρον προσενεγκεῖν; πάλιν τὸν νόμον ἐνταῦθα ἀναπληρῶν. οὐδὲ γὰρ πανταχοῦ αὐτὸν παρέλυεν, ὥσπερ οὐδὲ πανταχοῦ ἐφύλαττεν· ἀλλὰ ποτὲ μὲν τοῦτο ἐποίει, ποτὲ δὲ ἐκεῖνο· τοῦτο μὲν τῇ μελλούσῃ φιλοσοφίᾳ προοδοποιῶν, ἐκείνῳ δὲ τὴν ἀναίσχυντον τῶν Ἰουδαίων τέως κατέχων γλῶτταν, καὶ συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. καὶ τί θαυμάζεις εἴγε ἐν προοιμίοις αὐτὸς τοῦτο ἐποίησεν· ὅπουγε καὶ οἱ ἀπόστολοι μετὰ τὸ κελευσθῆναι εἰς τὰ ἔθνη ἀπελθεῖν, καὶ τὰς θύρας ἀνοιγῆναι τῆς κατὰ τὴν οἰκουμένην διδασκαλίας, καὶ τὸν νόμον ἐκκλεισθῆναι, καὶ ἀνανεωθῆναι τὰ προστάγματα, καὶ τὰ παλαιὰ ἀναπαύσασθαι ἅπαντα, φαίνονται ποτὲ μὲν τηροῦντες τὸν νόμον, ποτὲ δὲ αὐτὸν παρατρέχοντες; καὶ τί τοῦτο, φησί, πρὸς τὴν τοῦ νόμου συντελεῖ φυλακήν, τὸ εἰπεῖν, δεῖξον σεαυτὸν τῷ ἱερεῖ; οὐ τὸ τυχόν. καὶ γὰρ νόμος ἦν παλαιός, τὸν λεπρὸν καθαρθέντα μὴ ἑαυτῷ τὴν δοκιμασίαν ἐπιτρέπειν τοῦ καθαρισμοῦ, ἀλλὰ φαίνεσθαι τῷ ἱερεῖ, καὶ τοῖς ὀφθαλμοῖς τοῖς ἐκείνου

παρέχειν τὴν ἀπόδειξιν, καὶ ἀπὸ τῆς ψήφου ταύτης ἐγκρίνεσθαι τοῖς καθαροῖς. Εἰ γὰρ μὴ εἶπεν ὁ ἱερεὺς ὅτι "κεκαθάρισται ὁ λεπρὸς, ἔτι μετὰ τῶν ἀκαθάρτων ἔμενεν ἔξω τῆς παρεμβολῆς. Διό φησι, δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωϋσῆς. Οὐκ εἶπεν, ὃ "προστάσσω ἐγὼ, ἀλλὰ τέως παραπέμπει τῷ νόμῳ, "πανταχόθεν ἀποῤῥάπτων αὐτῶν τὰ στόματα. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι τῶν ἱερέων τὴν δόξαν ἥρπασε, τὸ μὲν ἔργον αὐτὸς ἐπλήρωσε, τὴν δὲ δοκιμασίαν ἐκείνοις ἐπέτρεψε, καὶ κριτὰς αὐτοὺς ἐκάθισε τῶν οἰκείων θαυμάτων. Τοσοῦτον γὰρ ἀπέχω "μάχεσθαι, φησὶν, ἢ Μωϋσῇ ἢ τοῖς ἱερεῦσιν, ὅτι καὶ τοὺς παρ' ἐμοῦ εὐεργετηθέντας εἰς τὸ πείθεσθαι ἐκείνοις "ἐνάγω. Τί δέ ἐστιν, Εἰς μαρτύριον αὐτοῖς; Εἰς ἔλεγχον, εἰς ἀπόδειξιν, εἰς κατηγορίαν, ἐὰν ἀγνωμονῶσιν. Ἐπειδὴ γὰρ ἔλεγον· ὡς πλάνον καὶ ἀπατεῶνα διώκομεν, ὡς ἀντίθεον καὶ παράνομον, σύ μοι μαρτυρήσεις, φησὶ, κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτι οὐ παράνομος ἐγώ. Καὶ γὰρ θεραπεύσας σε παραπέμπω τῷ νόμῳ καὶ τῇ τῶν ἱερέων δοκιμασίᾳ· ὅπερ τιμῶντος ἦν τὸν νόμον, καὶ θαυμάζοντος τὸν Μωϋσέα, καὶ οὐκ ἐναντιουμένου τοῖς παλαιοῖς δόγμασιν. Εἰ δὲ μηδὲν ἔμελλον κερδαίνειν, κἀντεῦθεν μάλιστα τὴν πρὸς τὸν νόμον αὐτοῦ καταμαθεῖν ἔστι τιμὴν, ὅτι καὶ προειδὼς οὐδὲν καρπωσομένους, τὰ αὐτοῦ πάντα ἐπλήρου. Καὶ γὰρ προῄδει τοῦτο αὐτὸ καὶ προεῖπεν. Οὐδὲ γὰρ εἶπεν, Εἰς διόρθωσιν αὐτῶν, οὐδὲ εἰς διδασκαλίαν· ἀλλ', Εἰς μαρτύριον αὐτοῖς, τουτέστιν, εἰς κατηγορίαν καὶ εἰς ἔλεγχον καὶ εἰς μαρτυρίαν, ὅτι σοι παρ' ἐμοῦ πάντα "ἐγένετο· καὶ προειδὼς ἀδιορθώτους μένοντας, οὐδὲ οὕτως ἐνέλειπον ἅπερ ποιῆσαι ἐχρῆν· ἐκεῖνοι δὲ τὴν οἰκείαν ἔμενον διατηροῦντες κακίαν. Τοῦτο γοῦν καὶ ἀλλαχοῦ. Κηρυχθήσεται γάρ, φησι, τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. Τοῖς ἔθνεσι, τοῖς οὐχ ὑπακούουσι, τοῖς οὐ πειθομένοις. Ἵνα γὰρ μή τις λέγῃ, καὶ τίνος ἕνεκεν πᾶσι κηρύττεις, "εἰ μὴ πάντες μέλλουσι πείθεσθαι; ἵνα τὰ "ἐμαυτοῦ πάντα φανῶ πεποιηκὼς, καὶ μηδεὶς ἔχῃ μετὰ ταῦτα ἐγκαλεῖν ὡς οὐκ ἀκηκοώς. Καταμαρτυρήσει γὰρ αὐτῶν αὐτὴ ἡ κήρυξις, καὶ οὐκ ἂν ἔχοιεν μετὰ ταῦτα εἰπεῖν, ὅτι οὐκ ἠκούσαμεν. Πρὸς γὰρ τὰ πέρατα τῆς οἰκουμένης ὁ λόγος "ἐξῆλθε τῆς εὐσεβείας.

Ματθ. κδ'. ιδ'.

Ψαλμ. ιη'. δ'.

γρ. κεκαθ

γρ. προστά-ξα

γρ. πάντ

γρ. μάχης

γρ. ἀνάγω

γρ. γέγονε

γρ. ἐπὶ

γρ. ἐμὰ

γρ. ἐξῆλθ

ΗΘΙΚΟΝ

Ταῦτα οὖν ἐννοοῦντες καὶ ἡμεῖς, τὰ παρ' ἑαυτῶν ἅπαντα πληρῶμεν εἰς τοὺς πλησίον, καὶ τῷ Θεῷ διὰ παντὸς εὐχαριστῶμεν. Καὶ γὰρ ἄτοπον, ἔργῳ τῆς εὐεργεσίας αὐτοῦ καθ' ἑκάστην ἀπολαύοντας τὴν ἡμέραν, μηδὲ λόγῳ τὴν χάριν ὁμολογεῖν, καὶ ταῦτα τῆς ὁμολογίας "πολλὴν ἡμῖν τὴν ὠφέλειαν φερούσης. Οὐδὲ γὰρ αὐτὸς δεῖται τῶν ἡμετέρων τινὸς, ἀλλ' ἡμεῖς δεόμεθα τῶν ἐκείνου ἁπάντων. Καὶ γὰρ ἡ εὐχαριστία ἐκείνῳ μὲν οὐδὲν προστίθησιν· ἡμᾶς δὲ οἰκειοτέρους αὐτῷ κατασκευάζει. Εἰ γὰρ ἀνθρώπων εἰς μνήμην λαβόντες εὐεργεσίας, θερμαινόμεθα μειζόνως τῷ φίλτρῳ· πολλῷ μᾶλλον τοῦ δεσπότου μεμνημένοι διηνεκῶς τῶν κατορθωμάτων τῶν εἰς ἡμᾶς, σπουδαιότεροι πρὸς τὰς ἐντολὰς τὰς ἐκείνου ἐσόμεθα. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· εὐχάριστοι γίνεσθε. Φυλακὴ γὰρ εὐεργεσίας ἀρίστη, ἡ τῆς εὐεργεσίας μνήμη καὶ ἡ διηνεκὴς εὐχαριστία. Διὰ δὴ τοῦτο καὶ τὰ φρικώδη μυστήρια καὶ πολλῆς γέμοντα τῆς σωτηρίας, τὰ καθ' ἑκάστην τελούμενα [λέγω] σύναξιν, εὐχαριστία καλεῖται, ὅτι πολλῶν ἐστιν εὐεργετημάτων ἀνάμνησις, καὶ τὸ κεφάλαιον τῆς τοῦ Θεοῦ προνοίας ἐνδείκνυται, καὶ διὰ πάντων παρασκευάζει *εὐχαριστεῖν. Εἰ γὰρ τὸ γεννηθῆναι ἐκ παρθένου, θαῦμα μέγα, καὶ ἐκπληττόμενος ὁ εὐαγγελιστὴς ἔλεγε, τοῦτο δὲ ὅλον γέγονε· τὸ καὶ σφαγῆναι ποῦ θήσομεν, εἰπέ μοι; Εἰ γὰρ τὸ γεννηθῆναι, τοῦτο ὅλον καλεῖται, τὸ σταυρωθῆναι καὶ τὸ αἷμα ἐκχεῖν δι' ἡμᾶς καὶ τὸ ἑαυτὸν δοῦναι ἡμῖν εἰς ἑστίασιν καὶ εὐωχίαν πνευματικὴν, "τί ἂν κληθείη; εὐχαριστῶμεν τοίνυν αὐτῷ διηνεκῶς, καὶ ῥημάτων καὶ ἔργων τῶν ἡμετέρων προηγείσθω τοῦτο. Εὐχαριστῶμεν δὲ, μὴ ὑπὲρ τῶν οἰκείων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων ἀγαθῶν. Οὕτω γὰρ καὶ τὴν βασκανίαν ἀναιρεῖν δυνησόμεθα, καὶ τὴν ἀγάπην ἐπι-

γρ. πολλ

* ἡμᾶς

γρ. τίνα

σφίγξαι καὶ γνησιωτέραν ποιῆσαι. οὐδὲ γὰρ δύναται βασκῆναι λοιπὸν ἐκείνοις, ὑπὲρ ὧν εὐχαριστεῖς τῷ δεσπότῃ. διὸ δὴ καὶ ὁ ἱερεὺς ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῶν προτέρων, ὑπὲρ τῶν νῦν, ὑπὲρ τῶν γεννηθέντων ἔμπροσθεν, ὑπὲρ τῶν μετὰ ταῦτα ἐσομένων [εἰς] ἡμᾶς εὐχαριστεῖν κελεύει, τῆς θυσίας προκειμένης ἐκείνης. τοῦτο γὰρ ἡμᾶς καὶ τῆς γῆς ἀπαλλάττει, καὶ πρὸς τὸν οὐρανὸν μετατίθησι, καὶ ἀγγέλους ἐξ ἀνθρώπων ποιεῖ. καὶ γὰρ καὶ ἐκεῖνοι χορὸν στησάμενοι, ὑπὲρ τῶν εἰς ἡμᾶς ἀγαθῶν εὐχαριστοῦσι τῷ Θεῷ, λέγοντες· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Λυκ. β. ιδ. καὶ τί πρὸς ″ἡμᾶς, ″φησι, τοὺς οὐκ ἐπὶ γῆς, οὐδὲ ἀνθρώπους; μάλιστα μὲν οὖν πρὸς ἡμᾶς. οὕτω γὰρ ἐπαιδεύθημεν τοὺς συνδούλους φιλεῖν, ὡς καὶ τὰ ἐκείνων ἀγαθὰ ἡμέτερα εἶναι νομίζειν. διὸ καὶ Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν ὑπὲρ τῶν τῆς οἰκουμένης εὐχαριστεῖ κατορθωμάτων. καὶ ἡμεῖς τοίνυν ὑπὲρ τῶν οἰκείων, καὶ ὑπὲρ τῶν ἀλλοτρίων, καὶ ὑπὲρ μικρῶν καὶ ὑπὲρ μεγάλων διηνεκῶς ″εὐχαριστῶμεν. κἂν γὰρ μικρὸν ᾖ τὸ δοθὲν, μέγα γίνεται τῷ παρὰ τοῦ Θεοῦ δεδόσθαι (μᾶλλον δὲ οὐδὲν μικρὸν τῶν παρ' ἐκείνου) οὐ τῷ παρ' ἐκείνου μόνον παρέχεσθαι, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει. καὶ ἵνα τὰ ἄλλα πάντα παρῶ, ἃ τὴν ἄμμον νικᾷ τῷ πλήθει· τί ἴσον τῆς ὑπὲρ ἡμῶν γενομένης οἰκονομίας; ὃ γὰρ ἦν αὐτῷ τιμιώτερον ἁπάντων, ὁ μονογενὴς παῖς, τοῦτον ἔδωκεν ὑπὲρ ἡμῶν τῶν ἐχθρῶν· καὶ οὐκ ἔδωκε μόνον, ἀλλὰ καὶ μετὰ τὸ δοῦναι, τράπεζαν ἡμῖν αὐτὸν παρέθηκε, πάντα αὐτὸς τὰ ὑπὲρ ἡμῶν ποιῶν, καὶ τὸ δοῦναι, καὶ τὸ εὐχαρίστους ὑπὲρ τούτων ποιῆσαι. ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ ἀχάριστός ἐστιν ὁ ἄνθρωπος, πανταχοῦ αὐτὸς ἀναδέχεται καὶ κατασκευάζει τὰ ὑπὲρ ἡμῶν· καὶ ὅπερ ἐπὶ τῶν Ἰουδαίων ἐποίησεν, ἀπὸ τόπων καὶ χρόνων καὶ ἑορτῶν ἀναμιμνήσκων αὐτοὺς τῶν εὐεργεσιῶν, τοῦτο καὶ ἐνταῦθα εἰργάσατο, ἀπὸ τοῦ τρόπου τῆς θυσίας εἰς διηνεκῆ τῆς ὑπὲρ τούτων εὐεργεσίας μνήμην ἡμᾶς ἐμβάλλων. οὕτως οὐδεὶς ἐσπούδακε δοκίμους γενέσθαι καὶ μεγάλους καὶ διὰ πάντων εὐγνώμονας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός. διὰ τοῦτο καὶ ἄκοντας ἡμᾶς εὐεργετεῖ πολλάκις, καὶ ἀγνοοῦντας τὰ πλείονα. εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, οὐκ ἐπὶ τῶν τυχόντων τινὸς, ἀλλ' ἐπὶ τοῦ μακαρίου Παύλου δείκνυμί σοι τοῦτο συμβάν. καὶ γὰρ ὁ μακάριος ἐκεῖνος πολλὰ κινδυνεύων καὶ θλιβόμενος, πολλάκις παρεκάλει τὸν Θεὸν ″ἀποστῆσαι αὐτοῦ τοὺς πειρασμούς· ἀλλ' ὅμως οὐ τῇ αἰτήσει αὐτοῦ, ἀλλὰ τῇ λυσιτελείᾳ προσεῖχεν ὁ Θεός· καὶ τοῦτο δεικνὺς ἔλεγεν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. β. Κορ. ιβ. θ. ὥστε πρὶν εἰπεῖν αὐτῷ τὴν αἰτίαν, ἄκοντα εὐεργετεῖ καὶ οὐκ εἰδότα. τί οὖν μέγα αἰτεῖ ἀντὶ τῆς τοσαύτης κηδεμονίας εὐχαρίστους κελεύων εἶναι; πειθώμεθα τοίνυν, καὶ πανταχοῦ τοῦτο διατηρῶμεν. καὶ γὰρ τοὺς Ἰουδαίους οὐδὲν οὕτως ἀπώλεσεν, ὡς τὸ ἀχαρίστους εἶναι, καὶ τὰς πολλὰς καὶ ἐπαλλήλους ἐκείνας πληγὰς οὐδὲν ἕτερον ἢ τοῦτο ἐπήγαγε· μᾶλλον δὲ καὶ πρὸ τῶν πληγῶν τὴν ψυχὴν αὐτῶν τοῦτο ἀπώλεσε καὶ διέφθειρεν. Ἀχαρίστου γὰρ ἐλπὶς, ὡς πάχνη χειμέριος, φησίν. Σοφ. ις. κθ. τοῦτο ναρκᾶν καὶ νεκροῦσθαι τὴν ψυχὴν ποιεῖ, ὥσπερ ἐκείνη τὰ σώματα. τοῦτο δὲ γίνεται ἐξ ἀπονοίας καὶ τοῦ νομίζειν ἑαυτὸν ἄξιον εἶναί τινος. ὁ δὲ συντετριμμένος, οὐχ ὑπὲρ ἀγαθῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐναντίων δοκούντων εἶναι, εὐχαριστίας εἴσεται τῷ Θεῷ, καὶ ὅσα ἂν πάθῃ, οὐδὲν ἡγήσεται ἀνάξιον πεπονθέναι. καὶ ἡμεῖς τοίνυν, ὅσῳ ἂν πρὸς ἀρετὴν ἐπιδῶμεν, τοσούτῳ μᾶλλον ἑαυτοὺς συντρίβωμεν· ἐπεὶ καὶ τοῦτο μάλιστα ἀρετή. ὥσπερ γὰρ ὅσῳ ἂν ὀξύτερον ἴδωμεν, τοσούτῳ μᾶλλον μανθάνομεν ὅσον διεστήκαμεν τοῦ οὐρανοῦ· οὕτως ὅσῳ ἂν ἐπιδῶμεν πρὸς ἀρετὴν, τοσούτῳ μᾶλλον παιδευόμεθα εἰδέναι τοῦ Θεοῦ τὸ μέσον τὸ πρὸς ἡμᾶς. οὐ μικρὸν δὲ μέρος τοῦτο φιλοσοφίας, δυνηθῆναι συνιδεῖν τὴν ἀξίαν τὴν ἡμετέραν. οὗτος γὰρ μάλιστά ἐστιν ὁ ἑαυτὸν εἰδὼς, ὁ μηδὲν εἶναι ἑαυτὸν νομίζων. διὰ δὴ τοῦτο καὶ ὁ Δαβὶδ καὶ ὁ Ἀβραάμ, ὅτε πρὸς τὴν ἄκραν ἀνέβησαν τῆς ἀρετῆς κορυφὴν, τότε μάλιστα τοῦτο κατώρθωσαν. καὶ ὁ μὲν γῆν καὶ σποδὸν, Γεν. ιη. κζ. ὁ δὲ σκώληκα ἑαυτὸν ἐκάλει Ψαλ. κα. ς. καὶ πάντες δὲ οἱ ἅγιοι ὁμοίως τούτοις ἑαυτοὺς ταλανίζουσιν· ὡς

ὅγε

ὅ γε πρὸς ἀλαζονείαν αἰρόμενος, ἐκεῖνός ἐστιν ὁ μάλιστα πάντων ἑαυτὸν ἀγνοῶν. διὸ καὶ κατὰ τὴν κοινὴν συνήθειαν ἔθος ἡμῖν λέγειν περὶ τῶν ὑπερηφάνων, οὐκ οἶδεν ἑαυτόν, ἀγνοεῖ ἑαυτόν. ὁ δὲ ἑαυτὸν ἀγνοῶν, τίνα γνώσεται; ὥσπερ γὰρ ὁ ἑαυτὸν εἰδὼς, ἅπαντα εἴσεται· οὕτως ὁ τοῦτο μὴ εἰδὼς, οὐδὲ τὰ ἄλλα εἴσεται. τοιοῦτος ἦν ἐκεῖνος, ὁ λέγων· ἐπάνω τῶν οὐρανῶν θήσω τὸν θρόνον μου. ἐπειδὴ γὰρ ἠγνόησεν ἑαυτὸν, καὶ τὰ ἄλλα πάντα ἠγνόησεν. ἀλλ' οὐχ ὁ Παῦλος*· ἀλλ' ἔκτρωμα ἑαυτὸν καὶ τῶν ἁγίων ἔσχατον ἐκάλει, καὶ οὐδὲ τῆς προσηγορίας ἄξιον ἑαυτὸν εἶναι ἐνόμιζε τῶν ἀποστόλων μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα. τοῦτον τοίνυν ζηλώσωμεν καὶ μιμησώμεθα. μιμησόμεθα δὲ, ἂν τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ ἀπαλλαγῶμεν πραγμάτων. οὐδὲν γὰρ οὕτως ἀγνοεῖν ἑαυτὸν ποιεῖ, ὡς τὸ τοῖς βιωτικοῖς προσηλῶσθαι· οὐδὲν οὕτω πάλιν τοῖς βιωτικοῖς προσηλῶσθαι πράγμασι παρασκευάζει, ὡς τὸ ἀγνοεῖν ἑαυτόν. ἀλλήλων γὰρ ταῦτα ἐξήρτηται. ὥσπερ γὰρ ὁ τῆς δόξης ἐρῶν τῆς ἔξωθεν, καὶ μεγάλα τὰ παρόντα ἡγούμενος, κἂν μυρία φιλονεικῇ, οὐ συγχωρεῖται ἑαυτὸν κατιδεῖν· οὕτως ὁ τούτων ὑπερορῶν ῥᾳδίως ἑαυτὸν εἴσεται· ἑαυτὸν δὲ μαθὼν, ὁδῷ καὶ ἐπὶ τὰ ἄλλα πάντα βαδιεῖται μέρη τῆς ἀρετῆς. ἵν' οὖν τὴν καλὴν ταύτην μάθωμεν ἐπιστήμην, ἀπαλλαγέντες τῶν ἐπικήρων ἁπάντων τῶν πολλὴν ἐν ἡμῖν ποιούντων τὴν φλόγα, καὶ μαθόντες ἑαυτῶν τὴν εὐτέλειαν, πᾶσαν ἐπιδειξώμεθα ταπεινοφροσύνην καὶ φιλοσοφίαν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ [καὶ ζωοποιῷ] πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. κϛ.

5 ΕΙΣΕΛΘΟΝΤΙ ΔΕ ΑΥΤΩ ΕΙΣ ΚΑΠΕΡναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτόν,

6 Καὶ λέγων· Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλελυμένος, δεινῶς βασανιζόμενος.

ΟΜὲν λεπρὸς καταβάντι ἀπὸ τοῦ ὄρους προσῆλθεν· ὁ δὲ ἑκατόνταρχος οὗτος εἰσελθόντι εἰς τὴν Καπερναοὺμ. τίνος οὖν ἕνεκεν οὔτε οὗτος οὔτε ἐκεῖνος εἰς τὸ ὄρος ἀνέβησαν; οὐ διὰ ῥᾳθυμίαν (καὶ γὰρ ἀμφοτέρων ἡ πίστις θερμὴ) ἀλλ' ὥστε μὴ ἐγκόψαι τὴν διδασκαλίαν. προσελθὼν δέ, φησιν· ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος. τινὲς μὲν [οὖν] φασιν, ὅτι ἀπολογούμενος καὶ τὴν αἰτίαν εἴρηκε, δι' ἣν αὐτὸν οὐκ ἤγαγεν (οὐδὲ γὰρ δυνατὸν ἦν, φησι, παραλελυμένον καὶ βασανιζόμενον καὶ πρὸς ἐσχάταις ὄντα ἀναπνοαῖς φοράδην κομίζειν. ὅτι γὰρ καὶ ἀποπνεῖν ἔμελλεν, ὁ Λουκᾶς φησιν, ὅτι καὶ ἔμελλε τελευτᾷν) ἐγὼ δὲ τοῦ μεγάλην αὐτὸν ἔχειν πίστιν τοῦτο σημεῖον εἶναί φημι, καὶ πολλῷ μείζονα τῶν διὰ τοῦ στέγους χαλασάντων. ἐπειδὴ γὰρ ᾔδει σαφῶς, ὅτι καὶ ἐπίταγμα ἀρκεῖ μόνον εἰς τὴν ἀνάστασιν τοῦ κειμένου, περιττὸν εἶναι ἐνόμισεν αὐτὸν ἀγαγεῖν. τί οὖν ὁ Ἰησοῦς; ὃ μηδαμοῦ πρότερον ἐποίησεν, ἐνταῦθα ποιεῖ. πανταχοῦ γὰρ ἑπόμενος τῇ προαιρέσει τῶν ἱκετευόντων, ἐνταῦθα καὶ ἐπιπηδᾷ· καὶ οὐχὶ θεραπεῦσαι ἐπαγγέλλεται μόνον, ἀλλὰ καὶ παραγενέσθαι εἰς τὴν οἰκίαν. ποιεῖ δὲ τοῦτο, ἵνα μάθωμεν τὴν ἀρετὴν τοῦ ἑκατοντάρχου. εἰ γὰρ μὴ τοῦτο ἐπηγγείλατο, ἀλλ' εἶπεν, ὕπαγε, ἰαθήτω ὁ παῖς σου, οὐδὲν ἂν τούτων ἔγνωμεν. τοῦτο γοῦν καὶ ἐπὶ τῆς Φοινίσσης ἀπεναντίας ἐποίησε γυναικός. ἐνταῦθα μὲν γὰρ μὴ καλούμενος εἰς τὴν οἰκίαν αὐτεπάγγελτός φησιν ἥξειν, ἵνα μάθῃς τοῦ ἑκατοντάρχου τὴν πίστιν καὶ τὴν πολλὴν ταπεινοφροσύνην· ἐπὶ δὲ τῆς Φοινίσσης καὶ ἀρνεῖται τὴν δόσιν, καὶ ἐπιμένουσαν ἐξαπορεῖ. σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ἰατρὸς, διὰ τῶν ἐναντίων τὰ ἐναντία κατασκευάζειν οἶδε. καὶ ἐνταῦθα μὲν διὰ τῆς αὐτεπαγγέλτου παρουσίας, ἐκεῖ δὲ διὰ τῆς ἐπιτεταμένης ὑπερθέσεως καὶ παραιτήσεως τὴν πίστιν ἐκκαλύπτει τῆς γυναικός· οὕτω καὶ ἐπὶ τοῦ Ἀβραὰμ ποιεῖ λέγων· οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραάμ, ἵνα μάθῃ ἐκείνου τὴν φιλοστοργίαν καὶ τὴν ὑπὲρ Σοδόμων πρόνοιαν. καὶ ἐπὶ τοῦ Λὼτ ἀρνοῦνται * εἰσελθεῖν πρὸς αὐτὸν οἱ πεμφθέντες, ἵνα τοῦ δικαίου μάθῃς τῆς φιλοξενίας τὸ μέγεθος. τί οὖν ὁ ἑκατόνταρχός φησιν;

8 Οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς.

Ἀκούσωμεν ὅσοι τὸν Χριστὸν μέλλομεν ὑποδέχεσθαι (δυνατὸν γὰρ αὐτὸν ὑποδέχεσθαι καὶ νῦν) ἀκούσωμεν καὶ ζηλώσωμεν, καὶ μετὰ τοσαύτης δεξώμεθα τῆς σπουδῆς. καὶ γὰρ ὅταν πένητα ὑποδέξῃ πεινῶντα καὶ γυμνόν, ἐκεῖνον [καὶ] ὑπεδέξω καὶ ἔθρεψας.

Ἀλλ' εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου.

Ὅρα καὶ τοῦτον, ὥσπερ τὸν λεπρόν, τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχοντα. οὐδὲ γὰρ οὗτος εἶπε, παρακάλεσον, οὐδὲ εἶπεν, εὖξαι καὶ ἱκέτευσον, ἀλλ' ἐπίταξον μόνον. εἶτα δεδοικὼς μὴ μετριάζων ἀνανεύσῃ, φησί·

9 Καὶ γὰρ καὶ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. Καὶ τί τοῦτό φησιν, εἰ ὁ ἑκατόνταρχος ὑπώπτευσεν οὕτως; τὸ γὰρ ζητούμενον, εἰ ὁ Χριστὸς τοῦτο ἀπεφήνατο καὶ ἐκύρωσε. καλῶς καὶ σφόδρα συνετῶς λέγεις. οὐκοῦν ἴδωμεν τοῦτο αὐτό. καὶ [γὰρ] εὑρήσομεν, ὅπερ ἐπὶ τοῦ λεπροῦ γέγονε, τοῦτο καὶ ἐνταῦθα γεγενημένον. ὥσπερ γὰρ ὁ λεπρὸς εἶπεν, ἐὰν θέλῃς (καὶ οὐκ ἀπὸ τοῦ λεπροῦ διϊσχυριζόμεθα μόνον περὶ τῆς ἐξουσίας, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ Χριστοῦ φωνῆς. οὐ γὰρ μόνον οὐ κατέλυσε τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐβεβαίωσε μειζόνως, ὃ περιττὸν ἦν εἰπεῖν προσθείς, καὶ εἰπών, θέλω, καθαρίσθητι, ἵνα κυρώσῃ τὸ δόγμα τὸ ἐκείνου) οὕτω δὴ καὶ ἐνταῦθα σκοπεῖν δίκαιον, εἴ τι τοιοῦτον γέγονε. καὶ γὰρ εὑρήσομεν τὸ αὐτὸ τοῦτο πάλιν συμβεβηκός. τοιαῦτα γὰρ τοῦ ἑκατοντάρχου εἰρηκότος καὶ μαρτυρήσαντος ἐξουσίαν τοσαύτην, οὐ μόνον οὐκ ἐνεκάλεσεν, ἀλλὰ καὶ ἀπεδέξατο, καὶ πλέον τι ἐποίησεν ἢ ἀπεδέξατο. οὐδὲ γὰρ εἶπεν ὁ εὐαγγελιστὴς ὅτι ἐπῄνεσε τὸ εἰρημένον μόνον, ἀλλὰ καὶ ἐπίτασιν δηλῶν τοῦ ἐπαίνου, φησίν·

10 Ὅτι καὶ ἐθαύμασε· Καὶ οὐδὲ ἁπλῶς ἐθαύμασεν, ἀλλὰ καὶ τοῦ δήμου παντὸς παρόντος, καὶ τοῖς ἄλλοις ὑπόδειγμα δέδωκεν ὥστε αὐτὸν ζηλοῦν. ὁρᾷς πῶς ἕκαστος τῶν μαρτυρησάντων αὐτῷ ἐξουσίαν θαυμάζεται; καὶ ἐξεπλήττοντο γὰρ οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ὡς ἐξουσίαν ἔχων ἐδίδασκε. καὶ οὐ μόνον οὐκ ἐνεκάλεσεν, ἀλλὰ καὶ λαβὼν αὐτοὺς κατῆλθε, καὶ δι' ὧν τὸν λεπρὸν ἐκάθηρεν, ἐκύρωσεν αὐτῶν τὴν γνώμην. πάλιν ἔλεγεν ἐκεῖνος· ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· καὶ οὐ μόνον οὐκ ἐπετίμησεν, ἀλλὰ καὶ θεραπεύων αὐτὸν οὕτως, ὡς ἐκεῖνος εἶπεν, ἐκάθηρε. πάλιν ὁ ἑκατόνταρχος οὗτός φησιν· εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου.

Καὶ θαυμάζων αὐτὸν ἔλεγεν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

Ἵνα δὲ καὶ ἐκ τοῦ ἐναντίου τοῦτο μάθῃς, ἐπειδὴ ἡ Μάρθα τούτων οὐδὲν εἶπεν, ἀλλὰ τοὐναντίον, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν δώσει σοι, οὐ μόνον οὐκ ἐπῃνέθη, καίτοι [καὶ] γνώριμος οὖσα καὶ ἀγαπητὴ καὶ τῶν σφόδρα περὶ αὐτὸν ἐσπουδακότων, ἀλλὰ καὶ ἐπετιμήθη καὶ διωρθώθη παρ' αὐτοῦ, ὡς οὐ καλῶς εἰρηκυῖα. καὶ γὰρ ἔλεγεν αὐτῇ· οὐκ εἶπόν σοι, ὅτι, ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ; ὡς μηδέπω πιστευσάσῃ ἐγκαλῶν. καὶ πάλιν, ἐπειδὴ ἔλεγεν· [ὅτι] ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν δώσει σοι, ἀπάγων τῆς τοιαύτης ὑπονοίας αὐτήν, καὶ διδάσκων ὅτι παρ' ἑτέρου οὐ δέεται λαβεῖν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν, φησίν· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· τουτέστιν, οὐκ ἀναμένω δέξασθαι ἐνέργειαν, ἀλλ' οἴκοθεν πάντα ἐργάζομαι. ὅθεν τὸν μὲν ἑκατόνταρχον καὶ θαυμάζει, καὶ τοῦ δήμου παντὸς προτίθησι, καὶ τῇ τῆς βασιλείας δόσει τιμᾷ, καὶ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ζῆλον καλεῖ. καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο ταῦτα εἶπεν, ἵνα καὶ τοὺς ἄλλους παιδεύσῃ πιστεύειν οὕτως, ἄκουσον τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν, πῶς αὐτὸ ᾐνίξατο. στραφεὶς γάρ, φησιν, ὁ Ἰησοῦς, εἶπε τοῖς ἀκολουθοῦσιν αὐτῷ· οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. ἄρα τὸ μεγάλα περὶ αὐτοῦ φαντάζεσθαι, τοῦτο μάλιστα πίστεως, καὶ βασιλείας, καὶ τῶν ἄλλων προξενοῦν ἀγαθῶν. οὐδὲ γὰρ μέχρι λόγων αὐτῷ γέγονεν ὁ ἔπαινος, ἀλλὰ καὶ τὸν νοσοῦντα ὑγιῆ ἀπέδωκεν ἀντὶ τῆς πίστεως, καὶ λαμπρὸν πλέκει αὐτῷ τὸν στέφανον, καὶ μεγάλας ἐπαγγέλλεται δωρεάς, οὕτω λέγων·

11 Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ·

12 Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω. Ἐπειδὴ γὰρ πολλὰ ἐπεδείξατο θαύματα, μετὰ πλείονος λοιπὸν αὐτοῖς διαλέγεται παρρησίας. Εἶτα, ἵνα μή τις νομίσῃ κολακείας εἶναι τὰ ῥήματα, ἀλλὰ μανθάνωσιν ἅπαντες ὅτι οὕτω διέκειτο ὁ ἑκατόνταρχος, φησίν· Ὕπαγε, ὡς ἐπίστευσας γενηθήτω σοι. Καὶ εὐθέως τὸ ἔργον ἠκολούθησε μαρτυροῦν τῇ προαιρέσει.

13 Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἀπὸ τῆς ὥρας ἐκείνης· Ὅπερ καὶ ἐπὶ τῆς Συροφοινίσσης συνέβη. καὶ γάρ φησιν ἐκείνῃ· ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς. ἐπειδὴ δὲ καὶ ὁ Λουκᾶς τοῦτο τὸ θαῦμα ἀπαγγέλλων παρεντίθησιν ἕτερα πλείονα, ἃ δοκεῖ διαφωνίαν ἐμφαίνειν, ἐπιλῦσαι καὶ ταῦτα ἀναγκαῖον ὑμῖν. τί οὖν φησιν ὁ Λουκᾶς; ἔπεμψε πρεσβυτέρους τῶν Ἰουδαίων πρὸς αὐτόν, παρακαλῶν αὐτὸν ἐλθεῖν· ὁ δὲ Ματθαῖός φησιν, ὅτι αὐτὸς προσελθὼν ἔλεγεν, ὅτι οὐκ εἰμὶ ἄξιος. καί τινες μέν φασιν, ὅτι οὐκ ἔστιν οὗτος ἐκεῖνος, εἰ καὶ πολλὰ ἔχει ἐοικότα. περὶ μὲν γὰρ ἐκείνου φησίν, ὅτι καὶ * συναγωγὴν ἡμῶν ἔκτισε, καὶ τὸ ἔθνος ἀγαπᾷ· περὶ δὲ τούτου αὐτός φησιν ὁ Ἰησοῦς, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· καὶ ἐπ' ἐκείνου μὲν οὐκ εἶπεν, ὅτι πολλοὶ ἥξουσιν ἀπὸ ἀνατολῶν*, ὅθεν εἰκὸς Ἰουδαῖον αὐτὸν εἶναι. τί οὖν ἐροῦμεν; ὅτι μὲν αὕτη εὔκολος ἡ λύσις· τὸ δὲ ζητούμενον, εἰ ἀληθής. ἐμοὶ γὰρ δοκεῖ οὗτος ἐκεῖνος εἶναι. πῶς οὖν, φησιν, ὁ μὲν Ματθαῖος λέγει, ὅτι αὐτὸς εἶπεν, οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ὁ δὲ Λουκᾶς ὅτι ἔπεμψεν ἵνα ἔλθῃ; ἐμοὶ δοκεῖ τὴν κολακείαν τὴν Ἰουδαϊκὴν αἰνίττεσθαι ἡμῖν ὁ Λουκᾶς· καὶ ὅτι οἱ ἐν συμφορᾷ ἀκατάστατοι ὄντες πολλὰ μεταβουλεύονται. εἰκὸς γὰρ τὸν ἑκατόνταρχον βουλόμενον ἀπελθεῖν κωλυθῆναι ὑπὸ τῶν Ἰουδαίων, κολακευόντων αὐτὸν καὶ λεγόντων, ὅτι ἡμεῖς ἀπελθόντες ἄξομεν αὐτόν. ὅρα γοῦν αὐτῶν καὶ τὴν παράκλησιν κολακείας μεστὴν οὖσαν. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, φησι, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν· οὐδὲ ἴσασιν ὅθεν ἐπαινοῦσι τὸν ἄνδρα. δέον γὰρ εἰπεῖν, ὅτι ἐβουλήθη μὲν αὐτὸς ἐλθεῖν καὶ παρακαλέσαι, ἡμεῖς δὲ ἐκωλύσαμεν, τὴν συμφορὰν ἰδόντες καὶ τὸ πλῶμα τὸ ἐπὶ τῆς οἰκίας κείμενον, καὶ οὕτω παραστῆσαι τῆς πίστεως αὐτοῦ τὸ μέγεθος· τοῦτο μὲν οὐ λέγουσιν (οὐδὲ γὰρ ἤθελον διὰ τὸ βασκαίνειν ἐκκαλύψαι τοῦ ἀνδρὸς τὴν πίστιν) ἀλλ' ᾑροῦντο μᾶλλον συσκιάσαι τὴν ἀρετὴν, ὑπὲρ οὗ τὴν ἱκεσίαν ἦλθον ποιησόμενοι, ἵνα μὴ δόξῃ μέγας τις εἶναι ὁ παρακαλούμενος, ἢ τὴν πίστιν ἀνακηρύξαντες τὴν ἐκείνου ἀνῦσαι τοῦτο, διόπερ ἦσαν ἀφιγμένοι. ἱκανὸν γὰρ βασκανία πηρῶσαι διάνοιαν. ἀλλ' ὁ τὰ ἀπόρρητα εἰδώς, καὶ ἀκόντων αὐτῶν ἐκεῖνον ἀνεκήρυξε. καὶ ὅτι τοῦτο ἔστιν ἀληθές, ἄκουσον αὐτοῦ τοῦ Λουκᾶ πάλιν αὐτὸ ἑρμηνεύοντος. αὐτὸς γὰρ οὕτω φησίν· ὅτι οὐ μακρὰν ἀπέχοντος αὐτοῦ ἔπεμψε λέγων· ὦ Κύριε, μὴ σκύλλου. οὐ γάρ εἰμι ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὅτε γὰρ ἀπηλλάγη τῆς ἐπαχθείας αὐτῶν, τότε πέμπει λέγων· μὴ νομίσῃς ὅτι δι' ὄκνον οὐ παρεγενόμην, ἀλλ' ἐμαυτὸν ἀνάξιον εἶναι ἐνόμισα τοῦ δέξασθαί σε ἐν τῇ οἰκίᾳ. εἰ δὲ ὁ Ματθαῖός φησι μὴ διὰ τῶν φίλων, ἀλλὰ δι' ἑαυτοῦ τοῦτο αὐτὸν εἰρηκέναι, οὐδὲν τοῦτο ποιεῖ. τὸ

γὰρ

χ. ὑμῖν.

* τὴν

γὰρ ζητουμένων, εἰ τὴν προθυμίαν ἑκάτερος παρέστησε τοῦ ἀνδρός, καὶ ὅτι τὴν προσήκουσαν περὶ τοῦ Χριστοῦ δόξαν εἶχεν. εἰκὸς δὲ καὶ αὐτὸν μετὰ τὸ πέμψαι τοὺς φίλους παραγενόμενον ταῦτα εἰπεῖν. εἰ δὲ μὴ τοῦτο εἶπεν ὁ Λουκᾶς, ἀλλ' οὐδὲ ἐκεῖνο ὁ Ματθαῖος· ὅπερ οὐ μαχομένων ἑαυτοῖς ἦν, ἀλλὰ τὰ ὑπ' ἀλλήλων " παραλειπόμενα ἀναπληρούντων μᾶλλον. ὅρα δὲ αὐτοῦ πῶς καὶ ἑτέρωθεν τὴν πίστιν ἀνεκήρυξεν ὁ Λουκᾶς εἰπὼν, ὅτι ἔμελλε τελευτᾶν ὁ παῖς. ἀλλ' ὅμως οὐδὲ τοῦτο εἰς ἀπόγνωσιν αὐτὸν ἐνέβαλεν, οὐδὲ ἀπελπίσαι παρεσκεύασεν· ἀλλὰ καὶ οὕτως ἤλπισε περιέσεσθαι. εἰ δὲ ὁ μὲν Ματθαῖός φησι τὸν Χριστὸν εἰρηκέναι, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον, καὶ ταύτῃ δηλοῦν οὐκ ὄντα αὐτὸν Ἰσραηλίτην· ὁ δὲ Λουκᾶς, ὅτι ᾠκοδόμησε τὴν συναγωγὴν, οὐδὲ τοῦτο ἐναντίον. δυνατὸν γὰρ καὶ Ἰουδαῖον οὐκ ὄντα, καὶ τὴν συναγωγὴν οἰκοδομῆσαι, καὶ τὸ ἔθνος ἀγαπᾶν. σὺ δέ μοι μὴ ἁπλῶς ἐξέταζε τὰ εἰρημένα παρ' αὐτοῦ, ἀλλὰ καὶ τὴν ἀρχὴν αὐτοῦ προστίθει, καὶ τότε ὄψει τὴν ἀρετὴν τοῦ ἀνδρός. καὶ γὰρ πολὺς ὁ τῦφος τῶν ἐν ἀρχαῖς ὄντων, καὶ οὐδὲ ἐν συμφοραῖς καταβαίνουσιν. ὁ γοῦν παρὰ τῷ Ἰωάννῃ κείμενος ἕλκει αὐτὸν πρὸς τὴν οἰκίαν, καί φησι· κατάβηθι· μέλλει γὰρ μου τὸ παιδίον τελευτᾶν. ἀλλ' οὐχ οὗτος οὕτως, ἀλλὰ καὶ ἐκείνου καὶ τῶν διὰ τοῦ στέγους " καθέντων τὴν κλίνην πολὺ " βελτίων. οὐ γὰρ σωματικὴν παρουσίαν ἐπιζητεῖ, οὐδὲ εἰς τοὺς ἰατροὺς τὸν κάμνοντα εἰσήνεγκεν, ὅπερ οὐ μικρὰ φανταζομένου ἦν περὶ αὐτοῦ· ἀλλὰ θεοπρεπῆ τὴν ὑπόνοιαν ἔχων φησὶν, εἰπὲ λόγῳ μόνον. καὶ οὐδὲ ἐν ἀρχῇ λέγει, εἰπὲ λόγῳ, ἀλλὰ μόνον τὸ πάθος διηγεῖται. οὐδὲ γὰρ προσεδόκησεν ἀπὸ πολλῆς ταπεινοφροσύνης εὐθέως ἐπινεύσειν τὸν Χριστὸν καὶ τὴν οἰκίαν ἐπιζητήσειν. διὰ τοῦτο ὅτε ἤκουσεν αὐτοῦ λέγοντος, ἐγὼ ἐλθὼν θεραπεύσω αὐτὸν, τότε φησὶν, εἰπὲ λόγῳ. καὶ οὐδὲ τὸ πάθος αὐτὸν συνέχεεν· ἀλλὰ καὶ ἐν συμφορᾷ φιλοσοφεῖ, οὐ πρὸς τὴν ὑγείαν τοσοῦτον ὁρῶν τοῦ παιδὸς, ὅσον πρὸς τὸ μὴ δόξαι μηδὲν ἀνευλαβὲς ποιεῖν. καίτοιγε οὐκ αὐτὸς ἠνάγκασεν, ἀλλ' ὁ Χριστὸς ἐπηγγείλατο· ἀλλὰ καὶ οὕτω δέδοικε μήποτε δόξῃ τὴν ἀξίαν ὑπερβαίνειν τὴν ἑαυτοῦ, καὶ βαρὺ πρᾶγμα ἐφέλκεσθαι. εἶδες αὐτοῦ τὴν σύνεσιν; σκόπει τῶν Ἰουδαίων τὴν ἄνοιαν λεγόντων, ἄξιός ἐστιν ᾧ παρέξει τὴν χάριν. δέον γὰρ ἐπὶ τὴν φιλανθρωπίαν καταφυγεῖν τοῦ Ἰησοῦ· οἱ δὲ τὴν ἀξίαν τούτου προεβάλλοντο, καὶ οὐδὲ ὅθεν " προβάλλεσθαι δεῖ, ἴσασιν. ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ καὶ σφόδρα ἑαυτὸν ἀνάξιον ἔφη εἶναι, οὐ μόνον τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοῦ τῇ οἰκίᾳ δέξασθαι τὸν Κύριον. διὰ τοῦτο καὶ εἰπὼν, ὁ παῖς μου βέβληται, οὐκ ἐπήγαγεν, εἰπὲ, δεδοικὼς μὴ ἀνάξιος εἴη τοῦ τυχεῖν τῆς δωρεᾶς· ἀλλὰ τὴν συμφορὰν ἀπήγγειλε μόνον. ἐπειδὴ δὲ εἶδε τὸν Χριστὸν φιλοτιμούμενον, οὐδὲ οὕτως ἐπεπήδησεν, ἀλλ' ἔτι μένει τὸ ἑαυτῷ προσῆκον διατηρῶν μέτρον. εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν οὐκ ἀντετίμησεν αὐτὸν ὁ Χριστός; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ σφόδρα αὐτὸν ἀντετίμησε· πρῶτον μὲν τῷ δεῖξαι τὴν γνώμην, ὅπερ ἐκ τοῦ μάλιστα μὴ ἐλθεῖν αὐτὸν εἰς τὴν οἰκίαν ἐφάνη· δεύτερον δὲ, τῷ εἰς τὴν βασιλείαν αὐτὸν εἰσαγαγεῖν, καὶ προτιμῆσαι παντὸς τοῦ ἔθνους τοῦ Ἰουδαϊκοῦ. ἐπειδὴ γὰρ καὶ τὸν δέξασθαι τὸν Χριστὸν εἰς τὴν οἰκίαν ἀνάξιον ἑαυτὸν " εἶναι ἐνόμισε, καὶ βασιλείας γέγονεν ἄξιος, καὶ τοῦ τῶν καλῶν ἐπιτυχεῖν, ὧν ἀπήλαυσεν ὁ Ἀβραάμ. καὶ τίνος ἕνεκεν ὁ λεπρὸς, φησὶ, μείζονα τούτων ἐπιδειξάμενος οὐκ ἐπῃνέθη; οὐδὲ γὰρ εἶπεν ἐκεῖνος, εἰπὲ λόγῳ, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, θέλησον μόνον· ὃ περὶ τοῦ πατρός φησιν ὁ προφήτης, Ὅτι πάντα ὅσα ἠθέλησεν ἐποίησεν. ἀλλὰ κἀκεῖνος ἐπῃνέθη. ὅταν γὰρ εἴπῃ, προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς, οὐδὲν ἕτερόν φησιν, ἢ ὅτι σὺ κατηγορήσεις αὐτῶν ἐξ ὧν ἐπίστευσας. ἄλλως δὲ, οὐκ ἦν ἴσον Ἰουδαῖον ὄντα πιστεῦσαι, καὶ ἔξωθεν [ὄντα] τοῦ ἔθνους. ὅτι γὰρ οὐκ ἦν Ἰουδαῖος ὁ ἑκατοντάρχης, καὶ ἀπὸ τοῦ ἑκατοντάρχης εἶναι " δῆλος ἦν, καὶ ἀπὸ τοῦ εἰρῆσθαι, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. καὶ [πολὺ] μέγα ἦν ἄνθρωπον ἐκτὸς ὄντα τοῦ Ἰουδαϊκοῦ καταλόγου τοσαύτην λαβεῖν ἔννοιαν. καὶ γὰρ ἐφαντάσθη, ὡς ἔμοιγε δο-

Ψαλ. ριγ. ια.

κε, τὰς ἐν οὐρανῷ στρατιάς· ἢ ὅτι αὐτῷ τὰ πάθη οὕτως ἐστὶν ὑποτεταγμένα, καὶ θάνατος, καὶ τὰ ἄλλα πάντα, ὡς αὐτῷ οἱ στρατιῶται. διὸ καὶ ἔλεγε· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος· τουτέστι, σὺ Θεός, ἐγὼ ἄνθρωπος· ἐγὼ ὑπὸ ἐξουσίαν, σὺ δὲ οὐχ ὑπὸ ἐξουσίαν. εἰ τοίνυν ἐγὼ ἄνθρωπος, καὶ ὑπὸ ἐξουσίαν ὤν, τοσαῦτα δύναμαι· πολλῷ μᾶλλον αὐτός, ὁ καὶ Θεὸς ὢν" καὶ οὐχ ὑπὸ ἐξουσίαν. μετὰ γὰρ ὑπερβολῆς θέλει αὐτὸν πεῖσαι, ὅτι οὐχ ὡς ὅμοιον διδοὺς ὑπόδειγμα ταῦτα λέγει," ἀλλὰ σφόδρα ὑπερέχον. εἰ γὰρ ἐγὼ ὁμότιμος ὢν τοῖς ἐπιταττομένοις, φησί, καὶ ὑπὸ ἐξουσίαν ὤν, ὅμως διὰ τὴν μικρὰν τῆς ἀρχῆς ὑπεροχὴν τοσαῦτα δύναμαι, καὶ οὐδεὶς ἀντερεῖ, ἀλλ' ἅπερ ἐπιτάττω, ταῦτα γίνεται, κἂν διάφορα ᾖ τὰ ἐπιτάγματα (λέγω γὰρ τούτῳ, πορεύου, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται) πολλῷ μᾶλλον αὐτὸς δυνήσῃ. τινὲς δὲ καὶ οὕτως ἀναγινώσκουσι τοῦτο τὸ χωρίον· εἰ γὰρ ἐγὼ ἄνθρωπος ὤν, καὶ μεταξὺ στίξαντες ἐπάγουσιν, ὑπὸ ἐξουσίαν ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας. σὺ δέ μοι σκόπει, πῶς ἔδειξεν ὅτι καὶ θανάτου κρατεῖν δύναται ὡς δούλου, καὶ ἐπιτάττειν ὡς δεσπότης. ὅταν γὰρ εἴπῃ [ὅτι] ἔρχου, καὶ ἔρχεται, καὶ πορεύου, καὶ πορεύεται, τοῦτο λέγει, ὅτι ἐὰν κελεύσῃς μὴ ἐλθεῖν τὴν τελευτὴν ἐπ' αὐτόν, οὐχ ἥξει. Εἶδες πῶς ἦν πιστός; ὃ γὰρ ἔμελλεν ἅπασιν ὕστερον φανερὸν ἔσεσθαι, τοῦτο αὐτὸς ἤδη κατάδηλον κατέστησεν, ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει, καὶ "κατάγει εἰς πύλας ᾅδου, καὶ "ἀνάγει. καὶ οὐ περὶ στρατιωτῶν εἶπε μόνον, ἀλλὰ καὶ περὶ δούλων, ὅπερ ἦν μείζονος ὑπακοῆς. ἀλλ' ὅμως καὶ τοσαύτην πίστιν ἔχων, ἔτι ἀνάξιον ἑαυτὸν εἶναι ἐνόμιζεν. ὁ δὲ Χριστὸς δεικνὺς ὅτι ἄξιος ἦν τοῦ εἰσελθεῖν εἰς τὴν οἰκίαν αὐτοῦ, πολλῷ μείζονα ἐποίησε, θαυμάζων αὐτόν, καὶ ἀνακηρύττων, καὶ πλείονα διδοὺς ὧν ᾔτησε. καὶ γὰρ ἦλθεν ὑγίειαν ζητῶν τῷ παιδὶ σωματικήν, καὶ βασιλείαν λαβὼν ἀπῆλθεν. εἶδες πῶς ἤδη ἐπεπλήρωτο τό, ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν; ἐπεὶ γὰρ πολλὴν πίστιν ἐπεδείξατο καὶ ταπεινοφροσύνην, καὶ τὸν οὐρανὸν ἔδωκε, καὶ τὴν ὑγίειαν αὐτῷ προσέθηκε· καὶ οὐ τούτῳ μόνον ἐτίμησεν, ἀλλὰ καὶ τῷ δεῖξαι τίνων ἐκβαλλομένων αὐτὸς εἰσάγεται. καὶ γὰρ ἐντεῦθεν ἤδη λοιπὸν πᾶσι ποιεῖ γνώριμον, ὅτι ἀπὸ πίστεως ἡ σωτηρία, οὐκ ἀπὸ ἔργων τῶν κατὰ νόμον. διόπερ οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ ἔθνεσι τὸ τῆς δωρεᾶς ταύτης προκείσεται· καὶ ἐκείνοις μᾶλλον, ἢ τούτοις. μὴ γὰρ δὴ νομίσητε, φησίν, ὅτι ἐπὶ τούτου γέγονε τοῦτο μόνον· καὶ γὰρ καὶ ἐπὶ τῆς οἰκουμένης ἁπάσης τοῦτο ἔσται. τοῦτο δὲ ἔλεγε περὶ τῶν ἐθνῶν προφητεύων, καὶ χρηστὰς αὐτοῖς ὑποτείνων ἐλπίδας. καὶ γὰρ ἦσαν καὶ ἀπὸ Γαλιλαίας ἀκολουθοῦντες τῆς τῶν ἐθνῶν. ταῦτα δὲ ἔλεγε, τούς τε ἐθνικοὺς οὐκ ἀφιεὶς ἀπογνῶναι, τῶν τε Ἰουδαίων" καθαιρῶν τὰ φρονήματα. ὥστε δὲ μὴ "προσκροῦσαι τὸ λεγόμενον τοῖς ἀκούουσι, μηδὲ παρασχεῖν αὐτοῖς λαβὴν μηδεμίαν, οὔτε προηγουμένως τὸν περὶ τῶν ἐθνῶν εἰσάγει λόγον, ἀλλ' ἀφορμὴν λαβὼν ἀπὸ τοῦ ἑκατοντάρχου, οὔτε γυμνὸν τὸ ὄνομα τῶν ἐθνῶν τίθησιν. οὐ γὰρ εἶπε, πολλοὶ τῶν ἐθνῶν, ἀλλὰ πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν· ὅπερ ἦν δηλοῦντος τὰ ἔθνη. οὐ προσίστατο δὲ οὕτω τοῖς ἀκούουσι. συνεσκιασμένον γὰρ ἦν τὸ λεχθέν. οὐ ταύτῃ δὲ μόνον παραμυθεῖται τὴν δοκοῦσαν εἶναι τῆς διδασκαλίας καινοτομίαν, ἀλλὰ καὶ τῷ τοὺς κόλπους Ἀβραὰμ ἀντὶ τῆς βασιλείας εἰπεῖν. οὐδὲ γὰρ ἐκεῖνο γνώριμον αὐτοῖς τὸ ὄνομα ἦν· καὶ μειζόνως αὐτοὺς ἔδακνεν ὁ Ἀβραὰμ εἰς τὸ μέσον τεθείς. διὸ καὶ ὁ Ἰωάννης οὐδὲν εὐθέως περὶ γεέννης εἶπεν· ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐλύπει φησί, μὴ δόξητε λέγειν ὅτι "πατέρα ἔχομεν τὸν Ἀβραάμ. μετὰ δὲ τούτων καὶ ἕτερον κατασκευάζει, τὸ μὴ δόξαι ἐναντίος τις εἶναι τῇ παλαιᾷ πολιτείᾳ. ὁ γὰρ τοὺς πατριάρχας θαυμάζων, καὶ λῆξιν ἀγαθῶν τοὺς ἐκείνων κόλπους καλῶν, ἐκ πολλῆς τῆς περιουσίας καὶ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. μηδεὶς οὖν μίαν εἶναι νομιζέτω τὴν ἀπειλήν. διπλῆ γάρ ἐστι καὶ τούτοις ἡ κόλασις, κἀκείνοις ἡ εὐφροσύνη· τούτοις μέν, οὐχ ὅτι ἐξέπεσον, ἀλλ' ὅτι τῶν ἰδίων ἐξέπεσον· ἐκείνοις δέ, οὐχ ὅτι ἐπέτυχον, ἀλλ' ὅτι καὶ ὧν οὐ προσεδόκων ἐπέτυχον. καὶ τρίτη μετὰ τούτων, ὅτι τὰ ἐκείνων ἔλαβον οὗτοι. υἱοὺς δὲ βασιλείας φησὶν, οἷς ἡ βασιλεία ἦν ἡτοιμασμένη· ὃ καὶ μάλιστα αὐτοὺς ἔδακνε. δείξας γὰρ εἰς κόλπους ὄντας τῇ ἐπαγγελίᾳ καὶ τῇ ὑποσχέσει, τότε ἐξάγει. εἶτα ἐπειδὴ ἀπόφασις ἦν τὸ εἰρημένον, πιστοῦται αὐτὸ τῷ σημείῳ· ὥσπερ οὖν καὶ τὰ σημεῖα ἀπὸ τῆς προῤῥήσεως "τῆς μετὰ ταῦτα γεγενημένης δείκνυσιν. ὁ τοίνυν ἀπιστῶν τῇ ὑγείᾳ τῇ γενομένῃ τῷ παιδὶ τότε, ἀπὸ τῆς προφητείας τῆς ἐξελθούσης σήμερον πιστευέτω κἀκείνῳ. καὶ γὰρ καὶ ἡ προφητεία καὶ πρὸ τῆς ἐκβάσεως ἀπὸ τοῦ σημείου τοῦ τότε δήλη πᾶσιν ἐγένετο. Διά τοι τοῦτο πρότερον ταῦτα προαναφωνήσας, τότε τὸν παραλελυμένον ἀνέστησεν, ἵνα τὰ μέλλοντα ἀπὸ τῶν παρόντων πιστώσηται, καὶ τὸ ἔλαττον ἀπὸ τοῦ μείζονος. τὸ μὲν γὰρ ἐναρέτους ἀπολαύειν τῶν ἀγαθῶν, καὶ τοὺς ἐναντίους τὰ λυπηρὰ ὑπομένειν, οὐδὲν ἀπεικὸς, ἀλλὰ [καὶ] κατὰ λόγον καὶ κατὰ ἀκολουθίαν νόμων ἐγένετο· τὸ δὲ παρειμένον σφίγξαι καὶ νεκρὸν ἀναστῆσαι, μεῖζον ἢ κατὰ φύσιν ἦν. ἀλλ' ὅμως εἰς τὸ μέγα τοῦτο καὶ θαυμαστὸν, οὐ μικρὸν καὶ ὁ ἑκατοντάρχης συνεισήνεγκεν. ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. Εἶδες πῶς "ἐκήρυξεν ἡ τοῦ παιδὸς ὑγεία καὶ τὴν τοῦ Χριστοῦ δύναμιν, καὶ τὴν τοῦ ἑκατοντάρχου πίστιν, καὶ τὸ μέλλον ἐπιστώσατο; μᾶλλον δὲ πάντα τὴν τοῦ Χριστοῦ δύναμιν ἀνεκήρυττεν. οὐ γὰρ τὸ σῶμα διωρθώσατο μόνον τοῦ παιδὸς, ἀλλὰ καὶ τὴν τοῦ ἑκατοντάρχου ψυχὴν εἰς τὴν πίστιν διὰ τῶν θαυμάτων αὐτὸς ἐφειλκύσατο. σὺ δὲ μὴ τοῦτο σκόπει μόνον ὅτι οὗτος ἐπίστευσε, καὶ ὅτι ἐκεῖνος ἰάθη, ἀλλὰ καὶ τὸ τάχος θαύμασον. καὶ γὰρ τοῦτο δηλῶν ὁ εὐαγγελιστὴς ἔλεγε· καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ λεπροῦ εἶπεν, ὅτι εὐθέως ἐκαθαρίσθη. οὐδὲ γὰρ τῷ θεραπεῦσαι, ἀλλὰ καὶ τῷ παραδόξως τοῦτο ποιεῖν καὶ ἐν ἀκαρεῖ ῥοπῇ, τὴν δύναμιν ἐπεδείκνυτο. καὶ οὐ ταύτῃ μόνον ὠφέλει, ἀλλὰ καὶ τῷ συνεχῶς ἐν τῇ τῶν θαυμάτων ἐπιδείξει τοὺς περὶ τῆς βασιλείας παρανοίγειν λόγους, καὶ πάντας ἐφέλκεσθαι πρὸς αὐτήν. καὶ γὰρ οὓς ἐκβάλλειν ἠπείλει, οὐχ ἵνα "ἐκβάλλῃ ἠπείλει, ἀλλ' ἵνα τῷ φόβῳ πρὸς αὐτὴν διὰ τῶν ῥημάτων ἐπισπάσηται. εἰ δὲ [μηδὲν] μηδὲ ἐντεῦθεν ἐκέρδανον, αὐτῶν τὸ ἔγκλημα ἅπαν, καὶ πάντων τῶν τὰ τοιαῦτα νοσούντων. "οὐδὲ γὰρ ἐπὶ Ἰουδαίων μόνον τοῦτο συμβὰν ἴδοι τις ἂν, ἀλλὰ καὶ ἐπὶ τῶν πιστευσάντων. καὶ γὰρ ὁ Ἰούδας υἱὸς βασιλείας ἦν, καὶ ἤκουσε μετὰ τῶν μαθητῶν, ἐπὶ δώδεκα θρόνοις καθίσεσθε, ἀλλὰ γέγονεν υἱὸς γεέννης· ὁ δὲ Αἰθίοψ, βάρβαρος [ἄνθρωπος] ὢν, καὶ τῶν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀπολαύεται τῶν στεφάνων. τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται νῦν. Πολλοὶ γάρ ἔσονταί, φησι, πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. τοῦτο δὲ ἔλεγεν, ἵνα μήτε ἐκεῖνοι ῥᾳθυμῶσιν, ὡς οὐ δυνάμενοι "ἐπανελθεῖν, μήτε οὗτοι θαῤῥῶσιν, ὡς "ἑστῶτες. τοῦτο καὶ ὁ Ἰωάννης ἄνωθεν προαναφωνῶν ἔλεγε· δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἐπειδὴ γὰρ τοῦτο ἔμελλε γίνεσθαι, προανακηρύττεται πόῤῥωθεν, ὥστε μηδένα τῷ ξένῳ τοῦ πράγματος θορυβηθῆναι. ἀλλ' ἐκεῖνος μὲν ὡς ἐνδεχόμενον αὐτὸ λέγει ("ἄνθρωπος γὰρ ἦν) ὁ δὲ Χριστὸς ὡς πάντως ἐσόμενον, τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν παρέχων.

μετὰ
γεγενη-
κήρυ-
βάλη
πελθεῖν,
ἑστῶτες.
ρωπος

Ματθ. κ. ις.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν θαῤῥῶμεν οἱ ἑστῶτες, ἀλλὰ λέγωμεν ἑαυτοῖς, ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ· μηδὲ ἀπογινώσκωμεν οἱ κείμενοι, ἀλλὰ λέγωμεν ἑαυτοῖς· μὴ ὁ πίπτων οὐκ "ἀνίσταται; καὶ γὰρ πολλοὶ εἰς αὐτὴν τὴν κορυφὴν ἀνελθόντες τῶν οὐρανῶν, καὶ πᾶσαν τὴν καρτερίαν ἐπιδειξάμενοι, καὶ τὰς ἐρήμους κατειληφότες, καὶ οὐδὲ γυναῖκα ὄναρ "εἰδότες, ῥᾳθυμήσαντες μικρὸν ὑπεσκελίσθησαν, καὶ πρὸς αὐτὸν ἦλθον τῆς κακίας τὸ βάραθρον. ἕτεροι δὲ πάλιν ἐκεῖθεν πρὸς τὸν οὐρανὸν ἀνέβησαν, καὶ ἀπὸ τῆς σκηνῆς καὶ ἀπὸ τῆς ὀρχήστρας πρὸς τὴν ἀγγελικὴν μετετάξαντο πολιτείαν, καὶ τοσαύτην ἐπεδείξαντο [τὴν] ἀρετὴν, ὡς δαίμονας ἀπελάσαι καὶ πολλὰ ἄλλα σημεῖα τοιαῦτα ἐργάσασθαι. καὶ τούτων μὲν πλήρεις εἰσὶν αἱ γραφαὶ, πλήρης δὲ ὁ βίος τῶν παραδειγμάτων ἡμῖν· καὶ πόρνοι καὶ μαλακοὶ τὰ Μανιχαίων ἐμφράττουσι στόματα,

ἀστήσε-
δότες,

τα, οἱ τὴν κακίαν ἀκίνητον εἶναι φασι, τῷ διαβόλῳ τελούμενοι, καὶ τὰς τῶν σπουδάζειν βουλομένων χεῖρας ἐκλύοντες, καὶ τὴν ζωὴν ἅπασαν ἀνατρέποντες. οἱ γὰρ ταῦτα πείθοντες, οὐ πρὸς τὰ μέλλοντα παραβλάπτουσι μόνον, ἀλλὰ καὶ ἐνταῦθα ἄνω καὶ κάτω πάντα ποιοῦσι, τό γε αὐτῶν μέρος. πότε γὰρ ἐπιμελήσεταί τις ἀρετῆς τῶν ἐν κακίᾳ ζώντων, ὅταν ἀδύνατον τὴν πρὸς ἐκείνην ἐπάνοδον εἶναι νομίζῃ καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν; Εἰ γὰρ νῦν καὶ νόμων ὄντων καὶ κολάσεων ἠπειλημένων, καὶ δόξης τοὺς πολλοὺς ″ διεγειρούσης, καὶ γεέννης προσδοκωμένης, καὶ βασιλείας ἐπηγγελμένης, καὶ τῶν κακῶν ὀνειδιζομένων, καὶ τῶν καλῶν ἐγκωμιαζομένων, μόλις αἱροῦνταί τινες τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας, ἂν ταῦτα πάντα ἀνέλῃς, τί τὸ κωλῦον τὰ πάντα ἀπολέσθαι καὶ διαφθαρῆναι; Συνειδότες οὖν τὴν κακουργίαν τὴν διαβολικήν, καὶ ὅτι καὶ τοῖς ἔξω νομοθέταις, καὶ τοῖς τοῦ ″ Θεοῦ χρησμοῖς, καὶ τοῖς τῆς φύσεως λογισμοῖς, καὶ τῇ κοινῇ πάντων ἀνθρώπων δόξῃ, καὶ βαρβάροις, καὶ Σκύθαις, καὶ Θρᾳξὶ, καὶ πᾶσιν ἁπλῶς ἀπεναντίας οὗτοι καὶ οἱ τὰ τῆς εἱμαρμένης δόγματα νομοθετεῖν ἐπιχειροῦντες φρονοῦσι, νήφωμεν, ἀγαπητοὶ, καὶ πᾶσιν ἐκείνοις ″ ἔρρωσθαι εἰπόντες, ὁδεύωμεν διὰ τῆς στενῆς ὁδοῦ, καὶ θαῤῥοῦντες καὶ δεδοικότες· δεδοικότες μὲν, διὰ τοὺς ἑκατέρωθεν κρημνούς· θαῤῥοῦντες δὲ, διὰ τὸν προηγούμενον ἡμῶν Ἰησοῦν· ὁδεύωμεν νήφοντες καὶ ἐγρηγορότες. κἂν γὰρ μικρὸν τις ἀπονυστάξῃ, κατηνέχθη ταχέως. α. Βασ. ιβ. οὐ γάρ ἐσμεν ἀκριβέστεροι τοῦ Δαβίδ, ὃς μικρὸν ὀλιγωρήσας πρὸς αὐτὸ κατεκρημνίσθη τῆς ἁμαρτίας τὸ βάραθρον, ἀλλ' ἀνέστη ταχέως. μὴ τοίνυν ὅτι ἥμαρτεν ἴδῃς μόνον, ἀλλ' ὅτι καὶ τὴν ἁμαρτίαν ἀπενίψατο. διὰ γὰρ τοῦτο τὴν ἱστορίαν ἐκείνην ἀνέγραψεν, οὐχ ἵνα πεσόντα θεάσῃ, ἀλλ' ἵνα ἀναστάντα θαυμάσῃς, ἵνα μάθῃς ἐπειδὰν πέσῃς, πῶς ἀνίστασθαι χρή. καθάπερ γὰρ οἱ ἰατροὶ τῶν νοσημάτων τὰ χαλεπώτατα ἐκλεγόμενοι ταῖς βίβλοις ἐγγράφουσι, καὶ τῆς τοιαύτης διορθώσεως τὴν μέθοδον διδάσκουσιν, ἵνα ἐν τοῖς μείζοσι γυμνασάμενοι, ῥᾳδίως τῶν ἐλαττόνων περιγένωνται· οὕτω δὴ καὶ ὁ Θεὸς τὰ μέγιστα τῶν ἁμαρτημάτων εἰς μέσον ἤγαγεν, ἵνα καὶ οἱ τὰ μικρὰ πταίοντες δι' ἐκείνων ῥᾳδίαν τὴν τούτων διόρθωσιν εὕρωσι. εἰ γὰρ ἐκεῖνα ἔσχεν ἴασιν, πολλῷ μᾶλλον τὰ ἐλάττονα. ἴδωμεν τοίνυν πῶς καὶ ἠῤῥώστησε, πῶς καὶ ἀνέστη ταχέως ὁ μακάριος ἐκεῖνος. τίς οὖν τῆς ἀῤῥωστίας ὁ τρόπος ἦν; ἐμοίχευσε καὶ ἐφόνευσεν. οὐδὲ γὰρ ἐγκαλύπτομαι λαμπρᾷ ταῦτα ἀνακηρύττων τῇ φωνῇ. εἰ γὰρ τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐνόμισεν αἰσχύνην ταύτην ἀναθεῖναι πᾶσαν τὴν ἱστορίαν, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς συσκιάζειν χρή. διόπερ οὐ μόνον αὐτὰ ἀνακηρύττω, ἀλλὰ καὶ ἕτερον προστίθημι. καὶ γὰρ ὅσοι ταῦτα κρύπτουσιν, οὗτοι μάλιστα τὴν ἀρετὴν συσκιάζουσι τὴν ἐκείνου. καὶ ὥσπερ οἱ τὸν πόλεμον σιγῶντες τοῦ Γολιὰθ οὐ μικρῶν αὐτὸν ἀποστεροῦσι στεφάνων· οὕτω καὶ οἱ ταύτην παρατρέχοντες τὴν ἱστορίαν. ἆρα οὐ δοκεῖ παράδοξον εἶναι τὸ λεγόμενον; οὐκοῦν ἀναμείνατε μικρόν, καὶ τότε εἴσεσθε ὅτι δικαίως ταῦτα ἡμῖν εἴρηται. διὰ γὰρ τοῦτο αὔξω τὸ ἁμάρτημα καὶ παραδοξότερον ποιῶ τὸν λόγον, ἵνα ἐκ πλείονος περιουσίας τὰ φάρμακα κατασκευάσω. τί οὖν ἐστιν ὃ προστίθημι; ″ τὴν ἀρετὴν τοῦ ἀνδρός· ὃ μεῖζον ποιεῖ [καὶ] τὸ ἔγκλημα. οὐ γὰρ ὁμοίως πάντα ἐπὶ πάντων κρίνεται. Λουκ. ιβ. μζ. Δυνατοὶ γάρ, φησι, δυνατῶς ἐτασθήσονται· καὶ, Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν, δαρήσεται πολλάς· ὥστε ἡ πλείων γνῶσις πλείονος κολάσεώς ἐστιν ὑπόθεσις. διὰ δὴ τοῦτο ὁ ἱερεὺς τὰ αὐτὰ τοῖς ἀρχομένοις ἁμαρτάνων, οὐ τὰ αὐτὰ πείσεται, ἀλλὰ τὰ πολλῷ χαλεπώτερα. τάχα ὁρῶντες τὴν κατηγορίαν αὐξανομένην τρέμετε καὶ δεδοίκατε καὶ θαυμάζετέ με ὡς κατὰ κρημνῶν ἐρχόμενον. ἀλλ' ἐγὼ οὕτω θαῤῥῶ ὑπὲρ τοῦ δικαίου, ὅτι καὶ περαιτέρω πρόειμι. ὅσῳ γὰρ ἂν αὐξήσω τὸ ἔγκλημα, τοσούτῳ μᾶλλον δεῖξαι δυνήσομαι τὸ ἐγκώμιον τοῦ Δαβίδ. καὶ τί τούτων πλέον ἐστί, φησιν, εἰπεῖν; πάνυ γε πλέον. ὥσπερ γὰρ ἐπὶ τοῦ Κάϊν, οὐ φόνος μόνον τὸ γινόμενον ἦν, ἀλλὰ καὶ πολλῶν φόνων χεῖρον (οὐ γὰρ ἀλλότριον, ἀλλ' ἀδελφόν, οὐκ ἠδικηκότα, ἀλλ' ἠδικημένον ἐφό-

γρ. ἐπαγ- μένης,

γρ. χρ

γρ. ἐῤῥ

γρ. ἐπι

ἐφόνευσεν, οὐ μετὰ πολλοὺς φονέας, ἀλλὰ πρῶτος τὸ μύσος εὑρών) οὕτω δὴ καὶ ἐνταῦθα οὐ φόνος ἦν μόνον τὸ τόλμημα (οὐ γὰρ ὁ τυχὼν ἦν ἀνὴρ ὁ πεποιηκώς, ἀλλὰ προφήτης) καὶ οὐ τὸν ἠδικηκότα, ἀλλὰ τὸν ἠδικημένον ἀναιρεῖ. καὶ γὰρ ἠδίκητο ἐν τοῖς καιρίοις τῆς γυναικὸς ἁρπαγείσης· ἀλλ' ὅμως μετ' ἐκεῖνο καὶ τοῦτο προσέθηκεν. εἴδετε πῶς οὐκ ἐφεισάμην τοῦ δικαίου; πῶς οὐδὲ μεθ' ὑποστολῆς τινος εἶπον τὰ πεπλημμελημένα αὐτῷ; ἀλλ' ὅμως οὕτως ὑπὲρ τῆς ἀπολογίας θαρρῶ, ὅτι μετὰ τοσοῦτον ὄγκον τοῦ ἁμαρτήματος ἐβουλόμην παρεῖναι καὶ Μανιχαίους τοὺς μάλιστα ταῦτα κωμῳδοῦντας, καὶ τοὺς τὰ Μαρκίωνος νοσοῦντας, ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξω τὰ στόματα. ἐκεῖνοι μὲν γὰρ λέγουσιν, ὅτι ἐφόνευσε καὶ ἐμοίχευσεν· ἐγὼ δὲ οὐ τοῦτο λέγω μόνον, ἀλλὰ καὶ διπλοῦν τὸν φόνον ἀπέφηνα, ἀπό τε τοῦ ἠδικημένου, ἀπό τε τῆς ποιότητος τοῦ προσώπου τοῦ πεπλημμεληκότος. οὐ γάρ ἐστιν ἴσον πνεύματος ἀξιωθέντα καὶ τοσαῦτα εὐεργετηθέντα, καὶ τηλικαύτην ἐσχηκότα παρρησίαν, καὶ ἐν τοιαύτῃ ἡλικίᾳ τοιαῦτα τολμᾶν, καὶ τούτων πάντων χωρὶς τὸ αὐτὸ τοῦτο ποιεῖν. ἀλλ' ὅμως καὶ ταύτῃ μάλιστα θαυμαστός ἐστιν ὁ γενναῖος ἐκεῖνος ἀνήρ, ὅτι εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσών, οὐκ ἀνέπεσεν, οὐδὲ ἀπέγνω, οὐδὲ ἔρριψεν ἑαυτὸν ὕπτιον, οὕτω παρὰ τοῦ διαβόλου καιρίαν λαβὼν πληγήν, ἀλλὰ ταχέως, μᾶλλον δὲ εὐθέως, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος καιριωτέραν ἔδωκεν ἢ ἔλαβε τὴν πληγήν. καὶ ταυτὸν γέγονεν, οἷον ἂν εἰ ἐν πολέμῳ καὶ παρατάξει βαρβάρου τινὸς εἰς ἀριστέως καρδίαν ἐμπήξαντος δόρυ, ἢ κατὰ τοῦ ἥπατος ἀφέντος βέλος, καὶ δεύτερον τῷ προτέρῳ τραῦμα προστιθέντος ἐκείνου καιριώτερον, πεσὼν καὶ αἵματι πολλῷ περιρρεόμενος πάντοθεν ὁ τὰς χαλεπὰς ταύτας λαβὼν πληγάς, καὶ ἀνασταίη ταχέως, καὶ δόρυ κατὰ τοῦ τοξεύσαντος ἀφεὶς, νεκρὸν ἐπὶ τοῦ πεδίου δείξειεν εὐθέως. οὕτω δὴ καὶ ἐνταῦθα, ὅσῳ ἂν μείζονα εἴπῃς τὴν πληγήν, τοσούτῳ θαυμαστοτέραν δεικνύεις τοῦ πληγέντος τὴν ψυχήν, ὅτι ἴσχυσε μετὰ τὸ χαλεπὸν τοῦτο τραῦμα καὶ ἀναστῆναι καὶ στῆναι ἐν αὐτῷ τῷ τῆς φάλαγγος μετώπῳ, καὶ τὸν τρώσαντα κατενεγκεῖν. τοῦτο δὲ ἡλίκον ἐστίν, ἴσασι μάλιστα, ὅσοι χαλεπαῖς περιπίπτουσιν ἁμαρτίαις. οὐ γὰρ οὕτω γενναίας καὶ νεανικῆς ἐστι ψυχῆς ὀρθὰ βαδίζοντα δι' ὁδοῦ προτρέχειν (ἔχει γὰρ ὁ τοιοῦτος συνοδοιπόρον τὴν ἀγαθὴν ἐλπίδα, ἀλείφουσαν, διεγείρουσαν, νευροῦσαν, προθυμότερον ἐργαζομένην) ὡς τὸ μετὰ τοὺς μυρίους στεφάνους καὶ τὰ πολλὰ τρόπαια καὶ τὰς νίκας, τὴν ἐσχάτην ὑπομένοντα ζημίαν, δυνηθῆναι πάλιν ἐπιλαβέσθαι τῶν αὐτῶν δρόμων. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, καὶ ἕτερον οὐδὲν ἔλαττον τοῦ προτέρου παραδείγματος εἰς μέσον ὑμῖν ἀγαγεῖν πειράσομαι. ἐννόησον γάρ μοί τινα κυβερνήτην μυρία διαβαλόντα πελάγη, μετὰ τὸ τὴν θάλασσαν διαπλεῦσαι ἅπασαν, μετὰ τοὺς πολλοὺς χειμῶνας καὶ τοὺς σκοπέλους καὶ τὰ κύματα, πολὺν ἔχοντα φόρτον, ἐν αὐτῷ καταποντιζόμενον τῷ στόματι τοῦ λιμένος, καὶ γυμνῷ μόλις τῷ σώματι τὸ χαλεπὸν τοῦτο διαφυγόντα ναυάγιον· πῶς πρὸς τὴν θάλασσαν διακεῖσθαι εἰκὸς, καὶ τὴν ναυτιλίαν καὶ τοὺς τοιούτους πόνους; ἆρα αἱρήσεταί ποτε ὁ τοιοῦτος, εἰ μὴ σφόδρα γενναίας εἴη ψυχῆς, αἰγιαλὸν ἰδεῖν, ἢ πλοῖον, ἢ λιμένα; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐγκαλυψάμενος κείσεται νύκτα τὴν ἡμέραν ὁρῶν, καὶ πρὸς πάντα ἀπαγορεύων· καὶ μᾶλλον αἱρήσεται προσαιτῶν ζῆν, ἢ τῶν αὐτῶν ἅψασθαι πόνων. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτος· ἀλλὰ τοιοῦτον ναυάγιον ὑπομείνας μετὰ τοὺς μυρίους πόνους καὶ τοὺς ἱδρῶτας ἐκείνους, οὐκ ἔμεινεν ἐγκεκαλυμμένος, ἀλλὰ καὶ τὸ πλοῖον καθείλκυσε, καὶ τὰ ἱστία πετάσας, καὶ τὸ πηδάλιον μεταχειρίσας, τῶν αὐτῶν ἥπτετο πόνων, καὶ πλείονα τῶν προτέρων τὸν πλοῦτον εἰργάσατο [πάλιν.] εἰ δὲ τὸ στῆναι θαυμαστὸν*, καὶ τὸ μὴ κεῖσθαι δι' ὅλου πεσόντα, καὶ τὸ ἀναστῆναι καὶ τοιαῦτα ἐργάζεσθαι, πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιον; καίτοιγε πολλὰ ἦν τὰ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλοντα. καὶ πρῶτον, τὸ μέγεθος τοῦ ἁμαρτήματος· δεύτερον, τὸ μὴ ἐν προοιμίοις τῆς ζωῆς, ὅτε καὶ πλείους αἱ ἐλπίδες, ἀλλὰ πρὸς τῷ τέλει ταῦτα παθεῖν. οὐδὲ γὰρ ὁ ἔμπορος ἀπὸ λιμένος ἐξελθὼν καὶ ναυάγιον εὐθέως ὑπομείνας ὁμοίως ἀλιεῖ τῷ μετὰ μυρίας ἐμπορίας προσαράσσοντι σκοπέλῳ. τρίτον, τὸ πολὺν ἤδη συνειλοχότα πλοῦτον, τοῦτο παθεῖν. καὶ γὰρ οὐ μικρὰ ἀπέκειτο αὐτῷ φορτία τότε, οἷα τὰ κατὰ τὴν πρώτην ἡλικίαν, ἡνίκα ἐποίμαινε, τὰ κατὰ τὸν Γολιάθ, ὅτε τὸ λαμπρὸν τρόπαιον ἔστησε, τὰ κατὰ τὴν φιλοσοφίαν τὴν ἐπὶ τοῦ Σαούλ. καὶ γὰρ τὴν εὐαγγελικὴν ἐπεδείκνυτο μακροθυμίαν, μυριάκις τὸν ἐχθρὸν εἰς χεῖρας ἑλὼν καὶ φεισάμενος διηνεκῶς· καὶ μᾶλλον εἵλετο ἐκπεσεῖν πατρίδος καὶ ἐλευθερίας καὶ αὐτῆς τῆς ζωῆς, ἢ τὸν ἀδίκως ἐπιβουλεύοντα ἀνελεῖν. καὶ μετὰ τὴν βασιλείαν δὲ οὐ μικρὰ ἦν αὐτῷ τὰ "κατορθώματα· μετὰ δὲ τῶν εἰρημένων, καὶ ἡ παρὰ τῶν πολλῶν ὑπόληψις, καὶ τὸ λαμπρᾶς οὕτω δόξης ἐκπεσεῖν, οὐ τὸν τυχόντα ἐποίει θόρυβον. οὐδὲ γὰρ οὕτως αὐτὸν ἐκαλλώπιζεν ἡ πορφύρα, ὡς κατῄσχυνεν ἡ τῆς ἁμαρτίας ταύτης κηλίς. ἴστε δὲ πάντως ἡλίκον ἐστὶν ἁμαρτήματα ἐκπομπεύεσθαι, καὶ πῶς μεγάλης δεῖται ψυχῆς ὁ τοιοῦτος, ὥστε μετὰ τὴν τῶν πολλῶν κατηγορίαν καὶ τὸ μάρτυρας ἔχειν τοσούτους τῶν οἰκείων πλημμελημάτων μὴ ἀναπεσεῖν. ἀλλ' ὅμως ἅπαντα ταῦτα ὁ γενναῖος ἐκεῖνος τῆς ψυχῆς ἐξελκύσας τὰ βέλη, οὕτως ἔλαμψε μετὰ ταῦτα, οὕτως ἔσμηξε τὴν κηλῖδα, οὕτως ἐγένετο καθαρὸς, ὡς τῶν "ἐκγόνων τῶν αὐτοῦ καὶ τελευτήσας τὰ ἁμαρτήματα "παραμυθήσασθαι. * καὶ ὅπερ ἐλέγετο περὶ τοῦ Ἀβραάμ, καὶ περὶ τούτου φαίνεται ὁ Θεὸς λέγων· μᾶλλον δὲ πολλῷ πλέον περὶ τούτου. ἐπὶ μὲν γὰρ τοῦ πατριάρχου φησίν· ὅτι ἐμνήσθην τῆς διαθήκης τῆς πρὸς τὸν Ἀβραάμ· ἐνταῦθα δὲ οὐ τῆς διαθήκης φησὶν, ἀλλὰ πῶς; διὰ Δαβὶδ τὸν παῖδά μου ὑπερασπιῶ τῆς πόλεως ταύτης. καὶ τὸν Σολομῶντα δὲ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν οὐκ ἀφῆκε τηλικαύτην ἁμαρτήσαντα ἁμαρτίαν τῆς βασιλείας ἐκπεσεῖν. καὶ τοσαύτη ἦν ἡ δόξα τοῦ ἀνδρὸς, ὥστε τὸν Πέτρον μετὰ τοσαῦτα ἔτη πρὸς Ἰουδαίους δημηγοροῦντα οὕτω λέγειν· Ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη. (Πραξ. β. κθ.) καὶ ὁ Χριστὸς δὲ "πρὸς Ἰουδαίους διαλεγόμενος, δείκνυσιν αὐτὸν μετὰ τὴν ἁμαρτίαν πνεύματος ἠξιωμένον τοσούτου, ὡς καὶ περὶ τῆς αὐτοῦ θεότητος ἀξιωθῆναι προφητεῦσαι πάλιν· καὶ ἐντεῦθεν αὐτοὺς ἐπιστομίζων ἔλεγε, πῶς οὖν ὁ Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; καὶ ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε, τοῦτο καὶ ἐπὶ τοῦ Δαβίδ. καθάπερ γὰρ τὴν Μαριὰμ καὶ "ἄκοντος τοῦ Μωϋσέως ἐκόλασεν ὁ Θεὸς διὰ τὴν εἰς τὸν ἀδελφὸν ὕβριν, ἐπειδὴ σφόδρα ἐφίλει τὸν ἅγιον· οὕτω καὶ τοῦτον παρὰ τοῦ παιδὸς ὑβρισθέντι ταχέως ἤμυνε, καὶ ταῦτα μὴ βουλόμενος. ἱκανὰ μὲν οὖν καὶ ταῦτα, μᾶλλον δὲ πρὸ τῶν ἄλλων ταῦτα ἱκανὰ δεῖξαι τὴν ἀρετὴν τοῦ ἀνδρός. ὅταν γὰρ ὁ Θεὸς ψηφίζηται, οὐδὲν δεῖ περιεργάζεσθαι πλέον. εἰ δὲ βούλεσθε καὶ κατ' εἶδος αὐτοῦ τὴν φιλοσοφίαν μαθεῖν, ἔξεστιν ὑμῖν ἐπελθοῦσι τὴν ἱστορίαν τὴν μετὰ τὴν ἁμαρτίαν ἰδεῖν αὐτοῦ τὴν παρρησίαν τὴν πρὸς τὸν Θεὸν, τὴν εὔνοιαν, τὴν τῆς ἀρετῆς ἐπίδοσιν, τὴν εἰς ἐσχάτας ἀναπνοὰς ἀκρίβειαν. ταῦτα οὖν ἔχοντες τὰ παραδείγματα, νήφωμεν καὶ σπουδάζωμεν μὴ καταπίπτειν· εἰ δέ ποτε καὶ πέσοιμεν, μὴ κεῖσθαι. οὐδὲ γὰρ ἵνα ὑμᾶς εἰς ῥαθυμίαν "ἐμβάλω, τὰ τοῦ Δαβὶδ ἁμαρτήματα εἶπον· ἀλλ' ἵνα πλείονα φόβον ἐργάσωμαι. εἰ γὰρ ὁ δίκαιος ἐκεῖνος ῥαθυμήσας μικρὸν τοιαῦτα ἐδέξατο [πάθη καὶ] τραύματα· τί πεισόμεθα ἡμεῖς, οἱ καθ' ἑκάστην ὀλιγωρήσαντες; μὴ τοίνυν ὅτι ἔπεσεν ἴδῃς, καὶ ῥαθυμήσῃς· ἀλλ' ἐννόησον πόσα καὶ μετὰ ταῦτα εἰργάσατο, πόσους θρήνους ἐπεδείξατο, πόσην μετάνοιαν, τὰς νύκτας ταῖς ἡμέραις προστιθεὶς, πηγὰς δακρύων "ἀφιεὶς, τὴν κλίνην λούων τοῖς δάκρυσι, πρὸς τούτοις σάκκον περιβαλλόμενος. εἰ δὲ ἐκεῖνος τοσαύτης ἐδεήθη τῆς ἐπιστροφῆς, πότε δυνησόμεθα σωθῆναι ἡμεῖς μετὰ τοσαῦτα ἁμαρτήματα ἀναλγήτως διακείμενοι; ὁ μὲν γὰρ πολλὰ ἔχων κατορθώματα, ῥαδίως ἂν καὶ ἐντεῦθεν τὰ ἁμαρτήματα συσκιάσειεν· ὁ δὲ γυμνὸς, ὅπου ἂν δέξηται βέλος, καιρίαν δέχεται πληγήν. ἵν' οὖν μὴ τοῦτο γένηται, γίνηται, ὁπλίσωμεν ἑαυτοὺς ἀγαθοῖς ἔργοις· κἂν προσγίνηταί τι πλημμέλημα, ἀπονιψώμεθα· ἵνα καταξιωθῶμεν, εἰς δόξαν τοῦ Θεοῦ ζήσαντες τὸν παρόντα βίον, τῆς μελλούσης ἀπολαῦσαι ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κζ. 14 ΚΑΙ ΕΛΘΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΤΗΝ ΟΙκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· 15 Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη, καὶ διηκόνει "αὐτῷ.

Ὁ "δὲ Μάρκος καὶ εὐθέως," φησί, βουλόμενος καὶ τὸν χρόνον δηλῶσαι· οὗτος δὲ μόνον τὸ σημεῖον τέθεικε, τὸν χρόνον οὐκ ἐπισημηνάμενος. καὶ οἱ μὲν ἄλλοι φασίν, ὅτι καὶ παρεκάλεσεν αὐτὸν ἡ κατακειμένη, οὗτος δὲ καὶ τοῦτο ἐσίγησε. τοῦτο δὲ οὐκ ἔστι διαφωνίας· ἀλλὰ τὸ μὲν συντομίας, τὸ δὲ ἀκριβείας ἐξηγήσεως. ἀλλὰ τίνος ἕνεκεν εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ Πέτρου; ἐμοὶ δοκεῖ τροφῆς μεταληψόμενος. τοῦτο γοῦν ἐδήλωσεν εἰπών· ἀνέστη, καὶ διηκόνει αὐτῷ. παρὰ γὰρ τοῖς μαθηταῖς κατήγετο, ὥσπερ καὶ παρὰ Ματθαίῳ, ὅτε αὐτὸν ἐκάλεσε, τιμῶν αὐτοὺς καὶ προθυμοτέρους ταύτῃ ποιῶν. σὺ δέ μοι σκόπει καὶ ἐνταῦθα τοῦ Πέτρου τὴν αἰδῶ τὴν πρὸς αὐτόν. ἔχων γὰρ τὴν πενθερὰν οἴκοι κειμένην καὶ πυρέσσουσαν σφοδρῶς, οὐχ εἵλκυσεν αὐτὸν εἰς τὴν οἰκίαν, ἀλλ' ἀνέμενε καὶ τὴν διδασκαλίαν ἀπαρτισθῆναι, καὶ τοὺς ἄλλους θεραπευθῆναι πάντας, καὶ τότε αὐτὸν εἰσελθόντα" παρεκάλεσεν. οὕτως ἐξ ἀρχῆς ἐπαιδεύετο τὰ τῶν ἄλλων ἑαυτοῦ προτιθέναι. οὐκοῦν οὐκ αὐτὸς αὐτὸν εἰσάγει, ἀλλ' αὐτὸς αὐτομάτως ἐπέβη μετὰ τὸ εἰπεῖν τὸν ἑκατόνταρχον, οὐκ εἰμὶ ἄξιος ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, δεικνὺς ὅσον ἐχαρίζετο τῷ μαθητῇ. καίτοι ἐννόησον οἷα ἦν τὰ δώματα τῶν ἁλιέων τούτων· ἀλλ' ὅμως οὐκ ἀπηξίου ὑπὸ τὰς καλύβας αὐτῶν εἰσιέναι τὰς εὐτελεῖς, παιδεύων σε διὰ πάντων" τὸν ἀνθρώπινον καταπατεῖν * τῦφον. καὶ ποτὲ μὲν λόγοις θεραπεύει μόνον, ποτὲ δὲ καὶ τὴν χεῖρα ἐκτείνει· ποτὲ δὲ ἀμφότερα ταῦτα ποιεῖ, εἰς ὄψιν ἄγων τὴν ἰατρείαν. οὐ γὰρ ἐβούλετο ἀεὶ μεθ' ὑπερβολῆς θαυματουργεῖν. ἔδει γὰρ τέως λανθάνειν, καὶ μάλιστα ἐπὶ τῶν μαθητῶν. καὶ γὰρ ἐκ πολλῆς ἡδονῆς πάντα ἂν ἐκήρυξαν· καὶ τοῦτο δῆλον ἐξ ὧν μετὰ τὸ ἐλθεῖν εἰς τὸ ὄρος ἐδέησε τοῦ παραγγεῖλαι αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν. ἁψάμενος τοίνυν τοῦ σώματος, οὐχὶ τὸν πυρετὸν ἔσβεσε μόνον, ἀλλὰ καὶ καθαρὰν τὴν ὑγείαν ἀπέδωκεν. ἐπειδὴ γὰρ τὸ νόσημα εὐτελὲς ἦν, τῷ τρόπῳ τῆς ἰατρείας τὴν δύναμιν ἐπεδείκνυτο· ὅπερ οὐκ ἂν εἰργάσατο τέχνη ἰατρική. ἴστε γὰρ ὅτι καὶ μετὰ τὴν ἀπαλλαγὴν τοῦ πυρετοῦ πολλοῦ δεῖ χρόνου πάλιν τοῖς κάμνουσιν, ὥστε εἰς τὴν προτέραν ὑγείαν ἐπανελθεῖν. ἀλλὰ τότε ὁμοῦ πάντα ἐγίνετο· καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάττης. οὐδὲ γὰρ ἐκεῖ τοὺς ἀνέμους ἔπαυσε μόνον καὶ τὸν χειμῶνα, ἀλλὰ καὶ τὸν σάλον εὐθέως ἔστησεν, ὅπερ καὶ τοῦτο ξένον ἦν. εἰ γὰρ καὶ ἡ ζάλη λήξειε, μέχρι πολλοῦ μένει τὰ ὕδατα σαλευόμενα. ἀλλ' οὐκ ἐπὶ τοῦ Χριστοῦ οὕτως· ἀλλ' ὁμοῦ πάντα ἐλύετο. ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς γέγονε. καὶ τοῦτο ἐμφαίνων ὁ εὐαγγελιστὴς ἔλεγεν· ἀνέστη, καὶ διηκόνει αὐτῷ· ὃ τῆς τοῦ Χριστοῦ δυνάμεως σημεῖον ἦν, καὶ τῆς διαθέσεως τῆς γυναικός, ἣν περὶ τὸν Χριστὸν ἐπεδείκνυτο. καὶ ἕτερον δέ τι μετὰ τούτων ἐντεῦθεν ἂν κατίδοιμεν, ὅτι καὶ τῇ ἑτέρων πίστει χαρίζεται ὁ Χριστὸς τὴν ἑτέρων διόρθωσιν (καὶ γὰρ καὶ ἐνταῦθα ἕτεροι αὐτὸν παρεκάλεσαν, ὡς καὶ ἐπὶ τοῦ παιδὸς τοῦ ἑκατοντάρχου) χαρίζεται δέ, ὅταν μὴ ἀπιστῇ ὁ θεραπεύεσθαι μέλλων, ἀλλ' ἢ διὰ νόσον μὴ δύνηται πρὸς αὐτὸν ἰέναι, ἢ δι' δι' ἄγνοιαν μηδὲν μέγα περὶ αὐτοῦ φαντάζῃ), ἢ δι' ἡλικίαν ἄωρον.

16 Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς, καὶ ἐξέβαλε τὰ πνεύματα [αὐτῶν ἀπ' αὐτῶν] λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν,

17 Ὅπως πληρωθῇ τὸ ὑπὸ τοῦ προφήτου Ἡσαΐου λεχθέν, ὅτι τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασεν.

Εἶδες τὸ πλῆθος εἰς πίστιν" αὐξόμενον λοιπόν. οὐδὲ γὰρ τοῦ καιροῦ κατεπείγοντος ἀναχωρεῖν ἠνείχοντο, οὐδὲ ἄκαιρον εἶναι ἐνόμιζον ἐν ἑσπέρᾳ προσάγειν τοὺς ἀῤῥώστους" αὐτῷ. σὺ δέ μοι σκόπει πόσον πλῆθος θεραπευομένων παρατρέχουσιν οἱ εὐαγγελισταί, οὐχὶ καθ' ἕνα λέγοντες ἡμῖν καὶ διηγούμενοι, ἀλλ' ἑνὶ ῥήματι πέλαγος" ἄφραστον θαυμάτων ὑπερβαίνοντες. Εἶτα ἵνα μὴ πάλιν τὸ μέγεθος τοῦ θαύματος εἰς ἀπιστίαν ἐμβάλῃ, εἴγε δῆμον τοσοῦτον καὶ ποικίλα νοσήματα ἐν μιᾷ καιροῦ ῥοπῇ ἔλυσε καὶ διώρθωσεν, ἐπάγει τὸν προφήτην μαρτυροῦντα τοῖς γινομένοις, μεγάλην πανταχοῦ τὴν ἀπὸ τῶν γραφῶν ἀπόδειξιν ἡμῖν οὖσαν δεικνύς, καὶ τῶν σημείων αὐτῶν οὐκ ἐλάττονα, καί φησιν· ὅτι καὶ Ἡσαΐας ταῦτα εἶπεν, Ὅτι τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. οὐκ εἶπεν, ἔλυσεν, ἀλλ' ἔλαβεν, καὶ ἐβάστασεν. ὃ περὶ ἁμαρτιῶν μᾶλλον εἰρῆσθαί μοι δοκεῖ τῷ προφήτῃ συμφώνως Ἰωάννῃ τῷ λέγοντι· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. πῶς οὖν περὶ νοσημάτων αὐτὸ ἐνταῦθα τίθησιν ὁ εὐαγγελιστής; ἢ κατὰ ἱστορίαν" τὴν μαρτυρίαν ἀναγινώσκων, ἢ δηλῶν ὅτι τὰ πλείονα τῶν νοσημάτων ἐξ ἁμαρτημάτων ἐστὶ ψυχικῶν. εἰ γὰρ τὸ κεφάλαιον αὐτὸς ὁ θάνατος ἐξ ἁμαρτίας ἔχει τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν, πολλῷ μᾶλλον καὶ τῶν νοσημάτων τὰ πολλά· ἐπεὶ καὶ αὐτὸ τὸ παθητοὺς εἶναι ἡμᾶς ἐκεῖθεν γέγονεν.

γ. αὐξ
μενον
γ. αὐτ
γ. ἀφατ
Ἠσ. νγ. δ.
γ. τὴ

18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτόν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

Εἶδες πάλιν τὸ ἀκόμπαστον; οἱ μὲν γὰρ ἄλλοι φασίν, ὅτι τοῖς δαίμοσιν ἐπετίμα, ἵνα μὴ εἴπωσιν ὅτι αὐτός ἐστιν· οὗτος δέ φησιν, ὅτι τοὺς ὄχλους διωθεῖται. ἐποίει δὲ τοῦτο, ὁμοῦ τε μετριάζειν ἡμᾶς παιδεύων, ὁμοῦ τε τὸν φθόνον παραμυθούμενος τὸν Ἰουδαϊκόν, καὶ διδάσκων ἡμᾶς μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. οὐ γὰρ δὴ σώματα ἐθεράπευσε μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν διώρθου καὶ φιλοσοφεῖν ἐπαίδευε, δι' ἀμφοτέρων ἑαυτὸν δεικνύς, καὶ τῷ λύειν τὰ νοσήματα, καὶ τῷ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. καὶ γὰρ ἦσαν αὐτῷ προσηλωμένοι, φιλοῦντες αὐτὸν καὶ θαυμάζοντες, καὶ ὁρᾶν εἰς αὐτὸν ἀεὶ βουλόμενοι. τίς γὰρ ἂν ἀπέστη τοιαῦτα θαυματουργοῦντος; τίς δ' οὐκ ἂν καὶ τὸ πρόσωπον ἠθέλησεν ἁπλῶς ἰδεῖν, καὶ τὸ στόμα τὸ τὰ τοιαῦτα φθεγγόμενον; οὐδὲ γὰρ θαυματουργῶν ἦν θαυμαστὸς μόνον, ἀλλὰ καὶ φαινόμενος ἁπλῶς πολλῆς ἔγεμε χάριτος. καὶ τοῦτο ὁ προφήτης δηλῶν ἔλεγεν· Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Εἰ δὲ ὁ Ἡσαΐας λέγει, Οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἢ πρὸς τὴν τῆς θεότητος δόξαν τὴν ἀπόῤῥητον καὶ ἄφραστον τοῦτό φησιν· ἢ τὰ ἐν τῷ πάθει συμβάντα διηγούμενος, καὶ τὴν ἀτιμίαν ἣν ὑπέμεινεν ἐν τῷ καιρῷ τοῦ σταυροῦ, καὶ τὴν εὐτέλειαν ἣν παρὰ πάντα τὸν βίον ἐπεδείξατο διὰ πάντων. οὐ πρότερον δὲ ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν, ἕως οὗ ἐθεράπευσεν. ἢ γὰρ ἂν οὐδὲ ἠνέχοντο. ὥσπερ οὖν ἐν τῷ ὄρει οὐχὶ δημηγοροῦντι παρέμενον μόνον, ἀλλὰ καὶ σιγῆς οὔσης ἠκολούθουν· οὕτω καὶ ἐνταῦθα οὐχὶ θαυματουργοῦντι προσήδρευον, ἀλλὰ καὶ παυσαμένῳ πάλιν, ἀπὸ τοῦ προσώπου πολλὴν τὴν ὠφέλειαν δεχόμενοι. Εἰ γὰρ Μωϋσῆς δεδοξασμένον τὸ πρόσωπον εἶχε, καὶ Στέφανος ὡς ἀγγέλου, ἐννόησον τὸν κοινὸν δεσπότην οἷον εἰκὸς ἦν φαίνεσθαι τότε. τάχα πολλοὶ νῦν εἰς ἐπιθυμίαν ἐνέπεσον τοῦ τὴν εἰκόνα ἐκείνην ἰδεῖν· ἀλλ' ἂν ἐθέλωμεν, πολλῷ βελτίονα ὀψόμεθα ἐκείνης. ἂν γὰρ μετὰ παῤῥησίας τὸν παρόντα διανύσωμεν βίον, ἐπὶ τῶν νεφελῶν αὐτὸν δεξόμεθα, ἀπαντήσαντες ἐν ἀθανάτῳ καὶ ἀφθάρτῳ σώματι. θέα δὲ πῶς αὐτοὺς οὐχ ἁπλῶς ἐλαύνει, ἵνα μὴ πλήξῃ. οὐ γὰρ εἶπεν, ἀναχωρήσατε, ἀλλ' εἰς τὸ πέραν ἐκέλευσεν ἀπελθεῖν, προσδοκίαν

Ψαλ. μδ. γ.
Ἠσ. νγ. β.

διδοὺς τοῦ πάντως ἥξειν ἐκεῖ. καὶ οἱ μὲν ὄχλοι τοσαύτην ἐπεδείκνυντο τὴν ἀγάπην, καὶ μετὰ πολλῆς ἠκολούθουν τῆς διαθέσεως· εἷς δέ τις χρημάτων δοῦλος καὶ πολλὴν ἔχων τὴν ἀπόνοιαν

19 Προσελθὼν, φησὶ· διδάσκαλε, ἀκολουθήσω σοι ὅπου δ' ἂν ἀπέρχῃ. Εἶδες πόσος ὁ τύφος; ἅτε γὰρ οὐκ ἀξιῶν μετὰ τοῦ ὄχλου ἀριθμεῖσθαι, ἀλλ' ἐνδεικνύμενος ὅτι ὑπὲρ τοὺς πολλούς ἐστιν αὐτὸς, οὕτω προσέρχεται. τοιαῦτα γὰρ τὰ ἤθη τὰ Ἰουδαϊκὰ, ἀκαίρου παρρησίας ἐστὶν ἀνάπλεα. οὕτω καὶ ἄλλος μετὰ ταῦτα πάντων σιγώντων [αὐτὸς] ἀναπηδήσας, φησί· Ποία ἐντολὴ πρώτη; ἀλλ' ὅμως οὐκ ἐπετίμησεν ὁ δεσπότης τῇ ἀκαίρῳ παρρησίᾳ, παιδεύων ἡμᾶς καὶ τοὺς τοιούτους φέρειν. διὰ τοῦτο οὐκ ἐλέγχει φανερῶς τοὺς πονηρὰ βουλευομένους· πρὸς δὲ τὴν″ ὑπόνοιαν αὐτῶν ἀποκρίνεται, μόνοις αὐτοῖς καταλιμπάνων εἰδέναι τὸν ἔλεγχον, καὶ διπλῇ αὐτοὺς ὠφελῶν, τῷ τε δηλῶσαι ὅτι οἶδε τὰ ἐν τῷ συνειδότι, καὶ τῷ μετὰ τὴν ἐπίδειξιν ταύτην χαρίσασθαι τὸ λαθεῖν, καὶ δοῦναι πάλιν, εἰ βούλοιντο, ἑαυτοὺς ἀνακλήσασθαι· ὃ δὴ καὶ ἐπὶ τούτου ποιεῖ. οὗτος γὰρ ἰδὼν τὰ πολλὰ σημεῖα καὶ πολλοὺς ἐπισυρομένους, προσεδόκησε χρηματίζεσθαι ἐκ τῶν τοιούτων θαυμάτων· διόπερ καὶ ἀκολουθῆσαι ἔσπευδε. [καὶ] πόθεν τοῦτο δῆλον; ἀπὸ τῆς ἀποκρίσεως ἧς ὁ Χριστὸς ποιεῖται, οὐ πρὸς τὴν ἐρώτησιν τῶν ῥημάτων, ἀλλὰ πρὸς τὴν γνώμην τῆς διανοίας ἀπαντῶν. τί γάρ φησι; χρήματα προσδοκᾷς ἀκολουθῶν ἐμοὶ συλλέγειν; εἶτα, οὐχ ὁρᾷς ὅτι οὔτε καταγώγιόν μοί ἐστιν, οὐδὲ τοσοῦτον ὅσον″ ταῖς ὄρνισιν;

Ματθ. κϐ. λϛ.

20 Αἱ γὰρ ἀλώπεκες, φησι, φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν″ κλῖναι.

Λουκ. θ. νη.

Ταῦτα δὲ οὐκ ἦν ἀποτρεπομένου, ἀλλ' ἐλέγχοντος μὲν τὴν πονηρὰν γνώμην, παρέχοντος δὲ εἰ βούλοιτο μετὰ τῆς τοιαύτης προσδοκίας ἀκολουθεῖν. καὶ ἵνα μάθῃς αὐτοῦ τὴν πονηρίαν, ὅρα τί ποιεῖ. ἀκούσας ταῦτα καὶ ἐλεγχθεὶς οὐκ εἶπεν, ἕτοιμός εἰμι ἀκολουθῆσαι. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο φαίνεται ποιῶν ὁ Χριστός. φανερῶς μὲν οὐκ ἐλέγχει, ἀπὸ δὲ τῆς ἀποκρίσεως δηλοῖ τὴν γνώμην τῶν προσιόντων. καὶ γὰρ ἐκείνῳ τῷ λέγοντι, διδάσκαλε ἀγαθὲ, καὶ προσδοκήσαντι διὰ τῆς κολακείας αὐτὸν ἐπισπάσασθαι, πρὸς τὴν γνώμην ἀπεκρίνατο, λέγων· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. καὶ ὅτε ἔλεγον αὐτῷ, Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε, ἐπειδὴ ἀνθρώπινόν τι ἔπασχον, οὐκ ἀκοῦσαί τι τῶν χρησίμων βουλόμενοι, ἀλλ' ἐπιδείξασθαι ὅτι προσήκουσιν αὐτῷ καὶ ταύτῃ κενοδοξῆσαι, ἄκουσον τί φησι· Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; καὶ αὐτοῖς πάλιν τοῖς ἀδελφοῖς λέγουσιν αὐτῷ· φανέρωσον σεαυτὸν τῷ κόσμῳ, καὶ βουλομένοις ἐντεῦθεν κενοδοξεῖν, ἔλεγεν· Ὁ ὑμέτερος καιρὸς, φησιν, ἀεὶ ἕτοιμος, ὁ δὲ ἐμὸς οὔπω πάρεστι. καὶ ἀπὸ τῶν ἐναντίων δὲ τοῦτο ποιεῖ, ὡς ἐπὶ τοῦ Ναθαναὴλ λέγων· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. καὶ πάλιν, Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε. οὐδὲ γὰρ ἐνταῦθα πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν γνώμην τοῦ πέμψαντος ἀπεκρίνατο. καὶ τῷ δήμῳ δὲ πάλιν ὁμοίως πρὸς τὸ (συνειδὸς διαλέγεται), λέγων· Τί ἐξήλθετε ἰδεῖν εἰς τὴν ἔρημον; ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὡς περὶ εὐκόλου καὶ εὐριπίστου τινὸς″ διακεῖσθαι τοῦ Ἰωάννου, ταύτην διορθούμενος τὴν ὑποψίαν, φησί· Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἢ ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; δι' ἀμφοτέρων δηλῶν, ὅτι οὔτε οἴκοθέν ἐστιν εὐρίπιστος, οὔτε ἀπὸ τρυφῆς τινος μαλακισθήσεται. οὕτω τοίνυν καὶ ἐνταῦθα πρὸς τὴν γνώμην τὴν ἀπόκρισιν ποιεῖται. καὶ ὅρα πῶς καὶ ἐν τούτῳ πολὺ τὸ μέτριον ἐνδείκνυται. οὐδὲ γὰρ εἶπεν, ὅτι ἔχω μὲν, καταφρονῶ δέ· ἀλλ' ὅτι οὐκ ἔχω. Εἶδες ὅση μετὰ τῆς συγκαταβάσεως ἡ ἀκρίβεια; ″ὡς ὅταν ἐσθίῃ καὶ πίνῃ, ὅταν φαίνηται ἀπ' ἐναντίας τῷ Ἰωάννῃ ποιῶν, καὶ τοῦτο τῆς τῶν Ἰουδαίων σωτηρίας ἕνεκεν ποιεῖ, μᾶλλον δὲ τῆς οἰκουμένης ἁπάσης, ὁ-

Ματθ. ιϐ. μζ.
Ματθ. ιϐ. μη.
Ἰω. ζ. ζ. η.
Ἰω. α. μζ.
Λουκ. ζ. κϐ.

μοῦ

ὁμοῦ μὲν τῶν αἱρετικῶν ἐμφράττων τὰ στόματα, ὁμοῦ δὲ καὶ τοὺς τότε ἐκ περιουσίας βουλόμενος ἐπισπάσασθαι.

21 Ἕτερος δέ τις, φησιν, εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου. Εἶδες τὴν διαφορὰν, καὶ πῶς ὁ μὲν ἀναισχύντως φησιν, ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ· οὗτος δὲ καίτοι ὅσιον πρᾶγμα αἰτῶν, φησιν ἐπίτρεψόν μοι, ἀλλ' οὐκ ἐπέτρεψεν· ἀλλὰ τί φησιν;

22 Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, σὺ δέ μοι ἀκολούθει. Πανταχοῦ γὰρ τῇ γνώμῃ προσεῖχε. καὶ τίνος ἕνεκεν οὐκ ἐπέτρεψε, φησιν; ὅτι καὶ οἱ ἐκεῖνο πληρώσοντες ἦσαν, καὶ οὐκ ἔμελλεν ἄταφος μένειν· καὶ τοῦτον τῶν ἀναγκαιοτέρων ἀπάγεσθαι οὐκ ἐχρῆν. Εἰπὼν δὲ τοὺς ἑαυτῶν νεκρούς, δείκνυσιν ὅτι οὗτος οὐκ ἔστιν αὐτοῦ νεκρός. καὶ γὰρ τῶν ἀπίστων, ὡς ἔγωγε οἶμαι, ἦν ὁ τετελευτηκώς. Εἰ δὲ θαυμάζεις τὸν νεανίσκον, ὅτι ὑπὲρ πράγματος οὕτως ἀναγκαίου τὸν Ἰησοῦν ἠρώτησε, καὶ οὐκ αὐτομάτως ἀπῆλθε, πολλῷ πλέον θαύμασον, ὅτι καὶ κωλυθεὶς ἔμεινεν. ἆρ' οὖν, οὐκ ἦν ἀχαριστίας ἐσχάτης, φησί, τὸ μὴ παραγενέσθαι θαπτομένου τοῦ πατρός; εἰ μὲν ἀπὸ ῥαθυμίας ἐποίησεν, ἀχαριστίας ἦν· εἰ δὲ ὥστε μὴ ἐγκόψαι ἔργον ἀναγκαιότερον, τὸ ἀπελθεῖν μάλιστα ἀγνωμοσύνης ἦν τῆς ἐσχάτης. καὶ γὰρ ὁ Ἰησοῦς ἐκώλυσεν αὐτὸν οὐχὶ καταφρονεῖν τῆς εἰς τοὺς γεγεννηκότας τιμῆς κελεύων, ἀλλὰ δεικνὺς ὅτι οὐδὲν τῶν οὐρανίων πραγμάτων ἡμῖν ἀναγκαιότερον εἶναι χρή, καὶ ὅτι μετὰ σπουδῆς τούτων ἁπάσης ἔχεσθαι δεῖ, καὶ οὐδὲ μικρὸν ἀναβάλλεσθαι, κἂν σφόδρα ἀπαραίτητα καὶ κατεπείγοντα ᾖ τὰ ἐφέλκοντα. τί γὰρ ἀναγκαιότερον ἂν εἴη τοῦ θάψαι πατέρα; τί δὲ εὐκολώτερον; οὐδὲ γὰρ χρόνον πολὺν ἀναλῶσαι ἦν.

ΗΘΙΚΟΝ Εἰ δὲ μηδὲ ὅσον εἰς ταφὴν πατρὸς καιρὸν ἀναλῶσαι δεῖ, οὐδὲ τοσοῦτον ἀπολιμπάνεσθαι τῶν πνευματικῶν ἀσφαλές, ἐννόησον τίνος ἂν εἴημεν ἄξιοι, οἱ πάντα τὸν χρόνον ἀφιστάμενοι τῶν τῷ Χριστῷ προσηκόντων πραγμάτων, καὶ τὰ σφόδρα εὐτελῆ τῶν ἀναγκαίων προτιθέντες, καὶ μηδενὸς κατεπείγοντος ῥαθυμοῦντες. καὶ ἐντεῦθεν δὲ τῆς διδασκαλίας τὴν φιλοσοφίαν θαυμάζειν χρή, ὅτι σφόδρα αὐτὸν προσήλωσε τῷ λόγῳ· καὶ μετὰ τούτου καὶ μυρίων ἀπήλλαξε κακῶν, οἷον θρήνων καὶ πένθους καὶ τῶν ἐντεῦθεν ἐκδεχομένων. μετὰ γὰρ τὸ θάψαι, ἀνάγκη λοιπὸν ἦν καὶ διαθήκας περιεργάζεσθαι, καὶ κλήρου διανομήν, καὶ τὰ ἄλλα ὅσα τούτοις ἕπεται ἅπαντα· καὶ οὕτω κύματα ἐκ κυμάτων αὐτὸν διαδεχόμενα πορρωτάτω τοῦ τῆς ἀληθείας ἀπήγαγεν λιμένος. διὰ τοῦτο αὐτὸν ἕλκει καὶ ἑαυτῷ προσηλοῖ. εἰ δὲ ἔτι θαυμάζεις καὶ θορυβῇ, ὅτι οὐ συνεχωρήθη παραγενέσθαι τῇ ταφῇ τοῦ πατρός, ἐννόησον ὅτι πολλοὶ τοὺς κακῶς ἔχοντας (κἂν πατὴρ, κἂν μήτηρ ᾖ, κἂν παιδίον, κἂν ἄλλος ὁστισοῦν τῶν προσηκόντων ὁ τετελευτηκώς) οὐκ ἀφιᾶσι μαθεῖν, οὐδὲ ἐπὶ τὸ μνῆμα ἀκολουθῆσαι· καὶ οὐκ ἐγκαλοῦμεν ταύτην αὐτοῖς ὠμότητα, οὐδὲ ἀπανθρωπίαν· καὶ μάλα εἰκότως. τοὐναντίον γὰρ ἂν ὠμότητος ἦν, τὸ οὕτω διακειμένους ἐπὶ τὸ πένθος ἐξάγειν. εἰ δὲ τὸ τοὺς προσήκοντας πενθῆσαι καὶ συντρίβεσθαι τὴν διάνοιαν, κακόν, πολλῷ μᾶλλον τὸ τῶν πνευματικῶν ἀπάγεσθαι λόγων.

Λουκ. θ. ξβ. διὰ δὴ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν· Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ γὰρ πολλῷ βέλτιον βασιλείαν ἀνακηρύττειν καὶ ἑτέρους ἀνασπᾷν ἀπὸ θανάτου, ἢ τὸν οὐδὲν ὠφελούμενον νεκρὸν θάπτειν· καὶ μάλιστα ὅταν ὦσιν οἱ ταῦτα πληρώσοντες ἅπαντα. οὐδὲν οὖν ἕτερον ἐντεῦθεν μανθάνομεν, ἀλλ' ἢ ὅτι οὐδὲ τὸν τυχόντα καιρὸν παραπολλύναι χρή, κἂν μυρία τὰ κατεπείγοντα ᾖ· ἀλλὰ πάντων καὶ τῶν ἀναγκαιοτάτων τὰ πνευματικὰ προτιθέναι, καὶ εἰδέναι τί μὲν ζωή, τί δὲ θάνατος. πολλοὶ γὰρ καὶ τῶν ζῆν δοκούντων, νεκρῶν οὐδὲν διαφέρουσιν, ὅταν ἐν κακίᾳ ζῶσι· μᾶλλον δὲ καὶ ἐκείνων οὗτοι χείρους.

Ῥωμ. ς. Ὁ μὲν γὰρ ἀποθανών, φησι, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας· οὗτος δὲ δουλεύει τῇ ἁμαρτίᾳ. μὴ γάρ μοι τοῦτο εἴπῃς ὅτι ὑπὸ σκωλήκων οὐ κατεσθίεται, οὐδὲ ἐν λάρνακι κεῖται, οὐδὲ ἀπέκλεισε τοὺς ὀφθαλμούς, οὐδὲ κειρίαις δέδεται. καὶ γὰρ τὰ χαλεπώτερα ὑπομένει τοῦ τετελευτηκότος· οὐ σκωλήκων αὐτὸν κατεσθιόντων, ἀλλὰ θηρίων σφοδρότερον τῶν παθῶν τῆς ψυχῆς αὐτοῦ σπαραττόντων. εἰ δὲ ἀνεῴγασιν οἱ ὀφθαλμοί, καὶ τοῦτο πολὺ χεῖρον πάλιν τοῦ μεμυκέναι. οἱ μὲν γὰρ τοῦ νεκροῦ οὐδὲν ὁρῶσι πονηρόν· οὗτος δὲ μυρίας ἑαυτῷ συνάγει νόσους, ἀνεῳγμένων αὐτοῦ τῶν ὀφθαλμῶν. καὶ ὁ μὲν ἐν λάρνακι κεῖται, πρὸς πάντα ἀκίνητος ὤν· οὗτος δὲ ἐν τῷ τάφῳ μυρίων κατορώρυκται νοσημάτων. ἀλλὰ τὸ σῶμα" αὐτῷ σηπόμενον οὐχ ὁρᾷς· καὶ τί τοῦτο; πρὸ γὰρ τοῦ σώματος" αὐτῷ ἡ ψυχὴ διέφθαρται καὶ ἀπόλωλε, καὶ πλείονα ὑπομένει τὴν σηπεδόνα. ὁ μὲν γὰρ δέκα ὄδωδεν ἡμέρας· οὗτος δὲ πάντα τὸν βίον δυσωδίας" ἀποπνεῖ, στόμα ἔχων ὀχετῶν ἀκαθαρτότερον. ὥστε τοσοῦτον αὐτοῦ διενήνοχεν ἐκεῖνος, ὅσον ὁ μὲν τὴν ἀπὸ τῆς φύσεως ὑπομένει μόνον διαφθοράν· οὗτος δὲ μετ' ἐκείνης καὶ τὴν ἀπὸ τῆς ἀσωτίας ἐπεισάγει σηπεδόνα, μυρίας καθ' ἑκάστην ἡμέραν ἐπινοῶν ὑποθέσεις διαφθορᾶς. ἀλλ' ἐφ' ἵππου φέρεται; καὶ τί τοῦτο; καὶ γὰρ ἐκεῖνος ἐπὶ κλίνης· καὶ τὸ δὴ χαλεπώτερον, λυόμενον μὲν ἐκεῖνον καὶ σηπόμενον οὐδεὶς ὁρᾷ, ἀλλ' ἔχει τὴν λάρνακα παραπέτασμα· οὗτος δὲ ζῶν καὶ ὀδωδὼς πανταχοῦ περίεισι, καθάπερ ἐν τάφῳ τῷ σώματι νενεκρωμένην ψυχὴν περιφέρων. καὶ εἴγε τὴν ψυχὴν ἰδεῖν ἀνδρὸς τρυφῇ καὶ κακίᾳ" συζῶντος, εἶδες ἂν ὅτι πολὺ βέλτιον ἐν τάφῳ κεῖσθαι δεδεμένον, ἢ ταῖς τῶν ἁμαρτιῶν σφίγγεσθαι σειραῖς, καὶ λίθον ἔχειν ἐπικείμενον, ἢ τὸ βαρὺ τῆς ἀναισθησίας" πῶμα. διὸ δὴ μάλιστα τοὺς τούτοις προσήκοντας τοῖς νεκροῖς, ἐπειδὴ" οὕτως ἀνηλγήτως διάκεινται, προσιέναι δεῖ περὶ αὐτῶν τῷ Ἰησοῦ, καθάπερ ἡ Μαρία τότε ἐποίησεν ἐπὶ τοῦ Λαζάρου. κἂν ὀδωδὼς ᾖ, κἂν τεταρταῖος ᾖ, μὴ ἀπογνῷς, ἀλλὰ πρόσελθε, καὶ τὸν λίθον ἄνελε πρῶτον. καὶ γὰρ τότε ὄψει κείμενον ὥσπερ ἐν τάφῳ, καὶ ταῖς κειρίαις δεδεμένον. καὶ εἰ βούλεσθε, τῶν μεγάλων [τούτων] τινὰ καὶ περιφανῶν εἰς μέσον ἀγάγωμεν. ἀλλὰ μὴ δείσητε. ἀνωνύμως γὰρ ἐρῶ τὸ ὑπόδειγμα· μᾶλλον δὲ εἰ καὶ τὴν προσηγορίαν ἔλεγον, οὐδὲ οὕτω δεδοικέναι ἐχρῆν. τίς γάρ ποτε νεκρὸν δέδοικε; καὶ γὰρ ὅσα ἂν πράξῃ, μένει νεκρὸς ὤν· νεκρὸς δὲ ζῶντα οὐ μικρόν, οὐ μέγα ἀδικῆσαι δύναται). ἴδωμεν τοίνυν τὴν κεφαλὴν αὐτῶν δεδεμένην. καὶ γὰρ ὅταν μεθύωσι διηνεκῶς, καθάπερ οἱ νεκροὶ τοῖς πολλοῖς ἐπιβλήμασιν ἐκείνοις καὶ ταῖς κειρίαις, οὕτω πάντα τὰ αἰσθητήρια" ἀποκλείεται καὶ δεσμεῖται. εἰ δὲ βούλει καὶ τὰς χεῖρας ἰδεῖν, ὄψει καὶ αὐτὰς τῇ γαστρὶ προσδεδεμένας, καθάπερ τῶν οἰχομένων, καὶ περιεσφιγμένας οὐ κειρίαις, ἀλλ' ὃ πολλῷ χαλεπώτερόν ἐστι, τοῖς τῆς πλεονεξίας δεσμοῖς. οὐ γὰρ ἀφίησιν αὐτὰς ἐκταθῆναι πρὸς ἐλεημοσύνην ἐκείνη, οὐδὲ πρὸς ἄλλο τι τῶν τοιούτων κατορθωμάτων, ἀλλὰ τῶν νενεκρωμένων ἀχρηστοτέρας ἐργάζεται. βούλει καὶ τοὺς πόδας ἰδεῖν συνδεδεμένους; ὅρα πάλιν αὐτοὺς περιεσφιγμένους φροντίσι, καὶ διὰ τοῦτο οὐδέποτε δυναμένους εἰς οἶκον Θεοῦ δραμεῖν. εἶδες τὸν νεκρόν, βλέπε καὶ τὸν ἐνταφιαστήν. τίς οὖν ἐστιν ὁ ἐνταφιαστὴς τούτων; ὁ διάβολος, ὁ ἀκριβῶς αὐτοὺς περισφίγγων, καὶ οὐκ ἀφιεὶς λοιπὸν τὸν ἄνθρωπον ἄνθρωπον φαίνεσθαι, ἀλλὰ ξύλον ξηρόν. ὅπου γὰρ οὐκ ὀφθαλμός, οὐ χεῖρες, οὐ πόδες, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, πῶς ἂν ὁ τοιοῦτος ἄνθρωπος φανείη; οὕτω καὶ τὴν ψυχὴν αὐτῶν ἐσπαργανωμένην ἐστὶν ἰδεῖν, καὶ εἴδωλον μᾶλλον ἢ ψυχὴν οὖσαν. ἐπεὶ οὖν ἀναισθήτως αὐτοὶ διάκεινταί πως νεκροὶ γεγενημένοι, προσέλθωμεν ὑπὲρ αὐτῶν τῷ Ἰησοῦ, παρακαλέσωμεν ἀναστῆσαι, ἀνέλωμεν τὸν λίθον, λύσωμεν τὰς κειρίας. ἂν γὰρ τὸν λίθον ἀνέλῃς, τουτέστι τὴν ἀναισθησίαν τὴν ἐπὶ τοῖς κακοῖς, ταχέως καὶ ἐξαγαγεῖν αὐτοὺς δυνήσῃ τοῦ μνήματος· ἐξαγαγὼν δέ, εὐκολώτερον τῶν δεσμῶν ἀπαλλάξεις. τότε σε εἴσεται ὁ Χριστός, ὅταν ἀναστῇς, ὅταν λυθῇς, τότε σε καὶ ἐπὶ τὰ δεῖπνα" καλέσῃ τὰ ἑαυτοῦ. ὅσοι τοίνυν τοῦ Χριστοῦ φίλοι, ὅσοι μαθηταί, ὅσοι τὸν ἀπελθόντα φιλεῖτε, προσέλθετε τῷ Ἰησοῦ, καὶ δεήθητε. εἰ γὰρ καὶ μυρίας γέμει τῆς δυσωδίας, ἀλλ' ὅμως τοὺς προσήκοντας οὐδὲ οὕτως αὐτὸν καταλιμπάνειν χρή, ἀλλὰ τοσοῦτον μᾶλλον προσιέναι, [ὁπόσον ἡ φθορὰ ἐπιδίδωσιν] (ὅπερ οὖν καὶ αἱ ἀδελφαὶ τοῦ Λαζάρου τότε ἐποίησαν) καὶ μὴ πρότερον ἀφίστασθαι παρακαλοῦντας, δεομένους, ἱκετεύοντας, ἕως ἂν αὐτὸν ζῶντα λάβωμεν. ἂν γὰρ οὕτω τὰ καθ' ἑαυτοὺς καὶ τὰ τῶν πλησίον διοικῶμεν, καὶ τῆς μελλούσης ταχέως ἐπιτευξόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κη. 23 ΚΑΙ ΕΜΒΑΝΤΙ ΑΥΤΩ ΕΙΣ ΤΟ ΠΛΟΙΟΝ, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. 24 Καὶ ἰδοὺ ''σεισμὸς ἐγένετο μέγας ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδεν.

Ὁ μὲν [οὖν] Λουκᾶς ἀπαλλάττων ἑαυτὸν τοῦ ἀπαιτηθῆναι τῶν χρόνων τὴν τάξιν, οὕτως εἶπεν· ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς τὸ πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ὁ Μάρκος ὁμοίως. οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἀκολουθίαν ἐνταῦθα διατηρεῖ. οὐδὲ γὰρ οὕτω πάντες [πάντα] ἔγραφον. ταῦτα δέ μοι καὶ ἔμπροσθεν εἴρηται, ἵνα μὴ τὴν παράλειψιν διαφωνίαν τις εἶναι ''νομίσῃ. τοὺς μὲν οὖν ὄχλους προέπεμψε, τοὺς δὲ μαθητὰς μεθ' ἑαυτοῦ ἔλαβε. καὶ γὰρ τοῦτο ἐκεῖνοι λέγουσι. παρέλαβε δὲ οὐ μάτην, οὐδὲ εἰκῇ, ἀλλ' ὥστε ποιῆσαι θεατὰς τοῦ μέλλοντος ἔσεσθαι θαύματος. καθάπερ γάρ τις παιδοτρίβης ἄριστος εἰς ἀμφότερα αὐτοὺς ἤλειφεν, εἴς τε τὸ ἀκαταπλήκτους εἶναι ἐν τοῖς δεινοῖς, εἴς τε τὸ μετριάζειν ἐν ταῖς τιμαῖς. ἵνα γὰρ μὴ μέγα φρονῶσιν ὅτι τοὺς ἄλλους ἐκπέμψας αὐτοὺς κατέσχεν, ἀφίησι κλυδωνισθῆναι, τοῦτό τε κατορθῶν, καὶ γυμνάζων πειρασμοὺς φέρειν γενναίως. μεγάλα μὲν γὰρ καὶ τὰ πρότερα θαύματα ἦν· ἀλλὰ τοῦτο καὶ γυμνασίαν τινὰ εἶχεν οὐ μικράν, καὶ τοῦ παλαιοῦ συγγενὲς σημεῖον ἦν. διὰ τοῦτο μόνους τοὺς μαθητὰς ''ἄγει μεθ' ἑαυτοῦ. ἔνθα μὲν γὰρ θαυμάτων ἐπίδειξις ἦν, καὶ τὸν δῆμον ἀφίησι παρεῖναι· ἔνθα δὲ πειρασμῶν καὶ φόβων ἐπανάστασις, τοὺς ἀθλητὰς τῆς οἰκουμένης, οὓς γυμνάζειν ἔμελλε, τούτους παραλαμβάνει μόνους. καὶ ὁ μὲν Ματθαῖος ὅτι ἐκάθευδεν εἶπεν ἁπλῶς· ὁ δὲ Λουκᾶς, ὅτι ἐν προσκεφαλαίῳ φησί, δεικνύς τε τὸ ἄτυφον, καὶ πολλὴν ἐντεῦθεν ἡμᾶς παιδεύων φιλοσοφίαν. τοῦ κλυδωνίου τοίνυν διεγερθέντος, καὶ τῆς θαλάσσης μαινομένης,

25 Διεγείρουσιν αὐτὸν λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.

Ὁ δὲ αὐτοῖς ἐπετίμα πρὸ τῆς θαλάσσης. καὶ γάρ, ὅπερ ἔφην, γυμνασίας ἕνεκεν ταῦτα συνεχωρεῖτο, καὶ τύπος ἦν τῶν μελλόντων καταλήψεσθαι αὐτοὺς πειρασμῶν. καὶ γὰρ καὶ μετὰ ταῦτα πολλάκις ἀφῆκεν αὐτοὺς εἰς χαλεπωτέρους χειμῶνας πραγμάτων ἐμπεσεῖν, καὶ ἐμακροθύμησε. διὸ καὶ Παῦλος ἔλεγεν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. καὶ μετὰ ταῦτα πάλιν· ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. ''δεικνὺς τοίνυν ἐντεῦθεν, ὅτι θαρρεῖν χρή, κἂν μεγάλα διεγείρηται τὰ κύματα, καὶ ὅτι πάντα συμφερόντως οἰκονομεῖ, πρῶτον αὐτοῖς ἐπιτιμᾷ. καὶ γὰρ αὐτὸ τὸ θορυβηθῆναι, συμφερόντως ἐγένετο· ὥστε μεῖζον φανῆναι τὸ θαῦμα, καὶ διηνεκῆ γενέσθαι τοῦ συμβάντος τὴν μνήμην. ὅταν γὰρ παράδοξόν τι γενέσθαι μέλλῃ, πολλὰ ''προκατασκευάζεται πρότερον μνήμης ποιητικά, ἵνα μὴ μετὰ τὸ παρελθεῖν τὸ θαῦμα εἰς λήθην ἐμπέσωσιν. οὕτω καὶ Μωϋσῆς πρότερον φοβεῖται τὸν ὄφιν, καὶ

β. Κορ. α. η.

φοβεῖται οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ἀγωνίας, καὶ τότε ὁρᾷ τὸ παράδοξον ἐκεῖνο γινόμενον. οὕτω καὶ οὗτοι, προσδοκήσαντες ἀπόλλυσθαι πρότερον, τότε ἐσώθησαν· ἵνα ὁμολογήσαντες τὸν κίνδυνον, μάθωσι τοῦ θαύματος τὸ μέγεθος. διὰ τοῦτο καὶ καθεύδει. εἰ γὰρ ἐγρηγορότος ἐγένετο, ἢ οὐκ ἂν ἐφοβήθησαν, ἢ οὐκ ἂν παρεκάλεσαν, ἢ οὐδ' ἂν ἐνόμισαν αὐτὸν δύνασθαι τοιοῦτόν τι ποιεῖν. διὰ τοῦτο καθεύδει, διδοὺς καιρὸν τῇ δειλίᾳ, καὶ τρανοτέραν αὐτοῖς ποιῶν τὴν αἴσθησιν τῶν γινομένων. οὐ γὰρ ὁμοίως τις ὁρᾷ τὰ ἐν τοῖς ἀλλοτρίοις σώμασι γινόμενα, καὶ τὰ ἐν ἑαυτῷ. ἐπεὶ οὖν πάντας εἶδον εὐεργετηθέντας, ἑαυτοὺς δὲ οὐδενὸς ἀπολελαυκότας, καὶ ὕπτιοι ἦσαν (οὔτε γὰρ χωλοί, οὔτε ἄλλο τι τοιοῦτον νόσημα ἔχοντες ἦσαν) ἔδει δὲ αὐτοὺς διὰ τῆς οἰκείας αἰσθήσεως ἀπολαῦσαι τῶν εὐεργεσιῶν· συγχωρεῖ τὸν χειμῶνα, ἵνα διὰ τῆς ἀπαλλαγῆς σαφεστέραν λάβωσι τὴν αἴσθησιν τῆς εὐεργεσίας. διὰ τοῦτο οὐδὲ παρόντων τῶν ὄχλων τοῦτο ποιεῖ, ὥστε μὴ καταγνωσθῆναι ὀλιγοπιστίας· ἀλλ' αὐτοὺς μόνους λαβὼν διορθοῦται, καὶ πρὸ τοῦ χειμῶνος τῶν ὑδάτων τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν λύει, ἐπιτιμῶν καὶ λέγων,

26 Τί δειλοί ἐστε, ὀλιγόπιστοι, Καὶ παιδεύων ὁμοῦ, ὅτι τὸν φόβον οὐχ ἡ τῶν πειρασμῶν ἐργάζεται ἐπαγωγή, ἀλλὰ τὸ τῆς διανοίας ἀσθενές. εἰ δὲ λέγοι τις, ὅτι δειλίας οὐκ ἦν, οὐδὲ ὀλιγοπιστίας τὸ προσελθόντας ἐγεῖραι, ἐκεῖνο ἂν εἴποιμι, ὅτι τοῦτο αὐτὸ μάλιστα σημεῖον ἦν τοῦ μὴ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχειν. ὅτι μὲν γὰρ δύναται ἐπιτιμᾶν ἐγερθείς, ᾔδεισαν· ὅτι δὲ καὶ καθεύδων, οὐδέπω. καὶ τί θαυμάζεις, εἰ νῦν, ὅπου γε καὶ μετὰ πολλὰ ἕτερα θαύματα ἀτελέστερον ἔτι διέκειντο; διὸ καὶ ἐπιτιμῶνται πολλάκις, ὡς ὅταν λέγῃ· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; μὴ τοίνυν θαυμάσῃς, εἰ τῶν μαθητῶν ἀτελέστερον διακειμένων οἱ ὄχλοι οὐδὲν μέγα περὶ αὐτοῦ ἐφαντάζοντο.

27 Ἐθαύμαζον γὰρ λέγοντες· ποταπός ἐστιν ὁ ἄνθρωπος οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι αὐτῷ ὑπακούουσιν; Ὁ δὲ Χριστὸς οὐκ ἐπετίμησεν ὅτι ἄνθρωπον αὐτὸν ἐκάλουν, ἀλλ' ἀνέμενε διὰ τῶν σημείων αὐτοὺς διδάσκων, ὅτι πεπλανημένη ἦν αὕτη αὐτῶν ἡ ὑπόληψις. πόθεν δὲ ἄνθρωπον αὐτὸν ἐνόμιζον; ἀπό τε τῆς ὄψεως, ἀπό τε τοῦ ὕπνου, καὶ τοῦ πλοίῳ κεχρῆσθαι. διὰ δὴ τοῦτο εἰς ἀμηχανίαν ἐξέπιπτον λέγοντες, ποταπός ἐστιν οὗτος; ὁ μὲν γὰρ ὕπνος" καὶ τὸ φαινόμενον, ἄνθρωπον ἐδείκνυ· ἡ δὲ θάλαττα καὶ ἡ γαλήνη Θεὸν" ἐνέφηνεν. ἐπειδὴ γὰρ καὶ Μωϋσῆς ἐποίησέ τι τοιοῦτόν ποτε, καὶ ἐντεῦθεν δείκνυσι τὴν ὑπεροχήν· καὶ ὅτι ὁ μὲν ὡς δοῦλος, ὁ δὲ ὡς δεσπότης ἐθαυματούργει. οὐ γὰρ ῥάβδον ἔτεινεν, ὥσπερ ἐκεῖνος, οὐδὲ χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανόν, οὐδὲ εὐχῆς ἐδεήθη· ἀλλ' ὥσπερ εἰκὸς δεσπότην ἐπιτάττοντα θεραπαινίδι, καὶ δημιουργὸν κτίσματι, οὕτως αὐτὴν κατέστειλέ τε καὶ ἐχαλίνωσε λόγῳ καὶ ἐπιτάγματι μόνον· καὶ πᾶσα εὐθέως ἐλύετο ἡ ζάλη, καὶ οὐδὲ ἴχνος ἀπέμενε τῆς ταραχῆς. τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστής, εἰπών·

τὸ φαινό-
ἐδείκνυ
θρωπο-
· ἡ δὲ
έφαινεν.

Καὶ ἐγένετο γαλήνη μεγάλη. Καὶ ὃ περὶ τοῦ πατρὸς ὡς μέγα εἴρητο, τοῦτο αὐτὸς διὰ τῶν ἔργων ἐπεδείξατο πάλιν. τί δὲ εἴρητο περὶ αὐτοῦ; Εἶπε, φησί, καὶ ἔστη πνεῦμα καταιγίδος· οὕτω καὶ ἐνταῦθα, εἶπε, καὶ ἐγένετο γαλήνη μεγάλη. διὸ μάλιστα καὶ ἐθαύμαζον οἱ ὄχλοι αὐτόν, οὐκ ἂν θαυμάσαντες, εἰ οὕτως ἐποίησεν, ὡς" ἐκεῖνος. ἐπειδὴ δὲ ἀπέβη τῆς θαλάττης, διαδέχεται θαῦμα ἕτερον φοβερώτερον. δαιμονῶντες γάρ, καθάπερ δραπέται πονηροί, δεσπότην ἰδόντες, ἔλεγον·

Ψαλμ. ρς. κε.

ωϋσῆς.

29 Τί ἡμῖν καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

Ἐπειδὴ γὰρ ἄνθρωπον αὐτὸν" ἔλεγον οἱ ὄχλοι, ἦλθον οἱ δαίμονες τὴν θεότητα αὐτοῦ ἀνακηρύττοντες· καὶ οἱ τῆς θαλάττης κυμαινούσης καὶ πάλιν ἡσυχαζούσης οὐκ ἀκούσαντες, ἤκουον τῶν δαιμόνων ταῦτα βοώντων, ἅπερ ἐκείνη διὰ τῆς γαλήνης ἔκραξεν. εἶτα ἵνα μὴ δόξῃ κολακείας τὸ πρᾶγμα εἶναι, ἀπὸ τῆς πείρας τῶν πραγμάτων βοῶσι, λέγοντες· ἦλ-

μολογῆσ

θες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; διὰ δὴ τοῦτο πρότερον ὁμολογεῖται ἡ ἔχθρα, ἵνα μὴ ὕποπτος αὐτῶν ἡ ἱκετηρία γένηται. καὶ γὰρ ἐμαστίζοντο ἀοράτως, καὶ τῆς θαλάττης ἐχειμάζοντο μᾶλλον κεντούμενοι καὶ ἐμπιπράμενοι, καὶ τὰ ἀνήκεστα πάσχοντες ἀπὸ τῆς παρουσίας ″ἐκείνης. ἐπειδὴ γὰρ οὐδεὶς αὐτοὺς προσενεγκεῖν ἐτόλμα, αὐτὸς πρὸς αὐτοὺς ἀπέρχεται ὁ Χριστός. καὶ ὁ μὲν Ματθαῖός φησιν αὐτοὺς εἰρηκέναι· ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; οἱ δὲ ἄλλοι προσέθηκαν, καὶ ὅτι παρεκάλουν αὐτὸν καὶ ὥρκιζον, ἵνα μὴ εἰς τὴν ἄβυσσον αὐτοὺς ἐμβάλῃ. ἐνόμισαν γὰρ ἤδη τὴν κόλασιν αὐτοῖς ἐφεστάναι, καὶ ἔδεισαν ὡς ἤδη εἰς τιμωρίαν ἐμπεσούμενοι. Εἰ δὲ οἱ περὶ τὸν Λουκᾶν ἕνα φασὶν αὐτὸν εἶναι, οὗτος δὲ δύο, οὐδὲ οὕτω διαφωνίαν ἐμφαίνει. εἰ μὲν γὰρ εἶπεν, ὅτι εἷς μόνος ″ἦν, ἕτερος δὲ οὐκ ἦν, ἐδόκει ″ἀμφιβάλλειν τῷ Ματθαίῳ· εἰ δὲ, ὁ μὲν περὶ τοῦ ἑνὸς, ὁ δὲ περὶ τῶν δύο διελέχθη, οὐ ″μάχης τὸ εἰρημένον, ἀλλὰ διαφόρου διηγήσεως. καὶ γὰρ ἔμοιγε δοκεῖ, ″τὸν χαλεπώτερον τούτων ἐπιλεξάμενος ὁ Λουκᾶς εἰρηκέναι. διὸ καὶ τραγικώτερον ἀπαγγέλλει τὴν συμφοράν· οἷον, ὅτι τὰ δεσμὰ καὶ τὰς ἁλύσεις διαῤῥήσσων κατὰ τὴν ἔρημον ἐπλανᾶτο· ὁ δὲ Μάρκος, ὅτι καὶ τοῖς λίθοις ἑαυτὸν ἔκοπτε, φησί. καὶ τὰ ῥήματα δὲ αὐτῶν ἱκανὰ τὸ ″ἀπηνὲς καὶ τὸ ἀναίσχυντον ″ἐπιδείξασθαι. ἦλθες γὰρ ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς, φησιν; ὅτι μὲν γὰρ οὐχ ἥμαρτον, οὐκ εἶχον εἰπεῖν· ἀξιοῦσι δὲ μὴ πρὸ καιροῦ δοῦναι τὴν δίκην. ἐπειδὴ γὰρ κατέλαβεν αὐτοὺς τὰ ἀνήκεστα δεινὰ καὶ παράνομα ἐκεῖνα ἐργαζομένους, καὶ τὸ πλάσμα τὸ ἑαυτοῦ παντὶ διαστρέφοντας τρόπῳ καὶ τιμωρουμένους, καὶ ἐνόμιζον αὐτὸν διὰ τὴν ὑπερβολὴν τῶν γινομένων οὐκ ἀναμένειν τὸν καιρὸν τῆς κολάσεως, διὰ τοῦτο παρεκάλουν καὶ ἐδέοντο· καὶ οἱ μηδὲ δεσμῶν ἀνεχόμενοι σιδηρῶν, ἔρχονται δεδεμένοι, καὶ οἱ τὰ ὄρη κατατρέχοντες, εἰς τὰ πεδία ἐξῄεσαν, καὶ οἱ τοὺς ἄλλους κωλύοντες διαβαίνειν, τὸν ἀποτειχίζοντα τὴν ὁδὸν αὐτοῖς ἰδόντες, ἔστησαν. Τί δήποτε δὲ καὶ τοῖς τάφοις ἐμφιλοχωροῦσιν; ὀλέθριον δόγμα τοῖς πολλοῖς ἐνθεῖναι βουλόμενοι, οἷον, ὅτι αἱ ψυχαὶ τῶν ἀπελθόντων δαίμονες γίνονται· ὃ μηδέποτε γένοιτο μηδὲ μέχρις ἐννοίας λαβεῖν. Τί οὖν, φησιν, ἂν εἴποις, ὅταν πολλοὶ τῶν γοήτων [καὶ] παῖδας λαβόντες ἀποσφάττωσιν, ὥστε αὐτοῖς μετὰ ταῦτα συμπράττουσαν τὴν ψυχὴν ἔχειν; καὶ πόθεν τοῦτο δῆλον; ὅτι μὲν γὰρ ἀποσφάττουσι, πολλοὶ λέγουσιν· ὅτι δὲ αἱ ψυχαὶ τῶν σφαγέντων μετ᾽ αὐτῶν εἰσι, πόθεν ἔγνως, εἰπέ μοι; αὐτοί, φησιν, οἱ δαιμονῶντες βοῶσιν, ὅτι ψυχὴ τοῦ δεῖνος ἐγώ. ἀλλὰ καὶ τοῦτο σκηνή τις καὶ ἀπάτη διαβολική. οὐ γὰρ ἡ ψυχὴ τοῦ τετελευτηκότος ἐστὶν ἡ βοῶσα, ἀλλ᾽ ὁ δαίμων ὁ ὑποκρινόμενος ταῦτα, ὥστε ἀπατῆσαι τοὺς ἀκούοντας. εἰ γὰρ ″εἰς δαίμονος οὐσίαν δυνατὸν ψυχὴν εἰσελθεῖν, πολλῷ μᾶλλον εἰς τὸ σῶμα τὸ ἑαυτῆς· ἄλλως δὲ, ″οὐδὲ ἔχοι λόγον τὴν ἠδικημένην ψυχὴν συμπράττειν τῷ ἠδικηκότι· ἢ ἄνθρωπον δύνασθαι δύναμιν ἀσώματον εἰς ἑτέραν μεταβαλεῖν οὐσίαν. εἰ γὰρ ἐπὶ τῶν σωμάτων τοῦτο ἀμήχανον, καὶ οὐκ ἄν τις ἀνθρώπου σῶμα ὄνου σῶμα ″ἐργάσαιτο· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀοράτου ψυχῆς τοῦτο ἀδύνατον, καὶ οὐκ ἄν τις ἰσχύσειεν εἰς δαίμονος οὐσίαν αὐτὴν μετενεγκεῖν. ὥστε γραϊδίων μεθυόντων ″ταῦτα τὰ ῥήματα, καὶ παίδων μορμολυκεῖα. οὐδὲ γὰρ Σοφ. γ. α. ἔνι ψυχὴν ἀποῤῥαγεῖσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι λοιπόν. Ψυχαὶ γὰρ δικαίων ἐν χειρὶ Θεοῦ. Εἰ δὲ αἱ τῶν δικαίων, καὶ αἱ τῶν παίδων (οὐδὲ γὰρ ἐκεῖναι πονηραί) καὶ αἱ τῶν ἁμαρτωλῶν δὲ αὐτόθεν ″ἐντεῦθεν ἀπάγονται. καὶ δῆλον ἀπὸ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου. Λουκ. ιβ. κ. καὶ ἀλλαχοῦ δέ φησιν ὁ Χριστός· Σήμερον τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. καὶ οὐχ οἷόν τε ψυχὴν ἐξελθοῦσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι· καὶ μάλα εἰκότως. εἰ γὰρ ἐν γῇ βαδίζοντες τῇ συνήθει καὶ γνωρίμῳ, καὶ σῶμα περικείμενοι, ὅταν ξένην ὁδὸν ὁδεύωμεν, ποίαν ἐλθεῖν δεῖ, οὐκ ἴσμεν, ἂν μὴ τὸν χειραγωγοῦντα ἔχωμεν. πῶς ἡ τοῦ σώματος ἀποῤῥαγεῖσα ψυχὴ καὶ τῆς συνηθείας ἐξελθοῦσα πάσης, εἴσεται ποῦ δεῖ βαδίζειν ἄνευ τοῦ καθοδηγοῦντος αὐτήν; καὶ πολλαχόθεν δὲ ἑτέρωθεν ἄν τις καταμάθοι, ὅτι οὐκ ἔνι ψυχὴν ἐξελθοῦσαν ἐνταῦθα μεῖναι.

ναι. καὶ γὰρ ὁ Στέφανός φησι· Δέξαι τὸ πνεῦμά μου· καὶ ὁ Παῦλος, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖττον. καὶ περὶ τοῦ πατριάρχου δέ φησιν ἡ γραφή· Καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, τραφεὶς ἐν γήρᾳ καλῷ. ὅτι δὲ οὐδὲ αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ διατρίβειν ἐνταῦθα δύνανται, ἄκουσον τοῦ πλουσίου πολλὰ ὑπὲρ τούτου παρακαλοῦντος καὶ οὐκ ἐπιτυγχάνοντος. ὡς, εἴγε ἦν δυνατὸν, αὐτὸς ἂν ἦλθε καὶ ἀπήγγειλε τὰ ἐκεῖ γεγενημένα. ὅθεν δῆλον, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, εἰς χώραν τινὰ ἀπάγονται αἱ ψυχαὶ, οὐκ ἔτι κυρίαι οὖσαι ἐπανελθεῖν, ἀλλὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν ἀναμένουσαι. εἰ δὲ λέγει τις, καὶ τίνος ἕνεκεν, ὅπερ ἠξίωσαν οἱ δαίμονες, ἐποίησεν ὁ Χριστὸς,

Πρ. ζ. νθ.
Φιλιπ. α. κγ.
Γεν. κε. η.

31 Εἰς τὴν ἀγέλην τῶν χοίρων ἐπιτρέψας αὐτοῖς ἀπελθεῖν,

Ἐκεῖνο ἂν εἴποιμι· ὅτι οὐκ ἐκείνοις πειθόμενος τοῦτο ἐποίησεν, ἀλλὰ πολλὰ ἐντεῦθεν οἰκονομῶν· ἓν μὲν, τὸ διδάξαι τοὺς ἀπαλλαγέντας τῶν πονηρῶν τυράννων ἐκείνων τὸ μέγεθος τῆς λύμης τῶν ἐπιβουλευόντων αὐτοῖς· δεύτερον δὲ, ἵνα μάθωσι πάντες, ὅτι οὐδὲ χοίρων κατατολμῶσιν, εἰ μὴ αὐτὸς συγχωρήσειε· τρίτον, ὅτι χαλεπώτερα τῶν χοίρων ἐκείνους ἂν εἰργάσαντο, εἰ μὴ καὶ ἐν τῇ συμφορᾷ πολλῆς ἀπήλαυον τῆς τοῦ Θεοῦ προνοίας. ὅτι γὰρ ἡμᾶς τῶν ἀλόγων μᾶλλον μισοῦσι, παντί που δῆλόν ἐστιν. ὥστε οἱ τῶν χοίρων μὴ φειδόμενοι, ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ πάντας αὐτοὺς κατακρημνίσαντες, πολλῷ μᾶλλον ἂν τοὺς ἀνθρώπους ταῦτα εἰργάσαντο, οὓς εἶχον, ἐπ' ἐρημίας ἄγοντες καὶ ἀπάγοντες, εἰ μὴ καὶ ἐν αὐτῇ τῇ τυραννίδι πολλὴ ἦν ἡ τοῦ Θεοῦ κηδεμονία, χαλινοῦσα καὶ ἐπέχουσα τὴν περαιτέρω ῥύμην αὐτῶν· ὅθεν δῆλον, ὅτι οὐκ ἔστιν οὐδεὶς, ὃς οὐκ ἀπολαύει τῆς τοῦ Θεοῦ προνοίας. εἰ δὲ μὴ πάντες ὁμοίως μηδὲ καθ' ἕνα τρόπον, καὶ τοῦτο προνοίας μέγιστον εἶδός ἐστι. πρὸς γὰρ τὸ ἑκάστῳ λυσιτελοῦν, καὶ τὸ τῆς προνοίας ἐπιδείκνυται. πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἕτερον ἐκ τούτου μανθάνομεν, ὅτι οὐ κοινῇ πάντων προνοεῖ μόνον, ἀλλὰ καὶ ἰδία ἑκάστου. ὃ καὶ ἐπὶ τῶν μαθητῶν ἐδήλωσεν εἰπών· Ὑμῶν δὲ * αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. καὶ ἀπὸ τῶν δαιμονώντων δὲ τούτων ἄν τις τοῦτο κατίδοι σαφῶς, οἳ πάλαι ἂν ἀπεπνίγησαν, εἰ μὴ πολλῆς τῆς ἄνωθεν κηδεμονίας ἀπήλαυον. διὰ δὴ ταῦτα ἐπέτρεψεν ἀπελθεῖν αὐτοῖς εἰς τὴν ἀγέλην τῶν χοίρων, ἵνα καὶ οἱ τὰ χωρία οἰκοῦντες ἐκεῖνα, μάθωσιν αὐτοῦ τὴν δύναμιν. ἔνθα μὲν γὰρ πολὺ τὸ ὄνομα αὐτοῦ ἐστιν, οὐ σφόδρα ἐπιδείκνυται· ἔνθα δὲ μηδεὶς αὐτὸν οἶδεν, ἀλλ' ἔτι ἀναισθήτως διάκεινται, ἐκλάμπειν ἐποίει τὰ θαύματα, ὥστε αὐτοὺς εἰς τὴν ἑαυτοῦ θεογνωσίαν ἐπισπάσασθαι. ὅτι γὰρ ἀναίσθητοί τινες ἦσαν οἱ τὴν πόλιν ἐκείνην οἰκοῦντες, δῆλον ἀπὸ τοῦ τέλους. δέον γὰρ αὐτοὺς προσκυνῆσαι καὶ θαυμάσαι τὴν δύναμιν· οἱ δὲ ἀπέπεμπον,

Ματθ. ι. λ.

34 Καὶ παρεκάλουν ἀπελθεῖν ἐκ τῶν ὁρίων αὐτῶν.

Ἀλλὰ τίνος ἕνεκεν ἀνεῖλον τοὺς χοίρους οἱ δαίμονες; πανταχοῦ τοὺς ἀνθρώπους εἰς ἀθυμίαν ἐμβαλεῖν οἱ δαίμονες ἐσπουδάκασι, καὶ πανταχοῦ χαίρουσι τῇ αὐτῶν ἀπωλείᾳ. τοῦτο γοῦν ὁ διάβολος καὶ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε. καίτοι καὶ ἐκεῖ ὁ Θεὸς ἐπέτρεψεν· ἀλλ' οὐδὲ ἐκεῖ πειθόμενος τῷ διαβόλῳ, ἀλλὰ τὸν αὐτοῦ θεράποντα θέλων ἀποφῆναι λαμπρότερον, καὶ τῷ δαίμονι πᾶσαν ἀναισχυντίας ἐκκόπτων πρόφασιν, καὶ εἰς τὴν αὐτοῦ περιτρέπων κεφαλὴν τὰ κατὰ τοῦ δικαίου γινόμενα. ἐπεὶ καὶ νῦν τοὐναντίον, ἤπερ ἤθελον οὗτοι, γέγονε. καὶ γὰρ ἡ τοῦ Χριστοῦ δύναμις λαμπρῶς ἀνεκηρύττετο, καὶ ἡ πονηρία τῶν δαιμόνων, ἧς ἀπήλλαξε τοὺς ὑπ' αὐτῶν κατεχομένους, σαφέστερον διεδείκνυτο, καὶ ὅτι οὐδὲ χοίρων εἰσὶν ἅπτεσθαι κύριοι, μὴ τοῦ τῶν ὅλων ἐπιτρέποντος Θεοῦ. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλάβοι, τὸ κωλῦον οὐδέν. ἡ μὲν γὰρ ἱστορία αὕτη. δεῖ δὲ εἰδέναι σαφῶς, ὡς οἱ χοιρώδεις τῶν ἀνθρώπων εὐεπιχείρητοι ταῖς τῶν δαιμόνων ἐνεργείαις εἰσί. καὶ ἄνθρωποι μὲν ὄντες οἱ ταῦτα πάσχοντες, δύνανται καὶ περιγενέσθαι πολλάκις· ἂν δὲ χοῖροι τὸ ὅλον γένωνται, οὐ δαιμονίζονται μόνον, ἀλλὰ καὶ κατακρημνίζονται. καὶ ἄλλως δὲ, ἵνα μή τις σκηνὴν εἶναι νομίσῃ τὰ γινόμενα, ἀλλὰ πιστεύσῃ σαφῶς ὅτι ἐξῆλθεν ὁ δαίμων, ἀπὸ τοῦ θανάτου τῶν χοίρων τοῦτο γίνεται κατάδηλον. σκόπει δὲ αὐτοῦ καὶ τὸ πρᾶον μετὰ τῆς δυνάμεως. ἐπειδὴ γὰρ τοιαῦτα εὐεργετηθέντες ἀπήλαυνον αὐτὸν οἱ τὴν χώραν οἰκοῦντες ἐκείνην, οὐκ ἀντέτεινεν, ἀλλὰ [καὶ] ἀνεχώρησε καὶ τοὺς ἀναξίους ἀποφήναντας ἑαυτοὺς τῆς αὐτοῦ διδασκαλίας κατέλιπε, τοὺς ἐλευθερωθέντας τῶν δαιμόνων δοὺς διδασκάλους καὶ τοὺς συβώτας, ὥστε παρ' ἐκείνων μαθεῖν πάντα τὰ γεγενημένα, καὶ αὐτὸς ἀναχωρήσας τὸν φόβον ἀφίησιν αὐτοῖς ἐνακμάζοντα. καὶ γὰρ τῆς ζημίας τὸ μέγεθος διεδίδου τοῦ γεγενημένου τὴν φήμην, καὶ καθικνεῖτο τῆς διανοίας αὐτῶν τὸ συμβάν. καὶ πολλαχόθεν ἐφέροντο φωναὶ, ἀνακηρύττουσαι τοῦ θαύματος τὸ παράδοξον· ἀπὸ τῶν θεραπευθέντων· ἀπὸ τῶν καταποντισθέντων· ἀπὸ τῶν δεσποτῶν τῶν χοίρων· ἀπὸ τῶν ποιμαινόντων ἀνθρώπων αὐτούς.

ΗΘΙΚΟΝ

Ταῦτα καὶ νῦν γινόμενα ἴδοι τις ἂν, καὶ πολλοὺς ἐν τοῖς μνημείοις δαιμονιζομένους, οὓς οὐδὲν κατέχει τῆς μανίας, οὐ σίδηρος, οὐχ ἅλυσις, οὐκ ἀνθρώπων πλῆθος, οὐ παραίνεσις, οὐ νουθεσία, οὐ φόβος, οὐκ ἀπειλὴ, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ γὰρ ὅταν τις ἀκόλαστος ᾖ, πρὸς πάντα σώματα ἐπτοημένος, οὐδὲν διενήνοχε τοῦ δαιμονῶντος· ἀλλὰ γυμνὸς ὢν ὡς ἐκεῖνος περιέρχεται, ἱμάτια μὲν ἐνδεδυμένος, τῆς δὲ ἀληθοῦς περιβολῆς ἀπεστερημένος, καὶ τῆς αὐτῷ προσηκούσης δόξης γεγυμνωμένος· οὐ λίθοις ἑαυτὸν κόπτων, ἀλλὰ ἁμαρτήμασι πολλῶν λίθων χαλεπωτέροις. τίς οὖν τὸν τοιοῦτον δῆσαι δυνήσεται; καὶ παῦσαι ἀσχημονοῦντα καὶ οἰστρούμενον καὶ οὐδέποτε ἐν ἑαυτῷ γινόμενον, ἀλλ' ἀεὶ παρὰ τὰ μνήματα φοιτῶντα; τοιαῦτα γὰρ τῶν πορνῶν τὰ καταγώγια πολλῆς τῆς δυσωδίας γέμοντα, πολλῆς τῆς σηπεδόνος. τί δὲ ὁ φιλάργυρος; οὐχὶ τοιοῦτος; τίς δὲ αὐτὸν ἰσχύει δῆσαί ποτε; οὐχὶ φόβοι καὶ ἀπειλαὶ καθημεριναὶ, καὶ παραινέσεις καὶ συμβουλαί; ἀλλὰ πάντα ταῦτα διακόπτει τὰ δεσμά. κἂν ἔλθῃ τις αὐτὸν ἀπαλλάξαι τῶν δεσμῶν, ὁρκίζει ὥστε μὴ ἀπαλλαγῆναι, βάσανον ἡγούμενος εἶναι μεγίστην, τὸ μὴ εἶναι ἐν τῇ βασάνῳ· οὗ τί γένοιτο χαλεπώτερον; ἐκεῖνος μὲν γὰρ ὁ δαίμων, εἰ καὶ ἀνθρώπων κατεφρόνησεν, ἀλλὰ τῷ προστάγματι εἶξε τοῦ Χριστοῦ, καὶ ταχέως ἀπεπήδησε τοῦ σώματος. οὗτος δὲ οὐδὲ τῷ προστάγματι εἴκει. ἰδοὺ γοῦν καθ' ἑκάστην ἡμέραν ἀκούει αὐτοῦ λέγοντος· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, καὶ γέενναν ἀπειλοῦντος, καὶ τὰς ἀνηκέστους κολάσεις, καὶ οὐ πείθεται· οὐχ ὅτι ἰσχυρότερός ἐστι τοῦ Χριστοῦ, ἀλλ' ὅτι ἄκοντας ἡμᾶς ὁ Χριστὸς οὐ σωφρονίζει. διὰ τοῦτο ὡς ἐν ἐρήμοις οἱ τοιοῦτοι διατρίβουσι, κἂν ἐν μέσαις πόλεσιν ὦσι. τίς γὰρ ἂν ἕλοιτο νοῦν ἔχων τοιούτοις συγγίνεσθαι ἀνθρώποις; μᾶλλον δὲ ἔγωγε κατεδεξάμην μετὰ μυρίων δαιμονώντων οἰκεῖν, ἢ μετὰ ἑνὸς ταύτην νοσοῦντος τὴν νόσον. καὶ ὅτι οὐ σφάλλομαι ταῦτα λέγων, δῆλον ἐξ ὧν ἑκάτεροι πάσχουσιν. οὗτοι μὲν γὰρ τὸν οὐδὲν ἠδικηκότα ἐχθρὸν ἡγοῦνται, καὶ βούλονται καὶ δοῦλον λαβεῖν τὸν ἐλεύθερον ὄντα, καὶ μυρίοις περιβάλλουσι κακοῖς· οἱ δὲ δαιμονῶντες οὐδὲν ἄλλο ἐργάζονται, ἀλλ' ἐν ἑαυτοῖς τὴν νόσον τρέφουσι· καὶ οὗτοι μὲν πολλὰς οἰκίας ἀνατρέπουσι, καὶ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖσθαι παρασκευάζουσι, καὶ λύμη πόλεως καὶ τῆς οἰκουμένης ἁπάσης εἰσίν· οἱ δὲ ὑπὸ δαιμόνων ἐνοχλούμενοι, ἐλεεῖσθαι μᾶλλόν εἰσιν ἄξιοι καὶ δακρύεσθαι. καὶ οἱ μὲν ἐν ἀναισθησίᾳ τὰ πλείονα πράττουσιν· οἱ δὲ μετὰ λογισμοῦ παραπαίουσιν, ἐν μέσαις πόλεσι βακχευόμενοι καὶ καινήν τινα μαινόμενοι μανίαν. τί γὰρ τοιοῦτον ἐργάζονται οἱ δαιμονῶντες ἅπαντες, οἷον Ἰούδας ἐτόλμησε, τὴν ἐσχάτην παρανομίαν ἐπιδειξάμενος; καὶ πάντες δὲ οἱ ἐκεῖνον ζηλοῦντες, καθάπερ θηρία χαλεπὰ ἀπὸ γαλεάγρας φυγόντα, τὰς πόλεις θορυβοῦσιν οὐδενὸς κατέχοντος. περίκειται μὲν γὰρ καὶ τούτοις δεσμὰ πανταχόθεν οἷον, ὁ τῶν δικαστῶν φόβος, ἡ τῶν νόμων ἀπειλὴ, ἡ παρὰ τῶν πολλῶν κατάγνωσις, καὶ ἕτερα πλείονα τούτων· ἀλλ' ὅμως καὶ ταῦτα διαρρηγνῦντες πάντα ἄνω καὶ κάτω ποιοῦσι. καὶ εἴ τις αὐτὰ τέλεον αὐτῶν ἀφεῖλε, τότε ἂν ἔγνω σαφῶς τὸν ἐν αὐτοῖς δαίμονα, πολὺ τοῦ νῦν ἐξεληλυθότος ἀγριώτερον ὄντα καὶ μανικώτερον. ἀλλ᾽ ἐπειδὴ τοῦτο οὐκ ἔνι, τῷ λόγῳ τέως αὐτὸν ὑποθώμεθα, καὶ πάσας αὐτοῦ περιέλωμεν τὰς ἁλύσεις· καὶ τότε αὐτοῦ σαφῶς εἰσόμεθα τὴν λαμπρὰν μανίαν. ἀλλὰ μὴ δείσητε τὸ θηρίον, ὅταν αὐτὸ ἐκκαλύψωμεν. ἐν γὰρ τῷ λόγῳ ἡ σκηνή, οὐκ ἐν τῇ ἀληθείᾳ τὸ πρᾶγμα. ἔστω τοίνυν τις ἄνθρωπος πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφιείς, μέλας, ἐξ ἑκατέρων τῶν ὤμων δράκοντας ἀντὶ χειρῶν ἔχων ἐξηρτημένους· ἔστω δὲ αὐτῷ καὶ στόμα, ἀντὶ μὲν ὀδόντων ξίφη ὀξέα ἔχον ἐμπεπηγότα, ἀντὶ δὲ γλώσσης ἰοῦ καὶ δηλητηρίου φαρμάκου πηγὴν ἀναβλύζουσαν· γαστὴρ δέ, καμίνου πάσης δαπανητικωτέρα, τὰ ἐμβαλλόμενα ἀναλίσκουσα ἅπαντα· καὶ πόδες ὑπόπτεροί τινες καὶ φλογὸς ἁπάσης σφοδρότεροι· καὶ τὸ πρόσωπον δὲ αὐτῷ ἀπὸ κυνὸς καὶ λύκου κατεσκευασμένον ἔστω· καὶ φθεγγέσθω μηδὲν ἀνθρώπινον, ἀλλ᾽ ἀπηχές τι καὶ ἀηδὲς καὶ φοβερόν· ἐχέτω δὲ καὶ ἐν χερσὶ φλόγα. τάχα φοβερὰ δοκεῖ εἶναι ὑμῖν τὰ εἰρημένα· ἀλλ᾽ οὐδέπω κατ᾽ ἀξίαν αὐτὸν ἐσχηματίσαμεν. μετὰ γὰρ τούτων, καὶ ἕτερα δεῖ προσθεῖναι. καὶ γὰρ καὶ τοὺς ἀπαντῶντας σφαττέτω, κατεσθιέτω, τῶν σαρκῶν αὐτῶν ἁπτέσθω. ἀλλὰ καὶ τούτου πολλῷ χαλεπώτερος ὁ φιλάργυρος, πᾶσιν ἐπιὼν ὥσπερ ᾅδης, πάντα καταπίνων, κοινὸς πολέμιος περιερχόμενος τοῦ τῶν ἀνθρώπων γένους. καὶ γὰρ βούλεται μηδένα ἄνθρωπον εἶναι, ἵνα τὰ πάντα κατέχῃ. καὶ οὐδὲ ἐνταῦθα ἵσταται· ἀλλ᾽, ὅταν πάντας ἀπολέσῃ τῇ ἐπιθυμίᾳ, καὶ τῆς γῆς τὴν οὐσίαν ἀφανίσαι ἐπιθυμεῖ, καὶ χρυσὸν αὐτὴν οὖσαν ἰδεῖν· οὐ τὴν γῆν δὲ μόνον, ἀλλὰ καὶ ὄρη καὶ νάπας καὶ πηγάς, καὶ πάντα ἁπλῶς τὰ φαινόμενα. καὶ ἵνα μάθητε ὅτι οὐδέπω τὴν μανίαν παρεστήσαμεν τὴν ἐκείνου, μηδεὶς ἔστω ὁ ἐγκαλῶν καὶ δεδιττόμενος· ἀλλ᾽ ἄνελε τὸν ἐκ τῶν νόμων φόβον τῷ λόγῳ τέως, καὶ ὄψει αὐτὸν ξίφος ἁρπάσαντα καὶ πάντας διαχειρώμενον καὶ οὐδενὸς φειδόμενον, οὐ φίλου, οὐ συγγενοῦς, οὐκ ἀδελφοῦ, οὐκ αὐτοῦ τοῦ γεγεννηκότος. μᾶλλον δὲ οὐδὲ ὑποθέσεως ἐνταῦθα χρεία· ἀλλ᾽ ἐρώμεθα αὐτόν, εἰ μὴ τοιαύτας πλάττει ἀεὶ καθ᾽ ἑαυτὸν φαντασίας, καὶ πάντας ἔπεισιν ἀναιρῶν τῷ λογισμῷ, καὶ φίλους καὶ συγγενεῖς καὶ αὐτοὺς τοὺς γεγεννηκότας. μᾶλλον δὲ οὐδὲ ἐρωτήσεως χρεία. καὶ γὰρ πάντες ἴσασιν, ὅσοι τούτῳ κατεχόμενοί εἰσι τῷ νοσήματι, ὅτι καὶ γῆρας βαρύνονται πατέρων, καὶ τὸ γλυκὺ καὶ πᾶσιν ἐπέραστον τὸ παῖδας ἔχειν, βαρὺ καὶ ἐπαχθὲς εἶναι νομίζουσι. πολλοὶ γοῦν καὶ ἀτοκίαν διὰ τοῦτο ὠνήσαντο, καὶ τὴν φύσιν ἐπήρωσαν, οὐκ ἀνελόντες [μόνον] τεχθέντας τοὺς παῖδας, ἀλλὰ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρήσαντες. μὴ τοίνυν θαυμάσητε εἰ τὸν φιλάργυρον οὕτως ἐσχηματίσαμεν (καὶ γὰρ πολὺ χεῖρόν ἐστι τῶν εἰρημένων) ἀλλὰ σκοπήσωμεν πῶς τοῦ δαίμονος αὐτὸν ἀπαλλάξωμεν. πῶς οὖν ἀπαλλάξομεν; εἰ μάθοι σαφῶς ὅτι [ἡ] φιλαργυρία πρὸς αὐτὸ τοῦτο μάλιστα ἡμῖν ἐναντιοῦται, πρὸς τὸ πορίζειν χρήματα. ἀεὶ γὰρ οἱ τὰ μικρὰ κερδαίνειν βουλόμενοι, μεγάλας ὑπομένουσι ζημίας· ὅθεν δὴ καὶ παροιμία εἰς αὐτὸ τοῦτο ἐξενήνεκται. πολλοὶ γοῦν πολλάκις ἐπὶ μεγάλοις δανεῖσαι βουλόμενοι τόκοις, τῇ προσδοκίᾳ τοῦ κέρδους οὐκ ἐξετάσαντες τοὺς λαβόντας, μετὰ τῶν τόκων καὶ τοῦ κεφαλαίου παντὸς ἐξέπεσαν. πάλιν εἰς κινδύνους περιπεσόντες ἑτέρους, καὶ οὐ βουληθέντες ὀλίγα προέσθαι, καὶ τὴν ψυχὴν μετὰ τῆς οὐσίας ἀπώλεσαν· καὶ παρὸν πάλιν, ἢ ἀξιώματα κερδαλέα, ἢ ἄλλο τι τοιοῦτον ὠνήσασθαι, μικρολογησάμενοι τὸ πᾶν ἀπώλεσαν. ἐπειδὴ γὰρ οὐκ ἴσασι σπείρειν, ἀλλὰ* θερίζειν μεμελετήκασι, καὶ τοῦ ἀμήτου συνεχῶς ἐκπίπτουσιν. οὐδεὶς γὰρ ἀεὶ θερίζειν δύναται, ὥσπερ οὐδὲ ἀεὶ κερδαίνειν. ἐπεὶ οὖν οὐ βούλονται δαπανᾶν, οὐδὲ κερδαίνειν ἴσασιν· ἀλλὰ κἂν γυναῖκα δέῃ λαβεῖν, πάλιν τὸ αὐτὸ τοῦτο ὑπομένουσιν. ἢ γὰρ ἐξηπατήθησαν ἄπορον ἀντ᾽ εὐπόρου λαβόντες, ἢ πλουσίαν εἰσαγαγόντες καὶ μυρίων γέμουσαν ἐλαττωμάτων, πλείονα πάλιν τὴν ζημίαν ὑπέμειναν. οὐ γὰρ ἡ περιουσία, ἀλλ᾽ ἡ ἀρετὴ τὸν πλοῦτον ἐργάζεται. τί γὰρ ὄφελος τοῦ πλούτου, ὅταν δαπανηρὰ ᾖ καὶ ἄσωτος, καὶ πάντα ἀνέμου σφοδρότερον ἐκφορῇ; τί δέ, ἂν ἀσελγὴς καὶ μυρίους ἐρασαις ἐφέλκεται; τί δὲ, ἂν μέθυσος; οὐ πάντων ταχέως πενέστερον τὸν ἄνδρα ἐργάσεται; οὐ χαμοδίτη δὲ μόνον, ἀλλὰ καὶ ὠνοῦνται ἐπισφαλῶς, ὑπὸ τῆς ἐπιθυμίας τῆς πολλῆς οὐ τὰ σπουδαῖα τῶν ἀνδραπόδων, ἀλλὰ τὰ εὔωνα περιεργαζόμενοι. Ταῦτ' οὖν ἅπαντα ἀναλογισάμενοι (τῶν γὰρ περὶ τῆς γεέννης καὶ τῆς βασιλείας οὐδέπω λόγων ἀκούειν δύνασθε) καὶ τὰς ζημίας ἐννοήσαντες, ἃς ὑπεμείνατε πολλάκις ἀπὸ τῆς φιλοχρηματίας, καὶ ἐν δανείσμασι, καὶ ἐν ὠνίοις, καὶ ἐν γάμοις, καὶ ἐν προστασίαις, καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ἀπόστητε τοῦ χρημάτων ἐρᾶν. οὕτω γὰρ δυνήσεσθε καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας ζῇν, καὶ μικρὸν ἐπιδόντες καὶ τῶν περὶ φιλοσοφίας ἀκοῦσαι λόγων, καὶ μικρὸν διαβλέποντες, εἰς αὐτὸν τὸν δικαιοσύνης ἰδεῖν τὸν ἥλιον, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν παρ' αὐτοῦ ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. η.

Ομιλ. κθ. 1 ΚΑΙ ΕΜΒΑΣ ΕΙΣ ΤΟ ΠΛΟΙΟΝ ΔΙΕΠΕρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. 2 Καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

ΙΔίαν αὐτοῦ πόλιν ἐνταῦθα τὴν Καπερναοὺμ λέγει. ἡ μὲν γὰρ ἤνεγκεν αὐτὸν, ἡ Βηθλεέμ· ἡ δὲ ἔθρεψεν, ἡ Ναζαρέτ· ἡ δὲ εἶχεν οἰκοῦντα*, ἡ Καπερναούμ. ὁ μέντοι παραλυτικὸς ἕτερος οὗτός ἐστι παρὰ τὸν ἐν τῷ Ἰωάννῃ κείμενον. ὁ μὲν γὰρ ἐν τῇ κολυμβήθρᾳ κατέκειτο, οὗτος δὲ ἐν τῇ Καπερναούμ· καὶ ὁ μὲν τριακονταοκτὼ εἶχεν ἔτη, περὶ τούτου δὲ οὐδὲν τοιοῦτον εἴρηται· καὶ ὁ μὲν ἐν ἐρημίᾳ τῶν προστησομένων ἦν, οὗτος δὲ εἶχε τοὺς ἐπιμελουμένους, οἳ καὶ βαστάζοντες αὐτὸν ἔφερον. καὶ τούτῳ μέν φησι, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἐκείνῳ δέ [φησι,] θέλεις ὑγιὴς γενέσθαι; καὶ τὸν μὲν ἐν σαββάτῳ ἐθεράπευσε, τοῦτον δὲ οὐκ ἐν σαββάτῳ. ἢ γὰρ ἂν ἐνεκάλεσαν καὶ τοῦτο Ἰουδαῖοι. καὶ ἐπὶ τούτου μὲν ἐσίγησαν, ἐπ' ἐκείνου δὲ ἐπέκειντο διώκοντες. Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα μή τις διαφωνίαν εἶναι νομίζῃ, ἕνα καὶ τὸν αὐτὸν ὑποπτεύσας παραλυτικόν. σὺ δέ μοι σκόπει τὸ ἄτυφον καὶ τὸ ἐπιεικὲς τοῦ δεσπότου. καὶ γὰρ καὶ πρὸ τούτου τοὺς ὄχλους διεκρούσατο, καὶ ὑπὸ τῶν ἐν Γαδάροις δ' ἐκβληθεὶς οὐκ ἀντέτεινεν, ἀλλ' ἀνεχώρησε μὲν, οὐ μὴν δὲ μακράν. καὶ πάλιν εἰς τὸ πλοῖον ἐμβὰς διέβαινε, δυνάμενος καὶ πεζῇ διαβαίνειν. οὐ γὰρ ἀεὶ παραδοξοποιεῖν ἐβούλετο, ὥστε μὴ τῷ τῆς οἰκονομίας λυμήνασθαι λόγῳ. ὁ μὲν οὖν Ματθαῖος φησὶν, ὅτι προσέφερον αὐτόν· οἱ δὲ ἄλλοι, ὅτι καὶ τὴν στέγην διατεμόντες, αὐτὸν καθῆκαν καὶ προὔθηκαν τῷ Χριστῷ τὸν κάμνοντα, λέγοντες μὲν οὐδὲν, αὐτῷ δὲ τὸ πᾶν ἐπιτρέποντες. ἐν ἀρχῇ μὲν γὰρ καὶ αὐτὸς περιῄει, καὶ οὐ τοσαύτην παρὰ τῶν προσιόντων ᾔτει τὴν πίστιν· ἐνταῦθα δὲ, καὶ προσῄεσαν καὶ πίστιν ἀπῃτοῦντο. ἰδὼν γὰρ, φησὶ, τὴν πίστιν αὐτῶν, τουτέστι τῶν χαλασάντων. οὐ γὰρ πανταχοῦ παρὰ τῶν καμνόντων μόνον ζητεῖ τὴν πίστιν· οἷον ὅταν παραπαίωσιν, ἢ ἑτέρως ὑπὸ τοῦ νοσήματος ὦσιν ἐξεστηκότες. μᾶλλον δὲ ἐνταῦθα καὶ τοῦ κάμνοντος ἦν ἡ πίστις. οὐ γὰρ ἂν ἠνέσχετο χαλασθῆναι μὴ πιστεύων. ἐπεὶ οὖν τοσαύτην ἐπεδείξαντο πίστιν, ἐπιδείκνυται καὶ αὐτὸς τὴν αὐτοῦ δύναμιν, μετ' ἐξουσίας ἁπάσης λύων τὰ ἁμαρτήματα, καὶ δεικνὺς διὰ πάντων ὅτι ὁμότιμός ἐστι τῷ γεγεννηκότι. σκόπει δέ. ἀπ' ἀρχῆς ἔδειξε διὰ τῆς διδασκαλίας, ὅτε ἐδίδαξεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων· διὰ τοῦ λεπροῦ, ὅτε εἶπε, θέλω, καθαρίσθητι· διὰ τοῦ ἑκατοντάρχου, ὅτε εἰπόντα, Εἰπὲ λόγῳ μόνον,

νον, καὶ ἰαθήσεται ὁ παῖς μου, ἐθαύμασε καὶ ὑπὲρ πάντας ἀνεκήρυξε· διὰ τῆς θαλάττης, ὅτε αὐτὴν ἐχαλίνωσε λόγῳ μόνῳ· διὰ τῶν δαιμόνων, ὅτε αὐτὸν κριτὴν ἀνωμολόγουν, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας αὐτοὺς ἐξέβαλεν. ἐνταῦθα πάλιν ἑτέρῳ μείζονι τρόπῳ τοὺς ἐχθροὺς " αὐτοὺς καταναγκάζει ὁμολογῆσαι τὴν ὁμοτιμίαν, καὶ διὰ τοῦ στόματος αὐτῶν αὐτὸ καθίστησι φανερόν. αὐτὸς μὲν γὰρ τὸ ἀφιλότιμον δεικνὺς (καὶ γὰρ [καὶ] πολὺ περιειστήκει τὸ θέατρον τὴν εἴσοδον ἀποτειχίζον, διὸ καὶ ἄνωθεν αὐτὸν καθῆκαν) οὐκ ἐπέδραμεν εὐθέως τῇ τοῦ σώματος θεραπείᾳ τοῦ φαινομένου, ἀλλὰ παρ᾽ ἐκείνων λαμβάνει τὴν ἀφορμὴν· καὶ τὸ ἄδηλον πρότερον ἐθεράπευσε, τὴν ψυχὴν, τὰ ἁμαρτήματα ἀφείς· ὅπερ ἐκεῖνον μὲν ἔσωζεν, αὐτῷ δὲ οὐ πολλὴν τὴν δόξαν ἔφερεν. ἐκεῖνοι μὲν γὰρ ὑπὸ πονηρίας " ἐνοχλούμενοι, καὶ ἐπισκῆψαι βουλόμενοι, ἐκλάμψαι τὸ γεγενημένον καὶ ἄκοντες παρεσκεύασαν. καὶ γὰρ εὐμήχανος ὢν αὐτὸς, τῇ βασκανίᾳ αὐτῶν εἰς τὴν τοῦ σημείου φανέρωσιν " ἀπεχρήσατο. ἐπεὶ οὖν ἐθορυβοῦντο, καὶ ἔλεγον·

3 Οὗτος βλασφημεῖ· τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός;

Ἴδωμεν τί φησιν αὐτός. ἆρα ἀνεῖλε τὴν ὑπόνοιαν; καίτοιγε εἰ μὴ ἴσος ἦν, ἐχρῆν εἰπεῖν· Τί μοι " προσάπτετε μὴ προσήκουσαν ὑπόληψιν; πόρρω ταύτης ἐγὼ τῆς δυνάμεως. νῦν δὲ τούτων μὲν οὐδὲν εἶπε, τοὐναντίον δὲ ἅπαν καὶ ἐβεβαίωσε καὶ ἐκύρωσε, τῇ τε παρ᾽ ἑαυτοῦ φωνῇ, καὶ τῇ τοῦ θαύματος ἐπιδείξει. ἐπειδὴ γὰρ τὸ αὐτὸν τινὰ περὶ ἑαυτοῦ λέγειν ἐδόκει προσίστασθαι τοῖς ἀκροωμένοις, διὰ τῶν ἄλλων βεβαιοῖ τὰ περὶ " ἑαυτοῦ. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐ διὰ τῶν φίλων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐχθρῶν. τοῦτο γὰρ ἡ περιουσία τῆς αὐτοῦ σοφίας. διὰ μὲν τῶν φίλων, ὅτε εἶπε, θέλω, καθαρίσθητι, καὶ ὅτε εἶπεν, * οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· διὰ δὲ τῶν ἐχθρῶν νῦν. ἐπειδὴ γὰρ εἶπον, ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός, ἐπήγαγεν·

6 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου " τὸν κράββατον, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ " ἀλλαχοῦ πάλιν αὐτῶν λεγόντων, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς " σαυτὸν Θεόν, οὐδὲ ἐκεῖ τὴν δόξαν ταύτην κατέλυσεν, ἀλλὰ πάλιν " αὐτὴν ἐκύρωσεν, εἰπών· Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ οὐ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε. ἐνταῦθα μέντοι καὶ ἕτερον σημεῖον τῆς ἑαυτοῦ θεότητος δείκνυσιν οὐ μικρὸν, καὶ τῆς πρὸς τὸν πατέρα ὁμοτιμίας. ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι * λύειν ἁμαρτήματα, Θεοῦ μόνου " ἐστίν· οὗτος δὲ οὐ λύει μόνον ἁμαρτήματα, ἀλλὰ καὶ πρὸ τούτου ἕτερόν τι ἐπιδείκνυται, ὃ Θεοῦ μόνου ἦν, τὸ τὰ ἐν τῇ καρδίᾳ ἀπόρρητα ἐκφέρειν. οὐδὲ γὰρ ἐξενήνεγκαν εἰς μέσον ὅπερ ἐνενόουν.

Ἰδοὺ γάρ τινες τῶν γραμματέων, φησὶν, ἐν ἑαυτοῖς εἶπον· οὗτος βλασφημεῖ. 4 Καὶ " εἰδὼς ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, " εἶπε· τί ἐνθυμεῖσθε ὑμεῖς πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; Ὅτι δὲ Θεοῦ μόνου ἐστὶ τὸ τὰ ἀπόρρητα εἰδέναι, ἄκουσον τί φησιν ὁ προφήτης· Σὺ ἐπίστασαι καρδίας μονώτατος· καὶ πάλιν, Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. καὶ ὁ Ἱερεμίας δὲ [φησι·] " Βαθεῖα ἡ καρδία παρὰ πάντα· καὶ, ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; καὶ, Ἄνθρωπος ὄψεται εἰς τὸ πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. καὶ διὰ πολλῶν ἐστιν ἰδεῖν ὅτι Θεοῦ μόνου ἐστὶ " τὰ κατὰ διάνοιαν εἰδέναι. " δεικνὺς τοίνυν ὅτι Θεός ἐστιν ἴσος τῷ γεγεννηκότι, ἅπερ ἐν ἑαυτοῖς ἐλογίζοντο (δεδοικότες γὰρ τὸ πλῆθος, οὐκ ἐτόλμων αὐτῶν τὴν γνώμην εἰς τὸ μέσον ἐξενεγκεῖν) " ταῦτα ἐκκαλύπτει καὶ " δῆλα ποιεῖ, πολὺ καὶ ἐνταῦθα τὸ ἀνεπαχθὲς ἐνδεικνύμενος. ἵνα τί γάρ, φησιν, ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; καίτοιγε εἰ ἀγανακτῆσαι ἐχρῆν, τὸν κάμνοντα ἀγανακτῆσαι ἔδει ὡς " δὴ ἀπατηθέντα,

Ιω. ι. λγ.
Ιω. ι. λζ.

β. Παρ. ϛ. λ.
Ψαλμ. ζ. ι.
Ιερ. ιζ. θ. ι.
α. Βασ. ιϛ. ζ.

θέντα, καὶ εἰπεῖν· ἕτερον ἦλθον θεραπευθῆναι, καὶ ἕτερον διορθοῦσαι; πόθεν γὰρ δῆλον, ὅτι ἀφέωνταί μου αἱ ἁμαρτίαι; νυνὶ δὲ ἐκεῖνος μὲν οὐδὲν φθέγγεταί τι τοιοῦτον, ἀλλὰ δίδωσιν ἑαυτὸν τῇ τοῦ θεραπεύοντος ἐξουσίᾳ· οὗτοι δὲ περιττοὶ ὄντες καὶ βάσκανοι, ταῖς ἑτέρων ἐπιβουλεύουσιν εὐεργεσίαις. διὸ ἐπισκήπτει μὲν αὐτοῖς, μετ' ἐπιεικείας δὲ πάσης. εἰ γὰρ ἀπιστεῖτε, [φησι,] τῷ προτέρῳ, καὶ κόμπον εἶναι νομίζετε τὸ λεχθὲν, ἰδοὺ καὶ ἕτερον * ἐκείνῳ προστίθημι, τὸ τὰ ἀπόρρητα ὑμῶν ἐκκαλύψαι· καὶ μετ' ἐκεῖνο πάλιν ἕτερον. ποῖον δὴ τοῦτο; τὸ σφίγξαι τὸ σῶμα τοῦ παραλελυμένου. καὶ ὅτε μὲν εἶπε τῷ παραλυτικῷ, οὐ σαφῶς τὴν ἐξουσίαν τὴν ἑαυτοῦ δηλῶν ἔλεγεν. οὐ γὰρ εἶπεν, ἀφίημί σοι τὰς ἁμαρτίας, ἀλλ' ἀφέωνταί σου αἱ ἁμαρτίαι. ἐπειδὴ δὲ ἐκεῖνοι ἠνάγκασαν, τρανοτέραν αὐτοῦ δείκνυσι τὴν ἐξουσίαν, λέγων· ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας. ὁρᾷς ὅσον ἀπέχει τοῦ μὴ θέλειν νομίζεσθαι ἴσος τῷ πατρί; οὐδὲ γὰρ εἶπεν, ὅτι δεῖται ἑτέρου ὁ υἱὸς τοῦ ἀνθρώπου, ἢ ὅτι ἔδωκεν αὐτῷ ἐξουσίαν, ἀλλ' ὅτι ἐξουσίαν ἔχει. καὶ οὐδὲ αὐτὸ πρὸς φιλοτιμίαν λέγει· ἀλλ' ἵνα ὑμᾶς πείσω, φησὶν, ὅτι οὐ βλασφημῶ, ἴσον ἑαυτὸν ποιῶν τῷ″ πατρί. πανταχοῦ γὰρ ἀποδείξεις βούλεται παρέχειν σαφεῖς καὶ ἀναντιρρήτους, ὡς ὅταν λέγῃ· ὕπαγε, σαυτὸν δεῖξον τῷ ἱερεῖ· καὶ τὴν πενθερὰν Πέτρου δεικνύει διακονοῦσαν, καὶ τοὺς χοίρους ἐπιτρέπει κατακρημνίζεσθαι. οὕτω δὴ καὶ ἐνταῦθα, τῆς μὲν τῶν ἁμαρτημάτων ἀφέσεως τεκμήριον, τὴν τοῦ σώματος σφίγξιν ποιεῖται· τῆς δὲ σφίγξεως, τὸ βαστάσαι τὸν κράββατον, ὥστε μὴ νομισθῆναι φαντασίαν εἶναι τὸ γεγενημένον. καὶ οὐ πρότερον τοῦτο ποιεῖ, ἕως αὐτοὺς ἠρώτησε.

5 Τί γάρ, φησιν, ″εὐκολώτερόν ἐστιν εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι· ἢ εἰπεῖν, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. τί δοκεῖ ῥᾷον ὑμῖν εἶναι; σῶμα σφίγξαι διῳκισμένον, ἢ ψυχῆς ἁμαρτήματα λῦσαι; εὔδηλον ὅτι σῶμα σφίγξαι. ὅσῳ γὰρ ψυχὴ σώματος βελτίων, τοσούτῳ τὸ ἁμαρτήματα λῦσαι τούτου μεῖζον. ἀλλ' ἐπειδὴ τὸ μὲν ἀφανὲς, τὸ δὲ φανερὸν, προστίθημι τὸ καταδεέστερον μὲν, φανερώτερον δέ· ἵνα καὶ τὸ μεῖζον καὶ τὸ ἀφανὲς διὰ τούτου λάβῃ τὴν ἀπόδειξιν, διὰ τῶν ἔργων προαποκαλύπτων ἤδη τὸ ὑπὸ τοῦ Ἰωάννου εἰρημένον, ὅτι αὐτὸς αἴρει τὰς ἁμαρτίας τοῦ κόσμου. ἀναστήσας τοίνυν αὐτὸν, εἰς τὴν οἰκίαν πέμπει, πάλιν ἐνταῦθα τὸ ἄτυφον δεικνὺς, καὶ ὅτι οὐ φαντασία ἦν τὸ γεγενημένον. τοὺς γὰρ τῆς ἀρρωστίας μάρτυρας, τούτους ποιεῖται καὶ τῆς ὑγιείας. ἐγὼ μὲν γὰρ ἐβουλόμην, φησὶ, διὰ τοῦ σοῦ πάθους καὶ τοὺς δοκοῦντας ὑγιαίνειν, νοσοῦντας δὲ τὴν διάνοιαν, θεραπεῦσαι· ἐπειδὴ δὲ οὐ βούλονται, ἄπιθι οἴκαδε τοὺς ἐκεῖ διορθωσόμενος. ὁρᾷς πῶς δείκνυσι καὶ ψυχῆς καὶ σώματος αὐτὸν ὄντα δημιουργόν; ἑκατέρας γὰρ οὐσίας τὴν παράλυσιν ἰᾶται, καὶ τὸ ἀφανὲς ἐκ τοῦ φανεροῦ δῆλον ποιεῖ· ἀλλ' ὅμως ἔτι χαμαὶ ″σύρονται.

8 Ἐδόξασαν γὰρ τὸν Θεόν, φησι, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

Προσίστατο γὰρ αὐτοῖς ἡ σάρξ· αὐτὸς δὲ αὐτοῖς οὐκ ἐπετίμα, ἀλλὰ προσείσι διὰ τῶν ἔργων ἐγείρων αὐτοὺς καὶ ὑψηλὸν τὸ φρόνημα ποιῶν. τέως γὰρ οὐκ ἦν μικρὸν τὸ νομίζεσθαι πάντων [τῶν] ἀνθρώπων εἶναι μείζων, καὶ παρὰ [τοῦ] Θεοῦ ἥκειν. εἰ γὰρ ταῦτα καλῶς ἐβεβαίωσαν παρ' ἑαυτοῖς, ὁδῷ προβαίνοντες ἔγνωσαν ἂν ὅτι καὶ Θεοῦ υἱὸς ἦν. ἀλλ' οὐ κατέσχον ταῦτα σαφῶς· διὰ τοῦτο οὐδὲ ″προσελθεῖν ἠδυνήθησαν. ἔλεγον γὰρ ″πάλιν, οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ· πῶς ἐστιν οὗτος παρὰ τοῦ Θεοῦ; καὶ συνεχῶς αὐτὰ ἔστρεφον, τῶν οἰκείων παθῶν ταῦτα προβαλλόμενοι προκαλύμματα.

ΗΘΙΚΟΝ Ὃ πολλοὶ καὶ νῦν ποιοῦσι, καὶ τὸν Θεὸν δοκοῦντες ἐκδικεῖν, οἰκεῖα πληροῦσι πάθη, δέον μετ' ἐπιεικείας ἅπαντα μετιέναι. καὶ γὰρ ὁ τῶν ὅλων Θεὸς, σκηπτὸν δυνάμενος ἀφιέναι ἐπὶ τοὺς βλασφημοῦντας αὐτὸν, τὸν ἥλιον ἀνατέλλει, καὶ τοὺς ὄμβρους ἀφίησι, καὶ τὰ ἄλλα πάντα μετὰ δαψιλείας παρέχει· ὃν χρὴ καὶ ἡμᾶς μιμουμένους παρακαλεῖν, παραινεῖν, νουθετεῖν μετὰ πραότητος, οὐκ ὀργιζομένους, οὐδὲ ἐκθηριουμένους. οὐδὲ γὰρ βλάβην τις εἰς τὸν Θεὸν ἀπὸ τῆς βλασφημίας ἐκβαίνει, ἵνα θυμωθῇς· ἀλλ' ὁ βλασφημήσας αὐτὸς καὶ τὸ τραῦμα ἔλαβεν. ἐκεῖνον στέναξον, θρήνησον. καὶ γὰρ δακρύων ἄξιον τὸ πάθος, καὶ τὸν τραυματισθέντα δὲ οὐδὲν οὕτως ὡς ἐπιείκεια θεραπεῦσαι δύναται. ἐπιείκεια γὰρ πάσης βίας δυνατωτέρα. ὅρα γοῦν πῶς ἡμῖν αὐτὸς ὁ ὑβρισμένος διαλέγεται, καὶ ἐπὶ τῆς παλαιᾶς καὶ ἐπὶ τῆς καινῆς· ἐκεῖ μὲν λέγων, Λαός μου, τί ἐποίησά σοι; ἐνταῦθα δὲ, Σαοὺλ, Σαοὺλ, τί με διώκεις; καὶ ὁ Παῦλος δὲ ἐν πρᾳότητι κελεύει παιδεύειν τοὺς ἀντιδιατιθεμένους. καὶ αὐτὸς δὲ, ἡνίκα προσῄεσαν οἱ μαθηταὶ ἀξιοῦντες πῦρ καταβῆναι ἐκ τοῦ οὐρανοῦ, Σφόδρα ἐπετίμησεν αὐτοῖς λέγων· οὐκ οἴδατε ποίου πνεύματός ἐστε ὑμεῖς. καὶ ἐνταῦθα δὲ οὐκ εἶπεν, ὦ μιαροὶ καὶ γόητες ὑμεῖς, ὦ βάσκανοι καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐχθροί· ἀλλά, τί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; δεῖ τοίνυν μετ' ἐπιεικείας ἐξαιρεῖν τὸ νόσημα. ὁ γὰρ φόβῳ γενόμενος ἀνθρωπίνῳ βελτίων, ταχέως ἐπανήξει πρὸς τὴν πονηρίαν πάλιν. διὰ τοῦτο καὶ τὰ ζιζάνια ἀφεθῆναι ἐκέλευσε, διδοὺς προθεσμίαν μετανοίας. πολλοὶ γοῦν οὕτω μετενόησαν, καὶ γεγόνασι σπουδαῖοι, πρότερον ὄντες φαῦλοι· οἷον, ὁ Παῦλος, ὁ τελώνης, ὁ λῃστής. καὶ γὰρ ζιζάνια ὄντες, οὗτοι σῖτος γεγόνασιν ὥριμος. ἐπὶ μὲν γὰρ τῶν σπερμάτων τοῦτο ἀμήχανον· ἐπὶ δὲ τῆς προαιρέσεως, ῥᾴδιόν τε καὶ εὔκολον. οὐ γὰρ φύσεως ὅροις αὕτη δέδεται, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμηται. ὅταν τοίνυν ἴδῃς ἐχθρὸν τῆς ἀληθείας, θεράπευσον, ἐπιμελήσαι, πρὸς ἀρετὴν ἐπανάγαγε, βίον ἐπιδεικνύμενος ἄριστον, τὸν λόγον παρεχόμενος ἀκατάγνωστον, προστασίαν καὶ κηδεμονίαν παρέχων, πάντα τρόπον κινῶν διορθώσεως, τοὺς ἀρίστους τῶν ἰατρῶν μιμούμενος. οὐδὲ γὰρ ἐκεῖνοι καθ' ἕνα τρόπον θεραπεύουσι μόνον· ἀλλ' ὅταν ἴδωσιν οὐκ εἶκον τὸ ἕλκος τῷ προτέρῳ φαρμάκῳ, προστιθέασιν ἕτερον, καὶ μετ' ἐκεῖνο πάλιν ἄλλο· καὶ νῦν μὲν τέμνουσι, νῦν δὲ ἐπιδεσμοῦσι. καὶ σὺ τοίνυν ψυχῶν ἰατρὸς γενόμενος, πάντα κίνει θεραπείας τρόπον κατὰ τοὺς τοῦ Χριστοῦ νόμους· ἵνα καὶ τῆς σαυτοῦ σωτηρίας καὶ τῆς ἑτέρων ὠφελείας λάβῃς μισθὸν, εἰς δόξαν Θεοῦ πάντα ποιῶν, καὶ ταύτῃ καὶ αὐτὸς δοξαζόμενος. Τοὺς δοξάζοντάς γάρ με δοξάσω, φησὶ, καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενωθήσονται. πάντα τοίνυν εἰς δόξαν αὐτοῦ πράττωμεν, ἵνα τῆς μακαρίας ἐκείνης ἐπιτύχωμεν λήξεως· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μιχ. ς. γ.
Πρ. θ. δ.
Λουκ. θ. νε.
Ματθ. ιγ. κθ.
α. Βασ. β.

Ομιλ. λ. 9 ΚΑΙ ΠΑΡΑΓΩΝ Ο ΙΗΣΟΥΣ ΕΚΕΙΘΕΝ,

εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

ΠΟιήσας τὸ θαῦμα οὐκ ἐπέμεινεν, ἵνα μὴ τὸν ζῆλον ἐξάψῃ πλέον ὁρώμενος· ἀλλὰ χωρίζεται αὐτοῖς, ἀναχωρῶν καὶ τὸ πάθος παραμυθούμενος. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, μὴ ὁμόσε χωροῦντες τοῖς ἐπιβουλεύουσιν, ἀλλὰ παραμυθώμεθα αὐτῶν τὸ ἕλκος, ἐνδιδόντες καὶ χαλῶντες αὐτῶν τὸν τόνον. ἀλλὰ τίνος ἕνεκεν οὐ μετὰ Πέτρου καὶ Ἰωάννου καὶ τῶν ἄλλων ἐκάλεσεν αὐτόν; ὥσπερ ἐκείνοις τότε παρεγένετο, ὅτε ᾔδει τοὺς ἀνθρώπους πεισθησομένους· οὕτω καὶ τὸν Ματθαῖον τότε ἐκάλεσεν, ὅτε ἠπίστατο εἴξοντα. διὰ δὴ τοῦτο καὶ Παῦλον μετὰ τὴν ἀνάστασιν ἡλίευσεν. Ὁ γὰρ τὰς καρδίας ἐπιστάμενος, καὶ τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδὼς, ᾔδει καὶ πότε ἔμελλεν ἕκαστος τούτων ὑπακούσεσθαι. διὰ τοῦτο οὐκ ἐν προοιμίοις αὐτὸν ἐκάλει, ὅτε σκληρότερον ἔτι διέκειτο, ἀλλὰ μετὰ τὰ μυρία θαύματα, καὶ τὴν πολλὴν περὶ αὐτοῦ φήμην, ὅτε καὶ ἐπιτηδειότερον ᾔδει

Ρω. η. κζ.

πρὸς τὴν ὑπακοὴν τεθηγμένον. ἄξιον δὲ καὶ τοῦ ἀποστόλου θαυμάσαι τὴν σοφίαν, πῶς οὐκ ἀποκρύπτεται αὐτοῦ τὸν ἔμπροσθεν βίον, ἀλλὰ καὶ τὸ ὄνομα τίθησι, τῶν ἄλλων κρυψάντων αὐτὸν προσηγορίᾳ ἑτέρᾳ. τίνος δὲ ἕνεκεν εἶπεν, ὅτι ἐπὶ τὸ τελώνιον καθήμενον; δεικνὺς τοῦ καλέσαντος τὴν δύναμιν, ὅτι οὐ καταλήξαντα οὐδὲ ἀποστάντα τῆς πονηρᾶς ταύτης καπηλείας, ἀλλ' ἐκ μέσων αὐτὸν ἀνέσπασε τῶν κακῶν· καθάπερ οὖν καὶ τὸν μακάριον Παῦλον μαινόμενον καὶ λυττῶντα καὶ πῦρ ἀφιέντα μετέστησεν. ὅπερ οὖν καὶ αὐτὸς δεῖγμα ποιούμενος τῆς τοῦ καλέσαντος δυνάμεως, φησὶ Γαλάταις· Ἠκούσατε τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ. Γαλ. α. ιγ. καὶ τοὺς ἁλιέας δὲ ἐν μέσοις τοῖς ἔργοις ὄντας ἐκάλεσεν. ἀλλ' ἐκείνων μὲν τέχνη τις ἦν οὐ διαβεβλημένη μὲν, ἀνθρώπων δὲ ἀγροικοτέρων διακειμένων καὶ ἀμίκτων καὶ πολὺ τὸ ἀφελὲς κεκτημένων· τοῦτο δὲ ἐπιτήδευμα ἀναισχυντίας γέμον ἦν καὶ ἰταμότητος, καὶ κέρδος οὐκ ἔχον πρόφασιν εὔλογον, καὶ ἐμπορεία ἀναιδὴς, καὶ ἁρπαγὴ σχῆμα ἔχουσα ἔννομον. ἀλλ' ὅμως οὐδὲν τούτων ἐπῃσχύνετο ὁ καλέσας. καὶ τί λέγω εἰ τελώνην οὐκ ἐπαισχύνεται, ὅπου γε οὐδὲ πόρνην γυναῖκα οὐ μόνον καλέσαι οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ φιλῆσαι τοὺς πόδας αὐτοῦ καὶ βρέξαι τοῖς δάκρυσι παρέσχεν αὐτῇ; καὶ γὰρ καὶ διὰ τοῦτο παραγέγονεν, οὐχ ἵνα σῶμα θεραπεύσῃ μόνον, ἀλλ' ἵνα ψυχῆς κακίαν ἰάσηται. ὃ καὶ ἐπὶ τοῦ παραλυτικοῦ πεποίηκε· καὶ δείξας σαφῶς ὅτι δύναται ἀφιέναι ἁμαρτίας, τότε ἐπὶ τοῦτον ἔρχεται, ἵνα μηκέτι θορυβῶνται, τελώνην ὁρῶντες εἰς τὸν τῶν μαθητῶν ἐγκρινόμενον χορόν. ὁ γὰρ κύριος ὢν λῦσαι τὰ πεπλημμελημένα πάντα, τί θαυμάζεις εἰ καὶ τοῦτον ἀπόστολον ποιεῖ; ἀλλ' ὥσπερ εἶδες τοῦ καλέσαντος τὴν δύναμιν, οὕτω καταμάνθανε καὶ τοῦ κληθέντος τὴν ὑπακοήν. οὐ γὰρ ἀντέτεινεν, οὐδὲ ἀμφισβητῶν εἶπε, τί τοῦτο; ἆρα μὴ ἀπατηλῇ κλήσει ἐμὲ τὸν τοιοῦτον καλεῖ; καὶ γὰρ ἄκαιρος αὕτη πάλιν ἡ ταπεινοφροσύνη· ἀλλ' εὐθέως ὑπήκουσε, καὶ οὐδὲ οἴκαδε ἀπελθεῖν ἠξίωσε καὶ τοῖς αὐτοῦ περὶ τούτων κοινώσασθαι, ὥσπερ οὖν οὐδὲ οἱ ἁλιεῖς· ἀλλ' ὃν τρόπον ἐκεῖνοι τὸ δίκτυον καὶ τὸ πλοῖον καὶ τὸν πατέρα, οὕτω καὶ οὗτος τὴν τελωνείαν καὶ τὸ κέρδος ἀφεὶς εἵπετο, παρεσκευασμένην πρὸς ἅπαντα τὴν γνώμην ἐπιδεικνύμενος, καὶ πάντων ἀθρόον ἑαυτὸν ἀπορρηγνὺς τῶν βιωτικῶν, ἐμαρτύρει τῇ εὐκαιρίᾳ τοῦ καλέσαντος διὰ τῆς ἀπηρτισμένης ὑπακοῆς. καὶ τί δήποτε, φησὶν, οὐχὶ καὶ περὶ τῶν ἄλλων εἶπεν ἡμῖν, πῶς, καὶ τίνα τρόπον ἐκλήθησαν, ἀλλὰ περὶ Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου καὶ Φιλίππου, περὶ δὲ τῶν ἄλλων οὐδαμοῦ; ὅτι οὗτοι μάλιστα ἦσαν ἐν τοῖς ἀτόποις καὶ ταπεινοῖς ἐπιτηδεύμασιν. οὔτε γὰρ τελωνείας τι χεῖρον, οὔτε ἁλιείας εὐτελέστερον. ὅτι δὲ καὶ Φίλιππος τῶν σφόδρα ἀσήμων ἦν, ἀπὸ τῆς πατρίδος δῆλον. διὰ τοῦτο τούτους μάλιστα ἀνακηρύττουσι * μετὰ τῶν ἐπιτηδευμάτων, δηλοῦντες ὅτι καὶ ἐν τοῖς λαμπροῖς τῶν διηγημάτων τούτοις πιστεύειν χρή. οἱ γὰρ τῶν δοκούντων ἐπονειδίστων εἶναι μηδὲν αἱρούμενοι παραλιπεῖν, ἀλλὰ περὶ τῶν ἄλλων ταῦτα μετὰ ἀκριβείας ἀνακηρύττοντες, καὶ ἐπὶ τοῦ διδασκάλου καὶ ἐπὶ τῶν μαθητῶν, πῶς ἂν εἶεν ἐπὶ τῶν σεμνῶν ὕποπτοι· καὶ μάλιστα, ὅταν σημεῖα μὲν πολλὰ καὶ θαύματα παρατρέχωσι, τὰ δὲ ἐπὶ τοῦ σταυροῦ δοκοῦντα εἶναι ὀνείδη μετὰ ἀκριβείας βοῶσι· καὶ τῶν μαθητῶν τὰ ἐπιτηδεύματα καὶ τὰ ἐλαττώματα, καὶ τοῦ διδασκάλου τοὺς προγόνους τοὺς ἐπὶ ἁμαρτήμασι [καὶ ταπεινότητι] βεβοημένους λαμπρᾷ ἐκκαλύπτουσι τῇ φωνῇ; ὅθεν δῆλον ὅτι πολλὴν τῆς ἀληθείας ἐποιοῦντο [τὸν] λόγον, καὶ οὐδὲν πρὸς χάριν, οὐδὲ πρὸς ἐπίδειξιν ἔγραφον. καλέσας τοίνυν αὐτὸν, [καὶ] τιμῇ μεγίστῃ τετίμηκε, τραπέζης αὐτῷ κοινωνήσας εὐθέως. ταύτῃ γὰρ αὐτὸν καὶ ὑπὲρ τῶν μελλόντων εὔελπιν ἐποίει, καὶ εἰς πλείονα παρρησίαν ἐνῆγεν. οὐ γὰρ χρόνῳ μακρῷ, ἀλλ' ἀθρόον ἰάσατο τὴν κακίαν· καὶ οὐκ αὐτῷ συνανάκειται μόνον, ἀλλὰ καὶ ἑτέροις πολλοῖς. καίτοι καὶ τοῦτο ἐδόκει αὐτοῦ ἔγκλημα εἶναι, ὅτι οὐκ ἀπεσόβησε τοὺς ἁμαρτωλούς. ἀλλ' οὐδὲ τοῦτο κρύπτουσιν, οἷα ἐπισκώπτειν ἐπιχειροῦσι τοῖς παρ' αὐτοῦ γινομένοις. συνέρχονται ἔρχονται δὲ καὶ τελῶναι ὡς πρὸς ὁμότεχνον. ἐγκαλλωπιζόμενος γὰρ τῇ εἰσόδῳ τῇ τοῦ Χριστοῦ πάντας αὐτοὺς συνεκάλεσε. καὶ γὰρ πᾶν εἶδος θεραπείας ὁ Χριστὸς ἐκίνει· καὶ οὐχὶ διαλεγόμενος μόνον, οὐδὲ θεραπεύων, οὐδὲ ἐλέγχων τοὺς ἐχθρούς, ἀλλὰ καὶ ἀριστῶν διώρθου πολλοὺς τῶν κακῶς διακειμένων, διὰ τούτων διδάσκων ἡμᾶς, ὅτι πᾶς καιρὸς καὶ πᾶν ἔργον δύναται παρέχειν ἡμῖν [τὴν] ὠφέλειαν. καίτοιγε τὰ παρακείμενα τότε ἐξ ἀδικίας ἦν καὶ πλεονεξίας, ἀλλ' οὐ παρῃτήσατο ὁ Χριστὸς αὐτῶν μετασχεῖν, ἐπειδὴ μέγα τὸ κέρδος ἐντεῦθεν ἔμελλε γίνεσθαι, ἀλλὰ καὶ ὁμωρόφιος καὶ ὁμοτράπεζος γίνεται τοῖς τὰ τοιαῦτα πεπλημμεληκόσι. τοιοῦτος γὰρ ὁ ἰατρός· ἂν μὴ ἀνάσχηται τῆς σηπεδόνος τῶν καμνόντων, οὐκ ἀπαλλάττει τῆς ἀρρωστίας αὐτούς. καίτοιγε πονηρὰν ἐντεῦθεν ἔλαβε δόξαν, καὶ τῷ μετ' αὐτοῦ φαγεῖν, καὶ τῷ ἐν τῇ οἰκίᾳ τῇ ἐκείνου, καὶ τῷ μετὰ πολλῶν τελωνῶν. ὅρα γὰρ αὐτοὺς τοῦτο ὀνειδίζοντας· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. ἀκουέτωσαν ὅσοι μεγάλην ἐπὶ νηστείᾳ δόξαν ἑαυτοῖς περιθεῖναι σπουδάζουσι, καὶ ἐννοείτωσαν ὅτι ὁ δεσπότης ἡμῶν φάγος καὶ οἰνοπότης ἐκλήθη, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ πάντων ὑπερεώρα τούτων, ἵνα τὸ προκείμενον ἀνύσῃ· ὅπερ οὖν καὶ ἐγένετο. καὶ γὰρ καὶ μετεβάλετο ὁ τελώνης, καὶ βελτίων οὕτως ἐγένετο. καὶ ἵνα μάθῃς, ὅτι μέγα τοῦτο ἤνυσε τὸ κοινωνῆσαι αὐτῷ τῆς τραπέζης, ἄκουσον τί φησιν ὁ Ζακχαῖος ἕτερος πάλιν τελώνης. ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος· Σήμερον ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι, ὑπὸ τῆς ἡδονῆς πτερωθείς, Τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι πτωχοῖς, φησι, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλάσιον. καὶ πρὸς αὐτὸν ὁ Ἰησοῦς φησι· σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο. οὕτω διὰ πάντων ἔνεστι παιδεύειν. καὶ πῶς ὁ Παῦλος, φησι, κελεύει, Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, τῷ τοιούτῳ μηδὲ συνεσθίειν; μάλιστα μὲν οὖν οὔπω δῆλον, εἰ καὶ διδασκάλοις ταῦτα παραινεῖ, ἀλλ' οὐχὶ ἀδελφοῖς μόνοις. ἔπειτα, οὗτοι οὔπω τῶν ἀπηρτισμένων ἦσαν, οὐδὲ ἀδελφῶν γεγενημένων. πρὸς δὲ τούτοις, ὁ Παῦλος καὶ τοὺς ἀδελφοὺς γεγενημένους τότε ἀποστρέφεσθαι κελεύει, ὅταν ἐπιμένωσιν· οὗτοι δὲ ἦσαν παυσάμενοι λοιπὸν καὶ μεταβαλλόμενοι. ἀλλ' οὐδὲν τούτων τοὺς Φαρισαίους ἐνέτρεψεν, ἀλλ' ἐγκαλοῦσι τοῖς μαθηταῖς, λέγοντες·

Λουκ. ιθ. ε.

Λουκ. ιθ. η.

α. Κορ. ε. ια.

11 Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; Καὶ ὅταν μὲν αὐτοὶ δοκῶσιν ἁμαρτάνειν, αὐτῷ ἐντυγχάνουσι, λέγοντες· Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ· ἐνταῦθα δὲ πρὸς αὐτοὺς αὐτὸν διαβάλλουσιν· ἅπερ πάντα κακουργούντων ἦν καὶ βουλομένων ἀπορρῆξαι τοῦ διδασκάλου τὸν χορὸν τῶν μαθητῶν. τί οὖν ἡ ἄπειρος σοφία;

Ματθ. ιβ. β.

12 Οὐ χρείαν ἔχουσι, φησιν, οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Ὅρα πῶς αὐτῶν εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον. ἐκεῖνοι μὲν γὰρ ἔγκλημα ἐποιοῦντο τὸ συγγίνεσθαι αὐτὸν τούτοις· αὐτὸς δὲ τοὐναντίον φησίν, ὅτι τὸ μὴ συγγίνεσθαι, ἀνάξιον αὐτοῦ καὶ τῆς αὐτοῦ φιλανθρωπίας· καὶ οὐ μόνον ἐγκλήματος ἐκτός, τὸ τοὺς τοιούτους διορθοῦν, ἀλλὰ προηγούμενον καὶ ἀναγκαῖον καὶ μυρίων ἄξιον ἐπαίνων. εἶτα, ἵνα μὴ δόξῃ καταισχύνειν τοὺς κληθέντας τῷ λέγειν, οἱ κακῶς ἔχοντες, ὅρα πῶς αὐτὸ παραμυθεῖται πάλιν, ἐπιτιμῶν αὐτοῖς καὶ λέγων·

13 Πορευθέντες δὲ μάθετε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν.

Τοῦτο δὲ ἔλεγε τὴν τῶν γραφῶν ἄγνοιαν αὐτοῖς ὀνειδίζων. διὸ καὶ πληκτικώτερον κέχρηται τῷ λόγῳ, οὐχὶ αὐτὸς ὀργιζόμενος (μὴ γένοιτο) ἀλλ' ὥστε ἐκείνους μὴ ἐξαπορηθῆναι. καίτοιγε ἠδύνατο εἰπεῖν· οὐκ ἐνενοήσατε πῶς ἔλυσα τὰς ἁμαρτίας τοῦ παραλυτικοῦ; πῶς τὸ σῶμα ἔσφιγξα; ἀλλ' οὐ λέγει τούτων οὐδέν· ἀλλ' ἀπὸ τῶν κοινῶν λογισμῶν πρότερον αὐτοῖς διαλέγεται, καὶ τότε ἀπὸ τῶν γραφῶν. εἰπὼν γάρ, οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες, καὶ λανθανόντως δείξας ἑαυτὸν ὄντα τὸν ἰατρόν, τότε εἶπε, πορευθέντες μάθετε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν. οὕτω καὶ ὁ Παῦλος ποιεῖ. πρότερον [γὰρ] ἀπὸ α. Κορ. θ. ζ. τῶν κοινῶν παραδειγμάτων τὸν λόγον κατασκευάσας καὶ εἰπών· Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ α. Κορ. θ. θ. τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τότε καὶ τὰς γραφὰς ἐπήγαγε, λέγων· Ἐν γὰρ τῷ νόμῳ Μωϋσέως γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα· καὶ πάλιν, οὕτως ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν. πρὸς δὲ τοὺς μαθητὰς οὐχ οὕτως· ἀλλὰ τῶν σημείων ἀναμιμνήσκει, οὕτω λέγων· οὔπω μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; ἀλλ' οὐ πρὸς τούτους οὕτως· ἀλλὰ τῆς ἀσθενείας ἀναμιμνήσκει τῆς κοινῆς, καὶ δείκνυσι καὶ αὐτοὺς ὄντας τῶν ἀσθενούντων, οἵ γε οὐδὲ τὰς γραφὰς ᾔδεσαν, καὶ πάσης τῆς λοιπῆς ἀμελοῦντες ἀρετῆς ἐν ταῖς θυσίαις τὸ πᾶν ἐτίθεντο. ὃ καὶ σφόδρα αὐτὸς Ωσ. ς. ς. αἰνιττόμενος, τὸ διὰ τῶν προφητῶν πάντων εἰρημένον ἐν βραχεῖ τίθησι, λέγων· Μάθετε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν. διὰ γὰρ τούτων δείκνυσιν, οὐκ αὐτὸν ὄντα τὸν παρανομοῦντα, ἀλλ' ἐκείνους· ὡς ἂν εἰ ἔλεγε, τίνος ἕνεκεν ἐγκαλεῖτέ μοι; ὅτι ἁμαρτωλοὺς διορθοῦμαι; οὐκ- Ἰωαν. ε. ιζ. οῦν καὶ τῷ πατρί μου τοῦτο ἐγκαλέσετε. ὅπερ οὖν καὶ ἀλλαχοῦ κατασκευάζων ἔλεγεν· Ο πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· καὶ ἐνταῦθα πάλιν, πορευθέντες μάθετε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν. ὥσπερ γὰρ ἐκεῖνος τοῦτο βούλεταί, φησιν, οὕτω καὶ ἐγώ. ὁρᾷς πῶς ἐκεῖνα μὲν περιττά, ταῦτα δὲ ἀναγκαῖα; οὐδὲ γὰρ εἶπεν, ἔλεον θέλω καὶ θυσίαν, ἀλλ' ἔλεον θέλω, καὶ οὐ θυσίαν. τὸ μὲν γὰρ ἐνέκρινε, τὸ δὲ ἐξέβαλε· καὶ ἀπέδειξεν οὐ μόνον οὐ κεκωλυμένον ὅπερ ἐνεκάλουν, ἀλλὰ καὶ νενομοθετημένον, καὶ μᾶλλον [ἢ] τῆς θυσίας· καὶ τὴν παλαιὰν αὐτὴν εἰσάγει συνῳδὰ τούτων φθεγγομένην καὶ νομοθετοῦσαν. καθαψάμενος τοίνυν αὐτῶν καὶ ἀπὸ τῶν κοινῶν ὑποδειγμάτων καὶ ἀπὸ τῶν γραφῶν, ἐπάγει λέγων·

Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Γεν. γ. κβ. Ταῦτα δὲ εἰρωνευόμενος πρὸς αὐτοὺς λέγει· ὡς ὅταν λέγῃ, Ἰδοὺ, Ἀδὰμ γέγονεν ὡς εἷς Ψαλμ. μθ. ιγ. ἐξ ἡμῶν· καὶ πάλιν, Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. ὅτι γὰρ οὐδεὶς δίκαιος ἦν ἐπὶ τῆς γῆς, Ρω. γ. κγ. Παῦλος ἐδήλωσεν εἰπών· Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. τοῦτο δὲ καὶ ἐκείνους παρεμυθήσατο τοὺς κεκλημένους. τοσοῦτον γὰρ ἀπέχω, φησὶ, τοῦ βδελύξασθαι ἁμαρτωλοὺς, ὅτι καὶ δι' αὐτοὺς παραγέγονα μόνους. εἶτα, ἵνα μὴ ὑπτιωτέρους ἐργάσηται, εἰπὼν ἁμαρτωλοὺς, οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, εἰς μετάνοιαν. οὐ γὰρ ὥστε ἁμαρτωλοὺς μεῖναι παρεγενόμην, ἀλλ' ὥστε μεταβαλέσθαι καὶ γενέσθαι βελτίους. ἐπεὶ οὖν πάντοθεν ἐπεστόμισε, καὶ ἀπὸ τῶν γραφῶν, καὶ ἀπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας, καὶ οὐδὲν εἶχον εἰπεῖν, ὑπεύθυνοι [τοῖς] ἐγκλήμασιν, οἷς ἐπήγαγον αὐτῷ, φανέντες, καὶ ἐναντίοι τῷ νόμῳ καὶ τῇ παλαιᾷ, ἀφέντες αὐτὸν πάλιν ἐπὶ τοὺς μαθητὰς τὸ ἔγκλημα μεταφέρουσι. καὶ ὁ μὲν Λουκᾶς φησιν, ὅτι οἱ Φαρισαῖοι εἶπον· οὗτος δὲ, ὅτι οἱ μαθηταὶ Ἰωάννου. εἰκὸς δὲ καὶ ἀμφοτέρους ταῦτα εἰρηκέναι. ἐξαπορηθέντες γὰρ ἐκεῖνοι ὡς εἰκὸς μεθ' ἑαυτῶν λαμβάνουσιν, ὅπερ καὶ ἐπὶ τῶν Ἡρωδιανῶν ὕστερον ἐποίησαν. καὶ γὰρ ζηλοτύπως ἀεὶ πρὸς αὐτὸν εἶχον οἱ Ἰωάννου μαθηταί, καὶ ἀπεναντίας αὐτῷ διελέγοντο, τότε μόνον ταπεινωθέντες, ὅτε ἐν ἀρχῇ τὸ δεσμωτήριον ᾤκησεν [ὁ] Ἰωάννης. ἐλθόντες γοῦν τότε ἀπήγγειλαν τῷ Ἰησοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τὴν προτέραν ἐπανῆλθον βασκανίαν. τί οὖν οὗτοί φασι;

14 Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά· οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;

Τοῦτό ἐστι τὸ νόσημα, ὃ πάλαι ἐξέκοπτεν ὁ Χριστὸς λέγων· ὅταν νηστεύῃς, ἄλειψόν σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, τὰ ἐξ αὐτοῦ τικτόμενα κακὰ προειδώς. ἀλλ' οὐδὲ τούτοις ἐπιτιμᾷ, οὐδὲ λέγει· ὦ κενόδοξοι καὶ περιττοί· ἀλλὰ μετὰ ἐπιεικείας ἁπάσης αὐτοῖς διαλέγεται), λέγων· 15 Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἕως ἂν ᾖ μετ' αὐτῶν ὁ νυμφίος.

Οτε μὲν γὰρ ὑπὲρ ἑτέρων αὐτῷ ὁ λόγος ἦν, τῶν τελωνῶν λέγω, ἵνα αὐτῶν παραμυθήσηται πληγεῖσαν τὴν ψυχὴν, σφοδρότερον ἐπετίμησε τοῖς ὀνειδίσασιν· ἔνθα δὲ αὐ-

τόν

τὸν καὶ τοὺς μαθητὰς ἔσκωπτον, μετ' ἐπιεικείας ἁπάσης ποιεῖται τὴν ἀπόκρισιν. ὃ δὲ λέγουσι, τοιοῦτόν ἐστιν· ἔστω, σύ, φησιν, ὡς ἰατρὸς ταῦτα ποιεῖς· τί καὶ οἱ μαθηταί σου νηστεύειν ἀφέντες [ταῖς] τοιαύταις τραπέζαις προσέχουσιν; Εἶτα, ἵνα μείζω ποιήσωσι τὴν κατηγορίαν, προτέρους ἑαυτοὺς τιθέασι, καὶ τότε τοὺς Φαρισαίους, τῇ συγκρίσει τὸ ἔγκλημα αὐξῆσαι βουλόμενοι. καὶ γὰρ καὶ ἡμεῖς, φησί, καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά. καὶ γὰρ [καὶ] ἐνήστευον, οἱ μὲν ἀπὸ Ἰωάννου μαθόντες, οἱ δὲ ἀπὸ τοῦ νόμου. ὥσπερ οὖν καὶ ὁ Φαρισαῖος ἔλεγε· Νηστεύω δὶς τῆς ἑβδομάδος. Τί οὖν [φησιν] ὁ Ἰησοῦς; μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; πρότερον μὲν ἰατρὸν ἑαυτὸν ἐκάλεσεν, ἐνταῦθα δὲ νυμφίον, τὰ ἀπόρρητα μυστήρια διὰ τῶν ὀνομάτων τούτων ἐκκαλύπτων. καίτοιγε ἐνῆν ἐπιπληκτικώτερον πρὸς αὐτοὺς εἰπεῖν· ὅτι οὐκ ἐστὲ τούτων ὑμεῖς κύριοι, ὥστε τοιαῦτα νομοθετεῖν. τί γὰρ ὄφελος τῆς νηστείας, ὅταν πονηρίας ἡ ἡ διάνοια γέμουσα; ὅταν ἑτέροις ἐγκαλῆτε; ὅταν κατακρίνητε, δοκοὺς περιφέροντες ἐπὶ τῶν ὀφθαλμῶν, καὶ πρὸς ἐπίδειξιν πάντα ποιῆτε; πρὸ γὰρ τούτων ἁπάντων κενοδοξίαν ἐκβάλλειν ἐχρῆν, καὶ τὰ ἄλλα κατορθοῦν ἅπαντα, ἀγάπην, πραότητα, φιλαδελφίαν. ἀλλ' οὐδὲν τούτων φησίν, ἀλλὰ μετ' ἐπιεικείας πάσης· οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος, ἀναμιμνήσκων αὐτοὺς τῶν Ἰωάννου ῥημάτων, δι' ὧν ἔλεγεν· Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· χαρᾶς ὁ παρὼν καιρὸς καὶ εὐφροσύνης· μὴ τοίνυν ἐπείσαγε τὰ σκυθρωπά. καὶ γὰρ σκυθρωπὸν ἡ νηστεία, οὐ τῇ φύσει, ἀλλ' ἐκείνοις τοῖς ἀσθενέστερον ἔτι διακειμένοις· ὡς τοῖς γε φιλοσοφεῖν ἐθέλουσι καὶ σφόδρα ἡδὺ τὸ πρᾶγμα καὶ ποθεινόν. ὥσπερ γὰρ τοῦ σώματος ὑγιαίνοντος, πολλὴ ἡ εὐφροσύνη· οὕτω τῆς ψυχῆς εὖ διακειμένης, μείζων ἡ ἡδονή. ἀλλὰ πρὸς τὴν ὑπόνοιαν ἐκείνων ταῦτά φησιν. οὕτω καὶ Ἡσαΐας περὶ αὐτῆς διαλεγόμενος, ταπείνωσιν ψυχῆς αὐτὴν καλεῖ· καὶ Μωϋσῆς δὲ ὁμοίως. οὐ μὴν ἐντεῦθεν αὐτοὺς ἐπιστομίζει μόνον, ἀλλὰ καὶ ἑτέρωθεν λέγων·

Λουκ. ιη. ιβ.
Ιωαν. γ. κθ.
Ησ. νη.
Αρ. λ.

Ελεύσονται ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσι.

Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι οὐ γαστριμαργίας τὸ γινόμενον ἦν, ἀλλ' οἰκονομίας τινὸς θαυμαστῆς· ἅμα δὲ καὶ τὸν περὶ τοῦ πάθους προκαταβάλλεται λόγον, ἐν ταῖς πρὸς ἑτέρους ἀντιλογίαις παιδεύων τοὺς μαθητάς, καὶ γυμνάζων μεταξὺ ἤδη ἐν τοῖς δοκοῦσιν εἶναι σκυθρωποῖς. πρὸς μὲν γὰρ αὐτοὺς ἤδη τοῦτο εἰπεῖν φορτικὸν ἦν καὶ ἐπαχθές, ὅπουγε καὶ μετὰ ταῦτα λεχθὲν αὐτοὺς ἐθορύβησε· πρὸς δὲ ἑτέρους λεγόμενον, ἀνεπαχθέστερον τούτοις μᾶλλον ἐγίνετο. ἐπειδὴ δὲ εἰκὸς ἦν αὐτοὺς καὶ ἐπὶ τῷ πάθει Ἰωάννου μέγα φρονεῖν, καὶ τοῦτο ἐντεῦθεν καταστέλλει τὸ φύσημα. τὸν μέντοι περὶ τῆς ἀναστάσεως οὔπω προστίθησι λόγον· οὐδέπω γὰρ ἦν καιρός. τοῦτο μὲν γὰρ κατὰ φύσιν ἦν, τὸ ἄνθρωπον νομιζόμενον εἶναι ἀποθανεῖν, ἐκεῖνο δὲ ὑπὲρ φύσιν. Εἶτα ὅπερ ἔμπροσθεν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ὥσπερ γὰρ ἐπιχειροῦντας αὐτὸν δεῖξαι ἐγκλήμασιν ὄντα ὑπεύθυνον τῷ μετὰ ἁμαρτωλῶν ἐσθίειν ἔπεισε τοὐναντίον, ὅτι οὐ μόνον οὐκ ἔγκλημα, ἀλλὰ καὶ ἔπαινος τὸ γινόμενον· οὕτω καὶ ἐνταῦθα βουλομένους αὐτοὺς ἀποφῆναι αὐτὸν ὅτι οὐκ οἶδε κεχρῆσθαι τοῖς μαθηταῖς, δείκνυσιν ὅτι τὸ ταῦτα λέγειν οὐκ εἰδότων ἐστὶ κεχρῆσθαι τοῖς ἑπομένοις, ἀλλ' ἁπλῶς ἐγκαλούντων.

16 Ουδεὶς γὰρ ἐπιβάλλει, φησίν, ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ.

Πάλιν ἀπὸ τῶν κοινῶν ὑποδειγμάτων κατασκευάζει τὸν λόγον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὔπω γεγόνασιν ἰσχυροὶ οἱ μαθηταί, ἀλλ' ἔτι πολλῆς δέονται [τῆς] συγκαταβάσεως· οὔπω διὰ τοῦ πνεύματος ἀνεκαινίσθησαν. οὕτω δὲ διακειμένοις οὐ χρὴ βάρος ἐπιτιθέναι ἐπιταγμάτων. Ταῦτα δὲ ἔλεγε, νόμους ἐπιτιθεὶς καὶ κανόνας τοῖς ἑαυτοῦ μαθηταῖς, ἵν', ὅταν μέλλωσι μαθητὰ λαμβάνειν τοὺς ἐκ τῆς οἰκουμένης ″ἅπαντας, μετὰ πολλῆς αὐτοῖς προσφέρεσθαι τῆς ἡμερότητος.

17 Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς.

Ἰωαν. ις. ιβ.

Εἶδες τὰ ὑποδείγματα τῇ παλαιᾷ ἐοικότα; τὸ ἱμάτιον; τοὺς ἀσκούς; καὶ γὰρ ὁ Ἱερεμίας περίζωμα τὸν λαόν φησι· καὶ πάλιν ἀσκῶν μέμνηται καὶ οἴνου. ἐπειδὴ γὰρ περὶ γαστριμαργίας ἦν ὁ λόγος καὶ τραπέζης, ἀπὸ τῶν αὐτῶν λαμβάνει τὰ ὑποδείγματα. ὁ δὲ Λουκᾶς καὶ πλέον τί φησιν, ὅτι καὶ τὸ καινὸν σχίζεται, ἐὰν ἐπιβάλῃς αὐτὸ τῷ παλαιῷ. ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν γίνεται ὄφελος, ἀλλὰ καὶ ″πλείων ἡ ζημία; καὶ λέγει μὲν τὸ παρόν, προαναφωνεῖ δὲ τὸ μέλλον· οἷον, ὅτι καινοὶ μετὰ ταῦτα ἔσονται. ἕως δ' ἂν τοῦτο γένηται, οὐδὲν αὐστηρὸν αὐτοῖς ἐπιτάττειν χρὴ καὶ βαρύ. ὁ γὰρ πρὸ καιροῦ ζητῶν, φησι, τοῦ προσήκοντος τὰ ὑψηλὰ ″ἐνθεῖναι δόγματα, οὐδὲ τοῦ καιροῦ καλοῦντος λοιπὸν ἐπιτηδείους εὑρήσει, ἀχρήστους ἐργασάμενος ἅπαξ. τοῦτο δὲ οὐ παρὰ τὸν οἶνον συμβαίνει, οὐδὲ παρὰ τοὺς ὑποδεχομένους ἀσκούς, ἀλλὰ παρὰ τὴν ἀκαιρίαν τῶν ἐμβαλλόντων. ἐντεῦθεν ἡμᾶς καὶ τὴν αἰτίαν ἐδίδαξε τῶν ταπεινῶν ῥημάτων, ὧν συνεχῶς πρὸς αὐτοὺς διελέγετο. διὰ γὰρ τὴν ἀσθένειαν αὐτῶν πολλὰ ἔλεγε καταδεέστερα τῆς ἀξίας τῆς ἑαυτοῦ. ὅπερ οὖν καὶ ὁ Ἰωάννης ἐνδεικνύμενος αὐτὸν εἰρηκέναι, φησί· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. ἵνα γὰρ μὴ νομίσωσι ταῦτα εἶναι μόνον ἅπερ εἶπεν, ἀλλὰ καὶ ἕτερα πολλῷ μείζονα φαντάζωνται, τὴν ἀσθένειαν αὐτῶν εἰς τὸ μέσον τέθεικεν, ἐπαγγειλάμενος, ὅταν γένωνται ἰσχυροί, κἀκεῖνα ἐρεῖν· ὅπερ οὖν καὶ ἐνταῦθά φησιν· ἐλεύσονται ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσι. μὴ τοίνυν μηδὲ ἡμεῖς πάντα παρὰ πάντων ἀπαιτῶμεν ἐν προοιμίοις, ἀλλ' ὅσα δυνατὸν καὶ ταχέως καὶ ἐπ' ἐκεῖνα ἥξομεν. εἰ δὲ ἐπείγῃ καὶ σπεύδεις, δι' αὐτὸ τοῦτο μὴ ἐπείγου, ἐπειδὴ σπεύδεις. εἰ δὲ αἴνιγμά σοι τὸ εἰρημένον δοκεῖ εἶναι, ἀπ' αὐτῆς αὐτὸ τῶν πραγμάτων μάνθανε τῆς φύσεως, καὶ τότε ὄψει αὐτοῦ τὴν δύναμιν πᾶσαν· καὶ μηδείς σε τῶν ἀκαίρως ἐγκαλούντων κινείτω· ἐπεὶ καὶ ἐνταῦθα Φαρισαῖοι μὲν ἐγκαλοῦντες ἦσαν, καὶ μαθηταὶ μὲν ὀνειδιζόμενοι. ἀλλ' ὅμως οὐδὲν ″τούτων ἔπεισε τὸν Χριστὸν μεταθεῖναι τὴν δόξαν, οὐδὲ ″εἶπεν, αἰσχύνη ἐστὶ τούτους νηστεύειν καὶ τούτους μὴ νηστεύειν· ἀλλ' ὥσπερ ὁ ἄριστος κυβερνήτης οὐ τοῖς ταραττομένοις κύμασιν, ἀλλὰ τῇ οἰκείᾳ τέχνῃ προσέχει· οὕτω καὶ ὁ Χριστὸς τότε ″ποιεῖ. καὶ γὰρ αἰσχύνη ἦν, οὐ τὸ μὴ νηστεύειν αὐτούς, ἀλλὰ τὸ διὰ τὴν νηστείαν ἐν τοῖς καιρίοις πληγῆναι καὶ ″διασχισθῆναι καὶ διαρραγῆναι.

ΗΘΙΚΟΝ

Ἅπερ οὖν καὶ ἡμεῖς ἐννοοῦντες, οὕτω τοῖς οἰκείοις χρώμεθα πᾶσι, κἂν γυναῖκα φιλόκοσμον ἔχῃς, πρὸς ἐπιτρίμματα κεχηνυῖαν [καὶ ἀνεπτερωμένην] καὶ πολλῇ τρυφῇ διαχεομένην καὶ λάλον καὶ ἀνόητον. καίτοιγε οὐκ ἂν ταῦτα πάντα εἰς γυναῖκα μίαν ″συνεμπέσειεν· πλὴν ἀλλὰ διαπλάσωμεν τῷ λόγῳ τοιαύτην γυναῖκα. τί οὖν ὅτι γυναῖκα, φησί, καὶ οὐχὶ ἄνδρα διαπλάττεις; εἰσὶ καὶ ἄνδρες ταύτης χείρους τῆς γυναικός. ἀλλ' ἐπειδὴ ἀνδράσιν ἡ ἐπιστασία ἐγκεχείρισται, διὰ τοῦτο γυναῖκα διαπλάττομεν τέως, οὐχ ὡς ἐκεῖ τῆς κακίας πλεοναζούσης. πολλὰ γὰρ καὶ παρὰ ἀνδράσιν ἔστιν εὑρεῖν, ἃ παρὰ γυναιξὶν οὐκ ἔστιν· οἷον, ″ἀνδροφονίαι, ″τυμβωρυχίαι, ″θηριομαχίαι, καὶ πολλὰ τοιαῦτα. μὴ τοίνυν νομίσητε τὸ γένος ἡμᾶς ἐξευτελίζοντας ταῦτα ποιεῖν (οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν) ἀλλ' οὕτω χρήσιμον τέως ὑπογράψαι τὴν εἰκόνα. ὑποκείσθω τοίνυν ἡμῖν γυνὴ τοιαύτη, καὶ σπουδαζέτω παντὶ τρόπῳ αὐτὴν διορθοῦσθαι ὁ ἀνήρ. πῶς οὖν αὐτὴν διορθώσεται; μὴ πάντα ἀθρόον ἐπιτάττων, ἀλλὰ τὰ κουφότερα πρότερον καὶ οἷς οὐ σφόδρα κατέχεται. ἂν γὰρ τὸ πᾶν ἐπείξῃς αὐτὴν κατορθῶσαι ἐξ ἀρχῆς, τὸ πᾶν ἀπώλεσας. μὴ τοίνυν περιέλῃς τὰ χρυσία εὐθέως, ἀλλ' ἄφες ἔχειν καὶ περικεῖσθαι τέως. δοκεῖ γὰρ τοῦτο ἔλαττον εἶναι κακὸν τῶν ἐπιτριμμάτων καὶ τῶν ὑπογραφῶν. πρότερον τοίνυν ἐκεῖνα ἀναιρείσθω· καὶ μηδὲ ἐκεῖνα φόβῳ καὶ ἀπειλῇ, ἀλλὰ πειθοῖ καὶ προσηνείᾳ καὶ διὰ τῆς ἑτέρων κατηγορείας, καὶ διὰ τῆς σῆς ψήφου καὶ γνώμης· καὶ λέγε πρὸς αὐτὴν συνεχῶς, ὅτι σοι οὐκ ἔστιν ἐπέραστος [ἡ] ὄψις οὕτω καλλωπιζομένη, ἀλλὰ καὶ σφόδρα ἀηδής· καὶ πεῖθε, ὅτι σε μάλιστα τοῦτο λυπεῖ. καὶ μετὰ τὴν σὴν ψῆφον καὶ τὴν τῶν ἑτέρων δόξαν εἴσαγε, καὶ λέγε, ὅτι καὶ τὰς εὐμόρφους τοῦτο ἀφανίζειν εἴωθεν, ἵνα τὸ πάθος ἐξέλῃς· καὶ μηδὲν μηδέπω περὶ γεέννης εἴπῃς, μηδὲ περὶ βασιλείας (εἰκῇ γὰρ ταῦτα ἐρεῖς) "ἀλλὰ πεῖσον αὐτὴν, ὅτι σε τέρπει μᾶλλον γυμνὸν ἐπιδεικνῦσα τοῦ Θεοῦ τὸ ἔργον· ἡ δὲ βασανίζουσα τὴν ὄψιν καὶ κατατείνουσα καὶ κονιῶσα, οὐδὲ παρὰ τοῖς πολλοῖς φαίνεται καλὴ καὶ εὐειδής. πρότερον δὲ παραινῶν τοῖς κοινοῖς λογισμοῖς καὶ ταῖς πάντων ψήφοις τὸ νόσημα ἔκβαλε· καὶ ὅταν τούτοις καταμαλάξῃς τοῖς λόγοις, καὶ ἐκεῖνα πρόσθες. κἂν ἅπαξ εἴπῃς καὶ μὴ πείσῃς, κἂν δεύτερον "καὶ τρίτον" καὶ πολλάκις τὰ αὐτὰ ἐπαντλῶν ῥήματα, μὴ ἀποκάμῃς· μὴ μέντοι μετὰ "ἐπαχθείας τινὸς, ἀλλὰ μετὰ χαριεντισμοῦ· καὶ νῦν μὲν ἀποστρέφου, νῦν δὲ κολάκευε καὶ θεράπευε. οὐχ ὁρᾷς τοὺς ζωγράφους πόσα ἐξαλείφουσι, πόσα παρεγγράφουσιν, ἕως ὅταν ὄψιν ποιῶσι καλήν; μὴ γένῃ τοίνυν ἐκείνων χείρων. εἰ γὰρ ἐκεῖνοι σώματος εἰκόνα γράφοντες τοσαύτῃ κέχρηνται τῇ σπουδῇ· "πόσῳ μᾶλλον ἡμᾶς ψυχὴν διαπλάττοντας πᾶσαν ἂν εἴη δίκαιον κινεῖν μηχανήν; ἂν γὰρ καλῶς τῆς ψυχῆς ταύτης διαπλάσῃς τὴν "ὄψιν, οὐκ ὄψει τὸ τοῦ σώματος "ἀσχημονοῦν πρόσωπον, οὐδὲ ᾑμαγμένα χείλη, οὐδὲ στόμα ἄρκτου αἵματι πεφοινιγμένῳ προσεοικὸς, οὐδὲ ἠσβολωμένας ὀφρῦς ὡς ἀπὸ χύτρας τινὸς, οὐδὲ κεκονιαμένας παρειὰς κατὰ τοὺς τοίχους τῶν τάφων. πάντα γὰρ ταῦτα, ἀσβόλη καὶ τέφρα καὶ κόνις, καὶ ἐσχάτης δυσωδίας γνωρίσματα. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἔλαθον εἰς τούτους ἐξενεχθεὶς τοὺς λόγους, καὶ ἑτέρῳ παραινῶν ὥστε διδάσκειν μετ' ἐπιεικείας, αὐτὸς εἰς ὀργὴν ἐξεκυλίσθην. οὐκοῦν ἐπανίωμεν πάλιν πρὸς τὴν ἡμερωτέραν παραίνεσιν, καὶ πάντα φέρωμεν τὰ ἐλαττώματα τῶν γυναικῶν, ἵνα κατορθώσωμεν ὃ βουλόμεθα. οὐχ ὁρᾷς πῶς τὰ παιδία φέρομεν κλαίοντα, ὅταν αὐτὰ τῆς θηλῆς ἀπάγειν βουλώμεθα, καὶ πάντα ὑπομένομεν δι' ἐκεῖνο μόνον, ἵνα αὐτὰ πείσωμεν καταφρονεῖν τῆς προτέρας τραπέζης; οὕτω καὶ ἐνταῦθα ποιῶμεν· πάντων ἀνεχώμεθα τῶν ἄλλων, ἵνα τοῦτο κατορθώσωμεν. ὅταν γὰρ τοῦτο διορθωθῇ, ὄψει καὶ τὸ ἕτερον "ὁδῷ προβαῖνον, καὶ ἐπὶ τὰ χρυσία [πάλιν] ἥξεις, καὶ τῷ αὐτῷ τρόπῳ καὶ περὶ τούτων ὁμοίως διαλέξῃ· καὶ οὕτω κατὰ μικρὸν ῥυθμίζων τὴν γυναῖκα, ἔσῃ ζωγράφος "κάλλιστος, δοῦλος πιστὸς, γεωργὸς "ἄριστος. μετὰ δὲ τούτων ἀναμίμνησκε αὐτὴν καὶ τῶν παλαιῶν γυναικῶν, τῆς "Σάῤῥας, τῆς Ῥεβέκκας, καὶ τῶν εὐμόρφων, καὶ τῶν οὐ τοιούτων, καὶ "δείκνυ πάσας ὁμοίως σωφρονούσας. καὶ γὰρ Λεία ἡ τοῦ πατριάρχου γυνὴ οὐκ οὖσα εὔμορφος, οὐκ ἠναγκάσθη τοιοῦτον οὐδὲν ἐπινοῆσαι, ἀλλὰ καὶ δυσειδὴς οὖσα καὶ οὐ σφόδρα "φιλουμένη παρὰ τοῦ συνοικοῦντος, οὔτε ἐπενόησέ τι τοιοῦτον, οὔτε τὴν ὄψιν διέφθειρεν, ἀλλ' ἔμεινεν "ἀκέραιον διατηροῦσα τὸν χαρακτῆρα, καὶ ταῦτα ὑπὸ Ἑλλήνων τραφεῖσα. σὺ δὲ ἡ πιστὴ, ἡ τὸν Χριστὸν ἔχουσα κεφαλὴν, σατανικὴν ἐπεισάγεις ἡμῖν μηχανήν; καὶ οὐκ ἀναμιμνήσκῃ τοῦ ὕδατος τοῦ περικλύσαντός σου τὴν ὄψιν; τῆς θυσίας τῆς κοσμούσης σου τὰ χείλη; τοῦ αἵματος τοῦ φοινίξαντός σου τὴν γλῶτταν; ἂν γὰρ ταῦτα πάντα ἐννοήσῃς, κἂν μυριάκις "φιλόκοσμος ᾖς, οὐ τολμήσεις οὐδὲ ἀνέξῃ τὸν κονιορτὸν καὶ τὴν τέφραν ἐκείνην "ἐπιβαλεῖν. μάθε ὅτι τῷ Χριστῷ ἡρμόσθης, καὶ ἀπόστηθι τῆς ἀσχημοσύνης ταύτης. οὐδὲ γὰρ τέρπεται τοῖς χρώμασι τούτοις, ἀλλ' ἕτερον ἐπιζητεῖ κάλλος, οὗ καὶ σφοδρός ἐστιν ἐραστὴς, τὸ ἐν τῇ ψυχῇ λέγω. τοῦτό σοι καὶ ὁ προφήτης ἀσκεῖν ἐκέλευσε, καὶ ἐπέλεγε· Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Ψαλμ. μδ. δ. μὴ τοίνυν περιττὰ ἀσχημονῶμεν. οὐδὲ γὰρ ἀτελές τι τῶν ἔργων ἐστὶ τοῦ Θεοῦ, οὐδὲ διορθώσεως δεῖται τῆς παρὰ σοῦ. οὐδὲ γὰρ εἰ βασιλικῇ τις εἰκόνι μετὰ τὸ ἀναστῆσαι προσθεῖναι ἐπιχειρήσειε τὰ παρ' ἑαυτοῦ, ἀσφαλὴς ἡ ἐπιχείρησις [ἔσται,] ἀλλὰ τὸν ἔσχατον ὑποστήσεται κίνδυνον. εἶτα, ἂν θνητὸς μὲν ἐργάζηται, καὶ οὐ προστιθεὶς

Θεὸς δὲ ἐργάζεται, καὶ σὺ διορθοῦσαι; καὶ οὐκ ἐννοεῖς τῆς γεέννης τὸ πῦρ; οὐκ ἐννοεῖς τῆς ψυχῆς τὴν ἐρημίαν; διὰ γὰρ τοῦτο ἠμέληται ἐκείνη, ἐπειδὴ πᾶσα εἰς τὴν σάρκα ἡ σπουδὴ κενοῦται. καὶ τί λέγω τὴν ψυχήν; καὶ γὰρ αὐτῇ τῇ σαρκὶ τἀναντία συμβαίνει ἅπερ ἐσπουδάκατε. σκόπει δέ· βούλει καλὴ φαίνεσθαι; τοῦτό σε ἄμορφον δείκνυσι. βούλει ἀρέσαι τῷ ἀνδρί; τοῦτο αὐτὸν μᾶλλον λυπεῖ· καὶ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἔξω κατηγόρους παρασκευάζει γίνεσθαι. βούλει νέα φαίνεσθαι; τοῦτό σε ταχέως εἰς γῆρας ἄξει. βούλει καλλωπίζεσθαι; τοῦτό σε αἰσχύνεσθαι ποιεῖ. ἡ γὰρ τοιαύτη οὐχὶ τὰς ὁμοτίμους μόνον, ἀλλὰ καὶ τῶν θεραπαινίδων τὰς συνειδυίας καὶ τῶν οἰκετῶν τοὺς ἐπισταμένους αἰσχύνεται, καὶ πρό γε πάντων ἑαυτήν. ἀλλὰ τί δεῖ ταῦτα λέγειν; τὸ γὰρ πάντων χαλεπώτερον παρῆκα νῦν, ὅτι τῷ Θεῷ προσκρούεις, ὅτι σωφροσύνην ὑπορύττεις, ὅτι ζηλοτυπίας ὑπανάπτεις φλόγας, ὅτι τὰς ἐπὶ τοῦ τέγους ζηλοῖς ″πορνευομένας γυναῖκας. ταῦτ' οὖν ἅπαντα ″ἐννοοῦσαι καταγελάσατε τῆς σατανικῆς πομπῆς καὶ τῆς διαβολικῆς τέχνης, καὶ τὸν κόσμον τοῦτον ἀφεῖσαι (μᾶλλον δὲ τὴν ἀκοσμίαν) τὸ κάλλος ἐκεῖνο κατασκευάσατε ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ὃ καὶ ἀγγέλοις ἐπέραστον, καὶ Θεῷ ποθεινόν, καὶ τοῖς συνοικοῦσιν ἡδύ, ἵνα καὶ τῆς παρούσης καὶ τῆς μελλούσης ἐπιτύχητε δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λα. 18 ΤΑΥΤΑ ΑΥΤΟΥ ΛΑΛΟΥΝΤΟΣ*, ΙΔΟΥ ἄρχων εἰσελθὼν προσεκύνει αὐτῷ λέγων· ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται.

19 Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.

* αὐτῷ

ΚΑτέλαβε τοὺς λόγους τὸ ἔργον, ὥστε πλέον ″τοὺς Φαρισαίους ἐπιστομισθῆναι. καὶ γὰρ ὁ ἐλθὼν ἀρχισυνάγωγος ἦν, καὶ τὸ πένθος δεινόν. καὶ γὰρ μονογενὲς ἦν τὸ παιδίον, καὶ ἐτῶν δώδεκα γεγονός, αὐτὸ τῆς ἡλικίας ἄγον τὸ ἄνθος· διὸ δὴ μάλιστα καὶ εὐθέως αὐτὸ ἀνέστησεν. εἰ δὲ ὁ Λουκᾶς λέγει, ὅτι ἦλθον λέγοντες, μὴ σκύλλε τὸν διδάσκαλον, τέθνηκε γάρ, ἐκεῖνο ἐροῦμεν, ὅτι τὸ ἄρτι ἐτελεύτησε, στοχαζομένου ἦν ἀπὸ τοῦ καιροῦ τῆς ὁδοιπορίας, ἢ αὔξοντος τὴν συμφοράν. καὶ γὰρ ἔθος τοῖς δεομένοις ἐπαίρειν τῷ λόγῳ τὰ οἰκεῖα κακά, καὶ πλέον τι τῶν ὄντων λέγειν, ὥστε μᾶλλον ἐπισπάσασθαι τοὺς ἱκετευομένους. ὅρα δὲ αὐτοῦ τὴν παχύτητα. δύο γὰρ ἀπαιτεῖ παρὰ τοῦ Χριστοῦ, καὶ παραγενέσθαι αὐτόν, καὶ τὴν χεῖρα ἐπιθεῖναι, ὅπερ σημεῖον ἦν τοῦ καταλιπεῖν αὐτὴν ἐμπνέουσαν ἔτι. τοῦτο καὶ ὁ Σύρος ἐκεῖνος ὁ Νεεμὰν τὸν προφήτην ἀπῄτει. ἔλεγε γάρ, ὅτι καὶ ἐξελεύσεται, καὶ τὴν χεῖρα ἐπιθήσει αὐτοῦ. καὶ γὰρ καὶ ″ὄψεως δέονται καὶ αἰσθητῶν πραγμάτων οἱ παχύτερον διακείμενοι. καὶ ὁ μὲν Μάρκος φησίν, ὅτι τοὺς τρεῖς ἔλαβε μαθητάς, καὶ ὁ Λουκᾶς· οὗτος δὲ ἁπλῶς φησι τοὺς μαθητάς. τίνος οὖν ἕνεκεν τὸν Ματθαῖον οὐ παρέλαβε, καίτοι γε ἄρτι προσελθόντα; εἰς πλείονα αὐτὸν ἐπιθυμίαν ἐμβάλλων, καὶ διὰ τὸ ἀτελέστερον ἔτι διακεῖσθαι. διὰ γὰρ τοῦτο ἐκείνους τιμᾷ, ἵνα οὗτοι κατ' ἐκείνους γένωνται. τούτῳ δὲ ἤρκει τέως τὸ κατὰ τὴν αἱμοῤῥοοῦσαν ἰδεῖν, καὶ τὸ τραπέζῃ τιμηθῆναι καὶ ″κοινωνίᾳ ἁλῶν. ἀναστάντι δὲ ἠκολούθουν πολλοί, ὡς ἐπὶ θαύματι μεγάλῳ, καὶ διὰ τὸ πρόσωπον τοῦ παραγενομένου, καὶ ὅτι οἱ πλείους παχύτερον διακείμενοι, οὐχ οὕτω ψυχῆς ἐπιμέλειαν, ὡς σώματος ἰατρείαν ἐζήτουν. καὶ συνέῤῥεον, οἱ μὲν ὑπὸ τῶν οἰκείων συνωθούμενοι παθῶν, οἱ δὲ τῆς τῶν ἀλλοτρίων διορθώσεως θεαταὶ σπεύδοντες γενέσθαι· λόγων δὲ ἕνεκεν καὶ διδασκαλίας προηγουμένως ὀλίγοι οἱ παρ' ″αὐτὸν φοιτῶντες ἦσαν τέως. οὐ μὴν εἴασεν αὐτοὺς εἰς τὴν οἰκίαν εἰσελθεῖν, ἀλλὰ τοὺς μαθητὰς

§.Βασ. ε.

τὰς μόνον, καὶ οὐδὲ τούτους πάντας, πανταχοῦ παιδεύων ἡμᾶς τὴν παρὰ τῶν πολλῶν ″ἀποκρούεσθαι δόξαν.

20 Καὶ ἰδοὺ γυνή, φησιν, ἐν ῥύσει αἵματος δώδεκα ἔτη ἔχουσα προσῆλθεν ὄπισθεν, καὶ ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ.

21 Ἔλεγε γὰρ ἐν ἑαυτῇ, ἐὰν ἅψωμαι μόνον τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.

Τίνος ἕνεκεν οὐ μετὰ παῤῥησίας αὐτῷ προσῆλθεν; ᾐσχύνετο διὰ τὸ πάθος, ἀκάθαρτος εἶναι νομίζουσα. Εἰ γὰρ ἡ ἐν καταμηνίοις οὖσα οὐκ ἐδόκει εἶναι καθαρά, πολλῷ μᾶλλον ἡ ″ τοιαῦτα νοσοῦσα τοῦτο ἂν ἐνόμισε. καὶ γὰρ πολλὴ παρὰ τῷ νόμῳ ἀκαθαρσία τοῦτο εἶναι τὸ πάθος ἐνομίζετο. διὰ τοῦτο λανθάνει καὶ κρύπτεται. ″ἄλλως τε οὐδέπω οὐδὲ αὐτὴ τὴν προσήκουσαν καὶ ἀπηρτισμένην περὶ αὐτοῦ δόξαν εἶχεν· ἐπεὶ οὐκ ἂν ἐνόμισε λανθάνειν. καὶ πρώτη προσέρχεται δημοσίᾳ* αὕτη ἡ γυνή. καὶ γὰρ ἤκουσεν ὅτι καὶ γυναῖκας θεραπεύει, καὶ ὅτι ἐπὶ τὸ θυγάτριον ἀπέρχεται τὸ τετελευτηκός. καὶ εἰς τὴν οἰκίαν μὲν αὐτὸν καλέσαι οὐκ ἐτόλμησε, [καίτοιγε εὔπορος οὖσα·] ἀλλ᾽ οὔτε δημοσίᾳ προσῆλθε, λάθρα δὲ μετὰ πίστεως τῶν ἱματίων ἥψατο. οὐδὲ γὰρ ἀμφέβαλεν, οὐδὲ εἶπεν ἐν ἑαυτῇ· ἆρα ἀπαλλαγήσομαι τοῦ νοσήματος; ἆρα οὐκ ἀπαλλαγήσομαι; ἀλλὰ θαρσήσασα περὶ τῆς ὑγιείας οὕτω προσῆλθεν. ἔλεγε γάρ, φησιν, ἐν ἑαυτῇ· ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. καὶ γὰρ εἶδεν ἐκ ποίας ἐξῆλθεν οἰκίας, τῆς τῶν τελωνῶν· καὶ τίνες ἦσαν οἱ ἑπόμενοι, ἁμαρτωλοὶ καὶ τελῶναι· καὶ ταῦτα πάντα εὔελπιν αὐτὴν ἐποίησε. Τί οὖν ὁ Χριστός; οὐκ ἀφῆκεν αὐτὴν λαθεῖν, ἀλλ᾽ εἰς μέσον ἄγει καὶ δήλην καθίστησι πολλῶν ἕνεκεν. καίτοιγέ τινες τῶν ἀναισθήτων φασὶ δόξης αὐτὸν ἐρῶντα τοῦτο ποιεῖν. Διατί γάρ, φησιν, οὐκ ἀφῆκεν αὐτὴν λαθεῖν; τί λέγεις, ὦ μιαρὲ καὶ παμμίαρε; ὁ κελεύων σιγᾷν, ὁ μυρία παρατρέχων θαύματα, οὗτος δόξης ἐρᾷ; τίνος οὖν ἕνεκεν εἰς μέσον ἄγει; πρῶτον λύει τὸ δέος τῆς γυναικός, ἵνα μὴ ὑπὸ τοῦ συνειδότος κεντουμένη, καθάπερ κεκλοφυῖα τὴν δωρεάν, ἐν ἀγωνίᾳ διατρίβῃ· δεύτερον, αὐτὴν διορθοῦται, ἐπειδὴ ἐνόμισε λανθάνειν· τρίτον, πᾶσι τὴν πίστιν αὐτῆς ἐπιδείκνυται, ὥστε καὶ τοὺς ἄλλους ζηλῶσαι· καὶ τοῦ στῆσαι τὰς πηγὰς τοῦ αἵματος οὐκ ἔλαττον σημεῖον παρέχεται, τὸ δεῖξαι ὅτι πάντα ἐπίσταται. ἔπειτα, τὸν ἀρχισυνάγωγον μέλλοντα διαπιστεῖν, καὶ ταύτῃ τὸ πᾶν διαφθείρειν, κατορθοῖ διὰ τῆς γυναικός. καὶ γὰρ οἱ ἐλθόντες ἔλεγον, μὴ σκύλλε τὸν διδάσκαλον, ὅτι τέθνηκε τὸ κοράσιον· καὶ οἱ ἐν τῇ οἰκίᾳ κατεγέλων αὐτοῦ εἰπόντος ὅτι καθεύδει, καὶ εἰκὸς ἦν καὶ τὸν πατέρα τοιοῦτόν τι πεπονθέναι. διὰ τοῦτο προδιορθούμενος ταύτην τὴν ἀσθένειαν, ἄγει τὸ γύναιον εἰς μέσον. ὅτι γὰρ τῶν σφόδρα παχυτέρων ἐκεῖνος ἦν, ἄκουσον τί φησι πρὸς αὐτόν· μὴ φοβοῦ, [σὺ] μόνον πίστευε, καὶ σωθήσεται. καὶ γὰρ τὸν θάνατον ἐπιτηδὲς ἔμενεν ἐπελθεῖν, καὶ τότε παραγενέσθαι, ὥστε σαφῆ γενέσθαι τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. διὰ τοῦτο καὶ σχολαιότερον βαδίζει, καὶ διαλέγεται τῇ γυναικὶ πλείονα, ἵνα συγχωρήσῃ τελευτῆσαι ἐκείνην, καὶ παραγενέσθαι τοὺς ταῦτα ἀπαγγέλλοντας καὶ λέγοντας, μὴ σκύλλε τὸν διδάσκαλον. τοῦτο γοῦν καὶ ὁ ″εὐαγγελιστὴς αἰνιττόμενος ἐπισημαίνεται λέγων· ὅτι ἔτι λαλοῦντος αὐτοῦ, ἦλθον οἱ ἀπὸ τῆς οἰκίας λέγοντες· τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν διδάσκαλον. ἐβούλετο γὰρ πιστευθῆναι τὸν θάνατον, ἵνα μὴ ὑποπτευθῇ ἡ ἀνάστασις. καὶ τοῦτο πανταχοῦ ποιεῖ. οὕτω καὶ ἐπὶ τοῦ Λαζάρου, καὶ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν ἔμεινε. διὰ δὴ ταῦτα πάντα ἄγει αὐτὴν εἰς μέσον, καὶ φησι·

22 Θάρσει, θύγατερ, Ὥσπερ [καὶ] τῷ παραλυτικῷ ἔλεγε· θάρσει, τέκνον. καὶ γὰρ περιδεὴς ἦν ἡ γυνή· διὰ τοῦτό φησι, θάρσει, καὶ θυγατέρα καλεῖ. ἡ γὰρ πίστις αὐτὴν θυγατέρα ἐποίησεν. Εἶτα καὶ τὸ ἐγκώμιον·

Η πίστις σου σέσωκέ σε. Ὁ δὲ Λουκᾶς καὶ πλείονα τούτων ἡμῖν ἕτερα ἀπαγγέλλει Λυκ. η. μη. περὶ τῆς γυναικός. ἐπειδὴ γὰρ προσῆλθε, φησι, καὶ τὴν ὑγίειαν ἔλαβεν, οὐκ εὐθέως αὐ-

τὴν ἐκάλεσεν ὁ Χριστός, ἀλλὰ πρότερόν φησι, τίς ἐστιν ὁ ἁψάμενός μου; Εἶτα τοῦ Πέτρου καὶ τῶν μετ' αὐτοῦ λεγόντων· ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις, τίς ὁ ἁψάμενός μου; (ὃ μέγιστον ἦν σημεῖον τοῦ καὶ σάρκα αὐτὸν ἀληθῆ περικεῖσθαι, καὶ πάντα τῦφον καταπατεῖν. οὐδὲ γὰρ πόῤῥωθεν εἵποντο, ἀλλὰ συνεῖχον πάντοθεν αὐτόν) αὐτὸς δὲ ἐπέμενε, φησι, λέγων· ὅτι ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξ ἐμοῦ ἐξελθοῦσαν, πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων παχύτερον ἀποκρινόμενος. Ταῦτα δὲ ἔλεγεν, ἵνα καὶ ἐκείνην ἀφ' ἑαυτῆς ὁμολογῆσαι πείσῃ. διὰ γὰρ τοῦτο οὐδὲ εὐθέως αὐτὴν ἤλεγξεν, ἵνα δείξας ὅτι πάντα οἶδε σαφῶς, αὐτόματον πείσῃ πάντα ἐξειπεῖν, καὶ αὐτὴν ἀνακηρύξαι τὸ γεγενημένον παρασκευάσῃ, καὶ μὴ λέγων ὕποπτος εἶναι δόξῃ. Εἶδες τοῦ ἀρχισυναγώγου βελτίονα τὴν γυναῖκα; οὐ κατέσχεν, οὐκ ἐκράτησεν· ἀλλ' ἄκροις τοῖς δακτύλοις ἥψατο μόνον, καὶ ὑστέρα ἐλθοῦσα, προτέρα θεραπευθεῖσα ἀπῆλθε. καὶ ἐκεῖνος μὲν ὅλον ἦγε τὸν ἰατρὸν εἰς τὴν οἰκίαν, ταύτῃ δὲ ἤρκεσε καὶ ἁφὴ μόνον. εἰ γὰρ καὶ τοῖς πάθεσιν ἦν συνδεδεμένη, ἀλλὰ τῇ πίστει ἦν ἐπτερωμένη. σκόπει δὲ πῶς αὐτὴν παραμυθεῖται λέγων· ἡ πίστις σου σέσωκέ σε· καίτοι γε εἰ ἐπιδείξεως ἕνεκεν αὐτὴν εἵλκυσεν εἰς τὸ μέσον, οὐκ ἂν τοῦτο προσέθηκεν· ἀλλὰ παιδεύων τὸν ἀρχισυνάγωγον πιστεῦσαι, ταῦτά φησι, καὶ τὴν γυναῖκα ἀνακηρύττων, καὶ οὐκ ἐλάττω τῆς τοῦ σώματος ὑγιείας διὰ τῶν ῥημάτων τούτων παρέχων αὐτῇ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν. ὅτι γὰρ ἐκείνην δοξάσαι βουλόμενος, ταῦτα ἐποίει, καὶ ἑτέρους διορθῶσαι, ἀλλ' οὐχ ἑαυτὸν ἀποφῆναι λαμπρόν, δῆλον ἐντεῦθεν. αὐτὸς μὲν γὰρ ὁμοίως ἔμελλεν εἶναι θαυμαστὸς καὶ τούτου χωρίς (ὑπὲρ γὰρ τὰς νιφάδας αὐτὸν ὑπερέρρει τὰ θαύματα· καὶ πολλῷ τούτων μείζονα καὶ εἰργάσατο καὶ ποιήσειν ἔμελλεν) ἡ δὲ γυνὴ, εἰ μὴ τοῦτο γέγονε, λαθοῦσα ἂν ἀπῆλθε, τῶν μεγάλων τούτων ἀπεστερημένη ἐπαίνων. διὰ τοῦτο αὐτὴν εἰς μέσον ἀγαγὼν ἀνεκήρυξε, καὶ τὸ δέος ἐξέβαλε (καὶ γὰρ τρέμουσα προσῆλθέ, φησι) καὶ θαῤῥεῖν αὐτὴν παρεσκεύασε, καὶ μετὰ τῆς ὑγιείας τοῦ σώματος καὶ ἕτερα αὐτῇ δέδωκεν ἐφόδια, εἰπών, πορεύου ἐν εἰρήνῃ.

23 Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον,

24 Ἔλεγεν· ἀποχωρεῖτε. οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. Καλά γε τῶν ἀρχισυναγώγων τὰ τεκμήρια, μετὰ τὸ ἀποθανεῖν αὐλοὶ καὶ κύμβαλα θρῆνον ἐγείροντες. τί οὖν ὁ Χριστός; τοὺς μὲν ἄλλους ἅπαντας ἐξέβαλε, τοὺς δὲ γεγεννηκότας εἰσήγαγεν, ὥστε μὴ ἐγγενέσθαι εἰπεῖν ὅτι ἄλλος ἐθεράπευσε. καὶ πρὸ τῆς ἀναστάσεως δὲ ἐγείρει τῷ λόγῳ, λέγων, οὐ τέθνηκε τὸ κοράσιον, ἀλλὰ καθεύδει· καὶ πολλαχοῦ δὲ τοῦτο ποιεῖ. καὶ ὥσπερ ἐπὶ τῆς θαλάττης ἐπιτιμᾷ τοῖς μαθηταῖς πρότερον· οὕτω δὴ καὶ ἐνταῦθα, τὸν θόρυβον ἐκβάλλει τῆς διανοίας τῶν παρόντων, ὁμοῦ καὶ δεικνὺς ὅτι εὔκολον αὐτῷ τοὺς τεθνηκότας ἐγεῖραι (Ιω. ια. ια. ὃ δὴ καὶ ἐπὶ τοῦ Λαζάρου πεποίηκε λέγων· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται) καὶ ἅμα παιδεύων μὴ δεδιέναι τὸν θάνατον. οὐ γὰρ ἔστι θάνατον αὐτόν, ἀλλ' ὕπνον λοιπὸν γεγενῆσθαι. ἐπειδὴ γὰρ καὶ αὐτὸς ἔμελλεν ἀποθνήσκειν, ἐν τοῖς ἑτέρων σώμασι προπαρασκευάζει τοὺς μαθητὰς θαῤῥεῖν καὶ πράως φέρειν τὴν τελευτήν. καὶ γὰρ αὐτοῦ παραγενομένου λοιπὸν ὕπνος ὁ θάνατος ἦν. ἀλλ' ὅμως κατεγέλων αὐτοῦ· αὐτὸς δὲ οὐκ ἠγανάκτησεν ἀπιστούμενος, ἐφ' οἷς μικρὸν ὕστερον ἔμελλε θαυματουργεῖν· οὐδὲ ἐπετίμησε τῷ γέλωτι, ἵνα καὶ αὐτὸς, καὶ οἱ αὐλοὶ, καὶ τὰ κύμβαλα, καὶ τὰ ἄλλα πάντα ἀπόδειξις γένηται τοῦ θανάτου. ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ μετὰ τὸ γενέσθαι τὰ θαύματα ἀπιστοῦσιν ἄνθρωποι, προκαταλαμβάνει ταῖς οἰκείαις ἀποκρίσεσιν αὐτούς· ὃ δὴ καὶ ἐπὶ τοῦ Λαζάρου γέγονε, καὶ ἐπὶ τοῦ Μωϋσέως. Ἐξοδ. δ. β. καὶ γὰρ Μωϋσῇ φησι· Τί τοῦτο τὸ ἐν τῇ χειρί σου; ἵν', ὅταν ἴδῃ ὄφιν γεγενημένον, μὴ ἐπιλάθηται ὅτι ῥάβδος ἦν πρὸ τούτου, ἀλλὰ τῆς οἰκείας ἀναμνησθεὶς φωνῆς, ἐκπλαγῇ τὸ

γινόμενον. καὶ ἐπὶ τοῦ Λαζάρου φησί· ποῦ τεθείκατε αὐτόν; ἵνα οἱ εἰπόντες, Ἔρχου καὶ ἴδε, καὶ ὅτι ὄζει, τεταρταῖος γάρ ἐστι, μηκέτι ἀπιστεῖν ἔχωσιν ὅτι νεκρὸν ἀνέστησεν. ἰδὼν τοίνυν τὰ κύμβαλα καὶ τοὺς ὄχλους, ἐξήγαγεν ἅπαντας, καὶ παρόντων τῶν γονέων θαυματουργεῖ· οὐχ ἑτέραν ἐπεισάγων ψυχήν, ἀλλ' αὐτὴν τὴν ἐξελθοῦσαν ἐπανάγων, καὶ ὥσπερ ἐξ ὕπνου διεγείρων. κατέχει δὲ τῆς χειρὸς πληροφορῶν τοὺς ὁρῶντας, ὥστε προοδοποιῆσαι διὰ τῆς ὄψεως τῇ πίστει τῆς ἀναστάσεως. ὁ μὲν γὰρ πατὴρ ἔλεγεν, ἐπίθες τὴν χεῖρα· αὐτὸς δὲ" τι πλέον ποιεῖ. οὐ γὰρ ἐπιτίθησιν, ἀλλὰ καὶ κατασχὼν ἀνίστησι, δεικνὺς ὅτι πάντα αὐτῷ ἕτοιμα· καὶ οὐκ ἀνίστησι μόνον, ἀλλὰ καὶ τροφὴν κελεύει δοῦναι, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὸ γεγενημένον· καὶ οὐκ αὐτὸς δίδωσιν, ἀλλ' ἐκείνοις κελεύει· ὥσπερ καὶ ἐπὶ τοῦ Λαζάρου λέγει, λύσατε αὐτόν, καὶ ἄφετε ὑπάγειν, καὶ μετὰ ταῦτα κοινωνὸν ποιεῖ τῆς τραπέζης. καὶ γὰρ ἀμφότερα ἀεὶ κατασκευάζειν εἴωθε, καὶ τοῦ θανάτου τὴν ἀπόδειξιν καὶ τῆς ἀναστάσεως μετὰ ἀκριβείας ἁπάσης ποιούμενος. σὺ δέ μοι μὴ τὴν ἀνάστασιν σκόπει μόνον, ἀλλ' ὅτι καὶ παρήγγειλε" μηδενὶ εἰπεῖν, καὶ τοῦτο μάλιστα διὰ πάντων" παιδεύων τὸ ἄτυφον καὶ ἀκενόδοξον· καὶ μετὰ" τοῦτο κἀκεῖνο μάνθανε, ὅτι τοὺς κοπτομένους ἔξω τῆς οἰκίας ἐξέβαλε καὶ ἀναξίους τῆς τοιαύτης θεωρίας ἀπέφηνε· καὶ μὴ ἐξέλθῃς μετὰ τῶν αὐλητῶν, "ἀλλὰ μένε μετὰ Πέτρου καὶ Ἰωάννου καὶ Ἰακώβου. εἰ γὰρ τότε ἐξέβαλεν ἐκείνους ἔξω, πολλῷ μᾶλλον καὶ νῦν. τότε μὲν γὰρ οὔπω δῆλος ὁ θάνατος ἦν ὕπνος γεγενημένος· νῦν δὲ καὶ αὐτοῦ τοῦ ἡλίου τοῦτο φανερώτερον. ἀλλ' οὐκ ἤγειρέ σου τὸ θυγάτριον νῦν; "ἀλλὰ πάντως ἐγερεῖ, καὶ μετὰ πλείονος τῆς δόξης. ἐκεῖνο μὲν γὰρ ἀναστὰν πάλιν ἀπέθανεν· τὸ δὲ σὸν ἐὰν ἀναστῇ, μένει λοιπὸν ἀθάνατον. Ιωαν. ια. λθ.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν κοπτέσθω λοιπόν, μηδὲ θρηνείτω, μηδὲ τὸ κατόρθωμα τοῦ Χριστοῦ διαβαλλέτω. καὶ γὰρ ἐνίκησε τὸν θάνατον. τί τοίνυν περιττὰ θρηνεῖς; ὕπνος τὸ πρᾶγμα γέγονε, τί ὀδύρῃ καὶ κλαίεις; τοῦτο γὰρ εἰ καὶ Ἕλληνες ἐποίουν, καταγελᾶν" ἔδει· ὅταν δὲ ὁ πιστὸς ἐν τούτοις ἀσχημονῇ, ποία ἀπολογία; τίς ἔσται συγγνώμη τοιαῦτα ἀνοηταίνουσι, καὶ ταῦτα μετὰ χρόνον τοσοῦτον, καὶ σαφῆ τῆς ἀναστάσεως ἀπόδειξιν; σὺ δὲ ὥσπερ αὐξῆσαι τὸ ἔγκλημα σπουδάζων, καὶ θρηνῳδοὺς ἡμῖν ἄγεις Ἑλληνίδας γυναῖκας, ἐξάπτων τὸ" πένθος, καὶ τὴν κάμινον διεγείρων, καὶ οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος· Τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; β. Κορ. γ. ιε. καὶ παῖδες μὲν Ἑλλήνων οἱ μηδὲν περὶ ἀναστάσεως εἰδότες, ὅμως εὑρίσκουσι λόγους παραμυθίας λέγοντες, φέρε γενναίως. καὶ γὰρ ἀναλῦσαι τὸ γεγενημένον οὐκ ἔνι, οὐδὲ διορθώσασθαι τοῖς θρήνοις. σὺ δὲ ὁ φιλοσοφώτερα καὶ χρηστότερα τούτων ἀκούων, οὐκ αἰσχύνῃ μείζονα ἐκείνων ἀσχημονῶν; οὐδὲ γὰρ λέγομεν, φέρε γενναίως, ἐπειδὴ τὸ γεγενημένον ἀναλῦσαι οὐκ ἔνι· ἀλλὰ φέρε γενναίως· καὶ γὰρ ἀναστήσεται πάντως. καθεύδει τὸ παιδίον, οὐ τέθνηκεν· ἡσυχάζει, οὐκ ἀπόλωλεν. ἀνάστασις γὰρ αὐτὸ διαδέξεται καὶ ζωὴ αἰώνιος, καὶ ἀθανασία καὶ λῆξις ἀγγελική. οὐκ ἀκούεις τοῦ ψαλμοῦ λέγοντος, Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐεργέτησέ σε; Ψαλμ. ριδ. ζ. εὐεργεσίαν ὁ Θεὸς τὸ πρᾶγμα καλεῖ, καὶ σὺ θρηνεῖς; καὶ τί πλέον ἂν ἐποίησας, εἰ πολέμιος καὶ ἐχθρὸς τοῦ τετελευτηκότος ἦς; εἰ γὰρ δεῖ θρηνεῖν, τὸν διάβολον δεῖ θρηνεῖν. ἐκεῖνος κοπτέσθω· ἐκεῖνος ὀδυρέσθω, ὅτι πρὸς τὰ μείζονα ὁδεύομεν ἀγαθά. τῆς ἐκείνου πονηρίας ἀξία αὕτη ἡ οἰμωγή, οὐχὶ σοῦ τοῦ στεφανοῦσθαι μέλλοντος καὶ ἀναπαύεσθαι. καὶ γὰρ λιμὴν εὔδιος ὁ θάνατος. σκόπει γοῦν" πόσων γέμει κακῶν ὁ παρὼν βίος· ἐννόησον" ποσάκις αὐτὸς κατηράσω τὴν παροῦσαν ζωήν. καὶ γὰρ ἐπὶ τὸ χεῖρον τὰ πράγματα πρόεισι, καὶ ἐξ ἀρχῆς δὲ οὐ μικρᾷ συνεκληρώθης καταδίκῃ. Ἐν γὰρ λύπαις τέξῃ τέκνα, φησί, καὶ ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου· καί, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. Γεν. γ. ις. Ιωαν. ις. λγ. ἀλλ' οὐ περὶ τῆς ἐκεῖ τοιοῦτον οὐδὲν εἴρηται, ἀλλὰ τοὐναντίον ἅπαν, ὅτι ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· καὶ ὅτι ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται εἰς τοὺς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· καὶ ὅτι ὁ νυμφὼν τὰ ἐκεῖ

πνευματικός,

πνευματικὸς, καὶ φαιδραὶ λαμπάδες, καὶ μετάστασις πρὸς τὸν οὐρανόν. τί τοίνυν καταισχύνεις τὸν ἀπελθόντα; τί παρασκευάζεις τοὺς ἄλλους δεδιέναι θάνατον καὶ τρέμειν; τί ποιεῖς πολλοὺς κατηγορεῖν τοῦ Θεοῦ, ὡς μεγάλα εἰργασμένου δεινά; μᾶλλον δὲ τί μετὰ ταῦτα πένητας καλεῖς, καὶ παρακαλεῖς ἱερέας εὔξασθαι; ἵνα εἰς ἀνάπαυσιν ἀπέλθῃ, φησὶν, ὁ τετελευτηκὼς, ἵνα ἵλεω σχῇ τὸν δικαστήν. ὑπὲρ τούτων οὖν θρηνεῖς καὶ ὀλολύζεις; οὐκοῦν σαυτῷ μάχῃ καὶ πολεμεῖς, ὑπὲρ ὧν εἰς λιμένας ἀπῆλθεν ἐκεῖνος, χειμῶνας αὐτῷ κατασκευάζων. καὶ τί πάθω, φησί; τυραννεῖ ἡ φύσις. οὐκ ἔστι φύσεως τὸ ἔγκλημα, οὐδὲ τῆς τοῦ πράγματος ἀκολουθίας· ἀλλ' ἡμεῖς τὰ πάντα ἄνω καὶ κάτω ποιοῦντές ἐσμεν τῷ καταμαλακιζόμενοι, καὶ τὴν οἰκείαν προδιδόντες εὐγένειαν, καὶ τοὺς ἀπίστους χείρους ποιοῦντες. πῶς γὰρ ἑτέρῳ περὶ ἀθανασίας διαλεξόμεθα; πῶς πείσομεν τὸν ἐθνικὸν, ὅταν μᾶλλον ἐκείνου τὸν θάνατον φοβώμεθα καὶ φρίττωμεν; πολλοὶ γοῦν παρ' ἕλλησι, καίτοιγε οὐδὲν περὶ ἀθανασίας εἰδότες, ἐστεφανώθησαν τῶν παίδων αὐτοῖς ἀπελθόντων, καὶ λευχειμονοῦντες ἐφαίνοντο, ἵνα τὴν παροῦσαν καρπώσωνται δόξαν· σὺ δὲ οὐδὲ διὰ τὴν μέλλουσαν παύῃ γυναικιζόμενος καὶ κοπτόμενος. ἀλλὰ κληρονόμον οὐκ ἔχεις, οὐδὲ διάδοχον τῶν ὄντων; καὶ τί μᾶλλον ἐβούλου, τῶν σῶν αὐτὸν εἶναι κληρονόμον, ἢ τῶν οὐρανῶν; τί δὲ ἐπεθύμεις, τὰ ἀπολλύμενα αὐτὸν διαδέχεσθαι, ἃ καὶ μικρὸν ὕστερον ἀφιέναι ἔμελλεν, ἢ τὰ μένοντα καὶ ἀκίνητα; οὐκ ἔσχες κληρονόμον αὐτὸν, ἀλλ' ἀντὶ σοῦ ἔσχεν αὐτὸν ὁ Θεός· οὐκ ἐγένετο τῶν ἀδελφῶν τῶν ἰδίων συγκληρονόμος, ἀλλ' ἐγένετο τοῦ Χριστοῦ. καὶ τίνι, φησὶ, τὰ ἱμάτια; τίνι τὰ οἰκήματα; τίνι τὰ ἀνδράποδα καὶ τοὺς ἀγροὺς καταλιμπάνομεν; αὐτῷ πάλιν, καὶ ἀσφαλέστερον, ἢ εἰ ἔζη. τὸ γὰρ κωλῦον οὐδέν. εἰ γὰρ [καὶ] βάρβαροι συγκατακαίουσι τοῖς ἀπελθοῦσι τὰ ὄντα, πολλῷ μᾶλλόν σε συναποστεῖλαι τῷ τετελευτηκότι δίκαιον τὰ αὐτοῦ· οὐχ ἵνα τέφρα γένηται, καθάπερ ἐκεῖνα, ἀλλ' ἵνα πλείονα τούτῳ περιβάλῃ δόξαν· καὶ εἰ μὲν ἁμαρτωλὸς ἀπῆλθεν, ἵνα τὰ ἁμαρτήματα λύσῃ· εἰ δὲ δίκαιος, ἵνα προσθήκη γένηται μισθοῦ καὶ ἀντιδόσεως. ἀλλ' ἰδεῖν αὐτὸν ἐπιθυμεῖς; οὐκοῦν τὸν αὐτὸν αὐτῷ βίου βίον, καὶ ταχέως ἀπολήψῃ τὴν ἱερὰν ἐκείνην ὄψιν. μετὰ δὲ τούτων κἀκεῖνο λογίζου, ὅτι κἂν ἡμῶν μὴ ἀκούσῃς, τῷ χρόνῳ πάντως πεισθήσῃ. ἀλλ' οὐδείς τότε σοι ὁ μισθός (τοῦ γὰρ πλήθους τῶν ἡμερῶν γέγονεν ἡ παραμυθία) ἂν δὲ νῦν βουληθῇς φιλοσοφεῖν, δύο κερδανεῖς τὰ μέγιστα· καὶ σαυτὸν τῶν ἐν μέσῳ κακῶν ἀπαλλάξεις, καὶ παρὰ τοῦ Θεοῦ λαμπρότερον ἀναδήσῃ τὸν στέφανον. καὶ γὰρ ἐλεημοσύνης καὶ τῶν ἄλλων πολλῷ μεῖζον, τὸ πράως συμφορὰν ἐνεγκεῖν. ἐννόησον ὅτι καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἀπέθανε· καὶ ἐκεῖνος μὲν διὰ σὲ, σὺ δὲ διὰ σαυτόν. καὶ εἰπὼν, Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, καὶ λυπηθεὶς καὶ ἀγωνιάσας, ὅμως οὐ παρέδραμε τὴν τελευτὴν, ἀλλὰ καὶ μετὰ πολλῆς αὐτὴν ὑπέστη τῆς τραγῳδίας. οὐδὲ γὰρ ἁπλῶς θάνατον ὑπέμεινεν, ἀλλὰ τὸν αἴσχιστον· καὶ πρὸ τοῦ θανάτου μάστιγας, καὶ πρὸ τῶν μαστίγων ὀνείδη καὶ σκώμματα καὶ λοιδορίας, σὲ παιδεύων πάντα φέρειν γενναίως. ἀλλ' ὅμως ἀποθανὼν καὶ τὸ σῶμα ἀποθέμενος, πάλιν αὐτὸ ἀνέλαβε μετὰ μείζονος δόξης, καὶ ἐν ταύτῃ σοι χρηστὰς ὑποτείνων ἐλπίδας. ταῦτα εἰ μὴ μῦθος, μὴ θρήνει· ταῦτα εἰ πιστὰ νομίζεις εἶναι, μὴ δάκρυε· εἰ δὲ δακρύεις, πῶς δυνήσῃ πεῖσαι τοὺς ἕλληνας ὅτι πιστεύεις; ἀλλὰ καὶ οὕτως ἀφόρητον ἔτι σοι φαίνεται τὸ συμβάν; οὐκοῦν δι' αὐτὸ τοῦτο οὐκ ἄξιον ἐκεῖνον θρηνεῖν. πολλῶν γὰρ τοιούτων ἀπηλλάγη συμφορῶν ἐκεῖνος. μὴ τοίνυν αὐτῷ φθόνει μηδὲ βάσκαινε. τὸ γὰρ ἑαυτῷ μὲν θάνατον αἰτεῖν διὰ τὴν ἄωρον αὐτοῦ τελευτὴν, πενθεῖν δὲ ἐκεῖνον ὅτι μὴ ἔζη, ἵνα πολλὰ ὑπομείνῃ τοιαῦτα, φθονοῦντος μᾶλλόν ἐστι καὶ βασκαίνοντος. μὴ δὴ τοῦτο ἐννόει, ὅτι οὐκ ἔτι ἐπαναστρέψει εἰς τὴν οἰκίαν, ἀλλ' ὅτι καὶ αὐτὸς ἀπελεύσῃ μικρὸν ὕστερον πρὸς αὐτόν. μὴ τοῦτο λογίζου ὅτι οὐκ ἔτι ἐπανέρχεται ἐνταῦθα· ἀλλ' ὅτι οὐδὲ αὐτὰ ταῦτα τὰ ὁρώμενα μένει τοιαῦτα, ἀλλὰ καὶ ταῦτα μετασχηματίζεται. καὶ γὰρ καὶ οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ πάντα μεθαρμόζεται, καὶ τότε ἀπολήψῃ

Ματθ. κϛ. λθ.
Λουκ. κβ. μβ.

σου τὸ παιδίον μετὰ πλείονος δόξης. καὶ εἰ μὲν ἁμαρτωλὸς ἀπῆλθεν, ἔστη τὰ τῆς κακίας (οὐδὲ γὰρ ἂν εἰ μεταβαλλόμενον ὁ Θεὸς ᾔδει, προανήρπασεν ἂν τῆς μετανοίας) εἰ δὲ δίκαιος ὢν κατέλυσεν, ἐν ἀσφαλείᾳ τὰ ἀγαθὰ κέκτηται)· ὅθεν δῆλον, ὅτι οὐκ ἔστι φιλοστοργίας σου τὰ δάκρυα, ἀλλὰ πάθους ἀλογίστου. ἐπεὶ εἰ τὸν ἀπελθόντα ἐφίλεις, χαίρειν ἔδει καὶ εὐφραίνεσθαι, ὅτι τῶν παρόντων ἀπηλλάγη κυμάτων. τί γὰρ τὸ πλέον, εἰπέ μοι; τί δὲ τὸ ξένον καὶ καινόν; οὐχὶ τὰ αὐτὰ καθ' ἑκάστην ἡμέραν ὁρῶμεν ἀνακυκλούμενα; ἡμέρα καὶ νύξ, νὺξ καὶ ἡμέρα· χειμὼν καὶ θέρος, θέρος καὶ χειμών, καὶ πλέον οὐδέν. καὶ ταῦτα μὲν ἀεὶ τὰ αὐτά, τὰ δὲ κακὰ ξένα καὶ καινότερα. ταῦτα οὖν αὐτὸν ἀντλεῖν καθ' ἑκάστην ἐβούλου τὴν ἡμέραν, καὶ μένειν ἐνταῦθα, καὶ νοσεῖν, καὶ πενθεῖν, καὶ δεδοικέναι, καὶ τρέμειν· καὶ τὰ μὲν ὑπομένειν τῶν δεινῶν, τὰ δὲ μήποτε ὑπομείνῃ φοβεῖσθαι; οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι τὸ μακρὸν τοῦτο διαπλέοντα πέλαγος, δυνατὸν ἦν ἀθυμίας καὶ φροντίδων καὶ τῶν ἄλλων ἀπηλλάχθαι τῶν τοιούτων. μετὰ δὲ τούτων λογίζου, ὅτι οὐκ ἀθάνατον ἔτεκες, καὶ ὅτι εἰ μὴ νῦν ἐτελεύτησε, μικρὸν ὕστερον ἂν τοῦτο ὑπέμεινεν. ἀλλ' οὐκ ἐνεπλήσθης αὐτοῦ; ἀλλὰ ἀπολαύσῃ πάντως ἐκεῖ. ἀλλὰ καὶ ἐνταῦθα ἐπιθυμεῖς ὁρᾷν; καὶ τί τὸ κωλῦον; ἔξεστι γὰρ καὶ ἐνταῦθα, ἐὰν νήφῃς. ἡ γὰρ ἐλπὶς τῶν μελλόντων ὄψεως φανερωτέρα. σὺ δὲ εἰ μὲν ἐν βασιλείοις ἦν, οὐκ ἄν ποτε αὐτὸν ἐζήτησας ἰδεῖν, ἀκούουσα εὐδοκιμοῦντα· πρὸς δὲ τὰ πολλῷ βελτίω ὁρῶσα ἀποδεδημηκότα ὑπὲρ ὀλίγου χρόνου μικροψυχεῖς, καὶ ταῦτα ἔχουσα ἀντ' ἐκείνου τὸν συνοικοῦντα; ἀλλ' οὐκ ἔχεις ἄνδρα; ἀλλ' ἔχεις παραμυθίαν, τὸν πατέρα τῶν ὀρφανῶν καὶ κριτὴν τῶν χηρῶν. ἄκουσον καὶ Παύλου ταύτην μακαρίζοντος τὴν χηρείαν καὶ λέγοντος· Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ Κύριον. καὶ γὰρ εὐδοκιμωτέρα ἡ τοιαύτη φανεῖται, πλείονα ἐπιδεικνυμένη τὴν ὑπομονήν. μὴ τοίνυν θρήνει ὑπὲρ οὗ στεφανοῦσαι, ὑπὲρ οὗ μισθὸν ἀπαιτεῖς. καὶ γὰρ ἀπέδωκας τὴν παρακαταθήκην, εἰ, ὅπερ ἐνεπιστεύθης, παρέστησας. μηκέτι φρόντιζε λοιπόν, ἐν ἀληστεύτῳ τὸ κτῆμα ἀποθεμένη θησαυρῷ. εἰ δὲ καὶ μάθοις τίς μὲν ὁ παρὼν βίος, τίς δὲ ἡ μέλλουσα ζωή, καὶ ὅτι οὗτος μὲν ἀράχνη καὶ σκιά, τὰ δὲ ἐκεῖ πάντα ἀκίνητα καὶ ἀθάνατα, οὐ δεήσῃ λοιπὸν ἑτέρων λόγων. νῦν μὲν γὰρ πάσης τὸ παιδίον ἀπήλλακται μεταβολῆς· ἐνταῦθα δὲ ὤν, ἴσως μὲν χρηστός, ἴσως δὲ οὐ τοιοῦτος ἔμελλεν ἄν. ἢ οὐχ ὁρᾷς ὅσοι τοὺς ἑαυτῶν ἀποκηρύττουσι παῖδας; ὅσοι τῶν ἀποκηρυττομένων χείρους ὄντας ἀναγκάζονται οἴκοι κατέχειν; ταῦτ' οὖν ἅπαντα λογιζόμενοι φιλοσοφῶμεν. οὕτω γὰρ καὶ τῷ τετελευτηκότι χαριούμεθα, καὶ παρὰ ἀνθρώπων πολλῶν ἀπολαύσομεν τῶν ἐπαίνων, καὶ παρὰ τοῦ Θεοῦ τοὺς μεγάλους τῆς ὑπομονῆς ἀποληψόμεθα μισθούς, καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Τιμ. ε. ε.

Ὁμιλ. λβ.

27 ΚΑΙ ΠΑΡΑΓΟΝΤΙ ΕΚΕΙΘΕΝ ΤΩ ΙΗΣΟΥ,
ἠκολούθησαν [αὐτῷ] δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς,
υἱὲ Δαβίδ. 28 Ἐλθόντι δὲ αὐτῷ εἰς τὴν οἰκίαν, προσῆλθον
αὐτῷ οἱ [δύο] τυφλοί, καὶ λέγει αὐτοῖς [ὁ Ἰησοῦς·] πιστεύετε ὅτι δύναμαι
τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ, ναὶ Κύριε. 29 Τότε ἥψατο
τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν·
30 Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί.

Τί δήποτε παρέλκει αὐτοὺς κράζοντας; πάλιν ἐνταῦθα παιδεύων ἡμᾶς τὴν παρὰ τῶν πολλῶν διωθεῖσθαι δόξαν. ἐπειδὴ γὰρ πλησίον ἦν ἡ οἰκία, ἄγει αὐτοὺς ἐκεῖ, κατ' ἰδίαν θεραπεύσων. καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ παρήγγειλε μηδενὶ εἰπεῖν. οὐ μικρὰ δὲ αὕτη τῶν Ἰουδαίων κατηγορία, ὅταν οὗτοι μὲν, τῶν ὀφθαλμῶν αὐτοῖς ἐκκεκομμένων, ἐξ ἀκοῆς μόνης τὴν πίστιν δέχωνται· ἐκεῖνοι δὲ θεωροῦντες τὰ θαύματα, καὶ τὴν ὄψιν μαρτυροῦσαν τοῖς γινομένοις ἔχοντες, τὰ ἐναντία πάντα ποιῶσιν. ὅρα δὲ αὐτῶν καὶ τὴν προθυμίαν, καὶ ἀπὸ τῆς κραυγῆς, καὶ ἀπ' αὐτῆς τῆς ἐντεύξεως. οὐδὲ γὰρ ἁπλῶς προσῆλθον, ἀλλὰ μεγάλα βοῶντες, καὶ οὐδὲν ἕτερον, ἀλλ' ἢ τὸ ἐλέησον προβαλλόμενοι· υἱὸν δὲ Δαβὶδ ἐκάλουν, ἐπειδὴ τὸ ὄνομα τιμῆς εἶναι ἐδόκει. πολλαχοῦ γοῦν καὶ οἱ προφῆται τοὺς βασιλέας, οὓς ἐβούλοντο τιμᾶν καὶ μεγάλους ἀποφαίνειν, οὕτως ἐκάλουν. καὶ ἀγαγὼν αὐτοὺς εἰς τὴν οἰκίαν, δευτέραν ἐρώτησιν προσάγει. πολλαχοῦ γὰρ ἐσπούδαζεν ἱκετευόμενος ἰᾶσθαι, ἵνα μή τις νομίσῃ διὰ φιλοτιμίαν αὐτὸν τοῖς θαύμασιν ἐπιπηδᾶν. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ δείξῃ ὅτι καὶ ἄξιοι ἦσαν θεραπείας· καὶ ἵνα μή τις λέγῃ, ὅτι εἰ ἐλεῶν μόνον ἔσωζε, πάντας σώζεσθαι ἔδει. ἔχει γάρ τινα καὶ ἡ φιλανθρωπία λόγον, τὸν ἀπὸ τῆς πίστεως τῶν σωζομένων. οὐ διὰ ταῦτα δὲ μόνον τὴν πίστιν αὐτοὺς ἀπαιτεῖ, ἀλλ' ἐπειδὴ εἶπον, υἱὲ Δαβὶδ, ἀνάγων αὐτοὺς ἐπὶ τὸ ὑψηλότερον, καὶ παιδεύων ἃ χρὴ περὶ αὐτοῦ φαντάζεσθαι, φησί· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; οὐκ εἶπεν, ὅτι πιστεύετε ὅτι δύναμαι παρακαλέσαι τὸν πατέρα μου, ὅτι δύναμαι εὔξασθαι· ἀλλ' ὅτι ἐγὼ δύναμαι τοῦτο ποιῆσαι. τί οὖν ἐκεῖνοι; ναὶ Κύριε. οὐκ ἔτι Δαβὶδ υἱὸν αὐτὸν καλοῦσιν, ἀλλ' ὑψηλότερον ἀναπτῶνται, καὶ τὴν δεσποτείαν ὁμολογοῦσι. καὶ τότε λοιπὸν καὶ αὐτὸς ἐπιτίθησι τὴν χεῖρα, λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. ποιεῖ δὲ τοῦτο τὴν πίστιν αὐτῶν ῥωννὺς, καὶ δεικνὺς μερίτας ὄντας τοῦ κατορθώματος, καὶ μαρτυρῶν ὅτι οὐ κολακείας τὰ ῥήματα ἦν. οὐδὲ γὰρ εἶπεν, ἀνοιχθήτωσαν ὑμῶν οἱ ὀφθαλμοὶ, ἀλλὰ κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν· ὃ πολλοῖς τῶν προσελθόντων λέγει, πρὸ τῆς τῶν σωμάτων ἰατρείας τὴν ἐν τῇ ψυχῇ πίστιν προανακηρύξαι σπεύδων, ὥστε καὶ ἐκείνους εὐδοκιμωτέρους ποιῆσαι, καὶ ἑτέρους σπουδαιοτέρους κατασκευάσαι. οὕτω καὶ ἐπὶ τοῦ παραλυτικοῦ. καὶ γὰρ πρὸ τοῦ σφίγξαι τὸ σῶμα, τὴν ψυχὴν ἀνίστησι κειμένην, λέγων· θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι. καὶ τὸ κοράσιον δὲ ἀναστήσας κατεῖχε, καὶ διὰ τῆς τραπέζης ἐδίδαξεν αὐτὴν τὸν εὐεργέτην· καὶ ἐπὶ τοῦ ἑκατοντάρχου δὲ ὁμοίως ἐποίησε, τῇ πίστει τὸ πᾶν ἐπιτρέψας· καὶ τοὺς μαθητὰς δὲ ἀπαλλάττων τοῦ χειμῶνος τῆς θαλάσσης, τῆς ὀλιγοπιστίας πρότερον ἀπήλλαξεν. οὕτω δὴ καὶ ἐνταῦθα. ᾔδει μὲν γὰρ καὶ πρὸ τῆς ἐκείνων φωνῆς αὐτὸς τὰ ἀπόρρητα τῆς διανοίας· ἵνα δὲ καὶ ἑτέρους εἰς τὸν αὐτὸν ζῆλον ἀγάγῃ, καὶ τοῖς ἄλλοις καταδήλους αὐτοὺς ποιεῖ, διὰ τοῦ τέλους τῆς ἰατρείας τὴν κρυπτομένην αὐτῶν πίστιν ἀνακηρύττων. εἶτα μετὰ τὴν ἰατρείαν κελεύει μηδενὶ εἰπεῖν· καὶ οὐχ ἁπλῶς κελεύει, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος.

Ἐνεβριμήσατο γὰρ αὐτοῖς, φησιν, ὁ Ἰησοῦς, λέγων· ὁρᾶτε, μηδεὶς γινωσκέτω. 31 Οἱ δὲ ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Οὐ μὴν ἠνέσχοντο ἐκεῖνοι, ἀλλ' ἐγένοντο κήρυκες καὶ εὐαγγελισταί· καὶ κελευόμενοι κρύπτειν τὸ γεγενημένον, οὐκ ἠνέσχοντο. εἰ δὲ ἀλλαχοῦ φαίνεται λέγων· ἄπελθε, καὶ διηγοῦ τὴν δόξαν τοῦ Θεοῦ, οὐκ ἔστιν ἐναντίον ἐκεῖνο τούτῳ, ἀλλὰ καὶ σφόδρα συμβαῖνον. παιδεύει γὰρ ἡμᾶς αὐτοὺς μὲν περὶ ἑαυτῶν μηδὲν λέγειν, ἀλλὰ καὶ τοὺς βουλομένους ἡμᾶς ἐγκωμιάζειν κωλύειν· εἰ δὲ εἰς τὸν Θεὸν ἡ δόξα ἀναφέροιτο, μὴ μόνον μὴ κωλύειν, ἀλλὰ καὶ ἐπιτάττειν τοῦτο ποιεῖν.

32 Τούτων ἀπελθόντων, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον.

Οὐ γὰρ τῆς φύσεως ἦν τὸ πάθος, ἀλλὰ τοῦ δαίμονος ἡ ἐπιβουλή· διὸ καὶ ἑτέρων δεῖται τῶν προσαγόντων. οὐδὲ γὰρ δι᾽ ἑαυτοῦ παρακαλέσαι ἠδύνατο ἄφωνος ὤν, οὐδὲ ἑτέροις ἱκετεῦσαι τοῦ δαίμονος δήσαντος τὴν γλῶτταν, καὶ τὴν ψυχὴν μετὰ τῆς γλώττης πεδήσαντος. διὰ τοῦτο οὐδὲ ἀπαιτεῖ πίστιν αὐτόν, ἀλλ᾽ εὐθέως διορθοῦται τὸ νόσημα.

33 Ἐκβληθέντος γὰρ τοῦ δαίμονος, φησιν, ἐλάλησεν ὁ κωφός. οἱ δὲ ὄχλοι ἐθαύμαζον, λέγοντες· οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. Ὃ δὴ μάλιστα ἠνία τοὺς Φαρισαίους, ὅτι πάντων αὐτὸν προὐτίθεσαν, οὐ τῶν τότε ὄντων, ἀλλὰ καὶ τῶν πώποτε γεγενημένων. προὐτίθεσαν δέ, οὐχ ὅτι ἐθεράπευσεν, ἀλλ᾽ ὅτι ῥᾳδίως καὶ ταχέως, καὶ ἄπειρα νοσήματα καὶ ἀνίατα ἔχοντα. καὶ ὁ μὲν δῆμος οὕτως·″ οἱ δὲ Φαρισαῖοι τοὐναντίον ἅπαν. οὐ γὰρ μόνον διαβάλλουσι τὰ γεγενημένα, ἀλλὰ καὶ ἐναντία λέγοντες ἑαυτοῖς οὐκ αἰσχύνονται. τοιοῦτον γὰρ ἡ πονηρία. τί γὰρ φασιν;

34 Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Οὗ τί γένοιτ᾽ ἂν ἀνοητότερον; μάλιστα μὲν γὰρ ὃ καὶ προϊών φησιν, ἀμήχανον δαίμονα ἐκβάλλειν δαίμονα (τὰ γὰρ ἑαυτοῦ συγκροτεῖν εἴωθεν,″ οὐκ ἀναλύειν ἐκεῖνος) αὐτὸς δὲ οὐχὶ δαίμονας ἐξέβαλε μόνον, ἀλλὰ καὶ λεπροὺς ἐκάθηρε καὶ νεκροὺς ἤγειρε, καὶ θάλατταν ἐχαλίνου, καὶ ἁμαρτήματα ἔλυε, καὶ βασιλείαν ἐκήρυττε, καὶ τῷ πατρὶ προσῆγεν· ἅπερ οὔτ᾽ ἂν ἕλοιτό ποτε δαίμων, οὔτ᾽ ἂν δυνηθείη ποτὲ ἐργάσασθαι. οἱ γὰρ δαίμονες εἰδώλοις προσάγουσι, καὶ Θεοῦ ἀπάγουσι, καὶ τῇ μελλούσῃ ζωῇ ἀπιστεῖν πείθουσιν· ὁ δαίμων ὑβριζόμενος οὐκ εὐεργετεῖ, ὅπου γε καὶ μὴ ὑβριζόμενος βλάπτει τοὺς θεραπεύοντας αὐτὸν καὶ τιμῶντας. αὐτὸς δὲ τοὐναντίον ποιεῖ. μετὰ γὰρ τὰς ὕβρεις ταύτας καὶ τὰς λοιδορίας

35 Περιῆγε, φησι, τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν *. Καὶ οὐ μόνον αὐτοὺς οὐκ ἐκόλασεν ἀναισθητοῦντας, ἀλλ᾽ οὐδὲ ἁπλῶς ἐπετίμησεν· ὁμοῦ τε τὴν πρᾳότητα ἐπιδεικνύμενος, καὶ ταύτῃ τὴν κακηγορίαν ἐλέγχων· ὁμοῦ τε βουλόμενος διὰ τῶν ἑξῆς σημείων πλείονα παρασχεῖν τὴν ἀπόδειξιν, καὶ τότε καὶ τὸν ἀπὸ τῶν λόγων ἔλεγχον ἐπάγειν. περιῆγε τοίνυν καὶ ἐν πόλεσι, καὶ ἐν χώραις, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν, παιδεύων ἡμᾶς οὕτως ἀμείβεσθαι τοὺς κακηγόρους, οὐ κακηγορίαις ἑτέραις, ἀλλ᾽ εὐεργεσίαις μείζοσιν. εἰ γὰρ μὴ δι᾽ ἀνθρώπους, ἀλλὰ δι᾽ αὐτὸν Θεὸν εὐεργετεῖς τοὺς ὁμοδούλους, ὅσα ἂν ποιῶσι, μὴ ἀποστῇς εὐεργετῶν, ἵνα μείζων ὁ μισθὸς ᾖ. ὡς ὅ γε μετὰ τὴν κακηγορίαν ἀφιστάμενος τῆς εὐεργεσίας, δείκνυσιν ὅτι διὰ τὸν ἐκείνων ἔπαινον, ἀλλ᾽ οὐ διὰ τὸν Θεὸν τῆς τοιαύτης ἐπιλαμβάνεται ἀρετῆς. διὰ τοῦτο ὁ Χριστὸς παιδεύων ἡμᾶς ὅτι ἐξ ἀγαθότητος μόνης ἐπὶ τοῦτο″ ἤει, οὐ μόνον οὐκ ἀνέμενε πρὸς αὐτὸν ἐλθεῖν τοὺς κάμνοντας, ἀλλὰ καὶ αὐτὸς πρὸς ἐκείνους ἠπείγετο, δύο τὰ μέγιστα αὐτοῖς κομίζων ἀγαθά· ἓν μὲν, τῆς βασιλείας τὸ εὐαγγέλιον· ἕτερον δέ, τὴν πάντων τῶν νοσημάτων διόρθωσιν. καὶ οὐδὲ πόλιν παρεώρα, οὐδὲ κώμην παρέτρεχεν, ἀλλὰ πάντα ἐπῄει τόπον· καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ ἑτέραν πρόνοιαν ἐπιδείκνυται.

36 Ἰδὼν γάρ, φησι, τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν″ ἐσκυλμένοι καὶ ἐρριμμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα.

37 Τότε λέγει τοῖς μαθηταῖς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι.

38 Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

Ὅρα πάλιν τὸ ἀκενόδοξον. ἵνα γὰρ μὴ ἅπαντας πρὸς ἑαυτὸν ἐπισύρηται, ἐκπέμπει τοὺς μαθητάς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ᾽ ἵνα αὐτοὺς καὶ παιδεύσῃ, καθάπερ ἔν τινι παλαίστρᾳ, τῇ Παλαιστίνῃ μελετήσαντας, οὕτω πρὸς τοὺς ἀγῶνας τῆς οἰκουμένης ἀποδύσασθαι. διὰ δὴ τοῦτο καὶ μείζονα τὰ γυμνάσια τῶν ἀγώνων τίθησι, [καὶ] ὅσον εἰς τὴν αὐτῶν ἧκεν ἀρετήν,

τὴν, ἵνα εὐκοπώτερον τῶν μετὰ ταῦτα ἀγώνων ἅψωνται, καθάπερ τινὰς νεοσσοὺς ἁπαλοὺς πρὸς τὸ πτῆναι προσάγων ἤδη· καὶ τέως αὐτοὺς ἰατροὺς σωμάτων ποιεῖ, ὕστερον ταμιευόμενος τὴν τῆς ψυχῆς διόρθωσιν τὴν προηγουμένην. καὶ σκόπει πῶς εὔκολον τὸ πρᾶγμα δείκνυσι καὶ ἀναγκαῖον. τί γάρ φησιν; ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. οὐ γὰρ ἐπὶ τὸν σπόρον ὑμᾶς, φησιν, ἀλλ᾽ ἐπὶ τὸν ἀμητὸν πέμπω. ὅπερ ἐν τῷ Ἰωάννῃ ἔλεγεν· Ιωαν. δ. λη. Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. ταῦτα δὲ ἔλεγε, καὶ τὸ φρόνημα αὐτῶν καταστέλλων, καὶ θαῤῥεῖν παρασκευάζων, καὶ δεικνὺς ὅτι ὁ μείζων προέλαβε πόνος. θέα δὲ καὶ ἐντεῦθεν ἀπὸ φιλανθρωπίας ἀρχόμενον, οὐκ ἐξ ἀμοιβῆς τινος. ἐσπλαγχνίσθη γὰρ ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐῤῥιμμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. αὕτη τῶν ἀρχόντων τῶν Ἰουδαίων ἡ κατηγορία, ὅτι ποιμένες ὄντες τὰ τῶν λύκων ἐπεδείκνυντο. οὐ γὰρ μόνον οὐ διώρθουν τὸ πλῆθος, ἀλλὰ καὶ ἐλυμαίνοντο αὐτῶν τὴν προκοπήν. ἐκείνων γοῦν θαυμαζόντων καὶ λεγόντων, οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ, οὗτοι τὰ ἐναντία ἔλεγον· ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. ἀλλὰ τίνας ἐργάτας ἐνταῦθά φησι; τοὺς δώδεκα μαθητάς. τί οὖν; εἰπών, οἱ δὲ ἐργάται ὀλίγοι, προσέθηκεν αὐτοῖς; οὐδαμῶς· ἀλλ᾽ αὐτοὺς ἔπεμψε. τίνος οὖν ἕνεκεν ἔλεγε, δεήθητε τοῦ κυρίου τοῦ θερισμοῦ ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ, καὶ οὐδένα αὐτοῖς προσέθηκεν; ὅτι καὶ δώδεκα ὄντας πολλοὺς ἐποίησε λοιπόν· οὐχὶ τῷ ἀριθμῷ προσθείς, ἀλλὰ δύναμιν χαρισάμενος. εἶτα δεικνὺς ἡλίκον τὸ δῶρόν ἐστι, φησι· δεήθητε [οὖν] τοῦ κυρίου τοῦ θερισμοῦ, καὶ λανθανόντως ἑαυτὸν ἐμφαίνει τὸν τὸ κῦρος ἔχοντα. εἰπὼν γάρ, δεήθητε τοῦ κυρίου τοῦ θερισμοῦ, οὐδὲν δεηθέντων αὐτῶν οὐδὲ εὐξαμένων, αὐτὸς αὐτοὺς εὐθέως χειροτονεῖ, ἀναμιμνήσκων αὐτοὺς καὶ τῶν Ἰωάννου ῥημάτων, καὶ τῆς ἅλω, καὶ τοῦ λικμῶντος, καὶ τοῦ ἀχύρου καὶ τοῦ σίτου· ὅθεν δῆλον ὅτι αὐτός ἐστιν ὁ γεωργός, αὐτὸς ὁ τοῦ θερισμοῦ κύριος, αὐτὸς ὁ τῶν προφητῶν δεσπότης. εἰ γὰρ θερίζειν ἔπεμψε, δῆλον ὅτι οὐ τὰ ἀλλότρια, ἀλλ᾽ ἃ διὰ τῶν προφητῶν ἔσπειρεν. οὐ ταύτῃ δὲ μόνον αὐτοὺς παρεθάῤῥυνε τῷ θερισμὸν καλέσαι τὴν αὐτῶν διακονίαν, ἀλλὰ καὶ τῷ ποιῆσαι δυνατοὺς πρὸς τὴν διακονίαν.

κεφ. ι. 1 Καὶ προσκαλεσάμενος, φησι, τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Καίτοι οὔπω ἦν πνεῦμα δεδομένον. οὔπω γὰρ ἦν, φησι, πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. πῶς οὖν ἐξέβαλλον τὰ πνεύματα; ἀπὸ τῆς ἐπιταγῆς τῆς αὐτοῦ, ἀπὸ τῆς ἐξουσίας. σκόπει δέ μοι καὶ τὸ εὔκαιρον τῆς ἀποστολῆς. οὐ γὰρ ἐκ προοιμίων αὐτοὺς ἔπεμψεν· ἀλλ᾽ ὅτε ἱκανῶς τῆς ἀκολουθήσεως ἦσαν ἀπολελαυκότες, καὶ εἶδον καὶ νεκρὸν ἐγερθέντα, καὶ θάλατταν ἐπιτιμηθεῖσαν, καὶ δαίμονας ἐλαθέντας, καὶ παραλυτικὸν σφιγέντα, καὶ ἁμαρτήματα λυθέντα, καὶ λεπρὸν καθαρθέντα, καὶ ἀρκοῦσαν αὐτοῦ τῆς δυνάμεως ἀπόδειξιν ἔλαβον καὶ δι᾽ ἔργων καὶ διὰ λόγων, τότε [καὶ] αὐτοὺς ἐκπέμπει. καὶ οὐκ εἰς ἐπικίνδυνα πράγματα (οὐδεὶς γὰρ ἐν Παλαιστίνῃ τέως κίνδυνος ἦν, ἀλλὰ πρὸς κακηγορίας ἔδει ἵστασθαι μόνον) πλὴν καὶ τοῦτο αὐτοῖς προλέγει τὸ περὶ τῶν κινδύνων, προπαρασκευάζων αὐτοὺς καὶ πρὸ τοῦ καιροῦ, καὶ ἐναγωνίους ποιῶν τῇ συνεχεῖ περὶ τούτων προῤῥήσει. εἶτα, ἐπειδὴ δύο συζυγίας ἡμῖν εἶπεν ἀποστόλων, τὴν Πέτρου καὶ Ἰωάννου, καὶ μετ᾽ ἐκείνους τὸν Ματθαῖον ἔδειξε κληθέντα, περὶ δὲ τῆς τῶν ἄλλων ἀποστόλων κλήσεώς τε καὶ προσηγορίας οὐδὲν ἡμῖν διελέχθη, ἐνταῦθα ἀναγκαίως τὸν κατάλογον αὐτῶν καὶ τὸν ἀριθμὸν τίθησι. καὶ τὰ ὀνόματα δῆλα ποιεῖ, λέγων οὕτω·

2 Τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος.

Καὶ γὰρ ἕτερος Σίμων ἦν, ὁ λεγόμενος Κανανίτης· καὶ Ἰούδας ὁ Ἰσκαριώτης, καὶ Ἰούδας ὁ Ἰακώβου· καὶ Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου. ὁ μὲν οὖν Μάρχος καὶ κατ' ἀξίαν αὐτοὺς τίθησι. μετὰ γὰρ τοὺς δύο κορυφαίους τότε τὸν Ἀνδρέαν ἀριθμεῖ· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ διαφόρως, μᾶλλον δὲ καὶ Θωμᾶν τὸν πολὺ καταδεέστερον ἑαυτοῦ προτίθησιν. ἀλλ' ἴδωμεν ″ αὐτῶν ἄνωθεν τὸν κατάλογον. Πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ. Οὐ μικρὸν καὶ τοῦτο τὸ ἐγκώμιον. τὸν μὲν γὰρ ἀπὸ τῆς ἀρετῆς, τὸν δὲ ἀπὸ τῆς ″ εὐγενείας τῆς κατὰ τὸν τρόπον ″ ἐπῄνεσεν.

Εἶτα Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ. Ὁρᾷς πῶς οὐ κατὰ τὴν ἀξίαν τίθησιν; ἐμοὶ γὰρ δοκεῖ ὁ Ἰωάννης οὐχὶ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ τοῦ ἀδελφοῦ μείζων εἶναι. Εἶτα εἰπών,

3 Φίλιππος καὶ Βαρθολομαῖος, ἐπήγαγε· Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης.

Ἀλλ' οὐχ ὁ Λουκᾶς οὕτως· ἀλλ' ἀντιστρόφως, καὶ προτίθησιν αὐτὸν τοῦ Θωμᾶ.

Εἶτα Ἰάκωβος ὁ τοῦ Ἀλφαίου. Ἦν γὰρ, ὡς ἔφθην εἰπὼν, καὶ ὁ τοῦ Ζεβεδαίου. Εἶτα εἰπὼν Λεββαῖον τὸν ″ καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Ζηλωτὴν, ὃν καὶ Κανανίτην καλεῖ, Ἐπὶ τὸν προδότην ἔρχεται. καὶ οὐχ ὡς ἐχθρός τις καὶ πολέμιος, ἀλλ' ὡς ἱστορίαν γράφων οὕτω διηγήσατο. οὐκ εἶπεν, ὁ μιαρὸς καὶ παμμίαρος, ἀλλ' ἀπὸ τῆς πόλεως αὐτὸν μόνον ἐκάλεσεν, Ἰούδας ὁ Ἰσκαριώτης. ἦν γὰρ καὶ ἕτερος Ἰούδας ὁ Λεββαῖος, ὁ καὶ ἐπικληθεὶς Θαδδαῖος, ὃν Ἰακώβου φησὶν εἶναι ὁ Λουκᾶς. ἀπὸ τούτου τοίνυν αὐτὸν διαιρῶν, φησιν·

4 Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Καὶ οὐκ αἰσχύνεται λέγων, ὁ καὶ παραδοὺς αὐτόν. οὕτως οὐδὲν οὐδέποτε οὐδὲ τῶν δοκούντων ἐπονειδίστων εἶναι ἀπέκρυπτον. πρῶτος δὲ πάντων καὶ κορυφαῖος, ὁ ἀγράμματος καὶ ἰδιώτης. ἀλλ' ἴδωμεν ποῦ, καὶ πρὸς τίνας αὐτοὺς πέμπει.

5 Τούτους τοὺς δώδεκα, φησιν, ἀπέστειλεν ὁ Ἰησοῦς. Ποίους τούτους; τοὺς ἁλιέας, τοὺς τελώνας. καὶ γὰρ τέσσαρες ἦσαν ἁλιεῖς, καὶ δύο τελῶναι, Ματθαῖος καὶ Ἰάκωβος· ὁ δὲ εἷς καὶ προδότης. καὶ τί πρὸς αὐτούς φησιν; Εὐθέως παραγγέλλει αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε·

6 Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Μὴ γὰρ δὴ νομίσητε, φησιν, ἐπειδή με ὑβρίζουσι καὶ δαιμονῶντα καλοῦσιν, ὅτι μισῶ αὐτοὺς καὶ ἀποστρέφομαι. καὶ γὰρ πρώτους αὐτοὺς διορθῶσαι ἐσπούδακα, καὶ πάντων ὑμᾶς ἀπάγων τῶν ἄλλων, τούτοις πέμπω διδασκάλους καὶ ἰατρούς· καὶ οὐ μόνον πρὸ τούτων ἄλλοις καταγγεῖλαι κωλύω, ἀλλ' οὐδὲ ὁδοῦ ἅψασθαι τῆς ἐκεῖ φερούσης ἐπιτρέπω, μηδὲ εἰς πόλιν ″ τοιαύτην εἰσελθεῖν. καὶ γὰρ καὶ οἱ Σαμαρεῖται ἐναντίως πρὸς Ἰουδαίους διέκειντο· καίτοιγε εὐκολώτερα τὰ ἐκείνων ἦν (″ πολὺ γὰρ ἐπιτηδειότερον πρὸς τὴν πίστιν εἶχον) τὰ δὲ τούτων χαλεπώτερα. ἀλλ' ὅμως ἐπὶ τὰ δυσκολώτερα πέμπει, τὴν κηδεμονίαν τὴν περὶ αὐτοὺς ἐνδεικνύμενος, καὶ τὰ στόματα τῶν Ἰουδαίων ″ ἀποφράττων, καὶ προοδοποιῶν τῇ διδασκαλίᾳ τῶν ἀποστόλων, ἵνα μὴ πάλιν ″ ἐγκαλῶσιν, ὅτι πρὸς ἀκροβύστους [Ἀσσυρίους] εἰσῆλθον, καὶ δικαίαν δόξωσιν ἔχειν αἰτίαν τοῦ φεύγειν αὐτοὺς καὶ ἀποστρέφεσθαι. καὶ πρόβατα αὐτοὺς καλεῖ ἀπολωλότα, οὐκ ″ ἀποπηδήσαντα, πανταχόθεν συγγνώμην αὐτοῖς ἐπινοῶν, καὶ ἐφελκόμενος αὐτῶν τὴν γνώμην.

7 Πορευόμενοι δὲ, φησι, κηρύττετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

Εἶδες διακονίας μέγεθος; εἶδες ἀποστόλων ἀξίωμα; οὐδὲν αἰσθητὸν κελεύονται λέγειν, οὐδὲ οἷα οἱ περὶ Μωϋσέα καὶ τοὺς προφήτας τοὺς ἔμπροσθεν, ἀλλὰ καινά τινα καὶ παράδοξα. οὐ γὰρ τοιαῦτα ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθά· οἱ δὲ βασιλείαν οὐρανῶν, καὶ τὰ ἐκεῖ ἅπαντα. οὐκ ἐντεῦθεν δὲ μόνον οὗτοι μείζους, ἀλλὰ καὶ ἐκ τῆς ὑπακοῆς. οὐδὲ γὰρ ἀναδύονται οὐδὲ ὀκνοῦσι, καθάπερ οἱ ″ παλαιοὶ, ἀλλὰ καίτοι κινδύνους καὶ πολέμους καὶ τὰ ἀφόρητα ἀκούοντες κακὰ, μετὰ πολλῆς δέχονται τῆς πειθοῦς τὰ ἐπιτάγματα, ἅτε βασιλείας κήρυκες ὄντες. καὶ τί θαυμαστὸν, φησὶν, εἰ μηδὲν σκυθρωπὸν κηρύττοντες καὶ χαλεπὸν, εὐκόλως ὑπήκουσαν; τί λέγεις; οὐδὲν χαλεπὸν ἐπετάγησαν; οὐκ ἀκούεις τῶν δεσμωτηρίων; τῶν ἀπαγωγῶν; τῶν πολέμων τῶν ἐμφυλίων; τοῦ παρὰ πάντων μίσους; ἅπερ ἅπαντα μικρὸν ὕστερον″ αὐτοῖς ἀπαντήσεσθαι ἔλεγεν. ἑτέροις μὲν γὰρ μυρίων ἐσομένους ἀγαθῶν προξένους καὶ κήρυκας ἔπεμπεν· αὐτοὺς δὲ ἀνήκεστα δεινὰ πείσεσθαι ἔλεγε καὶ προανεφώνει. Εἶτα, ποιῶν αὐτοὺς ἀξιοπίστους, φησίν·

8 Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, * δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε. Ορα πῶς τῶν ἠθῶν αὐτῶν ἐπιμελεῖται, καὶ οὐκ ἔλαττον ἢ τῶν σημείων, δεικνὺς ὅτι τὰ σημεῖα τούτων χωρὶς οὐδέν ἐστι. καὶ γὰρ τὰ φρονήματα αὐτῶν καταστέλλει λέγων, δωρεὰν ἐλάβετε, δωρεὰν δότε, καὶ φιλοχρηματίας καθαρεύειν παρασκευάζει. Εἶτα, ἵνα μὴ νομισθῇ αὐτῶν εἶναι κατόρθωμα, καὶ ἐπαρθῶσιν ἀπὸ τῶν [γινομένων] σημείων, φησί· δωρεὰν ἐλάβετε· οὐδὲν χαρίζεσθε τοῖς δεχομένοις ὑμᾶς. ″οὐ γὰρ μισθὸν ταῦτα ἐλάβετε, οὐδὲ πονήσαντες. ἐμὴ γὰρ ἡ χάρις· οὕτως οὖν καὶ ἐκείνοις δότε. οὐδὲ γάρ ἐστι τιμὴν ἀξίαν αὐτῶν εὑρεῖν. Εἶτα τὴν ῥίζαν τῶν κακῶν εὐθέως ἀνασπῶν, φησί·

9 Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν,

10 Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον.

Οὐκ εἶπε, μὴ λάβητε μεθ' ἑαυτῶν, ἀλλὰ κἂν ἑτέρωθεν ἐξῇ λαβεῖν, φύγε τὸ πονηρὸν νόσημα. καὶ γὰρ πολλὰ διὰ τούτου κατώρθου· ἓν μὲν, ἀνυπόπτους ποιῶν τοὺς μαθητάς· δεύτερον δὲ, πάσης αὐτοὺς ἀπαλλάττων φροντίδος, ὥστε [τὴν] σχολὴν πᾶσαν τῷ λόγῳ παρέχειν· τρίτον, διδάσκων αὐτοὺς τὴν ἑαυτοῦ δύναμιν. τοῦτο γοῦν αὐτοῖς καὶ λέγει μετὰ ταῦτα· μή τινος ὑστερήσατε, ὅτε ἔπεμψα ὑμᾶς γυμνοὺς καὶ ἀνυποδήτους; καὶ οὐκ εὐθέως λέγει, μὴ κτήσησθε, ἀλλ' ὅτε εἶπε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε, τότε εἶπε, μηδὲν κτήσησθε, τότε ἐπήγαγε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε, καὶ τὸ συμφέρον διὰ τῶν πραγμάτων, καὶ τὸ πρέπον αὐτοῖς καὶ τὸ δυνατὸν παρεχόμενος. ἀλλ' ἴσως εἴποι τις ἂν, ὅτι τὰ μὲν ἄλλα λόγον ἂν ἔχοι· τὸ δὲ μηδὲ πήραν ἔχειν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μὴ ῥάβδον, μηδὲ ὑποδήματα, τίνος ἕνεκεν ἐπέταξεν; εἰς πᾶσαν αὐτοὺς ἀκρίβειαν ἀσκῆσαι βουλόμενος· ἐπεὶ καὶ ἀνωτέρω, οὐδὲ ὑπὲρ τῆς ἐπιούσης ἡμέρας μεριμνᾶν ἐπέτρεψε. καὶ γὰρ τῇ οἰκουμένῃ διδασκάλους ἔμελλεν ἀποστέλλειν. διὰ τοῦτο καὶ ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων, ὡς εἰπεῖν, κατασκευάζει, πάσης ἀπολύων φροντίδος βιωτικῆς, ὥστε μιᾷ κατέχεσθαι φροντίδι μόνῃ, τῇ τῆς διδασκαλίας· μᾶλλον δὲ καὶ ἐκείνης αὐτοὺς ἀπολύει λέγων, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε. ὥστε ὃ δοκεῖ σφόδρα φορτικὸν εἶναι καὶ ἐπαχθὲς, τοῦτο μάλιστα εὔκολον αὐτοῖς ἀποφαίνει καὶ ῥᾴδιον. οὐδὲν γὰρ οὕτως εὐθυμεῖσθαι ποιεῖ, ὡς τὸ φροντίδος ἀπηλλάχθαι καὶ μερίμνης· καὶ μάλιστα, ὅταν ἐξῇ ταύτης ἀπηλλαγμένους″ μηδενὸς ἐλαττοῦσθαι, τοῦ Θεοῦ παρόντος καὶ ἀντὶ πάντων αὐτοῖς γινομένου. Εἶτα ἵνα μὴ λέγωσι, πόθεν οὖν τῆς ἀναγκαίας ἀπολαύσομεν τροφῆς, οὐ λέγει αὐτοῖς, ὅτι ἠκούσατε ὅτι εἶπον ὑμῖν ἔμπροσθεν, ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ (οὔπω γὰρ ἦσαν δυνατοὶ τὸ ἐπίταγμα τοῦτο ἐπὶ τῶν ἔργων ἐπιδεῖξαι) ἀλλὰ τὸ πολὺ τούτου καταδεέστερον ἐπήγαγε, λέγων· Αξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι,

Δηλῶν ὅτι παρὰ τῶν μαθητῶν αὐτοὺς τρέφεσθαι″ δεῖ, ἵνα μήτε αὐτοὶ μέγα φρονῶσι κατὰ τῶν μαθητευομένων, ὡς πάντα″ παρέχοντες καὶ μηδὲν λαμβάνοντες παρ' αὐτῶν, μήτε ἐκεῖνοι πάλιν ἀπορραγῶσιν ὑπερορώμενοι παρὰ τούτων. Εἶτα, ἵνα μὴ λέγωσι, προσαιτοῦντας οὖν ἡμᾶς κελεύεις ζῆν, καὶ αἰσχύνωνται τοῦτο, δείκνυσι τὸ πρᾶγμα ὀφειλὴν ὂν, ἐργάτας τε αὐτοὺς καλῶν, καὶ τὸ διδόμενον μισθὸν″ ὀνομάζων. μὴ γὰρ, ἐπειδὴ ἐν λόγοις ἡ ἐργασία, φησὶ, νομίσητε μικρὰν εἶναι τὴν εὐεργεσίαν τὴν παρ' ὑμῶν. καὶ γὰρ πόνους ἔχει τὸ πρᾶγμα πολλούς·

λοις· καὶ ὅπερ ἂν δῶσιν οἱ διδασκόμενοι, οὐ χαριζόμενοι παρέχουσιν, ἀλλ' ἀμοιβὴν ἀποδιδόντες. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. καὶ τοῦτο δὲ εἴρηκεν, οὐ τοσούτου τοὺς ἀποστολικοὺς ἀποφαίνων πόνους ἀξίους (ἄπαγε, μὴ γένοιτο) ἀλλὰ καὶ ἐκείνοις νομοθετῶν μηδὲν πλέον ζητεῖν, καὶ τοὺς παρέχοντας πείθων ὅτι οὐ φιλοτιμία τὸ γινόμενον παρ' αὐτῶν ἐστιν, ἀλλ' ὀφειλή.

11 Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐρωτήσατε τίς ἄξιος ἐν αὐτῇ ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε. Οὐδὲ γάρ, ἐπειδὴ εἶπον, φησιν, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι, τὰς πάντων θύρας ὑμῖν ἀνέῳξα· ἀλλὰ καὶ ἐνταῦθα πολλὴν κελεύω ποιεῖσθαι τὴν ἀκρίβειαν. τοῦτο γὰρ καὶ εἰς δόξαν ὑμᾶς ὠφελήσει, καὶ εἰς αὐτὸ τὸ τρέφεσθαι. εἰ γὰρ ἄξιός ἐστι, πάντως δώσει τροφήν· καὶ μάλιστα, ὅταν μηδὲν πλέον τῶν ἀναγκαίων αἰτῆτε. οὐ μόνον δὲ ἀξίους κελεύει ζητεῖν, ἀλλὰ μηδὲ οἰκίαν ἐξ οἰκίας ἀμείβειν, ὥστε μηδὲ τὸν δεχόμενον λυπεῖν, μήτε αὐτοὺς δόξαν λαβεῖν γαστριμαργίας καὶ εὐκολίας. τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε. καὶ τοῦτο καὶ ἐκ τῶν ἄλλων εὐαγγελιστῶν ἐστι καταμαθεῖν. Εἶδες πῶς αὐτοὺς καὶ ταύτῃ σεμνοὺς ἐποίησε, καὶ τοὺς δεχομένους ἐναγωνίους, δείξας ὅτι αὐτοὶ μᾶλλόν εἰσιν οἱ κερδαίνοντες καὶ εἰς δόξαν καὶ εἰς ὠφελείας λόγον; εἶτα αὐτὸ τοῦτο πάλιν ἐπεξιών, φησιν·

12 Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν.

13 Καὶ ἂν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστραφήτω. Ὁρᾷς μέχρι τίνος οὐ παραιτεῖται διατάττεσθαι; καὶ μάλα εἰκότως. ἀθλητὰς γὰρ εὐσεβείας καὶ κήρυκας κατεσκεύαζε τῆς οἰκουμένης, καὶ ταύτῃ καὶ μετριάζειν αὐτοὺς παρασκευάζων, καὶ ἐπεράστους ποιῶν, φησί·

14 Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τῶν λόγων ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας, ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.

15 Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Μὴ γὰρ ἐπειδὴ διδάσκετε, φησι, διὰ τοῦτο περιμένετε παρὰ τῶν ἑτέρων ἀσπάζεσθαι, ἀλλὰ προηγεῖσθε τῆς τιμῆς. εἶτα δεικνὺς ὅτι οὐκ ἀσπασμὸς τοῦτο ἐστὶ ψιλός, ἀλλ' εὐλογία, ἐὰν ᾖ, φησιν, ἀξία ἡ οἰκία, ἥξει ἐπ' αὐτήν· ἐὰν δὲ ὑβρίζῃ, πρώτη μὲν κόλασις, τὸ μὴ ἀπόνασθαί τι τῆς εἰρήνης· δευτέρα δέ, ὅτι τὰ Σοδόμων πείσεται. καὶ τί πρὸς ἡμᾶς, φησιν, ἡ ἐκείνων κόλασις; ἕξετε τὰς τῶν ἀξίων οἰκίας. τί δὲ βούλεται τό, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν; ἢ ὥστε δεῖξαι ὅτι οὐδὲν ἔλαβον παρ' αὐτῶν, ἢ ὥστε εἰς μαρτύριον αὐτοῖς γενέσθαι τῆς μακρᾶς ὁδοιπορίας, ἣν ἐστείλαντο δι' αὐτούς. σὺ δέ μοι σκόπει πῶς οὐδέπω τὸ πᾶν αὐτοῖς δίδωσιν. οὐδὲ γὰρ πρόγνωσιν τέως αὐτοῖς χαρίζεται, ὥστε μαθεῖν, τίς ἄξιος, καὶ τίς οὐ τοιοῦτος· ἀλλὰ περιεργάζεσθαι καὶ τὴν πεῖραν ἀναμένειν κελεύει. πῶς οὖν αὐτὸς παρὰ τελώνῃ ἔμενεν; ὅτι ἄξιος γέγονεν ἐκ τῆς μεταβολῆς. σὺ δέ μοι σκόπει πῶς πάντων αὐτοὺς γυμνώσας πάντα αὐτοῖς ἔδωκεν, ἐπιτρέψας ἐν ταῖς τῶν μαθητευομένων μένειν οἰκίαις, καὶ οὐδὲν ἔχοντας εἰσιέναι. οὕτω γὰρ καὶ αὐτοὶ τῆς φροντίδος ἀπηλλάττοντο, κἀκείνους ἔπειθον ὅτι διὰ τὴν αὐτῶν παραγεγόνασι σωτηρίαν μόνην, καὶ τῷ μηδὲν ἐπιφέρεσθαι, καὶ τῷ μηδὲν πλέον αὐτοὺς ἀπαιτεῖν τῶν ἀναγκαίων, καὶ τῷ μὴ πρὸς πάντας ἁπλῶς εἰσιέναι. οὐδὲ γὰρ ἀπὸ τῶν σημείων αὐτοὺς ἐβούλετο φαίνεσθαι λαμπροὺς μόνον, ἀλλὰ καὶ πρὸ τῶν σημείων ἀπὸ τῆς οἰκείας ἀρετῆς. οὐδὲν γὰρ οὕτω χαρακτηρίζει φιλοσοφίαν, ὡς τὸ ἀπέριττον καὶ κατὰ τὸ ἐγχωροῦν ἀνενδεές. τοῦτο καὶ οἱ ψευδαπόστολοι ᾔδεσαν. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ὡς καὶ ἡμεῖς. εἰ δὲ ἐπὶ ξένης ὄντας καὶ πρὸς ἀγνῶτας ἀπιόντας οὐδὲν δεῖ πλέον ζητεῖν τῆς ἐφημέρου τροφῆς, πολλῷ μᾶλλον οἴκοι μένοντας.

ΗΘΙΚΟΝ

Ταῦτα μὴ ἀκούωμεν μόνον, ἀλλὰ καὶ μιμώμεθα. οὐ γὰρ περὶ τῶν ἀποστόλων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ τῶν μετὰ ταῦτα ἁγίων. γινώμεθα τοίνυν αὐτῶν ἄξιοι τῆς ὑποδοχῆς. ἀπὸ γὰρ τῆς γνώμης τῶν ὑποδεχομένων καὶ ἡ εἰρήνη ἔρχεται αὕτη, καὶ ἀφίσταται πάλιν. οὐδὲ γὰρ μόνον ἀπὸ τῆς τῶν διδασκόντων παῤῥησίας, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν λαμβανόντων ἀξίας τοῦτο γίνεται. μηδὲ μικρὰν νομίζωμεν εἶναι ζημίαν, τὸ μὴ ἀπολαῦσαι τοιαύτης εἰρήνης. ταύτην γὰρ καὶ ὁ προφήτης ἄνωθεν προαναφωνεῖ λέγων· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. εἶτα αὐτῆς τὸ ἀξίωμα ἑρμηνεύων ἐπήγαγε· τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. ταύτην καὶ ὁ Χριστὸς μεγάλην οὖσαν ἀπέφηνεν, εἰπών· Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ δεῖ πάντα ποιεῖν, ὥστε αὐτῆς ἀπολαύειν, καὶ ἐν οἰκίᾳ καὶ ἐν ἐκκλησίᾳ. καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ προεστὼς δίδωσιν εἰρήνην. καὶ τοῦτο ἐκείνου τύπος ἐστί, καὶ δεῖ μετὰ πάσης αὐτὴν δέχεσθαι τῆς προθυμίας, τῇ γνώμῃ πρὸ τῆς τραπέζης. εἰ γὰρ τὸ ἀπὸ τῆς τραπέζης μὴ μεταδιδόναι φορτικὸν, τὸ τὸν λέγοντα διακρούεσθαι, πόσῳ μᾶλλον ἂν φορτικώτερον; διὰ σὲ κάθηται ὁ πρεσβύτερος, διὰ σὲ ἕστηκεν ὁ διάκονος πονῶν καὶ ταλαιπωρούμενος. τίνα οὖν ἕξεις ἀπολογίαν, μηδὲ τὴν ἐκ τῆς ἀκροάσεως αὐτῷ παρέχων ὑποδοχήν; καὶ γὰρ οἰκία κοινὴ πάντων ἐστὶν ἡ ἐκκλησία, καὶ προλαβόντων ὑμῶν εἴσιμεν ἡμεῖς, τὸν ἐκείνων τύπον διατηροῦντες. διὰ τοῦτο καὶ κοινῇ πᾶσι τὴν εἰρήνην ἐπιλέγομεν εἰσιόντες εὐθέως, κατὰ τὸν νόμον ἐκεῖνον. μηδεὶς τοίνυν ἔστω ῥάθυμος, μηδεὶς μετέωρος, εἰσελθόντων τῶν ἱερέων καὶ λεγόντων. οὐδὲ γὰρ μικρὰ ἐπὶ τούτῳ κεῖται κόλασις. καὶ γὰρ βουλοίμην ἂν ἔγωγε μυριάκις εἰς οἰκίαν τινὸς ὑμῶν εἰσελθὼν ἐξαπορηθῆναι, ἢ ἐνταῦθα λέγων μὴ ἀκουσθῆναι. τοῦτο ἐμοὶ φορτικώτερον ἐκείνου· ἐπειδὴ καὶ κυριωτέρα αὕτη ἡ οἰκία. καὶ γὰρ τὰ μεγάλα ἡμῶν ἐνταῦθα κεῖται κτήματα, ἐνταῦθα ἡμῶν αἱ ἐλπίδες πᾶσαι. τί γὰρ οὐχὶ ἐνταῦθα μέγα καὶ φρικῶδες; καὶ γὰρ ἡ τράπεζα αὕτη πολλῷ τιμιωτέρα ἐκείνης καὶ ἡδίων, καὶ ἡ λυχνία τῆς λυχνίας· καὶ ἴσασιν ὅσοι μετὰ πίστεως καὶ εὐκαίρως ἐλαίῳ χρισάμενοι νοσήματα ἔλυσαν· καὶ τὸ κιβώτιον δὲ τοῦτο ἐκείνου τοῦ κιβωτίου πολλῷ βέλτιον καὶ ἀναγκαιότερον (οὐ γὰρ ἱμάτια, ἀλλ' ἐλεημοσύνην ἔχει συγκεκλεισμένην, εἰ καὶ ὀλίγοι εἰσὶν οἱ κεκτημένοι ἐνταῦθα) καὶ κλίνη ἐκείνης βελτίων. ἡ γὰρ τῶν θείων γραφῶν ἀνάπαυσις πάσης κλίνης ἡδίων ἐστί. καὶ εἰ καλῶς ἦν ἡμῖν τὰ τῆς ὁμονοίας κατωρθωμένα, οὔτ' ἂν ἑτέραν ἔσχομεν παρὰ ταύτην οἰκίαν. καὶ ὅτι οὐ φορτικὸν τὸ εἰρημένον, μαρτυροῦσιν οἱ τρισχίλιοι καὶ οἱ πεντακισχίλιοι, καὶ οἰκίαν καὶ τράπεζαν καὶ ψυχὴν ἐσχηκότες μίαν. Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων, φησὶν, ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἐπειδὴ δὲ πολὺ τῆς ἐκείνων ἀποδέομεν ἀρετῆς, καὶ διῳκίσμεθα κατὰ τὰς οἰκίας, κἂν, ἡνίκα ἐνθάδε συλλεγώμεθα, μετὰ προθυμίας τοῦτο ποιῶμεν. εἰ γὰρ ἐν τοῖς ἄλλοις πτωχοὶ καὶ πένητές ἐσμεν, ἀλλ' ἐν τούτοις πλούσιοι. διὸ κἂν ἐνταῦθα δέξασθε μετὰ ἀγάπης εἰσιόντας ἡμᾶς πρὸς ὑμᾶς· καὶ ὅταν εἴπω, Εἰρήνη ὑμῖν, εἶτα εἴπητε, Καὶ τῷ πνεύματί σου, μὴ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ λέγετε· μὴ τῷ στόματι, ἀλλὰ καὶ τῇ διανοίᾳ. ἂν δὲ ἐνταῦθα μὲν λέγῃς, Εἰρήνη καὶ τῷ πνεύματί σου· ἔξω δέ μοι πολεμῇς διασύρων καὶ κακηγορῶν, μυρίοις λάθρα πλύνων ὀνείδεσι, ποία εἰρήνη αὕτη; ἐγὼ μὲν γὰρ, κἂν μυριάκις κακηγορήσῃς, μετὰ καθαρᾶς καρδίας τὴν εἰρήνην σοι δίδωμι, μετὰ εἰλικρινοῦς γνώμης, καὶ πονηρὸν οὐδὲν δύναμαί ποτε περὶ σοῦ εἰπεῖν. σπλάγχνα γὰρ ἔχω πατρικά. κἂν ἐπιπλήξω ποτὲ, κηδόμενος τοῦτο ποιῶ. σὺ δὲ λάθρα δάκνων καὶ μὴ δεχόμενός με ἐν τῇ δεσποτικῇ οἰκίᾳ, δέδοικα μὴ πάλιν μοι τὴν ἀθυμίαν αὐξήσῃς· οὐκ ἐπειδὴ ὕβρισας, οὐδὲ ἐπειδὴ ἐξέβαλες, ἀλλ' ἐπειδὴ τὴν εἰρήνην ἀπεκρούσω, καὶ τὴν χαλεπὴν ἐκείνην ἐπεσπάσω κόλασιν. κἂν γὰρ μὴ ἐκτινάξω τὸν κονιορτὸν ἐγὼ, κἂν μὴ ἀποστραφῶ, τὰ τῆς ἀπειλῆς ἀκίνητα μένει. ἐγὼ μὲν γὰρ ἐπιλέγω πολλάκις ὑμῖν εἰρήνην, καὶ ἀεὶ τοῦτο λέγων οὐ παύσομαι· ἂν δὲ καὶ μετὰ τῶν ὕβρεων με δέξησθε, οὐδὲ οὕτω τὸν κονιορτὸν ἐκτινάσσω· οὐκ ἐπειδὴ

Ησαι. α. ιε.

ω. ι. ιε.

Ιωαν. ιδ. κζ.

Πρ. δ. λβ.

ἐπειδὴ παρακούω τοῦ δεσπότου, ἀλλ' ἐπειδὴ σφόδρα ὑμῶν ἐκκαίομαι. ἄλλως δὲ, οὐδὲ ἔπαθόν τι δι' ὑμᾶς, οὔτε μακρὰν ἦλθον ἀποδημίαν, οὐδὲ μετὰ τοῦ σχήματος ἐκείνου καὶ τῆς ἀκτημοσύνης ἦλθον (διὸ τοῦτο περαιτέρω ἑαυτοῖς ἐγκαλοῦμεν) οὐδὲ χωρὶς ὑποδημάτων καὶ δευτέρου χιτῶνος· διὰ τοῦτο τάχα καὶ τὰ παρ' ὑμῶν ἐλιμπάνετε. πλὴν ἀλλ' οὐκ ἀρκεῖ τοῦτο ὑμῖν εἰς ἀπολογίαν· ἀλλ' ἡμῖν μὲν τὸ κρίμα μεῖζον, ὑμῖν δὲ συγγνώμης οὐ μεταδίδωσι. τότε αἱ οἰκίαι ἐκκλησίαι ἦσαν, νῦν δὲ ἡ ἐκκλησία οἰκία γέγονεν. οὐδὲν ἦν τότε ἐν οἰκίᾳ λαλῆσαι βιωτικόν· οὐδὲν ἐστὶ νῦν ἐν ἐκκλησίᾳ πνευματικὸν εἰπεῖν, ἀλλὰ καὶ ἐνταῦθα τὰ ἐκ τῆς ἀγορᾶς ἐπεισάγετε, καὶ τοῦ Θεοῦ διαλεγομένου ἀφέντες τὸ σιγῇ τῶν λεγομένων ἀκούειν, τἀναντία φέροντες "ἐμβάλλετε πράγματα. καὶ εἴθε τὰ ὑμέτερα· νυνὶ δὲ τὰ μηδὲν ὑμῖν προσήκοντα καὶ λέγετε καὶ ἀκούετε. διὰ ταῦτα θρηνῶ, καὶ θρηνῶν οὐ παύσομαι. οὐδὲ γάρ εἰμι κύριος τὴν οἰκίαν ἀμεῖψαι ταύτην, ἀλλ' ἐνταῦθα ἀνάγκη μένειν, ἕως ἂν ἐκ τοῦ παρόντος ἐξέλθωμεν βίου. χωρήσατε τοίνυν ἡμᾶς, καθὼς ὁ Παῦλος ἐκέλευσεν. οὐδὲ γὰρ περὶ τραπέζης ἐκεῖ τὸ εἰρημένον ἦν αὐτῷ, ἀλλὰ περὶ γνώμης καὶ διανοίας. τοῦτο καὶ ἡμεῖς παρ' ὑμῶν ζητοῦμεν, τὴν ἀγάπην, τὴν φιλίαν τὴν θερμὴν ἐκείνην καὶ γνησίαν. εἰ δὲ οὐδὲ τοῦτο ἀνέχεσθε, κἂν ὑμᾶς αὐτοὺς φιλήσατε τὴν παροῦσαν ἀποτιθέμενοι ῥᾳθυμίαν. ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ἡμῖν, ἂν ἴδωμεν εὐδοκιμοῦντας καὶ γινομένους βελτίους ὑμᾶς. οὕτω καὶ αὐτὸς μείζονα ἐπιδείξομαι τὴν ἀγάπην, εἰ καὶ περισσότερον ἀγαπῶν ἧττον ἀγαπῶμαι. καὶ γὰρ πολλὰ ἡμᾶς ἐστὶ τὰ συνάγοντα· μία τράπεζα πρόκειται πᾶσιν, εἷς ἐγέννησεν ἡμᾶς πατὴρ, τὰς αὐτὰς πάντες ἐλύσαμεν ὠδῖνας, τὸ αὐτὸ ποτὸν ἅπασι δέδοται· μᾶλλον δὲ οὐ μόνον τὸ αὐτὸ ποτὸν, ἀλλὰ καὶ ἐξ ἑνὸς ποτηρίου. ὁ γὰρ πατὴρ βουλόμενος ἡμᾶς εἰς φιλοστοργίαν ἀγαγεῖν, καὶ τοῦτο ἐμηχανήσατο, ἐξ ἑνὸς ποτηρίου πίνειν ποιήσας ἡμᾶς· ὅπερ ἐπιτεταμένης ἐστὶν ἀγάπης. ἀλλ' οὐκ ἐσμὲν ἄξιοι τῶν ἀποστόλων ἡμεῖς. ὁμολογῶ κἀγὼ, καὶ οὐκ ἄν ποτε ἀρνηθείην. οὐ γὰρ μόνον ἐκείνων, ἀλλ' οὐδὲ τῆς σκιᾶς ἄξιοι τῆς ἐκείνων ἡμεῖς. ἀλλ' ὅμως τὰ παρ' ὑμῶν* γινέσθω· οὐδὲν ὑμᾶς τοῦτο καταισχῦναι δυνήσεται, ἀλλὰ καὶ ὠφελῆσαι μειζόνως. ὅταν γὰρ καὶ περὶ ἀναξίους τοσαύτην ἐπιδείξησθε τὴν ἀγάπην καὶ τὴν ὑπακοὴν, τότε μείζονα λήψεσθε τὴν ἀντίδοσιν. οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν (ἐπεὶ μηδέ ἐστιν "ἡμῖν διδάσκαλος ἐπὶ τῆς γῆς) ἀλλ' ἃ παρελάβομεν, καὶ δίδαμεν, καὶ διδόντες οὐδὲν πλέον ἐπιζητοῦμεν παρ' ὑμῶν, ἀλλ' ἢ τὸ φιλεῖσθαι μόνον. εἰ δὲ ἀνάξιοι καὶ τούτου, ἀλλ' ἀπὸ τοῦ φιλεῖν ὑμᾶς ἄξιοι ταχέως ἐσόμεθα. καίτοιγε προσετάγημεν μὴ τοὺς φιλοῦντας φιλεῖν μόνον, ἀλλὰ καὶ τοὺς ἐχθρούς. τίς οὖν οὕτως ἀπηνὴς, τίς οὕτως ἄγριος, ὃς τοιοῦτον δεξάμενος νόμον, καὶ τοὺς φιλοῦντας ἀποστραφήσεται καὶ μισήσει, κἂν μυρίων κακῶν ἀνάμεστος ᾖ; ἐκοινωνήσαμεν τραπέζης πνευματικῆς· κοινωνήσωμεν καὶ ἀγάπης πνευματικῆς. εἰ γὰρ λῃσταὶ, κοινωνήσαντες ἁλῶν, ἐπιλανθάνονται τοῦ τρόπου, τίνα ἕξομεν ἀπολογίαν ἡμεῖς, σώματος [ἀεὶ] δεσποτικοῦ μετέχοντες, καὶ οὐδὲ τὴν ἐκείνων μιμούμενοι ἡμερότητα; καίτοιγε πολλοῖς οὐχὶ τράπεζα μόνον, ἀλλὰ καὶ τὸ πόλεως εἶναι μιᾶς ἤρκεσεν εἰς φιλίαν· ἡμεῖς δὲ, ὅταν καὶ πόλιν τὴν αὐτὴν ἔχωμεν, καὶ οἰκίαν τὴν αὐτὴν, καὶ τράπεζαν, καὶ ὁδὸν, καὶ θύραν, καὶ ῥίζαν, καὶ ζωὴν, καὶ κεφαλὴν, καὶ ποιμένα τὸν αὐτὸν, καὶ βασιλέα, καὶ διδάσκαλον, καὶ κριτὴν, καὶ δημιουργὸν, καὶ πατέρα, καὶ πάντα ἡμῖν ᾖ κοινὰ, τίνος ἂν εἶμεν συγγνώμης ἄξιοι ἀπ' ἀλλήλων διαιρούμενοι; ἀλλὰ τὰ σημεῖα ἐπιζητεῖτε, ἅπερ εἰσιόντες ἐποίουν ἐκεῖνοι, τοὺς λεπροὺς τοὺς καθαιρομένους, καὶ τοὺς δαίμονας τοὺς ἐλαυνομένους, καὶ τοὺς ἐγειρομένους νεκρούς; ἀλλὰ καὶ τοῦτο [καὶ] τῆς εὐγενείας ὑμῶν μέγιστον δεῖγμα καὶ τῆς ἀγάπης, τὸ μὴ μετ' ἐνεχύρων πιστεύειν τῷ Θεῷ. καὶ γὰρ καὶ διὰ τοῦτο, καὶ δι' ἕτερον τὰ σημεῖα ἔπαυσεν ὁ Θεός. εἰ γὰρ, οὐ γινομένων σημείων, τοῖς πλεονεκτήμασιν ἑτέροις κομῶντες, "οἱονεὶ λόγου σοφίᾳ, ἢ εὐλαβείας ἐπιδείξει, κενοδοξοῦσιν, ἐπαίρονται, ἀπ' ἀλλήλων

λων ἀξίζονται· εἰ καὶ σημεῖα ἐγένοντο, ποῦ οὐκ ἂν ἐξελύετο ῥήματα; καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, μαρτυροῦσι Κορίνθιοι εἰς πολλὰ ἐντεῦθεν διαιρεθέντες μέρη. μὴ δὴ σημεῖα ζήτει, ἀλλὰ ψυχῆς ὑγείαν· μὴ ζήτει νεκρὸν ἕνα ἰδεῖν ἐγειρόμενον. καὶ γὰρ ἔμαθες ὅτι ὁλόκληρος ἡ οἰκουμένη ἀνίσταται. μὴ ζήτει τυφλὸν ἰδεῖν θεραπευόμενον, ἀλλ' ὅρα πάντας ἀναβλέποντας νῦν τὴν βελτίω καὶ χρησιμωτέραν ἀνάβλεψιν, καὶ μάθε καὶ σὺ σωφρόνως ὁρᾶν, καὶ διόρθωσαί σου τὸν ὀφθαλμόν. καὶ γὰρ εἰ πάντες ὡς ἐχρῆν ἐζῶμεν, μᾶλλον ἂν τῶν θαυματουργησάντων ἐθαύμασαν ἂν ἡμᾶς Ἑλλήνων παῖδες. τὰ μὲν γὰρ σημεῖα, καὶ φαντασίας ὑπόνοιαν ἔχει πολλάκις, καὶ ἑτέραν πονηρὰν ὑποψίαν, εἰ καὶ τὰ ἡμέτερα οὐ τοιαῦτα· βίος δὲ καθαρὸς οὐδεμίαν τοιαύτην ἐπήρειαν δύναται δέξασθαι· ἀλλὰ πάντων ἐμφράττει τὰ στόματα τῆς ἀρετῆς ἡ κτῆσις. Ταύτης τοίνυν ἐπιμελώμεθα. πολὺς γὰρ αὐτῆς ὁ πλοῦτος καὶ τὸ θαῦμα μέγα. αὕτη τὴν ὄντως ἐλευθερίαν παρέχει, καὶ ἐν τῇ δουλείᾳ θεωρεῖσθαι ταύτην παρασκευάζει, οὐκ ἀπαλλάττουσα τῆς δουλείας, ἀλλὰ δούλους μένοντας ἐλευθέρων ἀποφαίνουσα σεμνοτέρους, ὃ τοῦ δοῦναι ἐλευθερίαν πολλῷ πλέον ἐστίν· οὐ ποιοῦσα πλούσιον τὸν πένητα, ἀλλὰ μένοντα πένητα, τοῦ πλουσίου εὐπορώτερον ἀποφαίνουσα. εἰ δὲ καὶ σημεῖα βούλει ποιεῖν, ἀπαλλάγηθι πλημμελημάτων, καὶ τὸ πᾶν ἤνυσας. καὶ γὰρ μέγας δαίμων ἡ ἁμαρτία, ἀγαπητέ. κἂν ταύτην ἐξέλῃς, τῶν μυρίους δαίμονας ἐλαυνόντων μεῖζον εἰργάσω. ἄκουσον Παύλου λέγοντος, καὶ τὴν ἀρετὴν τῶν θαυμάτων προτιθέντος· Ζηλοῦτε δέ, φησι, τὰ χαρίσματα τὰ πνευματικά· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. καὶ μέλλων λέγειν τὴν ὁδὸν ταύτην, οὔτε νεκρῶν εἶπεν ἔγερσιν, οὐ λεπρῶν κάθαρσιν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ἀντὶ πάντων τούτων τὴν ἀγάπην τέθεικεν. ἄκουσον καὶ τοῦ Χριστοῦ λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. καὶ πρὸ τούτου πάλιν, Ἐροῦσί μοι πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐκ οἶδα ὑμᾶς. καὶ ὅτε ἔμελλε σταυροῦσθαι, καλέσας τοὺς μαθητὰς ἔλεγεν αὐτοῖς· Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, οὐκ ἐὰν δαίμονας ἐκβάλητε, ἀλλ' ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. καὶ πάλιν, Ἐν τούτῳ γνώσονται πάντες ὅτι σύ με ἀπέστειλας, οὐχὶ ἂν νεκροὺς ἐγείρωσιν οὗτοι, ἀλλ' ἐὰν ὦσιν οὗτοι ἕν. τὰ μὲν γὰρ σημεῖα πολλάκις ἕτερον μὲν ὠφέλησε, τὸν δὲ ἔχοντα παρέβλαψεν, εἰς ἀπόνοιαν ἐπαίροντα καὶ κενοδοξίαν· ἐπὶ δὲ τῶν ἔργων οὐδὲν τοιοῦτον ὑποπτεῦσαι ἔνι, ἀλλὰ καὶ τοὺς μετιόντας αὐτὰ καὶ ἑτέρους πολλοὺς ὠφελεῖ. Ταῦτα τοίνυν μετὰ πολλῆς τῆς ἐπιμελείας ἐργασώμεθα. ἂν γὰρ ἐξ ἀπανθρωπίας εἰς ἐλεημοσύνην μεταβάλῃς, ξηρὰν τὴν χεῖρα οὖσαν ἐξέτεινας· ἂν θεάτρων ἀποστὰς, ἐπὶ τὴν ἐκκλησίαν εἰσίῃς, χωλεύοντα τὸν πόδα διώρθωσας· ἂν ἀποστήσῃς τοὺς ὀφθαλμούς σου ἀπὸ πόρνης καὶ κάλλους ἀλλοτρίου, τυφλοὺς ὄντας ἀνέῳξας· ἐὰν ἀντὶ σατανικῶν ᾠδῶν ψαλμοὺς μάθῃς πνευματικούς, κωφὸς ὢν ἐλάλησας. Ταῦτα τὰ θαύματα μέγιστα, ταῦτα τὰ σημεῖα παράδοξα. ἂν ταῦτα τὰ σημεῖα ποιοῦντες διατελῶμεν, καὶ αὐτοὶ μεγάλοι τινὲς καὶ θαυμαστοὶ διὰ τούτων ἐσόμεθα, καὶ τοὺς πονηροὺς ἐπισπασόμεθα πάντας εἰς ἀρετήν, καὶ τῆς μελλούσης ἀπολαυσόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς [ἀτελευτήτους] τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Κορ. ιβ. λα.

Ματθ. ζ. κβ.

Ἰωαν. ιγ. λε.

Ὁμιλ. λγ. 16 ΙΔΟΥ, ΕΓΩ ΑΠΟΣΤΕΛΛΩ ΥΜΑΣ, ΩΣ πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Ἐπειδὴ

ΕΠειδὴ περὶ τῆς ἀναγκαίας ἐποίησεν αὐτοὺς θαῤῥεῖν τροφῆς, καὶ τὰς πάντων ἀνέῳξεν αὐτοῖς οἰκίας, καὶ σεμνὸν τῇ εἰσόδῳ αὐτῶν σχῆμα περιέθηκεν, οὐχ ὡς ἀλήτας καὶ προσαίτας εἰσιέναι κελεύων, ἀλλ' ὡς τῶν ὑποδεχομένων πολλῷ σεμνοτέρους (τοῦτο γὰρ ἔδειξε δι' ὧν ἔλεγεν· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, καὶ δι' ὧν ἐκέλευσεν ἐρωτᾶν τίς ἄξιος, κἀκεῖ μένειν, καὶ ἀσπάσασθαι τοὺς δεχομένους προσέταττε, καὶ δι' ὧν τοῖς μὴ δεχομένοις τὰ ἀνήκεστα ἐκεῖνα ἠπείλησε κακά) ἐπεὶ οὖν ″ ταύτῃ ἐξέβαλεν αὐτῶν τὴν φροντίδα, καὶ τῇ τῶν σημείων καθώπλισεν ἐπιδείξει, καὶ σιδηροῦς τινας καὶ ἀδαμαντίνους εἰργάσατο, πάντων ἀπαλλάξας τῶν βιωτικῶν, καὶ πάσης ἐλευθερώσας ἐπικαίρου μερίμνης αὐτούς, λέγει λοιπὸν καὶ τὰ μέλλοντα συμπίπτειν αὐτοῖς κακά· οὐ τὰ μικρὸν ὕστερον συμβησόμενα μόνον, ἀλλὰ καὶ τὰ μετὰ μακρὸν ἐσόμενα χρόνον, ἄνωθεν καὶ πρὸ πολλοῦ τὸν πρὸς τὸν διάβολον παρασκευάζων αὐτοὺς πόλεμον. καὶ γὰρ πολλὰ ἐντεῦθεν κατωρθοῦτο· καὶ πρῶτον, τὸ μαθεῖν τῆς προγνώσεως αὐτοῦ τὴν δύναμιν· δεύτερον δὲ, τὸ μηδένα ὑποπτεύειν, ὅτι δι' ἀσθένειαν τοῦ διδασκάλου ταῦτα ἐπῄει τὰ δεινά· τρίτον, τὸ τοὺς ὑπομένοντας ταῦτα μὴ ″ ἐκπλήττεσθαι τῷ ἀπροσδοκήτως καὶ παρ' ″ ἐλπίδας ἐκβαίνειν· τέταρτον, τὸ μὴ παρ' αὐτὸν τὸν καιρὸν τοῦ σταυροῦ ταῦτα ἀκούοντας θορυβηθῆναι. καὶ γὰρ καὶ ἔπαθον τοῦτο αὐτὸ τότε, ὅτε καὶ ὀνειδίζων ″ αὐτοῖς ἔλεγεν· Ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις. Ιωαν. ιϛ. ϛ. καίτοι οὐδὲν οὐδέπω περὶ ἑαυτοῦ ″ λέγει· οἷον, ὅτι δεθήσεται καὶ μαστιγωθήσεται καὶ ἀναιρεθήσεται, ὥστε μὴ καὶ ταύτῃ συνταράξαι αὐτῶν τὴν διάνοιαν· ἀλλὰ τέως τὰ αὐτοῖς ″ συμβησόμενα προαναφωνεῖ. Εἶτα, ἵνα ″ μάθωσιν ὅτι καινὸς οὗτος ὁ τοῦ πολέμου νόμος, καὶ παράδοξος ὁ τῆς παρατάξεως τρόπος, γυμνοὺς πέμπων καὶ μονοχίτωνας καὶ ἀνυποδέτους, καὶ χωρὶς ῥάβδου, καὶ χωρὶς ζώνης καὶ πήρας, καὶ παρὰ τῶν δεχομένων κελεύων τρέφεσθαι, οὐδὲ ἐνταῦθα τὸν λόγον ἔστησεν· ἀλλὰ δεικνὺς αὐτοῦ τὴν ἄφατον δύναμιν, φησί· καὶ οὕτως ἀπιόντες τὴν τῶν προβάτων ἡμερότητα ἐπιδείκνυσθε, καὶ ταῦτα πρὸς λύκους ἰέναι μέλλοντες· καὶ οὐχ ἁπλῶς πρὸς λύκους, ἀλλὰ καὶ ″ ἐν μέσῳ λύκων. καὶ οὐ προβάτων ἡμερότητα μόνον ἔχειν κελεύει, ἀλλὰ καὶ τῆς περιστερᾶς τὸ ἀκέραιον. οὕτω γὰρ μάλιστα τὴν ἐμὴν ἐνδείξομαι ἰσχὺν, ὅταν πρόβατα λύκων περιγένηται, καὶ ἐν μέσῳ τῶν λύκων ὄντα καὶ μυρία λαμβάνοντα δήγματα, μὴ μόνον μὴ καταναλίσκηται, ἀλλὰ καὶ ἐκείνους ″ μεταβάλλῃ· ὃ πολλῷ θαυμαστότερόν ἐστι καὶ μεῖζον τοῦ ἀνελεῖν, τὸ μεταθεῖναι τὴν γνώμην καὶ μεταῤῥυθμίσαι τὴν διάνοιαν· καὶ ταῦτα δώδεκα ὄντας μόνον, τῆς οἰκουμένης τῶν λύκων ἐμπεπλησμένης. αἰσχυνώμεθα τοίνυν οἱ τἀναντία ποιοῦντες, οἱ ὡς λύκοι τοῖς ἐχθροῖς ἐπιτιθέμενοι. ἕως μὲν γὰρ ἂν ὦμεν πρόβατα, νικῶμεν· κἂν μυρίοι περιστοιχίσωνται λύκοι, περιγινόμεθα καὶ κρατοῦμεν· ἂν δὲ γενώμεθα λύκοι, ἡττώμεθα. ἀφίσταται γὰρ ἡμῶν ἡ τοῦ ποιμένος βοήθεια. οὐ γὰρ λύκους, ἀλλὰ πρόβατα ποιμαίνει, καὶ καταλιμπάνει σε καὶ ἀναχωρεῖ· οὐδὲ γὰρ συγχωρεῖς αὐτοῦ δειχθῆναι τὴν δύναμιν. ἂν μὲν γὰρ πάσχων κακῶς, ἡμερότητα ἐπιδείξῃ, αὐτῷ λογίζεται ἅπαν τὸ τρόπαιον· ἂν δὲ ἐπεξίῃς καὶ πυκτεύῃς, ἐπισκιάζεις τῇ νίκῃ. σὺ δέ μοι σκόπει τίνες εἰσὶν οἱ τῶν ″ προσταγμάτων τούτων ἀκούοντες τῶν σκληρῶν καὶ ″ ἐπιπόνων. οἱ δειλοὶ καὶ ἰδιῶται, οἱ ἀγράμματοι καὶ ἀμαθεῖς, οἱ πάντοθεν * ἄσημοι, οἱ μηδέποτε τοῖς ἔξωθεν ″ ἐντραφέντες νόμοις, οἱ μὴ ταχέως εἰς ἀγορὰς ἐμβάλλοντες ἑαυτοὺς, οἱ ἁλιεῖς, οἱ τελῶναι, οἱ μυρίων γέμοντες ἐλαττωμάτων. εἰ δὲ καὶ τοὺς ὑψηλοὺς καὶ μεγάλους ἱκανὰ ταῦτα θορυβῆσαι ἦν, τοὺς πάντοθεν ἀπείρους καὶ οὐδὲν οὐδέποτε φανταθέντας γενναῖον πῶς οὐκ ἦν ἱκανὰ καταβαλεῖν καὶ ἐκπλῆξαι; ἀλλ' οὐ κατέβαλε· καὶ μάλα εἰκότως. καὶ ἴσως εἴποι τις ἄν· ἔδωκε γὰρ αὐτοῖς ἐξουσίαν

κεφ. ι. ουσίαν λεπροὺς καθαίρειν, καὶ δαίμονας ἐλαύνειν. ἐγὼ δὲ καὶ ἐκεῖνο ἂν εἴποιμι, ὅτι αὐτὸ μὲν οὖν
τοῦτο μάλιστα αὐτοὺς ἱκανὸν ἦν θορυβῆσαι, ὅτι καὶ νεκροὺς ἐγείροντες, τὰ ἀνήκεστα ταῦτα ἔμελλον
ὑπομένειν, καὶ δικαστήρια, καὶ ἀπαγωγάς, καὶ τὸν παρὰ πάντων πόλεμον, καὶ τὸ κοινὸν τῆς
οἰκουμένης μῖσος, καὶ τοιαῦτα αὐτοὺς θαυματουργοῦντας ἀναμένειν δεινά. τίς οὖν ἡ τούτων
πάντων παράκλησις; ἡ τοῦ πέμποντος δύναμις. διὸ καὶ τοῦτο πρὸ πάντων τέθεικε, λέγων·
ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς. ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ὑμῖν· ἀρκεῖ τοῦτο εἰς τὸ θαρρεῖν,
καὶ ″ μηδένα δεδοικέναι τῶν ἐπιόντων. εἶδες αὐθεντίαν; εἶδες ἐξουσίαν; εἶδες δύναμιν
ἄμαχον; ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μὴ θορυβηθῆτε, φησιν, ὅτι μεταξὺ λύκων πέμπω ὡς
πρόβατα, καὶ ὡς περιστερὰς εἶναι κελεύω. ἐδυνάμην μὲν γὰρ ποιῆσαι τοὐναντίον, καὶ μηδὲν
ὑμᾶς ἀφεῖναι δεινὸν ὑπομένειν, μηδὲ ὡς πρόβατα ὑποτεθῆναι λύκοις, ἀλλὰ λεόντων
ἐργάσασθαι φοβερωτέρους· ἀλλ᾽ οὕτω συμφέρει γενέσθαι. τοῦτο καὶ ὑμᾶς λαμπροτέρους
β. Κορ. ιβ. θ. ποιεῖ, τοῦτο δὲ τὴν ἐμὴν ἀνακηρύττει δύναμιν. τοῦτο καὶ πρὸς Παῦλον ἔλεγεν· Ἀρκεῖ
σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἐγὼ τοίνυν οὕτως ὑμᾶς ἐποίησα
εἶναι. ὅταν γὰρ εἴπῃ· ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα, τοῦτο αἰνίττεται· μὴ τοίνυν
καταπέσητε. οἶδα γάρ, οἶδα σαφῶς ὅτι ταύτῃ μάλιστα πᾶσιν ἀχείρωτοι ἔσεσθε. εἶτα,
ἵνα τι καὶ παρ᾽ ἑαυτῶν εἰσφέρωσι, καὶ μὴ πάντα τῆς χάριτος εἶναι δοκῇ, μηδὲ εἰκῇ καὶ μάτην
στεφανοῦσθαι νομίζωνται, φησί· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.
καὶ τί δύναιτ᾽ ἂν ἡ ἡμετέρα φρόνησις, φησιν, ἐν τοσούτοις κινδύνοις; πῶς δὲ ὅλως δυνησόμεθα φρόνησιν
ἔχειν, ὑπὸ τοσούτων περιαντλούμενοι κυμάτων; ὅσον * ἂν γένηται φρόνιμον πρόβατον,
μεταξὺ λύκων ὂν καὶ λύκων τοσούτων, τί δυνήσεται πλέον ἀνύσαι; ὅσον ἂν γένηται ″ ἀκέραιος
ἡ περιστερά, τί ὠφελήσει τοσούτων ἐπικειμένων ἱεράκων; ἐπὶ μὲν γὰρ τῶν ἀλόγων, οὐδέν·
ἐπὶ δὲ ὑμῶν, τὰ ″ μεγάλα. ἀλλ᾽ ἴδωμεν ποίαν φρόνησιν ἐνταῦθα αὐτοὺς ἀπαιτεῖ. τὴν τοῦ
ὄφεως φησι. καθάπερ γὰρ ἐκεῖνος τὰ πάντα προΐεται, κἂν αὐτὸ δέῃ τὸ σῶμα ἀποτμηθῆναι,
οὐ σφόδρα ἀντέχεται αὐτοῦ, ὥστε τὴν κεφαλὴν διατηρῆσαι· οὕτω καὶ σύ, φησι, πλὴν
τῆς πίστεως πάντα ἐκδίδου, κἂν χρήματα, κἂν τὸ σῶμα, κἂν αὐτὴν τὴν ψυχὴν ἐκδοῦναι
δέῃ. ″ ἐκείνη γὰρ ἡ κεφαλὴ καὶ ἡ ῥίζα· κἀκείνης διατηρουμένης κἂν πάντα ἀπολέσῃς, ἀπάντα
ἀνακλήσῃ πάλιν μετὰ πλείονος τῆς περιφανείας. διὰ δὴ τοῦτο οὔτε ἁπλοῦν τινα
εἶναι καὶ ἀφελῆ προσέταξεν, οὔτε φρόνιμον μόνον, ἀλλ᾽ ἐκέρασε ταῦτα ἀμφότερα, ὥστε
γενέσθαι αὐτὰ ἀρετήν· τὴν μὲν φρόνησιν τοῦ ὄφεως, εἰς τὸ μὴ πλήττεσθαι ἐν τοῖς καιρίοις,
παραλαβών· τὸ δὲ ἀκέραιον τῆς περιστερᾶς, εἰς τὸ μὴ ἀμύνασθαι τοὺς ἀδικοῦντας, μηδὲ
τιμωρεῖσθαι τοὺς ἐπιβουλεύοντας. ἐπεὶ πάλιν οὐδὲν ὄφελος τῆς φρονήσεως, ἂν μὴ τοῦτο
προσῇ. τί τοίνυν τούτων εὐτονώτερον γένοιτ᾽ ἂν τῶν ἐπιταγμάτων; οὐ γὰρ ἤρκει τὸ παθεῖν
κακῶς; οὐχί, φησιν· ἀλλ᾽ οὐδὲ ἀγανακτεῖν σοι συγχωρῶ (τοῦτο γάρ ἐστιν ἡ περιστερά) ὥσπερ
ἂν εἴ τις κάλαμον εἰς πῦρ ἐμβαλὼν κελεύῃ μὴ καίεσθαι ὑπὸ τοῦ πυρός, ἀλλὰ σβεννύναι
τὸ πῦρ. ἀλλὰ μὴ θορυβώμεθα. καὶ γὰρ ἐξέβη ταῦτα καὶ τέλος ἔλαβε, καὶ ἐπ᾽ αὐτῶν ἐδείχθη
τῶν ἔργων, καὶ φρόνιμοι γεγόνασιν ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί, οὐκ ἄλλης
ὄντες φύσεως, ἀλλὰ τῆς αὐτῆς ἡμῖν. μὴ τοίνυν ἀδύνατα νομιζέτω τις εἶναι τὰ ἐπιτάγματα.
πρὸ γὰρ τῶν ἄλλων ἁπάντων αὐτὸς οἶδε τὴν τῶν πραγμάτων φύσιν· οἶδεν ὅτι θρασύτης,
οὐ θρασύτητι, ἀλλ᾽ ἐπιεικείᾳ σβέννυται. εἰ δὲ καὶ ἐπὶ τῶν πραγμάτων τοῦτο γινόμενον
ἰδεῖν ἐθέλεις, ἀνάγνωθι τῶν πράξεων τῶν ἀποστόλων τὸ βιβλίον, καὶ ὄψει ποσάκις τοῦ
δήμου τῶν Ἰουδαίων κατεξαναστάντος καὶ τοὺς ὀδόντας θήγοντος, τὴν περιστερὰν οὗτοι μιμούμενοι,
καὶ μετὰ τῆς πρεπούσης ἐπιεικείας ἀποκρινόμενοι, κατέλυσαν τὸν ἐκείνων θυμόν, ἔσβεσαν
τὴν μανίαν, ἐξέλυσαν τὴν ὁρμήν. ἐπειδὴ γὰρ ἔλεγον· οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν
μὴ λαλεῖν ἐν τῷ ὀνόματι τούτῳ; καίτοι μυρία δυνάμενοι θαυματουργεῖν, τραχὺ μὲν οὐδὲν

οὔτε εἶπον οὔτε ἐποίησαν, μετὰ πραότητος δὲ πάσης ἀπελογοῦντο λέγοντες· εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Εἶδες τὸ ἀκέραιον τῆς περιστερᾶς; βλέπε καὶ τὸ φρόνιμον τοῦ ὄφεως. ἡμεῖς γὰρ οὐ δυνάμεθα ἃ οἴδαμεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. Εἶδες πῶς πανταχόθεν ἠκριβωμένους εἶναι χρή, ὥστε ″μὴ ὑπὸ κινδύνων ταπεινοῦσθαι,″ μηδὲ ὑπὸ θυμοῦ παροξύνεσθαι; διὰ τοῦτο καὶ ἔλεγε·

17 Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς,

18 Καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι. Πάλιν νήφειν αὐτοὺς παρασκευάζει, πανταχοῦ τὸ μὲν παθεῖν κακῶς αὐτοῖς διδούς, τὸ δὲ ποιῆσαι ἑτέροις ἀφιείς, ἵνα μάθῃς ὅτι ἐν τῷ παθεῖν κακῶς ἡ νίκη, καὶ τὰ λαμπρὰ ἐντεῦθεν ″ἕστηκε τρόπαια. οὐδὲ γὰρ εἶπε, πυκτεύετε καὶ ὑμεῖς, καὶ ἀνθίστασθε τοῖς ἐπηρεάζειν βουλομένοις ὑμῖν, ἀλλ' ὅτι τὰ ἔσχατα πείσεσθε μόνον. βαβαί, πόση τοῦ λέγοντος ἡ δύναμις; πόση τῶν ἀκουόντων ἡ φιλοσοφία; καὶ γὰρ σφόδρα ἄξιον θαυμάζειν, πῶς οὐκ εὐθέως ἀπεπήδησαν ταῦτα ἀκούοντες, ἄνθρωποι ψοφοδεεῖς, καὶ τὴν λίμνην ″οὐδέπω ὑπερβάντες ἐκείνην περὶ ἣν ἡλίευον· πῶς δὲ οὐκ ἐνενόησαν καὶ πρὸς ἑαυτοὺς εἶπον, καὶ ποῦ φευξόμεθα λοιπόν; τὰ δικαστήρια καθ' ἡμῶν· οἱ βασιλεῖς καθ' ἡμῶν· οἱ ἡγεμόνες*, αἱ συναγωγαὶ τῶν Ἰουδαίων· οἱ δῆμοι τῶν Ἑλλήνων, ἄρχοντες καὶ ἀρχόμενοι (ἐντεῦθεν γὰρ οὐχὶ μόνον τὴν Παλαιστίνην αὐτοῖς καὶ τὰ ἐν αὐτῇ κακὰ προανεφώνησεν, ἀλλὰ καὶ τοὺς τῆς οἰκουμένης παρῴξυνε πολέμους, εἰπών· ἐπὶ βασιλεῖς ἀχθήσεσθε καὶ ἡγεμόνας, δεικνύς, ὅτι καὶ τοῖς ἔθνεσι μετὰ ταῦτα κήρυκας αὐτοὺς ἔμελλε πέμπειν) τὴν οἰκουμένην ἡμῖν ἐξεπολέμωσας, τοὺς τὴν γῆν οἰκοῦντας ἅπαντας ὥπλισας καθ' ἡμῶν, δήμους, τυράννους, βασιλεῖς. καὶ τὸ ἑξῆς δὲ πολὺ φρικωδέστερον, ὅταν καὶ ἀδελφοκτόνοι καὶ παιδοκτόνοι καὶ πατροκτόνοι διὰ ἡμᾶς μέλλωσιν οἱ ἄνθρωποι γίνεσθαι. παραδώσει γάρ, φησιν, ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. πῶς οὖν οἱ λοιποί, φησι, πιστεύσουσιν, ὅταν ἴδωσι διὰ ἡμᾶς παῖδας ὑπὸ πατέρων ἀναιρουμένους, καὶ ἀδελφοὺς ὑπὸ ἀδελφῶν, καὶ μιασμάτων τὰ πάντα πληρούμενα; οὐ γὰρ ὡς δαίμονας ἀλάστορας, οὐχ ὡς ἐναγεῖς καὶ τῆς οἰκουμένης λυμεῶνας ἀπελάσουσιν ἡμᾶς πανταχόθεν, αἱμάτων συγγενικῶν τὴν γῆν πληρουμένην ὁρῶντες καὶ φόνων τοιούτων; ″καλήν γε τὴν εἰρήνην εἰς τὰς οἰκίας εἰσάγοντες δώσομεν, τοσούτων αὐτὰς ἐμπιπλῶντες σφαγῶν. εἰ γὰρ πολλοί τινες ἦμεν, καὶ μὴ δώδεκα· εἰ γὰρ μὴ ἰδιῶται″ καὶ ἀγράμματοι, ἀλλὰ σοφοὶ καὶ ῥήτορες καὶ δεινοὶ λέγειν· μᾶλλον δὲ εἰ βασιλεῖς αὐτοί, καὶ στρατόπεδα ἔχοντες καὶ χρημάτων περιουσίαν· πῶς ἂν ἰσχύσαιμεν πεῖσαί τινας, ἐμφυλίους πολέμους ἀνάπτοντες, καὶ ἐμφυλίων πολλῷ χαλεπωτέρους; κἂν γὰρ τῆς ἡμετέρας σωτηρίας καταφρονήσωμεν, τίς ἡμῖν τῶν ἄλλων προσέξει; ἀλλ' οὐδὲν τούτων οὔτε ἐνενόησαν, οὔτε εἶπον, οὔτε εὐθύνας ἀπῄτουν τῶν ἐπιταγμάτων, ἀλλ' εἶκον καὶ ἐπείθοντο μόνον. τοῦτο δὲ οὐ τῆς αὐτῶν ἀρετῆς [ἦν μόνον,] ἀλλὰ [καὶ] τῆς τοῦ διδασκάλου σοφίας. ὅρα γὰρ πῶς ἑκάστῳ τῶν δεινῶν παραμυθίαν παρέζευξε. καὶ ἐπὶ [μὲν] τῶν μὴ δεχομένων αὐτοὺς ἔλεγεν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. καὶ ἐνταῦθα ~~πάλιν εἰπών, ἐπὶ ἡγεμόνας καὶ~~ βασιλεῖς ἀχθήσεσθε, ἐπήγαγεν, ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. οὐ μικρὰ δὲ αὕτη παράκλησις, τὸ [καὶ] διὰ τὸν Χριστὸν ταῦτα πάσχειν, καὶ εἰς ἔλεγχον ἐκείνων. ὁ γὰρ Θεός, κἂν μηδεὶς προσέχῃ, τὰ αὐτοῦ πανταχοῦ φαίνεται ποιῶν. ταῦτα δὲ αὐτοὺς παρεκάλει, οὐκ ἐπειδὴ τῆς ἑτέρων ἐπεθύμουν τιμωρίας, ἀλλ' ″ἐπειδὴ θαρρεῖν εἶχον, ὅτι πανταχοῦ αὐτὸν ἕξουσι συμπαρόντα, τὸν καὶ προειπόντα καὶ προειδότα ταῦτα, καὶ ὅτι οὐχ ὡς πονηροὶ καὶ λυμεῶνες ταῦτα πείσονται. μετὰ δὲ τούτων, οὐ μικρὰν καὶ ἑτέραν″ προστίθησιν αὐτοῖς παράκλησιν, λέγων·

19 Ὅταν δὲ παραδώσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε. δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε.

20 Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Ἵνα γὰρ μὴ λέγωσι, πῶς πεῖσαι δυνησόμεθα τοιούτων γινομένων πραγμάτων; καὶ περὶ τῆς ἀπολογίας κελεύει θαρρεῖν. καὶ ἀλλαχοῦ μέν φησιν, ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν· ἐνταῦθα δέ, τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν, εἰς τὸ τῶν προφητῶν αὐτοὺς ἀνάγων ἀξίωμα. διὰ τοῦτο ὅτε εἶπε τὴν δύναμιν τὴν δεδομένην, τότε καὶ τὰ δεινὰ ἐπήγαγε, τοὺς φόνους καὶ τὰς σφαγάς.

21 Παραδώσει γὰρ ἀδελφὸς ἀδελφόν, φησιν, εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ "ἀναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ τὸ πολὺ φρικωδέστερον προσέθηκε καὶ πέτραν ἱκανὸν διασαλεῦσαι,

22 Ὅτι καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων. Καὶ ἐνταῦθα δὲ πάλιν ἐπὶ θύραις ἡ παράκλησις. Διὰ τὸ ὄνομά μου γάρ, φησι, ταῦτα πείσεσθε. καὶ μετὰ τούτου πάλιν ἕτερον· Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Ταῦτα δὲ καὶ ἄλλως ἱκανὰ ἦν "ἀνορθῶσαι αὐτῶν τὰ φρονήματα, εἴγε τοσαύτη τοῦ κηρύγματος ἔμελλεν ἀνάπτεσθαι [ἡ] δύναμις, ὡς φύσιν ἀτιμάζεσθαι, καὶ συγγένειαν ἐκβάλλεσθαι, καὶ προτιμᾶσθαι πάντων τῶν λόγων, "κατὰ κράτος πάντα ἐλαύνοντα. Εἰ γὰρ φύσεως τυραννὶς οὐκ ἰσχύει πρὸς τὰ λεγόμενα ἀντιστῆναι, ἀλλὰ διαλύεται καὶ καταπατεῖται, τί ἕτερον "ὑμῶν περιγενέσθαι δυνήσεται; οὐ μὴν ἐπειδὴ ταῦτα ἔσται, ἐν ἀδείᾳ "ὑμῖν ἔσται ὁ βίος, ἀλλὰ καὶ κοινοὺς ἕξετε πολεμίους καὶ ἐχθροὺς τοὺς τὴν οἰκουμένην οἰκοῦντας. ποῦ νῦν Πλάτων; ποῦ Πυθαγόρας; ποῦ τῶν Στωϊκῶν ὁ ὁρμαθός; καὶ γὰρ πολλῆς ἀπολαύσας ἐκεῖνος τιμῆς, οὕτως ἠλέγχετο, ὡς καὶ ἀπεμποληθῆναι, καὶ μηδὲν ὧν ἐβούλετο κατορθῶσαι, οὐδὲ "ἐφ' ἑνὸς τυράννου· "ὁ δὲ τοὺς μαθητὰς προδούς, ἐλεεινῶς τὸν βίον κατέλυσε. καὶ τὰ Κυνικὰ καθάρματα, ὥσπερ ὄναρ καὶ σκιὰ * παρῆλθον. καίτοιγε οὐδέποτε τοιοῦτον οὐδὲν [ἐν] ἐκείνοις συνέπεσεν, ἀλλὰ καὶ λαμπροὶ διὰ τὴν φιλοσοφίαν τὴν ἔξωθεν εἶναι ἐδόκουν, καὶ τὰς ἐπιστολὰς ἀνέθεσαν δημοσίᾳ Ἀθηναῖοι τὰς Πλάτωνος παρὰ Δίωνος πεμφθείσας, καὶ ἐν ἀνέσει τὸν πάντα διῆγον χρόνον, καὶ χρήμασιν ἐπλούτουν οὐκ ὀλίγοις. οὕτω γοῦν ὁ μὲν Ἀρίστιππος πόρνας ἠγόραζε πολυτελεῖς· ὁ δὲ διαθήκας ἔγραφεν, οὐ τὸν τυχόντα κλῆρον καταλιμπάνων· ὁ δὲ τῶν μαθητῶν γεφυρωσάντων ἑαυτούς, ἄνωθεν ἐβάδιζε· τὸν δὲ Σινωπέα φασὶ καὶ δημοσίᾳ ἀσχημονεῖν ἐπὶ τῆς ἀγορᾶς. ταῦτα γὰρ αὐτῶν τὰ σεμνά. ἀλλ' οὐδὲν τοιοῦτον ἐνταῦθα, ἀλλ' ἐπιτεταμένη σωφροσύνη καὶ κοσμιότης ἠκριβωμένη, καὶ πόλεμος πρὸς τὴν οἰκουμένην ἅπασαν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας, καὶ τὸ καθ' ἑκάστην σφάττεσθαι τὴν ἡμέραν, καὶ μετὰ ταῦτα τὰ τρόπαια τὰ λαμπρά. ἀλλ' εἰσί τινες, φησι, καὶ στρατηγικοὶ παρ' αὐτοῖς· οἷον, ὁ Θεμιστοκλῆς, ὁ Περικλῆς. ἀλλὰ καὶ ταῦτα παίδων ἀθύρματα πρὸς τὰ τῶν ἁλιέων. τί γὰρ ἂν ἔχοις εἰπεῖν; ὅτι τοὺς Ἀθηναίους ἔπεισεν ἐπιβῆναι τῶν πλοίων, τοῦ Ξέρξου κατὰ τῆς Ἑλλάδος ἐλαύνοντος; ἐνταῦθα δὲ οὐ Ξέρξου ἐλαύνοντος, ἀλλὰ τοῦ διαβόλου μετὰ τῆς οἰκουμένης ἁπάσης καὶ τῶν ἀπείρων δαιμόνων κατὰ τῶν δώδεκα τούτων "ἐπιόντος, οὐκ ἐν ἑνὶ καιρῷ, ἀλλὰ διὰ παντὸς τοῦ βίου, περιεγένοντο καὶ ἐκράτησαν· καὶ τὸ δὴ θαυμαστόν, οὐκ ἀνελόντες τοὺς ἐναντίους, ἀλλὰ μεταβαλόντες καὶ μεταρρυθμίσαντες. τοῦτο γὰρ μάλιστα δεῖ πανταχοῦ παρατηρεῖν, ὅτι οὐκ ἀνεῖλον οὐδὲ ἠφάνισαν τοὺς ἐπιβουλεύοντας αὐτοῖς· ἀλλὰ δαιμόνων λαβόντες ἴσους, ἀγγέλων ἐποίησαν ἐφαμίλλους, τὴν μὲν ἀνθρωπίνην φύσιν τῆς πονηρᾶς ταύτης ἐλευθερώσαντες τυραννίδος, τοὺς δὲ ἀλιτηρίους ἐκείνους καὶ "πάντα συνταράττοντας δαίμονας, ἐκ μέσων ἀγορῶν καὶ οἰκιῶν, μᾶλλον δὲ καὶ αὐτῆς ἀπελάσαντες τῆς ἐρημίας. καὶ μαρτυροῦσιν αἱ τῶν μοναχῶν χορεῖαι, οὓς κατεφύτευσαν πανταχοῦ, οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον ἐκκαθάραντες. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐκ ἐκ παρατάξεως ἴσης ταῦτα ἐποίουν· ἀλλ' ἐν τῷ πάσχειν κακῶς πάντα ἤνυον. καὶ γὰρ εἶχον αὐτοὺς ἐν τῷ μέσῳ, δώδεκα ἀνθρώπους ἰδιώτας, δέροντες, δεσμεύοντες, μαστίζοντες, ἐλαύνοντες, περιάγοντες, καὶ οὐκ ἴσχυον ἐπιστομίσαι· ἀλλ' ὥσπερ τὴν ἀκτῖνα δῆσαι ἀδύνατον, οὕτω καὶ τὴν γλῶτταν τὴν ἐκείνων. τὸ δὲ αἴτιον οὐκ αὐτοὶ ἦσαν οἱ λαλοῦντες, ἀλλ' ἡ τοῦ πνεύματος δύναμις. οὕτω γοῦν καὶ ὁ Παῦλος ἐνίκησε τοὺς περὶ Ἀγρίππαν, καὶ τὸν κακίᾳ νικήσαντα πάντας ἀνθρώπους Νέρωνα. Ο γὰρ Κύριός μοι παρέστη, φησὶ, καὶ ἐνεδυνάμωσέ με, καὶ ἐῤῥύσατό με ἐκ στόματος λέοντος. σὺ δὲ καὶ αὐτοὺς θαύμαζε, πῶς ἀκούσαντες, μὴ μεριμνήσητε, καὶ ἐπίστευσαν καὶ κατεδέξαντο, καὶ οὐδὲν αὐτοὺς τῶν φοβερῶν ἐξέπληξεν. Εἰ δὲ λέγοις, ὅτι ἱκανὴν αὐτοῖς δέδωκε παράκλησιν, τῷ εἰπεῖν, ὅτι τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν, διὰ τοῦτο μάλιστα ἐκπλήττομαι αὐτοὺς, ὅτι οὐκ ἀμφέβαλλον οὐδὲ″ ἐζήτησαν″ ἀπαλλαγὴν τῶν δεινῶν· καὶ ταῦτα οὐ δύο, οὐ τρία ἔτη μέλλοντες ταῦτα πάσχειν, ἀλλὰ παρὰ πάντα τὸν βίον. τὸ γὰρ εἰπεῖν, ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, τοῦτό ἐστιν αἰνιττομένου. βούλεται γὰρ μὴ τὰ παρ' αὐτοῦ μόνον εἰσφέρεσθαι, ἀλλὰ καὶ παρ' αὐτῶν γίνεσθαι τὰ κατορθώματα. σκόπει γοῦν ἄνωθεν, πῶς τὰ μὲν αὐτοῦ, τὰ δὲ τῶν μαθητῶν γίνεται. τὸ μὲν γὰρ σημεῖα ποιεῖν, αὐτοῦ· τὸ δὲ μηδὲν κτήσασθαι, ἐκείνων. πάλιν, τὸ τὰς οἰκίας ἀνοῖξαι πάσας, τῆς ἄνωθεν χάριτος· τὸ δὲ μηδὲν πλέον τῆς χρείας ἀπαιτῆσαι, τῆς αὐτῶν φιλοσοφίας. ἄξιος γὰρ ὁ ἐργάτης, φησὶ, τοῦ μισθοῦ αὐτοῦ. τὸ τὴν εἰρήνην χαρίσασθαι, τῆς τοῦ Θεοῦ δωρεᾶς· τὸ δὲ τοὺς ἀξίους ἐπιζητεῖν, καὶ μὴ πρὸς πάντας ἁπλῶς εἰσιέναι, τῆς αὐτῶν ἐγκρατείας. πάλιν, τὸ κολάζειν τοὺς μὴ δεχομένους αὐτοὺς, αὐτοῦ· τὸ δὲ μετ' ἐπιεικείας ἀναχωρεῖν ἐκ τούτων, μὴ λοιδορουμένους μηδὲ ὑβρίζοντας, τῆς τῶν ἀποστόλων ἦν πρᾳότητος. τὸ δοῦναι πνεῦμα καὶ μὴ ποιῆσαι μεριμνᾶν, τοῦ πέμποντος ἦν· τὸ δὲ ὡς πρόβατα γίνεσθαι καὶ περιστεράς, καὶ φέρειν πάντα γενναίως, τῆς τούτων εὐτονίας καὶ συνέσεως. τὸ μισεῖσθαι, καὶ μὴ καταπίπτειν καὶ τὸ ὑπομένειν, αὐτῶν· τὸ ὑπομείναντας σῶσαι, τοῦ πέμποντος. διὸ καὶ ἔλεγεν· ὁ [δὲ] ὑπομείνας εἰς τέλος, οὗτος (σωθήσεται). ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοὶ ἐν μὲν τοῖς προοιμίοις εἶναι σφοδροὶ, μετὰ δὲ ταῦτα ἐκλύεσθαι, διά τοι τοῦτό φησιν, ὅτι τὸ τέλος ἐπιζητῶ. τί γὰρ ὄφελος σπερμάτων, παρὰ μὲν τὴν ἀρχὴν ἀνθούντων, μικρὸν δὲ ὕστερον μαραινομένων; διὰ τοῦτο διαρκῆ τὴν ὑπομονὴν παρ' αὐτῶν ἀπαιτεῖ. ἵνα γὰρ μή τις λέγῃ ὅτι τὸ πᾶν αὐτὸς ἐποίησε, καὶ θαυμαστὸν οὐδὲν, τοιούτους ἐκείνους γενέσθαι οὐδὲν πάσχοντας φορτικόν, διὰ τοῦτό φησιν αὐτοῖς, ὅτι καὶ τῆς ὑπομονῆς ὑμῶν χρεία. κἂν γὰρ τῶν προτέρων ἐξαρπάσω κινδύνων, ἑτέροις χαλεπωτέροις τηρῶ, καὶ μετ' ἐκείνους πάλιν ἕτεροι διαδέξονται· καὶ οὐ στήσεσθε ἐπιβουλευόμενοι, ἕως ἂν ἐμπνέητε. τοῦτο γὰρ ᾐνίξατο εἰπών· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. διὰ δὴ τοῦτο καὶ εἰπὼν, μὴ μεριμνήσητε, τί λαλήσετε, ἀλλαχοῦ φησιν· ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος. ὅταν μὲν γὰρ μεταξὺ φίλων ὁ ἀγὼν ᾖ, κελεύει καὶ ἡμᾶς μεριμνᾶν· ὅταν δὲ δικαστήριον φοβερὸν, καὶ δῆμοι μαινόμενοι, καὶ φόβος πάντοθεν, τὴν παρ' αὐτοῦ παρέχει ῥοπὴν, ὥστε θαῤῥῆσαι καὶ φθέγξασθαι, καὶ μὴ καταπλαγῆναι, μηδὲ προδοῦναι τὰ δίκαια. καὶ γὰρ πολὺ μέγα ἦν, ἄνθρωπον περὶ λίμνας ἠσχολημένον καὶ δέρματα καὶ τελωνείαν, τυράννων καθημένων, καὶ σατραπῶν παρεστηκότων καὶ δορυφόρων, καὶ τῶν ξιφῶν γεγυμνωμένων, καὶ πάντων μετ' ἐκείνων ἑστώτων, εἰσελθόντα μόνον, δεδεμένον, κάτω κύπτοντα, δυνηθῆναι διᾶραι στόμα. καὶ γὰρ οὐδὲ λόγου οὐδὲ ἀπολογίας αὐτοῖς μετεδίδοσαν τῶν δογμάτων ἕνεκεν, ἀλλ' ὡς κοινοὺς τῆς οἰκουμένης λυμεῶνας, οὕτως ἀποτυμπανίζειν ἐπεχείρουν. οἱ γὰρ τὴν οἰκουμένην, φησὶν, ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε

β. Τιμ. δ. ιζ.

πάρεισι. καὶ πάλιν ἐναντία τοῖς Καίσαρος δόγμασι ″πρεσβεύουσι, λέγοντες εἶναι βασιλέα Χριστὸν Ἰησοῦν. καὶ πανταχοῦ τὰ δικαστήρια προκατείληπτο ταῖς τοιαύταις ὑπονοίαις, καὶ πολλῆς ἔδει τῆς ἄνωθεν ῥοπῆς εἰς τὸ ἀμφότερα δεῖξαι, καὶ τὸ δόγμα ἀληθὲς ὄν, ὅπερ ἐπρέσβευον, καὶ ὅτι οὐ λυμαίνονται τοῖς κοινοῖς νόμοις, καὶ μήτε σπουδάζοντας εἰπεῖν περὶ τοῦ δόγματος, ἐμπεσεῖν εἰς ὑπόνοιαν τῆς τῶν νόμων ἀνατροπῆς, μηδ᾽ αὖ πάλιν σπουδάζοντας δεῖξαι, ὅτι οὐκ ἀνατρέπουσι τὴν κοινὴν πολιτείαν, διαφθεῖραι τὴν τῶν δογμάτων ἀκρίβειαν. ἅπερ ἅπαντα ὄψει καὶ παρὰ Πέτρῳ καὶ παρὰ Παύλῳ καὶ παρὰ τοῖς λοιποῖς ἅπασι μετὰ τῆς πρεπούσης συνέσεως κατορθούμενα. οἱ γὰρ ὡς στασιασταὶ καὶ νεωτεροποιοὶ καὶ καινοτόμοι πανταχοῦ τῆς οἰκουμένης ἐνεκαλοῦντο. ἀλλ᾽ ὅμως καὶ ταύτην ἀπεκρούσαντο τὴν ὑπόνοιαν, καὶ τὴν ἐναντίαν ἑαυτοῖς περιέθηκαν, ὡς σωτῆρες καὶ κηδεμόνες καὶ εὐεργέται παρὰ πᾶσιν ἀνακηρυττόμενοι. ταῦτα δὲ πάντα διὰ τῆς πολλῆς κατώρθουν ὑπομονῆς. διὸ καὶ Παῦλος ἔλεγε· καθ᾽ ἡμέραν ἀποθνήσκω, καὶ μέχρι τέλους κινδύνων διέμεινε.

ΗΘΙΚΟΝ

Τίνος οὖν ἂν εἴημεν ἄξιοι, τοσαῦτα ἔχοντες ὑποδείγματα, καὶ ἐν εἰρήνῃ μαλακιζόμενοι καὶ καταπίπτοντες; οὐδενὸς νῦν πολεμοῦντος, σφαττόμεθα· οὐδενὸς διώκοντος, ἐκλυόμεθα· ἐν εἰρήνῃ σωθῆναι κελευόμεθα, καὶ οὐδὲ τοῦτο δυνάμεθα. κἀκεῖνοι μὲν, τῆς οἰκουμένης καιομένης, καὶ κατὰ τὴν γῆν ἅπασαν τῆς πυρᾶς ἀναπτομένης, εἰσιόντες ἔνδοθεν, ἐκ μέσης ἥρπαζον τῆς φλογὸς τοὺς ἐμπιπραμένους· σὺ δὲ οὐδὲ σαυτὸν διατηρῆσαι δύνασαι. τίς οὖν ἡμῖν ἔσται παρρησία; ποία συγγνώμη; οὐ μάστιγες, οὐ δεσμωτήρια, οὐκ ἄρχοντες, οὐ συναγωγαί, οὐκ ἄλλο τι τῶν τοιούτων ἐπίκειται, ἀλλὰ καὶ τοὐναντίον ἅπαν· ἡμεῖς ἄρχομεν καὶ κρατοῦμεν. οἱ γὰρ βασιλεῖς εὐσεβεῖς, καὶ τιμαὶ πολλαὶ Χριστιανοῖς, καὶ προεδρίαι καὶ δόξαι, καὶ ἀνέσεις· οἱ δὲ οὐδὲ οὕτω περιγινόμεθα. ἀλλ᾽ ἐκεῖνοι μὲν ἀπαγόμενοι καθ᾽ ἡμέραν, καὶ διδάσκαλοι καὶ μαθηταί, οἱ μυρίους μώλωπας ἔχοντες καὶ συνεχῆ στίγματα, τῶν ἐν παραδείσῳ διαγόντων μᾶλλον ἐτρύφων· ἡμεῖς δὲ οὐδὲ ὄναρ τοιοῦτόν τι ὑπομείναντες, κηροῦ παντός ἐσμεν μαλακώτεροι. ἀλλ᾽ ἐκεῖνοι, φησίν, ἐθαυματούργουν. διὰ τοῦτο γοῦν οὐκ ἐμαστιγοῦντο; διὰ τοῦτο οὐκ ἠλαύνοντο; καὶ γὰρ τοῦτό ἐστι τὸ παράδοξον, ὅτι οἱ παρὰ τῶν εὐεργετουμένων πολλάκις τοιαῦτα ἔπασχον· καὶ οὐδὲ οὕτως ἐθορυβοῦντο, κακὰ ἀντὶ ἀγαθῶν ἀπολαμβάνοντες. σὺ δέ, ἄν τινα εὐεργετήσῃς μικράν τινα εὐεργεσίαν, εἶτα λυπηρᾶς τινος ἀπολαύσῃς, θορυβῇ, ταράττῃ, καὶ ἐπὶ τῷ γεγενημένῳ μετανοεῖς. εἰ τοίνυν γένοιτο (ὃ μὴ γένοιτο, μηδὲ συμβαίη ποτέ) γενέσθαι πόλεμον ἐκκλησιῶν καὶ διωγμόν, ἐννόησον πόσος ἔσται ὁ γέλως, πόσα τὰ ὀνείδη· καὶ μάλα εἰκότως. ὅταν γὰρ ἐν τῇ παλαίστρᾳ μηδεὶς γυμνάζηται, πῶς ἐν τοῖς ἀγῶσιν ἔσται λαμπρός; ποῖος γὰρ ἀθλητής, ″παιδοτρίβην οὐκ εἰδώς, δυνήσεται, καλούντων τῶν Ὀλυμπιακῶν ἀγώνων, μέγα τι καὶ γενναῖον ἐπιδείξασθαι πρὸς τὸν ἀνταγωνιστήν; οὐ γὰρ ἐχρῆν καθ᾽ ἑκάστην ἡμέραν παλαίειν ἡμᾶς καὶ πυκτεύειν καὶ τρέχειν; οὐχ ὁρᾶτε τοὺς λεγομένους πεντάθλους, ἐπειδὰν μηδένα ἔχωσι τὸν ἀνταγωνιστήν, πῶς θύλακον ἄμμου γεμίσαντες [πολλῆς] καὶ κρεμάσαντες, ἐκεῖ τὴν ἰσχὺν γυμνάζουσιν ἅπασαν; οἱ δὲ τούτων νεώτεροι, ἐν τοῖς τῶν ἑτέρων σώμασι μελετῶσι τὴν πρὸς τοὺς ἐχθροὺς μάχην; τούτους καὶ σὺ ζήλωσον, καὶ μελέτα τῆς φιλοσοφίας τὰ παλαίσματα. καὶ γὰρ εἰς θυμὸν πολλοὶ παροξύνουσι, καὶ εἰς ἐπιθυμίαν ἐμβάλλουσι, καὶ πολλὴν ἀνάπτουσι τὴν φλόγα. στῆθι τοίνυν κατὰ τῶν παθῶν, φέρε ″γενναίως τὰς κατὰ διάνοιαν ὀδύνας, ἵνα καὶ τὰς τοῦ σώματος ἐνέγκῃς. καὶ γὰρ ὁ μακάριος Ἰώβ, εἰ μὴ καλῶς ἦν γυμνασάμενος πρὸ τῶν ἀγώνων, οὐκ ἂν οὕτω λαμπρῶς ἐπὶ τῶν ἀγώνων ἔλαμψεν· εἰ μὴ μεμελετήκει πάσης ″ἀθυμίας ἐκτὸς εἶναι, εἶπεν ἄν τι τολμηρὸν τῶν παίδων ἀποθανόντων. νυνὶ δὲ πρὸς πάντα ἔστη τὰ παλαίσματα, πρὸς χρημάτων ἀπώλειαν καὶ περιουσίας τοσαύτης ἀφανισμόν, πρὸς παίδων ἀποβολήν, ἀποβολὴν, πρὸς γυναικὸς συμπάθειαν, πρὸς σώματος μάστιγας, πρὸς ὀνείδη φίλων, πρὸς λοιδορίας οἰκετῶν. εἰ δὲ θέλεις καὶ τὰ γυμνάσια αὐτοῦ ἰδεῖν, ἄκουσον αὐτοῦ λέγοντος πῶς κατεφρόνει χρημάτων· Ἰὼβ λα. κε. Εἰ δὲ καὶ εὐφράνθην, φησὶ, πολλοῦ πλούτου μοι γενομένου, εἰ ἔταξα χρυσίον εἰς χοῦν, εἰ λίθῳ πολυτελεῖ ἐπεποίθειν. διὰ τοῦτο οὐδὲ ἁρπαγέντων αὐτῶν ἐθορυβεῖτο, ἐπειδὴ καὶ παρόντων οὐκ ἐπεθύμει. ἄκουσον πῶς καὶ τὰ κατὰ τοὺς παῖδας διῴκει· οὐ καταμαλακιζόμενος παρὰ τὸ δέον, ὥσπερ ἡμεῖς, ἀλλὰ πᾶσαν ἀκρίβειαν παρ' αὐτῶν ἀπαιτῶν. ὁ γὰρ καὶ ὑπὲρ τῶν ἀδήλων θυσίαν ἀναφέρων, ἐννόησον πῶς ἦν ἀκριβὴς τῶν φανερῶν δικαστής. εἰ δὲ καὶ τοὺς περὶ σωφροσύνης ἀγῶνας ἀκοῦσαι βούλει, ἄκουσον αὐτοῦ λέγοντος· Ἰὼβ λα. α. Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου τοῦ μὴ κατανοῆσαι εἰς παρθένον. διὰ τοῦτο αὐτὸν οὐ κατέκλασεν ἡ γυνή. ἐφίλει μὲν γὰρ αὐτὴν καὶ πρὸ τούτου· ἀλλ' οὐχ ὑπὲρ τὸ μέτρον, ἀλλ' ὡς εἰκὸς γυναῖκα. ὅθεν μοι καὶ θαυμάσαι ἔπεισι, πόθεν ἐπῆλθε τῷ διαβόλῳ εἰδότι αὐτοῦ τὰ γυμνάσια κινῆσαι τοὺς ἀγῶνας. πόθεν οὖν ἐπῆλθε; πονηρόν ἐστι τὸ θηρίον, καὶ οὐδέποτε ἀπογινώσκει· ὃ μέγιστον ἡμῖν κατάκριμα γίνεται, ὅτι ἐκεῖνος μὲν οὐδέποτε ἡμῶν ἀπελπίζει τὴν ἀπώλειαν, ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀπογινώσκομεν σωτηρίαν. ἀλλὰ καὶ σώματος πήρωσιν καὶ λώβην σκόπει πῶς ἤνεγκε. ἐπειδὴ γὰρ αὐτὸς οὐδέπω τι τοιοῦτον ὑπέμεινεν, ἀλλ' ἐν πλούτῳ καὶ τρυφῇ καὶ τῇ ἄλλῃ περιφανείᾳ διετέλεσε ζῶν, τὰς ἀλλοτρίας καθ' ἑκάστην ὠνειροπόλει συμφοράς. καὶ τοῦτο δηλῶν ἔλεγε· Ἰὼβ γ. κε. Φόβος γὰρ, ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. καὶ πάλιν· Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, καὶ ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. διὰ δὴ τοῦτο οὐδὲν αὐτὸν ἐθορύβει τῶν προσπιπτόντων τῶν μεγάλων ἐκείνων καὶ ἀφορήτων. μὴ γάρ μοι τὴν ἀπώλειαν εἴπῃς τῶν χρημάτων, μηδὲ τὴν τῶν παίδων ἀφαίρεσιν, μηδὲ τὴν πληγὴν ἐκείνην τὴν ἀνίατον, μηδὲ τὴν τῆς γυναικὸς ἐπιβουλήν· ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα. καὶ τί τούτων χαλεπώτερον, φησιν, ἔπαθεν ὁ Ἰώβ; παρὰ γὰρ τῆς ἱστορίας οὐδὲν πλέον τούτων μανθάνομεν. ἐπειδὴ καθεύδομεν, οὐ μανθάνομεν· ὡς ὅ γε μεριμνῶν, καὶ τὸν μαργαρίτην καλῶς διερευνώμενος, πολλῷ πλείονα τούτων εἴσεται. τὰ γὰρ χαλεπώτερα καὶ ἱκανὰ μείζονα ἐνιέναι θόρυβον, ἕτερα ἦν. καὶ πρῶτον, τὸ μηδὲν εἰδέναι περὶ βασιλείας οὐρανῶν καὶ ἀναστάσεως σαφές· ὅπερ οὖν καὶ θρηνῶν ἔλεγεν· οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. δεύτερον, τὸ πολλὰ ἑαυτῷ συνειδέναι καλά. τρίτον, τὸ μηδὲν συνειδέναι πονηρόν. τέταρτον, τὸ παρὰ Θεοῦ νομίζειν ταῦτα ὑπομένειν· εἰ δὲ καὶ παρὰ διαβόλου, καὶ τοῦτο ἱκανὸν ἦν αὐτὸν σκανδαλίσαι. πέμπτον, τὸ ἀκούειν τῶν φίλων ἐπὶ κακίᾳ διαβαλλόντων αὐτόν· οὐκ ἄξια γὰρ, φησιν, ὧν ἡμάρτηκας μεμαστίγωσαι. ἕκτον, τὸ τοὺς ἐν πονηρίᾳ ζῶντας εὖ πράττοντας ὁρᾶν καὶ ἐπεγγελῶντας αὐτῷ. ἕβδομον, τὸ μὴ ἔχειν εἰς ἕτερον ἰδεῖν τοιαῦτα πεπονθότα ποτέ. καὶ εἰ βούλει μαθεῖν ἡλίκα ταῦτά ἐστιν, ἐννόησον τὰ παρόντα. εἰ γὰρ νῦν βασιλείας προσδοκωμένης, καὶ ἀναστάσεως ἐλπιζομένης καὶ τῶν ἀπορρήτων ἀγαθῶν, καὶ μυρία συνειδότες ἑαυτοῖς κακὰ, καὶ τοσαῦτα ἔχοντες παραδείγματα, καὶ τοσαύτης μετέχοντες φιλοσοφίας, ἂν ὀλίγον χρυσίον ἀπολέσωσί τινες, καὶ τοῦτο πολλάκις ἁρπάσαντες, ἀβίωτον τὸν βίον εἶναι νομίζουσιν, οὐ γυναικὸς ἐπικειμένης, οὐ παίδων ἀφαιρεθέντων, οὐ φίλων ὀνειδιζόντων, οὐκ οἰκετῶν ἐπεμβαινόντων, ἀλλὰ καὶ πολλῶν ὄντων τῶν παρακαλούντων, τῶν μὲν διὰ ῥημάτων, τῶν δὲ διὰ πραγμάτων· πόσων οὐκ ἄξιος ἐκεῖνος ἂν εἴη στεφάνων, τὰ ἐκ δικαίων πόνων συλλεγέντα ὁρῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἁρπαζόμενα, καὶ μετὰ πάντα ἐκεῖνα μυρίας ὑπομένων πειρασμῶν νιφάδας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν προσήκουσαν ἀναφέρων τῷ δεσπότῃ περὶ τούτων εὐχαριστίαν; ἂν γὰρ μηδὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, τὰ τῆς γυναικὸς μόνον ῥήματα καὶ πέτρας ἦν ἱκανὰ διασαλεῦσαι. ὅρα γοῦν αὐτοῦ τὴν κακουργίαν. οὐ μέμνηται χρημάτων, οὐ μέμνηται καμήλων καὶ ποιμνίων καὶ βουκολίων (συνῄδει γὰρ τῷ ἀνδρὶ τὴν ἐπὶ τούτοις φιλοσοφίαν) ἀλλὰ τοὺς πάντων τούτων φορτικωτέρους, τῶν παίδων λέγω, καὶ πλατωνι τὴν τραγῳδίαν, καὶ τὰ παρ' ἑαυτῆς προστίθησιν. Εἰ δὲ ἐν " εὐθηνίᾳ ὄντας καὶ μηδὲν πάσχοντας ἄνδρας πολλὰ πολλάκις ἔπεισαν γυναῖκες· ἐννόησον " πῶς ἦν ἐκείνη νεανικὴ ἡ ψυχή, μετὰ τοσούτων ὅπλων αὐτὴν ἐπελθοῦσαν ἀποκρουσαμένη, καὶ δύο τὰ τυραννικώτατα πάθη καταπατήσασα, ἐπιθυμίαν καὶ ἔλεον. καίτοι πολλοὶ τῶν κρατησάντων ἐπιθυμίας, ὑπὸ ἐλέου ἐκάμφθησαν. ὁ γοῦν γενναῖος ἐκεῖνος Ἰωσὴφ τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε, καὶ τὴν βάρβαρον γυναῖκα ἐκείνην διεκρούσατο μυρία προσάγουσαν μηχανήματα· δακρύων δὲ οὐ κατέσχεν, ἀλλ' ἰδὼν τοὺς ἀδελφοὺς τοὺς ἠδικηκότας ἐνεπρήσθη τῷ πάθει, καὶ τὸ " προσωπεῖον ταχέως " ῥίψας, τὸ δρᾶμα ἀπεκάλυψεν. ὅταν δὲ καὶ γυνὴ ᾖ, καὶ ἐλεεινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα, καὶ τὰ τραύματα, καὶ τοὺς μώλωπας, καὶ τὰ μυρία κύματα τῶν συμφορῶν, πῶς οὐκ ἄν τις δικαίως ἀδάμαντος παντὸς στερροτέραν τὴν οὐδὲν ὑπὸ τοῦ τοσούτου χειμῶνος παθοῦσαν ψυχὴν εἶναι ἀπεφήνατο; δότε μοι μετὰ παρρησίας εἰπεῖν, ὅτι καὶ τῶν ἀποστόλων, εἰ μὴ μείζων, ἀλλ' οὐδὲ ἐλάττων ὁ μακάριος οὗτος ἦν. ἐκείνους μὲν γὰρ παρεμυθεῖτο, τὸ διὰ τὸν Χριστὸν πάσχειν*, καὶ οὕτω τοῦτο ἱκανὸν ἦν τὸ φάρμακον καθ' ἑκάστην ἡμέραν αὐτοὺς ἀναστῆσαι, ὡς πανταχοῦ αὐτὸ τιθέναι τὸν δεσπότην, δι' ἐμὲ καὶ ἕνεκεν ἐμοῦ λέγοντα, καὶ, εἰ ἐμὲ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν. ἐκεῖνος δὲ ταύτης ἔρημος ἦν τῆς παραμυθίας, καὶ τῆς ἀπὸ τῶν σημείων, καὶ τῆς ἀπὸ τῆς χάριτος. οὐδὲ γὰρ εἶχε τοσαύτην πνεύματος δύναμιν. καὶ τὸ δὴ μεῖζον, ὅτιπερ ἐν πολλῇ τρυφῇ τραφείς, οὐκ ἐξ ἁλιέων καὶ τελωνῶν ὢν καὶ τῶν εὐτελῶς βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τιμῆς, ἔπασχεν ἅπερ ἔπασχεν ἅπαντα. καὶ ὅπερ φορτικώτατον ἐπὶ τῶν ἀποστόλων εἶναι ἐδόκει, " τὸ αὐτὸ καὶ αὐτὸς ὑπέμεινε, παρὰ φίλων, παρὰ οἰκετῶν, παρὰ ἐχθρῶν μισούμενος, παρὰ τῶν εὖ πεπονθότων· καὶ τὴν ἱερὰν ἄγκυραν, καὶ τὸν ἀκύμαντον λιμένα (τοῦτο δὲ ἦν τὸ τοῖς ἀποστόλοις εἰρημένον, τὸ, ἕνεκεν ἐμοῦ) τοῦτο ἰδεῖν οὐκ εἶχε. θαυμάζω καὶ τοὺς τρεῖς παῖδας, ὅτι " κατετόλμησαν καμίνου, ὅτι κατεξανέστησαν τυράννου· ἀλλ' ἄκουσον τί λέγουσι· Δαν. γ. ιη. Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν· ὅπερ μεγίστη παραμυθία αὐτοῖς ἦν, τὸ σαφῶς εἰδέναι ὅτι διὰ τὸν Θεὸν πάντα πάσχουσιν, ἅπερ ἂν πάθωσιν· οὗτος δὲ οὐκ ᾔδει ὅτι ἀγωνίσματα ταῦτα ἦν καὶ πάλη. εἰ γὰρ ᾔδει, οὐκ ἂν ᾔσθετο τῶν γινομένων. ὅτε γοῦν ἤκουσεν, ὅτι ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ἐννόησον πῶς εὐθέως ἀπὸ ψιλοῦ ῥήματος ἀνέπνευσε· πῶς ἐξευτέλισεν ἑαυτόν· πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν, οὕτω λέγων· Ἰὼβ μβ. Τί ἔτι κρίνομαι νουθετούμενος καὶ ἐλεγχόμενος ὑπὸ Κυρίου, ἀκούων τοιαῦτα οὐδὲν ὢν ἐγώ; καὶ πάλιν· ἕως μὲν ὠτὸς ἀκοῆς ἤκουόν σου τὸ πρότερον· νυνὶ δὲ καὶ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. ταύτην τοίνυν τὴν ἀνδρείαν, ταύτην τὴν ἐπιείκειαν καὶ ἡμεῖς ζηλώσωμεν, οἱ μετὰ νόμον καὶ χάριν, τοῦ πρὸ νόμου καὶ χάριτος γινομένου, ἵνα καὶ τῶν αἰωνίων αὐτῷ δυνηθῶμεν κοινωνῆσαι σκηνῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λδ. 23 ΟΤΑΝ ΔΕ ΔΙΩΚΩΣΙΝ ΥΜΑΣ "ΕΚ

τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

Εἰπὼν ἐκεῖνα τὰ φοβερὰ καὶ φρικώδη καὶ ἀδάμαντα ἱκανὰ διαλῦσαι, τὰ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν αὐτοῦ καὶ τὴν ἀνάληψιν αὐτοῖς συμβησόμενα, ἄγει πάλιν τὸν λόγον ἐπὶ τὰ ἡμερώτερα, διδοὺς ἀναπνεῦσαι τοῖς ἀθληταῖς, καὶ πολλὴν αὐτοῖς παρέχων τὴν ἄδειαν. οὐδὲ γὰρ ἐκέλευσε διωκομένους ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν. ἐπειδὴ γὰρ ἀρχὴ τέως ἦν καὶ προοίμια, συγκαταβατικώτερον κέχρηται τῷ λόγῳ. οὐδὲ γὰρ περὶ τῶν μετὰ ταῦτά φησι διωγμῶν, ἀλλὰ περὶ τῶν πρὸ τοῦ σταυροῦ καὶ τοῦ πάθους. καὶ τοῦτο ἐδήλωσε λέγων· οὐ γὰρ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἵνα γὰρ μὴ λέγωσι· τί οὖν ἐὰν διωκόμενοι φεύγωμεν, καὶ πάλιν ἐκεῖ καταλαβόντες ἐλαύνωσι; τοῦτον ἀναιρῶν τὸν φόβον, φησίν· οὐ ″φθάσετε περιελθόντες τὴν Παλαιστίνην, καὶ εὐθέως ὑμᾶς καταλήψομαι. καὶ θέα πῶς καὶ ἐνταῦθα οὐ λύει τὰ δεινά, ἀλλὰ παρίσταται τοῖς κινδύνοις. οὐ γὰρ εἶπεν, ὅτι ἐξαρπάσομαι καὶ λύσω τοὺς διωγμούς· ἀλλὰ τί; οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. καὶ γὰρ ἤρκει εἰς παραμυθίαν αὐτοῖς τὸ ἰδεῖν αὐτὸν μόνον. σὺ δέ μοι σκόπει πῶς οὐ πανταχοῦ πάντα ἐπιτρέπει τῇ χάριτι, ἀλλά τι καὶ παρ' αὐτῶν εἰσφέρεσθαι κελεύει. εἰ γὰρ φοβεῖσθέ, φησι, φεύγετε, * καὶ μὴ φοβεῖσθε. καὶ οὐκ αὐτοὺς πρώτους ἐκέλευσε φεύγειν, ἀλλ' ἐλαυνομένους ὑποχωρεῖν· καὶ οὐδὲ πολὺ τὸ διάστημα δίδωσιν, ἀλλ' ὅσον περιελθεῖν τὰς πόλεις τοῦ Ἰσραήλ. εἶτα πάλιν πρὸς ἕτερον αὐτοὺς ἀλείφει μέρος φιλοσοφίας· πρότερον μὲν, τὴν μέριμναν τῆς τροφῆς ″ἐκβαλών· δεύτερον δὲ, τὸν τῶν κινδύνων φόβον· νυνὶ δὲ τὸν τῆς κακηγορίας. ἐκείνης μὲν γὰρ ἀπήλλαξε τῆς φροντίδος, εἰπών· Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, καὶ δείξας ὅτι πολλοὶ αὐτοὺς ὑποδέξονται· τῶν δὲ κινδύνων*, εἰπών· Μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε, καὶ ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ἐπειδὴ δὲ μετὰ τούτων εἰκὸς ἦν αὐτοὺς καὶ πονηρὰν δόξαν λαβεῖν, ὅπερ πολλοῖς πάντων φορτικώτερον εἶναι δοκεῖ, ὅρα πόθεν αὐτοὺς καὶ ἐνταῦθα παρακαλεῖ, ἀφ' ἑαυτοῦ καὶ τῶν ″περὶ ἑαυτοῦ εἰρημένων ἁπάντων τὴν παραμυθίαν τιθείς, οὗπερ ἴσον οὐδὲν ἦν. ὥσπερ γὰρ εἶπεν ἐκεῖ, ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων, καὶ προσέθηκε, διὰ τὸ ὄνομά μου· οὕτω καὶ ἐνταῦθα καὶ ἑτέρως αὐτοὺς παραμυθεῖται, ἕτερον μετ' ἐκείνου τιθείς. ποῖον δὴ τοῦτο;

Λουκ. ι. ζ.

Ματθ. ιδ. ιγ.

24 Οὐκ ἔστι μαθητής, φησιν, ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.

25 Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος, ὡς ὁ κύριος αὐτοῦ. Εἰ τὸν δεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ;

26 Μὴ οὖν φοβεῖσθε αὐτούς. Ὅρα πῶς ἑαυτὸν ἐκκαλύπτει ″τῶν πάντων″ εἶναι δεσπότην καὶ Θεὸν καὶ δημιουργόν; τί οὖν; οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ; ἕως ἂν μὲν ᾖ μαθητὴς καὶ δοῦλος, οὐκ ἔστι κατὰ τὴν τῆς τιμῆς φύσιν. μὴ γάρ μοι τὰ σπανίζοντα ἐνταῦθα λέγε, ἀλλ' ἀπὸ τῶν πλειόνων ″δέχου τὸν λόγον. καὶ οὐ λέγει, πόσῳ μᾶλλον τοὺς δούλους, ἀλλὰ τοὺς οἰκειακοὺς αὐτοῦ, πολλὴν πρὸς αὐτοὺς ″ἡμερότητα ἐπιδεικνύμενος. καὶ ἀλλαχοῦ δὲ ἔλεγεν· Οὐκέτι καλῶ ὑμᾶς δούλους, ὑμεῖς γὰρ φίλοι μού ἐστε. καὶ οὐκ εἶπεν, εἰ τὸν οἰκοδεσπότην ὕβρισαν καὶ ἐκακηγόρησαν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος τῆς ὕβρεως τίθησιν, ὅτι Βεελζεβοὺλ ἐκάλεσαν. εἶτα καὶ ἑτέραν ταύτης οὐκ ἐλάττονα δίδωσι παραμυθίαν. ἦν μὲν γὰρ μεγίστη καὶ αὕτη. ἐπειδὴ δὲ τοῖς οὐδέπω φιλοσοφοῦσι καὶ ἑτέρας ἔδει τῆς μάλιστα αὐτοὺς ἀνακτήσασθαι δυναμένης, καὶ ταύτην τίθησι· καὶ τὸ μὲν σχῆμα τῶν λεγομένων καθολικὴν δοκεῖ τὴν ἀπόφασιν ἔχειν· πλὴν οὐ περὶ πάντων [τῶν] πραγμάτων, ἀλλὰ περὶ τῶν προκειμένων εἴρηται μόνον. τί γάρ φησι; μὴ φοβεῖσθε αὐτούς·

Ιω. ιε. ιε.

Οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται· οὐδὲ κρυπτόν, ὃ οὐ γνωσθήσεται.

ται*. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἀρκεῖ μὲν ὑμῖν εἰς παραμυθίαν, τὸ καὶ ἐμὲ κοινωνῆσαι τῆς αὐτῆς λοιδορίας ″ ὑμῖν, τὸν διδάσκαλον καὶ τὸν δεσπότην· εἰ δὲ ἔτι ἀλγεῖτε ταῦτα ἀκούοντες, ἐννοεῖτε κἀκεῖνο, ὅτι καὶ ταύτης μικρὸν ὕστερον ἀπαλλαγήσεσθε τῆς ὑποψίας. τίνος γὰρ ἕνεκεν ἀλγεῖτε ταῦτα ἀκούοντες; ὅτι γόητας ὑμᾶς καλοῦσι καὶ πλάνους; ἀλλ' ἀναμείνατε μικρὸν, καὶ σωτῆρας ὑμᾶς καὶ εὐεργέτας τῆς οἰκουμένης προσερεῦσιν ἅπαντες. καὶ γὰρ ἀποκαλύπτει ἅπαντα ὁ χρόνος τὰ συνεσκιασμένα, καὶ τὴν ἐκείνων συκοφαντίαν ἐλέγξει, καὶ δήλην ποιήσει τὴν ὑμετέραν ἀρετήν. ὅταν γὰρ διὰ τῶν πραγμάτων φαίνησθε ″ φωστῆρες καὶ εὐεργέται καὶ πᾶσαν ἀρετὴν ἐπιδεικνύμενοι, οὐ τοῖς ἐκείνων προσέξουσι λόγοις οἱ ἄνθρωποι, ἀλλὰ τῇ τῶν πραγμάτων ἀληθείᾳ. καὶ οἱ μὲν συκοφάνται καὶ ψεῦσται καὶ κακήγοροι· ὑμεῖς δὲ τοῦ ἡλίου φανεῖσθε λαμπρότεροι, τοῦ μακροῦ χρόνου ἐκκαλύπτοντος ὑμᾶς καὶ ἀνακηρύττοντος, καὶ σάλπιγγος λαμπροτέραν φωνὴν ἀφιέντος, καὶ μάρτυρας ἅπαντας τῆς ὑμετέρας ποιοῦντος ἀρετῆς. μὴ τοίνυν τὰ λεγόμενα νῦν ὑμᾶς ταπεινούτω, ἀλλ' ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν ἀνορθούτω. ἀμήχανον γὰρ κρυβῆναι τὰ καθ' ὑμᾶς. Εἶτα, ἐπειδὴ πάσης αὐτοὺς ἀπήλλαξεν ἀγωνίας καὶ φόβου καὶ μερίμνης, καὶ ὑψηλοτέρους ἐποίησε τῶν ὀνειδῶν, τότε λοιπὸν εἰς καιρὸν αὐτοῖς καὶ περὶ τῆς ἐν τῷ κηρύγματι παρρησίας διαλέγεται.

27 Ὃ λέγω γὰρ ὑμῖν, φησὶν, ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

Καίτοιγε οὐκ ἦν σκότος ἡνίκα ταῦτα ἔλεγεν, οὐδὲ εἰς τὸ οὖς αὐτοῖς διελέγετο, ἀλλὰ μεθ' ὑπερβολῆς κέχρηται τῷ λόγῳ. ἐπειδὴ γὰρ μόνοις αὐτοῖς διελέγετο καὶ ἐν μικρᾷ γωνίᾳ τῆς Παλαιστίνης, διὰ τοῦτο εἶπεν, ἐν τῇ σκοτίᾳ, καὶ εἰς τὸ οὖς, πρὸς τὴν μετὰ ταῦτα παρρησίαν ἐσομένην, ἣν ἔμελλεν αὐτοῖς διδόναι, τὸν τρόπον τῆς διαλέξεως ἀντιδιαστέλλων ″ ἐκείνης. οὐ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ πόλεσιν, ἀλλὰ τῇ οἰκουμένῃ κηρύξατε πάσῃ, φησὶ, γῆν καὶ θάλατταν ἐπιόντες, καὶ οἰκουμένην καὶ ἀοίκητον, καὶ τυράννοις καὶ δήμοις, καὶ φιλοσόφοις καὶ ῥήτορσι γυμνῇ τῇ κεφαλῇ καὶ μετὰ παρρησίας πάσης πάντα λέγοντες. διὰ τοῦτο εἶπεν, ἐπὶ τῶν δωμάτων, καὶ ἐν τῷ φωτὶ, τουτέστι, χωρὶς ὑποστολῆς τινος, καὶ μετ' ἐλευθερίας ἁπάσης. καὶ διατί μὴ εἶπε, κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ εἴπατε ἐν τῷ φωτὶ μόνον, ἀλλὰ καὶ προσέθηκεν, ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε; ἐπαίρων αὐτῶν τὰ φρονήματα. ὥσπερ οὖν ὅτε ἔλεγεν, Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· οὕτω δὴ καὶ ἐνταῦθα, δεικνὺς ὅτι ″ πάντα δι' αὐτῶν ἐργάσεται, καὶ πλέον ἢ δι' ἑαυτοῦ, τοῦτο τέθεικε. τὴν μὲν γὰρ ἀρχὴν ἐγὼ δέδωκα, φησὶ, καὶ τὰ προοίμια· τὸ δὲ πλέον δι' ὑμῶν ἀνύσαι βούλομαι. τοῦτο δὲ οὐκ ἐπιτάττοντός ἐστι μόνον, ἀλλὰ καὶ τὸ μέλλον προαναφωνοῦντος καὶ θαρροῦντος τοῖς λεγομένοις, καὶ δεικνύντος ὅτι πάντων κρατήσουσι, καὶ ἠρέμα καὶ τὴν [περὶ τῆς] κακηγορίας ἀγωνίαν πάλιν ὑπορύττοντος. ὥσπερ γὰρ τοῦτο τὸ κήρυγμα ″ λανθάνον τέως πάντα ἐπελεύσεται, οὕτω καὶ ἡ πονηρὰ τῶν Ἰουδαίων ὑπόληψις ἀπολεῖται ταχέως. Εἶτα, ἐπειδὴ ἐπῆρεν αὐτοὺς καὶ ὕψωσε, προαναφωνεῖ πάλιν καὶ τοὺς κινδύνους, ἀναπτερῶν αὐτῶν τὴν διάνοιαν καὶ ὑψηλοτέρους πάντων ποιῶν. τί γάρ φησι;

Ἰωαν. ιδ. ιβ.

28 Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Εἶδες πῶς πάντων αὐτοὺς ἔστησεν ἀνωτέρους, οὐχὶ φροντίδος μόνον, οὐδὲ κακηγορίας, οὐδὲ κινδύνων καὶ ἐπιβουλῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ πάντων εἶναι δοκοῦντος φοβεροῦ θανάτου πείθων καταφρονεῖν; καὶ οὐδὲ ἁπλῶς θανάτου, ἀλλὰ καὶ βιαίου. καὶ οὐκ εἶπεν, ὅτι ἀναιρεθήσεσθε· ἀλλὰ καὶ μετὰ τῆς αὐτῷ προσηκούσης μεγαλοπρεπείας ″ τὸ πᾶν ἐδήλωσε, μὴ φοβηθῆτε λέγων ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·

Φοβήθητε δὲ μᾶλλον τὸν καὶ ψυχὴν καὶ σῶμα δυνάμενον ἀπολέσαι ἐν γεέννῃ·

Ὅπερ ἀεὶ" ποιεῖ*, εἰς τοὐναντίον περιτρέπων τὸν λόγον. τί γάρ φησι; δεδοίκατε τὸν θάνατον, καὶ διὰ τοῦτο ὀκνεῖτε κηρύττειν; δι᾽ αὐτὸ μὲν οὖν τοῦτο κηρύξατε, ἐπειδὴ δεδοίκατε θάνατον. τοῦτο γὰρ" ὑμᾶς ἐξαιρήσεται τοῦ ὄντως θανάτου. εἰ γὰρ καὶ μέλλουσιν ὑμᾶς ἀναιρεῖν, ἀλλὰ τοῦ κρείττονος οὐ περιέσονται, κἂν μυρία φιλονεικήσωσι. διὰ τοῦτο οὐκ εἶπε, τὴν δὲ ψυχὴν οὐκ ἀποκτεινόντων, ἀλλὰ μὴ δυναμένων ἀποκτεῖναι. κἂν γὰρ ἐθελήσωσιν, οὐ περιέσονται· ὥστε εἰ δέδοικας κόλασιν, ἐκείνην φοβοῦ τὴν πολλῷ χαλεπωτέραν. ὁρᾷς πῶς πάλιν οὐκ ἐπαγγέλλεται αὐτοῖς ἀπαλλαγὴν θανάτου, ἀλλ᾽ ἀφίησιν ἀποθανεῖν, μείζονα χαριζόμενος, ἢ εἰ μὴ συνεχώρησε τοῦτο παθεῖν; τοῦ γὰρ ἀπαλλάξαι θανάτου τὸ πεῖσαι καταφρονεῖν θανάτου πολλῷ μεῖζόν ἐστιν. οὐ τοίνυν εἰς κινδύνους ἐμβάλλει αὐτοὺς, ἀλλ᾽" ἀνωτέρους ποιεῖ κινδύνων, καὶ ἐν βραχεῖ λόγῳ τὰ περὶ ἀθανασίας ψυχῆς ἐν αὐτοῖς πήγνυσι δόγματα· καὶ ἐν δύο" ἢ τρισὶ λέξεσι δόγμα σωτήριον καταφυτεύσας, καὶ ἀπὸ λογισμῶν αὐτοὺς ἑτέρων παραμυθεῖται. ἵνα γὰρ μὴ νομίσωσιν ἀναιρούμενοι καὶ σφαττόμενοι, ὡς ἐγκαταλιμπανόμενοι, τοῦτο πάσχειν, πάλιν τὸν περὶ τῆς προνοίας τοῦ Θεοῦ εἰσάγει λόγον, οὕτω λέγων·

29 Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται" εἰς παγίδα ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς.

30 Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. Τί γὰρ εὐτελέστερον ἐκείνων, φησίν; ἀλλ᾽ ὅμως οὐδὲ ἐκεῖνα ἁλώσεται ἀγνοοῦντος τοῦ Θεοῦ. οὐ γὰρ τοῦτό φησιν, ὅτι αὐτοῦ ἐνεργοῦντος πίπτει (τοῦτο γὰρ ἀνάξιον Θεοῦ) ἀλλ᾽ ὅτι οὐδὲν αὐτὸν λανθάνει τῶν γινομένων. εἰ τοίνυν ἀγνοεῖ οὐδὲν τῶν συμβαινόντων, ὑμᾶς δὲ φιλεῖ πατρὸς γνησιώτερον, καὶ οὕτω φιλεῖ, ὡς καὶ τὰς τρίχας ἠριθμηκέναι, οὐ χρὴ δεδοικέναι. τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὰς τρίχας ὁ Θεὸς ἀριθμεῖ· ἀλλ᾽ ἵνα τὴν ἀκριβῆ γνῶσιν καὶ τὴν πολλὴν πρόνοιαν τὴν περὶ αὐτοὺς ἐνδείξηται. εἰ τοίνυν καὶ οἶδε πάντα τὰ γινόμενα, καὶ δύναται σώζειν ὑμᾶς, καὶ βούλεται, ὅσα ἂν πάθητε, μὴ νομίσητε ἐγκαταλιμπανόμενοι πάσχειν. οὐδὲ γὰρ ἀπαλλάξαι ὑμᾶς βούλεται τῶν δεινῶν, ἀλλὰ πεῖσαι καταφρονεῖν τῶν δεινῶν· ἐπειδὴ τοῦτο μάλιστα ἀπαλλαγὴ τῶν δεινῶν.

31 Μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. Ὁρᾷς ἤδη τὸν φόβον αὐτῶν" κατακρατήσαντα; καὶ γὰρ ᾔδει τὰ ἀπόρρητα τῆς διανοίας. διὰ τοῦτο ἐπήγαγε, μὴ οὖν φοβεῖσθε αὐτούς. κἂν γὰρ κρατήσωσι, τοῦ καταδεεστέρου κρατήσουσι, τοῦ σώματος λέγω· ὃ κἂν μὴ οὗτοι ἀποκτείνωσιν, ἡ φύσις λαβοῦσα ἄπεισι πάντως· ὥστε οὐδὲ τούτου οὗτοι γεγόνασι κύριοι, ἀλλ᾽ ἀπὸ τῆς φύσεως αὐτὸ ἔχουσιν. εἰ δὲ τοῦτο δέδοικας, πολλῷ μᾶλλον τὸ μεῖζον δεδοικέναι χρὴ, καὶ φοβεῖσθαι τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι. καὶ οὐ λέγει φανερῶς ἑαυτὸν εἶναι τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι· δι᾽ ὧν δὲ ἔμπροσθεν" ἐνέφηνε, κριτὴν ἑαυτὸν ὄντα ἐδήλωσεν. ἀλλὰ νῦν τοὐναντίον" ποιοῦμεν. τὸν μὲν γὰρ δυνάμενον ψυχὴν ἀπολέσαι (τουτέστι, κολάσαι) οὐ φοβούμεθα· τοὺς δὲ τὸ σῶμα ἀναιροῦντας πεφρίκαμεν. καίτοιγε ὁ μὲν μετὰ τῆς ψυχῆς καὶ τὸ σῶμα τιμωρεῖται· οἱ δὲ οὐ μόνον οὐ τὴν ψυχὴν, ἀλλ᾽ οὐδὲ τὸ σῶμα κολάσαι δύνανται· κἂν μυριάκις" ἀνέλωσιν, ἀλλὰ καὶ λαμπρότερον οὕτω ποιοῦσιν αὐτό. εἶδες πῶς δείκνυσι τοὺς ἀγῶνας εὐχερεῖς; καὶ γὰρ σφόδρα ὁ θάνατος κατέσεισεν αὐτῶν τὴν ψυχὴν, φοβερὸν τέως ἐμπνέων, τῷ μηδέπω γεγενῆσθαι εὐκαταγώνιστος, μηδὲ τοὺς μέλλοντας αὐτοῦ καταφρονεῖν τῆς τοῦ ἁγίου πνεύματος ἀπολελαυκέναι χάριτος. ἐκβαλὼν τοίνυν τὸν φόβον καὶ τὴν ἀγωνίαν τὴν κατασείσασαν αὐτῶν τὴν ψυχὴν, καὶ διὰ τῶν ἑξῆς παραθαρρύνει πάλιν, φόβῳ φόβον ἐκβάλλων· καὶ οὐ φόβῳ μόνον, ἀλλὰ καὶ ἐπάθλων ἐλπίδι μεγάλων, καὶ μετὰ πολλῆς ἀπειλεῖ τῆς ἐξουσίας, καὶ ἑκατέρωθεν αὐτοὺς προτρέπων εἰς τὴν ὑπὲρ τῆς ἀληθείας παρρησίαν, καὶ ἐπάγει λέγων·

32 Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.

33 Ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Οὐ γὰρ ἀπὸ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐναντίων ὠθεῖ, καὶ εἰς τὰ σκυθρωπὰ καταλήγει. καὶ σκόπει τὴν ἀκρίβειαν. οὐκ εἶπεν ἐμὲ, ἀλλ᾽ ἐν ἐμοὶ, δεικνὺς ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ ἄνωθεν βοηθούμενος χάριτι ὁμολογεῖ ὁ ὁμολογῶν. περὶ δὲ τοῦ ἀρνουμένου, οὐκ εἶπεν ἐν ἐμοὶ, ἀλλ᾽ ἐμέ. ἔρημος γὰρ γενόμενος τῆς δωρεᾶς, οὕτως ἀρνεῖται. τίνος οὖν ἕνεκεν ἐγκαλεῖται, φησὶν, εἰ ὁ ἐγκαταλειφθεὶς ἀρνεῖται; ὅτι τὸ ἐγκαταλειφθῆναι, παρ" αὐτὸν γίνεται τὸν ἐγκαταλιμπανόμενον. τίνος δὲ ἕνεκεν οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν πίστει, ἀλλὰ καὶ τὴν διὰ τοῦ στόματος ὁμολογίαν ἀπαιτεῖ; εἰς παρρησίαν ἡμᾶς ἀλείφων καὶ πλείονα ἀγάπην καὶ διάθεσιν, καὶ ὑψηλοὺς ἐργαζόμενος· διὸ καὶ πρὸς ἅπαντας διαλέγεται· καὶ οὐδὲ τῷ προσώπῳ τῶν μαθητῶν κέχρηται μόνον. οὐ γὰρ αὐτοὺς, ἀλλὰ καὶ τοὺς μαθητὰς αὐτῶν ἤδη κατασκευάζει γενναίους. ὁ γὰρ τοῦτο μαθὼν, οὐ διδάξει μόνον μετὰ παρρησίας, ἀλλὰ καὶ πείσεται πάντα εὐκόλως καὶ μετὰ προθυμίας. τοῦτο γοῦν πολλοὺς τοῖς ἀποστόλοις προσήγαγε, τὸ πιστεῦσαι τῷ ῥήματι τούτῳ. καὶ γὰρ καὶ ἐν τῇ κολάσει πλείων ἡ τιμωρία, καὶ ἐν τοῖς ἀγαθοῖς μείζων ἡ ἀντίδοσις. ἐπειδὴ γὰρ τῷ χρόνῳ πλεονεκτεῖ ὁ κατορθῶν, καὶ τῇ ἀναβολῇ τῆς τιμωρίας νομίζει κερδαίνειν ὁ" ἁμαρτάνων, ἀντίρροπον, μᾶλλον δὲ πολλῷ μείζονα πλεονεξίαν εἰσήγαγε, τὴν προσθήκην τῶν ἀντιδόσεων. ἐπλεονέκτησάς, φησι, τῷ" πρότερός με ὁμολογῆσαι ἐνταῦθα; πλεονεκτήσω σε κἀγὼ, φησι, τῷ μείζονά σοι δοῦναι, καὶ ἀφάτως μείζονα. ἐκεῖ γάρ σε ὁμολογήσω. ὁρᾷς ἐκεῖ καὶ τὰ ἀγαθὰ, καὶ τὰ κακὰ ταμιευόμενα; τί τοίνυν σπεύδεις καὶ ἐπείγῃ; τί δὲ ζητεῖς ἐνταῦθα τὰς ἀμοιβὰς ἐλπίδι σωθείς; διὰ δὴ τοῦτο κἂν ποιήσῃς τι χρηστὸν, καὶ μὴ λάβῃς αὐτοῦ τὴν ἀντίδοσιν ἐνταῦθα, μὴ ταράττου. μετὰ γὰρ προσθήκης ἐν τῷ μέλλοντί σε καιρῷ ἀναμένει τούτων ἡ ἀμοιβή. κἂν ποιήσῃς τι πονηρὸν, καὶ μὴ δῷς δίκην, μὴ ῥᾳθύμει. ἐκεῖ γάρ σε ἐκδέξεται ἡ τιμωρία, ἂν μὴ μεταβάλῃ καὶ γένῃ βελτίων. εἰ δὲ ἀπιστεῖς, ἀπὸ τῶν ἐνταῦθα" καταστοχάζου τὰ τῶν μελλόντων. εἰ γὰρ ἐν τῷ καιρῷ τῶν ἀγώνων οὕτως εἰσὶ λαμπροὶ οἱ ὁμολογοῦντες, ἐν τῷ καιρῷ τῶν στεφάνων ἐννόησον τίνες ἔσονται; εἰ οἱ ἐχθροὶ ἐνταῦθα" κροτοῦσιν, ὁ πάντων πατέρων φιλοστοργότερος πῶς οὐ θαυμάσεταί σε καὶ ἀνακηρύξει; τότε γὰρ [ἡμῖν] εἰσὶ καὶ τῶν ἀγαθῶν αἱ δωρεαὶ, καὶ τῶν κακῶν αἱ τιμωρίαι. ὥστε οἱ μὲν ἀρνούμενοι, καὶ ἐνταῦθα καὶ ἐκεῖ βλαβήσονται· ἐνταῦθα μὲν μετὰ πονηροῦ συνειδότος ζῶντες, κἂν μή ποτε ἀποθάνωσιν, ἀποθανοῦνται πάντως· καὶ ἐκεῖ [δὲ] τὴν ἐσχάτην" ὑπομενοῦσι δίκην. οἱ δὲ ἕτεροι, καὶ ἐνταῦθα καὶ ἐκεῖ κερδανοῦσι, καὶ τὸν θάνατον ἐνταῦθα πραγματευόμενοι, καὶ τῶν ζώντων ταύτῃ λαμπρότεροι γινόμενοι, καὶ ἐκεῖ τῶν ἀπορρήτων ἀπολαύοντες ἀγαθῶν. οὐ γὰρ δὴ πρὸς τὸ κολάζειν μόνον, ἀλλὰ καὶ πρὸς τὸ εὐεργετεῖν ἕτοιμος ὁ Θεός· καὶ πρὸς τοῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο. ἀλλὰ τίνος ἕνεκεν τοῦτο μὲν ἅπαξ τίθησιν, ἐκεῖνο δὲ δίς; οἶδε μᾶλλον τούτῳ τοὺς ἀκούοντας σωφρονιζομένους. διὰ τοῦτο εἰπών· φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι, πάλιν λέγει, ἀρνήσομαι αὐτὸν κἀγώ. οὕτω καὶ Παῦλος ἐποίει, συνεχῶς τῆς γεέννης" μεμνημένος. ἀλείψας τοίνυν τὸν ἀκροατὴν διὰ πάντων (καὶ γὰρ τοὺς οὐρανοὺς ἀνέῳξεν αὐτῷ, καὶ τὸ δικαστήριον ἐκεῖνο ἐπέστησε τὸ φοβερὸν, καὶ τὸ θέατρον ἔδειξε τῶν ἀγγέλων, καὶ τὴν ἐν τούτοις ἀνακήρυξιν τῶν στεφάνων πολλὴν ἐντεῦθεν προοδοποιοῦσαν τῷ λόγῳ τῆς εὐσεβείας τὴν εὐκολίαν) λοιπὸν ἵνα μὴ δειλῶν * γενομένων ἐμποδισθῇ τῆς εὐσεβείας τὸ κήρυγμα, καὶ πρὸς αὐτὰς τὰς σφαγὰς αὐτοὺς παρασκευάζεσθαι κελεύει· ἵνα μάθωσιν, ὅτι οἱ ἐν τῇ πλάνῃ μένοντες, καὶ τῆς τούτων ἐπιβουλῆς δώσουσι δίκην.

ΗΘΙΚΟΝ Καταφρονῶμεν τοίνυν θανάτου, κἂν μὴ παρῇ καιρὸς ὁ τοῦτον ἀπαιτῶν. καὶ

γὰρ

χεζ 1.

γὰρ εἰς πολλῷ βελτίονα ″ἀναστησόμεθα ζωήν. ἀλλὰ φθείρεται τὸ σῶμα; καὶ διὰ τοῦτο μάλιστα χαίρειν δεῖ, ὅτι ὁ θάνατος φθείρεται καὶ ἡ θνητότης ἀπόλλυται, οὐχ ἡ οὐσία τοῦ σώματος. οὐδὲ γὰρ, εἰ ἀνδριάντα ἴδοις χωνευόμενον, ἀπώλειαν προσερεῖς τὸ γινόμενον, ἀλλὰ βελτίω κατασκευήν· τοῦτο δὴ καὶ ἐπὶ τοῦ σώματος λογίζου, καὶ μὴ θρήνει. τότε γὰρ ἔδει θρηνεῖν, εἰ ἔμενεν ἐν τῇ κολάσει. ἀλλ' ἔδει, φησὶ, χωρὶς τοῦ φθείρεσθαι τὰ σώματα τοῦτο γίνεσθαι, καὶ ὁλόκληρα μένειν αὐτά. καὶ τί τοῦτο ἢ τοὺς ζῶντας ἢ τοὺς ἀπελθόντας ὤνησεν ἄν; μέχρι πότε φιλοσώματοι, μέχρι πότε τῇ γῇ προσηλωμένοι πρὸς τὰς σκιὰς κεχήνατε; τί γὰρ τοῦτο ὠφέλησεν ἄν; μᾶλλον δὲ τί οὐκ ἂν ἔβλαψεν; εἰ γὰρ μὴ ἐφθείρετο τὰ σώματα, πρῶτον τὸ πάντων μεῖζον τῶν κακῶν ὁ τῦφος παρὰ πολλοῖς ἔμενεν ἄν. εἰ γὰρ καὶ τούτου γινομένου καὶ σκωλήκων πηγαζόντων πολλοὶ θεοὶ ″νομισθῆναι ἐφιλονείκησαν, τί οὐκ ἂν ἐγένετο τούτου μένοντος; δεύτερον, οὐκ ἂν ἐπιστεύθησαν ἀπὸ γῆς εἶναι. εἰ γὰρ τοῦ τέλους μαρτυροῦντος ἀμφισβητοῦσιν ἔτι τινὲς, τί οὐκ ἂν ὑπώπτευσαν, εἰ μὴ τοῦτο ἑώρων; τρίτον, σφόδρα ἂν ἐφιλήθη τὰ σώματα, καὶ οἱ πλείους σαρκικώτεροι καὶ παχύτεροι ἐγένοντο ἄν. εἰ δὲ καὶ νῦν τινες τοῖς τάφοις συμπλέκονται καὶ ″ταῖς σοροῖς ἀφανισθέντων ἐκείνων, τί οὐκ ἂν ἐποίησαν, εἰ καὶ τὴν εἰκόνα εἶχον διατηρουμένην; τέταρτον, οὐκ ἂν σφόδρα ἐπόθησαν τὰ μέλλοντα. πέμπτον, οἱ τὸν κόσμον ἀθάνατον εἶναι λέγοντες, μᾶλλον ἂν ἐβεβαιώθησαν, καὶ οὐκ ἂν ″ἔφασαν τὸν Θεὸν εἶναι δημιουργόν. ἕκτον, οὐκ ἂν ἔγνωσαν τῆς ψυχῆς τὴν ἀρετὴν, καὶ πόσον ἐστὶ παροῦσα σώματι ψυχή. ἕβδομον, πολλοὶ τῶν ἀποβαλόντων τοὺς οἰκείους, τὰς πόλεις ἀφέντες, τὰ ″σήματα ἔμελλον οἰκεῖν, καὶ παραπλῆγες γίνεσθαι τοῖς νεκροῖς τοῖς αὐτῶν διηνεκῶς διαλεγόμενοι. εἰ γὰρ καὶ νῦν εἰκόνας ″πλάττοντες ἄνθρωποι (ἐπειδὴ τὸ σῶμα κατασχεῖν οὐκ ἔχουσιν· οὐδὲ γὰρ δυνατὸν, ἀλλὰ καὶ ἀκόντων αὐτῶν ῥεῖ καὶ ἀποπηδᾷ) προσηλωμένοι ταῖς σανίσιν εἰσὶ, τί οὐκ ἂν τότε ἐπενόησαν ἄτοπον; ἐμοὶ ″δοκεῖν καὶ ναοὺς ἂν τοῖς τοιούτοις σώμασιν ″ᾠκοδόμησαν [οἱ] πολλοὶ, ″καὶ πεῖσαι δαίμονας φθέγγεσθαι δι' αὐτῶν οἱ τὰ τοιαῦτα μαγγανεύειν δεινοὶ, ὅπουγε καὶ νῦν οἱ τὰς νεκυομαντείας τολμῶντες, πολλὰ τούτων ἀτοπώτερα ἐπιχειροῦσιν, οἵ γε μετὰ τὴν κόνιν καὶ τὴν τέφραν ταῦτα ποιεῖν ἔτι φιλονεικοῦσι. πόσαι δὲ οὐκ ἂν εἰδωλολατρεῖαι ἐντεῦθεν ἐγένοντο; πάντα τοίνυν ἀναιρῶν ὁ Θεὸς τὰ ἄτοπα, καὶ παιδεύων ἡμᾶς ἀφίστασθαι τῶν γηΐνων ἁπάντων, ἀφανίζει τὸ σῶμα παρὰ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων. καὶ γὰρ ὁ φιλοσώματος, καὶ πρὸς κόρην ἐπτοημένος εὔμορφον, εἰ μὴ βούλοιτο μαθεῖν τῷ λόγῳ τὸ εἰδεχθὲς τῆς οὐσίας, δι' αὐτῆς αὐτὸ τῆς ὄψεως εἴσεται. καὶ γὰρ πολλαὶ τῆς ἐρωμένης ὁμήλικες, πολλάκις δὲ καὶ λαμπρότεραι ἀποθανοῦσαι, μετὰ μίαν καὶ δευτέραν ἡμέραν δυσωδίαν παρέσχον καὶ ἰχῶρα καὶ σηπεδόνα σκωλήκων. ἐννόησον τοίνυν οἷον κάλλος φιλεῖς, καὶ πρὸς ποίαν ἐπτόησαι εὐμορφίαν. εἰ δὲ μὴ ἐφθείρετο τὰ σώματα, οὐκ ἂν τοῦτο ἐγνώσθη καλῶς. ἀλλ' ὥσπερ οἱ δαίμονες παρὰ τοὺς τάφους τρέχουσιν· οὕτω καὶ πολλοὶ τῶν ἐρώντων τοῖς μνήμασι παρακαθήμενοι διηνεκῶς δαίμονας ἂν ἐδέξαντο τῇ ψυχῇ, καὶ τῇ χαλεπῇ ταύτῃ ταχέως ἂν ἐναπέθανον μανίᾳ. νῦν δὲ μετὰ τῶν ἄλλων ἁπάντων καὶ τοῦτο παραμυθεῖται τὴν ψυχὴν, τὸ μὴ φαίνεσθαι τὴν εἰκόνα, καὶ εἰς λήθην ″ἐμβάλλει τοῦ πάθους. εἰ δὲ μὴ τοῦτο ἦν, οὐδ' ἂν μνήματα ἦν, ἀλλὰ τὰς πόλεις εἶδες ἂν ἀντὶ ἀνδριάντων νεκροὺς ἐχούσας, ἑκάστου τὸν ἑαυτοῦ βλέπειν ἐπιθυμοῦντος· καὶ πολλὴ ἂν ἐγένετο σύγχυσις ἐντεῦθεν, καὶ οὐδεὶς ἂν τῶν πολλῶν ψυχῆς ἐπεμελήσατο, οὐκ ἂν παρεχώρησε τῷ περὶ ἀθανασίας ἐπεισελθεῖν λόγῳ. καὶ ἕτερα δὲ πολλὰ ἂν ἀτοπώτερα τούτων ἐγένετο, ἃ μηδὲ εἰπεῖν ″καλόν. διὰ τοῦτο σήπεται εὐθέως, ἵνα ἴδῃς γυμνὸν τῆς ψυχῆς τὸ κάλλος. εἰ γὰρ ″ἐκείνη τοσούτου κάλλους καὶ τοσαύτης ζωῆς ″πρόξενος, πολλῷ μᾶλλον αὐτὴ βελτίων ἂν εἴη· εἰ τὸ οὕτως εἰδεχθὲς καὶ δυσειδὲς διακρατεῖ, πολλῷ μᾶλλον ἑαυτήν. οὐ γὰρ τὸ σῶμά ἐστι τὸ καλὸν, ἀλλ' ἡ διάπλασις, καὶ τὸ ἄνθος ὅπερ παρὰ τῆς ψυχῆς ἐπιχρώννυται τῇ οὐσίᾳ.

φίλει τοίνυν ἐκείνην τὴν κἀκεῖνο τοιοῦτον ποιοῦσαν φαίνεσθαι. καὶ τί λέγω τὸν θάνατον; καὶ γὰρ ἐν "αὐτῇ τῇ ζωῇ δείκνυμί σοι πῶς πάντα αὐτῆς ἐστι τὰ καλά. ἂν μὲν γὰρ ἡσθῇ, ῥόδα κατέπασε τῶν παρειῶν· ἂν δὲ ἀλγήσῃ, τὸ κάλλος λαβοῦσα ἐκεῖνο μελαίνῃ στολῇ τὸ πᾶν περιέβαλε· κἂν εὐφραίνηται διηνεκῶς, γέγονεν "ἀπαθὲς τὸ σῶμα· "ἂν δ' ἀλγήσῃ, ἀράχνης ἰσχνότερόν τε καὶ ἀσθενέστερον ἐποίησεν· ἂν θυμωθῇ, πάλιν πεποίηκεν [αὐτὸ] ἀπότροπαιον καὶ αἰσχρόν· ἂν γαληνὸν ὀφθαλμὸν δείξῃ, πολὺ [τὸ] κάλλος ἐχαρίσατο· ἂν βασκήνῃ, πολλὴν τὴν ὠχρίαν καὶ τὴν τηκεδόνα ἐξέχεεν· ἂν ἀγαπήσῃ, πολλὴν τὴν εὐμορφίαν ἐδωρήσατο. οὕτω γοῦν πολλαὶ οὐκ οὖσαι εὔμορφοι τὴν ὄψιν, χάριν πολλὴν ἀπὸ ψυχῆς ἔλαβον· ἕτεραι [πάλιν] λάμπουσαι τῇ ὥρᾳ, ἐπειδὴ ψυχὴν ἄχαριν εἶχον, ἐλυμήναντο τὴν εὐμορφίαν. ἐννόησον πῶς ἐρυθραίνει πρόσωπον λευκὸν ὄν, καὶ τῇ τοῦ χρώματος ποικιλίᾳ πολλὴν ἐργάζεται τὴν ἡδονήν, ὅταν αἰσχύνεσθαι δέῃ καὶ ἐρυθριᾷν· ὥσπερ οὖν ἐὰν ἀναίσχυντος ᾖ, θηρίου παντὸς ἀηδεστέραν τὴν ὄψιν δείκνυσιν· οὕτως ἡ αἰδήμων, ἥμερον καὶ εὐειδῆ τὴν ὄψιν ἐργάζεται. οὐδὲν γὰρ ψυχῆς καλῆς ὡραιότερον, οὐδὲ ἥδιον. ἐπὶ μὲν γὰρ τῶν σωμάτων, μετὰ ἀλγηδόνος ὁ πόθος· ἐπὶ δὲ τῶν ψυχῶν, καθαρὰ καὶ ἀκύμαντος ἡ ἡδονή. τί τοίνυν τὸν βασιλέα ἀφεὶς, πρὸς τὸν "κήρυκα ἐπτόησαι; τί τὸν φιλόσοφον καταλιπὼν, κέχηνας πρὸς τὸν ἑρμηνέα; εἶδες καλὸν ὀφθαλμὸν, κατάμαθε τὸν ἔνδον· κἂν μὴ ᾖ καλὸς ἐκεῖνος, καταφρόνησον καὶ τούτου. οὐδὲ γὰρ, εἰ γυναῖκα εἶδες "ἄμορφον προσωπεῖον περικειμένην καλὸν, ἔπαθες ἄν τι πρὸς αὐτήν· ὥσπερ οὖν οὐδὲ εὐειδῆ καὶ καλὴν ἠνέσχου ἂν κρύπτεσθαι τῷ προσωπείῳ, ἀλλὰ περιελὼν αὐτὸ, γυμνὴν ἂν ἠθέλησας τὴν ὥραν ἰδεῖν. τοῦτο δὴ καὶ ἐπὶ τῆς ψυχῆς ποίει, καὶ αὐτὴν καταμάνθανε προτέραν. ἐν προσωπείου γὰρ χώρᾳ τὸ σῶμα περίκειται. διὸ καὶ μένει τοιοῦτον οἷόν ἐστιν· ἐκείνη δὲ, κἂν ἄμορφος ᾖ, ταχέως δύναται γενέσθαι καλή· κἂν ὀφθαλμὸν ἔχῃ δυσειδῆ καὶ τραχὺν καὶ σκληρὸν, δύναται γενέσθαι καλὸς, ἥμερος, γαληνὸς, μειλίχιος, προσηνής. ταύτην τοίνυν τὴν εὐμορφίαν ζητῶμεν, ταύτην "τὴν καλλωπιζομένην ὄψιν· ἵνα καὶ ὁ Θεὸς ἐπιθυμήσας τοῦ ἡμετέρου κάλλους, μεταδῷ ἡμῖν τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λε.

34 ΜΗ ΝΟΜΙΣΗΤΕ ΟΤΙ ΗΛΘΟΝ ΒΑΛΕΙΝ εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. 35 Ἦλθον γὰρ διχάσαι ἄνθρωπον "ἀπὸ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα "ἀπὸ τῆς μητρὸς αὐτῆς· καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· 36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ "οἰκεῖοι αὐτοῦ.

Πάλιν τὰ φορτικώτερα τίθησι, καὶ μετὰ πολλῆς τῆς περιουσίας· καὶ ὅπερ ἔμελλον "ἀνθυποστρέφειν, τοῦτο προλέγει. ἵνα γὰρ μὴ ταῦτα ἀκούοντες λέγωσι, καὶ διὰ τοῦτο οὖν παραγέγονας, ὥστε καὶ ἡμᾶς ἀνελεῖν καὶ τοὺς ἡμῖν πειθομένους, καὶ πολέμου τὴν γῆν ἐμπλῆσαι; πρότερος αὐτός φησιν· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. πῶς οὖν αὐτοῖς ἐπέταξεν εἰς ἑκάστην οἰκίαν εἰσιοῦσιν εἰρήνην ἐπιλέγειν; πῶς δὲ καὶ οἱ ἄγγελοι ἔλεγον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη; Λουκ. β. ιδ. πῶς δὲ καὶ οἱ προφῆται πάντες τοῦτο εὐηγγελίζοντο; ὅτι τοῦτο μάλιστα εἰρήνη, ὅταν τὸ νενοσηκὸς ἀποτέμνηται, ὅταν τὸ στασιάζον χωρίζηται. οὕτω γὰρ δυνατὸν τὸν οὐρανὸν τῇ γῇ συναφθῆναι. ἐπεὶ καὶ ὁ ἰατρὸς οὕτω τὸ λοιπὸν διασώζει σῶμα, ὅταν τὸ ἀνιάτως ἔχον ἐκτέμῃ· καὶ στρατηγὸς, Γεν. ια. ὅταν κακῶς ὁμονοοῦντας εἰς διάστασιν ἀγάγῃ· οὕτω καὶ ἐπὶ τοῦ πύργου γέγονεν ἐκείνου.

γὰρ κακὴν εἰρήνην ἡ καλὴ διαφωνία ἔλυσε καὶ ἐποίησεν εἰρήνην. οὕτω καὶ Παῦλος τοὺς
κατ' αὐτοῦ συμφωνοῦντας " διεῖλεν. ἐπὶ δὲ τοῦ Ναβουθὲ πολέμου παντὸς ἡ συμφωνία τότε Πρ. κγ. ε.
ἐκείνη χαλεπωτέρα γέγονεν. οὐ γὰρ πανταχοῦ ὁμόνοια καλόν, ἐπεὶ καὶ λῃσταὶ συμφωνοῦσιν.
οὐκ ἄρα οὖν τῆς αὐτοῦ προθέσεως τὸ ἔργον, ἀλλὰ τῆς ἐκείνων γνώμης ὁ πόλεμος. αὐτὸς
μὲν γὰρ ἐβούλετο πάντας ὁμονοεῖν εἰς τὸν τῆς εὐσεβείας λόγον· ἐπειδὴ δὲ ἐκεῖνοι διεστασίαζον,
πόλεμος γέγονεν. ἀλλ' οὐκ εἶπεν οὕτως· ἀλλὰ τί φησιν; οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἐκείνους
παραμυθούμενος. μὴ γὰρ νομίσητε, φησιν, ὅτι ὑμεῖς αἴτιοι τούτων· ἐγώ εἰμι ὁ ταῦτα
κατασκευάζων, ἐπειδὴ οὕτω διάκεινται. μὴ τοίνυν θορυβεῖσθε, ὡς παρὰ προσδοκίαν τῶν
πραγμάτων γινομένων. διὰ τοῦτο ἦλθον, ὥστε πόλεμον ἐμβαλεῖν. τοῦτο γὰρ ἐμόν ἐστι τὸ θέλημα.
μὴ τοίνυν θορυβεῖσθε, ὡς πολεμουμένης, ὡς ἐπιβουλευομένης τῆς γῆς. ὅταν γὰρ
ἀποῤῥαγῇ τὸ χεῖρον, τότε λοιπὸν τῷ κρείττονι συνάπτεται ὁ οὐρανός. ταῦτα δὲ λέγει πρὸς
τὴν πονηρὰν ὑπόνοιαν τῶν " πολλῶν αὐτοὺς ἀλείφων. καὶ οὐκ εἶπε πόλεμον, ἀλλ' ὃ πολλῷ
τούτου χαλεπώτερον ἦν, μάχαιραν. εἰ δὲ φορτικώτερον εἴρηται ταῦτα καὶ κακεμφάτως,
μὴ θαυμάσῃς. βουλόμενος γὰρ αὐτῶν γυμνάσαι τῇ τραχύτητι τῶν ῥημάτων τὴν
ἀκοήν, ἵνα μὴ ἐν τῇ δυσκολίᾳ τῶν πραγμάτων ἀποπηδήσωσιν, οὕτω τὸν λόγον ἐσχημάτισε.
καὶ ἵνα μή τις λέγῃ, ὅτι κολακεύσας ἔπεισε καὶ τὰ δυσχερῆ κρύψας, διὰ τοῦτο καὶ τὰ ἑτέρως
ὀφείλοντα λεχθῆναι, ἐπαχθέστερον ἡρμήνευσε καὶ " φορτικώτερον. βέλτιον γὰρ ἐπὶ τῶν
πραγμάτων τὴν ἡμερότητα ἰδεῖν, ἢ ἐπὶ τῶν ῥημάτων. διὰ τοῦτο οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ
καὶ ἀναπλώσας αὐτὸ τοῦ πολέμου τὸ εἶδος, δείκνυσι καὶ " τοῦ ἐμφυλίου πολλῷ χαλεπώτερον
" ὄντα, καί φησιν· ἦλθον διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς
μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. οὐ γὰρ φίλοι, φησί, " καὶ πολῖται μόνον,
ἀλλὰ καὶ συγγενεῖς κατ' ἀλλήλων στήσονται, καὶ ἡ φύσις καθ' ἑαυτῆς διχασθήσεται. ἦλθον
γάρ, φησι, διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ
νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. οὐδὲ γὰρ ἁπλῶς ἐν τοῖς οἰκείοις ὁ πόλεμος *, ἀλλ' ἐν
τοῖς φιλτάτοις καὶ τοῖς σφόδρα ἀναγκαίοις· ὃ μάλιστα αὐτοῦ τὴν δύναμιν δείκνυσιν, ὅτι
ταῦτα ἀκούοντες καὶ αὐτοὶ κατεδέχοντο, καὶ τοὺς ἄλλους ἔπειθον. καίτοιγε οὐκ αὐτὸς ταῦτα
ἐποίει, ἀλλ' ἡ ἐκείνων πονηρία· ἀλλ' ὅμως αὐτὸς ταῦτα λέγει ποιεῖν. τοιοῦτον γὰρ τῆς γραφῆς
τὸ ἔθος. καὶ γὰρ ἀλλαχοῦ φησιν· Ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὀφθαλμοὺς τοῦ μὴ βλέπειν. ἐνταῦθα Ιεζ. ιϐ. ϐ.
δὲ οὕτω φησίν· ἵν', ὅπερ ἔφθην εἰπών, μελετήσαντες ἐν τοῖς ῥήμασι τούτοις, μὴ θορυβῶνται Ιωάν. ιϐ. μ.
ὀνειδιζόμενοι καὶ ὑβριζόμενοι. εἰ δέ τινες φορτικὰ ταῦτα εἶναι νομίζουσιν, ἀναμνησθήτωσαν
παλαιᾶς ἱστορίας. καὶ γὰρ ἐν τοῖς ἄνω χρόνοις τοῦτο συνέβη, ὃ μάλιστα δείκνυσι τὴν
παλαιὰν τῇ καινῇ συγγενῆ, καὶ τὸν ταῦτα λέγοντα τοῦτον ὄντα τὸν καὶ ἐκεῖνα ἐπιτάξαντα. καὶ
γὰρ καὶ ἐπὶ τῶν Ἰουδαίων ὅτε ἕκαστος τὸν πλησίον ἀνεῖλε, τότε τὴν ὀργὴν αὐτοῖς εἴασε· καὶ Εξοδ. λϐ. κη.
ὅτε τὸν μόσχον ἐποίησαν, καὶ ὅτε τῷ Βεελφεγὼρ ἐτελέσθησαν. ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες,
ὅτι πονηρὸς ἐκεῖνος ὁ Θεός, οὗτος δὲ ἀγαθός; ἰδοὺ γὰρ συγγενικῶν αἱμάτων τὴν οἰκουμένην ἐπλήρωσεν. Αριθ. κε.
ἀλλ' ὅμως πολλῆς καὶ τοῦτο φιλανθρωπίας ἔργον εἶναί φαμεν. διὰ δὴ τοῦτο δεικνὺς
αὐτὸν ὄντα τὸν καὶ ἐκεῖνα ἀποδεξάμενον, καὶ προφητείας μέμνηται, εἰ καὶ μὴ εἰς τοῦτο εἰρημένης,
ἀλλ' ὅμως τὸ αὐτὸ ἐμφαινούσης. τίς δὲ αὕτη ἐστίν; ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ
αὐτοῦ. καὶ γὰρ καὶ ἐπὶ τῶν Ἰουδαίων τοιοῦτόν τι συνέβη. ἦσαν γὰρ προφῆται καὶ ψευδοπροφῆται,
καὶ ὁ δῆμος ἐσχίζετο, καὶ αἱ οἰκίαι διῃροῦντο· καὶ οἱ μὲν τούτοις ἐπίστευον, οἱ δὲ ἐκείνοις.
διὰ τοῦτο παραινεῖ ὁ προφήτης, λέγων· Μὴ πιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζετε ἐπὶ
ἡγουμένοις· " ἀλλὰ καὶ ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ, ὅτι ἐχθροὶ τοῦ
ἀνδρὸς οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. ταῦτα δὲ ἔλεγε, τὸν μέλλοντα δέχεσθαι τὸν λόγον
πάντων ἀνώτερον εἶναι " παρασκευάζων. οὐ γὰρ τὸ ἀποθανεῖν, κακόν, ἀλλὰ τὸ κακῶς ἀποθανεῖν.

διὰ τοῦτο καὶ ἔλεγε· πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν. τοῦτο δὲ ἔλεγε τὴν σφοδρότητα καὶ θερμότητα δηλῶν τῆς ἀγάπης, ἣν ἀπῄτει. ἐπειδὴ γὰρ ″αὐτὸς ἡμᾶς σφόδρα ἠγάπησεν, οὕτω καὶ ἀγαπᾶσθαι βούλεται παρ' ἡμῶν. ταῦτα δὲ καὶ τούτους ἤλειφε τὰ ῥήματα, καὶ ὑψηλοτέρους ἐποίει. εἰ γὰρ ἐκεῖνοι μέλλουσι, φησί, ″συγγενῶν καὶ παίδων καὶ γονέων καταφρονεῖν, ἐννόησον ἡμᾶς τοὺς διδασκάλους ὁποίους εἶναι χρή. οὐδὲ γὰρ μέχρις ὑμῶν τὰ δυσχερῆ στήσεται, ἀλλὰ καὶ ἐπὶ τοὺς ἄλλους διαβήσεται. ἐπειδὴ γὰρ μεγάλα κομίζων ἦλθον ἀγαθά, μεγάλην ἀπαιτῶ καὶ τὴν ὑπακοὴν καὶ τὴν διάθεσιν.

Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος·

37 Καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος.

38 Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.

Εἶδες ἀξίωμα διδασκάλου; εἶδες πῶς δείκνυσιν ἑαυτὸν γνήσιον τοῦ γεγεννηκότος υἱόν, πάντα κελεύων ἀφεῖναι κάτω, καὶ τὴν ἀγάπην τὴν αὐτοῦ προτιμᾶν; καὶ τί λέγω, φησί, φίλους καὶ συγγενεῖς; κἂν τὴν ψυχὴν τὴν σαυτοῦ προτιμήσῃς τῆς ἐμῆς ἀγάπης, πόρρω τῶν ἐμῶν ἕστηκας μαθητῶν. τί οὖν; οὐκ ἐναντία ταῦτα τῇ παλαιᾷ; μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. καὶ γὰρ ἐκεῖ τοὺς εἰδωλολατροῦντας οὐχὶ μισεῖν μόνον, ἀλλὰ καὶ λιθάσαι κελεύει.
Δευτ. λγ. θ. καὶ ἐν τῷ δευτερονομίῳ δὲ τούτους θαυμάζων, φησίν· Ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἔγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω, ἐφύλαξε τὰ λόγιά σου. εἰ δὲ ὁ Παῦλος πολλὰ περὶ γονέων ″διατάττεται, καὶ πάντα αὐτοῖς ὑπακούειν κελεύει, μὴ θαυμάσῃς. εἰς ἐκεῖνα γὰρ μόνα φησὶν ὑπακούειν, ὅσα μὴ παραβλάπτει τὴν εὐσέβειαν. καὶ γὰρ ὅσιον τὴν ἄλλην αὐτοῖς ἅπασαν ἀποδιδόναι τιμήν· ὅταν δὲ πλέον τῆς ὀφειλομένης ἀπαιτῶσιν, οὐ δεῖ πείθεσθαι. διὰ τοῦτο ὁ Λουκᾶς φησιν· Εἴ τις ἔρχεται πρός με,
Λουκ. ιδ. κϛ. καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφούς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι· οὐχ ἁπλῶς μισῆσαι κελεύων, ἐπεὶ τοῦτο σφόδρα παράνομον, ἀλλ', ὅταν βούληται πλέον ἐμοῦ φιλεῖσθαι, μίσησον αὐτὸν κατὰ τοῦτο. τοῦτο γὰρ καὶ αὐτὸν τὸν φιλούμενον καὶ τὸν φιλοῦντα ἀπόλλυσι. ταῦτα δὲ ἔλεγε, καὶ τοὺς παῖδας ἀνδρειοτέρους ἐργαζόμενος, καὶ τοὺς πατέρας τοὺς μέλλοντας κωλύειν πρᾳοτέρους ποιῶν. ὁρῶντες γὰρ ὅτι τοσαύτην ἰσχὺν ἔχει καὶ δύναμιν, ὡς ἀποσχίζειν αὐτῶν τὰ τέκνα, ἅτε ἀδυνάτοις ἐπιχειροῦντες, καὶ ἀφίστασθαι ἔμελλον. διὸ καὶ τούτους ἀφείς, πρὸς ἐκείνους ποιεῖται τὸν λόγον, τούτους παιδεύων μὴ ἐπιχειρεῖν, ἅτε ἀμηχάνοις ἐπιχειροῦντας. εἶτα ἵνα μὴ ἀγανακτῶσιν ἐκεῖνοι μηδὲ δυσχεραίνωσιν, ὅρα ποῦ προάγει τὸν λόγον. εἰπὼν γάρ, ὃς οὐ μισεῖ πατέρα καὶ μητέρα, ἐπήγαγε, καὶ τὴν ἑαυτοῦ ψυχήν. τί γάρ μοι λέγεις τοὺς γεγεννηκότας, φησί, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ γυναῖκα; ψυχῆς οὐδὲν οἰκειότερον οὐδενί· ἀλλ' ὅμως ἂν μὴ καὶ ταύτην μισήσῃς, τἀναντία τοῦ φιλοῦντος ὑποστήσῃ πάντα. καὶ οὐδὲ ἁπλῶς αὐτὴν μισῆσαι ἐκέλευσεν, ἀλλ' ὥστε καὶ εἰς πόλεμον καὶ εἰς μάχας αὐτὴν ἐκδιδόναι καὶ εἰς σφαγὰς καὶ αἵματα. ὃς γὰρ οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου, φησί, μαθητὴς εἶναι. οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι πρὸς θάνατον δεῖ παρατετάχθαι, ἀλλ' ὅτι καὶ πρὸς θάνατον βίαιον, καὶ οὐ πρὸς θάνατον βίαιον μόνον, ἀλλὰ καὶ ἐπονείδιστον. καὶ οὐδὲν οὐδέπω περὶ τοῦ οἰκείου διαλέγεται πάθους, ἵνα τέως ἐν τούτοις παιδευθέντες εὐκολώτερον τὸν περὶ ἐκείνου δέξωνται λόγον. ἆρα οὐκ ἄξιον ἐκπλαγῆναι, πῶς ταῦτα ἀκουόντων αὐτῶν οὐκ ″ἀπέπτη ἡ ψυχὴ τοῦ σώματος, πανταχοῦ τῶν μὲν λυπηρῶν ἐν χερσὶν ὄντων, τῶν δὲ χρηστῶν ἐν ἐλπίσι; πῶς οὖν οὐκ ″ἀπέπτη; πολλὴ καὶ ἡ τοῦ λέγοντος δύναμις ἦν, καὶ ἡ τῶν ἀκουόντων ἀγάπη. διὸ πολλῷ φορτικώτερα καὶ ἐπαχθέστερα τῶν μεγάλων ἐκείνων ἀκούοντες ἀνδρῶν τῶν περὶ Μωϋσέα καὶ Ἱερεμίαν, ἔμενον πειθόμενοι καὶ οὐδὲν ἀντιλέγοντες.

39 Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, φησιν, ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν

ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Εἶδες πόσον τῶν παρὰ τὸ δέον "φιλούντων τὸ βλάβος; πόσον τῶν "μισούντων τὸ κέρδος; ἐπειδὴ γὰρ τὰ ἐπιτάγματα φορτικὰ ἦν, πρὸς γονέας, καὶ παῖδας, καὶ φύσιν, καὶ συγγένειαν, καὶ τὴν οἰκουμένην, καὶ πρὸς αὐτὴν τὴν ψυχὴν κελεύοντος αὐτοῦ παρατάττεσθαι, τίθησι καὶ τὸ ὄφελος, μέγιστον ὄν. οὐ γὰρ δὴ μόνον οὐ βλάψει, φησὶ, ταῦτα, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα, τἀναντία δὲ παραβλάψει· ὅπερ πανταχοῦ ποιεῖ, ἀφ' ὧν ἐπιθυμοῦσιν, ἀπὸ τούτων ἐνάγων. διατί γὰρ οὐ βούλει καταφρονῆσαί σου τῆς ψυχῆς; ἐπειδὴ φιλεῖς αὐτήν; οὐκοῦν διὰ τοῦτο καταφρόνησον, καὶ τότε αὐτὴν τὰ μέγιστα ὀνήσεις, καὶ τὰ τοῦ φιλοῦντος ἐπιδείξῃ. καὶ σκόπει σύνεσιν ἄφατον. οὐ γὰρ ἐπὶ τῶν γονέων γυμνάζει τὸν λόγον τοῦτον, οὐδὲ ἐπὶ τῶν παίδων μόνον, ἀλλ' ἐπὶ τῆς πάντων οἰκειοτέρας ψυχῆς· ἵνα ἐκεῖνο ἐντεῦθεν ἀναμφισβήτητον γένηται, καὶ μάθωσιν ὅτι καὶ ἐκείνους οὕτω τὰ μέγιστα ὠφελήσουσιν, ὅπου γε καὶ ἐπὶ τῆς πάντων ἀναγκαιοτέρας ψυχῆς τοῦτο συμβαίνει. ἱκανὰ μὲν οὖν ἦν καὶ ταῦτα πεῖσαι δέχεσθαι τοὺς μέλλοντας "αὐτοὺς θεραπεύειν. τίς γὰρ τοὺς οὕτω γενναίους καὶ "ἀριστεύοντας, καὶ καθάπερ λέοντας τὴν οἰκουμένην περιτρέχοντας, καὶ πάντων καταφρονοῦντας τῶν καθ' ἑαυτοὺς ἵν' ἕτεροι σωθῶσιν, οὐκ ἂν ἐδέξατο προθυμίᾳ πάσῃ; ἀλλ' ὅμως καὶ ἕτερον μισθὸν τίθησι, δεικνὺς ὅτι τῶν ξενοδοχούντων φροντίζει μᾶλλον ἐν τούτῳ, ἢ τῶν ξενιζομένων. καὶ δίδωσι μὲν πρώτην τιμὴν λέγων·

40 Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.

Οὗ τί γένοιτ' ἂν ἴσον, τοῦ τὸν πατέρα καὶ τὸν υἱὸν ὑποδέχεσθαι; ἐπαγγέλλεται δὲ μετὰ τούτου καὶ ἑτέραν ἀμοιβήν.

41 Ὁ δεχόμενος γάρ, φησι, προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται.

Καὶ ἀνωτέρω μὲν κόλασιν ἀπειλεῖ τοῖς μὴ δεχομένοις, ἐνταῦθα δὲ καὶ ἄνεσιν ὁρίζει ἀγαθῶν. καὶ ἵνα μάθῃς ὅτι "τούτων φροντίζει μᾶλλον, οὐχ ἁπλῶς εἶπεν, ὁ δεχόμενος προφήτην "καὶ ὁ δεχόμενος δίκαιον, ἀλλ' ἐπήγαγεν, εἰς ὄνομα προφήτου, καὶ εἰς ὄνομα δικαίου· τουτέστιν, ἐὰν μὴ διὰ βιωτικὴν προστασίαν, μηδὲ δι' ἄλλο τι τῶν ἐπικήρων δέξηται, ἀλλ' ἐπειδὴ ἢ προφήτης ἐστὶν, ἢ δίκαιος, μισθὸν προφήτου καὶ μισθὸν δικαίου λήψεται· ἢ οἷον εἰκὸς τὸν προφήτην ἢ δίκαιον δεξάμενον λαβεῖν· ἢ οἷον ἐκεῖνος μέλλει λαμβάνειν. ὅπερ καὶ ὁ Παῦλος ἔλεγε· Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα. Εἶτα, ἵνα μηδὲ πενίαν τις προβάλληται, φησίν·

β. Κορ. η. ιδ.

42 Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Κἂν ποτήριον "ψυχροῦ ὕδατος δῷς, ἔνθα οὐδὲν ἐστὶ δαπανῆσαι, καὶ τούτου κείσεταί σοι μισθός. διὰ γὰρ ὑμᾶς ἅπαντα ποιῶ τοὺς δεχομένους. Εἶδες δι' ὅσων ἔπεισε, καὶ τὰς οἰκίας αὐτοῖς ἀνέῳξε τῆς οἰκουμένης ἁπάσης; καὶ γὰρ ἔδειξε διὰ πάντων ὀφειλέτας αὐτῶν ὄντας· πρῶτον, εἰπών· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ· δεύτερον, τῷ μηδὲν ἔχοντας ἐκπέμψαι· τρίτον, τῷ εἰς πολέμους καὶ μάχας ὑπὲρ τῶν δεχομένων ἐκδοῦναι· τέταρτον, τῷ καὶ σημεῖα αὐτοῖς "ἐγχειρίσαι· πέμπτον, τῷ τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν εἰρήνην διὰ τοῦ στόματος αὐτῶν εἰς τὰς τῶν δεχομένων "εἰσάγειν οἰκίας· ἕκτον, τῷ χαλεπώτερα Σοδόμων ἀπειλῆσαι τοῖς μὴ δεχομένοις αὐτούς· ἕβδομον, τῷ δεῖξαι καὶ αὐτὸν καὶ τὸν πατέρα δεχομένους τοὺς ὑποδεχομένους αὐτούς· ὄγδοον, τῷ καὶ προφήτου καὶ δικαίου μισθὸν "ἐπαγγέλλεσθαι· ἔννατον, τῷ καὶ ποτηρίου ψυχροῦ μεγάλας "ὑποσχέσθαι τὰς ἀμοιβάς. τούτων δὴ ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ἦν αὐτοὺς ἐπισπάσασθαι. τίς γὰρ, εἰπέ μοι, στρατηγὸν μυρία τραύματα ἔχοντα καὶ ᾑμαγμένον ὁρῶν, καὶ μετὰ τὰ πολλὰ τρόπαια ἀπὸ πολέμου καὶ παρατάξεως ἐπανιόντα, οὐκ ἂν ἐδέξατο, τὰς θύρας ἀναπετάσας τῆς οἰκίας ἁπάσης; καὶ τίς νῦν τοιοῦτός, φησι; "διὰ τοῦτο προσέθηκεν, εἰς ὄνομα προφήτου καὶ μαθητοῦ καὶ δικαίου, ἵνα μάθῃς ὅτι οὐ τῇ ἀξίᾳ τοῦ παραλαμβανομένου, ἀλλὰ τῇ γνώμῃ τοῦ ξενίζοντος τὸν μισθὸν τίθησιν.

ΗΘΙΚΟΝ

Ἐνταῦθα μὲν γὰρ περὶ προφητῶν καὶ δικαίων καὶ μαθητῶν φησιν· ἀλλαχοῦ δὲ καὶ τοὺς σφόδρα ἀπερριμμένους ὑποδέχεσθαι κελεύει, καὶ τοὺς μὴ ὑποδεχομένους κολάζει. ἐφ' ὅσον γὰρ οὐκ ἐποιήσατε ἑνὶ τῶν ἐλαχίστων τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε· καὶ τὸ ἐναντίον πάλιν ἐπὶ τῶν αὐτῶν λέγει. κἂν γὰρ μηδὲν ᾖ κατορθῶν τοιοῦτον, ἀλλ' ἄνθρωπός ἐστι τὸν αὐτόν σοι κόσμον οἰκῶν, τὸν αὐτὸν ἥλιον ὁρῶν, τὴν αὐτὴν ψυχὴν, τὸν αὐτὸν ἔχων δεσπότην, τῶν αὐτῶν σοι κεκοινωνηκὼς μυστηρίων, ἐπὶ τὸν αὐτόν σοι καλούμενος οὐρανὸν, ἔχων μέγα δικαίωμα, τὴν πενίαν, καὶ τὸ δεῖσθαι τῆς ἀναγκαίας τροφῆς. νῦν δὲ οἱ μὲν ἐξυπνίζοντες μετ' αὐλῶν καὶ συρίγγων ἐν χειμῶνος ὥρᾳ, καὶ εἰκῆ καὶ μάτην ἐνοχλοῦντες, ξένια πολλὰ λαβόντες παρὰ σοῦ ἀναχωροῦσι· καὶ οἱ χελιδόνας περιφέροντες καὶ ἠσβολωμένοι καὶ πάντας κακηγοροῦντες, μισθὸν τῆς τερατωδίας ταύτης λαμβάνουσιν· ἂν δὲ προσέλθῃ πένης ἄρτου δεόμενος, μυρίαι κακηγορίαι, καὶ διαβολαὶ, καὶ ἀργίας ἐγκλήματα, καὶ λοιδορίαι, καὶ ὕβρεις καὶ σκώμματα· καὶ οὐ λογίζῃ πρὸς ἑαυτὸν, ὅτι καὶ σὺ ἀργεῖς, καὶ ὅμως ὁ Θεὸς τὰ παρ' ἑαυτοῦ σοι δίδωσι. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι πράττεις τι καὶ αὐτός· ἀλλ' ἐκεῖνό μοι δεῖξον, εἰ τῶν ἀναγκαίων τι ποιεῖς καὶ μεταχειρίζεις. εἰ δὲ λέγεις μοι χρηματισμοὺς καὶ καπηλείας καὶ τῶν ὄντων ἐπιμέλειαν καὶ προσθήκην, εἴποιμι ἂν σοι καὶ αὐτὸς, ὅτι ταῦτα οὐκ ἂν εἴη ἔργα, ἀλλ' ἐλεημοσύνη καὶ εὐχαὶ καὶ τῶν ἀδικουμένων προστασίαι, καὶ ὅσα τοιαῦτα, ὧν ἐν ἀργίᾳ ζῶμεν διαπαντός. ἀλλ' ὅμως ἡμῖν οὐδέποτε εἶπεν ὁ Θεὸς, ἐπειδὴ ἀργεῖς, οὐκ ἀνάπτω σοι τὸν ἥλιον, ἐπειδὴ οὐδὲν πράττεις τῶν ἀναγκαίων, τὴν σελήνην σβεννύω, πηρῶ τὴν γαστέρα τῆς γῆς, κωλύω τὰς λίμνας, τὰς πηγὰς, τοὺς ποταμοὺς, ἀφανίζω τὸν ἀέρα, ἐπέχω τοὺς ἐτησίους ὑετούς· ἀλλὰ πάντα μετὰ δαψιλείας ἡμῖν παρέχει· ἐνίοις δὲ οὐ μόνον ἀργοῦσιν, ἀλλὰ καὶ πονηρὰ πράττουσι τούτων χαρίζεται τὴν ἀπόλαυσιν. ὅταν τοίνυν ἴδῃς πένητα, καὶ εἴπῃς, ἀποπνίγομαι, ὅτι νέος ὢν οὗτος καὶ ὑγιὴς, οὐδὲν ἔχων, βούλεται τρέφεσθαι ἀργῶν, οἰκέτης που καὶ δραπέτης ὢν, καὶ τὸν ἑαυτοῦ δεσπότην καταλιπών. ταῦτα ἅπερ εἶπον εἰπὲ πρὸς ἑαυτὸν, μᾶλλον δὲ ἐκείνῳ δὸς αὐτὰ μετὰ παρρησίας εἰπεῖν πρὸς σὲ, καὶ δικαιότερον ἐρεῖ, ὅτι ἀποπνίγομαι, ὅτι ὑγιὴς ὢν ἀργεῖς, καὶ οὐδὲν πράττεις ὧν ἐπέταξεν ὁ Θεὸς, ἀλλὰ δραπετεύσας ἀπὸ τῶν ἐπιταγμάτων τοῦ δεσπότου, περιέρχῃ, καθάπερ ἐν ἀλλοδαπῇ, τῇ κακίᾳ διατρίβων, μεθύων, κραιπαλῶν, κλέπτων, ἁρπάζων, τὰς ἑτέρων ἀνατρέπων οἰκίας. καὶ σὺ μὲν ὑπὲρ ἀργίας ἐγκαλεῖς· ἐγὼ δὲ ὑπὲρ ἔργων πονηρῶν, ὅταν ἐπιβουλεύῃς, ὅταν ὀμνύῃς, ὅταν ψεύδῃ, ὅταν ἁρπάζῃς, ὅταν μυρία τοιαῦτα ποιῇς. ταῦτα δὲ λέγω, οὐ νομοθετῶν ἀργεῖν (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα βουλόμενος πάντας ἐν ἔργοις εἶναι. πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. παρακαλῶ δὲ μὴ ἀπηνεῖς εἶναι μηδὲ ὠμούς. ἐπεὶ καὶ Παῦλος μυρία μεμψάμενος καὶ εἰπὼν, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν· ὑμεῖς δὲ μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες. καὶ μὴν ταῦτα ἐναντία ἐστίν. εἰ γὰρ ἐκέλευσας αὐτοὺς μὴ ἐσθίειν, πῶς ἡμῖν παραινεῖς διδόναι; ναί φησι, καὶ ἐκέλευσα αὐτοὺς ἀποστρέφεσθαι καὶ μὴ ἀναμίγνυσθαι, καὶ πάλιν εἶπον, μὴ ἐχθροὺς ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε, οὐκ ἐναντία νομοθετῶν, ἀλλὰ καὶ πάνυ συνᾴδοντα. ἂν γὰρ σὺ πρὸς ἔλεον ἕτοιμος ᾖς, κἀκεῖνος ταχέως ὁ πένης τῆς ἀργίας ἀπαλλαγήσεται, καὶ σὺ τῆς ὠμότητος. ἀλλὰ ψεύδεται πολλὰ καὶ πλάττεται, φησίν. ἀλλὰ καὶ ἐντεῦθεν ἄξιος ἐλεεῖσθαι, ὅτι εἰς τοιαύτην κατέπεσεν ἀνάγκην, ὡς καὶ τοιαῦτα ἀναισχυντεῖν. ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐλεοῦμεν, ἀλλὰ καὶ τὰ ὠμὰ ἐκεῖνα προστίθεμεν ῥήματα, οὐκ ἔλαβες ἅπαξ καὶ δὶς, λέγοντες; τί οὖν; οὐ δεῖται τραφῆναι πάλιν, ἐπειδὴ ἅπαξ ἐτράφη; διατί μὴ καὶ τῇ σαυτοῦ γαστρὶ τούτους τίθεις τοὺς νόμους, καὶ λέγεις*· ἐνεπλήσθης χθὲς καὶ πρὸ τῆς χθὲς, καὶ μὴ ζήτει νῦν; ἀλλ' ἐκείνην μὲν καὶ ὑπὲρ τὸ μέτρον διαρρηγνύεις, τούτου δὲ καὶ τὰ σύμμετρα

β. Θεσ. γ. ι.

χ. αὐ

χ. λαμβάνον

χ. -ζῃ.

χ. ἀργὸς ὤν,

ἀπαιτοῦντα ἀποστρέφῃ, ὀφείλων διὰ τοῦτο αὐτὸν ἐλεεῖν, ὅτι καθ' ἑκάστην ἀναγκάζεταί σοι προσιέναι τὴν ἡμέραν. εἰ γὰρ καὶ μηδαμόθεν ἑτέρωθεν ἐπικάμπτῃ, διὰ τοῦτο αὐτὸν ἔδει σε ἐλεεῖν. " ἡ γὰρ τῆς πενίας " ἀνάγκη ταῦτα βιάζεται καὶ ποιεῖ· καὶ οὐκ ἐλεεῖς αὐτόν, ὅτι τοιαῦτα ἀκούων οὐκ αἰσχύνεται. ἡ γὰρ ἀνάγκη δυνατωτέρα. σὺ δὲ οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἐκπομπεύεις· καὶ τοῦ Θεοῦ κελεύσαντος λάθρα διδόναι, ἕστηκας δημοσιεύων τὸν προσελθόντα καὶ ὀνειδίζων, ὑπὲρ ὧν ἐλεεῖν ἐχρῆν. εἰ γὰρ μὴ βούλει δοῦναι, τί καὶ ἐγκαλεῖς καὶ συντρίβεις τὴν ταλαίπωρον καὶ ἀθλίαν ψυχήν; ἦλθεν, ὡς εἰς λιμένα, τὰς σὰς χεῖρας ἐπιζητῶν· τί κύματα ἐγείρεις καὶ χαλεπώτερον τὸν χειμῶνα ἐργάζῃ; τί καταγινώσκεις ἀνελευθερίαν; μὴ γάρ, εἰ προσεδόκησε τοιαῦτα ἀκούσεσθαι, προσῆλθεν ἄν; εἰ δὲ καὶ ταῦτα προειδὼς προσῆλθε, διὰ τοῦτο ἄξιον κἀκεῖνον ἐλεεῖν, καὶ τὴν σὴν φρίττειν ὠμότητα· ὅτι οὐδὲ οὕτως, ἀπαραίτητον ἐπικειμένην ὁρῶν ἀνάγκην, ἡμερώτερος γίνῃ. οὐδὲ [γὰρ] ἀρκεῖν αὐτῷ νομίζεις εἰς ἀπολογίαν " τῆς ἀναισχυντίας τὸ τοῦ λιμοῦ δέος, ἀλλ' ἀναισχυντίαν ἐγκαλεῖς· καίτοι μείζονα αὐτὸς ἠναισχύντησας πολλάκις, καὶ ὑπὲρ χαλεπῶν πραγμάτων. ἐνταῦθα μὲν γὰρ καὶ συγγνώμην ἡ ἀναισχυντία φέρει, ἡμεῖς δὲ πολλάκις κολάσεως ἄξια πράττοντες ἀναιδευόμεθα· καὶ δέον ἐννοοῦντας ἐκεῖνα ταπεινοὺς γίνεσθαι, καὶ ἐπεμβαίνομεν τοῖς ταλαιπώροις τούτοις, καὶ φάρμακα αἰτοῦσι τραύματα προστίθεμεν. εἰ γὰρ μὴ βούλει δοῦναι, τί καὶ πλήττεις; εἰ μὴ βούλει χαρίζεσθαι, τίνος ἕνεκεν καὶ ὑβρίζεις; ἀλλ' οὐκ ἀνέχεται ἀποστῆναι ἑτέρως. οὐκοῦν, ὡς ἐκέλευσεν ὁ σοφὸς ἐκεῖνος, οὕτω ποίησον· ἀποκρίθητι αὐτῷ ἐν πραΰτητι εἰρηνικά. οὐδὲ γὰρ ἑκὼν τοσαῦτα ἀναισχυντεῖ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνθρωπος ἁπλῶς βουλόμενος " αἰσχύνεσθαι· κἂν μυρία τινὲς " φιλονεικήσωσιν, οὐκ ἂν ἀνασχοίμην ἐγὼ πεισθῆναί ποτε, ὅτι ἄνθρωπος ἐν ἀφθονίᾳ ζῶν ἕλοιτο ἂν ἐπαιτεῖν. μηδεὶς τοίνυν ἡμᾶς παραλογιζέσθω, ἀλλά, κἂν λέγῃ Παῦλος, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, πρὸς ἐκείνους λέγει· πρὸς δὲ ἡμᾶς οὐ τοῦτο λέγει, ἀλλὰ τοὐναντίον, τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε. β. Θεσ. γ. ι. οὕτω καὶ ἐν οἰκίᾳ ποιοῦμεν ἡμεῖς· ὅταν δύο τινὲς μάχωνται πρὸς ἀλλήλους, κατ' ἰδίαν ἕκαστον λαβόντες τἀναντία παραινοῦμεν· τοῦτο καὶ ὁ Θεὸς ἐποίησε, καὶ Μωϋσῆς. πρὸς μὲν γὰρ τὸν Θεὸν ἔλεγεν, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· Ἐξοδ. λβ. λα. " ἐπεί, κἀμὲ ἐξάλειψον· αὐτοῖς δὲ ἐκέλευε κατασφάττειν ἀλλήλους καὶ τοὺς προσήκοντας ἅπαντας. καίτοι ταῦτα ἐναντία ἐστίν, ἀλλ' ὅμως εἰς ἓν ἀμφότερα ἔβλεπε τέλος. πάλιν ὁ Θεὸς τῷ μὲν Μωϋσεῖ, Ἰουδαίων ἀκουόντων, ἔλεγεν· ἄφες με, καὶ ἐκτρίψω τὸν λαόν (εἰ γὰρ καὶ μὴ παρῆσαν, ταῦτα λέγοντος τοῦ Θεοῦ, ἀλλ' ἔμελλον αὐτὰ ἀκούσεσθαι ὕστερον) κατ' ἰδίαν δὲ τὰ ἐναντία τούτων αὐτῷ παραινεῖ. καὶ ταῦτα Μωϋσῆς ἀναγκασθεὶς ὕστερον ἐξελάλησεν, οὕτω λέγων· Μὴ γὰρ ἐγὼ αὐτοὺς ἐν γαστρὶ ἔλαβον, ὅτι λέγεις μοι, [ὅτι] ἆρον αὐτούς, ὡς ἂν ἄρῃ τιθηνὸς τὸν [θετὸν] θηλάζοντα εἰς τὸν κόλπον αὐτῆς; Ἀριθ. ια. ιβ. ταῦτα καὶ ἐν οἰκίαις γίνεται, καὶ πολλάκις πατήρ, τῷ μὲν παιδαγωγῷ ὑβρίσαντι τὸν παῖδα, κατ' ἰδίαν ἐπιτιμᾷ λέγων, μὴ ἔσο τραχὺς μηδὲ σκληρός· τῷ δὲ νέῳ τὰ ἐναντία λέγει, κἂν ἀδίκως ὑβρίζῃ, φέρε, ἀπὸ τῶν ἐναντίων ἕν τι [τὸ] χρήσιμον συνάγων. οὕτω καὶ Παῦλος, τοῖς μὲν ὑγιαίνουσι καὶ προσαιτοῦσιν ἔλεγεν, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, ἵνα αὐτοὺς εἰς ἔργον ἐμβάλῃ· τοῖς δὲ ἐλεεῖν δυναμένοις, ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε, ἵνα αὐτοὺς εἰς ἐλεημοσύνην ἀγάγῃ. οὕτω καὶ ἡνίκα τοῖς ἐξ ἐθνῶν παρῄνει ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ μὴ ὑψηλοφρονεῖν κατὰ τῶν Ἰουδαίων, καὶ τὴν ἀγριελαίαν παρήγαγεν εἰς μέσον, καὶ ἄλλα μὲν τούτοις, ἄλλα δὲ ἐκείνοις φαίνεται λέγων. μὴ τοίνυν εἰς ὠμότητα ἐκπέσωμεν, ἀλλ' ἀκούσωμεν Παύλου λέγοντος, τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε· ἀκούσωμεν τοῦ δεσπότου λέγοντος, παντὶ τῷ αἰτοῦντί σε δίδου· καί, γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν. καίτοι πολλὰ εἰπών, οὐδαμοῦ τοῦτο τέθεικεν, ἀλλ' ἐπὶ τῶν οἰκτιρμῶν μόνον. οὐδὲν γὰρ ἡμᾶς ἴσους Θεῷ ποιεῖ, ὡς τὸ εὐεργετεῖν. ἀλλ' οὐδὲν ἀ-

ναιδέστερόν, φησι, πένητος. Διατί [εἰπέ μοι] παρακαλῶ; ὅτι ἐπιτρέχων καταβοᾷ; βού-
λει οὖν δείξω ὅτι ἐκείνων ἡμεῖς ἐσμὲν ἀναισχυντότεροι, καὶ σφόδρα ἀναιδεῖς; ἀναμνήσθητί
μοι νῦν ἐν καιρῷ τῆς νηστείας, ποσάκις τραπέζης παρακειμένης ἐν ἑσπέρᾳ, [καὶ] τὸν ὑπη-
ρετοῦντα οἰκέτην καλέσας, ἵνα βραδύτερον βαδίσῃ, πάντα ἀνέτρεψας, λακτίζων, ὑβρί- ἴσ. ἐὰν
ζων, λοιδορούμενος ὑπὲρ ἀναβολῆς μόνον μικρᾶς, καίτοι σφόδρα εἰδὼς, ὅτι κἂν μὴ βού-
λῃς, ἀλλὰ μικρὸν ὕστερον ἀπολαύσῃ τῆς ἐδωδῆς; εἶτα σαυτὸν μὲν ὑπὲρ τοῦ μηδενὸς ἐκ- γρ. -λαίσῃς
θηριούμενον οὐ καλεῖς ἀναίσχυντον, τὸν δὲ πένητα τὸν ὑπὲρ τῶν μειζόνων δεδοικότα καὶ τρέ-
μοντα (οὐδὲ γὰρ περὶ κτήσεως, ἀλλὰ περὶ λιμοῦ πᾶς ὁ φόβος αὐτῷ) τοῦτον καὶ ἰταμὸν καὶ
ἀναιδῆ καὶ ἀναίσχυντον καὶ πάντα προσερεῖς τὰ αἴσχιστα; καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ἀναισχυντί-
ας; ἀλλ' οὐκ ἐννοοῦμεν ταῦτα· διὰ τοῦτο ἐπαχθεῖς ἐκείνους εἶναι νομίζομεν· ὡς εἴγε τὰ
ἡμέτερα ἐξητάζομεν καὶ παρεβάλλομεν τοῖς ἐκείνων, οὐκ ἂν αὐτοὺς ἐνομίσαμεν εἶναι φορτι-
κούς. μὴ δὴ γίνου πικρὸς δικαστής. καὶ γὰρ εἰ πάντων ἁμαρτημάτων ἧς ἀπηλλαγμένος, οὐ- γρ. οὐδ' οὕτω
δὲ οὕτω σοι ἐπέτρεπεν ὁ τοῦ Θεοῦ νόμος ἀκριβῆ γενέσθαι ἐξεταστὴν τῶν ἀλλοτρίων. εἰ γὰρ
ὁ Φαρισαῖος διὰ τοῦτο ἀπώλετο, ποίας τευξόμεθα ἀπολογίας ἡμεῖς; εἰ τοῖς [καλῶς] κα-
Λουκ. ιη. τορθωκόσιν οὐκ ἐπιτρέπει πικρῶς ἐξετάζειν τὰ ἑτέρων, πολλῷ μᾶλλον τοῖς ἐπταικόσι. μὴ
τοίνυν ὠμοὶ, μηδὲ ἀπηνεῖς, μὴ ἄσπονδοι, μηδὲ ἄστοργοι, μὴ θηρίων χείρους ὦμεν. καὶ γὰρ
πολλοὺς εἰς τοῦτο οἶδα θηριωδίας ἐλθόντας, ὡς δι' ὄκνον [δὲ] μικρὸν λιμώττοντας περιορᾶν,
καὶ ταῦτα λέγοντας τὰ ῥήματα· οὐ πάρεστιν οἰκέτης ἐμοὶ νῦν, πόρρω τῆς οἰκίας ἐσμὲν,
τραπεζίτης οὐδείς ἐστι μοι γνώριμος. ὢ τῆς ὠμότητος. τὸ μεῖζον ἠνύσας, καὶ τὸ ἔλαττον γρ. ὑπέσχες,
οὐκ ἀνύεις; ἵνα σὺ μὴ βαδίσῃς μικρὸν, ἐκεῖνος λιμῷ διαφθείρεται; ὢ τῆς ὕβρεως, ὢ τοῦ
τύφου. εἰ γὰρ δέκα στάδια βαδίσαι ἐχρῆν, ὀκνῆσαι ἔδει; οὐδὲ ἐννοεῖς ὅτι μείζων ὁ
μισθός σοι οὕτω γίνεται; ὅταν μὲν γὰρ δῷς, ὑπὲρ τοῦ διδομένου λαμβάνεις μισθὸν μόνον· ὅταν
δὲ καὶ αὐτὸς βαδίσῃς, καὶ τούτου σοι κεῖται πάλιν ἀμοιβή. ἐπεὶ καὶ τὸν πατριάρχην διὰ τοῦτο
θαυμάζομεν, ὅτι αὐτὸς ἐπὶ τὰς βοῦς ἔδραμε καὶ τὸ μοσχάριον ἥρπασε, καὶ ταῦτα τριακοσίους
δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων. νῦν δὲ τοσούτου τινές εἰσι τύφου πεπληρωμένοι, ὡς διὰ παί-
δων ταῦτα ποιεῖν, καὶ μὴ αἰσχύνεσθαι. ἀλλὰ δι' ἐμαυτοῦ μὲν ταῦτα κελεύεις ἀνύειν, φησί, καὶ
πῶς οὐ δόξω κενοδοξεῖν; καὶ μὴν καὶ νῦν δι' ἑτέραν κενοδοξίαν τοῦτο ποιεῖς, αἰσχυνόμενος ὀ-
φθῆναι πένητι διαλεγόμενος. ἀλλ' οὐδὲν ὑπὲρ τούτων ἀκριβολογοῦμαι· μόνον δίδου, εἴ-
τε διὰ σαυτοῦ, εἴτε δι' ἑτέρων τοῦτο βούλει ποιεῖν, καὶ μὴ ἐγκάλει, μὴ πλῆττε, μὴ λοιδόρει.
φαρμάκων γὰρ, οὐ τραυμάτων δεῖται ὁ προσιὼν ἐλέου, οὐ ξίφους. εἰπὲ γάρ μοι, εἴ
τις λίθῳ βληθεὶς καὶ τραῦμα λαβὼν κατὰ τῆς κεφαλῆς, τοὺς ἄλλους ἀφεὶς ἅπαντας, προσ-
έδραμέ σου τοῖς γόνασι καταρρεόμενος τῷ αἵματι, ἆρα ἑτέρῳ λίθῳ πατάξας, προσέθη-
κας ἂν αὐτῷ ἕτερον τραῦμα; οὐκ ἔγωγε οἶμαι, ἀλλὰ καὶ αὐτὸ ἐπεχείρησας ἂν διορθῶσαι. γρ. αὐτῷ
τί οὖν ἐπὶ τῶν πενήτων ποιεῖς τὰ ἐναντία; οὐκ οἶδας ὅσον δύναται καὶ ἀναστῆσαι καὶ καθελεῖν
λόγος; κρεῖττον γάρ, φησι, λόγος ἢ δόσις. οὐ λογίζῃ ὅτι κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, καὶ χαλεπώ-
τερον τραῦμα λαμβάνεις, ὅταν λοιδορηθεὶς ἐκεῖνος ἀναχωρήσῃ σιγῇ στένων καὶ πολλὰ δακρύ-
ων; καὶ γὰρ παρὰ τοῦ Θεοῦ πέμπεται πρὸς σέ. ἐννόησον οὖν ὑβρίζων αὐτὸν, ποῦ διαβιβάζεις
τὴν ὕβριν, ὅταν ἐκεῖνος μὲν πέμπῃ πρὸς σέ, καὶ σοὶ δοῦναι κελεύῃ· σὺ δὲ μὴ μόνον μὴ δῷς,
ἀλλὰ καὶ ὑβρίσῃς ἐλθόντα. εἰ δὲ ἀγνοεῖς τὴν ὑπερβολὴν τῆς ἀτοπίας, ἐπ' ἀνθρώπων αὐ-
τὸ σκόπησον, καὶ τότε εἴσῃ καλῶς τὸ μέγεθος τῆς ἁμαρτίας. εἰ γὰρ σὸς οἰκέτης παρὰ σοῦ κε-
λευσθεὶς πρὸς ἕτερον ἀπελθεῖν οἰκέτην ἀργύριον ἔχοντα σὸν λαβεῖν, οὐ μόνον κεναῖς ἐπα-
νῆλθε χερσὶν, ἀλλὰ καὶ ὑβρισθεὶς, τί οὐκ ἂν εἰργάσω τὸν ὑβρικότα; πόσην οὐκ ἂν δίκην
ἀπῄτησας, ἅτε λοιπὸν αὐτὸς ὢν ὁ ὑβρισμένος; τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ λογίζου. καὶ γὰρ αὐτὸς πέμ-
πει πρὸς ἡμᾶς τοὺς πένητας, καὶ τὰ αὐτοῦ δίδομεν, ἂν ἄρα δῶμεν· ἂν δὲ πρὸς τῷ μὴ δοῦ- γρ. ἐκείνου

ναι καὶ ὑβρισθέντας ἐκπέμψωμεν, ἐννόησον πόσων σκηπτῶν, πόσων κεραυνῶν ἄξιον πρᾶγμα ποιοῦμεν. Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, καὶ τὴν γλῶτταν χαλινώσωμεν, καὶ τὴν ἀπανθρωπίαν ἐκβάλλωμεν, καὶ τὴν χεῖρα πρὸς ἐλεημοσύνην ἐκτείνωμεν, καὶ μὴ χρήμασι μόνον, ἀλλὰ καὶ ῥήμασι παραμυθησώμεθα τοὺς δεομένους· ἵνα καὶ τὴν ἀπὸ τῆς λοιδορίας κόλασιν" φύγωμεν, καὶ τὴν ἀπὸ τῆς εὐλογίας καὶ τῆς ἐλεημοσύνης βασιλείαν κληρονομήσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λϛ. 1 ΚΑΙ ΕΓΕΝΕΤΟ ΟΤΕ ΕΤΕΛΕΣΕΝ Ο ΙΗΣΟΥΣ διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύττειν ἐν ταῖς πόλεσιν αὐτῶν.

κεφ. ια.

Ἐπειδὴ [γὰρ] αὐτοὺς ἔπεμψεν, ὑπεξήγαγε λοιπὸν ἑαυτὸν, διδοὺς χώραν αὐτοῖς καὶ καιρὸν ποιεῖν ἅπερ ἐπέταξεν. "οὐδὲ γὰρ ἂν αὐτοῦ" παρόντος καὶ θεραπεύοντος ἠθέλησεν ἄν τις ἐκείνοις προσελθεῖν.

2 Ἀκούσας δὲ ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν*, 3 Ἠρώτα αὐτὸν, λέγων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Ὁ δὲ Λουκᾶς φησιν, ὅτι καὶ αὐτοὶ ἀπήγγειλαν τὰ σημεῖα τῷ Ἰωάννῃ, καὶ τότε ἔπεμψεν αὐτούς. πλὴν ἀλλὰ τοῦτο μὲν ἀπορίαν οὐδεμίαν ἔχει, ἀλλὰ θεωρίαν μόνον. τὴν γὰρ ζηλοτυπίαν αὐτῶν καὶ τοῦτο ἐμφαίνει τὴν πρὸς αὐτόν· τὸ δὲ ἑξῆς, σφόδρα ἐστὶ τῶν ζητουμένων. ποῖον δὴ τοῦτο; τὸ εἰπεῖν, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὁ γὰρ πρὸ τῶν σημείων εἰδὼς αὐτὸν, ὁ παρὰ τοῦ πνεύματος μαθὼν, ὁ παρὰ τοῦ πατρὸς ἀκούσας, ὁ ἐπὶ πάντων ἀνακηρύξας, νῦν πέμπει, παρ' αὐτοῦ μαθησόμενος, εἴτε αὐτὸς εἴη, εἴτε μή; καίτοι εἰ μὴ οἶδας ὅτι αὐτός ἐστι σαφῶς, πῶς σαυτὸν ἀξιόπιστον εἶναι νομίζεις, ἀποφαινόμενος ὑπὲρ τῶν ἀγνοουμένων; τὸν γὰρ ἑτέροις μαρτυρήσοντα, πρότερον αὐτὸν ἀξιόπιστον εἶναι" δεῖ. οὐ σὺ ἔλεγες, Ὅτι οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος; οὐ σὺ ἔλεγες, Ὅτι οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ; οὐκ εἶδες τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς; οὐχὶ τῆς φωνῆς ἤκουσας; οὐχὶ διεκώλυες αὐτὸν λέγων, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οὐχὶ καὶ τοῖς μαθηταῖς ἔλεγες, ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι; οὐχὶ τὸν δῆμον ἐδίδασκες ἅπαντα, ὅτι αὐτὸς αὐτοὺς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί; καὶ ὅτι αὐτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; οὐχὶ πρὸ τῶν σημείων ταῦτα πάντα καὶ [πρὸ] τῶν θαυμάτων ἀνεκήρυξας; πῶς οὖν νῦν, ὅτε δῆλος πᾶσιν ἐγένετο καὶ πανταχοῦ διῆλθεν αὐτοῦ ἡ φήμη, καὶ νεκροὶ ἠγέρθησαν, καὶ δαίμονες ἀπηλάθησαν, καὶ σημείων τοσούτων ἐπίδειξις γέγονε, τότε πέμπεις μανθάνων παρ' αὐτοῦ; τί δὴ γέγονεν; ἀπάτη τις ἦν πάντα ἐκεῖνα τὰ ῥήματα; σκηνὴ καὶ μῦθος; καὶ τίς ἂν ταῦτα νοῦν ἔχων εἴποι; οὐ λέγω, Ἰωάννης, ὁ ἐν τῇ μήτρᾳ σκιρτήσας, ὁ πρὸ τῶν ὠδίνων αὐτὸν ἀνακηρύξας, ὁ τῆς ἐρήμου πολίτης, ὁ τὴν ἀγγελικὴν ἐπιδειξάμενος πολιτείαν· ἀλλ' εἰ καὶ τῶν πολλῶν εἷς ἦν καὶ τῶν σφόδρα ἀπερριμμένων, οὐκ ἂν μετὰ τοσαύτας μαρτυρίας καὶ τὰς παρ' ἑαυτοῦ καὶ τὰς παρ' ἑτέρων ἀμφέβαλλεν. ὅθεν δῆλον, ὅτι οὐδὲ αὐτὸς ἀμφισβητῶν ἔπεμπεν, οὐδὲ ἀγνοῶν ἠρώτα. οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι ᾔδει μὲν σαφῶς, διὰ δὲ τὸ δεσμωτήριον δειλότερος γέγονεν. οὐδὲ γὰρ ἀπαλλαγήσεσθαι ἐντεῦθεν προσεδόκα, οὐδ', εἰ προσεδόκα, προὔδωκεν ἂν τὴν εὐσέβειαν ὁ πρὸς θανάτους παρατεταγμένος. οὐδὲ γὰρ ἂν, εἰ μὴ πρὸς τοῦτο ἦν παρεσκευασμένος,

Λυκ. γ. ιϛ.
Ιωαν. α. λγ.
Λυκ. α. μα.

μένος, πρὸς δῆμον ὁλόκληρον αἵματα μελετήσαντα ἐκχέειν προφητικὰ, τοσαύτην ἂν ἐπεδείξατο τὴν ἀνδρείαν· οὐκ ἂν τὸν ὠμὸν τύραννον ἐκεῖνον μετὰ τοσαύτης ἤλεγξε τῆς παρρησίας ἐν μέσῃ πόλει καὶ ἀγορᾷ, καθάπερ παιδίῳ μικρῷ, σφόδρα ἐπιτιμῶν ἀκουόντων ″ἁπάντων. εἰ δὲ καὶ δειλότερος γέγονε, πῶς τοὺς μαθητὰς οὐκ ᾐδεῖτο τοὺς ἑαυτοῦ, ἐφ' ὧν αὐτῷ τοσαῦτα ἐμαρτύρησεν, ἀλλὰ δι' αὐτῶν ἠρώτα, ὀφείλων δι' ἑτέρων; καίτοιγε ᾔδει σαφῶς, ὅτι καὶ ἐζηλοτύπουν αὐτὸν, καὶ λαβήν τινα εὑρεῖν ἐπεθύμουν. πῶς δὲ τὸν δῆμον τὸν Ἰουδαϊκὸν οὐκ ἠρυθρίασεν, ἐφ' οὗ τοσαῦτα ἐκήρυξε; τί δὲ αὐτῷ καὶ εἰς τὴν ἀπαλλαγὴν τῶν δεσμῶν ἐντεῦθεν πλέον ἐγίνετο; οὐδὲ γὰρ διὰ τὸν Χριστὸν ἦν ἐμβεβλημένος, οὐδὲ διὰ τὸ ἀνακηρύξαι αὐτοῦ τὴν δύναμιν, ἀλλὰ διὰ τὸν ἔλεγχον τὸν ἐπὶ τῷ παρανόμῳ γάμῳ. ποίου δὲ παιδίου ἀνοήτου, τίνος δὲ ἀνθρώπου μαινομένου οὐκ ἂν ἑαυτῷ δόξαν περιέθηκε; τί οὖν ἐστι τὸ κατασκευαζόμενον; ὅτι μὲν γὰρ οὐκ ἔστιν Ἰωάννου τὸ ἀμφισβητῆσαι ταῦτα, ἀλλ' οὐδὲ τοῦ τυχόντος, οὐδὲ τοῦ σφόδρα ἀνοήτου καὶ παραπαίοντος, ἐκ τῶν εἰρημένων δῆλον. δεῖ δὲ λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν. τίνος οὖν ἕνεκεν ἔπεμψεν ἐρωτῶν; ἀπεπήδων τοῦ Ἰησοῦ οἱ Ἰωάννου μαθηταὶ (καὶ τοῦτο παντί που δῆλόν ἐστι) καὶ ζηλοτύπως ἀεὶ πρὸς αὐτὸν εἶχον. καὶ δῆλον ἐξ ὧν πρὸς τὸν διδάσκαλον ἔλεγον· ὃς γὰρ ἦν, φησι, μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. καὶ πάλιν ζήτησις ἐγένετο Ἰουδαίων μετὰ τῶν μαθητῶν Ἰωάννου περὶ καθαρισμοῦ, καὶ αὐτῷ πάλιν προσελθόντες ἔλεγον· Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν [πολλὰ,] οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν; οὔπω γὰρ ἦσαν εἰδότες, τίς ἦν ὁ Χριστός· ἀλλὰ τὸν μὲν Ἰησοῦν ἄνθρωπον ψιλὸν ὑποπτεύοντες, τὸν δὲ Ἰωάννην μείζονα ἢ κατὰ ἄνθρωπον, ἐδάκνοντο εὐδοκιμοῦντα τοῦτον ὁρῶντες, ἐκεῖνον δὲ, καθὼς εἶπε, λοιπὸν λήγοντα. καὶ τοῦτο αὐτοὺς ἐκώλυε προσελθεῖν, τῆς ζηλοτυπίας διατειχιζούσης τὴν πρόσοδον. ἕως μὲν οὖν ἦν Ἰωάννης μετ' αὐτῶν, παρεκάλει συνεχῶς καὶ ἐδίδασκε· καὶ οὐδὲ οὕτως ἔπειθεν. ἐπειδὴ δὲ λοιπὸν ἔμελλε τελευτᾷν, πλείονα ποιεῖται τὴν σπουδήν. καὶ γὰρ ἐδεδοίκει μὴ καταλίπῃ πονηροῦ ″δόγματος ὑπόθεσιν, καὶ μείνωσιν ἀπερρηγμένοι τοῦ Χριστοῦ. αὐτὸς μὲν γὰρ ἐσπούδαζε καὶ παρὰ τὴν ἀρχὴν αὐτῷ ″προσάγειν ἅπαντας τοὺς αὐτοῦ· ἐπειδὴ δὲ οὐκ ἔπειθε, τελευτῶν λοιπὸν πλείονα ποιεῖται τὴν προθυμίαν. εἰ μὲν γὰρ εἶπεν, ὅτι ἀπέλθετε πρὸς αὐτὸν, αὐτός μου βελτίων ἐστὶν, οὐκ ἂν ἔπεισε δυσαποσπάστως ἔχοντας· ἀλλὰ καὶ ἐνομίσθη μετριάζων * ταῦτα ″λέγειν, καὶ μᾶλλον ἂν αὐτῷ προσηλώθησαν. εἰ δὲ ἐσίγησε, πάλιν οὐδὲν πλέον ἐγίνετο. τί οὖν ποιεῖ; ἀναμένει παρ' αὐτῶν ἀκοῦσαι, ὅτι ″θαυμαστὰ ἐργάζεται. καὶ οὐδὲ οὕτως αὐτοῖς παραινεῖ, οὐδὲ πάντας πέμπει, ἀλλὰ δύο τινὰς, οὓς ᾔδει ἴσως τῶν ἄλλων εὐπειθεστέρους ὄντας, ἵνα ἀνύποπτος ἡ ἐρώτησις γένηται, ἵνα παρ' αὐτῶν τῶν πραγμάτων μάθωσιν αὐτῶν τὸ μέσον τοῦ Ἰησοῦ καὶ ἐκείνου· καί φησιν· ἀπέλθετε, καὶ εἴπατε, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὁ δὲ Χριστὸς τὴν γνώμην εἰδὼς τὴν Ἰωάννου, οὐκ εἶπεν, ὅτι ἐγώ εἰμι (πάλιν γὰρ ἂν προσέστη τοῦτο τοῖς ἀκούουσι, καίτοι τοῦτο ἀκόλουθον ἦν εἰπεῖν) ἀλλ' ἀπὸ τῶν πραγμάτων αὐτοὺς ἀφίησι μανθάνειν. λέγει γὰρ, ὅτι προσελθόντων αὐτῷ τούτων, τότε πολλοὺς ἐθεράπευσε. καίτοι ποία ἀκολουθία ἦν ἐρωτηθέντα, εἰ σὺ εἶ, πρὸς μὲν τοῦτο μηδὲν εἰπεῖν, θεραπεῦσαι δὲ εὐθέως τοὺς κακῶς ἔχοντας, εἰ μὴ τοῦτο ἐβούλετο κατασκευάσαι ὅπερ εἶπον ἐγώ; καὶ γὰρ τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν πιστοτέραν καὶ μᾶλλον ἀνύποπτον εἶναι ″ἐνόμιζε τῆς ἀπὸ τῶν ῥημάτων. εἰδὼς τοίνυν, ἅτε Θεὸς ὢν, τὴν διάνοιαν μεθ' ἧς αὐτοὺς ἔπεμψεν ὁ Ἰωάννης, εὐθέως ἐθεράπευσε τυφλοὺς, χωλοὺς, καὶ ἑτέρους πολλοὺς, οὐκ ἐκεῖνον διδάσκων (πῶς γὰρ τὸν πεπεισμένον;) ἀλλὰ τούτους τοὺς ἀμφιβάλλοντας. καὶ θεραπεύσας φησί·

Ματθ.9.15.

γρ. πολλῶν.

γρ. πείσμα-τος

γρ. προσαγα-γεῖν

* αὖ

γρ. λέγων,

γρ. θαυματ

γρ. -ζον

4 Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκούετε καὶ βλέπετε.

5 Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, καὶ λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι,

κούουσι, καὶ νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται· καὶ προσέθηκε, 6 Καὶ μακάριος, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί·

Δεικνὺς ὅτι καὶ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν οἶδεν. Εἰ γὰρ εἶπεν, ὅτι ἐγώ εἰμι, καὶ
προσέστη ἂν, ὅπερ ἔφθην εἰπών, τοῦτ' αὖθις, καὶ ἐνενόησαν ἄν, εἰ καὶ μὴ εἶπον, ὅπερ Ἰουδαῖοι
πρὸς αὐτὸν ἔλεγον· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς. Διὰ τοῦτο αὐτὸς μὲν οὐ λέγει τοῦτο·
ἀπὸ δὲ τῶν θαυμάτων ἀφίησιν αὐτοὺς πάντα μαθεῖν, ἀνύποπτον τὴν διδασκαλίαν ποιούμενος
καὶ σαφεστέραν. διὰ τοῦτο καὶ τὸν ἔλεγχον αὐτῶν λανθανόντως ἐπήγαγεν. ἐπειδὴ γὰρ ἐσκανδαλίζοντο
ἐν αὐτῷ, τὸ πάθος αὐτῶν ἀνακηρύξας, καὶ τῷ συνειδότι αὐτῶν μόνῳ τοῦτο καταλιπών,
κατηγορίας καὶ οὐδένα μάρτυρα τῆς "κατηγορείας ταύτης ποιησάμενος, ἀλλ' ἢ μόνους ἐκείνους τοὺς
ταῦτα ἐπισταμένους, μειζόνως αὐτοὺς καὶ ταύτῃ ἐπεσπάσατο, εἰπών· μακάριος, ὃς ἐὰν μὴ
σκανδαλισθῇ ἐν ἐμοί. καὶ γὰρ αὐτοὺς αἰνιττόμενος ταῦτα ἔλεγεν. ἵνα δὲ μὴ τὰ παρ' ἡμῶν εἰρημένα
μόνον, ἀλλὰ καὶ τὰ παρ' ἑτέρων λεγόμενα θέντες εἰς μέσον, σαφεστέραν ὑμῖν ἐκ τῆς παραθέσεως
τῶν λεγομένων ποιήσωμεν τὴν ἀλήθειαν, ἀναγκαῖον κἀκεῖνα εἰπεῖν. τί οὖν φασί τινες;
ὅτι οὐχ αὕτη ἐστὶν ἡ αἰτία ἡ παρ' ἡμῶν εἰρημένη, ἀλλ' ἠγνόει ὁ Ἰωάννης. ἠγνόει δὲ οὐ τὸ πᾶν, ἀλλ'
ὅτι μὲν αὐτὸς ἦν ὁ Χριστός, ᾔδει· εἰ δὲ καὶ ὑπὲρ ἀνθρώπων ἔμελλε τελευτᾶν, οὐκ ᾔδει. διὰ
τοῦτο εἶπε, σὺ εἶ ὁ ἐρχόμενος; τουτέστιν, ὁ εἰς τὸν ᾅδην μέλλων καταβαίνειν; ἀλλ' οὐκ
ἂν ἔχοι τοῦτο λόγον. ὁ γὰρ Ἰωάννης οὐδὲ τοῦτο ἠγνόει. "τοῦτο γοῦν καὶ πρὸ τῶν ἄλλων ἐκήρυξε,
καὶ πρῶτον τοῦτο ἐμαρτύρησεν. ἴδε γάρ, φησιν, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ
κόσμου. ἀμνὸν δὲ ἐκάλεσε, τὸν σταυρὸν ἀνακηρύττων· καὶ τῷ εἰπεῖν δέ, ὁ αἴρων τὴν ἁμαρτίαν
τοῦ κόσμου, τὸ αὐτὸ τοῦτο ἐδήλωσεν. οὐ γὰρ ἑτέρως, ἀλλ' ἢ διὰ τοῦ σταυροῦ τοῦτο εἰργάσατο·
ὃ καὶ Παῦλος ἔλεγε, Καὶ τὸ χειρόγραφον, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ μέσου, Κολ. β. ιδ.
προσηλώσας αὐτὸ τῷ σταυρῷ. καὶ τὸ λέγειν δέ, ὅτι ἐν πνεύματι βαπτίσει ὑμᾶς, τὰ μετὰ
τὴν ἀνάστασιν προφητεύοντος ἦν. ἀλλ' ὅτι μὲν ἀναστήσεται, φησιν, ᾔδει, καὶ δώσει πνεῦμα ἅγιον·
ὅτι δὲ σταυρωθήσεται, οὐκ ᾔδει. πῶς οὖν ἔμελλεν ἀναστῆναι ὁ μὴ παθὼν μηδὲ σταυρωθείς;
πῶς δὲ μείζων προφήτου οὗτος, ὁ μηδὲ τὰ τῶν προφητῶν ἐπιστάμενος; ὅτι γὰρ μείζων Ματθ. ια. θ.
προφήτου ἦν, καὶ αὐτὸς ὁ Χριστὸς ἐμαρτύρησεν· ὅτι δὲ οἱ προφῆται τὸ πάθος ᾔδεσαν,
παντί που δῆλόν ἐστι. καὶ γὰρ Ἠσαΐας φησίν· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς Ησ. νγ. ζ.
ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. καὶ πρὸ τῆς μαρτυρίας δὲ ταύτης φησί· Καὶ ἔσται ἡ ῥίζα τοῦ Ησ. ια. α. ια.
Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. Εἶτα τὸ πάθος λέγων καὶ
τὴν ἀπ' αὐτοῦ δόξαν, ἐπήγαγε· καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. οὐ μόνον δὲ ὅτι σταυρωθήσεται
προὔλεγεν οὗτος, ἀλλὰ καὶ μετὰ τίνων. καὶ γὰρ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, φησί· καὶ οὐδὲ
τοῦτο μόνον, ἀλλ' ὅτι οὐδὲ ἀπολογήσεται. οὗτος γάρ, φησιν, οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. καὶ
ὅτι ἀδίκως κατακριθήσεται· ἐν τῇ ταπεινώσει γὰρ αὐτοῦ, φησιν, ἡ κρίσις αὐτοῦ ἤρθη. καὶ πρὸ
τούτου δὲ [αὐτοῦ] ὁ Δαβὶδ καὶ τοῦτο λέγει, καὶ τὸ δικαστήριον ὑπογράφει· Ἱνατί γάρ, φησιν, ἐφρύαξαν Ψαλ. β. α.
ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες
συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. ἀλλαχοῦ δὲ καὶ τὸν τύπον [αὐτὸν]
οὕτω λέγων, λέγει τοῦ σταυροῦ*, ὤρυξάν χεῖράς μου καὶ πόδας μου· καὶ τὰ παρὰ τῶν στρατιωτῶν τολμηθέντα
προστίθησι μετὰ ἀκριβείας ἁπάσης. Διεμερίσαντο γάρ, φησι, τὰ ἱμάτιά μου ἑαυτοῖς, Ψαλ. κα. ιζ.
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. ἀλλαχοῦ δὲ καὶ ὅτι ὄξος προσήνεγκαν αὐτῷ λέγει·
Ἔδωκαν γάρ, φησιν, εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Ψαλ. ξη. κϛ.
Εἶτα οἱ μὲν προφῆται πρὸ τοσούτων ἐτῶν καὶ τὸ δικαστήριον, καὶ τὴν καταδίκην, καὶ τοὺς
σταυρωθέντας μετ' αὐτοῦ λέγουσι, καὶ τῶν ἱματίων τὴν διανομὴν καὶ τὸν ἐπ' αὐτῶν κλῆρον, καὶ
πολλῷ πλείονα ἕτερα (οὐδὲ γὰρ πάντα ἀναγκαῖον παραθεῖναι νῦν, ὥστε μὴ μακρὸν ποιῆσαι
τὸν λόγον) οὗτος δὲ ὁ μείζων ἐκείνων ἁπάντων, ἅπαντα ταῦτα ἠγνόει; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον;

ζον; τίνος δὲ ἕνεκεν οὐκ ἔλεγε, σὺ εἶ ὁ ἐρχόμενος εἰς τὸν ᾅδην, ἀλλ' ἁπλῶς, ὁ ἐρχόμενος; ἀλλὰ καὶ χ. καὶ τὸ πολλ.
τὸ πολλῷ καταγελαστότερον τούτου ἐκεῖνο ἂν εἴη. φασὶ γὰρ ὅτι διὰ τοῦτο ταῦτα ἔλεγεν,
α. Κορ. ιδ. κ. ἵνα κἀκεῖ ἀπελθὼν κηρύξῃ· πρὸς οὓς εὔκαιρον εἰπεῖν· Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς
φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. ὁ μὲν γὰρ παρὼν βίος πολιτείας ἐστὶ καιρός· μετὰ δὲ τὴν
Ψαλμ. ϛ. ϛ. τελευτήν, κρίσις καὶ κόλασις. Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; πῶς οὖν συνετρίβησαν
πύλαι χαλκαῖ, καὶ μοχλοὶ σιδηροῖ συνεθλάσθησαν; διὰ τοῦ σώματος αὐτοῦ. τότε χ. σώματος χ. αὐτοῦ
γὰρ πρῶτον ἐδείχθη σῶμα ἀθάνατον καὶ διαλῦον τοῦ θανάτου τὴν τυραννίδα. ἄλλως δέ,
τοῦτο δείκνυσι τοῦ θανάτου τὴν ἰσχὺν ἀνῃρημένην, οὐ τῶν πρὸ τῆς παρουσίας αὐτοῦ τετελευτηκότων
τὰ ἁμαρτήματα λελυμένα. εἰ δὲ μὴ οὕτω, φασίν, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν ἅπαντας χ. σώματι
ἀπήλλαξε γεέννης· πῶς φησιν, Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ [γῇ] Γομόῤῥας; τοῦτο γὰρ
Λουκ. ι. ιβ. ὡς καὶ ἐκείνων κολασθησομένων εἴρηται, ἡμερώτερον μέν, κολασθησομένων δὲ [οὖν] ὅμως.
καίτοιγε καὶ δίκην ἐνταῦθα ἔδοσαν τὴν ἐσχάτην· ἀλλ' ὅμως οὐδὲ τοῦτο αὐτοὺς ἐξαιρήσεται).
εἰ δὲ τούτους, πολλῷ μᾶλλον τοὺς μηδὲν πεπονθότας. τί οὖν, φησιν, ἠδικήθησαν οἱ πρὸ τῆς
παρουσίας αὐτοῦ; οὐδαμῶς. ἐξῆν γὰρ καὶ μὴ ὁμολογήσαντας τὸν Χριστὸν τότε σωθῆναι. οὐ
γὰρ τοῦτο ἀπῃτεῖτο παρ' αὐτῶν, ἀλλὰ τὸ μὴ εἰδωλολατρεῖν, καὶ τὸ τὸν ἀληθινὸν Θεὸν εἰδέναι. Κύριος
γάρ, φησιν, ὁ Θεός σου, Κύριος εἷς ἐστι. διὰ τοῦτο καὶ οἱ Μακκαβαῖοι ἐθαυμάζοντο, ὅτι
ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς ἔπαθον ἅπερ ἔπαθον, καὶ οἱ παῖδες οἱ τρεῖς, καὶ ἕτεροι δὲ πολλοὶ
παρὰ Ἰουδαίοις βίον ἄριστον ἐπιδειξάμενοι, καὶ τὸ μέτρον τῆς γνώσεως ταύτης διατηρήσαντες,
οὐδὲν ἀπῃτήθησαν πλέον. τότε μὲν γὰρ εἰς σωτηρίαν ἤρκει, καθάπερ ἔφθην εἰπών, τὸ τὸν
Θεὸν εἰδέναι μόνον· νυνὶ δὲ οὐκέτι, ἀλλὰ δεῖ καὶ τῆς τοῦ Χριστοῦ γνώσεως. διὰ τοῦτο καὶ ἔλεγεν·
Ἰωαν. ιε. κβ. Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι
περὶ τῆς ἁμαρτίας αὐτῶν. οὕτω καὶ ἐπὶ τῆς πολιτείας· τότε μὲν ὁ φόνος ἀπολλύων ἦν τὸν ἐργασάμενον,
νῦν δὲ καὶ τὸ ὀργίζεσθαι· καὶ τότε μὲν τὸ μοιχεύειν καὶ μίγνυσθαι ἀλλοτρίᾳ γυναικὶ
κόλασιν ἔφερε· νῦν δὲ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. ὥσπερ γὰρ ἡ γνῶσις, οὕτω καὶ ἡ πολιτεία
ἐπιτέταται νῦν· ὥστε οὐδὲν ἔδει προδρόμου ἐκεῖ. ἄλλως δέ, εἰ μέλλοιεν μετὰ τὸ ἀποθανεῖν χ. ἐκεῖ
οἱ ἄπιστοι πιστεύοντες σώζεσθαι, οὐδεὶς ἀπολεῖταί ποτε. πάντες γὰρ μεταγνώσονται
Φιλιπ. β. ια. τότε καὶ προσκυνήσουσι. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, ἄκουσον Παύλου λέγοντος· Ὅτι πᾶσα
γλῶσσα ἐξομολογήσεται, καὶ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ
α. Κορ. ιε. ιϛ. ὅτι Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. ἀλλ' οὐδὲν ὄφελος τῆς ὑποταγῆς ἐκείνης. οὐ
γὰρ προαιρέσεώς ἐστιν εὐγνώμονος, ἀλλὰ τῆς τῶν πραγμάτων, ὡς ἂν εἴποι τις, λοιπὸν ἀνάγκης.
μὴ δὴ τοιαῦτα λοιπὸν εἰσάγωμεν δόγματα γραώδη καὶ μύθους Ἰουδαϊκούς. ἄκουσον
Ρω. β. ιβ. γοῦν τί περὶ τούτων ὁ Παῦλός φησιν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται), περὶ
τῶν ἐν τῷ πρὸ τοῦ νόμου χρόνῳ διαλεγόμενος· καί, ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται,
περὶ τῶν μετὰ Μωϋσέα λέγων ἁπάντων· καί, ὅτι ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ
ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων· καί, θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ στενοχωρία ἐπὶ
πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος. καίτοι
μυρία τότε ἔπαθον Ἕλληνες κακά. καὶ τοῦτο καὶ αἱ τῶν ἔξωθεν ἱστορίαι δηλοῦσι, καὶ αἱ γραφαὶ γρ. ἐπιδό
αἱ παρ' ἡμῖν. τίς γὰρ ἂν διηγήσηται τὰς τῶν Βαβυλωνίων τραγῳδίας, ἢ τὰς τῶν Αἰγυπτίων;
ὅτι δὲ καὶ οἱ τὸν Χριστὸν οὐκ ἐγνωκότες πρὸ τῆς ἐνσάρκου παρουσίας, εἰδωλολατρείας
δὲ ἀποστάντες, καὶ τὸν Θεὸν προσκυνήσαντες μόνον, καὶ πολιτείαν ἐπιδειξάμενοι ἀρίστην,
Ρω. β. ι. ἁπάντων ἀπολαύσονται τῶν ἀγαθῶν, ἄκουσον τί φησι· Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ
τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. ὁρᾷς ὅτι [καὶ] ἀγαθῶν
ἀμοιβαὶ πολλαὶ τούτοις εἰσί, καὶ κολάσεις καὶ τιμωρίαι πάλιν τοῖς τὰ ἐναντία πεποιηκόσι;

ΗΘΙΚΟΝ

Ποῦ τοίνυν εἰσὶν οἱ τῇ γεέννῃ διαπιστοῦντες; εἰ γὰρ οἱ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, οἱ μηδὲ ὄνομα γεέννης ἀκούσαντες μηδὲ ἀναστάσεως, οἱ καὶ ἐνταῦθα κολασθέντες, κἀκεῖ δώσουσι δίκην· πόσῳ μᾶλλον ἡμεῖς οἱ τοσούτοις "ἐντραφέντες λόγοις" φιλοσοφίας; καὶ πῶς "εὔλογον, φησι, τοὺς μηδὲν περὶ γεέννης ἀκούσαντας εἰς γέενναν ἐμπεσεῖν; ἐροῦσι γὰρ, ὅτι εἰ ἠπείλησας γέενναν, μᾶλλον ἂν ἐφοβήθημεν καὶ ἐσωφρονήσαμεν. πάνυ γε. οὐ γὰρ, ὡς ἡμεῖς βιοῦμεν νῦν καθ' ἑκάστην ἡμέραν ἀκούοντες τοὺς περὶ γεέννης λόγους, καὶ οὐδὲ "οὕτω προσέχοντες. χωρὶς δὲ τούτων, κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι ὁ τῶν παρὰ πόδας μὴ κατεχόμενος τιμωρίαις, πολλῷ μᾶλλον ἐκείναις οὐ καταχεθήσεται. τοὺς γὰρ ἀλογωτέρους καὶ παχυτέρους διακειμένους, τὰ ἐν χερσὶ μᾶλλον καὶ εὐθέως συμβησόμενα εἴωθε σωφρονίζειν, ἢ τὰ μακροῖς ὕστερον ἐκβησόμενα χρόνοις. ἀλλ' ἡμῖν, φησι, μείζων ἐπεκρεμάσθη ὁ φόβος, καὶ τοῦτο ἐκεῖνοι οὐκ ἠδίκηνται; οὐδαμῶς. πρῶτον μὲν γὰρ οὐ τὰ αὐτὰ πρόκειται σκάμματα ἡμῖν κἀκείνοις, ἀλλὰ πολλῷ μείζονα ἡμῖν. τοὺς δὲ μείζονας ἀναδεξαμένους πόνους, μείζονος δεῖ βοηθείας ἀπολαῦσαι. βοήθεια δὲ οὐ μικρὰ, τὸ αὐξηθῆναι τὸν φόβον. εἰ δὲ πλεονεκτοῦμεν αὐτῶν τῷ τὰ μέλλοντα εἰδέναι, πλεονεκτοῦσιν ἡμῶν κἀκεῖνοι τῷ παραυτίκα ἐπιφέρεσθαι [σφοδρὰς] τὰς τιμωρίας αὐτοῖς. ἀλλ' ἕτερόν τι καὶ πρὸς ταῦτα λέγουσιν οἱ πολλοί. ποῦ γὰρ, φησι, τὸ δίκαιον τοῦ Θεοῦ, ὅταν ἐνταῦθά τις ἁμαρτὼν καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζηται; βούλεσθε οὖν ὑμᾶς ἀναμνήσω τῶν ὑμετέρων λόγων, ἵνα μηκέτι κόπους ἡμῖν παρέχητε, ἀλλ' οἴκοθεν φέρητε τὴν λύσιν; ἐγὼ πολλῶν ἤκουσα ἀνθρώπων ἡμετέρων, εἴποτε μάθοιεν ἀνδροφόνον ἀποτμηθέντα ἐν δικαστηρίῳ, δυσχεραινόντων καὶ ταῦτα λεγόντων τὰ ῥήματα· τριάκοντα φόνους ὁ μιαρὸς οὗτος καὶ ἐναγὴς τολμήσας, ἢ καὶ πολλῷ πλείους, ἕνα μόνον αὐτὸς ὑπέμεινε θάνατον; καὶ ποῦ τὸ δίκαιον; ὥστε ὑμεῖς αὐτοὶ ὁμολογεῖτε, ὅτι οὐκ ἀρκεῖ θάνατος εἷς εἰς τιμωρίαν. πῶς οὖν τὰ ἐναντία ψηφίζεσθε νῦν; ὅτι οὐχ ἑτέροις, ἀλλ' ὑμῖν αὐτοῖς δικάζετε. τοσοῦτον ἡ φιλαυτία γίνεται κώλυμα εἰς τὸ * συνορᾷν τὸ δίκαιον. διὰ τοῦτο, ὅταν μὲν ἑτέροις κρίνωμεν, μετὰ ἀκριβείας ἅπαντα ἐξετάζομεν· ὅταν δὲ ἡμῖν αὐτοῖς δικάζωμεν, ἐσκοτώμεθα. ὡς ἐὰν καὶ ἐφ' ἡμῶν αὐτῶν ταῦτα ἐξετάζωμεν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ἀδέκαστον τὴν ψῆφον "οἴσομεν. ἔστι γὰρ καὶ * ἡμῖν ἁμαρτήματα, οὐ δύο καὶ τριῶν, ἀλλὰ μυρίων θανάτων ἄξια. καὶ ἵνα τὰ ἄλλα παρῶ, ἀναμνήσωμεν ἑαυτοὺς ὅσοι τῶν μυστηρίων μετέχομεν ἀναξίως· οἱ δὲ τοιοῦτοι ἔνοχοι τοῦ σώματος καὶ τοῦ αἵματός εἰσι τοῦ Χριστοῦ. ὥστε ὅταν τὸν ἀνδροφόνον λέγῃς, καὶ σεαυτὸν λογίζου. ἐκεῖνος μὲν γὰρ ἄνθρωπον ἐφόνευσε, σὺ δὲ τῆς σφαγῆς ὑπεύθυνος εἶ τοῦ δεσπότου· κἀκεῖνος μὲν, "οὐ μεταλαβὼν μυστηρίων, ἡμεῖς δὲ τραπέζης ἀπολαύοντες ἱερᾶς. τί δὲ οἱ τοὺς ἀδελφοὺς δάκνοντες καὶ κατεσθίοντες καὶ πολὺν ἀφιέντες τὸν ἰόν; τί δὲ ὁ τὴν τροφὴν τῶν πενήτων ἀφαιρούμενος; εἰ γὰρ ὁ μὴ μεταδιδοὺς τοιοῦτός ἐστι, πολλῷ μᾶλλον ὁ τὰ ἀλλότρια λαμβάνων. πόσων λῃστῶν οἱ πλεονέκται χείρους εἰσί; πόσων ἀνδροφόνων οἱ ἅρπαγες; πόσων τυμβωρύχων; πόσοι δὲ μετὰ τὸ ἀποδῦσαι, καὶ αἱμάτων εἰσὶν ἐπιθυμοῦντες; ἄπαγε· μὴ γένοιτο, φησι. νῦν λέγεις, μὴ γένοιτο. ὅταν ἐχθρὸν ἔχῃς, τότε εἰπέ, μὴ γένοιτο, καὶ μέμνησο τῶν εἰρημένων, καὶ βίον ἐπιδείκνυσο πολλῆς γέμοντα ἀκριβείας, ἵνα μὴ καὶ ἡμᾶς τὰ Σοδόμων μείνῃ· ἵνα μὴ τὰ Γομόῤῥων πάθωμεν· ἵνα μὴ τὰ Τυρίων ὑπομείνωμεν καὶ τὰ Σιδωνίων κακά· μᾶλλον δὲ, ἵνα μὴ τῷ Χριστῷ προσκρούσωμεν, ὅπερ ἁπάντων ἐστὶ χαλεπώτερον [καὶ φοβερώτερον.] εἰ γὰρ καὶ πολλοῖς ἡ γέεννα φοβερὸν ~~ἐστι~~ δοκεῖ, ἀλλ' ἐγὼ οὐ παύσομαι συνεχῶς * βοῶν, ὅτι τοῦτο * γεέννης καὶ χαλεπώτερον καὶ φοβερώτερον· καὶ ὑμᾶς οὕτω διακεῖσθαι παρακαλῶ. οὕτω γὰρ καὶ γεέννης ἀπαλλαγησόμεθα, καὶ τῆς παρὰ τοῦ Χριστοῦ ἀπολαύσομεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λζ. 7 ΤΟΥΤΩΝ ΔΕ ΠΟΡΕΥΟΜΕΝΩΝ, ΗΡΞΑτο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; 8 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. 9 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.

ΤΟ μὲν κατὰ τοὺς μαθητὰς Ἰωάννου ᾠκονόμηται καλῶς, καὶ βεβαιωθέντες ἀπῆλθον ἀπὸ τῶν παραυτίκα γενομένων σημείων· ἔδει δὲ λοιπὸν καὶ τὰ πρὸς τὸν δῆμον ἰάσασθαι. ἐκεῖνοι μὲν γὰρ οὐδὲν ἂν τοιοῦτον ὑπώπτευσαν περὶ τοῦ ἑαυτῶν διδασκάλου· ὁ δὲ πολὺς ὄχλος ἐκ τῆς ἐρωτήσεως τῶν Ἰωάννου μαθητῶν, πολλὰ ἂν ἄτοπα ὑπενόησεν, οὐκ εἰδὼς τὴν γνώμην μεθ' ἧς ἔπεμψε τοὺς μαθητάς. καὶ εἰκὸς ἦν διαλογίζεσθαι πρὸς ἑαυτοὺς καὶ λέγειν· ὁ τοσαῦτα μαρτυρήσας μετεπείσθη νῦν καὶ ἀμφιβάλλει, εἴτε οὗτος εἴτε ἕτερος εἴη ὁ ἐρχόμενος; ἆρα μὴ στασιάζων πρὸς τὸν Ἰησοῦν ταῦτα λέγει; ἆρα μὴ δειλότερος ὑπὸ τοῦ δεσμωτηρίου γενόμενος; ἆρα μὴ μάτην καὶ εἰκῇ τὰ πρότερα εἴρηκεν; ἐπεὶ οὖν πολλὰ τοιαῦτα εἰκὸς ἦν αὐτοὺς ὑποπτεύειν, ὅρα πῶς αὐτῶν διορθοῦται τὴν ἀσθένειαν, καὶ ταύτας ἀναιρεῖ τὰς ὑποψίας. πορευομένων γὰρ αὐτῶν ἤρξατο λέγειν τοῖς ὄχλοις. διατί πορευομένων αὐτῶν; ἵνα μὴ δόξῃ κολακεύειν τὸν ἄνθρωπον. διορθούμενος δὲ τὸν δῆμον, οὐκ ἄγει εἰς μέσον αὐτῶν τὴν ὑπόνοιαν, ἀλλὰ τὴν λύσιν μόνον ἐπάγει τῶν κατὰ διάνοιαν θορυβούντων αὐτοὺς λογισμῶν, δεικνὺς ὅτι ἤδει τὰ ἀπόρρητα ἁπάντων. οὐδὲ γὰρ λέγει, καθάπερ πρὸς Ἰουδαίους· τί ἐνθυμεῖσθε πονηρά; εἰ γὰρ καὶ ἐνενόησαν, οὐκ ἀπὸ πονηρίας ἐλογίζοντο ταῦτα, ἀλλ' ἀπὸ τῆς τῶν εἰρημένων ἀγνοίας. διὰ τοῦτο οὐδὲ ἐπιπληκτικῶς αὐτοῖς διαλέγεται, ἀλλὰ διορθοῦται αὐτῶν μόνον τὴν διάνοιαν, καὶ ἀπολογεῖται ὑπὲρ Ἰωάννου· καὶ δείκνυσιν, ὅτι οὐ μετέπεσε τῆς προτέρας δόξης, οὐδὲ μεταβέβληται. οὐδὲ γάρ ἐστιν εὔκολος ἄνθρωπος καὶ εὐρίπιστος, ἀλλὰ πεπηγὼς καὶ βέβαιος, καὶ οὐ τοιοῦτος, ὡς καὶ προδοῦναι τὰ ἐμπεπιστευμένα. ταῦτα δὲ κατασκευάζων, οὐκ ἐκ τῆς οἰκείας ἀποφάσεως εὐθέως, ἀλλ' ἐκ τῆς ἐκείνων πρότερον ταῦτα κατασκευάζει μαρτυρίας· οὐ δι' ὧν εἶπον μόνον, ἀλλὰ καὶ δι' ὧν ἔπραξαν,″ δείξας αὐτοὺς μαρτυροῦντας αὐτοῦ τῇ στεῤῥότητι. διό φησι· τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; ὡσανεὶ ἔλεγε· διατί τὰς πόλεις ἀφέντες καὶ τὰς οἰκίας, συνήλθετε εἰς τὴν ἔρημον ἅπαντες; ἵνα οἰκτρόν τινα ἴδητε καὶ εὔκολον ἄνθρωπον; ἀλλ' οὐκ ἂν ἔχοι λόγον. οὐ γὰρ τοῦτο δείκνυσι, φησὶν, ἡ σπουδὴ ἐκείνη, καὶ τὸ πάντας ″συῤῥεῖν εἰς τὴν ἔρημον. οὐ γὰρ ἂν δῆμος τοσοῦτος καὶ πόλεις τοσαῦται μετὰ τοσαύτης προθυμίας εἰς τὴν ἔρημον καὶ τὸν Ἰορδάνην ποταμὸν ἐξεχύθησαν ἂν τότε, εἰ μὴ μέγαν τινὰ καὶ θαυμαστὸν καὶ πέτρας στεῤῥότερον ὄψεσθαι προσεδοκήσατε. οὐ γὰρ δὴ κάλαμον ἐξήλθετε ἰδεῖν ὑπὸ ἀνέμου σαλευόμενον. οἱ γὰρ εὔκολοι καὶ ῥαδίως περιφερόμενοι, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα λέγοντες καὶ ἐπὶ μηδενὸς ἑστῶτες, τούτῳ μάλιστα ἐοίκασι. καὶ ὅρα πῶς, πᾶσαν πονηρίαν ἀφεὶς, ταύτην τίθησι τὴν μάλιστα ″ὑφορμῶσαν″ αὐτοῖς τότε, καὶ ἀναιρεῖ τῆς εὐκολίας τὴν ὑπόθεσιν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι οἴκοθεν οὐκ ἦν εὐρίπιστος, καὶ τοῦτο ἐδηλώσατε διὰ τῆς σπουδῆς ὑμῶν. οὐ μὴν οὐδὲ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὡς στεῤῥὸς μὲν ἦν, τρυφῇ δὲ δουλεύσας ὕστερον χαῦνος γέγονε. τῶν γὰρ ἀνθρώπων οἱ μὲν οἴκοθεν εἰσὶ τοιοῦτοι, οἱ δὲ γίνονται· οἷον, ὁ μέν ἐστιν ὀργίλος φύσει, ὁ δὲ εἰς ἀῤῥωστίαν ἐμπεσὼν μα-

κρὰν

γρ. συντρέχειν

ἴσ. ὑφορμῶσαν

γρ. αὐτοῖς

κερὰν τοῦτο κλᾶται τὸ νόσημα. πάλιν εὔκολοι καὶ κοῦφοι οἱ μὲν εἰσὶ φύσει, οἱ δὲ ἀπὸ τοῦ τρυφῇ δουλεύειν καὶ μαλακίζεσθαι τοῦτο γίνονται. ἀλλ' ὁ Ἰωάννης, φησὶν, οὔτε φύσει τοιοῦτος ἦν (οὐδὲ γὰρ κάλαμον ἐξήλθετε ἰδεῖν) οὔτε τρυφῇ δοὺς ἑαυτὸν, ἀπώλεσεν, ὅπερ εἶχε, πλεονέκτημα. ὅτι γὰρ οὐκ ἐδούλευσε τρυφῇ, δείκνυσιν ἡ στολὴ καὶ ἡ ἐρημία καὶ τὸ δεσμωτήριον. εἰ γὰρ ἐβούλετο μαλακὰ φορεῖν, οὐκ ἂν τὴν ἔρημον ᾤκησεν, οὐκ ἂν τὸ δεσμωτήριον, ἀλλὰ τὰ βασίλεια. ἐξῆν γὰρ αὐτῷ σιγήσαντι μόνον μυρίας ἀπολαῦσαι τιμῆς. ὅπου γὰρ καὶ ἐλέγξαντα καὶ δεδεμένον οὕτως ᾐδεῖτο ὁ Ἡρώδης, πολλῷ μᾶλλον σιγήσαντα οὐκ ἐκόλασεν ἄν. ἔργῳ τοίνυν τῆς αὐτοῦ στερρότητος παρασχὼν βάσανον καὶ τῆς καρτερίας, πῶς ἂν εἴη δίκαιος ἐπὶ τοιούτοις ὑποπτεύεσθαι; καὶ ἀπὸ τοῦ τόπου τοίνυν, καὶ ἀπὸ τῶν ἱματίων, καὶ ἀπὸ τῆς συνδρομῆς τὸ ἦθος αὐτοῦ χαρακτηρίσας ἐπάγει λοιπὸν καὶ τὸν προφήτην. εἰπὼν γὰρ, τί ἐξήλθετε; προφήτην ἰδεῖν; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου, φησίν.

10 Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

Πρότερον τὴν τῶν Ἰουδαίων μαρτυρίαν θεὶς, τότε τὴν τῶν προφητῶν ἐφαρμόζει. μᾶλλον δὲ, πρῶτον μὲν τὴν ψῆφον τίθησι τὴν Ἰουδαϊκὴν, ἥπερ μεγίστη γένοιτ' ἂν ἀπόδειξις, ὅταν παρὰ ἐχθρῶν ἡ μαρτυρία φέρηται· δεύτερον, τὸν βίον τοῦ ἀνδρός· τρίτον, τὴν ἑαυτοῦ κρίσιν· τέταρτον, τὸν προφήτην, πανταχόθεν αὐτοὺς ἐπιστομίζων. εἶτα, ἵνα μὴ λέγωσι, τί οὖν εἰ τότε μὲν τοιοῦτος ἦν, νῦν δὲ μεταβέβληται; ἐπήγαγε καὶ τὰ μετὰ ταῦτα, τὰ ἱμάτια, τὸ δεσμωτήριον, καὶ μετὰ τούτων τὴν προφητείαν. εἶτα, εἰπὼν ὅτι μείζων προφήτου, δείκνυσι καὶ κατὰ τί μείζων. κατὰ τί τοίνυν μείζων; κατὰ τὸ ἐγγὺς εἶναι τοῦ παραγινομένου. ἀποστελῶ γάρ, φησι, τὸν ἄγγελόν μου πρὸ προσώπου σου, τουτέστιν, ἐγγύς σου. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων οἱ ἐγγὺς τοῦ ὀχήματος ἐλαύνοντες, οὗτοι τῶν ἄλλων εἰσὶ λαμπρότεροι· οὕτω δὴ καὶ ὁ Ἰωάννης ἐγγὺς αὐτῆς φαίνεται τῆς παρουσίας ἐλαύνων. ὅρα πῶς καὶ ἐντεῦθεν τὴν ὑπεροχὴν ἔδειξε· καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὴν παρ' ἑαυτοῦ λοιπὸν ἐπάγει ψῆφον, λέγων·

11 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔτεκε γυνὴ τούτου μείζονα. καὶ ἀρκεῖ μὲν καὶ ἡ ἀπόφασις· εἰ δὲ βούλει καὶ ἀπὸ τῶν πραγμάτων μαθεῖν, ἐννόησον αὐτοῦ τὴν τράπεζαν, τὴν διαγωγὴν, τῆς γνώμης τὸ ὕψος. ὥσπερ γὰρ ἐν οὐρανῷ, οὕτω διῆγε, καὶ τῶν τῆς φύσεως ἀναγκῶν ἀνώτερος γενόμενος, ξένην τινὰ ὥδευσεν ὁδὸν, ἐν ὕμνοις καὶ εὐχαῖς τὸν πάντα διάγων χρόνον, καὶ ἀνθρώπων μὲν οὐδενὶ, Θεῷ δὲ ὁμιλῶν μόνῳ διηνεκῶς. οὐδὲ γὰρ εἶδέ τινα τῶν ὁμοδούλων, οὔτε ὤφθη τινὶ τούτων, οὐκ ἐγαλακτοτροφήθη, οὐ κλίνης, οὐ στέγης, οὐκ ἀγορᾶς, οὐκ ἄλλου τινὸς ἀπέλαυσε τῶν ἀνθρωπίνων· καὶ ὅμως ἥμερος ἦν ὁμοῦ καὶ σφοδρός. ἄκουσον γοῦν πῶς μετ' ἐπιεικείας τοῖς ἑαυτοῦ μαθηταῖς διαλέγεται, πῶς μετ' ἀνδρείας τῷ δήμῳ τῶν Ἰουδαίων, πῶς μετὰ παρρησίας τῷ βασιλεῖ. διὰ τοῦτο καὶ ἔλεγεν· οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ. ἀλλ' ἵνα μὴ πάλιν ἡ ὑπερβολὴ τῶν ἐγκωμίων τέκῃ τινὰ ἀτοπίαν, προτιμώντων αὐτὸν τοῦ Χριστοῦ τῶν Ἰουδαίων, σκόπει πῶς καὶ τοῦτο διορθοῦται. καθάπερ γὰρ ἐξ ὧν ᾠκοδομοῦντο οἱ μαθηταὶ, ἐβλάπτοντο οἱ ὄχλοι, εὔκολον αὐτὸν εἶναι νομίζοντες· οὕτω καὶ ἐξ ὧν ἐθεραπεύοντο οἱ ὄχλοι, μείζων ἂν ἐγένετο ἡ βλάβη, σεμνοτέραν τοῦ Χριστοῦ λαμβανόντων " αὐτῶν ὑπόνοιαν ἐκ τῶν εἰρημένων. διὸ καὶ τοῦτο ἀνυπόπτως διορθοῦται λέγων·

Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι·

Μικρότερος κατὰ τὴν ἡλικίαν, καὶ κατὰ τὴν τῶν πολλῶν δόξαν. καὶ γὰρ ἔλεγον αὐτὸν φάγον καὶ οἰνοπότην· καί, οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; καὶ πανταχοῦ αὐτὸν ἐξευτέλιζον. τί οὖν, φησι, κατὰ τὴν σύγκρισιν τοῦ Ἰωάννου μείζων ἦν; ἄπαγε. οὐδὲ γὰρ Ἰωάννης, ὅταν λέγῃ, ἰσχυρότερός μου ἐστι, συγκρίνων λέγει· οὐδὲ Παῦλος, ὅταν Μωϋσέως μεμνημένος γράφῃ, Ἑβ. γ. γ. φη, Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, συγκρίνων γράφει. καὶ αὐτὸς δέ, ἰδοὺ πλεῖον Σολομῶντος, ὧδε λέγων, οὐχὶ συγκρίνων φησί. εἰ δ' ἄρα εἴποιμεν καὶ κατὰ σύγκρισιν εἰρῆσθαι περὶ αὐτοῦ τοῦτο, οἰκονομικῶς ἐγένετο διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν. καὶ γὰρ σφόδρα ἦσαν πρὸς αὐτὸν κεχηνότες οἱ ἄνθρωποι· τότε δὲ λαμπρότερον αὐτὸν καὶ τὸ δεσμωτήριον ἐποίησε, καὶ ἡ πρὸς τὸν βασιλέα παῤῥησία, καὶ ἀγαπητὸν ἦν τέως τοῦτο δεχθῆναι παρὰ τοῖς πολλοῖς. καὶ γὰρ καὶ ἡ παλαιὰ οἶδεν οὕτω διορθοῦν τὰς τῶν πεπλανημένων ψυχάς, τὰ ἀσύγκριτα κατὰ σύγκρισιν παραβάλλουσα· ὡς ὅταν λέγῃ, Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· (Ψαλμ. πε. η.) καὶ πάλιν, οὐκ ἔστι Θεός, ὡς ὁ Θεὸς ἡμῶν. τινὲς δέ φασιν, ὅτι περὶ τῶν ἀποστόλων τοῦτο εἴρηκεν ὁ Χριστός, ἕτεροι δὲ περὶ ἀγγέλων· κακῶς. ὅταν γὰρ τῆς ἀληθείας τινὲς ἐκτραπῶσι, πολλὰ πλανᾶσθαι εἰώθασι. ποία γὰρ ἀκολουθία, ἢ περὶ ἀγγέλων ἢ περὶ τῶν ἀποστόλων εἰπεῖν; ἄλλως δέ, εἰ περὶ τῶν ἀποστόλων ἔλεγε, τί ἐκώλυεν ὀνόματι παραγαγεῖν; περὶ μὲν γὰρ ἑαυτοῦ λέγων, εἰκότως κρύπτει τὸ πρόσωπον διὰ τὴν ἐπικρατοῦσαν ὑπόνοιαν, καὶ τὸ μὴ δόξαι περὶ ἑαυτοῦ μέγα τι λέγειν. καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν. τί δέ ἐστιν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; ἐν τοῖς πνευματικοῖς καὶ τοῖς κατὰ τὸν οὐρανὸν ἅπασι. καὶ τὸ εἰπεῖν δέ, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου, ἀντιδιαστέλλοντος ἦν ἑαυτῷ τὸν Ἰωάννην, καὶ οὕτως ἑαυτὸν ὑπεξαιροῦντος. εἰ γὰρ καὶ ἐν γεννητοῖς γυναικὸς ἦν αὐτός, ἀλλ' οὐχ οὕτως, ὡς ὁ Ἰωάννης. οὐ γὰρ ψιλὸς ἄνθρωπος ἦν, οὐδὲ ὁμοίως ἀνθρώπῳ ἐτέχθη, ἀλλὰ ξένον τινὰ τόκον καὶ παράδοξον.

12 Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ, φησιν, ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Καὶ ποίαν τοῦτο ἀκολουθίαν ἔχοι πρὸς τὰ ἔμπροσθεν εἰρημένα; πολλὴν μὲν οὖν καὶ σφόδρα συνᾴδουσαν. καὶ γὰρ ὠθεῖ καὶ ἐπείγει λοιπὸν αὐτοὺς καὶ ἐντεῦθεν εἰς τὴν πίστιν τὴν ἑαυτοῦ· ἅμα δὲ καὶ τοῖς ἔμπροσθεν εἰρημένοις παρὰ Ἰωάννου συνηγορεῖ. εἰ γὰρ μέχρι Ἰωάννου πεπλήρωται πάντα, ἐγώ εἰμι ὁ ἐρχόμενος.

13 Πάντες γάρ, φησιν, οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν.

Οὐ γὰρ ἂν ἔστησαν οἱ προφῆται, εἰ μὴ ἦλθον ἐγώ. μηδὲν τοίνυν προσδοκᾶτε περαιτέρω, μηδὲ ἕτερόν τινα μένετε. ὅτι γὰρ ἐγώ εἰμι, δῆλον καὶ ἐκ τοῦ τοὺς προφήτας στῆναι, καὶ ἐκ τῶν καθ' ἑκάστην ἁρπαζόντων [τὴν] ἡμέραν τὴν πίστιν τὴν εἰς ἐμέ. οὕτω γὰρ δήλη ἐστὶ καὶ σαφής, ὡς καὶ πολλοὺς ἁρπάζειν αὐτήν. καὶ τίς ἥρπασεν, εἰπέ μοι; πάντες οἱ μετὰ σπουδῆς προσιόντες. εἶτα καὶ ἕτερον τεκμήριον τίθησι, λέγων·

14 Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.

Μαλ. δ. ε. Ἀποστελῶ γάρ, φησιν, ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἐπιστρέψει καρδίαν πατρὸς ἐπὶ τέκνα. οὗτος οὖν ἐστιν Ἠλίας, ἐὰν προσέχητε μετ' ἀκριβείας, φησί. καὶ γὰρ ἀποστελῶ, φησι, τὸν ἄγγελόν μου πρὸ προσώπου σου. καὶ καλῶς εἶπεν, εἰ θέλετε δέξασθαι, τὸ ἀβίαστον δεικνύς. οὐ γὰρ ἀναγκάζω, φησί. τοῦτο δὲ ἔλεγεν, εὐγνώμονα ἀπαιτῶν διάνοιαν, καὶ δηλῶν, ὅτι οὗτος ἐκεῖνός ἐστι, κἀκεῖνος οὗτος. ἀμφότεροι γὰρ μίαν διακονίαν ἀνεδέξαντο, καὶ πρόδρομοι γεγόνασιν ἀμφότεροι. διόπερ οὐδὲ ἁπλῶς εἶπεν, οὗτός ἐστιν Ἠλίας, ἀλλ', εἰ θέλετε δέξασθαι *, οὗτός ἐστι, τουτέστιν, εἰ μετ' εὐγνώμονος διανοίας προσέχοιτε τοῖς γινομένοις. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεικνὺς ὅτι συνέσεως χρεία, προσέθηκε πρὸς τό, οὗτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι, :

15 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Τοσαῦτα δὲ αἰνίγματα ἐτίθει, διεγείρων αὐτοὺς εἰς ἐρώτησιν. εἰ δὲ οὐδὲ οὕτως διυπνίζοντο, πολλῷ μᾶλλον εἰ δῆλα ἦν καὶ σαφῆ. οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι οὐκ ἐτόλμων ἐρωτᾶν, καὶ ὅτι δυσπρόσιτος ἦν. οἱ γὰρ παρὰ τῶν τυχόντων αὐτὸν ἐρωτῶντες καὶ πειράζοντες, καὶ μυριάκις ἐπιστομισθέντες καὶ οὐκ

ἀποστάντες, πῶς ἂν ὑπὲρ τῶν ἀναγκαίων οὐκ ἐπύθοντο καὶ ἠρώτησαν, εἴτε μαθεῖν ἐπεθύμουν; εἰ γὰρ ὑπὲρ τῶν νομίμων ἠρώτων, ποία ἐντολὴ πρώτη, καὶ ὅσα τοιαῦτα, καίτοιγε οὐδεμία ἦν ἀνάγκη ταῦτα εἰπεῖν, πῶς τῶν παρ' αὐτοῦ λεγομένων, ὧν καὶ ταῖς ἀποκρίσεσι μᾶλλον ὑπεύθυνος ἦν, οὐκ ἂν ἐξήταζον τὴν διάνοιαν· καὶ μάλιστα, ὁπότε αὐτὸς ἦν ὁ προτρέπων εἰς τοῦτο καὶ ἐφελκόμενος; τὸ γὰρ εἰπεῖν, βιασταὶ ἁρπάζουσιν αὐτήν, εἰς προθυμίαν αὐτοὺς διεγείρει· καὶ τὸ εἰπεῖν, ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω, τὸ αὐτὸ τοῦτο ποιεῖ.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην, φησίν; ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐπὶ τῆς ἀγορᾶς, καὶ λέγουσιν,

17 Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε.

Πάλιν ταῦτα δοκεῖ μὲν ἀπηρτῆσθαι τῶν προτέρων, σφόδρα δέ ἐστιν αὐτοῖς ἀκόλουθα. καὶ γὰρ ἔτι τοῦ κεφαλαίου ἔχεται τοῦ αὐτοῦ, καὶ τοῦ δεῖξαι συνῳδὰ αὐτῷ πράττοντα Ἰωάννην, εἰ καὶ τὰ γινόμενα ἐναντία ἦν, ὥσπερ δὴ καὶ ἐπὶ τῆς ἐρωτήσεως· καὶ δείκνυσιν ὅτι οὐδὲν ἦν ὀφεῖλον γενέσθαι εἰς σωτηρίαν αὐτῶν, καὶ παρελείφθη· ὃ περὶ τοῦ ἀμπελῶνά φησιν ὁ προφήτης, Τί ἔδει με ποιῆσαι τῷ ἀμπελῶνι τούτῳ, καὶ οὐκ ἐποίησα; τίνι γάρ, φησιν, ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐπὶ τῆς ἀγορᾶς, καὶ λέγουσιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. Ἡσ. ε. δ.

18 Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι, δαιμόνιον ἔχει.

19 Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐναντίαν ἑκάτεροι ἤλθομεν ὁδόν, ἐγὼ καὶ Ἰωάννης· καὶ ταὐτὸν ἐποιήσαμεν, οἷον ἂν εἴ τινες θηραταὶ ζῶον δυσθήρατον διὰ δύο μέλλον ἐμπίπτειν ὁδῶν εἰς τὰ θήρατρα, ἑκατέραν ἕκαστος ἀπολαβὼν ὁδὸν ἐλαύνοι ἐξεναντίας ἑστὼς τῷ ἑτέρῳ, ὥστε πάντως εἰς θάτερον ἐμπεσεῖν. σκόπει γοῦν ἅπαν τὸ τῶν ἀνθρώπων γένος, ὅπως πρὸς τὸ τῆς νηστείας ἐπτόηται θαῦμα καὶ τὸν σκληρὸν τοῦτον καὶ φιλόσοφον βίον. διὰ τοῦτο ᾠκονόμητο ἐκ πρώτης ἡλικίας οὕτω τραφῆναι τὸν Ἰωάννην, ὥστε καὶ ἐντεῦθεν ἀξιόπιστα γενέσθαι τὰ λεγόμενα παρ' αὐτοῦ. καὶ τίνος ἕνεκεν οὐκ αὐτός, φησι, ταύτην εἵλετο τὴν ὁδόν; μάλιστα μὲν οὖν καὶ αὐτὸς ταύτην ἦλθεν, ὅτε τὰς τεσσαράκοντα ἡμέρας ἐνήστευσε, καὶ περιῄει διδάσκων καὶ οὐκ ἔχων ποῦ τὴν κεφαλὴν κλίνῃ· πλὴν ἀλλὰ καὶ ἑτέρως τὸ αὐτὸ τοῦτο κατεσκεύαζε, καὶ τὸ ἐντεῦθεν ᾠκονόμει κέρδος. τοῦ γὰρ ἐλθεῖν αὐτὸν τὴν ὁδὸν ταύτην, ταὐτὸν ἦν, ἢ καὶ πολλῷ μεῖζον, τὸ ὑπὸ τοῦ ἐλθόντος μαρτυρεῖσθαι. ἄλλως δέ, ὁ μὲν Ἰωάννης οὐδὲν πλέον ἐπεδείξατο, πλὴν τοῦ βίου καὶ τῆς πολιτείας· Ἰωάννης γάρ, φησιν, οὐδὲν ἐποίησε σημεῖον· αὐτὸς δὲ καὶ τὴν ἀπὸ τῶν σημείων, καὶ τὴν ἀπὸ τῶν θαυμάτων μαρτυρίαν εἶχεν. ἀφεὶς τοίνυν Ἰωάννην ἀπὸ τῆς νηστείας λάμπειν, αὐτὸς τὴν ἐναντίαν ἦλθε, καὶ εἰς τραπέζας εἰσιὼν τελωνῶν, καὶ ἐσθίων, καὶ πίνων. ἐρώμεθα τοίνυν Ἰουδαίους· καλὸν ἡ νηστεία καὶ θαυμαστόν; οὐκοῦν ἔδει πείθεσθαι Ἰωάννῃ καὶ ἀποδέχεσθαι αὐτόν, καὶ πιστεύειν τοῖς ὑπ' αὐτοῦ λεγομένοις. οὕτω γὰρ ὑμᾶς ἔμελλεν ἐκεῖνα τὰ ῥήματα προσάγειν τῷ Ἰησοῦ. ἀλλὰ φορτικὸν ἡ νηστεία καὶ ἐπαχθές; οὐκοῦν ἔδει πείθεσθαι τῷ Ἰησοῦ, καὶ πιστεύειν αὐτῷ τὴν ἐναντίαν ἐλθόντι. δι' ἑκατέρας μὲν ὁδοῦ εἰς τὴν βασιλείαν ἐμέλλετε ἐμπίπτειν· ἀλλ' ὥσπερ θηρίον δύστροπον, ἑκατέρους ἐκάκιζον. οὐκ ἄρα τὸ ἔγκλημα τῶν μὴ πιστευθέντων, ἀλλ' ἡ κατηγορία τῶν μὴ πιστευσάντων ἦν. οὐδεὶς γάρ ποτε τὰ ἐναντία κακίζειν ἕλοιτο, ὥσπερ οὖν οὐδὲ ἐπαινεῖν. οἷόν τι λέγω· ὁ τὸν φαιδρὸν ἀποδεχόμενος ἄνθρωπον καὶ ἀνειμένον, τὸν σκυθρωπὸν καὶ βάρβαρον οὐκ ἀποδέξεται· ὁ τὸν σκυθρωπὸν ἐπαινῶν, τὸν φαιδρὸν οὐκ ἐπαινέσει. ἀμήχανον γὰρ καὶ ταύτην κἀκείνην τιθέναι τὴν ψῆφον. διὰ τοῦτο καὶ αὐτός φησιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· τουτέστι, τὸν ἀνειμένον βίον ὑπέδειξα, καὶ οὐκ ἐπείσθητε· καὶ ἐθρηνήσαμεν, καὶ οὐκ ἐκόψασθε· τουτέστιν, Ἰωάννης τὸν σκληρὸν καὶ

βαρὺν μετῆλθε βίον, καὶ οὐ προσέσχετε. καὶ οὐ λέγει, ἐκεῖνος τοῦτον, κἀγὼ τοῦτον· ἀλλ' ἐπειδὴ μία ἡ γνώμη ἑκατέρων ἦν, εἰ καὶ τὰ ἐπιτηδεύματα ἐναντία, διὰ τοῦτο κοινὰ τὰ γεγενημένα φησὶν εἶναι. καὶ γὰρ καὶ τὸ τὴν ἐναντίαν ἐλθεῖν ὁδὸν, ἀπὸ συμφωνίας ἐπιτεταμένης ἐγένετο, καὶ πρὸς ἓν βλεπούσης τέλος. ποίαν οὖν σχοίητε λοιπὸν ἀπολογίαν; διὰ τοῦτο καὶ ἐπήγαγε·

Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. Τουτέστιν, εἰ καὶ ὑμεῖς οὐκ ἐπείσθητε, ἀλλ' ἐμοὶ λοιπὸν ἐγκαλεῖν οὐκ ἔχετε· ὃ περὶ τοῦ πατρὸς φησιν ὁ προφήτης, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου. ὁ γὰρ Θεὸς, κἂν μηδὲν ἀνύῃ πλέον ἀπὸ τῆς περὶ ἡμᾶς κηδεμονίας, τὰ παρ' ἑαυτοῦ πάντα πληροῖ· ὥστε τοῖς ἀναισχυντεῖν βουλομένοις μηδὲ σκιὰν [τινα] καταλιπεῖν ἀγνώμονος ἀμφιβολίας. Εἰ δὲ τὰ παραδείγματα εὐτελῆ καὶ κακέμφατα, μὴ θαυμάσῃς. πρὸς γὰρ τὴν ἀσθένειαν τῶν ἀκουόντων διελέγετο. ἐπεὶ καὶ ὁ Ἰεζεκιὴλ πολλὰ λέγει παραδείγματα αὐτοῖς πρόσφορα, καὶ τῆς τοῦ Θεοῦ μεγαλωσύνης ἀνάξια. ἀλλὰ καὶ τοῦτο μάλιστα ἄξιον αὐτοῦ τῆς κηδεμονίας. σκόπει δὲ αὐτοὺς καὶ ἑτέρωθεν εἰς ἐναντίας περιενεχθέντας δόξας. εἰπόντες γὰρ περὶ Ἰωάννου, ὅτι δαιμόνιον ἔχει, οὐκ ἔστησαν μέχρι τούτου· ἀλλὰ καὶ περὶ αὐτοῦ τὰ ἐναντία αἱρουμένου τὸ αὐτὸ τοῦτο εἶπον πάλιν. οὕτως εἰς μαχομένας ἀεὶ περιεφέροντο δόξας. ὁ δὲ Λουκᾶς μετὰ τούτων καὶ ἑτέραν μείζονα τίθησιν αὐτῶν κατηγορίαν, εἰπών· οἱ γὰρ τελῶναι ἐδικαίωσαν τὸν Θεὸν, δεξάμενοι τὸ βάπτισμα Ἰωάννου. τότε λοιπὸν ὀνειδίζει τὰς πόλεις, ὅτε ἐδικαιώθη ἡ σοφία, ὅτε ἀπέδειξε πάντα πεπληρωμένα. ἐπειδὴ γὰρ οὐκ ἔπεισε, ταλανίζει λοιπὸν, ὃ τοῦ φοβῆσαι πλέον ἐστί. καὶ γὰρ τὴν ἀπὸ τῶν λόγων διδασκαλίαν ἐπεδείξατο, καὶ τὴν ἀπὸ τῶν σημείων θαυματουργίαν. ἐπειδὴ δὲ ἔμειναν ἐπὶ τῆς αὐτῶν " ἀπειθείας, ὀνειδίζει λοιπόν. 20 Τότε γὰρ, φησιν, ὁ Ἰησοῦς ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν, λέγων·

Ιεζ. δ. καὶ ις.

21 Οὐαί σοι Χοραζείν· οὐαί σοι Βηθσαϊδάν. Εἶτα, ἵνα μάθῃς οὐκ ἀπὸ φύσεως αὐτοὺς τοιούτους ὄντας, τίθησι καὶ τὸ ὄνομα τῆς πόλεως, ἀφ' ἧς πέντε προῆλθον ἀπόστολοι. ὅ τε γὰρ Φίλιππος καὶ αἱ δύο ξυνωρίδες ἐκεῖναι τῶν κορυφαίων ἐντεῦθεν ἦσαν.

Ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο, φησιν, αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.

Λουκ. ι. ιγ.

22 Πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν.

23 Καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως [τοῦ] ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον.

24 Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί.

Καὶ τὰ Σόδομα δὲ αὐτοῖς οὐχ ἁπλῶς " προστίθησιν, ἀλλ' αὔξων τὴν κατηγορίαν. καὶ γὰρ μεγίστη " κακίας ἀπόδειξις, ὅταν μὴ τῶν τότε ὄντων, ἀλλὰ καὶ τῶν πώποτε γενομένων πονηρῶν φαίνωνται χείρους ἐκεῖνοι. οὕτω καὶ ἀλλαχοῦ ποιεῖται σύγκρισιν, διὰ Νινευιτῶν αὐτοὺς κατακρίνων, καὶ διὰ τῆς βασιλίσσης τοῦ νότου. ἀλλ' ἐκεῖ μὲν, διὰ τῶν κατωρθωκότων· ἐνταῦθα δὲ, καὶ διὰ τῶν ἡμαρτηκότων, ὃ πολὺ βαρύτερον ἦν. τοῦτον καὶ ὁ Ἰεζεκιὴλ οἶδε τῆς κατακρίσεως τὸν νόμον· διὸ καὶ ἔλεγε τῇ Ἱερουσαλὴμ, Ἐδικαίωσας τὰς ἀδελφάς σου ἐν πάσαις ταῖς ἁμαρτίαις σου. οὕτω πανταχοῦ τῇ παλαιᾷ ἐμφιλοχωρεῖν εἴωθε. καὶ οὐδὲ ἐνταῦθα τὸν λόγον ἵστησιν· ἀλλὰ καὶ τὸν φόβον ἐπιτείνει λέγων, ὅτι χαλεπώτερα πείσονται Σοδομιτῶν καὶ Τυρίων, ὥστε πανταχόθεν αὐτοὺς ἐναγαγεῖν, καὶ ἀπὸ τοῦ ταλανίζειν, καὶ ἀπὸ τοῦ φοβεῖν.

Ιεζ. ις.

ΗΘΙΚΟΝ

Ταῦτα δὴ καὶ ἡμεῖς ἀκούωμεν. οὐδὲ γὰρ τοῖς ἀπιστοῦσι μόνον, ἀλλὰ καὶ ἡμῖν χαλεπωτέραν ὥρισε κόλασιν Σοδομιτῶν, εἰ μὴ δεξόμεθα τοὺς " εἰσιόντας πρὸς ἡμᾶς ξένους, ὅτε καὶ τὸν κονιορτὸν ἐκτινάξαι ἐκέλευσε· καὶ μάλα εἰκότως. ἐκεῖνοι μὲν γὰρ εἰ καὶ παράνομα ἥμαρτον, ἀλλὰ παρὰ τοῦ νόμου καὶ τῆς χάριτος· ἡμεῖς δὲ μετὰ τὴν τοσαύτην ἐπιμέλειαν ἁμαρτάνοντες, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, μισοξενίαν τοσαύτην ἐπιδεικνύμενοι, καὶ τοῖς δεομένοις τὰς θύρας ἀποκλείοντες, καὶ πρὸ τῶν θυρῶν τὰς ἀκοάς· μᾶλλον δὲ οὐ τοῖς πένησι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἀποστόλοις; διὰ γὰρ τοῦτο καὶ τοῖς πένησιν, ἐπεὶ καὶ τοῖς ἀποστόλοις. ὅταν γὰρ ἀναγινώσκηται Παῦλος, καὶ σὺ μὴ προσέχῃς· ὅταν κηρύττῃ Ἰωάννης, καὶ σὺ μὴ ἀκούῃς, πότε δέξῃ πένητα, ἀπόστολον μὴ δεχόμενος; ἵνα οὖν καὶ τούτοις αἱ οἰκίαι, κἀκείνοις αἱ ἀκοαὶ διηνεκῶς ἀνεῳγμέναι ὦσιν, ἀποκαθάρωμεν τὸν ῥύπον ἀπὸ τῶν τῆς ψυχῆς ὤτων. καθάπερ γὰρ ῥύπος καὶ πηλὸς τὰ ὦτα τῆς σαρκὸς, οὕτω τὰ πορνικὰ ᾄσματα, καὶ τὰ βιωτικὰ διηγήματα, καὶ τὰ χρέα, καὶ τὰ περὶ τόκων καὶ δανεισμάτων, ῥύπου παντὸς χαλεπώτερον ἐμφράττει τῆς διανοίας τὴν ἀκοήν· μᾶλλον δὲ οὐκ ἐμφράττει μόνον, ἀλλὰ καὶ ἀκάθαρτον ποιεῖ. καὶ γὰρ κόπρον ἐνιᾶσιν ὑμῶν ταῖς ἀκοαῖς ⓐ ″ταῦτα διηγούμενοι. καὶ ὅπερ ὁ βάρβαρος ἠπείλει, λέγων, φάγεσθε τὴν κόπρον ὑμῶν καὶ τὰ ἑξῆς, τοῦτο καὶ οὗτοι οὐ λόγῳ, ἀλλὰ διὰ τῶν ἔργων ὑμᾶς ὑπομένειν ποιοῦσι· μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερον. καὶ γὰρ καὶ τούτων ἀηδέστερα ἐκεῖνα τὰ ᾄσματα, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ μόνον οὐκ ἐνοχλεῖσθαι νομίζετε τούτων ἀκούοντες, ἀλλὰ καὶ γελᾶτε, δέον βδελύττεσθαι καὶ φεύγειν. εἰ δὲ οὐ βδελυκτὰ, κατάβηθι εἰς τὴν ὀρχήστραν, ζήλωσον ὅπερ ἐπαινεῖς· μᾶλλον δὲ βάδισον μόνον μετὰ τούτου τοῦ κινοῦντος τὸν γέλωτα ἐκεῖνον. ἀλλ᾽ οὐκ ἂν ἀνάσχοιο. τί τοίνυν τοσαύτην ἀπονέμεις αὐτῷ τιμήν; καὶ ⓐ μὲν νόμοι ⓐ παρὰ τῶν Ἑλλήνων γραφέντες ἀτίμους αὐτοὺς εἶναι βούλονται· σὺ δὲ αὐτοὺς ὅλῃ τῇ πόλει δέχῃ, ὥσπερ ″πρεσβευτὰς καὶ στρατηγοὺς, καὶ ἅπαντας συγκαλεῖς ἵνα δέξωνται κόπρον ταῖς ἀκοαῖς. καὶ ὁ μὲν οἰκέτης αἰσχρόν τι φθεγγόμενος, ἀκούοντός σου, μυρίας λήψεται μάστιγας· κἂν υἱὸς, κἂν γυνὴ, κἂν ὁστισοῦν αὐτὸ τοῦτο ποιήσῃ, ὕβριν τὸ πρᾶγμα καλεῖς· ἂν δὲ ἄνθρωποι μαστιγίαι καὶ τριωβολιμαῖοι καλέσωσί σε τῶν αἰσχρῶν ἀκουσόμενον ῥημάτων, οὐ μόνον οὐκ ἀγανακτεῖς, ἀλλὰ καὶ χαίρεις καὶ ἐπαινεῖς. καὶ τί ταύτης τῆς ἀλογίας ″ἴσον γένοιτ᾽ ἄν; ἀλλ᾽ αὐτὸς οὐ φθέγγῃ τὰ αἰσχρὰ ταῦτα· καὶ τί τὸ κέρδος; μᾶλλον δὲ, καὶ αὐτὸ τοῦτο πόθεν δῆλον; εἰ γὰρ μὴ ἐφθέγγου, οὐκ ἂν οὐδὲ ἀκούων ἐγέλας, οὐδ᾽ ἂν μετὰ τοσαύτης σπουδῆς ἔδραμες ἐπὶ τὴν καταισχύνουσάν σε φωνήν. εἰπὲ γάρ μοι, χαίρεις ἀκούων βλασφημούντων, ἀλλ᾽ οὐχὶ φρίττεις καὶ τὰ ὦτα ἐμφράττεις; ἔγωγε οἶμαι. τί δήποτε; ὅτι οὐδὲ αὐτὸς βλασφημεῖς. οὕτω δὴ καὶ ἐπὶ τῆς αἰσχρολογίας ποίει· καὶ εἰ βούλει δεῖξαι σαφῶς ἡμῖν, ὅτι οὐ χαίρεις αἰσχρὰ ″φθεγγόμενος, μηδὲ ἀκούειν ἀνέχου. πότε γὰρ δυνήσῃ γενέσθαι σπουδαῖος τοιούτοις ″ἐντρεφόμενος ἀκούσμασι; πότε δὲ τοὺς ὑπὲρ σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν ἀνέξῃ κατὰ μικρὸν ὑπορρέων ἀπὸ τοῦ γέλωτος καὶ τῶν ᾀσμάτων καὶ τῶν αἰσχρῶν ῥημάτων τούτων; καὶ γὰρ ἀγαπητὸν ἁπάντων τούτων καθαρεύουσαν ψυχὴν δυνηθῆναι γενέσθαι σεμνὴν καὶ σώφρονα, μήτι γε τοῖς τοιούτοις ἀκούσμασιν ″ἐντρεφομένην. ἢ οὐκ ἴστε ὅτι πρὸς κακίαν ἐπιρρεπέστερον ἔχομεν; ὅταν οὖν καὶ τέχνην αὐτὸ ποιησώμεθα καὶ ἔργον, πότε διαφευξόμεθα τὴν κάμινον ἐκείνην; οὐκ ἤκουσας τί φησιν ὁ Παῦλος; χαίρετε ἐν Κυρίῳ· οὐκ εἶπεν, ἐν διαβόλῳ. πότε οὖν ἀκοῦσαι δυνήσῃ Παύλου; πότε αἴσθησιν λαβεῖν τῶν πεπλημμελημένων, μεθύων ἀεὶ καὶ διηνεκῶς ἀπὸ τῆς θεωρίας ἐκείνης; ὅτι γὰρ παραγέγονας ἐνταῦθα, οὐ θαυμαστὸν καὶ μέγα· μᾶλλον δὲ θαυμαστόν. ἐνταῦθα μὲν γὰρ καὶ ἁπλῶς καὶ ἀφοσιούμενος παραγίνῃ· ἐκεῖ δὲ, μετὰ σπουδῆς καὶ δρόμου καὶ πολλῆς τῆς προθυμίας. καὶ δῆλον ἐξ ὧν οἴκαδε φέρεις ἐκεῖθεν ἀναχωρῶν. καὶ γὰρ ⓑ βόρβορον ἅπαντα ⓑ ἐκχυθέντα ὑμῖν ἐκεῖ διὰ τῶν ῥημάτων, διὰ τῶν ᾠδῶν, διὰ τοῦ γέλωτος, εἰς τὴν οἰκίαν ἕκαστος συναγαγόντες φέρετε· μᾶλλον δὲ οὐκ εἰς τὴν οἰκίαν μόνον, ἀλλὰ καὶ εἰς τὴν διάνοιαν ἕκαστος τὴν ἑαυτοῦ. καὶ τὰ μὲν οὐκ ἄξια τοῦ βδελύττεσθαι ἀποστρέφῃ, τὰ δὲ βδελυκτὰ οὐ μισεῖς, ἀλλὰ καὶ ἀγαπᾷς. πολλοὶ γοῦν ἀπὸ μὲν τάφων ἐπανελθόντες ἐλούσαντο· ἀπὸ δὲ θεάτρων ἀναχωροῦντες

τες οὐκ ἐστέναξαν, οὐδὲ ἐξέχεαν δακρύων πηγάς. καίτοιγε ὁ μὲν νεκρὸς οὐκ ἀκάθαρτον· ἡ δὲ ἁμαρτία τοσαύτην "ἐντίθησι κηλῖδα, ὡς μηδὲ μυρίαις πηγαῖς ἐκκαθᾶραι ταύτην δύνασθαι, ἀλλὰ μόνοις δάκρυσι καὶ ἐξομολογήσεσιν. ἀλλ' οὐδεὶς ὁ αἰσθανόμενος τῆς κηλῖδος ταύτης. ἐπειδὴ γὰρ ἃ χρὴ οὐ φοβούμεθα, διὰ τοῦτο ἃ μὴ χρὴ δεδοίκαμεν. τίς δὲ καὶ ὁ πάταγος; τίς δὲ καὶ ὁ θόρυβος, καὶ αἱ σατανικαὶ κραυγαὶ καὶ τὰ διαβολικὰ σχήματα καὶ ᾄσματα; ὁ μὲν γὰρ ὄπισθεν ἔχει κόμην νέος ὤν, καὶ τὴν φύσιν ἐκθηλύνων, καὶ τῷ βλέμματι, καὶ τῷ σχήματι, καὶ τοῖς ἱματίοις, καὶ πᾶσιν ἁπλῶς, εἰς εἰκόνα κόρης ἁπαλῆς ἐκβιάσαι φιλονεικεῖ. ἄλλος δέ τις γεγηρακὼς ὑπεναντίας τούτῳ τὰς τρίχας ξυρῷ περιελὼν, καὶ ἐζωσμένος τὰς πλευρὰς, πρὸ τῶν τριχῶν ἐκτέμνων τὴν αἰδῶ, πρὸς τὸ ῥαπίζεσθαι ἕτοιμος ἕστηκε, πάντα καὶ λέγειν καὶ ποιεῖν παρεσκευασμένος. αἱ δὲ γυναῖκες, γυμνῇ τῇ κεφαλῇ ἀπηρυθριασμέναι πρὸς δῆμον ἑστήκασι διαλεγόμεναι, τοσαύτην μελέτην ἀναισχυντίας ποιούμεναι, καὶ πᾶσαν ἰταμότητα καὶ ἀσέλγειαν εἰς τὰς τῶν ἀκουόντων ἐκχέουσαι ψυχὰς, καὶ μία σπουδὴ, πᾶσαν ἐκ βάθρων ἀνασπάσαι τὴν σωφροσύνην, καταισχῦναι τὴν φύσιν, ἐμπλῆσαι τοῦ πονηροῦ δαίμονος τὴν ἐπιθυμίαν. καὶ γὰρ καὶ ῥήματα αἰσχρὰ αὐτόθι, καὶ σχήματα καταγέλαστα, καὶ κουρὰ τοιαύτη, καὶ βάδισις "ὁμοία, καὶ στολὴ, καὶ φωνὴ, καὶ μελῶν διάκλασις, καὶ ὀφθαλμῶν ἐκστροφαὶ, καὶ σύριγγες, καὶ αὐλοὶ, καὶ δράματα, καὶ ὑποθέσεις, καὶ πάντα ἁπλῶς τῆς ἐσχάτης ἀσελγείας ἀνάμεστα. πότε οὖν ἀνανήψεις, εἰπέ μοι, τοσοῦτόν σοι πορνείας ἄκρατον ἐγχέοντος τοῦ διαβόλου, τοσαύτας ἀκολασίας κύλικας κεραννύντος; καὶ γὰρ καὶ μοιχεῖαι, καὶ γάμων ἐκεῖ κλοπαὶ, καὶ γυναῖκες ἐκεῖ πορνευόμεναι, καὶ ἄνδρες ἡταιρηκότες, καὶ νέοι μαλακιζόμενοι, πάντα παρανομίας μεστὰ, πάντα τερατωδίας, πάντα αἰσχύνης. οὐκ ἄρα γελᾶν ἐπὶ τούτοις τοὺς καθημένους ἐχρῆν, ἀλλὰ δακρύειν καὶ στένειν πικρόν. τί οὖν; ἀποκλείσομεν τὴν ὀρχήστραν, φησὶ, καὶ τῷ λόγῳ τῷ σῷ πάντα ἀνατραπήσεται; νῦν μὲν οὖν πάντα ἀνατέτραπται. πόθεν γὰρ οἱ τοῖς γάμοις ἐπιβουλεύοντες, εἰπέ μοι; οὐκ ἀπὸ τῆς σκηνῆς ταύτης; πόθεν οἱ τοὺς θαλάμους διορύττοντες; οὐκ ἀπὸ τῆς ὀρχήστρας ἐκείνης; οὐκ ἐντεῦθεν οἱ ἄνδρες ταῖς γυναιξὶ φορτικοί; οὐκ ἐντεῦθεν τοῖς ἀνδράσιν αἱ γυναῖκες εὐκαταφρόνητοι, οὐκ ἐντεῦθεν οἱ πλείους μοιχοί; ὥστε ὁ τὰ πάντα ἀνατρέπων ὁ πρὸς τὸ θέατρον βαδίζων ἐστὶν, ὁ τυραννίδα χαλεπὴν ἐπεισάγων. οὐχὶ, φησὶν, ἀλλὰ τῇ τῶν νόμων εὐταξίᾳ τοῦτο δοκεῖ. καὶ μὴν τὸ γυναῖκας διασπᾶν, καὶ παῖδας ὑβρίζειν νέους, καὶ οἰκίας ἀνατρέπειν, τῶν τὰς ἀκροπόλεις κατειληφότων ἐστί. καὶ τίς μοιχὸς, φησὶν, ἀπὸ τῶν θεαμάτων τούτων γέγονε; τίς γὰρ οὐ μοιχός; καὶ εἴγε τὴν ὀνομαστὶ νῦν εἰπεῖν, ἔδειξα ἂν ὅσους ἄνδρας ἀπέστησαν γυναικῶν, ὅσους ἔλαβον αἰχμαλώτους αἱ πόρναι ἐκεῖναι, τοὺς μὲν ἀπ' αὐτῆς ἀναστήσασαι τῆς εὐνῆς, τοὺς δὲ οὐδὲ τὴν ἀρχὴν ἀφεῖσαι ὁμιλῆσαι γάμῳ. τί οὖν, εἰπέ μοι, τοὺς νόμους ἀνατρέψομεν ἅπαντας; καὶ μὴν τὸ παρανομίαν ἐστὶν ἀνατρέψαι, ταῦτα λύονται τὰ θέατρα. οἱ γὰρ ταῖς πόλεσι λυμαινόμενοι ἐκ τούτων εἰσίν· ἐντεῦθεν γοῦν στάσεις καὶ ταραχαί. οἱ γὰρ ὑπὸ τῶν ὀρχουμένων τρεφόμενοι, καὶ γαστρὶ τὴν ἑαυτῶν πωλοῦντες φωνὴν, οἷς ἔργον βοῆσαι καὶ ταράξαι πᾶν ἄτοπον, οὗτοι μάλιστά εἰσιν οἱ τοὺς δήμους ἀναρριπίζοντες, οἱ τὰς ταραχὰς ἐμποιοῦντες ταῖς πόλεσι. νεότης γὰρ ἀργίας ἐπιλαβομένη, καὶ τοσούτοις ἐντρεφομένη κακοῖς, θηρίου παντὸς ἀγριωτέρα γίνεται. οἱ γὰρ γόητες, εἰπέ μοι, πόθεν; οὐκ ἐντεῦθεν; ἵνα δῆμον ἀναπτερώσωσιν εἰκῆ σφαδάζοντα, καὶ τοὺς ὀρχουμένους πολλῶν ἀπολαῦσαι ποιήσωσι θορύβων, καὶ τὰς πορνευομένας γυναῖκας ταῖς σωφρονούσαις ἐπιτειχίσωσιν. εἰς τοῦτο γὰρ ἔρχονται μαγγανείας, ὡς μηδὲ τὰ ὀστᾶ τῶν κατοιχομένων "κινεῖν ὀκνεῖν. οὐκ ἐντεῦθεν, ὅταν μυρία ἀναγκάζωνται εἰς τὴν πονηρὰν ἐκείνην τοῦ διαβόλου χορείαν ἀναλίσκειν; ἡ δὲ ἀσέλγεια πόθεν, καὶ τὰ μυρία κακά; ὁρᾷς ὅτι σὺ μὲν τὸν βίον ἀνατρέπεις, ἐπὶ ταῦτα ἕλκων, ἐγὼ δὲ συγκροτῶ καταλύων; καθέλωμεν οὖν τὴν ὀρχήστραν, φησίν; εἴθε καθελεῖν δυνατὸν ἦν, μᾶλλον δὲ

ἂν

γρ. τίθησι

γρ. παιαι

γρ. κινεῖν ὀ-
ντα.

ἂν ἐθέλητε, τὸ ἡμέτερον μέρος καθῄρηται καὶ κατέσκαπται. πλὴν ἀλλ' οὐδὲ τοῦτο κελεύω. τὰ ἑστῶτα ποιήσατε ἄχυρα, ὅπερ μεῖζόν ἐστιν ἐγκώμιον τοῦ καθελεῖν. εἰ καὶ μηδένα ἕτερον, τοὺς γοῦν βαρβάρους ζηλώσατε. καὶ γὰρ πάσης τοιαύτης ἐκεῖνοι καθαρεύουσι θεωρίας. τίς οὖν ἡμῖν ἔσται ἀπολογία λοιπὸν, ὅταν ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται καὶ τῶν χερουβὶμ συγχορευταὶ, καὶ τῶν ἀγγέλων κοινωνοὶ τῶν βαρβάρων χείρους ταύτῃ γινώμεθα, καὶ ταῦτα ἐξὸν μυρίας ἑτέρας τούτων βελτίους τέρψεις εὑρεῖν; εἰ γὰρ βούλει ψυχαγωγεῖσθαι, βάδιζε εἰς παραδείσους, ἐπὶ παραρρέοντα ποταμὸν καὶ λίμνας, κατάμαθε κήπους, ἄκουε τεττίγων ᾀδόντων, ἐπιχωρίαζε σηκοῖς μαρτύρων, ὅπου σώματος ὑγεία καὶ ψυχῆς ὠφέλεια, καὶ βλάβος οὐδὲν, οὐδὲ μεταμέλεια μετὰ τὴν ἡδονὴν, καθάπερ ἐνταῦθα. ἔχεις γυναῖκα, ἔχεις παιδία· τί ταύτης τῆς ἡδονῆς ἴσον; ἔχεις οἰκίαν, ἔχεις φίλους· ταῦτα τὰ τερπνὰ, πολὺ μετὰ [τῆς] σωφροσύνης καὶ τὸ κέρδος παρέχοντα. τί γὰρ παίδων γλυκύτερον, εἰπέ μοι; τί δὲ γυναικὸς τῷ σωφρονεῖν βουλομένῳ; λέγεται δὲ γοῦν οἱ βάρβαροί ποτε εἰπεῖν ῥῆμα φιλοσοφίας γέμον. περὶ γὰρ τῶν θεάτρων τούτων ἀκούσαντες τῶν παρανόμων, καὶ τῆς ἀκαίρου τέρψεως, Ῥωμαῖοι γὰρ, φησιν, ὡς οὐκ ἔχοντες παῖδας καὶ γυναῖκας, οὕτω τοιαύτας ἐπενόησαν τὰς ἡδονὰς, δεικνύοντες ὅτι οὐδὲν παίδων γλυκύτερον καὶ γυναικὸς, ἐὰν σεμνῶς ἐθέλῃς βιοῦν. τί οὖν ἐὰν δείξω, φησὶ, μηδὲν βλαβέντας ἐκ τῆς ἐκεῖ διατριβῆς; μάλιστα μὲν καὶ αὐτὸ τοῦτο βλάβος, τὸ εἰκῇ καὶ μάτην τὸν καιρὸν δαπανᾶν, καὶ ἑτέροις γίνεσθαι σκάνδαλον. κἂν γὰρ σὺ μὴ βλαβῇς, ἕτερον ποιεῖς εἰς τοῦτο σπουδαιότερον. πῶς δὲ καὶ αὐτὸς οὐ βλαβήσῃ, παρέχων ἀφορμὰς τοῖς γινομένοις; καὶ γὰρ ὁ γόης, καὶ ὁ πορνευόμενος παῖς, καὶ ἡ πορνευομένη γυνὴ, καὶ πάντες ἐκεῖνοι οἱ διαβολικοὶ χοροὶ, ἐπὶ τὴν σὴν κεφαλὴν τὴν αἰτίαν τῶν γινομένων φέρουσιν. ὥσπερ γὰρ εἰ μὴ ἦσαν οἱ θεωροῦντες, οὐκ ἂν ἦσαν οἱ ταῦτα μετιόντες· οὕτως ἐπειδή εἰσι, καὶ αὐτοὶ μερίζονται τῶν γινομένων τὸ πῦρ. ὥστε κἂν εἰς σωφροσύνην μηδὲν παραβλαβῇς, ὅπερ ἀμήχανον, ἀλλὰ τῆς ἀπωλείας τῆς ἑτέρων χαλεπὰς δώσεις εὐθύνας, καὶ τῶν θεωρούντων, καὶ τῶν αὐτοὺς συναγόντων· καὶ εἰς σωφροσύνην δὲ μείζονα ἂν ἐκέρδανες, εἰ μὴ ἐκεῖσε ἐβάδιζες. εἰ γὰρ καὶ νῦν εἶ σώφρων, σωφρονέστερος ἂν ἐγένου τὰς τοιαύτας φεύγων θέας. μὴ τοίνυν περιττὰ φιλονεικῶμεν, μηδὲ ἀνονήτους ἀπολογίας ἐπινοῶμεν. μία γὰρ ἀπολογία, τὸ φυγεῖν τὴν κάμινον τὴν Βαβυλωνίαν, τὸ πόρρω γενέσθαι τῆς Αἰγυπτίας πόρνης, κἂν γυμνὸν δέῃ τὰς ἐκείνης χεῖρας διαφυγεῖν. οὕτω γὰρ καὶ ἡδονῆς πολλῆς ἀπολαυσόμεθα, τοῦ συνειδότος οὐ κατηγοροῦντος ἡμῶν, καὶ τὸν παρόντα μετὰ σωφροσύνης βιωσόμεθα βίον, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λη. 25 ΕΝ ΕΚΕΙΝΩ ΤΩ ΚΑΙΡΩ ΑΠΟΚΡΙΘΕΙΣ

ὁ Ἰησοῦς, εἶπεν· ἐξομολογοῦμαί σοι, πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. 26 Ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

ΟΡα διὰ πόσων αὐτοὺς ἐνάγει εἰς τὴν πίστιν. πρῶτον, διὰ τῶν ἐγκωμίων τοῦ Ἰωάννου. δείξας γὰρ αὐτὸν μέγαν καὶ θαυμαστὸν, ἀξιόπιστα καὶ τὰ παρ' αὐτοῦ πάντα ἀπέφηνε, δι' ὧν εἰς τὴν αὐτοῦ γνῶσιν αὐτοὺς ἐφείλκετο. δεύτερον, τῷ εἰπεῖν, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. τοῦτο γάρ ἐστιν ἐπείγοντος καὶ ὠθοῦντος. τρίτον, διὰ τοῦ δεῖξαι ὅτι οἱ προφῆται πάντες ἀπηρτίσθησαν. καὶ γὰρ καὶ τοῦτο ἐδήλου αὐτὸν εἶναι τὸν δι' ἐκείνων προαναφωνούμενον. τέταρτον, διὰ τοῦ δεῖξαι ὅτι πάντα ὅσα ἐχρῆν γενέσθαι παρ' αὐτοῦ, πάντα γέγονεν, ὅτε καὶ τῆς παραβολῆς τῶν παίδων ἐμνημόνευσε. πέμπτον, διὰ τοῦ ὀνειδίσαι τοὺς μὴ πιστεύοντας καὶ φοβῆσαι καὶ ἀπειλῆσαι μεγάλα. ἕκτον, διὰ τοῦ εὐχαριστῆσαι ὑπὲρ τῶν πιστευσάντων. τὸ γὰρ, ἐξομολογοῦμαί σοι, ἐνταῦθα τὸ εὐχαριστῶ ἐστιν. εὐχαριστῶ, φησιν, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν. τί οὖν; ἐπ' ἀπωλείᾳ χαίρει, καὶ τῷ μὴ μαθεῖν ἐκείνους ταῦτα; οὐδαμῶς· ἀλλ' αὕτη τῆς σωτηρίας ὁδὸς ἀρίστη, τὸ τοὺς διαπτύοντας καὶ μὴ βουλομένους δέχεσθαι τὰ λεγόμενα μὴ καταναγκάζειν· ἵν', ἐπειδὴ τῷ κληθῆναι βελτίους οὐκ ἐγένοντο, ἀλλ' ἀνέπεσον καὶ κατεφρόνησαν, τῷ ἐκβληθῆναι εἰς ἐπιθυμίαν τούτων ἐμπέσωσιν. οὕτω γὰρ καὶ οἱ προσέχοντες σπουδαιότεροι γίνεσθαι ἔμελλον. τὸ μὲν γὰρ ἀποκαλυφθῆναι τούτοις, ἄξιον χαρᾶς· τὸ δὲ κρυβῆναι ἐξ ἐκείνων, οὐκ ἔτι χαρᾶς, ἀλλὰ δακρύων ἄξιον. τοῦτο γοῦν καὶ ποιεῖ δακρύων τὴν πόλιν. οὐ τοίνυν διὰ τοῦτο χαίρει, ἀλλ' ὅτι ἃ σοφοὶ οὐκ ἔγνωσαν, ἔγνωσαν οὗτοι. ὡς ὅταν λέγῃ Παῦλος, Ρω. ς. ιζ. Εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. οὐ τοίνυν οὔτε Παῦλος διὰ τοῦτο χαίρει, ὅτι ἦσαν δοῦλοι τῆς ἁμαρτίας, ἀλλ' ὅτι ὄντες τοιοῦτοι τοιούτων ἀπέλαυσαν. σοφοὺς δὲ ἐνταῦθα τοὺς γραμματέας φησὶ καὶ τοὺς Φαρισαίους. ταῦτα δὲ λέγει, τοὺς μαθητὰς προθυμοτέρους ποιῶν, καὶ δηλῶν τίνων κατηξιώθησαν οἱ ἁλιεῖς, ὧν ἐκεῖνοι πάντες ἐξέπεσον. εἰπὼν δὲ σοφοὺς, οὐ τὴν ἀληθινὴν σοφίαν λέγει καὶ ἐπαινετὴν, ἀλλὰ ταύτην ἣν ἐδόκουν ἀπὸ δεινότητος ἔχειν. διὰ τοῦτο οὐδὲ εἶπεν, ἀπεκάλυψας μωροῖς, ἀλλὰ νηπίοις, ἀπλάστοις, φησὶν, ἀφελέσι. καὶ δείκνυσιν οὐ μόνον παρ' ἀξίαν οὐκ ἀπολαύοντας τούτων, ἀλλὰ καὶ κατὰ τὸ εἰκός· καὶ παιδεύει διὰ πάντων ἡμᾶς, ἀπονοίας μὲν ἀπηλλάχθαι, ἀφέλειαν δὲ ζηλοῦν. διὰ τοῦτο καὶ Παῦλος αὐτὸ ἔλεγε α. Κορ. γ. ιη. μετὰ πλείονος τῆς ὑπερβολῆς, οὕτω γράφων· Εἴ τις δοκεῖ ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. οὕτω γὰρ δείκνυται ἡ τοῦ Θεοῦ χάρις. διὰ τί δὲ εὐχαριστεῖ τῷ Πατρὶ, καίτοιγε αὐτὸς αὐτὸ ἐποίησεν; ὥσπερ ἀλλαχοῦ εὔχεται καὶ ἐντυγχάνει τῷ Θεῷ, τὴν πολλὴν ἀγάπην τὴν περὶ ἡμᾶς ἐνδεικνύμενος· οὕτω καὶ ἐνταῦθα ποιεῖ. πολλῆς γὰρ καὶ τοῦτο ἀγάπης. καὶ δείκνυσιν, ὅτι οὐ παρ' αὐτοῦ ἐξέπεσον μόνον, ἀλλὰ καὶ παρὰ τοῦ Πατρός. Ματθ. ζ. ὅπερ γὰρ εἶπε τοῖς μαθηταῖς λέγων, Μὴ βάλητε τὰ ἅγια τοῖς κυσὶ, τοῦτο προλαβὼν αὐτὸς ἐποίησεν. εἶτα δείκνυσιν ἐκ τούτων καὶ τὸ αὐτοῦ προηγούμενον θέλημα, καὶ τὸ τοῦ Πατρός. αὐτοῦ μὲν γὰρ τὸ εὐχαριστεῖν καὶ χαίρειν ἐπὶ τῷ γινομένῳ· τοῦ Πατρὸς δὲ, τὸ δεικνύναι, ὅτι οὐδὲ ἐκεῖνος παρακληθεὶς τοῦτο ἐποίησεν, ἀλλ' ὅτι αὐτὸς οἴκοθεν ὁρμηθείς. οὕτω γὰρ, φησιν, ἐγένετο εὐδοκία ἔμπροσθέν σου· τουτέστιν, οὕτω σοι ἤρεσε. διὰ τί δὲ ἀπεκρύβη ἀπ' ἐκείνων, Ρω. ι. γ. ἄκουσον Παύλου λέγοντος· Ὅτι ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. ἐννόησον τοίνυν τί εἰκὸς εἶναι τοὺς μαθητὰς ταῦτα ἀκούοντας, ὅτι ἃ σοφοὶ οὐκ ἔγνωσαν, οὗτοι ἔγνωσαν· καὶ ἔγνωσαν μείναντες νήπιοι, καὶ ἔγνωσαν τοῦ Θεοῦ ἀπο- Λουκ. ι. ιζ. καλύψαντος. ὁ δὲ Λουκᾶς φησιν, ὅτι ἐν αὐτῇ τῇ ὥρᾳ, ὅτε ἦλθον οἱ ἑβδομήκοντα ἀπαγγέλλοντες τὰ περὶ τῶν δαιμόνων, τότε ἠγαλλιάσατο, καὶ εἶπε ταῦτα, ἅπερ μετὰ τοῦ σπουδαιοτέρους αὐτοὺς ποιεῖν καὶ μετριάζειν παρεσκεύαζεν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς μέγα φρονεῖν ἐπὶ τῷ τοὺς δαίμονας ἐλαύνειν, καὶ ἐντεῦθεν αὐτοὺς καταστέλλει. ἀποκάλυψις γὰρ ἦν τὸ γινόμενον, οὐκ ἐκείνων σπουδή. διὸ καὶ οἱ γραμματεῖς καὶ οἱ σοφοὶ συνετοὶ νομίζοντες εἶναι παρ' ἑαυτοῖς, ἐξέπεσον διὰ τὸν οἰκεῖον τῦφον. οὐκοῦν εἰ διὰ τοῦτο ἐξ αὐτῶν ἀπεκρύβη, φοβήθητε, φησὶ, καὶ ὑμεῖς, καὶ μείνατε νήπιοι. τοῦτο γὰρ ὑμᾶς ἐποίησε τῆς ἀποκαλύψεως ἀπολαῦσαι, ὥσπερ οὖν καὶ ἐκείνους τὸ ἐναντίον ἀποστερηθῆναι. οὐδὲ γὰρ, ὅταν λέγῃ, ἀπέκρυψας, τοῦ Θεοῦ τὸ πᾶν εἶναι Ρω. α. κη. φησιν, ἀλλ' ὥσπερ ὅταν λέγῃ Παῦλος, Ὅτι παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν καὶ ἐτύφλωσεν αὐτῶν τὰ νοήματα, οὐκ αὐτὸν εἰσάγων ταῦτα ἐνεργοῦντα τοῦτό φησιν, ἀλλ' ἐκείνους τοὺς τὴν

γρ. αὐτή

ἴσ. ἀπ'

γρ. δῶτε

ἴσ. ἀπ'

γρ. ἐκείνοις

αὐτὴν παρέχοντας· οὕτω καὶ ἐνταῦθά φησι τὸ, ἀπεκάλυψας. εἶτα, ἐπειδὴ εἶπεν, ἐξομολογοῦμαί σοι ὅτι ἀπέκρυψας, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις, ἵνα μὴ νομίσῃς, ὅτι ὡς αὐτὸς ἀπεστερημένος τῆς δυνάμεως ταύτης καὶ μὴ δυνάμενος αὐτὸ κατορθῶσαι οὕτως εὐχαριστεῖ, φησι·

27 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· Πρὸς δὲ τοὺς χαίροντας, ὅτι τὰ δαιμόνια αὐτοῖς ὑπακούει. τί γὰρ θαυμάζετέ, φησιν, ὅτι δαίμονες ὑμῖν ὑπείκουσιν; ἐμὰ πάντα ἐστὶ, πάντα μοι παρεδόθη. ὅταν δὲ ἀκούσῃς, παρεδόθη, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. ἵνα γὰρ μὴ δύο θεοὺς ἀγεννήτους νομίσῃς, ταύτην τὴν λέξιν τίθησιν. ἐπεὶ ὅτι ὁμοῦ τε ἐγεννήθη καὶ πάντων δεσπότης ἦν, πολλαχόθεν καὶ ἀλλαχόθεν δηλοῖ. Εἶτα λέγει τι καὶ τούτου μεῖζον, "ἀνοίγων σου τὴν διάνοιαν·

Καὶ οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· "οὐδὲ τὸν πατέρα ἐπιγινώσκει*, εἰ μὴ ὁ υἱός.

Καὶ δοκεῖ μὲν ἀπηρτῆσθαι τῶν ἔμπροσθεν τοῖς ἀγνοοῦσι, πολὺ δὲ ἔχει τὸ σύμφωνον. ἐπειδὴ γὰρ εἶπε, πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, ἐπάγει· καὶ τί θαυμαστόν, φησιν, εἰ πάντων εἰμὶ δεσπότης, ὅπουγε καὶ ἕτερόν τι μεῖζον ἔχω, τὸ εἰδέναι τὸν πατέρα καὶ τῆς αὐτῆς οὐσίας εἶναι; καὶ γὰρ καὶ τοῦτο λανθανόντως δείκνυσιν ἐκ τοῦ "μόνος αὐτὸν "οὕτως εἰδέναι. ὅταν γὰρ εἴπῃ· οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός, τοῦτό φησιν. καὶ ὅρα "πότε λέγει ταῦτα· ὅτε διὰ τῶν ἔργων τῆς δυνάμεως ἔλαβον αὐτοῦ τὴν ἀπόδειξιν, οὐχὶ θαυματουργοῦντα ἰδόντες μόνον, ἀλλὰ καὶ ἐν τῷ ὀνόματι αὐτοῦ τοσαῦτα δυνηθέντες. εἶτα, ἐπειδὴ εἶπεν, ὅτι ἀπεκάλυψας αὐτὰ νηπίοις, δείκνυσι καὶ τοῦτο αὐτοῦ ὄν. οὐδὲ γὰρ τὸν πατέρα τις ἐπιγινώσκει, φησὶν, εἰ μὴ ὁ υἱός, Καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι·

Οὐχ ᾧ ἂν ἐπιτάττηται, οὐδὲ ᾧ ἂν κελεύηται. εἰ δὲ ἐκεῖνον ἀποκαλύπτει, καὶ ἑαυτόν. ἀλλὰ τοῦτο μὲν ὡς ὡμολογημένον ἀφῆκεν· ἐκεῖνο δὲ τέθεικε. καὶ πανταχοῦ τοῦτό φησιν, ὡς ὅταν λέγῃ· Οὐδεὶς δύναται πρὸς τὸν πατέρα ἐλθεῖν, εἰ μὴ δι' ἐμοῦ. διὰ δὲ τούτων καὶ Ιωαν. ιδ. ϛ.
ἄλλο κατασκευάζει, τὸ * σύμφωνος αὐτῷ "εἶναι καὶ ὁμογνώμων. τοσοῦτον γάρ, φησιν, ἀπέχω τοῦ μάχεσθαι αὐτῷ καὶ πολεμεῖν, ὅτι οὐ δυνατὸν πρὸς ἐκεῖνον ἐλθεῖν τινα, εἰ μὴ δι' ἐμοῦ. ἐπειδὴ γὰρ τοῦτο μάλιστα αὐτοὺς ἐσκανδάλιζε, τὸ δοκεῖν ἀντίθεον αὐτὸν εἶναι, διὰ πάντων τοῦτο ἀναιρεῖ, καὶ τῶν σημείων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον περὶ τούτου ἐσπούδακεν. ὅταν δὲ λέγῃ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός, οὐ τοῦτό φησιν, ὅτι πάντες αὐτὸν ἠγνόησαν, ἀλλ' ὅτι τὴν γνῶσιν, ἣν αὐτὸς αὐτὸν οἶδεν, οὐδεὶς "αὐτῶν ἐπίσταται· ὃ καὶ περὶ τοῦ "υἱοῦ ἐστιν εἰπεῖν. οὐδὲ γὰρ περὶ ἀγνώστου τινὸς Θεοῦ καὶ μηδενὶ γινομένου γνωρίμου ταῦτα ἔφασκεν, ὥς φησιν ὁ Μαρκίων, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν ἐνταῦθα αἰνιττόμενος· ἐπεὶ οὐδὲ τὸν υἱὸν ἴσμεν, ὡς χρὴ εἰδέναι. καὶ τοῦτο γοῦν αὐτὸ Παῦλος δηλῶν ἔλεγεν· Ἐκ μέρους γινώσκομεν, α. Κορ. ιγ. ιβ.
καὶ ἐκ μέρους προφητεύομεν. Εἶτα καταστήσας διὰ τῶν εἰρημένων εἰς ἐπιθυμίαν αὐτοὺς, καὶ δείξας αὐτοῦ τὴν δύναμιν ἄφατον, τότε καλεῖ λέγων·

28 Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Οὐχ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλὰ πάντες οἱ ἐν φροντίσιν, οἱ ἐν λύπαις, οἱ ἐν ἁμαρτίαις. δεῦτε, οὐχ ἵνα ἀπαιτήσω εὐθύνας, ἀλλ' ἵνα λύσω τὰ ἁμαρτήματα· δεῦτε, οὐκ ἐπειδὴ δέομαι ὑμῶν τῆς δόξης, ἀλλ' ἐπειδὴ δέομαι ὑμῶν τῆς σωτηρίας. ἐγὼ γάρ, φησιν, ἀναπαύσω ὑμᾶς. οὐκ εἶπε, σώσω μόνον, ἀλλὰ καὶ ὃ πολλῷ πλέον ἦν, ἐν ἀδείᾳ καταστήσω πάσῃ.

29 Αρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

30 Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν.

Μὴ τοίνυν φοβηθῆτε, φησι, ζυγὸν ἀκούοντες· χρηστὸς γάρ ἐστι. μὴ δείσητε, ἐπειδὴ φορτίον εἶπον· ἐλαφρὸν γάρ ἐστι. καὶ πῶς ἔμπροσθεν ἔλεγε, στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός;

ὅταν ῥάθυμος ᾖς, ὅταν ἀναπεπτωκώς· ὡς ἐὰν κατορθώσῃς τὰ εἰρημένα, ἐλαφρὸν ἔσται τὸ φορτίον. διὸ καὶ νῦν αὐτὸ τοιοῦτον ἐκάλεσε. πῶς δὲ κατορθοῦται; ἂν ταπεινὸς γένῃ καὶ πρᾶος καὶ ἐπιεικής. αὕτη γὰρ μήτηρ ἐστὶν ἡ ἀρετὴ φιλοσοφίας ἁπάσης. διὸ καὶ ἀρχόμενος τῶν θείων ἐκείνων νόμων, ἐντεῦθεν ἤρξατο· καὶ ἐνταῦθα πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, καὶ μέγιστον τίθησι [τὸ] ἔπαθλον. οὐ γὰρ ἑτέρῳ γίνῃ χρήσιμος μόνον, ἀλλὰ καὶ σαυτὸν πρὸ πάντων ἀναπαύεις, φησίν. εὑρήσετε γὰρ ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ πρὸ τῶν μελλόντων ἐντεῦθεν δίδωσί σοι τὴν ἀμοιβὴν, καὶ τὸ βραβεῖον ἤδη παρέχει, καὶ ταύτῃ καὶ τῷ ἑαυτὸν ὑπόδειγμα θεῖναι εἰς μέσον εὐπαράδεκτον ποιῶν τὸν λόγον. τί γὰρ δέδοικας, φησί; μὴ ἐλαττωθῇς ταπεινὸς ὤν; ἐμὲ σκόπει, καὶ τὰ ἐμὰ πάντα· ἀπ' ἐμοῦ μάνθανε, καὶ τότε εἴσῃ σαφῶς ἡλίκον τοῦτο τὸ ἀγαθόν. ὁρᾷς πῶς διὰ πάντων αὐτοὺς ἐνάγει εἰς τὴν ταπεινοφροσύνην; ἀφ' ὧν αὐτὸς ἐποίησε (Μάθετε γὰρ ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι) ἀφ' ὧν αὐτοὶ κερδαίνειν μέλλουσιν (εὑρήσετε γάρ, φησιν, ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν) ἀφ' ὧν αὐτοῖς χαρίζεται (ἀναπαύσω γὰρ ὑμᾶς κἀγώ, φησιν) ἀφ' ὧν κοῦφον αὐτὸ κατεσκεύασεν. ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. οὕτω καὶ Παῦλος πείθει λέγων· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται. καὶ πῶς ἐλαφρόν, φησι, τὸ φορτίον, ὅταν λέγῃ· Ἐὰν μή τις μισήσῃ πατέρα καὶ μητέρα· καὶ, ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ μοι, οὐκ ἔστι μου ἄξιος· καὶ, ὃς οὐκ ἀποτάσσεται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· ὅταν κελεύῃ καὶ αὐτὴν ἀποστρέφεσθαι τὴν ψυχήν; διδασκέτω σε Παῦλος λέγων, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; καὶ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. διδασκέτωσάν σε οἱ ἐκ τοῦ συνεδρίου τῶν Ἰουδαίων μετὰ μυρίας μάστιγας ὑποστρέφοντες, καὶ χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. εἰ δὲ ἔτι δέδοικας καὶ φρίττεις, τὸν ζυγὸν καὶ τὸ φορτίον ἀκούων, οὐ τῆς φύσεως τοῦ πράγματος ὁ φόβος, ἀλλὰ τῆς σῆς ῥαθυμίας. ὡς ἂν ᾖς παρεσκευασμένος καὶ προθυμίαν ἔχων, πάντα σοι ῥᾴδια ἔσται καὶ κοῦφα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς δεικνὺς ὅτι δεῖ καὶ ἡμᾶς αὐτοὺς πονεῖν, οὐ τὰ χρηστὰ μόνον εἶπε, καὶ ἐσίγησεν, οὐδὲ τὰ φορτικὰ μόνον, ἀλλ' ἑκάτερα τέθεικε. καὶ γὰρ ζυγὸν εἶπε, καὶ χρηστὸν ἐκάλεσε, καὶ φορτίον ὠνόμασε, καὶ ἐλαφρὸν προσέθηκεν· ἵνα μήτε ὡς ἐπίπονα φύγῃς, μήτε ὡς σφόδρα εὐκόλων καταφρονήσῃς. εἰ δὲ καὶ μετὰ ταῦτα πάντα δύσκολον ἡ ἀρετὴ εἶναί σοι δοκεῖ, ἐννόησον ὅτι δυσκολώτερον ἡ κακία. ὅπερ οὖν καὶ αὐτὸ αἰνιττόμενος, οὐ πρότερον εἶπε, λάβετε τὸν ζυγόν μου· ἀλλὰ πρότερον, δεῦτε οἱ κοπιῶντες καὶ πεφορτισμένοι, δεικνὺς ὅτι ἡ ἁμαρτία κόπον ἔχει, καὶ φορτίον ἐστὶ βαρὺ καὶ δυσβάστακτον. οὐδὲ γὰρ κοπιῶντες εἶπε μόνον, ἀλλὰ καὶ πεφορτισμένοι. τοῦτο καὶ ὁ προφήτης ἔλεγε, τὴν φύσιν αὐτῆς ὑπογράφων· Ὡσεὶ φορτίον γάρ, φησι, βαρὺ ἐβαρύνθη ἐπ' ἐμέ. καὶ ὁ Ζαχαρίας δὲ ὑπογράφων αὐτήν, Μολίβδου τάλαντον αὐτὴν εἶναί φησι. καὶ τοῦτο καὶ ἡ πεῖρα αὐτὴ δείκνυσιν. οὐδὲν γὰρ οὕτω βαρεῖ τὴν ψυχήν, οὐδὲν οὕτω πηροῖ διάνοιαν καὶ πιέζει κάτω, ὡς ἁμαρτίας συνειδός· οὐδὲν οὕτω πτεροῖ καὶ μετέωρον ποιεῖ, ὡς δικαιοσύνης κτῆσις καὶ ἀρετῆς. σκόπει δέ. τί φορτικώτερον, εἰπέ μοι, τοῦ μηδὲν κεκτῆσθαι; τοῦ στρέψαι τὴν σιαγόνα, καὶ τυπτόμενον μὴ ἀντιτύπτειν; τοῦ ἀποθανεῖν βιαίῳ θανάτῳ; ἀλλ' ὅμως ἐὰν φιλοσοφῶμεν, πάντα ταῦτα κοῦφα καὶ ῥᾴδια καὶ ἡδονῆς ποιητικά. ἀλλὰ μὴ θορυβηθῆτε, ἀλλ' ἕκαστον αὐτῶν μετὰ ἀκριβείας ἐξετάσωμεν μεταχειρίσαντες· καὶ, εἰ βούλεσθε, τὸ πρῶτον καὶ τὸ πολλοῖς ἐπίπονον καὶ βαρὺ εἶναι δοκοῦν. πότερον οὖν, εἰπέ μοι, βαρὺ καὶ ἐπαχθές, τὸ μίαν γαστέρα μεμεριμνᾶν, ἢ τὸ μυρίων φροντίζειν; τὸ ἓν περιβεβλῆσθαι ἱμάτιον καὶ μηδὲν πλέον ἐπιζητεῖν, ἢ τὸ πολλὰ ἔνδον ἔχοντα, καθ' ἑκάστην ἡμέραν καὶ νύκτα κόπτεσθαι, δεδοικότα, τρέμοντα ὑπὲρ τῆς φυλακῆς, ἀλγοῦντα καὶ ἀγχόμενον ὑπὲρ τῆς ζημίας; μὴ σητόβρωτον γένηται,

Ματθ. ια. κθ.

Β. Κορ. δ. ιζ.

Λουκ. ιδ. κϛ. κζ.

Ρωμ. η. λε.

Ψαλμ. λζ. δ.

Ζαχ. ε. ζ.

γρ. οὐκ αἴρει

γρ. ἐκδύσ

γρ. καθέλκει

γρ. ἁμαρτία

καὶ οὐδὲν

γρ. μιᾶς γαστρός

μὴ οἰκέτης ἀφελόμενος ἀπέλθῃ; πλὴν ἀλλ' ὅσα ἂν εἴπω, οὐδὲν παραστήσει ὁ λόγος τοιοῦτον, οἷον ἡ τῶν πραγμάτων πεῖρα. διὸ ἐβουλόμην ἵνα τῶν εἰς ἐκείνην φθασάντων τὴν "κορυφὴν τῆς φιλοσοφίας παρεῖναι ἡμῖν, καὶ τότε σαφῶς ἂν εἶδες τοῦ πράγματος τὴν ἡδονήν." καὶ οὐδεὶς ἂν ἐδέξατο ἐκείνων τῶν ἐρώντων ἀκτημοσύνης, μυρίων παρεχόντων πλουτεῖν. οὗτοι δὲ "ἐδέξαντο ἄν ποτε γενέσθαι πένητες, φησὶ, καὶ ῥίψαι τὰς φροντίδας ἃς ἔχουσι; καὶ τί τοῦτο; τῆς γὰρ ἀνοίας αὐτῶν καὶ τοῦ χαλεποῦ νοσήματος τοῦτο δεῖγμα, οὐ τοῦ τὸ πρᾶγμα ἥδιστον εἶναι. καὶ τοῦτο καὶ αὐτοὶ μαρτυρήσαιεν ἂν ἡμῖν, οἱ καθ' ἑκάστην ἡμέραν ἐπὶ ταύταις ἀποδυρόμενοι ταῖς φροντίσι, καὶ τὸν βίον ἀβίωτον εἶναι νομίζοντες. ἀλλ' οὐκ ἐκεῖνοι οὕτως, ἀλλὰ γελῶσι, σκιρτῶσι, καὶ τῶν τὸ διάδημα περικειμένων μᾶλλον ἐπὶ τῇ πενίᾳ καλλωπίζονται. πάλιν τὸ στρέψαι τὴν σιαγόνα τοῦ πλῆξαι ἑτέραν, κουφότερον τῷ προσέχοντι. ἐκεῖ μὲν γὰρ ἀρχὴν ὁ πόλεμος λαμβάνει, ἐνταῦθα δὲ λύσιν· καὶ ἐκείνῳ μὲν καὶ τὴν ἑτέρου πυρὰν ἀνῆψας, τούτῳ δὲ καὶ τὴν σαυτοῦ φλόγα ἔσβεσας. ὅτι δὲ τὸ μὴ καίεσθαι τοῦ καίεσθαι ἥδιον, παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ ψυχῆς. τί δὲ κουφότερον; ἀγωνίζεσθαι, ἢ στεφανοῦσθαι; πυκτεύειν, ἢ τὸ βραβεῖον ἔχειν; κύματα ἀνέχεσθαι, ἢ εἰς λιμένα "καταίρειν; οὐκοῦν καὶ τὸ ἀποθανεῖν τοῦ ζῆν βέλτιον. τοῦτο μὲν γὰρ ἐξάγει τῶν "κλυδώνων καὶ τῶν κινδύνων· ἐκεῖνο δὲ "προστίθησι, καὶ ὑπεύθυνον ποιεῖ μυρίαις ἐπιβουλαῖς καὶ ἀνάγκαις, δι' ἃς ἀβίωτον εἶναι τὸν βίον ἐνόμισας. Εἰ δὲ ἀπιστεῖς τοῖς λεγομένοις, ἄκουσον τῶν ἑωρακότων τὰ πρόσωπα τῶν μαρτύρων ἐν τῷ καιρῷ τῶν ἀγώνων, πῶς μαστιζόμενοι καὶ ξεόμενοι περιχαρεῖς ἦσαν καὶ φαιδροί, καὶ τῶν ἐπὶ ῥοδωνιᾶς κατακεκλιμένων ἐπὶ τηγάνων προσκείμενοι μᾶλλον ἔχαιρον καὶ εὐφραίνοντο. διὸ καὶ Παῦλος ἔλεγε, μέλλων ἐντεῦθεν ἀπιέναι καὶ καταλύειν βιαίῳ θανάτῳ τὴν ζωήν, Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. εἶδες μεθ' ὅσης ὑπερβολῆς τὴν οἰκουμένην ἅπασαν ἐπὶ τὴν κοινωνίαν τῆς "εὐφροσύνης καλεῖ; οὕτω μέγα ἀγαθὸν ᾔδει τὴν ἐντεῦθεν ἀποδημίαν οὖσαν, οὕτω ποθεινὸν τὸν αὐτὸν" καὶ φοβερὸν θάνατον, καὶ ἐπέραστον καὶ εὐχῆς ἄξιον. ἀλλ' ὅτι μὲν ἡδὺς καὶ κοῦφος ὁ τῆς ἀρετῆς ζυγός, καὶ ἑτέρωθεν πολλαχόθεν δῆλον. λοιπὸν δὲ, εἰ δοκεῖ, καὶ τῆς ἁμαρτίας ἴδωμεν τὰ φορτία. οὐκοῦν τοὺς πλεονέκτας εἰς μέσον ἀγάγωμεν, καὶ τοὺς καπήλους καὶ παλιγκαπήλους τῶν "αἰσχρῶν συμβολαίων. τί οὖν φορτικώτερον τῆς τοιαύτης "πραγματείας γένοιτ' ἄν; πόσαι λῦπαι; πόσαι φροντίδες; πόσα προσκρούσματα; πόσοι κίνδυνοι; πόσαι ἐπιβουλαὶ καὶ πόλεμοι καθ' ἑκάστην ἡμέραν τούτοις φύονται τοῖς κέρδεσι; πόσοι θόρυβοι καὶ ταραχαί; ὥσπερ γὰρ τὴν θάλατταν οὐκ ἔστιν ἰδεῖν ποτε κυμάτων χωρίς· οὕτως οὐδὲ τὴν τοιαύτην ψυχὴν φροντίδος καὶ ἀθυμίας καὶ φόβου καὶ ταραχῆς ἐκτός, ἀλλὰ τὰ πρότερα καταλαμβάνει τὰ δεύτερα, καὶ πάλιν ἕτερα ἔπεισι, καὶ τούτων οὐδέπω παυομένων ἕτερα κορυφοῦται. ἀλλὰ τῶν λοιδόρων καὶ τῶν ἀκροχόλων βούλει τὰς ψυχὰς ἰδεῖν; καὶ τί τῆς βασάνου ταύτης χεῖρον; τί τῶν τραυμάτων ὧν ἔχουσιν ἔνδον; τί τῆς καμίνου τῆς διηνεκῶς καιομένης, καὶ τῆς φλογὸς τῆς μηδέποτε σβεννυμένης; ἀλλὰ τῶν φιλοσωμάτων καὶ τῇ παρούσῃ προσεστηκότων ζωῇ; καὶ τί ταύτης τῆς δουλείας χαλεπώτερον; τὸν τοῦ Κάϊν βίον ζῶσι, τρόμῳ διηνεκεῖ συζῶντες καὶ φόβῳ, καὶ καθ' ἕκαστον τῶν τελευτώντων μᾶλλον τῶν ἐκείνοις προσηκόντων, τὴν οἰκείαν θρηνοῦντες τελευτήν. τί δὲ τῶν πεφυσιωμένων ταραχωδέστερόν τε καὶ μανικώτερον; μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ἁπάντων γὰρ μήτηρ τῶν ἀγαθῶν ἡ ἀνεξικακία. μὴ τοίνυν φοβηθῇς, μηδὲ ἀποπηδήσῃς τὸν ἁπάντων σε τούτων" κουφίζοντα ζυγόν, ἀλλ' ὕπελθε μετὰ προθυμίας ἁπάσης αὐτόν, καὶ τότε αὐτοῦ εἴσῃ σαφῶς τὴν ἡδονήν. οὐδὲ γὰρ τρίβει σου τὸν αὐχένα, ἀλλ' εὐταξίας ἕνεκεν ἐπίκειται μόνης, καὶ τοῦ πεῖσαι βαδίζειν εὔρυθμα, καὶ πρὸς τὴν βασιλικήν σε ὁδὸν ἀγαγεῖν, καὶ τῶν ἑκατέρωθεν ἀπαλλάξαι κρημνῶν, καὶ ποιῆσαι μετ' εὐκολίας τὴν στενὴν βαδίσαι

Φιλιπ. β. ιζ. ιη.

δίσαι ὁδόν. ἐπεὶ οὖν τοσαῦτα αὐτοῦ τὰ ἀγαθά, τοσαύτη ἡ ἀσφάλεια, τοσαύτη ἡ εὐφροσύνη, πάσῃ ψυχῇ, πάσῃ σπουδῇ τοῦτον ἕλκωμεν τὸν ζυγόν· ἵνα καὶ ἐνταῦθα ἀνάπαυσιν εὕρωμεν ταῖς ψυχαῖς ἡμῶν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. φερόμ

κεφ. ιβ.

Ὁμιλ. λθ.

1 ΕΝ ΕΚΕΙΝΩ ΤΩ ΚΑΙΡΩ ΕΠΟΡΕΥΘΗ Ο Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. 2 Οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ· ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ. 3 Ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε τί ἐποίησεν ὁ Δαβὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ;

4 Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις;

Ὁ δὲ Λουκᾶς φησιν, ἐν σαββάτῳ δευτεροπρώτῳ. τί δέ ἐστι, δευτερόπρωτον; ὅταν διπλῆ ἡ ἀργία ᾖ, καὶ τοῦ σαββάτου τοῦ Κυρίου, καὶ ἑτέρας ἑορτῆς διαδεχομένης. σάββατον γὰρ ἑκάστην ἀργίαν καλοῦσι. καὶ τί δήποτε ἐκεῖθεν αὐτοὺς ἤγαγεν ὁ πάντα προειδώς, εἰ μὴ ἐβούλετο λυθῆναι τὸ σάββατον; ἐβούλετο μέν, ἀλλ' οὐχ ἁπλῶς. διόπερ οὐδέποτε χωρὶς αἰτίας αὐτὸ λύει, ἀλλὰ δίδωσι προφάσεις εὐλόγους· ἵνα καὶ τὸν νόμον ἀναπαύσῃ, καὶ ἐκείνους μὴ πλήξῃ. ἔστι δὲ ὅπου καὶ προηγουμένως αὐτὸ λύει, οὐ μετὰ περιστάσεως· ὡς ὅταν τῷ πηλῷ χρίῃ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ· ὡς ὅταν λέγῃ, Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. ποιεῖ δὲ ταῦτα, τούτῳ μὲν δοξάζων τὸν ἑαυτοῦ πατέρα, ἐκείνῳ δὲ τὴν ἀσθένειαν τῶν Ἰουδαίων παραμυθούμενος· ὃ δὴ καὶ ἐνταῦθα κατασκευάζει, τὴν τῆς φύσεως ἀνάγκην προβαλλόμενος· καίτοιγε καὶ ἐπὶ τῶν ἁμαρτημάτων τῶν ὡμολογημένων οὐκ ἂν γένοιτό ποτε ἀπολογία. οὔτε γὰρ ὁ φονεύων τὸν θυμὸν ἂν ἔχοι προβαλέσθαι, οὔτε ὁ μοιχεύων τὴν ἐπιθυμίαν, μᾶλλον δὲ οὐδὲ ἄλλην αἰτίαν οὐδεμίαν εἰπεῖν· ἐνταῦθα δὲ τὴν πεῖναν εἰπών, πάντας ἀπήλλαξεν αὐτοὺς ἐγκλήματος. σὺ δέ μοι θαύμασον τοὺς μαθητάς, τοὺς οὕτω συνεσταλμένους καὶ μηδένα τῶν σωματικῶν ποιουμένους λόγον, ἀλλὰ πάρεργον τιθεμένους τὴν τῆς σαρκὸς τράπεζαν, καὶ λιμῷ ἀγχομένους διηνεκεῖ, καὶ οὐδὲ οὕτως ἀφισταμένους. εἰ γὰρ μὴ ἠνάγκαζεν αὐτοὺς σφόδρα τὸ πεινῆν, οὐκ ἂν οὐδὲ τοῦτο ἐποίησαν. τί οὖν οἱ Φαρισαῖοι; ἰδόντες, φησίν, εἶπον αὐτῷ· ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ· ἐνταῦθα μὲν οὐ πάνυ σφοδροί· καίτοιγε ἀκόλουθον ἦν τοῦτο, ἀλλ' ὅμως οὐ σφόδρα παροξύνονται, ἀλλ' ἐγκαλοῦσιν ἁπλῶς. ὅτε δὲ τὴν χεῖρα τὴν ξηρὰν ἐξέτεινε καὶ διώρθωσε, τότε οὕτως ἐξεθηριώθησαν, ὡς καὶ περὶ σφαγῆς αὐτοῦ βουλεύεσθαι καὶ ἀναιρέσεως. ἔνθα μὲν γὰρ οὐδέν ἐστι μέγα καὶ γενναῖον, ἡσυχάζουσιν· ἔνθα δὲ ὁρῶσί τινας σωζομένους, ἀγριαίνουσι καὶ ταράττονται καὶ πάντων εἰσὶ φορτικώτεροι. οὕτως ἐχθροὶ τῆς τῶν ἀνθρώπων σωτηρίας εἰσί. πῶς οὖν ἀπολογεῖται περὶ αὐτῶν ὁ Ἰησοῦς; οὐκ ἀνέγνωτε, φησι, τί ἐποίησε Δαβὶδ ἐν τῷ ἱερῷ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πάντες; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ μόνοις τοῖς ἱερεῦσιν; ὅταν μὲν γὰρ ὑπὲρ τῶν μαθητῶν ἀπολογῆται, τὸν Δαβὶδ εἰς μέσον παράγει· ὅταν δὲ ὑπὲρ ἑαυτοῦ, τὸν πατέρα. καὶ ὅρα πῶς ἐπιπληκτικῶς· οὐκ ἀ-

Ἰωαν. ε. ιζ.

γρ. τῷ πηλ

γρ. μαχομέν

γέγονε τί ἐποίησε Δαβίδ; καὶ γὰρ πολλὴ τοῦ προφήτου ἦν ἡ δόξα, ὡς καὶ Πέτρον μετὰ ταῦτα ἀπολογούμενον πρὸς Ἰουδαίους οὕτως εἰπεῖν· Ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ· ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη. Διατί δὲ αὐτὸν οὐχὶ μετὰ τοῦ ἀξιώματος καλεῖ οὔτε ἐνταῦθα, οὔτε μετὰ ταῦτα; ἴσως ἐπειδὴ ἐκεῖθεν τὸ γένος κατῆγεν. εἰ μὲν οὖν εὐγνωμονικοί τινες ἦσαν, ἐπὶ τὸ πάθος ἂν τῆς πείνης τὸν λόγον ἤγαγεν· ἐπειδὴ δὲ μιαροὶ καὶ ἀπάνθρωποι, καὶ ἱστορίαν αὐτοῖς ἀναγινώσκει. ὁ δὲ Μάρκος ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως φησὶν, οὐκ ἐναντία λέγων τῇ ἱστορίᾳ, ἀλλὰ δεικνὺς ὅτι διώνυμος ἦν· καὶ προστίθησιν ὅτι ἐκεῖνος ἔδωκεν αὐτῷ· δεικνὺς καὶ ἐντεῦθεν μεγάλην οὖσαν ἀπολογίαν, ὅπουγε καὶ ὁ ἱερεὺς ἐπέτρεψε· καὶ οὐ μόνον ἐπέτρεψεν, ἀλλὰ καὶ διηκονήσατο. μὴ γάρ μοι λέγε, ὅτι προφήτης ἦν ὁ Δαβίδ. οὐδὲ γὰρ οὕτως ἐξῆν, ἀλλὰ τῶν ἱερέων ἦν τὸ προτέρημα· διὸ καὶ προσέθηκεν, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις. εἰ γὰρ καὶ μυριάκις ἦν προφήτης, ἀλλ' οὐχ ἱερεύς. εἰ δὲ καὶ ἐκεῖνος προφήτης, ἀλλ' οὐχὶ καὶ οἱ μετ' αὐτοῦ. καὶ γὰρ καὶ ἐκείνοις ἔδωκε. τί οὖν φησιν; ἴσον Δαβὶδ καὶ οὗτοι; τί μοι λέγεις ἀξίαν, ὅπου νόμου παράβασις εἶναι δοκεῖ, καὶ φύσεως ἐστὶν ἀνάγκη; καὶ γὰρ καὶ ταύτῃ μᾶλλον αὐτοὺς ἀπήλλαξε τῶν ἐγκλημάτων, ὅταν ὁ μείζων φαίνηται τὸ αὐτὸ πεποιηκώς. καὶ τί τοῦτο πρὸς τὸ ζητούμενόν, φησιν; οὐ γὰρ δὴ σάββατον ἐκεῖνος παρέβη· τὸ μεῖζόν μοι λέγεις, καὶ ὃ μάλιστα δείκνυσι τοῦ Χριστοῦ τὴν σοφίαν, ὅτι τὸ σάββατον ἀφεὶς, ἕτερον ὑπόδειγμα φέρει τοῦ σαββάτου μεῖζον. οὐδὲ γὰρ [ἦν] ἴσον παραβῆναι ἡμέραν, καὶ τῆς ἱερᾶς ἐκείνης ἅψασθαι τραπέζης, ἧς μηδενὶ θέμις ἦν. τὸ μὲν γὰρ σάββατον καὶ ἐλύθη πολλάκις, μᾶλλον δὲ ἀεὶ λύεται, καὶ ἐν τῇ περιτομῇ, καὶ ἐν ἑτέροις πλείοσιν ἔργοις, καὶ ἐν τῇ Ἰεριχῷ δὲ τὸ αὐτὸ γινόμενον ἴδοι τις ἄν. τοῦτο δὲ τότε μόνον ἐγένετο· ὥστε ἀπὸ τοῦ πλείονος ἡ νίκη. πῶς οὖν οὐδεὶς ἐνεκάλεσε τῷ Δαβίδ, καίτοι καὶ τούτου μεῖζον ἕτερον ἔγκλημα ἦν, τὸ τοῦ φόνου τῶν ἱερέων ἐντεῦθεν λαβὸν τὴν ἀρχήν; ἀλλ' οὐ τίθησιν αὐτό. πρὸς γὰρ τὸ προκείμενον ἵσταται μόνον. εἶτα πάλιν καὶ ἑτέρως αὐτὸ λύει. ἐν ἀρχῇ μὲν γὰρ τὸν Δαβὶδ παρήγαγε, τῷ ἀξιώματι τοῦ προσώπου καταστέλλων αὐτῶν τὴν ἀπόνοιαν· ἐπειδὴ δὲ αὐτοὺς ἐπεστόμισε, καὶ τὴν ἀλαζονείαν καθεῖλε, τότε καὶ τὴν κυριωτέραν ἐπάγει λύσιν. ποία δὲ ἦν αὕτη;

Πρ. β. κθ.

Μαρ. β.

Ἀριθ. κη.

Ἰησ. ς.

5 Οὐκ οἴδατε, ὅτι ἐν τῷ ἱερῷ οἱ ἱερεῖς τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσιν;

Ἐκεῖ μὲν γάρ, φησιν, ἡ περίστασις τὴν λύσιν ἐποίησεν· ἐνταῦθα δὲ καὶ χωρὶς περιστάσεως ἡ λύσις. ἀλλ' οὐκ εὐθέως οὕτως ἔλυσεν· ἀλλὰ πρότερον κατὰ συγγνώμην, εἶτα κατὰ ἔνστασιν. τὸ γὰρ ἰσχυρότερον ὕστερον ἐπάγειν ἐχρῆν, καίτοιγε καὶ τὸ πρότερον τὴν οἰκείαν εἶχε δύναμιν. μὴ γάρ μοι λέγε, ὅτι οὐκ ἔστιν ἀπηλλάχθαι ἐγκλήματος τὸ καὶ ἕτερον τὸ αὐτὸ ἁμαρτάνοντα εἰς μέσον ἐνεγκεῖν. ὅταν γὰρ μὴ ἐγκαλῆται ὁ πεποιηκώς, νόμος ἀπολογίας γίνεται τὸ τολμηθέν. πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ τὸ κυριώτερον ἐπάγει, λέγων· ὅτι οὐδὲ ἁμάρτημά ἐστι τὸ γεγενημένον· ὅπερ μάλιστα λαμπρᾶς νίκης ἦν, τὸ δεῖξαι τὸν νόμον ἑαυτὸν παραλύοντα, καὶ διπλῇ τοῦτο ποιοῦντα, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τοῦ σαββάτου· μᾶλλον δὲ καὶ τριπλῇ, τῷ καὶ διπλοῦν τὸ ἔργον γίνεσθαι· καὶ μετὰ τούτου καὶ ἕτερον, τὸ ὑπὸ τῶν ἱερέων. καὶ τὸ δὴ μεῖζον, τὸ καὶ μὴ ἔγκλημα εἶναι. ἀναίτιοι γάρ, φησίν, εἰσιν. εἶδες πόσα τέθεικε; τὸν τόπον· ἐν τῷ ἱερῷ γάρ φησι. τὸ πρόσωπον· οἱ γὰρ ἱερεῖς. τὸν καιρόν· τὸ σάββατον γάρ φησι. τὸ πρᾶγμα αὐτό· βεβηλοῦσι γάρ. οὐδὲ γὰρ εἶπε, λύουσιν, ἀλλὰ τὸ φορτικώτερον, βεβηλοῦσι· τὸ μὴ μόνον μὴ δίκην διδόναι, ἀλλὰ καὶ αἰτίας ἀπηλλάχθαι. ἀναίτιοι γάρ, φησι. μὴ δὴ νομίσητε τοῦτο ὅμοιον εἶναι τῶν προτέρων. ἐκεῖνο μὲν γὰρ καὶ ἅπαξ γέγονε, καὶ οὐχ ὑπὸ ἱερέων, καὶ ἀνάγκης ἦν· διὰ τοῦτο καὶ συγγνώμης ἐγένοντο ἄξιοι. τοῦτο δὲ καὶ καθ' ἕκαστον σάββατον, καὶ ὑπὸ ἱερέων, καὶ ἐν ἱερῷ, καὶ κατὰ νόμον· διόπερ οὐδὲ κατὰ συγγνώμην μόνον, ἀλλὰ καὶ κατὰ νόμον εἰσὶν ἀπηλλαγμένοι τῶν ἐγκλημάτων. οὐδὲ γὰρ ἐγκαλῶν ταῦτα εἶπεν, φησιν,

σιν, οὐδὲ κατὰ συγγνώμην αὐτοὺς αἰτίας ἀπαλλάττων, ἀλλὰ κατὰ τὸν τοῦ δικαίου λόγον· καὶ δοκεῖ μὲν ὑπὲρ ἐκείνων ἀπολογεῖσθαι, τούτους δὲ ἐλευθεροῖ τῶν ἐγκλημάτων. ὅταν γὰρ εἴπῃ· ἀναίτιοί εἰσιν ἐκεῖνοι, πολλῷ μᾶλλον οὗτοι φησιν. ἀλλ' οὐκ εἰσὶν ἱερεῖς· ἀλλ' ἱερέων μείζους. αὐτὸς γὰρ πάρεστιν ἐνταῦθα ὁ τοῦ ἱεροῦ δεσπότης· ἡ ἀλήθεια, οὐχ ὁ τύπος. διὰ τοῦτο καὶ ἔλεγε·

6 Λέγω δὲ ὑμῖν, ὅτι μεῖζον τοῦ ἱεροῦ ἐστιν ὧδε. Ἀλλ' ὅμως τηλικαῦτα ἀκούσαντες, οὐδὲν εἶπον. οὐδὲ γὰρ ἦν σωτηρία ἀνθρώπου τὸ προκείμενον. εἶτα, ἐπειδὴ βαρὺ τοῖς ἀκούουσιν ἐδόκει εἶναι, ταχέως αὐτὸ συνεκάλυψε, πάλιν ἐπὶ συγγνώμην τὸν λόγον ἄγων, καὶ μετ' ἐπιπλήξεως, καὶ οὕτω λέγων·

7 Εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους.

Εἶδες πῶς πάλιν ἐπὶ συγγνώμην ἄγει τὸν λόγον, καὶ πάλιν συγγνώμης ἀνωτέρους ἀποφαίνει; οὐ γὰρ ἂν κατεδικάσατε, φησὶ, τοὺς ἀναιτίους. τὸ μὲν πρότερον τὸ τῶν ἱερέων συνήγαγε * τὸ αὐτὸ λέγων, ἀναίτιοί εἰσι· τοῦτο δὲ ἀφ' ἑαυτοῦ τίθησι· μᾶλλον δὲ καὶ τοῦτο ἀπὸ τοῦ νόμου· προφητικὴν γὰρ ἀνέγνω ῥῆσιν. εἶτα καὶ ἄλλην αἰτίαν λέγει·

* εἰς

8 Κύριος γὰρ [, φησίν,] ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου, Περὶ ἑαυτοῦ λέγων. ὁ δὲ Μάρκος καὶ περὶ τῆς κοινῆς φύσεως αὐτὸν τοῦτο εἰρηκέναι φησίν. ἔλεγε γάρ· τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον. τίνος οὖν ἕνεκεν ἐκολάζετο ὁ τὰ ξύλα συνάγων; ὅτι εἰ ἔμελλον καὶ ἐν ἀρχῇ καταφρονεῖσθαι οἱ νόμοι, σχολῇ γ' ἂν ὕστερον ἐφυλάχθησαν. καὶ γὰρ πολλὰ ὠφέλει παρὰ τὴν ἀρχὴν τὸ σάββατον καὶ μεγάλα· οἷον, ἡμέρους ἐποίει πρὸς τοὺς οἰκείους εἶναι καὶ φιλανθρώπους· ἐδίδασκεν αὐτοὺς τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ τὴν δημιουργίαν, ὅπερ φησὶν ὁ Ἰεζεκιήλ· ἐπαίδευσεν αὐτοὺς κατὰ μικρὸν ἀπέχεσθαι πονηρίας, καὶ τοῖς πνευματικοῖς προσέχειν παρεσκεύαζεν. ἐπειδὴ γὰρ τὸν νόμον διδοὺς τὸν τοῦ σαββάτου, εἰ εἶπε, τὰ μὲν ἀγαθὰ πράττετε ἐν τῷ σαββάτῳ, τὰ δὲ κακὰ μὴ ποιεῖτε, οὐκ ἂν ἠνέσχοντο· ἁπάντων ὁμοίως ἀπεῖργε. μηδὲν γὰρ ποιήσητε, φησί· καὶ οὐδὲ οὕτω κατείχοντο. αὐτὸς δὲ καὶ " τὸν νόμον διδοὺς τὸν τοῦ σαββάτου, καὶ οὕτως ᾐνίξατο, ὅτι τῶν πονηρῶν αὐτοὺς ἀπέχεσθαι βούλεται μόνον. μηδὲν γὰρ ποιήσητε, φησι, πλὴν ὧν ποιηθήσεται ψυχῇ. καὶ ἐν τῷ ἱερῷ δὲ πάντα ἐγίνετο, καὶ μετὰ πλείονος τῆς σπουδῆς, καὶ διπλασίονος τῆς ἐργασίας. οὕτω καὶ δι' αὐτῆς τῆς " σκιᾶς τὴν ἀλήθειαν αὐτοῖς παρήνοιγε. τοσοῦτον οὖν κέρδος, φησίν, ἔλυσεν ὁ Χριστός; μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα ἐπέτεινε. καιρὸς γὰρ ἦν διὰ τῶν ὑψηλοτέρων αὐτοὺς πάντα παιδεύεσθαι, καὶ οὐκ ἔδει δεδέσθαι τὰς χεῖρας τοῦ πονηρίας μὲν ἀπηλλαγμένου, πρὸς δὲ τὰ ἀγαθὰ πάντα ἐπτερωμένου, οὐδὲ ἐντεῦθεν μανθάνειν ὅτι ὁ Θεὸς ἅπαντα ἐποίησεν, οὐδὲ ἐντεῦθεν ἡμέρους εἶναι τοὺς πρὸς αὐτὴν τοῦ Θεοῦ τῆς φιλανθρωπίας τὴν μίμησιν καλουμένους (γίνεσθε γάρ, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος) οὐδὲ μίαν ἡμέραν ἑορτάζειν τοὺς πάντα τὸν βίον ἑορτὴν ἄγειν κελευομένους. Ἑορτάζωμεν γάρ, φησι, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. οὐδὲ γὰρ παρὰ κιβωτὸν ἑστάναι καὶ θυσιαστήριον χρυσοῦν τοὺς αὐτὸν τὸν πάντων δεσπότην ἔνοικον ἔχοντας καὶ διὰ πάντων ὁμιλοῦντας αὐτῷ, καὶ δι' εὐχῆς, καὶ διὰ προσφορᾶς, καὶ διὰ γραφῶν, καὶ δι' ἐλεημοσύνης, καὶ διὰ τοῦ ἔνδον ἔχειν αὐτόν. τί τοίνυν σαββάτου χρεία τῷ διὰ παντὸς ἑορτάζοντι, τῷ πολιτευομένῳ ἐν οὐρανῷ;

α.Κορ.ε.η.

ΗΘΙΚΟΝ

Ἑορτάζωμεν τοίνυν διηνεκῶς, καὶ μηδὲν πονηρὸν πράττωμεν (τοῦτο γὰρ ἑορτή) ἀλλ' ἐπιτεινέσθω μὲν τὰ πνευματικά, καὶ παραχωρείτω τὰ ἐπίγεια, καὶ ἀργῶμεν ἀργίαν πνευματικήν, τὰς χεῖρας [ἐκ] πλεονεξίας ἀφιστῶντες, τὸ σῶμα τῶν περιττῶν καὶ ἀνονήτων ἀπαλλάττοντες καμάτων, καὶ ὧν ἐν Αἰγύπτῳ τότε ὑπέμενεν ὁ τῶν Ἑβραίων δῆμος. οὐδὲν γὰρ διαφέρομεν τῶν χρυσίον συνάγοντες τῶν τῷ πηλῷ προσδεδεμένων, καὶ τὴν πλίνθον ἐκείνην ἐργαζομένων,

γαζομένων, καὶ ἄχυρα συλλεγόντων καὶ μαστιζομένων. καὶ γὰρ καὶ νῦν ὁ διάβολος ἐπιτάττει πλινθουργεῖν, καθάπερ τότε ὁ Φαραώ. τί γάρ ἐστιν ἄλλο τὸ χρυσίον ἢ πηλός; τί δὲ ἄλλο τὸ ἀργύριον ἢ ἄχυρον. ὡς ἄχυρα γοῦν, ἀνάπτει τῆς ἐπιθυμίας τὴν φλόγα· ὡς ὁ πηλὸς, οὕτω ῥυποῖ τὸν ἔχοντα ὁ χρυσός. διὰ τοῦτο ἔπεμψεν ἡμῖν οὐ Μωϋσέα ἐξ ἐρήμου Αἰγύπτου, ἀλλὰ τὸν υἱὸν ἐξ οὐρανοῦ. ἂν τοίνυν καὶ μετὰ τὸ ἐλθεῖν αὐτὸν μείνῃς ἐν Αἰγύπτῳ, πείσῃ τὰ τῶν Αἰγυπτίων· ἂν δὲ ἐκείνην ἀφεὶς ἀναβῇς μετὰ τοῦ πνευματικοῦ Ἰσραὴλ, ὄψει τὰ θαύματα ἅπαντα. πλὴν οὐδὲ τοῦτο ἀρκεῖ εἰς σωτηρίαν. οὐδὲ γὰρ ἐξ Αἰγύπτου δεῖ μόνον ἀπαλλαγῆναι, ἀλλὰ καὶ εἰς τὴν ἐπαγγελίαν εἰσελθεῖν. ἐπεὶ καὶ Ἰουδαῖοι, καθὼς ὁ Παῦλός φησι, καὶ διὰ τῆς ἐρυθρᾶς διῆλθον, καὶ μάννα ἔφαγον, καὶ πόμα πνευματικὸν ἔπιον, ἀλλ' ὅμως πάντες ἀπώλοντο. ἵν' οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, μὴ ὀκνῶμεν, μηδὲ ἀναδυώμεθα· ἀλλ' ὅταν ἀκούσῃς πονηρῶν καὶ νῦν κατασκόπων διαβαλλόντων τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν, καὶ λεγόντων ἅπερ εἶπον τότε ἐκεῖνοι οἱ κατάσκοποι, μὴ τὸν δῆμον τὸν πολὺν, ἀλλὰ τὸν Ἰησοῦν ζηλώσωμεν, τὸν Χάλεβ τὸν Ἰεφονῆ παῖδα, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν ἐπιλάβῃ τῆς ἐπαγγελίας καὶ τῶν οὐρανῶν ἐπιβῇς· μηδὲ δύσκολον τὴν ὁδοιπορίαν νομίσῃς εἶναι. εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα. ἀλλὰ στενὴ καὶ τεθλιμμένη, φησὶν, ἡ ὁδὸς αὕτη. ἀλλ' ἡ προτέρα, δι' ἧς διῆλθες, οὐ στενὴ καὶ τεθλιμμένη μόνον, ἀλλὰ καὶ ἄβατος καὶ θηρίων ἀγρίων γέμουσα. καὶ ὥσπερ οὐκ ἦν διὰ τῆς ἐρυθρᾶς διαβῆναι θαλάσσης, εἰ μὴ τὸ θαῦμα ἐκεῖνο ἐγένετο, οὕτως οὐκ ἦν ἐν τῷ προτέρῳ βίῳ μείναντας εἰς τὸν οὐρανὸν ἀνελθεῖν, εἰ μὴ τὸ βάπτισμα μέσον ἐφάνη. εἰ δὲ τὸ ἀδύνατον γέγονε δυνατὸν, πολλῷ μᾶλλον τὸ δύσκολον ἔσται ῥᾴδιον. ἀλλ' ἐκεῖνό, φησι, χάριτος μόνης ἦν. διὰ γὰρ τοῦτο μάλιστα δίκαιος ἂν εἴης θαρρεῖν. εἰ γὰρ ἔνθα χάρις ἦν μόνη, συνήργησεν, ἔνθα καὶ πόνους ἐπιδείκνυσθε, οὐ πολλῷ μᾶλλον συμπράξει; εἰ ἀργοῦντα ἔσωσεν, οὐ πολλῷ μᾶλλον ἐργαζομένῳ βοηθήσει; ἀνωτέρω μὲν οὖν ἔλεγον, ὅτι ἀπὸ τῶν ἀδυνάτων καὶ τοῖς δυσκόλοις ὀφείλεις θαρρεῖν· νυνὶ δὲ ἐκεῖνο ἐρῶ, ὅτι ἐὰν νήφωμεν, οὐδὲ δύσκολα ταῦτα ἔσται. ὅρα γάρ· θάνατος πεπάτηται, διάβολος κατέπεσεν, ὁ νόμος τῆς ἁμαρτίας ἐσβέσθη, τοῦ πνεύματος ἡ χάρις ἐδόθη, ἡ ζωὴ εἰς ὀλίγον συνεστάλη, τὰ φορτικὰ ἐπιτέτμηται. καὶ ἵνα μάθῃς ταῦτα καὶ διὰ τῶν ἔργων αὐτῶν, σκόπει πόσοι ὑπερηκόντισαν τὰ προστάγματα τοῦ Χριστοῦ· σὺ δὲ καὶ τὸ μέτρον αὐτοῦ δέδοικας. ποίαν οὖν ἕξεις ἀπολογίαν, ὅταν ἑτέρων ὑπὲρ τὰ σκάμματα πηδώντων ὀκνῇς πρὸς τὰ νενομισμένα αὐτός; σοὶ μὲν γὰρ παραινοῦμεν ἐλεημοσύνην διδόναι ἀπὸ τῶν ὄντων, ἕτεροι δὲ καὶ τὰ ὄντα ἅπαντα ἀπεδύσαντο· σὲ σωφρόνως ζῆν ἀξιοῦμεν μετὰ τῆς γυναικὸς, ἕτεροι δὲ οὐδὲ ὡμίλησε γάμῳ· καὶ σὲ μὲν παρακαλοῦμεν μὴ βάσκανον εἶναι, ἕτερον δὲ ἔχομεν καὶ τὴν ψυχὴν ὑπὲρ ἀγάπης ἐπιδιδόντα τὴν ἑαυτοῦ· καὶ σὲ μὲν παρακαλοῦμεν συγγνωμονικὸν εἶναι καὶ μὴ βαρὺν τοῖς ἁμαρτάνουσιν, ἄλλος δὲ ῥαπιζόμενος καὶ τὴν ἑτέραν ἔστρεψε σιαγόνα. τί οὖν ἐροῦμεν, εἰπέ μοι; τί δὲ ἀπολογησόμεθα μηδὲ ταῦτα ποιοῦντες, ἑτέρων τοσοῦτον ὑπερβαινόντων ἡμᾶς; * οὐκ ἂν δὲ ὑπερέβησαν, εἰ μὴ πολλὴ τοῦ πράγματος ἦν ἡ εὐκολία. τίς γὰρ τήκεται, ὁ φθονῶν τοῖς ἑτέρων ἀγαθοῖς, ἢ ὁ συνηδόμενος καὶ χαίρων; τίς ὑποπτεύει πάντα καὶ τρέμει διηνεκῶς, ὁ σώφρων, ἢ ὁ μοιχεύων; τίς ἐν ἐλπίσιν εὐφραίνεται χρησταῖς, ὁ ἁρπάζων, ἢ ὁ ἐλεῶν καὶ τῶν αὐτοῦ μεταδιδοὺς τῷ δεομένῳ; ταῦτ' οὖν ἐννοοῦντες, μὴ ναρκῶμεν πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς δρόμους, ἀλλὰ μετὰ προθυμίας ἁπάσης ἀποδυσάμενοι πρὸς τὰ καλὰ ταῦτα παλαίσματα, ὀλίγον κάμωμεν χρόνον, ἵνα τοὺς διηνεκεῖς καὶ ἀμαράντους λάβωμεν στεφάνους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δευτ. ιγ.
Ἰησ. ιδ. καὶ ιε.

Ομιλ. μ.

9 ΚΑΙ ΜΕΤΑΒΑΣ ΕΚΕΙΘΕΝ, ΗΛΘΕΝ ΕΙΣ τὴν συναγωγὴν αὐτῶν· 10 Καὶ ἰδού, ἄνθρωπος ἦν ἐκεῖ, τὴν χεῖρα ἔχων ξηράν.

ΠΑλιν ἐν σαββάτῳ θεραπεύει, ὑπὲρ τῶν παρὰ τῶν μαθητῶν γενομένων ἀπολογούμενος. καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταί φασιν, ὅτι ἔστησε τὸν ἄνθρωπον μέσον, καὶ ἠρώτησεν αὐτούς, Εἰ ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι. θέα τὴν εὐσπλαγχνίαν τοῦ δεσπότου. ἔστησεν αὐτὸν μέσον, ἵνα τῇ ὄψει αὐτοὺς ἐπικάμψῃ, ἵνα κατακλασθέντες τῇ θέᾳ τὴν πονηρίαν ἐκβάλωσι, καὶ τὸν ἄνθρωπον αἰδεσθέντες παύσωνται τῆς θηριωδίας. ἀλλ' οἱ ἀτίθασοι καὶ μισάνθρωποι μᾶλλον αἱροῦνται τοῦ Χριστοῦ βλάψαι τὴν δόξαν, ἢ τοῦτον ἰδεῖν σωζόμενον, ἑκατέρωθεν ἐνδεικνύμενοι τὴν πονηρίαν, καὶ τῷ πολεμεῖν τῷ Χριστῷ, καὶ τῷ μετὰ φιλονεικίας τοσαύτης, ὡς καὶ ταῖς ἑτέρων εὐεργεσίαις ἐπηρεάζειν. οἱ μὲν οὖν ἄλλοι εὐαγγελισταί φασιν, ὅτι αὐτὸς ἠρώτησεν· οὗτος δέ, ὅτι ἠρωτήθη.

Καὶ ἐπηρώτησαν αὐτόν, φησι, λέγοντες, Εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν, ἵνα κατηγορήσωσιν αὐτοῦ. Εἰκὸς δὲ ἀμφότερα γεγενῆσθαι. μιαροὶ γὰρ ὄντες, καὶ εἰδότες ὅτι ἥξει πάντως ἐπὶ τὴν ἰατρείαν, τῇ πεύσει προκαταλαβεῖν αὐτὸν ἔσπευδον, προσδοκῶντες ταύτῃ κωλύειν. διὸ καὶ ἠρώτων, Εἰ ἔξεστι τοῖς σάββασι θεραπεῦσαι· οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα κατηγορήσωσι. καίτοιγε ἤρκει τὸ ἔργον, εἴγε ἐβούλοντο κατηγορεῖν· ἀλλὰ καὶ διὰ ῥημάτων ἤθελον λαβὴν εὑρεῖν, ἀφθονίαν ἑαυτοῖς λημμάτων παρασκευάζοντες. ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο ποιεῖ, καὶ ἀποκρίνεται, ἐμφαίνων τὴν οἰκείαν ἡμερότητα, καὶ εἰς αὐτοὺς περιτρέπων τὸ πᾶν, καὶ δείκνυσι αὐτῶν τὴν ἀπανθρωπίαν. καὶ ἵστησι τὸν ἄνθρωπον μέσον· οὐχὶ δεδοικὼς αὐτούς, ἀλλ' ὠφελῆσαι σπεύδων, καὶ εἰς ἔλεον ἐμβαλεῖν. ὡς δὲ οὐδὲ οὕτως ἐπέκαμψε, τότε ἐλυπήθη, καὶ ὠργίσθη αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, καί φησι·

11 Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ;

12 Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν. Ἵνα γὰρ μὴ ἔχωσιν ἀναισχυντεῖν μηδὲ παραβάσιν ἐγκαλεῖν πάλιν, συλλογίζεται αὐτὸν διὰ τοῦ παραδείγματος τούτου. σὺ δέ μοι σκόπει πῶς ποικίλως καὶ καταλλήλως πανταχοῦ τὰς ἀπολογίας ἐπάγει, τὰς περὶ τῆς λύσεως τοῦ σαββάτου. Ιωαν. θ. ἐπὶ μὲν γὰρ τοῦ τυφλοῦ οὐδὲ ἀπολογεῖται αὐτοῖς, ὅτε τὸν πηλὸν ἐποίησε (καίτοι καὶ τότε ἐνεκάλουν) ἀλλ' ἤρκει τῆς δημιουργίας ὁ τρόπος δεῖξαι τοῦ νόμου τὸν δεσπότην· Ματθ. 9. ἐπὶ δὲ τοῦ παραλύτου, ἡνίκα τὴν κλίνην ἐβάσταζε, καὶ ἐνεκάλουν, νῦν μὲν ὡς Θεός, νῦν δὲ ὡς ἄνθρωπος ἀπολογεῖται· ὡς ἄνθρωπος μέν, ὅταν λέγῃ, εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος· καὶ οὐκ εἶπεν, Ιωαν. ζ. ἵνα ὠφεληθῇ ὁ ἄνθρωπος, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα· ὡς δὲ Θεός, ὅταν λέγῃ, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. ὑπὲρ δὲ τῶν μαθητῶν ἐγκαλούμενος ἔλεγεν· οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβίδ *, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε; καὶ τοὺς ἱερεῖς εἰς μέσον παράγει. καὶ ἐνταῦθα πάλιν, ὅτι ἔξεστιν ἐν σαββάτῳ ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; τίς [γὰρ] ἐξ ὑμῶν ἕξει πρόβατον ἕν; ᾔδει γὰρ αὐτῶν τὸ φιλοχρήματον, ὅτι τοῦτο μᾶλλον ἦσαν ἢ φιλάνθρωποι. καίτοι ὁ ἄλλος εὐαγγελιστής φησιν, ὅτι καὶ περιεβλέψατο ταῦτα ἐρωτῶν, ὥστε καὶ τῷ ὄμματι αὐτοὺς ἐπισπάσασθαι. ἀλλ' οὐδὲ οὕτως ἐγένοντο βελτίους·

νίους· καίτοι ἐνταῦθα φθέγγεται μόνον, ἀλλαχοῦ δὲ πολλαχοῦ καὶ χεῖρας ἐπιτιθεὶς θεραπεύει. ἀλλ' ὅμως οὐδὲν αὐτοὺς τούτων ἐποίει πράους· ἀλλ' ὁ μὲν ἄνθρωπος ἐθεραπεύετο, ἐκεῖνοι δὲ διὰ τῆς ὑγιείας τῆς τούτου χείρους ἐγίνοντο. αὐτὸς μὲν γὰρ ἐβούλετο πρὸ ἐκείνου θεραπεῦσαι ἐκείνους, καὶ μυρίους ἐκίνησε τρόπους ἰατρείας, καὶ δι' ὧν ἔμπροσθεν ἐποίησε, καὶ δι' ὧν εἶπεν, ἐπειδὴ δὲ ἀνίατα λοιπὸν ἐνόσουν, ἐπὶ τὸ ἔργον ἐχώρησε.

13 Τότε λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου· καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ὑγιής, ὡς ἡ ἄλλη. Τί οὖν ἐκεῖνοι; ἐξέρχονται, φησι, καὶ συμβουλεύονται, ἵνα ἀνέλωσιν αὐτόν.

14 Οἱ γὰρ Φαρισαῖοι, φησιν, ἐξελθόντες συμβούλιον ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν. Οὐδὲν ἀδικηθέντες ἀνελεῖν ἐπιχείρουν. τοσοῦτον ἡ βασκανία κακόν. οὐδὲ γὰρ τοῖς ἀλλοτρίοις μόνον, ἀλλὰ καὶ τοῖς οἰκείοις ἀεὶ πολεμεῖ. ὁ δὲ Μάρκος φησὶν, ὅτι μετὰ τῶν Ἡρωδιανῶν τοῦτο ἐβουλεύσαντο. τί οὖν ὁ ἥμερος καὶ πρᾶος; ἀνεχώρησε ταῦτα μαθών·

15 Ὁ δὲ Ἰησοῦς γνοὺς τὰς ἐνθυμήσεις αὐτῶν ἀνεχώρησε, φησιν, ἐκεῖθεν.

Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι σημεῖα γενέσθαι ἔδει; διὰ γὰρ τούτων ἔδειξεν, ὅτι ἡ ἀγνώμων ψυχὴ οὐδὲ ἐντεῦθεν πείθεται, καὶ ἐδήλωσεν ὅτι καὶ τοῖς μαθηταῖς εἰκῇ ἐνεκάλουν. ἐκεῖνο μέντοι παρατηρεῖν χρὴ, ὅτι μάλιστα πρὸς τὰς τῶν πλησίον ἀγριαίνουσιν εὐεργεσίας· καὶ ὅταν ἴδωσί τινα ἢ νοσήματος ἢ κακίας ἀπαλλαττόμενον, τότε καὶ ἐγκαλοῦσι καὶ ἐκθηριοῦνται. καὶ γὰρ ὅτε τὴν πόρνην σώζειν ἔμελλε, διέβαλλον αὐτὸν, καὶ ὅτε μετὰ τελωνῶν ἔφαγε, καὶ νῦν πάλιν ἐπειδὴ τὴν χεῖρα ἀποκατασταθεῖσαν εἶδον. σὺ δέ μοι σκόπει, πῶς οὐδὲ τῆς πρὸς τοὺς ἀρρώστους κηδεμονίας ἀφίσταται, καὶ τὸν ἐκείνων παραμυθεῖται φθόνον.

Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας·

16 Καὶ ἐπετίμησε τοῖς θεραπευθεῖσιν, ἵνα μηδενὶ φανερὸν αὐτὸν ποιήσωσιν.

Οἱ μὲν οὖν ὄχλοι πανταχοῦ καὶ θαυμάζουσι καὶ ἀκολουθοῦσιν· ἐκεῖνοι δὲ τῆς πονηρίας οὐκ ἀφίστανται. εἶτα, ἵνα μὴ θορυβηθῇς ἐπὶ τοῖς γινομένοις, καὶ τῷ παραδόξῳ τῆς ἐκείνων μανίας, εἰσάγει καὶ τὸν προφήτην ταῦτα προαναφωνοῦντα. τοσαύτη γὰρ ἦν τῶν προφητῶν ἡ ἀκρίβεια, ὡς μηδὲ ταῦτα παραλιπεῖν, ἀλλὰ καὶ τὰς ὁδοὺς αὐτοῦ καὶ τὰς μεταβάσεις προφητεύειν, καὶ τὴν γνώμην μεθ' ἧς ταῦτα ἐποίει· ἵνα μάθῃς, ὅτι πάντα πνεύματι ἐφθέγγοντο. εἰ γὰρ τὰ ἀνθρώπων ἀπόρρητα ἀμήχανον εἰδέναι, πολλῷ μᾶλλον τοῦ Χριστοῦ τὸν σκοπὸν ἀδύνατον ἦν μαθεῖν, μὴ τοῦ πνεύματος ἀποκαλύψαντος. τί οὖν ὁ προφήτης φησίν; ἐδήλωσεν, ἐπαγαγών·

17 Ὅπως πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος·

18 Ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ·

19 Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν πλατείαις τὴν φωνὴν αὐτοῦ·

20 Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν*,

21 Καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι. Τὴν πραότητα αὐτοῦ καὶ τὴν δύναμιν τὴν ἄφατον τούτοις ἀνυμνεῖ, καὶ θύραν τοῖς ἔθνεσιν ἀνοίγνυσι μεγάλην καὶ ἐνεργῆ, καὶ τὰ καταληψόμενα τοὺς Ἰουδαίους προλέγει κακὰ, καὶ δείκνυσιν αὐτοῦ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν πατέρα. ἰδοὺ γάρ, φησιν, ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. εἰ δὲ ἡρέτισεν, οὐχ ὡς ἐναντιούμενος λύει τὸν νόμον, οὐδὲ ὡς ἐχθρὸς ὢν τοῦ νομοθέτου, ἀλλ' ὡς ὁμογνώμων καὶ τὰ αὐτὰ πράττων. εἶτα τὴν πραότητα αὐτοῦ ἀνακηρύττων, φησίν· οὐκ ἐρίσει οὐδὲ κραυγάσει. αὐτὸς μὲν γὰρ ἐβούλετο θεραπεύειν ἐπ' αὐτῶν· ἐπειδὴ δὲ ἀπεκρούοντο,

κρούοντα, οὐδὲ πρὸς τοῦτο ἀντέτεινε. καὶ δεικνὺς καὶ τὴν αὐτοῦ ἰσχὺν καὶ τὴν ἐκείνων ἀσθένειαν, φησί· κάλαμον συντετριμμένον οὐ κατεάξει. καὶ γὰρ ἦν ῥᾴδιον ἅπαντας αὐτοὺς ὥσπερ κάλαμον διακλάσαι, καὶ οὐδὲ ἁπλῶς κάλαμον, ἀλλ᾽ ἤδη συντριβέντα. καὶ λίνον τυφόμενον οὐ σβέσει. ἐνταῦθα καὶ τὸν ἐκείνων θυμὸν τὸν ἀναπτόμενον παρίστησι, καὶ τὴν "τούτου ἰσχὺν ἱκανὴν οὖσαν καταλῦσαι τὸν θυμὸν αὐτῶν καὶ κατασβέσαι μετ᾽ εὐκολίας ἁπάσης· ὅθεν ἡ πολλὴ ἐπιείκεια δείκνυται. τί οὖν; ἀεὶ ταῦτα ἔσται, καὶ οἴσει διὰ τέλους τοιαῦτα ἐπιβουλεύοντας καὶ μαινομένους; ἄπαγε· ἀλλ᾽ ὅταν τὰ αὐτοῦ ἐπιδείξηται, τότε καὶ ἐκεῖνα ἐργάσεται. τοῦτο γὰρ ἐδήλωσεν εἰπών· ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι. καθάπερ ὁ Παῦλός φησιν· Ἕτοιμοι ὄντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. τί δέ ἐστιν, ὅταν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν*; ὅταν τὰ παρ᾽ ἑαυτοῦ πληρώσῃ πάντα, φησί, τότε καὶ τὴν ἐκδίκησιν ἐπάξει, καὶ ἐκδίκησιν τελείαν· τότε τὰ δεινὰ πείσονται, ὅταν λαμπρὸν" στήσῃ τὸ τρόπαιον, καὶ νικήσῃ τὰ παρ᾽" αὐτοῦ δικαιώματα, καὶ μηδὲ ἀναίσχυντον αὐτοῖς καταλίπῃ ἀντιλογίας πρόφασιν. οἶδε γὰρ κρίσιν τὴν δικαιοσύνην λέγειν. ἀλλ᾽ οὐκ ἐν τούτῳ στήσεται τὰ τῆς οἰκονομίας, ἐν τῷ κολασθῆναι τοὺς ἀπιστήσαντας μόνον· ἀλλὰ καὶ τὴν οἰκουμένην ἐπισπάσεται. διὸ καὶ ἐπήγαγε· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. εἶτα ἵνα μάθῃς ὅτι καὶ τοῦτο κατὰ γνώμην ἐστὶ τοῦ πατρός, ἐν τῷ προοιμίῳ ὁ προφήτης καὶ τοῦτο μετὰ τῶν ἔμπροσθεν" ἐνηγγυήσατο εἰπών· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. "ὁ γὰρ ἀγαπητός, εὔδηλον ὅτι κατὰ γνώμην τοῦ "φιλοῦντος ταῦτα ποιεῖ.

β. Κορ. ι. ϛ.

γρ. αὐτῷ

* αὐτοῦ;

γρ. στῇ

γρ. ἑαυτοῦ

γρ. παρῃνίξατο

γρ. εἰ

γρ. φιλουμένου

καὶ ταῦτα ἐποίει.

22 Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός, καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν. Ὢ πονηρία δαίμονος. ἑκατέραν εἴσοδον ἐνέφραξε δι᾽ ἧς ἔμελλε πιστεύειν ἐκεῖνος, καὶ ὄψιν καὶ ἀκοήν· ἀλλ᾽ ὅμως "ἑκατέραν ὁ Χριστὸς ἀνέῳξε.

γρ. ἑκατέρ

23 Καὶ ἐξίσταντο οἱ ὄχλοι λέγοντες· μήτι οὗτός ἐστιν ὁ "υἱὸς Δαβίδ;

γρ. Χριστός;

24 Οἱ δὲ Φαρισαῖοι εἶπον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. καίτοι τί μέγα ἐφθέγξαντο; ἀλλ᾽ ὅμως οὐδὲ τοῦτο ἤνεγκαν. οὕτως, ὅπερ ἔφθην εἰπών, ἀεὶ ταῖς τῶν πλησίον δάκνονται εὐεργεσίαις, καὶ οὐδὲν αὐτοὺς οὕτω λυπεῖ, ὡς ἡ τῶν ἀνθρώπων σωτηρία. καίτοι καὶ ἀνεχώρησε, καὶ λωφῆσαι ἔδωκε τῷ πάθει· ἀλλὰ πάλιν ἀνήπτετο τὸ" κακόν, ἐπειδὴ πάλιν εὐεργεσία ἐγένετο, καὶ μᾶλλον τοῦ δαίμονος ἠγανάκτουν. ἐκεῖνος μὲν γὰρ καὶ ἐξίστατο τοῦ σώματος καὶ "ἀνεχώρει καὶ ἐδραπέτευε μηδὲν φθεγγόμενος· οὗτοι δὲ νῦν μὲν ἀνελεῖν ἐπεχείρουν, νῦν δὲ διαβάλλειν. ἐπειδὴ γὰρ ἐκεῖνο οὐ προεχώρει, τὴν δόξαν ἤθελον βλάψαι.

γρ. δεινόν,

γρ. ὑπεχώρ

ΗΘΙΚΟΝ Τοιοῦτον ἡ βασκανία, ἧς οὐκ ἂν γένοιτο κακία χείρων. ὁ μὲν γὰρ μοιχός, κἂν ἡδονήν καρποῦταί τινα, καὶ ἐν βραχεῖ χρόνῳ τὴν ἁμαρτίαν ἀπαρτίζει τὴν ἑαυτοῦ· ὁ δὲ βάσκανος πρὸ τοῦ φθονουμένου ἑαυτὸν κολάζει καὶ τιμωρεῖται, καὶ οὐδέποτε παύεται τῆς ἁμαρτίας, ἀλλ᾽ ἐν τῷ πράττειν αὐτήν ἐστι διηνεκῶς. καθάπερ γὰρ χοῖρος βορβόρῳ, καὶ δαίμονες βλάβῃ τῇ ἡμετέρᾳ· οὕτω καὶ οὗτος τοῖς τοῦ πλησίον χαίρει κακοῖς. κἂν γένηταί τι ἀηδές, τότε ἀναπαύεται καὶ ἀναπνεῖ, τὰς ἀλλοτρίας συμφορὰς οἰκείας εὐθυμίας ἡγούμενος, καὶ οἰκεῖα κακὰ τὰ τῶν ἄλλων ἀγαθά· καὶ οὐ σκοπεῖ τί ἂν αὐτῷ γένοιτο ἡδύ, ἀλλὰ τί τῷ πλησίον λυπηρόν. τούτους οὖν οὐ καταλεύειν καὶ ἀποτυμπανίζειν ἄξιον, ὡς κύνας λυττῶντας, ὡς δαίμονας ἀλάστορας, ὡς αὐτὰς τὰς ἐριννῦς; καθάπερ γὰρ οἱ κάνθαροι τρέφονται τῇ κόπρῳ, οὕτω καὶ οὗτοι ταῖς ἑτέρων δυσημερίαις, κοινοί τινες ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως ὄντες. καὶ οἱ μὲν ἄλλοι καὶ ἄλογον σφαττόμενον ἐλεοῦσι· σὺ δὲ ἄνθρωπον ὁρῶν εὐεργετούμενον, "ἐκθηριοῦσαι καὶ τρέμεις καὶ ὠχριᾷς; καὶ τί ταύτης τῆς μανίας χεῖρον γένοιτ᾽ ἄν; διά τοι τοῦτο πόρνοι μὲν καὶ τελῶναι εἰς βασιλείαν

γρ. ἐκπιέζῃ

σιλείαν ἠδυνήθησαν εἰσελθεῖν· οἱ δὲ βάσκανοι ἔνδον ὄντες, ἐξεβλήθησαν. Οἱ γὰρ υἱοὶ τῆς βασιλείας, φησὶν, ἔξω βληθήσονται. κἀκεῖνοι μὲν τῆς ἐν χερσὶν ἀπαλλαγέντες πονηρίας, ὧν οὐδέποτε προσεδόκησαν ἐπέτυχον· οὗτοι δὲ καὶ ἃ εἶχον ἀγαθὰ ἀπώλεσαν· καὶ μάλα εἰκότως. τοῦτο γὰρ διάβολον ἐξ ἀνθρώπου ποιεῖ· τοῦτο δαίμονα ἄγριον ἀπεργάζεται· οὕτως ὁ πρῶτος φόνος ἐγένετο· οὕτως ἡ φύσις ἠγνοήθη· οὕτως ἡ γῆ ἐμολύνθη· οὕτω μετὰ ταῦτα τὸ στόμα ἀνοίξασα ἡ γῆ, ζῶντας ὑπεδέξατο καὶ ἀπώλεσε τοὺς περὶ Δαθὰν καὶ Κορὲ καὶ Ἀβειρὼν καὶ τὸν δῆμον ἐκεῖνον ἅπαντα. ἀλλὰ τὸ μὲν κατηγορεῖν βασκανίας, εἴποι τις ἂν ῥᾴδιον εἶναι· δεῖ δὲ εἰπεῖν καὶ ὅπως ἀπαλλαγήσονται τοῦ νοσήματος. πῶς οὖν ἀπαλλαγησόμεθα τῆς πονηρίας ταύτης; ἂν ἐννοήσωμεν ὅτι ὥσπερ τῷ πεπορνευκότι οὐ θέμις εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, οὕτως οὐδὲ τῷ βασκαίνοντι· καὶ πολλῷ μᾶλλον τούτῳ ἢ ἐκείνῳ. νῦν μὲν γὰρ καὶ ἀδιάφορον εἶναι δοκεῖ (διὸ καὶ ἠμέληται) ἂν δὲ φανερὸν γένηται πονηρὸν ὂν, ἀποστησόμεθα ῥᾳδίως. κλαῦσον τοίνυν καὶ στέναξον· θρήνησον καὶ παρακάλεσον τὸν Θεόν· μάθε ὡς περὶ ἁμαρτήματος χαλεποῦ διακεῖσθαί σε, καὶ μετανόει. κἂν οὕτω διατεθῇς, ταχέως ἀπαλλαγήσῃ τοῦ νοσήματος. καὶ τίς ἀγνοεῖ, φησιν, ὅτι πονηρὸν ἡ βασκανία; ἀγνοεῖ μὲν οὐδείς· οὐ μὴν τὴν αὐτὴν περὶ πορνείας καὶ μοιχείας ἔχουσι δόξαν, καὶ περὶ τοῦ πάθους τούτου. πότε γοῦν ἑαυτοῦ τις κατέγνω πικρῶς βασκήνας; πότε τὸν Θεὸν ἠξίωσεν ὑπὲρ τούτου τοῦ νοσήματος ὥστε γενέσθαι αὐτῷ ἵλεων; οὐδεὶς οὐδέποτε. ἀλλ' εἰ νηστεύει καὶ πένητι δῷ μικρὸν ἀργύριον, κἂν μυριάκις βάσκανος ᾖ, οὐδὲν ἡγεῖται πεποιηκέναι δεινὸν, τῷ πάντων μιαρωτέρῳ κατεχόμενος πάθει. πόθεν γοῦν ὁ Κάϊν τοιοῦτος ἐγένετο; πόθεν ὁ Ἡσαῦ; πόθεν οἱ τοῦ Λάβαν παῖδες; πόθεν οἱ τοῦ Ἰακὼβ υἱοί; πόθεν οἱ περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών; πόθεν Μαρία; πόθεν Ἀαρών; πόθεν αὐτὸς ὁ διάβολος; μετὰ τούτων κἀκεῖνο ἐννόει, ὅτι οὐ τὸν φθονούμενον ἀδικεῖς, ἀλλὰ κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς. τί γὰρ τὸν Ἄβελ ἠδίκησεν ὁ Κάϊν; *ἐκεῖνον μὲν [γὰρ] ταχύτερον καὶ ἄκων εἰς βασιλείαν παρέπεμψεν· ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς. τί τὸν Ἰακὼβ ἔβλαψεν ὁ Ἡσαῦ; οὐχὶ ὁ μὲν ἐπλούτει καὶ μυρίων ἀπέλαυσεν ἀγαθῶν· αὐτὸς δὲ καὶ τῆς πατρῴας οἰκίας ἐξέπιπτε, καὶ ἐν ἀλλοτρίᾳ ἐπλανᾶτο μετὰ τὴν ἐπιβουλὴν ἐκείνην; τί δὲ οἱ παῖδες τούτου τὸν Ἰωσὴφ ἐποίησαν χείρω, καὶ ταῦτα μέχρις αἵματος ἐλθόντες; οὐχὶ οὗτοι μὲν καὶ λιμὸν ὑπέμειναν καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, ἐκεῖνος δὲ βασιλεὺς γέγονε τῆς Αἰγύπτου ἁπάσης; ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ γίνῃ μειζόνων πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ. Θεὸς γάρ ἐστιν ὁ ταῦτα ἐφορῶν· καὶ ὅταν ἴδῃ τὸν οὐδὲν ἀδικοῦντα ἀδικούμενον, αὐτὸν μὲν ἐπαίρει μᾶλλον καὶ ποιεῖ λαμπρὸν ταύτῃ, σὲ δὲ κολάζει. εἰ γὰρ τοὺς ἐφηδομένους τοῖς ἐχθροῖς οὐκ ἀφίησιν ἀτιμωρητὶ παρελθεῖν (Μὴ ἐπίχαιρε γάρ, φησιν, ἐπὶ πτώματι ἐχθρῶν σου, μή ποτε ἴδῃ ὁ Θεός, καὶ οὐ μὴ ἀρέσῃ αὐτῷ) πολλῷ μᾶλλον τοὺς βασκαίνοντας τοῖς οὐδὲν ἠδικηκόσιν. ἐκκόψωμεν τοίνυν τὸ πολυκέφαλον θηρίον. καὶ γὰρ πολλὰ τὰ εἴδη τῆς βασκανίας. εἰ γὰρ ὁ τὸν φιλοῦντα ἀγαπῶν οὐδὲν πλέον ἔχει τοῦ τελώνου, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν ποῦ στήσεται; πῶς δὲ ἐκφεύξεται τὴν γέενναν, τῶν ἐθνικῶν χείρων γινόμενος; διὸ καὶ σφόδρα ὀδυνῶμαι, ὅτι οἱ τοὺς ἀγγέλους, μᾶλλον δὲ καὶ τῶν ἀγγέλων τὸν δεσπότην μιμεῖσθαι κελευόμενοι, τὸν διάβολον ζηλοῦμεν. καὶ γὰρ πολλὴ καὶ ἐν τῇ ἐκκλησίᾳ ἡ βασκανία· μᾶλλον δὲ ἐν ἡμῖν, ἢ ἐν τοῖς ἀρχομένοις. διὸ καὶ ἡμῖν αὐτοῖς διαλεκτέον. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασκαίνεις τῷ πλησίον; ὅτι τιμῆς ἀπολαύοντα βλέπεις καὶ χρηστῶν ῥημάτων; εἶτα οὐκ ἐννοεῖς πόσον φέρουσι κακὸν αἱ τιμαὶ τοῖς μὴ προσέχουσιν; εἰς κενοδοξίαν αἴρουσαι, εἰς τῦφον, εἰς ἀπόνοιαν, εἰς ὑπεροψίαν, ῥᾳθυμοτέρους ποιοῦσαι· καὶ μετὰ τούτων τῶν κακῶν καὶ μαραίνονται ῥᾳδίως. τὸ γὰρ δὴ χαλεπώτατον τοῦτο, ὅτι τὰ μὲν ἐξ αὐτῶν κακὰ ἀθάνατα μένει· ἡ δὲ ἡδονὴ, ὁμοῦ τε ἐφάνη καὶ ἀπέπτη. διὰ ταῦτα οὖν βασκαίνεις, εἰπέ μοι; ἀλλ' ἐξουσίαν ἔχει παρὰ τῷ κρατοῦντι πολλὴν, καὶ ἄγει καὶ φέρει πάντα ὅποι θέλει, καὶ τοὺς

ἐξέβαλον.

αὐτῶν

πιστεύσει

νηστεύσει

ἐροῦ

διαμένει

Γεν. δ.

Αριθ. ιϛ.

Παρ. κδ. ιζ.

προσκρούοντας λυπεῖ, καὶ τοὺς κολακεύοντας εὐεργετεῖ, καὶ πολλὴν ἔχει δύναμιν. βιωτικῶν προσώπων ταῦτα τὰ ῥήματα, καὶ τῶν τῇ γῇ προσηλωμένων ἀνθρώπων ἐστί. τὸν γὰρ πνευματικὸν οὐδὲν λυπῆσαι δυνήσεται. τί γὰρ ″αὐτῷ ἐργάσεται δεινόν; ἀποχειροτονήσει τῆς ἀξίας; καὶ τί τοῦτο; ἂν μὲν γὰρ δικαίως, καὶ ὠφελεῖται (οὐδὲν γὰρ οὕτω παροξύνει Θεόν, ὡς τὸ παρὰ ἀξίαν ἱερᾶσθαι) ἂν δὲ ἀδίκως, τὸ ἔγκλημα πάλιν ἐπ' ἐκεῖνον, οὐκ ἐπὶ τοῦτον χωρεῖ. ὁ γὰρ ἀδίκως τι παθὼν καὶ γενναίως ″ἐνεγκών, πλείονα ταύτῃ κτᾶται πρὸς τὸν Θεὸν τὴν παρρησίαν. μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως ὦμεν ἐν δυναστείαις καὶ ἐν τιμαῖς καὶ ἐν ἐξουσίαις· ἀλλ' ὅπως ὦμεν ἐν ἀρετῇ καὶ φιλοσοφίᾳ. ὡς αἵ γε ἐξουσίαι πολλὰ τῶν τῷ Θεῷ μὴ δοκούντων ποιεῖν πείθουσι, καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς, ὥστε τῇ ἐξουσίᾳ εἰς δέον χρήσασθαι. ὁ μὲν γὰρ ἀπεστερημένος αὐτῆς, καὶ ἑκὼν καὶ ἄκων φιλοσοφεῖ· ὁ δὲ ἀπολαύων αὐτῆς, τοιοῦτόν τι πάσχει, οἷον ἂν εἴ τις κόρῃ συνοικῶν εὐειδεῖ καὶ καλῇ, νόμους δέξαιτο μηδέποτε εἰς αὐτὴν ἰδεῖν ἀκολάστως. τοιοῦτον γὰρ ἡ ἐξουσία. διὸ πολλοὺς καὶ ἄκοντας εἰς τὸ ὑβρίζειν ἐνέβαλε, καὶ θυμὸν ἤγειρε, καὶ χαλινὸν γλώττης ἀφεῖλε, καὶ θύραν διέσπασε στόματος, ὥσπερ ὑπὸ πνεύματος τὴν ψυχὴν διαρριπίζουσα, καὶ εἰς τὸν ἔσχατον τῶν κακῶν βυθὸν καταποντίζουσα τὸ σκάφος. τὸν οὖν ἐν τοσούτῳ κινδύνῳ θαυμάζεις, καὶ ζηλωτὸν εἶναι φής; καὶ πόσης ταῦτα ἀνοίας; ἐννόησον γοῦν μετὰ τῶν εἰρημένων, πόσους ἐχθροὺς καὶ κατηγόρους, πόσους δὲ κόλακας οὗτος ἔχει πολιορκοῦντας αὐτόν; ταῦτ' οὖν, εἰπέ μοι, μακαρισμῶν ἄξια; καὶ τίς ἂν τοῦτο εἴποι; ἀλλὰ παρὰ τῷ λαῷ, φησιν, εὐδοκιμεῖ. καὶ τί τοῦτο; οὐ γὰρ δὴ ὁ λαός ἐστιν ὁ Θεός, ᾧ μέλλει τὰς εὐθύνας ὑπέχειν. ὥστε ὅταν λαὸν εἴπῃς, οὐδὲν ἄλλο λέγεις, ἢ προσβόλους ἑτέρους, καὶ σκοπέλους, καὶ ὑφάλους, καὶ σπιλάδας. τὸ γὰρ εὐδοκιμεῖν ἐν δήμῳ ὅσῳ λαμπρότερον ποιεῖ, τοσούτῳ μείζους ἔχει τοὺς κινδύνους, τὰς φροντίδας, τὰς ἀθυμίας. ἀναπνεῦσαι γὰρ ὁ τοιοῦτος ἢ στῆναι οὐ δύναται ὅλως, οὕτω πικρὸν ἔχων δεσπότην. καὶ τί λέγω στῆναι ἢ ἀναπνεῦσαι; κἂν μυρία κατορθώματα ἔχῃ ὁ τοιοῦτος, δυσκόλως εἰς βασιλείαν εἰσέρχεται. οὐδὲν γὰρ οὕτως ἐκτραχηλίζειν εἴωθεν, ὡς ἡ παρὰ τῶν πολλῶν δόξα, δειλούς, ἀγεννεῖς, κόλακας, ὑποκριτὰς ποιοῦσα. τίνος γοῦν ἕνεκεν οἱ Φαρισαῖοι τὸν Χριστὸν ἔλεγον δαιμονᾶν; οὐκ ἐπειδὴ τῆς παρὰ τῶν πολλῶν ἐπεθύμουν δόξης; πόθεν δὲ οἱ πολλοὶ τὴν ὀρθὴν περὶ αὐτοῦ ἔφερον ψῆφον; οὐκ ἐπειδὴ τούτῳ οὐ κατείχοντο τῷ νοσήματι; οὐδὲν γάρ, οὐδὲν οὕτω ποιεῖ παρανόμους καὶ ἀνοήτους, ὡς τὸ πρὸς τὴν τῶν πολλῶν κεχηνέναι δόξαν· οὐδὲν εὐδοκίμους καὶ ἀδαμαντίνους, ὡς τὸ ταύτης ὑπερορᾶν. διὸ καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς τῷ μέλλοντι πρὸς τοσαύτην ἀντέχειν ῥύμην καὶ βίαν πνεύματος. καὶ γὰρ ὅταν εὐημερῇ, πάντων ἑαυτὸν προτίθησι· καὶ ὅταν τἀναντία ὑπομείνῃ, κατορύξαι ἑαυτὸν βούλεται· καὶ τοῦτο αὐτῷ καὶ γέεννα καὶ βασιλεία, ὅταν ὑποβρύχιος ὑπὸ τοῦ πάθους γένηται τούτου. ταῦτα οὖν φθόνων ἄξια, εἰπέ μοι, ἀλλ' οὐχὶ θρήνων καὶ δακρύων; παντί που δῆλον. σὺ δὲ ταὐτὸν ποιεῖς φθονῶν τῷ οὕτως εὐδοκιμοῦντι, ὥσπερ ἂν εἴ τις δεδεμένον ἰδὼν καὶ μεμαστιγωμένον καὶ ὑπὸ μυρίων ἑλκόμενον θηρίων ἐβάσκαινεν αὐτῷ τῶν τραυμάτων καὶ μαστίγων. καὶ γὰρ ὅσους ἂν ἀνθρώπους ὁ δῆμος ἔχῃ, τοσούτους καὶ οὗτος δεσμούς, τοσούτους δεσπότας· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ διάφορον ἕκαστος τούτων γνώμην ἔχει, καὶ τὰ ἐπιόντα περὶ τοῦ δουλεύοντος αὐτοῖς ψηφίζονται πάντες, οὐδὲν βασανίζοντες, ἀλλ' ἅπερ ἂν τῷ δεῖνι δόξῃ καὶ τῷ δεῖνι, ταῦτα καὶ αὐτοὶ κυροῦντες. ποίων οὖν ταῦτα κυμάτων, ποίου κλύδωνος οὐ χαλεπώτερα; καὶ γὰρ καὶ φυσᾶται ἀθρόον ὑπὸ τῆς ἡδονῆς ὁ τοιοῦτος, καὶ βαπτίζεται εὐκόλως πάλιν, ἐν ἀνωμαλίᾳ μὲν ἀεί, ἐν ἡσυχίᾳ δὲ οὐδέποτε ὤν. πρὸ μὲν γὰρ τοῦ θεάτρου, καὶ τῶν ἐν τῷ λέγειν ἀγώνων, ἐν ἀγωνίᾳ καὶ τρόμῳ κατέχεται· μετὰ δὲ τὸ θέατρον, ἢ ἀποτέθνηκεν ἀπὸ τῆς ἀθυμίας, ἢ χαίρει πάλιν ἀμέτρως· ὅπερ λύπης ἐστὶ χαλεπώτερον. ὅτι γὰρ ἡδονὴ λύπης οὐκ ἔλαττόν ἐστι κακόν, δῆλον ἀφ' ὧν τὴν ψυχὴν διατίθησι. καὶ γὰρ καὶ κού-

γρ. αὐτὸν

γρ. ὑπενεγκ

χε 16.

φησὶ ποιεῖ καὶ μετέωρον καὶ ἀνεπτερωμένην. καὶ τοῦτο καὶ ἀπὸ τῶν προτέρων ἀνδρῶν ἔστιν ἰδεῖν. πότε οὖν καλὸς ἦν ὁ Δαβίδ; ὅτε ἔχαιρεν, ἢ ὅτε ἐν στενοχωρίᾳ ἦν; πότε τῶν Ἰουδαίων ὁ δῆμος; ὅτε ἔστενον καὶ τὸν Θεὸν ἐκάλουν, ἢ ὅτε ἔχαιρον ἐπὶ τῆς ἐρήμου, καὶ τὸν μόσχον προσεκύνουν; διὸ καὶ ὁ Σολομῶν ὁ μάλιστα πάντων εἰδὼς τί ποτέ ἐστιν ἡδονή, φησίν· Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ εἰς οἶκον γέλωτος. διὸ καὶ ὁ Χριστὸς τοὺς μὲν μακαρίζει λέγων· μακάριοι οἱ πενθοῦντες· τοὺς δὲ ταλανίζει· οὐαὶ γὰρ ὑμῖν οἱ γελῶντες, ὅτι κλαύσετε. καὶ μάλα εἰκότως. ἐν μὲν γὰρ τρυφῇ χαυνοτέρα ἐστὶν ἡ ψυχὴ καὶ μαλακωτέρα· ἐν δὲ πένθει συνέσταλται καὶ σωφρονεῖ, καὶ τοῦ τῶν παθῶν δεσμοῦ παντὸς ἀπήλλακται, καὶ ὑψηλοτέρα γίνεται καὶ ἰσχυροτέρα. ταῦτ' οὖν ἅπαντα εἰδότες, φεύγωμεν τὴν παρὰ τῶν πολλῶν δόξαν καὶ τὴν ἐξ αὐτῆς ἡδονήν, ἵνα τῆς ὄντως δόξης καὶ μενούσης ἀεὶ τύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εκκλησ. ζ. γ.

Ομιλ. μα.

25 "ΕΙΔΩΣ ΔΕ Ο ΙΗΣΟΥΣ ΤΑΣ ΕΝΘΥΜΗσεις αὐτῶν, εἶπεν αὐτοῖς· πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημωθήσεται· πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται. 26 Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ;

Καὶ ἤδη τοῦτο κατηγόρησαν, ὅτι ἐν τῷ Βεελζεβοὺλ * ἐκβάλλει τὰ δαιμόνια. ἀλλὰ τότε μὲν οὐκ ἐπετίμησε, διδοὺς αὐτοῖς ἀπό τε τῶν πλειόνων σημείων γνῶναι αὐτοῦ τὴν δύναμιν, ἀπό τε τῆς διδασκαλίας μαθεῖν αὐτοῦ τὴν μεγαλωσύνην. ἐπειδὴ δὲ ἐπέμενον τὰ αὐτὰ λέγοντες, καὶ ἐπιτιμᾷ λοιπόν· "πρῶτον μὲν τούτῳ τὴν θεότητα ἐνδεικνύμενος τὴν αὐτοῦ, τῷ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἐξαγαγεῖν· δεύτερον δέ, αὐτῷ τῷ μετ' εὐκολίας τοὺς δαίμονας ἐκβάλλειν. καίτοι καὶ ἡ κατηγορία σφόδρα ἀναίσχυντος ἦν (ὅπερ γὰρ ἔφην, ὁ φθόνος οὐ ζητεῖ τί εἴπῃ, ἀλλ' ἵνα εἴπῃ μόνον) ἀλλ' ὅμως οὐδὲ οὕτω κατεφρόνησεν αὐτῶν ὁ Χριστός, ἀλλ' ἀπολογεῖται μετὰ τῆς αὐτῷ προσηκούσης ἐπιεικείας, παιδεύων ἡμᾶς πρᾴους εἶναι τοῖς ἐχθροῖς, κἂν τοιαῦτα λέγωσιν, ἃ μήτε "αὐτοῖς σύνισμεν ἡμεῖς, μήτε τὸν τυχόντα ἔχει λόγον· μηδὲ θορυβεῖσθαι, μηδὲ ταράττεσθαι, ἀλλὰ μετὰ μακροθυμίας ἁπάσης παρέχειν αὐτοῖς εὐθύνας· ὃ δὴ μάλιστα καὶ τότε ἐποίει, δεῖγμα μέγιστον παρεχόμενος τοῦ ψευδῆ εἶναι τὰ παρ' αὐτῶν εἰρημένα. οὔτε γὰρ δαιμονῶντος ἦν τοσαύτην ἐπιδείκνυσθαι ἐπιείκειαν· οὐ δαιμονῶντος τὸ τὰ ἀπόρρητα εἰδέναι. καὶ γὰρ καὶ διὰ τὸ σφόδρα ἀναίσχυντον εἶναι τὴν τοιαύτην ὑπόνοιαν, καὶ διὰ τὸν παρὰ τῶν πολλῶν φόβον, οὐδὲ ἐτόλμων δημοσιεύειν τὰ ἐγκλήματα ταῦτα, ἀλλ' ἐν διανοίᾳ ἔστρεφον. αὐτὸς δὲ δεικνὺς αὐτοῖς ὅτι κἀκεῖνα οἶδε, τὴν μὲν κατηγορίαν οὐ τίθησιν, οὐδὲ ἐκπομπεύει αὐτῶν τὴν πονηρίαν· τὴν δὲ λύσιν ἐπάγει, τῷ συνειδότι τῶν εἰρηκότων καταλιμπάνων τὸν ἔλεγχον. ἓν γὰρ αὐτῷ περισπούδαστον ἦν μόνον, ὠφελῆσαι τοὺς ἁμαρτάνοντας, οὐκ ἐκπομπεῦσαι. καίτοιγε εἰ ἐβούλετο μακρὸν ἀποτεῖναι λόγον καὶ καταγελάστους ποιῆσαι, καὶ μετὰ τούτων καὶ δίκην αὐτοὺς ἀπαιτῆσαι τὴν ἐσχάτην, οὐδὲν τὸ κωλῦον ἦν· ἀλλ' ὅμως ταῦτα πάντα παρεὶς εἰς ἓν ἔβλεπε μόνον, τὸ μὴ φιλονεικοτέρους ἐργάσασθαι, ἀλλ' ἐπιεικεστέρους, καὶ ταύτῃ πρὸς διόρθωσιν ἐπιτηδειοτέρους ποιῆσαι. πῶς οὖν αὐτοῖς ἀπολογεῖται; οὐδὲν ἀπὸ τῶν γραφῶν φησιν (οὐδὲ γὰρ προσεῖχον, ἀλλὰ καὶ παρερμηνεύειν ἔμελλον) ἀλλ' ἀπὸ τῶν κοινῇ συμβαινόντων. πᾶσα γὰρ βασιλεία, φησίν, ἐφ' ἑαυτὴν μερισθεῖσα οὐ σταθήσεται· καὶ πόλις καὶ οἰκία δὲ διαστᾶσα, ταχέως διαλύεται. οὐ γὰρ οὕτως οἱ ἔξωθεν πόλεμοι, ὡς οἱ ἐμφύλιοι διαφθείρουσι. τοῦτο γὰρ καὶ ἐν σώμασι γίνεται, τοῦτο καὶ ἐν ἅπασι πράγμασιν. ἀλλὰ τέως ἀπὸ τῶν γνωριμωτέρων τὰ ὑποδείγματα ἄγει. καίτοι τί βασιλείας ἐπὶ τῆς γῆς δυνατώτερον; οὐδέν. ἀλλ' ὅμως ἀπόλλυται στασιάζουσα. Εἰ δὲ ἐκεῖ τὸν ὄγκον τῶν πραγμάτων αἰτιᾶταί τις, ὡς ἑαυτῷ συῤῥηγνύμενον, τί ἂν εἴποι περὶ πόλεως; τί δὲ περὶ οἰκίας; κἂν γὰρ μικρόν τι, κἂν μέγα ᾖ, πρὸς ἑαυτὸ στασιάζον ἀπόλλυται. Εἰ τοίνυν ἐγὼ δαίμονα ἔχων δι' ἐκείνου ἐκβάλλω τοὺς δαίμονας, στάσις καὶ μάχη μεταξὺ δαιμόνων ἐστὶ, καὶ κατ' ἀλλήλων ἵστανται· εἰ δὲ κατ' ἀλλήλων ἵστανται, ἀπόλωλεν αὐτῶν ἡ ἰσχὺς καὶ διέφθαρται. Εἰ γὰρ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει (καὶ οὐκ εἶπε τοὺς δαίμονας, δεικνὺς πολλὴν αὐτοῖς πρὸς ἀλλήλους συμφωνίαν οὖσαν) ἐφ' ἑαυτὸν οὖν ἐμερίσθη, φησίν. Εἰ δὲ ἐμερίσθη, ἀσθενέστερος γέγονε καὶ ἀπόλωλεν. Εἰ δὲ ἀπόλωλε, πῶς δύναται ἕτερον ἐκβάλλειν; Εἶδες πόσος τῆς κατηγορίας ὁ γέλως; πόση ἡ ἄνοια; πόση ἡ μάχη; οὐδὲ γάρ ἐστι τῶν αὐτῶν λέγειν μὲν, ὅτι ἕστηκε καὶ ὅτι ἐκβάλλει τοὺς δαίμονας· λέγειν δὲ, ὅτι διὰ τοῦτο ἕστηκε, δι' ὃ εἰκὸς ἦν αὐτὸν καταλελύσθαι. Καὶ πρώτη μὲν αὕτη ἡ λύσις· δευτέρα δὲ μετ' ἐκείνην, ἡ περὶ τῶν μαθητῶν. οὐδὲ γὰρ ἑνὶ μόνον ἀεὶ τρόπῳ, ἀλλὰ καὶ δευτέρῳ καὶ τρίτῳ καταλύει τὰς ἀντιθέσεις αὐτῶν, ἐκ περιουσίας ἐπιστομίσαι βουλόμενος αὐτῶν τὴν ἀναισχυντίαν· ὅπερ καὶ ἐπὶ τοῦ σαββάτου ἐποίησε, τὸν Δαβὶδ φέρων εἰς μέσον, τοὺς ἱερέας, τὴν μαρτυρίαν τὴν λέγουσαν, ἔλεον θέλω καὶ οὐ θυσίαν, τὴν αἰτίαν τοῦ σαββάτου δι' ἣν γέγονε. Διὰ [γὰρ] τὸν ἄνθρωπόν, φησι, τὸ σάββατον. τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. μετὰ γὰρ τὴν προτέραν ἐπὶ δευτέραν ἔρχεται λύσιν τῆς προτέρας σαφεστέραν.

γρ. εἴποις

γρ. τὸ αὐτὸ

27 Εἰ γὰρ ἐγὼ, φησὶν, ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν; Ὅρα κἀνταῦθα τὴν ἐπιείκειαν. οὐ γὰρ εἶπεν, οἱ μαθηταί μου, οὐδὲ οἱ ἀπόστολοι· ἀλλ' οἱ υἱοὶ ὑμῶν, ἵν', εἰ μὲν βουληθεῖεν ἐπανελθεῖν πρὸς τὴν αὐτὴν ἐκείνοις εὐγένειαν, πολλὴν ἐντεῦθεν λάβωσι τὴν ἀφορμήν· εἰ δὲ ἀγνωμονοῖεν καὶ τοῖς αὐτοῖς ἐπιμένοιεν, μηδὲ ἀναίσχυντον λοιπὸν πρόφασιν ἔχωσιν εἰπεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ ἀπόστολοι ἐν τίνι ἐκβάλλουσι; καὶ γὰρ ἦσαν ἐκβάλλοντες ἤδη διὰ τὸ λαβεῖν ἐξουσίαν παρ' αὐτοῦ, καὶ οὐδὲν αὐτοῖς ἐνεκάλουν οὗτοι. οὐ γὰρ πράγμασιν, ἀλλὰ προσώπῳ μόνον ἐμάχοντο. θέλων τοίνυν δεῖξαι ὅτι φθόνου ἦν τοῦ πρὸς αὐτὸν τὰ εἰρημένα μόνον, ἄγει τοὺς ἀποστόλους εἰς μέσον. Εἰ γὰρ ἐγὼ οὕτως ἐκβάλλω, πολλῷ μᾶλλον ἐκεῖνοι οἱ παρ' ἐμοῦ τὴν ἐξουσίαν λαβόντες. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον εἰρήκατε αὐτοῖς. πῶς οὖν ἐμοὶ τῷ κἀκείνοις αἰτίῳ τῶν γινομένων, ταῦτα ἐγκαλεῖτε, ἐκείνους ἀπολύοντες τῶν ἐγκλημάτων; οὐ μὴν τοῦτο ὑμᾶς ἐλευθερώσει τῆς τιμωρίας, ἀλλὰ καὶ καταδικάσει μειζόνως. διὰ τοῦτο καὶ ἐπήγαγεν·

γρ. ἐκείνην αὐτοῖς

Αὐτοὶ κριταὶ ὑμῶν ἔσονται. Ὅταν γὰρ ἐξ ὑμῶν ὄντες, καὶ ταῦτα μεμελετηκότες, καὶ πείθωνται ἐμοὶ καὶ ὑπακούωσιν, εὔδηλον ὅτι καὶ κατακρινοῦσι τοὺς τὰ ἐναντία καὶ ποιοῦντας καὶ λέγοντας.

ἴσ. ταὐτὸ

28 Εἰ δὲ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Τί δέ ἐστιν ἡ βασιλεία; ἡ παρουσία ἡ ἐμή. ὅρα πῶς πάλιν αὐτοὺς ἐφέλκεται καὶ θεραπεύει καὶ πρὸς τὴν ἑαυτοῦ γνῶσιν ἐπισπᾶται, καὶ δείκνυσιν ὅτι τοῖς οἰκείοις πολεμοῦσιν ἀγαθοῖς, καὶ φιλονεικοῦσι κατὰ τῆς ἑαυτῶν σωτηρίας. δέον γὰρ χαίρειν, φησὶ, καὶ σκιρτᾶν, ὅτι τὰ μεγάλα καὶ ἀπόῤῥητα ἐκεῖνα παραγέγονα δωρούμενος, τὰ πάλαι παρὰ τῶν προφητῶν ᾀδόμενα, καὶ τῆς εὐπραγίας ὑμῶν ἐφέστηκεν ὁ καιρός· ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε, οὐ μόνον οὐ δεχόμενοι τὰ ἀγαθὰ, ἀλλὰ καὶ διαβάλλοντες καὶ συντιθέντες τὰς οὐκ οὔσας αἰτίας. ὁ μὲν οὖν Ματθαῖός φησιν· Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω· ὁ δὲ Λουκᾶς, εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, δεικνὺς ὅτι μεγίστης δυνάμεως ἔργον ἐστὶ, τὸ

γρ. γνώμην

δαίμονας

κεφ. ιβ.

δαίμονας ἐκβάλλειν, καὶ οὐ τῆς τυχούσης χάριτος. καὶ βούλεται μὲν ἀπὸ τούτων συλλογίσασθαι, καὶ εἰπεῖν· ὅτι εἰ δὲ τοῦτό ἐστιν, ἄρα ὁ υἱὸς τοῦ Θεοῦ παραγέγονεν. ἀλλὰ τοῦτο μὲν οὐ λέγει· συνεσκιασμένως δὲ καὶ ὡς ἐκείνοις ἀνεπαχθὲς ἦν, αἰνίττεται αὐτὸ λέγων· ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Εἶδες περιουσίαν σοφίας; δι' ὧν ἐνεκάλουν, διὰ τούτων ἔδειξεν αὐτοῦ τὴν παρουσίαν ἐκλάμπουσαν. Εἶτα, ἵνα ἐφελκύσηται, οὐκ εἶπεν ἁπλῶς, ἔφθασεν ἡ βασιλεία, ἀλλ' ἐφ' ὑμᾶς· ὡσανεὶ ἔλεγεν, ὑμῖν ἥκει τὰ ἀγαθά. Διατί οὖν πρὸς τὰ οἰκεῖα καλὰ ἀηδῶς διάκεισθε; διατί τῇ ὑμετέρᾳ αὐτῶν πολεμεῖτε σωτηρίᾳ; οὗτός ἐστιν ἐκεῖνος ὁ καιρὸς, ὃν πάλαι προὔλεγον οἱ προφῆται· τοῦτο τὸ σημεῖον τῆς παρουσίας τῆς παρ' αὐτῶν ᾀδομένης, τὸ ταῦτα γίνεσθαι θείᾳ δυνάμει. ὅτι μὲν γὰρ γίνεται, καὶ ὑμεῖς ἴστε· ὅτι δὲ θείᾳ δυνάμει γίνεται, τὰ πράγματα βοᾷ. οὔτε γὰρ δυνατὸν Σατανᾶν ἰσχυρότερον εἶναι νῦν, ἀλλ' ἀνάγκη πᾶσα ἀσθενῆ· τὸν δὲ ἀσθενοῦντα οὐκ ἔστιν ὡς ἰσχυρὸν ἐκβάλλειν τὸν ἰσχυρὸν δαίμονα. Ταῦτα δὲ ἔλεγε τῆς ἀγάπης δεικνὺς τὴν δύναμιν, καὶ τῆς διαστάσεως καὶ τῆς φιλονεικίας τὴν ἀσθένειαν. διὸ καὶ αὐτὸς συνεχῶς τοῖς μαθηταῖς ἄνω καὶ κάτω περὶ ἀγάπης παραινεῖ, καὶ ὅτι ὁ διάβολος ὑπὲρ τοῦ ταύτην ἀνελεῖν πάντα ποιεῖ. Εἰπὼν τοίνυν τὴν δευτέραν λύσιν, ἐπάγει καὶ τρίτην, οὕτω λέγων·

29 Πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρότερον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε αὐτοῦ τὰ σκεύη διαρπάσῃ;

Ὅτι μὲν γὰρ οὐκ ἐγχωρεῖ Σατανᾶς Σατανᾶν ἐκβάλλειν, δῆλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ οὐδὲ ἄλλον ὅλως δυνατὸν ἐκβάλλειν, ἐὰν μὴ πρότερον ἐκείνου περιγένηται, καὶ τοῦτο πᾶσίν ἐστιν ὡμολογημένον. τί οὖν ἐκ τούτων συνίσταται; τὸ ἔμπροσθεν εἰρημένον μετὰ πλείονος τῆς περιουσίας. τοσοῦτον γὰρ ἀπέχω, φησί, συμμάχῳ χρήσασθαι τῷ διαβόλῳ, ὅτι καὶ πολεμῶ* καὶ δεσμῶ· καὶ τούτου τεκμήριον, τὸ τὰ σκεύη αὐτοῦ διαρπάσαι. ὅρα πῶς τοὐναντίον, οὗπερ ἐπεχείρουν ἐκεῖνοι κατασκευάσαι, ἀποδείκνυται. ἐκεῖνοι μὲν γὰρ ἐβούλοντο δεῖξαι, ὅτι οὐκ ἰδίᾳ δυνάμει ἐκβάλλει δαίμονας· αὐτὸς δὲ δείκνυσιν, ὅτι οὐ μόνον τοὺς δαίμονας, ἀλλὰ καὶ αὐτὸν τὸν ἀρχηγέτην μετὰ πολλῆς τῆς ἐξουσίας δεδεμένον ἔχει, καὶ ἐκείνου πρὸ τούτων ἐκράτησεν ἰδίᾳ δυνάμει· καὶ δῆλον ἀπὸ τῶν γινομένων. εἰ γὰρ ὁ μὲν ἄρχων ἐστίν, οἱ δὲ ὑπόκεινται, πῶς ἄν, ἐκείνου μὴ ἡττηθέντος μηδὲ ὑποκύψαντος, οὗτοι διηρπάγησαν; ἐνταῦθα δέ μοι καὶ προφητεία δοκεῖ τὸ λεγόμενον εἶναι. οὐ γὰρ δὴ μόνον οἱ δαίμονες σκεύη τοῦ διαβόλου, ἀλλὰ καὶ οἱ τὰ ἐκείνου πράττοντες ἄνθρωποι. δηλῶν τοίνυν ὅτι οὐ δαίμονας ἐκβάλλει μόνον, ἀλλὰ καὶ τὴν πλάνην τῆς οἰκουμένης ἅπασαν ἀπελάσει, καὶ τὰς μαγγανείας τοῦ διαβόλου καταλύσει, καὶ πάντα ἄχρηστα ποιήσει τὰ ἐκείνου, ταῦτα εἴρηκε. καὶ οὐκ εἶπεν, ἁρπάσει, ἀλλὰ διαρπάσει, τὸ μετ' ἐξουσίας γινόμενον δηλῶν. ἰσχυρὸν δὲ αὐτὸν καλεῖ, οὐκ ἐπειδὴ τῇ φύσει τοιοῦτός ἐστι (μὴ γένοιτο) ἀλλὰ τὴν ἔμπροσθεν δηλῶν τυραννίδα, τὴν ἐκ τῆς ῥαθυμίας τῆς ἡμετέρας γεγενημένην.

30 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

Ἰδοὺ καὶ τετάρτη λύσις. τί γὰρ ἐγὼ βούλομαι, φησί; τῷ Θεῷ προσαγαγεῖν, ἀρετὴν διδάσκειν, βασιλείαν καταγγέλλειν. τί δὲ ὁ διάβολος καὶ οἱ δαίμονες; τἀναντία τούτοις. πῶς οὖν ὁ μὴ μετ' ἐμοῦ συνάγων, μηδὲ μετ' ἐμοῦ ὤν, ἐμοὶ συμπράττειν ἔμελλε; καὶ τί λέγω συμπράττειν; τοὐναντίον δέ, καὶ σκορπίζειν αὐτῷ ~~ἐπιθυμία τὰ ἐμά~~. ὁ τοίνυν μὴ μόνον μὴ συμπράττων, ἀλλὰ καὶ σκορπίζων, πῶς ἂν τοσαύτην πρὸς ἐμὲ ὁμόνοιαν ἐπεδείξατο, ὥστε μετ' ἐμοῦ τοὺς δαίμονας ἐκβάλλειν; τοῦτο δὲ οὐ περὶ τοῦ διαβόλου μόνον, ἀλλὰ καὶ αὐτὸν περὶ ἑαυτοῦ εἰκὸς ὑποπτεύειν εἰρηκέναι, ὡς καὶ κατὰ τοῦ διαβόλου ὄντος καὶ σκορπίζοντος τὰ ἐκείνου. καὶ πῶς, φησίν, ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν; αὐτῷ τούτῳ τῷ μὴ συνάγειν. εἰ δὲ τοῦτο ἀληθὲς πολλῷ μᾶλλον ὁ κατ' αὐτοῦ ὤν. εἰ γὰρ ὁ μὴ συμπράττων, ἐχθρός· πολλῷ μᾶλλον ὁ πολεμῶν.

λεμίων. Ταῦτα δὲ πάντα λέγει, ἵνα δείξῃ πολλὴν αὐτοῦ πρὸς τὸν διάβολον τὴν ἔχθραν καὶ ἄφατον οὖσαν. Εἰπὲ γάρ μοι, εἰ δέοι τινὶ πολεμῆσαι, ὁ μὴ βουλόμενός σοι συμμαχῆσαι, αὐτῷ τούτῳ οὐκ ἔστι κατὰ σοῦ; Εἰ δὲ ἀλλαχοῦ φησιν, ὁ μὴ ὢν καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν, οὐκ ἔστιν ἐναντίον τούτῳ. ἐνταῦθα γὰρ ἔδειξε κατ' αὐτῶν ὄντα· ἐκεῖ δὲ δείκνυσιν ἐν μέρει μεθ' αὐτῶν ὄντα. ἐν γὰρ τῷ ὀνόματί σου, φησιν, ἐκβάλλουσι τὰ δαιμόνια. ἐμοὶ δὲ δοκεῖ ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεσθαι μετὰ τοῦ διαβόλου στήσας αὐτούς. καὶ γὰρ καὶ αὐτοὶ κατ' αὐτοῦ ἦσαν, καὶ ἐσκόρπιζον ἃ συνῆγεν. ὅτι γὰρ καὶ αὐτοὺς ἠνίττετο, ἐδήλωσεν οὕτως εἰπών·

Ματθ. ζ. κβ.

31 Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις. Ἐπειδὴ γὰρ ἀπελογήσατο καὶ τὴν ἀντίθεσιν ἔλυσε καὶ ἀπέδειξεν ἀναισχυντοῦντας μάτην, φοβεῖ λοιπόν. καὶ γὰρ καὶ τοῦτο συμβουλῆς οὐ μικρὸν μέρος καὶ διορθώσεως, τὸ μὴ μόνον ἀπολογεῖσθαι καὶ πείθειν, ἀλλὰ καὶ ἀπειλεῖν, ὃ πολλαχοῦ ποιεῖ νομοθετῶν καὶ συμβουλεύων. καὶ δοκεῖ μὲν ἀσάφειαν ἔχειν πολλὴν τὸ εἰρημένον· ἐὰν δὲ προσέχωμεν, εὔκολον ἕξει τὴν λύσιν. πρότερον οὖν αὐτῶν ἐπακοῦσαι "καλὸν τῶν ῥημάτων. πᾶσα, φησιν, ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις·

γρ. ἀναγκαῖον

Ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται αὐτοῖς.

32 Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι. Τί τοίνυν ἐστὶν ὅ φησι; πολλὰ κατ' ἐμοῦ εἰρήκατε, ὅτι πλάνος, ὅτι ἀντίθεος. ταῦτα ὑμῖν ἀφίημι μετανοοῦσι, καὶ οὐκ ἀπαιτῶ "δίκας ὑμᾶς· ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται οὐδὲ μετανοοῦσι. καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; καὶ γὰρ καὶ αὕτη "ἀφείθη μετανοήσασι. πολλοὶ γοῦν τῶν ταῦτα εἰρηκότων ἐπίστευσαν ὕστερον, καὶ πάντα αὐτοῖς "ἀφείθη. τί οὖν ἐστιν ὅ φησιν; ὅτι ὑπὲρ πάντα αὕτη ἡ ἁμαρτία ἀσύγγνωστος. τί δήποτε; ὅτι αὐτὸν μὲν ἠγνόουν, ὅστις ποτὲ ἦν· τοῦ δὲ πνεύματος ἱκανὴν εἰλήφασι πεῖραν. καὶ γὰρ καὶ οἱ προφῆται δι' αὐτοῦ πάντα ἐφθέγξαντο, ἅπερ ἐφθέγξαντο, καὶ πάντες δὲ οἱ ἐν τῇ παλαιᾷ μεγίστην περὶ αὐτοῦ εἶχον ἔννοιαν. ὃ τοίνυν λέγει τοῦτό ἐστιν· ἔστω, ἐμοὶ προσπταίετε διὰ τὴν σάρκα τὴν περικειμένην· μὴ καὶ περὶ τοῦ πνεύματος ἔχετε εἰπεῖν, ὅτι ἀγνοοῦμεν αὐτό; διὰ δὴ τοῦτο ἀσύγγνωστος ὑμῖν ἔσται ἡ βλασφημία, καὶ ἐνταῦθα καὶ ἐκεῖ δώσετε δίκην. πολλοὶ μὲν γὰρ ἐνταῦθα ἐκολάσθησαν μόνον, ὡς ὁ πεπορνευκώς, ὡς οἱ ἀναξίως μετασχόντες μυστηρίων παρὰ Κορινθίοις· ὑμεῖς δὲ, καὶ ἐνταῦθα καὶ ἐκεῖ. ὅσα μὲν οὖν ἐβλασφημήσατε κατ' ἐμοῦ πρὸ τοῦ σταυροῦ ἀφίημι, καὶ αὐτὸ δὲ τοῦ σταυροῦ τὸ τόλμημα, καὶ ὑπὲρ τῆς ἀπιστίας οὐ κατακριθήσεσθε μόνης. οὐδὲ γὰρ οἱ πρὸ τοῦ σταυροῦ πιστεύσαντες πεπληρωμένην πίστιν εἶχον. καὶ πολλαχοῦ δὲ παραγγέλλει μηδενὶ κατάδηλον αὐτὸν ποιεῖν πρὸ τοῦ πάθους· καὶ ἐν τῷ σταυρῷ ταύτην ἔλεγεν ἀφεθῆναι αὐτοῖς τὴν ἁμαρτίαν. ἃ δὲ περὶ τοῦ πνεύματος εἰρήκατε, ταῦτα οὐχ ἕξει συγγνώμην. ὅτι γὰρ περὶ τῶν εἰς αὐτὸν εἰρημένων πρὸ τοῦ σταυροῦ φησιν ἅπερ λέγει, ἐπήγαγεν, ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ ἁγίου πνεύματος, οὐκ ἔτι. διατί; ὅτι τοῦτο γνώριμον ὑμῖν ἐστι, καὶ πρὸς τὰ δῆλα ἀναισχυντεῖτε. Εἰ γὰρ καὶ ἐμὲ λέγετε ἀγνοεῖν, οὐ δήπου κἀκεῖνο ἀγνοεῖτε, καὶ ὅτι τὸ δαίμονας ἐκβάλλειν καὶ ἰάσεις ἐπιτελεῖν τοῦ ἁγίου πνεύματός ἐστιν ἔργον. οὐκ ἄρα ἐμὲ ὑβρίζετε μόνον, ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον. διὸ καὶ ἀπαραίτητος ὑμῖν ἡ δίκη καὶ ἐνταῦθα καὶ ἐκεῖ. καὶ γὰρ τῶν ἀνθρώπων, οἱ μὲν καὶ ἐνταῦθα κολάζονται καὶ ἐκεῖ· οἱ δὲ ἐνταῦθα μόνον· οἱ δὲ ἐκεῖ μόνον· οἱ δὲ οὐδὲ ἐνταῦθα, οὐδὲ ἐκεῖ. ἐνταῦθα μὲν καὶ ἐκεῖ, ὡς οὗτοι αὐτοί (καὶ γὰρ καὶ ἐνταῦθα ἔδοσαν δίκην, ἡνίκα ἔπαθον τὰ ἀνήκεστα ἐκεῖνα τῆς ὧδε πόλεως ἁλούσης· καὶ ἐκεῖ "χαλεπωτάτην ὑπομένουσιν) ὡς οἱ Σοδόμων πολῖται, ὡς ἕτεροι πολλοί· ἐκεῖ δὲ μόνον, ὡς ὁ πλούσιος ὁ ἀποτηγανιζόμενος, καὶ οὐδὲ σταγόνος κύριος ὤν· ἐνταῦθα

γρ. δίκην

γρ. ἀφέθη

γρ. ἀφέθη.

α. Κορ. ια.

γρ. χαλεπώτερα

ἐνταῦθα δέ, ὡς ὁ πεπορνευκὼς παρὰ Κορινθίοις. οὔτε δὲ ἐνταῦθα οὔτε ἐκεῖ, ὡς οἱ ἀπόστολοι, ὡς οἱ προφῆται, ὡς ὁ μακάριος Ἰώβ. οὐ γὰρ δὴ κολάσεως ἦν ἅπερ ἔπαθον, ἀλλ' ἀγώνων καὶ παλαισμάτων.

ΗΘΙΚΟΝ

Σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς τῆς τούτων γενέσθαι μερίδος· εἰ δὲ μὴ τούτων, κἂν τῶν ἐνταῦθα ἀπολυομένων τὰ ἁμαρτήματα. καὶ γὰρ φοβερὸν ἐκεῖνο τὸ κριτήριον, καὶ ἀπαραίτητος ἡ τιμωρία, καὶ ἀφόρητος ἡ κόλασις. εἰ δὲ βούλει μηδὲ ἐνταῦθα δοῦναι δίκην, σαυτῷ δίκασον, ἀπαίτησον σαυτὸν εὐθύνας· ἄκουσον Παύλου λέγοντος, Ὅτι εἰ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. ἂν τοῦτο ποιῇς, ὁδῷ προβαίνων καὶ ἐπὶ στέφανον ἥξεις. καὶ πῶς δικάσομεν, ἢ ἀπαιτήσομεν ἑαυτοὺς δίκην, φησί; θρήνησον, στέναξον πικρόν, ταπείνωσον σαυτόν, κάκωσον, ἀνάμνησον τῶν ἁμαρτημάτων κατ' εἶδος. οὐ μικρὰ αὕτη βάσανος ψυχῆς. εἴ τις ἐν κατανύξει γέγονεν, οἶδεν ὅτι μάλιστα πάντων ἡ ψυχὴ τούτῳ κολάζεται. εἴ τινι γέγονεν ἁμαρτιῶν μνήμη, οἶδε τὴν ἐντεῦθεν ὀδύνην. διὰ τοῦτο καὶ δικαιοσύνην ἔπαθλον τίθησιν ὁ Θεὸς τῇ τοιαύτῃ μετανοίᾳ, λέγων· λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. οὐ γάρ ἐστιν, οὐκ ἔστι μικρὸν εἰς διόρθωσιν, τὸ πάντα συναγαγόντας τὰ ἁμαρτήματα κατ' εἶδος, αὐτὰ στρέφειν συνεχῶς καὶ ἀναλογίζεσθαι. ὁ γὰρ τοῦτο ποιῶν οὕτω κατανυγήσεται, ὡς μήτε τοῦ ζῆν ἄξιον ἑαυτὸν εἶναι νομίζειν· ὁ δὲ τοῦτο νομίζων, κηροῦ παντὸς ἁπαλώτερος ἔσται. μὴ γάρ μοι πορνείας εἴπῃς μόνον, μηδὲ μοιχείας, μηδὲ ταῦτα τὰ δῆλα καὶ ὡμολογημένα παρὰ πᾶσιν· ἀλλὰ καὶ τὰς λαθραίους ἐπιβουλάς, καὶ τὰς συκοφαντίας, καὶ τὰς κακηγορίας, καὶ τὰς κενοδοξίας, καὶ τὸν φθόνον, καὶ πάντα τὰ τοιαῦτα σύναγε. οὐδὲ γὰρ ταῦτα μικρὰν οἴσει κόλασιν. καὶ γὰρ καὶ ὁ λοίδορος εἰς γέενναν ἐμπεσεῖται, καὶ ὁ μεθύων οὐδὲν ἔχει κοινὸν πρὸς τὴν βασιλείαν, καὶ ὁ μὴ ἀγαπῶν τὸν πλησίον, οὕτω προσκρούει Θεῷ, ὡς μηδὲ μαρτυροῦντος αὐτοῦ ὠφελεῖσθαι· καὶ ὁ τῶν οἰκείων ἀμελῶν τὴν πίστιν ἤρνηται, καὶ ὁ πένητας παρορῶν εἰς τὸ πῦρ πέμπεται. μὴ τοίνυν μικρὰ ταῦτα νόμιζε εἶναι, ἀλλὰ σύναγε πάντα, καὶ ὡς ἐν βιβλίῳ γράφε. ἂν γὰρ σὺ γράψῃς, ὁ Θεὸς ἐξαλείφει· ὥσπερ οὖν ἐὰν σὺ μὴ γράψῃς, ὁ Θεὸς καὶ ἐγγράφει καὶ δίκην ἀπαιτεῖ. πολὺ τοίνυν βέλτιον παρ' ἡμῶν αὐτὰ γραφῆναι καὶ ἄνωθεν ἐξαλειφθῆναι, ἢ τοὐναντίον ἡμῶν ἐπιλαθομένων τὸν Θεὸν αὐτὰ πρὸ τῶν ὀφθαλμῶν ἐνεγκεῖν τῶν ἡμετέρων κατὰ τὴν ἡμέραν ἐκείνην. ἵν' οὖν μὴ τοῦτο γένηται, πάντα μετ' ἀκριβείας ἀναλογιζώμεθα, καὶ εὑρήσομεν πολλῶν ἑαυτοὺς ὑπευθύνους ὄντας. τίς γὰρ πλεονεξίας καθαρός; μὴ γάρ μοι τὸ μέτρον εἴπῃς, ἀλλ' ὅτι καὶ ἐν τῷ μικρῷ τὴν αὐτὴν δώσομεν δίκην. τοῦτο ἐννόει καὶ μετανόει. τίς ὕβρεως ἀπήλλακται; τοῦτο δὲ εἰς γέενναν ἐμβάλλει. τίς λάθρα τὸν πλησίον οὐκ ἐκακηγόρησε; τοῦτο δὲ βασιλείας ἀποστερεῖ. τίς οὐκ ἀπενοήθη; οὗτος δὲ πάντων ἀκαθαρτότερος. τίς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς; οὗτος δὲ μοιχὸς ἀπηρτισμένος. τίς οὐκ ὠργίσθη τῷ ἀδελφῷ εἰκῇ; οὗτος δὲ ἔνοχός ἐστι τῷ συνεδρίῳ. τίς οὐκ ὤμοσε; τοῦτο δὲ ἐκ τοῦ πονηροῦ. τίς οὐκ ἐπιώρκησεν; οὗτος δὲ πλέον ἢ τοῦ πονηροῦ. τίς οὐκ ἐδούλευσε τῷ μαμωνᾷ; οὗτος δὲ τῆς γνησίας ἐξέπεσε τοῦ Χριστοῦ δουλείας. ἔχω καὶ ἕτερα μείζονα τούτων εἰπεῖν· ἀλλ' ἀρκεῖ καὶ ταῦτα, καὶ ἱκανὰ τὸν μὴ λίθινον ὄντα μηδὲ σφόδρα ἀναίσθητον εἰς κατάνυξιν ἀγαγεῖν. εἰ γὰρ ἕκαστον αὐτῶν εἰς γέενναν ἐμβάλλει· πάντα ὁμοῦ συνελθόντα τί οὐκ ἐργάσεται; πῶς οὖν ἔστι σωθῆναι, φησί; τὰ ἀντίρροπα τούτων φάρμακα ἐπιτιθέντας, ἐλεημοσύνην, εὐχάς, κατάνυξιν, μετάνοιαν, ταπεινοφροσύνην, συντετριμμένην καρδίαν, ὑπεροψίαν τῶν ὄντων. μυρίας γὰρ ὁδοὺς σωτηρίας ἔτεμεν ὁ Θεός, ἐὰν ἐθέλωμεν προσέχειν. προσέχωμεν τοίνυν, καὶ διὰ πάντων τὰ τραύματα ἐκκαθάρωμεν, ποιοῦντες ἐλεημοσύνην, ὀργὴν τοῖς λελυπηκόσιν ἀφιέντες, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ Θεῷ, νηστεύοντες κατὰ δύναμιν, εὐχόμενοι γνησίως, φίλους ἑαυτοῖς ποιοῦντες ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. οὕτω γὰρ δυνησόμεθα καὶ συγγνώμης

α. Κορ. ια. λα

γνώμης ἐπὶ τοῖς πεπλημμελημένοις ἀπολαῦσαι, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. μβ.

33 Η ΠΟΙΗΣΑΤΕ ΤΟ ΔΕΝΔΡΟΝ ΚΑΛΟΝ, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν. ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

Πάλιν ἑτέρως αὐτοὺς καταισχύνει, καὶ οὐκ ἀρκεῖται τοῖς προτέροις ἐλέγχοις. τοῦτο δὲ ποιεῖ, οὐχ ἑαυτὸν ἀπαλλάττων τοῦ ἐγκλήματος (ἤρκει γὰρ καὶ τὰ πρότερα) ἀλλ' αὐτοὺς διορθῶσαι βουλόμενος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδεὶς ὑμῶν οὔτε ἐμέμψατο τοῖς θεραπευθεῖσιν [ὡς οὐ θεραπευθεῖσιν], οὔτε εἶπεν ὅτι πονηρὸν τὸ δαίμονος ἐλευθεροῦν. εἰ γὰρ καὶ σφόδρα ἠναισχύντουν, οὐκ ἐδύναντο τοῦτο εἰπεῖν. ἐπεὶ οὖν τοῖς μὲν ἔργοις οὐκ ἐπέσκηπτον, τὸν δὲ ταῦτα ἐργαζόμενον διέβαλλον, δείκνυσιν ὅτι καὶ παρὰ τοὺς κοινοὺς λογισμοὺς καὶ παρὰ τὴν τῶν πραγμάτων ἀκολουθίαν ἡ κατηγορία αὕτη· ὅπερ ἐπιτεταμένης ἐστὶν ἀναισχυντίας, τὸ μὴ μόνον πονηρεύεσθαι, ἀλλὰ καὶ τοιαῦτα συντιθέναι ἃ καὶ παρὰ τὰς κοινάς ἐστιν ἐννοίας. καὶ ὅρα τὸ ἀφιλόνεικον. οὐ γὰρ εἶπε, ποιήσατε τὸ δένδρον καλὸν, ἐπειδὴ καὶ ὁ καρπὸς καλός, ἀλλὰ μεθ' ὑπερβολῆς αὐτοὺς ἐπιστομίζων, καὶ τὴν ἐπιείκειαν τὴν αὐτοῦ καὶ τὴν ἀναισχυντίαν τὴν ἐκείνων ἐνδεικνύμενος, φησίν· εἰ γὰρ καὶ τῶν ἔργων βούλεσθε ἐπιλαβέσθαι, οὐδὲν κωλύω· μόνον μὴ ἀσύμφωνα μηδὲ ἀνακόλουθα ἐγκαλεῖτε. οὕτω γὰρ σαφέστερον ἁλίσκεσθαι ἔμελλον, πρὸς τὰ λίαν φανερὰ ἀναισχυντοῦντες· ὥστε εἰκῇ πονηρεύεσθε, φησὶ, καὶ ἀνακόλουθα ἑαυτοῖς λέγετε. καὶ γὰρ ἡ τοῦ δένδρου διάκρισις ἀπὸ τοῦ καρποῦ φαίνεται), οὐχ ὁ καρπὸς ἀπὸ τοῦ δένδρου· ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε. εἰ γὰρ καὶ τὸ δένδρον τοῦ καρποῦ αἴτιον, ἀλλ' ὁ καρπὸς τοῦ δένδρου γνωριστικός. καὶ ἀκόλουθον ἦν, ἢ καὶ τὰ ἔργα διαβάλλειν ἡμᾶς αἰτιωμένους, ἢ ταῦτα ἐπαινοῦντας, καὶ ἡμᾶς τοὺς ἐργαζομένους τῶν ἐγκλημάτων ἀπαλλάττειν τούτων. νῦν δὲ τοὐναντίον ποιεῖτε. τοῖς γὰρ ἔργοις οὐδὲν ἐγκαλεῖν ἔχοντες, ὅπερ ἐστὶν ὁ καρπὸς, τὴν ἐναντίαν περὶ τοῦ δένδρου φέρετε ψῆφον, ἐμὲ δαιμονῶντα καλοῦντες, ὅπερ ἐσχάτης ἐστὶ παρανοίας. καὶ γὰρ ὅπερ ἔμπροσθεν εἶπε, τοῦτο καὶ νῦν κατασκευάζει, ὅτι οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδ' αὖ τοὐναντίον πάλιν. ὥστε παρὰ πᾶσαν ἀκολουθίαν καὶ φύσιν αὐτῶν τὰ ἐγκλήματα. εἶτα, ἐπειδὴ οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ πνεύματος ποιεῖται τὸν λόγον, καὶ καταφορικῶς κέχρηται τῇ κατηγορίᾳ λέγων·

34 Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες;

Τοῦτο δὲ ὁμοῦ καὶ ἐγκαλοῦντός ἐστι, καὶ τῶν εἰρημένων τὴν ἀπόδειξιν ἐξ ἐκείνων παρέχοντος. ἰδοὺ γὰρ ὑμεῖς, φησὶ, δένδρα ὄντες πονηρὰ οὐ δύνασθε φέρειν καρπὸν ἀγαθόν. οὐ τοίνυν θαυμάζω, ὅτι ταῦτα φθέγγεσθε. καὶ γὰρ ἐτράφητε κακῶς, προγόνων ὄντες πονηρῶν, καὶ διάνοιαν κέκτησθε πονηράν. καὶ ὅρα πῶς ἀκριβῶς καὶ χωρὶς λαβῆς ἁπάσης τέθεικε τὰ ἐγκλήματα. οὐ γὰρ εἶπε, πῶς δύνασθε ἀγαθὰ λαλεῖν γεννήματα ὄντες ἐχιδνῶν; οὐδὲν γὰρ τοῦτο πρὸς ἐκεῖνο· ἀλλὰ πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; γεννήματα δὲ ἐχιδνῶν αὐτοὺς εἴρηκεν, ἐπειδὴ ἐπὶ τοῖς προγόνοις ηὔχουν. δεικνὺς τοίνυν ὅτι οὐδὲν αὐτοῖς ἐντεῦθεν τὸ κέρδος, τῆς μὲν πρὸς τὸν Ἀβραὰμ ἐξέβαλεν αὐτοὺς συγγενείας· δίδωσι δὲ αὐτοῖς προγόνους ὁμοτρόπους, τῆς ἐκεῖθεν περιφανείας γυμνώσας αὐτούς. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. Ἐνταῦθα πάλιν τὴν θεότητα αὐτοῦ δείκνυσιν εἰδυῖαν

τὰ

γρ. τὸ περ
ειν,

γρ. διέβαλ
φασι

γρ. περιη

γρ. κατηγο

γρ. ὁμοιο
πους,

τὰ ἀπόρρητα· καὶ ὅτι οὐχὶ ῥημάτων μόνον, ἀλλὰ καὶ πονηρῶν ἐννοιῶν δώσουσι δίκην· καὶ ὅτι οἶδεν αὐτὰ ὁ Θεός. λέγει δὲ, ὅτι καὶ ἀνθρώποις δυνατὸν ταῦτα εἰδέναι. φύσεως γὰρ ἀκολουθία τοῦτο, τὸ ὑπερβλυζούσης ἔνδον τῆς πονηρίας ἐκχεῖσθαι ἔξω διὰ τοῦ στόματος τὰ ῥήματα. ὥστε, ὅταν ἀκούσῃς ἀνθρώπου πονηρὰ φθεγγομένου, μὴ τοσαύτην νόμιζε πονηρίαν ἐγκεῖσθαι αὐτῷ, ὅσην τὰ ῥήματα ἐπιδείκνυται· ἀλλὰ πολλῷ πλείονα στοχάζου εἶναι τὴν πηγήν. τὸ γὰρ ἔξωθεν λεγόμενον, τὸ περιττόν ἐστι τοῦ ἔνδον. Εἶδες πῶς αὐτῶν καθήψατο σφοδρῶς; εἰ γὰρ τὸ λεχθὲν οὕτω πονηρὸν, καὶ ἀπ' αὐτοῦ τοῦ διαβόλου τῆς γνώμης ἐστὶν, ἐννόησον ἡ ῥίζα καὶ ἡ πηγὴ τῶν ῥημάτων ἡλίκη; συμβαίνει δὲ τοῦτο εἰκότως. ἡ μὲν γὰρ γλῶττα αἰδουμένη πολλάκις, οὐκ ἀθρόον ἐκχεῖ τὴν πονηρίαν· ἡ δὲ καρδία οὐδένα ἀνθρώπων ἔχουσα μάρτυρα, ἀδεῶς ὅσα ἂν θέλῃ τίκτει κακά. τοῦ γὰρ Θεοῦ οὐ πολὺς λόγος αὐτῇ. ἐπεὶ οὖν τὰ μὲν λεγόμενα εἰς ἐξέτασιν ἔρχεται καὶ πᾶσι προτίθεται, ἐκείνη δὲ συνεσκίασται, διὰ τοῦτο τὰ μὲν ταύτης ἐλάττω, τὰ δὲ ἐκείνης πλείονα γίνεται. ὅταν δὲ πολὺ τὸ πλῆθος γένηται τῶν ἔνδον, πολλῷ τῷ ῥοίζῳ τὰ τέως κρυπτόμενα πρόεισι. καὶ καθάπερ οἱ ἐμοῦντες, παρὰ μὲν τὴν ἀρχὴν βιάζονται ἔνδον κατέχειν ἐκπηδῶντας τοὺς χυμοὺς, ἐπειδὰν δὲ ἐκνικηθῶσι, πολλὴν τὴν βδελυγμίαν προΐενται· οὕτω καὶ οἱ τὰ πονηρὰ βουλεύματα ἔχοντες, καὶ τοὺς πλησίον κακηγοροῦντες.

35 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ, φησι, τῆς καρδίας αὐτοῦ ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐκβάλλει τὰ πονηρά.

Μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ἐπὶ τῆς πονηρίας τοῦτο γίνεσθαι μόνον. καὶ γὰρ καὶ ἐπὶ τῆς ἀγαθότητος τοῦτο συμβαίνει. καὶ γὰρ καὶ ἐκεῖ πλείων τῶν ἔξωθεν ῥημάτων ἔνδον ἡ ἀρετή· ἐξ ὧν ἐδείκνυ, ὅτι κἀκείνους πονηροτέρους ἐχρῆν νομίζειν ἢ τὰ ῥήματα ἐνεδείκνυτο, καὶ αὐτὸν ἀγαθώτερον ἢ τὰ λεγόμενα ἐνέφαινε. θησαυρὸν δὲ φησι, τὸ πλῆθος ἐνδεικνύμενος. Εἶτα πάλιν πολὺν ἐπιτειχίζει τὸν φόβον. μὴ γὰρ δὴ νομίσητε, φησι, μέχρι τούτου καὶ τῆς τῶν πολλῶν καταγνώσεως τὸ πρᾶγμα ἑστηκέναι. καὶ γὰρ τὴν ἐσχάτην δώσουσι δίκην ἅπαντες οἱ τὰ τοιαῦτα πονηρευόμενοι. καὶ οὐκ εἶπεν, ὑμεῖς, ὁμοῦ μὲν τὸ κοινὸν παιδεύων γένος, ὁμοῦ δὲ ἀνεπαχθέστερον τὸν λόγον ποιῶν.

36 Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ὃ ἐὰν λαλήσωσιν ἀργὸν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

Ἀργὸν δὲ, τὸ μὴ κατὰ πράγματος κείμενον, τὸ ψευδὲς, τὸ συκοφαντίαν ἔχον, ἐστί. τινὲς δέ φασιν, ὅτι καὶ τὸ μάταιον, οἷον, τὸ γέλωτα κινοῦν ἄτακτον, ἢ τὸ αἰσχρὸν καὶ ἀναίσχυντον καὶ ἀνελεύθερον.

37 Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ.

Εἶδες πῶς ἀνεπαχθὲς τὸ δικαστήριον; πῶς ἥμεροι αἱ εὐθῦναι; οὐ γὰρ ἐξ ὧν ἕτερος εἶπε περὶ σοῦ, ἀλλ' ἐξ ὧν αὐτὸς ἐφθέγξω, τὰς ψήφους ὁ δικαστὴς οἴσει, ὅπερ ἁπάντων ἐστὶ δικαιότατον. καὶ γὰρ σὺ κύριος εἶ καὶ τοῦ εἰπεῖν καὶ τοῦ μὴ εἰπεῖν.

ΗΘΙΚΟΝ

Οὐ τοίνυν τοὺς κακηγορουμένους ἀγωνιᾶν δεῖ καὶ τρέμειν, ἀλλὰ τοὺς κακηγοροῦντας. οὐ γὰρ ἐκεῖνοι ἀναγκάζονται ἀπολογεῖσθαι ὑπὲρ ὧν κακῶς ἤκουσαν, ἀλλ' οὗτοι ὑπὲρ ὧν κακῶς εἶπον, καὶ τούτοις ἐπικρέμαται ὁ κίνδυνος ἅπας. ὥστε τοὺς μὲν κακῶς ἀκούοντας, ἀμερίμνους δεῖ εἶναι (οὐ γὰρ ὑπέξουσιν εὐθύνας, ὧν ἕτεροι εἶπον κακῶς) τοὺς δὲ κακῶς εἰρηκότας ἀγωνιᾶν καὶ τρέμειν, ἅτε αὐτοὺς μέλλοντας εἰς τὸ δικαστήριον ὑπὲρ τούτων ἕλκεσθαι. καὶ γὰρ διαβολικὴ αὕτη ἡ παγὶς, καὶ ἁμαρτία οὐδεμίαν ἔχουσα ἡδονὴν, ἀλλὰ βλάβην μόνον. καὶ γὰρ πονηρὸν ἐν τῇ ψυχῇ θησαυρὸν ἀποτίθεται ὁ τοιοῦτος. εἰ δὲ ὁ χυμὸν πονηρὸν ἔχων, αὐτὸς καρποῦται πρῶτον τὴν νόσον· πολλῷ μᾶλλον ὁ τὸ χολῆς πάσης πικρότερον τὴν πονηρίαν ἐν ἑαυτῷ θησαυρίζων, τὰ ἔσχατα πείσεται, χαλεπὴν συνάγων νόσον. καὶ δῆλον ἐξ ὧν ἐρεύγεται. εἰ γὰρ τοὺς ἄλλους οὕτω λυπεῖ, πολλῷ μᾶλλον τὴν τεκοῦσαν αὐτὰ ψυχήν.

ὁ γὰρ ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρότερον. καὶ γὰρ ὁ πῦρ πατῶν, ἑαυτὸν κατακαίει· καὶ ὁ ἀδάμαντα παίων, ἑαυτῷ ἐπηρεάζει· καὶ ὁ πρὸς κέντρα λακτίζων, ἑαυτὸν αἱμάττει. τοιοῦτον γάρ τι ἐστὶν ὁ εἰδὼς ἀδικεῖσθαι καὶ φέρειν γενναίως, καὶ ἀδάμας, καὶ κέντρα, καὶ πῦρ· ὁ δὲ ἀδικεῖν μεμελετηκὼς, πηλοῦ παντὸς ἀσθενέστερος. οὐ τοίνυν τὸ ἀδικεῖσθαι κακὸν, ἀλλὰ τὸ ἀδικεῖν, καὶ τὸ μὴ εἰδέναι φέρειν ἀδικούμενον. πόσα γοῦν ἠδικήθη ὁ Δαβίδ; πόσα ἠδίκει ὁ Σαούλ; τίς οὖν ἰσχυρότερος γέγονε καὶ μακαριώτερος; τίς δὲ ἀθλιώτερος καὶ ἐλεεινότερος; οὐχ ὁ ἠδικηκώς; σκόπει δέ· ὑπέσχετο ὁ Σαοὺλ, εἰ καθέλοι τὸν ἀλλόφυλον ὁ Δαβὶδ, κηδεστὴν αὐτὸν λήψεσθαι, καὶ δώσειν τὴν θυγατέρα αὐτῷ μετὰ πολλῆς τῆς χάριτος. καθεῖλε τὸν ἀλλόφυλον, παρέβη τὰς συνθήκας ἐκεῖνος· καὶ οὐ μόνον οὐκ ἐδίδου, ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρει. τίς οὖν γέγονε λαμπρότερος; οὐχ ὁ μὲν ἀπεπνίγετο ὑπὸ τῆς ἀθυμίας καὶ τοῦ πονηροῦ δαίμονος· ὁ δὲ ὑπὲρ τὸν ἥλιον ἔλαμπε τοῖς τροπαίοις καὶ τῇ πρὸς τὸν Θεὸν εὐνοίᾳ; πάλιν ἐπὶ τοῦ χοροῦ τῶν γυναικῶν, οὐχ ὁ μὲν ἀπηγχονίζετο τῷ φθόνῳ· ὁ δὲ τῇ σιγῇ πάντα φέρων, ἅπαντας εἷλε καὶ ἑαυτῷ προσέδησεν; ἐπειδὴ δὲ καὶ αὐτὸς ἔλαβεν αὐτὸν εἰς χεῖρας καὶ ἐφείσατο, τίς πάλιν ὁ μακάριος ἦν; τίς δὲ ὁ ἄθλιος; τίς δὲ ὁ ἀσθενέστερος; τίς δὲ ὁ δυνατώτερος; οὐχ οὗτος ὁ μηδὲ δικαίως ἐπεξελθών; καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ στρατιώτας ὡπλισμένους, ὁ δὲ τὴν δικαιοσύνην τὴν μυρίων στρατοπέδων ἰσχυροτέραν εἶχε σύμμαχον καὶ βοηθόν. διά τοι τοῦτο ἐπιβουλευθεὶς ἀδίκως, οὐδὲ δικαίως ἀνελεῖν ὑπέμεινεν. ᾔδει γὰρ ἐκ τῶν ἔμπροσθεν, ὅτι οὐ τὸ ποιεῖν κακῶς, ἀλλὰ τὸ πάσχειν κακῶς, τοῦτο ποιεῖ δυνατωτέρους. τοῦτο καὶ ἐπὶ τῶν σωμάτων γίνεται, τοῦτο καὶ ἐπὶ δένδρων. τί δὲ ὁ Ἰακώβ; οὐκ ἠδικήθη παρὰ τοῦ Λάβαν καὶ ἔπαθε κακῶς; τίς οὖν ἦν ἰσχυρότερος, ὁ λαβὼν αὐτὸν εἰς χεῖρας καὶ μὴ τολμήσας ἅψασθαι, ἀλλὰ δεδοικὼς καὶ τρέμων, ἢ οὗτος ὁ χωρὶς ὅπλων καὶ στρατιωτῶν μυρίων βασιλέων γενόμενος αὐτῷ φοβερώτερος; ἵνα δὲ καὶ ἑτέραν μείζονα ταύτης ἀπόδειξιν ὑμῖν παραγάγωμεν τῶν εἰρημένων, ἐπ᾽ αὐτοῦ πάλιν τοῦ Δαβὶδ εἰς τοὐναντίον τὸν λόγον γυμνάσωμεν. ὁ γὰρ ἀδικηθεὶς οὗτος καὶ ἰσχύσας, ἀδικήσας ὕστερον πάλιν ἀσθενέστερος γέγονεν. ὅτε γοῦν ἠδίκησε τὸν Οὐρίαν, μετέστη πάλιν ἡ τάξις, καὶ ἡ μὲν ἀσθένεια πρὸς τὸν ἀδικήσαντα, ἡ δὲ δύναμις πρὸς τὸν ἀδικηθέντα διέβη. νεκρὸς γὰρ ὢν ἐπόρθει τὴν οἰκίαν τὴν ἐκείνου· καὶ αὐτὸς μὲν βασιλεὺς ὢν καὶ ζῶν οὐδὲν ἴσχυσεν, ἐκεῖνος δὲ καὶ στρατιώτης ὢν καὶ σφαγεὶς, πάντα ἄνω καὶ κάτω πεποίηκε τὰ ἐκείνου. βούλεσθε καὶ ἑτέρωθεν, ὃ λέγω, ποιήσω σαφέστερον; ἐξετάσωμεν καὶ τοὺς δικαίως ἀμυνομένους. οἱ μὲν γὰρ ἀδικοῦντες, ὅτι πάντων εἰσὶν εὐτελέστεροι τῇ ἑαυτῶν πολεμοῦντες ψυχῇ, παντί που δῆλόν ἐστιν. ἀλλὰ τίς, φησὶν, ἠμύνατο δικαίως, καὶ μυρία ἀνῆψε κακὰ, καὶ πολλαῖς ἑαυτὸν περιέπειρε συμφοραῖς τε καὶ ὀδύναις; ὁ τοῦ Δαβὶδ στρατηγός. οὗτος γὰρ καὶ πόλεμον συνεκρότησε χαλεπὸν, καὶ μυρία ἔπαθε κακά· ὧν οὐδὲ ἓν ἂν ἐγεγόνει, εἴγε ἠπίστατο φιλοσοφεῖν. φεύγωμεν τοίνυν τὴν ἁμαρτίαν ταύτην, καὶ μήτε ῥήμασι μήτε πράγμασιν ἀδικῶμεν τοὺς πλησίον. οὐδὲ γὰρ εἶπεν, *ἐὰν κατηγορήσῃς καὶ δικαστήριον καθίσῃς· ἀλλ᾽ ἁπλῶς, ἐὰν κακῶς εἴπῃς, καὶ κατὰ σαυτοῦ, καὶ οὕτω τὴν ἐσχάτην δώσεις δίκην. κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον, σὺ δὲ κἂν πεπεισμένος εἴπῃς, καὶ οὕτω τιμωρηθήσῃ. οὐ γὰρ ἐξ ὧν ἔπραξεν ἐκεῖνος, ἀλλ᾽ ἐξ ὧν εἶπες σὺ, τὴν ψῆφον ὁ Θεὸς οἴσει. ἐκ γὰρ τῶν λόγων σου κατακριθήσῃ, φησίν. οὐκ ἀκούεις ὅτι καὶ ὁ Φαρισαῖος τἀληθῆ ἐφθέγξατο, καὶ τὰ πᾶσι κατάδηλα εἶπεν, οὐ τὰ λανθάνοντα ἐκκαλύψας; ἀλλ᾽ ὅμως τὴν ἐσχάτην ἔδωκε δίκην. εἰ δὲ τῶν ὡμολογημένων οὐ δεῖ κατηγορεῖν, πολλῷ μᾶλλον τῶν ἀμφισβητουμένων. καὶ γὰρ ἔχει δικαστὴν ὁ πεπλημμεληκώς. μὴ τοίνυν ἁρπάσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς. ἐκείνῳ τῆς κρίσεως ὁ θρόνος τετήρηται. ἀλλὰ βούλει δικάζειν; ἔστι σοι κριτήριον πολὺ τὸ κέρδος ἔχον, καὶ οὐδὲν ἔγκλημα φέρον. κάθισον ἐπὶ τοῦ συνειδότος τὸν δικάζοντα λογισμὸν, καὶ πάραγε εἰς μέσον τὰ πεπλημμελημένα σοι πάντα· ἐξέτασόν σου τὰ ἁμαρτήματα τῆς ψυχῆς, καὶ ἀπαίτει μετὰ ἀκριβείας τὰς εὐθύνας,

C. Bas. ια.

χ. ἅπτων,

χ. δοῦναι

χ. ἐπεξελθών;

χ. ὁ ποι

χ. στρατιω
τῶν

* ἐλέγ

χ. κακουρ
σῃς

χ. μὴ π
στευμένος

χ. δυνασ

θύνας, καὶ λέγε, διατί τὸ καὶ τό σοι τετόλμηται; κἂν ταῦτα μὲν φύγῃ, τὰ δὲ ἑτέρων ἐξετάζῃ, λέγε πρὸς αὐτήν· οὐχ ὑπὲρ τούτων σε κρίνω, οὐχ ὑπὲρ τούτων εἰσῆλθες ἀπολογησομένη. τί γάρ, ἂν ὁ δεῖνα πονηρός; σὺ τίνος ἕνεκεν τὸ καὶ τὸ ἐπλημμέλησας; ἀπολογοῦ, μὴ κατηγόρει· τὰ σαυτῆς σκόπει, μὴ τὰ ἑτέρων· καὶ συνεχῶς αὐτὴν εἰς ταύτην ἐμβίβαζε τὴν ἀγωνίαν. εἶτα, ἂν μηδὲν ἔχῃ λέγειν, ἀλλὰ καταδύηται, κατάξαινε μαστίζων αὐτὴν, καθάπερ τινὰ θεραπαινίδα μετέωρον καὶ πορνευομένην, καὶ τοῦτο καθ' ἑκάστην τὴν ἡμέραν κάθιζε τὸ δικαστήριον, καὶ ὑπόγραφε τὸν ποταμὸν τοῦ πυρὸς, τὸν σκώληκα τὸν ἰοβόλον, τὰ ἄλλα βασανιστήρια· καὶ μὴ ἀφῇς αὐτὴν συγγενέσθαι λοιπὸν τῷ διαβόλῳ, μηδὲ ἀνάσχῃ ἀναίσχυντα λεγούσης, ὅτι ἐκεῖνος πρός με ἔρχεται, αὐτός μοι ἐπιβουλεύει, αὐτός με πειράζει· ἀλλ' εἰπὲ πρὸς αὐτήν· ἂν σὺ μὴ θέλῃς, πάντα ἐκεῖνα περιττά. κἂν λέγῃ πάλιν, ὅτι σώματι συμπέπλεγμαι, σάρκα ἐνδέδυμαι, κόσμον οἰκῶ, ἐν γῇ διατρίβω· εἰπὲ πρὸς αὐτὴν, ὅτι πάντα ταῦτα σκῆψις καὶ προφάσεις. καὶ γὰρ ὁ δεῖνα σάρκα περιέκειτο, καὶ ὁ δεῖνα κόσμον οἰκῶν καὶ ἐν γῇ διατρίβων εὐδοκίμει· καὶ σὺ δὲ αὐτὴ, ὅταν εὐεργετῇς, σάρκα περικειμένη τοῦτο ποιεῖς. κἂν ἀλγῇ ταῦτα ἀκούουσα, μὴ ἄρῃς τὴν χεῖρα. οὐ γὰρ ἀποθανεῖται ἐὰν πατάξῃς, ἐκ θανάτου δὲ αὐτὴν ῥύσῃ. κἂν λέγῃ πάλιν, ὅτι ὁ δεῖνα παρώξυνεν, εἰπὲ πρὸς αὐτήν· ἀλλ' ἔξεστί σοι μὴ παροξύνεσθαι· πολλάκις γοῦν κατέσχες ὀργῆς. ἐὰν εἴπῃ, ὅτι ἡ εὐμορφία * τῆς δεῖνος ἀνεπτέρωσέ με· εἰπὲ πρὸς αὐτήν, ἀλλ' ἐδύνασο κρατεῖν. πάραγε τοὺς περιγινομένους, πάραγε τὴν γυναῖκα τὴν πρώτην, τὴν εἰποῦσαν, ὁ ὄφις ἠπάτησέ με, καὶ οὐκ ἀπαλλαγεῖσαν τοῦ ἐγκλήματος. ὅταν δὲ ταῦτα ἐξετάζῃς, μηδεὶς παρέστω, μηδεὶς θορυβείτω, ἀλλ' ὥσπερ οἱ δικασταὶ ὑπὸ τὰ παραπετάσματα καθεζόμενοι κρίνουσιν· οὕτω καὶ σὺ, ἀντὶ παραπετασμάτων καιρὸν ζήτησον ἡσυχίας καὶ τόπον· καὶ ὅταν δειπνήσας ἀναστῇς, καὶ μέλλῃς κατακλίνεσθαι, τότε ταῦτα δίκαζε. οὗτος ὁ καιρὸς ἐπιτήδειός σοι· τόπος δὲ, ἡ κλίνη καὶ ὁ θάλαμος. οὕτω καὶ ὁ προφήτης ἐκέλευσεν εἰπών· Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Ψαλ. δ. ε. καὶ τῶν μικρῶν μεγάλας εὐθύνας ἀπαίτει, ἵνα τῶν μεγάλων μηδὲ ἐγγὺς ἔλθῃς ποτέ. ἂν τοῦτο ποιῇς καθ' ἑκάστην τὴν ἡμέραν, μετὰ παρρησίας στήσῃ παρὰ τῷ βήματι ἐκείνῳ τῷ φοβερῷ. οὕτως ὁ Παῦλος ἐγένετο καθαρός. διὰ τοῦτο ἔλεγεν· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. α. Κορ. ια. λα. οὕτω τοὺς παῖδας ἐξεκάθαρεν ὁ Ἰώβ. ὁ γὰρ ὑπὲρ ἀδήλων θυσίας ἀναφέρων, πολλῷ μᾶλλον τῶν δήλων εὐθύνας ἀπῄτει. ἀλλ' ἡμεῖς οὐχ οὕτω ποιοῦμεν, ἀλλὰ τοὐναντίον ἅπαν. ὁμοῦ τε γὰρ κατεκλίθημεν, καὶ τὰ βιωτικὰ στρέφομεν ἅπαντα· καὶ οἱ μὲν ἀκαθάρτους εἰσάγουσι λογισμοὺς, οἱ δὲ δανείσματα καὶ συμβόλαια καὶ φροντίδας ἐπικήρους. καὶ θυγατέρα μὲν ἔχοντες παρθενευομένην, ἀκριβῶς φυλάττομεν· ἣ δὲ θυγατρὸς ἡμῖν τιμιωτέρα ἡ ψυχὴ, ταύτην ἐῶμεν πορνεύεσθαι καὶ μολύνεσθαι, μυρίας ἐπεισάγοντες ἐννοίας πονηρὰς αὐτῇ. κἂν [γὰρ] ὁ τῆς πλεονεξίας ἔρως, κἂν ὁ τῆς τρυφῆς, κἂν ὁ τῶν λαμπρῶν σωμάτων, κἂν ὁ τοῦ θυμοῦ, κἂν ὁστισοῦν ἕτερος ἐπεισελθεῖν βούληται, τὰς θύρας ἀναπετάσαντες ἕλκομεν καὶ καλοῦμεν, καὶ μετ' ἀδείας αὐτῇ παρέχομεν μίγνυσθαι. οὗ τί γένοιτ' ἂν βαρβαρικώτερον, τὴν πάντων ἡμῖν τιμιωτέραν ψυχὴν ὑπὸ τοσούτων μοιχῶν ὑβριζομένην περιορᾷν, καὶ μέχρι τοσούτου συγγινομένην, ἕως ἂν κορεσθῶσιν ἐκεῖνοι; ὅπερ οὐδέποτε ἔσται. διὰ δὴ τοῦτο ὅταν ὕπνος καταλάβῃ, τότε μόνον ἀφίστανται· μᾶλλον δὲ οὐδὲ τότε. καὶ γὰρ τὰ ὀνείρατα καὶ αἱ φαντασίαι τὰ αὐτὰ αὐτῇ φέρουσιν εἴδωλα· ὅθεν καὶ ἡμέρας γινομένης ἡ τοιαῦτα φανταζομένη ψυχὴ, καὶ εἰς τὸ ἔργον τῶν φαντασιῶν ἐκείνων πολλάκις ἐξέπεσε. σὺ δὲ τῇ μὲν κόρῃ τῶν ὀφθαλμῶν οὐδὲ μικρὰν κόνιν ἐπεισελθεῖν ἐᾷς· τὴν δὲ ψυχὴν φορτίον τοσούτων κακῶν ἐπισυρομένην περιορᾷς; πότε οὖν τὴν κόπρον ταύτην ἐξαντλῆσαι δυνησόμεθα, ἣν καθ' ἑκάστην τὴν ἡμέραν ἀποτιθέμεθα; πότε τὰς ἀκάνθας ἐκτεμεῖς; πότε τὰ σπέρματα καταβαλεῖν; οὐκ οἶσθα ὅτι τοῦ ἀμήτου λοιπὸν ἐφέστηκεν ὁ χειμῶνος; ἡμεῖς δὲ οὐδὲ ἐνεωσάμεθα οὐδέπω τὰς ἀρούρας. Ἐὰν οὖν παραγένηται ὁ γεωργὸς καὶ ἐγκαλῇ, τί ἐροῦμεν; τί δὲ ἀποκρινούμεθα; ὅτι τὰ σπέρματα οὐδεὶς ἔδωκε; καὶ μὴν καθ' ἑκάστην καταβάλλεται ταῦτα τὴν ἡμέραν. Ἀλλ' ὅτι τὰς ἀκάνθας οὐδεὶς ἐξέτεμε; καὶ μὴν καθ' ἑκάστην ἡμέραν τὴν δρεπάνην θήγομεν. Ἀλλ' αἱ βιωτικαὶ περιέλκουσιν ἀνάγκαι; καὶ διατί μὴ ἐσταύρωσας σαυτὸν τῷ κόσμῳ; Εἰ γὰρ ὁ τὸ δοθὲν ἀποδιδοὺς μόνον πονηρός, ἐπειδὴ μὴ ἐδιπλασίασεν, ὁ καὶ τοῦτο διαφθείρας, τί ἀκούσεται; Εἰ ἐκεῖνος δεθεὶς ἐξεβλήθη ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων, ἡμεῖς τί πεισόμεθα, μυρίων ἡμᾶς ἑλκόντων ἐπ' ἀρετήν, ἀναδυόμενοι καὶ ὀκνοῦντες; Τί γὰρ οὐχ ἱκανόν σε προτρέψαι; οὐχ ὁρᾷς τὸ εὐτελὲς τοῦ βίου; τὸ ἄδηλον τῆς ζωῆς; τὸν πόνον τὸν ἐν τοῖς παροῦσι; τὸν ἱδρῶτα; μὴ γὰρ τὴν μὲν ἀρετὴν μετὰ πόνου, τὴν δὲ κακίαν ἄνευ πόνων ἐστὶ μετελθεῖν; Εἰ οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ πόνος, διατί μὴ ταύτην εἵλου τὴν πολὺ τὸ κέρδος ἔχουσαν; μᾶλλον δὲ ἐστὶ τινα τῆς ἀρετῆς, ἃ μηδὲ πόνον ἔχει. ποῖος γὰρ πόνος, τὸ μὴ κακηγορεῖν μηδὲ ψεύδεσθαι, τὸ μὴ ὀμνύναι, καὶ τὴν ὀργὴν ἀφιέναι τῷ πλησίον; τοὐναντίον μὲν οὖν τὸ ταῦτα ποιεῖν ἐπίπονον καὶ πολλὴν φέρει τὴν φροντίδα. Τίς οὖν ἡμῖν ἔσται ἀπολογία; ποία συγγνώμη, μηδὲ ταῦτα κατορθοῦσιν; ἀπὸ γὰρ τούτων δῆλον ὅτι καὶ τὰ ἐπιπονώτερα ἀπὸ ῥᾳθυμίας ἡμᾶς διαφεύγει καὶ ὄκνου. ἅπερ ἅπαντα ἐννοήσαντες, φύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, [ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν] χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. μγ. 38 ΤΟΤΕ ΑΠΕΚΡΙΘΗΣΑΝ [ΑΥΤΩ] ΤΙΝΕΣ

τῶν γραμματέων καὶ φαρισαίων, λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. 39 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

ΑΡα τί γένοιτ' ἂν ἀνοητότερον τούτων καὶ ἀσεβέστερον, οἳ μετὰ τοσαῦτα σημεῖα, ὡς οὐδενὸς γενομένου, λέγουσι, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν; Τίνος οὖν ἕνεκεν τοῦτο ἔλεγον; ἵνα ἐπιλάβωνται πάλιν. ἐπειδὴ γὰρ ἀπὸ τῶν ῥημάτων αὐτοὺς ἐπεστόμισε, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, καὶ τὴν ἀναίσχυντον ἔφραξε γλῶτταν, ἐπὶ τὰ ἔργα πάλιν ἔρχονται· ὅπερ καὶ θαυμάζων πάλιν ὁ εὐαγγελιστὴς ἔλεγε· τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων, σημεῖον αἰτοῦντες. τότε· πότε; ὅτε ὑποκύπτειν ἐχρῆν, ὅτε θαυμάζειν, ὅτε ἐκπλήττεσθαι καὶ παραχωρεῖν, τότε τῆς πονηρίας οὐκ ἀφίστανται. ὅρα δὲ καὶ τὰ ῥήματα κολακείας γέμοντα καὶ εἰρωνείας. προσεδόκων γὰρ αὐτὸν ἐπισπάσασθαι διὰ τούτων. καὶ νῦν μὲν ὑβρίζουσι, νῦν δὲ κολακεύουσι, νῦν μὲν δαιμονῶντα καλοῦντες, νῦν δὲ διδάσκαλον· ἀμφότερα ἀπὸ πονηρᾶς γνώμης, εἰ καὶ ἐναντία τὰ λεγόμενα. διὰ τοῦτο αὐτῶν καὶ σφόδρα καθάπτεται. καὶ ὅτε μὲν αὐτὸν τραχέως ἠρώτων καὶ ὕβριζον, ἐπιεικῶς αὐτοῖς διελέγετο· ὅτε δὲ ἐκολάκευον, ὑβριστικῶς καὶ μετὰ πολλῆς τῆς σφοδρότητος, δεικνὺς ὅτι ἑκατέρου τοῦ πάθους ἐστὶν ἀνώτερος, καὶ οὔτε τότε εἰς ὀργὴν ἐξάπτεται, οὔτε νῦν ὑπὸ κολακείας μαλακίζεται. ὅρα δὲ καὶ τὴν ὕβριν, οὐχ ἁπλῶς λοιδορίαν οὖσαν, ἀλλ' ἀπόδειξιν ἔχουσαν τῆς πονηρίας αὐτῶν. Τί γάρ φησι; γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τί θαυμαστόν, εἰ ἐπ' ἐμοῦ ταῦτα ποιεῖτε τοῦ τέως ἀγνοουμένου παρ' ὑμῶν, ὅπου γε καὶ ἐπὶ τοῦ πατρὸς, οὗ τοσαύτην ἐλάβετε πεῖραν, τὸ αὐτὸ τοῦτο πεποιήκατε. καταλιπόντες γὰρ αὐτὸν ἐπὶ τοὺς δαίμονας ἐτρέχετε, ἐραστὰς ἐπισπώμενοι πονηρούς· ὃ συνεχῶς αὐτοῖς καὶ ὁ Ἰεζεκιὴλ ὠνείδιζε.

Ταῦτα δὲ ἔλεγε, δεικνὺς ἑαυτὸν τῷ πατρὶ συμφωνοῦντα, καὶ τούτους οὐδὲν ξένον ποιοῦντας, καὶ τὰ ἀπόρρητα αὐτῶν ἐκκαλύπτων, καὶ ὅτι μεθ' ὑποκρίσεως καὶ ὡς ἐχθροὶ ᾔτουν. διὰ τοῦτο αὐτοὺς εἶπε γενεὰν πονηράν, ὅτι ἀγνώμονες ἀεὶ γεγόνασι περὶ τοὺς εὐεργέτας, ὅτι εὖ πάσχοντες γίνονται χείρους, ὅπερ ἐσχάτης ἐστὶ πονηρίας. μοιχαλίδα δὲ ἐκάλεσε, καὶ τὴν προτέραν καὶ τὴν παροῦσαν ἀπιστίαν δηλῶν· ὅθεν δείκνυσιν ἑαυτὸν πάλιν τῷ πατρὶ ἴσον, εἴ γε καὶ τὸ μὴ πιστεῦσαι αὐτῷ μοιχαλίδα ποιεῖ. εἶτα ὑβρίσας, τί φησι; καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. ἤδη τὸν περὶ τῆς ἀναστάσεως προανακρούεται λόγον, καὶ πιστοῦται αὐτὸν ἀπὸ τοῦ τύπου. τί οὖν; ἐδόθη αὐτῇ σημεῖον, φησίν; οὐκ ἐδόθη αἰτούσῃ. οὐ γὰρ ὥστε αὐτοὺς ἐνάγειν ἐποίει τὰ σημεῖα (ᾔδει γὰρ πεπωρωμένους) ἀλλ' ὥστε ἑτέρους διορθοῦν. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι τοιοῦτον οὐ λήψονται σημεῖον, οἷον ἐκεῖνο. σημεῖον γὰρ αὐτοῖς γέγονεν, ὅτε διὰ τῆς οἰκείας κολάσεως ἔγνωσαν αὐτοῦ τὴν δύναμιν. ἐνταῦθα τοίνυν ἀπειλῶν λέγει, καὶ τοῦτο αὐτὸ αἰνιττόμενος, ὡς ἂν εἰ ἔλεγε· μυρίας εὐεργεσίας ἐπεδειξάμην· οὐδὲν τούτων ὑμᾶς ἐπεσπάσατο, οὐδὲ ἠθελήσατε προσκυνῆσαί μου τὴν δύναμιν. * γνώσεσθε τοίνυν διὰ τῶν ἐναντίων τὴν ἰσχὺν τὴν ἐμὴν, ὅταν τὴν πόλιν χαμαὶ ἐρριμμένην ἴδητε, ὅτε τὰ τείχη περιῃρημένα, ὅτε τὸν ναὸν ἐρείπιον γεγενημένον, ὅταν καὶ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας ἐκπέσητε τῆς προτέρας, καὶ πάλιν ἄοικοι καὶ φυγάδες πανταχοῦ περιέρχησθε. πάντα γὰρ ταῦτα μετὰ τὸν σταυρὸν γέγονε. ταῦτα οὖν ὑμῖν ἀντὶ σημείων ἔσται μεγάλων. καὶ γὰρ σφόδρα μέγα σημεῖόν ἐστι, τὸ ἀκίνητα αὐτῶν μένειν τὰ κακά, τὸ μυρίων ἐπιχειρησάντων μηδένα δυνηθῆναι διορθῶσαι τὴν ἅπαξ κατ' αὐτῶν ἐξενεχθεῖσαν δίκην. ἀλλὰ ταῦτα μὲν οὐ λέγει· καταλιμπάνει δὲ τῷ μετὰ ταῦτα χρόνῳ γενέσθαι αὐτοῖς σαφῆ. τέως δὲ τὸν περὶ τῆς ἀναστάσεως γυμνάζει λόγον, ὃν ἔμελλον εἴσεσθαι, δι' ὧν ἔμελλον ὕστερον ὑπομένειν.

ἐνταῦθα
ίνυν ἀπει-
ῶν λέγει·

γ. πλάνοι δη.
σάντες
γ. ἔσω

40 Ὥσπερ γὰρ ἦν Ἰωνᾶς, φησιν, ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

Φανερῶς μὲν γὰρ οὐκ εἶπεν ὅτι ἀναστήσεται (ἐπεὶ ἂν καὶ κατεγέλασαν) ᾐνίξατο δὲ οὕτως, ὡς ἐκείνους πιστεῦσαι ὅτι προῄδει. ὅτι γὰρ ᾔδεσαν, λέγουσι πρὸς τὸν Πιλάτον· εἶπέ, φησιν, ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἀναστήσομαι· καίτοιγε οἱ μαθηταὶ τοῦτο ἠγνόουν. καὶ γὰρ ἀσυνετώτεροι αὐτῶν ἔμπροσθεν ἦσαν. διὸ καὶ αὐτοκατάκριτοι γεγόνασιν οὗτοι. ὅρα δὲ πῶς καὶ αἰνιττόμενος ἀκριβῶς αὐτὸ τίθησιν. οὐ γὰρ εἶπεν, ἐν τῇ γῇ, ἀλλ' ἐν τῇ καρδίᾳ τῆς γῆς· ἵνα καὶ τὸν τάφον δηλώσῃ, καὶ μηδεὶς δόκησιν ὑποπτεύσῃ. καὶ τρεῖς δὲ ἡμέρας διὰ τοῦτο συνεχώρησεν, ἵνα πιστευθῇ ὅτι ἀπέθανεν. οὐ γὰρ τῷ σταυρῷ αὐτῷ μόνον βεβαιοῦται, καὶ τῇ πάντων ὄψει, ἀλλὰ καὶ τῷ χρόνῳ τῶν ἡμερῶν. τῇ μὲν γὰρ ἀναστάσει, πᾶς ὁ μετὰ ταῦτα ἔμελλε μαρτυρήσειν χρόνος· ὁ σταυρὸς δὲ, εἰ μὴ τότε πολλὰ εἶχε τὰ μαρτυροῦντα αὐτῷ σημεῖα, κἂν ἠπιστήθη· τούτου δὲ ἀπιστηθέντος, καὶ ἡ ἀνάστασις ἂν διηπιστήθη. διὰ τοῦτο καὶ σημεῖον αὐτὸ καλεῖ. εἰ δὲ μὴ ἐσταυρώθη, οὐκ ἂν ἐδόθη τὸ σημεῖον. διὰ τοῦτο καὶ τὸν τύπον φέρει εἰς μέσον, ἵνα πιστευθῇ ἡ ἀλήθεια. εἰπὲ γάρ μοι, φαντασία ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους; ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο εἰπεῖν. οὐκοῦν οὐδὲ ὁ Χριστὸς ἐν τῇ καρδίᾳ τῆς γῆς. οὐ γὰρ δήπου ὁ μὲν τύπος ἐν ἀληθείᾳ, ἡ δὲ ἀλήθεια ἐν φαντασίᾳ. διὰ τοῦτο πανταχοῦ τὸν θάνατον αὐτοῦ καταγγέλλομεν, καὶ ἐν τοῖς μυστηρίοις, καὶ ἐν τῷ βαπτίσματι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι. διὰ τοῦτο καὶ ὁ Παῦλος λαμπρᾷ βοᾷ τῇ φωνῇ· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅθεν δῆλον ὅτι τέκνα τοῦ διαβόλου εἰσὶν οἱ τὰ Μαρκίωνος νοσοῦντες, ταῦτα ἐξαλείφοντες, ἅπερ ὥστε μὴ ἀφανισθῆναι, μυρία ἐποίησεν ὁ Χριστὸς, καὶ ὥστε ἀφανισθῆναι, μυρία ἐσπούδακεν ὁ διάβολος, τὸν σταυρὸν λέγω καὶ τὸ πάθος. διὰ τοῦτο ἔλεγε καὶ ἀλλαχοῦ· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· καὶ, ἔσονται ἡμέραι

Ματθ. κζ.

Γαλ. ς. ιδ.

Ιωαν. β. ιθ.

ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος. καὶ ἐνταῦθα, οὐ δοθήσεται αὐτῇ σημεῖον, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, καὶ ὅτι ὑπὲρ αὐτῶν πείσεται δηλῶν, καὶ ὅτι οὐδὲν κερδανοῦσι. τοῦτο γὰρ μετὰ ταῦτα ἐδήλωσεν, ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς ἀπέθανε. τοσαύτη ἦν αὐτοῦ ἡ κηδεμονία. ἵνα γὰρ μὴ νομίσῃς ὅτι καὶ τὰ ἑξῆς τοιαῦτα ἔσται ἐπὶ τῶν Ἰουδαίων, οἷα ἐπὶ τῶν Νινευϊτῶν, καὶ ἐπιστραφήσονται, καὶ καθάπερ ἐκείνοις σειομένην τὴν πόλιν ἔστησε, καὶ τοὺς βαρβάρους ἐπέστρεψεν· οὕτω καὶ οὗτοι μετὰ τὴν ἀνάστασιν ἐπιστρέψουσιν, ἄκουσον πῶς τοὐναντίον ἅπαν δηλοῖ. ὅτι γὰρ οὐδὲν καρπώσονται ἐντεῦθεν εἰς τὴν οἰκείαν εὐεργεσίαν, ἀλλὰ καὶ ἀνήκεστα πείσονται, καὶ τοῦτο ἑξῆς ἐδήλωσε διὰ τοῦ κατὰ τὸν δαίμονα παραδείγματος. τέως δὲ ὑπὲρ ὧν μέλλουσι παθεῖν μετὰ ταῦτα ἀπολογεῖται, δεικνὺς ὅτι δικαίως πείσονται. τὰς μὲν γὰρ συμφορὰς αὐτῶν καὶ τὴν ἐρημίαν, ἀπὸ τοῦ παραδείγματος ἐκείνου ″ παρέστησε. τέως δὲ δείκνυσιν, ὅτι δικαίως ταῦτα πάντα ὑπομένουσιν· ὅπερ καὶ ἐπὶ τῆς παλαιᾶς ἐποίει. καὶ γὰρ τὰ Σόδομα μέλλων καθαιρεῖν, ἀπελογήσατο τῷ Ἀβραὰμ πρότερον, τὴν ἐρημίαν δείξας καὶ τὴν ἀπουσίαν τῆς ἀρετῆς, ὅπου γε οὐδὲ δέκα εὑρέθησαν ἄνδρες ἐν πόλεσι τοσαύταις σωφρόνως ζῆν προῃρημένοι. καὶ τὸν Λὼτ δὲ ὁμοίως δείξας τὴν μισοξενίαν καὶ τοὺς ἀτόπους αὐτῶν ἔρωτας, τότε ἐπήγαγε τὸ πῦρ. καὶ ἐπὶ τοῦ κατακλυσμοῦ δὲ τὸ αὐτὸ τοῦτο ἐποίησε, διὰ τῶν ἔργων ἀπολογησάμενος τῷ Νῶε. καὶ τὸν Ἰεζεκιὴλ δὲ ὁμοίως, ὅτε ἐν Βαβυλῶνι διάγοντα τὰ ἐν Ἱεροσολύμοις ἰδεῖν ἐποίησε κακά. καὶ τὸν Ἱερεμίαν δὲ πάλιν, ὅτε ἔλεγε, μὴ προσεύχου*, ἀπολογούμενος ἔλεγεν· ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσι; καὶ πανταχοῦ τὸ αὐτὸ τοῦτο ποιεῖ, ὃ δὴ καὶ ἐνταῦθα. τί γάρ φησιν;

Γεν. ιη.

Γεν. ιθ.

γρ. παρέστησε.

* περὶ τίν

41 Ἄνδρες Νινευῗται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ. καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. Ὁ μὲν γὰρ δοῦλος, ἐγὼ δὲ δεσπότης· καὶ ὁ μὲν ἐκ κήτους ἐξῆλθεν, ἐγὼ δὲ ἐκ θανάτου ἀνέστην· καὶ ὁ μὲν καταστροφὴν ἐκήρυξεν, ἐγὼ δὲ βασιλείαν ἦλθον εὐαγγελιζόμενος. καὶ οἱ μὲν χωρὶς σημείου ἐπίστευσαν· ἐγὼ δὲ πολλὰ σημεῖα ἐπεδειξάμην· καὶ οἱ μὲν οὐδὲν πλέον ἤκουσαν τῶν ῥημάτων ἐκείνων, ἐγὼ δὲ πᾶσαν ἐκίνησα φιλοσοφίας ἰδέαν· καὶ ὁ μὲν διακονούμενος παρεγένετο, ἐγὼ δὲ αὐτὸς ὁ δεσπότης καὶ ὁ πάντων κύριος ἦλθον, οὐκ ἀπειλῶν, ″ οὐκ ἀπαιτῶν εὐθύνας, ἀλλὰ συγχώρησιν κομίζων. καὶ οἱ μὲν βάρβαροι, οὗτοι δὲ προφήταις συνανεστράφησαν μυρίοις· καὶ περὶ ἐκείνου μὲν οὐδεὶς προεῖπε, περὶ ἐμοῦ δὲ ἅπαντες, καὶ τὰ ἔργα τοῖς λόγοις συνέβαινε. κἀκεῖνος μὲν ἐδραπέτευσεν ἀπιέναι μέλλων ὑπὲρ τοῦ μὴ καταγελασθῆναι· ἐγὼ δὲ εἰδὼς ὅτι καὶ σταυροῦσθαι καὶ καταγελᾶσθαι μέλλω, παρεγενόμην. καὶ ἐκεῖνος μὲν οὐδὲ ὀνειδισθῆναι ἤνεγκεν ὑπὲρ τῶν σωζομένων· ἐγὼ δὲ καὶ θάνατον ὑπέμεινα, θάνατον τὸν αἴσχιστον, καὶ μετὰ ταῦτα πάλιν ἑτέρους ἀποστέλλω. καὶ ὁ μὲν ξένος τις ἦν καὶ ἀλλότριος καὶ ἄγνωστος· ἐγὼ δὲ συγγενὴς κατὰ σάρκα καὶ προγόνων τῶν αὐτῶν. καὶ πολλὰ δὲ ἕτερα ἄν τις συναγάγοι τὸ πλέον ἐπιζητῶν. αὐτὸς δὲ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἕτερον προστίθησι παράδειγμα λέγων·

γρ. οὐδὲ

42 Ὅτι καὶ βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ ″ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε. Τοῦτο τοῦ προτέρου πλέον ἦν. ὁ μὲν γὰρ Ἰωνᾶς πρὸς ἐκείνους ἀπῆλθεν· ἡ δὲ βασίλισσα τοῦ νότου οὐκ ἀνέμεινε τὸν Σολομῶντα πρὸς αὐτὴν ἐλθεῖν, ἀλλ' αὐτὴ πρὸς αὐτὸν παρεγένετο, καὶ γυνὴ καὶ βάρβαρος οὖσα, καὶ τοσοῦτον ἀφεστηκυῖα. οὐκ ἀπειλῆς ἐπικειμένης, οὐ θάνατον δεδοικυῖα, ἀλλ' ἔρωτι ῥημάτων μόνον σοφῶν. ἀλλ' ἰδοὺ καὶ πλεῖον Σολομῶντος ὧδε. ἐκεῖ μὲν γὰρ ἡ γυνὴ παρεγένετο· ἐνταῦθα δὲ ἐγὼ ἦλθον· καὶ ἡ μὲν ἀπὸ τῶν περάτων τῆς γῆς ἀνέστη, ἐγὼ δὲ καὶ πόλεις καὶ κώμας περιέρχομαι. κἀκεῖνος μὲν ὑπὲρ δένδρων καὶ ξύλων διελέγετο, τὰ μηδὲν μέγα ὠφελῆσαι τὴν παραγενομένην δυνά-

γρ. αὐτήν

μένα· ἐγὼ δὲ ὑπὲρ ἀπορρήτων πραγμάτων καὶ μυστηρίων φρικωδεστάτων. ἐπεὶ οὖν αὐτοὺς κατέκρινε, δείξας ἐκ πολλοῦ τοῦ περιόντος ἀσύγγνωστα ἁμαρτάνοντας, καὶ τῆς αὐτῶν ἀγνωμοσύνης, οὐ τῆς τοῦ διδασκάλου ἀσθενείας, τὴν παρακοὴν οὖσαν, καὶ τοῦτο ἀπό τε ἄλλων πολλῶν, καὶ τῶν Νινευϊτῶν καὶ τῆς βασιλίσσης ἀπέδειξε, τότε λέγει καὶ τὴν καταληψομένην αὐτοὺς κόλασιν· αἰνιγματωδῶς μέν, λέγει δὲ ὅμως, πολὺν τὸν φόβον ἐνυφαίνων τῷ διηγήματι.

43 Ὅταν γάρ, φησιν, ἐξέλθῃ τὸ ἀκάθαρτον πνεῦμα ἐκ τοῦ ἀνθρώπου, περιέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον,

44 Λέγει· ἐπιστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθόν, εὑρίσκει σχολάζοντα καὶ σεσαρωμένον καὶ κεκοσμημένον.

45 Τότε πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἕτερα ἑπτὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ. Ἐντεῦθεν δείκνυσιν, ὅτι οὐκ ἐν τῷ μέλλοντι αἰῶνι μόνον, ἀλλὰ καὶ ἐνταῦθα χαλεπώτατα πείσονται. ἐπειδὴ γὰρ εἶπεν, ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· ἵνα μὴ διὰ τὴν τοῦ χρόνου μέλλησιν καταφρονήσωσι, καὶ ῥᾳθυμότεροι γένωνται, ἐντεῦθεν ἐφίστησιν αὐτοῖς τὰ δεινά. ὃ καὶ ὁ προφήτης Ὠσηὲ αὐτοῖς ἀπειλῶν ἔλεγεν, Ὅτι ἔσονται ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκὼς ἄνθρωπος, ὁ πνευματοφόρος· τουτέστιν, ὥσπερ οἱ μαινόμενοι καὶ οἱ βακχευόμενοι ὑπὸ τῶν πονηρῶν πνευμάτων οἱ ψευδοπροφῆται. προφήτην γὰρ ἐνταῦθα παρεξεστηκότα, τὸν ψευδοπροφήτην φησίν, οἷοί εἰσιν οἱ μάντεις. τοῦτο δὴ καὶ ὁ Χριστὸς δηλῶν, φησιν· ὅτι τὰ ἔσχατα πείσονται. Εἶδες πῶς πανταχόθεν αὐτοὺς ὠθεῖ ἐπὶ τὸ προσέχειν τοῖς λεγομένοις; ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν μελλόντων, ἀπὸ τῶν εὐδοκιμησάντων (ἀπὸ τῶν Νινευϊτῶν λέγω καὶ τῆς βασιλίσσης) ἀπὸ τῶν προσκεκρουκότων Τυρίων καὶ Σοδομιτῶν· ὃ καὶ οἱ προφῆται ἐποίουν, τοὺς υἱοὺς Ῥηχὰβ παράγοντες, καὶ τὴν νύμφην τὴν οὐκ ἐπιλανθανομένην τοῦ κόσμου τοῦ οἰκείου καὶ τῆς στηθοδεσμίδος, καὶ τὸν βοῦν τὸν εἰδότα τὸν κτησάμενον, καὶ τὸν ὄνον τὴν φάτνην ἐπιγινώσκοντα. οὕτω δὴ καὶ ἐνταῦθα, ἀπὸ συγκρίσεως παραστήσας αὐτῶν τὴν ἀγνωμοσύνην, λέγει καὶ τὴν τιμωρίαν λοιπόν. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; καθάπερ οἱ δαιμονῶντες, φησιν, ὅταν ἀπαλλαγῶσι τῆς ἀρρωστίας ἐκείνης, ἂν ῥᾳθυμότεροι γένωνται, χαλεπωτέραν ἐπισπῶνται καθ' ἑαυτῶν τὴν φαντασίαν· οὕτω καὶ ὑφ' ὑμῶν γίνεται. καὶ γὰρ καὶ ἔμπροσθεν κατείχεσθε δαίμονι, ὅτε τὰ εἴδωλα προσεκυνεῖτε καὶ τοὺς υἱοὺς ὑμῶν ἐσφάττετε τοῖς δαιμονίοις, πολλὴν ἐπιδεικνύμενοι μανίαν· ἀλλ' ὅμως οὐκ ἐγκατέλιπον ὑμᾶς, ἀλλ' ἐξέβαλον τὸν δαίμονα ἐκεῖνον διὰ τῶν προφητῶν, καὶ δι' ἐμαυτοῦ πάλιν ἦλθον ἐπὶ πλεῖον ἐκκαθᾶραι ὑμᾶς βουλόμενος. ἐπεὶ οὖν οὐ βούλεσθε προσέχειν, ἀλλὰ καὶ εἰς πλείονα ἐξωκείλατε πονηρίαν (τοῦ γὰρ προφήτας ἀνελεῖν, πολλῷ μεῖζον καὶ χαλεπώτερον τὸ καὶ αὐτὸν κατασφάξαι) διὰ τοῦτο χαλεπώτερα πείσεσθε τῶν προτέρων, τῶν κατὰ Βαβυλῶνα λέγω καὶ κατ' Αἴγυπτον, καὶ κατὰ Ἀντίοχον τὸν πρῶτον. τὰ γὰρ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου συμβάντα αὐτοῖς πολλῷ μᾶλλον τούτων χαλεπώτερα. διὸ καὶ ἔλεγεν· Ἔσται θλίψις μεγάλη, οἵα οὐδέποτε γέγονεν, οὐδὲ μὴ ἔσται. οὐ τοῦτο δὲ μόνον δηλοῖ τὸ ὑπόδειγμα, ἀλλ' ὅτι καὶ ἀρετῆς ἁπάσης ἔσονται ἔρημοι καθόλου, καὶ τῇ τῶν δαιμόνων ἐνεργείᾳ εὐεπιχείρητοι μᾶλλον ἢ τότε. τότε μὲν γάρ, εἰ καὶ ἡμάρτανον, ἀλλ' ὅμως ἦσαν καὶ οἱ κατορθοῦντες ἐν αὐτοῖς, καὶ παρῆν ἡ τοῦ Θεοῦ πρόνοια, καὶ ἡ τοῦ πνεύματος χάρις ἐπιμελουμένη, διορθουμένη, τὰ παρ' ἑαυτῆς ἅπαντα πληροῦσα· νυνὶ δὲ καὶ ταύτης καθόλου ἐρημωθήσονται τῆς κηδεμονίας, φησίν, ὥστε καὶ ἀρετῆς πλείων σπάνις νῦν καὶ συμφορᾶς ἐπίτασις, καὶ δαιμόνων ἐνέργεια τυραννικωτέρα. ἴστε οὖν καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὅτε ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανὸς ἐξεβακχεύθη, πῶς μετὰ τῶν

Ωσ. θ. η.

Ιερ. λβ.

Ματθ. κδ. κα.

Ἑλλήνων ἑαυτοὺς ἔταττον, πῶς τὰ ἐκείνων ἐθεράπευον. ὥστε κἂν μικρόν τι δοκῶσι σωφρονεῖν νῦν, διὰ τὸν τῶν βασιλέων φόβον ἡσυχάζουσιν· ὡς εἰ μὴ τοῦτο ἦν, πολλῷ τῶν προτέρων χαλεπώτερα ἐτόλμησαν ἄν. ἐν γὰρ τοῖς ἄλλοις πονηροῖς ἔργοις νικῶσι τοὺς ἔμπροσθεν, γοητείας, μαγγανείας, ἀσελγείας* μετὰ πολλῆς ἐπιδεικνύμενοι τῆς ὑπερβολῆς· καὶ ἐν τοῖς ἄλλοις δὲ (καίτοι τοσούτῳ χαλινῷ κατεχόμενοι) πολλάκις ἐστασίασαν, καὶ βασιλέων κατεξανέστησαν, ὡς καὶ τοῖς ἐσχάτοις περιπεσεῖν κακοῖς.

γρ. νῦν

* πάντα

ΗΘΙΚΟΝ

Ποῦ νῦν εἰσιν οἱ τὰ σημεῖα ζητοῦντες; ἀκουέτωσαν ὅτι γνώμης χρεία εὐγνώμονος· κἂν μὴ αὕτη παρῇ, σημείων οὐδὲν ὄφελος. ἰδοὺ γοῦν οἱ μὲν Νινευῖται χωρὶς σημείων ἐπίστευσαν· οὗτοι δὲ μετὰ τοσαῦτα θαύματα χείρους ἐγένοντο, καὶ δαιμόνων ἀπείρων οἰκητήριον ἑαυτοὺς κατέστησαν, καὶ μυρίας ἐπεσπάσαντο συμφοράς· καὶ μάλα εἰκότως. ὅταν γὰρ ἅπαξ τις ἐλευθερωθεὶς τῶν κακῶν μὴ σωφρονισθῇ, πολλῷ χαλεπώτερα πείσεται τῶν προτέρων. Διὰ γὰρ τοῦτο εἶπεν, ὅτι οὐχ εὑρίσκει ἀνάπαυσιν, ἵνα δείξῃ ὅτι πάντως καὶ ἐξ ἀνάγκης λήψεται τὸν τοιοῦτον ἡ τῶν δαιμόνων ἐπιβουλή. καὶ γὰρ ἀπὸ δύο τούτων σωφρονισθῆναι ἔδει, ἀπό τε τοῦ παθεῖν πρότερον, ἀπό τε τοῦ ἀπαλλαγῆναι· μᾶλλον δὲ καὶ τρίτον πρόσεστιν, ἡ τοῦ χείρονα πείσεσθαι ἀπειλή. ἀλλ' ὅμως οὐδενὶ τούτων ἐγένοντο βελτίους. Ταῦτα δὲ μὴ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς εἰρῆσθαι καιρὸν ἂν ἔχοι, ὅταν φωτισθέντες καὶ τῶν προτέρων ἀπαλλαγέντες κακῶν, πάλιν τῆς αὐτῆς ἐχώμεθα πονηρίας. καὶ γὰρ χαλεπωτέρα λοιπὸν ἔσται ἡ κόλασις τῶν μετὰ ταῦτα ἁμαρτημάτων. διὰ τοῦτο καὶ τῷ παραλύτῳ ὁ Χριστὸς ἔλεγεν· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· καὶ ταῦτα πρὸς ἄνθρωπον τριάκοντα ὀκτὼ ἔτη ἔχοντα ἐν τῇ ἀσθενείᾳ. καὶ τί χεῖρον ἔμελλε, φησί, πείσεσθαι τούτων; πολλῷ χεῖρον καὶ χαλεπώτερον. μὴ γὰρ δὴ γένοιτο τοσαῦτα ἡμᾶς ὑπομένειν, ὅσα δυνάμεθα παθεῖν. οὐδὲ γὰρ ἀπορεῖ τιμωριῶν ὁ Θεός. κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ἡ ὀργὴ αὐτοῦ. καὶ τοῦτο καὶ τῇ Ἱερουσαλὴμ ἐγκαλεῖ διὰ τοῦ Ἰεζεκιήλ. Εἶδον γάρ σε, φησί, πεφυρμένην ἐν αἵματι, καὶ ἔλουσα καὶ ἔχρισα, καὶ ἐγένετό σοι ὄνομα ἐν τῷ κάλλει σου· καὶ ἐξεπόρνευσας, φησίν, ἐπὶ τοὺς ὁμοροῦντάς σοι· διὸ καὶ χαλεπώτερα ἀπειλεῖ σοι ἁμαρτανούσῃ. ἐντεῦθεν δὲ μὴ τὴν κόλασιν λογίζου μόνον, ἀλλὰ καὶ τὴν ἄπειρον τοῦ Θεοῦ μακροθυμίαν. ποσάκις γοῦν τῶν αὐτῶν ἡψάμεθα κακῶν, καὶ ἔτι μακροθυμεῖ; ἀλλὰ μὴ θαρρῶμεν, ἀλλὰ φοβηθῶμεν. καὶ γὰρ ὁ Φαραώ, εἰ ἐκ τῆς πρώτης πληγῆς ἐπαιδεύθη, οὐκ ἂν ἔλαβε πεῖραν τῶν ὑστέρων, οὐκ ἂν μετὰ ταῦτα ἅμα αὐτῷ τῷ στρατῷ κατεποντίσθη. Ταῦτα δὲ λέγω ἐπεὶ πολλοὺς οἶδα κατὰ τὸν Φαραὼ καὶ νῦν λέγοντας, οὐκ οἶδα τὸν Θεόν, καὶ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλοῦντας τοὺς ὑπευθύνους. πόσοι, τοῦ Θεοῦ κελεύοντος ἀνιέναι τὴν ἀπειλήν, οὐδὲ τὸν πόνον ἀνέχονται χαλάσαι; ἀλλ' οὐκ ἔστιν ἐρυθρὰν θάλατταν διαβῆναι νῦν λοιπόν, ἀλλὰ πέλαγός ἐστι πυρός, πέλαγος οὐ τοιοῦτον οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ μεῖζον καὶ ἀγριώτερον, ἐκ τοῦ πυρὸς ἔχον τὰ κύματα, πυρὸς ξένου τινὸς καὶ φρικώδους. ἄβυσσός ἐστιν ἐκεῖ μεγάλη φλογὸς χαλεπωτάτης. πανταχοῦ γὰρ πῦρ περιτρέχον ἐστὶν ἰδεῖν, ἀγρίῳ τινὶ θηρίῳ ἐοικός. εἰ γὰρ ἐνταῦθα τὸ αἰσθητὸν τοῦτο καὶ ὑλικὸν πῦρ, ὥσπερ θηρίον ἐκπηδῆσαν τῆς καμίνου, ἐφήλατο τοῖς ἔξω καθημένοις ἐπὶ τῶν τριῶν παίδων, τί οὐκ ἐργάσεται ἐκεῖνο τοὺς ἐμπεσοῦντας; ἄκουσον περὶ τῆς ἡμέρας ἐκείνης λεγόντων τῶν προφητῶν· Ἡμέρα Κυρίου ἀνίατος, θυμοῦ καὶ ὀργῆς πλήρης. οὐδεὶς γὰρ ἔσται ὁ παριστάμενος, οὐδεὶς ὁ ἐξαιρούμενος, οὐδαμοῦ τοῦ Χριστοῦ τὸ πρόσωπον τὸ ἥμερον καὶ γαληνόν. ἀλλ' ὥσπερ οἱ τὰ μέταλλα ἐργαζόμενοι χαλεποῖς τισι παραδίδονται ἀνθρώποις, καὶ οὐδένα τῶν οἰκείων βλέπουσιν, ἀλλὰ τοὺς ἐφεστηκότας μόνους· οὕτω δὴ καὶ τότε, μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. ἐνταῦθα μὲν γὰρ δυνατὸν καὶ προσελθεῖν καὶ δεηθῆναι τοῦ βασιλέως, καὶ λῦσαι τὸν καταδικασθέντα· ἐκεῖ δὲ οὐκ ἔτι. οὐ γὰρ ἐφεῖται, ἀλλὰ μένου-

σιν

Ἰωάν. ε. ιδ.

Ἰεζ. ιϛ. ϛ.

γρ. πολλά

γρ. ἐμπεσόν-
τας;

Ἡσ. ιγ. ϛ.

γρ. ἀφεῖσθ'
ἐφίστ.

κεφ. ιϛ.

σιν ἀποτηγανιζόμενοι, καὶ τοσαύτην ὀδύνην ἔχοντες, ὅσην οὐδὲ εἰπεῖν δυνατόν. Εἰ γὰρ τῶν ἐνταῦθα καιομένων τὰς δριμείας ἀλγηδόνας οὐδεὶς δύναται παραστῆσαι λόγος· πολλῷ μᾶλλον τῶν ταῦτα ἐκεῖ πασχόντων. ἐνταῦθα μὲν γὰρ, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν γίνεται· ἐκεῖ δὲ, καίεται μὲν, οὐ δαπανᾶται δὲ τὸ καιόμενον. τί τοίνυν ποιήσωμεν ἐκεῖ; καὶ γὰρ πρὸς ἐμαυτὸν ταῦτα λέγω. καὶ εἰ σύ, φησιν, ὁ διδάσκαλος, περὶ σεαυτοῦ ταῦτα λέγεις, οὐδὲν ἐμοὶ μέλει λοιπόν. τί γὰρ θαυμαστὸν ἐμὲ κολάζεσθαι; μὴ, παρακαλῶ, μηδεὶς ταύτην ζητείτω τὴν παραμυθίαν. οὐ γάρ ἐστιν αὕτη παραψυχή. εἰπὲ γάρ μοι, οὐχὶ ἀσώματος δύναμις ἦν ὁ διάβολος; οὐ τῶν ἀνθρώπων βελτίων; ἀλλ' ὅμως ἐξέπεσεν. ἆρ' οὖν ἔστιν ὅστις παραμυθίαν ἐκ τοῦ μετ' ἐκείνου κολάζεσθαι λήψεται; οὐδαμῶς. τί δαὶ οἱ ἐν Αἰγύπτῳ πάντες; οὐχὶ καὶ τοὺς ἐν ἀρχαῖς ἑώρων κολαζομένους, καὶ ἑκάστην οἰκίαν πένθος ἔχουσαν; ἆρ' οὖν ἐντεῦθεν * καὶ παρεκλήθησαν καὶ ἀνέπνευσαν; οὐ δῆτα. καὶ δῆλον ἐξ ὧν μετὰ ταῦτα ἐποίησαν, ὥσπερ ὑπό τινος φλογὸς μαστιζόμενοι, συνεπιστάντες τῷ βασιλεῖ, καὶ ἀναγκάσαντες ἐκβαλεῖν τῶν Ἑβραίων τὸν δῆμον. καὶ γὰρ σφόδρα ψυχρὸς οὗτος ὁ λόγος, τὸ νομίζειν παραμυθίαν φέρειν τὸ μετὰ πάντων κολάζεσθαι· τὸ λέγειν, ὡς πάντες, καὶ ἐγώ. τί γὰρ χρὴ λέγειν τὴν γέενναν; ἐννόησόν μοι τοὺς ὑπὸ ποδαλγίας κατεχομένους, οἳ ὅταν ὑπὸ δριμείας ὀδύνης κατατείνωνται, κἂν μυρίους δείξῃς χαλεπώτερα πάσχοντας, οὐδ' εἰς νοῦν λαμβάνουσι. τὸ γὰρ ἐπιτεταμένον τῆς ἀλγηδόνος οὐ συγχωρεῖ τῷ λογισμῷ σχολήν τινα ἔχειν, εἰς τὸ λογίσασθαι ἑτέρους καὶ παραμυθίαν εὑρεῖν. μὴ τοίνυν ταῖς ψυχραῖς ταύταις ἐλπίσι τρεφώμεθα. τὸ γὰρ δέξασθαι παραμυθίαν ἐκ τῶν τοῦ πέλας κακῶν, ἐν τοῖς συμμέτροις γίνεται τῶν παθῶν· ὅταν δὲ ὑπερέχῃ ἡ βάσανος, καὶ ζάλης ᾖ πάντα μεστὰ ἔνδον, καὶ μηδὲ ἑαυτὴν εἰδέναι ἡ ψυχὴ λοιπὸν ἔχῃ, πόθεν καρπώσεται παραμυθίαν; ὥστε γέλως πάντα ταῦτα τὰ ῥήματα καὶ μῦθοι παίδων ἀνοήτων εἰσί. τοῦτο γὰρ ὃ λέγεις ἐν ἀθυμίᾳ συμβαίνει, καὶ ἐν ἀθυμίᾳ συμμέτρῳ, ὅταν ἀκούσωμεν ὅτι ὁ δεῖνα τὸ αὐτὸ ἔπαθεν· ἔστι δὲ ὅτε οὐδὲ ἐν ἀθυμίᾳ. εἰ δὲ ἐκεῖ οὐδεμίαν ἰσχὺν ἔχει, πολλῷ μᾶλλον ἐν ὀδύνῃ καὶ πόνῳ ἀρρήτῳ, ἣν ὁ βρυγμὸς τῶν ὀδόντων δείκνυσι. καὶ οἶδα μὲν φορτικὸς ὢν καὶ λυπῶν ὑμᾶς διὰ τῶν ῥημάτων τούτων· ἀλλὰ τί πάθω; οὐ γὰρ ἐβουλόμην ταῦτα λέγειν, ἀλλὰ καὶ ἐμαυτῷ καὶ πᾶσιν ὑμῖν ἀρετὴν συνειδέναι. ἐπειδὴ δὲ ἐν ἁμαρτήμασίν ἐσμεν οἱ πλείους, τίς ἄν μοι δοίη ἀληθῶς δυνηθῆναι λυπῆσαι ὑμᾶς, καὶ καθικέσθαι τῆς διανοίας τῶν ἀκροωμένων; τότε ἂν οὕτως ἀνεπαυσάμην· νῦν δὲ δέδοικα μή τινες καταφρονήσωσι τῶν λεγομένων, καὶ μείζων ἡ κόλασις διὰ τὴν ὀλιγωρίαν τῆς ἀκροάσεως γένηται. οὐδὲ γὰρ, εἰ δεσπότου τινὸς ἀπειλοῦντος τῶν συνδούλων τις ἀκούων κατεφρόνει τῆς ἀπειλῆς, ἀτιμωρητὶ παρέδραμεν ἂν αὐτὸν ὁ ἀγανακτήσας, ἀλλὰ καὶ τοῦτο ὑπόθεσις αὐτῷ κολάσεως ἂν ἐγένετο μείζονος. διὸ παρακαλῶ, κατανύξωμεν ἑαυτοὺς τῶν περὶ γεέννης ἀκούοντες λόγων. οὐδὲν γὰρ ἥδιόν ἐστι τῆς διαλέξεως ταύτης, ἐπειδὴ τῶν πραγμάτων οὐδὲν πικρότερον. καὶ πῶς ἡδὺ τὸ περὶ γεέννης ἀκοῦσαι, φησιν; ἐπειδὴ ἀηδὲς τὸ εἰς γέενναν ἐμπεσεῖν, ὅπερ ἀποκρούεται τὰ δοκοῦντα φορτικὰ εἶναι ῥήματα, καὶ περὶ τούτου ἑτέραν τίθησιν ἡδονήν. συστρέφει γὰρ ἡμῶν τὰς ψυχάς, καὶ εὐλαβεστέρους ποιεῖ, καὶ μετεωρίζει τὴν διάνοιαν, καὶ πτεροῖ τὸν λογισμόν, καὶ τὴν πονηρὰν τῶν ἐπιθυμιῶν ἐκβάλλει πολιορκίαν, καὶ ἰατρεία τὸ πρᾶγμα γίνεται. διὸ δὴ μετὰ τῆς κολάσεως δότε μοι καὶ τὴν αἰσχύνην εἰπεῖν. καθάπερ γὰρ τοὺς Ἰουδαίους οἱ Νινευΐται κατακρινοῦσι τότε, οὕτω καὶ ἡμᾶς πολλοὶ κατακρινοῦσι τῶν δοκούντων καταδεεστέρων νῦν. ἐννοήσωμεν τοίνυν ὅσος ὁ γέλως, ὅση ἡ κατάγνωσις· ἐννοήσωμεν καὶ βαλώμεθά τινα ἀρχὴν κἂν νῦν, καὶ θύραν μετανοίας. πρὸς ἐμαυτὸν ταῦτα λέγω, πρῶτον ἐμαυτῷ ταῦτα παραινῶ· καὶ μηδεὶς ὀργιζέσθω ὡς κατακρινόμενος· ἁψώμεθα τῆς ὁδοῦ τῆς στενῆς. μέχρι πότε τρυφή; μέχρι πότε ἄνεσις; οὐκ ἐνεπλήσθημεν

πλήσθημεν

πλήθημεν ῥαθυμοῦντες; γελῶντες; ἀναβαλλόμενοι; οὐ τὰ αὐτὰ πάλιν ἔσται, τράπεζα, καὶ κόρος, καὶ πολυτέλεια, καὶ χρήματα, καὶ κτήσεις, καὶ οἰκοδομαί; καὶ τί τὸ τέλος; θάνατος. τί τὸ τέλος; τέφρα καὶ κόνις καὶ σοροὶ καὶ σκώληκες. ἐπιδειξώμεθα τοίνυν καινήν τινα ζωήν, ποιήσωμεν τὴν γῆν οὐρανόν· ἐντεῦθεν δείξωμεν Ἕλλησιν, ὅσων εἰσὶν ἀπεστερημένοι καλῶν. ὅταν γὰρ ἴδωσι καλῶς ἡμᾶς πολιτευομένους, τὴν ὄψιν αὐτὴν θεάσονται τῆς βασιλείας τῶν οὐρανῶν. ὅταν γὰρ ἴδωσιν ἐπιεικεῖς, ὀργῆς καθαρούς, ἐπιθυμίας πονηρᾶς, βασκανίας, πλεονεξίας, τὰ ἄλλα πάντα κατορθοῦντας, ἐροῦσιν· εἰ ἐνταῦθα ἄγγελοι γεγόνασιν οἱ χριστιανοί, τί ἔσονται μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; εἰ ἔνθα ξένοι εἰσὶν, οὕτω λάμπουσιν, ὅταν τὴν πατρίδα αὐτῶν ἀπολάβωσιν, ἡλίκοι γενήσονται; οὕτω καὶ ἐκεῖνοι βελτίους ἔσονται, καὶ ὁ λόγος τῆς εὐσεβείας "διαδραμεῖται οὐκ ἔλαττον ἢ ἐπὶ τῶν ἀποστόλων. εἰ γὰρ δώδεκα ὄντες ἐκεῖνοι, πόλεις ὁλοκλήρους καὶ χώρας ἐπέστρεψαν· εἰ πάντες γενοίμεθα διδάσκαλοι διὰ τῆς κατὰ τὸν βίον ἐπιμελείας, ἐννόησον ποῦ ἀρθήσεται τὰ ἡμέτερα. οὐδὲ γὰρ οὕτως ἐπισπᾶται τὸν Ἕλληνα νεκρὸς ἀναστάμενος, ὡς ἄνθρωπος φιλοσοφῶν. πρὸς μὲν γὰρ ἐκεῖνο ἐκπλαγήσεται, ἀπὸ δὲ τούτου κερδανεῖ. ἐκεῖνο γέγονε καὶ παρῆλθε, τοῦτο δὲ μένει, καὶ διὰ παντὸς αὐτοῦ γεωργεῖ τὴν ψυχήν. ἐπιμελησώμεθα τοίνυν ἡμῶν αὐτῶν, ἵνα καὶ ἐκείνους κερδάνωμεν. οὐδὲν γὰρ λέγω φορτικόν· οὐ λέγω, μὴ γάμει· οὐ λέγω, καταλίμπανε πόλεις καὶ ἀφίστασο πολιτικῶν πραγμάτων· ἀλλ᾽ ἐν τούτοις ὤν, δεῖξον τὴν ἀρετήν. καὶ γὰρ τοὺς ἐν μέσαις πόλεσι στρεφομένους βούλομαι μᾶλλον εὐδοκιμεῖν τῶν τὰ ὄρη κατειληφότων. διατί; ὅτι πολὺ τὸ κέρδος ἐντεῦθεν γίνεται. οὐδεὶς γὰρ καίει λύχνον, καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον. διὰ τοῦτο βούλομαι ἐπὶ τῆς λυχνίας κεῖσθαι τοὺς λύχνους ἅπαντας, ἵνα πολὺ τὸ φῶς γένηται. ἀνάψωμεν" τοίνυν αὐτοῦ τὸ πῦρ, ποιήσωμεν τοὺς ἐν σκότῳ καθημένους ἀπαλλαγῆναι τῆς πλάνης· καὶ μή μοι λέγε, ὅτι γυναῖκα ἔχω, καὶ παιδία κέκτημαι, καὶ οἰκίας προΐσταμαι, καὶ οὐ δύναμαι ταῦτα κατορθοῦν. κἂν γὰρ τούτων μηδὲν ἔχῃς, ῥᾴθυμος δὲ ᾖς, πάντα οἴχεται· κἂν ταῦτα πάντα ᾖς περικείμενος, σπουδαῖος δὲ ᾖς, περιέσῃ τῆς ἀρετῆς. ἓν γάρ ἐστι τὸ ζητούμενον, γνώμης γενναίας παρασκευή. καὶ οὔτε ἡλικία, οὔτε πενία, "οὐ πλοῦτος, "οὐ πραγμάτων περίστασις, οὐκ ἄλλο οὐδὲν ἐμποδίσαι δυνήσεται. καὶ γὰρ καὶ γέροντες, καὶ νέοι, καὶ γυναῖκας ἔχοντες, καὶ "παῖδας τρέφοντες, καὶ τέχνας μεταχειριζόμενοι, καὶ στρατευόμενοι κατώρθωσαν τὰ ἐπιταχθέντα ἅπαντα. καὶ γὰρ ὁ Δανιὴλ νέος ἦν, καὶ ὁ Ἰωσὴφ δοῦλος ἦν, καὶ ὁ Ἀκύλας τέχνην μετεχειρίζετο, καὶ ἡ πορφυρόπωλις ἐργαστηρίου προειστήκει, καὶ ἄλλος δεσμοφύλαξ ἦν, καὶ ἄλλος ἑκατοντάρχης, ὡς ὁ Κορνήλιος, καὶ ἕτερος ἀσθενής, ὡς ὁ Τιμόθεος, καὶ ἄλλος δραπέτης, ὡς Ὀνήσιμος· ἀλλ᾽ οὐδὲν οὐδενὶ τούτων γέγονε κώλυμα, ἀλλὰ πάντες εὐδοκίμησαν, καὶ ἄνδρες καὶ γυναῖκες, καὶ νέοι καὶ γέροντες, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ στρατιῶται καὶ ἰδιῶται. μὴ τοίνυν περιττὰ σκηπτώμεθα, ἀλλὰ γνώμην παρασκευάσωμεν ἀρίστην. κἂν ὁποιοῦν ὦμεν, πάντως "ἐπιληψόμεθα ἀρετῆς, καὶ τῶν μελλόντων "ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. δραμεῖται

γρ. τοῦτο

γρ. ὅτι

γρ. ὅτι

γρ. παιδία

γρ. -ψόμεθα

γρ. ἐπιτύχωμεν

Ομιλ. μδ.

46 ΕΤΙ ΔΕ ΑΥΤΟΥ ΛΑΛΟΥΝΤΟΣ ΤΟΙΣ
ὄχλοις, ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζη-
τοῦντες αὐτῷ λαλῆσαι. 47 Εἶπε δέ τις αὐτῷ, ἰδοὺ ἡ μήτηρ σου
καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι ζητοῦντές σοι λαλῆσαι.
48 Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ εἰπόντι αὐτῷ, τίς ἐστιν ἡ μήτηρ μου;
καὶ τίνες οἱ ἀδελφοί μου; 49 Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ
τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου.

Ὅπερ πρώην ἔλεγον, ὅτι ἀρετῆς ἀπούσης ἅπαντα περιττά, τοῦτο καὶ νῦν μετὰ πολλῆς δείκνυται τῆς περιουσίας. ἐγὼ μὲν γὰρ ἔλεγον, ὅτι καὶ ἡλικία, καὶ φύσις, καὶ τὸ ἔρημον οἰκεῖν, καὶ ὅσα τοιαῦτα ἀόνητα, γνώμης οὐκ οὔσης ἀγαθῆς· σήμερον δὲ καὶ πλέον ἕτερόν τι μανθάνομεν, ὅτι οὐδὲ τὸ κυοφορῆσαι τὸν Χριστὸν καὶ τὸν θαυμαστὸν ἐκεῖνον τόκον τεκεῖν, ἔχει τι κέρδος, ἀρετῆς οὐκ οὔσης. καὶ τοῦτο μάλιστα ἐντεῦθεν δῆλον· ἔτι γὰρ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, φησὶν, εἶπέ τις αὐτῷ, ὅτι ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε. ὁ δὲ λέγει· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπαισχυνόμενος ἐπὶ τῇ μητρὶ, οὐδὲ ἀρνούμενος τὴν γεγεννηκυῖαν (εἰ γὰρ ἐπῃσχύνετο, οὐκ ἂν διῆλθε διὰ τῆς μήτρας ἐκείνης) ἀλλὰ δηλῶν ὅτι οὐδὲν αὐτῇ ὄφελος τούτου, εἰ μὴ τὰ δέοντα ποιεῖ ἅπαντα. καὶ γὰρ ὅπερ ἐπεχείρησε, φιλοτιμίας ἦν περιττῆς. ἐβούλετο γὰρ ἐνδείξασθαι τῷ δήμῳ, ὅτι κρατεῖ καὶ αὐθεντεῖ τοῦ παιδὸς, οὐδὲν οὐδέπω περὶ αὐτοῦ μέγα φανταζομένη. διὸ καὶ ἀκαίρως προσῆλθεν. ὅρα γοῦν καὶ αὐτῆς καὶ ἐκείνων τὴν ἀπόνοιαν. δέον γὰρ εἰσελθόντας ἀκοῦσαι μετὰ τοῦ ὄχλου, ἢ μὴ τοῦτο βουλομένους ἀναμεῖναι καταλῦσαι τὸν λόγον, καὶ τότε προσελθεῖν· οἱ δὲ ἔξω καλοῦσιν αὐτὸν, καὶ ἐπὶ πάντων τοῦτο ποιοῦσι, φιλοτιμίαν ἐπιδεικνύμενοι περιττὴν, καὶ δεῖξαι θέλοντες ὅτι μετὰ πολλῆς αὐτῷ ἐπιτάττουσι τῆς ἐξουσίας· ὅπερ καὶ ὁ εὐαγγελιστὴς δείκνυται ἐγκαλῶν. αὐτὸ γὰρ τοῦτο αἰνιττόμενος οὕτως εἴρηκεν, ἔτι αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις· ὡσανεὶ ἔλεγε· μὴ γὰρ οὐκ ἦν καιρὸς ἕτερος; μὴ γὰρ οὐκ ἦν κατ᾽ ἰδίαν διαλεχθῆναι; τί δὲ καὶ λαλῆσαι ἐβούλοντο; εἰ μὲν γὰρ ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων, κοινῇ ταῦτα προθεῖναι ἐχρῆν καὶ ἐπὶ πάντων εἰπεῖν, ὥστε καὶ τοὺς ἄλλους κερδᾶναι· εἰ δὲ περὶ ἑτέρων τῶν αὐτοῖς διαφερόντων, οὐκ ἐχρῆν οὕτω κατεπείγειν. εἰ γὰρ πατέρα θάψαι οὐκ ἀφῆκεν, ἵνα μὴ διακοπῇ ἡ ἀκολούθησις, πολλῷ μᾶλλον τὴν αὐτοῦ δημηγορίαν καταλῦσαι οὐκ ἐχρῆν ὑπὲρ τῶν οὐδὲν προσηκόντων. ὅθεν δῆλον ὅτι κενοδοξίᾳ τοῦτο μόνον ἐποίουν· ὃ καὶ Ἰωάννης δηλῶν ἔλεγεν, Ὅτι οὐδὲ αὐτοὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν· καὶ τὰ ῥήματα δὲ αὐτῶν ἀπαγγέλλει τὰ πολλῆς γέμοντα ἀνοίας, λέγων, ὅτι εἷλκον αὐτὸν ἐπὶ τὰ Ἱεροσόλυμα, δι᾽ ἕτερον μὲν οὐδὲν, ἀλλ᾽ ἵνα αὐτοὶ δόξαν ἀπὸ τῶν ἐκείνου σημείων καρπώσωνται. εἰ γὰρ ταῦτα ποιεῖς, φησι, δεῖξον σεαυτὸν τῷ κόσμῳ. οὐδεὶς γάρ τι ποιεῖ ἐν κρυπτῷ, καὶ ζητεῖ αὐτὸς φανερὸς εἶναι· ὅτε καὶ αὐτὸ αὐτοῖς ἐπετίμησε, τὴν σαρκικὴν αὐτῶν αἰτιώμενος γνώμην. ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι ὠνείδιζον καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα καὶ τὴν μητέρα; καὶ οἱ ἀδελφοὶ αὐτοῦ οὐχὶ πρὸς ἡμᾶς εἰσι; τὴν εὐτέλειαν βουλόμενοι τὴν ἀπὸ τοῦ γένους ἀποκρούεσθαι, ἐπὶ τὴν τῶν σημείων αὐτὸν ἐκάλουν ἐπίδειξιν. διὰ τοῦτο αὐτοὺς διακρούεται, τὸ πάθος αὐτῶν βουλόμενος ἰάσασθαι. ὡς εἴγε ἀρνήσασθαι ἤθελε τὴν μητέρα, ὅτε ἐκεῖνοι ὠνείδιζον, τότε ἂν ἠρνήσατο· νῦν δὲ φαίνεται τοσαύτην αὐτῆς ποιούμενος πρόνοιαν, ὡς καὶ πρὸς αὐτῷ τῷ σταυρῷ, τῷ πάντων μάλιστα ποθουμένῳ μαθητῇ παρακαταθέσθαι αὐτὴν, καὶ πολλὰ ὑπὲρ αὐτῆς ἐπισκῆψαι. ἀλλ᾽ οὐχὶ νῦν τοῦτο ποιεῖ, κηδόμενος αὐτῆς καὶ τῶν ἀδελφῶν. ἐπειδὴ γὰρ ὡς ἂν ἀνθρώπῳ προσεῖχον ψιλῷ καὶ ἐκενοδόξουν, τὸ νόσημα ἐκβάλλει, οὐχ ὑβρίζων, ἀλλὰ διορθούμενος. σὺ δέ μοι μὴ τὰ ῥήματα ἐξέταζε μόνον τὰ ἐπιτίμησιν ἔχοντα σύμμετρον, ἀλλὰ καὶ τὴν ἀτοπίαν καὶ τὴν τόλμαν τῶν ἀδελφῶν, ἣν ἐτόλμησαν, καὶ τὸν ἐπιτιμῶντα τίς ἦν (ὅτι οὐχὶ ψιλὸς ἄνθρωπος, ἀλλ᾽ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ) καὶ τί βουλόμενος ἐπετίμα (οὐδὲ γὰρ ἐξαπορῆσαι θέλων, ἀλλ᾽ ἀπαλλάξαι τοῦ τυραννικωτάτου πάθους, καὶ κατὰ μικρὸν ἐναγαγεῖν εἰς τὴν προσήκουσαν περὶ αὐτοῦ ἔννοιαν, καὶ πεῖσαι ὅτι οὐχὶ υἱὸς αὐτῆς μόνον ἐστὶν, ἀλλὰ καὶ δεσπότης) καὶ ὄψει σφόδρα πρέπουσαν καὶ αὐτῷ τὴν ἐπιτίμησιν,

Ιωαν. ζ. ε.

Ματθ. ιγ. νϛ.
Μαρ. ϛ. γ.

μησιν, κἀκείνη λυσιτελοῦσαν, καὶ μετὰ τούτων πολὺ καὶ τὸ ἥμερον ἔχουσαν. οὐδὲ γὰρ εἶπεν ἄπελθε, εἰπὲ τῇ μητρὶ, ὅτι οὐκ εἶ μου μήτηρ, ἀλλὰ πρὸς τὸν εἰπόντα ἀποτείνεται, λέγων· τίς ἐστιν ἡ μήτηρ μου; μετὰ τῶν εἰρημένων καὶ ἕτερόν τι κατασκευάζων. ποῖον δὴ τοῦτο; τὸ μήτε ἐκείνους, μήτε "ἄλλους συγγενείᾳ" θαρροῦντας ἀρετῆς ἀμελεῖν. εἰ γὰρ ταύτην οὐδὲν ὠφελεῖ τὸ μητέρα εἶναι, εἰ μὴ ἐκεῖνο εἴη, σχολῇ γ' ἂν ἕτερός τις ἀπὸ συγγενείας σωθήσεται. μία γάρ ἐστιν εὐγένεια μόνη, τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν. οὗτος τῆς εὐγενείας ὁ τρόπος βελτίων ἐκείνου καὶ κυριώτερος. ταῦτ' οὖν εἰδότες, μήτε ἐπὶ παισὶν εὐδοκίμοις μέγα φρονῶμεν, ἂν μὴ τὴν ἀρετὴν αὐτῶν ἔχωμεν· μήτε ἐπὶ πατράσι γενναίοις, ἐὰν μὴ ὦμεν αὐτοῖς ὁμότροποι. ἔστι γὰρ καὶ τὸν γεννήσαντα μὴ εἶναι πατέρα, καὶ τὸν μὴ γεννήσαντα εἶναι.

γρ. ἄλλον ... δίνα συγγ.

γρ. -εμφ...

Λουκ. ια. κζ.

διὰ δὴ τοῦτο καὶ ἀλλαχοῦ γυναικός τινος εἰπούσης, Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας· οὐκ εἶπεν, οὐκ ἐβάστασέ με κοιλία, οὐδὲ, μαστοὺς οὐκ ἐθήλασα· ἀλλὰ "τοῦτο," μενοῦνγε μακάριοι οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου. ὁρᾷς πῶς ἄνω καὶ κάτω οὐκ ἀρνεῖται τὴν κατὰ φύσιν συγγένειαν, ἀλλὰ προστίθησι τὴν κατ' ἀρετήν; καὶ ὁ πρόδρομος δὲ λέγων· γεννήματα ἐχιδνῶν, μὴ δόξητε λέγειν πατέρα ἔχομεν τὸν Ἀβραάμ, οὐ τοῦτο δείκνυσιν, ὅτι οὐκ ἦσαν ἐκ τοῦ Ἀβραὰμ κατὰ φύσιν, ἀλλ' ὅτι οὐδὲν αὐτοὺς ὠφελεῖ τὸ εἶναι ἐκ τοῦ Ἀβραάμ, εἰ μὴ τὴν ἀπὸ τῶν τρόπων συγγένειαν ἔχοιεν. ὃ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν, εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε· οὐ τῆς συγγενείας αὐτοὺς ἀποστερῶν τῆς κατὰ σάρκα, ἀλλὰ παιδεύων τὴν μείζονα ταύτης καὶ κυριωτέραν ἐπιζητεῖν. τοῦτο δὲ καὶ ἐνταῦθα κατασκευάζει, ἀλλ' ἀνεπαχθέστερον καὶ ἐμμελέστερον· καὶ γὰρ πρὸς μητέρα ἦν ὁ λόγος αὐτῷ. οὐδὲ γὰρ εἶπεν, οὐκ ἔστι μου μήτηρ, οὐδὲ ἀδελφοὶ ἐκεῖνοι, ἐπειδὴ οὐ ποιοῦσι τὸ θέλημά μου, οὐδὲ ἀπεφήνατο καὶ κατεδίκασεν· ἀλλ' ἔτι κυρίους αὐτοὺς ἐποίει τοῦ βούλεσθαι, μετὰ τῆς αὐτῷ πρεπούσης ἐπιεικείας φθεγγόμενος.

γρ. π;

γρ. μόνον

50 Ὁ γὰρ ποιῶν, φησὶ, τὸ θέλημα τοῦ πατρός μου, οὗτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. Ὥστε εἰ βούλονται εἶναι, ταύτην ἐρχέσθωσαν τὴν ὁδόν. καὶ ἡνίκα δὲ ἐβόησεν ἡ γυνὴ λέγουσα, μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, οὐκ εἶπεν, οὐκ ἔστι μου μήτηρ, ἀλλ' εἰ βούλεται μακαρία εἶναι, τὸ θέλημα ποιείτω τοῦ πατρός μου. ὁ γὰρ τοιοῦτος, καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί. βαβαὶ τῆς τιμῆς· βαβαὶ τῆς ἀρετῆς. εἰς ὅσην ἀνάγει κορυφὴν τὸν μετιόντα αὐτήν; πόσαι γυναῖκες ἐμακάρισαν τὴν ἁγίαν παρθένον ἐκείνην καὶ τὴν νηδύν, καὶ ηὔξαντο τοιαῦται γενέσθαι μητέρες καὶ πάντα προέσθαι; τί τοίνυν τὸ κωλῦον; ἰδοὺ γὰρ εὐρεῖαν ἔτεμεν ἡμῖν ὁδὸν, καὶ ἔξεστιν οὐ γυναιξὶ μόνον, ἀλλὰ καὶ ἀνδράσιν ἐπὶ τῆς τοιαύτης γενέσθαι τάξεως· μᾶλλον δὲ καὶ "ἐπὶ πολλῷ μείζονος. τοῦτο γὰρ πολλῷ μᾶλλον μητέρα ποιεῖ, ἢ αἱ ὠδῖνες ἐκεῖναι· ὥστε εἰ μακαριστὸν ἐκεῖνο, πολλῷ μᾶλλον τοῦτο, ὅσῳ καὶ κυριώτερον. μὴ τοίνυν ἁπλῶς ἐπιθύμει, ἀλλὰ καὶ τὴν ὁδὸν τὴν φέρουσάν σε ἐπὶ τὴν ἐπιθυμίαν βάδιζε μετὰ πολλῆς τῆς σπουδῆς. Ταῦτα τοίνυν εἰπὼν ἐξῆλθεν ἐκ τῆς οἰκίας.

ἡ πάτρα

γρ. ἐπὶ

Εἶδες πῶς καὶ ἐπέπληξε, καὶ ἐποίησεν ὅπερ ἐπόθουν; ὃ δὴ καὶ ἐπὶ τῷ γάμῳ ποιεῖ. καὶ γὰρ ἐκεῖ ἐπετίμησεν ἀκαίρως αἰτούσῃ, καὶ ὅμως οὐκ ἀντεῖπε· τῷ μὲν προτέρῳ διορθούμενος τὴν ἀσθένειαν, τῷ δὲ δευτέρῳ τὴν περὶ τὴν μητέρα εὔνοιαν ἐπιδεικνύμενος. οὕτω δὴ καὶ ἐνταῦθα, τῆς τε κενοδοξίας τὸ νόσημα ἰάσατο, καὶ τὴν πρέπουσαν τιμὴν τῇ μητρὶ ἀπέδωκε, καίτοι καὶ ἄκαιρα αἰτούσῃ.

κεφ. ιγ.

τῷ δήμῳ

1 Ἐν γὰρ τῇ ἡμέρᾳ, φησὶν, ἐκείνῃ, ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν. Εἰ γὰρ βούλεσθε, φησὶν, ἰδεῖν καὶ ἀκοῦσαι, ἰδοὺ ἐξέρχομαι καὶ διαλέγομαι. ἐπειδὴ γὰρ σημεῖα πολλὰ ἐποίησε, πάλιν τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν παρέχει, καὶ κάθηται παρὰ τὴν θάλασσαν, ἁλιεύων καὶ σαγηνεύων τοὺς ἐν τῇ γῇ. ἐκάθισε δὲ παρὰ τὴν θάλασσαν οὐχ ἁπλῶς· καὶ τοῦτο αὐτὸ τέθεικεν αἰνιττόμενος ὁ εὐαγγελιστής. ἵνα γὰρ δείξῃ,

ὅτι βουλόμενος μετὰ ἀκριβείας συγκροτῆσαι τὸ θέατρον, τοῦτο πεποίηκε, καὶ ὥστε μηδένα ἀφεῖναι κατὰ νώτου, ἀλλὰ πάντας ἀντιπροσώπους ἔχειν.

2 Καὶ συνήχθησαν, φησὶ, πρὸς αὐτὸν ὄχλοι πολλοὶ, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. Καθίσας δὲ ἐκεῖ, διὰ παραβολῶν φθέγγεται,

3 Καὶ ἐλάλησεν αὐτοῖς, φησὶ, πολλὰ ἐν παραβολαῖς. Καίτοιγε ἐπὶ τοῦ ὄρους οὐχ οὕτως ἐποίησεν, οὐδὲ διὰ παραβολῶν τοσούτων τὸν λόγον ὕφηνε. τότε γὰρ ὄχλοι μόνοι ἦσαν καὶ δῆμος ἄπλαστος· ἐνταῦθα δὲ, καὶ γραμματεῖς καὶ Φαρισαῖοι. σὺ δέ μοι σκόπει ποίαν προτέραν λέγει παραβολὴν, καὶ πῶς κατὰ ἀκολουθίαν αὐτὰς τίθησιν ὁ Ματθαῖος. ποίαν οὖν πρώτην λέγει; ἣν μάλιστα πρώτην ἐχρῆν εἰπεῖν, τὴν ποιοῦσαν τὸν ἀκροατὴν προσεκτικώτερον. ἐπειδὴ γὰρ αἰνιγματωδῶς ἔμελλε διαλέγεσθαι, διανίστησι τὴν διάνοιαν τῶν ἀκουόντων πρῶτον διὰ τῆς παραβολῆς. διὰ τοῦτο καὶ ἕτερος εὐαγγελιστής φησιν, ὅτι ἐπετίμησεν αὐτοῖς ὅτι οὐ νοοῦσι, λέγων· πῶς οὐκ ἔγνωτε τὴν παραβολήν; οὐ διὰ τοῦτο δὲ μόνον ἐν παραβολαῖς φθέγγεται, ἀλλ᾽ ἵνα καὶ ἐμφαντικώτερον τὸν λόγον ποιήσῃ, καὶ πλείονα τὴν μνήμην ἐνθῇ, καὶ ὑπ᾽ ὄψιν ἀγάγῃ τὰ πράγματα. οὕτω καὶ οἱ προφῆται ποιοῦσι. τίς οὖν ἐστιν ἡ παραβολή; Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν, φησί. Πόθεν ἐξῆλθεν ὁ πανταχοῦ παρὼν, ὁ τὰ πάντα πληρῶν; ἢ πῶς ἐξῆλθεν; οὐ τόπῳ, ἀλλὰ σχέσει καὶ οἰκονομίᾳ τῇ πρὸς ἡμᾶς, ἐγγύτερος ἡμῖν γινόμενος διὰ τῆς κατὰ τὴν σάρκα περιβολῆς. ἐπειδὴ γὰρ ἡμεῖς εἰσελθεῖν οὐκ ἐδυνάμεθα, τῶν ἁμαρτημάτων διατειχιζόντων ἡμῖν τὴν εἴσοδον, αὐτὸς ἐξέρχεται πρὸς ἡμᾶς. καὶ τί ἐξῆλθεν; ἀπολέσαι τὴν γῆν ἀκανθῶν γέμουσαν; τιμωρήσασθαι τοὺς γεωργούς; οὐδαμῶς· ἀλλὰ γεωργῆσαι καὶ ἐπιμελήσασθαι, καὶ σπεῖραι τῆς εὐσεβείας τὸν λόγον. σπόρον γὰρ ἐνταῦθα τὴν διδασκαλίαν φησίν· ἄρουραν δὲ, τῶν ἀνθρώπων τὰς ψυχάς· σπορέα δὲ, ἑαυτόν. τί τοίνυν γίνεται ἀπὸ τοῦ σπέρματος τούτου; τρία ἀπόλλυται μέρη, καὶ σώζεται τὸ ἕν.

4 Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε, φησὶ, παρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ καὶ κατέφαγεν αὐτά. Οὐκ εἶπεν ὅτι αὐτὸς ἔρριψεν, ἀλλ᾽ ὅτι ἔπεσεν,

τὴν πέτραν,

5 Ἄλλα δὲ ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλὴν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς·

6 Ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

7 Ἄλλα δὲ ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά.

8 Ἄλλα δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν, καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα.

9 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Τέταρτον μέρος ἐσώθη, καὶ οὐδὲ τοῦτο ἐξίσης, ἀλλὰ καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. Ταῦτα δὲ ἔλεγε, δηλῶν ὅτι μετὰ ἀφθονίας ἅπασι διελέγετο. καθάπερ γὰρ ὁ σπείρων οὐ διαιρεῖ τὴν ὑποκειμένην ἄρουραν, ἀλλ᾽ ἁπλῶς καὶ ἀδιακρίτως βάλλει τὰ σπέρματα· οὕτω καὶ αὐτὸς, οὐ πλούσιον, οὐ πένητα διαιρεῖ, οὐ σοφὸν, οὐκ ἄσοφον, οὐ ῥᾴθυμον, οὐ σπουδαῖον, οὐκ ἀνδρεῖον, οὐ δειλὸν, ἀλλὰ πᾶσι διελέγετο, τὰ παρ᾽ ἑαυτοῦ πληρῶν, καίτοι προειδὼς τὰ ἐσόμενα· ἵνα ἐξῇ αὐτῷ λέγειν, τί με ἔδει ποιῆσαι, καὶ οὐκ ἐποίησα; καὶ οἱ μὲν προφῆται ὡς περὶ ἀμπέλου διαλέγονται περὶ τοῦ δήμου. Ἀμπελὼν γὰρ ἐγενήθη, φησὶ, τῷ ἠγαπημένῳ· καὶ, ἄμπελον ἐξ Αἰγύπτου μετῆρεν· αὐτὸς δὲ ὡς περὶ σπόρου. τί δήποτε δηλῶν; ὅτι ταχεῖα ἔσται νῦν ἡ ὑπακοὴ καὶ εὐκολωτέρα, καὶ εὐθέως τὸν καρπὸν δώσει. ὅταν δὲ ἀκούσῃς, ὅτι ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, μὴ ταυτολογίαν εἶναι νόμιζε. ἐξέρχεται γὰρ ὁ σπείρων πολλάκις καὶ ἐφ᾽ ἕτερον πρᾶγμα· ἢ ὥστε νεῶσαι, ἢ ὥστε τὰς πονηρὰς ἐκτεμεῖν βοτάνας, ἢ ὥστε ἀκάνθας ἀνασπάσαι, ἢ ἄλλο τι ἐπιμελήσασθαι τοιοῦτον· αὐτὸς

τῷ δήμῳ.

Ἡσ. ε.

ἢ ἐπὶ τὸ σπείρειν ἐξῆλθε. πόθεν οὖν, εἰπέ μοι, τὸ πλέον ἀπώλετο τοῦ σπόρου; οὐ παρὰ τὸν σπείραντα, ἀλλὰ παρὰ τὴν ὑποδεχομένην γῆν· τουτέστι, παρὰ τὴν μὴ ἀκούσασαν ψυχήν. καὶ τίνος ἕνεκεν οὐ λέγει, ὅτι τὰ μὲν ἐδέξαντο οἱ ῥᾴθυμοι, καὶ ἀπώλεσαν· τὰ δὲ οἱ πλούσιοι, καὶ ἀπέπνιξαν· τὰ δὲ οἱ χαῦνοι, καὶ προέδωκαν; οὐ βούλεται αὐτῶν σφόδρα καθικέσθαι, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ἀλλὰ καταλιμπάνει τῷ συνειδότι τῶν ἀκουόντων τὸν ἔλεγχον. οὐχ ὁ σπόρος δὲ τοῦτο ἔπαθε μόνον, ἀλλὰ καὶ ἡ σαγήνη. πολλὰ γὰρ καὶ ἐκείνη ἀνήνεγκεν ἄχρηστα. ταύτην δὲ λέγει τὴν παραβολὴν, τοὺς μαθητὰς ἀλείφων καὶ παιδεύων, κἂν πλείους τῶν δεχομένων τὸν λόγον ὦσιν οἱ ἀπολλύμενοι, μὴ καταπίπτειν. καὶ γὰρ καὶ ἐπὶ τοῦ δεσπότου τοῦτο γέγονε· καὶ ὁ πάντως προειδὼς, ὅτι ταῦτα ἔσται, οὐκ ἀπέστη τοῦ σπείρειν. καὶ πῶς ἂν ἔχοι λόγον, φησὶν, ἐπὶ τὰς ἀκάνθας σπείρειν, ἐπὶ τὴν πέτραν, ἐπὶ τὴν ὁδόν; ἐπὶ μὲν τῶν σπερμάτων καὶ τῆς γῆς, οὐκ ἂν ἔχοι λόγον· ἐπὶ δὲ τῶν ψυχῶν καὶ τῶν διδαγμάτων, καὶ πολὺν ἔχει τοῦτο τὸν ἔπαινον. ὁ μὲν γὰρ γεωργὸς εἰκότως ἂν ἐγκαλοῖτο τοῦτο ποιῶν. οὐ γὰρ ἔνι τὴν πέτραν γενέσθαι γῆν, οὐδὲ τὴν ὁδὸν μὴ εἶναι ὁδὸν, οὐδὲ τὰς ἀκάνθας μὴ εἶναι ἀκάνθας. ἐπὶ δὲ τῶν λογικῶν οὐχ οὕτω. δυνατὸν γὰρ τὴν πέτραν μεταβληθῆναι, καὶ γενέσθαι γῆν λιπαρὰν καὶ τὴν ὁδὸν μηκέτι καταπατεῖσθαι, μηδὲ προκεῖσθαι τοῖς παριοῦσιν ἅπασιν, ἀλλ' εἶναι ἄρουραν πίονα· καὶ τὰς ἀκάνθας ἀφανισθῆναι, καὶ πολλῆς ἀπολαύειν ἀδείας τὰ σπέρματα. εἰ γὰρ μὴ δυνατὸν ἦν, οὐκ ἂν ἔσπειρεν οὗτος. εἰ δὲ μὴ ἐγένετο ἐπὶ πάντων ἡ μεταβολὴ, οὐ παρὰ τὸν σπείραντα, ἀλλὰ παρὰ τοὺς μὴ βουληθέντας μεταβληθῆναι. αὐτὸς μὲν γὰρ τὸ αὐτοῦ πεποίηκεν. εἰ δὲ ἐκεῖνοι τὰ παρ' αὐτοῦ προέδωκαν, ἀνεύθυνος αὐτὸς ὁ τοσαύτην φιλανθρωπίαν ἐπιδειξάμενος. σὺ δέ μοι ἐκεῖνο σκόπει, ὅτι οὐ μία τῆς ἀπωλείας ἡ ὁδὸς, ἀλλὰ διάφοροι καὶ ἀλλήλων διεστηκυῖαι. οἱ μὲν γὰρ τῇ ὁδῷ ἐοικότες εἰσὶν, οἱ βάναυσοι καὶ ῥᾴθυμοι καὶ ὀλίγωροι· οἱ δὲ ἐν τῇ πέτρᾳ, οἱ ἀσθενέστεροι μόνον. ὁ γὰρ ἐπὶ τὰ πετρώδη σπαρεὶς, φησὶν, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτὸν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζεται. παντὸς, φησὶν, ἀκούοντος τὸν λόγον τῆς βασιλείας καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ. οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. οὐκ ἔστι δὲ ἴσον, μηδενὸς ἐπηρεάζοντος μηδὲ διαμοχλεύοντος, τὴν διδασκαλίαν μαρανθῆναι, καὶ πειρασμῶν ἐπικειμένων. οἱ δὲ ταῖς ἀκάνθαις προσεοικότες, πολλῷ τούτων ἀσυγγνωστότεροι. ἵν' οὖν μή τι τοιοῦτον πάθωμεν, ἐπικαλύψωμεν τῇ προθυμίᾳ τὰ λεγόμενα καὶ τῇ διηνεκεῖ μνήμῃ. εἰ γὰρ καὶ ἁρπάζει ὁ διάβολος, ἀλλ' ἡμεῖς κύριοι τοῦ μὴ ἁρπαγῆναι. εἰ καὶ ἐξηραίνετο τὰ σπέρματα, οὐ παρὰ τὸν καύσωνα τοῦτο γέγονεν. οὐ γὰρ εἶπεν, ὅτι διὰ τὸν καύσωνα ἐξηράνθη, ἀλλὰ διὰ τὸ μὴ ἔχειν ῥίζαν. εἰ καὶ ἀποπνίγεται τὰ λεγόμενα, οὐ παρὰ τὰς ἀκάνθας, ἀλλὰ παρὰ τοὺς συγχωροῦντας ἀναβῆναι ταύτας. ἔνεστι γὰρ, ἐὰν θέλῃς, κωλῦσαι τὴν πονηρὰν ταύτην βλάστην, καὶ τῷ πλούτῳ εἰς δέον χρήσασθαι. διὰ τοῦτο οὐκ εἶπεν, ὁ αἰὼν, ἀλλ' ἡ μέριμνα τοῦ αἰῶνος· οὐδὲ ὁ πλοῦτος, ἀλλ' ἡ ἀπάτη τοῦ πλούτου. μὴ τοίνυν τὰ πράγματα αἰτιώμεθα, ἀλλὰ τὴν γνώμην τὴν διεφθαρμένην. ἔστι γὰρ καὶ πλουτεῖν, καὶ μὴ ἀπατᾶσθαι· καὶ ἐν τῷ αἰῶνι εἶναι τούτῳ, καὶ μὴ ἀποπνίγεσθαι ταῖς φροντίσι. καὶ γὰρ δύο ἐλαττώματα ὁ πλοῦτος ἔχει ἐναντία· τὸ μὲν, κατατεῖνον καὶ ἐπισκοτοῦν, τὴν μέριμναν· τὸ δὲ, μαλακωτέρους ποιοῦν, τὴν τρυφήν. καὶ καλῶς εἶπεν, ἡ ἀπάτη τοῦ πλούτου. πάντα γὰρ τὰ τοῦ πλούτου ἀπάτη. ὀνόματα γὰρ μόνον ἐστὶν, οὐκ ἐπὶ πραγμάτων κείμενα. καὶ γὰρ ἡ ἡδονὴ καὶ ἡ δόξα καὶ ὁ καλλωπισμὸς καὶ πάντα ταῦτα, φαντασία τίς ἐστιν, οὐ πραγμάτων ἀλήθεια. εἰπὼν τοίνυν τοὺς τρόπους τῆς ἀπωλείας, ὕστερον τίθησι τὴν καλὴν γῆν, οὐκ ἀφιεὶς ἀπογνῶναι, ἀλλὰ διδοὺς ἐλπίδα μετανοίας, καὶ δεικνὺς, ὅτι δυνατὸν ἐκ τῶν εἰρημένων εἰς ταύτην μεταβαλεῖν. καίτοι εἰ καὶ ἡ γῆ καλὴ, καὶ ὁ σπορεὺς εἷς, καὶ τὰ σπέρματα τὰ αὐτὰ, διατί ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα.

χ. ἀκανθ
χ. ἐν τῇ καρδίας
χ. σπειρ
χ. ὁ

ὁ δὲ τριάκοντα ἤνεγκεν; ἐνταῦθα πάλιν παρὰ τὴν φύσιν τῆς γῆς ἡ διαφορά. καὶ γὰρ ἔνθα ἂν καλὴ ἡ γῆ, πολλὴ ἐν αὐτῇ καὶ ἡ διαφορά. ὁρᾷς οὐχὶ τὸν γεωργὸν αἴτιον ὄντα, οὐδὲ τὰ σπέρματα, ἀλλὰ τὴν δεχομένην γῆν; οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην. καὶ ἐνταῦθα δὲ πολλὴ ἡ φιλανθρωπία, ὅτι οὐχ ἓν ἀπαιτεῖ μέτρον ὁ Θεὸς ἀρετῆς, ἀλλὰ καὶ τοὺς πρώτους ἀποδέχεται, καὶ τοὺς δευτέρους οὐκ ἐκβάλλει, καὶ τοῖς τρίτοις δίδωσι χώραν. ταῦτα δὲ λέγει, ἵνα μὴ νομίσωσιν οἱ ἀκολουθοῦντες αὐτῷ, ὅτι ἀρκεῖ ἡ ἀκρόασις εἰς σωτηρίαν. καὶ τίνος ἕνεκεν, φησὶν, οὐχὶ καὶ τὰς ἄλλας ἔθηκε πονηρίας· οἷον, ἐπιθυμίαν σωμάτων, κενοδοξίαν; εἰπὼν τὴν μέριμναν τοῦ αἰῶνος τούτου καὶ τὴν ἀπάτην τοῦ πλούτου, ἅπαντα τέθεικε. καὶ γὰρ καὶ κενοδοξία καὶ τὰ ἄλλα ἅπαντα, τοῦ αἰῶνος τούτου καὶ τῆς τοῦ πλούτου ἀπάτης ἐστίν· οἷον, ἡδονὴ, καὶ γαστριμαργία, καὶ βασκανία, καὶ κενοδοξία, καὶ ὅσα τοιαῦτα. προσέθηκε δὲ καὶ τὴν ὁδὸν καὶ τὴν πέτραν, δεικνὺς ὅτι οὐκ ἀρκεῖ χρημάτων ἀπηλλάχθαι μόνον, ἀλλὰ δεῖ καὶ τὴν ἄλλην ἀρετὴν ἀσκεῖν. τί γὰρ ἂν χρημάτων μὲν ἐλεύθερος ᾖς, ἄνανδρος δὲ καὶ μαλακός; τί δὲ εἰ ἄνανδρος μὲν μὴ ᾖς, ῥᾴθυμος δὲ καὶ ὀλίγωρος περὶ τὴν ἀκρόασιν; οὐδὲ γὰρ ἀρκεῖ μέρος ἓν πρὸς σωτηρίαν ἡμῖν, ἀλλὰ δεῖ πρῶτον μὲν ἀκροάσεως ἀκριβοῦς καὶ μνήμης διηνεκοῦς, ἔπειτα ἀνδρείας, εἶτα χρημάτων ὑπεροψίας, καὶ τῆς τῶν βιωτικῶν ἁπάντων ἀπαλλαγῆς. διὰ γάρ τοι τοῦτο πρῶτον τίθησιν ἐκεῖνο, ἐπειδὴ τούτου πρώτου χρεία (Πῶς γὰρ πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσι; καθάπερ οὖν καὶ ἡμεῖς ἐὰν μὴ προσέχωμεν τοῖς λεγομένοις, οὐδὲ μαθεῖν δυνησόμεθα ἃ χρὴ ποιεῖν) ἔπειτα τὴν ἀνδρείαν, καὶ τὴν τῶν παρόντων ὑπεροψίαν.

Ρω. ι. ιδ.

ΗΘΙΚΟΝ

Ταῦτ᾽ οὖν ἀκούοντες, πάντοθεν ἑαυτοὺς τειχίζωμεν, προσέχοντες τοῖς λεγομένοις, καὶ κατὰ βάθους ἀφιέντες τὰς ῥίζας, καὶ πάντων ἑαυτοὺς ἐκκαθαίροντες τῶν βιωτικῶν. ἂν δὲ τὰ μὲν ποιῶμεν, τῶν δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ἔσται πλέον. κἂν γὰρ μὴ οὕτως, ἀλλ᾽ ἐκείνως ἀπολλύμεθα. τί γὰρ διαφέρει, ἂν μὴ διὰ πλούτου, ἀλλὰ διὰ ῥᾳθυμίας· ἂν μὴ διὰ ῥᾳθυμίας, ἀλλὰ δι᾽ ἀνανδρίας διαφθαρῶμεν; ἐπεὶ καὶ ὁ γεωργὸς, ἄν τε οὕτως ἄν τε ἐκείνως ἀπολέσῃ τὸν σπόρον, ὁμοίως πενθεῖ. μὴ τοίνυν, ἐπειδὴ μὴ πᾶσιν ἀπολλύμεθα τοῖς τρόποις, παραμυθίαν ἔχωμεν, ἀλλ᾽ ἀλγῶμεν, οἵῳ ἂν ἀπολώμεθα τρόπῳ, καὶ κατακαίωμεν τὰς ἀκάνθας· καὶ γὰρ ἀποπνίγουσι τὸν λόγον. καὶ ἴσασι τοῦτο οἱ πλουτοῦντες, οἱ μὴ πρὸς ταῦτα μόνον, ἀλλὰ μηδὲ πρὸς ἕτερα ὄντες χρήσιμοι. δοῦλοι γὰρ καὶ αἰχμάλωτοι γενόμενοι τῶν ἡδονῶν, καὶ πρὸς τὰ πολιτικὰ εἰσὶν ἄχρηστοι πράγματα. εἰ δὲ πρὸς ἐκεῖνα, πολλῷ μᾶλλον πρὸς τὰ τῶν οὐρανῶν. καὶ γὰρ διπλῆ τοῖς λογισμοῖς ἐντεῦθεν ἡ λύμη γίνεται, ἀπό τε τῆς τρυφῆς, ἀπό τε τῆς φροντίδος. τούτων γὰρ καὶ καθ᾽ ἑαυτὸ μὲν ἕκαστον ἱκανὸν καταποντίσαι τὸ σκάφος· ὅταν δὲ καὶ ἀμφότερα συνδράμῃ, ἐννόησον ἡλίκον τὸ κλυδώνιον γίνεται. καὶ μὴ θαυμάσῃς, εἰ τὴν τρυφὴν ἀκάνθας ἐκάλεσε. σὺ μὲν γὰρ ἀγνοεῖς μεθύων τῷ πάθει· οἱ δὲ ὑγιαίνοντες ἴσασιν ὅτι ἀκάνθης μᾶλλον κεντεῖ, καὶ τρυφὴ πλέον ἢ μέριμνα δαπανᾷ τὴν ψυχὴν, καὶ χαλεπωτέρας παρέχει τὰς ὀδύνας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ. οὐδὲ γὰρ οὕτως ὑπὸ φροντίδος τις πλήττεται, ὡς ὑπὸ πλησμονῆς. ὅταν γὰρ ἀγρυπνίαι, καὶ κροτάφων διατάσεις, καὶ καρηβαρίαι, καὶ σπλάγχνων ὀδύναι περιέχωσι τὸν τοιοῦτον, ἐννόησον πόσων ἀκανθῶν ταῦτα χαλεπώτερα. καὶ καθάπερ αἱ ἄκανθαι, ὅθεν ἂν κατασχεθῶσιν, αἱμάττουσι τὰς κατεχούσας αὐτὰς χεῖρας· οὕτω δὴ καὶ ἡ τρυφὴ, καὶ πόδας, καὶ χεῖρας, καὶ κεφαλὴν, καὶ ὀφθαλμοὺς, καὶ πάντα ἁπλῶς λυμαίνεται τὰ μέλη· καὶ ξηρὰ δὲ καὶ ἄκαρπός ἐστιν, ὥσπερ ἡ ἄκανθα, καὶ πολλῷ μειζόνως ἐκείνης λυπεῖ, καὶ ἐν τοῖς καιρίοις. καὶ γὰρ καὶ γῆρας ἄωρον ἐπεισάγει, καὶ ἀμβλύνει τὰς αἰσθήσεις, καὶ σκοτοῖ τὸν λογισμὸν, καὶ πηροῖ τὸν νοῦν ὀξὺ βλέποντα, καὶ πλαδαρὸν τὸ σῶμα ποιεῖ, δαψιλεστέραν τῆς κόπρου τὴν ἀποθήκην ἐργαζομένη, καὶ πολλὴν τὴν σωρείαν τῶν κακῶν συνάγουσα, καὶ μεῖζον τὸ φορτίον, καὶ ὑπέρογκον ποιεῖται τὸν γόμον· ὅθεν καὶ πολλὰ καὶ συνεχῆ τὰ πτώματα, καὶ πυκνὰ τὰ ναυάγια. τί γὰρ λιπαίνεις, εἰπέ μοι, τὸ σῶμα; μὴ γὰρ καταθῦσαί σε ἔχομεν; μὴ γὰρ παραθεῖναι τραπέζῃ; τὰς ὄρνις καλῶς πιαίνεις· μᾶλλον δὲ οὐδὲ ἐκείνας καλῶς. ὅταν γὰρ πιανθῶσιν, ἄχρηστοι πρὸς ὑγιεινήν εἰσι δίαιταν. τοσοῦτον κακὸν ἡ τρυφή, ὡς καὶ ἐν ἀλόγοις τὴν λύμην ἐπιδείκνυσθαι. καὶ γὰρ ἐκείνας τρυφώσας καὶ ἑαυταῖς καὶ ἡμῖν ἀχρήστους ποιοῦμεν. καὶ γὰρ τὰ περιττώματα ἀκατέργαστα, καὶ ἡ ὑγροτέρα σῆψις ἀπὸ τῆς πιμελῆς ἐκείνης γίνεται. τὰ δὲ οὐχ οὕτω τρεφόμενα, ἀλλ' ὡς ἂν εἴποι τις ἐν νηστείᾳ διάγοντα, καὶ συμμέτρῳ διαίτῃ, καὶ πονοῦντα καὶ ταλαιπωρούμενα, ταῦτα καὶ ἑαυτοῖς καὶ ἄλλοις χρησιμώτατα καὶ πρὸς τροφὴν καὶ πρὸς τὰ ἄλλα ἅπαντα. οἱ γοῦν ἐκεῖνα σιτούμενοι μᾶλλον ὑγιαίνουσιν· οἱ δὲ τούτοις τρεφόμενοι, αὐτοῖς ἐοίκασι νωθροὶ καὶ ἐπίνοσοι γινόμενοι, καὶ τὸν δεσμὸν χαλεπώτερον ἐργαζόμενοι. οὐδὲν γὰρ οὕτω σώματι πολέμιον καὶ βλαβερόν, ὡς τρυφή· οὐδὲν οὕτω διαρρήγνυσι καὶ καταχώννυσιν αὐτὴν καὶ διαφθείρει, ὡς ″ ἀσωτία. διὸ μάλιστα ἄν τις κἀντεῦθεν ἐκπλαγείη τῆς ἀνοίας αὐτῶν, ὅτι οὐδὲ ὅσην ἐπὶ τῶν ἀσκῶν ἔχουσιν ἕτεροι τὴν φειδώ, τοσαύτην ἐφ' ἑαυτῶν θέλουσιν ἐπιδείκνυσθαι οὗτοι. ἐκείνους μὲν γὰρ οἱ τῶν οἴνων πρᾶται οὐκ ἐῶσι πλέον τοῦ δέοντος ″βαλεῖν, ὥστε μὴ διαῤῥαγῆναι· τὴν δὲ ἀθλίαν οὗτοι γαστέρα, οὐδὲ ταύτης ἀξιοῦσι τῆς προνοίας· ἀλλ' ἐπειδὰν αὐτὴν ἐμπλήσωσι καὶ διαῤῥήξωσι, καὶ μέχρι τῶν ὤτων, μέχρι τῶν ῥινῶν, μέχρι τῆς φάρυγγος αὐτῆς πληροῦσι τοῦ οἴνου, διπλῆν ἐντεῦθεν τῷ πνεύματι καὶ τῇ τὸ ζῶον οἰκονομούσῃ δυνάμει κατασκευάζοντες τὴν στενοχωρίαν. μὴ γὰρ διὰ τοῦτό σοι γέγονε φάρυγξ, ἵνα μέχρι τοῦ στόματος ἄνω σεσηπότος οἴνου καὶ τῆς ἄλλης ἀποπληρώσῃς αὐτὸν διαφθορᾶς; οὐ διὰ τοῦτο, ἄνθρωπε, ἀλλ' ἵνα προηγουμένως ᾄδῃς τῷ Θεῷ, καὶ τὰς ἱερὰς ἀναπέμπῃς εὐχάς, καὶ τοὺς θείους ἀναγινώσκῃς νόμους, καὶ τοῖς πλησίον τὰ συμφέροντα συμβουλεύῃς. σὺ δὲ ὥσπερ διὰ τοῦτο αὐτὴν λαβών, ἐκείνῃ μὲν οὐδὲ μικρὸν ἐᾷς καιρὸν σχολάζειν τῇ λειτουργίᾳ, πάντα δὲ τὸν βίον τῇ πονηρᾷ ταύτῃ αὐτὴν ὑποτάττεις δουλείᾳ. καὶ ὥσπερ εἴ τις κιθάραν λαβών, χρυσᾶς νευρὰς ἔχουσαν καὶ ἡρμοσμένην καλῶς, ἀντὶ τοῦ τὴν παναρμόνιον μελῳδίαν εἰς αὐτὴν ἀνακρούεσθαι, κόπρῳ πολλῇ καταχώσειε καὶ πηλῷ, οὕτω καὶ οὗτοι ποιοῦσι. κόπρον δὲ οὐ τὴν τροφήν, ἀλλὰ τὴν τρυφὴν ἐκάλεσα καὶ τὴν πολλὴν ἐκείνην ἀσέλγειαν. τὸ γὰρ πλέον τοῦ δέοντος, οὐκ ἔτι τροφή, ἀλλὰ λύμη μόνον. καὶ γὰρ ἡ γαστὴρ μόνη διὰ τὴν τῶν σιτίων μόνων γέγονεν ὑποδοχήν· στόμα δὲ καὶ φάρυγξ καὶ γλῶττα καὶ δι' ἕτερα ἀναγκαιότερα τούτων· μᾶλλον δὲ οὐδὲ ἡ γαστὴρ διὰ σιτίων ὑποδοχὴν ἁπλῶς, ἀλλὰ διὰ σιτίων ὑποδοχὴν ″σύμμετρον. καὶ τοῦτο δηλοῖ, καταβοῶσα ἡμῶν μυρία, ὅταν ἐπηρεάσωμεν αὐτῇ διὰ τῆς πλεονεξίας ταύτης· οὐ καταβοᾷ δὲ μόνον, ἀλλὰ καὶ ἀμυνομένη τῆς ἀδικίας τὴν ἐσχάτην ἡμᾶς ἀπαιτεῖ δίκην. καὶ πρότερον τοὺς πόδας τιμωρεῖται, τοὺς βαστάζοντας καὶ ἀπάγοντας ἡμᾶς ἐπὶ τὰ πονηρὰ ἐκεῖνα συμπόσια· ἔπειτα, τὰς χεῖρας τὰς διακονουμένας αὐτῇ συνδέουσα, ἀνθ' ὧν τοσαῦτα καὶ τοιαῦτα προσήνεγκεν ἐδέσματα. πολλοὶ δὲ καὶ αὐτὸ τὸ στόμα διέστρεψαν, καὶ ὀφθαλμοὺς καὶ κεφαλήν. καὶ καθάπερ οἰκέτης, ὅταν ἐπιταγῇ τι τὴν δύναμιν ὑπερβαῖνον, ἀπονοηθεὶς ὑβρίζει εἰς τὸν ἐπιτάξαντα πολλάκις· οὕτω καὶ αὕτη, μετὰ τῶν μελῶν τούτων καὶ τὸν ἐγκέφαλον πολλάκις αὐτὸν βιασθεῖσα ἀπόλλυσι καὶ διαφθείρει. καὶ τοῦτο ὁ Θεὸς ᾠκονόμησε καλῶς ἐκ τῆς ἀμετρίας τοσαύτην γίνεσθαι βλάβην· ἵν', ὅταν ἑκὼν μὴ φιλοσοφῇς, κἂν ἄκων διὰ τὸν φόβον τῆς τοσαύτης διαφθορᾶς μετριάζειν μάθῃς. ταῦτ' οὖν εἰδότες, φεύγωμεν τρυφήν, ἐπιμελώμεθα συμμετρίας, ἵνα καὶ τῆς τοῦ σώματος ὑγείας ἀπολαύσωμεν, καὶ τὴν ψυχὴν πάσης ἀπαλλάξαντες ἀῤῥωστίας, τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀπληςία

ἴσ. λαβεῖν,

γρ. συμμέτρων.

Ὁμιλ. με. 10 ΚΑΙ ΠΡΟΣΕΛΘΟΝΤΕΣ ΟΙ ΜΑΘΗΤΑΙ, εἶπον αὐτῷ, διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;

11 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.

Ἄξιον θαυμάσαι τοὺς μαθητὰς, πῶς καὶ ἐπιθυμοῦντες μαθεῖν, ἴσασι πότε ἐρωτῆσαι ἐχρῆν. οὐ γὰρ ἐπὶ πάντων τοῦτο ποιοῦσι. καὶ τοῦτο ἐδήλωσεν ὁ Ματθαῖος εἰπὼν, καὶ προσελθόντες. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ὁ Μάρκος αὐτὸ σαφέστερον παρέστησεν, εἰπὼν ὅτι κατιδίαν προσῆλθον αὐτῷ. τοῦτο δὴ καὶ τοὺς ἀδελφοὺς καὶ τὴν μητέρα ποιῆσαι ἐχρῆν, καὶ οὐχὶ καλέσαι ἔξω καὶ ἐπιδείξασθαι. σκόπει δὲ αὐτῶν καὶ τὴν φιλοστοργίαν, πῶς πολὺν ὑπὲρ τῶν ἄλλων ποιοῦνται λόγον, καὶ πρότερον τὰ ἐκείνων ζητοῦσι, καὶ τότε τὰ ἑαυτῶν. διατί γάρ, φησιν, ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; οὐκ εἶπον, διατί ἐν παραβολαῖς λαλεῖς ἡμῖν; καὶ γὰρ καὶ ἀλλαχοῦ πολλαχῶς φαίνονται φιλοστόργως πρὸς ἅπαντας διακείμενοι, ὡς ὅταν λέγωσιν· ἀπόλυσον τοὺς ὄχλους, καὶ ὅτι οἶδας ὅτι ἐσκανδαλίσθησαν. τί οὖν ὁ Χριστός; ὅτι ὑμῖν δέδοται, φησὶ, γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· ἐκείνοις δὲ οὐ δέδοται. τοῦτο δὲ εἶπεν, οὐκ ἀνάγκην εἰσάγων, οὐδὲ ἀποκλήρωσιν ἁπλῶς καὶ ὡς ἔτυχε γινομένην· ἀλλὰ δεικνὺς αὐτοὺς ἁπάντων αἰτίους ὄντας τῶν κακῶν, καὶ παραστῆσαι θέλων, ὅτι δωρεὰ τὸ πρᾶγμά ἐστι καὶ χάρις ἄνωθεν δεδομένη. οὐ μὴν ἐπειδὴ δωρεὰ, διὰ τοῦτο τὸ αὐτεξούσιον ἀνήρηται· καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. ὅρα γοῦν πῶς, ἵνα μήτε ἐκεῖνοι ἀπογνῶσι, μήτε οὗτοι ῥαθυμήσωσιν ἀκούσαντες ὅτι δέδοται, δείκνυσι παρ' ἡμῖν τὴν ἀρχὴν οὖσαν.

12 Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. Καὶ πολλῆς μὲν ἀσαφείας γέμει τὸ εἰρημένον, ἄφατον δὲ δικαιοσύνην ἐνδείκνυται. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὅταν τις προθυμίαν ἔχῃ καὶ σπουδὴν, δοθήσεται αὐτῷ καὶ τὰ παρὰ τοῦ Θεοῦ ἅπαντα· ὅταν δὲ τούτων κενὸς ᾖ, καὶ τὰ παρ' ἑαυτοῦ μὴ εἰσφέρῃ, οὐδὲ τὰ παρὰ τοῦ Θεοῦ δίδοται. καὶ γὰρ ὃ δοκεῖ ἔχειν, φησὶν, ἀρθήσεται ἀπ' αὐτοῦ· οὐ τοῦ Θεοῦ αἴροντος, ἀλλὰ μὴ καταξιοῦντος αὐτὸν τῶν αὐτοῦ. τοῦτο καὶ ἡμεῖς ποιοῦμεν. ὅταν ἴδωμέν τινα ἀκούοντα ῥαθύμως, καὶ πολλὰ παρακαλοῦντες προσέχειν μὴ πείθωμεν, σιγῶμεν λοιπόν. εἰ γὰρ μέλλοιμεν ἐπιμένειν, ἐπιτείνεται αὐτῷ τὰ τῆς ῥαθυμίας· τὸν δὲ σπουδάζοντα μαθεῖν, ἐπισπώμεθα καὶ πολλὰ ἐγχέομεν. καὶ καλῶς εἶπε, καὶ ὃ δοκεῖ ἔχειν. οὐδὲ γὰρ αὐτὸ οὐκ ἔχει. εἶτα καὶ σαφέστερον ὅπερ εἶπεν, ἐποίησε, δεικνὺς τί ἐστι τὸ, τῷ ἔχοντι δοθήσεται, εἰπών· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ.

13 Διὰ τοῦτο, φησιν, ἐν παραβολαῖς λαλῶ αὐτοῖς, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν οὐδὲ συνιοῦσιν. Οὐκοῦν ἀνοῖξαι ἔδει, φησὶ, τοὺς ὀφθαλμοὺς εἰ μὴ βλέπουσιν. ἀλλ' εἰ μὲν φύσεως ἡ πήρωσις ἦν, ἀνοῖξαι ἔδει· ἐπειδὴ δὲ ἑκουσία καὶ αὐθαίρετος ἡ πήρωσις, διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, οὐ βλέπουσιν, ἀλλὰ βλέποντες οὐ βλέπουσιν· ὥστε τῆς αὐτῶν πονηρίας ἡ πήρωσις. εἶδον γὰρ καὶ δαίμονας ἐξελθόντας, καὶ ἔλεγον· ἐν τῷ Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. ἤκουσαν τῷ Θεῷ προσάγοντος αὐτοὺς καὶ πολλὴν πρὸς αὐτὸν ἐπιδεικνυμένου τὴν ὁμόνοιαν, καὶ λέγουσιν ὅτι οὐκ ἔστιν οὗτος ἀπὸ τοῦ Θεοῦ. ἐπεὶ οὖν τἀναντία ὧν ἔβλεπον καὶ ὧν ἤκουον ἀπεφαίνοντο, διὰ τοῦτό, φησι, καὶ τὸ βλέπειν καὶ τὸ ἀκούειν ἀπ' αὐτῶν ἀφαιρῶ. οὐδὲν γὰρ αὐτοῖς ἐντεῦθεν πλέον γίνεται, ἀλλὰ καὶ κρίμα πλέον. οὐ γὰρ μόνον ἠπίστουν, ἀλλὰ καὶ ἐπετίμων, καὶ κατηγό-

ρεσιν, καὶ ἐπεβούλευον. ἀλλ' οὐ λέγει τοῦτο. οὐ γὰρ βούλεται εἶναι φορτικὸς κατηγορῶν. οὐκοῦν ἐξ ἀρχῆς οὐχ οὕτως αὐτοῖς διελέχθη, ἀλλὰ μετὰ πολλῆς τῆς σαφηνείας. ἐπειδὴ δὲ διέστρεφον ἑαυτούς, ἐν παραβολαῖς λοιπὸν φθέγγεται. εἶτα, ἵνα μὴ νομίσῃ τις κατηγορίαν εἶναι ψιλὴν τὰ εἰρημένα, μηδὲ λέγωσιν, ὅτι ἐχθρὸς ἡμῶν ὢν ταῦτα αἰτιᾶται καὶ διαβάλλει, καὶ τὸν προφήτην εἰσάγει τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον.

14 Πληροῦται γὰρ ἐπ' αὐτοῖς, φησι, ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Εἶδες καὶ τὸν προφήτην μετὰ ταύτης τῆς ἀκριβείας κατηγοροῦντα; οὐδὲ γὰρ αὐτὸς εἶπεν, ὅτι οὐ βλέπετε, ἀλλὰ βλέψετε, καὶ οὐ μὴ ἴδητε· οὐδ' ὅτι οὐκ ἀκούσεσθε, ἀλλ' ὅτι ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὥστε αὐτοὶ ἑαυτοὺς ἀφείλοντο πρότερον τὰ ὦτα βύσαντες, τοὺς ὀφθαλμοὺς μύσαντες, τὴν καρδίαν παχύναντες. οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ

ἰσ. βλέψ

15 Βαρέως ἤκουον. Ἐποίησαν δὲ τοῦτο, φησι, Μήποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς, Τὴν ἐπιτεταμένην αὐτῶν λέγων πονηρίαν, καὶ μετὰ σπουδῆς ἀποστροφήν. καὶ τοῦτο λέγει, ἐφελκόμενος αὐτοὺς καὶ ἐρεθίζων, καὶ δεικνὺς ὅτι, ἂν ἐπιστρέψωσιν, ἰάσεται αὐτούς. ὥσπερ ἂν εἴ τις λέγοι· οὐκ ἐβουλήθη με ἰδεῖν, καὶ χάριν ἔχω· εἰ γὰρ ἠξιώθην, εὐθέως ἐνδιδόναι ἔμελλον. τοῦτο δὲ λέγει, δεικνὺς πῶς ἂν καταλλαγείη. οὕτω δὴ καὶ ἐνταῦθά φησι· μήποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς, δεικνὺς ὅτι καὶ τὸ ἐπιστραφῆναι δυνατόν, καὶ μετανοήσαντας ἔνι σωθῆναι· καὶ ὅτι οὐκ εἰς τὴν αὐτοῦ δόξαν, ἀλλ' εἰς τὴν αὐτῶν σωτηρίαν ἅπαντα ἐποίει. εἰ γὰρ μὴ ἐβούλετο αὐτοὺς ἀκοῦσαι καὶ σωθῆναι, σιγῆσαι ἔδει, οὐχὶ ἐν παραβολαῖς λέγειν· νῦν δὲ αὐτῷ τούτῳ κινεῖ αὐτούς, τῷ συνεσκιασμένα λέγειν. Ὁ γὰρ Θεὸς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν καὶ ζῆν αὐτόν. ὅτι γὰρ οὐ φύσεως τὸ ἁμάρτημα, οὐδὲ ἀνάγκης καὶ βίας, ἄκουσον τί φησι πρὸς τοὺς ἀποστόλους·

χ. ἐποίησαν τοῦτο,

χ. ἐβουλ

χ. ἔχει

Ἰεζ. ιη. κγ.

16 Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα, ὅτι ἀκούει·

Οὐ ταύτην λέγων τὴν ὄψιν οὐδὲ τὴν ἀκοήν, ἀλλὰ τὴν ἀπὸ διανοίας. καὶ γὰρ καὶ οὗτοι Ἰουδαῖοι ἦσαν, καὶ ἐν τοῖς αὐτοῖς τεθραμμένοι· ἀλλ' ὅμως οὐδὲν παρεβλάβησαν ἀπὸ τῆς προφητείας, ἐπειδὴ τὴν ῥίζαν τῶν ἀγαθῶν εἶχον εὖ διακειμένην, τὴν προαίρεσιν λέγω, καὶ τὴν γνώμην. ὁρᾷς, ὅτι τὸ, ὑμῖν δέδοται, οὐκ ἀνάγκης ἦν; οὐδὲ γὰρ ἂν ἐμακαρίσθησαν, εἰ μὴ αὐτῶν ἦν τὸ κατόρθωμα. μὴ γὰρ τοῦτο εἴπῃς, ὅτι ἀσαφῶς ἐλέγετο. ἠδύναντο γὰρ καὶ προσελθεῖν καὶ ἐρωτῆσαι, καθάπερ οἱ μαθηταί· ἀλλ' οὐκ ἠθέλησαν, ῥάθυμοι ὄντες καὶ ἀναπεπτωκότες. καὶ τί λέγω, οὐκ ἠθέλησαν; καὶ τὰ ἐναντία μὲν οὖν ἐποίουν. οὐ γὰρ μόνον ἠπίστουν, οὐδὲ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ ἐπολέμουν καὶ σφόδρα ἀηδῶς εἶχον πρὸς τὰ λεγόμενα· ὅπερ τὸν προφήτην εἰσάγει κατηγοροῦντα, τῷ λέγειν βαρέως ἤκουσαν. ἀλλ' οὐ κἀκεῖνοι τοιοῦτοι· διὸ καὶ ἐμακάριζεν αὐτούς. καὶ ἑτέρωθεν δὲ αὐτοὺς βεβαιοῖ πάλιν λέγων·

ψυχῶν.

17 Ἀμὴν γὰρ λέγω ὑμῖν, πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν, Τὴν παρουσίαν τὴν ἐμήν, φησι, τὰ θαύματα αὐτά, τὴν φωνήν, τὴν διδασκαλίαν. ἐνταῦθα γὰρ οὐχὶ τῶν διεφθαρμένων τούτων, ἀλλὰ καὶ τῶν κατωρθωκότων αὐτοὺς προτίθησι. καὶ γὰρ καὶ ἐκείνων μακαριωτέρους αὐτοὺς εἶναί φησι. τί δήποτε; ὅτι οὐ μόνον ἅπερ οἱ Ἰουδαῖοι οὐκ εἶδον, βλέπουσιν οὗτοι, ἀλλὰ καὶ ἅπερ ἐκεῖνοι ἐπεθύμησαν ἰδεῖν. ἐκεῖνοι μὲν γὰρ τῇ πίστει μόνον ἐθεάσαντο· οὗτοι δὲ καὶ τῇ ὄψει, καὶ πολλῷ σαφέστερον. Εἶδες πῶς πάλιν τὴν παλαιὰν συνάπτει τῇ καινῇ, δεικνὺς οὐ μόνον ἰδόντας ἐκείνους τὰ μέλλοντα, ἀλλὰ καὶ σφόδρα ἐπιθυμοῦντας; οὐκ ἂν δέ, εἰ ἀλλοτρίου τινὸς καὶ ἐναντίου Θεοῦ ἦσαν, ἐπεθύμησαν.

18 Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος, φησι·

κεφ. ιγ.

Καὶ λέγει τὰ ἔμπροσθεν ἡμῖν εἰρημένα, τὰ περὶ ῥᾳθυμίας καὶ σπουδῆς, τὰ περὶ δειλίας καὶ ἀνδρείας, τὰ περὶ χρημάτων καὶ ἀκτημοσύνης, δεικνὺς τὴν ἐκεῖθεν βλάβην καὶ τὴν ἐντεῦθεν ὠφέλειαν. εἶτα καὶ τῆς ἀρετῆς εἰσάγει διαφόρους τρόπους. φιλάνθρωπος γὰρ ὢν, οὐ μίαν ἔτεμεν ὁδὸν, οὐδὲ εἶπεν, ἐὰν μή τις ἑκατὸν ποιήσῃ, ἐξέπεσεν· ἀλλὰ καὶ ὁ τὰ ἑξήκοντα ποιῶν σώζεται· καὶ οὐχ οὗτος μόνος, ἀλλὰ καὶ ὁ τὰ τριάκοντα. τοῦτο δὲ ἐποίησεν εὔκολον κατασκευάζων τὴν σωτηρίαν.

ΗΘΙΚΟΝ

Καὶ σὺ τοίνυν οὐ δύνασαι παρθενίαν ἀσκῆσαι; γάμησον σωφρόνως. οὐ δύνασαι γενέσθαι ἀκτήμων; δὸς ἐκ τῶν ὄντων. οὐ φέρεις ἐκεῖνο τὸ φορτίον; μέρισαι μετὰ τοῦ Χριστοῦ τὰ ὑπάρχοντα. οὐ βούλει αὐτῷ παραχωρῆσαι ἁπάντων; κἂν τὴν ἡμίσειαν, κἂν τὴν τρίτην ἐπίδος μοῖραν. ἀδελφός σου ἐστὶ καὶ συγκληρονόμος· ποίησον αὐτὸν καὶ ἐνταῦθα συγκληρονόμον· ὅσα ἂν ἐκείνῳ δῷς, σαυτῷ δώσεις. οὐκ ἀκούεις τί φησιν ὁ προφήτης; τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει. εἰ δὲ συγγενῶν ὑπεροπᾶν οὐ χρὴ, πολλῷ μᾶλλον τὸν δεσπότην, μετὰ τῆς δεσποτείας καὶ τὸ τῆς συγγενείας δικαίωμα πρὸς σὲ ἔχοντα, καὶ πολλῷ πλείονα ἕτερα. καὶ γὰρ καὶ μεριστήν σε ἐποίησε τῶν αὐτοῦ, οὐδὲν παρὰ σοῦ λαβὼν, ἀλλὰ καὶ κατάρξας τῆς ἀφάτου ταύτης εὐεργεσίας. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τὸ μηδὲ τῇ δωρεᾷ ταύτῃ γενέσθαι φιλάνθρωπον, μηδὲ ἀμοιβὴν ἀντὶ χάριτος δοῦναι, καὶ ἐλάττονα ἀντὶ μειζόνων; αὐτὸς μὲν γάρ σε τῶν οὐρανῶν κληρονόμον ἐποίησε· σὺ δὲ αὐτῷ οὐδὲ τῶν ἐν τῇ γῇ μεταδίδως; αὐτός σε οὐδὲν κατορθωκότα, ἀλλὰ καὶ ἐχθρὸν ὄντα κατήλλαξε· σὺ δὲ οὐδὲ φίλον ὄντα καὶ εὐεργέτην ἀμείβῃ; καίτοιγε καὶ περὶ τῆς βασιλείας, καὶ περὶ τῶν ἄλλων ἁπάντων, καὶ ὑπὲρ αὐτοῦ τοῦ δοῦναι χάριν δίκαιον ἔχειν αὐτῷ. καὶ γὰρ καὶ οἰκέται δεσπότας ἐπ' ἄριστον καλοῦντες, οὐ παρέχειν, ἀλλὰ λαμβάνειν νομίζουσιν· ἐνταῦθα δὲ τοὐναντίον γέγονεν. οὐ γὰρ ὁ οἰκέτης τὸν δεσπότην, ἀλλ' ὁ δεσπότης τὸν οἰκέτην [πρῶτος] ἐκάλεσεν ἐπὶ τὴν αὐτοῦ τράπεζαν. σὺ δὲ οὐδὲ μετὰ τοῦτο καλεῖς; πρῶτός σε εἰς τὴν αὐτοῦ στέγην εἰσήγαγε· σὺ δὲ οὐδὲ δεύτερος; γυμνὸν ὄντα σε περιέβαλε· σὺ δὲ οὐδὲ μετὰ ταῦτα ξένον ὄντα συνεισάγεις; πρῶτός σε ἐπότισε τὸ ἑαυτοῦ ποτήριον· σὺ δὲ οὐδὲ ψυχροῦ μεταδίδως ὕδατος; ἐπότισέ σε πνεῦμα ἅγιον· σὺ δὲ οὐδὲ τὴν σωματικὴν παραμυθῇ δίψαν; ἐπότισέ σε πνεῦμα, ἄξιον ὄντα κολάσεως· σὺ δὲ καὶ διψῶντα περιορᾷς, καὶ ταῦτα ἐκ τῶν αὐτοῦ μέλλων ἅπαντα ταῦτα ποιεῖν; οὐ [γὰρ] μέγα ἡγῇ τὸ ποτήριον κατασχεῖν, ἐξ οὗ πίνειν ὁ Χριστὸς μέλλει, καὶ προσάγειν τῷ στόματι; οὐχ ὁρᾷς ὅτι τῷ ἱερεῖ μόνῳ θέμις τοῦ αἵματος ἐπιδιδόναι ποτήριον; ἐγὼ οὐδὲν ὑπὲρ τούτων ἀκριβολογοῦμαι, φησίν· ἀλλὰ κἂν αὐτὸς ἐπιδῷς, δέχομαι· κἂν λαϊκὸς ἦς, οὐ παραιτοῦμαι, καὶ οὐκ ἀπαιτῶ ὅπερ ἔδωκα. οὐ γὰρ αἷμα ζητῶ, ἀλλ' ὕδωρ "κἂν ψυχρόν. ἐννόησον τίνα ποτίζεις, καὶ φρίξον· ἐννόησον ὅτι ἱερεὺς τοῦ Χριστοῦ γίνῃ σὺ, ἰδίᾳ χειρὶ διδοὺς, οὐ σάρκα, ἀλλ' ἄρτον, οὐχ αἷμα, ἀλλὰ ψυχροῦ ὕδατος ποτήριον. ἐνέδυσέ σε ἱμάτιον σωτηρίου, καὶ ἐνέδυσέ σε δι' ἑαυτοῦ· σὺ κἂν διὰ τοῦ παιδὸς ἔνδυσον. ἐποίησέ σε ἔνδοξον ἐν οὐρανοῖς· σὺ τῆς φρίκης ἀπάλλαξον, καὶ τῆς γυμνότητος καὶ τῆς ἀσχημοσύνης. ἐποίησέ σε ἀγγέλων πολίτην· σὺ κἂν στέγης μετάδος μόνον. κἂν ὡς τῷ οἰκέτῃ τῷ σῷ δὸς οἰκίαν, οὐκ ἀποστρέφομαι τοῦτο τὸ καταγώγιον, καὶ ταῦτά σοι τὸν οὐρανὸν ἀνοίξας ἅπαντα. ἀπήλλαξά σε φυλακῆς χαλεπωτάτης· ἐγὼ τοῦτο οὐκ ἀπαιτῶ, οὐδὲ λέγω, ἀπάλλαξόν με, ἀλλ' ἂν ἴδῃς με μόνον δεδεμένον, ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ἐμοί. νεκρὸν ὄντα σε ἀνέστησα ἐγώ· παρὰ σοῦ οὐκ ἀπαιτῶ τοῦτο, ἀλλὰ λέγω, ἐπίσκεψαί με μόνον ἀρρωστοῦντα. ὅταν οὖν οὕτως ᾖ μεγάλα τὰ δεδομένα, καὶ πολὺ κοῦφα τὰ ἀπαιτούμενα, καὶ μηδὲ ταῦτα παρέχωμεν, πόσης οὐκ ἂν εἴημεν ἄξιοι γεέννης; εἰκότως εἰς τὸ πῦρ ἄπιμεν τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, πέτρας ὄντες ἀναισθητότεροι. πόσης γὰρ ἀναισθησίας, εἰπέ μοι, τοσαῦτα λαβόντας, τοσαῦτα ληψομένους, χρημάτων εἶναι δούλους, ὧν μικρὸν ὕστερον ἀποστησόμεθα καὶ ἄκοντες; καὶ ἕτεροι μὲν καὶ τὴν ψυχὴν ἐπέδωκαν, καὶ τὸ αἷμα ἐξέχεαν· σὺ δὲ οὐδὲ

τὰ ἔπαθλα προΐεσαι ὑπὲρ τῶν οὐρανῶν, ὑπὲρ τῶν τοσούτων στεφάνων; καὶ ποίας ἂν ἄξιος ἔσῃ συγγνώμης, τίνος ἀπολογίας, ἐν μὲν τῷ σπόρῳ τῆς γῆς πάντα ἡδέως προϊέμενος, καὶ ἐν τῷ δανείζειν ἀνθρώποις οὐδενὸς φειδόμενος· ἐν δὲ τῷ τρέφειν σου τὸν δεσπότην διὰ τῶν δεομένων, ὠμὸς καὶ ἀπάνθρωπος ὤν; ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, καὶ λογισάμενοι ἅπερ εἰλήφαμεν, ἅπερ λαμβάνειν μέλλομεν, ἅπερ αἰτούμεθα, μὴ τὴν σπουδὴν ἐν τοῖς βιωτικοῖς ἐπιδεικνυώμεθα· γενώμεθά ποτε ἥμεροι καὶ φιλάνθρωποι, ἵνα μὴ τὴν ἀφόρητον δίκην ἐφ' ἑαυτοὺς ἑλκύσωμεν. τί γὰρ ἡμᾶς οὐχ ἱκανὸν κατακρῖναι; τὸ τοσούτων καὶ τηλικούτων ἀπολαῦσαι, τὸ μηδὲν μέγα αἰτεῖσθαι, τὸ τοιαῦτα αἰτεῖσθαι ἃ καὶ ἄκοντες ἐνταῦθα ἀπολείψομεν, τὸ πολλὴν ἐν τοῖς βιωτικοῖς φιλοτιμίαν ἐπιδείκνυσθαι; τούτων γὰρ ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ἡμᾶς καταδικάσαι· ὅταν δὲ ὁμοῦ τὰ πάντα συνέλθῃ, τίς ἔσται σωτηρίας ἐλπίς; ἵν' οὖν ἅπασαν ταύτην τὴν κατάκρισιν διαφύγωμεν, ἐπιδειξώμεθά τινα δαψίλειαν περὶ τοὺς δεομένους. οὕτω γὰρ καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἁπάντων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. μϛ. 24 ΑΛΛΗΝ ΠΑΡΑΒΟΛΗΝ ΠΑΡΕΘΗκεν αὐτοῖς λέγων· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. 25 Εν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. 26 Οτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. 27 Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ ἀγρῷ σου; πόθεν οὖν ἔχει ζιζάνια; 28 Ο δὲ ἔφη αὐτοῖς, ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ, θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; 29 Ο δὲ ἔφη, οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.
30 Αφετε οὖν συναυξάνεσθαι ἀμφότερα ἄχρι τοῦ θερισμοῦ, καὶ τότε ἐρῶ τοῖς θερισταῖς, συλλέξατε πρῶτον τὰ ζιζάνια.

ΤΙ δὲ μέσον ταύτης καὶ τῆς προτέρας παραβολῆς; ἐκεῖ τοὺς μηδ' ὅλως προσεσχηκότας [αὐτῷ] φησιν, ἀλλ' ἀποπηδήσαντας καὶ τὸν σπόρον προϊεμένους· ἐνταῦθα δὲ, τῶν αἱρετικῶν λέγει τὰ συστήματα. ἵνα γὰρ μηδὲ τοῦτο τοὺς μαθητὰς θορυβῇ, καὶ τοῦτο προλέγει, μετὰ τὸ διδάξαι αὐτοὺς διὰ τί ἐν παραβολαῖς λαλεῖ. ἐκείνη μὲν ἡ παραβολή, φησιν, ὅτι οὐκ ἐδέξαντο· αὕτη δὲ, ὅτι καὶ φθορέας ἐδέξαντο. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ διαβόλου μεθοδείας, τῇ ἀληθείᾳ ἀεὶ παρεισάγειν τὴν πλάνην, πολλὰ ἐπιχρωννύντα αὐτῇ τὰ ὁμοιώματα, ὥστε εὐκόλως κλέψαι τοὺς εὐεξαπατήτους. διὰ τοῦτο οὐκ ἄλλο τι σπέρμα, ἀλλὰ ζιζάνια καλεῖ, ὃ καὶ κατὰ τὴν ὄψιν ἔοικέ πως τῷ σίτῳ. εἶτα λέγει καὶ τὸν τρόπον τῆς ἐπιβουλῆς. ἐν γὰρ τῷ καθεύδειν τοὺς ἀνθρώπους, φησίν. οὐ μικρὸν τοῖς ἄρχουσιν ἐντεῦθεν ἐπικρεμνᾷ τὸν κίνδυνον, τοῖς μάλιστα τῆς ἀρούρας τὴν φυλακὴν ἐμπεπιστευμένοις· οὐ τοῖς ἄρχουσι δὲ μόνον, ἀλλὰ καὶ τοῖς ἀρχομένοις. δείκνυσι δὲ καὶ τὴν πλάνην μετὰ τὴν ἀλήθειαν οὖσαν, ὅπερ καὶ ἡ τῶν πραγμάτων ἔκβασις μαρτυρεῖ. καὶ γὰρ μετὰ τοὺς προφήτας, οἱ ψευδοπροφῆται· καὶ μετὰ τοὺς ἀποστόλους, οἱ ψευδαπόστολοι· καὶ μετὰ τὸν Χριστὸν, ὁ ἀντίχριστος. ἂν γὰρ μὴ ἴδῃ τί μιμήσηται ὁ διάβολος, ἢ τισιν ἐπιβουλεύ-

σῃ,

ση, οὔτε ἐπιχειρεῖ οὔτε οἶδε. καὶ νῦν τοίνυν, ἐπειδὴ εἶδεν, ὅτι ὁ μὲν ἐποίησεν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα, ἄλλην ἔρχεται [λοιπὸν] ὁδόν. ἐπεὶ γὰρ ἁρπάσαι οὐκ ἠδυνήθη τὸ ῥιζωθὲν, οὐδὲ ἀποπνῖξαι, οὐδὲ κατακαῦσαι, δι' ἑτέρας ἀπάτης ἐπιβουλεύει, παρεμβάλλων τὰ παρ' ἑαυτοῦ. καὶ τί διαφέρουσι τῶν καθευδόντες, φησὶ, τῶν τὴν ὁδὸν μιμουμένων; ὅτι ἐκεῖ εὐθέως ἥρπασεν (οὐδὲ γὰρ ῥιζωθῆναι ἀφῆκεν) ἐνταῦθα δὲ, πλείονος ἐδεήθη τῆς μηχανῆς. ταῦτα δὲ λέγει ὁ Χριστὸς, παιδεύων ἡμᾶς διαπαντὸς ἐγρηγορέναι. κἂν γὰρ ἐκείνας διαφύγῃς τὰς βλάβας, φησὶν, ἔστι καὶ ἑτέρα βλάβη. ὥσπερ γὰρ ἐκεῖ διὰ τῆς ὁδοῦ καὶ τῆς πέτρας καὶ τῶν ἀκανθῶν, οὕτω καὶ ἐνταῦθα διὰ τοῦ ὕπνου ἡ ἀπώλεια γίνεται· ὥστε διηνεκοῦς φυλακῆς δεῖ. διὸ καὶ ἔλεγεν· Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. τοιοῦτόν τι γέγονε καὶ παρὰ τὴν ἀρχήν. πολλοὶ γοῦν τῶν προεστώτων πονηροὺς εἰσαγαγόντες ἄνδρας ἐν ταῖς ἐκκλησίαις, αἱρεσιάρχας κρυπτομένους, πολλὴν εὐκολίαν τῇ τοιαύτῃ παρέσχον ἐπιβουλῇ. οὐδὲ γὰρ πόνου δεῖ τῷ διαβόλῳ λοιπὸν, ὅταν ἐκείνους εἰς μέσον φυτεύσῃ. καὶ πῶς δυνατὸν μὴ καθεύδειν, φησί; τὸν μὲν οὖν φυσικὸν ὕπνον, οὐ δυνατόν· τὸν δὲ τῆς προαιρέσεως, δυνατόν. διὸ καὶ Παῦλος ἔλεγε· Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει. εἶτα δείκνυσι καὶ περιττὸν τὸ πρᾶγμα, οὐχὶ βλαβερὸν μόνον. μετὰ γὰρ τὸ γεωργηθῆναι τὴν ἄρουραν, καὶ μὴ χρείαν εἶναι μηδενὸς, τότε ἐπισπείρει οὗτος, καθάπερ καὶ οἱ αἱρετικοὶ ποιοῦσιν, οἳ δι' οὐδὲν ἕτερον, ἢ διὰ κενοδοξίαν ἐμβάλλουσι τὸν ἑαυτῶν ἰόν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα μετ' ἀκριβείας αὐτῶν ὑπογράφει τὴν σκηνὴν ἅπασαν. ὅτε γὰρ ἐβλάστησε, φησιν, ὁ χόρτος καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια· ὅπερ καὶ οὗτοι ποιοῦσι. παρὰ μὲν γὰρ τὴν ἀρχὴν συσκιάζουσιν ἑαυτούς· ἐπειδὰν δὲ πολλὴν λάβωσι τὴν παῤῥησίαν, καὶ λόγου τις αὐτοῖς μεταδῷ, τότε τὸν ἰὸν ἐκχέουσι. τίνος δὲ ἕνεκεν εἰσάγει τοὺς δούλους λέγοντας τὸ γεγενημένον; ἵνα εἴπῃ, ὅτι οὐ δεῖ ἀναιρεῖν αὐτούς. ἐχθρὸν δὲ ἄνθρωπον αὐτὸν καλεῖ, διὰ τὴν εἰς ἀνθρώπους βλάβην. ἡ μὲν γὰρ ἐπήρεια καθ' ἡμῶν· ἡ δὲ ἀρχὴ τῆς ἐπηρείας, οὐκ ἀπὸ τῆς εἰς ἡμᾶς, ἀλλ' ἀπὸ τῆς εἰς Θεὸν ἔχθρας ἐγένετο. ὅθεν δῆλον, ὅτι μᾶλλον ὁ Θεὸς ἡμᾶς φιλεῖ, ἢ ἡμεῖς ἑαυτούς. ὅρα δὲ καὶ ἑτέρωθεν τοῦ διαβόλου τὴν κακουργίαν. οὐ γὰρ πρὸ τούτου ἔσπειρεν, ἐπειδὴ μηδὲν εἶχεν ἀπολέσαι, ἀλλ' ὅτε ἦν ἅπαντα πεπληρωμένα, ἵνα τὴν σπουδὴν λυμήνηται τοῦ γεωργοῦ. οὕτω πρὸς ἐκεῖνον ἐχθρωδῶς ἔχων πάντα ἐποίει. σκόπει δὲ καὶ τῶν οἰκετῶν τὴν φιλοστοργίαν. καὶ γὰρ ἐπείγονται ἤδη τὰ ζιζάνια ἀνασπάσαι, εἰ καὶ μὴ διεσκεμμένως ποιοῦσιν· ὅπερ δείκνυσι τὴν ὑπὲρ τοῦ σπόρου μέριμναν αὐτῶν, καὶ πρὸς ἓν μόνον βλέποντας, οὐχ ὅπως ἐκεῖνος δῷ δίκην, ἀλλ' ὥστε τὰ καταβληθέντα μὴ ἀπολέσθαι. οὐ γὰρ δὴ τοῦτο ἐστι τὸ κατεπεῖγον. διόπερ ὅπως τὸ νόσημα τέως ἐξέλωσι, σκοποῦσι. καὶ οὐδὲ τοῦτο ἁπλῶς ζητοῦσιν. οὐ γὰρ ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ τοῦ δεσπότου τὴν γνώμην ἀναμένουσι λέγοντες· θέλεις; τί οὖν ὁ δεσπότης; κωλύει λέγων· μήποτε ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. τοῦτο δὲ ἔλεγε, κωλύων πολέμους γίνεσθαι καὶ αἵματα καὶ σφαγάς. οὐ γὰρ δεῖ ἀναιρεῖν αἱρετικόν, ἐπεὶ πόλεμος ἄσπονδος εἰς τὴν οἰκουμένην ἔμελλεν εἰσάγεσθαι. δύο τοίνυν τούτοις αὐτοὺς κατέχει τοῖς λογισμοῖς· ἑνὶ μὲν, τῷ μὴ τὸν σῖτον βλαβῆναι· ἑτέρῳ δὲ, τῷ καταλήψεσθαι τὴν κόλασιν πάντως αὐτοὺς ἀνιάτως νοσοῦντας. ὥστε εἰ βούλει καὶ κολασθῆναι αὐτοὺς, καὶ χωρὶς τῆς τοῦ σίτου βλάβης, ἀνάμεινον τὸν προσήκοντα καιρόν. τί δὲ ἄλλο διὰ τοῦ, μὴ ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον, ἢ τοῦτό φησιν· ὅτι εἰ μέλλοιτε κινεῖν ὅπλα καὶ κατασφάττειν τοὺς αἱρετικοὺς, ἀνάγκη πολλοὺς καὶ τῶν ἁγίων συγκαταβάλλεσθαι· ἢ ὅτι ἀπ' αὐτῶν τῶν ζιζανίων πολλοὺς εἰκὸς μεταβάλλεσθαι καὶ γενέσθαι σῖτον; ἂν τοίνυν προλαβόντες αὐτοὺς ἐκριζώσητε, λυμαίνεσθε τῷ μέλλοντι γίνεσθαι σίτῳ, οὓς ἐγχωρεῖ μεταβαλέσθαι καὶ γενέσθαι βελτίους ἀναιροῦντες. οὐ τοίνυν κατέχειν αἱρετικοὺς καὶ ἐπιστομίζειν, καὶ ἐκκόπτειν αὐτῶν τὴν παῤῥησίαν, καὶ τὰς συνόδους, καὶ τὰς σπονδὰς διαλύειν κωλύει· ἀλλ' ἀναιρεῖν καὶ κατασφάττειν. σὺ δὲ αὐτοῦ σκόπει τὴν ἡμερότητα,

Ματθ. ι. κβ.

α. Κορ. ιε. ιγ.

ερότητα, πῶς οὐκ ἀποφαίνεται μόνον οὐδὲ κελεύει, ἀλλὰ λογισμοὺς τίθησι. Τί οὖν ἂν μέγει τέλος μθρὴ τὰ ζιζάνια; Τότε ἐρῶ τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ *δεσμὰς πρὸς τὸ κατακαῦσαι αὐτά. Πάλιν ἀναμιμνήσκει αὐτοὺς τῶν Ἰωάννου ῥημάτων, τῶν κριτὴν αὐτὸν εἰσαγόντων, καί φησιν ὅτι ἕως μὲν ἑστήκασιν ἐγγὺς τοῦ σίτου, φείδεσθαι χρὴ (ἐγχωρεῖ γὰρ αὐτοὺς καὶ σῖτον "γενέσθαι) ὅταν δὲ μηδὲν κερδάναντες ἀπέλθωσι, τότε αὐτοὺς ἀναγκαίως ἡ ἀπαραίτητος διαδέξεται δίκη. ἐρῶ γὰρ τοῖς θερισταῖς, φησί, συλλέξατε πρῶτον τὰ ζιζάνια. διατί πρῶτον; ἵνα μὴ φοβηθῶσιν οὗτοι, ὡς συναπαγομένου ἅμα αὐτοῖς τοῦ σίτου. καὶ δήσατε αὐτὰ δεσμὰς, "ὥστε κατακαῦσαι αὐτά·

Τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην. 31 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀπὸ τοῦ σπόρου τρία μέρη ἀπόλλυται, καὶ σώζεται ἕν, καὶ ἐν αὐτῷ πάλιν τῷ σωζομένῳ τοσαύτη γίνεται βλάβη, ἵνα μὴ λέγωσι, καὶ τίνες καὶ πόσοι ἔσονται οἱ πιστοί; καὶ τοῦτον ἐξαιρεῖ τὸν φόβον, διὰ τῆς παραβολῆς τοῦ σινάπεως ἐνάγων εἰς [τὴν] πίστιν αὐτοὺς, καὶ δεικνὺς ὅτι πάντως ἐκταθήσεται τὸ κήρυγμα. διὰ τοῦτο τούτου τοῦ λαχάνου τὴν εἰκόνα εἰς μέσον ἤγαγε σφόδρα ἐοικυῖαν τῇ ὑποθέσει.

32 Ὃ μικρότερον μέν, φησίν, ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστὶ, καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. Τοῦ γὰρ μεγέθους τὸ τεκμήριον ἐνδείξασθαι ἠβουλήθη. οὕτω δὴ καὶ ἐπὶ τοῦ κηρύγματος ἔσται, φησί. καὶ γὰρ ἁπάντων ἀσθενέστεροι ἦσαν οἱ μαθηταὶ, καὶ πάντων ἐλάττους· ἀλλ' ὅμως ἐπειδὴ μεγάλη ἦν ἡ ἐν αὐτοῖς δύναμις, ἐξηπλώθη πανταχοῦ τῆς οἰκουμένης. Εἶτα καὶ τὴν ζύμην ταύτῃ προστίθησι τῇ εἰκόνι, λέγων·

33 Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

Καθάπερ γὰρ αὕτη τὸ πολὺ ἄλευρον μεθίστησιν εἰς τὴν ἑαυτῆς ἰσχὺν, οὕτω καὶ ὑμεῖς τὸν πάντα κόσμον μεταστήσετε. καὶ ὅρα σύνεσιν. τὰ γὰρ τῆς φύσεως παράγει, δεικνὺς ὅτι ὥσπερ ἐκεῖνα ἀνεγχώρητον μὴ γενέσθαι, οὕτω καὶ ταῦτα. μὴ γάρ μοι τοῦτο λέγε· τί δυνησόμεθα δώδεκα ἄνθρωποι εἰς πλῆθος ἐμπεσόντες τοσοῦτον; καὶ γὰρ τοῦτο αὐτὸ μάλιστα ὑμῶν ποιεῖ τὴν ἰσχὺν ἐκλάμψαι, τὸ ἀναμιγῆναι τῷ πλήθει, καὶ μὴ φυγεῖν· ὥσπερ καὶ ἡ ζύμη τότε τὸ φύραμα ζυμοῖ, ὅταν ἐγγὺς γένηται τοῦ ἀλεύρου· καὶ οὐχ ἁπλῶς ἐγγὺς, ἀλλ' οὕτως ὥστε καὶ μιγῆναι. οὐ γὰρ εἶπεν, ἔθηκεν ἁπλῶς, ἀλλ' ἔκρυψεν. οὕτω καὶ ὑμεῖς, ὅταν κολληθῆτε καὶ ἑνωθῆτε τοῖς πολεμοῦσιν ὑμῖν, τότε αὐτῶν περιέσεσθε. καὶ καθάπερ ἐκείνη καταχώννυται μὲν, οὐκ ἀφανίζεται δὲ, ἀλλὰ κατὰ μικρὸν πρὸς τὴν ἑαυτῆς ἕξιν ἅπαντα μεταποιεῖ· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τοῦ κηρύγματος τοῦτο συμβήσεται. μὴ τοίνυν, ἐπειδὴ πολλὰς εἶπον *τὰς ἐπηρείας, φοβηθῆτε. καὶ γὰρ καὶ οὕτως ἐκλάμψετε, καὶ ἁπάντων περιέσεσθε. τρία δὲ σάτα ἐνταῦθα, τὰ πολλὰ εἴρηκεν. οἶδε γὰρ τὸν ἀριθμὸν τοῦτον ἐπὶ πλήθους λαμβάνειν. μὴ θαυμάσῃς δὲ, εἰ περὶ βασιλείας διαλεγόμενος, κόκκου καὶ ζύμης ἐμνήσθη. ἀνθρώποις γὰρ διελέγετο ἀπείροις καὶ ἰδιώταις καὶ δεομένοις ἀπὸ τούτων "ἀνάγεσθαι. οὕτω γὰρ ἦσαν ἀφελεῖς, ὡς καὶ μετὰ ταῦτα πάντα δεηθῆναι ἑρμηνείας πολλῆς. ποῦ τοίνυν Ἑλλήνων παῖδές εἰσι; μανθανέτωσαν τοῦ Χριστοῦ τὴν δύναμιν, ὁρῶντες τῶν πραγμάτων τὴν ἀλήθειαν· καὶ ἑκατέρωθεν αὐτὸν προσκυνείτωσαν, ὅτι καὶ προεῖπε πρᾶγμα τοσοῦτον, καὶ ἐπλήρωσε. καὶ γὰρ αὐτός ἐστιν ὁ τὴν δύναμιν ἐνθεὶς τῇ ζύμῃ. διὰ τοῦτο καὶ ἀνέμιξε τῷ πλήθει τοὺς αὐτῷ πιστεύοντας, ἵνα μεταδῶμεν ἀλλήλοις τῆς ἡμετέρας συνέσεως. μηδεὶς τοίνυν ὀλιγότητα αἰτιάσθω. πολλὴ γὰρ τοῦ κηρύγματος ἡ δύναμις· καὶ τὸ ζυμωθὲν ἅπαξ, ζύμη γίνεται τῷ λοιπῷ πάλιν. καὶ καθάπερ ὁ σπινθὴρ, ὅταν ἐπιλάβηται ξύλων, τὰ ἤδη κατακαυθέντα

* εἰς

χ. γ

χ. πρὸς τὸ

* [illegible]

χ. ἀνάγ

ποιήσας τῆς φλογὸς προσθήκην, οὕτω τοῖς ἄλλοις ἐπειπὼν· οὕτω δὴ καὶ τὸ κήρυγμα. ἀλλ' οὐκ εἶπε πῦρ, ἀλλὰ ζύμην. τί δή ποτε; ὅτι οὐ τοῦ πυρός ἐστιν ἐκεῖ τὸ ὅλον, ἀλλὰ καὶ τῶν ἀναπτομένων ξύλων· ἐνταῦθα δὲ τὸ ὅλον ἡ ζύμη ἐργάζεται δι' ἑαυτῆς. εἰ δὲ ἄνθρωποι δώδεκα τὴν οἰκουμένην ἅπασαν ἐζύμωσαν, ἐννόησον ὅση ἡμῶν ἡ κακία, ὅταν τοσοῦτοι ὄντες τοὺς ὑπολειπομένους μὴ δυνηθῶμεν διορθοῦν, οὓς μυρίοις κόσμοις ἀρκεῖν ἐχρῆν καὶ γενέσθαι ζύμην. ἀλλ' ἐκεῖνοι, φησίν, ἀπόστολοι ἦσαν. καὶ τί τοῦτο; οὐχὶ τῶν αὐτῶν σοι μετέσχον; οὐκ ἐν πόλεσιν ἐτράφησαν; οὐ τῶν αὐτῶν ἀπέλαυσαν; οὐχὶ τέχνας μετεχειρίσαντο; μὴ γὰρ ἄγγελοι ἦσαν; μὴ γὰρ ἐξ οὐρανοῦ κατέβησαν; ἀλλὰ τὰ σημεῖα, φησίν, εἶχον. οὐ τὰ σημεῖα θαυμαστοὺς αὐτοὺς ἐποίησε.

Μέχρι πότε προκαλύμμασι κεχρήμεθα τῆς ἡμετέρας ῥᾳθυμίας τοῖς θαύμασιν ἐκείνοις; [ἴδε τὸν χορὸν τῶν ἁγίων οὐ τοῖς θαύμασιν ἐκείνοις λάμψαντα.] πολλοὶ γὰρ καὶ δαίμονας ἐκβαλόντες, ἐπειδὴ τὴν ἀνομίαν εἰργάσαντο, οὐκ ἐγένοντο θαυμαστοί, ἀλλὰ καὶ ἐκολάσθησαν. καὶ τί ποτ' οὖν ἐστι, φησίν, ὃ μεγάλους αὐτοὺς ἔδειξε; τὸ χρημάτων καταφρονεῖν, τὸ δόξης ὑπερορᾶν, τὸ πραγμάτων ἀπηλλάχθαι βιωτικῶν. ὡς εἴγε μὴ ταῦτα εἶχον, ἀλλὰ δοῦλοι τῶν παθῶν ἦσαν, εἰ καὶ μυρίους νεκροὺς ἤγειραν, οὐ μόνον οὐδὲν ἂν ὠφέλησαν, ἀλλὰ καὶ ἀπατεῶνες ἂν ἐνομίσθησαν εἶναι. οὕτως ὁ βίος ἐστὶν ὁ πανταχοῦ λάμπων, ὁ καὶ τοῦ πνεύματος τὴν χάριν ἐπισπώμενος. ποῖον σημεῖον Ἰωάννης ἐποίησεν, ὅτι πόλεις τοσαύτας ἀνηρτήσατο; ὅτι γὰρ οὐδὲν ἐθαυματούργησεν, ἄκουσον τοῦ εὐαγγελιστοῦ λέγοντος· Ὅτι Ἰωάννης μὲν ἐποίησε σημεῖον οὐδέν. πόθεν δὲ θαυμαστὸς Ἠλίας ἐγένετο; οὐκ ἀπὸ τῆς παρρησίας τῆς πρὸς τὸν βασιλέα; οὐκ ἀπὸ τοῦ ζήλου τοῦ πρὸς τὸν Θεόν; οὐκ ἀπὸ τῆς ἀκτημοσύνης; οὐκ ἀπὸ τῆς μηλωτῆς καὶ τοῦ σπηλαίου καὶ τῶν ὀρέων; τὰ γὰρ σημεῖα μετὰ ταῦτα ἅπαντα ἐποίησε. τὸν δὲ Ἰὼβ ποῖον σημεῖον ὁρῶν τοιοῦτα ἐξεπλάγη ὁ διάβολος; σημεῖον μὲν οὐδέν, βίον δὲ λάμποντα καὶ ὑπομονὴν ἀδάμαντος στερροτέραν ἐπιδεικνύμενον. ποῖον σημεῖον ὁ Δαβὶδ ἐποίησεν ἔτι νέος ὤν, ὡς εἰπεῖν τὸν Θεόν, Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου; ὁ δὲ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ποῖον νεκρὸν ἤγειραν; ποῖον δὲ λεπρὸν ἐκάθηραν; οὐκ οἶσθα ὅτι τὰ σημεῖα, ἐὰν μὴ νήφωμεν, καὶ βλάπτει πολλάκις; οὕτω [γὰρ] πολλοὶ τῶν Κορινθίων ἀπεσχίσθησαν ἀπ' ἀλλήλων· οὕτω πολλοὶ τῶν Ῥωμαίων ἀπενοήθησαν· οὕτω Σίμων ἐξεβλήθη, οὕτως ὁ τῷ Χριστῷ τότε ἐπιθυμήσας ἀκολουθῆσαι ἀπεδοκιμάζετο, ἀκούσας ὅτι αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις. τούτων γὰρ ἕκαστος, ὁ μὲν χρημάτων, ὁ δὲ δόξης ἐφιέμενος τῆς ἀπὸ τῶν σημείων, ἐξέπεσον καὶ ἀπώλοντο. βίου δὲ ἐπιμέλεια καὶ ἀρετῆς ἔρως, οὐ μόνον οὐ τίκτει τοιαύτην ἐπιθυμίαν, ἀλλὰ καὶ οὖσαν ἀναιρεῖ. καὶ αὐτὸς δὲ ὅτε ἐνομοθέτει τοῖς ἑαυτοῦ μαθηταῖς, τί ἔλεγε; ποιήσατε σημεῖα, ἵνα ἴδωσιν οἱ ἄνθρωποι; οὐδαμῶς. ἀλλὰ τί; Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ τῷ Πέτρῳ δὲ οὐκ εἶπεν, Εἰ φιλεῖς με, ποίει σημεῖα· ἀλλὰ ποίμαινε τὰ πρόβατά μου. καὶ πανταχοῦ δὲ αὐτὸν προτιμῶν τῶν ἄλλων μετὰ Ἰακώβου καὶ Ἰωάννου, πόθεν, εἰπέ μοι, προετίμα; ἀπὸ τῶν σημείων; καὶ μὴν πάντες ὁμοίως ἐκάθαιρον τοὺς λεπρούς, καὶ τοὺς νεκροὺς ἤγειρον, καὶ πᾶσιν ὁμοίως τὴν ἐξουσίαν ἔδωκε. πόθεν οὖν εἶχον τὸ πλέον οὗτοι; ἀπὸ τῆς κατὰ ψυχὴν ἀρετῆς. ὁρᾷς ὅτι πανταχοῦ βίου χρεία καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως; Ἀπὸ τῶν καρπῶν γὰρ αὐτῶν, φησίν, ἐπιγνώσεσθε αὐτούς. τί δὲ τὴν ζωὴν συνίστησι τὴν ἡμετέραν; ἆρα μὴ σημείων ἐπίδειξις, ἢ πολιτείας ἀρίστης ἀκρίβεια; εὔδηλον ὅτι τὸ δεύτερον· τὰ δὲ σημεῖα καὶ τὰς ἀφορμὰς ἐντεῦθεν ἔχει, καὶ εἰς τοῦτο καταλήγει τὸ τέλος. ὅ τε γὰρ βίον ἄριστον ἐπιδεικνύμενος, ἐπισπᾶται (ταύτην τὴν χάριν· ὅ τε λαμβάνων τὴν χάριν, διὰ τοῦτο λαμβάνει, ἵνα τὸν ἑτέρων διορθώσῃ) βίον. ἐπεὶ καὶ ὁ Χριστὸς τὰ θαύματα ἐκεῖνα διὰ τοῦτο ἐποίησεν, ἵνα ἀξιόπιστος φανεὶς ἐντεῦθεν,

καὶ

ΗΘΙΚΟΝ

Ιωαν. ι. μα.

Πρ. ιγ. κβ.

Ματθ. ε. ιϛ.

Ιωαν. κα. ιϛ.

Ματθ. ζ. ιϛ.

καὶ πρὸς ἑαυτὸν ἑλκύσας, ἀρετὴν εἰς τὸν βίον εἰσαγάγῃ. διὸ καὶ τὴν πλείονα ὑπὲρ τούτου ποιεῖται
σπουδήν. οὐδὲ γὰρ τοῖς σημείοις ἀρκεῖται μόνον, ἀλλὰ καὶ γέενναν ἀπειλεῖ, καὶ βασιλείαν
ἐπαγγέλλεται, καὶ τοὺς παραδόξους ἐκείνους τίθησι νόμους, καὶ πάντα ὑπὲρ τούτου πραγματεύεται, ἵνα
ἰσαγγέλους ἐργάσηται. καὶ τί λέγω, ὅτι ὁ Χριστὸς πάντα τούτου ἕνεκεν ποιεῖ; σοὶ γὰρ εἴ τις ἔδωκεν,
εἰπέ μοι, αἵρεσιν, νεκροὺς ἀναστῆσαι ἐν τῷ ὀνόματι αὐτοῦ, ἢ διὰ τὸ ὄνομα αὐτοῦ ἀποθανεῖν,
τί ἂν ἐδέξω μᾶλλον; οὐκ εὔδηλον ὅτι τὸ δεύτερον; καὶ μὴν τὸ μὲν σημεῖόν ἐστι, τὸ δὲ ἔργον. τί
δέ, εἴ τίς σοι προὔθηκε ποιῆσαι χόρτον χρυσόν, ἢ δυνηθῆναι πάντων τῶν χρημάτων ὡς χόρτου
καταφρονῆσαι, οὐκ ἂν τοῦτο ἐδέξω μᾶλλον; καὶ μάλα εἰκότως. καὶ γὰρ τοὺς ἀνθρώπους τοῦτο
ἂν μάλιστα ἐπεσπάσατο. εἰ μὲν γὰρ εἶδον τὸν χόρτον χρυσὸν γινόμενον, κἂν ἐπεθύμησαν καὶ
αὐτοὶ λαβεῖν τὴν δύναμιν, ὥσπερ ὁ Σίμων, καὶ ηὐξήθη ἂν αὐτοῖς ὁ τῶν χρημάτων ἔρως. εἰ δὲ
εἶδον ὡς χόρτου τοῦ χρυσοῦ πάντας καταφρονοῦντας καὶ ὑπερορῶντας, πάλαι ἂν τῆς νόσου
ταύτης ἀπηλλάγησαν. ὁρᾷς ὅτι ὁ βίος μᾶλλον ὠφελεῖν δύναται; βίον δὲ λέγω νῦν, οὐχὶ ἂν
νηστεύσῃς, οὐδὲ ἂν σάκκον καὶ σποδὸν ὑποστρώσῃς· ἀλλ' ἐὰν χρημάτων ὑπερίδῃς, ὡς ὑπεριδεῖν
χρή· ἐὰν φιλόστοργος ᾖς· ἐὰν δῷς πεινῶντι τὸν ἄρτον σου· ἐὰν θυμοῦ κρατήσῃς· ἐὰν κενοδοξίαν
Ματθ. ια. κθ. ἐκβάλῃς· ἐὰν βασκανίαν ἀνέλῃς. οὕτω καὶ αὐτὸς ἐπαίδευε. Μάθετε γάρ, φησιν,
ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· [καὶ] οὐκ εἶπεν, ὅτι ἐνήστευσα. καίτοιγε
εἶχεν εἰπεῖν τὰς τεσσαράκοντα ἡμέρας, ἀλλ' οὐ λέγει τοῦτο· ἀλλ' ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς
τῇ καρδίᾳ. καὶ πάλιν πέμπων αὐτούς, οὐκ εἶπεν, ὅτι νηστεύετε· ἀλλὰ πᾶν τὸ παρατιθέμενον
Λουκ. ι. δ. ὑμῖν ἐσθίετε. χρημάτων μέντοι ἕνεκεν πολλὴν ἀκρίβειαν ἀπῄτησε, λέγων· Μὴ
κτήσησθε χρυσὸν ἢ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. ταῦτα δὲ λέγω, οὐχὶ νηστείαν
κακίζων (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα ἐπαινῶν· ἀλγῶ δὲ ὅταν τῶν ἄλλων ἠμεληκότων ταύτην
νομίζητε ἀρκεῖν εἰς σωτηρίαν ὑμῖν, τὸ ἔσχατον τοῦ χοροῦ τῆς ἀρετῆς ἔχουσαν μέρος.
τὸ γὰρ μέγιστον, ἀγάπη καὶ ἐπιείκεια καὶ ἐλεημοσύνη, ἣ καὶ παρθενίαν ὑπερηκόντισεν. ὥστε εἰ
βούλει ἀποστόλων γενέσθαι ἴσος, οὐδὲν τὸ κωλῦον. ἀρκεῖ γὰρ ταύτην τὴν ἀρετὴν ἐπιμελοῦντα
μόνον, μηδὲν ἔλαττον ἐκείνων ἔχειν. μηδεὶς τοίνυν εἰς σημεῖα ἀναβαλλέσθω.
ἀλγεῖ μὲν γὰρ ὅταν ἐξελαθῇ σώματος δαίμων· πολλῷ δὲ μᾶλλον, ὅταν ἁμαρτίας ἀπαλλαττομένην
ἴδῃ ψυχήν. καὶ γὰρ αὕτη ἐστὶν ἡ δύναμις ἐκείνου ἡ μεγάλη. διὰ ταύτην ἀπέθανεν
ὁ Χριστός, ἵνα ταύτην καταλύσῃ. καὶ γὰρ αὕτη τὸν θάνατον εἰσήγαγε. διὰ ταύτην τὰ ἄνω κάτω
γέγονεν. ἂν τοίνυν ταύτην ἐξέλῃς, ἐξέκοψας τοῦ διαβόλου τὰ νεῦρα, συνέτριψας αὐτοῦ τὴν
κεφαλήν, κατέλυσας αὐτοῦ τὴν ἰσχὺν ἅπασαν, διέσπασας τὸ στρατόπεδον, ἁπάντων σημείων
ἐπεδείξω σημεῖον μεῖζον. οὐκ ἐμός ἐστιν ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου Παύλου. εἰπὼν γάρ,
α. Κορ. ιβ. λα. Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι, οὐκ ἐπήγαγε
σημεῖον, ἀλλ' ἀγάπην, τὴν πάντων ῥίζαν τῶν ἀγαθῶν. ἂν τοίνυν ταύτην ἀσκῶμεν,
καὶ τὴν ἐκ ταύτης φιλοσοφίαν ἅπασαν, οὐδὲν δεηθησόμεθα σημείων· ὥσπερ οὖν ἐὰν μὴ
ἀσκῶμεν, οὐδὲν κερδανοῦμεν ἀπὸ τῶν σημείων. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, ἀφ' ὧν ἐγένοντο
οἱ ἀπόστολοι μεγάλοι, ταῦτα ζηλώσωμεν. πόθεν οὖν ἐγένοντο ἐκεῖνοι μεγάλοι; ἄ-
Ματθ. ιθ. κζ. κουσον λέγοντος Πέτρου· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. τί ἄρα ἔσται
κη. κθ. ἡμῖν; ἄκουσον καὶ τοῦ Χριστοῦ λέγοντος αὐτοῖς· ὅτι ἐπὶ δώδεκα θρόνους καθίσεσθε· καὶ ὅτι
πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ πατέρα ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται ἐν τῷ
αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἁπάντων τοίνυν ἑαυτοὺς ἀποστήσαντες τῶν βιωτικῶν,
ἀναθῶμεν ἑαυτοὺς τῷ Χριστῷ, ἵνα καὶ τῶν ἀποστόλων γενώμεθα ἴσοι κατὰ τὴν ἀπόφασιν
τὴν αὐτοῦ, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

γρ. δαι,

γρ. ἐπιμελ

Ὁμιλ.

Ομιλ. μζ.

34 ΤΑΥΤΑ ΠΑΝΤΑ ΕΛΑΛΗΣΕΝ Ο ΙΗσοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς· 35 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐξερεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.

Ὁ δὲ Μάρκος φησίν, ὅτι καθὼς ἠδύναντο ἀκούειν, ἐλάλει αὐτοῖς τὸν λόγον ἐν παραβολαῖς. Εἶτα δεικνὺς οὐδὲν αὐτὸν καινοτομοῦντα, εἰσάγει τὸν προφήτην καὶ τοῦτον προαναφωνοῦντα τῆς διδασκαλίας τὸν τρόπον. καὶ διδάσκων ἡμᾶς τοῦ Χριστοῦ τὴν γνώμην, ὅτι οὐχ ἵνα ἀγνοῶσιν, ἀλλ᾽ ἵνα αὐτοὺς εἰς ἐρώτησιν ἀγάγῃ, οὕτω διελέγετο, ἐπήγαγε· καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς. καίτοιγε πολλὰ χωρὶς παραβολῆς εἶπεν· ἀλλὰ τότε οὐδέν. καὶ ὅμως οὐδεὶς αὐτὸν ἠρώτησε. καίτοιγε τοὺς προφήτας πολλάκις ἠρώτων, ὡς τὸν Ἰεζεκιήλ, ὡς ἑτέρους πολλούς. οὗτοι δὲ οὐδὲν τοιοῦτον ἐποίουν· καίτοιγε ἱκανὰ τὰ εἰρημένα ἦν εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν καὶ διεγείρειν πρὸς τὴν ἐρώτησιν. καὶ γὰρ κόλασιν μεγίστην ἠπείλουν αἱ παραβολαί. ἀλλ᾽ ὅμως οὐδὲ οὕτως ἐκινήθησαν. διὸ καὶ ἀφεὶς αὐτούς, ἀπῆλθε.

36 Τότε γάρ, φησιν, ἀφεὶς τοὺς ὄχλους, ἀπῆλθεν εἰς τὴν οἰκίαν αὐτοῦ ὁ Ἰησοῦς·

Καὶ οὐδεὶς ἕπεται τῶν γραμματέων· ὅθεν δῆλον, ὅτι δι᾽ οὐδὲν ἕτερον εἵποντο, ἢ ὥστε ἐπιλαβέσθαι. ἐπειδὴ δὲ οὐ συνῆκαν τὰ λεγόμενα, εἴασεν αὐτοὺς λοιπόν.

Καὶ προσέρχονται οἱ μαθηταὶ αὐτοῦ ἐρωτῶντες περὶ τῆς παραβολῆς τῶν ζιζανίων·

Καίτοιγε ἔστιν ὅπου βουλόμενοι μαθεῖν καὶ δεδοικότες ἐρωτῆσαι. πόθεν οὖν ἐνταῦθα γέγονεν αὐτοῖς ἡ παῤῥησία; ἤκουσαν ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἐθάῤῥησαν. διὸ καὶ ἰδίᾳ ἐρωτῶσιν, οὐ τῷ πλήθει βασκαίνοντες, ἀλλὰ τὸν τοῦ δεσπότου τηροῦντες νόμον. τούτοις γάρ, φησιν, οὐκ ἐδόθη. καὶ τί δήποτε τὴν τῆς ζύμης καὶ τοῦ σινάπεως ἀφέντες παραβολήν, περὶ ταύτης πυνθάνονται; ὡς σαφεστέρας ἐκείνας ἀφῆκαν· ταύτην δέ, ὡς ἔχουσαν συγγένειαν πρὸς τὴν προειρημένην, καὶ πλέον τι ἐνδεικνυμένην ἐκείνης, μαθεῖν ἠβουλήθησαν. οὐδὲ γὰρ ἂν ἐκ δευτέρου τὴν αὐτὴν εἶπεν· ἐπιθυμοῦσι μαθεῖν. καὶ γὰρ ἑώρων πολλὴν ἐξ αὐτῆς ἐμφαινομένην τὴν ἀπειλήν. διὸ οὐδὲ ἐγκαλεῖ αὐτοῖς, ἀλλὰ καὶ ἀναπληροῖ τὰ εἰρημένα. καὶ ὅπερ ἔλεγον ἀεί, ὅτι τὰς παραβολὰς οὐ κατὰ τὴν ῥῆσιν ἐπεξιέναι δεῖ, ἐπεὶ πολλὰ τὰ ἄτοπα ἕψεται, τοῦτο καὶ αὐτὸς ἐνταῦθα παιδεύων ἡμᾶς, οὕτως ἐξηγεῖται τὴν παραβολήν. οὐδὲ γὰρ λέγει, τίνες εἰσὶν οἱ δοῦλοι οἱ προσελθόντες· ἀλλὰ δεικνὺς ὅτι ἀκολουθίας τινὸς ἕνεκεν αὐτοὺς παρείληφε καὶ τοῦ διαπλάσαι τὴν εἰκόνα, ἐκεῖνο ἀφεὶς τὸ μέρος, τὰ κατεπείγοντα ἑρμηνεύει καὶ συνέχοντα μάλιστα, καὶ δι᾽ ἃ ἡ παραβολὴ εἴρηται, δεικνὺς αὐτὸν ὄντα κριτὴν καὶ κύριον τοῦ παντός.

37 Καὶ ἀποκριθείς, φησιν, εἶπεν αὐτοῖς· ὁ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου·

38 Ὁ δὲ ἀγρός, ἐστὶν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνια, οἱ υἱοὶ τοῦ πονηροῦ·

39 Ὁ δὲ ἐχθρὸς ὁ σπείρων αὐτά, ἐστὶν ὁ διάβολος· ὁ δὲ θερισμὸς ἐστίν, ἡ συντέλεια τοῦ αἰῶνος· οἱ δὲ θερισταί, ἄγγελοί εἰσιν.

40 Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ καίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. 41 Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν·

Μαρκ. δ. λγ.

42 Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

43 Τότε οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν.

Ὅταν γὰρ αὐτὸς ᾖ ὁ σπείρων καὶ τὸν ἀγρὸν τὸν ἑαυτοῦ, καὶ ἐκ τῆς βασιλείας τῆς ἑαυτοῦ συνάγῃ, εὔδηλον ὅτι καὶ ὁ παρὼν κόσμος αὐτοῦ ἐστι. σκόπει δὲ αὐτοῦ φιλανθρωπίαν ἄφατον, καὶ τὸ πρὸς εὐεργεσίαν ἐπιῤῥεπὲς, καὶ τὸ πρὸς κόλασιν ἠλλοτριωμένον. ὅταν μὲν γὰρ σπείρῃ, δι᾽ ἑαυτοῦ σπείρει· ὅταν δὲ κολάζῃ, δι᾽ ἑτέρων, τουτέστι, τῶν ἀγγέλων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. οὐκ ἐπειδὴ οὕτω μόνον, ἀλλ᾽ ἐπειδὴ τούτου τοῦ ἄστρου φανερώτερον οὐκ ἴσμεν ἕτερον, τοῖς γνωρίμοις ἡμῖν κέχρηται παραδείγμασι. καίτοιγε ἀλλαχοῦ φησι τὸν θερισμὸν ἤδη παρεῖναι, ὡς ὅταν λέγῃ περὶ τῶν Σαμαρειτῶν· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ πάλιν, Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. πῶς οὖν ἐκεῖ μὲν ἤδη τὸν θερισμὸν παρεῖναί φησιν, ἐνταῦθα δὲ μέλλειν τὸν θερισμὸν εἶπε; κατ᾽ ἄλλο σημαινόμενον. καὶ πῶς ἀλλαχοῦ εἰπὼν, [ὅτι] ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων· ἐνταῦθα [δὲ] ἑαυτόν φησιν εἶναι τὸν ἐπισπείροντα; ὅτι κἀκεῖ οὐχ ἑαυτῷ, ἀλλὰ προφήταις ἀποστόλους ἀντιδιαστέλλων ἔλεγε, καὶ ἐπὶ τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν. καὶ γὰρ καὶ διὰ τῶν προφητῶν αὐτὸς ἔσπειρεν. ἔστι δὲ ὅπου καὶ θερισμὸν καὶ σπόρον αὐτὸ τοῦτο καλεῖ, πρὸς ἄλλο καὶ ἄλλο αὐτὸ ὀνομάζων. ὅταν μὲν γὰρ τὴν πειθὼ καὶ τὴν ὑπακοὴν τῶν ὑπακουσάντων λέγῃ, θερισμὸν τὸ πρᾶγμα καλεῖ, ὡς τὸ πᾶν ἀπαρτίσας· ὅταν δὲ τὸν καρπὸν ἐπιζητῇ τῆς ἀκροάσεως, σπόρον καὶ θερισμὸν τὴν συντέλειαν λέγων. καὶ πῶς ἀλλαχοῦ φησιν ὅτι πρῶτοι οἱ δίκαιοι ἁρπάζονται; ἁρπάζονται μὲν γὰρ πρῶτοι παραγινομένου τοῦ Χριστοῦ· παραδίδονται δὲ οὗτοι κολάσει, καὶ τότε εἰς βασιλείαν οὐρανῶν ἀπέρχονται ἐκεῖνοι. ἐπειδὴ γὰρ ἐν οὐρανῷ δεῖ αὐτοὺς εἶναι, ἐνταῦθα δὲ αὐτὸς ἥξει καὶ κρινεῖ πάντας ἀνθρώπους, δοὺς τὴν ἀπόφασιν τούτοις, καθάπερ τις βασιλεὺς ἀνίσταται μετὰ τῶν φίλων αὐτοῦ, πρὸς τὴν μακαρίαν ἐκείνην λῆξιν αὐτοὺς ἄγων. Εἶδες διπλῆν τὴν κόλασιν οὖσαν, τῷ τε κατακαίεσθαι, τῷ τε τῆς δόξης ἐκπίπτειν ἐκείνης; ἀλλὰ τίνος ἕνεκεν λοιπὸν, ἀναχωρησάντων ἐκείνων, καὶ αὐτοῖς ἐν παραβολαῖς λαλεῖ; σοφώτεροι ἐκ τῶν εἰρημένων ἐγένοντο, ὡς καὶ συνιέναι. ἀμέλει γοῦν λέγει αὐτοῖς μετὰ ταῦτα, συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ· ναὶ Κύριε. οὕτω μετὰ τῶν ἄλλων καὶ τοῦτο κατώρθωσεν ἡ παραβολὴ, τὸ διορατικωτέρους αὐτοὺς ποιῆσαι. τί οὖν φησι πάλιν;

Ιω. δ. λε.

Λυκ. ι. β.

α. Θεσ. δ. ιε.

44 Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ πωλεῖ πάντα ὅσα ἔχει, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

45 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας·

46 Ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακεν ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. Ὥσπερ ἐκεῖ ὁ κόκκος τοῦ σινάπεως καὶ ἡ ζύμη μικράν τινα ἔχουσι πρὸς ἀλλήλας διαφοράν· οὕτω δὴ καὶ ἐνταῦθα αἱ δύο παραβολαὶ αὗται, ἥ τε τοῦ θησαυροῦ καὶ ἡ τοῦ μαργαρίτου. καὶ γὰρ τοῦτο δι᾽ ἀμφοτέρων αἰνίττεται, ὅτι δεῖ τὸ κήρυγμα πάντων προτιμᾶν. κἀκείνη μὲν ἡ τῆς ζύμης καὶ τοῦ σινήπεως πρὸς τὴν δύναμιν εἴρηται τοῦ κηρύγματος, καὶ ὅτι περιέσται τῆς οἰκουμένης πάντως· αὗται δὲ τὸ τίμιον καὶ πολυτελὲς ἐμφαίνουσιν. ἐκτείνεται μὲν γὰρ ὡς σίναπι, καὶ περιγίνεται ὡς ζύμη· πολυτελὴς δέ ἐστιν ὡς μαργαρίτης, καὶ μυρίαν παρέχει τὴν εὐπρέπειαν ὡς θησαυρός. οὐ δὴ τοῦτο μόνον ἐστὶ μαθεῖν, ὅτι πάντα δεῖ τὰ ἄλλα ἀποδυσαμένους τοῦ κηρύγματος ἔχεσθαι· ἀλλ᾽ ὅτι καὶ μετὰ χαρᾶς τοῦτο δεῖ ποιεῖν. καὶ ἀποκτώμενον τὰ ὄντα δεῖ εἰδέναι, ὅτι τὸ πρᾶγμα ἐμπορεία ἐστὶ, καὶ οὐχὶ ζημία. ὁρᾷς πῶς κέκρυπται καὶ ἐν τῷ κόσμῳ τὸ κήρυγμα, καὶ ἐν τῷ κηρύγματι τὰ ἀγαθά; κἂν μὴ πω-

λήσῃς πάντα, οὐκ ἀγοράζεις· κἂν μὴ ψυχὴν τοιαύτην ἔχῃς μεμεριμνημένην καὶ ζητοῦσαν, οὐχ εὑρίσκεις. δύο τοίνυν δεῖ προσεῖναι, καὶ τὸ τῶν βιωτικῶν ἀπέχεσθαι, καὶ τὸ ἐγρηγορώτατον εἶναι. ζητοῦντι γάρ, φησι, καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον πέπρακε πάντα, καὶ ἠγόρασεν αὐτόν. μία γάρ ἐστιν ἡ ἀλήθεια καὶ οὐ πολυσχιδής. καὶ καθάπερ ὁ τὸν μαργαρίτην ἔχων, αὐτὸς μὲν οἶδεν ὅτι πλουτεῖ, τοῖς δὲ λοιποῖς οὐκ ἔστι γνώριμος πολλάκις τῇ χειρὶ κατέχων (οὐ γάρ ἐστιν ὄγκος σώματος) οὕτω δὴ καὶ ἐπὶ τοῦ κηρύγματος· οἱ μὲν αὐτὸ κατέχοντες ἴσασιν ὅτι πλουτοῦσιν· οἱ δὲ ἄπιστοι τὸν θησαυρὸν οὐκ εἰδότες τοῦτον, καὶ τὸν πλοῦτον ἡμῶν ἀγνοοῦσιν. Εἶτα ἵνα μὴ θαῤῥῶμεν τῷ κηρύγματι μόνον, μηδὲ ἀρκεῖν τὴν πίστιν μόνην νομίζωμεν εἰς σωτηρίαν ἡμῖν, λέγει καὶ ἑτέραν φοβερὰν παραβολήν. ποίαν δὴ ταύτην; τὴν τῆς σαγήνης.

47 Ομοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ·

48 Ην ἀνενέγκαντες εἰς τὸν αἰγιαλόν, καθίσαντες καὶ συλλέξαντες τὰ καλὰ εἰς ἀγγεῖον ἔβαλον, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. Καὶ τί διέστηκεν αὕτη τῆς τῶν ζιζανίων παραβολῆς; καὶ γὰρ ἐκεῖ οἱ μὲν σώζονται, οἱ δὲ ἀπόλλυνται· ἀλλ' ἐκεῖ διὰ πονηρῶν δογμάτων αἵρεσιν· καὶ οἱ πρὸ τούτου δέ, διὰ τὸ μὴ προσέχειν τοῖς λεγομένοις· οὗτοι δέ, διὰ βίου πονηρίαν· οἱ πάντων εἰσὶν ἀθλιώτεροι, τῆς μὲν γνώσεως ἐπιτυχόντες καὶ ἁλιευθέντες, οὐ δυνηθέντες δὲ οὐδὲ οὕτω σωθῆναι. καίτοιγε ἀλλαχοῦ φησιν, ὅτι αὐτὸς ἀφορίζει ὁ ποιμήν· ἐνταῦθα δὲ τοὺς ἀγγέλους τοῦτο ποιεῖν φησιν, ὡς καὶ ἐπὶ τῶν ζιζανίων. τί οὖν ἐστι; ποτὲ μὲν αὐτοῖς παχύτερον διαλέγεται, ποτὲ δὲ ὑψηλότερον. καὶ ταύτην, οὐδὲ ἐρωτηθείς, τὴν παραβολὴν ἑρμηνεύει, ἀλλ' αὐτομάτως ἀπὸ τοῦ μέρους αὐτὴν ἐγνώρισε, καὶ τὸν φόβον ηὔξησεν. ἵνα γὰρ μὴ ἀκούσας ὅτι τὰ σαπρὰ ἔβαλον ἔξω, ἀκίνδυνον εἶναι τὴν ἀπώλειαν νομίσῃς, διὰ τῆς ἑρμηνείας ἔδειξε τὴν κόλασιν, εἰπὼν· ὅτι εἰς κάμινον βαλοῦσι, καὶ τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τὴν ὀδύνην ἄρρητον οὖσαν ἐνέφηνεν. Εἶδες πόσαι τῆς ἀπωλείας αἱ ὁδοί; ἡ διὰ τῆς πέτρας, ἡ διὰ τῶν ἀκανθῶν, ἡ διὰ τῆς ὁδοῦ, ἡ διὰ τῶν ζιζανίων, ἡ διὰ τῆς σαγήνης. οὐκ ἄρα ἀπεικότως ἔλεγεν, ὅτι εὐρεῖα ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. Ταῦτα τοίνυν εἰπών, καὶ εἰς τὸ φοβερὸν κατακλείσας τὸν λόγον, καὶ πλείονα ταῦτα δείξας (μᾶλλον γὰρ αὐτοῖς ἐνδιέτριψε) φησί·

Ματθ. ζ. ιγ.

51 Συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ· ναί, Κύριε. Εἶτα ἐπειδὴ συνῆκαν, πάλιν αὐτοὺς ἐπαινεῖ, λέγων·

52 Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

Διὸ καὶ ἀλλαχοῦ φησιν· Αποστελῶ ὑμῖν σοφοὺς καὶ γραμματέας. Εἶδες πῶς οὐκ ἐγκλείει τὴν παλαιάν, ἀλλὰ καὶ ἐγκωμιάζει [καὶ δημηγορεῖ] θησαυρὸν αὐτὴν καλῶν; ὥστε ὅσοι τῶν θείων εἰσὶν ἄπειροι γραφῶν, οὐκ ἂν εἶεν οἰκοδεσπόται, ὅσοι μήτε αὐτοὶ ἔχουσι, μήτε παρ' ἑτέρων λαμβάνουσιν, ἀλλὰ περιορῶσιν ἑαυτοὺς λιμῷ φθειρομένους. οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ ἐκτὸς εἰσὶ τοῦ μακαρισμοῦ τούτου. οὐ γὰρ ἐκβάλλουσι καινὰ καὶ παλαιά. οὐδὲ γὰρ ἔχουσι τὰ παλαιά, διὸ οὐδὲ καινά· ὥσπερ οὖν οἱ καινὰ οὐκ ἔχοντες, οὐδὲ παλαιὰ ἔχουσιν, ἀλλ' ἑκατέρων ἐστέρηνται. ταῦτα γὰρ ἀλλήλων συνδέδεται καὶ συμπλέκεται.

Ματθ. κγ. λδ.

ΗΘΙΚΟΝ

Ακούσωμεν τοίνυν ὅσοι τῆς τῶν γραφῶν ἀμελοῦμεν ἀναγνώσεως, ὅσην ὑπομένομεν βλάβην, ὅσην πενίαν. πότε γὰρ τῆς διὰ τῶν ἔργων ἐπιληψόμεθα πολιτείας, οἱ μηδὲ αὐτοὺς τοὺς νόμους εἰδότες, καθ' οὓς πολιτεύεσθαι χρή; ἀλλ' οἱ μὲν πλουτοῦντες, οἱ περὶ χρήματα μεμηνότες, συνεχῶς τινάσσουσιν ἑαυτῶν τὰ ἱμάτια, ὥστε μὴ σητόβρωτα γενέσθαι·

σὺ δὲ σητὸς χαλεπώτερον ὁρῶν τὴν λήθην λυμαινομένην σου τὴν ψυχὴν, οὐκ ἐντυγχάνεις βιβλίοις, οὐ διακρούῃ τὴν λύμην, οὐ καλλωπίζεις σου τὴν ψυχὴν, οὐκ ἐπισκοπεῖς συνεχῶς τὴν εἰκόνα τῆς ἀρετῆς, καὶ τὰ μέλη αὐτῆς καταμανθάνεις καὶ τὴν κεφαλήν; καὶ γὰρ καὶ κεφαλὴν ἔχει καὶ μέλη παντὸς σώματος εὐειδοῦς καὶ καλοῦ εὐπρεπέστερα. τίς οὖν ἡ κεφαλὴ, φησὶ, τῆς ἀρετῆς; ἡ ταπεινοφροσύνη. διὸ καὶ ἀπ' αὐτῆς ἄρχεται ὁ Χριστὸς λέγων· Μακάριοι οἱ πτωχοί. αὕτη ἡ κεφαλὴ οὐ κόμας ἔχει καὶ βοστρύχους, ἀλλὰ κάλλος τοιοῦτον, ὥστε τὸν Θεὸν ἐπισπάσασθαι. Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησὶν, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ταπεινὸν καὶ τρέμοντά μου τοὺς λόγους; καὶ, Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πραεῖς τῆς γῆς. καὶ, Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν. αὕτη ἡ κεφαλὴ, ἀντὶ τριχῶν καὶ κόμης, θύματα φέρει τῷ Θεῷ κεχαρισμένα. βωμός ἐστι χρυσοῦς, καὶ θυσιαστήριον πνευματικόν. Θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντετριμμένον. αὕτη ἐστὶν ἡ τῆς σοφίας μήτηρ. ἂν ταύτην ἔχῃ τις, καὶ τὰ λοιπὰ ἕξει. Εἶδες κεφαλὴν, οἵαν οὐδέποτε εἶδες; βούλει καὶ τὸ πρόσωπον ἰδεῖν, μᾶλλον δὲ μαθεῖν; οὐκοῦν μάθε πῶς αὐτοῦ τὸ χρῶμα τὸ ἐρυθρὸν καὶ εὐανθὲς καὶ πολλὴν ἔχον τὴν χάριν, καὶ μάθε πόθεν συνίσταται. πόθεν οὖν συνίσταται; ἀπὸ τοῦ αἰσχύνεσθαι καὶ ἐρυθριᾷν. διὸ καί τίς φησι· Πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις. τοῦτο καὶ τῶν ἄλλων μελῶν πολὺ καταχεῖ τὸ κάλλος. κἂν μυρία μίξῃς χρώματα, οὐκ ἐργάσῃ τοιαύτην ὥραν. εἰ δὲ καὶ τοὺς ὀφθαλμοὺς ἰδεῖν βούλει, ὅρα κοσμιότητι καὶ σωφροσύνῃ μετὰ ἀκριβείας ὑπογεγραμμένους. διὸ καὶ οὕτω καλοὶ καὶ ὀξυδερκεῖς γίνονται, ὡς καὶ αὐτὸν τὸν Κύριον ὁρᾷν. Μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. στόμα δὲ αὐτῆς, σοφία καὶ σύνεσις, καὶ τὸ πνευματικοὺς ὕμνους εἰδέναι· καρδία δὲ, γραφῶν ἐμπειρία καὶ δογμάτων ἀκριβῶν διατήρησις καὶ φιλανθρωπία καὶ χρηστότης. καὶ καθάπερ ταύτης ἄνευ οὐκ ἔνι ζῆσαι, οὐδὲ ἐκείνης χωρὶς σωθῆναι ἔνι ποτέ. καὶ γὰρ ἐκεῖθεν πάντα τίκτεται καλά. εἰσὶν αὐτῇ καὶ πόδες καὶ χεῖρες, τῶν ἀγαθῶν ἔργων αἱ ἐπιδείξεις· ἔστιν αὐτῇ καὶ ψυχὴ, ἡ εὐσέβεια· ἔστιν αὐτῇ καὶ στῆθος χρυσοῦν καὶ ἀδάμαντος στεῤῥότερον, ἡ ἀνδρεία, καὶ πάντα ἁλῶναι εὔκολον, ἢ τοῦτο διαῤῥαγῆναι τὸ στῆθος. τὸ δὲ πνεῦμα τὸ ἐν ἐγκεφάλῳ καὶ καρδίᾳ, ἡ ἀγάπη ἐστί. βούλει καὶ ἐπ' αὐτῶν τῶν ἔργων δείξω σοι τὴν εἰκόνα; ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν εὐαγγελιστήν· καίτοι οὐ πάντα αὐτοῦ τὸν βίον ἀναγραπτον ἔχομεν, ἀλλ' ὅμως καὶ ἐξ ὀλίγων "ἔνεστιν αὐτοῦ τὴν εἰκόνα ἰδεῖν διαλάμπουσαν. ὅτι μὲν ταπεινὸς καὶ συντετριμμένος ἦν, ἄκουσον μετὰ τὸ εὐαγγέλιον τελώνην ἑαυτὸν καλοῦντα. ὅτι δὲ καὶ ἐλεήμων, ὅρα πάντα ἀποδυσάμενον καὶ ἀκολουθήσαντα τῷ Ἰησοῦ. ὅτι δὲ καὶ εὐσεβὴς, δῆλον ἀπὸ τῶν δογμάτων. καὶ τὴν σύνεσιν δὲ αὐτοῦ ἀφ' οὗ συνέθηκεν εὐαγγελίου ῥᾴδιόν ἐστιν ἰδεῖν, καὶ τὴν ἀγάπην (τῆς γὰρ οἰκουμένης ἐπεμελήσατο) καὶ τὴν τῶν ἔργων τῶν ἀγαθῶν ἐπίδειξιν, ἀπὸ τοῦ θρόνου ἐφ' οὗ μέλλει καθίζεσθαι· καὶ τὴν ἀνδρείαν δὲ, ἐξ ὧν χαίρων ὑπέστρεψεν ἀπὸ προσώπου τοῦ συνεδρίου. ζηλώσωμεν τοίνυν τὴν ἀρετὴν ταύτην, καὶ μάλιστα πάντων τὴν ταπεινοφροσύνην καὶ ἐλεημοσύνην, ὧν ἄνευ σωθῆναι οὐκ ἔνι· καὶ δηλοῦσιν αἱ πέντε παρθένοι, καὶ μετ' ἐκείνων ὁ Φαρισαῖος. χωρὶς μὲν γὰρ παρθενίας, δυνατὸν βασιλείαν ἰδεῖν· χωρὶς δὲ ἐλεημοσύνης, ἀμήχανον. τῶν γὰρ ἀναγκαίων τοῦτό ἐστι καὶ συνεχόντων τὸ πᾶν. οὐκ ἄρα ἀπεικότως καρδίαν αὐτὴν κεκλήκαμεν ἀρετῆς. ἀλλ' ἡ καρδία αὕτη, ἐὰν μὴ πᾶσι χορηγῇ πνεῦμα, ταχέως σβέννυται· ὥσπερ οὖν καὶ ἡ πηγὴ, ἐὰν μὴ ἔχῃ συνεχῆ τὰ νάματα παρ' ἑαυτῆς, σήπεται· οὕτω καὶ οἱ πλουτοῦντες, ὅταν παρ' ἑαυτοῖς τὰ ὄντα κατέχωσι. διὰ τοῦτο καὶ ἐν τῇ κοινῇ συνηθείᾳ λέγομεν· πολλὴ ἡ σῆψις τοῦ πλούτου παρὰ τῷ δεῖνι· καὶ οὐ λέγομεν, πολλὴ ἡ ἀφθονία, πολὺς ὁ θησαυρός. καὶ γὰρ σῆψίς ἐστιν, οὐχὶ τῶν κεκτημένων, ἀλλὰ καὶ αὐτοῦ τοῦ πλούτου. καὶ γὰρ τὰ ἱμάτια κείμενα φθείρεται, καὶ τὸ χρυσίον ἰοῦται, καὶ ὁ σῖτος "διαβιβρώσκεται, καὶ ἡ ψυχὴ δὲ τοῦ ταῦτα ἔχοντος τούτων ἁπάντων μᾶλλον ταῖς φροντίσι καὶ ἰοῦται καὶ σήπεται. κἂν ἐθέλῃς φιλαργύρου ψυχὴν

Ματθ. ε. γ.
Ησ. ξς. α. β.
Ψαλμ. λγ. ιη.
Ψαλμ. λδ. ιε,
Ψαλμ. ν. ιζ.
Σειρ. λβ. ια.
Ματθ. ε. η.

γρ. ἐστὶν
γρ. διβρώ ται,

χὴν εἰς τὸ μέσον ἐξενεγκεῖν, καθάπερ ἱμάτιον ὑπὸ μυρίων βρωθὲν σκωλήκων καὶ οὐκ ἔχον οὐδὲν ὑγιές, οὕτως εὑρήσεις διατετρυπημένην πάντοθεν αὐτὴν ὑπὸ φροντίδων, ὑπὸ τῶν ἁμαρτημάτων σεσηπυῖαν καὶ ἰουμένην. Ἀλλ' οὐχὶ τοῦ πένητος τοιαύτη, τοῦ πένητος τοῦ ἑκόντος· ἀλλ' ἀποστίλβει μὲν ὡς χρυσίον, λάμπει δὲ ὥσπερ μαργαρίτης, ἀνθεῖ δὲ ὥσπερ ῥόδον. οὐ γάρ ἐστιν ἐκεῖ σὴς, οὐκ ἔστιν ἐκεῖ κλέπτης, οὐκ ἔστι φροντὶς βιωτική· ἀλλ' ὡς ἄγγελοι οὕτω πολιτεύονται. βούλει τῆς ψυχῆς ταύτης τὸ κάλλος ἰδεῖν; βούλει τῆς πενίας τὸν πλοῦτον καταμαθεῖν; οὐκ ἐπιτάττει ἀνθρώποις, ἀλλὰ δαίμοσιν ἐπιτάττει· οὐ παρίσταται βασιλεῖ, ἀλλὰ παρέστηκε Θεῷ· οὐ στρατεύεται μετὰ ἀνθρώπων, ἀλλὰ στρατεύεται μετὰ ἀγγέλων· οὐκ ἔχει κιβώτιον καὶ δύο καὶ τρία καὶ εἴκοσιν, ἀλλὰ τοιαύτην εὐπορίαν, ὡς τὸν κόσμον ἅπαντα μηδὲν εἶναι νομίζειν· οὐκ ἔχει θησαυρὸν, ἀλλὰ τὸν οὐρανόν· οὐ δεῖται δούλων, μᾶλλον δὲ ἔχει δούλους τὰ πάθη, ἔχει δούλους τοὺς βασιλέων κρατοῦντας λογισμούς. ὁ γὰρ ἐπιτάττων τῷ τὴν ἁλουργίδα περικειμένῳ, ἐκεῖνος αὐτὸν κατέπληχεν ὁ λογισμὸς, καὶ ἀντιβλέψαι οὐ τολμᾷ. Βασιλείαν δὲ καὶ χρυσὸν καὶ πάντα τὰ τοιαῦτα, καθάπερ παίδων ἀθύρματα γελᾷ, καὶ καθάπερ τροχοὺς καὶ ἀστραγάλους καὶ κεφαλὰς καὶ σφαίρας, οὕτω ταῦτα πάντα ἡγεῖται εἶναι εὐκαταφρόνητα. ἔχει γὰρ κόσμον, ὃν οὐδὲ ἰδεῖν οἱ ἐν τούτοις παίζοντες δύνανται. Τί τοίνυν τοῦ πένητος τούτου βέλτιον γένοιτ' ἄν; ἔδαφος γοῦν ἔχει τὸν οὐρανόν. Εἰ δὲ τὸ ἔδαφος τοιοῦτον, ἐννόησον τὸν ὄροφον. ἀλλ' οὐκ ἔχει ἵππους καὶ ὀχήματα. τί γὰρ αὐτῷ τούτων χρεία, τῷ μέλλοντι ἐπὶ τῶν νεφελῶν ὀχεῖσθαι καὶ μετὰ τοῦ Χριστοῦ εἶναι; ταῦτ' οὖν ἐννοήσαντες, καὶ ἄνδρες καὶ γυναῖκες, ἐκεῖνον ζητῶμεν τὸν πλοῦτον καὶ τὴν ἀνάλωτον εὐπορίαν, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

ἀστὴρ

Ομιλ. μη. 53 ΚΑΙ ΕΓΕΝΕΤΟ ΟΤΕ ΕΤΕΛΕΣΕΝ Ο Ιησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν.

Τίνος ἕνεκεν εἶπε, ταύτας; ἐπειδὴ καὶ ἄλλας ἔμελλεν ἐρεῖν. Τίνος δὲ ἕνεκεν καὶ μεταβαίνει; πανταχοῦ τὸν λόγον σπεῖραι βουλόμενος.

54 Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν. Καὶ ποίαν πατρίδα αὐτοῦ καλεῖ νῦν; ἐμοὶ δοκεῖ, τὴν Ναζαρέτ. οὐ γὰρ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς, φησιν· ἐν δὲ Καπερναοὺμ ἐποίησε σημεῖα. διὸ καὶ ἔλεγε· Καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον. ἐλθὼν δὲ ἐκεῖ, τῶν μὲν σημείων καθυφίησιν, ὥστε μὴ εἰς πλείονα αὐτοὺς φθόνον ἐκκαῦσαι, μηδὲ κατακρῖναι μειζόνως τῆς ἀπιστίας ἐπιτεινομένης· διδασκαλίαν δὲ προτείνεται, τῶν σημείων οὐκ ἔλαττον θαῦμα ἔχουσαν. Οἱ γὰρ πάντα ἀνόητοι, δέον θαυμάσαι καὶ ἐκπλαγῆναι τῶν λεγομένων τὴν δύναμιν, οὗτοι δὲ τοὐναντίον ἐξευτελίζουσιν αὐτὸν ἀπὸ τοῦ δοκοῦντος εἶναι πατρὸς, καίτοιγε πολλὰ τούτων παραδείγματα ἔχοντες ἐν τοῖς ἔμπροσθεν χρόνοις, καὶ πατέρων ἀσήμων γενναίους ἑωρακότες παῖδας. καὶ γὰρ ὁ Δαβὶδ εὐτελοῦς τινος ἦν γεωργοῦ τοῦ Ιεσσαί· καὶ ὁ Ἀμὼς, αἰπόλου, καὶ [αὐτὸς] ἐκεῖνος αἰπόλος· καὶ ὁ Μωϋσῆς δὲ ὁ νομοθέτης, σφόδρα αὐτοῦ ἀποδέοντα εἶχε πατέρα. δέον οὖν διὰ τοῦτο μάλιστα προσκυνεῖν καὶ ἐκπλήττεσθαι, ὅτι τοιούτων ὢν τοιαῦτα ἐφθέγγετο (εὔδηλον γὰρ, ὅτι οὐκ ἐξ ἀνθρωπίνης ἐπιμελείας ἦν, ἀλλὰ θείας χάριτος) καὶ ἀφ' ὧν ἔδει θαυμάζειν, ἀπὸ τούτων καταφρονοῦσι. Συνεχῶς δὲ ταῖς Συναγωγαῖς ἐπιχωριάζει, ἵνα μὴ διὰ παντὸς ἐπὶ τῆς ἐρήμου διατρίβοντος αὐτοῦ μᾶλλον κατηγορήσωσιν, ὡς

Ματθ. ια. κγ.
καὶ Λουκ. ι. 15.

ἀπορίζοντος καὶ τῇ πολιτείᾳ μαχομένου. ἐκπληττόμενοι τοίνυν καὶ ἐν ἀπορίᾳ ὄντες ἔλεγον·

Πόθεν αὕτη ἡ σοφία τούτῳ καὶ αἱ δυνάμεις; Ἤτοι τὰ σημεῖα δυνάμεις καλοῦντες, ἢ καὶ αὐτὴν τὴν σοφίαν.

55 Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; Οὐκοῦν μεῖζον τὸ θαῦμα, καὶ μείζων ἡ ἔκπληξις. Οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας;

56 Καὶ αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι παρ' ἡμῖν εἰσι; πόθεν τούτῳ ταῦτα;

57 Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁρᾷς ὅτι ἐν τῇ Ναζαρὲτ διελέγετο. οὐχὶ ἀδελφοὶ αὐτοῦ, φησιν, ὁ δεῖνα καὶ ὁ δεῖνά εἰσιν; καὶ τί τοῦτο; ἐντεῦθεν γὰρ ὑμᾶς μάλιστα εἰς πίστιν ἐνάγεσθαι ἔδει. ἀλλὰ γὰρ πονηρὸν ὁ φθόνος, καὶ ἑαυτῷ περιπίπτει πολλάκις. ἃ γὰρ ἦν παράδοξα καὶ θαυμαστὰ καὶ ἱκανὰ αὐτοὺς ἐφελκύσασθαι, ταῦτα ἐκείνους ἐσκανδάλιζε. τί οὖν ὁ Χριστὸς πρὸς αὐτούς;

Οὐκ ἔστι προφήτης, φησὶν, ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

58 Καὶ οὐκ ἐποίησε, φησι, δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν. Ὁ δὲ Λουκᾶς φησι, καὶ οὐκ ἐποίησεν ἐκεῖ σημεῖα πολλά. καίτοι ποιῆσαι εἰκὸς ἦν. εἰ γὰρ τὸ θαυμάζεσθαι αὐτῷ προεχώρει (καὶ γὰρ καὶ τότε ἐθαυμάζετο) τίνος ἕνεκεν οὐκ ἐποίησεν; ὅτι οὐ πρὸς ἐπίδειξιν ἔβλεπε τὴν ἑαυτοῦ, ἀλλὰ πρὸς τὸ ἐκείνοις συμφέρον. τούτου τοίνυν μὴ προχωροῦντος, παρεῖδε τὸ ἑαυτοῦ, ὥστε μὴ τὴν κόλασιν αὐτοῖς αὐξῆσαι. καίτοι ὅρα μετὰ πόσον πρὸς αὐτοὺς ἦλθε χρόνον, καὶ πόσην σημείων ἐπίδειξιν. ἀλλ' οὐδὲ οὕτως ἤνεγκαν, ἀλλὰ πάλιν ἐξεκαίοντο τῷ φθόνῳ. τίνος οὖν ἕνεκεν καὶ ὀλίγα ἐποίησε σημεῖα; ἵνα μὴ λέγωσιν, ἰατρὲ, θεράπευσον σεαυτόν· ἵνα μὴ λέγωσι, πολέμιος ἡμῖν ἐστι καὶ ἐχθρὸς, καὶ τοὺς οἰκείους ὑπερορᾷ· ἵνα μὴ λέγωσιν, ὅτι εἰ ἐγεγόνει σημεῖα, καὶ ἡμεῖς ἐπιστεύσαμεν ἄν. διὰ τοῦτο καὶ ἐποίησε καὶ ἐπέσχε· τὸ μὲν, ἵνα τὸ αὐτοῦ πληρώσῃ· τὸ δὲ, ἵνα μὴ μειζόνως ἐκείνους κατακρίνῃ. ἐννόησον δὲ τῶν λεγομένων τὴν δύναμιν, ὅπου γε καὶ ὑπὸ φθόνου κατεχόμενοι ὁμοίως ἐθαύμαζον. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἔργων οὐ τὸ γινόμενον μέμφονται, ἀλλ' αἰτίας πλάττουσιν οὐκ οὔσας, λέγοντες· Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια· οὕτω καὶ ἐνταῦθα, οὐ τὴν διδασκαλίαν αἰτιῶνται, ἀλλ' ἐπὶ τὴν εὐτέλειαν καταφεύγουσι τοῦ γένους. σὺ δέ μοι σκόπει τὴν ἐπιείκειαν τοῦ διδασκάλου, πῶς αὐτοῖς οὐχ ὑβρίζει, ἀλλὰ μετὰ πολλῆς τῆς ἡμερότητός φησιν· οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ προσέθηκε, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. ἐμοὶ δοκεῖ καὶ τοὺς ἀδελφοὺς αἰνιττόμενος τοὺς ἑαυτοῦ τοῦτο προστεθεικέναι. ἐν δὲ τῷ Λουκᾷ καὶ παραδείγματα τούτου τίθησι, λέγων· Ὅτι οὐδὲ Ἠλίας ἦλθε πρὸς τοὺς οἰκείους, ἀλλὰ πρὸς τὴν ἀλλόφυλον χήραν· οὐδὲ ὑπὸ Ἐλισσαίου ἄλλος τις ἐθεραπεύθη λεπρὸς, ἀλλ' ἢ ὁ ἀλλόφυλος Νεεμάν. Ἰσραηλῖται δὲ οὔτε εὖ ἔπαθον, οὔτε εὖ ἐποίησαν, ἀλλ' οἱ ξένοι. ταῦτα δὲ λέγει, πανταχοῦ δεικνὺς τὴν πονηρὰν αὐτῶν συνήθειαν, καὶ ὅτι οὐδὲν ἐπ' αὐτοῦ γέγονε καινόν.

Ματθ. ιβ. κδ.
Λουκ. ια. ιε.
Λουκ. δ. κϛ. κζ.

κεφ. ιδ.

1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ.

Ὁ γὰρ βασιλεὺς Ἡρώδης ὁ τούτου πατὴρ τετελευτηκὼς ἦν, ὁ τὰ παιδία ἀνελών. οὐχ ἁπλῶς δὲ τὸν καιρὸν ἐπισημαίνεται ὁ εὐαγγελιστὴς, ἀλλ' ἵνα μάθῃς τὸν τῦφον τοῦ τυράννου καὶ τὴν ὀλιγωρίαν. οὐδὲ γὰρ ἐν προοιμίοις ἔμαθε τὰ κατ' αὐτὸν, ἀλλὰ μετὰ χρόνον ἄπειρον. τοιοῦτοι γὰρ οἱ ἐν δυναστείαις καὶ πολὺν τὸν ὄγκον περιβεβλημένοι· ὀψὲ ταῦτα μανθάνουσι, διὰ τὸ μὴ πολὺν αὐτῶν ποιεῖσθαι λόγον. σὺ δέ μοι σκόπει ἡλίκον ἡ ἀρετή· ὅτι καὶ τετελευτηκότα αὐτὸν δέδοικε, καὶ ἀπὸ τοῦ φόβου καὶ περὶ ἀναστάσεως φιλοσοφεῖ.

2 Εἶπε γὰρ, φησι, τοῖς παισὶν αὐτοῦ· οὗτός ἐστιν Ἰωάννης, ὃν ἐγὼ ἀπέκτεινα· οὗτος ἀνέστη

ἐκ

κεφ. ιδ

ἐκ τῶν νεκρῶν· καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Εἶδες τὸν φόβον ἐπιτεταμένον; οὐδὲ γὰρ τότε ἐξειπεῖν ἐτόλμησεν ἔξω, ἀλλὰ καὶ τότε τοῖς οἰκέταις λέγει τοῖς ἑαυτοῦ. ἀλλ' ὅμως καὶ αὕτη ἡ δόξα στρατιωτικὴ καὶ παράλογος. καὶ γὰρ καὶ πολλοὶ ἀνέστησαν ἀπὸ νεκρῶν, καὶ οὐδεὶς οὐδὲν τοιοῦτον εἰργάσατο. δοκεῖ δέ μοι καὶ φιλοτιμίας εἶναι καὶ φόβου τὰ ῥήματα. τοιοῦτον γάρ· αἱ ἄλογοι ψυχαὶ ἐναντίων μίξιν δέχονται παθῶν πολλάκις. ὁ δὲ Λουκᾶς φησιν, ὅτι οἱ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν Ἠλίας, ἢ Ἱερεμίας, ἢ τῶν προφητῶν εἷς τῶν ἀρχαίων· οὗτος δὲ, ὡς δή τι τῶν ἄλλων σοφώτερον λέγων, τοῦτο εἴρηκεν. εἰκὸς δὲ αὐτὸν πρότερον μὲν πρὸς τοὺς λέγοντας αὐτὸν εἶναι τὸν Ἰωάννην (πολλοὶ γὰρ καὶ τοῦτο ἔλεγον) ἀρνήσασθαι καὶ λέγειν, ὅτι ἐγὼ αὐτὸν ἀπέκτεινα, φιλοτιμούμενον καὶ ἐναβρυνόμενον. τοῦτο γὰρ καὶ ὁ Μάρκος καὶ ὁ Λουκᾶς φησιν, ὅτι ἔλεγεν· ὅτι ἐγὼ Ἰωάννην ἀπεκεφάλισα. τῆς δὲ φήμης ἀρθείσης, λοιπὸν καὶ αὐτὸς τὰ αὐτὰ λέγει τοῖς πολλοῖς. εἶτα καὶ τὴν ἱστορίαν ἡμῖν ὁ εὐαγγελιστὴς διηγεῖται. καὶ τί δή ποτε οὐ προηγουμένως αὐτὴν εἰσήγαγεν; ὅτι καὶ ἡ πᾶσα πραγματεία αὐτοῖς τὰ περὶ τοῦ Χριστοῦ εἰπεῖν· καὶ οὐδὲν ἐποιοῦντο τούτου πάρεργον ἕτερον, πλὴν εἰ μὴ πάλιν εἰς τὸ αὐτὸ συντελεῖν ἔμελλεν. οὐκοῦν οὐδὲ ἂν νῦν ἐμνημόνευσαν τῆς ἱστορίας, εἰ μὴ διὰ τὸν Χριστὸν, καὶ διὰ τὸ λέγειν Ἡρώδην, ὅτι ἀνέστη ἐκεῖνος. ὁ δὲ Μάρκος φησὶν, ὅτι σφόδρα ἐτίμα τὸν ἄνδρα ὁ Ἡρώδης, καὶ ταῦτα ἐλεγχόμενος. τοσοῦτόν ἐστιν ἡ ἀρετή. εἶτα διηγούμενος οὕτω φησίν· 3 Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.

Λουκ. θ. ζ. η.

αὐτὸ

4 Ἔλεγε γάρ. αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν.

5 Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Καὶ τίνος ἕνεκεν οὐδὲν ἐκείνῃ διαλέγεται, ἀλλὰ τῷ ἀνδρί; ὅτι κυριώτερος οὗτος ἦν. ὅρα δὲ πῶς ἀνεπαχθῆ ποιεῖται τὴν κατηγορίαν, ὡς ἱστορίαν διηγούμενος μᾶλλον, ἢ κατηγορίαν εἰσάγων. 6 Γενεσίων δὲ γενομένων τοῦ Ἡρώδου, φησὶν, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ. Ὢ συμπόσιον διαβολικόν· ὢ θέατρον σατανικόν· ὢ παράνομος ὄρχησις, καὶ μισθὸς ὀρχήσεως παρανομώτερος. φόνος γὰρ ὁ πάντων φόνων ἐναγέστερος ἐτολμᾶτο, καὶ ὁ στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι ἄξιος, ἐν τῷ μέσῳ κατεσφάττετο, καὶ τὸ τῶν δαιμόνων τρόπαιον ἐπὶ τῆς τραπέζης ἵστατο· καὶ ὁ τρόπος δὲ τῆς νίκης τῶν γενομένων ἄξιος. ὠρχήσατο γάρ, φησιν, ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ· 7 Ὅθεν μεθ' ὅρκου ὤμοσεν αὐτῇ δοῦναι, ὃ ἐὰν αἰτήσηται.

8 Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρός· δός μοι, φησὶν [ὧδε] ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. Διπλοῦν τὸ ἔγκλημα, καὶ ὅτι ὠρχήσατο, καὶ ὅτι ἤρεσε, καὶ οὕτως ἤρεσεν, ὡς καὶ φόνον λαβεῖν τὸν μισθόν. εἶδες πῶς ὠμός; πῶς ἀναίσθητος; πῶς ἀνόητος; ἑαυτὸν μὲν γὰρ ὅρκῳ ὑπεύθυνον ποιεῖ· ἐκείνην δὲ κυρίαν τῆς αἰτήσεως καθίστησιν. ἐπειδὴ δὲ εἶδε τὸ κακὸν ὅτι ἐξέβη, ἐλυπήθη, φησί· καίτοιγε ἐξ ἀρχῆς ″ ἔδησεν αὐτόν. τίνος οὖν ἕνεκεν λυπεῖται; τοιοῦτον ἡ ἀρετή, καὶ παρὰ τοῖς κακοῖς θαύματος καὶ ἐπαίνων ἀξία. ἀλλ' ὢ τῆς μαινομένης. δέον αὐτὸν θαυμάζειν, δέον προσκυνεῖν, ὅτι ἤμυνεν ὑβριζομένῃ· ἡ δὲ καὶ συγκατασκευάζει τὸ δρᾶμα, καὶ παγίδα τίθησι, καὶ αἰτεῖ χάριν σατανικήν.

ἔδησεν

9 Ὁ δὲ ἔδεισε διὰ τοὺς ὅρκους, φησί, καὶ τοὺς συνανακειμένους.

Καὶ πῶς τὸ χαλεπώτερον οὐκ ἔδεισας; εἰ γὰρ τὸ μάρτυρας ἔχειν ἐπιορκίας ἐδεδοίκεις, πολλῷ μᾶλλον φοβηθῆναι ἐχρῆν σφαγῆς οὕτω παρανόμου μάρτυρας ἔχειν τοσούτους. ἐπειδὴ δὲ πολλοὺς ἡγοῦμαι καὶ τοῦ ἐγκλήματος, ὅθεν ὁ φόνος ἐτέχθη, τὴν ὑπόθεσιν ἀγνοεῖν, ἀναγκαῖον καὶ τοῦτο ἐξειπεῖν, ἵνα μάθητε τοῦ νομοθέτου τὴν σύνεσιν. τίς οὖν ἦν ὁ παλαιὸς νόμος, ὃν κατεπάτησε μὲν ὁ Ἡρώδης, ἐξεδίκησε δὲ ὁ Ἰωάννης; Τοῦ τελευτήσαντος ἄπαιδος τὴν γυναῖκα τῷ ἀδελφῷ δίδοσθαι ἔδει. ἐπειδὴ γὰρ ἀπαραμύθητον κακὸν ὁ θάνατος ἦν, καὶ πάντα ὑπὲρ ζωῆς ἐπραγματεύετο, νομοθετεῖ

Δευτ. κε. ε.

θετεῖτο γαμεῖν τὸν ζῶντα ἀδελφὸν, καὶ ἐπ' ὀνόματι τοῦ τετελευτηκότος τὸ τικτόμενον καλεῖν παιδίον, ὥστε μὴ διαπεσεῖν τὴν οἰκίαν τὴν ἐκείνου. Εἰ γὰρ μὴ παῖδας ἔμελλε καταλιμπάνειν ὁ τετελευτηκὼς, ὅπερ μεγίστη τοῦ θανάτου ἐστὶ παραμυθία, ἀνήκεστον ἔμελλεν εἶναι τὸ πένθος. Διὰ δὴ τοῦτο ἐπενόησε τὴν παραψυχὴν ταύτην ὁ νομοθέτης τοῖς ἐκ φύσεως παίδων ἀπεστερημένοις, καὶ τὸ τικτόμενον ἐκέλευσεν ἐκείνῳ λογίζεσθαι· ὄντος δὲ παιδὸς, οὐκ ἔτι ἐφίετο οὗτος ὁ γάμος. Καὶ τίνος ἕνεκεν, φησίν; Εἰ γὰρ ἑτέρῳ ἐξῆν, πολλῷ μᾶλλον τῷ ἀδελφῷ. οὐδαμῶς. βούλεται γὰρ ἐκτείνεσθαι τὴν συγγένειαν, καὶ πολλὰς εἶναι τὰς ἀφορμὰς τῆς πρὸς ἀλλήλους οἰκειώσεως. Διατί οὖν καὶ ἄπαιδος τελευτήσαντος οὐκ ἄλλος ἐγάμει; ὅτι οὐκ ἂν οὕτως ἐνομίσθη τοῦ ἀπελθόντος εἶναι τὸ παιδίον· νυνὶ δὲ τοῦ ἀδελφοῦ σπείροντος, πιθανὸν τὸ σόφισμα ἐγίνετο. ἄλλως δὲ, οὐδὲ ἀνάγκην εἶχεν ἕτερος τὴν οἰκίαν στῆσαι τοῦ τετελευτηκότος· οὗτος δὲ τὸ ἀπὸ τῆς συγγενείας ἐκέκτητο δικαίωμα. ἐπεὶ οὖν ὁ Ἡρώδης παιδίον ἔχουσαν τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἔγημε, διὰ τοῦτο ἐγκαλεῖ ὁ Ἰωάννης, καὶ ἐγκαλεῖ συμμέτρως, μετὰ τῆς παῤῥησίας καὶ τὴν ἐπιείκειαν ἐπιδεικνύμενος. σὺ δέ μοι σκόπει ὅπως τὸ θέατρον ὅλον σατανικόν. πρῶτον μὲν γὰρ ἀπὸ μέθης καὶ τρυφῆς συνειστήκει, ὅθεν οὐδὲν ἂν γένοιτο ὑγιές. δεύτερον, τοὺς θεατὰς διεφθαρμένους εἶχε, καὶ τὸν ἑστιάτορα ἁπάντων ἀτιμότερον. τρίτον, ἡ τέρψις ἡ παράλογος. τέταρτον, ἡ κόρη, δι' ἣν παράνομος ἦν ὁ γάμος, ἣν καὶ κρύπτεσθαι ἔδει ὡς ὑβριζομένης αὐτῇ τῆς μητρὸς, ἥδε καὶ ἐπεισέρχεται ἐμπομπεύουσα, καὶ πόρνας ἁπάσας ἀποκρύπτουσα ἡ παρθένος. Καὶ ὁ καιρὸς δὲ οὐ μικρὸν εἰς κατηγορίαν συντελεῖ τῆς παρανομίας ταύτης. ὅτε γὰρ αὐτὸν εὐχαριστεῖν ἐχρῆν τῷ Θεῷ, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην εἰς φῶς αὐτὸν ἤγαγε, τότε τὰ παράνομα ἐκεῖνα τολμᾶται· ὅτε λῦσαι ἐχρῆν τὸν δεδεμένον, τότε σφαγὴν τοῖς δεσμοῖς προστίθησιν. ἀκούσατε τῶν παρθένων, μᾶλλον δὲ καὶ τῶν γεγαμημένων ὅσαι ἐν τοῖς ἑτέρων γάμοις τοιαῦτα ἀσχημονεῖν καταδέχεσθε, ἀλλόμεναι καὶ πηδῶσαι, καὶ τὴν κοινὴν καταισχύνουσαι φύσιν. ἀκούσατε καὶ ἄνδρες, ὅσοι τὰ πολυτελῆ συμπόσια καὶ μέθης γέμοντα διώκετε· καὶ δείσατε τοῦ διαβόλου τὸ βάραθρον. καὶ γὰρ οὕτω κατὰ κράτος εἷλε τὸν ἄθλιον ἐκεῖνον τότε, ὡς ὀμόσαι καὶ τὰ ἡμίση δοῦναι τῆς βασιλείας. (Μαρ. ς. κγ.) τοῦτο γὰρ ὁ Μάρκος φησίν· Ὅτι ὤμοσεν αὐτῇ, ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. τοσούτου τὴν ἀρχὴν ἐτιμᾶτο τὴν ἑαυτοῦ· οὕτως καθάπαξ αἰχμάλωτος ὑπὸ τοῦ πάθους ἐγένετο, ὡς δι' ὄρχησιν αὐτῆς παραχωρῆσαι. καὶ τί θαυμάζεις, εἰ τότε ταῦτα ἐγένετο, ὅπουγε καὶ νῦν μετὰ τοσαύτην φιλοσοφίαν ὀρχήσεως ἕνεκεν τῶν μαλακιζομένων τούτων νέων πολλοὶ καὶ τὰς ψυχὰς αὐτῶν ἐπιδιδόασιν, οὐδὲ ἀνάγκην ἔχοντες ὅρκου. ὑπὸ γὰρ τῆς ἡδονῆς αἰχμάλωτοι γινόμενοι, καθάπερ βοσκήματα ἄγονται, ἧπερ ἂν ὁ λύκος σύρῃ· ὃ δὴ καὶ τότε ἔπαθεν ὁ παραπλὴξ ἐκεῖνος, δύο τὰ αἴσχιστα παραφρονήσας, τῷ τε ἐκείνην κυρίαν ποιῆσαι οὕτω μαινομένην καὶ μεθύουσαν τῷ πάθει, καὶ οὐδὲν παραιτουμένην· τῷ τε ἀνάγκῃ ὅρκου καταδῆσαι τὸ πρᾶγμα. ἀλλ' οὕτως ὄντος ἐκείνου παρανόμου, παρανομωτέρα ἁπάντων ἡ γυνὴ ἦν, καὶ τῆς κόρης καὶ τοῦ τυράννου. καὶ γὰρ ἡ τῶν κακῶν ἁπάντων ἀρχιτέκτων καὶ τὸ πᾶν ὑφήνασα δρᾶμα αὕτη ἦν, ἣν μάλιστα χάριν εἰδέναι ἐχρῆν τῷ προφήτῃ. καὶ γὰρ ἡ θυγάτηρ αὐτῇ πεισθεῖσα, καὶ ἠσχημόνησε καὶ ὠρχήσατο καὶ τὸν φόνον ᾔτησε, καὶ ὁ Ἡρώδης ὑπ' αὐτῆς ἐσαγηνεύθη. ὁρᾷς πῶς δικαίως ἔλεγεν ὁ Χριστός· (Ματθ. ι. λζ.) Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Εἰ γὰρ αὕτη τὸν νόμον τοῦτον ἐτήρησεν, οὐκ ἂν τοσούτους παρέβη νόμους, οὐκ ἂν τὴν μιαιφονίαν ταύτην εἰργάσατο. τί γὰρ τῆς θηριωδίας ταύτης χεῖρον γένοιτ' ἄν; φόνον ἐν χάριτος αἰτεῖν μέρει, φόνον παράνομον, φόνον μεταξὺ δείπνου, φόνον δημοσίᾳ καὶ ἀναισχύντως. οὐ γὰρ ἰδίᾳ προσελθοῦσα διελέχθη περὶ τούτων, ἀλλὰ δημοσίᾳ, καὶ τὸ προσωπεῖον ῥίψασα, γυμνῇ τῇ κεφαλῇ, καὶ τὸν διάβολον λαβοῦσα συνήγορον, οὕτω φησὶν ὅ φησι. καὶ γὰρ ἐκεῖνος ἐποίησεν αὐτὴν καὶ εὐδοκιμῆσαι ὀρχουμένην, καὶ τὸν Ἡρώδην ἑλεῖν τότε. ἔνθα γὰρ ὄρχησις, ἐκεῖ καὶ ὁ διάβολος.

κεφ. ιδ'.

διάβολος. οὐδὲ γὰρ εἰς τοῦτο ἔδωκεν ἡμῖν πόδας ὁ Θεός, ἵνα ἀσχημονῶμεν· ἀλλ' ἵνα εὔτακτα βαδίζωμεν· οὐχ ἵνα κατὰ τὰς καμήλους πηδῶμεν (καὶ γὰρ καὶ ἐκεῖναι ἀηδεῖς ὀρχούμεναι, μήτιγε δὴ γυναῖκες) ἀλλ' ἵνα σὺν ἀγγέλοις χορεύωμεν. εἰ γὰρ τὸ σῶμα αἰσχρὸν τὸ τοιαῦτα ἀσχημονοῦν, πολλῷ μᾶλλον ἡ ψυχή. τοιαῦτα ὀρχοῦνται οἱ δαίμονες· τοιαῦτα ἐπιτωθάζουσιν οἱ τῶν δαιμόνων διάκονοι. σκόπει δὲ αὐτὴν τὴν αἴτησιν. δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. εἶδες τὴν ἀπηρυθριασμένην; τὴν ὅλην τοῦ διαβόλου γεγενημένην; καὶ τοῦ ἀξιώματος μέμνηται), καὶ οὐδὲ οὕτως ἐγκαλύπτεται· ἀλλ' ὡς περί τινος ἐδέσματος διαλεγομένη, οὕτω τὴν ἱερὰν ἐκείνην καὶ μακαρίαν αἰτεῖ κεφαλὴν ἐπὶ πίνακος εἰσενεχθῆναι. καὶ οὐδὲ αἰτίαν τίθησιν (οὐδὲ γὰρ εἶχεν εἰπεῖν) ἀλλ' ἁπλῶς τιμηθῆναι ταῖς ἑτέρων ἀξιοῖ συμφοραῖς. καὶ οὐκ εἶπεν, εἰσάγαγε αὐτὸν ἐνταῦθα καὶ κατάσφαξον. οὐδὲ γὰρ μέλλοντος τελευτᾷν τὴν παρρησίαν ἤνεγκεν ἄν. καὶ γὰρ ἐδεδοίκει καὶ κατασφαττομένου τῆς φρικτῆς ἀκοῦσαι φωνῆς. οὐδὲ γὰρ ἀποτέμνεσθαι μέλλων ἐσίγησεν ἄν. διὰ τοῦτό φησι· δός μοι ὧδε ἐπὶ πίνακι· ἰδεῖν γὰρ ἐπιθυμῶ τὴν γλῶτταν ἐκείνην σιγῶσαν. οὐδὲ γὰρ ἀπαλλαγῆναι τῶν ἐλέγχων ἔσπευδε μόνον, ἀλλὰ καὶ ἐπιβῆναι καὶ ἐπιτωθάσαι κειμένῳ. ὁ δὲ Θεὸς ἠνέσχετο, καὶ οὔτε κεραυνὸν ἀφῆκεν ἄνωθεν, καὶ τὴν ἀναίσχυντον κατέφλεξεν ὄψιν· οὔτε τῇ γῇ διαρραγῆναι ἐκέλευσε καὶ τὸ πονηρὸν ἐκεῖνο συμπόσιον δέξασθαι, ὁμοῦ καὶ τὸν δίκαιον μειζόνως στεφανῶν, καὶ τοῖς μετὰ ταῦτα ἀδίκως τι πάσχουσι πολλὴν καταλιμπάνων παραμυθίαν. ἀκούσωμεν τοίνυν ὅσοι δεινὰ πάσχομεν ἐν ἀρετῇ ζῶντες παρὰ πονηρῶν ἀνθρώπων. καὶ γὰρ καὶ τότε ὁ Θεὸς ἠνέσχετο τὸν ἐν ἐρήμῳ, τὸν ἐν τῇ ζώνῃ τῇ δερματίνῃ, τὸν ἐν τριχίνῳ ἱματίῳ, τὸν προφήτην, τὸν τῶν προφητῶν μείζονα, τὸν μηδένα μείζονα ἔχοντα ἐν γεννητοῖς γυναικῶν καὶ κατασφαγῆναι ὑπὸ κόρης ἀκολάστου καὶ διεφθαρμένης πόρνης, καὶ ταῦτα νόμοις ἀμύνοντα θείοις. ταῦτα τοίνυν λογιζόμενοι, φέρωμεν πάντα γενναίως ὅσα ἂν πάσχωμεν. καὶ γὰρ καὶ τότε ἡ μιαιφόνος καὶ παράνομος αὕτη, ὅσον ἀμύνασθαι τὸν λελυπηκότα ἐπεθύμησε, τοσοῦτον ἴσχυσε, καὶ τὸν θυμὸν ἅπαντα ἐνέπλησε, καὶ ὁ Θεὸς συνεχώρει. καίτοιγε πρὸς αὐτὴν οὐδὲν εἶπεν, οὐδὲ κατηγόρησεν, ἀλλὰ τῷ ἀνδρὶ μόνῳ ἐνεκάλει. ἀλλὰ τὸ συνειδὸς πικρὸς κατήγορος ἦν. διὸ καὶ εἰς μείζονα ἐξεβακχεύετο κακά, ἀλγοῦσα καὶ δακνομένη, καὶ κατῄσχυνεν ὁμοῦ πάντας, ἑαυτήν, τὴν θυγατέρα, τὸν ἀπελθόντα ἄνδρα, τὸν ζῶντα μοιχόν, καὶ τοῖς προτέροις ἐπηγωνίζετο. εἰ γὰρ ἀλγεῖς, φησίν, ὅτι μοιχεύει, ἐγὼ αὐτὸν ἐργάζομαι καὶ ἀνδροφόνον, καὶ ποιῶ σφαγέα τοῦ ἐγκαλοῦντος. ἀκούσατε ὅσοι πρὸς γυναῖκας ἐστὲ ἐπτοημένοι παρὰ τὸ δέον· ἀκούσατε ὅσοι ἐπ' ἀδήλοις ὅρκους προτείνετε, καὶ ἑτέρους κυρίους ποιεῖτε τῆς ὑμετέρας ἀπωλείας, καὶ βάραθρον ἑαυτοῖς κατορύττετε. καὶ γὰρ καὶ οὗτος οὕτως ἀπώλετο. καὶ γὰρ προσεδόκησεν ἄξιόν τι αὐτὴν τῶν δείπνων αἰτήσειν, καὶ κόρην οὖσαν, καὶ ἐν ἑορτῇ καὶ συμποσίῳ καὶ πανηγύρει χάριν αἰτοῦσαν φαιδρὰν τινα καὶ ἐπίχαριν, οὐ μὴν κεφαλὴν αἰτεῖν· καὶ ἠπατήθη. ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοῦ προστήσεται. εἰ γὰρ καὶ ἐκείνη θηριομάχων ἀνδρῶν ψυχὴν ἐκτήσατο, ἀλλ' αὐτὸν παραλογίσασθαι οὐκ ἔδει, οὐδὲ τυραννικοῖς οὕτω διακονήσασθαι ἐπιτάγμασι. πρῶτον μὲν γὰρ τίς οὐκ ἂν ἔφριξε τὴν ἱερὰν ἐκείνην κεφαλὴν αἷμα στάζουσαν ὁρῶν ἐπὶ δείπνου προκειμένην; ἀλλ' οὐχ ὁ παράνομος Ἡρώδης, οὐδὲ ἡ ἐναγεστέρα τούτου γυνή. τοιαῦται γὰρ αἱ πορνευόμεναι γυναῖκες, ἁπάντων εἰσὶν ἰταμώτεραι καὶ ὠμότεραι. εἰ γὰρ ἡμεῖς ἀκούοντες ταῦτα φριττόμεθα, τί εἰκὸς ἦν ἐκ τῆς ὄψεως τότε ἐργάσασθαι; τί παθεῖν τοὺς συνανακειμένους νεοσφαγοῦς κεφαλῆς αἷμα στάζον ὁρῶντας ἐν μέσῳ τῷ συμποσίῳ; ἀλλ' οὐχ ἡ αἱμοβόρος ἐκείνη καὶ ἐριννύων ἀγριωτέρα ἔπαθέ τι πρὸς τὴν θεωρίαν ἐκείνην, ἀλλὰ καὶ ἐνεβρύετο· καίτοιγε εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ τῆς ὄψεως μόνης εἰκὸς ἦν ναρκῆσαι λοιπόν. ἀλλ' οὐδὲν τοιοῦτον ἔπαθεν ἡ μιαιφόνος καὶ αἱμάτων διψῶσα προφητικῶν. τοιοῦτον γὰρ ἡ πορνεία· οὐκ ἀσελγεῖς μόνον, ἀλλὰ καὶ μιαιφόνους αἱ φόνους ποιεῖ. αἱ γυναῖκες μοιχευθεῖσαι ἐπιθυμοῦσαι, καὶ πρὸς σφαγὴν εἰσὶ παρεσκευασμέναι τῶν ἀδικουμένων ἀνδρῶν· καὶ οὐχ ἕνα μόνον οὐδὲ δύο, ἀλλὰ καὶ μυρίους ἕτοιμαι τολμῆσαι φόνους. καὶ τούτων πολλοὶ μάρτυρες τῶν δραμάτων εἰσίν. ὃ δὴ καὶ ἐκείνη τότε ἐποίησεν, προσδοκῶσα λήσεσθαι λοιπὸν καὶ ἀποκρύψειν τὸ τόλμημα, τοὐναντίον ἅπαν ἐξέβαινε. καὶ γὰρ μειζόνως μετὰ ταῦτα ἐβόησεν ὁ Ἰωάννης. ἀλλὰ πρὸς τὸ παρὸν ἡ κακία μόνον ὁρᾷ, καθάπερ οἱ πυρέττοντες ὅταν ψυχρὸν ἀκαίρως αἰτῶσι. καὶ γὰρ εἰ μὴ ἔσφαξε τὸν κατήγορον, οὐκ ἂν οὕτως ἐξεκαλύφθη τὸ τόλμημα. οἱ γοῦν μαθηταί, ὅτε αὐτὸν εἰς τὸ δεσμωτήριον ἐνέβαλεν, οὐδὲν τοιοῦτον εἶπον· ὅτε δὲ ἀπέκτεινε, τότε ἠναγκάσθησαν καὶ τὴν αἰτίαν εἰπεῖν. τὴν γὰρ μοιχαλίδα κρύπτειν ἐβούλοντο, καὶ οὐκ ἤθελον ἐκπομπεύειν τὰς τῶν πλησίον συμφοράς. ἐπειδὴ δὲ εἰς ἀνάγκην ἐνέπεσον τῆς ἱστορίας, τότε λέγουσι τὸ τόλμημα ἅπαν. ἵνα γὰρ μὴ πονηράν τις ὑποπτεύσῃ τῆς σφαγῆς τὴν αἰτίαν, καθάπερ ἐπὶ Θευδᾶ καὶ Ἰούδα, ἀναγκάζονται καὶ τὴν πρόφασιν εἰπεῖν τοῦ φόνου. ὥστε ὅσῳ ἂν βουληθῇς ἁμαρτίαν συσκιάσαι τῷ τρόπῳ τούτῳ, τοσούτῳ μᾶλλον αὐτὴν ἐκπομπεύεις. ἁμαρτία γὰρ οὐχ ἁμαρτίας προσθήκῃ κρύπτεται, ἀλλὰ μετανοίᾳ καὶ ἐξομολογήσει. θέα δὲ τὸν εὐαγγελιστὴν πῶς ἀνεπαχθῶς πάντα διηγεῖται, καὶ ὡς οἷόν τε ἦν αὐτῷ, καὶ ἀπολογίαν συντίθησιν. ὑπὲρ μὲν γὰρ τοῦ Ἡρώδου φησί· διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, καὶ ὅτι ἐλυπήθη· περὶ δὲ τῆς κόρης, ὅτι προβιβασθεῖσα ὑπὸ τῆς μητρός, καὶ ὅτι ἤνεγκε τῇ μητρὶ τὴν κεφαλήν· ὡσανεὶ ἔλεγεν, ἐκείνης τὸ πρόσταγμα ἐπλήρου. οὐ γὰρ ὑπὲρ τῶν κακῶς παθόντων, ἀλλ' ὑπὲρ τῶν ποιούντων ἀλγοῦσιν οἱ δίκαιοι πάντες, ἐπειδὴ καὶ οὗτοι μάλιστά εἰσιν οἱ κακῶς πάσχοντες. οὐδὲ γὰρ Ἰωάννης ἠδίκητο· ἀλλ' οὗτοι οἱ ταῦτα οὕτω κατασκευάσαντες.

ΗΘΙΚΟΝ

Τούτους καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ ἐπεμβαίνωμεν ταῖς τῶν πλησίον ἁμαρτίαις· ἀλλ' ὅσον ἂν δέῃ, συσκιάζωμεν, ἀναλάβωμεν φιλόσοφον ψυχήν. καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς ὑπὲρ πόρνης καὶ μιαιφόνου γυναικὸς διαλεγόμενος ἀνεπαχθὴς ἐγένετο, ὡς οἷόν τε ἦν. οὐδὲ γὰρ εἶπεν, ὑπὸ τῆς μιαιφόνου καὶ ἐναγοῦς· ἀλλὰ προβιβασθεῖσα ὑπὸ τῆς μητρός, ἀπὸ τῶν εὐφημοτέρων καλῶν ὀνομάτων. σὺ δὲ καὶ ὑβρίζεις καὶ κατηγορεῖς τοὺς πλησίον, καὶ οὐκ ἂν ἀνάσχοις ποτὲ λελυπηκότος οὕτως ἀδελφοῦ μνησθῆναι, ὡς ἐκεῖνος τῆς πόρνης· ἀλλὰ μετὰ πολλῆς τῆς θηριωδίας καὶ τῶν ὀνειδῶν τῶν πονηρῶν, τὸν κακοῦργον, [τὸν πονηρόν,] τὸν ὕπουλον, τὸν ἀνόητον, καὶ πολλὰ ἕτερα χαλεπώτερα τούτων καλῶν. καὶ γὰρ ἐκθηριούμεθα μᾶλλον, καὶ ὡς περὶ ἀλλοτρίου ἀνθρώπου διαλεγόμεθα, κακίζοντες, λοιδοροῦντες, ὑβρίζοντες. ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως· ἀλλὰ θρηνοῦσι μᾶλλον τοὺς ἁμαρτάνοντας, ἢ καταρῶνται. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ δακρύωμεν τὴν Ἡρωδιάδα, καὶ τοὺς ἐκείνην ζηλοῦντας. πολλὰ γὰρ καὶ νῦν τοιαῦτα συμπόσια γίνεται. κἂν γὰρ μὴ Ἰωάννης ἀναιρῆται· ἀλλὰ τοῦ Χριστοῦ τὰ μέλη, καὶ πολλῷ χαλεπώτερον. οὐ γὰρ κεφαλὴν αἰτοῦσιν ἐπὶ πίνακι οἱ νῦν ὀρχούμενοι, ἀλλὰ τὰς ψυχὰς τῶν συνανακειμένων. ὅταν γὰρ δούλους αὐτοὺς ποιῶσι, καὶ εἰς παρανόμους ἔρωτας ἄγωσι, καὶ πόρνας ἐπιτειχίζωσιν, οὐχὶ τὴν κεφαλὴν ἀναιροῦσιν, ἀλλὰ τὴν ψυχὴν σφάττουσι, μοιχοὺς ἐργαζόμενοι καὶ θηλυδρίας καὶ πόρνους. οὐ γὰρ δή μοι ἐρεῖς, ὡς οἰνωμένος καὶ μεθύων, καὶ γυναῖκα ὀρχουμένην καὶ αἰσχρολογοῦσαν ὁρῶν, οὐ πάσχεις τι πρὸς αὐτήν, οὐδὲ ἐκφέρῃ πρὸς ἀσωτίαν ὑπὸ τῆς ἡδονῆς ἡττώμενος· καὶ πάσχεις ἐκεῖνο τὸ φρικτόν, τὰ μέλη τοῦ Χριστοῦ μέλη ἀπεργαζόμενος πόρνης. εἰ γὰρ καὶ μὴ πάρεστιν ἡ θυγάτηρ Ἡρωδιάδος, ἀλλ' ὁ δι' ἐκείνης ὀρχησάμενος τότε διάβολος, καὶ διὰ τούτων χορεύει νυνί, καὶ τὰς ψυχὰς τῶν ἀνακειμένων λαβὼν ἄπεισιν αἰχμαλώτους. εἰ δὲ ὑμεῖς δύνασθε μέθης μένειν ἐκτός, ἀλλ' ἑτέρας χαλεπωτάτης κοινωνεῖτε ἁμαρτίας. καὶ γὰρ πολλῶν ἁρπαγῶν τὰ τοιαῦτα γέμει συμπόσια. μὴ γάρ μοι τὰ ἐπικείμενα κρέα ἴδῃς, μηδὲ τοὺς πλακοῦντας· ἀλλὰ [καὶ] πόθεν

γρ. δὲ
γρ. ἔβαλεν,
γρ. ἀδικοῦντ
γρ. τὰ ποι
γρ. δεῖ,
ἴσ. κακηγ
γρ. τὸ
γρ. τιν
γρ.

πόθεν συνειλέχθαι ἐννόει, καὶ ὄψει ὅτι ἐξ ἐπηρείας καὶ πλεονεξίας καὶ βίας καὶ ἁρπαγῆς. ἀλλ' οὐκ ἔστιν ἐκ τούτων ταῦτα, φησί· μὴ γένοιτο. οὐδὲ γὰρ ἐγὼ βούλομαι. πλὴν εἰ καὶ τούτων καθαροί, οὐδὲ οὕτως ἐγκλημάτων τὰ πολυτελῆ δεῖπνα ἀπήλλακται). ἄκουσον γοῦν πῶς καὶ χωρὶς τούτων ἐγκαλεῖ ὁ προφήτης οὕτω λέγων· Οὐαὶ οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι. Αμ. ς. ς. ὁρᾷς πῶς καὶ τρυφῆς κατηγορεῖ; οὐδὲ γὰρ πλεονεξίαν ἐνταῦθα αἰτιᾶται), ἀλλ' ἀσωτίαν μόνον. καὶ σὺ μὲν εἰς ἀμετρίαν ἐσθίεις, ὁ δὲ Χριστὸς οὐδὲ εἰς χρείαν· σὺ μὲν [τοὺς] πλακοῦντας ἀδιαφόρως, ἐκεῖνος δὲ οὐδὲ ἄρτον ξηρόν· σὺ θάσιον οἶνον, ἐκείνῳ δὲ οὐδὲ ποτήριον ψυχρὸν ἐπέδωκας διψῶντι· σὺ μὲν ἐπὶ στρωμνῆς ἁπαλῆς καὶ πεποικιλμένης, ὁ δὲ ὑπὸ [τοῦ] κρυμοῦ διαφθείρεται. διὸ κἂν πλεονεξίας καθαρὰ ᾖ τὰ δεῖπνα, καὶ οὕτως ἐναγῆ ἐστιν, ὅτι σὺ μὲν ὑπὲρ τὴν χρείαν πάντα ποιεῖς· ἐκείνῳ δὲ οὐδὲ τὴν χρείαν δίδως, καὶ ταῦτα ἐντρυφῶν τοῖς αὐτοῦ. ἀλλ' εἰ παιδὸς μὲν ἐπετρόπευσας, καὶ λαβὼν τὰ αὐτοῦ περιεώρας αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἂν εἶχες κατηγόρους, καὶ τὴν ἀπὸ τῶν νόμων ἔδωκας ἂν δίκην· τὰ δὲ τοῦ Χριστοῦ λαβών, καὶ οὕτω μάτην ἀναλίσκων, οὐχ ἡγῇ δώσειν εὐθύνας; καὶ ταῦτα οὐ περὶ τῶν τὰς πόρνας ταῖς τραπέζαις αὐτῶν ἐπεισαγόντων λέγω (πρὸς γὰρ ἐκείνους οὐδείς μοι λόγος, ὥσπερ οὐδὲ πρὸς τοὺς κύνας) οὐδὲ περὶ τῶν πλεονεκτούντων καὶ ἑτέρους γαστριζόντων (οὐδὲ γὰρ πρὸς αὐτοὺς ἐστί μοι κοινόν τι, ὥσπερ οὐδὲ πρὸς τοὺς χοίρους καὶ λύκους) ἀλλὰ περὶ τῶν ἀπολαυόντων μὲν τῆς ἰδίας οὐσίας, οὐ μεταδιδόντων δὲ ἑτέροις, περὶ τῶν τὰ πατρῷα κατευμαλισκόντων ἁπλῶς. οὐδὲ γὰρ οὗτοι κατηγορίας ἐκτός. πῶς γάρ, εἰπέ μοι, διαφεύξῃ κατηγορίαν καὶ ἐγκλήματα, ὅταν ὁ μὲν παράσιτός σου γαστρίζηται καὶ ὁ κύων παρεστώς· ὁ δὲ Χριστὸς μηδὲ τούτων ἄξιός σοι φαίνηται; ὅταν ὁ μὲν ὑπὲρ γέλωτος τοσαῦτα λαμβάνῃ· ὁ δὲ ὑπὲρ βασιλείας οὐρανῶν οὐδὲ τὸ πολλοστὸν τούτων; καὶ ὁ μὲν ἵνα τι εἴπῃ ἀστεῖον ἐμπλησθεὶς ἀπῆλθεν· οὗτος δὲ ὁ διδάξας ἡμᾶς, ἃ μὴ μαθόντες οὐδὲν ἂν τῶν κυνῶν διεφέρομεν, οὐδὲ τῶν αὐτῶν ἀξιοῦται ἐκείνῳ; φρίττεις ἀκούων; οὐκοῦν φρῖξον ἐπὶ τῶν ἔργων. ἔκβαλε τοὺς παρασίτους, καὶ ποίησον συγκατακλίνεσθαί σοι τὸν Χριστόν. ἂν ἁλῶν κοινωνήσῃ καὶ τραπέζης, ἥμερος ἔσται σοι δικάζων· οἶδεν αἰδεῖσθαι τράπεζαν. εἰ γὰρ λῃσταὶ ἴσασι, πολλῷ μᾶλλον ὁ δεσπότης. ἐννόησον γοῦν τὴν πόρνην ἐκείνην, πῶς ἀπὸ τραπέζης ἐποίησεν ἥμερον, καὶ Σίμωνι ὀνειδίζει λέγων· Φίλημά μοι οὐκ ἔδωκας. Λυκ. ζ με. 15. εἰ γὰρ μὴ ποιοῦντά σε ταῦτα τρέφει, πολλῷ μᾶλλον ποιοῦντα ἀμείψεται. μὴ πρὸς τὸν πένητα ἴδῃς, ὅτι ῥυπῶν προσέρχεται καὶ αὐχμῶν· ἀλλ' ἐννόησον ὅτι ὁ Χριστὸς δι' ἐκείνου ἐπιβαίνει τῆς σῆς οἰκίας, καὶ παῦσαι τῆς ὠμότητος καὶ τῶν ἀπηνῶν ῥημάτων, οἷς ἀεὶ πλήττεις τοὺς προσιόντας, ἐπιθέτας, ἀργούς, καὶ ἕτερα χαλεπώτερα τούτων καλῶν· καὶ λογίζου ὅταν ταῦτα λέγῃς, τί οἱ παράσιτοι ποῖα ἔργα κατασκευάζουσι· τί τὴν οἰκίαν ὠφελοῦσι τὴν σήν. ἡδὺ πάντως σοι ποιοῦσι τὸ ἄριστον; καὶ πῶς ἡδύ, ῥαπιζόμενοι καὶ αἰσχρὰ λέγοντες; καὶ τί τούτου ἀηδέστερον, ὅταν τὸν κατ' εἰκόνα Θεοῦ γενόμενον τύπτῃς, καὶ ἐκ τῆς εἰς ἐκεῖνον ὕβρεως τέρψιν ἑαυτῷ συνάγῃς, θέατρον ποιῶν τὴν οἰκίαν, καὶ μίμων πληρῶν τὸ συμπόσιον, καὶ τοὺς ἐπὶ τῆς σκηνῆς ἐξηρημένους μιμούμενος ὁ εὐγενὴς καὶ ἐλεύθερος; καὶ γὰρ ἐκεῖ γέλως καὶ ῥαπίσματα. ταῦτα οὖν ἡδονὴν καλεῖς, εἰπέ μοι, ἃ πολλῶν ἄξια δακρύων ἐστίν; ἃ πολλῶν θρήνων καὶ οἰμωγῶν; καὶ δέον εἰς βίον αὐτοὺς ἐμβαλεῖν σπουδαῖον, δέον παραινέσαι τὰ δέοντα· σὺ δὲ εἰς ἐπιορκίας καὶ ῥήματα ἄτακτα ἐνάγεις, καὶ τέρψιν τὸ πρᾶγμα καλεῖς; καὶ τὸ γεέννης πρόξενον, ἡδονῆς εἶναι ὑπόθεσιν νομίζεις; καὶ γὰρ ὅταν ἀπορήσωσιν ἀστείων ῥημάτων, ὅρκοις καὶ ἐπιορκίαις τὸ πᾶν διαλύουσι). ταῦτ' οὖν γέλωτος ἄξια, ἀλλ' οὐκ ὀδυρμῶν καὶ δακρύων; καὶ τίς ἂν ταῦτα εἴποι νοῦν ἔχων; καὶ ταῦτα λέγω, οὐ κωλύων τρέφεσθαι αὐτούς· ἀλλὰ μὴ ἐπὶ τοιαύτῃ αἰτίᾳ. φιλανθρωπίας γὰρ ἡ τροφὴ τὴν ὑπόθεσιν ἐχέτω, μὴ ὠμότητος· ἔλεον, μὴ ὕβριν. ὅτι πένης ἐστί, θρέψον· ὅτι Χριστὸς τρέφεται, θρέψον· μὴ ἐπειδὴ σατανικὰ εἰσάγει ῥήματα καὶ τὴν ἑαυτοῦ καταισχύνει ζωήν. μὴ ἴδῃς

αὐτὸν

αι φόνους ποιεῖ. αἱ γοῦν μοιχευθεῖσαι ἐπιθυμοῦσαι, καὶ πρὸς σφαγὴν εἰσὶ παρεσκευασμέναι τῶν ἀδικουμένων ἀνδρῶν· καὶ οὐχ ἕνα μόνον οὐδὲ δύο, ἀλλὰ καὶ μυρίους ἕτοιμαι τολμῆσαι φόνους. καὶ τούτων πολλοὶ μάρτυρες τῶν δραμάτων εἰσίν. ὃ δὴ καὶ ἐκείνη τότε ἐποίησεν, προσδοκῶσα λήσεσθαι λοιπὸν καὶ ἀποκρύψειν τὸ τόλμημα, τοὐναντίον ἅπαν ἐξέβαινε. καὶ γὰρ μειζόνως μετὰ ταῦτα ἐβόησεν ὁ Ἰωάννης. ἀλλὰ πρὸς τὸ παρὸν ἡ κακία μόνον ὁρᾷ, καθάπερ οἱ πυρέττοντες ὅταν ψυχρὸν ἀκαίρως αἰτῶσι. καὶ γὰρ εἰ μὴ ἔσφαξε τὸν κατήγορον, οὐκ ἂν οὕτως ἐξεκαλύφθη τὸ τόλμημα. οἱ '' γοῦν μαθηταί, ὅτε αὐτὸν εἰς τὸ δεσμωτήριον '' ἐνέβαλεν, οὐδὲν τοιοῦτον εἶπον· ὅτε δὲ ἀπέκτεινε, τότε ἠναγκάσθησαν καὶ τὴν αἰτίαν εἰπεῖν. τὴν γὰρ μοιχαλίδα κρύπτειν ἐβούλοντο, καὶ οὐκ ἤθελον ἐκπομπεύειν τὰς τῶν πλησίον συμφοράς. ἐπειδὴ δὲ εἰς ἀνάγκην ἐνέπεσον τῆς ἱστορίας, τότε λέγουσι τὸ τόλμημα ἅπαν. ἵνα γὰρ μὴ πονηράν τις ὑποπτεύσῃ τῆς σφαγῆς τὴν αἰτίαν, καθάπερ ἐπὶ Θευδᾶ καὶ Ἰούδα, ἀναγκάζονται καὶ τὴν πρόφασιν εἰπεῖν τοῦ φόνου. ὥστε ὅσῳ ἂν βουληθῇς ἁμαρτίαν συσκιάσαι τῷ τρόπῳ τούτῳ, τοσούτῳ μᾶλλον αὐτὴν ἐκπομπεύεις. ἁμαρτία γὰρ οὐχ ἁμαρτίας προσθήκῃ κρύπτεται, ἀλλὰ μετανοίᾳ καὶ ἐξομολογήσει. θέα δὲ τὸν εὐαγγελιστὴν πῶς ἀνεπαχθῶς πάντα διηγεῖται, καὶ ὡς οἷόν τε ἔστιν αὐτῷ, καὶ ἀπολογίαν συντίθησιν. ὑπὲρ μὲν γὰρ τοῦ Ἡρώδου φησί· διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, καὶ ὅτι ἐλυπήθη· περὶ δὲ τῆς κόρης, ὅτι προβιβασθεῖσα ὑπὸ τῆς μητρός, καὶ ὅτι ἤνεγκε τῇ μητρὶ τὴν κεφαλήν· ὡσανεὶ ἔλεγχον, ἐκείνης τὸ πρόσταγμα ἐπλήρωσεν. οὐ γὰρ ὑπὲρ τῶν κακῶς παθόντων, ἀλλὰ ὑπὲρ τῶν '' ποιούντων ἀλγοῦσιν οἱ δίκαιοι πάντες, ἐπειδὴ καὶ οὗτοι μάλιστά εἰσιν οἱ κακῶς πάσχοντες. οὐδὲ γὰρ Ἰωάννης ἠδίκητο· ἀλλ' οὗτοι οἱ '' ταῦτα οὕτω κατασκευάσαντες.

γρ. δὲ
γρ. ἐβόησεν,
γρ. ἀδικούμ
γρ. τὰ ποι

ΗΘΙΚΟΝ Τούτους καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ ἐπεμβαίνωμεν ταῖς τῶν πλησίον ἁμαρτίαις· ἀλλ' ὅσον ἂν '' δέῃ, συσκιάζωμεν, ἀναλάβωμεν φιλόσοφον ψυχήν. καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς ὑπὲρ πόρνης καὶ μιαιφόνου γυναικὸς διαλεγόμενος ἀνεπαχθὴς ἐγένετο, ὡς οἷόν τε ἦν. οὐδὲ γὰρ εἶπεν, ὑπὸ τῆς μιαιφόνου καὶ ἐναγοῦς· ἀλλὰ προβιβασθεῖσα ὑπὸ τῆς μητρός, ἀπὸ τῶν εὐφημοτέρων καλῶν ὀνομάτων. σὺ δὲ καὶ ὑβρίζεις καὶ '' κατηγορεῖς '' τοὺς πλησίον, καὶ οὐκ ἂν ἀνάσχοις ποτὲ λελυπηκότος οὕτως ἀδελφοῦ μνησθῆναι, ὡς ἐκεῖνος τῆς πόρνης· ἀλλὰ μετὰ πολλῆς τῆς θηριωδίας καὶ τῶν ὀνειδῶν τῶν πονηρῶν, τὸν κακοῦργον, [τὸν πονηρόν,] τὸν ὕπουλον, τὸν ἀνόητον, καὶ πολλὰ ἕτερα χαλεπώτερα τούτων καλῶν. καὶ γὰρ ἐκθηριούμεθα μᾶλλον, καὶ ὡς περὶ ἀλλοτρίου ἀνθρώπου διαλεγόμεθα, κακίζοντες, λοιδοροῦντες, ὑβρίζοντες. ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως· ἀλλὰ θρηνοῦσι μᾶλλον τοὺς ἁμαρτάνοντας, ἢ καταρῶνται. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ δακρύωμεν τὴν Ἡρωδιάδα, καὶ τοὺς ἐκείνην ζηλοῦντας. πολλὰ γὰρ καὶ νῦν τοιαῦτα συμπόσια γίνεται. κἂν γὰρ μὴ Ἰωάννης ἀναιρῆται· ἀλλὰ τοῦ Χριστοῦ τὰ μέλη, καὶ πολλῷ χαλεπώτερον. οὐ γὰρ κεφαλὴν αἰτοῦσιν ἐπὶ πίνακι οἱ νῦν ὀρχούμενοι, ἀλλὰ τὰς ψυχὰς τῶν συνανακειμένων. ὅταν γὰρ δούλους αὐτοὺς ποιῶσι, καὶ εἰς παρανόμους ἔρωτας ἄγωσι, καὶ πόρνας ἐπιτειχίζωσιν, οὐχὶ τὴν κεφαλὴν ἀναιροῦσιν, ἀλλὰ τὴν ψυχὴν σφάττουσι, μοιχοὺς ἐργαζόμενοι καὶ θηλυδρίας καὶ πόρνους. οὐ γὰρ δή μοι ἐρεῖς, ὡς οἰνωμένος καὶ μεθύων, καὶ γυναῖκα ὀρχουμένην καὶ αἰσχρολογοῦσαν ὁρῶν, οὐ πάσχει τι πρὸς αὐτήν, οὐδὲ ἐκφέρῃ πρὸς ἀσωτίαν ὑπὸ τῆς ἡδονῆς ἡττώμενος· καὶ πάσχει ἐκεῖνο τὸ φρικτόν, τὰ μέλη τοῦ Χριστοῦ μέλη '' ἀπεργαζόμενος πόρνης. εἰ γὰρ καὶ μὴ πάρεστιν ἡ θυγάτηρ Ἡρωδιάδος, ἀλλ' ὁ δι' ἐκείνης ὀρχησάμενος τότε διάβολος, καὶ διὰ τούτων χορεύει νυνί, καὶ τὰς ψυχὰς τῶν ἀνακειμένων λαβὼν ἄπεισιν αἰχμαλώτους. εἰ δὲ ὑμεῖς δύνασθε μέθης μένειν ἐκτός, ἀλλ' ἑτέρας χαλεπωτάτης κοινωνεῖτε ἁμαρτίας. καὶ γὰρ πολλῶν ἁρπαγῶν τὰ τοιαῦτα γέμει συμπόσια. μὴ γάρ μοι τὰ '' ἐπικείμενα κρέα ἴδῃς, μηδὲ τοὺς πλακοῦντας· ἀλλὰ [καὶ]

γρ. δεῖ,
ἴσ. κακηγ
γρ. τὸ
γρ. ποιοῦ

πόθεν συνειλέχθαι ἐννόει, καὶ ὄψει ὅτι ἐξ ἐπηρείας καὶ πλεονεξίας καὶ βίας καὶ ἁρπαγῆς. ἀλλ' οὐκ ἔστιν ἐκ τούτων ταῦτα, φησί· μὴ γένοιτο. οὐδὲ γὰρ ἐγὼ βούλομαι. πλὴν εἰ καὶ τούτων καθαρεύοι, οὐδὲ οὕτως ἐγκλημάτων τὰ πολυτελῆ δεῖπνα ἀπήλλακται. ἄκουσον γοῦν πῶς καὶ χωρὶς τούτων ἐγκαλεῖ ὁ προφήτης οὕτω λέγων· Οὐαὶ οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι. ὁρᾷς πῶς καὶ τρυφῆς κατηγορεῖ; οὐδὲ γὰρ πλεονεξίαν ἐνταῦθα αἰτιᾶται, ἀλλ' ἀσωτίαν μόνον. καὶ σὺ μὲν εἰς ἀμετρίαν ἐσθίεις, ὁ δὲ Χριστὸς οὐδὲ εἰς χρείαν· σὺ μὲν [τοὺς] πλακοῦντας ἀδιαφόρως, ἐκεῖνος δὲ οὐδὲ ἄρτον ξηρόν· σὺ θάσιον οἶνον, ἐκείνῳ δὲ οὐδὲ ποτήριον ψυχρὸν ἐπέδωκας διψῶντι· σὺ μὲν ἐπὶ στρωμνῆς ἁπαλῆς καὶ πεποικιλμένης, ὁ δὲ ὑπὸ [τοῦ] κρυμοῦ διαφθείρεται. διὸ κἂν πλεονεξίας καθαρὰ ᾖ τὰ δεῖπνα, καὶ οὕτως ἐναγῆ ἐστιν, ὅτι σὺ μὲν ὑπὲρ τὴν χρείαν πάντα ποιεῖς· ἐκείνῳ δὲ οὐδὲ τὴν χρείαν δίδως, καὶ ταῦτα ἐντρυφῶν τοῖς αὐτοῦ. ἀλλ' εἰ παιδὸς μὲν ἐπετρόπευες, καὶ λαβὼν τὰ αὐτοῦ περιεώρας αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἂν εἶχες κατηγόρους, καὶ τὴν ἀπὸ τῶν νόμων ἔδωκας ἂν δίκην· τὰ δὲ τοῦ Χριστοῦ λαβὼν, καὶ οὕτω μάτην ἀναλίσκων, οὐχ ἡγῇ δώσειν εὐθύνας; καὶ ταῦτα οὐ περὶ τῶν τὰς πόρνας ταῖς τραπέζαις αὐτῶν ἐπεισαγόντων λέγω (πρὸς γὰρ ἐκείνους οὐδείς μοι λόγος, ὥσπερ οὐδὲ πρὸς τοὺς κύνας) οὐδὲ περὶ τῶν πλεονεκτούντων καὶ ἑτέρους γαστριζόντων (οὐδὲ γὰρ πρὸς αὐτούς ἐστί μοι κοινόν τι, ὥσπερ οὐδὲ πρὸς τοὺς χοίρους καὶ λύκους) ἀλλὰ περὶ τῶν ἀπολαυόντων μὲν τῆς ἰδίας οὐσίας, οὐ μεταδιδόντων δὲ ἑτέροις, περὶ τῶν τὰ πατρῷα καταναλισκόντων ἁπλῶς. οὐδὲ γὰρ οὗτοι κατηγορίας ἐκτός. πῶς γὰρ, εἰπέ μοι, διαφεύξῃ κατηγορίαν καὶ ἐγκλήματα, ὅταν ὁ μὲν παράσιτός σου γαστρίζηται καὶ ὁ κύων ὁ περιεστώς· ὁ δὲ Χριστὸς μηδὲ τούτων ἄξιός σοι φαίνηται; ὅταν ὁ μὲν ὑπὲρ γέλωτος τοσαῦτα λαμβάνῃ· ὁ δὲ ὑπὲρ βασιλείας οὐρανῶν οὐδὲ τὸ πολλοστὸν τούτων; καὶ ὁ μὲν ἵνα τι εἴπῃ ἀστεῖον ἐμπλησθεὶς ἀπῆλθεν· οὗτος δὲ διδάξας ἡμᾶς, ἃ μὴ μαθόντες οὐδὲν ἂν τῶν κυνῶν διεφέρομεν, οὐδὲ τῶν αὐτῶν ἀξιοῦται ἐκείνῳ; φρίττεις ἀκούων; οὐκοῦν φρῖξον ἐπὶ τῶν ἔργων. ἔκβαλε τοὺς παρασίτους, καὶ ποίησον συγκατακλίνεσθαί σοι τὸν Χριστόν. ἂν ἁλῶν κοινωνήσῃ καὶ τραπέζης, ἥμερος ἔσται σοι δικάζων· οἶδεν αἰδεῖσθαι τράπεζαν. εἰ γὰρ λῃσταὶ ἴσασι, πολλῷ μᾶλλον ὁ δεσπότης. ἐννόησον γοῦν τὴν πόρνην ἐκείνην, πῶς ἀπὸ τραπέζης ἐποίησεν ἥμερον, καὶ Σίμωνι ὀνειδίζει λέγων· Φίλημά μοι οὐκ ἔδωκας. εἰ γὰρ μὴ ποιοῦντά σε ταῦτα τρέφει, πολλῷ μᾶλλον ποιοῦντα ἀμείψεται. μὴ πρὸς τὸν πένητα ἴδῃς, ὅτι ῥυπῶν προσέρχεται καὶ αὐχμῶν· ἀλλ' ἐννόησον ὅτι ὁ Χριστὸς δι' ἐκείνου ἐπιβαίνει τῆς σῆς οἰκίας, καὶ παῦσαι τῆς ὠμότητος καὶ τῶν ἀπηνῶν ῥημάτων, οἷς ἀεὶ πλήττεις τοὺς προσιόντας, ἐπιθέτας, ἀργοὺς, καὶ ἕτερα χαλεπώτερα τούτων καλῶν· καὶ λογίζου ὅταν ταῦτα λέγῃς, τοὺς παρασίτους ποῖα ἔργα κατασκευάζουσι· τί τὴν οἰκίαν ὠφελοῦσι τὴν σήν. ἡδὺ πάντως σοι ποιοῦσι τὸ ἄριστον; καὶ πῶς ἡδὺ, ῥαπιζόμενοι καὶ αἰσχρὰ λέγοντες; καὶ τί τούτου ἀηδέστερον, ὅταν τὸν κατ' εἰκόνα Θεοῦ γενόμενον τύπτῃς, καὶ ἐκ τῆς εἰς ἐκεῖνον ὕβρεως τέρψιν ἑαυτῷ συνάγῃς, θέατρον ποιῶν τὴν οἰκίαν, καὶ μίμων πληρῶν τὸ συμπόσιον, καὶ τοὺς ἐπὶ τῆς σκηνῆς ἐξηρχημένους μιμούμενος ὁ εὐγενὴς καὶ ἐλεύθερος; καὶ γὰρ ἐκεῖ γέλως καὶ ῥαπίσματα. ταῦτα οὖν ἡδονὴν καλεῖς, εἰπέ μοι, ἃ πολλῶν ἄξια δακρύων ἐστίν; ἃ πολλῶν θρήνων καὶ οἰμωγῶν; καὶ δέον εἰς βίον αὐτοὺς ἐμβαλεῖν σπουδαῖον, δέον παραινέσαι τὰ δέοντα· σὺ δὲ εἰς ἐπιορκίας καὶ ῥήματα ἄτακτα ἐνάγεις, καὶ τέρψιν τὸ πρᾶγμα καλεῖς; καὶ τὸ γεέννης προξενοῦν, ἡδονῆς εἶναι ὑπόθεσιν νομίζεις; καὶ γὰρ ὅταν ἀπορήσωσιν ἀστείων ῥημάτων, ὅρκοις καὶ ἐπιορκίαις τὸ πᾶν διαλύουσι. ταῦτ' οὖν γέλωτος ἄξια, ἀλλ' οὐκ ὀδυρμῶν καὶ δακρύων; καὶ τίς ἂν ταῦτα εἴποι νοῦν ἔχων; καὶ ταῦτα λέγω, οὐ κωλύων τρέφεσθαι αὐτοὺς· ἀλλὰ μὴ ἐπὶ τοιαύτῃ αἰτίᾳ. φιλανθρωπίας γὰρ ἡ τροφὴ τὴν ὑπόθεσιν ἐχέτω, μὴ ὠμότητος· ἔλεον, μὴ ὕβριν. ὅτι πένης ἐστὶ, θρέψον· ὅτι Χριστὸς τρέφεται, θρέψον· μὴ ἐπειδὴ σατανικὰ εἰσάγει ῥήματα καὶ τὴν ἑαυτοῦ καταισχύνει ζωήν. μὴ ἴδῃς

Αμ. ς. ς.

Λυκ. ζ με. ις.

αὐτὸν ἔξωθεν γελῶντα, ἀλλὰ τὸ συνειδὸς ἐξέταζε, καὶ τότε ὄψει μυριάκις αὐτὸν ἑαυτῷ καταρώμενον καὶ στένοντα καὶ ὀδυρόμενον. εἰ δὲ οὐκ ἐπιδείκνυται, καὶ τοῦτο διὰ σέ. ἔστωσαν τοίνυν ἄνθρωποι πένητες καὶ ἐλεύθεροι συναπτοί σου, μὴ ἐπίορκοι μηδὲ μῖμοι. εἰ δὲ βούλει καὶ τῆς τροφῆς αὐτοὺς ἀμοιβὴν ἀπαιτῆσαι, κέλευσον, ἂν ἴδωσί τινα τῶν ἀτόπων γινόμενον, ἐπιπλῆξαι, παραινέσαι, συναντιλαβέσθαι τῆς κατὰ τὴν οἰκίαν ἐπιμελείας, τῆς τῶν οἰκετῶν προστασίας. παιδία ἔχεις; κοινοὶ πατέρες ἔστωσαν ἐκείνων, μετὰ σοῦ τὴν προστασίαν διανεμέσθωσαν, κέρδη σοι φερέτωσαν τὰ τῷ Θεῷ φίλα, εἰς ἐμπορείαν αὐτοὺς ἔμβαλε πνευματικήν. κἂν ἴδῃς τινὰ δεόμενον προστασίας, ἐπίταξον βοηθῆσαι *, κέλευσον διακονήσασθαι. διὰ τούτων θήρευε τοὺς ξένους, διὰ τούτων ἔνδυε τοὺς γυμνούς, διὰ τούτων εἰς δεσμωτήριον πέμπε, τὰς ἀνάγκας λύε τὰς ἀλλοτρίας. ταύτην σοι διδότωσαν τῆς τροφῆς τὴν ἀμοιβὴν, τὴν καὶ σὲ καὶ ἐκείνους ὠφελοῦσαν, καὶ οὐδὲ μίαν κατάγνωσιν ἔχουσαν. διὰ τούτων καὶ ἡ φιλία σφίγγεται μᾶλλον. νῦν μὲν γὰρ καὶ δοκῶσι φιλεῖσθαι, ἀλλ' ὅμως αἰσχύνονται, ὡς εἰκῆ ζῶντες παρὰ σοί. ἂν δὲ ταῦτα ἀνύωσι, καὶ αὐτοὶ ῥάδιον διακείσονται, καὶ σὺ ἥδιον θρέψεις, ἅτε οὐ μάτην δαπανῶν, κἀκεῖνοι μετὰ παῤῥησίας σοι συνέσονται, καὶ τῆς προσηκούσης ἐλευθερίας, καὶ ἡ οἰκία σου ἀντὶ θεάτρου ἐκκλησία σοι γενήσεται, καὶ ὁ διάβολος δραπετεύσει, καὶ ὁ Χριστὸς εἰσελεύσεται καὶ ὁ τῶν ἀγγέλων χορός. ὅπου γὰρ ὁ Χριστὸς, ἐκεῖ καὶ οἱ ἄγγελοι, ἐκεῖ καὶ ὁ οὐρανὸς, ἐκεῖ φῶς, φῶς τοῦ ἡλιακοῦ τούτου φαιδρότερον. εἰ δὲ καὶ ἑτέραν βούλει δι' αὐτῶν καρποῦσθαι παράκλησιν, κέλευσον σχολὴν ἄγοντας βιβλία λαβόντας τὸν θεῖον νόμον ἀναγινώσκειν. ἥδιόν σοι ταῦτα ὑπηρετήσονται, ἢ ἐκεῖνα. ταῦτα μὲν γὰρ καὶ σὲ κἀκείνους ποιεῖ σεμνοτέρους· ἐκεῖνα δὲ ἅπαντας ὁμοῦ καταισχύνει· σὲ μὲν ὡς ὑβριστὴν καὶ πάροινον, ἐκείνους δὲ ὡς ἀθλίους καὶ γαστριμάργους. ἂν μὲν γὰρ ἐφ' ὕβρει τρέφῃς, χαλεπώτερον, ἢ εἰ ἀνεῖλες· ἂν δὲ ἐπ' ὠφελείᾳ καὶ κέρδει, χρησιμώτερον πάλιν, ἢ εἰ ἀπαγομένους τὴν ἐπὶ θανάτῳ ἐπανήγαγες. καὶ νῦν μὲν τῶν οἰκετῶν μᾶλλον αὐτοὺς καταισχύνεις, καὶ οἱ οἰκέται πλείονα τούτων ἔχουσι παῤῥησίαν καὶ ἐλεύθερον συνειδός· τότε δὲ τῶν ἀγγέλων ἐργασῃ ἴσους. καὶ τούτους τοίνυν καὶ σαυτὸν ἀπάλλαξον, καὶ ἐξελὼν τὸ τῶν παρασίτων ὄνομα, συσίτους κάλει, καὶ ἐκβαλὼν τὴν τῶν κολάκων, τὴν τῶν φίλων ἐπιτίθει προσηγορίαν. διὰ τοῦτο καὶ τὰς φιλίας ἐποίησεν ὁ Θεὸς, οὐκ ἐπὶ κακῷ τῶν φιλουμένων καὶ τῶν φιλούντων, ἀλλ' ἐπ' ἀγαθῷ καὶ χρησίμῳ. αὗται δὲ αἱ φιλίαι πάσης ἔχθρας εἰσὶ χαλεπώτεραι. παρὰ μὲν γὰρ τῶν ἐχθρῶν, ἂν θέλωμεν, καὶ κερδαινόμεθα· παρὰ δὲ τούτων ἀνάγκη πᾶσα καὶ βλάπτεσθαι πάντως. μὴ δὴ κάτεχε φίλους, βλάβης διδασκάλους· μὴ κάτεχε φίλους τραπέζης μᾶλλον ἢ φιλίας ἐραστὰς ὄντας. οἱ γὰρ τοιοῦτοι πάντες, ἂν τὴν τρυφὴν καταλύσῃς, καταλύουσι καὶ τὴν φιλίαν· οἱ δὲ δι' ἀρετήν σοι συνόντες, μένουσι διηνεκῶς, πᾶσαν φέροντες ἀνωμαλίαν. τὸ δὲ τῶν παρασίτων γένος, καὶ ἀμύνονταί σε πολλάκις, καὶ πονηρὰν ὑπὲρ σοῦ περιτιθέασι δόξαν. ἐντεῦθεν γοῦν πολλοὺς τῶν ἐλευθέρων οἶδα πονηρὰς ὑπολήψεις λαβόντας, καὶ οἱ μὲν ἐπὶ γοητείαις, οἱ δὲ ἐπὶ μοιχείαις καὶ παίδων διαφθοραῖς διεβλήθησαν. ὅταν γὰρ μηδὲν ἔργον ἔχωσιν, ἀλλ' εἰκῇ τὸν ἑαυτῶν ζῶσι βίον, ὡς ταῦτα διακονούμενοι τοῖς πᾶσι, παρὰ πολλῶν ὑποπτεύονται. καὶ δόξης τοίνυν ἑαυτοὺς ἀπαλλάττοντες πονηρᾶς, καὶ πρὸ πάντων τῆς μελλούσης γεέννης, καὶ τὰ τῷ Θεῷ δοκοῦντα ποιοῦντες, τὴν διαβολικὴν ταύτην συνήθειαν καταλύσωμεν, ἵνα καὶ ἐσθίοντες καὶ πίνοντες, πάντα εἰς δόξαν τοῦ Θεοῦ ποιῶμεν, καὶ τῆς παρ' αὐτοῦ ἀπολαύσωμεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ιδ

Ομιλ. μθ.

13 ΚΑΙ ΑΚΟΥΣΑΣ Ο ΙΗΣΟΥΣ ΑΝΕΧΩΡΗσεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν, καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ * τῶν πόλεων.

Ὅρα πανταχοῦ αὐτὸν ἀναχωροῦντα, καὶ ὅτε παρεδόθη Ἰωάννης, καὶ ὅτε ἀνῃρέθη, καὶ ὅτε οἱ Ἰουδαῖοι ἤκουσαν ὅτι πλείους μαθητὰς ποιεῖ. τὰ γὰρ πλείονα ἀνθρωπινώτερον βούλεται διοικεῖν, οὐδέπω τοῦ καιροῦ καλοῦντος ″ἀπογυμνῶσαι τὴν θεότητα σαφῶς. διὸ καὶ τοῖς μαθηταῖς ἔλεγε μηδενὶ εἰπεῖν ὅτι αὐτός ἐστιν ὁ Χριστός. μετὰ γὰρ τὴν ἀνάστασιν [αὐτοῦ] ἐβούλετο τοῦτο γενέσθαι γνώριμον· ὅθεν τοῖς τέως διαπιστήσασι τῶν Ἰουδαίων οὐ σφόδρα ἦν βαρύς, ἀλλὰ καὶ συγγνωμονικός. ἀναχωρήσας δὲ οὐκ ἄπεισιν εἰς πόλιν, ἀλλ' εἰς ἔρημον, καὶ ἐν πλοίῳ, ὥστε μηδένα ἀκολουθῆσαι. σὺ δέ μοι σκόπει πῶς οἱ μαθηταὶ Ἰωάννου λοιπὸν μᾶλλον ᾠκειώθησαν τῷ Ἰησοῦ. αὐτοὶ γάρ εἰσιν οἱ ἀπηγγελκότες αὐτῷ τὸ γεγενημένον. καὶ γὰρ πάντα ἀφέντες, ἐπ' αὐτὸν καταφεύγουσι λοιπόν. οὕτως οὐ μικρὸν μετὰ τῆς συμφορᾶς καὶ τὰ ἤδη παρ' αὐτοῦ διὰ τῆς ἀποκρίσεως ″ἐκείνης οἰκονομηθέντα κατώρθωσεν. ἀλλὰ τίνος ἕνεκεν πρὶν ἢ ἀπαγγεῖλαι αὐτοὺς οὐκ ἀνεχώρησε, καίτοιγε ᾔδει καὶ πρὶν ἢ ἀπαγγεῖλαι τὸ γεγενημένον; δεικνὺς διὰ πάντων τῆς οἰκονομίας τὴν ἀλήθειαν. οὐ γὰρ δὴ μόνον τῇ ὄψει, ἀλλὰ καὶ τοῖς ἔργοις τοῦτο πιστοῦσθαι ἐβούλετο, διὰ τὸ εἰδέναι τοῦ διαβόλου τὴν κακουργίαν, καὶ ὅτι πάντα ἐργάσεται, ὥστε ταύτην ἀνελεῖν τὴν δόξαν. αὐτὸς μὲν οὖν διὰ τοῦτο ἀναχωρεῖ· οἱ δ' ὄχλοι οὐδὲ οὕτως ἀφίστανται, ἀλλ' ἕπονται προσηλωμένοι, καὶ οὐδὲ τὸ δρᾶμα αὐτοὺς ἐφόβησε τὸ Ἰωάννου. τοσοῦτόν ἐστι πόθος, τοσοῦτον ἀγάπη, οὕτω πάντα νικᾷ καὶ διακρούεται τὰ δεινά. διὰ δὴ τοῦτο καὶ τὴν ἀμοιβὴν εὐθέως ἀπελάμβανον.

14 Ἐξελθὼν γάρ, φησιν, ὁ Ἰησοῦς εἶδεν ὄχλον πολύν, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. Εἰ γὰρ καὶ πολλὴ ἦν αὐτῶν ἡ προσεδρία, ἀλλ' ὅμως τὰ παρ' αὐτοῦ γινόμενα πάσης σπουδῆς ὑπερέβαινεν ἀμοιβήν. διὸ καὶ αἰτίαν τῆς τοιαύτης θεραπείας τὸν ἔλεον τίθησιν, ἔλεον ἐπιτεταμένον, καὶ θεραπεύει πάντας. καὶ οὐκ ἀπαιτεῖ πίστιν ἐνταῦθα. καὶ γὰρ τὸ ″προσελθεῖν, καὶ τὸ τὰς πόλεις ἀφεῖναι, καὶ τὸ μετὰ ἀκριβείας αὐτὸν ζητῆσαι, καὶ τὸ παραμένειν καὶ τοῦ λιμοῦ κατεπαναγκάζοντος, τὴν πίστιν ἐπιδείκνυται τὴν αὐτῶν. μέλλει δὲ καὶ τρέφειν αὐτούς. καὶ οὐ ποιεῖ τοῦτο ἀφ' ἑαυτοῦ, ἀλλ' ἀναμένει παρακληθῆναι, ὅπερ ἔφην, πανταχοῦ τοῦτο διατηρῶν, τὸ μὴ πρότερος ἐπιπηδᾷν τοῖς θαύμασιν, ἀλλὰ καλούμενος. καὶ διατί μηδεὶς τῶν ὄχλων προσελθὼν ὑπὲρ αὐτῶν ″διελέχθη; ᾐδοῦντο αὐτὸν μεθ' ὑπερβολῆς, καὶ οὐδὲ τῆς πείνης ἐλάμβανον αἴσθησιν τῷ πόθῳ τῆς προσεδρίας. ἀλλὰ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ προσελθόντες λέγουσι, θρέψον αὐτούς (ἔτι γὰρ ἀτελέστερον διέκειντο) ἀλλὰ τί;

15 Ὀψίας δὲ γενομένης, φησί, προσῆλθον οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν. ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες ἀγοράσωσιν ἑαυτοῖς βρώματα. Εἰ γὰρ καὶ μετὰ τὸ θαῦμα ἐπελάθοντο τοῦ γεγενημένου, καὶ μετὰ τὰς σπυρίδας ἐνόμιζον αὐτὸν περὶ ἄρτων λέγειν, ἡνίκα ζύμην τὴν διδασκαλίαν τῶν Φαρισαίων ἐκάλεσε, πολλῷ μᾶλλον μηδέπω πεῖραν λαβόντες τοιούτου σημείου, οὐκ ἂν προσεδόκησάν τι τοιοῦτον ἔσεσθαι. καίτοιγε προλαβὼν καὶ ἀρρώστους πολλοὺς ἐθεράπευσεν· ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν τὸ τῶν ἄρτων προσεδόκησαν· οὕτως ἦσαν ἀτελεῖς τέως. σὺ δέ μοι σκόπει τοῦ διδασκάλου τὴν σοφίαν, πῶς αὐτοὺς ἐκκαλεῖται σαφῶς πρὸς τὸ πιστεῦσαι. οὐδὲ

Matth. 16. 6.

γὰρ εἶπεν εὐθέως, τρέφω αὐτούς (οὐδὲ γὰρ ἔμελλεν εὐπαράδεκτον εἶναι) ἀλλὰ τί;

16 Ὁ δὲ Ἰησοῦς, φησιν, εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οὐκ εἶπε, δίδωμι αὐτοῖς· ἀλλὰ ὑμεῖς δότε. ἔτι γὰρ ὡς ἀνθρώπῳ προσεῖχον. αὐτοὶ δὲ οὐδ' οὕτω διανέστησαν, ἀλλ' ἔτι ὡς ἀνθρώπῳ διαλέγονται, λέγοντες·

17 Οὐκ ἔχομεν, εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. Διὸ καὶ Μάρκος φησίν· Μαρ. ς. νβ. Ὅτι οὐ συνῆκαν τὸ λεχθέν. καὶ γὰρ ἦν ἡ καρδία αὐτῶν πεπωρωμένη. ἐπεὶ οὖν ἔτι χαμαὶ ἐσύροντο, τότε τὰ παρ' ἑαυτοῦ λοιπὸν εἰσάγει, καί φησι·

18 Φέρετέ μοι αὐτοὺς ὧδε. Εἰ γὰρ καὶ ἔρημος ὁ τόπος, ἀλλ' ὁ τρέφων τὴν οἰκουμένην πάρεστιν. εἰ δὲ καὶ ἡ ὥρα παρῆλθεν, ἀλλ' ὁ μὴ ὑποκείμενος ὥρᾳ ὑμῖν διαλέγεται. ὁ δὲ Ἰωάννης Ἰωαν. ς. θ. καὶ κριθίνους τοὺς ἄρτους εἶναι λέγει, οὐ παρέργως τοῦτο διηγούμενος, ἀλλὰ τὸν τῦφον τῆς πολυτελείας παιδεύων ἡμᾶς καταπατεῖν. τοιαύτη καὶ ἡ τῶν προφητῶν τράπεζα ἦν.

19 Λαβὼν τοίνυν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, καὶ κελεύσας τοὺς ὄχλους, φησὶν, ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ· οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις,

20 Καὶ ἔφαγον ἅπαντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις.

21 Οἱ δὲ ἐσθίοντες ἦσαν ὡσεὶ πεντακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

Διατί ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εὐλόγησεν; ἔδει πιστευθῆναι αὐτόν, ὅτι "ἀπὸ τοῦ πατρός ἐστιν, καὶ ὅτι ἴσος ἐστί. τὰ δὲ τούτων κατασκευαστικὰ ἀλλήλοις ἐδόκει μάχεσθαι. τὴν μὲν γὰρ ἰσότητα, τὸ μετ' ἐξουσίας πάντα ποιεῖν ἐδείκνυ· τὸ δὲ παρὰ τοῦ πατρὸς εἶναι, οὐκ ἂν ἑτέρως ἐπείσθησαν, εἰ μὴ μετὰ πολλῆς τῆς ταπεινότητος, καὶ εἰς αὐτὸν πάντα ἀναφέρων ἐποίει, καὶ καλῶν αὐτὸν εἰς τὰ γινόμενα. διὰ δὴ τοῦτο οὐδὲ ταῦτα μόνα ποιεῖ, οὔτε ἐκεῖνα, ἵνα ἀμφότερα βεβαιωθῇ· καὶ νῦν μὲν μετ' ἐξουσίας, νῦν δὲ εὐχόμενος θαυματουργεῖ. Εἶτα, ἵνα μὴ δόξῃ πάλιν μάχη εἶναι τὸ γινόμενον, ἐν μὲν τοῖς ἐλάττοσιν ἀναβλέπει εἰς τὸν οὐρανόν· ἐν δὲ τοῖς μείζοσιν, ἀπ' ἐξουσίας πάντα ποιεῖ, ἵνα μάθῃς ὅτι καὶ ἐν τοῖς ἐλάττοσιν οὐκ ἐνδυναμούμενος ἑτέρωθεν, ἀλλὰ τιμῶν τὸν γεγεννηκότα αὐτὸν "οὕτω ποιεῖ. ὅτε γοῦν ἁμαρτήματα ἀφῆκε, καὶ τὸν παράδεισον ἀνέῳξε, καὶ τὸν λῃστὴν εἰσήγαγε, καὶ τὸν παλαιὸν μετὰ πολλῆς τῆς περιουσίας ἔλυσε νόμον, καὶ νεκροὺς "ἤγειρε μυρίους, καὶ θάλατταν ἐχαλίνωσε, καὶ τὰ ἀπόρρητα τῶν ἀνθρώπων ἤλεγξε, καὶ ὀφθαλμὸν ἐδημιούργησεν, ἃ Θεοῦ μόνου κατορθώματά εἰσι καὶ οὐδενὸς ἑτέρου, οὐδαμοῦ φαίνεται εὐχόμενος· ὅτε δὲ τοὺς ἄρτους πηγάσαι παρεσκεύασεν, ὃ πολὺ τούτων ἁπάντων ἔλαττον ἦν, τότε εἰς τὸν οὐρανὸν ἀναβλέπει· ὁμοῦ μὲν ταῦτα κατασκευάζων, ὁμοῦ δέ, ἅπερ εἶπον, παιδεύων ἡμᾶς μὴ πρότερον ἅπτεσθαι τραπέζης, ἕως ἂν εὐχαριστήσωμεν τῷ τὴν τροφὴν ἡμῖν ταύτην παρέχοντι. καὶ διατί οὐ ποιεῖ ἐκ μὴ ὄντων; ἐμφράττων "τὰ Μαρκίωνος καὶ Μανιχαίου "στόματα, τὴν κτίσιν ἀλλοτριούντων αὐτοῦ, καὶ διὰ τῶν ἔργων αὐτῶν παιδεύων, ὅτι καὶ τὰ ὁρώμενα πάντα αὐτοῦ ἔργα καὶ "κτίσματά ἐστι· καὶ δεικνὺς, ὅτι αὐτός ἐστιν ὁ τοὺς καρποὺς διδοὺς, ὁ εἰπὼν ἐξ ἀρχῆς· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου· καὶ, ἐξαγαγέτω τὰ ὕδατα "ψυχὴν ἑρπετῶν ζώντων. οὐδὲ γὰρ ἔλαττον τοῦτο ἐκείνου. εἰ γὰρ καὶ ἐξ οὐκ ὄντων ἐκεῖνα, ἀλλ' ὅμως ἐξ ὕδατος. οὐκ ἔλαττον δὲ τοῦ ἀπὸ γῆς δεῖξαι καρπὸν καὶ ἀπὸ ὑδάτων ἑρπετὰ ἔμψυχα, τὸ ἀπὸ ἄρτων πέντε ποιῆσαι ἄρτους τοσούτους, καὶ ἀπὸ ἰχθύων πάλιν· ὃ σημεῖον ἦν, τοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάττης αὐτὸν κρατεῖν. ἐπειδὴ γὰρ ἐν τοῖς ἀσθενοῦσιν ἀεὶ ἐποίει θαύματα, ποιεῖ καὶ καθολικὴν εὐεργεσίαν, ἵνα μὴ θεωροὶ μόνον οἱ πολλοὶ τῶν ἑτέροις συμβαινόντων γίνωνται, ἀλλὰ καὶ αὐτοὶ τῆς δωρεᾶς ἀπολαύσωσι. καὶ ὅπερ ἐδόκει ἐπὶ τῆς ἐρήμου τοῖς Ἰουδαίοις εἶναι θαυμαστὸν Ψαλμ. οζ. κε. (ἔλεγον γοῦν, Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;) τοῦτο διὰ τῶν ἔργων "ἐπιδείκνυται. διὰ τοῦτο καὶ εἰς ἔρημον αὐτοὺς ἄγει, ἵνα μετ' ὑπερβολῆς ἀνύποπτον ᾖ τὸ θαῦμα, καὶ μηδεὶς νομίσῃ πλησίον κώμην ″ παρακειμένην εἰσενεγκεῖν τι εἰς τὴν τράπεζαν. διὰ τοῦτο καὶ τῆς ὥρας μέμνηται, οὐχὶ τοῦ τόπου μόνον. καὶ ἕτερον δὲ μανθάνομεν, τὴν φιλοσοφίαν τῶν μαθητῶν τὴν ″ ἐπὶ τοῖς ἀναγκαίοις, καὶ πῶς κατεφρόνουν τρυφῆς. δώδεκα γὰρ ὄντες πέντε ἄρτους εἶχον μόνους καὶ δύο ἰχθύας. οὕτω πάρεργον ἦν αὐτοῖς τὰ σωματικά, καὶ τῶν πνευματικῶν εἴχοντο μόνον. καὶ οὐδὲ τῶν ὀλίγων ἀντείχοντο, ἀλλὰ καὶ αὐτοὺς αἰτηθέντες ἔδωκαν· ὅθεν παιδεύεσθαι χρή, ὅτι κἂν ὀλίγα ἔχωμεν, καὶ αὐτὰ προΐεσθαι δεῖ τοῖς δεομένοις. κελευσθέντες γοῦν ἐνεγκεῖν τοὺς πέντε ἄρτους, οὐ λέγουσι, καὶ πόθεν οὖν ἡμῖν ἔσται ἡ διατροφή; πόθεν δὲ ἡμεῖς παραμυθησόμεθα τὴν πεῖναν τὴν ἡμετέραν; ἀλλ' ὑπακούουσιν εὐθέως. πρὸς δὲ τοῖς εἰρημένοις, ὡς ἔμοιγε δοκεῖ, διὰ τοῦτο ἐκ τῶν ὑποκειμένων ποιεῖ, ἵνα αὐτοὺς εἰς πίστιν ἀγάγῃ. ἔτι γὰρ ἀσθενέστερον διέκειντο· διὸ καὶ εἰς τὸν οὐρανὸν ἀναβλέπει. τῶν μὲν γὰρ ἄλλων σημείων εἶχον πολλὰ ὑποδείγματα· τούτου δὲ οὐδέν. λαβὼν τοίνυν διέκλασε καὶ ἐδίδου ″ διὰ τῶν μαθητῶν, τούτῳ αὐτοὺς τιμῶν· οὐ τιμῶν δὲ μόνον, ἀλλ' ἵν' ὅταν γένηται τὸ θαῦμα, μὴ ἀπιστήσωσι, μηδὲ ἐπιλάθωνται παρελθόντος, τῶν χειρῶν αὐτοῖς μαρτυρουσῶν. διὸ καὶ τοὺς ὄχλους ἀφίησι πρότερον τῆς πείνης αἴσθησιν λαβεῖν, καὶ τούτους ἀναμένει πρότερον προσελθεῖν καὶ ἐρωτῆσαι, καὶ δι' αὐτῶν κατακλίνει, καὶ δι' αὐτῶν διανέμει, ταῖς οἰκείαις ″ ὁμολογίαις καὶ τοῖς ἔργοις προκαταλαβεῖν βουλόμενος ἕκαστον. διὰ τοῦτο καὶ παρ' αὐτῶν λαμβάνει τοὺς ἄρτους, ἵνα πολλὰ τὰ μαρτύρια ᾖ τοῦ γινομένου, καὶ ὑπομνήματα τοῦ θαύματος ἔχωσιν. εἰ γὰρ καὶ τούτων συμβάντων ἐπελάθοντο, τί οὐκ ἂν ἔπαθον, εἰ μὴ καὶ ταῦτα κατεσκεύασε; καὶ κελεύει δὲ αὐτοὺς ἐπὶ στιβάδος ἀναπεσεῖν, φιλοσοφεῖν τοὺς ὄχλους παιδεύων. οὐ γὰρ θρέψαι τὰ σώματα μόνον ἐβούλετο, ἀλλὰ καὶ τὴν ψυχὴν παιδεῦσαι. καὶ ἀπὸ τοῦ τόπου τοίνυν, καὶ ἀπὸ τοῦ μηδὲν πλέον ἄρτων δοῦναι καὶ ἰχθύων, καὶ ἀπὸ τοῦ πᾶσι τὰ αὐτὰ προθεῖναι καὶ ποιῆσαι κοινά, καὶ μηδὲν θατέρῳ θατέρου πλέον παρασχεῖν, καὶ ταπεινοφροσύνην καὶ ἐγκράτειαν καὶ ἀγάπην καὶ τὸ ὁμοίως πρὸς ἀλλήλους διακεῖσθαι καὶ τὸ κοινὰ πάντα νομίζειν εἶναι ἐπαίδευε. καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς· οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. τοὺς πέντε ἄρτους κλάσας ἔδωκε, καὶ οἱ πέντε ἐν ταῖς χερσὶ τῶν μαθητῶν ἐπήγαζον. καὶ οὐδὲ μέχρι τούτου τὸ θαῦμα ἵσταται, ἀλλὰ καὶ περισσεῦσαι ἐποίησε· καὶ περισσεῦσαι οὐχὶ ἄρτους μόνον, ἀλλὰ καὶ κλάσματα· ἵνα δείξῃ ὅτι ἐκείνων τῶν ἄρτων ταῦτα λείψανα ἦν, καὶ ὥστε ″ τοὺς ἀπόντας μαθεῖν τὸ γεγενημένον. διὰ τοῦτο καὶ πεινάσαι ἀφῆκε τοὺς ὄχλους, ἵνα μή τις φαντασίαν εἶναι νομίσῃ τὸ γεγενημένον· διὰ τοῦτο καὶ δώδεκα κοφίνους περισσεῦσαι ἐποίησεν, ἵνα καὶ Ἰούδας βαστάσῃ. ἠδύνατο μὲν γὰρ καὶ σβέσαι τὴν πεῖναν, ἀλλ' οὐκ ἂν ἔγνωσαν οἱ μαθηταὶ τὴν δύναμιν· ἐπεὶ καὶ ἐπὶ Ηλίου τοῦτο γέγονεν. οὕτω γοῦν αὐτὸν ἐξεπλάγησαν ἐντεῦθεν οἱ Ἰουδαῖοι, ὅτι καὶ βασιλέα ἠθέλησαν ποιῆσαι· καίτοιγε ἐπὶ τῶν ἄλλων σημείων οὐδαμοῦ τοῦτο ποιήσαντες. τίς τοίνυν παραστήσει ″ λόγος, πῶς ἐπήγαζον οἱ ἄρτοι; πῶς ἐπέρρεον ἐν τῇ ἐρήμῳ; πῶς τοσούτοις ἤρκεσαν; καὶ γὰρ πεντακισχίλιοι ἦσαν, χωρὶς γυναικῶν καὶ παιδίων, ὃ μέγιστον ἦν τοῦ δήμου ἐγκώμιον, ὅτι καὶ γυναῖκες καὶ ἄνδρες προσήδρευον. πῶς τὰ λείψανα γέγονε; καὶ γὰρ καὶ τοῦτο τοῦ προτέρου οὐκ ἔλαττον. καὶ τοσαῦτα γέγονεν, ὥστε ἰσαρίθμους γενέσθαι τοῖς μαθηταῖς κοφίνους, καὶ μήτε πλείω, μήτε ἐλάττω. λαβὼν τοίνυν τὰ κλάσματα, οὐχὶ τοῖς ὄχλοις ἔδωκεν, ἀλλὰ τοῖς μαθηταῖς. καὶ γὰρ τῶν μαθητῶν οἱ ὄχλοι ἀτελέστερον διέκειντο. ποιήσας δὲ τὸ σημεῖον,

α. Βασ. ιζ.

22 Εὐθέως ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. Εἰ γὰρ καὶ παρὼν ἐδόκει φαντάζειν, ἀλλ' οὐκ ἀλήθειαν πεποιηκέναι, οὐ δήπου καὶ ἀπών. διὰ δὴ τοῦτο ἀκριβεῖ βασάνῳ τὰ γεγενημένα ἐπιτρέπων, τοὺς τὰ ὑπομνήματα λαβόντας καὶ τὸν ἔλεγχον τῶν σημείων ἐκέλευσεν αὐτοῦ χω-

είξεσθαι. καὶ ἄλλως δὲ, ὅταν μεγάλα ἐργάσηται, ἀποσκευάζεται τοὺς ὄχλους καὶ τοὺς μαθητὰς, πείθων ἡμᾶς μηδαμοῦ τὴν παρὰ τῶν πολλῶν δόξαν διώκειν, καὶ μὴ ἐπισύρεσθαι πλῆθος. ὅταν δὲ εἴπῃ, ἠνάγκασε, τὴν πολλὴν τῶν μαθητῶν προσεδρίαν δείκνυσι. καὶ ἔπεμψε μὲν αὐτοὺς, ἐπὶ προφάσει μὲν τῇ τῶν ὄχλων, αὐτὸς δὲ εἰς τὸ ὄρος βουλόμενος ἀναβῆναι. ἐποίει δὲ τοῦτο, πάλιν παιδεύων ἡμᾶς, μήτε ὄχλοις ἀναμίγνυσθαι διηνεκῶς, μήτε φεύγειν ἀεὶ τὸ πλῆθος, ἀλλ' ἑκάτερα χρησίμως, καὶ ἕκαστον ἐναλλάττοντας πρὸς τὸ δέον. μάθωμεν τοίνυν καὶ ἡμεῖς προσεδρεύειν τῷ Ἰησοῦ· ἀλλὰ μὴ διὰ τὴν τῶν αἰσθητῶν δόσιν, ἵνα μὴ ὀνειδισθῶμεν κατὰ τοὺς Ἰουδαίους. καὶ γὰρ ζητεῖτέ με, φησὶν, οὐχ ὅτι εἴδετε τὰ σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. διὰ τοῦτο οὐδὲ συνεχῶς ποιεῖ τουτὶ τὸ σημεῖον, ἀλλὰ δεύτερον μόνον· ὥστε παιδεύεσθαι αὐτοὺς μὴ τῇ γαστρὶ δουλεύειν, ἀλλὰ τῶν πνευματικῶν ἔχεσθαι διηνεκῶς.

ΗΘΙΚΟΝ

Τούτων οὖν ἐχώμεθα καὶ ἡμεῖς, καὶ ζητῶμεν τὸν ἄρτον τὸν ἐπουράνιον, καὶ λαβόντες πᾶσαν ἐκβάλλωμεν φροντίδα βιωτικήν. εἰ γὰρ ἐκεῖνοι καὶ οἰκίας καὶ πόλεις καὶ συγγενεῖς καὶ πάντα ἀφῆκαν καὶ ἐν ἐρήμῳ διέτριβον, καὶ τοῦ λιμοῦ καταναγκάζοντος οὐκ ἀνεχώρουν· πολλῷ μᾶλλον ἡμᾶς τοιαύτῃ προσιόντας τραπέζῃ πλείονα ἐπιδείκνυσθαι χρὴ φιλοσοφίαν, καὶ τῶν πνευματικῶν ἐρᾶν, καὶ τὰ αἰσθητὰ μετὰ ταῦτα ζητεῖν. ἐπεὶ κἀκεῖνοι ἐνεκαλοῦντο, οὐχ ὅτι ἐζήτησαν αὐτὸν διὰ τὸν ἄρτον, ἀλλ' ὅτι διὰ τοῦτο μόνον αὐτὸν ἐζήτησαν, καὶ διὰ τοῦτο προηγουμένως. ἂν γάρ τις τῶν μεγάλων μὲν δώρων καταφρονῇ, τῶν δὲ μικρῶν ἔχηται, καὶ ὧν βούλεται καταφρονεῖν αὐτὸν ὁ διδοὺς, καὶ ἐκείνων ἐκπίπτει· ὥσπερ οὖν ἂν ἐκείνων ἐρῶμεν, καὶ ταῦτα προστίθησι. καὶ γὰρ προσθήκη ταῦτα ἐκείνων. οὕτως εὐτελῆ ταῦτα καὶ μικρὰ πρὸς ἐκεῖνα ἐξεταζόμενα, κἂν μεγάλα ᾖ. μὴ τοίνυν περὶ ταῦτα σπουδάζωμεν, ἀλλ' ἀδιάφορον αὐτῶν εἶναι νομίζωμεν καὶ τὴν κτῆσιν καὶ τὴν ἀφαίρεσιν· ὥσπερ οὖν καὶ ὁ Ἰὼβ οὔτε παρόντων ἀντείχετο, οὔτε ἀπόντα ἐζήτει. καὶ γὰρ χρήματα διὰ τοῦτο λέγεται, οὐχ ἵνα κατορύξωμεν, ἀλλ' ἵνα εἰς δέον αὐτοῖς χρησώμεθα. καὶ καθάπερ τῶν τεχνιτῶν ἕκαστος ἰδίαν ἐπιστήμην ἔχει· οὕτω καὶ ὁ πλουτῶν οὐκ οἶδε χαλκεύειν, οὐδὲ ναυπηγεῖν, οὐδὲ ὑφαίνειν, οὐδὲ οἰκοδομεῖν, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδέν. μανθανέτω τοίνυν τῷ πλούτῳ κεχρῆσθαι εἰς δέον, καὶ ἐλεεῖν τοὺς δεομένους, καὶ πάντων ἐκείνων εἴσεται βελτίονα τέχνην. καὶ γὰρ αὕτη τῶν τεχνῶν ἐκείνων ἀνωτέρα πασῶν. ταύτης τὸ ἐργαστήριον ἐν οὐρανῷ ᾠκοδόμηται· αὕτη οὐκ ἀπὸ σιδήρου καὶ χαλκοῦ τὰ ὄργανα ἔχει, ἀλλ' ἐξ ἀγαθότητος καὶ ἀπὸ γνώμης. ταύτης τῆς τέχνης ὁ Χριστός ἐστι διδάσκαλος, καὶ ὁ τούτου πατήρ. γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὕτω τῶν ἄλλων οὖσα βελτίων, οὐ πόνου, οὐ χρόνου δεῖται πρὸς τὸ κατορθωθῆναι. ἀρκεῖ [γὰρ τὸ] θελῆσαι, καὶ τὸ πᾶν ἤνυσται. ἴδωμεν δὲ καὶ τὸ τέλος αὐτῆς οἷόν ἐστι. τί οὖν ἐστιν αὐτῆς τὸ τέλος; ὁ οὐρανὸς καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ἡ δόξα ἡ ἀπόρρητος ἐκείνη· αἱ πνευματικαὶ παστάδες· [αἱ φαιδραὶ λαμπάδες·] ἡ μετὰ τοῦ νυμφίου διαγωγή· τὰ ἄλλα, ἃ μηδεὶς λόγος μηδὲ νοῦς παραστῆσαι δύναται· ὥστε κἀντεῦθεν πολλὴ πρὸς τὰς ἄλλας αὐτῇ ἡ διαφορά. τῶν γὰρ τεχνῶν αἱ πλείους πρὸς τὸν παρόντα εἰσὶ χρήσιμοι βίον μόνον ἡμῖν· αὕτη δὲ καὶ πρὸς τὴν μέλλουσαν ζωήν. εἰ δὲ εἰς τὸ παρὸν ἡμῖν ἀναγκαίων τεχνῶν τοσοῦτον διενήνοχεν, οἷον ἰατρικῆς λέγω καὶ οἰκοδομικῆς, καὶ τῶν ἄλλων τῶν τοιούτων· πολλῷ μᾶλλον τῶν ἄλλων, ἃς εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲ τέχνας ἂν εἶναι φαίη· ὅθεν ἔγωγε τὰς ἄλλας τὰς περιττὰς οὐδὲ τέχνας εἴποιμι ἂν εἶναι. ποῦ γὰρ ἡ ὀψαρτυτικὴ καὶ ἡ καρυκευτικὴ χρήσιμοι ἡμῖν; οὐδαμοῦ· ἀλλὰ καὶ σφόδρα ἄχρηστοι καὶ βλαβεραὶ, σώματι καὶ ψυχῇ λυμαινόμεναι, τῷ τὴν μητέρα τῶν νοσημάτων ἁπάντων καὶ παθημάτων τὴν τρυφὴν μετὰ πολλῆς ἐπεισάγειν τῆς φιλοτιμίας. οὐ μόνον δὲ ταύτας, ἀλλ' οὐδὲ τὴν ζωγραφικὴν, οὐδὲ τὴν ποικιλτικὴν εἴποιμι ἂν ἔγωγε τέχνην εἶναι. εἰς γὰρ δαπάνην μόνην ἐμβάλλουσι περιττήν· τὰς δὲ τέχνας χίας τῶν ἀναγκαίων καὶ συνεχόντων ἡμῶν τὴν ζωὴν περιεκτικὰς εἶναι δεῖ καὶ κατασκευαστικάς. διὰ γὰρ τοῦτο καὶ σοφίαν ἔδωκεν ἡμῖν ὁ Θεός, ἵνα εὕρωμεν μεθόδους, δι' ὧν δυνησόμεθα τὸν βίον συγκροτεῖν τὸν ἡμέτερον. τὸ δὲ ζώδια γίνεσθαι, ἢ ἐν τοίχοις, ἢ ἐν ἱματίοις, ποῦ χρήσιμον, εἰπέ μοι; διὰ δὴ τοῦτο καὶ τῶν ὑποδηματοῤῥάφων, καὶ τῶν ὑφαντῶν πολλὰ περικόπτειν ἔδει τῆς τέχνης. καὶ γὰρ ἐπὶ τὸ βάναυσον τὰ πλείονα αὐτῆς ἐξήγαγον, τὸ ἀναγκαῖον αὐτῆς διαφθείροντες, τέχνῃ κακοτεχνίαν μίξαντες· ὃ καὶ ἡ οἰκοδομικὴ ἔπαθεν. ἀλλ' ὥσπερ ταύτην ἕως ἂν οἰκίαν οἰκοδομῇ, καὶ οὐ θέατρα, τά τε ἀναγκαῖα, καὶ οὐ περιττὰ ἐργάζηται, τέχνην καλῶ· οὕτω καὶ τὴν ὑφαντικὴν, ἕως ἂν ἱμάτια ποιῇ καὶ ἐπιβλήματα, ἀλλὰ μὴ τὰς ἀράχνας μιμῆται, καὶ πολὺν καταχέῃ τὸν γέλωτα καὶ τὴν βλακείαν ἄφατον, τέχνην ὀνομάζω. καὶ τὴν τῶν ὑποδηματοποιῶν, ἕως ἂν ὑποδήματα ποιῇ, οὐκ ἀποστερήσω τὸ τῆς τέχνης ὄνομα· ὅταν δὲ τοὺς ἄνδρας εἰς τὰ τῶν γυναικῶν ἐξαγάγῃ σχήματα, καὶ μαλακίζεσθαι ποιῇ διὰ τῶν ὑποδημάτων, καὶ θρύπτεσθαι, μετὰ τῶν βλαβερῶν καὶ περιττῶν αὐτὴν τάξομεν, καὶ οὐδὲ τέχνην ἐροῦμεν. καὶ οἶδα μὲν ὅτι πολλοῖς σμικρολόγος εἶναι δοκῶ ταῦτα περιεργαζόμενος· οὐ μὴν διὰ τοῦτο ἀποστήσομαι. τὸ γὰρ πάντων αἴτιον τῶν κακῶν τοῦτο, τὸ καὶ μικρὰ ταῦτα δοκεῖν εἶναι τὰ ἁμαρτήματα, καὶ διὰ τοῦτο ἀμελεῖσθαι. καὶ τί τούτου, φησὶν, εὐτελέστερον ἁμάρτημα γένοιτ' ἂν, κεκαλλωπισμένον ἔχειν ὑπόδημα καὶ ἀποστίλβον καὶ τῷ ποδὶ προσηρμοσμένον, εἴπερ καὶ ἁμάρτημα τοῦτο καλεῖν δεῖ; βούλεσθε οὖν ἐπαφήσω τὴν γλῶτταν αὐτῷ, καὶ δείξω τὴν ἀσχημοσύνην ὅση, καὶ οὐκ ὀργιεῖσθε; μᾶλλον δὲ, κἂν ὀργίζησθε, οὐ πολύς μοι λόγος. καὶ γὰρ ὑμεῖς αἴτιοι τῆς ἀνοίας ταύτης, οἱ μηδὲ ἁμάρτημα εἶναι νομίζοντες, καὶ ἐντεῦθεν ἡμᾶς ἀναγκάζοντες εἰς τὴν κατηγορίαν τῆς ἀσωτίας ἐμβῆναι ταύτης. φέρε οὖν, αὐτὸ ἐξετάσωμεν, καὶ ἴδωμεν ὁποῖόν ἐστι κακόν. ὅταν γὰρ τὰ νήματα τὰ σηρικὰ, ἃ μηδὲ ἐν ἱματίοις ὑφαίνεσθαι καλὸν, ταῦτα ἐν ὑποδήματι διαῤῥάπτητε, πόσης ὕβρεως, πόσου γέλωτος ταῦτα ἄξια; εἰ δὲ τῆς ἡμετέρας ψήφου καταφρονεῖς, ἄκουσον τῆς τοῦ Παύλου φωνῆς μετὰ πολλῆς τῆς σφοδρότητος ταῦτα ἀπαγορεύοντος, καὶ τότε αἰσθήσῃ τοῦ γέλωτος. τί οὖν ἐκεῖνός φησι; Μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. τίνος οὖν ἂν εἴης συγγνώμης ἄξιος, ὅταν τῇ γεγαμημένῃ μὴ ἐπιτρέποντος Παύλου πολυτελῆ ἱμάτια ἔχειν, σὺ καὶ ἐπὶ τὰ ὑποδήματα τὴν βλακείαν ταύτην ἐξάγῃς, καὶ μυρία κατασκευάζῃς ὑπὲρ τῆς καταγελάστου ὕβρεως; καὶ γὰρ καὶ ναῦς πήγνυται, καὶ ἐρέται καταλέγονται καὶ πρωρεὺς καὶ κυβερνήτης, καὶ ἱστίον ἀναπετάννυται, καὶ πέλαγος πλεῖται, καὶ γυναῖκα καὶ παιδία καὶ πατρίδα ἀφεὶς, καὶ τὴν ἑαυτοῦ ψυχὴν ὁ ἔμπορος ἐκδίδωσι κύμασι, καὶ εἰς τὴν βαρβάρων ἀπέρχεται χώραν, καὶ μυρίους ὑπομένει κινδύνους διὰ ταῦτα τὰ νήματα, ἵνα σὺ μετὰ πάντα ἐκεῖνα λαβὼν ἐπὶ τῶν ὑποδημάτων διαῤῥάψῃς, καὶ τὸ δέρμα καλλωπίσῃς. καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; ἀλλ' οὐ τὰ παλαιὰ τοιαῦτα, ἀλλὰ ἀνδράσι πρέποντα. ὅθεν ἔγωγε προσδοκῶ, χρόνου προϊόντος, τοὺς νέους τοὺς παρ' ὑμῖν καὶ γυναικῶν ὑποδήματα χρήσειν, καὶ οὐκ αἰσχυνεῖσθαι· καὶ τὸ χαλεπώτερον, ὅτι οἱ πατέρες ταῦτα ὁρῶντες οὐκ ἀγανακτοῦσιν, ἀλλὰ καὶ ἀδιάφορον τὸ πρᾶγμα εἶναι νομίζουσι. βούλεσθε εἴπω καὶ τὸ ἔτι χαλεπώτερον; ὅτι καὶ πενήτων ὄντων πολλῶν ταῦτα γίνεται. βούλεσθε εἰς μέσον ἀγάγω τὸν Χριστὸν τὸν λιμώττοντα; τὸν γυμνόν; τὸν ἀλώμενον πανταχοῦ; τὸν δεδεμένον; καὶ πόσων οὐκ ἂν εἴητε σκηπτῶν ἄξιοι, ἐκεῖνον μὲν τῆς τροφῆς ἀναγκαίας ἀποροῦντα περιορῶντες, τὰ δέρματα δὲ μετὰ τοσαύτης καλλωπίζοντες τῆς σπουδῆς; καὶ αὐτὸς μὲν τοῖς μαθηταῖς ἐνομοθέτει, οὐδὲ ἁπλῶς ὑποδήματα ἔχειν ἐπέτρεπεν, ἡμεῖς δὲ οὐ μόνον γυμνοῖς ποσὶν οὐκ ἀνεχόμεθα βαδίζειν, ἀλλ' οὐδὲ ὑποδεδεμένοις ὡς ὑποδεδέσθαι δεῖ. τί τοίνυν τῆς ἀκοσμίας ταύτης χεῖρον γένοιτ' ἄν; τί τοῦ γέλωτος; καὶ γὰρ ψυχῆς ἐστι μαλακιώδους τὸ πρᾶγμα καὶ ἀπηνοῦς καὶ ὠμῆς καὶ περιέργου καὶ ματαιοπόνου. πότε γὰρ δυνήσεται

α. Τιμ. β. θ.

ἀναγκαίῳ τινὶ προσέχειν, ὁ περὶ ταῦτα τὰ περιττὰ ἠσχολημένος; πότε ἀνέξεται ὁ τοιοῦτος νέος ψυχῆς ἐπιμεληθῆναι, ἢ ἐννοῆσαι ὅτι καὶ ψυχὴν ἔχει; καὶ γὰρ σμικρολόγος ἔσται ὁ τὰ τοιαῦτα θαυμάζειν ἀναγκαζόμενος, καὶ ὠμὸς ὁ διὰ ταῦτα τῶν πτωχῶν ἀμελῶν, καὶ ἀρετῆς ἔρημος ὁ πᾶσαν εἰς ταῦτα καταναλίσκων τὴν σπουδήν. ὁ γὰρ νημάτων ἀρετὴν, καὶ χρωμάτων ἄνθος, καὶ τοὺς κισσοὺς τοὺς ἀπὸ τῶν τοιούτων ὑφασμάτων περιεργαζόμενος, πότε εἰς τὸν οὐρανὸν δυνήσεται ἰδεῖν; πότε τὸ ἐκεῖ θαυμάσεται κάλλος, ὁ πρὸς κάλλος ἐπτοημένος δερμάτων, καὶ χαμαὶ κύπτων; καὶ ὁ μὲν Θεὸς ἔτεινεν οὐρανὸν, καὶ ἥλιον ἀνῆψεν, ἄνω σου τὰς ὄψεις ἕλκων· σὺ δὲ κάτω σαυτὸν καὶ πρὸς τὴν γῆν κατὰ τοὺς χοίρους νεύειν ἀναγκάζεις, καὶ τῷ διαβόλῳ πείθῃ. καὶ γὰρ ὁ πονηρὸς δαίμων οὗτος ταύτην ἐπενόησε τὴν ἀσχημοσύνην, *ἐκείνου σε τοῦ κάλλους ἀπάγων. διὰ τοῦτό σε ἐνταῦθα εἵλκυσε· καὶ παρευδοκιμεῖται Θεὸς οὐρανὸν δεικνὺς ὑπὸ διαβόλου δέρματα δεικνύντος· μᾶλλον δὲ οὐδὲ δέρματα (καὶ γὰρ ταῦτα ἔργα Θεοῦ) ἀλλὰ βλακείαν καὶ κακοτεχνίαν. καὶ κάτω εἰς τὴν γῆν νεύων ὁ νέος περίεισιν, ὁ τὰ ἐν τοῖς οὐρανοῖς φιλοσοφεῖν κελευσθεὶς, μᾶλλον ἐγκαλλωπιζόμενος τούτοις, ἢ εἰ τῶν μεγάλων τι κατορθωκὼς ἦν, καὶ ἀκροβατῶν ἐπὶ τῆς ἀγορᾶς, καὶ λύπας καὶ ἀθυμίας ἐντεῦθεν τίκτων ἑαυτῷ περιττάς· μὴ μολυνῇ τῷ πηλῷ χειμῶνος ὄντος, μὴ καλύψῃ τῷ κονιορτῷ θέρους ἐπιστάντος. τί λέγεις, ἄνθρωπε; τὴν ψυχὴν ἅπασαν εἰς πηλὸν ἔρριψας διὰ ″ ταύτης τῆς ἀσωτίας, καὶ χαμαὶ συρομένην περιορᾷς, καὶ περὶ ὑποδημάτων τοσοῦτον ἔχεις ἀγῶνα; μάθε τὴν χρῆσιν αὐτῶν, καὶ αἰδέσθητι τὴν ψῆφον ἣν περὶ αὐτῶν φέρεις. ὥστε γὰρ πηλὸν πατεῖν καὶ βόρβορον καὶ πᾶσαν τὴν ἐπὶ τοῦ ἐδάφους κηλῖδα, γέγονε τὰ ὑποδήματα. εἰ δὲ οὐκ ἀνέχῃ, λαβὼν ἐξάρτησον τοῦ τραχήλου, ἢ τῇ κεφαλῇ περίθες. καὶ ὑμεῖς μὲν γελᾶτε ταῦτα ἀκούοντες· ἐμοὶ δὲ δακρύειν ἔπεισι τὴν τούτων μανίαν, καὶ τὴν περὶ ταῦτα σπουδήν. καὶ γὰρ ἡδύτερον ἂν οὗτοι τὸ σῶμα μολύναιεν πηλῷ, ἢ τὰ δέρματα ἐκεῖνα. μικρολόγοι μὲν οὖν οὕτω γίνονται, φιλοχρήματοι δὲ πάλιν ἑτέρως. ὁ γὰρ περὶ τὰ τοιαῦτα μαίνεσθαι καὶ σπουδάζειν ἐθισθεὶς, καὶ ἐν τοῖς ἱματίοις καὶ ἐν τοῖς ἄλλοις ἅπασι, πολλῆς δεῖται δαπάνης καὶ πολλῆς τῆς προσόδου. κἂν μὲν φιλότιμον ἔχῃ πατέρα, μᾶλλον αἰχμάλωτος γίνεται, τὴν ἄτοπον ταύτην ἐπιτείνων ἐπιθυμίαν· ἂν δὲ σμικρολόγον, ἀναγκάζεται ἕτερα ἀσχημονεῖν, ὥστε χρυσίον εἰσαγαγεῖν εἰς τὰς τοιαύτας δαπάνας. ἐντεῦθεν πολλοὶ τῶν νέων καὶ τὴν ὥραν ἀπέδοντο, καὶ παράσιτοι τοῖς εὐπόροις ἐγένοντο, καὶ ἑτέρας δουλοπρεπεῖς ὑπέμειναν διακονίας, ἀντὶ τούτων ὠνούμενοι τὸ τὰς τοιαύτας ἐπιθυμίας ἐκπληροῦν. ὅτι μὲν οὖν καὶ φιλοχρήματος οὗτος ἔσται καὶ μικρολόγος, καὶ περὶ τὰ ἀναγκαῖα πάντων ἀργότερος, καὶ πολλὰ ἀναγκασθήσεται ἁμαρτάνειν, δῆλον ἐκ τούτων. ὅτι δὲ [καὶ] ὠμὸς καὶ κενόδοξος, οὐδὲ τοῦτό τις ἀντερεῖ. ὠμὸς μὲν, ὅταν πένητα ἰδὼν, τῷ πόθῳ τοῦ καλλωπισμοῦ μηδὲ ἑωρακέναι δοκῇ, ἀλλὰ ταῦτα μὲν χρυσῷ καλλωπίζει, ἐκεῖνον δὲ ὑπὸ λιμοῦ διαφθειρόμενον περιορᾷ· κενόδοξος δὲ, ὅταν καὶ ἐν τοῖς μικροῖς παιδεύηται τὴν παρὰ τῶν ὁρώντων δόξαν θηρᾶν. οὐ γὰρ οὕτως οἶμαι στρατηγὸν ἐπὶ τοῖς στρατοπέδοις καὶ τροπαίοις μέγα φρονεῖν, ὡς ἀκόλαστον νέον ἐπὶ τῷ καλλωπισμῷ τῶν ὑποδημάτων, ἐπὶ τοῖς συρομένοις ἱματίοις, ἐπὶ τῇ κουρᾷ τῆς κεφαλῆς· καίτοιγε ταῦτα πάντα τεχνιτῶν ἔργα ἐστὶν ἑτέρων. εἰ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις οὐκ ἀφίστανται κενοδοξοῦντες, πότε ἐπὶ τοῖς ἰδίοις ἀποστήσονται; εἴπω καὶ ἕτερα τούτων χαλεπώτερα, ἢ καὶ ταῦτα ὑμῖν ἀπόχρη; οὐκοῦν ἀνάγκη καταλῦσαι τὸν λόγον ἐνταῦθα· ἐπεὶ καὶ ταῦτά μοι εἴρηται διὰ τοὺς φιλονείκους καὶ οὐδὲν ἄτοπον τὸ πρᾶγμα εἶναι λέγοντας. καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν νέων οὐδὲ προσέξουσι τοῖς λεγομένοις, μεθύοντες ἅπαξ τῷ πάθει· οὐ μὴν διὰ τοῦτο σιγῆσαι ἔδει. οἱ γὰρ νοῦν ἔχοντες πατέρες καὶ ὑγιαίνοντες τέως καὶ ἄκοντας αὐτοὺς εἰς τὴν προσήκουσαν εὐσχημοσύνην ἐμβιβάσαι δυνήσονται. μὴ τοίνυν λέγε, οὐδὲν παρὰ τοῦτο, οὐδὲν παρ᾽ ἐκεῖνο. τοῦτο γὰρ, τοῦτο πάντα ἀπώλεσεν. ἔδει γὰρ καὶ ἐνταῦθα αὐτοὺς παιδεύειν, καὶ ἀπὸ τῶν δοκούντων

* ὡς

κ. τ. πηλ

των εἰσὶ μακρῶν σεμνοὺς ποιεῖν, μεγαλοψύχους, κρείττους χρημάτων. οὕτω γὰρ αὐτοὺς καὶ ἐν τοῖς μεγάλοις εὑρήσομεν δοκίμους. τί γὰρ τῆς τῶν στοιχείων μαθήσεως εὐτελέστερον; ἀλλ' ὅμως ἀπὸ τούτων καὶ ῥήτορες, καὶ σοφισταὶ, καὶ φιλόσοφοι γίνονται. κἂν ταῦτα ἀγνοήσωσιν, οὐδὲ ἐκεῖνά ποτε εἴσονται. ταῦτα δὲ ἡμῖν οὐ πρὸς νέους μόνον, ἀλλὰ καὶ πρὸς γυναῖκας καὶ κόρας εἴρηται (καὶ γὰρ καὶ αὗται τοῖς τοιούτοις ἐγκλήμασιν ὑπόκεινται) καὶ πολλῷ μᾶλλον, ὅσῳ παρθένῳ κοσμιότης ἐπιτήδειον. τὰ τοίνυν πρὸς ἐκείνους εἰρημένα καὶ πρὸς ὑμᾶς εἰρῆσθαι νομίζετε, ἵνα μὴ πάλιν τὰ αὐτὰ ἀναλάβωμεν. καὶ γὰρ ὥρα λοιπὸν εὐχῇ καταλῦσαι τὸν λόγον. ἅπαντες τοίνυν ἡμῖν συνεύξασθε, ὥστε τοὺς νέους, τοὺς τῆς ἐκκλησίας μάλιστα, δυνηθῆναι κοσμίως ζῆν, καὶ εἰς γῆρας ἐλθεῖν αὐτοῖς πρέπον (ὡς τούς γε οὐχ οὕτω ζῶντας, οὐδὲ εἰς γῆρας ἐλθεῖν καλόν) τοὺς δὲ καὶ ἐν νεότητι γεγηρακότας εὔχομαι καὶ εἰς πολιὰν βαθυτάτην ἐλθεῖν, καὶ πατέρας γενέσθαι παίδων δοκίμων, καὶ τοὺς γεγεννηκότας εὐφρᾶναι, καὶ πρό γε πάντων τὸν πεποιηκότα αὐτοὺς Θεὸν, καὶ πᾶσαν ἐξελάσαι νόσον, οὐ τὴν ἐν τοῖς ὑποδήμασιν, οὐδὲ τὴν ἐν τοῖς ἱματίοις μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν. καὶ γὰρ ὥσπερ γῆ χερσουμένη, τοιοῦτόν ἐστι καὶ νεότης ἀμελουμένη, πολλὰς ″ πολλαχόθεν ἐκφέρουσα τὰς ἀκάνθας. ἐπαφῶμεν τοίνυν τὸ πῦρ τοῦ πνεύματος, καὶ κατακαύσωμεν τὰς πονηρὰς ταύτας ἐπιθυμίας, καὶ νεώσωμεν τὰς ἀρούρας, καὶ ἑτοίμους πρὸς τὴν τοῦ σπόρου ποιήσωμεν ὑποδοχὴν, καὶ τοὺς νέους τοὺς παρ' ἡμῖν τῶν ἀλλαχοῦ γερόντων ἀποδείξωμεν σωφρονεστέρους. καὶ γὰρ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅταν ἐν νεότητι σωφροσύνη λάμπῃ· ὡς ὅ γε ἐν γήρᾳ σωφρονῶν οὐδὲ μισθὸν ἂν ἔχῃ πολὺν, [ἀκριβῆ] τὴν ἀπὸ τῆς ἡλικίας ἀσφάλειαν ἔχων. τὸ δὲ παράδοξον, ἐν κύμασι γαλήνης ἀπολαύειν, καὶ ἐν καμίνῳ μὴ κατακαίεσθαι, καὶ ἐν νεότητι μὴ ἀσελγαίνειν. ταῦτ' οὖν ἐννοοῦντες ζηλώσωμεν τὸν μακάριον ἐκεῖνον Ἰωσὴφ, τὸν διὰ πασῶν λάμψαντα τούτων, ἵνα καὶ τῶν αὐτῶν ἐπιτύχωμεν στεφάνων αὐτῷ· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ν. 23 ΚΑΙ ΑΠΟΛΥΣΑΣ ΤΟΥΣ ΟΧΛΟΥΣ ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ. 24 Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ κυμάτων. ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.

ΤΙΝΟΣ ἕνεκεν εἰς τὸ ὄρος ἀναβαίνει; παιδεύων ἡμᾶς ὅτι καλὸν ἡ ἐρημία καὶ ἡ μόνωσις, ὅταν ἐντυγχάνειν δέῃ τῷ Θεῷ. διὰ τοῦτο συνεχῶς εἰς τὰς ἐρήμους ἄπεισι, κἀκεῖ διανυκτερεύει πολλάκις εὐχόμενος, παιδεύων ἡμᾶς καὶ τὴν ἀπὸ τοῦ καιροῦ, καὶ τὴν ἀπὸ τοῦ τόπου θηρᾶσθαι ἐν ταῖς εὐχαῖς ἀταραξίαν. ἡσυχίας γὰρ μήτηρ ἡ ἔρημος, καὶ γαλήνη καὶ λιμὴν ἀπάντων ἀπαλλάττουσα θορύβων ἡμᾶς. αὐτὸς μὲν οὖν διὰ τοῦτο ἀνέβαινεν ἐκεῖσε· οἱ δὲ μαθηταὶ κλυδωνίζονται πάλιν, καὶ χειμῶνα ὑπομένουσιν, ὥσπερ καὶ πρότερον. ἀλλὰ τότε μὲν ἔχοντες αὐτὸν ἐν τῷ πλοίῳ τοῦτο ἔπαθον· νυνὶ δὲ καθ' ἑαυτοὺς ὄντες μόνοι. καὶ γὰρ ἠρέμα καὶ κατὰ μικρὸν ἐπὶ τὰ μείζονα αὐτοὺς ἐνάγει καὶ ἐμβιβάζει, καὶ εἰς τὸ φέρειν πάντα γενναίως. διὰ δὴ τοῦτο, ὅτε μὲν πρῶτον κινδυνεύειν ἔμελλον, παρῆν μὲν, ἐκάθευδε δὲ, ὥστε ἐξ ἑτοίμου δοῦναι τὴν παραμυθίαν αὐτοῖς· νυνὶ δὲ ἐπὶ μείζονα ἄγων αὐτοὺς ὑπομονὴν οὐδὲ τοῦτο ποιεῖ, ἀλλ' ἄπεισι, καὶ ἐν μέσῳ θαλάσσης συγχωρεῖ τὸν χειμῶνα διεγερθῆναι, ὡς μηδὲ προσδοκῆσαί ποθεν ἐλπίδα σωτηρίας, καὶ ὅλην τὴν νύκτα ἀφίησιν αὐτοὺς κλυδωνίζεσθαι, διεγείρων αὐτῶν, ὡς οἶμαι, πεπωρωμένην τὴν καρδίαν. καὶ γὰρ τοιοῦτον ὁ φόβος, ὃν μετὰ τοῦ χειμῶνος καὶ ὁ καιρὸς ποιεῖ. μετὰ δὲ τῆς κατανύξεως καὶ εἰς ἐπιθυμίαν μείζονα αὐτοὺς ἐνέβαλε τὴν αὐτοῦ, καὶ εἰς μνήμην διηνεκῆ. διὰ δὴ τοῦτο οὐκ εὐθέως αὐτοῖς ἐπέστη.

25 Τετάρτῃ γὰρ, φησὶ, φυλακῇ τῆς νυκτὸς ἦλθε πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, Παιδεύων αὐτοὺς μὴ ταχέως λύσιν ἐπιζητεῖν τῶν συνεχόντων δεινῶν, ἀλλὰ φέρειν τὰ συμπίπτοντα γενναίως. ὅτε γοῦν προσεδόκησαν ἀπαλλαγήσεσθαι, τότε ἐπετάθη πάλιν ὁ φόβος.

26 Ἰδόντες γὰρ αὐτὸν, φησὶν, οἱ μαθηταὶ περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἐταράχθησαν, λέγοντες φάντασμά ἐστι, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. Καὶ γὰρ ἀεὶ τοῦτο ποιεῖ. ὅταν μέλλει λύειν τὰ δεινὰ, ἕτερα ἐπάγει χαλεπώτερα καὶ φοβερώτερα· ὃ δὴ καὶ τότε συνέβη. μετὰ γὰρ τοῦ χειμῶνος καὶ ἡ ὄψις αὐτοῦ ἐθορύβησε τοῦ χειμῶνος οὐχ ἧττον. διὰ τοῦτο οὔτε τὸ σκότος ἔλυσεν, οὔτε φανερὸν ἑαυτὸν εὐθέως ἐποίησεν, ἀλείφων αὐτοὺς, ὅπερ εἶπον, ἐν τῇ συνεχείᾳ τῶν φόβων τούτων, καὶ παιδεύων εἶναι καρτερικούς. τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ ἐποίησεν. ὅτε γὰρ ἔμελλε λύειν τὸν φόβον καὶ τὸν πειρασμὸν, τότε τὸ τέλος χαλεπώτερον εἴασε γενέσθαι· οὐ διὰ τὸν τῶν παίδων θάνατον λέγω καὶ τὰ ῥήματα τῆς γυναικὸς, ἀλλὰ διὰ τὰ ὀνείδη τὰ τῶν οἰκετῶν καὶ τῶν φίλων. καὶ ὅτε τὸν Ἰακὼβ ἐξαρπάζειν ἔμελλε τῆς ἐν τῇ ξένῃ ταλαιπωρίας, ἀφῆκε διεγερθῆναι καὶ μείζονα γενέσθαι τὸν θόρυβον. καὶ γὰρ ὁ κηδεστὴς καταλαβὼν θάνατον ἠπείλει, καὶ μετ' ἐκεῖνον ὁ ἀδελφὸς διαδέχεσθαι μέλλων τὸν περὶ τῶν ἐσχάτων ἐπεκρέμασε κίνδυνον. ἐπειδὴ γὰρ οὐκ ἔνι καὶ ἐν μακρῷ χρόνῳ πειράζεσθαι καὶ σφοδρῶς, ὅταν μέλλωσιν ἐκβαίνειν τοὺς ἀγῶνας οἱ δίκαιοι, βουλόμενος αὐτοὺς πλέον κερδαίνειν, ἐπιτείνει τὰ γυμνάσια· ὃ καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἐποίησε, τὸν ἔσχατον ἆθλον, τὸν τοῦ παιδὸς θείς. οὕτω γὰρ καὶ φορητὰ ἔσται τὰ ἀφόρητα, ὅταν ἐπὶ θύραις ἐπάγηται ἐγγὺς ἔχοντα τὴν ἀπαλλαγήν. τοῦτο δὴ καὶ τότε ἐποίησε, καὶ οὐ πρότερον ἀπεκάλυψεν ἑαυτὸν [αὐτοῖς] ὁ Χριστὸς, ἕως ὅτε ἔκραξαν. ὅσῳ γὰρ ἐπετείνετο τὰ τῆς ἀγωνίας, τοσούτῳ μᾶλλον ἠσμένιζον αὐτοῦ τὴν παρουσίαν. Εἶτα, ἐπειδὴ ἐβόησαν, φησίν·

Γεν. λα.

Γεν. κβ. α. β.

27 Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.

Τοῦτο τὸ ῥῆμα τὸν φόβον ἔλυσε, καὶ θαῤῥῆσαι παρεσκεύασεν. ἐπειδὴ γὰρ αὐτὸν ἀπὸ τῆς ὄψεως οὐκ ἐπεγίνωσκον καὶ διὰ τὸ παράδοξον τῆς βαδίσεως καὶ διὰ τὸν καιρὸν, ἀπὸ τῆς φωνῆς δῆλον ἑαυτὸν ποιεῖ. τί οὖν ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς καὶ ἀεὶ τῶν ἄλλων προπηδῶν;

28 Κύριε, εἰ σὺ εἶ, φησὶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα.

Οὐκ εἶπεν, εὖξαι καὶ παρακάλεσον, ἀλλὰ κέλευσον. Εἶδες πόση ἡ θερμότης; πόση ἡ πίστις; καίτοιγε ἐκ τούτου πολλαχοῦ κινδυνεύει, ἐκ τοῦ πέρα τοῦ μέτρου ζητεῖν. καὶ γὰρ καὶ ἐνταῦθα πολὺ μέγα ἐζήτησε, δι' ἀγάπην μόνον, οὐ δι' ἐπίδειξιν. οὐδὲ γὰρ εἶπε, κέλευσόν με βαδίσαι ἐπὶ τὰ ὕδατα· ἀλλὰ τί; κέλευσόν με ἐλθεῖν πρὸς σέ. οὐδεὶς γὰρ οὕτως ἐφίλει τὸν Ἰησοῦν. τοῦτο καὶ μετὰ τὴν ἀνάστασιν ἐποίησεν. οὐκ ἠνείχετο μετὰ τῶν ἄλλων ἐλθεῖν, ἀλλὰ προεπήδησεν. οὐ τὴν ἀγάπην δὲ μόνον, ἀλλὰ καὶ τὴν πίστιν ἐπιδείκνυται. οὐ γὰρ μόνον ἐπίστευσεν, ὅτι αὐτὸς δύναται περιπατεῖν ἐπὶ τῆς θαλάσσης, ἀλλ' ὅτι καὶ ἑτέρους ἐνάγειν, καὶ ἐπιθυμεῖ ταχέως ἐγγὺς αὐτοῦ γενέσθαι.

29 Ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, καὶ ἦλθε πρὸς τὸν Ἰησοῦν.

30 Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με.

31 Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο, καὶ λέγει αὐτῷ· ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Τοῦτο τοῦ προτέρου παραδοξότερον. διὰ τοῦτο μετ'

ἐκεῖνο τοῦτο γίνεται. ὅτε γὰρ ἔδειξεν ὅτι κρατεῖ τῆς θαλάσσης, τότε καὶ ἐπὶ τὸ θαυμαστότερον ἐξάγει τὸ σημεῖον. τότε μὲν γὰρ τοῖς ἀνέμοις ἐπετίμησε μόνον· νυνὶ δὲ καὶ αὐτὸς βαδίζει, καὶ ἑτέρῳ παραχωρεῖ τοῦτο ποιεῖν· ὅπερ εἰ παρὰ τὴν ἀρχὴν ἐκέλευσε γενέσθαι, οὐκ ἂν ὁμοίως κατεδέξατο Πέτρος, διὰ τὸ μηδέπω τοσαύτην κεκτῆσθαι πίστιν. Τίνος οὖν ἕνεκεν αὐτὸν ὁ Χριστὸς ἐπέτρεψε; καὶ γὰρ εἰ εἶπεν, οὐ δύνασαι, πάλιν θερμὸς ὢν ἀντεῖπεν ἄν. διὰ τοῦτο ἀπὸ τῶν πραγμάτων αὐτὸν πείθει, ἵνα εἰς τὸ μέλλον σωφρονισθῇ. ἀλλ᾽ οὐδὲ οὕτως ἀνέχεται. καταβὰς τοίνυν κλυδωνίζεται. ἐφοβήθη γάρ· καὶ τοῦτο τὸ κλυδώνιον ἐποίησε· τὸν δὲ φόβον ὁ ἄνεμος εἰργάσατο. ὁ δὲ Ἰωάννης φησίν, Ὅτι ἤθελον λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο εἰς τὴν γῆν, εἰς ἣν ὑπῆγον· τὸ αὐτὸ δὴ τοῦτο δηλῶν. ὥστε μελλόντων αὐτῶν πρὸς τὴν γῆν γενέσθαι ἐπέβη τοῦ πλοίου. καταβὰς τοίνυν ἀπὸ τοῦ πλοίου πρὸς αὐτὸν ᾔει, οὐχ οὕτω τῷ περιπατεῖν ἐπὶ τῶν ὑδάτων, ὡς τῷ πρὸς αὐτὸν ἔρχεσθαι χαίρων. καὶ τοῦ μείζονος περιγενόμενος, ἀπὸ τοῦ ἐλάττονος ἔμελλε πάσχειν κακῶς, τοῦ ἀνέμου λέγω ῥύμης, οὐ τῆς θαλάττης. τοιοῦτον γὰρ ἡ ἀνθρωπίνη φύσις· πολλάκις τὰ μεγάλα κατορθοῦσα, ἐν τοῖς ἐλάττοσιν ἐλέγχεται· οἷον ὁ Ἠλίας ἐπὶ τῆς Ἰεζάβελ ἔπαθεν· οἷον ὁ Μωϋσῆς ἐπὶ τοῦ Αἰγυπτίου· οἷον ὁ Δαβὶδ ἐπὶ τῆς Βηρσαβεέ. οὕτω δὴ καὶ οὗτος, ἔτι τοῦ φόβου ἀκμάζοντος ἐπιβῆναι τῶν ὑδάτων ἐθάρρησε· πρὸς δὲ τὴν τοῦ ἀνέμου ἐμβολὴν οὐκ ἔτι ἠδυνήθη στῆναι, καὶ ταῦτα ἐγγὺς ὢν τοῦ Χριστοῦ. οὕτως οὐδὲν ὠφελεῖ ἐγγὺς εἶναι τοῦ Χριστοῦ μὴ πίστει ὄντα ἐγγύς. τοῦτο δὲ καὶ τὸ μέσον ἐδείκνυ τοῦ διδασκάλου καὶ τοῦ μαθητοῦ, καὶ τοὺς ἄλλους παρεμυθεῖτο. εἰ γὰρ ἐπὶ τῶν δύο ἀδελφῶν ἠγανάκτησαν, πολλῷ μᾶλλον ἐνταῦθα. οὔπω γὰρ ἦσαν πνεύματος ἠξιωμένοι. μετὰ δὲ ταῦτα οὐ τοιοῦτοι. πανταχοῦ γὰρ τῶν πρωτείων παραχωροῦσι τῷ Πέτρῳ, καὶ ἐν ταῖς δημηγορίαις αὐτὸν προβάλλονται, καίτοιγε ἀγροικότερον τῶν ἄλλων διακείμενον. καὶ διατί οὐκ ἐπέταξε τοῖς ἀνέμοις παύσασθαι, ἀλλ᾽ αὐτὸς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ; ὅτι τῆς ἐκείνου πίστεως ἔδει. ὅταν γὰρ τὰ παρ᾽ ἡμῶν ἐλλιμπάνῃ, καὶ τὰ παρὰ τοῦ Θεοῦ ἵσταται. δεικνὺς τοίνυν ὅτι οὐχ ἡ τοῦ ἀνέμου ἐμβολή, ἀλλ᾽ ἡ ἐκείνου ὀλιγοπιστία τὴν περιτροπὴν εἰργάσατο, φησίν· ὀλιγόπιστε, εἰς τί ἐδίστασας; ὥστε εἰ μὴ ἡ πίστις ἠσθένησε, καὶ πρὸς τὸν ἄνεμον ἂν ἔστη ῥᾳδίως. διά τοι τοῦτο καὶ ἐπιλαβόμενος αὐτοῦ, τὸν ἄνεμον ἐᾷ πνεῖν, δεικνὺς ὅτι οὐδὲν ἐκεῖνος παραβλάπτει, ὅταν ἡ πίστις ᾖ πεπηγυῖα. καὶ καθάπερ νεοττὸν πρὸ καιροῦ τῆς καλιᾶς προελθόντα καὶ μέλλοντα καταπίπτειν ἡ μήτηρ ταῖς πτέρυξι διαβαστάσασα, πάλιν ἐπὶ τὴν καλιὰν ἄγει· οὕτω καὶ ὁ Χριστὸς ἐποίησε.

Ιω. ϛ. κα.

32 Καὶ ἐπιβάντων αὐτῶν τοῦ πλοίου, τότε ἐπαύσατο ὁ ἄνεμος.

Πρὸ τούτου μὲν οὖν ἔλεγον· Ποταπός ἐστιν ὁ ἄνθρωπος οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; νυνὶ δὲ οὐχ οὕτως.

Ματθ. η. κζ.

33 Οἱ γὰρ ἐν τῷ πλοίῳ, φησίν, ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς εἶ. Ὁρᾷς πῶς κατὰ μικρὸν ἐπὶ τὸ ὑψηλότερον ἅπαντας ἦγε; καὶ γὰρ ἀπὸ τοῦ βαδίσαι ἐν τῇ θαλάσσῃ, καὶ ἀπὸ τοῦ ἑτέρῳ κελεῦσαι τοῦτο ποιῆσαι, καὶ κινδυνεύοντα διασῶσαι, πολλὴ λοιπὸν ἡ πίστις ἦν. τότε μὲν γὰρ ἐπετίμησε τῇ θαλάσσῃ· νυνὶ δὲ οὐκ ἐπιτιμᾷ, ἑτέρως τὴν δύναμιν αὐτοῦ δεικνὺς μειζόνως. διὸ καὶ ἔλεγον· ἀληθῶς Θεοῦ υἱὸς εἶ. τί οὖν; ἐπετίμησε τοῦτο εἰρηκόσι; τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἐβεβαίωσε τὸ λεχθέν, μετὰ μείζονος ἐξουσίας θεραπεύων τοὺς προσιόντας, καὶ οὐχ ὡς ἔμπροσθεν. —

34 Καὶ διαπεράσαντες, φησίν, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

35 Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας,

36 Καὶ παρεκάλουν ἵνα ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο, ἐσώθησαν. Οὐδὲ γὰρ ὁμοίως ὡς πρότερον προσῄεσαν, εἰς τὰς οἰκίας αὐτὸν ἕλκοντες,

καὶ χεῖρας ἀφὴν ἐπιζητοῦντες καὶ πρόσταγμα διὰ ῥημάτων· ἀλλ' ὑψηλότερον, καὶ * φιλοσοφώτερον, καὶ μετὰ πλείονος τῆς πίστεως τὴν θεραπείαν ἐπεσπῶντο. ἡ γὰρ αἱμορροοῦσα ἅπαντας ἐδίδαξε φιλοσοφεῖν. δείκνυσι δὲ ὁ εὐαγγελιστής, ὅτι καὶ ἀπὸ πολλοῦ χρόνου τοῖς μέρεσιν ἐπέβη, φησίν· ὅτι ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου, ἀπέστειλαν εἰς τὴν περίχωρον, καὶ προσήνεγκαν αὐτῷ τοὺς κακῶς ἔχοντας· ἀλλ' ὅμως ὁ χρόνος οὐ μόνον οὐκ ἐξέλυσε τὴν πίστιν, ἀλλὰ καὶ μείζονα εἰργάσατο, καὶ ἀκμάζουσαν διετήρησεν.

* πολλῷ

ΗΘΙΚΟΝ

Ἁψώμεθα τοίνυν καὶ ἡμεῖς τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· μᾶλλον δὲ, ἐὰν θέλωμεν, ὅλον αὐτὸν ἔχομεν. καὶ γὰρ καὶ τὸ σῶμα αὐτοῦ πρόκειται νῦν ἡμῖν· οὐ τὸ ἱμάτιον μόνον, ἀλλὰ καὶ τὸ σῶμα· οὐχ ὥστε ἅψασθαι μόνον, ἀλλ' ὥστε καὶ φαγεῖν καὶ ἐμφορηθῆναι. προσερχώμεθα τοίνυν μετὰ πίστεως, ἕκαστος ἀσθένειαν ἔχων. εἰ γὰρ οἱ τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἁψάμενοι τοσαύτην εἵλκυσαν δύναμιν, πόσῳ μᾶλλον οἱ ὅλον αὐτὸν κατέχοντες; τὸ δὲ προσελθεῖν μετὰ πίστεως, οὐ τὸ λαβεῖν ἐστι μόνον τὸ προκείμενον, ἀλλὰ καὶ τὸ μετὰ καθαρᾶς καρδίας ἅψασθαι, τὸ οὕτω διακεῖσθαι, ὡς αὐτῷ προσιόντας τῷ Χριστῷ. τί γὰρ εἰ μὴ φωνῆς ἀκούεις; ἀλλ' ὁρᾷς αὐτὸν κείμενον· μᾶλλον δὲ καὶ φωνῆς αὐτοῦ ἀκούεις, φθεγγομένου αὐτοῦ διὰ τῶν εὐαγγελιστῶν. πιστεύσατε τοίνυν ὅτι καὶ νῦν ἐκεῖνο τὸ δεῖπνόν ἐστιν, ἐν ᾧ καὶ αὐτὸς ἀνέκειτο. οὐδὲν γὰρ ἐκεῖνο τούτου διενήνοχεν. οὐδὲ γὰρ τοῦτο μὲν ἄνθρωπος ἐργάζεται, ἐκεῖνο δὲ αὐτός· ἀλλὰ καὶ τοῦτο κἀκεῖνο αὐτός. ὅταν τοίνυν τὸν ἱερέα ἐπιδιδοῦντά σοι ἴδῃς, μὴ τὸν ἱερέα νόμιζε εἶναι τὸν τοῦτο ποιοῦντα, ἀλλὰ τοῦ Χριστοῦ χεῖρα εἶναι τὴν ἐκτεινομένην. ὥσπερ γὰρ ὅταν βαπτίζῃ, οὐκ αὐτός σε βαπτίζει, ἀλλ' ὁ Θεός ἐστιν ὁ κατέχων σου τὴν κεφαλὴν ἀοράτῳ δυνάμει, καὶ οὔτε ἄγγελος οὔτε ἀρχάγγελος, οὔτε ἄλλος τις τολμᾷ προσελθεῖν καὶ ἅψασθαι· οὕτω καὶ νῦν. ὅταν γὰρ ὁ Θεὸς μόνος γεννᾷ, αὐτοῦ μόνου ἐστὶν ἡ δωρεά. οὐχ ὁρᾷς τοὺς υἱοποιουμένους ἐνταῦθα, πῶς οὐ δούλοις ἐπιτρέπουσι τὸ πρᾶγμα, ἀλλ' αὐτοὶ πάρεισι τῷ δικαστηρίῳ; οὕτω καὶ ὁ Θεὸς, οὐκ ἀγγέλοις ἐπέτρεψε τὴν δωρεὰν, ἀλλ' αὐτὸς πάρεστι κελεύων καὶ λέγων· μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς· οὐχ ἵνα ἀτιμάσῃ τοὺς γεγεννηκότας, ἀλλ' ἵνα πάντων ἐκείνων προθῇς τὸν ποιήσαντά σε καὶ ἐγγραψάμενόν σε εἰς τοὺς ἑαυτοῦ παῖδας. ὁ γὰρ τὸ μεῖζον δοὺς, τουτέστιν ἑαυτὸν παραθεὶς, πολλῷ μᾶλλον οὐκ ἀπαξιώσει καὶ διαδοῦναί σοι τὸ σῶμα. ἀκούσωμεν τοίνυν, καὶ ἱερεῖς καὶ ἀρχόμενοι, τίνος κατηξιώθημεν· ἀκούσωμεν καὶ φρίξωμεν. τῶν ἁγίων σαρκῶν αὐτοῦ ἐμπλησθῆναι ἔδωκεν ἡμῖν, ἑαυτὸν παρέθηκε τεθυμένον. τίς οὖν ἔσται ἀπολογία ἡμῖν, ὅταν τοιαῦτα σιτούμενοι, τοιαῦτα ἁμαρτάνωμεν; ὅταν ἀρνίον ἐσθίοντες, λύκοι γενώμεθα; ὅταν πρόβατον σιτούμενοι, κατὰ τοὺς λέοντας ἁρπάζωμεν; τοῦτο γὰρ τὸ μυστήριον, οὐ μόνον ἁρπαγῆς, ἀλλὰ καὶ ψιλῆς ἔχθρας καθαρεύειν κελεύει διαπαντός. καὶ γὰρ εἰρήνης ἐστὶ μυστήριον. τοῦτο τὸ μυστήριον οὐκ ἀφίησιν ἀντιποιεῖσθαι χρημάτων. εἰ γὰρ αὐτὸς ἑαυτοῦ οὐκ ἐφείσατο δι' ἡμᾶς, τίνος ἂν εἴημεν ἄξιοι, χρημάτων φειδόμενοι καὶ ψυχῆς ἀφειδοῦντες, ὑπὲρ ἧς ἐκεῖνος οὐκ ἐφείσατο ἑαυτοῦ; τοῖς μὲν Ἰουδαίοις κατ' ἐνιαυτὸν ὑπόμνημα τῶν οἰκείων εὐεργεσιῶν τὰς ἑορτὰς ἐνέδησεν ὁ Θεός· σοὶ δὲ καθ' ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν, διὰ τούτων τῶν μυστηρίων. μὴ τοίνυν αἰσχυνοῦ τὸν σταυρόν. ταῦτα γὰρ ἡμῶν ἐστι τὰ σεμνά· ταῦτα ἡμῶν τὰ μυστήρια· τούτῳ κοσμούμεθα τῷ δώρῳ· τούτῳ καλλωπιζόμεθα. κἂν εἴπω, ὅτι τὸν οὐρανὸν ἔτεινε καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν ἥπλωσε, προφήτας καὶ ἀγγέλους ἔπεμψεν, οὐδὲν ἐρῶ ἴσον. τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν τοῦτό ἐστιν, ὅτι τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἵνα τοὺς ἀλλοτριωθέντας οἰκέτας σώσῃ. μηδεὶς τοίνυν Ἰούδας ταύτῃ προσίτω τῇ τραπέζῃ, μηδεὶς Σίμων. καὶ γὰρ ἀμφότεροι διὰ φιλαργυρίαν ἀπώλοντο οὗτοι. φύγωμεν τοίνυν τοῦτο τὸ βάραθρον, μηδὲ νομίζωμεν ἀρκεῖν ἡμῖν εἰς σωτηρίαν, εἰ χήρας καὶ ὀρφανοὺς ἀποδύσαντες, ποτήριον χρυσοῦν καὶ λιθοκόλλητον προσενέγκωμεν τῇ τραπέζῃ. εἰ γὰρ βούλει τιμῆσαι τὴν θυσίαν, τὴν ψυχὴν προσένεγκε, δι' ἣν καὶ ἐτύθη· ταύτην χρυσῆν ποίησον. ἂν δὲ αὕτη μένῃ μολίβδου καὶ ὀστρά-

κου

γρ. φαγῶμεν

γρ. ἐπιδιδόντα

κου χειρῶν, τὸ δὲ σκεῦος χρυσοῦν, τί τὸ κέρδος; μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως χρυσᾶ σκεύη προσφέρωμεν μόνον, ἀλλ' ὅπως καὶ ἐκ δικαίων πόνων. ταῦτα γάρ ἐστι τὰ καὶ χρυσῶν τιμιώτερα, τὰ χωρὶς πλεονεξίας. οὐ γὰρ χρυσοχοεῖον, οὐδὲ ἀργυροκοπεῖόν ἐστιν ἡ ἐκκλησία, ἀλλὰ πανήγυρις ἀγγέλων· διὸ ψυχῶν ἡμῖν δεῖ. καὶ γὰρ καὶ ταῦτα διὰ τὰς ψυχὰς προσίεται ὁ Θεός. οὐκ ἦν ἡ τράπεζα ἐξ ἀργύρου τότε ἐκείνη, οὐδὲ τὸ ποτήριον χρυσοῦν, ἐξ οὗ ἔδωκε τοῖς μαθηταῖς ὁ Χριστὸς τὸ αἷμα τὸ ἑαυτοῦ· ἀλλὰ τίμια ἦν ἐκεῖνα πάντα καὶ φρικτά, ἐπειδὴ πνεύματος ἔγεμε. βούλει τιμῆσαι τοῦ Χριστοῦ τὸ σῶμα; μὴ περιίδῃς αὐτὸν γυμνόν, μηδὲ ἐνταῦθα μὲν αὐτὸν σηρικοῖς ἱματίοις τιμήσῃς, ἔξω δὲ ὑπὸ κρυμοῦ καὶ γυμνότητος διαφθειρόμενον περιίδῃς. ὁ γὰρ εἰπών, Τοῦτό μού ἐστι τὸ σῶμα, καὶ τῷ λόγῳ τὸ πρᾶγμα βεβαιώσας, οὗτος εἶπε· Πεινῶντά με ἴδετε, καὶ οὐκ ἐθρέψατε· καί, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. τοῦτο μὲν γὰρ οὐ δεῖται ἐπιβλημάτων, ἀλλὰ ψυχῆς καθαρᾶς· ἐκεῖνο δὲ πολλῆς δεῖται ἐπιμελείας. μάθωμεν τοίνυν φιλοσοφεῖν, καὶ τὸν Χριστὸν τιμᾶν, ὡς αὐτὸς βούλεται. τῷ γὰρ τιμωμένῳ τιμὴ ἡδίστη, ἣν αὐτὸς θέλει, οὐχ ἣν ἡμεῖς νομίζομεν. ἐπεὶ καὶ Πέτρος τιμᾶν αὐτὸν ᾤετο τῷ κωλῦσαι νίψαι τοὺς πόδας, ἀλλ' οὐκ ἦν τιμὴ τὸ γινόμενον, ἀλλὰ τοὐναντίον. οὕτω καὶ σὺ ταύτην αὐτὸν τίμα τὴν τιμήν, ἣν αὐτὸς ἐνομοθέτησεν, εἰς πένητας ἀναλίσκων τὸν πλοῦτον. οὐδὲ γὰρ σκευῶν χρείαν ἔχει χρυσῶν ὁ Θεός, ἀλλὰ ψυχῶν χρυσῶν. καὶ ταῦτα λέγω, οὐ κωλύων ἀναθήματα κατασκευάζεσθαι τοιαῦτα· ἀξιῶν δὲ μετὰ τούτων, καὶ πρὸ τούτων, τὴν ἐλεημοσύνην ποιεῖν. δέχεται μὲν γὰρ καὶ ταῦτα· πολλῷ μᾶλλον δὲ ἐκεῖνα. ἐνταῦθα μὲν γὰρ ὁ προσενεγκὼν ὠφελήθη μόνον, ἐκεῖ δὲ καὶ ὁ λαβών. ἐνταῦθα δοκεῖ καὶ φιλοτιμίας ἀφορμὴ τὸ πρᾶγμα εἶναι, ἐκεῖ δὲ ἐλεημοσύνη καὶ φιλανθρωπία τὸ πᾶν ἐστι. τί γὰρ ὄφελος, ὅταν ἡ τράπεζα αὐτοῦ γέμῃ χρυσῶν ποτηρίων, αὐτὸς δὲ λιμῷ διαφθείρηται; πρότερον αὐτὸν ἔμπλησον πεινῶντα, καὶ τότε ἐκ περιουσίας καὶ τὴν τράπεζαν αὐτοῦ κόσμησον. ποτήριον χρυσοῦν ποιεῖς, καὶ ποτήριον ψυχροῦ οὐ δίδως; καὶ τί τὸ ὄφελος χρυσόπαστα ἐπιβλήματα κατασκευάζειν τῇ τραπέζῃ· αὐτῷ δὲ μηδὲ τὴν ἀναγκαίαν παρέχειν σκέπην; καὶ τί τὸ κέρδος ἐκ τούτου; εἰπὲ γάρ μοι· εἴ τινα ἰδὼν τῆς ἀναγκαίας ἀποροῦντα τροφῆς, ἀφεὶς αὐτῷ λῦσαι τὸν λιμόν, τὴν τράπεζαν ἀργύρῳ περιέβαλες μόνον· ἆρα ἂν ἔγνω σοι χάριν, ἀλλ' οὐχὶ μᾶλλον ἠγανάκτησε; τί δὲ εἰ ῥάκιον περιβεβλημένον ὁρῶν καὶ ὑπὸ κρυμοῦ πηγνύμενον, ἀφεὶς αὐτῷ δοῦναι ἱμάτιον κίονας κατασκευάζεις χρυσοῦς, λέγων εἰς ἐκείνου τιμὴν ποιεῖν, οὐκ ἂν σε καὶ εἰρωνεύεσθαι ἔφη, καὶ ὕβριν ἐνόμισε * ταύτην ἐσχάτην; τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ λογίζου, ὅταν ἀλήτης καὶ ξένος περιέρχηται δεόμενος ὀροφῆς· σὺ δὲ αὐτὸν ἀφεὶς ὑποδέξασθαι ἔδαφος καλλωπίζεις, καὶ τοίχους καὶ κιόνων κεφαλάς, καὶ ἀργυρᾶς ἁλύσεις διὰ λαμπάδων ἐξάπτεις, αὐτὸν δὲ ἐν δεσμωτηρίῳ δεδεμένον μηδὲ ἰδεῖν ἐθέλεις. καὶ ταῦτα λέγω, οὐχὶ κωλύων καὶ ἐν τούτοις φιλοτιμεῖσθαι· ἀλλὰ ταῦτα μετ' ἐκείνων, μᾶλλον δὲ ταῦτα πρὸ ἐκείνων παραινῶν ποιεῖν. ὑπὲρ μὲν γὰρ τοῦ ταῦτα μὴ ποιῆσαι, οὐδεὶς ἐνεκλήθη ποτέ· ὑπὲρ δὲ ἐκείνων, καὶ γέεννα ἠπείληται, καὶ πῦρ ἄσβεστον, καὶ ἡ μετὰ δαιμόνων τιμωρία. μὴ τοίνυν τὸν οἶκον κοσμῶν, τὸν ἀδελφὸν θλιβόμενον περιόρα. ἐκεῖνος γὰρ ἐκείνου [ὁ] ναὸς κυριώτερος. καὶ ταῦτα μὲν καὶ βασιλεῖς ἄπιστοι, καὶ τύραννοι, καὶ λῃσταὶ δυνήσονται λαβεῖν τὰ κειμήλια· ὅσα δὲ ἂν εἰς τὸν ἀδελφὸν ποιήσῃς πεινῶντα καὶ ξένον ὄντα καὶ γυμνόν, οὐδὲ ὁ διάβολος συλῆσαι δυνήσεται, ἀλλ' ἐν ἀσύλῳ κείσεται θησαυρῷ. τί οὖν αὐτός φησι· Τοὺς πτωχοὺς πάντοτε ἔχετε μεθ' ἑαυτῶν· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε; διὰ γὰρ τοῦτο μάλιστα ἐλεεῖν δεῖ, ὅτι οὐ πάντοτε ἔχομεν αὐτὸν πεινῶντα, ἀλλ' ἐν τῷ παρόντι βίῳ μόνον. εἰ δὲ βούλει τοῦ εἰρημένου τὴν διάνοιαν πᾶσαν μαθεῖν, ἄκουσον, ὅτι τοῦτο οὐ πρὸς τοὺς μαθητὰς εἴρηται (εἰ καὶ οὕτω δοκεῖ) ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῆς γυναικός. ἐπειδὴ γὰρ ἀτελέστερον ἔτι διέκειτο, ἐκεῖνοι δὲ αὐτὴν διηπόρουν,

Ματθ. κς. κς.

Ματθ. κε. μς.

Ιωαν. ιγ. η.

Μαρ. ιδ. ζ.

Μαρ. ιδ. ς.
Λουκ. ια. μα.
Ὠσ. ς. ς.
Ματθ. θ. ιγ.
Πραξ. ι. δ.
Ματθ. κε. ι.

πόρειαν, ἀνακλώμενος αὐτὴν ταῦτα ἔλεγεν. ὅτι γὰρ ἐκείνην παραμυθούμενος ταῦτα ἔφη, ἐπήγαγε· Τί κόπους παρέχετε τῇ γυναικί; ὅτι γὰρ καὶ αὐτὸν ἀεὶ μεθ' ἡμῶν ἕξομεν, φησί· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἐξ ὧν ἁπάντων δῆλον, ὅτι δι' οὐδὲν ἕτερον ἐλέγετο ταῦτα, ἀλλ' ἵνα τὴν πίστιν τῆς γυναικὸς, τὴν τότε βλαστήσασαν, μὴ καταμαράνῃ ἡ τῶν μαθητῶν ἐπιτίμησις. μὴ τοίνυν ταῦτα εἰς μέσον φέρωμεν νῦν, ἃ διὰ τὴν οἰκονομίαν εἴρηται· ἀλλὰ τοὺς νόμους ἅπαντας, τοὺς ἐν τῇ καινῇ, τοὺς ἐν τῇ παλαιᾷ περὶ ἐλεημοσύνης αὐτῷ κειμένους ἀναγνόντες, πολλὴν ὑπὲρ τοῦ πράγματος τούτου ποιώμεθα σπουδήν. τοῦτο γὰρ καὶ ἁμαρτίας καθαίρει (Δότε γὰρ, φησιν, ἐλεημοσύνην, καὶ πάντα ὑμῖν ἔσται καθαρά) τοῦτο θυσίας μεῖζον (Ἔλεον γὰρ θέλω, καὶ οὐ θυσίαν) τοῦτο τοὺς οὐρανοὺς ἀνοίγνυσιν (Αἱ εὐχαὶ γάρ σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ) τοῦτο παρθενίας ἀναγκαιότερον. οὕτω γὰρ ἐξεβλήθησαν τοῦ νυμφῶνος ἐκεῖναι· οὕτως αἱ ἄλλαι εἰσηνέχθησαν. ἅπερ ἅπαντα συνειδότες σπείρωμεν φιλοτίμως, ἵνα μετὰ πλείονος θερίσωμεν δαψιλείας, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι * καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

γρ. ἡ
γρ. εἰσήχθη
* καὶ οἰκτιρμοῖς

κεφ. ιε.

Ὁμιλ. ια. 1 ΤΟΤΕ ΠΡΟΣΕΡΧΟΝΤΑΙ ΤΩ ΙΗΣΟΥ ΟΙ ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι λέγοντες· Διατί, καὶ τὰ ἑξῆς.

Τότε, πότε; ὅτε τὰ μυρία σημεῖα εἰργάσατο, ὅτε τοὺς ἀρρώστους ἐθεράπευσεν ἐκ τῆς ἁφῆς τοῦ κρασπέδου. διὰ γὰρ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τὸν καιρὸν, ἵνα ἐνδείξηται τὴν ἄφατον αὐτῶν πονηρίαν οὐδενὶ εἴκουσαν. τί δέ ἐστιν, οἱ ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι; πανταχοῦ τῶν φυλῶν ἦσαν διεσπαρμένοι, καὶ εἰς δώδεκα διῃρημένοι μέρη· ἀλλ' οἱ τὴν μητρόπολιν ἔχοντες, πονηρότεροι τῶν ἄλλων ἦσαν, ἅτε καὶ πλείονος ἀπολαύοντες τιμῆς, καὶ πολὺν κεκτημένοι τὸν τῦφον. θέα δέ μοι πῶς καὶ ἀπὸ τῆς ἐρωτήσεως αὐτῆς ἁλίσκονται. οὐδὲ γὰρ λέγουσι, Διατί παραβαίνουσι τὸν νόμον Μωϋσέως· ἀλλὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων. ὅθεν δῆλον, ὅτι πολλὰ ἐκαινοτόμουν οἱ ἱερεῖς· καίτοι Μωϋσέως μετὰ πολλοῦ τοῦ φόβου καὶ μετὰ πολλῆς τῆς ἀπειλῆς ἐπισκήψαντος, ὥστε μήτε προσθεῖναι μήτε ἀφελεῖν. Οὐ προσθήσετε γὰρ πρὸς τὸ ῥῆμα, ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, καὶ οὐκ ἀφελεῖτε ἀπ' αὐτοῦ. ἀλλ' οὐδὲν ἧττον ἐκαινοτόμουν· οἷον δὴ καὶ τοῦτο ἦν, τὸ μὴ δεῖν ἀνίπτοις χερσὶν ἐσθίειν, τὸ ποτήριον βαπτίζειν καὶ χαλκεῖα, τὸ καὶ αὐτοὺς βαπτίζεσθαι. ὅτε γὰρ ἔδει λοιπὸν αὐτοὺς ἀπαλλαγῆναι τῶν παρατηρήσεων τοῦ χρόνου προελθόντος, τότε αὐτοὺς μᾶλλον πλείοσιν ἔδησαν ταῖς παρατηρήσεσι, δεδοικότες μή τις αὐτῶν ἀφέληται τὴν ἀρχὴν, καὶ φοβερώτεροι εἶναι βουλόμενοι, ὡς δὴ καὶ αὐτοὶ νομοθέται. εἰς τοσοῦτον οὖν προῆλθε παρανομίας τὸ πρᾶγμα, ὡς τὰς μὲν αὐτῶν φυλάττεσθαι ἐντολὰς, τὰς δὲ τοῦ Θεοῦ παραβαίνεσθαι· καὶ τοσοῦτον ἐκράτουν, ὥστε μὴ κατηγορεῖν λοιπὸν τὸ πρᾶγμα εἶναι. ὅπερ διπλοῦν κατ' αὐτῶν ἔγκλημα ἦν, ὅτι τε ἐκαινοτόμουν, καὶ ὅτι οὕτως ἐξεδίκουν τὰ ἑαυτῶν, τοῦ Θεοῦ οὐδένα ποιούμενοι λόγον. καὶ ἀφέντες τὰ ἄλλα εἰπεῖν, τοὺς ξέστας καὶ τὰ χαλκία (καταγέλαστα γὰρ ἦν) ὃ τῶν ἄλλων ἐδόκει μᾶλλον λόγον ἔχειν, τοῦτο εἰς μέσον προφέρουσιν, οὕτως, ὡς ἔμοι γε δοκεῖ, εἰς ὀργὴν αὐτὸν ἐξάγειν βουλόμενοι. διὸ καὶ τῶν πρεσβυτέρων ἐμνημόνευσαν, ἵν' ὡς ἐξουδενῶν αὐτοὺς, παρ' ἀρχὴν καθ' ἑαυτοῦ λαβήν. ἄξιον δὲ πρότερον ἐξετάσαι, διατί καὶ οἱ μαθηταὶ χερσὶν ἀνίπτοις ἤσθιον. οὐκ ἐπιτηδεύοντες τοῦτο, ἀλλ' ὑπερορῶντες λοιπὸν τῶν περιττῶν, καὶ τοῖς ἀναγκαίοις προσέχοντες, οὔτε τὸ νίπτεσθαι,

Δευτ. δ. β.

οὔτε τὸ μὴ νίπτεσθαι νόμον ἔχοντες, ἀλλ' ὡς ἔτυχεν ἑκάτερα ποιοῦντες. οἱ γὰρ καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς καταφρονοῦντες, πῶς ἔμελλον ταῦτα περιεσπούδαστα ἔχειν; ἐπεὶ οὖν συνέβαινε πολλάκις τοῦτο ἀπὸ ταὐτομάτου γίνεσθαι, οἷον ὡς ὅτε ἐν τῇ ἐρήμῳ ἤσθιον, ὡς ὅτε τοὺς ἀστάχυας ἔτιλλον, αἰτίαν ἐγκλήματος αὐτὸ περιβάλλονται, οἱ τὰ μεγάλα ἀεὶ παρατρέχοντες, καὶ τῶν περιττῶν πολλὴν ποιούμενοι λόγον. τί οὖν ὁ Χριστός; οὐκ ἔστη πρὸς τοῦτο, οὐδὲ ἀπελογήσατο· ἀλλ' εὐθέως ἀντεγκαλεῖ, καταστέλλων αὐτῶν τὴν παῤῥησίαν, καὶ δεικνύς, ὅτι τὰ μεγάλα ἁμαρτάνοντας ὑπὲρ μικρῶν πρὸς ἑτέρους ἀκριβολογεῖσθαι οὐ χρή. δέον γὰρ ὑμᾶς ἐγκαλεῖσθαι, φησὶ, καὶ ἐγκαλεῖτε. σὺ δὲ παρατήρει, πῶς ὅταν τι βούληται λῦσαι τῶν νομίμων, ἐν τάξει ἀπολογίας αὐτὸ ποιεῖ, ὅπερ καὶ τότε ἐποίησεν. οὐδὲ γὰρ εὐθέως ἐπὶ τὴν παράβασιν ἔρχεται, οὐδὲ λέγει, οὐδέν ἐστιν (ἢ γὰρ ἂν θρασυτέρους εἰργάσατο) ἀλλὰ πρότερον ἐκκόπτει αὐτῶν τὴν θρασύτητα, τὸ πολλῷ μεῖζον ἔγκλημα εἰς μέσον ἄγων, καὶ εἰς τὴν ἐκείνων περιέλκων κεφαλήν. καὶ οὔτε λέγει, ὅτι καλῶς ποιοῦσι παραβαίνοντες, ἵνα μὴ δῷ λαβὴν αὐτοῖς· οὔτε κακίζει τὸ γινόμενον, ἵνα μὴ βεβαιώσῃ τὸν νόμον· οὐδ' αὖ πάλιν κατηγορεῖ τῶν πρεσβυτέρων, ὡς παρανόμων καὶ μιαρῶν (ἢ γὰρ ἂν ὡς λοίδορον καὶ ὑβριστὴν ἀπεστράφησαν) ἀλλὰ πάντα ταῦτα ἀφεὶς, ἑτέραν ὁδὸν ἔρχεται. καὶ δοκεῖ μὲν αὐτοῖς ἐπιτιμᾷν τοῖς παραγινομένοις, καθάπτεται δὲ τῶν ταῦτα νομοθετησάντων, τῶν μὲν πρεσβυτέρων οὐδαμοῦ μνημονεύων, ἐν δὲ τῇ πρὸς τούτους κατηγορίᾳ κἀκείνους καταβάλλων, καὶ δεικνὺς ὅτι διπλοῦν τὸ ἁμάρτημα, ὅτι καὶ τῷ Θεῷ οὐ πείθονται, καὶ δι' ἀνθρώπους τοῦτο ποιοῦσιν· ὡσανεὶ ἔλεγε· τοῦτο γὰρ αὐτὸ ὑμᾶς κἀκείνους ἀπώλεσε, τοῦτο, τὸ πάντα πείθεσθαι τοῖς πρεσβυτέροις. ἀλλ' οὐ λέγει οὕτω· τοῦτο δὲ αὐτὸ αἰνίττεται, οὕτως αὐτοῖς ἀποκριθείς·

3 Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; ὁ γὰρ Θεὸς ἐνετείλατο·

4 Τίμα τὸν πατέρα καὶ τὴν μητέρα· καὶ, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω·

Ἔξοδ. κ. ιβ.
Λευϊτ. κ. θ.

5 Ὑμεῖς δὲ λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς,

6 Καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα καὶ τὴν μητέρα. καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. Καὶ οὐκ εἶπε, τῶν πρεσβυτέρων, ἀλλ' ὑμῶν· καὶ ὑμεῖς λέγετε, καὶ οὐκ εἶπεν, οἱ πρεσβύτεροι, ὥστε ἀνεπαχθέστερον ποιῆσαι τὸν λόγον. ἐπειδὴ γὰρ παρανόμους ἠθέλησαν δεῖξαι τοὺς μαθητὰς, δείκνυσιν αὐτοὺς τοῦτο ποιοῦντας, τούτους δὲ ἀπηλλαγμένους ἐγκλήματος. οὐ γὰρ δὴ νόμος τὸ ὑπὸ τῶν ἀνθρώπων ἐπιταχθέν. διὸ καὶ παράδοσιν αὐτὸ καλεῖ, καὶ ἀνθρώπων μάλιστα παρανόμων. καὶ ἐπειδὴ τοῦτο οὐκ ἦν ὑπεναντίον τῷ νόμῳ, τὸ κελεύειν τὰς χεῖρας νίπτειν, ἑτέραν παράδοσιν εἰς μέσον ἄγει, ἐναντιουμένην τῷ νόμῳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐπαίδευσαν τοὺς νέους εὐσεβείας σχήματι καταφρονεῖν τῶν πατέρων. πῶς καὶ τίνι τρόπῳ; εἴ τις τῶν γονέων εἶπε τῷ παιδί· δός μοι τὸ πρόβατον τοῦτο ὃ ἔχεις, ἢ τὸν μόσχον, ἢ ἄλλο τι τοιοῦτον, ἔλεγον· δῶρόν ἐστι τοῦτο τῷ Θεῷ, ὃ θέλεις ἐξ ἐμοῦ ὠφεληθῆναι, καὶ οὐ δύνασαι λαβεῖν. καὶ διπλοῦν ἐντεῦθεν ἐγίνετο τὸ κακόν. οὔτε γὰρ τῷ Θεῷ προσῆγον, καὶ τοὺς γονέας ὀνόματι τῆς προσφορᾶς ἀπεστέρουν, τούς τε γεγεννηκότας διὰ τὸν Θεὸν ὑβρίζοντες, καὶ τὸν Θεὸν διὰ τοὺς γεγεννηκότας. ἀλλ' οὐ λέγει τοῦτο εὐθέως. ἀλλὰ πρότερον τὸν νόμον ἀναγινώσκει, δι' οὗ δείκνυσι σφόδρα βουλόμενον αὐτὸν τιμᾶσθαι γονέας. Τίμα γάρ, φησι, τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. καὶ πάλιν, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ἀλλ' αὐτὸς ἐκεῖνο ἀφεὶς, τὸ κείμενον ἔπαθλον τοῖς τιμῶσι τοὺς γονέας, τὸ φοβερώτερον τίθησι, τὴν κόλασιν λέγω τὴν τοῖς ἀτιμάζουσιν ἠπειλημμένην, καὶ αὐτοὺς καταπλῆξαι βουλόμενος, καὶ τοὺς νοῦν ἔχοντας ἐπισπάσασθαι· καὶ δείκνυσιν ἐντεῦθεν θανάτου ἀξίους ὄντας. εἰ γὰρ ὁ ῥήματι ἀτιμάζων κο-

λάζεται, πολλῷ μᾶλλον ὑμεῖς οἱ ἔργῳ· οὐ μόνον ἀτιμάζοντες, ἀλλὰ καὶ ἑτέρους τοῦτο διδάσκοντες. οἱ τοίνυν μηδὲ ζῇν ὀφείλοντες, πῶς ἐγκαλεῖτε τοῖς μαθηταῖς; τί δὲ θαυμαστὸν, εἰ εἰς ἐμὲ τὸν τέως ἀγνοούμενον τοιαῦτα ὑβρίζετε, ὅταν καὶ εἰς τὸν πατέρα φαίνησθε τοιαῦτα ποιοῦντες; πανταχοῦ γὰρ καὶ λέγει καὶ δείκνυσιν, ὅτι ἐκεῖθεν τῆς ἀπονοίας ἤρξαντο ταύτης. τινὲς γὰρ καὶ ἑτέρως ἑρμηνεύουσι, τὸ δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, τουτέστιν, οὐκ ὀφείλω σοι τιμὴν, ἀλλὰ χαρίζομαί σοι, ἂν ἄρα σε τιμήσω. ἀλλ' οὐκ ἂν ὁ Χριστὸς τοιαύτης ἐμνημόνευσεν ὕβρεως. καὶ ὁ Μάρκος δὲ σαφέστερον τοῦτο ποιεῖ λέγων· Κορβᾶν ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, ὅπερ οὐκ ἔστι δωρεὰ καὶ προῖξ, ἀλλὰ προσφορὰ κυρίως λέγεται. δείξας τοίνυν ὅτι οὐκ ἂν εἶεν δίκαιοι ἐγκαλεῖν παραβαίνουσιν ἐντολὴν πρεσβυτέρων οἱ τὸν νόμον καταπατοῦντες, δείκνυσι τοῦτο αὐτὸ καὶ ἀπὸ τοῦ προφήτου. ἐπειδὴ γὰρ αὐτοὺς εἷλε σφοδρῶς, περαιτέρω πρόεισιν· ὃ δὴ πανταχοῦ ποιεῖ, τὰς γραφὰς εἰς μέσον ἄγων, καὶ ταύτῃ δεικνὺς ἑαυτὸν συμβαίνοντα τῷ Θεῷ. τί δαὶ ὁ προφήτης φησίν;

Μαρ. ζ. ια.

Ἡσ. κθ. ιγ.

8 Ο λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.

9 Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.

Εἶδες προφητείαν ″ συμβαίνουσαν τοῖς εἰρημένοις μετὰ ἀκριβείας, καὶ ἄνωθεν αὐτῶν προαναφωνηθεῖσαν τὴν κακίαν; ὅπερ γὰρ ὁ Χριστὸς ἐνεκάλεσε νῦν, τοῦτο καὶ ὁ Ἡσαΐας ἄνωθεν εἶπεν, ὅτι τῶν μὲν τοῦ Θεοῦ καταφρονοῦσι (μάτην γὰρ σέβονταί με φησι) τῶν δὲ ἰδίων πολλὴν ποιοῦνται λόγον (διδάσκοντες γὰρ ἐντάλματα διδασκαλίας ἀνθρώπων) οὐκοῦν εἰκότως αὐτὰς οὐ τηροῦσι. δοὺς τοίνυν αὐτοῖς καιρίαν τὴν πληγὴν καὶ ἀπὸ τῶν γραμμάτων, καὶ ἀπὸ τῆς οἰκείας ψήφου, καὶ ἀπὸ τοῦ προφήτου τὴν κατηγορίαν αὐξήσας· ἐκείνοις μὲν οὐδὲν διαλέγεται ἀδιορθώτως λοιπὸν ἔχουσι, τὸν δὲ λόγον τρέπει πρὸς τοὺς ὄχλους, ὥστε τὸ δόγμα εἰσενεγκεῖν ὑψηλὸν καὶ μέγα ὂν, καὶ πολλῆς φιλοσοφίας γέμον. καὶ λαβὼν ἀφορμὴν ἀπ' ἐκείνου, τὸ μεῖζον ὑφαίνει λοιπὸν, καὶ τὴν βρωμάτων παρατήρησιν ἐκβάλλει. ἀλλ' ὅρα πότε. ὅτε τὸν λεπρὸν ἐκάθαρεν, ὅτε τὸ σάββατον ἔλυσεν, ὅτε γῆς καὶ θαλάττης βασιλέα ἑαυτὸν ἀπέφηνεν, ὅτε ἐνομοθέτησεν, ὅτε ἁμαρτήματα ἀφῆκεν, ὅτε νεκροὺς ἤγειρεν, ὅτε πολλὰ δείγματα τῆς θεότητος αὐτοῦ παρέσχεν αὐτοῖς, τότε περὶ βρωμάτων διαλέγεται. καὶ γὰρ ὁ πᾶς Ἰουδαϊσμὸς ἐν τούτῳ συνέχεται· κἂν τοῦτο ἀνέλῃς, * τὸ πᾶν ἀνεῖλες. ἐντεῦθεν γὰρ δείκνυσιν, ὅτι καὶ περιτομὴν δεῖ λύειν. ἀλλ' αὐτὸς μὲν τοῦτο προηγουμένως οὐκ εἰσηγεῖται, ἐπειδὴ τῶν ἄλλων ἐντολῶν πρεσβύτερον ἦν, καὶ πλείονα εἶχε τὴν ὑπόληψιν· διὰ δὲ τῶν μαθητῶν ″ αὐτὸ νομοθετεῖ. οὕτω γὰρ μέγα ἦν, ὅτι καὶ οἱ μαθηταὶ μετὰ τοσοῦτον χρόνον βουλόμενοι αὐτὸ ἀνελεῖν, πρότερον αὐτὸ μεταχειρίζονται, καὶ οὕτω καταλύουσιν. ὅρα δὲ πῶς εἰσάγει τὸν νόμον.

χ. συμφων

* ἢ

γρ. αὐτῷ

10 Προσκαλεσάμενος γὰρ τοὺς ὄχλους εἶπεν αὐτοῖς· ἀκούσατε καὶ συνίετε.

Οὐδὲ γὰρ ἁπλῶς αὐτοῖς ἀποφαίνεται· ἀλλὰ τῇ τιμῇ καὶ τῇ θεραπείᾳ πρότερον εὐπαράδεκτον ποιεῖ τὸν λόγον (τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπὼν, προσκαλεσάμενος) ἔπειτα καὶ τῷ καιρῷ. μετὰ γὰρ τὸν ἐκείνων ἔλεγχον καὶ τὴν νίκην τὴν κατ' αὐτῶν, καὶ τὴν παρὰ τοῦ προφήτου κατηγορίαν, τότε ἄρχεται τῆς νομοθεσίας, ὅτε καὶ εὐκολώτερον ″ κατεδέχοντο τὰ λεγόμενα. καὶ οὐχ ἁπλῶς αὐτοὺς προσκαλεῖται, ἀλλὰ καὶ προσεκτικωτέρους ποιεῖ. Συνίετε γάρ, φησι· τουτέστι, νοήσατε, διαναστῆτε. τοιοῦτος γὰρ ὁ μέλλων γράφεσθαι νόμος. εἰ γὰρ αὐτοὶ τὸν νόμον ἔλυσαν, καὶ παρὰ καιρὸν διὰ τὴν ἰδίαν παράδοσιν, καὶ ἠκούσατε· πολλῷ μᾶλλον ἐμοῦ ἀκούειν χρὴ τοῦ κατὰ τὸν προσήκοντα καιρὸν ἐπὶ μείζονα ὑμᾶς ἄγοντος φιλοσοφίαν. καὶ οὐκ εἶπεν, οὐδέν ἐστιν ἡ παρατήρησις τῶν βρωμάτων, οὐδ' ὅτι Μωϋσῆς κακῶς προσέταξεν, οὐδ' ὅτι συγκαταβαίνων· ἀλλ' ἐν τάξει παραινέσεως καὶ συμβουλῆς, καὶ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως τὴν μαρτυρίαν λαβὼν, φησιν·

γρ. καταδέχο
ται

11 Οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα διὰ τοῦ στόματος, Ἐπὶ τὴν φύσιν αὐτὴν καταφεύγων, καὶ νομοθετῶν καὶ ἀποφαινόμενος. καὶ ταῦτα ἀκούοντες οὐδὲν ἀντεῖπον ἐκεῖνοι, οὐδὲ εἶπον, τί λέγεις; τοῦ Θεοῦ μυρία παραγγείλαντος περὶ βρωμάτων παρατηρήσεως, σὺ τοιαῦτα νομοθετεῖς; ἀλλ' ἐπειδὴ σφόδρα αὐτοὺς ἐπεστόμισεν, οὐ τῷ ἐλέγξαι μόνον, ἀλλὰ καὶ τῷ τὸν δόλον αὐτῶν εἰς μέσον ἀγαγεῖν, καὶ τῷ τὸ λάθρα γινόμενον παρ' αὐτῶν ἐκπομπεῦσαι, καὶ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν ἀνακαλύψαι, ἐπιστομισθέντες ἀπῆλθον. σὺ δέ μοι σκόπει, πῶς οὐδέπω θαῤῥεῖ σαφῶς κατατολμῆσαι τῶν βρωμάτων. διὰ τοῦτο οὐδὲ εἶπε τὰ βρώματα, ἀλλὰ τὰ εἰσερχόμενα οὐ κοινοῖ τὸν ἄνθρωπον· ὅπερ εἰκὸς ἦν καὶ περὶ τῶν ἀνίπτων χειρῶν ὑποπτεύειν. αὐτὸς μὲν γὰρ περὶ βρωμάτων ἔλεγεν, ἐνοήθη δ' ἂν καὶ περὶ τούτων. τοσαύτη γὰρ ἡ παρατήρησις τῶν βρωμάτων ἦν, ὡς καὶ μετὰ τὴν ἀνάστασιν τὸν Πέτρον εἰπεῖν· Οὐχί, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. εἰ γὰρ καὶ δι' ἑτέρους ταῦτα ἔλεγε, καὶ ὥστε καταλιπεῖν ἑαυτῷ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, καὶ ἵνα δείξῃ ὅτι καὶ ἀντεῖπε, καὶ οὐδὲ οὕτω συνεχωρήθη, ὅμως δείκνυσι πολλὴν οὖσαν τοῦ πράγματος τὴν ὑπόνοιαν. διά τοι τοῦτο καὶ αὐτὸς ἐξ ἀρχῆς οὐ φανερῶς εἶπε περὶ βρωμάτων· ἀλλὰ τὰ εἰσερχόμενα εἰς τὸ στόμα. καὶ πάλιν, ὅτε σαφέστερον ἔδοξεν ὕστερον λέγειν, ἀπὸ τοῦ τέλους αὐτὸ συνεσκίασεν εἰπών· τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον· ἵνα δόξῃ ἐντεῦθεν τὴν ἀρχὴν εἰληφέναι, καὶ περὶ αὐτοῦ διαλέγεσθαι τέως. διὰ τοῦτο οὐκ εἶπε· τὸ δὲ βρώματα φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον· ἀλλ' ὡς περὶ ἐκείνου διαλεγόμενος, ἵνα μηδὲν ἔχωσιν ἀντειπεῖν ἐκεῖνοι. ταῦτα τοίνυν ἀκούσαντες ἐσκανδαλίσθησαν, φησιν, οἱ Φαρισαῖοι, οὐχ οἱ ὄχλοι.

Πραξ. ι. ιδ.

12 Προσελθόντες γάρ, φησιν, οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ· οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; Καίτοιγε οὐδὲν πρὸς αὐτοὺς εἴρητο. τί οὖν ὁ Χριστός; οὐκ ἔλυσε τὸ σκάνδαλον ἐκείνοις, ἀλλ' ἐπετίμησε λέγων·

13 Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.

Οἶδε γὰρ καὶ καταφρονεῖν σκανδάλων, καὶ μὴ καταφρονεῖν. ἀλλαχοῦ γοῦν φησιν, ἵνα μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν· ἐνταῦθα δέ φησιν,

14 Ἄφετε αὐτούς· ὁδηγοί εἰσι *τυφλῶν. τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. Ταῦτα δὲ ἔλεγον οἱ μαθηταί, οὐχ οὕτως ὑπὲρ ἐκείνων ἀλγοῦντες μόνον, ἀλλὰ καὶ αὐτοὶ ἠρέμα θορυβούμενοι. ἐπειδὴ δὲ οὐκ ἐτόλμων εἰπεῖν ἐξ οἰκείου προσώπου τοῦτο, ἐν τῇ περὶ ἑτέρων διηγήσει τοῦτο μανθάνειν ἐβούλοντο. ὅτι γὰρ τοῦτό ἐστιν, ἄκουσον πῶς μετὰ ταῦτα ὁ θερμὸς καὶ πανταχοῦ προφθάνων Πέτρος προσελθών φησιν· Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην, τὸν ἐν τῇ ψυχῇ θόρυβον ἐκκαλύπτων, καὶ φανερῶς μὲν οὐ τολμῶν εἰπεῖν ὅτι σκανδαλιζόμεθα, ἀξιῶν δὲ διὰ τῆς ἑρμηνείας ἀπαλλαγῆναι τοῦ θορύβου· διὸ καὶ ἐπετιμᾶτο. τί οὖν ὁ Χριστός φησι; πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. τοῦτο περὶ τοῦ νόμου φασὶν εἰρῆσθαι οἱ τὰ Μανιχαίων νοσοῦντες· ἀλλ' ἐπιστομίζει τὰ ἔμπροσθεν εἰρημένα αὐτούς. εἰ γὰρ περὶ τοῦ νόμου ἔλεγε, πῶς ἀνωτέρω ἀπολογεῖται ὑπὲρ αὐτοῦ καὶ μάχεται λέγων· διατί παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; πῶς δὲ τὸν προφήτην εἰσάγει εἰς μέσον λέγοντα· ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, καὶ τὰ ἑξῆς; ἀλλὰ περὶ αὐτῶν ἐκείνων καὶ τῶν παραδόσεων αὐτῶν ταῦτά φησιν. εἰ γὰρ ὁ Θεὸς εἶπε, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, πῶς οὐκ ἔστι φυτεία Θεοῦ, τὸ παρὰ τοῦ Θεοῦ εἰρημένον; καὶ τὸ ἑξῆς δὲ δείκνυσιν, ὅτι περὶ αὐτῶν εἴρηται καὶ τῶν παραδόσεων αὐτῶν. ἐπήγαγε γοῦν· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν. εἰ δὲ περὶ τοῦ νόμου ἔλεγε τοῦτο, εἶπεν ἄν· ὁδηγός ἐστι τυφλὸς τυφλῶν. ἀλλ' οὐχ οὕτως εἶπεν· ἀλλ' ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν, ἐκεῖνον μὲν ἀπαλλάττων τῆς κατηγορίας, εἰς δὲ τούτους

τὸ πᾶν περιέλκων. Εἶτα καὶ τὸ πλῆθος ἀποσχίζων αὐτῶν, ὡς μέλλον εἰς βάραθρον ἐμπίπτειν δι' αὐτούς, φησί· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. Μέγα μὲν κακὸν, καὶ τυφλὸν εἶναι· τὸ δὲ καὶ τοιοῦτον ὄντα, μήτε ἔχειν τὸν χειραγωγὸν, καὶ ὁδηγοῦ τάξιν ἐπέχειν, διπλοῦν καὶ τριπλοῦν ἔγκλημα. Εἰ γὰρ τὸ μὴ ἔχειν ὁδηγὸν τὸν τυφλὸν, ἐπισφαλὲς, πολλῷ μᾶλλον τὸ καὶ ἑτέρου τοῦτο βούλεσθαι εἶναι. Τί οὖν ὁ Πέτρος; οὐ λέγει, τί ποτε; εἰς τί τοῦτο εἴρηκας; ἀλλ' ὡς ἀσαφείας γέμον τοῦτο ἐρωτᾷ. καὶ οὐ λέγει, διατί παράνομον εἶπας (ἐδεδοίκει γὰρ, ἵνα μὴ νομίσῃ αὐτὸν ἐσκανδαλίσθαι) ἀλλ' ὡς ἀσαφείας τοῦτο εἶναι φησιν. ὅτι δὲ οὐκ ἦν ἀσαφείας, ἀλλ' ἐσκανδαλίζετο, δῆλον. οὐδὲν γὰρ ἀσαφείας εἶχε. διὸ καὶ ἐπιπλήττει αὐτοῖς λέγων·

γρ. αὐτῷ

16 Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; Οἱ μὲν γὰρ ὄχλοι οὐδὲ συνῆκαν ἴσως τὸ λεχθέν· αὐτοὶ δὲ ἦσαν οἱ σκανδαλισθέντες. διὸ παρὰ μὲν τὴν ἀρχὴν, ὡς ὑπὲρ τῶν φαρισαίων δῆθεν ἐρωτῶντες, ἐβούλοντο μαθεῖν. ἐπειδὴ δὲ ἤκουσαν αὐτοῦ μεγάλην ἀπειλὴν ἀπειλοῦντος καὶ λέγοντος· ὅτι πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται, καὶ, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν, κατεστάλησαν. ὁ δὲ πανταχοῦ θερμὸς οὐδὲ οὕτως ἀνέχεται σιγῆσαι, ἀλλά φησι· φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. Τί οὖν ὁ Χριστός; σφόδρα ἐπιπληκτικῶς ἀποκρίνεται· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε; ταῦτα δὲ ἔλεγε καὶ ἐπετίμα, ὥστε τὴν πρόληψιν ἐκβαλεῖν. οὐ μὴν ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἕτερα ἐπάγει λέγων·

17 Ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκβάλλεται·

18 Τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον.

19 Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, φόνοι, μοιχείαι, πορνείαι, κλοπαὶ, βλασφημίαι, ψευδομαρτυρίαι,

20 Καὶ ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ ἀνίπτοις χερσὶν ἐσθίειν, οὐ κοινοῖ τὸν ἄνθρωπον. Εἶδες πῶς αὐτοῖς σφοδρῶς κέχρηται καὶ ἐπιτιμητικῶς; Εἶτα κατασκευάζει τὸ εἰρημένον ἀπὸ τῆς κοινῆς φύσεως, καὶ πρὸς τὴν θεραπείαν τὴν ἐκείνων. ὅταν γὰρ εἴπῃ, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκβάλλεται, ἔτι κατὰ Ἰουδαϊκὴν ταπεινότητα ἀποκρίνεται. λέγει γὰρ ὅτι οὐ μένει, ἀλλ' ἐξέρχεται. καίτοι καὶ εἰ ἔμενεν, οὐκ ἐποίει ἀκάθαρτον. ἀλλ' οὐδέπω δυνατοὶ ἦσαν τοῦτο ἀκοῦσαι. διὰ γοῦν τοῦτο καὶ ὁ νομοθέτης τοσοῦτον χρόνον ἀφίησιν, ὅσον ἂν ἔνδον μένῃ· ὅταν δὲ ἐξέλθῃ, οὐκ ἔτι. ἐν ἑσπέρᾳ γοῦν κελεύει λούεσθαι, καὶ καθαρὸν εἶναι, τὸν καιρὸν τῆς πέψεως ἀναμετρῶν καὶ τῆς ἐκκρίσεως. τὰ δὲ τῆς καρδίας, φησὶν, ἔνδον μένει, καὶ ἐξελθόντα κοινοῖ, οὐ μένοντα μόνον. καὶ πρότερον τίθησι τοὺς πονηροὺς διαλογισμοὺς, ὅπερ ἦν Ἰουδαϊκὸν, καὶ οὐδέπω ἀπὸ τῆς τῶν πραγμάτων φύσεως ποιεῖται τὸν ἔλεγχον, ἀλλ' ἀπὸ τοῦ τόπου τῆς κοιλίας καὶ τῆς καρδίας, καὶ ἐκ τοῦ τὰ μὲν μένειν, τὰ δὲ μὴ μένειν. τὰ μὲν γὰρ ἔξωθεν εἰσιόντα, ἔξω πάλιν ἄπεισι· τὰ δὲ ἔνδοθεν τίκτεται, καὶ ἐξελθόντα κοινοῖ, καὶ τότε μᾶλλον, ὅταν ἐξέλθῃ. οὔπω γὰρ ἦσαν δυνατοὶ, ὅπερ ἔφην, ἀκοῦσαι μετὰ τῆς προσηκούσης φιλοσοφίας ταῦτα. ὁ δὲ Μάρκος φησὶν, ὅτι καθαρίζων τὰ βρώματα, ταῦτα ἔλεγεν. οὐ μὴν ἐνέφηνεν οὐδὲ εἶπε, τὸ δὲ βρώματα τοιάδε φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον (οὔτε γὰρ ἠνείχοντο σαφῶς οὕτως αὐτοῦ ἀκοῦσαι) διὸ καὶ ἐπήγαγε· τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον.

ἴσ. τικτόμενα

γρ. καθαρίζονται

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν τίνα ἐστὶ τὰ κοινοῦντα τὸν ἄνθρωπον· μάθωμεν, καὶ φύγωμεν. καὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ τοιοῦτον ὁρῶμεν ἔθος κρατοῦν παρὰ τοῖς πολλοῖς, καὶ ὅπως μὲν καθαροῖς εἰσέλθοιεν ἱματίοις σπουδάζοντας, καὶ ὅπως τὰς χεῖρας νίψαιντο· ὅπως δὲ ψυχὴν καθαρὰν παραστήσαιεν τῷ Θεῷ, οὐδένα ποιουμένους λόγον. καὶ ταῦτα λέγω, οὐ κωλύων ὥστε νίπτειν χεῖρας, οὐδὲ στόμα· ἀλλὰ βουλόμενος οὕτω νίπτειν, ὡς προσήκει, οὐχ ὕδατι μόνον, ἀλλ' ἀντὶ τοῦ ὕδατος ταῖς ἀρεταῖς. ῥύπος γὰρ στόματος, κατηγορία, βλασφημία, λοιδορία, ὀργίλα ῥήματα, αἰσχρολογία, γέλως, εὐτραπελία. Εἰ τοίνυν σύνοιδας σαυτῷ μηδὲν τούτων φθεγγομένῳ, μηδὲ ῥυποῦντι τὸν ῥύπον τοῦτον, πρόσελθε θαρρῶν. Εἰ δὲ μυριάκις ἐδέξω ταύτας τὰς κηλῖδας, τί ματαιοπονεῖς, ὕδατι μὲν περικλύζων τὴν γλῶτταν, τὸν δὲ ὀλέθριον καὶ βλαβερὸν περιφέρων ἐν αὐτῇ ῥύπον; Εἰπὲ γάρ μοι, εἰ κόπρον ἐν ταῖς χερσὶν εἶχες καὶ βόρβορον, ἆρα ἂν ἐτόλμησας εὔξασθαι; οὐδαμῶς. καὶ μὴν τοῦτο οὐδεμία βλάβη· ἐκεῖνο δὲ ὄλεθρος. πῶς οὖν ἐν μὲν τοῖς ἀδιαφόροις εὐλαβὴς, ἐν δὲ τοῖς κεκωλυμένοις ῥᾴθυμος; τί οὖν; οὐ δεῖ προσεύχεσθαι, φησι; δεῖ μέν· ἀλλ' οὐχὶ ῥυποῦντα, οὐδὲ τοιοῦτον ἔχοντα βόρβορον. τί οὖν, ἐὰν προληφθῶ, φησι; κάθαιρον σαυτόν. πῶς δὲ, καὶ τίνι τρόπῳ; κλαῦσον, στέναξον, δὸς ἐλεημοσύνην, ἀπολόγησαι τῷ ὑβρισμένῳ, καταλλάγηθι αὐτῷ· διὰ τούτων ἀπόσμηξον τὴν γλῶτταν, ἵνα μὴ μειζόνως παροξύνῃς τὸν Θεόν. καὶ γὰρ εἴ τις κόπρου τὰς χεῖρας πληρώσας, οὕτω σου κατέχε τοὺς πόδας ἱκετεύων, οὐ μόνον οὐκ ἂν ἤκουσας, ἀλλὰ καὶ τῷ ποδὶ ἐλάκτισας. πῶς οὖν σὺ τολμᾷς οὕτω Θεῷ προσιέναι; καὶ γὰρ χείρ ἐστιν ἡ γλῶττα τῶν εὐχομένων, καὶ δι' αὐτῆς κατεχόμεθα τὰ γόνατα τοῦ Θεοῦ. μὴ τοίνυν μολύνῃς αὐτὴν, ἵνα μὴ καὶ πρὸς σὲ εἴπῃ· Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι. Καὶ γὰρ ἐν χειρὶ γλώσσης ζωὴ καὶ θάνατος· Καὶ ἀπὸ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἀπὸ τῶν λόγων σου κατακριθήσῃ. μᾶλλον τοίνυν τῆς κόρης φύλαττε τὴν γλῶτταν. ἵππος* ἐστὶ βασιλικὸς ἡ γλῶσσα. ἂν μὲν οὖν ἐπιθῇς αὐτῇ χαλινὸν, καὶ διδάξῃς βαδίζειν εὔρυθμα, ἐπαναπαύσεται αὐτῇ καὶ ἐπικαθίσεται ὁ βασιλεύς· ἂν δὲ ἀχαλίνωτον ἀφῇς φέρεσθαι καὶ σκιρτᾶν, τοῦ διαβόλου καὶ τῶν δαιμόνων ὄχημα γίνεται. σὺ δὲ ἀπὸ μὲν συνουσίας ὢν τῆς σαυτοῦ γυναικὸς, οὐ τολμᾷς εὔξασθαι, καίτοιγε οὐδὲ ἔγκλημα τοῦτο· ἀπὸ δὲ λοιδορίας ὢν καὶ ὕβρεως, ὃ καὶ γέενναν προξενεῖ, πρὶν ἢ καθᾶραι σαυτὸν καλῶς, ἀνατείνεις τὰς χεῖρας; καὶ πῶς οὐ φρίττεις, εἰπέ μοι; οὐκ ἤκουσας Παύλου λέγοντος, Ὅτι τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος; εἰ δὲ ἀπὸ τῆς ἀμιάντου κοίτης ἀνιστάμενος οὐ τολμᾷς εὐχῇ προσελθεῖν, ἀπὸ τῆς κοίτης ὢν τῆς διαβολικῆς πῶς καλεῖς τὸ φρικτὸν ὄνομα ἐκεῖνο καὶ φοβερόν; καὶ γὰρ κοίτη διαβολικὴ, τὸ ἐν ὕβρεσι πλύνεσθαι καὶ λοιδορίαις. καὶ καθάπερ πονηρός τις μοιχὸς, ὁ θυμὸς μετὰ πολλῆς ἡμῖν συγγίνεται τῆς ἡδονῆς, τὰ ὀλέθρια προϊέμενος ἐν ἡμῖν σπέρματα, καὶ τὴν διαβολικὴν ποιῶν ἀποτίκτειν ἔχθραν, καὶ ἀπεναντίας τῷ γάμῳ πάντα ἐργαζόμενος. ὁ μὲν γὰρ γάμος τοὺς δύο ποιεῖ σάρκα γενέσθαι μίαν· ὁ δὲ θυμὸς τοὺς ἡνωμένους εἰς πολλὰ διαιρεῖ μέρη, καὶ αὐτὴν κατασχίζει καὶ κατατέμνει τὴν ψυχήν. ἵν' οὖν μετὰ παρρησίας τῷ Θεῷ προσίῃς, μὴ δέξῃ τὸν θυμὸν ἐπεισιόντα σου τῇ ψυχῇ, καὶ συγγενέσθαι βουλόμενον· ἀλλ' ὥσπερ κύνα λυττῶντα ἀπέλασον. οὕτω γὰρ καὶ Παῦλος ἐκέλευσεν. Ἐπαίροντας γὰρ, φησιν, ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμῶν. μὴ δὴ καταισχύνῃς τὴν γλῶτταν· ἐπεὶ πῶς ὑπὲρ σοῦ δεηθήσεται, ὅταν τὴν οἰκείαν παρρησίαν ἀπολέσῃ; ἀλλὰ κόσμησον αὐτὴν ἐπιεικείᾳ, ταπεινοφροσύνῃ· ποίησον ἀξίαν τοῦ παρακαλουμένου Θεοῦ, εὐλογίας αὐτὴν ἔμπλησον, ἐλεημοσύνης πολλῆς. ἔστι γὰρ καὶ διὰ ῥημάτων ἐλεημοσύνην ποιεῖν (κρεῖττον γὰρ λόγος, ἢ δόσις· καὶ, Ἀποκρίθητι τῷ πτωχῷ ἐν πραΰτητι εἰρηνικά) καὶ τὸν ἄλλον δὲ ἅπαντα χρόνον τῇ διηγήσει τῶν θείων καλλώπιζε νόμων. Πᾶσα γὰρ ἡ διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. οὕτως ἑαυτοὺς κοσμήσαντες, προσερχώμεθα τῷ βασιλεῖ, καὶ πίπτωμεν ἐπὶ τὰ γόνατα, μὴ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ διανοίᾳ. ἐννοήσωμεν τίνι προσίμεν, καὶ ὑπὲρ τίνων, καὶ τί βουλόμενοι ἀνύσαι. Θεῷ προσίμεν, ὃν τὰ Σεραφὶμ ἰδόντα τὰς ὄψεις ἀπέστρεφον οὐ φέροντα τὴν λαμπηδόνα, ὃν ἡ γῆ βλέπουσα τρέμει· Θεῷ προσίμεν, τῷ φῶς οἰκοῦντι ἀπρόσιτον, καὶ προσίμεν ὑπὲρ γεέννης ἀπαλ-

Ησ. α. ιε.

Παροι. ιη. κα.

Ματθ. ιβ. λζ.

Εβ. ιγ. δ.

α. Τιμ. β. η.

Σειρ. δ. η.

Σειρ. θ. κε.

λαγῆς, ὑπὲρ ἁμαρτημάτων ἀφέσεως, ὑπὲρ τοῦ λυθῆναι τὰς ἀφορήτους ἡμῖν τιμωρίας ἐκείνας, ὑπὲρ τοῦ τῶν οὐρανῶν τυχεῖν, καὶ ὑπὲρ τῶν ἀγαθῶν τῶν ἐκεῖ. παρακαλέσωμεν τοίνυν καὶ τῷ σώματι καὶ τῇ διανοίᾳ, ἵνα αὐτὸς ἀναστήσῃ κειμένους· μετ' ἐπιεικείας διαλεχθῶμεν καὶ πραότητος ἁπάσης. καὶ τίς οὕτως ἄθλιός, φησι, καὶ ταλαίπωρος, ὡς ἐν εὐχῇ μὴ γενέσθαι ἐπιεικής; ὁ μετ' ἀρᾶς εὐχόμενος, καὶ θυμοῦ πληρῶν ἑαυτὸν, καὶ τῶν ἐχθρῶν καταβοῶν. εἰ μὲν βούλει κατηγορεῖν, σαυτοῦ κατηγόρει· εἰ βούλει τὴν γλῶτταν ἀκονᾷν καὶ θήγειν, κατὰ τῶν σῶν ἁμαρτημάτων· καὶ μὴ τί ἕτερός σε εἰργάσατο κακὸν εἴπῃς, ἀλλὰ τί σὺ σαυτὸν εἰργάσω. τοῦτο γὰρ μάλιστά ἐστι κακόν. οὐδὲ γὰρ ἕτερός σέ τις ἀδικῆσαι δυνήσεται, ἂν μὴ σὺ σαυτὸν ἀδικῇς. ὥστε εἰ κατὰ τῶν ἀδικούντων γενέσθαι βούλει, κατὰ σαυτοῦ πρόσελθε πρότερον, οὐδεὶς ὁ κωλύων· ὡς ἂν κατὰ ἑτέρου προσέλθῃς, μείζονα ἀδικηθεὶς ἀπῆλθες. τίνα δὲ ὅλως καὶ ἀδικίαν ἔχεις εἰπεῖν; ὅτι ὁ δεῖνα ὕβρισε καὶ ἥρπασε καὶ κινδύνοις περιέβαλεν; ἀλλὰ τοῦτο οὐκ ἔστιν ἠδικῆσθαι, ἀλλ', ἐὰν νήφωμεν, καὶ ὠφελεῖσθαι τὰ μέγιστα. ὁ γὰρ ἠδικημένος, ὁ τὰ τοιαῦτα ποιήσας ἐστὶν, οὐχ ὁ παθών. καὶ τοῦτο μάλιστά ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, ὅτι οὐδὲ ἴσμεν τίς ποτέ ἐστιν ὁ ἀδικούμενος, καὶ τίς ὁ ἀδικῶν. ὡς εἰ τοῦτο ᾔδειμεν καλῶς, οὐκ ἂν ἑαυτούς ποτε ἠδικήσαμεν, οὐκ ἂν καθ' ἑτέρου ηὐξάμεθα, μαθόντες ὅτι παρὰ ἑτέρου ἀδύνατον παθεῖν κακῶς. οὐδὲ γὰρ τὸ ἁρπάζεσθαι, ἀλλὰ τὸ ἁρπάζειν, κακόν. ὥστε εἰ μὲν ἥρπασας, κατηγόρει σαυτοῦ· εἰ δὲ ἡρπάγης, καὶ εὔχου ὑπὲρ τοῦ ἡρπακότος, ὅτι σε τὰ μέγιστα ὤνησεν. εἰ γὰρ καὶ μὴ τοιαύτη ἡ γνώμη τοῦ πεποιηκότος, ἀλλὰ σὺ τὰ μέγιστα ὠφελήθης, ἂν γενναίως ἐνέγκῃς. ἐκεῖνον μὲν γὰρ καὶ οἱ ἄνθρωποι καὶ οἱ θεῖοι ταλανίζουσι νόμοι· σὲ δὲ τὸν ἠδικημένον καὶ στεφανοῦσι καὶ ἀνακηρύττουσιν. οὐδὲ γὰρ εἰ πυρέττοντά τις ἥρπασε παρά τινος ἀγγεῖον ὕδωρ ἔχον, καὶ ἐνεφορήθη τῆς βλαβερᾶς ἐπιθυμίας, τὸν ἁρπαγέντα εἴποιμεν ἂν ἠδικῆσθαι, ἀλλὰ τὸν ἁρπάσαντα. τὸν γὰρ πυρετὸν ηὔξησε, καὶ τὴν νόσον χαλεπωτέραν ἐποίησε. τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ φιλοχρημάτου καὶ φιλαργύρου λογίζου. καὶ γὰρ οὗτος πυρέττων πολλῷ χαλεπώτερον ἐκείνου, διὰ τῆς ἁρπαγῆς ταύτης τὴν φλόγα αὔξει τὴν ἑαυτοῦ. καὶ ξίφος δὲ εἴ τις μαινόμενος ἁρπάσας παρὰ ὁτουοῦν ἑαυτὸν διεχειρίσατο, τίς ἦν ὁ ἠδικημένος πάλιν; ὁ ἁρπαγεὶς, ἢ ὁ ἁρπάσας; εὔδηλον ὅτι ὁ ἁρπάσας. οὐκοῦν καὶ ἐπὶ τῆς τῶν χρημάτων ἁρπαγῆς τὸ αὐτὸ τοῦτο ψηφιζώμεθα. ὅπερ γὰρ μαινομένῳ ξίφος, τοῦτο καὶ φιλαργύρῳ πλοῦτος· μᾶλλον δὲ καὶ χαλεπώτερον. ὁ μὲν γὰρ μαινόμενος, τὸ ξίφος λαβὼν καὶ ὠθήσας δι' ἑαυτοῦ, τῆς τε μανίας ἀπηλλάγη, καὶ οὐκ ἔτι δευτέραν λαμβάνει πληγήν· ὁ δὲ φιλάργυρος μυρία χαλεπώτερα ἐκείνου τραύματα καθ' ἑκάστην δέχεται τὴν ἡμέραν, οὐκ ἀπαλλάττων τῆς μανίας ἑαυτὸν, ἀλλ' ἐπιτείνων μειζόνως· καὶ ὅσῳπερ ἂν λάβῃ πλείονα τραύματα, τοσούτῳ μᾶλλον ὑπόθεσιν ἑτέροις παρέχει πληγῆς χαλεπωτέρας. ταῦτ' οὖν ἐννοήσαντες, φύγωμεν τουτὶ τὸ ξίφος, φύγωμεν τὴν μανίαν· κἂν ὀψέ ποτε νήψωμεν. καὶ γὰρ καὶ ταύτην τὴν ἀρετὴν σωφροσύνην δεῖ καλεῖν, οὐχ ἧττον ἐκείνης τῆς παρὰ πᾶσι νενομισμένης. ἐκεῖ μὲν γὰρ, πρὸς μίαν ἐπιθυμίας τυραννίδα ἡ πάλη γίνεται· ἐνταῦθα δὲ, πολλῶν καὶ παντοδαπῶν ἐπιθυμιῶν περιγίνεσθαι δεῖ. οὐδὲν γὰρ, οὐδὲν ἀφρονέστερον τοῦ τῶν χρημάτων δούλου. δοκεῖ κρατεῖν, κρατούμενος· δοκεῖ κύριος εἶναι, δοῦλος ὤν· καὶ δεσμὰ περιτιθεὶς ἑαυτῷ, χαίρει· χαλεπώτερον τὸ θηρίον ἐργαζόμενος, εὐφραίνεται· καὶ αἰχμάλωτος γινόμενος, ἀγάλλεται καὶ πηδᾷ· καὶ ὁρῶν κύνα λυττῶντα καὶ ἐφαλλόμενον αὐτοῦ τῇ ψυχῇ, δῆσαι δέον καὶ λιμῷ τῆξαι, ὁ δὲ καὶ ἄφθονον αὐτῷ παρέχει τὴν τροφὴν, ἵνα μειζόνως ἐφάλληται καὶ φοβερὸς ᾖ. ταῦτα οὖν πάντα ἐννοοῦντες λύσωμεν τὰ δεσμά· ἀνέλωμεν τὸ θηρίον· ἀπελάσωμεν τὴν νόσον· ἐκβάλωμεν τὴν μανίαν ταύτην, ἵνα γαλήνης ἀπολαύσωμεν καὶ ὑγιείας καθαρᾶς, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς εἰς τὸν εὔδιον καταπλεύσαντες λιμένα, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. νβ. 21 ΚΑΙ ΕΞΕΛΘΩΝ ΕΚΕΙΘΕΝ Ο ΙΗΣΟΥΣ, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. 22 Καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε υἱὲ Δαβίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

Ὁ δὲ Μάρκος φησὶν, ὅτι οὐκ ἠδυνήθη λαθεῖν ἐλθὼν εἰς τὴν οἰκίαν. Τί δαὶ ὅλως ἀπήει εἰς τὰ μέρη ταῦτα; ὅτε τῆς τῶν βρωμάτων παρατηρήσεως αὐτοὺς ἀπήλλαξε, τότε καὶ τοῖς ἔθνεσι θύραν ἀνοίγει λοιπὸν, ὁδῷ προβαίνων· ὥσπερ οὖν καὶ Πέτρος, πρότερον τοῦτον ἐπιταγεὶς λῦσαι τὸν νόμον, πέμπεται πρὸς τὸν Κορνήλιον. Πραξ. ι. Εἰ δὲ λέγοι τις, πῶς οὖν τοῖς μαθηταῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, Ματθ. ι. ε. ταύτην "προσίεται; πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐχ ὥσπερ ἐπέταξε τοῖς μαθηταῖς, "τούτῳ καὶ αὐτὸς ὑπεύθυνος ἦν· δεύτερον δὲ, ὅτι οὐδὲ ὡς κηρύξων ἀπῆλθεν. ὅπερ καὶ ὁ Μάρκος αἰνιττόμενος ἔλεγεν, ὅτι καὶ ἔκρυψεν ἑαυτὸν, καὶ οὐκ ἔλαθεν. ὥσπερ γὰρ τὸ μὴ δραμεῖν ἐπ' αὐτοὺς πρώτους, τῆς ἀκολουθίας τῶν πραγμάτων ἦν· οὕτω τὸ προσερχομένους "διώκειν, ἀνάξιον αὐτοῦ τῆς φιλανθρωπίας. Εἰ γὰρ τοὺς φεύγοντας διώκειν ἐχρῆν, πολλῷ μᾶλλον τοὺς διώκοντας φεύγειν οὐκ ἔδει. ὅρα γοῦν πῶς ἐστιν εὐεργεσίας ἁπάσης ἀξία ἡ γυνή. οὐδὲ γὰρ ἐτόλμησεν "ἐλθεῖν εἰς τὰ Ἱεροσόλυμα, φοβουμένη καὶ ἀναξίαν ἑαυτὴν τιθεμένη. ὅτι γὰρ, εἰ μὴ τοῦτο ἦν, ἐκεῖ παρεγένετο ἂν, δῆλον καὶ ἀπὸ τῆς παρούσης σφοδρότητος, καὶ ἐκ τοῦ τῶν ὁρίων αὐτῆς ἐξελθεῖν. Τινὲς δὲ καὶ ἀλληγοροῦντές φασιν, ὅτι ὅτε ἐξῆλθεν ἐκ τῆς Ἰουδαίας ὁ Χριστὸς, τότε αὐτῷ προσελθεῖν ἐτόλμησεν ἡ ἐκκλησία, καὶ αὐτὴ ἐκ τῶν ὁρίων αὐτῆς ἐξελθοῦσα. Ἐπιλάθου γὰρ, φησὶ, τοῦ λαοῦ σοῦ, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Ψαλμ. μδ. ιϛ. καὶ γὰρ ὁ Χριστὸς ἐκ τῶν ὁρίων αὐτοῦ ἐξῆλθε, καὶ ἡ γυνὴ ἐκ τῶν ὁρίων αὐτῆς· καὶ οὕτως ἠδυνήθησαν συντυχεῖν ἀλλήλοις. ἰδοὺ γὰρ γυνὴ Χαναναία, φησὶν, ἐξελθοῦσα ἐκ τῶν ὁρίων αὐτῶν. κατηγορεῖ τῆς γυναικὸς ὁ εὐαγγελιστὴς, ἵνα δείξῃ τὸ θαῦμα, καὶ αὐτὴν ἀνακηρύξῃ μειζόνως. καὶ γὰρ ἀκούσας Χαναναίαν, ἀναμνήσθητι τῶν παρανόμων ἐκείνων ἐθνῶν, οἳ καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων ἀνέτρεψαν· μνησθεὶς δὲ αὐτῶν, ἐννόει καὶ τῆς τοῦ Χριστοῦ παρουσίας τὴν δύναμιν. οἱ γὰρ ἐκβληθέντες, ἵνα μὴ διαστρέψωσιν Ἰουδαίους, οὗτοι τοσοῦτον ἐφάνησαν τῶν Ἰουδαίων ἐπιτηδειότεροι, ὡς καὶ ἐξιέναι ἐκ τῶν ὁρίων καὶ προσιέναι τῷ Χριστῷ, ἐκείνων καὶ πρὸς αὐτοὺς ἐρχόμενον ἐλαυνόντων. προσελθοῦσα τοίνυν οὐδὲν ἕτερόν φησιν, ἀλλ' ἐλέησόν με, καὶ πολὺ διὰ τῆς κραυγῆς περιΐστησι τὸ θέατρον. καὶ γὰρ ἦν θέαμα ἐλεεινὸν, γυναῖκα ἰδεῖν βοῶσαν μετὰ συμπαθείας τοσαύτης, καὶ γυναῖκα μητέρα, καὶ ὑπὲρ θυγατρὸς δεομένην, καὶ θυγατρὸς οὕτω κακῶς διακειμένης. οὐδὲ γὰρ ἐτόλμησεν εἰς ὄψιν τοῦ διδασκάλου τὴν δαιμονῶσαν ἀγαγεῖν, ἀλλ' ἀφεῖσα οἴκοι κεῖσθαι αὐτὴ τίθησι τὴν ἱκετηρίαν, καὶ λέγει τὸ πάθος μόνον, καὶ οὐδὲν πλέον προστίθησιν, οὐδὲ ἕλκει τὸν ἰατρὸν εἰς τὴν οἰκίαν, καθάπερ ὁ βασιλικὸς ἐκεῖνος, λέγων· Ἐλθὼν ἐπίθες τὴν χεῖρά σου, καὶ κατάβηθι πρὶν ἢ ἀποθανεῖν τὸ παιδίον μου· Ματθ. θ. ιη. ἀλλὰ καὶ τὴν συμφορὰν διηγησαμένη, καὶ τῆς νόσου τὴν ἐπίτασιν, τὸν ἔλεον τοῦ δεσπότου προβάλλεται, καὶ κράζει μεγάλα· καὶ οὐ λέγει, ἐλέησον τὴν θυγατέρα μου, ἀλλ' ἐλέησόν με. ἐκείνη μὲν γὰρ "ἀνεπαίσθητός ἐστι τῆς νόσου· ἐγὼ δὲ ἡ τὰ μυρία πάσχουσά εἰμι δεινὰ, ἡ μετ' αἰσθήσεως νοσοῦσα, ἡ μετὰ τοῦ εἰδέναι μαινομένη.

οσιέται;

ἐρῶμεν,

ὑπο

λαύνειν, ἢ,

θεῖν,

ῆλθεν.

ἀναίσθητος

23 Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Τί τὸ καινὸν καὶ παράδοξον; Ἰουδαίους μὲν ἀγνωμονοῦντας ἐπάγει, καὶ βλασφημοῦντας παρακαλεῖ, καὶ πειράζοντας οὐκ ἀφίησι· ταύτην δὲ ἐπιτρέχουσαν αὐτῷ καὶ παρακαλοῦσαν καὶ δεομένην, καὶ οὔτε νόμῳ οὔτε προφήταις ἐντραφεῖσαν, καὶ τοσαύτην εὐλάβειαν ἐπιδεικνυμένην, ταύτην οὐδὲ ἀποκρίσεως ἀξιοῖ. Τίνα οὐκ ἂν τοῦτο ἐσκανδάλισεν, ὁρῶντα τὰ ἐναντία τῇ φήμῃ γινόμενα; καὶ γὰρ ἤκουσαν, ὅτι περιῄει τὰς κώμας θεραπεύων· ταύτην δὲ ἐλθοῦσαν διακρούεται. Τίνα δὲ οὐκ ἂν ἐπέκλασε τὸ πάθος καὶ ἡ ἱκετηρία, ἣν ἐποίησεν ὑπὲρ τῆς θυγατρὸς οὕτω κακῶς διακειμένης; οὐδὲ γὰρ ὡς ἀξία οὖσα, οὐδὲ ὡς ὀφειλὴν ἀπαιτοῦσα, οὕτω προσῆλθεν, ἀλλ' ἐλεηθῆναι ἐδεῖτο, καὶ τὴν συμφορὰν τὴν οἰκείαν ἐξετραγῴδει μόνον, καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῦται. Τάχα πολλοὶ τῶν ἀκουόντων ἐσκανδαλίσθησαν· ἐκείνη δὲ οὐκ ἐσκανδαλίσθη. Καὶ τί λέγω, τῶν ἀκουσάντων; καὶ γὰρ οἶμαι καὶ τοὺς μαθητὰς αὐτοὺς παθεῖν τι πρὸς τὴν συμφορὰν τῆς γυναικός, καὶ διαταραχθῆναι καὶ ἀθυμῆσαι. ἀλλ' ὅμως οὐδὲ ταραχθέντες ἐτόλμησαν εἰπεῖν· δὸς αὐτῇ τὴν χάριν, ἀλλά· Προσελθόντες οἱ μαθηταὶ, ἠρώτων αὐτὸν λέγοντες· ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Καὶ γὰρ ἡμεῖς ὅταν βουληθῶμέν τινα πεῖσαι, τἀναντία πολλάκις λέγομεν. ὁ δὲ Χριστὸς λέγει, φησίν·

24 Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ισραήλ.

Τί οὖν ἡ γυνή; ἐπειδὴ ταῦτα ἤκουσεν, ἐσίγησεν; ἢ ἀπέστη; ἢ καθυφῆκε τῆς προθυμίας; οὐδαμῶς· ἀλλὰ μᾶλλον ἐπέκειτο. ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλ' ὅταν μὴ τύχωμεν, ἀφιστάμεθα, δέον διὰ τοῦτο ἐπικεῖσθαι μᾶλλον. καίτοι τίνα οὐκ ἂν ἐξηπόρησε τοῦτο τότε ῥηθέν; ἱκανὴ μὲν οὖν καὶ ἡ σιγὴ εἰς ἀπόγνωσιν αὐτὴν ἐμβαλεῖν· ἡ δὲ ἀπόκρισις καὶ πολλῷ μᾶλλον [ἐποίει.] τὸ γὰρ μετ' ἑαυτῆς καὶ τοὺς συνηγόρους ἐξαπορηθέντας ἰδεῖν, καὶ τὸ ἀκοῦσαι, ὅτι * τὸ πρᾶγμα γενέσθαι ἀμήχανον, εἰς ἄφατον ἀπορίαν ἐνέβαλεν. ἀλλ' ὅμως οὐκ ἠπορεῖτο ἡ γυνή· ἀλλ' ἐπειδὴ εἶδεν οὐδὲν ἰσχύοντας τοὺς προστάτας, ἀπηναισχύντησε καλὴν ἀναισχυντίαν. πρὸ τούτου μὲν γὰρ οὐδὲ εἰς ὄψιν ἐλθεῖν ἐτόλμα (κράζει γάρ, φησιν, ὄπισθεν ἡμῶν) ὅτε δὲ εἰκὸς ἦν αὐτὴν καὶ πορρότερω ἀπελθεῖν ἐξαπορηθεῖσαν, τότε καὶ ἐγγυτέρω ἔρχεται καὶ προσκυνεῖ λέγουσα·

* ἢ

25 Κύριε, βοήθει μοι. Τί τοῦτο, ὦ γύναι; μὴ γὰρ μείζονα παρρησίαν ἔχεις τῶν ἀποστόλων; μὴ γὰρ πλείονα ἰσχύν; παρρησίαν μὲν καὶ ἰσχύν, φησιν, οὐδαμῶς, ἀλλὰ καὶ αἰσχύνης γέμω· ἀλλ' ὅμως αὐτὴν τὴν ἀναισχυντίαν ἀντὶ ἱκετηρίας προβάλλομαι. αἰδεσθήσεταί μου τὴν παρρησίαν. καὶ τί τοῦτο; οὐκ ἤκουσας αὐτοῦ λέγοντος· ὅτι οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα ἀπολωλότα οἴκου Ισραήλ; ἤκουσα, φησιν, ἀλλ' αὐτὸς Κύριός ἐστι. διόπερ οὐδὲ ἔλεγε· παρακάλεσον καὶ δεήθητι, ἀλλὰ βοήθει μοι. τί οὖν ὁ Χριστός; οὐδὲ ἐν τούτοις ἠρκέσθη, ἀλλ' ἐπιτείνει τὴν ἐξαπόρησιν πάλιν λέγων· 26 Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι τοῖς κυναρίοις. Καὶ ὅτε ἠξίωσεν αὐτὴν λόγου, τότε μειζόνως ἐπέπληξεν, ἢ διὰ τῆς σιγῆς. καὶ οὐκ ἔτι ἐφ' ἕτερον μεταφέρει τὴν αἰτίαν, οὐδὲ λέγει, οὐκ ἀπεστάλην· ἀλλ' ὅσῳ ἐπέτεινεν ἐκείνη τὴν ἱκετηρίαν, τοσούτῳ καὶ αὐτὸς τὴν παραίτησιν ἐπιτείνει· καὶ οὐκ ἔτι πρόβατα αὐτοὺς καλεῖ, ἀλλὰ τέκνα, καὶ αὐτὴν κυνάριον. τί οὖν ἡ γυνή; ἀπ' αὐτῶν τῶν αὐτοῦ ῥημάτων πλέκει τὴν συνηγορίαν. εἰ γὰρ κυνάριόν εἰμι, φησιν, οὐκ εἰμὶ ἀλλοτρία. δικαίως ἔλεγεν ὁ Χριστός, εἰς κρίμα ἐγὼ ἦλθον. ἡ γυνὴ φιλοσοφεῖ, καὶ καρτερίαν ἐπιδείκνυται πᾶσαν καὶ πίστιν, καὶ ταῦτα ὑβριζομένη· ἐκεῖνοι δέ, θεραπευόμενοι καὶ τιμώμενοι, τοῖς ἐναντίοις ἀμείβονται. ὅτι μὲν γὰρ ἀναγκαία ἡ τροφὴ τοῖς τέκνοις, φησίν, οἶδα κἀγώ· πλὴν οὐδὲ ἐγὼ κεκώλυμαι, κυνάριον οὖσα. εἰ μὲν γὰρ μὴ θέμις λαβεῖν, οὐδὲ τῶν ψιχίων μεταλαβεῖν θέμις· εἰ δὲ κἂν ἐκ μικροῦ δεῖ κοινωνεῖν, οὐδὲ ἐγὼ κεκώλυμαι, κἂν κυνάριον ὦ· ἀλλὰ καὶ ταύτῃ μάλιστα μετέχω, εἰ κυνάριόν εἰμι. διὰ ταῦτα ἀνε-

βάλλετο ὁ Χριστός. ἐροῦσαν γὰρ ταῦτα ᾔδει. ἀλλὰ ταῦτα ἠρνεῖτο τὴν δόσιν, ἵνα δείξῃ αὐτῆς τὴν φιλοσοφίαν. εἰ γὰρ μὴ δοῦναι ἔμελλεν, οὐδ' ἂν μετὰ ταῦτα ἔδωκεν, οὐδ' ἂν ἐπεστόμισεν αὐτὴν πάλιν. ἀλλ' ὅπερ ἐπὶ τοῦ ἑκατοντάρχου ἐποίησε λέγων· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν, ἵνα μάθωμεν ἐκείνου τὴν εὐλάβειαν, καὶ ἀκούσωμεν αὐτοῦ λέγοντος· οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· καὶ ὅπερ ἐπὶ τῆς αἱμορροούσης ποιεῖ λέγων· Ἐγὼ οἶδα δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ, ἵνα κατάδηλον αὐτῆς τὴν πίστιν ποιήσῃ· καὶ ὅπερ ἐπὶ τῆς Σαμαρείτιδος, ἵνα δείξῃ ὅτι οὐδὲ ἐλεγχομένη ἀφίσταται· οὕτω δὴ καὶ ἐνταῦθα. οὐ γὰρ ἐβούλετο κρυβῆναι τοσαύτην γυναικὸς ἀρετήν. ὥστε οὐχ ὑβρίζοντος ἦν ἅπερ ἔλεγεν, ἀλλ' ἐκκαλουμένου, καὶ τὸν ἀποκείμενον θησαυρὸν ἐκκαλύπτοντος. σὺ δέ μοι μετὰ τῆς ταπεινοφροσύνης ὅρα καὶ τὴν πίστιν. αὐτὸς μὲν γὰρ τέκνα ἐκάλεσε τοὺς Ἰουδαίους· αὕτη δὲ οὐκ ἠρκέσθη τούτοις, ἀλλὰ καὶ κυρίους ὠνόμασε. τοσοῦτον ἀπέχει ἀλγῆσαι τοῖς ἑτέρων ἐγκωμίοις.

Ματθ. η. ζ.
Λυκ. η. μϛ.
Ιωαν. δ.

27 Καὶ γὰρ τὰ κυνάρια, φησίν, ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Εἶδες γυναικὸς σύνεσιν, πῶς οὐδὲ ἀντειπεῖν ἐτόλμησεν, οὐδὲ ἐδήχθη τοῖς ἑτέρων ἐπαίνοις, οὐδὲ ἠγανάκτησε τῇ ὕβρει; Εἶδες εὐτονίαν; αὐτὸς ἔλεγεν, οὐκ ἔστι καλόν, αὕτη δὲ ἔλεγε, ναὶ Κύριε· αὐτὸς τέκνα ἐκάλει, αὕτη δὲ καὶ κυρίους· αὐτὸς κύνα ὠνόμασεν, αὕτη δὲ καὶ τὸ ἔργον τοῦ κυναρίου προσέθηκεν. Εἶδες ταύτης τὴν ταπεινοφροσύνην; ἄκουσον Ἰουδαίων μεγαληγορίαν. Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· καὶ ἐκ τοῦ Θεοῦ γεγεννήμεθα. ἀλλ' οὐχ [οὕτως] αὕτη· ἀλλὰ κυνάριον ἑαυτὴν καλεῖ, καὶ κυρίους ἐκείνους. διὰ δὴ τοῦτο γέγονε τέκνον. τί οὖν ὁ Χριστός;

Ιωαν. η. λγ.

28 Ὦ γύναι, μεγάλη σου ἡ πίστις. Διὰ γὰρ τοῦτο ἀνεβάλλετο, ἵνα τοῦτο ἀναβοήσῃ τὸ ῥῆμα, ἵνα στεφανώσῃ τὴν γυναῖκα. Γενηθήτω σοι ὡς θέλεις.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἡ μὲν πίστις σου καὶ μείζονα τούτων ἀνῦσαι δύναται· πλὴν γενηθήτω σοι ὡς θέλεις. αὕτη συγγενὴς ἐκείνῃ τῇ φωνῇ τῇ λεγούσῃ· Γενηθήτω ὁ οὐρανός, καὶ ἐγένετο.

Γεν. α. α.

Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Εἶδες πῶς οὐ μικρὸν καὶ αὕτη εἰσήνεγκεν εἰς τὴν ἰατρείαν τοῦ θυγατρίου; διὰ τοῦτο γὰρ οὐδὲ εἶπεν ὁ Χριστός, ἰαθήτω σου τὸ θυγάτριον· ἀλλά, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις· ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς οὐδὲ κολακείας ἦν τὰ ῥήματα, ἀλλὰ πολλὴ τῆς πίστεως ἡ δύναμις. τὴν γοῦν ἀκριβῆ βάσανον αὐτῆς καὶ ἀπόδειξιν τῇ τῶν πραγμάτων ἐπέτρεψεν ἐκβάσει. ἰάθη οὖν, φησί, τὸ θυγάτριον αὐτῆς εὐθέως. σὺ δέ μοι σκόπει, πῶς τῶν ἀποστόλων ἡττηθέντων καὶ οὐκ ἀνυσάντων, αὕτη ἤνυσε. τοσοῦτόν ἐστι προσεδρία εὐχῆς. καὶ γὰρ ὑπὲρ τῶν ἡμετέρων παρ' ἡμῶν βούλεται μᾶλλον τῶν ὑπευθύνων ἀξιοῦσθαι, ἢ παρ' ἑτέρων ὑπὲρ ἡμῶν. καίτοι μείζονα παρρησίαν εἶχον ἐκεῖνοι· ἀλλὰ πολλὴν καρτερίαν ἐπεδείξατο αὕτη. διὰ δὲ τοῦ τέλους καὶ πρὸς τοὺς μαθητὰς ἀπελογήσατο τῆς ἀναβολῆς ἕνεκα, καὶ ἔδειξεν, ὅτι δικαίως, αὐτῶν ἀξιωσάντων, οὐκ ἐπένευσε.

29 Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας. καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ.

30 Καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς, κυλλούς, κωφούς· καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας αὐτοῦ,

31 Καὶ ἐθεράπευσεν αὐτούς, ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξαζον τὸν Θεὸν Ἰσραήλ. Ποτὲ μὲν αὐτὸς περιίεισι, ποτὲ δὲ κάθηται περιμένων τοὺς κάμνοντας, καὶ χωλοὺς εἰς τὸ ὄρος ἀνάγει. καὶ οὐκ ἔτι ἅπτονται οὐδὲ τοῦ ἱματίου, ἀλλ' ἐπὶ τὸ ὑψηλότερον ἀναβαίνουσι, ῥιπτούμενοι πρὸς τοὺς πόδας αὐτοῦ· καὶ διπλῆν τὴν πίστιν τὴν ἑαυτῶν ἐπεδείκνυντο, τῷ τε χωλεύοντες εἰς τὸ ὄρος ἀναβαίνειν, καὶ τῷ μηδενὸς δέεσθαι ἑτέρου, ἀλλὰ τοῦ ῥιφῆναι

ῥῖψαι πρὸς τοὺς πόδας μόνον. καὶ ἦν πολὺ τὸ θαῦμα καὶ παράδοξον, τοὺς φερομένους περιπατοῦντας ἰδεῖν, τοὺς πηροὺς βλέποντας, καὶ οὐ χρείαν ἔχοντας χειραγωγούντων. καὶ γὰρ τὸ πλῆθος τῶν θεραπευομένων, καὶ τὸ εὔκολον τῆς ἰατρείας αὐτοὺς ἐξέπληττεν. Εἶδες πῶς τὴν μὲν γυναῖκα μετὰ τοσαύτης μελλήσεως ἐθεράπευσε, τούτους δὲ εὐθέως; οὐκ ἐπειδὴ βελτίους ἐκείνης οὗτοι, ἀλλ' ἐπειδὴ πιστοτέρα ἐκείνη τούτων. διὰ τοῦτο ἐπ' ἐκείνης μὲν ἀναβάλλεται καὶ μέλλει, τὸ εὔτονον αὐτῆς ἐνδεικνύμενος· τούτοις δὲ εὐθέως παρέχει* τὴν δωρεάν, ἐμφράττων τῶν ἀπίστων Ἰουδαίων τὰ στόματα, καὶ πᾶσαν αὐτῶν ἐκκόπτων ἀπολογίαν. ὅσῳ γὰρ ἄν τις μείζονα εὐεργετῆται, τοσούτῳ μᾶλλόν ἐστιν ὑπεύθυνος κολάσει ἀγνωμονῶν, καὶ μηδὲ τῇ τιμῇ γινόμενος βελτίων. διὰ δὴ τοῦτο καὶ οἱ πλουτοῦντες τῶν πενομένων μᾶλλον κολάζονται κακοὶ ὄντες, ὅτι μηδὲ ἐν εὐθηνίᾳ γεγόνασιν ἥμεροι. μὴ γάρ μοι λέγε, ὅτι ἔδωκαν ἐλεημοσύνην. εἰ γὰρ μὴ κατ' ἀξίαν ἔδωκαν τῆς οὐσίας, οὐδὲ οὕτω διαφεύξονται. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων ἡ ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης. εἰ δὲ οὗτοι δίκην διδόασι, πολλῷ μᾶλλον οἱ τὰ περιττὰ κεκτημένοι, οἱ τριώροφα καὶ τετραώροφα οἰκοδομοῦντες, τῶν δὲ πεινώντων καταφρονοῦντες· οἱ φιλαργυρίας μὲν ἐπιμελούμενοι, ἐλεημοσύνης δὲ ἀμελοῦντες.

ΗΘΙΚΟΝ Ἀλλ' ἐπειδὴ περὶ ἐλεημοσύνης λόγος ἐνέπεσε, φέρε δὴ τὸν λόγον ἐκεῖνον, ὃν πρὸ τριῶν ἡμερῶν περὶ φιλανθρωπίας ποιούμενος ἀτέλεστον εἴασα, ἀναλάβωμεν σήμερον. μέμνησθε ὅτε πρώην περὶ ὑποδημάτων περιεργίας διελεγόμην, καὶ τῆς ματαιοπονίας ἐκείνης καὶ τῆς τῶν νέων βλακείας, τότε ἀπὸ ἐλεημοσύνης ἡμῖν εἰς ἐκεῖνα ὁ λόγος ἐξέπεσε τὰ ἐγκλήματα. τίνα οὖν ἦν τὰ τότε κινούμενα; ὅτι τέχνη τίς ἐστιν ἡ ἐλεημοσύνη, ἐν οὐρανῷ τὸ ἐργαστήριον ἔχουσα, καὶ διδάσκαλον, οὐκ ἄνθρωπον, ἀλλὰ Θεόν. εἶτα ζητοῦντες, τί τέχνη καὶ τί οὐ τέχνη, εἰς ματαιοπονίας καὶ κακοτεχνίας ἐνεπέσομεν, ἐν αἷς καὶ τῆς τέχνης ταύτης ἐμνημονεύσαμεν τῆς τῶν ὑποδημάτων. ἆρα ἀνεπολήσατε; φέρε οὖν καὶ τήμερον τὰ τότε εἰρημένα ἀναλάβωμεν, καὶ δείξωμεν πῶς τέχνη καὶ ἀμείνων πασῶν τεχνῶν ἡ ἐλεημοσύνη. εἰ γὰρ τέχνης ἴδιον, τὸ πρός τι χρήσιμον τελευτᾶν, ἐλεημοσύνης δὲ οὐδὲν χρησιμώτερον, εὔδηλον ὅτι καὶ τέχνη, καὶ τεχνῶν ἁπασῶν αὕτη ἀμείνων. οὐ γὰρ ὑποδήματα ἡμῖν ἐργάζεται, οὐδὲ ἱμάτια ὑφαίνει, οὐδὲ οἰκίας οἰκοδομεῖ τὰς πηλίνας· ἀλλὰ ζωὴν αἰώνιον προξενεῖ, καὶ τῶν τοῦ θανάτου χειρῶν ἐξαρπάζει, καὶ ἐν ἑκατέρᾳ τῇ ζωῇ λαμπροὺς ἀποφαίνει, καὶ οἰκοδομεῖ τὰς μονὰς τὰς ἐν οὐρανοῖς, καὶ τὰς σκηνὰς ἐκείνας τὰς αἰωνίους. αὕτη τὰς λαμπάδας ἡμῶν οὐκ ἀφίησι σβεσθῆναι, οὐδὲ ῥυπαρὰ ἔχοντας ἱμάτια
Ἡσ. α. ιη. φανῆναι ἐν τῷ γάμῳ, ἀλλὰ πλύνει καὶ χιόνος καθαρώτερα ἐργάζεται. Ἐὰν γὰρ ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. οὐκ ἀφίησιν ἡμᾶς ἐμπεσεῖν ἔνθα ὁ πλού-
Λουκ. ις. κγ. σιος ἐκεῖνος, οὐδὲ ἀκοῦσαι τῶν φοβερῶν ῥημάτων· ἀλλ' εἰς κόλπους χειραγωγεῖ τοῦ Ἀβραάμ. καίτοι τῶν τεχνῶν βιωτικῶν ἓν ἑκάστη ἀπολαβοῦσα ἔχει κατόρθωμα· οἷον ἡ γεωργία, τὸ τρέφειν· ἡ ὑφαντική, τὸ ἐνδύειν, μᾶλλον δὲ οὐδὲ τοῦτο. οὐδὲ γὰρ ἀρκεῖ μόνη τὰ παρ' ἑαυτῆς ἡμῖν συνεισενεγκεῖν. καί, εἰ βούλει, τὴν γεωργικὴν ἐξετάσωμεν πρώτην. ἂν γὰρ μὴ ἔχῃ τὴν χαλκευτικήν, ἵνα δίκελλαν καὶ ″ὕνιν καὶ δρέπανον καὶ πέλεκυν, καὶ ἕτερα πλείονα δανείζηται παρ' αὐτῆς· καὶ τὴν τεκτονικήν, ὥστε καὶ ἄροτρον πῆξαι, καὶ ζεύγλην κατασκευάσαι καὶ ἅμαξαν, ὥστε τρίβειν ἀστάχυας· καὶ τὴν σκυτοτομικήν, ὥστε καὶ ἱμάντα ἐργάσασθαι· καὶ τὴν οἰκοδομικήν, ὥστε καὶ τοῖς ἀροτριῶσι ταύροις βουστάσιον οἰκοδομῆσαι, καὶ τοῖς σπείρουσι γεωργοῖς οἰκίαν· καὶ τὴν δρυμοτομικήν, ὥστε ξύλα τέμνειν· καὶ τὴν ἀρτοποιητικὴν μετὰ ταῦτα πάντα, οὐδαμοῦ ″φανεῖται. οὕτω καὶ ἡ ὑφαντική, ὅταν τι ποιῇ, πολλὰς μεθ' ἑαυτῆς καλεῖ τέχνας, ὥστε αὐτῇ συνεφάψασθαι τῶν προκειμένων· κἂν μὴ παραγένωνται καὶ χεῖρα ὀρέξωσιν, ἕστηκε καὶ αὐτὴ καὶ ἐκείνη ἀπορουμένη. καὶ ἑκάστη δὲ τῶν τεχνῶν τῆς ἑτέρας δεῖται. ὅταν δὲ ἐλεῆσαι δέῃ, οὐδενὸς ἡμῖν δεῖ ἑτέρου,

* ἢ δίδω

γρ. ὕννιν

γρ. φαίνεται

πέρου, ἀλλὰ γνώμης δεῖται μόνον. Εἰ δὲ λέγεις, ὅτι χρημάτων δεῖται καὶ οἰκημάτων καὶ ἱματίων καὶ ὑποδημάτων, ἀνάγνωθι τὰ ῥήματα τοῦ Χριστοῦ ἐκεῖνα, ἃ περὶ τῆς χήρας εἶπε, καὶ παῦσαι ταύτης τῆς ἀγωνίας. κἂν σφόδρα πένης ᾖς, καὶ τῶν προσαιτούντων [χείρων,] δύο λεπτὰ ἂν βάλῃς, τὸ πᾶν ἀπήρτισας· κἂν δῷς μάζαν ἄρτου, ταύτην ἔχων μόνον, πρὸς τὸ τέλος ἦλθες τῆς τέχνης. Ταύτην τοίνυν δεξώμεθα τὴν ἐπιστήμην καὶ τέχνην, καὶ κατορθώσωμεν. καὶ γὰρ βέλτιον ταύτην εἰδέναι, ἢ βασιλέα εἶναι καὶ διάδημα περικεῖσθαι. οὐ γὰρ δὴ τοῦτό ἐστι τὸ πλεονέκτημα αὐτῆς μόνον, ὅτι οὐ δεῖται ἑτέρων· ἀλλ' [ὅτι] καὶ ποικίλων πραγμάτων ἐστὶν ἀνυστική, καὶ πολλῶν καὶ παντοδαπῶν. καὶ γὰρ οἰκίας οἰκοδομεῖ τὰς ἀεὶ μενούσας ἐν οὐρανοῖς, καὶ διδάσκει τοὺς κατορθωκότας αὐτὴν, πῶς δεῖ τὸν ἀθάνατον θάνατον διαφυγεῖν· καὶ θησαυρούς σοι δωρεῖται μηδέποτε δαπανωμένους, ἀλλὰ πᾶσαν διαφεύγοντας βλάβην, καὶ τὴν ἀπὸ λῃστῶν, καὶ τὴν ἀπὸ σκωλήκων, καὶ τὴν ἀπὸ σητῶν, καὶ τὴν ἀπὸ τοῦ χρόνου. καίτοιγε εἰ ἐπὶ πυρῶν φυλακῇ τοῦτο μόνον σέ τις ἐδίδαξε, τί οὐκ ἂν ἔδωκας ὥστε * δυνηθῆναι ἐπὶ πολλοῖς ἔτεσιν ἀνάλωτον διατηρῆσαι τὸν σῖτον; ἀλλ' ἰδού σε αὕτη οὐκ ἐπὶ πυρῶν μόνον, ἀλλ' ἐπὶ πάντων παιδεύει, καὶ πῶς δεῖ καὶ τὰ ὑπάρχοντα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀνάλωτα μένοιεν δείκνυσι. καὶ τί δεῖ κατὰ μέρος ἅπαντα λέγειν τῆς τέχνης ταύτης τὰ κατορθώματα; αὕτη γάρ σε διδάσκει, πῶς ἂν γένοιο Θεῷ ὅμοιος, ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν. ὁρᾷς πῶς οὐχ ἓν αὐτῆς τὸ ἔργον, ἀλλὰ πολλά; οὐ δεομένη τέχνης ἑτέρας, οἰκίας οἰκοδομεῖ, ἱμάτια ὑφαίνει, θησαυροὺς ἀναλώτους κατασκευάζει, θανάτου περιγενέσθαι ποιεῖ, διαβόλου κρατεῖ, Θεῷ κατασκευάζει ὁμοίους. τί τοίνυν τῆς τέχνης ταύτης χρησιμώτερον γένοιτ' ἄν; αἱ μὲν γὰρ ἄλλαι μετὰ τῶν εἰρημένων καὶ τῷ παρόντι συγκαταλύονται βίῳ, καὶ νοσούντων τῶν τεχνιτῶν οὐδαμοῦ φαίνονται, καὶ τὰ ἔργα αὐτῶν διαρκεῖν οὐκ ἰσχύουσι, καὶ πόνου δέονται καὶ χρόνου πολλοῦ, καὶ μυρίων ἑτέρων· αὕτη δὲ ὅταν ὁ κόσμος παρέλθῃ, τότε μάλιστα φαίνεται· ὅταν ἀποθάνωμεν, τότε μάλιστα διαλάμπει, καὶ τὰ ἔργα αὐτῆς τὰ γεγενημένα δείκνυσι· καὶ οὔτε χρόνου, οὔτε πόνου, οὔτε ἄλλης τινὸς δεῖται ἐργασίας τοιαύτης· ἀλλὰ καὶ νοσοῦντός σου ἐνεργεῖ, καὶ γεγηρακότος, καὶ πρὸς τὴν μέλλουσάν σοι ζωὴν συναποδημεῖ, καὶ οὐδέποτέ σε ἀπολιμπάνει. αὕτη σε καὶ σοφιστῶν καὶ ῥητόρων δυνατώτερον κατασκευάζει. οἱ μὲν γὰρ ἐν ἐκείναις εὐδοκιμοῦντες ταῖς τέχναις, πολλοὺς ἔχουσι τοὺς φθονοῦντας· οἱ δὲ ἐν ταύτῃ λάμποντες, μυρίους τοὺς εὐχομένους. κἀκεῖνοι μὲν ἀνθρώπων παρεστήκασι βήματι, συνηγοροῦντες τοῖς ἀδικουμένοις, πολλάκις δὲ καὶ τοῖς ἀδικοῦσιν· αὕτη δὲ βήματι παρέστηκε τοῦ Χριστοῦ, οὐ μόνον συνηγοροῦσα, ἀλλὰ καὶ αὐτὸν τὸν δικάζοντα πείθουσα συνηγορεῖν τῷ κρινομένῳ, καὶ τὰς ψήφους ὑπὲρ αὐτοῦ ἐκφέρειν· κἂν μυρία ἡμαρτηκὼς ᾖ, στεφανοῖ καὶ ἀνακηρύττει. Δότε γάρ, φησιν, ἐλεημοσύνην, καὶ πάντα ἔσται καθαρά. καὶ τί λέγω τὰ μέλλοντα; ἐν γὰρ τῷ παρόντι βίῳ εἰ τοὺς ἀνθρώπους ἐροίμεθα, τί βούλονται μᾶλλον, σοφιστὰς εἶναι πολλοὺς καὶ ῥήτορας, ἢ ἐλεήμονας καὶ φιλανθρώπους, ἀκούσῃ τὸ δεύτερον αἱρουμένους· καὶ μάλα εἰκότως. εὐγλωττίας μὲν γὰρ ἀναιρουμένης, οὐδὲν ὁ βίος βλαβήσεται (καὶ γὰρ καὶ πρὸ ταύτης συνέστηκε χρόνον πολύν) ἐὰν δὲ τὸ ἐλεεῖν περιέλῃς, πάντα οἰχήσεται καὶ ἀπόλωλε. καὶ καθάπερ τὴν θάλατταν οὐκ ἔνι πλεῖσθαι, λιμένων καὶ ὅρμων προσκεχωσμένων· οὕτως οὐδὲ τὸν βίον συνεστηκέναι τοῦτον, ἂν ἔλεον καὶ συγγνώμην καὶ φιλανθρωπίαν ἀνέλῃς. διὰ τοῦτο οὐδὲ λογισμῷ μόνον αὐτὰ ἐπέτρεψεν ὁ Θεός· ἀλλὰ πολλὰ μέρη αὐτοῦ καὶ τῇ τῆς φύσεως ἐνέσπειρε τυραννίδι. οὕτω καὶ πατέρες παῖδας ἐλεοῦσιν· οὕτω μητέρες· οὕτω τέκνα γονέας· οὐκ ἐπὶ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀλόγων ἁπάντων· οὕτως ἀδελφοὺς ἀδελφοί, καὶ συγγενεῖς προσήκοντας· οὕτως ἄνθρωπος ἀνθρώπῳ. ἔχομεν γάρ τι καὶ ἀπὸ τῆς φύσεως πρὸς ἔλεον ἐπιρρεπές. διὸ καὶ ὑπὲρ τῶν ἀδικουμένων ἀγανακτοῦμεν, καὶ σφαττομένους ὁρῶντες ἐπικαμπτόμεθα, καὶ πενθοῦντας βλέποντες δακρύομεν. ἐπειδὴ γὰρ σφόδρα

Λουκ. κα. γ. δ.

Λουκ. ια. μα.

δρα βούλεται κατορθοῦσθαι αὐτὸς ὁ Θεός, ἐκέλευσε τῇ φύσει πολλὰ εἰς τοῦτο συνεισενεγκεῖν, δεικνύς, ὅτι σφόδρα αὐτῷ τοῦτο ἐστὶ περισπούδαστον. ταῦτ' οὖν ἐννοοῦντες, καὶ ἡμᾶς ἑαυτοὺς καὶ τὰ παιδία καὶ τοὺς προσήκοντας εἰς τὸ τῆς ἐλεημοσύνης ἀγάγωμεν διδασκαλεῖον, καὶ τοῦτο πρὸ πάντων ἄνθρωπος μανθανέτω, ἐπειδὴ καὶ τοῦτο ἄνθρωπος. μέγα γὰρ ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων· ὡς ἂν μὴ τοῦτο ἔχῃ, καὶ τοῦ εἶναι ἄνθρωπος ἐξέπεσε. τοῦτο σοφοὺς ἐργάζεται. καὶ τί θαυμάζεις εἰ τοῦτο ἄνθρωπος; τοῦτο Θεός. Γίνεσθε γάρ, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν. μάθωμεν τοίνυν εἶναι ἐλεήμονες ἁπάντων ἕνεκα· μάλιστα δέ, ὅτι καὶ ἡμεῖς πολλοῦ δεόμεθα ἐλέους, καὶ μηδὲ ζῆν ″ ἡγούμεθα τὸν χρόνον ἐκεῖνον, ὅταν μὴ ἐλεῶμεν. ἐλεημοσύνην δὲ λέγω, τὴν πλεονεξίας καθαράν. εἰ γὰρ ὁ τοῖς αὑτοῦ ἀρκούμενος καὶ μηδενὶ μεταδιδούς, οὐκ ἐλεήμων· ὁ τὰ τῶν ἑτέρων λαμβάνων, πῶς ἐλεήμων, κἂν μυρία δῷ; εἰ γὰρ τὸ ἀπολαύειν μόνον τῶν ὄντων, ἀπανθρωπίας· πολλῷ μᾶλλον τὸ ἑτέρους ἀφαιρεῖσθαι. εἰ οἱ μηδὲν ἀδικήσαντες ″ κολάζονται, ὅτι οὐ μετέδωκαν, πολλῷ μᾶλλον οἱ καὶ τὰ ἑτέρων λαμβάνοντες. μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι ἄλλος ἠδίκηται, καὶ ἄλλος ἐλεεῖται. τὸ γὰρ δεινὸν τοῦτο ἐστιν. ἔδει γὰρ τὸν ἀδικούμενον αὐτὸν εἶναι καὶ τὸν ἐλεούμενον· νυνὶ δὲ ἑτέρους τραυματίζων, οὓς οὐκ ἐτραυμάτισας θεραπεύεις, δέον ἐκείνους θεραπεύειν, μᾶλλον δὲ μηδὲ τραυματίζειν. φιλάνθρωπος γάρ, οὐχ ὁ πλήττων καὶ θεραπεύων, ἀλλ' ὁ τοὺς παρ' ἑτέρων πληγέντας ἰώμενος. τὰ σαυτοῦ τοίνυν ἴασαι κακά, μὴ τὰ ἑτέρου· μᾶλλον δὲ μηδὲ πλῆττε, μηδὲ κατάβαλλε (τοῦτο γὰρ παίζοντός ἐστιν) ἀλλ' ἀνάστησον τοὺς καταβληθέντας. οὐδὲ γὰρ δυνατὸν τῷ αὐτῷ μέτρῳ τῆς ἐλεημοσύνης θεραπεῦσαι τὸ ἀπὸ τῆς πλεονεξίας κακόν. ἂν γὰρ πλεονεκτήσῃς ὀβολόν, οὐχ ὀβολοῦ σοι δεῖ πάλιν εἰς ἐλεημοσύνην, ἵνα ἀνέλῃς τὸ ἀπὸ τῆς πλεονεξίας ἕλκος, ἀλλὰ ταλάντου. διὰ τοῦτο ὁ κλέπτης ἁλοὺς τετραπλάσιον καταβάλλει· τοῦ δὲ κλέπτοντος ὁ ἁρπάζων χείρων. εἰ δὲ ἐκεῖνον τετραπλασίονα δοῦναι δεῖ ὧν ἔκλεψε, τὸν ἁρπάζοντα δεκαπλασίονα καὶ πολλῷ πλέον· καὶ ἀγαπητόν, τὸ καὶ οὕτω δυνηθῆναι τὴν ἀδικίαν ἐξιλεώσασθαι. ἐλεημοσύνης γὰρ οὐδὲ τότε λήψεται καρπόν. διὰ τοῦτο ὁ Ζακχαῖος, Ἀποτίσω, φησίν, ὧν ἐσυκοφάντησα, τετραπλασίονα, καὶ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δώσω πτωχοῖς. εἰ δὲ ἐν τῷ νόμῳ τετραπλασίονα δοῦναι δεῖ, πολλῷ μᾶλλον ἐν τῇ χάριτι εἰ τὸν κλέπτοντα, πολλῷ μᾶλλον τὸν ἁρπάζοντα. μετὰ γὰρ τῆς ζημίας ἐνταῦθα καὶ ἡ ὕβρις πολλή. ὥστε κἂν ἑκατονταπλασίονα δῷς, οὐδέπω τὸ πᾶν ἔδωκας. ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι κἂν ὀβολὸν ἁρπάσῃς καὶ τάλαντον ἐπιδῷς, μόλις καὶ οὕτω θεραπεύεις; εἰ δὲ τοῦτο ποιῶν, μόλις· ὅταν ἀντιστρέψῃς τὴν τάξιν, καὶ ἁρπάσῃς μὲν οὐσίας ὁλοκλήρους, ὀλίγα δὲ παράσχῃς, καὶ μηδὲ ἐκείνοις τοῖς ἀδικηθεῖσιν, ἀλλ' ἑτέροις ἀντ' ἐκείνων, ποίαν ἕξεις ἀπολογίαν; τίνα συγγνώμην; ποίαν σωτηρίας ἐλπίδα; βούλει μαθεῖν ὅσον ἐργάζῃ κακὸν οὕτως ἐλεῶν; ἄκουσον τῆς γραφῆς λεγούσης· Ὡς ὁ ἀποκτείνων τὸν υἱὸν αὐτοῦ ἔμπροσθεν τοῦ πατρός, οὕτως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. ταύτην τοίνυν τὴν ἀπειλὴν ἐγγράψαντες τῇ διανοίᾳ ἀπέλθωμεν, ταύτην ἐν τοῖς τοίχοις, [ταύτην ἐν ταῖς χερσί,] ταύτην ἐν τῷ συνειδότι, ταύτην πανταχοῦ· ἵνα κἂν ὁ φόβος οὗτος ἀκμάζων ἐν τῇ διανοίᾳ ἡμῶν κωλύῃ τὰς χεῖρας ἡμῶν καθημερινῶν φόνων. φόνου γὰρ ἁρπαγὴ χαλεπωτέρα, κατὰ μικρὸν τὸν πένητα ἀναλίσκουσα. ἵν' οὖν καθαρεύωμεν τοῦ νοσήματος τούτου, μελετῶμεν καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ταῦτα. οὕτω γὰρ καὶ πρὸς ἔλεον ἐσόμεθα προθυμότεροι, καὶ καθαροὺς τοὺς ἐπὶ ταύτῃ ληψόμεθα μισθούς, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ϛ. λϛ.

ἴσ. ἡγώμεθα

γρ. κολάζονται,

Λουκ. ιθ. η.

Σιρ. λδ. κβ.

Ὁμιλ.

Ομιλ. ιε. 32 Ο ΔΕ ΙΗΣΟΥΣ ΠΡΟΣΚΑΛΕΣΑΜΕΝΟΣ τοὺς μαθητὰς αὐτοῦ, εἶπε· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μή ποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.

ΚΑὶ ἀνωτέρω τὸ σημεῖον τοῦτο μέλλων ποιεῖν, πρότερον ἐθεράπευσε τοὺς τὸ σῶμα πεπηρωμένους· καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο ποιεῖ. ἀπὸ γὰρ τῆς τῶν τυφλῶν καὶ χωλῶν ἰάσεως εἰς τοῦτο ἐμβαίνει καὶ πάλιν. τί δή ποτε δὲ τότε μὲν εἶπον οἱ μαθηταὶ, ἀπόλυσον τοὺς ὄχλους· νῦν δὲ οὐκ εἶπον, καὶ ταῦτα παρελθουσῶν τριῶν ἡμερῶν; ἢ καὶ αὐτοὶ βελτίους γενόμενοι λοιπὸν, ἢ καὶ ἐκείνους ὁρῶντες οὐ σφόδρα αἰσθανομένους τοῦ λιμοῦ. καὶ γὰρ ἐδόξαζον τὸν Θεὸν ἐπὶ τοῖς γινομένοις. ἀλλ' ὅρα πῶς καὶ νῦν οὐχ ἁπλῶς ἐπὶ τὸ θαῦμα ἔρχεται, ἀλλ' ἐκκαλεῖται αὐτοὺς εἰς τοῦτο. οἱ μὲν γὰρ ὄχλοι ἐπὶ ἰατρείαν ἐλθόντες, οὐκ ἐτόλμων τοὺς ἄρτους αἰτῆσαι· αὐτὸς δὲ καὶ φιλάνθρωπος καὶ κηδεμὼν, καὶ οὐκ αἰτοῦσι δίδωσι, καί φησι πρὸς τοὺς μαθητάς· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι ἐφόδια ἔχοντες ἦλθον, φησί· τρεῖς ἡμέρας ἤδη μοι παραμένουσιν, ὥστε εἰ καὶ ἔχοντες ἦλθον, "ἀνάλωται ταῦτα. διὰ γὰρ τοῦτο καὶ αὐτὸς οὐκ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τοῦτο πεποίηκεν, ἀλλ' ὅτε αὐτοῖς ἅπαντα ἀνάλωτο· ὥστε πρότερον αὐτοὺς ἐν χρείᾳ καταστάντας, μετὰ πλείονος τῆς προθυμίας δέξασθαι τὸ γενόμενον. διὰ τοῦτό φησιν, ἵνα μὴ ἐκλυθῶσιν ἐν τῇ ὁδῷ· δεικνὺς ὅτι καὶ πόρρωθεν ἀφεστήκεσαν, καὶ οὐδὲν αὐτοῖς ὑπολελειμμένον ἦν. καὶ εἰ μὴ θέλῃς ἀπολῦσαι νήστεις, τίνος ἕνεκεν οὐ ποιεῖς τὸ σημεῖον; ἵνα ἐν τῇ ἐρωτήσει ταύτῃ καὶ τῇ ἀποκρίσει προσεκτικωτέρους ποιήσῃ τοὺς μαθητὰς, τὴν πίστιν ἑαυτῶν ἐπιδεικνυμένους, προσιόντας καὶ λέγοντας, ποίησον ἄρτους. ἀλλ' οὐδὲ οὕτω συνῆκαν τῆς ἐρωτήσεως τὴν αἰτίαν. ὅθεν ὕστερον λέγει αὐτοῖς, καθώς φησιν ὁ Μάρκος· "Ἔτι οὕτως εἰσὶ πεπωρωμέναι αἱ καρδίαι ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν τοῖς μαθηταῖς λέγει, καὶ δείκνυσιν ἀξίους τοῦ παθεῖν εὖ τοὺς ὄχλους, καὶ προστίθησι καὶ τὸν ἔλεον τὸν παρ' αὐτοῦ; ὁ δὲ Ματθαῖός φησιν, ὅτι μετὰ ταῦτα καὶ ἐπετίμησεν αὐτοῖς λέγων· Ὀλιγόπιστοι, οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε; οὕτως ἀλλήλοις συμφωνοῦσιν οἱ εὐαγγελισταί. τί οὖν οἱ μαθηταί; ἔτι χαμαὶ ἕρπουσι· καίτοι μυρία ἐποίησεν, ὥστε μνημονευθῆναι ἐκεῖνο τὸ θαῦμα· καὶ διὰ τῆς ἐρωτήσεως, καὶ διὰ τῆς ἀποκρίσεως, καὶ διὰ τοῦ ποιῆσαι διακόνους αὐτοὺς, καὶ διὰ τὸ ἐναπομεῖναι τοὺς κοφίνους· ἀλλ' ἔτι ἀτελέστερον διέκειντο. διὸ καὶ λέγουσιν αὐτῷ·

Μαρ. η. ιζ.

Ματθ. 15. η. θ.

33 Πόθεν ἡμῖν ἐν ἐρήμῳ ἄρτοι τοσοῦτοι; Καὶ πρὸ τούτου καὶ νῦν τῆς ἐρημίας μέμνηνται· αὐτοὶ μὲν ἀσθενεῖ λογισμῷ τοῦτο λέγοντες, τὸ δὲ σημεῖον καὶ ἐντεῦθεν ἀνύποπτον ποιοῦντες. ἵνα γὰρ μή τις λέγῃ, ὅπερ καὶ ἤδη εἶπον, ὅτι ἀπὸ πλησίον τινὸς κώμης οὔσης ἔλαβεν, ὁμολογεῖται ὁ τόπος, ἵνα πιστευθῇ τὸ θαῦμα. διὰ τοῦτο καὶ τὸ πρότερον σημεῖον καὶ τοῦτο ἐν ἐρημίᾳ ποιεῖ πολὺ τῶν κωμῶν ἀπεχούσῃ. ὧν οὐδὲν συνιέντες οἱ μαθηταὶ ἔλεγον· πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι; καὶ γὰρ ἐνόμιζον ταῦτα αὐτὸν εἰρηκέναι, ὡς αὐτοῖς μέλλοντα ἐπιτάττειν διατρέφειν αὐτούς· σφόδρα ἀνοήτως. διὰ γὰρ τοῦτο καὶ πρώην ἔλεγε· δότε αὐτοῖς ὑμεῖς φαγεῖν, ἵνα αὐτοὺς εἰς ἀφορμὴν ἐμβάλῃ τοῦ αὐτὸν [περὶ τούτου] παρακαλέσαι. νῦν δὲ οὐδὲ τοῦτό φησι, δότε αὐτοῖς φαγεῖν· ἀλλὰ τί; σπλαγχνίζομαι [ἐπὶ τὸν ὄχλον] καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, ἐγγύτερον αὐτοὺς ἄγων καὶ ἐρεθίζων μᾶλλον, καὶ διδοὺς

δοὺς διαβλέψαι πρὸς τὸ παρ' αὐτοῦ ταῦτα αἰτῆσαι. καὶ γὰρ δεικνύντος ἦν τὰ ῥήματα, ὅτι δύναται μὴ ἀπολῦσαι αὐτοὺς νήστεις, καὶ ἐμφαίνοντος τὴν ἐξουσίαν. τὸ γὰρ, οὐ θέλω, τοῦτό ἐστιν ἐνδεικνυμένου. ἐπειδὴ δὲ τοῦ πλήθους ἐμνημόνευσαν λοιπὸν, καὶ τοῦ τόπου καὶ τῆς ἐρημίας (πόθεν γάρ, φησιν, ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον;) καὶ οὐδὲ οὕτω συνῆκαν τὸ λεχθέν, λοιπὸν αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσφέρει, καί φησιν αὐτοῖς·

34 Πόσους ἄρτους ἔχετε; οἱ δὲ λέγουσιν, ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια.

Καὶ οὐκ ἔτι λέγουσιν, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους, ὥσπερ ἔμπροσθεν εἶποι. οὕτως εἰ μὴ καὶ τοῦ παντὸς ἐπελαμβάνοντο, ἀλλ' ὅμως ὑψηλότεροι κατὰ μικρὸν ἐγίνοντο. καὶ γὰρ καὶ αὐτὸς διὰ τούτων ἐγείρων αὐτῶν τὴν διάνοιαν ὁμοίως ἐρωτᾷ, ὥσπερ καὶ πρότερον, ἵνα καὶ τῷ τρόπῳ τῆς ἐρωτήσεως ἀναμνήσῃ αὐτοὺς τῶν ἤδη γεγενημένων. σὺ δὲ ὥσπερ εἶδες αὐτῶν τὸ ἀτελὲς ἐκ τούτων, οὕτω κατάμαθε καὶ τὸ φιλόσοφον τῆς γνώμης, καὶ θαύμασον τὸ φιλάληθες, πῶς αὐτοὶ γράφοντες τὰ ἑαυτῶν οὐ κρύπτουσιν ἐλαττώματα, καὶ ταῦτα μεγάλα ὄντα. οὐδὲ γὰρ τὸ τυχὸν ἦν ἔγκλημα, ἔναγχος τοῦ σημείου τούτου γεγενημένου οὕτως εὐθέως ἐπιλελῆσθαι. διὰ τοῦτο καὶ ἐπιτιμῶνται. μετὰ δὲ τούτων καὶ τὴν ἄλλην φιλοσοφίαν ἐννόησον· πῶς ἦσαν γαστρὸς κρείττους· πῶς ἐπαιδεύοντο μὴ πολὺν ποιεῖσθαι τραπέζης λόγον. ἐν ἐρημίᾳ γὰρ ὄντες, καὶ τρεῖς ἡμέρας ἐκεῖ διατρίβοντες, ἑπτὰ ἄρτους εἶχον. τὰ μὲν οὖν ἄλλα ὁμοίως τοῖς προτέροις ποιεῖ. καὶ γὰρ κατακλίνει αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ ἐν ταῖς χερσὶ τῶν μαθητῶν ποιεῖ πηγάζειν τοὺς ἄρτους.

35 Ἐκέλευσε γάρ, φησι, τοὺς ὄχλους ἀναπεσεῖν ἐπὶ τὴν γῆν·

36 Καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ. Τὸ δὲ τέλος οὐκ ἔστιν ὅμοιον.

37 Ἔφαγον γὰρ πάντες, φησὶ, καὶ ἐχορτάσθησαν. καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις.

38 Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

Ματθ. ιδ. κ. Ἀλλὰ διατί τότε μὲν πεντακισχιλίων ὄντων, δώδεκα κόφινοι ἐπερίσσευσαν· ἐνταῦθα δὲ τετρακισχιλίων, ἑπτὰ σπυρίδες; τίνος οὖν ἕνεκεν καὶ διατί ἐλάττονα ἦν τὰ λείψανα, καίτοι οὐ τοσούτων ὄντων τῶν ἑστιωμένων; ἢ τοίνυν τοῦτο ἔστιν εἰπεῖν, ὅτι αἱ σπυρίδες τῶν κοφίνων μείζους ἦσαν· ἢ εἰ μὴ τοῦτο, ἵνα μὴ πάλιν ἡ ἰσότης τοῦ σημείου εἰς λήθην αὐτοὺς ἐμβάλῃ, τῇ διαφορᾷ τὴν μνήμην αὐτῶν διεγείρων, ἵνα ἐκ τοῦ παρηλλαγμένου ἀναμνησθῶσι κἀκείνου καὶ τούτου. διὰ δὴ τοῦτο τότε μὲν τοῖς μαθηταῖς ἰσαρίθμους ποιεῖ τοὺς κοφίνους τῶν λειψάνων· νυνὶ δὲ, τοῖς ἄρτοις τὰς σπυρίδας, κἀν τούτῳ τὴν ἄφατον δύναμιν ἐνδεικνύμενος καὶ τὴν εὐκολίαν τῆς ἐξουσίας, ὅτι αὐτῷ δυνατὸν καὶ οὕτω καὶ ἑτέρως τὰ τοιαῦτα θαυματουργεῖν. οὐδὲ γὰρ μικρᾶς δυνάμεως ἦν, τὸ τὸν ἀριθμὸν διατηρῆσαι καὶ τότε καὶ νῦν, τότε μὲν πεντακισχιλίων ὄντων, νυνὶ δὲ τετρακισχιλίων· καὶ μήτε τότε τῶν κοφίνων, μήτε νῦν τῶν σπυρίδων μήτε ἐλάττονα μήτε πλείονα γενέσθαι ἀφεῖναι τὰ λείψανα, καίτοιγε τοῦ πλήθους τῶν ἑστιωμένων διαφόρου ὄντος. καὶ τὸ τέλος δὲ ὅμοιον τῷ προτέρῳ. καὶ γὰρ καὶ τότε τοὺς ὄχλους ἀφεὶς ἀνεχώρησεν ἐν τῷ πλοίῳ, καὶ νῦν· καὶ ὁ Ἰωάννης δὲ τοῦτό φησιν. Ἰωάν. ϛ. ιε. ἐπειδὴ γὰρ οὐδὲν οὕτω σημεῖον ἀκολουθεῖν αὐτῷ παρεσκεύαζεν, ὡς τὸ τῶν ἄρτων θαῦμα· καὶ οὐ μόνον ἀκολουθεῖν, ἀλλὰ καὶ βασιλέα ποιεῖν ἐβούλοντο, τυραννίδος φεύγων ὑποψίαν ἀποπηδᾷ μετὰ τὴν θαυματουργίαν ταύτην· καὶ οὐδὲ πεζῇ ἄπεισιν, ἵνα μὴ ἀκολουθήσωσιν, ἀλλ' εἰς τὸ πλοῖον ἐμβάς.

39 Καὶ ἀπολύσας, φησὶ, τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

κεφ. ιϛ.

1 Καὶ προσελθόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι, ἠρώτων αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ δεῖξαι αὐτοῖς.

2 Ὁ δέ φησιν· ὀψίας γενομένης λέγετε εὐδία (πυῤῥάζει γὰρ ὁ οὐρανός)

3 Καὶ πρωῒ σήμερον χειμὼν (πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός) τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;

4 Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν.

Ὁ δὲ Μάρκος φησὶν, ὅτι προσελθόντων αὐτῷ καὶ συζητούντων, Ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; καίτοιγε ὀργῆς ἀξία ἡ ἐρώτησις καὶ ἀγανακτήσεως· ἀλλ' ὅμως ὁ φιλάνθρωπος καὶ κηδεμὼν οὐκ ὀργίζεται, ἀλλ' ἐλεεῖ καὶ ταλανίζει ἅτε ἀνίατα νοσοῦντας, καὶ μετὰ τοσαύτην ἀπόδειξιν τῆς ἑαυτοῦ δυνάμεως πειράζοντας αὐτόν. οὐδὲ γὰρ ὥστε πιστεῦσαι ἐζήτουν, ἀλλ' ὥστε ἐπιλαβέσθαι. εἰ γὰρ ὡς πιστεύσοντες προσῆλθον, ἔδωκεν ἄν. ὁ γὰρ τῇ γυναικὶ εἰπὼν, οὐκ ἔστι καλὸν, καὶ μετὰ ταῦτα δοὺς, πολλῷ μᾶλλον ἂν τούτοις παρέσχεν. ἀλλ' ἐπειδὴ οὐ πιστεῦσαι ἐζήτουν, διὰ τοῦτο ὑποκριτὰς '' ἑτέρωθι καλεῖ, ὅτι ἕτερα μὲν ἔλεγον, ἕτερα δὲ ἐφρόνουν. εἰ γὰρ ἐπίστευσαν, οὐδ' ἂν ᾔτησαν. καὶ ἑτέρωθεν δὲ δῆλον ὅτι οὐκ ἐπίστευον. ἐπιτιμηθέντες γὰρ καὶ ἐλεγχθέντες, οὐ παρέμειναν· οὐδὲ εἶπον, ὅτι ἀγνοοῦμεν καὶ μαθεῖν ζητοῦμεν. τί δὲ σημεῖον ἐκ τοῦ οὐρανοῦ ᾔτουν; ἥλιον στῆσαι, ἢ σελήνην χαλινῶσαι, ἢ κεραυνοὺς κατενεγκεῖν, ἢ τὸν ἀέρα μεταβαλεῖν, ἢ ἄλλο τι τοιοῦτον. τί οὖν αὐτός φησι; τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν· τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; ὁρᾷς τὴν πραότητα καὶ τὴν ἐπιείκειαν; οὐδὲ γὰρ ὡς πρότερον ἠρνήσατο μόνον καὶ εἶπεν, οὐ δοθήσεται αὐτῇ, ἀλλὰ καὶ τὴν αἰτίαν λέγει, δι' ἣν οὐ δίδωσι, καίτοιγε οὐχ ὑπὲρ τοῦ μαθεῖν ἐρωτώντων αὐτῶν. τίς οὖν ἡ αἰτία; ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ φησιν, ἄλλο μὲν σημεῖον τοῦ χειμῶνος, ἄλλο δὲ τῆς εὐδίας· καὶ οὐκ ἄν τις τὸ σημεῖον ἰδὼν τοῦ χειμῶνος γαλήνην ζητήσειεν, οὐδὲ ἐν γαλήνῃ εὐδινῇ χειμῶνα· οὕτω καὶ ἐπ' ἐμοῦ λογίζεσθαι χρή. ἄλλος γάρ ἐστι τῆς παρουσίας ὁ καιρὸς, ἄλλος δὲ ὁ μέλλων. νῦν χρεία τούτων τῶν σημείων τῶν ἐν τῇ γῇ, τὰ δὲ ἐν τῷ οὐρανῷ ἐκείνῳ ταμιεύεται τῷ καιρῷ· νῦν ὡς ἰατρὸς ἦλθον, τότε ὡς δικαστὴς παρέσομαι· νῦν ὥστε ζητῆσαι τὸ πεπλανημένον, τότε ὥστε ἀπαιτῆσαι εὐθύνας. διὰ τοῦτο λαθὼν ἦλθον· τότε δὲ μετὰ πολλῆς τῆς δημοσιεύσεως, τὸν οὐρανὸν ἐλίττων, τὸν ἥλιον ἀποκρύπτων, τὴν σελήνην οὐκ ἀφιεὶς δοῦναι τὸ φῶς. (τότε καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται), καὶ ἀστραπὴν ἀθρόως πᾶσι φαινομένην μιμήσεται τῆς παρουσίας μου ἡ ἐπιφάνεια. ἀλλ' οὐχὶ νῦν τούτων ὁ καιρὸς τῶν σημείων. ἦλθον γὰρ ἀποθανεῖν, καὶ τὰ αἴσχιστα παθεῖν. οὐκ ἠκούσατε τοῦ προφήτου λέγοντος· Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ; καὶ ἑτέρου πάλιν· Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον; εἰ δὲ τὰ ἐπὶ Φαραὼ λέγοιεν σημεῖα, πολεμίου τότε ἀπαλλαγῆναι ἔδει, καὶ εἰκότως ἐκεῖνα ἐγένετο· πρὸς δὲ φίλους ἐλθόντι τούτων οὐ χρεία τῶν σημείων. πῶς δὲ καὶ τὰ μεγάλα δώσω, τῶν μικρῶν μὴ πιστευομένων; μικρῶν ὡς πρὸς ἐπίδειξιν λέγω· ἐπεὶ τῇ δυνάμει πολλῷ ταῦτα ἐκείνων μείζονα ἦν. τί γὰρ ἴσον ἂν εἴη τοῦ ἁμαρτήματα λῦσαι, καὶ νεκρὸν ἀναστῆσαι, καὶ δαίμονας ἀπελάσαι, καὶ δημιουργῆσαι σῶμα, καὶ τὰ ἄλλα πάντα διορθῶσαι; σὺ δὲ αὐτῶν ὅρα τὴν πεπωρωμένην καρδίαν, πῶς ἀκούσαντες, ὅτι οὐ δοθήσεται αὐτοῖς σημεῖον, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, οὐκ ἐρωτῶσι. καίτοιγε ἐχρῆν καὶ τὸν προφήτην εἰδότας, καὶ τὰ συμβάντα ἅπαντα, καὶ ἐκ δευτέρου τοῦτο ἀκούσαντας πυθέσθαι καὶ μαθεῖν τί ποτε ἦν τὸ λεγόμενον. ἀλλ' ὅπερ ἔφην, οὐκ ἐπιθυμίᾳ τοῦ μαθεῖν ταῦτα λέγουσι. διὰ δὴ τοῦτο καὶ αὐτὸς ἀφεὶς αὐτοὺς ἀπῆλθε.

Μαρ. η. ιϛ.

ἑτέρωθεν

Ησ. μβ. β.
Ψαλμ. οα. ϛ.

5 Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ, φησιν, εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν.

6 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, καὶ σαδδουκαίων.

Διὰ τί μὴ εἶπε, προσέχετε ἀπὸ τῆς διδασκαλίας; σαφῶς βούλεται

αὐτοὺς ἀναμνῆσαι τῶν γενομένων. καὶ γὰρ ᾔδει ἐπιλελησμένους. ἀλλὰ τὸ μὲν ἁπλῶς ἐγκαλέσαι, οὐκ ἐδόκει λόγον ἔχειν· τὸ δὲ ἀφορμὴν ἀπ' αὐτῶν λαβόντα οὕτως ἐπιτιμῆσαι, εὐπαράδεκτον ἐποίει τὸ ἔγκλημα. καὶ διατί μὴ τότε ἐπετίμησεν αὐτοῖς, ὅτε εἶπον· πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι; καὶ γὰρ εὔκαιρον ἐδόκει τότε τοῦτο λέγεσθαι, ἵνα μὴ δόξῃ ἐπιτρέχειν τῷ σημείῳ. καὶ ἄλλως δέ, οὐκ ἐβούλετο ἐπὶ τῶν ὄχλων αὐτοῖς ἐγκαλέσαι, οὐδὲ ἐπ' ἐκείνων φιλοτιμεῖσθαι. καὶ νῦν δὲ εὐλογωτέρα ἡ κατηγορία, ὅτι διπλοῦ τοῦ θαύματος γενομένου τοιοῦτοι ἦσαν. διὸ καὶ ἄλλο θαῦμα ποιήσας, τότε ἐπιτιμᾷ. ἃ γὰρ διελογίζοντο, ταῦτα εἰς μέσον φέρει. τί δὲ διελογίζοντο;

7 Ὅτι ἄρτους, φησίν, οὐκ ἐλάβομεν. Ἔτι γὰρ περὶ τὰ καθάρσια ἦσαν τὰ Ἰουδαϊκὰ ἐπτοημένοι, καὶ τὰς τῶν βρωμάτων παρατηρήσεις. διὸ ἁπάντων ἕνεκεν καὶ σφοδρότερον αὐτοῖς ἐπιτίθεται, λέγων·

8 Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε;

9 Οὔπω νοεῖτε οὐδὲ συνίετε; πεπωρωμένη ὑμῶν ἐστιν ἡ καρδία; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; ὦτα ἔχοντες, οὐκ ἀκούετε; οὐ μνημονεύετε τῶν πεντακισχιλίων τοὺς πέντε ἄρτους, καὶ πόσους κοφίνους ἐλάβετε;

10 Οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε;

Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην; οὐδὲ γὰρ ἀλλαχοῦ φαίνεται οὕτως αὐτοῖς ἐπιτιμήσας. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ὥστε πάλιν τὴν περὶ τῶν βρωμάτων πρόληψιν ἐκβαλεῖν. διὰ γὰρ τοῦτο, τότε μὲν, οὐ νοεῖτε, μόνον εἶπεν, οὐδὲ συνίετέ φησιν· ἐνταῦθα δὲ, καὶ μετὰ πολλῆς τῆς ἐπιπλήξεως, ὀλιγόπιστοί φησιν. οὐ γὰρ πανταχοῦ ἡ προσηνεία καλόν. ὥσπερ γὰρ μετεδίδου παρρησίας αὐτοῖς· οὕτω καὶ ἐπιτιμᾷ, τῇ ποικιλίᾳ ταύτῃ τὴν σωτηρίαν αὐτῶν οἰκονομῶν. ὅρα δὲ καὶ τὴν ἐπιτίμησιν πολλὴν καὶ τὴν ἐπιείκειαν. μονονουχὶ γὰρ ἀπολογούμενος αὐτοῖς, ὑπὲρ ὧν ἐπετίμησεν αὐτοῖς σφοδρῶς, φησίν· οὔπω νοεῖτε τοὺς πέντε ἄρτους, καὶ πόσους κοφίνους ἐλάβετε; καὶ τοὺς ἑπτὰ ἄρτους, καὶ πόσας σπυρίδας ἐλάβετε; διὰ τοῦτο δὲ καὶ τὸν ἀριθμὸν τίθησι καὶ τῶν τραφέντων καὶ τῶν λειψάνων, ὁμοῦ τε εἰς ἀνάμνησιν αὐτοὺς ἄγων τῶν παρελθόντων, καὶ πρὸς τὰ μέλλοντα προσεκτικωτέρους ποιῶν. καὶ ἵνα μάθῃς ὅσον ἴσχυσεν ἡ ἐπιτίμησις, καὶ πῶς διήγειρεν αὐτῶν καθεύδουσαν τὴν διάνοιαν, ἄκουσον τί φησιν ὁ εὐαγγελιστής. οὐδὲν γὰρ πλέον εἰπόντος τοῦ Ἰησοῦ, ἀλλ' ἐπιτιμήσαντος καὶ τοῦτο προσθέντος μόνον,

11 Πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτων εἶπον ὑμῖν προσέχειν, ἀλλ' ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων; Ἐπήγαγε λέγων·

12 Τότε συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδασκαλίας τῶν φαρισαίων καὶ σαδδουκαίων,

Καίτοι αὐτοῦ τοῦτο ἑρμηνεύσαντος. ἴσ. μὴ ἑρ ὅρα πόσα ἀγαθὰ ἡ ἐπιτίμησις εἰργάσατο. καὶ γὰρ τῶν Ἰουδαϊκῶν αὐτοὺς ἀπήγαγε παρατηρήσεων, καὶ ῥαθύμους ὄντας προσεκτικωτέρους εἰργάσατο, καὶ τῆς φιλοτιμίας καὶ ὀλιγοπιστίας ἀπήλλαξεν, ὥστε μὴ δεδοικέναι μηδὲ τρέμειν, εἴποτε ἄρτους φαίνοιντο ὀλίγους ἔχοντες, μηδὲ ὑπὲρ λιμοῦ φροντίζειν, ἀλλ' ὑπερορᾶν τούτων πάντων.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν μηδὲ ἡμεῖς πανταχοῦ κολακεύωμεν τοὺς ὑποκειμένους, μηδὲ κολακεύεσθαι παρὰ τῶν ἀρχόντων ζητῶμεν. καὶ γὰρ ἀμφοτέρων δεῖται ἡ τῶν ἀνθρώπων ψυχὴ τῶν φαρμάκων τούτων. διὰ δὴ τοῦτο καὶ τὰ κατὰ τὴν οἰκουμένην ἅπασαν ὁ Θεὸς οὕτω διοικεῖ, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο ποιῶν· καὶ οὔτε τὰ χρηστὰ μόνιμα, οὔτε τὰ λυπηρὰ καθ' ἑαυτὰ ἀφίησιν εἶναι. ὥσπερ γὰρ ποτὲ μὲν νύξ, ποτὲ δὲ ἡμέρα· καὶ ″τότε μὲν θέρος, ″τότε δὲ χειμών· οὕτω καὶ ἐν ἡμῖν, ποτὲ μὲν λύπη, ποτὲ δὲ ἡδονή· ποτὲ μὲν νόσος, ποτὲ δὲ ὑγίεια. μὴ τοίνυν θαυμάζωμεν ὅταν νοσῶμεν, ἐπεὶ καὶ ὅταν ὑγιαίνωμεν θαυμάζειν δεῖ· μηδὲ θορυβώμεθα, ὅταν ἀλγῶμεν, ἐπεὶ καὶ

γρ. ποτε
γρ. ποτε

χεζ ις.

ὅταν χαίρωμεν θορυβεῖσθαι εἰκός. κατὰ φύσιν γὰρ πάντα γίνεται καὶ κατὰ ἀκολουθίαν. καὶ τί θαυμάζεις εἰ ἐπὶ σοῦ ταῦτα; καὶ γὰρ καὶ ἐπὶ τῶν ἁγίων ἐκείνων συμβαῖνον τοῦτο ἴδοι τις ἄν. καὶ ἵνα τοῦτο μάθῃς, φέρε, ὃν νομίζεις μάλιστα βίον ἡδονῆς γέμειν καὶ ἀπηλλάχθαι πραγμάτων, τοῦτον εἰς μέσον ἀγάγωμεν. βούλει τοῦ Ἀβραὰμ τὴν ζωὴν ἐξετάσωμεν ἐκ προοιμίων; τί οὖν οὗτος εὐθέως ἤκουσεν; Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου. εἶδες πρόσταγμα λυπηρὸν ἐπιταττόμενον; ἀλλ᾽ ὅρα καὶ τὸ χρηστὸν διαδεχόμενον. καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα. τί οὖν; ἐπειδὴ ἦλθεν εἰς τὴν γῆν, καὶ τοῦ λιμένος ἐπελάβετο, ἔστη τὰ λυπηρά; οὐδαμῶς· ἀλλὰ πάλιν ἕτερα χαλεπώτερα τῶν προτέρων διαδέχεται, λιμὸς καὶ μετάβασις καὶ γυναικὸς ἁρπαγή. καὶ μετὰ ταῦτα χρηστὰ ἕτερα αὐτὸν ἐξεδέχετο, ἡ κατὰ τοῦ Φαραὼ πληγή, καὶ ἡ ἄφεσις, καὶ ἡ τιμή, καὶ τὰ πολλὰ δῶρα ἐκεῖνα, καὶ ἡ πρὸς τὴν οἰκίαν ἐπάνοδος. καὶ τὰ ἑξῆς δὲ ἅπαντα τοιαύτην ἔχει τὴν σειράν, ἀπὸ χρηστῶν καὶ λυπηρῶν πλεκομένην. καὶ ἐπὶ τῶν ἀποστόλων δὲ τοιαῦτα συνέβαινε. διὸ καὶ Παῦλος ἔλεγεν· Ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει. τί οὖν πρὸς ἐμέ, φησί, τὸν ἀεὶ ἐν λύπαις ὄντα; μὴ ἀγνώμων μηδὲ ἀχάριστος γίνου. καὶ γὰρ ἀμήχανόν τινα ἐν λυπηροῖς εἶναι διηνεκῶς (οὐδὲ γὰρ ἀρκεῖ ἡ φύσις) ἀλλ᾽ ἐπειδὴ ἐν χαρᾷ βουλόμεθα εἶναι ἀεί, διὰ τοῦτο ἐν λύπαις εἶναι νομίζομεν ἀεί. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ᾽ ἐπειδὴ τῶν μὲν χρηστῶν καὶ ἀγαθῶν εὐθέως ἐπιλανθανόμεθα, τῶν δὲ λυπηρῶν ἀεὶ μνημονεύομεν, διὰ τοῦτο καὶ ἀεὶ ἐν λύπαις εἶναι φαμέν. οὐδὲ γὰρ δυνατὸν ἄνθρωπον ὄντα, ἀεὶ ἐν λύπαις εἶναι. καὶ εἰ βούλεσθε, καὶ τὸν ἐν τρυφῇ βίον ἐξετάσωμεν, τὸν ἁβρὸν καὶ διαῤῥέοντα, καὶ τὸν φορτικὸν καὶ ἐπαχθῆ καὶ ὀδυνηρόν. ἐπιδείξομεν γὰρ ὑμῖν καὶ τοῦτον ἔχοντα λύπας, κἀκεῖνον ἀνέσεις. ἀλλὰ μὴ θορυβεῖσθε. προκείσθω δὲ εἰς μέσον δεσμώτης ἄνθρωπος, καὶ ἄλλος βασιλεὺς νέος ὀρφανός, οὐσίαν διαδεξάμενος μεγάλην· προκείσθω δὲ καί τις μισθωτός, δι᾽ ὅλης πονούμενος τῆς ἡμέρας, ὁ δὲ ἕτερος τρυφῶν διηνεκῶς. βούλει καὶ ἐκείνου τὰς ἀθυμίας πρότερον εἴπωμεν τοῦ τρυφῶντος; ἐννόησον πῶς αὐτοῦ εἰκὸς χειμάζεσθαι τὴν διάνοιαν, ὅταν δόξης ἐφίηται τῆς ὑπερβαινούσης αὐτόν· ὅταν καταφρονῆται παρὰ τῶν οἰκετῶν· ὅταν ὑπὸ τῶν ἐλαττόνων ὑβρίζηται· ὅταν μυρίους ἔχῃ κατηγόρους, καὶ τοὺς διαβάλλοντας αὐτοῦ τὴν πολυτέλειαν. καὶ τὰ ἄλλα δὲ ὅσα ἐν πλούτῳ τοιούτῳ συμβαίνειν εἰκός, οὐδὲ εἰπεῖν ἔνι, τὰς ἀπεχθείας, τὰ προσκρούσματα, τὰς κατηγορίας, τὰς ζημίας, τὰς παρὰ τῶν φθονούντων ἐπιβουλάς, οἳ, ἐπειδὴ τὸν ἐκείνου πλοῦτον εἰς ἑαυτοὺς ἐνεγκεῖν μὴ δυνηθῶσιν, ἕλκουσι, σπαράττουσι πάντοθεν τὸν νέον, μυρίους ἐγείρουσι χειμῶνας αὐτῷ. βούλει καὶ τούτου εἴπω τὴν ἡδονὴν τοῦ μισθωτοῦ; ἁπάντων ἀπήλλακται τούτων. κἂν ὑβρίσῃ τις αὐτόν, οὐκ ἀλγεῖ (οὐδενὸς γὰρ ἑαυτὸν ἡγεῖται μείζονα) οὐχ ὑπὲρ χρημάτων δέδοικε, μεθ᾽ ἡδονῆς ἐσθίει, μετ᾽ εὐφροσύνης καθεύδει πολλῆς. οὐχ οὕτως οἱ τὸν Θάσιον οἶνον πίνοντες τρυφῶσιν, ὡς ἐκεῖνος ἐπὶ πηγὰς ἀπιών, καὶ τῶν ναμάτων ἀπολαύων ἐκείνων. ἀλλ᾽ ἐκείνου οὐ τοιαῦτα. εἰ δὲ οὐκ ἀρκεῖ σοι τὰ εἰρημένα, ἵνα μείζονα ποιήσω τὴν νίκην, φέρε, τὸν βασιλέα καὶ τὸν δεσμώτην συγκρίνωμεν· καὶ ὄψει πολλάκις τοῦτον μὲν ἐν ἡδονῇ ὄντα καὶ παίζοντα καὶ πηδῶντα· ἐκεῖνον δὲ ἐν διαδήματι καὶ πορφυρίδι ἀθυμοῦντα, καὶ μυρίας ἔχοντα φροντίδας, καὶ ἀποτεθνηκότα τῷ δέει. οὐ γάρ ἐστιν, οὐκ ἔστι βίον ἄλυπον οὐδὲ ἑνὸς εὑρεῖν, ἀλλ᾽ οὐδὲ ἡδονῆς ἄμοιρον. οὐδὲ γὰρ ἂν ἤρκεσεν ἡμῶν ἡ φύσις, καθάπερ ἔφθην εἰπών. εἰ δὲ ὁ μὲν χαίρει πλείονα, ὁ δὲ ἀλγεῖ πλείονα, τοῦτο παρ᾽ αὐτὸν τὸν ἀλγοῦντα συμβαίνει, ὅταν μικρόψυχος ᾖ, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν. εἰ γὰρ βουλοίμεθα συνεχῶς χαίρειν, πολλὰς ἔχομεν ἀφορμάς. ἂν γὰρ ἐπιλαβώμεθα ἀρετῆς, οὐδὲν ἔσται τὸ λυποῦν ἡμᾶς λοιπόν. καὶ γὰρ ἐλπίδας ὑποτείνει χρηστὰς αὐτὴ τοῖς κεκτημένοις αὐτήν, καὶ Θεῷ εὐαρέστους ποιεῖ, καὶ παρὰ ἀνθρώποις εὐδοκίμους, καὶ ἡδονὴν ἐνίησιν ἄφατον. εἰ γὰρ καὶ ἐν τῷ κατορθοῦν πό-

Γεν. ιβ. α.

β. Κορ. α. δ.

θορυβῆσθη-

πίνη

νον ἔχει ἡ ἀρετή, ἀλλὰ τὸ συνειδὸς πολλῆς πληροῖ τῆς εὐφροσύνης· καὶ τοσαύτην ἔνδον ἐντίθησι τὴν ἡδονήν, ὅσην οὐδεὶς παραστῆσαι δυνήσεται λόγος. τί γάρ σοι δοκεῖ τῶν ἐν τῷ παρόντι βίῳ εἶναι ἡδύ; τράπεζα πολυτελής, καὶ σώματος ὑγεία, καὶ δόξα, καὶ πλοῦτος; ἀλλὰ ταῦτα τὰ ἡδέα ἂν ἐκείνῃ παραβάλῃς τῇ ἡδονῇ, πάντων ἔσται πικρότερα πρὸς αὐτὴν συγκρινόμενα. οὐδὲν γὰρ ἥδιον συνειδότος ἀγαθοῦ καὶ ἐλπίδος χρηστῆς. καὶ εἰ βούλεσθε τοῦτο μαθεῖν, τῶν μελλόντων ἀπιέναι ἐντεῦθεν ἐξετάσωμεν, ἢ τῶν γεγηρακότων· καὶ ἀναμνήσαντες αὐτὸν τραπέζης πολυτελοῦς ἧς ἀπέλαυσε, καὶ δόξης καὶ τιμῆς, καὶ ἀγαθῶν ἔργων ὧν εἰργάσατό ποτε καὶ ἐποίησεν, ἐρώμεθα ἐπὶ τίσι γάνυται μᾶλλον, καὶ ὀψόμεθα ἐπ᾽ ἐκείνοις μὲν αἰσχυνόμενον καὶ ἐγκαλυπτόμενον, ἐπὶ τούτοις δὲ πετόμενον καὶ σκιρτῶντα. οὕτω καὶ Ἐζεκίας ὅτε ἐμαλακίσθη, οὐ δόξης, οὐ βασιλείας, οὐ τραπέζης πολυτελοῦς ἐμνημόνευσεν, ἀλλὰ δικαιοσύνης. Μνήσθητι γάρ, φησι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου ἐν ὁδῷ εὐθείᾳ. ὅρα καὶ Παῦλον ἀπὸ τούτων σκιρτῶντα καὶ λέγοντα· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. τί γὰρ καὶ εἶχεν εἰπεῖν οὗτος, φησί; πολλὰ καὶ πλείονα τούτων· καὶ τιμὰς ἃς ἐτιμήθη, καὶ δορυφορίαν ἧς ἀπέλαυσε, καὶ θεραπείαν πολλήν. ἢ οὐκ ἀκούεις αὐτοῦ λέγοντος, Ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν· καί, ὅτι εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι· καί, ὅτι ὑπὲρ τῆς ψυχῆς αὐτοῦ τὸν τράχηλον ὑπέθηκαν; ἀλλ᾽ οὐδὲν ἐκείνων φέρει εἰς μέσον· ἀλλὰ τοὺς πόνους, καὶ τοὺς κινδύνους, καὶ τοὺς ὑπὲρ τούτων στεφάνους. καὶ μάλα εἰκότως. ταῦτα μὲν γὰρ ἐνταῦθα ἀφίεται, ἐκεῖνα δὲ ἡμῖν συναποδημεῖ· κἀκείνων μὲν δώσομεν λόγον, τούτων δὲ μισθὸν ἀπαιτήσομεν. οὐκ ἴστε ἐν τῇ ἡμέρᾳ τῇ τελευταίᾳ πῶς συστρέφει ψυχὴν ἁμαρτήματα; πῶς κάτωθεν τὴν καρδίαν ἀνακινεῖ; τότε τοίνυν ὅτε ταῦτα γίνεται, τῶν ἀγαθῶν ἔργων ἡ μνήμη παραστᾶσα, καθάπερ εὐδία ἐν χειμῶνι, παραμυθεῖται τὴν τεθορυβημένην ψυχήν. ἂν μὲν γὰρ νήφωμεν, καὶ ζῶσιν ἡμῖν ἀεὶ οὗτος παρέσται ὁ φόβος· ἐπειδὴ δὲ ἀναισθήτως διακείμεθα, ὅταν ἐκβαλλώμεθα ἐντεῦθεν, ἐπιστήσεται πάντως. ἐπεὶ καὶ ὁ δεσμώτης τότε μάλιστα ἀλγεῖ, ὅταν αὐτὸν ἐξαγάγωσιν ἐπὶ τὸ δικαστήριον· τότε μάλιστα τρέμει, ὅταν ἐγγὺς ᾖ τοῦ βήματος, ὅταν δέῃ τὰς εὐθύνας δοῦναι. διὰ δὴ τοῦτο καὶ δείματα τῶν πολλῶν τότε ἔστιν ἀκούειν διηγουμένων, καὶ ὄψεις φοβεράς, ὧν οὐδὲ τὴν θεωρίαν λοιπὸν φέροντες οἱ ἀπιόντες, καὶ τὴν κλίνην αὐτὴν μετὰ πολλῆς τῆς ῥύμης τινάσσουσι κείμενοι, καὶ φοβερὸν ἐνορῶσι τοῖς παροῦσι, τῆς ψυχῆς ἔνδον ἑαυτὴν εἰσωθούσης, καὶ ὀκνούσης ἀπορραγῆναι τοῦ σώματος, καὶ τὴν ὄψιν τῶν ἐρχομένων ἀγγέλων οὐ φερούσης. εἰ γὰρ ἀνθρώπους φοβεροὺς ἐνορῶντες δεδιττόμεθα, ἀγγέλους ἀπειληφόρους καὶ δυνάμεις ἀποτόμους τῶν παραγινομένων βλέποντες, τί οὐ πεισόμεθα, ἑλκομένης ἡμῖν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς, καὶ συρομένης καὶ πολλὰ ἀποδυρομένης εἰκῆ καὶ μάτην; ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος μετὰ τὸ ἀπελθεῖν, πολλὰ ἐπένθησεν, ἀλλ᾽ οὐδὲν ἀπώνατο. ταῦτα δὴ πάντα ἀναπλάττοντες παρ᾽ ἑαυτοῖς καὶ ἀναστρέφοντες, ἵνα μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, τὸν ἐκ τούτων φόβον ἀκμάζοντα διατηρῶμεν, ὅπως τὴν ἀπὸ τῶν πραγμάτων φύγωμεν κόλασιν, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δ. Βασ. κ. γ.
καὶ Ησ. λη. γ.
β. Τιμ. δ. ζ. η.
Γαλ. δ. ιδ.

Ομιλ. νδ.

13 ΕΞΕΛΘΩΝ ΔΕ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΤΑ ΜΕΡΗ Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου;

Τίνος ἕνεκεν τὸν οἰκιστὴν τῆς πόλεως εἴρηκεν; ἐπειδὴ ἔστι καὶ ἄλλη Καισάρεια, ἡ Στράτωνος. καὶ οὐκ ἐν ἐκείνῃ, ἀλλ' ἐν ταύτῃ αὐτοὺς ἐρωτᾷ, πόῤῥω τῶν Ἰουδαίων ἀπάγων, ὡς πάσης ἀπαλλαγέντας ἀγωνίας μετὰ παῤῥησίας εἰπεῖν τὰ κατὰ διάνοιαν ἅπαντα. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως τὴν γνώμην αὐτῶν ἠρώτησεν, ἀλλὰ τὴν τῶν πολλῶν; ἵνα εἰπόντες τὴν ἐκείνων, εἶτα ἐρωτηθέντες, ὑμεῖς δὲ τίνα με λέγετε εἶναι, ἀπὸ τοῦ τρόπου τῆς ἐρωτήσεως εἰς μείζονα ἀναχθῶσιν ἔννοιαν, καὶ μὴ εἰς τὴν αὐτὴν ταπεινότητα τοῖς πολλοῖς περιπέσωσι. διὰ δὴ τοῦτο οὐδὲ ἐν ἀρχῇ τοῦ κηρύγματος αὐτῶν πυνθάνεται· ἀλλ' ὅτε σημεῖα πολλὰ ἐποίησε, καὶ περὶ πολλῶν αὐτοῖς διελέχθη καὶ ὑψηλῶν δογμάτων, καὶ τῆς αὐτοῦ θεότητος, καὶ τῆς πρὸς τὸν πατέρα ὁμονοίας πολλὰς παρέσχε τὰς ἀποδείξεις, τότε τὴν πεῦσιν αὐτοῖς προσάγει ταύτην. καὶ οὐκ εἶπε, τίνα με λέγουσιν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι εἶναι (καίτοιγε οὗτοι αὐτῷ πολλάκις προσήεσαν καὶ διελέγοντο) ἀλλὰ τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὴν τοῦ δήμου γνώμην τὴν ἀδέκαστον ἐξετάζων. Εἰ γὰρ αὕτη πολλῷ ταπεινοτέρα τοῦ δέοντος ἦν, ἀλλὰ πονηρίας ἀπήλλακτο· ἐκείνη δὲ πολλῆς ἔγεμε τῆς κακίας. καὶ δεικνὺς πῶς σφόδρα βούλεται τὴν οἰκονομίαν ὁμολογεῖσθαι, φησί· τὸν υἱὸν τοῦ ἀνθρώπου, τὴν θεότητα ἐντεῦθεν καλῶν· ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ ποιεῖ. φησὶ γὰρ, Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. (Ἰωαν. γ. ιγ.) καὶ πάλιν, Ὅταν δὲ ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον. (Ἰωαν. ϛ. ξβ.) εἶτα, ἐπειδὴ εἶπον·

14 Οἱ μὲν Ἰωάννην τὸν βαπτιστὴν, οἱ δὲ Ἠλίαν, οἱ δὲ Ἱερεμίαν, οἱ δὲ ἕνα τῶν προφητῶν, Καὶ τὴν πεπλανημένην αὐτῶν δόξαν εἰς μέσον ἤγαγεν, τότε ἐπήγαγεν,

15 Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἐκκαλούμενος αὐτοὺς διὰ τῆς δευτέρας ἐρωτήσεως, εἰς τὸ μεῖζόν τι φαντασθῆναι περὶ αὐτοῦ· καὶ ἐνδεικνύμενος αὐτοῖς, ὅτι ἡ προτέρα ψῆφος σφόδρα ἐστὶν ἀποδέουσα αὐτοῦ τῆς ἀξίας. διὸ παρ' αὐτῶν ἑτέραν ἐπιζητεῖ, καὶ δευτέραν ἐπάγει πεῦσιν, ὑπὲρ τοῦ μὴ συμπεσεῖν τοῖς πολλοῖς, οἳ, ἐπειδὴ μείζονα εἶδον τὰ σημεῖα ἢ κατὰ ἄνθρωπον, ἄνθρωπον μὲν ἐνόμιζον εἶναι, ἐξ ἀναστάσεως δὲ φανέντα, καθάπερ καὶ Ἡρώδης ἔλεγεν. ἀλλ' αὐτὸς ταύτης αὐτοὺς ἀπάγων τῆς ὑπονοίας, φησίν· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; τουτέστιν, οἱ συνόντες ἀεὶ καὶ θαυματουργοῦντα βλέποντες, καὶ πολλὰς δυνάμεις δι' ἐμοῦ πεποιηκότες αὐτοί. τί οὖν; τὸ στόμα τῶν ἀποστόλων ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς, ὁ τοῦ χοροῦ τῶν ἀποστόλων κορυφαῖος, πάντων ἐρωτηθέντων, αὐτὸς ἀποκρίνεται. καὶ ὅτε μὲν τὴν τοῦ δήμου γνώμην ἠρώτα, πάντες εἶπον τὸ ἐρωτηθέν· ὅτε δὲ τὴν αὐτῶν, Πέτρος προπηδᾷ καὶ προλαμβάνει, καί φησι·

16 Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Τί οὖν ὁ Χριστός;

17 Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι.

Καὶ μὴν εἰ μὴ γνησίως αὐτὸν ὡμολόγησε καὶ ἐξ αὐτοῦ τοῦ πατρὸς γεγεννημένον, οὐκ ἦν ἀποκαλύψεως τοῦτο ἔργον· εἰ τῶν πολλῶν αὐτὸν εἶναι * ἐνόμιζεν, οὐ μακαρισμοῦ ἄξιον ἦν τὸ λεχθέν. ἐπεὶ καὶ πρὸ τούτου εἶπον, Ἀληθῶς Θεοῦ υἱὸς ἐστιν, οἱ ἐν τῷ πλοίῳ μετὰ τὸν σάλον ὃν εἶδον, (Ματθ. ιδ. λγ.) καὶ οὐκ ἐμακαρίσθησαν, καίτοιγε ἀληθῶς εἰπόντες. οὐ γὰρ τοιαύτην ὡμολόγησαν υἱότητα, οἵαν ὁ Πέτρος· ἀλλ' ἕνα τῶν πολλῶν ἀληθῶς υἱὸν ἐνόμιζον εἶναι· ἐξαίρετον μὲν παρὰ τοὺς πολλοὺς, οὐ μὴν ἐκ τῆς οὐσίας αὐτῆς. καὶ ὁ Ναθαναὴλ δὲ ἔλεγε· Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ, (Ἰωαν. α. μθ.) καὶ οὐ μόνον οὐ μακαρίζεται, ἀλλὰ καὶ ὡς ἐνδεέστερον πολλῷ τῆς ἀληθείας εἰρηκὼς, ἐλέγχεται παρ' αὐτοῦ. ἐπήγαγε γοῦν· Ὅτι εἶπόν σοι, ὅτι εἶδόν σε ὑποκάτω τῆς συκῆς πιστεύεις· μείζονα τούτων ὄψει. (Ἰωαν. α. ν.) τίνος οὖν ἕνεκεν

τούτου

σοῦ μακαρίζει; ὅτι γνήσιον αὐτὸν ὡμολόγησεν υἱόν. διὰ δὴ τοῦτο ἐπ' ἐκείνων μὲν οὐδὲν τοιοῦτον εἴρηκεν· ἐπὶ δὲ τούτου, καὶ τὸν ἀποκαλύψαντα δείκνυσιν. ἵνα γὰρ μὴ δόξῃ τοῖς πολλοῖς, ἐπειδὴ σφοδρὸς ἦν ἐραστὴς τοῦ Χριστοῦ, φιλίας καὶ κολακείας εἶναι τὰ ῥήματα, καὶ διαθέσεως αὐτῷ χαριζομένης, ἀλλ' εἰς μέσον τὸν ἐνηχήσαντα αὐτοῦ" τῇ ψυχῇ· (γρ. τῇ ψυχῇ) ἵνα μάθῃς, ὅτι Πέτρος μὲν ἐφθέγξατο, ὁ πατὴρ δὲ ὑπηγόρευσε· καὶ μηκέτι δόξαν ἀνθρωπίνην, ἀλλὰ δόγμα εἶναι θεῖον τὰ εἰρημένα πιστεύσῃς. καὶ τίνος ἕνεκεν οὐκ αὐτὸς ἀποφαίνεται, οὐδὲ λέγει· ἐγώ εἰμι ὁ Χριστός· ἀλλὰ διὰ τῆς αὐτοῦ ἐρωτήσεως κατασκευάζει τοῦτο, αὐτοὺς εἰσάγων ὁμολογῆσαι; ὅτι οὕτω καὶ αὐτῷ τότε πρεπωδέστερον ἦν καὶ ἀναγκαῖον, καὶ ἐκείνους μᾶλλον ἐφείλκετο πρὸς τὴν πίστιν τῶν λεγομένων. εἶδες πῶς υἱὸν ἀποκαλύπτει πατήρ; πῶς πατέρα υἱός; Λουκ. ι. κβ. Οὐδὲ γὰρ τὸν πατέρα τις ἐπιγινώσκει, φησὶν, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. οὐκ ἄρα ἔνι παρ' ἑτέρου μαθεῖν τὸν υἱόν, ἢ παρ' αὐτοῦ τοῦ πατρός· οὐδὲ παρ' ἑτέρου μαθεῖν τὸν πατέρα, ἢ παρὰ τοῦ υἱοῦ. ὥστε καὶ ἐντεῦθεν τὸ ὁμότιμόν τε καὶ ὁμοούσιον δῆλον. τί οὖν ὁ Χριστός; σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς. ἐπειδὴ γὰρ ἐκήρυξάς μου τὸν πατέρα, φησὶ, κἀγὼ τὸν γεγεννηκότα σε ὀνομάζω, μόνον οὐχὶ λέγων· ὅτι ὥσπερ σὺ τοῦ Ἰωνᾶ παῖς, οὕτω κἀγὼ τοῦ πατρὸς ἐμοῦ. ἐπεὶ καὶ περιέλκον ἦν εἰπεῖν, σὺ εἶ ὁ υἱὸς Ἰωνᾶ· ἀλλ' ἐπειδὴ εἶπεν υἱὸν Θεοῦ, ἵνα δείξῃ ὅτι οὕτως ἐστὶν υἱὸς τοῦ Θεοῦ, ὥσπερ ἐκεῖνος υἱὸς Ἰωνᾶ, τῆς αὐτῆς οὐσίας τῷ γεγεννηκότι, διὰ τοῦτο τοῦτο προσέθηκε.

18 Καὶ ἐγώ σοι λέγω, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· Τουτέστι, τῇ πίστει τῆς ὁμολογίας. ἐντεῦθεν δείκνυσι πολλοὺς μέλλοντας ἤδη πιστεύειν, καὶ ἀνίστησιν αὐτοῦ τὸ φρόνημα, καὶ ποιμένα ποιεῖ.

Καὶ πύλαι ᾅδου οὐκ" ἀντισχύσουσιν αὐτῆς. (γρ. κατισχ.) Εἰ δὲ ἐκείνης οὐκ" ἀντισχύσουσι, (γρ. κατισχ.) πολλῷ μᾶλλον ἐμοῦ. ὥστε μὴ θορυβηθῇς, ἐπειδὰν μέλλῃς ἀκούειν, ὅτι παραδοθήσομαι, καὶ σταυρωθήσομαι. εἶτα καὶ ἑτέραν λέγει τιμήν·

19 Καὶ ἐγὼ δέ σοι δώσω τὰς κλεῖς τῶν οὐρανῶν. Τί ἐστι, καὶ ἐγὼ δέ σοι δώσω; ὥσπερ ὁ πατήρ σοι ἔδωκε τὸ ἐμὲ γνῶναι, οὕτω καὶ ἐγώ σοι δώσω. καὶ οὐκ εἶπε, παρακαλέσω τὸν πατέρα (καίτοι πολλὴ ἦν τῆς ἐξουσίας ἡ ἔνδειξις, καὶ τοῦ δώρου τὸ μέγεθος ἄφατον) ἀλλ' ἐγώ σοι δώσω. τί δίδως, εἰπέ μοι; τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν·

Ἵν' ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. Πῶς οὖν οὐκ ἔστιν αὐτοῦ δοῦναι τὸ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, τοῦ λέγοντος, ἐγώ σοι δώσω; εἶδες πῶς καὶ αὐτὸς ἀνάγει τὸν Πέτρον εἰς ὑψηλὴν τὴν περὶ αὐτοῦ ἔννοιαν, καὶ ἑαυτὸν ἀποκαλύπτει καὶ δείκνυσιν υἱὸν ὄντα τοῦ Θεοῦ διὰ τῶν ὑποσχέσεων τῶν δύο τούτων; ἃ γὰρ Θεοῦ" μόνον ἐστὶν ἴδια, (γρ. μόνου) ὅ τε τὰ ἁμαρτήματα λῦσαι, καὶ τὸ ἀπερίτρεπτον τὴν ἐκκλησίαν ποιῆσαι ἐν τοσαύτῃ κυμάτων ἐμβολῇ, καὶ ἄνθρωπον ἁλιέα πέτρας πάσης ἀποφῆναι στερρότερον, τῆς οἰκουμένης πολεμούσης ἁπάσης, ταῦτα αὐτῷ ἐπαγγέλλεται δώσειν. καθάπερ ὁ πατὴρ πρὸς τὸν Ἱερεμίαν διαλεγόμενος ἔλεγεν· Ἱερ. α. ιη. Ὡς στύλον χαλκοῦν, καὶ ὡσεὶ τεῖχος τίθησιν αὐτόν· ἀλλ' ἐκεῖνον μὲν ἑνὶ ἔθνει, τοῦτον δὲ πανταχοῦ τῆς οἰκουμένης. "ἡδέως ἂν ἐροίμην τοὺς ἐλαττοῦν βουλομένους τοῦ υἱοῦ τὴν ἀξίαν, (γρ. τίνος) ποῖα μείζονα δῶρα, ἅπερ ἔδωκεν ὁ πατὴρ τῷ Πέτρῳ, ἢ ἅπερ ἔδωκεν ὁ υἱός; ὁ μὲν γὰρ τῷ Πέτρῳ τὴν ἀποκάλυψιν τοῦ υἱοῦ ἐχαρίσατο· ὁ δὲ υἱὸς τὴν τοῦ πατρὸς καὶ τὴν αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης ἔσπειρε, καὶ ἀνθρώπῳ θνητῷ τὴν ἐν τῷ οὐρανῷ πάντων τὴν ἐξουσίαν ἐνεχείρισε, τὰς κλεῖς αὐτῷ δούς, ὃς τὴν ἐκκλησίαν πανταχοῦ τῆς οἰκουμένης ἐξέτεινε, καὶ τοῦ οὐρανοῦ ἰσχυροτέραν ἀπέφηνεν. Ματ. κδ. κε. Ὁ οὐρανὸς γὰρ καὶ ἡ γῆ παρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. πῶς οὖν ἐλάττων, ὁ τοιαῦτα δούς, ὁ τοιαῦτα κατορθωκώς; καὶ ταῦτα λέγω, οὐ διαιρῶν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὰ ἔργα (πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν) ἀλλ' ἐπιστομίζων τὴν ἀναίσχυντον γλῶτταν τῶν τὰ τοιαῦτα τολμώντων. ὅρα δὲ διὰ πάντων αὐτοῦ τὴν ἐξουσίαν· ἐγώ σοι λέγω, σὺ εἶ Πέτρος· ἐγὼ οἰκοδομήσω τὴν ἐκκλησίαν· ἐγώ σοι δώσω τὰς κλεῖς τῶν οὐρανῶν. καὶ τότε ταῦτα εἰπών,

20 Διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός.

Καὶ τίνος ἕνεκεν διεστείλατο; ὥστε τῶν σκανδαλιζόντων ἐκ μέσου γενομένων, καὶ τοῦ σταυροῦ τελεσθέντος, καὶ τῶν ἄλλων ὧν ἔπαθεν ἀπαρτισθέντων, καὶ μηδενὸς ὄντος λοιποῦ τοῦ διακόπτοντος καὶ θολοῦντος τὴν εἰς αὐτὸν τῶν πολλῶν πίστιν, καθαρὰν καὶ ἀκίνητον ἐντυπωθῆναι τῶν ἀκουόντων τῇ διανοίᾳ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν. καὶ γὰρ οὔπω σαφῶς ἦν ἐκλάμψασα αὐτοῦ ἡ δύναμις. διὰ δὴ τοῦτο τότε ἐβούλετο ἀνακηρύττεσθαι παρ' αὐτῶν, ὅτε καὶ ἡ σαφὴς τῶν πραγμάτων ἀλήθεια, καὶ ἡ τῶν γενομένων ἰσχὺς συνηγόρει τοῖς παρὰ τῶν ἀποστόλων λεγομένοις. οὐδὲ γὰρ ἴσον ὁρᾷν νῦν μὲν ἐν Παλαιστίνῃ θαυματουργοῦντα, νῦν δὲ ὑβριζόμενον, ἐλαυνόμενον, καὶ μάλιστα ὁπότε καὶ ὁ σταυρὸς ἔμελλε διαδέχεσθαι τὰ θαύματα τὰ γινόμενα· καὶ πανταχοῦ τῆς οἰκουμένης προσκυνούμενον βλέπειν καὶ πιστευόμενον, καὶ μηδὲν τοιοῦτον πάσχοντα λοιπόν, οἷα ἔπαθε. διὰ τοῦτό φησι μηδενὶ εἰπεῖν. τὸ μὲν γὰρ ῥιζωθὲν ἅπαξ, εἶτα ἀνασπασθέν, δυσκόλως ἂν φυτευθὲν κατασχεθείη πάλιν παρὰ τοῖς πολλοῖς· τὸ δὲ μετὰ τὸ παγῆναι ἅπαξ μεῖναν ἀκίνητον καὶ μηδαμόθεν ἐπηρεασθέν, ῥᾳδίως ἄνεισι καὶ πρὸς αὔξησιν ἐπιδίδωσι μείζονα. εἰ γὰρ οἱ τῶν σημείων ἀπολελαυκότες πολλῶν, καὶ τοσούτων μετασχόντες μυστηρίων ἀπορρήτων, ὑπὸ τῆς ἀκοῆς μόνης ἐσκανδαλίσθησαν· μᾶλλον δὲ οὐκ αὐτοὶ μόνοι, ἀλλὰ καὶ ὁ πάντων κορυφαῖος Πέτρος· ἐννόησον τί τοὺς πολλοὺς ἦν εἰκὸς παθεῖν, μαθόντας μὲν ὅτι υἱὸς Θεοῦ ἐστιν, ὁρῶντας δὲ καὶ σταυρούμενον καὶ ἐμπτυόμενον, καὶ τῶν μυστηρίων τούτων τὸ ἀπόρρητον οὐκ εἰδότας, οὐδὲ πνεύματος ἀπολελαυκότας ἁγίου. εἰ γὰρ τοῖς μαθηταῖς ἔλεγε· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· πολλῷ μᾶλλον ὁ λοιπὸς δῆμος κατέπεσεν ἄν, εἰ πρὸ καιροῦ τοῦ προσήκοντος τὸ τῶν μυστηρίων τούτων ἀκρότατον αὐτοῖς ἀπεκαλύφθη. διὰ δὴ τοῦτο κωλύει εἰπεῖν. καὶ ἵνα μάθῃς πόσον ἦν τὸ μετὰ ταῦτα μαθεῖν πλήρη τὴν διδασκαλίαν, τῶν σκανδαλιζόντων παρελθόντων, ἀπ' αὐτοῦ τούτου τοῦ κορυφαίου μάνθανε. αὐτὸς γὰρ οὗτος ὁ Πέτρος, ὁ μετὰ τοσαῦτα σημεῖα οὕτω φανεὶς ἀσθενής, ὡς καὶ ἀρνήσασθαι καὶ κόρην εὐτελῆ δεῖσαι, ἐπειδὴ ὁ σταυρὸς προεχώρησε, καὶ τῆς ἀναστάσεως σαφεῖς ἔλαβε τὰς ἀποδείξεις, καὶ οὐδὲν ἦν λοιπὸν τὸ σκανδαλίζον αὐτὸν καὶ θορυβοῦν, οὕτως ἀκίνητον κατέσχε τοῦ πνεύματος τὴν διδασκαλίαν, ὡς λέοντος σφοδρότερον ἐπιπηδᾷν τῷ δήμῳ τῶν Ἰουδαίων, καίτοι κινδύνων καὶ μυρίων θανάτων ἀπειλουμένων. πολλὰ γὰρ ἔχω λέγειν ὑμῖν, φησιν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ιωαν. ις. ιβ. καὶ τῶν εἰρημένων δὲ παρ' αὐτοῦ πολλὰ ἀγνοοῦσιν, ἃ οὐκ ἐποίησε σαφῆ πρὸ τοῦ σταυροῦ· ὅτε γοῦν ἀνέστη, τότε ἔγνωσαν ἔνια τῶν λεχθέντων. εἰκότως τοίνυν ἐκέλευσε τοῖς πολλοῖς μὴ εἰπεῖν πρὸ τοῦ σταυροῦ, ὅπουγε οὐδὲ αὐτοῖς τοῖς μέλλουσι διδάσκειν πάντα ἐνθεῖναι ἐθάρρησε πρὸ τοῦ σταυροῦ.

21 Ἀπὸ τότε ἤρξατο αὐτοῖς δεικνύειν, ὅτι δεῖ αὐτὸν παθεῖν. Ἀπὸ τότε, πότε; ὅτε ἐπῆξεν ἐν αὐτοῖς τὸ δόγμα· ὅτε τὴν ἀρχὴν τῶν ἐθνῶν εἰσήγαγεν. ἀλλ' οὐδὲ οὕτω συνίεσαν τὸ λεγόμενον. ἦν γάρ, φησι, κεκαλυμμένος ὁ λόγος ἀπ' αὐτῶν· καὶ ὥσπερ ἐν ἀσαφείᾳ τινὶ ἦσαν, οὐκ εἰδότες ὅτι ἀναστῆναι αὐτὸν δεῖ. διὰ τοῦτο καὶ ἐνδιατρίβει τοῖς δυσχερέσι, καὶ ἐμπλατύνει τὸν λόγον, ἵνα διανοίξῃ αὐτῶν τὴν διάνοιαν, καὶ συνιῶσι τί ποτέ ἐστι τὸ λεγόμενον. ἀλλ' οὐ συνῆκαν, ἀλλ' ἦν τὸ ῥῆμα κεκαλυμμένον ἀπ' αὐτῶν· καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι, οὐχὶ εἰ ἀποθανεῖται, ἀλλὰ πῶς καὶ τίνι τρόπῳ. καὶ τί ποτέ ἐστι τοῦτο τὸ μυστήριον; οὐδὲ γὰρ ᾔδεσαν, τί ποτέ ἐστι τὸ ἀναστῆναι τοῦτο αὐτό, καὶ πολλῷ βέλτιον ἐνόμιζον εἶναι τὸ μὴ ἀποθανεῖν. διὰ τοῦτο τῶν ἄλλων θορυβουμένων καὶ διαπορούντων, πάλιν ὁ Πέτρος, θερμὸς ὤν, μόνος τολμᾷ περὶ τούτων διαλεχθῆναι· καὶ οὐδὲ οὗτος παρρησίᾳ, ἀλλὰ κατιδίαν λαβών·

βῶν· τουτέστι, τῶν λοιπῶν ἀποσχίσας ἑαυτὸν μαθητῶν, καί φησιν· 22 Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. Τί ποτε τοῦτό ἐστιν; ὁ ἀποκαλύψεως τυχὼν, ὁ μακαρισθεὶς, οὕτω ταχέως διέπεσε καὶ ἐσφάλη, ὡς φοβηθῆναι τὸ πάθος; καὶ τί θαυμαστὸν, τὸν οὐ δεξάμενον ἐν τούτοις ἀποκάλυψιν, τοῦτο παθεῖν; ἵνα γὰρ μάθῃς, ὅτι οὐδὲ ἐκεῖνα οἴκοθεν ἐφθέγξατο, ὅρα πῶς ἐν τούτοις τοῖς οὐκ ἀποκεκαλυμμένοις αὐτῷ, πῶς θορυβεῖται καὶ παρατρέπεται, καὶ μυριάκις ἀκούων οὐκ οἶδε τί ποτέ ἐστι τὸ λεγόμενον. ὅτι μὲν γὰρ υἱὸς Θεοῦ ἐστιν, ἔμαθεν· ὅ,τι ποτὲ δέ ἐστι τὸ μυστήριον τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, οὐδέπω αὐτῷ δῆλον ἐγένετο. καὶ γὰρ ἦν, φησιν, ἀπ' αὐτῶν ὁ λόγος κεκαλυμμένος. ὁρᾷς ὅτι δικαίως ἐκέλευσε τοῖς ἄλλοις μὴ ἐξειπεῖν; εἰ γὰρ οὓς ἀναγκαῖον ἦν μαθεῖν, οὕτως ἐθορύβησε, τί οὐκ ἂν ἔπαθον οἱ λοιποί; αὐτὸς μέντοι δεικνὺς ὅτι τοσοῦτον ἀπέχει ἄκων ἐλθεῖν ἐπὶ τὸ πάθος, καὶ ἐπετίμησε τῷ Πέτρῳ καὶ Σατανᾶν ἐκάλεσεν. ἀκουσάτωσαν ὅσοι τὸ πάθος ἐπαισχύνονται τοῦ σταυροῦ τοῦ Χριστοῦ. εἰ γὰρ ὁ κορυφαῖος, καὶ πρὶν ἢ πάντα μαθεῖν σαφῶς, Σατανᾶς ἐκλήθη τοῦτο παθὼν, τίνα ἂν ἔχοιεν συγγνώμην οἱ μετὰ τοσαύτην ἀπόδειξιν τὴν οἰκονομίαν ἀρνούμενοι; ὅταν γὰρ ὁ οὕτω μακαρισθεὶς, ὁ τοιαῦτα ὁμολογήσας τοιαῦτα ἀκούῃ· ἐννόησον τίνα πείσονται οἱ μετὰ ταῦτα ἀθετοῦντες τὸ τοῦ σταυροῦ τὸ μυστήριον. καὶ οὐκ εἶπεν, ὁ Σατανᾶς ἐφθέγξατο διὰ σοῦ, ἀλλ' ὕπαγε ὀπίσω μου, Σατανᾶ. καὶ γὰρ ἐπιθυμία ἦν τοῦ ἀντικειμένου, τὸ μὴ παθεῖν τὸν Χριστόν. διὰ τοῦτο μετὰ τοσαύτης σφοδρότητος ἐπετίμησεν αὐτῷ, ἐπειδὴ ᾔδει μάλιστα καὶ αὐτὸν καὶ τοὺς ἄλλους τοῦτο φοβουμένους καὶ οὐκ εὐκόλως αὐτὸ δεξαμένους. διὰ τοῦτο καὶ ἀποκαλύπτει τὰ ἀπὸ τῆς διανοίας αὐτοῦ λέγων·

23 Οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. [Τί δέ ἐστιν, οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων;] ἐκεῖνος ἀνθρωπίνῳ λογισμῷ καὶ γηΐνῳ τὸ πρᾶγμα ἐξετάζων, ἐνόμισεν αἰσχρὸν εἶναι τοῦτο αὐτῷ καὶ ἀπρεπές. καθικνούμενος τοίνυν αὐτοῦ, φησιν· οὐ τὸ ἐμὲ παθεῖν ἀπρεπὲς, ἀλλὰ σὺ σαρκικῇ γνώμῃ τοῦτο ψηφίζῃ. ὡς εἰ κατὰ Θεὸν ἤκουες τῶν λεγομένων τῆς σαρκικῆς διανοίας ἀπαλλαγεὶς, ᾔδεις ἂν ὅτι ἐμοὶ μάλιστα τοῦτο πρέπον ἐστί. σὺ μὲν γὰρ νομίζεις ὅτι ἀνάξιόν μού ἐστι τὸ παθεῖν· ἐγὼ δέ σοι λέγω, ὅτι τὸ μὴ παθεῖν με, τῆς τοῦ διαβόλου γνώμης ἐστίν· ἀπὸ τῶν ἐναντίων καταστέλλων αὐτοῦ τὴν ἀγωνίαν. ὥσπερ γὰρ Ἰωάννην, ἀνάξιον αὐτοῦ νομίζοντα εἶναι τὸ βαπτισθῆναι ὑπ' αὐτοῦ, βαπτίσαι ἔπεισεν εἰπὼν, Ματθ. γ. ιε. Οὕτω πρέπον ἐστὶν ἡμῖν· καὶ αὐτῷ δὲ τούτῳ τῷ Πέτρῳ κωλύοντι αὐτῷ νίψαι τοὺς πόδας Ἰωάν. ιγ. η. εἶπεν· Οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ἐὰν μὴ νίψω τοὺς πόδας σου· οὕτω καὶ ἐνταῦθα ἀπὸ τῶν ἐναντίων αὐτὸν κατέσχε, καὶ τῇ τῆς ἐπιτιμήσεως σφοδρότητι τὸν ὑπὲρ τοῦ παθεῖν φόβον κατέστειλε.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν αἰσχυνέσθω τὰ σεμνὰ τῆς σωτηρίας ἡμῶν σύμβολα καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, καὶ δι' ἃ ζῶμεν, καὶ δι' ὃ ἐσμεν· ἀλλ' ὡς στέφανον, οὕτω περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ. καὶ γὰρ πάντα δι' αὐτοῦ τελεῖται τὰ καθ' ἡμᾶς. κἂν ἀναγεννηθῆναι δέῃ, σταυρὸς παραγίνεται· κἂν τραφῆναι τὴν μυστικὴν ἐκείνην τροφήν· κἂν χειροτονηθῆναι, κἂν ὁτιοῦν ἕτερον ποιῆσαι, πανταχοῦ τοῦτο τῆς νίκης ἡμῖν παρίσταται σύμβολον. διὰ τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρίδων, καὶ ἐπὶ τοῦ μετώπου, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιγράφομεν αὐτὸν τῆς σπουδῆς. τῆς γὰρ ἡμῶν σωτηρίας, καὶ τῆς ἐλευθερίας Ἡσ. ιγ. ζ. τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας ἡμῶν τοῦ δεσπότου, τοῦτο ἐστὶ τὸ σημεῖον. Ὡς πρόβατον γὰρ Ιεζ. η. λγ. ἐπὶ σφαγὴν ἤχθη. ὅταν τοίνυν σφραγίζῃ, ἐννόει πᾶσαν τοῦ σταυροῦ τὴν ὑπόθεσιν, καὶ σβέσον θυμὸν καὶ τὰ λοιπὰ πάντα πάθη· ὅταν σφραγίζῃ, πολλῆς ἔμπλησον τὸ μέτωπον παρρησίας, ἐλευθέραν τὴν ψυχὴν ποίησον. ἴστε δὲ πάντως τίνα ἐστὶ τὰ ἐλευθερίαν παρέχοντα. διὸ καὶ Παῦλος εἰς τοῦτο ἐνάγων ἡμᾶς, εἰς τὴν ἐλευθερίαν λέγω τὴν προσήκουσαν α. Κορ. ϛ. κ. ἡμῖν, οὕτως ἐνήγαγε, τοῦ σταυροῦ καὶ τοῦ αἵματος ἀναμνήσας τοῦ δεσποτικοῦ. Τιμῆς γὰρ, φησιν, ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. ἐννόησον, φησὶ, τὴν ὑπὲρ σοῦ καταβληθεῖσαν τιμὴν, καὶ οὐδενὸς τῶν ἀνθρώπων ἔσῃ δοῦλος, τιμὴν, τὸν σταυρὸν λέγων. οὐδὲ γὰρ ἁπλῶς τῷ δακτύλῳ ἐγχαράττειν αὐτὸν δεῖ, ἀλλὰ πρότερον τῇ προαιρέσει μετὰ πολλῆς τῆς πίστεως. κἂν οὕτως ἐντυπώσῃς αὐτὸν τῇ ὄψει, οὐδεὶς ἐγγύς σου στῆναι δυνήσεται τῶν ἀκαθάρτων δαιμόνων, ὁρῶν τὴν μάχαιραν, ἐν ᾗ τὴν πληγὴν ἔλαβεν, ὁρῶν τὸ ξίφος, ᾧ τὴν καιρίαν ἐδέξατο πληγήν. εἰ γὰρ ἡμεῖς τοὺς τόπους ὁρῶντες, ἐν οἷς ἀποτέμνονται οἱ καταδίκοι, φρίττομεν, ἐννόησον τί πείσονται ὁ διάβολος καὶ οἱ δαίμονες, τὸ ὅπλον ὁρῶντες δι' οὗ πᾶσαν τὴν δύναμιν αὐτῶν ἔλυσεν ὁ Χριστὸς, καὶ τὴν τοῦ δράκοντος ἀπέτεμε κεφαλήν. μὴ τοίνυν ἐπαισχυνθῇς τοσοῦτον ἀγαθὸν, ἵνα μή σε ἐπαισχυνθῇ ὁ Χριστὸς, ὅταν ἔρχηται μετὰ τῆς δόξης αὐτοῦ, καὶ τὸ σημεῖον ἔμπροσθεν φαίνηται λαμπρότερον ὑπὲρ αὐτὴν τὴν ἀκτῖνα τοῦ ἡλίου. καὶ γὰρ ἔρχεται ὁ σταυρὸς τότε φωνὴν ἀφιεὶς διὰ τῆς ὄψεως, καὶ πρὸς τὴν οἰκουμένην ἅπασαν ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ δεικνὺς ὅτι οὐδὲν ἐνέλιπε τῶν εἰς αὐτὸν ἡκόντων. τοῦτο τὸ σημεῖον καὶ ἐπὶ τῶν προγόνων ἡμῶν καὶ νῦν θύρας ἀνέῳξε κεκλεισμένας· τοῦτο δηλητήρια ἔσβεσε φάρμακα· τοῦτο κωνείου δύναμιν ἐξέλυσε· τοῦτο θηρίων δήγματα ἰοβόλων ἰάσατο. εἰ γὰρ ᾅδου πύλας ἀνέῳξε, καὶ οὐρανῶν ἁψῖδας ἀνεπέτασε, καὶ παραδείσου εἴσοδον ἀνεκαίνισε, καὶ τοῦ διαβόλου τὰ νεῦρα ἐξέκοψε· τί θαυμαστὸν, εἰ καὶ φαρμάκων δηλητηρίων, καὶ τῶν θηρίων, καὶ τῶν ἄλλων τῶν τοιούτων περιεγένετο; τοῦτο τοίνυν ἐγκόλαψον τῇ διανοίᾳ τῇ σῇ, καὶ τὴν σωτηρίαν περίπτυξαι τῶν ἡμετέρων ψυχῶν. οὗτος γὰρ ὁ σταυρὸς τὴν οἰκουμένην ἔσωσε καὶ ἐπέστρεψε· τὴν πλάνην ἐξήλασε· τὴν ἀλήθειαν ἐπανήγαγε· τὴν γῆν οὐρανὸν ἐποίησε· τοὺς ἀνθρώπους ἀγγέλους εἰργάσατο. διὰ τοῦτον οἱ δαίμονες οὐκ ἔτι φοβεροὶ, ἀλλ' εὐκαταφρόνητοι· οὐδὲ ὁ θάνατος θάνατος, ἀλλ' ὕπνος. διὰ τοῦτον πάντα ἔρριπται χαμαὶ καὶ πεπάτηται τὰ πολεμοῦντα ἡμῖν. ἂν τοίνυν εἴπῃ σοί τις, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ φαιδρᾷ τῇ φωνῇ, γεγηθότι τῷ προσώπῳ, καὶ προσκυνῶ, καὶ οὐ παύσομαί ποτε προσκυνῶν. κἂν γελάσῃ, δάκρυσον αὐτὸν ὅτι μαίνεται· εὐχαρίστησον τῷ δεσπότῃ, ὅτι τοιαῦτα ἡμᾶς εὐεργέτησεν, ἃ μηδὲ μαθεῖν δύναταί τις χωρὶς τῆς ἄνωθεν ἀποκαλύψεως. διὰ γὰρ τοῦτο καὶ οὗτος γελᾷ, Ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ἐπεὶ α. Κορ. β. ιδ. καὶ τὰ παιδία τοῦτο πάσχει, ὅταν τι τῶν μεγάλων ἴδῃ καὶ θαυμαστῶν. κἂν εἰς μυστήριον εἰσαγάγῃς παιδίον, γελάσεται. τούτοις δὲ καὶ Ἕλληνες ἐοίκασι τοῖς παιδίοις· μᾶλλον δὲ καὶ τούτων εἰσὶν ἀτελέστεροι. διὸ καὶ ἀθλιώτεροι, ὅτι οὐκ ἐν ἀώρῳ ἡλικίᾳ, ἀλλ' ἐν τελείᾳ τὰ τῶν νηπίων πάσχουσιν· ὅθεν οὐδὲ συγγνώμης εἰσὶν ἄξιοι. ἀλλ' ἡμεῖς λαμπρᾷ τῇ φωνῇ καὶ μέγα καὶ ὑψηλὸν βοῶντες κράζωμεν καὶ λέγωμεν, καὶ ὅταν πάντες παρῶσιν Ἕλληνες μετὰ πλείονος τῆς παρρησίας· ὅτι τὸ καύχημα ἡμῶν ὁ σταυρὸς, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, καὶ ἡ παρρησία καὶ ὁ στέφανος ἅπας. ἐβουλόμην καὶ μετὰ Παύλου δύνασθαι λέγειν, Ὅτι δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, Γαλ. ς. ιδ. κἀγὼ τῷ κόσμῳ· ἀλλ' οὐ δύναμαι, ποικίλοις πάθεσι κατεχόμενος. διὸ παραινῶ καὶ ὑμῖν, καὶ πρό γε ὑμῶν καὶ ἐμαυτῷ, σταυροῦσθαι τῷ κόσμῳ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν· ἀλλὰ τῆς ἄνω πατρίδος ἐρᾶν, καὶ τῆς ἐκεῖθεν δόξης καὶ τῶν ἀγαθῶν. καὶ γὰρ στρατιῶταί ἐσμεν βασιλέως οὐρανίου, καὶ ὅπλα ἐνδεδύμεθα πνευματικά. τί τοίνυν τὸν καπήλων καὶ ἀγυρτῶν, μᾶλλον δὲ σκωλήκων βίον μεταχειριζόμεθα; ὅπου γὰρ ὁ βασιλεὺς, ἐκεῖ καὶ τὸν στρατιώτην εἶναι δεῖ. καὶ γὰρ στρατιῶται γεγόναμεν, οὐ τῶν μακρὰν, ἀλλὰ τῶν ἐγγύς. ὁ μὲν γὰρ ἐπὶ τῆς γῆς βασιλεὺς οὐκ ἀνάσχοιτο πάντας εἶναι ἐν τοῖς βασιλείοις, οὐδὲ παρὰ τὰς αὐτοῦ πλευράς· ὁ δὲ τῶν οὐρανῶν ἅπαντας ἐγγὺς εἶναι βούλεται τοῦ θρόνου τοῦ βασιλικοῦ. καὶ πῶς δυνατὸν ἐνταῦθα ὄντας, φησὶ, παρ' ἐκεῖνον ἑστάναι τὸν θρόνον; ὅτι καὶ Παῦλος ἐπὶ τῆς γῆς ὢν, ὅπου τὰ σεραφὶμ, ἦν, ὅπου τὰ χερουβὶμ, καὶ ἐγγυτέρω τοῦ Χριστοῦ, ἢ οὗτοι οἱ ἀσπιδοφόροι τοῦ βασιλέως. οὗτοι μὲν γὰρ πολλαχοῦ τὰς ὄψεις περιφέρουσιν· ἐκεῖνον δὲ οὐδὲν ἐφλύ-

παζεν,

ταξεν, οὐδὲ παρεῖλκεν, ἀλλὰ πᾶσαν τὴν διάνοιαν αὐτοῦ πρὸς τὸν βασιλέα Χριστὸν τετα-
μένην εἶχεν. ὥστε ἂν βουληθῶμεν, δυνατὸν ἡμῖν τοῦτο. εἰ μὴ γὰρ τόπῳ διειστήκει, καλῶς
ἠπόρεις· εἰ δὲ πανταχοῦ πάρεστι, τῷ σπουδάζοντι καὶ συντεταμένῳ πλησίον ἐστί. διὰ τοῦτο καὶ ὁ προ- χ. πτημ
Ψαλμ. κβ. δ. φήτης ἔλεγεν· Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ αὐτὸς πάλιν ὁ Θεός·
Ιερ. κγ. κγ. Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν. ὥσπερ οὖν αἱ ἁμαρτίαι διιστῶσιν ἡμᾶς ἀπ' αὐ-
Ησ. νη. θ. τοῦ, οὕτω δικαιοσύναι συνάγουσιν ἡμᾶς πρὸς αὐτόν. Ἔτι γὰρ λαλοῦντός σου, φησὶν, ἐρῶ, χ. φῆ,
ἰδοὺ πάρειμι. ποῖος πατὴρ οὕτως ἂν ὑπακούσειέ ποτε τοῖς ἐκγόνοις; ποία μήτηρ οὕτως ἐστὶ
παρεσκευασμένη καὶ διηνεκῶς ἑστηκυῖα, μή ποτε καλέσειεν αὐτὴν τὰ παιδία; οὐκ ἔστιν οὐδεὶς,
οὐ πατὴρ, οὐ μήτηρ. ἀλλ' ὁ Θεὸς διηνεκῶς ἕστηκεν ἀναμένων, εἴ τις ποτὲ καλέσειεν αὐτὸν τῶν
οἰκετῶν, καὶ οὐδέποτε, καλεσάντων ἡμῶν ὡς δεῖ, παρήκουσε. διὰ τοῦτό φησιν· ἔτι λαλοῦντός
σου. οὐκ ἀναμένω σε πληρῶσαι, καὶ εὐθέως ὑπακούω. καλέσωμεν τοίνυν αὐτὸν, ὡς κλη-
Ησ. νη. ϛ. θῆναι βούλεται. πῶς οὖν βούλεται; Λῦε, φησὶ, πάντα σύνδεσμον ἀδικίας, διάλυε χ. διαμ
στραγγαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα· διάθρυπτε πει-
νῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν, περί-
βαλε· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρώϊμον τὸ φῶς
σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ
ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. τότε ἐπικαλέσῃ με, καὶ εἰσακούσομαί σου· ἔτι λαλοῦντός σου
ἐρῶ, ἰδοὺ πάρειμι. καὶ τίς ταῦτα πάντα δυνήσεται ποιῆσαι, φησί; τίς δὲ οὐ δύναται, εἰπέ
μοι; τί γὰρ δυσχερὲς τῶν εἰρημένων; τί δὲ ἐργῶδες; τί δὲ οὐ ῥᾴδιον; οὕτω δὲ ἐστὶν οὐχὶ δυνατὰ
μόνον, ἀλλὰ καὶ εὔκολα, ὅτι πολλοὶ καὶ τὸ μέτρον τῶν εἰρημένων ὑπερηκόντισαν, οὐκ ἄδικα
γραμματεῖα διασπῶντες μόνον, ἀλλὰ καὶ τὰ ὄντα ἀποδυσάμενοι πάντα· οὐ στέγῃ καὶ τρα-
πέζῃ τοὺς πτωχοὺς δεχόμενοι, ἀλλὰ καὶ τοῖς τοῦ σώματος ἱδρῶσι, καὶ κάμνοντες ὥστε αὐτοὺς δια-
θρέψαι, οὐ συγγενεῖς μόνον, ἀλλὰ καὶ ἐχθροὺς εὐεργετοῦντες. τί δὲ καὶ ὅλως δύσκολον τῶν εἰ-
ρημένων; οὐδὲ γὰρ εἶπεν, ὑπερβῆθι τὸ ὄρος· διάβηθι τὸ πέλαγος· διάσκαψον πλέθρα γῆς
τόσα καὶ τόσα· ἄσιτος διάμενε· σάκκον περιβαλοῦ· ἀλλὰ μετάδος τοῖς οἰκείοις, μετάδος τοῦ
ἄρτου, τὰ ἀδίκως συγκείμενα γραμματεῖα διάῤῥηξον. τί τούτων εὐκολώτερον, εἰπέ
μοι; εἰ δὲ καὶ δύσκολα εἶναι νομίζεις, σκόπει μοι καὶ τὰ ἔπαθλα, καὶ ἔσται σοι ῥᾴδια. καθάπερ
γὰρ οἱ βασιλεῖς ἐν ταῖς ἱπποδρομίαις παρὰ τῶν ἀγωνιζομένων στεφάνους καὶ βραβεῖα καὶ ἱμά-
τια συντιθέασιν· οὕτω δὴ καὶ ὁ Χριστὸς ἐν μέσῳ τίθησι τῷ σταδίῳ τὰ ἔπαθλα, καθάπερ διὰ
πολλῶν χειρῶν, τῶν τοῦ προφήτου ῥημάτων ἐκτείνων αὐτά. καὶ οἱ μὲν βασιλεῖς, κἂν μυριά-
κις ὦσι βασιλεῖς, ἅτε ἄνθρωποι ὄντες, καὶ εὐπορίαν δαπανωμένην ἔχοντες, καὶ φιλοτιμίαν
ἀναλισκομένην, τὰ ὀλίγα πολλὰ φιλοτιμοῦνται δεῖξαι (διὸ καὶ ἓν ἕκαστον ἑκάστῳ τῶν δια-
κόνων ἐγχειρίζοντες, οὕτως εἰσάγουσιν εἰς μέσον) ὁ δὲ βασιλεὺς ὁ ἡμέτερος τοὐναντίον. ἅ-
παντα ὁμοῦ συμφορήσας, ἐπειδὴ σφόδρα ἐστὶν εὔπορος καὶ οὐδὲν πρὸς ἐπίδειξιν ποιεῖ, οὕτως
εἰς μέσον προτίθησιν, ἅπερ ἐκταθέντα ἄπειρα ἔσται, καὶ πολλῶν δεήσεται τῶν κατεχουσῶν
χειρῶν. καὶ ἵνα μάθῃς τοῦτο, ἕκαστον αὐτῶν σκόπει μετὰ ἀκριβείας. τότε ῥαγήσεται πρώϊμον τὸ
φῶς σου. ἆρα οὐ δοκεῖ* ἕν τι εἶναι τὸ δῶρον τοῦτο; ἀλλ' οὐκ ἔστιν ἕν. καὶ γὰρ πολλὰ ἔνδον ἔχει, * οἱ
καὶ βραβεῖα καὶ στεφάνους, καὶ ἕτερα ἔπαθλα. καὶ, εἰ βούλεσθε, λύσαντες δείξωμεν τὸν πλοῦ-
τον ἅπαντα, καθὼς οἷόν τέ ἐστιν ἡμῖν δεῖξαι· μόνον μὴ ἀποκάμητε. καὶ πρότερον μάθωμεν
τί ἐστι, ῥαγήσεται. οὐδὲ γὰρ εἶπε, φανεῖται, ἀλλὰ, ῥαγήσεται, τὸ ταχὺ καὶ δαψιλὲς ἡμῖν
ἐμφαίνων, καὶ πῶς σφόδρα ἐφίεται τῆς ἡμετέρας σωτηρίας, καὶ πῶς ὠδίνει τὰ ἀγαθὰ αὐτὰ
προελθεῖν, καὶ ἐπείγεται, καὶ οὐδὲν ἔσται τὸ κωλῦον τὴν ἄφατον ῥύμην· δι' ὧν ἁπάντων τὴν
δαψίλειαν αὐτῶν ἐνδείκνυται, καὶ τὸ ἄπειρον τῆς περιουσίας. τί δέ ἐστι, πρώϊμον; τουτέστιν,
οὐ μετὰ τὸ ἐν τοῖς πειρασμοῖς γενέσθαι, οὐδὲ μετὰ τὴν τῶν κακῶν ἔφοδον, ἀλλὰ καὶ προφθά-

νει.

ιϛ. καθάπερ γὰρ ἐπὶ τῶν καρπῶν λέγομεν πρώϊμον τὸ πρὸ τοῦ καιροῦ φανέν, οὕτω καὶ ἐνταῦθα τὸ ταχινὸν πάλιν ἐμφαίνων οὕτως εἶπεν, ὥσπερ ἄνω ἔλεγεν· ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. ποῖον δὲ λέγει τὸ φῶς; καὶ τί ποτέ ἐστι τοῦτο τὸ φῶς; οὐ τοῦτο τὸ αἰσθητόν, ἀλλ' ἕτερον πολλῷ βέλτιον, ὃ τὸν οὐρανὸν ἡμῖν δείκνυσι, τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰ χερουβίμ, τὰ σεραφίμ, τὰς ἀρχάς, τὰς ἐξουσίας, τοὺς θρόνους, τὰς κυριότητας, τὸ στρατόπεδον ἅπαν, τὰς αὐλὰς τὰς βασιλικάς, τὰς σκηνάς. ἂν γὰρ τοῦ φωτὸς ἐκείνου καταξιωθῇς, καὶ ταῦτα ὄψει, καὶ ἀπαλλαγήσῃ γεέννης, καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ τῶν δεσμῶν τῶν ἀλύτων, καὶ τῆς στενοχωρίας, καὶ τῆς θλίψεως, καὶ τοῦ σκότους τοῦ ἀφεγγοῦς, καὶ τοῦ διχοτομηθῆναι, καὶ τῶν ποταμῶν τοῦ πυρός, καὶ τῆς κατάρας, καὶ τῶν τῆς ὀδύνης χωρίων· καὶ ἀπελεύσῃ ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη, ἔνθα πολλὴ ἡ χαρὰ καὶ ἡ εἰρήνη καὶ ἡ ἀγάπη καὶ ἡ εὐφροσύνη καὶ ἡ τρυφή, ἔνθα ζωὴ αἰώνιος καὶ δόξα ἄρρητος καὶ κάλλος ἄφραστον, ἔνθα αἰώνιοι σκηναί, καὶ ἡ δόξα τοῦ βασιλέως ἡ ἀπόρρητος, καὶ τὰ ἀγαθὰ ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἔνθα ὁ νυμφὼν ὁ πνευματικός, καὶ αἱ παστάδες τῶν οὐρανῶν, καὶ αἱ παρθένοι αἱ τὰς "φαιδρὰς ἔχουσαι λαμπάδας, καὶ οἱ τὸ ἔνδυμα τοῦ γάμου ἔχοντες· ἔνθα πολλὰ τὰ ὑπάρχοντα τοῦ δεσπότου, καὶ τὰ ταμεῖα τὰ βασιλικά. εἶδες ἡλίκα τὰ ἔπαθλα, καὶ ὅσα διὰ μιᾶς ῥήσεως ἐπεδείξατο, καὶ πῶς πάντα "συνεφόρησεν; οὕτω καὶ τῶν ἑξῆς ῥήσεων ἑκάστην ἀναπτύξαντες, πολλὴν εὑρήσομεν τὴν περιουσίαν, καὶ πέλαγος ἀχανές. "τί οὖν ἀναβαλλόμεθα, εἰπέ μοι, καὶ ὀκνήσομεν ἐλεεῖν τοὺς δεομένους; μὴ παρακαλῶ, ἀλλά, κἂν πάντα ῥίψαι δέῃ, κἂν εἰς πῦρ ἐμβληθῆναι, κἂν ξίφεσι κατατολμῆσαι, κἂν κατὰ μαχαιρῶν ἅλλεσθαι, κἂν ὁτιοῦν παθεῖν, πάντα φέρωμεν εὐκόλως, ἵνα τοῦ ἐνδύματος ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῆς ἀπορρήτου δόξης ἐκείνης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λαμπρὰς

Συνεφόρε-

ἐπ

Ὁμιλ. νε.

24 ΤΟΤΕ Ο ΙΗΣΟΥΣ ΕΙΠΕ ΤΟΙΣ ΜΑΘΗΤΑΙΣ αὐτοῦ· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

ΤΟτε, πότε; ὅτε ὁ Πέτρος εἶπεν, ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο, καὶ ἤκουσεν, ὕπαγε ὀπίσω μου Σατανᾶ. οὐδὲ γὰρ ἠρκέσθη τῇ ἐπιτιμήσει μόνον· ἀλλὰ καὶ ἐκ περιουσίας βουλόμενος δεῖξαι τήν τε τῶν παρὰ τοῦ Πέτρου εἰρημένων ἀτοπίαν, καὶ τὸ κέρδος τὸ ἀπὸ τοῦ πάθους, φησί· σύ μοι λέγεις, ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο· ἐγὼ δέ σοι λέγω, ὅτι οὐ μόνον τὸ ἐμὲ κωλῦσαι καὶ τῷ ἐμῷ πάθει δυσχεραίνειν, ἐπιβλαβές σοι καὶ ὀλέθριον, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δυνήσῃ, ἐὰν μὴ καὶ αὐτὸς εἰς τὸ ἀποθανεῖν ᾖς παρεσκευασμένος διαπαντός. ἵνα γὰρ μὴ ἀνάξιον αὐτοῦ τὸ παθεῖν εἶναι νομίσωσιν, οὐ διὰ τῶν προτέρων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐπαγομένων αὐτοὺς παιδεύει τοῦ πράγματος τὸ κέρδος. ἐν μὲν οὖν τῷ Ἰωάννῃ φησίν· ἐὰν πεσὼν ὁ κόκκος τοῦ σίτου εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ἐνταῦθα δὲ ἐκ περιουσίας αὐτὸ γυμνάζων, οὐκ ἐφ' ἑαυτοῦ περαίνει τὸν λόγον μόνον τὸν περὶ τοῦ δεῖν ἀποθνήσκειν, ἀλλὰ καὶ ἐπ' ἐκείνων. τοσοῦτον γὰρ τοῦ πράγματος τούτου τὸ κέρδος, ὅτι καὶ ἐφ' ὑμῶν, τὸ μὲν μὴ θέλειν ἀποθανεῖν, δεινόν· τὸ δὲ ἕτοιμον εἶναι πρὸς τοῦτο, ἀγαθόν. ἀλλὰ τοῦτο μὲν διὰ τῶν ἑξῆς δηλοῖ, τέως δὲ ἐξ ἑνὸς αὐτὸ γυμνάζει μέρους. καὶ ὅρα πῶς καὶ ἀκατανάγκαστον ποιεῖ τὸν λόγον. οὐδὲ γὰρ εἶπεν, ὅτι κἂν βούλησθε, κἂν μὴ βούλησθε, δεῖ τοῦτο ὑμᾶς παθεῖν, ἀλλὰ πῶς; εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. οὐ βιάζομαι, οὐκ ἀναγκάζω· ἀλλ' ἕκαστον κύριον τῆς ἑαυτοῦ προαιρέσεως ποιῶ. διὸ καὶ λέγω, εἴ τις θέλει. ἐπὶ γὰρ ἀγαθὰ καλῶ, οὐχὶ ἐπὶ κακὰ καὶ ἐπαχθῆ, οὐκ ἐπὶ κόλασιν καὶ τιμωρίαν, ἵνα καὶ ἀναγκάσω. καὶ γὰρ αὐτὴ τοῦ πράγματος ἡ φύσις ἱκανὴ ἐφελκύσασθαι. ταῦτα δὲ λέγων ''ἐπεσπάσατο μειζόνως. ὁ μὲν γὰρ βιαζόμενος ἀποτρέπει πολλάκις· ὁ δὲ ἀφεὶς κύριον τὸν ἀκροατὴν εἶναι, μᾶλλον ἐφέλκεται. βίας γὰρ δυνατωτέρα θεραπεία. διὸ καὶ αὐτὸς ἔλεγεν· εἴ τις θέλει. μεγάλα γάρ ἐστιν ἃ δίδωμι ὑμῖν, φησὶν, ἀγαθὰ, καὶ τοιαῦτα, ὡς καὶ ἐπιτρέχειν ἑκόντας. οὐδὲ γὰρ εἴ τις χρυσίον προὔθηκε καὶ θησαυρὸν προὐτίθει, μετὰ βίας ἐκάλεσεν ἄν. εἰ δὲ εἰς ἐκεῖνα οὐ μετὰ βίας, πολλῷ μᾶλλον ἐπὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά. εἰ γὰρ μὴ ἡ τοῦ πράγματος φύσις πείθει σε δραμεῖν, οὐδὲ λαβεῖν ἄξιος εἶ· οὐδ' ἂν λάβῃς, εἴσῃ καλῶς τὸ ληφθέν. διὰ τοῦτο οὐκ ἀναγκάζει ὁ Χριστὸς, ἀλλὰ προτρέπει φειδόμενος ἡμῶν. ἐπειδὴ γὰρ ἐδόκουν πολλὰ διαθρυλλεῖν ἰδίᾳ, θορυβούμενοι πρὸς τὸ εἰρημένον, φησίν· οὐ χρεία θορύβου καὶ ταραχῆς. εἰ μὴ νομίζετε μυρίων ἀγαθῶν αἴτιον εἶναι τὸ εἰρημένον, καὶ ἐφ' ὑμῶν συμβαῖνον, οὐ βιάζομαι οὐδὲ ἀναγκάζω, ἀλλ' εἴ τις θέλει ἀκολουθεῖν, τοῦτον καλῶ. μὴ γὰρ δὴ τοῦτο νομίζετε εἶναι τὴν ἀκολούθησιν, ὃ ποιεῖτε νῦν ἑπόμενοί μοι· πολλῶν ὑμῖν δεῖ πόνων, πολλῶν κινδύνων, εἰ μέλλοιτε ὀπίσω μου ἰέναι. οὐ γὰρ δὴ, ὦ Πέτρε, ἐπειδὴ υἱόν με ὡμολόγησας Θεοῦ, διὰ τοῦτο μόνον προσδοκᾶν ὀφείλεις στεφάνους, καὶ νομίζειν εἰς σωτηρίαν ἀρκεῖν σοι τοῦτο, καὶ ἀδείας λοιπὸν ἀπολαύειν, ὡς τὸ πᾶν ἐργασάμενος. δύναμαι μὲν γὰρ, ἅτε υἱὸς ὢν Θεοῦ, μηδὲ ἀφεῖναί σε πεῖραν τῶν δεινῶν λαβεῖν· οὐ βούλομαι δὲ διὰ σὲ, ἵνα καὶ αὐτός τι συνεισενέγκῃς καὶ δοκιμώτερος γένῃ. οὐδὲ γὰρ εἴ τις ἀγωνοθέτης εἴη καὶ φίλον ἀθλητὴν ἔχοι, βουληθείη ἂν χάριτι αὐτὸν στεφανῶσαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων πόνων, καὶ διὰ τοῦτο μάλιστα ἐπειδὴ αὐτὸν φιλεῖ. οὕτω καὶ ὁ Χριστός· οὓς μάλιστα φιλεῖ, τούτους μάλιστα βούλεται καὶ οἴκοθεν ''εὐδοκιμεῖν, οὐκ ἀπὸ τῆς αὐτοῦ βοηθείας μόνης. ὅρα δὲ πῶς καὶ ἀνεπαχθῆ ποιεῖ τὸν λόγον. οὐδὲ γὰρ εἰς αὐτοὺς περιΐστησι μόνους τὰ δεινὰ, ἀλλὰ καὶ κοινὸν τὸ δόγμα τῇ οἰκουμένῃ προτίθησι, λέγων· εἴ τις θέλει, κἂν γυνὴ, κἂν ἀνὴρ, κἂν ἄρχων, κἂν ἀρχόμενος, ταύτην ἐρχέσθω τὴν ὁδόν. καὶ δοκεῖ μὲν ἕν τι εἰρηκέναι· τρία δέ ἐστι τὰ λεγόμενα, τὸ ἀπαρνήσασθαι ἑαυτὸν, καὶ τὸ ἆραι τὸν σταυρὸν αὐτοῦ, καὶ τὸ ἀκολουθείτω μοι. καὶ τὰ μὲν δύο συνέζευκται, τὸ δὲ ἓν καθ' ἑαυτὸ τέτακται. ἀλλ' ἴδωμεν πρότερον τί ποτέ ἐστι τὸ ἀρνήσασθαι ἑαυτόν. μάθωμεν πρότερον τί ἐστιν ἀρνήσασθαι ἕτερον, καὶ τότε εἰσόμεθα τί ποτέ ἐστιν ἀρνήσασθαι ἑαυτόν. τί οὖν ἐστιν ἀρνήσασθαι ἕτερον; ὁ ἀρνούμενος ἕτερον, οἷον ἢ ἀδελφὸν, ἢ οἰκέτην, ἢ ὀντιναοῦν, κἂν μαστιζόμενον ἴδῃ, κἂν δεσμούμενον, κἂν ὁτιοῦν πάσχοντα, οὐ παρίσταται, οὐ βοηθεῖ, οὐκ ἐπικλᾶται, οὐ πάσχει τι πρὸς αὐτὸν, ἅτε ἅπαξ ἀπαλλοτριωθείς. οὕτω τοίνυν βούλεται τοῦ σώματος ἀφειδεῖν τοῦ ἡμετέρου, ἵνα κἂν μαστίζωσι, κἂν ἐλαύνωσι, κἂν καίωσι, κἂν ὁτιοῦν ποιῶσι, μὴ φεισώμεθα. τοῦτο γάρ ἐστι φείσασθαι. ἐπεὶ καὶ οἱ πατέρες τότε φείδονται τῶν ἐκγόνων, ὅταν διδασκάλοις αὐτὰ παραδιδόντες, κελεύωσιν αὐτῶν μὴ φείδεσθαι. οὕτω καὶ ὁ Χριστός· οὐκ εἶπε μὴ φείσασθαι ἑαυτοῦ, ἀλλ' ἐπιτεταμένως, ἀπαρνησάσθω ἑαυτὸν, τουτέστι, μηδὲν ἐχέτω κοινὸν πρὸς ἑαυτὸν, ἀλλ' ἐκδότω τοῖς κινδύνοις, τοῖς ἀγῶσι, καὶ ὡς ἑτέρου ταῦτα πάσχοντος, οὕτω διακείσθω. καὶ οὐκ εἶπεν, ἀρνησάσθω· ἀλλ' ἀπαρνησάσθω, καὶ τῇ μικρᾷ ταύτῃ προσθήκῃ πολλὴν πάλιν ἐμφαίνων τὴν ὑπερβολήν. καὶ γὰρ πλέον τοῦτο ἐκείνου ἐστί. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ. τοῦτο ἐξ ἐκείνου γίνεται. ἵνα γὰρ μὴ νομίσῃς ὅτι μέχρι ῥημάτων καὶ ὕβρεων καὶ ''ὀνειδισμῶν δεῖ ἀπαρνήσασθαι ἑαυτὸν, λέγει καὶ μέχρι πόσου ἀπαρνεῖσθαι ἑαυτὸν δεῖ· τουτέστι, μέχρι θανάτου, καὶ θανάτου ἐπονειδίστου. διὰ τοῦτο οὐκ εἶπεν, ἀπαρνησάσθω ἑαυτὸν μέχρι θανάτου, ἀλλ' ἀράτω τὸν σταυρὸν αὐτοῦ, τὸν ἐπονείδιστον θάνατον δηλῶν· καὶ ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ διὰ παντὸς τοῦ βίου τοῦτο δεῖ ποιεῖν. διηνεκῶς γάρ, φησι, περίφερε τὸν θάνατον τοῦτον,

γ. ἐπισπᾶν

γ. εὐδοκιμεῖν,

τῷ

ὑπερ

γ. ὀνειδι

τοῦτον, καὶ καθ' ἡμέραν ἕτοιμος ἔσο πρὸς σφαγήν. ἐπειδὴ γὰρ πολλοὶ χρημάτων μὲν κατεφρόνησαν καὶ τρυφῆς καὶ δόξης, θανάτου δὲ οὐχ ὑπερεῖδον, ἀλλ' ἔδεισαν κινδύνους, ἐγώ φησι καὶ μέχρις αἵματος παλαίειν τὸν ἀγωνιστὴν βούλομαι τὸν ἐμόν, καὶ ἕως σφαγῆς τὰ σκάμματα γίνεσθαι· ὥστε κἂν θάνατον ὑπομεῖναι δέῃ, κἂν θάνατον τὸν ἐπονείδιστον, κἂν θάνατον τὸν ἐπάρατον, κἂν ἐπὶ πονηρᾷ ὑπολήψει, πάντα δεῖ γενναίως φέρειν, καὶ ταύτῃ μᾶλλον ἀγάλλεσθαι. καὶ ἀκολουθείτω μοι. ἐπειδὴ γάρ ἐστι καὶ πάσχοντα μὴ ἀκολουθεῖν, ὅταν μὴ δι' αὐτόν τις πάθῃ (καὶ γὰρ λῃσταὶ πολλὰ [καὶ] χαλεπώτερα πάσχουσι, καὶ τυμβωρύχοι καὶ γόητες) ἵνα μὴ νομίσῃς ὅτι ἀρκεῖ τῶν δεινῶν ἡ φύσις, προστίθησι τὴν ὑπόθεσιν τῶν δεινῶν. τίς δέ ἐστιν αὕτη; ἵνα ταῦτα ποιῶν καὶ πάσχων αὐτῷ ἀκολουθῇς, ἵνα δι' αὐτὸν πάντα ὑπομένῃς, ἵνα καὶ τὴν ἄλλην ἀρετὴν ἔχῃς. καὶ γὰρ καὶ τοῦτο δηλοῖ τό, ἀκολουθείτω μοι, ὥστε μὴ μόνον ἀνδρείαν τὴν ἐν τοῖς δεινοῖς, ἀλλὰ καὶ σωφροσύνην καὶ ἐπιείκειαν καὶ πᾶσαν ἐπιδείκνυσθαι φιλοσοφίαν. τοῦτο γάρ ἐστιν ἀκολουθεῖν ὡς χρή, τὸ καὶ τῆς ἄλλης ἀρετῆς ἐπιμελεῖσθαι, καὶ τὸ δι' αὐτὸν πάντα πάσχειν. Εἰσὶ γὰρ οἱ τῷ διαβόλῳ ἀκολουθοῦντες, καὶ ταῦτα πάσχουσι, καὶ δι' ἐκεῖνον τὰς ψυχὰς αὐτῶν ἐκδιδόασιν· ἀλλ' ἡμεῖς διὰ τὸν Χριστόν, μᾶλλον δὲ δι' ἡμᾶς αὐτούς. ἐκεῖνοι μέν, ἵνα ἑαυτοὺς βλάψωσι, καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἡμεῖς δὲ ἵνα κερδήσωμεν ἑκατέραν τὴν ζωήν. πῶς οὖν οὐκ ἐσχάτης βλακείας, μηδὲ τὴν αὐτὴν τοῖς ἀπολλυμένοις ἐπιδείκνυσθαι ἀνδρείαν, καὶ ταῦτα, τοσούτους μέλλοντας καρποῦσθαι στεφάνους; καίτοιγε ἡμῖν μὲν καὶ ὁ Χριστὸς πάρεστι βοηθῶν, ἐκείνοις δὲ οὐδείς. Εἶπε μὲν οὖν ἤδη καὶ τοῦτο τὸ ἐπίταγμα, ὅτε ἔπεμπεν αὐτοὺς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Ἀποστέλλω γὰρ ὑμᾶς ἐν μέσῳ λύκων ὡς πρόβατα, καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε· νυνὶ δὲ ἐπιτεταμένως μᾶλλον καὶ αὐστηρότερον. τότε μὲν γὰρ θάνατον εἶπε μόνον· ἐνταῦθα δὲ καὶ σταυροῦ ἐμνημόνευσε, καὶ σταυροῦ διηνεκοῦς. ἀράτω γάρ, φησι, τὸν σταυρὸν αὐτοῦ· τουτέστι, βασταζέτω διηνεκῶς καὶ φερέτω. καὶ οὕτω ποιεῖν εἴωθε πανταχοῦ, οὐκ ἐξ ἀρχῆς οὐδὲ ἐκ προοιμίων, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν τὰ μείζονα τῶν παραγγελμάτων εἰσάγων, ἵνα μὴ ξενίζωνται οἱ ἀκούοντες. Εἶτα, ἐπειδὴ σφοδρὸν ἐδόκει εἶναι τὸ εἰρημένον, ὅρα πῶς αὐτὸ διὰ τῶν ἑξῆς παραμυθεῖται, καὶ τίθησιν ἔπαθλα ὑπερβάλλοντα τοὺς ἱδρῶτας· καὶ οὐκ ἔπαθλα μόνον, ἀλλὰ καὶ τὰ τῆς κακίας ἐπίχειρα. καὶ γὰρ τούτοις ἐνδιατρίβει μᾶλλον, ἢ ἐκείνοις· ἐπειδήπερ οὐχ οὕτως ἡ τῶν ἀγαθῶν δόσις, ὡς ἡ τῶν αὐστηρῶν ἀπειλὴ τοὺς πολλοὺς σωφρονίζειν εἴωθε. σκόπει δὲ πῶς καὶ ἐντεῦθεν ἄρχεται, καὶ εἰς τοῦτο τελευτᾷ.

Ματθ. ι. ε.
Λυκ. ι. γ.

25 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

26 Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀφειδῶν ὑμῶν, ἀλλὰ καὶ σφόδρα φειδόμενος, ταῦτα ἐπιτάττω. καὶ γὰρ ὁ φειδόμενος τοῦ παιδίου αὐτοῦ, ἀπόλλυσιν αὐτό· ὁ δὲ μὴ φειδόμενος, διασώζει. ὃ καί τις σοφὸς ἔλεγεν· Ὅτι ἐὰν παίσῃς τὸν υἱόν σου ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ. καὶ πάλιν, Ὁ περιψύχων τὸν υἱὸν αὐτοῦ, καταδήσει τραύματα αὐτοῦ· τοῦτο καὶ ἐπὶ *στρατοπέδου ἐστί. ἂν γὰρ ὁ στρατηγὸς φειδόμενος τῶν στρατιωτῶν, ἔνδον κελεύῃ μένειν διαπαντός, καὶ τοὺς ἔνδον αὐτοῖς προσαπολλύει. ἵνα οὖν μὴ καὶ ἐφ' ὑμῶν τοῦτο συμβαίνῃ, φησί· δεῖ πρὸς τὸν διηνεκῆ θάνατον ὑμᾶς παρατετάχθαι. καὶ γὰρ καὶ νῦν πόλεμος ἀναρριπίζεσθαι μέλλει χαλεπός. μὴ τοίνυν καθίσῃς ἔνδον, ἀλλ' ἐξέρχου καὶ πολέμει· κἂν πέσῃς ἐν τῇ παρατάξει, τότε ἔζησας. Εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν πολέμων ὁ παρατεταγμένος εἰς σφαγήν, οὗτος τῶν ἄλλων εὐδοκιμώτερος μᾶλλον καὶ ἀνάλωτός ἐστι, καὶ τοῖς πολεμίοις φοβερώτατος, καίτοιγε μετὰ θάνατον οὐκ ἰσχύοντος αὐτὸν ἀναστῆσαι τοῦ βασιλέως ὑπὲρ οὗ τὰ ὅπλα τί-

Παροι. κγ. ιγ.
Σειρ. λ.

θεται· πολλῷ μᾶλλον ἐπὶ τῶν πολέμων τούτων, ὅτε καὶ ἀναστάσεως ἐλπίδες τοσαῦται, ὁ προεκδιδόμενος εἰς θάνατον τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει αὐτήν· ἑνὶ μὲν τρόπῳ, ὅτι οὐ ταχέως ἁλώσεται· δευτέρῳ δὲ ὅτι, κἂν πέσῃ, ἐπὶ μείζονα αὐτὴν διαγωγήσει ζωήν. Εἶτα ἐπειδὴ εἶπεν, ὅτι ὁ θέλων σῶσαι, ἀπολέσει αὐτήν, ὃς δ᾽ ἂν ἀπολέσῃ, σώσει, κἀκεῖ σωτηρίαν καὶ ἀπώλειαν καὶ ἐνταῦθα σωτηρίαν καὶ ἀπώλειαν τέθεικεν, ἵνα μὴ νομίσῃ τις ἴσην εἶναι τὴν ἀπώλειαν ταύτην κἀκείνην καὶ τὴν σωτηρίαν, ἀλλὰ μάθῃ σαφῶς ὅτι τοσοῦτον ἐκείνης τῆς σωτηρίας καὶ ταύτης τὸ μέσον, ὅσον ἀπωλείας καὶ σωτηρίας, καὶ ἐκ τῶν ἐναντίων καθάπαξ ἐπάγει ταῦτα κατασκευάζων. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, φησίν, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Εἶδες πῶς ἡ παρὰ τὸ δέον αὐτῆς σωτηρία ἀπώλεια, καὶ ἀπωλείας ἁπάσης χείρων, ἅτε καὶ ἀνίατος οὖσα, τῷ μηδὲν εἶναι λοιπὸν τὸ ἐξωνούμενον αὐτήν; μὴ γάρ μοι λέγε τοῦτο, φησίν, ὅτι τὴν ψυχὴν αὐτοῦ ἔσωσεν ὁ κινδύνους διαφυγὼν τοὺς τοιούτους, ἀλλὰ μετὰ τῆς ψυχῆς αὐτοῦ θὲς καὶ τὴν οἰκουμένην ἅπασαν. καὶ τί τὸ πλέον ἐντεῦθεν αὐτῷ ἐκείνης ἀπολλυμένης; εἰπὲ γάρ μοι, εἰ τοὺς οἰκέτας ἴδοις τοὺς σοὺς ἐν τρυφῇ, σαυτὸν δὲ ἐν κακοῖς ἐσχάτοις, ἆρα κερδαίνεις ἐκ τοῦ δεσπότης εἶναι τι; οὐδαμῶς. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου· ὅταν τῆς σαρκὸς τρυφώσης καὶ πλουτούσης, αὕτη τὴν μέλλουσαν ἀπώλειαν ἀναμένει. Τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; πάλιν ἐπιμένει τῷ αὐτῷ. μὴ γὰρ ἑτέραν ψυχὴν ἔχεις δοῦναι ἀντὶ ψυχῆς, φησίν; χρήματα μὲν γὰρ ἂν ἀπολέσῃς, δυνήσῃ δοῦναι χρήματα, κἂν οἰκίαν, κἂν ἀνδράποδα, κἂν ὁποιονοῦν ἕτερον τῶν κτημάτων· ψυχὴν δὲ ἂν ἀπολέσῃς, ἑτέραν οὐ δυνήσῃ ἐπιδοῦναι ψυχήν· ἀλλὰ κἂν τὸν κόσμον ἔχῃς, κἂν βασιλεὺς τῆς οἰκουμένης ᾖς, οὐχ οἷός τε ἔσῃ τὰ τῆς οἰκουμένης πάντα καταβαλὼν μετὰ τῆς οἰκουμένης αὐτῆς ψυχὴν ἀγοράσαι μίαν. καὶ τί θαυμαστόν, εἰ ἐπὶ ψυχῆς τοῦτο συμβαίνει; καὶ γὰρ καὶ ἐπὶ σώματος τοῦτο γινόμενον ἴδοι τις ἄν. κἂν μυρία διαδήματα περικείμενος ᾖς, σῶμα δὲ ἔχῃς ἐπίνοσον φύσει καὶ ἀνιάτως ἔχον, οὐ δυνήσῃ, κἂν τὴν βασιλείαν ἅπασαν ἐπιδῷς, τὸ σῶμα διορθῶσαι τοῦτο, κἂν μυρία σώματα προσθῇς καὶ πόλεις καὶ χρήματα. οὕτω τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐπὶ τῆς ψυχῆς, καὶ πάντα τὰ ἄλλα ἀφείς, εἰς ταύτην ἅπασαν ἀνάλισκε τὴν σπουδήν. μὴ δὴ τῶν ἀλλοτρίων φροντίζων ἀμέλει σαυτοῦ καὶ τῶν σῶν· ὅπερ νῦν ἅπαντες ποιοῦσιν, ἐοικότες τοῖς τὰ μέταλλα ἐργαζομένοις. οὐδὲ γὰρ ἐκείνοις ὄφελος τῆς ἐργασίας ταύτης, οὐδὲ τοῦ πλούτου· ἀλλὰ καὶ πολὺ τὸ βλάβος, ὅτι τε κινδυνεύουσιν εἰκῇ, καὶ ὅτι ἑτέροις κινδυνεύουσιν, οὐδὲν ἐκ τῶν ἱδρώτων ἐκείνων καὶ τῶν θανάτων καρπούμενοι. τούτους καὶ νῦν εἰσι πολλοὶ οἱ μιμούμενοι, οἱ ἑτέροις μεταλλεύοντες πλοῦτον, μᾶλλον δὲ καὶ τούτων ἀθλιώτεροι, ὅσῳ καὶ γέεννα ἡμᾶς ἀναμένει μετὰ τοὺς πόνους τούτους. ἐκείνοις μὲν γὰρ ἵστησι τῶν ἱδρώτων ἐκείνων ὁ θάνατος· ἡμῖν δὲ ἀρχὴ μυρίων κακῶν ὁ θάνατος γίνεται. εἰ δὲ λέγεις ὅτι ἀπολαύεις τῶν σῶν πόνων πλουτῶν, δεῖξον τὴν ψυχὴν εὐφρανθεῖσαν, καὶ τότε πείθομαι. τῶν γὰρ ἐν ἡμῖν κυριώτερον ἡ ψυχή. εἰ δὲ τὸ σῶμα πιαίνεται, τηκομένης ἐκείνης, οὐδὲν αὕτη πρὸς σὲ ἡ εὐθυμία· ὥσπερ οὖν τῆς δούλης εὐφραινομένης, οὐδὲν πρὸς τὴν δέσποιναν ἀπολλυμένην ἡ τῆς θεραπαινίδος εὐημερία, οὐδὲ ἡ τῆς στολῆς εὐκοσμία πρὸς τὴν τῆς σαρκὸς ἀσθένειαν· ἀλλ᾽ ἐρεῖ σοι πάλιν ὁ Χριστός· Τί δώσει ἄνθρωπος ἀντάλλαγμα ὑπὲρ τῆς ψυχῆς αὐτοῦ; ἄνω καὶ κάτω περὶ ἐκείνην σε στρέφεσθαι κελεύων καὶ αὐτῆς μόνης ποιεῖσθαι λόγον. φοβήσας τοίνυν ἐντεῦθεν καὶ ἀπὸ τῶν ἀγαθῶν παραμυθεῖται.

γρ. ἀπολαύ-
σεις

27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου, φησίν, ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα καὶ τὴν πρᾶξιν αὐτοῦ.

α. Κορ. ιε. μα.

Εἶδες πῶς δόξα μία πατρὸς καὶ υἱοῦ; εἰ δὲ δόξα μία, εὔδηλον ὅτι καὶ οὐσία μία. εἰ γὰρ ἐν οὐσίᾳ μιᾷ διαφορὰ δόξης (Ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ, καίτοι μιᾶς οὔσης οὐσίας) πῶς ἂν ὧν ἡ δόξα μία, ἡ οὐσία ἑτέρα νομισθῇ; οὐδὲ γὰρ εἶπεν, ἐν δόξῃ τοιαύτῃ οἵᾳ ὁ πατὴρ, ἵνα πάλιν παραλλαγήν τινα ὑποπτεύσῃς· ἀλλὰ τὸ ἀπηκριβωμένον δεικνὺς, ἐν αὐτῇ ἐκείνῃ τῇ δόξῃ, φησὶν, ἥξει, ὡς μίαν αὐτὴν ὑποπτεύεσθαι καὶ τὴν αὐτήν. τί τοίνυν φοβῇ Πέτρε, φησὶ, θάνατον ἀκούων; τότε με γὰρ ὄψει ἐν τῇ δόξῃ τοῦ πατρός. εἰ δὲ ἐγὼ ἐν δόξῃ, καὶ ὑμεῖς. οὐδὲ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ ὑμέτερα· ἀλλ' ἑτέρα τις ὑμᾶς διαδέξεται λῆξις ἀμείνων. ἀλλ' ὅμως εἰπὼν τὰ χρηστὰ, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ τὰ φοβερὰ ἀνέμιξε, τὸ δικαστήριον ἐκεῖνο εἰς μέσον ἀγαγὼν, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους, καὶ τὴν ψῆφον τὴν ἀδέκαστον, καὶ τὴν κρίσιν τὴν ἀνεξαπάτητον. οὐ μὴν ἀφῆκε σκυθρωπὸν μόνον φανῆναι τὸν λόγον, ἀλλὰ καὶ χρησταῖς ἀνέμιξεν ἐλπίσιν. οὐδὲ γὰρ εἶπε, τότε κολάσει τοὺς ἡμαρτηκότας, ἀλλ' ἀποδώσει ἑκάστῳ κατὰ ″ τὰ ἔργα αὐτοῦ. τοῦτο δὲ ἔλεγεν, οὐχὶ τοὺς ἡμαρτηκότας κολάσεως ἀναμιμνήσκων μόνον, ἀλλὰ τοὺς κατωρθωκότας βραβείων καὶ στεφάνων.

ἢ πρᾶξιν

Ἀλλ' αὐτὸς μὲν, ἵνα καὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀνακτήσηται, ταῦτα εἴρηκεν· ἐγὼ δὲ φρίττω ἀεὶ ταῦτα ἀκούων. οὐ γάρ εἰμι τῶν στεφανουμένων. οἶμαι δὲ καὶ ἑτέρους ἡμῖν κοινωνεῖν τοῦ φόβου καὶ τῆς ἀγωνίας. τίνα γὰρ οὐχ ἱκανὸν τοῦτο πλῆξαι τὸ ῥῆμα, εἰς τὸ συνειδὸς εἰσελθόντα τὸ ἑαυτοῦ, καὶ ποιῆσαι φρίττειν, καὶ πεῖσαι ὅτι σάκκου ἡμῖν χρεία, καὶ νηστείας ἐπιτεταμένης μᾶλλον, ἢ τῷ δήμῳ τῶν Νινευϊτῶν; οὐ γὰρ ὑπὲρ καταστροφῆς πόλεως καὶ τῆς κοινῆς τελευτῆς ὁ λόγος ἡμῖν· ἀλλ' ὑπὲρ τῆς κολάσεως τῆς αἰωνίου, καὶ τοῦ πυρὸς τοῦ μὴ σβεννυμένου. διὸ καὶ τοὺς τὰς ἐρήμους κατειληφότας μοναχοὺς ἐπαινῶ καὶ θαυμάζω, τῶν τε ἄλλων ἕνεκεν, καὶ διὰ ταύτην τὴν ῥῆσιν. ἐκεῖνοι γὰρ μετὰ τὸ ἀριστοποιήσασθαι, μᾶλλον δὲ μετὰ τὸ δεῖπνον (ἄριστον γὰρ οὐκ ἴσασί ποτε. καὶ γὰρ ἴσασιν ὅτι πένθους ὁ παρὼν καιρὸς καὶ νηστείας) μετὰ τὸ δεῖπνον λέγοντές τινας εὐχαριστηρίους εἰς τὸν Θεὸν, καὶ ταύτης μέμνηνται τῆς φωνῆς. καὶ εἰ βούλεσθε καὶ αὐτῶν ἀκοῦσαι τῶν ὕμνων, ἵνα καὶ αὐτοὶ λέγητε συνεχῶς, πᾶσαν ὑμῖν ἀπαγγελῶ τὴν ᾠδὴν ἐκείνην τὴν ἱεράν. ἔχει τοίνυν τὰ ῥήματα αὐτῆς οὕτως· Εὐλογητὸς ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοι δόξα, τιμὴ, κράτος σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν. δόξα σοι Κύριε· δόξα σοι ἅγιε· δόξα σοι βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην. πλῆσον ἡμᾶς πνεύματος ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώπιόν σου ″ εὐαρεστήσαντες καὶ μὴ αἰσχυνόμενοι, ὅτε ἀποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πάντα μὲν οὖν ἄξιον θαυμάσαι τὸν ὕμνον τοῦτον· μάλιστα δὲ τοῦτο τὸ τέλος. ἐπειδὴ γὰρ ἡ τράπεζα καὶ ἡ τροφὴ διαχέειν εἴωθε καὶ βαρύνειν, καθάπερ τινὰ χαλινὸν τὴν ῥῆσιν ταύτην ἐπιτιθέασι τῇ ψυχῇ, παρ' αὐτὸν τὸν καιρὸν τῆς ἀνέσεως τοῦ καιροῦ τῆς κρίσεως αὐτὴν ἀναμιμνήσκοντες. ἔμαθον γὰρ τί ἔπαθεν Ἰσραὴλ ἀπὸ τραπέζης πολυτελοῦς. Ἔφαγε γὰρ καὶ ἐπαχύνθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· διὸ καὶ Μωϋσῆς ἔλεγε· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. μετὰ γὰρ ἐκείνην τὴν τράπεζαν, τὰ παράνομα αὐτοῖς ἐτολμήθη τότε ἐκεῖνα τολμήματα. σκόπει τοίνυν καὶ σὺ, μὴ τοιοῦτόν τι πάθῃς. κἂν γὰρ μὴ λίθῳ θύσῃς μηδὲ χρυσῷ καὶ πρόβατα καὶ μόσχους, σκόπει μὴ θυμῷ θύσῃς τὴν σαυτοῦ ψυχήν· μὴ πορνείᾳ θύσῃς τὴν σωτηρίαν τὴν σήν· μὴ ἑτέροις τοιούτοις πάθεσι. διὰ γάρ τοι τοῦτο καὶ ἐκεῖνοι τοὺς κρημνοὺς δεδοικότες τούτους, τραπέζης ἀπολαύσαντες, μᾶλλον δὲ νηστείας (καὶ γὰρ καὶ ἡ τράπεζα αὐτῶν νηστεία) τοῦ φοβεροῦ δικαστηρίου, καὶ τῆς ἡμέρας ἐκείνης ἑαυτοὺς ἀναμιμνήσκουσιν. εἰ δὲ ἐκεῖνοι οἱ καὶ νηστείαις, καὶ χαμευνίαις, καὶ ἀγρυπνίαις, καὶ σάκκῳ, καὶ μυρίοις ἑαυτοὺς σωφρονίζοντες, ἔτι καὶ ταύτης δέονται) τῆς ὑπομνήσεως· πότε δυνησόμεθα ἡμεῖς ἐπιεικῶς ζῆν, οἱ τραπέζας παρατιθέντες μυρία ναυάγια φερούσας, καὶ μηδὲ ὅλως εὐχόμενοι, μήτε ἐν ἀρχῇ, μήτε ἐν τέλει; διόπερ ἵνα τὰ ναυάγια ταῦτα λύσωμεν, τὸν ὕμνον ἐκεῖνον εἰς μέσον ἀγαγόντες ἀναπτύξωμεν πάντα·

ΗΘΙΚΟΝ

εὐαρεστοῦν-τες

Δευτ. λϐ. 15.
Δευτ. ϛ. 12. 16.

ἵνα τὸ ἐξ αὐτοῦ κέρδος ἰδόντες, καὶ αὐτοὶ συνεχῶς ἐπᾴδωμεν αὐτὸν τῇ τραπέζῃ, καὶ τὰ σκιρτήματα
τῆς γαστρὸς καταστέλλωμεν, καὶ τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀγγέλων ἐκείνων εἰς τὰς οἰκίας
εἰσάγοντες τὰς ἡμετέρας. ἔδει μὲν γὰρ βαδίζοντας ἐκεῖ, ταῦτα καρποῦσθαι· ἐπειδὴ δὲ
οὐ βούλεσθε, κἂν διὰ τῶν ἡμετέρων λόγων ἀκούσατε τῆς πνευματικῆς ταύτης μελῳδίας, καὶ
ἕκαστος μετὰ τὴν τράπεζαν ταῦτα λεγέτω τὰ ῥήματα, ἀρχόμενος οὕτως· Εὐλογητὸς ὁ Θεός.
Κολ. γ. ιζ. τὸν γὰρ ἀποστολικὸν εὐθέως πληροῦσι νόμον τὸν κελεύοντα· Πᾶν ὁποιοῦν ποιοῦμεν ἐν λόγῳ
ἢ ἐν ἔργῳ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ
δι᾽ αὐτοῦ. Εἶτα ἡ εὐχαριστία οὐχ ὑπὲρ τῆς μιᾶς ἡμέρας ἐκείνης μόνης, ἀλλ᾽ ὑπὲρ παντὸς
τοῦ βίου γίνεται. ὁ τρέφων γάρ με, φησιν, ἐκ νεότητός μου. καὶ διδασκαλία φιλοσοφίας ἐντεῦθεν.
τοῦ γὰρ Θεοῦ τρέφοντος, οὐ χρὴ μεριμνᾶν. εἰ γὰρ βασιλέως σοι ὑπισχνουμένου παρέχειν ἐκ
τῶν αὐτοῦ ταμιείων τὴν καθημερινὴν τροφὴν, ἐθάρσησας ἂν λοιπόν· πολλῷ μᾶλλον ὅταν ὁ
Θεὸς παρέχῃ, καὶ πάντα σοι ὥσπερ ἐκ πηγῶν ἐπιῤῥέῃ, πάσης φροντίδος ἀπηλλάχθαι δεῖ.
διὰ γὰρ τοῦτο καὶ ταῦτα λέγουσιν, ἵνα καὶ ἑαυτοὺς καὶ τοὺς ὑπ᾽ αὐτῶν μαθητευομένους πείσωσι
πᾶσαν φροντίδα ἀποδύσασθαι καὶ μέριμναν βιωτικήν. Εἶτα, ἵνα μὴ νομίσῃς ὅτι
ὑπὲρ ἑαυτῶν μόνων τὴν εὐχαριστίαν ταύτην ἀναφέρουσιν, ἐπάγουσι λέγοντες, ὁ διδοὺς τροφὴν
πάσῃ σαρκί· ὑπὲρ παντὸς εὐχαριστοῦντες τοῦ κόσμου· καὶ καθάπερ πατέρες τῆς οἰκουμένης
ἁπάσης, οὕτω τὰς ὑπὲρ ἁπάντων εὐφημίας ἀναφέρουσι, καὶ εἰς φιλαδελφίαν αὐτοὺς
ἀλείφουσι γνησίαν. οὐδὲ γὰρ δύνανται μισεῖν ἐκείνους ὑπὲρ ὧν, ὅτι τρέφονται, εὐχαριστοῦσι
τῷ Θεῷ. Εἶδες καὶ τὴν ἀγάπην διὰ τῆς εὐχαριστίας εἰσαγομένην, καὶ μέριμναν
ἐκβαλλομένην βιωτικὴν, καὶ διὰ τῶν ἔμπροσθεν καὶ διὰ τούτων; εἰ γὰρ πᾶσαν τρέφει σάρκα,
πολλῷ μᾶλλον τοὺς ἀνακειμένους αὐτῷ· εἰ γὰρ τοὺς βιωτικαῖς ἐνδεδυμένους φροντίσι, πολλῷ
Λουκ. ιβ. ζ. μᾶλλον τοὺς τούτων ἀπηλλαγμένους. τοῦτο καὶ ὁ Χριστὸς κατασκευάζων ἔλεγε· Πόσων
στρουθίων διαφέρετε ὑμεῖς; ταῦτα δὲ ἔλεγε, παιδεύων μὴ θαῤῥεῖν πλούτῳ καὶ γῇ καὶ σπέρμασιν.
οὐ γὰρ ταῦτά ἐστι τὰ τρέφοντα· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ. ἀπὸ τούτων καὶ Μανιχαίους,
καὶ τοὺς Οὐαλεντίνου, καὶ πάντας τοὺς τὰ ἐκείνων φρονοῦντας ἐπιστομίζουσιν. οὐ γὰρ δὴ καὶ
πονηρὸς οὗτος, ὁ πᾶσι προθεὶς τὰ ἑαυτοῦ καὶ τοῖς βλασφημοῦσιν αὐτόν. Εἶτα ἡ αἴτησις· πλήρωσον
χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. ποίας ἄρα χαρᾶς λέγει; μὴ τῆς βιωτικῆς;
μὴ γένοιτο. οὐ γὰρ ἂν, εἰ ταύτην ἤθελον, ὀρῶν κορυφὰς κατελάμβανον καὶ ἐρημίας,
καὶ σάκκον περιεβάλλοντο· ἀλλ᾽ ἐκείνην λέγουσι τὴν χαρὰν, τὴν οὐδὲν κοινὸν ἔχουσαν πρὸς
τὸν παρόντα βίον, τὴν τῶν ἀγγέλων, τὴν ἄνω· καὶ οὐχ ἁπλῶς αὐτὴν αἰτοῦσιν, ἀλλὰ μετὰ πολλῆς
τῆς ὑπερβολῆς. οὐ γὰρ λέγουσι, δὸς, ἀλλὰ πλήρωσον· καὶ οὐ λέγουσιν ἡμᾶς, ἀλλὰ
Γαλ. ε. κβ. τὰς καρδίας ἡμῶν. αὕτη γὰρ μάλιστα καρδίας χαρά. Ὁ γὰρ καρπὸς τοῦ πνεύματος, ἀγάπη,
χαρὰ, εἰρήνη. ἐπειδὴ γὰρ ἡ ἁμαρτία λύπην εἰσήγαγεν, ἀξιοῦσι διὰ τῆς χαρᾶς τὴν
δικαιοσύνην αὐτοῖς ἐμφυτευθῆναι. οὐ γὰρ ἂν ἄλλως ἐγγένοιτο χαρά· ἵνα πάντοτε πᾶσαν
αὐτάρκειαν ἔχοντες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθόν. ὅρα τὴν εὐαγγελικὴν ἐκείνην
Λουκ. ια. γ. πληρουμένην ῥῆσιν, τὴν λέγουσαν· Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ
ταύτην δὲ αὐτὴν ζητοῦντας διὰ τὰ πνευματικά. ἵνα γὰρ περισσεύωμεν, φησιν, εἰς
πᾶν ἔργον ἀγαθόν. οὐκ εἶπον, ἵνα τὸ ὀφειλόμενον μόνον ποιῶμεν, ἀλλ᾽ ἵνα καὶ πλέον τῶν ἐπιτεταγμένων.
τοῦτο γάρ ἐστιν, ἵνα περισσεύωμεν. καὶ παρὰ μὲν τοῦ Θεοῦ τὴν αὐτάρκειαν ζητοῦσιν
ἐν τοῖς ἀναγκαίοις· αὐτοὶ δὲ οὐ μετὰ αὐταρκείας βούλονται ὑπακούειν μόνον, ἀλλὰ
μετὰ περιουσίας πολλῆς, καὶ ἐν ἅπασι. τοῦτο δούλων εὐγνωμόνων, τοῦτο φιλοσόφων ἀνδρῶν, τὸ
ἀεὶ καὶ ἐν πᾶσι περισσεύειν. Εἶτα πάλιν ἀναμιμνήσκοντες ἑαυτοὺς τὴν οἰκείαν ἀσθένειαν,
καὶ ὡς οὐδεὶς ἄνευ τῆς ἄνωθεν ῥοπῆς γενναῖον δύναται γενέσθαι, εἰπόντες, ἵνα περισσεύωμεν
εἰς πᾶν ἔργον ἀγαθὸν, ἐπάγουσιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ σοι δόξα, τι-

μὴ καὶ κράτος εἰς τοὺς αἰῶνας ἀμήν. ἴσον τῇ ἀρχῇ τὸ τέλος ὑφαίνουσι διὰ τῆς εὐχαριστίας. εἶτα πάλιν δοκοῦσι μὲν ἐκ προοιμίων ἄρχεσθαι, τῶν αὐτῶν δὲ ἔχονται λόγων· ὥσπερ καὶ ὁ Παῦλος ἐν προοιμίῳ ἐπιστολῆς καταλύσας εἰς δοξολογίαν καὶ εἰπών, Κατὰ τὸ θέλημα Γαλ. α. δ. ε. τοῦ Θεοῦ καὶ πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν, ἄρχεται τῆς ὑποθέσεως πάλιν ὑπὲρ ἧς "ἔγραφε. καὶ πάλιν ἀλλαχοῦ εἰπών· Εσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτί- Ρω. α. κε. κϛ. σαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν, οὐκ ἀπήρτισε τὸν λόγον, ἀλλ' "ἔχεται πάλιν. μὴ τοίνυν μηδὲ τούτοις ἐγκαλῶμεν τοῖς ἀγγέλοις ὡς ἀτάκτως ποιοῦσιν, ὅτι καταλύσαντες τὸν λόγον εἰς δοξολογίαν, πάλιν ἄρχονται τῶν ὕμνων τῶν ἱερῶν. ἀποστολικοῖς γὰρ ἕπονται νόμοις, ἀπὸ δοξολογίας ἀρχόμενοι, καὶ εἰς τοῦτο τελευτῶντες, καὶ μετὰ τὴν τελευτὴν ταύτην προοιμιαζόμενοι πάλιν. διὸ λέγουσι· δόξα σοι Κύριε, δόξα σοι ἅγιε, δόξα σοι βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην. οὐδὲ γὰρ ὑπὲρ τῶν μεγάλων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μικρῶν δεῖ εὐχαριστεῖν. εὐχαριστοῦσι δὲ καὶ ὑπὲρ τούτων, καταισχύνοντες τὴν τῶν Μανιχαίων αἵρεσιν, καὶ ὅσοι τὴν παροῦσαν ζωὴν πονηρὰν εἶναι λέγουσιν. ἵνα γὰρ μὴ διὰ τὴν ἄκραν φιλοσοφίαν καὶ τὴν ὑπεροψίαν τῆς γαστρὸς ὑποπτεύσῃς περὶ αὐτῶν ὡς τὰ σῖτα βδελυττομένων, οἷα περὶ ἐκείνων τῶν ἀπαγχονιζόντων ἑαυτοὺς, διὰ τῆς εὐχῆς σε παιδεύουσιν, ὅτι οὐ βδελυττόμενοι τὰ κτίσματα τοῦ Θεοῦ τῶν πλειόνων ἀπέχονται, ἀλλ' ἢ φιλοσοφίαν ἀσκοῦντες. καὶ ὅρα πῶς ἀπὸ τῆς εὐχαριστίας τῶν ἤδη δοθέντων, καὶ περὶ τῶν μειζόνων δυσωποῦσι, καὶ οὐ μένουσιν ἐπὶ τῶν βιωτικῶν, ἀλλὰ ἀναβαίνουσιν ὑπὲρ τοὺς οὐρανοὺς, καὶ φασί· "πλῆσον ἡμᾶς πνεύματος ἁγίου. οὐδὲ γάρ ἐστιν εὐδοκιμεῖν, ὡς χρή, μὴ πληρωθέντα τῆς χάριτος ἐκείνης· καθάπερ οὐκ ἔστι γενναῖόν τι ποιεῖν ἢ μέγα, μὴ τῆς τοῦ Χριστοῦ ῥοπῆς ἀπολαύσαντα. ὥσπερ οὖν εἰπόντες, ἵνα περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν, ἐπήγαγον, ἐν Χριστῷ Ἰησοῦ· οὕτω καὶ ἐνταῦθα λέγουσι, πλῆσον ἡμᾶς πνεύματος ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώπιόν σου "εὐαρεστήσαντες, καὶ μὴ αἰσχυνόμενοι. οὐ γὰρ μέλει ἡμῖν τῆς παρὰ τῶν πολλῶν αἰσχύνης, φησίν· ἀλλ', ὅσα ἂν εἴπωσιν οἱ ἄνθρωποι περὶ ἡμῶν γελῶντες, ὀνειδίζοντες, οὐδὲ ἐπιστρεφόμεθα· ὁ δὲ ἀγὼν ἡμῖν ἅπας, ὥστε μὴ τότε αἰσχυνθῆναι. ὅταν δὲ ταῦτα εἴπωσι, καὶ τὸν τοῦ πυρὸς ἐπεισάγουσι ποταμὸν, καὶ τὰ ἔπαθλα καὶ τὰ βραβεῖα. οὐκ εἶπον, ἵνα μὴ κολασθῶμεν, ἀλλ' ἵνα μὴ αἰσχυνθῶμεν. τοῦτο γὰρ ἡμῖν πολὺ φοβερώτερον γεέννης, τὸ δόξαι προσκεκρουκέναι τῷ δεσπότῃ. ἀλλ' ἐπειδὴ τοὺς πολλοὺς οὐ φοβεῖ τοῦτο καὶ παχυτέρους, ἐπάγουσιν· ὅτε ἀποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. εἶδες ἡλίκα ἡμᾶς ὤνησαν οἱ ξένοι καὶ παρεπίδημοι οὗτοι, οἱ τῆς ἐρήμου πολῖται· μᾶλλον δὲ οἱ τῶν οὐρανῶν πολῖται; ἡμεῖς μὲν γὰρ τῶν οὐρανῶν ξένοι, πολῖται δὲ τῆς γῆς· "οὗτοι δὲ τοὐναντίον. μετὰ δὲ τὸν ὕμνον τοῦτον πολλῆς ἐμπλησθέντες κατανύξεως καὶ θερμῶν καὶ πολλῶν δακρύων, οὕτως ἐπὶ τὸν ὕπνον βαδίζουσι, τοσοῦτον ὑποτέμνοντες, ὅσον μικρὸν ἀναπαύσασθαι· καὶ πάλιν τὰς νύκτας ἡμέρας ποιοῦσιν, ἐν εὐχαριστίαις καὶ "ὑμνῳδίαις διάγοντες. οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ γυναῖκες ταύτην ἀσκοῦσι τὴν φιλοσοφίαν, τὴν ἀσθένειαν τῆς φύσεως τῇ περιουσίᾳ τῆς προθυμίας νικῶσαι. αἰσχυνθῶμεν τοίνυν τὴν ἐκείνων εὐτονίαν οἱ ἄνδρες ἡμεῖς, καὶ παυσώμεθα τοῖς παροῦσι προστετηκότες, τῇ σκιᾷ, τοῖς ὀνείρασι, τῷ καπνῷ. καὶ γὰρ τὸ πλέον τῆς ζωῆς ἡμῶν ἐν ἀναισθησίᾳ. ἥ τε γὰρ πρώτη ἡλικία πολλῆς γέμει τῆς ἀνοίας· ἡ δὲ πρὸς τὸ γῆρας ὁδεύουσα πάλιν πᾶσαν τὴν ἐν ἡμῖν αἴσθησιν καταμαραίνει, καὶ ὀλίγον ἐστὶ τὸ μέσον τὸ δυνάμενον μετ' αἰσθήσεως τρυφῆς ἀπολαῦσαι· μᾶλλον δὲ οὐδὲ ἐκεῖνο καθαρῶς τούτου μετέχει, μυρίων φροντίδων καὶ πόνων λυμαινομένων "αὐτό. διὸ * παρακαλῶ, τὰ ἀκίνητα καὶ ἀθάνατα ζητήσωμεν ἀγαθὰ, καὶ τὴν ζωὴν τὴν οὐδέποτε γῆρας ἔχουσαν. ἔστι γὰρ καὶ πόλιν οἰκοῦντα, τὴν τῶν μοναχῶν φιλοσοφίαν "ζηλῶσαι. ἔστι καὶ γυναῖκα ἔχοντα, καὶ ἐν οἰκίᾳ στρεφόμενον καὶ εὔχεσθαι καὶ νηστεύειν καὶ κατανενύχθαι. ἐπεὶ καὶ οἱ παρὰ τὴν ἀρχὴν ὑπὸ τῶν

ἀποστόλων κατηχηθέντες, τὰς μὲν πόλεις ᾤκουν, τῶν δὲ τὰς "ἐρημίας κατειληφότων τὴν εὐλάβειαν ἐπεδείκνυντο· καὶ ἕτεροι δὲ πάλιν ἐργαστηρίων προεστηκότες, ὡς Πρίσκιλλα καὶ Ἀκύλας. καὶ οἱ προφῆται δὲ πάντες καὶ γυναῖκας εἶχον καὶ οἰκίας, ὡς ὁ Ἡσαΐας, ὡς ὁ Ἰεζεκιὴλ, ὡς ὁ μέγας Μωϋσῆς, καὶ οὐδὲν ἐντεῦθεν εἰς ἀρετὴν παρεβλάβησαν. τούτους δὴ καὶ ἡμεῖς ζηλώσαντες, διὰ παντὸς εὐχαριστήσωμεν τῷ Κυρίῳ, διὰ παντὸς ὑμνῶμεν αὐτὸν, καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἐπιμελώμεθα, καὶ τὴν ἐν ταῖς ἐρημίαις φιλοσοφίαν εἰς τὰς πόλεις εἰσαγάγωμεν· ἵνα καὶ παρὰ Θεῷ εὐάρεστοι, καὶ τοῖς ἀνθρώποις δόκιμοι "φανῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ [Θεῷ καὶ] πατρὶ δόξα, τιμὴ καὶ "μεγαλοπρέπεια, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς "ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἐρήμ

χ. φανῶ-θῶ,

χ. κράτος,

χ. τοὺ

Ομιλ. νϛ. 28 ΑΜΗΝ, ΑΜΗΝ, ΛΕΓΩ ΥΜΙΝ, ΕΙΣΙ ΤΙΝΕΣ τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

ΕΠειδὴ πολλὰ περὶ κινδύνων διελέχθη καὶ θανάτου καὶ τοῦ πάθους τοῦ ἑαυτοῦ καὶ τῆς τῶν μαθητῶν σφαγῆς, καὶ τὰ αὐστηρὰ ἐπέταξεν ἐκεῖνα· καὶ τὰ μὲν ἦν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσὶ, τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι καὶ προσδοκίαις· οἷον τὸ, σώζειν τὴν ψυχὴν τοὺς ἀπολλῦντας αὐτήν· τὸ ἔρχεσθαι αὐτὸν ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ· τὸ ἀποδιδόναι τὰ ἔπαθλα· βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι, "τί ποτέ ἐστιν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει παραγίνεσθαι, ὡς ἐγχωροῦν ἦν αὐτοῖς μαθεῖν καὶ κατὰ τὸν παρόντα βίον, δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην· ἵνα μήτε ἐπὶ τῷ οἰκείῳ θανάτῳ μήτε ἐπὶ τῷ τοῦ δεσπότου λοιπὸν ἀλγῶσι, καὶ μάλιστα Πέτρος ὀδυνώμενος. καὶ ὅρα τί ποιεῖ. περὶ γεέννης καὶ βασιλείας διαλεχθεὶς (τῷ τε γὰρ εἰπεῖν, ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν, καὶ ὃς ἂν ἀπολέσῃ αὐτὴν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· καὶ τῷ εἰπεῖν, ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, ἀμφότερα ταῦτα ἐδήλωσε) περὶ ἀμφοτέρων τοίνυν εἰπὼν, τὴν μὲν βασιλείαν τῇ ὄψει δείκνυσι, τὴν δὲ γέενναν οὐκ ἔτι. τί δήποτε; ὅτι εἰ μὲν ἄλλοι τινὲς ἦσαν παχύτεροι, ἀναγκαῖον καὶ τοῦτο ἦν· ἐπειδὴ δὲ εὐδόκιμοι καὶ εὐγνώμονες, ἀπὸ τῶν χρηστοτέρων αὐτοὺς ἐνάγει. οὐ διὰ τοῦτο δὲ μόνον δείκνυσι τοῦτο, ἀλλ' ὅτι καὶ "αὐτῷ τοῦτο [μᾶλλον] πρεπωδέστερον ἦν. οὐ μὴν οὐδὲ ἐκεῖνο παρατρέχει τὸ μέρος, ἀλλ' ἔστιν ὅπου σχεδὸν καὶ ὑπ' ὄψιν αὐτὰ φέρει τὰ πράγματα τῆς γεέννης, ὡς ὅταν τοῦ Λαζάρου τὴν εἰκόνα εἰσάγῃ, καὶ τοῦ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσαντος μνημονεύῃ, καὶ τοῦ τὰ ῥυπαρὰ ἐνδεδυμένου ἱμάτια, καὶ ἑτέρων πλειόνων.

χ. τίς ποτ

χ. αὐτῷ

Λουκ. ιϛ.
Ματθ. ιη.
Ματθ. κβ.

κεφ. ιζ. 1 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην.

Ἕτερος δὲ μετὰ ὀκτώ φησιν, οὐκ ἐναντιούμενος τούτῳ, ἀλλὰ καὶ σφόδρα συνᾴδων. ὁ μὲν γὰρ καὶ αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐφθέγξατο, κἀκείνην καθ' ἣν ἀνήγαγεν, εἶπεν· ὁ δὲ τὰς μεταξὺ τούτων μόνον. σὺ δέ μοι σκόπει πῶς ὁ Ματθαῖος φιλοσοφεῖ, οὐκ ἀποκρυπτόμενος τοὺς ἑαυτοῦ προτιμηθέντας. τοῦτο δὲ καὶ ὁ Ἰωάννης πολλαχοῦ ποιεῖ, τὰ ἐξαίρετα τοῦ Πέτρου ἐγκώμια μετὰ πολλῆς ἀναγράφων τῆς ἀληθείας. βασκανίας γὰρ καὶ δόξης κενῆς πανταχοῦ καθαρὸς ἦν ὁ τῶν ἁγίων τούτων χορός. λαβὼν τοίνυν τοὺς κορυφαίους, Ἀναφέρει εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν·

2 Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ

δὲ ἱμάτια αὐτοῦ γέγονε λευκά, ὡς τὸ φῶς. 3 Καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες μετ' αὐτοῦ.

Διὰ τί τούτους παραλαμβάνει μόνους; ὅτι οὗτοι τῶν ἄλλων ἦσαν ὑπερέχοντες. καὶ ὁ μὲν Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν αὐτὸν ἐδήλου τὴν ὑπεροχήν· ὁ δὲ Ἰωάννης ἐκ τοῦ σφόδρα φιλεῖσθαι· καὶ ὁ Ἰάκωβος δὲ ἀπὸ τῆς ἀποκρίσεως, ἧς ἀπεκρίνατο μετὰ τοῦ ἀδελφοῦ λέγων, δυνάμεθα πιεῖν τὸ ποτήριον· οὐκ ἀπὸ τῆς ἀποκρίσεως δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔργων, τῶν τε ἄλλων, καὶ ἀφ' ὧν ἐπλήρωσεν ἅπερ εἶπεν. οὕτω γὰρ ἦν σφοδρὸς καὶ βαρὺς Ἰουδαίοις, ὡς καὶ τὸν Ἡρώδην ταύτην δωρεὰν μεγίστην νομίσαι χαρίσασθαι τοῖς Ἰουδαίοις, εἰ ἐκεῖνον ἀνέλοι. διὰ τί δὲ μὴ εὐθέως αὐτοὺς ἀνάγει; ὥστε μηδὲν παθεῖν ἀνθρώπινον τοὺς λοιποὺς μαθητάς. διὰ τοῦτο οὐδὲ τὰ ὀνόματα *λέγει τῶν ἀνιέναι μελλόντων. καὶ γὰρ σφόδρα ἂν ἐπεθύμησαν καὶ οἱ λοιποὶ ἀκολουθῆσαι, ὑπόδειγμα μέλλοντες τῆς δόξης ἐκείνης ὁρᾷν, καὶ ἤλγησαν ἄν, ὡς παροφθέντες. εἰ γὰρ καὶ σωματικώτερον τοῦτο ἐδείκνυ, ἀλλ' ὅμως πολλὴν ἐπιθυμίαν τὸ πρᾶγμα εἶχε. τί δήποτε οὖν καὶ προλέγει; ἵνα εὐμαθέστεροι περὶ τὴν θεωρίαν γένωνται, ἀφ' ὧν προεῖπε, καὶ σφοδροτέρας ἐν τῷ τῶν ἡμερῶν ἀριθμῷ τῆς ἐπιθυμίας ἐμπλησθέντες, οὕτω νηφούσῃ καὶ μεμεριμνημένῃ τῇ διανοίᾳ παραγένωνται. τίνος δὲ ἕνεκεν καὶ Μωϋσῆν καὶ Ἠλίαν εἰς μέσον ἄγει; πολλὰς ἂν ἔχοι τις εἰπεῖν αἰτίας· καὶ πρώτην μὲν ταύτην, ὅτι ἐπειδὴ οἱ ὄχλοι ἔλεγον, οἱ μὲν Ἠλίαν, οἱ δὲ Ἱερεμίαν, οἱ δὲ ἕνα τῶν ἀρχαίων προφητῶν, τοὺς κορυφαίους ἄγει, ἵνα τὸ μέσον καὶ ἐντεῦθεν ἴδωσι τῶν δούλων καὶ τοῦ δεσπότου, καὶ τὴν διαφοράν, καὶ ὅτι καλῶς ἐπῃνέθη Πέτρος ὁμολογήσας αὐτὸν υἱὸν Θεοῦ. μετ' ἐκείνην δὲ καὶ ἑτέραν ἐστὶν εἰπεῖν. ἐπειδὴ γὰρ συνεχῶς ἐνεκάλουν αὐτῷ τὸ παραβαίνειν τὸν νόμον, καὶ βλάσφημον αὐτὸν εἶναι ἐνόμιζον, ὡς σφετεριζόμενον δόξαν οὐ προσήκουσαν αὐτῷ τὴν τοῦ πατρός, καὶ ἔλεγον, Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ· καὶ πάλιν, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν· ἵνα δειχθῇ ὅτι βασκανίας ἀμφότερα τὰ ἐγκλήματα, καὶ ἑκατέρων τούτων ἐστὶν ἀνεύθυνος, καὶ οὔτε νόμου παράβασις τὸ γινόμενον, οὔτε δόξης σφετερισμὸς τῆς μὴ προσηκούσης, τὸ λέγειν ἑαυτὸν ἴσον τῷ πατρί, τοὺς ἐν ἑκατέρῳ λάμψαντας τούτων εἰς μέσον ἄγει. καὶ γὰρ Μωϋσῆς τὸν νόμον ἔδωκε, καὶ ἠδύναντο λογίσασθαι Ἰουδαῖοι, ὅτι οὐκ ἂν περιεῖδε πατούμενον αὐτόν, ὡς ἐνόμιζον, οὐδ' ἂν τὸν παραβαίνοντα αὐτὸν καὶ τῷ τεθεικότι πολέμιον ὄντα ἐθεράπευσεν ἄν. καὶ Ἠλίας δὲ ὑπὲρ τῆς δόξης ἂν τοῦ Θεοῦ ἐζήλωσε, καὶ οὐκ ἄν, εἰ ἀντίθεος ἦν, καὶ Θεὸν ἑαυτὸν ἔλεγεν, ἴσον ἑαυτὸν ποιῶν τῷ πατρί, μὴ ὢν ὅπερ ἔλεγε, μηδὲ προσηκόντως τοῦτο ποιῶν, παρέστη καὶ αὐτὸς καὶ ὑπήκουσεν. ἔστι δὲ καὶ ἑτέραν αἰτίαν εἰπεῖν μετὰ τῶν εἰρημένων. ποίαν δὴ ταύτην; ἵνα μάθωσιν, ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει, καὶ τῶν ἄνω καὶ τῶν κάτω κρατεῖ, διὰ τοῦτο καὶ τὸν τετελευτηκότα, καὶ τὸν οὐδέπω τοῦτο παθόντα εἰς μέσον ἄγει. τὴν δὲ πέμπτην αἰτίαν (πέμπτη γὰρ αὕτη ἐστὶ παρὰ τὰς εἰρημένας) καὶ αὐτὸς ὁ εὐαγγελιστὴς ἀπεκάλυψε. τίς δὲ ἦν αὕτη; δεῖξαι τοῦ σταυροῦ τὴν δόξαν, καὶ παραμυθήσασθαι τὸν Πέτρον καὶ ἐκείνους δεδοικότας τὸ πάθος, καὶ ἀναστῆσαι αὐτῶν τὰ φρονήματα. καὶ γὰρ παραγενόμενοι οὐκ ἐσίγων, Ἀλλ' ἐλάλουν, φησί, τὴν δόξαν, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ, τουτέστι, τὸ πάθος καὶ τὸν σταυρόν· οὕτω γὰρ αὐτὸ καλοῦσιν ἀεί. οὐ ταύτῃ δὲ μόνον αὐτοὺς ἤλειφεν, ἀλλὰ καὶ αὐτῇ τῇ ἀρετῇ τῶν ἀνδρῶν, ἣν μάλιστα παρ' αὐτῶν ἐζήτει. ἐπειδὴ γὰρ εἶπεν, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, τοὺς μυριάκις ἀποθανόντας ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων καὶ δήμου τοῦ πιστευθέντος αὐτοῖς, τούτους εἰς μέσον ἄγει. καὶ γὰρ τούτων ἕκαστος τὴν ψυχὴν ἀπολέσας, εὗρεν αὐτήν. καὶ γὰρ καὶ πρὸς τυράννους ἕκαστος ἐπαρρησιάσατο· ὁ μὲν πρὸς τὸν Αἰγύπτιον, ὁ δὲ πρὸς τὸν Ἀχαάβ, καὶ ὑπὲρ ἀγνωμόνων ἀνθρώπων καὶ ἀπειθῶν· καὶ ὑπ' αὐτῶν τῶν παρ' αὐτῶν σωζομένων εἰς τὸν περὶ τῶν ἐσχάτων ἤχθησαν κίνδυνον·

Πραξ. ιβ. α. β.

Ιωαν. θ. ιϛ.

Ιωαν. ι. λγ.

Λουκ. θ. λα.

καὶ ἕκαστος αὐτῶν εἰδωλολατρείας ἀπαλλάξαι βουλόμενος, καὶ ἕκαστος αὐτῶν ἰδιώτης ὤν, ὁ μὲν γὰρ βραδύγλωσσος καὶ ἰσχνόφωνος, ὁ δὲ καὶ αὐτὸς ἀγροικότερον διακείμενος· καὶ ἀκτημοσύνης δὲ πολλὴ παρ᾽ ἑκατέρων ἡ ἀκρίβεια. οὔτε γὰρ Μωϋσῆς τι ἐκέκτητο, οὔτε Ἠλίας. τί γὰρ εἶχε πλέον τῆς μηλωτῆς; καὶ ταῦτα ἐν τῇ παλαιᾷ, καὶ οὐδὲ χάριν τοσαύτην λαβόντες σημείων. εἰ γὰρ καὶ θάλατταν ἔσχισε Μωϋσῆς, ἀλλὰ καὶ Πέτρος ἐπὶ τῆς ὑγρᾶς ἐβάδισε, καὶ ὄρη μεταθεῖναι ἰσχυρὸς ἦν, καὶ νοσήματα σωμάτων διώρθου παντοδαπά, καὶ δαίμονας ἤλαυνεν ἀγρίους, καὶ σκιᾷ σώματος τὰ μεγάλα ἐκεῖνα ἐθαυματούργει τεράστια, καὶ τὴν οἰκουμένην μετέστησεν ἅπασαν. εἰ δὲ καὶ Ἠλίας νεκρὸν ἀνέστησεν, ἀλλ᾽ οὗτοι μυρίους, καὶ ταῦτα μηδέπω πνεύματος καταξιωθέντες. ἄγει τοίνυν καὶ διὰ τοῦτο εἰς μέσον. ἐβούλετο γὰρ αὐτοὺς καὶ τὸ δημαγωγικὸν τὸ ἐκείνων ζηλῶσαι, καὶ τὸ εὔτονον καὶ τὸ ἀκαμπές, καὶ γενέσθαι ἐπιεικεῖς κατὰ Μωϋσέα, καὶ ζηλωτὰς κατὰ τὸν Ἠλίαν, καὶ κηδεμονικοὺς ὁμοίως. ὁ μὲν γὰρ λιμὸν τριῶν ἐτῶν ἤνεγκε διὰ τὸν δῆμον τὸν Ἰουδαϊκόν· ὁ δὲ ἔλεγεν, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. * τούτων δὲ ἁπάντων ἀνεμίμνησκε διὰ τῆς ὄψεως. καὶ γὰρ ἐν δόξῃ αὐτοὺς ἤγαγεν, οὐχ ἵνα μέχρι τούτων στῶσιν, ἀλλ᾽ ἵνα καὶ ὑπερβαίνωσι τὰ σκάμματα. ὅτε γοῦν εἶπον· Εἴπωμεν πῦρ καταβῆναι ἐκ τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσαν Ἠλία ὡς τοῦτο πεποιηκότος, φησίν· Οὐκ οἴδατε ποίου πνεύματός ἐστε, εἰς ἀνεξικακίαν αὐτοὺς ἀλείφων διὰ τῆς κατὰ τὸ χάρισμα διαφορᾶς. καὶ μή τις ἡμᾶς νομιζέτω καταγινώσκειν Ἠλίου, ὡς ἀτελοῦς. οὐ τοῦτό φαμεν. καὶ γὰρ σφόδρα τέλειος ἦν, ἀλλ᾽ ἐν τοῖς καιροῖς τοῖς ἑαυτοῦ, ὅτε παιδικωτέρα ἡ τῶν ἀνθρώπων διάνοια ἦν, καὶ ταύτης ἐδέοντο τῆς παιδαγωγίας. ἐπεὶ καὶ Μωϋσῆς κατὰ τοῦτο τέλειος ἦν· ἀλλ᾽ ὅμως κἀκείνου πλέον ἀπαιτοῦνται οὗτοι. Ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. οὐ γὰρ εἰς Αἴγυπτον εἰσῄεσαν, ἀλλ᾽ εἰς τὴν οἰκουμένην ἅπασαν χαλεπώτερον Αἰγυπτίων διακειμένην· οὐδὲ τῷ Φαραὼ διαλεξόμενοι, ἀλλὰ τῷ διαβόλῳ πυκτεύσοντες, αὐτῷ τῷ τῆς κακίας τυράννῳ. καὶ γὰρ ἀγὼν ἦν αὐτοῖς κἀκεῖνον δῆσαι, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι πάντα. καὶ ταῦτα ἐποίουν οὐ θάλατταν ῥηγνύντες, ἀλλὰ βυθὸν ἀσεβείας διὰ τῆς ῥάβδου τῆς Ἰεσσαὶ πολλῷ χαλεπώτερα κύματα ἔχοντα. ὅρα γοῦν πόσα ἐφόβει τοὺς ἀνθρώπους, θάνατος, πενία, ἀδοξία, τὰ μυρία πάθη. καὶ μᾶλλον ταῦτα ἔτρεμον, ἢ τὸ πέλαγος τότε ἐκεῖνο οἱ Ἰουδαῖοι· ἀλλ᾽ ὅμως ἁπάντων τούτων ἔπεισεν αὐτοὺς κατατολμῆσαι, καὶ ὥσπερ διὰ ξηρᾶς διαβῆναι μετὰ ἀσφαλείας ἁπάσης. πρὸς ταῦτα τοίνυν ἅπαντα αὐτοὺς ἀλείφων, παρήγαγε τοὺς ἐν τῇ παλαιᾷ λάμψαντας. τί οὖν ὁ Πέτρος ὁ θερμός;

4 Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. Ἐπειδὴ γὰρ ἤκουσεν, ὅτι δεῖ αὐτὸν εἰς τὰ Ἱεροσόλυμα ἀπελθεῖν καὶ παθεῖν, δεδοικὼς ἔτι καὶ τρέμων ὑπὲρ αὐτοῦ καὶ μετὰ τὴν ἐπιτίμησιν, προσελθεῖν μὲν καὶ εἰπεῖν τὸ αὐτὸ τοῦτο οὐ τολμᾷ πάλιν, ὅτι ἵλεώς σοι· ἀπὸ δὲ τοῦ φόβου ἐκείνου τὰ αὐτὰ πάλιν αἰνίττεται δι᾽ ἑτέρων ῥημάτων. ἐπειδὴ γὰρ εἶδεν ὄρος καὶ πολλὴν τὴν ἀναχώρησιν καὶ τὴν ἐρημίαν, ἐνενόησεν ὅτι ἔχει πολλὴν ἀσφάλειαν τὸ ἀπὸ τοῦ τόπου· οὐ μόνον δὲ τὴν ἀπὸ τοῦ τόπου, ἀλλὰ καὶ τὸ μηκέτι ἀπελθεῖν αὐτὸν εἰς τὰ Ἱεροσόλυμα. βούλεται γὰρ αὐτὸν ἐκεῖ εἶναι διηνεκῶς· διὸ καὶ σκηνῶν μέμνηται. εἰ γὰρ τοῦτο γένοιτο, φησιν, οὐκ ἀναβησόμεθα εἰς τὰ Ἱεροσόλυμα. εἰ δὲ μὴ ἀναβαίημεν, οὐκ ἂν ἀποθανεῖται. ἐκεῖ γὰρ ἔφη τοὺς γραμματεῖς ἐπιθήσεσθαι αὐτῷ. ἀλλ᾽ οὕτω μὲν οὐκ ἐτόλμησεν εἰπεῖν· ταῦτα δὲ βουλόμενος κατασκευάσαι, ἔλεγεν ἐν ἀσφαλείᾳ, καλόν ἐστιν ἡμᾶς ἐνταῦθα εἶναι, ἔνθα καὶ Μωϋσῆς πάρεστι καὶ Ἠλίας, Ἠλίας ὁ ἐπὶ τοῦ ὄρους πῦρ κατενεγκὼν, καὶ Μωϋσῆς ὁ εἰς τὸν γνόφον εἰσελθὼν καὶ τῷ Θεῷ διαλεχθείς· καὶ οὐδεὶς οὐδὲ εἴσεται ἔνθα ἐσμέν. Εἶδες τὸν θερμὸν ἐραστὴν τοῦ Χριστοῦ; μὴ γὰρ δὴ τοῦτο ζήτει, ὅτι οὐκ ἦν ἐξητασμένος ὁ τρόπος τῆς παρακλήσεως, ἀλλ᾽

ὅπως

Ἐξόδ. λβ. λβ.

Λουκ. θ. νδ.

Ματθ. ε. κ.

ἴσ. ἰσχυρότ

* μετ

γρ. ὑπερβαίν

γρ. Ἠλίαν

γρ. πεποιηκό

τα,

ὅπως θερμὸς ἦν, πῶς περιείχετο * τοῦ Χριστοῦ. Ὅτι γὰρ οὐχ ὑπὲρ ἑαυτοῦ τοσοῦτον τρέμων ταῦτα ἔλεγεν, ἡνίκα αὐτοῦ τὸν ἐσόμενον περιεμάνθανε θάνατον καὶ τὴν ἔφοδον, ἄκουσον τί φησι· Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὅρα δὲ πῶς καὶ ἐν μέσοις αὐτοῖς τοῖς κινδύνοις παρεβουλεύετο. Τοσούτου γοῦν περιεστῶτος δήμου, οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ τὴν μάχαιραν σπασάμενος τὸ ὠτίον ἀπέκοψε τοῦ δούλου τοῦ ἀρχιερέως. Οὕτως οὐ τὸ καθ' ἑαυτὸν ἐσκόπει, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου ἔτρεμεν. Εἶτα, ἐπειδὴ ἀποφαντικῶς ἐφθέγξατο, ἐπιλαμβάνεται ἑαυτοῦ, καὶ ἐννοήσας μὴ πάλιν ἐπιτιμηθῇ, φησίν·

Μαρ. ιδ. λα.

Εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωϋσεῖ μίαν, καὶ Ἠλίᾳ μίαν.

Τί λέγεις, ὦ Πέτρε; οὐ πρὸ μικροῦ τῶν δούλων αὐτὸν ἀπήλλαξας; πάλιν μετὰ τῶν δούλων αὐτὸν ἀριθμεῖς; Εἶδες πῶς σφόδρα ἀτελεῖς ἦσαν πρὸ τοῦ σταυροῦ; Εἰ γὰρ καὶ ἀπεκάλυψεν αὐτῷ ὁ πατήρ, ἀλλ' οὐ διηνεκῶς κατεῖχε τὴν ἀποκάλυψιν, ἀλλ' ὑπὸ τῆς ἀγωνίας ἐταράχθη, οὐχὶ ταύτης ἧς εἶπον μόνης, ἀλλὰ καὶ ἑτέρας τῆς ἀπὸ τῆς ὄψεως ἐκείνης. Οἱ γοῦν ἕτεροι εὐαγγελισταὶ τοῦτο δηλοῦντες, καὶ τὸ συγκεχυμένον αὐτοῦ τῆς γνώμης, μεθ' ἧς ταῦτα ἐφθέγγετο, ἀπὸ τῆς ἀγωνίας ἐκείνης δεικνῦντες γεγενῆσθαι, ἔλεγον, ὁ μὲν Μάρκος· Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἔκφοβοι γὰρ ἐγένοντο· ὁ δὲ Λουκᾶς, μετὰ τὸ εἰπεῖν, τρεῖς σκηνὰς ποιήσωμεν, ἐπήγαγε, Μὴ εἰδὼς ὃ λέγει. Εἶτα δηλῶν ὅτι πολλῷ κατείχετο φόβῳ καὶ αὐτὸς καὶ οἱ λοιποί, φησί· Βεβαρημένοι ἦσαν ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, ὕπνον ἐνταῦθα καλῶν τὸν πολὺν κάρον τὸν ἀπὸ τῆς ὄψεως ἐκείνης αὐτοῖς ἐγγινόμενον. Καθάπερ γὰρ ὀφθαλμοὶ ἐξ ὑπερβαλλούσης λαμπηδόνος σκοτοῦνται, οὕτω καὶ τότε ἔπαθον. Οὐ γὰρ δὴ νὺξ ἦν, ἀλλ' ἡμέρα, καὶ τὸ τῆς αὐγῆς ὑπέρογκον ἐβάρει τῶν ὀφθαλμῶν τὴν ἀσθένειαν. Τί οὖν; αὐτὸς μὲν οὐδὲν φθέγγεται, οὐδὲ Μωϋσῆς, οὐδὲ Ἠλίας· ὁ δὲ πάντων μείζων καὶ ἀξιοπιστότερος ὁ πατὴρ φωνὴν ἀφίησιν ἐκ τῆς νεφέλης. Διατί ἐκ τῆς νεφέλης; Οὕτως ἀεὶ φαίνεται ὁ Θεός. Νεφέλη γὰρ καὶ γνόφος κύκλῳ αὐτοῦ· καὶ πάλιν, Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ· καὶ πάλιν, Κύριος κάθηται ἐπὶ νεφέλης κούφης· καὶ, Νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν· καὶ, Ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν. Ἵν' οὖν πιστεύσωσιν ὅτι παρὰ τοῦ Θεοῦ ἡ φωνὴ φέρεται, ἐκεῖθεν ἔρχεται· καὶ ἡ νεφέλη ἡ φωτεινή.

Μαρ. θ. ς.
Λουκ. θ. λγ.
Ψαλμ. ξη. δ.
Ψαλμ. ργ. γ.
Πραξ. α. θ.
Δαν. ζ. ιγ.

5 Ἔτι γὰρ αὐτοῦ λαλοῦντος, φησίν, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.

Ὅταν μὲν γὰρ ἀπειλῇ, σκοτεινὴν δείκνυσι νεφέλην, ὥσπερ ἐν τῷ Σινᾷ. Εἰσῆλθε γάρ, φησιν, εἰς τὴν νεφέλην καὶ εἰς τὸν γνόφον ὁ Μωϋσῆς, καὶ ὡς ἀτμίς, οὕτως ἐφέρετο ὁ καπνός. Καὶ ὁ προφήτης φησὶ περὶ τῆς ἀπειλῆς αὐτοῦ διαλεγόμενος, Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἐνταῦθα δέ, ἐπειδὴ οὐ φοβῆσαι ἐβούλετο, ἀλλὰ διδάξαι, νεφέλη φωτεινή. Καὶ ὁ μὲν Πέτρος ἔλεγε, ποιήσωμεν τρεῖς σκηνάς· αὐτὸς δὲ ἀχειροποίητον ἔδειξε σκηνήν. Διὰ τοῦτο ἐκεῖ μὲν καὶ καπνὸς καὶ ἀτμὶς καμίνου, ἐνταῦθα δὲ φῶς ἄφατον καὶ φωνή. Εἶτα ἵνα δειχθῇ ὅτι οὐ περὶ ἑνὸς ἁπλῶς τῶν τριῶν ἐλέχθη, ἀλλὰ περὶ τοῦ Χριστοῦ μόνου, ὅτε ἡ φωνὴ ἠνέχθη, ἐκποδὼν ἐγένοντο ἐκεῖνοι. Οὐδὲ γὰρ ἄν, εἰ περί τινος αὐτῶν διελέγετο ἁπλῶς, οὗτος ἂν ἔμεινε μόνος ἀποσχισθέντων τῶν δύο. Καὶ τί φησιν ἡ φωνή; Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. Εἰ δὲ ἀγαπητός, μὴ φοβοῦ Πέτρε. Ἔδει μὲν γάρ σε καὶ τὴν δύναμιν αὐτοῦ ἤδη εἰδέναι, καὶ πεπληροφορῆσθαι περὶ τῆς ἀναστάσεως· ἐπειδὴ δὲ ἀγνοεῖς, κἂν ἀπὸ τῆς φωνῆς τοῦ πατρὸς θάρρησον. Εἰ γὰρ δυνατὸς ὁ Θεός, ὥσπερ οὖν καὶ δυνατός, εὔδηλον ὅτι καὶ ὁ υἱὸς ὁμοίως. Μὴ τοίνυν δέδιθι τὰ δεινά. Εἰ δὲ οὐδέπω τοῦτο καταδέχῃ, κἂν ἐκεῖνο λογίζου, ὅτι καὶ υἱός, καὶ φιλεῖται. Οὗτος γάρ ἐστι, φησίν, ὁ υἱός μου ὁ ἀγαπητός. Εἰ δὲ φιλεῖται, μὴ φοβοῦ. Οὐδεὶς γάρ, ὃν ἀγαπᾷ, προΐεται. Μὴ τοίνυν θορυβοῦ. Κἂν μυριάκις αὐτὸν φιλῇς, οὐ φιλεῖς αὐτὸν τοῦ γεγεννηκότος ἴσον. Ἐν ᾧ εὐδόκησα. Οὐ γὰρ ἐπειδὴ ἐγέννησε μόνον φιλεῖ, ἀλλ' ἐπειδὴ καὶ

Ἐξοδ. κδ. ιη.
Ψαλμ. ιζ. ιγ.

ἴσος αὐτῷ κατὰ πάντα καὶ ὁμογνώμων ἐστίν, ὥστε διπλοῦν τὸ φίλτρον, μᾶλλον δὲ καὶ τριπλοῦν· ἐπειδὴ υἱός, ἐπειδὴ ἀγαπητός, ἐπειδὴ ἐν αὐτῷ εὐδόκησε. Τί δέ ἐστιν, ἐν ᾧ εὐδόκησα; ὡσανεὶ ἔλεγεν, ἐν ᾧ ἀναπαύομαι, * ᾧ ἀρέσκομαι, διὰ τὸ κατὰ πάντα ἐξισοῦσθαι πρὸς αὐτὸν μετὰ ἀκριβείας, καὶ βούλημα ἓν ἐν αὐτῷ εἶναι καὶ τῷ πατρί, καὶ μένοντα υἱὸν κατὰ πάντα ἓν εἶναι πρὸς τὸν γεγεννηκότα. αὐτοῦ ἀκούετε· ὥστε κἂν σταυρωθῆναι βουληθῇ, μὴ ἀντιπέσῃς.

6 Καὶ ἀκούσαντες, ἔπεσον ἐπὶ πρόσωπον, καὶ ἐφοβήθησαν σφόδρα.

7 Καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν, καὶ εἶπεν· ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

8 Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον.

Πῶς ταῦτα ἀκούσαντες κατεπλάγησαν; καίτοι καὶ πρὸ τούτου ἠνέχθη φωνὴ ἐπὶ τοῦ Ἰορδάνου τοιαύτη, καὶ ὄχλος παρῆν, καὶ οὐδεὶς οὐδὲν τοιοῦτον ἔπαθε· καὶ μετὰ ταῦτα πάλιν, ὅτε καὶ βροντὴν ἔλεγον γεγονέναι· ἀλλ' οὐδὲ τότε τοιοῦτον οὐδὲν ὑπέμειναν. πῶς οὖν ἐν τῷ ὄρει ἔπεσον; ὅτι καὶ ἐρημία καὶ ὕψος καὶ ἡσυχία ἦν πολλή, καὶ μεταμόρφωσις φρίκης γέμουσα, καὶ φῶς ἄκρατον, καὶ νεφέλη ἐκτεταμένη· ἅπερ ἅπαντα εἰς πολλὴν ἀγωνίαν αὐτοὺς ἐνέβαλε· καὶ πανταχόθεν ἡ ἔκπληξις συνήγετο, καὶ ἔπεσον φοβηθέντες τε ὁμοῦ καὶ προσκυνήσαντες. ὥστε δὲ μὴ ἐπὶ πολὺ τὸ δέος μεῖναν ἐκβαλεῖν αὐτῶν τὴν μνήμην, εὐθέως ἔλυσεν αὐτῶν τὴν ἀγωνίαν, καὶ ὁρᾶται αὐτὸς μόνος, καὶ ἐντέλλεται αὐτοῖς μηδενὶ τοῦτο εἰπεῖν, ἕως ἂν ἐκ νεκρῶν ἀναστῇ.

9 Καταβαινόντων γὰρ αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς μηδενὶ εἰπεῖν τὸ ὅραμα, ἕως ἂν ἐκ νεκρῶν ἀναστῇ. Ὅσῳ γὰρ μείζονα ἐλέγετο περὶ αὐτοῦ, τοσούτῳ δυσπαραδεκτότερα ἦν τοῖς πολλοῖς τότε, καὶ τὸ σκάνδαλον δὲ τὸ ἀπὸ τοῦ σταυροῦ ἐπετείνετο μᾶλλον ἐντεῦθεν. διὰ τοῦτο κελεύει σιγᾶν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τοῦ πάθους ἀναμιμνήσκων, καὶ μονονουχὶ καὶ τὴν αἰτίαν λέγων, δι' ἣν καὶ σιγᾶν ἐκέλευσεν. οὐ γὰρ δὴ διὰ παντὸς ἐκέλευσε μηδενὶ εἰπεῖν, ἀλλ' ἕως ἀναστῇ ἐκ νεκρῶν. καὶ τὸ δυσχερὲς σιγήσας, τὸ χρηστὸν ἐμφαίνει μόνον. Τί οὖν; μετὰ ταῦτα οὐκ ἔμελλον σκανδαλίζεσθαι; οὐδαμῶς. τὸ γὰρ ζητούμενον ὁ πρὸ τοῦ σταυροῦ καιρὸς ἦν. μετὰ γὰρ ταῦτα καὶ πνεύματος κατηξιώθησαν, καὶ τὴν ἀπὸ τῶν σημείων εἶχον φωνὴν συνηγοροῦσαν αὐτοῖς, καὶ πάντα ὅσα ἔλεγον λοιπὸν εὐπαράδεκτα ἦν, σάλπιγγος λαμπρότερον τῶν πραγμάτων ἀνακηρυττόντων αὐτοῦ τὴν ἰσχύν, καὶ οὐδενὸς σκανδάλου τοιούτου μεσολαβοῦντος τὰ γινόμενα. Οὐδὲν ἄρα τῶν ἀποστόλων μακαριώτερον, καὶ μάλιστα τῶν τριῶν, οἳ καὶ ἐν τῇ νεφέλῃ ὁμώροφοι γενέσθαι κατηξιώθησαν τῷ δεσπότῃ.

ΗΘΙΚΟΝ

Ἀλλ', ἂν θέλωμεν, ὀψόμεθα καὶ ἡμεῖς τὸν Χριστόν, οὐχ οὕτως, ὡς ἐκεῖνοι τότε ἐν τῷ ὄρει, ἀλλὰ πολλῷ λαμπρότερον. οὐ γὰρ οὕτως ὕστερον ἥξει. τότε μὲν γὰρ τῶν μαθητῶν φειδόμενος τοσοῦτον παρήνοιξε μόνον τῆς λαμπρότητος, ὅσον ἠδύναντο ἐνεγκεῖν· ὕστερον δὲ ἐν αὐτῇ τῇ τοῦ πατρὸς τῇ δόξῃ ἥξει, οὐ μετὰ Μωϋσέως καὶ Ἠλία μόνον, ἀλλὰ μετὰ τῆς ἀπείρου τῶν ἀγγέλων στρατιᾶς, μετὰ τῶν ἀρχαγγέλων, μετὰ τῶν χερουβίμ, μετὰ τῶν δήμων τῶν ἀπείρων ἐκείνων· οὐ νεφέλης γινομένης ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, ἀλλὰ καὶ αὐτοῦ συστελλομένου τοῦ οὐρανοῦ. καθάπερ γὰρ ἐπὶ τοῖς δικασταῖς, ὅταν δημοσίᾳ κρίνωσι, τὰ παραπετάσματα συνελκύσαντες οἱ περιεστῶτες πᾶσιν αὐτοὺς δεικνύουσιν· οὕτω δὴ καὶ τότε καθήμενον αὐτὸν ἅπαντες ὄψονται, καὶ πᾶσα ἡ ἀνθρωπίνη παραστήσεται φύσις, καὶ αὐτὸς αὐτοῖς δι' ἑαυτοῦ ἀποκρίνεται· καὶ τοῖς μὲν ἐρεῖ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· τοῖς δὲ ἐρεῖ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. καὶ πάλιν τὰ ἐναντία ψηφιζόμενος, τοῖς μὲν ἀποκρίνεται, πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· τοῖς δέ, πονηρὲ δοῦλε καὶ ὀκνηρέ. καὶ τοὺς μὲν

διχοτομήσει

ἐκβληθῆ-

διχοτομήσει καὶ παραδώσει τοῖς βασανισταῖς, τοὺς δὲ κελεύσει δεθέντας χεῖρας καὶ πόδας εἰς τὸ σκότος ἐκβληθῆναι τὸ ἐξώτερον, καὶ μετὰ τὴν ἀξίνην ἡ κάμινος διαδέξεται, καὶ τὰ ἀπὸ τῆς σαγήνης ῥιπτόμενα ἐκεῖ ἐμπεσεῖται. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος· μᾶλλον δὲ πλέον ἢ ὁ ἥλιος. Τοσοῦτον δὲ εἴρηται, οὐκ ἐπειδὴ τοσοῦτον αὐτῶν μόνον ἔσται τὸ φῶς· ἀλλ' ἐπειδὴ τοῦ ἄστρου τούτου φαιδρότερον οὐκ ἴσμεν ἕτερον, ἀπὸ τοῦ γνωρίμου παραστῆσαι ἠβουλήθη τὴν μέλλουσαν λαμπηδόνα τῶν ἁγίων· ἐπεὶ καὶ ἐν τῷ ὄρει εἰπὼν, ὅτι ἔλαμψεν ὡς ὁ ἥλιος, διὰ τὴν αὐτὴν αἰτίαν οὕτως εἴρηκεν. ὅτι γὰρ τοῦ ὑποδείγματος μεῖζον ἦν τὸ φῶς, ἔδειξαν οἱ μαθηταὶ πεσόντες. Εἰ δὲ μὴ ἄκρατον ἦν τὸ φῶς, ἀλλὰ τῷ ἡλίῳ σύμμετρον, οὐκ ἂν ἔπεσον, ἀλλ' εὐκόλως ἤνεγκαν ἄν. Οἱ μὲν οὖν δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καὶ ὑπὲρ τὸν ἥλιον τότε· οἱ δὲ ἁμαρτωλοὶ τὰ ἔσχατα πείσονται. Τότε οὐχ ὑπομνημάτων δεήσει, οὐκ ἐλέγχων, οὐ μαρτύρων. πάντα γὰρ αὐτός ἐστιν ὁ δικάζων, καὶ μάρτυς, καὶ ἔλεγχος, καὶ κριτής. πάντα γὰρ οἶδε σαφῶς. πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. οὐ πλούσιος, οὐ πένης, οὐ δυνάστης, οὐκ ἀσθενὴς, οὐ σοφὸς, οὐκ ἄσοφος, οὐ δοῦλος, οὐκ ἐλεύθερος οὐδεὶς ἐκεῖ φανεῖται, ἀλλὰ τῶν προσωπείων τούτων συντριβέντων, ἡ τῶν ἔργων ἐξέτασις ἔσται μόνη. Εἰ γὰρ ἐπὶ τοῖς δικαστηρίοις ὅταν ὑπὲρ τυραννίδος τις κρίνηται, ἢ φόνου, ὅπερ ἂν ᾖ, κἂν ὕπαρχος, κἂν ὕπατος, κἂν ὁποιῳοῦν ὑπὸ ἀρχῇ, πάντα ἀφίσταται τὰ ἀξιώματα, καὶ ὁ ἁλοὺς τὴν ἐσχάτην δίδωσι δίκην, πολλῷ μᾶλλον ἐκεῖ τοῦτο ἔσται. Ἵν' οὖν μὴ γένηται τοῦτο, ἀποθώμεθα τὰ ῥυπαρὰ ἱμάτια, * ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ ἡμᾶς. Τί γὰρ καὶ φορτικὸν τῶν ἐπιταγμάτων; τί δὲ οὐ ῥᾴδιον; ἄκουσον γοῦν τοῦ προφήτου λέγοντος, καὶ τότε εἴσῃ τὴν εὐκολίαν. Οὐδὲ ἐὰν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς, οὐδὲ οὕτω καλέσεις νηστείαν δεκτήν· ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων. ὅρα σοφίαν προφήτου· θεὶς τὰ φορτικὰ πρότερον καὶ ἀνελὼν, ἀπὸ τῶν εὐκόλων ἀξιοῖ σώζεσθαι, δεικνὺς ὅτι Θεὸς οὐ πόνων δεῖται, ἀλλ' ὑπακοῆς. Εἶτα δεικνὺς ὅτι εὔκολον μὲν ἡ ἀρετὴ, βαρὺ δὲ ἡ κακία, ἀπὸ τῶν ὀνομάτων γυμνῶν τοῦτο κατασκευάζει. ἡ μὲν γὰρ κακία, σύνδεσμος καὶ στραγγαλιαί, φησιν· ἡ δὲ ἀρετὴ, τούτων ἁπάντων ἀπαλλαγὴ καὶ διάλυσις. πᾶσαν συγγραφὴν ἄδικον διάσπα, τὰ τῶν τόκων γραμματεῖα, τὰ τῶν δανεισμάτων οὕτω καλῶν. ἄπολυε τεθραυσμένους ἐν ἀφέσει, τοὺς τεταλαιπωρημένους. τοιοῦτον γὰρ ὁ χρεώστης· ὅταν ἴδῃ τὸν δανειστὴν, κλᾶται αὐτοῦ ἡ διάνοια, καὶ θηρίου μᾶλλον αὐτὸν δέδοικε. καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. ἐν μὲν οὖν τῇ προτέρᾳ ἡμῖν γενομένῃ διαλέξει τὰ ἔπαθλα διηγούμενοι, τὸν πλοῦτον ἐδείκνυμεν τὸν ἐκ τούτων· νυνὶ δὲ ἴδωμεν, εἴ τι τῶν ἐπιταγμάτων ἐστὶ δύσκολον, καὶ τὴν ἡμετέραν ὑπερβαῖνον φύσιν. ἀλλ' οὐδὲν τοιοῦτον εὑρήσομεν, ἀλλὰ τοὐναντίον ἅπαν, ταῦτα μὲν πολλὴν ἔχοντα τὴν εὐκολίαν, τὰ δὲ τῆς κακίας πολὺν τὸν ἱδρῶτα. Τί γὰρ δυσκολώτερον τοῦ δανείζειν, καὶ ὑπὲρ τόκων καὶ συναλλαγμάτων φροντίζειν, καὶ ἐγγύας ἀπαιτεῖν, καὶ δεδοικέναι καὶ τρέμειν ὑπὲρ ἐνεχύρων, ὑπὲρ τοῦ κεφαλαίου, ὑπὲρ τῶν γραμματείων, ὑπὲρ τῶν τόκων, ὑπὲρ τῶν ἐγγυωμένων; τοιαῦτα γὰρ τὰ βιωτικά. αὕτη γὰρ ἡ δοκοῦσα καὶ ἐπινοουμένη ἀσφάλεια πάντων ἐστὶ σαθροτέρα καὶ ὕποπτος· τὸ δὲ ἐλεεῖν ῥᾴδιον, καὶ πάσης ἀπαλλάττον φροντίδος. μὴ τοίνυν πραγματευώμεθα τὰς ἀλλοτρίας συμφορὰς, μηδὲ καπηλεύωμεν τὴν φιλανθρωπίαν. καὶ οἶδα μὲν ὅτι πολλοὶ τούτων ἀηδῶς ἀκούουσι τῶν λόγων· ἀλλὰ τί τὸ κέρδος τῆς σιγῆς; κἂν γὰρ σιγήσω καὶ μηδὲν ἐνοχλήσω διὰ ῥημάτων, ἀδύνατον διὰ τῆς σιγῆς ταύτης ἀπαλλάξαι τῆς κολάσεως ὑμᾶς· ἀλλὰ καὶ τοὐναντίον ἅπαν ἐντεῦθεν γίνεται. ἐπιτείνεται γὰρ τὰ τῆς τιμωρίας, καὶ οὐχ ὑμῖν μόνον, ἀλλὰ καὶ ἐμοὶ προξενεῖ τὴν κόλασιν ἡ τοιαύτη σιγή. τίς οὖν ἡ τῶν ῥημάτων χάρις, ὅταν εἰς τὰ ἔργα μὴ βοηθῇ, ἀλλὰ καὶ καταβλάπτῃ; τί τὸ κέρδος εὐ-

Ἡσ. νη. α.

φράναι λόγῳ, καὶ λυπῆσαι πράγματι; τέρψαι τὴν ἀκοὴν, καὶ κολάσαι τὴν ψυχήν; διόπερ ἀναγκαῖον ἐνταῦθα λυπεῖν, ἵνα μὴ τιμωρίαν δῶμεν ἐκεῖ. καὶ γὰρ δεινὸν, ἀγαπητὲ, δεινὸν καὶ πολλῆς δεόμενον θεραπείας νόσημα εἰς τὴν ἐκκλησίαν ἐμπέπτωκεν. οἱ γὰρ μηδὲ ἐκ δικαίων πόνων θησαυρίζειν κελευόμενοι, ἀλλὰ τὰς οἰκίας ἀνοίγειν τοῖς δεομένοις, τὴν ἑτέρων καρποῦνται πενίαν, εὐπρόσωπον ἁρπαγὴν, εὐπρόφασιστον πλεονεξίαν ἐπινοοῦντες. μὴ γάρ μοι λέγε τοὺς ἔξω νόμους· ἐπεὶ καὶ ὁ τελώνης νόμον πληροῖ τὸν ἔξωθεν, ἀλλ' ὅμως κολάζεται· ὃ καὶ ἡμεῖς πεισόμεθα, ἐὰν μὴ ἀποστῶμεν τοὺς πένητας ἐπιτρίβοντες, καὶ τῇ χρείᾳ καὶ τῇ ἀναγκαίᾳ τροφῇ ἀφορμῇ εἰς καπηλείαν ἀναίσχυντον ἀποχρώμενοι. διὰ γὰρ τοῦτο χρήματα ἔχεις, ἵνα λύσῃς πενίαν, οὐχ ἵνα πραγματεύσῃ πενίαν· σὺ δὲ ἐν προσχήματι παραμυθίας μείζονα ἐργάζῃ τὴν συμφορὰν, καὶ πωλεῖς φιλανθρωπίαν χρημάτων. πώλησον, οὐ κωλύω, ἀλλὰ βασιλείας οὐρανῶν· μὴ μικρὰν λάβῃς τιμὴν τοῦ τοσούτου κατορθώματος, τόκον ἑκατοστιαῖον, ἀλλὰ τὴν ἀθάνατον ζωὴν ἐκείνην. τί πτωχὸς εἶ καὶ πένης, τί μικρολόγος, ὀλίγου τὰ μεγάλα πωλῶν, χρημάτων ἀπολλυμένων, δέον βασιλείας ἀεὶ μενούσης*; τί τὸν Θεὸν ἀφεὶς, ἀνθρώπινα κερδαίνεις κέρδη; τί τὸν πλουτοῦντα παραδραμὼν, τὸν οὐκ ἔχοντα ἐνοχλεῖς; καὶ τὸν ἀποδιδόντα καταλιπὼν, τῷ ἀγνωμονοῦντι συλλαλεῖς καὶ συμβάλλεις; ἐκεῖνος ἐπιθυμεῖ ἀποδοῦναι, οὗτος δὲ καὶ δυσχεραίνει ἀποδιδούς· οὗτος μόλις ἑκατοστὴν ἀποδίδωσιν, ἐκεῖνος δὲ ἑκατονταπλασίονα, καὶ ζωὴν αἰώνιον· οὗτος μετὰ ὕβρεων καὶ λοιδοριῶν, ἐκεῖνος μετ' ἐπαίνων καὶ εὐφημίας· οὗτος σοι βασκανίαν ἐγείρει, ἐκεῖνος δὲ καὶ στεφάνους σοι πλέκει· οὗτος μόλις ἐνταῦθα, ἐκεῖνος δὲ καὶ ἐκεῖ, καὶ ἐνταῦθα. ἆρ' οὖν οὐκ ἐσχάτης ταῦτα ἀνοίας, τὸ μηδὲ εἰδέναι κερδαίνειν; πόσοι καὶ τὸ κεφάλαιον ἀπώλεσαν διὰ τόκους; πόσοι κινδύνοις περιέπεσον διὰ τόκους; πόσοι καὶ ἑαυτοὺς καὶ ἑτέρους πενίᾳ περιέβαλον ἐσχάτῃ διὰ τὴν ἄφατον πλεονεξίαν; μὴ γάρ μοι τοῦτο εἰπὲ, ὅτι ἥδεται λαμβάνων, καὶ χάριν ἔχει τοῦ δανείσματος. τοῦτο γὰρ διὰ τὴν σὴν ὠμότητα γίνεται. Γεν. ιβ. γ. ἐπεὶ καὶ ὁ Ἀβραὰμ τὴν γυναῖκα ἐκδιδοὺς τοῖς βαρβάροις, αὐτὸς κατεσκεύαζεν εὐπαράδεκτον γίνεσθαι τὴν ἐπιβουλήν· ἀλλ' οὐχ ἑκὼν, ἀλλὰ διὰ τὸν φόβον τοῦ Φαραώ. οὕτω καὶ ὁ πένης, ἐπειδὴ οὐδὲ τούτου ἄξιον αὐτὸν νομίζεις εἶναι, καὶ ὠμότητος ἀναγκάζεται χάριν εἰδέναι· σὺ δέ μοι δοκεῖς, κἂν κινδύνων ἀπαλλάξῃς, μισθὸν ἀπαιτεῖν τῆς ἀπαλλαγῆς ταύτης αὐτόν. ἄπαγε, φησὶ, μὴ γένοιτο. τί λέγεις; τοῦ μείζονος ἀπαλλάττων οὐ βούλει χρήματα ἀπαιτεῖν, ὑπὲρ δὲ τοῦ ἐλάττονος τοσαύτην ἐπιδείκνυσαι τὴν ἀπανθρωπίαν; οὐχ ὁρᾷς ὅση τῷ πράγματι κεῖται τιμωρία; οὐκ ἀκούεις, ὅτι καὶ ἐν τῇ παλαιᾷ τοῦτο κεκώλυται; ἀλλὰ τίς τῶν πολλῶν ὁ λόγος; λαβὼν τὸν τόκον πένητι δίδωμί, φησιν. εὐφήμει, ἄνθρωπε. οὐ βούλεται τοιαύτας θυσίας ὁ Θεός. μὴ σοφίζου τὸν νόμον. βέλτιον μὴ διδόναι πένητι, ἢ ἐντεῦθεν διδόναι· ὅτι τὸ ἐκ δικαίων πόνων συλλεγὲν ἀργύριον πολλάκις ποιεῖς εἶναι παράνομον διὰ τὰ πονηρὰ γεννήματα· ὥσπερ ἂν εἴ τις νηδὺν καλὴν ἀναγκάζοι τίκτειν σκορπίους. καὶ τί λέγω τὸν τοῦ Θεοῦ νόμον; οὐχὶ καὶ ὑμεῖς ῥύπον αὐτὸ καλεῖτε; εἰ δὲ οἱ κερδαίνοντες ταῦτα ψηφίζεσθε, ἐννόησον τίνα ὁ Θεὸς περὶ ὑμῶν οἴσει τὴν ψῆφον. εἰ δὲ βούλει καὶ τοὺς ἔξωθεν νομοθέτας ἐρέσθαι, ἀκούσῃ ὅτι κἀκείνοις τῆς ἐσχάτης ἀναισχυντίας τὸ πρᾶγμα δεῖγμα εἶναι δοκεῖ. τοὺς γοῦν ἐν ἀξιώμασιν ὄντας, καὶ εἰς τὴν μεγάλην τελοῦντας βουλὴν, ἣν σύγκλητον καλοῦσιν, οὐ θέμις τοιούτοις κέρδεσι καταισχύνεσθαι· ἀλλὰ νόμος ἐστὶ παρ' αὐτοῖς ὁ τὰ τοιαῦτα ἀπαγορεύων κέρδη. πῶς οὖν οὐκ ἄξιον φρίκης, εἰ μηδὲ τοσαύτην ἀπονέμοις τῇ τῶν οὐρανῶν πολιτείᾳ τιμὴν, ὅσην τῇ βουλῇ τῶν Ῥωμαίων οἱ νομοθέται· ἀλλ' ἔλαττον οἴσει τῆς γῆς ὁ οὐρανὸς, καὶ οὐδὲ αὐτὴν αἰσχύνῃ τοῦ πράγματος τὴν ἀλογίαν; τί γὰρ τούτου γένοιτ' ἂν ἀλογώτερον, ἀλλ' ἢ ὅταν τις χωρὶς γῆς καὶ ὑετοῦ καὶ ἀρότρου βιάζηται σπείρειν; διὰ τοῦτο ζιζάνια θερίζουσι τὰ τῷ πυρὶ παραδιδόμενα οἱ τὴν πονηρὰν ταύτην ἐπινοήσαντες γεωργίαν. μὴ γὰρ οὐκ

εἰσὶ

* ἀντιμ

γ. μὴ

γ. γίνεσθαι

Εἰσὶ δίκαιαι ἐμπορεῖαι πολλαί; αἱ τῶν ἀγρῶν, αἱ τῶν ποιμνίων, αἱ τῶν βουκολίων, αἱ τῶν θρεμμάτων, αἱ τῶν χειρῶν, αἱ τῆς ἐπιμελείας τῶν ὄντων; τί μαίνῃ καὶ παραπαίεις εἰκῆ γεωργῶν ἀκάνθας; ἀλλ' ἔχουσιν ἀποτυχίας οἱ τῆς γῆς καρποί, καὶ χάλαζαν καὶ ἐρυσίβην καὶ ἐπομβρείας. ἀλλ' οὐ τοσαύτας, ὅσας καὶ οἱ τόκοι. καὶ γὰρ ὅσα ἂν γένηται τοιαῦτα, περὶ τὴν πρόσοδον ἡ ζημία, τὸ δὲ κεφάλαιον ἕστηκεν, ὁ ἀγρός· ἐνταῦθα δὲ πολλοὶ πολλάκις ἐν τῷ κεφαλαίῳ τὸ ναυάγιον ὑπέμειναν, καὶ πρὸ τῆς ζημίας δὲ ἐν διηνεκεῖ εἰσιν ἀθυμίᾳ. οὐδέποτε γὰρ ἀπολαύει τῶν ὄντων ὁ δανειστής, οὐδὲ εὐφραίνεται ἐπὶ τούτοις, ἀλλ' ὅταν ὁ τόκος ἐνεχθῇ, οὐ χαίρει ὅτι πρόσοδος γέγονεν, ἀλλὰ λυπεῖται, ὅτι οὐδέπω τὸ κεφάλαιον ἔφθασεν ὁ τόκος. καὶ πρὶν ἢ τέλειον τεχθῆναι τὸ κακὸν γέννημα τοῦτο, καὶ αὐτὸ τίκτειν ἀναγκάζει, τοὺς τόκους κεφάλαιον ποιῶν, καὶ βιαζόμενος τὰ ἄωρα ἀμβλωθρίδια ″ προενεγκεῖν γεννήματα τῶν ἐχιδνῶν. τοιοῦτον γὰρ οἱ τόκοι· τῶν θηρίων ἐκείνων μᾶλλον κατεσθίουσι καὶ σπαράττουσι τὰς τῶν ἀθλίων ψυχάς. τοῦτο σύνδεσμος ἀδικίας, τοῦτο στραγγαλιὰ βιαίων συναλλαγμάτων. δίδωμι γάρ, φησιν, οὐχ ἵνα λάβῃς, ἀλλ' ἵνα πλείονα ἀποδῷς. καὶ ὁ μὲν Θεὸς οὔτε τὸ διδόμενον κελεύει λαβεῖν· Δίδοτε γάρ, φησι, παρ' ὧν οὐ προσδοκᾶτε λαβεῖν· σὺ δὲ καὶ τοῦ δεδομένου πλέον ἀπαιτεῖς, καὶ ὅπερ οὐκ ἔδωκας, τοῦτο ὡς ὀφειλόμενον ἀναγκάζεις καταθεῖναι τὸν εἰληφότα. καὶ σὺ μὲν νομίζεις τὴν οὐσίαν σοι πλεονάζειν ἐντεῦθεν, ἀντὶ δὲ τῆς οὐσίας τὸ πῦρ ἀνάπτεις τὸ ἄσβεστον. ἵνα οὖν τοῦτο μὴ γένηται, ἐκκόψωμεν τὴν πονηρὰν νηδὺν τῶν τόκων, πηρώσωμεν τὰς παρανόμους ὠδῖνας, ἀναξηράνωμεν τὴν ὀλέθριον ταύτην γαστέρα, καὶ τὰ ἀληθῆ καὶ μεγάλα κέρδη διώκωμεν μόνα. τίνα δὲ ταῦτά ἐστιν; ἀκούσωμεν Παύλου λέγοντος, Οτι μέγας πορισμὸς ἡ εὐσέβεια μετὰ αὐταρκείας. τοῦτον τοίνυν πλουτῶμεν τὸν πλοῦτον μόνον, ἵνα καὶ ἐνταῦθα ἀδείας ἀπολαύσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Λουκ. ς. λε.

α. Τιμ. ς. ς.

Ομιλ. νζ

10 ΚΑΙ ΕΠΗΡΩΤΗΣΑΝ ΑΥΤΟΝ ΟΙ ΜΑΘΗταὶ αὐτοῦ λέγοντες· τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ηλίαν δεῖ ἐλθεῖν πρῶτον;

Οὐκ ἄρα ἀπὸ τῶν γραφῶν τοῦτο ᾔδεσαν, ἀλλ' ″ ἐκείνοις αὐτοῖς διεσάφουν, καὶ περιεφέρετο ὁ λόγος οὗτος ἐν τῷ ἀπείρῳ δήμῳ, καθάπερ καὶ ἐπὶ τοῦ Χριστοῦ. διὸ καὶ ἡ Σαμαρεῖτις ἔλεγε· Μεσσίας ἔρχεται, καὶ ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. καὶ αὐτοὶ ἠρώτων τὸν Ιωάννην· Ηλίας εἶ, ἢ ὁ προφήτης; ἐκράτει μὲν γάρ, ὅπερ ἔφην, ὁ λόγος, καὶ ὁ περὶ τοῦ Χριστοῦ, καὶ ὁ περὶ τοῦ Ηλία, οὐχ ὡς ἐχρῆν δὲ παρ' ἐκείνων ἑρμηνευόμενος. αἱ μὲν γὰρ γραφαὶ δύο λέγουσι τοῦ Χριστοῦ παρουσίας, ταύτην τε τὴν γεγενημένην, καὶ τὴν μέλλουσαν· καὶ ταύτας δηλῶν ὁ Παῦλος ἔλεγεν· Επεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν. ἰδοὺ μία· ἄκουσον πῶς καὶ τὴν ἑτέραν δηλοῖ. εἰπὼν γὰρ ταῦτα ἐπήγαγε· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ. καὶ οἱ προφῆται δὲ ἑκατέρας μέμνηνται. τῆς μέντοι μιᾶς τῆς δευτέρας πρόδρομον λέγουσι τὸν Ηλίαν ἔσεσθαι· τῆς γὰρ προτέρας ἐγένετο ὁ Ιωάννης, ὃν καὶ Ηλίαν ὁ Χριστὸς ἐκάλει, οὐκ ἐπειδὴ Ηλίας ἦν, ἀλλ' ἐπειδὴ τὴν διακονίαν ἐπλήρου τὴν ἐκείνου. ὥσπερ γὰρ ἐκεῖνος πρόδρομος ἔσται τῆς δευτέρας παρουσίας, οὕτω καὶ οὗτος τῆς προτέρας ἐγένετο. ἀλλ' οἱ γραμματεῖς ταῦτα συγχέοντες καὶ

Ιωαν. δ. κε.

Ιωαν. α. κα.

Τιτ. β. ια. ιβ. ιγ.

διαστρέφοντες τὸν δῆμον, ἐκείνης ἐμνημόνευον μόνης πρὸς τὸν δῆμον, τῆς δευτέρας παρουσίας, καὶ ἔλεγον· ὅτι εἰ οὗτός ἐστιν ὁ Χριστὸς, ἔδει τὸν Ηλίαν προλαβεῖν. διὰ τοῦτο καὶ οἱ μαθηταὶ λέγουσι· πῶς οἱ γραμματεῖς λέγουσιν, Ηλίαν δεῖ ἐλθεῖν πρῶτον; διὰ τοῦτο καὶ Ιωαν. α. κα. πρὸς τὸν Ιωάννην πέμψαντες οἱ Φαρισαῖοι ἠρώτων, Εἰ σὺ εἶ Ηλίας; οὐ μνημονεύοντες οὐδαμοῦ τῆς προτέρας παρουσίας. Τίς οὖν ἐστιν ἡ λύσις, ἣν ὁ Χριστὸς ἐπήγαγεν; ὅτι Ηλίας μὲν ἔρχεται τότε πρὸ τῆς δευτέρας μου παρουσίας, καὶ νῦν δὲ ἐλήλυθεν Ηλίας, τὸν Ιωάννην οὕτω καλῶν. οὗτος ἦλθεν Ηλίας. εἰ δὲ τὸν Θεσβίτην ζητοίης, ἔρχεται. διὸ καὶ ἔλεγεν, Ηλίας μὲν ἔρχεται, καὶ ἀποκαταστήσει πάντα. ποῖα πάντα; ἅπερ ὁ προφήτης ἔλεγε Μαλαχίας. Μαλ. δ. ε. Αποστελῶ γὰρ ὑμῖν Ηλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. Εἶδες ἀκρίβειαν προφητικῆς ῥήσεως; ἐπειδὴ γὰρ τὸν Ιωάννην Ηλίαν ἐκάλεσεν ὁ Χριστὸς διὰ τὴν κοινωνίαν τῆς διακονίας, ἵνα μὴ νομίσῃς τοῦτον καὶ παρὰ τοῦ προφήτου λέγεσθαι νῦν, προσέθηκεν αὐτοῦ καὶ τὴν πατρίδα εἰπὼν, τὸν Θεσβίτην· Ιωάννης δὲ Θεσβίτης οὐκ ἦν. καὶ ἕτερον δὲ μετὰ τούτου παράσημον τίθησι λέγων, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην, τὴν δευτέραν αὐτοῦ παρουσίαν ἐμφαίνων τὴν φοβεράν. Ιωαν. γ. ιζ. τῇ γὰρ προτέρᾳ οὐκ ἦλθε πατάξαι τὴν γῆν. Οὐ γὰρ ἦλθον, φησιν, ἵνα κρίνω τὸν κόσμον.* δηλῶν τοίνυν ὅτι πρὸ ἐκείνης ἔρχεται ὁ Θεσβίτης τῆς τὴν κρίσιν ἐχούσης, τοῦτο εἴρηκε, καὶ τὴν αἰτίαν δὲ ὁμοῦ διδάσκει τῆς παρουσίας αὐτοῦ. Τίς δὲ ἡ αἰτία; ἵνα ἐλθὼν πείσῃ τοὺς Ιουδαίους πιστεῦσαι τῷ Χριστῷ, καὶ μὴ πάντες ἄρδην ἀπόλωνται παραγινομένου. διὸ δὴ καὶ αὐτὸς εἰς ἐκείνην αὐτοὺς παραπέμπων τὴν μνήμην, φησί· καὶ ἀποκαταστήσει πάντα, τουτέστι, διορθώσει τὴν ἀπιστίαν τῶν Ιουδαίων τῶν τότε εὑρισκομένων. διὸ καὶ σφόδρα ἀκριβέστατα εἴρηκεν. οὐ γὰρ εἶπεν, ἀποκαταστήσει καρδίαν υἱοῦ πρὸς πατέρα, ἀλλὰ πατρὸς πρὸς υἱόν. ἐπειδὴ γὰρ πατέρες ἦσαν τῶν ἀποστόλων οἱ Ιουδαῖοι, τοῦτο λέγει, ὅτι ἀποκαταστήσει τοῖς δόγμασι τῶν υἱῶν αὐτῶν, τουτέστι, τῶν ἀποστόλων, τὰς καρδίας τῶν πατέρων, τουτέστι, τοῦ γένους τῶν Ιουδαίων τὴν διάνοιαν.

*ἀλλ' ἵνα σώσῃ τὸν κόσμον.

12 Λέγω δὲ ὑμῖν, ὅτι Ηλίας ἤδη ἦλθε, καὶ οὐκ ἔγνωσαν αὐτόν· ἀλλ' ἐποίησαν ἐν αὐτῷ, ὅσα ἐθέλησαν. οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν.

13 Τότε συνῆκαν ὅτι περὶ Ιωάννου εἶπεν αὐτοῖς. Καίτοι οὔτε οἱ γραμματεῖς τοῦτο εἶπον, οὔτε αἱ γραφαί· ἀλλ' ἐπειδὴ λοιπὸν ὀξύτεροι ἐγένοντο καὶ προσεκτικώτεροι πρὸς τὰ λεγόμενα, ταχέως συνίεσαν. πόθεν δὲ ἔγνωσαν τοῦτο οἱ μαθηταί; ἦν ἤδη προειρηκὼς αὐτοῖς, αὐτός ἐστιν Ηλίας ὁ μέλλων ἔρχεσθαι· ἐνταῦθα δὲ, ὅτι ἦλθε· καὶ πάλιν, ὅτι Ηλίας ἔρχεται, καὶ ἀποκαταστήσει πάντα. ἀλλὰ μὴ θορυβηθῇς, μηδὲ πεπλανῆσθαι τὸν λόγον νομίσῃς, εἰ ποτὲ μὲν αὐτὸν ἥξειν, ποτὲ δὲ ἐληλυθέναι "λέγει. πάντα γὰρ ἀληθῆ ταῦτα. γρ. ἔφη. ὅταν μὲν γὰρ εἶπεν, ὅτι Ηλίας μὲν ἔρχεται καὶ ἀποκαταστήσει πάντα, αὐτὸν Ηλίαν φησὶ καὶ τὴν τότε ἐσομένην τῶν Ιουδαίων ἐπιστροφήν· ὅταν δὲ εἴπῃ, ὅτι αὐτός ἐστιν ὁ μέλλων ἔρχεσθαι, Ιωάννην λέγει, κατὰ τὸν τρόπον τῆς διακονίας Ιωάννην Ηλίαν καλῶν. καὶ γὰρ οἱ προφῆται ἕκαστον τῶν εὐδοκίμων βασιλέων Δαβὶδ ἐκάλουν, καὶ τοὺς Ιουδαίους ἄρχοντας Σοδόμων καὶ υἱοὺς Αἰθιόπων ἀπὸ τῶν τρόπων. ὥσπερ γὰρ ἐκεῖνος τῆς δευτέρας ἔσται παρουσίας, οὕτως οὗτος τῆς προτέρας ἐγίνετο πρόδρομος. οὐ διὰ τοῦτο δὲ μόνον Ηλίαν αὐτὸν ὀνομάζει πανταχοῦ, ἀλλ' ἵνα δείξῃ σφόδρα αὐτὸν τῇ παλαιᾷ συμβαίνοντα, καὶ κατὰ προφητείαν καὶ τὴν παρουσίαν ταύτην οὖσαν. διὸ καὶ ἐπάγει πάλιν, ὅτι ἦλθε, καὶ οὐκ ἔγνωσαν αὐτὸν, ἀλλ' ἐποίησαν "εἰς αὐτὸν πάντα ὅσα ἐθέλησαν. Τί ἐστι, πάντα ὅσα ἐθέλησαν; ἐνέβαλον εἰς δεσμωτήριον, ὕβρισαν, ἀπέκτειναν, ἤνεγκαν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακος. οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. ὁρᾷς πῶς πάλιν εὐκαίρως αὐτοὺς ἀναμιμνήσκει τοῦ πάθους, ἀπὸ τοῦ πάθους τοῦ Ιωάννου πολλὴν αὐτοῖς προξενῶν τὴν παραμυθίαν; οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ θαύματα εὐθέως ἐργάσασθαι

γρ. αὐτ
γρ. εἰς αὐ

σασθαι μεγάλα. καὶ γὰρ ἡνίκα ἂν περὶ τοῦ πάθους διαλέγηται, εὐθέως θαυματουργεῖ, καὶ μετὰ τοὺς λόγους, καὶ πρὸ τῶν λόγων τούτων. καὶ πολλαχοῦ τοῦτο παρατηρήσαντά ἐστιν εὑρεῖν. τότε γοῦν, φησὶν, ἤρξατο δεικνύειν ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, καὶ ἀποκτανθῆναι καὶ πολλὰ παθεῖν. τότε, πότε; ὅτε ὡμολογήθη Χριστὸς καὶ υἱὸς εἶναι τοῦ Θεοῦ. πάλιν ἐν τῷ ὄρει, ὅτε τὴν θαυμαστὴν αὐτοῖς ἔδειξεν ὄψιν, καὶ περὶ τῆς δόξης αὐτοῦ διελέχθησαν οἱ προφῆται, ἀνέμνησεν αὐτοὺς τοῦ πάθους. εἰπὼν γὰρ τὴν κατὰ Ἰωάννην ἱστορίαν, ἐπήγαγεν· οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. καὶ μετὰ μικρὸν πάλιν, ὅτε τὸ δαίμονα ἐξέβαλεν, ὃν οὐκ ἴσχυσαν μαθηταὶ ἐκβαλεῖν. καὶ γὰρ καὶ τότε ἀναστρεφομένων αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, φησίν· Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ὅτι μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ * τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. τοῦτο δὲ ἐποίει, τῷ μεγέθει τῶν θαυμάτων τὴν ὑπερβολὴν τῆς λύπης ὑποτεμνόμενος καὶ πάντῃ τρόπῳ αὐτοὺς παραμυθούμενος· ὥσπερ καὶ ἐνταῦθα τῇ μνήμῃ τοῦ θανάτου Ἰωάννου πολλὴν αὐτοῖς παρέσχε τὴν παράκλησιν. εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν μὴ καὶ νῦν τὸν Ἠλίαν ἀναστήσας ἔπεμψεν, εἴπερ τοσαῦτα αὐτοῦ μαρτυρεῖ τῇ παρουσίᾳ τὰ ἀγαθά; ἐροῦμεν, ὅτι καὶ νῦν τὸν Χριστὸν νομίζοντες Ἠλίαν εἶναι, οὐκ ἐπίστευον αὐτῷ. οἱ μὲν γάρ, φησιν, Ἠλίαν σε λέγουσιν, οἱ δὲ Ἱερεμίαν. καὶ Ἰωάννου δὲ καὶ Ἠλίου οὐδὲν ἦν τὸ μέσον, ἢ ὁ χρόνος μόνος. πῶς οὖν τότε πιστεύσουσι, φησί; καὶ γὰρ ἀποκαταστήσει πάντα, οὐ διὰ τὸ γνώριμος εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὸ διαπαθῆναι μέχρι τῆς ἡμέρας ἐκείνης ἐπὶ πλέον τοῦ Χριστοῦ τὴν δόξαν, καὶ * πᾶσιν εἶναι τοῦ Ἠλίου φανερωτέραν. ὅταν οὖν τοσαύτης προλαβούσης ὑπολήψεως καὶ προσδοκίας ἔλθῃ ἐκεῖνος τὰ αὐτὰ κηρύττων τούτῳ, καὶ ἀναγγέλλων καὶ αὐτὸς τὸν Ἰησοῦν, εὐκολώτερον δέξονται τὰ λεγόμενα. ὅταν δὲ εἴπῃ, οὐκ ἔγνωσαν αὐτὸν, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογεῖται, καὶ οὐ ταύτῃ αὐτοὺς μόνον παραμυθεῖται, ἀλλὰ καὶ τῷ δεῖξαι ἀδίκως παρ' αὐτῶν πάσχοντα ἅπερ πάσχει, καὶ τῷ τὰ λυπηρὰ δύο συγκαλύψαι σημείοις, τῷ τε ἐν τῷ ὄρει, καὶ τῷ μέλλοντι γίνεσθαι. ταῦτα δὲ ἀκούσαντες οὐκ ἐρωτῶσιν αὐτὸν, πότε ἔρχεται Ἠλίας, ἢ τῇ ἀθυμίᾳ πιεζόμενοι τοῦ πάθους, ἢ δεδοικότες. πολλαχοῦ γὰρ ὅταν ἴδωσι μὴ βουλόμενόν τι σαφῶς εἰπεῖν, σιγῶσι λοιπόν. ὅτε γοῦν ἐν τῇ Γαλιλαίᾳ διατριβόντων εἶπε· Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι, καὶ ἀποκτενοῦσιν αὐτόν, ἐπήγαγε, καὶ ἐλυπήθησαν σφόδρα. ὅπερ ἑκάτεροι τῶν εὐαγγελιστῶν αἰνιττόμενοι, ὁ Μάρκος μὲν φησὶν, ὅτι ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι· ὁ Λουκᾶς δὲ, ὅτι ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτοῦ, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι περὶ τοῦ ῥήματος.

Μαρ. θ. λα.
Λυκ. θ. κϛ.

14 Ἐλθόντων δὲ αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτῷ,

15 Καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱὸν, ὅτι σεληνιάζεται, καὶ κακῶς πάσχει. πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ· 16 Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι. Τοῦτον τὸν ἄνθρωπον σφόδρα ἀσθενοῦντα κατὰ πίστιν δείκνυσιν ἡ γραφή. καὶ ἐκ πολλῶν τοῦτο δῆλον, ἔκ τε τοῦ εἰπεῖν τὸν Χριστὸν, τῷ πιστεύοντι πάντα δυνατά, ἔκ τε τοῦ εἰπεῖν αὐτὸν τὸν προσελθόντα, βοήθει μου τῇ ἀπιστίᾳ, καὶ ἐκ τοῦ τὸν Χριστὸν κελεῦσαι τῷ δαίμονι μηκέτι εἰσελθεῖν εἰς αὐτὸν, καὶ ἐκ τοῦ πάλιν εἰπεῖν τὸν ἄνθρωπον τῷ Χριστῷ, εἰ δύνασαι. καὶ εἰ ἡ ἀπιστία αὐτοῦ γέγονεν αἰτία, φησί, τοῦ μὴ ἐξελθεῖν τὸν δαίμονα, τί τοῖς μαθηταῖς ἐγκαλεῖ; δεικνὺς ὅτι δυνατὸν αὐτοῖς καὶ χωρὶς τῶν προσαγόντων μετὰ πίστεως πολλαχοῦ θεραπεῦσαι. ὥσπερ γὰρ ἤρκει πολλάκις ἡ τοῦ προσάγοντος πίστις εἰς τὸ καὶ παρ' ἐλαττόνων λαβεῖν, οὕτω τῶν ποιούντων πολλάκις ἤρκεσεν ἡ δύναμις, καὶ μὴ πιστευόντων τῶν προσελθόντων, θαυματουργῆσαι. καὶ ταῦτα ἀμφότερα δείκνυται ἐν ταῖς γραφαῖς. οἵ τε γὰρ περὶ Κορνήλιον, ἀπὸ τῆς αὐτῶν πίστεως ἐπεσπάσαντο τοῦ πνεύματος τὴν

Περ.ι. δ.Βασ.ιγ. χάριν· καὶ ἐπὶ τοῦ Ελισσαίου δὲ, οὐδενὸς πιστεύσαντος, νεκρὸς ἀνέστη. οἵ τε γὰρ ῥίψαντες, οὐ διὰ πίστιν, ἀλλὰ διὰ δειλίαν ἔρριψαν ἁπλῶς καὶ ὡς ἔτυχε, φοβηθέντες τὸ πειρατήριον, καὶ ἔφυγεν· αὐτός τε ὁ ῥιφεὶς ἀποτεθνηκὼς ἦν, καὶ ἀπὸ μόνης τῆς τοῦ ἁγίου σώματος δυνάμεως ἀνίστατο ὁ νεκρός. ὅθεν δῆλον κἀντεῦθεν, ὅτι καὶ οἱ μαθηταὶ ἠσθένησαν, ἀλλ' οὐ πάντες. οἱ στῦλοι γὰρ οὐ παρῆσαν ἐκεῖ. θέα δὲ τούτου καὶ ἑτέρωθεν τὴν ἀγνωμοσύνην, πῶς ἐπὶ τοῦ ὄχλου ἐντυγχάνει τῷ Ἰησοῦ κατὰ τῶν μαθητῶν, λέγων, ὅτι προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι. ἀλλ' αὐτὸς ἀπαλλάττων αὐτοὺς τῶν ἐγκλημάτων ἐπὶ τοῦ δήμου, ἐκείνῳ τὸ πλέον λογίζεται·

17 Ὦ γενεὰ γάρ, φησιν, ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν;

Οὐκ εἰς τὸ τούτου πρόσωπον μόνον ἀποτεινόμενος, ἵνα μὴ ἀπορήσῃ τὸν ἄνθρωπον, ἀλλὰ καὶ εἰς πάντας Ἰουδαίους. καὶ γὰρ εἰκὸς πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι, καὶ τὰ μὴ προσήκοντα ἐννοῆσαι περὶ αὐτῶν. ὅταν δὲ εἴπῃ, ἕως πότε ἔσομαι μεθ' ὑμῶν, δείκνυσι πάλιν ἀσπαστὸν ὄντα τὸν θάνατον αὐτῷ, καὶ ἐπιθυμίας τὸ πρᾶγμα, καὶ ποθεινὴν τὴν ἀποδημίαν, καὶ ὅτι οὐ τὸ σταυρωθῆναι, ἀλλὰ τὸ εἶναι μετ' αὐτῶν βαρύ. οὐ μὴν ἔστη μέχρι τῶν ἐγκλημάτων, ἀλλὰ τί φησι; Φέρετέ μοι αὐτὸν ὧδε.

Καὶ αὐτὸς διερωτᾷ αὐτόν, πόσον χρόνον ἔχει, καὶ ὑπὲρ τῶν μαθητῶν ἀπολογούμενος, κἀκεῖνον ἄγων εἰς ἐλπίδα χρηστὴν καὶ τοῦ πιστεῦσαι, ὅτι ἔσται αὐτῷ ἀπαλλαγὴ τοῦ κακοῦ. καὶ ἀφίησιν αὐτὸν σπαράττεσθαι, οὐ πρὸς ἐπίδειξιν (ἐπεὶ γοῦν ὄχλος συνήγετο, καὶ ἐπετίμησεν αὐτῷ) ἀλλὰ δι' αὐτὸν τὸν πατέρα· ἵν', ὅταν ἴδῃ θορυβούμενον τὸ δαιμόνιον ἀπὸ τοῦ κληθῆναι μόνον, κἂν οὕτως ἐναχθῇ εἰς τὴν πίστιν τοῦ ἐσομένου θαύματος. ἐπειδὴ δὲ ἐκεῖνος εἶπεν, ὅτι ἐκ παιδός, καὶ ὅτι εἰ δύνασαι, βοήθει μοι, λέγει· τῷ πιστεύοντι πάντα δυνατά, πάλιν εἰς αὐτὸν

Λυκ.ε.ιβ. Ματθ.η.γ. περιτρέπων τὸ ἔγκλημα. καὶ ὅτε μὲν ἔλεγεν ὁ λεπρὸς, Εἰ θέλεις, δύνασαί με καθαρίσαι, μαρτυρῶν αὐτοῦ τῇ ἐξουσίᾳ, ἐπαινῶν αὐτὸν καὶ βεβαιῶν τὸ εἰρημένον, ἔλεγε, Θέλω, καθαρίσθητι· ὅτε δὲ οὗτος οὐδὲν ἄξιον τῆς αὐτοῦ δυνάμεως ἐφθέγξατο εἰπών, Εἰ δύνασαι, βοήθει μοι, ὅρα πῶς αὐτὸ διορθοῦται, ὡς οὐ δεόντως εἰρημένον. τί γάρ φησιν; Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τοσαύτη παρ' ἐμοὶ περιουσία δυνάμεως, ὡς καὶ ἑτέρους δύνασθαι ποιεῖν ταῦτα θαυματουργεῖν· ὥστε ἂν πιστεύσῃς ὡς δεῖ, καὶ αὐτὸς δύνασαι θεραπεῦσαι, φησι, καὶ τοῦτον καὶ ἑτέρους πολλούς. καὶ ταῦτα εἰπὼν ἀπήλλαξε τὸν δαιμονῶντα. σὺ δὲ μὴ μόνον ἐντεῦθεν αὐτοῦ σκόπει τὴν πρόνοιαν καὶ τὴν εὐεργεσίαν, ἀλλὰ καὶ ἐξ ἐκείνου τοῦ καιροῦ, οὗ συνεχώρησεν ἔνδον εἶναι τὸν δαίμονα. καὶ γὰρ εἰ μὴ πολλῆς προνοίας καὶ τότε ἀπήλαυεν ὁ ἄνθρωπος, πάλαι ἂν ἀπωλώλει. καὶ γὰρ εἰς τὸ πῦρ αὐτὸν ἔβαλλέ, φησι, καὶ εἰς τὸ ὕδωρ. ὁ δὲ ταῦτα τολμῶν καὶ ἀνεῖλεν ἂν πάντως, εἰ μὴ καὶ ἐν τοσαύτῃ μανίᾳ πολὺν ἐπέθηκεν ὁ Θεὸς αὐτῷ τὸν χαλινόν· ὥσπερ οὖν καὶ ἐπ' ἐκείνων τῶν γυμνῶν τῶν ἐν ταῖς ἐρήμοις τρεχόντων, καὶ λίθοις ἑαυτοὺς κατακοπτόντων. εἰ δὲ σεληνιαζόμενον καλεῖ, μηδὲν θορυβηθῇς. τοῦ γὰρ πατρὸς τοῦ δαιμονῶντός ἐστιν ἡ φωνή. πῶς οὖν φησι καὶ ὁ εὐαγγελιστής, ὅτι σεληνιαζομένους πολλοὺς ἐθεράπευσεν; ἀπὸ τῆς τῶν πολλῶν ὑπονοίας αὐτοὺς καλῶν. ὁ γὰρ δαίμων ἐπὶ διαβολῇ τοῦ στοιχείου καὶ ἐπιτίθεται τοῖς ἁλοῦσι, καὶ ἀνίησιν αὐτοὺς κατὰ τοὺς τῆς σελήνης δρόμους, οὐχ ὡς ἐκείνης ἐνεργούσης (ἄπαγε) ἀλλ' αὐτὸς τοῦτο κακουργῶν εἰς τὴν τοῦ στοιχείου διαβολήν. διὸ καὶ πεπλανημένη παρὰ τοῖς ἀνοήτοις ἐπεκράτησε δόξα, καὶ οὕτω τοὺς τοιούτους καλοῦσι δαίμονας ἀπατώμενοι. οὐδὲ γάρ ἐστι τοῦτο ἀληθές.

19 Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ κατιδίαν ἠρώτησαν αὐτόν, τίνος ἕνεκεν οὐκ ἠδυνήθησαν αὐτοὶ τὸν δαίμονα ἐκβαλεῖν; Ἐμοὶ δοκοῦσιν ἀγωνιᾶν καὶ δεδοικέναι, μήποτε τὴν χάριν, ἣν ἐπιστεύθησαν, ἀπώλεσαν. ἔλαβον γὰρ ἐξουσίαν κατὰ δαιμόνων ἀκαθάρτων.

διὸ καὶ ἐρωτῶσι κατ᾽ ἰδίαν αὐτῷ προσελθόντες, οὐκ αἰσχυνόμενοι, ἐπειδὴ περὶ ἀπορρήτου καὶ μεγάλου πράγματος ἔμελλον αὐτὸν ἐρωτᾶν. Εἰ γὰρ τὸ ἔργον ἐξῆλθε καὶ ἠλέγχθησαν ἄν, περιττὸν ἦν αἰσχύνεσθαι λοιπὸν τὴν διὰ τῶν λόγων ὁμολογίαν. τί οὖν ὁ Χριστός;

20 Διὰ τὴν ἀπιστίαν ὑμῶν, φησίν. ἐὰν γὰρ ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

Εἰ δὲ λέγεις, ποῦ ὄρος μετετέθη; ἐκεῖνο ἂν εἴποιμι, ὅτι πολλῷ μείζονα ἐποίησαν, μυρίους νεκροὺς ἀναστήσαντες. οὐδὲ γὰρ ἴσον, ὄρος μεταστῆσαι καὶ θάνατον ἀπὸ σώματος κινῆσαι. λέγονται δὲ μετ᾽ ἐκείνους ἅγιοί τινες ἐκείνων ἐλάττους πολλῷ καὶ ὄρη χρείας καλεσάσης μεταθεῖναι· ὅθεν δῆλον ὡς καὶ οὗτοι μετέθεσαν ἂν καλούσης χρείας. Εἰ δὲ τότε οὐκ ἐγένετο χρεία, μὴ ἐγκάλει· ἄλλως δὲ, καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι μεταστήσετε πάντως, ἀλλ᾽ ὅτι δυνήσεσθε καὶ τοῦτο. Εἰ δὲ οὐ μετέστησαν, οὐκ ἐπειδὴ οὐκ ἐδυνήθησαν (πῶς γὰρ, τὰ μείζονα δυνηθέντες;) ἀλλ᾽ ἐπειδὴ οὐκ ἐβουλήθησαν, διὰ τὸ μὴ γενέσθαι χρείαν. Εἰκὸς δὲ καὶ γεγενῆσθαι τοῦτο, καὶ μὴ γεγράφθαι. οὐδὲ γὰρ πάντα ἃ ἐθαυματούργησαν, ἐγράφη. τότε μέντοι ἀτελέστεροι πολλῷ διέκειντο. τί οὖν; οὐδὲ ταύτην τὴν πίστιν εἶχον τότε; οὐκ εἶχον. οὐδὲ γὰρ ἀεὶ οἱ αὐτοὶ ἦσαν· ἐπεὶ καὶ Πέτρος νῦν μὲν μακαρίζεται, νῦν δὲ ἐπιτιμᾶται· καὶ οἱ λοιποὶ δὲ εἰς ἄνοιαν σκώπτονται παρ᾽ αὐτοῦ, ὅτε οὐ συνῆκαν τὸν περὶ τῆς ζύμης λόγον. Συνέβη δὲ καὶ τότε τοὺς μαθητὰς ἀσθενῆσαι. ἀτελέστεροι γὰρ διέκειντο πρὸ τοῦ σταυροῦ. πίστιν δὲ ἐνταῦθα λέγει, τὴν τῶν σημείων, καὶ σινάπεως μέμνηται, τὴν ἄφατον αὐτῆς δηλῶν δύναμιν. Εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρὸν εἶναι τὸ σίναπι δοκεῖ, ἀλλὰ τῇ δυνάμει ἁπάντων ἐστὶ σφοδρότερον. δεικνὺς τοίνυν ὅτι καὶ τὸ ἐλάχιστον τῆς γνησίας πίστεως μεγάλα δύναται, ἐμνήσθη τοῦ σινάπεως, καὶ οὐδὲ μέχρι τούτου ἔστη μόνον, ἀλλὰ καὶ ὄρη προσέθηκε, καὶ περαιτέρω προέβη. οὐδὲν γάρ, φησιν, ἀδυνατήσει ὑμῖν. σὺ δὲ καὶ ταῦτα αὐτῶν θαύμασον τὴν φιλοσοφίαν καὶ τοῦ πνεύματος τὴν ἰσχύν· τῶν μὲν τὴν φιλοσοφίαν, ὅτι οὐκ ἔκρυψαν αὐτῶν τὸ ἐλάττωμα· τοῦ δὲ πνεύματος τὴν ἰσχύν, ὅτι τοὺς οὐδὲ ὡς κόκκον σινάπεως ἔχοντας πίστιν, οὕτω κατὰ μικρὸν ″ἀνήγαγεν, ὡς ποταμοὺς καὶ πηγὰς ἐν αὐτοῖς πίστεως ἀναδοῦναι.

21 Τὸ δὲ γένος τοῦτο οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Προσέθηκε, τὸ τῶν δαιμόνων ἅπαν, οὐ τὸ τῶν σεληνιαζομένων λέγων μόνον. ὁρᾷς πῶς αὐτοῖς ἤδη τὸν περὶ νηστείας προκαταβάλλεται λόγον; μὴ γάρ μοι ἀπὸ τῶν σπανιζόντων λέγε, ὅτι τινὲς καὶ χωρὶς νηστείας ἐξέβαλον. Εἰ γὰρ καὶ περὶ τῶν ἐπιτιμώντων τοῦτο ἂν εἴποι τις, ἑνός που καὶ δευτέρου· ἀλλὰ πάσχοντα ἀμήχανόν ποτε τρυφῶντα ἀπαλλαγῆναι τῆς μανίας ταύτης.

ΗΘΙΚΟΝ

Δεῖ γὰρ μάλιστα τοῦ πράγματος τούτου τῷ τὰ τοιαῦτα νοσοῦντι. Καὶ μὴν εἰ πίστεως χρεία, φησί, τί δεῖ νηστείας; ὅτι μετὰ τῆς πίστεως κἀκεῖνο οὐ μικρὰν εἰσάγει τὴν ἰσχύν. φιλοσοφίαν γὰρ πολλὴν ἐντίθησι, καὶ ἄγγελον ἐξ ἀνθρώπου κατασκευάζει, καὶ ταῖς ἀσωμάτοις δυνάμεσι πυκτεύει. ἀλλ᾽ οὐ καθ᾽ ἑαυτήν, ἀλλὰ δεῖ καὶ εὐχῆς, καὶ ″πρώτης εὐχῆς. ὅρα γοῦν ὅσα ἀγαθὰ ἐξ ἀμφοτέρων τίκτεται. ὁ γὰρ εὐχόμενος, ὡς χρή, καὶ νηστεύων, οὐ πολλῶν δεῖται· ὁ δὲ πολλῶν μὴ δεόμενος, οὐκ ἂν γένοιτο φιλοχρήματος· ὁ δὲ μὴ φιλοχρήματος, καὶ πρὸς ἐλεημοσύνην ἐπιτηδειότερος. ὁ νηστεύων κοῦφός ἐστι καὶ ἐπτερωμένος, καὶ μετὰ νήψεως εὔχεται, καὶ τὰς ἐπιθυμίας σβέννυσι τὰς πονηράς, καὶ ἐξιλεοῦται τὸν Θεόν, καὶ ταπεινοῖ τὴν ψυχὴν ἐπαιρομένην. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἀεὶ σχεδὸν ἐνήστευον. ὁ εὐχόμενος μετὰ νηστείας διπλᾶς ἔχει τὰς πτέρυγας καὶ τῶν ἀνέμων αὐτῶν κουφοτέρας. οὐδὲ γὰρ χασμᾶται καὶ διατείνεται καὶ ναρκᾷ εὐχόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ἀλλ᾽ ἔστι πυρὸς σφοδρότερος καὶ τῆς γῆς ἀνώτερος. διὸ καὶ μάλιστα ὁ τοιοῦτος τοῖς δαίμοσιν ἐχθρὸς καὶ πολέμιος. οὐδὲν γὰρ ἀνθρώπου γνησίως εὐχομένου δυνατώτερον. Εἰ γὰρ γυνὴ ὠμόν τινα ἄρχοντα, καὶ οὔτε Θεὸν φοβούμενον, οὔτε ἀνθρώ-

πους

πον ἐντρεπόμενον ἴσχυσεν ἐπικάμψαι, πολλῷ μᾶλλον τὸν Θεὸν ἐπισπάσεται ὁ συνεχῶς αὐτῷ
προσεδρεύων, καὶ γαστρὸς κρατῶν, καὶ τρυφὴν ἐκβάλλων. εἰ δὲ ἀσθενές σοι τὸ σῶμα ὥστε νηστεύειν
διηνεκῶς, ἀλλ᾽ οὐκ εἰς προσευχὴν ἀσθενές, οὐδὲ πρὸς ὑπεροψίαν γαστρὸς ἄτονον.
εἰ γὰρ καὶ νηστεύειν οὐ δύνασαι, ἀλλὰ μὴ τρυφᾷν δύνασαι. οὐ μικρὸν δὲ καὶ τοῦτο, οὐδὲ
πολὺ νηστείας ἀπέχον· ἀλλ᾽ ἱκανὸν μὲν καὶ αὐτὸ κατασπάσαι τοῦ διαβόλου τὴν μανίαν. καὶ γὰρ χ. τῶν
οὐδὲν οὕτως ἐκείνῳ τῷ δαίμονι φίλον, ὡς τρυφὴ καὶ μέθη· ἐπειδὴ καὶ πηγὴ καὶ μήτηρ ἐστὶν ἁπάντων
τῶν κακῶν. διὰ ταύτης γοῦν ποτε τοὺς Ἰσραηλίτας εἰς εἰδωλολατρείαν ἐνέβαλε·
Ἰεζ. ις. μη. διὰ ταύτης τοὺς Σοδομίτας εἰς παρανόμους ἀνῆψεν ἔρωτας. Τοῦτο γάρ, φησι, τὸ ἀνόμημα
Σοδόμων, ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων καὶ εὐθηνίαις ἐσπατάλων. διὰ
ταύτης μυρίους ἑτέρους ἀπώλεσε, καὶ τῇ γεέννῃ παρέδωκε. τί γὰρ οὐκ ἐργάζεται κακὸν ἡ τρυφή;
χοίρους ἐξ ἀνθρώπων ποιεῖ, καὶ χοίρων χείρους. ὁ μὲν γὰρ χοῖρος βορβόρῳ ἐγκαλινδεῖται, καὶ
κόπρῳ τρέφεται· οὗτος δὲ ἐκείνης βδελυκτοτέραν σιτεῖται τράπεζαν, μίξεις ἐπινοῶν ἀθέσμους,
καὶ παρανόμους ἔρωτας. ὁ τοιοῦτος οὐδὲν δαιμονῶντος διενήνοχεν. ὁμοίως γὰρ ἀναισχυντεῖ,
καὶ μαίνεται· καὶ τὸν μὲν δαιμονῶντα κἂν ἐλεοῦμεν, τοῦτον δὲ ἀποστρεφόμεθα καὶ μισοῦμεν.
τί δήποτε; ὅτι αὐθαίρετον ἐπισπᾶται μανίαν, καὶ τὸ στόμα καὶ τοὺς ὀφθαλμοὺς καὶ ῥῖνας καὶ πάντα
ἁπλῶς, καταγώγια ὀχετοῦ καὶ ἀμάρας ἐργάζεται. εἰ δὲ καὶ τὰ ἐντὸς ἴδοις, ὄψει καὶ τὴν ψυχὴν
καθάπερ ἔν τινι χειμῶνι καὶ κρυμῷ πεπηγυῖαν καὶ ναρκῶσαν, καὶ οὐδὲν τὸ σκάφος ὠφελῆσαι
δυναμένην διὰ τὴν τοῦ χειμῶνος ὑπερβολήν. αἰσχύνομαι εἰπεῖν, ὅσα ἀπὸ τρυφῆς
πάσχουσι καὶ ἄνδρες καὶ γυναῖκες κακά· τῷ δὲ αὐτῶν καταλείπω συνειδότι τῷ ταῦτα ἀκριβέστερον
εἰδότι. τί γὰρ αἰσχρότερον γυναικὸς μεθυούσης, ἢ ἁπλῶς περιφερομένης; ὅσῳ γὰρ
ἀσθενέστερον τὸ σκεῦος, τοσούτῳ πλέον τὸ ναυάγιον, ἄν τε ἐλευθέρα ᾖ, ἄν τε δούλη. ἡ μὲν γὰρ
ἐλευθέρα ἐν μέσῳ τῷ θεάτρῳ τῶν δούλων ἀσχημονεῖ, ἡ δὲ δούλη πάλιν ὁμοίως μεταξὺ τῶν
δούλων· καὶ παρασκευάζουσι τοῦ Θεοῦ τὰ δῶρα βλασφημεῖσθαι παρὰ τῶν ἀνοήτων. πολλῶν
γοῦν ἀκούω λεγόντων, ὅταν τοιαῦτα συμβαίνῃ πάθη· μὴ ἔστω οἶνος. ὢ τῆς ἀνοίας, ὢ τῆς παραπληξίας.
ἄλλων ἁμαρτανόντων ταῖς τοῦ Θεοῦ δωρεαῖς ἐγκαλεῖς; καὶ πόσης τοῦτο μανίας;
μὴ γὰρ ὁ οἶνος ἐποίησεν, ἄνθρωπε, τοῦτο τὸ κακόν; οὐχ ὁ οἶνος, ἀλλ᾽ ἡ ἀκολασία τῶν ἀπολαυόντων
κακῶς. εἰπὲ τοίνυν, μὴ ἔστω μέθη, μὴ ἔστω τρυφή. εἰ δὲ λέγεις, μὴ ἔστω οἶνος, ἐρεῖς κατὰ μικρὸν
προβαίνων, μὴ ἔστω σίδηρος διὰ τοὺς ἀνδροφόνους, μὴ ἔστω νὺξ διὰ τοὺς κλέπτας, μὴ ἔστω
φῶς διὰ τοὺς συκοφάντας, μὴ ἔστω γυνὴ διὰ τὰς μοιχείας· καὶ πάντα ἁπλῶς ἀναιρήσεις.
ἀλλὰ μὴ οὕτω ποίει (σατανικῆς γὰρ τοῦτο γνώμης) μηδὲ διάβαλλε τὸν οἶνον, ἀλλὰ τὴν μέθην. χ. τῶν
καὶ λαβὼν τοῦτον αὐτὸν νήφοντα, ὑπόγραψον αὐτῷ πᾶσαν τὴν ἀσχημοσύνην, καὶ
εἰπὲ πρὸς αὐτόν· οἶνος ἐδόθη, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀσχημονῶμεν· ἵνα γελῶμεν,
οὐχ ἵνα γελώμεθα· ἵνα ὑγιαίνωμεν, οὐχ ἵνα νοσῶμεν· ἵνα ἀσθένειαν σώματος διορθωσώμεθα,
οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλωμεν. ἐτίμησέ σε ὁ Θεὸς τῷ δώρῳ· τί σαυτὸν ὑβρίζεις τῇ
α. Τιμ. ε. κγ. ἀμετρίᾳ; ἄκουσον τί φησιν ὁ Παῦλος. Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς
σου ἀσθενείας. εἰ δὲ ὁ ἅγιος ἐκεῖνος καὶ νόσῳ κατεχόμενος, καὶ ἐπαλλήλους ἀῤῥωστίας ὑπομένων
οὐ μετέλαβεν οἴνου, ἕως ἂν ἐπέτρεψεν ὁ διδάσκαλος, τίνα ἂν σχοίημεν συγγνώμην ἡμεῖς
ἐν ὑγείᾳ μεθύοντες; ἐκείνῳ μὲν οὖν ἔλεγεν, οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου· ἡμῶν δὲ χ. ὑμῶν
ἑκάστῳ τῶν μεθυόντων ἐρεῖ, οἴνῳ ὀλίγῳ χρῶ διὰ τὰς πορνείας, διὰ τὰς πυκνὰς αἰσχρολογίας,
διὰ τὰς ἑτέρας ἐπιθυμίας τὰς πονηράς, ἃς ἡ μέθη τίκτειν εἴωθεν. εἰ δὲ μὴ βούλεσθε διὰ
τὰ τοιαῦτα ἀπέχεσθαι, διὰ γοῦν τὰς ἐπιθυμίας τὰς ἐξ αὐτοῦ καὶ τὰς ἀηδίας ἀπέχεσθε. οἶνος
γὰρ εἰς εὐφροσύνην ἐδόθη. οἶνος γάρ, φησιν, εὐφραίνει καρδίαν ἀνθρώπου· ὑμεῖς δὲ καὶ ταύτην
αὐτοῦ λυμαίνεσθε τὴν ἀρετήν. ποία γὰρ εὐφροσύνη μὴ εἶναι ἐν ἑαυτῷ, καὶ ἀλγηδόνας μυρίας
ἔχειν, καὶ πάντα ὁρᾷν περιφερόμενα, καὶ σκοτοδινίᾳ κατέχεσθαι, καὶ κατὰ τοὺς πυρέττοντας

δεῖσθαι τῶν ἐλαίῳ καταβρεχόντων τὰς κεφαλάς; ταῦτά μοι οὐ πρὸς πάντας εἴρηται, μᾶλλον δὲ πρὸς πάντας· οὐχ ἐπειδὴ πάντες μεθύουσι (μὴ γένοιτο) ἀλλ' ἐπειδὴ τῶν μεθυόντων οἱ μὴ μεθύοντες οὐ φροντίζουσι. διὰ τοῦτο καὶ πρὸς ὑμᾶς ἀποτείνομαι μᾶλλον τοὺς ὑγιαίνοντας, ἐπεὶ καὶ ἰατρὸς τοὺς ἀρρωστοῦντας ἀφεὶς, ἐκείνοις διαλέγεται τοῖς παρακαθημένοις αὐτοῖς. πρὸς ὑμᾶς τοίνυν ἀποτείνω τὸν λόγον, παρακαλῶν μήτε ἁλῶναί ποτε τῷ πάθει τούτῳ, καὶ τοὺς ἁλόντας ἀνιμᾶσθαι, ἵνα μὴ τῶν ἀλόγων φαίνησθε χείρους. ἐκεῖνα μὲν γὰρ πλέον τῆς χρείας οὐδὲν ἐπιζητεῖ· οὗτοι δὲ κἀκείνων ἀλογώτεροι γεγόνασι, τοὺς τῆς συμμετρίας ὑπερβαίνοντες ὅρους. πόσῳ γὰρ βελτίων τούτων ὁ ὄνος, πόσῳ δὲ ἀμείνων ὁ κύων; καὶ γὰρ ἕκαστον τούτων τῶν ζώων, καὶ τῶν ἄλλων δὲ ἁπάντων, ἄν τε φαγεῖν, ἄν τε πιεῖν δέῃ, ὅρον τὴν αὐτάρκειαν οἶδε, καὶ πέρα τῆς χρείας οὐ πρόεισι. κἂν γὰρ μυρίοι οἱ καταναγκάζοντες ὦσιν, οὐκ ἀνέξεται ἐξελθεῖν εἰς ἀμετρίαν. οὐκοῦν ταύτῃ καὶ τῶν ἀλόγων χείρους ὑμεῖς, οὐ παρὰ τοῖς ὑγιαίνουσι δὲ μόνον, ἀλλὰ καὶ παρ' ὑμῖν αὐτοῖς. ὅτι γὰρ κυνῶν καὶ ὄνων ἀτιμοτέρους ἑαυτοὺς εἶναι κεκρίκατε, δῆλον ἐκεῖθεν. τὰ μὲν γὰρ ἄλογα ταῦτα οὐκ ἀναγκάζεις πέρα τοῦ μέτρου τροφῆς ἀπολαύειν. κἂν ἔρηταί τις, διὰ τί; ἵνα μὴ καταβλάψῃς, ἐρεῖς. σαυτῷ δὲ οὐδὲ ταύτην παρέχεις τὴν πρόνοιαν· οὕτω κἀκείνων σαυτὸν εὐτελέστερον εἶναι νομίζεις, καὶ περιορᾷς διηνεκῶς χειμαζόμενον. οὐδὲ γὰρ ἐν τῇ ἡμέρᾳ τῆς μέθης μόνον τὴν ἐκ τῆς μέθης βλάβην ὑπομένεις, ἀλλὰ καὶ μετὰ τὴν ἡμέραν ἐκείνην. καὶ καθάπερ, πυρετοῦ παρελθόντος, ἡ ἐκ τοῦ πυρετοῦ μένει λύμη, οὕτω καὶ, μέθης ἀπελθούσης, ἡ τῆς μέθης ζάλη καὶ ἐν τῇ ψυχῇ καὶ ἐν τῷ σώματι στρέφεται. καὶ τὸ μὲν ἄθλιον σῶμα κεῖται παραλυθὲν, καθάπερ ὑπὸ ναυαγίου σκάφος· ἡ δὲ τούτου ταλαιπωροτέρα ψυχὴ, καὶ τούτου διαλυθέντος, τὸν χειμῶνα διεγείρει καὶ τὴν ἐπιθυμίαν ἀνάπτει, καὶ ὅταν δοκῇ σωφρονεῖν, τότε μάλιστα μαίνεται, οἶνον καὶ πίθους καὶ φιάλας καὶ κρατῆρας φανταζομένη. καὶ καθάπερ ἐν χειμῶνι, παυθείσης τῆς ζάλης, ἡ διὰ τὸν χειμῶνα μένει ζημία, οὕτω δὲ καὶ ἐνταῦθα. καὶ γὰρ ὥσπερ ἐκεῖ τῶν ἀγωγίμων, οὕτω καὶ ἐνταῦθα ἐκβολὴ γίνεται σχεδὸν ἁπάντων τῶν ἀγαθῶν. κἂν σωφροσύνην εὕρῃ, κἂν αἰδῶ, κἂν σύνεσιν, κἂν ἐπιείκειαν, κἂν ταπεινοφροσύνην, πάντα ῥίπτει εἰς τὸ τῆς παρανομίας πέλαγος ἡ μέθη. ἀλλὰ τὰ μετὰ ταῦτα οὐκ ἔτι ὅμοια. ἐκεῖ μὲν γὰρ μετὰ τὴν ἐκβολὴν τὸ σκάφος κουφίζεται· ἐνταῦθα δὲ βαρύνεται μᾶλλον. ἀντὶ γὰρ ἐκείνου τοῦ πλούτου δέχεται ψάμμον καὶ ὕδωρ ἁλμυρὸν καὶ πάντα τὸν τῆς μέθης φορυτὸν, ἅπερ ἅμα τοῖς ἐπιβάταις καὶ τῷ κυβερνήτῃ καταβαπτίζει τὸ σκάφος εὐθέως. ἵν' οὖν μὴ ταῦτα πάσχωμεν, ἀπαλλάξωμεν ἑαυτοὺς τοῦ χειμῶνος. οὐκ ἔστι μετὰ μέθης βασιλείαν οὐρανῶν ἰδεῖν. Μὴ πλανᾶσθε γάρ, φησὶν ὁ ἀπόστολος· οὐ μέθυσοι, οὐ λοίδοροι βασιλείαν οὐρανῶν κληρονομήσουσι. καὶ τί λέγω βασιλείαν οὐρανῶν; μετὰ γὰρ μέθης οὐδὲ τὰ παρόντα ἔστιν ἰδεῖν. καὶ γὰρ τὰς ἡμέρας νύκτας ἐργάζεται ἡμῖν ἡ μέθη, καὶ τὸ φῶς σκότος, καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδὲ τὰ ἐν ποσὶ βλέπουσιν οἱ μεθύοντες. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλὰ μετὰ τούτων καὶ ἑτέραν χαλεπωτάτην ὑπομένουσι δίκην, ἀθυμίας ἀλόγους, μανίαν, ἀρρωστίαν, γέλωτα, ὄνειδος διηνεκῶς ὑπομένοντες. ποία τοίνυν συγγνώμη τοῖς ἑαυτοὺς τοσούτοις περιπείρουσι κακοῖς; οὐκ ἔστιν οὐδεμία. φύγωμεν τοίνυν τὸ νόσημα τοῦτο, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. ς. ι.

Ομιλ. νη.

22 ΑΝΑΣΤΡΕΦΟΜΕΝΩΝ ΔΕ ΑΥΤΩΝ ΕΝ ΤΗ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, 23 Καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. καὶ ἐλυπήθησαν σφόδρα.

Ἵνα γὰρ μὴ λέγωσι, τίνος ἕνεκεν ἐνταῦθα διατρίβομεν διηνεκῶς, πάλιν περὶ τοῦ πάθους αὐτοῖς φησιν· ὅπερ ἀκούοντες οὔτε ἰδεῖν ἐβούλοντο τὰ Ἱεροσόλυμα. ὅρα γοῦν πῶς καὶ τοῦ Πέτρου ἐπιτιμηθέντος, καὶ τῶν περὶ Μωϋσέα καὶ Ἠλίαν περὶ αὐτοῦ διαλεχθέντων καὶ δόξαν τὸ πρᾶγμα καλεσάντων, καὶ τοῦ πατρὸς ἄνωθεν φωνὴν ἀφιέντος, καὶ σημείων τοσούτων γινομένων, καὶ τῆς ἀναστάσεως ἐπὶ θύραις οὔσης (οὐδὲ γὰρ πολὺν ἔφησε χρόνον ἐν τῷ θανάτῳ μένειν, ἀλλὰ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεσθαι) οὐδὲ οὕτως διήνεγκαν, ἀλλ' ἐλυπήθησαν, καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ σφόδρα. ἐγίνετο δὲ τοῦτο διὰ τὸ ἀγνοεῖν ἔτι τῶν λεγομένων τὴν δύναμιν, ὅπερ ὁ Μάρκος καὶ ὁ Λουκᾶς αἰνιττόμενοι ἔλεγον, ὁ μὲν, ὅτι ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι· ὁ δὲ, ὅτι ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι περὶ τοῦ ῥήματος. καὶ μὴν εἰ ἠγνόουν, πῶς ἐλυπήθησαν; ὅτι οὐ πάντα ἠγνόουν· ἀλλ' ὅτι μὲν ἀποθανεῖται, ᾔδεσαν (συνεχῶς ἀκούοντες· ὅ,τι ποτε δὲ ἦν οὗτος ὁ θάνατος, καὶ ὅτι ταχέως λυθήσεται, καὶ τὰ μυρία ἐργάσεται) ἀγαθὰ, τοῦτο οὐδέπω ᾔδεσαν σαφῶς, οὐδὲ ὅ,τι ποτέ ἐστιν αὕτη ἡ ἀνάστασις· ἀλλ' ἠγνόουν, διὸ καὶ ἤλγουν. καὶ γὰρ σφόδρα ἀντείχοντο τοῦ διδασκάλου.

24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα;

Καὶ τίνα ἐστὶ ταῦτα τὰ δίδραχμα; ὅτε τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἀπέκτεινεν ὁ Θεὸς, τότε τὴν Λευῒ φυλὴν ἀντ' αὐτῶν ἔλαβεν. εἶτα, ἐπειδὴ τῶν παρὰ Ἰουδαίοις πρωτοτόκων ἐλάττων ὁ τῆς φυλῆς ἀριθμὸς ἦν, ἀντὶ τῶν λειπόντων εἰς τὸν ἀριθμὸν σίκλον ἐκέλευσεν εἰσενεχθῆναι· καὶ * ἐξ ἐκείνου ἔθος ἐκράτησε τὰ πρωτότοκα τὸν φόρον τοῦτον εἰσφέρειν. ἐπεὶ οὖν πρωτότοκος ἦν ὁ Χριστὸς, ἐδόκει δὲ τῶν μαθητῶν πρῶτος εἶναι ὁ Πέτρος, αὐτῷ προσέρχονται. καὶ γὰρ, ὥς ἐμοί γε δοκεῖ, κατὰ πόλιν ἕκαστον ἀπῄτουν. διὸ καὶ ἐν τῇ πατρίδι προσῆλθον αὐτῷ, ἐπειδὴ πατρὶς αὐτοῦ ἐνομίζετο ἡ Καπερναούμ. καὶ αὐτῷ μὲν οὐκ ἐτόλμησαν προσελθεῖν, τῷ Πέτρῳ δὲ, καὶ οὐδὲ τούτῳ μετὰ πολλῆς τῆς σφοδρότητος, ἀλλ' ἐπιεικέστερον. οὐδὲ γὰρ ἐγκαλοῦντες, ἀλλ' ἐρωτῶντες ἔλεγον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; τὴν μὲν γὰρ προσήκουσαν περὶ αὐτοῦ δόξαν οὐδέπω εἶχον, ἀλλ' ὡς περὶ ἀνθρώπου οὕτω διέκειντο· πλὴν ἀπένεμον αὐτῷ τινα αἰδῶ καὶ τιμὴν διὰ τὰ προλαβόντα σημεῖα. τί οὖν ὁ Πέτρος; ναὶ, φησί. καὶ τούτοις μὲν εἶπεν, ὅτι τελεῖ· αὐτῷ δὲ οὐκ εἶπεν, ἴσως ἐρυθριῶν ὑπὲρ τούτων αὐτῷ διαλεχθῆναι. διὸ καὶ ὁ ἥμερος καὶ ὁ πάντα σαφῶς εἰδὼς, προλαβὼν αὐτὸν, φησί·

Λευϊτ. γ. λθ. μγ.

25 Τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;

26 Εἰπόντος δὲ ἀπὸ τῶν ἀλλοτρίων, ἔφη· ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί.

Ἵνα γὰρ μὴ νομίσῃ ὁ Πέτρος ὅτι παρ' ἐκείνων ἀκηκοὼς λέγει, προλαμβάνει αὐτὸν, τοῦτό τε αὐτὸ δηλῶν, καὶ παρρησίαν αὐτῷ παρέχων ὀκνοῦντι προτέρως περὶ τούτων εἰπεῖν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐλεύθερος μέν εἰμι τοῦ δοῦναι κῆνσον. εἰ γὰρ οἱ τῆς γῆς βασιλεῖς παρὰ τῶν υἱῶν αὐτῶν οὐ λαμβάνουσιν, ἀλλὰ παρὰ τῶν ἀρχομένων, πολλῷ μᾶλλον ἐμὲ ἀπηλλάχθαι δεῖ * τῆς ἀπαιτήσεως ταύτης, οὐκ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ τῶν οὐρανῶν ὄντα [με] υἱὸν καὶ βασιλέα. ὁρᾷς πῶς διέστειλε τοὺς υἱοὺς, καὶ τοὺς οὐχ υἱούς; εἰ δὲ οὐκ ἦν υἱὸς, εἰκῇ καὶ τὸ ὑπόδειγμα παρήγαγε τῶν βασιλέων. ναί φησιν, υἱός· ἀλλ' οὐ γνήσιος. οὐκοῦν οὐχ υἱός. εἰ δὲ οὐκ υἱὸς, οὐδὲ γνήσιος· οὐδὲ αὐτοῦ, ἀλλ' ἀλλότριος. εἰ δὲ ἀλλότριος, οὐδὲ τὸ παράδειγμα ἔχει τὴν οἰκείαν ἰσχύν. αὐτὸς γὰρ οὐ περὶ τῶν υἱῶν ἁπλῶς, ἀλλὰ περὶ τῶν γνησίων διαλέγεται καὶ ἰδίων καὶ τῶν κοινωνούντων τοῖς γεγεννηκόσι τῆς βασιλείας. διὸ καὶ πρὸς

γρ. ἀπὸ
γρ. ἀπη
* ἀπὸ
γρ. ἰδίαν

ἀντιδιαστολὴν ἔθηκε τοὺς ἀλλοτρίους, οὕτω καλῶν τοὺς οὐκ ἐξ αὐτῶν γεννηθέντας· υἱοὺς δὲ αὐτῶν, οὓς ἐξ αὐτῶν γεγεννήκασι. σὺ δέ μοι σκόπει κἀκεῖνο, πῶς τὴν ἀποκαλυφθεῖσαν τῷ Πέτρῳ γνῶσιν καὶ ἐντεῦθεν βεβαιοῖ, καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ καὶ διὰ τῆς συγκαταβάσεως τὸ αὐτὸ τοῦτο δηλοῖ, ὅπερ πολλῆς ἦν σοφίας. καὶ γὰρ ταῦτα εἰπὼν φησιν·

27 Ινα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ εὑρήσεις ἐν αὐτῷ στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Ορα πῶς οὔτε παραιτεῖται τὸν φόρον, οὔτε ἁπλῶς κελεύει δοῦναι, ἀλλὰ πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον, τότε δίδωσι· τὸ μὲν, ἵνα μὴ ἐκεῖνοι σκανδαλισθῶσι· τὸ δὲ ἵνα μὴ οὗτοι. οὐδὲ γὰρ ὡς ὀφείλων δίδωσιν, ἀλλ' ὡς τὴν ἐκείνων ἀσθένειαν διορθούμενος. ἀλλαχοῦ μέντοι καταφρονεῖ τοῦ σκανδάλου, ὅτε περὶ βρωμάτων διελέγετο, διδάσκων ἡμᾶς εἰδέναι καιροὺς, καθ' οὓς δεῖ μὴ καταφρονεῖν τῶν σκανδαλιζομένων, καὶ καθ' οὓς δεῖ καταφρονεῖν· καὶ αὐτῷ δὲ τῷ τῆς δόσεως τρόπῳ δείκνυσιν ἑαυτὸν πάλιν. τίνος γὰρ ἕνεκεν οὐκ ἐκ τῶν ἀποκειμένων κελεύει δοῦναι; ἵν', ὅπερ ἔφην, καὶ ἐν τούτῳ δείξῃ Θεὸν ἑαυτὸν ὄντα τῶν ὅλων. καὶ ὅτι καὶ τῆς θαλάσσης κρατεῖ, ἔδειξε μὲν γὰρ καὶ ἤδη ἐπιτιμήσας, καὶ τὸν Πέτρον τοῦτον* κελεύσας ἐπιβῆναι τῶν κυμάτων· δείκνυσι δὲ καὶ νῦν τὸ αὐτὸ τοῦτο, ἑτέρῳ μὲν τρόπῳ, πολλὴν δὲ καὶ ἐν τούτῳ παρέχων τὴν ἔκπληξιν. οὐδὲ γὰρ μικρὸν ἦν ἀπὸ τῶν βυθῶν ἐκείνων προειπεῖν, ὅτι καὶ πρῶτος ἐμπεσεῖται ὁ τὸν φόρον ἐκεῖνον τελῶν ἰχθὺς, καὶ ὥσπερ ἀμφίβληστρον εἰς τὴν ἄβυσσον ἐκείνην ἀφέντα αὐτοῦ τὸ πρόσταγμα ἀναγαγεῖν τὸν κομίζοντα τὸν στατῆρα· ἀλλὰ θείας δυνάμεως καὶ ἀπορρήτου τὸ καὶ τὴν θάλατταν οὕτω ποιῆσαι δωροφορεῖν, καὶ πανταχόθεν τὴν ὑποταγὴν αὐτῆς ἐπιδείκνυσθαι, καὶ ἡνίκα μαινομένη ἐσίγα, καὶ ὅτε τὸν σύνδουλον ἐδέχετο ἀγριαίνουσα, καὶ νῦν πάλιν ὅτε πρὸς τοὺς ἀπαιτοῦντας ὑπὲρ αὐτοῦ διαλύεται. καὶ δὸς αὐτοῖς, φησιν, ἀντὶ ἐμοῦ καὶ σοῦ. Εἶδες τὸ ὑπερβάλλον τῆς τιμῆς; ἴδε καὶ τὸ φιλόσοφον τῆς τοῦ Πέτρου γνώμης. τοῦτο γὰρ οὐ φαίνεται Μάρκος ὁ τούτου φοιτητὴς γεγραφηκὼς τὸ κεφάλαιον, ἐπειδὴ πολλὴν ἐδείκνυ τὴν εἰς αὐτὸν τιμήν. ἀλλὰ τὴν μὲν ἄρνησιν καὶ αὐτὸς ἔγραψε, τὰ δὲ ποιοῦντα αὐτὸν λαμπρὸν ἀπεσίγησεν, ἴσως τοῦ διδασκάλου παραιτουμένου τὸ μεγάλα περὶ αὐτοῦ λέγειν. ἀντὶ ἐμοῦ δὲ καὶ σοῦ εἶπεν, ἐπειδὴ καὶ αὐτὸς πρωτότοκος ἦν. ὥσπερ δὲ ἐξεπλάγης τοῦ Χριστοῦ τὴν δύναμιν, οὕτω θαύμασον καὶ τοῦ μαθητοῦ τὴν πίστιν, ὅτι πράγματι ἀπόρῳ οὕτως ὑπήκουσε. καὶ γὰρ σφόδρα ἄπορον ἦν κατὰ τὴν φύσιν. διὸ καὶ τῆς πίστεως αὐτὸν ἀμειβόμενος, συνῆψεν ἑαυτῷ κατὰ τὴν τοῦ φόρου δόσιν.

κεφ. ιη.

1 Εν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ λέγοντες, Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;

Επαθόν τι ἀνθρώπινον οἱ μαθηταί. διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τοῦτο λέγων, ἐν ἐκείνῃ τῇ ὥρᾳ, δηλονότι ὅτε πάντων αὐτὸν προετίμησε, καὶ Ἰακώβου καὶ Ἰωάννου, ὧν θάτερος πρωτότοκος ἦν, καὶ οὐδὲν τοιοῦτον ὑπὲρ τούτων ἐποίησεν. εἶτα αἰσχυνόμενοι τὸ πάθος ὁμολογῆσαι, ὅπερ ἔπαθον, φανερῶς μὲν οὐ λέγουσι, τίνος ἕνεκεν τὸν Πέτρον ἡμῶν προετίμησας; καὶ, εἰ μείζων ἡμῶν οὗτός ἐστιν; (ᾐσχύνοντο γὰρ) ἀδιορίστως δὲ ἐρωτῶσι, τίς ἄρα μείζων ἐστίν; ὅτε μὲν γὰρ τοὺς τρεῖς εἶδον προτιμωμένους, οὐδὲν τοιοῦτον ἔπαθον· ἐπειδὴ δὲ εἰς τὸν ἕνα περιέστη τὸ τῆς τιμῆς, τότε ἤλγησαν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερα πολλὰ συναγαγόντες, τὸ πάθος ἀνῆψαν. καὶ γὰρ εἶπεν αὐτῷ, Σοὶ δώσω τὰς κλεῖς, καὶ, μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, καὶ ἐνταῦθα, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ, καὶ τὴν ἄλλην δὲ παρρησίαν αὐτοῦ τὴν πολλὴν ὁρῶντες παρεκνίζοντο. Εἰ δὲ ὁ Μάρκος φησιν, Οτι οὐκ ἠρώτησαν, ἀλλ' ἐν ἑαυτοῖς διελογίζοντο, οὐδὲν τοῦτο ἐναντίον ἐστὶν ἐκείνῳ. Εἰκὸς γὰρ αὐτοὺς κἀκεῖνο καὶ τοῦτο ποιῆσαι, καὶ πρότερον μὲν ἐν ἑτέρῳ καιρῷ τοῦτο παθεῖν καὶ ἅπαξ καὶ δεύτερον, τότε δὲ καὶ ἐξειπεῖν καὶ ἐν ἑαυτοῖς διαλογίσασθαι. σὺ δέ μοι μὴ τὸ ἔγκλημα μόνον ἴδοις, ἀλλὰ κἀκεῖνο λογίζου· πρῶτον μὲν ὅτι οὐδὲν τῶν ἐνταῦθα ζητοῦσιν, ἔπειτα ὅτι καὶ τοῦτο ὕστερον τὸ πάθος ἀπέθεντο,

Μαρ. θ. λδ.

θεντο, καὶ τῶν πρωτείων ἀλλήλοις παραχωροῦσιν. ἡμεῖς δὲ οὐδὲ εἰς τὰ ἐλαττώματα αὐτῶν φθάσαι δυνάμεθα, οὐδὲ ζητοῦμεν τίς μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλὰ τίς μείζων ἐν τῇ βασιλείᾳ τῆς γῆς, τίς εὐπορώτερος, τίς δυνατώτερος. τί οὖν ὁ Χριστός; ἀνακαλύπτει αὐτῶν τὸ συνειδός, καὶ πρὸς τὸ πάθος ἀποκρίνεται, οὐχ ἁπλῶς πρὸς τὰ ῥήματα.

2 Προσκαλεσάμενος γὰρ παιδίον, φησίν,

3 Εἶπεν· ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὑμεῖς μὲν γάρ, φησιν, ἐξετάζετε τίς μείζων, καὶ περὶ πρωτείων φιλονεικεῖτε· ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινότερον γινόμενον οὐδὲ τῆς εἰσόδου τῆς ἐκεῖ ἄξιον εἶναί φημι. καὶ καλῶς τὸ ὑπόδειγμα παράγει, καὶ οὐ παράγει μόνον, ἀλλὰ καὶ τὸ παιδίον εἰς μέσον ἵστησι, καὶ ἀπὸ τῆς ὄψεως αὐτοὺς ἐντρέπων καὶ πείθων εἶναι ταπεινοὺς οὕτω καὶ ἀπλάστους. καὶ γὰρ φθόνου καθαρὸν τὸ παιδίον, καὶ κενοδοξίας, καὶ τοῦ τῶν πρωτείων ἐρᾶν, καὶ τὴν μεγίστην κέκτηται ἀρετήν, τὴν ἀφέλειαν καὶ τὸ ἄπλαστον καὶ ταπεινόν. οὐκ ἄρα ἀνδρείας δεῖ μόνον, οὐδὲ φρονήσεως, ἀλλὰ καὶ ταύτης τῆς ἀρετῆς, τῆς ταπεινοφροσύνης λέγω καὶ τῆς ἀφελείας. καὶ γὰρ καὶ ἐν τοῖς μεγίστοις χωλεύει τὰ τῆς σωτηρίας ἡμῶν, τούτων ἡμῖν οὐ παρόντων. τὸ παιδίον, κἂν ὑβρίζηται, κἂν τύπτηται, κἂν τιμᾶται, κἂν δοξάζηται, οὔτε ἐκεῖθεν δυσχεραίνει καὶ βασκαίνει, οὔτε ἐντεῦθεν ἐπαίρεται. Εἶδες πῶς πάλιν ἡμᾶς πρὸς τὰ φυσικὰ κατορθώματα ἐκκαλεῖται, δεικνὺς ὅτι ἐκ προαιρέσεως ταῦτα κατορθοῦν δυνατόν, καὶ τὴν πονηρὰν Μανιχαίων ἐπιστομίζων λύτταν; εἰ γὰρ πονηρὸν ἡ φύσις, τίνος ἕνεκεν ἐκεῖθεν τῆς φιλοσοφίας τὰ παραδείγματα ἕλκει; παιδίον δέ μοι δοκεῖ, σφόδρα παιδίον ὄν, ἐν τῷ μέσῳ στῆσαι τῶν παθῶν ἁπάντων τούτων ἀπηλλαγμένον. τὸ γὰρ τοιοῦτον παιδίον καὶ ἀπονοίας καὶ δοξομανίας καὶ βασκανίας καὶ φιλονεικίας καὶ πάντων τῶν τοιούτων ἀπήλλακται παθῶν, καὶ πολλὰς ἔχον τὰς ἀρετάς, ἀφέλειαν, ταπεινοφροσύνην, ἀπραγμοσύνην, ἐπ' οὐδενὶ τούτων ἐπαίρεται, ὅπερ διπλῆς ἐστι φιλοσοφίας, καὶ τὸ κεκτῆσθαι ταῦτα, καὶ μὴ φυσᾶσθαι ἐπ' αὐτοῖς. διόπερ αὐτὸ παρήγαγε καὶ ἔστησεν ἐν τῷ μέσῳ. καὶ οὐ μέχρι τούτου μόνον τὸν λόγον κατέκλεισεν, ἀλλὰ καὶ περαιτέρω προάγει τὴν παραίνεσιν ταύτην, λέγων·

γρ. πονηρόν

5 Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται. Οὐ γὰρ δὴ μόνον φησίν, ἐὰν αὐτοὶ τοιοῦτοι γένησθε, μισθὸν λήψεσθε μέγαν, ἀλλὰ κἂν ἑτέρους τοιούτους τιμήσητε δι' ἐμέ, καὶ τῆς εἰς ἐκείνους τιμῆς βασιλείαν ὑμῖν ὁρίζω τὴν ἀμοιβήν· μᾶλλον δὲ τὸ πολλῷ μεῖζον τίθησιν, ἐμὲ δέχεται, λέγων. οὕτω μοι σφόδρα ποθεινόν, τὸ ταπεινὸν καὶ ἄπλαστον. παιδίον γὰρ ἐνταῦθα, τοὺς ἀνθρώπους τοὺς οὕτως ἀφελεῖς φησι καὶ ταπεινούς, καὶ ἀπερριμμένους παρὰ τοῖς πολλοῖς καὶ εὐκαταφρονήτους. Εἶτα εὐπαράδεκτον μειζόνως ποιῶν τὸν λόγον, οὐκ ἀπὸ τῆς τιμῆς μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κολάσεως αὐτὸν συνίστησιν, ἐπάγων καὶ λέγων· 6 Καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. Ὥσπερ γὰρ οἱ τούτους τιμῶντες, φησί, δι' ἐμὲ τὸν οὐρανὸν ἔχουσι, μᾶλλον δὲ τῆς βασιλείας αὐτῆς μείζω τιμήν, οὕτω δὴ καὶ οἱ ἀτιμάζοντες (τοῦτο γάρ ἐστι τὸ σκανδαλίσαι) τὴν ἐσχάτην δώσουσι δίκην. Εἰ δὲ σκάνδαλον τὴν ὕβριν καλεῖ, μὴ θαυμάσῃς. πολλοὶ γὰρ τῶν μικροψύχων, οὐχ ὡς ἔτυχεν, ἐκ τοῦ περιφρονηθῆναι καὶ καθυβρισθῆναι ἐσκανδαλίσθησαν. ἐπαίρων τοίνυν καὶ αὔξων τὸ ἔγκλημα, τὴν ἐξ αὐτοῦ τίθησι βλάβην. καὶ οὐκ ἔτι ἀπὸ τῶν αὐτῶν τὴν τιμωρίαν ἐμφαίνει, ἀλλ' ἀπὸ τῶν παρ' ἡμῖν γνωρίμων τὸ ἀφόρητον αὐτῆς ἐνδείκνυται. ὅταν γὰρ μάλιστα καθάψασθαι βούληται τῶν παχυτέρων, αἰσθητὰ ἄγει παραδείγματα. διὸ καὶ ἐνταῦθα βουλόμενος δεῖξαι, ὅτι πολλὴν ὑποστήσονται τὴν τιμωρίαν, καὶ καθικέσθαι τῆς τῶν διαπτυόντων αὐτοὺς ἀπονοίας, αἰσθητήν τινα κόλασιν εἰς μέσον ἤγαγε

γρ. σοφή

τὴν τοῦ μύλου καὶ τοῦ καταποντισμοῦ. καίτοιγε ἀκόλουθον τῷ προτέρῳ ἦν εἰπεῖν· ὁ μὴ δεχόμενος ἕνα τῶν μικρῶν τούτων, ἐμὲ οὐ δέχεται, ὃ πάσης κολάσεως πικρότερον ἦν· ἀλλ' ἐπειδὴ τῶν σφόδρα ἀναισθήτων καὶ παχυτάτων καὶ τὸ φοβερὸν τοῦτο οὐχ οὕτω καθικνεῖτο, τίθησι μύλον καὶ καταποντισμόν. καὶ οὐκ εἶπεν, ὅτι μύλος κρεμασθήσεται εἰς τὸν τράχηλον αὐτοῦ, ἀλλὰ συμφέρει αὐτῷ τοῦτο ὑπομεῖναι, δεικνὺς ὅτι ἕτερον τούτου χαλεπώτερον αὐτὸν ἀναμένει κακόν· εἰ δὲ τοῦτο ἀφόρητον, πολλῷ μᾶλλον ἐκεῖνο. Εἶδες πῶς ἑκατέρωθεν φοβερὰν ἐποίησε τὴν ἀπειλήν, τῇ μὲν τοῦ γνωρίμου παραδείγματος συγκρίσει σαφεστέραν αὐτὴν ποιῶν, τῇ δὲ ἐντεῦθεν ὑπεροχῇ πολλῷ μείζονα τῆς ὁρωμένης φαντάζεσθαι παρασκευάσας; Εἶδες πῶς πρόῤῥιζον ἀνέσπασε τῆς ἀπονοίας τὸ φρόνημα; πῶς ἰάσατο τῆς κενοδοξίας τὸ ἕλκος; πῶς ἐπαίδευσε μηδαμοῦ τῶν πρωτείων ἐρᾷν; πῶς ἔπεισε τοὺς ἐπιθυμοῦντας τῶν πρωτείων τὴν ἐσχάτην πανταχοῦ διώκειν τάξιν;

ΗΘΙΚΟΝ

Οὐδὲν γὰρ ἀπονοίας χεῖρον. αὕτη καὶ τῶν κατὰ φύσιν ἐξίστησι φρενῶν, καὶ μωρῶν ἐπιτίθησι δόξαν· μᾶλλον δὲ καὶ σφόδρα ἀνοήτους εἶναι ποιεῖ. ὥσπερ γὰρ εἴ τις τρίπηχυς ὢν βιάζοιτο εἶναι τῶν ὀρῶν ὑψηλότερος, ἢ καὶ νομίζοι τοῦτο, καὶ ἀνατείνοι ἑαυτὸν ὡς ὑπερβαλλόμενος αὐτῶν τὰς κορυφάς, οὐδὲν ἕτερον ζητήσομεν δεῖγμα ἀνοίας· οὕτω καὶ ὅταν ἄνθρωπον ἀπονενοημένον ἴδῃς καὶ ἁπάντων βελτίονα ἑαυτὸν ἡγούμενον εἶναι, καὶ ὕβριν νομίζοντα τὸ μετὰ τῶν πολλῶν ζῆν, μὴ ζήτει λοιπὸν ἕτερον ἔλεγχον ἰδεῖν τῆς ἐκείνου παρανοίας. τῶν γὰρ φύσει μωρῶν πολὺ καταγελαστότερος οὗτός ἐστιν, ὅσον καὶ ἑκὼν ταύτην δημιουργεῖ τὴν νόσον. οὐ ταύτῃ δὲ μόνον ἄθλιος, ἀλλ' ὅτι καὶ ἀνεπαισθήτως εἰς αὐτὸ τῆς κακίας ἐμπίπτει τὸ βάραθρον. πότε γὰρ ὁ τοιοῦτος ἐπιγνώσεται ἁμαρτάνων ὡς χρή; πότε αἰσθήσεται πλημμελῶν; καὶ γὰρ ὡς ἀνδράποδον κακὸν καὶ αἰχμάλωτον λαβὼν αὐτὸν ὁ διάβολος ἄπεισι, καὶ ἄγει καὶ φέρει ῥαπίζων πανταχόθεν καὶ μυρίαις περιβάλλων ὕβρεσιν. Εἰς τοσαύτην γὰρ αὐτοὺς ἄγει μωρίαν λοιπόν, ὡς πείθειν καὶ κατὰ παίδων καὶ γυναικῶν μεγαφρονεῖν, καὶ κατὰ τῶν προγόνων τῶν οἰκείων· ἑτέρους δὲ τοὐναντίον ἀπὸ τῆς τῶν προγόνων περιφανείας φυσᾶσθαι παρασκευάζει, οὗ τί γένοιτ' ἂν ἀνοητότερον, ὅταν ἀπὸ τῶν ἐναντίων ὁμοίως φλεγμαίνωσιν, οἱ μὲν ἐπειδὴ εὐτελεῖς ἔχουσι πατέρας καὶ πάππους καὶ ἐπιπάππους, οἱ δὲ ἐπειδὴ λαμπροὺς καὶ περιφανεῖς; πῶς οὖν ἄν τις ἑκατέρων ταπεινώσειε τὴν φλεγμονήν; πρὸς μὲν ἐκείνους λέγων, ἀνάβηθι περαιτέρω τῶν πάππων καὶ τῶν προπάππων, καὶ πολλοὺς ἴσως εὑρήσεις μαγείρους καὶ ὀνηλάτας καὶ καπήλους· πρὸς δὲ τούτους τοὺς ἀπὸ τῆς εὐτελείας τῶν προγόνων φυσωμένους τὸ ἐναντίον πάλιν, ὅτι καὶ σὺ πάλιν ἀνωτέρω προελθὼν τῶν προγόνων, ὄψει πολλῷ σου λαμπροτέρους πολλούς. ὅτι γὰρ τοῦτον ἔχει τὸν δρόμον ἡ φύσις, φέρε καὶ ἀπὸ τῶν γραφῶν ὑμῖν ἀποδείξω. ὁ Σολομὼν υἱὸς βασιλέως ἦν, καὶ βασιλέως λαμπροῦ· ἀλλ' ὁ τούτου πατὴρ τῶν εὐτελῶν καὶ ἀσήμων, καὶ ὁ πρὸς μητρὸς δὲ πάππος ὁμοίως. οὐδὲ γὰρ ἂν ψιλῷ στρατιώτῃ τὴν θυγατέρα ἐξέδωκεν. εἰ δὲ ἀναβαίνεις ἀνωτέρω πάλιν ἀπὸ τῶν εὐτελῶν τούτων, λαμπρότερον ὄψει τὸ γένος καὶ βασιλικώτερον. οὕτω καὶ ἐπὶ τοῦ Σαούλ, οὕτω καὶ ἐπὶ πολλῶν ἑτέρων εὕροι τις ἂν τοῦτο συμβαῖνον. μὴ δὴ μέγα φρονῶμεν ἐντεῦθεν. τί γάρ ἐστι τὸ γένος, εἰπέ μοι; οὐδὲν ἀλλ' ἢ ὄνομα μόνον πράγματος ἔρημον· καὶ τοῦτο εἴσεσθε κατὰ τὴν ἡμέραν ἐκείνην. ἐπεὶ δὲ οὔπω πάρεστιν ἐκείνη, φέρε καὶ ἀπὸ τῶν παρόντων ὑμᾶς πείσωμεν, ὅτι οὐδὲ μία ἐντεῦθεν ὑπεροχή. καὶ γὰρ κἂν πόλεμος καταλάβῃ, κἂν λιμός, κἂν ἕτερον ὁποιονοῦν, πάντα ἐλέγχεται ταῦτα τὰ τῆς εὐγενείας φυσήματα. κἂν νόσος ἐπέλθοι, κἂν λοιμός, οὐκ οἶδε διαγνῶναι τὸν πλούσιον καὶ τὸν πένητα, τὸν ἔνδοξον καὶ τὸν ἄδοξον, τὸν εὐγενῆ καὶ τὸν οὐ τοιοῦτον· οὔτε ὁ θάνατος, οὔτε αἱ λοιπαὶ τῶν πραγμάτων μεταβολαί, ἀλλ' ὁμοίως πᾶσι πάντα ἐπανίσταται, καὶ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, τοῖς πλουτοῦσι μᾶλλον. ὅσῳ γὰρ ἀμελέτητοι τούτων εἰσί, τοσούτῳ μᾶλλον ἁλόντες ἀπόλλυνται. καὶ ὁ φόβος δὲ παρὰ τοῖς πλουτοῦσι μείζων. καὶ γὰρ ἄρχοντας οὗτοι μάλιστα τρέμουσι,

Ματθ. ιδ. δ.
γ. Βασ. ιη. ιη.

καὶ τοὺς δήμους τῶν ἀρχόντων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον. πολλὰς γοῦν οἰκίας τοιαύτας ὁμοίως καὶ δήμων θυμὸς καὶ ἀρχόντων ἀνέτρεψεν ἀπειλή· ὁ δὲ πένης ἑκατέρων τούτων τῶν κινδύνων ἀπήλλακται. ὥστε ταύτην ἀφεὶς τὴν εὐγένειαν, εἰ βούλει μοι δεῖξαι ὅτι εὐγενὴς εἶ, δεῖξον τῆς ψυχῆς τὴν ἐλευθερίαν, οἵαν εἶχεν ὁ μακάριος ἐκεῖνος, καὶ ταῦτα πένης ὤν, ὁ λέγων τῷ Ἡρώδῃ, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου· οἵαν ἐκέκτητο ὁ πρὸ ἐκείνου τοιοῦτος, καὶ μετ' ἐκεῖνον τοιοῦτος, ὁ λέγων τῷ Ἀχαάβ, Οὐ διαστρέφω ἐγὼ τὸν Ἰσραήλ, ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου· οἵαν εἶχον οἱ προφῆται· οἵαν οἱ ἀπόστολοι πάντες. ἀλλ' οὐχ αἱ τῷ πλούτῳ δουλευόντων ψυχαὶ τοιαῦται, ἀλλ' ὥσπερ οἱ ὑπὸ μυρίοις ὄντες παιδαγωγοῖς καὶ δημίοις, οὕτως οὐδὲ ἐπᾶραι τὸ ὄμμα τολμῶσι καὶ ὑπὲρ ἀρετῆς παρρησιάσασθαι. ὁ γὰρ τῶν χρημάτων ἔρως καὶ ὁ τῆς δόξης καὶ ὁ τῶν ἄλλων πραγμάτων, φοβερὸν εἰς αὐτοὺς βλέποντες, δουλοπρεπεῖς ποιοῦσι καὶ κόλακας. οὐδὲν γὰρ οὕτως ἐλευθερίαν ἀναιρεῖ, ὡς τὸ βιωτικοῖς ἐμπεπλέχθαι πράγμασι, καὶ τὰ δοκοῦντα εἶναι λαμπρὰ περιβεβλῆσθαι. οὐδὲ γὰρ ἕνα δεσπότην καὶ δύο καὶ τρεῖς, ἀλλὰ μυρίους ὁ τοιοῦτος ἔχει. καὶ εἰ βούλεσθε καὶ ἀριθμῆσαι τούτους, παραγάγωμεν ἕνα τινὰ τῶν εὐδοκιμούντων ἐν βασιλείοις, καὶ ἔστω αὐτῷ καὶ χρήματα πάμπολλα, καὶ δυναστεία μεγάλη, καὶ πατρὶς ὑπερέχουσα, καὶ προγόνων περιφάνεια, καὶ ἀποβλεπέσθω παρὰ πάντων. ἴδωμεν τοίνυν, εἰ μὴ οὗτός ἐστιν ὁ πάντων δουλικώτερος καὶ ἀντιστήσωμεν αὐτῷ μὴ δοῦλον ἁπλῶς, ἀλλὰ δοῦλον δούλου. πολλοὶ γὰρ καὶ οἰκέται δούλους ἔχουσιν. οὗτος μὲν οὖν ὁ δοῦλος τοῦ δούλου ἕνα ἔχει δεσπότην· τί γὰρ, εἰ καὶ μὴ ἐλεύθερον; ἀλλ' ἕνα, καὶ πρὸς τὸ ἐκείνῳ δοκοῦν ὁρᾷ μόνον. κἂν γὰρ ὁ τούτου δεσπότης αὐτοῦ δοκῇ κρατεῖν, ἀλλὰ τέως ἑνὶ μόνῳ πείθεται). κἂν τὰ πρὸς ἐκεῖνον αὐτῷ καλῶς ἔχῃ, ἐν ἀδείᾳ τὸν ἅπαντα καθεδεῖται βίον. οὗτος δὲ οὐχ ἕνα καὶ δύο μόνον, ἀλλὰ πολλοὺς καὶ χαλεπωτέρους ἔχει δεσπότας. καὶ πρῶτον αὐτὸν τὸν βασιλεύοντα μεριμνᾷ. οὐκ ἔστι δὲ ἴσον εὐτελῆ δεσπότην ἔχειν, καὶ βασιλέα ὑπὸ πολλῶν τὰ ὦτα διαθρυλλούμενον, καὶ νῦν μὲν τούτων, νῦν δὲ ἐκείνων γινόμενον. οὗτος κἂν μηδὲν ἑαυτῷ συνειδὼς ᾖ, πάντας ὑποπτεύει, καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους, καὶ τοὺς ὑπ' αὐτῷ ταττομένους, καὶ τοὺς φίλους καὶ τοὺς ἐχθρούς. ἀλλὰ καὶ οὗτος, φησὶ, τὸν δεσπότην. καὶ πῶς ἴσον ἕνα καὶ πολλοὺς ἔχειν τοὺς δεδιττομένους αὐτόν; μᾶλλον δὲ εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲ ἕνα εὑρήσει. πῶς, καὶ τίνι τρόπῳ; ἐκεῖνος μὲν οὐδένα ἔχει τὸν ἐπιθυμοῦντα αὐτὸν ἐκβαλεῖν τῆς δουλείας ταύτης, καὶ εἰσαγαγεῖν ἑαυτόν· ὅθεν οὐδὲ τὸν ἐπιβουλεύοντα ἐν τούτοις ἔχει. οὗτοι δὲ οὐδὲ ἑτέραν σπουδὴν ἔχουσιν, ἀλλ' ἢ τὸ διασαλεῦσαι τὸν εὐδοκιμώτερον καὶ μᾶλλον ἀγαπώμενον παρὰ τῷ κρατοῦντι. διὸ καὶ πάντας ἀνάγκη κολακεύειν, τοὺς μείζους, τοὺς ὁμοτίμους, τοὺς φίλους. ἔνθα γὰρ βασκανία καὶ δόξης ἔρως, οὐδὲ φιλίας εἰλικρινοῦς ἐστιν ἰσχύς. ὥσπερ γὰρ οἱ ὁμότεχνοι φιλεῖν ἀλλήλους οὐκ ἂν δύναιντο ἀκριβῶς καὶ γνησίως, οὕτω καὶ οἱ ὁμότιμοι καὶ τῶν αὐτῶν ἐρῶντες ἐν τοῖς βιωτικοῖς· ὅθεν καὶ ὁ πόλεμος ἔνδον πολύς. εἶδες δεσποτῶν ἑσμὸν, καὶ δεσποτῶν χαλεπῶν; βούλει καὶ ἕτερον ἐπιδείξω τούτου χαλεπώτερον; οἱ μετ' αὐτὸν ἅπαντες πρὸ αὐτοῦ γενέσθαι σπεύδουσιν, οἱ πρὸ αὐτοῦ κωλῦσαι γενέσθαι πλησίον καὶ παραδραμεῖν. ἀλλ' ὢ τοῦ θαύματος. ἐγὼ μὲν ὑπεσχόμην δεσπότας δεῖξαι, ὁ δὲ λόγος προϊὼν καὶ ἀγωνιζόμενος, πλέον τῆς ὑποσχέσεως ἐποίησε, πολεμίους ἀντὶ δεσποτῶν δείξας, μᾶλλον δὲ καὶ πολεμίους καὶ δεσπότας τοὺς αὐτούς. θεραπεύονται μὲν γὰρ ὡς δεσπόται, φοβεροὶ δέ εἰσιν ὡς πολέμιοι, καὶ ἐπιβουλεύουσιν ὡς ἐχθροί. ὅταν οὖν τις τοὺς αὐτοὺς καὶ κυρίους ἔχῃ καὶ ἐχθρούς, τί ταύτης τῆς συμφορᾶς χεῖρον γένοιτ' ἄν; ὁ μὲν δοῦλος, κἂν ἐπιτάττηται, ἀλλ' ὅμως ἐπιμελείας ἀπολαύει παρὰ τῶν κελευόντων καὶ εὐνοίας· οὗτοι δὲ καὶ ἐπιτάττονται, καὶ πολεμοῦνται, καὶ κατ' ἀλλήλων ἑστήκασι, καὶ τοσούτῳ τῶν ἐν ταῖς μάχαις χαλεπώτερον, ὅσῳ καὶ λάθρα κεντοῦσι, καὶ ἐν προσωπείῳ φίλων τὰ τῶν ἐχθρῶν διατιθέασι, πθέασι, καὶ ἐκ τῆς ἑτέρων πολλάκις εὐδοκιμοῦσι συμφορᾶς. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα· ἀλλὰ κἂν πράξῃ κακῶς ἕτερος, πολλοὶ οἱ συναλγοῦντες· κἂν εὐδοκιμῇ, πολλοὶ οἱ συνηδόμενοι κατὰ τὸν ἀπόστολον· Εἴτε γὰρ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη, φησί. καὶ νῦν μὲν ἔλεγεν ὁ ταῦτα παραινῶν, Τίς μου ἐστὶν ἐλπὶς, ἢ χαρά; ἢ οὐχὶ καὶ ὑμεῖς; νῦν δὲ, Ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ· νῦν δὲ, Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν· καὶ, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; τίνος οὖν ἕνεκεν ἔτι τῆς ζάλης ἀνεχόμεθα καὶ τῶν κυμάτων τῶν ἔξωθεν, καὶ οὐ τρέχομεν ἐπὶ τὸν εὔδιον λιμένα τοῦτον, καὶ τὰ ὀνόματα ἀφέντες τῶν ἀγαθῶν, ἐπὶ τὰ πράγματα βαδίζομεν αὐτά; δόξα γὰρ καὶ δυναστεία καὶ πλοῦτος καὶ εὐδοκίμησις καὶ τὰ τοιαῦτα πάντα, ὀνόματα παρ' ἐκείνοις, παρὰ δὲ ἡμῖν πράγματα· ὥσπερ οὖν τὰ λυπηρὰ, θάνατος καὶ ἀτιμία καὶ πενία καὶ ὅσα τοιαῦτα, ὀνόματα μὲν παρ' ἡμῖν, πράγματα δὲ παρ' ἐκείνοις. καὶ, εἰ βούλει, τὴν δόξαν πρῶτον εἰς μέσον ἀγάγωμεν τὴν παρ' ἐκείνοις πᾶσαν ἐπέραστον καὶ ποθεινήν. καὶ οὐ λέγω ὅτι ὀλιγοχρόνιος, οὐδ' ὅτι ταχέως σβέννυται· ἀλλ' ὅτε ἀνθεῖ, τότε μοι δεῖξον αὐτήν. μὴ περιέλῃς τῆς πόρνης τὰ ἐπιτρίμματα καὶ τὰς ὑπογραφάς, ἀλλὰ κεκαλλωπισμένην εἰς μέσον ἄγε, καὶ ἐπίδειξον ἡμῖν, ἵνα τότε αὐτῆς ἐλέγξω τὸ δυσειδές. οὐκοῦν τὸ σχῆμα πάντως ἐρεῖς, καὶ τὸ πλῆθος τῶν ῥαβδούχων, καὶ τοῦ κήρυκος τὴν φωνὴν, καὶ τῶν δήμων τὴν ὑπακοὴν, καὶ τὴν παρὰ τῶν πολλῶν σιγὴν, καὶ τὸ τύπτεσθαι τοὺς ἀπαντῶντας ἅπαντας, καὶ τὸ ὑπὸ πάντων περιβλέπεσθαι. οὐχὶ ταῦτά ἐστι τὰ λαμπρά; Φέρε οὖν, ἐξετάσωμεν εἰ μὴ περιττὰ ταῦτα, καὶ ὑπόληψις μόνον ἀνόητος. τί γὰρ ἐκεῖνος ἀπὸ τούτων βελτίων γέγονεν, ἢ τὸ σῶμα, ἢ τὴν ψυχήν; τοῦτο γὰρ ὁ ἄνθρωπος. ἆρα ὑψηλότερος ἔσται ἐντεῦθεν ἢ ἰσχυρότερος ἢ ὑγιεινότερος ἢ ταχύτερος ἢ τὰς αἰσθήσεις ὀξυτέρας κτήσεται καὶ τρανοτέρας; ἀλλ' οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν. ἴωμεν τοίνυν ἐπὶ τὴν ψυχήν. μή ποτε ἐκεῖ τι κέρδος προσγινόμενον ἐντεῦθεν εὑρήσομεν; τί οὖν; σωφρονέστερος, ἐπιεικέστερος, συνετώτερος ἀπὸ ταύτης ἔσται τῆς θεραπείας ὁ τοιοῦτος; οὐδαμῶς. ἀλλὰ καὶ τοὐναντίον ἅπαν. οὐ γὰρ ὅπερ ἐπὶ τοῦ σώματος, τοῦτο καὶ ἐνταῦθα συμβαίνει. ἐκεῖ μὲν γὰρ οὐδὲν πρὸς τὴν οἰκείαν προσλαμβάνει ἀρετὴν τὸ σῶμα· ἐνταῦθα δὲ οὐ μόνον τοῦτό ἐστι τὸ δεινόν, ὅτι οὐδὲν καρποῦται χρηστόν, ἀλλ' ὅτι καὶ κακίαν δέχεται πολλὴν ἐντεῦθεν ἡ ψυχή. καὶ γὰρ εἰς ἀπόνοιαν καὶ κενοδοξίαν καὶ ἄνοιαν καὶ εἰς θυμὸν καὶ εἰς μυρία ἐλαττώματα τοιαῦτα ἐντεῦθεν ἐκφέρεται. ἀλλὰ χαίρει, φησι, καὶ γάνυται τούτοις, καὶ φαιδρύνεται. τὸν κολοφῶνά μοι τῶν κακῶν εἶπες, καὶ τοῦ νοσήματος τὸ ἀνίατον. ὁ γὰρ χαίρων ἐπὶ τούτοις, οὐδὲ ἀπαλλαγῆναι ῥᾳδίως ἂν θελήσειε τῆς ὑποθέσεως τῶν κακῶν, ἀλλ' ἀπετείχισεν ἑαυτῷ τῆς θεραπείας τὴν ὁδὸν διὰ τῆς ἡδονῆς. ὥστε τοῦτο μάλιστά ἐστι τὸ δεινόν, ὅτι οὐδὲ ἀλγεῖ, ἀλλὰ καὶ χαίρει τῶν νοσημάτων αὐξανομένων αὐτῷ. οὐδὲ γὰρ πανταχοῦ τὸ χαίρειν καλόν, ἐπεὶ καὶ κλέπται χαίρουσι κλέπτοντες, καὶ μοιχὸς διαφθείρων τὸν τοῦ πλησίον γάμον, καὶ ὁ πλεονέκτης ἁρπάζων, καὶ ὁ ἀνδροφόνος φονεύων. μὴ τοίνυν, εἰ χαίρει, ἴδωμεν, ἀλλ' εἰ ἐπὶ χρησίμῳ· καὶ διασκεψώμεθα μήποτε τοιαύτην εὑρήσομεν τὴν χαράν, οἵαν τὴν τοῦ μοιχοῦ καὶ τοῦ κλέπτου. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, χαίρει; διὰ τὴν παρὰ τῶν πολλῶν δόξαν, καὶ τὸ δύνασθαι φυσᾶσθαι καὶ περιβλέπεσθαι; καὶ τί τῆς ἐπιθυμίας ταύτης πονηρότερον γένοιτ' ἂν, καὶ τοῦ ἀτόπου τούτου ἔρωτος; εἰ δὲ μὴ πονηρὸν, παύσασθε τοὺς κενοδόξους σκώπτοντες καὶ μυρίοις πλύνοντες σκώμμασι· παύσασθε τοῖς ἀπονενοημένοις καὶ ὑπερόπταις ἐπαρώμενοι. ἀλλ' οὐκ ἂν ἀνάσχοισθε· οὐκοῦν μυρίας ἄξιοι καὶ αὐτοὶ κατηγορίας, κἂν μυρίους ἔχωσι ῥαβδούχους. καὶ ταῦτά μοι περὶ τῶν ἀνεκτοτέρων ἀρχόντων εἴρηται· ὡς τούς γε πλείονας καὶ λῃστῶν καὶ ἀνδροφόνων καὶ μοιχῶν καὶ τυμβωρύχων μείζονα ἁμαρτήματα εὑρήσομεν ἀπὸ τοῦ μὴ καλῶς κεχρῆσθαι τῇ ἀρχῇ. καὶ γὰρ καὶ

α. Κορ. ιβ. κϛ.

α. Θεσ. β. ιθ.

β. Κορ. β. δ.

β. Κορ. ια. κθ.

ἀποτειχίκλέπτουσιν ἐκείνων ἀναισχυντότερον, καὶ σφάττουσιν ἰταμώτερον, καὶ ἀσελγαίνουσι πολλῷ παρανομώτερον, καὶ διορύττουσιν οὐ τοῖχον ἕνα, ἀλλὰ οὐσίας καὶ οἰκίας ἀπείρους, ἀπὸ τῆς ἐξουσίας πολλὴν τὴν εὐκολίαν ἔχοντες, καὶ δουλεύουσι δουλείαν χαλεπωτάτην, τοῖς πάθεσιν ὑποκύπτοντες ἀθλίως, [καὶ τοὺς συνδούλους τύπτουσιν ἀφειδῶς] καὶ τοὺς συνειδότας αὐτοῖς ἅπαντας τρέμοντες. μόνος γάρ ἐστιν ἐλεύθερος, καὶ μόνος ἄρχων, καὶ τῶν βασιλέων βασιλικώτερος, ὁ τῶν παθῶν ἀπηλλαγμένος. ταῦτ' οὖν εἰδότες, διώξωμεν τὴν ἀληθῆ ἐλευθερίαν, καὶ τῆς πονηρᾶς δουλείας ἀπαλλάξωμεν ἑαυτούς· καὶ μήτε ἀρχῆς ὄγκον, μήτε πλούτου τυραννίδα, μήτε ἄλλο τι τοιοῦτον μακαριστὸν νομίζωμεν, ἀλλ' ἀρετὴν μόνην. οὕτω γὰρ καὶ τῆς ἐνταῦθα ἀπολαυσόμεθα ἀδείας, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ιθ. 7 ΟΥΑΙ ΤΩ ΚΟΣΜΩ ΑΠΟ ΤΩΝ ΣΚΑΝΔΑΛΩΝ. ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὰ σκάνδαλα ἔρχεται.

Καὶ εἰ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα, εἴποι τις ἂν ἴσως τῶν ἐναντίων, τί ταλανίζει τὸν κόσμον, δέον ἀμῦναι καὶ χεῖρα ὀρέξαι; τοῦτο γὰρ ἰατροῦ καὶ προστάτου, ἐκεῖνο δὲ καὶ τοῦ τυχόντος. τί οὖν ἂν εἴποιμεν πρὸς τὴν οὕτως ἀναίσχυντον γλῶτταν; καὶ τί τῆς θεραπείας ταύτης ἴσον ἐπιζητεῖς; καὶ γὰρ Θεὸς ὢν ἄνθρωπος ἐγένετο διὰ σέ, καὶ δούλου μορφὴν ἔλαβε, καὶ τὰ ἔσχατα πάντα ὑπέστη, καὶ οὐδὲν ἐνέλιπε τῶν εἰς αὐτὸν ἡκόντων. ἀλλ' ἐπειδὴ πλέον οὐδὲν γέγονε τοῖς ἀγνώμοσι, διὰ τοῦτο αὐτοὺς ταλανίζει, ὅτι μετὰ τὴν τοσαύτην θεραπείαν ἔμειναν ἐπὶ τῆς ἀῤῥωστίας. ὥσπερ ἂν εἴ τις καὶ τὸν κάμνοντα πολλῆς ἀπολαύσαντα ἐπιμελείας, καὶ οὐκ ἐθελήσαντα νόμοις πεισθῆναι ἰατρικοῖς θρηνῶν λέγοι, οὐαὶ τῷ δεῖνι ἀνθρώπῳ ἀπὸ τῆς ἀῤῥωστίας, ἣν διὰ τῆς οἰκείας ηὔξησε ῥᾳθυμίας. ἀλλ' ἐκεῖ μὲν οὐδὲν ὄφελος ἀπὸ τοῦ θρήνου, ἐνταῦθα δὲ καὶ τοῦτο εἶδος θεραπείας ἐστὶ, τὸ προειπεῖν τὸ ἐσόμενον καὶ ταλανίσαι. πολλοὶ γὰρ πολλάκις συμβουλευθέντες μὲν οὐδὲν ὠφελήθησαν, θρηνηθέντες δὲ ἀνήνεγκαν. διὸ καὶ μάλιστα τὸ οὐαὶ τέθεικε, διεγείρων αὐτοὺς καὶ ἐναγωνίους ποιῶν καὶ ἐγρηγορέναι παρασκευάζων. μετὰ δὲ τούτου καὶ τὴν εὔνοιαν ἐπιδείκνυται τὴν περὶ αὐτοὺς ἐκείνους, καὶ τὴν ἡμερότητα τὴν αὐτοῦ, ὅτι καὶ ἀντειπόντας θρηνεῖ, οὐ δυσχεραίνων μόνον, ἀλλὰ καὶ διορθούμενος καὶ τῷ θρήνῳ καὶ τῇ προῤῥήσει, ὥστε αὐτοὺς ἀνακαλέσασθαι. καὶ πῶς ἔνι τοῦτο, φησίν; εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, πῶς δυνατὸν ταῦτα διαφυγεῖν; ὅτι ἐλθεῖν μὲν τὰ σκάνδαλα ἀνάγκη, ἀπολέσθαι δὲ οὐ πάντως ἀνάγκη. ὥσπερ ἂν εἴ τις ἰατρὸς εἴποι (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι χρήσασθαι πάλιν) ἀνάγκη τὴν νόσον τήνδε ἐπιστῆναι, ἀλλ' οὐκ ἀνάγκη διαφθαρῆναι πάντως ὑπὸ τῆς νόσου τὸν προσέχοντα. τοῦτο δὲ ἔλεγεν, ὅπερ ἔφην, μετὰ τῶν ἄλλων καὶ τοὺς μαθητὰς ἀφυπνίζων. ἵνα γὰρ μὴ νυστάζωσιν, ὡς ἐπὶ εἰρήνην καὶ ἀπράγμονα βίον πεμπόμενοι, πολλοὺς ἐφεστῶτας αὐτοῖς δείκνυσι· πολέμους ἔξωθεν, ἔσωθεν· ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι, κίνδυνοι ἐν ψευδαδέλφοις. καὶ Μιλησίοις δὲ διαλεγόμενος ἔφη, ἀναστήσονται τινὲς ἐξ ὑμῶν λαλοῦντες διεστραμμένα. καὶ ὁ Χριστὸς δὲ ἔλεγεν, Ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ. ὅταν δὲ ἀνάγκην εἴπῃ, οὐ τὸ αὐθαίρετον τῆς ἐξουσίας ἀναιρεῖ, οὐδὲ τὴν ἐλευθερίαν τῆς προαιρέσεως, οὐδὲ ἀνάγκῃ τινὶ πραγμάτων ὑποβάλλων τὸν βίον φησὶ ταῦτα· ἀλλὰ τὸ πάντως ἐσόμενον προλέγει. ὅπερ ὁ Λουκᾶς ἑτέρᾳ λέξει παρέστησεν εἰπὼν οὕτως· ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν

β. Κορ. ζ. ε.

Μιχ. ζ. ς.

τὰ σκάνδαλα. τί δέ ἐστι τὰ σκάνδαλα; κωλύματα τῆς ὀρθῆς ὁδοῦ. οὕτω καὶ οἱ ἐπὶ τῆς σκηνῆς τοὺς περὶ ταῦτα δεινοὺς καλοῦσι, τοὺς τὰ σώματα διαστρέφοντας. οὐ τοίνυν ἡ πρόρρησις αὐτοῦ τὰ σκάνδαλα ἄγει (ἄπαγε) οὐδὲ ἐπειδὴ προεῖπε, διὰ τοῦτο γίνεται, ἀλλ' ἐπειδὴ πάντως ἔμελλεν ἔσεσθαι, διὰ τοῦτο προεῖπεν· ὡς εἴγε μὴ ἐβούλοντο οἱ φέροντες αὐτὰ πονηρεύεσθαι, οὐδ' ἂν ἦλθον· εἰ δὲ μὴ ἔμελλον ἔρχεσθαι, οὐδ' ἂν προεῤῥήθη. ἐπειδὴ δὲ ἐκακούργησαν ἐκεῖνοι καὶ ἀνίατα ἐνόσησαν, ἦλθε καὶ προλέγει τὸ μέλλον ἔσεσθαι. καὶ εἰ διωρθώθησαν ἐκεῖνοι, φησὶ, καὶ μηδεὶς ἦν ὁ τὰ σκάνδαλα κομίζων, οὐκ ἔμελλεν ὁ λόγος οὗτος ψεύδους ἁλίσκεσθαι; οὐδαμῶς. οὐδὲ γὰρ ἂν ἐλέχθη. εἰ γὰρ ἔμελλον διορθοῦσθαι πάντες, οὐκ ἂν εἶπεν, ὅτι ἀνάγκη ἐλθεῖν· ἀλλ' ἐπειδὴ προῄδει ἀδιορθώτους ἐσομένους οἴκοθεν, διὰ τοῦτο εἶπεν ὅτι πάντως ἥξουσι. καὶ τίνος ἕνεκεν αὐτὸς οὐκ ἀνεῖλε, φησίν; τίνος γὰρ ἕνεκεν ἀναιρεθῆναι ἔδει; διὰ τοὺς βλαπτομένους; ἀλλ' οὐκ ἐκεῖθεν οἱ βλαπτόμενοι ἀπόλλυνται, ἀλλ' ἐκ τῆς ἑαυτῶν ῥαθυμίας. καὶ δηλοῦσιν οἱ ἐνάρετοι, οὐ μόνον οὐδὲν ἀδικούμενοι ἐντεῦθεν, ἀλλὰ καὶ τὰ μέγιστα κερδαίνοντες, οἷος ἦν ὁ Ἰὼβ, οἷος ὁ Ἰωσὴφ, οἷοι πάντες οἱ δίκαιοι. εἰ δὲ ἀπόλλυνται πολλοὶ, παρὰ τὸν ἑαυτῶν ὕπνον. εἰ δὲ μὴ οὕτως εἶχεν, ἀλλὰ παρὰ τὰ σκάνδαλα ἡ ἀπώλεια, πάντας ἀπολέσθαι ἔδει. εἰ δέ εἰσιν οἱ διαφεύγοντες, ὁ μὴ διαφυγὼν ἑαυτῷ λογιζέσθω. τὰ γὰρ σκάνδαλα, ὅπερ ἔφην, καὶ διεγείρει καὶ ὀξυτέρους ποιεῖ καὶ ἀκονᾷ, καὶ οὐ μόνον τὸν φυλαττόμενον, ἀλλὰ καὶ τὸν περιπεσόντα ταχέως ἀνιστᾷ. ἀσφαλέστερον γὰρ αὐτὸν ἐργάζεται, καὶ δυσάλωτον μᾶλλον ποιεῖ. ὥστε, ἂν νήφωμεν, οὐ μικρὸν ἐντεῦθεν καρπούμεθα κέρδος, τὸ διηνεκῶς ἐγρηγορέναι. εἰ γὰρ πολεμίων ὄντων, καὶ τοσούτων πειρασμῶν ἐπικειμένων καθεύδομεν, τίνες ἂν εἴημεν ἐν ἀδείᾳ ζῶντες; καὶ εἰ βούλει, τὸν πρῶτον ἄνθρωπον σκόπει. εἰ γὰρ ὀλίγον χρόνον, τάχα δὲ οὐδὲ ἡμέραν ὅλην ἐν τῷ παραδείσῳ ζήσας καὶ τρυφῆς ἀπολαύσας εἰς τοσοῦτον ἤλασε κακίας, ὡς καὶ ἰσοθεΐαν φαντασθῆναι, καὶ τὸν ἀπατεῶνα εὐεργέτην νομίσαι, καὶ μιᾶς μὴ κατασχεῖν ἐντολῆς· εἰ καὶ τὸν ἐφεξῆς βίον ἀταλαίπωρον ἔζη, τί οὐκ ἂν εἰργάσατο; ἀλλ' ὅταν ταῦτα εἴπωμεν, πάλιν ἕτερα ἀντιλέγουσιν ἐρωτῶντες, καὶ διὰ τί αὐτὸν τοιοῦτον ἐποίησεν ὁ Θεός; οὐχὶ ὁ Θεὸς τοιοῦτον αὐτὸν ἐποίησεν (ἄπαγε) ἐπεὶ οὐδ' ἂν ἐκόλασεν. εἰ γὰρ ἡμεῖς ἐν οἷς ἂν ὦμεν αἴτιοι, οὐκ ἐγκαλοῦμεν τοῖς οἰκέταις, πολλῷ μᾶλλον ὁ τῶν ὅλων Θεός. ἀλλὰ πόθεν τοῦτο ἐγένετο, φησί; παρ' ἑαυτοῦ καὶ τῆς ἑαυτοῦ ῥαθυμίας. τί ἐστι παρ' ἑαυτοῦ; ἐρώτησον σαυτόν. εἰ γὰρ μὴ παρ' ἑαυτοὺς εἰσι κακοὶ οἱ κακοὶ, μὴ κόλαζε τὸν οἰκέτην, μηδὲ ἐπιτίμα τῇ γυναικὶ ἐν οἷς ἁμαρτάνει, μηδὲ τύπτε τὸν υἱὸν, μηδὲ ἐγκάλει τῷ φίλῳ, μηδὲ μίσει τὸν ἐπηρεάζοντά σε [ἐχθρόν.] πάντες γὰρ οὗτοι ἐλεεῖσθαι, οὐ κολάζεσθαι ἄξιοι, εἰ μὴ οἴκοθεν πλημμελοῦσιν. ἀλλ' οὐ δύναμαι φιλοσοφεῖν, φησί. καίτοιγε ὅταν συνίδῃς οὐκ ἐκείνων τὴν αἰτίαν οὖσαν, ἀλλ' ἀνάγκης ἑτέρας, δύνασαι φιλοσοφεῖν. ὅταν γοῦν ὑπὸ νόσου κατεχόμενος οἰκέτης μὴ ποιήσῃ τὰ ἐπιταχθέντα, οὐ μόνον οὐκ ἐγκαλεῖς, ἀλλὰ καὶ συγγινώσκεις. οὕτω σὺ μάρτυς, ὅτι τὸ μὲν αὐτοῦ, τὸ δὲ οὐκ αὐτοῦ. ὥστε κἂν ταῦτα, εἰ ᾔδεις ὅτι παρὰ τὸ γίνεσθαι τοιοῦτος, πονηρὸς ἦν, οὐ μόνον οὐκ ἂν ἐνεκάλεσας, ἀλλὰ καὶ συγγνώμην ἔδωκας ἄν. οὐ γὰρ δήπου διὰ μὲν τὴν νόσον συγγινώσκεις, διὰ Θεοῦ δὲ δημιουργίαν οὐκ ἂν συνέγνως, εἴγε τοιοῦτος ἐξ ἀρχῆς γέγονε. καὶ ἑτέρωθεν δὲ τοὺς τοιούτους ἐπιστομίσαι ῥᾴδιον· πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. διατί γὰρ μηδέποτε ἐνεκάλεσας οἰκέτῃ, ὅτι οὐκ ἔστι καλὸς τὴν ὄψιν, ὅτι οὐκ ἔστιν εὐμήκης τὸ σῶμα, ὅτι οὐκ ἔστι πτηνός; ὅτι τῆς φύσεως ταῦτα. οὐκοῦν τῶν τῆς φύσεως ἐγκλημάτων ἀπήλλακται, καὶ οὐδεὶς ἀντερεῖ. ὅταν οὖν ἐγκαλῇς, δεικνύεις ὅτι οὐ τῆς φύσεως τὸ ἁμάρτημα, ἀλλὰ τῆς προαιρέσεως. εἰ γὰρ ἐν οἷς οὐκ ἐγκαλοῦμεν, μαρτυροῦμεν τῆς φύσεως εἶναι τὸ πᾶν, δῆλον ὅτι ἐν οἷς ἐπιτιμῶμεν, δηλοῦμεν ὅτι προαιρέσεώς ἐστι τὸ πλημμέλημα. μὴ τοίνυν μοι λογισμοὺς εἰς μέσον ἄγε διεστραμμένους, μηδὲ σοφίσματα, καὶ πλοκὰς ἀραχνῶν εὐτελεστέρας, ἀλλ' ἐκεῖνο πάλιν ἀπόκριναί μοι· πάντας ἀνθρώπους ὁ Θεὸς εἰργάσατο; παντί που δῆλον. πῶς οὖν οὐ πάντες ἴσοι κατὰ τὸν τῆς ἀρετῆς λόγον, καὶ τὸν τῆς κακίας; πόθεν οἱ ἀγαθοὶ καὶ χρηστοὶ καὶ ἐπιεικεῖς; πόθεν οἱ φαῦλοι καὶ πονηροί; εἰ γὰρ μὴ γνώμης ταῦτα δεῖται, ἀλλὰ φύσεώς ἐστι, πῶς οἱ μὲν τοῦτό εἰσιν, οἱ δὲ ἐκεῖνο; εἰ μὲν γὰρ φύσει πάντες κακοί, οὐδένα οἷόν τε ἦν ἀγαθὸν εἶναι· εἰ δὲ ἀγαθοὶ φύσει, οὐδένα κακόν. εἰ γὰρ μία φύσις ἀνθρώπων ἁπάντων, ἔδει κατὰ τοῦτο πάντας ″ἓν εἶναι, εἴτε τοῦτο, εἴτε ἐκεῖνο ἔμελλον εἶναι. εἰ δὲ λέγοιμεν, ὅτι φύσει οἱ μὲν ἀγαθοί, οἱ δὲ κακοί (ὅπερ οὐκ ἂν ἔχοι λόγον, ὥσπερ ἀπεδείξαμεν) ἐχρῆν ἀκίνητα ταῦτα εἶναι. τὰ γὰρ τῆς φύσεως ἀκίνητα. σκόπει δέ· θνητοὶ πάντες καὶ παθητοί, καὶ οὐδεὶς ἀπαθής, κἂν μυρία ″φιλονεικῇ. νῦν δὲ ὁρῶμεν ἀπὸ χρηστῶν φαύλους πολλούς, καὶ ἀπὸ φαύλων χρηστοὺς γινομένους, τοῦτο μὲν ῥαθυμίᾳ, τοῦτο δὲ σπουδῇ· ὅπερ μάλιστα δείκνυσιν οὐκ ὄντα φύσεως ταῦτα. οὔτε γὰρ μεταβάλλεται, οὔτε ἵνα προσγένηται, σπουδῆς δεῖται τὰ φυσικά. ὥσπερ γὰρ εἰς τὸ βλέπειν καὶ ἀκούειν οὐ δεόμεθα πόνου, οὕτως οὐδὲ ἐν τῇ ἀρετῇ ἱδρώτων ἡμῖν ἔδει, εἰ τῇ φύσει ″αὐτὴ ἦν συγκεκληρωμένη. τίνος δὲ ἕνεκεν καὶ φαύλους ἐποίει, δυνάμενος ἀγαθοὺς ποιῆσαι πάντας; καὶ μὴν φαύλους οὐκ ἐποίησε. πόθεν οὖν τὰ κακά, φησίν; ἐρώτησον σεαυτόν. ἐμὸν γὰρ δεῖξαι, ὅτι οὐχὶ φύσεως οὐδὲ ἀπὸ Θεοῦ. οὐκοῦν αὐτόματα, φησίν; οὐδαμῶς. ἀλλὰ ″ἀγέννητα; εὐφήμει ἄνθρωπε, καὶ ἀποπήδησον τῆς μανίας ταύτης, μιᾷ τιμῇ τὸν Θεὸν τιμῶν καὶ τὰ κακά, καὶ τιμῇ τῇ ἀνωτάτω. εἰ γὰρ ἀγέννητα, καὶ ἰσχυρὰ ἔσται καὶ οὐδὲ ἀνασπασθῆναι δυνήσεται, οὐδὲ εἰς τὸ μὴ εἶναι χωρῆσαι. ὅτι γὰρ τὸ ἀγέννητον ἀνώλεθρον, παντί που δῆλον. πόθεν δὲ καὶ ἀγαθοὶ τοσοῦτοι, τοσαύτην δύναμιν τοῦ κακοῦ ἔχοντος; πῶς οἱ γεννητοὶ τοῦ ἀγεννήτου ἰσχυρότεροι; ἀλλ' ὁ Θεὸς αὐτὰ ″ἀναιρήσει, φησί, ποτέ. πῶς δὲ καὶ ἀναιρήσει τὰ ″ὁμότιμα καὶ ὁμοσθενῆ καὶ ″ὁμήλικα, ὡς ἄν τις εἴποι; ὢ τῆς τοῦ διαβόλου κακίας, πόσον ἐξεῦρε κακόν; οἵᾳ τὸν Θεὸν περιέβαλεν ἔπεισε βλασφημίᾳ; οἵῳ προσχήματι εὐσεβείας ἕτερον δύσφημον ἐπενόησε λόγον; βουλόμενοι γὰρ δεῖξαι, ὅτι οὐκ ἐξ αὐτοῦ τὸ κακόν, πονηρὸν ἄλλο δόγμα εἰσήγαγον, ἀγέννητα αὐτὰ φήσαντες εἶναι. πόθεν οὖν τὰ κακά, φησίν; ἐκ τοῦ θέλειν, καὶ μὴ θέλειν. αὐτὸ δὲ τὸ θέλειν καὶ μὴ θέλειν πόθεν; παρ' ἡμῶν αὐτῶν. σὺ δὲ ταὐτὸν ποιεῖς ἐρωτῶν, ὡς ἐὰν ἐρομένου σου, πόθεν τὸ βλέπειν καὶ μὴ βλέπειν; εἶτα εἰπόντος μου, ἐκ τοῦ μύειν καὶ μὴ μύειν, πάλιν ἔροιο, αὐτὸ δὲ τὸ μύειν καὶ μὴ μύειν πόθεν; εἶτα ἀκούσας ὅτι ἐξ ἡμῶν αὐτῶν καὶ τοῦ θέλειν, αἰτίαν πάλιν ἑτέραν ζητοίης. τὸ γὰρ κακὸν οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ παρακοῦσαι Θεοῦ. πόθεν οὖν τοῦτο, φησίν, εὗρεν ἄνθρωπος; ἔργον ″ἆρα ἦν τοῦτο εὑρεῖν, εἰπέ μοι; οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ὅτι δύσκολον τοῦτο. ἀλλὰ πόθεν ἠθέλησε παρακοῦσαι Θεοῦ; ἀπὸ ῥαθυμίας. κύριος γὰρ ὢν ἑκατέρων, πρὸς τοῦτο μᾶλλον ἀπέκλινεν. εἰ δὲ ἀπορεῖς ἔτι καὶ ἰλιγγιᾷς ταῦτα ἀκούων, ἐγώ σε ἐρήσομαι οὐδὲν δυσχερὲς οὐδὲ ποικίλον, ἀλλὰ ἁπλοῦν τινα καὶ σαφῆ λόγον. γέγονάς ποτε κακός, γέγονας δὲ ποτὲ καὶ ἀγαθός; ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. ἐκράτησάς ποτε πάθους, καὶ ἑάλως πάλιν ὑπὸ πάθους; περιέπεσες μέθῃ, καὶ ἐκράτησας μέθης; ὠργίσθης ποτέ, καὶ οὐκ ὠργίσθης; ″παρεῖδες πένητα, καὶ οὐ ″παρεῖδες; ἐπόρνευσάς ποτε, καὶ ἐσωφρόνησας πάλιν; πόθεν οὖν ταῦτα πάντα, εἰπέ μοι; πόθεν; ὅτι (κἂν γὰρ αὐτὸς οὐ λέγῃς, ἐγὼ ἐρῶ) ὅτι ″τὸ μὲν ἐσπούδασας ″καὶ συνέτεινας σεαυτόν, μετὰ δὲ ταῦτα ἐξελύθης καὶ ἐρραθύμησας. τοῖς μὲν γὰρ ἀπεγνωσμένοις καὶ δι' ὅλου οὖσιν ἐν κακίᾳ καὶ ἀναισθήτως ἔχουσι καὶ μαινομένοις καὶ οὐκ ἐθέλουσιν οὐδὲ ἀκοῦσαι τὰ διορθοῦντα αὐτούς, ″οὐδὲ διαλέξομαι περὶ φιλοσοφίας· τοῖς δὲ ποτὲ μὲν ἐν τούτῳ, ποτὲ δὲ ἐν ἐκείνῳ γινομένοις ἡδέως ἐρῶ· ἥρπασάς ποτε μὲν τὰ μὴ προσήκοντα, μετὰ δὲ ταῦτα κατακλασθεὶς ὑπὸ ἐλέου καὶ τὴν σαυτοῦ μετέδωκας τῷ δεομένῳ; πόθεν οὖν αὕτη ἡ μεταβολή; οὐκ εὔδηλον ὅτι ἀπὸ τῆς γνώμης καὶ τῆς προαιρέσεως; εὔδηλον· καὶ οὐκ ἔστιν ὅστις οὐκ ἂν εἴποι τοῦτο. διὸ παρακαλῶ σπουδάζειν καὶ ἀρετῆς ἔχεσθαι, καὶ οὐδὲν δεήσεσθε τὴν ζητη-

μάτ

γρ. ὁμοίως

γρ. φιλονεικ

γρ. αὐτή

γρ. ἀγένητ

γρ. ἀναιρ

γρ. ὁμογ

γρ. ὁμήλικ

γρ. ἦν

γρ.

γρ.

ἴσ. ποτὲ

γρ. συν

γρ. οὐ

μετὰ τούτων. τὰ γὰρ κακὰ, ὀνόματά ἐστι μόνον, ἐὰν θέλωμεν. μὴ τοίνυν ζήτει, πόθεν τὰ κακά, μηδὲ διαπόρει· ἀλλ᾽ εὑρὼν ὅτι ἀπὸ ῥαθυμίας μόνης, φεῦγε τὰ κακά. κἂν εἴπῃ τις, ὅτι οὐ παρ᾽ ἡμῖν ταῦτα· ὅταν ἴδῃς ὀργιζόμενον οἰκέτῃ καὶ παροξυνόμενον γυναικὶ καὶ ἐγκαλοῦντα παιδὶ καὶ καταγινώσκοντα τῶν ἀδικούντων, εἰπὲ πρὸς αὐτόν· πῶς οὖν ἔλεγες, ὅτι οὐ παρ᾽ ἡμῖν τὰ κακά; εἰ γὰρ οὐ παρ᾽ ἡμῖν, τίνος ἕνεκα ἐγκαλεῖς; εἰπὲ πάλιν, ἀπὸ σαυτοῦ λοιδορεῖς καὶ ὑβρίζεις; εἰ μὲν γὰρ οὐκ ἀπὸ σαυτοῦ, μηδεὶς σοι ὀργιζέσθω· εἰ δὲ ἀπὸ σαυτοῦ, ἀπὸ σοῦ καὶ ἀπὸ τῆς ῥαθυμίας τῆς σῆς τὰ κακά. τί δαί; νομίζεις εἶναί τινας ἀγαθούς; εἰ μὲν γὰρ μηδεὶς ἀγαθός, πόθεν σοι τὸ ὄνομα τοῦτο; πόθεν σοι οἱ ἔπαινοι; εἰ δέ εἰσιν ἀγαθοί, εὔδηλον ὅτι καὶ τοῖς πονηροῖς ἐπιτιμήσουσιν. ἀλλ᾽ εἰ μή τις ἐστὶν ἑκὼν πονηρὸς μηδὲ παρ᾽ ἑαυτοῦ, ἀδίκως εὑρεθήσονται ἐπιτιμῶντες οἱ ἀγαθοὶ τοῖς κακοῖς, καὶ ἔσονται καὶ αὐτοὶ ταύτῃ κακοὶ πάλιν. τί γὰρ ἂν κάκιον γένοιτ᾽ ἂν τοῦ τὸν ἀνεύθυνον ὑποβάλλειν ἐγκλήμασιν; εἰ δὲ μένουσιν ἀγαθοὶ καὶ ἐπιτιμῶντες, καὶ τοῦτο μάλιστα τῆς ἀγαθότητος αὐτῶν δεῖγμα, καὶ τοῖς σφόδρα ἀνοήτοις κἀντεῦθεν δῆλον, ὅτι οὐδεὶς οὐδέποτε ἀνάγκῃ κακός. εἰ δὲ καὶ μετὰ ταῦτα πάντα ζητοίης, πόθεν τὰ κακά, ἀπὸ ῥαθυμίας εἴποιμ᾽ ἄν, ἀπὸ ἀργίας, ἀπὸ τοῦ πονηροῖς συγγίνεσθαι, ἀπὸ τοῦ καταφρονεῖν ἀρετῆς. ἐντεῦθεν καὶ τὰ κακά, καὶ τὸ ζητεῖν τινας, πόθεν τὰ κακά· ὡς τῶν γε κατορθούντων οὐδεὶς ταῦτα ἐπιζητεῖ, τῶν ἐπιεικῶς καὶ σωφρόνως ζῆν προαιρουμένων. ἀλλ᾽ οἱ πονηρὰ τολμῶντες καὶ ῥαθυμίαν τινὰ ἀνόητον διὰ τούτων βουλόμενοι τῶν λόγων ἐπινοεῖν, ἀραχνῶν ὑφάσματα πλέκουσιν. ἀλλ᾽ ἡμεῖς ταῦτα μὴ διὰ λόγων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων διαῤῥήξωμεν. οὐδὲ γὰρ ἀνάγκης ἐστὶ ταῦτα. εἰ γὰρ ἀνάγκης ἦν, οὐκ ἂν εἶπεν· οὐαὶ τῷ ἀνθρώπῳ, δι᾽ οὗ τὰ σκάνδαλα ἔρχεται. ἐκείνους γὰρ μόνους ταλανίζει, τοὺς ἐκ προαιρέσεως πονηρούς. εἰ δὲ, δι᾽ οὗ, λέγει, μὴ θαυμάσῃς. οὐ γὰρ ὡς ἑτέρου δι᾽ αὐτοῦ εἰσάγοντος τοῦτό φησιν, ἀλλ᾽ ὡς αὐτοῦ τὸ πᾶν κατασκευάζοντος. οἶδε γὰρ τὸ δι᾽ οὗ, τὸ ὑφ᾽ οὗ λέγειν ἡ γραφή· ὡς ὅταν λέγῃ, Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον τιθεῖσα. καὶ πάλιν· οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; καὶ, Πιστὸς ὁ Θεός, δι᾽ οὗ ἐκλήθημεν εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. καὶ ἵνα μάθῃς ὅτι οὐκ εἰσὶν ἀνάγκης, ἄκουσον καὶ τῶν ἑξῆς. μετὰ γὰρ τὸ ταλανίζειν φησίν·

Γεν. δ. α.

α. Κορ. α. θ.

8 Εἰ ἡ χείρ σου, ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ καὶ ἔκβαλε ἀπὸ σοῦ. καλὸν γάρ σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

9 Καὶ εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ. καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν ζωήν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν κάμινον τοῦ πυρός·

Οὐ περὶ μελῶν ταῦτα λέγων (ἄπαγε) ἀλλὰ περὶ φίλων, περὶ τῶν προσηκόντων, οὓς ἐν τάξει μελῶν ἔχομεν ἀναγκαίων. τοῦτο καὶ ἀνωτέρω εἴρηκε, καὶ νῦν λέγει. οὐδὲν γὰρ οὕτω βλαβερόν, ὡς συνουσία πονηρά. ὅσα γὰρ ἀνάγκη μὴ δύναται, δύναται φιλία πολλάκις καὶ εἰς βλάβην καὶ εἰς ὠφέλειαν. διὸ μετὰ πολλῆς τῆς σφοδρότητος τοὺς βλάπτοντας ἡμᾶς ἐκκόπτειν κελεύει, τούτους αἰνιττόμενος τοὺς τὰ σκάνδαλα φέροντας. εἶδες πῶς τὴν ἐσομένην ἐκ τῶν σκανδάλων ἀνεκρούσατο βλάβην τῷ προειπεῖν ὅτι πάντως ἔσται, ὥστε μηδένα ἐν ῥαθυμίᾳ εὑρεῖν, ἀλλὰ προσδοκῶντας αὐτὰ νήφειν, τῷ δεῖξαι μεγάλα ὄντα κακά; οὐ γὰρ ἂν ἁπλῶς εἶπεν, οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων, ἀλλὰ δεικνὺς μεγάλην τὴν ἐξ αὐτῶν λύμην, τῷ [δὲ] ταλανίσαι πάλιν τὸν εἰσάγοντα αὐτά, μείζονα δείκνυσιν ἐντεῦθεν τὴν βλάβην. τὸ γὰρ εἰπεῖν, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, πολλὴν δεικνύντος ἦν τὴν τιμωρίαν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῇ τοῦ παραδείγματος προσθήκῃ ηὔξησε τὸν φόβον. εἶτα οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ δείκνυσι τὴν ὁδόν, δι᾽ ἧς ἄν τις διαφύγοι τὰ σκάνδαλα. τίς δὲ ἐστὶν αὕτη; τοὺς πονηροὺς, φησὶ, κἂν σφόδρα σοι φίλοι ὦσιν, ἀπότεμνε τῆς φιλίας. καὶ λέγει λογισμὸν ἀναντίρρητον. ἂν μὲν γὰρ μένωσι φίλοι, οὔτε αὐτοὺς κερδανεῖς, καὶ σαυτὸν προσαπολεῖς· ἂν δὲ ἀποτέμνῃς, τὴν γοῦν σαυτοῦ σωτηρίαν καρπώσῃ. ὥστε εἴ τινός σε φιλία βλάπτει, ἔκκοπτε ἀπὸ σοῦ. εἰ γὰρ τῶν ἡμετέρων μελῶν πολλάκις ἀποτέμνομεν, ὅταν αὐτά τε ἀνιάτως ἔχῃ καὶ τοῖς λοιποῖς λυμαίνηται), πολλῷ μᾶλλον ἐπὶ φίλων τοῦτο ποιεῖν χρή. εἰ δὲ φύσει ἦν τὰ κακὰ, περιττὴ πᾶσα αὕτη ἡ παραίνεσις καὶ ἡ συμβουλὴ, περιττὴ ἡ διὰ τῶν εἰρημένων φυλακή. εἰ δὲ οὐ περιττὴ, ὥσπερ οὖν οὐδὲ περιττὴ, εὔδηλον ὅτι γνώμης ἡ πονηρία.

10 Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Μικροὺς οὐ τοὺς ἀληθῶς μικροὺς καλεῖ, ἀλλὰ τοὺς νομιζομένους παρὰ τοῖς πολλοῖς, τοὺς πτωχοὺς, τοὺς εὐκαταφρονήτους, τοὺς ἀγνῶτας. πῶς γὰρ ἂν εἴη μικρὸς, ὁ τοῦ κόσμου παντὸς ἀντάξιος; πῶς ἂν εἴη μικρὸς, ὁ τῷ Θεῷ φίλος; ἀλλὰ τοὺς παρὰ τῇ τῶν πολλῶν ὑπονοίᾳ τοιούτους νομιζομένους. καὶ οὐ λέγει περὶ πολλῶν μόνον, ἀλλὰ κἂν περὶ ἑνὸς, κἀντεῦθεν πάλιν ἀποτειχίζων τὴν τῶν πολλῶν σκανδάλων βλάβην. ὥσπερ γὰρ τὸ φεύγειν τοὺς πονηροὺς, οὕτω τὸ τιμᾶν τοὺς χρηστοὺς κέρδος ἔχει μέγιστον· καὶ διπλῆ γένοιτ᾽ ἂν ἀσφάλεια τῷ προσέχοντι· μία μὲν ἐκ τοῦ τῶν σκανδαλιζόντων τὰς φιλίας ἐκτεμεῖν, ἑτέρα δὲ ἐκ τοῦ τοὺς ἁγίους τούτους ἔχειν ἐν θεραπείᾳ καὶ τιμῇ. εἶτα καὶ ἑτέρωθεν αὐτοὺς αἰδεσίμους ποιεῖ λέγων, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἐντεῦθεν δῆλον, ὅτι ἀγγέλους ἔχουσιν οἱ ἅγιοι ἐκεῖ πάντες. καὶ γὰρ ὁ ἀπόστολός φησι περὶ τῆς γυναικὸς, ὅτι ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους· καὶ Μωϋσῆς ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. ἐνταῦθα δὲ οὐ περὶ ἀγγέλων διαλέγεται μόνον, ἀλλὰ καὶ περὶ ἀγγέλων ὑπερεχόντων. ὅταν δὲ εἴπῃ, τὸ πρόσωπον τοῦ πατρός μου, οὐδὲν ἕτερον, ἢ τὴν πλείονα παρρησίαν λέγει καὶ τὴν πολλὴν τιμήν.

Δετ. λϐ. η.

11 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.

Πάλιν ἕτερον λογισμὸν τίθησι τοῦ προτέρου μείζονα, καὶ παραβολὴν συνάπτει, δι᾽ ἧς καὶ τὸν πατέρα εἰσάγει ταῦτα βουλόμενον.

12 Τί γὰρ ὑμῖν δοκεῖ, φησί; ἐὰν γένηταί τινι ἀνθρώπῳ πρόβατα ἑκατὸν, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενηκονταεννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς ζητεῖ τὸ πλανώμενον;

13 Καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις.

14 Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ὁρᾷς δι᾽ ὅσων ἡμᾶς ἐνάγει εἰς τὴν τῶν εὐτελῶν ἀδελφῶν ἐπιμέλειαν; μὴ τοίνυν εἴπῃς, χαλκότυπός ἐστιν ὁ δεῖνα, ὑποδηματοῤῥάφος, γεωργός ἐστιν, ἀνόητός ἐστι, καὶ καταφρονήσῃς. ἵνα γὰρ μὴ τοῦτο πάθῃς, ὅρα διὰ πόσων σε πείθει μετριάζειν, καὶ εἰς τὴν τούτων ἐπιμέλειαν ἐμβάλλει. ἔστησε παιδίον, καί φησι, γίνεσθε ὡς τὰ παιδία, καὶ, ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον, ἐμὲ δέχεται, καὶ ὃς ἐὰν σκανδαλίσῃ, τὰ ἔσχατα πείσεται. καὶ οὐδὲ ἠρκέσθη τῷ παραδείγματι τῷ τοῦ μύλου, ἀλλὰ καὶ τὸ οὐαὶ προσέθηκε, καὶ τοὺς τοιούτους ἐκτέμνειν ἐκέλευσε, κἂν ἐν τάξει χειρῶν ὦσι καὶ ὀφθαλμῶν ἡμῖν. καὶ ἀπὸ τῶν ἀγγέλων πάλιν τῶν ἐγκεχειρισμένων αὐτοὺς, τούτους τοὺς εὐτελεῖς ἀδελφοὺς αἰδεσίμους ποιεῖ, καὶ ἀπὸ τοῦ οἰκείου θελήματος καὶ πάθους (ὅταν γὰρ εἴπῃ, ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλὸς, καὶ τὸν σταυρὸν δηλοῖ, καθάπερ καὶ Παῦλός φησι, περὶ τοῦ ἀδελφοῦ λέγων, δι᾽ ὃν Χριστὸς ἀπέθανε) καὶ ἀπὸ τοῦ πατρὸς, ὅτι οὐδὲ αὐτῷ δοκεῖ ἀπολέσθαι, καὶ ἀπὸ τῆς κοινῆς συνηθείας, ὅτι καταλιπὼν τὰ σεσωσμένα ὁ ποιμὴν ζητεῖ τὸ ἀπολλύμενον, καὶ ὅταν εὕρῃ τὸ πεπλανημένον,

πλανημένον, σφόδρα ἥδεται τῇ εὑρέσει καὶ τῇ σωτηρίᾳ τούτου. Εἰ τοίνυν ὁ Θεὸς οὕτω χαίρει ἐπὶ τῷ μικρῷ τῷ εὑρεθέντι, πῶς σὺ καταφρονεῖς τῶν τῷ Θεῷ περισπουδάστων, δέον καὶ τὴν ψυχὴν αὐτὴν προέσθαι ὑπὲρ ἑνὸς τῶν μικρῶν τούτων; ἀλλ' ἀσθενής ἐστι καὶ εὐτελής; δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα δεῖ πάντα ποιεῖν, ὥστε αὐτὸν διασώζειν. καὶ γὰρ καὶ αὐτὸς τὰ ἐνενηκονταεννέα ἀφεὶς πρόβατα, ἐπ' ἐκεῖνο ἦλθε, καὶ οὐκ ἴσχυσε τῶν τοσούτων ἡ σωτηρία συσκιάσαι τοῦ ἑνὸς τὴν ἀπώλειαν. ὁ δὲ Λουκᾶς, ὅτι καὶ ἐπὶ τῶν ὤμων ἐνήνεγκε, φησι· καὶ μείζων γίνεται χαρὰ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενηκονταεννέα δικαίοις. καὶ ἀπὸ τοῦ ἐγκαταλιπεῖν τὰ σεσωσμένα δι' αὐτὸ, καὶ ἀπὸ τοῦ μᾶλλον ἐπὶ τούτῳ ἡσθῆναι, πολλὴν ἔδειξε τὴν περὶ αὐτοῦ σπουδήν. μὴ δὴ οὖν ἀμελῶμεν τῶν ψυχῶν τῶν τοιούτων. καὶ γὰρ πάντα ταῦτα διὰ τοῦτο εἴρηται. τῷ μὲν γὰρ ἀπειλῆσαι μηδ' ὅλως ἐπιβήσεσθαι τῶν οὐρανῶν τὸν μὴ γινόμενον παιδίον, καὶ τῷ μύλου μνησθῆναι, τὸν τῦφον κατήνεγκε τῶν ἀλαζόνων. οὐδὲν γὰρ οὕτως ἀγάπῃ πολέμιον, ὡς ἀπόνοια. τῷ δὲ εἰπεῖν, ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα, ἐγρηγορέναι ἐποίησε· τῷ δὲ προσθεῖναι, οὐαὶ δι' οὗ τὸ σκάνδαλον ἔρχεται, ἕκαστον σπουδάζειν μὴ δι' αὐτοῦ γίνεσθαι παρεσκεύασε. καὶ τῷ μὲν κελεῦσαι ἐκκόψαι τοὺς σκανδαλίζοντας, εὔκολον τὴν σωτηρίαν ἐποίησε· τῷ δὲ ἐπιτάξαι μὴ καταφρονεῖν αὐτῶν, καὶ μηδὲ ἁπλῶς ἐπιτάξαι, ἀλλὰ σφοδρῶς (ὁρᾶτε γάρ, φησι, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων) καὶ τῷ εἰπεῖν ὅτι οἱ ἄγγελοι αὐτῶν βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, καὶ ὅτι διὰ τοῦτο ἦλθον ἐγὼ, καὶ ὅτι ὁ πατήρ μου τοῦτο βούλεται, τοὺς ὀφείλοντας αὐτῶν ἐπιμελεῖσθαι σπουδαιοτέρους ἐποίησεν. ὁρᾷς ὅσον τεῖχος αὐτοῖς περιήλασε, καὶ πόσην τῶν εὐκαταφρονήτων καὶ τῶν ἀπολλυμένων ποιεῖται σπουδὴν, ἀπειλῶν τε ἀνήκεστα κακὰ τοῖς ὑποσκελίζουσιν αὐτοὺς, καὶ μεγάλα ἐπαγγελλόμενος ἀγαθὰ τοῖς θεραπεύουσι καὶ ἐπιμελουμένοις αὐτῶν, καὶ παρ' ἑαυτοῦ πάλιν τὸ ὑπόδειγμα φέρων καὶ παρὰ τοῦ πατρός;

Λυκ. 18.

ΗΘΙΚΟΝ

Τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, μηδὲν παραιτούμενοι τῶν δοκούντων εἶναι ταπεινῶν τε καὶ μοχθηρῶν ὑπὲρ τῶν ἀδελφῶν· ἀλλὰ ἐὰν διακονεῖσθαι δέῃ, κἂν μικρὸς ᾖ, κἂν εὐτελὴς ὑπὲρ οὗ τοῦτο γίνεται, κἂν ἐπίπονον τὸ πρᾶγμα ᾖ, κἂν ὄρη καὶ κρημνοὺς διαβαίνειν χρὴ, πάντα ἔστω φορητὰ διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ. οὕτω γὰρ περισπούδαστον ψυχὴ Θεῷ, ὡς μηδὲ τοῦ ἰδίου υἱοῦ φείσασθαι. διὸ παρακαλῶ, εὐθὺς ὄρθρου φανέντος, εὐθέως ἐξιόντες ἀπὸ τῆς οἰκίας τοῦτον ἕνα σκοπὸν ἔχωμεν, καὶ ταύτην περὶ πάντων σπουδὴν, τὸ τὸν κινδυνεύοντα ἐξαρπάσαι· οὐ λέγω τοῦτον μόνον τὸν κίνδυνον τὸν αἰσθητὸν (οὗτος γὰρ οὐδὲ κίνδυνος) ἀλλὰ τὸν τῆς ψυχῆς, τὸν παρὰ τοῦ διαβόλου τοῖς ἀνθρώποις ἐπιφερόμενον. καὶ γὰρ ὁ ἔμπορος, ὥστε αὐξῆσαι τὴν περιουσίαν, πέλαγος διαβαίνει· καὶ ὁ χειροτέχνης, ὥστε προσθεῖναι τοῖς ὑπάρχουσι, πάντα ποιεῖ. καὶ ἡμεῖς τοίνυν μὴ τῇ σωτηρίᾳ μόνον ἀρκώμεθα τῇ ἡμετέρᾳ, ἐπεὶ καὶ ταύτῃ λυμανούμεθα. καὶ γὰρ ἐν πολέμῳ καὶ παρατάξει ὁ πρὸς τοῦτο μόνον ὁρῶν στρατιώτης, ὅπως ἑαυτὸν διασώσειεν ἐκφυγὼν, καὶ τοὺς ἄλλους μεθ' ἑαυτοῦ προσαπόλλυσιν· ὥσπερ οὖν ὁ γενναῖος καὶ ὑπὲρ τῶν ἄλλων τὰ ὅπλα τιθέμενος, μετὰ τῶν ἄλλων καὶ ἑαυτὸν διασώζει. ἐπεὶ οὖν καὶ τὰ ἡμέτερα πόλεμος, καὶ πολέμων ἁπάντων ὁ πικρότατος, καὶ παράταξις καὶ μάχη, ὡς ὁ βασιλεὺς ἡμῶν ἐκέλευσεν, οὕτω τασσώμεθα ἐπὶ τῆς παρατάξεως, πρὸς σφαγὰς καὶ αἵματα καὶ φόνους παρεσκευασμένοι, πρὸς τὴν ὑπὲρ ἁπάντων σωτηρίαν βλέποντες, καὶ τοὺς ἑστηκότας ἀλείφοντες, καὶ τοὺς κειμένους ἐγείροντες. καὶ γὰρ πολλοὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων ἐν ταύτῃ κεῖνται τῇ παρατάξει τραύματα ἔχοντες καὶ αἵματι περιρρεόμενοι, καὶ ὁ θεραπεύων οὐδεὶς, οὐ τοῦ λαοῦ τις, οὐχ ἱερεὺς, οὐκ ἄλλος οὐδεὶς, οὐ παραστάτης, οὐ φίλος, οὐκ ἀδελφός· ἀλλὰ τὰ ἑαυτῶν σκοποῦμεν ἕκαστος. διὰ τοῦτο καὶ τὰ ἑαυτῶν κολοβούμεθα. ἡ γὰρ μεγίστη παρρησία καὶ ἡ εὐδοκίμησις, τὸ μὴ τὰ ἑαυτοῦ σκοπεῖν. διά τοι τοῦτο ἀσθενεῖς καὶ εὐκαταγώνιστοι καὶ ἀνθρώποις καὶ διαβόλῳ, ὅτι τὸ ἐναντίον τούτου ζητοῦμεν, καὶ οὐ συνασπί-

ζομεν ἀλλήλοις, οὐδὲ περιφράγμεθα τῇ κατὰ Θεὸν ἀγάπῃ, ἀλλ᾽ ἑτέρας ἑαυτοῖς ἐπιζητοῦμεν
φιλίας προφάσεις, οἱ μὲν ἀπὸ συγγενείας, οἱ δὲ ἀπὸ συνηθείας, οἱ δὲ ἀπὸ κοινωνίας, οἱ
δὲ ἀπὸ γειτνιάσεως, καὶ πάντοθεν μᾶλλόν ἐσμεν φίλοι, ἢ ἀπὸ εὐσεβείας, δέον ἐκ ταύτης μόνης
συνάπτεσθαι τὰς φιλίας. νῦν δὲ τοὐναντίον*, Ἰουδαίοις καὶ Ἕλλησίν ἐστιν ὅπου γινόμεθα φίλοι, * γίνετ
ἢ τοῖς τῆς ἐκκλησίας τέκνοις. ναί, φησιν· ὁ μὲν γάρ ἐστι μοχθηρός, ὁ δὲ χρηστὸς καὶ ἐπιεικής.
τί λέγεις; μοχθηρὸν τὸν ἀδελφὸν καλεῖς, ὁ μηδὲ ῥακὰ καλεῖν κελευόμενος; καὶ οὐκ αἰσχύνῃ
οὐδὲ ἐρυθριᾷς ἐκπομπεύων τὸν ἀδελφόν; τὸ μέλος τὸ σόν; τὸν τῶν αὐτῶν σοι κοινωνήσαντα
ὠδίνων; τὸν τῆς αὐτῆς μετασχόντα τραπέζης; ἀλλ᾽ εἰ μέν τινα κατὰ σάρκα ἀδελφὸν ἔχεις,
κἂν μυρία ἐργάζηται κακά, σπουδάζεις αὐτὸν περιστέλλειν, καὶ νομίζεις καὶ αὐτὸς τῆς αἰσχύνης
κοινωνεῖν, ἐκείνου καταισχυνομένου· τὸν δὲ πνευματικὸν ἀδελφόν, δέον ἐλευθερῶσαι διαβολῆς,
σὺ δὲ καὶ μυρίαις περιβάλλεις κατηγορίαις*. μοχθηρὸς γάρ ἐστι καὶ δυσανάσχετος, φησιν. οὐκοῦν
διὰ τοῦτο γενοῦ φίλος, ἵνα παύσῃς ὄντα τοιοῦτον, ἵνα μεταβάλῃς, ἵνα ἐπαναγάγῃς ἐπὶ τὴν ἀρετήν.
ἀλλ᾽ οὐ πείθεται, φησιν, οὐδὲ ἀνέχεται τῆς συμβουλῆς. πόθεν οἶσθα; παρῄνεσας γὰρ καὶ
διορθῶσαι ἐπεχείρησας; παρῄνεσα πολλάκις, φησί. ποσάκις; πολλάκις, καὶ ἅπαξ καὶ δεύτερον.
βαβαί, τοῦτο ἐστὶ τὸ πολλάκις; εἰ γὰρ διὰ παντὸς τοῦτο ἐποίεις τοῦ χρόνου, κάμνειν ἐχρῆν
καὶ ἀπαγορεῦσαι; οὐχ ὁρᾷς πῶς διὰ παντὸς ὁ Θεὸς ἡμῖν παραινεῖ; διὰ τῶν προφητῶν,
διὰ τῶν ἀποστόλων, διὰ τῶν εὐαγγελιστῶν; τί οὖν; πάντα κατωρθώσαμεν καὶ πάντα
ἐπείσθημεν; οὐδαμῶς. ἆρ᾽ οὖν ἐπαύσατο παραινῶν; ἆρα ἐσίγησεν; οὐ καθ᾽ ἑκάστην λέγει
τὴν ἡμέραν, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, καὶ αὔξεται* πολλοῖς τῶν χρημάτων * ἀξ
Λουκ. ις. ιγ. Ματθ. ς. κδ. ἡ περιουσία καὶ ἡ τυραννίς; οὐ καθ᾽ ἑκάστην βοᾷ· ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν, καὶ ἡμεῖς ἐκθηριούμεθα
μᾶλλον; οὐ διὰ παντὸς παραινεῖ κρατεῖν ἐπιθυμίας, καὶ εἶναι κρείττους ἡδονῆς πονηρᾶς;
πολλοὶ δὲ χοίρων μᾶλλον ἐγκαλινδοῦνται τῇ ἁμαρτίᾳ ταύτῃ· ἀλλ᾽ ὅμως οὐ παύεται
λέγων. τίνος οὖν ἕνεκα μὴ ταῦτα πρὸς ἑαυτοὺς λογιζόμεθα καὶ λέγομεν, ὅτι καὶ ἡμῖν ὁ Θεὸς
διαλέγεται, καὶ οὐκ ἀφίσταται τοῦτο ποιῶν, καίτοι πολλὰ παρακουόντων ἡμῶν; διὰ ταῦτα
ἔλεγον, ὅτι ὀλίγοι οἱ σωζόμενοι. εἰ γὰρ οὐκ ἀρκεῖ εἰς σωτηρίαν ἡμῖν ἡ καθ᾽ ἡμᾶς αὐτοὺς
ἀρετή, ἀλλὰ δεῖ καὶ ἑτέρους ἔχοντας ἀπελθεῖν, ὅταν μήτε ἑαυτοὺς μήτε ἑτέρους διασώσωμεν,
τί πεισόμεθα; πόθεν ἐλπίδα λοιπὸν σωτηρίας ἕξομεν; ἀλλὰ τί ταῦτα ἐγκαλῶ,
ὅταν μηδὲ τῶν συνοικούντων λόγον τινὰ ποιώμεθα, γυναικὸς καὶ παίδων καὶ οἰκετῶν, ἀλλ᾽
ἕτερα ἀνθ᾽ ἑτέρων μεριμνῶμεν, καθάπερ οἱ μεθύοντες, ὅπως οἱ μὲν οἰκέται πλείους γένοιντο,
καὶ μετὰ πολλῆς τῆς σπουδῆς ἡμῖν διακονήσαιεν, οἱ δὲ παῖδες πολὺν παρ᾽ ἡμῶν δέξαιντο
κλῆρον, ἡ δὲ γυνὴ χρυσία φοροίη καὶ ἱμάτια πολυτελῆ καὶ κτήματα; καὶ μηδαμοῦ ἑαυτῶν
φροντίζομεν, ἢ προνοοῦμεν, ἀλλὰ τῶν τῆς γυναικός, οὔτε τοῦ παιδίου, ἀλλὰ τῶν τοῦ παιδίου. καὶ
ταὐτὸν ποιοῦμεν, οἷον ἂν εἴ τις οἰκίαν ὁρῶν κακῶς διακειμένην καὶ τοὺς τοίχους κλινομένους,
ἀφεὶς ἀναστῆσαι τούτους, περιβόλους αὐτῇ μεγάλους ἔξωθεν κατασκευάζοι· ἢ σώματος ἠσθενηκότος,
τούτου μὲν μὴ ἐπιμελοῖτο, ἱμάτια δὲ αὐτῷ χρυσᾶ ὑφαίνοι· ἢ τῆς δεσποίνης κακῶς διακειμένης
θεραπαινίδων καὶ ἱστῶν καὶ τῶν κατὰ τὴν οἰκίαν σκευῶν καὶ τῶν ἄλλων ἐπιμελοῖτο, ἐκείνην
ἀφεὶς ἐρρῖφθαι καὶ οἰμώζειν. τοῦτο γὰρ καὶ νῦν γίνεται· καὶ τῆς ψυχῆς ἡμῖν κακῶς διακειμένης
καὶ ἀθλίως, καὶ θυμουμένης καὶ λοιδορουμένης καὶ ἐπιθυμούσης ἀτόπως, καὶ κενοδοξούσης
καὶ στασιαζούσης καὶ πρὸς γῆν συρομένης καὶ ὑπὸ θηρίων τοσούτων σπαραττομένης, ἀφέντες
αὐτῆς ἀπελάσαι τὰ πάθη, οἰκίας καὶ οἰκετῶν φροντίζομεν. καὶ εἰ μὲν ἄρκτος λαθοῦσα ἀποφύγοι,
τὰς οἰκίας ἀποκλείομεν, καὶ κατὰ τοὺς στενωποὺς τρέχομεν, ὥστε μὴ περιπεσεῖν τῷ
θηρίῳ· νυνὶ δὲ οὐχ ἑνὸς θηρίου, ἀλλὰ πολλῶν ἡμῖν λογισμῶν τοιούτων τὴν ψυχὴν σπαραττόντων
οὐδὲ αἴσθησιν λαμβάνομεν. καὶ ἐν μὲν τῇ πόλει τοσαύτην ποιούμεθα σπουδήν, ὡς
ἐν ἐρήμῳ τόπῳ καὶ ἐν γαλεάγραις καθείργειν τὰ θηρία, καὶ οὔτε πρὸς τῷ βουλευτηρίῳ τῆς
πόλεως,

πόλεως, οὔτε πρὸς τοῖς δικαστηρίοις, οὔτε πρὸς τοῖς βασιλείοις, ἀλλὰ πόρρω που καὶ μακρὰν δεδεμένα κατέχουσιν· ἐπὶ δὲ τῆς ψυχῆς, ἔνθα τὸ βουλευτήριον, ἔνθα τὰ βασίλεια, ἔνθα τὸ δικαστήριον, ἀνεῖσι τὰ θηρία περὶ τὸν νοῦν αὐτὸν καὶ τὸν θρόνον τὸν βασιλικὸν κράζοντα καὶ θορυβοῦντα. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, καὶ πάντα μεστὰ ταραχῆς, τὰ ἔνδον, τὰ ἔξω, καὶ οὐδὲν διεστήκαμεν ἕκαστος ἡμῶν πόλεως ὑπὸ καταδρομῆς βαρβάρων θορυβουμένης· καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἰ δράκοντος νεοττιᾷ στρουθῶν ἐπιτιθεμένου, πανταχοῦ τρίζοντες οἱ στρουθοὶ πέτοιντο φοβούμενοι καὶ ταραχῆς γέμοντες, οὐκ ἔχοντες δὲ ὅποι καταλύσωσι τὴν ἀγωνίαν. διὸ παρακαλῶ, τὸν δράκοντα ἀνέλωμεν, συγκλείσωμεν τὰ θηρία, ἀποπνίξωμεν, κατασφάξωμεν· καὶ τοὺς πονηροὺς τούτους λογισμοὺς τῇ μαχαίρᾳ τοῦ πνεύματος παραδῶμεν, ἵνα μὴ καὶ ἡμῖν ἀπειλῇ τοιαῦτα ὁ προφήτης, οἷα καὶ τῇ Ἰουδαίᾳ· Ὅτι ὀνοκένταυροι ἐκεῖ ὀρχήσονται καὶ ἐχῖνοι καὶ δράκοντες. εἰσὶ γάρ, εἰσὶ καὶ ἄνθρωποι ὀνοκενταύρων χείρους, καθάπερ ἐν ἐρημίᾳ ζῶντες καὶ λακτίζοντες· καὶ τὸ πλέον τῆς νεότητος παρ' ἡμῖν τοιοῦτον. καὶ γὰρ ἀγρίας ἔχοντες ἐπιθυμίας οὕτω πηδῶσιν, οὕτω λακτίζουσιν, ἀχαλίνωτοι περιϊόντες, καὶ τῇ σπουδῇ πρὸς οὐδὲν τῶν δεόντων χρώμενοι. αἴτιοι δὲ οἱ πατέρες, οἱ τοὺς μὲν πωλοδάμνας ἀναγκάζουσι τοὺς ἵππους τοὺς ἑαυτῶν ῥυθμίζειν μετὰ πολλῆς τῆς ἐπιμελείας, καὶ οὐκ ἀφιᾶσιν ἐπὶ πολὺ τὸν πῶλον τὴν ἡλικίαν ἀδάμαστον προελθεῖν, ἀλλὰ καὶ χαλινόν, καὶ τἄλλα πάντα ἐπιτιθέασιν ἐκ προοιμίων, τοὺς δὲ αὐτῶν νέους ἐπὶ πολὺ περιορῶσιν ἀχαλινώτους περιϊόντας, σωφροσύνης ἐρήμους, πορνείαις καὶ κύβοις καὶ ταῖς ἐν τοῖς παρανόμοις θεάτροις διατριβαῖς καταισχυνομένους· δέον πρὸ τῆς πορνείας γυναικὶ παραδοῦναι, γυναικὶ σώφρονι καὶ σοφωτάτῃ. αὕτη γὰρ καὶ τῆς ἀτοπωτάτης ἀπάξει διατριβῆς τὸν ἄνδρα, καὶ ἀντὶ χαλινοῦ τῷ πώλῳ γενήσεται. οὐδὲ γὰρ ἑτέρωθεν αἱ πορνεῖαι καὶ αἱ μοιχεῖαι, ἀλλ' ἐκ τοῦ ἀφέτους εἶναι τοὺς νέους. ἂν γὰρ γυναῖκα ἔχῃ συνετήν, καὶ οἰκίας ἐπιμελήσεται καὶ δόξης καὶ ὑπολήψεως. ἀλλὰ νέος ἐστί, φησιν. οἶδα κἀγώ. εἰ γὰρ ὁ Ἰσαὰκ τεσσαράκοντα ἐτῶν ὢν τὴν νύμφην ἤγαγεν, ἐν παρθενίᾳ τὴν ἡλικίαν πᾶσαν ἄγων, πολλῷ μᾶλλον τοὺς ἐν τῇ χάριτι νέους τὴν φιλοσοφίαν ταύτην ἀσκεῖν ἔδει. ἀλλὰ τί πάθω; οὐκ ἀνέχεσθε τῆς σωφροσύνης αὐτῶν ἐπιμεληθῆναι, ἀλλὰ περιορᾶτε καταισχυνομένους, μολυνομένους, ἐναγεῖς γινομένους, οὐκ εἰδότες ὅτι γάμου κέρδος, τὸ καθαρὸν διατηρῆσαι τὸ σῶμα. κἂν τοῦτο μὴ ᾖ, οὐδὲν ὄφελος γάμου. ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε. ὅταν μυρίων ἐμπλησθῶσι κηλίδων, τότε αὐτοὺς ἐπὶ γάμον ἄγετε, εἰκῇ καὶ μάτην. δεῖ γὰρ ἀναμεῖναι, φησίν, ἵνα εὐδόκιμος γένηται, ἵνα ἐν τοῖς πολιτικοῖς λάμψῃ πράγμασι· τῆς δὲ ψυχῆς ὑμῖν οὐδεὶς λόγος, ἀλλὰ περιορᾶτε αὐτὴν ἐρριμμένην. διὰ τοῦτο πάντα συγχύσεως γέμει καὶ ἀταξίας καὶ ταραχῆς, ὅτι πάρεργον αὕτη, ὅτι τὰ μὲν ἀναγκαῖα ἠμέληται, τὰ δὲ εὐτελῆ πολλῆς τυγχάνει προνοίας. οὐκ οἴδατε, ὅτι οὐδὲν τοιοῦτον χαριεῖ τῷ παιδί, ὡς τὸ φυλάξαι πορνικῆς ἀκαθαρσίας καθαρόν; ψυχῆς γὰρ ἴσον οὐδέν. Τί ὠφελεῖται ἄνθρωπος, φησίν, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἀλλὰ γὰρ πάντα ὁ τῶν χρημάτων ἔρως ἀνέτρεψε καὶ κατέβαλε, καὶ τὸν τοῦ Θεοῦ τὸν ἀκριβῆ φόβον παρώθησεν, ὥσπερ τις τύραννος ἀκρόπολιν, οὕτω τὰς τῶν ἀνθρώπων ψυχὰς καταλαβών. διὸ καὶ τῆς τῶν παίδων καὶ τῆς ἡμετέρας ἀμελοῦμεν σωτηρίας, ἓν μόνον σκοποῦντες, ὅπως εὐπορώτεροι γενόμενοι πλοῦτον ἑτέροις ἀφῶμεν, κἀκεῖνοι πάλιν ἄλλοις, καὶ οἱ μετ' ἐκείνους τοῖς μετ' αὐτούς, παραπομποί τινες τῶν ἡμετέρων γινόμενοι κτημάτων τε καὶ χρημάτων, ἀλλ' οὐ δεσπόται. ἐντεῦθεν πολλὴ ἡ ἄνοια, ἐντεῦθεν τῶν δούλων οἱ ἐλεύθεροι ἀτιμότεροι. τοῖς μὲν γὰρ δούλοις, εἰ καὶ μὴ δι' αὐτούς, ἀλλὰ δι' ἡμᾶς αὐτοὺς ἐπιτιμώμεθα· οἱ δὲ ἐλεύθεροι οὐδὲ ταύτης ἀπολαύουσι τῆς προνοίας, ἀλλὰ καὶ τούτων ἡμῖν εἰσιν εὐτελέστεροι. καὶ τί λέγω τῶν δούλων; καὶ γὰρ βοσκημάτων οἱ παῖδες ἀτιμότεροι, καὶ ὄνων καὶ ἵππων μᾶλλον ἐπιμελούμεθα, ἢ παίδων. κἂν μὲν ἡμιόνους τις ἔχῃ, πολλὴ ἡ φροντίς, ὥστε ὀνηλάτην εὑρεῖν ἄριστον, καὶ μήτε ἀγνώμονα, μὴ κλέπτην, μὴ μέθυσον, μὴ τῆς τέχνης ἄπειρον· ἂν δὲ ψυχῇ παιδὸς ἐπιστῆσαι δέῃ παιδαγωγόν, ἁπλῶς καὶ ὡς ἔτυχε τὸν ἐπελθόντα αἱρούμεθα.

Ησ. ιγ. κϐ.

Γεν. κε. κ.

Ματθ. ιϛ. κϛ.

ἀγρευόμεθα. καίτοιγε τῆς τέχνης ταύτης οὐκ ἔστιν ἄλλη μείζων. τί γὰρ ἴσον τοῦ ῥυθμίσαι ψυχὴν καὶ διαπλάσαι νέου διάνοιαν; καὶ γὰρ καὶ παντὸς ζωγράφου καὶ παντὸς ἀνδριαντοποιοῦ τὸν ταύτην ἔχοντα τὴν ἐπιστήμην ἀκριβέστερον διακεῖσθαι χρή. ἀλλ' ἡμεῖς οὐδένα τούτου ποιούμεθα λόγον, ἀλλ' ἓν ὁρῶμεν μόνον, ὅπως παιδευθῇ τὴν γλῶτταν· καὶ τοῦτο δὲ διὰ χρήματα πάλιν ἐσπουδάκαμεν. οὐ γὰρ ἵνα δύνηται λέγειν, ἀλλ' ἵνα χρηματίζηται, μανθάνει τὸ λέγειν· ὡς εἰ ἐξῆν καὶ χωρὶς τούτου πλουτεῖν, οὐδεὶς ἡμῖν ἦν οὐδὲ τούτου λόγος. εἶδες πόση τῶν χρημάτων ἡ τυραννίς; πῶς πάντα κατέχει, καὶ καθάπερ ἀνδράποδά τινα καὶ θρέμματα δήσασα ἕλκει ὅπουπερ ἂν θέλῃ; ἀλλὰ τί τὸ κέρδος ἀπὸ τῶν τοσούτων ἐγκλημάτων ἡμῖν; ἡμεῖς μὲν γὰρ τοῖς λόγοις αὐτὴν βάλλομεν, ἐκείνη δὲ τοῖς ἔργοις ἡμῶν κρατεῖ. πλὴν ἀλλ' οὐδὲ οὕτω παυσόμεθα τοῖς ἀπὸ τῆς γλώττης αὐτὴν βάλλοντες ῥήμασιν. ἂν μὲν γὰρ γένηταί τι πλέον, ἐκερδάναμεν καὶ ἡμεῖς καὶ ὑμεῖς· ἂν δὲ τοῖς αὐτοῖς ἐπιμένητε, τό γε ἡμέτερον ἅπαν ἀπήρτισται. ὁ δὲ Θεὸς καὶ ὑμᾶς ταύτης ἀπαλλάξειε τῆς νόσου, καὶ ἡμᾶς ἐφ' ὑμῖν καυχᾶσθαι παρασκευάσειεν· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξ. 15 ΕΑΝ ΑΜΑΡΤΗ ΕΙΣ ΣΕ Ο ΑΔΕΛΦΟΣ ΣΟΥ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ" μόνου. ἐὰν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

γρ. μόνων.

Ἐπειδὴ* σφοδρὸν κατέτεινε λόγον κατὰ τῶν σκανδαλιζόντων καὶ πανταχόθεν * γρ.
αὐτοὺς ἐφόβησεν, ἵνα μὴ ταύτῃ γίνωνται πάλιν ὕπτιοι οἱ σκανδαλιζόμενοι,
μηδὲ, τὸ πᾶν νομίζοντες ἐφ' ἑτέρους ἐρρίφθαι, εἰς ἑτέραν
κακίαν ἐξέλθωσι θρυπτόμενοι, καὶ πάντα θεραπεύεσθαι θέλοντες
* εἰς ἀπόνοιαν ἐξοκείλωσιν, ὅρα πῶς καὶ αὐτοὺς συστέλλει πάλιν, καὶ * καὶ
κελεύει τὸν ἔλεγχον μεταξὺ τῶν δύο γίνεσθαι μόνων, ἵνα μὴ τῇ τῶν
πλειόνων μαρτυρίᾳ βαρυτέραν ἐργάσηται τὴν κατηγορίαν, καὶ ἰταμώτερος γινόμενος ἐκεῖνος
δυσδιόρθωτος μείνῃ. διό φησι, μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. κἂν ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν
σου. τί ἐστι, ἐὰν ἀκούσῃ; ἐὰν καταγνῷ ἑαυτοῦ, ἐὰν πεισθῇ ὅτι ἥμαρτεν. ἐκέρδησας τὸν ἀδελφόν
σου. οὐκ εἶπεν, ἔχεις ἱκανὴν τιμωρίαν, ἀλλ' ἐκέρδησας τὸν ἀδελφόν σου, δεικνὺς ὅτι
κοινὴ ἡ ζημία ἀπὸ τῆς ἔχθρας. οὐ γὰρ εἶπεν, ἐκέρδησεν ἐκεῖνος ἑαυτὸν μόνον, ἀλλὰ καὶ σὺ
αὐτὸν ἐκέρδησας· δι' ὧν ἔδειξεν ὅτι καὶ αὐτὸς, κἀκεῖνος ἐζημιοῦντο πρὸ τούτου· ὁ μὲν τὸν ἀδελφόν,
ὁ δὲ τὴν οἰκείαν σωτηρίαν. τοῦτο καὶ ἡνίκα ἐπὶ τοῦ ὄρους ἐκάθητο, παρῄνει, ποτὲ μὲν τὸν
Ματθ. ε. κγ. λελυπηκότα πρὸς τὸν λυπηθέντα ἄγων καὶ λέγων· Ἐὰν τῷ θυσιαστηρίῳ παρεστὼς, ἐκεῖ μνησθῇς
ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, διαλλάγηθι τῷ ἀδελφῷ σου· ποτὲ δὲ τὸν ἠδικημένον
Ματθ. ς. ιβ. κελεύων ἀφεῖναι τῷ πλησίον. Ἄφες γὰρ ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ
ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, λέγειν ἐδίδαξεν. ἐνταῦθα δὲ καὶ ἕτερον ἐπινοεῖ τρόπον.
οὐ γὰρ τὸν λελυπηκότα, ἀλλὰ τὸν λυπηθέντα ἄγει πρὸς τοῦτον. ἐπειδὴ γὰρ ἐκεῖνος ὁ ἠδικηκὼς
οὐκ εὐκόλως ἂν ἔλθοι πρὸς ἀπολογίαν αἰσχυνόμενος καὶ ἐρυθριῶν, τοῦτον πρὸς
ἐκεῖνον ἕλκει, καὶ οὐχ ἁπλῶς, ἀλλ' ὥστε καὶ διορθῶσαι τὸ γεγενημένον. καὶ οὐ λέγει, κατηγόρησον,
οὐδὲ ἐπιτίμησον, οὐδὲ δίκας ἀπαίτησον καὶ εὐθύνας, ἀλλὰ ἔλεγξον, φησιν. αὐτὸς μὲν γὰρ, καθάπερ
τινὶ κάρῳ, τῷ θυμῷ καὶ τῇ αἰσχύνῃ κατέχεται μεθύων· δεῖ δέ σε τὸν ὑγιαίνοντα πρὸς ἐκεῖνον
τὸν νοσοῦντα ἀπελθεῖν, καὶ ἀδημοσίευτον ποιῆσαι τὸ δικαστήριον, καὶ εὐπαράδεκτον τὴν ἰατρείαν.
τὸ γὰρ εἰπεῖν, ἔλεγξον, οὐχ ἕτερόν τί ἐστιν, ἢ ἀνάμνησον τοῦ ἁμαρτήματος, εἰπὲ πρὸς αὐτὸν
ἅπερ ἔπαθες παρ' αὐτοῦ· ὅπερ καὶ αὐτὸ, ἐὰν ὡς χρὴ γίνηται, μέρος ἐστὶν ἀπολογουμένου καὶ

σφόδρα ἐφελκομένου πρὸς καταλλαγήν. τί οὖν ἐὰν ἀπειθῇ καὶ σκληρῶς διακέηται;

16 Παράλαβε μετὰ σεαυτοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων σταθῇ πᾶν ῥῆμα.

Ὅσῳ γὰρ ἀναιδέστερος εἴη καὶ ἰταμώτερος, τοσούτῳ μᾶλλον ἡμᾶς ἐπὶ τὴν ἰατρείαν σπεύδειν χρή, οὐκ ἐπὶ τὴν ὀργὴν καὶ τὴν ἀγανάκτησιν. καὶ γὰρ ἰατρὸς, ὅταν ἴδῃ τὸ πάθος δυσένδοτον, οὐκ ἀφίσταται οὐδὲ δυσχεραίνει, ἀλλὰ τότε μᾶλλον παρασκευάζεται, ὃ καὶ ἐνταῦθα ποιεῖν κελεύει. ἐπειδὴ γὰρ ἀσθενέστερος μόνος ὢν ἐφάνης, γενοῦ δυνατώτερος τῇ προσθήκῃ. καὶ γὰρ ἱκανοὶ οἱ δύο τὸν ἡμαρτηκότα ἐλέγξαι. ὁρᾷς ὡς οὐ τὸ τοῦ λελυπημένου ζητεῖ μόνον, ἀλλὰ καὶ τὸ τοῦ λελυπηκότος; ὁ γὰρ ἠδικημένος οὗτός ἐστιν ὁ ἁλοὺς ὑπὸ τοῦ πάθους, αὐτὸς ὁ νοσῶν καὶ ἀσθενῶν καὶ κάμνων. διὰ τοῦτο πολλάκις ἐκεῖνον πρὸς τοῦτον ἄγει, νῦν μὲν μόνον, νῦν δὲ μεθ' ἑτέρων· εἰ δὲ ἐπιμένοι, καὶ μετὰ τῆς ἐκκλησίας.

17 Εἰπὲ γὰρ, φησι, τῇ ἐκκλησίᾳ. Εἰ δὲ τὸ τούτου μόνον ἐζήτει, οὐκ ἂν ἐκέλευσεν ἑβδομηκοντάκις ἑπτὰ μετανοοῦντι συγχωρεῖν, οὐκ ἂν τοσαυτάκις καὶ τοσούτους ἐπέστησεν αὐτῷ διορθωτὰς τοῦ πάθους· ἀλλ' ἐκ πρώτης αὐτὸν ἀδιόρθωτον μένοντα συντυχίας, χωρὶς εἴασε· νῦν δὲ ἅπαξ καὶ δὶς καὶ τρεῖς αὐτὸν θεραπεῦσαι κελεύει, καὶ νῦν μὲν μόνον, νῦν δὲ μετὰ δύο, νῦν δὲ μετὰ πλειόνων. διὰ δὴ τοῦτο ἐπὶ μὲν τῶν ἔξωθεν οὐδὲν τοιοῦτον λέγει, ἀλλ' ἐάν τίς σε ῥαπίσῃ, φησὶν, εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· ἐνταῦθα δὲ οὐχ οὕτως. ὅπερ καὶ ὁ Παῦλός φησι, λέγων· Τί μοι καὶ τοὺς ἔξωθεν κρίνειν; τοὺς δὲ ἀδελφοὺς καὶ ἐλέγχειν καὶ ἀποστρέφεσθαι κελεύει, καὶ ἀποτέμνειν μὴ πειθομένους, ἵνα ἐντραπῶσι· τοῦτο καὶ ἐνταῦθα αὐτὸς ποιεῖ περὶ τῶν ἀδελφῶν ταῦτα νομοθετῶν, καὶ τρεῖς ἐφίστησιν αὐτῷ διδασκάλους καὶ δικαστὰς διδάσκοντας τὰ κατὰ τὸν καιρὸν τῆς μέθης γινόμενα. εἰ γὰρ καὶ αὐτός ἐστιν ὁ φθεγξάμενος καὶ ποιήσας πάντα ἐκεῖνα τὰ ἄτοπα, ἀλλ' ὅμως ἑτέρων δεῖται τῶν διδαξόντων, καθάπερ οὖν καὶ ὁ μεθύων. καὶ γὰρ πάσης μέθης θυμὸς καὶ ἁμαρτία ἐκστατικώτερον, καὶ ἐν μείζονι τὴν ψυχὴν καθίστησι παραφροσύνῃ. Τίς γοῦν τοῦ Δαβὶδ συνετώτερος ἦν; ἀλλ' ὅμως ἁμαρτὼν οὐκ ᾔσθετο, τῆς ἐπιθυμίας τοὺς λογισμοὺς ἅπαντας κατεχούσης καὶ ὥσπερ τινὸς καπνοῦ πληρούσης αὐτοῦ τὴν ψυχήν. διὰ τοῦτο ἐδεήθη λύχνου παρὰ τοῦ προφήτου, καὶ ῥημάτων ἀναμιμνησκόντων αὐτὸν ὧν ἔπραξε. διὰ τοῦτο καὶ ἐνταῦθα ἄγει τούτους πρὸς τὸν ἡμαρτηκότα διαλεξομένους αὐτῷ περὶ ὧν ἔπραξε. διατί δὲ τούτῳ κελεύει ἐλέγξαι, καὶ οὐχ ἑτέρῳ; ὅτι τοῦτον ἐπιεικέστερον ἂν ἤνεγκε, τὸν ἠδικημένον, τὸν λελυπημένον, τὸν ἐπηρεασμένον. οὐ γὰρ ὁμοίως τις παρ' ἑτέρου περὶ τοῦ ὑβρισθέντος ἐλεγχόμενος φέρει, καὶ παρ' αὐτοῦ τοῦ ὑβρισμένου· καὶ μάλιστα, ὅταν μόνος ᾖ ὁ διελέγχων αὐτόν. ὅταν γὰρ ὁ δίκην αὐτὸν ἀπαιτεῖν ὀφείλων, οὗτος καὶ τῆς σωτηρίας φαίνηται ἐπιμελούμενος τῆς αὐτοῦ, μάλιστα πάντων αὐτὸν δυσωπῆσαι δυνήσεται), ὁρῶντα πῶς οὐ δίκης ἕνεκεν τοῦτο γίνεται, ἀλλὰ διορθώσεως. διὰ δὴ τοῦτο οὐκ εὐθέως καὶ τοὺς δύο κελεύει λαβεῖν, ἀλλ' ὅταν αὐτὸς ἀτονήσῃ· καὶ οὐδὲ τότε ἐπαφίησιν αὐτῷ πλῆθος, ἀλλὰ μέχρι δύο ποιεῖται τὴν προσθήκην, ἢ καὶ ἑνός. ὅταν δὲ καὶ τούτων καταφρονήσῃ, τότε αὐτὸν ἐπὶ τὴν ἐκκλησίαν ἐξάγει. οὕτω πολλὴν ποιεῖται σπουδὴν μὴ ἐκπομπεύεσθαι τὰ τῶν πλησίον ἁμαρτήματα. καίτοι ἠδύνατο ἐξ ἀρχῆς τοῦτο κελεῦσαι· ἀλλ' ἵνα μὴ τοῦτο γένηται), οὐκ ἐκέλευσεν, ἀλλὰ μετὰ μίαν καὶ δευτέραν παραίνεσιν τοῦτο νομοθετεῖ. τί δέ ἐστιν, ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα; ἔχεις μαρτυρίαν ἱκανὴν, φησιν, ὅτι τὸ σαυτοῦ ἅπαν ἐποίησας, ὅτι οὐδὲν ἐνέλιπες τῶν εἰς σὲ ἡκόντων. ἐὰν δὲ καὶ τούτων παρακούσῃ, εἰπὲ τῇ ἐκκλησίᾳ, τουτέστι, τοῖς προεδρεύουσιν.

α. Κορ. ε. ιβ.

β. Βασ. ιβ. α. ϛ.

Ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

Λοιπὸν γὰρ ἀνίατα ὁ τοιοῦτος νοσεῖ. σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τὸν τελώνην εἰς ὑπόδειγμα τῆς μεγίστης τίθησι κακίας. καὶ γὰρ ἀνωτέρω φησίν, Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; καὶ προϊὼν πάλιν, Καὶ τελῶναι καὶ πόρναι προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν

Ματθ. ε. μϛ.

Ματθ. κα. λα.

λείαν τῶν οὐρανῶν· τουτέστιν οἱ σφόδρα κατεγνωσμένοι καὶ καταδεδικασμένοι. ἀκουέτωσαν οἱ κέρδεσιν ἐπιπηδῶντες ἀδίκοις, οἱ τοὺς τόκους ἐπὶ τόκοις ἀριθμοῦντες. διὰ τί δὲ αὐτὸν μετ' ἐκείνων ἔταξε; παραμυθούμενος τὸν ἠδικημένον, καὶ φοβῶν αὐτόν. τοῦτο οὖν ἡ κόλασις μόνον; οὐχί· ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς.

18 Ὃ ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς.

Καὶ οὐκ εἶπε τῷ προέδρῳ τῆς ἐκκλησίας, δῆσον τὸν τοιοῦτον· ἀλλ' ἐὰν δήσῃς, αὐτῷ τῷ λελυπημένῳ τὸ πᾶν ἐπιτρέπων, καὶ ἄλυτα μένει τὰ δεσμά. οὐκοῦν τὰ ἔσχατα πείσεται δεινά· ἀλλ' οὐχὶ ὁ ἀγαγὼν αἴτιος, ἀλλ' ὁ μὴ θελήσας πεισθῆναι. εἶδες πῶς αὐτὸν διπλαῖς κατεδίκασεν ἀνάγκαις, καὶ τῇ ἐντεῦθεν τιμωρίᾳ, καὶ τῇ ἐκεῖ κολάσει; ταῦτα δὲ ἠπείλησεν, ἵνα μὴ ταῦτα συμβαίνῃ· ἀλλὰ φοβούμενος [καὶ τὴν ἀπειλὴν] καὶ τὴν ἀπὸ τῆς ἐκκλησίας ἐκβολὴν, καὶ τὸν ἀπὸ τοῦ δεσμοῦ κίνδυνον, καὶ τὸ ἐν οὐρανοῖς δεδέσθαι, ἡμερώτερος γένηται), καὶ ταῦτα εἰδὼς, εἰ καὶ μὴ ἐκ προοιμίων, ἐν γοῦν τῷ πλήθει τῶν δικαστηρίων ἐκλύσῃ τὴν ὀργήν. διά τοι τοῦτο καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον ἐπέστησε κριτήριον, καὶ οὐκ εὐθέως ἐξέκοψεν, ἵνα κἂν τοῦ πρώτου παρακούσῃ, τῷ δευτέρῳ εἴξῃ· κἂν ἐκεῖνο διαπτύσῃ, τὸ τρίτον φοβηθῇ· κἂν τούτου μηδένα ποιήσηται λόγον, τὴν μέλλουσαν καταπλαγῇ τιμωρίαν καὶ τὴν παρὰ τοῦ Θεοῦ ψῆφόν τε καὶ δίκην.

19 Πάλιν δὲ λέγω ὑμῖν, ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.

20 Οὗ γὰρ ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

Ὅρα πῶς καὶ ἑτέρωθεν διαλύει τὰς ἔχθρας, καὶ τὰς μικροψυχίας ἀναιρεῖ, καὶ πρὸς ἀλλήλους συνάγει, οὐκ ἀπὸ τῆς κολάσεως μόνης [τῆς εἰρημένης], ἀλλὰ καὶ ἀπὸ τῶν ἀγαθῶν τῶν ἐκ τῆς ἀγάπης. καὶ γὰρ ἀπειλήσας ἐκεῖνα τῇ φιλονεικίᾳ, τὰ μεγάλα ἐνταῦθα τῆς συμφωνίας τίθησιν ἔπαθλα, εἴγε καὶ τὸν πατέρα πείθουσιν οἱ συμφωνοῦντες ὑπὲρ ὧν αἰτοῦσι, καὶ τὸν Χριστὸν ἔχουσιν εἰς τὸ μέσον. ἆρ' οὖν οὐδαμοῦ εἰσι δύο συμφωνοῦντες; καὶ πολλαχοῦ μὲν, τάχα δὲ καὶ πανταχοῦ. πῶς οὖν οὐ πάντα ἐπιτυγχάνουσιν; ὅτι πολλαὶ αἱ αἰτίαι τοῦ ἀποτυγχάνειν. ἢ γὰρ ἀσύμφορα πολλάκις αἰτοῦσι. καὶ τί θαυμάζεις, εἰ ἕτεροί τινες, ὅπουγε καὶ Παῦλος τοῦτο ἔπαθεν, ἡνίκα ἤκουσεν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται; ἢ ἀνάξιοι τῶν ταῦτα ἀκηκοότων εἰσὶ, καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέρουσιν· αὐτὸς δὲ τοὺς κατ' ἐκείνους * ἐπιζητεῖ. διὰ τοῦτό φησιν, ἐξ ὑμῶν, τῶν ἐναρέτων, τῶν ἀγγελικὴν ἐπιδεικνυμένων πολιτείαν. ἢ κατὰ τῶν λελυπηκότων εὔχονται ἐκδικίαν καὶ τιμωρίαν ἐπιζητοῦντες, ὅπερ ἐστὶ κεκωλυμένον. εὔχεσθε γάρ, φησιν, ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. ἢ ἀμετανόητα ἁμαρτάνοντες αἰτοῦσιν ἔλεον, ὅπερ ἐστὶν ἀδύνατον λαβεῖν, οὐ μόνον ἂν αὐτοὶ αἰτῶσιν, ἀλλὰ κἂν ἕτερος πολλὴν πρὸς τὸν Θεὸν παρρησίαν ἔχων ὑπὲρ αὐτῶν παρακαλέσῃ, καθάπερ καὶ Ἱερεμίας εὐχόμενος ὑπὲρ Ἰουδαίων ἤκουσε, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. ἂν δὲ πάντα παρῇ, καὶ τὰ συμφέροντα αἰτῇς, καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέρῃς, καὶ βίον παρέχῃς ἀποστολικὸν, καὶ ὁμόνοιαν καὶ ἀγάπην πρὸς τὸν πλησίον ἔχῃς, ἐπιτεύξῃ παρακαλῶν. φιλάνθρωπος γὰρ ὁ δεσπότης. εἶτα ἐπειδὴ εἶπε, παρὰ τοῦ πατρός μου, ἵνα δείξῃ ἑαυτὸν ὄντα τὸν παρέχοντα, καὶ οὐ τὸν γεγωνηκότα μόνον, ἐπήγαγεν· οὗ γὰρ ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. τί οὖν; οὐκ εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ὄνομα αὐτοῦ; εἰσὶ μὲν, σπανίως δέ. οὐ γὰρ ἁπλῶς τὴν σύνοδον λέγει, οὐδὲ τοῦτο ἐπιζητεῖ μόνον, ἀλλὰ μάλιστα μὲν, ὅπερ καὶ ἔμπροσθεν εἶπον, καὶ τὴν ἄλλην ἀρετὴν μετὰ τούτου· ἔπειτα δὲ καὶ τοῦτο αὐτὸ μετὰ πολλῆς ἀπαιτεῖ τῆς ἀκριβείας. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις ἐμὲ τῆς πρὸς τὸν πλησίον

β. Κορ. ιβ. θ.

Ἱερ. ια. ιδ.

* ὄντως

σίον ἀγάπης ὑπόθεσιν περιηγημένην ἔχει, μετ' αὐτοῦ ἔσομαι, ἂν καὶ τὰ ἄλλα ἐνάρετος ᾖ. νυνὶ δὲ τοὺς πλείονας ὁρῶμεν ἑτέρας ἔχοντας φιλίας ἀφορμάς. ὁ μὲν γὰρ ὅτι φιλεῖται φιλεῖ, ὁ δὲ ὅτι ἐτιμήθη, ὁ δὲ ὅτι ἐν ἑτέρῳ τινὶ βιωτικῷ πράγματι γέγονεν αὐτῷ χρήσιμος ὁ δεῖνα, ὁ δὲ δι' ἕτερόν τι τοιοῦτον· διὰ δὲ τὸν Χριστὸν δύσκολόν ἐστιν εὑρεῖν τινα γνησίως καὶ ὡς ἐχρῆν φιλεῖν τὸν πλησίον φιλοῦντα. οἱ γὰρ πλείους ἀπὸ τῶν βιωτικῶν εἰσι συνδεδεμένοι πραγμάτων ἀλλήλοις· ἀλλ' οὐχ ὁ Παῦλος οὕτως ἐφίλει, ἀλλὰ διὰ τὸν Χριστόν. διὸ καὶ μὴ φιλούμενος οὕτως, ὥσπερ ἐφίλει, οὐ κατέλυσε τὴν ἀγάπην, ἐπειδὴ ῥίζαν ἰσχυρὰν κατεβάλετο τοῦ φίλτρου.

Ἀλλ' οὐχὶ τὰ νῦν οὕτως· ἀλλὰ πάντα ἐξετάζοντες εὑρήσομεν παρὰ τοῖς πολλοῖς φιλίας ποιητικὰ μᾶλλον, ἢ τοῦτο. καὶ εἴ τις παρέσχε μοι ἐξουσίαν ἐν τοσούτῳ πλήθει τὴν ἐξέτασιν ποιήσασθαι ταύτην, ἔδειξα ἂν τοὺς πλείονας ἀπὸ τῶν βιωτικῶν προφάσεων ἀλλήλοις συνδεδεμένους. καὶ δῆλον τοῦτο ἀπὸ τῶν αἰτιῶν τῶν τὴν ἔχθραν ἐργαζομένων. ἐπειδὴ γὰρ ἀπὸ τῶν ἐπικήρων τούτων εἰσὶν ἀλλήλοις συνημμένοι, διὰ τοῦτο οὐδὲ θερμοὶ πρὸς ἀλλήλους εἰσὶν, οὐδὲ διηνεκεῖς· ἀλλὰ καὶ ὕβρις, καὶ χρημάτων ζημία, καὶ φθόνος, καὶ κενοδοξίας ἔρως, καὶ πᾶν τοιοῦτον ἐπελθὸν διακόπτει τὸ φίλτρον. οὐ γὰρ εὑρίσκει τὴν ῥίζαν τὴν πνευματικήν· ὡς εἴγε τοιαύτη ἦν, οὐδὲν ἂν τῶν βιωτικῶν τὰ πνευματικὰ διέλυσεν. ἡ γὰρ διὰ τὸν Χριστὸν ἀγάπη βεβαία καὶ ἀρραγὴς καὶ ἀνάλωτος, καὶ οὐδὲν αὐτὴν διασπάσαι δυνήσεται· οὐ διαβολαὶ, οὐ κίνδυνοι, οὐ θάνατος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. κἂν γὰρ μυρία πάθῃ ὁ οὕτω φιλῶν, πρὸς τὴν ὑπόθεσιν τῆς ἀγάπης ὁρῶν οὐκ ἀποστήσεται. ὁ μὲν γὰρ διὰ τὸ φιλεῖσθαι φιλῶν, κἂν ἀηδές τι πάθῃ, διαλύει τὴν ἀγάπην· ὁ δὲ ἐκεῖθεν συνδεδεμένος οὐδέποτε ἀποστήσεται. διὸ καὶ Παῦλος ἔλεγεν· Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. τί γὰρ ἔχεις εἰπεῖν; ὅτι τιμώμενος ὕβρισεν; ὅτι εὐεργετούμενος σφάξαι ἐβουλήθη; ἀλλὰ καὶ τοῦτό σε μᾶλλον φιλεῖν παρασκευάζει, ἂν διὰ τὸν Χριστὸν φιλῇς. ἃ γάρ ἐστιν ἐπὶ τῶν ἄλλων ἀνατρεπτικὰ ἀγάπης, ταῦτα ἐνταῦθα κατασκευαστικὰ γίνεται. πῶς; πρῶτον μὲν, ὅτι σοὶ μισθῶν αἴτιος ὁ τοιοῦτός ἐστι· δεύτερον, ὅτι πλείονος δεῖται βοηθείας ὁ διακείμενος οὕτω καὶ θεραπείας πολλῆς. διά τοι τοῦτο ὁ οὕτω φιλῶν οὐ γένος ἐξετάζει, οὐ πατρίδα, οὐ πλοῦτον, οὐ τὴν πρὸς αὐτὸν ἀγάπην, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ, κἂν μισῆται, κἂν ὑβρίζηται, κἂν ἀναιρῆται, μένει φιλῶν, ἱκανὴν ἔχων ὑπόθεσιν τοῦ φιλεῖν, τὸν Χριστόν· ὅθεν καὶ ἵσταται πεπηγὼς, βέβαιος, ἀπερίτρεπτος, πρὸς ἐκεῖνον ὁρῶν. καὶ γὰρ ὁ Χριστὸς οὕτως ἐφίλησε τοὺς ἐχθροὺς, τοὺς ἀγνώμονας, τοὺς ὑβριστὰς, τοὺς βλασφήμους, τοὺς μισοῦντας, τοὺς οὐδὲ ἰδεῖν αὐτὸν θέλοντας, τοὺς ξύλα καὶ λίθους προτιμῶντας αὐτοῦ ἀγαπήσας, καὶ ἀγάπην τὴν ἀνωτάτω, καὶ μεθ' ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν. Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, φησὶν, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. καὶ τοὺς σταυρώσαντας δὲ αὐτὸν καὶ τοσαῦτα εἰς αὐτὸν ἐμπαροινήσαντας ὅρα πῶς μένει θεραπεύων. καὶ γὰρ τῷ πατρὶ περὶ αὐτῶν διαλέγεται λέγων· Ἄφες αὐτοῖς· οὐκ οἴδασι τί ποιοῦσι. καὶ τοὺς μαθητὰς δὲ μετὰ ταῦτα πρὸς αὐτοὺς ἀπέστειλε. ταύτην τοίνυν τὴν ἀγάπην καὶ ἡμεῖς ζηλώσωμεν, καὶ πρὸς ταύτην ἀπίδωμεν, ἵνα μιμηταὶ γενόμενοι τοῦ Χριστοῦ, καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΗΘΙΚΟΝ

α. Κορ. ιγ. η.

Ιωαν. ιε. ιγ.

Λουκ. κγ. λδ.

Ὁμιλ. ξα. 21 ΤΟΤΕ ΠΡΟΣΕΛΘΩΝ ΑΥΤΩ Ο ΠΕΤΡΟΣ

εἶπε· Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; 22 Λέγει αὐτῷ ὁ Ἰησοῦς, οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

Ἐνόμισε μέγα τι λέγειν ὁ Πέτρος· διὸ καὶ ὡς φιλοτιμούμενος ἐπήγαγεν, ἕως ἑπτάκις; τοῦτο γάρ, φησιν, ὃ ἐκέλευσας ποιεῖν, ποσάκις ποιήσω; ἂν γὰρ ἀεὶ μὲν ἁμαρτάνῃ, ἀεὶ δὲ ἐλεγχόμενος μετανοῇ, ποσάκις τοῦτον ἀνέχεσθαι κελεύεις ἡμᾶς; ἐκείνῳ μὲν γὰρ τῷ μὴ μετανοοῦντι μηδὲ καταγινώσκοντι ἑαυτοῦ πέρας ἐπέθηκας εἰπών, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης· τούτῳ δὲ οὐκ ἔτι· ἀλλ' ἐκέλευσας αὐτὸν προσίεσθαι. ποσάκις οὖν αὐτὸν ὀφείλω φέρειν ἐλεγχόμενον καὶ μετανοοῦντα; ἀρκεῖ ἕως ἑπτάκις; τί οὖν ὁ Χριστός, ὁ φιλάνθρωπος καὶ ἀγαθὸς δεσπότης; οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· οὐκ ἀριθμὸν τιθεὶς ἐνταῦθα, ἀλλὰ τὸ ἄπειρον καὶ διηνεκὲς καὶ ἀεί. ὥσπερ γὰρ τὸ μυριάκις τὸ πολλάκις δηλοῖ, οὕτω καὶ ἐνταῦθα. καὶ γὰρ τὸ, στεῖρα ἔτεκεν ἑπτά, τὸ πολλά φησιν ἡ γραφή. ὥστε οὐκ ἀριθμῷ συνέκλεισε τὴν ἄφεσιν, ἀλλὰ τὸ διηνεκὲς ἐδήλωσε καὶ ἀεί. τοῦτο γοῦν καὶ διὰ τῆς παραβολῆς τῆς ἐφεξῆς κειμένης ἔδειξεν. ἵνα γὰρ μὴ δόξῃ τισὶ μεγάλα καὶ φορτικὰ ἐπιτάττειν, εἰπὼν ἑβδομηκοντάκις ἑπτά, προσέθηκε τὴν παραβολὴν ταύτην, ὁμοῦ τε ἐνάγων εἰς ὅπερ εἴρηκε, καὶ τὸν μεγαφρονοῦντα ἐπὶ τούτῳ καταστέλλων, καὶ δεικνὺς οὐ βαρὺ τὸ πρᾶγμα ὄν, ἀλλὰ καὶ σφόδρα εὔκολον. διὰ τοῦτο τὴν αὐτοῦ φιλανθρωπίαν εἰς μέσον ἤγαγεν, ἵνα τῇ παραθέσει μάθῃς, ὅτι κἂν ἑβδομηκοντάκις ἑπτὰ ἀφῇς, κἂν πάντα ἁπλῶς τὰ ἁμαρτήματα διηνεκῶς συγχωρῇς τῷ πλησίον, ὅσον σταγὼν ὕδατος πρὸς πέλαγος ἄπειρον, τοσοῦτον, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἀποδεῖ σου ἡ φιλανθρωπία πρὸς τὴν ἄπειρον ἀγαθότητα τοῦ Θεοῦ, ἧς ἐν χρείᾳ καθέστηκας δικάζεσθαι μέλλων καὶ εὐθύνας παρέχειν. διὸ καὶ ἐπήγαγε λέγων·

23 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.

24 Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. 25 Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσε πραθῆναι αὐτὸν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχεν. Εἶτα, ἐπειδὴ φιλανθρωπίας ἀπέλαυσεν οὗτος, ἐξελθὼν ὀφείλοντα αὐτῷ σύνδουλον ἑκατὸν δηνάρια ἔπνιγε, καὶ τούτοις κινήσας τὸν δεσπότην, παρεσκεύασεν εἰς δεσμωτήριον πάλιν αὐτὸν ἐμβληθῆναι, ἕως ἂν ἀποτίσει τὸ πᾶν. εἶδες ὅσον τὸ μέσον τῶν εἰς ἄνθρωπον, καὶ τῶν εἰς Θεὸν ἁμαρτημάτων; ὅσον τὸ μέσον μυρίων ταλάντων καὶ ἑκατὸν δηναρίων· μᾶλλον δὲ καὶ πολλῷ πλέον. γίνεται δὲ τοῦτο καὶ ἀπὸ τῆς διαφορᾶς τῶν προσώπων, καὶ ἀπὸ τῆς συνεχείας τῶν ἁμαρτημάτων. ἀνθρώπου μὲν γὰρ ὁρῶντος καὶ ἀφιστάμεθα καὶ ὀκνοῦμεν ἁμαρτάνειν· Θεοῦ δὲ καθ' ἑκάστην βλέποντος τὴν ἡμέραν οὐκ ἀπεχόμεθα, ἀλλὰ καὶ πράττομεν ἀδεῶς πάντα, καὶ φθεγγόμεθα. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς εὐεργεσίας, καὶ ἀπὸ τῆς τιμῆς, ἧς ἀπελαύσαμεν, χαλεπώτερα γίνεται τὰ ἁμαρτήματα. καὶ εἰ βούλεσθε μαθεῖν, πῶς ἐστι μυρία τάλαντα, μᾶλλον δὲ καὶ πολλῷ πλείονα τὰ εἰς αὐτὸν ἁμαρτήματα, δεῖξαι πειράσομαι διὰ βραχέων. ἀλλὰ φοβοῦμαι μὴ τοῖς πρὸς κακίαν ῥέπουσι καὶ διηνεκῶς ἁμαρτάνειν φιλοῦσι πλείονα παράσχω τὴν ἄδειαν, ἢ τοὺς ἐπιεικεστέρους εἰς ἀπόγνωσιν ἐμβάλω, καὶ τὸ τῶν μαθητῶν εἴπωσι, τίς δύναται σωθῆναι; πλὴν ἀλλὰ καὶ οὕτως ἐρῶ, ἵνα τοὺς προσέχοντας ἀσφαλεστέρους ἐργάσωμαι καὶ ἐπιεικεστέρους. οἵ τε γὰρ ἀνίατα νοσοῦντες καὶ ἀνάλγητοι, καὶ τούτων χωρὶς τῶν λόγων οὐκ ἀφίστανται τῆς οἰκείας ῥαθυμίας τε καὶ πονηρίας. εἰ δὲ καὶ ἐντεῦθεν πλείονα λαμβάνοιεν ἀφορμὴν ὀλιγωρίας, οὐ τῶν λεγομένων ἡ αἰτία, ἀλλὰ τῆς ἐκείνων ἀναισθησίας. ὡς τά γε λεγόμενα καὶ συστεῖλαι δυνήσεται καὶ κατανύξαι τοὺς προσέχοντας μᾶλλον, οἵ τε ἐπιεικέστεροι, ὅταν ἴδωσι μὲν τὸν ὄγκον τῶν ἁμαρτημάτων, μάθωσι δὲ καὶ τὴν δύναμιν τῆς μετανοίας,

μᾶλλον αὐτῆς ἀνθέξονται. διόπερ ἀναγκαῖον εἰπεῖν. ἐρῶ τοίνυν καὶ θήσω τὰ ἁμαρτήματα, ὅσα τε εἰς Θεὸν πλημμελοῦμεν, καὶ ὅσα εἰς ἀνθρώπους. καὶ θήσω οὐ τὰ ἴδια, ἀλλὰ τὰ κοινά· τὰ δὲ ἴδια ἕκαστος συναπλέτω λοιπὸν ἀπὸ τοῦ συνειδότος. ποιήσω δὲ τοῦτο, πρότερον τὰς εὐεργεσίας θεὶς τοῦ Θεοῦ. τίνες οὖν αἱ εὐεργεσίαι τοῦ Θεοῦ; ἐποίησεν ἡμᾶς οὐκ ὄντας, καὶ πάντα δι᾽ ἡμᾶς εἰργάσατο τὰ ὁρώμενα, οὐρανόν, θάλατταν, γῆν, ἀέρα, τὰ ἐν αὐτοῖς πάντα ζῶα, φυτά, σπέρματα. δεῖ γὰρ ἐπιτεμεῖν διὰ τὸ πέλαγος τῶν ἔργων τὸ ἄπειρον. ψυχὴν ζῶσαν ἡμῖν ἐνέπνευσε, μόνοις τοιαύτην τῶν ἐπὶ γῆς, παράδεισον ἐφύτευσε, βοηθὸν ἔδωκε, πᾶσι τοῖς ἀλόγοις ἐπέστησε, δόξῃ καὶ τιμῇ ἐστεφάνωσε. μετὰ ‖ τοῦτο γενόμενον ἀγνώμονα περὶ τὸν εὐεργέτην μείζονος ἠξίωσε δωρεᾶς. μὴ γὰρ τοῦτο ἴδῃς μόνον, ὅτι ἐξέβαλε παραδείσου, ἀλλὰ καὶ τὸ κέρδος σκόπει τὸ ἐκ τούτου γενόμενον. μετὰ γὰρ τὸ ἐκβληθῆναι παραδείσου, καὶ τὰ μυρία ἐκεῖνα ἐργάσασθαι ἀγαθά, καὶ τὰς ποικίλας οἰκονομίας ἐπιτελέσαι, καὶ τὸν υἱὸν ἔπεμψε τὸν ἑαυτοῦ ὑπὲρ τῶν εὐεργετηθέντων καὶ μισούντων, καὶ τὸν οὐρανὸν ἡμῖν ἀνέῳξε, καὶ τὸν παράδεισον αὐτὸν ἀνεπέτασε, καὶ υἱοὺς ἡμᾶς ἐποίησε, τοὺς ἐχθρούς, τοὺς ἀγνώμονας. διὸ καὶ ‖ εὔκαιρον νῦν εἰπεῖν, Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ἔδωκε δὲ ἡμῖν καὶ βάπτισμα ἀφέσεως ἁμαρτημάτων, καὶ τιμωρίας ἀπαλλαγήν, καὶ βασιλείας κληρονομίαν, καὶ μυρία ἐπηγγείλατο κατορθοῦσιν ἀγαθά, καὶ χεῖρα ὤρεξε, καὶ πνεῦμα ἐξέχεεν εἰς τὰς καρδίας ἡμῶν. τί οὖν; μετὰ τοσαῦτα τοίνυν καὶ τηλικαῦτα ἀγαθὰ πῶς ἡμᾶς διακεῖσθαι ἐχρῆν; ἆρα εἰ καὶ καθ᾽ ἑκάστην ἀπεθνήσκομεν τὴν ἡμέραν ὑπὲρ τοῦ οὕτως ἡμᾶς φιλοῦντος, ‖ ἐξετιννύομεν ἂν τὴν ἀξίαν, μᾶλλον δὲ τὸ πολλοστὸν τῆς ὀφειλῆς κατετίθεμεν; οὐδαμῶς. καὶ γὰρ καὶ τοῦτο πάλιν εἰς τὸ κέρδος τὸ ἡμέτερον περιΐστατο. πῶς οὖν ‖ διακείμεθα οἱ οὕτω διακεῖσθαι ὀφείλοντες; καθ᾽ ἑκάστην ἡμέραν εἰς τοὺς νόμους ἐνυβρίζομεν τοὺς αὐτοῦ. ἀλλὰ μὴ ἀγανακτήσητε, ἂν ἐπαφῶ τὴν γλῶσσαν τοῖς ἁμαρτάνουσιν. οὐ γὰρ ὑμῶν κατηγορήσω μόνον, ἀλλὰ καὶ ἐμαυτοῦ. πόθεν οὖν βούλεσθε ἄρξωμαι; ἀπὸ τῶν δούλων; ἀπὸ τῶν ἐλευθέρων; ἀπὸ τῶν στρατευομένων; ἀπὸ τῶν ἰδιωτῶν; ἀπὸ τῶν ἀρχόντων; ἀπὸ τῶν ἀρχομένων; ἀπὸ τῶν γυναικῶν; ἀπὸ τῶν ἀνδρῶν; ἀπὸ τῶν γερόντων; ἀπὸ τῶν ‖ νέων; ἀπὸ ποίας ἡλικίας; ἀπὸ ποίου γένους; ἀπὸ ποίου ἀξιώματος; ἀπὸ ποίου ἐπιτηδεύματος; βούλεσθε ἀπὸ τῶν στρατευομένων ποιήσωμαι τὴν ἀρχήν; τί τοίνυν οὐχ ἁμαρτάνουσιν οὗτοι καθ᾽ ἑκάστην ἡμέραν, ὑβρίζοντες, λοιδορούμενοι, ‖ μαινόμενοι, τὰς ἀλλοτρίας πραγματευόμενοι συμφοράς, λύκοις ἐοικότες, πλημμελημάτων οὐδέποτε καθαρεύοντες, πλὴν εἰ μὴ καὶ τὴν θάλατταν εἴποι τις κυμάτων εἶναι ἐκτός; ποῖον γὰρ αὐτοῖς πάθος οὐκ ἐνοχλεῖ; ποῖον δὲ νόσημα οὐ πολιορκεῖ αὐτῶν τὴν ψυχήν; πρὸς μὲν γὰρ τοὺς ὁμοτίμους ζηλοτύπως διάκεινται, καὶ φθονοῦσι καὶ κενοδοξοῦσι· πρὸς δὲ τοὺς ὑποτεταγμένους, πλεονεκτικῶς· πρὸς δὲ τοὺς δίκας ἔχοντας, καὶ ὡς εἰς λιμένα κατατρέχοντας, πολεμίως*. πόσαι ‖ παρ᾽ αὐτοῖς ἁρπαγαί, πόσαι πλεονεξίαι, πόσαι συκοφαντίαι καὶ καπηλεῖαι, πόσαι κολακεῖαι δουλοπρεπεῖς; φέρε οὖν, καθ᾽ ἕκαστον ἁρμόσωμεν τὸν τοῦ Χριστοῦ νόμον. ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ μωρέ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν. ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. οὗτοι δὲ καὶ ἐπιτηδεύουσι τῦφον, κατὰ τῶν ὑπηκόων καὶ παραδεδομένων καὶ τρεμόντων αὐτοὺς καὶ δεδοικότων θηρίων γινόμενοι χαλεπώτεροι, διὰ μὲν τὸν Χριστὸν οὐδὲν ποιοῦντες, πάντα δὲ διὰ τὴν γαστέρα, διὰ τὰ χρήματα, διὰ τὴν κενοδοξίαν. ἆρα ἔνι ἀριθμῆσαι διὰ ῥημάτων τὴν τῶν πραγμάτων πλημμέλειαν; τί ἄν τις εἴποι τὰς χλευασίας αὐτῶν, τὸν γέλωτα, τὰς ‖ ἀκαίρους διαλέξεις, τὰς αἰσχρολογίας; περὶ δὲ πλεονεξίας οὐδὲ εἰπεῖν ἔνι. καθάπερ γὰρ οἱ ἐν τοῖς ὄρεσι μονάζοντες, οὐδὲ τί ποτέ ἐστιν ἡ πλεονεξία ἴσασιν, οὕτως οὐδὲ οὗτοι· ἀλλ᾽ ἀπεναντίας ἐκείνοις. ἐκεῖνοι μὲν γὰρ διὰ τὸ πόρρω τοῦ

Ρω. ια. λγ.

νοσήματος εἶναι ἀγνοοῦσι τὸ πάθος· οὗτοι δὲ διὰ τὸ σφόδρα ἐν τῷ πάθει μεθύειν οὐδὲ αἰσθάνονται ὅσον ἐστὶ τὸ κακόν. οὕτω γὰρ παρεώσατο τὴν ἀρετὴν ἡ κακία αὕτη καὶ τυραννεῖ, ὡς μηδὲ ἔγκλημα βαρὺ εἶναι νομίζεσθαι αὐτὴν παρὰ τοῖς μαινομένοις ἐκείνοις. ἀλλὰ βούλεσθε τούτους ἀφέντες, ἐφ' ἑτέρους ἔλθωμεν ἐπιεικεστέρους; φέρε οὖν, τὸ τῶν δημιουργῶν γένος καὶ χειροτεχνῶν ἐξετάσωμεν. οὗτοι γὰρ μάλιστα δοκοῦσιν ἐκ δικαίων διαζῆν πόνων καὶ τῶν ἱδρώτων τῶν ἑαυτῶν. ἀλλὰ καὶ οὗτοι, ὅταν μὴ προσέχωσιν ἑαυτοῖς, πολλὰ ἐντεῦθεν συνάγουσιν ἑαυτοῖς τὰ κακά. τὴν γὰρ ἀπὸ τῆς πράσεως καὶ ἀγορασίας ἀδικίαν ἐπισυνάγουσι τῇ τῶν δικαίων πόνων ἐργασίᾳ, καὶ ὅρκους καὶ ἐπιορκίας καὶ ψευδολογίας προστιθέασι τῇ πλεονεξίᾳ πολλάκις, καὶ τῶν βιωτικῶν μόνων εἰσὶ πραγμάτων, καὶ τῇ γῇ προσηλωμένοι διατελοῦσι, καὶ ὅπως μὲν χρηματίσωνται πάντα πράττουσιν, ὅπως δὲ μεταδοῖεν τοῖς δεομένοις οὐ πολλὴν τίθενται τὴν σπουδήν, ἀεὶ τὰ ὄντα αὔξειν βουλόμενοι. τί ἂν τις εἴποι τὰς λοιδορίας τὰς ὑπὲρ τῶν τοιούτων, τὰς ὕβρεις, τὰ δανείσματα, τοὺς τόκους, τὰ συναλλάγματα τὰ πολλῆς γέμοντα καπηλείας, τὰς ἐμπορείας τὰς ἀναισχύντους; ἀλλὰ βούλεσθε καὶ τούτους ἀφέντες, ἐφ' ἑτέρους ἔλθωμεν τοὺς δὴ δοκοῦντας εἶναι δικαιοτέρους; τίνες οὖν εἰσιν οὗτοι; οἱ τοὺς ἀγροὺς κεκτημένοι, καὶ τὸν ἀπὸ τῆς γῆς δρεπόμενοι πλοῦτον. καὶ τί τούτων γένοιτ' ἂν ἀδικώτερον; εἰ γὰρ ἐξετάσειέ τις πῶς τοῖς ἀθλίοις καὶ ταλαιπώροις κέχρηνται γεωργοῖς, βαρβάρων αὐτοὺς ὠμοτέρους ὄψεται. τοῖς γὰρ ἐν λιμῷ τηκομένοις, καὶ δι' ὅλης πονουμένοις τῆς ζωῆς, καὶ τελέσματα διηνεκῆ καὶ ἀφόρητα ἐπιτιθέασι, καὶ διακονίας ἐπιπόνους ἐπιτάττουσι, καὶ ὡς ὄνοις καὶ ἡμιόνοις, μᾶλλον δὲ ὡς λίθοις τοῖς ἐκείνων κέχρηνται σώμασιν, οὐδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦντες, καὶ παρεχούσης τῆς γῆς, καὶ μὴ παρεχούσης, ὁμοίως αὐτοὺς κατατείνουσι, καὶ οὐδεμιᾶς αὐτοῖς συγγνώμης μεταδιδόασιν. οὗ τί γένοιτ' ἂν ἐλεεινότερον, ὅταν δι' ὁλοκλήρου τοῦ χειμῶνος πονέσαντες, καὶ κρυμῷ καὶ ὄμβρῳ καὶ ἀγρυπνίαις δαπανηθέντες, κεναῖς ἀναχωρήσωσι ταῖς χερσίν, ἔτι καὶ προσοφείλοντες, καὶ τοῦ λιμοῦ τούτου καὶ τοῦ ναυαγίου τὰς τῶν ἐπιτρόπων βασάνους καὶ τοὺς ἑλκυσμοὺς καὶ τὰς ἀπαιτήσεις καὶ τὰς ἀπαγωγὰς καὶ τὰς ἀπαραιτήτους λειτουργίας μᾶλλον δεδοικότες καὶ φρίττοντες; τί ἂν τις εἴποι τὰς ἐμπορείας, ἃς αὐτοὶ ἐμπορεύονται, τὰς καπηλείας, ἃς αὐτοὶ καπηλεύονται, ἀπὸ μὲν τῶν πόνων αὐτῶν καὶ τῶν ἱδρώτων ληνοὺς καὶ ὑπολήνια πληροῦντες, αὐτοῖς δὲ οὐδὲ ὀλίγον οἴκαδε εἰσαγαγεῖν ἐπιτρέποντες μέρος, ἀλλ' ὁλόκληρον τὸν καρπὸν εἰς τοὺς τῆς παρανομίας αὐτῶν ἀντλοῦντες πίθους; καὶ ὀλίγον αὐτοῖς ὑπὲρ τούτου προσριπτοῦντες ἀργύριον, καινὰ δὲ γένη τόκων ἐπινοοῦσι, καὶ οὐδὲ τοῖς Ἑλλήνων νόμοις νενομισμένα, καὶ δανεισμάτων γραμματεῖα πολλῆς γέμοντα τῆς ἀρᾶς συντιθέασιν. οὐδὲ γὰρ ἑκατοστὴν τοῦ παντός, ἀλλὰ τὸ ἥμισυ τοῦ παντὸς ἀπαιτεῖν βιάζονται, καὶ ταῦτα τοῦ ἀπαιτουμένου καὶ γυναῖκα ἔχοντος, καὶ παιδία τρέφοντος, καὶ ἀνθρώπου ὄντος πένητος, καὶ τοῖς οἰκείοις πόνοις καὶ τὴν ἅλω καὶ τὸν ληνὸν πληροῦντος. ἀλλ' οὐδὲν τούτων ἐννοοῦσι. διὸ δὴ τὸν προφήτην εὔκαιρον παραστησαμένους εἰπεῖν· ἔκστηθι οὐρανέ, καὶ φρῖξον γῆ. εἰς πόσην θηριωδίαν τὸ τῶν ἀνθρώπων γένος ἐξεβακχεύθη; ταῦτα δὲ λέγω, οὐ τέχνας, οὐδὲ γεωργίαν, οὐδὲ στρατείαν, οὔτε ἀγροὺς διαβάλλων, ἀλλ' ἡμᾶς αὐτούς. ἐπεὶ καὶ ὁ Κορνήλιος ἑκατοντάρχης ἦν, καὶ ὁ Παῦλος σκυτοτόμος, καὶ μετὰ τὸ κήρυγμα τῇ τέχνῃ ἐκέχρητο, καὶ ὁ Δαβὶδ βασιλεὺς ἦν, καὶ ὁ Ἰὼβ πολλῶν κτημάτων κύριος ἦν, καὶ μυρίων προσόδων ἐντεῦθεν ἀπέλαυσε, καὶ οὐδὲν ἐντεῦθεν τούτων οὐδενὶ κώλυμα ὑπῆρξε πρὸς ἀρετήν. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες καὶ τὰ μυρία τάλαντα ἀναλογισάμενοι, κἂν ἐντεῦθεν ἐναθλῶμεν πρὸς τὸ ἀφιέναι τοῖς πλησίον τὰ ὀλίγα ἐκεῖνα καὶ εὐτελῆ. καὶ γὰρ λόγος ἡμῖν γενήσεται τῶν ἐμπιστευθεισῶν ἡμῖν ἐντολῶν, καὶ οὐκ ἔχομεν πάντα καταβαλεῖν, οὐδ' ἂν ὁτιοῦν ποιήσωμεν. διὰ τοῦτο ἔδωκεν ἡμῖν ὁ Θεὸς πρὸς ἔκτισιν εὔκολόν τε καὶ ῥᾳδίαν ὁδόν, καὶ πάντα δυναμένην διαλύσασθαι ἐκεῖνα, τὸ μὴ μνησικακεῖν λέγω. ἵνα οὖν τοῦτο μάθωμεν καλῶς, ἀκούσωμεν ὅλης προϊόντες τῆς παραβολῆς ἁπάσης. προσηνέχθη γὰρ

αὐτῷ,

χεζ m.

αὐτῷ, φησιν, εἷς ὀφειλέτης μυρίων ταλάντων. Οὐκ ἔχοντος δὲ αὐτοῦ ἀποτῖσαι, ἐκέλευσεν αὐτὸν πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ παιδία. τίνος ἕνεκεν, εἰπέ μοι [τὴν γυναῖκα]; οὐκ ἐξ ὠμότητος, οὐδὲ ἀπανθρωπίας (καὶ γὰρ εἰς αὐτὸν ἡ ζημία περιΐστατο πάλιν. δούλη γὰρ ἦν κἀκείνη) ἀλλ' ἐξ ἀφάτου κηδεμονίας. βούλεται γὰρ αὐτὸν ἥμερον ποιῆσαι διὰ τῆς ἀπειλῆς ταύτης, ἵνα εἰς ἱκετηρίαν αὐτὸν ἀγάγῃ, οὐχ ἵνα πραθῇ. εἰ γὰρ * διὰ τοῦτο ἐποίει, οὐκ ἂν ἐπένευσεν αὐτοῦ τῇ αἰτήσει, οὐδ' ἂν τὴν χάριν ἔδωκε. διατί οὖν πρὸ τοῦ λογοθεσίου τοῦτο οὐκ ἐποίησεν, οὐδὲ ἀφῆκε τὸ ὄφλημα; διδάξαι βουλόμενος πόσων αὐτὸν ὀφλημάτων ἐλευθεροῖ, ἵνα κἂν ταύτῃ ἡμερώτερος περὶ τὸν σύνδουλον γένηται. εἰ γὰρ καὶ μαθὼν τοῦ ὀφλήματος τὸν ὄγκον, καὶ τῆς συγχωρήσεως τὸ μέγεθος, ἐπέμενεν ἄγχων τὸν σύνδουλον· εἰ μὴ τοσούτοις αὐτὸν προεπαίδευσε φαρμάκοις, ποῦ οὐκ ἂν ἐξῆλθεν ὠμότητος; τί οὖν ἐκεῖνος;

26 Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω, φησίν·

27 Ὁ δὲ κύριος αὐτοῦ σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

Εἶδες πάλιν φιλανθρωπίας ὑπερβολήν; ἀναβολὴν ἐζήτησε μόνον καιροῦ καὶ ὑπέρθεσιν ὁ οἰκέτης· ὁ δὲ μεῖζον, ἢ ᾔτησεν, ἔδωκεν, ἄφεσιν ὁλόκληρον τοῦ δανείσματος καὶ συγχώρησιν. ἐβούλετο μὲν γὰρ καὶ ἐξ ἀρχῆς δοῦναι, ἀλλ' οὐκ ἐβούλετο αὐτοῦ εἶναι τὸ δῶρον μόνον, ἀλλὰ καὶ τῆς τούτου ἱκετηρίας, ἵνα μὴ ἀστεφάνωτος ἀπέλθῃ. ὅτι γὰρ αὐτοῦ τὸ πᾶν ἦν, εἰ καὶ προσέπεσεν οὗτος καὶ ἐδεήθη, ἡ αἰτία τῆς συγχωρήσεως ἐδήλωσε. σπλαγχνισθεὶς γὰρ, φησιν, ἀφῆκεν αὐτῷ. ἀλλ' ὅμως καὶ οὕτως ἐβούλετο καὶ ἐκεῖνον τι δοκεῖν συνεισφέρειν, ἵνα μὴ σφόδρα ᾖ κατῃσχυμμένος, καὶ ἵνα παιδευθεὶς ἐν ταῖς οἰκείαις συμφοραῖς συγγνωμονικὸς γένηται τῷ συνδούλῳ. μέχρι μὲν οὖν τούτου καλὸς οὗτος καὶ εὐάρεστος. καὶ γὰρ ὡμολόγησε, καὶ ἐπηγγείλατο ἀποδώσειν τὸ ὄφλημα, καὶ προσέπεσε, καὶ παρεκάλεσε, καὶ κατέγνω τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἔγνω τὸ μέγεθος τοῦ ὀφλήματος. ἀλλὰ τὰ μετὰ ταῦτα ἀνάξια τῶν προτέρων. ἐξελθὼν γὰρ αὐτὸς, οὐδὲ μετὰ χρόνον πολὺν, ἀλλ' εὐθέως, ἔναυλον ἔχων τὴν εὐεργεσίαν, εἰς κακίαν ″ ἀπεχρήσατο τῇ δωρεᾷ καὶ τῇ ἐλευθερίᾳ τῇ παρὰ τοῦ δεσπότου αὐτῷ παρασχεθείσῃ.

28 Εὑρὼν γὰρ ἕνα τῶν συνδούλων αὐτοῦ ὀφείλοντα αὐτῷ ἑκατὸν δηνάρια, ἔπνιγεν αὐτὸν λέγων, ἀπόδος μοι ″ εἴ τι ὀφείλεις. Εἶδες δεσπότου φιλανθρωπίαν; εἶδες δούλου ὠμότητα; ἀκούσατε οἱ ὑπὲρ χρημάτων ταῦτα ποιοῦντες. εἰ γὰρ ὑπὲρ ἁμαρτημάτων οὐ χρὴ, πολλῷ μᾶλλον ὑπὲρ χρημάτων. τί οὖν ἐκεῖνος;

29 Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω. Οὐδὲ τὰ ῥήματα ᾐδέσθη, δι' ὧν ἐσώθη. καὶ γὰρ αὐτὸς ταῦτα εἰπὼν ἀπηλλάγη τῶν μυρίων ταλάντων, καὶ οὐδὲ τὸν λιμένα ἐπέγνω, δι' οὗ τὸ ναυάγιον διέφυγεν, οὐ τὸ σχῆμα τῆς ἱκετηρίας αὐτὸν ἀνέμνησε τῆς τοῦ δεσπότου φιλανθρωπίας· ἀλλὰ πάντα ἐκεῖνα ″ ἀπὸ τῆς πλεονεξίας καὶ τῆς ὠμότητος καὶ τῆς μνησικακίας ἐκβαλὼν, θηρίου χαλεπώτερος ἦν, ἄγχων τὸν σύνδουλον. τί ποιεῖς, ἄνθρωπε; σεαυτὸν ἀπαιτῶν οὐκ αἰσθάνῃ, κατὰ σεαυτοῦ τὸ ξίφος ὠθῶν, καὶ τὴν ἀπόφασιν καὶ τὴν δωρεὰν ἀνακαλούμενος; ἀλλ' οὐδὲν τούτων ἐνενόησεν, οὐδὲ ἐμνήσθη τῶν αὐτοῦ, οὐδὲ ἐνέδωκε. καίτοιγε οὐχ ὑπὲρ τῶν ἴσων ἡ ἱκετηρία. ὁ μὲν γὰρ ὑπὲρ μυρίων ταλάντων, ὁ δὲ ὑπὲρ ἑκατὸν δηναρίων παρεκάλει· καὶ ὁ μὲν τὸν σύνδουλον, ὁ δὲ τὸν δεσπότην· καὶ ὁ μὲν τελείαν συγχώρησιν ἔλαβεν, ὁ δὲ ἀναβολὴν ᾔτει· καὶ οὐδὲ ″ ταύτην οὗτος ἐδίδου.

30 Ἔβαλε γὰρ αὐτὸν εἰς φυλακήν. 31 Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ ″ κατηγόρησαν αὐτοῦ πρὸς τὸν δεσπότην. Οὐδὲ ἀνθρώποις τοῦτο ἀρεστὸν ἦν, μή τι γε Θεῷ. ″ συνήλγησαν οὖν οἱ μὴ ὀφείλοντες. τί ″ οὖν ὁ δεσπότης;

32 Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. οὐκ

ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; Ὅρα πάλιν τὴν ἡμερότητα τοῦ δεσπότου. κρίνεται πρὸς αὐτὸν, καὶ ἀπολογεῖται μέλλων ἀνατρέπειν αὐτοῦ τὴν δωρεάν· μᾶλλον δὲ οὐκ αὐτὸς ″ ἀνέτρεψεν, ἀλλ' ὁ λαβών. διό φησι, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. οὐκ ἔδει οὖν σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου; Εἰ γὰρ καὶ βαρύ σοι τὸ πρᾶγμα εἶναι δοκεῖ, ἀλλ' ἔδει καὶ πρὸς τὸ κέρδος ἰδεῖν τὸ τότε γεγενημένον καὶ τὸ ἐσόμενον. Εἰ δὲ καὶ ἐπαχθὲς τὸ ἐπίταγμα, τὸ ἔπαθλον ἐννοῆσαι ἔδει, μηδὲ ὅτι λελύπηκεν ἐκεῖνος, ἀλλ' ὅτι σὺ Θεὸν παρώξυνας, ὃν ἀπὸ ψιλῆς ἱκετηρίας κατήλλαξας. Εἰ δὲ καὶ οὕτω σοι φορτικὸν τὸ φίλον γενέσθαι τῷ λελυπηκότι, πολλῷ βαρύτερον τὸ εἰς γέενναν ἐμπεσεῖν. καὶ εἰ ″ τοῦτο ἀντέθηκας ἐκείνῳ, τότε ἂν ἔγνως, ὅτι πολλῷ τοῦτο κουφότερον. Καὶ ὅτε μὲν μυρία τάλαντα ὤφειλεν, οὐκ ἐκάλεσε πονηρὸν, οὐδὲ ὕβρισεν, ἀλλ' ἠλέησεν· ὅτε δὲ περὶ τὸν σύνδουλον ἀγνώμων ἐγένετο, τότε λέγει, πονηρὲ δοῦλε. ἀκούσατε οἱ πλεονέκται (καὶ γὰρ πρὸς ὑμᾶς ὁ λόγος) ἀκούσατε καὶ οἱ ἀνηλεεῖς καὶ ὠμοὶ, ὅτι οὐχ ἑτέροις ἐστὲ ὠμοὶ, ἀλλ' ἑαυτοῖς. ὅταν οὖν βούλῃ μνησικακεῖν, ἐννόησον ὅτι σαυτῷ μνησικακεῖς, οὐχ ἑτέρῳ· ὅτι τὰ σαυτοῦ ″ καταδεσμεῖς ἁμαρτήματα, οὐ τὰ τοῦ πλησίον. σὺ μὲν γὰρ, ὅπερ ἂν ἐργάσῃ, τοῦτο ὡς ἄνθρωπος ἐργάζῃ, καὶ ἐν τῷ παρόντι βίῳ· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ μειζόνως σε τιμωρήσεται καὶ τιμωρίαν τὴν ἀεὶ καὶ ἐκεῖ.

34 Παρέδωκε γὰρ αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον,

Τουτέστι, διηνεκῶς. οὔτε γὰρ ἀποδώσει ποτέ. ἐπειδὴ γὰρ οὐκ ἐγένου τῇ εὐεργεσίᾳ βελτίων, λείπεται τῇ τιμωρίᾳ σε διορθοῦσθαι. καίτοιγε ἀμεταμέλητα τοῦ Θεοῦ τὰ χαρίσματα καὶ δωρεαί· ἀλλὰ τοσοῦτον ἴσχυσεν ἡ κακία, ὡς καὶ τοῦτον λῦσαι τὸν νόμον. τί τοίνυν τοῦ μνησικακεῖν χαλεπώτερον, ὅταν δωρεὰν θείαν τοσαύτην καὶ τηλικαύτην ἀνατρέπον φαίνηται; καὶ οὐδὲ ἁπλῶς αὐτὸν παρέδωκεν, ἀλλ' ὀργισθείς. ὅτε μὲν γὰρ ἐκέλευσε πραθῆναι, οὐκ ἦν ὀργῆς τὰ ῥήματα (οὐκοῦν οὐδὲ ἐποίησεν) ἀλλ' ἀφορμὴ φιλανθρωπίας μεγίστη· νυνὶ δὲ ἀγανακτήσεως πολλῆς ἡ ψῆφος καὶ τιμωρίας καὶ κολάσεως. τί οὖν ἡ παραβολὴ βούλεται;

35 Οὕτω ποιήσει γὰρ, φησὶ, καὶ ὑμῖν ὁ πατήρ μου, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῆς καρδίας ὑμῶν τὰ παραπτώματα ″ αὐτῶν. Οὐ λέγει ὁ πατὴρ ὑμῶν, ἀλλ' ὁ πατήρ μου. οὐ γὰρ ἄξιον τοῦ τοιούτου καλεῖσθαι πατέρα τὸν Θεὸν, τὸν οὕτω πονηροῦ καὶ μισανθρώπου. δύο τοίνυν ἐνταῦθα ζητεῖ, καὶ καταγινώσκειν ἡμᾶς τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἑτέροις ἀφιέναι, καὶ ἐκεῖνο διὰ τοῦτο, ἵνα εὐκολώτερον τοῦτο γένηται (ὁ γὰρ τὰ ἑαυτοῦ ἐννοῶν, ″ συγγνωμικώτερος ἔσται τῷ συνδούλῳ) καὶ οὐχ ἁπλῶς ἀφιέναι ἀπὸ στόματος, ἀλλ' ἀπὸ καρδίας.

ΗΘΙΚΟΝ

Μὴ δὴ καθ' ἑαυτῶν τὸ ξίφος ὠθῶμεν μνησικακοῦντες. τί γὰρ σε τοιοῦτον ″ ἐργάσεται ὁ λελυπηκὼς, οἷον σὺ σαυτὸν ἐργάσῃ τῆς ὀργῆς μεμνημένος, καὶ ἐπισπώμενος κατὰ σαυτοῦ τὴν καταδικάζουσαν * παρὰ Θεοῦ ψῆφον; ἂν μὲν γὰρ νήφῃς καὶ φιλοσοφῇς, εἰς τὴν ἐκείνου κεφαλὴν περιστήσεται τὸ δεινὸν, κἀκεῖνος ἔσται ὁ πάσχων κακῶς· ἂν δὲ μένῃς ἀγανακτῶν καὶ δυσχεραίνων, τότε αὐτὸς ὑποστήσῃ τὴν βλάβην, οὐ παρ' ἐκείνου, ἀλλὰ παρὰ σαυτοῦ. μὴ τοίνυν λέγε, ὅτι ὕβρισε καὶ διέβαλε καὶ μυρία εἰργάσατο κακά. ὅσα γὰρ ἂν εἴπῃς, τοσούτῳ μᾶλλον δεικνύεις αὐτὸν εὐεργέτην. ἔδωκε γὰρ ἀφορμὴν ″ ἀπολούσασθαι τὰ ἁμαρτήματα· ὥστε ὅσῳ μείζονα ἠδικηκὼς ᾖ, τοσούτῳ ″ μείζονος ἁμαρτημάτων ἀφέσεως αἴτιός σοι καθίσταται. ἂν γὰρ θέλωμεν, οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται· ἀλλὰ καὶ οἱ ἐχθροὶ τὰ μέγιστα ὠφελήσουσιν ἡμᾶς. καὶ τί λέγω τοὺς ἀνθρώπους; τοῦ * διαβόλου τί γένοιτ' ἂν πονηρότερον; ἀλλ' ὅμως καὶ ἐκεῖθεν πολλὴν ἀφορμὴν εὐδοκιμήσεως ἔχομεν· καὶ δείκνυσιν ὁ Ἰώβ. εἰ δὲ ὁ διάβολος ἀφορμὴ γέγονε στεφάνων, τί δέδοικας ἄνθρωπον ἐχθρόν; ὅρα ″ οὖν ὅσα κερδαίνεις, πράως τὰς τῶν ἐχθρῶν φέρων ἐπηρείας. πρῶτον μὲν καὶ μέγιστον, ἁμαρτημάτων ἀπαλλαγήν·

ἀπαλλαγήν· δεύτερον, καρτερίαν καὶ ὑπομονήν· τρίτον, ἡμερότητα καὶ φιλανθρωπίαν. ὁ γὰρ τοῖς λυποῦσιν οὐκ εἰδὼς ὀργίζεσθαι, πολλῷ μᾶλλον τοῖς φιλοῦσιν αὐτὸν ἐπιτήδειος ἔσται. τέταρτον, τὸ καθαρεύειν ὀργῆς διηνεκῶς, οὗ οὐδὲν γένοιτ' ἂν ἴσον. ὁ γὰρ ὀργῆς καθαρεύων, εὔδηλον ὅτι καὶ τῆς ἐντεῦθεν ἀθυμίας ἀπήλλακται, καὶ οὐκ ἀναλώσει τὸν βίον εἰς ματαιοπονίας καὶ ὀδύνας. ὁ γὰρ οὐκ εἰδὼς ἀπεχθάνεσθαι, οὐδὲ λυπεῖσθαι οἶδεν, ἀλλὰ τρυφῆς ἀπολαύσεται καὶ μυρίων ἀγαθῶν. ὥστε ἑαυτοὺς τιμωρούμεθα μισοῦντες ἑτέρους, ὥσπερ οὖν καὶ ἑαυτοὺς εὐεργετοῦμεν ἀγαπῶντες. πρὸς τούτοις ἅπασιν αἰδέσιμος ἔσῃ καὶ αὐτοῖς τοῖς ἐχθροῖς, κἂν δαίμονες ὦσι, μᾶλλον δὲ οὐδὲ ἕξεις λοιπὸν ἐχθρὸν διακείμενος οὕτω. τὸ δὲ πάντων μεῖζον καὶ πρῶτον, τὴν τοῦ Θεοῦ "κερδανεῖς φιλανθρωπίαν. κἂν ἡμαρτηκὼς ᾖς, τεύξῃ συγγνώμης· κἂν κατωρθωκὼς ᾖς, πλείονα προσλήψῃ παρρησίαν. ἀνύσωμεν τοίνυν τὸ μηδένα μισεῖν, ἵνα καὶ ὁ Θεὸς ἡμᾶς φιλήσῃ, ἵνα, κἂν μυρίων ταλάντων ὦμεν ὑπεύθυνοι, σπλαγχνισθῇ καὶ ἐλεήσῃ. ἀλλ' ἠδίκησαι παρ' αὐτοῦ; οὐκοῦν ἐλέησον αὐτὸν, μὴ μισήσῃς· δάκρυσον καὶ θρήνησον, μὴ ἀποστραφῇς. οὐ γὰρ σὺ εἶ ὁ προσκεκρουκὼς τῷ Θεῷ, ἀλλ' ἐκεῖνος· σὺ δὲ καὶ εὐδοκίμησας, ἐὰν ἐνέγκῃς. ἐννόησον ὅτι σταυροῦσθαι μέλλων ὁ Χριστὸς, ὑπὲρ ἑαυτοῦ μὲν ἔχαιρεν, ὑπὲρ δὲ τῶν σταυρούντων ἐδάκρυεν. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ, καὶ ὅσῳ ἂν ἀδικώμεθα, τοσούτῳ μᾶλλον * θρηνεῖν τοὺς ἀδικοῦντας. ἡμῖν μὲν γὰρ πολλὰ ἐντεῦθεν τὰ ἀγαθὰ, ἐκείνοις δὲ τὰ ἐναντία. ἀλλ' ἐπὶ πάντων ὕβρισε καὶ ἐτύπτησεν; οὐκοῦν ἐπὶ πάντων ἑαυτὸν ἤσχυνε, καὶ ἠτίμωσε, καὶ μυρίων κατηγόρων ἤνοιξε στόματα, καὶ σοὶ πλείονας τοὺς στεφάνους ὕφηνε, καὶ πολλούς σοι τῆς μακροθυμίας συνήγαγε κήρυκας. ἀλλὰ πρὸς ἑτέρους διέβαλε; καὶ τί τοῦτο, τοῦ Θεοῦ ὄντος τοῦ μέλλοντος ἀπαιτεῖν τὰς εὐθύνας, ἀλλ' οὐκ ἐκείνων τῶν ἀκουσάντων; ἑαυτῷ γὰρ προσέθηκε κολάσεως ὑπόθεσιν, ἵνα μὴ μόνον ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ ὧν περὶ σοῦ διελέχθη, παράσχῃ λόγον· καὶ σὲ μὲν πρὸς ἀνθρώπους διέβαλεν, αὐτὸς δὲ πρὸς Θεὸν διεβλήθη. εἰ δὲ οὐκ ἀρκεῖ σοι ταῦτα, ἐννόησον ὅτι καὶ ὁ δεσπότης σου διεβλήθη ὑπὸ τοῦ Σατανᾶ καὶ ὑπὸ ἀνθρώπων καὶ πρὸς τοὺς μάλιστα φιλουμένους, καὶ ὁ τούτου μονογενὴς πάλιν τὰ αὐτά. διὸ καὶ ἔλεγεν, Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πολλῷ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ. καὶ οὐ διέβαλεν αὐτὸν μόνον ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἀλλὰ καὶ ἐπιστεύθη· καὶ διέβαλεν οὐ τὰ τυχόντα, ἀλλὰ τὰ μέγιστα ὀνείδη καὶ ἐγκλήματα. καὶ γὰρ καὶ δαιμονῶντα αὐτὸν ἔφησε, καὶ πλάνον εἶναι καὶ ἀντίθεον. ἀλλὰ καὶ εὐεργετήσας ἔπαθες κακῶς; καὶ διὰ τοῦτο μάλιστα ὑπὲρ μὲν τοῦ ποιήσαντος θρήνει καὶ ἄλγει, ὑπὲρ δὲ σεαυτοῦ καὶ χαῖρε, ὅτι Θεῷ γέγονας ὅμοιος, τῷ τὸν ἥλιον ἀνατέλλοντι ἐπὶ πονηροὺς καὶ ἀγαθούς. εἰ δὲ καὶ ὑπερβαίνει σε τὸ τὸν Θεὸν μιμεῖσθαι (καίτοιγε τῷ νήφοντι οὐδὲ τοῦτο δύσκολον) ἀλλ' ὅμως εἰ σοῦ μεῖζον τοῦτο εἶναι δοκεῖ, φέρε σε πρὸς τοὺς "συνδούλους ἀγάγωμεν, πρὸς τὸν Ἰωσὴφ τὸν μυρία παθόντα καὶ εὐεργετήσαντα τοὺς ἀδελφοὺς, πρὸς τὸν Μωϋσέα τὸν μετὰ μυρίας ἐπιβουλὰς ὑπὲρ αὐτῶν δεηθέντα, πρὸς τὸν μακάριον Παῦλον τὸν οὐδὲ ἀριθμῆσαι ἔχοντα ἅπερ ἔπαθε παρ' αὐτῶν, καὶ ἀξιοῦντα ἀνάθεμα εἶναι ὑπὲρ αὐτῶν, πρὸς τὸν Στέφανον τὸν λιθαζόμενον καὶ παρακαλοῦντα "συγχωρῆσαι αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ταῦτα πάντα ἐννοήσας ἔκβαλε πᾶσαν ὀργὴν, ἵνα καὶ ὁ Θεὸς ἀφῇ ἡμῖν πάντα τὰ "παραπτώματα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ι. κε.

Ὁμιλ. ξβ'. 1 ΚΑΙ ΕΓΕΝΕΤΟ ΟΤΕ ΕΤΕΛΕΣΕΝ Ο ΙΗΣΟΥΣ τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας, πέραν τοῦ Ἰορδάνου.

κεφ. ιθ.

Συνεχῶς τὴν Ἰουδαίαν ″ἀφεὶς διὰ τὴν βασκανίαν τὴν ἐκείνων, νῦν ἐπιχωριάζει λοιπόν, ἐπειδὴ τὸ πάθος ἐγγὺς ἔμελλεν εἶναι· οὐ μὴν εἰς τὰ Ἱεροσόλυμα τέως ἄνεισιν, ἀλλ' εἰς τὰ ὅρια τῆς Ἰουδαίας. καὶ ἐλθόντι ἠκολούθησαν [αὐτῷ] ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτούς. οὔτε τῇ τῶν λόγων διδασκαλίᾳ διηνεκῶς ἐνδιατρίβει, οὔτε τῇ τῶν σημείων θαυματουργίᾳ· ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιεῖ, ποικίλλων τὴν σωτηρίαν τῶν προσεδρευόντων καὶ ″ἐπιμενόντων, ὥστε ἀπὸ μὲν τῶν σημείων ἀξιόπιστος, ἐν οἷς ἔλεγε, φανῆναι διδάσκαλος, ἀπὸ δὲ τῆς τῶν λόγων διδασκαλίας ἐπιτεῖναι τὸ ἀπὸ τῶν σημείων κέρδος. τοῦτο δὲ ἦν τὸ πρὸς θεογνωσίαν αὐτοὺς χειραγωγῆσαι. σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ὁλοκλήρους δήμους παρατρέχουσιν ἐν ἑνὶ ῥήματι οἱ μαθηταί, οὐ κατ' ὄνομα ἕκαστον ἀπαγγέλλοντες τῶν θεραπευομένων. οὐ γὰρ εἶπον, ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα· ἀλλ' ὅτι πολλοί, τὸ ἀκόμπαστον παιδεύοντες. ἐθεράπευσε δὲ ὁ Χριστός, ἐκείνους τε εὐεργετῶν, καὶ δι' ἐκείνων πολλοὺς ἑτέρους. ἡ γὰρ τῆς τούτων ἀσθενείας διόρθωσις, ἑτέροις ὑπόθεσις θεογνωσίας ἐγίνετο· ἀλλ' οὐχὶ τοῖς Φαρισαίοις, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μᾶλλον ἐκθηριοῦνται καὶ προσέρχονται αὐτῷ πειράζοντες. ἐπειδὴ γὰρ τῶν γινομένων ἐπιλαβέσθαι οὐκ εἶχον, προβλήματα αὐτῷ προβάλλουσι.

χ. ἀφιείς

χ. ἐπιμεν

3 Προσελθόντες γὰρ αὐτῷ καὶ πειράζοντες ἔλεγον· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; Ὢ τῆς ″ἀπονοίας· ᾤοντο ἐπιστομίζειν αὐτὸν διὰ τῶν ζητημάτων, καίτοιγε ἤδη λαβόντες αὐτοῦ τεκμήριον τῆς δυνάμεως ταύτης. ὅτε γοῦν περὶ τοῦ σαββάτου πολλὰ διελέχθησαν, ὅτε εἶπον, ὅτι βλασφημεῖ, ὅτε εἶπον, ὅτι δαιμόνιον ἔχει, ὅτε τοῖς μαθηταῖς ἐπετίμησαν διὰ τῶν σπορίμων βαδίζουσιν, ὅτε περὶ ἀνίπτων διελέχθησαν χειρῶν, πανταχοῦ ἀποῤῥάψας αὐτῶν τὰ στόματα, καὶ τὴν ἀναίσχυντον ἐμφράξας γλῶτταν οὕτω πάλιν ἔπεμψεν· ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστανται. τοιοῦτον γὰρ πονηρία, τοιοῦτον ἡ βασκανία, ἀναίσχυντον καὶ ἰταμόν. κἂν μυριάκις ἐπιστομισθῇ, μυριάκις ἐφίσταται πάλιν. σὺ δέ μοι σκόπει καὶ τὴν ἐκ τοῦ τρόπου τῆς ″ἐρωτήσεως κακουργίαν. οὐδὲ γὰρ εἶπον αὐτῷ, ἐκέλευσας μὴ ἀφιέναι γυναῖκα (καὶ γὰρ ἤδη ἦν περὶ τοῦ νόμου τούτου διαλεχθείς) ἀλλ' ὅμως οὐκ ἐμνημόνευσαν ἐκείνων τῶν ῥημάτων, ἀλλ' ὡρμήθησαν μὲν ἐκεῖθεν· οἰόμενοι δὲ μείζονα ποιεῖν τὴν ἐνέδραν, καὶ βουλόμενοι εἰς ἀντινομίας ἀνάγκην αὐτὸν ἐμβαλεῖν, οὐ λέγουσι, διατί ἐνομοθέτησας τὸ καὶ τό; ἀλλ' ὡς οὐδενὸς εἰρημένου ἐρωτῶσιν εἰ ἔξεστι, προσδοκῶντες ὅτι ἐπιλέλησται εἰρηκώς· καὶ ὄντες ἕτοιμοι, εἰ μὲν εἴποι ὅτι ἔξεστιν ἀφεῖναι, ἀντιτεῖναι αὐτῷ τὰ παρ' αὐτοῦ εἰρημένα, καὶ εἰπεῖν· πῶς οὖν εἴρηκας τὰ ἐναντία; εἰ δὲ τὰ αὐτὰ πάλιν [εἴπῃ,] ἅπερ καὶ ἔμπροσθεν, ἀντιτεῖναι τὰ Μωϋσέως. τί οὖν αὐτός; οὐκ εἶπε· τί με πειράζετε, ὑποκριταί; καίτοιγε μετὰ ταῦτα λέγει· ἀλλ' ἐνταῦθα οὐ φησι τοῦτο. τί δήποτε; ἵνα μετὰ τῆς δυνάμεως αὐτοῦ καὶ τὴν ἡμερότητα ἐπιδείξηται. οὔτε γὰρ ἀεὶ σιγᾷ, ἵνα μὴ νομίσωσι λανθάνειν· οὔτε ἀεὶ ἐλέγχει, ἵνα παιδεύσῃ ἡμᾶς ἡμέρως πάντα φέρειν. πῶς οὖν αὐτοῖς ἀποκρίνεται;

χ. ἀνοίας

χ. ἐπηρ.

4 Οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;

5 Καὶ εἶπεν, ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα [αὐτοῦ,] καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·

6 Ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Ὅρα σοφίαν διδασκάλου. ἐρωτηθεὶς γὰρ εἰ ἔξεστιν, οὐκ εὐθέως εἶπεν, οὐκ ἔξεστιν, ἵνα μὴ θορυβηθῶσι καὶ ταραχθῶσιν· ἀλλὰ πρὸ τῆς ἀποφάσεως διὰ τῆς κατασκευῆς κατέστησε τοῦτο δῆλον, δεικνὺς ὅτι καὶ αὐτὸ τοῦ πατρὸς αὐτοῦ ἐστι τὸ πρόσταγμα, καὶ ὅτι οὐκ ἐναντιούμενος Μωϋσεῖ ταῦτα ἐπέταξεν, ἀλλὰ καὶ σφόδρα συμβαίνων. σκόπει δὲ αὐτὸν οὐκ ἀπὸ τῆς δημιουργίας διϊσχυριζόμενον μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ προστάγματος αὐτοῦ. οὐ γὰρ εἶπεν, ὅτι ἐποίησεν ἕνα ἄνδρα καὶ μίαν γυναῖκα μόνον· ἀλλ᾽ ὅτι καὶ τοῦτο ἐκέλευσεν, ὥστε τὸν ἕνα τῇ μιᾷ συνάπτεσθαι. εἰ δὲ ἐβούλετο ταύτην μὲν ἀφιέναι, ἑτέραν δὲ ἐπεισάγειν, ἕνα ἄνδρα ποιήσας, πολλὰς ἂν ἔπλασε γυναῖκας. νῦν δὲ καὶ τῷ τρόπῳ τῆς δημιουργίας, καὶ τῷ τρόπῳ τῆς νομοθεσίας ἔδειξεν, ὅτι ἕνα δεῖ μιᾷ συνοικεῖν διὰ παντὸς, καὶ μηδέποτε διαρρήγνυσθαι. καὶ ὅρα πῶς φησιν· ὁ ποιήσας ἀπ᾽ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν [αὐτούς·] τουτέστι, καὶ ἐκ μιᾶς ῥίζης ἐγένοντο, καὶ εἰς ἓν σῶμα συνῆλθον. ἔσονται γὰρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. εἶτα φοβερὸν ποιῶν τὸ ταύτης κατηγορεῖν τῆς νομοθεσίας, καὶ πηγνὺς τὸν νόμον, οὐκ εἶπε, μὴ διασπᾶτε τοίνυν, μηδὲ χωρίζετε· ἀλλὰ τί; ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. εἰ δὲ Μωϋσέα προβάλλῃ, ἐγώ σοι λέγω τὸν Μωϋσέως δεσπότην, καὶ μετὰ τούτου καὶ τῷ χρόνῳ ἰσχυρίζομαι. καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ πρεσβύτερος οὗτος ὁ νόμος, εἰ καὶ δοκεῖ παρ᾽ ἐμοῦ νῦν εἰσάγεσθαι, καὶ μετὰ πολλῆς κείμενος τῆς σπουδῆς. οὐδὲ γὰρ ἁπλῶς συνήγαγε τὴν γυναῖκα τῷ ἀνδρὶ, ἀλλὰ καὶ μητέρα ἀφιέναι ἐκέλευσε καὶ πατέρα· καὶ οὐδὲ ἐλθεῖν πρὸς τὴν γυναῖκα ἁπλῶς ἐνομοθέτησεν, ἀλλὰ καὶ κολληθῆναι, τῷ τρόπῳ τῆς λέξεως τὸ ἀδιάσπαστον ἐμφαίνων. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἑτέραν μείζονα συνάφειαν ἐπεζήτησεν. ἔσονται γὰρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. εἶτα ἐπειδὴ τὸν παλαιὸν ἀνέγνω νόμον, τὸν καὶ διὰ πραγμάτων καὶ διὰ ῥημάτων εἰσενεχθέντα, καὶ ἀξιόπιστον ἀπὸ τοῦ δεδωκότος ἀπέφηνε, μετ᾽ ἐξουσίας λοιπὸν καὶ αὐτὸς ἑρμηνεύει καὶ νομοθετεῖ λέγων· ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὥσπερ οὖν σάρκα τέμνειν, ἐναγὲς, οὕτω καὶ γυναῖκα διαστῆσαι, παράνομον. καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ τὸν Θεὸν ἐπήγαγε λέγων· ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, δεικνὺς ὅτι καὶ παρὰ φύσιν καὶ παρὰ νόμον τὸ γινόμενον· παρὰ φύσιν μὲν, ὅτι μία διατέμνεται σάρξ· παρὰ νόμον δὲ, ὅτι τοῦ Θεοῦ συνάψαντος καὶ κελεύσαντος μὴ διαχωρίζεσθαι, αὐτοὶ συνεπιτίθεσθε τοῦτο δρᾶν. τί οὖν* μετὰ ταῦτα ἐχρῆν; οὐχὶ ἡσυχάσαι καὶ ἐπαινέσαι τὸ εἰρημένον; οὐχὶ θαυμάσαι τὴν σοφίαν; οὐκ ἐκπλαγῆναι τὴν συμφωνίαν τὴν πρὸς τὸν πατέρα; ἀλλ᾽ οὐδὲν τούτων ποιοῦσιν· ἀλλ᾽ ὡς δῆθεν ἐπαγωνιζόμενοί φασι·

7 Πῶς οὖν Μωϋσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν; Δευτ. κδ. α.

Καίτοιγε τοῦτο λοιπὸν οὐκ αὐτοὺς ἔδει προβάλλειν, ἀλλ᾽ αὐτὸν αὐτοῖς· ἀλλ᾽ ὅμως οὐκ ἐπεμβαίνει, οὐδὲ λέγει αὐτοῖς τοῦτο, ὅτι τοῦδε οὐκ εἰμὶ λοιπὸν ὑπεύθυνος ἐγώ· ἀλλὰ καὶ τοῦτο διαλύεται. καὶ μὴν εἰ ἀλλότριος ἦν τῆς παλαιᾶς, οὐκ ἂν ἠγωνίσατο ὑπὲρ Μωϋσέως· οὐδ᾽ ἂν ἀπὸ τῶν ἅπαξ ἐν ἀρχῇ γενομένων ἰσχυρίσατο· οὐκ ἂν ἐσπούδασε τὰ αὐτοῦ δεῖξαι συμβαίνοντα τοῖς παλαιοῖς. καίτοιγε πολλὰ καὶ ἄλλα Μωϋσῆς ἐκέλευσε, καὶ τὰ περὶ βρωμάτων, καὶ τὰ περὶ σαββάτων· τίνος οὖν ἕνεκεν οὐδαμοῦ αὐτὸν προβάλλονται, ὡς ἐνταῦθα; βουλόμενοι τὸ πλῆθος τῶν ἀνδρῶν ἐπιστρατεῦσαι αὐτῷ. καὶ γὰρ ἀδιάφορον Ἰουδαίοις τοῦτο ἦν, καὶ πάντες τοῦτό γε ἔπραττον. διὰ δὴ τοῦτο τοσούτων ἐν τῷ ὄρει λεχθέντων ταύτης ἐμέμνηντο τῆς ἐντολῆς μόνης νῦν. ἀλλ᾽ ὅμως ἡ ἀπόρρητος σοφία καὶ ὑπὲρ τούτων ἀπολογεῖται, καί φησιν·

8 Ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν οὕτως ἐνομοθέτησε.

Καὶ οὐδὲ ἐκεῖνον ἀφίησιν ὑπὸ κατηγορίαν μένειν, ἐπειδὴ καὶ τὸν νόμον αὐτὸς ἦν αὐτῷ δεδωκώς· ἀλλ᾽ ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος, καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπει κεφαλήν, ὃ πανταχοῦ ποιεῖ. καὶ γὰρ ὅτε τοὺς μαθητὰς τίλλοντας τοὺς στάχυας ἠτιῶντο, δείκνυσιν αὐτοὺς ὄντας ὑπευθύνους· καὶ ὅτε παράβασιν ἐνεκάλουν περὶ τοῦ μὴ νίπτεσθαι τὰς χεῖρας, δείκνυσιν αὐτοὺς ὄντας τοὺς παραβάτας· καὶ ἐπὶ τοῦ σαββάτου δὲ, καὶ πανταχοῦ, καὶ ἐνταῦθα ὁμοίως. Εἶτα, ἐπειδὴ φορτικὸν ἦν τὸ εἰρημένον, καὶ πολλὴν ἔφερεν αὐτοῖς τὴν διαβολήν, ταχέως πάλιν ἐπὶ τὸν ἀρχαῖον ἀνάγει νόμον τὸν λόγον, λέγων, ὅπερ καὶ ἔμπροσθεν εἶπεν·

Ἀπ᾽ ἀρχῆς δὲ οὐκ ἐγένετο οὕτω· Τουτέστιν, ὅτι διὰ τῶν πραγμάτων ἡμῖν ἐξ ἀρχῆς ἐνομοθέτησεν ὁ Θεὸς τὰ ἐναντία. ἵνα γὰρ μὴ λέγωσι, πόθεν δῆλον ὅτι διὰ τὴν ἡμῶν σκληρότητα τοῦτο εἶπε Μωϋσῆς, ἐκεῖθεν αὐτοὺς πάλιν ἐπιστομίζει. εἰ γὰρ οὗτος προηγούμενος ἦν ὁ νόμος καὶ συμφέρων, οὐκ ἂν ἐκεῖνος ἐξ ἀρχῆς ἐδόθη· οὐκ ἂν οὕτω πλάττων ἔπλασεν ὁ Θεός· οὐκ ἂν τοιαῦτα εἶπε.

9 Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, καὶ γαμήσει ἄλλην, μοιχᾶται. Ἐπειδὴ γὰρ αὐτοὺς ἐπεστόμισε, μετ᾽ αὐθεντίας νομοθετεῖ λοιπόν, ὥσπερ ἐπὶ τῶν βρωμάτων, ὥσπερ ἐπὶ ʺ τοῦ σαββάτου. καὶ γὰρ ἐπὶ τῶν βρωμάτων τρεψάμενος αὐτούς, τότε διελέχθη τοῖς ὄχλοις, ὅτι οὐ τὸ εἰσερχόμενον κοινοῖ τὸν ἄνθρωπον· καὶ ἐπὶ τοῦ σαββάτου ἐπιστομίσας αὐτούς, φησίν· ὥστε ἔξεστιν ἐν σαββάτῳ καλῶς ποιεῖν, καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο. ἀλλ᾽ ὅπερ ἐκεῖ συνέβη, τοῦτο καὶ ἐνταῦθα. ὥσπερ γὰρ ἐκεῖ τῶν Ἰουδαίων ἐπιστομισθέντων οἱ μαθηταὶ ἐθορυβήθησαν, καὶ προσελθόντες αὐτῷ μετὰ τοῦ Πέτρου ἔλεγον, Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην, οὕτω καὶ νῦν θορυβηθέντες ἔλεγον·

χ. τῶν
βάτων.

10 Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου, συμφέρει μὴ γαμῆσαι. Καὶ γὰρ νῦν ἐνόησαν μᾶλλον ἢ πρότερον τὸ λεχθέν. διὰ τοῦτο τότε μὲν ἐσίγησαν, νυνὶ δὲ ἐπειδὴ ἀντίρρησις καὶ ἀπόκρισις γέγονε, καὶ ἐρώτησις καὶ πεῦσις, καὶ σαφέστερος ὁ νόμος ἐφάνη, ἐρωτῶσιν αὐτόν. καὶ φανερῶς μὲν ἀντειπεῖν οὐ τολμῶσι, τὸ δὲ ἐξ αὐτοῦ βαρὺ δοκοῦν εἶναι καὶ φορτικόν, τοῦτο εἰς μέσον παράγουσι λέγοντες· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. καὶ γὰρ σφόδρα ἐπαχθὲς εἶναι ἐδόκει, τὸ γυναῖκα πάσης κακίας γέμουσαν ἔχειν, καὶ ἀνέχεσθαι ἀνημέρου θηρίου διὰ παντὸς ἔνδον συγκεκλεισμένου. καὶ ἵνα μάθῃς ὅτι σφόδρα τοῦτο αὐτοὺς ἐθορύβει, ὁ Μάρκος αὐτὸ δηλῶν ἔλεγεν, ὅτι κατιδίαν εἶπον αὐτῷ. τί δέ ἐστιν, εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός; τουτέστιν, εἰ διὰ τοῦτο ʺσυνήφθη ἵνα ἓν ὦσιν, εἰ δι᾽ ἐκεῖνο αἰτίανʺ λήψεται ἐπὶ τούτοις ὁ ἀνήρ, καὶ πανταχοῦ παρανομεῖ ἐκβάλλων, κουφότερον πρὸς ἐπιθυμίαν μάχεσθαι φύσεως καὶ πρὸς ἑαυτόν, ἢ πρὸς γυναῖκα πονηράν. τί οὖν ὁ Χριστός; οὐκ εἶπε, ναὶ κουφότερον καὶ ποιεῖτε τοῦτο, ἵνα μὴ νομίσωσιν ὅτι νόμος τὸ πρᾶγμά ἐστιν· ἀλλ᾽ ἐπήγαγεν,

Μαρ. ι. ι.

ἴσ. συ
σαν
χ. ἐπὶ τ
ἀναλ

11 Οὐ πάντες χωροῦσιν, ἀλλ᾽ οἷς δέδοται. Ἐπαίρων τὸ πρᾶγμα, καὶ δεικνὺς μέγα ὄν, καὶ ταύτῃ ἐφελκόμενος καὶ προτρέπων. ἀλλ᾽ ὅρα ἐνταῦθα ἐναντιολογίαν. αὐτὸς μὲν γὰρ μέγα φησὶ τοῦτο· ἐκεῖνοι δὲ κουφότερον. καὶ γὰρ ἀμφότερα ἔδει γενέσθαι, καὶ παρ᾽ αὐτοῦ μέγα ὁμολογηθῆναι, ἵνα προθυμοτέρους ἐργάσηται, καὶ ἐκ τῶν εἰρημένων παρ᾽ αὐτοῖς κουφότερον λεχθῆναι, ἵνα καὶ ταύτῃ μᾶλλον τὴν παρθενίαν ἕλωνται καὶ τὴν ἐγκράτειαν. ἐπειδὴ γὰρ τὸ περὶ παρθενίας εἰπεῖν ἐπαχθὲς ἐδόκει εἶναι, ἐκ τῆς ἀνάγκης τοῦ νόμου τούτου εἰς τὴν ἐπιθυμίαν αὐτοὺς ἐκείνην ἐνέβαλεν. Εἶτα τὸ δυνατὸν δεικνύς, φησίν·

12 Εἰσὶν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Διὰ τούτων λανθανόντως ἐνάγων αὐτοὺς εἰς τὴν τοῦ πράγματος αἵρεσιν, καὶ τὸ δυνατὸν τῆς ἀρετῆς ταύτης κατασκευάζων, καὶ μονονουχὶ λέγων· ὅτι ἐννόησον εἰ ἐκ φύσεως τοιοῦτος ἦς, ἢ παρὰ τῶν τὰ τοιαῦτα ἐπηρεαζόντων τὸ αὐτὸ τοῦτο ὑπέμεινας, τί ἂν ἐποίησας, τῆς ἀπολαύσεως μὲν ἐστερημένος, μισθὸν δὲ οὐκ ἔχων; οὐκοῦν εὐχαρίστει τῷ Θεῷ νῦν, ὅτι μετὰ μισθοῦ καὶ στεφάνων τοῦτο ὑπομένεις, ὃ χωρὶς στεφάνων ἐκεῖνοι· μᾶλλον δὲ οὐδὲ τοῦτο, ἀλλὰ καὶ πολλῷ κουφότερον, τῇ τε ἐλπίδι διορθούμενος καὶ τῷ συνειδότι τοῦ κατορθώματος, καὶ μηδὲ τὴν ἐπιθυμίαν οὕτω κυμαίνουσαν ἔχων. οὐ γὰρ οὕτως

ἐκτομὴ μορίων, ὡς λογισμοῦ χαλινὸς τὰ τοιαῦτα οἶδε καταστέλλειν κύματα καὶ γαλήνην ποιεῖν· μᾶλλον δὲ λογισμὸς μόνος. Διὰ τοῦτο τοίνυν ἐκείνους παρήγαγεν, ἵνα τούτους ἀλείψῃ. Ἐπεὶ εἰ μὴ τοῦτο κατεσκεύαζε, τί βούλεται ὁ περὶ τῶν ἄλλων εὐνούχων λόγος αὐτῷ; ὅταν δὲ λέγῃ, εὐνούχισαν ἑαυτοὺς, οὐ τὴν τῶν μορίων λέγει τὴν ἐκτομὴν (ἄπαγε) ἀλλὰ τὴν τῶν λογισμῶν τῶν πονηρῶν ἀναίρεσιν· ὡς ὅ γε τὸ μέλος ἐκτεμὼν, καὶ ἀρᾷ ἐστιν ὑπεύθυνος, καθὼς ὁ Παῦλός φησιν· Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. Καὶ μάλα εἰκότως. Καὶ γὰρ τὰ τῶν ἀνδροφόνων ὁ τοιοῦτος τολμᾷ, καὶ τοῖς τοῦ Θεοῦ διαβάλλουσι τὴν δημιουργίαν δίδωσιν ἀφορμὴν, καὶ τῶν Μανιχαίων ἀνοίγει τὰ στόματα, καὶ τοῖς παρ' Ἕλλησιν ἀκρωτηριαζομένοις τὰ αὐτὰ παρανομεῖ. Τὸ γὰρ ἀποκόπτειν τὰ μόρια, δαιμονικῆς ἐνεργείας καὶ σατανικῆς ἐπιβουλῆς ἐξ ἀρχῆς γέγονεν ἔργον· ἵνα τοῦ Θεοῦ τὸ ἔργον διαβάλλωσιν· ἵνα τὸ ζῶον τοῦ Θεοῦ λυμήνωνται· ἵνα μὴ τῇ προαιρέσει, ἀλλὰ τῇ τῶν μορίων φύσει τὸ πᾶν λογισάμενοι, οὕτως ἀδεῶς ἁμαρτάνωσιν αὐτῶν οἱ πολλοὶ, ἅτε ἀνεύθυνοι ὄντες· καὶ διπλῆ παραβλάψωσι τὸ ζῶον τοῦτο, καὶ τῷ τὰ μέλη πηροῦν, καὶ τῷ τὴν τῆς προαιρέσεως τὴν ὑπὲρ τῶν ἀγαθῶν προθυμίαν κωλύειν. Ταῦτα δὲ ὁ διάβολος ἐνομοθέτησε, πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἕτερον πονηρὸν δόγμα εἰσάγων, καὶ τὸν περὶ εἱμαρμένης καὶ ἐντεῦθεν προοδοποιῶν λόγον, καὶ πανταχοῦ τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἡμῖν ἐλευθερίαν λυμαινόμενος, καὶ πείθων φυσικὰ εἶναι τὰ κακὰ, καὶ πολλὰ ἕτερα ἐντεῦθεν ὑποσπείρων δόγματα πονηρὰ, εἰ καὶ μὴ προφανῶς. Τοιαῦτα γὰρ τοῦ διαβόλου τὰ δηλητήρια. Διὰ τοῦτο παρακαλῶ φεύγειν τὴν τοιαύτην παρανομίαν. Μετὰ γὰρ τῶν εἰρημένων, οὐδὲ τὰ τῆς ἐπιθυμίας ἡμερώτερα ἐντεῦθεν, ἀλλὰ καὶ χαλεπώτερα γίνεται. Ἑτέρωθεν γὰρ ἔχει τὰς πηγὰς τὸ σπέρμα τὸ ἐν ἡμῖν, καὶ ἑτέρωθεν κυμαίνει. Καὶ οἱ μὲν, ἀπὸ ἐγκεφάλου· οἱ δὲ, ἀπὸ ὀσφύος τὸν οἶστρον ἐκεῖνον φύεσθαι λέγουσιν· ἐγὼ δὲ οὐδαμόθεν ἄλλοθεν εἴποιμι ἂν, ἀλλ' ἢ ἀπὸ γνώμης ἀκολάστου καὶ διανοίας ἠμελημένης. Κἂν αὕτη σωφρονῇ, τῶν φυσικῶν κινημάτων βλάβος οὐδέν. Εἰπὼν τοίνυν τοὺς εὐνούχους τοὺς εἰκῆ καὶ μάτην εὐνούχους, εἰ μὴ τῷ λογισμῷ καὶ αὐτοὶ σωφρονοῖεν, καὶ τοὺς ὑπὲρ [τῆς βασιλείας] τῶν οὐρανῶν παρθενεύοντας, πάλιν ἐπάγει λέγων· ὁ δυνάμενος χωρεῖν, χωρείτω, προθυμοτέρους τε ποιῶν τῷ δεῖξαι ὑπέρογκον ὂν τὸ κατόρθωμα, καὶ οὐκ ἀφιεὶς εἰς ἀνάγκην νόμου τὸ πρᾶγμα κλεισθῆναι διὰ τὴν ἄφατον αὐτοῦ ἡμερότητα. Καὶ τοῦτο εἰπὼν, ἔτι σφόδρα ἔδειξε δυνατὸν ὂν, ἵνα πλείων τῆς προαιρέσεως ἡ φιλοτιμία γένηται. Καὶ εἰ προαιρέσεώς ἐστι, φησὶ, πῶς ἀρχόμενος ἔλεγεν· οὐ πάντες χωροῦσιν, ἀλλ' οἷς δέδοται; ἵνα μάθῃς, ὅτι μέγας ὁ ἆθλος, οὐχ ἵνα ἀποκλήρωσίν τινα ἠναγκασμένην ὑποπτεύσῃς. Δέδοται γὰρ ἐκείνοις τοῖς βουλομένοις. Εἶπε δὲ οὕτω, δεικνὺς ὅτι πολλῆς δεῖ τῆς ἄνωθεν ῥοπῆς τῷ εἰς τοῦτον εἰσελθόντι τὸ σκάμμα, ἧς ἀπολαύσεται πάντως ὁ βουλόμενος. Ἔθος γὰρ αὐτῷ ταύτῃ κεχρῆσθαι τῇ λέξει, ὅταν μέγα τὸ κατορθούμενον ᾖ· ὡς ὅταν λέγῃ, Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια. Καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, δῆλον καὶ ἐκ τοῦ παρόντος. Εἰ γὰρ τῆς ἄνωθεν δόσεως μόνης ἐστὶ, καὶ οὐδὲν αὐτοὶ συνεισφέρουσιν οἱ παρθενεύοντες, περιττῶς αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο, καὶ τῶν ἄλλων αὐτοὺς διεῖλεν εὐνούχων. Σὺ δέ μοι σκόπει, πῶς ἐξ ὧν ἕτεροι πονηρεύονται, κερδαίνουσιν ἕτεροι. Οἱ μὲν γὰρ Ἰουδαῖοι μηδὲν μαθόντες ἀπῆλθον (οὐδὲ γὰρ ἵνα μάθωσιν ἠρώτων) οἱ δὲ μαθηταὶ καὶ ἐντεῦθεν ἐκέρδαινον.

Γαλ. ε. ιβ.

Λουκ. η. ι.

13 Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς.

14 Ὁ δὲ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με. Τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

15 Καὶ ἐπιθεὶς ἐπ' αὐτὰ τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν.

Καὶ τίνος ἕνεκεν οἱ μαθηταὶ ἀπεσόβουν τὰ παιδία; ἀξιώματος ἕνεκεν. Τί οὖν αὐτός;

διδάσκων αὐτοὺς μετριάζειν καὶ τὸν τῦφον καταπατεῖν τὸν κοσμικὸν, καὶ λαμβάνει καὶ ἐναγκαλίζεται, καὶ τοῖς τοιούτοις τὴν βασιλείαν ἐπαγγέλλεται, ὅπερ καὶ ἔμπροσθεν εἴρηκε.

ΗΘΙΚΟΝ

Καὶ ἡμεῖς τοίνυν εἰ βουλοίμεθα κληρονόμοι γενέσθαι τῶν οὐρανῶν, τὴν ἀρετὴν ταύτην μετὰ πολλῆς κτησώμεθα τῆς ἐπιμελείας. τοῦτο γὰρ φιλοσοφίας ὅρος, μετὰ συνέσεως ἁπλάστου εἶναι· τοῦτο βίος ἀγγελικός. καὶ γὰρ πάντων τῶν παθῶν καθαρεύει ἡ ψυχὴ τοῦ παιδίου. τοῖς λελυπηκόσιν οὐ μνησικακεῖ· ἀλλ' ὡς φίλοις προσέρχεται, ὡς οὐδενὸς γενομένου· καὶ ὅσα ἂν παρὰ τῆς μητρὸς μαστιχθῇ, ταύτην ἐπιζητεῖ, καὶ πάντων αὐτὴν προτιμᾷ. κἂν βασιλίδα δείξῃς μετὰ διαδήματος, οὐ προτίθησιν αὐτὴν τῆς μητρὸς ῥάκια περιβεβλημένης, ἀλλ' ἕλοιτο ἂν μᾶλλον ἐκείνην ἰδεῖν μετὰ τούτων, ἢ τὴν βασιλίδα μετὰ κόσμου. τὸ γὰρ οἰκεῖον καὶ ἀλλότριον, οὐ πενίᾳ, οὐ πλούτῳ, ἀλλὰ φιλίᾳ διαγινώσκειν οἶδε· καὶ τῶν ἀναγκαίων οὐδὲν πλέον ἐπιζητεῖ, ἀλλ' ὅσον ἐμπλησθῆναι τοῦ μαστοῦ, καὶ ἀφίσταται τῆς θηλῆς. τὸ παιδίον οὐ λυπεῖται ἐφ' οἷς ἡμεῖς, οἷον ἐπὶ ζημίᾳ χρημάτων καὶ τοῖς τοιούτοις· καὶ οὐ χαίρει πάλιν ἐφ' οἷς ἡμεῖς, τοῖς ἐπικήροις τούτοις· οὐκ ἐπτόηται πρὸς κάλλη σωμάτων. διὰ τοῦτο ἔλεγε· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἵνα τῇ προαιρέσει ταῦτα ἐργαζώμεθα, ἃ τῇ φύσει τὰ παιδία ἔχει. ἐπειδὴ γὰρ οἱ Φαρισαῖοι οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ κακουργίας καὶ ἀπονοίας ἔπραττον ἅπερ ἔπραττον, διὰ τοῦτο ἄνω καὶ κάτω τοὺς μαθητὰς ἀφελεῖς εἶναι κελεύει, ἐκείνους τε αἰνιττόμενος, καὶ τούτους παιδεύων. καὶ γὰρ οὐδὲν οὕτως εἰς ἀλαζονείαν ἐπαίρει, ὡς ἀρχὴ καὶ προεδρία. ἐπεὶ οὖν ἔμελλον ἀπολαύειν οἱ μαθηταὶ πολλῆς τιμῆς κατὰ τὴν οἰκουμένην ἅπασαν, προκαταλαμβάνει αὐτῶν τὴν διάνοιαν, οὐκ ἀφιεὶς ἀνθρώπινόν τι παθεῖν, οὐδὲ τιμὰς ἀπαιτεῖν παρὰ τοῦ πλήθους, οὐδὲ σοβεῖν πρὸ αὐτῶν. εἰ γὰρ καὶ μικρὰ ταῦτα εἶναι δοκεῖ, ἀλλὰ μεγάλων κακῶν ἐστιν αἴτια. οὕτω γοῦν οἱ Φαρισαῖοι παιδοτριβούμενοι, εἰς τὴν κορωνίδα τῶν κακῶν ἐξέπεσον, τοὺς ἀσπασμοὺς, τὰς προεδρίας, τοὺς μεσασμοὺς ἐπιζητοῦντες. ἀπὸ γὰρ τούτων εἰς δοξομανίαν, εἶτα ἐκεῖθεν εἰς ἀσέβειαν ἐξώκειλαν. διὰ δὴ τοῦτο ἐκεῖνοι μὲν ἀρὰν ἐπισπασάμενοι διὰ τοῦ πειράζειν ἀπῆλθον· τὰ δὲ παιδία εὐλογίαν, ἅτε τούτων ἁπάντων ἠλευθερωμένα. γενώμεθα δὴ καὶ ἡμεῖς κατὰ τὰ παιδία, καὶ τῇ κακίᾳ νηπιάζωμεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρως ἰδεῖν οὐρανὸν, ἀλλ' ἀνάγκη πάντως εἰς γέενναν ἐμπεσεῖν τὸν ὕπουλον καὶ πονηρόν· καὶ πρὸ τῆς γεέννης δὲ, ἐνταῦθα τὰ ἔσχατα πεισόμεθα. ἐὰν γὰρ κακὸς γένῃ, φησὶ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ ἀγαθὸς, σαυτῷ καὶ τῷ πλησίον. σκόπει γοῦν, ὡς τοῦτο καὶ ἐπὶ τῶν προτέρων συνέβη. οὔτε γὰρ πονηρότερόν τι τοῦ Σαοὺλ γέγονεν, οὔτε ἁπλούστερον καὶ ἀφελέστερον τοῦ Δαβίδ. τίς οὖν ἰσχυρότερος ἦν; οὐ δεύτερον αὐτὸν εἰς χεῖρας ἔλαβεν ὁ Δαβὶδ, καὶ κύριος τοῦ ἀνελεῖν γενόμενος ἀπέσχε; οὐχ ὡς ἐν σαγήνῃ καὶ δεσμωτηρίῳ συνειλημμένον εἶχε, καὶ ἐφείσατο, καὶ ταῦτα, καὶ ἑτέρων παροξυνόντων, καὶ αὐτὸς μυρία ἐγκαλεῖν ἔχων ἐγκλήματα; ἀλλ' ὅμως ἀφῆκε σῶον ἀπελθεῖν. καίτοι ὁ μὲν μετὰ πάσης αὐτὸν τῆς στρατιᾶς ἐδίωκεν· ὁ δὲ μετ' ὀλίγων φυγάδων ἀπεγνωσμένων ἦν ἀλώμενος, καὶ τόπους ἐκ τόπων ἀμείβων. ἀλλ' ὅμως ὁ φυγὰς τοῦ βασιλέως περιεγένετο· ἐπειδὴ ὁ μὲν μετὰ ἁπλότητος, ὁ δὲ μετὰ πονηρίας παρετάττετο. τί γὰρ ἂν γένοιτο πονηρότερον ἐκείνου, ὃς τὸν αὐτῷ στρατηγοῦντα, καὶ τοὺς πολέμους ἅπαντας κατορθοῦντα, καὶ τῆς νίκης καὶ τῶν τροπαίων τοὺς μὲν πόνους ὑπομένοντα, τοὺς δὲ στεφάνους ἐκείνῳ κομίζοντα ἀνελεῖν ἐπεχείρει; τοιοῦτον γὰρ ἡ βασκανία· ἀεὶ τοῖς οἰκείοις ἐπιβουλεύει καλοῖς, καὶ τὸν ἔχοντα αὐτὴν τήκει καὶ μυρίαις περιβάλλει συμφοραῖς. καὶ ὁ δείλαιος γοῦν ἐκεῖνος, ἕως ὅτε ὁ Δαβὶδ ἀπέστη, οὐκ ἔρρηξε τὴν φωνὴν ἐκείνην τὴν ἐλεεινὴν, ὀλοφυρόμενος καὶ λέγων· Θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί, καὶ Κύριος ἀπέστη ἀπ' ἐμοῦ. ἕως ὅτε ἐχωρίσθη τοῦ Δαβὶδ, οὐκ ἔπεσεν ἐν πολέμῳ, ἀλλὰ καὶ ἐν ἀσφαλείᾳ καὶ ἐν δόξῃ ἦν. καὶ γὰρ εἰς τὸν βασιλέα τοῦ στρατηγοῦ διέβαινεν ἡ δόξα. οὐδὲ γὰρ τυραννικὸς ἦν ὁ ἀνὴρ, οὐδὲ θρόνου ἐκβα-

α. Βασ. κη. ιε.

λεῖν ἐπεχείρει, ἀλλ' αὐτῷ πάντα κατώρθου, καὶ σφόδρα περὶ αὐτὸν διέκειτο. καὶ τοῦτο καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον. ὅτε μὲν γὰρ ὑπ' αὐτῷ τεταγμένος ἦν, ἴσως ἄν τις τῷ νόμῳ τῆς ὑποταγῆς ταῦτα ἂν τις λογίσαιτο τῶν οὐκ ἀκριβῶς ἐξεταζόντων· ἐπειδὴ δὲ ἐξήγαγεν αὐτὸν τῆς βασιλείας ἐκείνου, τί λοιπὸν ἦν τὸ κατέχον αὐτὸν καὶ πεῖθον οὐ πρὸς ἐκεῖνον ἀπέχεσθαι πολέμου; μᾶλλον δὲ, τί οὐκ ἦν τὸ προξενοῦν ἐπὶ τὴν σφαγήν; οὐ πονηρὸς ἅπαξ καὶ δὶς καὶ πολλάκις περὶ αὐτὸν γέγονεν; οὐχὶ παθὼν εὖ; οὐχὶ μηδὲν ἔχων ἐγκαλεῖν; οὐκ ἐπικίνδυνος αὐτῷ καὶ ἐπισφαλὴς ἡ βασιλεία αὐτοῦ καὶ ἡ σωτηρία ἦν; οὐ πλανᾶσθαι ἔδει διηνεκῶς καὶ φεύγειν καὶ περὶ τῶν ἐσχάτων τρέμειν, ζῶντος ἐκείνου καὶ κρατοῦντος; ἀλλ' ὅμως τούτων οὐδὲν αὐτὸν ἠνάγκασεν αἱμάξαι τὸ ξίφος· ἀλλὰ καὶ καθεύδοντα εὑρὼν, καὶ δεδεμένον, καὶ μόνον, καὶ ἐν μέσοις αὐτοῖς, καὶ τῆς κεφαλῆς ἁψάμενος, καὶ πολλῶν ὄντων τῶν διεγειρόντων καὶ Θεοῦ ψῆφον εἶναι λεγόντων τὴν τοιαύτην εὐκαιρίαν, ἐκεῖνος καὶ ἐπετίμησε τοῖς παρορμῶσι, καὶ ἀπέσχετο τοῦ φόνου, καὶ σῶον ἐξέπεμψε καὶ ὑγιῆ. καὶ ὥσπερ ὢν μᾶλλον σωματοφύλαξ αὐτοῦ καὶ ὑπερασπιστὴς, οὐ πολέμιος, οὕτως ἐνεκάλει τῷ στρατοπέδῳ τὴν εἰς τὸν βασιλέα προδοσίαν. τί ταύτης τῆς ψυχῆς ἴσον γένοιτ' ἄν; τί τῆς ἡμερότητος ἐκείνης; τοῦτο γὰρ δυνατὸν μὲν καὶ ἐκ τῶν εἰρημένων συνιδεῖν· πολλῷ δὲ πλέον καὶ ἐκ τῶν νυνὶ γινομένων. ὅταν γὰρ τὴν ἡμετέραν καταμάθωμεν φαυλότητα, τότε ἀκριβέστερον εἰσόμεθα τῶν ἁγίων ἐκείνων τὴν ἀρετήν. διὸ παρακαλῶ πρὸς τὸν ζῆλον ἐκείνων τρέχειν. καὶ γὰρ εἰ δόξης ἐρᾷς, καὶ διὰ τοῦτο τῷ πλησίον ἐπιβουλεύεις, τότε αὐτῆς ἀπολαύσῃ μειζόνως, ὅταν αὐτὴν διαπτύσας ἀπόσχῃ τῆς ἐπιβουλῆς. ὥσπερ γὰρ τὸ χρηματίζεσθαι, φιλαργυρίας ἐναντίον· οὕτω πρὸς τὸ δόξης ἐπιτυχεῖν, τὸ δόξης ἐρᾶν. καὶ, εἰ βούλεσθε, καθ' ἕκαστον ἐξετάσωμεν. ἐπειδὴ γὰρ τῆς γεέννης ἡμῖν φόβος οὐδεὶς, οὐδὲ τῆς βασιλείας λόγος πολὺς, φέρε κἂν ἀπὸ τῶν παρόντων ὑμᾶς ἐναγάγωμεν. τίνες γάρ εἰσιν οἱ καταγέλαστοι, εἰπέ μοι; οὐχ οἱ διὰ δόξαν τι ποιοῦντες τὴν τῶν πολλῶν; τίνες δὲ ἐπαινετοί; οὐχ οἱ τὸν παρὰ τῶν πολλῶν διαπτύοντες ἔπαινον; οὐκοῦν εἰ τὸ κενῆς δόξης ἐρᾶν, ἐπονείδιστον, ὁ δὲ κενόδοξος οὐ δύναται λαθεῖν ἐρῶν αὐτῆς· ἐπονείδιστος ἔσται πάντως, καὶ γέγονεν αὐτῷ τὸ τῆς δόξης ἐρᾶν ἀτιμίας αἴτιον. οὐ ταύτῃ δὲ μόνον καταισχύνεται· ἀλλὰ καὶ τῷ πολλὰ ἀναγκάζεσθαι ποιεῖν αἰσχρὰ, καὶ δουλοπρεπείας τῆς ἐσχάτης γέμοντα. οὕτω καὶ οἱ εἰς τὸ κερδαίνειν διὰ παντὸς μεμηνότες, βλάπτεσθαι μάλιστα ἀπὸ τοῦ νοσήματος τῆς φιλοκερδείας εἰώθασιν ἅπαντες.* πολλὰς γοῦν ἀπάτας ὑφίστανται, καὶ τὰ μικρὰ κέρδη μεγάλας ποιεῖ ζημίας. διὸ καὶ εἰς παροιμίαν ὁ λόγος οὗτος ἐξενίκησεν. οὕτω καὶ τῷ λάγνῳ κώλυμα πρὸς τὸ ἡδονῆς ἀπολαύειν τὸ πάθος γίνεται. τοὺς γοῦν σφόδρα καταφερεῖς καὶ γυναικοδούλους, τούτους μάλιστα ὡς ἀνδράποδα περιφέρουσιν αἱ γυναῖκες, καὶ οὐκ ἄν ποτε καταξιώσαιεν ἐκεῖναι ὡς ἀνδράσιν αὐτοῖς κεχρῆσθαι, ῥαπίζουσαι, διαπτύουσαι, ἄγουσαι καὶ περιάγουσαι πανταχοῦ καὶ θρυπτόμεναι, καὶ πάντα ἐπιτάττουσαι μόνον. οὕτω καὶ τοῦ ἀπονενοημένου καὶ δοξομανοῦντος καὶ δοκοῦντος εἶναι ὑψηλοῦ, οὐδὲν ταπεινότερόν τε καὶ ἀτιμότερον. καὶ γὰρ φιλόνεικον τὸ τῶν ἀνθρώπων γένος, καὶ πρὸς οὐδὲν ἕτερον ἀντικαθίσταται, ὡς πρὸς ἀλαζόνα καὶ ὑπερόπτην καὶ δόξης δοῦλον. καὶ αὐτὸς δὲ ἐκεῖνος, ὥστε διατηρῆσαι τὸ σχῆμα τῆς ἀπονοίας, τὰ τῶν ἀνδραπόδων πρὸς τοὺς πλείονας ἐπιδείκνυται, κολακεύων, θεραπεύων, παντὸς ἀργυρωνήτου δουλείαν δουλεύων χαλεπωτέραν. ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀποθώμεθα ταυτὶ τὰ πάθη, ἵνα μὴ καὶ ἐνταῦθα δίκην δῶμεν, καὶ ἐκεῖ κολασθῶμεν ἀπέραντα. γενώμεθα τῆς ἀρετῆς ἐρασταί. οὕτω γὰρ καὶ πρὸ τῆς βασιλείας τὰ μέγιστα ἐνταῦθα καρπωσόμεθα καλὰ, καὶ ἀπελθόντες ἐκεῖ τῶν αἰωνίων μεθέξομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξγ. 16 ΚΑΙ ΙΔΟΥ ΕΙΣ ΠΡΟΣΕΛΘΩΝ ΕΙΠΕΝ αὐτῷ· διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

Τινὲς μὲν οὖν διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ὕπουλόν τινα καὶ πονηρὸν καὶ μετὰ πείρας τῷ Ἰησοῦ προσελθόντα· ἐγὼ δὲ φιλάργυρον μὲν αὐτὸν καὶ χρημάτων ἐλάττονα οὐκ ἂν παραιτησαίμην εἰπεῖν, ἐπειδὴ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ἤλεγξεν ὄντα, ὕπουλον δὲ οὐδαμῶς, διὰ τὸ μήτε ἀσφαλὲς εἶναι τῶν ἀδήλων κατατολμᾶν, καὶ μάλιστα ἐν ἐγκλήμασι, καὶ τὸ τὸν Μάρκον ταύτην ἀνῃρηκέναι τὴν ὑποψίαν. Καὶ γάρ
Μαρ. ι. ιζ. φησιν· Ὅτι προσδραμὼν καὶ γονυπετῶν παρεκάλει αὐτὸν, καὶ ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠγάπησεν αὐτόν. Ἀλλὰ πολλὴ τῶν χρημάτων ἡ τυραννὶς, καὶ δῆλον ἐντεῦθεν. Κἂν γὰρ τὰ ἄλλα ὦμεν ἐνάρετοι, "πάντα αὕτη λυμαίνεται τὰ καλά. Εἰκότως οὖν καὶ ὁ Παῦλος ῥίζαν γρ. πάντα
α. Τιμ. ϛ. ι. αὐτὴν ἁπάντων τῶν κακῶν εἶναι ἔφησε· Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, τὰ λυμαίν
φησί. Διατί οὖν οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ Χριστὸς λέγων· οὐδεὶς ἀγαθός; ἐπειδὴ ὡς αὕτη.
ἀνθρώπῳ" προσῆλθε ψιλῷ καὶ ἑνὶ τῶν πολλῶν, καὶ διδασκάλῳ Ἰουδαϊκῷ. Διὰ δὴ τοῦτο γρ. προσ
ὡς ἄνθρωπος αὐτῷ διαλέγεται. Καὶ γὰρ πολλαχοῦ πρὸς τὰς ὑπονοίας τῶν πολλῶν ἀπο-
Ιωαν. δ. κβ. κρίνεται, ὡς ὅταν λέγῃ· Ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· καὶ, Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐ-
Ιωαν. ε. λα. μαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. Ὅταν οὖν εἴπῃ, οὐδεὶς ἀγαθὸς, οὐχ ἑαυτὸν ἐκβάλλων τοῦ ἀγαθὸς εἶναι τοῦτο λέγει (ἄπαγε) οὐ γὰρ εἶπε, τί με λέγεις ἀγαθὸν, οὐκ εἰμὶ ἀγαθός· ἀλλ', οὐδεὶς ἀγαθός· τουτέστιν, οὐδεὶς ἀνθρώπων. Καὶ αὐτὸς δὲ τοῦτο ὅταν λέγῃ, οὐδὲ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος λέγει· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς τοῦ Θεοῦ ἀγαθότητος. Διὸ καὶ ἐπήγαγεν, Εἰ μὴ εἷς ὁ Θεός. Καὶ οὐκ εἶπεν, Εἰ μὴ ὁ πατήρ μου, ἵνα μάθῃς, ὅτι οὐκ ἐξεκάλυψεν ἑαυτὸν τῷ νεανίσκῳ. Οὕτω καὶ ἀνωτέρω πονηροὺς ἐκάλει τοὺς ἀν-
Ματθ. ζ. ια. θρώπους λέγων· Εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν. Καὶ γὰρ καὶ ἐκεῖ πονηροὺς ἐκάλεσεν, οὐ τῆς φύσεως ἁπάσης πονηρίαν καταγινώσκων (τὸ γὰρ, ὑμεῖς, οὐχὶ πάντες οἱ ἄνθρωποι, φησί) ἀλλὰ τὴν ἐν ἀνθρώποις ἀγαθότητα τῇ τοῦ Θεοῦ ἀγαθότητι παραβάλλων οὕτως ὠνόμασε· διὰ τοῦτο καὶ ἐπήγαγε, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; Καὶ τί τὸ κατεπεῖγον ἦν, φησιν, ἢ τί τὸ χρήσιμον, ὥστε οὕτως αὐτὸν ἀποκρίνασθαι; ἀνάγει αὐτὸν κατὰ μικρὸν καὶ παιδεύει κολακείας ἀπηλλάχθαι πάσης, τῶν ἐπὶ τῆς γῆς ἀπάγων καὶ τῷ Θεῷ προσηλῶν, καὶ πείθων τὰ μέλλοντα ζητεῖν, καὶ εἰδέναι τὸν ὄντως ἀγαθὸν καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν ἁπάντων, καὶ αὐτῷ" τὰς τιμὰς ἀνα- γρ. τῇ τῆς
Ματθ. κγ. θ. φέρειν. Ἐπεὶ καὶ ὅταν λέγῃ, Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς, πρὸς ἀντιδιαστολὴν μῆς
αὐτοῦ τοῦτό φησι, καὶ ἵνα μάθωσι τίς ἡ πρώτη τῶν ὄντων ἁπάντων ἀρχή. Οὐδὲ γὰρ μικρὰν ὁ νεανίσκος ἐπεδείξατο προθυμίαν τέως εἰς ἔρωτα τοιοῦτον ἐμπεσὼν, καὶ τῶν ἄλλων τῶν μὲν πειραζόντων, τῶν δὲ ὑπὲρ νοσημάτων προσιόντων, ἢ τῶν οἰκείων, ἢ τῶν ἀλλοτρίων, αὐτὸς ὑπὲρ ζωῆς αἰωνίου καὶ προσιὼν καὶ διαλεγόμενος. Καὶ γὰρ λιπαρὰ ἦν ἡ γῆ καὶ πίων, ἀλλὰ τῶν ἀκανθῶν τὸ πλῆθος τὸν σπόρον συνέπνιγε. Σκόπει γοῦν πῶς ἐστι παρεσκευασμένος τέως πρὸς τὴν τῶν "ἐπιτεταγμένων ὑπακοήν. Τί γὰρ ποιήσας, φησὶ, ζωὴν αἰ- γρ. ἐπιτ
ώνιον κληρονομήσω; Οὕτως ἕτοιμος ἦν πρὸς ἐργασίαν τῶν λεχθησομένων. Εἰ δὲ πειράζων των
προσῆλθεν, ἐδήλωσεν ἂν ἡμῖν καὶ τοῦτο ὁ Εὐαγγελιστὴς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων" ἐποίει, ὥσπερ γρ. ποιῇ
καὶ ἐπὶ τοῦ νομικοῦ. Εἰ δὲ καὶ αὐτὸς ἐσίγησεν, ὁ Χριστὸς αὐτὸν οὐκ ἂν εἴασε λαθεῖν, ἀλλ' ἤλεγξεν ἂν σαφῶς, ἢ καὶ ᾐνίξατο, ὥστε μὴ δόξαι ἠπατηκέναι καὶ λανθάνειν, καὶ ταύτῃ βλαβῆναι. Εἰ γὰρ πειράζων προσῆλθεν, οὐκ ἂν ἀπῆλθε λυπούμενος ἐφ' οἷς ἤκουσε. Τοῦτο γοῦν οὐδεὶς

ποτε ἔπαθε τῶν Φαρισαίων, ἀλλ᾽ ἠγρίαινον ἐπιστομιζόμενοι. ἀλλ᾽ οὐκ οὗτος οὕτως· ἀλλ᾽ ἄπεισι κατηφής· ὅπερ οὐ μικρὸν σημεῖον ἦν τοῦ μὴ μετὰ πονηρᾶς γνώμης αὐτὸν προσελθεῖν, ἀλλ᾽ ἀσθενεστέρας, καὶ ἐπιθυμεῖν μὲν τῆς ζωῆς, κατέχεσθαι δὲ ἑτέρῳ πάθει χαλεπωτάτῳ. εἰπόντος τοίνυν τοῦ Χριστοῦ·

17 Εἰ θέλεις εἰσελθεῖν πρὸς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς, Λέγει· ποίας; οὐχὶ πειράζων (μὴ γένοιτο) ἀλλὰ νομίζων ἑτέρας τινὰς παρὰ τὰς νομικὰς εἶναι τὰς τῆς ζωῆς προξένους αὐτῷ γενησομένας, ὃ σφόδρα ἐπιθυμοῦντος ἦν. Εἶτα, ἐπειδὴ εἶπεν ὁ Ἰησοῦς τὰς ἀπὸ τοῦ νόμου, φησί·

20 Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ πάλιν ἐρωτᾷ, Τί ἔτι ὑστερῶ; Ὃ καὶ αὐτὸ σημεῖον ἦν τῆς σφοδρᾶς ἐπιθυμίας αὐτοῦ. οὐ μικρὸν δὲ καὶ τὸ νομίζειν αὐτὸν ὑστερεῖν, μηδὲ ἡγεῖσθαι ἀρκεῖν τὰ εἰρημένα" πρὸς τὸ τυχεῖν ὧν ἐπεθύμει. τί οὖν ὁ Χριστός; ἐπειδὴ ἔμελλε μέγα τι ἐπιτάττειν, προστίθησι τὰ ἔπαθλα, καί φησιν·

21 Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι· Εἶδες πόσα βραβεῖα, πόσους στεφάνους τίθησι τῷ σταδίῳ τούτῳ; εἰ δὲ ἐπείραζεν, οὐκ ἂν αὐτῷ ταῦτα εἶπε· νυνὶ δὲ καὶ λέγει, καὶ ὥστε αὐτὸν ἐφελκύσασθαι, καὶ τὸν μισθὸν αὐτῷ δείκνυσι πολὺν ὄντα, καὶ τῇ γνώμῃ αὐτοῦ τὸ πᾶν ἐπιτρέπει, διὰ πάντων συσκιάζων τὸ δοκοῦν εἶναι βαρὺ τῆς παραινέσεως. διὸ καὶ πρὶν εἰπεῖν τὸν ἀγῶνα καὶ τὸν πόνον, τὸ βραβεῖον αὐτῷ δείκνυσι, λέγων· Εἰ θέλεις τέλειος εἶναι· καὶ τότε φησί, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ εὐθέως πάλιν τὰ ἔπαθλα, ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. καὶ γὰρ τὸ ἀκολουθεῖν αὐτῷ, μεγάλη ἀντίδοσις. καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. ἐπειδὴ γὰρ περὶ χρημάτων ἦν ὁ λόγος, καὶ πάντων αὐτὸν γυμνωθῆναι παρῄνει, δεικνὺς ὅτι οὐκ ἀφαιρεῖται τὰ ὄντα, ἀλλὰ προστίθησι τοῖς οὖσι, καὶ πλείονα ὧν ἐκέλευσε παρασχεῖν ἔδωκεν, οὐ πλείονα δὲ μόνον, ἀλλὰ καὶ τοσούτῳ μείζονα, ὅσον γῆς οὐρανός, καὶ ἔτι πλέον. θησαυρὸν δὲ εἶπε, τὸ δαψιλὲς τῆς ἀντιδόσεως, τὸ μόνιμον δηλῶν, τὸ ἄσυλον, ὡς ἐνεχώρει διὰ τῶν ἀνθρωπίνων αἰνίξασθαι τῷ ἀκούοντι. οὐκ ἄρα ἀρκεῖ τῶν χρημάτων καταφρονεῖν, ἀλλὰ καὶ δεῖ τὸ διαθρέψαι πένητας, καὶ προηγουμένως ἀκολουθεῖν τῷ Χριστῷ· τουτέστι, πάντα τὰ παρ᾽ αὐτοῦ κελευόμενα ποιεῖν, πρὸς σφαγὰς εἶναι ἕτοιμον καὶ θάνατον καθημερινόν. Εἴ τις γὰρ θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὥστε τοῦ ῥίψαι τὰ χρήματα πολλῷ μεῖζον τοῦτο τὸ ἐπίταγμα, τὸ καὶ αὐτὸ λοιπὸν τὸ αἷμα ἐκχεῖν· οὐ μικρὸν δὲ εἰς τοῦτο τὸ χρημάτων ἀπηλλάχθαι συμβάλλεται. Λυκ. θ. κγ.

22 Ἀκούσας δὲ ὁ νεανίσκος, ἀπῆλθε λυπούμενος. Εἶτα ὥσπερ δεικνὺς ὁ εὐαγγελιστής, ὅτι οὐκ ἀπεικός τι πέπονθε, φησίν· Ἦν γὰρ ἔχων κτήματα πολλά. Οὐ γὰρ ὁμοίως κατέχονται οἱ τὰ ὀλίγα ἔχοντες, καὶ οἱ πολλῇ βαπτισθέντες περιουσίᾳ. τυραννικώτερος γὰρ ὁ ἔρως τότε γίνεται. ὅπερ ἀεὶ λέγων οὐ παύομαι· ὅτι ἡ προσθήκη τῶν ἐπεισιόντων μείζονα ἀνάπτει τὴν φλόγα, καὶ πενεστέρους ἐργάζεται τοὺς κτωμένους, εἴγε ἐν πλείοσι καθίστησιν αὐτοὺς ἐπιθυμίαις, καὶ μᾶλλον αἰσθάνεσθαι τῆς ἐνδείας ποιεῖ. σκόπει γοῦν καὶ ἐνταῦθα οἵαν" ἐπεδείξατο τὴν ἰσχὺν τὸ πάθος. τὸν γὰρ μετὰ χαρᾶς προσελθόντα καὶ προθυμίας, ἐπειδὴ ἐκέλευσεν ὁ Χριστὸς ῥίψαι τὰ χρήματα, οὕτω κατέχωσε καὶ ἐβάρησεν, ὡς μηδὲ ἀποκρίνασθαι περὶ τούτων ἀφεῖναι, ἀλλὰ σιγήσαντα καὶ κατηφῆ καὶ συννοὺν γενόμενον ἀπελθεῖν. τί οὖν ὁ Χριστός;

23 Πῶς δυσκόλως οἱ πλούσιοι εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν;

Οὐ τὰ χρήματα διαβάλλων, ἀλλὰ τοὺς κατεχομένους ὑπ᾽ αὐτῶν. Εἰ δὲ πλούσιος δυσκόλως, πολλῷ μᾶλλον ὁ πλεονέκτης. Εἰ γὰρ τὸ μὴ δοῦναι τὰ ἑαυτοῦ, πρὸς βασιλείαν ἐμπόδιον, τὸ καὶ τὰ ἑτέρων λαμβάνειν, ἐννόησον πόσον σωρεύει τὸ πῦρ. Τί δήποτε δὲ τοῖς μαθηταῖς ἐλέγχει, ὅτι δυσκόλως οἱ πλούσιοι εἰσελεύσονται, πένησιν οὖσι καὶ οὐδὲν κεκτημένοις; παιδεύων αὐτοὺς μὴ αἰσχύνεσθαι τὴν πενίαν, καὶ ὡσανεὶ ἀπολογούμενος αὐτοῖς ὑπὲρ τοῦ μηδὲν ἐπιτρέψαι ἔχειν. Εἰπὼν δὲ δύσκολον, προϊὼν δείκνυσιν ὅτι καὶ ἀδύνατον, καὶ οὐχ ἁπλῶς ἀδύνατον, ἀλλὰ μετὰ πολλοῦ τοῦ περιόντος. καὶ τοῦτο ἐκ τοῦ παραδείγματος ἐδήλωσε τοῦ κατὰ τὴν κάμηλον καὶ τὴν βελόνην.

24 Εὐκοπώτερον γάρ, φησι, κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφίδος, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅθεν δείκνυται, ὅτι οὐχ ὁ τυχὼν μισθὸς τοῖς πλουτοῦσι καὶ δυναμένοις φιλοσοφεῖν. διὸ καὶ Θεοῦ ἔργον ἔφησεν εἶναι αὐτό, ἵνα δείξῃ ὅτι πολλῆς δεῖ τῆς χάριτος τῷ μέλλοντι τοῦτο κατορθοῦν. τῶν γοῦν μαθητῶν ταραχθέντων ἔλεγε·

26 Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατον, παρὰ δὲ Θεῷ πάντα δυνατά.

Καὶ τίνος ἕνεκεν οἱ μαθηταὶ ταράττονται πένητες ὄντες, καὶ σφόδρα πένητες; τίνος οὖν ἕνεκεν θορυβοῦνται; ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας ἀλγοῦντες, καὶ πολλὴν πρὸς ἅπαντας φιλοστοργίαν ἔχοντες, καὶ τὰ τῶν διδασκάλων ἤδη σπλάγχνα ἀναλαβόντες. οὕτω γοῦν ἔτρεμον καὶ ἐδεδοίκεισαν ὑπὲρ τῆς οἰκουμένης ἁπάσης ἀπὸ τῆς ἀποφάσεως ταύτης, ὥστε πολλῆς δεηθῆναι τῆς παρακλήσεως. διὰ τοῦτο πρότερον ἐμβλέψας αὐτοῖς εἶπε· τὰ παρὰ ἀνθρώποις ἀδύνατα δυνατὰ παρὰ Θεῷ, ἡμέρῳ ὄμματι καὶ πρᾴῳ φρίττουσαν αὐτῶν τὴν διάνοιαν παραμυθησάμενος, καὶ τὴν ἀγωνίαν καταλύσας. τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπών, ἐμβλέψας. εἶτα καὶ διὰ τῶν ῥημάτων αὐτοὺς ἀνίστησι, τὴν τοῦ Θεοῦ δύναμιν εἰς μέσον ἀγαγών, καὶ οὕτω ποιήσας θαρρεῖν. εἰ δὲ βούλει καὶ τὸν τρόπον μαθεῖν, καὶ πῶς ἂν τὸ ἀδύνατον γένοιτο δυνατόν, ἄκουε. οὐδὲ γὰρ διὰ τοῦτο εἶπε, τὰ παρὰ ἀνθρώποις ἀδύνατα δυνατὰ παρὰ Θεῷ, ἵνα ἀναπέσῃς καὶ ὡς ἀδυνάτων ἀπόσχῃ· ἀλλ᾽ ἵνα τὸ μέγεθος τοῦ κατορθώματος ἐννοήσας ἐπιπηδήσῃς ῥᾳδίως, καὶ τὸν Θεὸν παρακαλέσας συνεφάψασθαί σοι τῶν καλῶν τούτων ἄθλων τῆς ζωῆς ἐπιτύχῃς. πῶς οὖν γένοιτο τοῦτο δυνατόν; ἂν ῥίψῃς τὰ ὄντα, ἂν κενώσῃς τὰ χρήματα, ἂν τῆς πονηρᾶς ἐπιθυμίας ἀποστῇς. ὅτι γὰρ οὐ τῷ Θεῷ μόνον τοῦτο λογίζεται, ἀλλὰ διὰ τοῦτο εἶπεν ἵνα δείξῃ τὸν ὄγκον τοῦ κατορθώματος, ἄκουσον τῶν μετὰ ταῦτα. Πέτρου γὰρ εἰπόντος,

27 Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, καὶ ἐρωτήσαντος, τί ἄρα ἔσται ἡμῖν; Τὸν μισθὸν ὁρίσας ἐκείνοις, ἐπήγαγε·

29 Καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀγρούς, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται ἐν τῷ νῦν αἰῶνι, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

Οὕτω τὸ ἀδύνατον γίνεται δυνατόν. ἀλλὰ πῶς αὐτὸ τοῦτο γένοιτ᾽ ἄν, φησι, τὸ ἀφεῖναι; πῶς δυνατὸν τὸν βαπτισθέντα ἅπαξ ἐπιθυμίᾳ χρημάτων τοιαύτῃ ἀνενεγκεῖν; ἂν ἄρξηται ἐκ τῶν ὄντων κενοῦν, καὶ τὰ περιττὰ περικόπτειν. οὕτω γὰρ καὶ περαιτέρω προβήσεται, καὶ εὐκολώτερον λοιπὸν δραμεῖται. μὴ τοίνυν ὑφ᾽ ἓν τὸ πᾶν ζητήσῃς, ἀλλ᾽ ἠρέμα καὶ κατὰ μικρὸν ἀνάβαινε τὴν κλίμακα ταύτην τὴν εἰς τὸν οὐρανόν σε ἀνάγουσαν, εἰ δυσχερές σοι τὸ ἀθρόον φαίνεται. καθάπερ γὰρ οἱ πυρέττοντες δριμεῖαν χολὴν ἔνδον ἔχοντες πλεονάζουσαν, ὅταν ἐπεμβάλλωσί τινα σιτία καὶ ποτά, οὐ μόνον οὐ κατασβεννύουσι τὸ δίψος, ἀλλὰ καὶ ἀνάπτουσι τὴν φλόγα· οὕτω καὶ οἱ φιλοχρήματοι, ὅταν τῇ πονηρᾷ ταύτῃ ἐπιθυμίᾳ καὶ τῆς χολῆς ἐκείνης δριμυτέρᾳ τὰ χρήματα ἐπεμβάλλωσι, μᾶλλον αὐτὴν ἐκκαίουσιν. οὐδὲν γὰρ αὐτὴν οὕτως ἵστησιν, ὡς τὸ ἀποστῆναι τέως τῆς τοῦ κερδαίνειν ἐπιθυμίας, ὥσπερ οὖν τὴν δριμεῖαν χολὴν ὀλιγοσιτία καὶ κένωσις. τοῦτο δὲ αὐτὸ πόθεν ἔσται, φησίν; ἂν ἐννοήσῃς, ὅτι πλουτῶν μὲν οὐδέποτε παύσῃ διψῶν καὶ τηκόμενος τῇ τοῦ πλείονος ἐπιθυμίᾳ· ἀπαλλαγεὶς δὲ τῶν ὄντων, καὶ τὸ νόσημα δυνήσῃ στῆσαι τοῦτο. μὴ τοίνυν περιβάλλου πλείονα, ἵνα μὴ ἄληπτα διώκῃς, καὶ ἀνίατα νοσῇς, καὶ πάντων ἐλεεινότερος ἧς τοιαῦτα λυπῶν. ἀπόκριναι γάρ μοι, τίνα ἂν φαίημεν βασανίζεσθαι καὶ ὀδυνᾶσθαι, τὸν ἐπιθυμοῦντα σιτίων καὶ ποτῶν πολυτελῶν καὶ οὐκ ἔχοντα ἀπολαῦσαι ὡς βούλεται· ἢ τὸν οὐκ ἔχοντα ἐπιθυμίαν τοιαύτην; εὔδηλον ὅτι τὸν ἐπιθυμοῦντα μὲν, οὐ δυνάμενον δὲ μεταλαχεῖν ὧν ἐπιθυμεῖ. οὕτω γάρ ἐστι τοῦτο ὀδυνηρὸν, τὸ ἐπιθυμοῦντα μὴ ἀπολαύειν καὶ διψῶντα μὴ πίνειν, ὡς καὶ τὴν γέενναν βουλόμενον ἡμῖν ὑπογράψαι τὸν Χριστὸν, τοῦτον αὐτὴν ὑπογράψαι τὸν τρόπον, καὶ τὸν πλούσιον οὕτως εἰσαγαγεῖν ἀποτηγανιζόμενον. ἐπιθυμῶν γὰρ σταγόνος ὕδατος, καὶ μὴ ἀπολαύων, οὕτως ἐκολάζετο. οὐκοῦν ὁ μὲν χρημάτων καταφρονῶν, ἔστησε τὴν ἐπιθυμίαν· ὁ δὲ πλουτεῖν βουλόμενος καὶ περιβάλλεσθαι πλείω, ἀνῆψε μᾶλλον, καὶ οὐδέποτε ἵσταται· ἀλλὰ, κἂν μυρία λάβῃ τάλαντα, ἑτέρων τοσούτων ἐπιθυμεῖ· κἂν τούτων ἐπιτύχῃ, πάλιν δὶς τοσούτων ἄλλων ἐφίεται· καὶ προϊὼν, καὶ τὰ ὄρη, καὶ τὴν γῆν, καὶ τὴν θάλατταν, καὶ πάντα εὔχεται αὐτῷ γενέσθαι χρυσίον, καινήν τινα μανίαν μαινόμενος καὶ φοβερὰν καὶ οὐδέποτε οὕτω σβεσθῆναι δυναμένην. καὶ ἵνα μάθῃς, ὅτι οὐ τῇ προσθήκῃ, ἀλλὰ τῇ ἀφαιρέσει τοῦτο ἵσταται τὸ κακὸν, εἴ σοι γέγονεν ἐπιθυμία ποτὲ ἄτοπος πτῆναι καὶ δι' ἀέρος ἐνεχθῆναι, πῶς ἂν τὴν ἄτοπον ταύτην ἔσβεσας ἐπιθυμίαν; τῷ πτερὰ διαπλάττειν, καὶ ἕτερα ὄργανα κατασκευάζειν· ἢ τῷ πεῖσαι τὸν λογισμὸν, ὅτι ἀδυνάτων ἐπιθυμεῖ, καὶ οὐδενὶ τούτων ἐπιχειρεῖν δεῖ; εὔδηλον ὅτι τῷ πεῖσαι τὸν λογισμόν. ἀλλ' ἐκεῖνο, φησὶν, ἀδύνατον. ἀλλὰ καὶ τοῦτο ἀδυνατώτερον, τὸ τῆς ἐπιθυμίας ταύτης ὅρον εὑρεῖν. καὶ γὰρ εὐκολώτερον ἀνθρώπους ὄντας πτῆναι, ἢ τῇ προσθήκῃ τοῦ πλείονος παῦσαι τὸν ἔρωτα. ὅταν μὲν γὰρ ᾖ δυνατὰ τὰ ἐπιθυμητὰ, τῇ ἀπολαύσει παραμυθεῖσθαι δυνατόν· ὅταν δὲ ἀδύνατα, ἓν δεῖ σπουδάζειν μόνον, τὸ τῆς ἐπιθυμίας ἡμᾶς ἀπάγειν, ὡς ἑτέρως γε οὐκ ἐνὸν ἀνακτήσασθαι τὴν ψυχήν. ἵν' οὖν μὴ περιττὰ ὀδυνώμεθα, τὸν διηνεκῶς λυποῦντα τῶν χρημάτων ἔρωτα καὶ οὐδέποτε σιγῆσαι ἀνεχόμενον ἀφέντες, ἐφ' ἕτερον μεθορμισώμεθα, τὸν καὶ μακαρίους ἡμᾶς ποιοῦντα, καὶ πολλὴν ἔχοντα τὴν εὐκολίαν, καὶ τῶν ἄνω θησαυρῶν ἐπιθυμήσωμεν. οὔτε γὰρ πόνος ἐνταῦθα τοσοῦτος, καὶ τὸ κέρδος ἄφατον, καὶ ἀποτυχεῖν οὐκ ἔνι τὸν καὶ ὁπωσοῦν ἀγρυπνοῦντα καὶ νήφοντα καὶ τῶν παρόντων ὑπερορῶντα· ὥσπερ οὖν τὸν δουλεύοντα αὐτοῖς καὶ ἐκδεδομένον εἰς ἅπαξ ἀνάγκη πᾶσα ἐκπεσεῖν ἐκείνων.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν ἅπαντα λογιζόμενος τὴν πονηρὰν ἐπιθυμίαν ἔκβαλε τῶν χρημάτων. οὐδὲ γὰρ τοῦτο ἂν ἔχοις εἰπεῖν, ὅτι τὰ μὲν παρόντα δίδωσι, τῶν δὲ μελλόντων ἀποστερεῖ· καίτοι καὶ εἰ τοῦτο ἦν, ἐσχάτη τοῦτο κόλασις καὶ τιμωρία. νυνὶ δὲ οὐδὲ τοῦτο ἔνι. μετὰ γὰρ τῆς γεέννης καὶ πρὸ τῆς γεέννης ἐκείνης καὶ ἐνταῦθα εἰς χαλεπωτέραν σε ἐμβάλλει κόλασιν. καὶ γὰρ οἰκίας πολλὰς ἡ ἐπιθυμία ἀνέτρεψε, καὶ πολέμους χαλεποὺς ἀνερρίπισε, καὶ βιαίῳ θανάτῳ κατηνάγκασε καταλῦσαι τὸν βίον· πρὸ δὲ τῶν κινδύνων τούτων, τῆς ψυχῆς λυμαίνεται τὴν εὐγένειαν· καὶ δοῦλον καὶ ἄνανδρον, καὶ θρασὺν, καὶ ψεύστην, καὶ συκοφάντην, καὶ ἅρπαγα, καὶ πλεονέκτην, καὶ τὰ ἔσχατα πάντα τὸν ἔχοντα πολλάκις εἰργάσατο. ἀλλ' ἴσως τὴν λαμπηδόνα τοῦ ἀργυρίου, καὶ τῶν οἰκετῶν τὸ πλῆθος, καὶ τῶν οἰκοδομημάτων τὸ κάλλος, καὶ τὴν θεραπείαν τὴν ἐπ' ἀγορᾶς ὁρῶν καταγοητεύῃ. τίς οὖν ἂν γένοιτο θεραπεία τῷ πονηρῷ τραύματι τούτῳ; ἂν ἐννοήσῃς, πῶς σοι ταῦτα τὴν ψυχὴν διατίθησι· πῶς σκοτεινὴν καὶ ἔρημον καὶ αἰσχρὰν κατασκευάζει καὶ δυσειδῆ αὐτήν· ἂν λογίσῃ μεθ' ὅσων ταῦτα ἐκτήθη κακῶν, μεθ' ὅσων φυλάττεται πόνων, μεθ' ὅσων κινδύνων· μᾶλλον δὲ οὐδὲ φυλάττεται μέχρι τέλους, ἀλλ' ὅταν ἁπάντων διαφύγῃ τὰς λαβὰς, ὁ θάνατος ἐπελθὼν ταῦτα μὲν εἰς τὰς τῶν σῶν ἐχθρῶν πολλάκις ἐξήγαγε χεῖρας, σὲ δὲ ἔρημον λαβὼν ἄπεισιν οὐδὲν τούτων ἐπισυρόμενον, ἀλλ' ἢ τὰ τραύματα καὶ τὰ ἕλκη μόνον, ἅπερ ἐκ τούτων λαβοῦσα ἄπεισιν ἡ ψυχή. ὅταν οὖν ἴδῃς τινὰ λάμποντα ἔξωθεν ἀπὸ τῶν ἱματίων καὶ τῆς πολλῆς δορυφορίας, ἀνάπτυξον αὐτοῦ τὸ συνειδός,

εἰδὸς, καὶ πολλὴν εὑρήσεις τὴν ἀράχνην ἔνδον, καὶ πολλὴν τὴν κόνιν ὄψει. ἐννόησον τὸν Παῦλον, τὸν Πέτρον· ἐννόησον τὸν Ἰωάννην, τὸν Ἠλίαν· μᾶλλον δὲ αὐτὸν τὸν τοῦ Θεοῦ υἱὸν τὸν οὐκ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι. ἐκείνου γενοῦ ζηλωτὴς καὶ τῶν ἐκείνου δούλων, καὶ τὸν ἄφατον τούτων φαντάζου πλοῦτον. εἰ δὲ μικρὸν διαβλέψας ἐκ τούτων, σκοτωθείης πάλιν, καθάπερ ἔν τινι ναυαγίῳ καταιγίδος ἐπελθούσης, ἄκουσον τῆς ἀποφάσεως τοῦ Χριστοῦ λεγούσης, ὅτι ἀδύνατον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ πρὸς τὴν ἀπόφασιν ταύτην θὲς τὰ ὄρη, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν· καὶ πάντα, εἰ βούλει, τῷ λόγῳ ποίησον εἶναι χρυσὸν, οὐδὲν ἴσον ὄψει τῆς ζημίας τῆς ἐκεῖθέν σοι γενομένης. καὶ σὺ μὲν πλέθρων γῆς τόσων καὶ τόσων μέμνησαι, καὶ οἰκιῶν δέκα καὶ εἴκοσι ἢ καὶ πλειόνων, καὶ βαλανείων τοσούτων, καὶ ἀνδραπόδων χιλίων, ἢ δὶς τοσούτων, καὶ ὀχημάτων ἀργυρενδέτων καὶ χρυσεμπάστων. ἐγὼ δὲ ἐκεῖνό φημι, ὅτι εἰ τῶν πλουτούντων ἕκαστος τὴν πενίαν ταύτην ἀφεὶς (πενία γὰρ ταῦτα πρὸς ὃ μέλλω λέγειν) ὁλόκληρον ἐκέκτητο κόσμον, καὶ ἕκαστος αὐτῶν τοσούτους εἶχεν ἀνθρώπους, ὅσοι νῦν εἰσι πανταχοῦ γῆς καὶ θαλάττης καὶ οἰκουμένης, καὶ γῆν καὶ θάλατταν, καὶ πανταχοῦ οἰκοδομήματα, καὶ πόλεις καὶ ἔθνη, καὶ πανταχόθεν ἀντὶ ὕδατος, ἀντὶ πηγῶν αὐτῷ χρυσίον ἐπέρρει, τριῶν ὀβολῶν οὐκ ἂν ἔφην ἀξίους εἶναι τοὺς οὕτω πλουτοῦντας, τῆς βασιλείας τῶν οὐρανῶν ἐκπεσόντας. εἰ γὰρ νῦν χρημάτων τῶν ἀπολλυμένων ἐφιέμενοι, ὅταν μὴ ἐπιτύχωσι, βασανίζονται· εἰ λάβοιεν αἴσθησιν τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων, τί λοιπὸν ἀρκέσει εἰς παραμυθίαν αὐτοῖς; οὐκ ἔστιν οὐδέν. μὴ τοίνυν μοι λέγε τὴν τῶν χρημάτων περιουσίαν, ἀλλ' ἐννόει τὴν ζημίαν ὅσην ἐκ ταύτης οἱ ταύτης ὑπομένουσιν ἐρασταὶ, ἀντὶ τούτων τοὺς οὐρανοὺς ἀπολλύντες, καὶ ταὐτὸν πάσχοντες, οἷον ἂν εἴ τις τῆς ἐν βασιλείοις μεγίστης τιμῆς ἐκπεσὼν, κόπρου θημωνίαν ἔχων μέγα ἐπὶ ταύτῃ φρονεῖ. οὐδὲν γὰρ κρείττων ἐκείνης ἡ τῶν χρημάτων σωρεία· μᾶλλον δὲ βελτίων ἐκείνη. ἡ μὲν γὰρ καὶ πρὸς γεωργίαν ἐπιτήδειος, καὶ πρὸς βαλανείου κατασκευὴν, καὶ πρὸς ἄλλα τοιαῦτα· ὁ δὲ κατορωρυγμένος χρυσὸς πρὸς οὐδὲν τούτων. καὶ εἴθε μόνον ἄχρηστος ἦν· νυνὶ δὲ καὶ πολλὰς ἀνάπτει τῷ ἔχοντι τὰς καμίνους, εἰ μὴ εἰς δέον αὐτῷ χρήσαιτο. τὰ γοῦν μυρία κακὰ ἐντεῦθεν φύεται. διὰ τοῦτο οἱ μὲν ἔξωθεν, ἀκρόπολιν κακῶν τὴν φιλαργυρίαν ἐκάλεσαν· ὁ δὲ μακάριος Παῦλος, πολλῷ βέλτιον καὶ ἐμφαντικώτερον, ῥίζαν αὐτὴν ἁπάντων τῶν κακῶν εἰπών. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες μάθωμεν ζηλοῦν τὰ ἄξια ζήλου, μὴ τὰς λαμπρὰς οἰκοδομὰς, μηδὲ τοὺς πολυτελεῖς ἀγρούς· ἀλλὰ τοὺς πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἔχοντας ἄνδρας, τοὺς ἐν οὐρανῷ πλουτοῦντας, τοὺς τῶν θησαυρῶν ἐκείνων κυρίους, τοὺς ὄντως πλουσίους, τοὺς διὰ Χριστὸν πένητας· ἵνα τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ξδ. ΤΟΤΕ ΑΠΟΚΡΙΘΕΙΣ Ο ΠΕΤΡΟΣ ΕΙΠΕΝ αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι; τί ἄρα ἔσται ἡμῖν;

ΠΟἷα πάντα, ὦ μακάριε Πέτρε; τὸν κάλαμον; τὸ δίκτυον; τὸ πλοῖον; τὴν τέχνην; ταῦτά μοι πάντα λέγεις; ναί φησιν. ἀλλ' οὐ διὰ φιλοτιμίαν ταῦτα λέγω· ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως ταύτης τὸν τῶν πενήτων εἰσάγω δῆμον. ἐπειδὴ γὰρ εἶπεν ὁ Κύριος· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, ἵνα μὴ λέγῃ τις τῶν πενήτων· τί οὖν, ἐὰν μὴ ἔχω ὑπάρχοντα, οὐ δύναμαι τέλειος εἶναι; ἐρωτᾷ Πέτρος, ἵνα σὺ μάθῃς ὁ πένης, ὅτι οὐδὲν

ἐντεῦθεν ἠλάττωσαι· ἐρωτᾷ Πέτρος, ἵνα μὴ παρὰ Πέτρου μαθὼν ἀμφιβάλλῃς (οὐ γὰρ ἀπελὴς ἦν ἔτι καὶ πνεύματος ἔρημος) ἀλλὰ παρὰ τοῦ διδασκάλου τοῦ Πέτρου δεξάμενος τὴν ἀπόφασιν θαῤῥῇς. καθάπερ γὰρ ἡμεῖς ποιοῦμεν, οἰκειούμεθα πράγματα πολλάκις ὑπὲρ ἀλλοτρίων διαλεγόμενοι· οὕτω καὶ ἀπόστολος ἐποίησεν, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης τὴν πεῦσιν αὐτῷ ταύτην προσαγαγών. ἐπεὶ ὅτι γε τὰ ἑαυτοῦ ᾔδει σαφῶς, δῆλον ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων. ὁ γὰρ τὰς κλεῖς τῶν οὐρανῶν ἐντεῦθεν ἤδη δεξάμενος, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἐκεῖ θαῤῥεῖν εἶχε. σκόπει δὲ καὶ πῶς ἀκριβῶς ἀποκρίνεται, ὡς ὁ Χριστὸς ἐπεζήτησε. καὶ γὰρ αὐτὸς παρὰ τοῦ πλουσίου δύο ταῦτα ᾔτησε· δοῦναι πτωχοῖς τὰ ὑπάρχοντα, καὶ ἀκολουθεῖν. διὰ τοῦτο καὶ αὐτὸς τὰ δύο ταῦτα τίθησι, τὸ ἀφεῖναι, καὶ τὸ ἀκολουθῆσαι. ἰδοὺ γάρ, φησιν, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. τό τε γὰρ ἀφεῖναι, διὰ τὸ ἀκολουθῆσαι γέγονεν· ἥ τε ἀκολούθησις, ἐκ τοῦ ἀφεῖναι εὐκολωτέρα κατέστη, καὶ ὑπὲρ τοῦ ἀφεῖναι θαῤῥεῖν καὶ χαίρειν αὐτοὺς παρεσκεύαζε. τί οὖν αὐτός;

28 Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Τί οὖν; καὶ Ἰούδας, φησί, καθεδεῖται; οὐδαμῶς. πῶς οὖν, καὶ ὑμεῖς, φησιν, ἐπὶ δώδεκα θρόνους καθεδεῖσθε; πῶς τὰ τῆς ὑποσχέσεως πληρωθήσεται; ἄκουσον πῶς, καὶ τίνι τρόπῳ. νόμος ἐστὶ παρὰ τοῦ Θεοῦ κείμενος, διὰ Ἱερεμίου τοῦ προφήτου τοῖς Ἰουδαίοις ἀναγνωσθείς, καὶ ταῦτα λέγων· Πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν, τοῦ ἐξαίρειν καὶ ἀπολλύειν. καὶ ἐὰν ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακιῶν αὐτῶν, μετανοήσω κἀγὼ ἀπὸ τῶν κακιῶν ὧν ἐλογισάμην ποιῆσαι αὐτοῖς. καὶ πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν, τοῦ ἀνοικοδομεῖν καὶ καταφυτεύειν. καὶ ἐὰν ποιήσωσι τὸ πονηρὸν ἐνώπιόν μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, μετανοήσω κἀγὼ περὶ τῶν ἀγαθῶν, ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. τὸ αὐτὸ γὰρ τοῦτο καὶ ἐπὶ τῶν χρηστῶν διαφυλάττω ἔθος, φησί. κἂν γὰρ εἴπω τοῦ ἀνοικοδομεῖν, ἀναξίους δὲ αὐτοὺς παράσχωσι τῆς ὑποσχέσεως, οὐκ ἔτι ποιήσω. ὅπερ γέγονεν ἐπὶ τοῦ ἀνθρώπου πλασθέντος. Ὁ τρόμος γὰρ ὑμῶν, φησι, καὶ ὁ φόβος ἔσται ἐπὶ τὰ θηρία, καὶ οὐκ ἐγένετο. ἀνάξιον γὰρ ἑαυτὸν τῆς τοιαύτης ἀρχῆς ἀπέφηνεν· ὥσπερ οὖν καὶ Ἰούδας. ἵνα γὰρ μήτε ταῖς ἀποφάσεσι τῆς κολάσεως ἀπογνόντες τινὲς σκληρότεροι γίνωνται, μήτε ταῖς τῶν χρηστῶν ὑποσχέσεσιν ἁπλῶς ῥᾳθυμότεροι καθεστῶσιν, ἀμφότερα ταῦτα ἰᾶται διὰ τοῦ προειρημένου, λέγων· κἂν ἀπειλήσω, μὴ ἀπογνῷς (δύνασαι γὰρ μετανοῆσαι καὶ λῦσαί μου τὴν ἀπόφασιν, ὡς Νινευῖται) κἂν ὑπόσχωμαί τι χρηστόν, μὴ ἀναπέσῃς διὰ τὴν ὑπόσχεσιν. ἂν γὰρ ἀνάξιος φανῇς, οὐδέν σε ὠφελήσει τὸ ὑποσχέσθαι με, ἀλλὰ μᾶλλον καὶ τιμωρήσεται. ἐγὼ γὰρ ἀξίῳ ὄντι ὑπισχνοῦμαι. διὰ τοῦτο καὶ τότε διαλεγόμενος τοῖς μαθηταῖς, οὐχ ἁπλῶς ἐπηγγείλατο. οὐδὲ γὰρ εἶπεν, ὑμεῖς μόνον, ἀλλὰ [καὶ] προσέθηκεν, οἱ ἀκολουθήσαντές μοι, ἵνα καὶ τὸν Ἰούδαν ἐκβάλῃ, καὶ τοὺς μετὰ ταῦτα ἐφελκύσηται. οὔτε γὰρ πρὸς ἐκείνους εἴρηται μόνους, οὔτε πρὸς Ἰούδαν λοιπὸν ἀνάξιον γεγενημένον. τοῖς μὲν οὖν μαθηταῖς τὰ μέλλοντα ἐπηγγείλατο, λέγων· καθίσεσθε ἐπὶ δώδεκα θρόνοις (ἦσαν γὰρ ὑψηλότεροι λοιπόν, καὶ οὐδὲν τῶν παρόντων ἐζήτουν) τοῖς δὲ ἄλλοις καὶ τὰ ἐνταῦθα ὑπισχνεῖται.

Ἱερ. ιη. ζ.

Γεν. θ. β.

29 Πᾶς γάρ, φησιν, ὅστις ἀφῆκεν ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἢ οἰκίαν, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Ἵνα γὰρ μή τινες ἀκούσαντες τό, ὑμεῖς, [ὡς] ἐξαίρετον τῶν μαθητῶν εἶναι τοῦτο νομίσωσι (λέγω δὴ τὸ τῶν μεγίστων καὶ πρωτείων ἐν τοῖς μέλλουσιν ἀπολαύειν) ἐξέτεινε τὸν λόγον, καὶ ἥπλωσε τὴν ὑπόσχεσιν ἐπὶ τὴν γῆν ἅπασαν, καὶ ἀπὸ τῶν παρόντων καὶ τὰ μέλλοντα πιστοῦται. καὶ τοῖς μαθηταῖς δὲ ἐν προοιμίοις, ὅτε ἀτελέστεροι διέκειντο, ἀπὸ τῶν παρόντων διελέγετο. ὅτε γὰρ εἵλκυσεν αὐτοὺς ἀπὸ τῆς θαλάττης,

λάσσης, καὶ τῆς τέχνης ἀπέστησε, καὶ ἀφεῖναι τὸ πλοῖον ἐκέλευσεν, οὐκ οὐρανῶν, οὐ θρόνων ἐμνημόνευσεν,
Ματθ. δ. ιθ. ἀλλὰ τῶν ἐνταῦθα πραγμάτων, εἰπών· Ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.
ἐπειδὴ δὲ ὑψηλοτέρους εἰργάσατο, τότε λοιπὸν καὶ περὶ τῶν ἐκεῖ διαλέγεται. τί δέ ἐστι, κρίνοντες
τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ; τουτέστι, κατακρίνοντες. οὐ γὰρ δὴ δικασταὶ μέλλουσι
καθέζεσθαι· ἀλλ' ὥσπερ τὴν βασίλισσαν τοῦ νότου κατακρινεῖν τὴν γενεὰν ἐκείνην ἔφησε,
καὶ οἱ Νινευῖται δὲ κατακρινοῦσιν αὐτούς· οὕτω δὴ καὶ οὗτοι. διὰ τοῦτο οὐκ εἶπε, τὰ ἔθνη καὶ τὴν
οἰκουμένην ἅπασαν, ἀλλὰ, τὰς φυλὰς τοῦ Ἰσραήλ. ἐπειδὴ γὰρ ἐν τοῖς αὐτοῖς ἦσαν τεθραμμένοι καὶ νόμοις
καὶ ἔθεσι καὶ πολιτείᾳ οἵ τε Ἰουδαῖοι καὶ οἱ ἀπόστολοι, ὅταν λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι διὰ
τοῦτο οὐκ ἠδυνήθημεν πιστεῦσαι τῷ Χριστῷ, ὅτι ὁ νόμος ἐκώλυσε τὰ παραγγέλματα αὐτοῦ
δέχεσθαι, τούτους εἰς μέσον παραγαγὼν τοὺς τὸν αὐτὸν δεξαμένους νόμον καὶ πιστεύσαντας,
κατακρινεῖ πάντας ἐκείνους· ὅπερ καὶ ἤδη ἔλεγε, διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται. καὶ τί μέγα
αὐτοῖς ἐπηγγείλατο, φησιν, εἴ γε ὅπερ ἔχουσιν οἱ Νινευῖται, καὶ ἡ βασίλισσα τοῦ νότου, τοῦτο καὶ
οὗτοι ἕξουσι; μάλιστα μὲν καὶ ἄλλα ἔμπροσθεν αὐτοῖς πολλὰ ἐπηγγείλατο, καὶ μετὰ ταῦτα
ὑπισχνεῖται, καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἔπαθλον· ἄλλως δὲ, καὶ ἐν τούτῳ παρῃνίξατό τι πλέον
Λουκ. ια. λα. λβ. ἐκείνων. περὶ μὲν γὰρ ἐκείνων ἁπλῶς εἶπεν· Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι
τὴν γενεὰν ταύτην, καὶ βασίλισσα νότου κατακρινεῖ· περὶ δὲ τούτων, οὐχ ἁπλῶς, ἀλλὰ πῶς;
ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα
β. Τιμ. β. ιβ. θρόνους, φησί· δηλῶν, ὅτι καὶ συμβασιλεύσουσι καὶ κοινωνήσουσι τῆς δόξης ἐκείνης. Εἰ γὰρ
ὑπομένομεν, φησι, καὶ συμβασιλεύσομεν. οὐδὲ γὰρ καθέδραν οἱ θρόνοι δηλοῦσι (μόνος
γὰρ αὐτός ἐστιν ὁ καθεζόμενος καὶ κρίνων) ἀλλὰ τιμὴν καὶ δόξαν ἄφατον προεδήλωσε διὰ τῶν
θρόνων. τούτοις μὲν οὖν ταῦτα εἶπε· τοῖς δὲ λοιποῖς πᾶσι ζωὴν αἰώνιον, καὶ ἑκατονταπλασίονα,
μισθὸν ἐνταῦθα. εἰ δὲ τοῖς λοιποῖς, πολλῷ μᾶλλον καὶ τούτοις, καὶ ἐνταῦθα, καὶ ἐν τῷ
αἰῶνι τούτῳ. καὶ τοῦτο γοῦν ἐξέβη. κάλαμον γὰρ καὶ δίκτυα ἀφέντες, τὰς πάντων οὐσίας μετ'
ἐξουσίας εἶχον, τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν χωρίων, καὶ αὐτὰ τὰ σώματα τῶν πιστευόντων. καὶ
σφαγῆναι γὰρ ὑπὲρ αὐτῶν πολλάκις εἵλοντο, ὡς καὶ Παῦλος πολλοῖς μαρτυρεῖ, ὅταν λέγῃ·
Γαλ. δ. ιε. Εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὅταν δὲ λέγῃ ὅτι πᾶς
ὅστις ἀφῆκε γυναῖκα, οὐ τοῦτό φησιν, ὥστε ἁπλῶς διασπᾶσθαι τοὺς γάμους· ἀλλ' ὃ περὶ τῆς
ψυχῆς ἔλεγεν, ὅτι ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτὴν, οὐχ ἵνα ἀναιρῶμεν
ἑαυτοὺς, οὐδ' ἵνα ἐντεῦθεν ἤδη χωρίζωμεν αὐτὴν ἀπὸ τοῦ σώματος, ἀλλ' ἵνα πάντων
προτιμῶμεν τὴν εὐσέβειαν· τοῦτο καὶ ἐπὶ γυναικὸς καὶ ἀδελφῶν φησι. δοκεῖ δέ μοι καὶ τοὺς
διωγμοὺς ἐνταῦθα αἰνίττεσθαι. ἐπειδὴ γὰρ πολλοὶ ἦσαν πατέρες εἰς ἀσέβειαν ἕλκοντες παῖδας,
καὶ γυναῖκες ἄνδρας, ὅταν ταῦτα κελεύωσι, φησι, μήτε γυναῖκες ἔστωσαν μήτε πατέρες.
α. Κορ. ζ. ιε. ὅπερ οὖν καὶ ὁ Παῦλος ἔλεγεν· Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. ἀναστήσας
τοίνυν αὐτῶν τὰ φρονήματα, καὶ πείσας καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῆς οἰκουμένης ἁπάσης
θαῤῥεῖν, προσέθηκε·

30 Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι. Τοῦτο δὲ καὶ ἀδιορίστως
καὶ περὶ πολλῶν καὶ ἑτέρων εἴρηται· εἴρηται δὲ ὅμως καὶ περὶ τούτων, καὶ περὶ Φαρισαίων
τῶν ἀπειθούντων, ὅπερ καὶ ἔμπροσθεν εἶπεν· Ὅτι πολλοὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν,
Ματθ. η. ια. καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἔξω
βληθήσονται. Εἶτα ἐπάγει καὶ παραβολὴν, εἰς πολλὴν προθυμίαν ἀλείφων τοὺς ὑστερηκότας.

κεφ. κ. 1 Ὁμοία γάρ ἐστι, φησιν, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.

2 Καὶ συμφωνήσας μετ' αὐτῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν

ἀμπελῶνα αὐτοῦ. 3 Καὶ τῇ τρίτῃ ὥρᾳ εἶδεν ἄλλους ἑστῶτας ἀργούς,

4 Κἀκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν.

5 Καὶ περὶ ἕκτην καὶ ἐννάτην ὥραν ἐποίησεν ὡσαύτως.

6 Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;

7 Οἱ δὲ λέγουσιν αὐτῷ· οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε.

8 Ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας καὶ δὸς αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων.

9 Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον.

10 Καὶ ἐλθόντες οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον· 11 Καὶ λαβόντες ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου,

ἐποίησαν, 12 Λέγοντες· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα.

13 Ὁ δὲ ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν· ἑταῖρε, οὐκ ἀδικῶ σε. οὐχὶ δηναρίου συνεφώνησάς μοι;

14 Ἆρον τὸ σόν, καὶ ὕπαγε. θέλω δὲ καὶ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί.

15 Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι;

16 Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Τί βούλεται [ἡμῖν] ἡ παραβολὴ αὕτη; οὐ γὰρ συνᾴδει τῷ πρὸς τῷ τέλει λεχθέντι τὸ ἐξ ἀρχῆς, ἀλλὰ τοὐναντίον ἅπαν ἐμφαίνει. ἐν ταύτῃ μὲν γὰρ δείκνυσιν ἅπαντας τῶν αὐτῶν ἀπολαύοντας, καὶ οὐ τοὺς μὲν ἐκβαλλομένους, τοὺς δὲ εἰσαγομένους· αὐτὸς δὲ καὶ πρὸ τῆς παραβολῆς, καὶ μετὰ τὴν παραβολὴν τοὐναντίον εἶπεν, ὅτι ἔσονται οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι· τουτέστι, καὶ αὐτῶν τῶν πρώτων πρῶτοι, οὐχὶ πρώτων μενόντων, ἀλλ' ἐσχάτων ἐκείνων γενομένων. ὅτι γὰρ τοῦτο δηλοῖ, ἐπήγαγε· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί· ὥστε διπλῆ κἀκείνους δάκνειν, καὶ τούτους παραμυθήσασθαι καὶ προτρέψαι. ἡ δὲ παραβολὴ οὐ τοῦτό φησιν, ἀλλ' ὅτι τῶν εὐδοκίμων καὶ πολλὰ πεπονηκότων ἔσονται ἴσοι. ἴσους γὰρ ἡμῖν αὐτοὺς ἐποίησας, φησί, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. τί οὖν ἐστιν, ὅ φησιν ἡ παραβολή; ἀναγκαῖον γὰρ τοῦτο πρῶτον ποιῆσαι σαφές, καὶ τότε ἐκεῖνο διαλυσόμεθα. ἀμπελῶνα μὲν, τὰ ἐπιτάγματα τοῦ Θεοῦ φησιν εἶναι καὶ τὰς ἐντολάς· χρόνον δὲ τῆς ἐργασίας, τὸν παρόντα βίον· ἐργάτας δὲ, τοὺς διαφόρως καλουμένους ἐπὶ τὰ [θεῖα] προστάγματα· πρωῒ δὲ καὶ περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην καὶ ἑνδεκάτην ὥραν, τοὺς ἐν διαφόροις ἡλικίαις προσελθόντας καὶ εὐδοκιμήσαντας. ἀλλὰ τὸ ζητούμενον τοῦτο ἐστιν, εἰ λαμπρῶς εὐδοκιμηκότες οἱ πρῶτοι καὶ ἀρέσαντες τῷ Θεῷ, καὶ δι' ὅλης ἡμέρας λάμψαντες ἀπὸ τῶν πόνων, τῷ ἐσχάτῳ τῆς κακίας κατέχονται πάθει βασκανίας καὶ φθόνου. ἰδόντες γὰρ αὐτοὺς τῶν αὐτῶν ἀπολελαυκότας, φασίν· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους αὐτοὺς ἡμῖν ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα· καὶ ταῦτα μηδὲν μέλλοντες ζημιοῦσθαι, μηδὲ εἰς τὸν ἑαυτῶν ἐλαττοῦσθαι μισθόν, ἐδυσχέραινον καὶ ἠγανάκτουν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, ὃ φθόνου καὶ βασκανίας ἦν. καὶ τὸ ἔτι πλέον, ὅτι καὶ ὁ οἰκοδεσπότης ὑπὲρ αὐτῶν δικαιολογούμενος, καὶ πρὸς τὸν εἰρηκότα ταῦτα ἀπολογούμενος, πονηρίας αὐτὸν κρίνει καὶ βασκανίας ἐσχάτης, λέγων· οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σόν, καὶ ὕπαγε.

πάγε. θέλω δὲ τῷ ἐσχάτῳ τούτῳ δοῦναι ὡς καὶ σοί. ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; τί οὖν ἐστι τὸ κατασκευαζόμενον ἐκ τούτων; καὶ γὰρ καὶ ἐφ' ἑτέρων παραβολῶν τὸ αὐτὸ τοῦτο ἔστιν ἰδεῖν. καὶ γὰρ ὁ υἱὸς ὁ εὐδόκιμος αὐτὸ τοῦτο εἰσάγεται πεποιθώς, ὅτι εἶδε τὸν ἄσωτον ἀδελφὸν πολλῆς ἀπολαύσαντα τιμῆς, καὶ πλείονος ἢ αὐτός. ὥσπερ γὰρ οὗτοι πλείονος ἀπήλαυον τῷ πρῶτοι λαβεῖν, οὕτω καὶ ἐκεῖνος μειζόνως τῇ περιουσίᾳ τῶν δεδομένων ἐτιμᾶτο· καὶ ταῦτα αὐτὸς μαρτυρεῖ ὁ εὐδόκιμος. τί οὖν ἐστιν εἰπεῖν; οὐκ ἔστιν οὐδεὶς τοιαῦτα δικαιολογούμενος, ἢ ἐγκαλῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (ἄπαγε) φθόνου γὰρ καὶ βασκανίας τὸ χωρίον ἐκεῖνο καθαρόν. εἰ γὰρ ἐνταῦθα ὄντες οἱ ἅγιοι, καὶ τὰς ψυχὰς ἑαυτῶν ὑπὲρ τῶν ἁμαρτωλῶν διδόασι, πολλῷ μᾶλλον ὁρῶντες ἐκεῖ τῶν ἀποκειμένων ἀγαθῶν αὐτοὺς ἀπολαύοντας χαίρουσι, καὶ οἰκεῖα νομίζουσιν εἶναι τὰ ἐκείνων ἀγαθά. τίνος οὖν ἕνεκεν οὕτως ἐσχημάτισε τὸν λόγον; παραβολή ἐστι τὸ λεγόμενον· διόπερ οὐδὲ χρὴ πάντα τὰ ἐν ταῖς παραβολαῖς κατὰ λέξιν περιεργάζεσθαι, ἀλλὰ τὸν σκοπὸν μαθόντας δι' ὃν συνετέθη, τοῦτον δρέπεσθαι καὶ μηδὲν πολυπραγμονεῖν περαιτέρω. τίνος οὖν ἕνεκεν οὕτω συνετέθη αὕτη ἡ παραβολή, καὶ τί κατασκευάσαι βούλεται; προθυμοτέρους ποιῆσαι τοὺς ἐν ἐσχάτῳ γήρᾳ μεταβαλλομένους καὶ γινομένους βελτίονας, μηδὲ ἀφιέναι νομίζειν ἔλαττον ἔχειν. διὰ δὴ τοῦτο εἰσάγει καὶ δυσχεραίνοντας ἑτέρους ἐπὶ τοῖς τούτων ἀγαθοῖς· οὐχ ἵνα δείξῃ τηκομένους καὶ δακνομένους ἐκείνους (ἄπαγε) ἀλλ' ἵνα διδάξῃ τούτους τοσαύτης ἀπολαύσαντας τιμῆς, ὡς καὶ φθόνον ἑτέροις τεκεῖν δύνασθαι· ὃ καὶ ἡμεῖς πολλάκις ποιοῦμεν λέγοντες· ὅτι ὁ δεῖνά μοι ἐνεκάλεσεν, ὅτι σε τοσαύτης ἠξίωσα τιμῆς· οὔτε ἐγκληθέντες, οὔτε διαβαλεῖν ἐκεῖνον ἐθέλοντες, ἀλλὰ τούτῳ δεῖξαι τὸ μέγεθος τῆς δωρεᾶς ἧς ἀπήλαυσεν. ἀλλὰ τί δήποτε οὐ πάντας εὐθέως ἐμισθώσατο; τὸ εἰς αὐτὸν ἧκον, ἅπαντας. εἰ δὲ οὐχ ὁμοῦ πάντες ὑπήκουσαν, τὴν διαφορὰν ἡ τῶν κληθέντων γνώμη πεποίηκε. διὰ τοῦτο οἱ μὲν πρωΐ, οἱ δὲ τρίτῃ, οἱ δὲ ἕκτῃ, οἱ δὲ ἐνάτῃ ὥρᾳ καλοῦνται, οἱ δὲ ἑνδεκάτῃ, ὅτε ἔμελλον ὑπακούσεσθαι. τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου. πότε δὲ εὐδόκησεν; ὅτε ἔμελλεν ὑπακούσεσθαι. αὐτὸς μὲν γὰρ ἐβούλετο καὶ ἐκ προοιμίων· ἐπειδὴ δὲ αὐτὸς οὐκ ἂν εἶξε, τότε εὐδόκησεν, ὅτε καὶ αὐτὸς ἔμελλε πείθεσθαι. οὕτω καὶ τὸν λῃστὴν ἐκάλεσε, καίτοι δυνάμενος καὶ ἔμπροσθεν αὐτὸν καλέσαι· ἀλλ' ἐκεῖνος οὐκ ἂν ὑπήκουσεν. εἰ γὰρ ὁ Παῦλος ἐξ ἀρχῆς οὐκ ἂν ὑπήκουσε, πολλῷ μᾶλλον ὁ λῃστής. εἰ δὲ οὗτοι λέγουσιν, οὐδεὶς ἡμᾶς ἐμισθώσατο, μάλιστα μέν, ὅπερ ἔφην, οὐ χρὴ πάντα περιεργάζεσθαι τὰ ἐν ταῖς παραβολαῖς· ἐνταῦθα δὲ οὐδὲ ὁ οἰκοδεσπότης φαίνεται τοῦτο λέγων, ἀλλ' ἐκεῖνοι· αὐτὸς δὲ αὐτοὺς οὐκ ἐλέγχει, ἵνα μὴ διαπτοήσῃ, ἀλλ' ἐπισπάσηται. ὅτι γὰρ πάντας, τό γε εἰς αὐτὸν ἧκον, ἐκ πρώτης ἐκάλει, ἐδήλωσε καὶ ἡ παραβολὴ λέγουσα· ὅτι ἀπὸ πρωΐ ἐξῆλθε μισθώσασθαι. πανταχόθεν οὖν δῆλον ἡμῖν, ὅτι πρός τε τοὺς ἐκ πρώτης ἡλικίας, καὶ πρὸς τοὺς ἐν γήρᾳ καὶ βράδιον ἀρετῆς ἐπειλημμένους εἴρηται ἡ παραβολή· πρὸς ἐκείνους μέν, ἵνα μὴ ἀπονοῶνται, μηδὲ ὀνειδίζωσι τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν· πρὸς τούτους δέ, ἵνα μάθωσιν ὅτι ἔστι καὶ ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀνακτήσασθαι. ἐπειδὴ γὰρ περὶ σφοδρότητος διελέγετο, καὶ τοῦ χρήματα ῥῖψαι, καὶ καταφρονῆσαι τῶν ὄντων ἁπάντων· πολλοῦ δὲ τοῦτο ἐδεῖτο πόνου καὶ νεανικῆς προθυμίας, ἀνάπτων ἐν αὐτοῖς φλόγα ἀγάπης καὶ εὔτονον ποιῶν τὴν γνώμην, δείκνυσιν ὅτι δυνατὸν καὶ ὕστερον ἐλθόντας, τῆς πάσης ἡμέρας λαβεῖν τὸν μισθόν. ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πάλιν αὐτοὺς ἀπονοήσῃ· δείκνυσι δὲ ὅτι τῆς αὐτοῦ φιλανθρωπίας ἐστὶ τὸ πᾶν, καὶ διὰ ταύτην οὐκ ἐκπεσοῦνται, ἀλλ' ἀπολαύσονται καὶ αὐτοὶ τῶν ἀπορρήτων ἀγαθῶν· καὶ τοῦτο μάλιστά ἐστιν ὃ βούλεται διὰ τῆς παραβολῆς ταύτης κατασκευάσαι. εἰ δὲ ἐπάγει, ὅτι οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι· καί, πολλοὶ γὰρ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί, μὴ θαυμάσῃς. οὐ γὰρ ὡς ἐκ τῆς παραβολῆς

Γαλ. α. 15.

λῆς τοῦτο συναγαγών φησιν· ἀλλὰ τοῦτο λέγει, ὅτι ὥσπερ τοῦτο συνέβη, οὕτω καὶ ἐκεῖνο συμβήσεται). ἐνταῦθα μὲν γὰρ οὐκ ἐγένοντο οἱ πρῶτοι ἔσχατοι, ἀλλὰ τὴν αὐτὴν ἅπαντες ἀπήλαυσαν παρ' ἐλπίδα καὶ παρὰ προσδοκίαν. ὥσπερ δὲ τοῦτο παρ' ἐλπίδα καὶ προσδοκίαν ἐξέβη, καὶ τὴν ἔμπροσθεν ἐγένοντο ἴσοι οἱ μετὰ ταῦτα· οὕτω καὶ τὸ τούτου πλέον συμβήσεται καὶ παραδοξότερον, τὸ καὶ ἔμπροσθεν γενέσθαι τῶν πρώτων τοὺς ἐσχάτους, καὶ μετὰ τούτους τοὺς πρώτους. ὥστε ἕτερον ἐκεῖνο, καὶ ἕτερον τοῦτο. δοκεῖ δέ μοι ταῦτα λέγειν Ἰουδαίους αἰνιττόμενος, καὶ τῶν πιστῶν τοὺς ἐξ ἀρχῆς λάμψαντας, ὕστερον δὲ ἀμελήσαντας ἀρετῆς καὶ εἰς τοὐπίσω κατενεχθέντας· κἀκείνους πάλιν τοὺς ἀπὸ κακίας ἀνενεγκόντας, καὶ πολλοὺς ὑπερακοντίσαντας. ὁρῶμεν γὰρ τὰς τοιαύτας μεταβολὰς καὶ ἐπὶ πίστεως καὶ ἐπὶ βίου γινομένας.

ΗΘΙΚΟΝ

Διὸ παρακαλῶ, πολλὴν ποιησώμεθα σπουδὴν, καὶ ἐπὶ τῆς πίστεως ἑστάναι τῆς ὀρθῆς, καὶ βίον ἐπιδείκνυσθαι ἄριστον. ἂν γὰρ μὴ καὶ βίον προσθῶμεν τῆς πίστεως ἄξιον, τὴν ἐσχάτην δώσομεν δίκην. καὶ τοῦτο ἔδειξε μὲν καὶ ἀπὸ τῶν ἄνωθεν χρόνων ὁ μακάριος Παῦλος, ὅτε ἔλεγεν· Ὅτι πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· καὶ προσθεὶς, ὅτι οὐκ ἐσώθησαν. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ἔδειξε δὲ καὶ ἐπὶ τῶν εὐαγγελίων ὁ Χριστὸς, ὅτε εἰσήγαγέ τινας δαίμονας ἐκβαλόντας καὶ προφητεύσαντας, καὶ εἰς κόλασιν ἀπαγομένους. καὶ πᾶσαι δὲ αὐτοῦ αἱ παραβολαὶ, οἷον ἡ τῶν παρθένων, ἡ τῆς σαγήνης, ἡ τῶν ἀκανθῶν, ἡ τοῦ δένδρου τοῦ μὴ ποιοῦντος καρπὸν, τὴν ἀπὸ τῶν ἔργων ἀρετὴν ἐπιζητοῦσι. περὶ μὲν γὰρ δογμάτων ὀλιγάκις διαλέγεται (οὐδὲ γὰρ δεῖται πόνου τὸ πρᾶγμα) περὶ δὲ βίου πολλάκις, μᾶλλον δὲ πανταχοῦ. διηνεκὴς γὰρ ὁ περὶ τοῦτο πόλεμος, διὸ καὶ ὁ πόνος. καὶ τί λέγω πολιτείαν ὁλόκληρον; καὶ γὰρ μέρος αὐτῆς παροφθὲν μεγάλα ἐπάγει κακά· οἷον ἐλεημοσύνη παροφθεῖσα εἰς γέενναν ἐμβάλλει τοὺς ὑστερήσαντας· καίτοι οὐχ ὁλόκληρος αὕτη ἀρετὴ, ἀλλὰ μέρος αὐτῆς. ἀλλ' ὅμως καὶ αἱ παρθένοι διὰ τὸ μὴ ἔχειν ταύτην ἐκολάσθησαν, καὶ ὁ πλούσιος δὲ διὰ τοῦτο ἀπετηγανίζετο· καὶ οἱ πεινῶντα μὴ θρέψαντες, ἐντεῦθεν μετὰ τοῦ διαβόλου καταδικάζονται. πάλιν τὸ μὴ λοιδορεῖν, μέρος αὐτῆς ἐστιν ἐλάχιστον. ἀλλ' ὅμως καὶ τοῦτο ἐκβάλλει τοὺς μὴ κατωρθωκότας. Ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, φησι, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. πάλιν ἡ σωφροσύνη καὶ αὐτὴ μέρος ἐστίν. ἀλλ' ὅμως χωρὶς ταύτης οὐδεὶς ὄψεται τὸν Κύριον. Εἰρήνην γάρ, φησι, διώκετε καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. καὶ ἡ ταπεινοφροσύνη δὲ ὁμοίως μόριόν ἐστιν ἀρετῆς. ἀλλ' ὅμως κἂν ἕτερά τις ἐπιτελέσῃ καλὰ, ταύτην δὲ μὴ κατορθώσῃ, ἀκάθαρτός ἐστι παρὰ τῷ Θεῷ. καὶ δῆλον ἐκ τοῦ Φαρισαίου, ὃς μυρίοις κομῶν ἀγαθοῖς, ἐντεῦθεν πάντα ἀπώλεσεν. ἐγὼ δέ τι καὶ τούτων πλέον εἰπεῖν ἔχω πάλιν. οὐ γὰρ δὴ μόνον ἕν τι αὐτῶν παροφθὲν ἀποκλείει τὸν οὐρανὸν ἡμῖν· ἀλλὰ κἂν γένηται μὲν, μὴ μετὰ τῆς προσηκούσης δὲ ἀκριβείας καὶ ὑπερβολῆς, τὸ αὐτὸ τοῦτο πάλιν ποιεῖ. Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥστε κἂν ἐλεημοσύνην δῷς, μὴ πλείονα δὲ ἐκείνων, οὐκ εἰσελεύσῃ. καὶ πόσην ἐκεῖνοι παρεῖχον ἐλεημοσύνην, φησί; τοῦτο γὰρ αὐτὸς εἰπεῖν βούλομαι νῦν, ἵνα οἱ μὲν μὴ διδόντες, διαναστῶσι πρὸς τὸ δοῦναι· οἱ δὲ διδόντες, μὴ μέγα φρονῶσιν, ἀλλὰ καὶ προσθήκην ἐργάζωνται. τί οὖν ἐδίδοσαν ἐκεῖνοι; τῶν ὄντων ἁπάντων δεκάτην, καὶ πάλιν ἑτέραν δεκάτην, καὶ μετὰ ταύτην, τρίτην. ὥστε γὰρ οὐδὲν τὸ τρίτον τῆς οὐσίας παρεῖχον. τρεῖς γὰρ δεκάται συντιθέμεναι τοῦτο ποιοῦσι. καὶ μετὰ τούτων καὶ ἀπαρχαὶ, καὶ πρωτότοκα, καὶ ἕτερα πλείονα· οἷον, τὰ ὑπὲρ ἁμαρτημάτων, τὰ ὑπὲρ καθαρισμῶν, τὰ ἐν ταῖς ἑορταῖς, τὰ ἐν τῷ ἰοβιλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς, καὶ ταῖς τῶν οἰκετῶν ἀφαιρέσεσι, καὶ τοῖς δανείσμασι τοῖς τόκων ἀπηλλαγμένοις. εἰ δὲ ὁ τὸ τρίτον διδοὺς τῶν ὄντων, μᾶλλον δὲ τὸ ἥμισυ (μετὰ γὰρ τούτων ἐκεῖνα συντιθέμενα τὸ ἥμισύ ἐστιν) εἰ τοίνυν ὁ τὸ ἥμισυ διδοὺς, οὐδὲν μέγα

α.Κορ.ι.γ,δ.
Ματθ. ζ. κβ.
Ματθ. κε.
Ματθ. ιγ.
Μαρ. δ.
Ματθ. ε. κβ.
Εβ.ιβ.ιδ.
Ματθ. ε. κ.

ἐργάζεται· ὁ μηδὲ τὸ δέκατον παρέχων, τίνος ἄξιος ἔσται; εἰκότως οὖν ἔλεγεν, ὀλίγοι οἱ σωζόμενοι. μὴ δὴ [οὖν] καταφρονῶμεν τῆς κατὰ τὸν βίον ἐπιμελείας. εἰ γὰρ μέρος αὐτοῦ καταφρονούμενον ἐν τοσαύτην φέρει τὴν ἀπώλειαν, ὅταν πανταχόθεν ὦμεν ὑπεύθυνοι τῇ καταδικαζούσῃ ψήφῳ, πῶς διαφευξόμεθα τὴν κόλασιν; ποίαν δὲ οὐ τίσομεν δίκην; καὶ ποία ἡμῖν σωτηρίας ἐλπίς, φησιν, εἰ τῶν ἀπηριθμημένων ἕκαστον τὴν γέενναν ἡμῖν ἀπειλεῖ; κἀγὼ τοῦτο λέγω· πλὴν ἐὰν προσέχωμεν, δυνατὸν σωθῆναι τὸ τῆς ἐλεημοσύνης κατασκευάζοντας φάρμακον, καὶ τὰ τραύματα θεραπεύοντας. οὐ γὰρ οὕτω σῶμα ῥώννυσιν ἔλαιον, ὡς φιλανθρωπία ψυχὴν καὶ ῥώννυσι, καὶ ἀχείρωτον πᾶσιν ἐργάζεται, καὶ ἀνάλωτον τῷ διαβόλῳ ποιεῖ. ὅπου γὰρ ἂν κατάσχῃ, διολισθαίνει λοιπὸν, οὐκ ἐῶντος τοῦ ἐλαίου τούτου τοῖς νώτοις τοῖς ἡμετέροις ἐνιζάνειν τὰς ἐκείνου λαβάς. τούτῳ τοίνυν ἀλείφωμεν ἑαυτοὺς τῷ ἐλαίῳ συνεχῶς. καὶ γὰρ ὑγιείας ἐστὶν ὑπόθεσις, καὶ φωτὸς χορηγία, καὶ φαιδρότητος ἀφορμή. ἀλλ' ὁ δεῖνα, φησι, τόσα καὶ τόσα ἔχει τάλαντα χρυσίου, καὶ οὐδὲν προΐεται. καὶ τί τοῦτο πρὸς σέ; οὕτω γὰρ θαυμαστότερος σὺ φανήσῃ, ὅταν ἀπὸ πενίας φιλοτιμότερος ἐκείνου γένῃ. οὕτω καὶ Μακεδόνας ὁ Παῦλος ἐθαύμασεν, οὐχ ὅτι παρέσχον, ἀλλ' ὅτι καὶ ἐν πτωχείᾳ ὄντες παρέσχον. μὴ δὴ οὖν πρὸς τούτους ἴδῃς, ἀλλὰ πρὸς τὸν κοινὸν ἁπάντων κύριον καὶ διδάσκαλον, ὃς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ διατί, φησιν, ὁ δεῖνα καὶ ὁ δεῖνα τοῦτο οὐ ποιεῖ; μὴ κρῖνε ἕτερον, ἀλλὰ σεαυτὸν ἀπάλλαξον τῆς κατηγορίας. ἐπεὶ μείζων ἡ κόλασις, ὅταν καὶ ἑτέροις ἐγκαλῇς, καὶ αὐτὸς μὴ ποιῇς· ὅταν ἄλλους κρίνων, τῷ αὐτῷ κρίματι πάλιν ὑπεύθυνος ᾖς καὶ αὐτός. εἰ γὰρ οὐδὲ κατορθοῦντας κρίνειν ἀφίεται ἑτέρους, πολλῷ μᾶλλον πταίοντας. μὴ τοίνυν κρίνωμεν ἑτέρους, μηδὲ πρὸς ἑτέρους ῥαθυμοῦντας βλέπωμεν· ἀλλὰ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ ἐκεῖθεν τὰ ὑποδείγματα φέρωμεν. μὴ γὰρ ἐγώ σε εὐηργέτησα; μὴ γὰρ ἐγώ σε ἐλυτρωσάμην, ἵνα πρὸς ἐμὲ βλέπῃς; ἄλλος ἐστὶν ὁ ταῦτα πάντα σοι παρασχών. τί τὸν δεσπότην ἀφεὶς, πρὸς τὸν σύνδουλον ὁρᾷς; οὐκ ἤκουσας αὐτοῦ λέγοντος· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ; καὶ πάλιν, Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος; καὶ πάλιν, Καθὼς ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι; καὶ μετὰ ταῦτα πάλιν, ἵνα μὴ προσπταίων τοῖς ῥαθύμοις τῶν συνδούλων μένῃς ἐν ὀλιγωρίᾳ, ἀφέλκων σε τούτων, φησίν· Ὑπόδειγμα δέδωκα ὑμῖν ἐμαυτόν, ἵνα καθὼς ἐποίησα, καὶ ὑμεῖς ποιῆτε. ἀλλ' οὐκ ἔστι σοι διδάσκαλος ἀρετῆς τῶν συνόντων ἀνθρώπων οὐδεὶς, οὐδὲ οἷος εἰς ταῦτα ἐνάγειν; οὐκοῦν πλείων ὁ ἔπαινος, μεῖζον τὸ ἐγκώμιον, ὅτι μηδὲ διδασκάλων εὐπορῶν γέγονας σὺ θαυμαστός. καὶ γὰρ δυνατὸν τοῦτο καὶ σφόδρα ῥᾴδιον, ἐὰν θέλωμεν. καὶ δηλοῦσιν οἱ πρῶτοι ταῦτα κατωρθωκότες· οἷον, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Μελχισεδέκ, ὁ Ἰώβ, καὶ οἱ κατ' ἐκείνους ἄνθρωποι πάντες, πρὸς οὓς ἀναγκαῖον καθ' ἑκάστην ἡμέραν ὁρᾷν, ἀλλὰ μὴ πρὸς τούτους, οὓς οὐδέποτε παύεσθε ζηλοῦντες καὶ ἐν τοῖς συλλόγοις τοῖς ἡμετέροις περιφέροντες. καὶ γὰρ οὐδὲν ἄλλο πανταχοῦ λεγόντων ἀκούω, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· ὁ δεῖνα ἐκτήσατο πλέθρα γῆς τόσα καὶ τόσα· ὁ δεῖνα πλουτεῖ· ὁ δεῖνα οἰκοδομεῖ. τί κέχηνας ἔξω, ἄνθρωπε; τί πρὸς ἑτέρους βλέπεις; εἰ βούλει πρὸς ἑτέρους ἰδεῖν, τοὺς κατορθοῦντας βλέπε, τοὺς εὐδοκιμοῦντας, τοὺς τὸν νόμον μετ' ἀκριβείας ἀποπληροῦντας, μὴ τοὺς προσκεκρουκότας καὶ ἠτιμωμένους. ἂν γὰρ πρὸς τούτους βλέπῃς, πολλὰ ἐντεῦθεν συλλέξεις κακά, εἰς ῥαθυμίαν ἐμπίπτων, εἰς ἀπόνοιαν, εἰς τὸ καταδικάζειν ἑτέρους. ἂν δὲ τοὺς κατορθοῦντας ἀριθμῇς, εἰς ταπεινοφροσύνην, εἰς σπουδήν, εἰς κατάνυξιν, εἰς τὰ μυρία σαυτὸν ἐξάξεις ἀγαθά. ἄκουσον τί ἔπαθεν ὁ Φαρισαῖος, ἐπειδὴ τοὺς κατορθοῦντας ἀφεὶς, τὸν πταίσαντα εἶδεν· ἄκουσον, καὶ φοβήθητι. βλέπε πῶς θαυμαστὸς ἐγένετο ὁ Δαβίδ, ἐπειδὴ πρὸς τοὺς προγόνους αὐτοῦ τοὺς κατ' ἀρετὴν ἔβλεπε. Πάροικος γάρ, φησιν, ἐγώ εἰμι καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. καὶ γὰρ οὗτος, καὶ πάντες οἱ κατ' αὐτόν, τοὺς ἡμαρτηκότας ἀφέντες,

β. Κορ. θ. β.

Ματθ. ια. κθ.

Ματθ. κ. κϛ. κζ. κη.

Ἰωαν. ιγ. ιε.

Ψαλμ. λη. ιγ.

Εβ. ια. ιγ.

ἀφέντες, τοὺς εὐδοκιμηκότας ἐνενόουν. τοῦτο καὶ σὺ ποίει. οὐδὲ γὰρ δικαστὴς αὐτὸς κάθισαι τῶν ἑτέροις πεπλημμελημένων, οὐδὲ ἐξεταστὴς τῶν ἄλλοις ἁμαρτανομένων· σαυτῷ κρίνειν, οὐχ ἑτέροις προσετάγης. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησὶν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα. σὺ δὲ τὴν τάξιν ἀνέστρεψας, σαυτὸν μὲν οὐ μεγάλων, οὐ μικρῶν πταισμάτων ἀπαιτῶν εὐθύνας, τὰ δὲ ἑτέρων μετὰ ἀκριβείας περιεργαζόμενος. ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν· ἀλλὰ ταύτην ἀφέντες τὴν ἀταξίαν, δικαστήριον [ἐν] ἡμῖν αὐτοῖς καθίσωμεν τῶν [ἐν] ἡμῖν αὐτοῖς ἁμαρτανομένων, αὐτοὶ καὶ κατήγοροι καὶ δικασταὶ καὶ δήμιοι τῶν πλημμελημάτων γινόμενοι. εἰ δὲ βούλει καὶ τὰ ἑτέρων πολυπραγμονεῖν, τὰ κατορθώματα, μὴ τὰ ἁμαρτήματα περιεργάζου· ἵνα καὶ ἐκ τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων, καὶ ἐκ τοῦ ζήλου τῶν ἑτέροις κατορθουμένων, καὶ ἐκ τῆς τοῦ ἀπαραιτήτου δικαστηρίου παραστάσεως, καθ' ἑκάστην, ὥσπερ πλήκτρῳ τινὶ τῇ συνειδήσει νυττόμενοι, εἰς ταπεινοφροσύνην καὶ μείζονα σπουδὴν ἑαυτοὺς ἐνάγοντες, τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ξε.

17 ΚΑΙ ΑΝΑΒΑΙΝΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΙΕροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· 18 Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· 19 Καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

ΕΙς Ἱεροσόλυμα οὐκ ἀθρόον ἀναβαίνει ἐκ τῆς Γαλιλαίας ἐλθὼν, ἀλλὰ πρότερον θαυματουργήσας καὶ ἐπιστομίσας Φαρισαίους, καὶ διαλεχθεὶς τοῖς μαθηταῖς περὶ ἀκτημοσύνης (εἰ γὰρ θέλεις τέλειος εἶναι, φησὶ, πώλησόν σου τὰ ὑπάρχοντα) καὶ περὶ παρθενίας (ὁ δυνάμενος χωρεῖν, χωρείτω) καὶ περὶ ταπεινοφροσύνης (ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν) καὶ περὶ ἀνταποδόσεως τῶν ἐνταῦθα (ὅστις γὰρ ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ) καὶ περὶ ἀμοιβῶν τῶν ἐκεῖ (καὶ ζωὴν γὰρ αἰώνιον κληρονομήσει) τότε προσβάλλει τῇ πόλει λοιπὸν, καὶ μέλλων ἀνιέναι περὶ τοῦ πάθους πάλιν διαλέγεται. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς διὰ τὸ μὴ βούλεσθαι τοῦτο συμβῆναι ἐπιλανθάνεσθαι, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει, ἐγγυμνάζων αὐτῶν τὴν διάνοιαν τῇ πυκνότητι τῆς ἀναμνήσεως καὶ τὴν λύπην ὑποτεμνόμενος. κατ' ἰδίαν δὲ αὐτοῖς διαλέγεται ἀναγκαίως. οὐ γὰρ ἔδει εἰς πολλοὺς ἐξενεχθῆναι τὸν περὶ τούτων λόγον, οὐδὲ σαφῶς λεχθῆναι. οὐδὲν γὰρ ἐκ τούτου πλέον ἐγίνετο. εἰ γὰρ οἱ μαθηταὶ ἐθορυβοῦντο ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ὁ τῶν πολλῶν δῆμος. τί οὖν; οὐκ ἐλέχθη τοῖς πολλοῖς, φησιν; ἐλέχθη μὲν καὶ πρὸς τοὺς πολλοὺς· οὐχ οὕτω δὲ σαφῶς. Λύσατε γὰρ, φησι, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ, Σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· καὶ πάλιν, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. τοῖς δὲ μαθηταῖς οὐχ οὕτως· ἀλλ' ὥσπερ τὰ ἄλλα σαφέστερον ἔλεγεν, οὕτω καὶ τοῦτο εἶπε. καὶ τίνος ἕνεκεν, εἰ μὴ συνίεσαν οἱ πολλοὶ [τὴν δύναμιν] τῶν λεγομένων, καὶ ἐλέγετο; ἵνα μάθωσι μετὰ ταῦτα, ὅτι προειδὼς ἐπὶ τὸ πάθος ᾔει καὶ ἑκὼν, * οὐκ ἀγνοῶν οὐδὲ ἀναγκαζόμενος.

Ἰωαν. β. ιθ. κα.
Ματθ. ιβ. λθ.

ἐργάζεται· ὁ μηδὲ τὸ δέκατον παρέχων, τίνος ἄξιος ἔσται; Εἰκότως οὖν ἔλεγεν, ὀλίγοι εἰσὶν οἱ σωζόμενοι. μὴ δὴ [οὖν] καταφρονῶμεν τῆς κατὰ τὸν βίον ἐπιμελείας. Εἰ γὰρ μέρος αὐτοῦ καταφρονούμενον ἐν τοσαύτην φέρει τὴν ἀπώλειαν, ὅταν πανταχόθεν ὦμεν ὑπεύθυνοι τῇ καταδικαζούσῃ ψήφῳ, πῶς διαφευξόμεθα τὴν κόλασιν; ποίαν δὲ οὐ τισόμεθα δίκην; καὶ ποία ἡμῖν σωτηρίας ἐλπίς, φησιν, εἰ τῶν ἀπηριθμημένων ἕκαστον τὴν γέενναν ἡμῖν ἀπειλεῖ; κἀγὼ τοῦτο λέγω· πλὴν ἐὰν προσέχωμεν, δυνατὸν σωθῆναι τὸ τῆς ἐλεημοσύνης κατασκευάζοντας φάρμακον, καὶ τὰ τραύματα θεραπεύοντας. οὐ γὰρ οὕτω σῶμα ῥωννύσιν ἔλαιον, ὡς φιλανθρωπία ψυχὴν καὶ ῥώννυσι, καὶ ἀχείρωτον πᾶσιν ἐργάζεται, καὶ ἀνάλωτον τῷ διαβόλῳ ποιεῖ. ὅπου γὰρ ἂν κατάσχῃ, διολισθαίνει λοιπόν, οὐκ ἐῶντος τοῦ ἐλαίου τούτου τοῖς νώτοις τοῖς ἡμετέροις ἐνιζάνειν τὰς ἐκείνου λαβάς. τούτῳ τοίνυν ἀλειφώμεθα ἑαυτοὺς τῷ ἐλαίῳ συνεχῶς. καὶ γὰρ ὑγιείας ἐστὶν ὑπόθεσις, καὶ φωτὸς χορηγία, καὶ φαιδρότητος ἀφορμή. ἀλλ' ὁ δεῖνα, φησι, τόσα καὶ τόσα ἔχει τάλαντα χρυσίου, καὶ οὐδὲν προΐεται. καὶ τί τοῦτο πρὸς σέ; οὕτω γὰρ θαυμαστότερος σὺ φανήσῃ, ὅταν ἀπὸ πενίας φιλοτιμότερος ἐκείνου γένῃ. οὕτω καὶ Μακεδόνας ὁ Παῦλος ἐθαύμασεν, οὐχ ὅτι παρέσχον, ἀλλ' ὅτι καὶ ἐν πτωχείᾳ ὄντες παρέσχον. μὴ δὴ οὖν πρὸς τούτους ἴδοις, ἀλλὰ πρὸς τὸν κοινὸν ἁπάντων κύριον καὶ διδάσκαλον, ὃς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ διατί, φησιν, ὁ δεῖνα καὶ ὁ δεῖνα τοῦτο οὐ ποιεῖ; μὴ κρίνε ἕτερον, ἀλλὰ σεαυτὸν ἀπάλλαξον τῆς κατηγορίας. ἐπεὶ μείζων ἡ κόλασις, ὅταν καὶ ἑτέροις ἐγκαλῇς, καὶ αὐτὸς μὴ ποιῇς· ὅταν ἄλλους κρίνων, τῷ αὐτῷ κρίματι πάλιν ὑπεύθυνος ᾖς καὶ αὐτός. εἰ γὰρ οὐδὲ κατορθοῦντας κρίνειν ἀφίεται ἑτέρους, πολλῷ μᾶλλον πταίοντας. μὴ τοίνυν κρίνωμεν ἑτέρους, μηδὲ πρὸς ἑτέρους ῥαθυμοῦντας βλέπωμεν· ἀλλὰ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ ἐκεῖθεν τὰ ὑποδείγματα φέρωμεν. μὴ γὰρ ἐγώ σε εὐηργέτησα; μὴ γὰρ ἐγώ σε ἐλυτρωσάμην, ἵνα πρὸς ἐμὲ βλέπῃς; ἄλλος ἐστὶν ὁ ταῦτα πάντα σοι παρασχών. τί τὸν δεσπότην ἀφεὶς, πρὸς τὸν σύνδουλον ὁρᾷς; οὐκ ἤκουσας αὐτοῦ λέγοντος· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ; καὶ πάλιν, Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος; καὶ πάλιν, Καθὼς ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι; καὶ μετὰ ταῦτα πάλιν, ἵνα μὴ προσπταίων τοῖς ῥαθύμοις τῶν συνδούλων μένῃς ἐν ὀλιγωρίᾳ, ἀφέλκων σε τούτων, φησίν· Ὑπόδειγμα δέδωκα ὑμῖν ἐμαυτόν, ἵνα καθὼς ἐποίησα, καὶ ὑμεῖς ποιῆτε. ἀλλ' οὐκ ἔστι σοι διδάσκαλος ἀρετῆς τῶν συνόντων ἀνθρώπων οὐδείς, οὐδὲ οἷος εἰς ταῦτα ἐνάγειν; οὐκοῦν πλείων ὁ ἔπαινος, μεῖζον τὸ ἐγκώμιον, ὅτι μηδὲ διδασκάλων εὐπορῶν γέγονας σὺ θαυμαστός. καὶ γὰρ δυνατὸν τοῦτο καὶ σφόδρα ῥᾴδιον, ἐὰν θέλωμεν. καὶ δηλοῦσιν οἱ πρῶτοι ταῦτα κατωρθωκότες· οἷον, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Μελχισεδέκ, ὁ Ἰώβ, καὶ οἱ κατ' ἐκείνους ἄνθρωποι πάντες, πρὸς οὓς ἀναγκαῖον καθ' ἑκάστην ἡμέραν ὁρᾷν, ἀλλὰ μὴ πρὸς τούτους, οὓς οὐδέποτε παύεσθε ζηλοῦντες καὶ ἐν τοῖς συλλόγοις τοῖς ἡμετέροις περιφέροντες. καὶ γὰρ οὐδὲν ἄλλο πανταχοῦ λεγόντων ἀκούω, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· ὁ δεῖνα ἐκτήσατο πλέθρα γῆς τόσα καὶ τόσα· ὁ δεῖνα πλουτεῖ· ὁ δεῖνα οἰκοδομεῖ. τί κέχηνας ἔξω, ἄνθρωπε; τί πρὸς ἑτέρους βλέπεις; εἰ βούλει πρὸς ἑτέρους ἰδεῖν, τοὺς κατορθοῦντας βλέπε, τοὺς εὐδοκιμοῦντας, τοὺς τὸν νόμον μετὰ ἀκριβείας ἀποπληροῦντας, μὴ τοὺς προσκεκρουκότας καὶ ἠτιμωμένους. ἂν γὰρ πρὸς τούτους βλέπῃς, πολλὰ ἐντεῦθεν συλλέξεις κακά, εἰς ῥαθυμίαν ἐμπίπτων, εἰς ἀπόνοιαν, εἰς τὸ καταδικάζειν ἑτέρους. ἂν δὲ τοὺς κατορθοῦντας ἀριθμῇς, εἰς ταπεινοφροσύνην, εἰς σπουδήν, εἰς κατάνυξιν, εἰς τὰ μυρία σαυτὸν ἐξάξεις ἀγαθά. ἄκουσον τί ἔπαθεν ὁ Φαρισαῖος, ἐπειδὴ τοὺς κατορθοῦντας ἀφεὶς, τὸν πταίσαντα εἶδεν· ἄκουσον, καὶ φοβήθητι. βλέπε πῶς θαυμαστὸς ἐγένετο ὁ Δαβίδ, ἐπειδὴ πρὸς τοὺς προγόνους αὐτοῦ τοὺς κατ' ἀρετὴν ἔβλεπε. Πάροικος γάρ, φησιν, ἐγώ εἰμι καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. καὶ γὰρ οὗτος, καὶ πάντες οἱ κατ' αὐτόν, τοὺς ἡμαρτηκότας ἀφέντες,

β.Κορ.θ.β.

Ματθ.ια.κθ.

Ματθ.κ.κς. κζ.κη.

Ιωαν.ιγ.ιε.

Ψαλμ.λη.ιγ.

Εβ.ια.ιγ.

ἀφέντες, τοὺς εὐδοκιμηκότας ἐνενόουν. τοῦτο καὶ σὺ ποίει. οὐδὲ γὰρ δικαστὴς αὐτὸς κάθισαι τῶν ἑτέροις πεπλημμελημένων, οὐδὲ ἐξεταστὴς τῶν ἄλλοις ἁμαρτανομένων· σαυτῷ κρίνειν, οὐχ ἑτέροις προσετάγης. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησὶν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα. σὺ δὲ τὴν τάξιν ἀνέστρεψας, σαυτὸν μὲν οὐ μεγάλων, οὐ μικρῶν πλημμελημάτων ἀπαιτῶν εὐθύνας, τὰ δὲ ἑτέρων μετὰ ἀκριβείας περιεργαζόμενος. ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν· ἀλλὰ ταύτην ἀφέντες τὴν ἀταξίαν, δικαστήριον [ἐν] ἡμῖν αὐτοῖς καθίσωμεν τῶν [ἐν] ἡμῖν αὐτοῖς ἁμαρτανομένων, αὐτοὶ καὶ κατήγοροι καὶ δικασταὶ καὶ δήμιοι τῶν πλημμελημάτων γινόμενοι. εἰ δὲ βούλει καὶ τὰ ἑτέρων πολυπραγμονεῖν, τὰ κατορθώματα μὴ τὰ ἁμαρτήματα περιεργάζου· ἵνα καὶ ἐκ τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων, καὶ ἐκ τοῦ ζήλου τῶν ἑτέροις κατορθουμένων, καὶ ἐκ τῆς τοῦ ἀπαραιτήτου δικαστηρίου παραστάσεως, καθ' ἑκάστην, ὥσπερ πλήκτρῳ τινὶ τῇ συνειδήσει νυττόμενοι, εἰς ταπεινοφροσύνην καὶ μείζονα σπουδὴν ἑαυτοὺς ἐνάγοντες, τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πιτάγης.

ιτίᾳ.

ἐπαγαγόν-

τες

Ομιλ. ξε.

17 ΚΑΙ ΑΝΑΒΑΙΝΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΙΕροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· 18 Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· 19 Καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

ἐγερθήσεται.

Οὐκ ἀθρό-

ἀναβαίνει

Ἱεροσόλυ-

μα

Εἰς Ἱεροσόλυμα οὐκ ἀθρόον ἀναβαίνει ἐκ τῆς Γαλιλαίας ἐλθὼν, ἀλλὰ πρότερον θαυματουργήσας καὶ ἐπιστομίσας Φαρισαίους, καὶ διαλεχθεὶς τοῖς μαθηταῖς περὶ ἀκτημοσύνης (εἰ γὰρ θέλεις τέλειος εἶναι, φησὶ, πώλησόν σου τὰ ὑπάρχοντα) καὶ περὶ παρθενίας (ὁ δυνάμενος χωρεῖν, χωρείτω) καὶ περὶ ταπεινοφροσύνης (ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν) καὶ περὶ ἀνταποδόσεως τῶν ἐνταῦθα (ὅστις γὰρ ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ) καὶ περὶ ἀμοιβῶν τῶν ἐκεῖ (καὶ ζωὴν γὰρ αἰώνιον κληρονομήσει) τότε προσβάλλει τῇ πόλει λοιπὸν, καὶ μέλλων ἀνιέναι περὶ τοῦ πάθους πάλιν διαλέγεται. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς διὰ τὸ μὴ βούλεσθαι τοῦτο συμβῆναι ἐπιλανθάνεσθαι, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει, ἐγγυμνάζων αὐτῶν τὴν διάνοιαν τῇ πυκνότητι τῆς ἀναμνήσεως καὶ τὴν λύπην ὑποτεμνόμενος. κατ' ἰδίαν δὲ αὐτοῖς διαλέγεται ἀναγκαίως. οὐ γὰρ ἔδει εἰς πολλοὺς ἐξενεχθῆναι τὸν περὶ τούτων λόγον, οὐδὲ σαφῶς λεχθῆναι. οὐδὲν γὰρ ἐκ τούτου πλέον ἐγίνετο. εἰ γὰρ οἱ μαθηταὶ ἐθορυβοῦντο ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ὁ τῶν πολλῶν δῆμος. τί οὖν; οὐκ ἐλέχθη τοῖς πολλοῖς, φησίν; ἐλέχθη μὲν καὶ πρὸς τοὺς πολλούς· οὐχ οὕτω δὲ σαφῶς. Λύσατε γὰρ, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ, Σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· καὶ πάλιν, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. τοῖς δὲ μαθηταῖς οὐχ οὕτως· ἀλλ' ὥσπερ τὰ ἄλλα σαφέστερον ἔλεγεν, οὕτω καὶ τοῦτο εἶπε. καὶ τίνος ἕνεκεν, εἰ μὴ συνίεσαν οἱ πολλοὶ [τὴν δύναμιν] τῶν λεγομένων, καὶ ἐλέγετο; ἵνα μάθωσι μετὰ ταῦτα, ὅτι προειδὼς ἐπὶ τὸ πάθος ᾔει καὶ ἑκὼν, * οὐκ ἀγνοῶν οὐδὲ ἀναγκαζό-

Ιωαν. β. ιθ. κα.

Ματθ. ιβ. λθ.

μενος. τοῖς μαθηταῖς δὲ οὐ διὰ τοῦτο μόνον προύλεγεν, ἀλλ' ὅπερ ἔφην, ἵνα ἐγγυμνασθέντες τῇ προσδοκίᾳ, ῥᾷον ἐνέγκωσι τὸ πάθος, καὶ μὴ ἀμελέτητον ἐπελθὸν ταράξῃ σφόδρα αὐτούς. διά τοι τοῦτο ἐξ ἀρχῆς μὲν τὸν θάνατον ἔλεγε μόνον· ὅτε δὲ ἐμελέτησαν καὶ ἐνεγυμνάσαντο, καὶ τὰ ἄλλα πάντα προστίθησιν· οἷον, ὅτι παραδώσουσι τοῖς ἔθνεσιν· ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι· τούτου τε ἕνεκεν, καὶ ἵν' ὅταν τὰ σκυθρωπὰ ἴδωσιν ἐπελθόντα, καὶ τὴν ἀνάστασιν ἐντεῦθεν προσδοκήσωσιν. ὁ γὰρ τὰ λυποῦντα οὐκ ἀποκρυψάμενος καὶ τὰ δοκοῦντα εἶναι ἐπονείδιστα, εἰκότως ἔμελλε καὶ περὶ τῶν χρηστῶν πιστεύεσθαι. σκόπει δέ μοι πῶς καὶ ἀπὸ τοῦ καιροῦ σοφῶς τὸ πρᾶγμα οἰκονομεῖ. οὔτε γὰρ ἐξ ἀρχῆς αὐτοῖς εἶπεν, ἵνα μὴ διαταράξῃ· οὔτε παρ' αὐτὸν τὸν καιρόν, ἵνα μὴ κἀντεῦθεν θορυβήσῃ· ἀλλ' ὅτε πεῖραν αὐτοῦ τῆς δυνάμεως ἔλαβον ἀρκοῦσαν, ὅτε μεγάλας ἔδωκε τὰς ἐπαγγελίας περὶ τῆς ζωῆς τῆς αἰωνίου, τότε καὶ τὸν περὶ τούτων ἐμβάλλει λόγον καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ἐνυφαίνων αὐτὸν τοῖς θαύμασι καὶ ταῖς διδασκαλίαις. ἕτερος δὲ εὐαγγελιστής Λουκ. ιη. λα. φησιν, ὅτι καὶ τοὺς προφήτας παρήγαγε μάρτυρας· ἄλλος δέ φησιν, ὅτι καὶ αὐτοὶ οὐ συνίεσαν τὰ λεγόμενα, ἀλλ' ἦν κεκρυμμένον τὸ ῥῆμα ἀπ' αὐτῶν, καὶ ὅτι ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ. οὐκοῦν ἀνῄρηται, φησί, τῆς προρρήσεως τὸ κέρδος. εἰ γὰρ μὴ ᾔδεσαν ἅπερ ἤκουον, οὐδὲ προσδοκᾶν εἶχον· μὴ προσδοκῶντες δέ, οὐδὲ γυμνάζεσθαι ταῖς ἐλπίσιν. ἐγὼ δὲ καὶ ἕτερον τούτου ἀπορώτερόν φημι, ὅτι εἰ μὴ ᾔδεσαν, πῶς ἐλυποῦντο; καὶ γὰρ ἕτερός φησιν, ὅτι ἐλυποῦντο. Ματθ. ις. κβ. εἰ τοίνυν μὴ ᾔδεσαν, πῶς ἐλυποῦντο; πῶς Πέτρος ἔλεγεν· Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο; τί οὖν ἐστιν εἰπεῖν; ὅτι μὲν ἀποθανεῖται, ᾔδεσαν, εἰ καὶ μὴ σαφῶς τῆς οἰκονομίας ἠπίσταντο τὸ μυστήριον· οὔτε δὲ τὴν ἀνάστασιν σαφῶς ἠπίσταντο, οὔτε ἅπερ ἔμελλε κατορθοῦν. καὶ τοῦτο ἦν κεκρυμμένον ἀπ' αὐτῶν· διὰ τοῦτο καὶ ἤλγουν. ἑτέρους μὲν γὰρ ὑφ' ἑτέρων ἀναστάντας εἶδον· αὐτὸν δέ τινα ἀναστήσαντα ἑαυτόν, καὶ οὕτως ἀναστήσαντα ὡς μηκέτι λοιπὸν ἀποθανεῖν, οὐδέποτε εἶδον. τοῦτο οὖν οὐ συνίεσαν πολλάκις λεγόμενον. ἀλλ' οὐδὲ αὐτὸς οὗτος ὁ θάνατος τί ποτέ ἐστι, καὶ πῶς ἐπελεύσεται, σαφῶς ἠπίσταντο. διὸ καὶ ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἔμοιγε δοκεῖ, καὶ ἐξέπληττεν αὐτοὺς περὶ τοῦ πάθους διαλεγόμενος. ἀλλ' ὅμως οὐδὲν τούτων ἐποίει θαρρεῖν αὐτούς, καὶ ταῦτα συνεχῶς περὶ τῆς ἀναστάσεως ἀκούοντας. καὶ γὰρ μετὰ τοῦ θανάτου καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει, τὸ ἀκούειν ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι, καὶ ὅσα τοιαῦτα. ὅτε γὰρ ἐνενόησαν τὰ θαύματα, τοὺς δαιμονῶντας οὓς ἠλευθέρωσεν, τοὺς νεκροὺς οὓς ἤγειρε, τὰ ἄλλα πάντα ἅπερ ἐθαυματούργει, εἶτα ἤκουσαν ταῦτα, ἐξεπλήττοντο, εἰ ὁ ταῦτα ποιῶν ταῦτα πείσεται. διὰ τοῦτο καὶ εἰς ἀπορίαν ἐνέπιπτον· καὶ νῦν μὲν ἐπίστευον, νῦν δὲ ἠπίστουν, καὶ νοῆσαι οὐκ εἶχον τὰ λεγόμενα. οὕτω γοῦν οὐ Μαρ. ι. λε. συνῆκαν σαφῶς τὸ λεγόμενον, ὡς τοὺς υἱοὺς Ζεβεδαίου παραυτὰ προσελθεῖν, καὶ περὶ προεδρίας αὐτῷ διαλεχθῆναι.

γρ. ἐξέπλη

21 Θέλομεν γάρ, φησιν, ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ, καὶ εἷς ἐξ εὐωνύμων.

Πῶς οὖν οὗτος ὁ εὐαγγελιστής φησιν, ὅτι ἡ μήτηρ προσῆλθεν; ἀμφότερα γενέσθαι εἰκός. τὴν γὰρ μητέρα παρέλαβον, ὡς μείζονα τὴν ἱκετηρίαν ἐργασόμενοι, καὶ ταύτῃ τὸν Χριστὸν δυσωπήσοντες. ὅτι γὰρ τοῦτο ἀληθὲς ὅπερ ἔφην, καὶ αὐτῶν μᾶλλον ἡ αἴτησις ἦν, καὶ αἰσχυνόμενοι προβάλλονται τὴν τεκοῦσαν, σκόπει πῶς πρὸς αὐτοὺς ἀποτείνει τὸν λόγον ὁ Χριστός· μᾶλλον δὲ πρότερον μάθωμεν τί αἰτοῦσι, καὶ ἀπὸ ποίας γνώμης, καὶ πόθεν ἐπὶ τοῦτο ἦλθον. πόθεν οὖν ἐπὶ τοῦτο ἦλθον; ἑώρων ἑαυτοὺς τιμωμένους παρὰ τοὺς ἄλλους, καὶ προσεδόκησαν ἐντεῦθεν ἐπιτεύξεσθαι καὶ τῆς αἰτήσεως ταύτης. ἀλλὰ τί ποτέ ἐστιν ὃ αἰτοῦσιν; ἄκουσον ἑτέρου εὐαγγελιστοῦ τοῦτο σαφῶς ἐκκαλύπτοντος· διὰ γὰρ τὸ ἐγγὺς εἶναι, φησί, τῆς Ἱερουσαλήμ, καὶ δοκεῖν ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἤδη ἀναφαίνεται, ταῦτα ᾔτουν. ἐνόμιζον γὰρ ὅτι ἐπὶ θύραις αὕτη, καὶ αἰσθητή· καὶ ἀπολαύσαντες ὧν ᾔτουν, οὐδὲν ὑποστήσονται τῶν λυπηρῶν. οὐδὲ γὰρ δι' αὐτὴν μόνον αὐτὴν ἐζήτουν, ἀλλ' ὡς καὶ διαφευξόμενοι τὰ δυσχερῆ. διὸ καὶ ὁ Χριστὸς πρῶ-

γρ. διὰ τὴν
αὐτὴν μόνην

των περὶ τούτων αὐτοὺς ἀπάγει τῶν λογισμῶν, κελεύων σφαγὰς καὶ κινδύνους καὶ τὰ ἔσχατα ἀναμένειν δεινά. δύνασθε γάρ, φησι, πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω; ἀλλὰ μηδεὶς θορυβείσθω, τῶν ἀποστόλων οὕτως ἀτελῶς διακειμένων. οὔπω γὰρ ὁ σταυρὸς ἦν τελεσθείς· οὔπω πνεύματος χάρις δοθεῖσα. Εἰ δὲ βούλει μαθεῖν αὐτῶν τὴν ἀρετήν, μετὰ ταῦτα αὐτοὺς κατάμαθε, καὶ ὄψει παντὸς πάθους ἀνωτέρους. διὰ γὰρ τοῦτο καὶ ἐκκαλύπτει αὐτῶν τὰ ἐλαττώματα, ἵνα μετὰ ταῦτα γνῷς τίνες ἀπὸ τῆς χάριτος ἐγένοντο. ὅτι μὲν οὖν οὐδὲν πνευματικὸν ᾔτουν, οὐδὲ ἔννοιαν τῆς ἄνω βασιλείας εἶχον, δῆλον ἐντεῦθεν. πλὴν ἴδωμεν καὶ πῶς προσέρχονται, καὶ τί λέγουσι. θέλομεν, φησιν, ἵν', ὃ ἐὰν αἰτήσωμέν σε, ποιήσῃς ἡμῖν. καὶ πρὸς αὐτοὺς ὁ Χριστός· τί θέλετε; οὐκ ἀγνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ αὐτοὺς ἀποκρίνασθαι, καὶ ἀνακαλύψῃ τὸ ἕλκος, καὶ οὕτως ἐπιθῇ τὸ φάρμακον. οἱ δὲ ἐρυθριῶντες καὶ αἰσχυνόμενοι, ἐπειδὴ ὑπὸ πάθους ἀνθρωπίνου πρὸς τοῦτο ''ἴεσαν, κατ' ἰδίαν ἐκτὸς τῶν μαθητῶν [τῶν ἄλλων] λαβόντες αὐτὸν ἠρώτησαν. προεπορεύθησαν γάρ, φησιν, ὥστε μὴ γενέσθαι αὐτοῖς κατάδηλοι, καὶ οὕτως εἶπον ἅπερ ἐβούλοντο. ἐβούλοντο δέ, ὡς ἔγωγε οἶμαι, ἐπειδὴ ἤκουον, ὅτι ἐπὶ δώδεκα θρόνοις καθεδεῖσθε, τὴν προεδρίαν τῆς καθέδρας ταύτης λαβεῖν. καὶ ὅτι μὲν τῶν ἄλλων πλέον εἶχον, ᾔδεσαν· ἐδεδοίκεσαν δὲ Πέτρον, καὶ λέγουσιν· εἰπέ, ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ, καὶ εἷς ἐξ εὐωνύμων. καὶ κατεπείγουσι λέγοντες, εἰπέ. τί οὖν αὐτός; δηλῶν ὅτι οὐδὲν πνευματικὸν ᾔτουν, οὔτε εἰ ᾔδεσαν πάλιν ὅπερ ᾔτουν, ἐτόλμησαν ἂν τοσοῦτον αἰτῆσαι, φησίν· 22 Οὐκ οἴδατε τί αἰτεῖσθε· πῶς μέγα, πῶς θαυμαστόν, πῶς ὑπερβαῖνον καὶ τὰς ἄνω δυνάμεις. εἶτα ἐπάγει·

Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Εἶδες πῶς εὐθέως ἀπήγαγε τῆς ὑπονοίας, ἀπὸ τῶν ἐναντίων αὐτοῖς διαλεχθείς; ὑμεῖς μὲν γὰρ περὶ τιμῆς καὶ στεφάνων μοι διαλέγεσθε, φησιν· ἐγὼ δὲ περὶ ἀγώνων ὑμῖν καὶ ἱδρώτων [διαλέγομαι.] οὐ γὰρ ἔστιν οὗτος ὁ τῶν ἐπάθλων καιρός, οὐδὲ νῦν ἡ δόξα μου φανεῖται ἐκείνη· ἀλλὰ σφαγῆς καὶ πολέμων καὶ κινδύνων τὰ παρόντα. καὶ ὅρα πῶς τῷ τρόπῳ τῆς ἐρωτήσεως καὶ προτρέπει καὶ ἐφέλκεται. οὐδὲ γὰρ εἶπε, δύνασθε σφαγῆναι, δύνασθε τὸ αἷμα ὑμῶν ἐκχεῖν; ἀλλὰ πῶς; δύνασθε πιεῖν τὸ ποτήριον; εἶτα ἐφελκόμενός φησιν, ὃ ἐγὼ μέλλω πίνειν· ἵνα τῇ πρὸς αὐτὸν κοινωνίᾳ προθυμότεροι γένωνται. καὶ βάπτισμα αὐτὸ πάλιν καλεῖ, δεικνὺς μεγάλην ἀπὸ τῶν γινομένων τὸν καθαρμὸν ἐσόμενον τῇ οἰκουμένῃ. Εἶτα λέγουσιν αὐτῷ· δυνάμεθα.

Ἀπὸ τῆς προθυμίας εὐθέως ἐπηγγείλαντο, οὐδὲ τοῦτο εἰδότες ὅπερ εἶπον, ἀλλὰ προσδοκῶντες ἀκούσεσθαι ὅπερ ᾔτησαν. τί οὖν αὐτός;

23 Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε.

Μεγάλα αὐτοῖς προεφήτευσεν ἀγαθά· τουτέστι, μαρτυρίου καταξιωθήσεσθε, καὶ ταῦτα πείσεσθε ἅπερ ἐγώ· βιαίῳ θανάτῳ τὴν ζωὴν καταλύσετε, καὶ τούτων μοι κοινωνήσετε.

Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου. Ἐπάρας αὐτῶν τὰς ψυχὰς καὶ ὑψηλοτέρας ποιήσας, καὶ πρὸς λύπην ἀχειρώτους ἐργασάμενος, τότε διορθοῦται αὐτῶν τὴν αἴτησιν. ἀλλὰ τί ποτέ ἐστι τὸ νῦν εἰρημένον; καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα παρὰ πολλῶν· ἓν μέν, εἰ ἡτοίμασταί τισι τὸ καθίσαι ἐκ δεξιῶν αὐτοῦ· ἕτερον δέ, εἰ ὁ πάντων Κύριος, ἐκείνοις, οἷς ἡτοίμασται, κύριος οὐκ ἔστι παρασχεῖν. τί οὖν ἐστι τὸ εἰρημένον; ἂν τὸ πρότερον λύσωμεν κατὰ τὸ ἡμῖν ἐγχωροῦν, τότε καὶ τὸ δεύτερον τοῖς ζητοῦσιν ἔσται σαφές. τί οὖν ἐστι τοῦτο; οὐδεὶς ἐκ δεξιῶν αὐτοῦ καθεδεῖται, οὐδὲ ἐξ εὐωνύμων. ἄβατος γὰρ πᾶσιν ὁ θρόνος ἐκεῖνος· οὐκ ἀνθρώποις λέγω καὶ ἁγίοις καὶ ἀποστόλοις, ἀλλὰ καὶ ἀγγέλοις καὶ ἀρχαγγέλοις καὶ πάσαις ταῖς ἄνω δυνάμεσιν. ὡς γοῦν ἐξαίρετον τοῦ μονογενοῦς τίθησιν αὐτὸ ὁ Παῦλος λέγων· Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; καὶ πρὸς μὲν τοὺς ἀγγέλους φησίν· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πῶς οὖν φησι, τὸ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ὡς ὄντων τινῶν τῶν καθεδουμένων; οὐχ ὡς ὄντων (ἄπαγε) ἀλλὰ πρὸς τὴν ὑπόνοιαν ἀπεκρίνατο τῶν ἐρωτώντων, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. οὐδὲ γὰρ ᾔδεσαν τὸν ὑψηλὸν θρόνον ἐκεῖνον, καὶ τὴν ἐκ δεξιῶν τοῦ πατρὸς καθέδραν, ὅπου γε καὶ τὰ πολλῷ τούτων καταδεέστερα καὶ καθ' ἡμέραν αὐτοῖς ἐνηχούμενα ἠγνόουν· ἀλλ' ἓν ἐζήτουν μόνον, τῶν πρωτείων ἀπολαῦσαι, καὶ πρὸ τῶν ἄλλων στῆναι, καὶ μηδένα εἶναι πρὸ αὐτῶν παρ' αὐτῷ· ὅπερ καὶ ἤδη ἔφθην εἰπών, ὅτι ἐπειδὴ δώδεκα θρόνους ἤκουσαν, ἀγνοήσαντες ὅ,τι ποτέ ἐστι τὸ εἰρημένον, τὴν προεδρίαν ἐπεζήτησαν. ὃ τοίνυν φησὶν ὁ Χριστὸς τοῦτό ἐστιν· ἀποθανεῖσθε μὲν δι' ἐμέ, καὶ σφαγήσεσθε τοῦ κηρύγματος ἕνεκεν, καὶ κοινωνήσετέ μοι κατὰ τὸ πάθος· οὐ μὴν ἀρκεῖ τοῦτο ποιῆσαι τῆς προεδρίας ὑμᾶς ἀπολαῦσαι καὶ τὴν πρώτην τάξιν καταλαβεῖν. ἂν γάρ τις ἕτερος ἔλθῃ μετὰ τοῦ μαρτυρίου καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν κεκτημένος πολλῷ πλείονα ὑμῶν, οὐκ ἐπειδὴ φιλῶ νῦν ὑμᾶς καὶ τῶν ἄλλων προκρίνω, διὰ τοῦτο παρωσάμενος ἐκεῖνον τὸν ἀπὸ τῶν ἔργων κηρυττόμενον, ὑμῖν δώσω τὰ πρωτεῖα. ἀλλ' οὕτω μὲν οὐκ εἶπεν, ὥστε μὴ λυπῆσαι· αἰνιγματωδῶς δὲ τὸ αὐτὸ τοῦτο αἰνίττεται λέγων· τὸ μὲν ποτήριον μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν * δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου. τίσι δὲ ἡτοίμασται; τοῖς ἀπὸ τῶν ἔργων δυναμένοις γενέσθαι λαμπροῖς. διὰ τοῦτο οὐκ εἶπεν, οὐκ ἔστιν ἐμὸν * δοῦναι, ἀλλὰ τοῦ πατρός μου, ἵνα μὴ ἀσθενεῖν μηδὲ ἀτονεῖν αὐτὸν φαίη τις πρὸς τὴν ἀντίδοσιν· ἀλλὰ πῶς; οὐκ ἔστιν ἐμόν, ἀλλ' ἐκείνων οἷς ἡτοίμασται *. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἐπὶ ὑποδείγματος αὐτὸ γυμνάσωμεν, καὶ ὑποθώμεθα εἶναί τινα ἀγωνοθέτην, εἶτα ἀθλητὰς ἀρίστους πολλοὺς εἰς τὸν ἀγῶνα καθιέναι τοῦτον, καί τινας δύο προσελθόντας τῶν ἀθλητῶν τῶν μάλιστα ᾠκειωμένων τῷ ἀγωνοθέτῃ λέγειν, ὅτι ποίησον ἡμᾶς στεφανωθῆναι καὶ ἀνακηρυχθῆναι, θαρροῦντας τῇ πρὸς αὐτὸν εὐνοίᾳ καὶ φιλίᾳ· ἐκεῖνον δὲ πρὸς αὐτοὺς λέγειν, οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ἀπὸ τῶν πόνων καὶ τῶν ἱδρώτων, ἆρ' οὖν καταγνωσόμεθα αὐτοῦ ἀσθενείας; οὐδαμῶς· ἀλλ' ἀποδεξόμεθα αὐτὸν τῆς δικαιοσύνης καὶ τοῦ ἀπροσωπολήπτου. ὥσπερ οὖν ἐκεῖνον οὐκ ἂν φαίημεν ἀτονοῦντα μὴ διδόναι τὸν στέφανον, ἀλλὰ μὴ βουλόμενον διαφθεῖραι τῶν ἀγώνων τὸν νόμον, μηδὲ συνταράξαι τοῦ δικαίου τὴν τάξιν· οὕτω δὴ καὶ τὸν Χριστὸν εἴποιμι ἂν τοῦτο εἰρηκέναι, πανταχόθεν αὐτοὺς συνελαύνοντα, μετὰ τὴν τοῦ Θεοῦ χάριν, εἰς τὴν τῶν οἰκείων κατορθωμάτων ἐπίδειξιν τὰς ἐλπίδας τῆς σωτηρίας καὶ τῆς εὐδοκιμήσεως ἔχειν. διὰ τοῦτό φησιν, οἷς ἡτοίμασται. τί γάρ, φησιν, ἂν ἕτεροι φανῶσιν ὑμῶν βελτίους; τί δὲ ἂν μείζονα ἐργάσωνται; μὴ γὰρ ἐπειδὴ μαθηταί μου γεγόνατε, διὰ τοῦτο τῶν πρωτείων ἀπολαύσεσθε, ἐὰν μὴ τῆς ἐκλογῆς αὐτοὶ ἄξιοι φανῆτε; ὅτι γὰρ αὐτὸς κύριός ἐστι τοῦ παντός, δῆλον ἐξ ὧν αὐτὸς πᾶσαν ἔχει τὴν κρίσιν. καὶ γὰρ Πέτρῳ οὕτω φησίν· ἐγώ σοι δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. καὶ ὁ Παῦλος δὲ τοῦτο δηλῶν ἔλεγε· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. ἐπιφάνεια δὲ τοῦ Χριστοῦ, ἡ γεγονυῖα παρουσία λέγεται. ὅτι δὲ Παύλου οὐδεὶς πρῶτος στήσεται, παντί που δῆλον. εἰ δὲ ἀσαφέστερον ταῦτα εἴρηκεν, μὴ θαυμάσῃς. παραπεμπόμενός τε γὰρ αὐτοὺς οἰκονομικῶς, ὥστε μὴ ὑπὲρ τῶν πρωτείων ἐνοχλεῖν εἰκῇ καὶ μάτην (καὶ γὰρ ἀπὸ πάθους τοῦτο ἔπασχον ἀνθρωπίνου) καὶ μὴ λυπῆσαι βουλόμενος αὐτούς, τῇ ἀσαφείᾳ ἀμφότερα ταῦτα κατορθοῖ.

Ψαλ. ργ. δ.

β. Τιμ. δ. η.

* τοῦτο

* τοῦτο

* παρὰ τοῦ πατρός μου.

γρ. οὔπω γέγονεν. ἄλλ. γέγονεν.

24 Τότε ἠγανάκτησαν οἱ δέκα περὶ τῶν δύο.

Τότε, πότε; ὅτε ἐπετίμησεν αὐτοῖς. ἕως μὲν γὰρ τοῦ Χριστοῦ ἡ ψῆφος * ἦν, οὐκ ἠγανάκτουν, ἀλλ' ὁρῶντες αὐτοὺς προτιμωμένους ἔστεργον καὶ ἐσίγων, αἰδούμενοι τὸν διδάσκαλον καὶ τιμῶντες· καὶ εἰ κατὰ διάνοιαν ἤλγουν, ἀλλ' εἰς μέσον τοῦτο ἐξενεγκεῖν οὐκ ἐτόλμων. καὶ πρὸς Πέτρον δέ τι παθόντες ἀνθρώπινον, ὅτε τὰ δίδραχμα ἔδωκεν, οὐκ ἐδυσχέραναν, ἀλλ' ἠρώτησαν μόνον· τίς ἄρα μείζων ἐστίν; ἐπειδὴ δὲ ἐνταῦθα τῶν μαθητῶν ἡ αἴτησις ἦν, ἀγανακτοῦσι. καὶ οὐδὲ ἐνταῦθα εὐθέως ἀγανακτοῦσιν ὅτε ᾔτησαν, ἀλλ' ὅτε αὐτοῖς ἐπετίμησεν ὁ Χριστός, καὶ ἔφησεν οὐκ ἀπολαύσεσθαι τῶν πρωτείων αὐτούς, εἰ μὴ παρέχοιεν ἑαυτοὺς ἀξίους τούτων. εἶδες πῶς ἀτελέστεροι πάντες διέκειντο, καὶ οὗτοι καταξανιστάμενοι τῶν δέκα, καὶ ἐκεῖνοι φθονοῦντες τοῖς δύο; ἀλλ' ὅπερ ἔφην, μετὰ ταῦτά μοι αὐτοὺς δεῖξον, καὶ ὄψει πάντων τούτων ἀπηλλαγμένους τῶν παθῶν. ἄκουσον γοῦν πῶς οὗτος αὐτὸς ὁ Ἰωάννης, ὁ νῦν προσελθὼν ὑπὲρ τούτων, πανταχοῦ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ δημηγοροῦντι καὶ θαυματουργοῦντι ἐν ταῖς πράξεσι τῶν ἀποστόλων. καὶ οὐκ ἀποκρύπτει αὐτοῦ τὰ κατορθώματα· ἀλλὰ καὶ τὴν ὁμολογίαν λέγει, ἣν πάντων σιγώντων ἐπεδείξατο, καὶ τὴν εἰς τὸν τάφον εἴσοδον, καὶ προτίθησιν" αὐτοῦ τὸν ἀπόστολον. ἐπειδὴ γὰρ ἀμφότεροι παρέμειναν σταυρουμένῳ, τὸ ἑαυτοῦ ἐγκώμιον ὑποτεμνόμενός φησιν· ὅτι γνώριμος ἦν ὁ μαθητὴς ἐκεῖνος τῷ ἱερεῖ. ὁ δὲ Ἰάκωβος μακρὸν μὲν οὐκ ἐπέζησε χρόνον· ἐκ προοιμίων δὲ οὕτω διεθερμάνθη, καὶ πάντα τὰ ἀνθρώπινα ἀφείς, "πρὸς ὕψος ἀνέδραμεν ἄφατον, ὡς εὐθέως σφαγῆναι. οὕτω πάντων ἕνεκεν μετὰ ταῦτα ἄκροι [τὴν ἀρετὴν] ἐγένοντο. ἀλλὰ τότε ἠγανάκτησαν. τί οὖν ὁ Χριστός; προσκαλεσάμενος αὐτούς φησιν·

25 Οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν.

Ἐπειδὴ γὰρ ἐθορυβήθησαν καὶ ἐταράχθησαν, τῇ τε κλήσει πρὸ τοῦ λόγου αὐτοὺς καταπραΰνει, καὶ τῷ πλησίον αὐτοὺς ἐπισπάσασθαι. καὶ γὰρ οἱ δύο τοῦ χοροῦ τῶν δέκα ἑαυτοὺς ἀπορρήξαντες ἐγγύτερον εἱστήκεισαν ἰδιολογούμενοι. διὰ τοῦτο καὶ τούτους πλησίον ἄγει, τούτῳ τε αὐτῷ, καὶ τῷ τὸ εἰρημένον ἐκπομπεῦσαι καὶ εἰς τοὺς ἄλλους ἐξαγαγεῖν παραμυθούμενος τὸ πάθος καὶ τούτων κἀκείνων. καὶ οὐχ ὡς ἔμπροσθεν, οὕτω καὶ νῦν καταστέλλει. πρότερον μὲν γὰρ παιδία ἄγει εἰς μέσον, καὶ τὸ ἀφελὲς αὐτῶν καὶ τὸ ταπεινὸν μιμεῖσθαι κελεύει· ἐνταῦθα δὲ πληκτικώτερον ἀπὸ τοῦ ἐναντίου ἐντρέπει λέγων· οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, Καὶ οἱ μεγάλοι κατεξουσιάζουσι.

26 Παρὰ δὲ ὑμῖν οὐκ ἔσται οὕτως· ἀλλ' ὁ θέλων ἐν ὑμῖν γενέσθαι μέγας, οὗτος ἔστω πάντων διάκονος,

27 Καὶ ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος· Δεικνὺς ὅτι "ἐθνικὸν τὸ τοιοῦτον, τὸ τῶν πρωτείων ἐρᾶν. καὶ γὰρ τυραννικὸν τὸ πάθος, καὶ συνεχῶς ἐνοχλοῦν, καὶ μεγάλοις ἀνδράσι· διὰ τοῦτο καὶ σφοδροτέρας δεῖται πληγῆς. διὸ καὶ αὐτὸς βαθύτερον αὐτῶν καθικνεῖται, τῇ τῶν ἐθνῶν παραθέσει φλεγμαίνουσαν τὴν ψυχὴν ἐντρέπων· καὶ τῶν μὲν τὸν φθόνον, τῶν δὲ τὴν ἀπόνοιαν ὑποτέμνεται, μονονουχὶ λέγων· μὴ ἀγανακτῆτε, ὡς ὑβρισμένοι· ἑαυτοὺς μάλιστα βλάπτουσί τε καὶ καταισχύνουσιν οἱ οὕτω τὰ πρωτεῖα ζητοῦντες. ἐν γὰρ τοῖς ἐσχάτοις εἰσίν. οὐ γὰρ "ἐστι παρ' ἡμῖν, οἷα τὰ ἔξωθεν. οἱ μὲν γὰρ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν· παρ' ἐμοὶ δὲ ὁ ἔσχατος οὗτος πρῶτός ἐστιν. ὅτι δὲ οὐχ ἁπλῶς ταῦτα λέγω, δι' ὧν ποιῶ καὶ πάσχω, λάβε τὴν ἀπόδειξιν τῶν εἰρημένων. ἐγὼ γάρ τι καὶ πλέον ἐποίησα. βασιλεὺς γὰρ τῶν ἄνω δυνάμεων ὤν, ἄνθρωπος ἠβουλήθην γενέσθαι, καὶ καταφρονηθῆναι κατεδεξάμην καὶ ὑβρισθῆναι· καὶ οὐδὲ τούτοις ἠρκέσθην, ἀλλὰ καὶ ἐπὶ θάνατον ἦλθον. διὰ τοῦτό φησιν·

28 Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. "Οὐδὲ γὰρ μέχρι τούτου ἔστην, φησίν, ἀλλὰ καὶ τὴν ψυχὴν ἔδωκα λύτρον. καὶ ὑπὲρ τίνων; τῶν ἐχθρῶν. σὺ δὲ ἂν ταπεινωθῇς, ὑπὲρ σαυτοῦ·

τοῦ· ἐγὼ δὲ ὑπὲρ σοῦ. μὴ τοίνυν φοβηθῇς, ὡς τῆς τιμῆς σου καθαιρουμένης. ὅσον γὰρ ἂν ταπεινωθῇς, οὐ δύνασαι τοσοῦτον κατελθεῖν, ὅσον ὁ δεσπότης σου. ἀλλ᾽ ὅμως ἡ κατάβασις αὕτη πάντων ἀνάβασις γέγονε, καὶ τὴν δόξαν ἐκλάμψαι πεποίηκε τὴν ἑαυτοῦ. πρὸ μὲν γὰρ τοῦ γενέσθαι ἄνθρωπος, παρ᾽ ἀγγέλοις ἐγνωρίζετο μόνοις· ἐπεὶ δὲ ἄνθρωπος ἐγένετο καὶ ἐσταυρώθη, οὐ μόνον ἐκείνην οὐκ ἠλάττωσε τὴν δόξαν, ἀλλὰ καὶ ἑτέραν προσέλαβε, τὴν ἀπὸ τῆς γνώσεως τῆς οἰκουμένης. μὴ δὴ φοβηθῇς, ὡς τῆς τιμῆς σου καθαιρουμένης, ἐὰν ταπεινώσῃς σαυτόν. ταύτῃ γὰρ μᾶλλον ἐπαίρεταί σου ἡ δόξα· ταύτῃ μείζων γίνεται· αὕτη τῆς βασιλείας ἡ θύρα. μὴ δὴ τὴν ἐναντίαν ἔλθωμεν, μὴ δὴ ἑαυτοῖς πολεμῶμεν. ἐὰν γὰρ βουληθῶμεν μεγάλοι φαίνεσθαι, οὐκ ἐσόμεθα μεγάλοι, ἀλλὰ καὶ πάντων ἀτιμότεροι. εἶδες πῶς πανταχοῦ ἀπὸ τῶν ἐναντίων αὐτοὺς προτρέπει, διδοὺς αὐτοῖς ὅπερ ἐπιθυμοῦσι; καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν τοῦτο ἐδείξαμεν, καὶ ἐπὶ τῶν φιλοχρημάτων δὲ, καὶ τῶν κενοδοξούντων οὕτως ἐποίησε. τίνος γὰρ ἕνεκεν, φησὶν, ἔμπροσθεν τῶν ἀνθρώπων ἐλεεῖς; ἵνα δόξης ἀπολαύσῃς; οὐκοῦν μὴ ποίει οὕτω, καὶ ἀπολαύσῃ πάντως. τίνος δὲ ἕνεκεν θησαυρίζεις; ἵνα πλουτήσῃς; οὐκοῦν μὴ θησαυρίσῃς, καὶ πάντως πλουτήσεις. οὕτω καὶ ἐνταῦθα· τίνος ἕνεκεν τῶν πρωτείων ἐρᾷς; ἵνα πρὸ τῶν ἄλλων ᾖς; οὐκοῦν τὴν ἐσχάτην ἐπίλεξαι τάξιν, καὶ τότε τῶν πρωτείων ἀπολαύσῃ. ὥστε εἰ θέλεις γενέσθαι μέγας, μὴ ζήτει γενέσθαι μέγας, καὶ τότε ἔσῃ μέγας. ἐκεῖνο γὰρ μικρόν ἐστιν εἶναι. ὁρᾷς πῶς αὐτοὺς ἀπήγαγε τοῦ νοσήματος, τῷ δεῖξαι ὅτι καὶ ἐκεῖθεν ἐκπίπτουσι, καὶ ἐντεῦθεν ἐπιτυγχάνουσιν, ἵνα τὸ μὲν φύγωσι, τὸ δὲ διώκωσι; καὶ τῶν ἐθνῶν δὲ διὰ τοῦτο ἀνέμνησεν, ἵνα καὶ ταύτῃ τὸ πρᾶγμα ἐπονείδιστον καὶ βδελυκτὸν ἀποδείξῃ. τὸν γὰρ ἀπονενοημένον ἀνάγκη ταπεινὸν εἶναι, καὶ τοὐναντίον τὸν ταπεινόφρονα ὑψηλόν. τοῦτο γὰρ τὸ ὕψος τὸ ἀληθὲς καὶ γνήσιον καὶ οὐκ ἐν ὀνόματι μόνον, οὐδὲ ἐν προσηγορίᾳ ὄν. καὶ τὸ μὲν ἔξωθεν, ἀνάγκης ἐστὶ καὶ φόβου· τοῦτο δὲ, τῷ τοῦ Θεοῦ προσέοικεν. ὁ τοιοῦτος, κἂν παρ᾽ οὐδενὸς θαυμάζηται, ὑψηλὸς μένει· ὥσπερ οὖν ἐκεῖνος, κἂν παρὰ πάντων θεραπεύηται, πάντων ἐστὶ ταπεινότερος. καὶ ἡ μὲν κατ᾽ ἀνάγκην ἐστὶ τιμὴ, ὅθεν καὶ διαρρεῖ ῥᾳδίως· ἡ δὲ ἐκ προαιρέσεως, ὅθεν καὶ μένει βεβαία. ἐπεὶ καὶ τοὺς ἁγίους διὰ τοῦτο θαυμάζομεν, ὅτι πάντων ὄντες μείζους, πάντων μᾶλλον ἑαυτοὺς ἐταπείνουν. διὸ καὶ μέχρι τῆς σήμερον μένουσιν ὄντες ὑψηλοὶ, καὶ οὐδὲ ἡ τελευτὴ τὸ ὕψος ἐκεῖνο κατήνεγκεν.

ΗΘΙΚΟΝ

Εἰ δὲ βούλεσθε, καὶ ἀπὸ τῶν λογισμῶν ἐξετάσωμεν τοῦτο αὐτό. ὑψηλὸς εἶναι λέγεταί τις ἤτοι τῷ μήκει τοῦ σώματος τούτου, ἢ ὅταν ἐφ᾽ ὑψηλοῦ τόπου ἑστηκὼς τύχῃ· καὶ ταπεινὸς ὡσαύτως ἀπὸ τῶν ἐναντίων. ἴδωμεν οὖν τίς τοιοῦτός ἐστιν, ὁ ἀλαζὼν, ἢ ὁ μετριάζων· ἵνα μάθῃς, ὅτι ταπεινοφροσύνης οὐδὲν ὑψηλότερον, οὐδὲ ἀλαζονείας χθαμαλώτερον. ὁ μὲν οὖν ἀλαζὼν, πάντων βούλεται εἶναι μείζων, καὶ οὐδένα ἄξιον αὐτοῦ εἶναί φησι, καὶ ὅσης ἂν τύχῃ τιμῆς, πλείονος ἐρᾷ καὶ ἀντέχεται, καὶ οὐδεμιᾶς τετυχηκέναι νομίζει, καὶ διαπτύει τοὺς ἀνθρώπους, καὶ τῆς παρ᾽ αὐτῶν ἐφίεται τιμῆς, οὗ τί γένοιτ᾽ ἂν ἀλογώτερον; καὶ γὰρ αἰνίγματι τοῦτο ἔοικεν. οὓς γὰρ οὐδὲν ἡγεῖται, παρὰ τούτων δοξάζεσθαι βούλεται. εἶδες πῶς ὁ ἐπαρθῆναι βουλόμενος, καταπίπτει καὶ χαμαὶ ἕστηκεν; ὅτι γὰρ οὐδὲν εἶναι νομίζει πάντας ἀνθρώπους πρὸς ἑαυτὸν, αὐτὸς ἀποφαίνεται. τοῦτο γὰρ ἀλαζονεία. τί τοίνυν πρὸς τὸν οὐδὲν ὄντα τρέχεις; τί παρ᾽ ἐκείνου ζητεῖς τιμήν; τί τοσούτους ὄχλους περιάγεις; ὁρᾷς ταπεινὸν, καὶ ἐπὶ ταπεινοῦ ἑστηκότα; φέρε οὖν, ἐξετάσωμεν τὸν ὑψηλόν. οἶδεν οὗτος ὅσον ἄνθρωπος, καὶ ὅτι μέγα ἄνθρωπος, καὶ ὅτι πάντων ἐστὶν ἔσχατος, καὶ διὰ τοῦτο ἧς ἂν ἀπολαύσῃ τιμῆς, μέγα τοῦτο τίθεται. ὥστε οὗτος μὲν ἑαυτῷ ἀκολουθεῖ, καὶ ἔστιν ὑψηλὸς, καὶ τὴν ψῆφον οὐ μετατίθησιν. οὓς γὰρ ἡγεῖται μεγάλους, καὶ τὰς παρὰ τούτων τιμὰς μεγάλας εἶναι νομίζει, κἂν μικραὶ τύχωσιν οὖσαι, ἐπειδὴ μεγάλους ἐκείνους ἡγεῖται. ὁ δὲ ἀλαζὼν τοὺς μὲν τιμῶντας οὐδὲν εἶναι νομίζει, τὰς δὲ παρ' αὐτῶν τιμὰς, μεγάλας εἶναι ψηφίζεται. πάλιν ὁ ταπεινὸς παρ' οὐδενὸς ἁλίσκεται πάθους· οὐκ ὀργὴ τοῦτον διενοχλῆσαι δύναται, οὐ δόξης ἔρως, οὐ βασκανία, οὐ ζηλοτυπία. τῆς δὲ τούτων ἀπηλλαγμένης ψυχῆς τί γένοιτ' ἂν ὑψηλότερον; ὁ δὲ ἀλαζὼν ἅπασι τούτοις κατέχεται, καθάπερ τις σκώληξ ἐγκαλινδούμενος ἐν βορβόρῳ. καὶ γὰρ ζηλοτυπία καὶ βασκανία καὶ θυμὸς ἀεὶ τὴν ἐκείνου διενοχλεῖ ψυχήν. τίς οὖν ὑψηλός; ὁ τῶν παθῶν ἀνώτερος, ἢ ὁ δοῦλος αὐτῶν; ὁ τρέμων αὐτὰ καὶ δεδοικὼς, ἢ ὁ ἀχείρωτος καὶ οὐδαμῶς ὑπ' αὐτῶν ἁλισκόμενος; ποῖον ὄρνιν ὑψηλότερα πέτεσθαι φαίημεν ἄν; τὸν τῶν χειρῶν καὶ τῶν καλάμων τοῦ θηρατοῦ ὑψηλότερον ὄντα, ἢ τὸν μηδὲ καλάμου ἀφιέντα δεηθῆναι τὸν θηρατὴν ἐκ τοῦ χαμαὶ "πέτεσθαι, καὶ μὴ δύνασθαι μετεωρίζεσθαί ποτε; οὐκοῦν τοιοῦτος ὁ ἀπονενοημένος ἐστί. καὶ γὰρ ἑκάστη παγὶς εὐκόλως αὐτὸν αἱρεῖ, ἅτε χαμαὶ ἑρπόντα. Εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ πονηροῦ δαίμονος ἐκείνου τοῦτο ἐξέτασον. τί γὰρ διαβόλου ταπεινότερον γένοιτ' ἄν, ἐπειδὴ ἐπήρθη; τί δὲ ἀνθρώπου ὑψηλότερον, τοῦ ταπεινοῦν ἑαυτὸν βουλομένου; ὁ μὲν γὰρ χαμαὶ σύρεται ὑπὸ τὴν πτέρναν τὴν ἡμετέραν κείμενος (Πατεῖτε γάρ, φησιν, ἐπάνω ὄφεων καὶ σκορπίων) ὁ δὲ μετὰ ἀγγέλων ἕστηκεν ἄνω. Εἰ δὲ καὶ ἐξ ἀνθρώπων τοῦτο βούλει μαθεῖν ὑπερηφάνων, ἐννόησον τὸν βάρβαρον ἐκεῖνον τὸν τοσαύτην ἄγοντα στρατιάν, ὃς οὐδὲ τὰ πᾶσι δῆλα ἠπίστατο· οἷον, ὅτι ὁ λίθος ἐστὶ λίθος, καὶ τὰ εἴδωλα, εἴδωλα. διὸ καὶ τούτων κατώτερος ἦν. οἱ δὲ εὐσεβεῖς καὶ πιστοὶ, καὶ ὑπὲρ τὸν ἥλιον ἵενται, ὧν τί γένοιτ' ἂν ὑψηλότερον; οἳ καὶ αὐτὰς ὑπερβαίνουσι τοῦ οὐρανοῦ τὰς ἁψῖδας, καὶ ἀγγέλους παρερχόμενοι παρεστήκασιν αὐτῷ τῷ θρόνῳ τῷ βασιλικῷ. ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς αὐτῶν τὴν εὐτέλειαν, εἰπέ μοι, τίς ἂν ταπεινωθείη; ὁ βοηθούμενος παρὰ τοῦ Θεοῦ, ἢ ὁ πολεμούμενος; εὔδηλον ὅτι ὁ πολεμούμενος. οὐκοῦν ἄκουσον περὶ ἑκατέρων τούτων τί φησιν ἡ γραφή. Ο Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. πάλιν σε καὶ ἕτερον ἐρήσομαι· τίς ὑψηλότερος; ὁ ἱερώμενος καὶ θυσίαν προσάγων τῷ Θεῷ, ἢ ὁ πόρρω που τῆς πρὸς αὐτὸν παρρησίας ὑπάρχων; καὶ ποίαν θυσίαν προσφέρει ὁ ταπεινός, φησιν; ἄκουσον τοῦ Δαβὶδ λέγοντος· Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Εἶδες τούτου τὸ καθαρόν; βλέπε καὶ ἐκείνου τὸ ἀκάθαρτον. ἀκάθαρτος γάρ, φησι, παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. πρὸς τούτοις, ὁ μὲν ἔχει ἀναπαυόμενον τὸν Θεὸν ἐπ' αὐτῷ (Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους) ὁ δὲ μετὰ τοῦ διαβόλου σύρεται. ὁ γὰρ τετυφωμένος, τὰ ἐκείνου πείσεται. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· * Μὴ πῶς τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. καὶ τοὐναντίον δὲ, ἃ οὐ βούλεται, αὐτῷ συμβαίνει. βούλεται μὲν γὰρ ἀπονοεῖσθαι, ὥστε τιμᾶσθαι· ὁ δὲ μάλιστα πάντων καταφρονούμενος, οὗτος ἐστίν. οὗτοι γὰρ καταγέλαστοι, οὗτοι πᾶσιν ἐχθροὶ καὶ πολέμιοι, οὗτοι εὐχείρωτοι τοῖς ἐχθροῖς, οὗτοι πρὸς ὀργὴν εὐέμπτωτοι, οὗτοι ἀκάθαρτοι "παρ' αὐτῷ, οὗτοι μάλιστα πάντων εἰσί. τί τοίνυν τούτου χεῖρον γένοιτ' ἄν; τοῦτο γὰρ πέρας τοῦτό ἐστι τῶν κακῶν. τί δὲ τῶν ταπεινῶν ἥδιον; τί δὲ μακαριώτερον, ὅταν ποθεινοὶ καὶ ἐπέραστοι ὦσι τῷ Θεῷ; καὶ τῆς παρὰ ἀνθρώπων δὲ μάλιστα οὗτοι ἀπολαύουσι δόξης, καὶ πάντες αὐτοὺς ὡς πατέρας τιμῶσιν, ὡς ἀδελφοὺς ἀσπάζονται, ὡς οἰκεῖα μέλη προσίενται. γενώμεθα τοίνυν ταπεινοὶ, ἵνα γενώμεθα ὑψηλοί. καὶ γὰρ μεθ' ὑπερβολῆς πολλῆς ταπεινοῖ ἡ ἀπόνοια. τοῦτο ἐταπείνωσε τὸν Φαραώ. Οὐκ οἶδα γάρ, φησι, τὸν Κύριον, καὶ μυιῶν καὶ βατράχων καὶ κάμπης ἐγένετο χείρων, καὶ μετὰ ταῦτα αὐτοῖς ὅπλοις καὶ ἵπποις κατεποντίζετο. ἀλλ' ἀπεναντίας τούτῳ Ἀβραάμ. Ἐγὼ δέ, φησίν, εἰμι γῆ καὶ σποδὸς, καὶ μυρίων βαρβάρων ἐκράτησε, καὶ εἰς μέσον ἐμπεσὼν Αἰγυπτίων ἐπανῄει λαμπρότερον τὸ πρότερον τρόπαιον φέρων, καὶ ταύτης ἀντεχόμενος τῆς ἀρετῆς ἀεὶ ὑψηλότερος ἐγίνετο. διὰ τοῦτο ᾄδεται πανταχοῦ, διὰ τοῦτο στεφανοῦται καὶ ἀνακηρύττεται· ὁ δὲ Φαραὼ γῆ καὶ σποδὸς, καὶ εἴ τι τούτων εὐτελέστερον ἕτερον. οὐδὲν γὰρ

οὕτως

Λυκ. ι. ιθ.

Ιακ. δ. ς.

Ψαλμ. ν. ιη.

Ησ. ξς. β.

α. Τιμ. γ. ς.

Εξο. ι. β.

Γεν. ιδ.

Γεν. ιη. κζ.

οὕτως ἀποστρέφεται ὁ Θεὸς ὡς ὑπερηφανίαν. διὰ τοῦτο ἐξ ἀρχῆς πάντα ἐποίησεν, ἵνα τοῦτο ἐξέλῃ τὸ πάθος. διὰ τοῦτο θνητοὶ γεγόναμεν, καὶ ἐν λύπαις καὶ ἐν ὀδυρμοῖς, διὰ τοῦτο ἐν πόνῳ καὶ ἐν ἱδρῶτι καὶ ἐν ἐργασίᾳ διηνεκεῖ καὶ τεταλαιπωρημένῃ. (γρ. στεναγμ) καὶ γὰρ ἐξ ἀπονοίας ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος, προσδοκήσας ἰσοθείαν· διὰ τοῦτο οὔτε ἅπερ εἶχεν ἔμεινεν ἔχων, ἀλλὰ καὶ τούτων ἐξέπεσε. τοιοῦτον γὰρ ἡ ἀπόνοια, οὐ μόνον οὐδὲν ἡμῖν προστίθησι κατόρθωμα βίου, ἀλλὰ καὶ ἃ ἔχομεν ὑποτέμνεται· ὥσπερ οὖν ἡ ταπεινοφροσύνη, οὐ μόνον τῶν ὄντων οὐδὲν ὑποτέμνεται, (γρ. ὧν ἔχομ οὐδὲν ἀπόλλυσιν,) ἀλλὰ καὶ τὰ μὴ ὄντα προστίθησι. Ταύτην τοίνυν ζηλώσωμεν, ταύτην διώξωμεν, ἵνα καὶ τῆς παρούσης ἀπολαύσωμεν ζωῆς, καὶ τῆς μελλούσης ἐπιτύχωμεν δόξης, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα καὶ κράτος σὺν τῷ ἁγίῳ πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξϛ.

29 ΚΑΙ ΕΚΠΟΡΕΥΟΜΕΝΩΝ ΑΥΤΩΝ Απὸ Ἱεριχώ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.

30 Καὶ ἰδού, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ιησοῦς παράγει, ἔκραξαν λέγοντες, ἐλέησον ἡμᾶς Κύριε, υἱὸς Δαβίδ.

ΟΡα πόθεν παρῆλθεν εἰς τὰ Ἱεροσόλυμα, καὶ ποῦ πρὸ τούτου διέτριβεν· ὃ καὶ μάλιστα ζητήσεως ἄξιον εἶναί μοι δοκεῖ, διὰ τί μὴ καὶ πρότερον ἐκεῖθεν ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, ἀλλὰ διὰ τῆς Σαμαρείας. ἀλλὰ τοῦτο μὲν τοῖς φιλομαθέσιν ἀφήσομεν. εἰ γάρ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι, εὑρήσει τὸν Ἰωάννην αἰνιξάμενον αὐτὸ καλῶς, (Ιωαν. δ. α. γ.) καὶ τὴν αἰτίαν τεθεικότα· ἡμεῖς δὲ τῶν προκειμένων ἐχώμεθα, καὶ τῶν τυφλῶν τούτων ἀκούσωμεν, οἳ πολλῶν βλεπόντων ἦσαν ἀμείνους. οὔτε γὰρ τὸν ὁδηγοῦντα ἔχοντες, οὔτε ἰδεῖν αὐτὸν δυνάμενοι ἐπιστάντα, ὅμως ἐφιλονείκουν ἐλθεῖν πρὸς αὐτόν, καὶ μεγάλῃ ἤρξαντο τῇ φωνῇ κράζειν· καὶ ἐπιστομισθέντες, μᾶλλον ἐβόων. τοιοῦτον γὰρ ψυχὴ καρτερική, δι' αὐτῶν τῶν κωλυόντων αἴρεται. ὁ δὲ Χριστὸς εἴα αὐτοὺς ἐπιστομίζεσθαι, ἵνα μειζόνως αὐτῶν ἡ προθυμία φαίνηται, καὶ μάθῃς αὐτοὺς ἀξίως ἀπολαύοντας θεραπείας. διὰ τοῦτο οὐδὲ ἐρωτᾷ, Εἰ πιστεύετε, ὅπερ ἐπὶ πολλῶν ἐποίει. (γρ. πιστεύ) ἡ γὰρ κραυγὴ καὶ ἡ πρόσοδος ἤρκει πᾶσι κατάδηλον ποιῆσαι τὴν πίστιν αὐτῶν. ἐντεῦθεν μάνθανε ἀγαπητέ, ὅτι κἂν σφόδρα εὐτελεῖς ὦμεν καὶ ἀπερριμμένοι, μετὰ σπουδῆς δὲ προσιῶμεν τῷ Θεῷ, καὶ δι' ἡμῶν αὐτῶν δυνησόμεθα ἀνύειν ὅπερ ἂν αἰτῶμεν. ὅρα γοῦν καὶ τούτους πῶς οὐδένα τῶν ἀποστόλων συνήγορον ἔχοντες, ἀλλὰ καὶ πολλοὺς τοὺς ἐπιστομίζοντας, ἴσχυσαν ὑπερβῆναι τὰ κωλύματα, καὶ πρὸς αὐτὸν ἐλθεῖν τὸν Ἰησοῦν. καίτοι παρρησίαν βίου οὐδεμίαν αὐτοῖς ὁ εὐαγγελιστὴς μαρτυρεῖ, ἀλλ' ἤρκεσεν ἀντὶ πάντων αὐτοῖς ἡ προθυμία. τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. κἂν ἀναβάλληται τὴν δόσιν ὁ Θεός, κἂν πολλοὶ οἱ ἀπάγοντες, μὴ ἀποστῶμεν αἰτοῦντες. ταύτῃ γὰρ μάλιστα τὸν Θεὸν ἐπισπασόμεθα. ὅρα γοῦν καὶ ἐνταῦθα πῶς τὴν σφοδρὰν αὐτῶν προθυμίαν, οὐχ ἡ πενία, οὐχ ἡ πήρωσις, οὐ τὸ μὴ ἀκουσθῆναι, οὐ τὸ παρὰ τῶν ὄχλων ἐπιτιμηθῆναι, οὐκ ἄλλο οὐδὲν διεκώλυσε. τοιοῦτόν ἐστι ψυχὴ ζέουσα καὶ πονουμένη. τί οὖν ὁ Χριστός;

32 Ἐφώνησεν αὐτούς, καὶ εἶπε· τί θέλετε ποιήσω ὑμῖν;

33 Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιγῶσιν ἡμῶν οἱ ὀφθαλμοί. Τίνος ἕνεκεν αὐτοὺς ἐρωτᾷ; ἵνα μή τις νομίσῃ, ὅτι ἄλλα βουλομένοις λαβεῖν ἄλλα δίδωσιν. ἔπειτα καὶ ἔθος αὐ- (γρ. αὐτοῖς)

τῷ πανταχοῦ πρότερον τὴν ἀρετὴν τῶν θεραπευομένων κατάδηλον ποιεῖν καὶ ἐκκαλύπτειν ἅπασι, καὶ τότε ἐπάγειν τὴν ἰατρείαν· δι' ἓν μὲν, ἵνα καὶ τοὺς ἄλλους εἰς ζῆλον ἀγάγῃ· δι' ἕτερον δὲ, ἵνα δείξῃ τῆς δωρεᾶς ἀξίως ἀπολαύοντας. τοῦτο γοῦν καὶ ἐπὶ τῆς Χαναναίας ἐποίησε γυναικός· τοῦτο καὶ ἐπὶ τοῦ ἑκατοντάρχου· τοῦτο καὶ ἐπὶ τῆς αἱμοῤῥοούσης. μᾶλλον δὲ ἡ θαυμασία γυνὴ ἐκείνη καὶ προὔλαβε τοῦ δεσπότου τὴν πεῦσιν· ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὴν παρέδραμεν, ἀλλὰ καὶ μετὰ τὴν ἰατρείαν κατάδηλον αὐτὴν ποιεῖ. οὕτως αὐτῷ πανταχοῦ περισπούδαστον ἦν διακηρύττειν τῶν προσιόντων αὐτῷ τὰ κατορθώματα, καὶ πολλῷ μείζονα ἀποφαίνειν τῶν ὄντων· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. εἶτα, ἐπειδὴ εἶπον ὅπερ ἐβούλοντο, σπλαγχνισθεὶς ἥψατο αὐτῶν. αὕτη γὰρ μόνον ἡ αἰτία τῆς ἰατρείας, δι' ἣν καὶ εἰς τὸν κόσμον ἦλθεν. ἀλλ' ὅμως εἰ καὶ ἔλεος ἦν καὶ χάρις, τοὺς ἀξίους ἐπιζητεῖ. ὅτι δὲ ἄξιοι, δῆλον καὶ ἐξ ὧν ἐβόησαν, καὶ ἐξ ὧν λαβόντες οὐκ ἀπεπήδησαν, ὃ πολλοὶ ποιοῦσι, μετὰ τὰς εὐεργεσίας ἀγνωμονοῦντες. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι· ἀλλὰ καὶ πρὸ τῆς δόσεως καρτερικοὶ, καὶ μετὰ τὴν δόσιν εὐγνώμονες. καὶ γὰρ ἠκολούθησαν αὐτῷ.

1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, κεφ. κα.
τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ λέγων·

2 Πορεύεσθε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι·

3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς.

4 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου Ζαχαρίου,

5 Εἴπατε τῇ θυγατρὶ Σιὼν, ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου.

καίτοι πολλάκις ἐπέβη τῶν Ἱεροσολύμων πρότερον, ἀλλ' οὐδέποτε μετὰ τοσαύτης περιφανείας. τί οὖν τὸ αἴτιον; προοίμια ἦν τότε τῆς οἰκονομίας· καὶ οὔτε αὐτὸς σφόδρα κατάδηλος ἦν, οὔτε ὁ καιρὸς τοῦ παθεῖν ἐγγύς. διόπερ καὶ ἀδιαφορώτερον αὐτοῖς ἀνεμίγνυτο, καὶ μᾶλλον κρύπτων ἑαυτόν. οὔτε γὰρ ἂν ἐθαυμάσθη φαινόμενος οὕτω, καὶ εἰς μείζονα ἂν αὐτοὺς ἐξήγαγεν ὀργήν. ἐπειδὴ δὲ καὶ τῆς αὐτοῦ δυνάμεως πεῖραν ἔδωκεν ἱκανὴν, καὶ ὁ σταυρὸς ἐπὶ θύραις ἦν, μειζόνως ἐκλάμπει λοιπὸν, καὶ μετὰ πλείονος ἅπαντα πράττει περιφανείας τὰ μέλλοντα αὐτοὺς ἐκκαίειν. δυνατὸν μὲν γὰρ ἦν καὶ παρὰ τὴν ἀρχὴν τοῦτο γενέσθαι· ἀλλ' οὐ χρήσιμον, οὐδὲ λυσιτελὲς οὕτω. σὺ δέ μοι θέα ὅσα θαύματα γίνονται, καὶ ὅσαι πληροῦνται προφητεῖαι. εἶπεν, ὅτι εὑρήσετε ὄνον· προεῖπεν ὅτι οὐδεὶς κωλύσει, ἀλλ' ὅτι ἀκούσαντες σιγήσουσι. τοῦτο δὲ οὐ μικρὸν κρῖμα Ἰουδαίων, εἰ τοὺς οὐδέποτε γνωρίμους αὐτῷ οὐδὲ φανέντας πείθει τὰ αὐτῶν προέσθαι καὶ μηδὲν ἀντειπεῖν· οὗτοι δὲ καὶ διὰ τῶν μαθητῶν αὐτοῦ θαυματουργοῦντι παρόντες οὐκ ἐπείσθησαν. μὴ δὴ μικρὸν εἶναι νομίσῃς τὸ γεγενημένον. τίς γὰρ αὐτοὺς ἔπεισε τῶν ἰδίων ἀφαιρουμένους, καὶ ταῦτα πένητας ὄντας ἴσως καὶ γεωργοὺς, μὴ ἀντειπεῖν; καὶ τί λέγω, μὴ ἀντειπεῖν; μὴ ἔρεσθαι, ἢ καὶ ἐρομένους σιγῆσαι καὶ παραχωρῆσαι; καὶ γὰρ ἀμφότερα ὁμοίως θαυμαστὰ ἦν, καὶ εἰ μηδὲν εἶπον ἑλκομένων τῶν ὑποζυγίων, καὶ εἰ εἰπόντες, καὶ ἀκούσαντες, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει, παρεχώρησαν καὶ οὐκ ἀντέστησαν, καὶ ταῦτα οὐκ αὐτὸν ὁρῶντες, ἀλλὰ τοὺς μαθητάς. ἀπὸ τούτων αὐτοὺς παιδεύει, ὅτι καὶ Ἰουδαίους ἐδύνατο καὶ ἄκοντας κωλῦσαι δι' ὅλου μέλλοντας αὐτῷ ἐπιέναι, καὶ ἀφώνους καταστῆσαι· ἀλλ' οὐκ ἠθέλησε. καὶ ἕτερον δὲ μετὰ τούτων διδάσκει τοὺς μαθητὰς, ὅπερ ἂν αἰτήσῃ, διδόναι, κἂν αὐτὴν κελεύσῃ τὴν ψυχὴν προέσθαι, καὶ ταύτην παρέχειν καὶ μὴ ἀντιλέγειν. εἰ γὰρ οἱ ἄγνωστοι αὐτῷ παρεχώρησαν, πολλῷ μᾶλλον αὐτοὺς ἁπάντων ἐξίστασθαι δεῖ. πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἑτέραν πάλιν προφητείαν ἐπλήρου διπλῆν· τὴν μὲν, δι' ἔργων· τὴν δὲ διὰ ῥημάτων. καὶ ἡ μὲν διὰ τῶν ἔργων ἦν, ἡ διὰ τῆς καθέδρας τῆς ὄνου· ἡ δὲ διὰ τῶν ῥημάτων, ἡ τοῦ προφήτου Ζαχαρίου. καὶ γὰρ εἶπεν, ὅτι καθεδεῖται ὁ βασιλεὺς ἐπὶ ὄνου· καὶ καθίσας αὐτὸς καὶ πληρώσας αὐτήν, ἑτέραν πάλιν ἐδίδου προφητείας ἀρχήν, δι' ὧν ἐποίει, τὰ μέλλοντα προδιατυπῶν. πῶς καὶ τίνι τρόπῳ; τῶν ἀκαθάρτων ἐθνῶν τὴν κλῆσιν προανεφώνει, καὶ ὅτι αὐτοῖς" ἐπαναπαύσεται, καὶ ἥξουσιν αὐτῷ καὶ ἕψονται, καὶ προφητεία διεδέχετο προφητείαν. ἐμοὶ δὲ οὐ διὰ τοῦτο δοκεῖ μόνον ἐπὶ τὴν ὄνον καθίσαι· ἀλλὰ καὶ μέτρον ἡμῖν φιλοσοφίας παρέχων. οὐ γὰρ δὴ μόνον προφητείας ἐπλήρου, οὐδὲ δόγματα ἐφύτευε τὰ τῆς ἀληθείας· ἀλλὰ καὶ τὸν βίον ἡμῖν διώρθου δι' αὐτῶν τούτων, πανταχοῦ κανόνας ἡμῖν τιθεὶς τῆς ἀναγκαίας χρείας, καὶ διὰ πάντων τὴν ζωὴν κατορθῶν τὴν ἡμετέραν. διὰ τοῦτο καὶ ἡνίκα τίκτεσθαι ἔμελλεν, οὐκ ἐπεζήτησε λαμπρὰν οἰκίαν, οὐδὲ μητέρα πλουσίαν καὶ περιφανῆ· ἀλλὰ πενιχρὰν, καὶ μνηστῆρα τέκτονα ἔχουσαν, καὶ ἐν καλύβῃ γεννᾶται, καὶ ἐν φάτνῃ τίθεται· καὶ μαθητὰς ἐκλέγων, οὐ ῥήτορας καὶ σοφοὺς, οὐδὲ εὐπόρους καὶ εὐγενεῖς, ἀλλὰ πένητας καὶ ἐκ πενήτων καὶ πάντοθεν ἀσήμους ἐξέλεξε· καὶ τράπεζαν παρατιθέμενος, ποτὲ μὲν κριθίνους ἄρτους παρατίθεται, ποτὲ δὲ πρὸς αὐτὸν τὸν καιρὸν ἐξ ἀγορᾶς τοὺς μαθητὰς ὠνεῖσθαι κελεύων· καὶ στιβάδα ποιῶν, ἀπὸ χόρτου ποιεῖ· καὶ ἱμάτια ἀμφιεννύμενος, εὐτελῆ καὶ τῶν πολλῶν οὐδὲν διαφέροντα περιβάλλεται· οἰκίαν δὲ οὐδὲ εἶχεν. εἰ δὲ καὶ μεταβῆναι ἐκ τόπου εἰς τόπον ἔδει, ὁδοιπορῶν τοῦτο ποιεῖ· καὶ οὕτως ὁδοιπορῶν, ὡς καὶ κοπιᾶν. καὶ καθήμενος, οὐ θρόνου δεῖται, οὐδὲ προσκεφαλαίου, ἀλλ' ἐπὶ τοῦ ἐδάφους, ποτὲ μὲν ἐν τῷ ὄρει, ποτὲ δὲ παρὰ τῇ πηγῇ· καὶ οὐ παρὰ τῇ πηγῇ μόνον, ἀλλὰ καὶ μόνος, καὶ Σαμαρείτιδι διαλέγεται. πάλιν λύπης μέτρα τιθεὶς, ἡνίκα θρηνῆσαι ἔδει, δακρύει ἠρέμα, πανταχοῦ κανόνας, ὅπερ ἔφην, καὶ ὅρους πηγνὺς, μέχρι ποῦ προβαίνειν δεῖ, καὶ περαιτέρω μηκέτι. διὰ δὴ τοῦτο καὶ νῦν, ἐπειδὴ συνέβαινέ τινας ἀσθενεστέρους ὄντας ὑποζυγίων δεῖσθαι, κἀν ταῦθα μέτρον ἔθηκε, δεικνὺς ὅτι οὐχ ἵππους, οὐδὲ ἡμιόνους ζεύξαντας φέρεσθαι δεῖ, ἀλλὰ ὄνῳ κεχρῆσθαι καὶ περαιτέρω μὴ προβαίνειν, καὶ πανταχοῦ τῆς χρείας εἶναι. ἴδωμεν δὲ καὶ τὴν προφητείαν τὴν διὰ τῶν ῥημάτων, τὴν διὰ τῶν πραγμάτων. τίς οὖν ἡ προφητεία; ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· οὐχὶ ἅρματα ἐλαύνων, ὡς οἱ λοιποὶ βασιλεῖς· οὐ φόρους ἀπαιτῶν, οὐ σοβῶν καὶ δορυφόρους περιάγων· ἀλλὰ πολλὴν τὴν ἐπιείκειαν κἀντεῦθεν ἐπιδεικνύμενος. ἐρώτησον τοίνυν τὸν Ἰουδαῖον, ποῖος βασιλεὺς ὀχούμενος ἐπὶ ὄνου ἦλθεν εἰς Ἱερουσαλήμ. ἀλλ' οὐκ ἂν ἔχοι εἰπεῖν, ἀλλ' ἢ τοῦτον μόνον. ἐποίει δὲ ταῦτα, ὅπερ ἔφην, τὰ μέλλοντα προδηλῶν. ἐνταῦθα γὰρ ἡ ἐκκλησία δηλοῦται διὰ τοῦ πώλου, καὶ ὁ λαὸς ὁ νέος, ὁ ποτὲ μὲν ἀκάθαρτος, μετὰ δὲ τὸ καθίσαι τὸν Ἰησοῦν, καθαρὸς γενόμενος. καὶ ὅρα δι' ὅλου τὴν εἰκόνα σωζομένην. οἱ γὰρ μαθηταὶ λύουσι τὰ ὑποζύγια. διὰ γὰρ τῶν ἀποστόλων κἀκεῖνοι καὶ ἡμεῖς ἐκλήθημεν· διὰ τῶν ἀποστόλων προσήχθημεν, ἐπειδὴ καὶ ἡ ἡμετέρα εὐδοκίμησις ἐκείνους παρεζήλωσε. διὰ τοῦτο φαίνεται ἡ ὄνος ἀκολουθοῦσα τῷ πώλῳ. μετὰ γὰρ τὸ καθίσαι τὸν Χριστὸν ἐπὶ τὰ ἔθνη, τότε ἥξουσι κἀκεῖνοι παραζηλοῦντες. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ " οὕτω πᾶς Ἰσραὴλ σωθήσεται. ὅτι γὰρ προφητεία ἦν, δῆλον ἐκ τῶν εἰρημένων. οὐ γὰρ ἂν ἐμέλησε τῷ προφήτῃ μετὰ τοσαύτης ἀκριβείας τῆς ὄνου τὴν ἡλικίαν εἰπεῖν, εἰ μὴ τοῦτο ἦν. οὐ ταῦτα δὲ μόνον δηλοῦται διὰ τῶν εἰρημένων, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας αὐτοὺς ἄξουσιν οἱ ἀπόστολοι. ὥσπερ γὰρ ἐνταῦθα οὐδεὶς ἀντεῖπεν εἰς τὸ καταγαγεῖν, οὕτως οὐδὲ ἐπὶ τῶν ἐθνῶν οὐδεὶς ἠδυνήθη διακωλῦσαι τῶν κατεχόντων αὐτοὺς ἔμπροσθεν. οὐ κάθηται δὲ ἐπὶ γυμνὸν τὸν πῶλον, ἀλλ' ἐπὶ τὰ ἱμάτια τῶν ἀποστόλων. ἐπειδὴ γὰρ τὸν πῶλον ἔλαβον, ἅπαντα λοιπὸν προΐενται, καθὼς καὶ Παῦλος ἔλεγεν· Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν. σκόπει δὲ τὸ εὐήνιον τοῦ πώλου, πῶς ἀδάμαστος ὢν καὶ χαλινοῦ ἄπειρος, οὐκ ἐσκίρτησεν,

Ῥωμ. ια. κε. κϛ.

χ. τίπ

β. Κορ. ιβ. ιε.

ἐσκίρτησεν, ἀλλ' εὐτάκτως ἔφερεν. ὃ καὶ αὐτὸ προφητεία τοῦ μέλλοντος ἦν, δηλοῦσα τὸ καταπειθὲς τῶν ἐθνῶν, καὶ τὴν ἀθρόαν εἰς εὐταξίαν μεταβολήν. καὶ γὰρ πάντα εἰργάσατο τὸ ῥῆμα τὸ λέγον· λύσαντες ἀγάγετέ μοι· ὥστε τὰ ἄτακτα εὔτακτα, καὶ τὰ ἀκάθαρτα γενέσθαι λοιπὸν καθαρά. ἀλλ' ὅρα τὸ ταπεινὸν τῶν Ἰουδαίων. τοσαῦτα θαύματα εἰργάσατο, καὶ οὐδέποτε αὐτὸν οὕτως ἐξεπλάγησαν. ἐπειδὴ δὲ εἶδον ὄχλον συντρέχοντα, τότε θαυμάζουσιν.

10 Ἐσείσθη γὰρ πᾶσα ἡ πόλις λέγουσα, τίς ἐστιν οὗτος;

11 Οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Καὶ ὅτε ἔδοξέν τι μέγα λέγειν, τότε χαμαίζηλος ἦν αὐτῶν ἡ γνώμη καὶ ταπεινὴ καὶ σεσυρμένη. ταῦτα δὲ αὐτὸς ἐποίει, οὐ πομπὴν ἵνα ἐπιδεικνύμενος, ἀλλ' ὁμοῦ μὲν, ὅπερ εἶπον, καὶ προφητείαν πληρῶν, καὶ φιλοσοφίαν παιδεύων· ὁμοῦ δὲ καὶ τοὺς μαθητὰς παραμυθούμενος λυπουμένους διὰ τὸν θάνατον, καὶ δεικνὺς ὅτι ταῦτα πάντα πάσχει ἑκών. σὺ δέ μοι θαύμασον τοῦ προφήτου τὴν ἀκρίβειαν, πῶς πάντα προεῖπε· καὶ τὰ μὲν ὁ Δαβίδ, τὰ δὲ ὁ Ζαχαρίας προανεφώνησεν.

ΗΘΙΚΟΝ

Οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ ὑμνῶμεν, καὶ τὰ ἱμάτια προώμεθα τοῖς αὐτὸν φέρουσι. τίνος γὰρ ἂν εἴημεν ἄξιοι, ὅταν οἱ μὲν τὴν ὄνον περιβάλλωσιν εἰς ἣν ἐκάθητο, οἱ δὲ τοῖς ποσὶν αὐτῆς ὑποστρωννύωσι τὰ ἱμάτια· ἡμεῖς δὲ αὐτὸν γυμνὸν ὁρῶντες, καὶ οὐδὲ ἀποδῦναι κελευόμενοι, ἀλλ' ἀπὸ τῶν κειμένων δαπανᾶν, μηδὲ οὕτως ὦμεν φιλότιμοι; κἀκεῖνοι μὲν παρακολουθῶσιν ἔμπροσθεν καὶ ὄπισθεν· ἡμεῖς δὲ καὶ προσιόντα παραπεμπώμεθα καὶ διακρουώμεθα καὶ ὑβρίζωμεν; πόσης ταῦτα κολάσεως ἄξια; πόσης τιμωρίας; προσέρχεταί σοι δεόμενος ὁ δεσπότης, καὶ οὐδὲ ἀκοῦσαι βούλει τῆς ἱκετηρίας, ἀλλ' ἐγκαλεῖς καὶ ἐπιτιμᾷς, καὶ ταῦτα ἀκούσας τοιούτων ῥημάτων. εἰ δὲ ἕνα ἄρτον διδοὺς καὶ ὀλίγον ἀργύριον, οὕτω βάναυσος εἶ καὶ ὀλίγωρος καὶ ὀκνηρὸς, εἰ πάντα κενῶσαι ἔδει, τίς ἂν ἐγένου; οὐχ ὁρᾷς τοὺς ἐν τῷ θεάτρῳ φιλοτίμους, ὅσα ταῖς πόρναις προΐενται; σὺ δὲ οὐδὲ τὸ ἥμισυ τούτων δίδως, οὐδὲ τὸ πολλοστὸν πολλάκις. ἀλλ' ὁ μὲν διάβολος κελεύει δοῦναι τοῖς τυχοῦσι, γέενναν προξενῶν, καὶ δίδως· ὁ δὲ Χριστὸς τοῖς δεομένοις, βασιλείαν ἐπαγγελλόμενος, καὶ οὐ μόνον οὐ δίδως, ἀλλὰ καὶ ὑβρίζεις, καὶ αἱρῇ μᾶλλον ὑπακοῦσαι τῷ διαβόλῳ ἵνα κολασθῇς, ἢ πεισθῆναι τῷ Χριστῷ καὶ σωθῆναι. καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς παραπληξίας; ὁ μὲν γέενναν προξενεῖ, ὁ δὲ βασιλείαν· καὶ τοῦτον ἀφέντες, ἐκείνῳ προστρέχετε· καὶ τὸν μὲν προσιόντα παραπέμπεσθε, τὸν δὲ μακρὰν ὄντα προσκαλεῖσθε. καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἰ βασιλεὺς μὲν ἁλουργίδα ἔχων, καὶ διάδημα προτεινόμενος, μὴ πείθοι· λῃστὴς δὲ μάχαιραν ἐπισείων καὶ θάνατον ἀπειλῶν, πείθοι. ταῦτα οὖν ἐννοοῦντες, ἀγαπητοὶ, διαβλέψωμεν ὀψὲ γοῦν ποτε καὶ ἀνανήψωμεν. καὶ γὰρ ἐγὼ λοιπὸν αἰσχύνομαι περὶ ἐλεημοσύνης διαλεγόμενος, διὰ τὸ πολλάκις περὶ ταύτης τῆς ὑποθέσεως εἰπὼν, μηδὲν ἄξιον ἀνύσαι τῆς παραινέσεως. γέγονε μὲν γάρ τι πλέον, οὐ τοσοῦτον δὲ ὅσον ἐβουλόμην. ὁρῶ μὲν γὰρ σπείροντας ὑμᾶς, οὐ δαψιλεῖ δὲ τῇ δεξιᾷ. διὸ καὶ φοβοῦμαι, μήπως καὶ φειδομένως θερίσητε. ὅτι γὰρ φειδομένως σπείρομεν, ἐξετάσωμεν, εἰ δοκεῖ. τίνες εἰσὶ πλείους ἐν τῇ πόλει, πένητες ἢ πλούσιοι; καὶ τίνες οὔτε πένητες οὔτε πλούσιοι, ἀλλ' οἱ μέσην χώραν ἔχοντες; οἷον ἐστὶ τὸ δέκατον μέρος πλουσίων, καὶ τὸ δέκατον πενήτων τῶν οὐδὲν ὅλως ἐχόντων· οἱ δὲ λοιποὶ τῶν μέσων εἰσί. διέλωμεν τοίνυν εἰς τοὺς δεομένους τὸ πλῆθος τῆς πόλεως, καὶ ὄψεσθε τὴν αἰσχύνην ὅση. οἱ μὲν γὰρ σφόδρα πλουτοῦντες, ὀλίγοι· οἱ δὲ μετ' ἐκείνους, πολλοί· πάλιν οἱ πένητες πολλῷ τούτων ἐλάττους. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν δυναμένων τοὺς πεινῶντας τρέφειν, πολλοὶ πεινῶντες καθεύδουσιν· οὐ διὰ τὸ μὴ δύνασθαι μετ' εὐκολίας αὐτοῖς ἐπαρκεῖν τοὺς ἔχοντας, ἀλλὰ διὰ τὴν πολλὴν αὐτῶν ὠμότητα καὶ ἀπανθρωπίαν. εἰ γὰρ διέλοιντε οἵ τε πλουτοῦντες, οἵ τε μετ' ἐκείνους, τοὺς δεομένους ἄρτων καὶ ἐνδυμάτων, μόλις ἂν πεντήκοντα ἀνδράσιν ἢ καὶ ἑκατὸν λάχοι πένης εἷς. ἀλλ' ὅμως καὶ ἐν τοσαύτῃ ἀφθονίᾳ τῶν προστησομένων ὄντες, ὀδύρονται καθ' ἑκάστην ἡμέραν. καὶ ἵνα μάθῃς αὐτῶν τὴν ἀπανθρωπίαν, ἑνὸς τῶν ἐσχάτων εὐπόρων καὶ τῶν μὴ σφόδρα πλουτούντων πρόσοδον ἡ ἐκκλησία ἔχουσα, ἐννόησον ὅσαις ἐπαρκεῖ καθ' ἑκάστην ἡμέραν χήραις, ὅσαις παρθένοις (καὶ γὰρ εἰς τὸν τῶν τρισχιλίων ἀριθμὸν ὁ κατάλογος αὐτῶν ἔφθασε) μετὰ τούτων, τοῖς τὸ δεσμωτήριον οἰκοῦσι, τοῖς ἐν τῷ ξενοδοχείῳ κάμνουσι, τοῖς ὑγιαίνουσι, τοῖς ἀποδημοῦσι, τοῖς τὰ σώματα λελωβημένοις, τοῖς τῷ θυσιαστηρίῳ προσεδρεύουσι καὶ τροφῆς καὶ ἐνδυμάτων ἕνεκεν, τοῖς ἁπλῶς προσιοῦσι καθ' ἑκάστην ἡμέραν, καὶ οὐδὲν αὐτῇ τὰ τῆς οὐσίας ἠλάττωται). ὥστε εἰ δέκα ἄνδρες μόνον οὕτως ἠθέλησαν ἀναλίσκειν, οὐδεὶς ἂν ἦν πένης. καὶ τί ἔμελλον, φησιν, οἱ παῖδες ἡμῶν διαδέχεσθαι; τὸ κεφάλαιον ἔμενε, καὶ ἡ πρόσοδος πάλιν πλείων ἐγίνετο ἐν ″ οὐρανοῖς θησαυριζομένων αὐτοῖς τῶν χρημάτων. ἀλλ' οὐ βούλεσθε οὕτω; κἂν ἐξ ἡμισείας· κἂν ἀπὸ τρίτης μοίρας· κἂν ἀπὸ τετάρτης· κἂν ἀπὸ δεκάτης. διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν δέκα πόλεων πένητας δυνατὸν ἦν θρέψαι τὴν πόλιν τὴν ἡμετέραν. καί, εἰ βούλεσθε, ποιήσωμεν τινα τούτων συλλογισμόν· μᾶλλον δὲ οὐδὲ συλλογισμοῦ χρεία. καὶ γὰρ αὐτόθεν κατάδηλός ἐστιν ἡ εὐκολία τοῦ πράγματος. ὁρᾶτε γοῦν εἰς τὰς λειτουργίας τὰς πολιτικάς, ὅσα οἰκία μία ἀναλίσκουσα πολλάκις οὐκ ὤκνησεν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ᾔσθετο τῆς δαπάνης, ἣν εἰ τῶν πλουσίων ἕκαστος εἰς τοὺς πένητας λειτουργίαν λειτουργεῖν ἐβούλετο, ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἥρπασεν ἂν τὸν οὐρανόν. τίς οὖν ἂν εἴη συγγνώμη, ποία ἀπολογίας σκιά, ὅταν μηδὲ ὧν ἀφίστασθαι μέλλομεν πάντως ἀπαγόμενοι ἐντεῦθεν, μηδὲ τούτων μεταδιδῶμεν τοῖς δεομένοις μετὰ δαψιλείας τοσαύτης, μεθ' ὅσης τοῖς ἐπὶ τῆς σκηνῆς ἕτεροι, ″ καὶ ταῦτα, τοσαῦτα μέλλοντες καρποῦσθαι ἐκ τούτων; ἔδει μὲν γάρ, ″ εἰ καὶ διὰ παντὸς ἐνταῦθα ἦμεν, μηδὲ οὕτω φείδεσθαι τῆς καλῆς ταύτης δαπάνης· ὅταν δὲ μικρὸν ὕστερον ἐντεῦθεν ἀπαγώμεθα, καὶ πάντων ἀφελκώμεθα γυμνοί, ποίαν ἕξομεν ἀπολογίαν, μηδὲ ἀπὸ τῶν προσόδων παρέχοντες τοῖς λιμώττουσι καὶ ἀγχομένοις; οὐδὲ γὰρ ἀναγκάζω σε τὰ ὄντα μειῶσαι· οὐκ ἐπειδὴ μὴ βούλομαι, ἀλλ' ἐπειδὴ σφόδρα ὀκνοῦντα ὁρῶ. οὐ τοίνυν τοῦτό φημι· ἀλλ' ἀπὸ τῶν καρπῶν ἀνάλωσον, καὶ μηδὲν θησαυρίσῃς ἐντεῦθεν. ἀρκεῖ σοι ὥσπερ ἐκ πηγῆς ἔχειν ἐπιρρέοντα τὰ χρήματα τῶν προσόδων· ποίησον κοινωνοὺς τοὺς πένητας, καὶ γίνου καλὸς οἰκονόμος τῶν παρὰ τοῦ Θεοῦ σοι δοθέντων. ἀλλὰ τελέσματα δίδωμι, φησί. διὰ τοῦτο οὖν καταφρονεῖς, ὅτι ἐνταῦθα οὐδεὶς ἀπαιτεῖ; κἀκείνῳ μὲν τῷ, κἂν ἐνέγκῃ, κἂν μὴ ἐνέγκῃ ἡ γῆ, λαμβάνοντι μετὰ ἀνάγκης καὶ ″ στρεβλοῦντι οὐ τολμᾷς ἀντειπεῖν· τῷ δὲ οὕτως ἡμέρῳ, καὶ τότε ἀπαιτοῦντι ὅταν ἐνέγκῃ ἡ γῆ, οὐδὲ μέχρι λόγου ἀποκρίνῃ; καὶ τίς σε ἐξαιρήσεται τῶν ἀκαρτερήτων ἐκείνων κολάσεων; οὐκ ἔστιν οὐδείς. εἰ γὰρ ἐπειδὴ ἐκεῖ πάντως ἕψεται τιμωρία ″ χαλεπωτάτη μὴ διδόντι, διὰ τοῦτο γίνῃ σπουδαῖος περὶ τὴν ἔκτισιν, ἐννόησον ὅτι καὶ ἐνταῦθα χαλεπώτερα· οὐ τῷ δεθῆναι, οὐδὲ τῷ εἰς δεσμωτήριον ἐμπεσεῖν, ἀλλὰ τῷ ἀπελθεῖν εἰς τὸ πῦρ τὸ αἰώνιον. ἁπάντων οὖν ἕνεκεν ταῦτα ″ πρῶτα καταθῶμεν τὰ τελέσματα. καὶ γὰρ πολλὴ ἡ εὐκολία, καὶ μείζων ὁ μισθός, καὶ πλείων ἡ ἐμπορία, καὶ χείρων ἡ κόλασις ἀγνωμονοῦσιν ἡμῖν. κόλασις γὰρ ″ διαδέξεται τέλος οὐκ ἔχουσα. εἰ δὲ τοὺς στρατιώτας μοι λέγεις τοὺς ὑπὲρ σοῦ πολεμοῦντας βαρβάροις, ἔστι καὶ ἐνταῦθα στρατόπεδον, τὸ τῶν πτωχῶν, καὶ πόλεμος, ὃν ὑπὲρ σοῦ πολεμοῦσιν οἱ πένητες. ὅταν γὰρ ″ λαμβάνωσιν εὐχόμενοι, τὸν Θεὸν ἵλεω ποιοῦσιν· ἵλεω δὲ ποιοῦντες, ἀποκρούονται ἀντὶ βαρβάρων τὰς τῶν δαιμονίων ἐπιβουλάς· οὐκ ἀφιᾶσι σφοδρὸν εἶναι τὸν πονηρόν, οὐδὲ ἐπιτίθεσθαι συνεχῶς, ἀλλ' ἐκλύουσιν αὐτοῦ τὴν ἰσχύν. ὁρῶν τοίνυν τοὺς στρατιώτας τούτους καθ' ἑκάστην ἡμέραν πυκτεύοντας ὑπὲρ σοῦ τῷ διαβόλῳ διὰ τῶν δεήσεων καὶ τῶν εὐχῶν, ἀπαίτησον σαυτὸν τὴν καλὴν ταύτην εἰσφοράν, τὰς ἐκείνων τροφάς. καὶ γὰρ ἥμερος ὢν ὁ

βασιλεύς

γρ. μέλλομ

γρ. οὐρανῷ

γρ. καίτοι

γρ. καὶ εἰ

γρ. στρεβλοῦντος

γρ. χαλεπὴ

γρ. προῖτο

γρ. διαδέχε

γρ. λάβωσι

βασιλεὺς ὤν, οὐκ ἔδωκέ σοι τοὺς ἀπαιτοῦντας, ἀλλ' ἑκόντα βούλεται καταθεῖναι. κἂν κατὰ μικρὸν καταβάλῃς, δέχεται· κἂν ἀπορῶν διὰ πολλοῦ χρόνου καταθῇς, οὐ κατεπείγει τὸν οὐκ ἔχοντα. μὴ δὴ τῆς μακροθυμίας αὐτοῦ καταφρονῶμεν, ἀλλὰ θησαυρίζωμεν ἑαυτοῖς, μὴ ὀργὴν, ἀλλὰ σωτηρίαν· μὴ θάνατον, ἀλλὰ ζωήν· μὴ κόλασιν καὶ τιμωρίαν, ἀλλὰ τιμὰς καὶ στεφάνους. οὐκ ἔστιν ἐνταῦθα δοῦναι μισθὸν τῆς μετακομιδῆς τῶν εἰσφερομένων· οὐκ ἔστιν ἐνταῦθα καμεῖν ἐξαργυρίζοντας. ἂν καταβάλῃς αὐτὰ, αὐτὸς αὐτὰ μετατίθησιν εἰς τὸν οὐρανὸν ὁ δεσπότης· αὐτός σοι τὴν πραγματείαν κατασκευάζει κερδαλεωτέραν. οὐκ ἔστιν ἐνταῦθα παραπομπὸν εὑρεῖν τῶν καταβληθέντων· μόνον κατάβαλε, καὶ εὐθέως ἄπεισιν, οὐχ ἵνα στρατιῶται ἕτεροι τραφῶσιν, ἀλλ' ἵνα σοι μένῃ μετὰ ἐμπορίας πολλῆς. ἐνταῦθα μὲν γὰρ ἅπερ ἂν δῷς, ἀναλαβεῖν οὐκ ἔνι· ἐκεῖ δὲ μετὰ πολλῆς ἀπολήψῃ πάλιν αὐτὰ τῆς τιμῆς, καὶ κερδανεῖς μείζω καὶ πνευματικώτερα κέρδη. ἐνταῦθα τὰ διδόμενα ἀπαίτησίς ἐστιν· ἐκεῖ [δὲ] χρῆσις καὶ δάνειον καὶ ὄφλημα. καὶ γὰρ καὶ χειρόγραφά σοι ἐποίησεν ὁ Θεός. Ο γὰρ ἐλεῶν πτωχὸν, φησὶ, δανείζει Θεῷ. ἔδωκέ σοι καὶ ἀρραβῶνα, καὶ ἐγγυητὰς, καὶ ταῦτα Θεὸς ὤν. ποῖον ἀρραβῶνα [καὶ ἐγγυητὰς]; τὰ ἐν τῷ παρόντι βίῳ, τὰ αἰσθητὰ, τὰ πνευματικὰ, τὰ προοίμια τῶν μελλόντων. τί τοίνυν ἀναβάλλῃ καὶ ὀκνεῖς τοσαῦτα ἤδη λαβὼν, τοσαῦτα προσδοκῶν; ἃ μὲν γὰρ ἔλαβες, ἐστὶ ταῦτα· σῶμα αὐτός σοι διέπλασε· ψυχὴν αὐτός σοι ἐνέθηκεν· ἐτίμησέ σε λόγῳ μόνον τῶν ἐπὶ γῆς· τῶν ὁρωμένων σοι ἁπάντων τὴν χρῆσιν ἔδωκεν· ἐχαρίσατό σοι τὴν ἑαυτοῦ γνῶσιν· τὸν υἱὸν ἐπέδωκεν ὑπὲρ σοῦ· βάπτισμα τοσούτων γέμον ἀγαθῶν ἐδωρήσατο· ἔδωκέ σοι τράπεζαν ἱεράν· ἐπηγγείλατο βασιλείαν καὶ τὰ ἀπόρρητα ἀγαθά. τοιαῦτα τοίνυν λαβὼν, τοσαῦτα μέλλων λαμβάνειν (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ) περὶ χρήματα ἀπολλύμενα μικρολογῇ; καὶ ποίαν ἕξεις συγγνώμην; ἀλλὰ τοὺς παῖδας πένητας ὁρᾷς, καὶ δι' αὐτοὺς ἀναδύῃ; καὶ μὴν κἀκείνους παίδευσον τοιαῦτα κερδαίνειν κέρδη. καὶ γὰρ εἰ ἀργύριον ἦν σοι δεδανεισμένον καὶ τόκους φέρον, εἶτα ὀφειλέτης εὐγνώμων ἦν, μυριάκις ἂν εἵλου ἀντὶ τοῦ χρυσίου τὸ γραμματεῖον καταλιπεῖν τῷ παιδὶ, ὥστε αὐτῷ τὰς προσόδους γίνεσθαι πολλὰς, καὶ μὴ ἀναγκάζεσθαι περιϊέναι καὶ ζητεῖν ἑτέρους τοὺς δανεισομένους. καὶ νῦν τοῦτο δὸς τὸ χειρόγραφον τοῖς παιδίοις, καὶ κατάλιπε τὸν Θεὸν αὐτοῖς ὀφειλέτην. σὺ δὲ τοὺς μὲν ἀγροὺς οὐ πωλεῖς καὶ δίδως τοῖς παιδίοις, ἀλλ' ἐᾷς ὅπως ἡ πρόσοδος μένοι, καὶ ὁ τῶν χρημάτων πλεονασμὸς αὐτοῖς γίνοιτο πλείων ἐντεῦθεν· τὸ δὲ χειρόγραφον τοῦτο παντὸς ἀγροῦ καὶ προσόδων εὐπορώτερον καὶ τοσούτους φέρον καρποὺς, [τοῦτο] δέδοικας καταλιπεῖν; καὶ πόσης ἂν εἴη τοῦτο εὐηθείας τε καὶ παραπληξίας; καὶ ταῦτα εἰδὼς ὅτι κἂν αὐτοῖς αὐτὸ καταλίπῃς, καὶ αὐτὸς αὐτὸ λαβὼν ἀπελεύσῃ πάλιν. τοιαῦτα γὰρ τὰ πνευματικὰ, πολλὴν ἔχει τὴν φιλοτιμίαν. μὴ δὴ πτωχεύωμεν, μηδὲ ἀπάνθρωποι καὶ ὠμοὶ περὶ ἡμᾶς αὐτοὺς γινώμεθα· ἀλλ' ἐμπορευσώμεθα τὴν καλὴν ταύτην πραγματείαν, ἵνα καὶ αὐτοὶ λαβόντες αὐτὴν ἀπέλθωμεν, καὶ τοῖς υἱοῖς τοῖς ἑαυτῶν καταλείψωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παρ. ιθ. ιζ.

Ομιλ. ξζ.

12 ΚΑΙ ΕΙΣΕΛΘΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΤΟ ἱερὸν, ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς, 13 Καὶ λέγει αὐτοῖς· γέγραπται, ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

Ἰωαν. β. ιδ.

Τοῦτο καὶ Ἰωάννης φησίν· ἀλλ' ἐκεῖνος μὲν ἐν ἀρχῇ τοῦ εὐαγγελίου, οὗτος δὲ πρὸς τῷ τέλει· ὅθεν εἰκὸς δεύτερον γενέσθαι τοῦτο, καὶ κατὰ διαφόρους καιρούς· καὶ δῆλον καὶ ἀπὸ τῶν χρόνων, καὶ ἀπὸ τῆς ἀποκρίσεως. ἐκεῖ μὲν γὰρ ἐν αὐτῷ τῷ πάσχα παρεγένετο· ἐνταῦθα δὲ πρὸ πολλοῦ. κἀκεῖ μὲν λέγουσιν Ἰουδαῖοι· τί σημεῖον δεικνύεις ἡμῖν; ἐνταῦθα δὲ σιγῶσι, καίτοι γε ἐπιτιμηθέντες, διὰ τὸ ἤδη θαυμάζεσθαι αὐτὸν παρὰ πᾶσι. τούτων δὲ κατηγορία μείζων Ἰουδαίων, ὅτι [καὶ] ἅπαξ καὶ δὶς τοῦτο αὐτοῦ ποιήσαντος ἐνέμενον ἐπὶ τῇ καπηλείᾳ, καὶ ἀντίθεον αὐτὸν εἶναι ἔλεγον, δέον κἀντεῦθεν μαθεῖν αὐτοῦ τὴν πρὸς τὸν πατέρα τιμήν, καὶ τὴν οἰκείαν ἰσχύν. καὶ γὰρ καὶ ἐθαυματούργησε, καὶ ἑώρων τοὺς λόγους τοῖς πράγμασι συμφωνοῦντας. ἀλλ' οὐδὲ οὕτως ἐπείθοντο, ἀλλ' ἠγανάκτουν· καὶ ταῦτα τοῦ προφήτου βοῶντος ἀκούοντες, καὶ τῶν παιδίων παρὰ καιρὸν ἡλικίας ἀνακηρυττόντων αὐτόν. διόπερ καὶ αὐτὸς τὸν Ἡσαΐαν αὐτοῖς ἐπιτειχίζει κατηγορῶν καὶ λέγων· ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. οὐ ταύτῃ δὲ μόνον δείκνυσιν αὐτοῦ τὴν ἐξουσίαν, ἀλλὰ καὶ τῷ θεραπεῦσαι ποικίλα νοσήματα

γρ. παραγ
το

14 (Προσῆλθον γὰρ αὐτῷ χωλοὶ καὶ τυφλοί, καὶ ἐθεράπευσεν αὐτούς)

Καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἐξουσίαν ἐνδείκνυται. οἱ δὲ οὐδὲ οὕτως ἐπείθοντο, ἀλλὰ μετὰ τῶν λοιπῶν θαυμάτων καὶ τῶν παιδίων ἀκούοντες ἀνακηρυττόντων αὐτὸν κατεπνίγοντο, καί φασιν· οὐκ ἀκούεις τί οὗτοι λέγουσι; καὶ μὴν τοῦτο τοῦ Χριστοῦ ἦν εἰπεῖν πρὸς αὐτούς· οὐκ ἀκούετε τί οὗτοι λέγουσιν; ὡς γὰρ Θεῷ ᾖδον ἐκεῖνοι. τί οὖν αὐτός; ἐπειδὴ τοῖς φανεροῖς ἀντέλεγον, ἐπιπληκτικώτερον κέχρηται τῇ διορθώσει, λέγων·

16 Οὐδέποτε ἀνέγνωτε, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;

Καὶ καλῶς εἶπεν, ἐκ στόματος. οὐ γὰρ τῆς διανοίας αὐτῶν τὸ λεγόμενον ἦν· ἀλλὰ τῆς αὐτοῦ δυνάμεως τρανούσης τὸ τῆς γλώττης ἐκείνων ἄωρον. τούτων δὲ καὶ τύπος τῶν ἐθνῶν ἦν τῶν ψελλιζόντων, καὶ ἀθρόον ἠχησάντων μεγάλα μετὰ διανοίας καὶ πίστεως, καὶ τοῖς ἀποστόλοις δὲ ἐντεῦθεν οὐ μικρὰ παράκλησις. ἵνα γὰρ μὴ διαπορῶσι, πῶς ἰδιῶται ὄντες δυνήσονται τὸ κήρυγμα καταγγεῖλαι, προλαβόντες οἱ παῖδες πᾶσαν αὐτῶν ἐξέβαλον τὴν ἀγωνίαν, καὶ θαρρεῖν παρεσκεύασαν ὅτι δώσει καὶ αὐτοῖς λόγον ὁ τούτους ποιήσας ὑμνεῖν. οὐ ταῦτα δὲ μόνον, ἀλλ' ὅτι καὶ τῆς φύσεώς ἐστι δημιουργός, ἐδήλου τὸ θαῦμα. οἱ μὲν οὖν παῖδες καίτοι ἄωρον ἔχοντες ἡλικίαν, εὔσημα ἐφθέγγοντο καὶ τοῖς ἄνω σύνῳδα· οἱ δὲ ἄνδρες παραφροσύνης γέμοντα καὶ μανίας. τοιοῦτον γὰρ ἡ κακία. ἐπεὶ οὖν πολλὰ ἦν αὐτοὺς τὰ παροξύνοντα· τὰ παρὰ τῶν ὄχλων· τὰ [παρὰ] τῆς ἐκβολῆς τῶν πωλούντων· τὰ τῶν θαυμάτων· τὰ τῶν παίδων, πάλιν αὐτοὺς καταλιμπάνει, χαλῶν αὐτῶν τὸν ὄγκον τοῦ πάθους, καὶ μὴ βουλόμενος ἄρχεσθαι τῆς διδασκαλίας, ἵνα μὴ ζέοντες τῷ φθόνῳ δυσχεραίνωσι ἐπιπλέον πρὸς τὰ λεγόμενα.

18 Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε. Πῶς πρωΐας πεινᾷ; ὅτε συνεχώρησε τῇ σαρκί, τότε ἐπιδείκνυται αὐτῆς τὸ πάθος.

Μαρ. ια. ιγ.

19 Καὶ ἰδὼν συκῆν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν, εἰ μὴ φύλλα μόνον.

γρ. ὁ αὐτ

Ἄλλος φησὶν εὐαγγελιστής, ὅτι οὐδέπω καιρὸς ἦν. εἰ δὲ καιρὸς οὐκ ἦν, πῶς ἕτερος εὐαγγελιστής φησιν· ἦλθεν, εἰ ἄρα εὕροι καρπὸν ἐν αὐτῇ; ὅθεν δῆλον, ὅτι τῆς ὑπονοίας τῶν μαθητῶν ἦν τοῦτο ἀτελεστέρων ἔτι διακειμένων. καὶ γὰρ τὰς ὑπονοίας τῶν μαθητῶν πολλαχοῦ γράφουσιν οἱ εὐαγγελισταί. ὥσπερ οὖν τοῦτο τῆς ὑπονοίας αὐτῶν ἦν, οὕτω καὶ τὸ νομίζειν διὰ τοῦτο αὐτὴν καταρᾶσθαι διὰ τὸ μὴ ἔχειν καρπόν. τίνος οὖν ἕνεκεν κατηράθη; τῶν μαθητῶν ἕνεκεν, ἵνα θαρρῶσιν. ἐπειδὴ γὰρ πανταχοῦ μὲν εὐηργέτει, οὐδένα δὲ ἐκόλασεν, ἔδει δὲ καὶ τῆς τιμωρητικῆς αὐτοῦ δυνάμεως ἀπόδειξιν παρέχειν· ἵνα μάθωσι καὶ οἱ μαθηταὶ καὶ οἱ Ἰουδαῖοι ὅτι δυνάμενος ξηρᾶναι τοὺς σταυροῦντας αὐτὸν, ἑκὼν συγχωρεῖ καὶ οὐ ξηραίνει. Οὐκ ἐβούλετο δὲ τοῦτο εἰς ἀνθρώπους ἐνδείξασθαι, εἰς δὲ τὸ φυτὸν τῆς ἐνεργείας αὐτοῦ τῆς τιμωρητικῆς τὴν ἀπόδειξιν παρέχετο. ὅταν δὲ εἰς τόπους, ἢ εἰς φυτὰ, ἢ εἰς ἄλογα γίνεταί τι τοιοῦτον, μὴ ἀκριβολογοῦ, μηδὲ λέγε· πῶς οὖν δικαίως ἐξηράνθη ἡ συκὴ, εἰ καιρὸς οὐκ ἦν; τοῦτο γὰρ ἐσχάτης ληρωδίας λέγειν· ἀλλὰ καὶ θαῦμα ὅρα, καὶ θαύμαζε καὶ δόξαζε τὸν θαυματουργόν. ἐπεὶ καὶ ἐπὶ τῶν χοίρων τῶν καταποντισθέντων πολλοὶ τοῦτο εἰρήκασι, τὸν τοῦ δικαίου γυμνάζοντες λόγον· ἀλλ' οὐδὲ ἐνταῦθα προσεκτέον αὐτοῖς. καὶ γὰρ καὶ ταῦτα ἄλογα, ὥσπερ ἐκεῖνο φυτὸν ἄψυχον. τίνος οὖν ἕνεκεν περίκειται τοιοῦτον σχῆμα τῷ πράγματι, καὶ τῆς κατάρας αὕτη ἡ πρόφασις; ὅπερ ἔφην, τῆς τῶν μαθητῶν ὑπονοίας τοῦτο ἦν. εἰ δὲ μηδέπω καιρὸς ἦν, εἰκῆ τινες τὸν νόμον διηλῦσθαι ἐνταῦθα λέγουσι. καὶ γὰρ τούτου καρπὸς ἦν ἡ πίστις· καὶ τότε ἦν ὁ καιρὸς τοῦ καρποῦ τούτου, καὶ ἤνεγκε γοῦν αὐτόν. Ἤδη γὰρ αἱ χῶραι λευκαί εἰσι πρὸς θερισμὸν, φησί· καὶ ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε. οὐκ ἄρα ″ τούτων τι αἰνίττεται ἐνταῦθα, ἀλλ' ὅπερ ἔφην, τὴν δύναμιν ἐπιδείκνυται τὴν τιμωρητικήν. καὶ τοῦτο ἐκ τοῦ λέγειν, οὔπω γὰρ ἦν καιρὸς, δείκνυσι, δηλῶν ὅτι προηγουμένως εἰς τοῦτο ἦλθεν, οὐ διὰ τὴν πείναν, ἀλλὰ διὰ τοὺς μαθητὰς, οἳ καὶ σφόδρα ἐθαύμασαν, καίτοι πολλῶν ἤδη σημείων γενομένων μειζόνων· ἀλλ' ὅπερ ἔφην, ξένον τοῦτο ἦν. νῦν γὰρ πρῶτον τὴν τιμωρητικὴν ἐπεδείξατο δύναμιν. διὸ οὐδὲ ἐν ἄλλῳ φυτῷ, ἀλλ' ἐν τῷ πάντων ὑγροτάτῳ τὸ ″ σημεῖον ἐποίησεν, ὥστε κἀντεῦθεν μεῖζον φανῆναι τὸ θαῦμα. καὶ ἵνα μάθῃς, ὅτι δι' αὐτοὺς τοῦτο γέγονεν, ἵνα εἰς τὸ θαρρεῖν αὐτοὺς ἀλείψῃ, ἄκουε τῶν ἑξῆς ὧν λέγει. τί δέ φησιν; Καὶ ὑμεῖς μείζονα ἐργάζεσθε, ἐὰν θέλητε πιστεύειν καὶ εὐχῇ θαρρεῖν.

Ιωαν. δ. λε.

Ὁρᾷς ὅτι τὸ πᾶν δι' αὐτοὺς γέγονεν, ὥστε μὴ δεδοικέναι καὶ τρέμειν ἐπιβουλάς; διὸ καὶ δεύτερον τοῦτο λέγει, εὐχῇ προσηλῶν καὶ πίστει. οὐ γὰρ δὴ τοῦτο ἐργάσεσθε μόνον, φησὶν, ἀλλὰ καὶ ὄρη μεταστήσετε, καὶ ἕτερα πλείονα ποιήσετε, πίστει καὶ εὐχῇ θαρροῦντες. ἀλλ' οἱ ἀλαζόνες Ἰουδαῖοι καὶ τετυφωμένοι διακόψαι βουλόμενοι τὴν διδασκαλίαν αὐτοῦ, προσελθόντες ἠρώτων· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἐπειδὴ γὰρ τοῖς σημείοις ἐπισκῆψαι οὐκ εἶχον, τὴν τῶν καπηλευόντων ἐν τῷ ἱερῷ προφέρουσιν αὐτῷ διόρθωσιν. τοῦτο δὲ καὶ παρὰ τῷ Ἰωάννῃ φαίνονται ἐρωτῶντες, εἰ καὶ μὴ ″ τούτοις τοῖς ῥήμασιν, ἀλλὰ τῇ αὐτῇ γνώμῃ. καὶ γὰρ ἐκεῖ λέγουσι· τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; ἀλλ' ἐκεῖ μὲν ἀποκρίνεται αὐτοῖς λέγων· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· ἐνταῦθα δὲ εἰς ἀπορίαν αὐτοὺς ἐμβάλλει. ὅθεν δῆλον, ὅτι τὸ μὲν ″ ἀρχὴ καὶ προοίμιον ἦν τῶν θαυμάτων· ἐνταῦθα δὲ, τέλος. ὃ δὲ λέγουσι, ″ τοῦτό ἐστι· τὸν διδασκαλικὸν ἐδέξω θρόνον; ἱερεὺς ἐχειροτονήθης, ὅτι τοσαύτην ἐξουσίαν ἐπεδείξω, φησί; ὁ μὲν οὐδὲν ἐποίησεν αὐθάδειαν ἔχον, ἀλλὰ τῆς εὐταξίας προενόησε τοῦ ἱεροῦ· ἀλλ' ὅμως οὐδὲν ἔχοντες εἰπεῖν, ″ τούτῳ ἐπισκήπτουσι. καὶ ὅτε μὲν ἐξέβαλεν, οὐκ ἐτόλμησαν εἰπεῖν οὐδὲν διὰ τὰ θαύματα· ἐπειδὴ δὲ ὤφθη, τότε ἐπιτιμῶσι. τί οὖν αὐτός; οὐκ ἐξ εὐθείας αὐτοῖς ἀποκρίνεται, δεικνὺς, ὅτι εἰ ἤθελον ἰδεῖν αὐτοῦ τὴν ἐξουσίαν, ἠδύναντο· ἀλλ' ἀντερωτᾷ αὐτοὺς λέγων·

25 Τὸ βάπτισμα Ἰωάννου πόθεν ἐστίν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων;

Καὶ ποία αὕτη [ἡ] ἀκολουθία; μεγίστη μὲν οὖν. εἰ γὰρ εἶπον, ἐξ οὐρανοῦ, εἶπεν ἂν αὐτοῖς· διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; εἰ γὰρ ἐπίστευσαν, οὐκ ἂν ἠρώτησαν ταῦτα. περὶ γὰρ αὐτοῦ ἐκεῖνος εἶπεν· Ὅτι οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ· καὶ, Ἴδου ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ, Αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ· καὶ, Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί· καὶ, Ὅτι τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ. ὥστε εἰ ἐπίστευσαν ἐκείνῳ, οὐδὲν ἦν τὸ κωλῦον αὐ-

Λουκ. γ. 15.
Ιωαν. α. κθ.
Ιωαν. γ. λα.
Ματθ. γ. ιβ.

τοῦ εἰδέναι ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ. Εἶτα ἐπειδὴ κακουργοῦντες ἔλεγον, Οὐκ ἴσμεν, οὐκ εἶπεν, οὐδὲ ἐγὼ οὐκ οἶδα· ἀλλὰ τί; Οὐδὲ ἐγὼ λέγω ὑμῖν. εἰ μὲν γὰρ ἠγνόουν, διδάσκεσθαι αὐτοὺς ἔδει· ἐπειδὴ δὲ ἐκακούργουν, εἰκότως οὐδὲν αὐτοῖς ἀποκρίνεται. καὶ πῶς οὐκ εἶπον, ἐξ ἀνθρώπων τὸ βάπτισμα;

26 Ἐφοβοῦντο τοὺς ὄχλους, φησίν.

Εἶδες διεστραμμένην καρδίαν; πανταχοῦ τοῦ Θεοῦ καταφρονοῦσι, καὶ διὰ τοὺς ἀνθρώπους ἅπαντα πράττουσι. καὶ γὰρ καὶ τοῦτον δι' αὐτοὺς ἐφοβοῦντο, οὐκ αἰδούμενοι τὸν ἄνδρα, ἀλλὰ διὰ τοὺς ἀνθρώπους· καὶ τῷ Χριστῷ πιστεύειν διὰ τοὺς ἀνθρώπους οὐκ ἤθελον· καὶ πάντα αὐτοῖς ἐντεῦθεν ἐτίκτετο τὰ κακά. Εἶτά φησι·

28 Τί ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχε τέκνα δύο, καὶ λέγει τῷ πρώτῳ· ὕπαγε, σήμερον ἐργάζου εἰς τὸν ἀμπελῶνα.

29 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν, οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς, ἀπῆλθε.

30 Καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν· "ἀπέρχομαι, καὶ οὐκ ἀπῆλθε. κ. ἐγὼ κύ

31 Τίς οὖν ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ, ὁ πρῶτος.

Πάλιν διὰ παραβολῶν αὐτοὺς ἐλέγχει, τήν τε αὐτῶν ἀγνωμοσύνην, καὶ τὸ τῶν σφόδρα κατεγνωσμένων καταπειθὲς αἰνιττόμενος. τὰ γὰρ δύο τέκνα ταῦτα δηλοῖ τοῦτο, ὃ καὶ ἐπὶ τῶν ἐθνῶν καὶ ἐπὶ Ἰουδαίων γέγονε. καὶ γὰρ ἐκεῖνοι οὐχ ὑποσχόμενοι ἀκούσεσθαι, οὐδὲ γενόμενοι ἀκροαταὶ τοῦ νόμου, διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν ὑπακοήν· καὶ οὗτοι εἰπόντες, πάντα ὅσα ἂν εἴπῃ ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα, διὰ τῶν ἔργων παρήκουσαν. διά τοι τοῦτο, ἵνα μὴ νομίσωσι τὸν νόμον αὐτοὺς ὠφελεῖν, δείκνυσιν ὅτι αὐτὸ μὲν οὖν τοῦτο αὐτοὺς καταδικάζει· ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν· Ὅτι οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. διὰ τοῦτο, ἵνα καὶ αὐτοκατακρίτους ποιήσῃ, παρ' αὐτῶν ἐξενεχθῆναι τὴν ψῆφον παρασκευάζει· ὅπερ καὶ ἐν τῇ ἐπιούσῃ παραβολῇ ποιεῖ τοῦ ἀμπελῶνος· καὶ ἵνα τοῦτο γένηται, ἐπ' ἄλλου προσώπου γυμνάζει τὸ ἔγκλημα. ἐπειδὴ γὰρ ἐξ εὐθείας οὐκ ἠθέλησαν ὁμολογῆσαι, διὰ παραβολῆς αὐτοὺς ἐμβάλλει λοιπὸν εἰς ὅπερ ἐβούλετο. ὅτε δὲ οὐ συνιέντες τὰ λεγόμενα τὴν ψῆφον ἐξήνεγκαν, τότε ἀποκαλύπτει λοιπὸν τὸ συνεσκιασμένον, καὶ λέγει· Ὅτι τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Ἐξοδ. ιθ. η. καὶ κδ. γ. Δευτ. ε. β.

Ρωμ. β. ιγ.

32 Ἦλθε γὰρ Ἰωάννης πρὸς ὑμᾶς ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ.

Εἰ μὲν γὰρ εἶπεν ἁπλῶς, πόρναι προάγουσιν ὑμᾶς, ἔδοξεν ἂν φορτικὸς αὐτοῖς εἶναι ὁ λόγος· νυνὶ δὲ μετὰ τὴν αὐτῶν ψῆφον ἀποφαινόμενος, ἀνεπαχθὴς εἶναι δοκεῖ. διὰ τοῦτο καὶ τὴν αἰτίαν προστίθησι. τίς δὲ ἦν αὕτη; ἦλθεν Ἰωάννης, φησὶ, πρὸς ὑμᾶς, οὐ πρὸς ἐκείνους· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν ὁδῷ δικαιοσύνης. οὐδὲ γὰρ τοῦτο ἔχετε ἐγκαλεῖν, ὅτι ἠμελημένος τις ἦν καὶ οὐδὲν ὠφελῶν· ἀλλὰ καὶ ὁ βίος "ἀνεπίληπτος καὶ ἡ πρόνοια πολλὴ, καὶ οὐ προσείχετε αὐτῷ. κ. ἀληθ καὶ μετὰ τούτου καὶ ἕτερον ἔγκλημα, ὅτι τελῶναι προσέσχον· καὶ μετὰ τοῦτο πάλιν ἄλλο, ὅτι οὐδὲ μετ' ἐκείνους ὑμεῖς. ἔδει μὲν γὰρ καὶ πρὸ αὐτῶν· τὸ δὲ μηδὲ μετὰ τούτους, πάσης συγγνώμης ἐστερημένον ἦν, καὶ ἄφατος κἀκείνων ἔπαινος, καὶ τούτων κατηγορία. πρὸς ὑμᾶς ἦλθε, καὶ οὐ προσήκασθε· οὐκ ἦλθε πρὸς ἐκείνους, καὶ ἐδέξαντο, καὶ οὐδὲ ἐκείνους ἔχετε διδασκάλους. ὅρα διὰ πόσων ἐκείνων δείκνυται τὸ ἐγκώμιον, καὶ τούτων ἡ κατηγορία. πρὸς ὑμᾶς ἦλθεν, οὐ πρὸς ἐκείνους· ὑμεῖς οὐκ ἐπιστεύσατε, τοῦτο ἐκείνους οὐκ ἐσκανδάλισεν· αὐτοὶ ἐπίστευσαν, τοῦτο ὑμᾶς οὐκ ὠφέλησε. τὸ δὲ προάγουσιν, οὐχ ὡς τούτων ἑπομένων, ἀλλ' ὡς ἐλπίδα ἐχόντων, ἐὰν ἐθέλωσιν. οὐδὲν γὰρ οὕτως, ὡς ζηλοτυπία διεγείρει τοὺς παχυτέρους.

διὰ τοῦτο ἀεὶ λέγει· ὅτι οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. διὰ τοῦτο καὶ πόρνας παρήγαγε καὶ τελώνας, ἵνα παραζηλώσωσι. καὶ γὰρ τὰ δύο ταῦτα ἄκρα ἁμαρτήματα ἐξ ἔρωτός ἐστι χαλεποῦ τικτόμενα, τὸ μὲν ἀπὸ σωμάτων, τὸ δὲ ἀπὸ χρημάτων ἐπιθυμίας. δείκνυσι δὲ ὅτι τοῦτο μάλιστά ἐστιν ἀκοῦσαι νόμου Θεοῦ, τὸ Ἰωάννῃ πιστεῦσαι. οὐκ ἄρα χάριτος μόνης τὸ εἰσελθεῖν πόρνας, ἀλλὰ καὶ δικαιοσύνης. οὐ γὰρ μένουσαι πόρναι εἰσῆλθον, ἀλλ' ὑπακούσασαι καὶ πιστεύσασαι καὶ καθαριθεῖσαι καὶ μεταβαλλόμεναι, οὕτως εἰσῆλθον. εἶδες πῶς ἀνεπαχθῆ τὸν λόγον ἐποίησε καὶ τομώτερον ἀπὸ τῆς παραβολῆς, ἀπὸ τῆς τῶν πορνῶν ἐπαγωγῆς; οὐδὲ γὰρ εἶπεν εὐθέως, διατί οὐκ ἐπιστεύσατε Ἰωάννῃ; ἀλλ' ὃ πολλῷ πληκτικώτερον ἦν, τοὺς τελώνας καὶ τὰς πόρνας προθεὶς, τότε τοῦτο ἐπήγαγεν, ἀπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας διελέγχων αὐτῶν τὸ ἀσύγγνωστον, καὶ δεικνὺς ὅτι διὰ φόβον ἀνθρώπων πάντα ποιοῦσι καὶ δόξαν κενήν. καὶ γὰρ τὸν Χριστὸν οὐχ ὡμολόγουν διὰ φόβον, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· καὶ τὸν Ἰωάννην πάλιν οὐκ ἐτόλμων κακίζειν· οὐδὲ τοῦτο δι' εὐλάβειαν, ἀλλὰ διὰ φόβον. ἅπερ ἅπαντα ἤλεγξε διὰ τῶν εἰρημένων, καὶ χαλεπωτέραν ὕστερον ἐπήγαγε τὴν πληγὴν, εἰπών· ὑμεῖς δὲ εἰδότες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ. κακὸν μὲν γὰρ καὶ τὸ παρὰ τὴν ἀρχὴν μὴ ἑλέσθαι τὸ καλόν· μείζων δὲ κατηγορία, τὸ μηδὲ μεταθέσθαι. μάλιστα γὰρ τοῦτο ἐργάζεται πολλοὺς πονηρούς, ὃ καὶ νῦν πάσχοντας ἐνίους ὁρῶ ὑπὸ ἀναισθησίας ἐσχάτης.

Ἀλλὰ μηδεὶς ἔστω τοιοῦτος· ἀλλὰ κἂν εἰς ἔσχατον κατενεχθῇ κακίας, μὴ ἀπογινωσκέτω τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. ῥᾴδιον γὰρ ἐξ αὐτῶν τῶν βαράθρων τῆς πονηρίας ἀνενεγκεῖν. ἢ οὐκ ἠκούσατε πῶς ἐκείνη ἡ πόρνη, ἡ ἐπὶ ἀσελγείᾳ πάντας παρελάσασα, πάντας ἀπέκρυψεν ἐν εὐλαβείᾳ; οὐ τὴν ἐν τοῖς εὐαγγελίοις λέγω, ἀλλὰ τὴν ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, τὴν ἐκ Φοινίκης τῆς παρανομωτάτης πόλεως. καὶ γὰρ αὕτη ἡ πόρνη ποτὲ παρ' ἡμῖν ἦν, τὰ πρωτεῖα ἐπὶ τῆς σκηνῆς ἔχουσα, καὶ πολὺ τὸ ὄνομα αὐτῆς πανταχοῦ· οὐκ ἐν τῇ πόλει τῇ ἡμετέρᾳ μόνον, ἀλλὰ καὶ μέχρι Κιλίκων καὶ Καππαδοκῶν. καὶ πολλὰς μὲν ἐκένωσεν οὐσίας, πολλοὺς δὲ εἷλεν ὀρφανούς· πολλοὶ δὲ αὐτὴν καὶ εἰς γοητείαν διέβαλλον, ὡς οὐ τῇ τοῦ σώματος ὥρᾳ μόνον, ἀλλὰ καὶ τοῖς φαρμάκοις ἐκεῖνα τὰ δίκτυα πλέκουσαν. εἷλέ ποτε καὶ βασιλίδος ἀδελφὸν αὕτη ἡ πόρνη. καὶ γὰρ πολλὴ ἦν αὐτῆς ἡ τυραννίς. ἀλλ' ἀθρόον οὐκ οἶδ' ὅπως, μᾶλλον δὲ οἶδα σαφῶς. βουληθεῖσα γὰρ καὶ μεταβληθεῖσα, καὶ τοῦ Θεοῦ τὴν χάριν ἐπισπασαμένη, κατεφρόνησεν ἁπάντων ἐκείνων, καὶ ῥίψασα τοῦ διαβόλου τὰς μαγγανείας, πρὸς τὸν οὐρανὸν ἀνέδραμε. καίτοιγε οὐδὲν αἰσχρότερον αὐτῆς ἦν, ὅτε ἐπὶ τῆς σκηνῆς ἦν· ἀλλ' ὅμως ὕστερον πολλὰς παρήλασε τῇ τῆς ἐγκρατείας ὑπερβολῇ, καὶ σάκκον περιθεμένη πάντα τὸν χρόνον οὕτως ἠσκεῖτο. ταύτης ἕνεκεν καὶ ὕπαρχος ἠνωχλήθη, καὶ στρατιῶται ὡπλίσθησαν, καὶ μεταστῆσαι πρὸς τὴν σκηνὴν αὐτὴν οὐκ ἴσχυσαν, οὐδὲ ἐξαγαγεῖν τῶν ὑποδεξαμένων αὐτὴν παρθένων. αὕτη μυστηρίων καταξιωθεῖσα τῶν ἀπορρήτων, καὶ τῆς χάριτος ἀξίαν ἐπιδειξαμένη σπουδὴν, οὕτω τὸν βίον κατέλυσεν, ἅπαντα ἀπονιψαμένη διὰ τῆς χάριτος, καὶ μετὰ τὸ βάπτισμα πολλὴν ἐπιδειξαμένη τὴν φιλοσοφίαν. οὐδὲ γὰρ ψιλῆς ὄψεως μετέδωκε τοῖς ποτε ἐρασταῖς ἐπὶ τοῦτο ἐλθοῦσιν, ἀποκλείσασα ἑαυτὴν, καὶ ἔτη πολλὰ καθάπερ ἐν δεσμωτηρίῳ διατελέσασα. οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι· οὕτω πανταχοῦ πεπυρωμένης ἡμῖν ψυχῆς δεῖ, καὶ τὸ κωλύον οὐδὲν γενέσθαι μέγαν καὶ θαυμαστόν. μηδεὶς τοίνυν τῶν ἐν κακίᾳ ἀπογινωσκέτω· μηδεὶς ἐν ἀρετῇ ὢν νυσταζέτω, μήτε οὗτος θαρρείτω. πολλάκις γὰρ αὐτὸν ἡ πόρνη παρελεύσεται. μήτε ἐκεῖνος ἀπογινωσκέτω· δυνατὸν γὰρ αὐτὸν καὶ τοὺς πρώτους παρελθεῖν. ἄκουσον τί φησιν ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλήμ· Εἶπον μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψεν. Ἱερ. γ. α. ζ. ὅτε γοῦν ἐπανέλθωμεν εἰς τὴν σφοδρὰν ἀγάπην τοῦ Θεοῦ,

ΗΘΙΚΟΝ

Θεοῦ, οὐ μέμνηται τῶν προτέρων. οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός. οὐ γὰρ ὀνειδίζει τὰ παρελθόντα, οὐδὲ λέγει· διατί τοσοῦτον χρόνον ἀπελείφθης, ἂν μετανοήσωμεν· ἀλλ' ἀγαπᾷ, ὅταν προσέλθωμεν· μόνον ὡς χρὴ προσέλθωμεν. κολληθῶμεν [τοίνυν] αὐτῷ σφοδρῶς, καὶ προσηλώσωμεν τῷ φόβῳ αὐτοῦ τὰς καρδίας ἡμῶν. τοιαῦτα γέγονεν οὐκ ἐν τῇ καινῇ μόνον πράγματα, ἀλλὰ καὶ ἐν τῇ παλαιᾷ. τί γὰρ τοῦ Μανασσῆ χεῖρον; ἀλλ' ἠδυνήθη τὸν Θεὸν ἐξιλεώσασθαι. τί τοῦ Σολομῶντος μακαριώτερον; ἀλλ' ἀπονυστάξας ἔπεσεν· μᾶλλον δὲ καὶ ἀμφότερα ἐν ἑνὶ ἔχω δεῖξαι γινόμενα, ἐν τῷ πατρὶ τῷ τούτου. καὶ γὰρ καὶ καλὸς καὶ κακὸς γέγονέ ποτε ὁ αὐτός. τί τοῦ Ἰούδα μακαριώτερον; ἀλλ' ἐγένετο προδότης. τί τοῦ Παύλου ἀθλιώτερον; ἀλλ' ἐγένετο εὐαγγελιστής. τί Ματθαίου χεῖρον; ἀλλ' ἐγένετο ἀπόστολος. τί τοῦ Σίμωνος ζηλωτότερον; ἀλλ' ἐγένετο καὶ αὐτὸς ἁπάντων ἀθλιώτερος. πόσας τοιαύτας ἑτέρας βούλει ἰδεῖν μεταβολὰς καὶ πάλαι γεγενημένας, καὶ νῦν γινομένας καθ' ἑκάστην ἡμέραν; διὰ δὴ τοῦτο λέγω, μήτε ὁ ἐπὶ τῆς σκηνῆς ἀπογινωσκέτω, μήτε ὁ ἐν τῇ ἐκκλησίᾳ θαῤῥείτω. πρὸς μὲν γὰρ τοῦτόν φησιν, Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πρὸς δὲ ἐκεῖνον, Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καί, Τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. πάλιν πρὸς τούτους φησί, γρηγορεῖτε· πρὸς δὲ ἐκείνους, Ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν. οὗτοι μὲν γὰρ φυλάξαι δέονται ὅπερ ἔχουσιν, ἐκεῖνοι δὲ γενέσθαι ὅπερ οὐκ εἰσίν· οὗτοι διατηρῆσαι τὴν ὑγείαν, ἐκεῖνοι τῆς ἀῤῥωστίας ἀπαλλαγῆναι. κάμνουσι γάρ· ἀλλὰ καὶ πολλοὶ καὶ τῶν καμνόντων ὑγιαίνουσι, καὶ τῶν ὑγιαινόντων ῥαθυμήσαντες ἀῤῥωστοῦσι. πρὸς μὲν οὖν ἐκείνους φησίν· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· πρὸς δὲ τούτους, θέλεις ὑγιὴς γενέσθαι; ἆρον τὸν κράββατόν σου, καὶ ἐγερθείς, ὕπαγε εἰς τὸν οἶκόν σου. δεινὴ γάρ, δεινὴ παράλυσις ἡ ἁμαρτία· μᾶλλον δὲ οὐδὲ παράλυσις μόνον ἐστίν, ἀλλὰ καὶ ἄλλο τι χαλεπώτερον. οὐ γὰρ ἐν ἀργίᾳ μόνον ἀγαθῶν ἐστιν ὁ τοιοῦτος, ἀλλὰ καὶ ἐν ἐνεργείᾳ κακῶν. ἀλλ' ὅμως κἂν οὕτω διακείμενος ᾖς, κἂν θελήσῃς μικρὸν διαναστῆναι, πάντα λύεται τὰ δεινά. κἂν τριακονταοκτὼ ἔτη ἔχῃς, σπουδάσῃς δὲ γενέσθαι ὑγιής, οὐδεὶς ὁ κωλύων. πάρεστι καὶ νῦν ὁ Χριστός, καὶ λέγει, ἆρον τὴν κλίνην σου· μόνον θέλησον· διανάστηθι· μὴ ἀπογνῷς. οὐκ ἔχεις ἄνθρωπον, ἀλλ' ἔχεις Θεόν· οὐκ ἔχεις τὸν βάλλοντά σε εἰς τὴν κολυμβήθραν, ἀλλ' ἔχεις τὸν οὐκ ἀφιέντα σε δεηθῆναι κολυμβήθρας· οὐκ ἔχεις τὸν ἐκεῖ σε ῥίπτοντα, ἀλλ' ἔχεις τὸν κελεύοντά σοι ἆραι τὴν κλίνην. οὐκ ἔστιν εἰπεῖν, ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. ἂν γὰρ θελήσῃς κατελθεῖν εἰς τὴν πηγήν, οὐδεὶς ὁ κωλύων. οὐκ ἀναλίσκεται, οὐ δαπανᾶται ἡ χάρις. πηγή τίς ἐστιν ἀναβλύζουσα διηνεκῶς, ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες θεραπευόμεθα καὶ ψυχὰς καὶ σώματα. προσερχώμεθα τοίνυν καὶ νῦν. καὶ γὰρ ἡ Ῥαὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη· καὶ ὁ λῃστὴς ἀνδροφόνος ἦν, ἀλλὰ παραδείσου πολίτης ἐγένετο. καὶ ὁ μὲν Ἰούδας μετὰ τοῦ διδασκάλου ὤν, ἀπώλετο· ὁ δὲ λῃστὴς ἐν τῷ σταυρῷ μαθητὴς ἐγένετο. ταῦτα τοῦ Θεοῦ τὰ παράδοξα. οὕτως οἱ μάγοι εὐδοκίμησαν· οὕτως ὁ τελώνης εὐαγγελιστὴς ἐγένετο· οὕτως ὁ βλάσφημος, ἀπόστολος. ταῦτα ὅρα, καὶ μηδέποτε ἀπογνῷς, ἀλλ' ἀεὶ θάῤῥει καὶ διανάστησον σαυτόν. ἅψαι μόνον τῆς ὁδοῦ τῆς ἐκεῖ φερούσης καὶ προβῆθι ταχέως. μὴ τὰς θύρας ἀποκλείσῃς, μὴ τὴν εἴσοδον φράξῃς. βραχὺς ὁ παρὼν καιρός, ὀλίγος ὁ πόνος. εἰ δὲ καὶ πολὺς ἦν, οὐδὲ οὕτως ἀπαγορεύειν ἔδει. κἂν γὰρ μὴ κάμῃς τὸν κάλλιστον τοῦτον κάματον τὸν ἐν τῇ μετανοίᾳ καὶ ἀρετῇ, ἐν τῷ κόσμῳ πάντως κάμῃ καὶ ταλαιπωρήσεις ἑτέρως. εἰ δὲ καὶ ἐνταῦθα κἀκεῖ κάματος, διατί μὴ τοῦτον αἱρούμεθα τὸν πολὺν ἔχοντα τὸν καρπὸν καὶ μεγάλην τὴν ἀμοιβήν; καίτοιγε οὐδὲ ὁ αὐτὸς κάματος οὗτος κἀκεῖνος. ἐν μὲν γὰρ τοῖς βιωτικοῖς καὶ κίνδυνοι συνεχεῖς, καὶ ζημίαι ἐπάλληλοι, καὶ ἡ ἐλπὶς ἄδηλος, καὶ δουλοπρέπεια πολλή, καὶ χρημάτων καὶ σωμάτων καὶ ψυχῆς δαπάνη· καὶ τότε ἡ τῶν καρπῶν ἀντίδοσις πολὺ τῆς ἐλπίδος καταδεεστέρα, ἂν ἄρα βλαστήσῃ. οὐδὲ γὰρ πανταχοῦ

φέρει

δ. Βασ. κα.

γ. Βασ. ια. δ.

α. Κορ. ι. ιβ.

Ιερ. η. δ.

Εφη. ε. ιδ.

γρ. σφό

γρ. καὶ

γρ. διανα

φέρει καρπὸν ὁ τῶν βιωτικῶν πραγμάτων ἱδρώς· πλὴν ἀλλ' ὅταν μὴ διαπέσῃ, ἀλλὰ καὶ πολλὴν ἐνέγκῃ τὴν φορὰν, ἐν βραχεῖ παραμένει τῷ χρόνῳ. ὅταν γὰρ γηράσῃς, καὶ μηκέτι λοιπὸν ἀκριβῆ τῆς ἀπολαύσεως τὴν αἴσθησιν ἔχῃς, οὔ τε σοὶ φέρει τὰς ἀμοιβὰς ὁ πόνος. καὶ ὁ μὲν πόνος ἐν ἀκμάζοντι σώματι· ὁ δὲ καρπὸς καὶ ἡ τρυφὴ, ἐν γεγηρακότι καὶ παρειμένῳ, ὅταν καὶ τὴν αἴσθησιν ὁ χρόνος καταμβλύνῃ, καὶ εἰ μὴ κατημβλύνεν, ἡ τῆς τελευτῆς ἐλπὶς οὐκ ἠφίει τρυφᾶν. ἐκεῖ δὲ οὐχ οὕτως· ἀλλ' ὁ μὲν πόνος, ἐν φθαρτῷ καὶ τελευτῶντι σώματι· ὁ δὲ στέφανος, ἐν ἀγήρῳ καὶ ἀθανάτῳ καὶ τέλος οὐκ ἔχοντι. καὶ ὁ μὲν πόνος, καὶ πρότερος καὶ βραχύς· ἡ δὲ ἀντίδοσις, καὶ ὑστέρα καὶ ἄπειρος, ἵνα μετ' ἀδείας ἀναπαύῃ λοιπὸν, μηδὲν προσδοκῶν ἀηδές. οὐ γάρ ἐστι μεταβολὴν δέξασθαί ποτε λοιπὸν, οὐδὲ ἔκπτωσιν καθάπερ ἐνταῦθα. ποῖα οὖν ταῦτα ἀγαθὰ, τὰ μήτε ἀσφαλῆ, καὶ βραχέα καὶ πήλινα, καὶ πρὶν ἢ φανῆναι ἀφανιζόμενα, καὶ μετὰ πολλῶν κτώμενα πόνων; ποῖα δὲ ἐκείνων ἀγαθὰ ἴσα, τῶν ἀκινήτων, τῶν ἀγηράτων, τῶν μηδένα μόχθον ἐχόντων, τῶν καὶ ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους σοι κομιζόντων; ὁ γὰρ χρημάτων καταφρονῶν, καὶ ἐντεῦθεν ἤδη λαμβάνει τὸν μισθὸν, φροντίδος ἀπαλλαττόμενος, βασκανίας, συκοφαντίας, ἐπιβουλῆς, φθόνου. ὁ δὲ σώφρων καὶ κοσμίως ζῶν, καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας στεφανοῦται καὶ ἐντρυφᾷ, ἀσχημοσύνης, γέλωτος, κινδύνων, κατηγορίας, τῶν ἄλλων ἁπάντων ἀπαλλαττόμενος δεινῶν. τὰ δὲ ἄλλα πάντα ὁμοίως τῆς ἀρετῆς μέρη ἐντεῦθεν ἤδη ἡμῖν δίδωσι τὴν ἀμοιβήν. ἵν' οὖν καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, φύγωμεν κακίαν, καὶ ἑλώμεθα ἀρετήν. οὕτω γὰρ καὶ ἐνταῦθα τρυφήσομεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

ἀκηράτῳ
ἀχράντῳ

σωφρόνως

τῆς ἀμοιβῆς.

Ομιλ. ξη. 33 ΑΛΛΗΝ ΠΑΡΑΒΟΛΗΝ ΑΚΟΥΣΑΤΕ· ΑΝΘΡΩΠΟΣ τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν.

34 Οτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. 35 Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. 36 Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.

37 Υστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων, ἴσως ἐντραπήσονται τὸν υἱόν μου. 38 Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς, οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.

39 Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.

40 Οταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; 41 Λέγουσιν αὐτῷ, κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

42 Λέγει αὐτοῖς ὁ Ιησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας;

Πολλὰ ἀπὸ τῆς παραβολῆς αἰνίττεται ταύτης· τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν εἰς αὐτοὺς ἄνωθεν γεγενημένην, τὸ δὲ ἐξ ἀρχῆς αὐτῶν φονικόν, τὸ μηδὲν παραλειφθῆναι τῶν ἡκόντων εἰς ἐπιμέλειαν, τὸ καὶ προφητῶν σφαττομένων μὴ ἀποστραφῆναι αὐτούς, ἀλλὰ καὶ τὸν υἱὸν πέμψαι, τὸ καὶ τῆς καινῆς καὶ τῆς παλαιᾶς ἕνα καὶ τὸν αὐτὸν εἶναι Θεόν, τὸ μεγάλα αὐτοῦ τὸν θάνατον κατορθῶσαι, τὸ τὴν ἐσχάτην δίκην τοῦ σταυροῦ καὶ τοῦ τολμήματος αὐτοὺς ὑπομένειν, τὴν ἐθνῶν τὴν κλῆσιν, τὴν Ἰουδαίων τὴν ἔκπτωσιν. διὰ τοῦτο οὖν αὐτὴν μετὰ τὴν ἔμπροσθεν τίθησιν, ἵνα δείξῃ κἀντεῦθεν τὸ ἔγκλημα μεῖζον καὶ σφόδρα ἀσύγγνωστον. πῶς καὶ τίνι τρόπῳ; ὅτι τοσαύτης τυχόντες ἐπιμελείας, πορνῶν καὶ τελωνῶν ἡττήθησαν, καὶ παρὰ τοσοῦτον. θέα δὲ καὶ αὐτοῦ τὴν πρόνοιαν τὴν πολλήν, καὶ τὴν τούτων ἀργίαν τὴν ἄφατον. καὶ γὰρ ἃ τῶν γεωργῶν ἦν, αὐτὸς ἐποίησε· τὸ φραγμὸν περιθεῖναι· τὸ φυτεῦσαι τὸν ἀμπελῶνα, τὰ ἄλλα πάντα· τὸ μικρὸν αὐτοῖς καταλιπεῖν, τὸ ἐπιμελεῖσθαι τῶν ὄντων, καὶ διαφυλάξαι τὰ δοθέντα. οὐδὲν γὰρ ἦν ἐλλειφθέν, ἀλλὰ πάντα ἀπηρτισμένα· καὶ οὐδὲ οὕτως ἐκέρδαναν, καὶ ταῦτα τοσούτων ἀπολαύσαντες παρ' αὐτοῦ. ὅτε γὰρ ἐξ Αἰγύπτου ἐξῆλθον, καὶ νόμον ἔδωκε, καὶ πόλιν ἀνέστησε, καὶ θυσιαστήριον κατεσκεύασε, καὶ ναὸν ᾠκοδόμησε, καὶ ἀπεδήμησε· τουτέστιν, ἐμακροθύμησεν, οὐκ ἀεὶ τοῖς ἁμαρτήμασι παραπόδας ἐπάγων τὰς τιμωρίας. τὴν γὰρ ἀποδημίαν, τὴν πολλὴν αὐτοῦ μακροθυμίαν φησί. καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ (τουτέστι, τοὺς προφήτας) τὸν καρπὸν λαβεῖν· τουτέστι, τὴν ὑπακοήν, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν. οἱ δὲ κἀνταῦθα τὴν κακίαν ἐπεδείξαντο· οὐ τῷ μὴ δοῦναι τὸν καρπὸν τοσαύτης ἀπολαύσαντας ἐπιμελείας, ὅπερ ἀργίας ἦν, ἀλλὰ καὶ τῷ δυσχερᾶναι πρὸς τοὺς ἐλθόντας. τοὺς γὰρ οὐκ ἔχοντας δοῦναι, καὶ ὀφείλοντας, οὐκ ἀγανακτεῖν ἐχρῆν οὐδὲ δυσχεραίνειν, ἀλλὰ παρακαλεῖν. οἱ δὲ οὐ μόνον ἠγανάκτησαν, ἀλλὰ καὶ αἱμάτων τὰς χεῖρας ἐνέπλησαν· καὶ δίκην ὀφείλοντες, αὐτοὶ δίκην ἀπῄτουν. διὰ τοῦτο καὶ δευτέρους ἔπεμψε καὶ τρίτους, ἵνα δειχθῇ καὶ ἡ τούτων κακία, καὶ ἡ τοῦ πέμψαντος φιλανθρωπία. καὶ διατί μὴ τὸν υἱὸν εὐθέως ἔπεμψεν; ἵνα ἐκ τῶν εἰς ἐκείνους γινομένων καταγνόντες ἑαυτῶν, καὶ τὸν θυμὸν ἀφέντες, ἐκεῖνον ἐντραπῶσιν ἐλθόντα. εἰσὶ δὲ καὶ ἕτεροι λόγοι· ἀλλὰ τέως ἐπὶ τὰ ἑξῆς ἴωμεν. τί δέ ἐστι τό, ἴσως ἐντραπήσονται; οὐχὶ ἀγνοοῦντος (ἄπαγε) ἀλλὰ θέλοντος δεῖξαι τὸ ἁμάρτημα μέγα, καὶ ἀπολογίας ἁπάσης ἐστερημένον. ἐπεὶ αὐτὸς εἰδώς, ὅτι ἀναιρήσουσιν, ἔπεμψε. λέγει δέ, ἐντραπήσονται [τὸν υἱόν μου,] τὸ γενέσθαι ὀφεῖλον ἀπαγγέλλων, ὅτι ἔδει αὐτοὺς ἐντραπῆναι. ἐπεὶ καὶ ἀλλαχοῦ φησιν, ἐὰν ἄρα ἀκούσωσιν· οὐδὲ ἐκεῖ ἀγνοῶν· ἀλλ' ἵνα μὴ λέγωσί τινες τῶν ἀγνωμόνων, ὅτι ἡ πρόῤῥησις αὐτοῦ γέγονεν ἀναγκαστικὴ τῆς παρακοῆς, διὰ τοῦτο οὕτω σχηματίζει τὰς λέξεις, ἐὰν ἄρα λέγων καὶ ἴσως. εἰ γὰρ καὶ περὶ τοὺς δούλους ἀγνώμονες ἐγένοντο, τοῦ υἱοῦ τὸ ἀξίωμα αἰδεσθῆναι ἐχρῆν. τί οὖν οὗτοι; δέον προσδραμεῖν, δέον αἰτῆσαι συγγνώμην ἐπὶ τοῖς πεπλημμελημένοις, * ἐπαγωνίζονται [τοῖς προτέροις, ἐπαποδύονται] τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύπτοντες. ὃ καὶ αὐτὸς δηλῶν ἔλεγε, Πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ἄνωθεν γὰρ αὐτοῖς ταῦτα ἐνεκάλουν οἱ προφῆται λέγοντες· Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις· καί, Αἵματα ἐφ' αἵμασι μίσγουσι· καί, Οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν. ἀλλ' οὐκ ἐσωφρονίζοντο· καίτοι ταύτην λαβόντες πρώτην τὴν ἐντολήν, τό, οὐ φονεύσεις, καὶ μυρίων ἑτέρων κελευσθέντες ἀπέχεσθαι, καὶ διὰ τούτου καὶ διὰ πολλῶν καὶ παντοδαπῶν εἰς τὴν φυλακὴν τῆς ἐντολῆς ταύτης ἐναγόμενοι. ἀλλ' ὅμως τὴν πονηρὰν ἐκείνην οὐκ ἀπέθεντο συνήθειαν. ἀλλὰ τί λέγουσιν ἰδόντες αὐτόν; δεῦτε, ἀποκτείνωμεν αὐτόν. τίνος ἕνεκεν, καὶ διατί; τί ποτε ἔχοντες ἐγκαλεῖν, ἢ μικρόν, ἢ μέγα; ὅτι ἐτίμησεν ὑμᾶς, καὶ Θεὸς ὤν, ἄνθρωπος

Ματθ. κγ. λβ.
Ησ. α. ιε.
Ωσ. δ. β.
Μιχ. γ. ι.

γρ. τῷ
γρ. ἐπιμελήσασθαι
γρ. ἀπέστειλε
γρ. ὅμως γὰρ αὐτὸς καίπερ εἰδώς,
* οἱ δὲ
γρ. τοῦτο

ἄνθρωπος ἐγένετο δι' ὑμᾶς, καὶ τὰ μυρία ἐκεῖνα εἰργάσατο θαύματα; ἀλλ' ὅτι τὰ ἁμαρτήματα συνεχώρει; ἀλλ' ὅτι ἐπὶ βασιλείαν ἐκάλει; ὅρα δὲ μετὰ τῆς ἀσεβείας καὶ τὴν ἄνοιαν πολλὴν οὖσαν, καὶ τὴν αἰτίαν τῆς σφαγῆς πολλῆς γέμουσαν παραπληξίας. Ἀποκτείνωμεν γὰρ αὐτόν, φησι, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. καὶ ποῦ ἀποκτεῖναι βουλεύονται; ἔξω τοῦ ἀμπελῶνος. Εἶδες πῶς προφητεύει καὶ τὸν τόπον ἔνθα ἔμελλε σφάττεσθαι; καὶ ἐκβαλόντες ἀπέκτειναν. καὶ ὁ μὲν Λουκᾶς φησιν, ὅτι αὐτὸς ἀπεφήνατο, ὃ παθεῖν ἔδει τούτους· κἀκεῖνοι εἶπον, μὴ γένοιτο· καὶ τὴν μαρτυρίαν ἐπήγαγεν. ἐμβλέψας γὰρ αὐτοῖς εἶπε· τί οὖν ἐστι τὸ γεγραμμένον, Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; καί, πᾶς ὁ πεσὼν ἐπ' αὐτὸν συνθλασθήσεται; ὁ δὲ Ματθαῖος, ὅτι αὐτοὶ τὴν ψῆφον ἐξήνεγκαν. ἀλλ' οὐκ ἔστι τοῦτο ἐναντιολογίας. καὶ γὰρ ἀμφότερα ταῦτα γέγονε· καὶ τὴν ψῆφον ἐξήνεγκαν αὐτοὶ καθ' ἑαυτῶν, καὶ πάλιν αἰσθόμενοι τῶν εἰρημένων, εἶπον, μὴ γένοιτο· καὶ τὸν προφήτην αὐτοῖς ἐπετείχισε, πείθων αὐτούς, ὅτι πάντως ἔσται τοῦτο. ἀλλ' ὅμως οὐδὲ οὕτω τὰ ἔθνη σαφῶς ἀπεκάλυψεν, ὥστε μηδεμίαν αὐτοῖς παρασχεῖν λαβήν· ἀλλ' ᾐνίξατο εἰπών, δώσει τὸν ἀμπελῶνα ἄλλοις. διὰ τοῦτο δὴ καὶ παραβολὴν εἴρηκεν, ἵνα αὐτοὶ τὴν ψῆφον ἐξενέγκωσιν· ὅπερ καὶ ἐπὶ τοῦ Δαβὶδ γέγονεν, ὅτε ἔκρινε τὴν παραβολὴν τοῦ Νάθαν. σὺ δέ μοι σκόπει κἀντεῦθεν πῶς δικαία ἡ ψῆφος, ὅταν αὐτοὶ οἱ μέλλοντες κολάζεσθαι, ἑαυτοὺς καταδικάζωσιν. Εἶτα ἵνα μάθωσιν, ὅτι οὐ μόνον ἡ τοῦ δικαίου φύσις ταῦτα ἀπῄτει, ἀλλὰ καὶ ἄνωθεν ἡ τοῦ πνεύματος χάρις προὔλεγε ταῦτα, καὶ ὁ Θεὸς οὕτως ἐψηφίζετο, καὶ προφητείαν ἐπήγαγε, καὶ ἐντρεπτικῶς αὐτοῖς ἐπιτιμᾷ λέγων· οὐδέποτε ἀνέγνωτε, ὅτι λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν· διὰ πάντων δεικνὺς ὅτι οἱ μὲν ἐκβάλλεσθαι ἔμελλον ἀπιστοῦντες, τὰ δὲ ἔθνη εἰσάγεσθαι. τοῦτο καὶ διὰ τῆς Χαναναίας, τοῦτο καὶ διὰ τῆς ὄνου, καὶ διὰ τοῦ ἑκατοντάρχου, καὶ διὰ πολλῶν ἑτέρων παραβολῶν ᾐνίξατο. τοῦτο καὶ νῦν. διὸ καὶ ἐπήγαγε· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν· προδηλῶν, ὅτι τὰ ἔθνη πιστεύοντα, καὶ Ἰουδαίων ὅσοι ἂν καὶ αὐτοὶ πιστεύσωσιν, ἔσονται ἕν, καίτοι τοσούτου τοῦ μέσου ὄντος ἔμπροσθεν. Εἶτα, ἵνα μάθωσιν ὅτι οὐδὲν τῷ Θεῷ ἐναντίον τῶν γινομένων ἦν, ἀλλὰ καὶ σφόδρα εὐαπόδεκτον καὶ συμβαῖνον, καὶ παράδοξον, καὶ τῶν ὁρώντων ἕκαστον ἐκπλῆττον (καὶ γὰρ ἦν θαῦμα σφόδρα ἄφατον) ἐπήγαγε λέγων· παρὰ Κυρίου ἐγένετο αὕτη. λίθον δὲ ἑαυτὸν καλεῖ, καὶ οἰκοδόμους τοὺς διδασκάλους τῶν Ἰουδαίων· ὃ καὶ Ἰεζεκιὴλ φησιν, Οἱ οἰκοδομοῦντες τὸν τοῖχον, καὶ ἀλείφοντες ἀναρτύτως. πῶς δὲ [καὶ] ἀπεδοκίμασαν; λέγοντες, οὗτος οὐκ ἔστιν ἐκ [τοῦ] Θεοῦ· οὗτος πλανᾷ τὸν ὄχλον· καὶ πάλιν, Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις. Εἶτα, ἵνα γνῶσιν, ὅτι οὐ μέχρι τοῦ ἐκβληθῆναι αὐτοὺς ἡ ζημία, ἐπάγει καὶ τὰς κολάσεις, λέγων

Λουκ. κ. ιϛ.
Ψαλμ. ριζ. κα.
Ιεζ. ιγ. ι.

44 Πᾶς ὁ πίπτων ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. Δύο φησὶν ἀπωλείας ἐνταῦθα· μίαν μὲν τὴν ἀπὸ τοῦ προσκόψαι καὶ σκανδαλισθῆναι (τοῦτο γάρ ἐστιν, ὁ πίπτων ἐπὶ τὸν λίθον τοῦτον) ἑτέραν δέ, τὴν ἀπὸ τῆς ἁλώσεως αὐτῶν καὶ τῆς συμφορᾶς καὶ πανωλεθρίας, ἣν καὶ σαφῶς προεδήλωσεν εἰπών, λικμήσει αὐτόν. διὰ τούτων καὶ τὴν ἀνάστασιν ᾐνίξατο τὴν ἑαυτοῦ. ὁ μὲν οὖν προφήτης Ἡσαΐας τὸν ἀμπελῶνα αἰτιᾶσθαί φησιν αὐτόν, ~~ἐνταῦθα δὲ καὶ τοὺς~~ ἄρχοντας τοῦ λαοῦ διαβάλλει. κἀκεῖ μέν φησι· Τί ἔδει με ποιῆσαι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα; καὶ δι' ἄλλου πάλιν· Τί ἐποίησά σοι, καὶ τί εὗρον οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα; καὶ πάλιν, Λαός μου, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; δεικνὺς αὐτῶν τὴν ἀχάριστον γνώμην, καὶ ὅτι πάντων ἀπολαύοντες τοῖς ἐναντίοις ἠμείβοντο. ἐνταῦθα δὲ μετὰ πλείονος αὐτὸ τίθησιν ὑπερβολῆς. οὐ γὰρ αὐτὸς ἀποφαίνεται λέγων· τί ἔδει με ποιῆσαι, καὶ οὐκ ἐποίησα; ἀλλ' αὐτοὺς ἐκείνους

Ησ. ε. β.
Ιερ. β. ε.
Μιχ. ϛ. γ.

κείνους εἰσάγει ψηφιζομένους ὅτι οὐδὲν ἐνέλιπε, καὶ καταδικάζοντας ἑαυτῶν. ὅταν γὰρ Πραξ. ε. καὶ ζ. εἴπωσιν, ὅτι κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οὐδὲν ἕτερον ἢ τοῦτο λέγουσι, μετὰ πολλῆς τῆς περιουσίας τὴν ψῆφον ἐκφέροντες. τοῦτο καὶ Στέφανος αὐτοῖς ὀνειδίζει, ὃ καὶ μάλιστα αὐτοὺς ἔδακνεν, ὅτι πολλῆς ἀπολαύσαντες ἀεὶ προνοίας τοῖς ἐναντίοις ἠμείβοντο τὸν εὐεργέτην· ὅπερ καὶ αὐτὸ μέγιστον ἦν σημεῖον τοῦ μὴ τὸν κολάζοντα, ἀλλ' αὐτοὺς κολαζομένους αἰτίους εἶναι τῆς τιμωρίας τῆς ἐπαγομένης αὐτοῖς. τοῦτο δὴ καὶ ἐνταῦθα δείκνυται διὰ τῆς παραβολῆς, διὰ τῆς προφητείας. οὐδὲ γὰρ ἠρκέσθη τῇ παραβολῇ μόνον, ἀλλὰ καὶ προφητείαν διπλῆν ἐπήγαγε, τὴν μὲν τοῦ Δαβίδ, τὴν δὲ παρ' ἑαυτοῦ. τί οὖν ἐχρῆν ταῦτα ἀκούσαντας ποιεῖν; οὐχὶ προσκυνῆσαι; οὐχὶ θαυμάσαι τὴν κηδεμονίαν τὴν ἔμπροσθεν, τὴν μετὰ ταῦτα; εἰ δὲ μηδενὶ τούτων ἐγένοντο βελτίους, πῶς γοῦν φόβῳ τῆς κολάσεως οὐκ ἔδει γενέσθαι σωφρονεστέρους; ἀλλ' οὐκ ἐγένοντο. ἀλλὰ τί μετὰ ταῦτα;

κ. ἑαυτο

45 Ἀκούσαντές, φασιν, ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει,

46 Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Ἠσθάνοντο γὰρ λοιπὸν ὅτι αὐτοὺς ᾐνίττετο. καὶ ποτὲ μὲν οὖν κατεχόμενος, διὰ μέσου αὐτῶν ἀναχωρεῖ, καὶ οὐχ ὁρᾶται· ποτὲ δὲ φαινόμενος, ὠδίνουσαν αὐτῶν τὴν ἐπιθυμίαν ἐπέχει. Ἰωαν. ζ. κς. ὃ καὶ θαυμάζοντες ἔλεγον· Οὐχ οὗτός ἐστιν [ὁ] Ἰησοῦς; ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. ἐνταῦθα δὲ, ἐπειδὴ τῷ φόβῳ τοῦ πλήθους κατείχοντο, ἀρκεῖται τούτῳ, καὶ οὐ παραδοξοποιεῖ, ὥσπερ ἔμπροσθεν, διὰ μέσου αὐτῶν ἀναχωρῶν καὶ μὴ φαινόμενος. οὐ γὰρ ἐβούλετο πάντα ὑπὲρ ἄνθρωπον ποιεῖν, ὥστε πιστευθῆναι τὴν οἰκονομίαν. οἱ δὲ οὐδὲ ἀπὸ τοῦ πλήθους ἐσωφρονίζοντο, οὐδὲ ἀπὸ τῶν εἰρημένων· οὐ τὴν τῶν προφητῶν μαρτυρίαν, οὐ τὴν ἑαυτῶν ᾐδοῦντο ψῆφον, οὐ τὴν τῶν πολλῶν γνώμην. οὕτω καθάπαξ αὐτοὺς ἡ φιλαρχία καὶ ὁ τῆς κενοδοξίας ἐπήρωσεν ἔρως, καὶ τὸ τὰ πρόσκαιρα ζητεῖν. οὐδὲν γὰρ οὕτως ἐπὶ κεφαλὴν ὠθεῖ, καὶ κατὰ κρημνῶν φέρει· οὐδὲν οὕτω ποιεῖ τῶν μελλόντων ἐκπίπτειν, ὡς τὸ προσηλῶσθαι τοῖς ἐπικήροις τούτοις, ὥσπερ οὐδὲν οὕτω ποιεῖ καὶ τούτων κἀκείνων ἀπο- Ματθ. ς. λγ. λαύειν, ὡς τὸ πάντων ἐκεῖνα προτιμᾶν. Ζητεῖτε γάρ φησιν ὁ Χριστὸς τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καίτοιγε εἰ μηδὲ τοῦτο προσέκειτο, οὐδὲ οὕτως αὐτῶν ἐφίεσθαι ἔδει. νυνὶ δὲ ἐν τῷ λαβεῖν ἐκεῖνα, καὶ ταῦτά ἐστι προσλαβεῖν· καὶ οὐδὲ οὕτως ἔνιοι πείθονται, ἀλλὰ λίθοις ἀναισθήτοις ἐοίκασι, καὶ σκιὰς διώκουσιν ἡδονῆς. τί γὰρ ἡδὺ τοῦ ἐν τῷ παρόντι βίῳ; τί δὲ τερπνόν;

γρ. περι

ΗΘΙΚΟΝ

Μετὰ γὰρ παῤῥησίας ὑμῖν πλείονος διαλεχθῆναι βούλομαι σήμερον· ἀλλ' ἀνάσχεσθε, ἵνα μάθητε, ὅτι ὁ δοκῶν οὗτος φορτικὸς εἶναι βίος καὶ ἐπαχθής, ὁ τῶν μοναχῶν λέγω καὶ τῶν ἐσταυρωμένων, πολὺ τούτου τοῦ δοκοῦντος εἶναι προσηνοῦς καὶ ἁπαλωτέρου γλυκύτερός τε καὶ ποθεινότερός ἐστι. καὶ τούτου μάρτυρες ὑμεῖς, οἳ θάνατον πολλάκις αἰτήσαντες ἐν ταῖς καταλαβούσαις ὑμᾶς περιστάσεσι καὶ ἀθυμίαις, καὶ ἐκείνους μακαρίσαντες τοὺς ἐν ὄρεσι, τοὺς ἐν σπηλαίοις, τοὺς μὴ γεγαμηκότας, τοὺς τὸν ἀπράγμονα βίον ζῶντας, οἵ τε ἐν τέχναις, οἵ τε ἐν ταῖς στρατείαις, οἵ τε ἁπλῶς ζῶντες καὶ εἰκῇ καὶ ἐν τῇ σκηνῇ διημερεύοντες καὶ ταῖς ὀρχήστραις. καὶ γὰρ ἐκεῖθεν, ὅθεν μυρίαι δοκοῦσι βρύειν ἡδοναὶ καὶ εὐφροσύνης πηγαί, ἄλλα μυρία τίκτεται πικρότερα βέλη. ἂν γὰρ ἁλῷ τις ἔρωτι κόρης τινὸς τῶν ὀρχουμένων ἐκεῖ, ὑπὲρ μυρίας στρατείας, ὑπὲρ μυρίας ἀποδημίας χαλεπωτέραν ὑποστήσεται βάσανον, πάσης πόλεως πολιορκουμένης ἀθλιώτερον διακείμενος. πλὴν ἀλλ' ἵνα μὴ ἐκεῖνα ἐξετάσωμεν τέως, τῷ συνειδότι ταῦτα ἀφέντες τῶν ἑαλωκότων, φέρε, περὶ τοῦ τῶν πολλῶν διαλεχθῶμεν βίου· καὶ τοσοῦτον εὑρήσομεν τὸ μέσον ἑκατέρας τῆς ζωῆς ταύτης, ὅσον λιμένος καὶ πελάγους συνεχῶς ἀνέμοις διακοπτομένου τὸ διάφορον. σκόπει δὲ ἀπὸ τῶν καταγωγίων εὐθέως τὰ προοίμια τῆς εὐημερίας. ἀγορὰς γὰρ καὶ πόλεις καὶ τοὺς ἐν μέσῳ διαφυγόντες θορύβους, τὸν ἐν ὄρεσιν εἵλοντο βίον· τὸν οὐδὲν ἔχοντα κοινὸν πρὸς τὸν παρόντα· τὸν οὐδὲν ἀνθρώπινον ὑπομένοντα, οὐ λύπην βιωτικήν, οὐκ ὀδύνην, οὐ φροντίδα τοσαύτην, οὐ κινδύνους, οὐκ ἐπιβουλάς, οὐ βασκανίαν, οὐ ζηλοτυπίαν, οὐκ ἔρωτας ἀτόπους, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν. ἐντεῦθεν ἤδη τὰ τῆς βασιλείας μελετῶσι, νάπαις ὁμιλοῦντες, καὶ ὄρεσι, καὶ πηγαῖς, καὶ ἡσυχίᾳ, καὶ ἠρεμίᾳ πολλῇ, καὶ πρὸ τούτων ἁπάντων τῷ Θεῷ. καὶ πάντος μὲν θορύβου τὸ δωμάτιον αὐτοῖς καθαρόν· πάντος δὲ πάθους ἡ ψυχὴ καὶ νοσήματος ἐλευθέρα, λεπτὴ καὶ κούφη καὶ τοῦ λεπτοτάτου ἀέρος σφόδρα καθαρωτέρα. ἔργον δὲ αὐτοῖς, ὅπερ ἦν καὶ τῷ Ἀδὰμ παρὰ τὴν ἀρχὴν καὶ πρὸ τῆς ἁμαρτίας, ὅτε τὴν δόξαν ἠμφιεσμένος ἦν, καὶ τῷ Θεῷ μετὰ παρρησίας ὡμίλει, καὶ τὸ χωρίον ἐκεῖνο τὸ πολλῆς γέμον μακαριότητος ᾤκει. τί γὰρ οὗτοι χεῖρον ἐκείνου διάκεινται, ὅτε πρὸ τῆς παρακοῆς ἐτέθη ἐργάζεσθαι τὸν παράδεισον; οὐδεμία φροντὶς ἦν αὐτῷ βιωτική· ἀλλ' οὐδὲ τούτοις· Θεῷ διελέγετο μετὰ καθαροῦ συνειδότος· τοῦτο καὶ οὗτοι, μᾶλλον δὲ καὶ πολλῷ μείζονα ἔχουσι παρρησίαν ἐκείνου, ὅσῳ καὶ μείζονος ἀπολελαύκασι χάριτος διὰ τῆς τοῦ πνεύματος χορηγίας. ἔδει μὲν οὖν ὑμᾶς ὄψει ταῦτα παραλαμβάνειν· ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀλλ' ἐν θορύβοις, ἐν ἀγοραῖς ″ διάγετε, κἂν λόγῳ γοῦν διδάξωμεν ὑμᾶς, ἐν μέρει ἀπολαβόντες αὐτῶν τῆς διαγωγῆς. πάντα γὰρ οὐ δυνατὸν ἐπελθεῖν τὸν ἐκείνων βίον. οὗτοι οἱ φωστῆρες τῆς οἰκουμένης, ἐπειδὰν ἥλιος ἀνίσχῃ, μᾶλλον δὲ πολλῷ πρὸ τῆς ἀκτῖνος, ἀπὸ τῆς εὐνῆς ἀναστάντες ὑγιεῖς καὶ ἐγρηγορότες καὶ νήφοντες (οὔτε γὰρ λύπη τις καὶ φροντίς, οὔτε καρηβαρία καὶ ″ πόνος καὶ πραγμάτων ὄχλος, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν αὐτοῖς ἐνοχλεῖ, ἀλλ' ὡς ἄγγελοι διάγουσιν ἐν οὐρανῷ) ἀναστάντες τοίνυν εὐθέως ἀπὸ τῆς εὐνῆς φαιδροὶ καὶ γεγηθότες, καὶ χορὸν ἕνα στησάμενοι, ἐν φαιδρῷ τῷ [προσώπῳ τε καὶ] συνειδότι συμφώνως ἅπαντες, ὥσπερ ἐξ ἑνὸς στόματος ὕμνοις εἰς τὸν τῶν ὅλων ᾄδουσι Θεόν, γεραίροντες αὐτὸν καὶ χάριν εἰδότες ὑπὲρ ἁπάντων αὐτῷ, τῶν τε ἰδίων, τῶν τε κοινῶν εὐεργετημάτων. ὥστε, εἰ δοκεῖ, τὸν Ἀδὰμ ἀφέντες, ἐρωτήσωμεν, τί τῶν ἀγγέλων οὗτος διέστηκεν ὁ χορὸς τῶν ἐπὶ γῆς ᾀδόντων καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία; Λουκ. β. ιδ. καὶ ἡ στολὴ δὲ αὐτοῖς, τῆς ἀνδρείας ἀξία. οὐ γὰρ δὴ κατὰ τοὺς ἑλκεχίτωνας καὶ ἐκνενευρισμένους καὶ διακλωμένους εἰσὶν ἐστολισμένοι· ἀλλὰ κατὰ τοὺς μακαρίους ἐκείνους ἀγγέλους, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τὸν Ἰωάννην, κατὰ τοὺς ἀποστόλους· τῶν ἱματίων κατασκευασμένων αὐτοῖς, τοῖς μὲν ἀπὸ τριχῶν αἰγῶν, τοῖς δὲ ἀπὸ τριχῶν καμήλων. εἰσὶ δὲ οἷς καὶ δέρματα ἤρκεσε μόνον, καὶ ταῦτα πάλαι πεπονηκότα. εἶτα, ἐπειδὰν τὰς ᾠδὰς ἐκείνας εἴπωσι, τὰ γόνατα κάμψαντες, τὸν ὑμνηθέντα Θεὸν παρακαλοῦσιν ὑπὲρ πραγμάτων, ὧν ἔνιοι οὐδὲ εἰς ἔννοιαν ταχέως ἔρχονται. αἰτοῦσι γὰρ τῶν μὲν παρόντων οὐδέν (οὐδεὶς γὰρ αὐτοῖς τούτων λόγος) τὸ δὲ μετὰ παρρησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ φοβεροῦ, ὅταν ἔλθῃ κρίνειν ζῶντας καὶ νεκροὺς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ· καὶ τὸ μηδένα ἀκοῦσαι τῆς φοβερᾶς ἐκείνης φωνῆς τῆς λεγούσης, οὐκ οἶδα ὑμᾶς· καὶ ὥστε μετὰ καθαροῦ συνειδότος καὶ πολλῶν τῶν κατορθωμάτων τὸν ἐπίμοχθον τοῦτον διανῦσαι βίον, καὶ τὸ χαλεπὸν πλεῦσαι πέλαγος ″ ἐξ οὐρίας. ἡγεῖται δὲ αὐτοῖς τῆς εὐχῆς ὁ πατὴρ ὁ καὶ προεστηκώς. εἶτα ἀναστάντες καὶ τελέσαντες τὰς ἁγίας ἐκείνας καὶ συνεχεῖς εὐχάς, ἀνισχούσης τῆς ἀκτῖνος εἰς ἔργον ἄπεισιν ἕκαστος, πολλὴν πρόσοδον ἐντεῦθεν τοῖς δεομένοις συνάγοντες. ποῦ νῦν εἰσιν οἱ τοῖς διαβολικοῖς ἑαυτοὺς ἐκδιδόντες χοροῖς, καὶ τοῖς ᾄσμασι τοῖς πορνικοῖς, καὶ ἐν θεάτροις καθήμενοι; αἰσχύνομαι μὲν γὰρ μεμνημένος ἐκείνων, πλὴν διὰ τὴν ἀσθένειαν ″ ὑμῶν ἀνάγκη καὶ τοῦτο ποιῆσαι. καὶ γὰρ ὁ Παῦλος οὕτω φησίν· Ὥσπερ ″ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω νῦν παραστήσατε ″ αὐτὰ δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. Ρω. ϛ. ιγ. ιθ. φέρε τοίνυν, παρεξετάσωμεν καὶ ἡμεῖς τὸν χορὸν τὸν ἐκ τῶν πορνευομένων ″ γυναικῶν καὶ τῶν ἡταιρηκότων νέων συνεστῶτα ἐν τῇ σκηνῇ, καὶ τούτων αὐτῶν τῶν μακαρίων, εἰς ἡδονῆς λόγον, δι' ''ἣν μάλιστα πολλοὶ τῶν ῥᾳθύμων νέων ἁλίσκονται ταῖς ἐκείνων παγίσι. τοσοῦτον γὰρ τὸ μέσον εὑρήσομεν, ὅσον εἰ ἀγγέλων τις ἤκουσεν ᾀδόντων ἄνω τὴν παναρμόνιον μελῳδίαν ἐκείνην, καὶ κυνῶν ἐπὶ τῆς κοπρίας ''κατορυομένων καὶ γρυζόντων. διὰ τούτων μὲν γὰρ τοῦ στόματος ὁ Χριστός, δι' ἐκείνων δὲ τῆς γλώττης ὁ διάβολος φθέγγεται. ἀλλὰ καὶ σύριγγες συνηχοῦσιν ἐκείνοις ἄσημον φωνὴν καὶ ἀτερπεῖ τῇ ὄψει, τῶν γνάθων αὐτοῖς φυσωμένων καὶ τῶν νεύρων διασπωμένων. ἀλλ' ἐνταῦθα ἡ τοῦ πνεύματος ἐνηχεῖ χάρις, ἀντὶ αὐλοῦ καὶ κιθάρας καὶ σύριγγος τοῖς τῶν ἁγίων στόμασι κεχρημένη. μᾶλλον δὲ ὅσα ἂν εἴπωμεν, οὐ δυνατὸν παραστῆσαι τὴν ἡδονήν, διὰ τοὺς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλωμένους. διὰ τοῦτο καὶ ἐβουλόμην τινὰ τῶν περὶ ταῦτα μαινομένων λαβεῖν, καὶ ἀπαγαγεῖν ἐκεῖ καὶ δεῖξαι τῶν ἁγίων τὸν χορὸν τοῦτον, καὶ οὐκ ἂν ἐδέησέ μοι λόγου λοιπόν· πλήν, κἂν πρὸς πηλίνους διαλεγώμεθα, πειρασόμεθα καὶ τῷ λόγῳ κἂν κατὰ μικρὸν αὐτοὺς ἀνασπάσαι τῆς ἰλύος καὶ τῶν τελμάτων. ἐκεῖθεν μὲν γὰρ εὐθέως πῦρ δέχεται ἔρωτος ἀτόπου ὁ ἀκροατής (ὡς γὰρ οὐκ ἀρκούσης τῆς ὄψεως τῆς πόρνης φλέξαι τὴν διάνοιαν, καὶ τὴν ἀπὸ τῆς φωνῆς προστιθέασι λύμην) ἐνταῦθα δὲ κἂν ἔχῃ τι τοιοῦτον ἡ ψυχή, ἀποτίθεται εὐθέως. οὐχ ἡ φωνὴ δὲ μόνον οὐδὲ ἡ ὄψις, ἀλλὰ καὶ τὰ ἱμάτια τούτων μᾶλλον θορυβεῖ τοὺς ὁρῶντας. κἂν πένης ᾖ τις τῶν παχυτέρων καὶ ἠμελημένων, ἀπὸ τῆς θεωρίας μυρία ἀποδυσπετήσει· πολλάκις καὶ πρὸς ἑαυτὸν ἐρεῖ, ὅτι ἡ μὲν πόρνη καὶ ὁ ἡταιρηκώς, μαγείρων τέκνα καὶ σκυτοτόμων, πολλάκις δὲ καὶ οἰκετῶν, ἐν τοσαύτῃ ζῶσι τρυφῇ· ἐγὼ δὲ ἐλεύθερος καὶ ἐξ ἐλευθέρων, δικαίους πόνους αἱρούμενος, οὐδὲ ὄναρ ταῦτα φαντασθῆναι δύναμαι· καὶ οὕτως ''ἐμπορνωθεὶς ὑπὸ τῆς ἀθυμίας ἄπεισιν. ἐπὶ δὲ τῶν μοναχῶν οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. ὅταν γὰρ ἴδῃ πλουσίων παῖδας καὶ προγόνων περιφανῶν ἐκγόνους τοιαῦτα ἠμφιεσμένους ἱμάτια, οἷα οὐδὲ οἱ ἔσχατοι τῶν πενήτων, καὶ ἐπὶ τούτῳ χαίροντας, ἐννοήσατε πόσην τῆς πενίας παραμυθίαν δεξάμενος ἄπεισι· κἂν πλούσιος ᾖ, σωφρονισθεὶς ἀναχωρεῖ βελτίων γενόμενος. πάλιν ἐν μὲν τῷ θεάτρῳ ὅταν ἴδωσι χρυσία περικειμένην τὴν πόρνην, ὁ μὲν πένης οἰμώξεται καὶ θρηνήσει, τὴν ἑαυτοῦ γυναῖκα οὐδὲν τοιοῦτον ἔχουσαν βλέπων· οἱ δὲ πλουτοῦντες ὑπερόψονται καὶ διαπτύσουσιν ἀπὸ τῆς θέας ταύτης τὰς συνοικούσας αὐτοῖς. ὅταν γὰρ καὶ σχῆμα καὶ βλέμμα καὶ φωνὴν καὶ βάδισιν, καὶ πάντα διακεκλασμένα ἐκείνη παρέχῃ τοῖς ὁρῶσιν, ἐμπορνωθέντες ἀναχωροῦσι καὶ αἰχμάλωτοι λοιπὸν εἰς τὰς οἰκίας εἰσέρχονται τὰς ἑαυτῶν. ἐντεῦθεν αἱ ὕβρεις καὶ αἱ ἀτιμίαι, ἐντεῦθεν αἱ ἀπέχθειαι, οἱ πόλεμοι, οἱ θάνατοι οἱ καθημερινοί, ἐντεῦθεν ἀβίωτος τοῖς ἁλοῦσιν ὁ βίος, καὶ ἡ συνοικοῦσα λοιπὸν ἀηδής, καὶ τὰ παιδία οὐχ ὁμοίως ποθεινά, καὶ πάντα ἄνω καὶ κάτω τὰ τῆς οἰκίας, καὶ ὑπ' αὐτῆς λοιπὸν τῆς ἀκτῖνος ὁ τοιοῦτος ἐνοχλεῖσθαι δοκεῖ. ἀλλ' οὐκ ἀπὸ τῶν χορῶν τούτων ἀηδία τις τοιαύτη, ἀλλ' ἥμερον καὶ πρᾷον δέξεται ἡ γυνὴ τὸν ἄνδρα, πάσης ἡδονῆς ἀτόπου ἀπηλλαγμένον, καὶ εὐκολωτέρῳ αὐτῷ χρήσεται, ἢ πρὸ τούτου. τοιαῦτα ὁ μὲν χορὸς ἐκεῖνος τίκτει κακά, οὗτος δὲ ἀγαθά· ὁ μὲν ἀπὸ προβάτων λύκους ποιῶν, αὐτὸς δὲ ἀπὸ λύκων ἀρνειοὺς ἐργαζόμενος. ἀλλ' οὔπω περὶ τῆς ἡδονῆς οὐδὲν οὐδέπω τάχα εἴρηται ἡμῖν. καὶ τί γένοιτ' ἂν ἥδιον τοῦ μὴ θορυβεῖσθαι μηδὲ ὀδυνᾶσθαι τὴν διάνοιαν, μηδὲ ἀθυμεῖν καὶ στένειν; πλὴν ἀλλὰ καὶ ἀκριβέστερον τὸν λόγον προσαγάγωμεν, καὶ ἑκατέρας τῆς ᾠδῆς καὶ τῆς θέας [ταύτης] τὴν ἀπόλαυσιν ἐξετάσωμεν, καὶ ὀψόμεθα τὴν μὲν μέχρις ἑσπέρας μένουσαν, ἕως ἂν ἐν τῷ θεάτρῳ καθέζηται ὁ θεατής, μετὰ δὲ ταῦτα κέντρου παντὸς χαλεπώτερον ἀνιῶσαν αὐτόν· ἐνταῦθα δὲ διηνεκῶς ἐνακμάζουσαν ταῖς ψυχαῖς τῶν ἑωρακότων. καὶ γὰρ καὶ τῶν ἀνδρῶν τὸν τύπον, καὶ τοῦ τόπου τὸ τερπνόν, καὶ τῆς διαγωγῆς τὸ γλυκύ, καὶ τῆς πολιτείας τὸ καθαρόν, καὶ τῆς καλλίστης ᾠδῆς καὶ πνευματικῆς τὴν χάριν ἔχουσιν ἐν ἑαυτοῖς διὰ παντὸς ἐνιζάνοντα. οἱ γοῦν τούτων ἀπολαύοντες ''διηνεκῶς τῶν λιμένων,

χ. ἧς

χ. καὶ ὀρυο-μένων

χ. ἐμπα-θεὶς

χ. διὰ πα

ὥσπερ τινὰ χειμῶνα, λοιπὸν φεύγουσι τῶν πολλῶν τοὺς θορύβους. οὐκ ᾄδοντες δὲ μόνον ″καὶ εὐχόμενοι, ἀλλὰ καὶ ταῖς βίβλοις προσηλωμένοι, τερπνόν τι θέαμα τοῖς ὁρῶσίν εἰσιν. ἐπειδὰν γὰρ τὸν χορὸν διαλύσωσιν, ὁ μὲν τὸν Ἡσαΐαν λαβὼν ἐκείνῳ διαλέγεται, ὁ δὲ τοῖς ἀποστόλοις ὁμιλεῖ, ἕτερος τὰ παρὰ τῶν ἑτέρων πονηθέντα ἔπεισι, καὶ φιλοσοφεῖ περὶ Θεοῦ, περὶ τοῦδε τοῦ παντός, περὶ τῶν ὁρωμένων, περὶ τῶν ἀοράτων, περὶ αἰσθητῶν, περὶ [τῶν] νοητῶν, περὶ τῆς εὐτελείας τοῦ παρόντος βίου, περὶ τῆς τοῦ μέλλοντος ″μεγαλειότητος. καὶ τρέφονται δὲ τροφὴν ἀρίστην, οὐ σάρκας ἀλόγων ἑψημένας παρατιθέμενοι, ἀλλὰ λόγια Θεοῦ ὑπὲρ μέλι καὶ κηρίον, μέλι θαυμάσιον καὶ πολλῷ κρεῖττον, ἢ κατὰ τὴν ἔρημον ὁ Ἰωάννης τὸ παλαιὸν ἐσιτεῖτο. τὸ γὰρ μέλι τοῦτο οὐ μέλιτταί τινες ἄγριαι τοῖς ἄνθεσιν ἐφιζάνουσαι συλλέγουσιν, οὐδὲ δρόσον πεπαίνουσαι τοῖς σίμβλοις ἐνιᾶσιν, ἀλλ᾽ ἡ τοῦ πνεύματος κατασκευάζουσα χάρις ἀντὶ κηρίων καὶ σίμβλων καὶ συρίγγων ταῖς τῶν ἁγίων ἐναποτίθεται ψυχαῖς, ὥστε ἔξεστι τῷ βουλομένῳ μετὰ ἀδείας ἐσθίειν διηνεκῶς. ταύτας δὴ οὖν τὰς μελίττας καὶ αὐτοὶ μιμούμενοι, περιίπτανται τοῖς κηρίοις τῶν ἁγίων βιβλίων, πολλὴν ἐντεῦθεν δρεπόμενοι τὴν ἡδονήν. καὶ εἰ βούλει μαθεῖν τὴν τράπεζαν τὴν ἐκείνων, ἐγγὺς γενοῦ, καὶ ὄψει τοιαῦτα ἐρευγομένους αὐτούς, πάντα προσηνῆ καὶ ἡδέα καὶ εὐωδίας γέμοντα πνευματικῆς· οὐδὲν αἰσχρὸν ἐκεῖνα τὰ στόματα ἐξενεγκεῖν δύναται ῥῆμα, οὐδὲν εὐτράπελον, οὐδὲν τραχύ, ἀλλὰ πάντα τῶν οὐρανῶν ἄξια. οὐκ ἄν τις ἁμάρτοι τὰ μὲν στόματα τῶν πολλῶν τῶν ἐν ἀγοραῖς συρομένων καὶ πρὸς τὰ βιωτικὰ λυττώντων βορβόρου τινὸς ὀχετοῖς παραβάλλων· τὰ δὲ τούτων, πηγαῖς μέλι ῥεούσαις καὶ νάματα προχεούσαις καθαρά. εἰ δέ τις ἐδυσχέρανεν, ὅτι τὰ τῶν πολλῶν στόματα βορβόρου τινὸς προσεῖπον ὀχετοῖς, ἴστω ὅτι σφόδρα φειδόμενος εἶπον. ἡ γὰρ γραφὴ οὐδὲ τούτῳ κέχρηται τῷ μέτρῳ, ἀλλ᾽ ἑτέρῳ πολλῷ σφοδροτέρῳ παραδείγματι. Ἰὸς γάρ, φησιν, ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, καὶ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. ἀλλ᾽ οὐ τὰ ἐκείνων τοιαῦτα, ἀλλ᾽ εὐωδίας γέμει πολλῆς. καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, τὰ δὲ ἐκεῖ ποῖος ἡμῖν παραστήσει λόγος; ποία ἐννοήσει διάνοια; τὴν λῆξιν τὴν ἀγγελικήν; τὴν μακαριότητα; τὰ ἄφραστα καὶ ἀπόρρητα ἀγαθά; τάχα πολλοὶ διεθερμάνθητε νῦν, καὶ εἰς ἐπιθυμίαν ἐνεπέσετε τῆς καλῆς ταύτης πολιτείας. ἀλλὰ τί τὸ κέρδος, ὅταν ἐνταῦθα ″ὄντες μόνον τοῦτο ἔχητε τὸ πῦρ, ἐξελθόντες δὲ σβέσητε τὴν φλόγα, καὶ καταμαρανθῇ οὗτος ὁ πόθος; πῶς οὖν, ἵνα μὴ τοῦτο γένηται; ὡς ἔστι σοι θερμὸς οὗτος ὁ ἔρως, ἄπελθε πρὸς αὐτοὺς ἐκείνους τοὺς ἀγγέλους, ἀνάκαυσον αὐτὸν πλέον. οὐ γὰρ οὕτως ὁ παρ᾽ ἡμῶν λόγος δυνήσεταί σε ἀνάψαι, ὡς ἡ τῶν πραγμάτων θέα. μὴ εἴπῃς, διαλεχθῶ τῇ γυναικί, καὶ διαλύσω μου τὰ πράγματα πρότερον. ἀρχὴ ῥᾳθυμίας αὕτη ἡ ἀναβολή. ἄκουσον ὅτι συντάξασθαι τοῖς ἐν τῇ οἰκίᾳ ἠθέλησέ τις, καὶ οὐκ εἴασεν ὁ ″προφήτης. καὶ τί λέγω συντάξασθαι; θάψαι πατέρα ἠθέλησεν ὁ μαθητής, καὶ οὐδὲ τοῦτο συνεχώρησεν ὁ Χριστός. καίτοι τί σοι ἄρα ἀναγκαῖον οὕτως εἶναι δοκεῖ, ὡς κηδεία πατρός; ἀλλ᾽ οὐδὲ τοῦτο ἐπέτρεψε. τί δήποτε; ὅτι σφοδρῶς ἐφέστηκεν ὁ διάβολος, παρεισδῦσαί τινα βουλόμενος λαθεῖν. κἂν ὀλίγης ἀσχολίας ἐπιλάβηται καὶ ἀναβολῆς, μεγάλην ἐργάζεται ῥᾳθυμίαν. διὰ τοῦτο παραινεῖ τις, Μὴ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας. οὕτω γὰρ δυνήσῃ τὰ πλείονα κατορθοῦν, οὕτω καὶ τὰ κατὰ τὴν οἰκίαν σοι καλῶς διακείσεται. Ζητεῖτε γάρ, φησι, πρότερον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. εἰ γὰρ ἡμεῖς τοὺς τὰ ἑαυτῶν ὑπερορῶντας, καὶ τῶν ἡμετέρων τὴν ἐπιμέλειαν προτιθέντας ἐν πολλῇ καθιστῶμεν ἀμεριμνίᾳ, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ καὶ χωρὶς τούτων κηδόμενος καὶ προνοῶν. μὴ τοίνυν φροντίσῃς τῶν σῶν, ἀλλὰ ἄφες αὐτὰ τῷ Θεῷ. ἂν γὰρ σὺ φροντίσῃς, ὡς ἂν ἄνθρωπος φροντίζεις· ″ἂν δὲ ὁ Θεὸς προνοήσῃ, ὡς Θεὸς προνοεῖ. μὴ ″δὴ φροντίσῃς αὐτῶν σὺ ἀφεὶς τὰ μείζω, ἐπεὶ αὐτὸς οὐ σφόδρα αὐτῶν προνοήσεται. ἵν᾽ οὖν σφόδρα αὐτῶν προνοῇ, αὐτῷ μόνῳ πάν-

Ψαλ. ιη. ια.

γ. Βασ. ιθ. κ.

Λουκ. θ. ξ.

Σειρ. ε. η. καὶ ιη. κα.

Ματθ. ς. λγ.

τα ἐπίτρεψον. ἂν δὲ καὶ αὐτὸς αὐτὰ μεταχειρίσῃ ἀφεὶς τὰ πνευματικά, οὐ πολλὴν αὐτῶν αὐτὸς ποιήσεται πρόνοιαν. ἵν' οὖν καὶ σοὶ ταῦτα εὖ διακείσεται, καὶ φροντίδος ἀπαλλαγῇς ἁπάσης, ἔχου τῶν πνευματικῶν, ὑπερόρα τῶν βιωτικῶν. οὕτω γὰρ καὶ τὴν γῆν ἕξεις μετὰ τῶν οὐρανῶν, καὶ τῶν μελλόντων ἐπιτεύξῃ ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. κβ.

Ὁμιλ. ξθ. 1 ΚΑΙ ΑΠΟΚΡΙΘΕΙΣ Ο ΙΗΣΟΥΣ ΕΙΠΕ *πάλιν ἐν παραβολαῖς· 2 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, 3 Καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. 4 Πάλιν ἀπέστειλε, καὶ τὰ ἑξῆς.

* αὐτοῖς

Εἶδες καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν ταύτῃ τῇ παραβολῇ τοῦ υἱοῦ καὶ τῶν δούλων τὸ μέσον; Εἶδες πολλὴν μὲν ἑκατέρων τῶν παραβολῶν τὴν συγγένειαν, πολλὴν δὲ καὶ τὴν διαφοράν; καὶ γὰρ καὶ αὕτη δείκνυσι καὶ τοῦ Θεοῦ τὴν μακροθυμίαν καὶ τὴν πρόνοιαν τὴν πολλήν, καὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην· ἀλλ' ἔχει τι καὶ πλέον ἐκείνης αὕτη. προαναφωνεῖ μὲν γὰρ καὶ τὴν ἔκπτωσιν τῶν Ἰουδαίων, καὶ τὴν κλῆσιν τῶν ἐθνῶν. δείκνυσι δὲ μετὰ ″ τούτου καὶ τοῦ βίου τὴν ἀκρίβειαν, καὶ ὅση τοῖς ἀμελοῦσιν ἡ δίκη κεῖται. καὶ καλῶς αὕτη μετ' ἐκείνην ἐστίν. ἐπειδὴ γὰρ εἶπεν, δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, δηλοῖ λοιπὸν ἐνταῦθα [καὶ] ποίῳ ἔθνει, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ [ὅτι] καὶ ἄφατον εἰς τοὺς Ἰουδαίους πάλιν τὴν πρόνοιαν ἐπιδείκνυται. ἐκεῖ μὲν γὰρ πρὸ τοῦ σταυροῦ φαίνεται καλῶν· ἐνταῦθα δὲ καὶ μετὰ τὸ σφαγῆναι ″ ἐπίκειται ἐπισπώμενος αὐτούς· καὶ ὅτε τὴν χαλεπωτάτην τούτους ἔδει δοῦναι δίκην, τότε καὶ εἰς γάμους αὐτοὺς καλεῖ καὶ ἕλκει, καὶ τῇ τιμῇ τῇ ἀνωτάτῳ τιμᾷ. καὶ ὅρα πῶς καὶ ἐκεῖ οὐ πρότερα τὰ ἔθνη ″ καλεῖται, ἀλλ' Ἰουδαῖοι, καὶ ἐνταῦθα πάλιν. ἀλλ' ὥσπερ ἐκεῖ, ὅτε οὐκ ἠθέλησαν αὐτὸν δέξασθαι, ἀλλὰ καὶ ἐλθόντα ἔσφαξαν, τότε ἔδωκε τὸν ἀμπελῶνα· οὕτω καὶ ἐνταῦθα, ὅτε μὴ ἠθέλησαν παραγενέσθαι ἐν τῷ γάμῳ, τότε ἑτέρους ἐκάλεσε. τί τοίνυν γένοιτ' ἂν αὐτῶν ἀγνωμονέστερον, ὅταν ἐπὶ γάμους καλούμενοι ἀποπηδῶσι; τίς γὰρ οὐκ ἂν ἕλοιτο ἐπὶ γάμους ἐλθεῖν, καὶ γάμους βασιλέως, καὶ βασιλέως υἱῷ ποιοῦντος γάμους; καὶ τίνος ἕνεκεν γάμος εἴρηται, φησίν; ἵνα μάθῃς τοῦ Θεοῦ τὴν κηδεμονίαν, τὸν πόθον τὸν περὶ ἡμᾶς, τῶν πραγμάτων τὴν φαιδρότητα, ὡς οὐδὲν λυπηρὸν ἐκεῖ ἢ σκυθρωπόν, ἀλλὰ πάντα χαρᾶς γέμει πνευματικῆς. διὰ τοῦτο καὶ νυμφίον αὐτὸν ὁ Ἰωάννης καλεῖ, διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί· καὶ πάλιν, Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. τί οὖν οὐκ αὐτῷ [πατρὶ] ἁρμόζεσθαι λέγεται ἡ νύμφη, ἀλλὰ τῷ υἱῷ; ὅτι ἡ τῷ υἱῷ ἁρμοζομένη τῷ πατρὶ ἁρμόζεται. καὶ γὰρ ἀδιάφορον τῇ γραφῇ τοῦτο ἢ τοῦτο λέγεσθαι, διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας. ἀπὸ τούτου καὶ τὴν ἀνάστασιν ἀνεκήρυξεν. ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν τὸν θάνατον εἶπε, δείκνυσιν ὅτι καὶ μετὰ τὸν θάνατον τότε οἱ γάμοι, τότε ὁ νυμφίος. ἀλλ' οὐδὲ οὕτω γίνονται βελτίους οὐδὲ ἡμερώτεροι, οὗ τί γένοιτ' ἂν χεῖρον; καὶ γὰρ αὕτη τρίτη κατηγορία. πρώτη μὲν ὅτι προφήτας ἀπέκτειναν, ἔπειτα ὅτι τὸν υἱόν, μετὰ ταῦτα ὅτι καὶ ἀνελόντες, καὶ εἰς τοὺς γάμους τοῦ ἀναιρεθέντος καλοῦντος, οὐ παραγίνονται, ἀλλ' αἰτίας πλάττουσι, ζεύγη βοῶν, καὶ ἀγρούς, καὶ γυναῖκας· καίτοι δοκοῦσιν ″ εὔλογοι αἱ προφάσεις εἶναι. ἀλλ' ἐντεῦθεν μανθάνομεν,

Ἰωαν. γ. κθ.
β. Κορ. ια. β.
Ἐφ. ε. λβ.

χ. τίνα
χ. ἐγνω
χ. σφα
χ. ἀλλ
προφάσεις
λέγων

μανθάνομεν, κἂν ἀναγκαῖα ᾖ τὰ κατέχοντα, πάντων προτιμότερα ποιεῖσθαι τὰ πνευματικά. καὶ καλεῖ οὐχὶ προσφάτως, ἀλλὰ πρὸ πολλοῦ τοῦ χρόνου. Εἴπατε γάρ, φησι, τοῖς κεκλημένοις· καὶ πάλιν, καλέσατε τοὺς κεκλημένους, ὅπερ μείζονα τὴν κατηγορίαν ἐποίει. καὶ πότε ἐκλήθησαν; διὰ τῶν προφητῶν ἁπάντων, διὰ Ἰωάννου πάλιν (αὐτῷ γὰρ παρέπεμπεν ἅπαντας λέγων, ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι) δι' αὐτοῦ πάλιν τοῦ υἱοῦ. Δεῦτε γάρ, φησι, πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ματθ. ια. κη. καὶ πάλιν, Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ιωαν. ζ. λζ. οὐ διὰ ῥημάτων δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτοὺς ἐκάλει, καὶ μετὰ τὴν ἀνάληψιν διὰ Πέτρου καὶ τῶν κατ' αὐτόν. Γαλ. β. η. Ὁ γὰρ ἐνεργήσας, φησί, Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη. ἐπειδὴ γὰρ τὸν υἱὸν ἰδόντες ὠργίσθησαν καὶ ἀνεῖλον, διὰ τῶν δούλων καλεῖ πάλιν. καὶ ἐπὶ τί καλεῖ; ἐπὶ μόχθους καὶ πόνους καὶ ἱδρῶτας; οὐχί, ἀλλ' ἐπὶ τρυφήν. οἱ ταῦροι γάρ μου, φησι, καὶ τὰ σιτιστά μου τεθυμμένα. ὅρα πόση ἡ πολυδαισία, πόση ἡ φιλοτιμία. καὶ οὐδὲ τοῦτο αὐτοὺς ἐνέτρεψεν, ἀλλ' ὅσῳ μειζόνως ἐμακροθύμησε, τοσούτῳ μειζόνως ἐσκληρύνοντο. οὐδὲ γὰρ ἀσχολούμενοι, ἀλλὰ ἀμελήσαντες οὐκ ἦλθον. πῶς οὖν οἱ μὲν γάμους, οἱ δὲ ζεύγη βοῶν προβάλλονται; ταῦτα γοῦν ἀσχολίας; οὐδαμῶς. τῶν γὰρ πνευματικῶν καλούντων, οὐκ ἔστιν ἀσχολία οὐδεμία ἀναγκαία. ἐμοὶ δὲ δοκοῦσι καὶ ταύταις ταῖς προφάσεσι κεχρῆσθαι, τῆς ἀμελείας προκαλύμματα ταῦτα περιβαλλόμενοι. καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ὅτι οὐκ ἦλθον, ἀλλὰ καὶ ἕτερον πολλῷ χαλεπώτερον καὶ μανικώτερον, τὸ καὶ συγκόψαι τοὺς ἐλθόντας καὶ ὑβρίσαι καὶ ἀνελεῖν. τοῦτο τοῦ προτέρου χεῖρον. ἐκεῖνοι μὲν γὰρ ἦλθον ἀπαιτοῦντες προσόδους καὶ καρπούς, καὶ ἐσφάγησαν· οὗτοι δὲ εἰς γάμους καλοῦντες τοῦ παρ' αὐτῶν σφαγέντος, καὶ αὐτοὶ πάλιν φονεύονται. τί ταύτης τῆς μανίας ἴσον; τοῦτο καὶ Παῦλος ἐγκαλῶν αὐτοῖς ἔλεγε, Ρω. ια. γ. τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων *. Εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι ἀντίθεός ἐστι, καὶ διὰ τοῦτο οὐ παραγινόμεθα, ἄκουσον τί λέγουσιν οἱ καλοῦντες· ὅτι ὁ πατήρ ἐστιν ὁ ποιῶν τοὺς γάμους, καὶ αὐτός ἐστιν ὁ καλῶν. τί οὖν μετὰ ταῦτα; ἐπειδὴ οὐ μόνον οὐκ ἠθέλησαν ἐλθεῖν, ἀλλὰ καὶ ἀνεῖλον τοὺς ἐπ' αὐτοὺς ἐλθόντας, κατακαίει τὰς πόλεις αὐτῶν, καὶ τὰ στρατόπεδα πέμψας, ἀνεῖλεν αὐτούς. ταῦτα δὲ λέγει, προδηλῶν τὰ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενόμενα, καὶ ὅτι τὸν πατέρα παρώξυναν, αὐτῷ μὴ πιστεύσαντες. αὐτὸς γοῦν ἐστιν ὁ ἐπεξελθών. διά τοι τοῦτο οὐκ εὐθέως ἀναιρεθέντος τοῦ Χριστοῦ γέγονεν ἡ ἅλωσις, ἀλλὰ μετὰ τεσσαράκοντα ἔτη, ἵνα δείξῃ αὐτοῦ τὴν μακροθυμίαν, ὅτε ἀπέκτειναν τὸν Στέφανον, ὅτε ἀνεῖλον τὸν Ἰάκωβον, ὅτε ὕβριζον τοὺς ἀποστόλους. εἶδες πραγμάτων ἀλήθειαν καὶ τάχος; ἔτι γὰρ Ἰωάννου τοῦ εὐαγγελιστοῦ ζῶντος, καὶ ἑτέρων πολλῶν τῶν τῷ Χριστῷ συγγενομένων ταῦτα ἐξέβαινε· καὶ μάρτυρες ἦσαν τῶν γινομένων οἱ ταῦτα ἀκούσαντες. ὅρα τοίνυν κηδεμονίαν ἄφατον. ἐφύτευσεν ἀμπελῶνα, πάντα ἐποίησε καὶ ἀπήρτισε. τῶν οἰκετῶν ἀναιρεθέντων, ἑτέρους ἀπέστειλε δούλους· ἐκείνων σφαγέντων, τὸν υἱὸν ἔπεμψε· καὶ τούτου ἀναιρεθέντος, καλεῖ αὐτοὺς εἰς τοὺς γάμους, καὶ οὐκ ἠθέλησαν ἐλθεῖν. Εἶτα πέμπει ἑτέρους δούλους· οἱ δὲ καὶ τούτους ἀνεῖλον. τότε λοιπὸν αὐτοὺς ἀναιρεῖ ἅτε ἀνίατα νοσοῦντας. ὅτι γὰρ ἀνίατα ἐνόσουν, οὐ τὰ γεγενημένα ἔδειξε μόνον, ἀλλ' ὅτι καὶ πορνῶν καὶ τελωνῶν πιστευσάντων, αὐτοὶ ταῦτα ἐποίησαν. ὥστε οὐκ ἀφ' ὧν * ἐτόλμησαν μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἕτεροι κατώρθωσαν, κατακρίνονται οὗτοι. Εἰ δὲ λέγοι τις, ὅτι οὐ τότε ἐκλήθησαν οἱ ἐξ ἐθνῶν, ὅτε ἐμαστίχθησαν καὶ μυρία ἔπαθον οἱ ἀπόστολοι, ἀλλ' εὐθέως μετὰ τὴν ἀνάστασιν (τότε γάρ φησιν αὐτοῖς, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη) εἴποιμεν ἄν, ὅτι καὶ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὸν σταυρὸν αὐτοῖς διελέγοντο πρώτοις. καὶ γὰρ πρὸ τοῦ σταυροῦ φησι τοῖς ἀποστόλοις, πορεύεσθε ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, καὶ μετὰ τὸν σταυρὸν οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ ἐκέλευσεν αὐτοῖς διαλέγεσθαι. Εἰ γὰρ καὶ εἶπε, μαθητεύσατε πάντα τὰ ἔθνη, ἀλλὰ μέλ-

Πραξ. α. η. λων εἰς τὸν οὐρανὸν ἀναβαίνειν ἐδήλωσεν ὅτι ἐκείνοις διαλέξονται πρώτοις. Λήψεσθε
γάρ, φησι, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε
Γαλ. β. η. Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. καὶ ὁ Παῦλος πάλιν, Ὁ γὰρ ἐνεργήσας
Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη. διὰ τοῦτο καὶ
οἱ ἀπόστολοι πρὸς τοὺς Ἰουδαίους πρῶτον ἐχώρησαν, καὶ πολὺν ἐν Ἱερουσαλὴμ διατρίψαντες
χρόνον, εἶτα ὑπ' αὐτῶν ἐλαθέντες, οὕτω διεσπάρησαν εἰς τὰ ἔθνη. σὺ δέ μοι ὅρα κἀντεῦθεν
τὴν φιλοτιμίαν τοῦ δεσπότου. ὅσους ἐὰν εὕρητε, φησί, καλέσατε εἰς τοὺς γάμους. πρὸ τούτου
μὲν γάρ, ὅπερ ἔφην, καὶ Ἰουδαίοις καὶ ἕλλησι διελέγοντο, ἐπὶ πλεῖον ἐν τῇ Ἰουδαίᾳ διατρίβοντες· γρ. ἔμενον
Πραξ. ιγ. ς. ἐπειδὴ δὲ ἐπέμενον ἐπιβουλεύοντες αὐτοῖς, ἄκουσον Παύλου τὴν παραβολὴν ἑρμηνεύοντος
ταύτην, καὶ λέγοντος οὕτως· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον
τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. διὰ τοῦτό
φησι καὶ αὐτός, ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. ᾔδει μὲν οὖν καὶ
πρὸ τούτου οὕτω· ἀλλ' ἵνα μηδεμίαν αὐτοῖς καταλίπῃ ἀναισχύντου τινὸς ″ἀπολογίας πρόφασιν, γρ. ἀπλη
καίπερ εἰδώς, πρὸς αὐτοὺς ″πρῶτον καὶ ἦλθε καὶ ἔπεμψεν, ἐκείνους τε ἐπιστομίζων, γρ. πρῶτος
καὶ ἡμᾶς παιδεύων τὰ παρ' ἑαυτῶν ἅπαντα πληροῦν, κἂν μηδεὶς μηδὲν κερδαίνειν μέλλῃ.
ἐπεὶ οὖν οὐκ ἦσαν ἄξιοι, πορεύεσθε, φησιν, εἰς τὰς τριόδους, καὶ ὅσους ἂν εὕρητε, καλέσατε, τουτέστι,
Ματθ. κα. λα. λβ. τοὺς τυχόντας καὶ τοὺς ἀπερριμμένους. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν, Ὅτι πόρναι καὶ τελῶναι
Ματθ. ιθ. λ. προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καί, Οἱ πρῶτοι ἔσχατοι ἔσονται, καὶ οἱ ἔσχατοι
πρῶτοι, δείκνυσιν ὅτι δικαίως ταῦτα γίνεται, ὃ μάλιστα πάντων ἔδακνεν Ἰουδαίους. καὶ γὰρ τῆς κατασκαφῆς
χαλεπώτερον μᾶλλον αὐτοὺς ἔκνιζε καὶ πολλῷ μεῖζον, τὸ ἀντ' ἐκείνων τοὺς ἐξ ἐθνῶν
εἰσαγομένους ὁρᾶν. εἶτα, ἵνα μηδὲ οὕτω τῇ πίστει θαρρήσωσι μόνῃ, καὶ περὶ τῆς κρίσεως αὐτοῖς διαλέγεται
τῆς ἐπὶ τῇ πονηρᾷ πράξει, τοῖς μὲν οὐδέπω πεπιστευκόσι, περὶ τοῦ προσελθεῖν τῇ πίστει,
τοῖς δὲ πεπιστευκόσι, περὶ τῆς κατὰ τὸν βίον ἐπιμελείας. ἔνδυμα γὰρ βίος ἐστὶ καὶ πρᾶξις. καὶ μὴν
χάριτος ἦν ἡ κλῆσις. τίνος οὖν ἕνεκεν ἀκριβολογεῖται; ὅτι τὸ μὲν κληθῆναι καὶ καθαρθῆναι,
χάριτος ἦν· τὸ δὲ κληθέντα καὶ καθαρὰ ἐνδυσάμενον μεῖναι ″τοιαῦτα διατηροῦντα, τῆς τῶν κληθέντων γρ. ταῦτα
σπουδῆς. τὸ κληθῆναι δὲ οὐκ ἀπὸ τῆς ἀξίας γέγονεν, ἀλλ' ἀπὸ τῆς χάριτος. ἔδει τοίνυν ἀμείψασθαι
τὴν χάριν τῷ ὑπακοῦσαι, οὐ τῷ ἐπιδείξασθαι τοσαύτην πονηρίαν μετὰ τὴν τιμήν.
ἀλλ' οὐκ ἀπέλαυσα, φησιν, ″ὅσον Ἰουδαῖοι. καὶ μὴν πολλῷ μειζόνων ἀπέλαυσας ἴσ. ἴσον
ἀγαθῶν. ἃ γὰρ διὰ παντὸς τοῦ χρόνου παρεσκεύαζεν ἐκείνοις, ταῦτα ἀθρόον ἔλαβες
Ρωμ. ιε. θ. σύ, οὐκ ἄξιος ὤν. διὸ καὶ Παῦλος λέγει, Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. ἃ γὰρ
ἐκείνοις ὠφείλετο, ταῦτα ἔλαβες. διὸ καὶ πολλὴ κεῖται ἡ δίκη τοῖς ἐρρᾳθυμηκόσι. καθάπερ
γὰρ ἐκεῖνοι τῷ μὴ ἐλθεῖν ὕβρισαν, οὕτω καὶ σὺ τῷ οὕτω κατακλιθῆναι μετὰ βίου διεφθαρμένου.
τὸ γὰρ ῥυπαροῖς ἱματίοις εἰσελθεῖν, [τοῦτο αἰνίττεται,] τουτέστι, βίον ἀκάθαρτον ἔχοντα
ἀπελθεῖν ἐντεῦθεν. διὸ καὶ ἐφιμώθη, φησιν. ὁρᾷς πῶς, καίτοι οὕτω τοῦ πράγματος ὄντος καταδήλου,
οὐ πρότερον κολάζει, ἕως ἂν αὐτὸς ὁ ἡμαρτηκὼς τὴν ψῆφον ἐξενέγκῃ; τῷ γὰρ
μηδὲν ἔχειν ἀντειπεῖν, κατέκρινεν ἑαυτόν, καὶ οὕτω πρὸς τὰς ἀπορρήτους ″αἴρεται κολάσεις. γρ. ἐλαύν
μὴ γὰρ δὴ σκότος ″ἀκούων, τοῦτο νομίσῃς αὐτὸν τιμωρεῖσθαι, τῷ εἰς ἀφεγγὲς πέμπεσθαι γρ. ἀκίνα
χωρίον μόνον, ἀλλ' ὅπου καὶ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. τοῦτο δὲ λέγει, τὰς ἀπαρτήτους
ἐνδεικνύμενος ὀδύνας.

ΗΘΙΚΟΝ Ἀκούσατε, ὅσοι μυστηρίων ἀπολαύσαντες, καὶ τοῖς γάμοις παραγινόμενοι, ῥυπαραῖς τὴν
ψυχὴν περιβάλλετε πράξεσιν. ἀκούσατε πόθεν ἐκλήθητε. ἀπὸ τῆς τριόδου. τί ὄντες;
χωλοὶ καὶ ἀνάπηροι κατὰ ψυχήν, ὃ πολλῷ χαλεπώτερον τῆς τοῦ σώματος ″λώβης. αἰδέσθητε γρ. βλάβ
τὴν φιλανθρωπίαν τοῦ καλέσαντος, καὶ μηδεὶς ″μὲν ἔσω ῥυπαρὰ ἔχων ἱμάτια, ἕκαστος ″ἡμῶν γρ. μηδὲ πω
περιεργαζέσθω τὴν στολὴν τῆς ψυχῆς. ἀκούσατε γυναῖκες, ἀκούσατε ἄνδρες· οὐ τούτων γρ. ὑμῶν

των ἡμῖν δεῖ τῶν ἱματίων τῶν χρυσοπάστων, τῶν τὰ ἔξωθεν ἡμῖν καλλωπιζόντων, ἀλλ' ἐκείνων τῶν τὰ ἔνδον. ἕως ἂν γὰρ ταῦτα ἔχωμεν, ἐκεῖνα περιθέσθαι δύσκολον. οὐκ ἔστιν ὁμοῦ καὶ ψυχὴν καὶ σῶμα καλλωπίζειν· οὐκ ἔστιν ὁμοῦ καὶ μαμμωνᾷ δουλεύειν, καὶ τῷ Χριστῷ ὑπακούειν ὡς δεῖ. ἀποθώμεθα τοίνυν ταύτην τὴν τυραννίδα τὴν χαλεπήν. οὐδὲ γάρ, εἴ τις τὸν μὲν οἶκον ἐκόσμει παραπετάσματα χρυσᾶ κρεμάσας, σὲ δὲ ἐν ῥακίοις γυμνὸν ἐποίει καθίσαι, πράως ἂν ἤνεγκας. ἀλλ' ἰδοὺ νῦν τοῦτο σὺ ταὐτὸν ἐργάζῃ, τὴν μὲν οἰκίαν τῆς ψυχῆς σου, τὸ σῶμα λέγω, μυρίοις παραπετάσμασι καλλωπίζων, ἐκείνην δὲ ἐν ῥακίοις ἀφεὶς καθῆσθαι. οὐκ οἶσθα ὅτι τὸν βασιλέα τῆς πόλεως μᾶλλον κοσμεῖσθαι δεῖ; διά τοι τοῦτο τῇ μὲν πόλει παραπετάσματα ἐκ λίνου κατεσκεύασται, τῷ δὲ βασιλεῖ, ἁλουργὶς καὶ διάδημα. οὕτω καὶ σύ. τὸ μὲν σῶμα πολλῷ φαυλοτέρᾳ περίβαλλε στολῇ, τὸν δὲ νοῦν ἁλουργίδα ἔνδυσον, καὶ στέφανον ἐπίθες αὐτῷ, καὶ κάθισον ἐπὶ ὀχήματος ὑψηλοῦ καὶ περιφανοῦς. ὡς νῦν γε τοὐναντίον ποιεῖς, τὴν μὲν πόλιν καλλωπίζων ποικίλως, τὸν δὲ βασιλέα νοῦν ἀφεὶς σύρεσθαι δεδεμένον ὀπίσω τῶν ἀλόγων παθῶν. οὐκ ἐννοεῖς ὅτι εἰς γάμον ἐκλήθης, καὶ Θεοῦ γάμον; οὐ λογίζῃ πῶς εἰς ταύτας τὰς παστάδας τὴν κληθεῖσαν ψυχὴν εἰσιέναι χρή; κροσσωτοῖς χρυσοῖς περιβεβλημένην, πεποικιλμένην; βούλει σοι δείξω τοὺς οὕτως ἐστολισμένους; τοὺς ἔνδυμα ἔχοντας γάμου; ἀναμνήσθητι τῶν ἁγίων ἐκείνων, ὑπὲρ ὧν πρώην ὑμῖν διελέχθην, τῶν τὰ τρίχινα ἐχόντων ἱμάτια, τῶν τὰς ἐρήμους οἰκούντων. οὗτοι μάλιστά εἰσιν οἱ τὰ ἐνδύματα τῶν γάμων ἐκείνων ἔχοντες. καὶ δῆλον ἐντεῦθεν. ὅσας γὰρ ἂν αὐτοῖς δῷς πορφυρίδας, οὐκ ἂν ἕλοιντο λαβεῖν· ἀλλ' ὥσπερ βασιλεύς, εἴ τις τοῦ πτωχοῦ τὰ ῥάκια τις λαβὼν κελεύει ταῦτα αὐτὸν ἐνδυθῆναι, βδελύξαιτο ἂν τὴν στολήν· οὕτω καὶ ἐκεῖνοι τὴν ἁλουργίδα τὴν βασιλικὴν ἐκείνου. οὐδαμόθεν δὲ ἑτέρωθεν τοῦτο πάσχουσιν, ἀλλ' ἢ διὰ τὸ εἰδέναι τὸ κάλλος τῆς ἑαυτῶν στολῆς. διὰ τοῦτο καὶ τὴν ἁλουργὴν ἐκείνην χλανίδα διαπτύουσιν, ὡς ἀράχνην. ταῦτα γὰρ αὐτοὺς ὁ σάκκος ἐδίδαξε. καὶ γάρ εἰσιν αὐτοῦ τοῦ βασιλεύοντος ὑψηλότεροι πολλῷ καὶ λαμπρότεροι. κἂν δυνηθῇς τὰς πύλας ἀναπτύξαι τοῦ νοῦ, καὶ τὴν ψυχὴν αὐτῶν κατιδεῖν καὶ τὸν ἔνδον ἅπαντα κόσμον· κἂν εἰς τὴν γῆν καταπέσοις, οὐ φέρων τῆς εὐμορφίας τὴν λαμπηδόνα, καὶ τὴν αἴγλην τῶν ἱματίων ἐκείνων, καὶ τὴν ἀστραπὴν τοῦ συνειδότος αὐτῶν. ἔχομεν εἰπεῖν καὶ παλαιοὺς ἄνδρας μεγάλους καὶ θαυμαστούς· ἀλλ' ἐπειδὴ τοὺς παχυτέρους τὰ ὁρώμενα ὑποδείγματα μᾶλλον ἐνάγει, διὰ τοῦτο ὑμᾶς καὶ ἐπὶ τὰς σκηνὰς πέμπω τῶν ἁγίων ἐκείνων. οὐδὲν γὰρ ἔχουσι λυπηρόν, ἀλλ' ἅτε ἐν οὐρανοῖς πηξάμενοι τὰς καλύβας, οὕτω πόρρω τῶν ἐν τῷ παρόντι βίῳ μοχθηρῶν ἐσκήνωνται, στρατοπεδευόμενοι κατὰ τοῦ διαβόλου, καὶ ὥσπερ χορεύοντες, οὕτω πολεμοῦσιν αὐτῷ. διά τοι τοῦτο καὶ καλύβας πηξάμενοι, πόλεις καὶ οἰκίας καὶ ἀγορὰς ἔφυγον. τὸν γὰρ πολεμοῦντα οὐκ ἔνι ἐν οἰκίᾳ καθῆσθαι, ἀλλὰ δεῖ σχεδιάσαντα τὴν οἴκησιν, ὡς μέλλοντα εὐθέως ἀπανίστασθαι, οὕτω κατοικεῖν. τοιοῦτοι ἐκεῖνοι πάντες, ἀπεναντίας [οἰκοῦντες] ἡμῖν. ἡμεῖς μὲν γὰρ οὐχ ὡς ἐν στρατοπέδῳ, ἀλλ' ὡς ἐν πόλει εἰρηνικῇ ζῶμεν. τίς γὰρ ἐπὶ στρατοπέδου ποτὲ θεμελίους καταβάλλεται, καὶ οἰκίαν οἰκοδομεῖ, ἣν μικρὸν ὕστερον ἀπολιμπάνειν μέλλει; οὐκ ἔστιν οὐδείς. ἀλλὰ κἂν ἐπιχειρῇ τις, ὡς προδότης ἀναιρεῖται. τίς ἐπὶ στρατοπέδου πλέθρα γῆς ὠνεῖται, καὶ πραγματείας συντίθησιν; οὐκ ἔστιν οὐδείς, καὶ μάλα εἰκότως. πολεμῆσαι γάρ, φησί, παραγέγονας, οὐ καπηλεῦσαι. τί τοίνυν φιλοπονεῖς περὶ τὸν τόπον, ὃν μικρὸν ὕστερον ἀφήσεις; ὅταν ἀπέλθωμεν εἰς τὴν πατρίδα, ταῦτα ποίει. ταῦτα καί σοι λέγω νῦν ἐγώ· ὅταν ἀναχωρήσωμεν εἰς τὴν πόλιν τὴν ἄνω, ταῦτα ποίει· μᾶλλον δὲ οὐδὲν δεῖ σοι πόνων ἐκεῖ λοιπόν. ὁ βασιλεὺς* σοι πάντα ποιεῖ καὶ ἐργάζεται). ἐνταῦθα δὲ ἀρκεῖ τάφρον περιελάσαι μόνον καὶ χάρακα πήξασθαι· οἰκοδομῆς δὲ οὐδεμία χρεία. ἄκουσον οἷος τῶν ἁμαξοβίων Σκυθῶν ὁ βίος, οἵαν τοὺς Νομάδας φασὶν ἔχειν διαγωγήν. οὕτω τοὺς χριστιανοὺς ζῆν ἔδει· περιιέναι τὴν οἰκουμένην πολεμοῦντας τῷ διαβόλῳ, αἰχμαλώτους ῥυομένους τοὺς ὑπ' ἐκείνου κατεχομένους, καὶ πάντων τῶν βιωτικῶν ἀπηλλάχθαι. Τί κατασκευάζεις οἰκίαν, ἄνθρωπε, ἵνα μᾶλλον σαυτὸν δήσῃς; τί κατορύττεις θησαυρόν, καὶ καλεῖς κατὰ σαυτοῦ τὸν πολέμιον; τί περιβάλλεις τείχη, καὶ σαυτῷ κατασκευάζεις φυλακήν; Εἰ δὲ δύσκολα ταῦτα εἶναί σοι δοκεῖ, ἀπέλθωμεν πρὸς τὰς ἐκείνων σκηνάς, ἵνα διὰ τῶν ἔργων μάθωμεν τὴν εὐκολίαν. καλύβας γὰρ ἐκεῖνοι πηξάμενοι, κἂν ἀποστῆναι δέῃ τούτων, οὕτως ἀφίστανται, ὥσπερ οἱ στρατιῶται τὸ στρατόπεδον ἐν εἰρήνῃ ἀφέντες. καὶ γὰρ οὕτως ἐσκήνωνται, μᾶλλον δὲ καὶ πολλῷ ἥδιον. καὶ γὰρ ἥδιον ἰδεῖν ἐρημίαν σκηνὰς ἔχουσαν μοναχῶν συνεχεῖς, ἢ στρατιώτας ἐν στρατοπέδῳ παραπετάσματα τείνοντας καὶ δόρατα πηγνυμένους, καὶ "τῆς τῶν δοράτων "αἰχμῆς φάρη κροκωτὰ ἐξαρτῶντας, καὶ πλῆθος ἀνθρώπων χαλκᾶς ἐχόντων κεφαλάς, καὶ πολὺ τῶν ἀσπίδων ἀστράπτοντας τοὺς ὀμφαλούς, καὶ σιδήρῳ τεθωρακισμένους ὅλους δι' ὅλου, καὶ βασίλεια ἐσχεδιασμένα, καὶ πεδίον ἡπλωμένον πολύ, καὶ ἀριστοποιουμένους καὶ αὐλοῦντας. οὐδὲ γὰρ οὕτω τερπνὸν τὸ θέατρον τοῦτο, οἷον ὃ ἐγὼ λέγω νῦν. ἂν γὰρ ἀπέλθωμεν εἰς τὴν ἔρημον, καὶ ἴδωμεν τῶν τοῦ Χριστοῦ στρατιωτῶν τὰς σκηνάς, οὐ παραπετάσματα τεινόμενα ὀψόμεθα, οὐδὲ αἰχμὰς δοράτων, οὐδὲ πέπλους χρυσοῦς θόλον βασιλικὴν ποιοῦντας· ἀλλ' οἷον [ἂν] εἴ τις ἐν γῇ πολλῷ ταύτης "μακροτέρᾳ καὶ ἀπείρῳ πολλοὺς ἔτεινεν οὐρανούς, καινὸν καὶ φρικῶδες ἂν ἔδειξε τὸ θέατρον· οὕτω καὶ ἐκεῖ θεάσασθαι ἔνι. οὐδὲν γὰρ αὐτῶν τὰ καταγώγια χεῖρον τῶν οὐρανῶν διάκειται. καὶ γὰρ ἄγγελοι καταίρουσι πρὸς αὐτούς, καὶ ὁ τῶν ἀγγέλων δεσπότης. Εἰ γὰρ πρὸς τὸν Ἀβραὰμ ἦλθον, ἄνδρα γυναῖκα ἔχοντα καὶ παιδία τρέφοντα, ἐπειδὴ φιλόξενον εἶδον, ὅταν πολλῷ πλείονα εὕρωσιν ἀρετήν, καὶ ἄνθρωπον σώματος ἀπαλλαγέντα, καὶ ἐν σαρκὶ σαρκὸς ὑπερορῶντα, πολλῷ μᾶλλον ἐνταῦθα διατρίβουσι, καὶ χορεύουσι τὴν αὐτοῖς πρέπουσαν χορείαν. καὶ γὰρ τράπεζα παρ' ἐκείνοις πάσης πλεονεξίας ἀπηλλαγμένη καὶ καθαρὰ καὶ φιλοσοφίας μεστή. οὐκ αἱμάτων χείμαρροι παρ' αὐτοῖς, οὐδὲ κρεῶν κατακοπαί, οὐδὲ καρηβαρείαι, οὐδὲ καρυκεῖαι, οὐδὲ κνίσα ἀηδής, οὐδὲ καπνὸς ἀτερπής, οὐδὲ δρόμοι καὶ θόρυβοι καὶ ταραχαὶ καὶ κραυγαὶ ἐπαχθεῖς, ἀλλ' ἄρτος καὶ ὕδωρ, τὸ μὲν ἐκ πηγῆς καθαρᾶς, τὸ δὲ ἀπὸ πόνων δικαίων. Εἰ δέ τι καὶ φιλοτιμότερον ἑστιάσασθαι βουληθεῖεν, ἀκρόδρυα ἡ φιλοτιμία γίνεται, καὶ μείζων ἐνταῦθα ἡ ἡδονή, ἢ ἐν ταῖς βασιλικαῖς τραπέζαις. οὐδεὶς ἐνταῦθα φόβος καὶ τρόμος, οὐκ ἄρχων ἐνεκάλεσεν, οὐ γυνὴ παρώξυνεν, οὐ παιδίον εἰς ἀθυμίαν ἐνέβαλεν, οὐ γέλως ἄτακτος ἐξέλυσεν, οὐ κολάκων πλῆθος ἐφύσησεν, ἀλλ' ἀγγέλων ἐστὶν ἡ τράπεζα πάσης τοιαύτης ταραχῆς ἀπηλλαγμένη, καὶ στιβὰς δὲ αὐτοῖς χόρτος ἁπλῶς ὑπόκειται, καθάπερ ἐν ἐρήμῳ ἀριστοποιῶν ὁ Χριστὸς ἐποίησε. πολλοὶ δὲ οὐδὲ ὑπωρόφιοι τοῦτο ποιοῦσιν, ἀλλὰ ἀντὶ στέγης τὸν οὐρανὸν ἔχουσι, καὶ τὴν σελήνην ἀντὶ φωτὸς λύχνου, οὐ δεομένου ἐλαίου, οὐδὲ τοῦ διακονησομένου. ἐκείνοις μόνοις ἀξίως ἄνωθεν αὕτη φαίνει. ταύτην καὶ ἄγγελοι τὴν τράπεζαν ἐκ τοῦ οὐρανοῦ θεωροῦντες, τέρπονται καὶ ἥδονται. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν, ἐπὶ δικαίοις τοσούτοις μιμουμένοις αὐτοὺς τί οὐκ ἐργάσονται; οὐκ ἔστιν ἐκεῖ δεσπότης καὶ δοῦλος, πάντες δοῦλοι, πάντες ἐλεύθεροι. καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον. καὶ γὰρ δοῦλοι ἀλλήλων, καὶ δεσπόται ἀλλήλων εἰσίν. οὐκ ἔστιν ἑσπέρας καταλαβούσης ἐν κατηφείᾳ γενέσθαι, ὅπερ πολλοὶ τῶν ἀνθρώπων πάσχουσι, τὰς ἐκ τῶν καθημερινῶν κακῶν ἀναλογιζόμενοι φροντίδας· οὐκ ἔστι μετὰ τὸ δεῖπνον μεριμνῆσαι λῃστάς, καὶ ἀποκλεῖσαι θύραν καὶ ἐπιθεῖναι μοχλόν, οὐδὲ τἄλλα δεῖσαι, ἃ πολλοὶ δεδοίκασι, τοὺς λύχνους μετὰ ἀκριβείας "κοιμίζοντες, μήπου σπινθὴρ ἐμπρήσῃ τὴν οἰκίαν. καὶ ἡ διάλεξις δὲ αὐτοῖς τῆς αὐτῆς γέμει γαλήνης. οὐ γὰρ ταῦτα, ἅπερ ἡμεῖς διαλεγόμεθα, φθέγγονται, τὰ μηδὲν πρὸς ἡμᾶς· ὁ δεῖνα γέγονεν ἄρχων, ὁ δεῖνα ἐπαύσατο ἄρχων, ὁ δεῖνα ἐτελεύτησε, καὶ τὴν κληρονομίαν διεδέξατο ἕτερος, καὶ ὅσα τοιαῦτα. ἀλλ' ἀεὶ περὶ τῶν μελλόντων φθέγγονται καὶ φιλοσοφοῦσι·

γρ. ταῖς
γρ. αἰχμαῖ
γρ. ὀξυδωμ
γρ. μακροτέ
τῇ γῇ
Λουκ. 15. 6.
γρ. κοιμίζοντ

φοῦσι· καὶ ὥσπερ ἑτέραν οἰκοῦντες οἰκουμένην, ὥσπερ εἰς αὐτὸν μεταστάντες τὸν οὐρανὸν, ὥσπερ ἐκεῖ ζῶντες, οὕτω τὰ ἐκεῖ πάντα διαλέγονται, περὶ τῶν κόλπων τοῦ Ἀβραὰμ, περὶ τῶν στεφάνων τῶν ἁγίων, περὶ τῆς μετὰ Χριστοῦ χορείας· καὶ τῶν παρόντων αὐτοῖς οὐδὲ μνήμη τις οὐδὲ λόγος. ἀλλ᾽ ὥσπερ ἡμεῖς οὐκ ἂν ἀξιώσαιμέν τι εἰπεῖν, περὶ ὧν οἱ μύρμηκες κατὰ τὰς ὀπὰς καὶ τοὺς χηραμοὺς πράττουσιν, οὕτως οὐδὲ ἐκεῖνοι, τί ποιοῦμεν ἡμεῖς, ἀλλὰ περὶ τοῦ βασιλέως τοῦ ἄνω, περὶ τοῦ πολέμου τοῦ ἐν χερσὶ, περὶ τῶν τοῦ διαβόλου μηχανημάτων, περὶ τῶν κατορθωμάτων, ὧν οἱ ἅγιοι κατώρθωσαν. τί τοίνυν πρὸς ἐκείνους ἡμεῖς παραβαλλόμενοι, μυρμήκων διενηνόχαμεν; οὐδέν. καθάπερ γὰρ ἐκεῖνοι τῶν σωματικῶν ἐπιμελοῦνται, οὕτω καὶ ἡμεῖς· καὶ εἴθε τούτων μόνον ἡμεῖς*, νῦν δὲ καὶ πολλῷ χειρόνων. οὐ γὰρ τῶν ἀναγκαίων ἐπιμελούμεθα μόνον, καθάπερ ἐκεῖνοι, ἀλλὰ καὶ τῶν περιττῶν. οἱ μὲν γὰρ πόῤῥω παντὸς ἐγκλήματος ἀπηλλαγμένον μετέρχονται, ἡμεῖς δὲ πᾶσαν πλεονεξίαν, καὶ οὐδὲ τὰ μυρμήκων μιμούμεθα, ἀλλὰ τὰ τῶν λύκων, τὰ τῶν παρδάλεων, μᾶλλον δὲ καὶ ἐκείνων χείρους. ἐκείνοις μὲν γὰρ ἡ φύσις οὕτως ἔδωκε τρέφεσθαι· ἡμᾶς δὲ λόγῳ καὶ ″ἰσοτιμίᾳ τετίμηκεν ὁ ″Χριστὸς, καὶ τῶν θηρίων γεγόναμεν χείρους. καὶ ἡμεῖς μὲν τῶν ἀλόγων χείρους γεγόναμεν· ἐκεῖνοι δὲ τῶν ἀγγέλων ἴσοι, ξένοι καὶ παρεπίδημοι τῶν ἐνταῦθα ὄντες· καὶ πάντα αὐτοῖς ἐνήλλακται πρὸς ἡμᾶς, καὶ ἐνδύματα, καὶ τροφὴ, καὶ οἰκία, καὶ ὑποδήματα, καὶ λαλιά. καὶ εἴ τις ἐκείνων ἤκουσε διαλεγομένων καὶ ἡμῶν, τότε ἂν ἔγνω καλῶς, πῶς οἱ μὲν ″οὐρανοπολῖται, ἡμεῖς δὲ οὐδὲ τῆς γῆς ἄξιοι. διὰ δὴ τοῦτο ἐπειδάν τις ἀξίωμα περιβεβλημένος ἀπέλθῃ πρὸς αὐτοὺς, τότε μάλιστα ἐλέγχεται ὁ τῦφος ἅπας. ὁ γὰρ γηπόνος ἐκεῖνος καὶ ὁ πάντων ἄπειρος τῶν βιωτικῶν, τοῦ στρατηγοῦ καὶ μέγα ἐπὶ τῇ ἀρχῇ φρονοῦντος πλησίον κάθηται ἐπὶ στιβάδος, ἐπὶ προσκεφαλαίου ῥυπῶντος. οὐ γάρ εἰσιν οἱ αἴροντες αὐτὸν καὶ φυσῶντες· ἀλλὰ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις παρὰ χρυσοχόον ἔλθῃ καὶ ῥοδωνιάν. καὶ γὰρ καὶ ἀπὸ τοῦ χρυσίου, καὶ ἀπὸ τῶν ῥόδων δέχεταί τινα λαμπηδόνα. οὕτω κἀκεῖνοι ἀπὸ τῆς αὐγῆς τῆς τούτων κερδαίνοντες μικρὸν, τῆς ἀπονοίας τῆς ἔμπροσθεν ἀπαλλάττονται. καὶ ὥσπερ εἴ τις εἰς ὑψηλὸν ″ἔλθοι τόπον, κἂν σφόδρα βραχὺς ᾖ, ὑψηλὸς φαίνεται· οὕτω καὶ οὗτοι, πρὸς τὰς ὑψηλὰς αὐτῶν ἐρχόμενοι διανοίας, τοιοῦτοι φαίνονται ἕως ἂν ἐκεῖ μένωσι· κατελθόντες δὲ ταπεινοῦνται πάλιν, ἀπὸ τοῦ ὕψους ἐκείνου καταβαίνοντες. οὐδὲν παρ᾽ ἐκείνοις βασιλεὺς, οὐδὲν ὕπαρχος. ἀλλ᾽ ὥσπερ ἡμεῖς τῶν παιδίων ταῦτα παιζόντων γελῶμεν, οὕτω κἀκεῖνοι τῶν φλεγμονὴν τὴν ἔξω σοβούντων διαπτύουσι. καὶ δῆλον ἐντεῦθεν. εἰ γάρ τις αὐτοῖς δοίη μετὰ ἀσφαλείας βασιλείαν, οὐκ ἄν ποτε ἕλοιντο. ἕλοιντο δ᾽ ἂν, εἰ μὴ μεῖζον αὐτῆς ἐφρόνουν, εἰ μὴ πρόσκαιρον εἶναι τὸ πρᾶγμα ἐνόμιζον. τί οὖν; οὐκ αὐτομολήσομεν πρὸς τοσαύτην μακαριότητα; οὐχ ἥξομεν πρὸς τοὺς ἀγγέλους τούτους; οὐ ληψόμεθα καθαρὰ ἱμάτια, καὶ ἐμπομπεύσομεν τοῖς γάμοις τούτοις· ἀλλὰ μενοῦμεν προσαιτοῦντες, τῶν ἐν ταῖς τριόδοις πτωχῶν οὐδὲν ἄμεινον διακείμενοι, μᾶλλον δὲ καὶ πολλῷ χεῖρον καὶ ἀθλιώτερον; καὶ γὰρ ἐκείνων πολλῷ ″χείρους οἱ κακῶς πλουτοῦντες, καὶ βέλτιον ἐπαιτεῖν, ἢ ἁρπάζειν. τὸ μὲν γὰρ ἔχει συγγνώμην, τὸ δὲ κόλασιν φέρει· καὶ ὁ μὲν οὐδὲν προσκρούει Θεῷ, οὗτος δὲ καὶ ἀνθρώποις καὶ Θεῷ· καὶ τοὺς μὲν πόνους ὑφίσταται τῆς ἁρπαγῆς, τὴν δὲ ἀπόλαυσιν ἕτεροι πολλάκις ἐκαρπώσαντο ἅπασαν. ταῦτ᾽ οὖν εἰδότες καὶ ἀποθέμενοι τὴν πλεονεξίαν ταύτην, πλεονεκτήσωμεν τὰ ἄνω, μετὰ πολλῆς σπουδῆς τὴν βασιλείαν ἁρπάζοντες. οὐ γάρ ἐστιν, οὐκ ἔστι ῥᾳθυμοῦντά τινα εἰσελθεῖν. γένοιτο δὲ πάντας σπουδαίους καὶ ἐγρηγορότας γεγονότας ταύτης ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ο.

15 ΤΟΤΕ ΠΟΡΕΥΘΕΝΤΕΣ ΟΙ ΦΑΡΙΣΑΙΟΙ συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.

Τότε, πότε; ὅτε μάλιστα κατανυγῆναι ἔδει, ὅτε ἐκπλαγῆναι τὴν φιλανθρωπίαν, ὅτε φοβηθῆναι τὰ μέλλοντα, ὅτε ἀπὸ τῶν παρελθόντων καὶ περὶ τῶν μελλόντων πιστεῦσαι ἐχρῆν. καὶ γὰρ ἐπὶ τῶν πραγμάτων τὰ εἰρημένα ἐβόα. τελῶναι γὰρ καὶ πόρναι ἐπίστευσαν, καὶ προφῆται καὶ δίκαιοι ἀνῃρέθησαν. καὶ ἀπὸ τούτων ἐχρῆν καὶ περὶ τῆς ἀπωλείας ἑαυτῶν μὴ ἀντιλέγειν, ἀλλὰ καὶ πιστεύειν καὶ σωφρονίζεσθαι. ἀλλ' ὅμως οὐδὲ οὕτω λήγει τὰ τῆς κακίας αὐτῶν, ἀλλ' ὠδίνει καὶ πρόεισι περαιτέρω. ἀλλ' ἐπειδὴ κατασχεῖν αὐτὸν οὐκ εἶχον (ἐφοβοῦντο γὰρ τοὺς ὄχλους) ἑτέραν ἦλθον ὁδὸν, ὡς δὴ εἰς κίνδυνον ἐμβαλοῦντες, καὶ δημοσίων ποιήσαντες ἀδικημάτων ὑπεύθυνον.

16 Ἀποστέλλουσι γὰρ αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες, διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός. οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

17 Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

Καὶ γὰρ φόρου λοιπὸν ἦσαν ὑποτελεῖς, τῶν πραγμάτων αὐτοῖς εἰς τὴν Ῥωμαίων ἀρχὴν μεταπεσόντων. ἐπειδὴ γὰρ εἶδον, ὅτι οἱ περὶ τούτου διὰ τοῦτο ἀπέθανον, οἱ περὶ Θευδᾶν καὶ Ἰούδαν, ὡς ἀποστασίαν μελετήσαντες, ἐβούλοντο καὶ αὐτὸν διὰ τῶν λόγων τούτων εἰς τοιαύτην ὑποψίαν ἐμβαλεῖν. διὰ τοῦτο καὶ τοὺς αὐτῶν μαθητὰς καὶ τοὺς Ἡρώδου στρατιώτας ἔπεμψαν, διπλοῦν, ὡς ᾤοντο, τὸν κρημνὸν ἑκατέρωθεν ὀρύττοντες, καὶ πανταχόθεν τιθέντες τὴν παγίδα, ἵν', ὅπερ ἂν εἴπῃ, ἐπιλάβωνται· κἂν μὲν ὑπὲρ τῶν Ἡρωδιανῶν ἀποκρίνηται, αὐτοὶ ἐγκαλέσωσιν· ἂν δὲ ὑπὲρ αὐτῶν, ἐκεῖνοι κατηγορήσωσι. καίτοιγε ἦν δεδωκὼς τὰ δίδραχμα· ἀλλ' οὐκ ᾔδεσαν τοῦτο, καὶ ἑκατέρωθεν μὲν αὐτὸν προσεδόκων αἱρήσειν, ἐπεθύμουν δὲ μᾶλλον κατὰ τῶν Ἡρωδιανῶν αὐτὸν εἰπεῖν τι. διὸ καὶ τοὺς μαθητὰς πέμπουσιν, εἰς τοῦτο ὠθοῦντες αὐτὸν τῇ παρουσίᾳ, ἵνα παραδῶσι τῷ ἡγεμόνι, ὡς τύραννον. τοῦτο γὰρ καὶ ὁ Λουκᾶς αἰνιττόμενος ἐδήλου λέγων, ὅτι καὶ ἐπὶ τῶν ὄχλων ἠρώτων, ὡς μείζονα γενέσθαι τὴν μαρτυρίαν. ἐγένετο δὲ τοὐναντίον ἅπαν. ἐν πλείονι γὰρ θεάτρῳ τῆς ἀνοίας αὐτῶν παρέσχον τὴν ἀπόδειξιν. καὶ ὅρα τὴν κολακείαν αὐτῶν καὶ τὸν ἐγκεκρυμμένον δόλον. οἴδαμεν, φασὶν, ὅτι ἀληθὴς εἶ. πῶς οὖν ἐλέγετε, ὅτι πλάνος ἐστὶ, καὶ πλανᾷ τὸν ὄχλον, καὶ δαιμόνιον ἔχει, καὶ οὐκ ἔστιν ἀπὸ Θεοῦ; πῶς πρὸ μικροῦ ἐβουλεύεσθε αὐτὸν ἀνελεῖν; ἀλλὰ πάντα γίγνονται, ἅπερ ἂν ἡ ἐπιβουλὴ ὑπαγορεύσῃ. ἐπειδὴ γὰρ πρὸ μικροῦ εἰπόντες μετ' αὐθαδείας, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, πρὸς τὴν ἐρώτησιν οὐκ ἔτυχον ἀποκρίσεως, προσδοκῶσιν αὐτὸν τῇ κολακείᾳ χαυνοῦν, καὶ πείθειν εἰπεῖν τι κατὰ τῶν καθεστώτων νόμων, καὶ τῆς κρατούσης πολιτείας τὸ ὑπεναντίον. ὅθεν καὶ τὴν ἀλήθειαν μαρτυροῦσιν αὐτῷ, ὁμολογοῦντες τὸ ὄν· πλὴν οὐκ ὀρθῇ γνώμῃ, οὐδὲ ἑκόντες· καὶ προστιθέασι λέγοντες, οὐ μέλει σοι περὶ οὐδενός. ὅρα πῶς εἰσι δῆλοι βουλόμενοι εἰς τούτους μᾶλλον ἐμβαλεῖν αὐτὸν τοὺς λόγους τοὺς ποιοῦντας αὐτὸν καὶ Ἡρώδῃ προσκροῦσαι, καὶ τυράννου ὑποψίαν λαβεῖν, ὡς κατεξανιστάμενον τῶν νόμων, ἵνα ὡς στασιαστὴν καὶ τύραννον κολάσωσι. τὸ γὰρ, οὐ μέλει σοι περὶ οὐδενός, καὶ οὐ βλέπεις εἰς πρόσωπον ἀνθρώπου, περὶ Ἡρώδου καὶ Καίσαρος ᾐνίττοντο λέγοντες. εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; νῦν τιμᾶτε καὶ διδάσκαλον νομίζετε, ἐν οἷς τὰ περὶ τῆς ὑμῶν σωτηρίας διελέγετο καταφρονήσαντες καὶ ὑβρίσαντες πολλάκις. καὶ ὅρα τὸ κακοῦργον αὐτῶν. οὐ λέγουσιν, εἰπὲ ἡμῖν τί τὸ καλὸν, τί τὸ συμφέρον, τί τὸ νόμιμον, ἀλλὰ τί σοι δοκεῖ; οὕτω πρὸς

γρ. βασιλ

γρ. ἀνθρώ

γρ. μεταπε- σόντων.

γρ. ἦν

γρ. ἅπερ

γρ. τῇ κρα- σῃ πολιτ

γρ. κατεξ- σαμένου

ἐν τούτῳ ἔβλεπον, τὸ προδοῦναι αὐτὸν καὶ ἐκπολεμῶσαι τῷ κρατοῦντι. καὶ ὁ Μάρκος δὲ τοῦτο δηλῶν, καὶ τὸ αὐθάδες αὐτῶν σαφέστερον ἐκκαλύπτων, καὶ τὴν φονικὴν αὐτῶν γνώμην, φησὶν αὐτοὺς εἰρηκέναι, Δῶμεν Καίσαρι κῆνσον, ἢ μὴ δῶμεν; οὕτω θυμοῦ μὲν ἔπνεον, καὶ Μαρ. ιβ. ιδ. ὤδινον ἐπιβουλήν, ὑπεκρίνοντο δὲ θεραπείαν. τί οὖν αὐτός; τί με πειράζετε ὑποκριταί; εἶδες πῶς πληκτικώτερον αὐτοῖς διαλέγεται; ἐπειδὴ γὰρ ἀπηρτισμένη καὶ πρόδηλος ἦν ἡ κακία, βαθυτέραν δίδωσι τὴν τομήν, πρότερον αὐτοὺς συγχέων καὶ ἐπιστομίζων, τῷ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν, καὶ δῆλον ἅπασι ποιεῖν μεθ᾽ οἵας αὐτῷ προσέρχονται διανοίας. ταῦτα δὲ ἐποίει, ἀναστέλλων αὐτῶν τὴν κακίαν, ὥστε μὴ πάλιν τοῖς αὐτοῖς ἐπιχειροῦντας καταβλάπτεσθαι. καίτοιγε τὰ ῥήματα πολλῆς ἔγεμε θεραπείας. καὶ γὰρ καὶ διδάσκαλον ἐκάλουν καὶ ἀλήθειαν ἐμαρτύρουν, καὶ τὸ ἀπροσωπόληπτον· ἀλλὰ Θεὸς ὢν, οὐδενὶ τούτων παρελογίζετο. ὅθεν κἀκείνους ἐχρῆν στοχάζεσθαι, ὅτι οὐ στοχασμοῦ ἡ ἐπίπληξις ἦν, ἀλλὰ σημεῖον τοῦ τὰ ἀπόρρητα αὐτῶν εἰδέναι. οὐ μὴν μέχρι τῆς ἐπιπλήξεως ἔστη· καίτοιγε ἤρκει μόνον ἐλέγξαντα τὴν γνώμην αὐτῶν καταισχῦναι αὐτοὺς τῆς πονηρίας· ἀλλ᾽ οὐχ ἵσταται μέχρι τούτου, ἀλλὰ καὶ ἑτέρως ἀποῤῥάπτει αὐτῶν τὰ στόματα.

19 Ἐπιδείξατε γάρ μοί, φησι, τὸ νόμισμα τοῦ κήνσου. Καὶ ὡς ἐπέδειξαν, ὅπερ ἀεὶ ποιεῖ, διὰ τῆς ἐκείνων γλώττης ἐκφέρει τὴν ἀπόφασιν, καὶ αὐτοὺς ψηφίσασθαι παρασκευάζει ὅτι ἔξεστιν, ὅπερ ἦν λαμπρὰ καὶ σαφὴς νίκη. ὥστε ὅταν ἐρωτᾷ, οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ ταῖς οἰκείαις αὐτῶν ἀποκρίσεσιν ὑπευθύνους αὐτοὺς ποιῆσαι βουλόμενος. ἐπειδὴ γὰρ ἐρωτηθέντες,

20 Τίνος ἡ εἰκών, εἶπον ὅτι Καίσαρος· 21 Φησὶν, ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Οὐ γάρ ἐστι τοῦτο δοῦναι, ἀλλ᾽ ἀποδοῦναι. καὶ τοῦτο καὶ ἀπὸ τῆς εἰκόνος καὶ ἀπὸ τῆς ἐπιγραφῆς δείκνυται. εἶτα ἵνα μὴ εἴπωσιν, * ἀνθρώποις ἡμᾶς ὑποτάττεις; ἐπήγαγε, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. ἔξεστι γὰρ καὶ ἀνθρώποις τὰ αὐτῶν πληροῦν, καὶ Θεῷ διδόναι τὰ τῷ Θεῷ παρ᾽ ἡμῶν ὀφειλόμενα. διὸ καὶ Παῦλός φησιν, Ἀπόδοτε πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν. σὺ δὲ ὅταν ἀκούσῃς, ἀπόδος τὰ Καίσαρος Καίσαρι, ἐκεῖνα γίνωσκε λέγειν αὐτὸν μόνον, τὰ μηδὲν τὴν εὐσέβειαν παραβλάπτοντα. ὡς ἐάν τι τοιοῦτον ᾖ, οὐκέτι Καίσαρος, ἀλλὰ τοῦ διαβόλου φόρος ἐστὶ καὶ τέλος τὸ τοιοῦτον. Ταῦτα ἀκούσαντες ἐπεστομίσθησαν, καὶ ἐθαύμασαν τὴν σοφίαν. οὐκοῦν πιστεῦσαι ἐχρῆν, οὐκοῦν ἐκπλαγῆναι. καὶ γὰρ θεότητος αὐτοῖς παρέσχεν ἀπόδειξιν τὰ ἀπόρρητα ἐκκαλύψας, καὶ μετ᾽ ἐπιεικείας αὐτοὺς ἐπεστόμισε. τί οὖν; ἐπίστευσαν; οὐδαμῶς,

Ρωμ. ιγ. ζ.

22 Ἀλλὰ ἀφέντες αὐτὸν ἀπῆλθον,

23 Καὶ μετ᾽ αὐτοὺς προσῆλθον οἱ σαδδουκαῖοι. Ὢ τῆς ἀνοίας· ἐκείνων ἐπιστομισθέντων οὗτοι προσβάλλουσι, δέον ὀκνηροτέρους γενέσθαι. ἀλλὰ τοιοῦτον ἡ θρασύτης, ἀναίσχυντον καὶ ἰταμὸν καὶ ἀδυνάτοις ἐπιχειροῦν. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐκπληττόμενος αὐτῶν τὴν ἀπόνοιαν, αὐτὸ τοῦτο ἐπισημαίνεται λέγων· ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον. ἐν ἐκείνῃ, ποίᾳ; ἐν ᾗ τὴν ἐκείνων κακουργίαν διήλεγξε, καὶ κατῄσχυνεν αὐτούς. τίνες δὲ εἰσὶν οὗτοι; αἵρεσις Ἰουδαίων ἑτέρα παρὰ τοὺς Φαρισαίους, κἀκείνων πολὺ καταδεεστέρα, λέγουσα μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα. παχύτεροι γάρ τινες οὗτοι, καὶ "περὶ τὰ σωματικὰ ἐπτοημένοι. πολλαὶ γὰρ καὶ ἐπὶ Ἰουδαίων αἱρέσεις ἦσαν. διὸ καὶ Παῦλος λέγει, Φαρισαῖός εἰμι, τῆς ἀκριβεστάτης αἱρέσεως παρ᾽ ἡμῖν. καὶ ἐξ εὐθείας μὲν οὐδὲν οὗτοι περὶ ἀναστάσεως λέγουσι· λόγον δέ τινα πλάττουσι καὶ πρᾶγμα συντιθέασιν, ὡς ἔγωγε οἶμαι, οὐδὲ γεγενημένον, οἰόμενοι εἰς ἀπορίαν αὐτὸν ἐμβαλεῖν, καὶ θέλοντες ἀνατρέψαι ἀμφότερα, καὶ τὸ ἀνάστασιν εἶναι, καὶ τὸ τοιαύτην ἀνάστασιν. "ὁμοίως δὲ καὶ οὗτοι μετ᾽ ἐπιεικείας δῆθεν" προσβάλλουσι

Πραξ. κγ. ϛ.

λουσι λέγοντες· 24 Διδάσκαλε, Μωϋσῆς εἶπεν, ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

25 Ησαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησεν" ἄτεκνος·

γ. καὶ μὴ ἔχ
σπέρμα αὐ
τὴν γυν
τῷ ἀδελ

26 Ομοίως [δὲ] καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.

27 Υστερον δὲ ἀπέθανε καὶ ἡ γυνή.

28 Εν τῇ οὖν ἀναστάσει τίνος" τῶν ἑπτὰ ἔσται γυνή; Ορα τούτοις διδασκαλικῶς ἀποκρινόμενον. εἰ γὰρ καὶ ἀπὸ κακουργίας προσῆλθον, ἀλλ' ὅμως καὶ ἀγνοίας ἡ ἐρώτησις ἦν [μᾶλλον.] διὸ οὐδὲ λέγει αὐτοῖς, ὑποκριταί. Εἶτα, ἵνα μὴ ἐγκαλέσῃ, διατί ἑπτὰ μίαν ἔσχον, προστιθέασι καὶ τὸν Μωϋσέα· καίτοιγε ὅπερ ἔφθην εἰπὼν, πλάσμα ἦν, ὡς ἔγωγε οἶμαι. οὐ γὰρ ἂν ὁ τρίτος ἔλαβε, τοὺς δύο νυμφίους" ὁρῶν γινομένους νεκρούς. Εἰ δὲ ὁ τρίτος, ἀλλ' οὐχ ὁ τέταρτος, οὐδὲ ὁ πέμπτος. Εἰ δὲ καὶ οὗτοι, πολλῷ μᾶλλον ὁ ἕκτος ἢ ὁ ἕβδομος οὐκ ἂν προσῆλθον, ἀλλ' οἰωνίσαντο ἂν τὴν γυναῖκα. τοιοῦτοι γὰρ οἱ Ιουδαῖοι. Εἰ γὰρ νῦν πολλοὶ τοῦτο πάσχουσι, πολλῷ μᾶλλον τότε ἐκεῖνοι· ὅπουγε καὶ χωρὶς τούτου πολλάκις τὸ συνοικεῖν ἔφυγον, καὶ ταῦτα τοῦ νόμου καταναγκάζοντος. οὕτω γοῦν ἡ Ρούθ ἡ Μωαβίτις ἐκείνη γυνὴ πρὸς τὸν μακροτέρω τῆς συγγενείας ἐξεκυλίσθη· καὶ ἡ Θάμαρ δὲ ἐντεῦθεν παρὰ τοῦ κηδεστοῦ κλέψαι σπέρμα κατηναγκάζετο. καὶ τίνος ἕνεκεν οὐκ ἔπλασαν δύο ἢ τρεῖς, ἀλλ' ἑπτά; ὥστε ἐκ περιουσίας κωμῳδῆσαι, ὡς ᾤοντο, τὴν ἀνάστασιν. διὸ καὶ λέγουσι, πάντες ἔσχον αὐτὴν, ὡς εἰς ἄπορόν τι αὐτὸν ἐμβαλοῦντες. τί οὖν ὁ Χριστός; πρὸς ἀμφότερα ἀποκρίνεται, οὐ πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν γνώμην ἱστάμενος, καὶ πανταχοῦ τὰ ἀπόρρητα αὐτῶν ἐκκαλύπτων, καὶ ποτὲ μὲν αὐτὰ ἐκπομπεύων, ποτὲ δὲ τῷ συνειδότι τῶν ἐρωτώντων ἀφιεὶς τὸν ἔλεγχον. ὅρα γοῦν ἐνταῦθα πῶς ἀμφότερα δείκνυσι, καὶ ὅτι ἀνάστασις ἔσται, καὶ ὅτι οὐ τοιαύτη ἀνάστασις, οἵαν ὑποπτεύουσι. τί γάρ φησι;

γ. αὐτῶν

γ. ἰδὼν

29 Πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

Επειδὴ γὰρ ὡς εἰδότες, Μωϋσέα προβάλλονται καὶ τὸν νόμον, δεικνύουσιν ὅτι τοῦτο μάλιστα ἀγνοούντων ἐστὶ τὰς γραφὰς τὸ ἐρώτημα. ἐντεῦθεν γὰρ καὶ τὸ πειράζειν αὐτοῖς ἦν, ἐκ τοῦ τὰς γραφὰς ἀγνοεῖν, καὶ τοῦ Θεοῦ τὴν δύναμιν μὴ εἰδέναι ὡς χρή. τί οὖν θαυμαστὸν, φησιν, εἰ ἐμὲ πειράζετε τὸν ἔτι ἀγνοούμενον ὑμῖν, ὅπουγε οὐδὲ τοῦ Θεοῦ τὴν δύναμιν ἴστε, ἧς τοσαύτην πεῖραν εἰλήφατε, καὶ οὔτε ἐκ κοινῶν ἐννοιῶν, οὔτε ἀπὸ γραφῶν αὐτὴν ἔγνωτε, εἰ ἄρα καὶ οἱ κοινοὶ λογισμοὶ τοῦτο παρέχουσιν εἰδέναι, ὅτι τῷ Θεῷ πάντα δυνατά; καὶ πρότερον μὲν πρὸς τὸ ἐρωτηθὲν ἀποκρίνεται. ἐπειδὴ γὰρ τοῦτο αἴτιον ἦν αὐτοῖς τοῦ μὴ νομίζειν ἀνάστασιν, τὸ νομίζειν τοιαύτην εἶναι τὴν πραγμάτων τότε κατάστασιν, τὸ αἴτιον θεραπεύει, εἶτα καὶ τὸ σύμπτωμα (ἀπὸ γὰρ τούτου καὶ τὸ νόσημα γέγονε) καὶ δείκνυσι τῆς ἀναστάσεως τὸν τρόπον.

30 Εν γὰρ τῇ ἀναστάσει, φησὶν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ. Ο δὲ Λουκᾶς φησιν, ὡς υἱοὶ Θεοῦ. Εἰ τοίνυν οὐ γαμοῦσι, περιττὴ ἡ ἐρώτησις. οὐ μὴν ἐπειδὴ οὐ γαμοῦσι, διὰ τοῦτο ἄγγελοι· ἀλλ' ἐπειδὴ ὡς ἄγγελοι, διὰ τοῦτο οὐ γαμοῦσιν. ἀπὸ τούτου καὶ ἕτερα πολλὰ ἀνεῖλεν, ἅπερ ἅπαντα δι' ἑνὸς ῥήματος ὁ Παῦλος ᾐνίξατο εἰπών· Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. καὶ διὰ μὲν τούτων ἐδήλωσεν ἡλίκη ἡ ἀνάστασις· ὅτι δὲ καὶ ἀνάστασίς ἐστι, δείκνυσι. καίτοι συναποδέδεικται τῷ εἰρημένῳ καὶ τοῦτο· ἀλλ' ὅμως ἐκ περιουσίας τῷ λόγῳ πάλιν προστίθησι λέγων. οὐδὲ γὰρ πρὸς τὸ ἐρώτημα ἔστη μόνον, ἀλλὰ καὶ πρὸς τὴν ἔννοιαν αὐτῶν. οὕτως, ὅταν μὴ σφόδρα κακουργῶσιν, ἀλλ' ἀγνοοῦντες ἐρωτῶσι, καὶ ἐκ περιουσίας διδάσκει· ὅταν δὲ ἀπὸ κακίας μόνης, οὐδὲ πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεται. καὶ πάλιν ἀπὸ τοῦ Μωϋσέως ἐπιστομίζει αὐτοὺς, ἐπειδὴ κἀκεῖνοι Μωϋσέα προεβάλοντο, καί φησι·

Λουκ. κ. λς.

α. Κορ. ζ. λα.

31 Περὶ δὲ τῆς ἀναστάσεως νεκρῶν οὐκ ἀνέγνωτε,

32 Ὅτι ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ; οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Οὐχὶ τῶν οὐκ ὄντων, φησὶ, καὶ καθάπαξ ἀφανισθέντων, καὶ οὐκ ἔτι ἀναστησομένων. οὐ γὰρ εἶπεν, ἤμην· ἀλλ' εἰμὶ, τῶν ὄντων καὶ τῶν ζώντων. ὥσπερ γὰρ ὁ Ἀδὰμ, εἰ καὶ ἔζη τῇ ἡμέρᾳ, ᾗ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε τῇ ἀποφάσει· οὕτω καὶ οὗτοι, εἰ καὶ ἐτεθνήκεσαν, ἔζων τῇ ὑποσχέσει τῆς ἀναστάσεως. πῶς οὖν φησιν ἀλλαχοῦ, Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ; Ῥωμ. ιδ. θ. ἀλλ' οὐκ ἔστιν" ἐναντίον τοῦτο ἐκείνῳ. νεκρῶν γὰρ ἐνταῦθά φησι, τῶν καὶ αὐτῶν ζήσεσθαι μελλόντων. οἶδε δὲ καὶ ἄλλην νεκρότητα, περὶ ἧς φησιν· Ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Λυκ. θ. ξ.

33 Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήττοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Οὐδὲ ἐνταῦθα οἱ σαδδουκαῖοι· ἀλλ' οὗτοι μὲν ἡττηθέντες ἀναχωροῦσι, τὸ δὲ ἀδέκαστον πλῆθος καρποῦται τὴν ὠφέλειαν.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν τοιαύτη ἡ ἀνάστασις, φέρε, πάντα ποιῶμεν, ἵνα τῶν πρωτείων ἐκεῖ τύχωμεν. Εἰ δὲ δοκεῖ, καὶ πρὸ τῆς ἀναστάσεως δείξομεν ὑμῖν τινας ταῦτα ἐντεῦθεν ἐπιτηδεύοντας καὶ καρπουμένους, πάλιν ἐπὶ τὰς ἐρήμους ἀπελθόντες. πάλιν γὰρ τῶν αὐτῶν ἅψομαι λόγων, ἐπειδὴ μετὰ πλείονος ἡδονῆς ἀκούοντας ὑμᾶς βλέπω. ἴδωμεν τοίνυν καὶ τήμερον τὰ στρατόπεδα τὰ πνευματικά· ἴδωμεν τὴν φόβου καθαρὰν ἡδονήν. οὐ γὰρ μετὰ δοράτων εἰσὶν ἐσκηνωμένοι, καθάπερ οἱ στρατιῶται (ἐνταῦθα γὰρ πρώην κατέλυσα τὸν λόγον) οὐδὲ μετὰ ἀσπίδων καὶ θωράκων· ἀλλὰ γυμνοὺς ὄψει τούτων ἁπάντων, καὶ τοιαῦτα ἐργαζομένους, οἷα οὐδὲ μετὰ ὅπλων ἐκεῖνοι. καὶ εἰ δύνασαι συνιδεῖν, ἐλθὲ, καὶ χεῖρά μοι ὄρεξον, καὶ ἴωμεν εἰς τὸν πόλεμον τοῦτον ἀμφότεροι, καὶ ἴδωμεν τὴν παράταξιν. καὶ γὰρ καὶ οὗτοι καθ' ἑκάστην πολεμοῦσι τὴν ἡμέραν, καὶ σφάττουσι τοὺς "ὑπεναντίους, καὶ νικῶσι τὰς ἐπιθυμίας ἁπάσας τὰς ἐπιβουλευούσας ἡμῖν. καὶ "ὀψόμεθα ταύτας ἐρριμμένας χαμαὶ, καὶ μηδὲ ἀναπνεῖν δυναμένας" καὶ τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων δεικνύμενον λόγιον τὸ λέγον, ὅτι οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἶδες πλῆθος νεκρῶν κειμένων, ἐσφαγμένων τῇ μαχαίρᾳ τοῦ πνεύματος; διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖ μέθη, οὐδὲ ἀδηφαγία. καὶ δείκνυσιν ἡ τράπεζα καὶ τὸ τρόπαιον τὸ ἐπ' αὐτῇ ἑστηκός. ἡ γὰρ μέθη καὶ ἡ ἀδηφαγία κεῖται νεκρά· διὰ τῆς ὑδροποσίας τροπωθεῖσα, τὸ πολυειδὲς τοῦτο καὶ πολυκέφαλον θηρίον. καθάπερ γὰρ ἐπὶ τῆς μυθοποιουμένης σκύλλης καὶ ὕδρας, οὕτω καὶ ἐπὶ τῆς μέθης πολλάς ἐστι κεφαλὰς ἰδεῖν· ἐντεῦθεν πορνείαν, ἐκεῖθεν ὀργὴν, ἄλλοθεν βλακείαν, ἑτέρωθεν ἔρωτας ἀτόπους φυομένους· ἀλλ' ἐνταῦθα πάντα ταῦτα ἀνῄρηται. καίτοιγε ἐκεῖνα τὰ στρατόπεδα, κἂν μυρίων περιγένωνται "πολεμίων, ὑπὸ τούτων ἁλίσκονται. καὶ οὔτε ὅπλα, οὔτε δόρατα, οὐχ ὅπερ ἂν ἕτερον ᾖ, δύναται πρὸς ταύτας στῆναι τὰς φάλαγγας· ἀλλὰ τούτους τοὺς γίγαντας, τοὺς ἀριστέας, τοὺς τὰ μυρία ἀνδραγαθοῦντας εὕροις ἂν χωρὶς δεσμῶν δεδεμένους ὕπνῳ καὶ μέθῃ, χωρὶς σφαγῆς καὶ τραυμάτων, καθάπερ τοὺς τετραυματισμένους, κειμένους· μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερον. ἐκεῖνοι μὲν γὰρ κἂν ἀναπνέουσιν· οὗτοι δὲ οὐδὲ τοῦτο, ἀλλ' εὐθέως καταπίπτουσιν. ὁρᾷς ὅτι μεῖζον τοῦτο τὸ στρατόπεδον καὶ θαυμαστότερον; τοὺς γὰρ ἐκείνων περιγινομένους πολεμίους ἀναιροῦσι τῷ θελῆσαι μόνον. οὕτω γὰρ ἀσθενῆ αὐτὴν τὴν μητέρα ἁπάντων τῶν κακῶν ποιοῦσιν, ὡς μηδὲ ἐνοχλεῖν λοιπόν. τοῦ δὲ στρατηγοῦ κειμένου, καὶ τῆς κεφαλῆς ἀνῃρημένης, καὶ τὸ λοιπὸν σῶμα ἡσυχάζει. καὶ τὴν νίκην ταύτην ἕκαστον τῶν ἐκεῖ μενόντων ἐργαζόμενον ἴδοι τις ἄν. οὐ γὰρ, ὥσπερ ἐπὶ τούτων τῶν πολεμίων, ἐὰν ὑφ' ἑνός τις λάβῃ πληγὴν, ἑτέρῳ λοιπὸν οὐκ ἔστι βαρὺς καταπεσὼν ἅπαξ· ἀλλ' ἀνάγκη πάντας τὸ θηρίον τοῦτο παίειν· καὶ ὁ μὴ πλήξας " αὐτὸ καὶ καταβαλὼν, ἐνοχλεῖται πάντως. εἶδες νίκην λαμπράν; οἱ γὰρ τὰ στρατόπεδα τὰ πανταχοῦ τῆς οἰκουμένης ὁμοῦ συνελθόντα στῆσαι τρόπαιον οὐ δύνα-

ἐναντίους, ὄψει ἀλλὰ

πολέμιον,

ται, τοῦτο ἕκαστος ἐκείνων ἴστησι, καὶ πάντα "ἀνατέτραπται, παρακεκομμένα καὶ παράφορα
παραπληξίας ῥήματα, νοσήματα μανικὰ καὶ ἀηδῆ, τῦφος, πάντα ὅσα ἀπὸ μέθης ὁπλίζεται.
Ψαλμ. ρθ. η. καὶ μιμοῦνται τὸν ἑαυτῶν δεσπότην, ὃν ἡ γραφὴ θαυμάζουσα ἔλεγεν· Ἐκ χειμάρρου
ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν. Βούλεσθε καὶ ἑτέρωθεν πλῆθος νεκρῶν ἰδεῖν; ἴδωμεν
τὰς ἐκ τῆς τρυφῆς ἐπιθυμίας, τὰς ἐκ τῶν ὀψοποιῶν, τῶν μαγείρων, τῶν τραπεζοποιῶν,
τῶν πλακουντοποιῶν. αἰσχύνομαι μὲν γὰρ πάντα διηγούμενος. πλὴν ἀλλ' ὅμως ἐρῶ·
τὰς "ὄρνεις τὰς ἀπὸ φασίδος, τοὺς ζωμοὺς τοὺς χύδην μιγνυμένους, τὰ ὑγρὰ, τὰ ξηρὰ ἐδέσματα,
τοὺς περὶ τούτων κειμένους νόμους. καθάπερ γὰρ τινα πόλιν "διοικοῦντες, καὶ στρατόπεδα
διατάττοντες· οὕτω καὶ οὗτοι, τί πρῶτον, καὶ τί δεύτερον νομοθετοῦσι καὶ κατατάττουσι. καὶ
οἱ μὲν τὸ πρῶτον "ὄρνεις ἐπ' ἀνθράκων ὀπτημένας ἔνδοθεν μεμεστωμένας ἰχθύων εἰσάγουσιν·
ἕτεροι δὲ, ἄλλοθεν τὰ προοίμια ποιοῦνται τῶν παρανόμων τούτων δείπνων· καὶ ἅμιλλα
πολλὴ περὶ τούτων, καὶ ὑπὲρ ποιότητος, καὶ ὑπὲρ τάξεως, καὶ ὑπὲρ πλήθους, καὶ φιλοτιμοῦνται
ἐφ' οἷς κατορύττεσθαι ἔδει· οἱ μὲν, ὅτι τὸ ἥμισυ τῆς ἡμέρας ἀνάλωσαν, οἱ δὲ πᾶσαν
αὐτὴν, οἱ δὲ ὅτι καὶ τὴν νύκτα προσέθηκαν, λέγοντες. ἴδε τὸ μέτρον ταλαίπωρε τῆς γαστρὸς,
καὶ αἰσχύνθητι τὴν ἄμετρον σπουδήν. ἀλλ' οὐδὲν τοιοῦτον παρὰ τοῖς ἀγγέλοις ἐκείνοις· ἀλλὰ
καὶ αὗται πᾶσαι αἱ ἐπιθυμίαι νεκραί. οὐ γὰρ εἰς πλησμονὴν καὶ τρυφὴν, ἀλλ' εἰς χρείαν αὐτοῖς
"αἱ τροφαί. οὐκ ὀρνίθων ἐκεῖ θηρᾶται, οὐδὲ ἰχθύων· ἀλλ' ἄρτος καὶ ὕδωρ. ἡ δὲ σύγχυσις
αὕτη καὶ ὁ θόρυβος καὶ αἱ ταραχαὶ, πάντα ἐκποδὼν ἐκεῖθεν, καὶ ἀπὸ τοῦ δωματίου, καὶ ἀπὸ τοῦ
σώματος πολὺς ὁ λιμήν· παρὰ δὲ τούτοις, πολλὴ ἡ ζάλη. ἀνάρρηξον οὖν τῷ λόγῳ τὴν
γαστέρα τῶν τὰ τοιαῦτα σιτουμένων, καὶ ὄψει τὸν πολὺν φορυτὸν, καὶ τὸν ἀκάθαρτον ὀχετὸν, καὶ
τὸν κεκονιαμένον τάφον. τὰ δὲ μετὰ ταῦτα καὶ αἰσχύνομαι εἰπεῖν, τὰς ἐρυγὰς τὰς ἀηδεῖς,
τοὺς ἐμέτους, τὰς κάτωθεν, τὰς ἄνωθεν ἐκκρίσεις. ἀλλὰ καὶ ταύτας "ἴσθι καὶ βλέπε νεκρὰς
τὰς ἐπιθυμίας ἐκεῖ, καὶ τοὺς ἀπὸ τούτων σφοδροτέρους ἔρωτας· τοὺς τῶν ἀφροδισίων λέγω.
καὶ γὰρ καὶ τούτους ὄψει πάντας ἐρριμμένους μετὰ τῶν ἵππων, μετὰ τῶν σκευοφόρων. σκευοφόρος γὰρ
καὶ ὅπλον καὶ ἵππος αἰσχρᾶς πράξεως ῥῆμα ἐστὶν αἰσχρόν. ἀλλ' ὄψει ἵππον ὁμοῦ καὶ ἀναβάτην
τοιοῦτον καὶ ὅπλα κείμενα· ἐκεῖ δὲ, τοὐναντίον ἅπαν, * καὶ ψυχὰς νεκρὰς ἐρριμμένας. οὐκ ἐπὶ
τῆς τραπέζης δὲ μόνον, ἡ νίκη λαμπρὰ τοῖς ἁγίοις ἐκείνοις, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων· ἐπὶ τῶν
χρημάτων, ἐπὶ τῆς δόξης, ἐπὶ τῆς βασκανίας, ἐπὶ τῶν νοσημάτων ἁπάντων. ἆρά σοι οὐ δοκεῖ
τοῦτο ἐκείνου τοῦ στρατοπέδου ἰσχυρότερον εἶναι, καὶ ἡ τράπεζα βελτίων; καὶ τίς ἀντερεῖ; οὐδεὶς,
οὐδὲ αὐτῶν ἐκείνων, κἂν σφόδρα μαινόμενος ᾖ. αὕτη μὲν γὰρ εἰς οὐρανὸν παραπέμπει,
ἐκείνη δὲ εἰς γέενναν ἕλκει· ταύτην ὁ διάβολος διατάττεται, ἐκείνην δὲ ὁ Χριστός· ταύτην
τρυφὴ νομοθετεῖ καὶ ἀκολασία, ἐκείνην δὲ φιλοσοφία καὶ σωφροσύνη· ἐνταῦθα ὁ Χριστὸς
παραγίνεται, ἐκεῖ δὲ ὁ διάβολος. ἔνθα γὰρ μέθη, διάβολος· ἔνθα αἰσχρὰ ῥήματα, ἔνθα
πλησμονὴ, ἐκεῖ δαίμονες χορεύουσι. τοιαύτην εἶχε τράπεζαν ὁ πλούσιος ἐκεῖνος· διὰ
τοῦτο οὐδὲ σταγόνος [ὕδατος] κύριος ἦν. ἀλλ' οὐχ οὗτοι τοιαύτην, ἀλλὰ τὰ τῶν ἀγγέλων ἤδη
μελετῶσιν. οὐ γαμοῦσιν, οὐδὲ γαμίσκονται, οὐδὲ καθεύδουσιν ἄρδην, οὐδὲ τρυφῶσιν·
ἀλλὰ πλὴν ὀλίγων τινῶν καὶ "ἀσώματοι γεγόνασι. τίς οὖν ἐστιν οὕτως εὐκόλως νικῶν τοὺς
Ψαλμ. κβ. ε. ἐχθροὺς, ὡς ἀριστοποιούμενος τρόπαιον ἱστᾶν; διὰ τοῦτο καὶ ὁ προφήτης φησίν· Ἡτοίμασας
ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με. οὐ γὰρ ἂν τις ἁμάρτοι καὶ περὶ ταύτης
"τοῦτο εἰπὼν τὸ λόγιον τῆς τραπέζης. οὐδὲν γὰρ οὕτω θλίβει ψυχὴν, ὡς ἐπιθυμία ἄτοπος
καὶ τρυφὴ καὶ μέθη, καὶ τὰ ἐκ τούτων κακά· καὶ τοῦτο ἴσασιν οἱ πεῖραν εἰληφότες καλῶς. εἰ
δὲ μάθοις καὶ πόθεν αὕτη συλλέγεται ἡ τράπεζα, καὶ πόθεν ἐκείνη, τότε ὄψει καλῶς ἑκατέρας
τὸ διάφορον. πόθεν οὖν αὕτη συλλέγεται; ἀπὸ μυρίων δακρύων, ἀπὸ χηρῶν πλεονεκτουμένων,
ἀπὸ ὀρφανῶν ἁρπαζομένων· ἡ δὲ ἀπὸ πόνων δικαίων. καὶ ἔοικεν αὕτη μὲν ἡ τράπεζα

γυναικὶ

γρ. ἀνα
καὶ παρ
μένα καὶ
φορα

γρ. ὄρνις,

γρ. οἰκοῦντ

γρ. ὄρνις

γρ. ἡ τροφή.

γρ. ἴδε

* καὶ σώμα
πεπλ

γρ. ἀσώματ
εἰσι

γρ. τὸ πνεύ
τὸ λόγ

γυναικὶ καλῇ καὶ εὐειδεῖ, οὐδενὸς τῶν ἔξωθεν δεομένῃ, ἀλλὰ φυσικὸν ἐχούσῃ τὸ κάλλος· ἐκείνη δὲ πόρνῃ τινὶ αἰσχρᾷ καὶ δυσειδεῖ, πολλὰ μὲν ἐπιτρίμματα ἐχούσῃ, οὐκ ἰσχυούσῃ δὲ συσκιάσαι τὴν ἀμορφίαν, ἀλλ' ὅσῳ ἂν ἐγγὺς γένηται μᾶλλον ἐλεγχομένῃ. Καὶ γὰρ καὶ αὕτη, ὅταν ἐγγυτέρω γένηται τοῦ συγγινομένου, τότε δείκνυσι τὸ αἶσχος μᾶλλον. Μὴ γάρ μοι ἀνιόντας ἴδῃς τοὺς δαιτυμόνας, ἀλλὰ καὶ κατιόντας, καὶ τότε αὐτῆς ὄψει τὴν αἰσχρότητα. Ἐκείνη μὲν γὰρ τοὺς συγγινομένους, ἅτε ἐλευθέρα οὖσα, οὐδὲν ἀφίησιν αἰσχρὸν εἰπεῖν· αὕτη δὲ οὐδὲν σεμνὸν, ἅτε πόρνη οὖσα καὶ ἠτιμωμένη· αὕτη τὸ χρήσιμον ζητεῖ τοῦ ἑστιῶντος αὐτῇ, ἐκείνη δὲ τὸ ἐπιβλαβές. Καὶ ἡ μὲν οὐκ ἀφίησι προσκροῦσαι Θεῷ· ἡ δὲ οὐκ ἀφίησι μὴ προσκροῦσαι. Ἀπίωμεν τοίνυν πρὸς ἐκείνους, καὶ ἐκεῖθεν εἰσόμεθα πόσοις δεσμοῖς ἐσμὲν περιβεβλημένοι. Ἐκεῖθεν εἰσόμεθα τράπεζαν παρατίθεσθαι μυρίων γέμουσαν ἀγαθῶν, ἡδίστην, ἀδάπανον, φροντίδος ἀπηλλαγμένην, φθόνου καὶ βασκανίας καὶ νόσου πάσης ἐλευθέραν, καὶ χρηστῆς γέμουσαν ἐλπίδος, καὶ πολλὰ τὰ τρόπαια ἔχουσαν. Οὐκ ἔστι θόρυβος ἐκεῖ, οὐκ ἔστι νόσος, οὐκ ἔστιν ὀργή· πάντα γαλήνη, πάντα εἰρήνη. Μὴ γάρ μοι τὴν σιγὴν τῶν διακονούντων εἴπῃς ἐν ταῖς τῶν πλουσίων οἰκίαις, ἀλλὰ τὴν κραυγὴν τῶν ἀριστοποιουμένων· οὐ τὴν πρὸς ἀλλήλους λέγω (καὶ αὕτη μὲν γὰρ καταγέλαστος) ἀλλὰ τὴν ἔνδον, τὴν ἐν τῇ ψυχῇ, τὴν πολλὴν ἐπάγουσαν αἰχμαλωσίαν, τοὺς θορύβους τῶν λογισμῶν, τὴν ζάλην, τὸν ζόφον, τὸν χειμῶνα· δι' ὧν ἅπαντα μίγνυται καὶ συγχεῖται καὶ νυκτομαχίᾳ τινὶ προσέοικεν. Ἀλλ' οὐκ ἐν ταῖς σκηναῖς τῶν μοναχῶν τοιαῦτα· ἀλλὰ πολλὴ ἡ γαλήνη, πολλὴ ἡ ἡσυχία. Κἀκείνην μὲν ὕπνος θανάτῳ προσεοικὼς διαδέχεται τὴν τράπεζαν, ταύτην δὲ νῆψις καὶ ἀγρυπνία· ἐκείνην κόλασις, ταύτην οὐρανῶν βασιλεία καὶ τὰ ἀθάνατα βραβεῖα. Ταύτην τοίνυν διώκωμεν, ἵνα καὶ τῶν καρπῶν αὐτῆς ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. οα. 34 ΟΙ ΔΕ ΦΑΡΙΣΑΙΟΙ ΑΚΟΥΣΑΝΤΕΣ, ΟΤΙ ἐφίμωσε τοὺς σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό,

35 Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν καὶ λέγων· 36 Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

Πάλιν τὴν αἰτίαν τίθησιν ὁ εὐαγγελιστὴς, δι' ἣν ἔδει σιγῆσαι, καὶ τὴν θρασύτητα τὴν ἐκείνων καὶ ἐντεῦθεν ἐνδείκνυται. Πῶς, καὶ τίνι τρόπῳ; ὅτι ἐπιστομισθέντων ἐκείνων οὗτοι πάλιν ἐπιτίθενται. Δέον γὰρ κἀντεῦθεν ἡσυχάζειν· οἱ δὲ ἐπαγωνίζονται τοῖς προτέροις, καὶ προβάλλονται τὸν νομικὸν, οὐ μαθεῖν βουλόμενοι, ἀλλὰ ἀπόπειραν ποιούμενοι· καὶ ἐρωτῶσι, ποία ἐντολὴ πρώτη; Ἐπειδὴ γὰρ ἡ πρώτη αὕτη ἦν, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, προσδοκῶντές τινα λαβὴν παρέξειν αὐτοῖς, ὡς ἐπιδιορθωσόμενον αὐτὴν, διὰ τὸ καὶ αὐτὸν δεικνύναι ἑαυτὸν Θεὸν, προβάλλονται τὴν ἐρώτησιν. Τί οὖν ὁ Χριστός; δεικνὺς ὅθεν ἦλθον ἐπὶ ταῦτα, ὅτι ἀπὸ τοῦ μηδεμίαν ἔχειν ἀγάπην, ἀπὸ τοῦ φθόνῳ τήκεσθαι, ἀπὸ τοῦ ζηλοτυπίᾳ ἁλίσκεσθαι, φησίν·

37 Ἀγαπήσεις Κύριον τὸν Θεόν σου.

38 Αὕτη πρώτη καὶ μεγάλη ἐντολή· 39 Δευτέρα δὲ ὁμοία ταύτης, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Διατί δὲ ὁμοία ταύτης; ὅτι αὕτη ἐκείνην προοδοποιεῖ, καὶ παρ' αὐτῆς συγκροτεῖται πάλιν. Πᾶς γὰρ ὁ φαῦλα πράττων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. Καὶ πάλιν· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Καὶ

Ἰωαν. γ. κ.
Ψαλμ. ιγ. α. ϛ.

α. Τιμ. ϛ. ι.
Ιωαν. ιδ. ιε.
κα. κγ.
Ιωαν. κα. ιϛ. ιζ.

τί ἀπὸ τούτου; διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. καὶ πάλιν, Ῥίζα πάντων τῶν κακῶν [ἐστὶν] ἡ φιλαργυρία, ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανήθησαν ἐκ τῆς πίστεως. καὶ, Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει. αἱ δὲ ἐντολαὶ αὐτοῦ πᾶσαι, καὶ τὸ κεφάλαιον αὐτῶν, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Εἰ τοίνυν τὸ ἀγαπᾷν τὸν Θεὸν, ἀγαπᾷν τὸν πλησίον ἐστὶν (Εἰ γὰρ φιλεῖς με, φησὶν, ὦ Πέτρε, ποίμαινε τὰ πρόβατά μου) τὸ δὲ ἀγαπᾷν τὸν πλησίον, τῶν ἐντολῶν ἐργάζεται φυλακήν· Εἰκότως φησὶν,

40 Ἐν ταύταις ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Διὰ δὴ τοῦτο ὅπερ ἔμπροσθεν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. καὶ γὰρ ἐκεῖ ἐρωτηθεὶς περὶ τοῦ τρόπου τῆς ἀναστάσεως, καὶ τί ἀνάστασις, ἐδίδαξε πλέον οὗ ἐπύθοντο, παιδεύων αὐτούς· καὶ ἐνταῦθα τὴν πρώτην ἐρωτηθεὶς, καὶ τὴν δευτέραν λέγει οὐ σφόδρα ἐκείνης ἀποδέουσαν· δευτέρα μὲν γὰρ, ὁμοία δὲ ἐκείνης· αἰνιττόμενος αὐτοῖς ὅθεν ἡ ἐρώτησις γέγονεν, ὅτι ἐξ ἀπεχθείας. Ἡ γὰρ ἀγάπη οὐ ζηλοῖ. ἀλλὰ τίνος ἕνεκεν ὁ μὲν Ματθαῖός φησιν ὅτι πειράζων ἠρώτησεν, ὁ δὲ Μάρκος τοὐναντίον; Εἰδὼς γὰρ, φησὶν, ὁ Ἰησοῦς ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ· οὐκ ἐναντιούμενοι ἑαυτοῖς, ἀλλὰ καὶ σφόδρα συνᾴδοντες. ἠρώτησε μὲν γὰρ πειράζων παρὰ τὴν ἀρχήν· ἀπὸ δὲ τῆς ἀποκρίσεως ὠφεληθεὶς ἐπῃνέθη. οὐδὲ γὰρ παρὰ τὴν ἀρχὴν αὐτὸν ἐπῄνεσεν, ἀλλ' ὅτε εἶπεν, ὅτι τὸ ἀγαπᾷν τὸν πλησίον πλέον ἐστὶ τῶν ὁλοκαυτωμάτων, τότε φησίν· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ, ὅτι τῶν ταπεινῶν ὑπερεῖδε, καὶ τὴν ἀρχὴν τῆς ἀρετῆς κατέλαβε. καὶ γὰρ πάντα ἐκεῖνα διὰ τοῦτο, καὶ τὰ σάββατα καὶ τὰ λοιπά. καὶ οὐδὲ οὕτως αὐτῷ ἀπηρτισμένον τὸν ἔπαινον ἔθηκεν, ἀλλ' ἔτι λείποντα. τὸ γὰρ εἰπεῖν, οὐ μακρὰν εἶ, δείκνυσιν ἔτι ἀπέχοντα, ἵνα ζητήσῃ τὸ λεῖπον. εἰ δὲ εἰπόντα αὐτὸν, ὅτι εἷς ἐστιν ὁ Θεὸς, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος, ἐπῄνεσε, μὴ θαυμάσῃς· ἀλλὰ καὶ ἐντεῦθεν καταμάθε, πῶς πρὸς τὴν ὑπόληψιν ἀποκρίνεται τῶν προσιόντων. κἂν γὰρ μυρία περὶ τοῦ Χριστοῦ λέγωσιν ἀνάξια τῆς δόξης αὐτοῦ, ἀλλὰ τοῦτό γε οὐ τολμήσουσιν εἰπεῖν, ὅτι καθόλου οὐκ ἔστι Θεός. τίνος οὖν ἕνεκεν ἐπαινεῖ αὐτὸν εἰρηκότα, ὅτι πλὴν τοῦ πατρὸς οὐκ ἔστιν ἄλλος Θεός; οὐχ ἑαυτὸν ἐξάγων τοῦ Θεὸς εἶναι (ἄπαγε) ἀλλ' ἐπειδὴ οὐδέπω καιρὸς ἦν ἐκκαλύψαι αὐτοῦ τὴν θεότητα, ἐκεῖνον ἀφίησιν ἐπὶ τοῦ προτέρου δόγματος μένειν, καὶ ἐπαινεῖ τὰ παλαιὰ εἰδότα καλῶς, ὥστε ἐπιτήδειον αὐτὸν καὶ πρὸς τὴν τῆς καινῆς ποιῆσαι διδασκαλίαν, κατὰ καιρὸν αὐτὴν εἰσάγων· ἄλλως δὲ, καὶ τὸ εἷς ὁ Θεὸς, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι, καὶ ἐν τῇ παλαιᾷ καὶ πανταχοῦ, οὐ πρὸς ἀθέτησιν τοῦ υἱοῦ, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν εἰδώλων· ὥστε καὶ τοῦτον ἐπαινῶν οὕτως εἰρηκότα ταύτῃ ἐπαινεῖ τῇ γνώμῃ. Εἶτα ἐπειδὴ ἀπεκρίθη, καὶ ἀντερωτᾷ·

α. Κορ. ιγ. ιδ.

χ. τὰ σάβ- βατα χ. σωζό- ων,

42 Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσιν αὐτῷ, τοῦ Δαβίδ.

Ὅρα μετὰ πόσα θαύματα, μετὰ πόσα σημεῖα, μετὰ πόσας ἐρωτήσεις, μετὰ πόσην ἐπίδειξιν ὁμονοίας τῆς πρὸς τὸν πατέρα, τὴν διὰ λόγων, τὴν δι' ἔργων, μετὰ τὸ ἐπαινέσαι τοῦτον τὸν εἰρηκότα, ὅτι εἷς ἐστιν ὁ Θεὸς, ἐρωτᾷ, ἵνα μὴ ἔχωσι λέγειν, ὅτι θαύματα μὲν ἐποίησε, τῷ νόμῳ δὲ ἐναντίος καὶ τῷ Θεῷ πολέμιος ἦν. διὰ τοῦτο μετὰ τοσαῦτα τοῦτο ἐρωτᾷ, λανθανόντως ἐνάγων αὐτοὺς εἰς τὸ καὶ αὐτὸν ὁμολογῆσαι Θεόν. καὶ τοὺς μὲν μαθητὰς πρότερον ἠρώτησε, τί οἱ ἄλλοι λέγουσι, καὶ τότε αὐτούς· τούτους δὲ οὐχ οὕτως. ἢ γὰρ ἂν καὶ πλάνον εἶπον καὶ πονηρὸν, ἅτε ἀδεῶς ἅπαντα φθεγγόμενοι. διὰ δὴ τοῦτο τὴν αὐτῶν ἐκείνων ψῆφον ἐξετάζει. ἐπειδὴ γὰρ πρὸς τὸ πάθος ἔμελλεν ἰέναι λοιπὸν, τίθησι τὴν σαφῶς Κύριον αὐτὸν ἀνακηρύττουσαν προφητείαν, οὐχ ἁπλῶς, οὐδὲ προηγουμένως ἐπὶ τοῦτο ἐλθὼν, ἀλλ' ἀπὸ αἰτίας εὐλόγου. ἐρωτήσας γὰρ αὐτοὺς πρότερος, ἐπειδὴ οὐκ ἀπεκρίναντο τἀληθῆ περὶ αὐτοῦ (ἄνθρωπον γὰρ αὐτὸν ἔφασκον εἶναι ψιλὸν) ἀνατρέπων τὴν πεπλανημένην αὐτῶν δόξαν, οὕτως εἰσάγει τὸν Δαβὶδ ἀνακηρύττοντα αὐτοῦ τὴν θεότητα. ἐκεῖνοι μὲν γὰρ ἐνόμιζον ὅτι ψιλὸς ἄνθρωπος ἦν, διὸ καὶ ἔλεγον, τοῦ Δαβίδ· αὐτὸς δὲ τοῦτο διορθούμενος παράγει τὸν προφήτην, καὶ τὴν κυριότητα αὐτοῦ, καὶ τὸ γνήσιον τῆς υἱότητος*, καὶ τὸ ὁμότιμον τὸ πρὸς τὸν πατέρα μαρτυροῦντα. καὶ οὐδὲ μέχρι τούτου ἵσταται· ἀλλ' ὥστε καὶ φοβῆσαι, καὶ τὸ ἑξῆς ἐπάγει λέγων· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἵνα κἂν οὕτως αὐτοὺς ἐπαγάγηται. καὶ ἵνα μὴ λέγωσιν, ὅτι κολακεύων αὐτὸν οὕτως ἐκάλεσε, καὶ ἀνθρωπίνη ἡ ψῆφος αὕτη, ὅρα τί φησι·

43 Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων·

44 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ψαλ. ρθ. α.

45 Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν;

Ὅρα πῶς ὑφειμένως εἰσάγει τὴν περὶ αὐτοῦ ψῆφον καὶ δόξαν. πρότερον εἶπε, τί ὑμῖν δοκεῖ, τίνος υἱός ἐστιν; ὥστε δι' ἐρωτήσεως εἰς ἀπόκρισιν αὐτοὺς ἀγαγεῖν. εἶτα ἐπειδὴ εἶπον, τοῦ Δαβίδ, καὶ μὴν ὁ Δαβὶδ τάδε φησίν· ἀλλὰ πάλιν ἐν τάξει ἐρωτήσεως· πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ; ὥστε μὴ προσστῆναι αὐτοῖς τὰ λεγόμενα. διὸ οὐδὲ εἶπε, τί ὑμῖν δοκεῖ περὶ ἐμοῦ, ἀλλὰ περὶ τοῦ Χριστοῦ; διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑφειμένως διελέγοντο περὶ τοῦ πατριάρχου Δαβὶδ λέγοντες, Ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαβίδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ αὐτὸς ὁμοίως. διὰ τοῦτο ὡς ἐν ἐρωτήσεως τάξει καὶ συλλογισμοῦ τὸ δόγμα εἰσάγει λέγων· πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; καὶ πάλιν, Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοῦ υἱός (ἄπαγε· οὐ γὰρ ἂν Πέτρῳ ἐπετίμησε διὰ τοῦτο) ἀλλὰ τὴν ἐκείνων ὑπόνοιαν διορθούμενος. ὥστε ὅταν λέγῃ, πῶς υἱὸς αὐτοῦ ἐστι, τοῦτο λέγει· οὐχ οὕτως ὡς ὑμεῖς φατε. ἐκεῖνοι γὰρ ἔλεγον, ὅτι μόνον υἱὸς αὐτοῦ ἐστι, καὶ οὐχὶ καὶ Κύριος, καὶ τοῦτο μετὰ τὴν μαρτυρίαν· καὶ τότε ὑφειμένως. Εἰ οὖν Δαβὶδ Κύριον αὐτὸν καλεῖ, πῶς υἱὸς αὐτοῦ ἐστιν; ἀλλ' ὅμως καὶ ταῦτα ἀκούσαντες, οὐδὲν ἀπεκρίναντο. οὐδὲ γὰρ ἐβούλοντό τι τῶν δεόντων μαθεῖν. διὸ αὐτὸς ἐπάγει λέγων, ὅτι Κύριος αὐτοῦ ἐστι· μᾶλλον δὲ, οὐδὲ τοῦτο αὐτὸς ἀπολελυμένως, ἀλλὰ τὸν προφήτην μεθ' ἑαυτοῦ παραλαβών, διὰ τὸ σφόδρα ἀπιστεῖσθαι ὑπ' αὐτῶν καὶ διαβεβλῆσθαι παρ' αὐτοῖς. ὃ δὴ μάλιστα χρὴ σκοποῦντας, κἂν ταπεινὸν καὶ ὑφειμένον τι λέγηται παρ' αὐτοῦ, μὴ σκανδαλίζεσθαι. ἡ γὰρ αἰτία αὕτη μετὰ καὶ ἑτέρων πλειόνων, τὸ συγκαταβαίνοντα ἐκείνοις διαλέγεσθαι. διὸ καὶ νῦν ἐν τάξει μὲν πεύσεως καὶ ἀποκρίσεως δογματίζει· αἰνίττεται δὲ καὶ οὕτω τὴν ἀξίαν αὐτοῦ. οὐ γὰρ ἦν ἴσον ἀκοῦσαι Ἰουδαίων Κύριον καὶ τοῦ Δαβίδ. σὺ δέ μοι σκόπει καὶ τὸ εὔκαιρον. ὅτε γὰρ εἶπεν, ὅτι εἷς ἐστι Κύριος, τότε καὶ περὶ ἑαυτοῦ εἶπεν, ὅτι Κύριός ἐστι· καὶ ἀπὸ προφητείας, οὐκ ἔτι ἀπὸ ἔργων μόνον· καὶ δείκνυσιν αὐτὸν ὑπὲρ αὐτοῦ ἀμυνόμενον αὐτοὺς τὸν πατέρα (ἕως ἂν θῶ γάρ, φησι, τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου) καὶ πολλὴν κἀντεῦθεν ὁμόνοιαν τοῦ γεγεννηκότος πρὸς αὐτὸν καὶ τιμήν. καὶ τοῦτο τὸ τέλος ἐπιτίθησι τῶν πρὸς αὐτοὺς διαλέξεων ὑψηλόν τε καὶ μέγα καὶ ἱκανὸν αὐτῶν ἀπορράψαι τὰ στόματα. καὶ γὰρ ἐσίγησαν ἐξ ἐκείνου, οὐχ ἑκόντες, ἀλλὰ τῷ μηδὲν ἔχειν εἰπεῖν· καὶ οὕτω καιρίαν ἐδέξαντο πληγήν, ὡς μηκέτι τολμῆσαι τοῖς αὐτοῖς ἐπιχειρῆσαι λοιπόν.

Πραξ. β. κθ.

46 Οὐδεὶς γάρ, φησιν, ἐτόλμησεν ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπερωτῆσαι αὐτόν.

Οὐ μικρὸν δὲ τοῦτο τοὺς ὄχλους ὠφέλει· διὸ καὶ πρὸς αὐτοὺς λοιπὸν τρέπει τὸν λόγον, ἀποστήσας τοὺς λύκους καὶ ἀποκρουσάμενος αὐτῶν τὰς ἐπιβουλάς. ἐκεῖνοι γὰρ οὐδὲν ἐκέρδαινον ὑπὸ κενοδοξίας ἁλόντες, καὶ εἰς τὸ δεινὸν τοῦτο πάθος ἐμπεσόντες. δεινὸν γὰρ τὸ πάθος καὶ πολυκέφαλον. οἱ μὲν γὰρ ἀρχῆς διὰ ταύτην, οἱ δὲ χρημάτων, ἕτεροι δὲ ἰσχύος ἐρῶσιν. ὁδῷ δὲ βαδίζουσα καὶ ἐπὶ ἐλεημοσύνην ἔρχεται καὶ νηστείαν καὶ εὐχὰς καὶ διδασκαλίαν, καὶ πολλαὶ αἱ τοῦ θηρίου τούτου κεφαλαί.

ΗΘΙΚΟΝ

Ἀλλὰ τὸ μὲν ἐπὶ τοῖς ἄλλοις ἐκείνους κενοδοξεῖν, θαυμαστὸν οὐδέν· τὸ δὲ ἐπὶ νηστείᾳ καὶ εὐχῇ, τοῦτό ἐστι τὸ ξένον καὶ δακρύων "μεστόν. Ἀλλ' ἵνα μὴ πάλιν ἐγκαλῶμεν μόνον, φέρε καὶ τὸν τρόπον, δι' οὗ ταύτην φευξόμεθα, εἴπωμεν. Πρὸς τίνας οὖν ἀποδυσόμεθα πρώτους; πρὸς τοὺς ἐπὶ χρήμασιν, ἢ τοὺς ἐπὶ ἱματίοις, ἢ τοὺς ἐπὶ ἀρχαῖς, ἢ τοὺς ἐπὶ διδασκαλίαις, ἢ τοὺς ἐπὶ "σώματι, ἢ τοὺς ἐπὶ τέχναις, ἢ τοὺς ἐπὶ κάλλει, ἢ τοὺς ἐπὶ καλλωπισμοῖς, ἢ τοὺς ἐπὶ ὠμότητι, ἢ τοὺς ἐπὶ φιλανθρωπίᾳ καὶ ἐλεημοσύνῃ, ἢ τοὺς ἐπὶ πονηρίᾳ, ἢ τοὺς ἐπὶ τελευτῇ, ἢ τοὺς μετὰ τὴν τελευτὴν κενοδοξοῦντας; καὶ γὰρ ὅπερ ἔφην, πολλὰς ἔχει τὰς πλεκτάνας τοῦτο τὸ πάθος, καὶ περαιτέρω τῆς ζωῆς ἡμῶν πρόεισι. καὶ γὰρ ὁ δεῖνα, φησιν, ἀπέθανε. καὶ ἵνα θαυμασθῇ, τὰ καὶ τὰ ἐπέσκηψε γενέσθαι. καὶ διὰ τοῦτο ὁ δεῖνα πένης, καὶ ὁ δεῖνα πλούσιος. τὸ γὰρ χαλεπὸν τοῦτο, ὅτι καὶ ἀπὸ τῶν ἐναντίων συνέστηκε. πρὸς τίνας οὖν στησόμεθα καὶ παραταξόμεθα πρώτους; οὐ γὰρ ἀρκεῖ πρὸς πάντας εἷς καὶ ὁ αὐτὸς λόγος. Βούλεσθε οὖν πρὸς τοὺς ἐπὶ ἐλεημοσύνῃ κενοδοξοῦντας; ἔμοιγε δοκεῖ. καὶ γὰρ σφόδρα τὸ πρᾶγμα τοῦτο φιλῶ, καὶ ἀλγῶ λυμαινόμενον ὁρῶν, καὶ καθάπερ τινὶ βασιλικῇ κόρῃ τροφὸν [καὶ] προαγωγὸν ἐπιβουλεύουσαν τὴν κενοδοξίαν. τρέφει μὲν γὰρ αὐτήν· ἐπ' αἰσχύνῃ δὲ καὶ ζημίᾳ μαστροπεύουσα· * τοῦ μὲν πατρὸς κελεύουσα καταφρονεῖν, καλλωπίζεσθαι δὲ πρὸς μιαρῶν καὶ καταπτύστων πολλάκις ἀνδρῶν ἀρέσκειαν, καὶ τοιοῦτον αὐτῇ περιτίθησι κόσμον, οἷον οἱ ἔξω βούλονται, αἰσχρὸν καὶ ἄτιμον, οὐχ οἷον ὁ πατήρ. Φέρε δὴ οὖν πρὸς τούτους ἀποτεινώμεθα, καὶ ἔστω τις "ἐλεημοσύνη γινομένη μετὰ δαψιλείας πρὸς τὴν τῶν πολλῶν ἐπίδειξιν. οὐκοῦν πρῶτον αὐτὴν ἐξάγει τοῦ θαλάμου τοῦ πατρικοῦ. καὶ ὁ μὲν πατὴρ οὐδὲ τῇ ἀριστερᾷ φαίνεσθαι κελεύει· αὕτη δὲ ἑαυτὴν τοῖς δούλοις ἐπιδείκνυσι καὶ τοῖς τυχοῦσι καὶ οὐδὲ εἰδόσιν αὐτήν. Εἶδες πόρνην καὶ μαστροπὸν εἰς ἔρωτα αὐτὴν ἐμβάλλουσαν ἀτόπων ἀνθρώπων, ἵν', ὡς ἂν ἐκεῖνοι κελεύωσιν, οὕτως αὐτὴ ῥυθμίζηται; βούλει ἰδεῖν πῶς οὐ πόρνην μόνον, ἀλλὰ καὶ μανικὴν ποιεῖ τὴν τοιαύτην ψυχήν; οὐκοῦν καταμάνθανε αὐτῆς τὴν γνώμην. ὅταν γὰρ τὸν οὐρανὸν ἀφεῖσα, τρέχῃ ὀπίσω δραπετῶν καὶ οἰκοτρίβων, κατὰ τὰ ἄμφοδα καὶ τοὺς στενωποὺς διώκουσα τοὺς μισοῦντας αὐτήν, τοὺς αἰσχροὺς καὶ δυσειδεῖς καὶ οὐδὲ ἰδεῖν αὐτὴν βουλομένους, τοὺς, ἐπισοῦ παρεικαίεται αὐτῇ, μισοῦντας αὐτήν, τί γένοιτ' ἂν τούτου μανικώτερον; οὐδένα γὰρ οὕτω μισοῦσιν οἱ πολλοί, ὡς τοὺς δεομένους τῆς παρ' αὐτῶν δόξης. μυρίας γοῦν κατηγορίας κατ' αὐτῶν πλέκουσι, καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις παρθένον καὶ θυγατέρα βασιλέως ἀπὸ τοῦ θρόνου κατενεγκὼν τοῦ βασιλικοῦ, κελεύοι μοιχοῖς ἀνδράσι καὶ διαπτύουσιν αὐτῆς αὐτὴν ἐκδιδόναι. αὗτοι μὲν γὰρ, ὅσον αὐτοὺς διώκεις, τοσοῦτόν σε ἀποστρέφονται· ὁ δὲ Θεός, ἂν τὴν παρ' αὐτοῦ δόξαν ζητῇς, τοσούτῳ μᾶλλον καὶ ἐφέλκεταί σε καὶ ἐπαινεῖ, καὶ πολλὴν ἀποδίδωσί σοι τὴν ἀμοιβήν. Εἰ δὲ βούλει καὶ ἑτέρωθεν αὐτῆς τὴν ζημίαν καταμαθεῖν, ὅταν δῷς πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν, ἀναλόγισαι πόση σε λοιπὸν ἐπεισέρχεται λύπη, καὶ πῶς διηνεκὴς ἡ ἀθυμία, ἐνηχοῦντός σοι τοῦ Χριστοῦ καὶ λέγοντος, ὅτι πάντα ἀπώλεσας σὺ τὸν μισθόν. πανταχοῦ μὲν γὰρ κενοδοξία κακόν· μάλιστα δὲ ἐπὶ "φιλανθρωπίᾳ (ὃ τῆς ἐσχάτης ἐστὶν ὠμότητος) τὰς ἀλλοτρίας ἐκπομπεύουσα συμφοράς, καὶ μόνον οὐχὶ ὀνειδίζουσα τοὺς ἐν πτωχείᾳ. Εἰ γὰρ τὸ τὰς ἰδίας λέγειν εὐεργεσίας, ὀνειδίζειν ἐστί· τὸ καὶ εἰς ἑτέρους πολλοὺς ταύτας "ἐξάγειν, τί οἴει εἶναι; πῶς οὖν διαφευξόμεθα τὸ δεινόν; ἂν μάθωμεν ἐλεεῖν, ἂν ἴδωμεν τίνων δόξαν ἐπιζητοῦμεν. Εἰπὲ γάρ μοι, τίς ὁ τῆς ἐλεημοσύνης τεχνίτης ἐστίν; ὁ τὸ πρᾶγμα καταδείξας Θεὸς δηλονότι, ὁ μάλιστα πάντων αὐτὸ εἰδώς, καὶ πρὸς ἄπειρον αὐτὸ μεταχειρίζων. τί οὖν; ἂν παλαιστὴς μανθάνῃς, πρὸς τίνας ὁρᾷς, ἢ τίσιν ἐπιδείκνυσαι τὰ ἐν τῇ παλαίστρᾳ, τῷ τὰ λάχανα πωλοῦντι καὶ τοὺς ἰχθύας, ἢ τῷ παιδοτρίβῃ; καὶ μὴν οἱ μὲν εἰσι πολλοί· ὁ δὲ εἷς. τί οὖν ἂν ἐκείνου θαυμάζοντος ἄλλοι καταγελῶσιν, οὐχὶ καὶ σὺ καταγελάσῃ μετ' ἐκείνου αὐτούς; τί δαί, ἂν

πυκτεύειν

* καὶ

πυκτεύειν μανθάνῃς; οὐχ ὁμοίως πρὸς ἐκεῖνον ὁρᾷς τὸν τοῦτο παιδεύειν εἰδότα; ἂν δὲ λόγους μετίῃς, οὐχὶ τοὺς ῥήτορας τοὺς ἐπαίνους καταδέξῃ, καὶ τῶν ἄλλων καταφρονήσεις; πῶς οὖν οὐκ ἄτοπον, ἐν μὲν ταῖς ἄλλαις τέχναις, πρὸς τὸν διδάσκαλον ὁρᾷν μόνον· ἐνταῦθα δὲ, τοὐναντίον ποιεῖν; καίτοιγε οὐκ ἴση ἡ ζημία. ἐκεῖ μὲν γὰρ, ἂν πρὸς τὸ δοκοῦν τοῖς πολλοῖς παλαίῃς, καὶ μὴ πρὸς τὸ τῷ διδασκάλῳ, ἐν τῇ πάλῃ ἡ ζημία· ἐνταῦθα δὲ, ἐν αἰωνίῳ ζωῇ. γέγονας ὅμοιος Θεῷ κατὰ τὸ ἐλεεῖν. γενοῦ οὖν αὐτῷ ὅμοιος καὶ κατὰ τὸ μὴ ἐπιδείξασθαι. καὶ γὰρ ἔλεγε θεραπεύων, ἵνα μηδενὶ εἴπωσιν. ἀλλὰ βούλει ἐλεήμων κληθῆναι παρὰ τοῖς ἀνθρώποις; καὶ τί τὸ κέρδος; τὸ κέρδος μὲν οὐδὲν, ἡ δὲ ζημία ἄπειρος. αὐτοὶ γὰρ οὗτοι, οὓς εἰς μαρτυρίαν καλεῖς, λῃσταὶ γίνονται τῶν θησαυρῶν τῶν ἐν οὐρανοῖς· μᾶλλον δὲ οὐχ οὗτοι, ἀλλ' ἡμεῖς οἱ τὰ ἡμέτερα συλῶντες, καὶ σκορπίζοντες τὰ ἄνω κείμενα. ὢ τῆς καινῆς συμφορᾶς καὶ τοῦ ἀλλοκότου τούτου πάθους. ὅπου σὴς οὐκ ἀφανίζει, οὐδὲ κλέπτης διορύττει, κενοδοξία σκορπίζει. οὗτός ἐστιν ὁ σὴς τῶν ἐκεῖ θησαυρῶν· οὗτός ἐστιν ὁ κλέπτης τῆς εὐπορίας τῆς ἐν οὐρανοῖς· οὗτος τὸν ἄσυλον ὑποσύρει πλοῦτον· τοῦτο πάντα λυμαίνεται καὶ διαφθείρει. ἐπειδὴ γὰρ εἶδεν ὁ διάβολος, ὅτι καὶ λῃσταῖς καὶ σκώληκι καὶ ταῖς ἄλλαις ἐπιβουλαῖς ἀνάλωτον τὸ χωρίον ἐκεῖνο, διὰ κενοδοξίας ὑποσύρει τὸν πλοῦτον. ἀλλὰ δόξης ἐπιθυμεῖς; εἶτα οὐκ ἀρκεῖ σοι ἡ παρ' αὐτοῦ τοῦ λαμβάνοντος, ἡ παρὰ* τοῦ φιλανθρώπου Θεοῦ, ἀλλὰ καὶ τῆς παρὰ τῶν ἀνθρώπων ἐρᾷς; ὅρα μὴ τοὐναντίον ὑπομείνῃς· μή τίς σου καταγνῷ ὡς οὐκ ἐλεοῦντος, ἀλλ' ἐκπομπεύοντος καὶ φιλοτιμουμένου, ὡς ἐκτραγῳδοῦντος ἀλλοτρίας συμφοράς. καὶ γὰρ μυστήριόν ἐστιν ἡ ἐλεημοσύνη. κλεῖσον τοίνυν τὰς θύρας, ἵνα μή τις ἴδῃ ἅπερ ἐπιδεῖξαι οὐ θέμις. καὶ γὰρ τὰ μυστήρια τὰ ἡμέτερα τοῦτο μάλιστά ἐστιν, ἐλεημοσύνη καὶ φιλανθρωπία Θεοῦ. κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ ὄντας ἡμᾶς ἀπειθεῖς ἠλέησε. καὶ ἡ πρώτη δὲ δέησις ἐλέους γέμει, ὅταν ὑπὲρ τῶν ἐνεργουμένων παρακαλῶμεν· καὶ ἡ δευτέρα πάλιν, ὑπὲρ ἑτέρων τῶν ἐν μετανοίᾳ πολὺ τὸ ἔλεος ἐπιζητοῦσα· καὶ ἡ τρίτη δὲ πάλιν ὑπὲρ ἡμῶν αὐτῶν· καὶ αὕτη τὰ παιδία [τὰ ἄμωμα] τοῦ δήμου προβάλλεται, τὸν Θεὸν ἐπὶ ἔλεον παρακαλοῦντα. ἐπειδὴ γὰρ αὐτοὶ κατεγνώκαμεν ἑαυτῶν ἁμαρτήματα, ὑπὲρ μὲν τῶν πολλὰ ἡμαρτηκότων καὶ ἐγκληθῆναι ὀφειλόντων αὐτοὶ βοῶμεν· ὑπὲρ δὲ ἡμῶν αὐτῶν οἱ παῖδες, ὧν τῆς ἁπλότητος τοὺς ζηλωτὰς ἡ βασιλεία τῶν οὐρανῶν μένει. ὁ γὰρ τύπος οὗτος τοῦτο ἐνδείκνυται, ὅτι οἱ καὶ ἐκείνους τοὺς παῖδας ταπεινοὶ καὶ ἄπλαστοι, οὗτοι μάλιστα δύνανται ἐξαιτεῖσθαι τοὺς ὑπευθύνους. αὐτὸ δὲ τὸ μυστήριον πόσου ἐλέου, πόσης φιλανθρωπίας, ἴσασιν οἱ μεμυημένοι. καὶ σὺ τοίνυν κατὰ δύναμιν τὴν σὴν ἐλεῶν ἄνθρωπον, ἀπόκλεισον τὴν θύραν· αὐτὸς ὁ ἐλεούμενος ἰδέτω μόνος· εἰ δὲ οἷόν τε, μηδὲ οὗτος. ἂν δὲ ἀναπετάσῃς, ἐκπομπεύεις σου τὸ μυστήριον. ἐννόησον ὅτι καὶ αὐτὸς ἐκεῖνος, οὗ τὴν δόξαν ἐπιζητεῖς, καὶ αὐτός σου καταγνώσεται. κἂν μὲν φίλος ᾖ, παρ' ἑαυτῷ σου κατηγορήσει· ἂν δὲ ἐχθρὸς, καὶ παρ' ἑτέροις σε κωμῳδήσει, καὶ τἀναντία ὑπομενεῖς ὧν ἐπιθυμεῖς. σὺ μὲν γὰρ ἐπιθυμεῖς, ἵνα εἴπῃ ὅτι ἐλεήμων· αὐτὸς δὲ οὐκ ἐρεῖ τοῦτο, ἀλλ' ὁ κενόδοξος, ὁ ἀνθρωπάρεσκος, καὶ ἕτερα πολὺ τούτων χαλεπώτερα. ἂν δὲ κρύψῃς, πάντα ἐρεῖ τἀναντία τούτοις· ὁ φιλάνθρωπος, ὁ ἐλεήμων. οὐ γὰρ ἀφίησιν ὁ Θεὸς κρυβῆναι· ἀλλ' ἐὰν σὺ κρύψῃς, ἐκεῖνος κατάδηλον ποιήσει· καὶ μεῖζον τὸ θαῦμα, καὶ πλέον τὸ κέρδος. ὥστε καὶ πρὸς τοῦτο αὐτὸ τὸ δοξάζεσθαι ἐναντίον ἡμῖν τὸ ἐπιδείκνυσθαι. πρὸς γὰρ ὃ σπεύδομεν καὶ ἐπειγόμεθα, πρὸς τοῦτο μάλιστα ἡμῖν αὐτὸ τοῦτο ἀνθίσταται. οὐ γὰρ μόνον ἐλεήμονος δόξαν οὐ λαμβάνομεν, ἀλλὰ καὶ τὴν ἐναντίαν· καὶ πρὸς ταύτῃ πολλὴν καὶ τὴν ζημίαν ὑπομένομεν. πάντων οὖν ἕνεκεν ἀπεχώμεθα ταύτης, καὶ τῆς τοῦ Θεοῦ δόξης ἐρῶμεν μόνης. οὕτω γὰρ καὶ τῆς ἐνταῦθα ἐπιτευξόμεθα δόξης, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. οβ'. 1 ΤΟΤΕ Ο ΙΗΣΟΥΣ ΕΛΑΛΗΣΕ ΤΟΙΣ Ὀχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, 2 Λέγων, ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι.

3 Πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ ἔργα αὐτῶν μὴ ποιεῖτε.

Δευτ. ϛ. δ.

ΤΟτε, πότε; ὅτε ταῦτα εἶπεν, ὅτε αὐτοὺς ἐπεστόμισεν, ὅτε ἔστησεν εἰς τὸ μηκέτι τολμᾷν πειράζειν αὐτὸν, ὅτε ἔδειξεν ἀνιάτως ἔχοντας. καὶ ἐπειδὴ Κυρίου καὶ Κυρίου ἐμνημόνευσε, πάλιν ἐπὶ τὸν νόμον ἀνατρέχει. καίτοιγε ὁ νόμος τοιοῦτον οὐδὲν εἶπε, φησίν· ἀλλὰ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. ἀλλὰ νόμον ἡ γραφὴ τὴν παλαιὰν ἅπασαν καλεῖ. ταῦτα δὲ λέγει, δεικνὺς διὰ πάντων τὴν πολλὴν πρὸς τὸν γεγεννηκότα ὁμόνοιαν. εἰ γὰρ ἐναντίος ἦν, τοὐναντίον ἂν εἶπε περὶ τοῦ νόμου· νῦν δὲ τοσαύτην περὶ αὐτὸν ἐπιδείκνυσθαι κελεύει τὴν αἰδῶ, ὡς καὶ διεφθαρμένων ὄντων τῶν διδασκόντων αὐτὸν, ἐκείνου κελεύειν ἀντέχεσθαι. ἐνταῦθα δὲ καὶ περὶ βίου καὶ περὶ πολιτείας διαλέγεται, ἐπειδὴ τοῦτο μάλιστα αἴτιον τῆς ἀπιστίας ἦν αὐτοῖς, ὁ διεφθαρμένος βίος, καὶ ὁ τῆς δόξης ἔρως. διορθούμενος τοίνυν αὐτοὺς, ὃ πρῶτον μάλιστά ἐστιν εἰς σωτηρίαν συντελοῦν, τὸ τῶν διδασκάλων μὴ καταφρονεῖν, μηδὲ κατεξανίστασθαι τῶν ἱερέων, τοῦτο ἐκ περιουσίας κελεύει. οὐ κελεύει δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς ποιεῖ. καὶ γὰρ διεφθαρμένους ὄντας οὐ κατάγει ἀπὸ τῆς τιμῆς, ἐκείνοις μὲν πλέον τὸ κρίμα ἐργαζόμενος, τοῖς δὲ μαθητευομένοις οὐδεμίαν παραλιμπάνων παρακοῆς πρόφασιν. ἵνα γὰρ μή τις λέγῃ, ὅτι ἐπειδὴ φαῦλος ὁ διδάσκαλος, διὰ τοῦτο ῥᾳθυμότερος γέγονα, καὶ ταύτην ἀναιρεῖ τὴν πρόφασιν. οὕτω γοῦν αὐτῶν ἔστησε τὴν ἀρχὴν, καίτοι πονηρῶν ὄντων, ὡς καὶ μετὰ τοσαύτην κατηγορίαν εἰπεῖν· πάντα ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε. οὐ γὰρ τὰ ἑαυτῶν λέγουσιν, ἀλλὰ τὰ τοῦ Θεοῦ, ἃ διὰ Μωϋσέως ἐνομοθέτησε. καὶ σκόπει πόσῃ περὶ τὸν Μωϋσέα κέχρηται τιμῇ, πάλιν τὴν πρὸς τὴν παλαιὰν συμφωνίαν ἐνδεικνύμενος, ὅπουγε καὶ ἐντεῦθεν αὐτοὺς αἰδεσίμους ποιεῖ. ἐπὶ γὰρ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν, φησίν. ἐπειδὴ γὰρ οὐκ εἶχεν αὐτοὺς ἀπὸ βίου ἀξιοπίστους ποιῆσαι, ἀπὸ τῶν ἐγχωρούντων τοῦτο ποιεῖ, τῆς καθέδρας καὶ τῆς ἐκείνου διαδοχῆς. πάντα δὲ, ὅταν ἀκούσῃς, μὴ πᾶσαν ἄκουε τὴν νομοθεσίαν· οἷον, τὰ περὶ βρωμάτων, τὰ περὶ θυσιῶν, καὶ ὅσα τοιαῦτα. πῶς γὰρ ἔμελλε ταῦτα λέγειν, ἃ προλαβὼν ἔλυσεν; ἀλλὰ πάντα φησὶ τὰ διορθοῦντα ἦθος, καὶ βελτίω ποιοῦντα τρόπον, καὶ τοῖς τῆς καινῆς συμβαίνοντα νόμοις, καὶ οὐκ ἀφιέντα λοιπὸν ὑπὸ τὸν τοῦ νόμου ζυγὸν εἶναι. διὰ τί οὖν οὐκ ἀπὸ τοῦ νόμου τῆς χάριτος ταῦτα θεσπίζει, ἀλλ' ἀπὸ τοῦ Μωϋσέως; ὅτι οὐδέπω καιρὸς ἦν πρὸ τοῦ σταυροῦ ταῦτα σαφῶς διαλέγεσθαι. ἐμοὶ δὲ δοκεῖ πρὸς τοῖς εἰρημένοις καὶ ἕτερόν τι προοικονομεῖν ταῦτα λέγων. ἐπειδὴ γὰρ μέλλει κατηγορεῖν αὐτῶν, ἵνα μὴ δόξῃ παρὰ τοῖς ἀνοήτοις τῆς ἀρχῆς αὐτῶν ταύτης ἐρᾶν, ἢ δι' ἀπέχθειαν τοῦτο ποιεῖν, πρῶτον τοῦτο ἀναιρεῖ, καὶ ἀνύποπτον ἑαυτὸν ποιήσας, τότε ἄρχεται τῆς κατηγορίας. καὶ τίνος ἕνεκεν αὐτοὺς ἐλέγχει καὶ μακροὺς λοιπὸν ἀποτείνει λόγους κατ' αὐτῶν; προφυλαττόμενος τοὺς ὄχλους, ὥστε μὴ τοῖς αὐτοῖς περιπεσεῖν. οὐδὲ γὰρ ὅμοιον ἀπαγορεύειν, καὶ τοὺς πταίσαντας δεικνύναι· ὥσπερ οὐχ ὅμοιον παραινεῖν τὰ δέοντα, καὶ τοὺς κατορθοῦντας εἰς μέσον ἄγειν. διὰ τοῦτο καὶ προλαβὼν φησι· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ἵνα γὰρ μὴ νομίσωσι διὰ τὸ ἀκούειν αὐτῶν, δεῖν αὐτοὺς καὶ ζηλοῦν, ταύτῃ κέχρηται τῇ ἐπιδιορθώσει, καὶ τὴν δοκοῦσαν αὐτῶν εἶναι τιμὴν, κατηγορίαν ποιεῖ. τί γὰρ διδασκάλου γένοιτ' ἂν ἀθλιώτερον, ὅταν τοὺς μαθητὰς τὸ μὴ προσέχειν αὐτοῦ τῷ βίῳ διασώζῃ; ὥστε ἡ δο-

κοῦσα

ἔχουσα αὐτὴν εἶναι τιμὴν, μεγίστη κατηγορία ἐστὶν, ὅταν τοιοῦτον φαίνωνται βίον ἔχοντες, ὧν οἱ ζηλοῦντες διαφθείρονται. διὰ τοῦτο καὶ εἰς τὰς κατ' αὐτῶν ἐμπίπτει κατηγορίας· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα δείξῃ, ὅτι καὶ ἡ προτέρα ἀπιστία ἣν ἠπίστησαν, καὶ ὁ σταυρὸς ὁ μετὰ ταῦτα ὃν ἐτόλμησαν, οὐ τοῦ σταυρωθέντος καὶ ἀπιστηθέντος ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης κατηγορία. θέα δὲ πόθεν ἄρχεται, καὶ πόθεν αὔξει τὰ ἐγκλήματα. ὅτι λέγουσί, φησι, καὶ οὐ ποιοῦσιν. ἕκαστος μὲν γὰρ ἐγκλημάτων ἄξιος παραβαίνων τὸν νόμον, μάλιστα δὲ ὁ διδασκαλίας αὐθεντίαν ἔχων. διπλῇ γὰρ καὶ τριπλῇ δίκαιος κατακρίνεσθαι· δι' ἓν μὲν, ὅτι παραβαίνει· δι' ἕτερον δὲ, ὅτι καὶ τοὺς ἄλλους ὀφείλων διορθοῦν, εἶτα χωλεύων, μείζονος τιμωρίας ἄξιος διὰ τὴν τιμήν· τρίτον δὲ, ὅτι καὶ διαφθείρει μειζόνως, ἅτε ἐν διδασκάλου τάξει τοιαῦτα παρανομῶν. μετὰ δὲ τούτων καὶ ἕτερον αὐτῶν πάλιν λέγει κατηγόρημα, ὅτι πικροί εἰσι τοῖς ὑπευθύνοις.

4 Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ τιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Διπλῆν ἐνταῦθα λέγει κακίαν, τῷ πολλὴν μὲν καὶ ἄκραν ἀπαιτεῖν ἀσυγγνώστως παρὰ τῶν ἀρχομένων βίου ἀκρίβειαν, πολλὴν δὲ ἑαυτοῖς ἐπιτρέπειν τὴν ἄδειαν· ὅ τοὐναντίον τὸν ἄριστον ἄρχοντα ἔχειν χρή· ἐν μὲν τοῖς καθ' ἑαυτὸν, ἀσύγγνωστον εἶναι καὶ πικρὸν δικαστήν· ἐν δὲ τοῖς τῶν ἀρχομένων, συγγνωμονικὸν καὶ ἥμερον, ὧν οὗτοι τὸ ἐναντίον ἐποίουν. τοιοῦτοι γὰρ πάντες οἱ λόγοις φιλοσοφοῦντες, ἀσύγγνωστοι καὶ βαρεῖς, ἅτε ἄπειροι τῆς δι' ἔργων διδασκαλίας. οὐ μικρὰ δὲ καὶ αὕτη ἡ κακία, οὐδὲ ὡς ἔτυχεν, ἐπιτείνει τὴν ἔμπροσθεν κατηγορίαν. σὺ δέ μοι σκόπει πῶς καὶ τοῦτο αὔξει τὸ ἔγκλημα. οὐ γὰρ εἶπεν, οὐ δύνανται, ἀλλ' οὐ θέλουσι. καὶ οὐκ εἶπε, βαστάσαι· ἀλλὰ, δακτύλῳ κινῆσαι, τουτέστιν, οὐδὲ ἐγγὺς γενέσθαι, οὐδὲ ἅψασθαι. ἀλλὰ πού σπουδαῖοι καὶ εὔτονοι; ἐν τοῖς κεκωλυμένοις.

5 Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι, φησι, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις.

Εἰς κενοδοξίαν αὐτοὺς διαβάλλων ταῦτα λέγει, ἥπερ αὐτοὺς καὶ ἀπώλεσε. τὰ μὲν γὰρ ἔμπροσθεν, ὠμότητος ἦσαν καὶ ῥᾳθυμίας· ταῦτα δὲ, δοξομανίας. τοῦτο ἀπέστησεν αὐτοὺς τοῦ Θεοῦ, τοῦτο ἐν ἑτέρῳ θεάτρῳ ἀγωνίζεσθαι παρεσκεύασε, καὶ διέφθειρεν. οἵους γὰρ ἄν τις ἔχῃ τοὺς θεατὰς (ἐπεὶ τούτοις ἐσπούδακεν ἀρέσκειν) τοιούτους ἐπιδείκνυται καὶ τοὺς ἀγῶνας. καὶ ὁ μὲν ἐν γενναίοις παλαίων, τοιαῦτα καὶ τὰ ἀγωνίσματα μέτεισιν· ὁ δὲ ἐν ψυχροῖς καὶ διαπεπλωκόσι, καὶ αὐτὸς ῥᾳθυμότερος γίνεται. οἷον, ἔχει τις θεατὴν γέλωτι χαίροντα· γίνεται γελωτοποιὸς καὶ αὐτὸς, ἵνα τέρψῃ τὸν θεατήν· ἕτερος σπουδαῖον καὶ φιλοσοφοῦντα· σπουδάζει καὶ αὐτὸς τοιοῦτος εἶναι, ἐπειδὴ τοιαύτη τοῦ ἐπαινοῦντος ἡ γνώμη. ὅρα δὲ πάλιν καὶ ἐνταῦθα μετ' ἐπιτάσεως τὸ ἔγκλημα. οὐδὲ γὰρ τὰ μὲν οὕτω, τὰ δὲ ἑτέρως ποιοῦσιν· ἀλλὰ πάντα ἁπλῶς οὕτως. εἶτα ἐγκαλέσας αὐτοῖς κενοδοξίαν, δείκνυσιν οὐδὲ ἐπὶ τοῖς μεγάλοις καὶ ἀναγκαίοις κενοδοξοῦντας (οὐδὲ γὰρ εἶχον. ἔρημοι γὰρ ἦσαν κατορθωμάτων) ἀλλ' ἐπὶ* ψυχροῖς καὶ εὐτελέσι, καὶ ἃ τῆς κακίας αὐτῶν τεκμήρια ἦν.

Πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν, φησι, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν. Καὶ τίνα ταῦτά ἐστι τὰ φυλακτήρια καὶ τὰ κράσπεδα; ἐπειδὴ συνεχῶς ἐπελανθάνοντο τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ἐκέλευσεν ἐγγραφῆναι βιβλίοις μικροῖς τὰ θαύματα αὐτοῦ, καὶ ἐξηρτῆσθαι αὐτὰ τῶν χειρῶν αὐτῶν (διὸ καὶ ἔλεγεν· Ἔσται ἀσάλευτα ἐν ὀφθαλμοῖς σου) ἃ φυλακτήρια ἐκάλουν· ὡς πολλαὶ νῦν τῶν γυναικῶν εὐαγγέλια τῶν τραχήλων ἐξαρτῶσαι ἔχουσι. καὶ ἵνα καὶ ἑτέρωθεν πάλιν ὑπομιμνήσκωνται, ὃ πολλοὶ πολλάκις ποιοῦσιν ὡς ἐπιλανθανόμενοι, λίνῳ ἢ κρόκῃ τὸν δάκτυλον ἀποδεσμοῦντες, τοῦτο ὁ Θεὸς ὥσπερ παιδίοις ἐκέλευσε ποιεῖν, κλῶσμα ὑακίνθινον ἐπὶ τῶν ἱματίων περὶ τὴν ὤαν τὴν περὶ τοὺς πόδας ἀπορράπτεσθαι· ἵνα προσέχοντες ἀναμιμνήσκωνται τῶν ἐντολῶν, καὶ ἐκαλεῖτο

Δευτ. ς. η.

Αριθ. ιε. λη.

ἐκαλοῦντο κράσπεδα. ἐν τούτοις τοίνυν ἦσαν σπουδαῖοι, τοὺς τελαμῶνας τῶν βιβλίων πλατύνοντες, καὶ τὰ κράσπεδα μεγαλοποιοῦντες· ὅπερ ἐσχάτης κενοδοξίας ἦν. τίνος γὰρ ἕνεκεν φιλοτιμῇ, καὶ πλατύνεις ταῦτα; μὴ γὰρ κατόρθωμά σου τοῦτό ἐστι; μὴ γάρ τι σε ὀνίνησιν, ἐὰν μὴ τὰ ἀπ᾽ αὐτῶν κερδάνῃς; οὐ γὰρ τὸ μεγαλύνειν ταῦτα καὶ πλατύνειν ὁ Θεὸς ζητεῖ, ἀλλὰ τὸ μεμνῆσθαι τῶν αὐτοῦ κατορθωμάτων. εἰ δὲ ἐπὶ ἐλεημοσύνῃ καὶ νηστείᾳ, καίτοι ἐπιπόνοις καὶ κατορθώμασιν οὖσιν ἡμετέροις, φιλοτιμεῖσθαι οὐ δεῖ· πῶς σὺ τούτοις ἐναβρύνῃ ὦ Ἰουδαῖε, ἃ μάλιστά σου κατηγορεῖ ῥᾳθυμίαν; οἱ δὲ οὐκ ἐν τούτοις μόνοις, ἀλλὰ καὶ ἐν ἑτέροις μικροῖς ταῦτα ἐνόσουν.

6 Φιλοῦσι γάρ, φησι, τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς,

7 Καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββί.

Ταῦτα γὰρ εἰ καὶ μικρά τις ἡγεῖται, ἀλλὰ μεγάλων ἐστὶν αἴτια κακῶν. ταῦτα καὶ πόλεις καὶ ἐκκλησίας ἀνέτρεψε. καί μοι καὶ δακρῦσαι ἔπεισι νῦν, ὅταν τὰς πρωτοκαθεδρίας ἀκούσω καὶ τοὺς ἀσπασμούς, καὶ λογίσωμαι πόσα ἐντεῦθεν ἐτέχθη κακὰ ταῖς ἐκκλησίαις τοῦ Θεοῦ· ἅπερ οὐκ ἀναγκαῖον εἰς ὑμᾶς ἐξειπεῖν νῦν, μᾶλλον δὲ ὅσοι πρεσβῦται οὐδὲ δέονται ταῦτα παρ᾽ ἡμῶν μαθεῖν. σὺ δέ μοι σκόπει, ποῦ τὰ τῆς κενοδοξίας ἐκράτει. ἔνθα ἐκελεύοντο μὴ κενοδοξεῖν· ἐν ταῖς συναγωγαῖς, ἔνθα εἰσῄεσαν ῥυθμίζοντες ἑτέρους. τὸ γὰρ ἐπὶ τῶν δείπνων τοῦτο παθεῖν ὁπωσδήποτε, οὐχ οὕτω δοκεῖ δεινὸν εἶναι· καίτοιγε καὶ ἐκεῖ τὸν διδάσκαλον θαυμάζεσθαι ἔδει, οὐκ ἐπὶ τῆς ἐκκλησίας μόνον, ἀλλὰ πανταχοῦ. καθάπερ γὰρ ὁ ἄνθρωπος, ὅπουπερ ἂν φανῇ, δῆλός ἐστι τῶν ἀλόγων διεστηκώς· οὕτω καὶ τὸν διδάσκαλον, καὶ φθεγγόμενον, καὶ σιγῶντα, καὶ ἀριστοποιούμενον, καὶ πᾶν ὁτιοῦν ποιοῦντα δῆλον εἶναι δεῖ, καὶ ἀπὸ τοῦ βήματος, καὶ ἀπὸ τοῦ βλέμματος, καὶ ἀπὸ τοῦ σχήματος, καὶ ἀπὸ πάντων ἁπλῶς. ἐκεῖνοι δὲ πανταχόθεν ἦσαν καταγέλαστοι, καὶ πανταχοῦ κατησχύνοντο, μελετῶντες διώκειν ἃ φεύγειν ἔδει. Φιλοῦσι γάρ, φησιν. εἰ δὲ τὸ φιλεῖν ἔγκλημα, τὸ ποιεῖν καὶ θηρᾶν αὐτὰ καὶ σπουδάζειν ὥστε τυχεῖν, πόσον κακόν; τὰ μὲν οὖν ἄλλα μέχρι τῆς ἐκείνων κατηγορίας ἔστησεν, ὡς μικρὰ καὶ εὐτελῆ, καὶ ὡς μὴ δεομένων τῶν μαθητῶν καὶ ὑπὸ τούτων διορθωθῆναι· ὃ δὲ πάντων αἴτιον ἦν τῶν κακῶν, ἡ φιλαρχία, καὶ τὸ τὸν θρόνον ἁρπάζειν τὸν διδασκαλικόν, τοῦτο εἰς μέσον ἀγαγὼν διορθοῦται σπουδαίως, ὑπὲρ τούτου σφόδρα αὐτοῖς καὶ εὐτόνως ἐπισκήπτων. τί γάρ φησιν;

8 Ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββί. Εἶτα καὶ ἡ αἰτία. Εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε· Καὶ οὐδὲν ἕτερος ἑτέρου πλέον ἔχει, κατὰ τὸ μηδὲν εἶναι παρ᾽ ἑαυτῷ. διὸ καὶ Παῦλος λέγει· Τίς γάρ ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; τίς δὲ Κηφᾶς; οὐχὶ διάκονοι; καὶ οὐκ εἶπε, διδάσκαλοι. καὶ πάλιν·

α. Κορ. γ. ε.

9 Μὴ καλέσητε πατέρα· Οὐχ ἵνα μὴ καλῶσιν, ἀλλ᾽ ἵνα εἰδῶσιν ὃν κυρίως πατέρα καλεῖν χρή. καθάπερ γὰρ ὁ διδάσκαλος οὐκ ἔστι διδάσκαλος προηγουμένως· οὕτως οὐδὲ ὁ πατήρ. ἐκεῖνος γὰρ πάντων αἴτιος, καὶ τῶν διδασκάλων, καὶ τῶν πατέρων. καὶ πάλιν ἐπάγει·

10 Μηδὲ κληθῆτε καθηγηταί. Εἷς γάρ ἐστιν ὑμῶν καθηγητής, ὁ Χριστός.

Καὶ οὐκ εἶπεν, ἐγώ. ὥσπερ γὰρ ἀνωτέρω εἶπε· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; καὶ οὐκ εἶπε, περὶ ἐμοῦ· οὕτω καὶ ἐνταῦθα. ἀλλ᾽ ἡδέως ἂν ἐροίμην ἐνταῦθα, τί ἂν εἴποιεν οἱ τὸ εἷς καὶ εἷς πολλάκις ἁρμόζοντες τῷ πατρὶ μόνῳ ἐπὶ ἀθετήσει τοῦ μονογενοῦς, καθηγητὴς ὁ πατήρ; ἅπαντες ἂν εἴποιεν, καὶ οὐδεὶς ἀντερεῖ. καὶ μὴν εἷς, φησίν, ἐστὶ καθηγητὴς ὑμῶν, ὁ Χριστός. ὥσπερ οὖν εἷς καθηγητὴς λεγόμενος ὁ Χριστὸς οὐκ ἐκβάλλει τὸν πατέρα τοῦ εἶναι καθηγητήν· οὕτω καὶ εἷς διδάσκαλος λεγόμενος ὁ πατὴρ οὐκ ἐκβάλλει τὸν υἱὸν τοῦ εἶναι διδάσκαλον. τὸ γὰρ εἷς καὶ εἷς πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρώπων εἴρηται καὶ τῆς λοιπῆς κλήσεως. ἀπαγορεύσας τοίνυν αὐτοῖς τὸ χαλεπὸν τοῦτο νόσημα καὶ διορθωσάμενος, παιδεύει καὶ πῶς ἂν αὐτὸ διαφύγοιεν, διὰ ταπεινοφροσύνης. διὸ καὶ ἐπάγει·

11 Ὁ δὲ μείζων ὑμῶν, ἔστω ὑμῶν διάκονος.

12 Ὅστις γὰρ ὑψώσει ἑαυτόν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτόν, ὑψωθήσεται.

Οὐδὲν γὰρ τοῦ μετριάζειν ἴσον. διὸ καὶ συνεχῶς αὐτοὺς ὑπομιμνήσκει ταύτης τῆς ἀρετῆς, καὶ ὅτε τὰ παιδία εἰς μέσον ἦγε, καὶ νῦν, καὶ ἀρχόμενος ἐπὶ τοῦ ὄρους τῶν μακαρισμῶν ἐντεῦθεν ἤρξατο, καὶ ἐνταῦθα πρόρριζον αὐτὴν ἀνασπᾷ ἐντεῦθεν λέγων· ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Εἶδες πῶς ἐκ διαμέτρου πρὸς τοὐναντίον ἀπάγει τὸν ἀκροατήν; οὐδὲ γὰρ δὴ μόνον τῶν πρωτείων ἐρᾷν κωλύει, ἀλλὰ καὶ τὰ ἔσχατα διώκειν. οὕτω γὰρ τεύξῃ τῆς ἐπιθυμίας, φησί. διὸ χρὴ τὸν τῶν πρωτείων τὴν ἐπιθυμίαν διώκοντα τὴν ἐσχάτην διώκειν τάξιν. ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτόν, ὑψωθήσεται. καὶ ποῦ τὴν ταπεινοφροσύνην ταύτην εὑρήσομεν;

ΗΘΙΚΟΝ

Βούλεσθε πάλιν ἐπὶ τὴν πόλιν τῆς ἀρετῆς ἴωμεν, τὰς τῶν ἁγίων σκηνάς, τὰ ὄρη λέγω καὶ τὰς νάπας; καὶ γὰρ ἐκεῖ τὸ ὕψος τῆς ταπεινοφροσύνης ὀψόμεθα τοῦτο. ἄνθρωποι γὰρ οἱ μὲν ἀπὸ τῶν ἔξωθεν ἀξιωμάτων, οἱ δὲ καὶ ἀπὸ χρημάτων ὄντες λαμπροί, πανταχόθεν ἑαυτοὺς καταστέλλουσιν, ἀπὸ τῆς ἐσθῆτος, ἀπὸ τῆς οἰκίας, ἀπὸ τῶν διακονουμένων, καὶ καθάπερ ἐν γράμμασι διὰ πάντων τὴν ταπεινοφροσύνην γράφουσι· καὶ ἃ πέρ ἐστιν ὑπεκκαύματα ἀλαζονείας, τὸ καλῶς ἀμφιέννυσθαι, καὶ τὸ λαμπρῶς οἰκοδομεῖν, καὶ τὸ πολλοὺς ἔχειν διακόνους, ἃ καὶ ἄκοντας πολλάκις εἰς ἀλαζονείαν ἐμβάλλει, ταῦτα ἐκεῖ ἅπαντα ἀνῄρηται. καὶ αὐτοὶ καίουσι πῦρ, αὐτοὶ διακλῶσι ξύλα, αὐτοὶ ἕψουσιν, αὐτοὶ τοῖς ἐρχομένοις διακονοῦνται. οὐκ ἔστιν ὑβρίζοντος ἀκοῦσαί τινος ἐκεῖ, οὐδὲ ὑβριζόμενον ἰδεῖν, οὐδὲ ἐπιταττόμενον, οὐδὲ ἐπιτάττοντα· ἀλλὰ πάντες τῶν διακονουμένων εἰσί, καὶ ἕκαστος τοὺς πόδας νίπτει τῶν ξένων, καὶ πολλὴ ἡ περὶ τούτου μάχη. καὶ ποιεῖ τοῦτο, οὐκ ἐξετάζων ὅστις ἐστίν, οὔτε εἰ δοῦλος, οὔτε εἰ ἐλεύθερος· ἀλλ' ἐπὶ πάντος τὴν διακονίαν ταύτην πληροῖ. οὐδεὶς ἐκεῖ, οὐ μέγας, οὐδὲ μικρός. τί οὖν; σύγχυσις; μὴ γένοιτο· ἀλλ' ἡ πρώτη εὐταξία. κἂν γὰρ ᾖ τις μικρός, ὁ μέγας οὐχ ὁρᾷ τοῦτο, ἀλλὰ καὶ ἐκείνου *καταδεέστερον εἶναι ἑαυτὸν νομίζει, καὶ ταύτῃ γίνεται μείζων. μία τράπεζα πᾶσι, καὶ τοῖς διακονουμένοις, καὶ τοῖς διακονοῦσι, τὰ αὐτὰ ἐδέσματα, τὰ αὐτὰ ἐνδύματα, τὰ αὐτὰ οἰκήματα, ἡ αὐτὴ δίαιτα, μέγας ἐκεῖ, ὁ τὸ εὐτελέστερον ἔργον ἁρπάζων. οὐκ ἔστιν ἐκεῖ τὸ ἐμὸν καὶ τὸ σόν· ἀλλ' ἐξώρισται τοῦτο τὸ ῥῆμα, τὸ μυρίων αἴτιον πολέμων. καὶ τί θαυμάζεις, εἰ δίαιτα καὶ τράπεζα καὶ στολὴ μία πᾶσιν, ὅπου γε καὶ ψυχὴ μία πᾶσιν, οὐ κατὰ τὴν οὐσίαν μόνον (τοῦτο γὰρ καὶ ἐπὶ πάντων) ἀλλὰ καὶ κατὰ τὴν ἀγάπην. πῶς οὖν αὕτη καθ' ἑαυτῆς ἐπαρθείη ποτέ; οὐκ ἔστιν ἐκεῖ πενία καὶ πλοῦτος, δόξα καὶ ἀτιμία. πῶς οὖν ἂν εὕροι παρείσδυσιν ἀπόνοια καὶ ἀλαζονεία; εἰσὶ μὲν γὰρ καὶ μικροὶ καὶ μεγάλοι κατὰ τὸν τῆς ἀρετῆς λόγον· ἀλλ' ὅπερ ἔφην, οὐδεὶς τοῦτο ὁρᾷ. ὁ μικρὸς οὐκ ἀλγεῖ ὡς καταφρονούμενος (οὔτε γὰρ ὁ καταφρονῶν τίς ἐστι) κἂν διαπτύσῃ δέ τις, τούτῳ μάλιστα παιδεύονται καταφρονεῖσθαι, διαπτύεσθαι, ἐξευτελίζεσθαι, διὰ ῥημάτων, διὰ πραγμάτων· καὶ πτωχοῖς καὶ ἀναπήροις συνδιαστρέφονται, καὶ αἱ τράπεζαι αὐτοῖς τούτων γέμουσι τῶν δαιτυμόνων· διὰ δὴ τοῦτο καὶ τῶν οὐρανῶν εἰσιν ἄξιοι. καὶ ὁ μὲν θεραπεύει τραύματα τῶν λώβην ἐχόντων· ὁ δὲ χειραγωγεῖ τὸν τυφλόν· ὁ δὲ βαστάζει τὸ σκέλος πεπηρωμένον. οὐκ ἔνι κολάκων ἐκεῖ πλῆθος, οὐδὲ παρασίτων· μᾶλλον δὲ οὐδὲ ὅ,τι ποτέ ἐστι κολακεία ἴσασι. πόθεν οὖν ἂν ἐπαρθεῖεν ποτε; καὶ γὰρ πολλὴ παρ' αὐτοῖς ἰσότης· διὸ καὶ εὐκολία πολλὴ τῆς ἀρετῆς. καὶ γὰρ τούτοις μᾶλλον οἱ καταδεέστεροι παιδεύονται, ἢ εἰ ἀναγκάζοντο αὐτοῖς παραχωρεῖν τῶν πρωτείων. ὥσπερ γὰρ τὸν θρασὺν ὁ πληττόμενος καὶ παραχωρῶν παιδεύει· οὕτω τὸν φιλότιμον ὁ μὴ ἀντιποιούμενος δόξης, ἀλλὰ καταφρονῶν. τοῦτο δὲ μετὰ δαψιλείας ἐκεῖνοι ποιοῦσι. καὶ ὅση μάχη παρὰ ἡμῖν ὑπὲρ τοῦ τυχεῖν τῶν πρωτείων, τοσοῦτος ἀγὼν παρ' αὐτοῖς ὑπὲρ τοῦ μὴ τυχεῖν, ἀλλὰ καὶ διακρούσασθαι· καὶ πολλὴ [ἡ] σπουδή, τίς πλεονεκτήσει τιμῶν, ἀλλ' οὐ τιμώμενος· ἄλλως δέ, καὶ αὐτὰ τὰ ἔργα μετριάζειν πείθει, καὶ οὐκ ἀφίησι φλεγμαίνειν. τίς γάρ, εἰπέ μοι, γῆν σκάπτων, καὶ ἄρδων, καὶ φυτεύων, ἢ πλέκων σπυρίδας, καὶ σάκκον ὑφαίνων, ἢ ἄλλα τινὰ μεταχειρίζων, μέγα φρονήσει ποτέ; τίς δὲ πενίᾳ συζῶν καὶ λιμῷ παλαίων, τοῦτο νοσήσει τὸ νόσημα; οὐκ ἔστιν οὐδείς. διὰ τοῦτο οὕτως εὔκολος αὐτοῖς ἡ ταπεινοφροσύνη· καὶ ὥσπερ ἐνταῦθα χαλεπὸν τὸ μετριάζειν διὰ τὸ πλῆθος τῶν κροτούντων καὶ θαυμαζόντων, οὕτως ἐκεῖ σφόδρα εὔκολον. καὶ γὰρ τῇ ἐρημίᾳ προσέχει μόνον ἐκεῖνος, καὶ ὄρνιθας ἱπταμένους ὁρᾷ, καὶ δένδρα σειόμενα, καὶ ζέφυρον πνέοντα, καὶ ῥύακας διὰ φαράγγων φερομένους. πόθεν οὖν ἂν ἐπαρθείη ὁ ἐρημίᾳ τοσαύτῃ συζῶν; οὐ μὴν διὰ τοῦτο ἀπολογίαν ἐντεῦθεν ἡμεῖς ἕξομεν, ἐπειδὴ ἐν μέσοις στρεφόμενοι μέγα φρονοῦμεν. καὶ γὰρ ὁ Ἀβραὰμ μεταξὺ Χαναναίων ὢν ἔλεγεν, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· καὶ ὁ Δαβὶδ ἐν μέσοις στρατοπέδοις, Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· καὶ ὁ ἀπόστολος ἐν μέσῃ τῇ οἰκουμένῃ, Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. ποία τοίνυν ἡμῖν ἔσται παραμυθία, ποία δὲ ἀπολογία, ὅταν μηδὲ τοσαῦτα ἔχοντες παραδείγματα μετριάζωμεν; ὥσπερ γὰρ ἐκεῖνοι μυρίων στεφάνων ἄξιοι, πρῶτοι τῆς ἀρετῆς τὴν ὁδὸν ἐλθόντες· οὕτως ἡμεῖς μυρίων τιμωριῶν ὑπεύθυνοι, μήτε μετ' ἐκείνους τοὺς ἀπελθόντας καὶ ἐν τοῖς γράμμασι κειμένους, μήτε μετὰ τούτους τοὺς ζῶντας καὶ διὰ τῶν πραγμάτων θαυμαζομένους ἐπὶ τὸν ἴσον ἑλκόμενοι ζῆλον. τί γὰρ ἂν ἔχοις εἰπεῖν μὴ διορθούμενος; οὐκ οἶσθα γράμματα, οὐδὲ γραφαῖς ἐνέκυψας, ἵνα μάθῃς τῶν παλαιῶν τὰς ἀρετάς; μάλιστα μὲν καὶ τοῦτο ἔγκλημα, τῆς ἐκκλησίας διηνεκῶς ἀνεῳγμένης, μὴ εἰσιέναι καὶ μετέχειν τῶν καλῶν ἐκείνων ναμάτων. πλὴν ἀλλ' εἰ καὶ τοὺς ἀπελθόντας οὐκ ἔγνως διὰ τῶν γραφῶν, τοὺς ζῶντας τούτους ἰδεῖν ἐχρῆν. ἀλλ' οὐδεὶς ὁ χειραγωγῶν. ἐλθὲ πρὸς ἐμέ, καὶ ἐγώ σοι δείξω τὰ καταγώγια τῶν ἁγίων τούτων· ἐλθέ, καὶ μάθε τι παρ' αὐτῶν χρήσιμον. λύχνοι πανταχοῦ τῆς γῆς εἰσιν οὗτοι λάμποντες· τείχη ταῖς πόλεσι "περικάθηνται) καὶ καθίσανται. διὰ ταῦτα τὰς ἐρημίας κατέλαβον, ἵνα καὶ σὲ παιδεύσωσι τῶν ἐν τῷ μέσῳ θορύβων καταφρονεῖν. οἱ μὲν γὰρ ἅτε ἰσχυροὶ ὄντες, καὶ ἐν μέσῳ τῷ κλύδωνι δύνανται γαλήνης ἀπολαύειν· σοὶ δὲ τῷ περιαντλουμένῳ πανταχόθεν ἡσυχίας δεῖ, καὶ τοῦ μικρὸν ἀναπνεῦσαι ἐκ τῶν ἐπαλλήλων κυμάτων. βάδιζε τοίνυν ἐκεῖ συνεχῶς, ἵνα τὴν διηνεκῆ κηλῖδα ἀποκαθάρας ταῖς ἐκείνων εὐχαῖς καὶ παραινέσεσι, καὶ τὸν ἐνταῦθα ἄριστα διαγάγῃς βίον, καὶ τῶν μελλόντων ἐπιτύχῃς ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμή, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γεν. ιη. κζ.
Ψαλμ. κα. ς.
α. Κορ. ιε. θ.

Ὁμιλ. ογ.

13 ΟΥΑΙ ΥΜΙΝ ΓΡΑΜΜΑΤΕΙΣ ΚΑΙ ΦΑΡΙΣΑΙΟΙ ὑποκριταί,

14 Ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

ΕΝτεῦθεν λοιπὸν εἰς γαστριμαργίαν αὐτοὺς κωμῳδεῖ. καὶ τὸ δεινόν, ὅτι οὐκ ἀπὸ τῶν πλουτούντων, ἀλλ' ἀπὸ τῶν χηρῶν ἐγαστρίζοντο, καὶ τὴν ἐκείνων πενίαν ἐπέτριβον, ἣν διορθοῦσθαι ἔδει. οὐδὲ γὰρ ἁπλῶς ἤσθιον, ἀλλὰ κατήσθιον. εἶτα καὶ ὁ τρόπος τῆς καπηλείας χαλεπώτερος, προφάσει μακρά, φησι, προσευχόμενοι. πᾶς μὲν ἄξιος τιμωρίας ὁ κακόν τι ποιῶν· ὁ δὲ καὶ τὴν αἰτίαν ἀπὸ εὐλαβείας λαμβάνων,

νων, καὶ προσχήματι ταύτῃ χρώμενος τῆς πονηρίας, πολλῷ χαλεπωτέρας κολάσεως ὑπεύθυνος. καὶ τίνος ἕνεκεν οὐκ ἀπεχειροτόνησεν αὐτούς; ὅτι ὁ καιρὸς οὐκ ἐπέτρεπεν οὐδέπω. διὰ δὴ τοῦτο ἀφίησι μὲν αὐτοὺς τέως· διὰ δὲ ὧν λέγει, κατασκευάζει τὸ ἀνεξαπάτητον τῷ δήμῳ, ἵνα μὴ διὰ τὴν ἀξίαν αὐτῶν εἰς τὸν αὐτὸν ἕλκωνται ζῆλον. ἐπειδὴ γὰρ εἶπεν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε, δείκνυσι ποῖα· ὅσα μὴ παραποιῶσιν, ἵνα μὴ δόξῃ ἐκείνου νομισθῇ παρὰ τοῖς ἀνοήτοις πάντα ἐπιτρέπειν αὐτοῖς. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι κλείετε τὴν βασιλείαν ἔμπροσθεν τῶν ἀνθρώπων. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Εἰ δὲ τὸ μηδένα ὠφελεῖν, κατηγορία· τὸ καὶ βλάπτειν καὶ κωλύειν, ποίαν ἂν ἔχῃ συγγνώμην; τί δέ ἐστι, τοὺς εἰσερχομένους; τοὺς ἐπιτηδείους. ὅτε μὲν γὰρ ἐπιτάξαι ἑτέροις ἔδει, ἀφόρητα ἐποίουν τὰ φορτία· ὅτε δὲ ἑαυτοὺς ποιῆσαί τι τῶν δεόντων, τότε τὸ ἐναντίον, οὐ μόνον οὐδὲν ἐποίουν αὐτοί, ἀλλ' ὃ πολλῷ πλέον ἐστὶν εἰς κακίαν, καὶ ἑτέρους διέφθειρον. οὗτοί εἰσιν οἱ λεγόμενοι λοιμοὶ, οἱ ἔργον τιθέμενοι τὴν ἑτέρων ἀπώλειαν, ἐκ διαμέτρου πρὸς τοὺς διδασκάλους ἑστῶτες. εἰ γὰρ διδασκάλου, τὸ σώζειν τὸν ἀπολλύμενον, τὸ ἀπολλῦναι τὸν σώζεσθαι μέλλοντα, λυμεῶνος. εἶτα πάλιν ἕτερον ἔγκλημα,

15 Ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν εὕρητε, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν· Τουτέστιν, οὐδὲ μετὰ τὸ μόλις αὐτὸν σαγηνεῦσαι καὶ μετὰ μυρίων πόνων, φείδεσθαι αὐτοῦ παρασκευάζει ὑμᾶς· καίτοιγε τῶν μόλις κτηθέντων φειδόμεθα μειζόνως· ὑμᾶς δὲ οὐδὲ τοῦτο ἐπιεικεστέρους ἐργάζεται. ἐνταῦθα δύο αὐτοῖς ἐγκαλεῖ· ἓν μὲν, ὅτι ἄχρηστοι πρὸς σωτηρίαν τῶν πολλῶν, καὶ πολλοῦ δέονται τοῦ ἱδρῶτος, ὥστε κἂν ἕνα ἐφελκύσασθαι· ἕτερον δὲ, ὅτι ῥᾴθυμοι πρὸς τὴν φυλακὴν τοῦ κτηθέντος· μᾶλλον δὲ οὐ ῥᾴθυμοι μόνον, ἀλλὰ καὶ προδόται, διὰ τῆς κατὰ τὸν βίον πονηρίας διαφθείροντες αὐτὸν καὶ χείρω ποιοῦντες. ὅταν γὰρ τοὺς διδασκάλους ἴδῃ τοιούτους ὁ μαθητὴς, χείρων γίνεται. οὐ γὰρ ἵσταται μέχρι τῆς τοῦ διδασκάλου κακίας· ἀλλ' ὅταν μὲν ἐνάρετος ᾖ, μιμεῖται· ὅταν δὲ φαῦλος, καὶ ὑπερβαίνει διὰ τὴν εὐκολίαν τὴν ἐπὶ τὸ χεῖρον. υἱὸν δὲ γεέννης φησὶ, τουτέστιν αὐτογέενναν. εἶπε δὲ, διπλότερον ὑμῶν, ἵνα καὶ ἐκείνους φοβήσῃ, καὶ τούτων καθάψηται μειζόνως, ὅτι διδάσκαλοι πονηρίας εἰσί. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ πλείονα τοῖς μαθηταῖς ἐντιθέναι σπουδάζουσι τὴν κακίαν, ἐπιτείνοντες αὐτοὺς ἐπὶ πολλῷ μείζονα φαυλότητα, ἧς ἔχουσιν· ὅπερ μάλιστα ψυχῆς διεφθαρμένης ἐστίν. εἶτα καὶ εἰς ἄνοιαν αὐτοὺς σκώπτει, ὅτι τῶν μειζόνων ἐντολῶν ἐκέλευον καταφρονεῖν. καὶ μὴν τοὐναντίον ἔμπροσθεν ἔλεγεν, ὅτι δεσμεύουσι φορτία βαρέα καὶ δυσβάστακτα· ἀλλὰ καὶ ταῦτα ἐποίουν πάλιν, καὶ πάντα ἔπραττον εἰς τὴν τῶν ὑπηκόων διαφθορὰν, ἐν τοῖς μικροῖς ζητοῦντες τὴν ἀκρίβειαν, καὶ τῶν μεγάλων καταφρονοῦντες.

23 Ἀποδεκατοῦτε γὰρ, φησὶ, τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ ἀφήκατε τὰ βαρέα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν. Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

Ἐνταῦθα μὲν οὖν εἰκότως φησὶ ταῦτα, ἔνθα δεκάτη ἐστὶ καὶ ἐλεημοσύνη. τί γὰρ βλάπτει τὸ ἐλεημοσύνην διδόναι; ἀλλ' οὐχ ὡς νόμον τηρεῖσθαι. οὐδὲ γὰρ αὐτὸς οὕτω φησί. διὰ δὴ τοῦτο ἐνταῦθα μὲν λέγει, ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ἔνθα δὲ περὶ καθαρῶν καὶ ἀκαθάρτων διαλέγεται, οὐκ ἔτι τοῦτο προστίθησιν, ἀλλὰ διαιρεῖ, καὶ δείκνυσιν ἐξ ἀνάγκης τῇ ἔνδον καθαρότητι καὶ τὴν ἔξωθεν ἑπομένην· τοὐναντίον δὲ οὐκέτι. ὅπου μὲν γὰρ φιλανθρωπίας λόγος ἦν, ἀδιαφόρως αὐτὸ παρατρέχει, διά τε τοῦτο αὐτὸ, καὶ ἐπειδὴ οὐδέπω καιρὸς ἦν διαρρήδην καὶ σαφῶς τὰ νομικὰ ἀνελεῖν· ἔνθα δὲ παρατήρησις σωματικῶν καθαρμῶν, σαφέστερον ἀνατρέπει. διὰ δὴ τοῦτο ἐπὶ μὲν τῆς ἐλεημοσύνης φησί· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ἐπὶ δὲ τῶν καθαρσίων οὐχ οὕτως· ἀλλὰ τί;

25 Καθαρίζετε, φησί, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος· ἔσωθεν δὲ γέμει ἁρπαγῆς καὶ πλεονεξίας.

26 Καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς καθαρόν. Καὶ ἔλαβεν αὐτὸ ἀπὸ πράγματος ὡμολογημένου καὶ δήλου, ἀπὸ ποτηρίου καὶ παροψίδος. Εἶτα δεικνὺς ὅτι οὐδεμία βλάβη ἐκ τοῦ καταφρονεῖν τῶν σωματικῶν καθαρμῶν, μεγίστη δὲ τιμωρία ἐκ τοῦ μὴ φροντίζειν τῶν τῆς ψυχῆς καθαρσίων, ἅπερ ἐστὶν ἀρετή, κώνωπα μὲν ἐκάλεσε ταῦτα (μικρὰ γὰρ ἦν καὶ οὐδέν) κάμηλον δὲ ἐκεῖνα· ἀφόρητα γὰρ ἦν. διὸ καί φησι·

24 Τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες. Καὶ γὰρ καὶ ἐκεῖνα διὰ ταῦτα νενομοθέτηται, διὰ τὸν ἔλεον καὶ τὴν κρίσιν· ὥστε οὐδὲ τότε ὠφέλει μόνα γινόμενα. ὅτε γὰρ τὰ μικρὰ διὰ τὰ μεγάλα ἦν εἰρημένα, εἶτα ἐκεῖνα μὲν ἠμελεῖτο, ταῦτα δὲ ἐσπουδάζετο μόνα, οὐδὲν ἦν πλέον οὐδὲ τότε ἐντεῦθεν. τούτοις μὲν γὰρ ἐκεῖνα οὐχ εἵπετο· ἐκεῖνα δὲ τούτοις πάντως. ταῦτα δὲ λέγει, δεικνὺς ὅτι καὶ πρὶν ἢ τὴν χάριν παραγενέσθαι, οὐ τῶν προηγουμένων, οὐδὲ τῶν περισπουδάστων ταῦτα ἦν, ἀλλ' ἕτερα ἦν τὰ ζητούμενα. εἰ δὲ πρὸ τῆς χάριτος τοιαῦτα ἦν, πολλῷ μᾶλλον ὑψηλῶν ἐλθόντων λοιπὸν παραγγελμάτων ταῦτα ἀνόνητα, καὶ καθόλου μετιέναι αὐτὰ οὐκ ἐχρῆν. πανταχοῦ μὲν οὖν κακία χαλεπόν· μάλιστα δὲ ὅταν μηδὲ νομίζῃ δεῖσθαι διορθώσεως· καὶ ὃ ἔτι χαλεπώτερον, ὅταν καὶ ἑτέρους ἀρκεῖν οἴηται διορθοῦν· ἅπερ δηλῶν ὁ Χριστός, ὁδηγοὺς αὐτοὺς ἐκάλει τυφλοὺς τυφλῶν. εἰ γὰρ τὸ μὴ νομίζειν δεῖσθαι ὁδηγοῦ τυφλόν, ἐσχάτη συμφορὰ καὶ ἀθλιότης· ὃ καὶ αὐτὸν ἐθέλειν ὁδηγεῖν ἑτέρους, ὅρα ἐπὶ πόσον ἄγει τὸ βάραθρον. ταῦτα δὲ ἔλεγεν, αἰνιττόμενος διὰ πάντων τὴν δοξομανίαν αὐτῶν, καὶ τὴν σφοδρὰν περὶ τὸ νόσημα τοῦτο λύσσαν. τοῦτο γὰρ αἴτιον πάντων τῶν κακῶν αὐτοῖς γέγονε, τὸ πρὸς ἐπίδειξιν πάντα ποιεῖν. τοῦτο καὶ τῆς πίστεως αὐτοὺς ἀπήγαγε, καὶ τῆς ὄντως ἀρετῆς ἀμελεῖν παρεσκεύασε, καὶ περὶ καθάρσια ἀσχολεῖσθαι σωματικὰ μόνα ἔπειθε, τὸν τῆς ψυχῆς καθαρμὸν ἀμελοῦντας. διὰ δὴ τοῦτο ἄγων αὐτοὺς εἰς τὴν ὄντως ἀρετὴν καὶ τὰ καθάρσια τῆς ψυχῆς, ἐλέου καὶ κρίσεως καὶ πίστεως μέμνηται. ταῦτα γὰρ τὰ συνέχοντα ἡμῶν τὴν ζωήν, ταῦτα τὰ καθαίροντα τὴν ψυχήν, δικαιοσύνη, φιλανθρωπία, ἀλήθεια· ἡ μὲν εἰς συγγνώμην ἡμᾶς ἄγουσα, καὶ μὴ ἀφιεῖσα χαλεποὺς μεθ' ὑπερβολῆς εἶναι τοῖς ἁμαρτάνουσι καὶ ἀσυγγνώστους (οὕτω γὰρ διπλῆ " κερδαίνομεν, φιλάνθρωποί τε γινόμενοι, καὶ φιλανθρωπίας ἐντεῦθεν πολλῆς καὶ αὐτοὶ παρὰ τοῦ τῶν ὅλων ἀπολαύοντες Θεοῦ) καὶ παρασκευάζουσα συναλγεῖν τε τοῖς ἐπηρεαζομένοις καὶ ἀμύνειν αὐτοῖς· ἡ δὲ οὐκ ἐῶσα ἀπατεῶνας εἶναι καὶ ὑπούλους. ἀλλ' οὔτε, ὅταν λέγῃ, Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι, ὡς νομικὴν παρατήρησιν εἰσάγων λέγει (ἄπαγε· τοῦτο γὰρ ἀπεδείξαμεν ἔμπροσθεν) οὔτε ἐπὶ τῆς παροψίδος καὶ τοῦ ποτηρίου εἰπών, Καθάρισον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς καθαρόν, ἐπὶ τὴν παλαιὰν ἡμᾶς ἄγει μικρολογίαν· ἀλλὰ τοὐναντίον μὲν οὖν ἅπασαν ποιεῖ, καὶ δείκνυσιν αὐτὴν περιττὴν οὖσαν. οὐ γὰρ εἶπε, καὶ τὸ ἔξωθεν καθαρίσατε· ἀλλὰ τὸ ἔνδον, ὃ πάντως ἕπεται τούτῳ ἐκεῖνο. ἄλλως δέ, οὐδὲ περὶ ποτηρίου καὶ παροψίδος λέγει, ἀλλὰ περὶ ψυχῆς καὶ σώματος διαλέγεται· τὸ μὲν ἔξω καλῶν τὸ σῶμα, τὸ δὲ ἔνδον τὴν ψυχήν. εἰ δὲ ἐπὶ τῆς παροψίδος " τοῦ ἔνδον χρεία, πολλῷ μᾶλλον ἐπὶ σοῦ. ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε, φησί· τὰ μικρὰ καὶ ἔξω φυλάττοντες τῶν μεγάλων καὶ ἔνδον ἀμελεῖτε· ὅθεν μεγίστη γίνεται βλάβη, ὅτι νομίζοντες τὸ πᾶν κατωρθωκέναι, τῶν λοιπῶν καταφρονεῖτε· καταφρονοῦντες δέ, οὐδὲ ἐπισπουδάζετε ἢ ἐπιχειρεῖτε αὐτὰ κατορθοῦν. εἶτα πάλιν εἰς κενοδοξίαν αὐτοὺς σκώπτει, τάφους κεκονιαμένους καλῶν, καὶ πᾶσιν ἐπιλέγων, ὑποκριταί· ὃ πάντων αἴτιόν ἐστι τῶν κακῶν, καὶ ἀπωλείας αὐτοῖς ὑπόθεσις. οὐχ ἁπλῶς δὲ τάφους κεκονιαμένους ἐκάλεσεν, ἀλλὰ καὶ ἀκαθαρσίας γέμειν καὶ ὑποκρίσεως ἔφησε. Ταῦτα δὲ ἔλε-

γε,

γρ. κερδαίνο
μεν,

γρ. τὸ ἀμελ
τοῦ ἔνδον χρ
ρον,

γε, δεικνὺς τὴν αἰτίαν, δι' ἣν οὐκ ἐπίστευσαν, ὅτι μεστοὶ ἦσαν ὑποκρίσεως καὶ ἀνομίας. Ταῦτα δὲ οὐχ ὁ Χριστὸς μόνον, ἀλλὰ καὶ οἱ προφῆται συνεχῶς ἐγκαλοῦσιν, ὅτι ἁρπάζουσιν, ὅτι οὐ κρίνουσιν οἱ ἄρχοντες αὐτῶν κατὰ τὸν τοῦ δικαίου λόγον. καὶ πανταχοῦ εὕροις ἂν τὰς μὲν θυσίας ἐκβαλλομένας, ταῦτα δὲ ἐπιζητούμενα· ὥστε οὐδὲν ξένον οὐδὲ καινὸν, οὔτε τῆς νομοθεσίας, οὔτε τῆς κατηγορίας, ἀλλ' οὐδὲ τὸ τῆς εἰκόνος τοῦ τάφου. μέμνηται γὰρ αὐτῆς ὁ προφήτης, οὐδὲ αὐτὸς ἁπλῶς τάφον καλέσας, ἀλλὰ τάφον ἀνεῳγμένον τὸν λάρυγγα αὐτῶν.

Ψαλ. ε. ι.

ΗΘΙΚΟΝ

Τοιοῦτοι καὶ νῦν εἰσι πολλοὶ *καλλωπιζόμενοι μὲν ἔξωθεν, πάσης δὲ ἀνομίας ἔνδον πεπληρωμένοι. καὶ γὰρ καὶ νῦν τῶν μὲν ἔξωθεν καθαρμῶν πολὺς ὁ πόνος, πολλὴ ἡ φροντίς· τῶν δὲ κατὰ ψυχὴν οὐδὲ εἷς. ἀλλ' εἴ γε τὸ ἑκάστου συνειδὸς ἀναρρήξειέ τις, πολλοὺς τοὺς σκώληκας καὶ τὸν ἰχῶρα εὑρήσει καὶ δυσωδίαν ἄφατον· ἐπιθυμίας ἀτόπους λέγω καὶ πονηρὰς, αἳ σκωλήκων εἰσὶν ἀκαθαρτότεραι. ἀλλὰ τὸ μὲν ἐκείνους εἶναι τοιούτους, οὐχ οὕτω δεινὸν, καίπερ ὂν δεινόν· τὸ δὲ ἡμᾶς τοὺς καταξιωθέντας ναοὺς γενέσθαι Θεοῦ, τάφους ἐξαίφνης γενέσθαι τοσαύτην ἔχοντας δυσωδίαν, τοῦτο ἀθλιότητος ἐσχάτης. ἔνθα ὁ Χριστὸς κατοικεῖ, καὶ πνεῦμα ἅγιον ἐνήργησε, καὶ μυστήρια τοσαῦτα, τάφον εἶναι τοῦτο, πόσης τοῦτο ἀθλιότητος; πόσων θρήνων καὶ ὀδυρμῶν, ὅταν τὰ μέλη τοῦ Χριστοῦ τάφος ἀκαθαρσίας γένηται; ἐννόησον πῶς ἐγεννήθης, τίνων κατηξιώθης, οἵαν ἔλαβες στολὴν, πῶς ναὸς κατεσκευάσθης ἀρραγὴς, πῶς καλὸς, οὐ χρυσῷ καλλωπισθεὶς, οὐδὲ μαργαρίταις, ἀλλὰ τῷ τούτων τιμιωτέρῳ πνεύματι. ἐννόησον ὅτι οὐδεὶς τάφος ἐν πόλει κατασκευάζεται. οὐκοῦν οὐδὲ σὺ εἰς τὴν ἄνω φανῆναι δυνήσῃ πόλιν. εἰ γὰρ ἐνταῦθα τοῦτο ἀπείρηται, πολλῷ μᾶλλον ἐκεῖ. μᾶλλον δὲ καὶ ἐνταῦθα πᾶσιν εἶ καταγέλαστος, νεκρὰν περιφέρων ψυχήν· οὐ καταγέλαστος δὲ μόνον, ἀλλὰ καὶ φρικτός. εἰπὲ γάρ μοι, εἴ τις περιῄει νεκρὸν εἴδωλον περιφέρων, οὐκ ἂν πάντες ἀπεπήδησαν; οὐκ ἂν πάντες ἔφυγον; τοῦτο καὶ νῦν λογίζου. καὶ γὰρ τούτου πολὺ χαλεπώτερον περιέρχῃ θέαμα περιφέρων, ψυχὴν ὑπὸ ἁμαρτιῶν νενεκρωμένην, ψυχὴν παρειμένην. τίς οὖν ἐλεήσει τὸν τοιοῦτον; ὅταν γὰρ σὺ τὴν σαυτοῦ ψυχὴν μὴ ἐλεῇς, πῶς ἕτερος ἐλεήσει τὸν οὕτως ὠμὸν καὶ πολέμιον ὄντα σαυτῷ ἐχθρόν; εἴ τις ἔνθα ἐκάθευδες καὶ ἐδείπνεις κατώρυξε σῶμα νεκρὸν, τί οὐκ ἂν ἐποίησας; σὺ δὲ ψυχὴν νεκρὰν κατορύττεις, οὐκ ἔνθα ἀριστοποιῇ, οὐδὲ ἔνθα καθεύδεις, ἀλλ' ἐν τοῖς μέλεσι τοῦ Χριστοῦ, καὶ οὐ δέδοικας, μὴ μυρίοι κατενεχθῶσιν ἄνωθεν ἐπὶ τὴν σὴν κεφαλὴν σκηπτοὶ καὶ κεραυνοί; πῶς δὲ καὶ τολμᾷς ἐκκλησίαις ἐπιβαίνειν Θεοῦ καὶ ναοῖς ἁγίοις, ἔνδον τοσαύτης βδελυγμίας ὄζων; εἰ γὰρ εἰς τὰ βασίλεια φέρων τις νεκρὸν καὶ κατορύξας, τὴν ἐσχάτην ἂν ἔδωκε δίκην· σὺ τῶν ἱερῶν ἐπιβαίνων περιβόλων καὶ τοσαύτης δυσωδίας πληρῶν τὸν οἶκον, ἐννόησον ὅσην ὑποστήσῃ τιμωρίαν. μίμησαι τὴν πόρνην ἐκείνην, ἣ μύρῳ ἔχρισε τοῦ Χριστοῦ τοὺς πόδας, καὶ τὴν οἰκίαν ἅπασαν ″ἔπλησεν εὐωδίας· οὗ σὺ τοὐναντίον ποιεῖς εἰς τὸν οἶκον τοῦ Θεοῦ. τί γὰρ εἰ καὶ μὴ αἰσθάνῃ σὺ τῆς δυσωδίας; τοῦτο γάρ μάλιστά ἐστι τὸ χαλεπὸν τοῦ νοσήματος· διὸ καὶ ἀνίατα νοσεῖς καὶ χαλεπώτερα τῶν τὰ σώματα λελωβημένων τε καὶ ὀδωδότων. ἐκείνη μὲν γὰρ ἡ νόσος καὶ αἴσθησιν τοῖς κάμνουσι παρέχει, καὶ οὐδὲν ἔγκλημα ἔχει, ἀλλὰ καὶ ἐλέους ἐστὶν ἀξία· αὕτη δὲ μίσους καὶ κολάσεως. ἐπεὶ οὖν καὶ ταῦτα χαλεπώτερα, καὶ τὸ μηδὲ αἰσθάνεσθαι αὐτῆς ὡς χρὴ τὸν νοσοῦντα, φέρε, ἐπίδος σαυτὸν τῷ λόγῳ, ἵνα σε διδάξω σαφῶς αὐτῆς τὴν λύμην. πρότερον δὲ ἄκουσον τί ψάλλων λέγεις· Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. ὅταν οὖν μὴ θυμίαμα, ἀλλὰ καπνὸς ἀπὸ σοῦ καὶ τῶν σῶν πράξεων ἀναβαίνῃ δυσώδης, ποίαν δίκην οὐκ ἄξιος εἶ ὑποστῆναι; τίς οὖν ὁ καπνὸς ὁ δυσώδης; πολλοὶ ἴσασι κάλλη γυναικῶν περιβλέποντες, ἄλλοι παίδων ὥρας περιεργαζόμενοι. εἶτα οὐ θαυμάζεις πῶς οὐ σκηπτοὶ φέρονται, καὶ πάντα ἐκ βάθρων ἀνασπᾶται; καὶ γὰρ ἄξια μὲν σκηπτῶν καὶ γεέννης

Ιωαν. ια. β.
καὶ ιβ. γ.
Ματθ. κϛ. ζ.

Ψαλ. ρμ. β.

τὰ γινόμενα· ἀλλ' ὁ Θεὸς, μακρόθυμος ὢν καὶ πολυέλεος, ἀνέχει τέως τὴν ὀργὴν, εἰς μετάνοιάν σε καλῶν καὶ διόρθωσιν. τί ποιεῖς ἄνθρωπε; κάλλη γυναικῶν περιεργάζῃ, καὶ οὐ φρίττεις οὕτως ἐνυβρίζων εἰς τὸν ναὸν τοῦ Θεοῦ; πορνεῖον εἶναί σοι δοκεῖ ἡ ἐκκλησία καὶ τῆς ἀγορᾶς ἀτιμοτέρα; ἐν ἀγορᾷ μὲν * δέδοικας καὶ αἰσχύνῃ φανῆναι γυναῖκα περιεργαζόμενος· ἐν δὲ τῷ ναῷ τοῦ Θεοῦ, αὐτοῦ τοῦ Θεοῦ διαλεγομένου σοι καὶ ἀπειλοῦντος ὑπὲρ τούτων, πορνεύεις καὶ μοιχεύεις κατ' αὐτὸν τὸν καιρὸν, καθ' ὃν ἀκούεις μὴ ταῦτα ποιεῖν· καὶ οὐ φρίττεις, οὐδὲ ἐξέστηκας; ταῦτα ὑμᾶς τὰ θέατρα διδάσκει τῆς ἀσελγείας, ὁ λοιμὸς ὁ δυσκατάλυτος, τὰ δηλητήρια φάρμακα, αἱ χαλεπαὶ τῶν ἀναπεπτωκότων πάγαι, ἡ μὲν ἡδονῆς τῶν ἀκολάστων ἀπώλεια. διὰ τοῦτο καὶ ὁ προφήτης ἐγκαλῶν ἔλεγεν· οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλή. βέλτιον τοὺς τοιούτους πηροὺς εἶναι, βέλτιον νοσεῖν, ἢ εἰς ταῦτα καταχρῆσθαι τοῖς ὀφθαλμοῖς. ἐχρῆν μὲν οὖν ἔνδον ἔχειν τὸ τεῖχος τὸ διεῖργον ὑμᾶς τῶν γυναικῶν· ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ πατέρες κἂν ταῖς σανίσιν ὑμᾶς ταύταις διατειχίσαι· ὡς ἔγωγε ἀκούω τῶν πρεσβυτέρων, ὅτι τὸ παλαιὸν οὐδὲ ταῦτα ἦν Γαλ. γ. κη. τὰ τειχία (Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι ἄρσεν ἢ θῆλυ) καὶ ἐπὶ τῶν ἀποστόλων δὲ ὁμοῦ καὶ ἄνδρες καὶ γυναῖκες ἦσαν. καὶ γὰρ οἱ ἄνδρες, ἄνδρες ἦσαν· καὶ αἱ γυναῖκες, γυναῖκες· νῦν δὲ πᾶν τοὐναντίον· αἱ μὲν γυναῖκες εἰς τὰ τῶν ἑταιρίδων ἑαυτὰς ἐξώθησαν ἤθη· οἱ δὲ ἄνδρες ἵππων μαινομένων οὐδὲν ἄμεινον διάκεινται. οὐκ ἠκούσατε, ὅτι ἦσαν συνηγμένοι ἄνδρες καὶ γυναῖκες ἐν τῷ ὑπερῴῳ; καὶ τῶν οὐρανῶν ἐκεῖνος ὁ σύλλογος ἄξιος ἦν· καὶ μάλα εἰκότως. πολλὴν γὰρ καὶ γυναῖκες τότε φιλοσοφίαν ἤσκουν, καὶ ἄνδρες σεμνότητα καὶ σωφροσύνην. Πραξ. ιϛ. ιε. ἀκούσατε γοῦν τῆς πορφυροπώλιδος λεγούσης· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, Πραξ. ιη. ιη. εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε παρ' ἐμοί. κ. κϛ. ἀκούσατε τῶν γυναικῶν, αἱ περιῄεσαν μετὰ Ρω. ιϛ. ιβ. τῶν ἀποστόλων, ἀνδρεῖον ἀναλαβοῦσαι φρόνημα, τῆς Πρισκίλλης, τῆς Περσίδος, τῶν ἄλλων, ὧν αἱ παροῦσαι γυναῖκες τοσοῦτον ἀπέχουσιν, ὅσον οἱ ἄνδρες τῶν ἀνδρῶν ἐκείνων. τότε μὲν γὰρ καὶ ἀποδημοῦσαι οὐκ ἐλάμβανον δόξαν πονηράν· νῦν δὲ καὶ ἐν θαλάμῳ τρεφόμεναι, μόλις ταύτην διαφεύγουσι τὴν ὑποψίαν. ταῦτα δὲ ἀπὸ τῶν καλλωπισμῶν γίνεται καὶ τῆς τρυφῆς. τότε ἐκείναις ἔργον ἦν, αὐξῆσαι τὸ κήρυγμα· νῦν δὲ, εὐειδεῖς καὶ καλὰς φανῆναι καὶ εὐπροσώπους. τοῦτο ἡ δόξα αὐταῖς, τοῦτο ἡ σωτηρία· τὰ δὲ ὑψηλὰ καὶ μεγάλα κατορθώματα οὐδὲ ὄναρ φροντίζουσι. τίς γυνὴ σπουδὴν ἐποιήσατο ἄνδρα βελτίω ποιῆσαι; τίς ἀνὴρ ταύτην ἔθετο φροντίδα, ὥστε γυναῖκα διορθώσασθαι; οὐκ ἔστιν οὐδείς· ἀλλὰ τῇ μὲν γυναικὶ πᾶσα σπουδὴ περὶ χρυσίων ἐπιμέλειαν * καὶ ἱματίων καὶ τῶν λοιπῶν τοῦ σώματος καλλωπισμῶν, καὶ ὥστε τὴν οὐσίαν αὐξῆσαι· τῷ δὲ ἀνδρὶ καὶ αὕτη, καὶ ἕτεραι πλείους, πᾶσαι μέντοι βιωτικαί. τίς μέλλων γαμεῖν, τρόπον ἐξετάζει καὶ ἀναστροφὴν κόρης; οὐδείς· ἀλλὰ χρήματα εὐθέως καὶ κτήματα, καὶ μέτρα οὐσίας ποικίλης καὶ διαφόρου, καθάπερ τι πρίασθαι μέλλων, ἢ συνάλλαγμά τι κοινὸν ἐπιτελεῖν. διὰ τοῦτο καὶ οὕτω καλοῦσι τὸν γάμον. πολλῶν γὰρ ἤκουσα λεγόντων· συνήλλαξεν ὁ δεῖνα τῷ δεῖνι, τουτέστιν, ἔγημε, καὶ εἰς τὰς τοῦ Θεοῦ δωρεὰς ἐνυβρίζουσι, καὶ ὥσπερ ὠνούμενοι καὶ πωλοῦντες, οὕτω γαμοῦσι καὶ γαμοῦνται. καὶ γραμματεῖα πλείονος ἀσφαλείας δεόμενα συντιθέασιν, ἢ τὰ περὶ πράσεως καὶ ἀγορασίας. μάθετε πῶς οἱ παλαιοὶ ἐγάμουν, καὶ ζηλώσατε. πῶς οὖν ἐγάμουν ἐκεῖνοι; τρόπους ἐζήτουν [ἀγαθοὺς] καὶ ἤθη καὶ ψυχῆς ἀρετήν· διὰ τοῦτο γραμματείων αὐτοῖς οὐκ ἔδει, οὐδὲ τῆς ἀπὸ χάρτου καὶ μέλανος ἀσφαλείας. ἤρκει γὰρ ἀντὶ πάντων αὐτοῖς ὁ τῆς νύμφης τρόπος. παρακαλῶ τοίνυν καὶ ὑμᾶς μὴ χρήματα ἐπιζητεῖν καὶ περιουσίαν· ἀλλὰ τρόπον καὶ ἐπιείκειαν ζήτησον, καὶ εὐλάβειαν, καὶ φιλόσοφον κόρην, καὶ μυρίων σοι ταῦτα θησαυρῶν ἔσται βελτίω. ἂν τὰ τοῦ Θεοῦ ζητῇς, καὶ ταῦτα ἕξεις· ἂν δὲ ἐκεῖνα παραδραμὼν, ἐπὶ ταῦτα τρέχῃς, οὐδὲ ταῦτα ἕψεται. ἀλλ' ὁ δεῖνα, φησὶν, ἀπὸ γυναικὸς εὔπορος γέγονεν. οὐκ αἰσχύνῃ τοιαῦτα παραδείγματα

* γὰρ

* καὶ λίθων

γρ. ἀλλά

δείγματα φέρων; μυριάκις γενοίμην πένης, πολλῶν ἤκουσα λεγόντων, ἢ παρὰ γυναικὸς λάβοιμι πλοῦτον. τί γὰρ ἀηδέστερον ἐκείνου τοῦ πλούτου; τί δὲ ταύτης πικρότερον τῆς εὐπορίας; τί δὲ αἰσχρότερον τοῦ ἐπίσημον εἶναι ἐντεῦθεν, καὶ λέγεσθαι παρὰ πάντων, ὁ δεῖνα ἀπὸ γυναικὸς εὔπορος γέγονε; τὰς γὰρ ἔνδον ἀηδίας ἀφίημι, ὅσας ἐκ τούτου συμβαίνειν ἀνάγκη· τὸ φρόνημα τῆς γυναικός, τὴν δουλοπρέπειαν, τὰς μάχας, τὰ τῶν οἰκετῶν ὀνείδη· ὁ πένης, ὁ ῥακοδύτης, ὁ ἄτιμος καὶ ἐξ ἀτίμων. τί γὰρ ἦλθεν ἔχων; οὐ πάντα τῆς κυρίας; ἀλλ' οὐδέν σοι μέλει τῶν ῥημάτων τούτων· οὐδὲ γὰρ ἐλεύθερος εἶ. ἐπεὶ καὶ οἱ παράσιτοι τούτων καταδεέστερα ἀκούουσι, καὶ οὐκ ἀλγοῦσιν οὐδὲ οὗτοι, ἀλλὰ καὶ ἐγκαλλωπίζονται τῇ αἰσχύνῃ· καὶ ὅταν ταῦτα λέγωμεν αὐτοῖς· ἔστω, φησίν, ἡδύ τι καὶ γλυκύ, καὶ ἀποπνιγέτω με. ὢ τοῦ διαβόλου. οἵας παροιμίας εἰσήγαγε τῷ βίῳ, ὁλόκληρον τὴν ζωὴν τῶν τοιούτων ἀνατρέψαι δυναμένας; ὅρα γοῦν αὐτὴν ταύτην τὴν διαβολικὴν καὶ ὀλεθρίαν ῥῆσιν, ὅσης γέμει τῆς ἀπωλείας. οὐδὲν γὰρ ἄλλο φησίν, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· μηδείς σοι τοῦ σεμνοῦ, μηδείς σοι τοῦ δικαίου λόγος ἔστω· πάντα ἐρρίφθω ἐκεῖνα· ἓν μόνον ζήτησον, τὴν ἡδονήν. κἂν ἄγχῃ σε τὸ πρᾶγμα, αἱρετὸν ἔστω· κἂν πάντες ἐμπτύωσιν οἱ ἀπαντῶντες, κἂν τῇ ὄψει προστρίβωνται βόρβορον, κἂν ὡς κύνα ἐλαύνωσι, πάντα φέρε. καὶ τί ἂν ἄλλο χοῖροι φωνὴν λαβόντες εἶπον; τί δὲ κύνες οἱ ἀκάθαρτοι; τάχα δὲ οὐδ' ἂν ἐκεῖνοι τοιαῦτα ἐφθέγξαντο, οἷα ἀνθρώπους ἔπεισεν ὁ διάβολος λυττᾷν. διὸ παρακαλῶ τὴν ἀναισθησίαν συνειδότας τῶν τοιούτων ῥημάτων, φεύγειν τὰς τοιαύτας παροιμίας, καὶ τὰς ἀπὸ τῆς γραφῆς ἐκλέγειν ἀπεναντίας αὐταῖς οὔσας. τίνες δὲ εἰσὶν αὗται; Μὴ πορεύου, φησίν, ὀπίσω τῶν ἐπιθυμιῶν τῆς ψυχῆς σου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου. καὶ περὶ πόρνης πάλιν φησὶν ἀπεναντίας τῇ παροιμίᾳ ταύτῃ· Μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει τὸν σὸν φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. τούτων τοίνυν ἀκούωμεν, μὴ ἐκείνων. καὶ γὰρ ἐντεῦθεν οἱ ἀνελεύθεροι, ἐντεῦθεν οἱ δουλοπρεπεῖς λογισμοὶ φύονται· ἐντεῦθεν ἄλογα οἱ ἄνθρωποι γίνονται, ὅτι πανταχοῦ τὴν ἡδονὴν διώκειν ἐθέλουσι κατὰ τὴν παροιμίαν ταύτην, ἣ καὶ χωρὶς τῶν ἡμετέρων λόγων αὐτόθεν ἐστὶ καταγέλαστος. μετὰ γὰρ τὸ ἀποπνιγῆναι, τί τὸ κέρδος τῆς γλυκύτητος; παύσασθε τοίνυν τοσοῦτον κατασκευάζοντες γέλωτα, καὶ γέενναν ἀναπλοῦντες καὶ πῦρ ἄσβεστον, καὶ διαβλέψωμεν κἂν ὀψέ ποτε ὡς χρὴ πρὸς τὰ μέλλοντα, τὴν τῶν ὀφθαλμῶν λήμην ἀποβαλόντες· ὅπως καὶ τὸν ἐνταῦθα βίον κοσμίως καὶ μετὰ πολλῆς τῆς σεμνότητος καὶ εὐλαβείας παρέλθωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. ιη. λ.
Ρωμ. ιγ. ιδ.
καὶ ε. ε.
Παροιμ. ε. γ. δ.

Ομιλ. οδ. 29 ΟΥΑΙ ΥΜΙΝ ΓΡΑΜΜΑΤΕΙΣ ΚΑΙ ΦΑρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν,

30 Καὶ κοσμεῖτε τὰ μνημεῖα αὐτῶν, καὶ λέγετε, Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

ΟΥχ ὅτι οἰκοδομοῦσιν, οὐδ' ὅτι ἐγκαλοῦσιν, ἐκείνοις οὐαί φησιν· ἀλλ' ὅτι καὶ ταύτῃ καὶ δι' ὧν λέγουσι, καταγινώσκειν προσποιούμενοι τῶν πατέρων, χείρονα πράττουσιν. ὅτι γὰρ προσποίησις ἦν ἡ κατάγνωσις, ὁ Λουκᾶς φησιν· ὅτι καὶ συνευδοκεῖτε, ἐπεὶ οἰκοδομεῖτε. Οὐαὶ γὰρ ὑμῖν, φησιν, ὅτι οἰκοδομεῖτε τὰ μνήματα τῶν προφητῶν· οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν

Λουκ. ια. μζ. μη.

πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς· ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν. ἐνταῦθα γὰρ τὴν γνώμην αὐτῶν διαβάλλει, μεθ' ἧς ᾠκοδόμουν· ὅτι οὐκ ἐπὶ τιμῇ τῶν σφαγέντων, ἀλλ' ὡς ἐμπομπεύοντες ταῖς σφαγαῖς, καὶ δεδοικότες, μήποτε τῷ χρόνῳ τῶν τάφων ἀφανισθέντων μαρανθῇ τῆς τοσαύτης τόλμης ὁ ἔλεγχος καὶ ἡ μνήμη. οὕτως ᾠκοδόμουν τοὺς τάφους, ὥσπερ τι τρόπαιον ἱστῶντες λαμπρὰς τὰς οἰκοδομάς, καὶ καλλωπιζόμενοι τοῖς ἐκείνων τολμήμασι καὶ ἐπιδεικνύμενοι. τὰ γὰρ νῦν τολμώμενα παρ' ὑμῶν δεικνύουσιν ὅτι καὶ ταῦτα τούτῳ ποιεῖτε τῷ τρόπῳ. κἂν γὰρ τὰ ἐναντία λέγητε, φησίν, ὡς καταγινώσκοντες αὐτῶν, δηλαδὴ ὅτι οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν, εἰ ἦμεν ἐν ταῖς ἡμέραις ἐκείναις, ἀλλ' ἡ γνώμη δήλη ἡ ταῦτα λέγουσα. διὸ καὶ ἐκκαλύπτων αὐτήν, αἰνιγματωδῶς μέν, εἴρηκε δ' οὖν ὅμως. εἰπὼν γάρ· λέγετε ὅτι εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν, ἐπήγαγεν· 31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ποῖον ἔγκλημα υἱὸν εἶναι ἀνδροφόνου, ἂν μὴ κοινωνῇ τῇ γνώμῃ τοῦ πατρός; οὐδέν. ὅθεν δῆλον ὅτι τοῦτο αὐτοῖς προσφέρει, τὴν κατὰ κακίαν συγγένειαν αἰνιττόμενος. καὶ τοῦτο καὶ τὸ ἑξῆς δηλοῖ. ἐπήγαγε δ' οὖν·

33 Ὄφεις, γεννήματα ἐχιδνῶν. Ὥσπερ γὰρ ἐκεῖνα ἔοικε τοῖς γεννῶσι κατὰ τὴν τοῦ ἰοῦ λύμην, οὕτω καὶ ὑμεῖς τοῖς πατράσι κατὰ τὸ φονικόν. Εἶτα ἐπειδὴ γνώμην ἔστιζεν ἄδηλον τοῖς πολλοῖς οὖσαν, καὶ ἀφ' ὧν μέλλουσι τολμᾶν τῶν πᾶσιν ἐσομένων δήλων κατασκευάζει τὰ εἰρημένα. ἐπειδὴ γὰρ εἶπεν, ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας, δηλῶν ὅτι τὴν κατὰ πονηρίαν συγγένειαν λέγει, καὶ ὅτι πλάσμα ἦν τὸ λέγειν, ὅτι οὐκ ἂν ἦμεν αὐτῶν κοινωνοί, ἐπήγαγε·

32 Καὶ ὑμεῖς "πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν·

γ. πληρώ

Οὐκ ἐπιτάττων, ἀλλὰ προαναφωνῶν τὸ ἐσόμενον, τουτέστι, τὴν ἑαυτοῦ σφαγήν. διὰ δὴ τοῦτο ἐπαγαγὼν τὸν ἔλεγχον, καὶ δείξας ὅτι πλάσματα ἦν ἅπερ ἔλεγον ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι, δηλαδή, ὅτι οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν (οἱ γὰρ τοῦ δεσπότου μὴ ἀπεχόμενοι, πῶς ἂν τῶν δούλων ἀπέσχοντο) καταφορικωτέρῳ τῷ μετὰ ταῦτα κέχρηται λόγῳ, ὄφεις καλῶν καὶ γεννήματα ἐχιδνῶν, καὶ λέγων· Πῶς φεύξησθε ἀπὸ τῆς κρίσεως τῆς γεέννης,

Τοιαῦτα τολμῶντες καὶ ἀρνούμενοι, καὶ τὴν γνώμην κρύπτοντες; Εἶτα καὶ ἑτέρωθεν αὐτοὺς ἐλέγχων ἐκ περιουσίας, φησίν·

34 Ὅτι ἀποστελῶ πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν.

Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι εἰ καὶ τὸν δεσπότην ἐσταυρώσαμεν, ἀλλὰ τῶν δούλων ἀπεσχόμεθα ἄν, εἰ ἦμεν τότε· ἰδού, φησί, καὶ δούλους ὑμῖν "ἀποστέλλω, προφήτας καὶ αὐτούς, καὶ οὐδὲ αὐτῶν φείσεσθε. ταῦτα δὲ λέγει, δεικνὺς ὅτι οὐδὲν ξένον σφαγῆναι αὐτὸν ὑπὸ τῶν υἱῶν ἐκείνων, φονικῶν τε ὄντων καὶ ὑπούλων, καὶ πολὺ τὸ δολερὸν ἐχόντων, καὶ νικώντων τοὺς πατέρας τοῖς τολμήμασι. πρὸς δὲ τοῖς εἰρημένοις δεικνύουσιν αὐτοὺς καὶ σφόδρα κενοδοξοῦντας. καὶ γὰρ ὅταν λέγωσιν, εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν, κενοδοξοῦντες λέγουσι, καὶ ἐν λόγοις φιλοσοφοῦντες μόνον, ἐν δὲ τοῖς ἔργοις τὰ ἐναντία πράττουσιν. ὄφεις, γεννήματα ἐχιδνῶν· τουτέστι, πονηροὶ πονηρῶν παῖδες, καὶ τῶν γεννησαμένων πονηρότεροι. δεικνύουσι γὰρ αὐτοὺς μείζονα τολμῶντας, τῷ τε μετ' ἐκείνους τολμῆσαι, καὶ τῷ πολλῷ χαλεπώτερα ἐκείνων, καὶ ταῦτα ἀκριβολογουμένους, ὡς οὐκ ἄν ποτε τοῖς αὐτοῖς περιέπεσον. αὐτοὶ γὰρ καὶ τὸ τέλος ἐπάγουσι, καὶ τὴν κορωνίδα τῶν κακῶν. οἱ μὲν γὰρ τοὺς ἐπὶ τὸν ἀμπελῶνα ἐλθόντας ἀπέκτειναν· οὗτοι δὲ καὶ [αὐτοῦ] τὸν υἱόν, καὶ τοὺς ἐπὶ γάμον καλοῦντας. ταῦτα δὲ λέγει, τῆς συγγενείας αὐτοὺς ἀφιστὰς τῆς τοῦ Ἀβραάμ, καὶ δεικνύς, ὅτι οὐδὲν αὐτοῖς ἐντεῦθεν τὸ κέρδος, ἐὰν μὴ τὰ ἔργα μιμήσωνται. διὸ καὶ ἐπάγει· πῶς φύγητε ἀ-

γ. ἀποστ

πὸ τῆς κρίσεως τῆς γεέννης, ἐκείνους μιμούμενοι τοὺς τὰ τοιαῦτα τετολμηκότας; ἐνταῦθα δὲ αὐτοὺς καὶ τῆς Ἰωάννου κατηγορίας ἀνέμνησε. καὶ γὰρ καὶ ἐκεῖνος οὕτως αὐτοὺς ἐκάλεσε, καὶ τῆς μελλούσης ὑπέμνησε κρίσεως. Εἶτα ἐπειδὴ οὐδὲν αὐτοὺς ἐφόβει κρίσις καὶ γέεννα, τῷ μὴ πιστεύειν, καὶ τῷ μέλλειν τὸ πρᾶγμα, ἀπὸ τῶν παρόντων αὐτοὺς καταστέλλει, καί φησι· διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ μαστιγώσετε·

35 Οπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Αβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.

36 Αμὴν λέγω ὑμῖν· ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.

Ορα ἐκ πόσων αὐτοὺς ἠσφαλίσατο. Εἶπεν, ὅτι καταγινώσκετε τῶν πατέρων ὑμῶν, δι' ὧν λέγετε, ὅτι οὐκ ἂν ἐκοινωνήσαμεν αὐτοῖς· οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ ἐντρέψαι. εἶπεν, ὅτι καταγινώσκοντες χείρονα πράττετε καὶ ὑμεῖς· καὶ τοῦτο δὲ ἱκανὸν αὐτοὺς καταισχῦναι. Εἶπεν, ὅτι οὐκ ἀτιμωρητὶ ταῦτα ἔσται, καὶ φόβον ἐντεῦθεν αὐτοῖς ἐντίθησιν ἄφατον. ἀνέμνησε γοῦν αὐτοὺς τῆς γεέννης. Εἶτα ἐπειδὴ ἔμελλεν ἐκείνη, ἐπέστησεν αὐτοῖς καὶ παρόντα τὰ δεινά. ἥξει γὰρ πάντα ταῦτα, φησὶν, ἐπὶ τὴν γενεὰν ταύτην. προσέθηκε δὲ καὶ σφοδρότητα ἄφατον τῇ τιμωρίᾳ, εἰπὼν, ὅτι πάντων χαλεπώτερα πείσονται, καὶ οὐδενὶ τούτων ἐγένοντο βελτίους. εἰ δὲ λέγοι τις· καὶ τί δήποτε χαλεπώτερα πάσχουσι πάντων; εἴποιμεν ἂν, ὅτι καὶ πάντων χαλεπώτερα τετολμήκασι, καὶ οὐδενὶ τῶν γεγενημένων ἐσωφρονίσθησαν. ἢ οὐκ ἤκουσας τοῦ Λάμεχ λέγοντος· Ὅτι ἐκ μὲν Κάϊν ἐκδεδίκηται ἑπτάκις· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά; τουτέστι, πλειόνων τιμωριῶν ἄξιος ἐγὼ, ἢ ὁ Κάϊν. τί δήποτε; καίτοι οὐκ ἀδελφὸν ἀνεῖλεν· ἀλλ' ὅτι οὐδὲ τῷ παραδείγματι ἐσωφρονίσθη. τοῦτό ἐστιν ὅ φησιν ὁ Θεὸς καὶ ἀλλαχοῦ, Αποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με· οὐχ ὡς τῶν ἄλλοις τολμηθέντων ἑτέρων διδόντων δίκας· ἀλλ' ὡς τῶν μετὰ πλείονας ἁμαρτόντας καὶ κολασθέντας μὴ γενομένων βελτιόνων, ἀλλὰ τὰ αὐτὰ πεπλημμεληκότων, καὶ ἐκείνων τὰς τιμωρίας ὑποσχεῖν ὄντων δικαίων. σκόπει δὲ πῶς εὐκαίρως καὶ τοῦ Αβελ ἀνέμνησε, δεικνὺς ὅτι φθόνου καὶ οὗτος ὁ φόνος ἐστί. τί οὖν ἂν ἔχοιτε εἰπεῖν; μὴ γὰρ οὐκ ἔγνωτε τί ἔπαθεν ὁ Κάϊν; μὴ γὰρ ἐφησύχασε τοῖς γεγενημένοις ὁ Θεός; μὴ γὰρ οὐκ ἀπέτισε τὴν χαλεπωτάτην δίκην; μὴ γὰρ οὐκ ἠκούσατε ὅσα ἔπαθον οἱ πατέρες ὑμῶν, τοὺς προφήτας ἀνελόντες; οὐ κολάσεσι καὶ τιμωρίαις μυρίαις ἐξεδόθησαν; πῶς οὖν οὐκ ἐγένεσθε βελτίους; καὶ τί λέγω τὰς κολάσεις τῶν πατέρων ὑμῶν, καὶ ἅπερ ἔπαθον; αὐτὸς σὺ ὁ καταψηφισάμενος τῶν πατέρων, πῶς χείρω ποιεῖς; καὶ γὰρ καὶ ὑμεῖς αὐτοὶ ἀπεφήνασθε, ὅτι κακοὺς κακῶς ἀπολέσει. τίνα οὖν λοιπὸν ἕξετε συγγνώμην, μετὰ τοιαύτην ψῆφον τοιαῦτα τολμῶντες; ἀλλὰ τίς ἐστιν ὁ Ζαχαρίας οὗτος; οἱ μὲν τὸν Ἰωάννου πατέρα φασίν· οἱ δὲ τὸν προφήτην· οἱ δὲ ἕτερόν τινα διώνυμον ἱερέα, ὃν καὶ Ἰωδαέ φησιν ἡ γραφή. σὺ δὲ ἐκεῖνο σκόπει, ὅτι τὸ τόλμημα διπλοῦν ἦν. οὐ γὰρ ἁγίους ἀνῄρουν μόνον, ἀλλὰ καὶ ἐν τόποις ἁγίοις. ταῦτα δὲ λέγων, οὐκ ἐκείνους ἐφόβει μόνον, ἀλλὰ καὶ τοὺς μαθητὰς παρεμυθεῖτο, τοῖς μὲν δεικνὺς, ὅτι καὶ οἱ δίκαιοι πρὸ αὐτῶν ταῦτα ἔπαθον· τούτους δὲ ἐφόβει, προλέγων ὅτι ὥσπερ ἐκεῖνοι δίκην ἔδοσαν, οὕτω καὶ οὗτοι τὰ ἔσχατα πείσονται. διὰ τοῦτο αὐτοὺς καὶ προφήτας, καὶ σοφοὺς, καὶ γραμματέας καλεῖ, καὶ ἐντεῦθεν πάλιν πᾶσαν ἀπολογίαν αὐτῶν ἀναιρῶν. οὐ γὰρ ἔχετε εἰπεῖν, φησιν, ὅτι ἀπὸ ἐθνῶν ἀπέστειλας, καὶ διὰ τοῦτο ἐσκανδαλίσθημεν· ἀλλὰ τὸ φονικοὺς εἶναι καὶ διψᾷν αἱμάτων εἰς τοῦτο ἦγε. διὸ καὶ προεῖπεν· ὅτι διὰ τοῦτο προφήτας καὶ γραμματεῖς ἀποστελῶ. τοῦτο καὶ οἱ προφῆται πάντες ἐνεκάλουν αὐτοῖς, Αἵματα ἐφ' αἵμασι μίσγουσι, λέγοντες· καὶ ὅτι ἄνδρες αἱμάτων εἰσί. διὰ τοῦτο καὶ τὸ αἷμα αὐτῶν ἐκέλευσε προσφέρεσθαι, δεικνὺς ὅτι εἰ ἐπὶ ἀλόγου οὕτω τίμιον, πολλῷ

Γεν. δ. κγ. κδ.

Ἐξοδ. κ. ε.

Ωσ. δ. β.

λῷ μᾶλλον ἐπὶ ἀνθρώπου. " διὰ τοῦτο καὶ τῷ Νῶε λέγει· ἐκδικήσω πᾶν αἷμα ἐκχυνόμενον· καὶ μυρία τοιαῦτά ἐστιν ἕτερα εὑρεῖν ὑπὲρ τοῦ μὴ φονεύειν αὐτοὺς διαταττόμενον. διὸ οὐδὲ πνικτὸν ἐσθίειν ἐκέλευσεν. ὢ τῆς τοῦ Θεοῦ φιλανθρωπίας· ὅτι καὶ προειδὼς οὐδὲν κερδανοῦντας, τὰ αὐτοῦ ὅμως ἐποίει. πέμπω γάρ, φησι, καὶ ταῦτα εἰδὼς σφαγησομένους· ὥστε κἀντεῦθεν ἠλέγχοντο εἰκῇ λέγοντες, οὐκ ἂν ἦμεν κοινωνοὶ τῶν πατέρων. καὶ γὰρ καὶ οὗτοι προφήτας ἐν ταῖς συναγωγαῖς ἀνεῖλον· καὶ οὔτε τὸν τόπον αὐτὸν ᾐδέσθησαν, οὔτε τὸ ἀξίωμα τῶν προσώπων. οὐ γὰρ ἁπλῶς τοὺς τυχόντας ἀνεῖλον· ἀλλὰ προφήτας καὶ σοφούς, ὥστε μηδὲν αὐτοῖς ἐγκαλεῖν. τούτους δὲ τοὺς ἀποστόλους φησὶ καὶ τοὺς μετ' ἐκείνους· καὶ γὰρ πολλοὶ προεφήτευον. εἶτα βουλόμενος αὐξῆσαι τὸν φόβον, φησίν· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην· τουτέστιν, εἰς κεφαλὰς ὑμῶν ταῦτα πάντα τρέψω, καὶ σφοδρὰν ποιήσομαι τὴν ἄμυναν. ὁ γὰρ πολλοὺς ἡμαρτηκότας εἰδὼς καὶ μὴ σωφρονισθεὶς, ἀλλὰ τὰ αὐτὰ πάλιν καὶ αὐτὸς ἁμαρτὼν, καὶ οὐ τὰ αὐτὰ μόνον, ἀλλὰ καὶ πολλῷ χαλεπώτερα, χαλεπωτέραν ἐκείνων πολλῷ δίκαιος ἂν εἴη δοῦναι δίκην. ὥσπερ γὰρ εἰ ἐβουλήθη, μεγάλα ἂν ἐκέρδανε τοῖς ἑτέρων παραδείγμασι γενόμενος βελτίων· οὕτως ἐπειδὴ ἀδιόρθωτος ἔμεινε, μείζονός ἐστι τιμωρίας ὑπεύθυνος, ἅτε πλείονος νουθεσίας τῆς διὰ τῶν ἔμπροσθεν ἡμαρτηκότων καὶ κολασθέντων ἀπολελαυκὼς, καὶ οὐδὲν καρπωσάμενος. Εἶτα πρὸς τὴν πόλιν ἀποστρέφει τὸν λόγον, καὶ ταύτῃ παιδεῦσαι βουλόμενος τοὺς ἀκούοντας, καί φησιν·

37 Ἱερουσαλὴμ, Ἱερουσαλήμ. Τί βούλεται ὁ διπλασιασμός; ἐλεοῦντος αὐτὴν καὶ ταλανίζοντος " τοῦτο τὸ σχῆμα, καὶ σφόδρα φιλοῦντος. ὥσπερ γὰρ πρὸς ἐρωμένην, φιληθεῖσαν μὲν διὰ παντός, καταφρονήσασαν δὲ τοῦ ἐραστοῦ, καὶ διὰ τοῦτο κολάζεσθαι μέλλουσαν, ἀπολογεῖται λοιπὸν μέλλων ἐπάγειν τὴν κόλασιν. ὃ καὶ ἐν τοῖς προφήταις ποιεῖ λέγων· Ἱερ. γ. ζ. Εἶπον, ἀνάστρεψον πρός με, καὶ οὐκ ἀνέστρεψεν. Εἶτα καλέσας αὐτὴν, λέγει καὶ τὰς μιαιφονίας αὐτῆς· Η ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε;

Καὶ ταύτῃ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι οὐδὲ τούτοις με ἀπέστρεψας, οὐδὲ ἀπέστησας τῆς περὶ σὲ πολλῆς εὐνοίας, ἀλλ' ἠθέλησα καὶ οὕτω, καὶ οὐχ ἅπαξ καὶ δὶς, ἀλλὰ καὶ πολλάκις σε ἐπισπάσασθαι. ποσάκις γάρ, φησιν, ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὥσπερ ὄρνις τὰ νοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε; τοῦτο δὲ λέγει, δηλῶν ὅτι ἀεὶ ἑαυτοὺς ἐσκόρπιζον διὰ τῶν ἁμαρτημάτων, καὶ τὸ φιλόστοργον ἀπὸ τῆς εἰκόνος " ἐπιδείκνυται. καὶ γὰρ " φιλόστοργον τὸ ζῶον περὶ τὰ ἔκγονα. καὶ πανταχοῦ δὲ τῶν προφητῶν ἡ εἰκὼν αὕτη τῶν πτερύγων, καὶ ἐν τῇ ᾠδῇ Μωϋσέως, καὶ ἐν τοῖς ψαλμοῖς τὴν πολλὴν σκέπην καὶ πρόνοιαν ἐνδεικνυμένη. ἀλλ' οὐκ ἠθελήσατε, φησιν.

38 Ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. Γυμνὸς τῆς παρ' ἐμοῦ βοηθείας. ἄρα αὐτὸς ἦν ὁ καὶ ἔμπροσθεν αὐτῶν προϊστάμενος καὶ συνέχων καὶ διακρατῶν· ἄρα αὐτός ἐστιν ὁ αὐτοὺς κολάζων ἀεί. καὶ τίθησι τιμωρίαν, ἣν ἀεὶ ἐδεδοίκεισαν μεθ' ὑπερβολῆς. αὕτη γὰρ πᾶσαν αὐτῶν τὴν ἀνατροπὴν τῆς πολιτείας ἐδήλου.

39 Λέγω γὰρ ὑμῖν, οὐ μὴ ἴδητέ με ἀπάρτι, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ τοῦτο ἐραστοῦ τὸ ῥῆμα σφοδροῦ, σφόδρα αὐτοὺς καὶ ἀπὸ τῶν μελλόντων ἐπισπωμένου, οὐκ ἀπὸ τῶν " παρεληλυθόντων μόνον " ἐντρέποντος. τὴν γὰρ μέλλουσαν ἡμέραν τῆς δευτέρας αὐτοῦ παρουσίας ἐνταῦθα λέγει. τί οὖν; οὐκ εἶδον αὐτὸν " ἀπὸ τότε; ἀλλ' οὐχὶ τὴν ὥραν ἐκείνην δηλοῖ λέγων, ἀπάρτι, ἀλλὰ τὸν καιρὸν τὸν μέχρι τοῦ σταυροῦ. ἐπειδὴ γὰρ ἀεὶ αὐτῷ τοῦτο ἐνεκάλουν, ὅτι ἀντίθεός τίς ἐστι καὶ ἐχθρὸς τῷ Θεῷ, ἀπὸ τούτου αὐτοὺς προτρέπει ἀγαπᾶν αὐτὸν, τοῦ συμφωνοῦντα λέγω ἑαυτὸν δεικνύναι τῷ πατρί, καὶ

δείκνυσιν αὐτὸν ὄντα τὸν ἐν τοῖς προφήταις. διὸ καὶ τοῖς αὐτοῖς κέχρηται ῥήμασιν, οἷσπερ καὶ ὁ προφήτης. διὰ δὲ τούτων καὶ τὴν ἀνάστασιν ᾐνίξατο, καὶ τὴν δευτέραν παρουσίαν ἐδήλωσε καὶ τοῖς σφόδρα ἀπιστοῦσιν, ὅτι τότε πάντως αὐτὸν προσκυνήσουσι. καὶ πῶς τοῦτο ἐδήλωσε; πολλὰ εἰπὼν πρότερον ἐσόμενα· ὅτι ἀποστελῶ προφήτας· ὅτι ἀναιρήσουσιν αὐτούς· ὅτι ἐν ταῖς συναγωγαῖς· ὅτι πείσονται τὰ ἔσχατα αὐτοί· ὅτι ἐρημωθήσεται ὁ οἶκος· ὅτι ὑποστήσονται πάντων χαλεπώτερα, καὶ οἷα μηδέποτε πρότερον. ταῦτα γὰρ πάντα καὶ τοῖς σφόδρα ἀνοήτοις καὶ φιλονείκοις ἱκανὰ ἦν παρέξειν καὶ ἐκείνου τοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ ἐσομένου ἀπόδειξιν. ″ ἐρωτήσωμεν γὰρ αὐτούς, ἀπέστειλε προφήτας καὶ σοφούς; ἀνεῖλον αὐτοὺς ἐν ταῖς συναγωγαῖς; ἀφέθη ὁ οἶκος αὐτῶν ἔρημος; ἦλθε πάντα ἐπὶ τὴν γενεὰν ἐκείνην τὰ τῆς τιμωρίας; εὔδηλον ὅτι, καὶ οὐδεὶς ἀντερεῖ. ὥσπερ οὖν ταῦτα πάντα ἐξέβη· οὕτω κἀκεῖνα ἐκβήσεται, καὶ πάντως ὑποκύψουσι τότε. ἀλλ' οὐδὲν ὄφελος ἐντεῦθεν εἰς ἀπολογίαν αὐτοῖς, ὥσπερ οὖν οὐδὲ τοῖς πολιτείας ἕνεκεν μετανοοῦσι τότε.

Διόπερ ἕως ἐστὶ καιρός, πράττωμεν τὰ ἀγαθά. ὥσπερ γὰρ ἐκείνοις τῆς γνώσεως λοιπὸν ὄφελος οὐδέν· οὕτως οὐδὲ ἡμῖν ἔσται τῆς ἐπὶ τῇ πονηρίᾳ μετανοίας. οὔτε γὰρ κυβερνήτῃ τῆς θαλάσσης ὑπερενεχθείσης τοῦ σκάφους παρὰ τὴν αὐτοῦ ῥᾳθυμίαν, οὐκ ἰατρῷ τοῦ κάμνοντος ἀπελθόντος ἔσται τι πλέον· ἀλλ' ἕκαστον τούτων πρὸ τοῦ τέλους πάντα χρὴ μηχανᾶσθαι καὶ πραγματεύεσθαι, ὥστε μηδενὶ κινδύνῳ περιπεσεῖν μηδὲ αἰσχύνῃ· μετὰ δὲ ταῦτα πάντα ἀνόνητα. καὶ ἡμεῖς τοίνυν ἕως ἂν ὦμεν ἐν τῇ νόσῳ, καὶ ἰατροὺς παρακαλῶμεν, καὶ χρήματα ἀναλίσκωμεν, καὶ σπουδὴν διηνεκῆ εἰσφέρωμεν, ἵνα ἀναστάντες ἀπὸ τῆς κακίας, ὑγιεῖς ἐντεῦθεν ἀπέλθωμεν. καὶ ὅσην περὶ τοὺς δούλους τοὺς ἡμετέρους ποιούμεθα πρόνοιαν, ὅταν αὐτῶν τὰ σώματα κάμνῃ, τοσαύτην περὶ ἡμᾶς αὐτοὺς ἐπιδειξώμεθα, τῆς ψυχῆς ἡμῶν νοσούσης· καίτοι τῶν οἰκετῶν ἡμεῖς ἐγγύτεροι ″ ἑαυτῶν, καὶ τῶν σωμάτων τῶν ἐκείνων αἱ ψυχαὶ ἀναγκαιότεραι. ἀλλ' ὅμως ἀγαπητὸν, κἂν τὴν ἴσην γοῦν σπουδὴν εἰσενέγκωμεν. ἂν γὰρ μὴ νῦν τοῦτο πράξωμεν, ἀπελθόντας λοιπὸν οὐδὲν ἔνι καρπώσασθαι εἰς ἀπολογίαν λόγον. καὶ τίς οὕτως ἄθλιός, φησιν, ὡς μηδὲ τοσαύτην ἐπιδείκνυσθαι πρόνοιαν; τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, ὅτι οὕτως ἐσμὲν ἄτιμοι παρ' ἡμῖν αὐτοῖς, ὡς καὶ τῶν οἰκετῶν μᾶλλον ἑαυτῶν καταφρονεῖν. τῶν μὲν γὰρ οἰκετῶν πυρεττόντων, καὶ ἰατροὺς καλοῦμεν, καὶ οἰκίαν ἀφορίζομεν, καὶ τοῖς νόμοις πείθεσθαι τῆς τέχνης ἐκείνης καταναγκάζομεν· καὶ ἀμελουμένων τούτων, χαλεποί τε ″ αὐτοῖς γινόμεθα, καὶ φύλακας παρακαθιστῶμεν, τοὺς οὐδὲ βουλομένοις αὐτοῖς τὴν οἰκείαν πληροῦν ἐπιθυμίαν ἐπιτρέποντας. κἂν εἴπωσιν οἱ ἐπιμελόμενοι τούτων, φάρμακα δεῖν πολλῆς κατασκευασθῆναι τιμῆς, εἴκομεν· κἂν ὁτιοῦν ″ ἐπιτάξωσι, πειθόμεθα, καὶ μισθοὺς αὐτοῖς τῶν ″ προσταγμάτων τούτων τελοῦμεν. ὅταν δὲ ἡμεῖς κάμνωμεν (μᾶλλον δὲ οὐκ ἔστιν ὅτε οὐ κάμνομεν) οὐδὲ ἰατρὸν εἰσάγομεν, οὐ χρήματα ἀναλίσκομεν, ἀλλ' ὥσπερ δημίου τινὸς καὶ ἐχθροῦ καὶ πολεμίου κειμένου, οὕτω τῆς ψυχῆς ἀμελοῦμεν. καὶ ταῦτα λέγω, οὐκ ἐγκαλῶν τῇ θεραπείᾳ τῇ περὶ τοὺς οἰκέτας, ἀλλ' ἀξιῶν κἂν τοσαύτην τῆς ψυχῆς τῆς ἡμετέρας ποιήσασθαι ἐπιμέλειαν. καὶ πῶς ἂν ποιησώμεθα, φησιν; ἐπίδειξον αὐτὴν Παύλῳ νοσοῦσαν· εἰσάγαγε Ματθαῖον ″ παρακάθισον Ἰωάννην· ἄκουσον παρ' αὐτῶν τί δεῖ ποιεῖν τὸν οὕτω κάμνοντα. πάντως ἐροῦσι καὶ οὐκ ἀποκρύψονται. οὐ γὰρ δὴ τεθνήκασιν, ἀλλὰ ζῶσι καὶ φθέγγονται. ἀλλ' οὐ προσέχει τῷ πυρετῷ ″ κατεχομένη; κατανάγκασον αὐτὴν σύ, καὶ τὸ λογικὸν αὐτῆς διέγειρον· εἰσάγαγε τοὺς προφήτας. οὐκ ἔστι χρήματα τοῖς ἰατροῖς καταθεῖναι τούτοις. οὔτε γὰρ αὐτοὶ μισθὸν ὑπὲρ αὐτῶν ἀπαιτοῦσιν, οὔτε ὑπὲρ φαρμάκων, ὧν κατασκευάζουσιν, εἰς ἀνάγκην σε δαπάνης ἐμβάλλουσι, πλὴν τῆς ἐλεημοσύνης· ἐν δὲ τοῖς ἄλλοις καὶ προσδιδόασιν· οἷον, ὅταν κελεύωσι σωφρονῆσαι, ἀπαλλάττουσί σε ἀκαίρων καὶ ἀτόπων ἀναλωμάτων· ὅταν ἀπέχεσθαι μέθης, εὐπορώτερόν σε ποιοῦσιν. εἶδες ἰα-

ΗΘΙΚΟΝ

τρέχειν τέχνην μετὰ ὑγείας καὶ χρήματα παρεχόντων; παρακάθισον τοίνυν αὐτοῖς, καὶ μάθε παρ' αὐτῶν
τοῦ νοσήματός σου τὴν φύσιν· οἷον, ἐρᾷς χρημάτων πολλάκις καὶ πλεονεξίας, ὥσπερ τῶν πυρεττόντες
ψυχροῦ; ἄκουσον γοῦν τί παραινοῦσιν. ὥσπερ γὰρ ὁ ἰατρὸς τί φησιν· ἐὰν χαρίσῃ
α. Τιμ. ς. θ. τῇ ἐπιθυμίᾳ, ἀπόλῃ, καὶ τὸ καὶ τὸ ὑποστήσῃ· οὕτω καὶ Παῦλος· Οἱ δὲ βουλόμενοι πλουτεῖν,
ἐμπίπτουσιν εἰς πειρασμὸν [καὶ παγίδας τοῦ διαβόλου] καὶ ἐπιθυμίας ἀνοήτους καὶ βλαβεράς,
αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. ἀλλ' ἀκαρτέρητος εἶ;
Ἑβρ. ι. λζ. ἄκουσον αὐτοῦ λέγοντος· Ἔτι μικρόν, καὶ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ Κύριος ἐγγύς, μηδὲν
Φιλιππ. δ. ε. μεριμνᾶτε. καὶ πάλιν· Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου. οὐδὲ γὰρ ἐπιτάττει μόνον,
α. Κορ. ζ. λα. ἀλλὰ καὶ παραμυθεῖται ὡς ἰατρός. καὶ ὥσπερ ἐκεῖνοι ἀντὶ ψυχρῶν ἕτερά τινα ἐπινοοῦσιν·
οὕτω καὶ οὗτος μετοχετεύει τὴν ἐπιθυμίαν. βούλει, φησί, πλουτεῖν; ἐν ἔργοις ἀγαθοῖς. ἐπιθυμεῖς
θησαυρίζειν; οὐδὲν κωλύω· μόνον ἐν οὐρανοῖς. καὶ ὥσπερ ὁ ἰατρὸς λέγει, ὅτι τὸ ψυχρὸν
βλαβερὸν ὀδοῦσι, νεύροις, ὀστέοις· οὕτω καὶ αὐτὸς συντομώτερον μὲν, ἅτε βραχυλογίας
α. Τιμ. ς. ι. ἐπιμελούμενος, σαφέστερον δὲ πολλῷ καὶ δυνατώτερον· Ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία,
φησίν, ἐστί. τίνι οὖν δεῖ χρήσασθαι; λέγει καὶ τοῦτο· τῇ αὐταρκείᾳ ἀντὶ πλεονεξίας.
ἔστι γὰρ πορισμὸς μέγας, φησίν, ἡ αὐτάρκεια μετ' εὐσεβείας. εἰ δὲ δυσαναχετεῖς, καὶ
πλειόνων ἐπιθυμεῖς, καὶ οὔπω χωρεῖς ῥῖψαι τὰ περιττὰ πάντα, λέγει καὶ τῷ οὕτως ἀρρώστῳ καὶ
α. Κορ. ζ. λα. τούτοις πῶς χρήσασθαι δεῖ· Ἵνα οἱ χαίροντες ἐπὶ κτήμασιν, ὡς μὴ χαίροντες ὦσι, καὶ οἱ ἔχοντες, ὡς
μὴ κατέχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. εἶδες οἷα ἐπιτάττει; βούλει
καὶ ἕτερον ἐπεισαγάγω τούτῳ ἰατρόν; ἔμοιγε δοκεῖ. οὐδὲ γάρ εἰσιν οὗτοι οἱ ἰατροί, καθάπερ
οἱ τῶν σωμάτων, οἳ πολλάκις ἀντιφιλοτιμούμενοι ἀλλήλοις κατέδυσαν τὸν ἀρρωστοῦντα· ἀλλ'
οὐχ οὗτοι. πρὸς γὰρ τὴν τῶν καμνόντων ὑγίειαν, οὐ πρὸς τὴν ''ἰδίαν ὁρῶσι φιλοτιμίαν. μὴ
τοίνυν αὐτῶν δείσῃς τὸ πλῆθος· εἷς ἐν ἅπασι φθέγγεται διδάσκαλος ὁ Χριστός. ὅρα γοῦν
εἰσελθόντα πάλιν ἕτερον καὶ χαλεπὰ λέγοντα περὶ τοῦ νοσήματος τούτου, μᾶλλον δὲ καὶ
Ματθ. ς. κδ. τὸν διδάσκαλον δι' ''αὐτοῦ. Οὐ δύνασθε γὰρ Θεῷ δουλεύειν καὶ μαμμωνᾷ. ναί φησι· καὶ
πῶς ταῦτα ἔσται; πῶς τῆς ἐπιθυμίας παυσόμεθα; ἐντεῦθεν καὶ τοῦτο ἔστι μαθεῖν. καὶ πῶς
Ματθ. ς. ιθ. εἰσόμεθα; ἄκουσον αὐτοῦ καὶ τοῦτο λέγοντος· Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς
γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύττουσι καὶ κλέπτουσιν. εἶδες
πῶς ἀπὸ τοῦ τόπου, ἀπὸ τῶν λυμαινομένων, ἀπάγει τῆς ἐπιθυμίας [ταύτης] τῆς ἐνταῦθα,
καὶ προσηλοῖ τῷ οὐρανῷ, ὅπου πάντα ἀνάλωτα; ἂν γὰρ μεταθῆτε, [φησι,] τὸν πλοῦτον
ἐκεῖ, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, οὔτε κλέπται διορύττουσι καὶ κλέπτουσι, καὶ
ταύτην ἀποκρούσεσθε τὴν νόσον, καὶ τὴν ψυχὴν ἐν μεγίστῃ καταστήσετε εὐπορίᾳ. μετὰ δὲ
τῶν εἰρημένων καὶ παράδειγμα εἰς μέσον ἄγει σωφρονίζων, καὶ καθάπερ ὁ ἰατρὸς φοβῶν
τὸν ἄρρωστόν φησιν, ὅτι ὁ δεῖνα ψυχρῷ χρησάμενος ἀπώλετο· οὕτω καὶ αὐτὸς εἰσάγει
τὸν πλούσιον, κάμνοντα μὲν καὶ ἐπιθυμοῦντα ζωῆς καὶ ὑγείας, οὐ δυνάμενον δὲ ἐπιτυχεῖν,
διὰ τὸ πλεονεξίας ἐφίεσθαι, ἀλλ' ἀπιόντα κενόν. καὶ μετὰ τοῦτον ἕτερόν σοι δείκνυσι πάλιν
Λουκ. ις. κδ. κε. ἕτερος εὐαγγελιστὴς, τὸν ἀποτηγανιζόμενον, καὶ οὐδὲ σταγόνος ὄντα κύριον. εἶτα δεικνὺς ὅτι
Ματθ. ς. κς. εὔκολα τὰ ἐπιτάγματα, φησίν· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ. συγκαταβατικὸς
Ματθ. ιθ. κς. δὲ ὤν, οὐδὲ τοὺς πλουτοῦντας ἀπογινώσκειν ἀφίησι. Τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα,
δυνατὰ παρὰ τῷ Θεῷ, φησι. κἂν γὰρ πλούσιος ᾖς, δύναταί σε θεραπεῦσαι ὁ ἰατρός.
οὐδὲ γὰρ τὸ πλουτεῖν ἀνεῖλεν, ἀλλὰ τὸ δοῦλον εἶναι χρημάτων, καὶ πλεονεξίας ἐραστήν. ''πῶς
οὖν δυνατὸν τὸν πλουτοῦντα σωθῆναι; κοινὰ τὰ ὄντα τοῖς δεομένοις κεκτημένον (οἷος ἦν ὁ
Ἰὼβ) καὶ τὴν τοῦ πλείονος ἐπιθυμίαν ἐξορίζοντα ἀπὸ τῆς ψυχῆς, καὶ οὐδαμοῦ τὴν χρείαν ὑπερβαίνοντα
τὴν ἀναγκαίαν. δείκνυσί σοι μετὰ τούτων καὶ τοῦτον αὐτὸν τὸν τελώνην, τὸν σφόδρα
Λουκ. ε. κζ. κατεχόμενον τῷ πυρετῷ τῆς πλεονεξίας ταχέως ἀπαλλαγέντα. τί γὰρ τελώνου κα-

πηλικώτερον;

ἠλικιώτερον; ἀλλ' ὅμως γέγονεν ἀκτήμων ὁ ἄνθρωπος, ἐκ τοῦ πείθεσθαι τοῖς τοῦ ἰατροῦ νόμοις. καὶ γὰρ τοὺς μαθητὰς τοιούτους εἶχε, ταῦτα νοσήσαντας τὰ νοσήματα ἅπερ ἡμεῖς, καὶ ὑγιάναντας ταχέως· καὶ ἕκαστον αὐτῶν ἡμῖν δείκνυσιν, ὥστε μὴ ἀπογνῶναι. ὅρα γοῦν τὸν τελώνην τοῦτον. σκόπει πάλιν ἕτερον ἀρχιτελώνην· ὃς τετραπλασίονα μὲν ὑπέσχετο δώσειν ὑπὲρ ὧν ἥρπασε, τά τε ἡμίση πάντων ὧν ἐκέκτητο, ὥστε ὑποδέξασθαι τὸν Ἰησοῦν. ἀλλ' ἐκκαίῃ σὺ καὶ σφόδρα ἐπιθυμεῖς χρημάτων; ἔχε τὰ πάντων ἀντὶ τῶν σῶν. καὶ γὰρ πλείονα ὧν ζητεῖς δίδωμί σοι, φησί, τὰς τῶν πλουτούντων οἰκίας ἀνοίγων σοι κατὰ τὴν οἰκουμένην. Ὃς γὰρ ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ ἀγρούς, ἢ οἰκίαν, ἑκατονταπλασίονα λήψεται. οὕτως οὐχὶ πλειόνων ἀπολαύσεις μόνον, ἀλλὰ καὶ τὸ χαλεπὸν τοῦτο δίψος ἀναιρήσεις παντάπασι, καὶ οἴσεις πάντα ῥᾳδίως· οὐ μόνον τῶν πλειόνων οὐκ ἐφιέμενος, ἀλλ' οὐδὲ τῶν ἀναγκαίων πολλάκις. οὕτως ὁ Παῦλος ἐπείνασε, καὶ ἐσεμνύνετο μᾶλλον, ἢ ὅτε ἤσθιεν. ἐπεὶ καὶ ἀθλητὴς ἀγωνιζόμενος καὶ στεφανούμενος, οὐκ ἂν ἕλοιτο καταλῦσαι καὶ εἶναι ἐν ῥᾳστώνῃ· καὶ ἔμπορος τῶν ἐν θαλάττῃ πόρων ἁπτόμενος, οὐκ ἂν ἐπιθυμήσειεν ἐν ἀργίᾳ εἶναι λοιπόν. καὶ ἡμεῖς τοίνυν, ἂν γευσώμεθα ὡς χρὴ τῶν καρπῶν τῶν πνευματικῶν, λοιπὸν οὐδὲ ἡγησόμεθά τι τὰ παρόντα εἶναι, καθάπερ τινὶ μέθῃ καλλίστῃ, τῇ τῶν μελλόντων ἐπιθυμίᾳ ἁλόντες. γευσώμεθα τοίνυν, ἵνα καὶ τοῦ θορύβου τῶν παρόντων ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιθ. α. η.

Ματθ. ιθ. κθ.

Φιλιπ. δ. ια. ιβ.

Ομιλ. οε.

κεφ. κδ.

1 ΚΑΙ ΕΞΕΛΘΩΝ Ο ΙΗΣΟΥΣ ΑΠΟ ΤΟΥ ἱεροῦ ἐπορεύετο· καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. 2 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται.

Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, καὶ μυρία ἔμπροσθεν αὐτοῖς προανεφώνησε χαλεπά· εἶτα οἱ μαθηταὶ ταῦτα ἀκούσαντες, ὥσπερ θαυμάζοντες, προσῆλθον ἐπιδεικνῦντες τοῦ ναοῦ τὸ κάλλος, καὶ διαποροῦντες εἰ τοσαῦτα ἀφανισθήσεται κάλλη, καὶ ὕλης πολυτέλεια, καὶ τέχνης ποικιλία ἄφατος· οὐκ ἔτι λοιπὸν περὶ ἐρημίας ἁπλῶς αὐτοῖς διαλέγεται, ἀλλὰ παντελῆ προαναφωνεῖ τὸν ἀφανισμόν. οὐ βλέπετε γὰρ ταῦτα πάντα, φησί, καὶ θαυμάζετε καὶ ἐκπλήττεσθε; οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον. πῶς οὖν ἔμεινε, φησί; καὶ τί τοῦτο; οὐδὲ γὰρ οὕτω διέπεσεν ἡ ἀπόφασις. ἢ γὰρ τὴν ἐρημίαν ἐνδεικνύμενος τὴν παντελῆ, ταῦτα ἔλεγεν· ἢ κατ' ἐκεῖνον τὸν τόπον ἔνθα ἦν. ἔστι γὰρ αὐτοῦ μέρη μέχρι τῶν θεμελίων ἠφανισμένα. μετὰ δὲ τούτων κἀκεῖνο ἂν εἴποιμεν ὑμῖν, ὅτι ἐκ τῶν γεγενημένων καὶ περὶ τῶν λειψάνων καὶ τοὺς σφόδρα φιλονεικοῦντας δεῖ πείθεσθαι, ὡς τέλεον ἀπολουμένων.

3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατιδίαν λέγοντες· εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;

Διὰ τοῦτο κατιδίαν προσῆλθον, ἅτε ὑπὲρ τοιούτων πευσόμενοι. καὶ γὰρ ὤδινον μαθεῖν τὴν ἡμέραν τῆς παρουσίας αὐτοῦ, διὰ τὸ σφόδρα ἐπιθυμεῖν τὴν δόξαν ἐκείνην ἰδεῖν τὴν μυρίων οὖσαν ἀγαθῶν αἰτίαν· καὶ δύο ταῦτα ἐρωτῶσιν αὐτόν, πότε ταῦτα ἔσται, τουτέστιν, ἡ τοῦ ναοῦ κατασκαφή, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας. ὁ δὲ Λουκᾶς χαῖς ἕν φησι τὸ ἐρώτημα εἶναι, τὸ περὶ τῶν Ἱεροσολύμων, ἅτε νομιζόντων αὐτῶν τότε καὶ τὴν παρουσίαν αὐτοῦ εἶναι. ὁ δὲ Μάρκος οὐδὲ πάντας αὐτούς φησιν ἐρωτῆσαι περὶ τῆς συντελείας τῶν Ἱεροσολύμων, ἀλλὰ Πέτρον καὶ Ἰωάννην, ἅτε πλείονα παῤῥησίαν ἔχοντας. τί οὖν αὐτός;

Λυκ. κα. ζ.
Μαρ. ιγ. δ.

4 Βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

5 Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι.

6 Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων. ὁρᾶτε μὴ θροεῖσθε. δεῖ γὰρ "ταῦτα γενέσθαι· ἀλλ' οὔπω τὸ τέλος. Ἐπειδὴ γὰρ ὡς περὶ ἀλλοτρίας τιμωρίας ἀκούοντες τῆς ἐπαγομένης τῇ Ἱερουσαλὴμ διέκειντο, καὶ ὡς ἂν ἔξω θορύβων ἐσόμενοι *τὰ ἀγαθὰ μόνα ὠνειροπόλουν, καὶ αὐτίκα μάλα πάντα ἀπολαύσεσθαι προσεδόκων, διὰ τοῦτο πάλιν αὐτοῖς χαλεπὰ προαναφωνεῖ, ἐναγωνίους ποιῶν καὶ κελεύων διπλῇ νήφειν, ὡς μήτε ὑπὸ τῆς ἀπάτης τῶν παραλογιζομένων φενακισθῆναι, μήτε ὑπὸ τῆς τυραννίδος τῶν καταληψομένων κακῶν βιασθῆναι. διπλοῦς γὰρ ὁ πόλεμος, φησιν, ἔσται, ὅ τε τῶν πλάνων, ὅ τε τῶν πολεμίων. ἀλλ' ἐκεῖνος "πολὺ χαλεπώτερος, ἅτε ἐν συγχύσει καὶ ταραχῇ πραγμάτων καὶ φοβουμένων καὶ ταραττομένων ἀνθρώπων ἐπιτιθέμενος. καὶ γὰρ πολλὴ τότε ἡ ζάλη ἦν, τῶν Ῥωμαϊκῶν ἀρχομένων ἀνθεῖν, καὶ πόλεων ἁλισκομένων, καὶ στρατοπέδων καὶ ὅπλων κινουμένων, "καὶ πολλῶν εὐκόλως πιστευομένων. πολέμους δὲ, τοὺς ἐν Ἱεροσολύμοις λέγει· οὐ γὰρ δὴ τοὺς ἔξωθεν καὶ πανταχοῦ τῆς οἰκουμένης. τί γὰρ ἔμελλεν αὐτοῖς τούτων; ἄλλως δὲ, οὐδὲ καινόν τι ἔμελλεν ἐρεῖν, εἰ τὰ τῆς οἰκουμένης ἔλεγε πάθη τὰ ἀεὶ συμβαίνοντα. καὶ γὰρ καὶ πρὸ τούτου ἦσαν πόλεμοι καὶ ταραχαὶ καὶ μάχαι· ἀλλὰ τοὺς Ἰουδαϊκοὺς οὐ μακρόθεν λέγει ἐπιόντας πολέμους. λοιπὸν γὰρ αὐτοῖς ἐν φροντίδι τὰ Ῥωμαίων ἦν. ἐπεὶ οὖν καὶ ταῦτα ἱκανὰ ἦν αὐτοὺς θορυβῆσαι, προλέγει ταῦτα πάντα. Εἶτα, δεικνὺς ὅτι καὶ αὐτὸς "συνεπιτεθήσεται Ἰουδαίοις καὶ πολεμήσει, οὐχὶ μάχας φησὶ μόνον, ἀλλὰ καὶ θεηλάτους πληγὰς, λιμοὺς, καὶ λοιμοὺς, καὶ σεισμούς· δεικνὺς ὅτι καὶ τοὺς πολέμους αὐτὸς εἴασεν ἐπελθεῖν, καὶ οὐχ ἁπλῶς ταῦτα γεγένηται κατὰ τὴν ἔμπροσθεν ἐν τοῖς ἀνθρώποις οὖσαν συνήθειαν, ἀλλ' ἐκ τῆς ἄνωθεν ὀργῆς. διὰ τοῦτο οὐδὲ ἁπλῶς "ταῦτα ἥξειν φησὶν, οὐδὲ ἀθρόως, ἀλλὰ μετὰ σημείων. ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι οἱ τότε πιστεύσαντες αἴτιοι τῶν κακῶν τούτων, διὰ τοῦτο καὶ τὴν αἰτίαν "αὐτοῖς εἴρηκε τῆς ἐπαγωγῆς. ἀμὴν γὰρ λέγω ὑμῖν, ἔμπροσθεν ἔλεγεν, ὅτι ἥξει πάντα ταῦτα ἐπὶ τὴν γενεὰν ταύτην, τῆς μιαιφονίας αὐτῶν μνησθείς. Εἶτα, ἵνα μὴ τὰς νιφάδας τῶν κακῶν ἀκούοντες, νομίσωσι διασπᾶσθαι τὸ κήρυγμα, ἐπήγαγεν· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, τουτέστιν, ἃ προεῖπον ἐγώ· καὶ τῶν πειρασμῶν ἡ ἔφοδος οὐδὲν διακόψει τῶν παρ' "ἐμοὶ εἰρημένων, ἀλλ' ἔσται μὲν θόρυβος καὶ ταραχὴ, τοὺς δὲ ἐμοὺς οὐδὲν διασαλεύσει χρησμούς. Εἶτα, ἐπειδὴ εἶπε τοῖς Ἰουδαίοις, Ἀπάρτι οὐ μή με ἴδητε, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ᾤοντο δὲ οἱ μαθηταὶ ἅμα τῇ κατασκαφῇ καὶ τὴν συντέλειαν ἔσεσθαι, καὶ ταύτην διορθούμενος αὐτῶν τὴν ὑπόνοιαν, ἔλεγεν· ἀλλ' οὔπω τὸ τέλος. ὅτι γὰρ οὕτως ὡς ἔφην ὑπώπτευον, ἐκ τῆς ἐρωτήσεως αὐτῶν μάνθανε. τί γὰρ ἠρώτησαν; πότε ταῦτα ἔσται; τουτέστι, πότε τὰ Ἱεροσόλυμα ἀπολεῖται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; αὐτὸς δὲ οὐδὲν εὐθέως πρὸς τὴν ἐρώτησιν ἀπεκρίνατο ταύτην, ἀλλὰ πρότερον ἐκεῖνα τὰ κατεπείγοντα λέγει, καὶ ἃ πρῶτα μαθεῖν ἐχρῆν. οὔτε γὰρ περὶ Ἱεροσολύμων εὐθέως, οὔτε περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας εἴρηκεν· ἀλλὰ περὶ τῶν ἐπὶ θύραις ἀπαντησομένων κακῶν. διὸ καὶ ἐναγωνίους αὐτοὺς ποιεῖ λέγων· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός. Εἶτα, διεγείρας αὐτοὺς εἰς τὴν περὶ τούτων ἀκρόασιν· Βλέπετε γάρ, φησι, μή τις ὑμᾶς πλανήσῃ. καὶ ἐναγωνίους ποιήσας, καὶ νήφειν παρασκευάσας,

Ματθ. κγ. λθ.

χ. πάντα
* λοιπὸν
χ. πολλῷ
χ. καὶ πολλῶν ἄλλων παρασαλευομένων.
ἴσ. συνεπι
σεται
χ. αὐτὰ
χ. αὐτῶν
ἴσ. ἐμοῦ

άσας, καὶ εἰπὼν τοὺς πλάνους, τοὺς ψευδοχρίστους πρότερον, τότε τὰ τῶν Ἱεροσολύμων λέγει κακὰ, ἀπὸ τῶν ἤδη γινομένων καὶ τὰ μέλλοντα ἀεὶ καὶ παρὰ τοῖς ἀνοήτοις καὶ φιλονείκοις πιστούμενος. πολέμους δὲ καὶ ἀκοὰς πολέμων, ὅπερ καὶ ἔμπροσθεν εἶπον, τὰς αὐτοῖς ἐπιούσας φησὶ ταραχάς. Εἶτα ἐπειδὴ, καθὼς καὶ προεῖπον, ἐνόμιζον μετ' ἐκεῖνον τὸν πόλεμον ἥξειν τὸ τέλος, ὅρα πῶς αὐτοὺς ἀσφαλίζεται λέγων, ἀλλ' οὔπω τὸ τέλος.

7 Ἐγερθήσεται γάρ, φησιν, ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. Τὰ προοίμια λέγει τῶν Ἰουδαϊκῶν κακῶν.

8 Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων, Τουτ' ἔστι τῶν συμβαινόντων αὐτοῖς.

9 Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς.

Εὐκαίρως παρενέβαλε τὰ αὐτῶν κακὰ, ἔχοντα παραμυθίαν ἀπὸ τῶν κοινῶν· οὐ ταύτην δὲ μόνον, ἀλλὰ καὶ τῷ παθεῖναι, ὅτι διὰ τὸ ὄνομά μου. Ἔσεσθε γάρ, φησι, μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.

10 Καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώσουσι,

11 Καὶ πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς·

12 Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν·

13 Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Τοῦτο μεῖζον κακὸν, ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ. πολλοὶ γὰρ ψευδάδελφοι τότε ἦσαν. Εἶδες τριπλοῦν τὸν πόλεμον ὄντα, τὸν ἀπὸ τῶν πλάνων, τὸν ἀπὸ τῶν πολεμίων, τὸν ἀπὸ τῶν ψευδαδέλφων. ὅρα καὶ Παῦλον τὰ αὐτὰ ἀποδυρόμενον καὶ λέγοντα· Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι, καὶ* κίνδυνοι ἐν ψευδαδέλφοις. καὶ πάλιν· Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι [εἰσιν] ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. Εἶτα πάλιν τὸ πάντων χαλεπώτερον, ὅτι οὐδὲ τὴν ἀπὸ τῆς ἀγάπης παραμυθίαν ἕξουσιν. Εἶτα δεικνὺς ὅτι τὸ γενναῖον καὶ καρτερικὸν οὐδὲν ταῦτα λυμαίνεται, μὴ φοβεῖσθε, φησι, μηδὲ ταράττεσθε. ἂν γὰρ τὴν προσήκουσαν ὑπομονὴν ἐπιδείξησθε, οὐ περιέσται ὑμῶν τὰ δεινά. καὶ τούτου σαφὴς ἀπόδειξις, τὸ πάντως κηρυχθῆναι τὸ κήρυγμα πανταχοῦ τῆς οἰκουμένης· οὕτως ὑψηλότεροι ἔσεσθε τῶν δεινῶν. ἵνα γὰρ μὴ λέγωσι, πῶς οὖν ζησόμεθα; τὸ πλέον εἶπεν, ὅτι καὶ ζήσεσθε καὶ διδάξετε πανταχοῦ. διὸ καὶ ἐπήγαγε·

β. Κορ. ζ. ε.
β. Κορ. ια. ιγ.

14 Καὶ κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος, Οὐ τῆς συντελείας, ἀλλὰ τῶν Ἱεροσολύμων. ὅτι γὰρ περὶ ἐκείνου ἔλεγε, καὶ πρὸ τῆς ἁλώσεως τὸ εὐαγγέλιον ἐκηρύχθη, ἄκουσον τί φησιν ὁ Παῦλος· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· καὶ πάλιν, Τοῦ εὐαγγελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· καὶ ὁρᾷς αὐτὸν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱσπανίαν τρέχοντα. εἰ δὲ εἰς τοσοῦτον μέρος τῆς οἰκουμένης κατέλαβεν, ἐννόησον καὶ οἱ λοιποὶ πόσα εἰργάσαντο. καὶ γὰρ καὶ ἑτέροις γράφων πάλιν ὁ Παῦλος ἔλεγε περὶ τοῦ εὐαγγελίου· ὅτι ἐστὶ καρποφορούμενον καὶ αὐξανόμενον ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν. τί δέ ἐστιν, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν; ἐπειδὴ ἐκηρύχθη μὲν πανταχοῦ, οὐκ ἐπίστευσαν δέ τινες, οὐδὲ ἐδέχθη πανταχοῦ, εἰς μαρτύριόν, φησιν, ἔσται τοῖς ἀπιστήσασι· τουτ' ἔστιν, εἰς ἔλεγχον, εἰς κατηγορίαν, εἰς κατάκρισιν. οἱ γὰρ πιστεύσαντες καταμαρτυρήσουσι τῶν μὴ πιστευσάντων, καὶ κατακρινοῦσιν αὐτούς. διὰ τοῦτο δὲ μετὰ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον πανταχοῦ τῆς οἰκουμένης, ἀπόλλυται τὰ Ἱεροσόλυμα, ἵνα μηδὲ σκιὰν ἀπολογίας ἔχωσιν ἀγνωμονοῦντες. οἱ γὰρ ἰδόντες τὴν αὐτοῦ δύναμιν πανταχοῦ διαλάμψασαν καὶ ἐν ἀκαριαίῳ τὴν οἰκουμένην ἐπελθοῦσαν, τίνα ἂν ἔχοιεν λοιπὸν συγγνώμην οὕτως ἐπὶ τῆς αὐτῆς ἀγνωμοσύνης μένοντες; ὅτι γὰρ πανταχοῦ ἐκηρύχθη τότε, ἄκουσον τί φησιν ὁ Παῦλος· τοῦ εὐαγγελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· ὃ καὶ μέγιστον σημεῖον τῆς τοῦ Χριστοῦ δυνάμε-

Ψαλμ. ιη. δ.
Ρω. ι. ιη.
Κολ. α. ς.
Κολ. α. ι.

ως, ὅτι ἐν εἴκοσι ἢ καὶ τριάκοντα ὅλοις ἔτεσι τὰ πέρατα τῆς οἰκουμένης κατέλαβεν ὁ λόγος. μετὰ τοῦτο οὖν, φησιν, ἥξει τὸ τέλος, τῶν Ἱεροσολύμων. ὅτι γὰρ τοῦτο αἰνίττεται, τὸ ἑξῆς ἐδήλωσεν. ἐπήγαγε γὰρ καὶ προφητείαν, πιστούμενος αὐτῶν τὸν ἀφανισμὸν, καὶ λέγων·

Δαν. θ. κζ.

15 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. Παρέπεμψεν αὐτοὺς ἐπὶ τὸν Δανιήλ. βδέλυγμα δὲ τὸν ἀνδριάντα τοῦ τότε τὴν πόλιν ἑλόντος φησὶν, ὃν ὁ ἐρημώσας τὴν πόλιν καὶ τὸν ναὸν ἔστησεν ἔνδον· διὸ καὶ ἐρημώσεως αὐτὸ καλεῖ. Εἶτα ἵνα μάθωσιν, ὅτι καὶ ζώντων ἐνίων αὐτῶν ταῦτα ἔσται, διὰ τοῦτο ἔλεγεν· ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως· ἐξ ὧν αὐτοὺς μάλιστα θαυμάσειε τοῦ Χριστοῦ τὴν δύναμιν καὶ τὴν ἐκείνων ἀνδρείαν, ὅτι ἐν τοιούτοις καιροῖς ἐκήρυττον, ἐν οἷς μάλιστα τὰ Ἰουδαϊκὰ ἐπολεμεῖτο, ἐν οἷς μάλιστα ὡς στασιασταῖς προσεῖχον αὐτοῖς, ὅτε ὁ Καῖσαρ ἐκέλευσε πάντας ἀπελαύνεσθαι. καὶ ταὐτὸν συνέβαινεν, ὥσπερ ἂν εἴ τις, τῆς θαλάττης πάντοθεν ἐγερθείσης, καὶ ζόφου τὸν ἀέρα πάντα κατέχοντος, καὶ ναυαγίων ἐπαλλήλων γινομένων, καὶ πάντων ἄνωθεν τῶν συμπλεόντων στασιαζόντων, καὶ θηρίων κάτωθεν ἀνιόντων καὶ μετὰ τῶν κυμάτων ἀναλισκόντων τοὺς πλέοντας, καὶ σκηπτῶν ἐπιφερομένων, καὶ πειρατῶν ὄντων, καὶ τῶν ἔνδον ἀλλήλοις ἐπιβουλευόντων, ἀνθρώποις ἀπείρους τοῦ πλεῖν ὅλως καὶ οὐδὲ θάλατταν ἰδόντας κελεύοι τούτους ἐπὶ τῶν οἰάκων καθῆσθαι καὶ κυβερνᾷν καὶ ναυμαχεῖν, καὶ στόλον ἄπειρον ἐπιόντα μετὰ πολλῆς παρατάξεως ἑνὶ χρωμένους ἀκατίῳ τῷ οὕτως ὡς εἶπον ταραττομένων χειροῦσθαι καὶ καταδύειν. καὶ γὰρ ὑπὸ ἐθνῶν ἐμισοῦντο ὡς Ἰουδαῖοι, καὶ ὑπὸ Ἰουδαίων ἐλιθάζοντο, ὡς τοῖς αὐτῶν πολεμοῦντες νόμοις, καὶ οὐδαμοῦ στῆναι ἦν. οὕτω πάντα κρημνοὶ καὶ σκόπελοι καὶ πρόβολοι ἦσαν, τὰ ἐν ταῖς πόλεσι, τὰ ἐν χώραις, τὰ ἐν ταῖς οἰκίαις· καὶ εἷς ἕκαστος αὐτοῖς ἐπολέμει, καὶ στρατηγὸς, καὶ ἄρχων, καὶ ἰδιώτης, καὶ ἔθνη πάντα, καὶ δῆμοι πάντες, καὶ ταραχή τις ἦν λόγῳ παραστῆναι μὴ δυναμένη. καὶ γὰρ σφόδρα μισητὸν ἦν τὸ Ἰουδαίων γένος τῇ τῶν Ῥωμαίων ἀρχῇ, ἅτε μυρία πράγματα αὐτοῖς παρεσχηκός· καὶ οὐδὲ ἐντεῦθεν ἐβλάβη τὸ κήρυγμα, ἀλλ' ἡ μὲν πόλις ἀνάρπαστος ἦν καὶ ἐμπεπύρωτο, καὶ μυρία τοὺς οἰκοῦντας διέθηκε κακά· οἱ δὲ ἐντεῦθεν ὄντες ἀπόστολοι, νόμους εἰσάγοντες καινοὺς, καὶ τῶν Ῥωμαίων ἐκράτουν. ὢ καινῶν καὶ παραδόξων πραγμάτων· μυριάδας ἀπείρους Ἰουδαίων τότε ἐχειρώσαντο Ῥωμαῖοι, καὶ δώδεκα ἀνδρῶν οὐ περιεγένοντο, γυμνῶν, ἀόπλων μαχομένων αὐτοῖς. τίς παραστῆσαι δυνήσεται λόγος τὸ θαῦμα τοῦτο; καὶ γὰρ δύο ταῦτα χρὴ τοῖς διδάσκουσιν ὑπάρχειν, τό τε ἀξιοπίστους εἶναι, καὶ τὸ φιλεῖσθαι παρὰ τῶν μαθητευομένων, καὶ μετὰ τούτων καὶ τὸ τὰ λεγόμενα εὐπαράδεκτα εἶναι, καὶ πρὸς τούτοις τὸ τὸν καιρὸν ταραχῆς ἀπηλλάχθαι καὶ θορύβων. τότε δὲ ἅπαντα ἐναντία ἦν. οὔτε γὰρ ἀξιόπιστοι εἶναι ἐδόκουν, καὶ τῶν δοκούντων ἀξιοπίστων εἶναι τοὺς ἠπατημένους ἀφίστων. οὐκ ἐφιλοῦντο, ἀλλὰ καὶ ἐμισοῦντο, καὶ τῶν φιλουμένων ἀπῆγον καὶ ἐθῶν, καὶ πατρῴων, καὶ νόμων. πάλιν τὰ ἐπιτάγματα πολλὴν τὴν δυσκολίαν εἶχεν· ὧν δὲ ἀφεῖλκον, πολλὴν τὴν ἡδονήν. πολλοὺς καὶ αὐτοὶ καὶ οἱ πειθόμενοι τοὺς κινδύνους, πολλοὺς τοὺς θανάτους ὑπέμενον. καὶ μετὰ τούτων ἁπάντων ὁ καιρὸς πολλὴν παρεῖχε τὴν δυσκολίαν, πολέμων γέμων, θορύβων, ταραχῆς, ὡς, εἰ καὶ μηδὲν τῶν εἰρημένων ἦν, ἱκανῶς πάντα διαταράξαι. εὔκαιρον εἰπεῖν, Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Εἰ γὰρ οἱ οἰκεῖοι μετὰ τῶν σημείων Μωϋσέως οὐκ ἤκουσαν διὰ τὸν πηλὸν μόνον καὶ τὴν πλινθείαν, τοὺς καθ' ἑκάστην ἡμέραν κοπτομένους καὶ σφαττομένους καὶ τὰ ἀνήκεστα πάσχοντας, τίς ἔπεισεν ἀποστῆναι μὲν ἀπράγμονος βίου, τὸν δὲ ἐπικίνδυνον τοῦτον καὶ αἱμάτων καὶ θανάτων γέμοντα προτιμῆσαι ἐκείνου, καὶ ταῦτα ἀλλοφύλων τῶν κηρυττομένων αὐτοῖς ὄντων, καὶ σφόδρα πολεμίων πάντοθεν; μή τις γὰρ εἰς ἔθνη καὶ πόλεις καὶ δήμους, ἀλλ' εἰς οἰκίαν μικρὰν εἰσαγαγέτω τὸν μισούμενον παρὰ πάντων τῶν ἐν τῇ οἰκίᾳ, καὶ δι'

Ψαλμ. ρε. β.

χ. κατεπλι

χ. θορύβου

χ. ὅς

χ. ἱκανῶς ἦν πάντα

αὐτοῦ σπουδαζέτω τῶν φιλουμένων ἀπάγειν, παιδὸς, καὶ γυναικὸς, καὶ παιδίων· ἆρα οὐκ ὀφθήσεται διασπασθεὶς, πρὶν ἢ διᾶραι τὸ στόμα; ἂν δὲ καὶ ταραχὴ καὶ μάχη γυναικὸς καὶ ἀνδρὸς προσῇ κατὰ τὴν οἰκίαν, ἆρα οὐχὶ πρὶν ἢ ἐπιβῆναι τῶν οὐδῶν καταλύοντες αὐτὸν ἀναιρήσουσιν; ἂν δὲ καὶ εὐκαταφρόνητος ᾖ, καὶ φορτικὰ ἐπιτάττῃ, καὶ φιλοσοφεῖν τοὺς τρυφῶντας κελεύῃ, καὶ μετὰ τούτων πρὸς πολλῷ πλείονας καὶ ὑπερβάλλοντας αὐτὸν ὁ ἀγὼν ᾖ, οὐκ εὔδηλον ὅτι παντάπασιν ἀπολεῖται; ἀλλ' ὅμως τοῦτο, ὅπερ ἀδύνατον ἐν οἰκίᾳ γενέσθαι μιᾷ, τοῦτο ἐν τῇ οἰκουμένῃ κατώρθωσεν ὁ Χριστὸς ἁπάσῃ, διὰ κρημνῶν καὶ καμίνων, διὰ φαράγγων, καὶ σκοπέλων, καὶ γῆς καὶ θαλάττης " ταραττομένης, τοὺς ἰατροὺς τῆς οἰκουμένης " εἰσαγαγών. καὶ εἰ βούλει σαφέστερον ταῦτα μαθεῖν, τοὺς λιμοὺς λέγω, τοὺς λοιμοὺς, τοὺς σεισμοὺς, τὰς ἄλλας τραγῳδίας, τὴν ἱστορίαν τὴν περὶ τούτων Ἰωσήππῳ συγκειμένην ἔπελθε, καὶ πάντα εἴσῃ μετὰ ἀκριβείας. " διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε, μὴ θροεῖσθε. δεῖ γὰρ πάντα γενέσθαι· καὶ, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· καὶ, κηρυχθήσεται τὸ εὐαγγέλιον " τοῦτο, φησὶν, ἐν ὅλῳ τῷ κόσμῳ. " ἐπειδὴ δὲ τοιαῦτα τὰ προοίμια ἔσεσθαι εἰπὼν, χαυνωθέντας εἶδε καὶ ἐκλυθέντας τῷ φόβῳ τῶν εἰρημένων, συστρέφει πάλιν αὐτοὺς διὰ τοῦτο, καὶ λέγει· ὅτι κἂν μυρία γένηται, δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον πανταχοῦ τῆς οἰκουμένης, καὶ τότε ἥξει τὸ τέλος. εἶδες πῶς διέκειτο τότε τὰ πράγματα, καὶ πῶς ποικίλος ὁ πόλεμος ἦν; καὶ ταῦτα ἐν ἀρχῇ, ὅτε μάλιστα πολλῆς ἕκαστον ἡσυχίας δεῖται τῶν κατορθουμένων. πῶς οὖν διέκειτο; οὐδὲν γὰρ κωλύει τὰ αὐτὰ πάλιν ἀναλαβεῖν. πρῶτος πόλεμος ἦν, ὁ τῶν ἀπατεώνων· ἐλεύσονται γὰρ, φησὶ, ψευδόχριστοι καὶ ψευδοπροφῆται. δεύτερος, ὁ τῶν Ῥωμαίων· μελλήσετε γὰρ, φησὶν, ἀκούειν πολέμους. τρίτος, ὁ τοὺς λιμοὺς ἐπάγων. τέταρτος, ὁ τοὺς λοιμοὺς καὶ σεισμούς. " πέμπτος, ὁ τῶν θλίψεων· παραδώσουσι γὰρ ὑμᾶς εἰς θάνατον. ἕκτος, ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ἕβδομος, παραδώσουσιν ἀλλήλους καὶ μισήσουσιν· ἐμφύλιον " ἐνταῦθα αἰνίττεται πόλεμον. εἶτα ψευδόχριστοι, καὶ ψευδάδελφοι. εἶτα ψυγήσεται ἡ ἀγάπη, τὸ πάντων αἴτιον τῶν κακῶν. εἶδες μυρία γένη πολέμων καινὰ καὶ παράδοξα; ἀλλ' ὅμως μετὰ τούτων καὶ ἄλλων πολλῷ πλειόνων (καὶ γὰρ " μετὰ τῶν ἐμφυλίων καὶ συγγενικὸς ἀνεμίγνυτο πόλεμος) ἐκράτησε τῆς οἰκουμένης ἁπάσης τὸ κήρυγμα. κηρυχθήσεται γὰρ, φησὶ, τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ.

ΗΘΙΚΟΝ

Ποῦ " τοίνυν εἰσὶν οἱ τῆς γενέσεως τὴν τυραννίδα ἐπιτειχίζοντες καὶ τῶν καιρῶν τὴν περιφορὰν τοῖς τῆς ἐκκλησίας δόγμασι; τίς γὰρ ἐμνημόνευσε πώποτε, ὅτι ὤφθη Χριστὸς ἕτερος· ὅτι συνέβη πρᾶγμα τοιοῦτον· καίτοιγε ἕτερα ψευδόμενοι λέγουσιν, ὅτι δέκα μυριάδες ἐτῶν που παρῆλθον; " ἀλλ' οὐδὲν ἐνταῦθα τοιοῦτο πλάσασθαι δύνανται. ποίαν τοίνυν περιφορὰν εἴποιτ' ἄν; οὔτε γὰρ Σόδομα, οὔτε Γόμορρα, οὔτε κατακλυσμὸς ἕτερος ἐγένετό ποτε. μέχρι τίνος παίζετε, περιφορὰν καὶ γένεσιν λέγοντες; πῶς οὖν ἐκβαίνει πολλά, φησι, τῶν λεγομένων; ἐπειδὴ σὺ σαυτὸν ἠρήμωσας τῆς τοῦ Θεοῦ βοηθείας, καὶ προὔδωκας, καὶ ἔξω τῆς προνοίας ἔστησας, διὰ τοῦτο ὡς βούλεται στρέφει σου τὰ πράγματα ὁ δαίμων καὶ μετατίθησιν. ἀλλ' οὐκ ἐπὶ τῶν ἁγίων, μᾶλλον δὲ οὐδὲ ἐφ' ἡμῶν τῶν ἁμαρτωλῶν τῶν σφόδρα καταφρονούντων " αὐτῶν. εἰ γὰρ καὶ ὁ βίος ἡμῶν οὐκ ἀνεκτὸς, ἀλλ' ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι τῶν τῆς ἀληθείας δογμάτων μετὰ πολλῆς ἐχόμεθα τῆς ἀκριβείας, ἀνώτεροι τῆς τῶν δαιμόνων ἐσμὲν ἐπιβουλῆς. ὅλως δὲ τί ποτέ ἐστι γένεσις; οὐδὲν ἕτερον, ἀλλ' ἢ ἀδικία καὶ σύγχυσις, καὶ τὸ εἰκῇ πάντα φέρεσθαι· μᾶλλον δὲ οὐκ εἰκῇ μόνον, ἀλλὰ καὶ μετὰ ἀλογίας. καὶ εἰ μὴ ἔστι, φησὶ, γένεσις, πόθεν ὁ δεῖνα πλουτεῖ; πόθεν ὁ δεῖνα πένεται; οὐκ οἶδα· οὔπω γάρ σοι τέως διαλέξομαι, παιδεύων σε μὴ πάντα περιεργάζεσθαι, μηδὲ ἁπλῶς ἐντεῦθεν καὶ εἰκῇ φέρεσθαι. οὐδὲ γὰρ ἐπειδὴ τοῦτο ἀγνοεῖς, ὀφείλεις τὰ οὐκ ὄντα ἀναπλάττειν. βέλτιον ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς. ὁ μὲν γὰρ οὐκ εἰδὼς τὴν αἰτίαν, ταχέως ἐπὶ τὴν εὔλογον ἥξει·

ὁ δὲ, ἐπειδὴ τὴν οὖσαν οὐκ οἶδε, τὴν οὐκ οὖσαν πλάττων, οὐ δυνήσεται ῥᾳδίως τὴν οὖσαν δέξασθαι,
ἀλλὰ δεῖ πλείονος αὐτῷ καὶ πόνου καὶ ἱδρῶτος, ὥστε τὸ πρότερον ἀνελεῖν. καὶ γὰρ ἐν
δέλτῳ ἐξαληλειμμένῃ μὲν εὐκόλως τις ἐγγράψειεν ἅπερ ἂν ἐθέλοι· ἐν δὲ κεχαραγμένῃ
οὐκ ἔστιν ὁμοίως. δεῖ γὰρ πρότερον ἐξαλεῖψαι τὰ κακῶς ἐγγεγραμμένα. καὶ ἐπὶ τῶν ἰατρῶν
δὲ, ὁ μηδὲν προσφέρων τοῦ τὰ βλάπτοντα προσάγοντος πολλῷ βελτίων ἐστί· καὶ ὁ σαθρῶς
οἰκοδομῶν, τοῦ μὴ δ' ὅλως οἰκοδομοῦντος χείρων· ὥσπερ οὖν καὶ ἡ γῆ πολὺ βελτίων ἡ μηδὲν
ἔχουσα τῆς ἀκάνθας ἐχούσης. μὴ τοίνυν ἐπὶ τὸ μαθεῖν πάντα τρέχωμεν, ἀλλ' ἀνεχώμεθα
τινὰ καὶ ἀγνοεῖν· ἵν' ὅταν εὕρωμεν διδάσκαλον, μὴ διπλοῦν παρέχωμεν αὐτῷ τὸν πόνον. μᾶλλον
δὲ πολλοὶ πολλάκις καὶ ἀδιόρθωτα νοσοῦντες ἔμειναν, τῷ περιπεσεῖν ἁπλῶς πονηροῖς
δόγμασιν. οὐδὲ γὰρ ὅμοιος ὁ ἱδρὼς ἀνασπᾶσαι πρότερον τὰ κακῶς ῥιζωθέντα, καὶ τότε
σπεῖραι εἰς καθαρὰν ἄρουραν καὶ καταφυτεῦσαι. ἐκεῖ μὲν γὰρ ἀνατρέψαι δεῖ τὰ πρότερον,
καὶ τότε ἕτερα ἐνθεῖναι· ἐνταῦθα δὲ παρεσκευασμένη ἡ ἀκοή. πόθεν οὖν ὁ δεῖνα
πλουτεῖ; ἐρῶ λοιπόν· τινὲς μὲν τοῦ Θεοῦ διδόντος, πολλοὶ δὲ συγχωροῦντος, [ἄλλοι δι' ἄλλης ἀπορρήτου
τινὸς οἰκονομίας] πλοῦτον ἐκτήσαντο. οὕτω γὰρ σύντομος καὶ ἁπλοῦς ὁ λόγος.
τί οὖν, φησί, τὸν πόρνον αὐτὸς ποιεῖ πλουτεῖν, καὶ τὸν μοιχὸν, καὶ τὸν ἡταιρηκότα, καὶ τὸν κακῶς τοῖς οὖσι κεχρημένον;
οὐ ποιεῖ, ἀλλὰ συγχωρεῖ πλουτεῖν. πολὺ δὲ τὸ μέσον καὶ σφόδρα ἄπειρον τοῦ
ποιεῖν καὶ συγχωρεῖν. τίνος δὲ ἕνεκεν ὅλως ἀφίησιν; ὅτι οὐδέπω τῆς κρίσεως ὁ καιρὸς, ἵνα τὸ

Λουκ. ιϛ. κα.

κατ' ἀξίαν ἕκαστος ἀπολάβῃ. τί γὰρ φαυλότερον ἐκείνου τοῦ πλουσίου τοῦ μηδὲ τῶν ψιχίων
μεταδιδόντος τῷ Λαζάρῳ; ἀλλ' ὅμως ἁπάντων ἀθλιώτερος ἦν. οὐδὲ γὰρ σταγόνος ἐγένετο
κύριος δι' αὐτὸ μάλιστα τοῦτο, ὅτι πλουτῶν ὠμὸς ἦν. καὶ γὰρ ἐὰν ὦσι πονηροὶ δύο, οὐ τῶν
αὐτῶν ἐνταῦθα ἀπολαύσαντες, ἀλλ' ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πενίᾳ, οὐχ ὁμοίως ἐκεῖ τιμωρηθήσονται,
ἀλλ' ὁ εὐπορώτερος χαλεπώτερον. ὁρᾷς γοῦν καὶ τοῦτον δεινότερα πάσχοντα, ἐπειδὴ
ἀπέλαβεν ὧδε τὰ ἀγαθά; καὶ σὺ τοίνυν, ὅταν ἴδῃς ἀδίκως πλουτοῦντα, εὐημεροῦντα, στέναξον,
δάκρυσον. καὶ γὰρ προσθήκη κολάσεως ὁ πλοῦτος ἐστὶν αὐτῷ. ὥσπερ γὰρ τινὲς πολλὰ

Ρω. β. ε.

ἁμαρτάνοντες, καὶ μὴ βουλόμενοι μετανοεῖν, θησαυρίζουσιν ἑαυτοῖς θησαυρὸν ὀργῆς· οὕτω τινὲς,
μετὰ τοῦ ὧδε μὴ κολάζεσθαι, καὶ εὐπραγίας ἀπολαύοντες, μείζονα ὑποστήσονται τὴν τιμωρίαν.
καὶ τοῦτο, εἰ βούλει, οὐκ ἀπὸ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ παρόντος βίου δείξω σοι τὸ ὑπόδειγμα.
ὁ γὰρ μακάριος Δαβὶδ, ὅτε τὴν ἁμαρτίαν ἥμαρτεν ἐκείνην τὴν τῆς Βηρσαβεὲ, καὶ ἠλέγχετο
παρὰ τοῦ προφήτου, διὰ τοῦτο μάλιστα ἐνεκαλεῖτο σφοδρότερον, ὅτι καὶ πολλῆς ἀπολαύσας

β. Βασ. ιβ. ζ. η. θ.

ἀδείας τοιοῦτος ἦν. ἄκουσον γοῦν τοῦ Θεοῦ τοῦτο μάλιστα ὀνειδίζοντος αὐτῷ· Οὐκ ἔχρισά
σε εἰς βασιλέα, καὶ ἐξειλόμην σε ἐκ χειρὸς Σαοὺλ, καὶ ἔδωκά σοι πάντα τὰ τοῦ κυρίου
σου, καὶ πάντα τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα; καὶ εἰ ὀλίγα σοι ἦν, προσέθηκα ἄν σοι ὡς ταῦτα.
καὶ τί ἐποίησας τὸ πονηρὸν ἐνώπιόν μου; οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων αἱ αὐταὶ κολάσεις,
ἀλλὰ πολλαὶ καὶ διάφοροι, καὶ ἀπὸ χρόνων, καὶ ἀπὸ προσώπων, καὶ ἀπὸ ἀξιωμάτων, καὶ
ἀπὸ συνέσεως, καὶ ἀπὸ ἑτέρων πλειόνων. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, κείσθω εἰς
μέσον ἁμάρτημα ἓν, ἡ πορνεία, καὶ σκόπει πόσας τιμωρίας εὑρίσκω διαφόρους, οὐ παρ' ἐμαυτοῦ,
ἀλλ' ἀπὸ τῶν θείων γραφῶν. ἐπόρνευσέ τις πρὸ τοῦ νόμου· ἄλλως κολάζεται. καὶ

Ρω. β. ιβ.

τοῦτο ὁ Παῦλος δείκνυσιν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. ἐπόρνευσέ
τις μετὰ τὸν νόμον· χαλεπώτερα πείσεται. ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, φησί, διὰ νόμου κριθήσονται.
ἐπόρνευσέ τις ἱερεὺς ὤν· προσθήκην ἀπὸ τῆς ἀξίας εἰς τὴν τιμωρίαν λαμβάνει μεγίστην.
διὰ δὴ τοῦτο αἱ μὲν ἄλλαι ἀνῃροῦντο πορνευόμεναι· αἱ δὲ τῶν ἱερέων θυγατέρες κατεκαίοντο,
τοῦ νομοθέτου ἐκ περιουσίας δηλοῦντος, πόση τὸν ἱερέα μένει κόλασις τοῦτο ἁμαρτάνοντα.
εἰ γὰρ τὴν θυγατέρα μείζονα ἀπῄτησε δίκην διὰ τὸ εἶναι θυγατέρα ἱερέως, πολλῷ
μᾶλλον αὐτὸν τὸν ἱερωμένον. ἐπορνεύθη τις βιαίως· αὕτη καὶ ἀπήλλακται κολάσεως.

ἐπορνεύθη τις πλουτοῦσα, ἑτέρα δὲ πενομένη· πάλιν καὶ ἐνταῦθα διαφορά. καὶ τοῦτο δῆλον ἀφ' ὧν ἔμπροσθεν εἰρήκαμεν περὶ τοῦ Δαβίδ. ἐπόρνευσέ τις μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ· αὕτη ἀμύητος ἀπῆλθε, πάντων ἐκείνων χαλεπωτέραν δώσει δίκην. ἐπόρνευσέ τις μετὰ τὸ λουτρὸν [τοῦ θείου βαπτίσματος·] ἐνταῦθα οὐδὲ παραμυθία λοιπὸν τῷ ἁμαρτήματι λείπεται. καὶ τοῦτο αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγεν· Ἀθετήσας τις νόμον Μωυσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶ καὶ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὴν χάριν τοῦ πνεύματος ἐνυβρίσας; ἐπόρνευσέ τις ἱερώμενος· νῦν αὕτη μάλιστα πάντων ἡ κορυφὴ τῶν κακῶν. Εἶδες ἑνὸς ἁμαρτήματος πόσαι διαφοραί; ἑτέρα ἡ πρὸ τοῦ νόμου, ἄλλη ἡ μετὰ τὸν νόμον, ἡ τοῦ ἱερωμένου ἄλλη, ἡ τῆς πλουτούσης καὶ τῆς πενομένης, ἡ τῆς κατηχουμένης καὶ τῆς πιστῆς, τῆς τοῦ ἱερέως· καὶ ἀπὸ συνέσεως δὲ, πολλὴ ἡ διαφορά. Ὁ γὰρ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. καὶ τὸ μετὰ τὰ παραδείγματα [τοσαῦτα καὶ τηλικαῦτα] ἁμαρτάνειν πλείονα φέρει τὴν τιμωρίαν (διὰ τοῦτό φησιν· ὑμεῖς δὲ οὐδὲ ἰδόντες ὕστερον μετενοήσατε, καίτοι πολλῆς ἀπολαύσαντες θεραπείας. διὰ τοῦτο καὶ τῇ Ἱερουσαλὴμ ταῦτα ὀνειδίζει λέγων· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε;) καὶ τὸ ἐν τρυφῇ ὄντας· τοῦτο δὴ τὸ τοῦ Λαζάρου. καὶ ἀπὸ τοῦ τόπου δὲ χαλεπώτερον τὸ ἁμάρτημα γίνεται, ὅπερ καὶ αὐτὸς δηλῶν ἔλεγε· μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. καὶ ἀπὸ τῆς ποιότητος δὲ αὐτῶν τῶν πλημμελημάτων. Οὐ γὰρ θαυμαστόν, φησιν, ἐὰν ἁλῷ τις κλέπτων. [κλέπτει γὰρ ἵνα ἐμπλήσῃ τὴν ψυχὴν αὐτοῦ πεινῶσαν.] καὶ πάλιν· Ἔσφαξας τοὺς υἱούς σου, καὶ τὰς θυγατέρας σου. τοῦτο ὑπὲρ πᾶσαν τὴν πορνείαν σου καὶ τὰ βδελύγματά σου. καὶ ἀπὸ τῶν προσώπων πάλιν· Ἐὰν ἁμαρτάνων ἁμάρτῃ τις εἰς ἄνθρωπον, προσεύξονται περὶ αὐτοῦ· ἐὰν δὲ εἰς Θεὸν ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; καὶ ὅταν τοὺς πολλῷ χείρονάς τις ὑπερβαίνῃ τῇ ῥᾳθυμίᾳ, ὅπερ καὶ ἐν τῷ Ἰεζεκιὴλ ἐγκαλεῖ· οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν ἐποιήσατε. καὶ ὅταν μηδὲ τοῖς ἑτέρων παραδείγμασι σωφρονισθῇ τις· Εἶδε τὴν ἀδελφὴν αὐτῆς, φησι, καὶ ἐδικαίωσεν αὐτήν. καὶ ὅταν πλείονος ἀπολαύσῃ ἐπιμελείας· Εἰ γὰρ ἐν Τύρῳ, φησί, καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αὗται, πάλαι ἂν μετενόησαν· πλὴν ἀνεκτότερον ἔσται Τύρῳ καὶ Σιδῶνι, ἢ τῇ πόλει ταύτῃ. Εἶδες ἀκρίβειαν ἀπηρτισμένην, καὶ πάντας τῶν αὐτῶν ἁμαρτημάτων οὐ τὴν αὐτὴν διδόντας δίκην; καὶ γὰρ ὅταν μακροθυμίας ἀπολαύσαντες μηδὲν κερδαίνωμεν, χείρονα πεισόμεθα. καὶ τοῦτο δηλοῖ Παῦλος λέγων· Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν. Ταῦτ' οὖν εἰδότες μὴ σκανδαλιζώμεθα, μηδὲ θορυβώμεθα μηδενὶ τῶν γινομένων, μηδὲ τὴν τῶν λογισμῶν ἐπεισάγωμεν ζάλην, ἀλλὰ τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ προνοίας παραχωροῦντες, ἀρετῆς ἐπιμελώμεθα, καὶ φεύγωμεν κακίαν· ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑβ. ι. κη.
Λουκ. ιβ. μζ. μη.
Λουκ. ις. κα.
Παροιμ. ς. λ.
Ἰεζ. ις. κ.
α. Βασ. β. κε.
Ἰεζ. ις. να.
Ματθ. ια. κγ.
Λουκ. ι. ιδ.
Ρωμ. β. ε.

Ὁμιλ. ος.

16 ΤΟΤΕ ΟΙ ΕΝ ΤΗ ΙΟΥΔΑΙΑ ΦΕΥΓΕΤΩσαν εἰς τὰ ὄρη, … 17 Καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, 18 Καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ, καὶ τὰ ἑξῆς.

Ἐπειδὴ περὶ τῶν κακῶν τῶν τὴν πόλιν καταληψομένων, καὶ τῶν πειρασμῶν τῶν ἀποστολικῶν, καὶ ὅτι ἀχείρωτοι μενοῦσι, καὶ πᾶσαν διαδραμοῦνται τὴν οἰκουμένην λέγει πάλιν τὰς Ἰουδαϊκὰς συμφοράς, δεικνὺς ὅτι, ὅταν ὦσιν οὗτοι λαμπροὶ τὴν οἰκουμένην διδάξαντες ἅπασαν, τότε ἐκεῖνοι ἐν συμφοραῖς. καὶ ὅρα πῶς διηγεῖται τὸν πόλεμον, διὰ τῶν δοκούντων εἶναι μικρῶν παριστῶν αὐτοῦ τὸ ἀφόρητον. τότε γάρ, φησιν, οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη. τότε, πότε; ὅταν ταῦτα γένηται· ὅταν τὸ βδέλυγμα τῆς ἐρημώσεως στῇ ἐν τόπῳ ἁγίῳ· ὅθεν μοι δοκεῖ τὰ στρατόπεδα λέγειν. φεύγετε τοίνυν τότε, φησίν. οὐδεμία γὰρ λοιπὸν ἐλπὶς σωτηρίας ὑμῖν. ἐπειδὴ γὰρ συνέβη πολλάκις αὐτοὺς ἀνενεγκεῖν ἐν πολέμοις χαλεποῖς, οἷον ἐπὶ τοῦ Σεναχηρείμ, ἐπὶ Ἀντιόχου πάλιν (καὶ γὰρ καὶ τότε στρατοπέδων ἐπεισελθόντων, καὶ τοῦ ναοῦ προκαταληφθέντος συστραφέντες οἱ Μακκαβαῖοι μετέστησαν εἰς τὸ ἐναντίον τὰ πράγματα) ἵνα οὖν μὴ καὶ νῦν τοῦτο ὑποπτεύσωσιν, ὅτι ἔσται τις μεταβολὴ τοιαύτη, πλὴν τὸ τοιοῦτον αὐτοῖς ἀπαγορεύει. ἀγαπητὸν γάρ, φησι, τὸ γυμνῷ τῷ σώματι σωθῆναι λοιπόν. διὰ τοῦτο καὶ τοὺς ἐπὶ τῶν δωμάτων οὐκ ἀφίησιν εἰς τὴν οἰκίαν εἰσελθεῖν ὥστε ἆραι τὰ ἱμάτια, τὰ ἄφυκτα δηλῶν κακά, καὶ τὴν ἀπέραντον συμφοράν, καὶ ὅτι ἐμπεσόντα ἀνάγκη πάντως ἀπολέσθαι. διὰ τοῦτο καὶ τὸν ἐν τῷ ἀγρῷ προστίθησι λέγων· μηδὲ οὗτος ἐπιστρεψάτω λαβεῖν τὰ ἱμάτια αὐτοῦ. εἰ γὰρ γρ. ἆραι οἱ ἔνδον ὄντες φεύγουσι, πολλῷ μᾶλλον τὸν ἔξωθεν οὐ χρὴ καταφεύγειν ἐκεῖ.

19 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις· Ταῖς μὲν διὰ τὸ νωθέστερον, καὶ τὸ μὴ δύνασθαι καταφυγεῖν εὐκόλως, τῷ φορτίῳ τῆς κυήσεως βαρυνομέναις· ταῖς δὲ διὰ τὸ δεσμῷ κατέχεσθαι τῷ τῆς συμπαθείας τῶν παιδίων, καὶ μὴ δύνασθαι συνδιασώζειν τὰ θηλάζοντα. χρημάτων μὲν γὰρ καὶ καταφρονῆσαι εὔκολον καὶ προνοῆσαι ῥᾴδιον, καὶ ἱματίων· τὰ δὲ ἀπὸ τῆς φύσεως πῶς ἄν τις διαφύγοι; πῶς δ' ἂν ἡ ἔγκυος γένηται κούφη; πῶς δὲ ἡ θηλάζουσα δυνήσεται τοῦ τεχθέντος ὑπεριδεῖν; εἶτα πάλιν δεικνὺς τὸ μέγεθος τῆς συμφορᾶς, φησί·

20 Προσεύχεσθε, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν χειμῶνι, μηδὲ ἐν σαββάτῳ.

21 Ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐκ ἐγένετο ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ οὐ μὴ γένηται. Ὁρᾷς ὅτι πρὸς Ἰουδαίους ὁ λόγος αὐτῷ, καὶ περὶ τῶν ἐκείνους καταληψομένων κακῶν διαλέγεται; οὐ γὰρ δὴ οἱ ἀπόστολοι ἔμελλον σάββατον τηρεῖν, ἢ ἐκεῖ ἔσεσθαι, ἡνίκα Οὐεσπασιανὸς ταῦτα ἔπραξε. καὶ γὰρ ἔφθασαν προαπελθόντες οἱ πλείους. εἰ δέ τις ἀπελείφθη, ἐν ἄλλοις τῆς οἰκουμένης διέτριβε μέρεσι τότε. διὰ τί δὲ μὴ χειμῶνος, μηδὲ σαββάτου; χειμῶνος μέν, διὰ τὴν δυσκολίαν τὴν ἀπὸ τοῦ καιροῦ· σαββάτου δέ, διὰ τὴν αὐθεντίαν τὴν ἀπὸ τοῦ νόμου. ἐπειδὴ γὰρ φυγῆς χρεία, καὶ φυγῆς ταχίστης, οὔτε δὲ ἐν σαββάτῳ Ἰουδαῖοι τότε φυγεῖν ἐτόλμων διὰ τὸν νόμον, οὔτε δὲ ἐν χειμῶνι τὸ τοιοῦτον εὔκολον ἦν, διὰ τοῦτο προσεύχεσθε, φησιν. ἔσται γὰρ τότε θλίψις, οἵα οὐ γέγονε πώποτε, οὐδὲ οὐ μὴ γένηται. καὶ μή τις νομίσῃ τοῦτο ὑπερβολικῶς εἰρῆσθαι· ἀλλ' ἐντυχὼν τοῖς Ἰωσήπου συγγράμμασι, μανθανέτω τῶν εἰρημένων τὴν ἀλήθειαν. οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι πιστὸς ὢν ὁ ἄνθρωπος εἰς τὸ συστῆσαι τὰ εἰρημένα ἐξώγκωσε τὴν τραγῳδίαν. καὶ γὰρ καὶ Ἰουδαῖος ἦν, καὶ σφόδρα Ἰουδαῖος, καὶ ζηλωτής, καὶ τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν. τί οὖν οὗτός φησιν; ὅτι πᾶσαν ἐνίκησε τραγῳδίαν ἐκεῖνα τὰ δεινά, καὶ πόλεμος οὐδεὶς οὐδέποτε τοιοῦτος τὸ οἱονοῦν ἔθνος κατέλαβε. τοσοῦτος γὰρ ἦν ὁ λιμός, ὡς αὐταῖς ταῖς μητράσι περιμάχητον εἶναι τὴν παιδοφαγίαν, καὶ ὑπὲρ τούτου πολέμους γίνεσθαι, πολλοὺς δὲ καὶ νεκροὺς γενομένους κατὰ μέσας ἀναρρήγνυσθαι τὰς γαστέρας ἔφη. ἡδέως ἂν οὖν ἐροίμην Ἰουδαίους· πόθεν οὕτω θεήλατος ὀργὴ καὶ ἀφόρητος ἦλθεν ἐπ' αὐτούς, καὶ πασῶν τῶν ἔμπροσθεν γενομένων.

ιων, οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης χαλεπώτερα; οὐκ εὔδηλον ὅτι διὰ τὸ τοῦ σταυροῦ τόλμημα καὶ τὴν ἀπόφασιν ταύτην; ἅπαντες εἴποιεν ἄν, καὶ μετὰ πάντων καὶ πρὸ πάντων αὐτὴ ἡ τῶν πραγμάτων ἀλήθεια. θέα δέ μοι τὴν ὑπερβολὴν τῶν κακῶν, ὅταν μηδὲ πρὸς τὸν ἔμπροσθεν μόνον χρόνον παραβαλλόμενα χαλεπώτερα φαίνηται, ἀλλὰ καὶ πρὸς τὸν ἐπιόντα ἅπαντα. οὔτε γὰρ ἐν τῇ οἰκουμένῃ πάσῃ, οὔτε ἐν τῷ χρόνῳ παντὶ τῷ γενομένῳ, τῷ τε ἐσομένῳ δυνήσεταί τις εἰπεῖν τοιαῦτα [κακὰ] γεγενημένα. καὶ μάλα εἰκότως. οὐδὲ γὰρ ἐτόλμησέ τις ἀνθρώπων, οὔτε τῶν πώποτε, οὔτε τῶν μετὰ ταῦτα, τόλμημα οὕτω παράλογον καὶ φρικῶδες. διὰ τοῦτό φησιν, ἔσται θλίψις οἵα οὐκ ἐγένετο, οὐδὲ μὴ γένηται.

22 Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. διὰ δὲ τοὺς ἐκλεκτοὺς, κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Ἀπὸ τούτων δείκνυσιν αὐτοὺς χαλεπωτέρας τιμωρίας ἀξίους ὄντας τῆς εἰρημένης, ἡμέρας νῦν λέγων τὰς τοῦ πολέμου καὶ τῆς πολιορκίας ἐκείνης. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ἐπὶ πλέον ἐκράτησε, φησιν, ὁ πόλεμος Ῥωμαίων ὁ κατὰ τῆς πόλεως, ἅπαντες ἂν ἀπώλοντο Ἰουδαῖοι (πᾶσαν γὰρ σάρκα [ἐνταῦθα] τὴν Ἰουδαϊκὴν λέγει) καὶ οἱ ἔξω καὶ οἱ ἔνδον. οὐ γὰρ δὴ μόνοι τοῖς ἐν Ἰουδαίᾳ ἐπολέμουν, ἀλλὰ καὶ τοὺς πανταχοῦ διεσπαρμένους ἀπεκήρυττόν τε καὶ ἤλαυνον διὰ τὸ πρὸς ἐκείνους μῖσος. τίνας δὲ ἐνταῦθά φησι τοὺς ἐκλεκτούς; τοὺς πιστούς, τοὺς ἐν μέσοις ἀπειλημμένους αὐτοῖς. ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι διὰ τὸ κήρυγμα καὶ τὸ προσκυνεῖσθαι τὸν Χριστὸν ταῦτα γέγονε τὰ κακά, δείκνυσιν ὅτι οὐ μόνον οἱ πιστοὶ τούτων αὐτοῖς οὐκ ἐγένοντο αἴτιοι· ἀλλ᾽ ὅτι, εἰ μὴ ἐκεῖνοι ἦσαν, πρόρριζοι ἂν ἀπώλοντο ἅπαντες. εἰ γὰρ συνεχώρησεν ὁ Θεὸς ἐκταθῆναι τὸν πόλεμον, οὐδ᾽ ἂν λείψανον ἔμεινεν Ἰουδαίων· ἀλλ᾽ ἵνα μὴ συναπόλωνται τοῖς ἀπίστοις Ἰουδαίοις οἱ ἐξ αὐτῶν γενόμενοι πιστοί, ταχέως κατέλυσε τὴν μάχην, καὶ πέρας ἔδωκε τῷ πολέμῳ. διὰ τοῦτό φησι, διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. ταῦτα δὲ ἔλεγε, καταλιμπάνων παραμυθίαν τοῖς ἐν μέσῳ ἀπειλημμένοις αὐτῶν καὶ διδοὺς ἀναπνεῦσαι, ἵνα μὴ φοβῶνται, ὡς συναπολούμενοι. εἰ δὲ ἐνταῦθα τοσαύτη τῶν πιστῶν ἡ πρόνοια, ὡς δι᾽ αὐτοὺς καὶ ἑτέρους σώζεσθαι, καὶ τῶν ἀπίστων ἔτι μένειν λείψανα Ἰουδαίων διὰ Χριστιανούς, πόση ἐν τῷ καιρῷ τῶν στεφάνων ἡ τιμή; ἐντεῦθεν αὐτοὺς καὶ παρεμυθεῖτο μὴ ἀλγεῖν ἐπὶ τοῖς οἰκείοις κινδύνοις· ὅπου γε καὶ ἐκεῖνοι τοιαῦτα πάσχουσι, καὶ ἐπ᾽ οὐδενὶ κέρδει, ἀλλ᾽ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς. οὐ παρεμυθεῖτο δὲ μόνον, ἀλλὰ καὶ ἀπῆγε τῶν Ἰουδαϊκῶν ἐθῶν λοιπὸν λανθανόντως καὶ ἀνυπόπτως. εἰ γὰρ οὐκ ἔσται μεταβολὴ λοιπόν, οὐδὲ ὁ ναὸς στήσεται, εὔδηλον ὅτι καὶ ὁ νόμος παυθήσεται. ἀλλὰ φανερῶς μὲν τοῦτο οὐκ εἶπε· διὰ δὲ τῆς παντελοῦς αὐτῶν ἀπωλείας τοῦτο ᾐνίξατο· φανερῶς δὲ οὐκ εἶπεν, ἵνα μὴ πρὸ καιροῦ πλήξῃ. διὸ οὐδὲ ἀρχόμενος προηγουμένως εἰς τὸν περὶ τούτων ἐνέβαλε λόγον· ἀλλὰ ταλανίσας πρότερον τὴν πόλιν εἰς ἀνάγκην αὐτοὺς κατέστησε τῆς τε ἐπιδείξεως τῶν λίθων καὶ τῆς ἐρωτήσεως, ἵνα ὡς αὐτοῖς ἀποκρινόμενος πρὸς τὴν ἐρώτησιν ἅπαντα προαναφωνήσῃ τὰ μέλλοντα. σὺ δέ μοι σκόπει τοῦ πνεύματος οἰκονομίαν, ὅτι τούτων οὐδὲν ἔγραψεν Ἰωάννης, ἵνα μὴ δόξῃ ἐξ αὐτῆς τῶν γεγενημένων τῆς ἱστορίας γράφειν (καὶ γὰρ καὶ μετὰ τὴν ἅλωσιν ἔζη χρόνον πολύν) ἀλλ᾽ οἱ πρὸ τῆς ἁλώσεως ἀποθανόντες, καὶ μηδὲν τούτων ἑωρακότες αὐτοὶ γράφουσιν, ὥστε πανταχόθεν ''διεκλάμπειν τῆς προρρήσεως τὴν ἰσχύν.

αὐτῶν

διαλάμ-

23 Τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε.

24 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς.

25 Ἰδοὺ προείρηκα ὑμῖν. 26 Ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ, μὴ ἐξέλθητε· ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε.

27 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

28 Ὅπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί. Πληρώσας τὰ περὶ Ἱεροσολύμων, εἰς τὴν αὐτοῦ λοιπὸν διαβαίνει παρουσίαν, καὶ λέγει αὐτοῖς τὰ σημεῖα, οὐκ ἐκείνοις χρήσιμα μόνον, ἀλλὰ καὶ ἡμῖν καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις πᾶσι. τότε, πότε; ἐνταῦθα, ὃ πολλάκις εἶπον, οὐχὶ τῆς ἀκολουθίας ἐστὶ τοῦ χρόνου τῶν ἔμπροσθεν εἰρημένων τὸ τότε· ὅπου γοῦν ἀκολουθίαν ἐβούλετο εἰπεῖν, ἐπήγαγεν, εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τὸ τότε, οὐ τὰ μετὰ ταῦτα εὐθέως δηλοῖ, ἀλλὰ τὰ ἐν τῷ καιρῷ, ᾧ μέλλει ταῦτα γίνεσθαι ἅπερ ἔμελλε λέγειν. οὕτω καὶ ὅταν λέγῃ, ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ βαπτιστής, οὐ τὸν ἑξῆς εὐθέως λέγει καιρόν, ἀλλὰ τὸν μετὰ πολλὰ ἔτη, καὶ τὸν καιρόν, καθ' ὃν ταῦτα ἐγίνετο ἅπερ ἐρεῖν ἔμελλε. καὶ γὰρ περὶ τῆς γεννήσεως διαλεχθεὶς τοῦ Ἰησοῦ, καὶ τῆς τῶν μάγων παρουσίας, καὶ τῆς τελευτῆς Ἡρώδου, εὐθέως φησίν· Ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ βαπτιστής, καίτοι τριάκοντα μεταξὺ γέγονεν ἔτη. ἀλλ' ἔθος τοῦτο τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῆς ἱστορίας τῷ τρόπῳ. οὕτω δὴ καὶ ἐνταῦθα, τὸν μέσον ἅπαντα χρόνον παραδραμὼν τὸν ἀπὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, ἕως τῶν προοιμίων τῆς συντελείας, λέγει τὸν ὀλίγῳ πρὸ τῆς συντελείας. τότε οὖν ἐάν τις ὑμῖν εἴπῃ, φησίν, ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. πῶς ἀπὸ τοῦ τόπου αὐτοὺς ἀσφαλίζεται, λέγων τὰ ἰδιώματα τῆς αὐτοῦ παρουσίας τῆς δευτέρας, καὶ τὰ τῶν πλανώντων δείγματα. οὐ γὰρ ὥσπερ ἐν τῇ προτέρᾳ ἐν Βηθλεὲμ ἐφάνη, καὶ ἐν γωνίᾳ μικρᾷ τῆς οἰκουμένης, καὶ οὐδενὸς εἰδότος ἐξ ἀρχῆς, οὕτω καὶ τότε φησίν· ἀλλὰ φανερῶς καὶ μετὰ περιφανείας ἁπάσης, καὶ ὡς μὴ δεῖσθαι τοῦ ταῦτα ἀπαγγέλλοντος. οὐ μικρὸν δὲ τοῦτο σημεῖον τοῦ μὴ λανθανόντως παραγίνεσθαι. σκόπει δὲ πῶς ἐνταῦθα οὐδὲν περὶ πολέμου διαλέγεται (τὸ γὰρ περὶ τῆς παρουσίας αὐτοῦ διευκρινεῖ λόγον) ἀλλὰ περὶ τῶν ἀπατᾷν ἐπιχειρούντων. οἱ μὲν γὰρ ἐπὶ τῶν ἀποστόλων τοὺς πολλοὺς ἠπάτων. (ἐλεύσονται γάρ, φησι, καὶ ἀπατήσουσι πολλούς) οἱ δὲ πρὸ τῆς δευτέρας αὐτοῦ παρουσίας, οἳ καὶ ἐκείνων ἔσονται πικρότεροι. δώσουσι γάρ, φησι, σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. ἐνταῦθα τὸν ἀντίχριστόν φησι, καὶ δείκνυσί τινας καὶ διακονησομένους αὐτῷ· περὶ οὗ καὶ Παῦλός φησιν οὕτω. καλέσας γὰρ αὐτὸν ἄνθρωπον ἁμαρτίας καὶ υἱὸν ἀπωλείας, ἐπήγαγεν· Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις. καὶ ὅρα πῶς ἀσφαλίζεται. μὴ ἐξέλθητε, φησίν, εἰς τὴν ἔρημον, μὴ εἰσέλθητε εἰς τὰ ταμεῖα· οὐκ εἶπεν, ἀπέλθετε καὶ μὴ πιστεύσητε· ἀλλὰ μὴ εἰσέλθητε, μηδὲ ἐξέλθητε. καὶ γὰρ πολλὴ τότε ἡ ἀπάτη, διὰ τὸ καὶ σημεῖα γίνεσθαι ἀπάτης. εἰπὼν τοίνυν πῶς ἐκεῖνος παραγίνεται, οἷον ὅτι ἐν τόπῳ, λέγει πῶς καὶ αὐτός. πῶς οὖν αὐτός; ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὅπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί. πῶς οὖν ἡ ἀστραπὴ φαίνεται; οὐ δεῖται ἀπαγγέλλοντος, οὐ δεῖται κήρυκος, ἀλλὰ καὶ τοῖς ἐν οἰκίαις καθημένοις, καὶ τοῖς ἐν θαλάμοις ἐν ἀκαριαίᾳ ῥοπῇ κατὰ τὴν οἰκουμένην δείκνυται πᾶσαν. οὕτως ἔσται ἡ παρουσία ἐκείνη, ὁμοῦ πανταχοῦ φαινομένη διὰ τὴν ἔκλαμψιν τῆς δόξης. λέγει δὲ καὶ ἕτερον σημεῖον· ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί· τὸ πλῆθος τῶν ἀγγέλων, τῶν μαρτύρων, τῶν ἁγίων ἁπάντων δηλῶν. εἶτα λέγει θαύματα φοβερά. τίνα δέ ἐστι τὰ θαύματα;

Ματθ. γ. α.

β. Θεσ. β. θ.

29 Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, φησίν, ὁ ἥλιος σκοτισθήσεται.

Θλῖψιν ποίαν λέγει ἡμερῶν; τοῦ ἀντιχρίστου καὶ τῶν ψευδοπροφητῶν. θλῖψις γὰρ τότε ἔσται μεγάλη, τοσούτων ὄντων τῶν ἀπατώντων· ἀλλ' οὐκ ἐκτείνεται εἰς χρόνου μῆκος. εἰ γὰρ ὁ Ἰουδαϊκὸς πόλεμος διὰ τοὺς ἐκλεκτοὺς ἐκολοβώθη, πολλῷ μᾶλλον οὗτος ὁ πειρασμὸς συσταλήσεται διὰ τοὺς αὐτοὺς τούτους. διὰ τοῦτο οὐκ εἶπε, μετὰ τὴν θλῖψιν, ἀλλ' εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται. ὁμοῦ γὰρ σχεδὸν ἅπαντα γίνεται. οἵ τε γὰρ ψευδοπροφῆται καὶ οἱ ψευδόχριστοι θορυβήσουσι παραγινόμενοι, καὶ εὐθέως αὐτὸς παρέσται. καὶ γὰρ οὐ ″μικρὰ τότε μέλλει κατέχειν ταραχὴ τὴν οἰκουμένην. πῶς δὲ παραγίνεται; μετασχηματιζομένης λοιπὸν ταύτης τῆς κτίσεως. καὶ γὰρ ὁ ἥλιος σκοτισθήσεται, οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας αὐτοῦ. Καὶ τὰ ἄστρα πεσοῦνται.

μακρὰ

Τίς γὰρ αὐτῶν ἐστι χρεία λοιπὸν, νυκτὸς οὐκ οὔσης; Καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ μάλα εἰκότως, ὁρῶσαι τοσαύτην μεταβολὴν γινομένην. εἰ γὰρ ὅτε ἐγένετο τὰ ἄστρα, οὕτως ἔφριξαν καὶ ἐθαύμασαν (Ὅτε γὰρ ἐγενήθη ἄστρα, ᾔνεσάν με, φησὶ, φωνῇ μεγάλῃ πάντες ἄγγελοι) πολλῷ μᾶλλον ὁρῶντες πάντα μεταρρυθμιζόμενα, καὶ τοὺς συνδούλους αὐτῶν διδόντας εὐθύνας, καὶ τὴν οἰκουμένην ἅπασαν φοβερῷ παρισταμένην δικαστηρίῳ, καὶ τοὺς ἐκ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας γενομένους λόγον ἀπαιτουμένους ἁπάντων ὧν ἔπραξαν, πῶς οὐ φρίξουσι καὶ σαλευθήσονται;

ἔσαι

Ιω. λη. ζ. β.

30 Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. Τουτέστιν, ὁ σταυρὸς τοῦ ἡλίου φαιδρότερος ὢν, εἴγε ἐκεῖνος μὲν σκοτίζεται καὶ κρύπτεται, οὗτος δὲ φαίνεται, οὐκ ἂν φανεὶς, εἰ μὴ πολλῷ τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερος ἦν. τίνος δὲ ἕνεκεν τὸ σημεῖον τοῦτο φαίνεται; ὥστε ἐκ περιουσίας πολλῆς ἐπιστομισθῆναι τὴν τῶν Ἰουδαίων ἀναισχυντίαν. καὶ γὰρ δικαίωμα μέγιστον ἔχων τὸν σταυρὸν, οὕτω παραγίνεται εἰς ἐκεῖνο τὸ δικαστήριον ὁ Χριστὸς, οὐχὶ τὰ τραύματα μόνον, ἀλλὰ καὶ τὸν θάνατον τὸν ἐπονείδιστον δεικνύς.

Τότε κόψονται αἱ φυλαί. Οὐ γὰρ χρεία κατηγορίας, ὅταν ἴδωσι τὸν σταυρόν. κόψονται, ὅτι ἀποθανόντος, οὐδὲν ὠφελήθησαν, ὅτι ἐσταύρωσαν ὃν προσκυνῆσαι ἔδει. Εἶδες πῶς ὑπέγραψε τὴν παρουσίαν αὐτοῦ φοβερῶς; πῶς ἀνέστησε τὰ φρονήματα τῶν μαθητῶν; διά τοι τοῦτο πρότερον τὰ λυπηρὰ τίθησι, καὶ τότε τὰ χρηστὰ, ἵνα καὶ ταύτῃ αὐτοὺς παραμυθήσηται καὶ ἀναπαύσῃ. καὶ περὶ τοῦ πάθους δὲ αὐτοὺς ὑπομιμνήσκει πάλιν καὶ τῆς ἀναστάσεως, καὶ μετὰ ″λαμπροτέρου τοῦ σχήματος μέμνηται τοῦ σταυροῦ, ὥστε μὴ αἰσχύνεσθαι αὐτοὺς, μήτε ὀδυνᾶσθαι, ὅπου γε ἀντὶ σημείου τότε ἔρχεται προβαλλόμενος αὐτόν. ἄλλως δέ φησιν, Ὅτι ὄψονται Εἰς ὃν ἐξεκέντησαν. διὰ δὴ τοῦτο κόψονται αἱ φυλαὶ, ἰδοῦσαι ὅτι οὗτος ἐκεῖνός ἐστιν. ἐπειδὴ δὲ καὶ σταυροῦ ἀνέμνησε, προσέθηκεν ὅτι ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον, οὐκ ἔτι ἐπὶ τοῦ σταυροῦ, ἀλλ' ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. μὴ γὰρ ἐπειδὴ τὸν σταυρὸν ἤκουσας, φησὶ, νομίσῃς πάλιν σκυθρωπὸν εἶναί τι (μετὰ γὰρ δυνάμεως ἥξει καὶ δόξης πολλῆς) φέρει δὲ αὐτὸν, ἵνα αὐτοκατάκριτος αὐτῶν γένηται ἡ ἁμαρτία· ὥσπερ ἂν εἴ τις λίθῳ πληγεὶς, αὐτὸν ἐπιδείξῃ τὸν λίθον, ἢ τὰ ἱμάτια ἡμαγμένα. καὶ ἐν νεφέλῃ ἔρχεται ὡς ἀνελήφθη· καὶ ταῦτα ὁρῶσαι θρηνοῦσιν αἱ φυλαί. οὐ μέντοι μέχρι θρήνων στήσεται αὐτοῖς τὰ δεινὰ, ἀλλ' ὁ μὲν θρῆνος ἔσται, ἵνα οἴκοθεν τὴν ψῆφον ἐξενέγκωσι καὶ ἑαυτοὺς καταδικάσωσι τότε δὲ πάλιν

λαμπροῦ

Ζαχ. ιβ. ι.
Ιω. ιθ. λζ.

31 Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Ὅταν δὲ ταῦτα ἀκούσῃς, ἐννόει τῶν μενόντων τὴν κόλασιν. οὐδὲ γὰρ ἐκείνην δώσουσι τὴν δίκην μόνον, ἀλλὰ καὶ ταύτην. καὶ ὥσπερ ἀνωτέρω ἔλεγεν, ὅτι ἐροῦσιν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· οὕτως ἐνταῦθα, ὅτι κόψονται. ἐπειδὴ γὰρ περὶ πολέμων αὐτοῖς διελέχθη χαλεπῶν, ἵνα μάθωσιν, ὅτι μετὰ τῶν ἐνταῦθα δεινῶν καὶ τὰ ἐκεῖ αὐτοὺς διαμένει βασανιστήρια, καὶ κοπτομένους εἰσάγει, καὶ χωριζομένους τῶν ἐκλεκτῶν καὶ γεέννῃ παραδιδομένους· κἀντεῦθεν πάλιν τοὺς μαθητὰς διεγείρων καὶ δεικνὺς, ὅσων μὲν ἀπαλλαγήσονται ″δεινῶν, ὅσων δὲ ἀπολαύσονται ἀγαθῶν. καὶ τί δήποτε δι' ἀγγέλων αὐτοὺς καλεῖ, ″οὕτω φανερῶς ἐρχόμενος;

ακῶν,
ὑπο
ρῶς ἐρ-

α. Θεσ. δ. ιζ. ις.

μενος; τιμῶν αὐτοὺς καὶ ταύτῃ. ὁ δὲ Παῦλος, ὅτι ἁρπαγήσονται ἐν νεφέλαις, λέγει. εἶπε δὲ καὶ τοῦτο, ὅτε περὶ ἀναστάσεως διελέγετο αὐτοῖς. Αὐτὸς γάρ, φησιν, ὁ Κύριος καταβήσεται ἀπ' οὐρανοῦ ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου. ὥστε ἀναστάντας μὲν συλλέξουσιν ἄγγελοι, συλλεγέντας δὲ ἁρπάσουσιν αἱ νεφέλαι, καὶ ταῦτα πάντα ἐν ἀκαριαίῳ γίνεται, ἐν ἀτόμῳ. οὐ γὰρ δὴ αὐτοὺς ἄνω μένων καλεῖ, ἀλλ' αὐτὸς ἔρχεται ἐν σάλπιγξι. καὶ τί βούλονται αἱ σάλπιγγες καὶ ἡ ἠχή; πρὸς διανάστασιν, πρὸς εὐφροσύνην, πρὸς παράστασιν τῆς τῶν γινομένων ἐκπλήξεως, πρὸς ὀδύνην τῶν ἀπολιμπανομένων.

ΗΘΙΚΟΝ Οἴμοι ἀπὸ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς. δέον ἡμᾶς χαίρειν ὅταν ταῦτα ἀκούωμεν· ἀλλ' ἀλγοῦμεν καὶ κατηφεῖς ἐσμεν [καὶ σκυθρωπάζομεν.] ἢ μόνος ἐγὼ ταῦτα πάσχω· ὑμεῖς δὲ χαίρετε ἐν τῇ τούτων ἀκροάσει; ὡς ἔμοιγε καὶ φρίκη τις ὑπεισέρχεται λεγομένων τούτων, καὶ πικρὸν ὀδύρομαι, καὶ ἐκ βαθυτάτης στενάζω καρδίας. οὐδὲν γὰρ τούτων πρὸς ἐμέ· ἀλλ' ἐκείνων τῶν μετὰ ταῦτα λεχθέντων, τῶν πρὸς τὰς παρθένους, τῶν πρὸς τὸν καταχώσαντα τὸ τάλαντον ὅπερ ἔλαβε, τῶν πρὸς τὸν πονηρὸν δοῦλον. διὰ ταῦτα δακρύω, ὅσης δόξης ἐκπίπτειν μέλλομεν, ὅσης ἐλπίδος ἀγαθῶν, καὶ τοῦτο διηνεκῶς καὶ εἰς ἀεί, ἵνα μὴ μικρὸν σπουδάσωμεν. εἰ μὲν γὰρ πόνος πολὺς ἦν καὶ νόμοι βαρεῖς, ἔδει μὲν καὶ οὕτω πάντα ποιεῖν· πλὴν ἀλλὰ κἂν πρόφασίν τινα ἐδόκουν ἔχειν πολλοὶ τῶν ῥαθύμων, ψυχρὰν μέν, ἐδόκουν δ' οὖν ἔχειν τὸ ὑπέρογκον τῶν ἐπιταγμάτων, καὶ ὅτι μέγας ὁ πόνος, καὶ ἄπειρος ὁ χρόνος, καὶ ἀφόρητον τὸ φορτίον· νυνὶ δὲ οὐδὲν τοιοῦτόν ἐστι προβαλέσθαι, ὅπερ μάλιστα τῆς γεέννης ἡμᾶς οὐχ ἧττον διατρώσειν μέλλει κατὰ τὸν καιρὸν ἐκεῖνον, ὅταν διὰ μικρὰν ῥοπὴν καὶ ὀλίγον ἱδρῶτα τὸν οὐρανὸν ὦμεν ἀπολωλεκότες καὶ τὰ ἀπόρρητα ἀγαθά. καὶ γὰρ καὶ ὁ χρόνος βραχύς, καὶ ὁ πόνος ὀλίγος· καὶ ὅμως ἐκλελύμεθα, καὶ ἀναπεπτώκαμεν. ἐν γῇ ἀγωνίζῃ, καὶ ἐν οὐρανοῖς ὁ στέφανος· ὑπὸ ἀνθρώπων κολάζῃ, καὶ ὑπὸ Θεοῦ τιμᾷ· ἐν δύο ἡμέραις τρέχεις, καὶ εἰς ἀπείρους αἰῶνας τὰ βραβεῖα· ἐν φθαρτῷ σώματι ἡ πάλη, καὶ ἐν ἀφθάρτῳ ἡ τιμή. καὶ χωρὶς δὲ τούτων κἀκεῖνο λογίζεσθαι χρή, ὅτι κἂν μὴ διὰ τὸν Χριστὸν ἑλώμεθά τι παθεῖν τῶν ὀδυνηρῶν, ἀνάγκη αὐτὰ καὶ ἄλλως ὑπομεῖναι πάντως. οὐδὲ γὰρ ἂν διὰ τὸν Χριστὸν μὴ ἀποθάνῃς, ἀθάνατος ἔσῃ· οὐδὲ ἂν διὰ τὸν Χριστὸν μὴ ῥίψῃς τὰ χρήματα, ἔχων αὐτὰ ἀπελεύσῃ. ταῦτα ἀπαιτεῖ παρὰ σοῦ, ἃ καὶ μὴ ἀπαιτοῦντος δώσεις διὰ τὸ θνητὸς εἶναι. ταῦτά σε βούλεται ποιῆσαι σῇ γνώμῃ, ἃ καὶ ἀνάγκη σε δεῖ ποιῆσαι. τοσοῦτον δὲ ἀπαιτεῖ προσθεῖναι μόνον, τὸ δι' αὐτὸν γενέσθαι· ὡς τό γε συμβῆναι ταῦτα καὶ παρελθεῖν, καὶ ἀπὸ τῆς κατὰ φύσιν ἀνάγκης γίνεται. εἶδες πῶς εὔκολος ὁ ἀγών; ἃ πάντως, φησίν, ἀνάγκη σε παθεῖν, ἑλοῦ παθεῖν δι' ἐμέ· τοῦτο προσκείσθω μόνον, καὶ ἀρκοῦσαν ἔχω τὴν ὑπακοήν. ὃ ἑτέρῳ μέλλεις δανείζειν χρυσίον, τοῦτο δάνεισον ἐμοί, καὶ ἐπὶ πλείοσι καὶ ἀσφαλείᾳ μείζονι· ὃ ἑτέρῳ μέλλεις στρατεύειν σῶμα, τοῦτο στράτευσον ἐμοί. καὶ γὰρ ὑπερβαίνω σου τοὺς πόνους ταῖς ἀντιδόσεσιν ἐκ πολλῆς τῆς περιουσίας. σὺ δὲ ἐν μὲν τοῖς ἄλλοις τὸν τὰ πλείονα παρέχοντα προτιμᾷς, καὶ ἐν δανείσμασι, καὶ ἐν ἀγορασίᾳ, καὶ ἐν στρατείᾳ· τὸν δὲ Χριστὸν μόνον πλέον ἁπάντων παρέχοντα, καὶ ἀπείρως πλέον, τοῦτον οὐ καταδέχῃ. καὶ τίς ὁ τοσοῦτος πόλεμος; τίς ἡ τοσαύτη ἀπέχθεια; πόθεν λοιπὸν ἕξεις συγγνώμην καὶ ἀπολογίαν, οὐδὲ ἀφ' ὧν ἀνθρώπους προτιμᾷς ἀνθρώπων, ἀπὸ τούτων ἀνεχόμενος τὸν Θεὸν προτιμῆσαι τῶν ἀνθρώπων; τί τῇ γῇ παραδίδως τὸν θησαυρόν; δὸς τῇ ἐμῇ χειρί, φησίν. οὐ δοκεῖ σοι τῆς γῆς ἀξιοπιστότερος εἶναι ὁ τῆς γῆς δεσπότης; ἐκείνη τὸ καταβληθὲν ἀποδίδωσι, πολλάκις δὲ οὐδὲ οὕτω· οὗτος δὲ καὶ μισθούς σοι ἀποδίδωσι τῆς φυλακῆς. καὶ γὰρ σφόδρα ἡμῶν ἐρᾷ. διὰ τοῦτο κἂν δανεῖσαι θέλῃς, ἕστηκεν ἕτοιμος· κἂν σπεῖραι, αὐτὸς ὑποδέχεται· κἂν οἰκοδομῆσαι θέλῃς, ἕλκει σε πρὸς ἑαυτόν, ἐν τοῖς ἐμοῖς, λέγων, οἰκοδόμει. τί τρέχεις πρὸς [τοὺς] πένητας; πρὸς ἀνθρώπους τοὺς πτωχεύσαντας; δράμε πρὸς τὸν Θεόν, τὸν καὶ ὑπὲρ

μικρῶν

χ. μᾶλλον

χ. νόμοι βαρεῖς

χ. αἱ π

χ. αὐτὸς

χ. τί μὴ

μικρῶν μεγάλα σοι παρέχοντα πράγματα. ἀλλ' ὅμως οὐδὲ ταῦτα ἀκούοντες ἀνεχόμεθα, ἀλλ' ἔνθα μάχαι καὶ πόλεμοι, καὶ παγκράτια, καὶ δίκαι, καὶ συκοφαντίαι, ἐκεῖ ἐκδιδόμεθα. ἆρ' οὖν οὐ δικαίως ἡμᾶς ἀποστρέφεται καὶ κολάζει, ὅταν εἰς πάντα ἡμῖν ἑαυτὸν παρέχῃ, ἡμεῖς δὲ ἀντιπίπτωμεν; παντί που δῆλον. εἴτε οὖν καλλωπίζεσθαι θέλεις, φησὶ, τὸν ἐμὸν καλλωπισμόν· εἴτε ὁπλισθῆναι, τὰ ἐμὰ ὅπλα· εἴτε ἐνδύσασθαι, τὸ ἱμάτιον τὸ ἐμόν· εἴτε τραφῆναι, τὴν τράπεζαν τὴν ἐμήν· εἴτε ὁδεῦσαι, τὴν ὁδὸν τὴν ἐμήν· εἴτε κληρονομῆσαι, τὴν κληρονομίαν τὴν ἐμήν· εἴτε εἰς πατρίδα εἰσελθεῖν, εἰς τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ἐγώ· εἴτε οἰκοδομῆσαι οἰκίαν, ἐν ταῖς σκηναῖς ταῖς ἐμαῖς. ἐγὼ γὰρ ὧν δίδωμι οὐκ ἀπαιτῶ σε μισθόν, ἀλλὰ καὶ αὐτοῦ τούτου μισθόν σοι προσοφείλω, ἂν τοῖς ἐμοῖς χρήσασθαι βουληθῇς ἅπασι. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς φιλοτιμίας; ἐγὼ πατὴρ, ἐγὼ ἀδελφὸς, ἐγὼ νυμφίος, ἐγὼ οἰκία, ἐγὼ τροφεὺς, ἐγὼ ἱμάτιον, ἐγὼ ῥίζα, ἐγὼ θεμέλιος, πᾶν ὅπερ ἂν θέλῃς ἐγώ. μηδενὸς ἐν χρείᾳ καταστῇς· ἐγὼ καὶ δουλεύσω. Ἦλθον γὰρ διακονῆσαι, οὐ διακονηθῆναι. ἐγὼ καὶ φίλος, καὶ μέλος, καὶ κεφαλὴ, καὶ ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ, πάντα ἐγώ· μόνον οἰκείως ἔχε πρὸς ἐμέ. ἐγὼ πένης διὰ σὲ, καὶ ἀλήτης διὰ σέ· ἐπὶ σταυροῦ διὰ σέ· ἐπὶ τάφου διὰ σέ. ἄνω ὑπὲρ σοῦ ἐντυγχάνω τῷ πατρί, κάτω ὑπὲρ σοῦ πρεσβευτὴς παραγέγονα παρὰ τοῦ πατρός. πάντα μοι σὺ, καὶ ἀδελφὸς, καὶ συγκληρονόμος, καὶ φίλος, καὶ μέλος. τί πλέον θέλεις; τί τὸν φιλοῦντα ἀποστρέφῃ; τί τῷ κόσμῳ κάμνεις; τί εἰς πίθον ἀντλεῖς τετρημένον; τοῦτο γάρ ἐστιν, εἰς τὸν παρόντα βίον ταλαιπωρεῖσθαι. τί εἰς πῦρ ξαίνεις; τί τῷ ἀέρι πυκτεύεις; τί εἰκῆ τρέχεις; οὐχὶ ἑκάστη τέχνη τέλος ἔχει; παντί που δῆλον. δεῖξόν μοι καὶ σὺ τῆς βιωτικῆς σπουδῆς τὸ τέλος. ἀλλ' οὐκ ἔχεις. Ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης. ἴωμεν εἰς τοὺς τάφους, δεῖξόν μοι τὸν πατέρα, δεῖξόν μοι τὴν γυναῖκα. ποῦ ὁ χρυσᾶ ἐνδεδυμένος ἱμάτια; ὁ ἐπὶ τοῦ ὀχήματος καθήμενος; ὁ στρατόπεδα ἔχων; ὁ τὴν ζώνην; ὁ τοὺς κήρυκας; ὁ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ ἐμβάλλων εἰς δεσμωτήριον; ὁ ἀποκτείνων οὓς ἐβούλετο, καὶ πάλιν ἀπαλλάττων οὓς ἤθελε; οὐδὲν ὁρῶ πλὴν ὀστέων καὶ σητὸς καὶ ἀράχνης. πάντα ἐκεῖνα γῆ· πάντα ἐκεῖνα μῦθος· πάντα ὄναρ καὶ σκιὰ καὶ διήγημα ψιλὸν καὶ γραφή· μᾶλλον δὲ οὐδὲ γραφή. τὴν μὲν γραφὴν κἂν ἐν εἰκόνι ὁρῶμεν· ἐνταῦθα δὲ, οὐδὲ εἰκόνα. καὶ εἴθε μέχρι τούτων τὰ δεινά. νυνὶ δὲ, τὰ μὲν τῆς τιμῆς καὶ τῆς τρυφῆς καὶ τῆς περιφανείας μέχρι σκιᾶς, μέχρι ῥημάτων· τὰ δὲ ἀπ' αὐτῶν, οὐκ ἔτι μέχρι σκιᾶς καὶ ῥημάτων, ἀλλὰ μένει καὶ διαβήσεται μεθ' ἡμῶν ἐκεῖ, καὶ πᾶσιν ἔσται δῆλα· αἱ ἁρπαγαὶ, αἱ πλεονεξίαι, αἱ πορνεῖαι, αἱ μοιχεῖαι, τὰ μυρία δεινά· ταῦτα οὐκ ἐν εἰκόνι οὐδὲ ἐν τέφρᾳ, ἀλλὰ γεγραμμένα ἄνω καὶ ῥήματα καὶ πράγματα. ποίοις οὖν ὀψόμεθα τὸν Χριστὸν ὀφθαλμοῖς; εἰ γὰρ πατέρα τις οὐκ ἂν ἤνεγκεν ἰδεῖν συνειδὼς ἑαυτῷ ἡμαρτηκότι εἰς αὐτὸν, τὸν πατρὸς μᾶλλον ἀπείρως πρᾳότερον ὄντα πῶς ἀντιβλέψομεν τότε; πῶς οἴσομεν; καὶ γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ πάντων ἀκριβὴς ἔσται ἐξέτασις. εἰ δέ τις ἀπιστεῖ τῇ μελλούσῃ κρίσει, ὁράτω τὰ ἐνταῦθα, τοὺς ἐν τοῖς δεσμωτηρίοις, τοὺς ἐν τοῖς μετάλλοις, τοὺς ἐν ταῖς κοπρίαις, τοὺς δαιμονῶντας, τοὺς παραπαίοντας, τοὺς νόσοις ἀνιάτοις παλαίοντας, τοὺς πενίᾳ διηνεκεῖ πυκτεύοντας, τοὺς λιμῷ συζῶντας, τοὺς πένθεσιν ἀνηκέστοις βεβαρημένους, τοὺς ἐν αἰχμαλωσίαις. οὐ γὰρ ἂν οὗτοι ταῦτα ἔπαθον νῦν, εἰ μὴ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς τὰ τοιαῦτα ἡμαρτηκότας ἔμελλεν ἀναμένειν τιμωρία καὶ κόλασις. εἰ δὲ μηδὲν ἐνταῦθα ὑπέμειναν οἱ λοιποὶ, τοῦτο μὲν οὖν αὐτὸ σημεῖόν σε ποιεῖσθαι δεῖ, τοῦ πάντως εἶναί τι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. οὐδὲ γὰρ ἂν ἁπάντων ὁ αὐτὸς ὢν Θεὸς τοὺς μὲν ἐτιμωρήσατο, τοὺς δὲ ἀφῆκεν ἀτιμωρήτους, τὰ αὐτὰ ἢ καὶ χαλεπώτερα πεπλημμεληκότας, εἰ μή τινα ἔμελλεν ἐκεῖ τιμωρίαν ἐπάγειν αὐτοῖς. ἀπὸ τούτων τοίνυν τῶν λογισμῶν καὶ τῶν παραδειγμάτων καὶ ἡμᾶς ταπεινώσωμεν ἑαυτοὺς, καὶ οἱ τῇ κρίσει διαπιστοῦντες πιστευέτωσαν λοιπὸν καὶ βελτίους γινέσθωσαν.

Ματθ. κ. κη.

Εκκλ. α. α

σαν, ἵνα ἀξίως τῆς βασιλείας βιώσαντες ἐνταῦθα, καὶ τὰς μελλούσας τιμωρίας διαφευξώμεθα, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. οζ. 32 ΑΠΟ ΔΕ ΤΗΣ ΣΥΚΗΣ ΜΑΘΕΤΕ ΤΗΝ παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. 33 Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

Ἐπειδὴ εἶπεν, ὅτι εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, αὐτοὶ δὲ τοῦτο ἐζήτουν μεθ' ὅσον χρόνον, καὶ αὐτὴν κυρίως τὴν ἡμέραν ἐπεθύμουν εἰδέναι, διὰ τοῦτο καὶ τὸ παράδειγμα τίθησι τῆς συκῆς, δεικνὺς ὅτι οὐ πολὺ τὸ μέσον, ἀλλ' ἐφεξῆς καὶ ἡ παρουσία ἀπαντήσεται· ὅπερ οὐ διὰ τῆς παραβολῆς μόνον, ἀλλὰ καὶ διὰ τῶν μετὰ ταῦτα λέξεων ἐδήλωσεν εἰπών· γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἐντεῦθεν καὶ ἕτερόν τι προφητεύει θέρος πνευματικὸν, καὶ γαλήνην κατ' ἐκείνην ἐσομένην τὴν ἡμέραν ἀπὸ τοῦ χειμῶνος τοῦ παρόντος τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς τὸ ἐναντίον, χειμῶνα ἀπὸ θέρους· ὅπερ ἐν τοῖς ἑξῆς ἐδήλωσεν εἰπὼν, τρυφώντων αὐτῶν ἐπιστήσεσθαι τὴν ἡμέραν. οὐ διὰ τοῦτο δὲ μόνον τὸ τῆς συκῆς τέθεικεν, ἵνα τὸ διάστημα δηλώσῃ (ἐξῆν γὰρ καὶ ἑτέρως αὐτὸ παραστῆσαι) ἀλλ' ἵνα κἀντεῦθεν πιστώσηται τὸν λόγον οὕτως ἐκβησόμενον πάντως. ὥσπερ γὰρ τοῦτο ἀνάγκη εἶναι, οὕτω κἀκεῖνο. καὶ γὰρ ὁπουπερ ἂν ἐθέλῃ τὸ πάντως ἀποβησόμενον λέγειν, φυσικὰς ἀνάγκας εἰς μέσον παράγει, καὶ αὐτὸς, καὶ ὁ μακάριος Παῦλος αὐτὸν μιμούμενος. διὰ τοῦτο καὶ περὶ ἀναστάσεως διαλεγόμενός φησιν· Ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν, ἐὰν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ὅθεν καὶ ὁ μακάριος Παῦλος παιδευθεὶς, τῷ αὐτῷ κέχρηται ὑποδείγματι, Κορινθίοις περὶ ἀναστάσεως διαλεγόμενος. Ἄφρων γὰρ, φησὶ, σὺ, ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. εἶτα ἵνα μὴ ταχέως ἐπ' αὐτοῦ πάλιν ἔλθωσι καὶ ἐρωτήσωσι, πότε, εἰς μνήμην αὐτοὺς ἐνάγει τῶν παρελθόντων, λέγων·

Ιωαν. ιβ. κδ.

α. Κορ. ιε. λϛ.

34 Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται.

Ταῦτα πάντα, ποῖα, εἰπέ μοι; τὰ τῶν Ἱεροσολύμων· τὰ τῶν πολέμων· τὰ τῶν λιμῶν· τὰ τῶν λοιμῶν· τὰ τῶν σεισμῶν· τὰ τῶν ψευδοχρίστων· τὰ τῶν ψευδοπροφητῶν· τὸ πανταχοῦ σπαρῆναι τὸ εὐαγγέλιον· τὰς στάσεις· τὰς ταραχάς· τὰ ἄλλα πάντα, ἅπερ εἴρηκα μέχρι τῆς αὐτοῦ παρουσίας συμβησόμενα. πῶς οὖν, φησιν, εἶπεν, ἡ γενεὰ αὕτη; οὐ περὶ τῆς τότε λέγων, ἀλλὰ περὶ τῆς τῶν πιστῶν. οἶδε γὰρ γενεὰν οὐκ ἀπὸ χρόνων χαρακτηρίζειν μόνον, ἀλλὰ καὶ ἀπὸ τρόπου θρησκείας καὶ πολιτείας· ὡς ὅταν λέγῃ· Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον. ὅπερ οὖν ἄνω ἔλεγε· δεῖ γὰρ πάντα γενέσθαι· καὶ πάλιν, κηρυχθήσεται τὸ εὐαγγέλιον· τοῦτο καὶ ἐνταῦθα δηλοῖ λέγων, ὅτι πάντως ἐκβήσεται ἅπαντα ταῦτα, καὶ μενεῖ ἡ γενεὰ τῶν πιστῶν οὐδενὶ τῶν εἰρημένων διακοπτομένη. ἀλλὰ καὶ τὰ Ἱεροσόλυμα ἀπολεῖται, καὶ τὸ πλέον τῶν Ἰουδαίων ἀφανισθήσεται· ταύτης δὲ οὐδὲν περιέσται, οὐ λιμὸς, οὐ λοιμὸς, οὐ σεισμὸς, οὐχ αἱ τῶν πολέμων ταραχαὶ, οὐ ψευδόχριστοι, οὐ ψευδοπροφῆται, οὐκ ἀπατεῶνες, οὐχ οἱ προδιδόντες, οὐχ οἱ σκανδαλίζοντες, οὐχ οἱ ψευδάδελφοι, οὐκ ἄλλος οὐδεὶς τοιοῦτος πειρασμός. εἶτα καὶ μᾶλλον αὐτοὺς εἰς πίστιν ἐνάγων, φησί·

Ψαλμ. κγ. ϛ.

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Τουτ' ἔστι, τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα εὐκολώτερον ἀφανισθῆναι, ἢ τῶν λόγων τῶν

ἐμῶν

ἐμοῦ τι διαπεσεῖν. καὶ ὁ ἀντιλέγων παρὰ τούτων βασανιζέτω τὰ εἰρημένα, καὶ εὑρὼν ἀληθῆ (εὑρήσει γὰρ πάντως) ἀπὸ τῶν παρελθόντων καὶ τοῖς μέλλουσι πιστευέτω, καὶ πάντα ἐξεταζέτω μετ' ἀκριβείας, καὶ ὄψεται τῶν πραγμάτων τὸ τέλος μαρτυροῦν τῇ τῆς προφητείας ἀληθείᾳ. τὰ δὲ στοιχεῖα εἰς μέσον τέθεικεν, ὁμοῦ μὲν δηλῶν, ὅτι προτιμοτέρα καὶ οὐρανοῦ καὶ γῆς ἡ ἐκκλησία· ὁμοῦ δὲ καὶ δημιουργὸν ἑαυτὸν [καὶ] ἐντεῦθεν δείκνυσι τοῦ παντός. ἐπειδὴ γὰρ περὶ συντελείας διελέχθη, πράγματος παρὰ πολλοῖς ἀπιστουμένου, διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὴν γῆν εἰς μέσον ἤγαγε, τὴν δύναμιν αὐτοῦ τὴν ἄφατον ἐνδεικνύμενος, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας δηλῶν, ὅτι δεσπότης ἐστὶ τοῦ παντός, ἐκ τούτων καὶ τοῖς σφόδρα ἀμφιβάλλουσιν ἀξιόπιστα τὰ εἰρημένα κατασκευάζων.

36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ υἱὸς*, εἰ μὴ μόνος ὁ πατήρ. Τῷ μὲν οὖν εἰπεῖν, οὐδὲ οἱ ἄγγελοι, ἐπεστόμισεν αὐτοὺς ὥστε μὴ ζητῆσαι μαθεῖν, ὅπερ ἐκεῖνοι οὐκ ἴσασι· τῷ δὲ εἰπεῖν, οὐδὲ ὁ υἱός, κωλύει οὐ μόνον μὴ μαθεῖν, ἀλλὰ καὶ μηδὲ ζητῆσαι. ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκεν, ὅρα μετὰ τὴν ἀνάστασιν, ἐπειδὴ περιεργοτέρους εἶδε γινομένους, πῶς ἐπεστόμισε μειζόνως. νῦν μὲν γὰρ καὶ τεκμήρια εἴρηκε πολλὰ καὶ ἄπειρα· τότε δὲ ἁπλῶς, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς. εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι ἠπορήθημεν, διεπτύσθημεν, οὐδὲ τούτου ἐσμὲν ἄξιοι· φησίν, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. καὶ γὰρ σφόδρα ἔμελεν αὐτῷ τοῦ τιμᾶν αὐτοὺς καὶ μηδὲν ἀποκρύπτεσθαι. διὰ τοῦτο αὐτῷ τῷ πατρὶ τοῦτο ἀνατίθησι, καὶ φοβερὸν τὸ πρᾶγμα ποιῶν, καὶ ἐκείνων ἀποτειχίζων τῇ πεύσει τὸ εἰρημένον. ἐπεὶ εἰ μὴ τοῦτο ἐστιν, ἀλλ' ἀγνοεῖ, πότε εἴσεται; ἄρα μεθ' ἡμῶν; καὶ τίς ἂν τοῦτο εἴποι; καὶ τὸν μὲν πατέρα οἶδε σαφῶς, καὶ οὕτω σαφῶς, ὡς ἐκεῖνος τὸν υἱόν· τὴν δὲ ἡμέραν ἀγνοεῖ; εἶτα, τὸ μὲν πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· αὐτὸς δὲ οὐδὲ τὸν καιρὸν τῆς κρίσεως οἶδεν; ἀλλὰ τὸ μὲν πῶς δεῖ κρίνειν οἶδε, καὶ τὰ ἑκάστου ἀπόρρητα ἐπίσταται· ὃ δὲ πολλῷ τούτων εὐτελέστερον, τοῦτο ἔμελλεν ἀγνοεῖν; πῶς δέ, εἰ Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, τὴν ἡμέραν ἠγνόησεν; ὁ γὰρ τοὺς αἰῶνας ποιήσας, εὔδηλον ὅτι καὶ τοὺς χρόνους· εἰ δὲ τοὺς χρόνους, καὶ τὴν ἡμέραν. πῶς οὖν ἣν ἐποίησεν ἀγνοεῖ; καὶ ὑμεῖς μὲν αὐτοῦ καὶ τὴν οὐσίαν εἰδέναι φατέ, τὸν δὲ υἱὸν οὐδὲ τὴν ἡμέραν, τὸν υἱὸν τὸν διὰ παντὸς ἐν τῷ κόλπῳ ὄντα τοῦ πατρός, καίτοι πολλῷ μείζων ἡ οὐσία τῶν ἡμερῶν, καὶ ἀπείρως μείζων; πῶς οὖν τὸ μεῖζον ἑαυτοῖς διδόντες, οὐδὲ τὸ ἔλαττον συγχωρεῖτε τῷ υἱῷ, Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι; ἀλλ' οὔτε ὑμεῖς ἴστε τί τὴν οὐσίαν ὁ Θεός, κἂν μυριάκις ταῦτα μαίνησθε· οὔτε ὁ υἱὸς ἀγνοεῖ τὴν ἡμέραν, ἀλλὰ καὶ σφόδρα ἐπίσταται. διά τοι τοῦτο πάντα εἰπών, καὶ τοὺς χρόνους καὶ τοὺς καιρούς, καὶ ἐπ' αὐτὰς τὰς θύρας ἀγαγών (ἐγγὺς γάρ ἐστιν ἐπὶ θύραις, φησίν) ἀπεσίγησε τὴν ἡμέραν. εἰ μὲν γὰρ ἡμέραν ζητοίης καὶ ὥραν, οὐκ ἀκούσῃ παρ' ἐμοῦ, φησίν· εἰ δὲ καιροὺς καὶ προοίμια, οὐδὲν ἀποκρυψάμενος ἐρῶ πάντα σοι μετ' ἀκριβείας. ὅτι μὲν γὰρ οὐκ ἀγνοῶ, διὰ πολλῶν ἔδειξα, διαστήματα εἰπών, καὶ τὰ συμβησόμενα ἅπαντα, καὶ ὅσον ἀπὸ τοῦδε τοῦ χρόνου μέχρι τῆς ἡμέρας αὐτῆς (τοῦτο γὰρ τῆς συκῆς ἐδήλωσεν ἡ παραβολή) καὶ ἐπὶ τὰ πρόθυρά σε ἤγαγον αὐτά. εἰ δὲ μὴ ἀνέῳξά σοι τὰς θύρας, καὶ τοῦτο συμφερόντως ποιῶ. ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅτι οὐ τῆς ἀγνοίας αὐτοῦ τὸ σιγῆσαι, ὅρα μετὰ τῶν εἰρημένων πῶς καὶ ἄλλο προστίθησι σημεῖον.

Πρα. α. ζ.
Λυκ. ι. κβ.
Ιωαν. α. γ.
Κολ. β. γ.

38 Ὥσπερ δὲ ἦσαν ἐν ταῖς ἡμέραις τοῦ Νῶε τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι τῆς ἡμέρας ἧς εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν,

39 Καὶ οὐκ ἔγνωσαν ἕως οὗ ἦλθεν ὁ κατακλυσμός, καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ταῦτα δὲ εἶπε, δηλῶν ὡς ἀθρόον ἥξει καὶ ἀπροσδοκήτως, καὶ τῶν πλειόνων τρυφώντων. καὶ γὰρ ὁ Παῦλος τοῦτό φησιν οὕτω γράφων·

α. Θεσ. ε. γ. δ. Ὅταν λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος. καὶ τὸ ἀπροσδόκητον δηλῶν, ἔλεγεν· ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. πῶς οὖν φησι μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων; εἰ γὰρ τρυφὴ τότε καὶ εἰρήνη καὶ ἀσφάλεια, καθὼς ὁ Παῦλός φησι, πῶς λέγει μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων; εἰ τρυφὴ, πῶς θλῖψις; τρυφὴ τοῖς ἀναισθήτως διακειμένοις καὶ εἰρήνη. διὰ τοῦτο γὰρ οὐκ εἶπεν, ὅταν ᾖ ἡ εἰρήνη, ἀλλ' ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τὸ ἀναίσθητον αὐτῶν ἐνδεικνύμενος, ὡς τῶν ἐπὶ Νῶε, ὅτι δὴ ἐν τοῖς τοιούτοις κακοῖς ἐτρύφων. ἀλλ' οὐχ οἱ δίκαιοι, ἀλλ' ἐν θλίψει καὶ ἀθυμίᾳ διῆγον. ἐντεῦθεν δείκνυσιν, ὅτι τοῦ ἀντιχρίστου ἐλθόντος, τὰ τῶν ἀτόπων ἡδονῶν ἐπιταθήσεται ἐν τοῖς παρανόμοις καὶ τῆς οἰκείας ἀπεγνωκόσι σωτηρίας. τότε γαστριμαργίαι καὶ κῶμοι, τότε καὶ μέθαι. διὸ καὶ μάλιστα ὑπόδειγμα τίθησιν ἁρμόζον τῷ πράγματι. καθάπερ γὰρ τῆς κιβωτοῦ γινομένης οὐκ ἐπίστευον, φησιν, ἀλλὰ προέκειτο μὲν ἐν μέσῳ τὰ μέλλοντα προανακηρύττουσα κακά· ἐκεῖνοι δὲ ὁρῶντες αὐτὴν, ὡς οὐδενὸς ἐσομένου δεινοῦ, οὕτως ἐτρύφων· οὕτω καὶ νῦν, φανεῖται μὲν ὁ ἀντίχριστος, μεθ' ὃν ἡ συντέλεια, καὶ αἱ κολάσεις αἱ ἐπὶ τῇ συντελείᾳ, καὶ τιμωρίαι ἀφόρητοι· οἱ δὲ τῇ μέθῃ τῆς κακίας κατεχόμενοι, οὐδὲ αἰσθήσονται τοῦ φόβου τῶν ἐσομένων. διὸ καὶ Παῦλός φησιν, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, οὕτως αὐτοῖς παραστήσεται τὰ φοβερὰ ἐκεῖνα καὶ ἀνήκεστα. καὶ διατί μὴ εἶπε τὰ ἐπὶ Σοδόμων κακά; καθολικὸν ἠθέλησεν ἐνθεῖναι ὑπόδειγμα, καὶ μετὰ τὸ προλεχθῆναι ἀπιστηθέν. διὰ δὴ τοῦτο, ἐπειδὴ παρὰ τοῖς πολλοῖς τὰ μέλλοντα ἀπιστεῖται, ἀπὸ τῶν παρελθόντων αὐτὰ πιστοῦται, κατασείων αὐτῶν τὴν διάνοιαν. μετὰ δὲ τῶν εἰρημένων κἀκεῖνο ἐνδείκνυται, ὅτι καὶ τὰ ἔμπροσθεν αὐτὸς πεποίηκεν. εἶτα πάλιν ἄλλο σημεῖον τίθησι, δι' ὧν ἁπάντων, ὅτι οὐκ ἀγνοεῖ τὴν ἡμέραν, κατάδηλον ποιεῖ. τί δὲ τὸ σημεῖον;

40 Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται·

41 Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, μία παραλαμβάνεται, καὶ μία ἀφίεται.

42 Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται.

Ταῦτα δὲ πάντα, καὶ τοῦ εἰδέναι αὐτὸν δείγματα, καὶ ἀπάγοντα αὐτοὺς τῆς ἐρωτήσεως. διὰ γὰρ τοῦτο εἶπε καὶ τὰς ἡμέρας τοῦ Νῶε· διὰ τοῦτο εἶπε, καὶ δύο ἐπὶ τῆς κλίνης, τοῦτο δηλῶν, ὅτι οὕτως ἀπροσδοκήτως, οὕτως ἀμερίμνων αὐτῶν ὄντων ἐπελεύσεται, καὶ τὸ, δύο ἀλήθουσαι, ὅπερ καὶ αὐτὸ οὐκ ἔστι μεριμνώντων. καὶ μετὰ τούτου, ὅτι καὶ δοῦλοι, καὶ δεσπόται, καὶ παραλαμβάνονται, καὶ ἀφίενται, καὶ οἱ ἐν ἀδείᾳ, καὶ οἱ ἐν πόνῳ, καὶ ἀπὸ ταύτης τῆς ἀξίας, καὶ ἀπ' ἐκείνης· ὥσπερ ἐν τῇ παλαιᾷ φησιν, Ἀπὸ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου ἕως τῆς αἰχμαλώτιδος τῆς ἐν τῷ μύλωνι. (Σειρ. μ. γ. καὶ Ἐξοδ. ια. ε.) ἐπειδὴ γὰρ εἶπεν, ὅτι δυσκόλως οἱ πλούσιοι σώζονται, δείκνυσιν ὅτι οὐ πάντως οὔτε οὗτοι ἀπόλλυνται, οὔτε πένητες σώζονται ἅπαντες, ἀλλὰ καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων καὶ σώζονται καὶ ἀπόλλυνται. ἐμοὶ δὲ δοκεῖ δηλοῦν, ὅτι καὶ ἐν νυκτὶ ἔσται ἡ παρουσία. τοῦτο γὰρ καὶ ὁ Λουκᾶς φησιν. (Λουκ. ιζ. λδ.) ὁρᾷς πῶς πάντα μετ' ἀκριβείας οἶδεν; εἶτα πάλιν, ἵνα μὴ ἐρωτήσωσιν, ἐπήγαγε· γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. οὐκ εἶπεν, οὐκ οἶδα, ἀλλ' οὐκ οἴδατε. ὅταν γὰρ αὐτοὺς σχεδὸν εἰς αὐτὴν ἀγάγῃ τὴν ὥραν, καὶ στήσῃ, πάλιν αὐτοὺς ἀπάγει τῆς ἐρωτήσεως, βουλόμενος αὐτοὺς ἐναγωνίους εἶναι διηνεκῶς. διὰ τοῦτο λέγει, γρηγορεῖτε, δεικνὺς ὅτι διὰ τοῦτο οὐκ εἶπεν.

43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ.

44 Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Διὰ τοῦτο οὖν λέγει αὐτοῖς ἵνα γρηγορῶσιν, ἵνα ἀεὶ ἕτοιμοι ὦσι· διὰ τοῦτό φησιν, ὅτε οὐ προσδοκᾶτε, τότε ἥξει, ἐναγωνίους εἶναι βουλόμενος, καὶ διὰ παντὸς ἐν ἀρετῇ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ ᾔδεσαν οἱ πολλοὶ πότε ἀποθανοῦνται, πάντως ἂν καὶ ἐκείνην τὴν ὥραν

ραν ἐσπούδασαν. ἵν' οὕτω μὴ ἐκείνην μόνον σπουδάσωσι, διὰ τοῦτο οὐ λέγει οὔτε τὴν κοινήν, οὔτε τὴν ἑκάστου, ἀεὶ αὐτοὺς βουλόμενος τοῦτο προσδοκᾶν, ἵνα ἀεὶ σπουδάζωσι. διὸ καὶ τῆς ἑκάστου ζωῆς τὸ τέλος ἄδηλον ἐποίησεν. εἶτα ἐκκεκαλυμμένως ἑαυτὸν Κύριον ὀνομάζει, οὐδαμοῦ οὕτω σαφῶς εἰπών. ἐνταῦθα δέ μοι καὶ ἐντρέπειν δοκεῖ τοὺς ῥαθύμους, ὅτι οὐδὲ ὅσην περὶ ″ χρήματα σπουδὴν πεποίηνται οἱ προσδοκῶντες κλέπτην, οὐδὲ τοσαύτην οὗτοι περὶ τῆς ἑαυτῶν ψυχῆς. ἐκεῖνοι μὲν γάρ, ὅταν προσδοκήσωσι, γρηγοροῦσι, καὶ οὐδὲν ἀφιᾶσι τῶν ἔνδον ἀποσυληθῆναι· ὑμεῖς δέ, καίτοι εἰδότες ὅτι ἥξει, καὶ πάντως ἥξει, οὐ μένετε ἐγρηγορότες, φησί, καὶ παρεσκευασμένοι, ὥστε μὴ ἀπαρασκευάστως ἐντεῦθεν ἀπενεχθῆναι· διὰ τοῦτο ἐπ' ὀλέθρῳ ἔρχεται ἡ ἡμέρα τῶν καθευδόντων. ὥσπερ γὰρ ἐκεῖνος, εἰ ᾔδει, διέφυγεν ἄν· οὕτω καὶ ὑμεῖς, ἐὰν ἦτε ἕτοιμοι, διαφυλάξεσθε. εἶτα ἐπειδὴ εἰς τὴν τῆς κρίσεως ἐνέβαλε μνήμην, καὶ πρὸς τοὺς διδασκάλους τρέπει τὸν λόγον λοιπόν, περὶ κολάσεων καὶ τιμῶν διαλεγόμενος· καὶ πρότερον τοὺς κατορθοῦντας, εἰς τοὺς διαμαρτάνοντας τελευτᾷ, πρὸς τὸ ″ φοβερὸν κατακλείων τὸν λόγον. διὸ πρῶτον τοῦτό φησι·

χρημάτων

συμφέρον

45 Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ, δοῦναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ αὐτῶν;

46 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος [αὐτοῦ] εὑρήσει ποιοῦντα οὕτως.

47 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Μὴ καὶ τοῦτο ἀγνοοῦντός ἐστιν, εἰπέ μοι; εἰ γὰρ ἐπειδὴ εἶπεν, οὐδὲ ὁ υἱὸς οἶδεν, ἀγνοεῖν αὐτὸν φῄς· ἐπειδὴ εἶπε, τίς ἄρα, τί ἂν εἴποις; ἢ καὶ τοῦτο ἀγνοεῖν αὐτὸν φῄς; ἄπαγε. οὐδὲ γὰρ τῶν ἐξεστηκότων τοῦτο ἄν τις εἴποι· καίτοιγε ἐκεῖ καὶ αἰτίαν ἐστὶν εἰπεῖν, ἐνταῦθα δὲ οὐδὲ τοῦτο. τί δὲ ὅταν λέγῃ, Πέτρε, φιλεῖς με, ἐρωτῶν, οὐδὲ τοῦτο ᾔδει; ἢ ὅταν λέγῃ, Ποῦ τεθείκατε αὐτόν; καὶ ὁ πατὴρ εὑρεθήσεται τοιαῦτα φθεγγόμενος. καὶ γὰρ καὶ αὐτός φησιν· Ἀδάμ, ποῦ εἶ; καί, Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με· καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. καὶ ἀλλαχοῦ φησιν· Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι· καὶ ἐν τῷ εὐαγγελίῳ δέ, Ἴσως ἐντραπήσονται τὸν υἱόν μου· ἅπερ ἅπαντα ἀγνοίας ῥήματα ἦν. ἀλλ' οὐκ ἀγνοῶν ταῦτα ἔλεγεν, ἀλλ' οἰκονομῶν τὰ αὐτῷ πρέποντα. ἐπὶ μὲν τοῦ Ἀδάμ, ἵνα αὐτὸν ἐμβάλῃ εἰς ἀπολογίαν τῆς ἁμαρτίας· ἐπὶ δὲ τῶν Σοδομιτῶν, ἵνα ἡμᾶς παιδεύσῃ μηδέποτε ἀποφαίνεσθαι, πρὶν ἂν αὐτοῖς παραγενώμεθα τοῖς πράγμασιν· ἐπὶ δὲ τοῦ προφήτου, ἵνα μὴ δοκῇ ἡ πρόρρησις παρὰ τοῖς ἀνοήτοις ἀναγκαστική τις εἶναι τῆς παρακοῆς· ἐπὶ δὲ τῆς παραβολῆς τοῦ εὐαγγελίου, ἵνα δείξῃ, ὅτι ὤφειλον τοῦτο ποιῆσαι καὶ ἐντραπῆναι τὸν υἱόν· ἐνταῦθα δέ, ἵνα μὴ περιεργάζωνται, μηδὲ πολυπραγμονῶσι πάλιν, καὶ ἵνα δείξῃ τὸ σπάνιον καὶ πολύτιμον. καὶ ὅρα πόσης ἀγνοίας ἐνδεικτικὸν τὸ ῥῆμα, εἴγε καὶ τὸν καθιστάμενον ἀγνοεῖ. μακαρίζει μὲν γὰρ αὐτόν· μακάριος γάρ, φησιν, ὁ δοῦλος ἐκεῖνος· οὐ λέγει δὲ τίς ἐστιν οὗτος. τίς γάρ ἐστι, φησιν, ἄρα ὃν καταστήσει ὁ κύριος αὐτοῦ, καὶ μακάριος ὃν εὑρήσει ποιοῦντα οὕτω; ταῦτα δὲ οὐ περὶ χρημάτων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ λόγου, καὶ περὶ δυνάμεως, καὶ περὶ χαρισμάτων, καὶ περὶ πάσης οἰκονομίας, ἧς ἕκαστος ἐνεχειρίσθη. αὕτη καὶ πρὸς τοὺς ἄρχοντας τοὺς πολιτικοὺς ἁρμόσειεν ἂν ἡ παραβολή. ἕκαστον γὰρ οἷς ἔχει πρὸς τὸ κοινῇ συμφέρον ἀποκεχρῆσθαι δεῖ. κἂν σοφίαν ἔχῃς, κἂν ἀρχήν, κἂν πλοῦτον, κἂν ὁτιοῦν, μὴ ἐπὶ βλάβῃ τῶν συνδούλων, μηδὲ ἐπ' ἀπωλείᾳ ἑαυτοῦ. διὰ δὴ τοῦτο ἀμφότερα ἀπαιτεῖ παρ' αὐτοῦ, φρόνησιν καὶ πίστιν. καὶ γὰρ ἡ ἁμαρτία ἀπὸ ἀνοίας γίνεται. πιστὸν μὲν οὖν αὐτόν φησιν, ὅτι οὐδὲν ἐνοσφίσατο, οὐδὲ παρανάλωσε τῶν δεσποτικῶν εἰκῆ καὶ μάτην· φρόνιμον δέ, ὅτι ἔγνω πρὸς τὸ δέον οἰκονομῆσαι τὰ δοθέντα. καὶ γὰρ ἀμφοτέρων ἡμῖν χρεία, καὶ τοῦ μὴ νοσφίσασθαι τὰ δεσποτικά, καὶ

Ιωαν. κα. ιε.
Ιωαν. ια. λδ.
Γεν. γ. θ.
Γεν. ιη. κ. κα.
Ιεζ. β. δ. ε.
Λουκ. κ. ιγ.

του εἰς δέον οἰκονομεῖν. ἂν δὲ θάτερον ἀπῇ, τὸ ἕτερον χωλεύει. ἄν τε γὰρ πιστὸς ᾖ καὶ μὴ κλέπτῃ, ἀπολλύει δὲ καὶ εἰς μηδὲν προσῆκον δαπανᾷ, μέγα τὸ ἔγκλημα· ἄν τε εἰδῇ καλῶς οἰκονομεῖν, νοσφίζεται δὲ, πάλιν οὐχ ἡ τυχοῦσα κατηγορία. ἀκούσωμεν καὶ οἱ τὰ χρήματα ἔχοντες ταῦτα. οὐ γὰρ διδασκάλοις διαλέγεται μόνον, ἀλλὰ καὶ τοῖς πλουτοῦσιν. ἑκάτεροι γὰρ ἐνεπιστεύθησαν πλοῦτον, οἱ μὲν ἀναγκαιότερον, οἱ διδάσκοντες· τὸν δὲ ἐλάττω, ὑμεῖς. ὅταν οὖν τῶν διδασκόντων σκορπιζόντων τὰ μείζονα, ὑμεῖς μηδὲ ἐν τοῖς ἐλάττοσι βούλεσθε τὴν μεγαλοψυχίαν ἐπιδείκνυσθαι, μᾶλλον δὲ οὐδὲ μεγαλοψυχίαν, ἀλλ' εὐγνωμοσύνην (τὰ γὰρ ἀλλότρια δίδονται) ποία ἔσται ἀπολογία; ἀλλὰ τέως παρὰ τῆς κολάσεως τῶν τὰ ἐναντία ποιούντων, τὴν τιμὴν τοῦ εὐδοκιμοῦντος ἀκούσωμεν. ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; ποῖος παραστῆσαι δυνήσεται λόγος τὴν ἀξίαν, τὴν μακαριότητα, ὅταν ὁ τῶν οὐρανῶν βασιλεὺς καὶ τὰ πάντα ἔχων, ἄνθρωπον ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καθιστᾶν μέλλῃ; διὸ καὶ φρόνιμον αὐτὸν καλεῖ, ὅτι ἔγνω μὴ ὑπὲρ τῶν μικρῶν τὰ μεγάλα προέσθαι, ἀλλὰ σωφρονήσας ἐνταῦθα τῶν οὐρανῶν ἐπέτυχεν. Εἶτα, ὅπερ ἀεὶ ποιεῖ, οὐκ ἀπὸ τῆς τοῖς ἀγαθοῖς κειμένης τιμῆς, ἀλλὰ καὶ ἀπὸ τῆς τοῖς πονηροῖς ἠπειλημμένης κολάσεως διορθοῦται τὸν ἀκροατήν. διὸ καὶ ἐπήγαγεν·

ἴσ. ἀπολλύη

ἴσ. νοσφίζη

ἴσ. αὐτὴ τ

48 Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν,

49 Καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων,

50 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει,

51 Καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Εἰ δὲ λέγοι τις, εἶδες οἷος ἐπεισῆλθε λογισμὸς, διὰ τὸ μὴ εἶναι γνώριμον τὴν ἡμέραν; χρονίζει γὰρ ὁ κύριός μου φησίν· εἴποιμεν ἄν, οὐ διὰ τὸ μὴ εἶναι γνώριμον τὴν ἡμέραν, ἀλλὰ διὰ τὸ πονηρὸν εἶναι τὸν οἰκέτην. ἐπεὶ τῷ φρονίμῳ καὶ πιστῷ τίνος ἕνεκεν οὐκ ἐπεισῆλθεν* αὕτη ἡ ἔννοια; τί γὰρ εἰ καὶ χρονίζει ὁ δεσπότης, ἄθλιε; ὅλως προσδοκᾷς αὐτὸν ἥξειν. τί οὖν οὐ μεριμνᾷς; ἐντεῦθεν [οὖν] μανθάνομεν, ὅτι οὐδὲ χρονίζει. αὕτη γὰρ οὐ τοῦ δεσπότου, ἀλλὰ τῆς τοῦ πονηροῦ οἰκέτου γνώμης ἡ ψῆφος. διὸ καὶ διὰ τοῦτο ἐγκαλεῖται. ὅτι γὰρ οὐ χρονίζει, ἄκουσον Παύλου λέγοντος· Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε. καὶ, Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. σὺ δὲ καὶ τῶν ἑξῆς ἄκουε, καὶ μάνθανε πῶς συνεχῶς ὑπομιμνήσκει τῆς ἀγνοίας τὴν ἡμέραν, δηλῶν τοῖς οἰκέταις τοῦτο χρήσιμον ὂν, καὶ ἱκανὸν ἀφυπνίσαι αὐτοὺς καὶ διαναστῆσαι. τί γὰρ εἰ καὶ μηδὲν ἐκέρδανάν τινες ἐντεῦθεν; (οὐδὲ γὰρ ἀπὸ τῶν ἄλλων τῶν ὠφελούντων ὠφελήθησάν τινες) ἀλλ' ὅμως οὗτος οὐ παύεται τὰ αὐτοῦ ποιῶν. τί οὖν φησι τὰ ἑξῆς; ἐλεύσεται ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ τὰ ἔσχατα αὐτὸν διαθήσει. ὁρᾷς πῶς καὶ πανταχοῦ τοῦτο τίθησι, τὸ τῆς ἀγνοίας δεικνὺς χρήσιμον, καὶ ταύτῃ ποιῶν ἐναγωνίους ἀεί; τοῦτο γάρ ἐστι τὸ σπουδαζόμενον αὐτῷ, τὸ ἀεὶ ἡμᾶς ἐγρηγορέναι. καὶ ἐπειδὴ ἀεὶ ἐν ταῖς τρυφαῖς ἀναπίπτομεν, ἐν δὲ ταῖς συμφοραῖς μᾶλλον συστελλόμεθα, διὰ τοῦτο πανταχοῦ τοῦτο λέγει, ὅτι ὅταν ἄνεσις ᾖ, τότε ἔρχεται τὰ δεινά. καὶ ὥσπερ ἀνωτέρω διὰ τοῦ Νῶε τοῦτο ἐδήλωσεν, οὕτω καὶ ἐνταῦθά φησιν, ὅταν ὁ δοῦλος ἐκεῖνος μεθύῃ, ὅταν τύπτῃ, καὶ ἡ κόλασις ἀφόρητος. ἀλλὰ μὴ τὴν κόλασιν ἴδωμεν μόνον τὴν ἐκείνῳ κειμένην, ἀλλὰ κἀκεῖνο σκοπήσωμεν, μήποτε καὶ αὐτοὶ τὰ αὐτὰ πράττοντες λάθωμεν. καὶ γὰρ τούτῳ ἐοίκασιν οἱ χρήματα ἔχοντες καὶ μὴ διδόντες τοῖς δεομένοις. καὶ γὰρ καὶ σὺ οἰκονόμος εἶ τῶν σαυτοῦ χρημάτων, οὐχ ἧττον ἢ ὁ τὰ τῆς ἐκκλησίας οἰκονομῶν. ὥσπερ οὖν ἐκεῖνος οὐκ ἔχει ἐξουσίαν τὰ διδόμενα παρ' ὑμῶν εἰς πένητας, ἁπλῶς καὶ ὡς ἔτυχε σκορπίσαι, ἐπειδὴ εἰς πενήτων ἐδόθη διατροφήν· οὕτως οὐδὲ σὺ τὰ σά.

Φιλιππ. δ. ε.

* ἐπῆλθεν

χ. λειπ

μῆν.

Εἰ γὰρ καὶ πατρῷον διεδέξω κλῆρον, καὶ οὕτως ἔχεις πάντα ἃ ἔχεις, καὶ οὕτω τοῦ Θεοῦ πάντα ἐστίν. Εἶτα, σὺ μὲν, ἅπερ ἔδωκας, οὕτω βούλει μετὰ ἀκριβείας οἰκονομεῖσθαι· τὸν δὲ Θεὸν οὐκ οἴει τὰ αὐτοῦ μετὰ πλείονος ἀπαιτήσειν ἡμᾶς τῆς σφοδρότητος, ἀλλὰ ἀνέχεσθαι αὐτῶν ἁπλῶς ἀπολλυμένων; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. καὶ γὰρ διὰ τοῦτο καὶ παρὰ σοὶ ταῦτα εἴασεν, ὥστε δοῦναι τὴν τροφὴν αὐτοῖς ἐν εὐκαίρῳ. τί ἐστιν, ἐν εὐκαίρῳ; τοῖς δεομένοις, τοῖς πεινῶσιν. ὥσπερ γὰρ σὺ τῷ συνδούλῳ ἔδωκας οἰκονομῆσαι· οὕτω καὶ σὲ ὁ δεσπότης βούλεται εἰς δέον ταῦτα δαπανᾶν. διὰ τοῦτο καὶ δυνάμενος αὐτὰ ἀφελέσθαι, ἀφῆκεν, ἵνα ἔχῃς ἀφορμὴν ἀρετὴν ἐπιδείξασθαι, ἵνα ἀλλήλων εἰς χρείαν καταστήσας τὴν πρὸς ἀλλήλους ἀγάπην θερμοτέραν ἐργάσηται. σὺ δὲ λαβὼν, οὐ μόνον οὐ δίδως, ἀλλὰ καὶ τύπτεις. καίτοιγε εἰ τὸ μὴ δοῦναι, ἔγκλημα, τὸ τυπτῆσαι, ποίαν φέρει συγγνώμην; τοῦτο δέ μοι δοκεῖ λέγειν, τοὺς ὑβριστὰς καὶ τοὺς πλεονέκτας αἰνιττόμενος, καὶ πολλὴν τὴν κατηγορίαν ἐνδεικνύμενος, ὅταν οὓς τρέφειν ἐκελεύσθησαν, τούτους τύπτωσι. δοκεῖ δέ μοι καὶ τοὺς τρυφῶντας ἐνταῦθα αἰνίττεσθαι. καὶ γὰρ καὶ τρυφῆς μεγάλη κεῖται κόλασις. ἐσθίει γὰρ καὶ πίνει, φησὶ, μετὰ τῶν μεθυόντων, τὴν γαστριμαργίαν δηλῶν. οὐ γὰρ διὰ τοῦτο ἔλαβες, ἵνα εἰς τρυφὴν δαπανήσῃς, ἀλλ' ἵνα εἰς ἐλεημοσύνην ἀναλώσῃς. μὴ γὰρ τὰ σαυτοῦ ἔχεις; τὰ τῶν πενήτων ἐνεπιστεύθης, κἂν ἀπὸ κλήρου πατρῴου κεκτημένος τύχῃς, κἂν ἐκ πόνων δικαίων. μὴ γὰρ οὐκ ἠδύνατο ταῦτα ὁ Θεὸς ἀφελέσθαι σου; ἀλλ' οὐ ποιεῖ τοῦτο, σὲ κύριον ποιῶν τῆς εἰς τοὺς δεομένους φιλοτιμίας. σὺ δέ μοι σκόπει, πῶς διὰ πασῶν τῶν παραβολῶν κολάζει τοὺς οὐκ εἰς τοὺς δεομένους τοῖς χρήμασι χρωμένους τοῖς ἰδίοις. οὔτε γὰρ αἱ παρθένοι ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' οὐκ ἔδωκαν τὰ ἴδια· οὔτε ὁ τὸ ἓν τάλαντον κατορύξας ἐπλεονέκτησεν, ἀλλ' οὐκ ἐδιπλασίασεν· οὔτε οἱ πεινῶντας παριδόντες, ἐπειδὴ τὰ ἀλλότρια ἥρπασαν κολάζονται, ἀλλ' ἐπειδήπερ τὰ αὐτῶν οὐκ ἐσκόρπισαν, καθάπερ καὶ ὁ δοῦλος οὗτος. ἀκούσωμεν τοίνυν ὅσοι γαστριζόμεθα, ὅσοι εἰς δεῖπνα πολυτελῆ τὸν πλοῦτον ἀναλίσκομεν τὸν οὐδὲν ἡμῖν προσήκοντα, ἀλλὰ τῶν δεομένων ὄντα. μὴ γὰρ ἐπειδὴ ἀπὸ πολλῆς φιλανθρωπίας, ὡς ἐκ τῶν σῶν ἐκελεύσθης διδόναι, διὰ τοῦτο καὶ σαυτοῦ νομίζῃς εἶναι ταῦτα. ἔχρησέ σοι, ἵνα δυνηθῇς εὐδοκιμῆσαι. μὴ τοίνυν σὰ εἶναι νόμιζε τὰ αὐτοῦ αὐτῷ διδούς. οὐδὲ γὰρ εἰ σὺ ἐδάνεισάς τινι, ἵνα ἀπελθὼν δυνηθῇ τινας ἀφορμὰς λαβεῖν πόρων, ἐκείνου τὰ χρήματα ἔφης ἂν εἶναι. καὶ σοὶ τοίνυν ἔδωκεν ὁ Θεὸς, ἵνα ἐμπορεύσῃ τὸν οὐρανόν. μὴ τοίνυν τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας ὑπόθεσιν ἀγνωμοσύνης ποιήσῃς. ἐννόησον ὅσης εὐχῆς ἄξιον ἦν, τὸ δυνηθῆναι μετὰ τὸ βάπτισμα εὑρεῖν ὁδὸν λύουσαν ἁμαρτήματα. εἰ* μὴ τοῦτο εἶπε, δὸς ἐλεημοσύνην, πόσοι ἂν εἶπον, εἴθε ἦν δυνατὸν χρήματα δοῦναι καὶ ἀπαλλαγῆναι τῶν μελλόντων κακῶν; ἐπειδὴ δὲ δυνατὸν τοῦτο γέγονε, πάλιν γεγόνασιν ὕπτιοι. ἀλλὰ δίδωμι, φησι. καὶ τί τοῦτο; οὐδέπω γὰρ ἔδωκας, ὅσον ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα· μᾶλλον δὲ οὐ τὸ ἥμισυ, οὐδὲ τὸ πολλοστὸν ἐκείνης, ἀλλὰ τὰ πλείονα εἰς ἀνοήτους [καὶ ἀνωφελεῖς] ἐκβάλλεις δαπάνας, εἰς συμπόσια καὶ μέθην καὶ ἀσωτίαν ἐσχάτην, νῦν μὲν καλῶν, νῦν δὲ καλούμενος· νῦν μὲν ἀναλίσκων σὺ, νῦν δὲ ἑτέρους ἀναλίσκειν ἀναγκάζων· ὥστε καὶ διπλῆν σοι γενέσθαι τὴν κόλασιν, καὶ ἀφ' ὧν αὐτὸς ποιεῖς, καὶ ἀφ' ὧν ἑτέρους προτρέπεις. ὅρα γοῦν καὶ τοῦτον αὐτὸ τοῦτο ἐγκαλούμενον τὸν οἰκέτην. ἐσθίει γάρ, φησι, καὶ πίνει μετὰ τῶν μεθυόντων. οὐδὲ γὰρ τοὺς μεθύοντας μόνον, ἀλλὰ καὶ τοὺς μετ' αὐτῶν ὄντας κολάζει. καὶ μάλα εἰκότως. ὅτι μετὰ τῆς οἰκείας διαφθορᾶς καὶ τῆς τῶν πλησίον ὑπερορῶσι σωτηρίας. τὸν δὲ Θεὸν οὐδὲν οὕτω παροξύνει, ὡς τὸ ὑπεροπτικῶς ἔχειν τῶν τῷ πλησίον προσηκόντων. διὸ καὶ τὸν θυμὸν ἐνδεικνύμενος, διχοτομηθῆναι αὐτὸν ἐκέλευσε. διὰ τοῦτο καὶ τὴν ἀγάπην γνώρισμα τῶν αὐτοῦ μαθητῶν ἔφησεν εἶναι· ἐπειδὴ πᾶσα ἀνάγκη τὸν ἀγαπῶντα, τὰ τοῦ ἀγαπωμένου μεριμνᾶν.

ΗΘΙΚΟΝ

Ταύτης τοίνυν ἐχώμεθα τῆς ὁδοῦ. καὶ γὰρ αὕτη μάλιστά ἐστιν ἡ πρὸς τὸν οὐρανὸν ἀνάγουσα,

σα, ἡ τοῦ Χριστοῦ μιμητὰς ἐργαζομένη, ἡ τοῦ Θεοῦ κατὰ δύναμιν ὁμοίους ποιοῦσα. ὅρα γοῦν καὶ
τὰς ἀρετὰς ταύτας οὔσας ἀναγκαιοτέρας, αἳ παρὰ ταύτην ἐσκήνωνται τὴν ὁδόν· καὶ, εἰ
βούλεσθε, ποιήσωμεν αὐτῶν ἐξέτασιν, καὶ τὰς ψήφους ἀπὸ τῆς τοῦ Θεοῦ ἐνέγκωμεν γνώμης.
ἔστωσαν τοίνυν δύο ζωῆς ἀρίστης ὁδοί· καὶ ἡ μὲν μία αὐτὸν αὐτὸν κατασκευαζέτω καλὸν
τὸν μετιόντα· ἡ δὲ ἑτέρα, καὶ τὸν πλησίον. ἴδωμεν ποία μᾶλλον εὐδοκιμεῖ, καὶ πρὸς τὴν
κορυφὴν ἡμᾶς ἄγει τῆς ἀρετῆς. οὐκοῦν ἐκεῖνος μὲν ὁ τὰ ἑαυτοῦ μόνον ζητῶν, καὶ ἀπὸ τοῦ
Παύλου μυρίας δέξεται αἰτίας (ὅταν δὲ ἀπὸ τοῦ Παύλου εἴπω, τοῦ Χριστοῦ λέγω) οὗτος δὲ
ἐγκώμια καὶ στεφάνους. καὶ πόθεν τοῦτο δῆλον; ἄκουσον τί μὲν τούτῳ διαλέγεται, τί δὲ ἐκείνῳ.
α. Κορ. ι. κδ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ καὶ τὸ τοῦ πλησίον ἕκαστος. ὁρᾷς πῶς τὸ μὲν ἐξέβαλε,
Ρω. ιε. β. γ. τὸ δὲ εἰσήγαγε; καὶ πάλιν, Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.
εἶτα καὶ ὁ ἔπαινος ἄφατος μετὰ παραινέσεως. καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν. ἱκαναὶ
μὲν οὖν καὶ αὗται αἱ ψῆφοι δεῖξαι τὴν νίκην. ἵνα δὲ καὶ ἐκ περιουσίας τοῦτο γένηται, ἴδωμεν
τί μὲν τῶν κατορθωμάτων μέχρις ἡμῶν ἵσταται, τί δὲ ἀφ' ἡμῶν καὶ εἰς ἑτέρους διαβαίνει.
οὐκοῦν τὸ μὲν νηστεῦσαι, καὶ χαμευνῆσαι, καὶ παρθενίαν ἀσκῆσαι, καὶ σωφρονῆσαι, ταῦτα αὐτοῖς
ἐργαζομένοις φέρει τὸ κέρδος· τὰ δὲ ἀφ' ἡμῶν εἰς τὸν πλησίον διαβαίνοντα, ἐλεημοσύνη, διδασκαλία,
α. Κορ. ιγ. γ. ἀγάπη. οὐκοῦν καὶ ταῦτα ἄκουσον Παύλου λέγοντος· Ὅτι κἂν ψωμίσω μου
τὰ ὑπάρχοντα, κἂν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν
ὠφελοῦμαι. ὁρᾷς αὐτὴν καθ' ἑαυτὴν λαμπρῶς ἀνακηρυττομένην καὶ στεφανουμένην; εἰ
δὲ βούλεσθε, καὶ ἐκ τρίτου συμβάλωμεν. καὶ ὁ μὲν νηστευέτω, καὶ σωφρονείτω, καὶ μαρτυρείτω,
καὶ κατακαιέσθω· ἕτερος δέ τις ἀναβαλλέσθω τὸ μαρτύριον διὰ τὴν τοῦ πλησίον οἰκοδομὴν,
καὶ μὴ μόνον ἀναβαλλέσθω, ἀλλὰ καὶ ἀπερχέσθω μαρτυρίου χωρίς. τίς μᾶλλον εὐδοκιμήσει
μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; οὐ δεῖ πολλῶν ἐνταῦθα λόγων ἡμῖν, οὐδὲ μακρᾶς τῆς
Φιλ. α. κγ. κδ. περιόδου. ἐφέστηκε γὰρ ὁ μακάριος Παῦλος τὴν ψῆφον φέρων καὶ λέγων· Τὸ ἀναλῦσαι καὶ
σὺν Χριστῷ εἶναι, κρεῖσσον· τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς. ἀκούεις, ὅτι
καὶ τῆς πρὸς τὸν Χριστὸν ἀποδημίας προετίμησε τοῦ πλησίον τὴν οἰκοδομήν; τοῦτο γὰρ μάλιστά
ἐστι συνεῖναι Χριστῷ, τὸ τὸ θέλημα αὐτοῦ ποιεῖν. θέλημα δὲ αὐτοῦ οὐδὲν οὕτως ἐστὶν, ὡς
Ιωαν. κα. ιε. τὸ συμφέρον τῷ πλησίον. βούλει καὶ τετάρτην εἴπω τούτων ἀπόδειξιν; Πέτρε, εἰ φιλεῖς
με, φησὶ, ποίμαινε τὰ πρόβατά μου. καὶ τρίτον αὐτὸν ἐρωτήσας, τοῦτο ἔφησεν εἶναι φιλίας
τεκμήριον. οὐ πρὸς ἱερέας δὲ τοῦτο μόνον εἴρηται, ἀλλὰ καὶ πρὸς ἕκαστον ἡμῶν, τῶν καὶ μικρὸν
ἐμπεπιστευμένων ποίμνιον. μὴ γὰρ ἐπειδὴ μικρόν ἐστι, καταφρονήσῃς. ὁ γὰρ πατήρ μου, φησὶν,
εὐδόκησεν ἐν αὐτοῖς. ἔχει ἕκαστος ἡμῶν πρόβατον· τοῦτο ἐπὶ τὰς προσηκούσας ἀγέτω
νομάς. καὶ ὁ ἀνὴρ ἀναστὰς ἀπὸ τῆς εὐνῆς, μηδὲν ἄλλο ζητείτω, ἀλλ' ἢ ὅπως ἐργάσηταί τι καὶ
εἴπῃ, δι' ὧν ἅπασαν εὐλαβεστέραν ποιήσῃ τὴν οἰκίαν. ἡ γυνὴ πάλιν ἔστω μὲν οἰκουρὸς, πρὸ δὲ
ταύτης τῆς ἐπιμελείας ἑτέραν ἀναγκαιοτέραν ἐχέτω φροντίδα, τὰ τῶν οὐρανῶν ὅπως ἅπασα
ἐργάσηται ἡ οἰκία. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς πρὸ τῆς κατὰ τὴν οἰκίαν ἐπιμελείας, τὰ δημόσια
σπουδάζομεν καταθεῖναι ὀφλήματα, ὥστε μὴ διὰ τὴν ἐν τούτοις ἀγνωμοσύνην
δέρεσθαι καὶ ἕλκεσθαι ἐπ' ἀγορᾶς, καὶ μυρία ἀσχημονεῖν· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν
τοῦτο δεῖ ποιεῖν, τὰ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ καταθεῖναι πρότερον, ἵνα μὴ ἔλθωμεν
ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ ταύτας ζητῶμεν τὰς ἀρετὰς, αἳ μετὰ τῆς ἡμετέρας σωτηρίας
καὶ τὸν πλησίον τὰ μέγιστα ὠφελῆσαι δύναιντ' ἄν. τοιοῦτον ἡ ἐλεημοσύνη, τοιοῦτον
Πραξ. ι. δ. ἡ εὐχή· μᾶλλον δὲ καὶ αὐτὴ παρ' ἐκείνης δυνατὴ καὶ ὑπόπτερος γίνεται. Αἱ
εὐχαὶ γάρ σου, φησὶ, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.
οὐκ εὐχὴ δὲ μόνον, ἀλλὰ καὶ νηστεία ἐντεῦθεν τὰ νεῦρα ἔχει. κἂν νηστεύῃς χωρὶς ἐλεημοσύνης,
οὐδὲ νηστεία τὸ πρᾶγμα λογίζεται, ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χείρων ὁ τοιοῦτος, καὶ τοσούτῳ

σούτῳ

οὕτω χείρων, ὅσῳ τρυφῆς ὠμότης χεῖρον καὶ χαλεπώτερον. καὶ τί λέγω νηστείαν; κἂν γὰρ σωφρονῇς, κἂν παρθενεύῃς, ἐκτὸς ἕστηκας τοῦ νυμφῶνος, ἐλεημοσύνην οὐκ ἔχων. καίτοι τί παρθενίας ἴσον, ὃ μηδὲ ἐν τῇ καινῇ ὑπὸ νόμον ἦλθε τῆς ἀνάγκης διὰ τὸ ὑπερέχον; ἀλλ' ὅμως ἐκβάλλεται, ὅταν τὴν ἐλεημοσύνην μὴ ἔχῃ. Εἰ δὲ παρθένοι ἐκβάλλονται, ἐπειδὴ ταύτην οὐκ εἶχον μετὰ δαψιλείας τῆς προσηκούσης, τίς δυνήσεται ταύτης ἄνευ συγγνώμης τυχεῖν; οὐκ ἔστιν οὐδείς, ἀλλ' ἀπολέσθαι πάντως ἀνάγκη τὸν ταύτην οὐκ ἔχοντα. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς οὐδεὶς ἑαυτῷ ζῇ, ἀλλὰ καὶ χειροτέχνης, καὶ στρατιώτης, καὶ γεωργὸς, καὶ ἔμπορος πρὸς τὸ κοινῇ συμφέρον καὶ τὸ τῷ πλησίον ὠφέλιμον συντελοῦσιν ἅπαντες· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν. τοῦτο γὰρ μάλιστά ἐστι [τὸ] ζῆν· ὡς ὅγε ἑαυτῷ ζῶν μόνον καὶ πάντων ὑπερορῶν, περιττός ἐστι, καὶ οὐδὲ ἄνθρωπος, οὐδὲ τοῦ γένους τοῦ ἡμετέρου. τί οὖν, φησὶν, ἂν τὰ καθ' ἑαυτοῦ παρίδω, τὰ τῶν ἄλλων ἐπιζητῶν; οὐκ ἔστιν, [οὐκ ἔστι] τὰ τῶν ἄλλων ἐπιζητοῦντα τὰ ἑαυτοῦ παριδεῖν. ὁ γὰρ τὰ τῶν ἄλλων ἐπιζητῶν, οὐδένα λυπεῖ, ἀλλ' ἐλεεῖ πάντας, ὠφελεῖ εἰς δύναμιν τὴν ἑαυτοῦ, οὐδενός τι ἁρπάσει, οὐ πλεονεκτήσει, οὐ κλέψει, οὐ ψευδομαρτυρήσει, πάσης ἀφέξεται κακίας, πάσης ἐπιλήψεται ἀρετῆς, καὶ ὑπερεύξεται τῶν ἐχθρῶν, καὶ εὐεργετήσει τοὺς ἐπιβουλεύοντας, καὶ οὔτε λοιδορήσεταί τινι, οὔτε κακῶς ἐρεῖ, κἂν μυρία ἀκούσῃ κακῶς, ἀλλ' ἐρεῖ τὰ ἀποστολικά· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, β.Κορ.ια.κθ. καὶ οὐκ ἐγὼ πυροῦμαι; ἐκ δὲ τοῦ τὰ ἡμέτερα σκοπεῖν, οὐ πάντως καὶ τὰ τῶν ἄλλων ἕψεται. ἐκ τούτων ἁπάντων πεισθέντες, ὡς οὐκ ἔνι σωθῆναι μὴ τὸ κοινῇ συμφέρον σκοποῦντας, καὶ τὸν διχοτομηθέντα τοῦτον ἰδόντες, καὶ τὸν τὸ τάλαντον κατορύξαντα, ταύτην ἑλώμεθα τὴν ὁδὸν, ἵνα καὶ τῆς αἰωνίου τύχωμεν ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. οη. 1 ΤΟΤΕ ΟΜΟΙΩΘΗΣΕΤΑΙ Η ΒΑΣΙΛΕΙΑ τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. 2 Πέντε δὲ ἦσαν φρόνιμοι, καὶ πέντε μωραί, 3 Αἵτινες οὐκ ἔλαβον, φησὶν, ἔλαιον.

κεφ. κε.

Αὗται αἱ παραβολαὶ τῇ προτέρᾳ ἐοίκασι τῇ τοῦ πιστοῦ δούλου καὶ τοῦ ἀγνώμονος καὶ τὰ δεσποτικὰ κατεδηδοκότος [χρήματα]. τέτταρες γὰρ εἰσὶν αἱ πᾶσαι περὶ τῶν αὐτῶν διαφόρως ἡμῖν παραινοῦσαι· λέγω δὴ τῆς περὶ τὴν ἐλεημοσύνην σπουδῆς, καὶ τοῦ διὰ πάντων, ὧν ἂν δυνάμεθα, τὸν πλησίον ὠφελεῖν, ὡς οὐκ ἐνὸν σωθῆναι ἑτέρως. ἀλλ' ἐνταῦθα μὲν περὶ πάσης ὠφελείας λέγει καθολικώτερον, τὴν εἰς τὸν πλησίον ἐπιδείκνυσθαι χρή· ἐπὶ δὲ τῶν παρθένων περὶ ἐλεημοσύνης ἰδικῶς τῆς ἐν χρήμασι λέγει, καὶ σφοδρότερον, ἢ ἐπὶ τῆς προτέρας παραβολῆς. ἐκεῖ μὲν γὰρ τὸν τύπτοντα καὶ μεθύοντα, καὶ τὰ δεσποτικὰ σκορπίζοντα καὶ ἀπολλύντα κολάζει· ἐνταῦθα δὲ καὶ τὸν οὐκ ὠφελοῦντα, οὐδὲ δαψιλῶς τοῖς δεομένοις τὰ ὄντα ἀποκενοῦντα. εἶχον μὲν γὰρ ἔλεος, οὐ δαψιλὲς δὲ, διὸ καὶ κολάζονται. τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ προσώπου τῶν παρθένων ταύτην προάγει τὴν παραβολὴν, καὶ οὐχ ἁπλῶς οἱονδηποτοῦν ὑποτίθεται πρόσωπον; μεγάλα περὶ παρθενίας διελέχθη εἰπών· Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν Ματθ.ιθ.ιβ. βασιλείαν τῶν οὐρανῶν, καὶ ὁ δυνάμενος χωρεῖν, χωρείτω· ἄλλως δὲ, οἶδε καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων μεγάλην περὶ αὐτῆς δόξαν ἔχοντας. καὶ γὰρ ἐστι τὸ πρᾶγμα φύσει μέγα, καὶ δῆλον ἐξ ὧν οὔτε ἐν τῇ παλαιᾷ ὑπὸ τῶν ἁγίων ἐκείνων καὶ μεγάλων ἀνδρῶν κατωρθώθη, καὶ ἐν τῇ καινῇ δὲ οὐκ ἦλθεν εἰς ἀνάγκην νόμου. οὐ γὰρ ἐπέταξε τοῦτο, ἀλλὰ τῇ προαιρέσει τῶν α. Κορ. ζ. κε. τῶν ἀκουόντων τοῦτο κατορθοῦσθαι ἐπέτρεψε. διὸ καὶ Παῦλός φησι· Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω. ἐπαινῶ μὲν γὰρ τὸν κατορθοῦντα, οὐκ ἀναγκάζω δὲ τὸν μὴ βουλόμενον, οὐδὲ ἐπίταγμα τὸ πρᾶγμα ποιῶ. ἐπεὶ οὖν καὶ μέγα τὸ πρᾶγμα ἦν, καὶ μεγάλην παρὰ τοῖς πολλοῖς δόξαν εἶχεν, ἵνα μή τις τοῦτο κατορθῶν, ὡς τὸ πᾶν κατορθωκὼς ἀμελῶς διάκειται, καὶ τῶν λοιπῶν ἀμελῇ, τίθησι ταύτην τὴν παραβολὴν, ἱκανὴν πεῖσαι ὅτι παρθενία καὶ τὰ ἄλλα πάντα καλὰ, τῶν ἀπὸ τῆς ἐλεημοσύνης καλῶν ἔρημος οὖσα, μετὰ τῶν πόρνων ἐκβάλλεται, καὶ τὸν ἀπάνθρωπον, καὶ τὸν ἀνελεήμονα ἵστησι μετ' αὐτῶν· καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ σωμάτων ἔρωτος ἡττήθη, αἱ δὲ χρημάτων. οὐκ ἔστι δὲ ἴσον σωμάτων ἔρως καὶ χρημάτων. ἀλλ' ὁ τῶν σωμάτων δριμύτερός τε πολλῷ καὶ τυραννικώτερος. ὅσῳ γοῦν ἀσθενέστερος ὁ ἀνταγωνιστής, τοσούτῳ ἀσύγγνωστοι μᾶλλον αἱ νικηθεῖσαι. διὰ τοῦτο δὴ καὶ μωρὰς αὐτὰς καλεῖ, ὅτι τὸν μείζονα ὑποστᾶσαι πόνον, διὰ τὸν ἐλάττονα τὸ πᾶν προὔδωκαν. λαμπάδας δὲ ἐνταῦθά φησιν αὐτὸ τὸ τῆς παρθενίας χάρισμα, τὸ καθαρὸν τῆς ἁγιωσύνης· ἔλαιον δὲ, τὴν φιλανθρωπίαν, τὴν ἐλεημοσύνην, τὴν περὶ τοὺς δεομένους βοήθειαν.

5 Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον.

Ἐνταῦθα δείκνυσιν οὐκ ὀλίγον τὸν χρόνον ἐσόμενον πάλιν τὸν μεταξὺ, τοὺς μαθητὰς ἀπάγων τοῦ προσδοκᾶν αὐτίκα μάλα φανεῖσθαι τὴν βασιλείαν αὐτοῦ. καὶ γὰρ τοῦτο ἤλπιζον. διὰ τοῦτο καὶ συνεχῶς αὐτοὺς ἀναχαιτίζει τῆς ἐλπίδος ταύτης. μετὰ δὲ τούτου κἀκεῖνο ἐμφαίνει, ὅτι ὕπνος ὁ θάνατός ἐστιν. ἐκάθευδον γάρ, φησι.

6 Περὶ δὲ μέσας νύκτας κραυγὴ γέγονεν. Ἤτοι τῇ παραβολῇ ἐπέμενεν, ἢ πάλιν δείκνυσιν ὅτι ἐν νυκτὶ ἡ ἀνάστασις ἔσται. τὴν δὲ κραυγὴν καὶ ὁ Παῦλος ἐνδείκνυται λέ-
α. Θεσσ. δ. ις. γων· Ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ' οὐρανοῦ. καὶ τί βούλονται αἱ σάλπιγγες; τί δὲ ἡ κραυγὴ λέγει; ὁ νυμφίος ἔρχεται.

7 Ἐπεὶ οὖν ἐκόσμησαν τὰς λαμπάδας,

8 Λέγουσιν αἱ μωραὶ ταῖς φρονίμοις· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν.

Πάλιν αὐτὰς μωρὰς καλεῖ, δεικνὺς ὅτι οὐδὲν μωρότερον τῶν ἐνταῦθα χρηματιζομένων καὶ γυμνῶν ἀπιόντων ἐκεῖσε, ἔνθα μάλιστα φιλανθρωπίας ἡμῖν χρεία, ἔνθα πολλοῦ τοῦ ἐλαίου. οὐ ταύτῃ δὲ μόνον μωραὶ, ἀλλ' ὅτι καὶ προσεδόκησαν ἐκεῖθεν λήψεσθαι, καὶ ἀκαίρως ἐζήτησαν· καίτοιγε οὐδὲν ἐκείνων φιλανθρωπότερον τῶν παρθένων ἦν, αἳ διὰ τοῦτο μάλιστα εὐδοκίμησαν. καὶ οὐδὲ τὸ πᾶν ζητοῦσι. δότε γὰρ ἡμῖν, φησιν, ἐκ τοῦ ἐλαίου ὑμῶν. καὶ τὸ ἀναγκαῖον τῆς χρείας ἐπιδεικνύουσι. σβέννυνται γάρ, φησιν, αἱ λαμπάδες ἡμῶν. ἀλλὰ καὶ οὕτως ἀπέτυχον· καὶ οὔτε ἡ φιλανθρωπία τῶν αἰτουμένων, οὔτε τὸ εὔκολον τῆς αἰτήσεως, οὔτε τὸ ἀναγκαῖον καὶ χρειῶδες ἐποίησεν αὐτὰς ἐπιτυχεῖν. ἀλλὰ τί ἐντεῦθεν μανθάνομεν; ὅτι οὐδεὶς ἡμῶν ἐκεῖ, τῶν ἐκ τῶν ἔργων προδεδωκότων, προστῆναι δυνήσεται, οὐκ ἐπειδὴ οὐ βούλεται, ἀλλ' ἐπειδὴ οὐ δύναται. καὶ γὰρ καὶ αὗται ἐπὶ τὸ ἀδύνατον καταφεύγουσι. τοῦτο
Λουκ. ις. κϛ. καὶ ὁ μακάριος Ἀβραὰμ ἐδήλωσεν εἰπών· Ὅτι χάσμα μέγα ἐστὶ μεταξὺ ὑμῶν καὶ ἡμῶν, ὥστε μηδὲ βουλομένοις ἐξεῖναι διαβῆναι.

9 Πορεύεσθε δὲ πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε.

Καὶ τίνες οἱ πωλοῦντες; οἱ πένητες. καὶ ποῦ οὗτοι; ἐνταῦθα, καὶ τότε ζητῆσαι ἔδει, οὐκ ἐν τῷ καιρῷ ἐκείνῳ. ὁρᾷς ὅπως γίνεται ἡμῖν ἀπὸ τῶν πενήτων ἡ πραγματεία; κἂν τούτους ἀνέλῃς, τὴν πολλὴν τῆς σωτηρίας ἡμῶν ἀνεῖλες ἐλπίδα. διόπερ ἐνταῦθα τὸ ἔλαιον συναγαγεῖν χρὴ, ἵνα ἐκεῖ χρήσιμον γένηται, ὅταν ὁ καιρὸς ἡμᾶς καλῇ. οὐ γὰρ ἐκεῖνός ἐστιν ὁ καιρὸς τῆς συλλογῆς, ἀλλ' οὗτος. μὴ τοίνυν ἀνάλισκε μάτην τὰ ὄντα εἰς τρυφὰς καὶ κενοδοξίας. πολλοῦ γάρ σοι ἐκεῖ χρεία τοῦ ἐλαίου. ταῦτα ἀκούσασαι ἐκεῖναι ἀπῆλθον, ἀλλ' οὐδὲν ὤνησαν. τοῦτο δέ φησιν, ἢ τῇ παραβολῇ παραμένων καὶ ὑφαίνων αὐτήν· ἢ καὶ διὰ τούτων δεικνύς, ὅτι κἂν φιλάνθρωποι γενώμεθα μετὰ τὸ ἀπελθεῖν, οὐδὲν ἐντεῦθεν κερδήσομεν εἰς τὸ διαφυγεῖν [τὴν κόλασιν.] ἐκείνου οὐδὲ ταύταις ἤρκεσεν ἡ προθυμία· ἐπειδὴ μὴ ἐνταῦθα ἀπῆλθον πρὸς τοὺς πωλοῦντας, ἀλλ' ἐκεῖ· οὔτε τῷ πλουσίῳ, ὅτε οὕτω φιλάνθρωπος γέγονεν, ὡς καὶ ὑπὲρ τῶν αὐτῷ προσηκόντων μεριμνᾷν. ὁ γὰρ τὸν ἐν τῷ πυλῶνι κείμενον παρατρέχων, τοὺς οὐδὲ ὁρωμένους ἐξαρπάσαι" τῶν κινδύνων καὶ τῆς γεέννης ἐπείγεται, καὶ παρακαλεῖ πεμφθῆναί τινας τοὺς ταῦτα ἀπαγγελοῦντας αὐτοῖς. ἀλλ' ὅμως οὐδὲν ἐκεῖνος ἐντεῦθεν ὤνατο, ὥσπερ οὐδὲ αὗται.

Λυκ. ιϛ. κη.

10 Ἐπειδὴ γὰρ ταῦτα ἀκούσασαι ἀπῆλθον, ἦλθεν ὁ νυμφίος· καὶ αἱ μὲν ἕτοιμοι συνεισῆλθον, αἱ δὲ ἀπεκλείσθησαν, Μετὰ τοὺς πολλοὺς πόνους, μετὰ τοὺς μυρίους ἱδρῶτας καὶ τὴν ἀφόρητον μάχην ἐκείνην, καὶ τὰ τρόπαια ἃ κατὰ τῆς φύσεως λυττώσης ἀνέστησαν καταισχυνθεῖσαι, καὶ τῶν λαμπάδων ἐσβεσμένων ἀνεχώρουν κάτω κύπτουσαι. οὐδὲν γὰρ ἀμαυρότερον παρθενίας" ἐλεημοσύνην μὴ ἐχούσης. οὕτω καὶ οἱ πολλοὶ τοὺς ἀνελεήμονας εἰώθασι καλεῖν σκοτεινούς. ποῦ τοίνυν τῆς παρθενίας τὸ" καύχημα, ὅτε τὸν νυμφίον οὐκ εἶδον, καὶ οὐδὲ κρούσασαι ἤνυσαν, ἀλλὰ τὸ φοβερὸν ἐκεῖνο ἤκουσαν ῥῆμα, ὑπάγετε, οὐκ οἶδα ὑμᾶς; ὅταν δὲ αὐτὸς εἴπῃ τοῦτο, οὐδὲν ἕτερον ἢ γέεννα καταλιμπάνεται, καὶ ἡ ἀφόρητος κόλασις· μᾶλλον δὲ καὶ τῆς γεέννης τουτὶ τὸ ῥῆμα χαλεπώτερον. τοῦτο τὸ ῥῆμα καὶ τοῖς τὴν ἀνομίαν ἐργαζομένοις εἶπε. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὔτε τὴν ὥραν. ὁρᾷς πῶς συνεχῶς" τοῦτο ἐπιλέγει, χρησίμην δεικνὺς τὴν ἄγνοιαν τῆς ἐξόδου τῆς ἐντεῦθεν; ποῦ" νῦν εἰσιν οἱ διὰ παντὸς μὲν τοῦ βίου ῥᾴθυμοι, ὅταν δὲ ἐγκαλῶνται παρ' ἡμῶν, λέγοντες, ὅτι ἐν καιρῷ τελευτῆς καταλιμπάνω τοῖς δεομένοις; ἀκουέτωσαν τῶν ῥημάτων τούτων, καὶ διορθούσθωσαν. καὶ γὰρ καὶ ἐν ἐκείνῳ τῷ καιρῷ πολλοὶ ἐξέπεσον τούτου, ἀθρόον ἀναρπασθέντες, καὶ οὐδὲ ἐπισκῆψαι συγχωρηθέντες τοῖς οἰκείοις ὑπὲρ ὧν ἐβούλοντο. αὕτη μὲν οὖν ἡ παραβολὴ, τῆς διὰ χρημάτων ἐλεημοσύνης ἕνεκεν εἴρηται· ἡ δὲ μετὰ ταύτην, πρὸς τοὺς οὐ χρήμασιν, οὐ λόγῳ, οὐ προστασίᾳ, οὐχ ἑτέρῳ ὁτῳοῦν ὠφελεῖν βουλομένους τοὺς πλησίον, ἀλλὰ πάντα ἀποκρύπτοντας. καὶ τί δήποτε αὕτη μὲν ἡ παραβολὴ βασιλέα εἰσάγει, ἐκείνη δὲ νυμφίον; ἵνα μάθῃς πῶς οἰκείως ἔχει πρὸς τὰς παρθένους ὁ Χριστὸς, τὰς ἀποδυομένας τὰ ὄντα· τοῦτο γὰρ καὶ παρθενία. διὸ καὶ Παῦλος τοῦτον τίθησιν ὅρον τοῦ πράγματος· Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, φησὶ, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως. ταῦτα παραινοῦμεν, φησίν. εἰ δὲ ἐν τῷ Λουκᾷ ἑτέρως κεῖται ἡ τῶν ταλάντων παραβολὴ, ἐκεῖνο λεκτέον, ὅτι ἄλλη αὕτη, καὶ ἑτέρα ἐκείνη. ἐν ἐκείνῃ μὲν γὰρ ἀπὸ ἑνὸς κεφαλαίου διάφοροι γεγόνασιν αἱ πρόσοδοι· ἀπὸ γὰρ μιᾶς μνᾶς, ὁ μὲν πέντε, ὁ δὲ δέκα προσήνεγκαν, διὸ οὐδὲ τῶν αὐτῶν ἔτυχον [δωρεῶν·] ἐνταῦθα δὲ τοὐναντίον, διὸ καὶ ὁ στέφανος ἴσος. εἰ γὰρ ὁ δύο λαβὼν, δύο ἔδωκεν, καὶ ὁ τὰ πέντε πάλιν ὁμοίως· ἐκεῖ δὲ, ἐκ τῆς αὐτῆς ὑποθέσεως ὁ μὲν πλείονα, ὁ δὲ ἐλάττονα πρόσοδον" ἐποιήσατο, εἰκότως καὶ ἐν τοῖς ἐπάθλοις οὐχ ὁμοίως ἀπολαύουσιν. ὅρα δὲ αὐτὸν πανταχοῦ οὐκ εὐθέως ἀπαιτοῦντα. καὶ γὰρ ἐπὶ τοῦ ἀμπελῶνος ἐξέδοτο γεωργοῖς καὶ ἀπεδήμησεν· οὕτω καὶ ἐνταῦθα ἐνεπίστευσε καὶ ἀπεδήμησεν, ἵνα μάθῃς αὐτοῦ τὴν πολλὴν μακροθυμίαν. ἐμοὶ δὲ δοκεῖ καὶ τὴν ἀνάστασιν αἰνιττόμενος ταῦτα λέγειν. ἀλλ' ἐνταῦθα οὐκ ἔτι γεωργοὶ καὶ ἀμπελὼν, ἀλλὰ πάντες ἐργάται. οὐ γὰρ πρὸς ἄρχοντας μόνον, οὐδὲ πρὸς Ἰουδαίους, ἀλλὰ πρὸς ἅπαντας διαλέγεται. καὶ οἱ μὲν προσφέροντες, ὁμολογοῦσιν εὐγνωμόνως καὶ τὰ αὐτῶν καὶ τὰ τοῦ δεσπότου· καὶ ὁ μὲν λέγει, κύριε, πέντε μοι τάλαντα ἔδωκας, ὁ δὲ λέγει δύο, δεικνύντες ὅτι παρ' αὐτοῦ τὴν ἀφορμὴν ἔλαβον τῆς ἐργασίας, καὶ πολλὴν χάριν ἴσασι, καὶ τὸ πᾶν αὐτῷ λογίζονται. τί οὖν ὁ δεσπότης;

α. Κορ. ζ. λβ.

Λυκ. ιθ. ιβ.

21 Εὖ δοῦλε ἀγαθὲ, φησὶ (τοῦτο γάρ ἐστιν ἀγαθοῦ, τὸ εἰς τὸν πλησίον ὁρᾷν) καὶ πιστὲ·

ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Τὴν πᾶσαν μακαριότητα διὰ τοῦ ῥήματος τούτου δεικνύς. ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ πῶς;

24 Ἤδειν ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας·

25 Καὶ φοβηθεὶς ἔκρυψα τὸ τάλαντόν σου. ἴδε, ἔχεις τὸ σόν. Τί οὖν ὁ δεσπότης;

26 [Δοῦλε πονηρὲ,] ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας·

Τουτέστιν, εἰπεῖν ἔχρην, παραινέσαι, συμβουλεῦσαι. ἀλλ' οὐ πείθονται. ἀλλ' οὐκ ἐπὶ τοῦτο πρὸς σέ. τί τούτου γένοιτ' ἂν ἡμερώτερον; ἄνθρωποι μὲν γὰρ οὐχ οὕτω ποιοῦσιν, ἀλλ' αὐτὸν τὸν δανείσαντα, αὐτὸν καὶ ὑπεύθυνον τῆς ἀπαιτήσεως καθιστῶσιν. αὐτὸς δὲ οὐχ οὕτως, ἀλλά σε ἔδει καταβαλεῖν, φησὶ, καὶ τὴν ἀπαίτησιν ἐμοὶ ἐπιτρέψαι· κἀγὼ μετὰ τόκου ἂν ἀπῄτησα, τόκον λέγων ἀκροάσεως, τὴν τῶν ἔργων ἐπίδειξιν. | σὲ ἔδει τὸ εὐκολώτερον ποιῆσαι, ἐμοὶ δὲ τὸ δυσκολώτερον ἀφεῖναι. ἐπεὶ οὖν τοῦτο οὐκ ἐποίησας,

28 Λάβετε, φησὶν, ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ τὰ δέκα τάλαντα ἔχοντι.

29 Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Τί δὴ τοῦτό ἐστιν; ὁ χάριν λόγου καὶ διδασκαλίας εἰς τὸ ὠφελεῖν ἔχων καὶ μὴ χρώμενος αὐτῇ, καὶ τὴν χάριν ἀπολεῖ· ὁ δὲ σπουδὴν παρεχόμενος, πλείονα ἐπισπάσεται τὴν δωρεάν· ὥσπερ οὖν ἐκεῖνος, καὶ ὃ ἔλαβεν ἀπόλλυσιν. ἀλλ' οὐ μέχρι τούτου ἡ ζημία τῷ ἀργοῦντι, ἀλλὰ καὶ ἀφόρητος ἡ κόλασις, καὶ μετὰ τῆς κολάσεως ἡ ἀπόφασις πολλῆς γέμουσα τῆς κατηγορίας.

30 Τὸν γὰρ ἀχρεῖον δοῦλον ἐκβάλετε, φησὶν, εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Εἶδες πῶς οὐ μόνον ὁ ἁρπάζων καὶ πλεονεκτῶν, οὐδὲ ὁ κακὰ ἐργαζόμενος, ἀλλὰ καὶ ὁ ἀγαθὰ μὴ ποιῶν κολάζεται κόλασιν τὴν ἐσχάτην;

ΗΘΙΚΟΝ Ἀκούσωμεν τοίνυν τῶν ῥημάτων τούτων, καὶ ὡς ἔτι καιρὸς, ἀντιλαβώμεθα τῆς σωτηρίας τῆς ἡμετέρας. λάβωμεν ἔλαιον εἰς τὰς λαμπάδας, ἐργασώμεθα εἰς τὸ τάλαντον. ἂν γὰρ ὀκνήσωμεν καὶ ἐν ἀργίᾳ διατρίβωμεν ἐνταῦθα, οὐδεὶς ἡμᾶς ἐλεήσει λοιπὸν ἐκεῖ, κἂν μυρία θρηνῶμεν. κατέγνω ἑαυτοῦ καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἔχων, καὶ οὐδὲν ὠφέλησεν. ἀπέδωκε καὶ τὴν ἐπιστευθεῖσαν παρακαταθήκην ὁ τὸ ἓν τάλαντον, καὶ οὕτω κατεκρίθη. παρεκάλεσαν καὶ αἱ παρθένοι καὶ προσῆλθον καὶ ἔκρουσαν, ἀλλὰ πάντα εἰκῆ καὶ μάτην. ταῦτα οὖν εἰδότες, καὶ χρήματα, καὶ σπουδὴν, καὶ προστασίαν, καὶ πάντα εἰσενέγκωμεν εἰς τὴν τῶν πλησίον ὠφέλειαν. τάλαντα γὰρ ἐνταῦθά ἐστιν ἡ ἑκάστου δύναμις, εἴτε ἐν προστασίᾳ, εἴτε ἐν χρήμασιν, εἴτε ἐν διδασκαλίᾳ, εἴτε ἐν [ἄλλῳ] οἵῳ δήποτε πράγματι τοιούτῳ. μηδεὶς [οὖν] λεγέτω ὅτι ἓν τάλαντον ἔχω, καὶ οὐδὲν δύναμαι ποιῆσαι. δύνασαι γὰρ καὶ δι' ἑνὸς εὐδοκιμῆσαι. οὐ γὰρ εἶ τῆς χήρας ἐκείνης πενέστερος, οὐκ εἶ Πέτρου καὶ Ἰωάννου ἀγροικότερος, οἳ καὶ ἰδιῶται καὶ ἀγράμματοι ἦσαν, ἀλλ' ὅμως ἐπειδὴ προθυμίαν ἐπεδείξαντο, καὶ πρὸς τὸ κοινῇ συμφέρον πάντα ἐποίουν, τῶν οὐρανῶν ἐπελάβοντο. οὐδὲν γὰρ οὕτως ἐστὶ τῷ Θεῷ φίλον, ὡς τὸ κοινωφελῶς ζῆν. διὰ τοῦτο λόγον ἡμῖν ἔδωκεν ὁ Θεὸς, καὶ χεῖρας καὶ πόδας, καὶ σώματος ἰσχὺν, καὶ νοῦν, καὶ σύνεσιν, ἵνα πᾶσι τούτοις καὶ εἰς τὴν ἡμετέραν αὐτῶν σωτηρίαν, καὶ εἰς τὴν τῶν πλησίον ὠφέλειαν χρησώμεθα. οὐδὲ γὰρ εἰς ὕμνους ἡμῖν ὁ λόγος καὶ εὐχαριστίας χρήσιμος μόνον, ἀλλὰ καὶ εἰς διδασκαλίαν λυσιτελὴς καὶ παραίνεσιν. κἂν μὲν εἰς τοῦτο χρησώμεθα, τὸν δεσπότην ἐζηλώσαμεν· ἂν δὲ εἰς τἀναντία, τὸν διάβολον. ἐπεὶ καὶ Πέτρος, ὅτε μὲν ὡμολόγησε τὸν Χριστὸν, ἐμακαρίζετο, ὡς τὰ τοῦ πατρὸς εἰρηκώς· ὅτε δὲ παρῃτεῖτο τὸν σταυρὸν καὶ ἀπηγόρευσεν, ἐπετιμᾶτο σφοδρῶς, ὡς τὰ τοῦ διαβόλου φρονῶν. εἰ δὲ * ἔνθα ἀγνοίας ἦν τὸ εἰρημένον, τοσαύτη ἡ κατηγορία, ὅταν ἑκόντες πολλὰ ἁμαρτάνωμεν, ποίαν ἕξομεν" ἀπολογίαν; τοιαῦτα τοίνυν φθεγγώμεθα, ἵνα αὐτόθεν ᾖ δῆλα τὰ ῥήματα τοῦ Χριστοῦ ὄντα. οὐδὲ γὰρ ἂν εἴπω μόνον, ἔγειραι καὶ περιπάτει, οὐδὲ ἐὰν εἴπω, Ταβηθὰ ἀνάστηθι, τότε τὰ τοῦ Χριστοῦ λαλῶ· ἀλλὰ πολλῷ μᾶλλον ἂν λοιδορηθεὶς εὐλογήσω, ἂν ἐπηρεασθεὶς εὔξωμαι ὑπὲρ τοῦ ἐπηρεάζοντος. πρότερον μὲν οὖν ἔλεγον, ὅτι χείρ ἐστιν ἡ γλῶττα ἡμῶν τῶν τοῦ Θεοῦ ποδῶν ἁπτομένη· νῦν δὲ πολλῷ πλέον λέγω, ὅτι γλῶττά ἐστιν ἡ γλῶττα ἡμῶν, τῆς τοῦ Χριστοῦ μιμουμένη, ἐὰν τὴν προσήκουσαν ἀκρίβειαν ἐπιδείξηται, ἂν ἐκεῖνα φθεγγώμεθα, ἅπερ ἐκεῖνος βούλεται. τί δέ ἐστιν, ἃ ἐκεῖνος ἡμᾶς βούλεται φθέγγεσθαι; τὰ ἐπιεικείας γέμοντα ῥήματα, τὰ πρᾳότητος, ὥσπερ οὖν καὶ αὐτὸς ἐφθέγγετο, λέγων τοῖς ὑβρίζουσιν αὐτόν· Ἐγὼ δαιμόνιον οὐκ ἔχω· καὶ πάλιν, Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· τῷ δὲ προδιδόντι μαθητῇ, ἑταῖρε ἐφ᾽ ᾧ πάρει; ἐὰν οὕτω καὶ σὺ λέγῃς, ἐὰν εἰς διόρθωσιν" τὸν πλησίον λαλῇς," ἐκτήσω γλῶτταν ἐοικυῖαν ἐκείνῃ. καὶ ταῦτα αὐτός φησιν ὁ Θεός. Ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσται, φησίν. ὅταν οὖν ἡ γλῶττά σου, ὡς ἡ γλῶττα γένηται τοῦ Χριστοῦ, καὶ τὸ στόμα σου, ὡς [τὸ] στόμα τοῦ Πατρὸς, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου ναὸς ᾖς, ποία ταύτης λοιπὸν ἴση γένοιτ᾽ ἂν τιμή; οὐδὲ γὰρ, εἰ ἀπὸ χρυσίου συνέκειτό σου τὸ στόμα, οὐδὲ, εἰ ἀπὸ λίθων τιμίων, οὕτως ἔμελλε λάμπειν ὡς νῦν, τῷ κόσμῳ τῆς ἐπιεικείας καταυγαζόμενον. τί γὰρ στόματος ποθεινότερον οὐκ εἰδότος ὑβρίζειν, ἀλλ᾽ εὐλογεῖν [καὶ χρηστολογεῖν] μεμελετηκότος; εἰ δὲ οὐκ ἀνέχῃ εὐλογεῖν τὸν καταρώμενον, σίγησον, καὶ τοῦτο τέως κατόρθωσον, καὶ ὁδῷ προβαίνων καὶ σπουδάζων ὡς χρὴ, καὶ ἐπ᾽ ἐκεῖνο ἥξεις, καὶ * κτήσῃ στόμα τοιοῦτον οἷον εἰρήκαμεν. καὶ μὴ νομίσῃς τολμηρὸν εἶναι τὸ λεχθέν. φιλάνθρωπος γάρ ἐστιν ὁ δεσπότης, καὶ τῆς ἀγαθότητος αὐτοῦ τοῦτο δῶρον γέγονε. τολμηρόν ἐστι, στόμα" διαβόλῳ ἔχειν ἐοικὸς, δαίμονος πονηροῦ κεκτῆσθαι γλῶτταν ὁμοίαν, μάλιστα τῶν μυστηρίων τοιούτων μετέχοντα, καὶ αὐτῇ κοινωνοῦντα τῇ σαρκὶ τοῦ δεσπότου. ταῦτ᾽ οὖν ἀναλογιζόμενοι, γίνου κατ᾽ ἐκεῖνον εἰς δύναμιν τὴν σὴν, καὶ οὐκ ἔτι σοι λοιπὸν ὁ διάβολος οὐδὲ ἀντιβλέψαι τοιούτῳ γινομένῳ δυνήσεται. καὶ γὰρ ἐπιγινώσκει τὸν χαρακτῆρα τὸν βασιλικόν· οἶδε τοῦ Χριστοῦ τὰ ὅπλα δι᾽ ὧν ἡττήθη. τίνα δὲ ταῦτά ἐστιν; ἐπιείκεια καὶ πρᾳότης. καὶ γὰρ ὅτε ἐν τῷ ὄρει προσβάλλοντα αὐτὸν κατέρραξε καὶ ἐξέτεινεν, οὐχὶ γνωριζόμενος ὅτι Χριστὸς ἦν, ἀλλ᾽ ἀπὸ τῶν ῥημάτων αὐτὸν ἐσαγήνευσε τούτων, ἀπὸ ἐπιεικείας εἷλεν, ἀπὸ πρᾳότητος ἐτροπώσατο. τοῦτο καὶ σὺ ποίησον· ἂν ἴδῃς ἄνθρωπον διάβολον γινόμενον καὶ προσιόντα σοι, οὕτω καὶ σὺ νίκησον. ἔδωκέ σοι ὁ Χριστὸς ἐξουσίαν γίνεσθαι κατ᾽ αὐτὸν εἰς δύναμιν τὴν σήν. μὴ φοβηθῇς τοῦτο ἀκούων. φόβος ἐστὶ, τὸ μὴ γίνεσθαι κατ᾽ αὐτόν. φθέγγου τοίνυν κατ᾽ ἐκεῖνον, καὶ γέγονας κατὰ τοῦτο τοιοῦτος οἷος ἐκεῖνος, ὡς ἄνθρωπον ὄντα ἔνι γίνεσθαι. διὰ τοῦτο μείζων ὁ οὕτω λαλῶν, ἢ ὁ προφητεύων. τὸ μὲν γὰρ χάρις ὅλον, ἐνταῦθα δὲ καὶ πόνος σὸς καὶ ἱδρώς. δίδαξον τὴν ψυχὴν διαπλάττειν σοῦ τὸ στόμα στόματι Χριστοῦ ἐοικός. δύναται γὰρ τοιαῦτα δημιουργεῖν, ἂν ἐθέλῃ· οἶδε τὴν τέχνην, ἂν μὴ ᾖ ῥᾴθυμος. καὶ πῶς πλάττεται τοιοῦτον στόμα, φησί; διὰ ποίων χρωμάτων; διὰ ποίας ὕλης; διὰ χρωμάτων μὲν καὶ ὕλης οὐδεμιᾶς· δι᾽ ἀρετῆς δὲ μόνης καὶ ἐπιεικείας, διὰ ταπεινοφροσύνης. ἴδωμεν δὲ πῶς καὶ στόμα διαβόλου πλάττεται, ἵνα μηδέποτε ἐκεῖνο κατασκευάσωμεν. πῶς οὖν πλάττεται; διὰ ἀρῶν, διὰ ὕβρεων, δι᾽ ἐπιορκίας, διὰ βασκανίας. ὅταν γὰρ τὰ ἐκείνου φθέγγηταί τις, τὴν ἐκείνου γλῶτταν λαμβάνει. ποίαν οὖν ἕξομεν συγγνώμην, μᾶλλον δὲ ποίαν οὐχ ὑποστησόμεθα τιμωρίαν, ὅταν τὴν γλῶτταν, ἣν κατηξιώθημεν σαρκὸς γεύσασθαι δεσποτικῆς, ταύτην περιίδωμεν τὰ τοῦ διαβόλου φθεγγομένην; μὴ δὴ περιίδωμεν, ἀλλὰ πάσῃ χρησώμεθα σπουδῇ, ὥστε αὐτὴν παιδεῦσαι τὸν δεσπότην μιμεῖσθαι τὸν ἑαυτῆς. ἂν γὰρ αὐτὴν παιδεύσωμεν οὕτω, μετὰ πολλῆς τῆς παρρησίας ἐπὶ τοῦ βήματος ἡμᾶς στήσει τοῦ Χριστοῦ. ἂν μή τις οὕτως εἰδῇ λαλεῖν, οὐδὲ ἀκούσεται αὐτοῦ ὁ δικαστής. καθάπερ γὰρ ὅταν Ῥωμαῖος ὢν ὁ

Ιωαν. η. μθ.

Ιωαν. ιη. κγ.

Ιερ. ιε. ιθ.

κριτὴς τύχῃ, οὐκ ἀκούσεται) ἀπολογουμένου τοῦ οὐκ εἰδότος οὕτω φθέγγεσθαι· οὕτω καὶ ὁ Χριστός,
ἂν μὴ κατὰ τὸν αὐτοῦ τρόπον λαλῇς, οὐκ ἀκούσεταί σου, οὐδὲ προσέξει [σοι.] μάθωμεν
τοίνυν οὕτω λαλεῖν, ὡς εἴωθεν ἀκούειν ὁ βασιλεὺς ὁ ἡμέτερος· σπουδάσωμεν ἐκείνου
μιμεῖσθαι τὴν γλῶτταν. κἂν εἰς πένθος ἐμπέσῃς, σκόπει ὅπως μὴ διαστρέψῃ σου τὸ στόμα
τῆς ἀθυμίας ἡ τυραννίς· ἀλλὰ λαλήσεις ὥσπερ ὁ Χριστός. ἐπένθησε γὰρ καὶ αὐτὸς καὶ τὸν
Ιωαν.ια.λε. Λάζαρον καὶ τὸν Ἰούδαν. ἂν εἰς φόβον ἐμπέσῃς, ζήτησον οὕτω λαλῆσαι πάλιν ὡς ὁ Χριστός.
Ματθ.κϛ.λθ. ἐνέπεσε γὰρ καὶ αὐτὸς εἰς φόβον διὰ σὲ κατὰ τὸν οἰκονομίας λόγον. εἰπὲ καὶ σύ, Πλὴν
οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. κἂν κλαίῃς, δάκρυσον ἠρέμα ὡς αὐτός· κἂν εἰς ἐπιβουλὰς
ἐμπέσῃς καὶ λύπην, καὶ ταῦτα ὡς ὁ Χριστὸς διάθου. καὶ γὰρ καὶ ἐπεβουλεύθη καὶ ἐλυπήθη,
Ματθ.κϛ.λη. καὶ λέγει, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, καὶ πάντα σοι τὰ ὑποδείγματα παρέχει,
ἵνα τὰ αὐτὰ διαφυλάττῃς μέτρα, καὶ τοὺς δοθέντας σοι μὴ διαφθείρῃς κανόνας. οὕτω δυνήσῃ
στόμα ἔχειν ἐοικὸς τῷ ἐκείνου στόματι· οὕτως ἐπὶ γῆς βαδίζων, τὴν ἄνω καθημένου γλῶτταν
ἡμῖν ἐπιδείξεις ὁμοίαν, τὰ μέτρα τὰ ἐν ἀθυμίᾳ, τὰ ἐν ὀργῇ, τὰ ἐν πένθει, τὰ ἐν ἀγωνίᾳ
διατηρῶν. πόσοι ἡμῶν εἰσιν οἱ ἐπιθυμοῦντες αὐτοῦ τὴν μορφὴν ἰδεῖν; ἰδοὺ οὐκ ἰδεῖν
μόνον, ἀλλὰ καὶ γενέσθαι κατ' αὐτὸν δυνατόν, ἂν σπουδάζωμεν· μὴ ἀναβαλλώμεθα τοίνυν.
Ματθ.ζ.κβ.κγ. οὐχ οὕτως ἀσπάζεται προφητῶν στόματα, ὡς ἐπιεικῶν καὶ πράων ἀνθρώπων. Πολλοὶ γάρ
ἐροῦσί μοι, φησιν, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, οὐ τῷ ὀνόματί σου προεφητεύσαμεν; καὶ ἐρῶ
Αριθ.ιβ.γ. αὐτοῖς, οὐκ οἶδα ὑμᾶς. τὸ δὲ τοῦ Μωϋσέως, ἐπειδὴ σφόδρα ἐπιεικὴς ἦν καὶ πρᾶος (ὁ γὰρ
Μωϋσῆς, φησιν, ἦν ἄνθρωπος πρᾳότατος παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς)
οὕτως ἠσπάζετο καὶ ἐφίλει, ὡς εἰπεῖν, ἐνώπιος ἐνωπίῳ, καὶ στόμα κατὰ στόμα ἐλάλει, ὡσανεὶ
φίλος πρὸς τὸν ἑαυτοῦ φίλον. οὐκ ἐπιτάσσεις δαίμοσι νῦν, ἀλλ' ἐπιτάξεις τότε τῷ τῆς γεέννης
πυρί, ἐὰν ἔχῃς τῷ στόματι τοῦ Χριστοῦ τὸ στόμα σου ἐοικός· ἐπιτάξεις τῇ ἀβύσσῳ τοῦ
πυρός, καὶ ἐρεῖς, σιώπα, πεφίμωσο, καὶ μετὰ πολλῆς τῆς παρρησίας τῶν οὐρανῶν ἐπιβήσῃ, καὶ ἀπολαύσεις
τῆς βασιλείας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή,
νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. οθ. 31 ΟΤΑΝ ΔΕ ΕΛΘΗ Ο ΥΙΟΣ ΤΟΥ ΑΝΘΡΩπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει, φησίν, ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ διελεῖ τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ τοὺς μὲν ἀποδέξεται, ὅτι πεινῶντα αὐτὸν ἔθρεψαν, καὶ διψῶντα ἐπότισαν, καὶ ξένον ὄντα συνήγαγον, καὶ γυμνὸν ὄντα περιέβαλον, καὶ ἀσθενοῦντα ἐπεσκέψαντο, καὶ ἐν φυλακῇ ὄντα εἶδον· καὶ δώσει τὴν βασιλείαν αὐτοῖς· τοὺς δὲ ἐπὶ τοῖς ἐναντίοις διαβάλλων, πέμψει εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

ΤΗς περικοπῆς ταύτης τῆς ἡδίστης, ἣν συνεχῶς στρέφοντες οὐ διαλιμπάνομεν, ἀκούσωμεν νῦν μετὰ σπουδῆς καὶ κατανύξεως πάσης, εἰς ἣν καὶ ἐσχάτην ὁ λόγος ἐτελεύτησεν εἰκότως. καὶ γὰρ πολὺς αὐτῷ φιλανθρωπίας καὶ ἐλεημοσύνης ὁ λόγος· διὸ καὶ ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ταύτης διελέχθη διαφόρως, καὶ ἐνταῦθα λοιπὸν σαφέστερόν πως καὶ ἐντονώτερον, οὐ δύο πρόσωπα καὶ τρία, οὐδὲ πέντε τιθείς, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν· εἰ καὶ τὰ μάλιστα καὶ αἱ πρότεραι αἱ διὰ τῶν δύο προσώπων, οὐ δύο πρόσωπα ἐδήλουν, ἀλλὰ μέρη δύο· τὸ μὲν παρακουόντων, τὸ δὲ ὑπακουόντων. ἀλλ' ἐνταῦθα καὶ φρικωδέστερον μεταχειρίζει τὸν λόγον καὶ τηλαυγέστερον. διόπερ οὐδὲ λέγει, ὡμοιώθη ἡ βασιλεία λοιπόν· ἀλλ' ἐκκεκαλυμμένως ἑαυτὸν δείκνυσι, λέγων· ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ. νῦν μὲν γὰρ ἐν ἀτιμίᾳ παραγέγονε καὶ ὕβρεσι καὶ ὀνείδεσι, τότε δὲ καθεδεῖται ἐπὶ θρόνου δόξης αὐτοῦ. καὶ συνεχῶς μνημονεύει δόξης. ἐπειδὴ γὰρ ὁ σταυρὸς ἐγγὺς ἦν, πρᾶγμα δοκοῦν ἐπονείδιστον εἶναι, διὰ τοῦτο ἐπαίρει τὸν ἀκροατὴν, καὶ ὑπὸ ὄψιν αὐτοῦ τὸ δικαστήριον ἄγει, καὶ τὴν οἰκουμένην περιΐστησιν ἅπασαν. καὶ οὐ ταύτῃ μόνον φοβερὸν ποιεῖ τὸν λόγον, ἀλλὰ καὶ τῷ δεικνύναι τοὺς οὐρανοὺς κενουμένους. πάντες γὰρ οἱ ἄγγελοι παρέσονται μετ' αὐτοῦ, φησι, καὶ αὐτοὶ μαρτυροῦντες ὅσα διηκονήσαντο πεμπόμενοι παρὰ τοῦ δεσπότου πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν· καὶ πανταχόθεν φρικώδης ἡ ἡμέρα ἐκείνη. εἶτα συναχθήσεταί, φησι, πάντα τὰ ἔθνη· τουτέστι, πᾶσα ἡ τῶν ἀνθρώπων φύσις. καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν τὰ πρόβατα. νῦν μὲν γὰρ οὐκ εἰσὶν ἀφωρισμένοι, ἀλλὰ ἀναμὶξ ἅπαντες· ἡ δὲ διαίρεσις τότε ἔσται μετὰ ἀκριβείας ἁπάσης. καὶ τέως ἀπὸ τῆς στάσεως αὐτοὺς διαιρεῖ καὶ ποιεῖ δήλους· εἶτα καὶ ἀπὸ τῶν ὀνομάτων τὸν ἑκάστου τρόπον ἐνδείκνυται, τοὺς μὲν ἐρίφια καλῶν, τοὺς δὲ πρόβατα, ἵνα τῶν μὲν τὸ ἄκαρπον δείξῃ (οὐδεὶς γὰρ ἀπὸ ἐρίφων καρπὸς γένοιτ' ἂν) τῶν δὲ τὴν πολλὴν πρόσοδον. καὶ γὰρ πολλὴ ἡ τῶν προβάτων πρόσοδος, ἀπό τε ἐρίου, ἀπό τε γάλακτος, ἀπό τε τῶν τικτομένων, ὧν ἁπάντων ἔρημος ὁ ἔριφος. ἀλλὰ τὰ μὲν ἄλογα ἀπὸ φύσεως ἔχει τὸ ἄκαρπον καὶ τὸ ἔγκαρπον· ἐκεῖνοι δὲ ἀπὸ προαιρέσεως. διὸ καὶ κολάζονται ἐκεῖνοι, καὶ στεφανοῦνται οὗτοι· καὶ οὐ πρότερον αὐτοὺς κολάζει, ἕως ἂν δικάσηται πρὸς αὐτούς. διὸ καὶ στήσας αὐτοὺς, λέγει τὰ ἐγκλήματα· οἱ δὲ μετὰ ἐπιεικείας φθέγγονται, ἀλλ' οὐδὲν αὐτοῖς ὄφελος λοιπόν. καὶ μάλα εἰκότως, ὅτι τὸ πρᾶγμα αὐτῷ περισπούδαστον παρέδραμον. καὶ γὰρ καὶ οἱ προφῆται ἄνω καὶ κάτω τοῦτο ἔλεγον, ὅτι ἔλεον θέλω καὶ οὐ θυσίαν· καὶ ὁ νομοθέτης διὰ πάντων εἰς τοῦτο ἐνῆγε, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων· καὶ αὐτὴ ἡ φύσις τοῦτο ἐπαίδευε. σκόπει δὲ αὐτοὺς οὐχ ἑνὸς καὶ δύο μόνον, ἀλλὰ πάντων ἐρήμους ὄντας. οὐ γὰρ δὴ μόνον πεινῶντα οὐκ ἔθρεψαν, οὐδὲ γυμνὸν οὐ περιέβαλον· ἀλλ' οὐδὲ, ὃ κουφότερον ἦν, οὐδὲ ἄῤῥωστον ἐπεσκέψαντο. καὶ σκόπει πῶς κοῦφα ἐπιτάττει. οὐκ εἶπεν, ἐν φυλακῇ ἤμην, καὶ ἀπηλλάξατέ με· ἄῤῥωστος ἤμην, καὶ ἀνεστήσατέ με· ἀλλ' ἐπεσκέψασθέ με καὶ ἤλθετε πρός με. καὶ οὐδὲ ἐν τῷ πεινῆν ἐπαχθὲς τὸ κελευόμενον. οὐδὲ γὰρ πολυτελῆ ἐζήτει τράπεζαν, ἀλλὰ τὴν χρείαν μόνον καὶ τὴν ἀναγκαίαν τροφὴν, καὶ ἐζήτει ἐλεεινῷ τῷ σχήματι. ὥστε πανταχόθεν αὐτοὺς πάντα ἱκανὰ κολάσαι· τὸ εὔκολον τῆς αἰτήσεως (ἄρτος γὰρ ἦν) τὸ ἐλεεινὸν τοῦ αἰτοῦντος (πτωχὸς γὰρ ἦν) τὸ συμπαθὲς τῆς φύσεως (ἄνθρωπος γὰρ ἦν) τὸ ποθεινὸν τῆς ἐπαγγελίας (βασιλείαν γὰρ ἐπηγγείλατο) τὸ φοβερὸν τῆς κολάσεως (γέενναν γὰρ ἠπείλησε) τὸ ἀξίωμα τοῦ λαμβάνοντος (Θεὸς γὰρ ἦν ὁ διὰ τῶν πτωχῶν λαμβάνων) τὸ ὑπερβάλλον τῆς τιμῆς, ὅτι τοσοῦτον καταβῆναι κατηξίωσε· τὸ δίκαιον τῆς παροχῆς, ἀπὸ γὰρ τῶν ἑαυτοῦ ἐλάμβανεν. ἀλλὰ πρὸς ἅπαντα ταῦτα ἡ φιλαργυρία καθάπαξ ἐπήρωσε τοὺς ἁλόντας, καὶ ταῦτα τοσαύτης ἀπειλῆς κειμένης. καὶ γὰρ καὶ ἀνωτέρω φησὶ τοὺς οὐ δεχομένους τοὺς τοιούτους τῶν Σοδόμων χαλεπώτερα πείσεσθαι· καὶ ἐνταῦθά φησιν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. τί λέγεις; ἀδελφοί σου εἰσι· καὶ πῶς ἐλαχίστους καλεῖς; διὰ γὰρ τοῦτο ἀδελφοὶ, ἐπειδὴ ταπεινοὶ, ἐπειδὴ πτωχοὶ, ἐπειδὴ ἀπεῤῥιμμένοι. τοὺς γὰρ τοιούτους μάλιστα εἰς ἀδελφότητα καλεῖ, τοὺς ἀγνῶτας, τοὺς εὐκαταφρονήτους, οὐχὶ τοὺς μοναχοὺς λέγων τούτους μόνον, καὶ τοὺς τὰ ὄρη κατειληφότας, ἀλλ' ἕκαστον πιστόν. κἂν βιωτικὸς ᾖ, πεινῶν δὲ καὶ λιμώττων, καὶ γυμνὸς καὶ ξένος, πάσης αὐτὸν ταύτης τῆς ἐπιμελείας ἀπολαύειν βούλεται. ἀδελφοὺς γὰρ τὸ βάπτισμα ἐργάζεται καὶ ἡ τῶν θείων μυστηρίων κοινωνία. εἶτα, ἵνα καὶ ἑτέρωθεν ἴδῃς τὸ δίκαιον τῆς ἀποφάσεως, πρότερον ἐκείνους ἐπαινεῖ τοὺς κατωρθωκότας, καί φησι· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρο-

νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ″ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ γρ. πρὸ
ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς ἅπαντα. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι οὐκ εἴχομεν, ἀπὸ τῶν
συνδούλων αὐτοὺς καταδικάζει· ὥσπερ τὰς παρθένους ἀπὸ τῶν παρθένων· καὶ τὸν δοῦλον τὸν
μεθύοντα καὶ γαστριζόμενον ἀπὸ τοῦ πιστοῦ δούλου· καὶ τὸν τὸ τάλαντον καταχώσαντα, ἀπὸ ″τοῦ γρ. τῶν
τὰ δύο ″προσενεγκόντος· καὶ ἕκαστον τῶν διαμαρτανόντων, ἀπὸ τῶν κατωρθωκότων. καὶ αὕ- γρ. προσενεγκόντων·
τη ποτὲ μὲν ″ἐξ ἴσου ἡ σύγκρισις γίνεται, ὡς ἐνταῦθα καὶ ἐπὶ τῶν παρθένων· ποτὲ δὲ καὶ ″ἀπὸ τοῦ πλεο- γρ. ἴσα
Ματθ.ιβ.μα. νάζοντος, ὡς ὅταν λέγῃ· Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην,
Ματθ.ιβ.μβ. ὅτι ἐπίστευσαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. καί, Βασίλισσα νότου κατακρινεῖ
τὴν γενεὰν ταύτην, ὅτι ἦλθεν ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ πλεῖον Σολομῶν-
Λουκ.ια.ιθ. τος ὧδε. καὶ ἀπὸ τοῦ ἰσάζοντος δὲ πάλιν, Ὅτι αὐτοὶ κριταὶ ὑμῶν ἔσονται· καὶ πάλιν ἀπὸ τοῦ
α.Κορ.ϛ.β.γ. πλεονάζοντος· Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; καὶ ἐνταῦθα μὲν καὶ
ἀπὸ τοῦ ἰσάζοντος· καὶ γὰρ πλουσίους πλουσίοις, καὶ πένητας πένησι παραβάλλει. οὐ ταύτῃ δὲ
μόνον δείκνυσι τὴν ψῆφον δικαίως ἐκφερομένην, τῷ τοὺς ὁμοδούλους κατωρθωκέναι ἐν τοῖς
αὐτοῖς ὄντας· ἀλλὰ καὶ τῷ μηδὲ ἐν τούτοις ὑπακοῦσαι, ἐν οἷς οὐδὲν ἡ πενία κώλυμα ἦν· οἷον,
ἐν τῷ ποτίσαι διψῶντα, ἐν τῷ δεδεμένον ἰδεῖν, ἐν τῷ ἄρρωστον ἐπισκέψασθαι. ἐγκωμιά-
σας δὲ τοὺς κατωρθωκότας, δείκνυσιν ὅσον ἄνωθεν ἦν αὐτῷ πρὸς αὐτοὺς τὸ φίλτρον. δεῦτε
γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασι-
λείαν πρὸ καταβολῆς κόσμου. πόσων ἀγαθῶν τοῦτο τὸ ὄνομα ἀντάξιον τὸ εὐλογημένους εἶ-
ναι, καὶ παρὰ πατρὸς εὐλογημένους; καὶ πόθεν τοσαύτης τιμῆς ἠξιώθησαν; τίς ἡ αἰτία; ἐπεί-
νασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. πόσης ταῦτα τι-
μῆς, πόσης μακαριότητος τὰ ῥήματα; καὶ οὐκ εἶπε, λάβετε, ἀλλὰ κληρονομήσατε, ὡς
οἰκεῖα, ὡς πατρῷα, ὡς ὑμέτερα, ὡς ὑμῖν ἄνωθεν ὀφειλόμενα. πρὶν ἢ γὰρ ὑμᾶς γενέσθαι,
φησί, ταῦτα ὑμῖν ἡτοίμαστο καὶ προευτρέπιστο, ἐπειδὴ ᾔδειν τοιούτους ἡμᾶς ἐσομένους. καὶ ἀν-
τὶ τίνων ταῦτα λαμβάνουσιν; ἀντὶ στέγης, ἀντὶ ἱματίων, ἀντὶ ἄρτου, ἀντὶ ὕδατος ψυ-
χροῦ, ἀντὶ ἐπισκέψεως, ἀντὶ εἰσόδου τῆς εἰς τὸ δεσμωτήριον. καὶ γὰρ πανταχοῦ τῆς
χρείας ἐστίν· ἔστι δὲ καὶ ὅπου οὐδὲ τῆς χρείας. οὐ γὰρ δήπου, ὅπερ ἔφην, ὁ κάμνων καὶ ὁ δε-
δεμένος τοῦτο ἐπιζητεῖ μόνον, ἀλλ' ὁ μὲν λυθῆναι, ὁ δὲ ἀπαλλαγῆναι τῆς ἀρρωστίας· ἀλλ'
αὐτὸς ἥμερος ὤν, τὰ εἰς δύναμιν ἀπαιτεῖ· μᾶλλον δὲ καὶ τῶν εἰς δύναμιν ἐλάττω, ἡμῖν κατα-
λιμπάνων φιλοτιμεῖσθαι ἐν τῷ πλείονι. ἐκείνοις δέ, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· οὐκ ἔτι
ὑπὸ τοῦ πατρός. οὐ γὰρ αὐτὸς αὐτοὺς κατηράσατο, ἀλλὰ τὰ οἰκεῖα ἔργα. εἰς τὸ πῦρ τὸ αἰώνιον,
τὸ ἡτοιμασμένον, οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. περὶ μὲν γὰρ τῆς βασιλείας
ὅτε ἔλεγε, δεῦτε οἱ εὐλογημένοι, κληρονομήσατε τὴν βασιλείαν, ἐπήγαγε, τὴν ἡτοιμασμένην
ὑμῖν πρὸ καταβολῆς κόσμου· περὶ δὲ τοῦ πυρὸς οὐκέτι, ἀλλὰ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ
τοῖς ἀγγέλοις αὐτοῦ. ἐγὼ μὲν γὰρ τὴν βασιλείαν ὑμῖν ἡτοίμασα, τὸ δὲ πῦρ οὐκ ἔτι ὑμῖν, ἀλλὰ τῷ
διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπειδὴ δὲ ὑμεῖς ἑαυτοὺς ἐνεβάλετε, ἑαυτοῖς λογίζεσθε. οὐ ταύτῃ
δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς, ὥσπερ ἀπολογούμενος αὐτοῖς, καὶ τὰς αἰτίας τίθησιν. ἐπείνασα
γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. εἰ γὰρ καὶ ἐχθρὸς ἦν ὁ προσιών, οὐχ ἱκανὰ τὰ πάθη καὶ
τὸν ἀνηλεῆ κατακλάσαι καὶ ἐπικάμψαι, λιμὸς καὶ κρυμὸς καὶ δεσμὰ καὶ γυμνότης καὶ
ἀρρωστία, καὶ τὸ αἴθριον πλανᾶσθαι πανταχοῦ; ταῦτα γὰρ καὶ ἔχθραν ἱκανὰ λῦσαι. ἀλλ'
ὑμεῖς οὐδὲ εἰς φίλον ταῦτα ἐποιήσατε, καὶ φίλον καὶ εὐεργέτην καὶ δεσπότην ὄντα. καὶ κύνα
μὲν ἂν ἴδωμεν πεινῶντα, πολλάκις ἐπικλώμεθα· καὶ θηρίον ἐὰν θεασώμεθα, ἐπικαμπτόμεθα·
τὸν δὲ δεσπότην ὁρῶν οὐκ ἐπικάμπτῃ; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια; εἰ γὰρ τοῦτο μόνον ἦν,
οὐχ ἱκανὸν εἰς ἀντίδοσιν; οὐ λέγω τὸ ἀκοῦσαι φωνῆς τοιαύτης ἐπὶ τῆς οἰκουμένης παρὰ τοῦ
καθημένου ἐπὶ τοῦ θρόνου τοῦ πατρικοῦ, καὶ βασιλείας τυχεῖν, ἀλλ' αὐτὸ τὸ ἐργάσασθαι οὐχ

ἱκανόν

κεφ. κϛ.

ἰσχυρὸν εἰς ἀμοιβήν; νυνὶ δὲ καὶ τῆς οἰκουμένης παρούσης, καὶ τῆς ἀῤῥήτου δόξης ἐκείνης φαινομένης, ἀνακηρύττει σε καὶ στεφανοῖ, καὶ ὁμολογεῖ τὸν τροφέα καὶ τὸν ξενοδόχον, καὶ οὐκ αἰσχύνεται τοιαῦτα λέγων, ἵνα σοι λαμπρότερον ποιήσῃ τὸν στέφανον. διὰ δὴ τοῦτο καὶ οὗτοι δικαίως κολάζονται, κἀκεῖνοι στεφανοῦνται κατὰ χάριν. κἂν γὰρ μυρία ὦσι πεποιηκότες, χάριτός ἐστιν ἡ φιλοτιμία, τὸ ἀντὶ μικρῶν οὕτω καὶ εὐτελῶν οὐρανὸν τοσοῦτον καὶ βασιλείαν καὶ τηλικαύτην αὐτοῖς δοθῆναι τιμήν.

1 Καὶ ἐγένετο, ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, κεφ. κϛ.

2 Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. Πάλιν εὐκαίρως περὶ τοῦ πάθους διαλέγεται, ὅτε βασιλείας ἀνέμνησε, καὶ τῆς ″αὐταποδόσεως τῆς ἐκεῖ, καὶ τῆς ἀθανάτου κολάσεως, ὡσανεὶ ἔλεγε· τί δεδοίκατε ἐπὶ τοῖς προσκαίροις δεινοῖς, τοιούτων ὑμᾶς ἀναμενόντων ἀγαθῶν; σὺ δέ μοι σκόπει πῶς τὸ μάλιστα λυποῦν αὐτοὺς καινοτέρως ἐμεθόδευσε καὶ συνεσκίασεν ἐν τοῖς ἔμπροσθεν ἅπασιν. οὐ γὰρ εἶπεν, ὅτι οἴδατε ὅτι μετὰ δύο ἡμέρας παραδίδομαι· ἀλλὰ τί; οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καὶ τότε ἐπήγαγεν, εἰς τὸ σταυρωθῆναι, δεικνὺς μυστήριον ὂν τὸ γινόμενον, καὶ ἑορτὴν καὶ πανήγυριν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης τελουμένην, καὶ ὅτι προειδὼς ἅπαντα ἔπασχε. διὰ δὴ τοῦτο, ὡς ἀρκοῦντος τούτου εἰς παραμυθίαν αὐτοῖς, οὐδὲ εἶπεν αὐτοῖς τι νῦν περὶ ἀναστάσεως. περιττὸν γὰρ ἦν τοσαῦτα διαλεχθέντα περὶ αὐτῆς πάλιν εἰπεῖν. καὶ ἄλλως δὲ, ὅπερ εἶπον, δείκνυσιν, ὅτι καὶ αὐτὸ τὸ παθεῖν μυρίων ἀπαλλαγὴ κακῶν, διὰ τοῦ πάσχα τῶν παλαιῶν εὐεργετημάτων τῶν κατ' Αἴγυπτον ἀναμνήσας αὐτούς.

ὐποδόσεως

3 Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα,

4 Καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν.

5 Ἔλεγον δὲ, μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

Εἶδες τὴν ἄφατον τῶν Ἰουδαϊκῶν πραγμάτων τὴν διαφθοράν; παρανόμοις πράγμασιν ἐπιχειροῦντες, πρὸς τὸν ἀρχιερέα ἔρχονται, ἐκεῖθεν βουλόμενοι τὴν ἐξουσίαν λαβεῖν, ὅθεν κωλύεσθαι ἔδει. καὶ πόσοι ἦσαν οἱ ἀρχιερεῖς; ὁ γὰρ νόμος ἕνα βούλεται, ἀλλὰ τότε πολλοὶ ἦσαν· ὅθεν δῆλον, ὅτι τὰ Ἰουδαϊκὰ ἀρχὴν ἐλάμβανε διαλύεσθαι. ὁ μὲν γὰρ Μωϋσῆς, ὅπερ ἔφην, ἕνα εἶναι ἐκέλευσε, καὶ τελευτήσαντος ἐκείνου τότε ἕτερον γίνεσθαι, καὶ τῇ ζωῇ τῇ τούτου τὴν φυγὴν ἐμέτρει τῶν ἀκουσίως εἰργασμένων φόνον. πῶς οὖν τότε πολλοὶ οἱ ἀρχιερεῖς; ἐνιαύσιοι ὕστερον ἐγίνοντο. καὶ τοῦτο ἐδήλωσεν ὁ εὐαγγελιστὴς, ὅτε περὶ τοῦ Ζαχαρίου διελέγετο, εἰπών· ἐξ ἐφημερίας αὐτὸν εἶναι Ἀβιά. αὐτοὺς οὖν ἐνταῦθά φησιν ἀρχιερεῖς, τοὺς ἀπ' ἀρχιερέων. τί δὲ συνεβουλεύσαντο, ἵνα κρατήσωσιν αὐτὸν λάθρα, ἢ ἵνα ἀνέλωσιν; ἀμφότερα. ἐδεδοίκεισαν γὰρ τὸν λαόν. διὸ καὶ τὴν ἑορτὴν ἀνέμενον παρελθεῖν. ἔλεγον γὰρ, μὴ ἐν τῇ ἑορτῇ. ὁ μὲν γὰρ διάβολος, ἵνα μὴ φανερὸν καταστήσῃ τὸ πάθος, οὐκ ἠβούλετο ἐν τῷ πάσχα· ἐκεῖνοι δὲ, ἵνα μὴ θόρυβος γένηται. σκόπει δὲ αὐτοὺς φοβουμένους, οὐ τὰ τοῦ Θεοῦ, οὐδὲ ἵνα μὴ μίασμα αὐτοῖς μεῖζον ἀπὸ τοῦ καιροῦ γένηται, ἀλλὰ πανταχοῦ τὰ ἀνθρώπινα. ἀλλ' ὅμως τῷ θυμῷ ζέοντες, πάλιν μετέθεντο. εἰπόντες γὰρ, μὴ ἐν τῇ ἑορτῇ, ἐπειδὴ τὸν προδότην εὗρον, οὐκ ἠνέσχοντο τοῦ καιροῦ, ἀλλ' ἐν ″ταύτῃ κατέσφαξαν. διὰ τί δὲ αὐτὸν τότε κατέσχον; καὶ τῷ θυμῷ ζέοντες, ὅπερ εἶπον, καὶ τότε αὐτὸν εὑρήσειν προσεδόκησαν, καὶ πάντα, ὥσπερ πεπηρωμένοι, ἔπραττον. εἰ δὲ καὶ τὰ μάλιστα αὐτὸς τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν οἰκείαν ἐκέχρητο οἰκονομίαν, οὐ μὴν διὰ τοῦτο ἀνεύθυνοι, ἀλλὰ μυρίων ἄξιοι κολάσεων ἀπὸ τῆς γνώμης. ὅτε γοῦν ἅπαντας ἀπολύεσθαι ἔδει, καὶ τοὺς [ὄντας]

Λυκ. α. ζ.

αὐτῇ τῇ ἑορτῇ

νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ χ. καὶ
ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς ἅπαντα. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι οὐκ εἴχομεν, ἀπὸ τῶν
συνδούλων αὐτοὺς καταδικάζει· ὥσπερ τὰς παρθένους ἀπὸ τῶν παρθένων· καὶ τὸν δοῦλον τὸν
μεθύοντα καὶ γαστριζόμενον ἀπὸ τοῦ πιστοῦ δούλου· καὶ τὸν τὸ τάλαντον καταχώσαντα, ἀπὸ τοῦ χ. τῶν
τὰ δύο προσενεγκόντος· καὶ ἕκαστον τῶν διαμαρτανόντων, ἀπὸ τῶν κατωρθωκότων. καὶ αὕτη χ. προσενεγκόντων·
ποτὲ μὲν ἐξ ἴσου ἡ σύγκρισις γίνεται, ὡς ἐνταῦθα καὶ ἐπὶ τῶν παρθένων· ποτὲ δὲ καὶ ἀπὸ τοῦ πλεο- χ. ἐκ
Ματθ.ιβ.μα. νάζοντος, ὡς ὅταν λέγῃ· Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην,
Ματθ.ιβ.μβ. ὅτι ἐπίστευσαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. καὶ, Βασίλισσα νότου κατακρινεῖ
τὴν γενεὰν ταύτην, ὅτι ἦλθεν ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε.
Λουκ.ια.ιθ. καὶ ἀπὸ τοῦ ἰσάζοντος δὲ πάλιν, Ὅτι αὐτοὶ κριταὶ ὑμῶν ἔσονται· καὶ πάλιν ἀπὸ τοῦ
α.Κορ.ϛ.β.γ. πλεονάζοντος· Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; καὶ ἐνταῦθα μὲν καὶ
ἀπὸ τοῦ ἰσάζοντος· καὶ γὰρ πλουσίους πλουσίοις, καὶ πένητας πένησι παραβάλλει. οὐ ταύτῃ δὲ
μόνον δείκνυσι τὴν ψῆφον δικαίως ἐκφερομένην, τῷ τοὺς ὁμοδούλους κατωρθωκέναι ἐν τοῖς
αὐτοῖς ὄντας· ἀλλὰ καὶ τῷ μηδὲ ἐν τούτοις ὑπακοῦσαι, ἐν οἷς οὐδὲν ἡ πενία κώλυμα ἦν· οἷον,
ἐν τῷ ποτίσαι διψῶντα, ἐν τῷ δεδεμένον ἰδεῖν, ἐν τῷ ἄρρωστον ἐπισκέψασθαι. ἐγκωμιάσας
δὲ τοὺς κατωρθωκότας, δείκνυσιν ὅσον ἄνωθεν ἦν αὐτῷ πρὸς αὐτοὺς τὸ φίλτρον. δεῦτε
γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν
πρὸ καταβολῆς κόσμου. πόσων ἀγαθῶν τοῦτο τὸ ὄνομα ἀντάξιον τὸ εὐλογημένους εἶναι,
καὶ παρὰ πατρὸς εὐλογημένους; καὶ πόθεν τοσαύτης τιμῆς ἠξιώθησαν; τίς ἡ αἰτία; ἐπείνασα
γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. πόσης ταῦτα τιμῆς,
πόσης μακαριότητος τὰ ῥήματα; καὶ οὐκ εἶπε, λάβετε, ἀλλὰ κληρονομήσατε, ὡς
οἰκεῖα, ὡς πατρῷα, ὡς ὑμέτερα, ὡς ὑμῖν ἄνωθεν ὀφειλόμενα. πρὶν ἢ γὰρ ὑμᾶς γενέσθαι,
φησί, ταῦτα ὑμῖν ἡτοίμαστο καὶ προευτρέπιστο, ἐπειδὴ ᾔδειν τοιούτους ἡμᾶς ἐσομένους. καὶ ἀντὶ
τίνων ταῦτα λαμβάνουσιν; ἀντὶ στέγης, ἀντὶ ἱματίων, ἀντὶ ἄρτου, ἀντὶ ὕδατος ψυχροῦ,
ἀντὶ ἐπισκέψεως, ἀντὶ εἰσόδου τῆς εἰς τὸ δεσμωτήριον. καὶ γὰρ πανταχοῦ τῆς
χρείας ἐστίν· ἔστι δὲ καὶ ὅπου οὐδὲ τῆς χρείας. οὐ γὰρ δήπου, ὅπερ ἔφην, ὁ κάμνων καὶ ὁ δεδεμένος
τοῦτο ἐπιζητεῖ μόνον, ἀλλ' ὁ μὲν λυθῆναι, ὁ δὲ ἀπαλλαγῆναι τῆς ἀρρωστίας· ἀλλ'
αὐτὸς ἥμερος ὤν, τὰ εἰς δύναμιν ἀπαιτεῖ· μᾶλλον δὲ καὶ τῆς εἰς δύναμιν ἐλάττω, ἡμῖν καταλιμπάνων
φιλοτιμεῖσθαι ἐν τῷ πλείονι. ἐκείνοις δέ, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· οὐκ ἔτι
ὑπὸ τοῦ πατρός. οὐ γὰρ αὐτὸς αὐτοὺς κατηράσατο, ἀλλὰ τὰ οἰκεῖα ἔργα. εἰς τὸ πῦρ τὸ αἰώνιον,
τὸ ἡτοιμασμένον, οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. περὶ μὲν γὰρ τῆς βασιλείας
ὅτε ἔλεγε, δεῦτε οἱ εὐλογημένοι, κληρονομήσατε τὴν βασιλείαν, ἐπήγαγε, τὴν ἡτοιμασμένην
ὑμῖν πρὸ καταβολῆς κόσμου· περὶ δὲ τοῦ πυρὸς οὐκέτι, ἀλλὰ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ
τοῖς ἀγγέλοις αὐτοῦ. ἐγὼ μὲν γὰρ τὴν βασιλείαν ὑμῖν ἡτοίμασα, τὸ δὲ πῦρ οὐκ ἔτι ὑμῖν, ἀλλὰ τῷ
διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπειδὴ δὲ ὑμεῖς ἑαυτοὺς ἐνεβάλετε, ἑαυτοῖς λογίζεσθε. οὐ ταύτῃ
δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς, ὥσπερ ἀπολογούμενος αὐτοῖς, καὶ τὰς αἰτίας τίθησιν. ἐπείνασα
γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. εἰ γὰρ καὶ ἐχθρὸς ἦν ὁ προσιών, οὐχ ἱκανὰ τὰ πάθη καὶ
τὸν ἀνελεῆ κατακλάσαι καὶ ἐπικάμψαι, λιμὸς καὶ κρυμὸς καὶ δεσμὰ καὶ γυμνότης καὶ
ἀρρωστία, καὶ τὸ αἴθριον πλανᾶσθαι πανταχοῦ; ταῦτα γὰρ καὶ ἔχθραι ἱκανὰ λῦσαι. ἀλλ'
ὑμεῖς οὐδὲ εἰς φίλον ταῦτα ἐποιήσατε, καὶ φίλον καὶ εὐεργέτην καὶ δεσπότην ὄντα. καὶ κύνα
μὲν ἂν ἴδωμεν πεινῶντα, πολλάκις ἐπικλώμεθα· καὶ θηρίον ἐὰν θεασώμεθα, ἐπικαμπτόμεθα·
τὸν δὲ δεσπότην ὁρῶν οὐκ ἐπικάμπτῃ; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια; εἰ γὰρ τοῦτο μόνον ἦν,
οὐχ ἱκανὸν εἰς ἀντίδοσιν; οὐ λέγω τὸ ἀκοῦσαι φωνῆς τοιαύτης ἐπὶ τῆς οἰκουμένης παρὰ τοῦ
καθημένου ἐπὶ τοῦ θρόνου τοῦ πατρικοῦ, καὶ βασιλείας τυχεῖν, ἀλλ' αὐτὸ τὸ ἐργάσασθαι οὐχ

ἱκανὸν

κεφ. κϛ.

ἰσχυρὸν εἰς ἀμοιβήν; νυνὶ δὲ καὶ τῆς οἰκουμένης παρούσης, καὶ τῆς ἀῤῥήτου δόξης ἐκείνης φαινομένης, ἀνακηρύττει σε καὶ στεφανοῖ, καὶ ὁμολογεῖ τὸν τροφέα καὶ τὸν ξενοδόχον, καὶ οὐκ αἰσχύνεται τοιαῦτα λέγων, ἵνα σοι λαμπρότερον ποιήσῃ τὸν στέφανον. διὰ δὴ τοῦτο καὶ οὗτοι δικαίως κολάζονται, κἀκεῖνοι στεφανοῦνται κατὰ χάριν. κἂν γὰρ μυρία ὦσι πεποιηκότες, χάριτός ἐστιν ἡ φιλοτιμία, τὸ ἀντὶ μικρῶν οὕτω καὶ εὐτελῶν οὐρανὸν τοσοῦτον καὶ βασιλείαν καὶ τηλικαύτην αὐτοῖς δοθῆναι τιμήν.

1 Καὶ ἐγένετο, ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, κεφ. κϛ.

2 Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Πάλιν εὐκαίρως περὶ τοῦ πάθους διαλέγεται, ὅτε βασιλείας ἀνέμνησε, καὶ τῆς "ἀνταποδόσεως τῆς ἐκεῖ, καὶ τῆς ἀθανάτου κολάσεως, ὡσανεὶ ἔλεγε· τί δεδοίκατε ἐπὶ τοῖς προσκαίροις δεινοῖς, τοιούτων ὑμᾶς ἀναμενόντων ἀγαθῶν; σὺ δέ μοι σκόπει πῶς τὸ μάλιστα λυποῦν αὐτοὺς καινοτέρως ἐμεθόδευσε καὶ συνεσκίασεν ἐν τοῖς ἔμπροσθεν ἅπασιν. οὐ γὰρ εἶπεν, ὅτι οἴδατε ὅτι μετὰ δύο ἡμέρας παραδίδομαι· ἀλλὰ τί; οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καὶ τότε ἐπήγαγεν, εἰς τὸ σταυρωθῆναι, δεικνὺς μυστήριον ὂν τὸ γινόμενον, καὶ ἑορτὴν καὶ πανήγυριν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης τελουμένην, καὶ ὅτι προειδὼς ἅπαντα ἔπασχε. διὰ δὴ τοῦτο, ὡς ἀρκοῦντος τούτου εἰς παραμυθίαν αὐτοῖς, οὐδὲ εἶπεν αὐτοῖς τι νῦν περὶ ἀναστάσεως. περιττὸν γὰρ ἦν τοσαῦτα διαλεχθέντα περὶ αὐτῆς πάλιν εἰπεῖν. καὶ ἄλλως δὲ, ὅπερ εἶπον, δείκνυσιν, ὅτι καὶ αὐτὸ τὸ παθεῖν μυρίων ἀπαλλαγὴ κακῶν, διὰ τοῦ πάσχα τῶν παλαιῶν εὐεργετημάτων τῶν κατ' Αἴγυπτον ἀναμνήσας αὐτούς.

ἀποδόσεως

3 Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα,

4 Καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν.

5 Ἔλεγον δὲ, μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

Εἶδες τὴν ἄφατον τῶν Ἰουδαϊκῶν πραγμάτων τὴν διαφθοράν; παρανόμοις πράγμασιν ἐπιχειροῦντες, πρὸς τὸν ἀρχιερέα ἔρχονται, ἐκεῖθεν βουλόμενοι τὴν ἐξουσίαν λαβεῖν, ὅθεν κωλύεσθαι ἔδει. καὶ πόσοι ἦσαν οἱ ἀρχιερεῖς; ὁ γὰρ νόμος ἕνα βούλεται, ἀλλὰ τότε πολλοὶ ἦσαν· ὅθεν δῆλον, ὅτι τὰ Ἰουδαϊκὰ ἀρχὴν ἐλάμβανε διαλύεσθαι. ὁ μὲν γὰρ Μωϋσῆς, ὅπερ ἔφην, ἕνα εἶναι ἐκέλευσε, καὶ τελευτήσαντος ἐκείνου τότε ἕτερον γίνεσθαι, καὶ τῇ ζωῇ τῇ τούτου τὴν φυγὴν ἐμέτρει τῶν ἀκουσίως ἐργασαμένων φόνον. πῶς οὖν τότε πολλοὶ οἱ ἀρχιερεῖς; ἐνιαυσιαῖοι ὕστερον ἐγίνοντο. καὶ τοῦτο ἐδήλωσεν ὁ εὐαγγελιστὴς, ὅτε περὶ τοῦ Ζαχαρίου διελέγετο, εἰπών· ἐξ ἐφημερίας αὐτὸν εἶναι Ἀβιά. αὐτοὺς οὖν ἐνταῦθά φησιν ἀρχιερεῖς, τοὺς ἀπ' ἀρχιερέων. τί δὲ συνεβουλεύσαντο, ἵνα κρατήσωσιν αὐτὸν λάθρα, ἢ ἵνα ἀνέλωσιν; ἀμφότερα. ἐδεδοίκεισαν γὰρ τὸν λαόν. διὸ καὶ τὴν ἑορτὴν ἀνέμενον παρελθεῖν. ἔλεγον γὰρ, μὴ ἐν τῇ ἑορτῇ. ὁ μὲν γὰρ διάβολος, ἵνα μὴ φανερὸν καταστήσῃ τὸ πάθος, οὐκ ἠβούλετο ἐν τῷ πάσχα· ἐκεῖνοι δὲ, ἵνα μὴ θόρυβος γένηται. σκόπει δὲ αὐτοὺς φοβουμένους, οὐ τὰ τοῦ Θεοῦ, οὐδὲ ἵνα μὴ μίασμα αὐτοῖς μεῖζον ἀπὸ τοῦ καιροῦ γένηται, ἀλλὰ πανταχοῦ τὰ ἀνθρώπινα. ἀλλ' ὅμως τῷ θυμῷ ζέοντες, πάλιν μετέθεντο. εἰπόντες γὰρ, μὴ ἐν τῇ ἑορτῇ, ἐπειδὴ τὸν προδότην εὗρον, οὐκ ἠνέσχοντο τοῦ καιροῦ, ἀλλ' ἐν "ταύτῃ κατέσφαξαν. διὰ τί δὲ αὐτὸν τότε κατέσχον; καὶ τῷ θυμῷ ζέοντες, ὅπερ εἶπον, καὶ τότε αὐτὸν εὑρήσειν προσεδόκησαν, καὶ πάντα, ὥσπερ πεπηρωμένοι, ἔπραττον. εἰ δὲ καὶ τὰ μάλιστα αὐτὸς τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν οἰκείαν ἐκέχρητο οἰκονομίαν, οὐ μὴν διὰ τοῦτο ἀνεύθυνοι, ἀλλὰ μυρίων ἄξιοι κολάσεων ἀπὸ τῆς γνώμης. ὅτε γοῦν ἅπαντας ἀπολύεσθαι ἔδει, καὶ τοὺς [ὄντας]

Λουκ. α. ζ.

αὐτῇ
τῇ ἑορτῇ

ὑπευθύνους, ὥστε οὗτοι τὸν ἀθῷον ἀνεῖλον, τὸν μυρία εὐεργετηκότα καὶ τῶν ἐθνῶν τέως ὑπεριδόντα δι' αὐτούς. ἀλλ' ὢ τῆς φιλανθρωπίας. τοὺς οὕτω μοχθηρούς, τοὺς [οὕτω σκαιοὺς καὶ] μυρίων γέμοντας κακῶν, πάλιν σώζει, καὶ πέμπει σφαγησομένους τοὺς ἀποστόλους ὑπὲρ αὐτῶν, καὶ δι' αὐτῶν ἱκετηρίαν τίθησιν. Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, φησί.

β. Κορ. ε. κ.

ΗΘΙΚΟΝ

Τοιαῦτα τοίνυν παραδείγματα ἔχοντες, οὐ λέγω, ἀποθάνωμεν ὑπὲρ τῶν ἐχθρῶν (ἔδει μὲν γὰρ καὶ τοῦτο) ἀλλ' ἐπειδὴ ἀσθενέστεροί ὦμεν ἡμεῖς, ἐκεῖνο λέγω τέως· κἂν μὴ βασκαίνωμεν ″τοῖς φίλοις, μὴ φθονῶμεν τοῖς εὐεργετοῦσιν· οὐ λέγω τέως, τοὺς κακῶς ποιοῦντας εὐεργετήσωμεν (ἐπιθυμῶ μὲν γὰρ καὶ τοῦτο) ἀλλ' ἐπειδὴ παχύτεροι ἡμεῖς, κἂν μὴ ἀμυνώμεθα. μὴ γὰρ σκηνή τίς ἐστι τὰ ἡμέτερα καὶ ὑπόκρισις; τί δήποτε ἐκ διαμέτρου πρὸς τὰ προστάγματα ἵστασθε; οὐχ ἁπλῶς γέγραπται τά τε ἄλλα, καὶ ὅσα περὶ αὐτὸν τὸν σταυρὸν εἰργάσατο, δυνάμενα οὐδεὶς ἀνακαλέσασθαι, ἀλλ' ἵνα μιμήσῃ τὴν ἀγαθότητα, ἵνα ζηλώσῃς τὴν φιλανθρωπίαν. καὶ γὰρ [καὶ] ὑπτίους ἔρριψε, καὶ τὸ ὠτίον ἀποκατέστησε τοῦ οἰκέτου, καὶ μετ' ἐπιεικείας διελέχθη, καὶ μεγάλα ἄνω ὢν ἐπεδείξατο θαύματα, τὰς ἀκτῖνας ἀποστρέφων, τὰς πέτρας ῥηγνύς, τοὺς τετελευτηκότας ἐγείρων, τὴν γυναῖκα τοῦ δικάζοντος φοβῶν δι' ὀνειράτων, ἐν αὐτῇ τῇ κρίσει πᾶσαν πρᾳότητα ἐπιδειξάμενος θαυμάτων οὐχ ἧττον δυναμένην αὐτοὺς ἐπισπάσασθαι, μυρία προλέγων ἐν τῷ δικαστηρίῳ, ἐν αὐτῷ τῷ σταυρῷ βοῶν· πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ταφεὶς δέ, πόσα ἐπεδείξατο εἰς τὴν ἐκείνων σωτηρίαν; ἀναστὰς δὲ οὐκ εὐθέως Ἰουδαίους ἐκάλεσεν; οὐκ ἄφεσιν ἔδωκεν ἁμαρτημάτων; οὐ τὰ μυρία ἀγαθὰ προέθηκε; τί τούτου παραδοξότερον; οἱ σταυρώσαντες καὶ ″φόνου πνέοντες, μετὰ τὸ σταυρῶσαι γεγόνασιν υἱοὶ Θεοῦ. τί ταύτης ἴσον τῆς κηδεμονίας; ταῦτα ἀκούσαντες ἐγκαλυψώμεθα, ὅτι τοσοῦτον ἀφεστήκαμεν τούτου, ὃν μιμεῖσθαι κελευόμεθα. ἴδωμεν κἂν τὸ διάστημα ὅσον, ἵνα κἂν καταγνῶμεν ἑαυτῶν τούτοις πολεμοῦντες, ὑπὲρ ὧν Χριστὸς τὴν ψυχὴν ″ἔθηκε, καὶ οὐ βουλόμενοι καταλλαγῆναι, οὓς ἵνα καταλλάξῃ, οὔτε σφαγῆναι παρῃτήσατο. ἢ καὶ τοῦτο δαπάνη τίς ἐστι καὶ χρημάτων ἀνάλωμα, ὅπερ ἐν τῇ ἐλεημοσύνῃ προβάλλεσθε; ἐννόησον ὅσον ὑπεύθυνος εἶ, καὶ οὐ μόνον οὐκ ἀναδύσῃ πρὸς τὴν ἄφεσιν τῶν σε ἠδικηκότων, ἀλλὰ καὶ δραμῇ πρὸς τοὺς σε λελυπηκότας, ὥστε γενέσθαι σοι συγχωρήσεως ἀφορμήν, ὥστε εὑρεῖν παραμυθίαν τῶν οἰκείων κακῶν. Ἑλλήνων παῖδες οὐδὲν μέγα προσδοκῶντες, πολλάκις ἐν τούτοις ἐφιλοσόφησαν· καὶ σὺ μέλλων ἐπὶ τοιαύταις ἐλπίσιν ἀποδημεῖν, ἀναδύῃ καὶ ὀκνεῖς; καὶ ὅπερ ὁ χρόνος ποιεῖ, τοῦτο οὐκ ἀνέχῃ πρὸ τοῦ χρόνου ποιῆσαι διὰ τὸν τοῦ Θεοῦ νόμον, ἀλλ' ἀμισθὶ μᾶλλον, ἢ ἐπὶ μισθῷ βούλει σοι σβεσθῆναι τὸ πάθος; οὐδὲ γὰρ ἂν ἀπὸ τοῦ χρόνου γένηται τοῦτο, ἔσται σοί τι πλέον, ἀλλὰ καὶ πολλὴ ἡ κόλασις· ὅτι ὅπερ ὁ χρόνος εἰργάσατο, τοῦτο ὁ τοῦ Θεοῦ νόμος οὐκ ἔπεισέ σε ποιῆσαι. εἰ δὲ λέγοις, ὅτι φλεγμαίνεις τῆς ὕβρεως * μεμνημένος, ἀναμνήσθητι εἴ τι γέγονέ σοι καλὸν παρὰ τοῦ λελυπηκότος, καὶ ὅσα σὺ ἑτέρους διέθηκας κακά. κακῶς σε εἶπε καὶ κατῄσχυνε; λόγισαι ὅτι καὶ σὺ ἑτέρους εἴρηκας. πῶς οὖν ἐπιτεύξῃ συγγνώμης, ἧς ἑτέροις οὐ μεταδίδως; ἀλλ' οὐδένα εἴρηκας; ἀλλ' ἤκουσας λεγόντων, καὶ ἀπεδέξω. οὐδὲ τοῦτο ἀνεύθυνον. θέλεις μαθεῖν ὅσον ἐστὶν ἀγαθὸν τὸ μὴ μνησικακεῖν, καὶ πῶς μάλιστα τοῦτο τὸν Θεὸν εὐφραίνει; τοὺς ἐφηδομένους τοῖς δικαίως παρ' αὐτοῦ κολαζομένοις τιμωρεῖται, καίτοι δικαίως κολαζομένων, ἀλλὰ σὲ ἐπιχαίρειν οὐκ ἐχρῆν. καὶ γὰρ ὁ προφήτης πολλὰ ἐγκαλέσας πρότερον, καὶ τοῦτο ἐπήγαγεν εἰπών· Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ· καὶ πάλιν, Οὐκ ἐξῆλθε κατοικοῦσα ἕνα κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. καίτοι καὶ ὁ Ἰωσήφ, τουτέστιν, αἱ φυλαὶ αἱ ἐξ αὐτοῦ, καὶ αἱ τούτων γείτονες, κατὰ Θεοῦ γνώμην ἐτιμωροῦντο, ἀλλ' ὅμως βούλεται καὶ τούτοις ἡμᾶς συναλγεῖν. εἰ γὰρ ἡμεῖς, ″πονηροὶ ὄντες, ὅταν τιμωρώμεθα οἰκέτην, ἂν τινὰ τῶν συνδούλων γελάσαντα ἴδωμεν, καὶ παροξυνόμεθα μᾶλλον καὶ ἐπ' ἐκεῖνον μετάγομεν τὴν ὀργήν·

Αμ. ϛ. ϛ.

πολλῷ μᾶλλον ὁ Θεὸς τιμωρήσεται τοὺς ἐφηδομένους τοῖς κολαζομένοις. εἰ δὲ τοῖς παρὰ τοῦ Θεοῦ κολαζομένοις οὐκ ἐπεμβαίνειν, ἀλλὰ συναλγεῖν χρή, πολλῷ μᾶλλον τοῖς εἰς ἡμᾶς ἡμαρτηκόσι. τοῦτο γὰρ ἀγάπης σημεῖον, ταύτην πάντων προτίθησιν ὁ Θεός. καθάπερ γὰρ ἐπὶ τῆς ἁλουργίδος τῆς βασιλικῆς, ἐκεῖνα ἐστὶ τὰ τίμια τῶν ἀνθῶν καὶ τῶν χρωμάτων, ἅπερ τὴν χλαμύδα κατασκευάζει ταύτην· οὕτω καὶ ἐνταῦθα, αὗταί εἰσιν ἀρεταὶ αἱ τίμιαι, αἵπερ ἂν τὴν ἀγάπην συνέχωσιν. οὐδὲν δὲ οὕτως ἀγάπην διατηρεῖ, ὡς τὸ μὴ μεμνῆσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων. μὴ γὰρ οὐκ ἐφρόντισε καὶ θατέρου μέρους ὁ Θεός; μὴ γὰρ οὐκ ἔπεμψε τὸν ἠδικηκότα πρὸς τὸν ἠδικημένον ἐλθεῖν; οὐκ ἀπὸ τοῦ θυσιαστηρίου πέμπει πρὸς ἐκεῖνον αὐτόν, καὶ μετὰ τὰς καταλλαγὰς ἐπὶ τὴν τράπεζαν αὐτὸν καλεῖ; ἀλλὰ μὴ διὰ τοῦτο περιμείνης ἐκεῖνον ἐλθεῖν, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. διὰ γὰρ τοῦτο μάλιστά σοι μισθὸν ἄφατον ὁρίζει, ἵνα φθάσῃς ἐκεῖνον· ὡς ἐὰν παρακληθεὶς καταλλαγῇς, οὐκ ἔτι τῆς τοῦ Θεοῦ προσταγῆς γέγονεν ἡ φιλία, ἀλλὰ τῆς ἐκείνου σπουδῆς. διὸ καὶ ἀστεφάνωτος ἀναχωρεῖς, ἐκείνου τὰ βραβεῖα λαμβάνοντος. τί λέγεις; ἐχθρὸν ἔχεις, καὶ οὐκ αἰσχύνῃ; οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ διάβολος, ἀλλὰ καὶ ὁμογενεῖς ἐπισπώμεθα; εἴθε μηδὲ ἐκεῖνος ἠθέλησεν ἡμῖν πολεμῆσαι, εἴθε μήτε ἐκεῖνος διάβολος ἦν. οὐκ οἶσθα πόση ἡ ἡδονὴ μετὰ τὰς καταλλαγάς; τί γάρ, εἰ καὶ ἐν τῇ ἔχθρᾳ οὐ σφόδρα φαίνεται; ὅτι γὰρ ἥδιον τὸ φιλεῖν τὸν ἀδικοῦντα ἢ μισεῖν, μετὰ τὸ λυθῆναι τὴν ἔχθραν τότε δυνήσῃ μαθεῖν καλῶς. τί τοίνυν τοὺς μαινομένους μιμούμεθα ἀλλήλους κατεσθίοντες, τῇ οἰκείᾳ σαρκὶ πολεμοῦντες; ἄκουσον καὶ ἐν τῇ παλαιᾷ πόσος ἦν ὑπὲρ τούτου λόγος. ὁδοὶ μνησικάκων εἰς θάνατον. ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, καὶ παρὰ Θεῷ ζητεῖ ἴασιν. καίτοι [γε] συνεχώρησεν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. πῶς οὖν ἐγκαλεῖ; ὅτι κἀκεῖνα συνεχώρησεν, οὐχ ἵνα ἀλλήλοις αὐτὰ ποιῶμεν, ἀλλ' ἵνα δέει τοῦ παθεῖν ἀπεχώμεθα τοῦ τολμᾶν. καὶ ἄλλως δέ, ἐκεῖνα μὲν προσκαίρου τινός ἐστιν ὀργῆς, τὸ δὲ μνησικακεῖν, ψυχῆς πονηρίαν μελετώσης. ἀλλὰ κακῶς ἔπαθες; ἀλλ' οὐδὲν τοσοῦτον, ὅσον σαυτὸν ἐργάσῃ μνησικακῶν. ἄλλως δέ, οὐδὲ δυνατὸν ἄνδρα ἀγαθὸν κακόν τι παθεῖν. ἔστω γάρ τις καὶ παιδία ἔχων καὶ γυναῖκα, καὶ φιλοσοφείτω, ἐχέτω δὲ καὶ πολλὰς ἀφορμὰς βλάβης, καὶ χρημάτων περιουσίαν, καὶ ἀρχῆς δυναστείαν, καὶ φίλους πολλούς, καὶ τιμῆς ἀπολαυέτω, πλὴν φιλοσοφείτω (τοῦτο γὰρ δεῖ προσκεῖσθαι) καὶ προσάγωμεν αὐτῷ τὰς πληγὰς τῷ λόγῳ, καὶ προσιών τις μοχθηρὸς ἀνὴρ περιβαλλέτω ζημίᾳ· τί οὖν πρὸς τὸν οὐδὲν ἡγούμενον εἶναι τὰ χρήματα; τὰ τέκνα ἀναιρείτω· τί οὖν πρὸς τὸν περὶ ἀναστάσεως φιλοσοφοῦντα; τὴν γυναῖκα σφαττέτω· καὶ τί τοῦτο πρὸς τὸν πεπαιδευμένον μὴ πενθεῖν τοὺς κεκοιμημένους; εἰς ἀτιμίαν ἐμβαλλέτω· καὶ τί πρὸς τὸν ἄνθος χόρτου τὰ παρόντα ἡγούμενον; εἰ βούλει, καὶ τὸ σῶμα κολαζέτω, καὶ εἰς δεσμωτήριον ἐμβαλλέτω· τί οὖν πρὸς τὸν μαθόντα, ὅτι εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται, καὶ ὅτι ἡ θλίψις δοκιμὴν κατεργάζεται; ἐγὼ μὲν οὖν μηδὲν βλαβήσεσθαι τὸν ἄνδρα ὑπεσχόμην· ὁ δὲ λόγος προϊὼν ἔδειξεν ὅτι καὶ ὠφελεῖται ἀνακαινούμενος καὶ δόκιμος γινόμενος. μὴ τοίνυν πρὸς ἑτέρους ἀλγῶμεν, ἑαυτοὺς ἀδικοῦντες καὶ ἀσθενῆ κατασκευάζοντες τὴν ψυχήν. οὐ γὰρ τῆς τῶν πλησίον πονηρίας ἐστὶ τοσοῦτον, ὅσον τῆς ἡμετέρας ταλαιπωρίας ἡ ἀλγηδών. διὰ τοῦτο κἂν ὑβρίσῃ τις, δακρύομεν καὶ συστελλόμεθα· κἂν ἁρπάσῃ τις, τὸ αὐτὸ πάσχομεν, κατὰ τὰ παιδία ἐκεῖνα τὰ μικρά, ἅπερ ὑπὸ τῶν ὁμηλίκων ἀστειότεροι παροξύνουσιν ὑπὲρ οὐδενὸς ἀναγκαίου, ἀλλ' ἀπὸ μικρῶν προφάσεων λυποῦντες. ἀλλ' ὅμως κἀκεῖνα ἂν μὲν ἴδωσιν κνιζόμενα, ἐπιμένουσι δάκνοντες, ἂν δὲ γελῶντα, καὶ ἀφίστανται. ἀλλ' ἡμεῖς καὶ τούτων ἀνοητότεροι, ὅτι ὑπὲρ ὧν ἔδει γελᾶν, ὑπὲρ τούτων ὀδυρόμεθα. διό, παρακαλῶ, τὴν παιδικὴν ταύτην διάνοιαν ἀφέντες, τῶν οὐρανῶν ἐπιλαβώμεθα. καὶ γὰρ ἄνδρας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται, ἄνδρας τελείους. οὕτω καὶ ὁ Παῦλος ἐκέλευσεν·

Ματθ.ε.κγ.

Εξοδ.κα.κδ.
Λευϊτ.κδ.κ.

β.Κορ.δ.15.
Ρω.ε.γ.δ.

α. Κορ. ιδ. κ.

Ἀδελφοί, λέγων, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. νηπιάσωμεν τοίνυν τῇ κακίᾳ, καὶ τὴν πονηρίαν φυγόντες τῆς ἀρετῆς ἐπιλαβώμεθα, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. π. 6 ΤΟΥ ΔΕ ΙΗΣΟΥ ΓΕΝΟΜΕΝΟΥ ΕΝ Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, 7 Προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου.

Ἡ Γυνὴ αὕτη δοκεῖ μὲν εἶναι μία καὶ ἡ αὐτὴ παρὰ τοῖς εὐαγγελισταῖς ἅπασιν, οὐκ ἔστι δέ· ἀλλὰ παρὰ μὲν τοῖς τρισὶ μία τις εἶναί μοι δοκεῖ καὶ ἡ αὐτή· παρὰ δὲ τῷ Ἰωάννῃ οὐκέτι, ἀλλ᾽ ἑτέρα τις θαυμαστή, ἡ τοῦ Λαζάρου ἀδελφή. οὐχ ἁπλῶς δὲ τῆς λέπρας μέμνηται τοῦ Σίμωνος ὁ εὐαγγελιστής, ἀλλ᾽ ἵνα δείξῃ πόθεν θαῤῥοῦσα προσῆλθεν ἡ γυνή. ἐπειδὴ γὰρ ἡ λέπρα ἐδόκει σφόδρα ἀκάθαρτον εἶναι πάθος καὶ βδελυκτόν, εἶδε δὲ τὸν Ἰησοῦν θεραπεύσαντα τὸν ἄνθρωπον καὶ τῆς λέπρας ἐκκαθάραντα (οὐδὲ γὰρ ἂν εἵλετο μεῖναι παρὰ τῷ λεπρῷ) καὶ καταχθέντα δὲ παρ᾽ αὐτῷ, ἐθάρσησεν ὅτι καὶ τὴν τῆς ψυχῆς αὐτῆς ἀκαθαρσίαν ἀποσμήξει ῥᾳδίως. οὐχ ἁπλῶς δὲ καὶ τὴν πόλιν φησὶ τὴν Βηθανίαν· ἀλλ᾽ ἵνα μάθῃς, ὅτι ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. ὁ γὰρ πρὸ τούτου διαδιδράσκων αὐτούς, ὅτε μάλιστα ἐξήφθη αὐτῶν ἡ βασκανία, τότε πλησίον ἔρχεται ὡς ἀπὸ σταδίων δεκαπέντε. οὕτως οἰκονομίας ἦν καὶ τὸ πρότερον ἀναχωρεῖν. ἰδοῦσα τοίνυν αὐτὸν ἡ γυνή, καὶ τὸ θαῤῥεῖν λαβοῦσα, ἐντεῦθεν προσῄει. εἰ γὰρ καὶ ἡ αἱμοῤῥοοῦσα, καίτοι οὐδὲν ἑαυτῇ συνειδυῖα τοιοῦτον, διὰ τὴν ἀπὸ τῆς φύσεως δοκοῦσαν εἶναι ἀκαθαρσίαν, τρέμουσα καὶ δεδοικυῖα προσῆλθε· πολλῷ μᾶλλον ταύτην ὀκνεῖν καὶ ἀναδύεσθαι εἰκὸς ἦν διὰ τὸ πονηρὸν συνειδός. διὸ καὶ μετὰ πολλὰς γυναῖκας, τὴν Σαμαρεῖτιν, τὴν Χαναναίαν, τὴν αἱμοῤῥοοῦσαν, καὶ ἑτέρας πλείους προσέρχεται, διὰ τὸ πολλὴν ἑαυτῇ συνειδέναι τὴν ἀκαθαρσίαν καὶ ἀσέλγειαν· καὶ οὐδὲ δημοσίᾳ, ἀλλ᾽ ἐν οἰκίᾳ. καὶ πάντων ἄλλων ὑπὲρ θεραπείας προσερχομένων σωματικῆς, μόνον αὕτη τιμῆς ἕνεκεν προσῄει μόνης, καὶ τῆς κατὰ ψυχὴν διορθώσεως. οὐδὲ γάρ τι τοῦ σώματος ἀνάπηρος ἦν· ὥστε καὶ διὰ τοῦτο μάλιστα ἄν τις αὐτὴν θαυμάσειε. καὶ οὐδὲ ὡς ἀνθρώπῳ πρόσεισι ψιλῷ (οὐ γὰρ ἂν ταῖς θριξὶ κατέμαξεν) ἀλλ᾽ ὡς μείζονι ἢ κατὰ ἄνθρωπον. διὰ τοῦτο ὃ πάντων τοῦ σώματος καὶ τῶν μελῶν τιμιώτερον ἦν μέλος, τοῦτο πρὸς τοὺς πόδας ἤνεγκε τοῦ Χριστοῦ, τὴν κεφαλὴν τὴν ἑαυτῆς.

Ματθ. ς.
Λουκ. η.

8 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, φησι, λέγοντες· Εἰς τί ἡ ἀπώλεια [ἐγένετο] αὕτη;

9 Ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι τοῖς πτωχοῖς.

10 Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπε· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.

11 Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

12 βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν.

13 Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς. Καὶ πόθεν οὖν αὖθις ἡ τοιαύτη διάνοια; ἤκουον τοῦ διδασκάλου λέγοντος, ἔλεον θέλω, καὶ οὐ θυσίαν· καὶ τοῖς Ἰουδαίοις ἐγκαλοῦντος,

λυπῶντος, ὅτι τὰ βαρύτερα ἀφίεσαν, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· καὶ πολλὰ ἐν τῷ ὄρει περὶ ἐλεημοσύνης διαλεχθέντος· καὶ ἀπὸ τούτων ἐλογίζοντο πρὸς ἑαυτοὺς, καὶ ἐνενόουν, ὅτι εἰ ὁλοκαυτώματα οὐ προσίεται, οὐδὲ τὴν παλαιὰν λατρείαν, πολλῷ μᾶλλον τοῦ ἐλαίου τὴν χρίσιν. ἀλλ' οὗτοι μὲν οὕτως ἐνόμιζον· ὁ δὲ τὴν διάνοιαν αὐτῆς ὁρῶν ἀφίησι (καὶ γὰρ πολλὴ ἡ εὐλάβεια ἦν, καὶ ἄφατος ἡ σπουδή) διὸ καὶ σφόδρα συγκαταβαίνων συνεχώρησε καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ χυθῆναι τὸ ἔλαιον. εἰ γὰρ ἄνθρωπος γενέσθαι καὶ κυοφορηθῆναι καὶ γαλακτοτροφηθῆναι οὐ παρῃτήσατο, τί θαυμάζεις εἰ τοῦτο οὐ διακρούεται; ὥσπερ γὰρ ὁ πατὴρ αὐτοῦ κνίσης ἐδέχετο καὶ καπνοῦ, οὕτω καὶ αὐτὸς τῆς πόρνης, ὅπερ ἔφθην εἰπὼν, τὴν αὐτῆς διάνοιαν ἀποδεχόμενος. καὶ γὰρ καὶ ὁ Ἰακὼβ στήλην ἤλειψε τῷ Θεῷ, καὶ ἐν ταῖς θυσίαις ἔλαιον προσήγετο· καὶ οἱ ἱερεῖς μύρῳ ἐχρίοντο. ἀλλ' οἱ μαθηταὶ τὴν γνώμην αὐτῆς οὐκ εἰδότες ἀκαίρως ἐμέμφοντο, καὶ δι' ὧν ἐνεκάλουν, δεικνύουσι τῆς γυναικὸς τὴν φιλοτιμίαν. εἰπόντες γὰρ ὅτι ἠδύνατο τῶν τριακοσίων δηναρίων πραθῆναι, ἔδειξαν ὅσον ἀνάλωσεν εἰς τὸ μύρον αὐτή, καὶ ὅσην ἐπεδείξατο τὴν μεγαλοψυχίαν. διὸ καὶ ἐπετίμα αὐτοῖς λέγων· τί κόπους παρέχετε τῇ γυναικί; καὶ λογισμὸν προστίθησι, βουλόμενος αὐτοὺς πάλιν ἀναμνῆσαι τοῦ πάθους. εἰς τὸν ἐνταφιασμόν μου γάρ, φησιν, ἐποίησε. καὶ ἕτερον προσάγει λογισμόν. τοὺς πτωχοὺς γάρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε· καί, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη. εἶδες πῶς πάλιν τὴν εἰς τὰ ἔθνη ἔξοδον προαναφωνεῖ, καὶ ταύτῃ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ θανάτου, εἴγε τοσαύτη μετὰ τὸν σταυρὸν ἡ δύναμις ἐκλάμψει, ὡς πανταχοῦ τῆς γῆς ἐκχυθῆναι τὸ κήρυγμα; τίς οὖν οὕτως ἄθλιος, ὡς πρὸς τοσαύτην ἀντιλέξαι ἀλήθειαν; ἰδοὺ γάρ, ὅπερ εἶπε, γέγονε· καὶ ὅπουπερ ἂν ἀπέλθῃς τῆς οἰκουμένης, ὄψει καὶ ταύτην ἀνακηρυττομένην. καίτοι οὐδὲ τὸ πρόσωπον ἐπίσημον ἦν, οὔτε μάρτυρας ἔχον πολλούς, οὔτε ἐν θεάτρῳ τὸ γεγενημένον, ἀλλ' ἐν οἰκίᾳ, καὶ οἰκίᾳ λεπροῦ τινος, τῶν μαθητῶν μόνων παρόντων. τίς οὖν αὐτὸ ἐξήχησε, καὶ διαδοθῆναι ἐποίησεν; ἢ τοῦ ταῦτα λέγοντος δύναμις. καὶ βασιλέων μὲν μυρίων καὶ στρατηγῶν ἀνδραγαθήματα, ὧν καὶ τὰ ὑπομνήματα μένει, σεσίγηται, καὶ πόλεις ἀναστήσαντες, καὶ τείχη περιβάλλοντες, καὶ πολέμους νικήσαντες, καὶ τρόπαια στήσαντες, καὶ ἔθνη πολλὰ δουλωσάμενοι, οὐδὲ ἐξ ἀκοῆς, οὐδὲ ἐξ ὀνόματός εἰσι γνώριμοι, καίτοι καὶ ἀνδριάντας ἀναστήσαντες καὶ νόμους θέντες· ὅτι δὲ πόρνη γυνὴ ἔλαιον ἐξέχεεν ἐν οἰκίᾳ λεπροῦ τινος, δώδεκα ἀνδρῶν παρόντων, τοῦτο πάντες ᾄδουσι κατὰ τὴν οἰκουμένην· καὶ χρόνος τοσοῦτος παρῆλθε, καὶ ἡ μνήμη τοῦ γινομένου οὐκ ἐμαράνθη· ἀλλὰ καὶ Πέρσαι, καὶ Ἰνδοί, καὶ Σκύθαι, καὶ Θρᾷκες, καὶ Σαυρομάται, καὶ τὸ τῶν Μαύρων γένος, καὶ οἱ τὰς Βρεττανικὰς νήσους οἰκοῦντες τὸ ἐν Ἰουδαίᾳ γενόμενον λάθρα, ἐν οἰκίᾳ, παρὰ γυναικὸς πεπορνευμένης περιφέρουσι. μεγάλη ἡ φιλανθρωπία τοῦ δεσπότου. πόρνης ἀνέχεται, πόρνης πόδας φιλούσης καὶ βρεχούσης ἐλαίῳ, καὶ καταμασσούσης θριξί· καὶ προσίεται καὶ ἐπιτιμᾷ τοῖς ἐγκαλοῦσιν. οὐδὲ γὰρ ἔδει ὑπὲρ τοσαύτης σπουδῆς ἐξαπορηθῆναι τὴν γυναῖκα. σὺ δέ μοι σκόπει κἀκεῖνο, πῶς ἦσαν λοιπὸν ὑψηλοὶ καὶ πρόθυμοι πρὸς ἐλεημοσύνην. καὶ διὰ τί μὴ ἁπλῶς εἶπεν, ὅτι ἔργον καλὸν ἐποίησεν, ἀλλὰ πρότερον, τί κόπους παρέχετε τῇ γυναικί; ἵνα μάθωσι μὴ ἐκ προοιμίων τὰ ὑψηλότερα τοὺς ἀσθενεστέρους ἀπαιτεῖν. διὰ τοῦτο οὐδὲ αὐτὸ καθ' ἑαυτὸ ἁπλῶς τὸ πρᾶγμα ἐξετάζει, ἀλλὰ μετὰ τοῦ προσώπου τῆς γυναικός. καίτοι εἰ ἐνομοθέτει, οὐκ ἂν προσέθηκε τὴν γυναῖκα. ἀλλ' ἵνα μάθῃς ὅτι δι' αὐτὴν ταῦτα εἴρηται, ἵνα μὴ τὴν βλαστήσασαν αὐτῆς πίστιν πηρώσωσιν, ἀλλ' ἐκθρέψωσι μᾶλλον, διὰ τοῦτό φησι, παιδεύων ἡμᾶς, ὅπερ ἂν γίνηται καλὸν παρά του ὁτουοῦν, κἂν μὴ σφόδρα ἠκριβωμένον ᾖ, δέχεσθαι αὐτὸ καὶ θάλπειν καὶ ἐπὶ τὸ μεῖζον ἄγειν, καὶ μὴ παρὰ τὴν ἀρχὴν πᾶσαν ἐπιζητεῖν ἀκρίβειαν. ἐπεί, ὅτι γε καὶ αὐτὸς

ρελογίζ.

ὥσπερ

λογισ-

τοῦτο

εὐαγγέλι-

ῆλθε,

οῖς

αὐτὸς τοῦτο μᾶλλον ἐβούλετο, δῆλον ἐξ ὧν καὶ γλωσσόκομον βαστάζεσθαι ἐκέλευσεν, ὁ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι. ἀλλὰ τότε οὐκ ἀπῄτει τοῦτο ὁ καιρὸς, ὥστε διορθῶσαι τὸ γεγενημένον, ἀλλ' ὥστε ἀποδέξασθαι μόνον. ὥσπερ γὰρ εἴ τις αὐτὸν ἤρετο χωρὶς τοῦ ποιῆσαι τοῦτο τὴν γυναῖκα, οὐκ ἂν τοῦτο ἀπεφήνατο· οὕτως ἐπειδὴ ἐποίησεν, εἰς ἓν ὁρᾷ λοιπὸν, ὅπως ἂν μὴ διαπορηθῇ ἐκ τῆς τῶν μαθητῶν ἐπιτιμήσεως, ἀλλ' ἐκ τῆς αὐτοῦ θεραπείας εὐθυμοτέρα γενομένη καὶ ἀμείνων ἀπέλθῃ. καὶ γὰρ μετὰ τὸ χυθῆναι τὸ ἔλαιον, οὐδὲ καιρὸν εἶχεν αὐτῶν ἡ ἐπιτίμησις. καὶ σὺ τοίνυν ἐὰν μὲν τινὰ ἴδῃς σκεύη κατασκευάσαντα ἱερὰ καὶ προσάγοντα, ἢ ἄλλον τινὰ ἐκκλησίας κόσμον, ἢ περὶ τοίχους καὶ ἔδαφος φιλοπονοῦντα, μὴ κέλευε πραθῆναι, ἢ ἀνατραπῆναι τὸ γεγενημένον, ἵνα μὴ πηρώσῃς αὐτοῦ τὴν προθυμίαν· ἂν δὲ πρὶν ἢ κατασκευάσαι τις ἐρῇ ταῦτα, κέλευε δοθῆναι πτωχοῖς· ἐπεὶ καὶ αὐτὸς, ὥστε μὴ πηρῶσαι τὴν προθυμίαν τῆς γυναικὸς, τοῦτο ἐποίησε, καὶ ὅσα φησὶν, εἰς παραμυθίαν αὐτῆς λέγει. εἶτα ἐπειδὴ εἶπεν, εἰς τὸν ἐνταφιασμόν μου ἐποίησεν, ἵνα μὴ δόξῃ ἀπορεῖν τὴν γυναῖκα τοῦ τοιούτου πράγματος ἀναμνήσας, τάφου καὶ θανάτου λέγω, ὅρα διὰ τῶν ἑξῆς πῶς αὐτὴν ἀνακλᾶται πάλιν λέγων· ἐν ὅλῳ τῷ κόσμῳ λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη. τοῦτο δὲ καὶ τῶν μαθητῶν παραμυθία, κἀκείνης παράκλησις καὶ ἔπαινος ἦν. πάντες γὰρ αὐτὴν, φησιν, ᾄσονται μετὰ ταῦτα, καὶ νῦν δὲ προανεκήρυξε τὸ πάθος τὰ πρὸς κηδείαν προσαγαγοῦσα. μὴ τοίνυν τις αὐτῇ ἐπιτιμάτω. ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ καταδικάσαι αὐτὴν, ὡς κακῶς πεποιηκυῖαν, ἢ μέμψασθαι, ὡς οὐκ ὀρθῶς εἰργασμένην, ὅτι οὐδὲ ἀφήσω λαθεῖν τὸ γεγενημένον, ἀλλ' ὁ κόσμος εἴσεται τὸ ἐν οἰκίᾳ εἰργασμένον καὶ κρυπτῷ. καὶ γὰρ ἀπὸ εὐλαβοῦς διανοίας ἦν τὸ γεγενημένον, καὶ πίστεως θερμῆς, καὶ συντετριμμένης ψυχῆς. καὶ διατί μηδὲν πνευματικὸν ὑπέσχετο τῇ γυναικὶ, ἀλλὰ τὴν εἰς ἀεὶ μνήμην; ἀπὸ τούτων καὶ περὶ ἐκείνων θαῤῥεῖν παρασκευάζων. εἰ γὰρ ἔργον καλὸν ἐποίησεν, εὔδηλον ὅτι καὶ μισθὸν ἄξιον λήψεται.

14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα Ἰούδας ὁ λεγόμενος Ἰσκαριώτης πρὸς τοὺς ἀρχιερεῖς,

15 Εἶπε· τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ παραδώσω ὑμῖν αὐτόν;

Τότε, πότε; ὅτε ταῦτα ἔλεγεν, ὅτε εἶπεν εἰς τὸν ἐνταφιασμόν μου*. καὶ οὐδὲ ἐντεῦθεν κατενύγη, οὔτε ἀκούσας ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον πανταχοῦ, ἔδεισε (καὶ γὰρ δυνάμεως ἀφάτου τὸ εἰρημένον ἦν) ἀλλ' ὅτε γυναῖκες τοσαύτην ἐπεδείξαντο τιμὴν, καὶ γυναῖκες πεπορνευμέναι, τότε αὐτὸς τὰ τοῦ διαβόλου εἰργάζετο. καὶ τί δήποτε λέγουσιν αὐτοῦ τὸ παράσημον; ὅτι ἦν καὶ ἄλλος Ἰούδας. καὶ οὐδὲ παραιτοῦνται εἰπεῖν, ὅτι ἀπὸ τῶν δώδεκα καὶ οὗτος ἦν. οὕτως οὐδὲν κρύπτουσι τῶν δοκούντων εἶναι ἐπονειδίστων. καίτοι ἐνῆν εἰπεῖν οὕτως ἁπλῶς, ὅτι τῶν μαθητῶν αὐτοῦ τις ἦν (ἦσαν γὰρ καὶ ἄλλοι) νῦν δὲ προστιθέασι τῶν δώδεκα, ὡσανεὶ ἔλεγον, τοῦ πρώτου χοροῦ, τῶν ἀριστίνδην ἐξειλεγμένων, τῶν μετὰ Πέτρου καὶ Ἰωάννου. ἑνὸς γὰρ αὐτοῖς ἔμελε, τῆς ἀληθείας μόνης, οὐ τοῦ συσκιάσαι τὰ γινόμενα. διὰ τοῦτο τῶν μὲν σημείων πολλὰ παρατρέχουσι, τῶν δὲ δοκούντων εἶναι ἐπονειδίστων οὐδὲν ἀποκρύπτονται· ἀλλὰ κἂν ῥῆμα, κἂν πρᾶγμα, κἂν ὁτιοῦν ᾖ, τοῦτο μετὰ παῤῥησίας ἀνακηρύττουσι· καὶ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ τὰ ὑψηλότερα φθεγγόμενος Ἰωάννης. αὐτὸς γὰρ μάλιστα λέγει καὶ τὰς ὕβρεις, καὶ τὰ ὀνείδη τὰ εἰς αὐτὸν γινόμενα. καὶ ὅρα πόση κακία τοῦ Ἰούδα, ὅταν αὐτομάτως προσίῃ, ὅταν ἀργυρίου τοῦτο ποιῇ, καὶ ἀργυρίου τοσούτου. ὁ δὲ Λουκᾶς φησιν, ὅτι τοῖς στρατηγοῖς συνέθετο. (Λουκ. κβ. δ.) ἐπειδὴ γὰρ ἐστασίαζον οἱ Ἰουδαῖοι, οἱ τῆς εὐταξίας αὐτῶν ἐπιμελησομένους ἐπέστησαν αὐτοῖς οἱ Ῥωμαῖοι. καὶ γὰρ ἡ ἀρχὴ αὐτῶν μεταπεσοῦσα λοιπὸν ἦν κατὰ τὴν προφητείαν. τούτοις οὖν προσελθὼν, φησί· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;

Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. 16 Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. Καὶ γὰρ ἐδεδοίκει τὸν ὄχλον, καὶ μόνον ἀπολαβεῖν ἤθελεν. ὢ τῆς ἀνοίας. πῶς αὐτὸν καθάπαξ ἐπήρωσεν ἡ φιλαργυρία; ὁ γὰρ πολλάκις ἰδὼν αὐτὸν διὰ μέσου διελθόντα καὶ μὴ κατασχεθέντα, καὶ τῆς αὐτοῦ θεότητος καὶ δυνάμεως πολλὰς παρασχόντα τὰς ἀποδείξεις, προσεδόκησεν αὐτὸν καθέξειν, καὶ ταῦτα τοσαῦτα αὐτῷ κατεπᾴδοντα καὶ φοβερὰ καὶ προσηνῆ ῥήματα, ὥστε καταλῦσαι τὴν πονηρὰν ταύτην ἔννοιαν. οὐδὲ γὰρ ἐν τῷ δείπνῳ ταύτης ἀπέστη τῆς ἐπιμελείας, ἀλλ' ἕως ἐσχάτης ἡμέρας ὑπὲρ τούτων αὐτῷ διελέγετο. ἀλλ' οὐδὲν ἐκεῖνος ἐκέρδανεν. οὐ μὴν διὰ τοῦτο ὁ δεσπότης ἐπαύσατο τὰ″ ἑαυτοῦ ποιῶν.

ιτὰ

ΗΘΙΚΟΝ

Ταῦτα οὖν καὶ ἡμεῖς εἰδότες, μὴ διαλιμπάνωμεν πάντα ποιοῦντες εἰς τοὺς ἁμαρτάνοντας καὶ ῥᾳθυμοῦντας, νουθετοῦντες, διδάσκοντες, παρακαλοῦντες, παραινοῦντες, συμβουλεύοντες, κἂν μηδὲν ὠφελῶμεν. καὶ γὰρ ὁ Χριστὸς προῄδει τὸ ἀδιόρθωτον τοῦ″ Ἰούδα· ἀλλ' ὅμως οὐκ ἐπαύσατο τὰ παρ' ἑαυτοῦ εἰσφέρων, καὶ νουθετῶν, καὶ ἀπειλῶν, καὶ ταλανίζων, καὶ οὐδαμοῦ σαφῶς οὐδὲ δήλως, ἀλλ' ἐπικεκρυμμένως. ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς προδοσίας, καὶ φιλῆσαι αὐτὸν κατεδέξατο· ἀλλ' οὐδὲν ἐκεῖνον ὤνησε τοῦτο. τοσοῦτον ἡ φιλαργυρία κακόν. αὕτη γὰρ αὐτὸν καὶ προδότην καὶ ἱερόσυλον ἐποίησεν. ἀκούσατε πάντες οἱ φιλάργυροι οἱ τὸ τοῦ Ἰούδα νόσημα ἔχοντες· ἀκούσατε, καὶ φυλάξασθε τὸ πάθος. εἰ γὰρ ὁ συνὼν τῷ Χριστῷ, καὶ σημεῖα ἐργασάμενος, καὶ τοσαύτης ἀπολαύσας διδασκαλίας, ἐπειδὴ μὴ ἀπηλλάγη τοῦ νοσήματος, εἰς τοσοῦτον κατηνέχθη βάραθρον· πολλῷ μᾶλλον ὑμεῖς οἱ μηδὲ γραφῶν″ ἀκούσαντες, οἱ διὰ παντὸς τοῖς″ παροῦσι προσηλωμένοι, εὐάλωτοι τῷ πάθει τούτῳ γενήσεσθε, εἰ μὴ″ συνεχοῦς ἀπολαύοιτε ἐπιμελείας. καθ' ἑκάστην ἡμέραν συνῆν ἐκεῖνος τῷ μὴ ἔχοντι ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ καθ' ἑκάστην ἐπαιδεύετο τὴν ἡμέραν, δι' ἔργων, διὰ ῥημάτων, μὴ χρυσὸν, μὴ ἀργύριον, μὴ δύο χιτῶνας ἔχειν· καὶ ὅμως οὐκ ἐσωφρονίσθη· καὶ πῶς σὺ προσδοκᾷς διαφεύξασθαι τὸ νόσημα, μὴ σφοδρᾶς ἀπολαύσας θεραπείας, καὶ πολλῇ τῇ σπουδῇ κεχρημένος; δεινὸν γὰρ, δεινὸν τοῦτο τὸ θηρίον, ἀλλ' ὅμως ἂν ἐθέλῃς, ῥᾳδίως περιέσῃ. οὐ γάρ ἐστιν ἡ ἐπιθυμία φυσική. καὶ δῆλον τοῦτο ἐκ τῶν ἀπηλλαγμένων αὐτῆς. τὰ γὰρ τῆς φύσεως κοινὰ πάντων ἐστίν· αὕτη δὲ ἐκ ῥᾳθυμίας ἡ ἐπιθυμία γίνεται μόνης· ἐντεῦθεν φύεται, ἐντεῦθεν αὔξεται· καὶ τοὺς πρὸς αὐτὴν κεχηνότας ὅταν ἕλῃ, παρὰ φύσιν ποιεῖ ζῆν. ὅταν γὰρ ἀγνοῶσι τοὺς ὁμοφύλους, τοὺς φίλους, τοὺς ἀδελφούς, τοὺς συγγενεῖς, ἅπαντας ἁπλῶς, καὶ μετὰ τούτων καὶ ἑαυτούς, οὐ παρὰ φύσιν τοῦτό ἐστι ζῆν; ὅθεν δῆλον ὅτι παρὰ φύσιν ἡ κακία, καὶ τὸ τῆς φιλαργυρίας νόσημα, ᾧ καὶ Ἰούδας περιπεσὼν, προδότης ἐγένετο. καὶ πῶς τοιοῦτος γέγονε, φησὶ, κληθεὶς ὑπὸ τοῦ Χριστοῦ; ὅτι οὐκ ἀναγκαστικὴ τοῦ Θεοῦ ἡ κλῆσις, οὐδὲ βιάζεται τὴν γνώμην τῶν μὴ βουλομένων ἀρετὴν ἑλέσθαι, ἀλλὰ παραινεῖ μὲν καὶ συμβουλεύει, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πεῖσαι γενέσθαι χρηστούς· εἰ δὲ μὴ αἱροῖντό τινες, οὐκ ἀναγκάζει. εἰ δὲ βούλει μαθεῖν πόθεν αὐτὸς γέγονε τοιοῦτος, εὑρήσεις ἀπὸ τῆς φιλαργυρίας αὐτὸν ἀπολωλότα. καὶ πῶς ὑπὸ τοῦ πάθους αὐτὸς ἑάλω τούτου, φησίν; ἐπειδὴ ἐρρᾳθύμησεν. ἐντεῦθεν γὰρ αἱ τοιαῦται μεταβολαὶ, ὥσπερ οὖν ἀπὸ σπουδῆς αἱ πρὸς τὸ ἐναντίον. πόσοι γοῦν βίαιοι γενόμενοι, προβάτων εἰσὶν ἡμερώτεροι νῦν; πόσοι ἀσελγεῖς, σώφρονες μετὰ ταῦτα κατέστησαν; πόσοι πλεονέκται πρὸ τούτου, νῦν δὲ καὶ τὰ ἑαυτῶν ἔρριψαν; καὶ τοὐναντίον πάλιν ἀπὸ ῥᾳθυμίας συνέβη. καὶ γὰρ ὁ Γιεζῆ ἀνδρὶ ἁγίῳ συνέζη, καὶ γέγονε μοχθηρὸς καὶ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ νοσήματος. καὶ γὰρ πάντων χαλεπώτατον τουτὶ τὸ πάθος. ἐντεῦθεν τυμβωρύχοι, ἐντεῦθεν ἀνδροφόνοι, ἐντεῦθεν πόλεμοι καὶ μάχαι, καὶ ὃ ἐὰν εἴπῃς κακὸν, ἐντεῦθεν. καὶ πανταχοῦ ἄχρηστος ὁ τοιοῦτος, ἄν τε στρατηγῆσαι, ἄν τε δημαγωγῆσαι δέῃ· μᾶλλον δὲ οὐκ ἐν τοῖς κοινοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἰδίοις. κἂν γυναῖκα ἀγαγέσθαι μέλλῃ,

ροδότε·

ἀκούοντες,
ὑπάρχουσι
συνεχῶς

οὐ λήψεται τὴν ἐνάρετον, ἀλλὰ τὴν πασῶν φαυλοτάτην· κἂν οἰκίαν πρίασθαι, οὐ τὴν ἐλευθέρῳ πρέπουσαν, ἀλλὰ τὴν πολὺν δυναμένην τὸν μισθὸν ἐνεγκεῖν· κἂν οἰκέτας, κἂν ὁτιοῦν ἕτερον ὠνήσασθαι μέλλῃ, τὸ φαυλότατον λήψεται. καὶ τί λέγω στρατηγίαν, καὶ δημαγωγίαν, καὶ οἰκονομίαν; κἂν γὰρ βασιλεὺς ᾖ, πάντων ἐστὶν ἀθλιώτερος, καὶ λύμη τῆς οἰκουμένης, καὶ πάντων πενέστερος. ὡς γὰρ εἷς τῶν πολλῶν διακείσεται· οὐχὶ τὰ πάντων αὐτοῦ νομίζων εἶναι, ἀλλ' ἑαυτὸν ἕνα τῶν πάντων, καὶ τὰ πάντων ἁρπάζων, πάντων ἐλάττονα ἔχειν νομίζει. τῇ γὰρ τῶν οὐδέπω κληθέντων ἐπιθυμίᾳ τὰ παρόντα μετρῶν, οὐδὲν ταῦτα πρὸς ἐκεῖνα εἶναι ἡγήσεται. Σειρ. ι. θ. διὸ καί τις φησί· φιλαργύρου μὲν γὰρ οὐδὲν ἀνομώτερον. ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν ἀποδίδοται, καὶ κοινὸς περιέρχεται τῆς οἰκουμένης ἐχθρός, ἀλγῶν ὅτι μὴ χρυσίον φέρει ἀντὶ τῶν ἀσταχύων ἡ γῆ, καὶ ἀντὶ τῶν ναμάτων αἱ κρῆναι, καὶ ἀντὶ τῶν λίθων τὰ ὄρη, δυσχεραίνων πρὸς τὴν εὐετηρίαν, ἐν τοῖς κοινοῖς ἀγαθοῖς συνεσταλμένος, πᾶσαν ἀποστρεφόμενος πρόφασιν, ὅθεν οὐκ ἔστιν ἀργύριον λαβεῖν· πάντα ὑπομένων, ὅθεν καὶ δύο μόνον συλλέξαι ὀβολοὺς ἔνι· ἅπαντας μισῶν, τοὺς πένητας, τοὺς πλουσίους· τοὺς μὲν πένητας, μή τι προσελθόντες αἰτήσωσι, τοὺς δὲ πλουτοῦντας, ὅτι μὴ τὰ ἐκείνων ἔχει. ἅπαντας τὰ αὐτοῦ νομίζει κεκτῆσθαι· καὶ ὡς παρὰ πάντων ἠδικημένος, οὕτω πρὸς πάντας δυσχεραίνει. πλησμονὴν οὐκ οἶδε, κόρον οὐκ ἐπίσταται· πάντων ἐστὶν ἀθλιώτερος, ὥσπερ οὖν ὁ τούτων ἀπηλλαγμένος καὶ φιλοσοφῶν, ζηλωτότερος πάντων ἐστίν. ὁ μὲν γὰρ ἐνάρετος, κἂν οἰκέτης ᾖ, κἂν δεσπότης, πάντων ἐστὶ μακαριώτερος. οὐδεὶς γὰρ αὐτὸν ποιήσει κακῶς, οὐδ' ἂν οἱ ἐκ τῆς οἰκουμένης συνέλθωσιν ἅπαντες, ὅπλα καὶ στρατόπεδα κινοῦντες, καὶ πολεμοῦντες αὐτῷ· ὁ δὲ μοχθηρὸς καὶ φαῦλος, καὶ τοιοῦτος, οἷον διεγράψαμεν, κἂν βασιλεὺς ᾖ, κἂν μυρία περίκειται διαδήματα, καὶ παρὰ τοῦ τυχόντος τὰ ἔσχατα πείσεται. οὕτως ἡ κακία ἀσθενές, οὕτως ἰσχυρὸν ἡ ἀρετή. τί τοίνυν πενθεῖς ἐν πενίᾳ ὤν; τί θρηνεῖς ἑορτὴν ἄγων; καὶ γὰρ ἑορτῆς ὁ καιρός. τί κλαίεις; καὶ γὰρ πανήγυρις ἡ πτωχεία, ἂν σωφρονῇς. τί ὀδύρῃ παιδίον; παιδίον γὰρ δεῖ τὸν τοιοῦτον καλεῖν. ἐτύπτησέ σε ὁ δεῖνα; καὶ τί τοῦτο; καρτερικώτερόν σε ἐποίησεν. ἀλλ' ἀφείλετο χρήματα; τὸ πλέον ὑπέτεμε τοῦ φορτίου. ἀλλὰ τὴν δόξαν περιέκοψε; πάλιν ἄλλης ἐλευθερίας εἶδός μοι λέγεις. ἄκουσον καὶ τῶν ἔξωθεν ταῦτα φιλοσοφούντων καὶ λεγόντων· οὐδὲν πέπονθας κακόν, ἐὰν μὴ προσποιῇ. ἀλλὰ τὴν οἰκίαν ἀφείλετο, τὴν μεγάλην ἐκείνην, καὶ περιβόλους ἔχουσαν; ἀλλ' ἰδού, πᾶσα ἡ γῆ ἐνώπιόν σου, τὰ δημόσια οἰκοδομήματα, εἴτε εἰς τέρψιν, εἴτε εἰς χρείαν ἔχειν ἐθέλῃς. καὶ τί τερπνότερον, ἢ ὡραιότερον τοῦ στερεώματος τοῦ οὐρανοῦ; μέχρι τίνος πτωχοὶ καὶ πένητες; οὐκ ἔστι πλούσιον εἶναι τὸν μὴ ψυχῇ πλουτοῦντα· ὥσπερ οὐκ ἔνι πτωχὸν εἶναι τὸν μὴ ἐν διανοίᾳ ἔχοντα τὴν πενίαν. εἰ γὰρ κυριώτερον τοῦ σώματος ἡ ψυχή, οὐκ ἰσχύει τὰ ἀκυρότερα αὐτὴν διαθεῖναι πρὸς ἑαυτά· ἀλλ' ἡ κυρία τὰ μὴ οὕτω κύρια πρὸς ἑαυτὴν ἐφέλκεται καὶ μεταβάλλει. καὶ γὰρ ἡ καρδία ὅταν τινὰ δέξηται βλάβην, ἅπαν τὸ σῶμα οὕτω διατίθησι· κἂν δύσκρατος γένηται, τῷ παντὶ λυμαίνεται· κἂν εὔκρατος, τὸ πᾶν ὀνίνησιν· ἂν δέ τι τῶν λοιπῶν διαφθαρῇ, ταύτης μενούσης ἔνδον ὑγιοῦς, εὐκόλως κἀκείνων τὴν λύμην ἀποτινάσσεται. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω ποιήσω, τί κλάδων ὄφελος, εἰπέ μοι, χλωρῶν, ὅταν ἡ ῥίζα μαραίνηται; τί δὲ βλάβος τῶν ἄνωθεν ξηρανθέντων φύλλων, ταύτης μενούσης ὑγιοῦς; οὕτω καὶ ἐνταῦθα οὐδὲν ὄφελος χρημάτων, ψυχῆς οὔσης πενιχρᾶς, οὐδὲ βλάβος πενίας, ψυχῆς οὔσης πλουσίας. καὶ πῶς ἂν γένοιτο πλουσία, φησίν, ἡ ψυχὴ ἐν πενίᾳ χρημάτων οὖσα; μάλιστα ἂν τότε γένοιτο. τότε γὰρ καὶ πλουτεῖν εἴωθεν. εἰ γάρ, καθὼς πολλάκις ἐδείξαμεν, τοῦτο πλουτοῦντος τεκμήριον τὸ καταφρονεῖν χρημάτων καὶ μηδενὸς δεῖσθαι, εὔδηλον ὅτι τὸ ἐν πενίᾳ εἶναι μᾶλλον ποιεῖ πλουτεῖν. καὶ γὰρ εὐκολώτερον ἄν τις ἐν πενίᾳ, ἢ ἐν πλούτῳ καταφρονήσειε χρημάτων. καὶ ὅτι μᾶλλον ἐφίεται χρημάτων ὁ πλούσιος, ἢ ὁ πένης, καὶ παντί που δῆλον· ὥσπερ ὁ μεθύων μᾶλλον διψᾷ τοῦ μεταδόντος αὐτάρκως τοῦ πώματος. οὐδὲ γὰρ τοιαύτη ἐστὶν ἡ ἐπιθυμία, ὥστε τῷ πλείονι σβέννυσθαι, ἀλλὰ τοὐναντίον ἀνάπτεσθαι πέφυκε τούτῳ. καὶ γὰρ τὸ πῦρ ὅταν λάβῃ πλείονα τὴν τροφὴν, τότε μάλιστα ἀγριοῦται· οὕτω καὶ ἡ τῶν χρημάτων ἐπιθυμία ὅταν πλέον ἐμβάλῃ χρυσίον, τότε μάλιστα αἴρεται. εἰ τοίνυν τὸ πλειόνων ἐφίεσθαι, πενίας, ὁ δὲ ἐν πλούτῳ τοιοῦτος, οὗτος μάλιστα ἐν πενίᾳ. ὁρᾷς ὅτι τότε μάλιστα πένεται ἡ ψυχὴ, ὅταν πλουτῇ· καὶ τότε πλουτεῖ, ὅταν ἐν πενίᾳ ᾖ; εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπων τὸν λόγον γυμνάσωμεν, καὶ ἔστωσαν δύο τινὲς, ὁ μὲν ἔχων μυρία τάλαντα, ὁ δὲ δέκα· καὶ ἀμφοτέρους ταῦτα ἀφαιρώμεθα. τίς οὖν μᾶλλον ἀλγήσει; οὐχ ὁ τὰ μυρία ἀπολέσας; οὐκ ἂν δὲ μᾶλλον ἤλγησεν, εἰ μὴ μᾶλλον ἐφίλει. εἰ δὲ μᾶλλον φιλεῖ, μᾶλλον ἐπιθυμεῖ. εἰ δὲ καὶ ἐπιθυμεῖ μᾶλλον, μᾶλλόν ἐστιν ἐν πενίᾳ. τοῦτο γὰρ μάλιστα ἐπιθυμοῦμεν, οὗ μάλιστα ἐν ἐνδείᾳ ἐσμέν. ἀπὸ γὰρ ἐνδείας ἡ ἐπιθυμία. ἔνθα γὰρ ἂν ᾖ κόρος, ἐπιθυμίαν οὐκ ἔστιν εἶναι. καὶ γὰρ τότε μάλιστα διψῶμεν, ὅταν ἐνδεῶς ἔχωμεν ποτοῦ. ταῦτα δέ μοι ἅπαντα εἴρηται, ὥστε δεῖξαι, ὅτι, ἐὰν νήφωμεν, οὐδεὶς ἡμᾶς λυμαίνεται· καὶ ὅτι οὐ παρὰ πενίαν, ἀλλὰ παρ' ἡμᾶς αὐτοὺς ἡ βλάβη γίνεται. διὸ παρακαλῶ πάσῃ σπουδῇ τὴν νόσον τῆς φιλαργυρίας ἐκβάλλειν, ἵνα καὶ ἐνταῦθα πλουτῶμεν, καὶ τῶν αἰωνίων ἀπολαύσωμεν ″ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. πα. 17 ΤΗ ΔΕ ΠΡΩΤΗ ΤΩΝ ΑΖΥΜΩΝ ΠΡΟΣῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; 18 Ὁ δὲ εἶπεν, ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει, ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.

ΠΡώτη τῶν ἀζύμων τὴν πρὸ τῶν ἀζύμων φησίν. εἰώθασι γὰρ ἀπὸ τῆς ἑσπέρας ἀεὶ ἀριθμεῖν τὴν ἡμέραν. καὶ ″ταύτην μνημονεύει, καθ' ἣν ἐν τῇ ἑσπέρᾳ τὸ πάσχα ἔμελλε θύεσθαι. τῇ γὰρ πέμπτῃ τοῦ σαββάτου προσῆλθον. καὶ ταύτην ὁ μὲν τὴν πρὸ τῶν ἀζύμων καλεῖ, τὸν καιρὸν λέγων καθ' ὃν προσῆλθον· ὁ δὲ οὕτω λέγει, ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ″ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα, τὸ ἦλθε τοῦτο λέγων, ἐγγὺς ἦν, ἐπὶ θύραις ἦν, τῆς ἑσπέρας δηλονότι μεμνημένος ἐκείνης. ἀπὸ γὰρ τῆς ἑσπέρας ″ἄρχονται. διὸ καὶ ἕκαστος προστίθησιν, ὅτε ἐθύετο τὸ πάσχα. * καὶ λέγουσι, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐδὲ ἦν αὐτῷ οἰκία, οὐκ ἦν καταγώγιον· ἐγὼ δὲ οἶμαι μηδὲ αὐτοὺς ἔχειν. ἦ γὰρ ἂν αὐτὸν ἐκεῖ παρεκάλεσαν ἐλθεῖν· ἀλλ' οὐκ ἦν οὐδὲ τούτοις πᾶσιν ἀποταξαμένοις λοιπόν. τίνος δὲ ἕνεκεν ″τὸ πάσχα ἐπετέλει; ἀεὶ διὰ πάντων δεικνὺς μέχρι τῆς ἐσχάτης ἡμέρας, ὅτι οὐκ ἔστιν ἐναντίος ″τῷ νόμῳ. καὶ τί δήποτε πρὸς ἄγνωτα ἄνθρωπον πέμπει; δεικνὺς κἀντεῦθεν, ὅτι ἠδύνατο μὴ παθεῖν. ὁ γὰρ τὴν διάνοιαν τούτου πείσας ὥστε αὐτοὺς ὑποδέξασθαι, καὶ ταῦτα ἀπὸ ῥημάτων, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς σταυροῦσιν αὐτὸν, εἴπερ ἐβούλετο μὴ παθεῖν; καὶ ὅπερ ἐπὶ τῆς ὄνου ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. καὶ γὰρ ἐκεῖ φησιν, ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, * ὁ Κύριος αὐτοῦ χρείαν ἔχει· οὕτω καὶ ἐνταῦθα ὁ διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ πάσχα. ἐγὼ δὲ οὐ τοῦτο θαυμάζω μόνον, ὅτι αὐτὸν ὑπεδέξατο ἄγνωστος ὤν, ἀλλ' ὅτι καὶ προσδοκῶν ἔχθραν ἐπισπάσασθαι τοσαύτην, καὶ πόλεμον ἄσπονδον, κατεφρόνησε τῆς τῶν πολλῶν ἀπεχθείας. εἶτα ἐπειδὴ ἠγνόουν, καὶ σημεῖον αὐτοῖς δίδωσιν, οἷον ἐπὶ τοῦ Σαοὺλ ὁ προφήτης, λέγων· Εὑρήσεις τινὰ ἀναβαίνοντα, καὶ α. Βασ. ι. γ.

ἀσκὸν ἔχοντα· καὶ ἐνταῦθα, κεράμιον βαστάζοντα. καὶ ὅρα πάλιν τῆς δυνάμεως τὴν ἐπίδειξιν. οὐ γὰρ εἶπε μόνον, τὸ πάσχα ποιῶ, ἀλλὰ καὶ ἑτέραν προστίθησιν, ὁ καιρός μου ἐγγύς ἐστι. τοῦτο δὲ ἐποίει, ἅμα μὲν τοὺς μαθητὰς συνεχῶς ὑπομιμνήσκων τοῦ πάθους, ὥστε τῇ πυκνότητι τῆς προῤῥήσεως ἐγγυμνασθέντας μελετῆσαι τὸ συμβησόμενον· ἅμα δὲ δεικνὺς αὐτοῖς τε ἐκείνοις, καὶ τῷ ὑποδεχομένῳ, καὶ πᾶσιν Ἰουδαίοις, ὃ πολλάκις εἶπον, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται. προστίθησι δὲ, μετὰ τῶν μαθητῶν μου· ὥστε καὶ ἀρκοῦσαν γενέσθαι τὴν παρασκευὴν, κἀκεῖνον μὴ νομίσαι κρύπτεσθαι αὐτόν.

20 Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν. Βαβαὶ τῆς ἀναισχυντίας τοῦ Ἰούδα. καὶ γὰρ καὶ αὐτὸς ἐκεῖ παρῆν, καὶ ἦλθε κοινωνήσων καὶ μυστηρίων καὶ ἄλλων, καὶ παρ' αὐτὴν ἐλέγχεται τὴν τράπεζαν, ὅτε καὶ εἰ θηρίον ἦν, πρᾳότερος ἐγεγόνει ἄν. διὰ γὰρ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται, ὅτι ἐσθιόντων αὐτῶν διαλέγεται περὶ τῆς προδοσίας ὁ Χριστός· ἵνα καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τῆς τραπέζης δείξῃ τὴν πονηρίαν τοῦ προδότου. ὡς γὰρ ἐποίησαν οἱ μαθηταὶ, καθὼς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ὀψίας γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα.

21 Ἐσθιόντων δὲ αὐτῶν εἶπε, φησιν, ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Πρὸ δὲ τοῦ δείπνου, καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε. καὶ ὅρα πῶς φείδεται τοῦ προδότου. οὐ γὰρ εἶπεν, ὁ δεῖνά με παραδώσει, ἀλλ' εἷς ἐξ ὑμῶν· ὥστε πάλιν δοῦναι αὐτῷ μετανοίας ἐξουσίαν τὸ λαθεῖν· καὶ αἱρεῖται φοβῆσαι ἅπαντας ὑπὲρ τοῦ διασῶσαι τοῦτον. εἷς ἐξ ὑμῶν, τῶν δώδεκά φησι, τῶν πανταχοῦ μοι συμπαρόντων, ὧν τοὺς πόδας ἔνιψα, οἷς τοσαῦτα ἐπηγγειλάμην. πένθος ἄρα ἀφόρητον τὸν χορὸν τότε ἐκείνων τῶν ἁγίων κατέλαβε. καὶ ὁ μὲν Ἰωάννης φησίν· Ἠποροῦντο, καὶ εἰς ἀλλήλους ἔβλεπον. καὶ ἕκαστος αὐτῶν ἠρώτησε, δεδοικὼς ὑπὲρ ἑαυτοῦ, καίτοι μηδὲν ἑαυτοῖς τοιοῦτον συνειδότες· οὗτος δέ φησιν, ὅτι

Ιωαν. ιγ. κβ.

22 Λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος, μήτι ἐγώ εἰμι, Κύριε;

23 Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω, ἐκεῖνός ἐστιν.

Ὅρα πότε αὐτὸν ἐξεκάλυψεν, ὅτε τοὺς λοιποὺς ἀπαλλάξαι τῆς ταραχῆς ταύτης ἐθέλησε. καὶ γὰρ καὶ ἀποτεθνήκεσαν τῷ δέει· διὸ καὶ ἐπέκειντο ἐρωτῶντες. οὐκ ἐκείνους δὲ ἀνεῖναι βουλόμενος μόνον τῆς ἀγωνίας τοῦτο ἐποίει, ἀλλὰ καὶ τὸν προδότην διορθῶσαι θέλων. ἐπειδὴ γὰρ πολλάκις ἀκούσας ἀδιορίστως, ἀδιόρθωτος ἔμενεν ἀνάλγητος ὤν, βουλόμενος αὐτοῦ καθικέσθαι μᾶλλον, περιαιρεῖ τὸ προσωπεῖον αὐτοῦ. ἐπειδὴ δὲ λυπούμενοι ἤρξαντο λέγειν, μήτι ἐγώ εἰμι, Κύριε; ἀποκριθεὶς εἶπεν·

Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει.

24 Ἀλλ' ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Τινὲς μὲν οὖν φασιν, ὅτι οὕτως ἰταμὸς ἦν, ὡς μὴ τιμᾶν τὸν διδάσκαλον, ἀλλὰ μετ' αὐτοῦ βάπτειν· ἐμοὶ δὲ δοκεῖ καὶ τοῦτο ποιῆσαι ὁ Χριστὸς μᾶλλον αὐτὸν ἐντρέπων, καὶ εἰς διάθεσιν ἐπισπώμενος. ἔχει γάρ τι καὶ τοῦτο πλέον. ταῦτα δὲ οὐχ ἁπλῶς παρατρέχειν δεῖ, ἀλλ' ἐμπεπηγέναι ὑμῶν ταῖς διανοίαις· καὶ οὐκ ἄν ποτε χώραν σχοίη θυμός. τίς γὰρ ἐννοῶν τὸ δεῖπνον ἐκεῖνο, καὶ τὸν προδότην ἀνακείμενον μετὰ τοῦ πάντων σωτῆρος, καὶ τὸν προδιδόναι μέλλοντα οὕτως ἐπιεικῶς διαλεγόμενον, οὐκ ἂν πάντα ἰὸν ἐκβάλοι θυμοῦ καὶ ὀργῆς; ὅρα γοῦν πῶς πρᾴως αὐτῷ προσφέρεται. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθώς ἐστι γεγραμμένον περὶ αὐτοῦ. ταῦτα δὲ πάλιν καὶ τοὺς μαθητὰς ἀνακτώμενος ἔλεγεν, ἵνα μὴ νομίσωσιν ἀσθενείας εἶναι τὸ πρᾶγμα, καὶ τὸν προδότην διορθούμενος. οὐαὶ δὲ τῷ ἀνθρώπῳ, φησίν, ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. ὅρα πάλιν ἐν τοῖς ἐλέγχοις ἄφατον τὴν πρᾳότητα. οὐδὲ

γὰρ ἐνταῦθα καταφορικῶς, ἀλλ' ἐλαφρότερον μᾶλλον τὸν λόγον προσάγει, καὶ συνεσκιασμένως πάλιν· καίτοιγε οὐχ ἡ ἔμπροσθεν μόνον ἀναισθησία, ἀλλὰ καὶ ἡ μετὰ ταῦτα ἀναισχυντία ἀξία τῆς ἐσχάτης ἀγανακτήσεως ἦν. μετὰ γὰρ τὸν ἔλεγχον τοῦτόν φησι·

25 Μήτι ἐγώ εἰμι, Κύριε; Ὢ τῆς ἀναισθησίας. ἐξετάζει συνειδὼς ἑαυτῷ τοιαῦτα. καὶ γὰρ ὁ εὐαγγελιστὴς θαυμάζων αὐτοῦ τὴν ἰταμότητα τοῦτό φησι. τί οὖν ὁ πρᾳότατος καὶ ἡμερώτατος Ἰησοῦς; Σὺ εἶπας. Καίτοιγε ἐνῆν εἰπεῖν, ὦ μιαρὲ καὶ παμμίαρε, ἐναγὲς καὶ βέβηλε, τοσοῦτον χρόνον ὠδίνων τὸ κακὸν, καὶ ἀπελθὼν καὶ συμβούλια σατανικὰ ποιήσας, καὶ ἀργύριον συνθέμενος λαμβάνειν, καὶ παρ' ἐμοῦ δὲ διελεγχθεὶς ἔτι τολμᾷς ἐρωτᾷν; ἀλλ' οὐδὲν τούτων εἴρηκεν, ἀλλὰ πῶς; σὺ εἶπας, ὅρους ἡμῖν καὶ κανόνας ἀνεξικακίας πηγνύς. ἀλλ' ἐρεῖ τις· καὶ μὴν εἰ γέγραπται παθεῖν αὐτὸν ταῦτα, διὰ τί ἐγκαλεῖται Ἰούδας; τὰ γὰρ γεγραμμένα ἐποίησεν. ἀλλ' οὐ ταύτῃ τῇ γνώμῃ, ἀλλὰ διὰ πονηρίαν. εἰ δὲ μὴ τὸν σκοπὸν ἐξετάζοις, καὶ τὸν διάβολον ἀπαλλάξεις τῶν ἐγκλημάτων. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. μυρίων γὰρ ἄξιοι κολάσεων καὶ οὗτος κἀκεῖνος, εἰ καὶ ἡ οἰκουμένη ἐσώθη. οὐδὲ γὰρ ἡ προδοσία τοῦ Ἰούδα τὴν σωτηρίαν ἡμῖν εἰργάσατο, ἀλλ' ἡ τοῦ Χριστοῦ σοφία, καὶ τῆς αὐτοῦ εὐμηχανίας τὸ εὔπορον, ταῖς ἑτέρων πονηρίαις εἰς τὸ ἡμῖν συμφέρον ἀποχρωμένου. τί οὖν, φησιν, εἰ καὶ Ἰούδας μὴ παρέδωκεν, ἕτερος οὐκ ἂν παρέδωκε; καὶ τί τοῦτο πρὸς τὸ ζητούμενον; ὅτι εἰ σταυρωθῆναι ἔδει τὸν Χριστόν, φησι, διά τινος ἔδει· εἰ δὲ διά τινος, δι' ἀνθρώπου πάντως τοιούτου. εἰ δὲ πάντες ἦσαν ἀγαθοὶ, ἐνεποδίσθη ἂν ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. μὴ γένοιτο. αὐτὸς γὰρ ὁ πάνσοφος ᾔδει πῶς οἰκονομήσει τὰ ἡμέτερα καὶ τούτου *συμβάντος. εὔπορος γὰρ αὐτοῦ ἡ σοφία καὶ ἀκατάληπτος. διὰ γὰρ τοῦτο, ἵνα μή τις νομίσῃ, ὅτι ὑπηρέτης οἰκονομίας ἐγένετο, ταλανίζει τὸν ἄνθρωπον. ἀλλ' ἐρεῖ τις πάλιν, καὶ εἰ καλὸν ἦν τὸ μὴ γεννηθῆναι αὐτὸν, τίνος ἕνεκεν εἴασεν εἰς μέσον ἐλθεῖν καὶ τοῦτον καὶ τοὺς πονηροὺς ἅπαντας; δέον σε τοῖς πονηροῖς ἐγκαλεῖν, ὅτι κύριοι ὄντες μὴ γενέσθαι τοιοῦτοι, γεγόνασι πονηροί· σὺ δὲ τοῦτο ἀφεὶς πολυπραγμονεῖς τὰ τοῦ Θεοῦ καὶ περιεργάζῃ, καίτοι εἰδὼς ὅτι οὐκ ἀνάγκῃ τίς ἐστι πονηρός. ἀλλὰ τοὺς ἀγαθοὺς ἔδει γενέσθαι μόνους, φησὶ, καὶ γεέννης οὐκ ἦν χρεία οὐδὲ κολάσεως καὶ τιμωρίας, οὐδὲ κακίας ἴχνος· τοὺς δὲ πονηροὺς ἢ μὴ γενέσθαι, ἢ γενομένους εὐθέως ἀπελθεῖν. πρῶτον μὲν οὖν ἄξιον πρὸς σὲ εἰπεῖν τὸ ἀποστολικόν· Μενοῦνγε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; εἰ δὲ καὶ λογισμοὺς ἀπαιτεῖς, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι μειζόνως θαυμάζονται οἱ ἀγαθοὶ μεταξὺ πονηρῶν ὄντες. καὶ γὰρ καὶ ἡ ἀνεξικακία καὶ ἡ πολλὴ φιλοσοφία αὐτῶν τότε μάλιστα δείκνυται· σὺ δὲ ὑπόθεσιν ἀναιρεῖς παλαισμάτων καὶ ἀγώνων, ταῦτα λέγων. τί οὖν; ἵνα οὗτοι καλοὶ φανῶσι, κολάζονται ἕτεροι, φησι; μὴ γένοιτο· ἀλλὰ διὰ τὴν ἑαυτῶν πονηρίαν. οὐδὲ γὰρ, ἐπειδὴ παρήχθησαν, γεγόνασι πονηροὶ, ἀλλὰ διὰ τὴν ἑαυτῶν ῥᾳθυμίαν· διὸ καὶ κολάζονται. πῶς γὰρ οὐκ ἂν εἶεν κολάσεως ἄξιοι, ″τοιούτους διδασκάλους ἔχοντες ἀρετῆς, καὶ μηδὲν ἐντεῦθεν κερδαίνοντες; ὥσπερ γὰρ οἱ ἀγαθοὶ καὶ καλοὶ διπλῆς ἄξιοι τιμῆς, ὅτι τε χρηστοὶ γεγόνασι, καὶ οὐδὲν παρὰ τῶν πονηρῶν ἐβλάβησαν· οὕτω καὶ οἱ φαῦλοι διπλῆς ἄξιοι κολάσεως, ὅτι τε πονηροὶ γεγόνασι, δυνάμενοι γενέσθαι καλοὶ (ὃ καὶ δηλοῦσιν οἱ γενόμενοι) καὶ ὅτι οὐδὲν ἀπὸ τῶν ἀγαθῶν ἐκέρδανον. ἀλλ' ἴδωμεν τί φησιν ὁ δείλαιος οὗτος διελεγχόμενος παρὰ τοῦ διδασκάλου. τί οὖν φησι; μήτι ἐγώ εἰμι, Κύριε; καὶ διὰ τί μὴ ἐξ ἀρχῆς τοῦτο ἠρώτησεν; ἐνόμισε λανθάνειν τῷ εἰρῆσθαι, εἷς ἐξ ὑμῶν· ὅτε δὲ αὐτὸν δῆλον ἐποίησεν, ἐτόλμησε πάλιν ἐρέσθαι, τῇ ἐπιεικείᾳ τοῦ διδασκάλου θαρρῶν, ὡς οὐκ ἐλέγξοντος αὐτόν. διὰ τοῦτο γοῦν καὶ ῥαββὶ ἐκάλεσεν. ὢ τῆς πηρώσεως· ποῦ αὐτὸν ἐξήγαγε; τοιοῦτον γὰρ ἡ φιλαργυρία. μωροὺς καὶ ἀνοήτους ἐργάζεται, ἰταμοὺς καὶ κύνας ἀντὶ ἀνθρώπων, μᾶλλον δὲ καὶ κυνῶν χαλεπωτέρους, καὶ δαίμονας ἀπὸ κυνῶν. οὗτος γοῦν τὸν μὲν διάβολον

Ρω. θ. κ.

προσίεται καὶ ἐπιβουλεύοντα, τὸν δὲ Ἰησοῦν καὶ εὐεργετοῦντα προὔδωκε, διάβολος ἤδη γενόμενος τῇ προθέσει. τοιούτους γὰρ ποιεῖ ἡ ἀκόρεστος τῶν χρημάτων ἐπιθυμία, ἔκφρονας, παραπλῆγας, ὅλους τοῦ λήμματος· καθάπερ καὶ Ἰούδας ἐγένετο. πῶς δὲ ὁ μὲν Ματθαῖός φησι καὶ οἱ ἄλλοι, ὅτι, ὅτε συνετάξατο περὶ τῆς προδοσίας, τότε ὁ διάβολος αὐτὸν εἷλεν· ὁ δὲ Ἰωάννης, Μετὰ τὸ ψωμίον, φησὶν, εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς; καὶ αὐτὸς τοῦτο οἶδεν. ἀνωτέρω γάρ φησι· Δείπνου γενομένου, καὶ τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα αὐτὸν παραδῷ. πῶς οὖν φησι, μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν Σατανᾶς; ὅτι οὐκ ἀθρόον εἰσέρχεται οὐδὲ ὑφ' ἓν, ἀλλὰ πολλὴν ποιεῖται τὴν ἀπόπειραν πρότερον· ὃ δὴ καὶ ἐνταῦθα γέγονε. διακωδωνίσας γὰρ αὐτὸν ἐν ἀρχῇ καὶ προσβαλὼν ἠρέμα, ἐπειδὴ εἶδεν ἐπιτήδειον πρὸς ὑποδοχὴν, ὅλος λοιπὸν ἐνταῦθα ἔπνευσε, καὶ ὁλοσχερῶς αὐτοῦ περιεγένετο. πῶς δὲ, εἰ τὸ πάσχα ἤσθιον, παρανόμως ἤσθιον; οὐ γὰρ ἀνακειμένους ἔδει φαγεῖν. τί οὖν ἐστιν εἰπεῖν; ὅτι μετὰ τὸ φαγεῖν, ἀνέκειντο λοιπὸν ἑστιώμενοι. ἕτερος δὲ εὐαγγελιστής φησιν, ὅτι κατὰ τὴν ἑσπέραν ἐκείνην οὐκ ἤσθιε μόνον τὸ πάσχα, ἀλλὰ καὶ ἔλεγεν, Ἐπιθυμίᾳ ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ' ὑμῶν, τουτέστι, κατὰ τὸν ἐνιαυτὸν τοῦτον. τί δήποτε; ὅτι τότε ἔμελλε τῆς οἰκουμένης ἡ σωτηρία γίνεσθαι, καὶ τὰ μυστήρια παραδίδοσθαι, καὶ τὰ λυπηρὰ λύεσθαι διὰ τοῦ θανάτου. οὕτω κατὰ γνώμην αὐτῷ ὁ σταυρὸς ἦν. ἀλλ' οὐδὲν τὸν ἀνήμερον θῆρα ἐμάλαξεν, οὐδὲ ἔκαμψεν, οὐδὲ ἐνέτρεψεν. ἐταλάνισεν οὖν αὐτὸν εἰκότως, εἰπὼν, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· εἶτα ἐφόβησεν αὐτὸν πάλιν εἰπὼν, καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη. ὡς δὲ οὐδὲ τοῦτο ἐνέτρεψεν αὐτὸν, εἶπεν, ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. καὶ οὐδὲν τούτων αὐτὸν κατέσχεν, ἀλλ' ὥσπερ ὑπὸ μανίας τινὸς ἑάλω τῆς φιλαργυρίας, μᾶλλον δὲ ὑπὸ χαλεπωτέρου νοσήματος. καὶ γὰρ αὕτη χαλεπωτέρα ἢ μανία. τί γὰρ ἂν τοιοῦτον εἰργάσατο ὁ μαινόμενος; οὐ προΐετο ἀφρὸν ἐκ στόματος οὗτος, ἀλλὰ προΐετο φόνον δεσποτικόν· οὐκ ἐστραγγάλου τὰς χεῖρας, ἀλλὰ προέτεινεν εἰς ὠνὴν αἵματος τιμίου. διὸ μείζων ἡ μανία, ὅτι ὑγιαίνων ἐμαίνετο. ἀλλ' οὐ φθέγγεται ἄσημα; καὶ τί τῆς φωνῆς ταύτης ἀσημότερον, Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὁ διάβολος ἤχησε διὰ τοῦ στόματος ἐκείνου. ἀλλ' οὐκ ἐπάταξε τὴν γῆν τοῖς ποσὶν ἀσπαίρων; καὶ πόσῳ βέλτιον ἐκείνως ἀσπαίρειν, ἢ οὕτως ἑστάναι ὀρθόν; ἀλλὰ λίθοις ἑαυτὸν οὐκ ἔτυπτε καὶ ἔκοπτε; καὶ πόσῳ ἄμεινον ἦν, ἢ τοιαῦτα κατατολμᾷν; βούλεσθε εἰς μέσον ἀγάγωμεν τοὺς δαιμονῶντας καὶ τοὺς φιλαργύρους, καὶ ποιήσωμεν σύγκρισιν ἑκατέρων; ἀλλὰ μηδεὶς οἰκείαν ἡγείσθω τὸ πρᾶγμα ὕβριν. οὐ γὰρ τὴν φύσιν ὑβρίζομεν, ἀλλὰ τὸ πρᾶγμα κακίζομεν.

Ἰωαν. ιγ. κζ. καὶ ς.

ΗΘΙΚΟΝ

Οὐδέποτε ἐνεδιδύσκετο ἱμάτια, λίθοις ἑαυτὸν κατακόπτων ὁ δαιμονῶν καὶ τὰς ἀβάτους ὁδοὺς καὶ τὰς τραχείας ἐπιτρέχων, καὶ κατὰ κράτος ἐλαυνόμενος ὑπὸ τοῦ δαίμονος. οὐ δοκεῖ ταῦτα φρικτὰ εἶναι; τί οὖν ἂν δείξωμεν τοὺς φιλαργύρους τούτων χαλεπωτέρους, καὶ χαλεπώτερα ἐργαζομένους τὴν ψυχὴν τὴν ἑαυτῶν, καὶ οὕτω χαλεπώτερα, ὡς ταῦτα παιδιὰν πρὸς ἐκεῖνα νομίζεσθαι; ἆρα ἀποστήσεσθε τῆς νόσου; φέρε οὖν ἴδωμεν, τίς ἀνεκτότερον διάκειται αὐτῶν, οὗτος ἢ ἐκεῖνος. οὐδὲν μέντοι ἕτερος διενήνοχε τοῦ ἑτέρου. καὶ γὰρ μυρίων ἀμφότεροι γυμνῶν αἰσχρότεροί εἰσι. πολλῷ γὰρ βέλτιον γυμνὸν εἶναι [ἀπὸ] ἱματίων, ἢ τὰ ἀπὸ πλεονεξίας ἐνδεδυμένον περιιέναι, καὶ κατὰ τοὺς βακχευομένους τῷ Διονύσῳ. καθάπερ γὰρ ἐκεῖνοι προσωπεῖα καὶ ἱμάτια μαινομένων ἔχουσιν, οὕτω καὶ οὗτοι. καὶ καθάπερ τὴν γύμνωσιν τῶν δαιμονώντων ποιεῖ μανία, οὕτω καὶ τὴν περιβολὴν ταύτην μανία ἐργάζεται, καὶ τῆς γυμνώσεως ἡ περιβολὴ ἐλεεινοτέρα. καὶ τοῦτο ἐντεῦθεν δεῖξαι πειράσομαι. τίνα γὰρ ἂν εἴποιμεν μᾶλλον μαίνεσθαι ἐν αὐτοῖς τοῖς μαινομένοις, εἴ τις ἑαυτὸν κατακόπτοι, ἢ εἴ τις μεθ' ἑαυτοῦ καὶ τοὺς ἀπαντῶντας ἅπαντας; εὔδηλον ὅτι οὗτος. οὐκοῦν ἐκεῖνοι μὲν ἑαυτοὺς ἐγύμνουν, οὗτοι δὲ καὶ τοὺς ἀπαντῶντας ἅπαντας. ἀλλὰ διασχίζουσιν ἐκεῖνοι τὰ ἱμάτια. καὶ πόσῳ ἂν ἐδέξατο τῶν ἠδικημένων ἕκαστος ἱμάτιον

μάτιον διαῤῥαγῆναι, ἢ πᾶσαν ἀποδυθῆναι τὴν οὐσίαν; ἀλλὰ πληγὰς οὐκ "ἐντείνουσιν εἰς τὸ πρόσωπον. μάλιστα μὲν καὶ τοῦτο ποιοῦσιν οἱ πλεονέκται, εἰ δὲ μὴ πάντες, ἀλλ' εἰς τὴν γαστέρα διὰ τοῦ λιμοῦ καὶ τῆς πενίας χαλεπωτέρας ἅπαντες ἐνιᾶσι τὰς ὀδύνας. ἀλλ' οὐ δάκνουσιν ὀδοῦσιν. εἴθε ὀδοῦσι, καὶ μὴ βέλεσι πλεονεξίας χαλεπωτέροις ὀδόντων. οἱ γὰρ ὀδόντες αὐτῶν Ψαλ. νζ. ε. ὅπλα καὶ βέλη. Τίς γὰρ μᾶλλον ἀλγήσει; ὁ δηχθεὶς ἅπαξ καὶ εὐθέως θεραπευθεὶς, ἢ ὁ διαπαντὸς τοῖς ὀδοῦσι τῆς πενίας κατεσθιόμενος; πενία γὰρ ἀκούσιος καὶ καμίνου καὶ "θηρίων χαλεπωτέρα. ἀλλ' οὐ διώκουσι τὰς ἐρημίας καθάπερ οἱ δαιμονῶντες. εἴθε τὰς ἐρημίας, καὶ μὴ τὰς πόλεις κατέτρεχον, καὶ πάντες ἂν οἱ ἐν πόλεσιν ἀδείας ἀπήλαυον. νυνὶ δὲ καὶ ταύτῃ ἐκείνων πάντων εἰσὶν ἀφορητότεροι, ὅτι ἐν ταῖς πόλεσι τὰ αὐτὰ ποιοῦσιν, ἅπερ ἐν ἐρημίαις ἐκεῖνοι, τὰς πόλεις ἐρημίας ἐργαζόμενοι, καὶ καθάπερ ἐν ἐρημίᾳ, οὐδενὸς ὄντος τοῦ κωλύοντος, οὕτω τὰ πάντων συλῶντες. ἀλλ' οὐ βάλλουσι λίθοις τοὺς ἀπαντῶντας. καὶ τί τοῦτο; λίθους μὲν γὰρ ῥᾴδιον καὶ "φυλάξασθαι· ἃ δὲ διὰ χάρτου καὶ μέλανος ἐργάζονται τοῖς ταλαιπώροις πένησι τραύματα, γραμματεῖα μυρίων πληγῶν γέμοντα συντιθέντες, τίς ἄν ποτε "φυλάξαιτο ῥᾳδίως τῶν ἐμπεσόντων; ἴδωμεν δὲ καὶ "ἑαυτοὺς ὅσα ἐργάζονται. γυμνοὶ περιπατοῦσι κατὰ τὴν πόλιν· ἱμάτιον γὰρ αὐτοῖς οὐκ ἔστιν ἀρετῆς. εἰ δὲ οὐ δοκεῖ τοῦτο αὐτοῖς αἰσχρὸν εἶναι, καὶ τοῦτο τῆς ὑπερβαλλούσης αὐτῶν μανίας, ὅτι οὐδὲ αἰσθάνονται τῆς "ἀσχημοσύνης· ἀλλὰ τὸ σῶμα μὲν γυμνωθέντες αἰσχύνονται, τὴν δὲ ψυχὴν γυμνὴν περιφέροντες ἐγκαλλωπίζονται. εἰ δὲ βούλεσθε, καὶ τὸ αἴτιον τῆς "ἀναισθησίας ἐρῶ. τί οὖν τὸ αἴτιον; ἐν πολλοῖς οὗτοι γυμνουμένοις γυμνοῦνται· διόπερ οὐδὲ αἰσχύνονται, καθάπερ οὐδὲ ἐν τοῖς βαλανείοις ἡμεῖς. ὡς εἴ γε πολλοὶ ἦσαν οἱ τὴν ἀρετὴν περιβεβλημένοι, τότε ἂν μειζόνως τὸ αἶσχος αὐτῶν ἐφάνη· νυνὶ δὲ μάλιστα τοῦτό ἐστι τὸ πολλῶν δακρύων ἄξιον, ὅτι διὰ τὸ πολλοὺς εἶναι κακοὺς, οὐδὲ ἐν αἰσχύνῃ τὰ κακά. μετὰ γὰρ τῶν ἄλλων καὶ τοῦτο εἰργάσατο ὁ διάβολος, τὸ μηδὲ αἴσθησιν ἀφιέναι λαβεῖν τῶν κακῶν, ἀλλὰ τῷ πλήθει τῶν μετιόντων τὴν πονηρίαν συσκιάζειν αὐτῆς τὴν αἰσχύνην. ἐπεὶ, εἰ συνέβη ἐν πλήθει πολλῶν εἶναι φιλοσοφούντων, μᾶλλον ἂν εἶδεν αὐτοῦ τὴν "γυμνότητα ὁ τοιοῦτος. ὅτι μὲν οὖν τῶν δαιμονώντων εἰσὶ γυμνότεροι, δῆλον ἐκ τούτων· ὅτι δὲ καὶ ἐρήμους ἐπέρχονται, οὐδὲ τοῦτο ἄν τις ἀντείποι. ἡ γὰρ πλατεῖα καὶ εὐρύχωρος ἐρήμου πάσης ἐρημοτέρα. εἰ γὰρ καὶ πολλοὺς ἔχει τοὺς ὁδεύοντας, ἀλλ' ὅμως ἀνθρώπων οὐδένα, ἀλλ' ὄφεις, σκορπίους, λύκους, ἔχεις, ἀσπίδας. τοιοῦτοι γὰρ οἱ τὴν πονηρίαν μετιόντες. οὐκ ἐρήμη δὲ μόνον αὕτη, ἀλλὰ καὶ τραχυτέρα ἐκείνης. καὶ τοῦτο δῆλον ἐντεῦθεν. οὐ γὰρ οὕτω πλήττουσι λίθοι καὶ φάραγγες καὶ ἀκρωρεῖαι τοὺς ἀναβαίνοντας αὐτὰς, ὡς ἁρπαγὴ καὶ πλεονεξία τὰς μετιούσας αὐτὴν ψυχάς. ὅτι δὲ καὶ παρὰ τὰ μνημεῖα ζῶσι, καθάπερ οἱ δαιμονῶντες, μᾶλλον δὲ καὶ αὐτοὶ μνήματά εἰσι, δῆλον ἐντεῦθεν. τί γάρ ἐστι μνημεῖον; λίθος "σώματα νεκρῶν ἔχων ἐγκειμένων. τί οὖν ἐκείνων διαφέρει τῶν λίθων τὰ τούτων σώματα; μᾶλλον δὲ καὶ ἐκείνων ἐλεεινότερα ταῦτα. οὐ γὰρ λίθος ἔχων ἐστὶ σῶμα νεκρὸν, ἀλλὰ σῶμα λίθων ἀναισθητότερον, ψυχὴν περιφέρον νεκράν. διὸ οὐκ ἄν τις ἁμάρτοι τάφους αὐτοὺς προσειπών. καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν οὕτως ἐκάλεσε τοὺς Ἰουδαίους. διὰ τοῦτο μάλιστα ἐπήγαγε λέγων, Ἔσωθεν δὲ γέμουσιν ἁρπαγῆς καὶ πλεονεξίας. Ματθ. κγ. κζ. κη. βούλεσθε λοιπὸν * δείξω, πῶς καὶ λίθοις τὰς ἑαυτῶν κατατέμνουσι κεφαλάς; πόθεν οὖν πρῶτον, εἰπέ μοι; ἀπὸ τῶν ἐντεῦθεν, ἢ ἀπὸ τῶν μελλόντων τοῦτο βούλει μαθεῖν; ἀλλὰ τῶν μελλόντων αὐτοῖς οὐ πολὺς ὁ λόγος· οὐκοῦν τὰ ἐνταῦθα ῥητέον. πόσων γὰρ λίθων οὐ χαλεπώτεραι αἱ φροντίδες, οὐ κεφαλὰς τιτρώσκουσαι, ἀλλὰ ψυχὴν δαπανῶσαι; δεδοίκασι γὰρ μήποτε δικαίως ἐκ τῆς αὐτῶν οἰκίας ἐξέλθῃ τὰ ἀδίκως ἐπεισελθόντα· τρέμουσιν ὑπὲρ τῶν ἐσχάτων, "ὀργίζονται, παροξύνονται πρὸς οἰκείους, πρὸς ἀλλοτρίους· καὶ νῦν μὲν ἀθυμία, νῦν δὲ φόβος, νῦν δὲ θυμὸς αὐτοὺς διαδέχεται. καὶ καθάπερ κρημνοὺς ἀπὸ κρημυριάδων διαβαίνοντες, καὶ τὰ μηδέπω κληθέντα καθ' ἑκάστην καραδοκοῦσι τὴν ἡμέραν. διόπερ οὐδὲ ἥδονται ὑπὲρ ὧν ἔχουσι, τῷ τε μὴ θαῤῥεῖν ὑπὲρ τῆς ἀσφαλείας αὐτῶν, τῷ τε ὅλῃ τῇ διανοίᾳ πρὸς τὰ μηδέπω ληφθέντα κεχηνέναι. καὶ καθάπερ ὁ διηνεκῶς διψῶν, κἂν μυρίας ἐκπίῃ πηγὰς, οὐκ αἰσθάνεται τῆς ἡδονῆς, διὰ τὸ μὴ λαμβάνειν κόρον· οὕτω καὶ οὗτοι, οὐ μόνον οὐχ ἥδονται, ἀλλὰ καὶ βασανίζονται, ὅσῳ ἂν περιβάλλωνται, τῷ μηδὲν εἰδέναι πέρας τῆς τοιαύτης ἐπιθυμίας. καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· εἴπωμεν δὲ καὶ περὶ τῆς μελλούσης ἡμέρας. εἰ γὰρ καὶ αὐτοὶ οὐ προσέχουσιν, ἀλλ' ἡμῖν ἀναγκαῖον εἰπεῖν. κατὰ τὴν μέλλουσαν οὖν ἡμέραν πανταχοῦ κολαζομένους ἴδοι τις ἂν τοὺς τοιούτους. καὶ γὰρ ὅταν λέγῃ, Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψων, καὶ οὐκ ἐποτίσατέ με, τούτους κολάζει. καὶ ὅταν λέγῃ, πορεύεσθε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, τοὺς κακῶς πλουτοῦντας ἐκεῖ παραπέμπει. καὶ ὁ δοῦλος ὁ πονηρὸς ὁ μὴ διδοὺς τοῖς συνδούλοις τὰ ″ὑπάρχοντα τὰ δεσποτικὰ, τῆς τούτων μερίδος ἐστί· καὶ ὁ τὸ τάλαντον κατορύξας, καὶ αἱ πέντε παρθένοι. καὶ ὅπου δ' ἂν ἀπέλθῃς, τοὺς φιλαργύρους κολαζομένους ὄψει. καὶ νῦν μὲν ἀκούσονται, χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν· * νῦν δὲ, διχοτομηθέντες ἀπελεύσονται, ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ πανταχόθεν αὐτοὺς ἐλαυνομένους ἴδοι τις ἂν, καὶ οὐδαμοῦ χώραν ἔχοντας, ἀλλ' εἰς τὴν γέενναν μόνην συναγομένους. τί τοίνυν τῆς ὀρθῆς ἡμῖν πίστεως ὄφελος εἰς σωτηρίαν, ὅταν ταῦτα ἀκούσωμεν, ἐκεῖ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ σκότος ἐξώτερον, καὶ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τὸ διχοτομεῖσθαι, καὶ τὸ ἐλαύνεσθαι; ″ἐνταῦθα ἀπέχθειαι, ″κατηγορίαι, διαβολαὶ, κίνδυνοι, φροντίδες, ἐπιβουλαὶ, τὸ παρὰ πάντων μισεῖσθαι, τὸ παρὰ πάντων βδελύττεσθαι, καὶ παρ' αὐτῶν τῶν δοκούντων κολακεύειν. ὥσπερ γὰρ τοὺς ἀγαθοὺς οὐχ οἱ ἀγαθοὶ μόνον, ἀλλὰ καὶ οἱ πονηροὶ θαυμάζουσιν, οὕτω καὶ τοὺς ″κακοὺς οὐχ οἱ χρηστοὶ μόνον, ἀλλὰ καὶ οἱ φαῦλοι μισοῦσι. καὶ ὅτι τοῦτο ἔστιν ἀληθὲς, τοὺς φιλαργύρους ἡδέως ἂν ἐροίμην, εἰ μὴ πρὸς ἀλλήλους ἀηδῶς ἔχωσιν, * εἰ μὴ ὕβριν τὸ πρᾶγμα φασὶν, ὅταν τις αὐτοῖς προσενέγκῃ τὸ ὄνειδος. καὶ γὰρ ὄνειδος ἔσχατον τοῦτο, καὶ πολλῆς κακίας ἀπόδειξις. εἰ γὰρ χρημάτων ὑπεριδεῖν οὐκ ἀνέχῃ, τίνος περιέσῃ λοιπόν ποτε; ἐπιθυμίας, καὶ δοξομανίας, καὶ θυμοῦ, καὶ ὀργῆς; καὶ πῶς ἄν τις πεισθείη; ἐπιθυμίας μὲν γὰρ ἕνεκεν τῆς τῶν σωμάτων, καὶ ὀργῆς, καὶ θυμοῦ πολλοὶ καὶ τὴν τῆς σαρκὸς κατασκευὴν λογίζονται, καὶ τὰς ὑπερβολὰς ἀνατιθέασιν ἰατρῶν παῖδες· καὶ τὸν μὲν θερμότερον καὶ ὑγρότερον, λαγνότερον εἶναί φασι· τὸν δὲ πρὸς ξηροτέραν ἐκπεσόντα δυσκρασίαν, ὁρμητίαν καὶ ἀκρόχολον καὶ θυμώδη· φιλαργυρίας δὲ ἕνεκεν οὐδεὶς οὐδέποτε αὐτῶν ἤκουσεν οὐδὲν εἰρηκότων τοιοῦτον. οὕτω ῥαθυμίας μόνης ἐστὶ καὶ ψυχῆς ἀναλγήτου τὸ νόσημα. διὸ παρακαλῶ, σπουδάζωμεν πάντα τὰ τοιαῦτα διορθοῦν, καὶ τὰ καθ' ἑκάστην ἡμῖν ἡλικίαν ἐπιγινόμενα πάθη πρὸς τὸ ἐναντίον μεταθεῖναι. ἂν δὲ καθ' ἕκαστον μέρος τῆς ζωῆς ἡμῶν παραπλέωμεν τοὺς τῆς ἀρετῆς πόνους, πανταχοῦ ναυάγιον ὑπομένοντες, ἐπὶ τὸν λιμένα ἐλθόντες ἔρημοι φορτίων πνευματικῶν τὰ ἔσχατα ὑπομενοῦμεν. πέλαγος γάρ ἐστι τεταμένον ὁ παρὼν βίος. καὶ ὥσπερ ἐν τῇ θαλάττῃ ταύτῃ διάφοροί εἰσι κόλποι διαφόρους ἔχοντες χειμῶνας, καὶ ὁ μὲν Αἰγαῖος διὰ πνεύματά ἐστι χαλεπὸς, ὁ δὲ πορθμὸς ὁ Τυῤῥηνικὸς διὰ τὴν στενοχωρίαν, ἡ δὲ Χάρυβδις ἡ πρὸς ″τῇ Λιβύῃ διὰ τὰ τέλματα, ἡ Προποντὶς ἡ ἔξω τοῦ Εὐξίνου πόντου διὰ τὸ ῥαγδαῖον καὶ ῥόθιον, τὰ ἔξω Γαδείρων διὰ τὴν ἐρημίαν καὶ τὸ ἀτριβὲς καὶ τὸ ἀνιστόρητον τῶν τόπων, καὶ ἄλλο μέρος δι' ἕτερον· οὕτω καὶ ἐπὶ τῆς ζωῆς τῆς ἡμετέρας. καὶ πρῶτον πέλαγός ἐστιν ἰδεῖν τὸ τῆς παιδικῆς ἡλικίας, πολὺν ἔχον τὸν σάλον διὰ τὸ ἀνόητον, διὰ τὴν εὐκολίαν, διὰ τὸ μὴ πεπηγέναι. διὰ τοῦτο καὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐφιστῶμεν, τὸ λεῖπον τῇ φύσει διὰ τῆς ἐπιμελείας εἰσφέροντες, ὥσπερ ἐκεῖ διὰ τῆς τέχνης τῆς κυβερνητικῆς. μετὰ ταύτην τὴν ἡλικίαν ἡ τοῦ μειρακίου διαδέχεται θάλασσα, ἔνθα σφόδρα τὰ πνεύματα, καθάπερ ἐν τῷ Αἰγαίῳ, τῆς ἐπιθυμίας ἡμῖν αὐξανομένης. καὶ αὕτη μάλιστα ἡ ἡλικία

Ματθ. κε. μβ.

λικία διορθώσεως ἔρημος, οὐ διὰ τὸ ἐνοχλεῖσθαι μόνον σφοδρότερον, ἀλλὰ καὶ διὰ τὸ τὰ ἁμαρτήματα μὴ ἐλέγχεσθαι. καὶ γὰρ καὶ διδάσκαλος καὶ παιδαγωγὸς λοιπὸν ὑπεξίστανται. ὅταν μὲν οὖν τὰ μὲν πνεύματα σφοδρότερον διαπνέῃ, ὁ δὲ κυβερνήτης ἀσθενέστερος ᾖ, καὶ ὁ ἀμύνων μηδεὶς ᾖ· ἐννόησον τοῦ χειμῶνος τὸ μέγεθος. μετὰ τοῦτο πάλιν ἕτερον μέρος τῆς ἡλικίας, τὸ τῶν ἀνδρῶν ἔπεισιν· ἐν ᾧ τὰ τῆς οἰκονομίας ἐπίκειται, ὅτε γυνὴ, καὶ γάμος, καὶ παιδοποιΐα, καὶ οἰκίας προστασία, καὶ αἱ πολλαὶ τῶν φροντίδων νιφάδες. τότε δὲ μάλιστα καὶ φιλαργυρία ἀνθεῖ καὶ βασκανία. ὅταν οὖν ἕκαστον μέρος ἡλικίας περιερχώμεθα μετὰ ναυαγίων, πῶς ἀρκέσομεν τῇ παρούσῃ ζωῇ; πῶς τὴν μέλλουσαν διαφευξόμεθα κόλασιν; ὅταν γὰρ ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ μηδὲν μανθάνωμεν ὑγιὲς, ἐν δὲ τῇ νεότητι μὴ σωφρονήσωμεν, καὶ ἄνδρες γενόμενοι φιλαργυρίας μὴ περιγενώμεθα· ὥσπερ εἰς τὴν ἀντλίαν τὸ γῆρας ἐλθόντες, καὶ πάσαις ταῖς πάγαις ταύταις τὸ σκάφος τῆς ψυχῆς ἀσθενέστερον κατασκευάσαντες, τῶν σανίδων διαλελυμένων, ἀπαντησόμεθα εἰς ἐκεῖνον τὸν λιμένα πολὺν ἐπιφερόμενοι φορυτὸν ἀντὶ πνευματικῆς εὐπορείας, καὶ τῷ μὲν διαβόλῳ παρέξομεν γέλωτα, θρῆνον δὲ ἡμῖν αὐτοῖς, καὶ τὰς ἀφορήτους ἐπισπασόμεθα τιμωρίας. ἵνα οὖν ταῦτα μὴ γένηται, πανταχόθεν ἑαυτοὺς συσφίγξαντες, καὶ πρὸς πάντα τὰ πάθη στάντες, ἐκβάλλωμεν τοῦ πλούτου τὴν ἐπιθυμίαν· ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. πβ.

26 ΕΣΘΙΟΝΤΩΝ ΔΕ ΑΥΤΩΝ, ΛΑΒΩΝ Ο Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς, καὶ εἶπε, λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. 27 Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων, πίετε ἐξ αὐτοῦ πάντες· 28 Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Βαβαὶ, πόση πήρωσις τοῦ προδότου; καὶ * τῶν μυστηρίων μετέχων ἔμενεν ὁ αὐτὸς, καὶ τῆς φρικωδεστάτης ἀπολαύων τραπέζης, οὐ μετεβάλλετο. καὶ τοῦτο ὁ Λουκᾶς δηλοῖ λέγων, ὅτι μετὰ τοῦτο εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς, οὐ τοῦ σώματος καταφρονῶν τοῦ δεσποτικοῦ, ἀλλὰ τῆς ἀναισχυντίας καταγελῶν τοῦ προδότου λοιπόν. καὶ γὰρ μεῖζον τὸ ἁμάρτημα ἐγίνετο ἑκατέρωθεν, καὶ ὅτι μετὰ τοιαύτης γνώμης τοῖς μυστηρίοις προσῄει, καὶ ὅτι προσελθὼν οὐκ ἐγένετο βελτίων, οὔτε ἀπὸ τοῦ φόβου, οὔτε ἀπὸ τῆς εὐεργεσίας, οὔτε ἀπὸ τῆς τιμῆς. ὁ δὲ Χριστὸς οὐκ ἐκώλυσεν αὐτὸν, καίτοι πάντα εἰδὼς, ἵνα μάθῃς, ὅτι οὐδὲν παραλιμπάνει τῶν εἰς διόρθωσιν ἡκόντων. διὰ τοῦτο καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο συνεχῶς ὑπεμίμνησκε καὶ κατεῖχε, καὶ δι' ἔργων, καὶ διὰ λόγων, καὶ διὰ φόβου, καὶ διὰ θεραπείας, καὶ δι' ἀπειλῆς, καὶ διὰ τιμῆς· ἀλλ' οὐδὲν αὐτὸν ἀφίστησι τοῦ νοσήματος ἐκείνου τοῦ χαλεποῦ. διὸ λοιπὸν ἐκεῖνον ἀφεὶς, τοὺς μαθητὰς διὰ τῶν μυστηρίων ἀναμιμνήσκει πάλιν τῆς σφαγῆς· καὶ μεταξὺ τῆς τραπέζης περὶ * σταυροῦ διαλέγεται, τῇ συνεχείᾳ τῆς προρρήσεως εὐπαράδεκτον αὐτοῖς ποιῶν τὸ πάθος. εἰ γὰρ τοσούτων γενομένων καὶ προλεχθέντων ἐθορυβήθησαν, εἰ μηδὲν τούτων ἀκηκόεισαν, τί οὐκ ἂν ἔπαθον; καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ἄρτον, ἔκλασε. τί δήποτε τότε κατὰ τὸν καιρὸν τοῦ πάσχα τὸ μυστήριον ἐπετέλει τοῦτο; ἵνα μάθῃς πανταχόθεν καὶ τῆς παλαιᾶς αὐτὸν νομοθέτην ὄντα, καὶ τὰ ἐν ἐκείνῃ διὰ ταῦτα προσκιαγραφηθέντα· διά τοι τοῦτο, ἔνθα ὁ τύπος, τὴν ἀλήθειαν ἐπιτίθησιν. ἡ δὲ ἑσπέρα τοῦ πληρώματος τῶν χειρῶν τεκμήριον ἦν, καὶ τοῦ πρὸς αὐτὸν λοιπὸν ἥκειν τὸ τέλος τὰ πράγματα. καὶ εὐχαριστεῖ, διδάσκων ἡμᾶς, ὅπως δεῖ τὸ μυστήριον τοῦτο ″ ἐπιτελεῖν, καὶ δεικνὺς, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, καὶ παιδεύων ἡμᾶς, ὅπερ ἂν πάσχωμεν, εὐχαρίστως φέρειν, καὶ χρηστὰς κἀντεῦθεν ὑποτείνων τὰς ἐλπίδας. εἰ γὰρ ὁ τύπος τοσαύτης δουλείας γέγονεν ἀπαλλαγὴ, πολλῷ μᾶλλον ἡ ἀλήθεια τὴν οἰκουμένην ἐλευθερώσει, καὶ ἐπὶ εὐεργεσίᾳ τῆς ἡμετέρας παραδοθήσεται φύσεως. διά τοι τοῦτο οὐδὲ πρὸ τούτου παρέδωκε τὸ μυστήριον, ἀλλ' ὅτε λοιπὸν παύσασθαι ἔδει τὰ νομικά. καὶ τὸ κεφάλαιον δὲ τῶν ἑορτῶν αὐτῶν καταλύει, ἐφ' ἑτέραν αὐτοὺς μετατιθεὶς τράπεζαν φρικωδεστάτην, καί φησι· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ″ πολλῶν κλώμενον. καὶ πῶς οὐκ ἐθορυβήθησαν τοῦτο ἀκούσαντες; ὅτι πολλὰ καὶ μεγάλα περὶ τούτου καὶ ἔμπροσθεν αὐτοῖς ἦν προδιαλεχθείς. διόπερ ἐκεῖνο μὲν οὐκέτι κατασκευάζει (καὶ γὰρ αὐταρκῶς ἦσαν ἀκούσαντες) τὴν δὲ αἰτίαν λέγει τοῦ πάθους, τὴν ἁμαρτημάτων τὴν ἀναίρεσιν. καὶ αἷμα καινῆς διαθήκης ″ καλεῖ, τουτέστι τῆς ὑποσχέσεως, τῆς ἐπαγγελίας, τοῦ νόμου τοῦ καινοῦ (τοῦτο γὰρ καὶ ὑπέσχετο ″ πάλαι, καὶ τὴν διαθήκην τοῦτο συνέχει τὴν ἐν τῇ καινῇ· καὶ ὥσπερ ἡ παλαιὰ πρόβατα καὶ μόσχους εἶχεν, οὕτω αὕτη τὸ αἷμα τὸ δεσποτικόν) κἀντεῦθεν δεικνὺς, ὅτι καὶ μέλλει τελευτᾶν. διὸ καὶ διαθήκης μέμνηται. ἀναμιμνήσκει δὲ καὶ τῆς προτέρας· καὶ γὰρ καὶ ἐκείνη δι' αἵματος ἐγκεκαίνιστο. καὶ πάλιν λέγει τοῦ θανάτου τὴν αἰτίαν· τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καί φησι,

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Εἶδες πῶς ἐξάγει τῶν Ἰουδαϊκῶν ἐθῶν, καὶ ἀφίστησι. καθάπερ γὰρ ἐκεῖνο ἐποιεῖτε, φησὶν, εἰς ἀνάμνησιν τῶν ἐν Αἰγύπτῳ θαυμάτων, οὕτω καὶ τοῦτο εἰς ἐμήν. ἐκεῖνο ἐξεχύθη εἰς σωτηρίαν τῶν πρωτοτόκων· τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν τῆς οἰκουμένης ἁπάσης. τοῦτο γάρ ἐστι τὸ αἷμά μου, φησὶ, τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο δὲ ἔλεγε, κἀντεῦθεν δεικνὺς ἅμα ὅτι μυστήριόν ἐστι τὸ πάθος καὶ ὁ σταυρὸς, καὶ διὰ τούτου πάλιν παρακαλῶν τοὺς μαθητάς. καὶ καθάπερ Μωϋσῆς φησι, τοῦτο μνημόσυνον ὑμῖν αἰώνιον· οὕτω καὶ αὐτὸς, εἰς ἐμὴν ἀνάμνησιν, ἕως ἂν παραγένωμαι. διὰ τοῦτο καὶ ἐπιθυμίᾳ ἐπεθύμησα, φησὶ, τὸ πάσχα τοῦτο φαγεῖν· τουτέστι, παραδοῦναι ὑμῖν τὰ καινὰ πράγματα, καὶ πάσχα δοῦναι, καθ' ὃ μέλλω πνευματικοὺς ποιεῖν. καὶ αὐτὸς οὖν ἔπιεν ἐξ αὐτοῦ, ἵνα μὴ ταῦτα ἀκούοντες εἴπωσι, τί οὖν, αἷμα πίνομεν, καὶ σάρκα ἐσθίομεν; καὶ τότε θορυβηθῶσιν ἐντεῦθεν. καὶ γὰρ ὅτε τοὺς περὶ τούτων ἐκίνει λόγους, καὶ πρὸς τὰ ῥήματα ″ αὐτὰ πολλοὶ ἐσκανδαλίζοντο. ἵνα οὖν μὴ καὶ τότε ταραχθῶσι, πρῶτος αὐτὸς τοῦτο ἐποίησεν ἐνάγων αὐτοὺς ἀταράχως εἰς τὴν κοινωνίαν τῶν μυστηρίων. διὰ τοῦτο οὖν τὸ ἑαυτοῦ αἷμα αὐτὸς ἔπιε. τί οὖν; κἀκεῖνο χρὴ ποιεῖν καὶ τὸ παλαιὸν, φησίν; οὐδαμῶς. διὰ γὰρ τοῦτο εἶπε, τοῦτο ποιεῖτε, ἵνα ἐκείνου ἀπαγάγῃ. εἰ γὰρ τοῦτο ἄφεσιν ἁμαρτιῶν ἐργάζεται, ὥσπερ οὖν καὶ ἐργάζεται, περιττὸν ἐκεῖνο λοιπόν. ὥσπερ οὖν ἐπὶ τῶν Ἰουδαίων, οὕτω καὶ ″ ἐνταῦθα τῆς εὐεργεσίας ἐγκατέδησε τὸ μνημόσυνον τῷ μυστηρίῳ, κἀντεῦθεν ἐμφράττων τῶν αἱρετικῶν τὰ στόματα. ὅταν γὰρ λέγωσι, πόθεν δῆλον ὅτι ἐτύθη ὁ Χριστὸς, μετὰ τῶν ἄλλων καὶ ἀπὸ τῶν μυστηρίων αὐτοὺς ἐπιστομίζομεν. εἰ γὰρ μὴ ἀπέθανεν ″ ὁ Ἰησοῦς, τίνος σύμβολα τὰ τελούμενα; ὁρᾷς ὅση γέγονε σπουδὴ, ὥστε ἀεὶ ἀναμιμνήσκεσθαι ὅτι ἀπέθανεν [ὑπὲρ ἡμῶν;] ἐπειδὴ γὰρ ἔμελλον οἱ περὶ Μαρκίωνα καὶ Οὐαλεντῖνον καὶ Μάνην φύεσθαι, ταύτην ἀρνούμενοι τὴν οἰκονομίαν, διηνεκῶς ἀναμιμνήσκει τοῦ πάθους, καὶ διὰ τῶν μυστηρίων, ὥστε μηδένα παραλογισθῆναι· ὁμοῦ μὲν σώζων, ὁμοῦ δὲ παιδεύων διὰ τῆς ἱερᾶς τραπέζης ἐκείνης. καὶ γὰρ τὸ κεφάλαιον τῶν ἀγαθῶν τοῦτο. διὸ καὶ ὁ Παῦλος τοῦτο ἄνω καὶ κάτω στρέφει. εἶτα ἐπειδὴ παρέδωκε, φησίν·

Δευτ. 15. 1.

29 Οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίω καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. Ἐπειδὴ γὰρ περὶ πά-

θους καὶ σταυροῦ αὐτοῖς διελέχθη, καὶ τὸν περὶ ἀναστάσεως πάλιν εἰσάγει λόγον εἰς μέσον, βασιλείας ἀναμνήσας, καὶ τὴν ἀνάστασιν οὕτω τὴν ἑαυτοῦ καλέσας. καὶ τίνος ἕνεκεν μετὰ τὴν ἀνάστασιν ἔπιεν; ἵνα μὴ νομίσωσιν οἱ παχύτεροι φαντασίαν εἶναι τὴν ἀνάστασιν. τοῦ γὰρ ἀναστῆναι τοῦτο τεκμήριον ἐτίθεντο οἱ πολλοί. διὸ καὶ οἱ ἀπόστολοι πείθοντες αὐτοὺς περὶ ἀναστάσεως τοῦτο ἔλεγον, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. δηλῶν τοίνυν ὅτι αὐτὸν ὄψονται ἀναστάντα λαμπρῶς, καὶ μετ᾽ αὐτῶν ἔσται πάλιν, καὶ αὐτοὶ μαρτυρήσουσι τοῖς γινομένοις καὶ δι᾽ ὄψεως καὶ διὰ πραγμάτων, φησίν· ἕως ἂν αὐτὸ πίω καινὸν μεθ᾽ [ὑμῶν,] ὑμῶν μαρτυρούντων. ὑμεῖς γάρ με ὄψεσθε ἀναστάντα. τί δέ ἐστι, καινόν; καινῶς, τοῦτ᾽ ἔστι ξένως, οὐ σῶμα παθητὸν ἔχων, ἀλλ᾽ ἀθάνατον λοιπὸν καὶ ἄφθαρτον καὶ οὐ δεόμενον τροφῆς. οὐ τοίνυν διὰ χρείαν μετὰ τὴν ἀνάστασιν ἔφαγέ τε καὶ ἔπιεν (οὐδὲ γὰρ ἐδεῖτο λοιπὸν τὸ σῶμα τούτων) ἀλλὰ διὰ τὴν τῆς ἀναστάσεως πληροφορίαν. [διὰ γὰρ τούτων τὰ τῆς ἀναστάσεως ἐπληροφόρει.] καὶ τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστάς, ἀλλ᾽ οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν. ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, οἶνον παρέδωκε, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐκέχρητο, ἐκ τοῦ γεννήματος, φησί, τῆς ἀμπέλου· ἡ ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ.

30 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

Ακουέτωσαν ὅσοι, καθάπερ χοῖροι, ἐσθίοντες ἁπλῶς λακτίζουσι τὴν τράπεζαν τὴν αἰσθητήν, καὶ ἀνίστανται μετὰ μέθης, δέον εὐχαριστεῖν καὶ εἰς ὕμνον τελευτᾶν. ἀκούσατε ὅσοι τὴν τελευταίαν πάλιν εὐχὴν οὐκ ἀναμένετε τῶν μυστηρίων. αὕτη γὰρ ἐκείνης σύμβολον. εὐχαρίστησε καὶ πρὸ τοῦ δοῦναι τοῖς μαθηταῖς, ἵνα καὶ ἡμεῖς εὐχαριστῶμεν· εὐχαρίστησε καὶ ὕμνησε μετὰ τὸ δοῦναι, ἵνα καὶ ἡμεῖς αὐτὸ τοῦτο ποιῶμεν. ἀλλὰ τί δήποτε δὲ εἰς τὸ ὄρος ἐξέρχεται; δῆλον ἑαυτὸν ποιῶν πρὸς τὸ ληφθῆναι, ἵνα μὴ δόξῃ κρύπτεσθαι. ἔσπευδε γὰρ ἐπὶ τὸν τόπον ἐλθεῖν τὸν καὶ Ἰούδᾳ γνώριμον.

31 Τότε λέγει αὐτοῖς, πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοί.

Εἶτα λέγει καὶ προφητείαν, Γέγραπται γάρ, πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα· ὁμοῦ μὲν πείθων αὐτοὺς ἀεὶ προσέχειν τοῖς γεγραμμένοις, ὁμοῦ δὲ δηλῶν ὅτι κατὰ Θεοῦ γνώμην ἐσταυροῦτο, καὶ πανταχόθεν δεικνὺς οὐκ ἀλλότριον ὄντα ἑαυτὸν τῆς παλαιᾶς, οὐδὲ τοῦ ἐν αὐτῇ καταγγελλομένου Θεοῦ, καὶ ὅτι οἰκονομία τὰ γινόμενα ἦν, καὶ πάντα προανεκήρυξαν οἱ προφῆται ἄνωθεν τὰ ἐν τῷ πράγματι, ὥστε αὐτοὺς καὶ περὶ τῶν χρηστοτέρων σφόδρα θαρρεῖν. καὶ διδάσκει εἰδέναι, τίνες μὲν πρὸ τοῦ σταυροῦ οἱ μαθηταί, τίνες δὲ μετὰ τὸν σταυρόν. οἱ γὰρ σταυρουμένου αὐτοῦ μηδὲ στῆναι δυνάμενοι, οὗτοι μετὰ θάνατον σφοδροὶ καὶ ἀδάμαντος ἰσχυρότεροι. καὶ τοῦτο δὲ αὐτὸ ἀπόδειξις τοῦ θανάτου, ἡ φυγὴ τῶν μαθητῶν καὶ ἡ δειλία. εἰ γὰρ τοσαῦτα γέγονέ τε καὶ ἐλέχθη, καὶ ἔτι ἀναισχυντοῦσί τινες φάσκοντες μὴ ἐσταυρῶσθαι, εἰ μηδὲν τούτων συνέβη, ποῦ οὐκ ἂν ἐξέπεσον κακοδαιμονίας; διά τοι τοῦτο οὐχὶ διὰ τῶν οἰκείων παθῶν μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐν τοῖς μαθηταῖς βεβαιοῖ τὸν περὶ θανάτου λόγον, καὶ διὰ τῶν μυστηρίων, πανταχόθεν καταισχύνων τοὺς τὰ Μαρκίωνος νοσοῦντας. διὰ τοῦτο καὶ τὸν κορυφαῖον ἀφίησιν ἀρνήσασθαι. εἰ δὲ μὴ ἐδέθη, μηδὲ ἐσταυρώθη, πόθεν καὶ ἐκείνῳ καὶ τοῖς λοιποῖς τοσοῦτος ἐγένετο φόβος; οὐ μὴν ἀφῆκεν αὐτοὺς πάλιν μέχρι τῶν σκυθρωπῶν μεῖναι, ἀλλὰ τί φησι;

32 Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

Ζαχ. ιγ. ζ.

Οὐδὲ γὰρ ἀπ᾽ οὐρανοῦ φαίνεται εὐθέως, οὐδὲ εἰς μακράν τινα χώραν ἄπεισιν, ἀλλ᾽ ἐν αὐτῷ τῷ ἔθνει, ἐν ᾧ καὶ ἐσταυρώθη, ἐν αὐτοῖς σχεδὸν τοῖς χωρίοις, ὡς καὶ ἐντεῦθεν αὐτοὺς πιστώσασθαι, ὅτι ὁ σταυρωθεὶς αὐτός ἐστι καὶ ὁ ἀναστάς, καὶ ταύτῃ σκυθρωπάζοντας μειζόνως παραμυθήσασθαι. διὰ τοῦ-

τὸ καὶ ἐν τῇ Γαλιλαίᾳ εἶπεν, ἵνα τοῦ φόβου τῶν Ιουδαίων ἀπαλλαγέντες πιστεύσωσι ″ τῷ λεγομένῳ· διὸ καὶ ἐκεῖ ἐφάνη. 33 Αποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν· εἰ καὶ πάντες σκανδαλισθήσονται*, ἀλλ᾿ ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. Τί φῄς, ὦ Πέτρε; ὁ προφήτης εἶπεν, ὅτι σκορπισθήσεται τὰ πρόβατα, ὁ Χριστὸς ἐβεβαίωσε τὸ εἰρημένον, καὶ σὺ λέγεις οὐχί; οὐκ ἤρκει τὰ πρότερα, ὅτε εἶπες, ἵλεώς σοι, καὶ ἐπεστομίσθης; διὰ τοῦτο τοίνυν ἀφίησιν αὐτὸν πεσεῖν, παιδεύων αὐτὸν ἐντεῦθεν πάντα πείθεσθαι τῷ Χριστῷ, καὶ τῆς οἰκείας συνειδήσεως πιστοτέραν ἡγεῖσθαι τὴν ἀπόφασιν τὴν αὐτοῦ. καὶ οἱ λοιποὶ δὲ οὐ μικρὸν ἐκαρπώσαντο ἀπὸ τῆς ἀρνήσεως τῆς αὐτοῦ, τὴν ἀνθρωπίνην ἀσθένειαν κατανοήσαντες καὶ τὴν τοῦ Θεοῦ ἀλήθειαν. ὅταν γὰρ αὐτός τι προείπῃ, οὐκέτι σοφίζεσθαι χρὴ, οὐδὲ τῶν πολλῶν κατεξανίστασθαι. Τὸ γὰρ καύχημα, φησὶν, εἰς ἑαυτὸν ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. δέον γὰρ δεηθῆναι καὶ εἰπεῖν, βοήθησον ἡμῖν, ὥστε μὴ ἀποσχισθῆναί σου· ὁ δὲ ἑαυτῷ θαῤῥεῖ, καί φησι· κἂν πάντες σκανδαλισθῶσιν ἐν σοὶ, ἀλλ᾿ ἐγὼ οὐδέποτε· κἂν πάντες τοῦτο πάθωσι, φησὶν, ἐγὼ οὐ πείσομαι· ὅπερ εἰς αὐθάδειαν αὐτὸν ἦγε κατὰ μικρόν. τοῦτο τοίνυν καταστεῖλαι βουλόμενος ὁ Χριστὸς, συνεχώρησε τὴν ἄρνησιν. ἐπειδὴ γὰρ οὐδὲ αὐτοῦ*, οὔτε τοῦ προφήτου ἤκουε (καίτοι διὰ τοῦτο καὶ τὸν προφήτην ἐπηγάγετο, ἵνα μὴ ″ ἀντείπῃ) ἀλλ᾿ ὅμως ἐπειδὴ οὐκ ἠνέσχετο τῶν ῥημάτων, παιδεύεται διὰ τῶν ἔργων. ὅτι γὰρ διὰ τοῦτο συνεχώρησεν, ἵνα τοῦτο ἐν αὐτῷ κατορθώσῃ, ἄκουσον τί φησιν· Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ σου ἡ πίστις. τοῦτο γὰρ σφόδρα αὐτοῦ καθαπτόμενος ἔλεγε, καὶ δηλῶν ὅτι τὸ πτῶμα αὐτοῦ τῶν ἄλλων χαλεπώτερον καὶ πλείονος δεόμενον βοηθείας. καὶ γὰρ δύο ἐγκλήμασιν ἔνοχος ἦν, καὶ ὅτι ἀντεῖπε, καὶ ὅτι τῶν ἄλλων ἑαυτὸν προὔθηκε· μᾶλλον δὲ καὶ τρίτον, ὅτι τὸ πᾶν ἑαυτῷ ἀνέθηκε. ταῦτα οὖν ἰώμενος, εἴασε γενέσθαι ″ τὸ πτῶμα. καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἀφεὶς, πρὸς αὐτὸν ἀποτείνεται. Σίμων γὰρ, φησὶ, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ″ ἠτήσατο ὑμᾶς σινιᾶσαι, ὡς τὸν σῖτον, τουτέστι, θορυβῆσαι, ταράξαι, καὶ πειράσαι· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ διατί, εἰ πάντας ὁ Σατανᾶς ἠτήσατο, οὐ περὶ πάντων εἶπεν, ἐδεήθην; οὐκ εὔδηλον ὅτι τοῦτό ἐστιν ὅπερ ἔμπροσθεν εἶπον, ὅτι καθαπτόμενος αὐτοῦ καὶ δεικνὺς, ὅτι χαλεπώτερον τῶν ἄλλων αὐτοῦ τὸ πτῶμα, πρὸς αὐτὸν τρέπει τὸν λόγον; καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἐγὼ δὲ οὐκ εἴασα, ἀλλ᾿ ἐδεήθην; ταπεινὰ λοιπὸν πρὸς τὸ πάθος ἰὼν φθέγγεται, ἵνα τὸ ἀνθρώπινον δείξῃ. ὁ γὰρ τὴν ἐκκλησίαν ἐπὶ τῇ ὁμολογίᾳ αὐτοῦ οἰκοδομήσας, καὶ ″ οὕτω τειχίσας αὐτὴν, ὡς μυρίους κινδύνους καὶ θανάτους αὐτῆς μὴ περιγενέσθαι, ὁ τῶν οὐρανῶν τὰς κλεῖς αὐτῷ δεδωκὼς, καὶ τοσαύτης ἐξουσίας ποιήσας κύριον, καὶ μηδαμοῦ εἰς ταῦτα εὐχῆς δεηθεὶς, πολλῷ μᾶλλον εἰς τοῦτο. οὐδὲ γὰρ εἶπεν, ἐδεήθην, ἀλλὰ μετ᾿ αὐθεντίας, οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ δώσω σοι τὰς κλεῖς τῶν οὐρανῶν. πῶς οὖν εὐχῆς ἐδεῖτο, ἵνα ἑνὸς ἀνθρώπου σαλευομένην περισφίγξῃ ψυχήν; τίνος οὖν ἕνεκεν οὕτως εἶπε; διὰ τὴν αἰτίαν ἣν ὑμῖν εἴρηκα, καὶ διὰ τὴν ἐκείνων δὲ ἀσθένειαν. οὐδέπω γὰρ ἦσαν τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχοντες. πῶς οὖν ἠρνήσατο; [διὰ τοῦτο] οὐκ εἶπεν, ἵνα μὴ ἀρνήσῃ, ἀλλ᾿ ὥστε μὴ ἐκλείπειν τὴν πίστιν, ὥστε μὴ τέλειον ἀπολέσθαι. τῆς γὰρ αὐτοῦ κηδεμονίας τοῦτο γέγονεν. καὶ γὰρ ὁ φόβος πάντα ἐξέβαλεν· ἄμετρος γὰρ ἦν. ἄμετρος δὲ ἐγίνετο, ἐπειδὴ σφόδρα αὐτὸν ἐγύμνωσεν ὁ Θεὸς τῆς ἑαυτοῦ ῥοπῆς. ἐγύμνωσε δὲ σφόδρα, ἐπειδὴ καὶ σφοδρὸν ἐν αὐτῷ τὸ πάθος ἦν τῆς αὐθαδείας καὶ τῆς ἀντιῤῥήσεως. ἵνα οὖν πρόῤῥιζον ἀνέλῃ τοῦτο, διὰ τοῦτο εἴασεν οὕτω κατασχεῖν αὐτὸν τὴν ἀγωνίαν. ὅτι γὰρ χαλεπὸν ἦν ἐν αὐτῷ τὸ πάθος τοῦτο, δῆλον καὶ ἐντεῦθεν. οὐ γὰρ ἠρκέσθη τοῖς προτέροις, καὶ τῷ προφήτῃ καὶ τῷ Χριστῷ ἀντειπὼν, ἀλλὰ καὶ μετὰ ταῦτα εἰπόντος αὐτῷ τοῦ Χριστοῦ,

34 Αμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι τρὶς, ἀπαρνήσῃ με, λέγει·

Γαλ. ϛ. δ.

Λουκ. κβ. λβ.

γρ. τοῖς λεγο-μένοις·

* ἐν σοί,

* ἠνέσχετο, γρ. ἀντείπω-σιν,

γρ. τὴν ἀρνη

γρ. ἐξητήσα

γρ. περιστη-σας

35 Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσωμαι. Ὁ δὲ Λουκᾶς ἐπισημαίνεται, ὅτι "ὅσον ἀπηγόρευσεν ὁ Χριστὸς, "τοσοῦτον ἐναντιοῦτο ὁ Πέτρος ἐκ περισσοῦ. τί ταῦτα, ὦ Πέτρε; ὅτε μὲν ἔλεγεν, Εἷς ἐξ ὑμῶν παραδώσει με, ἐφοβοῦ μὴ σὺ εἶ ὁ προδότης, καὶ ἠνάγκαζες τὸν συμμαθητὴν ἐρωτῆσαι, καίτοι οὐδὲν σαυτῷ συνειδὼς τοιοῦτον· νυνὶ δὲ διαῤῥήδην αὐτοῦ βοῶντος καὶ λέγοντος, ὅτι πάντες σκανδαλισθήσεσθε, ἀντιλέγεις; καὶ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. τοῦτο γὰρ ὁ Λουκᾶς φησι. πόθεν οὖν αὐτῷ τοῦτο συνέβη; ἀπὸ πολλῆς ἀγάπης, ἀπὸ πολλῆς ἡδονῆς. ἐπειδὴ γὰρ ἀπηλλάγη τῆς ἀγωνίας ἐκείνης τῆς κατὰ τὴν προδοσίαν, καὶ τὸν προδότην εἶδε, θαῤῥῶν ἔλεγε λοιπὸν, καὶ τῶν ἄλλων κατεξανίστατο, λέγων· κἂν πάντες σκανδαλισθήσωνται, ἀλλ' ἐγὼ οὐ σκανδαλισθήσομαι. ἠρέμα δὲ καὶ φιλοτιμίας τὸ πρᾶγμα ἦν. καὶ γὰρ ἐν τῷ δείπνῳ, τίς αὐτῶν μείζων ἐστὶν, ἐλογίζοντο. οὕτως αὐτοῖς παρηνώχλει τὸ πάθος. διὰ τοῦτο αὐτὸν ἐκώλυσεν, οὐκ ὠθῶν αὐτὸν ἐπὶ ἄρνησιν (μὴ γένοιτο) ἀλλ' ἔρημον τῆς αὐτοῦ βοηθείας ἀφεὶς, καὶ τὴν φύσιν ἐλέγχων τὴν ἀνθρωπίνην. ὅρα γοῦν μετὰ ταῦτα πῶς κατεσταλμένος ἐστί. καὶ γὰρ μετὰ τὴν ἀνάστασιν ἐπειδὴ εἶπεν, οὗτος δὲ τί; καὶ ἐπεστομίσθη, οὐδὲ ἀντειπεῖν λοιπὸν ὡς ἐνταῦθα ἐτόλμησεν, ἀλλ' ἐσίγησε. πάλιν περὶ τὴν ἀνάληψιν ἀκούσας, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, πάλιν σιγᾷ, καὶ οὐκ ἀντιλέγει. καὶ μετὰ ταῦτα ἐπὶ τοῦ δώματος καὶ τῆς σινδόνος, ἀκούσας φωνῆς λεγούσης αὐτῷ, Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· καὶ οὐδὲ σαφῶς εἰδὼς τί ποτέ ἐστι τὸ λεγόμενον τέως, ἡσυχάζει καὶ οὐ φιλονεικεῖ. ταῦτα δὲ πάντα τὸ πτῶμα "ἐκεῖνο εἰργάσατο. καὶ πρὸ μὲν τούτου τὸ πᾶν ἀνατίθησιν ἑαυτῷ λέγων, κἂν πάντες σκανδαλισθήσωνται, ἀλλ' ἐγὼ οὐ σκανδαλισθήσομαι· κἂν δέῃ με ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσωμαι· δέον εἰπεῖν, ἂν ἀπολαύσω τῆς παρὰ σοῦ ῥοπῆς. μετὰ δὲ ταῦτα τοὐναντίον ἅπαν. Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ "εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ἐντεῦθεν μανθάνομεν δόγμα μέγα, ὡς οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνωθέν τις ἀπολαύσῃ ῥοπῆς· καὶ ὅτι πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης. καὶ ταῦτα ἀμφότερα δείκνυσιν Ἰούδας καὶ Πέτρος. ὁ μὲν γὰρ πολλῆς ἀπολαύσας βοηθείας οὐδὲν ὠφελήθη, ἐπειδὴ μὴ ἐθέλησε καὶ τὰ παρ' ἑαυτοῦ συνεισενεγκεῖν· οὗτος δὲ καὶ προθυμηθεὶς, ἐπειδὴ μηδεμιᾶς ἀπέλαυσε βοηθείας, κατέπεσε. καὶ γὰρ ἀπὸ "δύο τούτων ἡ ἀρετὴ ὑφαίνεται.

Διὸ παρακαλῶ μήτε τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντας αὐτοὺς καθεύδειν, μήτε σπουδάζοντας νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθοῦν. οὔτε γὰρ ὑπτίους ἡμᾶς αὐτοὺς εἶναι βούλεται ὁ Θεὸς, διὰ τοῦτο οὐ τὸ πᾶν αὐτὸς ἐργάζεται· οὔτε ἀλαζόνας βούλεται εἶναι, διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῖν ἔδωκεν· ἀλλ' ἑκατέρου τὸ βλαβερὸν ἀνελὼν, τὸ χρήσιμον ἡμῖν εἴασε. διὰ τοῦτο καὶ τὸν κορυφαῖον ἀφῆκε πεσεῖν, συνεσταλμένον τε αὐτὸν κατασκευάζων, καὶ εἰς πλείονα λοιπὸν ἀλείφων ἀγάπην. Ὧ γὰρ ἂν πλέον ἀφεθῇ, μειζόνως ἀγαπήσει. πειθώμεθα τοίνυν πανταχοῦ τῷ Θεῷ, καὶ μηδὲν ἀντιλέγωμεν, κἂν ἐναντίον εἶναι δοκῇ τοῖς ἡμετέροις λογισμοῖς καὶ ταῖς ὄψεσι τὸ λεγόμενον· ἀλλ' ἔστω καὶ λογισμῶν καὶ ὄψεως κυριώτερος αὐτοῦ ὁ λόγος. οὕτω καὶ ἐπὶ τῶν μυστηρίων ποιῶμεν, οὐ τοῖς κειμένοις μόνον ἐμβλέποντες, ἀλλὰ τὰ ῥήματα αὐτοῦ "κατέχοντες. ὁ μὲν γὰρ λόγος αὐτοῦ ἀπαραλόγιστος, ἡ δὲ αἴσθησις ἡμῶν εὐεξαπάτητος. οὗτος οὐδέποτε διέπεσεν, αὕτη δὲ τὰ πλείονα σφάλλεται. ἐπεὶ οὖν ὁ λόγος φησὶ, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ πειθώμεθα, καὶ πιστεύωμεν, καὶ νοητοῖς αὐτὸ βλέπωμεν ὀφθαλμοῖς. οὐδὲν γὰρ αἰσθητὸν παρέδωκεν ἡμῖν ὁ Χριστὸς· ἀλλ' αἰσθητοῖς μὲν πράγμασι, πάντα δὲ νοητά. οὕτω * καὶ ἐν τῷ βαπτίσματι, δι' αἰσθητοῦ μὲν πράγματος γίνεται, τοῦ ὕδατος, τὸ δῶρον· νοητὸν δὲ τὸ ἀποτελούμενον, ἡ γέννησις καὶ ἡ * ἀνακαίνισις. εἰ μὲν γὰρ ἀσώματος ἦς, γυμνὰ ἂν αὐτά σοι τὰ ἀσώματα παρέδωκε δῶρα· ἐπειδὴ δὲ σώματι συμπέπλεκται ἡ ψυχὴ, ἐν αἰσθητοῖς τὰ νοητά σοι παραδίδωσι.

Λυκ. κβ. λδ.

Ιωαν. κα. κα.

Πραξ. α. ζ.

Πραξ. ι. ιε.

Πραξ. γ. ιβ.

ΗΘΙΚΟΝ

Λυκ. ζ. μζ.

παραδίδωσι. πόσοι νῦν λέγουσιν, ἐβουλόμην αὐτοῦ τὴν μορφὴν ἰδεῖν, τὸν τύπον, τὰ ἱμάτια, τὰ ὑποδήματα; ἰδοὺ, αὐτὸν ὁρᾷς, αὐτοῦ ἅπτῃ, αὐτὸν ἐσθίεις. καὶ σὺ μὲν ἱμάτια ἐπιθυμεῖς ἰδεῖν· αὐτὸς δὲ ἑαυτόν σοι δίδωσιν, οὐκ ἰδεῖν μόνον, ἀλλὰ καὶ ἅψασθαι, καὶ φαγεῖν, καὶ λαβεῖν ἔνδον. μηδεὶς τοίνυν ναυτιῶν προσίτω· μηδεὶς ἐκλελυμένος· ἅπαντες πεπυρωμένοι, ἅπαντες ζέοντες καὶ διεγηγερμένοι. εἰ γὰρ Ἰουδαῖοι ἑστῶτες, καὶ τὰ ὑποδήματα καὶ τὰς βακτηρίας ἔχοντες ἐν ταῖς χερσὶν, ἤσθιον μετὰ σπουδῆς, πολλῷ μᾶλλόν σε νήφειν δεῖ. ἐκεῖνοι μὲν γὰρ εἰς Παλαιστίνην ἔμελλον ἐξιέναι, διὸ καὶ ὁδοιπόρων σχῆμα εἶχον· σὺ δὲ εἰς τὸν οὐρανὸν μέλλεις ἀποδημεῖν· διὸ χρὴ πάντοθεν ἐγρηγορέναι. καὶ γὰρ οὐ μικρὰ κεῖται κόλασις τοῖς ἀναξίως μετέχουσιν. ἐννόησον πῶς ἀγανακτεῖς κατὰ τοῦ προδότου, κατὰ τῶν σταυρωσάντων. σκόπει τοίνυν, μὴ καὶ αὐτὸς ἔνοχος γένῃ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. ἐκεῖνοι κατέσφαξαν τὸ πανάγιον σῶμα· σὺ δὲ ῥυπαρᾷ ὑποδέχῃ ψυχῇ μετὰ τοσαύτας εὐεργεσίας. οὐδὲ γὰρ ἤρκεσεν αὐτῷ τὸ γενέσθαι ἄνθρωπον, οὐδὲ τὸ ῥαπισθῆναι καὶ σφαγῆναι· ἀλλὰ καὶ ἀναφύρει ἑαυτὸν ἡμῖν· καὶ οὐ τῇ πίστει μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ πράγματι σῶμα αὐτοῦ ἡμᾶς κατασκευάζει. τίνος οὖν οὐκ ἔδει καθαρώτερον εἶναι τὸν ταύτης ἀπολαύοντα τῆς θυσίας; ποίας ἡλιακῆς ἀκτῖνος τὴν χεῖρα τὴν ταύτην διατέμνουσαν τὴν σάρκα; τὸ στόμα τὸ πληρούμενον πυρὸς πνευματικοῦ; τὴν γλῶσσαν τὴν φοινισσομένην αἵματι φρικωδεστάτῳ; ἐννόησον ποίαν ἐτιμήθης τιμὴν, ποίας ἀπολαύεις τραπέζης. "ὅπερ οἱ ἄγγελοι βλέποντες φρίττουσι, καὶ οὐδὲ ἀντιβλέψαι τολμῶσιν ἀδεῶς διὰ τὴν ἐκεῖθεν φερομένην ἀστραπὴν, τούτῳ ἡμεῖς τρεφόμεθα, τούτῳ ἀναφυρόμεθα, καὶ γεγόναμεν ἡμεῖς Χριστοῦ σῶμα ἓν, καὶ σὰρξ μία. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς' ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; τίς ποιμὴν τοῖς οἰκείοις μέλεσι τρέφει τὰ πρόβατα; καὶ τί λέγω ποιμήν; μητέρες πολλάκις εἰσὶν, αἳ μετὰ τὰς ὠδῖνας ἑτέραις ἐκδιδόασι τροφοῖς τὰ παιδία· αὐτὸς δὲ τοῦτο οὐκ ἠνέσχετο, ἀλλ' αὐτὸς ἡμᾶς τρέφει οἰκείῳ σώματι, καὶ διὰ πάντων ἡμᾶς ἑαυτῷ συμπλέκει. σκόπει δέ. ἐγεννήθη ἐκ τῆς ἡμετέρας οὐσίας. ἀλλ' οὐδὲν τοῦτο πρὸς πάντας, φησί· καίτοιγε πρὸς πάντας. εἰ γὰρ πρὸς τὴν φύσιν ἦλθε τὴν ἡμετέραν, εὔδηλον ὅτι πρὸς πάντας. εἰ δὲ πρὸς πάντας, καὶ πρὸς ἕνα ἕκαστον. καὶ πῶς ἅπαντες οὐκ ἐκαρπώσαντο τὸ ἐντεῦθεν κέρδος, φησί; τοῦτο οὐ παρ' ἐκεῖνον τὸν ὑπὲρ ἁπάντων τοῦτο ἑλόμενον, ἀλλὰ παρὰ τοὺς μὴ βουληθέντας. ἑνὶ γὰρ ἑκάστῳ τῶν πιστῶν ἀναμίγνυσιν ἑαυτὸν διὰ" τῶν μυστηρίων· καὶ οὓς ἐγέννησεν, ἐκτρέφει δι' ἑαυτοῦ, καὶ οὐκ ἄλλῳ ἐκδίδωσι, καὶ τούτῳ σε πείθων πάλιν, ὅτι σάρκα ἔλαβε τὴν σήν. μὴ τοίνυν ῥαθυμῶμεν τοσαύτης ἠξιωμένοι ἀγάπης τε καὶ τιμῆς. οὐχ ὁρᾶτε τὰ παιδία μεθ' ὅσης προθυμίας δράττεται τοῦ μαστοῦ; μεθ' ὅσης ὁρμῆς ἐμπήγνυσι τῇ θηλῇ τὰ χείλη; μετὰ τοσαύτης προσίωμεν καὶ ἡμεῖς τῇ τραπέζῃ ταύτῃ, καὶ τῇ θηλῇ τοῦ ποτηρίου τοῦ πνευματικοῦ· μᾶλλον δὲ καὶ μετὰ πολλῷ πλείονος" πόθου ἑλκύσωμεν, ὡς παιδία ὑπομάζια, τοῦ πνεύματος τὴν χάριν, καὶ μία ἡμῖν ἔστω ὀδύνη, τὸ μὴ μετασχεῖν ταύτης τῆς τροφῆς. οὐκ ἔστιν ἀνθρωπίνης δυνάμεως ἔργα τὰ προκείμενα. ὁ τότε" ταῦτα ποιήσας ἐν ἐκείνῳ τῷ δείπνῳ, οὗτος καὶ νῦν αὐτὰ ἐργάζεται. ὑπηρετῶν τάξιν ἐπέχομεν ἡμεῖς, ὁ δὲ ἁγιάζων αὐτὰ καὶ μετασκευάζων, αὐτός ἐστι. μηδεὶς τοίνυν Ἰούδας παρέστω, μηδεὶς φιλάργυρος. εἴ τις μὴ μαθητὴς," παραχωρείτω. οὐ δέχεται τοὺς μὴ τοιούτους ἡ τράπεζα. μετὰ γὰρ τῶν μαθητῶν μου, φησὶ, ποιῶ τὸ πάσχα. αὕτη ἐκείνη ἐστὶν ἡ τράπεζα, καὶ οὐδὲν ἔλαττον ἔχει. οὐ γὰρ ἐκείνην μὲν ὁ Χριστὸς, ταύτην δὲ ἄνθρωπος δημιουργεῖ· ἀλλὰ καὶ ταύτην αὐτός. τοῦτο ἐκεῖνο τὸ ἀνώγεων, ἔνθα ἐκεῖνοι τότε ἦσαν. ἐντεῦθεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν" ἐξῆλθεν. ἐξέλθωμεν καὶ ἡμεῖς ἐπὶ τὰς χεῖρας τῶν πενήτων. τοῦτο γὰρ ὄρος τῶν ἐλαιῶν τὸ χωρίον. ἐλαῖαι γάρ εἰσι καταπεφυτευμέναι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τῶν πενήτων τὸ πλῆθος." ἀποστάζουσι γὰρ τὸ ἔλαιον τὸ ἐκεῖ χρήσιμον ἡμῖν, ὃ αἱ πέντε παρθένοι εἶχον· αἱ δὲ ἕτεραι μὴ λαβοῦσαι ἐντεῦθεν

Ψαλ. ρε. β.

θεν ἀπώλλυντο. τοῦτο λαβόντες εἰσίωμεν, ἵνα " φαιδρῶς ἀπαντήσωμεν ταῖς λαμπάσι τῷ νυμφίῳ. τοῦτο λαβόντες ἐξέλθωμεν ἐντεῦθεν. μηδεὶς ἀπάνθρωπος προσίτω, μηδεὶς ὠμὸς καὶ ἀνελεής, μηδεὶς ὅλως ἀκάθαρτος. ταῦτα πρὸς ὑμᾶς τοὺς μεταλαμβάνοντας λέγω, καὶ πρὸς ὑμᾶς τοὺς διακονουμένους. καὶ γὰρ ἀναγκαῖον καὶ πρὸς ὑμᾶς διαλεχθῆναι, ὥστε μετὰ σπουδῆς πολλῆς διανέμειν ταυτὶ τὰ δῶρα. οὐ γὰρ μικρὰ κόλασις ὑμῖν ἐστιν, εἴ τινι συνειδότες τινὰ πονηρίαν, συγχωρήσητε μετασχεῖν ταύτης τῆς τραπέζης, ὅτι τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν τῶν ὑμετέρων ἐκζητηθήσεται. κἂν στρατηγός τις ᾖ, κἂν " ὕπαρχος, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προσίῃ, κώλυσον. μείζονα ἐκείνου τὴν ἐξουσίαν ἔχεις. σὺ δὲ εἰ μὲν πηγὴν ὕδατος ἐνεχειρίσθης φυλάττειν ποιμνίῳ καθαράν, εἶτα εἶδες πρόβατον πολὺν ἐπὶ τοῦ στόματος φέρον τὸν βόρβορον, οὐκ ἂν εἴασας ἐπικύψαι κάτω, καὶ θολῶσαι τὸ ῥεῖθρον· νυνὶ δὲ οὐχ ὕδατος, ἀλλ' αἵματος καὶ πνεύματος πηγὴν ἐγκεχειρισμένος, καὶ ὁρῶν " τοὺς βορβόρου χαλεπωτέραν ἁμαρτίαν ἔχοντας *, καὶ προσιόντας οὐκ ἀγανακτεῖς, οὐδὲ ἀπείργεις; καὶ τίνα ἂν σχοίης συγγνώμην; διὰ τοῦτο ὑμᾶς ὁ Θεὸς ἐτίμησε ταύτῃ τῇ τιμῇ, ἵνα τὰ τοιαῦτα διακρίνητε. τοῦτο ὑμῶν ἡ ἀξία, τοῦτο ἡ ἀσφάλεια, τοῦτο ὁ στέφανος ἅπας, οὐχ ἵνα λευκὸν χιτωνίσκον καὶ ἀποστίλβοντα περιβαλλόμενοι περιίητε. καὶ πόθεν οἶδα, φησί, τὸν δεῖνα καὶ τὸν δεῖνα; οὐ περὶ τῶν ἀγνοουμένων, ἀλλὰ περὶ τῶν γνωρίμων λέγω. εἴπω τι φρικωδέστερον; οὐχ οὕτω χαλεπὸν τοὺς ἐνεργουμένους ἔνδον εἶναι, ὡς τούτους, οὓς φησιν ὁ Παῦλος τὸν Χριστὸν καταπατῆσαι, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγήσασθαι, καὶ τὴν χάριν τοῦ πνεύματος ἐνυβρίσαι. δαιμονῶντος γὰρ χείρων ὁ ἡμαρτηκὼς καὶ προσιών. οἱ μὲν γάρ, ἐπειδὴ δαιμονῶσιν, οὐ κολάζονται· οὗτοι δέ, ὅταν ἀναξίως προσιῶσιν, ἀθανάτῳ παραδίδονται " κολάσει. μὴ τοίνυν τούτους ἐλαύνωμεν μόνον, ἀλλὰ πάντας ἁπλῶς, οὓς ἂν ἴδωμεν ἀναξίως προσιόντας. μηδεὶς οὖν κοινωνείτω τῶν μὴ μαθητῶν· μηδεὶς λαμβανέτω [ὡς] Ἰούδας, ἵνα μὴ τὰ Ἰούδα πάθῃ. σῶμά ἐστι Χριστοῦ καὶ τουτὶ τὸ πλῆθος. ὅρα τοίνυν ὁ διακονούμενος τοῖς μυστηρίοις, [καὶ] μὴ παροξύνῃς τὸν δεσπότην οὐκ ἐκκαθαίρων τὸ σῶμα τοῦτο, μὴ ξίφος δῷς ἀντὶ τροφῆς· ἀλλὰ κἂν ὑπὸ " ἀνοίας ἐκεῖνος ἔρχεται μεθέξων, κώλυσον, μὴ φοβηθῇς· φοβήθητι τὸν * Θεόν, μὴ ἄνθρωπον. ἂν φοβηθῇς ἄνθρωπον, καὶ ὑπ' αὐτοῦ καταγελασθήσῃ· ἂν δὲ τὸν Θεόν, καὶ ἀνθρώποις αἰδέσιμος ἔσῃ. εἰ δὲ αὐτὸς οὐ τολμᾷς, ἐμοὶ " πρόσελθε, καὶ οὐ συγχωρήσω ταῦτα τολμᾶσθαι. τῆς ψυχῆς ἀποστήσομαι πρότερον, ἢ τοῦ σώματος μεταδώσω τοῦ δεσποτικοῦ παρ' ἀξίαν, καὶ τὸ αἷμα τὸ ἐμαυτοῦ προήσομαι πρότερον, ἢ τοῦ αἵματος μεταδώσω οὕτω φρικώδους παρὰ τὸ προσῆκον. εἰ δὲ ἠγνόησέ τις τὸν φαῦλον πολλὰ περιεργασάμενος, οὐδὲν ἔγκλημα. ταῦτα γάρ μοι περὶ τῶν δήλων εἴρηται. ἂν γὰρ τούτους διορθώσωμεν, καὶ τοὺς ἀγνῶτας ταχέως ἡμῖν ὁ Θεὸς γνωριεῖ· ἂν δὲ τούτους ἐάσωμεν, τίνος ἕνεκεν ἡμῖν ἐκείνους ποιήσει φανεροὺς λοιπόν; ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀπείργωμεν, οὐδ' ἵνα ἐκτέμνωμεν μόνον· ἀλλ' ἵνα διορθώσαντες ἐπαναγάγωμεν, ἵνα ἐπιμελώμεθα. οὕτω γὰρ καὶ τὸν Θεὸν ἵλεων ἕξομεν, καὶ πολλοὺς τοὺς κατ' ἀξίαν μεταλαμβάνοντας εὑρήσομεν, καὶ τῆς οἰκείας σπουδῆς καὶ τῆς περὶ τοὺς ἄλλους ἐπιμελείας πολὺν ἀποληψόμεθα τὸν μισθόν· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ, τῷ πατρί, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

φαιδραῖς

ὕπατος

γῆς καὶ
μας,

Ἑβ. ι. κθ. λ.

τιμωρίᾳ.

ἀγνοίας
ἀπονοίας
σπότην,

ρόσαγε,

Ομιλ. πγ. 36 ΤΟΤΕ ΕΡΧΕΤΑΙ ΜΕΤ' ΑΥΤΩΝ Ο ΙΗΣΟΥΣ

εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς, καθίσατε αὐτοῦ, ἕως ἂν ἀπελθὼν προσεύξωμαι ἐκεῖ. 37 Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. 38 Καὶ λέγει

αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ.

Ἐπειδὴ ἀδιασπάστως αὐτοῦ εἶχον, διὰ τοῦτό φησι· μείνατε αὐτοῦ, ἕως ἀπελθὼν προσεύξωμαι. ἔθος γὰρ αὐτῷ χωρὶς αὐτῶν προσεύχεσθαι. τοῦτο δὲ ἐποίει, παιδεύων ἡμᾶς ἐν ταῖς εὐχαῖς ἡσυχίαν κατασκευάζειν ἑαυτοῖς καὶ ἠρεμίαν πολλήν. καὶ παραλαμβάνει τοὺς τρεῖς, καὶ λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. τίνος ἕνεκεν μὴ πάντας παραλαμβάνει; ἵνα μὴ καταπέσωσιν, ἀλλὰ τούτους *τοὺς τῆς δόξης αὐτοῦ θεωροὺς γενομένους. ἀλλ' ὅμως καὶ τούτους ἀφίησι, καὶ μικρὸν προελθὼν, εὔχεται λέγων·

*ἀεὶ

39 Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

40 Καὶ ἔρχεται πρὸς αὐτοὺς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ;

41 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Οὐχ ἁπλῶς πρὸς τὸν Πέτρον μάλιστα ἀποτείνεται, καίτοι καὶ τῶν ἄλλων καθευδησάντων· ἀλλὰ καθικνούμενος αὐτοῦ κἀνταῦθα διὰ τὴν αἰτίαν ἣν ἔμπροσθεν εἶπον. εἶτα ἐπειδὴ καὶ οἱ ἄλλοι τὸ αὐτὸ εἶπον (εἰπόντος γὰρ, φησι, Πέτρου, ὅτι κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι· ὁμοίως δέ, φησι, καὶ πάντες οἱ μαθηταὶ εἶπον) πρὸς ἅπαντας διαλέγεται, ἐλέγχων αὐτῶν τὴν ἀσθένειαν. οἱ γὰρ συναποθανεῖν αἱρούμενοι, οὐδὲ λυπουμένῳ τότε συλλυπηθῆναι ἴσχυσαν ἐγρηγορότες, ἀλλ' ἐκράτησεν αὐτῶν ὁ ὕπνος. ὁ δὲ ἐκτενῶς εὔχεται· καὶ ἵνα μὴ δόξῃ ὑπόκρισις εἶναι τὸ πρᾶγμα, καὶ ἱδρῶτες ἐπιρρέουσι διὰ τὴν αἰτίαν πάλιν τὴν αὐτήν. καὶ ἵνα μὴ τοῦτο εἴπωσιν αἱρετικοὶ, ὅτι ὑποκρίνεται τὴν ἀγωνίαν, διὰ τοῦτο καὶ ἱδρῶτες ὡς θρόμβοι αἵματος, καὶ ἄγγελος ἐνισχύων αὐτὸν ἐφάνη, καὶ μυρία φόβου τεκμήρια, ἵνα μή τις εἴπῃ τὰ ῥήματα πεπλασμένα εἶναι. διὰ [γάρ τοι] τοῦτο καὶ ἡ εὐχή. τῷ μὲν οὖν εἰπεῖν, εἰ δυνατὸν, παρελθέτω, ἔδειξε τὸ ἀνθρώπινον· τῷ δὲ εἰπεῖν, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, ἔδειξε τὸ ἐνάρετον καὶ ἐμφιλόσοφον, παιδεύων καὶ τῆς φύσεως ἀνθελκούσης ἕπεσθαι τῷ Θεῷ. ἐπειδὴ γὰρ οὐκ ἤρκει τοῖς ἀνοήτοις τὸ πρόσωπον δεῖξαι μόνον, καὶ ῥήματα προστίθησι. πάλιν τὰ ῥήματα οὐκ ἤρκει μόνον, ἀλλὰ καὶ πραγμάτων ἔδει, καὶ ταῦτα συνάπτει τοῖς ῥήμασιν, ἵνα πιστεύσωσι καὶ οἱ σφόδρα φιλονεικοῦντες, ὅτι καὶ ἄνθρωπος γέγονε, καὶ ἀπέθανεν. εἰ γὰρ καὶ τούτων ὄντων ἀπιστεῖται παρά τινων ἔτι τοῦτο, πολλῷ μᾶλλον, εἰ μὴ ταῦτα ἦν. ὁρᾷς δι' ὅσων δείκνυσι τῆς οἰκονομίας τὴν ἀλήθειαν, δι' ὧν φθέγγεται, δι' ὧν πάσχει; εἶτα ἐλθὼν λέγει, φησὶ, τῷ Πέτρῳ, οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; ἅπαντες ἐκαθεύδησαν, καὶ τῷ Πέτρῳ ἐπιτιμᾷ, αἰνιττόμενος αὐτὸν ὑπὲρ ὧν ἐφθέγξατο. καὶ τὸ μετ' ἐμοῦ δὲ, οὐχ ἁπλῶς κεῖται, ἀλλ' ὡσανεὶ ἔλεγε· γρηγορῆσαι οὐκ ἴσχυσας μετ' ἐμοῦ, καὶ ὑπὲρ ἐμοῦ τὴν ψυχήν [σου] θήσεις; καὶ τὸ ἑξῆς δὲ τὸ αὐτὸ τοῦτο αἰνίττεται. γρηγορεῖτε γὰρ, φησι, καὶ προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. ὁρᾷς πῶς πάλιν αὐτοὺς παιδεύει μὴ ἀπαυθαδιάζεσθαι, ἀλλὰ συντετρῖφθαι τὴν διάνοιαν καὶ ταπεινοφρονεῖν, καὶ τῷ Θεῷ τὸ πᾶν ἀνατιθέναι; καὶ νῦν μὲν πρὸς Πέτρον ἀποτείνεται, νῦν δὲ πρὸς πάντας κοινῇ. κἀκείνῳ μὲν φησι, Σίμων, Σίμων, ἐξῄτησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς [ὡς τὸν σῖτον,] κἀγὼ περὶ σοῦ ἐδεήθην· κοινῇ δὲ πᾶσιν, εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν, πανταχοῦ τὸ αὔθαδες αὐτῶν ἐκκόπτων καὶ ἐναγωνίους ποιῶν. εἶτα ἵνα μὴ δόξῃ δι' ὅλου καταφορικὸν ποιεῖν τὸν λόγον, λέγει· τὸ μὲν πνεῦμα πρόθυμον,

ἡ δὲ σὰρξ ἀσθενής. Εἰ γὰρ καὶ βούλει, φησὶν, ὑπεριδεῖν θανάτου, ἀλλ' οὐ δυνήσῃ, ἕως ἂν ὁ Θεὸς ὀρέξῃ χεῖρα. καθέλκει γὰρ τὸ φρόνημα τὸ σαρκικόν. καὶ πάλιν ἠνίξατο τὸ αὐτὸ λέγων·

42 Πάτερ, εἰ οὐ δύναται τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου· Δεικνὺς καὶ ἐνταῦθα, ὅτι σφόδρα συνᾴδει τῷ θελήματι τοῦ Θεοῦ, καὶ ὅτι πανταχοῦ τούτῳ ἕπεσθαι δεῖ καὶ τοῦτο ἐπιζητεῖν.

43 Καὶ ἐλθὼν εὗρεν αὐτοὺς καθεύδοντας. Μετὰ γὰρ τοῦ καὶ ἀωρὶ τῶν νυκτῶν εἶναι, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὑπὸ τῆς ἀθυμίας ἦσαν βεβαρημένοι. καὶ ἐκ τρίτου πάλιν τὸ αὐτὸ ἀπελθὼν ἐφθέγξατο, βεβαιῶν ὅτι ἄνθρωπος γέγονε. τὸ γὰρ δεύτερον καὶ τρίτον, ἀληθείας μάλιστά ἐστιν ἐν ταῖς γραφαῖς ἐνδεικτικόν· ὥσπερ καὶ Ἰωσὴφ ἔλεγε τῷ Φαραὼ, Ὅτι σοι ἐφάνη τὸ ἐνύπνιον ἐκ δευτέρου, ὑπὲρ ἀληθείας καὶ τοῦ" πιστευθῆναι ὅτι τοῦτο ἔσται πάντως, τοῦτο γέγονε. διὰ τοῦτο καὶ αὐτὸς καὶ ἅπαξ καὶ δὶς καὶ τρίτον τὸ αὐτὸ ἐφθέγξατο, ὑπὲρ τοῦ πιστώσασθαι τὴν οἰκονομίαν. καὶ τίνος ἕνεκεν ἦλθεν ἐκ δευτέρου; ὥστε αὐτοὺς ἐλέγξαι ὅτι οὕτως ἐβαπτίσθησαν ὑπὸ τῆς ἀθυμίας, ὡς μηδὲ τῆς παρουσίας αὐτοῦ αἰσθέσθαι. οὐ μὴν ἤλεγξεν, ἀλλὰ διέστη μικρὸν, δηλῶν τὴν ἄφατον αὐτῶν ἀσθένειαν, ὅτι οὐδὲ ἐπιτιμηθέντες ἠδύναντο καρτερῆσαι. οὐ διυπνίζει δὲ καὶ ἐπιτιμᾷ πάλιν, ὥστε μὴ πλῆξαι πεπληγότας, ἀλλ' ἀπελθὼν καὶ προσευξάμενος καὶ ἐπανελθὼν, φησί·

πιστωθῆναι

Γεν. μα. λβ.

45 Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε. Καὶ μὴν τότε ἐγρηγορέναι ἔδει. ἀλλὰ δεικνὺς ὅτι οὐδὲ τὴν ὄψιν οἴσουσι [ῥᾳδίως] τῶν δεινῶν, ἀλλὰ φυγαδευθήσονται καὶ ἀποστήσονται ὑπὸ τῆς ἀγωνίας, καὶ ὅτι οὐδὲ τῆς αὐτῶν δεῖται βοηθείας, καὶ ὅτι δεῖ πάντως αὐτὸν παραδοθῆναι, καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθέ, φησιν. Ἰδοὺ, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. Δείκνυσι πάλιν ὅτι οἰκονομίας ἦν τὸ γινόμενον· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, εἰς χεῖρας ἁμαρτωλῶν, ἀνίστησιν αὐτῶν τὰ φρονήματα, δηλῶν ὅτι τῆς ἐκείνων πονηρίας τὸ ἔργον ἦν, οὐ τοῦ αὐτὸν ὑπεύθυνον εἶναι πλημμελήμασι.

46 Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. ἰδοὺ, ἤγγικεν ὁ παραδιδούς με. Διὰ πάντων γὰρ αὐτοὺς ἐπαίδευσεν, ὅτι οὐκ ἀνάγκης τὸ πρᾶγμα ἦν, οὐδὲ ἀσθενείας, ἀλλ' οἰκονομίας τινὸς ἀπορρήτου. καὶ γὰρ προῄδει ἥξοντας, καὶ οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ ὁμόσε ἐχώρει.

47 Ἔτι γὰρ αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. Καλά γε τῶν ἱερέων τὰ σκεύη. μετὰ μαχαιρῶν καὶ ξύλων ἐπέρχονται, καὶ Ἰούδας, φησὶ, μετ' αὐτῶν, εἷς τῶν δώδεκα. πάλιν αὐτὸν τῶν δώδεκα καλεῖ, καὶ οὐκ αἰσχύνεται.

48 Ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. Βαβαὶ, πόσην ἐδέξατο πονηρίαν ἡ τοῦ προδότου ψυχή; ποίοις γὰρ ὀφθαλμοῖς ἑώρα τότε εἰς τὸν διδάσκαλον; ποίῳ στόματι ἐφίλει; ὢ τῆς μιαρᾶς γνώμης. τί ἐβουλεύσατο; τί ἐτόλμησε; ποῖον σύμβολον ἔδωκε τῆς προδοσίας; ὃν ἂν φιλήσω, φησίν. ἐθάρρει τῇ ἐπιεικείᾳ τοῦ διδασκάλου· ὃ μάλιστα πάντων ἱκανὸν ἦν αὐτὸν ἐντρέψαι καὶ πάσης αὐτὸν ἀποστερῆσαι συγγνώμης, ὅτι τὸν οὕτως ἥμερον προεδίδου. τίνος δὲ ἕνεκεν τοῦτό φησιν; ἐπειδὴ πολλάκις κατασχεθεὶς ὑπ' αὐτῶν διεξῆλθεν, οὐκ εἰδότων αὐτῶν. ἀλλ' ὅμως καὶ τότε ἂν τοῦτο ἐγίνετο, εἰ μὴ αὐτὸς ἐβουλήθη. τοῦτο γοῦν αὐτὸ παιδεῦσαι αὐτὸν βουλόμενος, καὶ τότε ἐπήρωσεν αὐτῶν τὰς ὄψεις, καὶ αὐτὸς ἠρώτα, τίνα ζητεῖτε. καὶ οὐκ ᾔδεσαν, καίτοι μετὰ φανῶν καὶ λαμπάδων ὄντες, καὶ τὸν Ἰούδαν μεθ' ἑαυτῶν ἔχοντες. εἶτα ἐπειδὴ εἶπον, Ἰησοῦν, λέγει· ἐγώ εἰμι ὃν ζητεῖτε. καὶ ἐνταῦθα πάλιν, ἑταῖρε, ἐφ' ᾧ πάρει; μετὰ γὰρ τὸ δεῖξαι τὴν ἰσχὺν τὴν ἑαυτοῦ, τότε λοιπὸν συνεχώρησεν. ὁ δὲ Ἰωάννης φησὶν, ὅτι καὶ ἕως αὐτῆς αὐτὸν διώρθου τῆς ὥρας λέγων· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; οὐδὲ τὸ σχῆμα τῆς προδοσίας

Λουκ. κβ. μη.

αἰσχύνη, φησίν; ἀλλ' ὅμως ἐπειδὴ οὐδὲ τοῦτο αὐτὸν διεκώλυσε, καὶ φιληθῆναι κατεδέξατο, καὶ ἔδωκεν ἑαυτὸν ἑκὼν, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, καὶ ἐκράτησαν κατ' αὐτὴν τὴν νύκτα, καθ' ἣν τὸ πάσχα ἔφαγον. οὕτως ἔζεον καὶ ἐμαίνοντο· ἀλλ' ὅμως οὐδὲν ἂν ἴσχυσαν, εἰ μὴ αὐτὸς συνεχώρησεν. οὐ μὴν τοῦτο ἀπαλλάττει τὸν Ἰούδαν τῆς ἀφορήτου κολάσεως, ἀλλὰ καὶ μειζόνως αὐτὸν καταδικάζει, ὅτι καὶ τῆς δυνάμεως αὐτοῦ τοσαύτην λαβὼν ἀπόδειξιν, καὶ τῆς ἐπιεικείας, [καὶ τῆς πρᾳότητος,] καὶ τῆς ἡμερότητος, θηρίου παντὸς χαλεπώτερος γέγονε.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες φεύγωμεν τὴν πλεονεξίαν. ἐκείνη γὰρ αὐτὸν, ἐκείνη τότε ἐξεβάκχευσεν, ἐκείνη πρὸς ἐσχάτην ὠμότητα καὶ ἀπανθρωπίαν αὐτὸν ἐγύμνασεν· οὐκ ἐκεῖνον δὲ μόνον, ἀλλὰ καὶ πάντας τοὺς ἁλόντας. ὅταν γὰρ τῆς οἰκείας ἀπογνῶναι ποιῇ σωτηρίας, πολλῷ μᾶλλον τῆς τῶν ἄλλων ὑπερορᾶν παρασκευάζει, καὶ οὕτω τυραννικόν ἐστι τὸ πάθος, ὡς καὶ τοῦ δριμυτάτου ἔρωτος τῶν σωμάτων περιγενέσθαι ποτέ. διὸ καὶ σφόδρα ἐγκαλύπτομαι, ὅτι χρημάτων μὲν φειδόμενοι πολλάκις ἐχαλίνωσαν ἀκολασίαν πολλοί· διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον, οὐκ ἠθέλησαν σωφρόνως καὶ μετὰ σεμνότητος ζῆν. διὸ δὴ φεύγωμεν αὐτήν. οὐ γὰρ παύσομαι ἀεὶ τοῦτο λέγων. τί γὰρ συνάγεις, ἄνθρωπε, χρυσόν; τί τὴν δουλείαν πικροτέραν ἐργάζῃ; τί τὴν φυλακὴν χαλεπωτέραν; τί τὴν φροντίδα δριμυτέραν ποιεῖς; νόμισον εἶναι σὰ τὰ ἐν τοῖς μετάλλοις κατορυγμένα ψήγματα, [καὶ] τὰ ἐν τοῖς βασιλείοις πάντα. καὶ γὰρ εἴπερ εἶχες τὸν ὄγκον ἐκεῖνον, ἐφύλαξας τοῦτο ἂν μόνον, καὶ οὐκ ἂν ἐχρήσω. εἰ γὰρ νῦν τοῖς οὖσιν οὐ κέχρησαι, ἀλλ' ὡς ἀλλοτρίων ἀπέχῃ, πολλῷ μᾶλλον εἰ τὰ πλείονα εἶχες, τοῦτ' ἂν ἔπαθες. καὶ γὰρ εἰώθασιν οἱ φιλάργυροι, ὅσῳ ἂν πλείονα περιβάλωνται, τοσούτῳ μᾶλλον αὐτῶν φείδεσθαι. ἀλλ' οἶδα, φησὶν, ὅτι ἐμὰ ταῦτα. οὐκοῦν ἐν ὑπολήψει μόνον, οὐκ ἐν ἀπολαύσει ἡ κτῆσις. ἀλλ' ἔμελλεν ἀνθρώποις εἶναι, φησι, φοβερός. εὐχείρωτος μὲν οὖν μᾶλλον καὶ πλουσίοις καὶ πένησι καὶ λῃσταῖς καὶ συκοφάνταις καὶ οἰκέταις καὶ πᾶσιν ἁπλῶς τοῖς ἐπιβουλεύειν βουλομένοις, τούτοις ἂν ἐγένου. εἰ γὰρ βούλει εἶναι φοβερός, ἔκκοψον τὰς λαβὰς, δι' ὧν δύνανταί σε ἑλεῖν καὶ λυπῆσαι πάντες οἱ τοῦτο ἐσπουδακότες. ἢ οὐκ ἀκούεις τῆς παροιμίας λεγούσης, ὅτι τὸν πένητα καὶ γυμνὸν οὐδὲ ἑκατὸν ὁμοῦ συνελθόντες δύνανται ἀποδῦσαί ποτε; μεγίστην γὰρ ἔχει προστάτιν τὴν πενίαν, ἣν οὐδὲ ὁ βασιλεὺς αὐτὸς χειρώσασθαι δύναιτ' ἂν καὶ ἑλεῖν. τὸν μέντοι φιλάργυρον ἅπαντες ὁμοῦ λυποῦσι. καὶ τί λέγω τοὺς ἀνθρώπους, ὅπουγε καὶ σῆτες καὶ σκώληκες ἐπιστρατεύουσι τῷ τοιούτῳ. καὶ τί λέγω σῆτας; ὁ χρόνος ὁ πολὺς ἀρκεῖ μόνος, καὶ μηδενὸς ἐνοχλοῦντος, τὰ μέγιστα ἀδικῆσαι τὸν τοιοῦτον. τίς οὖν ἡ τοῦ πλούτου ἡδονή; ἐγὼ μὲν γὰρ αὐτοῦ τὰς ἀηδίας βλέπω· σὺ δέ μοι τὴν ἡδονὴν εἰπέ. καὶ τίνες αἱ ἀηδίαι, φησί; φροντίδες, ἐπιβουλαὶ, ἀπέχθειαι, μῖσος, φόβος, τὸ ἀεὶ διψῆν καὶ ἐν ὀδύνῃ εἶναι. καὶ γὰρ εἴ τις συμπλέκοιτο κόρῃ ἐρωμένῃ, τὴν δὲ ἐπιθυμίαν ἐμπλῆσαι μὴ δύναιτο, τὴν ἐσχάτην ὑπομένει βάσανον· οὕτω δὴ καὶ ὁ πλουτῶν. ἔχει μὲν γὰρ τὴν εὐπορίαν, καὶ συγγίνεται αὐτῇ· ἐμπλῆσαι δὲ οὐ δύναται τὴν ἐπιθυμίαν ἅπασαν, ἀλλὰ συμβαίνει ταὐτὸν, οἷόν τίς φησι σοφὸς ἀνὴρ, Ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεάνιν. καὶ ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων, οὕτως οἱ πλουτοῦντες ἅπαντες. καὶ τί ἄν τις τἄλλα λέγοι, πῶς ἅπασιν ἀηδής ἐστιν ὁ τοιοῦτος, τοῖς οἰκέταις, τοῖς γεωργοῖς, τοῖς γείτοσι, τοῖς τὰ πολιτικὰ πράττουσι, τοῖς ἀδικουμένοις, τοῖς οὐκ ἀδικουμένοις, τῇ γυναικὶ μάλιστα πάντων, τοῖς παιδίοις πλέον ἁπάντων; οὐδὲ γὰρ ὡς ἐλευθέρους, ἀλλ' ἀνδραπόδων καὶ ἀργυρωνήτων ἀθλιώτερον αὐτοὺς ἐκτρέφει, καὶ μυρίας ὀργῆς καὶ λύπης καὶ παροινίας καὶ γέλωτος ἀφορμὰς καθ' ἑαυτοῦ παρέξει, κοινὴ πᾶσι κωμῳδία προκείμενος. καὶ αἱ μὲν ἀηδίαι αὗται, καὶ τούτων πλείους ἴσως. οὐ γὰρ ἄν τις αὐτὰς πάσας ἐπέλθοι τῷ λόγῳ ποτὲ, ἀλλ' ἡ πεῖρα μόνη παραστῆσαι δυνήσεται. σὺ δέ μοι τὴν ἡδονὴν λέγε τὴν ἐντεῦθεν. δοκῶ πλουτεῖν, φησί, καὶ νομίζομαι πλουτεῖν. καὶ ποία ἡδονὴ τὸ νομίζεσθαι; φθόνου μὲν οὖν ὄνομα μέγιστον. καὶ γὰρ ὄνομα μόνον ἐστὶν ὁ πλοῦτος, πράγματος ἔρημον. ἀλλὰ καὶ ἐντρυφῶν εὐφραίνεται τῇ ὑπολήψει ταύ-

Σειρ. κ. β.

τῃ,

τη, φησίν, ὁ πλουτῶν. εὐφραίνεται ὑπὲρ ὧν ἀλγεῖν ἔδει. ἀλγεῖν διατί, φησιν; ὅτι τοῦτο αὐτὸν πρὸς πάντα ἄχρηστον ἐργάζεται, καὶ δειλὸν καὶ ἄνανδρον καὶ πρὸς ἀποδημίας καὶ πρὸς θάνατον. καὶ γὰρ διπλοῦν ἡγεῖται τοῦτο, μᾶλλον τῶν χρημάτων, ἢ τοῦ φωτὸς ἐπιθυμῶν. τὸν τοιοῦτον οὐδὲ ὁ οὐρανὸς τέρπει, ὅτι μὴ χρυσίον φέρει· οὐδὲ ὁ ἥλιος, ἐπειδὴ μὴ χρυσᾶς ἀκτῖνας ἀφίησιν. ἀλλ' εἰσί τινες, οἳ καὶ ἀπολαύουσι, φησι, τῶν ὄντων, τρυφῶντες, γαστριζόμενοι, μεθύοντες, πολυτελῶς δαπανῶντες. τοὺς χείρονάς μοι τούτων λέγεις. ἐκεῖνοι γὰρ μάλιστά εἰσιν οἱ οὐκ ἀπολαύουσιν. οὗτος μὲν γὰρ κἂν ἑτέρων ἀπέχηται κακῶν, ἑνὶ προσδεδεμένος ἔρωτι· ἐκεῖνοι δὲ τούτων χείρους, πρὸς τοῖς εἰρημένοις ἑτέρων δεσποινῶν χαλεπῶν " συρφετὸν ἐπεισάγοντες, καὶ καθάπερ τυράννοις τισὶ χαλεποῖς, τῇ γαστρὶ, τῇ τῶν σωμάτων ἡδονῇ, τῇ μέθῃ, καὶ ταῖς ἄλλαις ἀκολασίαις καθ' ἑκάστην λειτουργοῦντες τὴν ἡμέραν, πόρνας τρέφοντες, δεῖπνα πολυτελῆ κατασκευάζοντες, παρασίτους, κόλακας ὠνούμενοι, ἐπὶ τοὺς παρὰ φύσιν ἐκπίπτοντες ἔρωτας, μυρίοις νοσήμασιν ἐκ τούτων καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν περιβάλλοντες. οὐδὲ γὰρ εἰς χρείαν ἀναλίσκουσι τὰ ὄντα, ἀλλ' εἰς τὸ φθεῖραι τὸ σῶμα, καὶ συνδιαφθεῖραι τούτῳ καὶ τὴν ψυχήν· καὶ ταὐτὸν ποιοῦσιν, οἷον ἂν εἴ τις τὸ σῶμα κοσμῶν, δοκῇ εἰς τὴν ἑαυτοῦ χρείαν ἀναλίσκειν. ὥστε ἐκεῖνος μόνος ἡδονῆς ἀπολαύει, καὶ κύριός ἐστι τῶν ὄντων, ὁ χρώμενος εἰς δέον τῷ πλούτῳ· οὗτοι δὲ δοῦλοι καὶ αἰχμάλωτοι. καὶ γὰρ τὰ πάθη τοῦ σώματος ἐπιτείνουσι, καὶ τὰ νοσήματα τῆς ψυχῆς αὔξουσι. ποία οὖν αὕτη ἀπόλαυσις, ὅπου πολιορκία καὶ πόλεμος καὶ χειμὼν θαλαττίας πάσης ζάλης χαλεπώτερος; κἂν γὰρ ἀνοήτους ὁ πλοῦτος λάβῃ, ἀνοητοτέρους ἐργάζεται· κἂν ἀσελγεῖς, ἀσελγεστέρους. καὶ τί τῷ πένητι, φησι, τῆς συνέσεως ὄφελος; εἰκότως ἀγνοεῖς. οὐδὲ γὰρ ὁ τυφλὸς οἶδε, τί τοῦ φωτὸς τὸ κέρδος. ἄκουσον τοῦ Σολομῶντος λέγοντος, ὅτι ὅσον τὸ μέσον σκότους καὶ φωτὸς, τοσαύτη ἡ περιουσία τοῦ σοφοῦ ὑπὲρ τὸν ἄφρονα. ἀλλὰ τὸν ἐν " σκότει πῶς διδάξομεν; σκότος γὰρ ἐστὶν ὁ τῶν χρημάτων ἔρως, οὐδὲν ἀφιεὶς τῶν ὄντων φαίνεσθαι ὡς ἔστιν, ἀλλ' ἑτέρως. καθάπερ γὰρ ὁ ἐν " σκότει, κἂν χρυσοῦν ἴδῃ σκεῦος, κἂν λίθον τίμιον, κἂν ἁλουργὰ ἱμάτια, οὐδὲν εἶναι νομίζει (οὐ γὰρ ὁρᾷ αὐτῶν τὸ κάλλος) οὕτω καὶ ὁ φιλάργυρος οὐκ οἶδε τῶν περισπουδάστων ὡς χρὴ τὸ κάλλος. διασκέδασόν μοι τὴν ἀχλὺν τὴν ἀπὸ τοῦ πάθους τούτου, καὶ τότε ὄψει τῶν πραγμάτων τὴν φύσιν. οὐδαμοῦ δὲ ταῦτα οὕτω φαίνεται, ὡς ἐν πενίᾳ· οὐδαμοῦ οὕτως ἐλέγχεται τὰ δοκοῦντα μὲν εἶναι, οὐκ ὄντα δὲ, ὡς ἐν φιλοσοφίᾳ. ἀλλ' ὢ τῶν ἀνοήτων ἀνθρώπων, οἳ καὶ καταρῶνται τοῖς πένησι, καὶ φασὶ καταισχύνεσθαι καὶ οἰκίας καὶ βίον, καὶ ὑπὸ πενίας πάντα " φύρεσθαι. τί γὰρ ἐστιν αἰσχύνη οἰκίας, εἰπέ μοι; οὐκ ἔχει κλίνην ἐξ ἐλέφαντος, οὐδὲ ἀργυρᾶ σκεύη, ἀλλ' ἐξ ὀστράκων πάντα καὶ ξύλων. τοῦτο μὲν οὖν μεγίστη δόξα οἰκίας καὶ περιφάνεια. τὸ γὰρ τῶν βιωτικῶν ἀμελεῖν, εἰς τὴν ἐπιμέλειαν τῆς ψυχῆς πολλάκις ποιεῖ τὴν σχολὴν ἀναλίσκεσθαι πᾶσαν. ὅταν οὖν πολλὴν ἐν τοῖς ἔξω τὴν ἐπιμέλειαν ἴδῃς, τότε αἰσχύνθητι ἐπὶ τῇ πολλῇ ἀσχημοσύνῃ. σχῆμα γὰρ μάλιστα αἱ τῶν πλουτούντων οὐκ ἔχουσιν οἰκίαι. ὅταν γὰρ ἴδῃς ξύλα περιβεβλημένα τάπησι, καὶ κλίνας ἀργύρῳ ἐνδεδεμένας, ὥσπερ ἐν τῷ θεάτρῳ, ὥσπερ ἐν τῇ πομπῇ τῆς σκηνῆς, τί ταύτης ἀσχημοσύνης ἴσον γένοιτ' ἄν; ποία γὰρ μᾶλλον οἰκία ἔοικε τῇ ὀρχήστρᾳ καὶ τοῖς ἐπὶ ταῖς ὀρχήστραις, ἡ τοῦ πλουσίου, ἢ ἡ τοῦ πένητος; οὐκ εὔδηλον, ὅτι ἡ τοῦ πλουσίου; οὐκοῦν αὕτη ἀσχημοσύνης γέμει. ποία οἰκία ἔοικε τῇ τοῦ Παύλου, τῇ τοῦ Ἀβραάμ; εὔδηλον ὅτι ἡ τοῦ πένητος. οὐκοῦν αὕτη μάλιστα κεκαλλώπισται καὶ εὐδοκιμεῖ. καὶ ἵνα μάθῃς ὅτι τοῦτο μάλιστα κόσμος οἰκίας, εἴσελθε εἰς τὴν οἰκίαν τοῦ Ζακχαίου, καὶ μάθε, ὅτε ἔμελλεν εἰς αὐτὴν εἰσιέναι ὁ Χριστὸς, πῶς αὐτὴν ἐκόσμησεν ἐκεῖνος. οὐ γὰρ ἔδραμε πρὸς τοὺς γείτονας, ἀμφίθυρα αἰτῶν καὶ καθέδρας καὶ βάθρα ἐξ ἐλέφαντος πεποιημένα, οὐδὲ ἐξέβαλεν ἐκ τῶν ταμιείων τὰ ἐπιβλήματα τὰ λακωνικά· ἀλλ' ἐκόσμησε κόσμῳ τῷ Χριστῷ πρέποντι. τίς

μαθεῖν

αὐτῷ

αὐτῷ,

φέρεσθαι.

Λουκ. ιθ. η. δὲ οὐκ ἦν; Τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι, φησί, Κύριε, τοῖς πτωχοῖς, καὶ εἴ του δὲ ἥρπασά τι, τετραπλασίονα ἀποδώσω. οὕτω καὶ ἡμεῖς κοσμῶμεν τὰς οἰκίας, ἵνα καὶ πρὸς ἡμᾶς εἰσέλθῃ ὁ Χριστός. Ταῦτα καλὰ τὰ ἀμφίθυρα, ταῦτα ἐν οὐρανοῖς κατασκευάζεται, ἐκεῖ ὑφαίνεται. ἔνθα δὲ ταῦτα ᾖ, ἐκεῖ καὶ ὁ τῶν οὐρανῶν βασιλεύς. ἂν δὲ ἑτέρως ″κοσμήσῃς, Ματθ. θ. ι. τὸν διάβολον καλεῖς καὶ τὸν ἐκείνου χορόν. ἦλθε καὶ εἰς τὴν οἰκίαν τοῦ τελώνου Ματθαίου. τί οὖν καὶ αὐτὸς ἐποίησε; τῇ προθυμίᾳ πρότερον ἑαυτὸν ἐκόσμησε, καὶ τῷ πάντα ἀφεῖναι καὶ ἀκολουθῆσαι αὐτῷ. οὕτω καὶ ὁ Κορνήλιος ἐκόσμει τὴν οἰκίαν εὐχαῖς καὶ ἐλεημοσύναις. Πραξ. ι. δ. διὸ καὶ μέχρι σήμερον ὑπὲρ αὐτὰ λάμπει τὰ βασίλεια. καὶ γὰρ οἰκίας εὐτέλεια, οὐ σκεύη κείμενα ἁπλῶς, οὐδὲ κλίνη ἠμελημένη, οὐδὲ τοῖχοι καπνοῦ γέμοντες, ἀλλ' ἡ τῶν ἐνοικούντων κακία. καὶ δείκνυσιν ὁ Χριστός. εἰς μὲν γὰρ τὴν τοιαύτην, ἂν ᾖ ἐνάρετος ὁ κατοικῶν, οὐκ ἐπαισχύνεται εἰσελθεῖν· εἰς δὲ ἐκείνην, κἂν χρυσοῦν ὄροφον ἔχῃ, οὐδέποτε εἰσελεύσεται. ὥστε αὕτη μὲν τῶν βασιλείων λαμπροτέρα, τὸν πάντων δεσπότην δεχομένη· ἐκείνη δὲ, μετὰ τοῦ ὀρόφου τοῦ χρυσοῦ καὶ τῶν κιόνων, ἀμάραις καὶ ὀχετοῖς ἔοικεν ἀκαθάρτοις, σκεύη τοῦ διαβόλου ἔχουσα. Ταῦτα δὲ ἡμῖν οὐ περὶ τῶν πλουτούντων εἰς δέον, ἀλλὰ περὶ τῶν πλεονεκτούντων καὶ φιλαργύρων εἴρηται. οὐδὲ γὰρ ἐκεῖ ἡ σπουδή, οὐδὲ φροντὶς ὑπὲρ τῶν ἀναγκαίων, ἀλλ' ″ὑπὲρ τοῦ γαστρίζεσθαι καὶ μεθύειν, καὶ ἕτερα τοιαῦτα ἀσχημονεῖν· ἐν ταύτῃ δὲ ὑπὲρ τοῦ ὥστε φιλοσοφεῖν.″ διὰ τοῦτο οὐδαμοῦ εἰσῆλθεν εἰς οἰκίαν λαμπρὰν ὁ Χριστός, ἀλλ' εἰς τὴν τοῦ τελώνου καὶ τοῦ ἀρχιτελώνου καὶ τοῦ ἁλιέως, τὰ βασίλεια ἀφεὶς, καὶ τοὺς τὰ μαλακὰ ἐνδεδυμένους ἱμάτια. Εἰ τοίνυν αὐτὸν βούλει καλέσαι καὶ σύ, κόσμησον τὴν οἰκίαν ἐλεημοσύναις, εὐχαῖς, παννυχίσιν ἱκετηρίαις. Ταῦτα [γὰρ] τοῦ βασιλέως Χριστοῦ τὰ ἀναθήματα, ἐκεῖνα δὲ τοῦ μαμωνᾶ, τοῦ ἐχθροῦ τοῦ Χριστοῦ. μηδεὶς τοίνυν ἐγκαλυπτέσθω οἰκίαν ἔχων εὐτελῆ, ἐὰν ταῦτα ἔχῃ τὰ ἐπιβλήματα· μηδεὶς πλούσιος φρονείτω μέγα, οἰκίαν ἔχων πολυτελῆ, ἀλλ' ἐγκαλυπτέσθω μᾶλλον, καὶ ταύτην ζηλούτω ἐκείνην ἀφεὶς· ἵνα καὶ ἐνταῦθα τὸν Χριστὸν ὑποδέξηται, καὶ ἐκεῖ τῶν αἰωνίων ἀπολαύσῃ σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος * εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. πδ. 51 ΚΑΙ ΙΔΟΥ ΕΙΣ ΤΩΝ ΜΕΤΑ ΙΗΣΟΥ ΕΚτείνας τὴν χεῖρα αὐτοῦ, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. 52 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψόν τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. 53 Ἢ δοκεῖς ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα, καὶ παραστήσει μοι ἄρτι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; 54 Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτω δεῖ γενέσθαι;

Ιωαν. ιη. ι. Τίς ἦν ὁ εἷς οὗτος ὁ τὸ ὠτίον κόψας; Ἰωάννης φησίν, ὅτι Πέτρος. τῆς γὰρ αὐτοῦ θερμότητος ἦν τὸ πρᾶγμα. ἀλλ' ἐκεῖνο ἄξιον ζητῆσαι, τίνος ἕνεκεν μαχαίρας ἐβάσταζον. ὅτι γὰρ ἐβάσταζον, οὐκ ἐντεῦθεν δῆλον μόνον, ἀλλὰ καὶ ἐξ ὧν ἐρωτηθέντες εἶπον, ὅτι εἰσὶν ὧδε δύο. τίνος δὲ ἕνεκεν καὶ ἐπέτρεψεν [αὐτοῖς] ὁ Χριστὸς ἔχειν; καὶ γὰρ καὶ τοῦτό φησιν ὁ Λουκᾶς, ὅτι εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ Λουκ. κβ. λη. κβ. λε. πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; καὶ ἐπειδὴ εἶπον, οὐδενός, εἶπεν αὐτοῖς, ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω, [ὁμοίως] καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. καὶ ἐπειδὴ εἶπον, ὅτι εἰσὶ μάχαιραι ὧδε δύο, εἶπεν αὐτοῖς, ἱκανόν ἐστι. τίνος οὖν ἕνεκεν εἴασεν ἔχειν; πιστούμενος αὐτούς, ὅτι παραδοθήσεται. διὰ τοῦτο λέγει αὐτοῖς, ἀγορασάτω μάχαιραν· οὐχ ἵνα ὁπλίσωνται (ἄπαγε) ἀλλὰ διὰ τούτου τὴν παράδοσιν δηλῶν. καὶ τίνος ἕνεκεν καὶ πήραν ἔχειν, φησίν, ἐπέταξεν; ἐπαίδευεν αὐτοὺς λοιπὸν νήφειν, καὶ ἐγρηγορέναι, καὶ πολλῇ τῇ οἰκείᾳ κεχρῆσθαι σπουδῇ. ἐν ἀρχῇ μὲν γὰρ ὡς ἀπείρους ὄντας πολλῇ ἔθαλπε τῇ δυνάμει· λοιπὸν δέ, ὥσπερ νεοττοὺς καλιᾶς ἐξαγαγών, κελεύει καὶ τοῖς οἰκείοις κεχρῆσθαι πτεροῖς. εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι δι' ἀσθένειαν αὐτοὺς ἐᾷ, κελεύων καὶ αὐτοὺς τὰ παρ' ἑαυτῶν συνεισφέρειν, ὑπομιμνήσκει τῶν προτέρων λέγων· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, μή τινος ὑστερήσατε; ἵνα δι' ἀμφοτέρων μάθωσιν αὐτοῦ τὴν ἰσχύν, καὶ δι' ὧν προέστη, καὶ δι' ὧν [αὐτοὺς] ἐγκαταλιμπάνει νῦν ἠρέμα. ἀλλὰ πόθεν ἦσαν ἐκεῖ μάχαιραι; ἀπὸ δείπνου ἦσαν καὶ τραπέζης ἐξεληλυθότες. εἰκὸς οὖν καὶ μαχαίρας εἶναι ἐκεῖ διὰ τὸ ἀρνίον· τούτους δὲ ἀκούσαντας, ὅτι ἥξουσί τινες ἐπ' αὐτόν, λαβεῖν εἰς βοήθειαν ὡς πολεμήσοντας ὑπὲρ τοῦ διδασκάλου, ὃ τῆς ἐκείνων γνώμης ἦν μόνον. διὸ καὶ ἐπιτιμᾶται Πέτρος αὐτῇ χρησάμενος, καὶ μετὰ σφοδρᾶς τῆς ἀπειλῆς. καὶ γὰρ ἠμύνατο τὸν οἰκέτην ἐλθόντα, θερμῶς μέν, πλὴν οὐχ ἑαυτῷ ἀμύνων, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου τοῦτο ποιῶν. οὐ μὴν ἀφῆκέ τινα γενέσθαι βλάβην ὁ Χριστός. καὶ γὰρ ἰάσατο αὐτόν, καὶ θαῦμα μέγα ἐπεδείξατο, ἱκανὸν καὶ τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὴν δύναμιν ἐμφῆναι, καὶ τὴν τοῦ μαθητοῦ φιλοστοργίαν τε καὶ πρᾳότητα. καὶ γὰρ ἐκεῖνο φιλοστόργως, καὶ τοῦτο πειθηνίως. ἀκούσας γάρ, βάλε τὴν μάχαιραν * εἰς τὴν θήκην αὐτῆς, εὐθέως ἐπείσθη, καὶ μετὰ ταῦτα οὐδαμοῦ τοῦτο ποιεῖ. ἕτερος δέ φησιν, ὅτι καὶ ἠρώτησαν, εἰ πατάξομεν· αὐτὸς δὲ ἐκώλυσε, καὶ ἰάσατο ἐκεῖνον, καὶ τῷ μαθητῇ ἐπετίμησε, καὶ ἠπείλησεν, ἵνα πείσῃ. πάντες γὰρ οἱ λαβόντες μάχαιραν, φησίν, ἐν μαχαίρᾳ ἀποθανοῦνται. καὶ λογισμὸν προστίθησι λέγων· ἢ δοκεῖτε, ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; ἀλλὰ πῶς πληρωθῶσιν αἱ γραφαί; διὰ τούτων τὸν θυμὸν αὐτῶν ἔσβεσε, δεικνὺς ὅτι καὶ ταῖς γραφαῖς τοῦτο δοκεῖ. διὰ τοῦτο κἀκεῖ ηὔξατο, ἵνα πρᾴως ἐνέγκωσι τὸ συμβάν, μαθόντες ὅτι κατὰ Θεοῦ πάλιν γίνεται γνώμην. καὶ δύο τούτοις αὐτοὺς παρεμυθήσατο, τῇ τε τιμωρίᾳ τῶν ἐπιβουλευόντων (πάντες γὰρ οἱ λαβόντες μάχαιραν, φησίν, ἐν μαχαίρᾳ ἀπολοῦνται) καὶ τῷ μὴ ἄκων ταῦτα ὑπομεῖναι. δύναμαι γάρ, φησί, παρακαλέσαι τὸν πατέρα μου. καὶ διὰ τί οὐκ εἶπεν, ἢ δοκεῖτε, ὅτι οὐ δύναμαι ἐγὼ πάντας αὐτοὺς ἀπολέσαι; ὅτι πιθανώτερος ἦν μᾶλλον τοῦτο λέγων. οὐδέπω γὰρ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον. καὶ πρὸ μικροῦ δὲ ἦν εἰρηκώς, ὅτι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· καί, πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον· καὶ ἀγωνιῶν ἐφάνη καὶ ἱδρῶν, καὶ ὑπὸ ἀγγέλων ἐνισχυόμενος. ἐπεὶ οὖν πολλὰ τὰ ἀνθρώπινα ἐπεδείξατο, οὐκ ἐδόκει πιθανὰ λέγειν, εἴγε εἰρήκει, ὅτι δοκεῖτε, ὅτι οὐ δύναμαι αὐτοὺς ἀπολέσαι; διὰ τοῦτό φησιν· ἢ δοκεῖτε, ὅτι οὐ δύναμαι [ἄρτι] παρακαλέσαι τὸν πατέρα μου; καὶ αὐτὸ πάλιν τοῦτο ταπεινῶς ἀπαγγέλλει εἰπών, παραστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων. εἰ γὰρ εἷς ἄγγελος ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλεν ὡπλισμένας, τί δώδεκα λεγεῶνας ἔδει ἐπὶ χιλίους ἀνθρώπους; οὐδέν· ἀλλὰ πρὸς τὸν φόβον αὐτῶν καὶ τὴν ἀσθένειαν σχηματίζει τὸν λόγον. καὶ γὰρ ἀποτεθνηκότες ἦσαν τῷ δέει. διὰ τοῦτο καὶ τὰς γραφὰς ἐπιτειχίζει λέγων· πῶς οὖν πληρωθῶσιν αἱ γραφαί; φοβῶν αὐτοὺς κἀντεῦθεν. εἰ γὰρ ἐκείναις τοῦτο δοκεῖ, ὑμεῖς ἐναντιοῦσθε πολεμοῦντες; καὶ πρὸς μὲν τοὺς μαθητάς, ταῦτα· πρὸς δὲ ἐκείνους φησίν·

Λουκ. κβ. μθ. ν.

55 Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. καθ' ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. Ὅρα πόσα ποιεῖ τὰ δυνάμενα αὐτοὺς διαναστῆσαι. ὑπτίους ἔρριψε, τὸ ὠτίον τοῦ οἰκέτου ἰάσατο, ἠπείλησεν αὐτοὺς σφαγῆναι. ἐν μαχαίρᾳ γὰρ ἀπολοῦνται, φησίν, οἱ λαβόντες μάχαιραν. ἀπὸ τῆς τοῦ ὠτίου θερα-

δ. Βασ. ιθ. λε.

πείας καὶ ταῦτα ἐπιστώσατο, πάντοθεν ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν μελλόντων ἐμφαίνων αὐτοῦ τὴν δύναμιν, καὶ δεικνὺς, ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἔργον γέγονε τὸ κρατῆσαι αὐτόν. διὸ καὶ ἐπάγει· καθ' ἡμέραν μεθ' ὑμῶν ἤμην, καὶ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με· κἀντεῦθεν δηλῶν, ὅτι τῆς αὐτοῦ συγχωρήσεως ἦν τὸ ἑλεῖν. καὶ ὅρα· τὰ θαύματα παραδραμὼν, τὴν διδασκαλίαν λέγει, ἵνα μὴ δόξῃ κομπάζειν. ὅτε ἐδίδασκον, οὐκ ἐκρατήσατέ με· ὅτε ἐσίγησα, ἐπήλθετε. ἐν τῷ ἱερῷ ἤμην, καὶ οὐδεὶς κατέσχε· νυνὶ δὲ ἀωρὶ καὶ μέσων νυκτῶν ἐπέστητε μετὰ μαχαιρῶν καὶ ξύλων. τί τούτων ἐδέησε τῶν ὅπλων ἐπὶ τοῦ μεθ' ὑμῶν ὄντος ἀεί; ἀπὸ τούτων διδάσκων, ὅτι εἰ μὴ ἑκὼν ἐνέδωκεν, οὐδ' ἂν τότε ἴσχυσαν. οὐδὲ γὰρ ἂν οἱ τὸν ἐν χερσὶν ὄντα μὴ δυνηθέντες κατασχεῖν, καὶ μέσον αὐτὸν λαβόντες καὶ μὴ περιγενόμενοι, οὔτε τότε ἂν ἴσχυσαν, εἰ μὴ ἠθέλησεν. εἶτα καὶ τὴν ἀπορίαν λύει, διατί τότε ἠβουλήθη.

56 Τοῦτο γὰρ γέγονε, φησιν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν.

Εἶδες πῶς μέχρι τῆς ἐσχάτης ὥρας καὶ ἐν αὐτῷ τῷ παραδοθῆναι πάντα ἐποίει πρὸς διόρθωσιν ἐκείνων, θεραπεύων, προφητεύων, ἀπειλῶν (ἐν μαχαίρᾳ γάρ, φησιν, ἀπολοῦνται) δεικνὺς ὅτι ἑκὼν πάσχει (καθ' ἡμέραν γὰρ μεθ' ὑμῶν, φησιν, ἤμην διδάσκων) τὴν πρὸς τὸν πατέρα συμφωνίαν δηλῶν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. διὰ τί δὲ μὴ ἐν τῷ ἱερῷ αὐτὸν ἐκράτησαν; ὅτι οὐκ ἂν ἐτόλμησαν ἐν τῷ ἱερῷ διὰ τὸν ὄχλον. διὸ καὶ ἔξω ἐξῆλθε, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τοῦ καιροῦ διδοὺς αὐτοῖς ἄδειαν, καὶ μέχρις ἐσχάτης ὥρας ἀναιρῶν αὐτῶν τὴν ἀπολογίαν. ὁ γὰρ ἵνα πεισθῇ τοῖς προφήταις καὶ ἑαυτὸν παραδοὺς, πῶς ἐναντία ἐδίδασκε; Τότε πάντες οἱ μαθηταὶ αὐτοῦ, φησιν, ἀφέντες αὐτὸν ἔφυγον.

Ὅτε μὲν γὰρ κατεσχέθη, ἔμενον· ὅτε δὲ ἐφθέγξατο ταῦτα πρὸς τοὺς ὄχλους, ἔφυγον. εἶδον γὰρ λοιπὸν ὅτι οὐκ ἔτι διαφυγεῖν ἔνι, ἑκόντος ἑαυτὸν παραδιδόντος αὐτοῖς καὶ λέγοντος κατὰ τὰς γραφὰς τοῦτο γίνεσθαι. φυγόντων δὲ αὐτῶν, ἄγουσιν αὐτὸν πρὸς Καϊάφαν· ὁ δὲ Πέτρος ἠκολούθησε καὶ εἰσῆλθεν ἰδεῖν τὸ τέλος. πολλὴ ἡ θερμότης τοῦ μαθητοῦ. οὐδὲ φυγόντας ἰδὼν ἔφυγεν, ἀλλ' ἔστη καὶ συνεισῆλθεν. εἰ δὲ καὶ Ἰωάννης· ἀλλὰ γνώριμος ἦν τῷ ἀρχιερεῖ. καὶ διατί ἐκεῖ ἀπήγαγον αὐτὸν, ἔνθα ἦσαν πάντες συνηγμένοι; ἵνα καὶ κατὰ γνώμην πάντα ποιήσωσι τῶν ἀρχιερέων. ἐκεῖνος γὰρ ἦν τότε ἀρχιερεὺς, καὶ πάντες ἦσαν αὐτόθι ἀναμένοντες. οὕτω διενυκτέρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ. οὐδὲ γὰρ ἔφαγον τότε τὸ πάσχα, φησὶν, ἀλλὰ διὰ τοῦτο ἠγρύπνουν. εἰπὼν γὰρ, ὅτι Πρωΐα ἐστὶν, ὁ Ἰωάννης ἐπήγαγεν, οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλὰ φάγωσι τὸ πάσχα. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐν ἑτέρᾳ ἡμέρᾳ ἔφαγον, καὶ τὸν νόμον ἔλυσαν διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην. οὐδὲ γὰρ ἂν ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ πάσχα· ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες, καὶ μυρίους καταπατοῦντες νόμους, ἐπειδὴ σφόδρα ἔζεον τῷ θυμῷ, καὶ πολλάκις ἐπιχειρήσαντες ἀνελεῖν οὐκ ἴσχυσαν, τότε δὲ λαβόντες αὐτὸν ἀπροσδοκήτως, εἵλοντο καὶ τὸ πάσχα ἀφεῖναι ὑπὲρ τοῦ τὴν φονικὴν αὐτῶν ἐμπλῆσαι ἐπιθυμίαν. διὸ καὶ συνήχθησαν ἅπαντες, καὶ συνέδριον ἦν λοιμῶν, καὶ ἐρωτῶσί τινα, βουλόμενοι σχῆμα περιθεῖναι τῇ ἐπιβουλῇ ταύτῃ δικαστηρίου. οὐδὲ γὰρ ἦσαν ἴσαι αἱ μαρτυρίαι, φησίν· οὕτω πεπλασμένον τὸ δικαστήριον ἦν, καὶ θορύβου πάντα ἔγεμε καὶ ταραχῆς.

Ιωαν. ιη. ιε.

Ιωαν. ιη. κη.

Ιωαν. β. ιθ.

61 Ἐλθόντες δὲ ψευδομάρτυρες ἔλεγον, ὅτι οὗτος εἶπεν· ὅτι λύσω τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Καὶ μὴν εἶπεν, ὅτι ἐν τρισίν, ἀλλ' οὐκ εἶπε, λύσω, ἀλλὰ λύσατε· καὶ οὐδὲ περὶ ἐκείνου, ἀλλὰ περὶ τοῦ σώματος τοῦ ἰδίου. τί οὖν ὁ ἀρχιερεύς; βουλόμενος αὐτὸν εἰς ἀπολογίαν καταστῆσαι, ἵνα ἐξ αὐτῆς αὐτὸν ἕλῃ, φησίν·

62 Οὐκ ἀκούεις, τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ ἐσίγα· ἀνόνητα γὰρ ἦν τὰ τῆς ἀπολογίας οὐδενὸς ἀκούοντος. καὶ γὰρ σχῆμα ἦν τοῦ δικαστηρίου μόνον· τὸ δὲ ἀληθὲς, λῃστῶν ἔφοδος, ὡς ἐν σπηλαίῳ καὶ ἐν ὁδῷ ἁπλῶς ἐπελθόντων· διὸ ἐσίγα. ὁ δὲ ἐπέμενε λέγων·

63 Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. 64 Ὁ δὲ εἶπε, σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν [τοῦ οὐρανοῦ]. 65 Τότε ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ λέγων, ὅτι ἐβλασφήμησε.

Τοῦτο δὲ ἐποίησε σφοδροτέραν τὴν κατηγορίαν ποιῶν, καὶ τὸ λεχθὲν ἐπαίρων διὰ τοῦ πράγματος. ἐπειδὴ γὰρ εἰς φόβον ἐνέβαλε τοὺς ἀκροατὰς τὸ εἰρημένον, ὅπερ ἐπὶ Στεφάνου πεποιήκασι τὰ ὦτα συσχόντες, οὕτω δὴ καὶ ἐνταῦθα. καίτοι ποία βλασφημία αὕτη; καὶ γὰρ ἔμπροσθεν ἦν εἰρηκὼς συνηγμένων αὐτῶν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, καὶ ἡρμήνευσε τὸ εἰρημένον, καὶ οὐδὲν ἐτόλμησαν εἰπεῖν, ἀλλ' ἐσίγησαν, καὶ ἐξ ἐκείνου οὐκ ἔτι λοιπὸν οὐδὲν ἀντεῖπον. πῶς οὖν βλασφημίαν τὸ ῥῆμα ἐκάλεσαν; τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς οὕτως ἀπεκρίνατο; πᾶσαν αὐτῶν ἀναιρῶν ἀπολογίαν, ὅτι μέχρις ἐσχάτης ὥρας ἐδίδασκεν ὅτι αὐτὸς εἴη ὁ Χριστὸς, καὶ ὅτι ἐκ δεξιῶν κάθηται τοῦ πατρὸς, καὶ ὅτι ἥξει πάλιν κρίνων τὴν οἰκουμένην· ὃ πολλὴν πρὸς αὐτὸν τὴν συμφωνίαν δηλοῦντος ἦν. Διαῤῥήξας τοίνυν τὰ ἱμάτια αὐτοῦ, φησί· τί ὑμῖν δοκεῖ; οὐ φέρει τὴν ψῆφον οἴκοθεν, ἀλλὰ παρ' ἐκείνων αὐτὴν ὡς ἐπὶ ὡμολογημένων ἁμαρτημάτων καὶ βλασφημίας δήλης ἐκκαλεῖται. ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι εἰ τὸ πρᾶγμα εἰς ἐξέτασιν ἔλθοι καὶ διάγνωσιν ἀκριβῆ, ἀπαλλάττει πάσης αὐτὸν αἰτίας, παρ' ἑαυτοῖς αὐτὸν καταδικάζουσι, καὶ προκαταλαμβάνουσι τοὺς ἀκροατὰς λέγοντες· ὑμεῖς ἠκούσατε τῆς βλασφημίας· μονονουχὶ καταναγκάζοντες καὶ βιαζόμενοι τὴν ψῆφον ἐξενεγκεῖν. τί οὖν ἐκεῖνοι; ἔνοχός ἐστι θανάτου, ἵν' ὡς κατάδικον λαβόντες, οὕτω τὸν Πιλάτον λοιπὸν ἀποφήνασθαι παρασκευάσωσιν· ὃ δὴ κἀκεῖνοι συνειδότες φασὶν, ἔνοχος θανάτου ἐστὶν, αὐτοὶ κατηγοροῦντες, αὐτοὶ δικάζοντες, αὐτοὶ ψηφιζόμενοι, πάντα αὐτοὶ γινόμενοι τότε. πῶς δὲ οὐκ ἤνεγκον τὰ σάββατα εἰς μέσον; ὅτι πολλάκις αὐτοὺς ἐπεστόμισεν. ἄλλως δὲ, καὶ ἐκ τῶν τότε λεγομένων ἐβούλοντο αὐτὸν ἑλεῖν καὶ καταδικάσαι. καὶ προλαβὼν, καὶ τὴν ψῆφον παρ' αὐτῶν ἐνεγκὼν, καὶ πάντας ἐπισπασάμενος διὰ τοῦ ῥῆξαι τὸν χιτωνίσκον, ὡς κατάδικον λοιπὸν ἀπαγαγὼν πρὸς τὸν Πιλάτον, οὕτως ἅπαντα ἔπραττεν· ἐπ' ἐκείνου γοῦν οὐδὲν τοιοῦτόν φασιν· ἀλλὰ τί;

Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν, ἀπὸ δημοσίων ἐγκλημάτων ἀνελεῖν αὐτὸν ἐπιχειροῦντες. καὶ διὰ τί μὴ λάθρα αὐτὸν ἀνεῖλον; ἐβούλοντο καὶ τὴν δόξαν αὐτοῦ διαβαλεῖν. ἐπειδὴ γὰρ πολλοὶ ἦσαν ἤδη ἀκηκοότες αὐτοῦ καὶ θαυμάζοντες αὐτὸν καὶ ἐκπληττόμενοι, διὰ τοῦτο ἐσπούδαζον δημοσίᾳ καὶ ἐπὶ πάντων αὐτὸν σφαγιάσαι. ὁ δὲ Χριστὸς οὐκ ἐκώλυσεν, ἀλλὰ τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν τῆς ἀληθείας σύστασιν ἀπεχρήσατο, ὥστε κατάδηλον αὐτοῦ γενέσθαι τὸν θάνατον. καὶ τοὐναντίον ἐξέβαινεν, ἤπερ ἐβούλοντο. αὐτοὶ μὲν γὰρ ἐκπομπεύειν ἤθελον, ὡς ταύτῃ καταισχύνοντες· αὐτὸς δὲ καὶ δι' αὐτῶν τούτων μᾶλλον ἐξέλαμπε. καὶ ὥσπερ ἔλεγον, Ἀνέλωμεν αὐτὸν, μήποτε ἔλθωσιν οἱ Ῥωμαῖοι, καὶ ἄρωσιν ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος, καὶ ἐπειδὴ ἀνεῖλον αὐτὸν, τοῦτο γέγονεν· οὕτω καὶ ἐνταῦθα, δημοσίᾳ αὐτὸν σταυρῶσαι ἐσπούδαζον, ἵνα βλάψωσιν αὐτοῦ τὴν δόξαν, καὶ τοὐναντίον ἐξέβη. ἐπεὶ ὅτι γε καὶ ἐξουσίαν εἶχον καθ' ἑαυτοὺς ἀνελεῖν, ἄκουσον τί φησιν ὁ Πιλάτος. Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν· ἀλλ' οὐκ ἤθελον, ἵνα ὡς παράνομος, ὡς τύραννος, ὡς στασιώδης ἀνῃρῆσθαι δόξῃ. διὰ τοῦτο καὶ λῃστὰς αὐτῷ συνεσταύρωσαν· διὰ τοῦτο καὶ ἔλεγον, μὴ γράφε ὅτι οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε. ταῦτα δὲ πάντα ὑπὲρ τῆς ἀληθείας ἐγίνετο, ὥστε μηδὲ σκιάν τινα αὐτοὺς ἔχειν ἀναισχύντου γοῦν ἀπολογίας. καὶ ἐπὶ τοῦ τάφου δὲ ὁμοίως τὰ σήμαντρα καὶ αἱ φυλακαὶ μᾶλλον διαλάμψαι τὴν ἀλήθειαν ἐποίησαν· καὶ αἱ χλευασίαι δὲ καὶ τὰ σκώμματα καὶ αἱ λοιδορίαι τὸ αὐτὸ τοῦτο πάλιν ἐποίουν. τοιοῦτον γὰρ ἡ πλάνη· δι' ὧν ἐπιβουλεύει, λύεται. οὕτω γοῦν καὶ ἐνταῦθα συνέβη. οἱ μὲν γὰρ δοκοῦντες νενικηκέναι, οὗτοι μάλιστα καὶ ᾐσχύνθησαν καὶ ἡττήθησαν

Ψαλ. ρθ. α.

Ιωαν. ια. μη.

Ιωαν. ιη. λα.

θησαν καὶ ἀπώλοντο· ὁ δὲ ἡττῆσθαι δοκῶν, οὗτος μάλιστα καὶ ἔλαμψε καὶ ἐνίκησε κατὰ κράτος.

ΗΘΙΚΟΝ

Μὴ δὴ πανταχοῦ ζητῶμεν νικᾷν, μηδὲ πανταχοῦ τὸ ἡττᾶσθαι φεύγωμεν. ἔστιν ὅπου νίκη μὲν φέρει βλάβην, ἧττα δὲ ὠφέλειαν. καὶ γὰρ ἐπὶ τῶν θυμουμένων, δοκεῖ μὲν ὁ πολλὰ ὑβριστικῶς κεκρατηκέναι· οὗτος δὲ μάλιστά ἐστιν ὁ ἡττηθεὶς ὑπὸ τοῦ χαλεπωτάτου πάθους καὶ βλαβείς· ὁ δὲ ἐνεγκὼν γενναίως, οὗτος περιεγένετο καὶ ἐνίκησε. καὶ ὁ μὲν οὐδὲ τὸ οἰκεῖον ἴσχυσε σβέσαι νόσημα, ὁ δὲ καὶ τὸ ἀλλότριον ἀνεῖλε· καὶ ὁ μὲν ὑπὸ τοῦ οἰκείου ἡττήθη, ὁ δὲ καὶ τοῦ ἀλλοτρίου περιεγένετο, καὶ οὐ μόνον αὐτὸς οὐ κατεκάη, ἀλλὰ καὶ τὴν ἑτέρου φλόγα ἀρθεῖσαν εἰς ὕψος ἔσβεσεν. εἰ δὲ ἠθέλησε νικῆσαι τὴν δοκοῦσαν νίκην εἶναι, καὶ αὐτὸς ἂν ἡττήθη, κἀκεῖνον ἐκκαύσας χαλεπώτερον τοῦτο παθεῖν παρεσκεύασεν ἄν, καὶ καθάπερ γυναῖκες, αἰσχρῶς καὶ ἐλεεινῶς ὑπὸ τοῦ θυμοῦ κατεπαλαίσθησαν ἂν ἑκάτεροι. νυνὶ δὲ καὶ ταύτης ἀπηλλάγη τῆς ἀσχημοσύνης ὁ φιλοσοφήσας, καὶ τρόπαιον λαμπρὸν καὶ ἐν ἑαυτῷ καὶ ἐν τῷ πλησίον ἔστησε κατὰ τῆς ὀργῆς διὰ τῆς καλῆς ἥττης. μὴ δὴ πανταχοῦ ζητῶμεν νικᾷν. καὶ γὰρ ὁ πλεονεκτήσας τὸν πλεονεκτηθέντα νενίκηκεν, ἀλλὰ κακὴν νίκην, καὶ ὄλεθρον φέρουσαν τῷ νικήσαντι· ὁ δὲ πλεονεκτηθείς, καὶ δοκῶν νενικῆσθαι, φιλοσόφως ἐνεγκών, οὗτος μάλιστά ἐστιν ὁ τὸν στέφανον ἔχων. πολλαχοῦ γὰρ τὸ ἡττᾶσθαι βέλτιον, καὶ ἔστι καὶ οὗτος νίκης ἄριστος τρόπος. ἄν τε γὰρ πλεονεκτῇ τις, ἄν τε παίῃ, ἄν τε βασκαίνῃ, ὁ ἡττώμενος καὶ μὴ ὁμόσε χωρῶν, οὗτός ἐστιν ὁ νικῶν. καὶ τί λέγω πλεονεξίαν καὶ βασκανίαν; καὶ γὰρ ὁ εἰς μαρτύριον ἑλκόμενος, οὕτω νικᾷ, δεσμούμενος καὶ μαστιγούμενος καὶ κατακοπτόμενος καὶ σφαττόμενος. καὶ ὅπερ ἐστὶν ἐν τοῖς πολέμοις ἧττα, τὸ πεσεῖν τὸν ἀγωνιζόμενον, τοῦτο παρ' ἡμῖν νίκη. οὐδαμοῦ γὰρ δρῶντες κακῶς νικῶμεν, ἀλλὰ πανταχοῦ πάσχοντες κακῶς. οὕτω γὰρ καὶ ἡ νίκη λαμπροτέρα γίνεται, ὅταν πάσχοντες τῶν δρώντων περιγινώμεθα. ἐντεῦθεν δείκνυται, ὅτι Θεοῦ ἡ νίκη. καὶ γὰρ ἐναντίαν ἔχει τῇ ἔξωθεν νίκῃ τὴν φύσιν, ὃ καὶ μάλιστα ἰσχύος τεκμήριον. οὕτω καὶ αἱ θαλάττιαι πέτραι, τῷ παίεσθαι τὰ κύματα διαλύουσιν· οὕτω καὶ οἱ ἅγιοι πάντες ἀνεκηρύχθησαν, καὶ ἐστεφανώθησαν, καὶ λαμπρὰ τρόπαια ἔστησαν, τὴν ἀπράγμονα ταύτην νικῶντες νίκην. μηδὲ γὰρ νικήσῃς αὐτόν, μηδὲ κάμῃς, φησίν· ὁ Θεός σοι ταύτην τὴν ἰσχὺν ἔδωκεν, ὡς μὴ ἐκ συμπλοκῆς νικᾷν, ἀλλὰ ἀνεχόμενον μόνον. μὴ παρατάξῃς, καὶ αὐτὸς ″ἐξοίσεις, καὶ νενίκηκας. μὴ συμπλακῇς, καὶ ἐστεφανώθης· πολὺ βελτίων εἶ τοῦ ἀνταγωνιστοῦ, καὶ δυνατώτερος. τί καταισχύνεις σαυτόν; μὴ δῷς ἐκείνῳ λέγειν, ὅτι συμπλακεὶς περιεγένου, ἀλλ' ἄφες αὐτὸν τεθηπέναι καὶ θαυμάζειν σου τὴν ἄμαχον δύναμιν, καὶ πρὸς πάντας λέγειν, ὅτι καὶ χωρὶς τοῦ συμβαλεῖν ἐνίκησας. οὕτω καὶ ὁ μακάριος Ἰωσὴφ ἀνεκηρύχθη πανταχοῦ, τῷ πάσχειν κακῶς περιγινόμενος τῶν ποιούντων. καὶ γὰρ καὶ οἱ ἀδελφοί, καὶ ἡ Αἰγυπτία τῶν ἐπιβουλευόντων ἦσαν· ἀλλὰ πάντων αὐτὸς ἐκράτησε. μὴ γάρ μοι τὸ δεσμωτήριον, ὅπερ οὗτος ᾤκησε, μηδὲ τὰ βασίλεια, ἔνθα διέτριβεν ἐκείνη, λέγε· ἀλλὰ δεῖξόν μοι τίς ὁ νικηθείς, τίς ὁ ἡττηθείς, τίς ὁ ἐν ἀθυμίᾳ, τίς ὁ ἐν ἡδονῇ. ἐκείνη μὲν γὰρ οὐ μόνον τοῦ δικαίου, ἀλλ' οὐδὲ τοῦ ἰδίου ἴσχυσε κρατῆσαι πάθους· οὗτος δὲ καὶ αὐτῆς καὶ τοῦ νοσήματος περιεγένετο τοῦ χαλεποῦ. εἰ δὲ καὶ βούλει, αὐτῶν ἄκουσον τῶν ῥημάτων, καὶ ὄψει ″τὸ τρόπαιον. * Εἰσήγαγες ἡμῖν ὧδε παῖδα Ἑβραῖον ἐμπαῖξαι ἡμῖν. οὐχ οὗτος ἐνέπαιξεν ἀθλία καὶ ταλαίπωρε, ἀλλ' ὁ διάβολος ὁ εἰπών, ὅτι δύνασαι κατακλάσαι τὸν ἀδάμαντα. οὐχ οὗτος εἰσήγαγέ σοι παῖδα Ἑβραῖον ἐπιβουλεύοντα· ἀλλ' ὁ πονηρὸς δαίμων ὁ τὴν ἀκάθαρτον ἀσέλγειαν ἐν σοὶ ἐνθείς, ἐκεῖνός σοι ἐνέπαιξε. τί οὖν ὁ Ἰωσήφ; σιγᾷ, καὶ οὕτω κατακρίνεται, καθάπερ καὶ ὁ Χριστός. πάντα γὰρ ἐκεῖνα τύποι τούτων. καὶ ὁ μὲν ἦν ἐν δεσμοῖς, ἡ δὲ ἐν βασιλείοις. καὶ τί τοῦτο; ὁ μὲν γὰρ ἦν στεφανίτου παντὸς λαμπρότερος καὶ ἐν ἁλύσει μένων· ἡ δὲ δεσμώτου παντὸς ἀθλιώτερον διέκειτο ἐν βασιλικοῖς θαλάμοις διατρίβουσα. οὐκ ἐντεῦθεν δὲ μόνον τὴν νίκην καὶ τὴν ἧτταν

Γεν. λθ. ιδ. ιζ.

ἔστιν

ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ τέλους. Τίς γάρ, ὅπερ ἠθέλησεν, ἐποίησεν; ὁ δεσμώτης, ἢ ἡ βασίλισσα; ὁ μὲν γὰρ ἐσπούδαζε διατηρῆσαι τὴν σωφροσύνην, ἡ δὲ ἀφελέσθαι. τίς οὖν ἐποίησεν ὅπερ ἠθέλησεν; ὁ κακῶς παθών, ἢ ἡ κακῶς δράσασα; εὔδηλον ὅτι ὁ παθών. Οὐκοῦν οὗτός ἐστιν ὁ νενικηκώς. Ταῦτα οὖν εἰδότες, ταύτην διώκωμεν τὴν νίκην, τὴν διὰ τοῦ πάσχειν κακῶς· ἐκείνην δὲ φεύγωμεν, τὴν διὰ τοῦ δρᾷν κακῶς. οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ ἀπραγμοσύνης ἁπάσης καὶ πολλῆς ἡσυχίας ζήσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος * εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. πε. 67 ΤΟΤΕ ΕΝΕΠΤΥΣΑΝ ΕΙΣ ΤΟ ΠΡΟΣΩΠΟΝ αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐῤῥάπισαν, 68 Λέγοντες, προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε.

ΔΙα τί ταῦτα ἐποίουν, ἀναιρεῖν μέλλοντες; τίς χρεία τῆς κωμῳδίας ταύτης; ἢ ἵνα ἴδῃς αὐτῶν τὸν ἀκόλαστον τρόπον διὰ πάντων· καὶ ὅτι καθάπερ θήραμα εὑρόντες, οὕτω τὴν ἑαυτῶν ἐπεδείκνυντο παροινίαν, καὶ τῆς μανίας ἐνεφοροῦντο, ἑορτὴν ταύτην ποιούμενοι, καὶ μεθ' ἡδονῆς ἐπιόντες, καὶ τὸν φονικὸν αὐτῶν ἐνδεικνύμενοι τρόπον; σὺ δέ μοι θαύμασον τῶν μαθητῶν τὴν φιλοσοφίαν, μεθ' ὅσης αὐτὰ ἀκριβείας ἀπαγγέλλουσιν. ὅθεν τὸ φιλάληθες αὐτῶν ἦθος διαδείκνυται, ὅτι τὰ δοκοῦντα εἶναι ἐπονείδιστα ἐξηγοῦνται μετὰ ἀληθείας ἁπάσης, οὐδὲν ἀποκρυπτόμενοι, οὐδὲ ἐπαισχυνόμενοι, ἀλλὰ καὶ δόξαν ἡγούμενοι μεγίστην, ὥσπερ οὖν καὶ ἦν, τὸν τῆς οἰκουμένης δεσπότην ὑπὲρ ἡμῶν τοιαῦτα πάσχοντα ἀνέχεσθαι. τοῦτο καὶ τὴν αὐτοῦ κηδεμονίαν ἐδείκνυ τὴν ἄφατον, καὶ τὴν πονηρίαν ἐκείνων τὴν ἀσύγγνωστον, οἳ ταῦτα ἐτόλμων εἰς τὸν οὕτως ἥμερον καὶ πρᾷον καὶ τοιαῦτα κατεπᾴδοντα, οἷα καὶ λέοντα θηρίον ποιῆσαι ἱκανὰ ἦν. οὐδὲν γάρ, οὐδὲν οὔτε αὐτὸς ἐνέλιπεν ἡμερότητος, οὔτε αὐτοὶ ὕβρεως καὶ ἀπηνείας, δι' ὧν ἐποίουν, δι' ὧν ἔλεγον. ἅπερ ἅπαντα καὶ ὁ προφήτης Ἡσαΐας προὔλεγεν οὕτω προαναφωνῶν, καὶ ἑνὶ ῥήματι πᾶσαν * τὴν ὕβριν ταύτην ἐμφαίνων. Ὃν τρόπον γὰρ ἐκστήσονται πολλοὶ ἐπὶ σέ, φησιν, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. τί γὰρ γένοιτ' ἂν τῆς ὕβρεως ταύτης ἴσον; εἰς τὸ πρόσωπον γὰρ ἐκεῖνο, ὃ ἡ θάλασσα ἰδοῦσα ᾐδέσθη, ὃ ἐπὶ σταυροῦ ὁ ἥλιος θεασάμενος τὰς ἀκτῖνας ἀπέστρεψεν, ἐνέπτυον καὶ ἐῤῥάπιζον, καὶ ἐπὶ τῆς κεφαλῆς ἔτυπτον, ἐμφορούμενοι μετὰ δαψιλείας ἁπάσης τῆς ἑαυτῶν μανίας. καὶ γὰρ πληγὰς τὰς πασῶν ὑβριστικωτέρας ἐνέτειναν κολαφίζοντες, ῥαπίζοντες, καὶ ταῖς πληγαῖς ταύταις τὴν ἀπὸ τοῦ ἐμπτύειν προσετίθεσαν ὕβριν, καὶ ῥήματα πάλιν πολλῆς γέμοντα κωμῳδίας ἐφθέγγοντο λέγοντες· προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν, ὁ παίσας σε, ἐπειδὴ προφήτην αὐτὸν ἔλεγον οἱ πολλοί. ἕτερος δέ φησιν, ὅτι καὶ περιβάλλοντες τὸ πρόσωπον αὐτοῦ τῷ ἱματίῳ, οὕτω ταῦτα ἐποίουν, ὥσπερ τινὰ ἄτιμον καὶ τριωβολιμαῖον εἰς μέσον λαβόντες· καὶ οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ δοῦλοι ταύτην τὴν παροινίαν εἰς αὐτὸν ἐπαρῴνουν τότε. ταῦτα ἀναγινώσκωμεν συνεχῶς, ταῦτα ἀκούωμεν ὡς χρή, ταῦτα ἐγγράφωμεν ἡμῶν τῇ διανοίᾳ. καὶ γὰρ ταῦτα ἡμῶν τὰ σεμνά· ἐπὶ τούτοις ἐγὼ μέγα φρονῶ, οὐ μόνον ἐπὶ τοῖς μυρίοις νεκροῖς οἷς ἀνέστησεν, ἀλλὰ καὶ ἐπὶ τοῖς παθήμασιν οἷς ἔπαθε. ταῦτα ἄνω καὶ κάτω καὶ Παῦλος στρέφει· φημὶ δὴ τὸν σταυρόν, τὸν θάνατον, τὰ πάθη, τὰς λοιδορίας, τὰς ὕβρεις, τὰ σκώμματα. καὶ νῦν μέν φησιν· Ἐξερχώμεθα πρὸς αὐτόν, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· νῦν δέ, Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας.

Ησ. νγ. γ.

Λυκ. κβ. ξδ.

Εβρ. ιγ. ιγ. καὶ ιβ. β.

69 Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέ-
γουσα, καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. 70 Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων
λέγων, οὐκ οἶδα τί λέγεις. 71 Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη,
καὶ λέγει αὐτοῖς, καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. 72 Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου.
73 Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ, ἀληθῶς καὶ σὺ ἐξ αὐ-
τῶν εἶ. 74 Καὶ τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρω-
πον. καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε· 75 Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος
αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Λουκ. κβ. ξ. ξα

Μαρ. ιδ. ξη.

Ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ὅτε μὲν κατεχόμενον εἶδε τὸν διδάσκαλον μόνον, οὕτως ἔζεσεν, ὡς καὶ τὴν μάχαιραν σπάσασθαι, καὶ ἐκκόψαι τὸ ὠτίον· ὅτε δὲ μᾶλλον ἀγανακτῆσαι εἰκὸς ἦν καὶ πυρωθῆναι καὶ ἐκκαυθῆναι λοιδοριῶν τοιούτων ἀκούοντα, τότε ἔξαρνος γίνεται. τίνα γὰρ οὐκ ἂν ἐξῆψεν εἰς μανίαν τὰ τότε γινόμενα; ἀλλ' ὅμως ὁ μαθητὴς ὑπὸ τοῦ δέους καταγωνισθεὶς, οὐ μόνον οὐκ ἐνδείκνυται ἀγανάκτησιν, ἀλλὰ καὶ ἀρνεῖται, καὶ κορασίου ταλαιπώρου καὶ εὐτελοῦς ἀπειλὴν οὐ φέρει· καὶ οὐδὲ ἅπαξ μόνον, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον ἀρνεῖται, καὶ ἐν χρόνῳ βραχεῖ· καὶ οὐδὲ ἐπὶ δικαστῶν (ἔξω γὰρ ἦν· ἐξελθόντα γὰρ αὐτὸν εἰς τὸν πυλῶνα ἠρώτησαν) καὶ οὐδὲ ᾔσθετο ταχέως τοῦ πτώματος. καὶ τοῦτο ὁ Λουκᾶς φησιν, ὅτι ἐνέβλεψεν εἰς αὐτὸν ὁ Χριστὸς, δεικνὺς ὅτι οὐ μόνον ἠρνήσατο, ἀλλ' οὐδὲ ἀνεμνήσθη οἴκοθεν, καὶ ταῦτα τοῦ ἀλεκτρυόνος φωνήσαντος, ἀλλ' ἐδεήθη πάλιν τῆς τοῦ διδασκάλου ὑπομνήσεως, καὶ τὸ μὲν βλέμμα γέγονεν αὐτῷ ἀντὶ φωνῆς· οὕτω περιδεὴς ἦν. ὁ δὲ Μάρκος φησὶν, ὅτι ὅτε μὲν ἀπηρνήσατο ἅπαξ, τότε πρῶτον ἐφώνησεν ὁ ἀλεκτρυών· ὅτε δὲ τρίτον, τότε δεύτερον, ἀκριβέστερον διηγούμενος τοῦ μαθητοῦ τὴν ἀσθένειαν, καὶ τὸ σφόδρα αὐτὸν ἀποτεθνηκέναι τῷ δέει, καὶ ταῦτα παρ' αὐτοῦ τοῦ διδασκάλου μαθών· καὶ γὰρ φοιτητὴς ἦν Πέτρου. ὅθεν μάλιστα ἄν τις αὐτὸν ἐκπλαγείη, ὅτι οὐ μόνον οὐκ ἔκρυψε τὸ ἐλάττωμα τοῦ διδασκάλου, ἀλλὰ καὶ τῶν ἄλλων σαφέστερον ἀπήγγειλεν αὐτῷ τούτῳ τῷ μαθητὴς εἶναι. πῶς οὖν ἀληθὲς τὸ εἰρημένον, τοῦ μὲν Ματθαίου λέγοντος, ὅτι εἶπεν, ἀμὴν λέγω σοι, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με· τοῦ δὲ Μάρκου μετὰ τὸ τρίτον λέγοντος, ὅτι ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε; σφόδρα μὲν οὖν καὶ ἀληθὲς καὶ σύμφωνον. ἐπειδὴ γὰρ καθ' ἑκάστην ἀγωγὴν καὶ τρίτον καὶ τέταρτον εἴωθε φωνεῖν ὁ ἀλεκτρυὼν, δηλῶν ὁ Μάρκος, ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἐπέσχε καὶ εἰς μνήμην ἤγαγε, τοῦτό φησιν· ὥστε ἀμφότερα ἀληθῆ. πρὶν ἢ γὰρ τὴν μίαν ἀγωγὴν ἀπαρτίσαι τὸν ἀλεκτρυόνα, τρίτον ἀπηρνήσατο· καὶ οὐδὲ ὑπὸ τοῦ Χριστοῦ τῆς ἁμαρτίας ἀναμνησθεὶς κλαῦσαι ἐτόλμα φανερῶς, ἵνα μὴ κατηγορηθῇ διὰ τῶν δακρύων· ἀλλ' ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.

κεφ. κζ. 1 Καὶ γενομένης ἡμέρας ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα πρὸς Πιλάτον.

Ἐπειδὴ γὰρ ἐβούλοντο αὐτὸν ἀνελεῖν, αὐτοὶ δὲ οὐκ ἴσχυον διὰ τὴν ἑορτὴν, ἐπὶ τὸν ἡγεμόνα ἄγουσι· σὺ δέ μοι σκόπει πῶς συνηλάθη τὸ πρᾶγμα, ὥστε ἐν ἑορτῇ γενέσθαι. οὕτω γὰρ ἄνωθεν προδιετετύπωτο.

3 Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια. Τοῦτο καὶ ἐκείνου καὶ τούτων κατηγορία· τοῦ μὲν, οὐχ ὅτι μετεμελήθη, ἀλλ' ὅτι ὀψὲ καὶ βραδέως, καὶ αὐτοκατάκριτος γέγονεν (ὅτι γὰρ παρέδωκεν αὐτὸς ὡμολόγησε) τῶν δὲ, ὅτι κύριοι ὄντες τοῦ μεταμελῆσαι καὶ μεταθέσθαι, οὐ μετενόησαν. σκόπει δὲ πότε μεταμελεῖται. ὅτε ἀπηρτίσθη καὶ τέλος ἔλαβεν ἡ ἁμαρτία. τοιοῦτος γὰρ ὁ διάβολος, οὐκ ἀφίησι τοὺς μὴ νήφοντας ἰδεῖν πρὸ τούτου τὸ κακὸν, ἵνα μὴ μεταμελήσωσιν οἱ ἁλόντες. τοσαῦτα γοῦν λέγοντος τοῦ Ἰησοῦ, οὐκ ἐπεκάμφθη· ἐπειδὴ δὲ ἀπηρτίσθη τὸ πλημμέλημα, τότε ἐπεισῆλθεν αὐτῷ ἡ μεταμέλεια· καὶ οὐδὲ τότε χρησίμως. τὸ μὲν γὰρ καταγνῶναι καὶ τὸ ῥῖψαι τὰ

ἀργύρια, καὶ τὸ μὴ αἰδεσθῆναι τὸν δῆμον τὸν Ἰουδαϊκὸν, πάντα ἀποδεκτά· τὸ δὲ ἀπάγξασθαι, τοῦτο πάλιν ἀσύγγνωστον, καὶ πονηροῦ δαίμονος ἔργον. προεξήγαγε καὶ αὐτὸν τῆς μετανοίας, ἵνα μηδὲν ἐντεῦθεν καρπώσηται, καὶ θανάτῳ αἰσχίστῳ καὶ καταδήλῳ πᾶσιν ἀναιρεῖ, πείσας ἑαυτὸν ἀπολέσαι. σὺ δέ μοι σκόπει πανταχόθεν τὴν ἀλήθειαν λάμπουσαν, καὶ δι' ὧν οἱ ἐναντίοι καὶ ποιοῦσι καὶ πάσχουσι. καὶ γὰρ καὶ αὐτὴ ἡ τοῦ προδότου τελευτὴ, τῶν κατακρινάντων αὐτὸν ἀποῤῥάπτει τὰ στόματα, καὶ οὐκ ἀφίησιν αὐτοὺς οὐδὲ σκιάν τινα ἀναισχύντου γοῦν ἀπολογίας ἔχειν. τί γὰρ ἂν ἔχοιεν εἰπεῖν ἐκεῖνοι, ὅταν ὁ προδότης τοιαῦτα καθ' ἑαυτοῦ ψηφιζόμενος φαίνηται; ἴδωμεν δὲ καὶ τὰ ῥήματα, ἅ φασιν.

Ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι, καὶ λέγει, 4 Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει.

5 Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο.

Οὐδὲ γὰρ ἤνεγκε τὸ συνειδὸς μαστίζον αὐτόν. σκόπει δέ μοι καὶ τοὺς Ἰουδαίους τὰ αὐτὰ πάσχοντας. καὶ γὰρ καὶ οὗτοι ἀφ' ὧν ἔπαθον ὀφείλοντες διορθωθῆναι, οὐ πρότερον ἵστανται, ἕως ἂν τὴν ἁμαρτίαν πληρώσωσιν. ἡ μὲν γὰρ τούτου ἁμαρτία ἤδη πεπλήρωτο (προδοσία γὰρ ἦν) ἡ δὲ ἐκείνων οὐδέπω. ὅτε δὲ κἀκεῖνοι ἀπήρτισαν, καὶ προσήλωσαν αὐτὸν, τότε καὶ αὐτοὶ ταράττονται· νῦν μὲν λέγοντες, μὴ γράφε, οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων (καίτοιγε τί δεδοίκατε, τί θορυβεῖσθε, νεκροῦ σώματος ἐπὶ σταυροῦ προσηλωμένου;) νῦν δὲ φυλάττουσιν αὐτὸν λέγοντες, μήποτε κλέψωσιν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, καὶ εἴπωσι τῷ λαῷ ὅτι ἀνέστη· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. καὶ μὴν ἐὰν εἴπωσιν, ἐλέγχεται τὸ πρᾶγμα ἐὰν μὴ ἀληθές. πῶς δὲ ἐροῦσιν οἱ μηδὲ στῆναι τολμήσαντες κατασχεθέντος αὐτοῦ, ὁ δὲ κορυφαῖος καὶ τρὶς αὐτὸν ἠρνήσατο κορασίου μὴ φέρων ἀπειλήν; ἀλλ', ὅπερ ἔφην, ἐταράττοντο λοιπόν. ὅτι γὰρ ᾔδεσαν παρανομίαν τὸ πρᾶγμα, δῆλον ἐξ ὧν ἔλεγον, σὺ ὄψει. ἀκούσατε οἱ φιλάργυροι, ἐννοήσατε τί ἔπαθεν ἐκεῖνος· πῶς καὶ τῶν χρημάτων ἐξέπεσε, καὶ τὴν ἁμαρτίαν εἰργάσατο· πῶς καὶ τῆς φιλαργυρίας οὐκ ἀπήλαυσε, καὶ τὴν ψυχὴν ἀπώλεσε τὴν ἑαυτοῦ. τοιαύτη τῆς φιλαργυρίας ἡ τυραννίς. οὔτε τοῦ ἀργυρίου ἀπώνατο, οὔτε τῆς παρούσης ζωῆς, οὔτε τῆς μελλούσης· ἀλλὰ πάντα ἀθρόον ἀπέβαλε, καὶ δόξαν λαβὼν πονηρὰν καὶ παρ' αὐτοῖς ἐκείνοις, οὕτως ἀπήγξατο. ἀλλ', ὅπερ ἔφην, μετὰ τὸ πρᾶξαι τότε τινὲς διαβλέπουσιν. ὅρα γοῦν καὶ τούτους τέως οὐκ ἐθέλοντας αἰσθάνεσθαι σαφῶς τοῦ τολμήματος, ἀλλὰ λέγοντας, σὺ ὄψει· ὃ καὶ αὐτὸ μέγιστον ἦν αὐτῶν ἔγκλημα. τοῦτο γὰρ καὶ μαρτυρούντων μέν ἐστι τῇ τόλμῃ καὶ τῇ παροινίᾳ, ὑπὸ δὲ τοῦ πάθους μεθυόντων, καὶ οὐκ ἐθελόντων ἀποσχέσθαι τῆς σατανικῆς ἐγχειρήσεως, ἀλλὰ πεπλασμένης ἀγνοίας παραπετάσματι περιστελλόντων ἑαυτοὺς ἀνοήτως. εἰ μὲν γὰρ μετὰ τὸν σταυρὸν ταῦτα ἐλέγετο καὶ μετὰ τὸ ἀναιρεθῆναι αὐτὸν, μάλιστα μὲν οὐδὲ τότε λόγον εἶχε τὸ λεγόμενον, πλὴν ἀλλ' οὐχ οὕτως αὐτοὺς κατέκρινε· νῦν δὲ ἐπὶ παρ' ὑμῖν αὐτὸν ἔχοντες, καὶ κύριοι ὄντες ἀφεῖναι, πῶς ἂν δύνασθε ταῦτα λέγειν; ἡ γὰρ ἀπολογία αὕτη, κατηγορία ὑμῶν ἂν γένοιτο μεγίστη. πῶς καὶ τίνι τρόπῳ; ὅτι ἐπὶ τὸν προδότην ὅλον τὸ ἔγκλημα φέροντες (σὺ γάρ, φησιν, ὄψει) δυνάμενοι αὐτοὶ τῆς χριστοκτονίας ἀπαλλαγῆναι ἀφέντες αὐτὸν, οἱ δὲ καὶ ἐπηγωνίσαντο τῷ τολμήματι, τῇ προδοσίᾳ τὸν σταυρὸν προσθέντες. τί γὰρ ἐκώλυσεν εἰπόντας ἐκείνῳ, σὺ ὄψει, αὐτοὺς ἀποστῆναι τοῦ τολμήματος; νῦν δὲ καὶ τοὐναντίον ἐργάζονται· προστιθέντες τὴν σφαγὴν, καὶ πανταχοῦ, καὶ δι' ὧν ποιοῦσι, καὶ δι' ὧν λέγουσιν, ἀφύκτοις ἐμπλέκοντες ἑαυτοὺς κακοῖς. καὶ γὰρ μετὰ ταῦτα ἐπιτρέψαντος τοῦ Πιλάτου, τὸν μὲν λῃστὴν εἵλοντο [ἀφεθῆναι] μᾶλλον, ἢ τὸν Ἰησοῦν· καὶ τὸν μὲν λῃστὴν μυρίοις ἐγκλήμασιν ἁλόντα μᾶλλον ἀθῷον ἀποφαίνουσι· τὸν δὲ Χριστὸν τὸν οὐδὲν ἠδικηκότα, ἀλλὰ καὶ τοσαῦτα εὐεργετηκότα ἀνῄρουν. τί οὖν ὁ Ἰούδας; ὡς εἶδεν ἀνόνητα πονῶν, καὶ οὐκ ἀνεχομένους δέξασθαι, ἔρριψε τὰ ἀργύρια, καὶ ἀπελθὼν ἀπήγξατο.

6 Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον, οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβονᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι.

7 Καὶ συμβούλιον λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις.

8 Διὸ καὶ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον.

9 Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου,

10 Καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.

Εἶδες πάλιν αὐτοὺς κατακρινομένους αὐτόθεν ὑπὸ τοῦ συνειδότος; ἐπειδὴ γὰρ ᾔδεσαν ὅτι τὸν φόνον ἠγόρασαν, οὐκ ἔβαλον εἰς τὸν κορβονᾶν, ἀλλ' ἠγόρασαν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. ἐγίνετο δὲ καὶ τοῦτο μαρτυρία κατ' αὐτῶν, καὶ τῆς προδοσίας ἔλεγχος. τὸ γὰρ ὄνομα τοῦ χωρίου, σάλπιγγος λαμπρότερον ἀνεκήρυττε πᾶσι τὴν μιαιφονίαν αὐτῶν. καὶ οὐδὲ ἁπλῶς αὐτὸ ποιοῦσιν, ἀλλὰ συμβούλιον λαβόντες, καὶ πανταχοῦ δὲ οὕτως, ἵνα μηδεὶς ἀθῷος ᾖ τοῦ τολμήματος, ἀλλὰ πάντες ὑπεύθυνοι. ταῦτα δὲ ἄνωθεν προὔλεγεν ἡ προφητεία. ὁρᾷς οὐχὶ τοὺς ἀποστόλους μόνον, ἀλλὰ καὶ τοὺς προφήτας τὰ ἐπονείδιστα μετ' ἀκριβείας διηγουμένους, καὶ πανταχόθεν τὸ πάθος ἀνακηρύττοντας καὶ προεμφαίνοντας; καὶ οἱ Ἰουδαῖοι τοῦτο μὴ συνιέντες ὑπέμενον. Εἰ γὰρ εἰς τὸν κορβονᾶν ἐνέβαλον, οὐκ ἂν οὕτω τὸ πρᾶγμα κατάδηλον γέγονε· νυνὶ δὲ χωρίον ὠνησάμενοι, καὶ ταῖς μετέπειτα γενεαῖς δῆλον ἐποίησαν τὸ πᾶν.

ΗΘΙΚΟΝ

Ἀκούσατε ὅσοι ἀπὸ φόνων δοκεῖτε εὐποιίας ποιεῖν, καὶ τιμὴν λαμβάνοντες ψυχῶν ἀνθρώπων. Ἰουδαϊκαὶ αὗται αἱ ἐλεημοσύναι, μᾶλλον δὲ σατανικαί. Εἰσὶ γάρ, εἰσὶ καὶ νῦν οἱ μυρία ἑτέρων ἁρπάζοντες, ὑπὲρ τοῦ παντὸς ἀπολογεῖσθαι νομίζουσιν, ἂν δέκα χρυσίνους, ἢ ἑκατὸν καταβάλωσι, περὶ ὧν καὶ ὁ προφήτης φησίν· Ἐκαλύπτετε ἐν δάκρυσι τὸ θυσιαστήριόν μου. οὐ βούλεται Χριστὸς πλεονεξίᾳ τρέφεσθαι, οὐ δέχεται ταύτην τὴν τροφήν. τί τὸν δεσπότην ὑβρίζεις ἀκάθαρτα προσάγων αὐτῷ; βέλτιον λιμῷ τηκόμενον περιορᾶν, ἢ τρέφειν ἀπὸ τοιούτων. ἐκεῖνο ὠμοῦ, τοῦτο καὶ ὠμοῦ καὶ ὑβριστοῦ. βέλτιον μηδὲν δοῦναι, ἢ τὰ ἄλλων ἑτέροις. Εἰπὲ γάρ μοι, εἴ τινας εἶδες δύο, τὸν μὲν γυμνόν, τὸν δὲ ἱμάτιον ἔχοντα· εἶτα τὸν ἔχοντα τὸ ἱμάτιον ἀποδύσας, περιέβαλες τὸν γυμνόν, ἆρ' οὐκ ἠδίκησας; παντί που δῆλον. Εἰ δὲ ὅπερ ἔλαβες ἑτέρῳ δοὺς ἅπαν, ἠδίκησας, οὐδὲ ἠλέησας, ὅταν δὲ μηδὲ τὸ πολλοστὸν* δῷς ὧν ἁρπάζεις, καὶ ἐλεημοσύνην τὸ πρᾶγμα καλεῖς, ποίαν οὐχ ὑποστήσῃ τιμωρίαν; εἰ γὰρ χωλὰ ἄλογα προσφέροντες ἄνθρωποι ἐνεκαλοῦντο, σὺ χαλεπώτερα ποιῶν, ποίας τεύξῃ συγγνώμης; Εἰ γὰρ αὐτῷ ἀποδιδοὺς τῷ Κυρίῳ ὁ κλέπτης ἔτι ἀδικεῖ, καὶ οὕτως ἀδικεῖ, ὡς τετραπλασίονι προσθήκῃ μόλις λῦσαι τὸ ἔγκλημα, καὶ ταῦτα ἐπὶ τῆς παλαιᾶς· ὁ μὴ κλέπτων, ἀλλὰ βιαζόμενος, καὶ μηδὲ αὐτῷ τῷ ἀφαιρεθέντι διδούς, ἀλλ' ἀντ' ἐκείνου ἑτέρῳ, καὶ μηδὲ τετραπλασίονα, ἀλλὰ μηδὲ τὰ ἡμίση, καὶ μηδὲ ἐν τῇ παλαιᾷ, ἀλλ' ἐν τῇ καινῇ πολιτευόμενος, ἐννόησον ὅσον ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν συνάγει πῦρ. Εἰ δὲ οὐδέπω δίδωσι τὴν δίκην, δι' αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν θρήνησον, ὅτι μείζονα ἑαυτῷ θησαυρίζει τὴν ὀργήν, εἰ μὴ μεταμεληθείη. Τί γὰρ δοκεῖτε, φησίν, ὅτι ἐκεῖνοι μόνοι ἦσαν ἁμαρτωλοί, ἐφ' οὓς ὁ πύργος κατέπεσεν; οὐχί, λέγω ὑμῖν, ἀλλ', ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς ὡσαύτως ἀπολεῖσθε. μετανοήσωμεν τοίνυν, καὶ δῶμεν ἐλεημοσύνην πλεονεξίας καθαράν, καὶ πολλὴν ἔχουσαν τὴν δαψίλειαν. ἐννοήσατε ὅτι οἱ Ἰουδαῖοι Λευΐτας ὀκτακισχιλίους ἔτρεφον, καὶ μετὰ τῶν Λευϊτῶν καὶ χήρας καὶ ὀρφανούς, καὶ πολλὰ ἕτερα ἐλειτούργουν, καὶ μετὰ τούτου καὶ ἐστρατεύοντο· νυνὶ δὲ ἀγροί, καὶ οἰκίαι, καὶ μισθώματα οἰκημάτων, καὶ ὀχήματα, καὶ ὀρεωκόμοι, καὶ ἡμίονοι, καὶ πολλὴ τοιαύτη παράταξις ἐν τῇ ἐκκλησίᾳ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ἀπανθρωπίαν. Ἣν γὰρ ἐχρῆν παρ' ὑμῶν

Μαλ. β. ιγ.

Λουκ. ιγ. δ.

τὴν

εἶναι τὸν θησαυρὸν τοῦτον τῆς ἐκκλησίας, καὶ πρόσοδον αὐτῇ τὴν ὑμετέραν γίνεσθαι προθυμίαν· νυνὶ δὲ δύο τὰ ἄτοπα γίνεται, καὶ ὑμεῖς ″ ἄκαρποι μένετε, καὶ οἱ τοῦ Θεοῦ ἱερεῖς τὰ προσήκοντα οὐ μεταχειρίζονται. μὴ γὰρ οὐκ ἦν δυνατὸν ἐπὶ τῶν ἀποστόλων τὰς οἰκίας μένειν καὶ τοὺς ἀγρούς; τίνος οὖν ἕνεκεν ἐπώλουν καὶ ἐδίδοσαν; ὅτι τοῦτο βέλτιον ἦν. ἀλλὰ νῦν δέος ἔλαβε τοὺς πατέρας ″ ὑμῶν, οὕτω περὶ τὰ βιωτικὰ μαινομένων ὑμῶν, καὶ διὰ τὸ συλλέγειν, ἀλλὰ μὴ σκορπίζειν, ἵνα μὴ λιμῷ διαφθαρῶσιν οἱ τῶν χηρῶν καὶ ὀρφανῶν καὶ τῶν παρθένων χοροί, διὰ τοῦτο ταῦτα κατασκευάσαι ἠναγκάσθησαν. οὐδὲ γὰρ ἠβούλοντο ἑαυτοὺς εἰς τοιαύτην ἀδημοσύνην ἐμβαλεῖν, ἀλλ᾽ ἐπεθύμουν τὴν ὑμετέραν γνώμην αὐτοῖς πρόσοδον εἶναι, καὶ τοὺς καρποὺς ἐντεῦθεν τρυγᾶν, καὶ αὐτοὺς εὐχαῖς προσέχειν μόναις· νυνὶ δὲ αὐτοὺς ἠναγκάσατε τῶν τὰ πολιτικὰ πραττόντων καὶ διοικούντων πράγματα, τὰς οἰκίας μιμεῖσθαι· ὅθεν πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν γὰρ καὶ ὑμεῖς καὶ ἡμεῖς τοῖς αὐτοῖς ἐνεχώμεθα, τίς ὁ ἐξιλεούμενος τὸν Θεόν; διὰ ταῦτα οὐκ ἔστιν ἡμῖν διοῖξαι τὸ στόμα, ὅτι οὐδὲν τῶν βιωτικῶν ἀνθρώπων ἄμεινον ἡ ἐκκλησία διάκειται. οὐκ ἠκούσατε, ὅτι οὐδὲ τὰ ἀπραγμόνως συλλεγόμενα χρήματα διανέμειν κατεδέξαντο οἱ ἀπόστολοι; νυνὶ δὲ καὶ ἐπιτρόπους καὶ οἰκονόμους καὶ καπήλους παρῆλθον ἡμῶν οἱ ἐπίσκοποι τῇ περὶ αὐτὰ φροντίδι. καὶ δέον αὐτοὺς ὑπὲρ τῶν ψυχῶν μεριμνᾶν καὶ φροντίζειν τῶν ὑμετέρων· οἱ δὲ, ὑπὲρ ὧν ὑποδέκται καὶ φορολόγοι καὶ λογισταὶ καὶ ταμίαι μεριμνῶσιν, ὑπὲρ τούτων καθ᾽ ἑκάστην κόπτονται τὴν ἡμέραν. ταῦτα οὐχ ἁπλῶς ἀποδυρόμενος λέγω, ἀλλ᾽ ὥστε γενέσθαι τινὰ διόρθωσιν καὶ μεταβολήν, ὥστε ἡμᾶς ἐλεηθῆναι χαλεπὴν δουλεύοντας δουλείαν, ὥστε ὑμᾶς γενέσθαι πρόσοδον καὶ θησαυρὸν τῆς ἐκκλησίας. εἰ δὲ μὴ βούλεσθε, οἱ πένητες ἰδοὺ πρὸ τῶν ὑμετέρων ὀφθαλμῶν. ὅσοις μὲν δυνατὸν ἡμῖν ἀρκέσαι, οὐ διαλείψομεν τρέφοντες· οὓς δὲ οὐ δυνατόν, ὑμῖν ἀφήσομεν, ἵνα μὴ τῶν ῥημάτων ἐκείνων ἀκούσητε κατὰ τὴν φοβερὰν ἡμέραν τῶν πρὸς τοὺς ἀνελεεῖς καὶ ὠμοὺς λεγομένων, ὅτι πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε. καὶ γὰρ μεθ᾽ ὑμῶν ἡμᾶς καταγελάστους ἡ ἀπανθρωπία αὕτη ποιεῖ, ὅτι τὰς εὐχὰς ἀφέντες καὶ τὴν διδασκαλίαν καὶ τὴν ἄλλην ἁγιωσύνην, οἱ μὲν οἰνοπώλαις, οἱ δὲ σιτοπώλαις, οἱ δὲ τοῖς τὰ ἕτερα καπηλεύουσιν ὠνία, τὸν πάντα πυκτεύομεν χρόνον. ἐντεῦθεν μάχαι καὶ φιλονεικίαι, καὶ καθημεριναὶ λοιδορίαι*, καὶ ἑκάστῳ τῶν ἱερέων ὀνόματα ἐπίκειται, βιωτικαῖς μᾶλλον οἰκίαις πρέποντα· δέον ἀντὶ τούτων ἕτερα ἀνταλλάξασθαι, καὶ ἐντεῦθεν καλεῖσθαι, ἀφ᾽ ὧν καὶ οἱ ἀπόστολοι ἐνομοθέτουν, ἀπὸ τῆς τῶν πενήτων διατροφῆς, ἀπὸ τῆς τῶν ἀδικουμένων προστασίας, ἀπὸ τῆς τῶν ξένων ἐπιμελείας, ἀπὸ τῆς τῶν ἐπηρεαζομένων βοηθείας, ἀπὸ τῆς τῶν ὀρφανῶν προνοίας, ἀπὸ τῆς τῶν χηρῶν συμμαχίας, ἀπὸ τῆς τῶν παρθένων ἐπιστασίας, καὶ ταύτας, ἀντὶ τῆς τῶν χωρίων καὶ τῶν οἰκημάτων φροντίδος, διανέμεσθαι τὰς διακονίας. ταῦτα γὰρ τῆς ἐκκλησίας τὰ κειμήλια· οὗτοι οἱ πρέποντες αὐτῇ θησαυροί, καὶ πολλὴν καὶ ἡμῖν εὐκολίαν, καὶ ὑμῖν ὠφέλειαν παρέχοντες, μᾶλλον δὲ ὑμῖν εὐκολίαν μετὰ τῆς ὠφελείας. καὶ γὰρ τῇ τοῦ Θεοῦ χάριτι εἰς δέκα μυριάδων ἀριθμὸν οἶμαι τοὺς ἐνταῦθα συναγομένους τελεῖν· καὶ εἰ* ἑνὸς ἄρτου μετεδίδου τῶν πενήτων ἑνὶ ἕκαστος, ἅπαντες ἦσαν ἂν ἐν εὐπορίᾳ· εἰ δὲ ἑνὸς μόνου ὀβολοῦ, οὐδεὶς ἂν ἦν πένης, οὐκ ἂν τοσαῦτα ὑπεμείναμεν ὀνείδη καὶ σκώμματα ἀπὸ τῆς περὶ τὰ κτήματα προνοίας. καὶ γὰρ τὸ, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ πρὸς τοὺς τῆς ἐκκλησίας προέδρους ὑπὲρ τῶν τῆς ἐκκλησίας κτημάτων καιρὸν ἂν ἔχοι λέγεσθαι. ἄλλως γὰρ ἀκολουθῆσαι ὡς χρὴ οὐκ ἔνι, μὴ πάσης φροντίδος ἀπηλλαγμένους παχυτέρας καὶ ″ ἀτιμοτέρας. νυνὶ δὲ οἱ τοῦ Θεοῦ ἱερεῖς τρυγητοῖς καὶ ἀμητοῖς παρακάθηνται καὶ πράσει καὶ ἀγορασίᾳ προσόδων· καὶ οἱ μὲν τῇ σκηνῇ λατρεύοντες πᾶσαν τῶν τοιούτων ἀτέλειαν εἶχον, καίτοι σωματικωτέραν λειτουργίαν ἐγκεχειρισμένοι· ἡμεῖς δὲ οἱ πρὸς αὐτὰ τὰ ἄδυτα τῶν οὐρανῶν καλούμενοι, καὶ εἰς τὰ ἀ-

ἄπρακτοι

ἡμῶν,

ὀνείδη καὶ
μματα·

βιωτικω-
ρας.

λητινὰ ἅγια τῶν ἁγίων εἰσιόντες, ἐμπόρων πάλιν καὶ καπήλων ἀναδεχόμεθα φροντίδας. ἐντεῦθεν καὶ γραφῶν ἀμέλεια πολλή, καὶ εὐχῶν ῥᾳθυμία, καὶ ἡ περὶ τὰ ἄλλα πάντα ὀλιγωρία. οὐδὲ γὰρ δυνατὸν εἰς ἀμφότερα σχίζεσθαι μετὰ τῆς προσηκούσης σπουδῆς. διὸ δέομαι καὶ ἀντιβολῶ πολλὰς ἡμῖν πάντοθεν ἀναβλῦσαι πηγάς, καὶ τὴν ἅλω καὶ τὴν ληνὸν, τὴν ὑμετέραν γενέσθαι προθυμίαν ἡμῖν. οὕτω γὰρ καὶ οἱ πένητες διατραφήσονται εὐκολώτερον, καὶ ὁ Θεὸς δοξασθήσεται, καὶ ὑμεῖς ἐπὶ πλέον ἐπιδώσετε φιλανθρωπίας, καὶ τῶν αἰωνίων ἀπολαύσεσθε ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. πϛ. 11 Ο ΔΕ ΙΗΣΟΥΣ ΕΣΤΗ ΕΜΠΡΟΣΘΕΝ ΤΟΥ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη, σὺ λέγεις. 12 Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων [τοῦ λαοῦ] οὐδὲν ἀπεκρίνατο.

ΟΡᾷς ὅτι πρῶτον ἐξετάζεται, ὃ μάλιστα ἄνω καὶ κάτω συνεχῶς ἔστρεφον; ἐπειδὴ γὰρ εἶδον τὸν Πιλᾶτον οὐδένα ποιούμενον λόγον τῶν γινομένων, ἐπὶ τὰ δημόσια ἐγκλήματα τὴν κατηγορίαν ἄγουσιν. οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐποίουν, ταῦτα ἀεὶ προβαλλόμενοι, καὶ λέγοντες, ὅτι περιέρχονται κηρύττοντες βασιλέα τινὰ Ἰησοῦν, ὡς περὶ ἀνθρώπου τινὸς ψιλοῦ διαλεγόμενοι, καὶ τυραννίδος ὑποψίαν αὐτοῖς περιτιθέντες. ὅθεν δῆλον, ὅτι καὶ τὸ διαῤῥῆξαι τὸν χιτωνίσκον, καὶ ἐκπλαγῆναι, σκῆψις ἦν· πάντα δὲ ἐκίνουν καὶ ἔστρεφον, ὥστε αὐτὸν εἰς θάνατον ἐμβαλεῖν. τοῦτο γοῦν καὶ ὁ Πιλᾶτος ἠρώτησε τότε. τί οὖν ὁ Χριστός; σὺ εἶπας. ὡμολόγησεν εἶναι βασιλεύς, ἀλλὰ βασιλεὺς οὐράνιος· ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγε, πρὸς τὸν Πιλᾶτον ἀποκρινόμενος, Ὅτι ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· ἵνα μηδὲ ἐκεῖνοι, μηδὲ οὗτος ἀπολογίαν ἔχωσι τοιαῦτα κατηγοροῦντες. καὶ λογισμὸν ἀναντίῤῥητον τίθησι λέγων· Εἰ ἐκ τοῦ κόσμου τούτου ἦν, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ. διά τοι τοῦτο, ὥστε ταύτην ἀποκρούσασθαι τὴν ὑποψίαν, καὶ φόρον κατέβαλε, καὶ ἑτέρους καταβαλεῖν ἐκέλευσε· καὶ ἡνίκα δὲ ἠθέλησαν αὐτὸν ποιῆσαι βασιλέα, ἔφυγε. τί οὖν οὐ ταῦτα προήνεγκεν εἰς μέσον, φησί, τότε ἐγκαλούμενος ἐπὶ τυραννίδι; ὅτι μυρίας ἔχοντες τὰς ἀπὸ τῶν πραγμάτων ἀποδείξεις τῆς δυνάμεως, τῆς πρᾳότητος, τῆς ἐπιεικείας, ἑκόντες ἐτυφλώττοντο καὶ ἐκακούργουν, καὶ διεφθαρμένον τὸ δικαστήριον ἦν. διὰ δὴ ταῦτα πρὸς οὐδὲν ἀποκρίνεται, ἀλλὰ σιγᾷ· καὶ βραχέα ἀποκρινόμενος, ὥστε μὴ ἀπὸ τῆς διηνεκοῦς σιγῆς αὐθαδείας δόξαν λαβεῖν, ὅτε ὥρκισεν ὁ ἀρχιερεύς, ὅτε ὁ ἡγεμὼν ἤρετο, πρὸς δὲ τὰς κατηγορίας αὐτῶν οὐδὲν οὐκέτι φησίν. οὐ γὰρ δὴ πείσειν ἤμελλεν, ὥσπερ καὶ ὁ προφήτης ἄνωθεν τοῦτο αὐτὸ προδηλῶν ἔλεγεν· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. ἐπὶ τούτοις ὁ ἡγεμὼν ἐθαύμαζε. καὶ γὰρ θαύματος ἄξιον ἦν ἰδεῖν τοσαύτην ἐπιείκειαν ἐπιδεικνύμενον, καὶ σιγῶντα τὸν μυρία εἰπεῖν ἔχοντα. οὐδὲ γὰρ ἐκεῖνοι ἐκ τοῦ συνειδέναι τι πονηρὸν αὐτῷ κατηγόρουν, ἀλλὰ ἀπὸ βασκανίας καὶ φθόνου μόνον. ὅτε γὰρ ἔστησαν ψευδομάρτυρας, διὰ τί μηδὲν ἐχόντων εἰπεῖν ἐπέκειντο ἔτι, καὶ τὸν Ἰούδαν ἀποπνίξαντα ἰδόντες, οὐ κατενύγησαν, καὶ τὸν Πιλᾶτον τὰς χεῖρας ἀπονιψάμενον; καὶ γὰρ πολλὰ καὶ παρ' αὐτὸν τὸν καιρὸν ἐποίησεν, ὥστε αὐτοὺς ἀνανῆψαι· ἀλλ' οὐδενὶ τούτων ἐγίνοντο βελτίους. τί οὖν ὁ Πιλᾶτος; οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν οὗτοι; ἐβούλετο μὲν γὰρ αὐτὸν ἀπολογούμενον ἀπαλλαγῆναι· διὸ καὶ ταῦτα ἔλεγεν. ἐπειδὴ δὲ οὐδὲν ἀπεκρίνατο, καὶ ἕτερόν τι μηχανᾶται. ποῖον δὴ τοῦτο; ἔθος ἦν ἀφιέναι αὐτοῖς ἕνα τῶν καταδίκων, καὶ ἐντεῦθεν αὐτὸν ἐξελέσθαι ἐπεχείρησεν.

Ἰωαν. ιη. λϛ.

Ησ. νγ. η.

κεφ κζ.

πεχείρησεν. Εἰ γὰρ μὴ βούλεσθε, φησὶν, ὡς ἀθῶον ἀφεῖναι, κἂν ὡς κατάδικον χαρίσασθε τῇ ἑορτῇ. Εἶδες τάξιν ἀντεστραμμένην. τὴν μὲν γὰρ αἴτησιν τὴν ὑπὲρ τῶν καταδίκων, τοῦ δήμου ἔθος ἦν εἶναι, τὴν δὲ δόσιν, τοῦ ἄρχοντος· νυνὶ δὲ τοὐναντίον γέγονε, καὶ ὁ ἄρχων αἰτεῖ τὸν δῆμον, καὶ οὐδὲ οὕτω γίνονται ἥμεροι, ἀλλ' ἐκθηριοῦνται μειζόνως καὶ ἀναφωνοῦσι μειζόνως ὑπὸ τοῦ πάθους τῆς βασκανίας ἐκβακχευόμενοι. οὐδὲ γὰρ εἶχον ὅ,τι κατηγορήσωσιν αὐτοῦ, καὶ ταῦτα σιγῶντος· ἀλλ' ἠλέγχοντο καὶ ὑπὸ διὰ τὴν τῶν δικαιωμάτων περιουσίαν, καὶ σιγῶν ἐνίκα αὐτοὺς μυρία λέγοντας καὶ μαινομένους.

19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδέν σοι καὶ τῷ δικαίῳ τούτῳ. πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

Ορᾷς οὖν ὃ γέγονε πάλιν, ἱκανὸν πάντας αὐτοὺς ἀνακαλέσασθαι; μετὰ γὰρ τῆς ἀπὸ τῶν πραγμάτων πείρας καὶ ἀποδείξεως, καὶ τὸ ὄναρ οὐ μικρὸν ἦν. καὶ τίνος ἕνεκεν οὐκ αὐτὸς ὁρᾷ; ἢ ὅτι ἐκείνη ἀξία ἦν μᾶλλον· ἢ ὅτι εἰ αὐτὸς εἶδεν, οὐκ ἂν ἐπιστεύθη ὁμοίως, ἢ οὐδ' ἂν ἐξεῖπε. διὰ τοῦτο οἰκονομεῖται τὴν γυναῖκα ἰδεῖν, ὥστε κατάδηλον γενέσθαι πᾶσι. καὶ οὐχ ἁπλῶς ὁρᾷ, ἀλλὰ καὶ πάσχει πολλά· ἵνα καὶ ἀπὸ τῆς συμπαθείας τῆς πρὸς τὴν γυναῖκα ὀκνηρότερος γένηται ὁ ἀνὴρ περὶ τὸν φόνον. καὶ ὁ καιρὸς δὲ οὐ μικρὸν συνετέλει. κατὰ γὰρ αὐτὴν τὴν νύκτα εἶδεν. ἀλλ' οὐκ ἦν αὐτῷ ἀσφαλὲς ἀφεῖναι· ἐπειδὴ εἶπον, ὅτι βασιλέα ἑαυτὸν ἐποίει. ἐχρῆν οὖν ἀποδείξεις καὶ ἐλέγχους ζητῆσαι καὶ ὅσα τυραννίδος ἐστὶ τεκμήρια· οἷον, εἰ στρατόπεδα κατέλεγεν· εἰ ὅπλα ἐχάλκευεν· εἰ ἄλλο τι τοιοῦτον ἐπεχείρει· ὁ δὲ ἁπλῶς παρασύρεται. διὰ τοῦτο οὐδὲ αὐτὸν ἀφίησιν ὁ Χριστὸς τῶν ἐγκλημάτων λέγων, μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς με σοι. ὥστε μαλακίας ἦν ἡ συγχώρησις, καὶ τὸ μαστίξαντα ἐκδοῦναι. οὗτος μὲν οὖν ἄνανδρος καὶ μαλακός· οἱ δὲ ἀρχιερεῖς πονηροὶ καὶ κακοῦργοι. ἐπειδὴ γὰρ εὗρε ταύτην ἐπίνοιαν, τὸν τῆς ἑορτῆς νόμον τὸν κελεύοντα ἀφεῖναι κατάδικον, τί πρὸς τοῦτο μηχανῶνται; ἔπεισαν τὸν ὄχλον, φησὶν, ἵνα τὸν Βαραββᾶν αἰτήσωσιν. Εἶδες πόσην αὐτὸς ποιεῖται πρόνοιαν; ὥστε αὐτοὺς ἀπαλλάξαι ἐγκλημάτων· καὶ πόσην αὐτοὶ σπουδὴν, ὥστε μηδὲ σκιὰν ἑαυτοῖς ἀπολογίας καταλιπεῖν. τί γὰρ ἔδει; τὸν ὡμολογημένον, ἢ τὸν ἀμφισβητούμενον ἀφεῖναι; εἰ γὰρ ἐπὶ τοῖς ὡμολογημένοις ἀφίεσθαι ἔδει, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἀμφιβόλοις. οὐ γὰρ δήπου ὡμολογημένων ἀνδροφόνων χείρων αὐτοῖς ἐδόκει εἶναι οὗτος. διὰ γὰρ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, εἶχον λῃστὴν, ἀλλ' ἐπίσημον· τουτέστι, περιβόητον ἐν κακίᾳ, μυρίους ἐργασάμενον φόνους. ἀλλ' ὅμως κἀκεῖνον τοῦ τῆς οἰκουμένης σωτῆρος προὔθηκαν· καὶ οὔτε τὸν καιρὸν ᾐδέσθησαν, ὅτι ἅγιος ἦν· οὔτε τοὺς τῆς φιλανθρωπίας νόμους· οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν· ἀλλὰ καθάπαξ αὐτοὺς ὁ φθόνος ἀπετύφλωσε, καὶ μετὰ τῆς οἰκείας κακίας καὶ τὸν δῆμον διαφθείρουσιν, ἵνα καὶ τῆς ἐκείνων ἀπάτης τὴν ἐσχάτην δώσωσι δίκην. ἐπεὶ οὖν ἐκεῖνον ᾐτήσαντο, λέγει· 22 Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον τὸν Χριστόν; Καὶ ταύτῃ πάλιν ἐντρέψαι βουλόμενος, τῷ ποιῆσαι κυρίους τῆς αἱρέσεως, ἵνα κἂν αἰδεσθέντες αἰτήσωσι, καὶ τῆς αὐτῶν φιλοτιμίας γένηται τὸ πᾶν. τὸ μὲν γὰρ λέγειν, ὅτι οὐχ ἥμαρτε, φιλονεικοτέρους ἐποίει· τὸ δὲ ἐκ φιλανθρωπίας ἀξιοῦν σωθῆναι, ἀναντίρρητον ἔχει τὴν πειθὼ καὶ τὴν αἴτησιν. οἱ δὲ καὶ οὕτως ἔλεγον·

Σταύρωσον, σταύρωσον αὐτόν. ὁ δὲ ἔφη· 23 Τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς ἔκραζον, σταυρωθήτω.

24 Ὁ δὲ ἰδὼν ὅτι οὐδὲν ὠφελεῖ, ἐνίψατο τὰς χεῖρας, λέγων· ἀθῶός εἰμι.

Τί οὖν παραδίδως; τί δὲ οὐκ ἐξήρπασας, καθάπερ τὸν Παῦλον ὁ χιλίαρχος; καὶ γὰρ ἐκεῖνος ᾔδει χαριζόμενος τοῖς Ἰουδαίοις, καὶ στάσις ἐγίνετο δι' αὐτὸν καὶ θόρυβος, ἀλλ' ὅμως ἔστη πρὸς πάντα γενναίως. ἀλλ' οὐχ οὗτος οὕτως, ἀλλὰ ἀνάνδρως καὶ σφόδρα μαλακῶς, καὶ πάντες ὁμοῦ διεφθείροντο. οὔτε γὰρ οὗτος πρὸς τὸ πλῆθος ἔστη, οὔτε τὸ πλῆθος πρὸς τοὺς

Ἰουδαίους, καὶ πανταχόθεν αὐτῶν ἡ ἀπολογία ἀνήρητο. καὶ γὰρ περισσῶς ἔκραζον, [τουτέστι, μᾶλλον ἔκραζον,] σταυρωθήτω. οὐ γὰρ ἀνελεῖν μόνον ἤθελον, ἀλλὰ καὶ ἐπὶ πονηρᾷ αἰτίᾳ, καὶ τοῦ δικάζοντος ἀντιλέγοντος ἐπέμενον τὰ αὐτὰ βοῶντες. Εἶδες πόσα ἐποίησε Χριστός, ὥστε αὐτοὺς ἀνακλῆσαι; καθάπερ γὰρ τὸν Ἰούδαν ἀνεκρούετο πολλάκις, οὕτω καὶ τούτους ἀνέστελλε διά τε παντὸς τοῦ εὐαγγελίου, καὶ παρ' αὐτὸν τὸν καιρὸν τῆς κρίσεως. καὶ γὰρ ὅτε εἶδον τὸν ἄρχοντα καὶ δικάζοντα ἀπονιψάμενον καὶ λέγοντα· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου, ἔδει κατανυγῆναι καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῶν πραγμάτων· καὶ ὅτε τὸν Ἰούδαν ἀπαγξάμενον, καὶ ὅτε αὐτὸν τὸν Πιλάτον παρακαλοῦντα ἕτερον ἀντ' αὐτοῦ λαβεῖν. ὅταν γὰρ ὁ κατήγορος καὶ προδότης ἑαυτὸν καταδικάζῃ, καὶ ὁ ψηφιζόμενος ἀποδύηται τὰ ἐγκλήματα, καὶ ὄψις τοιαύτη κατ' αὐτὴν τὴν νύκτα φαίνηται, καὶ ὡς κατάδικον αὐτὸν ἐξαιτῆται· ποίαν ἕξουσιν ἀπολογίαν; εἰ γὰρ καὶ μὴ ἐβούλοντο ἀθῷον εἶναι, ἀλλ' οὐχὶ καὶ λῃστὴν αὐτοῦ προτιμῆσαι ἔδει, καὶ λῃστὴν τὸν ὡμολογημένον καὶ σφόδρα ἐπίσημον ὄντα. τί οὖν ἐκεῖνοι; ἐπειδὴ τὸν δικαστὴν εἶδον τὰς χεῖρας νιπτόμενον καὶ λέγοντα· ἀθῷός εἰμι, ἔκραζον·

25 Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε δὴ λοιπόν, ὅτε καθ' ἑαυτῶν τὴν ψῆφον ἐξηνέγκαν, συνεχώρησε πάντα γενέσθαι. θέα δέ ἐστὶ ἐνταῦθα τὴν πολλὴν παραπληξίαν. τοιαύτη γὰρ ἡ ἄλογος ὁρμὴ καὶ ἡ πονηρὰ ἐπιθυμία· οὐκ ἀφίησί τι τῶν δεόντων ἰδεῖν. ἔστω γάρ, ὑμῖν αὐτοῖς ἐπαράσατε· τί καὶ ἐπὶ τὰ τέκνα τὴν ἀρὰν ἕλκετε; ἀλλ' ὅμως ὁ φιλάνθρωπος τοσαύτῃ μανίᾳ χρησαμένων, καὶ καθ' ἑαυτῶν καὶ κατὰ τῶν παίδων, οὐ μόνον ἐπὶ τῶν παίδων, ἀλλ' οὐδὲ ἐπ' αὐτῶν τὴν ψῆφον ἐκύρωσεν· ἀλλὰ καὶ ἐξ αὐτῶν ἐκείνων ἐδέξατο τοὺς μετανοήσαντας, καὶ μυρίων ἀγαθῶν ἠξίωσε. καὶ γὰρ καὶ Παῦλος ἐξ αὐτῶν ἦν, καὶ αἱ τῶν πεπιστευκότων μυριάδες ἐν Ἱερουσαλήμ. Θεωρεῖς γάρ, φησὶν ὁ Ἰάκωβος, ἀδελφέ, πόσαι μυριάδες πεπιστευκότων εἰσὶ τῷ Θεῷ Ἰουδαίων.* εἰ δέ τινες ἐναπέμειναν, ἑαυτοῖς λογιζέσθωσαν τὴν τιμωρίαν.

Πραξ. κα. κ.

χ. ἑαυτῆς

* ἐν τίσι ἤσαν.

26 Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν, ἵνα σταυρωθῇ. Καὶ διὰ τί ἐφραγέλλωσεν; ἢ ὡς κατάδικον, ἢ σχῆμα περιθεῖναι τῇ κρίσει βουλόμενος, ἢ ἐκείνοις χαρίσασθαι· καίτοιγε ἐνστῆναι ἐχρῆν. καὶ γὰρ καὶ πρὸ τούτου εἶπε· λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. καὶ πολλὰ ἦν τὰ δυνάμενα αὐτὸν κἀκείνους ἀναχαιτίσαι, καὶ τὰ σημεῖα, καὶ τὰ θαύματα, καὶ ἡ πολλὴ τοῦ ταῦτα πάσχοντος ἀνεξικακία, καὶ ἡ σιγὴ μάλιστα ἡ ἄφατος. ἐπειδὴ γάρ, καὶ δι' ὧν ἀπελογήσατο καὶ δι' ὧν ηὔξατο, τὸ ἀνθρώπινον ἔδειξε, πάλιν τὸ ὑψηλὸν καὶ μεγαλοφυὲς ἐστὶ διὰ τῆς σιγῆς καὶ διὰ τοῦ καταφρονεῖν τῶν λεγομένων ἐπιδείκνυται, διὰ πάντων αὐτοὺς πρὸς τὸ οἰκεῖον ἐνάγων θαῦμα· ἀλλ' οὐδενὶ τούτων εἶξαι ἠθέλησεν.

ΗΘΙΚΟΝ

Ὅταν γὰρ ἅπαξ, καθάπερ ὑπὸ μέθης ἢ μανίας τινὸς ἀτόπου, κατασχεθῶσιν οἱ λογισμοί, δύσκολον ἀνενεγκεῖν μὴ σφόδρα γενναίαν οὖσαν τὴν καταπίπτουσαν ψυχήν. δεινὸν γάρ, δεινὸν τοῖς πονηροῖς τούτοις πάθεσι δοῦναι χώραν. διὸ χρὴ παντὶ τρόπῳ διακρούεσθαι καὶ ἐξωθεῖν αὐτῶν τὴν εἴσοδον. ὅταν γὰρ ἐπιλάβωνται τῆς ψυχῆς, καὶ κατακρατήσωσι, καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν, οὕτω λαμπρὰν τὴν φλόγα ἀνάπτουσι. διὸ παρακαλῶ πάντα ποιεῖν ὥστε ἀποτειχίζειν αὐτοῖς τὴν εἴσοδον, μηδὲ τούτῳ τῷ ψυχοφθόρῳ λογισμῷ παραμυθουμένους ἑαυτοὺς πᾶσαν ἐπεισάγειν πονηρίαν, λέγοντας· τί παρὰ τοῦτο, καὶ τί πρὸς ἐκεῖνο; τὰ γὰρ μυρία κακὰ ἐντεῦθεν τίκτεται. ὁ γὰρ διάβολος μιαρὸς ὤν, πολλῇ κέχρηται τῇ κακουργίᾳ καὶ εὐτονίᾳ καὶ συγκαταβάσει πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν, καὶ ἀπὸ τῶν μικροτέρων προσβάλλει. σκόπει δέ· ἠβούλετο τὸν Σαοὺλ εἰς ἐγγαστριμύθου ληρῳδίαν ἐμβαλεῖν. ἀλλὰ τοῦτο εἰ παρὰ τὴν ἀρχὴν συνεβούλευσεν, οὐκ ἂν προσέσχεν ἐκεῖνος. πῶς γὰρ ὁ καὶ ἐλαύνων αὐτάς; διὰ τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτὸν εἰσάγει. ἐπειδὴ γὰρ παρήκουσε

χ. τῷ ψυχ

χ. χαλιν

τοῦ Σαμουήλ, καὶ παρεσκεύασε μὴ περιμενομένου ἀνενεχθῆναι τὴν ὁλοκαύτωσιν, ἐγκαλούμενος φησὶν, ἡ ἀνάγκη τῶν πολεμίων ἐγένετο μείζων· καὶ δέον θρηνῆσαι, ἀλλ' ὡς οὐδὲν ἐργασάμενος διετέθη. πάλιν ἐκέλευσε τὰ κατὰ τοὺς Ἀμαληκίτας ὁ Θεός· ὁ δὲ καὶ ταῦτα παρέβη. ἐντεῦθεν εἰς τὰ κατὰ τοῦ Δαβὶδ ἐξέβη τολμήματα, καὶ οὕτως ἠρέμα καὶ κατὰ μικρὸν ὀλισθαίνων οὐκ ἔστη, ἕως εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον ἐλθὼν ἐνέβαλεν ἑαυτόν. οὕτω καὶ ἐπὶ τοῦ Κάϊν· οὐκ εὐθέως παρώρμησεν ἀνελεῖν τὸν ἀδελφὸν, ἐπεὶ οὐκ ἂν ἔπεισεν, ἀλλὰ πρότερον παρασκευάζει τὰ φαυλότερα προσενεγκεῖν, λέγων· οὐδὲν τοῦτο ἐστὶν ἁμάρτημα. δεύτερον, φθόνον καὶ βασκανίαν ἀνῆψεν, οὐδὲν οὐδὲ παρὰ τοῦτο λέγων. τρίτον, ἀνελεῖν ἔπεισε καὶ ἀρνήσασθαι τὴν μιαιφονίαν, καὶ οὐ πρότερον ἀπέστη, ἕως τὸν κολοφῶνα ἐπέθηκε τῶν κακῶν. διὸ χρὴ τὰς ἀρχὰς ἀνακρούεσθαι. μάλιστα μὲν γὰρ, εἰ καὶ ἐφ' ἑαυτῶν τὰ πρῶτα ἁμαρτήματα εἱστήκει, οὐδὲ οὕτω καταφρονεῖν ἐχρῆν τῶν πρώτων πλημμελημάτων· νυνὶ δὲ καὶ ἐπὶ μείζονα ἄνεισιν, ὅταν ἀμελῇ ἡ διάνοια. διὸ χρὴ πάντα ποιεῖν ὥστε τὰς ἀρχὰς αὐτῶν ἀναιρεῖν. μὴ γὰρ δὴ πρὸς τὴν φύσιν ἴδῃς τοῦ ἁμαρτήματος, ὅτι μικρὰ, ἀλλ' ὅτι μεγάλου γίνεται ῥίζα ἀμελουμένη. εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν· οὐ τοσαύτης δεῖ σπουδῆς τὰ μεγάλα πλημμελήματα, ὡς τὰ μικρὰ καὶ εὐτελῆ. ἐκεῖνα μὲν γὰρ αὐτὴ ἡ φύσις τῆς ἁμαρτίας ἀποστρέφεσθαι παρασκευάζει· τὰ δὲ μικρὰ αὐτῷ τούτῳ εἰς ῥαθυμίαν ἐμβάλλει, καὶ οὐκ ἀφίησι γενναίως διαναστῆναι πρὸς τὴν αὐτῶν ἀναίρεσιν. διὸ καὶ ταχέως γίνεται μεγάλα, καθευδόντων ἡμῶν. τοῦτο καὶ ἐν τοῖς σώμασι συμβαῖνον ἴδοι τις ἄν. οὕτω καὶ ἐπὶ τοῦ Ἰούδα τὸ μέγα τοῦτο ἐτέχθη κακόν. εἰ γὰρ μὴ ἔδοξεν αὐτῷ μικρὸν εἶναι τὸ κλέπτειν τῶν πενήτων τὰ χρήματα, οὐκ ἂν εἰς ταύτην ἐξηνέχθη τὴν προδοσίαν. εἰ μὴ μικρὸν ἔδοξεν εἶναι τοῖς Ἰουδαίοις τὸ ὑπὸ κενοδοξίας ἁλίσκεσθαι, οὐκ ἂν ἐξωλίσθησαν εἰς τὸ χριστοκτόνοι γενέσθαι. καὶ πάντα δὲ τὰ κακὰ ἐκ τούτου ἴδοι τις ἂν γινόμενα. οὐδεὶς γὰρ ταχέως καὶ ἀθρόον ἐπὶ τὴν κακίαν ἐκπηδᾷ. ἔχει γὰρ, ἔχει τινὰ αἰσχύνην ἐγκειμένην ἡμῖν ἡ ψυχὴ, καὶ πρὸς τὰ κακὰ αἰδῶ, καὶ ἀθρόον οὐκ ἂν τοσοῦτον ἀναισχυντήσειεν, ὡς ὑφ' ἓν ἅπαντα ῥῖψαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀπόλλυται, ὅταν ἀμελῇ. οὕτω καὶ εἰδωλολατρεία τῶν ἀνθρώπων εἰσῆλθεν ὑπὲρ μέτρον τιμωμένων, καὶ τῶν ζώντων καὶ τῶν ἀποθανόντων. οὕτω καὶ ξόανα προσεκυνήθη· οὕτω καὶ πορνεία ἐκράτησε, καὶ τὰ ἄλλα κακά. σκόπει δέ. ἐγέλασέ τις ἀκαίρως· ἐνεκάλεσεν ἕτερος· ἄλλος ἐξέλυσε τὸν φόβον, εἰπών· οὐδὲν παρὰ τοῦτο. τί γάρ ἐστι τὸ γελᾶν; τί γὰρ παρὰ τοῦτο γένοιτ' ἄν; ἀπὸ τούτου εὐτραπελία ἐτέχθη, ἐντεῦθεν αἰσχρολογία, εἶτα αἰσχραὶ πράξεις. πάλιν ἕτερος ἐγκαλούμενος ἐπὶ τῷ διαβάλλειν τὸν πλησίον καὶ λοιδορεῖσθαι καὶ κακηγορεῖν, κατεφρόνησεν, εἰπών· οὐδέν ἐστι τὸ κακῶς λέγειν. ἀπὸ τούτου μῖσος ἔτεκεν ἄφατον, ἔχθραν ἄσπονδον, λοιδορείας ἀπείρους· ἀπὸ τῶν λοιδορειῶν πληγάς· ἀπὸ τῶν πληγῶν φόνον πολλάκις. ἀπὸ μὲν οὖν τῶν μικρῶν οὕτω τὰ μεγάλα εἰσάγει ὁ πονηρὸς δαίμων ἐκεῖνος· ἀπὸ δὲ τῶν μεγάλων τὸ ἀπογινώσκειν, ἄλλην ταύτην μέθοδον οὐκ ἐλάττονα τῆς προτέρας εὑρών. οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν, ὡς τὸ ἀπογινώσκειν ἀπόλλυσιν. ὁ μὲν γὰρ πλημμελήσας, ἂν νήφῃ, ταχέως μετανοήσας διορθοῦται τὸ γεγενημένον· ὁ δὲ ἀπαγορεύσας καὶ μὴ μετανοῶν, διὰ τοῦτο ἐκπίπτει τῆς διορθώσεως ταύτης, οὐκ ἐπιτιθεὶς τὰ ἀπὸ τῆς μετανοίας φάρμακα. ἔχει καὶ τρίτην χαλεπωτάτην ἐνέδραν· οἷον, ὅταν εὐλαβείας σχῆμα περιθῇ τῷ ἁμαρτήματι. καὶ ποῦ τοσοῦτον ἴσχυσεν ὁ διάβολος, φησὶν, ὥστε μέχρι τούτων ἀπατῆσαι; ἄκουε οὖν καὶ φυλάττου αὐτοῦ τὰ νοήματα. προσέταξεν ὁ Χριστὸς διὰ Παύλου γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, καὶ μὴ ἀποστερεῖν ἀλλήλους, εἰ μὴ ἐκ συμφώνου· ἀλλά τινες ἔρωτι δῆθεν * ἐγκρατείας ἀποστᾶσαι τῶν ἰδίων ἀνδρῶν, ὡς εὐλαβές τι ποιοῦσαι, ὤθησαν ἐπὶ μοιχείαν ἑαυτάς. ἐννόησον γοῦν ἡλίκον κακὸν, πόνον τοσοῦτον ὑπομενούσας, ὡς τὰ μέγιστα ἠδικηκυίας ἐγκαλεῖσθαι, καὶ τὴν ἐσχάτην τίνειν δίκην, καὶ εἰς βάραθρον ἀπωλείας τοὺς συνοικοῦντας ὠθεῖν. ἕτεροι πάλιν νόμῳ νηστείας ἀπεχόμενοι σιτίων, κατὰ μικρὸν προῆλθον ἐπὶ τὸ βδελύττεσθαι ταῦτα· ὃ καὶ αὐτὸ μεγίστην φέρει τὴν κόλασιν. ταῦτα δὲ γίνεται, ὅταν * τὰς οἰκείας προλήψεις παρὰ τὰ ταῖς γραφαῖς δοκοῦντα κρατύνωσιν. ἐνόμισαν γοῦν τινες παρὰ Κορινθίοις, τελειότητος εἶναι τὸ πάντων ἀδιαφόρως ἀπογεύεσθαι, καὶ τῶν κεκωλυμένων· ἀλλ' ὅμως οὐκ ἦν τελειότητος τοῦτο, ἀλλὰ καὶ τῆς ἐσχάτης παρανομίας. διὰ τοῦτο καὶ σφοδρῶς αὐτοῖς ὁ Παῦλος ἐπιτιμᾷ, καὶ τῆς ἐσχάτης ἔλεγεν ὑπευθύνους δίκης εἶναι. ἕτεροι πάλιν εὐλαβείας εἶναι νομίζουσι, τὸ κομᾷν τὰς κεφαλάς. καὶ τοῦτο δὲ τῶν κεκωλυμένων ἐστὶ, καὶ πολλὴν ἔχον τὴν αἰσχύνην. πάλιν ἕτεροι τὸ λυπεῖσθαι ἐπὶ τοῖς ἁμαρτήμασιν ἀμέτρως ὡς κερδαλέον διώκουσιν· ἀλλὰ καὶ αὕτη μεθοδείας διαβολικῆς ἐστι, καὶ ἐδήλωσεν ὁ Ἰούδας· ἐντεῦθεν γὰρ καὶ ἀπήγξατο. διὰ τοῦτο καὶ Παῦλος ὑπὲρ τοῦ πεπορνευκότος ἐδεδοίκει μή τι πάθῃ τοιοῦτον, καὶ παρῄνει Κορινθίοις ταχέως αὐτὸν ἐξαρπάσαι, Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. εἶτα δεικνὺς ὅτι τοῦτο τῆς ἐνέδρας ἐστὶ τῆς ἐκείνου, φησίν· ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν, ὅτι μετὰ δόλου πολλοῦ προσβάλλει, φησίν. ἐπεὶ εἰ μετὰ παρρησίας καὶ φανερῶς ἐπολέμει, εὔκολος ἂν καὶ ῥᾳδία ὑπῆρχεν ἡ νίκη· μᾶλλον δὲ καὶ νῦν, ἐὰν νήφωμεν, εὔκολος ἔσται. καὶ γὰρ πρὸς ἑκάστην τῶν ἐφόδων τούτων καθώπλισεν ἡμᾶς ὁ Θεός. καὶ γὰρ πείθων μήτε τῶν μικρῶν τούτων καταφρονεῖν, ἄκουσον τί παραινεῖ λέγων· Ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν· καὶ ὁ ἰδὼν ἀκολάστοις ὀφθαλμοῖς, μοιχός ἐστιν ἀπηρτισμένος. καὶ τοὺς γελῶντας ταλανίζει, καὶ πανταχοῦ τὰς ἀρχὰς καὶ τὰ σπέρματα ἀναιρεῖ τῶν κακῶν, καὶ περὶ ἀργοῦ ῥήματός φησι διδόναι λόγον. διὰ τοῦτο καὶ ὁ Ἰὼβ, οὐ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τὰς ἐννοίας τῶν παίδων ἐθεράπευσεν. ὑπὲρ δὲ τοῦ μὴ ἀπογινώσκειν φησί· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; καὶ πάλιν· Οὐ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν· καὶ, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε· καὶ πάλιν, Χαρὰ γίνεται ἐν οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· καὶ πολλὰ ἕτερα τοιαῦτα ῥήματά τε καὶ παραδείγματα ἐν τῇ γραφῇ κεῖται. πρὸς δὲ τὸ σχήματι εὐλαβείας μὴ ἀπόλλυσθαι, ἄκουσον Παύλου λέγοντος· Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. ταῦτα οὖν εἰδότες, πάσαις ἐπιτειχίζωμεν ταῖς ὁδοῖς ταῖς παρατρεπούσαις τοὺς ῥαθύμους τὴν ἀπὸ τῶν γραφῶν σύνεσιν. μηδὲ λέγε· τί γάρ ἐστιν, ἐὰν ἴδω γυναῖκα καλὴν περιέργως; ἂν γὰρ τὴν ἐν καρδίᾳ μοιχείαν ἐργάσῃ, ταχέως καὶ τὴν ἐν σαρκὶ τολμήσεις. μὴ εἴπῃς, τί γάρ ἐστι τοῦτο, ἐὰν τὸν πένητα τοῦτον παραδράμω; ἂν γὰρ τοῦτον παραδράμῃς, καὶ τὸν ἕτερον· ἂν ἐκεῖνον, καὶ τὸν ἄλλον. μήτε δὴ αὖ πάλιν· τί γάρ, ἐὰν ἐπιθυμήσω τῶν τοῦ πλησίον; τοῦτο γὰρ, τοῦτο ἐποίησε τὸν Ἀχαὰβ ἀπολέσθαι· καίτοι τιμὴν κατέβαλεν, ἀλλὰ παρὰ ἄκοντος ἔλαβεν. οὐ γὰρ βιαζόμενον δεῖ ὠνεῖσθαι, ἀλλὰ πείθοντα. εἰ δὲ ὁ τὴν προσήκουσαν τιμὴν καταβαλὼν, οὕτω κατεδικάζετο, ἐπειδὴ παρὰ ἄκοντος ἔλαβεν· ὁ μηδὲ τοῦτο ποιῶν, καὶ παρὰ ἄκοντος ἁρπάζων, καὶ ταῦτα καὶ ἐν τῇ χάριτι πολιτευόμενος, τίνος οὐκ ἔσται κολάσεως ἄξιος; ἵν' οὖν μὴ κολαζώμεθα, βίας ἁπάσης καὶ ἁρπαγῆς καθαροὺς ἑαυτοὺς διατηροῦντες, καὶ μετὰ τῶν ἁμαρτημάτων καὶ τὰς ἀρχὰς αὐτῶν φυλαττόμενοι, μετὰ πολλῆς τῆς σπουδῆς ἐπιμελώμεθα ἀρετῆς. οὕτω γὰρ καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. η. λ. η. θ.
β. Κορ. β. ς. ζ.
Ματθ. ε. κβ. κη.
Ματθ. ιβ. λς.
Ἰὼβ α. ε.
Ἱερ. η. δ.
Ἰεζ. ιη. κγ.
Ψαλ. 4δ. η.
Λουκ. ιε. ζ.
β. Κορ. β. ζ.
γ. Βασ. κα.

Ὁμιλ. πζ. 27 ΤΟΤΕ ΟΙ ΣΤΡΑΤΙΩΤΑΙ ΤΟΥ ΗΓΕΜΟΝΟΣ

παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν, 28 Καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην. 29 Καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

Ὥσπερ ἔκ τινος συνθήματος ὁ διάβολος εἰς πάντας τότε ἐχόρευσεν. ἔστω γὰρ, Ἰουδαῖοι φθόνῳ καὶ βασκανίᾳ τηκόμενοι ἐπαροίνουν εἰς αὐτόν· οἱ στρατιῶται πόθεν καὶ ἐκ ποίας αἰτίας; οὐκ εὔδηλον ὅτι ὁ διάβολος ἦν ὁ τότε βακχεύων εἰς πάντας; καὶ γὰρ τέρψεις ἐποιοῦντο τὰς εἰς αὐτὸν ὕβρεις, ὠμοὶ καὶ ἀνήμεροί τινες ὄντες. δέον γὰρ συσταλῆναι, δέον δακρῦσαι, ὅπερ καὶ ὁ δῆμος ἔπαθε· τοῦτο μὲν οὐκ ἐποίησαν, τοὐναντίον δὲ ὕβριζον καὶ ἐνήλλοντο, ἴσως καὶ αὐτοὶ χαριζόμενοι τοῖς Ἰουδαίοις, ἢ καὶ οἰκείαν δυστροπίαν ἅπαντα πράττοντες. καὶ αἱ ὕβρεις διάφοροι καὶ ποικίλαι. τὴν γὰρ θείαν κεφαλὴν ἐκείνην ποτὲ μὲν ἐκολάφιζον· ποτὲ δὲ τῷ στεφάνῳ τῶν ἀκανθῶν καθύβριζον· ποτὲ δὲ τῷ καλάμῳ ἔτυπτον ἄνδρες μιαροὶ καὶ ἐναγεῖς. τίς ἡμῖν ἔσται λόγος λοιπὸν ἐπὶ ὕβρεσι κινουμένοις μετὰ τὸ τὸν Χριστὸν ταῦτα παθεῖν; καὶ γὰρ ἔσχατος ὅρος ὕβρεως τὸ γινόμενον ἦν. οὐδὲ γὰρ μέρος ἓν, ἀλλ' ἅπαν τὸ σῶμα ὅλον δι' ὅλου ὑβρίζετο· ἡ κεφαλὴ διὰ τοῦ στεφάνου καὶ καλάμου καὶ τοῦ κολαφίζεσθαι· τὸ πρόσωπον ἐμπτυόμενον· αἱ σιαγόνες ῥαπιζόμεναι· τὸ σῶμα ὅλον διὰ τῶν μαστίγων, διὰ τοῦ γυμνοῦσθαι, διὰ τῆς περιβολῆς τῆς χλαμύδος καὶ τῆς προσποιητῆς προσκυνήσεως· ἡ χεὶρ διὰ τοῦ καλάμου, ὃν ἔδωκαν αὐτῷ σκήπτρου κατέχειν αὐτόν· τὸ στόμα πάλιν διὰ τῆς τοῦ ὄξους προσκομιδῆς. τί τούτων γένοιτ' ἂν χαλεπώτερον; τί ὑβριστικώτερον; πάντα γὰρ λόγον ὑπερβαίνει τὰ γεγενημένα. καθάπερ γὰρ δεδοικότες μὴ δόξωσιν ἐλλιμπάνειν τι τοῦ * τολμήματος, τοὺς μὲν προφήτας οἰκείαις ἀνεῖλον χερσὶ, τοῦτον δὲ ψήφῳ δικαστοῦ, οὕτως ἅπαντα πράττουσι, καὶ αὐτόχειρες γίνονται, καὶ κατακρίνουσι παρ' ἑαυτοῖς καὶ καταδικάζουσι, καὶ παρὰ τῷ Πιλάτῳ, λέγοντες· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· καὶ ἐνάλλονται, καὶ ἐνυβρίζουσι, δι' ἑαυτῶν " δεσμοῦντες, ἀπάγοντες, καὶ τῶν ὕβρεων τῶν ὑπὸ τῶν στρατιωτῶν αἴτιοι καθίστανται· καὶ προσηλοῦσι καὶ λοιδοροῦνται καὶ ἐμπτύουσι καὶ κωμῳδοῦσιν. οὐδὲν γὰρ ἐνταῦθα ὁ Πιλάτος εἰσήνεγκεν, ἀλλὰ πάντα αὐτοὶ ἐποίουν, καὶ κατήγοροι, καὶ δικασταὶ, καὶ δήμιοι, καὶ πάντα γινόμενοι. καὶ ταῦτα ἀναγινώσκεται παρ' ἡμῖν, ὅταν πάντες συνέρχωνται. ἵνα γὰρ μὴ λέγωσιν Ἕλληνες, ὅτι τὰ μὲν λαμπρὰ καὶ περιφανῆ, οἷον τὰ σημεῖα καὶ τὰ θαύματα, ἐπιδείκνυσθε τοῖς δήμοις καὶ τοῖς λαοῖς, τὰ δὲ ἐπονείδιστα ταῦτα ἀποκρύπτεσθε, ᾠκονόμησεν ἡ τοῦ πνεύματος χάρις, ἐν πανδήμῳ ἑορτῇ, ὅταν ἄνδρες παμπληθεὶ καὶ γυναῖκες παρῶσι, καὶ πάντες ἁπλῶς κατὰ τὴν μεγάλην τοῦ πάσχα ἑσπέραν, τότε ταῦτα πάντα ἀναγινώσκεσθαι. ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, τότε λαμπρᾷ ταῦτα ἀνακηρύττεται τῇ φωνῇ· καὶ τούτων ἀναγινωσκομένων καὶ πᾶσι γνωριζομένων, ὁ Χριστὸς πιστεύεται εἶναι Θεός· καὶ μετὰ τῶν ἄλλων καὶ διὰ ταῦτα προσκυνεῖται, ὅτι τοσοῦτον ὑπὲρ ἡμῶν καταβῆναι κατηξίωσεν ὡς καὶ ταῦτα παθεῖν, παιδεύων ἡμᾶς εἰς πᾶσαν ἀρετήν. ταῦτα τοίνυν διὰ παντὸς ἀναγινώσκωμεν. καὶ γὰρ πολὺ τὸ κέρδος, μεγίστη ἐντεῦθεν ἡ ὠφέλεια. ὅταν γὰρ ἴδῃς καὶ σχήμασι καὶ πράγμασιν αὐτὸν προσκυνούμενον καὶ χλευαζόμενον, καὶ μετὰ τοσαύτην κωμῳδίαν καὶ κονδυλιζόμενον καὶ τὰ ἔσχατα πάσχοντα, κἂν αὐτὸς λίθος ᾖς, κηροῦ γενήσῃ παντὸς " μαλακώτερος, καὶ πᾶσαν ἐκβαλεῖς ἀπὸ τῆς ψυχῆς φλεγμονήν. ἄκουε τοίνυν καὶ τὴν ἑξῆς. ἐπειδὴ γὰρ ἐνέπαιξαν, ἤγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι, φησί, καὶ γυμνώσαντες ἔλαβον αὐτοῦ τὰ ἱμάτια, καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ, πότε ἀποπνεύσει· καὶ διανέμονται τὰ ἱμάτια αὐτοῦ, ὅπερ ἐπὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀπερριμμένων γίνεται καταδίκων, καὶ οὐδένα ἐχόντων, καὶ ἐπ' ἐρημίας ὑπαρχόντων ἁπάσης. " μερίζονται τὰ ἱμάτια, δι' ὧν τηλικαῦτα γέγονε θαύματα· ἀλλ' οὐδὲν ἐνήργει τότε, τοῦ Χριστοῦ κατέχοντος τὴν ἀπόρρητον δύναμιν. οὐ μικρὰ καινὴ δὲ προσθήκη καὶ αὕτη παρανομίας ἦν. ὡς γὰρ εἰς ἄτιμον, καὶ ἀπερριμμένον, ὅπερ ἔφην, καὶ τὸν πάντων εὐτελέστατον, οὕτω πάντα ἐτόλμων. εἰς γοῦν τοὺς λῃστὰς οὐδὲν τοιοῦτον εἰργάσαντο, ἀλλ' εἰς τὸν Χριστὸν ἅπαντα ταῦτα ἐτόλμων· καὶ μέσον αὐτὸν ἐσταύρωσαν, ἵνα τῇ δόξῃ τῇ ἐκείνων κοινωνήσῃ.

34 Καὶ ἔδωκαν αὐτῷ ὄξος πιεῖν, καὶ τοῦτο ἐνυβρίζοντες. Ὁ δὲ οὐκ ἠθέλησεν. Ἕτερος δέ φησιν, ὅτι γευσάμενος εἶπε, Τετέλεσται· ἡ προφητεία πεπλήρωται ἡ περὶ τούτου. Ἔδωκαν γάρ, φησιν, εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. οὐδὲ ἐκεῖνος δὲ δείκνυσιν ὅτι ἔπιεν. οὐδὲν γὰρ διέστηκε τὸ ἁπλῶς γεύσασθαι τοῦ μὴ πιεῖν, ἀλλ' εἰς ἓν καὶ τὸ αὐτὸ δηλοῖ· ἀλλ' ὅμως οὐδὲ ἐνταῦθα ἵστανται τῆς παρανομίας, ἀλλὰ καὶ γυμνώσαντες καὶ σταυρώσαντες, καὶ τὸ ὄξος προσενεγκόντες, περαιτέρω προβαίνουσι· καὶ ἐπὶ σταυροῦ βλέποντες ἀνεσκολοπισμένον, ὀνειδίζουσι καὶ αὐτοὶ καὶ οἱ παραπορευόμενοι, ὃ πάντων χαλεπώτερον ἦν, τὸ καὶ ἐπὶ αἰτίᾳ ἀπατεῶνος καὶ πλάνου ταῦτα παθεῖν, καὶ ὡς ἀλαζόνα καὶ εἰκῆ κομπάζοντα, ἅπερ ἔλεγε. διὰ ταῦτα αὐτὸν καὶ ἐσταύρουν δημοσίᾳ, ἵνα πάντων ὁρώντων ἐκπομπεύωσι. διὰ τοῦτο καὶ χερσὶ στρατιωτικαῖς, ἵνα καὶ ἐν δημοσίῳ δικαστηρίῳ τούτων τολμωμένων, τὰ τῆς παρανομίας ἐπιτείνηται. καίτοι τίνα οὐκ ἂν ἐπέκαμψεν ὁ ὄχλος ὁ ἐπακολουθῶν αὐτῷ καὶ θρηνῶν; ἀλλ' οὐχὶ καὶ τοὺς θῆρας τούτους. διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐκείνους μὲν ἀποκρίσεως ἀξιοῖ, τούτους δὲ οὐκέτι. μετὰ γὰρ τὸ πρᾶξαι ἅπερ ἤθελον, καὶ τὴν δόξαν αὐτοῦ σπουδάζουσι λυμήνασθαι, δεδοικότες αὐτοῦ τὴν ἀνάστασιν. διὰ τοῦτο δημοσίᾳ ταῦτα λέγουσι, καὶ λῃστὰς συνεσταύρωσαν, καὶ βουλόμενοι δεῖξαι ἀπατεῶνα, ἔλεγον·

Ἰωαν. ιθ. λ.
Ψαλμ. ξη. κβ.

40 Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

Ἐπειδὴ γὰρ εἰπόντες τῷ Πιλάτῳ ἀνελεῖν τὴν αἰτίαν (αὕτη δὲ ἦν τὸ γεγράφθαι, ὁ βασιλεὺς τῶν Ἰουδαίων) οὐδὲν ἴσχυσαν, ἀλλ' ἐνεστήκει, λέγων· ὃ γέγραφα, γέγραφα· αὐτοὶ λοιπὸν ἐπειρῶντο, δι' ὧν ἐχλεύαζον, δεῖξαι ὅτι οὐκ ἔστι βασιλεύς. διὸ καὶ ἐκεῖνα ἔλεγον καὶ ταῦτα·

42 Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. Καὶ πάλιν, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· Καὶ τὰ πρότερα σημεῖα ἐντεῦθεν ἐπιχειροῦντες διαβάλλειν. καὶ πάλιν, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν. ὦ μιαροὶ καὶ παμμίαροι· τί δὲ, οἱ προφῆται οὐκ ἦσαν προφῆται; οὐδὲ οἱ δίκαιοι, δίκαιοι, ἐπειδὴ αὐτοὺς οὐκ ἐξήρπασε τῶν κινδύνων ὁ Θεός; ἀλλὰ μὴν ἦσαν καὶ αὐτοὶ ταῦτα πάσχοντες. τί οὖν ἴσον τῆς ἀνοίας ὑμῶν γένοιτ' ἄν; εἰ γὰρ ἐκείνων οὐκ ἐλυμήνατο παρ' ὑμῖν τὴν δόξαν ἡ τῶν κινδύνων ἐπαγωγή, ἀλλ' ἦσαν προφῆται καὶ πάσχοντες ἅπερ ἔπασχον· πολλῷ μᾶλλον ἐπὶ τούτου οὐκ ἐχρῆν ὑμᾶς σκανδαλίζεσθαι, καὶ δι' ὧν ἐποίησε, καὶ δι' ὧν εἶπεν ἀεὶ διορθωσαμένου ταύτην ὑμῶν τὴν ὑπόνοιαν. ἀλλ' ὅμως καὶ τούτων λεγομένων καὶ γινομένων οὐδὲν ἴσχυσαν, οὐδὲ πρὸς αὐτὸν τὸν καιρόν. ὁ γοῦν ἐν ἐσχάτῃ πονηρίᾳ κατασαπεὶς, καὶ ἐν φόνοις καὶ τυμβωρυχίαις τὸν ἅπαντα καταναλώσας βίον, ὅτε ταῦτα ἐλέγετο, τότε αὐτὸν ὡμολόγησε, καὶ βασιλείας ἐμνημόνευσε, καὶ ὁ δῆμος αὐτὸν ὠλοφύρετο. καίτοιγε ἐδόκει τἀναντία μαρτυρεῖν τὰ γινόμενα παρὰ τοῖς οὐκ εἰδόσι τοῦ μυστηρίου τὴν οἰκονομίαν, ὅτι ἀσθενὴς καὶ οὐδὲν δυνάμενος· ἀλλ' ὅμως ἡ ἀλήθεια καὶ διὰ τῶν ἐναντίων ἴσχυσε. ταῦτα οὖν ἀκούοντες, ὁπλίζωμεν ἑαυτοὺς κατὰ παντὸς θυμοῦ, κατὰ πάσης ὀργῆς. κἂν φλεγμαίνουσαν ἴδῃς τὴν καρδίαν σου, σφράγισον τὸ στῆθος, τὸν σταυρὸν ἐπιθείς· ἀνάμνησόν τι τῶν τότε συμβάντων, καὶ ὥσπερ κονιορτὸν ἐκβαλεῖ πάντα θυμὸν τῶν γεγενημένων τούτων ἡ μνήμη. ἐννόησον τὰ ῥήματα, τὰ πράγματα· ἐννόησον ὅτι ἐκεῖνος δεσπότης, σὺ δὲ δοῦλος· ἐκεῖνος διὰ σὲ, σὺ δὲ διὰ σαυτόν· ἐκεῖνος ὑπὲρ τῶν εὐεργετηθέντων καὶ σταυρωσάντων, σὺ δὲ ὑπὲρ ἑαυτοῦ· ἐκεῖνος ὑπὲρ τῶν ὑβρικότων, σὺ δὲ πολλάκις ὑπὲρ αὐτῶν τῶν ἀδικηθέντων· ἐκεῖνος τῆς πόλεως ὁρώσης ἁπάσης, μᾶλλον δὲ τοῦ δή-

μου παντὸς τῶν Ἰουδαίων καὶ τῶν ξένων καὶ τῶν ἐπιχωρίων, ἐφ' ὧν τὰ φιλάνθρωπα ἐφθέγξατο ῥήματα, σὺ δὲ ὀλίγων παρόντων· καὶ τὸ μεῖζον εἰς ὕβριν, ὅτι καὶ τοὺς μαθητὰς αὐτὸν ἐγκαταλιπεῖν. Οἱ μὲν γὰρ ἔμπροσθεν θεραπεύοντες ἀπεπήδησαν· οἱ δὲ ἐχθροὶ καὶ πολέμιοι ἀνεσκολοπισμένον ἐν μέσῳ λαβόντες, ὕβριζον, ἐλοιδόρουν, ἐκωμῴδουν, ἐγέλων, ἐχλεύαζον, Ἰουδαῖοι, στρατιῶται, κάτωθεν, ἄνωθεν, ἑκατέρωθεν οἱ λῃσταί. καὶ γὰρ οἱ λῃσταὶ ὕβριζον αὐτόν. ὠνείδιζον ἀμφότεροι. πῶς οὖν ὁ Λουκᾶς φησιν, ὅτι ὁ εἷς ἐπετίμα; πλὴν ἀμφότερα γέγονε. πρότερον γὰρ ἀμφότεροι ὠνείδιζον, ὕστερον δὲ οὐκέτι. ἵνα γὰρ μὴ νομίσῃς ἔκ τινος συνθήματος τὸ πρᾶγμα γεγενῆσθαι, ἢ μηδὲ εἶναι λῃστὴν τὸν λῃστήν, ἀπὸ τῆς ὕβρεως δεικνυσί σοι, ὅτι ἄνω ἐπὶ τοῦ σταυροῦ λῃστὴς ἦν καὶ ἐχθρός, ἀλλ' ἀθρόον μετεβλήθη. Ταῦτα οὖν ἅπαντα λογιζόμενος φιλοσόφει. τί γὰρ πάσχεις τοιοῦτον, οἷον ἔπαθεν ὁ δεσπότης σου; δημοσίᾳ ὑβρίσθης; ἀλλ' οὐ τοιαῦτα. χλευάζῃ; ἀλλ' οὐ πᾶν τὸ σῶμα, οὐδὲ οὕτω μαστιζόμενος καὶ γυμνούμενος. Εἰ δὲ καὶ ἐκολαφίσθης, ἀλλ' οὐχ οὕτω. προστίθει δέ μοι, καὶ ὑπὸ τίνων, καὶ διὰ τί, καὶ πότε, καὶ τίς, καὶ τὸ δὴ χαλεπώτατον, ὅτι τούτων γινομένων οὐδεὶς ἐνεκάλει, οὐδεὶς ἐμέμφετο τὰ γινόμενα· ἀλλὰ τοὐναντίον ἐπῄνουν ἅπαντες καὶ συνεχλεύαζον, καὶ συνέσκωπτον, καὶ ὡς ἀλαζόνα καὶ ἀπατεῶνα καὶ πλάνον καὶ οὐκ ἔχοντα δεῖξαι ἐπὶ τῶν ἔργων, ἅπερ εἶπεν, οὕτως αὐτὸν ἐλοιδόρουν. ὁ δὲ σιγᾷ πρὸς πάντα, φάρμακα μέγιστα κατασκευάζων ἡμῖν μακροθυμίας.

Λουκ. κγ. μ.

ΗΘΙΚΟΝ

Ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες, οὐδὲ πρὸς οἰκέτας καρτεροῦμεν, ἀλλὰ τῶν ἀγρίων ὄνων μεῖζον ἀποπηδῶμεν καὶ λακτίζομεν· ὑπὲρ μὲν τῶν εἰς ἡμᾶς ὠμοὶ καὶ ἀπάνθρωποι ὄντες, ὑπὲρ δὲ τῶν εἰς Θεὸν οὐ πολλὴν ποιούμενοι λόγον. καὶ περὶ φίλους δὲ ὁμοίως διακείμεθα. κἂν λυπήσῃ τις, οὐ φέρομεν· κἂν ὑβρίσῃ, θηρίων ἀγριαινόμεθα μᾶλλον, οἱ καθ' ἑκάστην ταῦτα ἀναγινώσκοντες τὴν ἡμέραν. ὁ μαθητὴς προέδωκεν· οἱ λοιποὶ καταλιπόντες ἔφυγον· οἱ εὐεργετηθέντες ἐνέπτυσαν· ὁ δοῦλος τοῦ ἀρχιερέως ἐρράπιζεν· οἱ στρατιῶται ἐκολάφιζον· οἱ παριόντες ἔσκωπτον καὶ ἐλοιδόρουν· οἱ λῃσταὶ κατηγόρουν· καὶ πρὸς οὐδένα ἐξέβαλε ῥῆμα, ἀλλὰ τῇ σιγῇ ἅπαντας ἐνίκα, σὲ παιδεύων διὰ τῶν ἔργων, ὅτι ὅσῳ ἂν ἐνέγκῃς πρᾴως, τοσούτῳ μᾶλλον τῶν κακῶς ποιούντων κρατεῖς, καὶ παρὰ πᾶσιν ἔσῃ θαυμαστός. τίς γὰρ οὐ θαυμάσεται τὸν ἐπιεικῶς φέροντα τὰς παρὰ τῶν ἐπηρεαζόντων ὕβρεις; ὥσπερ γὰρ καὶ εἰ δικαίως τις πάσχει, τὸ κακὸν ἐνεγκὼν πρᾴως, νομίζεται παρὰ τοῖς πολλοῖς ἀδίκως πάσχειν· οὕτω κἂν ἀδίκως πάσχῃ, θρασύνηται δέ, οὐ δικαίως πάσχειν ὑπόνοιαν λήψεται, καὶ καταγέλαστος ἔσται, ὡς αἰχμάλωτος συρόμενος ὑπὸ τῆς ὀργῆς, καὶ τὴν εὐγένειαν ἀπολλὺς τὴν ἑαυτοῦ. τὸν γὰρ τοιοῦτον οὐδὲ ἐλεύθερον δεῖ προσειπεῖν, κἂν μυρίων κατάρχῃ δούλων. ἀλλὰ σφοδρῶς σε παρώξυνεν ὁ δεῖνα; καὶ τί τοῦτο; τότε γὰρ δεῖ τὴν φιλοσοφίαν ἐνδείκνυσθαι· ὡς ὅταν μηδεὶς ὁ παροξύνων ᾖ, καὶ τὰ θηρία ὀψόμεθα ἥμερα. οὔτε γὰρ ἐκεῖνα ἀεὶ ἀγριοῦται, ἀλλ' ὅταν αὐτά τις διεγείρῃ. καὶ ἡμεῖς τοίνυν, ἂν τότε μόνον ἡσυχάζωμεν, ὅταν μηδεὶς ὁ παροξύνων ᾖ, τί τὸ πλέον; ἐκεῖνα μὲν γὰρ καὶ δικαίως ἀγριαίνει πολλάκις, καὶ πολλὴν ἔχει τὴν ἀπολογίαν. καὶ γὰρ κινούμενα καὶ νυττόμενα διεγείρεται. χωρὶς δὲ τούτων, καὶ λογισμῶν ἐστιν ἐστερημένα, καὶ ἐν τῇ φύσει τὸ θηριοῦσθαι ἔχει. σὺ δὲ πόθεν, εἰπέ μοι, θηριούμενος καὶ ἀγριαίνων δυνήσῃ συγγνώμης τυχεῖν; τί πεπονθὼς δεινόν; ἡρπάγης; διὰ τοῦτο μὲν οὖν τοῦτο δεῖ ἐνεγκεῖν, ὥστε μειζόνως κερδᾶναι. ἀλλὰ δόξης ἀπεστερήθης; καὶ τί τοῦτο; οὐδὲν γὰρ ἠλάττωται ταύτῃ τὰ κατὰ σέ, ἐὰν φιλοσοφῇς. Εἰ δὲ οὐδὲν πάσχεις δεινόν, πόθεν ὀργίζῃ τῷ μηδέν σε διαθέντι κακόν, ἀλλὰ καὶ ὠφεληκότι; οἱ μὲν γὰρ τιμῶντες ἡμᾶς μὴ νήφοντας, καὶ χαυνοτέρους ποιοῦσιν· οἱ δὲ ὑβρίζοντες καὶ καταφρονοῦντες, ἡμᾶς ἑαυτοῖς προσέχοντας καρτερικωτέρους ἐργάζονται. οἱ γὰρ δὴ ῥᾴθυμοι τιμώμενοι μᾶλλον ἀδικοῦνται, ἢ ὑβριζόμενοι. καὶ οὗτοι μὲν, ἐὰν νήφωμεν, αἴτιοι γίνονται φιλοσοφίας ἡμῖν· ἐκεῖνοι δὲ τὸν τῦφον ἡμῶν ἐπαίρουσιν, ἀλαζονείας καὶ κενοδοξίας καὶ βλακείας πλήρεσι, καὶ μαλακωτέραν ἡμῶν ἐργάζονται τὴν ψυχήν. καὶ μαρτυροῦσιν οἱ πατέρες οἱ τοὺς ἑαυτῶν υἱοὺς οὐ τοσαῦτα κολακεύοντες ὅσα ὑβρίζουσι, δεδοικότες μή τινα ἐντεῦθεν δέξωνται βλάβην, καὶ οἱ διδάσκαλοι τούτῳ πρὸς αὐτοὺς κέχρηνται τῷ φαρμάκῳ. ὥστε εἰ χρὴ ἀποστρέφεσθαι, κολακεύοντας μᾶλλον, ἢ ὑβρίζοντας χρή. μείζονα γὰρ φέρει λύμην τῆς ὕβρεως τοῦτο τὸ δέλεαρ τοῖς μὴ προσέχουσι, καὶ δυσκολώτερον τοῦτο κατασχεῖν, ἢ ἐκείνου τοῦ πάθους. καὶ ὁ μισθὸς δὲ πολλῷ πλείων ἐντεῦθεν, καὶ τὸ θαῦμα πλέον. καὶ γὰρ θαυμαστότερον ἰδεῖν ἄνθρωπον ὑβριζόμενον καὶ μὴ κινούμενον, ἢ ἄνθρωπον πληττόμενον καὶ μὴ καταπίπτοντα. καὶ πῶς δυνατὸν μὴ κινηθῆναι, φησιν; ὕβρισέ τις; τὸ σημεῖον ἐπίθες τοῦ σταυροῦ τῷ στήθει· ἀναμνήσθητι πάντων τῶν τότε γινομένων, καὶ πάντα σβέννυται. μὴ ἐννοήσῃς τὰς ὕβρεις μόνον, ἀλλ' εἰ καί τι σοι χρηστὸν γέγονέ ποτε παρὰ τοῦ ὑβρικότος, καὶ εὐθέως γενήσῃ πρᾶος· μᾶλλον δὲ, ἐννόησον πρὸ πάντων τὸν τοῦ Θεοῦ φόβον, καὶ ταχέως ἔσῃ μετριώτερος καὶ ἐπιεικής. μετὰ τούτων καὶ ἀπὸ τῶν οἰκετῶν τῶν σῶν λάμβανε τὴν ὑπὲρ τούτων νουθεσίαν. καὶ ὅταν ἴδῃς σαυτὸν μὲν ὑβρίζοντα, ἐκεῖνον δὲ σιγῶντα, ἐννόησον ὅτι δυνατὸν φιλοσοφεῖν, καὶ κατάγνωθι σαυτοῦ τραχυνομένου, καὶ ἐν αὐτῷ τῷ καιρῷ τῶν ὕβρεων παιδεύθητι μὴ ὑβρίζειν, καὶ οὕτως οὐδὲ ὑβριζόμενος ἀλγήσεις. ἐννόησον ὅτι ἐξέστηκεν ὁ ὑβρίζων καὶ μαίνεται, καὶ οὐκ ἀγανακτήσεις ὑβριζόμενος· ἐπεὶ καὶ οἱ δαιμονῶντες τύπτουσιν ἡμᾶς, καὶ οὐ μόνον οὐ κινούμεθα, ἀλλὰ καὶ ἐλεοῦμεν αὐτούς. τοῦτο καὶ σὺ ποίησον· ἐλέησον τὸν ὑβρίζοντα. δεινῷ γὰρ θηρίῳ, τῷ θυμῷ κατέχεται· χαλεπῷ δαίμονι, τῇ ὀργῇ. λῦσον αὐτὸν ἐνεργούμενον ὑπὸ δαίμονος χαλεποῦ, καὶ ἐν βραχεῖ διαφθειρόμενον. τοιοῦτον γὰρ τοῦτο τὸ νόσημα, ὡς μηδὲ χρόνου δεῖσθαι εἰς ἀπώλειαν τοῦ ἁλόντος. διὸ καί τις ἔλεγεν· Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις αὐτῷ· τούτῳ αὐτοῦ μάλιστα δεικνὺς τὸ τυραννικὸν, ὅτι ἐν βραχεῖ καιρῷ μεγάλα ἐργάζεται κακὰ, καὶ οὐ δεῖται πολλῆς τῆς διατριβῆς· ὡς εἴγε πρὸς τὴν ἰσχὺν καὶ μονὴ εἴη, καὶ δυσκαταγώνιστον ἔσται. ἠβουλόμην δεῖξαι, τίς μὲν ὁ ὑβρίζων, τίς δὲ ὁ φιλοσοφῶν, καὶ γυμνὴν εἰς μέσον ἀγαγεῖν τὴν ἑκατέρου ψυχήν. εἶδες γὰρ ἂν τὴν μὲν ἐοικυῖαν πελάγει κλυδωνιζομένῳ, τὴν δὲ λιμένι ταραχῆς ἀπηλλαγμένῳ. οὔτε γὰρ ταράττεται ὑπὸ τῶν πονηρῶν τούτων πνευμάτων, καὶ αὐτὰ καταλύει ῥᾳδίως. καὶ γὰρ οἱ ὑβρίζοντες πάντα ποιοῦσιν ὥστε δακεῖν. ὅταν οὖν ταύτης ἐκπέσωσι τῆς ἐλπίδος, καὶ αὐτοὶ λοιπὸν καταλύουσι, καὶ διορθωθέντες ἀπέρχονται. οὐ γάρ ἐστιν ἄνθρωπον ὀργιζόμενον μὴ σφόδρα καταγινώσκεσθαι ἑαυτοῦ. καὶ γὰρ εἰ ἐπεξιέναι δέῃ, ἔξεστι χωρὶς ὀργῆς τοῦτο ποιῆσαι, καὶ εὐκολώτερον καὶ συνετώτερον, ἢ μετ' ὀργῆς, καὶ μηδὲν παθεῖν ἀηδές. ἂν γὰρ ἐθέλωμεν, παρ' ἡμῶν αὐτῶν τὰ ἀγαθὰ ἔσται, καὶ αὐτάρκεις ἐσόμεθα μετὰ τῆς τοῦ Θεοῦ χάριτος πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν καὶ τιμήν. τί γὰρ ζητεῖς τὴν παρ' ἑτέρου δόξαν; σὺ σεαυτὸν τίμησον, καὶ οὐδείς σε ὑβρίσαι δυνήσεται. ἂν δὲ σὺ σαυτὸν ἀτιμάζῃς, κἂν ἅπαντές σε τιμήσωσιν, οὐ τιμηθήσῃ. ὥσπερ γὰρ ἐὰν μὴ ἑαυτοὺς κακῶς διαθῶμεν, οὐδεὶς ἡμᾶς ἕτερος διαθήσει· οὕτως, ἐὰν μὴ ἑαυτοὺς ὑβρίσωμεν, οὐδεὶς ἡμᾶς ἕτερος καταισχυνεῖ. ἔστω γάρ τις ἀνὴρ θαυμαστὸς καὶ μέγας, καὶ πάντες αὐτὸν μοιχὸν καλείτωσαν, κλέπτην, τυμβωρύχον, ἀνδροφόνον, λῃστήν· ἐκεῖνος δὲ μήτε παροξυνέσθω, μήτε ἀγανακτείτω, μηδὲ συνειδέτω τι τοιοῦτον ἑαυτῷ· ποίαν ἐντεῦθεν ὕβριν ὑπομενεῖ; πάντως οὐδεμίαν. τί οὖν, ἐὰν πολλοὶ τοιαύτην περὶ αὐτοῦ δόξαν ἔχωσι, φησιν; οὐδὲ οὕτως ὑβρίσθη, ἀλλ' ἐκεῖνοι ἑαυτοὺς κατῄσχυναν, τὸν οὐ τοιοῦτον τοιοῦτον νομίζοντες. εἰπὲ γάρ μοι, εἴ τις τὸν ἥλιον σκοτεινὸν εἶναι νομίζοι, ἆρα τὸ ἄστρον διέβαλεν, ἢ ἑαυτόν; ἑαυτὸν δηλονότι, πονηροῦ δόξαν ἢ μαινομένου ἑαυτῷ περιθείς· οὕτω καὶ οἱ τοὺς πονηροὺς ἀγαθοὺς νομίζοντες, καὶ οὗτοι τοὐναντίον ἑαυτοὺς καταισχύνουσι. διὸ χρὴ πλείονα σπουδὴν ποιεῖσθαι, ὥστε τὸ συνειδὸς ἡμῶν ἐκκαθαίρειν, καὶ μηδεμίαν καθ' ἡμῶν αὐτῶν παρέχειν λαβὴν, μηδὲ ὑποψίαν πονηράν· εἰ δὲ ἕτεροι βούλονται μαίνεσθαι καὶ οὕτω διαφθει-

Σειρ. α. κγ.

ἀνθρώπων ἡμῶν, μὴ σφόδρα φροντίζειν μηδὲ ἀλγεῖν. ὁ μὲν γὰρ πονηρὰν δόξαν λαβὼν ἀγαθὸς ὤν, οὐδὲν ἐντεῦθεν βλάπτεται εἰς τὸ εἶναι τοιοῦτος οἷός ἐστιν· ὁ δὲ ὑποπτεύσας εἰκῇ καὶ μάτην, τὴν ἐσχάτην ἐδέξατο λύμην· ὥσπερ οὖν καὶ ὁ πονηρὸς, ἐὰν ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύηται, οὐδὲν ἐντεῦθεν κερδανεῖ, ἀλλὰ καὶ κρίμα ἕξει μεῖζον, καὶ εἰς πλείονα ἥξει ῥᾳθυμίαν. ὁ μὲν γὰρ ὢν τοιοῦτος καὶ ὑποπτευόμενος, κἂν ταπεινωθείη καὶ ἐπιγνοίη τὰ ἁμαρτήματα αὐτοῦ· ὅταν δὲ λανθάνῃ, εἰς ἀναλγησίαν ἐκπίπτει. εἰ γὰρ πάντων κατηγορούντων μόλις διανίστανται οἱ πλημμελοῦντες εἰς τὸ κατανύττεσθαι, ὅταν μὴ μόνον μὴ κατηγορῶσιν, ἀλλὰ καὶ ἐπαινῶσί τινες αὐτοὺς, πότε διαβλέψαι δυνήσονται οἱ τῇ κακίᾳ συζῶντες; οὐκ ἀκούεις ὅτι καὶ Παῦλος τοῦτο ἐγκαλεῖ, ὅτι τὸν πεπορνευκότα οὐ μόνον οὐκ ἠφίεσαν ἐπιγνῶναι τὸ οἰκεῖον ἁμάρτημα Κορίνθιοι, ἀλλὰ τιμῶντες καὶ κροτοῦντες αὐτὸν καὶ ἐπέτεινον εἰς κακίαν ἐντεῦθεν; διὸ παρακαλῶ, τὰς τῶν πολλῶν ὑπονοίας ἀφέντες, καὶ τὰς ὕβρεις καὶ τὰς τιμὰς, ἓν σπουδάζωμεν μόνον, τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρὸν, μηδὲ ἑαυτοὺς καθυβρίζειν. οὕτω γὰρ καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι πολλῆς ἀπολαυσόμεθα δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι ἡ δόξα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. α. Κορ. ε. α. β.

Ὁμιλ. πη.

45 ΑΠΟ ΔΕ ΕΚΤΗΣ ΩΡΑΣ ΣΚΟΤΟΣ ΕΓΕΝΕΤΟ ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης. 46 Περὶ δὲ τὴν ἐννάτην ὥραν ἔκραξεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, καὶ εἶπεν· Ἠλὶ, Ἠλὶ, λαμμασαβαχθανί· τουτέστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; 47 Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, καὶ τὰ ἑξῆς.

Τοῦτό ἐστι τὸ σημεῖον, ὅπερ ἔμπροσθεν αἰτοῦσιν ὑπέσχετο δώσειν, λέγων· Γενεὰ σκολιὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· τὸν σταυρὸν λέγων καὶ τὸν θάνατον καὶ τὸν τάφον καὶ τὴν ἀνάστασιν. καὶ πάλιν ἑτέρως δηλῶν τοῦ σταυροῦ τὴν ἰσχὺν, ἔλεγεν· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅταν σταυρώσητέ με καὶ νομίσητε περιγεγενῆσθαί μου, τότε μάλιστα εἴσεσθέ μου τὴν ἰσχύν. μετὰ γὰρ τὸ σταυρωθῆναι ἡ πόλις ἀπώλετο, τὰ Ἰουδαϊκὰ ἐπαύσατο, τῆς πολιτείας καὶ τῆς ἐλευθερίας ἐξέπεσον τῆς ἑαυτῶν, τὸ κήρυγμα ἤνθησε καὶ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐξετάθη ὁ λόγος· καὶ γῆ καὶ θάλαττα, καὶ ἡ οἰκουμένη καὶ ἡ ἀοίκητος τὴν δύναμιν αὐτοῦ διὰ παντὸς ἀνακηρύττουσι. ταῦτά τε οὖν φησι, καὶ τὰ παρ' αὐτὸν τὸν καιρὸν τοῦ σταυροῦ συμβάντα. καὶ γὰρ πολλῷ θαυμαστότερον ἐπὶ τοῦ σταυροῦ προσηλωμένου ταῦτα γενέσθαι, ἢ βαδίζοντος ἐπὶ τῆς γῆς. οὐ ταύτῃ δὲ μόνον τὸ παράδοξον ἦν, ἀλλ' ὅτι καὶ ἐκ τοῦ οὐρανοῦ γέγονεν, ὅπερ ἐζήτουν· καὶ ἐπὶ πᾶσαν τὴν οἰκουμένην, ὅπερ οὐδέποτε πρότερον συνέβη, ἀλλ' ἢ ἐν Αἰγύπτῳ μόνον, ὅτε τὸ πάσχα τελεῖσθαι ἔμελλε. καὶ γὰρ ἐκεῖνα τούτων τύπος ἦν. καὶ σκόπει πότε γέγονεν. ἐν μεσημβρίᾳ, ἵνα πάντες οἱ τὴν γῆν οἰκοῦντες μάθωσιν· ὅτι πανταχοῦ τῆς οἰκουμένης ἡμέρα ἦν, ὅπερ ἱκανὸν ἦν αὐτοὺς ἐπιστρέψαι, οὐ τῷ μεγέθει τοῦ θαύματος μόνον, ἀλλὰ καὶ τῷ εὐκαίρως συμβῆναι. μετὰ γὰρ πάντα τὰ τῆς παροινίας, καὶ τῆς παρανόμου κωμῳδίας τοῦτο γέγονεν, ὅτε τὸν θυμὸν εἴασαν, ὅτε ἀνεπαύσαντο γελῶντες, ὅτε κόρον ἔλαβον τῶν σκωμμάτων, καὶ πάντα ἐφθέγξαντο ἅπερ ἠθέλησαν, τότε δείκνυσι τὸ σκότος, ἵνα κἂν οὕτω τὴν ὀργὴν ἀφέντες, κερδάνωσιν ἀπὸ τοῦ θαύματος. τοῦ γὰρ καταβῆναι ἀπὸ τοῦ σταυροῦ, τοῦτο θαυμαστότερον

Ματθ. ιϛ. λθ. μ.
Λουκ. ια. κθ.
Ιωαν. η. κη.

θαυμαστότερον ἦν, τὸ ὄντα ἐν τῷ σταυρῷ ταῦτα ἐνεργεῖν. εἴτε γὰρ αὐτὸν ταῦτα ἐνόμιζον πεποιηκέναι, ἔδει πιστεῦσαι καὶ φοβηθῆναι· εἴτε οὐκ αὐτὸν, ἀλλὰ τὸν πατέρα, καὶ ἐκ τούτων ἔδει κατανυγῆναι. ὀργιζομένου γὰρ ἐπὶ τοῖς τολμωμένοις ἦν τὸ σκότος ἐκεῖνο. ὅτι γὰρ οὐκ ἦν ἔκλειψις, ἀλλ' ὀργή τε καὶ ἀγανάκτησις, οὐκ ἐντεῦθεν μόνον δῆλον ἦν, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ τοῦτο δῆλον ἦν. τρεῖς γὰρ ὥρας παρέμεινεν· ἡ δὲ ἔκλειψις ἐν μιᾷ γίνεται καιροῦ ῥοπῇ. καὶ ἴσασι καὶ οἱ ταύτην τεθεαμένοι· καὶ γὰρ καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας συνέβη. καὶ πῶς οὐκ ἐθαύμασαν, φησὶν, ἅπαντες, οὐδὲ ἐνόμισαν εἶναι Θεόν; ὅτι τὸ τῶν ἀνθρώπων γένος τότε ἐν πολλῇ ῥαθυμίᾳ καὶ κακίᾳ κατείχετο· καὶ τὸ θαῦμα τοῦτο ἓν ἦν, καὶ γενόμενον εὐθέως παρῆλθε· καὶ οὐδενὶ τὴν αἰτίαν ἐπιζητῆσαι ἐμέλησε, καὶ πολλὴ τῆς ἀσεβείας ἡ πρόληψις ἦν καὶ ἡ συνήθεια, καὶ οὐδὲ ᾔδεσαν τίς ἡ αἰτία τοῦ γενομένου, καὶ ἐνόμιζον ἴσως κατ' ἔκλειψιν ἢ ἑτέραν τινὰ ἀκολουθίαν φυσικὴν γεγενῆσθαι τοῦτο. καὶ τί θαυμάζεις περὶ τῶν ἔξω τῶν οὐδὲν εἰδότων οὐδὲ ἐπιζητησάντων μαθεῖν διὰ ῥαθυμίαν πολλὴν, ὅπου γε οἱ ἐν Ἰουδαίᾳ ὄντες μετὰ τοσαῦτα θαύματα ἔτι ἐπέμενον ἐνυβρίζοντες; καίτοι σαφῶς αὐτοῖς ἐδείκνυ, ὅτι αὐτὸς τοῦτο εἰργάσατο. διὰ γὰρ τοῦτο καὶ μετὰ τοῦτο φθέγγεται, ἵνα μάθωσιν ὅτι ἔτι ζῇ, καὶ αὐτὸς τοῦτο ἐποίησε, καὶ γένωνται κἀντεῦθεν ἐπιεικέστεροι· καὶ λέγει· Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχθανί, ἵνα μέχρις ἐσχάτης ἀναπνοῆς ἴδωσιν ὅτι τὸν πατέρα τιμᾷ, καὶ οὐκ ἔστιν ἀντίθεος. διὸ καὶ προφητικὴν τινὰ ἀφῆκε φωνὴν, μέχρις ἐσχάτης ὥρας μαρτυρῶν τῇ παλαιᾷ· καὶ οὐχ ἁπλῶς προφητικὴν, ἀλλὰ καὶ Ἑβραϊκὴν φωνὴν, ὥστε αὐτοῖς γενέσθαι γνώριμον καὶ κατάδηλον. καὶ διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν πρὸς τὸν γεγεννηκότα ὁμόνοιαν. ἀλλ' ὅρα καὶ ἐντεῦθεν τὴν ἀσέλγειαν καὶ τὴν ἀκολασίαν αὐτῶν καὶ τὴν ἄνοιαν.

48 Ἐνόμισαν Ἠλίαν εἶναι, φησὶ, τὸν καλούμενον, καὶ εὐθέως ἐπότισαν αὐτὸν ὄξος. ἕτερος δὲ προσελθὼν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἤνοιξε. Τί γένοιτ' ἂν τούτων παρανομώτερον, τί δὲ θηριωδέστερον; οἱ μέχρι τοσούτου τὴν ἑαυτῶν μανίαν ἐξέτειναν καὶ εἰς νεκρὸν σῶμα λοιπὸν ὑβρίζοντες. σὺ δέ μοι σκόπει πῶς ταῖς παρανομίαις αὐτῶν εἰς ἡμετέραν κέχρηται σωτηρίαν. μετὰ γὰρ τὴν πληγὴν αἱ πηγαὶ τῆς σωτηρίας ἡμῶν ἐκεῖθεν ἀνέβλυσαν.

50 Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Τοῦτό ἐστιν ὃ ἔλεγεν·
Ιωαν. ι. ιζ. ιη. Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· καὶ, Ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. διὰ γὰρ τοῦτο καὶ φωνῇ ἐκραύγασεν, ἵνα δειχθῇ ὅτι κατ' ἐξουσίαν τὸ πρᾶγμα γίνεται. ὁ γοῦν Μάρκος φησὶν, ὅτι ἐθαύμασεν ὁ Πιλάτος, εἰ ἤδη τέθνηκε· καὶ ὅτι ὁ
Μαρ. ιε. μδ. κεντυρίων διὰ τοῦτο μάλιστα ἐπίστευσεν, ὅτι μετ' ἐξουσίας ἀπέθανεν. αὕτη ἡ φωνὴ τὸ καταπέτασμα ἔσχισε, καὶ τὰ μνημεῖα ἤνοιξε, καὶ τὸν οἶκον ἐποίησεν ἔρημον. ἐποίησε δὲ τοῦτο οὐκ ἐνυβρίζων εἰς τὸν ναόν· πῶς γὰρ ὁ λέγων· Μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπο-
Ιωαν. β. ιϛ. ρίου; ἀλλ' ἀναξίους αὐτοὺς ἀποφαίνων καὶ τῆς ἐκεῖ διατελευτῆς, ὥσπερ οὖν καὶ ὅτε τοῖς Βαβυλωνίοις αὐτὸν παρέδωκεν. οὐ διὰ τοῦτο δὲ μόνον ταῦτα ἐγίνετο, ἀλλὰ καὶ προφητεία τῆς μελλούσης ἐρημώσεως ἦν τὸ συμβαῖνον, καὶ τῆς ἐπὶ τὰ μείζω καὶ ὑψηλότερα μεταθέσεως, καὶ τῆς ἰσχύος αὐτοῦ. μετὰ δὲ τούτων, καὶ ἐπὶ τῶν μετὰ ταῦτα ἑαυτὸν ἐδείκνυ, ἐκ τῆς τῶν νεκρῶν ἀναστάσεως, ἐκ τῆς τοῦ φωτὸς ἀμαυρώσεως, ἐκ τῆς τῶν στοιχείων ἀλλοιώσεως. ἐπὶ μὲν γὰρ Ἐλισ-
δ. Βασ. ιγ. κα. σαίου, νεκρὸς εἷς ἁψάμενος νεκροῦ ἀνέστη· νυνὶ δὲ φωνὴ αὐτοὺς ἤγειρε, τοῦ σώματος ἄνω κειμένου ἐπὶ τοῦ σταυροῦ· ἄλλως δὲ, καὶ ἐκεῖνα τούτων τύπος ἦν. ἵνα γὰρ τοῦτο πιστευθῇ, διὰ τοῦτο κἀκεῖνα γέγονε. καὶ οὐχ ἁπλῶς ἐγείρονται, ἀλλὰ καὶ πέτραι ῥήγνυνται, καὶ ἡ γῆ σείεται, ἵνα μάθωσιν ὅτι καὶ αὐτοὺς ἠδύνατο καὶ πηρῶσαι καὶ ῥῆξαι. ὁ γὰρ πέτρας διατεμὼν καὶ τὴν οἰκουμένην σκοτίσας, πολλῷ μᾶλλον εἰς ἐκείνους ταῦτα ἐποίησεν ἂν, εἴτε ἐβούλετο. ἀλλ' οὐκ ἠθέλησεν, ἀλλ' εἰς τὰ στοιχεῖα τὴν ὀργὴν ἀφιεὶς, ἐκείνους ἐξ ἐπιεικείας σῶσαι ἐβούλετο. ἀλλ' οὐ καθυφῆκαν τῆς μανίας. τοιοῦτον γὰρ ὁ φθόνος, τοιοῦτον ἡ βασκανία, οὐχ ἵσταται ῥᾳδίως.

πότότε μὲν οὖν καὶ πρὸς αὐτὰ τὰ φαινόμενα ἐνῃσχύντουν· μετὰ δὲ ταῦτα ὅτι σφραγῖδος ἐπικειμένης καὶ στρατιωτῶν τηρούντων ἀνέστη, καὶ παρ' αὐτῶν ταῦτα ἤκουσαν τῶν φυλάκων, καὶ ἀργύριον ἔδωκαν, ὥστε καὶ ἑτέρους διαφθεῖραι, καὶ κλέψαι τῆς ἀναστάσεως τὸν λόγον. μὴ τοίνυν θαύμαζε, εἰ καὶ τότε ἠγνωμόνουν (οὕτω καθάπαξ παρεσκευασμένοι ἦσαν πρὸς πάντα ἀναισχυντεῖν) ἀλλ' ἐκεῖνο σκόπει, ἡλίκα σημεῖα πεποίηκε, τὰ μὲν ἐξ οὐρανοῦ, τὰ δὲ ἐπὶ τῆς γῆς, τὰ δὲ ἐν αὐτῷ τῷ ναῷ, ὁμοῦ μὲν τὴν ἀγανάκτησιν ἐνδεικνύμενος, ὁμοῦ δὲ ὅτι τὰ ἄβατα ἔσται λοιπὸν βατά, καὶ ὁ οὐρανὸς ἀνοιγήσεται, καὶ πρὸς τὰ ἀληθινὰ ἅγια τῶν ἁγίων τὰ πράγματα μεταστήσεται. καὶ οἱ μὲν ἔλεγον, εἰ βασιλεύς Ισραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ· αὐτὸς δὲ δείκνυσιν, ὅτι οὐ τοῦ Ισραὴλ μόνον, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. κἀκεῖνοι μὲν ἔλεγον, ὁ καταλύων τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν· αὐτὸς δὲ δείκνυσιν, ὅτι εἰς τέλος ἐρημωθήσεται. πάλιν οὗτοι μὲν ἔλεγον, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· αὐτὸς δὲ ἐν σταυρῷ μένων, ἐν τοῖς τῶν δούλων σώμασι ταῦτα ἐκ περιουσίας ἐδείκνυ πολλῆς. εἰ γὰρ τὸ τεταρταῖον ἐξελθεῖν Λάζαρον, μέγα· πολλῷ μᾶλλον τὸ πάντας ἀθρόως τοὺς πάλαι κοιμηθέντας φανῆναι ζῶντας· ὃ τῆς ἐσομένης ἀναστάσεως σημεῖον ἦν.

52 Πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, φησί,

53 Καὶ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ἵνα γὰρ μὴ νομισθῇ" φάντασμα εἶναι τὸ γεγενημένον, καὶ πολλοῖς φαίνονται ἐν τῇ πόλει. καὶ ὁ κεντυρίων δὲ τὸν Θεὸν τότε ἐδόξασε, λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. καὶ οἱ ὄχλοι δὲ οἱ παραγενόμενοι εἰς τὴν θεωρίαν, τύπτοντες αὐτῶν τὰ στήθη ὑπέστρεφον. τοσαύτη τοῦ ἐσταυρωμένου ἡ δύναμις, ὡς μετὰ χλευασίας τοσαύτας καὶ κωμῳδίας καὶ σκώμματα, καὶ τὸν κεντυρίωνα κατανυγῆναι καὶ τὸν δῆμον. τινὲς δέ φασιν, ὅτι καὶ μαρτύριόν ἐστι τοῦ κεντυρίωνος τούτου ἀνδρισαμένου μετὰ ταῦτα ἐπὶ τῇ πίστει.

φαντασίαν

55 Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ θεωροῦσαι μακρόθεν, αἵτινες ἠκολούθησαν διακονοῦσαι αὐτῷ,

56 Ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. Ταῦτα" ὁρῶσιν αἱ γυναῖκες γινόμενα, αἱ μάλιστα συμπαθέστεραι," αἱ μάλιστα θρηνοῦσαι. καὶ σκόπει πόση αὐτῶν ἡ προσεδρία. ἠκολούθουν αὐτῷ διακονούμεναι, καὶ μέχρι τῶν κινδύνων παρῆσαν. διὸ καὶ τὸ" πᾶν ἐθεώρουν· πῶς ἐβόησε· πῶς ἐξέπνευσε· πῶς αἱ πέτραι ἐσχίσθησαν, τὰ ἄλλα ἅπαντα. καὶ αὗται πρῶται ὁρῶσι τὸν Ἰησοῦν, καὶ τὸ μάλιστα κατακριθὲν γένος τοῦτο πρῶτον ἀπολαύει τῆς τῶν ἀγαθῶν θεωρίας. τοῦτο μάλιστα ἐπιδείκνυται τὴν ἀνδρείαν. καὶ οἱ μὲν μαθηταὶ ἔφυγον, αὗται δὲ παρῆσαν. τίνες δὲ ἦσαν αὗται; ἡ μήτηρ αὐτοῦ (ταύτην γὰρ λέγει τὴν Ἰακώβου) καὶ αἱ λοιπαί. ἄλλος δὲ εὐαγγελιστής φησιν, ὅτι καὶ ἐκόπτοντο πολλοὶ ἐπὶ τοῖς γινομένοις, καὶ τὸ στῆθος ἔτυπτον· ὃ μάλιστα δείκνυσι τῶν Ἰουδαίων τὴν ὠμότητα, ὅτι ἐφ' οἷς ἐθρήνουν ἕτεροι, ἐπὶ τούτοις ἐκόμπαζον οὗτοι, καὶ οὔτε ἐλέῳ ἐκάμφθησαν, οὔτε φόβῳ κατεστάλησαν. καὶ γὰρ ὀργῆς τὰ γινόμενα ἦν μεγάλης σημεῖα· καὶ οὐχ ἁπλῶς σημεῖα, ἀλλὰ θυμοῦ σημεῖα ἅπαντα, τὸ σκότος, αἱ τεμνόμεναι πέτραι, τὸ καταπέτασμα ῥηγνύμενον μέσον, ὁ τῆς γῆς κλόνος· καὶ πολλὴ τῆς ἀγανακτήσεως ἦν ἡ ὑπερβολή.

ὁρῶσαι
καὶ μα. ἐ-
νουσαι,
πάντα

58 Προσελθὼν δὲ ὁ Ἰωσὴφ ᾔτησε τὸ σῶμα. Οὗτος ἦν Ἰωσὴφ ὁ κρυπτόμενος πρώην· νῦν μέντοι" μέγα ἐτόλμησε μετὰ τὸν θάνατον τοῦ Χριστοῦ. οὐδὲ γὰρ ἄσημος ἦν, οὐδὲ τῶν λανθανόντων, ἀλλὰ τῆς βουλῆς εἷς, καὶ σφόδρα ἐπίσημος· ὅθεν μάλιστα τὴν ἀνδρείαν αὐτοῦ κατιδεῖν ἔνι. Εἰς γὰρ θάνατον ἑαυτὸν ἐξέδωκε, τὴν πρὸς πάντας ἀπέχθειαν ἀναδεξάμενος τῇ περὶ τὸν Ἰησοῦν εὐνοίᾳ, καὶ τολμήσας αἰτῆσαι τὸ σῶμα, καὶ μὴ πρότερον ἀποστάς, ἕως ἂν ἐπέτυχεν. οὐ τὸ λαβεῖν δὲ μόνον, οὐδὲ τὸ θάψαι πολυτελῶς, ἀλλὰ καὶ τὸ ἐν τῷ μνημείῳ τῷ ἑαυτοῦ τῷ καινῷ, δείκνυσι τὸ φίλτρον καὶ τὴν ἀνδρείαν. καὶ τοῦτο δὲ οὐχ ἁπλῶς ᾠκονό-

μεγάλα

μεῖτο, ἀλλ' ὥστε μὴ ὑποψίαν τινὰ γενέσθαι ψιλὴν, ὅτι ἕτερος ἀνθ' ἑτέρου ἀνέστη.

61 Ἦν δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία καθήμεναι ἀπέναντι τοῦ τάφου.

Τίνος οὖν ἕνεκεν αὗται προσεδρεύουσι; οὐδὲν οὐδέπω μέγα ὡς ἐχρῆν καὶ ὑψηλὸν ᾔδεσαν περὶ αὐτοῦ· διὸ καὶ μύρα ἐκόμισαν, καὶ τῷ τάφῳ προσεκαρτέρουν· ὥστε, εἰ λωφήσειεν ἡ μανία τῶν Ἰουδαίων, ἀπελθεῖν καὶ περιχυθῆναι. εἶδες γυναικῶν ἀνδρείαν; εἶδες φιλοστοργίαν; εἶδες μεγαλοψυχίαν, τὴν ἐν τοῖς χρήμασι, τὴν μέχρι θανάτου;

ΗΘΙΚΟΝ

Μιμησώμεθα τὰς γυναῖκας οἱ ἄνδρες, μὴ ἐγκαταλείπωμεν ἐν τοῖς πειρασμοῖς τὸν Ἰησοῦν. ἐκεῖναι μὲν γὰρ καὶ εἰς τελευτήσαντα τοσαῦτα ἀνάλωσαν, καὶ τὰς ψυχὰς ἐξέδωκαν· ἡμεῖς δὲ (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) οὐδὲ πεινῶντα τρέφομεν, οὐδὲ γυμνὸν περιβάλλομεν, ἀλλ' ὁρῶντες αὐτὸν προσαιτοῦντα παρατρέχομεν. καίτοιγε εἰ αὐτὸν ἐκεῖνον εἴδετε, τὰ ὑπάρχοντα ἂν ἕκαστος ἐκένωσεν. ἀλλὰ καὶ νῦν ὁ αὐτός ἐστιν. αὐτὸς γὰρ εἶπεν, ὅτι ἐγώ εἰμι. τίνος οὖν ἕνεκεν οὐ πάντα κενοῖς; καὶ γὰρ καὶ νῦν ἀκούεις λέγοντος, ὅτι ἐμοὶ ποιεῖς· καὶ οὐδὲν τὸ μέσον ἄν τε τούτῳ, ἄν τε ἐκείνῳ δῷς. οὐδὲν ἔλαττον ἔχεις τούτων τῶν γυναικῶν, τῶν τότε τρεφουσῶν αὐτὸν, ἀλλὰ καὶ πολλῷ πλέον. ἀλλὰ μὴ θορυβηθῆτε. οὐ γάρ ἐστιν ἴσον αὐτὸν κυρίως φαινόμενον θρέψαι (ὃ καὶ λιθίνην ἱκανὸν ἦν ψυχὴν ἐπισπάσασθαι) καὶ διὰ τὴν ἀπόφασιν αὐτοῦ μόνην τὸν πένητα, ἢ τὸν ἀνάπηρον, ἢ τὸν συγκεκυφότα θεραπεῦσαι. ἐκεῖ μὲν γὰρ ἡ ὄψις καὶ τὸ ἀξίωμα τοῦ φαινομένου τὸ γινόμενον πρὸς σὲ μερίζεται· ἐνταῦθα δὲ ὁλόκληρον σὸν τῆς φιλανθρωπίας τὸ βραβεῖόν ἐστι· καὶ μείζονος τῆς περὶ αὐτὸν αἰδοῦς τὸ δεῖγμα, ὅταν διὰ τὴν ἀπόφασιν αὐτοῦ μόνην τὸν ὁμόδουλον θεραπεύων ἀναπαύῃς ἐν πᾶσιν. ἀνάπαυε τοίνυν πιστεύων τῷ λαμβάνοντι καὶ λέγοντι, ὅτι ἐμοὶ δίδως. εἰ γὰρ μὴ αὐτῷ ἐδίδως, οὐκ ἄν σε βασιλείας ἠξίωσεν. εἰ μὴ αὐτὸν ἀπεστρέφου, οὐκ ἄν σε εἰς γέενναν ἔπεμψεν, εἰ τὸν τυχόντα περιεῖδες· ἀλλ' ἐπειδὴ αὐτός ἐστιν ὁ καταφρονούμενος, διὰ τοῦτο μέγα τὸ ἔγκλημα. οὕτω καὶ Παῦλος αὐτὸν ἐδίωκε· διὸ καὶ ἔλεγε, τί με διώκεις; οὕτω τοίνυν διακείμεθα, ὡς αὐτῷ τῷ Χριστῷ παρέχοντες, ὅταν παρέχωμεν. καὶ γὰρ τὰ ῥήματα αὐτοῦ τῆς ὄψεως ἡμῖν πιστότερα. ἐπειδὰν οὖν ἴδῃς πένητα, ἀναμνήσθητι τῶν ῥημάτων δι' ὧν ἐδήλου, ὅτι αὐτός ἐστιν ὁ τρεφόμενος. εἰ γὰρ καὶ τὸ φαινόμενον οὐκ ἔστι Χριστὸς, ἀλλ' ἐν τούτῳ τῷ σχήματι αὐτὸς λαμβάνει καὶ προσαιτεῖ. αἰσχύνθητι οὖν, ὅταν προσαιτοῦντι μὴ διδῷς. τοῦτο γὰρ αἰσχύνη, τοῦτο τιμωρία καὶ κόλασις. τὸ μὲν γὰρ προσαιτεῖν αὐτὸν, τῆς αὐτοῦ ἀγαθότητος (διὸ καὶ ἐγκαλλωπίζεσθαι ἡμᾶς αὐτῷ χρή) τὸ δὲ μὴ δοῦναι, τῆς σῆς ὠμότητος. εἰ δὲ οὐ πιστεύεις νῦν, ὅτι πένητα πιστὸν παρατρέχων αὐτὸν παρατρέχεις, πιστεύσεις τότε, ὅταν εἰς μέσον σε παραγαγὼν, λέγῃ· ἐφ' ὅσον οὐκ ἐποιήσατε τούτοις, οὐδὲ ἐμοὶ ἐποιήσατε. ἀλλὰ μὴ γένοιτο ὑμᾶς οὕτως αὐτὸ μαθεῖν, ἀλλὰ πιστεύσαντας νῦν καὶ καρπὸν ποιήσαντας, τῆς μακαριωτάτης ἐκείνης ἀκοῦσαι φωνῆς τῆς εἰς τὴν βασιλείαν ὑμᾶς εἰσαγούσης. ἀλλ' ἴσως ἐρεῖ τις· καθ' ἑκάστην ἡμέραν περὶ ἐλεημοσύνης διαλέγῃ καὶ φιλανθρωπίας ἡμῖν. οὐδὲ γὰρ παύσομαι τοῦτο λέγων. εἰ μὲν γὰρ κατώρθωται ὑμῖν τοῦτο, μάλιστα μὲν οὐδὲ τότε ἀποστῆναι ἐχρῆν, ὥστε μὴ ποιῆσαι ῥᾳθυμοτέρους· πλὴν ἀλλ' εἰ μὲν κατώρθωται, καὶ μικρὸν ἐνέδωκα ἄν· εἰ δὲ οὐδὲ εἰς τὸ μέσον ἐφθάσατε, μὴ πρὸς ἐμὲ, ἀλλὰ πρὸς ἑαυτοὺς ταῦτα λέγετε. καὶ γὰρ ταὐτὸν ποιεῖς ἐγκαλῶν, ὥσπερ ἂν εἰ παιδίον τὸ ἄλφα στοιχεῖον ἀκοῦον πολλάκις καὶ μὴ μανθάνον ἐγκαλοίη τῷ διδασκάλῳ, ὅτι συνεχῶς ὑπὲρ τούτου καὶ διηνεκῶς αὐτῷ ὑπομιμνήσκει. τίς γὰρ ἀπὸ τῶν λόγων τούτων γέγονεν εὐκολώτερος πρὸς ἐλεημοσύνην; τίς τὰ χρήματα ἔρριψε; τίς τὸ ἥμισυ τῆς οὐσίας; τίς τὸ τρίτον διένειμεν; οὐδείς. πῶς οὖν οὐκ ἄτοπον, μὴ μανθανόντων ὑμῶν, ἡμᾶς κελεύειν ἀποστῆναι τοῦ διδάσκειν; τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν· εἰ καὶ ἡμεῖς ἐβουλόμεθα ἀποστῆναι, ὑμᾶς κατέχειν καὶ λέγειν, ὅτι οὐδέπω ταῦτα μεμαθήκαμεν· καὶ, πῶς ἀπέστητε ὑπομιμνήσκοντες; εἴ τινι συνέβη τὸν ὀφθαλμὸν παθεῖν, ἐ-

γρ. [illegible]

γὼ δὲ ἰατρὸς ἐτύγχανον ὤν, εἶτα ″περιπλάσας καὶ διαχρίσας καὶ τὴν ἄλλην προσαγαγὼν ἐπιμέλειαν μηδὲν ὤνησα μέγα, ἀλλὰ καὶ ἀπέστην, οὐκ ἂν ἐλθὼν ἐπὶ τὰς τοῦ ἐργαστηρίου θύρας κατεβόησεν ἂν, ῥᾳθυμίαν πολλὴν ἐγκαλῶν, ὅτι τῆς νόσου μενούσης αὐτὸς ἀνεχώρησα; καὶ εἰ πρὸς ταῦτα ἐγκαλούμενος εἶπον, ὅτι κατέπλασα, ὅτι διέχρισα, ἆρα ἠνέσχετο; οὐδαμῶς· ἀλλ᾽ εὐθέως ἂν εἶπε, καὶ τί τὸ ὄφελος, ὅτι ἔτι ἀλγῶ; τοῦτο γοῦν καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. τί δὲ, εἰ χεῖρα νοσοῦσαν, ναρκῶσαν, καὶ συνεσταλμένην πολλάκις ″κατανοήσας, οὐκ ἴσχυσα μαλάξαι, ἆρα οὐκ ἂν τὸ αὐτὸ ἤκουσα; καὶ νῦν χεῖρα συνεσταλμένην καὶ ξηρανθεῖσαν περικλύζομεν· καὶ διὰ τοῦτο ἕως ἂν αὐτὴν ἴδωμεν ἐκτεινομένην τέλεον, οὐκ ἀποστησόμεθα [περιοδεύοντες.] Εἴθε καὶ ὑμεῖς μηδὲν ἕτερον διελέγεσθε καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ ἀγορᾶς, καὶ ἐπὶ τραπέζης, καὶ ἐν νυκτὶ καὶ ″κατ᾽ ὄναρ. εἰ γὰρ ταῦτα μεθ᾽ ἡμέραν ἐμεριμνῶμεν ἀεὶ, καὶ ″κατ᾽ ὄναρ ἂν ἐν τούτοις ἦμεν. τί λέγεις; περὶ ἐλεημοσύνης ἀεὶ διαλέγομαι; ἐβουλόμην καὶ αὐτὸς μὴ πολλὴν εἶναί μοι χρείαν ταύτης πρὸς ὑμᾶς τῆς συμβουλῆς, ἀλλὰ διαλέγεσθαι περὶ μάχης τῆς πρὸς Ἰουδαίους, τῆς πρὸς Ἕλληνας καὶ αἱρετικούς· ἀλλὰ μηδέπω ″ὑγιαίνοντας πῶς ἄν τις καθοπλίσειε; πῶς ἂν εἰς παράταξιν ἐξαγάγοι ἔτι τραύματα ἔχοντας καὶ ὠτειλάς; ὡς εἴγε ὑγιαίνοντας εἶδον καθαρῶς, ἐπὶ τὴν παράταξιν ὑμᾶς ἐξήγαγον ἐκείνην, καὶ εἴδετε ἂν τῇ τοῦ Χριστοῦ χάριτι μυρίους βαλλομένους νεκρούς, καὶ φερομένας αὐτῶν ἐπαλλήλους τὰς κεφαλάς. ἐν γοῦν ἑτέροις βιβλίοις πολλοὶ περὶ τούτων ἡμῖν εἴρηνται λόγοι· ἀλλ᾽ οὐδὲ οὕτω δυνάμεθα καθαρῶς ἐπὶ τῇ νίκῃ πανηγυρίζειν διὰ τὴν τῶν πολλῶν ὀλιγωρίαν. ὅταν γὰρ αὐτοὺς μυριάκις νικήσωμεν τοῖς δόγμασιν, ὀνειδίζουσιν ἡμῖν τὸν βίον τὸν τῶν πολλῶν τῶν παρ᾽ ἡμῖν συλλεγομένων, τὰ τραύματα, τὰ νοσήματα τὰ κατὰ ψυχήν. πῶς οὖν ὑμᾶς θαρροῦντες ἐπὶ τῆς παρατάξεως δείξωμεν, ὅταν καὶ ἡμῖν ἐπηρεάζητε εὐθέως βαλλόμενοι παρὰ τῶν πολεμίων καὶ κωμῳδούμενοι; τοῦ μὲν γὰρ ἡ χεὶρ ἀλγεῖ καὶ ἐστὶ συνεσταλμένη πρὸς διάδοσιν. πῶς οὖν ὁ τοιοῦτος ἀσπίδα κατασχεῖν καὶ προβάλλεσθαι δυνήσεται, καὶ μὴ τρωθῆναι τοῖς τῆς ὠμότητος σκώμμασιν; ἑτέροις σκάζουσιν οἱ πόδες, ὅσοι εἰς θέατρα ἀναβαίνουσι, καὶ τὰ τῶν πορνευομένων γυναικῶν καταγώγια. πῶς οὖν οὗτοι ἐν τῇ μάχῃ δυνήσονται στῆναι, καὶ μὴ βληθῆναι τοῖς τῆς ἀσελγείας ἐγκλήμασιν; ἄλλος τοὺς ὀφθαλμοὺς ἀλγεῖ καὶ πεπήρωται, οὐκ ὀρθὰ βλέπων, ἀλλὰ ἀσελγείας γέμων, καὶ γυναικῶν σωφροσύνῃ προσβάλλων, καὶ γάμους διορύττων. πῶς οὖν οὗτος πρὸς τοὺς πολεμίους ἀντιβλέψαι δυνήσεται, καὶ ″κινῆσαι δόρυ, καὶ βέλος ἀφεῖναι πανταχόθεν κεντούμενος σκώμμασιν; ἔστιν * ἰδεῖν καὶ γαστέρα ἀλγοῦντας πολλοὺς τῶν ″ὑδεριώντων οὐκ ἔλαττον, ὅταν (ὑπὸ γαστριμαργίας καὶ μέθης κατέχωνται). πῶς οὖν τούτους μεθύοντας εἰς πόλεμον ἐξαγαγεῖν δυνήσομαι; ἑτέρου δὲ στόμα ἐστὶ σεσηπός. τοιοῦτοι γὰρ οἱ ἀκρόχολοι καὶ λοίδοροι καὶ βλάσφημοι. πῶς οὖν οὗτος ἀλαλάξει ποτὲ ἐν μάχῃ, καὶ μέγα τι καὶ γενναῖον ἐργάσεται, μέθην καὶ αὐτὸς ἑτέραν μεθύων, καὶ πολὺν παρέχων τοῖς πολεμίοις τὸν γέλωτα; διὰ τοῦτο καθ᾽ ἑκάστην ἡμέραν περίειμι τουτὶ τὸ στρατόπεδον, τὰ τραύματα θεραπεύων ταῦτα, τὰ ἕλκη διορθούμενος. εἰ δὲ ἀνανήψητέ ποτε, καὶ ἐπιτήδειοι γένησθε καὶ ἑτέρους βάλλειν, καὶ ταῦτα ὑμᾶς διδάξω τὰ τακτικὰ, καὶ παιδεύσω ταῦτα μεταχειρίζεσθαι τὰ ὅπλα· μᾶλλον δὲ καὶ αὐτὰ τὰ ἔργα ὑμῖν ὅπλα ἔσται, καὶ πάντες εὐθέως ὑποκύψουσιν, ἂν ἐλεήμονες, ἂν ἐπιεικεῖς, ἂν ἥμεροι καὶ ἀνεξίκακοι γένησθε, ἂν τὴν ἄλλην ἀρετὴν ἅπασαν ἐπιδείξησθε. εἰ δέ τινες ἀντιλέγοιεν, τότε καὶ τὰ παρ᾽ ἑαυτῶν προσθήσομεν, ὑμᾶς εἰς μέσον φέροντες· ὡς νῦν γε καὶ ἐγκαλυπτόμεθα, τό γε ὑμέτερον μέρος, ἐν τῷ δρόμῳ τούτῳ. σκόπει δέ· λέγομεν ὅτι μεγάλα εἰργάσατο ὁ Χριστὸς, ἀγγέλους ἀντὶ ἀνθρώπων ποιήσας· εἶτα ἀπαιτούμενοι εὐθύνας, καὶ κελευόμενοι ἐκ τῆς ἀγέλης ταύτης παρασχεῖν τὴν ἀπόδειξιν, ἐπιστομιζόμεθα. δέδοικα γὰρ μὴ ἀντὶ ἀγγέλων, ὥσπερ ἀπὸ συφεῶνος χοίρους ἐξαγάγω καὶ ἵππους θηλυμανεῖς. οἴ-

ιπάσας

ταιονή-

ἐν ὀνείρῳ.

ἐν ὀνείροις

γιαίνοντας

σεῖσαι

ὑδερώντων

δα ὅτι ἀλγεῖτε, ἀλλ' οὐ κατὰ πάντων ὑμῶν ταῦτα εἴρηται, ἀλλὰ κατὰ τῶν ὑπευθύνων· μᾶλλον δὲ οὐδὲ κατ' ἐκείνων, ἐὰν νήψωσιν, ἀλλ' ὑπὲρ ἐκείνων· ὡς νῦν γε πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ ἡ ἐκκλησία βουστασίου οὐδὲν διενήνοχε καὶ ἐπαύλεως ὄνων καὶ καμήλων· καὶ περιέρχομαι πρόβατον ἐπιζητῶν, καὶ οὐ δύναμαι ἰδεῖν. οὕτω πάντες λακτίζουσι, καθάπερ ἵπποι καὶ ὄνοι τινὲς ἄγριοι, καὶ κόπρου πολλῆς τὰ ἐνταῦθα πληροῦσι. τοιαῦται γὰρ αὐτῶν αἱ διαλέξεις. καὶ εἴ γε ἦν ἰδεῖν τὰ καθ' ἑκάστην σύναξιν λεγόμενα ὑπὸ ἀνδρῶν, ὑπὸ γυναικῶν, εἶδες ἂν τῆς κόπρου ἐκείνης τὰ ῥήματα ἀκαθαρτότερα. διὸ παρακαλῶ μεταβαλεῖν τὴν πονηρὰν ταύτην συνήθειαν, ἵνα μύρου ἡ ἐκκλησία πνέῃ. νῦν δὲ θυμιάματα μὲν αἰσθητὰ ἀποτιθέμεθα ἐν αὐτῇ· τῆς δὲ νοητῆς ἀκαθαρσίας οὐ πολλὴν ποιούμεθα σπουδὴν ὥστε ἐκκαθαίρειν καὶ ἀπελαύνειν. τί οὖν τὸ ὄφελος; οὐδὲ γὰρ οὕτως αἰσχύνομεν τὴν ἐκκλησίαν κόπρον εἰσάγοντες, ὡς αἰσχύνομεν αὐτὴν τοιαῦτα πρὸς ἀλλήλους φθεγγόμενοι περὶ κερδῶν, περὶ ἐμπορείας, περὶ καπηλείας, περὶ τῶν οὐδὲν πρὸς ἡμᾶς ὄντων· δέον ἀγγέλων ἐνταῦθα εἶναι χορούς, καὶ οὐρανὸν τὴν ἐκκλησίαν ποιεῖν, καὶ μηδὲν ἕτερον ἢ εὐχὰς ἐκτενεῖς καὶ σιγὴν μετὰ ἀκροάσεως εἰδέναι. τοῦτο δὴ καὶ ἐκ τοῦ νῦν ποιῶμεν, ἵνα καὶ τὸν βίον ἐκκαθάρωμεν τὸν ἡμέτερον, καὶ τῶν ″αἰωνίων ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. πθ. 62 ΤΗ ΔΕ ΕΠΑΥΡΙΟΝ, ΗΤΙΣ ΕΣΤΙ ΜΕΤΑ

τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον, 63 Λέγοντες, Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. 64 Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ * κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης.

Πανταχοῦ ἡ πλάνη ″ἑαυτῇ περιπίπτει, καὶ τῇ ἀληθείᾳ ἄκουσα συνηγορεῖ. σκόπει δέ· ἔδει πιστευθῆναι, ὅτι ἀπέθανε, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἀνέστη· καὶ ″πάντα ταῦτα διὰ τῶν ἐχθρῶν γίνεται πιστά. ὅρα γοῦν τὰ ῥήματα ταῦτα τούτοις μαρτυροῦντα ἅπασιν. ἐμνήσθημεν, φασίν, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν (οὐκοῦν ἐτελεύτησεν) ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον. (οὐκοῦν καὶ ἐτάφη) μήποτε ἔλθωσιν οἱ μαθηταὶ αὐτοῦ, καὶ κλέψωσιν αὐτόν. οὐκοῦν ὁ τάφος ἐὰν σφραγισθῇ, οὐκ ἔσται τις κακουργία. οὐ ″μενοῦν. οὐκοῦν ἀναντίρρητος ἡ ἀπόδειξις τῆς ἀναστάσεως, δι' ὧν ὑμεῖς ″προετείνατε, γέγονεν. ἐπειδὴ γὰρ ἐσφραγίσθη, ″οὐδεμία γέγονε κακουργία. εἰ δὲ οὐδεμία γέγονε κακουργία, εὕρηται δὲ ὁ τάφος κενός, δῆλον ὅτι ἀνέστη σαφῶς καὶ ἀναντιρρήτως. εἶδες πῶς καὶ ἄκοντες συναγωνίζονται τῇ τῆς ἀληθείας ἀποδείξει; ″σὺ δέ μοι σκόπει τῶν μαθητῶν τὸ φιλαλῆθες, πῶς τῶν λεγομένων παρὰ τῶν ἐχθρῶν οὐδὲν ἀποκρύπτονται, κἂν ἐπονείδιστα λέγωσιν. ἰδοὺ γοῦν πλάνον καλοῦσιν, καὶ οὐ σιγῶσιν αὐτὸ οὗτοι. ″ταῦτα δὲ καὶ τὴν ἐκείνων δείκνυσιν ὠμότητα, ὅτι οὐδὲ τῷ θανάτῳ ″τὴν ὀργὴν ἀφῆκαν, καὶ τούτων τὸν ἁπλοῦν καὶ φιλαλήθη τρόπον. ″ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, ποῦ εἶπεν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι; οὐ γὰρ εὕροι τις ἂν οὕτω σαφῶς εἰρημένον, ἀλλ' ἢ τὸ τοῦ Ιωνᾶ παράδειγμα. ὥστε οἱ ἀγνώμονες Ιουδαῖοι ᾔδεσαν τὰ παρ' αὐτοῦ λεγόμενα, καὶ ἑκόντες ἐκακούργουν. τί οὖν ὁ Πιλάτος;

65 Εχετε κουστωδίαν, ἀσφαλίσασθε ὡς οἴδατε.

66 Καὶ ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Οὐκ ἀφίησι τοὺς στρατιώτας μόνους σφραγίσαι. ἅτε γὰρ μαθὼν τὰ περὶ αὐτοῦ, οὐκ ἔτι συμπράττειν αὐτοῖς ἤθελεν, ἀλλ' ὑπὲρ ἀπαλλαγῆς αὐτῶν καὶ τοῦτο ἀνέχεται, καί φησιν· ὑμεῖς, ὡς βούλεσθε, σφραγίσασθε, ἵνα μὴ ἑτέροις ἔχητε αἰτιᾶσθαι. Εἰ γὰρ μόνοι οἱ στρατιῶται ἐσφραγίσαντο, ἠδύναντο λέγειν (εἰ καὶ ἀπίθανα καὶ ψευδῆ τὰ λεγόμενα, ἀλλ' ὅμως ὡς ἐν τοῖς ἄλλοις ἀναισχυντοῦντες, οὕτω καὶ ἐν τούτῳ λέγειν εἶχον) ὅτι οἱ στρατιῶται τὸ σῶμα δόντες κλαπῆναι, παρέσχον τοῖς μαθηταῖς τὸν περὶ τῆς ἀναστάσεως πλάσαι λόγον· νῦν δὲ αὐτοὶ ἀσφαλισάμενοι οὐδὲ τοῦτο λέγειν δύνανται. Εἶδες πῶς σπουδάζουσιν ὑπὲρ τῆς ἀληθείας ἄκοντες; καὶ γὰρ καὶ αὐτοὶ προσῆλθον, αὐτοὶ ᾔτησαν, αὐτοὶ ἐσφράγισαν μετὰ τῆς κουστωδίας, ὥστε ἀλλήλων εἶναι κατηγόρους καὶ ἐλέγχους. καίτοι πότε ἂν ἔκλεψαν; τῷ σαββάτῳ; καὶ πῶς; οὐδὲ γὰρ ἐξῆν προελθεῖν. Εἰ δὲ καὶ τὸν νόμον παρέβαινον, πῶς ἂν ἐτόλμησαν οἱ οὕτω δειλοὶ προελθεῖν; πῶς δὲ πεῖσαι τὸν ὄχλον ἠδύναντο; τί λέγοντες; τί ποιοῦντες; ποίαν δὲ προθυμίαν στῆναι εἶχον ὑπὲρ τοῦ νεκροῦ; τίνα δὲ προσδοκῶντες ἀντίδοσιν, ποίαν ἀμοιβήν; ἔτι ζῶντα, καὶ μόνον κατασχεθέντα ἰδόντες ἔφυγον, καὶ μετὰ τὴν τελευτὴν ὑπὲρ αὐτοῦ παῤῥησιάζεσθαι ἔμελλον, εἰ μὴ ἀνέστη; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; ὅτι γὰρ οὔτ' ἂν ἠβουλήθησαν, οὔτ' ἂν ἠδυνήθησαν πλάσαι ἀνάστασιν μὴ γενομένην, δῆλον ἐκεῖθεν. πολλὰ γὰρ αὐτοῖς περὶ ἀναστάσεως διελέχθη, καὶ συνεχῶς ἔλεγεν [ἀεί,] ὡς καὶ αὐτοὶ * εἰρήκασιν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. εἰ τοίνυν οὐκ ἀνέστη, εὔδηλον ὡς ἀπατηθέντες οὗτοι, καὶ πρὸς ὁλόκληρον ἔθνος δι' αὐτὸν ἐκπολεμωθέντες, [καὶ] ἄοικοι καὶ ἀπόλιδες γενόμενοι ἀπεστράφησαν ἂν αὐτόν, καὶ οὐκ ἂν ἐβουλήθησαν τοιαύτην αὐτῷ περιθεῖναι δόξαν, ἅτε ἠπατημένοι, καὶ εἰς τοὺς ἐσχάτους δι' αὐτὸν ἐμπεσόντες κινδύνους. ὅτι δὲ οὐδ' ἂν ἠδυνήθησαν, εἰ μὴ ἦν ἀληθὴς ἡ ἀνάστασις, πλάσαι αὐτήν, τοῦτο οὐδὲ λόγου δεῖται. τίνι γὰρ ἐθάῤῥουν; τῇ δεινότητι τῶν λόγων; ἀλλὰ πάντων ἦσαν ἀμαθέστεροι. ἀλλὰ τῇ περιουσίᾳ τῶν χρημάτων; ἀλλ' οὐδὲ ῥάβδον, οὐδὲ ὑποδήματα εἶχον. ἀλλὰ τῇ περιφανείᾳ τοῦ γένους; ἀλλ' εὐτελεῖς ἦσαν, καὶ ἐξ εὐτελῶν. ἀλλὰ τῷ μεγέθει τῆς πατρίδος; ἀλλ' ἀπὸ χωρίων ἦσαν ἀσήμων. ἀλλὰ τῷ πλήθει τῷ ἑαυτῶν; ἀλλὰ τῶν ἕνδεκα οὐκ ἦσαν πλείους, καὶ αὐτοὶ δὲ διεσπάρησαν. ἀλλὰ ταῖς ἐπαγγελίαις τοῦ διδασκάλου; ποίαις; εἰ γὰρ μὴ ἀνέστη, οὐδὲ ἐκεῖναι ἔμελλον αὐτοῖς εἶναι πισταί. πῶς δ' ἂν ἤνεγκαν δῆμον μαινόμενον; εἰ γὰρ ὁ κορυφαῖος αὐτῶν θυρωροῦ ῥῆμα οὐκ ἤνεγκε γυναικός, καὶ οἱ λοιποὶ δὲ πάντες δεδεμένον ἰδόντες διεσπάρησαν, πῶς ἂν ἐνενόησαν εἰς τὰ πέρατα τῆς οἰκουμένης διαδραμεῖν, καὶ φυτεῦσαι πεπλασμένον ἀναστάσεως λόγον; εἰ γὰρ ὁ μὲν πρὸς γυναικὸς ἀπειλὴν οὐκ ἔστη, οἱ δὲ οὐδὲ πρὸς δεσμῶν ὄψιν, πῶς ἠδύναντο πρὸς βασιλέας καὶ ἄρχοντας καὶ δήμους ἵστασθαι, ὅπου ξίφη καὶ τήγανα καὶ κάμινοι καὶ μυρίοι καθ' ἡμέραν θάνατοι, εἰ μὴ τῆς τοῦ ἀναστάντος δυνάμεως καὶ ῥοπῆς ἀπέλαυσαν; τοιαῦτα σημεῖα γέγονε καὶ τοσαῦτα, καὶ οὐδὲν τούτων ᾐδέσθησαν οἱ Ἰουδαῖοι, ἀλλ' ἐσταύρωσαν τὸν πεποιηκότα· καὶ τούτοις ἔμελλον ἁπλῶς λέγουσι πείθεσθαι περὶ ἀναστάσεως; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλ' ἡ τοῦ ἀναστάντος ἰσχὺς ταῦτα εἰργάσατο. σκόπει δέ μοι τὴν κακουργίαν αὐτῶν τὴν καταγέλαστον. ἐμνήσθημεν γάρ, φασιν, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. καὶ εἰ πλάνος ἦν καὶ ψευδῆ ἐκόμπαζε, τί δεδοίκατε, καὶ περιτρέχετε, καὶ τοσαύτῃ κέχρησθε σπουδῇ; δεδοίκαμεν, φασι, μήποτε κλέψωσιν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀπατήσωσι τοὺς πολλούς. καίτοιγε ἀπεδείχθη τοῦτο οὐκ ἔχον λόγον καθ' ὅλου. ἀλλ' ὅμως ἡ κακία φιλόνεικον καὶ ἀναιδές, καὶ τοῖς ἀλογίστοις ἐπιχειρεῖ. καὶ μέχρι τριῶν ἡμερῶν κελεύουσιν ἀσφαλισθῆναι τὸν τάφον, ὡς ὑπὲρ δογμάτων μαχόμενοι, καὶ βουλόμενοι δεῖξαι καὶ πρὸ τούτου πλάνον ὄντα, καὶ μέχρι τοῦ τάφου τὴν κακίαν ἐκτείνουσι. διά τοι τοῦτο τάχιον ἀνέστη, ἵνα μὴ λέγωσιν, ὅτι ἐψεύσατο καὶ ἐκλάπη. τοῦτο μὲν γὰρ ἔγκλημα οὐκ εἶχε τὸ τάχιον ἀναστῆναι, τὸ δὲ βράδιον, ὑποψίας ἔγεμε. καὶ γὰρ εἰ μὴ τότε ἀνέστη, καθημένων αὐτῶν αὐτόθι καὶ φυλαττόντων, ἀλλ' ἀναχωρησάντων μετὰ τὴν τρίτην ἡμέραν, εἶχόν τι λέγειν, * εἰ καὶ ″ ἀνοήτως. διὰ τοῦτο τοίνυν προέφθασε καὶ ἀνέστη, ὥστε μήτε δι' αἰσχυντοὶ αὖθις ἔχειν πρόφασιν. ἔδει γὰρ παρακαθημένων αὐτῶν, καὶ φυλαττόντων γενέσθαι τὴν ἀνάστασιν. οὐκοῦν καὶ εἴσω τῶν τριῶν ἡμερῶν ἔδει γενέσθαι· ὡς εἴγε παρελθουσῶν αὐτῶν, καὶ ἀναχωρησάντων ἐκείνων ἐγένετο, ὕποπτον τὸ πρᾶγμα ἔμελλεν εἶναι. διὸ καὶ σφραγίσαι συνεχώρησεν ὡς ἐβούλοντο, καὶ στρατιῶται περιεκάθηντο· καὶ οὐκ ἐμέλησεν αὐτοῖς ἐν σαββάτῳ ταῦτα ποιοῦσι καὶ ἐργαζομένοις, ἀλλὰ πρὸς ἓν μόνον ἑώρων τὴν ἑαυτῶν πονηρίαν, ὡς ταύτῃ ″ περιεσόμενοι· ὅπερ ἐσχάτης ἀνοίας ἦν καὶ φόβου σφόδρα αὐτοὺς κατασείοντος λοιπόν. τὸν γὰρ ζῶντα αὐτὸν κατασχόντες, ἀποθανόντα δεδοίκασι. καίτοιγε εἰ ψιλὸς τις ἄνθρωπος ἦν, ἔδει θαρρεῖν. ἀλλ' ἵνα μάθωσιν, ὅτι καὶ ἔτι ζῶν ἑκὼν ἔπαθεν, ἅπερ ἔπαθεν, ἰδοὺ καὶ σφραγὶς, καὶ λίθος, καὶ κουστωδία, καὶ πᾶσα φυλακὴ, καὶ οὐκ ἴσχυσαν τὸν νεκρὸν κατασχεῖν· ἀλλ' ἐγένετο μόνον τὸ δημοσιευθῆναι τὴν ταφὴν, καὶ πιστευθῆναι ἐντεῦθεν τὴν ἀνάστασιν. καὶ γὰρ στρατιῶται περιεκάθηντο, καὶ Ἰουδαῖοι προσεδρεύουσιν.

κεφ. κη.

1 Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον·

2 Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ καὶ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ.

3 Ἦν δὲ ἡ ἰδέα αὐτοῦ, ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ *, ὡσεὶ χιών.

Μετὰ τὴν ἀνάστασιν ἦλθεν ὁ ἄγγελος. τίνος οὖν ἕνεκεν ἦλθεν ὁ ἄγγελος, καὶ ἦρε τὸν λίθον; διὰ τὰς γυναῖκας. αὐταὶ γὰρ αὐτὸν εἶδον τότε ἐν τῷ τάφῳ. ἵν' οὖν πιστεύσωσιν ὅτι ἠγέρθη, ὁρῶσι τὸν τάφον κενὸν τοῦ σώματος. διὰ δὴ τοῦτο ἀνέστειλε τὸν λίθον, διὰ τοῦτο καὶ σεισμὸς ἐγένετο, ἵνα διαναστῶσι καὶ ἀφυπνισθῶσι. καὶ γὰρ ἦσαν παραγενόμεναι, ὥστε ἔλαιον βαλεῖν, καὶ ἐν νυκτὶ ταῦτα ἐγένετο, καὶ εἰκὸς ἦν τινας ″ καθευδῆσαι. ἀλλὰ τίνος ἕνεκεν φησὶ, πρὸς αὐτὰς ὁ ἄγγελος εἶπε, μὴ φοβεῖσθε ὑμεῖς; πρότερον αὐτὰς ἀπαλλάττει τοῦ δέους, καὶ τότε διαλέγεται περὶ τῆς ἀναστάσεως. καὶ τὸ ὑμεῖς δὲ, πολλὴν ἐπιδεικνυμένου τὴν τιμήν ἐστι, καὶ δεικνύντος, ὅτι τὰ ἔσχατα τοὺς τετολμηκότας, ἅπερ ἐτόλμησαν, ἂν μὴ μετανοήσωσι, καταλήψεται. οὐ γὰρ ὑμῶν ἐστι τὸ δεδοικέναι, φησὶν, ἀλλ' ἐκείνων τῶν σταυρωσάντων. ἀπαλλάξας τοίνυν αὐτὰς τοῦ φόβου καὶ διὰ τῶν ῥημάτων, καὶ διὰ τῆς ὄψεως (καὶ γὰρ τὸ σχῆμα φαιδρὸν ″ ἔδειξεν, ἅτε εὐαγγέλια τοιαῦτα φέρων) ἐπήγαγε λέγων·

5 Οἶδα ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. Καὶ οὐκ ἐπαισχύνεται ἐσταυρωμένον καλῶν. τοῦτο γὰρ τὸ κεφάλαιον τῶν ἡμετέρων ἀγαθῶν. 6 Ἠγέρθη, φησί·

Πόθεν δῆλον; Καθὼς * εἶπεν. Ὥστε κἂν ἐμοὶ, φησι, διαπιστεῖτε, τῶν ἐκείνου μνήσθητε ῥημάτων, καὶ οὐδὲ ἐμοὶ διαπιστήσετε. Εἶτα καὶ ἄλλη ἀπόδειξις.

Δεῦτε, καὶ ἴδετε τὸν τόπον, ὅπου ἔκειτο. Διὰ τοῦτο ″ ἐπῆρε τὸν λίθον, ὥστε καὶ ἐντεῦθεν λαβεῖν αὐτὰς τὴν ἀπόδειξιν.

7 Καὶ εἴπατε τοῖς μαθηταῖς, ὅτι ὄψεσθε αὐτὸν εἰς τὴν Γαλιλαίαν.

Καὶ ″ ἑτέρους εὐαγγελίζεσθαι παρασκευάζει, ὃ μάλιστα αὐτὰς ἐποίει πιστεῦσαι. καὶ καλῶς εἶπεν, εἰς τὴν Γαλιλαίαν, ἀπαλλάττων πραγμάτων καὶ κινδύνων, ὥστε μὴ τὸν φόβον διενοχλεῖν τῇ πίστει.

8 Καὶ ἐξῆλθον ἐκ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς. Τί δήποτε; ″ ἐκπλήττον πρᾶγμα εἶδον καὶ παράδοξον, τάφον κενὸν, ἔνθα πρότερον τεθέντα εἶδον. διὸ καὶ ἤγαγεν αὐτὰς εἰς θεωρίαν, ἵνα ἀμφοτέρων γένωνται μάρτυρες, καὶ τοῦ τάφου, καὶ τῆς ἀναστάσεως. καὶ γὰρ ἐνενόουν, ὅτι οὐδεὶς αὐτὸν ἂν ἦρε, στρατιωτῶν τοσούτων παρακαθημένων, εἰ

μὴ ἑαυτὸν ἀνέστησε. διὰ τοῦτο καὶ χαίρουσι καὶ θαυμάζουσι, καὶ τῆς τοιαύτης παραμονῆς λαμβάνουσι τὴν ἀμοιβὴν τὸ πρώτας ἰδεῖν, καὶ εὐαγγελίσασθαι οὐ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ τὰ ὁραθέντα. ἐπεὶ οὖν ἐξῆλθον μετὰ φόβου καὶ χαρᾶς,

9 [Καὶ] ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων, χαίρετε. αἱ δὲ ἐκράτησαν τοὺς πόδας αὐτοῦ, Καὶ μετὰ ὑπερβαλλούσης [αὐτῷ] εὐφροσύνης προσδραμοῦσαι, ἐλάμβανον καὶ διὰ τῆς ἁφῆς τεκμήριον καὶ πληροφορίαν τῆς ἀναστάσεως, Καὶ προσεκύνησαν αὐτῷ. Τί οὖν αὐτός;

10 Μὴ φοβεῖσθε. Πάλιν καὶ αὐτὸς τὸν δέος ἐκβάλλει προοδοποιῶν τῇ πίστει. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. Σκόπει πῶς καὶ αὐτὸς διὰ τούτων τοὺς μαθητὰς εὐαγγελίζεται, ὃ πολλάκις εἶπον, τὸ μάλιστα γένος ἀτιμασθὲν διὰ τὴν τῆς Εὔας παρακοὴν εἰς τιμὴν ἄγων καὶ εἰς χρηστὰς ἐλπίδας, καὶ τὸ πεπονηκὸς ἰώμενος. Τάχα τις ὑμῶν ἐβούλετο κατ' ἐκείνας τὰς ἀοιδίμους γενέσθαι, καὶ τοὺς πόδας κατέχειν τοῦ Ἰησοῦ· δύνασθε δὲ καὶ νῦν, ὅσοι βούλεσθε, οὐχὶ τοὺς πόδας καὶ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν κεφαλὴν κατέχειν τὴν ἱερὰν ἐκείνην, τῶν φρικτῶν ἀπολαύοντες μυστηρίων καθαρῷ συνειδότι. οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὄψεσθε αὐτὸν μετὰ τῆς ἀπορρήτου δόξης ἐκείνης καὶ τοῦ δήμου τῶν ἀγγέλων ἐρχόμενον, εἰ βουληθείητε εἶναι φιλάνθρωποι· καὶ ἀκούσεσθε οὐχὶ ταῦτα τὰ ῥήματα μόνον, ὅτι χαίρετε, ἀλλ' ἐκεῖνα, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου.

Γενώμεθα τοίνυν θεοσεβεῖς, φιλόθεοι, φιλάδελφοι, τὴν ἀγάπην πρὸς πάντας ἐπιδεικνύμενοι, ἵνα ταῦτα ἀκούσωμεν τὰ ῥήματα, καὶ αὐτὸν τὸν Χριστὸν ὑποδεξώμεθα· καὶ ὑμεῖς αἱ χρυσοφοροῦσαι γυναῖκες, αἱ τὸν δρόμον τῶν γυναικῶν τούτων θεασάμεναι, ὀψὲ γοῦν ποτε τὴν νόσον ἀπόθεσθε τῆς τῶν χρυσίων ἐπιθυμίας· ὥστε εἰ ζηλοῦτε τὰς μακαρίας ταύτας γυναῖκας, ἀντάλλαξασθε τὸν κόσμον, ὃν περίκεισθε, ἐλεημοσύνην περιθέμεναι. τί τὸ ὄφελος, εἰπέ μοι, τῶν λίθων τῶν τιμίων τούτων, καὶ τῶν χρυσοπάστων ἱματίων; χαίρει τούτοις, φησὶν, ἡ ψυχὴ, καὶ εὐφραίνεται. ἐγώ σε τὸ κέρδος ἠρώτησα, σὺ δέ μοι τὸ βλάβος εἶπες. τοῦ γὰρ περὶ ταῦτα ἠσχολῆσθαι καὶ χαίρειν καὶ προσηλῶσθαι χεῖρον οὐδέν. πικροτέρα γὰρ ἡ χαλεπὴ αὕτη δουλεία ἐστὶν, ὅταν τις καὶ δουλεύων εὐφραίνηται. ἐπὶ τίνι γὰρ τῶν πνευματικῶν, ὡς χρὴ, σπουδάσει ποτὲ ἔργων; πότε δὴ καταγελάσεται, ὡς δεῖ, τῶν βιωτικῶν πραγμάτων ἡ χαρᾶς ἄξιον εἶναι νομίζουσα τὸ δεδέσθαι χρυσῷ; ὁ γὰρ ἐν δεσμωτηρίῳ μένων καὶ ἡδόμενος, οὐδὲ ἀπαλλαγῆναι θελήσει, ὥσπερ οὖν οὐδὲ αὕτη· ἀλλ' ὥσπερ τις αἰχμάλωτος γενομένη τῆς πονηρᾶς ταύτης ἐπιθυμίας, οὐδὲ φωνῆς ἀνέξεται ἀκοῦσαι πνευματικῆς μετὰ τῆς προσηκούσης ἐπιθυμίας τε καὶ σπουδῆς, μήτιγε ἔργων μετελθεῖν. τί οὖν τὸ κέρδος τοῦ κόσμου τούτου καὶ τῆς βλακείας ταύτης, εἰπέ μοι; τέρπομαι, φησί. πάλιν μοι τὴν βλάβην εἶπες, καὶ τὸν ὄλεθρον. ἀλλὰ καὶ τιμῆς ἀπολαύω, φησὶ, πολλῆς παρὰ τῶν ὁρώντων. καὶ τί τοῦτο; ἑτέρας γὰρ τοῦτο διαφθορᾶς ὑπόθεσις, ὅταν εἰς τῦφον, ὅταν εἰς ἀπόνοιαν αἴρῃ. φέρε οὖν, ἐπεὶ σὺ τὸ κέρδος οὐκ εἶπες, ἀνάσχου ἐμοῦ σοι τὰς βλάβας διηγουμένου. τίνες οὖν ἐντεῦθεν αἱ βλάβαι; ἡ φροντὶς ἡ μείζων τῆς ἡδονῆς. διὸ πολλοὶ τῶν ὁρώντων τούτων δὴ τῶν παχυτέρων τέρπονται μᾶλλον, ἢ ἡ περικειμένη. σὺ μὲν γὰρ μετὰ μερίμνης καλλωπίζῃ· ἐκεῖνοι δὲ ἀνὰ ταύτης ἑστιῶσι τὰς ὄψεις. εἶτα πάλιν ἑτέρα, τὸ ταπεινοῦσθαι τὴν ψυχὴν, τὸ βασκαίνεσθαι πάντοθεν καὶ πανταχοῦ (αἱ γὰρ πλησίον δηχθεῖσαι κατὰ τῶν οἰκείων ἀνδρῶν ὁπλίζονται, καὶ πολέμους ἀναρριπίζουσι χαλεπούς) μετὰ τούτων, τὸ τὴν σχολὴν ἅπασαν καὶ τὴν φροντίδα εἰς τοῦτο δαπανᾶσθαι, τὸ τῶν πνευματικῶν μὴ σφόδρα ἀντέχεσθαι κατορθωμάτων, τὸ τύφου καὶ ἀπονοίας καὶ κενῆς πληροῦσθαι δόξης, τὸ τῇ γῇ προσηλῶσθαι καὶ πτερορρυεῖν,

ΗΘΙΚΟΝ

περιρρέουσιν, καὶ ἀντὶ ἀετοῦ γενέσθαι χοῖρον καὶ κύνα. ἀφεῖσα γὰρ τὸ πρὸς οὐρανὸν βλέπειν καὶ πέτασθαι, καθάπερ οἱ χοῖροι, χαμαὶ νεύεις μέταλλα περιεργαζομένη καὶ χηραμούς, καὶ ψυχὴν ἄνανδρον καὶ ἀνελεύθερον κτωμένη. ἀλλ' ἐπιστρέφεις φαινομένη * ἐπὶ τῆς ἀγορᾶς πάντων ὀφθαλμούς; δι' αὐτὸ μὲν οὖν τοῦτο χρυσοφορεῖν οὐκ ἔδει, ἵνα μὴ κοινὸν γένῃ θέατρον, καὶ πολλῶν κατηγόρων ἀνοίξῃς στόματα. οὐδεὶς γάρ σε τῶν ἐπιστρεφομένων θαυμάζει, ἀλλὰ σκώπτουσιν ὡς φιλόκοσμον, ὡς ἀλαζόνα, ὡς σαρκικὴν γυναῖκα. κἂν εἰς ἐκκλησίαν εἰσέλθῃς, ἐξῆλθες οὐδὲν λαβοῦσα, ἀλλ' ἢ μυρία σκώμματα, καὶ λοιδορίας, καὶ ἀράς, οὐχὶ παρὰ τῶν ὁρώντων μόνον, ἀλλὰ καὶ παρὰ τοῦ προφήτου. καὶ γὰρ * ὁ μεγαλοφωνότατος Ἡσαΐας ἰδών σε βοήσεται· Τάδε λέγει Κύριος ἐπὶ τὰς ἀρχούσας θυγατέρας Σιών· ἀνθ' ὧν ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, ἀνακαλύψει Κύριος τὸν κόσμον αὐτῶν, καὶ ἔσται αὐταῖς ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, ἀντὶ δὲ ζώνης, σχοινίῳ ζώσῃ· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. οὐδὲ γὰρ πρὸς ἐκείνας ταῦτα μόνας εἴρηται, ἀλλὰ καὶ πρὸς πᾶσαν γυναῖκα μιμουμένην αὐτάς. καὶ ὁ Παῦλος δὲ μετ' ἐκεῖνον * κατήγορος ἕστηκε, λέγων Τιμοθέῳ παραγγέλλειν ταῖς γυναιξί, Μὴ ἐν πλέγμασιν ἢ χρυσίῳ ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς. ὥστε πανταχοῦ μὲν βλαβερὸν τὸ χρυσοφορεῖν, μάλιστα δὲ, ὅταν εἰς ἐκκλησίαν εἰσίῃς, ὅταν διὰ τῶν πενήτων παρίῃς. εἰ γὰρ σφόδρα σαυτῆς κατηγορῆσαι ἐσπούδασας, οὐκ ἂν ἄλλο περιέθου σχῆμα, ἀλλ' ἢ τὸ τῆς ὠμότητος τοῦτο καὶ ἀπανθρωπίας προσωπεῖον. ἐννόησον γὰρ πόσας γαστέρας παρέρχῃ πεινώσας μετὰ τοῦ σχήματος τούτου, πόσα σώματα γεγυμνωμένα μετὰ τῆς φαντασίας ταύτης τῆς σατανικῆς. πόσῳ βέλτιον διαθρέψαι τὰς πεινώσας ψυχάς, ἢ λοβοὺς ὤτων διατιτρώσκειν, καὶ μυρίων πενήτων τροφὰς ἐξαρτᾶν εἰκῇ καὶ μάτην; μὴ γάρ σοι τὸ πλουτεῖν ἐγκώμιον; μὴ γάρ σοι τὸ χρυσοφορεῖν ἔπαινος; εἰ δὲ ἐκ δικαίων πόνων ταῦτα περικείμενά σοι ἦν, καὶ οὕτω μεγίστη κατηγορία τὸ γινόμενον· ὅταν δὲ καὶ ἐξ ἀδικίας, ἐννόησον τὴν ὑπερβολήν. ἀλλ' ἐπαίνων ἐρᾷς καὶ δόξης. οὐκοῦν ἀπόδυσαι τὴν καταγέλαστον ταύτην περιβολήν, καὶ τότε σε θαυμάσονται πάντες, τότε καὶ δόξης καὶ καθαρᾶς ἀπολαύσῃ τῆς ἡδονῆς· ὡς νῦν γε σκωμμάτων γέμεις, ἀθυμίας πολλὰς ὑποθέσεις ἐκ τούτων κατασκευάζουσα σαυτῇ. ἂν γὰρ ἐκπέσῃ τι τούτων, ἐννόησον ὅσα ἐντεῦθεν τίκτεται τὰ κακά. πόσαι μαστιγοῦνται θεραπαινίδες; πόσοι ἄνδρες ἐνοχλοῦνται; πόσοι ἀπάγονται; πόσοι δεσμωτήριον οἰκοῦσι; καὶ δικαστήρια ἐντεῦθεν καὶ εἰσαγωγαὶ καὶ μυρίαι πανταχόθεν ἀραὶ καὶ κατηγορίαι τῇ γυναικὶ παρὰ τοῦ ἀνδρός, τῷ ἀνδρὶ παρὰ τῶν φίλων, τῇ ψυχῇ παρ' ἑαυτῆς. ἀλλ' οὐκ ἀπολεῖται. μάλιστα μὲν οὖν τοῦτο οὐ ῥᾴδιον· εἰ δὲ καὶ σωθείη διὰ παντός, σωζόμενα πάλιν πολλὴν παρέχει μέριμναν καὶ φροντίδα καὶ ἀηδίαν, καὶ κέρδος οὐδέν. ποία γὰρ ἐντεῦθεν πρόσοδος τῇ οἰκίᾳ; τί ὄφελος αὐτῇ τῇ περικειμένῃ; ὄφελος μὲν οὐδέν, ἀκοσμία δὲ πολλή, καὶ κατηγορία πανταχόθεν. πῶς δυνήσῃ τοῦ Χριστοῦ φιλῆσαι τοὺς πόδας, καὶ κατασχεῖν οὕτως ἐσκευασμένη; τοῦτον ἀποστρέφεται τὸν κόσμον ἐκεῖνος. διὰ τοῦτο ἐν τῇ τοῦ τέκτονος οἰκίᾳ κατεδέξατο τεχθῆναι, μᾶλλον δὲ οὐδὲ ἐν τῇ οἰκίᾳ ἐκείνῃ, ἀλλ' ἐν καλύβῃ καὶ φάτνῃ. πῶς οὖν αὐτὸν δυνήσῃ ἰδεῖν οὐκ ἔχουσα κάλλος αὐτῷ ποθεινόν, οὐ περικειμένη κόσμον ἐπέραστον αὐτῷ, ἀλλὰ μισητόν; τὸν γὰρ αὐτῷ προσιόντα οὐ τοιούτοις δεῖ καλλωπίζεσθαι ἱματίοις, ἀλλ' ἀρετὴν περιβεβλῆσθαι. ἐννόησον τί ποτέ ἐστι τουτὶ τὸ χρυσίον. οὐδὲν ἕτερον, ἢ γῆ καὶ σποδός. ἔμβαλε ὕδωρ, καὶ γέγονε πηλός. ἐννόησον, καὶ αἰσχύνθητι τὸν πηλὸν δεσπότην ποιουμένη, καὶ πάντα ἀφεῖσα καὶ αὐτῷ προσκαθημένη, καὶ πανταχοῦ αὐτὸν βαστάζουσα καὶ περιφέρουσα. καὶ ὅταν εἰς ἐκκλησίαν εἰσίῃς, τότε μάλιστα φεύγειν αὐτὸν ἐχρῆν. οὐδὲ γὰρ διὰ τοῦτο ἡ ἐκκλησία ᾠκοδόμηται, ἵνα ἐν ταύτῃ τὸν πλοῦτον ἐπιδείξῃ τοῦτον, ἀλλ' ἵνα τὸν πνευματικόν. σὺ δὲ ὥσπερ εἰς πομπὴν ἐξιοῦσα, οὕτω πανταχόθεν σεαυτὴν καλλωπίζεις, ταῖς ἐν τῇ σκηνῇ μιμουμένη, οὕτω μετὰ δαψιλείας τὸν καταγέλαστον αὐτῶν

Ησ. γ. ις.

α. Τιμ. β. θ.

* πῶς

* ἰδίως

* βοᾷ καὶ

γρ. γυ

γρ. οἰκίας

γρ. ἐπ

γρ. οἰκο

τὸν τοῦτον βαστάζουσα φορυτόν. διά τοι τοῦτο πολλοῖς ἐπεισέρχεται λύπη, καὶ τῆς ἐκκλησίας διαλυθείσης, ἐν ταῖς οἰκίαις ἐπὶ τῶν τραπεζῶν ταῦτα ἄν τις ἀκούσειε διηγουμένων τῶν πλειόνων. ἀφέντες γὰρ λέγειν, ὃ καὶ ὃ εἶπεν ὁ προφήτης καὶ ὁ ἀπόστολος, τῶν ἱματίων τὴν πολυτέλειαν, τῶν λίθων τὸ μέγεθος, τὴν ἄλλην ἅπασαν ἀσχημοσύνην τῶν ταῦτα περικειμένων διηγοῦνται. ταῦτα ὑμᾶς πρὸς ἔλεον ἀργὰς ποιεῖ, καὶ οὐδὲ συνοικοῦντας ὑμῖν. οὐ γὰρ ἄν τις ὑμῶν ἕλοιτο ῥᾳδίως διακλάσαι τι τῶν χρυσίων τούτων, καὶ θρέψαι πεινῶντα. ὅπου γὰρ καὶ αὐτὴ ἕλοιο ἐν στενοχωρίᾳ εἶναι, ἢ ταῦτα ἰδεῖν διακλώμενα, πῶς ἂν ἑτέρους ἐκ τούτων διαθρέψειας; ὥσπερ γὰρ πρὸς ἔμψυχά τινα, διάκεινται αἱ πολλαὶ πρὸς ταῦτα, καὶ οὐδὲν ἧττον ἢ πρὸς παιδία. ἄπαγε, φησί. *δείξατέ μοι οὖν τοῦτο, δείξατε διὰ τῶν ἔργων, ὡς νῦν γε τοὐναντίον ὁρῶ. τίς γάρ ποτε τῶν σφόδρα "ἑαλωκυιῶν ταῦτα" καταχωνεύσασα, ἐξήρπασε "θανάτου παιδίον ψυχικοῦ; καὶ τί λέγω παιδίον; τίς τὴν ἑαυτῆς ψυχὴν ἀπολλυμένην ἐντεῦθεν ἐπρίατο; τοὐναντίον μὲν οὖν [④] πολλοὶ καὶ καθ' ἑκάστην αὐτὴν διὰ ταῦτα "πωλοῦσι τὴν ἡμέραν. καὶ ἐὰν μὲν σωματικὴ ἀρρωστία γένηται, πάντα ποιοῦσιν· ἂν δὲ τὴν ψυχὴν ἴδωσι διεφθαρμένην, οὐδὲν τοιοῦτον ἐργάζονται· ἀλλὰ καὶ τῶν "ἐκγόνων καὶ τῆς ἑαυτῶν ψυχῆς ἀμελοῦσιν, ἵνα ταῦτα μένῃ τῷ χρόνῳ "ἰούμενα. καὶ σὺ μὲν μυρίων ταλάντων χρυσία περίκεισαι, τὸ δὲ τοῦ Χριστοῦ μέλος οὐδὲ ἀναγκαίας ἔχει τροφῆς "ἀπολαῦσαι. ἀλλ' ὁ μὲν κοινὸς ἁπάντων δεσπότης, καὶ τοῦ οὐρανοῦ καὶ τῶν ἐν τοῖς οὐρανοῖς καὶ τραπέζης τῆς πνευματικῆς ἅπασιν ὁμοίως μετέδωκε· σὺ δὲ οὐδὲ τῶν ἀπολλυμένων αὐτῷ μεταδίδως, ἵνα μείνῃς συνεχῶς δεδεμένη ταῖς χαλεπαῖς ταύταις ἁλύσεσιν. ἐντεῦθεν τὰ μυρία κακά, ἐντεῦθεν αἱ ζηλοτυπίαι, ἐντεῦθεν αἱ πορνεῖαι τῶν ἀνδρῶν, ὅταν αὐτοὺς μὴ φιλοσοφεῖν παρασκευάζητε, ἀλλὰ τούτοις παιδεύητε χαίρειν, οἷς αἱ πορνευόμεναι ἐγκαλλωπίζονται γυναῖκες. διὰ τοῦτο καὶ ταχέως ἁλίσκονται. εἰ γὰρ αὐτὸν ἐπαίδευσας τούτων μὲν ὑπερορᾷν, σωφροσύνῃ δὲ χαίρειν, εὐλαβείᾳ, ταπεινοφροσύνῃ, οὐκ ἂν ῥᾳδίως ἑάλω τοῖς τῆς πορνείας πτεροῖς. κοσμήσασθαι μὲν γὰρ οὕτω δύναται πόρνη, καὶ τούτου πλέον· ἐκείνοις δὲ οὐκέτι. ἔθισον οὖν αὐτὸν τούτῳ χαίρειν τῷ κόσμῳ, ὃν οὐκ ἔχει παρὰ τῇ πόρνῃ κείμενον ἰδεῖν. πῶς δὲ αὐτὴν εἰς τὴν συνήθειαν ταύτην ἐμβαλεῖς; ἂν τοῦτον ἀφέλῃς, καὶ ἐκεῖνον περιθῇς. οὕτω καὶ ὁ ἀνὴρ ἐν ἀσφαλείᾳ, καὶ σὺ ἐν τιμῇ, καὶ ὁ Θεὸς ὑμῖν ἵλεως, καὶ ἄνθρωποι πάντες θαυμάσονται, καὶ τῶν μελλόντων ἐπιτεύξεσθε ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα * εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ϟ.

11 ΠΟΡΕΥΟΜΕΝΩΝ ΔΕ ΑΥΤΩΝ, ΙΔΟΥ ΤΙνες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. 12 Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, 13 Λέγοντες, εἴπατε ὅτι ④ μαθηταὶ αὐτοῦ ἐλθόντες νυκτὸς ἔκλεψαν αὐτόν, ἡμῶν κοιμωμένων. 14 Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτόν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.

ΔΙὰ τούτους τοὺς στρατιώτας ὁ σεισμὸς ἐκεῖνος ἐγένετο, ὥστε αὐτοὺς ἐκπλῆξαι, καὶ παρ' αὐτῶν γενέσθαι τὴν μαρτυρίαν· ὅπερ οὖν καὶ συνέβη. καὶ γὰρ ἀνύποπτος ἡ ἀπαγγελία οὕτως ἐγένετο παρὰ τῶν φυλάκων "προφερομένη. τῶν γὰρ σημείων τὰ μὲν κοινῇ τῇ οἰκουμένῃ, τὰ δὲ ἴδια τοῖς ἐκεῖ παροῦσιν "ἐδείκνυτο. κοινῇ μὲν τῇ οἰκουμένῃ τὸ σκότος, ἰδίᾳ δὲ τὸ τοῦ ἀγγέλου, τὸ τοῦ σεισμοῦ. ἐπεὶ οὖν ἦλθον καὶ ἀπήγγειλαν

(οἱ

γένοιτο.
αλωκότων
καταχω-
σας,
παιδίου ψυ-
;
ἀπολλύουσι
ἐγγόνων

ἰώμενα.
ἀπόλαυσιν.

τὸ κράτος
τοῦ ἀνάρ-
καὶ ζωο-
τὰ πάν-

προσγινο-
α.
ἐνεδείκ.

(ἡ γὰρ ἀλήθεια παρὰ τῶν ἐναντίων ἀνακηρυττομένη διαλάμπει) ἔδωκαν πάλιν ἀργύρια, ἵνα εἴπωσι, φησὶν, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες ἔκλεψαν αὐτόν. πῶς ἔκλεψαν, ὦ πάντων ἀνοητότατοι; διὰ γὰρ τὸ λαμπρὸν τῆς ἀληθείας καὶ περιφανὲς, οὐδὲ πλάσαι δύνανται. καὶ γὰρ σφόδρα ἀπίθανον τὸ λεγόμενον, καὶ οὐδὲ σχῆμα τὸ ψεῦδος εἶχε. πῶς γὰρ ἔκλεπτον, εἰπέ μοι, οἱ μαθηταὶ, ἄνθρωποι πτωχοὶ καὶ ἰδιῶται, καὶ οὐδὲ φαίνεσθαι τολμῶντες; μὴ γὰρ οὐκ ἦν σφραγὶς ἐπικειμένη; μὴ γὰρ οὐ παρεκάθηντο τοσοῦτοι φύλακες καὶ στρατιῶται καὶ Ἰουδαῖοι; μὴ γὰρ οὐχ ὑπώπτευον τοῦτο αὐτὸ, καὶ ἐμερίμνων καὶ ἠγρύπνουν καὶ ἐφρόντιζον ἐκεῖνοι; τίνος δὲ ἕνεκεν καὶ ἔκλεπτον; ἵνα πλάσωσι τὸ τῆς ἀναστάσεως δόγμα; καὶ πῶς ἂν ἐπῆλθεν αὐτοῖς τοιοῦτόν τι πλάσαι ἀνθρώποις ἀγαπῶσιν, ὅτι κρυπτόμενοι ζῶσι; πῶς δ' ἂν τὸν λίθον ἀνεῖλον τὸν ἠσφαλισμένον; πῶς δ' ἂν τοὺς τοσούτους διέλαθον; καίτοι εἰ καὶ θανάτου κατεφρόνουν, οὐκ ἂν ἐπεχείρησαν εἰκῆ καὶ μάτην κατατολμῆσαι, τοσούτων ὄντων φυλάκων. ὅτι δὲ καὶ δειλοὶ ἦσαν, ἐδήλωσε τὰ ἔμπροσθεν γεγενημένα. ὅτε γοῦν εἶδον αὐτὸν συνειλημμένον, ἅπαντες ἀπεπήδησαν. εἰ τοίνυν τότε οὐδὲ στῆναι ἐτόλμησαν ζῶντα ὁρῶντες, πῶς ἀποθανόντος οὐκ ἂν ἐφοβήθησαν τοσούτων στρατιωτῶν πλῆθος; μὴ γὰρ θύραν ἦν ἀνατρέψαι; μὴ γὰρ ἕνα λαθεῖν; λίθος ἐπέκειτο μέγας πολλῶν δεόμενος χειρῶν. δικαίως οὖν ἔλεγον, καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης, καθ' ἑαυτῶν ἀποφαινόμενοι τοῦτο· ὅτι μετὰ τοσαύτην μανίαν δέον μετανοῆσαι, οἱ δὲ καὶ ἐπαγωνίζονται τοῖς προτέροις, καταγέλαστα πλάττοντες πλάσματα· καὶ ζῶντος μὲν τὸ αἷμα ὠνούμενοι, σταυρωθέντος δὲ καὶ ἀναστάντος τὸν περὶ τῆς ἀναστάσεως πάλιν διὰ χρημάτων ὑπορύττοντες λόγον. σὺ δέ μοι σκόπει πῶς, δι' ὧν ποιοῦσιν, ἁλίσκονται πανταχοῦ. εἰ γὰρ μὴ προσῆλθον Πιλάτῳ, μηδὲ ᾔτησαν τὴν κουστωδίαν, μᾶλλον ἠδύναντο τοιαῦτα ἀναισχυντεῖν· νυνὶ δὲ οὐκ ἔτι. καὶ γὰρ ὥσπερ σπουδάζοντες ἀπορράψαι τὰ οἰκεῖα στόματα, οὕτω πάντα ἔπραξαν. εἰ γὰρ γρηγορῆσαι οὐκ ἴσχυσαν μετ' αὐτοῦ, καὶ ταῦτα ὀνειδιζόμενοι παρ' αὐτοῦ, πῶς ἂν τοῦτο ἐτόλμησαν; διὰ τί δὲ μὴ πρὸ τούτου ἔκλεψαν, ἀλλ' ὅτε ὑμεῖς ἤλθετε; εἰ γὰρ ἐβούλοντο τοῦτο ποιῆσαι, μηδέπω φυλαττομένης τῆς θήκης ἐποίησαν ἂν ἐν τῇ πρώτῃ νυκτὶ, ὅτε ἀκίνδυνον καὶ ἀσφαλὲς ἦν. τῷ γὰρ σαββάτῳ προσελθόντες ᾐτήσαντο παρὰ τοῦ Πιλάτου τὴν κουστωδίαν, καὶ ἐφύλαττον· τὴν δὲ πρώτην νύκτα οὐδεὶς τούτων τῷ τάφῳ παρῆν. τί δὲ βούλεται καὶ τὰ σουδάρια τὰ τῇ σμύρνῃ προσπεπηγότα; ταῦτα γὰρ εἶδεν ὁ Πέτρος κείμενα. εἰ γὰρ ἐβούλοντο κλέψαι, οὐκ ἂν γυμνὸν ἔκλεψαν τὸ σῶμα, οὐ διὰ τὸ μὴ ἐνυβρίσαι μόνον, ἀλλ' ὥστε μὴ ἐν τῷ ἀποδύειν, μέλλειν καὶ βραδύνειν, καὶ παρέχειν τοῖς βουλομένοις διαναστῆναι καὶ κατασχεῖν· μάλιστα δὲ ὅτε σμύρνα ἦν, φάρμακον οὕτω κολλῶδες τῷ σώματι καὶ τοῖς ἱματίοις προσπεπηγός· ὅθεν οὐκ εὔκολον ἦν ἀποσπάσαι τὰ ἱμάτια τοῦ σώματος, ἀλλὰ πολλοῦ χρόνου οἱ τοῦτο ποιοῦντες ἐδέοντο. ὥστε κἀντεῦθεν ἀπίθανον τὸ τῆς κλοπῆς. μὴ γὰρ οὐκ ᾔδεσαν τὸν θυμὸν τὸν Ἰουδαϊκὸν, καὶ ὅτι εἰς αὐτοὺς τὴν ὀργὴν ἀφήσουσι; τί δὲ ὅλως καὶ τὸ κέρδος ἦν αὐτοῖς, εἰ μὴ ἀνέστη; ταῦτα δὴ πάντα καὶ οὗτοι συνειδότες ὅτι ἔπλασαν, ἔδωκαν ἀργύριον, καὶ φασίν· εἴπατε ταῦτα ὑμεῖς, καὶ ἡμεῖς πείσομεν τὸν ἡγεμόνα. δημοσιευθῆναι γὰρ ἐβούλοντο τὴν φωνὴν, εἰκῆ καὶ μάτην πρὸς τὴν ἀλήθειαν πυκτεύοντες, καὶ δι' ὧν αὐτοὶ συσκιάζειν ἐπεχείρουν, διὰ τούτων καὶ ἄκοντες παρεσκεύαζον ἐκλάμπειν αὐτήν. καὶ γὰρ καὶ τοῦτο τὴν ἀνάστασιν κυροῖ, τὸ αὐτοὺς ταῦτα εἰπεῖν, ὅτι οἱ μαθηταὶ ἔκλεψαν. τοῦτο γὰρ ὁμολογούντων ἐστὶν, ὅτι οὐκ ἦν ἐκεῖ τὸ σῶμα. ὅταν οὖν αὐτοὶ μὲν ὁμολογῶσι μὴ εἶναι τὸ σῶμα ἐκεῖ, τὴν δὲ κλοπὴν δεικνύῃ ψευδῆ καὶ ἀπίθανον ἡ προσεδρία αὐτῶν καὶ τὰ σήμαντρα καὶ ἡ τῶν μαθητῶν δειλία, ἀναμφισβήτητος κἀντεῦθεν ἡ τῆς ἀναστάσεως ἀπόδειξις φαίνεται. ἀλλ' ὅμως οἱ ἀναίσχυντοι, καὶ πάντα τολμῶντες, τοσούτων ὄντων τῶν ἐπιστομιζόντων αὐτοὺς, εἴπατε φασὶ, καὶ ἡμεῖς πείσομεν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. ὁρᾷς πάντας διεφθαρμένους; τὸν

Πιλάτον; αὐτὸς γὰρ ἐπείσθη. τοὺς στρατιώτας; ἢ τὸν δῆμον τὸν Ἰουδαϊκόν; ἀλλὰ μὴ θαυμάσῃς, εἰ χρήματα στρατιωτῶν περιεγένετο. εἰ γὰρ παρὰ τῷ μαθητῇ τοσαύτην ἐπεδείξατο τὴν ἰσχύν, πολλῷ μᾶλλον παρὰ τούτοις.

15 Καὶ διεφημίσθη ὁ λόγος οὗτος, φησί, παρὰ Ἰουδαίοις ἕως τῆς σήμερον ἡμέρας.

Εἶδες πάλιν τῶν μαθητῶν τὸ φιλάληθες· πῶς οὐδὲ τοῦτο αἰσχύνονται λέγοντες, ὅτι πιστὸς ἐκράτησε λόγος κατ' αὐτῶν;

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ἀπῆλθον εἰς τὴν Γαλιλαίαν,

17 Καὶ οἱ μὲν προσεκύνησαν, οἱ δὲ ἰδόντες αὐτὸν ἐδίστασαν. Αὕτη μοι δοκεῖ ἐσχάτη ὄψις εἶναι ἐν τῇ Γαλιλαίᾳ, ὅτε αὐτοὺς ἐξέπεμπε βαπτίσοντας. εἰ δὲ ἐδίστασάν τινες, κἀντεῦθεν πάλιν θαύμασον αὐτῶν τὴν ἀλήθειαν, πῶς οὐδὲ τὰ μέχρις ἐσχάτης ἡμέρας ἐλαττώματα αὐτῶν ἀποκρύπτονται· ἀλλ' ὅμως καὶ οὗτοι διὰ τῆς ὄψεως αὐτοῦ ἐβεβαιώθησαν. τί οὖν φησιν ἰδὼν αὐτούς;

18 Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πάλιν ἀνθρωπινώτερον αὐτοῖς διαλέγεται. οὐδέπω γὰρ ἦσαν τὸ πνεῦμα εἰληφότες τὸ δυνάμενον ὑψηλοὺς αὐτοὺς ποιῆσαι.

19 Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος,

20 Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν·

Τὸ μὲν περὶ δογμάτων, τὸ δὲ περὶ ἐντολῶν παραγγέλλων. καὶ Ἰουδαίων μὲν οὐδὲ μέμνηται, οὐδὲ εἰς μέσον φέρει τὰ γεγενημένα, οὐδὲ ὀνειδίζει Πέτρῳ τὴν ἄρνησιν, οὐδὲ τῶν ἄλλων οὐδενὶ τὴν φυγήν. κελεύει δὲ εἰς τὴν οἰκουμένην ἐκχυθῆναι πᾶσαν, σύντομον διδασκαλίαν ἐγχειρίσας τὴν διὰ τοῦ βαπτίσματος. εἶτα ἐπειδὴ μεγάλα αὐτοῖς ἐπέταξεν, ἐπαίρων αὐτῶν τὰ φρονήματα, φησίν· Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Εἶδες αὐθεντίαν πάλιν; εἶδες πῶς καὶ ἐκεῖνα συγκαταβάσεως ἕνεκεν εἴρηται; οὐ μετ' ἐκείνων δὲ μόνον εἶπεν ἔσεσθαι, ἀλλὰ καὶ μετὰ πάντων τῶν μετ' ἐκείνους πιστευσάντων. οὐ γὰρ δὴ ἕως τῆς συντελείας τοῦ αἰῶνος οἱ ἀπόστολοι μένειν ἔμελλον, ἀλλ' ὡς ἑνὶ σώματι διαλέγεται τοῖς πιστοῖς. μὴ γάρ μοι τὴν δυσκολίαν, φησίν, εἴπατε τῶν πραγμάτων. ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν, ὁ πάντα ποιῶν εὔκολα. τοῦτο καὶ τοῖς προφήταις ἔλεγεν ἐν τῇ παλαιᾷ συνεχῶς, καὶ τῷ Ἱερεμίᾳ νεότητα προβαλλομένῳ, καὶ τῷ Μωϋσῇ, καὶ τῷ Ἰεζεκιὴλ ἀναδυομένοις, ἐγώ εἰμι μεθ' ὑμῶν· τοῦτο καὶ ἐνταῦθα τούτοις. σκόπει δέ μοι κἀνταῦθα τὴν τούτων διαφοράν. ἐκεῖνοι μὲν γὰρ εἰς ἓν ἔθνος ἀποστελλόμενοι πολλάκις παρῃτοῦντο, οὗτοι δὲ οὐδὲν τοιοῦτον ἐφθέγξαντο εἰς πᾶσαν τὴν οἰκουμένην πεμπόμενοι. ἀναμιμνήσκει δὲ αὐτοὺς καὶ τῆς συντελείας, ἵνα μᾶλλον αὐτοὺς ἐφελκύσηται, καὶ μὴ τὰ παρόντα ὁρῶσιν ἀηδῆ μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα ἀγαθὰ τὰ ἀπέραντα. τὰ μὲν γὰρ λυπηρά, φησίν, ἅπερ ὑποστήσεσθε, [ἐν] τῷ παρόντι βίῳ συγκαταλύεται, ὅπουγε καὶ αὐτὸς ὁ αἰὼν οὗτος εἰς συντέλειαν ἥξει· τὰ δὲ χρηστά, ὧν ἀπολαύσεσθε, ἀθάνατα μένει, καθάπερ πολλάκις ἔμπροσθεν εἶπον. οὕτως ἀλείψας καὶ ἐγείρας αὐτῶν τὰ φρονήματα καὶ τῇ μνήμῃ τῆς ἡμέρας ἐκείνης, ἐξέπεμψεν. ἡ γὰρ ἡμέρα ἐκείνη τοῖς ἐν κατορθώμασι ζήσασι ποθεινή, ὥσπερ οὖν τοῖς ἐν ἁμαρτήμασι φοβερά, καθάπερ τοῖς καταδίκοις.

ΗΘΙΚΟΝ

Ἀλλὰ μὴ φοβώμεθα μόνον καὶ φρίττωμεν, ἀλλὰ καὶ μεταβαλώμεθα, ἕως ἐπὶ καιρός, καὶ ἀνενεγκώμεθα ἐκ τῆς πονηρίας. δυνάμεθα γάρ, ἐὰν θέλωμεν. εἰ γὰρ πρὸ τῆς χάριτος πολλοὶ τοῦτο ἐποίησαν, πολλῷ μᾶλλον μετὰ τὴν χάριν. τί γὰρ φορτικὸν ἐπετάγημεν; ὄρη διατεμεῖν, [ἢ πλεῦσαι πρὸς ἀέρα,] ἢ διαπερᾶσαι τὸ Τυρρηνικὸν πέλαγος; οὐδαμῶς· ἀλλ' οὕτως εὔκολον πολιτείαν, ὡς μηδὲ ὀργάνων δεῖσθαι, ἀλλὰ ψυχῆς καὶ διαθέσεως μόνης. ποία γὰρ ὄργανα εἶχον οἱ ἀπόστολοι" οἱ τοσαῦτα κατορθώσαντες; οὐχὶ μονοχίτωνες καὶ ἀνυπόδητοι περιῄεσαν, καὶ πάντων περιεγένοντο; τί γὰρ δύσκολον τῶν τοῦ Χριστοῦ ἐπιταγμάτων; μηδένα ἔχε ἐχθρόν, μηδένα μίσει, μηδένα λέγε κακῶς. τὰ ἐναντία μὲν οὖν τούτων τὰ δυσκολώτερα. ἀλλ' εἶπε, φησί, ῥίψον τὰ χρήματα, καὶ τοῦτό ἐστι τὸ φορτικόν. μάλιστα μὲν οὐκ ἐκέλευσεν, ἀλλὰ συνεβούλευσε. πλὴν εἰ καὶ ἐπίταγμα ἦν, τί τὸ βαρὺ μὴ περιφέρειν φορτία καὶ φροντίδας ἀκαίρους; ἀλλ' ὢ τῆς φιλαργυρίας. πάντα χρήματα γέγονε· διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε. κἂν μακαρίσῃ τις τινά, τούτων μέμνηται· κἂν ταλανίσῃ, ἐντεῦθεν ὁ ταλανισμός· καὶ πάντες οἱ λόγοι διὰ ταῦτα γίνονται, πῶς ὁ δεῖνα πλουτεῖ, πῶς ὁ δεῖνα πένεται. κἂν" στρατείαν, κἂν γάμον, κἂν τέχνην, κἂν ὁτιοῦν μεταχειρίζῃ τις, οὐ πρότερον ἅπτεται τοῦ προκειμένου, ἕως ἂν ταῦτα ἴδῃ ἰόντα ῥαγδαίως αὐτῷ *. εἶτα οὐ συνελθόντες βουλευσόμεθα, πῶς τὸ νόσημα τοῦτο ἀπελάσωμεν; οὐκ" αἰσχυνθησόμεθα τῶν πατέρων τὰ κατορθώματα, τῶν τρισχιλίων, τῶν πεντακισχιλίων, οἳ κοινὰ πάντα εἶχον; τί τὸ κέρδος τῆς παρούσης ζωῆς, ὅταν εἰς τὴν μέλλουσαν ἐμπορείαν αὐτῇ μὴ χρησώμεθα; μέχρι πότε οὐ δουλεύετε τὸν δουλωσάμενον ὑμᾶς μαμμωνᾶν; μᾶλλον δὲ μέχρι πότε δοῦλοι χρημάτων; μέχρι τίνος οὐκ ἐρᾶτε ἐλευθερίας, καὶ διαρρήγνυτε τὰς ὠνὰς τῆς φιλοχρηματίας; ἀλλ' ἂν μὲν ἀνθρώπων γένησθε δοῦλοι, πάντα ποιεῖτε, εἴ τις ἐλευθερίαν ὑπόσχοιτο· φιλαργυρίας δὲ ὄντες αἰχμάλωτοι, οὐδὲ ἐννοεῖτε" πῶς τῆς πικρᾶς ταύτης καὶ ἀνελευθέρου ἀπαλλαγῆτε δουλείας· καίτοι τὸ μὲν οὐδὲν δεινόν, τὸ δὲ τυραννὶς ἡ πικροτάτη. ἐννοήσατε ἡλίκην τιμὴν κατέθηκεν ὑπὲρ ἡμῶν ὁ Χριστός. τὸ αἷμα τὸ ἑαυτοῦ ἐξέχεεν, ἑαυτὸν ἐξέδωκεν· ὑμεῖς δὲ μετὰ ταῦτα πάντα ἀναπεπτώκατε· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ" εὐφραίνεσθε τῇ δουλείᾳ, καὶ ἐντρυφᾶτε τῇ ἀτιμίᾳ, καὶ ἐπέραστον γέγονε τὸ φευκτόν. ἀλλ' ἐπειδὴ οὐκ ἀποδύρεσθαι χρὴ μόνον καὶ ἐγκαλεῖν, ἀλλὰ καὶ διορθοῦν, ἴδωμεν πόθεν ἐπέραστον ὑμῖν γέγονε τοῦτο τὸ πάθος καὶ τὸ κακόν. πόθεν οὖν, πόθεν ἐπέραστον τοῦτο γέγονεν; ὅτι ἐν δόξῃ, φησί, καὶ ἀσφαλείᾳ ποιεῖ. ποίᾳ ἀσφαλείᾳ, εἰπέ μοι; ἐν τῷ θαρρεῖν ὑπὲρ τοῦ μὴ πεινᾶν, μὴ" ῥιγοῦν, μὴ βλάπτεσθαι, μὴ καταφρονεῖσθαι. οὐκοῦν ἐὰν ἐπαγγειλώμεθά σοι τὴν" ἀσφάλειαν ταύτην, ἀποστήσῃ τοῦ πλεονεκτεῖν; εἰ γὰρ διὰ τοῦτο ὁ πλοῦτος ἐπέραστος, ἂν δέξῃ χωρὶς τούτου ἔχειν ἀσφάλειαν, τίς χρεία σοι τούτου λοιπόν; καὶ πῶς δυνατὸν μὴ πλουτοῦντα, φησί, τούτων ἐπιτυχεῖν; πῶς μὲν οὖν οὐ δυνατόν; ἐγὼ γὰρ τοὐναντίον ἐρῶ· πλουτοῦντα οὐκ ἔνι τούτων ἐπιτυχεῖν. καὶ γὰρ κολακεύειν ἀνάγκη πολλοὺς καὶ ἄρχοντας καὶ ἀρχομένους, καὶ δεῖσθαι μυρίων, καὶ δουλεύειν ἀγεννῶς, καὶ δεδοικέναι, καὶ τρέμειν, καὶ ὑποπτεύειν τοὺς τῶν βασκαινόντων ὀφθαλμούς, καὶ φοβεῖσθαι συκοφαντῶν στόματα, καὶ ἑτέρων φιλαργύρων ἐπιθυμίας. ἀλλ' οὐχ ἡ πενία τοιοῦτον, ἀλλὰ τοὐναντίον ἅπαν· χωρίον ἄσυλόν ἐστι καὶ ἀσφαλές, λιμὴν εὔδιος, παλαίστρα καὶ γυμνάσιον φιλοσοφίας, ἀγγελικοῦ βίου μίμημα. ἀκούσατε, ὅσοι πένεσθε, τούτων, μᾶλλον δὲ καὶ ὅσοι πλουτεῖν ἐπιθυμεῖτε. οὐ τὸ πένεσθαι δεινόν, ἀλλὰ τὸ μὴ βούλεσθαι πένεσθαι. μηδὲν δεινὸν νόμιζε εἶναι πενίαν, καὶ οὐκ ἔσται σοι δεινόν. οὐδὲ γὰρ ἐν τῇ φύσει τοῦ πράγματος, ἀλλ' ἐν τῇ κρίσει τῶν μαλακοψύχων ἀνδρῶν τοῦτό ἐστι τὸ δέος. μᾶλλον δὲ καὶ αἰσχύνομαι, εἰ τοσοῦτον ὑπὲρ πενίας ἔχοιμι λέγειν, ὅτι οὐδέν ἐστι δεινόν. ἐὰν γὰρ φιλοσοφῇς, καὶ μυρίων ἀγαθῶν ἔσται σοι πηγή. καὶ εἴ τις σοι ἀρχὴν καὶ πολιτικὰς δυνάμεις καὶ πλοῦτον καὶ τρυφὴν προετίθει, εἶτα τὴν πενίαν τιθεὶς αἵρεσιν ἐδίδου λαβεῖν ὅπερ ἤθελες, ταύτην ἂν εὐθέως ἥρπασας, εἴγε αὐτῆς ἔγνως τὸ κάλλος. καὶ οἶδα μὲν ὅτι πολλοὶ γελῶσι τούτων λεγομένων, ἀλλ' ἡμεῖς οὐ θορυβούμεθα, ἀλλ' ὑμᾶς ἀξιοῦμεν ἀνέχεσθαι, καὶ ταχέως ἡμῖν συμψηφιεῖσθε. ἐμοὶ γὰρ ἡ πενία κόρῃ τινὶ κοσμίᾳ καὶ καλῇ καὶ εὐειδεῖ προσεοικέναι δοκεῖ· ἡ δὲ φιλαργυρία θηριομόρφῳ γυναικί, * σκύλλῃ τινί, καὶ ὕδρᾳ, καὶ ἑτέροις τοιούτοις τισὶ τέρασι παρὰ μυθοποιῶν πλαττομένοις. μὴ γάρ μοι τοὺς κατηγοροῦντας τῆς πενίας" εἰσενέγκῃς εἰς μέσον, ἀλλὰ * τοὺς δι' αὐτῆς λάμψαντας. μετὰ ταύτης Ηλίας τραφεὶς ἡρπάγη τὴν μακαρίαν ἐκείνην ἁρπαγήν, μετὰ ταύτης Ελισσαῖος ἔλαμψε, μετὰ ταύτης Ιωάννης, μετὰ ταύτης οἱ ἀπόστολοι ἅπαντες· μετὰ δὲ ἐκείνης ὁ Αχαὰβ, ἡ Ιεσαβὲλ, ὁ Γιεζῆ, ὁ Ιούδας, ὁ Νέρων, ὁ Καϊάφας κατεκρίθησαν. ἀλλ', εἰ δοκεῖ, μὴ τοὺς ἐν πενίᾳ λάμψαντας μόνον ἴδωμεν, ἀλλὰ καὶ αὐτὸ τῆς κόρης ταύτης τὸ κάλλος ἐπισκεψώμεθα. καὶ γὰρ ὁ ὀφθαλμός ἐστιν αὐτῇ καθαρὸς καὶ "διειδὴς, οὐδὲν ἔχων "θολερὸν, καθάπερ ὁ τῆς φιλαργυρίας, νῦν μὲν θυμοῦ γέμων, νῦν δὲ ἡδονῆς ἐμπεπλησμένος, νῦν δὲ "ὑπὸ ἀκρασίας τεταραγμένος. ἀλλ' οὐχ ὁ τῆς πενίας τοιοῦτος· ἀλλ' ἥμερος, γαληνός, ἡδὺ πρὸς πάντας βλέπων, μειλίχιος, προσηνής, οὐδένα μισῶν, οὐδένα ἀποστρεφόμενος. ὅπου γὰρ χρήματα, ἐκεῖ ἔχθρας ὑπόθεσις καὶ μυρίων πολέμων. στόμα πάλιν ἐκείνης μὲν ὕβρεων γέμει, τύφου τινὸς, ἀλαζονείας πολλῆς, ἀρᾶς, δόλου· ταύτης δὲ καὶ στόμα, καὶ γλῶσσα ὑγιὴς, "εὐχαριστίας γέμουσα" διηνεκοῦς, εὐλογίας, προσηνῶν ῥημάτων, φιλοστόργων, θεραπευτικῶν, ἐπαίνων, ἐγκωμίων. εἰ δὲ καὶ τὴν ἀναλογίαν ἐθέλοις αὐτῆς ἰδεῖν τῶν μελῶν, εὐμήκης τε ἐστὶ καὶ ὑψηλοτέρα πολὺ τῆς εὐπορίας. εἰ δὲ φεύγουσιν αὐτὴν πολλοὶ, μὴ θαυμάσῃς. καὶ γὰρ καὶ τὴν ἄλλην ἀρετὴν οἱ ἀνόητοι. ἀλλ' ὑβρίζεται, φησὶν, ὁ πένης παρὰ τοῦ πλουτοῦντος. πάλιν μοι τῆς πενίας τὸ ἐγκώμιον λέγεις. τίς γὰρ, εἰπέ μοι, μακάριος, ὁ ὑβρίζων, ἢ ὁ ὑβριζόμενος; δῆλον ὡς ὁ ὑβριζόμενος. οὐκοῦν ἐκείνη μὲν ὑβρίζειν κελεύει, αὕτη δὲ φέρειν γενναίως παραινεῖ. ἀλλὰ πεινᾷ ὁ πένης, φησί. καὶ Παῦλος ἐπείνα καὶ ἐν λιμῷ ἦν. ἀλλ' οὐκ ἔχει ἀνάπαυσιν. οὐδὲ ὁ υἱὸς τοῦ ἀνθρώπου εἶχε ποῦ τὴν κεφαλὴν "κλίνῃ. εἶδες οἷα παραβαίνει τῆς πενίας τὰ ἐγκώμια, καὶ ποῦ σε ἵστησι, πρὸς ποίους ἄνδρας ἀνάγει, καὶ πῶς τοῦ δεσπότου ποιεῖ μιμητήν; εἰ καλὸν τὸ χρυσίον ἦν, τοῦτο ἂν ἔδωκε τοῖς μαθηταῖς ὁ Χριστὸς, ὁ τὰ ἀπόρρητα ἐκεῖνα δοὺς ἀγαθά. νυνὶ δὲ οὐ μόνον οὐκ ἔδωκεν, ἀλλὰ καὶ ἔχειν ἀπηγόρευσε. διὸ καὶ ὁ Πέτρος οὐ μόνον οὐ καταδύεται * πενίᾳ, ἀλλὰ καὶ σεμνύνεται λέγων, Αργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι, Πραξ. γ. ς. φησί. τίς οὐκ ἂν ἠθέλησεν ὑμῶν ῥῆξαι ταύτην τὴν φωνήν; καὶ σφόδρα μὲν οὖν ἅπαντες, ἴσως εἴποι τις ἄν. οὐκοῦν ῥῖψον τὸ ἀργύριον, ῥῖψον τὸ χρυσίον. καὶ ἐὰν ῥίψω, φησὶ, λήψομαι τὴν δύναμιν Πέτρου; τί γὰρ Πέτρον μακάριον ἐποίησεν, εἰπέ μοι; ἆρα τὸ χωλὸν ἐγεῖραι; οὐδαμῶς, ἀλλὰ τὸ μὴ ταῦτα ἔχειν, τοῦτο αὐτῷ τὸν οὐρανὸν προεξένησε. τῶν μὲν γὰρ ταῦτα ἐργασαμένων πολλοὶ εἰς γέενναν ἐνέπεσον, οἱ δὲ ἐκεῖνα ποιήσαντες βασιλείας ἐπέτυχον. καὶ τοῦτο καὶ ἐξ αὐτοῦ τοῦ Πέτρου μάνθανε. δύο γὰρ ἦν, ἃ εἴρηκεν· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, καὶ ἐν τῷ ὀνόματι Ιησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει. ποῖον οὖν αὐτὸν ἐποίησε λαμπρὸν καὶ μακάριον, τὸ ἐγεῖραι τὸν χωλὸν, ἢ τὸ ῥῖψαι τὰ χρήματα; καὶ ταῦτα παρ' αὐτοῦ τοῦ ἀγωνοθέτου παιδεύου. τί οὖν εἶπε τῷ πλουσίῳ φησὶ ζητοῦντι τὴν αἰώνιον ζωήν; οὐκ εἶπεν, ἔγειρον χωλοὺς, ἀλλὰ, Πώλησόν σου τὰ ὑπάρχοντα, Λυκ. ιη. κβ. καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. Μαρ. ι. ιζ. καὶ ὁ Πέτρος δὲ πάλιν οὐκ εἶπεν, ἰδοὺ ἐν τῷ ὀνόματί σου ἐκβάλλομεν δαίμονας (καίτοι ἦν ἐκβάλλων) ἀλλ', Ιδοὺ ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; καὶ ὁ Χριστὸς δὲ πάλιν Ματθ. ιθ. κζ. πρὸς τοῦτον ἀποκρινόμενος οὐκ εἶπεν, ἐάν τις χωλὸν ἐγείρῃ, ἀλλ' ὅστις ἀφῆκεν οἰκίας καὶ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ ἡμεῖς οὖν τοῦτον ζηλώσωμεν, ἵνα μὴ καταισχυνθῶμεν, ἀλλ' ἵνα μετὰ παρρησίας παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ· ἵνα αὐτὸν ἐπισπασώμεθα εἶναι μεθ' ἡμῶν, ὡς καὶ μετὰ τῶν μαθητῶν ἦν. ἔσται γὰρ μεθ' ἡμῶν, καθάπερ καὶ μετ' ἐκείνων ἦν, ἐὰν θέλωμεν ἐκείνους μιμήσασθαι καὶ ζηλωταὶ γενέσθαι τοῦ βίου καὶ τῆς πολιτείας αὐτῶν. ἀπὸ τούτων γὰρ ὁ Θεὸς στεφανοῖ καὶ ἀνακηρύττει, οὐκ ἀπαιτῶν σε νεκροὺς ἐγεῖραι, οὐδὲ χωλὸν διορθῶσαι. οὐ γὰρ ταῦτα ποιεῖ κατὰ Πέτρον γενέσθαι, ἀλλαι τὸ ῥίψαι τὰ ὄντα. τοῦτο γὰρ τοῦ ἀποστόλου τὸ κατόρθωμα. ἀλλ' οὐ δύνασαι ῥίψαι; μάλιστα μὲν οὖν δυνατόν· πλὴν οὐκ ἀναγκάζω, εἰ μὴ βούλει, οὐδὲ βιάζομαι· ἀλλ' ἐκεῖνο παρακαλῶ, κἂν κατὰ μέρος ἀναλίσκειν τοῖς δεομένοις τὸν πλοῦτον, καὶ μηδὲν πλέον τῆς χρείας ἐπιζητεῖν. οὕτω γὰρ καὶ ἐνταῦθα ἀπράγμονα βιωσόμεθα βίον καὶ ἀσφαλῆ, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαυσόμεθα, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὸν ἅγιον Ἰωάννην * τὸν εὐαγγελιστήν.

Οἱ τῶν ἀγώνων τῶν ἔξωθεν θεαταὶ, ὅταν τινὰ γενναῖον ἀθλητὴν καὶ στεφανίτην ποθὲν ἥκοντα μάθωσι, συντρέχουσιν ἅπαντες, ὥστε ἰδεῖν αὐτοῦ τὰ παλαίσματα, καὶ τὴν τέχνην καὶ τὴν ἰσχὺν ἅπασαν· καὶ ἴδοις ἂν ὁλόκληρον θέατρον μυριάδων πολλῶν, πάντας ἐκεῖ καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς διανοίας συντείνοντας ὀφθαλμοὺς, ὥστε μηδὲν αὐτοὺς τῶν γινομένων παραδραμεῖν. καὶ μουσικὸς δὲ εἴ τις θαυμαστὸς ἐπιδημήσειε, πάλιν ὁμοίως [οἱ] αὐτοὶ δὴ οὗτοι πληροῦσι τὸ θέατρον, καὶ πάντα ἀφέντες τὰ ἐν χερσὶν, ἀναγκαῖα πολλάκις ὄντα καὶ κατεπείγοντα, ἀναβάντες κάθηνται μετὰ πολλῆς τῆς σπουδῆς τῶν ᾠδῶν καὶ τῶν κρουμάτων ἀκούοντες, καὶ τὴν ἀμφοτέρων βασανίζοντες συμφωνίαν. καὶ ταῦτα μὲν οἱ πολλοί. οἱ δὲ ῥητορικῶν ἔμπειροι λόγων, καὶ αὐτοὶ πάλιν ἐπὶ τῶν σοφιστῶν τὸ αὐτὸ τοῦτο πράττουσιν. ἔστι γὰρ καὶ τούτοις θέατρα, καὶ ἀκροαταὶ, καὶ " κρότοι, καὶ ψόφος, καὶ βάσανος τῶν λεγομένων ἐσχάτη. Εἰ δὲ ῥητορικῶν, αὐλητικῶν τε καὶ ἀθλητικῶν ἀνδρῶν, τῶν μὲν θεαταὶ, τῶν δὲ ὁμοῦ θεωρηταὶ καὶ ἀκροαταὶ μετὰ τοσαύτης κάθηνται τῆς προθυμίας· πόσην ἡμῖν καὶ σπουδὴν καὶ προθυμίαν ἂν εἴη δίκαιον παρασχεῖν, οὐκ αὐλητικοῦ τινος οὐδὲ σοφιστικοῦ νῦν εἰς ἀγῶνα καθιέντος, ἀλλ' ἀνδρὸς ἀπὸ τῶν οὐρανῶν φθεγγομένου, καὶ βροντῆς λαμπροτέραν ἀφιέντος φωνήν; πᾶσαν γὰρ τὴν οἰκουμένην ἐπέσχε καὶ κατέλαβε καὶ ἐνέπλησε τῇ βοῇ, οὐ τῷ μέγα ἀνακραγεῖν, ἀλλὰ τῷ μετὰ τῆς θείας χάριτος κινῆσαι τὴν γλῶτταν. καὶ τὸ δὴ θαυμαστὸν, * οὕτω μεγάλη οὖσα ἡ βοὴ οὐκ " ἔστι τραχεῖά τις, οὐδὲ ἀηδὴς, ἀλλὰ πάσης μουσικῆς ἁρμονίας ἡδίων καὶ ποθεινοτέρα, καὶ θέλξαι ἐπισταμένη πλέον, καὶ πρὸς τούτοις ἅπασιν ἁγιωτάτη καὶ " φρικωδεστάτη, καὶ τοσούτων γέμουσα ἀπορρήτων, καὶ τοσαῦτα κομίζουσα ἀγαθὰ, ἃ τοὺς μετὰ ἀκριβείας καὶ προθυμίας λαβόντας καὶ διαφυλάττοντας οὐκ ἔνι λοιπὸν ἀνθρώποις εἶναι, οὐδὲ ἐπὶ τῆς γῆς μένειν, ἀλλ' ἀνωτέρω πάντων ἑστάναι τῶν βιωτικῶν, καὶ πρὸς τὴν ἀγγελικὴν μεθαρμοσαμένους λῆξιν, καθάπερ τὸν οὐρανὸν, οὕτω τὴν γῆν οἰκεῖν. ὁ γὰρ τῆς βροντῆς υἱὸς, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ, ὁ στύλος τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν, ὁ τὰς κλεῖς ἔχων " τῶν οὐρανῶν, ὁ τὸ ποτήριον

τοῦ Χριστοῦ πιών, καὶ τὸ βάπτισμα βαπτισθείς, ὁ κατακλιθεὶς ἐπὶ τὸ στῆθος τὸ δεσποτικὸν μετὰ
παρρησίας πολλῆς, οὗτος ἡμῖν εἰσέρχεται νῦν· οὐ δρᾶμα ὑποκρινόμενος, οὐδὲ προσωπεῖον
κρύπτων τὴν κεφαλὴν (οὐ γὰρ τοιαῦτα ἐρεῖ) οὐδὲ ἐπ' ὀκρίβαντος ἀναβαίνων, οὐδὲ ὀρχήστραν
τῷ ποδὶ κατακρούων, οὐδὲ ἐσθῆτι κεκοσμημένος χρυσῇ· ἀλλ' εἰσέρχεται στολὴν ἔχων ἀ-
μήχανον ἔχουσαν κάλλος. τὸν γὰρ Χριστὸν ἐνδεδυμένος ἡμῖν φαίνεται, τοὺς πόδας ὑπο-
δεδεμένος τοὺς ὡραίους ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, τὴν ζώνην οὐ περὶ τὸ στῆθος ἔχων,
ἀλλὰ περὶ τὴν ὀσφῦν, οὐκ ἀπὸ δέρματος φοινικοῦ, οὐδὲ ἄνωθεν ἠλειμμένην χρυσῷ, ἀλλ'
ἀπὸ τῆς ἀληθείας ἐξυφασμένην καὶ συγκειμένην αὐτῆς. οὗτος ἡμῖν φαίνεται νῦν, οὐχ ὑπόκρισιν
ἔχων (οὐδὲ γὰρ ὑπόκρισις παρ' αὐτῷ, οὐδὲ πλάσμα καὶ μῦθος) ἀλλὰ γυμνῇ τῇ κεφαλῇ γυ-
μνὴν ἀπαγγέλλει τὴν ἀλήθειαν· οὐχ ἕτερος μὲν ὤν, ἕτερα δὲ περὶ αὐτοῦ τοὺς ἀκούοντας πεί-
θων τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, οὐκ " ὀργάνων πρὸς τὴν ἀπαγγελίαν δεόμενος, χ. ὀργάν
οἷον κιθάρας ἢ λύρας, ἤ τινος τῶν τοιούτων ἑτέρου, ἀλλὰ πάντα τῇ γλώττῃ ἐργάζεται, πάν-
τος μὲν κιθαριστοῦ, πάσης δὲ μουσικῆς ἡδίω καὶ χρησιμωτέραν φωνὴν ἀφιείς. ἔστι δὲ αὐτῷ προ-
σκήνιον μὲν ὁ οὐρανὸς ἅπας, θέατρον δὲ ἡ οἰκουμένη, θεαταὶ δὲ καὶ ἀκροαταὶ πάντες ἄγγελοι, καὶ
ἀνθρώπων ὅσοιπερ ἄγγελοι τυγχάνουσιν ὄντες, ἢ καὶ γενέσθαι ἐπιθυμοῦσιν. οὗτοι γὰρ μόνοι
ταύτης ἀκριβῶς ἐπακοῦσαι δύναιντ' ἂν τῆς ἁρμονίας, καὶ " ἐπὶ τῶν ἔργων αὐτὴν ἐπιδείξασθαι. χ. διὰ
ὡς οἵ γε ἄλλοι πάντες, καθάπερ τὰ παιδία τὰ μικρὰ ἀκούουσι μέν, οὐκ ἴσασι δὲ ἅπερ ἀκού-
ουσιν, ἀλλὰ περὶ πλακοῦντας ἐπτόηνται καὶ ἀθύρματα παιδικά· οὕτω δὴ καὶ οὗτοι γελῶντες,
τρυφῶντες, καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ τῇ γαστρὶ ζῶντες, ἀκούουσι μὲν ἔστιν ὅτε τῶν εἰρημένων,
μέγα δὲ οὐδέν, οὐδὲ ὑψηλὸν ἐπὶ τῶν ἔργων ἐνδείκνυνται, τῷ καθάπαξ τῷ πηλῷ καὶ τῇ
πλινθείᾳ προσηλῶσαι ἑαυτούς. τούτῳ τῷ ἀποστόλῳ αἱ ἄνωθεν δυνάμεις παρεστήκασιν, ἐκ-
πληττόμεναι τὸ κάλλος αὐτοῦ τῆς ψυχῆς, καὶ τὴν σύνεσιν, καὶ τὴν ὥραν τῆς ἀρετῆς, δι' ἧς καὶ
αὐτὸς ἐπεσπάσατο τὸν Χριστόν, καὶ τὴν πνευματικὴν εἴληφε χάριν. καθάπερ γὰρ τινα λύ-
ραν εὐάρμοστον καὶ λιθοκόλλητον, χρυσοῦς ἔχουσαν φθόγγους, οὕτω τὴν αὐτοῦ παρασκευάσας ψυ-
χήν, ἔδωκε δι' αὐτῆς μέγα τι καὶ ὑψηλὸν ἐνηχῆσαι τῷ πνεύματι. ὡς οὖν οὐκέτι τοῦ ἁλιέως,
οὐδὲ τοῦ υἱοῦ Ζεβεδαίου, ἀλλὰ τοῦ τὰ βάθη τοῦ Θεοῦ εἰδότος, τοῦ πνεύματος λέγω ταύ-
την ἀνακρουομένου τὴν λύραν, οὕτως ἀκούωμεν. οὐδὲν γὰρ ἀνθρώπινον ἡμῖν ἐρεῖ, ἀλλ' ἀπὸ
τῶν ἀβύσσων τῶν πνευματικῶν, ἅπερ ἂν " εἴπῃ, ἀπὸ τῶν ἀπορρήτων ἐκείνων, ἃ μηδὲ ἄγ- χ. λέγῃ
γελοι, πρὶν ἢ * γενέσθαι, ᾔδεσαν. μεθ' ἡμῶν γὰρ δὴ καὶ οὗτοι * καὶ δι' ἡμῶν ἔμαθον ἅπερ ἔγνω- * ποτε * διὰ τ' Ἰωάν
μεν. καὶ τοῦτο ἐδήλωσεν ἀπόστολος ἕτερος εἰπών· Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς νυ φωνῆς
Ἐφ. γ. ι.
ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. εἰ τοίνυν καὶ ἀρχαί, καὶ ἐξου-
σίαι, καὶ τὰ χερουβίμ, καὶ τὰ σεραφὶμ διὰ τῆς ἐκκλησίας ἔμαθον ταῦτα, εὔδηλον ὅτι καὶ αὐ-
ταὶ μετὰ πολλῆς τῆς σφοδρότητος περὶ ταύτην ἐσπούδασαν τὴν ἀκρόασιν. καὶ γὰρ καὶ τούτῳ
τετιμήμεθα οὐ μικρῶς, τῷ μεθ' ἡμῶν τοὺς ἀγγέλους μαθεῖν ἅπερ ἠγνόουν· τὸ δὲ καὶ δι'" ἡμῶν οὔ- χ. ἡμᾶς
πω τέως φημί *. πολλὴν οὖν παρέχωμεν καὶ ἡμεῖς τὴν σιγὴν μετὰ τῆς εὐκοσμίας, μὴ σήμε- * πάντα ἡ ἂν ἄστει ἐ μὴν;
ρον μόνον, μηδὲ κατὰ τὴν ἡμέραν " ἐν ᾗ ἀκούομεν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, ἐπειδὴ καὶ δια- χ. ἦν
παντὸς ἀκούειν αὐτοῦ καλόν. εἰ γὰρ τὰ ἐν βασιλείοις γινόμενα ποθοῦμεν εἰδέναι, οἷον, τί εἶπε,
τί πεποίηκε, τί βεβούλευται περὶ τῶν ἀρχομένων ὁ βασιλεύων, καίτοιγε πολλάκις οὐδὲν
πρὸς ἡμᾶς ὄντα· πολλῷ μᾶλλον, ἅπερ ὁ Θεὸς εἶπε, ποθεινὸν ἀκοῦσαι, καὶ μάλιστα, ὅταν ἡ-
μῖν ἅπαντα διαφέρῃ. ταῦτα δὲ ἅπαντα μετὰ ἀκριβείας ἡμῖν οὗτος ἐρεῖ, φίλος αὐτοῦ τοῦ βα-
σιλεύοντος ὤν· μᾶλλον δὲ καὶ αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καὶ παρ' αὐτοῦ πάντα ἀκούων, ἃ
Ἰωαν. ιε. ιε.
παρὰ τοῦ πατρὸς ἐκεῖνος. Ὑμᾶς γὰρ εἴρηκα φίλους, φησίν, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πα-
τρός μου, ἐγνώρισα ὑμῖν. ὥσπερ οὖν εἴ τινα ἄνωθεν ἐκ τῆς κορυφῆς τοῦ οὐρανοῦ διακύψαντα
ἀθρόον εἴδομεν, καὶ ἐπαγγελλόμενον τὰ ἐκεῖ μετὰ ἀκριβείας ἐρεῖν, πάντες ἂν ἐπεδράμομεν,

οὕτω καὶ νῦν διατεθῶμεν. ἐκεῖθεν γὰρ ἡμῖν ὁ ἀνὴρ οὗτος διαλέγεται (οὐ γάρ ἐστιν ἐκ τοῦ κόσμου τούτου, καθώς φησι καὶ αὐτὸς ὁ Χριστός· Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου) καὶ τὸν παράκλητον ἔχει φθεγγόμενον ἐν ἑαυτῷ, τὸν πανταχοῦ παρόντα, τὸν οὕτως ἀκριβῶς εἰδότα τὰ τοῦ Θεοῦ, ὡς τὰ ἑαυτῆς οἶδεν ἡ τῶν ἀνθρώπων ψυχή, τὸ πνεῦμα τῆς ἁγιωσύνης, τὸ πνεῦμα τὸ εὐθές, τὸ ἡγεμονικόν, τὸ χειραγωγοῦν εἰς τὸν οὐρανόν, τὸ ποιοῦν ὀφθαλμοὺς ἑτέρους, τὸ παρασκευάζον τὰ μέλλοντα, ὡς τὰ παρόντα, ὁρᾶν, τὸ καὶ μετὰ σαρκὸς τὰ ἐν τοῖς οὐρανοῖς κατοπτεύειν παρέχον. πολλὴν οὖν παρεχώμεθα τὴν ἡσυχίαν διὰ παντὸς αὐτῷ τοῦ βίου. μηδεὶς νωθής, μηδεὶς ὑπνηλός, μηδεὶς ῥυπώδης ἐνταῦθα εἰσιὼν μενέτω· ἀλλὰ μετασχηματίσωμεν ἑαυτοὺς πρὸς τὸν οὐρανόν. ἐκεῖ γὰρ ταῦτα φθέγγεται, τοῖς ἐκεῖ πολιτευομένοις. κἂν μείνωμεν ἐπὶ τῆς γῆς, οὐδὲν κερδανοῦμεν ἐντεῦθεν μέγα. οὐδὲν γὰρ πρὸς τοὺς οὐ βουλομένους ἀπαλλαγῆναι τοῦ χοιρώδους βίου τὰ Ἰωάννου, ὥσπερ οὖν οὐδὲ πρὸς ἐκεῖνον τὰ ἐνταῦθα. ἡ μὲν οὖν βροντὴ καταπλήττει τὰς ἡμετέρας ψυχὰς ἄσημον ἔχουσα τὴν ἠχήν· ἡ δὲ τούτου φωνὴ θορυβεῖ μὲν οὐδένα τῶν πιστῶν, ἀλλὰ καὶ ἀνίησι θορύβου καὶ ταραχῆς, καταπλήττει δὲ δαίμονας μόνους, καὶ τοὺς ἐκείνοις δουλεύοντας. ἵν' οὖν ἴδωμεν ὅπως αὐτοὺς καταπλήττει, πολλὴν παρέχωμεν τὴν σιγήν, καὶ τὴν ἔξωθεν, καὶ τὴν κατὰ διάνοιαν, καὶ ταύτην μάλιστα. τί γὰρ ὄφελος τοῦ σώματος ἠρεμοῦντος, ὅταν ἡ ψυχὴ θορυβῆται), καὶ πολλὴν ἔχῃ τὴν ζάλην; ἐκείνην ἐγὼ ζητῶ τὴν ἡσυχίαν τὴν ἀπὸ διανοίας, τὴν ἀπὸ τῆς ψυχῆς· ἐπειδὴ καὶ τῆς ἀκοῆς ἐκείνης δέομαι. μηδεμία τοίνυν ἐνοχλείτω χρημάτων ἐπιθυμία, μηδὲ δόξης ἔρως, μὴ θυμοῦ τυραννίς, μὴ τῶν ἄλλων παθῶν ὁ λοιπὸς ὄχλος. οὐ γάρ ἐστι μὴ καθαρθεῖσαν τὴν ἀκοὴν ἰδεῖν τῶν λεγομένων τὸ ὕψος, ὡς ἰδεῖν χρή, οὐδὲ γνῶναι, ὡς δεῖ, τῶν μυστηρίων τούτων τὸ φρικτὸν καὶ ἀπόρρητον, καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν τὴν ἐν τοῖς θείοις τούτοις χρησμοῖς. Εἰ γὰρ μέλος αὐλητικὸν καὶ κιθαρῳδίαν οὐκ ἄν τις μάθοι καλῶς, μὴ πάντῃ συντείνας τὸν νοῦν, πῶς μυστικῶν φωνῶν καθήμενος ἀκροατὴς ἐπακοῦσαι δυνήσεται ῥαθυμούσῃ ψυχῇ; διὰ τοῦτο καὶ ὁ Χριστὸς παρῄνει λέγων· Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. μαργαρίτας δὲ ταῦτα τὰ ῥήματα ἐκάλεσε, καίτοι πολλῷ τιμιώτερα τούτων ὄντα, ἐπειδὴ ταύτης τῆς ὕλης οὐκ ἔστιν ἡμῖν ἑτέρα τιμιωτέρα. διὰ τοῦτο καὶ τὴν ἡδονὴν αὐτῶν μέλιτι πολλάκις παραβάλλειν εἴωθεν, οὐκ ἐπειδὴ τοσοῦτον αὐτῆς τὸ μέτρον μόνον, ἀλλ' ὅτι τούτου οὐδέν ἐστιν ἕτερον ἥδιον παρ' ἡμῖν. ἐπεὶ ὅτι γε καὶ λίθων φύσιν τιμίων, καὶ παντὸς μέλιτος ἡδονὴν κατὰ πολλὴν νικᾷ τὴν ὑπερβολήν, ἄκουσον τοῦ προφήτου λέγοντος περὶ αὐτῶν, καὶ τὴν ὑπερβολὴν ταύτην δεικνύντος· Ἐπιθυμητὰ γάρ, φησιν, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον· ἀλλὰ τοῖς ὑγιαίνουσι· διὸ ἐπήγαγε· καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά. καὶ ἀλλαχοῦ πάλιν εἰπὼν αὐτὰ γλυκέα, προσέθηκε, τῷ λάρυγγί μου. Ὡς γλυκέα γάρ φησι τῷ λάρυγγί μου τὰ λόγιά σου. καὶ τὴν ὑπερβολὴν πάλιν διατηρεῖ λέγων· ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου· ἐπειδὴ σφόδρα ὑγίαινε. μὴ τοίνυν μηδὲ ἡμεῖς νοσοῦντες προσερχώμεθα τούτοις, ἀλλὰ θεραπεύσαντες τὴν ψυχήν, οὕτω δεχώμεθα τὴν ἑστίασιν. διὰ γὰρ τοῦτο τοσαῦτα προειπὼν οὐδέπω καθῆκα εἰς τὰς ῥήσεις ταύτας, ἵνα ἕκαστος πάντα ἀποθέμενος ἀρρωστίας τρόπον, ὥσπερ εἰς αὐτὸν εἰσιὼν τὸν οὐρανόν, οὕτως εἰσίῃ καθαρὸς καὶ θυμοῦ, καὶ φροντίδος, καὶ ἀγωνίας βιωτικῆς, καὶ τῶν ἄλλων ἀπηλλαγμένος παθῶν. οὐ γάρ ἐστιν ἑτέρως κερδᾶναί τι μέγα ἐντεῦθεν, μὴ πρότερον οὕτως ἀνακαθάραντα τὴν ψυχήν. καὶ μή μοι λεγέτω τις, ὅτι βραχὺς ὁ καιρὸς ὁ μεταξὺ τῆς συνάξεως τῆς μελλούσης. ἔξεστι γὰρ οὐχὶ ἐν πέντε μόνον ἡμέραις, ἀλλὰ καὶ ἐν μιᾷ ῥοπῇ μεταθέσθαι τὸν βίον ἅπαντα. τί γάρ, εἰπέ μοι, λῃστοῦ καὶ ἀνδροφόνου χεῖρον; οὐχὶ τὸ ἔσχατον τοῦτο τῆς κακίας εἶδός ἐστιν; ἀλλ' ὅμως εἰς τὸ ἄκρον τῆς ἀρετῆς εὐθέως ἔφθασε, καὶ εἰς αὐτὸν ἐχώρησε τὸν παράδεισον, οὐχ ἡμερῶν δεηθείς, οὐχ ἡμίσεος ἡμέρας, ἀλλὰ βραχείας ῥο-

Ἰωαν. ιε. ιθ.

Ματθ. ζ. ϛ.

Ψαλμ. ιη. ια. ιϐ.

Ψαλμ. ριθ. ργ.

πῆς· ὥστε ἔξεστιν ἄφνω μεταθέσθαι, καὶ γενέσθαι χρύσεον ἀντὶ πηλίνου. ἐπειδὴ γὰρ οὐ φύσει τὰ τῆς ἀρετῆς καὶ τῆς κακίας ἐστὶν, εὔκολος ἡ μετάθεσις, πάσης ἀνάγκης ἀπηλλαγμένη. ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, φησὶ, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. ὁρᾷς ὅτι βουλήσεως δεῖ μόνης; βουλήσεως, οὐ τῆς κοινῆς μόνον ταύτης τῆς τῶν πολλῶν, ἀλλὰ τῆς ἐσπουδασμένης. ἐπεὶ ἅπαντας οἶδα εἰς τὸν οὐρανὸν θέλοντας ἀναπλεῦσαι νῦν, ἀλλὰ διὰ τῶν ἔργων δεῖ τὴν θέλησιν ἐπιδείξασθαι. καὶ γὰρ ὁ ἔμπορος θέλει πλουτεῖν, ἀλλ᾽ οὐ μέχρι τῆς διανοίας τὸ θέλειν ἵστησιν· ἀλλὰ καὶ πλοῖον κατασκευάζεται, καὶ συνάγει ναύτας, καὶ παρακαλεῖ κυβερνήτην, καὶ τοῖς ἄλλοις ἅπασι κατασκευάζει τὸ πλοῖον, καὶ χρυσίον δανείζεται, καὶ περᾷ πέλαγος, καὶ εἰς ξένην ἄπεισι γῆν, καὶ κινδύνους ὑπομένει πολλοὺς, καὶ τὰ ἄλλα πάντα, ἅπερ ἴσασιν οἱ τὴν θάλασσαν πλέοντες. οὕτω καὶ ἡμᾶς δεῖ τὴν βούλησιν ἐπιδείξασθαι. πλέομεν γὰρ καὶ ἡμεῖς πλοῦν, οὐ τὸν ἀπὸ γῆς εἰς γῆν, ἀλλὰ τὸν ἀπὸ γῆς εἰς οὐρανόν. κατασκευάσωμεν οὖν τὸν λογισμὸν τὸν ἡμέτερον, πρὸς κυβέρνησιν ἐπιτήδειον τὴν ἄνω φέρουσαν, καὶ ναύτας αὐτῷ πειθηνίους, καὶ πλοῖον στερεὸν, ὥστε μήτε περιστάσει καὶ ἀθυμίᾳ βαπτίζεσθαι βιωτικῇ, μήτε ἀλαζονείας ἐπαίρεσθαι πνεύματι, ἀλλ᾽ εὔζωνον εἶναι καὶ κοῦφον. ἂν οὕτω μὲν τὸ πλοῖον, οὕτω δὲ τὸν κυβερνήτην καὶ τοὺς ναύτας παρασκευάσωμεν, ἐξ οὐρίων πλευσούμεθα, καὶ τὸν υἱὸν τοῦ Θεοῦ τὸν ἀληθῆ κυβερνήτην ἐπισπασόμεθα πρὸς ἑαυτοὺς, ὃς οὐκ ἀφήσει τὸ σκάφος βαπτισθῆναι ἡμῖν· ἀλλὰ, κἂν μυρίοι πνεύσωσιν ἄνεμοι, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσει, καὶ τῇ θαλάττῃ, καὶ ἀντὶ σάλου πολλὴν ἐργάσεται τὴν γαλήνην. κατασκευάσαντες τοίνυν ἑαυτοὺς οὕτω, τῇ ἐπιούσῃ παραγίνεσθε ἐκκλησίᾳ, εἴγε περισπούδαστον ὑμῖν τι τῶν χρησίμων ἀκοῦσαι, καὶ ἐναποθέσθαι τὰ λεγόμενα τῇ ψυχῇ. μηδεὶς ὁδὸς ἔστω, μηδεὶς πέτρα, μηδεὶς ἀκανθῶν πεπληρωμένος. ποιήσωμεν ἑαυτοῖς νεώματα. οὕτω γὰρ καὶ ἡμεῖς μετὰ προθυμίας τὰ σπέρματα καταβαλοῦμεν, ἐὰν ἴδωμεν τὴν γῆν καθαράν· ἐὰν δὲ λιθώδη καὶ τραχεῖαν, σύγγνωτε μὴ βουλομένοις εἰκῇ πονεῖσθαι. εἰ γὰρ τὸ σπείρειν ἀφέντες, ἀρξόμεθα τὰς ἀκάνθας ἐκκόπτειν, πάλιν ἐσχάτης ἀνοίας σπέρματα καταβάλλειν εἰς ἀνέργαστον γῆν. τὸν ταύτης ἀπολαύοντα τῆς ἀκροάσεως οὐ δεῖ τῆς δαιμονικῆς μετέχειν τραπέζης. τίς γὰρ κοινωνία δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἕστηκας ἀκούων Ἰωάννου, καὶ δι᾽ ἐκείνου τὰ τοῦ πνεύματος μανθάνων, καὶ μετὰ ταῦτα ἀπέρχῃ πορνῶν ἀκουσόμενος γυναικῶν αἰσχρὰ φθεγγομένων, αἰσχρότερα ὑποκρινομένων, καὶ μαλακῶν ῥαπιζομένων τε καὶ ῥαπιζόντων ἀλλήλους; πῶς δυνήσῃ καλῶς καθαρθῆναι, ἐγκαλινδούμενος βορβόρῳ τοσούτῳ; τί γὰρ δεῖ κατὰ μέρος πᾶσαν καταλέγειν τὴν ἀσχημοσύνην τὴν αὐτόθι; πάντα γὰρ ἐκεῖ γέλως, πάντα αἰσχύνη, πάντα ὄνειδος καὶ λοιδορίαι καὶ σκώμματα, πάντα ἔκλυσις, πάντα λύμη. ἰδοὺ, προλέγω καὶ παραγγέλλω πᾶσιν ὑμῖν· μηδεὶς τῶν ταύτης ἀπολαυόντων τῆς τραπέζης φθειρέτω τὴν ἑαυτοῦ ψυχὴν τοῖς δηλητηρίοις ἐκείνοις θεάμασι. πομπὴ πάντα ἐστὶ τὰ ἐκεῖ λεγόμενα καὶ πραττόμενα σατανική. ἴστε δὲ οἱ μεμυημένοι, ποίας ἡμῖν ἔθεσθε συνθήκας· μᾶλλον δὲ ποίας ἔθεσθε τῷ Χριστῷ, ὅτε ὑμᾶς αὐτὸς ἐμυσταγώγει, τί πρὸς αὐτὸν εἴπατε, τί περὶ τῆς πομπῆς τῆς σατανικῆς αὐτῷ διελέχθητε· πῶς μετὰ τοῦ Σατανᾶ καὶ τῶν ἀγγέλων αὐτοῦ, καὶ ταύτῃ τότε ἀπετάττεσθε, καὶ ὑπέσχεσθε μηδὲ παρακύψειν ἐκεῖ. δέος οὖν οὐ μικρὸν μὴ περὶ τὰς τοιαύτας ὑποσχέσεις ἀγνώμων τις γενόμενος, ἀνάξιον ἑαυτὸν καταστήσῃ τῶν μυστηρίων τούτων. οὐχ ὁρᾷς πῶς ἐν ταῖς βασιλικαῖς αὐλαῖς οὐχ οἱ προσκεκρουκότες, ἀλλ᾽ οἱ τετιμημένοι καλοῦνται μεθέξοντες τῆς γνώμης ἐκείνης, καὶ εἰς τοὺς φίλους τάττονται τοὺς βασιλικούς; πρεσβευτὴς ἡμῖν ἦλθεν ἐξ οὐρανοῦ, παρ᾽ αὐτοῦ πεμφθεὶς τοῦ Θεοῦ, περὶ τινων ἀναγκαίων διαλεξόμενος· εἶτα ὑμεῖς ἀφέντες ἀκοῦσαι τί βούλεται, καὶ τί διαπρεσβεύεται πρὸς ὑμᾶς, κάθησθε μίμων ἀκούοντες; καὶ πόσων οὐκ ἄξια ταῦτα κεραυνῶν, πόσων σκηπτῶν; ὥσπερ γὰρ τραπέζης οὐ χρὴ μετέχειν δαιμονίων, οὕτως οὔτε ἀκροάσεως

γρ. χρυσοῦν

γρ. κακίας

γρ. πνέωσιν

γρ. ἀποθέσθαι

άσεως δαιμονίων, οὐδὲ μετὰ ῥυπαρᾶς τῆς ἐσθῆτος εἰς τὴν λαμπρὰν τράπεζαν παραβαλέσθαι τὴν τοσούτων γέμουσαν ἀγαθῶν, ἣν αὐτὸς παρεσκεύασεν ὁ Θεός. τοσαύτη γὰρ αὐτῆς ἡ δύναμις, ὡς καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ἀναφέρον ἡμᾶς ἐπᾶραι, μόνον ἐὰν σώφρονι διανοίᾳ προσέχωμεν. οὐ γάρ ἐστι τὸν συνεχῶς τοῖς θείοις ἐπαδόμενον λόγοις, ἐπὶ τῆς παρούσης μεῖναι ταπεινότητος, ἀλλ' ἀνάγκη πτερωθῆναι εὐθέως, καὶ πρὸς αὐτὸν ἀναπτῆναι τὸν ἄνω χῶρον, καὶ τοῖς ἀπείροις ἐντυχεῖν τῶν ἀγαθῶν θησαυροῖς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. β. 1 ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ.

Εἰ μὲν Ἰωάννης ἡμῖν ἔμελλε διαλέξεσθαι, καὶ τὰ αὐτοῦ πρὸς ἡμᾶς ἐρεῖν, ἀναγκαῖον ἦν καὶ γένος αὐτοῦ καὶ πατρίδα εἰπεῖν καὶ ἀνατροφήν. ἐπεὶ δὲ οὐχ οὗτος, ἀλλ' ὁ Θεὸς δι' αὐτοῦ πρὸς τὴν τῶν ἀνθρώπων φθέγγεται φύσιν, περιττὸν εἶναί μοι δοκεῖ καὶ παρέλκον ταῦτα ἀναζητεῖν· μᾶλλον δὲ οὐδὲ οὕτω περιττόν, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον. ὅταν γὰρ μάθῃς τίς ἦν, καὶ πόθεν, καὶ τίνων, καὶ ποταπός, εἶτα ἀκούσῃς αὐτοῦ τῆς φωνῆς καὶ τῆς φιλοσοφίας ἁπάσης, τότε εἴσῃ καλῶς, ὅτι οὐκ ἐκείνου ταῦτα ἦν, ἀλλὰ τῆς θείας δυνάμεως τῆς κινούσης αὐτοῦ τὴν ψυχήν. ποίας οὖν ἦν πατρίδος; πατρίδος μὲν οὐδεμιᾶς, κώμης δὲ εὐτελοῦς, καὶ χώρας φαυλοτέρας καὶ οὐδὲν φερούσης ἀγαθόν. τὴν γὰρ Γαλιλαίαν διαβάλλουσι μὲν οἱ γραμματεῖς λέγοντες· Ἐρώτησον, καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται. διαβάλλει δὲ καὶ ὁ ἀληθῶς Ἰσραηλίτης λέγων, Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; καὶ ταύτης ὢν τῆς γῆς, οὐδὲ ἐπισήμου χωρίου τινὸς [ἦν], ἀλλ' οὐδὲ ἐκ προσηγορίας γνωρίμου οὗτος ἦν· παιδὸς δὲ ἁλιέως πένητος, οὕτω πένητος, ὡς καὶ τοὺς παῖδας ἐπὶ τὴν αὐτὴν ἐργασίαν ἀγαγεῖν. ἴστε ″ δὲ ἅπαντες, ὅτι οὐδεὶς χειροτέχνης αἱρήσεται τὸν υἱὸν ποιῆσαι τῆς τέχνης τῆς ἑαυτοῦ κληρονόμον, πλὴν εἰ μὴ σφόδρα καταναγκάζοι πενία, καὶ μάλιστα, ″ὅταν εὐτελὴς ἡ τέχνη ᾖ. ἁλιέων δὲ οὐδὲν πενέστερον, οὐδὲ εὐτελέστερον, ἀλλ' οὐδὲ ἀμαθέστερόν τι γένοιτ' ἄν· πλὴν ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους εἰσίν. ὁ δὲ ἀπόστολος ἡμῖν οὗτος κἀνταῦθα τὴν ἐλάττω ″ τάξιν ἐπεῖχεν. οὐ γὰρ ἀπὸ τῆς θαλάσσης ἐθήρευεν, ἀλλ' ἐν μικρᾷ τινι λίμνῃ διέτριβε. καὶ περὶ ταύτην αὐτὸν στρεφόμενον μετὰ τοῦ πατρὸς καὶ Ἰακώβου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ διερρωγότα ῥάπτοντας δίκτυα (ὃ καὶ αὐτὸ τῆς ἐσχάτης πενίας ἦν) οὕτως ἐκάλεσεν ὁ Χριστός. παιδείας δὲ ἕνεκεν τῆς ἔξωθεν, ἔστι μὲν καὶ ἐκ τούτων μαθεῖν, ὅτι οὐδ' ὁπωσοῦν αὐτῷ μετῆν. ἄλλως δὲ καὶ ὁ Λουκᾶς μαρτυρεῖ, γράφων, ὅτι οὐ μόνον ἰδιώτης, ἀλλὰ καὶ ἀγράμματος ἦν· εἰκότως. ὁ γὰρ οὕτω πένης, καὶ μήτε εἰς ἀγορὰς ″ ἐμβάλλων, μήτε ἀξιοπίστοις ἐντυγχάνων ἀνδράσιν, ἀλλὰ τῇ ″ἁλιείᾳ προσηλωμένος, εἴποτε δέ τινι καὶ συνεγένετο, καπήλοις ἰχθύων καὶ μαγείροις ὁμιλῶν, τί τῶν θηρίων καὶ ἀλόγων ἔμελλεν ἄμεινον διακεῖσθαι; πῶς δ' οὐχὶ αὐτῶν μιμεῖσθαι τῶν ἰχθύων τὴν ἀφωνίαν; οὗτος ″ δὴ οὖν ὁ ἁλιεύς, ὁ περὶ λίμνας στρεφόμενος, καὶ δίκτυα, καὶ ἰχθῦς, ὁ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, ὁ παιδὸς ″ ἁλιέως πένητος, καὶ πένητος πενίαν τὴν ἐσχάτην, ὁ ἰδιώτης ἰδιωτείαν καὶ ταύτην τὴν ἐσχάτην, ὁ γράμματα μήτε πρότερον μαθών, μήτε ὕστερον μετὰ τὸ συγγενέσθαι τῷ Χριστῷ, ἴδωμεν τί φθέγγεται, καὶ περὶ τίνων ἡμῖν διαλέγεται. ἆρα περὶ τῶν ἐν ἀγροῖς; περὶ τῶν ἐν ποταμοῖς; περὶ συμβολαίων ἰχθύων; ταῦτα γὰρ ἴσως παρὰ ἁλιέως ἀκούσεσθαι προσδοκᾷ τις. ἀλλὰ μὴ δείσητε· τούτων μὲν γὰρ οὐδὲν ἀκουσόμεθα· τὰ δὲ ἐν τοῖς οὐρανοῖς, καὶ ἃ μηδεὶς μηδέποτε ἔμαθε πρὸ τούτου. οὕτω γὰρ ἡμῖν

Ἰωαν. ζ. νβ.

Ἰωαν. α. μζ.

Πραξ. δ. ιγ.

μὲν ὑψηλὰ δόγματα, καὶ πολιτείαν ἀρίστην, καὶ φιλοσοφίαν ἥκει κομίζων, ὡς εἰκὸς τὸν ἀπ' αὐτῶν φθεγγόμενον τῶν τοῦ πνεύματος θησαυρῶν. Ταῦτα οὖν ἁλιέως, εἰπέ μοι; ῥήτορος δὲ ὅλως; σοφιστοῦ δέ, ἢ φιλοσόφου; παντὸς δὲ τοῦ τὴν ἔξωθεν πεπαιδευμένου σοφίαν; οὐδαμῶς. οὐ γὰρ ἀνθρωπίνης ἁπλῶς ψυχῆς περὶ τῆς ἀκηράτου καὶ μακαρίας ἐκείνης φύσεως τοιαῦτα φιλοσοφεῖν, περὶ τῶν μετ' ἐκείνην δυνάμεων, περὶ ἀθανασίας καὶ ζωῆς ἀπείρου, περὶ φύσεως σωμάτων θνητῶν τε καὶ ἀθανάτων ὕστερον ἐσομένων, περὶ κολάσεως, περὶ τοῦ μέλλοντος δικαστηρίου, περὶ τῶν ἐσομένων εὐθυνῶν, τῶν ἐν ῥήμασι, τῶν ἐν πράξεσι, τῶν ἐν λογισμοῖς καὶ διανοίᾳ, καὶ τί μὲν ἄνθρωπος, εἰπεῖν, τί δὲ κόσμος, καὶ τίς μὲν ὁ ὄντως ἄνθρωπος, τίς δὲ ὁ δοκῶν μὲν εἶναι, οὐκ ὢν δέ, τί κακία καὶ τί ἀρετή. τούτων γὰρ ἔνια ἐζήτησαν μὲν οἱ περὶ Πλάτωνα καὶ Πυθαγόραν. τῶν γὰρ ἄλλων οὐδὲ ἁπλῶς μνημονευτέον φιλοσόφων ἡμῖν· οὕτω καταγέλαστοι ἐντεῦθεν μεθ' ὑπερβολῆς γεγόνασιν ἅπαντες. οἱ δὲ τῶν ἄλλων θαυμασθέντες πλέον παρ' αὐτοῖς, καὶ πιστευθέντες εἶναι κορυφαῖοι τῆς ἐπιστήμης ἐκείνης, οὗτοι μάλιστα τῶν ἄλλων εἰσί.* καὶ πολιτείας μὲν ἕνεκεν καὶ δογμάτων συνθέντες τινὰ ἔγραψαν, καὶ ἐν ἅπασι παίδων αἰσχρότερον κατεγελάσθησαν. τάς τε γὰρ γυναῖκας κοινὰς ἅπασι ποιοῦντες, καὶ τὸν βίον* ἀνατρέποντες, καὶ τὸ σεμνὸν διαφθείροντες τοῦ γάμου, καὶ ἕτερα τοιαῦτα καταγέλαστα νομοθετοῦντες, οὕτω τὸν βίον αὐτῶν πάντα ἀνάλωσαν. δογμάτων δὲ ἕνεκεν τῶν περὶ ψυχῆς, οὐδὲ ὑπερβολήν τινα κατέλιπον αἰσχύνης λοιπόν, μυίας καὶ κώνωπας καὶ θάμνους τὰς τῶν ἀνθρώπων λέγοντες γίνεσθαι ψυχάς, καὶ τὸν Θεὸν αὐτὸν ψυχὴν εἶναι φάσκοντες, καὶ ἕτερα ἄττα τινὰ τοιαῦτα ἀσχημονοῦντες. [καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κατηγορίας ἄξιον· ἀλλὰ καὶ ὁ πολὺς αὐτῶν τῶν λόγων εὔριπος. καθάπερ γὰρ ἐν εὐρίπῳ τῇδε κἀκεῖσε περιφερόμενοι, οὕτως οὐδέποτε ἐπὶ τῶν αὐτῶν ἔστησαν, ἅτε ἀπὸ τῶν ἀδήλων καὶ ἐπισφαλῶν λογισμῶν πάντα φθεγγόμενοι.] ἀλλ' οὐχ ὁ ἁλιεὺς οὗτος οὕτως· ἀλλ' ἅπαντα μετ' ἀσφαλείας φθέγγεται, καὶ ὥσπερ ἐπὶ πέτρας ἑστηκώς, οὐδαμοῦ περιτρέπεται. ἐν αὐτοῖς γὰρ τοῖς ἀδύτοις γενέσθαι καταξιωθείς, καὶ τὸν πάντων δεσπότην ἐν αὐτῷ λαλοῦντα ἔχων, οὐδὲν ἀνθρώπινον ἔπαθεν· ἐκεῖνοι δὲ ὥσπερ οἱ τῶν μὲν βασιλείων οὐδὲ ὄναρ ἐπιβῆναι καταξιωθέντες, ἔξω δὲ ἐπ' ἀγορᾶς μετὰ τῶν ἄλλων διατρίβοντες ἀνθρώπων, καὶ ἀπὸ τῆς ἰδίας διανοίας καταστοχαζόμενοι τῶν ἀοράτων, τὴν πολλὴν ἐπλανήθησαν πλάνην,* καὶ καθάπερ τυφλοὶ καὶ μεθύοντες, καὶ ἐν αὐτῇ τῇ πλάνῃ ἀλλήλοις προσέῤῥηξαν, καὶ οὐκ ἀλλήλοις μόνον, ἀλλὰ καὶ ἑαυτοῖς, πολλαχοῦ περὶ τῶν αὐτῶν ἀεὶ μετατιθέμενοι. ὁ δὲ ἀγράμματος οὗτος, ὁ ἰδιώτης, ὁ ἀπὸ Βηθσαϊδᾶ, ὁ Ζεβεδαίου παῖς (κἂν* μυριάκις καταγελῶσιν Ἕλληνες τῆς τῶν ὀνομάτων ἀγροικίας, οὐδὲν ἧττον μετὰ πλείονος αὐτὰ τῆς παῤῥησίας ἐρῶ. ὅσῳ γὰρ ἂν τὸ ἔθνος αὐτοῖς βάρβαρον φαίνηται καὶ τῆς ἑλληνικῆς ἀπέχων παιδεύσεως, τοσούτῳ λαμπρότερα τὰ ἡμέτερα φαίνεται. ὅταν γὰρ ὁ βάρβαρος καὶ ἀμαθὴς τοιαῦτα φθέγγηται, ἃ μηδεὶς τῶν ἐπὶ γῆς ἀνθρώπων συνεῖδέ ποτε, καὶ μὴ φθέγγηται μόνον (καίτοι καὶ εἰ τοῦτο μόνον ἦν, μέγα τὸ θαῦμα ἦν) νῦν δὲ πρὸς τούτῳ καὶ ἕτερον τούτου μεῖζον παρέχῃ τεκμήριον τοῦ θεόπνευστα εἶναι τὰ λεγόμενα, τὸ τοὺς ἀκούοντας πείθειν ἅπαντας διὰ τοῦ χρόνου παντός, τίς οὐ θαυμάσεται τὴν ἐνοικοῦσαν αὐτῷ δύναμιν; καὶ γὰρ καὶ τοῦτο μέγιστον, ὅπερ ἔφην, τεκμήριον τοῦ μηδὲν οἴκοθεν αὐτὸν νομοθετεῖν) οὗτος δ' οὖν ὁ βάρβαρος τῇ μὲν τοῦ εὐαγγελίου συγγραφῇ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν· τῷ δὲ σώματι μέσην κατέσχε τὴν Ἀσίαν, ἔνθα τὸ παλαιὸν ἐφιλοσόφουν οἱ τῆς ἑλληνικῆς συμμορίας ἅπαντες,* ἐν μέσῳ τῶν ἐχθρῶν διαλάμπων, καὶ τὸν ζόφον αὐτῶν σβεννύς, καὶ τὴν ἀκρόπολιν τῶν δαιμόνων καταλύων· τῇ δὲ ψυχῇ πρὸς τὴν χώραν ἀνεχώρησεν ἐκείνην τὴν ἁρμόττουσαν τῷ τὰ τοιαῦτα ἐργασαμένῳ. καὶ τὰ μὲν Ἑλλήνων ἔσβεσται ἅπαντα καὶ ἠφάνισται, τὰ δὲ τούτου καθ' ἑκάστην λαμπρότερα γίνεται. ἐξ ὅτου γὰρ οὗτος καὶ οἱ λοιποὶ ἁλιεῖς, ἐξ ἐκείνου τὰ μὲν Πυθαγόρου σεσίγηται, καὶ τὰ Πλάτωνος δοκοῦντα πρότερον κρατεῖν· καὶ οὐδὲ ἐξ

ὀνόματος

ἴσ. πάντως

γ. [illegible] νων

γ. εἶναι,

γ. γοῦν

* οἱ

γ. νόμων

γ. ὅμως

* αὐτῶν

γ. μύας

γ. τὴν πολλὴν πλανηθέντες πλάνην,

* περὶ τῶν [illegible] των διαλεχθῆναι [illegible] σαντες.

* γὰρ

γ. φαίνε[illegible]

γ. γραφῇ

* [illegible] τοῖς [illegible] δορυφο[illegible]

ὀνόματος αὐτοῦ ἴσασιν οἱ πολλοί. καίτοι Πλάτων καὶ τυράννοις συνεγίνετο μετακληθείς, ὥς φασι, καὶ πολλοὺς εἶχεν ἑταίρους, καὶ εἰς Σικελίαν ἔπλευσε· Πυθαγόρας δὲ τὴν μεγίστην Ἑλλάδα καταλαβών, καὶ γοητείας κινήσας εἴδη μυρία. τὸ γὰρ βουσὶ διαλέγεσθαι (καὶ γὰρ καὶ τοῦτό φασιν αὐτὸν πεποιηκέναι) οὐδὲν ἕτερον, ἢ γοητείας ἦν. καὶ δῆλον μάλιστα ἐκεῖθεν. ὁ γὰρ τοῖς ἀλόγοις οὕτω διαλεγόμενος, τὸ τῶν ἀνθρώπων οὐδὲν ὠφέλησε γένος, ἀλλὰ καὶ τὰ μέγιστα ἔβλαψε. καίτοιγε ἐπιτηδειοτέρα πρὸς φιλοσοφίας λόγους ἡ φύσις ἡ τῶν ἀνθρώπων ἦν. ἀλλ' ὅμως ἐκεῖνος ἀετοῖς μὲν καὶ βουσὶ διελέγετο, καθάπερ φασί, γοητεύων. οὐδὲ γὰρ τὴν ἄλογον λογικὴν ἐποίησε φύσιν (οὐδὲ γὰρ δυνατὸν ἀνθρώπῳ τοῦτο) ἀλλὰ μαγγανείαις τοὺς ἀνοήτους ἠπάτα· καὶ ἀνθρώπους ἀφεὶς διδάξαι τι τῶν χρησίμων, ἐπαίδευσεν ὅτι ἴσον ἦν, κυάμους φαγεῖν, καὶ τὰς τῶν γεννησαμένων κεφαλάς· καὶ τοὺς συνόντας ἔπειθεν, ὅτι δὴ ἡ τοῦ διδασκάλου ψυχή, ποτὲ μὲν θάμνος ἐγένετο, ποτὲ δὲ κόρη, ποτὲ δὲ ἰχθύς. ἆρ' οὐκ εἰκότως πάντα ἐσβέσθη ἐκεῖνα καὶ ἠφανίσθη τέλεον; εἰκότως, καὶ κατὰ λόγον. ἀλλ' οὐ τὰ τοῦ ἰδιώτου καὶ ἀγραμμάτου οὕτως· ἀλλὰ καὶ Σύροι, καὶ Αἰγύπτιοι, καὶ Ἰνδοί, καὶ Πέρσαι, καὶ Αἰθίοπες, καὶ μυρία ἔθνη ἕτερα εἰς τὴν αὐτῶν μεταβαλόντες γλῶτταν τὰ παρὰ τούτου εἰσαχθέντα δόγματα, ἔμαθον ἄνθρωποι βάρβαροι φιλοσοφεῖν. οὐκ ἄρα μάτην ἔλεγον, ὅτι αὐτῷ θέατρον γέγονε πᾶσα ἡ οἰκουμένη. οὐ γὰρ δὴ τοὺς ὁμοφύλους ἀφείς, πρὸς τὰς τῶν ἀλόγων ἐματαιοπόνει φύσεις (ὅπερ περιττῆς φιλοτιμίας καὶ ἐσχάτης ἀνοίας ἦν) ἀλλὰ μετὰ τῶν ἄλλων, καὶ τούτου καθαρεύων τοῦ πάθους, ἓν μόνον ἐσπούδασεν, ὅπως ἡ οἰκουμένη πᾶσα μάθῃ τι τῶν χρησίμων καὶ δυναμένων αὐτὴν ἀπὸ τῆς γῆς μεταστῆσαι πρὸς τὸν οὐρανόν. διὰ τοῦτο οὐδὲ ζόφῳ τινὶ καὶ σκότῳ ἔκρυψεν ἑαυτοῦ τὴν διδασκαλίαν, καθάπερ ἐποίουν ἐκεῖνοι, τῶν ἔνδον ἐναποκειμένων κακῶν τὴν ἐν τῷ λέγειν ἀσάφειαν, καθάπερ τι παραπέτασμα, προβαλλόμενοι· ἀλλὰ τὰ τούτου δόγματα τῶν ἡλιακῶν ἀκτίνων ἐστὶ φανερώτερα. διὸ καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις ἀνήπλωται. οὐ γὰρ πέντε ἔτη κελεύων τοὺς προσιόντας σιγᾶν, καθάπερ ἐκεῖνος, οὐδὲ ὡς ἀναισθήτοις παρακαθῆσθαι λίθοις, οὕτως ἐδίδασκεν, οὐδὲ ἐν ἀριθμοῖς εἶναι τὸ πᾶν διϊσχυριζόμενος ἐμυθολόγει· ἀλλὰ ἀπορρίψας τὴν σατανικὴν ταύτην ἀηδίαν ἅπασαν καὶ λύμην, τοσαύτην τοῖς ῥήμασιν ἐγκατέμιξεν εὐκολίαν, ὡς μὴ μόνον ἀνδράσι συνετοῖς, ἀλλὰ καὶ γυναιξὶ καὶ νέοις ἅπαντα εἶναι τὰ λεγόμενα δῆλα. ἐπίστευσε γὰρ αὐτὰ ἀληθῆ τε εἶναι καὶ χρήσιμα τοῖς ἀκουσομένοις ἅπασι. καὶ μαρτυρεῖ πᾶς ὁ μετ' ἐκεῖνον χρόνος. ὅλην τε γὰρ πρὸς ἑαυτὸν ἐφειλκύσατο τὴν οἰκουμένην, καὶ πάσης ἀλλοκότου τερατωδίας τὸν ἡμέτερον ἀπήλλαξε βίον μετὰ τὴν τῶν λόγων τούτων ἀκρόασιν. διό τοι τοῦτο τῆς ψυχῆς ἑλοίμεθα ἂν ἐκστῆναι μᾶλλον οἱ ταῦτα ἀκούοντες, ἢ τῶν δογμάτων τῶν ὑπ' ἐκείνου παραδοθέντων ἡμῖν. καὶ ἐντεῦθεν τοίνυν, καὶ πανταχόθεν δῆλον, ὅτι οὐδὲν ἀνθρώπινον τοῦ τούτου, ἀλλὰ θεῖά τε καὶ οὐράνιά ἐστι τὰ διδάγματα τὰ διὰ τῆς θείας ταύτης εἰς ἡμᾶς ἐλθόντα ψυχῆς. οὐ γὰρ κτύπον ῥημάτων, οὐδὲ λέξεως κόμπον, οὐδὲ ὀνομάτων καὶ ῥημάτων κόσμον καὶ συνθήκην ὀψόμεθα περιττὴν καὶ ἀνόνητον (πόρρω γὰρ ταῦτα φιλοσοφίας ἁπάσης) ἀλλ' ἰσχὺν ἄμαχον καὶ θείαν, καὶ δογμάτων ὀρθῶν ἀμήχανον δύναμιν, καὶ μυρίων χορηγίαν ἀγαθῶν. ἡ γὰρ κατὰ τὴν ἀπαγγελίαν περιεργία οὕτω περιττὴ ἦν καὶ σοφιστῶν ἀξία, μᾶλλον δὲ οὐδὲ σοφιστῶν, ἀλλὰ μειρακίων ἀνοήτων, ὡς καὶ αὐτὸν τὸν παρ' αὐτοῖς φιλόσοφον εἰσαγαγεῖν τὸν διδάσκαλον τὸν αὐτοῦ σφόδρα ἐπαισχυνόμενον ταύτῃ τῇ τέχνῃ, καὶ λέγοντα τοῖς δικασταῖς, ὅτι ἀκούσονται παρ' αὐτοῦ ῥήματα ἁπλῶς καὶ εἰκῇ λεγόμενα, οὐ μέντοι κεκαλλιεπημένα λόγοις, οὐδὲ ῥήμασί τε καὶ ὀνόμασι κεκοσμημένα. οὐδὲ γὰρ ἂν δήπου πρέποι, φησίν, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς αὐτὸν εἰσιέναι. καὶ ὅρα τὸν πολὺν καταγέλωτα. ὁ γάρ, ὡς αἰσχρὸν καὶ φιλοσοφίας ἀνάξιον καὶ μειρακίων ἔργον, ἐποίησεν αὐτὸν φεύγοντα, τοῦτο μάλιστα πάντων αὐτὸς ἐπετήδευσεν. οὕτω πανταχοῦ φιλοτιμίας ἦσαν μόνης. * καὶ καθάπερ τῶν τάφων τοὺς ἔξωθεν κεκονιαμένους ἂν ἀπαμφιάσῃς, ἰχῶρος καὶ δυσωδίας καὶ διεφθορότων ὄψει γέμοντας ὀστῶν· οὕτω καὶ τὰ τοῦ φιλοσόφου δόγματα, ἂν τῆς κατὰ τὴν λέξιν ἀπογυμνώσῃς ὥρας, πολλῆς ὄψει τῆς βδελυγμίας πεπληρωμένα, καὶ μάλιστα ὅταν περὶ ψυχῆς φιλοσοφῇ, ἀμέτρως τιμῶν τε αὐτὴν καὶ βλασφημῶν. τοῦτο γὰρ ἡ διαβολικὴ παγίς, μηδαμοῦ τὴν συμμετρίαν τηρεῖν, ἀλλὰ τοῖς ἐφ' ἑκάτερα πλεονασμοῖς πρὸς δυσφημίαν ἐξάγειν τοὺς ἁλισκομένους αὐτῇ. νῦν μὲν γὰρ αὐτὴν τῆς τοῦ Θεοῦ φησιν οὐσίας εἶναι, νῦν δὲ αὐτὴν οὕτως ἀμέτρως καὶ ἀσεβῶς ἐπάρας, μεθ' ἑτέρας καθυβρίζει πάλιν ὑπερβολῆς, εἰς χοίρους καὶ ὄνους εἰσάγων, καὶ τὰ ἔτι τούτων ἀτιμότερα ζῶα. ἀλλὰ τούτων μὲν ἅλις, μᾶλλον δὲ καὶ ταῦτα πέρα τοῦ μέτρου. εἰ μὲν γάρ τι χρήσιμον παρ' αὐτῶν ἦν μαθεῖν, ἔδει καὶ πλέον ἐνδιατρίβειν· εἰ δὲ ὅσον τὴν ἀσχημοσύνην αὐτῶν καὶ τὸν γέλωτα καταδηλῶσαι, καὶ ταῦτα πλέον τοῦ δέοντος εἴρηται παρ' ἡμῶν. ″διὸ ταῦτα ἀφέντες τοὺς ἐκείνων μύθους, τῶν ἡμετέρων ἁψώμεθα δογμάτων, τῶν ἄνωθεν ἡμῖν κατενηνεγμένων * καὶ μηδὲν ἐχόντων ἀνθρώπινον. φέρε οὖν αὐτὰς εἰς μέσον τὰς ῥήσεις ἀγάγωμεν, ὃ τὴν ἀρχὴν παρεκαλέσαμεν ὥστε μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, τοῦτο καὶ νῦν ὑπομνήσαντες. τί οὖν ἀρχόμενος ὁ εὐαγγελιστὴς οὗτος εὐθέως φησίν; ἐν ἀρχῇ ἦν ὁ λόγος,

Καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν.

Εἶδες παρρησίαν καὶ ἐξουσίαν ῥημάτων πολλήν, πῶς οὐδὲν ἀμφιβάλλων, οὐδὲ εἰκάζων, ἀλλὰ πάντα ἀποφαινόμενος φθέγγεται; τοῦτο γάρ ἐστι διδασκάλου, τὸ μὴ περιφέρεσθαι ἐν οἷς ἂν λέγῃ. εἰ γὰρ ὁ τοῖς ἄλλοις καθηγησόμενος, ἑτέρου δεηθήσεται τοῦ στηρίξαι δυνησομένου μετὰ ἀσφαλείας αὐτόν, οὐ τὴν τῶν διδασκάλων, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ἐπέχειν ἂν εἴη δίκαιος. εἰ δὲ λέγοι τις, καὶ τί δήποτε τὸ πρῶτον αἴτιον ἀφείς, εὐθέως ἡμῖν περὶ τοῦ δευτέρου διείλεκται; τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον παραιτησόμεθα λέγειν. * ἀριθμοῦ γὰρ τὸ θεῖον ἀνώτερον, καὶ χρόνων ἀκολουθίας· διὸ καὶ ταῦτα μὲν ″πάντα παρητησάμεθα· πατέρα δὲ ὁμολογοῦμεν ἐξ οὐδενὸς ὄντα, καὶ υἱὸν ἐκ πατρὸς γεγεννημένον. ναί φησι· τί δήποτ' οὖν τὸν πατέρα ἀφείς, περὶ τοῦ υἱοῦ διαλέγεται; ὅτι ἐκεῖνος μὲν ἅπασι δῆλος ἦν, εἰ καὶ μὴ ὡς πατήρ, ἀλλ' ὡς Θεός· ὁ δὲ μονογενὴς ἠγνοεῖτο, διὸ εἰκότως τὴν περὶ τούτου γνῶσιν εὐθέως [καὶ] ἐκ προοιμίων ἔσπευσεν ἐνθεῖναι τοῖς οὐκ εἰδόσιν αὐτόν· ἄλλωστε, οὐδὲ τὸν πατέρα ἐν τοῖς περὶ ″τούτων λόγοις ἀπεσιώπησε. καὶ θέα μοι τὴν σύνεσιν τὴν πνευματικήν· οἶδε τοὺς ἀνθρώπους τὸ πρεσβύτερον καὶ τὸ πρὸ πάντων μάλιστα τιμῶντας καὶ τιθεμένους Θεόν. διὰ τοῦτο ἐντεῦθεν πρῶτον ποιεῖται τὴν ἀρχήν, καὶ προϊὼν καὶ Θεόν φησιν εἶναι· καὶ οὐχ ὡς Πλάτων, τὸν μὲν νοῦν, τὸν δὲ ψυχὴν ἔλεγεν εἶναι. ταῦτα γὰρ πόρρω τῆς θείας καὶ ἀκηράτου φύσεως. οὐδὲ γὰρ ἔχει τι κοινὸν πρὸς ἡμᾶς, ἀλλὰ διακεχώρηκε τῆς πρὸς τὴν κτίσιν κοινωνίας, τῆς κατ' οὐσίαν λέγω, οὐ μὴν τῆς κατὰ τὴν σχέσιν. διά τοι τοῦτο καὶ λόγον αὐτὸν ἐκάλεσεν. ἐπειδὴ γὰρ μέλλει διδάσκειν, ὅτι οὗτος ὁ λόγος μονογενής ἐστιν υἱὸς τοῦ Θεοῦ, ἵνα [οὖν] μὴ παθητὴν ὑπολάβῃ τις τὴν γέννησιν, προλαβὼν τῇ τοῦ λόγου προσηγορίᾳ, ″προαναιρεῖ τὴν πονηρὰν ὑποψίαν, τό τε ἐξ αὐτοῦ τὸν υἱὸν εἶναι δηλῶν, καὶ τὸ ἀπαθῶς. ὁρᾷς ὅτι, ὅπερ εἶπον, οὐδὲ τὸν πατέρα ἐν τοῖς περὶ τοῦ υἱοῦ λόγοις ἀπεσιώπησεν; εἰ δὲ οὐκ ἀρκεῖ ταῦτα τὰ ὑποδείγματα παραστῆσαι τὸ πᾶν, μὴ θαυμάσῃς. περὶ Θεοῦ γὰρ ἡμῖν ὁ λόγος, ὃν οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι κατ' ἀξίαν δυνατόν. διὸ καὶ οὗτος οὐσίας μὲν οὐδαμοῦ τίθησιν ὄνομα (οὐδὲ γὰρ δυνατὸν εἰπεῖν αὐτό, ὅ,τι ποτέ ἐστι τὴν οὐσίαν ὁ Θεός) πανταχοῦ δὲ ἡμῖν αὐτὸν ἀπὸ τῶν ἐνεργειῶν δηλοῖ. τὸν γὰρ λόγον τοῦτον ἴδοι τις ἂν μικρὸν ὕστερον καὶ φῶς λεγόμενον, καὶ τὸ φῶς πάλιν ὀνομαζόμενον ζωήν *. οὐ ταύτης δὲ μόνον ἕνεκεν τῆς αἰτίας οὕτως ὠνόμασεν αὐτόν, ἀλλὰ πρώτης μὲν ταύτης· δευτέρας δέ, ἐπειδὴ τὰ τοῦ πατρὸς ἡμῖν ἔμελλεν ἀπαγγέλλειν. πάντα γάρ, φησιν, ὅσα ἤκουσα παρὰ τοῦ πατρός, ἀπήγγειλα ὑμῖν. καλεῖ δὲ αὐτὸν καὶ ζωὴν καὶ φῶς. ″τὸ γὰρ ἀπὸ τῆς γνώσεως φῶς ἡμῖν ἐχαρίσατο, καὶ τὴν ἐντεῦθεν ζωήν. καὶ ὅλως οὐκ ἔστιν ὄνομα ἐν ἀρκοῦν, οὐδὲ δύο καὶ τρία οὐδὲ πλείω διδάξαι τὰ περὶ Θεοῦ, ἀλλ' ἀγαπητὸν διὰ πολλῶν γοῦν δυνηθῆναι κἂν ἀμυδρῶς περιδράξασθαι τῶν προσόντων αὐτῷ. οὐχ ἁπλῶς δὲ αὐτὸν λόγον εἴρηκεν, ἀλλὰ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, τῶν λοιπῶν αὐτὸν καὶ ταύτῃ χωρίζων. ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι ἀπὸ τῶν οὐρανῶν φθέγγεται ἡμῖν ὁ εὐαγγελιστὴς οὗτος; ὅρα γοῦν ἐκ προοιμίων εὐθὺς ποῦ τὴν ψυχὴν πτερώσας ἀνείλκυσε, καὶ τὴν διάνοιαν ἀνήγαγε τῶν ἀκουόντων. πάντων γὰρ τῶν αἰσθητῶν ἀνωτέρω στήσας αὐτὴν, πρὸ γῆς, πρὸ θαλάσσης, πρὸ οὐρανοῦ, καὶ ὑπὲρ αὐτοὺς ἀγγέλους χειραγωγεῖ, καὶ ὑπεράνω τῶν χερουβὶμ καὶ τῶν σεραφὶμ, καὶ ὑπὲρ τοὺς θρόνους, καὶ ὑπὲρ τὰς ἀρχὰς, καὶ ὑπὲρ τὰς ἐξουσίας, καὶ πάσης ἁπλῶς ἐπέκεινα κτίσεως ὁδοιπορεῖν ἀναπείθει. τί οὖν; ἆρα πρὸς τοσοῦτον "ἀναγαγὼν ὕψος, ἐνταῦθα "γοῦν ἡμᾶς στῆσαι ἴσχυσεν; οὐδαμῶς. ἀλλ' ὥσπερ "εἴ τις τὸν ἑστῶτα παρ' αἰγιαλὸν, καὶ βλέποντα πόλεις καὶ ἀκτὰς καὶ λιμένας, ἐπειδὰν εἰς μέσον ἀγάγῃ πελάγους, τῶν μὲν προτέρων ἀπέστησεν, οὐ μὴν ἔστησέ που τὸ ὄμμα αὐτῷ, ἀλλ' εἰς ἄπειρον ἤγαγε θεωρίαν· οὕτω καὶ ὁ εὐαγγελιστὴς πάσης ἡμᾶς ἀνωτέρω τῆς κτίσεως ἀναγαγὼν, καὶ πρὸς τοὺς ἀνωτέρω ταύτης παραπέμψας αἰῶνας, μετέωρον τὸ ὄμμα ἀφίησιν, οὐ διδοὺς ἐπιλαβέσθαι τινὸς τέλους εἰς τὸ ἄνω, ἐπειδὴ μηδέ ἐστιν. ἀνελθὼν γὰρ ὁ λόγος εἰς ἀρχὴν, ζητεῖ ποίαν ἀρχήν· εἶτα τὸ ἦν εὑρίσκων ἀεὶ φθάνον αὐτοῦ τὴν διάνοιαν, οὐκ "ἔχει ποῦ στῆσαι τὸν λογισμὸν, ἀλλ' ἀτενὲς ἐνορῶν, καὶ μηδαμοῦ λῆξαι δυνάμενος, ἀποκαμὼν ὑποστρέφει πάλιν ἐπὶ τὰ κάτω. τὸ γὰρ, ἐν ἀρχῇ ἦν, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τοῦ εἶναι ἀεὶ δηλωτικὸν, καὶ ἀπείρως εἶναι. εἶδες φιλοσοφίαν ἀληθῆ καὶ δόγματα θεῖα; οὐχ οἷα τῶν Ἑλλήνων χρόνους τιθέντων, καὶ τοὺς μὲν πρεσβυτέρους, τοὺς δὲ νεωτέρους εἶναι λεγόντων θεούς. ἀλλ' οὐδὲν "τοιοῦτον παρ' ἡμῖν. εἰ γὰρ Θεός ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν, οὐδὲν πρὸ αὐτοῦ. εἰ δημιουργὸς πάντων, πρῶτος αὐτός· "εἰ δεσπότης καὶ Κύριος ἁπάντων, πάντα μετ' αὐτὸν καὶ κτίσματα καὶ αἰῶνες.

ΗΘΙΚΟΝ

Ἐβουλόμην καὶ εἰς ἀγῶνας καθιέναι ἑτέρους, ἀλλ' ἴσως ἀπέκαμεν ὑμῖν ἡ διάνοια. διὸ παραινέσας ἐκεῖνα, ἅπερ ἐστὶν "ἡμῖν καὶ πρὸς τὴν τῶν εἰρημένων καὶ πρὸς τὴν τῶν λεχθησομένων ἀκρόασιν χρήσιμα, πάλιν σιγήσομαι. τίνα δὴ οὖν ταῦτά ἐστιν; οἶδα πολλοὺς ἰλιγγιάσαντας πρὸς τὸ τῶν λεχθέντων μῆκος· τοῦτο δὲ γίνεται, ὅταν ψυχὴ πολλοῖς φορτίοις βαρύνηται βιωτικοῖς. καθάπερ γὰρ τὸ ὄμμα, ὅταν μὲν καθαρὸν ᾖ καὶ διαυγὲς, ὀξυδερκές τέ ἐστι, καὶ οὐκ ἂν ἀποκάμοι ῥᾳδίως καὶ τὰ λεπτότατα σώματα καταμανθάνον, ἐπειδὰν δὲ χυμοῦ τινος ἀπὸ τῆς κεφαλῆς ἐπιρρεύσαντος πονηροῦ, ἢ κάτωθεν λιγνύος καπνώδους ἀνενεχθείσης, πυκνή τις πρὸ τῆς κόρης γένηται νεφέλη, οὐδὲν οὐδὲ τῶν παχυτέρων σαφῶς ἀφίησι συνιδεῖν· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν· ὅταν μὲν ἐκκεκαθαρμένη τυγχάνῃ, καὶ μηδὲν ἔχῃ πάθος ἐνοχλοῦν, ἀτενὲς ἐνορᾷ πρὸς ἅπερ ἐνορᾶν χρή· ὅταν δὲ πολλοῖς ἐπιθολωθεῖσα πάθεσιν, ἀπολέσῃ τὴν αὐτῆς ἀρετὴν, πρὸς οὐδὲν τῶν ὑψηλῶν ἀρκέσαι δύναται ῥᾳδίως, ἀλλὰ ἀποκάμνει ταχέως καὶ ἀναπίπτει, καὶ πρὸς ὕπνον ἀποκλίνασα καὶ ῥᾳθυμίαν, [καὶ] τὰ πρὸς ἀρετὴν καὶ ζωὴν τὴν ἐκ ταύτης αὐτῇ διαφέροντα παραπέμπεται, καὶ οὐ προσίεται μετὰ προθυμίας πολλῆς. ὅπερ ἵνα μὴ καὶ ὑμεῖς πάθητε (οὐ γὰρ παύσομαι ἀεὶ ταῦτα παραινῶν) ἐπιρρώσατε ὑμῶν τὴν διάνοιαν, ἵνα μὴ τὰ αὐτὰ ἀκούσητε, ἅπερ οἱ πιστοὶ τῶν Ἑβραίων παρὰ Παύλου. καὶ γὰρ ἐκείνοις πολὺν ἔφησε τὸν λόγον γεγενῆσθαι καὶ δυσερμήνευτον, οὐκ ἐπειδὴ φύσει τοιοῦτος ἦν, ἀλλ' ἐπειδὴ, φησὶν, ὑμεῖς νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ὁ γὰρ ἀσθενὴς καὶ ἄρρωστος, καὶ ὑπὸ τῆς βραχυλογίας, ὡς ὑπὸ μακρηγορίας παρενοχλεῖσθαι πέφυκε, καὶ τὰ σαφῆ καὶ τὰ εὐδιάλυτα δυσκατάληπτα εἶναι νομίζει. ἀλλὰ μηδεὶς ἔστω ἐνταῦθα τοιοῦτος· ἀλλὰ πᾶσαν ἀπελάσας φροντίδα βιωτικὴν, οὕτω τούτων ἀκουέτω τῶν δογμάτων. ὅταν γὰρ ἐπιθυμία χρημάτων κατέχῃ τὸν ἀκροατὴν, οὐκ ἂν δύναιτο καὶ ἐπιθυμίαν κατασχεῖν ἀκροάσεως ὁμοίως· ἐπειδὴ μηδὲ ἀρκεῖ πολλαῖς ἐπιθυμίαις μία τυγχάνουσα

Εϐ. ε. ια.

χαίνουσα ἡ ψυχή, ἀλλ' ἡ ἑτέρα τῇ ἑτέρᾳ λυμαίνεται, καὶ διαιρουμένη ἀσθενεστέρα γίνεται, ἐπικρατούσης τῆς ἑτέρας καὶ τὸ πᾶν εἰς ἑαυτὴν δαπανώσης. τοῦτο καὶ ἐπὶ παίδων συμβαίνειν εἴωθεν. ὅταν μὲν γὰρ ἕνα τις ἔχῃ μόνον, μεθ' ὑπερβολῆς ἀγαπᾷ τὸν ἕνα· ὅταν δὲ πολλῶν παίδων γένηται πατήρ, καὶ τὰ τῆς διαθέσεως διαιρεθέντα ἀσθενέστερα γίνεται. εἰ δέ, ἔνθα φυσικὴ τυραννὶς καὶ δύναμις, καὶ συγγενῆ τὰ φιλούμενα, τοῦτο συμβαίνει, τί ἂν εἴποιμεν ἐπὶ τῆς κατὰ προαίρεσιν ἐπιθυμίας καὶ διαθέσεως, καὶ μάλιστα ὅταν οἱ ἔρωτες οὗτοι ἀπεναντίας ἀλλήλοις διακέωνται; ἐναντίον γὰρ χρημάτων ἔρως ἔρωτι τοιαύτης ἀκροάσεως. εἰς τὸν οὐρανὸν εἴσιμεν εἰσιόντες ἐνθάδε, οὐ τῷ τόπῳ λέγω, ἀλλὰ τῇ διαθέσει. ἔνεστι γὰρ καὶ ἐπὶ γῆς ὄντα ἑστάναι ἐν οὐρανῷ, καὶ τὰ ἐκεῖ φαντάζεσθαι, καὶ τὰ ἐκεῖθεν ἀκούειν. μηδεὶς οὖν ἐν τῷ οὐρανῷ τὰ τῆς γῆς ἐπεισαγέτω, μηδεὶς ἐνταῦθα ἑστὼς τὰ κατὰ τὴν οἰκίαν μεριμνάτω. τὴν γὰρ οἰκίαν καὶ τὴν ἀγορὰν ἔδει τὰ ἐντεῦθεν περιφέρειν κέρδη καὶ ἔχειν, οὐ ταύτην τοῖς ἐκ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς φορτίοις βαρύνεσθαι. διὰ ταῦτα εἴσιμεν παρὰ τὸν τῆς διδασκαλίας θρόνον, ἵνα ἐντεῦθεν τὸν ἔξωθεν "ἀπορρυψώμεθα ῥύπον· ἂν δὲ μέλλωμεν καὶ τῇ μικρᾷ ταύτῃ σχολῇ ἀπὸ τῶν "ἔξω λεγομένων ἢ πραττομένων λυμαίνεσθαι, βέλτιον μηδὲ εἰσελθεῖν τὴν ἀρχήν. μηδεὶς τοιγαροῦν ἐν ἐκκλησίᾳ τὰ κατὰ τὴν οἰκίαν μελετάτω, ἀλλὰ καὶ ἐν οἰκίᾳ τὰ κατὰ τὴν ἐκκλησίαν κινείτω· πάντων ἡμῖν ἔστω ταῦτα τιμιώτερα. τῆς γὰρ ψυχῆς ταῦτά ἐστι, τοῦ σώματος δὲ ἐκεῖνα· μᾶλλον δὲ καὶ σώματι καὶ ψυχῇ τὰ ἐνταῦθα λεγόμενα διαφέρει. διὰ τοῦτο ταῦτα μὲν ἔστω προηγούμενα ἔργα, πάρεργα δὲ ἅπαντα τὰ ἄλλα. ταῦτα μὲν γὰρ καὶ τῆς μελλούσης καὶ τῆς παρούσης ἐστὶ ζωῆς, ἐκεῖνα δὲ οὐδὲ ἑτέρας, ἐὰν μὴ κατὰ τὸν ὑπὲρ τούτων τεθέντα διοικῆται νόμον. οὐ γὰρ δὴ μόνον τί μετὰ ταῦτα ἐσόμεθα, καὶ πῶς ποτε ζησόμεθα ἐντεῦθέν ἐστι μαθεῖν, ἀλλὰ πῶς καὶ τὸν παρόντα οἰκονομήσομεν βίον. ἰατρεῖον γὰρ ὁ οἶκος οὗτος "ἐστι πνευματικόν, ἵνα ἅπερ ἂν λάβωμεν ἔξωθεν τραύματα, "ἐνταῦθα θεραπεύσωμεν· οὐχ ἵνα καὶ ἐντεῦθεν συλλέξαντες ἕτερα, οὕτως ἀπίωμεν. ἂν γὰρ τοῦ πνεύματος ἡμῖν * διαλεγομένου μὴ προσέχωμεν, οὐ μόνον τὰ "πρότερα οὐκ ἀπολυσόμεθα, ἀλλὰ καὶ ἕτερα προσληψόμεθα. προσέχωμεν τοίνυν τῷ βιβλίῳ μετὰ πολλῆς τῆς σπουδῆς ἡμῖν ἀνακαλυπτομένῳ. οὐδὲ γὰρ πολλῆς λοιπὸν δεησόμεθα πραγματείας, ἂν τὰς ἀρχὰς καὶ [τὰς] ὑποθέσεις μετὰ ἀκριβείας μάθωμεν, ἀλλὰ μικρὸν ἐν προοιμίοις πονήσαντες, δυνησόμεθα τοῦ λοιποῦ κατὰ τὸν Παῦλον καὶ ἄλλους νουθετεῖν. σφόδρα γὰρ ὑψηλός ἐστιν ὁ ἀπόστολος οὗτος, καὶ πολλῶν γέμει δογμάτων, καὶ τούτοις ἐνδιατρίβει μᾶλλον, ἢ ἑτέροις. μὴ δὴ παρέργως ἀκούωμεν. διὰ τοῦτο γὰρ ὑμῖν καὶ κατὰ μικρὸν ἐξηγούμεθα, ὥστε ὑμῖν εὔληπτα πάντα γενέσθαι, καὶ μὴ διαφυγεῖν τὴν μνήμην. φοβηθῶμεν τοίνυν, μήποτε γενώμεθα τῆς φωνῆς ἐκείνης ὑπεύθυνοι τῆς λεγούσης· Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. τί γὰρ ἕξομεν τῶν οὐκ ἀκηκοότων πλέον, ὅταν καὶ μετὰ τὴν ἀκρόασιν μηδὲν οἴκαδε ἀπέλθωμεν ἔχοντες, ἀλλὰ θαυμάζοντες τὰ εἰρημένα μόνον; δότε τοίνυν ἡμῖν εἰς ἀγαθὴν σπεῖραι γῆν, δότε, ἵνα ἡμᾶς ἐπισπάσησθε μειζόνως· καὶ εἴ τις ἀκάνθας ἔχει, τὸ πῦρ ἐπαφιέτω τοῦ πνεύματος· εἴ τις σκληρὰν καὶ ἀντίτυπον, λιπαρὰν αὐτὴν ποιείτω καὶ ἁπαλὴν τῷ αὐτῷ χρώμενος * πυρί· εἴ τις κατὰ τὰς ὁδοὺς ὑπὸ πάντων πατεῖται τῶν λογισμῶν, πρὸς τὰ ἐνδότερα εἰσίτω, καὶ μὴ προκείσθω τοῖς βουλομένοις εἰς ἁρπαγὴν ἐπιέναι, ἵνα κομῶντα ὑμῶν ἴδωμεν τὰ λήϊα. καὶ γὰρ ἂν οὕτως ἑαυτῶν ἐπιμελώμεθα, καὶ μετὰ φιλοπονίας τῆς ἀκροάσεως ἐχώμεθα ταύτης τῆς πνευματικῆς, εἰ καὶ μὴ ἀθρόον, ἀλλὰ κατὰ μικρόν, πάντων γοῦν ἀπαλλαγησόμεθα τῶν βιωτικῶν. διὸ προσέχωμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, ὅτι ἀσπίδος κωφῆς τὰ ὦτα "ἡμῶν. τί γὰρ θηρίου διενήνοχεν ὁ τοιοῦτος ἀκροατής, εἰπέ μοι; πῶς δὲ οὐκ ἂν εἴη παντὸς ἀλογώτερος ἀλόγου, ὁ Θεοῦ διαλεγομένου μὴ προσέχων; εἰ γὰρ τὸ "εὐαρεστεῖν τῷ Θεῷ, τοῦτό ἐστι τὸ ἀνθρώ-

πον

Ιωαν. ιε. κβ.

χ. ἀπονιψώμεθα,
χ. ἔξωθεν
χ. ἐστιν
χ. ἐνταῦθ
* τοῦ ἁγίου
χ. πρότερ
* πυρὶ
χ. αὐτῶν
χ. ἀρέ

που εἶναι), ὁ μηδὲ ὅπως τοῦτο κατορθώσειεν ἀκοῦσαι θέλων, τί ἂν ἕτερον ἢ θηρίον εἴη; ἐννόησον οὖν ὅσον ἂν εἴη κακὸν, τοῦ Χριστοῦ θέλοντος ἡμᾶς ἐξ ἀνθρώπων ἰσαγγέλους ποιεῖν, αὐτοὺς ἐξ ἀνθρώπων εἰς θηρία″ μεταπεσεῖν. τὸ γὰρ τῇ γαστρὶ δουλεύειν, καὶ τῇ τῶν χρημάτων ἐπιθυμίᾳ κατέχεσθαι, καὶ ὀργίζεσθαι, καὶ δάκνειν, καὶ λακτίζειν, οὐκ ἀνθρώπων, ἀλλὰ θηρίων ἐστί. καίτοι τὰ μὲν θηρία, ἓν ἕκαστον, ὡς εἰπεῖν, ἔχει πάθος, καὶ τοῦτο κατὰ φύσιν· ὁ δὲ ἄνθρωπος * τῶν λογισμῶν τὴν ἀρχὴν ἐκβαλὼν, καὶ τῆς κατὰ Θεὸν πολιτείας ἀπορραγεὶς, πᾶσιν ἑαυτὸν ἐπιτρέπει τοῖς πάθεσι, καὶ οὐκ ἔτι θηρίον ἐστὶ μόνον, ἀλλὰ τέρας πολύμορφόν τι καὶ ποικίλον, καὶ οὐδὲ τὴν ἀπὸ τῆς φύσεως συγγνώμην ἔχει. παρὰ προαιρέσεως γὰρ καὶ γνώμης ἡ κακία πᾶσα. ἀλλὰ μὴ γένοιτό ποτε ταῦτα περὶ τῆς ἐκκλησίας ὑποπτεῦσαι τοῦ Χριστοῦ. πεπείσμεθα γὰρ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας· ἀλλ' ὅσῳ πεπείσμεθα, τοσούτῳ τῶν παραφυλακτικῶν οὐδὲν ἧττον ἀποστησόμεθα λόγων· ἵνα πρὸς αὐτὴν″ ἀνελθόντες τὴν κορυφὴν τῶν ἀρετῶν, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. γ. ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ.

Προσοχῆς μὲν ἕνεκεν τῆς περὶ τὴν ἀκρόασιν, περιττὸν λοιπὸν ὑμῖν παραινεῖν· οὕτω ταχέως τὴν παραίνεσιν ἐπὶ τῶν ἔργων ἐδείξατε. ἥ τε γὰρ συνδρομὴ, τό τε ἀτενὲς τῆς στάσεως, καὶ τὸ συνωθοῦντας ἀλλήλους τὸν ἐνδοτέρω τόπον ἐπείγεσθαι καταλαβεῖν, καὶ ὅθεν ἂν εὐσημοτέρα γένοιτο ὑμῖν ἡ παρ' ἡμῶν φωνὴ, καὶ τὸ πιεζομένους μὴ θέλειν ἀναχωρεῖν, ἕως ἂν τὸ πνευματικὸν τοῦτο διαλυθῇ θέατρον, καὶ οἱ κρότοι καὶ οἱ θόρυβοι, καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα,″ τεκμήρια τῆς ἐν τῇ ψυχῇ θερμότητος ἂν εἴη καὶ τῆς φιληκοΐας ὑμῶν. διὸ καὶ περιττὸν περὶ τούτου παρεγγυᾶν· ἐκεῖνο μέντοι εἰπεῖν καὶ παρακαλέσαι ἀναγκαῖον ἡμῖν, ὥστε μεῖναι ταύτην ἔχοντας τὴν σπουδὴν, καὶ μὴ μόνον ἐνταῦθα αὐτὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ οἴκοι γενομένους, τὸν ἄνδρα πρὸς τὴν γυναῖκα, τὸν πατέρα πρὸς τὸν παῖδα περὶ τούτων διαλέγεσθαι, καὶ λέγειν μὲν τὰ παρ' ἑαυτοῦ, ἀπαιτεῖν δὲ τὰ παρ' ἐκείνων, καὶ τὸν καλὸν τοῦτον εἰσφέρειν ἅπαντας ἔρανον. μὴ γάρ μοι λεγέτω τις, ὅτι τὰ παιδία πρὸς ταῦτα ἡμῖν ἀπησχολῆσθαι οὐ χρή. ἐχρῆν μὲν γὰρ οὐ μόνον ἀπησχολῆσθαι, ἀλλὰ καὶ ἐν τούτοις μόνοις ἔχειν τὴν σπουδήν. πλὴν ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑμῶν οὐ λέγω τοῦτο, οὐδὲ αὐτὰ τῆς ἔξωθεν ἀπάγω″ σχολῆς, ὥσπερ οὐδὲ ὑμᾶς τῶν πολιτικῶν ἀφέλκω πραγμάτων, ἀλλ' ἀπὸ τῶν ἑπτὰ τούτων ἡμερῶν, μίαν ἀξιῶ τῷ κοινῷ πάντων ἡμῶν ἀνατεθεῖναι δεσπότῃ. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν οἰκέτας ἡμῖν κελεύειν ἅπαντα δουλεύειν τὸν χρόνον, ἡμᾶς δὲ μηδὲ τὴν ἐλάττω σχολὴν ἀπονέμειν τῷ Θεῷ, καὶ ταῦτα, τῆς δουλείας ἁπάσης ἐκείνῳ μὲν οὐδὲν προστιθείσης (ἀνενδεὲς γὰρ τὸ θεῖον) εἰς τὸ συμφέρον δὲ περιισταμένης ἡμῖν;″ ἀλλ' εἰς θέατρα μὲν αὐτοὺς ἄγοντες, οὔτε μαθήματα οὔτε ἄλλο τι τῶν τοιούτων προβάλλεσθε· ἂν δέ τι τῶν πνευματικῶν κερδᾶναι δέῃ καὶ συναγαγεῖν, ἀσχολίαν τὸ πρᾶγμα ὀνομάζετε. καὶ πῶς οὐ παροξυνεῖτε τὸν Θεὸν, πᾶσι μὲν τοῖς ἄλλοις σχολάζοντες καὶ καιρὸν ἀπονέμοντες· τὸ δὲ τὰ αὐτοῦ μεταχειρίζειν, ὀχληρὸν καὶ οὐκ εὔκαιρον εἶναι νομίζοντες τοῖς παισί; μὴ ταῦτα, μὴ, ἀδελφοί. καὶ γὰρ αὕτη μάλιστα ἡ ἡλικία τούτων δεῖται τῶν ἀκουσμάτων. ἁπαλὴ γὰρ οὖσα ταχέως ἐναποτίθεται τὰ λεγόμενα, καθάπερ τινὸς σφραγῖδος, τῆς ἀκροάσεως, ἐν κηρῷ, τῇ διανοίᾳ τῇ τούτων ἐντυπουμένης. ἄλλως τε, καὶ ὁ βίος αὐτῶν τότε ἀρχὴν ἔχει πρὸς κακίαν ἀποκλῖναι ἢ ἀρετήν. ἂν οὖν τις αὖθις ἀπ' αὐτῶν τῶν ″θυρῶν καὶ τῶν προθύρων ἀπαγάγῃ μετὰ τῆς πονηρίας, χειραγωγήσῃ δὲ πρὸς τὴν ἀρίστην ὁδόν, ὥσπερ εἰς ἕξιν τινὰ καὶ φύσιν αὖθις καταστήσει λοιπόν, καὶ οὐδὲ ἑκόντες μεταβαλοῦνται ῥᾳδίως πρὸς τὸ χεῖρον, τῆς συνηθείας ταύτης ἑλκούσης αὖθις πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν. οὕτως ἡμῖν τῶν γεγηρακότων αἰδεσιμώτεροι γενήσονται, καὶ τοῖς πολιτικοῖς χρησιμώτεροι πράγμασιν, ἐν νεότητι τὰ τῶν πρεσβυτέρων ἐπιδεικνύμενοι. οὐ γάρ ἐστιν, ὥσπερ ἔφθην εἰπών, τοιαύτης ἀπολαύοντας ἀκροάσεως, καὶ ἀποστόλῳ τοιούτῳ συγγινομένους, μὴ μέγα τι καὶ γενναῖον ἀγαθὸν λαβόντας ἀπελθεῖν, κἂν ἀνήρ, κἂν γυνή, κἂν νέος ὁ ταύτης μετέχων τῆς τραπέζης ᾖ. εἰ γὰρ τὰ θηρία ″τὰ παρ' ἡμῖν λόγῳ ῥυθμίζοντες ἡμεροῦμεν, πόσῳ μᾶλλον τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ τοὺς ἄνδρας τούτους ἐργασόμεθα, ὅταν καὶ τοῦ φαρμάκου καὶ τοῦ θεραπευομένου πολὺ τὸ μέσον ᾖ; οὔτε γὰρ ἡ ἐν ἡμῖν ἀγριότης τοσαύτη, ὅση ἡ ἐν ἐκείνοις (ἡ μὲν γὰρ φύσεως, ἡ δὲ προαιρέσεώς ἐστιν) οὔτε τῶν λόγων ἡ ἰσχὺς ἡ αὐτή. ἐκείνη μὲν γὰρ ἀνθρωπίνης ἐστὶ διανοίας, αὕτη δὲ τῆς τοῦ πνεύματος δυνάμεως καὶ τῆς χάριτος. ὁ τοίνυν ἀπογινώσκων ἑαυτοῦ, τὰ θηρία ἐννοείτω τὰ ἥμερα, καὶ οὐδέποτε τοῦτο πείσεται· συνεχῶς παρὰ τοῦτο ἴτω τὸ ἰατρεῖον, τῶν τοῦ πνεύματος ἀκουέτω νόμων διὰ παντὸς τοῦ καιροῦ· καὶ οἴκαδε ἀπελθών, ἀπογραφέτω τὰ ἀκουσθέντα τῇ διανοίᾳ· καὶ οὕτως ἔσται ἐν ἐλπίσι χρησταῖς καὶ ἀσφαλείᾳ πολλῇ, τῇ πείρᾳ τῆς προκοπῆς αἰσθανόμενος. ὅταν γὰρ ὁ διάβολος ἴδῃ τοῦ Θεοῦ τὸν νόμον ἐγγραφέντα τῇ ψυχῇ, καὶ πλάκας αὐτοῦ γενομένην τὴν καρδίαν, οὐ προσελεύσεται λοιπόν. ἔνθα γὰρ ἂν ᾖ γράμματα βασιλικά, οὐκ ἐν στήλῃ χαραγλυπτὰ χαλκῇ, ἀλλ' ἐπὶ θεοφιλοῦς διανοίας ἁγίῳ πνεύματι τυπωθέντα, καὶ πολλῆς ἀποστίλβοντα τῆς χάριτος, οὐδὲ ἀντιβλέψαι ἐκεῖνος δυνήσεται, ἀλλὰ πόρρωθεν ἡμῖν δώσει τὰ νῶτα. οὐδὲν γὰρ οὕτω φοβερὸν ἐκείνῳ καὶ τοῖς παρ' ἐκείνου * λογισμοῖς, ὡς διάνοια τὰ θεῖα μελετῶσα, καὶ ψυχὴ διὰ παντὸς ἐγκειμένη ταύτῃ τῇ πηγῇ. τὴν γὰρ τοιαύτην οὐ λυπῆσαί τι τῶν παρόντων δυνήσεται, κἂν ἀηδὲς ᾖ, οὐ φυσῆσαι καὶ ἐπᾶραι, κἂν ″αἴσιον ᾖ· ἀλλ' ἐν τοσούτῳ χειμῶνι καὶ ζάλῃ καὶ γαλήνης ἀπολαύσεται πολλῆς. οὐ γὰρ παρὰ τὴν τῶν πραγμάτων φύσιν ὁ θόρυβος ἡμῖν ἐγγίνεται, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς διανοίας τῆς ἡμετέρας. ἐπεί, εἰ παρὰ τὰ συμβαίνοντα τοῦτο ἐπάσχομεν, πάντας ἀνθρώπους ταράττεσθαι ἔδει (πάντες γὰρ τὴν αὐτὴν πλέομεν θάλασσαν, καὶ κυμάτων καὶ ἄλμης ἐκτὸς εἶναι ἀμήχανον) εἰ δὲ εἰσὶν οἱ τοῦ χειμῶνος ἑστήκασιν ἔξω καὶ τῆς θαλάσσης μαινομένης, εὔδηλον ὅτι τὸν χειμῶνα οὐ τὰ πράγματα ποιεῖ, ἀλλ' ἡ κατάστασις τῆς διανοίας τῆς ἡμετέρας. ἂν οὖν αὐτὴν κατασκευάσωμεν οὕτως, ὡς πάντα φέρειν εὐκόλως, οὐκ ἔσται χειμὼν ἡμῖν οὐδὲ κλυδώνιον, λευκῆς ἀεὶ τῆς γαλήνης οὔσης. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς προθέμενος μηδὲν ὑπὲρ τούτων εἰπεῖν, εἰς τοσοῦτον ταύτης ἐξηνέχθην τῆς παραινέσεως. συγγνῶτε οὖν τῆς μακρηγορίας ἡμῖν. καὶ γὰρ δέδοικα, καὶ σφόδρα δέδοικα μήποτε ἀσθενεστέρα ″ἡμῖν αὕτη γένηται ἡ σπουδή· ὡς εἴγε ἐθάῤῥουν ὑπὲρ αὐτῆς, οὐδὲν ἂν διελέχθην τούτων ὑμῖν νῦν. ἱκανὴ γὰρ αὕτη πάντα ὑμῖν διευμερίσαι τὰ πράγματα. ὥρα δὲ λοιπὸν ἐπὶ τὰ προκείμενα τήμερον ἰέναι, ὥστε μὴ κεκμηκότας ὑμᾶς προσβάλλειν τοῖς ἀγῶσιν. ἀγῶνες γὰρ ἡμῖν πρόκεινται πρὸς τοὺς τῆς ἀληθείας ἐχθρούς, πρὸς τοὺς πάντα μηχανωμένους, ὥστε καθελεῖν τὴν δόξαν τοῦ υἱοῦ τοῦ Θεοῦ, μᾶλλον δὲ τὴν ἑαυτῶν. ἡ μὲν γὰρ μένει διὰ παντός, οἵαπερ ἐστίν, οὐδὲν παρὰ τῆς βλασφήμου γλώττης ἐλαττουμένη· ἐκεῖνοι δὲ ὃν φασι προσκυνεῖν, καθελεῖν σπουδάζοντες, τὰ πρόσωπα αὐτῶν ἀτιμίας πληροῦσι, καὶ κολάσεως τὴν ψυχήν. τίνα οὖν ἐστιν ἅ φασιν, ἡμῶν ταῦτα λεγόντων, ἐκεῖνοι; ὅτι τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐ τὸ ἀίδιον δείκνυσιν ″ἁπλῶς. καὶ γὰρ καὶ περὶ οὐρανοῦ τοῦτο ἐλέχθη καὶ περὶ γῆς. ὢ τῆς ἀναισχυντίας καὶ τῆς ἀνευλαβείας τῆς πολλῆς· περὶ Θεοῦ σοι διαλέγομαι, καὶ σύ μοι τὴν γῆν φέρεις εἰς μέσον, καὶ τοὺς ἀπὸ τῆς γῆς ἀνθρώπους; οὐκοῦν ἐπειδὴ υἱὸς Θεοῦ ὁ Χριστὸς λέγεται καὶ

Θεός,

γρ. ἀρχῆς

γρ. τῷ

* ὑποπιπτού-νοις

γρ. ἐξαίσιον

ἴσ. ὑμῖν

γρ. μου

Θεός, καὶ ὁ ἄνθρωπος υἱὸς Θεοῦ λέγεται, καὶ Θεὸς ἂν εἴη. ἐγὼ γὰρ εἶπα, θεοί ἐστέ, φησι, καὶ υἱοὶ ὑψίστου πάντες· φιλονεικήσεις τῷ μονογενεῖ τῆς υἱότητος, καὶ οὐδὲν φήσεις αὐτὸν ἔχειν κατὰ τοῦτό σου πλέον; οὐδαμῶς, φησι. καὶ μὴν τοῦτο ποιεῖς, κἂν μὴ τῷ λόγῳ λέγῃς. πῶς; " ὅτι καὶ σὺ χάριτι φῂς τῆς υἱοθεσίας μετειληφέναι, καὶ αὐτὸν οὕτω. τῷ γὰρ μὴ φύσει " λέγειν αὐτὸν υἱόν, οὐδὲν ἕτερον, ἢ χάριτι εἶναι τοῦτο κατασκευάζεις. πλὴν ἀλλ' ἴδωμεν καὶ τὰς μαρτυρίας ἃς παράγουσιν ἡμῖν. Εν ἀρχῇ, φησιν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· Καὶ ἦν ἄνθρωπος ἐξ " Αρμαθέμ Σιφᾶ. ταῦτά ἐστιν ἃ νομίζουσιν εἶναι ἰσχυρά. καὶ ἔστιν ἰσχυρά· ἀλλ' εἰς τὸ δεῖξαι τὴν παρ' ἡμῶν λεγομένην ὀρθότητα τῶν δογμάτων, ἀσθενέστερα ὄντα ἁπάντων πρὸς τὸ στῆσαι τὴν βλασφημίαν αὐτῶν. τί γάρ, εἰπέ μοι, κοινὸν ἔχει πρὸς τὸ ἐποίησε, τὸ ἦν; τί δὲ ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον; τί τὰ ἄμικτα μιγνύεις, καὶ συγχεῖς τὰ διαιρούμενα, καὶ τὰ ἄνω κάτω ποιεῖς; ἐνταῦθα γὰρ οὐ τὸ ἦν δείκνυσι τὸ ἀΐδιον μόνον, ἀλλὰ καὶ τὸ ἐν ἀρχῇ ἦν, καὶ τὸ ὁ λόγος ἦν. ὥσπερ γὰρ τὸ ὤν, ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον, ὅταν δὲ περὶ Θεοῦ, " τὸ ἀΐδιον δείκνυσιν· οὕτω καὶ τὸ ἦν, περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα χρόνον σημαίνει ἡμῖν, καὶ αὐτὸν τοῦτον πεπερατωμένον· ὅταν δὲ περὶ Θεοῦ, τὸ ἀΐδιον *ἐμφαίνει. ἤρκει μὲν οὖν ἀκούσαντα γῆν, καὶ ἀκούσαντα ἄνθρωπον, μηδὲν πλέον ὑποπτεῦσαι περὶ αὐτῶν, τῶν τῇ φύσει " τοῖς γενητοῖς προσηκόντων. τὸ γὰρ γενόμενον, ὅ,τι ἂν ᾖ, χρόνῳ ἢ αἰῶνι γέγονεν· ὁ δὲ υἱὸς τοῦ Θεοῦ οὐ χρόνων μόνον, ἀλλὰ καὶ αἰώνων πάντων ἀνώτερος. δημιουργὸς γὰρ αὐτῶν ἐστι καὶ ποιητής. δι' οὗ γάρ, φησι, καὶ τοὺς αἰῶνας ἐποίησεν. ὁ δὲ ποιητὴς πρὸ τῶν ποιημάτων πάντως ἐστίν. ἐπειδὴ δὲ οὕτως ἀναίσθητοί εἰσί τινες, ὡς καὶ μετὰ ταῦτα μεῖζόν τι περὶ " αὐτῶν τῆς ἀξίας ὑπονοεῖν· τῷ, ἐποίησε, ῥήματι, καὶ τῷ, ἄνθρωπος ἦν, προκαταλαμβάνει τὴν διάνοιαν τοῦ ἀκροατοῦ καὶ πᾶσαν ἀναισχυντίαν ἐκκόπτει. πᾶν γὰρ τὸ ποιηθέν, καὶ οὐρανὸς καὶ γῆ, χρόνῳ πεποίηται, καὶ ἀρχὴν ἔχει χρονικήν, καὶ ἄναρχον τούτων οὐδέν, ἐπειδὴ γέγονεν. ὥστε ὅταν ἀκούσῃς ὅτι ἐποίησε τὴν γῆν, καὶ ὅτι ἄνθρωπος ἦν, περιττὰ " λοιπὸν φλυαρεῖς, " ἀνόητόν τινα ἐλπίδων λῆρον. ἐγὼ γὰρ καὶ ἑτέραν ὑπερβολὴν εἴποιμι ἄν. ποίαν δὲ ταύτην; ὅτι εἰ καὶ περὶ τῆς γῆς εἴρητο, ἐν ἀρχῇ ἦν ἡ γῆ, καὶ περὶ τοῦ ἀνθρώπου, ὅτι ἐν ἀρχῇ ἦν ὁ ἄνθρωπος, οὐδὲ οὕτως ὑποπτεῦσαί τι μεῖζον περὶ αὐτῶν τῶν νῦν " ἐγνωσμένων ἐχρῆν ἡμῖν. ἡ γὰρ τῆς γῆς καὶ τοῦ ἀνθρώπου προσηγορία προλαβοῦσα ὅσα ἂν περὶ αὐτῶν λέγηται, οὐκ ἀφίησι τὴν διάνοιαν μεῖζόν τι φαντασθῆναι περὶ αὐτῶν, ὧν νῦν ἴσμεν· ὥσπερ " οὖν ὁ λόγος, κἂν μικρόν τι περὶ αὐτοῦ λεχθῇ, οὐκ ἀφίησι ταπεινὸν ἐννοῆσαί τι καὶ ἀτελές· ἐπεὶ καὶ προϊών φησι περὶ τῆς γῆς, [ὅτι] ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. εἰπὼν γὰρ ὅτι ἐποίησεν αὐτήν, καὶ θεὶς αὐτῆς τὸν οἰκεῖον ὅρον, ἀδεῶς λοιπὸν τὰ " ἑξῆς φθέγγεται, εἰδὼς ὅτι οὐδεὶς οὕτως ἀνόητός ἐστιν, ὡς ἄναρχον αὐτὴν καὶ ἀγένητον ὑποπτεῦσαι. τὸ γὰρ τῆς γῆς ὄνομα, καὶ τό, ἐποίησεν, ἱκανὰ καὶ τὸν σφόδρα ἠλίθιον πεῖσαι, ὅτι οὐκ ἀΐδιος, οὐδὲ ἀγένητος, ἀλλὰ τῶν ἐν χρόνῳ γενομένων ἐστί. χωρὶς δὲ τούτων, τὸ ἦν, ἐπὶ μὲν τῆς γῆς καὶ τοῦ " ἀνθρώπου οὐ τοῦ εἶναι ἁπλῶς ἐστι σημαντικόν· ἀλλ' ἐπὶ μὲν τοῦ ἀνθρώπου, τοῦ ἀπὸ τοῦδε τοῦ χωρίου εἶναι, ἐπὶ δὲ τῆς γῆς, τοῦ πῶς εἶναι. οὐδὲ γὰρ εἶπεν, ἡ δὲ γῆ ἦν, ἁπλῶς, καὶ ἐσίγησεν, ἀλλὰ πῶς ἦν καὶ μετὰ τὸ γενέσθαι ἐδίδαξεν, οἷον, ὅτι ἀόρατος καὶ ἀκατασκεύαστος, ἔτι τοῖς ὕδασι κρυπτομένη καὶ φυρομένη. καὶ ἐπὶ τοῦ Ελκανᾶ, οὐκ εἶπεν ὅτι ἦν ἄνθρωπος μόνον, ἀλλὰ προσέθηκε καὶ πόθεν ἦν, " ἐξ Αρμαθὲμ Σιφᾶ· ἐπὶ δὲ τοῦ λόγου οὐχ οὕτω. καὶ αἰσχύνομαι μὲν ταῦτα τούτοις ἀντεξετάζων. εἰ γὰρ τοῖς ἐπ' ἀνθρώπων αὐτὸ ποιοῦσιν ἐπιτιμῶμεν, ὅταν πολὺ τὸ μέσον τῆς ἀρετῆς τῶν ἐξεταζομένων ᾖ, καίτοιγε τῆς οὐσίας μιᾶς οὔσης· ὅταν καὶ τῆς φύσεως καὶ τῶν ἄλλων ἁπάντων οὕτως ἄπειρον ᾖ τὸ μέσον, πῶς οὐκ ἐσχάτης μανίας τὸ τὰ τοιαῦτα κινεῖν; ἀλλ'

Γεν. α. α.
α. Βασ. α. α.

ἵλεως ἡμῖν αὐτὸς ὁ βλασφημούμενος παρ' ἐκείνων εἴη. τὴν γὰρ τῶν τοιούτων λόγων ἀνάγκην
οὐχ ἡμεῖς ἐφευρήκαμεν, ἀλλ' οἱ τῇ ἑαυτῶν πολεμοῦντες σωτηρίᾳ ἡμῖν παρέσχον. τί
οὖν φημι; ὅτι τοῦτο τὸ ἦν, ἐπὶ τοῦ λόγου τοῦ εἶναι ἀϊδίως μόνον ἐστὶ δηλωτικόν (ἐν ἀρχῇ γὰρ
ἦν, φησιν, ὁ λόγος) τὸ δεύτερον δὲ ἦν, τοῦ πρός τινα εἶναι. ἐπειδὴ γὰρ μάλιστα τοῦ Θεοῦ τοῦτο
ἐστὶν ἴδιον, τὸ ἀΐδιον καὶ ἄναρχον, τοῦτο πρῶτον τέθεικεν. εἶτα, ἵνα μή τις ἀκούων τὸ ἦν ἐν
ἀρχῇ, καὶ ἀγέννητον αὐτὸν εἴπῃ, εὐθέως αὐτὸ παρεμυθήσατο, πρὸ τοῦ εἰπεῖν τί ἦν, εἰπὼν
ὅτι πρὸς τὸν Θεὸν ἦν. καὶ ἵνα μὴ λόγον αὐτὸν ἁπλῶς νομίσῃ τις εἶναι προφορικὸν ἢ ἐνδιάθετον,
τῇ τοῦ ἄρθρου προσθήκῃ, καθάπερ ἔφθην εἰπών, καὶ διὰ τῆς δευτέρας ταύτης
τοῦτο ἀνεῖλε ῥήσεως. οὐ γὰρ εἶπεν, ἐν Θεῷ ἦν, ἀλλὰ πρὸς τὸν Θεὸν ἦν, τὴν καθ' ὑπόστασιν
αὐτοῦ ἀϊδιότητα ἐμφαίνων ἡμῖν. εἶτα καὶ σαφέστερον αὐτὸ προϊὼν ἀπεκάλυψεν ἐπαγαγὼν,
ὅτι ὁ λόγος οὗτος καὶ Θεὸς ἦν. ἀλλὰ πεποιημένος, φησί. τί οὖν ἐκώλυε τοῦτο
εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν λόγον; περὶ γοῦν τῆς γῆς διαλεγόμενος ὁ Μωϋσῆς
οὐκ εἶπεν, ἐν ἀρχῇ ἦν ἡ γῆ, ἀλλ', ὅτι ἐποίησεν αὐτὴν, καὶ τότε ἦν. τί τοίνυν ἐκώλυε καὶ
τὸν Ἰωάννην οὕτως εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν λόγον; εἰ γὰρ περὶ τῆς γῆς
τοῦτο ἔδεισεν ὁ Μωϋσῆς, μή τις αὐτὴν ἀγέννητον εἴπῃ· πολλῷ μᾶλλον περὶ τοῦ υἱοῦ φοβηθῆναι
ἐχρῆν τὸν Ἰωάννην, εἴγε κτιστὸς ἦν. ὁ μὲν γὰρ κόσμος ὁρατὸς ὢν, αὐτόθεν κηρύττει τὸν
ποιητὴν (οἱ οὐρανοὶ γὰρ, φησι, διηγοῦνται δόξαν Θεοῦ) ὁ δὲ υἱὸς ἀόρατός ἐστι, καὶ τὴν
κτίσιν σφόδρα καὶ ἀπείρως ὑπεραναβέβηκεν. εἰ τοίνυν ἔνθα μηδὲ λόγου καὶ διδασκαλίας
ἡμῖν ἔδει, πρὸς τὸ μαθεῖν ὅτι γεννητὸς ὁ κόσμος ἐστὶν, ὅμως σαφῶς αὐτὸ καὶ πρὸ τῶν ἄλλων
τίθησιν ὁ προφήτης· πολλῷ μᾶλλον περὶ τοῦ υἱοῦ τοῦτο τὸν Ἰωάννην ἐχρῆν εἰπεῖν, εἴγε
κτισθεὶς ἦν. ναί φησιν· ἀλλ' ὁ Πέτρος εἶπε τοῦτο σαφῶς καὶ διαῤῥήδην. ποῦ καὶ πότε; ὅτε
Πράξ. β. λϛ. Ἰουδαίοις διαλεγόμενος ἔλεγεν· Ὅτι Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. τί οὖν καὶ τὸ
ἑξῆς οὐ προσέθηκας, ὅτι τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε; ἢ ἀγνοεῖς ὅτι τῶν λεγομένων
τὰ μὲν τῆς ἀκηράτου φύσεως, τὰ δὲ τῆς οἰκονομίας ἐστίν; εἰ δὲ μὴ ἐστὶν, ἀλλὰ πάντα
ἁπλῶς ἐπὶ τῆς θεότητος ἐκδέξῃ, καὶ παθητὸν εἰσάξεις τὸ θεῖον· εἰ δὲ μὴ παθητὸν, οὐδὲ
ποιητόν. εἰ μὲν γὰρ ἐκ τῆς θείας αὐτῆς καὶ ἀῤῥήτου φύσεως τὸ αἷμα ἔῤῥευσε, καὶ ἀντὶ τῆς σαρκὸς
αὐτὴ τοῖς κατὰ τὸν σταυρὸν ἥλοις διηρεῖτο καὶ ἐτέμνετο, λέγειν ἂν εἶχέ σου κατὰ τοῦτο τὸ σόφισμα.
εἰ δὲ τοῦτο οὐδὲ ἂν αὐτὸς ὁ διάβολος βλασφημήσειε, τίνος ἕνεκεν αὐτὸς ἀγνοεῖν προσποιῇ ἀσύγγνωστον
οὕτως ἄγνοιαν, καὶ ἣν οὐδὲ ἂν οἱ δαίμονες ὑπεκρίναντο; ἄλλως τε, τὸ Κύριος, καὶ τὸ
Χριστὸς * οὐκ ἔστιν οὐσίας, ἀλλ' ἀξιώματος. τὸ μὲν γὰρ τῆς ἐξουσίας ἐστὶ, τὸ δὲ τοῦ χρισθῆναι. τί
οὖν ἂν εἴποις περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ; εἰ γὰρ καὶ κτιστὸς ἦν καθ' ὑμᾶς, τοῦτο οὐκ ἂν ἔχοι χώραν.
οὐ γὰρ δὴ πρότερον ἐγένετο, καὶ τότε αὐτὸν ἐχειροτόνησεν ὁ Θεὸς, οὐδὲ ἀπόβλητον ἔχει
τὴν ἀρχὴν, ἀλλὰ φύσει * οὐσιωμένην. ἐρωτηθεὶς γὰρ, εἰ βασιλεὺς εἴη, ἐγὼ εἰς *ἢ
τοῦτο γεγέννημαι, φησιν· ὁ δὲ Πέτρος ὡς περί τινος χειροτονηθέντος, οὕτω διαλέγεται. περὶ γὰρ
τῆς οἰκονομίας ὁ λόγος αὐτῷ" πάσης. καὶ τί θαυμάζεις, εἰ τοῦτο ὁ Πέτρος φησίν; Ἀθηναίοις
Πράξ. ιζ. λα. γὰρ διαλεγόμενος ὁ Παῦλος, ἄνδρα αὐτὸν καλεῖ μόνον, οὕτω λέγων· Ἐν ἀνδρὶ ᾧ ὥρισε,
πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν· καὶ οὐδὲν περὶ τῆς τοῦ Θεοῦ
λέγει μορφῆς, οὐδὲ ὅτι ἴσος αὐτῷ, οὐδὲ ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ· εἰκότως. οὔπω
γὰρ καιρὸς τούτων τῶν ῥημάτων ἦν· ἀλλ' ἀγαπητὸν ἦν αὐτοὺς παραδέξασθαι τέως, ὅτι
ἄνθρωπός ἐστι, καὶ ὅτι ἀνέστη. οὕτω καὶ αὐτὸς ἐποίησε Χριστὸς, παρ' οὗ καὶ Παῦλος μαθὼν οὕτω τὰ
πράγματα" ᾠκονόμει. οὐ γὰρ εὐθέως ἡμῖν ἑαυτοῦ τὴν θεότητα ἐξεκάλυψεν, ἀλλὰ πρῶτον μὲν ἐνομίζετο
εἶναι προφήτης καὶ χρηστὸς ἁπλῶς ἄνθρωπος· ὕστερον δὲ ἐφάνη διὰ τῶν ἔργων καὶ τῶν
ῥημάτων τοῦτο ὅπερ ἦν. διὰ τοῦτο καὶ ὁ Πέτρος ἐν ἀρχῇ τούτῳ κέχρηται τῷ τρόπῳ.
καὶ γὰρ ταύτην πρώτην πρὸς Ἰουδαίους ἐδημηγόρει δημηγορίαν καὶ ἐπειδὴ οὐδὲν περὶ τῆς θεό-

τητος

τιτος αὐτοῦ πῶς σαφὲς μαθεῖν ἴσχυον, διὰ τοῦτο τοῖς περὶ τῆς οἰκονομίας ἐνδιατρίβει λόγοις·
ἵνα τούτοις ἡ ἀκοὴ γυμνασθεῖσα, τῇ λοιπῇ προοδοποιήσῃ διδασκαλίᾳ. καὶ εἰ βούλοιτό
τις τὴν ἑρμηνείαν πᾶσαν ἄνωθεν διελθεῖν, εὑρήσει τοῦτο ὃ λέγω σφόδρα διαλάμπον. καὶ
γὰρ ἄνδρα αὐτὸν καλεῖ καὶ αὐτὸς, καὶ τοῖς τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς κατὰ σάρκα γεννήσεως
ἐνδιατρίβει λόγοις. καὶ Παῦλος δὲ, ὅταν λέγῃ, Τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ Ρω. α. γ.
κατὰ σάρκα, οὐδὲν ἕτερον ἡμᾶς παιδεύει, ἀλλ' ὅτι τὸ ἐποίησεν, ἐπὶ τῆς οἰκονομίας παρείλη-
πται, ὃ καὶ ἡμεῖς ὁμολογοῦμεν. ἀλλ' ὁ τῆς βροντῆς υἱὸς περὶ τῆς ἀρρήτου καὶ προαιωνίου ἡμῖν
ὑπάρξεως διαλέγεται νῦν. διὰ τοῦτο, τὸ ἐποίησεν ἀφεὶς, τὸ ἦν ἔθηκεν. ἐχρῆν δὲ εἰ
κτιστὸς ἦν, τοῦτο μάλιστα διορίσασθαι. εἰ γὰρ ὁ Παῦλος ἔδεισε, μή τις ὑποτοπήσῃ τῶν ἀνοήτων,
ὅτι τοῦ πατρὸς ἔσται μείζων, καὶ ὑποτεταγμένον ἕξει τὸν γεννήσαντα (διὰ γὰρ τοῦτο καὶ
Κορινθίοις ἐπιστέλλων ἔλεγεν, Ὅταν δὲ εἴπῃ ὅτι ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος α. Κορ. ιε. κζ.
αὐτῷ τὰ πάντα. καίτοι τίς ἂν ὑπονοήσειεν, ὅτι ὁ πατὴρ ὑποταγήσεταί ποτε
τῷ υἱῷ καὶ μετὰ τῶν πάντων;) ἀλλ' ὅμως εἰ καὶ τὰς ἀλόγους ταύτας ὑπονοίας δέδοικε καί
φησιν, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· πολλῷ μᾶλλον τὸν Ἰωάννην, εἰ κτιστὸς ἦν
ὁ υἱὸς τοῦ Θεοῦ, φοβηθῆναι ἔδει, μή τις αὐτὸν ἄκτιστον νομίσῃ, καὶ τοῦτο πρὸ πάντων διδάξαι.
νῦν δὲ ἐπειδὴ γεννητὸς ἦν, εἰκότως οὔτε αὐτὸς, οὔτε ἄλλος οὐδεὶς, οὐκ ἀπόστολος, οὐ προφήτης
κτιστὸν αὐτὸν ἔφησεν εἶναι). καὶ αὐτὸς δὲ ὁ μονογενὴς οὐκ ἂν αὐτὸ παρῆκεν, εἰ τοῦτο ἦν. ὁ
γὰρ τὰ οὕτω ταπεινὰ φθεγγόμενος διὰ συγκατάβασιν, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν ἐσιώπησεν.
οἶμαι γὰρ οὐκ ἀπεικὸς, μᾶλλον αὐτὸν ἔχοντα τὸ ὑψηλὸν σιγῆσαι, ἢ μὴ ἔχοντα παραλιπεῖν
τοῦτο αὐτὸν, καὶ μὴ διδάξαι ὅτι οὐκ ἔχει. ἐκεῖ μὲν γὰρ εὔλογος πρόφασις τῆς σιγῆς ἦν,
τὸ βούλεσθαι διδάσκειν τοὺς ἀνθρώπους ταπεινοφρονεῖν [καὶ] διὰ τοῦ σιγᾷν τὰ μεγάλα τῶν
προσόντων αὐτῷ· ἐνταῦθα δὲ οὐδεμίαν ἔχοις εἰπεῖν πρόφασιν δικαίαν τῆς σιωπῆς. τίνος
γὰρ ἕνεκεν ἐσίγα, εἰ κτιστὸς ἦν, τὸ γεγεννῆσθαι, ὁ καὶ τῶν προσόντων πολλὰ παραιτούμενος; ὥστε
ὁ διὰ τὴν τῆς ταπεινοφροσύνης διδασκαλίαν, καὶ τὰ μὴ προσόντα αὐτῷ πολλάκις εἰπὼν
ταπεινὰ, πολλῷ μᾶλλον, εἰ κτιστὸς ἦν, τοῦτο οὐκ ἂν παρέλιπεν. ἢ οὐχ ὁρᾷς αὐτὸν, ἵνα μηδεὶς
αὐτὸν ἀγέννητον ὑπολάβῃ, πάντα ὑπὲρ τούτου καὶ ποιοῦντα καὶ λέγοντα, καὶ ἀνάξια αὐτοῦ
φθεγγόμενον τῆς ἀξίας, καὶ τῆς οὐσίας, καὶ εἰς προφήτου ταπεινότητα καταβαίνοντα; τὸ γὰρ,
καθὼς ἀκούω κρίνω· καὶ τὸ, ἐκεῖνός μοι εἶπε, τί εἴπω καὶ τί λαλήσω, καὶ ὅσα τοιαῦτα, προ-
φητῶν μόνον ἐστίν. εἰ τοίνυν ταύτην θέλων τὴν ὑποψίαν ἀνελεῖν, οὕτω ταπεινὰ οὐκ ἀπη-
ξίωσε φθέγξασθαι ῥήματα, πολλῷ μᾶλλον ἂν, εἰ κτιστὸς ἦν, ἵνα μὴ ἄκτιστόν τις αὐτὸν ὑπο-
πτεύσῃ, πολλὰ τοιαῦτα ἂν εἶπεν· οἷον, μὴ νομίζετέ με γεγεννῆσθαι παρὰ τοῦ πατρός· πεποί-
ημαι ἐγὼ, οὐ γεγέννημαι, οὐδέ εἰμι τῆς οὐσίας ἐκείνου. νῦν δὲ πᾶν τοὐναντίον ποιεῖ. ἐκεῖ-
να γὰρ φθέγγεται τὰ ῥήματα, ἃ καὶ τοὺς μὴ βουλομένους ἀναγκάζει καὶ ἄκοντας τὴν ἐναντίαν
δέξασθαι ὑπόνοιαν· οἷον, Ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ, Τοσοῦτον χρόνον μεθ' Ιω. ι. λη.
ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ, Ἵνα πάντες Ιω. ιδ. θ.
τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα· Ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, Ιω. ε. κα.
οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· κα- Ιω. ε. ιζ.
θὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ πανταχοῦ
τὸ ὥσπερ, καὶ τὸ οὕτω τιθεὶς, καὶ τὸ ἓν εἶναι πρὸς τὸν πατέρα, τὴν πρὸς αὐτὸν ἀπαραλλαξίαν
* δηλοῖ τὴν δὲ αὐθεντίαν, καὶ διὰ τούτων μὲν, καὶ δι' ἑτέρων δὲ πλειόνων ἐνδείκνυται· οἷον, ὅταν λέ-
γῃ· σιώπα, πεφίμωσο· Θέλω, καθαρίσθητι· σοὶ λέγω τὸ δαιμόνιον τὸ κωφὸν καὶ ἄλαλον, Ματθ. η. β. γ.
ἔξελθε ἀπ' αὐτοῦ· καὶ τὸ, Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑ- Ματθ. ε. κα. κβ.
μῖν, ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται· καὶ ὅσα ἄλλα τοιαῦτα νομοθετεῖ καὶ
θαυματουργεῖ, ἱκανὰ δεῖξαι αὐτοῦ τὴν ἐξουσίαν· μᾶλλον δὲ τὸ πολλοστὸν αὐτῶν μέρος, ἱκανὸν

τοὺς μὴ λίαν ἀναισθητοῦντας προσαγαγέσθαι καὶ πεῖσαι.

ΗΘΙΚΟΝ

Ἀλλὰ γὰρ δεινὸν ἡ κενοδοξία καὶ πρὸς τὰ λίαν φανερὰ ἀποτυφλῶσαι τὴν διάνοιαν τῶν ὑπ' αὐτῆς ἁλισκομένων, καὶ τοὺς ὡμολογημένους πεῖσαι φιλονεικεῖν· ἑτέρους δὲ καὶ σφόδρα εἰδότας τἀληθὲς καὶ πεπεισμένους, εἰς ὑπόκρισιν καὶ ἀντίστασιν ἀλείφει. Ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγίνετο. οὐ γὰρ δι' ἄγνοιαν ἠρνοῦντο τὸν τοῦ Θεοῦ υἱὸν, ἀλλ' ἵνα τῆς παρὰ τῶν πολλῶν τύχωσι τιμῆς. (Ἰωάν. ιβ. μβ.) Καὶ γὰρ ἐπίστευον εἰς αὐτὸν, φησὶν, ἀλλ' ἐφοβοῦντο, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· καὶ τὴν αὐτῶν προέτειναν σωτηρίαν ἑτέροις. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν οὕτω σφοδρῶς τῇ παρούσῃ δουλεύοντα δόξῃ, τῆς παρὰ τοῦ Θεοῦ τυχεῖν. διὸ καὶ ἐπετίμησεν αὐτοῖς εἰπὼν, πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ Θεοῦ μὴ ζητοῦντες; μέθη γάρ τίς ἐστι βαθεῖα, * καὶ δυσανάγωγον τὸν ἁλόντα ποιεῖ τοῦτο τὸ πάθος, καὶ τῶν ἁλόντων τὴν ψυχὴν ἀποσχίσασα τῶν οὐρανῶν, τῇ γῇ προσηλοῖ, καὶ πρὸς τὸ φῶς ἀναβλέψαι τὸ ἀληθινὸν οὐκ ἀφίησιν, ἀλλ' ἐν τῷ βορβόρῳ διὰ παντὸς καλινδεῖσθαι πείθει, κατασκευάζουσα δεσπότας αὐτοῖς οὕτω δυνατοὺς, ὡς χωρὶς ἐπιταγμάτων αὐτῶν κρατεῖν. ὁ γὰρ τοῦτο νοσῶν τὸ νόσημα καὶ μηδενὸς κελεύοντος αὐτομάτως ποιεῖ πάντα, ὅσαπερ ἂν οἴηται τέρπειν αὐτοῦ τοὺς κυρίους. καὶ γὰρ ἱμάτια καλὰ περιτίθεται δι' ἐκείνους, καὶ καλλωπίζει τὴν ὄψιν, οὐχ ἑαυτῷ τοῦτο, ἀλλ' ἑτέροις ἐπιτηδεύων, καὶ ἀκολούθους περιάγει κατὰ τὴν ἀγορὰν, ἵνα θαυμάζηται παρ' ἑτέρων, καὶ πάντα ἃ ποιεῖ, τῆς τῶν ἄλλων ἕνεκεν ἀρεσκείας ὑπομένει μόνης. ἆρα γένοιτ' ἄν τι τούτου χαλεπώτερον πάθος; ἵνα * ἕτεροι θαυμάσωσιν αὐτὸν, κατακρημνίζεται συνεχῶς. βούλει μαθεῖν αὐτοῦ τὴν τυραννίδα; ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα παρὰ τοῦ Χριστοῦ δεῖξαι πᾶσαν αὐτοῦ τὴν τυραννίδα. ἄκουε δὲ καὶ τῶν ἑξῆς. εἰ γὰρ ἐθέλοις ἐρωτῆσαί τινα τῶν πολιτευομένων καὶ τὰ πολυτελῆ δαπανώντων δαπανήματα, τίνος ἕνεκεν τοσοῦτον κενοῖ χρυσίον, καὶ τί βούλεται αὐτῷ ἡ τοσαύτη δαπάνη, οὐδὲν ἕτερον ἀκούσῃ παρ' αὐτοῦ, ἀλλ' ἢ τοῦ δήμου τὴν ἀρέσκειαν. εἰ δὲ πάλιν ἔροιο, τί δήποτε ὁ δῆμός ἐστιν, ἐροῦσι, πρᾶγμα θορύβου γέμον καὶ ταραχῶδες, καὶ ἐξ ἀνοίας τὸ πλέον συγκείμενον, καὶ ἁπλῶς φερόμενον κατὰ τὰ τῆς θαλάττης κύματα, πολλάκις καὶ ἐκ ποικίλης καὶ μαχομένης συνιστάμενον γνώμης. ὅταν οὖν τις τοιοῦτον ἔχῃ δεσπότην, τίνος ἐλεεινότερος οὐκ ἂν εἴη; ἀλλὰ τὸ μὲν ἀνθρώπους βιωτικοὺς περὶ ταῦτα ἐπτοῆσθαι, οὐχ οὕτω δεινὸν, καίπερ ὂν δεινόν· τὸ δὲ τοὺς τοῦ κόσμου λέγοντας ἀποπεπηδηκέναι, τὰ αὐτὰ νοσεῖν, μᾶλλον δὲ χαλεπώτερα, τοῦτο μάλιστά ἐστι τὸ δεινόν. ἐκείνοις μὲν γὰρ μέχρι χρημάτων ἡ ζημία· ἐνταῦθα δὲ μέχρι ψυχῆς ὁ κίνδυνος. ὅταν γὰρ διὰ δόξαν πίστιν ἀμείβωσιν ὀρθὴν, καὶ ἵνα αὐτοὶ δοξάζωνται, τὸν Θεὸν ἀτιμάζωσι, τίνα ὑπερβολὴν οὐκ ἂν ἔχοι βλακείας καὶ μανίας τὸ γινόμενον; εἰπέ μοι· τὰ μὲν οὖν ἄλλα πάθη, κἂν πολλὴν τὴν βλάβην ἔχῃ, φέρει γοῦν τινα καὶ ἡδονὴν, εἰ καὶ πρόσκαιρον καὶ βραχεῖαν. καὶ γὰρ ὁ φιλοχρήματος καὶ ὁ φίλοινος καὶ ὁ φιλογύνης ἔχουσί τινα μετὰ τῆς βλάβης καὶ ἡδονὴν, εἰ καὶ βραχεῖαν· οἱ δὲ τοῦ πάθους αἰχμάλωτοι τούτου, διὰ παντὸς κατάπικρον ζῶσι βίον καὶ ἡδονῆς ἀπεστερημένον. οὐ γὰρ ἐπιτυγχάνουσιν οὗ σφόδρα ἐρῶσι, δόξης λέγω τῆς παρὰ τῶν πολλῶν· ἀλλὰ δοκοῦσι μὲν ἀπολαύειν αὐτῆς, οὐκ ἀπολαύουσι δὲ, διὰ τὸ μηδὲ εἶναι δόξαν τὸ πρᾶγμα. διὰ τοῦτο οὐδὲ δόξα, ἀλλὰ κενὸν δόξης πρᾶγμα εἴρηται τὸ πάθος. κενοδοξίαν γὰρ αὐτὸ καὶ οἱ παλαιοὶ πάντες εἰκότως ἐκάλεσαν. διάκενος γάρ ἐστιν, ἔνδον οὐδὲν ἔχουσα λαμπρὸν καὶ ἐπίδοξον, ἀλλ' ὥσπερ τὰ προσωπεῖα δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδον ἐστὶ (διὸ καὶ τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα εἷλε τὸν ἑαυτῶν) οὕτω, μᾶλλον δὲ ἀθλιώτερον, καὶ ἡ παρὰ τῶν πολλῶν δόξα τὸ δυσκαταγώνιστον τοῦτο καὶ τυραννικὸν πάθος ἡμῖν ἐσχημάτισεν. ὄψιν γὰρ ἔχει μόνην λαμπρὰν, τὰ δὲ ἔνδον αὐτῆς οὐκέτι κενὰ μόνον, ἀλλὰ καὶ ἀτιμίας ἀνάμεστα καὶ ὠμῆς γέμει τῆς τυραννίδος. πόθεν οὖν τίκτεται τοῦτο τὸ πά-

* δὲ

* γὰρ

θος οὕτως ἄλογον ὄν, καὶ ἡδονὴν οὐκ ἔχον, φησί; πόθεν δὲ ἑτέρωθεν, ἀλλ' ἢ ἀπὸ ψυχῆς ταπεινῆς καὶ εὐτελοῦς; οὐ γάρ ἐστι τὸν ὑπὸ δόξης ἁλόντα μέγα τι καὶ νεανικὸν ἐννοῆσαι ταχέως, ἀλλ' αἰσχρὸν αὐτὸν εἶναι δεῖ καὶ εὐτελῆ καὶ ἄτιμον καὶ μικρόν. ὁ γὰρ δι' ἀρετὴν μὲν μηδὲν ποιῶν, ἵνα δὲ ἀνδράσιν ἀρέσκῃ μηδενὸς ἀξίοις λόγου, καὶ πανταχοῦ τὴν ἐκείνων ψῆφον τιθέμενος τὴν ἐσφαλμένην καὶ πλανωμένην, πῶς ἂν ἄξιος εἴη τινός; σκόπει δέ. εἴ τις αὐτὸν ἔροιτο· σὺ δὲ τί νομίζεις εἶναι τοὺς πολλούς; εὔδηλον ὅτι ῥαθύμους καὶ ἠμελημένους ἐρεῖ. τί δέ; ἕλοιο ἂν γενέσθαι κατ' ἐκείνους, εἴ τις αὐτὸν ἔροιτο πάλιν, οὐκ ἂν μοι δοκεῖ θελῆσαι γενέσθαι κατ' ἐκείνους. πῶς οὖν οὐκ ἔσχατος γέλως τὴν τούτων δόξαν θηρεύειν, ὧν οὐκ ἂν ἕλοιο γενέσθαι παραπλήσιός ποτε; εἰ δὲ λέγοις, ὅτι πολλοὶ καὶ συνεστηκότες τινές εἰσι· διὰ τοῦτο μάλιστα αὐτῶν καταφρονεῖν ἐχρῆν. εἰ γὰρ καθ' ἑαυτοὺς ὄντες εἰσὶν εὐκαταφρόνητοι, ὅταν πολλοὶ γένωνται, μειζόνως τοῦτο συμβήσεται. ἡ γὰρ τῶν καθ' ἕκαστον ἄνοια συλλεγέντων ὁμοῦ, μείζων ὑπὸ τοῦ πλήθους αὐξηθεῖσα γίνεται. διὸ καὶ * ἕνα μὲν αὐτῶν εἰ λάβοι ποτὲ ἄν τις, καὶ διορθώσειεν· ὁμοῦ δὲ ὄντας, οὐκ ἂν δυνηθείη ῥᾳδίως, διὰ τὸ τὴν ἄνοιαν ἐπιτείνεσθαι, καὶ δίκην θρεμμάτων ἄγεσθαι, καὶ πανταχοῦ ταῖς παρ' ἀλλήλων ἕπεσθαι δόξαις. ταύτης οὖν, εἰπέ μοι, τῆς παρὰ τῶν πολλῶν ἀντιποιήσεσθε δόξης; μή, δέομαι καὶ ἀντιβολῶ. τοῦτο γὰρ πάντα ἄνω καὶ κάτω πεποίηκε, τοῦτο πλεονεξίαν ἔτεκε, βασκανίαν, κατηγορίαν, ἐπιβουλάς. τοῦτο τοὺς οὐδὲν ἠδικημένους κατὰ τῶν οὐδὲν ἠδικηκότων ὁπλίζει καὶ ἐκθηριοῖ, καὶ οὔτε φιλίαν οἶδεν ὁ τούτῳ τῷ νοσήματι περιπεσών, οὐ συνηθείας μέμνηται, οὐκ αἰδεῖσθαι οὐδένα ὅλως ἐπίσταται, ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας τὰ καλά, πρὸς πάντας ἐκπεπολέμωται, ἄστατος, ἄστοργος ὤν. καὶ τὸ μὲν τῆς ὀργῆς πάθος, εἰ καὶ αὐτὸ τυραννικόν τέ ἐστι καὶ ἀφόρητον, ἀλλ' οὐκ ἀεὶ διενοχλεῖν εἴωθεν, ἀλλ' ὅταν ἔχῃ τοὺς παροξύνοντας μόνον· τὸ δὲ τῆς κενοδοξίας διὰ παντός, καὶ οὐκ ἔστι καιρός, ὡς εἰπεῖν, ἐν ᾧ λῆξαι δυνήσεται, μὴ λογισμοῦ κωλύοντος αὐτὴν καὶ καταστέλλοντος, ἀλλ' ἀεὶ πάρεστιν οὐ μόνον ἀναπείθουσα ἁμαρτάνειν, ἀλλὰ κἂν τύχωμέν τι κατορθοῦντες, καὶ τοῦτο ἀφαρπάζουσα τῶν χειρῶν, ἔστι δὲ ὅτε οὐδὲ ἀφεῖσα τὴν ἀρχὴν κατορθῶσαι. εἰ δὲ τὴν πλεονεξίαν ὁ Παῦλος καλεῖ εἰδωλολατρείαν, τὴν ταύτης μητέρα καὶ ῥίζαν καὶ πηγήν, τὴν κενοδοξίαν λέγω, τί δίκαιον ὀνομάσαι; οὐδὲ γὰρ προσηγορίαν τῆς κακίας ἀξίαν ἐστὶν εὑρεῖν. ἀνανήψωμεν τοίνυν, ἀγαπητοί, καὶ τὸ πονηρὸν ἀποδυσώμεθα τοῦτο ἱμάτιον, καὶ διαρρήξωμεν, καὶ ἀποτέμωμεν, καὶ γενώμεθά ποτε ἐλεύθεροι τὴν ἐλευθερίαν τὴν ἀληθῆ, καὶ λάβωμεν αἴσθησιν τῆς εὐγενείας τῆς παρὰ τοῦ Θεοῦ δεδομένης ἡμῖν καταφρονήσωμεν τῆς τῶν πολλῶν δόξης. οὐδὲν γὰρ οὕτω καταγέλαστον καὶ ἄτιμον, ὡς τοῦτο τὸ πάθος, οὐδὲν οὕτως αἰσχύνης γέμον καὶ πολλῆς ἀδοξίας. καὶ τοῦτο πολλαχόθεν ἴδοι τις ἄν, ὅτι τὸ μὲν δόξης ἐρᾶν, ἀδοξία· δόξα δὲ ὄντως, τὸ ταύτης ὑπερορᾶν, καὶ μηδένα αὐτῆς ποιεῖσθαι λόγον, ἀλλὰ πρὸς τὸ παρὰ Θεῷ δοκοῦν ἅπαντα καὶ λέγειν καὶ ποιεῖν. οὕτω γὰρ δυνησόμεθα καὶ μισθὸν λαβεῖν παρὰ τοῦ τὰ ἡμέτερα ὁρῶντος ἀκριβῶς, ὅταν αὐτῷ μόνῳ ἀρκώμεθα θεατῇ. τί γὰρ ἡμῖν καὶ ἑτέρων ὀφθαλμῶν δεῖ, τοῦ τιμᾶν μέλλοντος ἡμᾶς ὁρῶντος ἀεὶ τὰ γινόμενα παρ' ἡμῶν; πῶς δὲ οὐκ ἄτοπον τὸν μὲν οἰκέτην πάντα ὅσαπερ ἂν ποιῇ, εἰς ἀρέσκειαν τοῦ δεσπότου ποιεῖν, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῆς θεωρίας τῆς τούτου, μηδὲ ἑτέρους ὀφθαλμοὺς ἐφέλκεσθαι πρὸς τὴν πρᾶξιν, κἂν μεγάλοι οἱ θεωροῦντες ὦσιν, ἀλλ' ἓν μόνον σκοπεῖν, ὅπως ὁ δεσπότης θεάσηται· ἡμᾶς δὲ τοιοῦτον ἔχοντας κύριον, ἑτέρους ἐπιζητεῖν θεατάς, τοὺς ὠφελῆσαι μὲν οὐδέν, βλάψαι δὲ ἐκ τῆς θεωρίας δυναμένους, καὶ κενῶσαι πάντα τὸν πόνον ἡμῶν; μή, παρακαλῶ· ἀλλ' ὅθεν ἔχομεν τοὺς μισθοὺς λαβεῖν, ἐκεῖνον καλῶμεν ἐπαινέτην τῶν γινομένων, ἐκεῖνον θεατήν· μηδὲν ἡμῖν καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς ἔστω. εἰ γὰρ ἐθέλοιμεν καὶ ταύτης ἐπιτυχεῖν τῆς δόξης, τότε αὐτῆς ἐπιτευξόμεθα, ὅταν τὴν παρὰ τοῦ Θεοῦ ζητῶμεν μόνην. Τοὺς γὰρ δοξάζοντάς με, δοξάσω, φησί. καὶ ὥσπερ χρημάτων τότε μάλιστα εὐποροῦμεν,

εἰπὲ γάρ

θέλοντος

α. Βασ. β. λβ.

Ματθ. ϛ. λγ.

μεν, ὅταν καταφρονῶμεν αὐτῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ ζητῶμεν πλοῦτον μόνον (Ζητεῖτε γάρ, φησι, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν) οὕτω καὶ ἐπὶ τῆς δόξης, ὅταν ἡμῖν λοιπὸν ἀκίνδυνος ἡ δόσις ᾖ καὶ ἡ τῶν χρημάτων καὶ ἡ τῆς δόξης, τότε αὐτὴν ἐπιδαψιλεύεται ὁ Θεός· ἀκίνδυνος δέ ἐστι τότε, ὅταν ἡμῶν μὴ κρατῇ, μηδὲ περιγίνηται, μηδὲ ὡς δούλοις αὐτῇ ἐπιτάττῃ, ἀλλ' ὡς δεσπόταις καὶ ὡς ἐλευθέροις παραγίνηται. διὰ γὰρ τοῦτο οὐδὲ βούλεται αὐτῶν ἡμᾶς ἐρᾶν, ἵνα μὴ κρατώμεθα παρ' αὐτῶν. κἂν τοῦτο κατορθώσωμεν, δίδωσιν ἡμῖν αὐτὰ μετὰ πολλῆς τῆς δαψιλείας. τί γὰρ Παύλου λαμπρότερον, εἰπέ μοι, τοῦ λέγοντος· οὐ ζητοῦμεν παρὰ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων; τί δὲ εὐπορώτερον τοῦ μηδὲν ἔχοντος καὶ πάντα κατέχοντος; ὅταν γάρ, ὅπερ ἔφην, μὴ κρατώμεθα ἀπ' αὐτῶν, τότε αὐτῶν κρατήσομεν, τότε αὐτὰ ληψόμεθα. εἰ τοίνυν ἐπιθυμοῦμεν ἐπιτυχεῖν δόξης, φύγωμεν δόξαν. οὕτω γὰρ δυνησόμεθα τοῦ Θεοῦ τοὺς νόμους ἀνύσαντες, τυχεῖν καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι τοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. δ'. ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ, ΚΑΙ Ο ΛΟΓΟΣ ἦν πρὸς τὸν Θεόν.

ΤΟῖς ἄρτι τῶν παίδων εἰσαγομένοις πρὸς τὰ μαθήματα, οὔτε πολλὰ ἐφεξῆς ἐπιτιθέασιν οἱ διδάσκαλοι τὰ φορτία, οὔτε εἰσάπαξ τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ βραχέα, καὶ τὰ αὐτὰ πολλάκις ἐνηχοῦσιν αὐτοῖς, ὥστε αὐτῶν ῥᾳδίως ἐντεθῆναι τῇ διανοίᾳ τὰ λεγόμενα, ἀλλὰ μὴ ἐκ προοιμίων δυσχεράναντας αὐτοὺς πρός τε τὸ πλῆθος καὶ τὸ τῆς μνήμης δυσκάθεκτον, ὀκνηροτέρους γενέσθαι περὶ τὴν συλλογὴν τῶν δοθέντων, νάρκης τινὸς αὐτοῖς ἀπὸ τῆς δυσκολίας ἐγγινομένης. τοῦτο δὴ καὶ αὐτὸς κατασκευάσαι βουλόμενος, καὶ τὸν πόνον ὑμῖν ποιῆσαι κοῦφον, κατὰ μικρὸν ἀπολαμβάνων τὰ ἐν τῇ θείᾳ ταύτῃ τραπέζῃ, εἰς τὰς ὑμετέρας οὕτως ἐνίημι ψυχάς. διὸ καὶ τῶν αὐτῶν ἅψομαι πάλιν ῥημάτων, οὐχ ὥστε τὰ αὐτὰ πάλιν εἰπεῖν, ἀλλ' ὥστε τὰ λείποντα προσθεῖναι μόνον. φέρε οὖν, τὸν λόγον ἐπὶ τὰ προοίμια πάλιν ἀγάγωμεν. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. τίνος ἕνεκεν, τῶν ἄλλων ἁπάντων εὐαγγελιστῶν ἀπὸ τῆς οἰκονομίας ἀρξαμένων (καὶ γὰρ ὁ Ματθαῖός φησι, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ· καὶ ὁ Λουκᾶς τὰ κατὰ τὴν Μαρίαν ἐν ἀρχῇ ἡμῖν διηγεῖται· καὶ ὁ Μάρκος δὲ ὁμοίως τοῖς αὐτοῖς ἐνδιατρίβει λόγοις, τὴν κατὰ τὸν βαπτιστὴν ἱστορίαν ἐντεῦθεν ὑφαίνων) τίνος οὖν ἕνεκεν, ἐκείνων ἐντεῦθεν ἀρξαμένων, ὁ Ἰωάννης τοῦτο μὲν ἐν βραχεῖ καὶ μετὰ ταῦτα ᾐνίξατο, εἰπών, καὶ ὁ λόγος σὰρξ ἐγένετο, τὰ δὲ ἄλλα πάντα παραδραμών, τὴν σύλληψιν, τὸν τόκον, τὴν ἀνατροφήν, τὴν αὔξησιν, εὐθέως περὶ τῆς ἀϊδίου γεννήσεως ἡμῖν διηγεῖται; τί ποτ' οὖν ἐστι τὸ αἴτιον τούτων, ἤδη πρὸς ὑμᾶς ἐρῶ. τῶν λοιπῶν εὐαγγελιστῶν τὸ πλέον ἐν τοῖς κατὰ σάρκα διατριψάντων λόγοις, δέος ἦν μή τινες διὰ τοῦτο χαμαιπετεῖς ὄντες, τούτοις ἐναπομείνωσι μόνοις τοῖς δόγμασιν· ὃ καὶ Παῦλος ἔπαθεν ὁ Σαμοσατεύς. ἐκ ταύτης τοίνυν ἀνάγων τῆς χαμαιζηλίας τοὺς μέλλοντας ἐμπεσεῖσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀνέλκων, εἰκότως ἄνωθεν καὶ ἐκ τῆς ὑπάρξεως τῆς ἀϊδίου ποιεῖται τῆς διηγήσεως τὴν ἀρχήν. τοῦ μὲν γὰρ Ματθαίου ἀπὸ Ἡρώδου τοῦ βασιλέως, τοῦ δὲ Λουκᾶ ἀπὸ Τιβερίου Καίσαρος, τοῦ δὲ Μάρκου ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου πρὸς τὴν διήγησιν εἰσβαλλόντων, πάντα ταῦτα ἀφεὶς οὗτος ἀνωτέρω πάντων ἄνεισι χρόνου τε καὶ αἰῶνος, ἐκεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν ἀκοντίζων πρὸς τό, ἐν ἀρχῇ ἦν, καὶ οὐκ ἀφεὶς στῆναί που, οὐδὲ ὅρον τιθείς, καθάπερ ἐκεῖνοι τὸν Ἡρώδην καὶ τὸν Τιβέριον καὶ τὸν Ἰωάννην. ὃ δὲ ἄξιον μετὰ τοῦτο θαυμάσαι,

μάσαι, ἐκεῖνο μάλιστα εἰπεῖν ἐστιν, ὅτι μήτε οὗτος πρὸς τὸν ὑψηλότερον ἑαυτὸν λόγον ἀφεὶς, τῆς οἰκονομίας ἠμέλησε, μήτε ἐκεῖνοι τὴν περὶ ταύτης ἐσπουδακότες διήγησιν, τὴν προαιώνιον ἐσίγησαν ὕπαρξιν· καὶ μάλα εἰκότως. ἓν γὰρ ἦν τὸ πνεῦμα τὸ κινοῦν τὰς ἁπάντων ψυχάς· διὸ καὶ πολλὴν περὶ τὴν ἀπαγγελίαν ἐπεδείξαντο τὴν ὁμόνοιαν. σὺ δὲ, ἀγαπητὲ, λόγον ἀκούσας, μηδέποτε ἀνάσχῃ τῶν λεγόντων ἔργον αὐτὸν εἶναι, ἀλλὰ μηδὲ τῶν ἁπλῶς λόγον αὐτὸν εἶναι νομιζόντων. πολλοὶ μὲν γὰρ οἱ τοῦ Θεοῦ λόγοι, οὓς καὶ ἄγγελοι ποιοῦσιν, ἀλλ' οὐδεὶς ἐκείνων τῶν λόγων Θεός. ἀλλ' ἐκεῖνοι μὲν ἅπαντες προφητεῖαι καὶ προστάγματα (οὕτω γὰρ ἔθος τῇ γραφῇ καλεῖν τοὺς νόμους τοῦ Θεοῦ καὶ τὰ ἐπιτάγματα καὶ τὰς προφητείας. διὸ καὶ ἐπάγει λέγων περὶ τῶν ἀγγέλων· Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ) οὗτος δὲ ὁ λόγος οὐσία τίς ἐστιν ἐνυπόστατος, ἐξ αὐτοῦ προελθοῦσα ἀπαθῶς τοῦ πατρός. τοῦτο γὰρ καὶ, ὡς ἔφθην εἰπὼν, διὰ τῆς τοῦ λόγου προσηγορίας ἐδήλωσεν. ὥσπερ οὖν τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, τὸ ἀΐδιον δηλοῖ· οὕτω τὸ, οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, τὸ συναΐδιον ἡμῖν ἐνέφηνεν. ἵνα γὰρ μὴ, ἀκούσας ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, ἀΐδιον μὲν νομίσῃς, πρεσβυτέραν δὲ διαστήματί τινι τὴν τοῦ πατρὸς τὴν ζωὴν ὑποπτεύσῃς, καὶ αἰῶνι πλείονι, καὶ τῷ μονογενεῖ δῷς ἀρχὴν· ἐπήγαγε τὸ, ὅτι ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ἦν, οὕτως ἀϊδίως, * ὡς αὐτὸς ὁ πατήρ. οὐ γὰρ ἦν ἔρημος οὐδέποτε τοῦ λόγου, ἀλλ' ἀεὶ Θεὸς πρὸς Θεὸν ἦν, ἐν ὑποστάσει μέντοι ἰδίᾳ. πῶς οὖν, φησιν, εἶπεν ὅτι καὶ ἐν τῷ κόσμῳ ἦν, εἴγε πρὸς τὸν Θεὸν ἦν; ὅτι καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ ἐν τῷ κόσμῳ ἦν. οὐδαμοῦ γὰρ περατοῦται οὔτε ὁ πατὴρ οὔτε ὁ υἱός. εἰ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός, οὐδὲ τῆς οὐσίας εὔδηλον ὅτι ἀρχή τις χρονική. ἤκουσας ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· τί νοεῖς ἀπὸ τῆς ἀρχῆς ταύτης; εὔδηλον, ὅτι τὸ πρὸ πάντων γενέσθαι αὐτὰ τῶν ὁρατῶν. οὕτω καὶ περὶ τοῦ μονογενοῦς, ἀκούων ὅτι ἐν ἀρχῇ ἦν, πρὸ πάντων αὐτὸν νόει τῶν νοητῶν καὶ πρὸ τῶν αἰώνων. εἰ δὲ λέγοι τις, καὶ πῶς ἐστιν υἱὸν ὄντα μὴ νεώτερον εἶναι τοῦ πατρός; (τὸ γὰρ ἔκ τινος ὂν ἀνάγκη πᾶσα ὕστερον εἶναι τοῦ ἐξ οὗ ἐστιν) ἐροῦμεν, ὅτι μάλιστα μὲν ταῦτα λογισμῶν ἀνθρωπίνων ἐστὶ, καὶ ὁ τοῦτο ζητῶν καὶ ἕτερα τούτων ἀτοπώτερα ζητήσει, καὶ οὐδὲ τῇ ἀκοῇ τὰ τοιαῦτα παραδέχεσθαι ἔδει. περὶ Θεοῦ γὰρ νῦν ἡμῖν ὁ λόγος ἐστὶν, οὐ περὶ τῆς τῶν ἀνθρώπων φύσεως ὑποκειμένης τῇ τῶν λογισμῶν τούτων ἀκολουθίᾳ τε καὶ ἀνάγκῃ. πλὴν ἀλλ' ὑπὲρ πληροφορίας τῶν ἀσθενεστέρων καὶ πρὸς ταῦτα ἐροῦμεν. εἰπὲ γάρ μοι, τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδᾷ τῆς τοῦ ἡλίου φύσεως, ἢ ἄλλοθέν ποθεν; ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ καὶ τὰς αἰσθήσεις πεπηρωμένον, ὅτι ἐξ αὐτῆς. ἀλλ' ὅμως καὶ ἐξ αὐτοῦ ὂν τοῦ ἡλίου τὸ ἀπαύγασμα οὐκ ἄν ποτε ὕστερον εἶναι φαίημεν τῆς ἡλιακῆς φύσεως, ἐπειδὴ μηδὲ χωρὶς ἀπαυγάσματος ἥλιος ἐφάνη ποτέ. εἰ δὲ ἐπὶ τῶν σωμάτων τούτων τῶν ὁρατῶν καὶ αἰσθητῶν, καὶ ἔκ τινος ὂν, καὶ οὐχ ὕστερον τοῦ ἐξ οὗ ἐστιν, ἐφάνη τι ὄν· τί ἀπιστεῖς ἐπὶ τῆς ἀοράτου καὶ ἀρρήτου φύσεως; τὸ αὐτὸ δὴ τοῦτό ἐστιν οὕτως, ὡς ἐκείνῃ τῇ οὐσίᾳ πρέπον ἦν. διὰ γάρ τοι τοῦτο καὶ ὁ Παῦλος αὐτὸν οὕτως ἐκάλεσε, καὶ τὸ ἐξ αὐτοῦ καὶ τὸ συναΐδιον παριστῶν. τί δὲ, εἰπέ μοι, οὐχὶ οἱ αἰῶνες δι' αὐτοῦ γεγόνασιν ἅπαντες καὶ διάστημα ἅπαν; ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ παραπαίοντα. οὐκοῦν οὐδὲν μέσον υἱοῦ καὶ πατρός· εἰ δὲ οὐδὲν, οὐχ ὕστερος, ἀλλὰ συναΐδιος. τὸ γὰρ πρὸ, καὶ τὸ μετὰ, χρόνων εἰσὶν ἔννοιαι δηλωτικαί (χωρὶς γὰρ αἰῶνος ἢ χρόνου οὐκ ἂν δυνηθείη τις ταῦτα νοῆσαι τὰ ῥήματα) χρόνων δὲ καὶ αἰώνων ἀνώτερος ὁ Θεός. εἰ δὲ ὅλως τοῦ υἱοῦ φῂς ἀρχὴν κατειληφέναι, ὅρα μὴ καὶ τὸν πατέρα ὑπὸ ἀρχὴν ἀναγκασθῇς ἀναγαγεῖν κατὰ τοῦτον τὸν λόγον καὶ τὸν λογισμὸν, πρεσβυτέραν μὲν, ἀρχὴν δὲ ὅμως. εἰπὲ γάρ μοι, οὐχ ὅρον τινὰ καὶ ἀρχὴν προστιθεὶς τῷ υἱῷ, οὕτω προϊὼν ἀπ' αὐτῆς ἐπὶ τὸ ἄνω, τὸν πατέρα προεῖναι λέγεις; εὔδηλον ὅτι. εἰπὲ οὖν μοι· πόσον ὁ πατὴρ προϋπάρχει; ἄν τε γὰρ ὀλίγον, ἄν τε πολὺ διάστημα εἴπῃς, ὑπὸ τὴν ἀρχὴν τὸν πατέρα ἤγαγες. μετρήσας γὰρ

εὔδηλον

πράγμα-

Ψαλμ. ρβ. κα.

λόγος ἀΐδιος, δηλῶν

ἀνθρώ-

Εβρ. α. γ.

ἀναγαγεῖν

προστιθεὶς

εὔδηλον ὅτι τὸ μέσον, οὕτως ὀλίγον ἐρεῖς ἢ πολύ· μεταξὺ δὲ οὐκ ἂν γένοιτο μὴ ἑκατέρωθεν
οὔσης ἀρχῆς. ὥστε καὶ τῷ πατρὶ δέδωκας ἀρχήν, εἴγε εἰς σὲ ἧκον, καὶ οὐκ ἔσται λοιπὸν γ. ἴω
οὐδὲ ὁ πατὴρ ἄναρχος καθ' ὑμᾶς. ὁρᾷς ὅτι τὸ παρὰ τοῦ σωτῆρος λεχθὲν ἀληθές ἐστι, καὶ
πανταχοῦ τὴν δύναμιν ἐνδείκνυται τὴν αὐτοῦ τὸ ῥῆμα; ποῖον δὴ τοῦτο; ὅτι ὁ μὴ τιμῶν τὸν γ. τι
υἱόν, οὐ τιμᾷ τὸν πατέρα. καὶ οἶδα μὲν πολλοῖς ἀκατάληπτον ὂν τὸ λεχθέν· διὸ πολλάκις καὶ
τὰ ἀπὸ τῶν λογισμῶν ἀναβαλλόμεθα κινεῖν, ὅτι οὔτε παρακολουθεῖν αὐτοῖς ὁ λοιπὸς δύναιτ'
Σοφ. θ. ιδ. ἂν δῆμος, οὔτε εἰ παρακολουθήσειεν, ἔχει τι βέβαιον καὶ ἀσφαλές. Λογισμοὶ γὰρ ἀνθρώπων
δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. ἡδέως δὲ ἂν κἀκεῖνο ἐροίμην τοὺς ἀντιλέγοντας ἡ-
μῖν, τί ποτέ ἐστι τὸ παρὰ τῷ προφήτῃ λεγόμενον· τὸ ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος
Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔστιν; εἰ γὰρ νεώτερος τοῦ πατρὸς ὁ υἱός, πῶς φησι, μετ' ἐμὲ οὐκ ἔστιν;
ἆρ' οὖν ἀναιρήσετε καὶ αὐτοῦ τοῦ μονογενοῦς τὴν οὐσίαν; ἀνάγκη γὰρ ἢ τοῦτο τολμᾶν, ἢ μίαν πα-
ραδέξασθαι τὴν θεότητα ἐν ἰδίᾳ ὑποστάσει πατρὸς καὶ υἱοῦ. ποῦ δὲ ὅλως τό, πάντα δι' αὐτοῦ
ἐγένετο, ἀληθές; εἰ γάρ ἐστιν αἰὼν αὐτοῦ πρεσβύτερος, πῶς ἂν ὁ πρὸ αὐτοῦ δι' αὐτοῦ γεγενη-
μένος εἴη; ὁρᾶτε εἰς ὅσην τόλμαν αὐτοὺς ἅπαξ παρακινηθείσης τῆς ἀληθείας ὁ λόγος
ἐξήγαγε; διὰ τί γὰρ οὐκ εἶπεν ὁ εὐαγγελιστής, ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, καθάπερ περὶ πάν-
Ρω. δ. ιζ. των ὁ Παῦλος ἀποφαίνεται λέγων οὕτως, Ὁ καλέσας τὰ μὴ ὄντα ὡς ὄντα, ἀλλ'
ἐν ἀρχῇ ἦν, φησι; τοῦτο γὰρ ἐναντίον ἐκείνῳ. καὶ μάλα εἰκότως. Θεὸς γὰρ
οὔτε γίνεται οὔτε ἔχει τι πρεσβύτερον, ἀλλὰ ταῦτα ἑλλήνων ῥήματα. εἰπὲ δέ μοι κἀκεῖνο,
τὸν κτιστὴν τῶν ἔργων οὐχὶ ἀσυγκρίτως ὑπερέχειν εἴποις ἄν; ὅταν οὖν αὐτοῖς ὅμοιον ᾖ τὸ ἐξ
οὐκ ὄντων, ποῦ ἡ ἀσύγκριτος ὑπεροχή; τί δέ ἐστιν ὅλως τό, ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα,
καὶ ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός; εἰ γὰρ ὁ υἱὸς μὴ εἴη τῆς αὐτῆς οὐσίας, ἕτερος
ἐστὶ Θεός· καὶ εἰ μὴ συναΐδιος, ἐστὶ μετ' αὐτόν· καὶ εἰ μὴ ἐκ τῆς οὐσίας προῆλθεν, εὔδηλον ὅτι ἐγέ- γ. ἐστὶ θε
νετο. εἰ δὲ λέγοιεν πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων ταῦτα εἰρῆσθαι, πῶς οὐ συγχωροῦσι πρὸς ἀν-
τιδιαστολὴν τῶν εἰδώλων λέγειν τὸν μόνον ἀληθινὸν Θεόν; εἰ δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων
εἴρηται τοῦτο, πῶς ἑρμηνεύσεις τὴν ῥῆσιν ἅπασαν; μετ' ἐμὲ γάρ, φησιν, οὐκ ἔστιν ἄλλος Θεός. οὐκ ἐκ-
βάλλων τὸν υἱὸν τοῦτό φησιν, ἀλλ' ὅτι Θεὸς εἰδωλικὸς μετ' ἐμὲ οὐκ ἔστιν, οὐχ ὅτι υἱὸς οὐκ ἔστι. ναί φησι. γ. ἐστὶ μ
τί οὖν; καὶ τό, ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, οὕτως ἐκλήψῃ, ὅτι εἰδωλικὸς μὲν οὐκ ἐγέ- π.
νετο, ἐγένετο δ' οὖν ὅμως υἱὸς ἔμπροσθεν αὐτοῦ; καὶ ποῖος ἂν τοῦτο δαίμων εἴποι; οὐδὲ γὰρ αὐ-
τὸν οἶμαι τὸν διάβολον τοῦτο ἐρεῖν· ἄλλως δέ, εἰ οὐκ ἔστι συναΐδιος τῷ πατρί, πῶς ἄπειρον αὐτοῦ τὴν γ. ὅλως
ζωὴν ἐρεῖς; εἰ γὰρ ἀρχὴν ἄνωθεν ἔχει, κἂν ἀτελεύτητος ᾖ, ἄπειρος ὅμως οὐκ ἔστι. τὸ γὰρ
Εβ. ζ. γ. ἄπειρον, ἑκατέρωθεν ἄπειρον εἶναι χρή· ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· Μήτε ἀρχὴν
ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, τό τε ἄναρχον καὶ ἀτελεύτητον δεικνὺς ταύτῃ. ὥσπερ γὰρ γ. δηλῶν
τοῦτο οὐκ ἔχει πέρας, οὕτως οὐδὲ ἐκεῖνο. οὔτε γὰρ ἐνταῦθα τέλος, οὔτε ἐκεῖ ἀρχή. πῶς δὲ καὶ
ζωὴ ὤν, ἦν ποτε, ὅτε οὐκ ἦν; τὴν γὰρ ζωὴν ἀεί τε εἶναι, καὶ ἀνάρχως εἶναι, καὶ ἀτελευτήτως,
πάντες ἂν ὁμολογήσαιεν, εἴπερ ὄντως εἴη ζωή, ὥσπερ οὖν καὶ ἔστιν. εἰ δὲ ἔστιν ὅτε οὐκ ἔστι,
πῶς ἂν εἴη ζωὴ τῶν ἄλλων, αὐτή ποτε οὐκ οὖσα; πῶς οὖν, φησιν, ἀρχὴν ἔθηκεν ὁ Ἰωάν-
νης εἰπών, ἐν ἀρχῇ ἦν; τῷ ἐν ἀρχῇ προσέσχες, καὶ τῷ ἦν, εἰπέ μοι· καὶ τό, ὁ λόγος ἦν, γ. τι
οὐκ ἐννοεῖς; τί δέ, ὅταν περὶ τοῦ πατρὸς ὁ προφήτης λέγῃ· Ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος γ. τι
σὺ εἶ· ἆρα ὅρους αὐτῷ τιθεὶς οὕτω φησίν; οὐδαμῶς, ἀλλὰ τὸ ἀΐδιον δηλῶν. οὕτω τοίνυν
καὶ ἐνταῦθα νόει. οὐ γὰρ ὅρους τιθεὶς τοῦτο εἴρηκεν. οὐδὲ γὰρ εἶπεν, ἀρχὴν ἔσχεν, ἀλλ' ἐν
ἀρχῇ ἦν, διὰ τοῦ ἦν παραπέμπων ἐπὶ τὸ ἄναρχον ἐννοεῖν τὸν υἱόν. ἀλλ' ἰδού, φησιν, ὁ
πατὴρ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης εἴρηται, ὁ δὲ υἱὸς χωρὶς ταύτης. τί οὖν, ὅταν ὁ
ἀπόστολος λέγῃ· τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ πάλιν· ὁ ὢν ἐπὶ
πάντων Θεός; ἰδοὺ γὰρ ἐνταῦθα χωρὶς τοῦ ἄρθρου τοῦ υἱοῦ ἐμνημόνευσε. ποιεῖ δὲ τοῦτο καὶ

Φιλιπ. γ. ϛ.

ἐπὶ τοῦ πατρός. τοῖς γοῦν Φιλιππησίοις ἐπιστέλλων, οὕτω φησίν· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· καὶ Ῥωμαίοις δὲ πάλιν· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. ἄλλως τε καὶ περιττὸν ἦν ἐνταῦθα αὐτὸ προστεθῆναι, ἄνω συνεχῶς προστεθὲν τῷ λόγῳ. ὥσπερ γὰρ περὶ τοῦ πατρὸς λέγων φησί, πνεῦμα ὁ Θεός, καὶ οὐκ ἐπειδὴ τῷ πνεύματι τὸ ἄρθρον οὐ πρόσκειται, οὐκ ἀθετοῦμεν διὰ τοῦτο τὸ ἀσώματον τοῦ Θεοῦ· οὕτω καὶ ἐνταῦθα, κἂν μὴ πρόσκειται τῷ υἱῷ τὸ ἄρθρον, οὐ διὰ τοῦτο ἥττων Θεὸς ὁ υἱός. τί δήποτε; Θεὸν γὰρ καὶ Θεὸν εἰπών, οὐκ ἐμφαίνει τι μέσον ἡμῖν τῆς θεότητος ταύτης, ἀλλὰ καὶ τοὐναντίον. προειπὼν γάρ, καὶ Θεὸς ἦν ὁ λόγος, ἵνα μὴ νομίσῃ τις ἐλάττονα εἶναι τὴν θεότητα τοῦ υἱοῦ, εὐθέως αὐτοῦ καὶ τὰ γνωριστικὰ τῆς γνησίας τίθησι θεότητος, τό τε ἀΐδιον ἀναλαβών (οὗτος γὰρ ἦν, φησιν, ἐν ἀρχῇ πρὸς τὸν Θεόν) καὶ τὸ δημιουργικὸν προσθείς, πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε· ὃ μάλιστα καὶ ὁ πατὴρ αὐτοῦ διὰ τῶν προφητῶν ἁπανταχοῦ τῆς οὐσίας τῆς αὐτοῦ γνωριστικὸν εἶναί φησι. καὶ συνεχῶς τοῦτο τῆς ἀποδείξεως τὸ εἶδος περιστρέφουσιν οἱ προφῆται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὴν τῶν εἰδώλων ἀγωνιζόμενοι δόξαν. θεοὶ γάρ, φησιν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. καὶ πάλιν, ἐγὼ τῇ χειρί μου ἐξέτεινα τὸν οὐρανόν· καὶ δεικνὺς θεότητος εἶναι δηλωτικόν, πανταχοῦ αὐτὸ τίθησιν. αὐτὸς δὲ ὁ εὐαγγελιστὴς οὐδὲ τούτοις ἠρκέσθη τοῖς ῥήμασιν, ἀλλὰ καὶ ζωὴν αὐτὸν ἐκάλεσε καὶ φῶς. εἰ τοίνυν ἀεὶ μετὰ τοῦ πατρὸς ἦν, εἰ πάντα αὐτὸς ἐδημιούργησεν, εἰ πάντα αὐτὸς παρήγαγε καὶ συγκροτεῖ (τοῦτο γὰρ διὰ τῆς ζωῆς ἠνίξατο) εἰ πάντα φωτίζει· τίς οὕτως ἀνόητος, ὡς εἰπεῖν τὸν εὐαγγελιστὴν διὰ τούτων ἐσπουδακέναι ἐλάττωσιν θεότητος εἰσηγήσασθαι, δι' ὧν μάλιστα ἰσότητα καὶ ἀπαραλλαξίαν ἐνδείξασθαι δυνατόν ἐστι; μὴ δὴ συγχέωμεν τὴν κτίσιν μετὰ τοῦ κτίσαντος· ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι ἐσεβάσθησαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. εἰ γὰρ καὶ περὶ οὐρανῶν λέγοιεν τοῦτο εἰρῆσθαι, ἀλλ' ὅμως ἐν τῷ περὶ τούτων λόγῳ παντελῶς ἀπεῖπε, τὸ μὴ δεῖν κτίσει λατρεύειν, ὡς ἑλληνικὸν ὄν.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ταύτῃ ὑποβάλωμεν αὑτοὺς τῇ ἀρᾷ. διὰ τοῦτο ἦλθεν ὁ τοῦ Θεοῦ υἱός, ἵνα ταύτης ἡμᾶς ἀπαλλάξῃ τῆς λατρείας· διὰ τοῦτο δούλου μορφὴν ἔλαβεν, ἵνα τῆς δουλείας ἐλευθερώσῃ ταύτης· διὰ τοῦτο ἐνεπτύσθη, διὰ τοῦτο ἐρραπίσθη, διὰ τοῦτο θάνατον ὑπέμεινε τὸν ἐπονείδιστον· μὴ δὴ ταῦτα πάντα ἀνόητα ποιῶμεν, μηδὲ πάλιν ἐπὶ τὴν προτέραν ἐπανερχώμεθα ἀσέβειαν, μᾶλλον δὲ ἐπὶ πολλῷ χαλεπωτέραν. οὐ γάρ ἐστιν ἴσον, τῇ κτίσει λατρεύειν, καὶ αὐτὸν τὸν δημιουργὸν εἰς κτίσεως κατάγειν εὐτέλειαν, τό γε εἰς ἡμᾶς ἧκον. αὐτὸς γὰρ μένει τοιοῦτος ὢν οἷός ἐστι· Σὺ γὰρ ὁ αὐτὸς εἶ, φησι, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. δοξάζωμεν οὖν αὐτὸν ὥσπερ παρελάβομεν παρὰ τῶν πατέρων, δοξάζωμεν αὐτὸν καὶ διὰ πίστεως καὶ δι' ἔργων. οὐδὲν γὰρ ὄφελος ἡμῖν εἰς σωτηρίαν δογμάτων ὑγιῶν, διεφθαρμένης ἡμῖν τῆς ζωῆς. διὸ ῥυθμίσωμεν αὐτὴν πρὸς τὸ τῷ Θεῷ δοκοῦν, αἰσχρότητος ἁπάσης, ἀδικίας, πλεονεξίας πόρρω καθιστῶντες ἑαυτούς, ὡς ξένοι καὶ παρεπίδημοι καὶ τῶν ἐνταῦθα ἀλλότριοι. κἂν χρήματά τις ἔχῃ πολλὰ καὶ κτήματα, οὕτως αὐτοῖς κεχρήσθω, ὡς πάροικος καὶ μικρὸν ὕστερον αὐτῶν ἀποστησόμενος καὶ ἑκὼν καὶ ἄκων. κἂν ἠδικημένος τις ᾖ παρά τινος, μὴ ἀθάνατα ὀργιζέσθω, μᾶλλον δὲ μηδὲ πρόσκαιρα. μιᾶς γὰρ ἡμῖν πλέον οὐκ ἔδωκεν ὁ ἀπόστολος ἡμέρας τῇ ὀργῇ καταχρήσασθαι. Ὁ ἥλιος γάρ, φησι, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· καὶ εἰκότως. ἀγαπητὸν γὰρ καὶ ἐν οὕτω βραχεῖ καιρῷ μηδὲν γενέσθαι ἀηδές. εἰ δὲ καὶ ἡ νὺξ καταλάβοι, δεινότερα γίνεται τὰ γεγενημένα, μυρίου πυρὸς ἀπὸ τῆς μνήμης ἡμῖν συλλεγομένου, καὶ κατὰ σχολὴν πικρότερον ἡμῶν ἐξεταζόντων αὐτά. πρὶν οὖν τῆς ὀλεθρίας ταύτης ἐπιλαβέσθαι σχολῆς, καὶ σφοδροτέραν ἀνάψαι τὴν πυράν, κελεύει προκαταλαμβάνειν καὶ σβεννύναι τὸ δεινόν. ὀξὺ γὰρ τὸ πάθος ἐστὶ τῆς ὀργῆς καὶ

Ἐφ. δ. κϛ.

φλογὸς ἁπάσης ὀξύτερον. διὸ πολλοῦ δεῖ τοῦ τάχους ἡμῖν εἰς τὸ προκαταλαβεῖν τὴν φλόγα, καὶ μὴ συγχωρῆσαι πρὸς ὕψος ἀρθῆναι. τὸ γὰρ πολλῶν οὕτως αἴτιον γίνεται κακῶν τὸ νόσημα τοῦτο. οἰκίας γοῦν ὁλοκλήρους ἀνέτρεψε, καὶ συνηθείας ἀρχαίας διέλυσε, καὶ τραγῳδίας" ἀπαραμυθήτους εἰργάσατο ἐν βραχεῖ καὶ ἀκαριαίῳ χρόνῳ. Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ, φησι. μὴ τοίνυν ἀχαλίνωτον ἐῶμεν τὸ θηρίον· ἀλλὰ κημὸν αὐτῷ πάντοθεν σφοδρὸν, τοῦ δικαστηρίου τοῦ μέλλοντος τὸν φόβον ἐμβάλωμεν. ὅταν σε λυπήσῃ φίλος, ἢ καὶ παροξύνῃ τις τῶν οἰκείων, ἐννόησον τὰ ἡμαρτημένα σοι εἰς Θεὸν, καὶ ὅτι τῇ πρὸς ἐκεῖνον ἐπιεικείᾳ πρᾳότερον σαυτῷ καθιστᾷς τὸ δικαστήριον ἐκεῖνο (Ἄφετε γάρ, φησι, καὶ ἀφεθήσεται ὑμῖν) καὶ ταχέως δραπετεύσει τὸ πάθος. πρὸς τούτοις κἀκεῖνο σκόπησον, εἴ ποτε εἰς ἀγριότητα ἐξενεχθεὶς ἐκράτησας σαυτοῦ, καὶ εἴ ποτε παρεσύρης ὑπὸ τοῦ πάθους, καὶ ἀμφοτέρους παράβαλε τοὺς καιρούς, καὶ ἐντεῦθεν πολλὴν λήψῃ διόρθωσιν. εἰπὲ γάρ μοι πότε σαυτὸν ἐπῄνεσας; ἡνίκα ἡττήθης, ἢ ὅτε ἐκράτησας; οὐχὶ τότε σφοδρῶς μὲν ἐγκαλοῦμεν ἑαυτοῖς, καὶ αἰσχυνόμεθα καὶ μηδενὸς ἐλέγχοντος ἡμᾶς, καὶ πολὺ τὸ τῆς μετανοίας ἡμῖν ἐπεισέρχεται καὶ ῥημάτων ἕνεκεν καὶ πραγμάτων; ὅταν δὲ περιγενώμεθα, τρυφῶμεν, γαυρούμεθα ὡς νενικηκότες; νίκη γὰρ ἐπὶ τῆς ὀργῆς, οὐ τὸ τοῖς ἴσοις ἀμύνεσθαι (ἐσχάτη γὰρ" αὕτη ἧττα ἐστὶν) ἀλλὰ τὸ πρᾴως ἐνεγκεῖν παθόντα κακῶς καὶ ἀκούσαντα. τοῦτο γάρ ἐστι τὸ πλέον ἔχειν, οὐ τὸ ποιῆσαι, ἀλλὰ τὸ παθεῖν κακῶς. μὴ τοίνυν λέγε ὀργιζόμενος, πάντως ἀνταναιρῶ κἀγὼ, πάντως ἐπεξελεύσομαι, μηδὲ πρὸς τοὺς παραινοῦντας νικᾷν ἀντίτεινε λέγων, οὐκ ἀνέξομαι, ἵνα μὴ καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. οὐ γὰρ δήποτέ σου καταγελάσεται, ἀλλ' ὅταν ἐπεξέλθῃς· εἰ δὲ καὶ τότε καταγελάσεται, ὡς ἀνόητος τοῦτο πείσεται. σὺ δὲ μὴ ζήτει νικῶν τὴν παρὰ τῶν ἀνοήτων δόξαν, ἀλλ' ἀποχρῶσαν νόμιζε αὐτὴν* παρὰ τῶν νοῦν ἐχόντων. ἀλλὰ γὰρ τί σοι μικρὸν καὶ ταπεινὸν καθίζω θέατρον, ἐξ ἀνθρώπων" αὐτὸ συντιθείς; πρὸς τὸν Θεὸν εὐθέως ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσεται. τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον οὐ δεῖ παρὰ τῶν ἀνθρώπων τιμὴν ἐπιζητεῖν. ἡ μὲν γὰρ καὶ πρὸς χάριν πολλάκις, καὶ πρὸς ἀπέχθειαν ἑτέρων γίνεται, καὶ κέρδος ἤνεγκεν οὐδέν· ἡ δὲ * τοῦ Θεοῦ ψῆφος ταύτης ἀπήλλακται τῆς ἀνωμαλίας, καὶ πολλὴν φέρει τῷ θαυμαζομένῳ τὴν ὠφέλειαν. τοῦτον οὖν τὸν ἔπαινον διώκωμεν. βούλει μαθεῖν πόσον τὸ ὀργίζεσθαι κακόν; παράστηθι μαχομένοις ἐν ἀγορᾷ ἑτέροις. ἐν γὰρ σαυτῷ τὴν ἀσχημοσύνην οὐ δυνήσῃ ῥᾳδίως ἰδεῖν ἐσκοτωμένῳ καὶ μεθύοντι τῷ λογισμῷ· ἀλλ' ὅταν καθαρεύσῃς τοῦ πάθους, τότε ἐν ἄλλοις "θεώρει τὰ σὰ, τῆς κρίσεώς σοι μὴ διεφθαρμένης." θέα δέ μοι τοὺς περιρρέοντας ὄχλους, τοὺς θυμουμένους, καθάπερ μαινομένους, εἰς τὸ μέσον ἀσχημονοῦντας. ὅταν γὰρ περὶ τὸ στῆθος ὁ θυμὸς ζέσας διανιστᾶται καὶ ἀγριαίνῃ, πῦρ πνεῖ τὸ στόμα, πῦρ ἀφιᾶσιν οἱ ὀφθαλμοὶ, οἰδεῖ πάντοθεν ἡ ὄψις, ἀτάκτως αἱ χεῖρες ἐκτείνονται, καταγελάστως πηδῶσιν οἱ πόδες, καὶ ἐνάλλονται τοῖς κατέχουσι, καὶ μαινομένων οὐδὲν διεστήκασι, πρὸς ταῦτα πάντα ἀναισθητοῦντες, ἀλλ' οὐδὲ τῶν ἀγρίων ὄνων, λακτίζοντες, δάκνοντες. ὄντως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. εἶτα μετὰ τὸν πολὺν γέλωτα τοῦτον ἀναχωρήσαντες οἴκαδε, καὶ πρὸς ἑαυτοὺς ἐπανελθόντες, μείζονα ἔχουσι τὴν ὀδύνην καὶ πολὺ τὸ δέος, ἐννοοῦντες ἆρα τίνες οἱ παρόντες ἦσαν ἡνίκα ὠργίζοντο. καθάπερ γὰρ οἱ παραπαίοντες, τοὺς παρόντας ἠγνόουν, ἀλλ' ὅταν σωφρονήσωσι, τότε ταῦτα λογίζονται, ἆρα μὴ φίλοι; ἆρα μὴ πολέμιοι καὶ ἐχθροὶ οἱ θεασάμενοι; καὶ γὰρ ὁμοίως ὑπὲρ ἀμφοτέρων δεδοίκασι, τῶν μὲν ὡς καταγνωσομένων καὶ μείζονα ποιησόντων τὴν αἰσχύνην, τῶν δὲ ὡς ἐφησθησομένων. ἂν δὲ καὶ πληγὰς τείναντες "τύχωσιν ἀλλήλοις, χαλεπώτερον τὸ δέος· δέδιε, μή τι τῶν χαλεπωτάτων συμβαίη περὶ τὸν παθόντα, ἢ πυρετὸς ἀκολουθήσας ἐπενέγκοι θάνατον, ἢ οἴδημα ἀναστὰν δεισίατον εἰς τὸν περὶ τῶν ἐσχάτων καταστήσειε κίνδυνον. καὶ τί γάρ μοι μάχης ἔδει; τί δὲ ὕβρεων καὶ φιλονεικίας; "ἀπόλοιτο τὰ καὶ τὰ καὶ πᾶσι καταρῶνται τοῖς πράγμασι λοιπὸν τοῖς ἐπικήροις τούτοις, καὶ παραχοῦσιν αὖθις τὴν ὀργήν,

Σειρ. α. ιθ.

Λουκ. ϛ. λζ.

ὀργὴν, καὶ δαίμονας πονηροὺς οἱ ἀλογώτεροι, καὶ ὥραν αἰτιῶνται κακὴν τῶν γεγενημένων. ἀλλ' οὐκ ἔστιν ὥρας κακῆς (οὐδὲ γάρ ἐστιν ὥρα κακή ποτε) οὐδὲ δαίμονος [μόνον] ταῦτα πονηροῦ, ἀλλὰ τῆς πονηρίας τῶν ἑαλωκότων. οὗτοι γὰρ καὶ τοὺς δαίμονας ἐπισπῶνται, καὶ πάντα ἑαυτοῖς ἐπάγουσι τὰ δεινά. ἀλλ' οἰδαίνει, φησὶν, ἡ καρδία καὶ ταῖς ὕβρεσι δάκνεται. οἶδα κἀγώ. διὰ γὰρ τοῦτο τοὺς κρατοῦντας τοῦ δεινοῦ τούτου θηρίου θαυμάζω. ἂν γὰρ θέλωμεν, δυνατὸν διακρούσασθαι τὸ πάθος. διὰ τί γὰρ, ἀρχόντων ἡμᾶς ὑβριζόντων, τοῦτο μὴ πάσχομεν; * ὅτι φόβος ἀντίρροπος ἔστηκε τοῦ πάθους, ἡμᾶς ἐκδειματῶν, καὶ οὐδὲ φυσῆσαι τὴν ὀργὴν συγχωρῶν. διὰ τί δὲ καὶ οἱ οἰκέται παρ' ἡμῶν ὑβριζόμενοι μυρία, σιγῇ πάντα φέρουσιν; * ὅτι καὶ αὐτοὶ τὸν αὐτὸν αὐτοῖς ἐπικείμενον ἔχουσι δεσμόν. σὺ δὲ μὴ φόβον ἐννοήσῃς μόνον τὸν παρὰ τοῦ Θεοῦ, ἀλλ' ὅτι σε καὶ αὐτὸς ὁ Θεὸς ὑβρίζει τότε, ὁ κελεύων σιγᾶν, καὶ πάντα οἴσεις πρᾴως. καὶ εἰπὲ πρὸς τὸν ἐπιόντα, τί σοι πάθω; ἄλλος μου κατέχει καὶ τὴν δεξιὰν, καὶ τὴν γλῶτταν· καὶ γενήσεται καὶ σοὶ κἀκείνῳ φιλοσοφίας ὑπόθεσις τὸ ῥῆμα. νῦν δὲ ἀνθρώπων μὲν ἕνεκεν καὶ τὰ ἀφόρητα φέρομεν, καὶ πρὸς τοὺς ὑβρικότας λέγομεν πολλάκις· ὁ δεῖνά με ὕβρισεν, οὐ σύ· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ ταύτην ἔχομεν τὴν εὐλάβειαν; καὶ ποία ἡμῖν ἔσται συγγνώμη; εἴπωμεν καὶ πρὸς τὴν ἡμετέραν ψυχήν· ὁ Θεὸς ἡμᾶς ὑβρίζει νῦν ὁ κατέχων ἡμῶν τὰς χεῖρας· μὴ σκιρτῶμεν, μηδὲ ἔστω ὁ Θεὸς ἀνθρώπων ἀτιμότερος ἡμῖν. ἐφρίξατε πρὸς τὸ ῥῆμα; ἀλλ' οὐ πρὸς τὰ ῥήματα βούλομαι μόνον, ἀλλὰ καὶ πρὸς τὴν πρᾶξιν φρίττειν ὑμᾶς. ἐκέλευσε γὰρ ὁ Θεὸς ῥαπιζομένους μὴ μόνον φέρειν, ἀλλὰ καὶ παρέχειν ἑαυτοὺς πρὸς τὸ χεῖρόν τι παθεῖν· ἡμεῖς δὲ μετὰ τοσαύτης σφοδρότητος ἐναντιούμεθα, ὡς μὴ μόνον μὴ παρέχειν ἑαυτοὺς εἰς τὸ κακῶς παθεῖν, ἀλλὰ καὶ ἀμύνασθαι, πολλάκις δὲ καὶ ἄρχειν χειρῶν ἀδίκων, καὶ ἐλαττοῦσθαι νομίζειν, ἂν μὴ πράξωμεν τὰ αὐτά. καὶ γὰρ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι καὶ νικᾶν οἰόμεθα τὴν ἐσχάτην ἧτταν ἡττώμενοι, καὶ κείμενοι κάτω, καὶ μυρίας δεχόμενοι πληγὰς παρὰ τοῦ διαβόλου, κρατεῖν αὐτοῦ νομίζομεν. διὸ, παρακαλῶ, μάθωμεν τίς τῆς νίκης ταύτης ὁ τρόπος, καὶ τοῦτο μετιῶμεν τοῦ τρόπου τὸ εἶδος. τὸ γὰρ παθεῖν κακῶς, τοῦτό ἐστι τὸ στεφανοῦσθαι. εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς ἀναρρηθῆναι παρὰ Θεοῦ, μὴ τὸν τῶν ἔξωθεν ἀγώνων, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ νόμον φυλάττωμεν ἐν τοῖς παλαίσμασι τούτοις, καὶ τὸ πάντα φέρειν μετὰ μακροθυμίας. οὕτω γὰρ καὶ τῶν παλαιόντων περιγενώμεθα, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ε. 3 ΠΑΝΤΑ ΔΙ' ΑΥΤΟΥ ΕΓΕΝΕΤΟ, ΚΑΙ ΧΩΡΙΣ αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε.

Μωϋσῆς μὲν ἀρχόμενος τῆς ἱστορίας, καὶ τῆς συγγραφῆς τῆς ἐν τῇ παλαιᾷ, περὶ τῶν αἰσθητῶν ἡμῖν διαλέγεται, καὶ ταῦτα ἀπαριθμεῖται διὰ πολλῶν. Ἐν ἀρχῇ γάρ, φησιν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. (Γεν. α. α.) εἶτα ἐπάγει, ὅτι καὶ φῶς ἐγένετο, καὶ δεύτερος οὐρανὸς, καὶ ἀστέρων φύσις, καὶ παντοδαπὰ γένη ζώων, καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ καθ' ἕκαστον ἐπεξιόντες παρέλκωμεν. ὁ δὲ εὐαγγελιστὴς ταῦτα ἅπαντα συντεμὼν, ἑνὶ ῥήματι περιλαμβάνει ἐκεῖνά τε καὶ τὰ ἐκείνων ἀνώτερα, εἰκότως, ἅτε καὶ γνώριμα ὄντα τοῖς ἀκούουσι, καὶ ἐπὶ μείζονα ἐπειγόμενος ὑπόθεσιν, καὶ πᾶσαν τὴν πραγματείαν ἐνστησάμενος, οὐ περὶ τῶν ἔργων, ἀλλὰ περὶ τοῦ δημιουργοῦ καὶ πάντα παραγαγόντος εἰπεῖν. διά τοι τοῦτο ἐκεῖνος μὲν· καίτοιγε τὸ ἔλαττον μέρος τῆς κτίσεως ἀπολαβὼν ὑδεῖν γὰρ ἡμῖν περὶ τῶν ἀοράτων διελέχθη δυνάμεων· τούτοις ἐνδιατρίβει· ἐπεὶ δὲ, ἅτε πρὸς αὐτὸν σπεύδων τὸν ποιητὴν ἀνελθεῖν, εἰκότως ἅπαντα περιέχει, καὶ ταῦτα, καὶ τὰ ἐκείνῳ σεσιγημένα ἐνὶ καὶ βραχεῖ λόγῳ περιλαβὼν τῷ, πάντα δι' αὐτοῦ ἐγένετο. καὶ ἵνα μὴ νομίσῃς πάντα ἐκεῖνα μόνον λέγειν αὐτὸν τὰ ὑπὸ Μωϋσεῖ εἰρημένα, ἐπάγει,

Ὅτι καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε· Τουτέστι τῶν γενητῶν, κἂν ὁρατόν τι ᾖ, κἂν νοητὸν, οὐδὲν χωρὶς τῆς τοῦ υἱοῦ δυνάμεως εἰς τὸ εἶναι παρήχθη. οὐδὲ γὰρ δὴ τὴν τελείαν στιγμὴν τῷ, οὐδὲ ἕν, ἐπιθήσομεν, κατὰ τοὺς αἱρετικούς. ἐκεῖνοι γὰρ βουλόμενοι τὸ πνεῦμα κτιστὸν εἰπεῖν, φασιν· ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν. ἀλλ' οὕτως ἀπερινόητον γίνεται τὸ λεγόμενον. πρῶτον μὲν γὰρ οὐδὲ καιρὸς ἦν ἐνταῦθα τοῦ πνεύματος ἐπιμνησθῆναι· εἰ δὲ καὶ ἐβούλετο, τίνος ἕνεκεν οὕτως ἀσαφῶς αὐτὸ τέθεικε; πόθεν γὰρ δῆλον ὅτι περὶ τοῦ πνεύματος τοῦτο εἴρηται; ἄλλως δὲ, εὑρήσομεν κατὰ τὸν λόγον τοῦτον, οὐ τὸ πνεῦμα, ἀλλ' αὐτὸν τὸν υἱὸν δι' ἑαυτοῦ γινόμενον. ἀλλὰ διανάστητε, ὥστε μὴ διαφυγεῖν ὑμᾶς τὸ λεγόμενον· καὶ φέρε, κατὰ τὸν ἐκείνων τέως ἀναγνῶμεν τρόπον. οὕτω γὰρ ἡμῖν φανερώτερον τὸ ἄτοπον ἔσται. ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν. τὸ πνεῦμά φασιν εἰρῆσθαι τὴν ζωήν. ἀλλ' ἡ ζωὴ αὕτη καὶ φῶς εὑρίσκεται. ἐπάγει γὰρ, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. οὐκοῦν κατ' αὐτοὺς τὸ φῶς τῶν ἀνθρώπων ἐνταῦθα τὸ πνεῦμα λέγει. τί οὖν; ὅταν ἐπάγῃ καὶ λέγῃ, ὅτι ἐγένετο ἄνθρωπος παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἀνάγκη περὶ τοῦ πνεύματος αὐτοὺς λέγειν καὶ τοῦτο εἰρῆσθαι. ὃν γὰρ ἄνω λόγον εἶπε, τοῦτον προϊὼν καὶ Θεὸν καὶ ζωὴν καὶ φῶς ὀνομάζει. ζωὴ γὰρ ἦν, φησιν, ὁ λόγος οὗτος, καὶ ἡ ζωὴ αὕτη φῶς ἦν. εἰ τοίνυν ὁ λόγος ζωὴ, ὁ δὲ λόγος οὗτος καὶ ἡ ζωὴ σὰρξ ἐγένετο, ἡ ζωὴ ἐγένετο σὰρξ, τουτέστιν, ὁ λόγος, καὶ αὐτῆς ἐθεασάμεθα τὴν δόξαν, ὡς μονογενοῦς παρὰ πατρός. ἂν τοίνυν τὸ πνεῦμα λέγωσιν ἐνταῦθα τὴν ζωὴν εἰρῆσθαι, ὅρα πόσα ἕψεται τὰ ἄτοπα. ἔσται γὰρ αὐτὸ σαρκωθὲν οὐχ ὁ υἱὸς, ἔσται μονογενὴς [υἱὸς] τὸ πνεῦμα. εἰ δὲ μὴ τοῦτο, εἰς ἕτερον πάλιν ἀτοπώτατον, τοῦτο φεύγοντες, ἐμπεσοῦνται οὕτως ἀναγινώσκοντες. εἰ γὰρ δὴ ὁμολογήσαιεν, ὅτι περὶ τοῦ υἱοῦ εἴρηται, καὶ μὴ στίξαιεν μηδὲ ἀναγνοῖεν ὥσπερ ἡμεῖς, αὐτὸν ἀφ' ἑαυτοῦ τὸν υἱὸν γεγενῆσθαι ἐροῦσιν. εἰ γὰρ ἡ ζωὴ ὁ λόγος, ὃ δὲ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν, αὐτός τε ἐν αὐτῷ καὶ δι' ἑαυτοῦ γέγονε κατὰ τὴν ἀνάγνωσιν ταύτην. εἶτα τίνα εἰπὼν ἐν τῷ μέσῳ, ἐπήγαγε· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. "ἰδοὺ καὶ μονογενὴς υἱὸς εὑρίσκεται κατὰ τὴν ἀνάγνωσιν τῶν ταῦτα λεγόντων, τὸ πνεῦμα τὸ ἅγιον. περὶ γὰρ αὐτοῦ πᾶσα αὐτοῖς αὕτη ἡ διήγησις εἴρηται. ὁρᾶτε, ὅταν ἐκκυλισθῇ ὁ λόγος τῆς ἀληθείας, ποῦ περιτρέπεται, καὶ πόσα τίκτει τὰ ἄτοπα; τί οὖν; οὐκ ἔστι τὸ πνεῦμα φῶς, "φησιν; ἔστι μὲν φῶς· ἀλλ' ἐνταῦθα οὐ περὶ τούτου εἴρηται. ἐπεὶ καὶ ὁ Θεὸς λέγεται πνεῦμα, τουτέστιν, ἀσώματος· ἀλλ' οὐ πάντως, εἴπου πνεῦμα εἴρηται, ὁ Θεὸς δηλοῦται. καὶ τί θαυμάζεις, εἰ περὶ τοῦ πατρὸς τοῦτο φαμέν; οὐδὲ γὰρ ἐπὶ τοῦ παρακλήτου τοῦτο εἴποιμεν ἄν· δεῖ, ὅτι ὅπου πνεῦμα, πάντως ὁ παράκλητος δηλοῦται, καίτοιγε τοῦτο αὐτοῦ μάλιστα γνωριστικόν ἐστιν ὄνομα· ἀλλ' οὐ πάντως, εἴπου πνεῦμα, ὁ παράκλητος. καὶ γὰρ καὶ ὁ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία λέγεται· ἀλλ' οὐ πάντως, εἴπου Θεοῦ δύναμις καὶ σοφία, "ὁ Χριστός. οὕτω δὴ καὶ ἐνταῦθα εἰ καὶ "φωτίζει τὸ πνεῦμα, ὅμως νῦν οὐ περὶ αὐτοῦ φησιν ὁ εὐαγγελιστής. ἀλλ' ὅταν αὐτοὺς τούτων ἀποκλείσωμεν τῶν "ἀτόπων, οἱ δὲ πάλιν πανταχοῦ σπουδάζοντες κατὰ τῆς ἀληθείας ἑστάναι, λέγουσιν, ἔτι τῆς αὐτῆς ἀναγνώσεως ἐχόμενοι· ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν, "ὅτι εἴ τι, φησι, γέγονε, ζωὴ ἦν. τί οὖν; καὶ τὰ Σοδομιτῶν πάθη, καὶ ὁ κατακλυσμὸς, καὶ ἡ γέεννα, καὶ μυρία ὅσα τοιαῦτα; ἀλλὰ περὶ δημιουργίας ὁ λόγος ἡμῖν, "φησι. μάλιστα μὲν οὖν κἀκεῖνα δημιουργίας ἐστίν. ἀλλ' ἵνα ἐκ περιουσίας τὸν λόγον αὐτῶν ἐλέγξωμεν, ἐρώμεθα αὐτούς· τὸ ξύλον, εἰπέ μοι, ζωή; καὶ ὁ λίθος, ζωή, τὰ ἄψυχα ταῦτα καὶ ἀκίνητα; ἀλλ' ὁ ἄνθρωπος ὅλον ζωή; καὶ τίς ἂν τοῦτο εἴποι; οὐ γὰρ

αὐτοζωή

χ. ὁμοῦ

χ. φασι

χ. ὁ υἱός.

χ. φῶς

χ. ἀπ' αὐτῶν,

χ. τοῦτ' ἔστι γέγονε,

χ. ἐκεῖνοι

χ. φασι.

αὐτοζωὴ ὁ ἄνθρωπος, ἀλλὰ ζωῆς δεκτικός. ὅρα δὲ πάλιν κἀνταῦθα τὸ ἄτοπον. κατὰ γὰρ τὴν αὐτὴν ἀκολουθίαν καὶ ἐνταῦθα τὸν λόγον παράξομεν, ὥστε μαθεῖν τὴν ἄνοιαν αὐτῶν κἀντεῦθεν. οὕτω γὰρ οὐδὲν οὐδαμῶς ἁρμόττοντα λέγουσι τῷ πνεύματι. ὅταν γὰρ ἐκπέσωσιν ἐκεῖθεν, ἀνθρώποις αὐτὰ περιάπτουσιν, ἃ τοῦ πνεύματος ἐνόμισαν ἀξίως εἰρῆσθαι. πλὴν ἀλλὰ καὶ οὕτως αὐτῶν ἐξετάσωμεν τὴν ἀνάγνωσιν. ζωὴ ἡ κτίσις λέγεται νῦν, οὐκοῦν καὶ φῶς ἡ αὐτή, καὶ περὶ αὐτῆς ἦλθε μαρτυρήσων ὁ Ἰωάννης. διατί οὖν μὴ καὶ αὐτός ἐστι φῶς; (οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς, φησι) καίτοι καὶ αὐτὸς τῆς κτίσεως ἦν. πῶς οὖν οὐκ ἔστιν ἐκεῖνο φῶς; πῶς δὲ ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο; ἡ κτίσις ἐν τῇ κτίσει ἦν, καὶ ἡ κτίσις διὰ τῆς κτίσεως γέγονε; πῶς δὲ καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω; τὴν κτίσιν ἡ κτίσις οὐκ ἔγνω; ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. ἀλλ' ἅλις τοῦ γέλωτος. ὑμῖν γὰρ ἀφίημι λοιπὸν ἐπεξελθεῖν τῇ τῶν λόγων τούτων τερατείᾳ, ἵνα μὴ αὐτοὶ τοῦτο δόξωμεν προῃρῆσθαι, τὸ γελωτοποιεῖν ἁπλῶς, καὶ τὸν χρόνον εἰκῇ παραναλώσωμεν. εἰ γὰρ μήτε περὶ τοῦ πνεύματος ταῦτα εἴρηται (ὥσπερ οὖν οὐδὲ εἴρηται, καθὼς ἀποδέδεικται) μήτε περὶ τῆς κτίσεως, ἔχοιντο δὲ ἔτι τῆς αὐτῆς ἀναγνώσεως· τὸ πάντων ἀτοπώτερον ἐκεῖνο ἕψεται, ὅπερ ἔμπροσθεν εἰρήκαμεν, τὸ τὸν υἱὸν δι' ἑαυτοῦ γεγενῆσθαι. εἰ γὰρ τὸ φῶς τὸ ἀληθινὸν ὁ υἱός ἐστι, τὸ δὲ φῶς τοῦτο ζωὴ ἦν, ἡ δὲ ζωὴ γέγονεν ἐν αὐτῷ· ἀνάγκη πᾶσα τοῦτο συνενεχθῆναι κατὰ τὴν ἐκείνων ἀνάγνωσιν. διὸ ταύτην ἀφέντες, ἐπὶ τὴν νενομισμένην ἔλθωμεν ἀνάγνωσίν τε καὶ ἐξήγησιν. τίς δέ ἐστιν αὐτή; τὸ μέχρι τοῦ, γέγονεν, ἀναπαῦσαι τὸν λόγον· εἶτα ἀπὸ τῆς ἑξῆς λέξεως ἄρξασθαι τῆς λεγούσης·

Ἐν αὐτῷ ζωὴ ἦν. Ὃ γὰρ λέγει τοῦτό ἐστι· χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν, ὃ γέγονεν. εἴ τι γέγονε τῶν γενητῶν, φησιν, οὐκ ἐγένετο χωρὶς αὐτοῦ. ὁρᾷς πῶς τῇ βραχείᾳ ταύτῃ προσθήκῃ πάντα διωρθώσατο τὰ ὑφορμοῦντα ἄτοπα; τὸ γὰρ ἐπαγαγεῖν ὅτι χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, καὶ προσθεῖναι, ὃ γέγονε, τά τε νοητὰ περιέλαβε, καὶ τὸ πνεῦμα ὑπεξεῖλεν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἵνα μή τις λέγῃ· οὐκοῦν εἰ πάντα δι' αὐτοῦ, καὶ τὸ πνεῦμα γέγονε, τῆς προσθήκης ἐδεήθη ταύτης. ἐγὼ γάρ, φησιν, εἴ τι γενητόν ἐστι, τοῦτο εἶπον δι' αὐτοῦ γεγενῆσθαι, κἂν ἀόρατον ᾖ, κἂν ἀσώματον, κἂν ἐν τοῖς οὐρανοῖς. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπον πάντα, ἀλλ' εἴ τι γέγονε, τουτέστι, τὰ γενητά· τὸ δὲ πνεῦμα οὐ γενητόν. εἶδες διδασκαλίαν ἠκριβωμένην; ἀνέμνησε τῆς δημιουργίας τῶν αἰσθητῶν. προλαβὼν γὰρ αὐτὰ Μωϋσῆς ἐδίδαξεν· εἶτα ἐκεῖθεν προκόψαντας ἐπὶ τὰ ὑψηλότερα ἀναγαγών, τὰ ἀσώματα λέγω καὶ ἀόρατα, ὑπεξεῖλε τῆς κτίσεως ἁπάσης τὸ πνεῦμα τὸ ἅγιον. οὕτω καὶ Παῦλος ἀπὸ τῆς χάριτος ταύτης ἐμπνεόμενος ἔλεγεν, Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. καὶ ὅρα πάλιν καὶ ἐνταῦθα τὴν αὐτὴν ἀκρίβειαν. τὸ γὰρ αὐτὸ πνεῦμα καὶ ταύτην ἐκίνει τὴν ψυχήν. ἵνα γὰρ μήτε ὑπεξέλῃ τις τῶν γενητῶν τι τῆς τοῦ Θεοῦ δημιουργίας (διὰ τὸ ἀόρατα αὐτὰ εἶναι), μήτε τούτοις ἐγκαταμίξῃ τὸν παράκλητον, παραδραμὼν καὶ αὐτὸς τὰ αἰσθητὰ καὶ πᾶσι γνώριμα, τὰ ἐν τοῖς οὐρανοῖς ἀπαριθμεῖται λέγων, Εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι. τὸ γάρ, εἴτε, ἐφ' ἑκάστου κείμενον, οὐδὲν ἄλλο ἡμῖν ἐμφαίνει, ἢ τοῦτο, τό, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. εἰ δὲ τό, διά, νομίζεις ἐλαττώσεως εἶναι, ἄκουσον αὐτοῦ λέγοντος· Σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί, ὃ περὶ τοῦ πατρὸς ὡς δημιουργοῦ εἴρηται, τοῦτο περὶ τοῦ υἱοῦ λέγων· οὐκ ἂν εἶπεν, εἰ μὴ ὡς περὶ δημιουργοῦ, ἀλλ' οὐχ ὑπουργοῦντός τινι, τὴν δόξαν εἶχεν. εἰ δὲ ἐνταῦθα τό, δι' αὐτοῦ, εἴρηται, δι' οὐδὲν ἕτερον τέθειται, ἀλλ' ἵνα μὴ ἀγέννητον ὑποπτεύσῃ τις τὸν υἱόν. ἐπεί, ὅτι κατὰ τὸ τῆς δημιουργίας ἀξίωμα οὐδὲν ἔλαττον ἔχει τοῦ πατρός, ἄκουσον αὐτοῦ λέγοντος· Ὥσπερ ὁ πατὴρ

Κολ. α. 15.

Κολ. α. 15.

Ψαλ. ρα. κε.

Ιωαν. ε. κα.

ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἰ μὲν οὖν περὶ τοῦ υἱοῦ καὶ ἐν τῇ παλαιᾷ δὲ, Κατ᾽ ἀρχὰς σὺ Κύριε, τὴν γῆν ἐθεμελίωσας, εἴρηται, σαφὲς δὲ τὸ τῆς δημιουργίας ἀξίωμα. εἰ δὲ περὶ τοῦ πατρὸς τοῦτο τὸν προφήτην εἰρηκέναι λέγεις, τὸν δὲ Παῦλον τῷ υἱῷ προσνενεμηκέναι δὲ περὶ ἐκείνου λεχθὲν καὶ οὕτω τὸ αὐτὸ γίνεται πάλιν. οὐδὲ γὰρ ἂν καὶ τῷ υἱῷ πρέπειν αὐτὸ ὁ Παῦλος ἐνομοθέτησεν, εἰ μὴ σφόδρα ἐθάρρει, ὅτι τὰ τῆς ἀξίας ὁμότιμα ἦν. καὶ γὰρ ἦν τόλμης ἐσχάτης, τὰ τῇ ἀσυγκρίτῳ πρέποντα φύσει, ἐπὶ τὴν ἐλάττω καὶ ἀποδέουσαν ἐκείνης ἀνάγειν. ἀλλ᾽ οὔτε ἐλάττων ἐστὶν, οὔτε ἀποδεῖ τῆς τοῦ πατρὸς οὐσίας ὁ υἱός. διόπερ οὐ ταῦτα μόνον ἐθάρρησεν εἰπεῖν ὁ Παῦλος περὶ αὐτοῦ, ἀλλὰ καὶ ἕτερα τοιαῦτα. τὸ γὰρ, ἐξ οὗ, ῥῆμα, ὅπερ ὡς ἀξιόν τινα μόνου τοῦ πατρὸς ἀπονέμεις κλῆρον, καὶ Κολ. β. ιθ. περὶ τοῦ υἱοῦ φησιν, οὕτω λέγων· Ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει εἰς τὴν αὔξησιν τοῦ Θεοῦ. καὶ οὐκ ἀρκεῖται τούτῳ μόνῳ, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν ἀποφράττει τὰ στόματα, τὸ, δι᾽ οὗ, τοῦτο, ὅπερ ἐλαττώσεως εἶναι α. Κορ. α. θ. λέγεις, τῷ πατρὶ προσνέμων. Πιστὸς γὰρ ὁ Θεός, φησι, δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱ- Ρω. ια. λ. οῦ αὐτοῦ. καὶ πάλιν, Διὰ τοῦ θελήματος αὐτοῦ· καὶ ἀλλαχοῦ, Ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. καὶ οὐ τῷ υἱῷ μόνῳ τὸ, ἐξ οὗ, ἀλλὰ καὶ τῷ πνεύματι προσνενέμηται. καὶ Ματθ. α. κ. γὰρ τῷ Ἰωσὴφ ὁ ἄγγελος ἔλεγε· Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου· ὥσπερ οὖν καὶ τὸ, ἐν ᾧ, τοῦ πνεύματος ὂν, Ψαλμ. νθ. ιγ. οὐκ ἀπαξιοῖ καὶ τῷ Θεῷ προσνέμειν ὁ προφήτης οὕτω λέγων· Ἐν τῷ Θεῷ ποιήσο- Ρω. α. ι. μεν δύναμιν. καὶ ὁ Παῦλος· Δεόμενός, φησιν, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. ἐπὶ τοῦ Χριστοῦ δὲ πάλιν τοῦτο τίθησι λέγων, ἐν Χριστῷ Ἰησοῦ. καὶ ὅλως πολλάκις καὶ συνεχέστερον εὕροιμεν ἂν μεθισταμένας ταύτας τὰς λέξεις. τοῦτο δὲ οὐκ ἂν συνέβη, μὴ πανταχοῦ τῆς αὐτῆς οὐσίας ὑποκειμένης. ἵνα δὲ τὸ, πάντα δι᾽ αὐτοῦ ἐγένετο, μὴ περὶ τῶν σημείων ὑποπτεύσῃς νῦν λέγεσθαι (περὶ γὰρ τούτων οἱ λοιποὶ διελέχθησαν εὐαγγελισταὶ) ἐπάγει μετὰ ταῦτα λέγων· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, ἀλλ᾽ οὐ τὸ πνεῦμα. οὐδὲ γὰρ τῶν γενητῶν τοῦτο, ἀλλὰ τῶν ὑπὲρ τὴν κτίσιν ἅπασαν. ἀλλὰ τέως ἐχώμεθα τῶν ἑξῆς. εἰπὼν γὰρ περὶ τῆς δημιουργίας ὁ Ἰωάννης, οἷον, ὅτι πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν· ἐπάγει καὶ τὸν περὶ τῆς προνοίας λόγον,

Ἐν αὐτῷ ζωὴ ἦν, Λέγων. καὶ γὰρ ἵνα μηδεὶς ἀπιστήσῃ πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι᾽ αὐτοῦ γέγονεν, ἐπήγαγεν· ὅτι ἐν αὐτῷ ζωὴ ἦν. καθάπερ γὰρ ἐπὶ τῆς πηγῆς τῆς τικτούσης ἀβύσσους, ὅσον ἂν ὑφέλῃς, οὐδὲν ἠλάττωσας τὴν πηγήν· οὕτω καὶ ἐπὶ τῆς ἐνεργείας τοῦ μονογενοῦς, ὅσα ἂν πιστεύσῃς παρῆχθαι δι᾽ αὐτῆς καὶ πεποιῆσθαι, οὐδὲν ἐλάττων αὕτη γέγονε. μᾶλλον δὲ, ἵν᾽ οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, τὸ τοῦ φωτὸς ἐρῶ, ὃ καὶ αὐτὸς ἐπήγαγεν εὐθέως εἰπών· καὶ ἡ ζωὴ ἦν τὸ φῶς [τῶν ἀνθρώπων.] ὥσπερ οὖν τὸ φῶς ὅσας ἂν φωτίσῃ μυριάδας, οὐδὲν εἰς τὴν οἰκείαν ἐλαττοῦται λαμπρότητα· οὕτω καὶ ὁ Θεὸς καὶ πρὶν ἐργάζεσθαι, καὶ μετὰ τὸ ποιῆσαι ὁμοίως ἀνελλιπὴς μένει, μηδὲν ἐλαττούμενος, οὐδὲ ἀπονῶν ἐκ τῆς δημιουργίας τῆς πολλῆς· ἀλλὰ κἂν μυρίους δέῃ γενέσθαι κόσμους τοιούτους καὶ ἀπείρους, ὁ αὐτὸς μένει πᾶσιν ἀρκῶν, οὐ πρὸς τὸ παραγαγεῖν αὐτοὺς μόνον, ἀλλὰ καὶ πρὸς τὸ συγκρατῆσαι μετὰ τὴν δημιουργίαν αὐτούς. τὸ γὰρ τῆς ζωῆς ὄνομα ἐνταῦθα οὐ τῆς δημιουργίας μόνον ἐστὶν, ἀλλὰ καὶ τῆς προνοίας τῆς κατὰ τὴν διαμονήν· καὶ τὸν περὶ τῆς ἀναστάσεως δὲ λόγον προκαταβάλλεται ἡμῖν, καὶ τῶν θαυμαστῶν τούτων εὐαγγελίων ἄρχεται. τῆς γὰρ ζωῆς παραγινομένης πρὸς ἡμᾶς, λέλυται τοῦ θανάτου τὸ κράτος, καὶ τοῦ φωτὸς λάμψαντος ἡμῖν οὐκέτι τὸ σκότος ἐστὶν, ἀλλὰ μένει διαπαντὸς ἐν ἡμῖν τὸ ζῆν, καὶ θάνατος αὐτοῦ περιγενέσθαι οὐ δύναται· ὥστε ὃ περὶ τοῦ πατρὸς εἴρηται, καὶ περὶ τούτου κυρίως

Πραξ. ιζ. κη.
Κολ. α. ις.
Ιωαν. ε. κε.

ὡς ἂν λεχθείη, Ὅτι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. ὅπερ καὶ Παῦλος δηλῶν ἔλεγεν· Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· διὸ καὶ ῥίζα καὶ θεμέλιος εἴρηται). ὅταν δὲ ἀκούσῃς, ὅτι ἐν αὐτῷ ζωὴ ἦν, μὴ σύνθετον ὑπολάβῃς. καὶ γὰρ περὶ αὐτοῦ καὶ περὶ τοῦ πατρός φησιν· Ὥσπερ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν. ἀλλ' ὥσπερ τὸν πατέρα οὐκ ἂν εἴποις διὰ τοῦτο συγκεῖσθαι, οὕτω μηδὲ τὸν υἱόν. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν, ὅτι φῶς ἐστιν ὁ Θεός· καὶ ἀλλαχοῦ, ὅτι φῶς οἰκεῖ ἀπρόσιτον. ταῦτα δὲ πάντα εἴρηται, οὐχ ἵνα σύνθεσιν ὑπολάβωμεν, ἀλλ' ἵνα κατὰ μικρὸν ἀναχθῶμεν πρὸς τὸ τῶν δογμάτων ὕψος. ἐπειδὴ γὰρ οὐκ ἂν εὐκόλως ἐνόησέ τις τῶν πολλῶν, πῶς ἐστιν αὐτοῦ ἐνυπόστατος ἡ ζωή, πρότερον μὲν ἐκεῖνο εἶπε τὸ ταπεινότερον· ἔπειτα δὲ παιδαγωγήσας πρὸς τὸ ὑψηλότερον ἀνάγει. ὁ γὰρ εἰπών, ὅτι ἔδωκεν αὐτῷ ζωὴν ἔχειν, οὗτος πάλιν φησίν, ἐγώ εἰμι ἡ ζωή, καὶ πάλιν, ἐγώ εἰμι τὸ φῶς. καὶ ποῖον, εἰπέ μοι, τοῦτο τὸ φῶς; οὐ τοιοῦτον αἰσθητόν, ἀλλὰ νοητόν, τὴν ψυχὴν φωτίζον αὐτήν. ἐπειδὴ γὰρ μέλλει λέγειν ὁ Χριστός, Ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν, διὰ τοῦτο προλαβὼν ἐνταῦθα ὁ εὐαγγελιστὴς ἔφησεν, ὅτι αὐτός ἐστιν ὁ φωτίζων, ἵνα κἂν περὶ τοῦ πατρὸς ἀκούσῃς τι τοιοῦτον, μὴ τοῦ πατρὸς εἶναι λέγῃς αὐτὸ μόνου, ἀλλὰ καὶ τοῦ υἱοῦ. Πάντα γάρ, φησίν, ὅσα ἔχει ὁ πατήρ μου, ἐμά ἐστι. πρότερον μὲν οὖν περὶ τῆς δημιουργίας ἡμᾶς ἐδίδαξεν· ἔπειτα λέγει καὶ τὰ κατὰ ψυχὴν ἀγαθά, ἅπερ παρέχει ἡμῖν ἐλθών, καὶ δι' ἑνὸς ῥήματος ἠνίξατο αὐτὰ ὁ εὐαγγελιστής, εἰπών· καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ οὐκ εἶπεν, ἦν τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ καθόλου τῶν ἀνθρώπων. οὐδὲ γὰρ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ ἕλληνες πρὸς ταύτην ἦλθον τὴν γνῶσιν, καὶ κοινὸν ἅπασι προὔκειτο τοῦτο τὸ φῶς. τίνος δὲ ἕνεκεν οὐχὶ καὶ τοὺς ἀγγέλους προσέθηκεν, ἀλλὰ τῶν ἀνθρώπων εἶπεν; ὅτι νῦν αὐτῷ περὶ τῆς φύσεως ταύτης ὁ λόγος ἐστί, καὶ τούτοις ἦλθεν εὐαγγελιζόμενος τὰ ἀγαθά.

Ιωαν. ς. μδ.
Ιωαν. ις. ιε.

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει. Σκοτίαν, καὶ τὸν θάνατον καὶ τὴν πλάνην φησί. τὸ μὲν γὰρ φῶς τοῦτο τὸ αἰσθητὸν οὐκ ἐν τῇ σκοτίᾳ φαίνει, ἀλλ' ἐκείνου χωρίς. τὸ δὲ κήρυγμα μεταξὺ τῆς πλάνης κρατούσης ἔλαμψε, κἀκείνην ἠφάνισε. καὶ ἐν τῷ θανάτῳ γενόμενος αὐτός, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ τοὺς ἤδη προκατεχομένους ἀναγαγεῖν. ἐπεὶ οὖν οὔτε ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη, ἀλλ' ἔστι φαιδρὸν πανταχοῦ, καὶ λάμπει μετὰ τῆς οἰκείας ἰσχύος, διὰ τοῦτό φησι,

Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε. Καὶ γάρ ἐστιν ἀκαταγώνιστον, οὐκ ἐμφιλοχωροῦν ταῖς μὴ φωτισθῆναι βουλομέναις ψυχαῖς.

ΗΘΙΚΟΝ

Εἰ δὲ μὴ πάντας εἷλε, μή σε τοῦτο θορυβείτω· οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός. μὴ δὴ τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ, καὶ πολλῆς ἀπολαύσῃ τῆς τρυφῆς· παραγίνεται δὲ τοῦτο τὸ φῶς διὰ πίστεως, καὶ παραγενόμενον καταλάμπει λοιπὸν μετὰ πολλῆς τῆς δαψιλείας τὸν ὑποδεξάμενον, κἂν βίον αὐτῷ παρέχῃς καθαρόν, μένει διηνεκῶς ἐνοικοῦν ἔνδον. Ὁ γὰρ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ πρὸς αὐτόν, φησί, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὥσπερ οὖν ἡλιακῆς ἀκτῖνος ἀπολαύειν, ὡς χρή, οὐκ ἔνι μὴ διανοίγοντα τοὺς ὀφθαλμούς· οὕτως οὐδὲ ταύτης μετασχεῖν τῆς λαμπρότητος δαψιλῶς, μὴ σφόδρα ἀναπετάσαντα τὸ τῆς ψυχῆς ὄμμα καὶ ὀξυδερκὲς αὐτὸ πανταχόθεν κατασκευάσαντα. πῶς δὲ γένοιτο τοῦτο; ὅταν πάντων ἐκκαθάρωμεν τῶν παθῶν τὴν ψυχήν. ἡ γὰρ ἁμαρτία σκότος ἐστί, καὶ σκότος βαθύ. καὶ δῆλον ἐκ τοῦ ἀσυνειδότως καὶ λανθανόντως πράσσειν αὐτήν. Πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. καί, Τὰ κρυφῇ γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν. καθάπερ [γὰρ] οὖν ἐν σκότῳ οὐ φίλον, οὐκ ἐχθρόν τις οἶδεν, ἀλλὰ πάσας ἀγνοεῖ τῶν πραγμάτων τὰς φύσεις, οὕτω καὶ ἐν τῇ ἁμαρτίᾳ. καὶ γὰρ ὁ πλεονεκτῆσαι βουλόμενος, οὐ διαιρεῖ τὸν

Ιωαν. ιδ. κγ.
Ιωαν. γ. κ.

φίλον ἀπὸ τοῦ πολεμίου· καὶ ὁ βάσκανος καὶ τὸν σφόδρα ᾠκειωμένον ὡς ἐχθρὸν ὁρᾷ· καὶ ὁ ἐπιβουλεύων ὁμοίως πρὸς πάντας ἐκπεπολέμωται· καὶ ἁπλῶς ἅπας ὁ τὴν ἁμαρτίαν ποιῶν, τῶν μεθυόντων οὐδὲν διενήνοχε καὶ μαινομένων, πρὸς τὸ τῶν πραγμάτων μὴ ἐπιγνῶναι τὴν φύσιν. καὶ καθάπερ ἐν νυκτὶ καὶ ξύλον, καὶ μόλιβδον, καὶ σίδηρον, καὶ ἄργυρον, καὶ χρυσὸν, καὶ λίθον τίμιον, πάντα ὁμοίως ὁρῶμεν, τοῦ διακρίνοντος αὐτὰ φωτὸς οὐ παρόντος· οὕτω καὶ ὁ βίον ἀκάθαρτον ἔχων, οὐκ οἶδε τῆς σωφροσύνης τὴν ἀρετὴν, οὐ τῆς φιλοσοφίας τὸ κάλλος. ἐν γὰρ σκότῳ, καθάπερ ἔφθην εἰπὼν, κἂν λίθοι κέωνται τίμιοι, τὸ κάλλος οὐκ ἐμφαίνουσιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἄγνοιαν τῶν ὁρώντων. οὐ τοῦτο δὲ μόνον ἡμῖν τὸ δεινὸν τοῖς ἐν ἁμαρτίαις οὖσι συμβαίνει· ἀλλ' ὅτι καὶ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ καθάπερ οἱ διὰ νυκτὸς ἀσελήνου βαδίζοντες τρέμουσι, κἂν μηδεὶς ὁ φοβῶν παρῇ· οὕτω καὶ οἱ τὴν ἁμαρτίαν ἐργαζόμενοι θαρρεῖν οὐκ ἔχουσι, κἂν μηδεὶς ὁ ἐλέγχων ᾖ, ἀλλὰ πάντα δεδοίκασι καὶ ὑποπτεύουσιν ὑπὸ τοῦ συνειδότος κεντούμενοι, καὶ πάντα αὐτοῖς δέους καὶ ἀγωνίας ἐπὶ μεστὰ, πάντα περιβλέπονται, πάντα φοβοῦνται. φύγωμεν τοίνυν τὴν οὕτως ὀδυνηρὰν ζωήν. καὶ γὰρ μετὰ τὴν ὀδύνην ταύτην θάνατος ἕψεται, θάνατος ἀθάνατος. οὐδὲ γὰρ ἔστι τῆς ἐκεῖ κολάσεως τέλος. καὶ ἐνταῦθα δὲ τῶν παραπαιόντων οὐδὲν διενηνόχασιν οἱ πράγματα ὀνειροπολοῦντες οὐχ ὑφεστῶτα. καὶ γὰρ δοκοῦσι πλουτεῖν οὐ πλουτοῦντες, καὶ νομίζουσι τρυφᾶν οὐ τρυφῶντες, καὶ οὐ πρότερον αἰσθάνονται τῆς ἀπάτης ὡς χρὴ ταύτης, ἕως ἂν τῆς μανίας ἀπαλλαγῶσιν, ἕως ἂν τὸν ὕπνον ἀποτινάξωνται. διὸ νήφειν καὶ ἐγρηγορέναι πᾶσιν ὁ Παῦλος διακελεύεται· καὶ ὁ Κύριος τὰ αὐτὰ πάλιν. ὁ νήφων καὶ ἐγρηγορὼς, κἂν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ, ταχέως αὐτὴν ἀποκρούεται· ὁ δὲ καθεύδων καὶ ἐξεστηκὼς, οὐκ αἰσθάνεται πῶς ὑπ' αὐτῆς κατέχεται. μὴ τοίνυν καθεύδωμεν. οὐ γὰρ νυκτὸς ὁ καιρὸς, ἀλλ' ἡμέρας. ὡς ἐν ἡμέρᾳ τοίνυν εὐσχημόνως περιπατήσωμεν. οὐδὲν γὰρ ἁμαρτίας ἀσχημονέστερον. ἔλαττον κακὸν εἰς ἀσχημοσύνης λόγον γυμνοὺς, ἢ ἁμαρτάνοντας καὶ πλημμελοῦντας περιέρχεσθαι. ἐκεῖνο μὲν γὰρ οὐ τοσοῦτον ἔγκλημα, πολλάκις δὲ καὶ ἀπὸ πενίας γένοιτ' ἄν· τοῦ δὲ ἁμαρτάνοντος οὐδὲν αἰσχρότερον καὶ ἀτιμότερον. ἐννοήσωμεν οὖν τοὺς εἰς δικαστήριον ἀπιόντας ἁρπαγῆς ἕνεκα καὶ πλεονεξίας, πῶς αἰσχροὶ καὶ καταγέλαστοι φαίνονται πάντα ἀναισχυντοῦντες, ψευδόμενοι καὶ ἰταμευόμενοι. ἡμεῖς δὲ οὕτως ἐσμὲν ἐλεεινοὶ καὶ ταλαίπωροι, ὡς ἱμάτιον μὲν μὴ ἂν ὑπομεῖναι ἁπλῶς περιβάλλεσθαι καὶ διεστραμμένως, ἀλλὰ, κἂν ἕτερον ἴδωμεν τοῦτο πάσχοντα, διορθούμεθα· πάντων δὲ καὶ ἡμῶν καὶ τῶν πλησίον κατὰ κεφαλῆς περιπατούντων, μηδὲ ἐπαισθάνεσθαι. τί γὰρ αἰσχρότερον, εἰπέ μοι, ἀνδρὸς πρὸς γυναῖκα πόρνην εἰσιόντος; τί δὲ ὑβριστοῦ, τί δὲ λοιδόρου καὶ βασκάνου καταγελαστότερον γένοιτ' ἄν; πόθεν οὖν οὐ δοκεῖ ταῦτα οὕτως εἶναι αἰσχρὰ, ὡς τὸ γυμνοὺς περιπατεῖν; ἀπὸ τῆς συνηθείας μόνης. τοῦτο μὲν γὰρ οὐδεὶς οὐδέποτε ἑκὼν ἔπαθεν· ἐκεῖνο δὲ ἅπασιν ἀεὶ τολμᾶται μετὰ ἀδείας. ἐπεὶ εἴ τις εἰς ἀγγέλων πλῆθος ἦλθε, παρ' οἷς οὐδὲν οὐδέποτε τοιοῦτον ἐγένετο, εἶδεν ἂν αὐτοῦ ἀκριβῶς τὸν πολὺν γέλωτα. καὶ τί λέγω πλῆθος ἀγγέλων; ἐν γὰρ τοῖς βασιλείοις αὐτοῖς τοῖς παρ' ἡμῖν, εἴ τις ἂν πόρνην εἰσαγαγὼν χρῷτο αὐτῇ, ἢ οἴνου μέθῃ καταχεθείη, ἢ ἄλλο τι τοιοῦτον ἀσχημονήσειε, τὴν ἐσχάτην δίδωσι δίκην. εἰ δὲ ἐν βασιλείοις οὐκ ἀνεκτὸν τὰ τοιαῦτα τολμᾷν, πολλῷ μᾶλλον, τοῦ πανταχοῦ βασιλέως παρόντος, καὶ τὰ γινόμενα θεωμένου ἂν τοιαῦτα τολμῶμεν, τὴν ἐσχάτην ὑποστησόμεθα κόλασιν. διὸ παρακαλῶ, πολλὴν ἐν τῷ βίῳ τὴν ἡσυχίαν ἐπιδειξώμεθα, πολλὴν τὴν καθαρότητα. καὶ γὰρ ἔχομεν βασιλέα πάντα ὁρῶντα διηνεκῶς τὰ ἡμέτερα. ἵνα οὖν ἡμᾶς ἀεὶ οὕτω δαψιλῶς φωτίζῃ τὸ φῶς, ἐπισπασώμεθα ταύτην τὴν ἀκτῖνα. οὕτω γὰρ καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. δακνόμενοι,

γρ. ταύτης.

γρ. τότε

γρ. κατ

Ὁμιλ.

Ὁμιλ. ϛ. 6 ΕΓΕΝΕΤΟ ΑΝΘΡΩΠΟΣ ΑΠΕΣΤΑΛΜΕΝΟΣ παρὰ Θεοῦ· ὄνομα αὐτῷ Ἰωάννης.

Περὶ τοῦ Θεοῦ λόγου διαλεχθεὶς τὰ κατεπείγοντα ἐν προοιμίοις ἡμῖν, ὁδῷ καὶ τάξει προβαίνων, καὶ ἐπὶ τὸν τοῦ λόγου κήρυκα, τὸν ὁμώνυμον αὐτοῦ, Ἰωάννην ἔρχεται λοιπόν. σὺ δὲ ἀκούων ὅτι παρὰ Θεοῦ ἀπεστάλη, μηδὲν λοιπὸν ἀνθρώπινον εἶναι νόμιζε τῶν λεγομένων παρ' ἐκείνου. οὐ γὰρ τὰ αὐτοῦ, ἀλλὰ τὰ τοῦ πέμψαντος ἅπαντα φθέγγεται. διὸ καὶ ἄγγελος προσηγόρευται· ἀγγέλου δὲ ἀρετὴ τὸ μηδὲν ἴδιον εἰπεῖν. τὸ δὲ, ἐγένετο, ἐνταῦθα οὐ τῆς εἰς τὸ εἶναι παρόδου δηλωτικὸν, ἀλλὰ τῆς ἀποστολῆς ἐστιν αὐτῆς. τὸ γὰρ, ἐγένετο ἀπεσταλμένος παρὰ Θεοῦ, ἀντὶ τοῦ, ἀπεστάλη παρὰ Θεοῦ. πῶς οὖν τὸ, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐ περὶ τῆς πρὸς τὸν πατέρα ἀπαραλλαξίας εἰρῆσθαί φασι, διὰ τὸ μὴ προσκεῖσθαι τὸ ἄρθρον; ἰδοὺ γὰρ καὶ ἐνταῦθα οὐδαμοῦ τὸ ἄρθρον πρόσκειται. ἆρ' οὖν περὶ τοῦ πατρὸς εἴρηται; τί οὖν ἐροῦμεν τῷ προφήτῃ λέγοντι· ὅτι ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου; τὸ γὰρ ἐμοῦ καὶ σοῦ δύο προσώπων ἐστὶ δηλωτικόν. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. τί τοῦτο, ὁ δοῦλος τῷ δεσπότῃ μαρτυρεῖ, ἴσως εἴποι τις ἄν; ὅταν οὖν μὴ μόνον ὑπὸ τοῦ δούλου μαρτυρούμενον αὐτὸν, ἀλλὰ καὶ παραγινόμενον ἴδῃς πρὸς αὐτὸν, καὶ μετὰ Ἰουδαίων βαπτιζόμενον ὑπ' αὐτοῦ, ἆρ' οὐ μᾶλλον ἐκστήσῃ καὶ διαπορήσεις; ἀλλ' οὐ χρὴ ταράττεσθαι οὐδὲ θορυβεῖσθαι, ἀλλ' ἐκπλήττεσθαι τὴν ἄφατον ἀγαθότητα. ἂν δὲ ἐπιμείνῃ τις ἔτι ἰλιγγιῶν καὶ θορυβούμενος, ἐρεῖ καὶ πρὸς αὐτὸν τοῦτο, ὃ καὶ πρὸς Ἰωάννην εἶπεν, ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. εἰ δὲ καὶ ἐπὶ πλέον ταραχθείη τις, πάλιν ἐρεῖ, ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε, καὶ πρὸς αὐτόν· οὐχ ὅτι παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω. εἰ τοίνυν μὴ δεῖται τῆς μαρτυρίας ταύτης, τίνος ἕνεκεν ἀπεστάλη παρὰ Θεοῦ ὁ Ἰωάννης; οὐχ ὡς αὐτοῦ δεομένου τῆς μαρτυρίας (τοῦτο γὰρ τῆς ἐσχάτης βλασφημίας ἐστίν) ἀλλὰ διὰ τί; αὐτὸς ὁ Ἰωάννης διδάσκει λέγων, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. καὶ αὐτὸς δὲ ὁ Χριστὸς εἰπὼν, ὅτι παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἵνα μὴ δόξῃ παρὰ τοῖς ἀνοήτοις ἑαυτῷ περιπίπτειν, νῦν μὲν λέγων, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ (τὸν γὰρ Ἰωάννην ἐδήλου) νῦν δὲ λέγων, παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἐπήγαγε τὴν λύσιν ταχέως, εἰπών· ἀλλὰ ταῦτα λέγω δι' ὑμᾶς ἵνα σωθῆτε· ὡσανεὶ ἔλεγεν, ὅτι μὲν Θεός εἰμι, καὶ Θεοῦ γνήσιος υἱὸς καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀκηράτου καὶ μακαρίας, οὐδενὸς δέομαι τοῦ μαρτυρήσοντος. κἂν γὰρ μηδεὶς ἐθέλῃ τοῦτο ποιεῖν, οὐδὲν ἐγὼ παρὰ τοῦτο εἰς τὴν φύσιν ἐλαττοῦμαι τὴν ἐμήν. ἐπειδὴ δὲ τῆς σωτηρίας μοι μέλει τῆς τῶν πολλῶν, τούτου χάριν εἰς τοῦτο κατέβην ταπεινότητος, ὡς καὶ ἀνθρώπῳ τὴν μαρτυρίαν ἐπιτρέψαι τὴν ἐμήν. διὰ γὰρ τὸ χαμαίζηλον καὶ ἀσθενὲς τῶν Ἰουδαίων, οὕτως εὐληπτοτέρα αὐτοῖς καὶ εὐκολωτέρα ἤμελλεν ἡ εἰς αὐτὸν γίνεσθαι πίστις. ὥσπερ οὖν σάρκα περιεβάλλετο, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν ἅπαντας ἀπολέσῃ, οὕτω καὶ κήρυκα ἄνθρωπον ἐξέπεμψεν, ἵνα τῆς συγγενοῦς ἀκούοντες φωνῆς, εὐκολώτερον ἂν τότε ἀκούοντες προσέρχωνται. ἐπεὶ ὅτι γε τῆς ἐκείνου οὐδὲν ἐδεῖτο μαρτυρίας, ἤρκει δεῖξαι μόνον ἑαυτὸν, ὅστις ἦν γυμνῇ τῇ οὐσίᾳ, καὶ καταπλῆξαι πάντας. ἀλλὰ τοῦτο οὐκ ἐποίησε δι' ὅπερ ἔφθην εἰπών. πάντας γὰρ ἂν ἠφάνισε μηδενὸς δυναμένου τὴν ἀπρόσιτον ἐκείνην τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν. διὰ τοῦτο καὶ σάρκα, καθάπερ ἔφθην εἰπὼν, ὑπέδυ, καὶ ἑνὶ τῶν ἡμετέρων ὁμοδούλων ἐγχειρίζει τὴν μαρτυρίαν, ἐπειδὴ πάντα πρὸς τὴν τῶν ἀνθρώπων ἐπραγματεύσατο σωτηρίαν, οὐ πρὸς τὴν ἀξίαν μόνον τὴν ἑαυτοῦ, ἀλλὰ καὶ πρὸς τὸ εὐπαράδεκτον καὶ ὠφέλιμον τοῖς ἀκούουσιν ὁρῶν. ὅπερ οὖν καὶ αὐτὸς ἀμειβόμενος ἔλεγε, ταῦτα λέγω δι' ὑμᾶς ἵνα σωθῆτε. καὶ ὁ εὐαγγελιστὴς δὲ τὰ αὐτὰ τῷ δεσπότῃ φθεγγόμενος, μετὰ τὸ εἰπεῖν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἐπήγαγεν, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ· μονονουχὶ λέγων, μὴ νομίσῃς ὅτι διὰ τοῦτο μαρτυρήσων ἦλθεν ὁ βαπτιστὴς Ἰωάννης, ἵνα τι τῷ δεσπότῃ προστεθῇ εἰς ἀξιοπιστίας λόγον· οὐ διὰ τοῦτο, ἀλλ' ἵνα οἱ ὁμόφυλοι πιστεύσωσι δι' αὐτοῦ. ὅτι γὰρ ταύτην προανελεῖν τὴν ὑποψίαν σπουδάζων τοῦτο εἴρηκε, καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον. ἐπήγαγε γὰρ, οὐκ ἦν ἐκεῖνος τὸ φῶς, [φησιν]. εἰ δὲ μὴ πρὸς τὴν ὑπόνοιαν ταύτην ἱστάμενος ἐπανέλαβε τοῦτο, παρέλκει ἁπλῶς τὸ λεγόμενον, καὶ ταυτολογία μᾶλλον, ἢ σαφήνεια διδασκαλίας ἦν. εἰπὼν γὰρ, ὅτι ἀπεστάλη ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, τί πάλιν λέγει, οὐκ ἦν ἐκεῖνος τὸ φῶς; οὐχ ἁπλῶς, οὐδὲ μάτην· ἀλλ' ἐπειδὴ ὡς τὰ πολλὰ παρ' ἡμῖν μείζων ὁ μαρτυρῶν τοῦ μαρτυρουμένου καὶ ἀξιοπιστότερος πολλάκις εἶναι δοκεῖ, ἵνα μή τις καὶ ἐπὶ τοῦ Ἰωάννου τοῦτο ὑποπτεύσῃ, ἐκ προοιμίων εὐθέως τὴν πονηρὰν ταύτην ὑποψίαν αἴρει καὶ πρόρριζον αὐτὴν ἀνασπάσας, δείκνυσι, τίς μέν ἐστιν ὁ μαρτυρῶν, τίς δὲ ἐκεῖνος ὁ μαρτυρούμενος, καὶ ὅσον τὸ μέσον τοῦ τε μαρτυρουμένου καὶ τοῦ μαρτυροῦντός ἐστι. καὶ τοῦτο ποιήσας, καὶ δείξας αὐτοῦ τὴν ἀσύγκριτον ὑπεροχὴν, οὕτω μετὰ ἀδείας λοιπὸν καὶ τῷ λειπομένῳ ἐπεξέρχεται λόγῳ· καὶ εἴ τι τῶν ἀτόπων ἦν ταῖς τῶν ἀνοητοτέρων ὑφορμοῦν διανοίαις, τοῦτο ἐκ μέσου μετὰ ἀκριβείας ἄρας, οὕτως ἅπασι * μετ' εὐκολίας λοιπὸν καὶ ἀκωλύτως τὸν τῆς διδασκαλίας ἐφεξῆς ἐνίησι λόγον.

γρ. ἐπήγαγε

* ἐπίζωσι,

γρ. περαίνει

ΗΘΙΚΟΝ

Εὐξώμεθα δὴ λοιπὸν, μετὰ τῆς τῶν νοημάτων τούτων ἀποκαλύψεως καὶ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ βίον ἡμῖν γενέσθαι καθαρὸν, καὶ πολιτείαν λαμπράν. ἐπεὶ τούτων ὄφελος οὐδὲν, ἔργων μὴ παρόντων ἡμῖν ἀγαθῶν. κἂν γὰρ ἅπασαν τὴν πίστιν ἔχωμεν, καὶ τὴν τῶν γραφῶν κατανόησιν, τῆς δὲ ἀπὸ τοῦ βίου προστασίας ὦμεν ἔρημοι καὶ γυμνοὶ, οὐδὲν τὸ κωλῦον εἰς τὸ τῆς γεέννης ἀπενεχθῆναι πῦρ, καὶ εἰς ἄπειρον ὑπὸ τῆς ἀσβέστου κατακαίεσθαι φλογός. ὥσπερ γὰρ οἱ τὰ ἀγαθὰ πράξαντες ἀναστήσονται εἰς ζωὴν αἰώνιον, οὕτως οἱ τἀναντία τετολμηκότες εἰς αἰώνιον κόλασιν καὶ πέρας οὐδέποτε ἔχουσαν. διὸ πᾶσαν ἐπιδειξώμεθα σπουδὴν, ὥστε μὴ τὸ γινόμενον ἡμῖν ἀπὸ τῆς ὀρθῆς πίστεως κέρδος διαφθεῖραι τῇ τῶν ἔργων φαυλότητι, ἀλλὰ καὶ ἐντεῦθεν εὐδοκιμήσαντας, μετὰ παρρησίας ἰδεῖν τὸν Χριστόν. ταύτης γὰρ ἴσον οὐδὲν τῆς μακαριότητος εἴη ποτ' ἄν. γένοιτο δὲ πάντας ἡμᾶς ἐπιτυχόντας τῶν εἰρημένων, εἰς δόξαν Θεοῦ πάντα πράττειν· ᾧ ἡ δόξα ἅμα τῷ μονογενεῖ υἱῷ, καὶ τῷ πνεύματι τῷ ἁγίῳ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. γένοιτ' αὐ

γρ. ἀξίους β

ὄντας;

Ὁμιλ. ζ. 9 ΗΝ ΤΟ ΦΩΣ ΤΟ ΑΛΗΘΙΝΟΝ, Ο ΦΩΤΙΖΕΙ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

ΔΙὰ τοῦτο, ὦ πολυπόθητα τέκνα, κατὰ μέρος ὑμᾶς τοῖς ἀπὸ τῶν γραφῶν ἑστιῶμεν νοήμασι, καὶ οὐκ ἀθρόον πάντα ἐκχέομεν, ἵνα ῥᾳδία τῶν ἀεὶ καταβαλλομένων ὑμῖν ἡ φυλακὴ γένηται. καὶ γὰρ ἐπὶ τῆς οἰκοδομίας ὁ μὲν μηδέπω τῶν προτέρων λίθων σφιγγέντων ἑτέρους ἐπιθεὶς, σαθρὸν ἅπαντα καὶ εὐκατάβλητον ὑφαίνει τὸν τοῖχον· ὁ δὲ ἀναμένων πρότερον παγῆναι τὰ χάλικα, καὶ οὕτω τὸ λοιπὸν κατὰ μικρὸν ἐπιτιθεὶς, μετὰ ἀσφαλείας ἅπασαν ἀπαρτίζει τὴν οἰκίαν, οὐκ ὀλιγοχρόνιόν τινα, οὐδὲ εὐδιάλυτον, ἀλλὰ βεβαίαν κατασκευάζων αὐτήν. τούτους καὶ ἡμεῖς μιμούμεθα τοὺς οἰκοδόμους· καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰς ὑμετέρας οἰκοδομοῦμεν ψυχάς. καὶ γὰρ δεδοίκαμεν μήποτε τῆς προτέρας καταβολῆς νεοπαγοῦς ὑπαρχούσης, ἡ τῶν δευτέρων ἐπιθήκη θεωρημάτων καὶ τοῖς προτέροις λυμαίνηται, τῆς διανοίας οὐκ ἀρκούσης ἅπαντα πάντα ὁμοῦ καταχεῖν. τί τοίνυν ἐστὶ τὸ σήμερον ἡμῖν ἀναγνωσθέν; Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐπειδὴ γὰρ ἄνω περὶ τοῦ Ἰωάννου διαλεγόμενος ἔλεγεν, ὅτι ἦλθεν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, καὶ ὅτι νῦν ἀπεστάλη, ἵνα μή τις " αὐτὰ ἀκούων διὰ τὴν τοῦ μαρτυροῦντος πρόσφατον προσουσίαν καὶ περὶ τοῦ μαρτυρουμένου τοιαύτην τινὰ ὑπόνοιαν λάβῃ, ἀνήγαγε τὴν διάνοιαν, καὶ πρὸς τὴν ἐπέκεινα πάσης ἀρχῆς παρέπεμψεν ὕπαρξιν, τὴν οὐδαμοῦ λήγουσαν οὐδὲ ἱσταμένην. καὶ πῶς ἔνι τοῦτο, φησίν, " υἱὸν ὄντα ἐκεῖ; περὶ Θεοῦ διαλεγόμεθα, καὶ τὸ πῶς ἐρωτᾷς; καὶ οὐ δέδοικας οὐδὲ φρίττεις;" ἀλλ' ἂν μέν σε ἔρηταί τις, πῶς δὲ ἡμῶν ἀτελεύτητον ἕξουσιν αἱ ψυχαὶ τὴν ζωὴν καὶ τὰ σώματα μετὰ ταῦτα, καταγελάσῃ τῆς πεύσεως, ὡς οὐκ ἀνθρωπίνης διανοίας ὂν τὰ τοιαῦτα ζητεῖν, ἀλλὰ δεῖν πιστεύειν μόνον καὶ μὴ περιεργάζεσθαι τὸ εἰρημένον, ἀρκοῦσαν ἔχοντα ἀπόδειξιν τοῦ λεχθέντος, τὴν δύναμιν τοῦ εἰρηκότος· ἂν δὲ τὸν ψυχὰς καὶ σώματα ἐργαζόμενον, καὶ τῆς κτίσεως ἁπάσης ἀσυγκρίτως ὑπερέχοντα ἄναρχον εἶναι φῶμεν, τὸν τρόπον ἡμᾶς ἀπαιτήσεις; καὶ τίς ἂν ταῦτα καθεστηκυίας εἶναι φαίη ψυχῆς, " ἢ ὑγιαίνοντος λογισμοῦ; ἤκουσας ὅτι ἦν τὸ φῶς τὸ ἀληθινόν. τί φιλονεικεῖς εἰκῇ καὶ μάτην ὑπερακοντίσαι τῷ λογισμῷ τὴν ἄπειρον ταύτην ζωήν; " οὐδὲ γὰρ οἷόν τε. τί ζητεῖς τὰ ἀζήτητα; τί περιεργάζῃ τὰ ἀκατάληπτα; τί " ἰχνεύεις τὰ ἀνεξερεύνητα; κατανόησον τῶν ἡλιακῶν ἀκτίνων τὴν ῥίζαν αὐτήν. ἀλλ' οὐ δυνήσῃ, καὶ ὅμως οὐκ ἀγανακτεῖς οὐδὲ δυσχεραίνεις ἐπὶ τῇ ἀσθενείᾳ. πῶς οὖν ἐν τοῖς μείζοσι τολμηρὸς γέγονας καὶ προπετής; ὁ τῆς βροντῆς υἱὸς ὁ Ἰωάννης " ὁ τὴν σάλπιγγα ἔχων τὴν πνευματικήν, τὸ, ἦν, " ἀκούσας παρὰ τοῦ πνεύματος οὐδὲν ἐπεζήτησε πλέον· σὺ δὲ ὁ τῆς χάριτος ἀμοιρῶν τῆς ἐκείνου, καὶ ἀπὸ τῶν δειλῶν φθεγγόμενος λογισμῶν, ὑπερβῆναι τὸ μέτρον τῆς ἐκείνου γνώσεως φιλονεικεῖς; " διὰ τοῦτο τοιγαροῦν οὐδὲ πρὸς τὸ μέτρον τῆς ἐκείνου γνώσεως ἀφικέσθαι δυνήσῃ. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μεθοδεία· ἐξάγει μὲν τῶν παρὰ τοῦ Θεοῦ δοθέντων ὅρων ἡμῖν τοὺς πειθομένους αὐτῷ ὡς ἐπὶ πολλῷ μείζοσιν· ὅταν δὲ ταῖς ἐλπίσι ταύταις δελεάσας, ἐκβάλῃ τῆς τοῦ Θεοῦ χάριτος, τότε λοιπὸν οὐ μόνον οὐδὲν πλέον προσδίδωσι (πῶς γάρ, διάβολος ὤν;) ἀλλ' οὐδὲ εἰς τὰ πρότερα, ἔνθα ἀσφαλῶς καὶ βεβαίως διετρίβομεν, ἀφίησιν ἐπανελθεῖν, ἀλλὰ πανταχοῦ περιάγει πλανωμένους καὶ οὐκ ἔχοντας οὐδαμοῦ στῆναι. οὕτω καὶ τὸν πρωτόπλαστον ἐκ τῆς τοῦ παραδείσου διαγωγῆς ἐποίησεν ἐκπεσεῖν. προσδοκίᾳ γὰρ μείζονος γνώσεως καὶ τιμῆς φυσήσας αὐτόν, καὶ τῶν τότε ὑπαρχόντων αὐτῷ μετ' ἀδείας ἐξέβαλεν. οὐ γὰρ μόνον ἰσόθεος οὐ γέγονε, καθὼς ὑπισχνεῖτο αὐτῷ, ἀλλὰ καὶ εἰς τὴν τοῦ θανάτου τυραννίδα " κατέπεσεν, οὐ μόνον οὐδὲν πλέον ἀπὸ τῆς τοῦ ξύλου βρώσεως προσλαβών, ἀλλὰ καὶ τῆς γνώσεως ἧς εἶχεν, οὐ μικρὸν ἀπολέσας ἐλπίδι πλείονος " γνώσεως. τό τε γὰρ αἰσχύνεσθαι, καὶ καταδύεσθαι ἐπὶ τῇ γυμνότητι τότε αὐτῷ προσεγίνετο, πρὸ τῆς ἀπάτης ἀνωτέρω ταύτης ὄντι τῆς αἰσχύνης· αὐτό τε γὰρ τὸ ὁρᾶν ἑαυτὸν γυμνὸν ὄντα, καὶ δεῖσθαι λοιπὸν τῆς ἀπὸ τῶν ἱματίων περιβολῆς, καὶ ἕτερα αὐτῷ πλείονα ἐντεῦθεν ἔφυ πάθη τότε. ὅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, πειθώμεθα τῷ Θεῷ, καὶ μένωμεν ἐν οἷς αὐτὸς ἡμῖν προσέταξε, καὶ μηδὲν περαιτέρω πολυπραγμονῶμεν, ἵνα μὴ καὶ τῶν ἤδη δοθέντων ἡμῖν ἐκπέσωμεν ἀγαθῶν, καθάπερ καὶ οὗτοι πεπόνθασι. τῆς γὰρ ἀνάρχου ζωῆς ἀρχὴν ἐπιζητοῦντες εὑρεῖν, καὶ ἅπερ ἠδύναντο ἔχειν ἀπώλεσαν, οὔτε* τὸ ζητούμενον εὗρον (οὐδὲ γάρ ἐστι δυνατόν) καὶ τῆς ὑγιοῦς περὶ τοῦ μονογενοῦς ἐξέπεσαν πίστεως. ἀλλ' ἡμεῖς μὴ μεταίρωμεν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, ἀλλ' εἴκωμεν πανταχοῦ τοῖς τοῦ πνεύματος νόμοις, καὶ ἀκούοντες ὅτι ἦν τὸ φῶς τὸ ἀληθινόν, μηδὲν πλέον ἐπιζητῶμεν εὑρεῖν. οὐδὲ γὰρ ἔνι ταύτην ὑπερβῆναι τὴν ῥῆσιν. εἰ μὲν γὰρ ὡς ἄνθρωπος ἐγέννα, ἀνάγκη μέσον εἶναί τι τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου. ἐπειδὴ δὲ ἀῤῥήτως καὶ ὡς Θεῷ πρέπον ἐστί, τοῦ πρὸ καὶ τοῦ μετὰ ἀναχώρει. τῶν χρόνων γὰρ ταῦτα ὀνόματα· ὁ δὲ υἱὸς καὶ τῶν αἰώνων πάντων ἐστὶ ποιητής. οὐκοῦν οὐ πατήρ, φησίν, ἀλλ' ἀδελφός.

φός. ποία ἀνάγκη, εἰπέ μοι; εἰ μὲν γὰρ καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἐξ ἑτέρας ἐλέγομεν εἶναι ῥίζης, καλῶς ἂν ταῦτα ἔφης τότε. εἰ δὲ ταύτην μὲν φεύγομεν τὴν ἀσέβειαν, λέγομεν δὲ τὸν μὲν πατέρα πρὸς τῷ ἄναρχον εἶναι μηδὲ γεγεννῆσθαι, τὸν δὲ υἱὸν ἄναρχον μὲν εἶναι, γεγεννημένον δὲ ἐκ τοῦ πατρὸς, ποία ἀνάγκη ἐκ τῆς ἐννοίας ταύτης τὸν ἀσεβῆ λόγον ἐκεῖνον ἐπεισελθεῖν; οὐδεμία. ἀπαύγασμα γάρ ἐστι· τὸ δὲ ἀπαύγασμα συνεπινοεῖται τῇ φύσει, ἧς ἐστιν ἀπαύγασμα. διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος τοῦτον οὕτως ἐκάλεσεν, ἵνα μηδὲν μέσον ὑποπτεύσῃς πατρὸς καὶ υἱοῦ. τοῦτο μὲν οὖν τούτου δηλωτικόν· τὸ δὲ ἐφεξῆς τοῦ ὑποδείγματος τὴν ὑφορμοῦσαν τοῖς ἀνοήτοις ἀτοπίαν διορθοῦται. μὴ γὰρ, ἐπειδὴ ἀπαύγασμά, φησιν, ἤκουσας, τῆς ἰδίας αὐτὸν ἀπεστερῆσθαι νομίσῃς ὑποστάσεως. ἀσεβὲς γὰρ τοῦτο, καὶ τῆς τῶν Σαβελλιανῶν καὶ τῶν ἀπὸ Μαρκέλλου μανίας. ἡμεῖς δὲ οὐχ οὕτω φαμὲν, ἀλλὰ καὶ ἐν ἰδίᾳ αὐτὸν εἶναι ὑποστάσει. διὰ τοῦτο εἰπὼν αὐτὸν ἀπαύγασμα, ἐπήγαγεν, ὅτι καὶ χαρακτήρ ἐστι τῆς ὑποστάσεως αὐτοῦ, ἵνα τὴν ἰδίαν ὑπόστασιν δηλώσῃ, καὶ τῆς αὐτῆς ὄντα αὐτὸν οὐσίας, ἧς ἐστι καὶ χαρακτήρ. οὐ γὰρ ἀρκεῖ μιᾷ λέξει, καθάπερ ἔφθην εἰπὼν, τὰ περὶ Θεοῦ παραστῆσαι δόγματα τοῖς ἀνθρώποις· ἀλλ' ἀγαπητὸν, ἂν πολλὰ συμφορέσαντες, ἐξ ἑκάστου τὸ πρέπον ἐπιλεξώμεθα. οὕτω γὰρ δυνησόμεθα τῆς ἀξίας ἐφικέσθαι δοξολογίας· ἀξίας δὲ λέγω, κατὰ τὴν ἡμετέραν δύναμιν. εἰ γάρ τις πρὸς αὐτὴν τὴν ὄντως ἀξίαν εἰπεῖν δύνασθαι νομίζοι, καὶ φιλονεικοίη, λέγων οὕτως εἰδέναι τὸν Θεὸν, ὡς αὐτὸς οἶδεν ἑαυτὸν, οὗτος μάλιστά ἐστιν ὁ τὸν Θεὸν ἀγνοῶν.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες μένωμεν κατέχοντες μετὰ ἀσφαλείας ἃ παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, καὶ μηδὲν περαιτέρω περιεργαζώμεθα. δύο γὰρ τοῖς ταύτην νοσοῦσι τὴν νόσον περιέσται τὰ δεινά· τό τε εἰκῇ ταλαιπωρεῖσθαι ζητοῦντας ἅπερ εὑρεῖν οὐ δυνατὸν, τό τε παροξῦναι τὸν Θεὸν τοὺς παρ' αὐτοῦ τεθέντας ὅρους ἀνατρέπειν ἐπιχειροῦντας. ὅσην δὲ τοῦτο κινεῖ τὴν ὀργὴν, οὐδὲν δεῖ παρ' ἡμῶν μαθεῖν πάντας εἰδότας ὑμᾶς. διὸ τῆς ἀπονοίας αὐτῶν ἀφέμενοι, τρέμωμεν αὐτοῦ τοὺς λόγους, ἵνα διηνεκῶς ἡμᾶς τειχίζῃ. ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησὶν, ἀλλ' ἢ ἐπὶ τὸν [πρᾷον καὶ] ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; ἀφέντες τοίνυν τὴν ὀλεθρίαν ταύτην πολυπραγμοσύνην, συντρίψωμεν τὰς καρδίας, πενθήσωμεν τὰ ἡμαρτημένα ἡμῖν καθὼς προσέταξεν ὁ Χριστὸς, κατανυγῶμεν ἐπὶ τοῖς πλημμεληθεῖσιν ἡμῖν, ἀναλογισώμεθα μετὰ ἀκριβείας τὰ κατὰ τὸν ἔμπροσθεν ἡμῖν ἅπαντα τολμηθέντα χρόνον, σπουδάσωμεν αὐτὰ ἀποτρίψασθαι παντοδαπῶς. πολλὰς γὰρ εἰς τοῦτο ὁ Θεὸς ἀνέῳξεν ἡμῖν ὁδούς. λέγε γὰρ σὺ* πρῶτος τὰς ἁμαρτίας σου ἵνα δικαιωθῇς· καὶ πάλιν, Τὴν ἀνομίαν μου ἐξήγγειλά σοι, καὶ σὺ" ἀφεῖλες τὴν ἀσέβειαν τῆς καρδίας μου. οὐδὲ γὰρ μικρὸν ἡμῖν συντελεῖ πρὸς τὸ μειῶσαι τῶν ἁμαρτημάτων τὸ μέγεθος ἡ συνεχὴς αὐτῶν κατηγορία καὶ μνήμη. ἔστι καὶ ἑτέρα ταύτης ἐνεργεστέρα ὁδὸς, τὸ μηδενὶ τῶν εἰς ὑμᾶς ἡμαρτηκότων μνησικακεῖν, τὸ πᾶσι τοῖς εἰς ἡμᾶς πλημμεληθεῖσι συγχωρεῖν τὰ πλημμελήματα. βούλει καὶ τρίτην μαθεῖν; ἄκουσον τοῦ Δανιὴλ λέγοντος· Διὸ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἔστι δὲ καὶ ἑτέρα μετὰ ταύτης, ἡ τῶν εὐχῶν συνέχεια, καὶ τὸ προσεδρεύειν* μετὰ καρτερίας ταῖς πρὸς τὸν Θεὸν ἐντεύξεσι. φέρει τινὰ παραμυθίαν ἡμῖν οὐ μικρὰν καὶ λύσιν τῶν ἡμαρτημένων καὶ νηστεία ὁμοίως, ὅταν μετὰ τῆς εἰς ἑτέρους φιλανθρωπίας γίνηται, καὶ σβέννυσι τὸ σφοδρὸν τῆς ὀργῆς τοῦ Θεοῦ. Πῦρ γὰρ φλογιζόμενον σβέσει ὕδωρ, καὶ ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρτίαι. ταύτας τοίνυν πάσας ὁδεύωμεν τὰς ὁδούς. ἂν γὰρ ἐν τούτοις ὦμεν διὰ παντὸς, ἂν εἰς αὐτὰ τὴν σχολὴν ἀναλίσκωμεν, οὐ μόνον τὰ παρελθόντα" ἀπονιψόμεθα πλημμελήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον τὰ μέγιστα κερδανοῦμεν. οὐ γὰρ παρέξομεν τῷ διαβόλῳ σχολὴν προσβάλλειν ἡμῖν, οὔτε εἰς ῥαθυμίαν

βίου,

Ψαλ. λα. ε.

Δαν. δ. κδ.

* φησι

χ. ἀφῆκας

* ἢ

χ. ἀπονιπ

μεθα

βίου, οὔτε εἰς τὴν ὀλεθρίαν περιεργίαν. καὶ γὰρ καὶ ʺ τούτοις μετὰ τῶν ἄλλων καὶ ἐντεῦθεν τὰς ἀνοήτους ζητήσεις, καὶ τὰς λογομαχίας τὰς ἐπιβλαβεῖς ἐπάγει, ἐκ τοῦ σχολάζοντας ὁρᾶν, καὶ ἀργοῦντας, καὶ μηδεμίαν τῆς κατὰ τὸν βίον ἀρετῆς πρόνοιαν ποιουμένους. ἀλλ' ἡμεῖς αὐτοῦ ταύτην τὴν παρείσδυσιν ἀποφράξωμεν, γρηγορήσωμεν, νήψωμεν, ἵνα καὶ ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ καμόντες ὀλίγα, τῶν ἀθανάτων ἐν τοῖς ἀπείροις αἰῶσι τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. η ΗΝ ΤΩ ΦΩΣ ΤΩ ΑΛΗΘΙΝΟΝ, Ο ΦΩΤΙΖΕΙ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

Οὐδὲν κωλύει καὶ τήμερον τῶν αὐτῶν ἅψασθαι ῥημάτων, ἐπειδὴ πρότερον ὑπὸ τῆς τῶν δογμάτων ἐξηγήσεως ἐκωλύθημεν ἅπασι τοῖς ἀναγνωσθεῖσιν ἐπεξελθεῖν. ποῦ τοίνυν εἰσὶν οἱ μὴ λέγοντες αὐτὸν ἀληθινὸν Θεόν; ἐνταῦθα μὲν γὰρ φῶς ἀληθινὸν εἴρηται, ἑτέρωθι δὲ αὐτοαλήθεια καὶ αὐτοζωή. ἀλλ' ἐκεῖνο μὲν τῷ λόγῳ, ὅταν ἐκεῖ γενώμεθα, σαφέστερον ἐπεξελευσόμεθα· κατὰ δὲ τὸ παρὸν ἀναγκαῖον τέως ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. εἰ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, πῶς ἀφώτιστοι μεμενήκασι τοσοῦτοι; οὐ γὰρ δὴ πάντες ἐπέγνωσαν τοῦ Χριστοῦ τὸ σέβας. πῶς οὖν φωτίζει πάντα ἄνθρωπον; τό γε εἰς αὐτὸν ἧκον. εἰ δέ τινες ἑκόντες τοὺς τῆς διανοίας ὀφθαλμοὺς μύσαντες, ʺ μὴ βούλοιντο παραδέξασθαι τοῦ φωτὸς τούτου τὰς ἀκτῖνας, οὐ παρὰ τὴν τοῦ φωτὸς φύσιν ἡ σκότωσις ἐκείνοις, ἀλλὰ παρὰ τὴν κακουργίαν τῶν ἑκόντι ἀποστερούντων ἑαυτοὺς τῆς δωρεᾶς. ἡ μὲν γὰρ χάρις εἰς πάντας ἐκκέχυται, οὐκ Ἰουδαῖον, οὐχ Ἕλληνα, οὐ βάρβαρον, οὐ Σκύθην, οὐκ ἐλεύθερον, οὐ δοῦλον, οὐκ ἄνδρα, οὐ γυναῖκα, οὐ πρεσβύτην, οὐ νέον ἀποστρεφομένη, πάντας δὲ ὁμοίως προσιεμένη, καὶ μετὰ τῆς ἴσης καλοῦσα τιμῆς. οἱ δὲ οὐκ ἐθέλοντες ἀπολαῦσαι τῆς δωρεᾶς ταύτης, ἑαυτοῖς δίκαιοι ταύτην ἂν εἶεν λογίσασθαι τὴν πήρωσιν. ὅταν γὰρ τῆς εἰσόδου πᾶσιν ἀνεῳγμένης, καὶ μηδενὸς τοῦ κωλύοντος ὄντος, ἐθελοκακοῦντές τινες ἔξω μένωσι, παρ' οὐδένα ἕτερον, ἀλλ' ἢ παρὰ τὴν οἰκείαν πονηρίαν ἀπόλλυνται μόνον.

10 Ἐν τῷ κόσμῳ ἦν, Ἀλλ' οὐχ ὡς τοῦ κόσμου σύγχρονος· ἄπαγε. διὰ γὰρ τοῦτο ἐπήγαγε·
Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, Διὰ τοῦτό σε πάλιν ἐπανάγων ἐπὶ τὴν προαιώνιον ὕπαρξιν τοῦ μονογενοῦς. ὁ γὰρ ἀκούσας, ὅτι ἔργον αὐτοῦ τόδε τὸ πᾶν, κἂν σφόδρα ἀναίσθητος ᾖ, κἂν ἐχθρός, κἂν πολέμιος τῆς δόξης τοῦ Θεοῦ, πάντως καὶ ἑκὼν καὶ ἄκων ἀναγκασθήσεται παρὰ τῶν ἔργων ὁμολογῆσαι τὸν ποιητήν. ὅθεν μοι καὶ θαυμάζειν ἔπεισιν ἀεὶ τὴν Παύλου τοῦ Σαμοσατέως μανίαν, πῶς πρὸς τὴν οὕτω φανερὰν ἀλήθειαν ἀντιβλέψαι ἐτόλμησε, καὶ ἑκὼν ἑαυτὸν κατεκρήμνισεν. οὐδὲ γὰρ ἀγνοῶν, ἀλλὰ καὶ σφόδρα εἰδὼς ʺ ἡμάρτανε ταὐτὸν παθὼν τοῖς Ἰουδαίοις. καθάπερ γὰρ ἐκεῖνοι πρὸς ἀνθρώπους ὁρῶντες, τὸ τῆς πίστεως προὔδωκαν ὑγιές, εἰδότες μὲν ὅτι αὐτός ἐστιν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ δὲ τοὺς ἄρχοντας οὐχ ὁμολογοῦντες, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· οὕτω καὶ τοῦτον γυναικί τινι χαριζόμενον, τὴν σωτηρίαν φασὶν ἀποδόσθαι τὴν ἑαυτοῦ. δεινὸν γάρ, ὄντως δεινὸν τῆς κενοδοξίας ἡ τυραννίς, καὶ σοφῶν ὀφθαλμοὺς ἐκτυφλοῦν ἱκανόν, ὅταν μὴ νήφωσιν. εἰ γὰρ ἡ δωροδοκία τοῦτο ἰσχύει, πολλῷ μᾶλλον τὸ ταύτης βιαιότερον πάθος. διὰ τοῦτο καὶ Ἰουδαίοις ἔλεγεν ὁ Χριστός, Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; Ἰωαν. ε. μδ.

Καὶ

Ἰωαν. η. νϛ.
Ματθ. κβ. μδ.
Πραξ. γ. κ.
Λουκ. ι. κδ.

Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω [φησίν]. ἐνταῦθα κόσμον τὸ πλῆθός φησι τὸ διεφθαρμένον καὶ τοῖς γηΐνοις προστετηκὸς πράγμασι, τὸν χυδαῖον καὶ ταραχώδη καὶ ἀνόητον λαόν. ὡς οἵγε τοῦ Θεοῦ φίλοι καὶ θαυμαστοὶ, πάντες αὐτὸν ἐπέγνωσαν καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας. καὶ περὶ μὲν τοῦ πατριάρχου καὶ αὐτὸς ὀνομαστὶ φησὶν ὁ Χριστὸς, Ὅτι Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. καὶ περὶ τοῦ Δαβὶδ δὲ Ἰουδαίους ἐλέγχων, ἔλεγε· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; καὶ πολλαχοῦ πρὸς ἐκείνους ἱστάμενος, Μωϋσέως μέμνηται· περὶ δὲ τῶν λοιπῶν προφητῶν ὁ ἀπόστολος. πάντας γὰρ τοὺς προφήτας ἀπὸ Σαμουὴλ ἐγνωκέναι φησὶν ὁ Πέτρος αὐτὸν, καὶ τὴν παρουσίαν αὐτοῦ πόρρωθεν προαναφωνεῖν, οὕτω λέγων· καὶ πάντες οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. τῷ δὲ Ἰακὼβ καὶ τῷ πατρὶ τῷ τούτου, ὥσπερ οὖν καὶ τῷ πάππῳ, καὶ ἐφάνη, καὶ διελέχθη, καὶ πολλὰ καὶ μεγάλα ὑπέσχετο δώσειν ἀγαθὰ, ἅπερ οὖν καὶ εἰς ἔργον ἐξήνεγκε. πῶς οὖν, φησιν, αὐτὸς ἔλεγε· Πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν; ἆρ' οὖν οὐ μετεῖχον τῆς γνώσεως τῆς εἰς αὐτόν; πάνυ μὲν οὖν. καὶ τοῦτο καὶ ἀπὸ τῆς ῥήσεως ταύτης, ἀφ' ἧς νομίζουσί τινες αὐτοὺς ἀπεστερῆσθαι, πειράσομαι ποιῆσαι φανερόν. πολλοὶ γὰρ, φησιν, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε. ὥστε ᾔδεσαν αὐτὸν ἥξοντα" ἐκ τῶν οὐρανῶν, καὶ οἰκονομήσοντα, ἅπερ καὶ ᾠκονόμησεν. οὐ γὰρ ἂν, εἰ μὴ ᾔδεσαν, ἐπεθύμησαν. οὐδεὶς γὰρ ὧν μηδὲ ἔννοιαν ἔχει, τούτων λαβεῖν ἐπιθυμίαν δυνήσεται. ὥστε ᾔδεσαν τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι ἥξει εἰς ἀνθρώπους. τίνα οὖν ἐστιν ἅπερ οὐκ ᾔδεσαν; τίνα ἅπερ οὐκ ἤκουσαν; ταῦτα, ἃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε." εἰ δὲ καὶ φωνῆς ἤκουσαν καὶ εἶδον αὐτὸν ἐκεῖνοι, ἀλλ' οὐκ ἐν σαρκὶ, οὐδὲ οὕτω τοῖς ἀνθρώποις συναναστρεφόμενον, οὐδὲ μετὰ τοσαύτης αὐτοῖς ὁμιλοῦντα τῆς ἀδείας. τοῦτο γοῦν καὶ αὐτὸς δηλῶν οὐχ ἁπλῶς εἶπεν, ἐπεθύμησαν ἰδεῖν ἐμὲ ἀλλὰ τί; ἃ ὑμεῖς βλέπετε· οὐδὲ ἀκοῦσαι ἐμοῦ, ἀλλὰ τί; ἃ ὑμεῖς ἀκούετε. ὥστε εἰ καὶ μὴ τὴν ἔνσαρκον παρουσίαν αὐτοῦ ἐθεάσαντο, ἀλλ' ὅμως ᾔδεσαν αὐτὴν ἐσομένην, ἧς καὶ ἐπεθύμουν, καὶ ἐπίστευον εἰς αὐτὸν, καὶ μὴ ἑωρακότες αὐτὸν ἐν σαρκί. ὅταν οὖν ἡμῖν ἐγκαλῶσιν Ἕλληνες ταῦτα λέγοντες· τί δὲ τὸν ἔμπροσθεν ἐποίει χρόνον ὁ Χριστὸς, τὸ τῶν ἀνθρώπων οὐκ ἐπισκοπούμενος γένος, καὶ τί δήποτε ἐν ἐσχάτῳ τῆς ἡμετέρας ἦλθεν ἀντιληψόμενος σωτηρίας, τοσοῦτον ἀμελήσας χρόνον ἡμῶν; ἐροῦμεν, ὅτι καὶ πρὸ τούτου ἐν τῷ κόσμῳ ἦν, καὶ προενόει τῶν ἔργων αὐτοῦ, καὶ γνώριμος τοῖς ἀξίοις ἅπασιν ἦν. εἰ δὲ διότι μὴ πάντας αὐτὸν τότε ἐπεγνωκέναι, ἀλλὰ παρὰ τῶν γενναίων αὐτὸν καὶ ἐναρέτων ἐκείνων" μόνων ἐγνῶσθαι, φαίητε μὴ γνωρίζεσθαι, κατὰ τοῦτο οὐδὲ νῦν ὁμολογήσετε προσκυνεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀνθρώπων, ἐπειδὴ μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασιν. ἀλλ' ὥσπερ ἐπὶ τοῦ παρόντος, οὐδεὶς ἂν διὰ τοὺς ἀγνοοῦντας αὐτὸν, τοῖς εἰδόσι διαπιστήσειεν· οὕτως οὐδὲ περὶ τῶν ἔμπροσθεν χρόνων ἀμφισβητεῖν χρὴ, ὅτι πολλοῖς, μᾶλλον δὲ πᾶσιν ἐγνώσθη τοῖς γενναίοις καὶ θαυμασίοις ἀνδράσιν ἐκείνοις. εἰ δὲ λέγοι τις, καὶ τίνος ἕνεκεν μὴ πάντες προσεῖχον αὐτῷ, μηδὲ πάντες αὐτὸν ἐθεράπευον τότε, ἀλλὰ μόνοι οἱ δίκαιοι; ἐρήσομαι κἀγὼ, τίνος ἕνεκεν μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασι; καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; τὸν γὰρ πατέρα τὸν τούτου διατί μὴ πάντες μήτε τότε, μήτε νῦν ἔγνωσαν, ἀλλ' οἱ μὲν αὐτομάτως ἅπαντα φέρεσθαι λέγουσιν, οἱ δὲ δαιμονίοις τὴν τοῦ παντὸς ἐπιτρέπουσι πρόνοιαν; εἰσὶ δὲ οἳ καὶ ἕτερον παρὰ τοῦτον ἀναπλάττουσι Θεὸν, τινὲς δὲ αὐτῶν καὶ τὴν ἀντικειμένην εἶναι βλασφημοῦσιν" αὐτοῦ δύναμιν, καὶ τοὺς νόμους αὐτοῦ πονηροῦ τινος δαίμονος εἶναι νομίζουσι. τί οὖν διὰ τοῦτο; οὔτε Θεὸν αὐτὸν φήσομεν εἶναι, ἐπειδὴ τινές εἰσιν οἱ τοῦτο λέγοντες, καὶ πονηρὸν αὐτὸν ὁμολογήσομεν εἶναι; (καὶ γὰρ καὶ τοῦτό εἰσιν οἱ βλασφημοῦντες αὐτόν) ἄπαγε τῆς παραφροσύνης καὶ τῆς ἐσχάτης παραπληξίας.

γ. εἰς αὐτ
τοὺς,
γ. καὶ φω
νῆς ἤκουσαν
εἶδον αὐτὸ
γ. μόνοι
γ. αὐτὴν

πληξίας. Εἰ γὰρ μέλλοιμεν ἀπὸ τῆς τῶν μαινομένων κρίσεως χαρακτηρίζειν τὰ δόγματα, οὐδὲν κωλύει μαίνεσθαι καὶ αὐτοὺς μανίαν χαλεπωτάτην. Εἶτα ἥλιον μὲν οὐδεὶς λυμαντικὸν ὀφθαλμῶν εἶναι φήσει διὰ τοὺς νοσοῦντας τὰς ὄψεις, ἀλλὰ φωτιστικόν, ἀπὸ τῶν ὑγιαινόντων λαμβανόντων τὰς κρίσεις· καὶ τὸ μέλι δὲ οὐδεὶς πικρὸν προσερεῖ, ἐπειδὴ τοῦτο τῇ αἰσθήσει τῶν ἀρρώστων δοκεῖ· τὸν δὲ Θεὸν ἀπὸ τῆς τῶν ἀσθενούντων ὑπολήψεως ἢ μὴ εἶναι, ἢ πονηρὸν [μὲν] εἶναι, ἢ ποτὲ μὲν προνοεῖν, ποτὲ δὲ μηδ' ὅλως τοῦτο ποιεῖν, ψηφιοῦνταί τινες; καὶ τίς ἂν τοὺς τοιούτους ὑγιαίνειν φήσειεν, ἀλλ' οὐκ ἐξεστηκέναι καὶ παραπαίειν καὶ μαίνεσθαι τὴν ἐσχάτην μανίαν; ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, φησίν· ἀλλ' ὧν ὁ κόσμος οὐκ ἦν ἄξιος, οὗτοι αὐτὸν ἔγνωσαν. Εἰπὼν δὲ καὶ τοὺς μὴ γνόντας αὐτόν, ἐν βραχεῖ καὶ τὴν αἰτίαν τῆς ἀγνοίας ἔθηκεν. οὐ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδεὶς αὐτὸν ἔγνω, ἀλλ' ὅτι ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, τουτέστιν, οἱ τῷ κόσμῳ μόνῳ προσηλωμένοι, καὶ τὰ τοῦ κόσμου φρονοῦντες ἄνθρωποι. οὕτω γὰρ εἴωθε καλεῖν αὐτοὺς ὁ Χριστός· ὡς ὅταν λέγῃ· πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. οὐκ ἄρα αὐτὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα αὐτοῦ ὁ κόσμος ἠγνόησε, καθάπερ ἐλέγομεν. οὐδὲν γὰρ οὕτω θολοῖ διανοίας, ὡς τὸ προστετηκέναι τοῖς παροῦσι.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, ἀποστήσατε ἑαυτοὺς τοῦ κόσμου, καὶ τῶν σαρκικῶν ἀπορρήξατε πραγμάτων, καθόσον οἷόν τε. οὐδὲ γὰρ ἐν τοῖς τυχοῦσιν ὑμῖν ἀπὸ τούτων ἡ ζημία γίνεται, ἀλλ' ἐν τῷ κεφαλαίῳ τῶν ἀγαθῶν. οὐ γάρ ἐστιν ἄνθρωπον τὸν κατὰ τὸν παρόντα βίον ἀντεχόμενον πραγμάτων σφοδρῶς, δυνηθῆναι ἐπιλαβέσθαι τῶν ἐν τοῖς οὐρανοῖς γνησίως, ἀλλὰ ἀνάγκη τὸν περὶ ταῦτα ἐσπουδακότα ἐκείνων ἐκπεσεῖν. Οὐ δύνασθε γάρ, φησι, Θεῷ δουλεύειν καὶ μαμμωνᾷ· ἀνάγκη γὰρ ἑνὸς ἔχεσθαι, καὶ τὸν ἕτερον μισεῖν. καὶ ταῦτα καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα βοᾷ. οἱ γοῦν τῆς τῶν χρημάτων ἐπιθυμίας καταγελάσαντες, οὗτοι μάλιστά εἰσιν οἱ τὸν Θεὸν ἀγαπῶντες ὡς χρή, ὥσπερ οὖν οἱ τὴν ἀρχὴν ἐκείνην θαυμάζοντες, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ ῥαθυμοτέραν τὴν περὶ αὐτὸν ἀγάπην ἔχοντες. ψυχὴ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως οὐδὲ εὐκόλως παραιτήσεται καὶ πρᾶξαι καὶ εἰπεῖν τι τῶν παροξυνόντων τὸν Θεόν, ἅτε καὶ ἑτέρου γενομένη δεσπότου δούλη, καὶ πάντα ἀπεναντίας ἐπιτάττοντος τῷ Θεῷ. ἀνανήψατε τοίνυν ποτὲ καὶ διεγέρθητε, καὶ ἐννοήσαντες τίνος ἐσμὲν οἰκέται, τὴν τούτου βασιλείαν ἀγαπήσωμεν μόνην, κλαύσωμεν, θρηνήσωμεν ὑπὲρ τῶν ἔμπροσθεν χρόνων ὧν ἐδουλεύσαμεν τῷ μαμμωνᾷ, ῥίψωμεν αὐτοῦ καθάπαξ τὸν ζυγὸν τὸν ἀφόρητον καὶ τὸν βαρύν, καὶ μένωμεν φέροντες τὸν τοῦ Χριστοῦ τὸν κοῦφον καὶ ῥᾷστον· οὐδὲν γὰρ ἐπιτάττει τοιοῦτον ἡμῖν, οἷον ὁ μαμμωνᾶς. οὗτος μὲν γὰρ ἐχθροὺς κελεύει πᾶσι γενέσθαι· ὁ δὲ Κύριος τοὐναντίον ἅπαντας ἀσπάζεσθαι καὶ φιλεῖν. ἐκεῖνος τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώσας (τοῦτο γάρ ἐστιν ὁ χρυσός) οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν· οὗτος τῆς μὲν περιττῆς ταύτης καὶ ἀνονήτου φροντίδος ἀφίησι, κελεύει δὲ συνάγειν τοὺς θησαυροὺς ἐν τοῖς οὐρανοῖς, οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ' ἐκ τῆς οἰκείας δικαιοσύνης. ἐκεῖνος μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας οὔτε δύναται παραστῆναι κολαζομένοις ἡμῖν ἐκεῖ καὶ κακῶς πάσχουσι διὰ τοὺς αὐτοῦ νόμους, καὶ ἐπιτείνει τὴν φλόγα· οὗτος δέ, κἂν ποτήριον ἡμῖν ἐπιτάξῃ δοῦναι ψυχροῦ, οὐδὲ τούτου τὸν μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίησιν ἡμᾶς ἀπολέσαι ποτέ, ἀλλὰ μετὰ πολλῆς ἀντιδίδωσι τῆς δαψιλείας. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας τὸν οὕτω προσηνοῦς δεσποτείας καὶ τοσούτων γεμούσης ἀγαθῶν ἀμελοῦντας, ἀχαρίστῳ καὶ ἀγνώμονι δουλεύειν τυράννῳ, καὶ οὐδὲν οὔτε ἐνταῦθα οὔτε ἐκεῖ δυναμένῳ τοὺς πειθομένους αὐτῷ καὶ προσέχοντας ὠφελεῖν; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, οὐδὲ αὕτη ἡ ζημία μόνον, ὅτι οὐκ ἀμύνει κολαζομένοις, ἀλλ' ὅτι πρὸς τούτῳ καὶ μυρίοις περιβάλλει κακοῖς, ὅπερ ἔφθην εἰπών, τοὺς πειθομένους αὐτῷ. τοὺς γὰρ πλείονας τῶν ἐκεῖ κολαζομένων ἀπὸ ταύτης ἴδοι τις ἂν κολαζομένους τῆς αἰτίας, ὅτι χρήμασιν ἐδούλευσε, καὶ τὸ χρυσίον ἠγάπησε, καὶ τοῖς δεομένοις οὐκ ἐπήρκεσε. ἅπερ ἵνα μὴ

Ματθ. ϛ. κδ.

καὶ ἡμεῖς πάθωμεν, σκορπίσωμεν, δῶμεν τοῖς πένησιν, ἀπαλλάξωμεν τὴν ψυχὴν καὶ τῶν ἐνταῦθα φροντίδων τῶν βλαβερῶν, καὶ τῆς ἐκεῖ διὰ ταῦτα κειμένης τιμωρίας ἡμῖν. ἀποθώμεθα δικαιοσύνην ἐν τοῖς οὐρανοῖς, ἀντὶ χρημάτων τῶν ἐπὶ γῆς συλλέξωμεν θησαυροὺς ἀναλώτους, θησαυροὺς δυναμένους συναποδημῆσαι πρὸς τὸν οὐρανὸν ἡμῖν, δυναμένους ἡμῖν κινδυνεύουσι παραστῆναι, καὶ ποιῆσαι τὸν κριτὴν ἵλεων τότε, ὃν γένοιτο πάντας ἡμᾶς εὐμενῆ καὶ νῦν καὶ κατ' ἐκείνην τὴν ἡμέραν" ἔχοντας, ἀπολαῦσαι μετὰ πολλῆς παρρησίας τῶν ἡτοιμασμένων ἀγαθῶν ἐν τοῖς οὐρανοῖς, τοῖς ὡς χρὴ ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἔχοντες,

Ὁμιλ. θ. 11 ΕΙΣ ΤΑ ΙΔΙΑ ΗΛΘΕ, ΚΑΙ ΟΙ ΙΔΙΟΙ ΑΥτὸν οὐ παρέλαβον.

ΑΝ τῶν προτέρων διαμνημονεύητε νοημάτων, μετὰ πλειόνος προθυμίας καὶ τὰ ἑξῆς" ἐποικοδομήσομεν, ὡς ἐπὶ κέρδει τούτῳ ποιοῦντες μεγάλῳ. οὕτω γὰρ ὑμῖν τε εὐμαθέστερος ἔσται ὁ λόγος τῶν ἤδη λεχθέντων μεμνημένοις," καὶ ἡμεῖς οὐ πολλοῦ δεησόμεθα πόνου, δυναμένων ὑμῶν διὰ τῆς πολλῆς φιλομαθείας ὀξύτερον τοῖς λοιποῖς ἐνορᾶν. ὁ μὲν γὰρ ἀεὶ τὰ διδόμενα ἀπολλὺς, ἀεὶ δεήσεται τοῦ διδάξοντος, καὶ οὐδέποτε εἴσεται οὐδέν· ὁ δὲ ἅπερ ἂν λάβῃ φυλάττων, καὶ οὕτω τὰ λοιπὰ προσλαμβάνων, ταχέως [ἂν] ἀντὶ μαθητοῦ διδάσκαλος ἔσται, καὶ οὐχ ἑαυτῷ" μόνῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι χρήσιμος. ὅπερ μάλιστα ταύτην ἔσεσθαι προσδοκῶ τὴν ἐκκλησίαν, ἀπὸ τῆς πολλῆς ταύτης τεκμαιρόμενος φιληκοΐας. φέρε οὖν ὡς ἐν ἀσφαλεῖ θησαυροφυλακίῳ ταῖς ὑμετέραις ψυχαῖς τὸ ἀργύριον τοῦ Κυρίου παρακαταθώμεθα, καὶ τὰ σήμερον ἡμῖν προστεθέντα ἀναπτύξωμεν, ὡς ἂν ἡ τοῦ πνεύματος παρέχῃ χάρις. Εἶπεν ὅτι ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, περὶ τῶν ἄνω χρόνων λέγων. κάτεισι λοιπὸν τῷ λόγῳ καὶ πρὸς τοὺς τοῦ κηρύγματος χρόνους, καί φησιν· Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ἰδίους τοὺς Ἰουδαίους λέγων νῦν, ὡς λαὸν περιούσιον," ἢ καὶ πάντας δὲ τοὺς ἀνθρώπους, ὡς ὑπ' αὐτοῦ γεγενημένους. καὶ καθάπερ ἀνωτέρω διαπορῶν ἐπὶ τῇ ἀνοίᾳ τῶν πολλῶν καὶ ὑπὲρ τῆς κοινῆς αἰσχυνόμενος φύσεως ἔλεγεν, ὅτι ὁ κόσμος δι' αὐτοῦ [ἐγένετο, καὶ] γενόμενος τὸν δημιουργὸν οὐκ ἐγνώρισεν· οὕτω καὶ ἐνταῦθα πάλιν ἐπὶ τῇ τῶν Ἰουδαίων καὶ τῇ τῶν πολλῶν δυσαναχετῶν ἀγνωμοσύνῃ, πληκτικώτερον τίθησι τὴν κατηγορίαν λέγων, ὅτι οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, καὶ ταῦτα αὐτὸν ἐλθόντα πρὸς αὐτούς. καὶ οὐχ οὗτος" μόνος, ἀλλὰ καὶ οἱ προφῆται θαυμάζοντες ἔλεγον τὸ αὐτὸ δὴ τοῦτο· καὶ Παῦλος δὲ ὕστερον ἐπὶ τοῖς αὐτοῖς ἐκπληττόμενος. καὶ οἱ μὲν προφῆται οὕτως ἐβόων ἐκ προσώπου τοῦ Χριστοῦ λέγοντες· Λαὸς, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό" με· υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. καὶ πάλιν, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι· καὶ, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Παῦλος δὲ Ῥωμαίοις ἐπιστέλλων, ἔλεγε· Τί οὖν; ὃ ἐπεζήτει Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχε. καὶ πάλιν· Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. καὶ γάρ ἐστιν ὄντως ἐκπλήξεως ἄξιον, πῶς οἱ μὲν ἐν ταῖς προφητικαῖς ἀνατραφέντες βίβλοις, καὶ τοῦ Μωϋσέως καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν μυρία περὶ τῆς τοῦ Χριστοῦ λέγοντος παρουσίας, καὶ τῶν λοιπῶν μετὰ ταῦτα προφητῶν," ἔτι τε αὐτὸν θεώμενοι τὸν Χριστὸν καθ' ἑκάστην αὐτοῖς θαυματουργοῦντα, καὶ μόνοις αὐτοῖς" σχολάζοντα, καὶ μή-

Ψαλμ. ιζ.
Ησ. ξε.
Ρω. ια. ζ.
Ρω. θ. λ.

γρ. ἐποικοδομήσωμεν,
γρ. ἡμεῖς δ
γρ. μόνον,
γρ. καὶ
γρ. μόνη,
γρ. μοι
γρ. καὶ
γρ. ὁμιλοῦντ

τε τοῖς μαθηταῖς συγχωροῦντα τέως εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, " ἢ εἰς πόλιν Σαμαρειτῶν εἰσελθεῖν, μήτε αὐτὸν τοῦτο ποιοῦντα, ἀλλὰ ἄνω καὶ κάτω λέγοντα πρὸς τὰ πρόβατα ἀπεστάλθαι τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, " καὶ μὴν τῶν σημείων * καὶ τῶν προφητῶν * ἀκούοντες " καὶ αὐτὸν συνεχῶς αὐτοὺς ἀναμιμνήσκοντα ἔχοντες, οὕτω καθάπαξ ἐπήρωσαν ἑαυτοὺς καὶ " ἐκώφωσαν, ὡς μηδενὶ τούτων " ἐναχθῆναι πρὸς τὴν τοῦ Χριστοῦ πίστιν *· οἱ δὲ ἐξ ἐθνῶν τούτων μὲν οὐδενὸς ἀπολαύσαντες, οὔτε θείων λογίων ποτὲ ἀκούσαντες, οὐδὲ ὅσον ὄναρ εἰπεῖν, ἀλλὰ ἀεὶ τοῖς τῶν παραπαιόντων ἐνστρεφόμενοι μύθοις (τοῦτο γὰρ ἡ τῶν " ἔξω φιλοσοφία) καὶ " ποιητῶν λήρους ἀνελίττοντες, καὶ ξύλοις καὶ λίθοις προσηλωμένοι, καὶ οὔτε δογμάτων οὔτε πολιτείας ἕνεκεν εἰδότες τι χρηστὸν καὶ ὑγιὲς (καὶ γὰρ ὁ βίος αὐτοῖς τῶν δογμάτων ἀκαθαρτότερος ἦν καὶ ἐναγέστερος, καὶ μάλα εἰκότως. οἱ γὰρ τοὺς θεοὺς αὐτῶν πάσῃ κακίᾳ χαίροντας ὁρῶντες, καὶ δι' αἰσχρῶν μὲν ῥημάτων, δι' αἰσχροτέρων δὲ θεραπευομένους πραγμάτων, καὶ τοῦτο " νομίζοντας ἑορτὴν καὶ τιμήν, ἔτι * μὴν καὶ δι' ἀκαθάρτων φόνων καὶ παιδοκτονιῶν τιμωμένους, πῶς οὐκ ἔμελλον ταῦτα ζηλοῦν;) ἀλλ' ὅμως καὶ πρὸς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσόντες, ἐξαίφνης, ὥσπερ ἔκ τινος μηχανῆς, ἄνωθεν ἡμῖν καὶ ἀπ' αὐτῆς τῶν οὐρανῶν τῆς κορυφῆς ἀνεφάνησαν διαλάμποντες. πῶς οὖν τοῦτο γέγονε, καὶ πόθεν; ἄκουσον Παύλου λέγοντος. καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ταῦτα ἀκριβῶς ζητῶν, οὐκ ἀπέστη, ἕως οὗ τὴν αἰτίαν εὗρε, καὶ τοῖς ἄλλοις ταύτην ἐδήλωσεν ἅπασι. τίς οὖν ἐστιν αὕτη; καὶ πόθεν ἡ τοσαύτη πώρωσις αὐτοῖς; ἄκουσον αὐτοῦ τοῦ τὴν οἰκονομίαν ταύτην ἐμπιστευθέντος λέγοντος ταῦτα. τί οὖν οὗτός φησι, τὴν διαπόρησιν τῶν πολλῶν λύων ταύτην; Ἀγνοοῦντες, φησι, τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν " διὸ ταῦτα ἔπαθον. Ρω. ι. γ. καὶ πάλιν δὲ αὐτὸ τοῦτο ἑτέρως ἑρμηνεύων φησί· Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, Ρω. θ. λ. δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. εἰπὲ καὶ διατί; ὅτι οὐκ ἐκ πίστεως· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἀπιστία τούτων γέγονεν αὐτοῖς αἰτία τῶν κακῶν· ταύτην δὲ ἔτεκεν ἡ ἀπόνοια. ἐπειδὴ γὰρ πρὸ τούτου πλέον ἔχοντες ἑλλήνων παρὰ τὸ νόμον εἰληφέναι, καὶ Θεὸν εἰδέναι, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλός φησι, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν εἶδον ἀπὸ τῆς πίστεως μετὰ τῆς αὐτῆς ὁμοτιμίας καλουμένους κἀκείνους καὶ αὐτούς, καὶ οὐδὲν πλέον ἔχοντα τὸν ἐκ περιτομῆς τοῦ ἐξ ἐθνῶν μετὰ τὴν πίστιν, ἐδηλήθησαν ὑπὸ ἀπονοίας εἰς βασκανίαν ἐλθόντες, καὶ τὴν τοῦ δεσπότου φιλανθρωπίαν τὴν ἄφατον καὶ ὑπερβάλλουσαν οὐκ ἤνεγκαν. τοῦτο δὲ αὐτοῖς ἑτέρωθεν μὲν οὐδαμόθεν, ἐξ ἀλαζονείας δὲ καὶ πονηρίας καὶ μισανθρωπίας γέγονε. τί γάρ, ὦ πάντων ὑμεῖς ἀνοητότεροι, " κατεβλάπτεσθε ἐκ τῆς εἰς ἑτέρους γινομένης κηδεμονίας; " τί δὲ τὰ ὑμέτερα ἠλαττοῦτο ἀγαθά, παρὰ κοινωνοὺς ἑτέρους ἔχειν τῶν αὐτῶν; ἀλλὰ τυφλὸν ὄντως ἡ πονηρία, καὶ τῶν δεόντων οὐδὲν δύναται συνιδεῖν ταχέως. δηχθέντες τοίνυν παρὰ κοινωνοὺς μέλλειν ἔχειν τῆς αὐτῆς παρρησίας, καθ' ἑαυτῶν τὸ ξίφος ὤθησαν, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐκβαλόντες ἑαυτούς· καὶ μάλα εἰκότως. Ἑταῖρε γάρ, φησιν, οὐκ ἀδικῶ σε· θέλω δὲ καὶ τούτοις δοῦναι ὥσπερ καὶ σοί. Ματθ. κ. ιγ. μᾶλλον δὲ οὐδὲ τούτων ἄξιοι τῶν λόγων οὗτοι. ἐκεῖνος μὲν γάρ, εἰ καὶ ἐδυσχέραινεν, ἀλλ' ὅμως εἶχεν εἰπεῖν ἡμέρας ὁλοκλήρου πόνους καὶ ταλαιπωρίας καὶ " καύσωνας καὶ ἱδρῶτας· οὗτοι δὲ τί εἶχον ἂν εἰπεῖν; τοιοῦτον μὲν οὐδέν, ῥαθυμίαν δὲ καὶ ἀσωτίαν, καὶ τὰ μυρία κακά, ἃ διαπαντὸς κατηγοροῦντες αὐτῶν διετέλουν οἱ προφῆται πάντες, δι' ἃ καὶ αὐτοὶ ὁμοίως τοῖς ἔθνεσι προσκεκρούκεσαν τῷ Θεῷ. καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· Ου γάρ ἐστι διαστολὴ Ἰουδαίου Ρω. γ. κβ. τε καὶ ἕλληνος. πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιωθέντες δωρεὰν τῇ αὐτοῦ χάριτι. καὶ τοῦτο μὲν ἅπαν τὸ κεφάλαιον χρησίμως καὶ σφόδρα συνετῶς

Ρω. β. ιβ.
Ησ. νβ. ε.
Ρω. β. κδ.

κατ' ἐκείνην γυμνάζει τὴν ἐπιστολήν· ἀνωτέρω δὲ καὶ μείζονος″ δείκνυσι κολάσεως ἀξίους εἶναι· Ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται, φησί, τουτέστι χαλεπώτερον, μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον ἔχοντες· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ παρὰ τοῖς ἔθνεσι τὸν Θεὸν βλασφημεῖσθαι γενέσθαι αἴτιοι. Τὸ γὰρ ὄνομά μου, φησί, δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. ἐπεὶ οὖν τοῦτο μάλιστα ἦν τὸ δάκνον αὐτοὺς (καὶ γὰρ καὶ τοῖς πεπιστευκόσιν ἐκ περιτομῆς παράδοξον τὸ πρᾶγμα εἶναι ἐδόκει· διὸ καὶ ἐνεκάλουν τῷ Πέτρῳ πρὸς αὐτοὺς ἀπὸ Καισαρείας ἐπανελθόντι, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθε καὶ συνέφαγεν αὐτοῖς· καὶ μετὰ τὸ μαθεῖν τὴν οἰκονομίαν τὴν τοῦ Θεοῦ, ″ἔτι καὶ οὕτως ἐθαύμαζον, πῶς καὶ εἰς τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται, τῷ ἐκπλήττεσθαι ἐνδεικνύμενοι, ὡς οὐκ ἄν ποτε τοῦτο προσεδόκησαν τὸ παράδοξον)″ ἐπεὶ οὖν ᾔδει ὅτι μάλιστα αὐτῶν τοῦτο καθήπτετο, ″ὅρα πῶς αὐτῶν τὸν τῦφον ἐκένωσε, καὶ τὴν ἀλαζονείαν″ ἐξέλυσε σφόδρα οἰδοῦσαν. * διαλεχθεὶς γὰρ περὶ τῶν ἑλληνικῶν, καὶ δείξας αὐτοὺς οὐδεμίαν ἔχοντας οὐδαμόθεν ἀπολογίαν, οὐδὲ ἐλπίδα σωτηρίας, κατηγορήσας δὲ ἀκριβῶς καὶ τῆς τῶν δογμάτων αὐτῶν διαστροφῆς, καὶ τῆς περὶ τὸν βίον ἀκαθαρσίας, μετατίθησιν ἐπὶ τοὺς Ἰουδαίους τὸν λόγον·″ καὶ τὰ ἀπὸ τοῦ προφήτου καταλέξας ἅπαντα, δι' ὧν ἔλεγεν ἐκεῖνος, ὅτι μιαροί τινες ἦσαν, καὶ δολεροί, καὶ ὕπουλοι, καὶ πάντες ἅμα ἠχρειώθησαν, καὶ οὐδεὶς ἐν αὐτοῖς ἐκζητεῖ τὸν Θεόν, ἀλλ' ἐξέκλιναν πάντες, καὶ ὅσα τοιαῦτα· ἐπήγαγεν, Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. τί οὖν ἐπαίρεις σαυτόν, ὦ Ἰουδαῖε; τί μέγα φρονεῖς; καὶ γὰρ καὶ τὸ σὸν ἐμπέφρακται στόμα, καὶ ἡ σὴ παρρησία ἀνῄρηται, καὶ μετὰ τοῦ κόσμου παντὸς καὶ σὺ γέγονας ὑπόδικος, καὶ ὁμοίως τοῖς ἄλλοις ἐν χρείᾳ καθέστηκας τοῦ δωρεὰν δικαιωθῆναι. ἐχρῆν μὲν οὖν μηδέ, εἰ κατωρθωκὼς ἦς καὶ παρρησίαν πολλὴν εἶχες πρὸς τὸν Θεόν, μηδὲ οὕτω τοῖς μέλλουσιν ἐλεεῖσθαι καὶ σώζεσθαι διὰ φιλανθρωπίαν φθονεῖν. πονηρίας γὰρ τοῦτο ἐσχάτης, ἐπὶ τοῖς ἑτέρων τήκεσθαι ἀγαθοῖς, καὶ μάλιστα, ὅτε μηδὲ μετὰ τῆς σῆς τοῦτο ἔμελλε γίνεσθαι ζημίας. εἰ μὲν γὰρ ἡ τῶν ἄλλων σωτηρία τοῖς σοῖς ἐλυμαίνετο καλοῖς, λόγον ἂν εἶχε τὸ ἀλγεῖν· καίτοιγε οὐδὲ τοῦτο″ κατὰ τὸν μεμαθηκότα φιλοσοφεῖν. εἰ δὲ μήτε κολαζομένου θατέρου πλεονάζει σοι τὰ τῶν μισθῶν, μήτε εὖ πράττοντος ἐλαττοῦται, τίνος ἕνεκεν σὺ κόπτεις σαυτὸν ὑπὲρ ὧν ἕτερος σώζεται δωρεάν; ἐχρῆν μὲν οὖν, ὅπερ ἔφην*, μηδέ, εἰ τῶν εὐδοκιμηκότων ἦς, ἐπὶ τῇ κατὰ χάριν εἰς τὰ ἔθνη γινομένῃ δάκνεσθαι σωτηρίᾳ. ὅταν δὲ τῶν αὐτῶν ὑπεύθυνος ὢν τῷ δεσπότῃ, καὶ προσκεκρουκὼς καὶ αὐτός, δυσχεραίνῃς ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ μεγαφρονῇς, ὡς αὐτὸς ὀφείλων μόνος τῆς χάριτος μετασχεῖν, οὐ βασκανίας μόνον καὶ ἀπονοίας, ἀλλὰ καὶ τῆς ἐσχάτης ἀνοίας, καὶ πάντων τῶν χαλεπωτάτων ἂν εἴης ὑπεύθυνος βασανιστηρίων. τὴν γὰρ τῶν κακῶν ῥίζαν ἁπάντων ἐν σεαυτῷ κατεφύτευσας, τὴν ὑπερηφανίαν.

Ρω. γ. ιθ.

γρ. φησὶ
γρ. πάλιν
γρ. ἐπεὶ ἦν
γρ. πάντα ποι εἰ ὅπως αὐ τὸν τῦφον
γρ. ἐκλύσῃ
* καὶ ὅρα πῶς τοῦτο ποιεῖ.
γρ. ὅτι
γρ. πρὸς
* εἶπον,

ΗΘΙΚΟΝ
Σειρ. ι. ιγ.

Διὸ καί τις σοφὸς ἔλεγεν· Ἀρχὴ ἁμαρτίας, ὑπερηφανία, τουτέστι, ῥίζα καὶ πηγὴ καὶ μήτηρ. οὕτω καὶ ὁ πρωτόπλαστος ἐξέπεσε τῆς μακαρίας ἐκείνης διαγωγῆς· οὕτω καὶ ὁ τοῦτον ἀπατήσας διάβολος ἀπ' ἐκείνου κατηνέχθη τοῦ τῆς ἀξίας ὕψους. ὅθεν εἰδὼς ὁ μιαρὸς τῆς ἁμαρτίας ταύτης τὴν φύσιν ἱκανὴν οὖσαν καὶ ἐξ αὐτῶν καταβαλεῖν τῶν οὐρανῶν, ταύτην ἦλθε τὴν ὁδόν, ὅτε τὸν Ἀδὰμ ἀπὸ τῆς τοσαύτης κατενεγκεῖν ἐσπούδαζε τιμῆς. τῇ γὰρ ἐπαγγελίᾳ τῆς ἰσοθείας φυσήσας αὐτόν, οὕτω κατέρρηξε καὶ κατέβαλεν εἰς αὐτὰ τοῦ ᾅδου τὰ βάραθρα. οὐδὲν γὰρ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀλλοτριοῖ, καὶ τῷ τῆς γεέννης παραδίδωσι πυρί, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς. ταύτης γὰρ ἡμῖν παρούσης, ἅπας ἡμῶν ὁ βίος ἀκάθαρτος γίνεται, κἂν σωφροσύνην, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν εὐχάς, κἂν ἐλεημοσύνην, κἂν ὁτιοῦν ἐπιτελῶμεν. ἀκάθαρτος γάρ, φησι, παρὰ″ Κυρίῳ πᾶς ὑψηλοκάρδιος.

γρ. Κυρίῳ

καταστέλλωμεν οὖν τοῦτο τὸ φύσημα τῆς ψυχῆς, καὶ τὸν ὄγκον τοῦτον ″ἐκκόψωμεν, εἴπερ ″ἐθέλοιμεν εἶναι καθαροὶ, καὶ τῆς τῷ διαβόλῳ κειμένης ἀπηλλάχθαι κολάσεως. ὅτι γὰρ τὸν ἀλαζόνα τὰ αὐτὰ ἐκείνῳ παθεῖν ἀνάγκη, ἄκουσον τοῦ Παύλου λέγοντος· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. τί ἐστι κρίμα; εἰς τὴν αὐτὴν, φησι, καταδίκην, εἰς τὴν αὐτὴν κόλασιν. πῶς οὖν ἄν τις ″ἐκφύγοι τοῦτο τὸ δεινόν, φησιν; εἴπερ ″λογίσαιτο τὴν ἑαυτοῦ φύσιν, καὶ τῶν ἁμαρτημάτων τὸ πλῆθος, καὶ τῶν ἐκεῖ βασανιστηρίων τὸ μέγεθος, καὶ τῶν ἐνταῦθα δοκούντων λαμπρῶν τὸ πρόσκαιρον, οὐδὲν χόρτου διαφέρον, καὶ τῶν ἐαρινῶν ἀνθῶν μᾶλλον μαραινόμενον. ἂν τούτους συνεχῶς παρ' ἑαυτοῖς κινῶμεν τοὺς λογισμοὺς, καὶ τοὺς τὰ μέγιστα κατορθωκότας ἐπὶ μνήμης ἔχωμεν, ″οὐκ ἂν ἡμᾶς ὁ διάβολος ἐπᾶραι δυνήσεται, κἂν μυρία φιλονεικῇ, ἀλλ' οὐδὲ ὑποσκελίσαι τὴν ἀρχήν. ὁ δὲ Θεὸς ὁ τῶν ταπεινῶν, ὁ χρηστὸς καὶ ἐπιεικὴς, αὐτὸς καὶ ὑμῖν καὶ ἡμῖν παράσχοι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην. οὕτω γὰρ δυνησόμεθα καὶ τὰ ἄλλα μετ' εὐκολίας κατορθοῦν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ι. ΕΙΣ ΤΑ ΙΔΙΑ ΗΛΘΕ, ΚΑΙ ΟΙ ΙΔΙΟΙ ΑΥΤΟΝ οὐ παρέλαβον.

Φιλάνθρωπος ὢν ὁ Θεός, ″ἀγαπητέ, καὶ εὐεργετικὸς, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἡμᾶς κατ' ἀρετὴν λάμπειν, καὶ βουλόμενος ἡμᾶς εὐδοκίμους εἶναι. καὶ τοῦτο, βίᾳ μὲν οὐδένα οὐδὲ ἀνάγκῃ, πειθοῖ δὲ καὶ τῷ ποιεῖν εὖ, τοὺς βουλομένους ἅπαντας ἕλκει, καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται. διὰ τοῦτο ἐλθόντα αὐτὸν οἱ μὲν ἔλαβον, οἱ δὲ οὐκ ἐδέξαντο. οὐδένα γὰρ βούλεται ἄκοντα, οὐδὲ ἠναγκασμένον ἔχειν οἰκέτην, ἀλλ' ἑκόντας ἅπαντας καὶ προαιρουμένους, καὶ χάριν αὐτῷ τῆς δουλείας εἰδότας. ἄνθρωποι μὲν γάρ, ἅτε ἐν χρείᾳ καθεστῶτες τῆς τῶν οἰκετῶν διακονίας, καὶ μὴ βουλομένους ″πολλοὺς τῷ τῆς δεσποτείας κατέχουσι νόμῳ· ὁ δὲ Θεὸς ἀνενδεὴς ὤν, καὶ ″μηδενὸς τῶν ἡμετέρων ἐν χρείᾳ καθεστηκὼς, τῆς δὲ ἡμετέρας ἕνεκεν σωτηρίας μόνον ἅπαντα πράττων, ἡμᾶς αὐτοὺς ποιεῖ τούτου κυρίους· καὶ διὰ τοῦτο τῶν μὴ βουλομένων οὐδενὶ βίαν ἐπιτίθησιν, οὐδὲ ἀνάγκην. πρὸς γὰρ τὸ συμφέρον ἡμῖν ὁρᾷ μόνον. τὸ γὰρ ἄκοντας πρὸς ταύτην ἕλκεσθαι τὴν δουλείαν, ἴσον τῷ μηδὲ ὅλως δουλεύειν ἐστί. τί οὖν κολάζει, φησί, τοὺς οὐκ ἐθέλοντας ″ὑπακούειν αὐτῷ; τί δὲ καὶ γέενναν ἠπείλησε τοῖς οὐκ ″ἀνεχομένοις τῶν ἐπιταγμάτων αὐτοῦ; ὅτι καὶ μὴ πειθομένων ἡμῶν σφόδρα κήδεται, λίαν ὢν ἀγαθός, καὶ ἀποπηδώντων καὶ φευγόντων οὐκ ἀφίσταται· ″ἀλλ', ἐπειδὴ τὴν προτέραν τῆς εὐεργεσίας ὁδὸν ″ἀπωσάμεθα, ἐλθεῖν μὴ βουληθέντες τὴν διὰ τῆς πειθοῦς καὶ τοῦ παθεῖν εὖ· τὴν ἑτέραν ″ἐπήγαγε τὴν διὰ τῆς κολάσεως καὶ τῶν τιμωριῶν, πικροτάτην μὲν οὖσαν, ἀναγκαίαν δὲ ″ὅμως, ὅταν ἡ προτέρα ἀτιμάζηται. ἐπεὶ καὶ οἱ νομοθέται πολλὰς καὶ χαλεπὰς κατὰ τῶν ἡμαρτηκότων τιθέασι τιμωρίας, καὶ ὅμως αὐτοὺς οὐκ ἀποστρεφόμεθα διὰ ταῦτα, ἀλλὰ καὶ μᾶλλον τιμῶμεν τῶν κολάσεων χάριν, καὶ ὅτι μηδενὸς δεόμενοι τῶν παρ' ἡμῶν, πολλάκις δὲ οὐδὲ εἰδότες, τίνες ποτὲ ἔσονται οἱ μέλλοντες τῆς διὰ τῶν ″γραμμάτων αὐτῶν ἀπολαύσεσθαι βοηθείας, ὅμως ἐφρόντισαν τῆς κατὰ τὸν βίον τὸν ἡμέτερον εὐταξίας, τιμῶντες μὲν τοὺς ἐν ἀρετῇ ζῶντας, εἴργοντες δὲ διὰ τῶν τιμωριῶν τοὺς ἀκολάστους, ″καὶ τῇ τῶν λοιπῶν ″ἡσυχίᾳ λυμαινομένους. εἰ δὲ τούτους θαυμάζομεν καὶ φιλοῦμεν, οὐ πολλῷ μᾶλλον τὸν Θεὸν ἐκπλήττεσθαι δεῖ καὶ ἀγαπᾶν τῆς τοσαύτης ἕνεκεν κηδεμονίας; καὶ γὰρ ἄπειρον τὸ μέσον ἐστὶ τῆς * ἐκείνων καὶ τῆς τούτου προνοίας τῆς εἰς ἡμᾶς. ἄφατος γὰρ ὄντως, καὶ "ὑπερβολὴν πᾶσαν νικῶν ὁ πλοῦτος τῆς χρηστότητος "τοῦ Θεοῦ. σκόπει δέ· Εἰς τὰ ἴδια ἦλθεν, οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν (ἀνενδεὲς γάρ, ὅπερ ἔφην, τὸ θεῖον) ἀλλὰ τῆς τῶν ἰδίων *εὐεργεσίας· καὶ οὐδὲ οὕτως αὐτὸν οἱ ἴδιοι εἰς τὰ αὐτοῦ παραγινόμενον ἐπ' ὠφελείᾳ τῇ αὐτῶν παρέλαβον, ἀλλὰ καὶ διεκρούσαντο, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἔξω τοῦ ἀμπελῶνος "ἐκβαλόντες ἀπέκτειναν· καὶ οὐδὲ οὕτω τῆς μετανοίας αὐτοὺς ἀπέκλεισεν, ἀλλ' ἔδωκεν, εἰ βουληθεῖεν, μετὰ τὴν τοσαύτην παρανομίαν πάντα ἀπολούσασθαι τὰ πλημμεληθέντα διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ τοῖς οὐδὲν τοιοῦτον εἰργασμένοις, ἀλλὰ μάλιστα πάντων αὐτοῦ φίλοις ἐξισωθῆναι. καὶ ὅτι οὐχ ἁπλῶς, οὐδὲ ψυχαγωγίας ἕνεκεν ταῦτα φθεγγόμεθα, λαμπρὰν ὑπὲρ τούτων ἀφίησι φωνὴν τὰ κατὰ τὸν μακάριον Παῦλον ἅπαντα. οὗτος γὰρ τὸν Χριστὸν διώκων μετὰ τὸν σταυρόν, καὶ τὸν ἐκείνου μάρτυρα* ταῖς πολλαῖς βαλῶν χερσίν, ἐπειδὴ μετενόησε καὶ κατέγνω τῶν πρότερον ἁμαρτηθέντων αὐτῷ, καὶ τῷ διωχθέντι προσέδραμεν, εἰς τοὺς φίλους "αὐτοῦ εὐθέως καὶ τὰ πρωτεῖα ἔχοντας κατέλεξε, κήρυκα καὶ διδάσκαλον τῆς οἰκουμένης ἁπάσης ἀποφήνας αὐτόν, τὸν βλάσφημον, τὸν διώκτην, τὸν ὑβριστήν· καθὼς καὶ αὐτὸς ἀγαλλόμενος ἐπὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, ταῦτα ἀνεκήρυττε, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ καὶ ὥσπερ ἐν στήλῃ τοῖς γράμμασι τὰ πρότερον αὐτῷ τολμηθέντα καταθέμενος, ἅπασιν ἐπεδείκνυ, βέλτιον εἶναι νομίζων τὸν πρότερον αὐτοῦ παρὰ πάντων "στηλιτευθῆναι βίον ἐπὶ τῷ φανῆναι τὸ μέγεθος τῆς τοῦ Θεοῦ δωρεᾶς, ἢ συσκιάσαι τὴν ἄφατον αὐτοῦ καὶ ἀνεκδιήγητον φιλανθρωπίαν, ὀκνοῦντα τὴν οἰκείαν ἅπασιν ἐκπομπεῦσαι πλάνην. διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰς διώξεις, τὰς ἐπιβουλάς, τοὺς πολέμους τοὺς κατὰ τῆς ἐκκλησίας, νῦν μὲν λέγων· Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ· νῦν δέ, Ὅτι ἦλθεν Ἰησοῦς ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν· Ἠκούσατε τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. καθάπερ γάρ τινα ταύτην ἀμοιβὴν ἀποδιδοὺς τῷ Χριστῷ τῆς εἰς αὐτὸν μακροθυμίας, τὸ δεῖξαι, τίνα ὄντα καὶ πῶς ἐχθρὸν καὶ πολέμιον ἔσωσεν, οὕτω μετὰ πολλῆς τῆς παρρησίας κηρύττει τὴν μάχην, ἣν πάσῃ προθυμίᾳ παρὰ τὴν ἀρχὴν ἐμαχέσατο τῷ Χριστῷ· μετὰ δὲ τούτου καὶ τοῖς ἀπεγνωκόσιν ἑαυτῶν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας. καὶ γὰρ καὶ τὸν Χριστὸν διὰ τοῦτό φησι προσίεσθαι αὐτόν, ἵνα ἐν αὐτῷ ἐνδείξηται "πρῶτον τὴν πᾶσαν μακροθυμίαν καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. καὶ γὰρ ἦν ἁπάσης αὐτοῖς συγγνώμης μείζονα τὰ τολμηθέντα, ἅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς ἐμφαίνων, ἔλεγεν·

α. Κορ. ιε. θ.
α. Τιμ. α. ιε.
Γαλ. α. ιγ.

Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Πόθεν ἦλθεν ὁ πάντα πληρῶν καὶ πανταχοῦ παρών; ποῖον κενώσας τόπον τῆς αὐτοῦ παρουσίας, ὁ πάντα τῇ χειρὶ συνέχων καὶ διακρατῶν; τόπον μὲν οὐδ' ἕνα ἤμειψε. πῶς γάρ; τῇ δὲ πρὸς ἡμᾶς καταβάσει τοῦτο εἰργάσατο. ἐπειδὴ γὰρ ἐν τῷ κόσμῳ ὢν οὐκ ἐδόκει παρεῖναι, τῷ μήπω γνωρίζεσθαι, ὕστερον δὲ ἑαυτὸν ἐφανέρωσε, τὴν ἡμετέραν ὑποδῦναι σάρκα καταξιώσας, τὴν φανέρωσιν ταύτην καὶ τὴν κατάβασιν, παρουσίαν καλεῖ. θαυμάσαι "δ' ἄν τις τοῦ μαθητοῦ μὴ αἰσχυνομένου ἐπὶ τῇ τοῦ διδασκάλου ἀτιμίᾳ, ἀλλὰ* μετὰ παρρησίας τὴν εἰς αὐτὸν γεγενημένην "ἀναγράφοντος ὕβριν. καὶ τοῦτο "δὲ οὐ μικρὸν τοῦ φιλαλήθους αὐτοῦ τρόπου τεκμήριον· καὶ ἄλλως δέ, τὸν αἰσχυνόμενον ὑπὲρ τῶν ὑβρικότων, οὐχ ὑπὲρ τοῦ παροινηθέντος αἰσχύνεσθαι χρή. οὗτος μὲν γὰρ ταύτῃ μᾶλλον ἔλαμψε, καὶ μετὰ τὴν ὕβριν τοσαύτην τῶν ὑβρικότων ποιούμενος πρόνοιαν· ἐκεῖνοι δὲ ἀγνώμονες καὶ μιαροὶ παρὰ πᾶσιν "ἀνεφάνησαν, τὸν ἐπὶ τοσούτοις παραγινόμενον ἀγαθοῖς, ὡς ἐχθρὸν ἀπωσάμενοι καὶ πολέμιον. οὐ ταύ-

γρ. ὑπὲρ ἄ
νοιαν πᾶσ
γρ. αὐτοῦ.
* ἕνεκεν
γρ. ἐκβαλλ
τες
* Στέφανο
γρ. αὐτοῦ
γρ. στηλωθ
γρ. πρῶτο
γρ. ἄξιον τὸ
μαθητὴν
αἰσχυνόμ
* καὶ
γρ. -τε
γρ. γὰρ

τῇ δὲ μόνον ἐβλάβησαν″, ἀλλὰ καὶ τὸ μὴ τυχεῖν ὧν ἔτυχον οἱ ″λαμβάνοντες αὐτόν. τίνος δὲ ἔτυχον οὗτοι;

12 Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι,

Φησί. τί οὖν οὐ λέγεις ἡμῖν, ὦ μακάριε, καὶ τὴν τῶν μὴ δεξαμένων αὐτὸν κόλασιν; ἀλλ' ὅτι μὲν ἴδιοι ἦσαν, καὶ εἰς τὰ ἴδια παραγενόμενον οὐ παρέλαβον, εἶπες· τί δὲ ἀντὶ τούτων πείσονται, καὶ ποίαν ὑποστήσονται κόλασιν, τοῦτο οὐκ ἔτι προσέθηκας· καίτοι μειζόνως ἂν αὐτοὺς οὕτως ἐφόβησας, καὶ τὸ σκληρὸν τῆς ἀπονοίας ἐμάλαξας διὰ τῆς ἀπειλῆς. τίνος οὖν ἕνεκεν ἀπεσιώπησας; καὶ τίς ταύτης, φησὶ, τῆς κολάσεως ἑτέρα μείζων ἄν ποτε γένοιτο, ὅταν, προκειμένης ἐξουσίας αὐτοῖς τέκνα Θεοῦ γενέσθαι, μὴ γένωνται· ἀλλ' ἑκόντες ἑαυτοὺς τῆς τοσαύτης ″ἀποστερήσωσιν εὐγενείας τε καὶ τιμῆς; πλὴν ἀλλ' οὐδὲ ἐνταῦθα μόνον αὐτοῖς τὰ τῆς τιμωρίας στήσεται μέχρι τοῦ μηδὲν λαβεῖν ἀγαθὸν, ἀλλὰ καὶ τὸ ἄσβεστον αὐτοὺς διαδέξεται πῦρ, ὃ καὶ προϊὼν, σαφέστερον ἀπεκάλυψε. τέως δὲ λέγει τὰ ἀπόρρητα ἀγαθὰ τῶν εἰληφότων αὐτὸν, καὶ ἐν βραχεῖ περιίστησιν ″αὐτὰ τὰ ῥήματα, λέγων οὕτως· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα τοῦ Θεοῦ γενέσθαι. κἂν δοῦλοι, κἂν ἐλεύθεροι, κἂν ἕλληνες, κἂν βάρβαροι, κἂν Σκύθαι, κἂν ἄσοφοι, κἂν σοφοὶ, κἂν γυναῖκες, κἂν ἄνδρες, κἂν παιδία, κἂν πρεσβύται, κἂν ἄτιμοι, κἂν ἔντιμοι, κἂν πλούσιοι, κἂν πένητες, κἂν ἄρχοντες, κἂν ἰδιῶται, φησι, πάντες τῆς αὐτῆς ἠξίωνται τιμῆς. ἡ γὰρ πίστις καὶ ἡ τοῦ πνεύματος χάρις τὴν ἐκ τὴν κοσμικὴν * ἀνωμαλίαν ″περιελοῦσα, εἰς μίαν ἅπαντας ἔπλασε μορφὴν, καὶ εἰς ἕνα ἀπετύπωσε χαρακτῆρα τὸν βασιλικόν. τί ταύτης ἂν γένοιτο τῆς φιλανθρωπίας ἶσον; βασιλεὺς μὲν, ὁ ἐκ τοῦ αὐτοῦ ″διηρτισμένος ἡμῖν πηλοῦ, τοὺς ὁμοδούλους, καὶ τῆς αὐτῆς αὐτῷ κοινωνοῦντας φύσεως, πολλάκις δὲ καὶ τὸν τρόπον ἀμείνους ὄντας, οὐκ ἀξιοῖ καταλέγειν εἰς τὸ στρατόπεδον τὸ βασιλικὸν, ἂν δοῦλοι τύχωσιν ὄντες· ὁ δὲ μονογενὴς τοῦ Θεοῦ παῖς οὐκ ἀπηξίωσε, καὶ τελώνας, καὶ μάγους, καὶ δούλους, καὶ τοὺς πάντων ἀτιμοτέρους καὶ πενεστέρους, πολλοὺς δὲ καὶ τὰ σώματα ἀναπήρους, καὶ μυρίαν ἔχοντας λώβην, εἰς τὸν τῶν τέκνων καταλέξαι χορόν. τοσαύτη τῆς εἰς αὐτὸν πίστεως ἡ ἰσχὺς, τοσαύτη τῆς χάριτος ἡ ὑπερβολή. καὶ καθάπερ ἡ τοῦ πυρὸς φύσις τῇ τῶν μετάλλων ὁμιλήσασα γῇ, χρυσὸν ″αὐτὴν ἀπὸ γῆς εὐθέως ἐποίησεν· οὕτω δὴ, καὶ πολλῷ μᾶλλον αὐτὴ πλύνων χρυσοῦς τὸ βάπτισμα ἐργάζεται τοὺς λελουμένους, τοῦ πνεύματος, πυρὸς δίκην κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὰς ἡμετέρας ἐμπεσόντος ψυχὰς, καὶ τὴν μὲν εἰκόνα τοῦ χοϊκοῦ κατακαίοντος, τὴν δὲ εἰκόνα τοῦ ἐπουρανίου νεοπαγῆ καὶ λαμπρὰν καὶ ὡς ἀπὸ χωνευτηρίου στίλβουσαν ἀναφέροντος. καὶ τί δήποτε οὐκ εἶπεν, ὅτι ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι; δεικνὺς ὅτι πολλῆς δεῖ τῆς σπουδῆς, ὥστε τὴν ἐν τῷ βαπτίσματι τῆς υἱοθεσίας ἡμῖν ἐντυπωθεῖσαν εἰκόνα, ἀκηλίδωτον διόλου διατηρῆσαι καὶ ἀνέπαφον· ἅμα δὲ καὶ ἐμφαίνων, ὅτι τὴν ἐξουσίαν ταύτην οὐδεὶς ἡμᾶς ἀφελέσθαι δυνήσεται, ἐὰν μὴ προλαβόντες ἑαυτοὺς ἀφελώμεθα. εἰ γὰρ οἱ παρὰ ἀνθρώπων κῦρός τινων πραγμάτων ″λαβόντες, τοσαύτην ἔχουσι τὴν ἰσχὺν, ὅσην σχεδὸν οἱ δεδωκότες αὐτοῖς· πολλῷ μᾶλλον οἱ παρὰ τοῦ Θεοῦ ταύτης τυχόντες τῆς τιμῆς, ἂν μηδὲν τῆς ἐξουσίας ταύτης ἀνάξιον πράξωμεν, πάντων ἐσόμεθα δυνατώτεροι, διὰ τὸ καὶ πάντων εἶναι μείζω τε καὶ ἀγαθώτερον τὸν ταύτην ἡμῖν ἐγχειρίσαντα τὴν τιμήν. ἅμα δὲ καὶ ἐνδείξασθαι βούλεται, ὅτι οὐχ ἁπλῶς οὐδὲ ἡ χάρις ἔπεισιν, ἀλλὰ τοῖς βουλομένοις καὶ ἐσπουδακόσι. καὶ γὰρ καὶ ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ τούτων τὸ γενέσθαι τέκνα. ἂν γὰρ μὴ ἕλωνται αὐτοὶ πρότεροι, οὐκ ἔπεισιν ἡ δωρεὰ, οὐδὲ ἐργάζεταί τι. πανταχοῦ τοίνυν τὸ μὲν κατηναγκασμένον ἐκβαλὼν, τὸ δὲ αὐθαίρετον καὶ αὐτεξούσιον δεικνὺς, τοῦτο καὶ νῦν εἴρηκε. καὶ γὰρ ἐν αὐτοῖς τούτοις τοῖς ἀπορρήτοις ἀγαθοῖς τὸ μέν ἐστι τοῦ Θεοῦ, τὸ δοῦναι τὴν χάριν· τὸ δὲ τοῦ ἀνθρώπου, τὸ παρασχεῖν τὴν πίστιν. καὶ ἐν τοῖς μετὰ ταῦτα δὲ

χρόνῳ πολλῆς δεῖ λοιπὸν τῆς σπουδῆς. οὐ γὰρ ἀρκεῖ πρὸς τὴν τῆς καθαρότητος ἡμῖν φυλακὴν τὸ βαπτισθῆναι καὶ πιστεῦσαι μόνον, ἀλλὰ δεῖ, εἰ μέλλοιμεν ταύτης διὰ παντὸς ἀπολαύσεσθαι τῆς φαιδρότητος, ἄξιον αὐτῆς παρέχεσθαι βίον. τοῦτο δὲ ἐφ' ἡμῖν ἐποίησεν ὁ Θεός. τὸ μὲν " γὰρ γεννηθῆναι τὴν μυστικὴν γέννησιν, καὶ πάντων ἐκκαθαρθῆναι τῶν πρότερον ἡμαρτημένων ἡμῖν, ἀπὸ τοῦ βαπτίσματος γίνεται· τὸ δὲ μεῖναι εἰς τὸ ἑξῆς καθαρούς, καὶ μηδεμίαν μετὰ ταῦτα δέξασθαι κηλῖδα πάλιν, τῆς ἡμετέρας ἐστὶν ἐξουσίας τε καὶ σπουδῆς. διά τοι τοῦτο καὶ τοῦ τρόπου τῆς γεννήσεως ἡμᾶς ἀνέμνησε, καὶ ἀπὸ συγκρίσεως τῶν σαρκικῶν ὠδίνων τὴν ὑπεροχὴν ἔδειξεν, εἰπών·

γ. ἐν

13 Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

Τοῦτο δὲ ἐποίησεν, ἵνα τὸ εὐτελὲς καὶ ταπεινὸν τοῦ προτέρου τόκου καταμαθόντες, τοῦ δι' αἱμάτων καὶ θελήματος σαρκός, καὶ τὸ ὑψηλὸν καὶ εὐγενὲς τοῦ δευτέρου, τοῦ διὰ τῆς χάριτος, ἐπιγνόντες, μεγάλην τινὰ κἀντεῦθεν περὶ αὐτοῦ λάβωμεν ἔννοιαν, καὶ τῆς τοῦ γεγεννηκότος ἀξίαν δωρεᾶς, καὶ πολλὴν μετὰ ταῦτα ἐπιδειξώμεθα σπουδήν.

ΗΘΙΚΟΝ

Δέος γὰρ οὐ μικρόν, μήποτε τὴν καλὴν ταύτην μολύναντες στολὴν τῇ μετὰ ταῦτα ῥᾳθυμίᾳ καὶ τοῖς πλημμελήμασιν, ἐκβληθῶμεν τῆς παστάδος καὶ τοῦ νυμφῶνος, κατὰ τὰς πέντε παρθένους ἐκείνας τὰς μωράς, ἢ κατὰ τὸν οὐκ ἔχοντα ἔνδυμα γάμου. καὶ γὰρ κἀκεῖνος τῶν δαιτυμόνων ἦν (ἐκλήθη γὰρ καὶ αὐτός) ἀλλ' ἐπειδὴ μετὰ τὴν κλῆσιν καὶ τὴν τοσαύτην τιμὴν ἐξύβρισεν εἰς τὸν κεκληκότα, ἄκουσον οἵαν δίδωσι δίκην, πῶς ἐλεεινὴν καὶ πολλῶν ἀξίαν δακρύων. παραγενόμενος γὰρ ἐπὶ τῷ τῆς λαμπρᾶς ἐκείνης τραπέζης μετασχεῖν, οὐ μόνον εἴργεται τῆς εὐωχίας, ἀλλὰ καὶ τὰς χεῖρας δεθεὶς καὶ τοὺς πόδας ὁμοίως, εἰς τὸ σκότος ἄγεται τὸ ἐξώτερον, τὸν αἰώνιον καὶ ἄπειρον ὀλοφυρμὸν καὶ * βρυγμὸν τῶν ὀδόντων ὑποστησόμενος. μὴ τοίνυν, ἀγαπητοί, μηδὲ ἡμεῖς ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν τὴν πίστιν " ἐλπίζωμεν. ἂν γὰρ μὴ βίον ἐπιδειξώμεθα καθαρόν, ἀλλ' ἀνάξια τῆς μακαρίας κλήσεως ταύτης ἱμάτια ἀμφιασάμενοι παραγενώμεθα, οὐδὲν κωλύει καὶ ἡμᾶς παθεῖν τὰ αὐτά, ἅπερ ἐκεῖνος ὁ δείλαιος. καὶ γὰρ ἄτοπον, αὐτὸν μέν, Θεὸν ὄντα καὶ βασιλέα, ἀνθρώπους εὐτελεῖς καὶ ἀγύρτας καὶ μηδενὸς ἀξίους * μὴ ἐπαισχύνεσθαι, ἀλλὰ τοὺς ἀπὸ τῆς τριόδου πρὸς τὴν τράπεζαν ἄγειν ἐκείνην· ἡμᾶς δὲ τοσαύτην ἀναισθησίαν ἐπιδείκνυσθαι, ὡς μηδὲ τῇ τοσαύτῃ τιμῇ γενέσθαι βελτίους, ἀλλὰ καὶ μετὰ τὴν κλῆσιν ἐπὶ τῆς αὐτῆς μένειν κακίας, εἰς τὴν ἄφατον τοῦ κεκληκότος ἐμπαροινοῦντας φιλανθρωπίαν. οὐδὲ γὰρ διὰ τοῦτο ἡμᾶς ἐπὶ τὴν πνευματικὴν ταύτην καὶ φρικτὴν τῶν μυστηρίων ἐκάλεσε κοινωνίαν, ἵνα μετὰ τῆς προτέρας εἰσερχώμεθα κακίας, ἀλλ' ἵνα ἀποδυσάμενοι τὴν αἰσχρότητα, μεταμφιασώμεθα ἃ τοὺς ἐν τοῖς βασιλείοις ἑστιωμένους ἠμφιάσθαι χρή· εἰ δὲ μὴ βουλοίμεθα ἄξια τῆς κλήσεως πρᾶξαι ἐκείνης, οὐκ "ἔτι τοῦτο παρὰ τὸν τετιμηκότα, ἀλλὰ παρ' ἡμᾶς. οὐδὲ γὰρ ἐκεῖνος ἡμᾶς ἐκβάλλει τοῦ θαυμαστοῦ τῶν δαιτυμόνων χοροῦ, ἀλλ' ἡμεῖς ἑαυτούς. ὁ μὲν γὰρ τὸ ἑαυτοῦ πᾶν ἤνυσε. καὶ γὰρ τοὺς γάμους ἐποίησε, καὶ τὴν τράπεζαν παρεσκεύασε, καὶ τοὺς καλέσοντας ἔπεμψε, καὶ παραγενομένους ἐδέξατο, καὶ τὴν ἄλλην ἅπασαν τετίμηκε τιμήν· ἡμεῖς δὲ καὶ εἰς αὐτόν, καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τὸν γάμον ὑβρίσαντες διὰ τῶν ῥυπαρῶν ἱματίων, τουτέστι, τῶν ἀκαθάρτων πράξεων, εἰκότως ἐκβαλλόμεθα λοιπόν. ταύτῃ γὰρ καὶ τὸν γάμον τιμῶν καὶ τοὺς κεκλημένους, ἀπελαύνει τοὺς ἰταμοὺς καὶ ἀναισχύντους ἐκείνους. εἰ γὰρ εἴασε τοὺς ἐκεῖνο ἠμφιεσμένους τὸ ἱμάτιον, αὐτὸς ἂν ἔδοξε καὶ τοὺς ἄλλους ὑβρίζειν. ἀλλὰ μηδ' ἕνα γένοιτο τοιούτου πειραθῆναι τοῦ κεκληκότος, μήτε ἡμῶν μήτε ἑτέρων τινῶν. διὰ γὰρ τοῦτο πρὶν ἢ γενέσθαι, ταῦτα πάντα ἀναγέγραπται, ἵνα ἐν τῇ τῶν γραμμάτων ἀπειλῇ σωφρονισθέντες, μὴ συγχωρήσωμεν εἰς ἔργον ἐλθεῖν τὴν ἀτιμίαν καὶ τὴν κόλασιν ταύτην, ἀλλ' ἐπὶ τῶν ῥημάτων αὐτὴν στήσωμεν μόνον, καὶ μετὰ λαμπρᾶς ἕκαστος στολῆς εἰς τὴν κλῆσιν ἐκείνην παραγενώμεθα·

* ἢ

γ. νομίζωμεν

* ὄντας

γ. ἔστι

ἧς ἀπολαῦσαι γένοιτο πάντας ἡμᾶς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ια. 14 ΚΑΙ Ο ΛΟΓΟΣ ΣΑΡΞ ΕΓΕΝΕΤΟ, ΚΑΙ ΕΣΚΗνωσεν ἐν ἡμῖν.

Μίαν ὑμᾶς ἅπαντας αἰτῆσαι βούλομαι χάριν, πρὶν ἢ τῶν εὐαγγελικῶν ἅψασθαι ῥημάτων. ἀλλὰ μὴ ἀνανεύσητε πρὸς τὴν αἴτησιν. οὔτε γὰρ βαρύ τι καὶ ἐπαχθὲς αἰτῶ, οὔτε ἐμοὶ τῷ λαμβάνοντι ″ μόνον χρήσιμον ἔσται τὸ διδόμενον, ἀλλὰ καὶ ὑμῖν τοῖς παρέχουσι, καὶ τάχα πολλῷ πλέον ὑμῖν. τί ποτ' οὖν ἐστιν ὅπερ αἰτοῦμαι ὑμᾶς; κατὰ μίαν σαββάτων, ἢ * κατὰ σάββατον, τὴν μέλλουσαν ἐν ὑμῖν ἀναγνωσθήσεσθαι τῶν εὐαγγελίων περικοπήν, ταύτην πρὸ τούτων τῶν ἡμερῶν μετὰ χεῖρας λαμβάνων ἕκαστος, οἴκοι καθήμενος ἀναγινωσκέτω συνεχῶς, καὶ πολλάκις περισκοπείτω μετ' ἀκριβείας τὰ ἐγκείμενα, καὶ βασανιζέτω πάντα καλῶς, καὶ τί μὲν σαφές, τί δὲ ″ ἄδηλον, * ″ καὶ τί πρὸς τῶν ἐναντίων εἶναι δοκοῦν, οὐκ ὂν δέ· καὶ πάντα ἁπλῶς διακωδωνίσαντες, οὕτως ἀπαντᾶτε πρὸς τὴν ἀκρόασιν. οὐ γὰρ μικρὸν ἀπὸ τῆς τοιαύτης σπουδῆς καὶ ὑμῖν καὶ ἡμῖν ἔσται τὸ κέρδος. ἡμεῖς μὲν γὰρ οὐ πολλοῦ δεησόμεθα πόνου πρὸς τὸ σαφῆ ποιῆσαι τῶν λεγομένων τὴν δύναμιν, τῆς διανοίας ὑμῶν ἤδη προοικειωθείσης τῇ τῶν ῥημάτων γνώσει· ὑμεῖς δὲ ὀξύτεροι καὶ διορατικώτεροι τούτῳ τῷ τρόπῳ γενήσεσθε, οὐ πρὸς τὴν ἀκρόασιν μόνον, οὐδὲ πρὸς τὴν μάθησιν, ἀλλὰ καὶ πρὸς τὸ διδάξαι ἑτέρους. ἐπεί, ὥς γε νῦν οἱ πολλοὶ τῶν ἐνταῦθα ″ παραγινομένων ἀκούουσιν, ὁμοῦ πάντα ἀναγκαζόμενοι μαθεῖν τά τε ῥήματα, τά τε παρ' ἡμῶν εἰς αὐτὰ λεγόμενα, οὐδ' ἂν εἰς ἐνιαυτὸν ὅλον τοῦτο ποιοῦντες διατελοίημεν, μέγα τι καρπώσονται κέρδος. πῶς γάρ, ὅταν ἐκ παρέργου, καὶ ἐνταῦθα μόνον κατὰ τὸν βραχὺν τοῦτον τοῖς λεγομένοις σχολάζωσι καιρόν; εἰ δέ τινες πράγματα ″ αἰτιῷντο καὶ φροντίδας, καὶ πολλὴν τήν τε τῶν πολιτικῶν καὶ τῶν ἰδιωτικῶν ἀσχολίαν, πρῶτον μὲν αὐτὸ τοῦτο ἔγκλημα οὐ μικρόν, τὸ κυκλοῦσθαι τοσούτων πραγμάτων πλήθει, καὶ τοῖς βιωτικοῖς οὕτω προσηλῶσθαι διὰ παντός, ὡς μηδὲ μικρὰν εἰς τὰ πάντων ἀναγκαιότερα ἄγειν σχολήν. ἔπειτα ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, κατηγορήσαιεν ἂν αὐτῶν καὶ φίλων συνουσίαι, καὶ αἱ ἐν τοῖς θεάτροις διατριβαί, καὶ τὰ συνέδρια, ἃ διὰ θέας ἕνεκεν τῆς τῶν ἵππων ἁμίλλης ποιοῦνται, ἐν αἷς πολλάκις ἡμέρας ἀνήλωσαν ὁλοκλήρους [καὶ φίλοις συνελθόντες ἐπιπολύ,] καὶ οὐδαμοῦ τὴν τῶν πραγμάτων ἀσχολίαν ᾐτιάσατό τις ἐν τούτοις αὐτῶν. εἶτα ἐν μὲν τοῖς ἀτελέσιν ἀπροφασίστως πανταχοῦ καὶ σχολὴν ἄγειν βαθεῖαν δύνασθε· εἰ δὲ τοῖς τοῦ Θεοῦ δέοι προσέχειν, τοσοῦτον ὑμῖν ταῦτα περιττότερα καὶ ἀτιμότερα πάντων εἶναι δοκεῖ, ″ ὡς μηδὲ μικρὰν ‴ οἴεσθαι δεῖν ἀπονέμειν αὐτοῖς σχολήν; καὶ πῶς ἄξιον οὕτω διακειμένους ἀναπνεῖν, ἢ τὸν ἥλιον τοῦτον ὁρᾶν; ἔστι καὶ ἑτέρα πρόφασις τοῖς οὕτω ῥαθύμοις ἀλογωτάτη, τὸ μὴ κεκτῆσθαι μηδὲ ἔχειν βιβλία. καὶ πρὸς μὲν τοὺς πλουτοῦντας, γέλως ὑπὲρ ταύτης * ἀποτείνεσθαι τῆς προφάσεως. ἐπειδὴ δὲ τῶν πενεστέρων πολλοὺς οἶμαι κατακεχρῆσθαι αὐτῇ συνεχῶς, ἐκεῖνο ἂν ἡδέως ἐροίμην αὐτούς, εἰ μὴ πάντα τὰ τῆς τέχνης ὄργανα, ἧς ἕκαστός ἐστι δημιουργός, πλήρη καὶ ὁλόκληρα ἔχοι, κἂν μυρία κωλύῃ πενία. πῶς οὖν οὐκ ἄτοπον, ἐκεῖ μὲν μὴ αἰτιᾶσθαι πενίαν, ἀλλὰ πάντα πράττειν πρὸς τὸ μηδὲν γενέσθαι ἐμπόδιον, μηδαμόθεν μέλλοντας δὲ τοσαύτην ὠφέλειαν καρποῦσθαι, ἀσχολίαν ἀποδύρεσθαι, καὶ πενίαν; πλὴν ἀλλὰ καὶ εἴ τινες οὕτω πένητες εἶεν, ἔνεστιν ἐκ τῆς συνεχοῦς ἐνταῦθα γινομένης ἀναγνώσεως μηδὲν ἀγνοεῖν τῶν ἐγκειμένων ταῖς θείαις γραφαῖς.

Εἰ δὲ ἀδύνατον ὑμῖν τοῦτο εἶναι δοκεῖ, εἰκότως τοῦτο δοκεῖ. οὐδὲ γὰρ μετὰ πολλῆς πολλοὶ παραγίνονται τῆς προθυμίας τῶν λεγομένων ἀκροασόμενοι· ἀλλ' αὐτὸ τοῦτο μόνον ἀφοσιωσάμενοι πρὸς "ἡμᾶς, εὐθέως ὑποστρέφουσιν οἴκαδε· εἰ δέ τινες καὶ ἐνδιατρίψαιεν, τῶν ἀναχωρησάντων οὐδὲν ἄμεινον διάκεινται, τῷ σώματι μόνον ἐνταῦθα παρόντες ἡμῖν· ἀλλ' ἵνα μὴ ἐπὶ πλέον ταῖς αἰτίαις ["ὑμῶν] βαρύνωμεν, καὶ ἐν ταῖς μέμψεσι τὸν καιρὸν ἀναλώσωμεν ἅπαντα, ἴωμεν ἐπὶ τὰ τοῦ εὐαγγελίου "ῥητά. ὥρα γὰρ λοιπὸν εἰς τὰ προκείμενα καθεῖναι τὸν λόγον. ἀλλὰ διανάστητε, ὥστε μηδὲν ὑμᾶς τῶν λεγομένων παρελθεῖν. καὶ ὁ λόγος σὰρξ ἐγένετο, φησί, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Εἰπὼν ὅτι ἐκ Θεοῦ ἐγεννήθησαν οἱ λαβόντες αὐτόν, καὶ τέκνα Θεοῦ γεγόνασι, τῆς ἀφάτου ταύτης τιμῆς τίθησι τὴν αἰτίαν καὶ τὴν ὑπόθεσιν. αὕτη δέ ἐστι, τὸ γενέσθαι σάρκα τὸν λόγον, καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν τὸν δεσπότην. ἐγένετο γὰρ υἱὸς ἀνθρώπου, Θεοῦ γνήσιος ὢν υἱός, ἵνα τοὺς τῶν ἀνθρώπων υἱοὺς τέκνα ποιήσῃ Θεοῦ. τὸ γὰρ ὑψηλὸν τῷ ταπεινῷ προσομιλοῦν, αὐτὸ μὲν οὐδὲν εἰς τὴν οἰκείαν παραβλάπτεται δόξαν, ἐκεῖνο δὲ ἀπὸ τῆς πολλῆς ἀνίστησι ταπεινότητος· ὅπερ οὖν καὶ ἐπὶ τοῦ Κυρίου γέγονε. τήν τε γὰρ ἰδίαν φύσιν οὐδὲν ἀπὸ ταύτης ἠλάττωσε τῆς "συγκαταβάσεως, ἡμᾶς "τε τοὺς διὰ παντὸς ἐν ἀδοξίᾳ καθημένους καὶ σκότῳ, πρὸς δόξαν ἄφατον ἀνήγαγεν. οὕτω πού καὶ βασιλεὺς πτωχῷ καὶ πένητι διαλεγόμενος μετὰ σπουδῆς καὶ εὐνοίας, ἑαυτὸν μὲν οὐδὲν ἤσχυνεν, ἐκεῖνον δὲ παρὰ πᾶσι περίβλεπτον ἐποίησεν εἶναι καὶ λαμπρόν. εἰ δὲ ἐπὶ τῆς ἐπεισάκτου τῶν ἀνθρώπων ἀξίας, οὐδὲν τὸν ἐντιμότερον ἡ πρὸς τὸν εὐτελέστερον ὁμιλία παρέβλαψε· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀκηράτου καὶ μακαρίας ἐκείνης οὐσίας, τῆς ἐπείσακτον μὲν ἐχούσης οὐδὲν οὐδὲ γινόμενον καὶ ἀπογινόμενον, πάντα δὲ "ἐχούσης ἀκίνητα καὶ πεπηγότα εἰς τέλος τὰ ἀγαθά. ὥστε ὅταν ἀκούσῃς ὅτι ὁ λόγος σὰρξ ἐγένετο, μὴ θορυβηθῇς, μηδὲ καταπέσῃς. οὐδὲ γὰρ ἡ οὐσία μετέπεσεν εἰς σάρκα (τοῦτο γὰρ "τῆς ἀσεβείας ἐστὶν *ἐννοῆσαι) ἀλλὰ μένουσα ὅπερ ἐστίν, οὕτω τοῦ δούλου τὴν μορφὴν ἀνέλαβε. τίνος οὖν ἕνεκεν τῷ, ἐγένετο, κέχρηται ῥήματι; τὰ τῶν αἱρετικῶν ἐμφράττων στόματα. ἐπειδὴ γάρ εἰσιν οἱ λέγοντες, ὅτι φαντασία τις ἦν, καὶ ὑπόκρισις, καὶ ὑπόνοια τὰ τῆς οἰκονομίας ἅπαντα, ἄνωθεν αὐτῶν προαναιρῶν τὴν βλασφημίαν, τὸ ἐγένετο τέθεικεν, οὐ μεταβολὴν οὐσίας, ἄπαγε, ἀλλὰ σαρκὸς ἀληθινῆς ἀνάληψιν παραστῆσαι βουλόμενος. ὥσπερ γὰρ ὅταν λέγῃ, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, οὐ τοῦτό φησιν, ὅτι ἡ οὐσία αὐτοῦ τῆς οἰκείας ἀποστᾶσα δόξης, εἰς κατάραν οὐσιώθη (τοῦτο γὰρ οὐδ' ἂν δαίμονες ἐννοήσαιεν, "οὔτε οἱ σφόδρα ἀνόητοι, καὶ τῶν κατὰ φύσιν ἀπεστερημένοι φρενῶν, τοσαύτην "ἔχον μετὰ τῆς ἀσεβείας καὶ τὴν παράνοιαν) οὐ δὴ τοῦτο οὖν λέγει, ἀλλ' ὅτι τὴν καθ' ἡμῶν κατάραν δεξάμενος, οὐκ ἀφίησιν ἡμᾶς ἐπαράτους εἶναι λοιπόν· οὕτω δὲ καὶ ἐνταῦθα, σάρκα φησὶν αὐτὸν "γενέσθαι, οὐ μεταβαλόντα εἰς σάρκα τὴν οὐσίαν, ἀλλ' ἀναλαβόντα αὐτήν, ἀνεπάφου μενούσης ἐκείνης. εἰ δὲ λέγοιεν, ὅτι Θεὸς ὢν ἅπαντα δύναται, ὥστε καὶ εἰς σάρκα μεταπεσεῖν ἠδύνατο, ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι πάντα δύναται ἕως ἂν μένῃ Θεὸς ὤν. εἰ δὲ μεταβολὴν ἐδέξατο, καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον, πῶς ἂν εἴη Θεός; τὸ γὰρ μεταβάλλεσθαι, πόρρω τῆς ἀκηράτου φύσεως ἐκείνης. διὸ καὶ ὁ προφήτης ἔλεγε· Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. πάσης γὰρ "ἀνωτέρα μεταβολῆς ἡ οὐσία αὕτη. οὔτε γὰρ κρεῖττόν τί ἐστιν αὐτοῦ, ὥστε προκόψαντα αὐτὸν ἐπὶ τοῦτο ἐλθεῖν. τί λέγω κρεῖττον; "ἀλλ' οὐδὲ ἴσον, οὐδὲ μικρὸν "ἐγγύς. οὐκοῦν λείπεται τὴν ἐπὶ τὸ χεῖρον αὐτὸν δέξασθαι μεταβολήν, εἴγε μεταβάλλοιτο· τοῦτο δὲ οὐκ ἂν εἴη Θεός. ἀλλ' ἡ βλασφημία τραπείη εἰς τὰς τῶν ταῦτα λεγόντων κεφαλάς. ὅτι γὰρ διὰ τοῦτο μόνον εἴρηται τό, ἐγένετο, ἵνα μὴ φαντασίαν ὑπολάβῃς, ἄκουσον διὰ τῶν ἑξῆς, πῶς ἐκκαθαίρει τὸν λόγον, καὶ τὴν ὑπόνοιαν ἀνατρέπει

Γαλ. γ. ιγ.

Ψαλ. ρα. κζ.

χ. τῇ ἡμέρ

ἴσ. ὑμᾶς

χ. ῥήματα

χ. ταπεινώσεως,

χ. δὲ

χ. ὅτι νοεῖ-

σθεὶς

* καὶ

χ. οὐδὲ

χ. ἔχει

νατρέπει τὴν πονηράν. ″τί γὰρ ἐπάγει; καὶ ἐσκήνωσεν ἐν ἡμῖν, μονονουχὶ λέγων, μηδὲν ἄτοπον″ ὑποπτεύσῃς ἀπὸ τοῦ, ἐγένετο. οὐ γὰρ τροπὴν εἶπον τῆς ἀτρέπτου φύσεως ἐκείνης, ἀλλὰ σκήνωσιν καὶ κατοίκησιν. τὸ δὲ σκηνοῦν οὐ ταὐτὸν ἂν εἴη τῇ σκηνῇ, ἀλλ' ἕτερον. ἕτερον γὰρ ἐν ἑτέρῳ σκηνοῖ· ἐπεὶ οὐδ' ἂν εἴη σκήνωσις. οὐδὲν γὰρ ἐν ἑαυτῷ κατοικεῖ. ἕτερον δὲ εἶπον κατὰ τὴν οὐσίαν. τῇ γὰρ ἑνώσει καὶ τῇ συναφείᾳ ἕν ἐστιν ὁ Θεὸς λόγος καὶ ἡ σάρξ, οὐ συγχύσεως γινομένης, οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεως ἀῤῥήτου τινὸς καὶ ἀφράστου, ″τὸ δὲ ὅπως μὴ ζήτει· ἐγένετο γάρ, ὡς οἶδεν αὐτός. τίς οὖν ἐστιν ἡ σκηνή, ἣν κατεσκήνωσεν; ἄκουσον τοῦ προφήτου λέγοντος· Ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. πεπτώκει γὰρ ὄντως, πεπτώκει πτῶμα ἀνίατον ἡ φύσις ἡ ἡμετέρα, καὶ τῆς κραταιᾶς ἐκείνης ἐδεῖτο μόνης χειρός. ″οὐδὲ γὰρ ἦν ἑτέρως ἀναστῆναι αὐτήν, μὴ τοῦ τὴν ἀρχὴν διαπλάσαντος, ″αὐτῇ χεῖρα ὀρέξαντος, καὶ διατυπώσαντος ἄνωθεν τῇ δι' ὕδατος ἀναγεννήσει καὶ πνεύματος. καὶ θέα μοι τὸ φρικτὸν καὶ ἀπόῤῥητον″ τοῦ μυστηρίου. ″διαπαντὸς γὰρ ταύτην κατοικεῖ τὴν σκηνήν. τὴν γὰρ σάρκα τὴν ἡμετέραν περιεβάλλετο, οὐχ ὡς πάλιν αὐτὴν ἀφήσων ἀλλ' ὡς διαπαντὸς ἕξων μεθ' ἑαυτοῦ. οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, καὶ τοῦ θρόνου κατηξίωσεν αὐτὴν τοῦ βασιλικοῦ, καὶ φορῶν αὐτὴν προσεκυνεῖτο ὑπὸ πάσης τῆς ἄνω στρατιᾶς, * ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. ποῖος λόγος, ποία διάνοια, τὴν τοσαύτην τιμήν, τὴν εἰς τὸ γένος γεγενημένην τὸ ἡμέτερον, τὴν ″ὄντως ὑπερφυῆ καὶ φρικτὴν παραστῆσαι δυνήσεται); τίς ἄγγελος; τίς ἀρχάγγελος; οὐδεὶς οὐδαμοῦ, οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ κατορθώματα, καὶ οὕτω μεγάλαι καὶ ὑπερφυεῖς αἱ εὐεργεσίαι αὐτοῦ, ὡς μὴ μόνον ἀνθρωπίνην γλῶτταν, ἀλλὰ καὶ ἀγγελικὴν δύναμιν ὑπερβαίνειν αὐτῶν τὴν ἀκριβῆ διήγησιν.

Αμω. θ. ια.

ΗΘΙΚΟΝ

Διὸ καὶ ἡμεῖς εἰς σιγὴν τέως τὸν λόγον″ κατακλείσομεν, τοσοῦτον ὑμῖν παρεγγυήσαντες, ἀμείψασθαι τὸν τηλικοῦτον ἡμῶν εὐεργέτην ἀμοιβαῖς, αἳ πάλιν εἰς ἡμᾶς τὸ κέρδος ″περιστήσουσιν ἅπαν· αὗται δέ εἰσι, τὸ τῆς ψυχῆς ἡμᾶς μετὰ ἀκριβείας ἐπιμελεῖσθαι τῆς ἡμετέρας. καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας ἔργον, τὸ μηδενὸς ἐν χρείᾳ τῶν ἡμετέρων καθεστηκότα, αὐτὸν λέγειν κομίζεσθαι τὰς ἀμοιβάς, ὅταν ἡμεῖς τῆς ψυχῆς ἐπιμελώμεθα τῆς αὐτῶν. διὸ καὶ ἐσχάτης [τῆς] ἀνοίας, καὶ μυρίων κολάσεων ἄξιον *, τοσαύτης ἀπολελαυκότας τιμῆς, μηδὲ τὰ κατὰ δύναμιν εἰσενεγκεῖν, καὶ ταῦτα, τῆς ἐκ τούτων ὠφελείας εἰς ἡμᾶς περιερχομένης πάλιν, καὶ μυρίων ἐπὶ τούτοις κειμένων ἡμῖν ἀγαθῶν. ὑπὲρ δὴ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ φιλανθρώπῳ Θεῷ, μὴ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον διὰ τῶν πραγμάτων, ἵνα καὶ τῶν μετὰ ταῦτα τύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. ιβ. ΚΑΙ ΕΘΕΑΣΑΜΕΘΑ ΤΗΝ ΔΟΞΑΝ ΑΥΤΟΥ,

δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας,

Τάχα πέρα τοῦ δέοντος ἐφάνημεν ὑμῖν ἐπαχθεῖς καὶ φορτικοὶ πρώην, πληκτικωτέρῳ χρησάμενοι τῷ λόγῳ, καὶ μακρὰν κατὰ τῆς τῶν πολλῶν ῥᾳθυμίας ἀποτείναντες τὴν κατηγορίαν. ἀλλ' εἰ μὲν αὐτὸ τοῦτο λυπῆσαι προελόμενοι μόνον ὑμᾶς ταῦτα ἐπράττομεν, εἰκότως ἂν ἕκαστος ἐδυσχέραινεν. εἰ δὲ πρὸς τὸ συμφέρον ὑμῖν βλέποντες, τὴν ἐν τοῖς λόγοις χάριν παρείδομεν, εἰ καὶ μὴ ἀποδέξασθαι βούλε-

ωθε τῆς παραμυθίας ἡμᾶς, ἀλλὰ συγγνῶναι τῆς τοσαύτης ἂν εἴητε δίκαιοι φιλοστοργίας. καὶ γὰρ καὶ σφόδρα δεδοίκαμεν, "μὴ" σπουδαζόντων μὲν ἡμῶν, ὑμῶν δὲ οὐκ ἐθελόντων τὴν αὐτὴν ἐπιδείξασθαι περὶ τὴν ἀκρόασιν φιλοπονίαν, αἱ τῶν μελλόντων εὐθῦναι χαλεπώτεραι γένωνται. διὸ συνεχῶς ἀναγκαζόμεθα διεγείρειν τε ὑμᾶς καὶ ἀφυπνίζειν, ὥστε μηδὲν τῶν λεγομένων παραῤῥυῆναι. οὕτω γὰρ ὑμῖν μετὰ πολλῆς παῤῥησίας νῦν τε ἐξέσται βιῶναι, καὶ κατ᾽ ἐκείνην τὴν ἡμέραν παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ. ἐπεὶ οὖν ἱκανῶς ὑμῶν καθηψάμεθα πρῴην, φέρε τήμερον ἐκ προοιμίων εἰς αὐτὰς τὰς ῥήσεις ἐμβάλωμεν.

Ἐθεασάμεθα, φησὶ, τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός.

Εἰπὼν ὅτι Θεοῦ τέκνα γεγόναμεν, καὶ δείξας "τίνι τρόπῳ, τῷ τὸν λόγον σάρκα γεγενῆσθαι, πάλιν αὐτοῦ τούτου λέγει καὶ ἕτερον κέρδος. τί δὲ τοῦτό ἐστιν; ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός· οὐκ ἂν θεασάμενοι, εἰ μὴ διὰ τοῦ συγγενοῦς σώματος ἡμῖν ὤφθη. εἰ γὰρ Μωϋσέως τῆς αὐτῆς ἡμῖν μετέχοντος φύσεως οὐχ ὑπέμειναν οἱ καὶ "ἐκεῖνοι τὸν καιρὸν τὸ πρόσωπον μόνον δοξασθὲν ἰδεῖν, ἀλλὰ καὶ προκαλύμματος ἐδέησε τῷ δικαίῳ τοῦ δυναμένου τὸ τῆς δόξης ἄκρατον συσκιάσαι, καὶ "ἥμερον καὶ προσηνῆ τοῦ προφήτου τὴν ὄψιν αὐτοῖς" δεῖξαι· πῶς θεότητα γυμνὴν," καὶ ἀπρόσιτον καὶ αὐταῖς ταῖς ἄνω δυνάμεσιν, ἡμεῖς οἱ πήλινοι καὶ γηγενεῖς ἠδυνήθημεν ἂν ἐνεγκεῖν; διὰ τοῦτο ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα καὶ προσελθεῖν αὐτῷ, καὶ διαλεχθῆναι, καὶ συναναστραφῆναι δυνηθῶμεν μετὰ ἀδείας πολλῆς. τί δέ ἐστι *, δόξαν ὡς μονογενοῦς παρὰ πατρός; ἐπειδὴ πολλοὶ καὶ τῶν προφητῶν ἐδοξάσθησαν, οἷον αὐτὸς οὗτος ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ μὲν ὑπὸ πυρίνου κυκλούμενος ἅρματος, ὁ δὲ οὕτως ἀναλαμβανόμενος, καὶ μετ᾽ αὐτοὺς ὁ Δανιὴλ, καὶ οἱ παῖδες οἱ τρεῖς, καὶ ἕτεροι δὲ πολλοὶ, ὅσοι καὶ θαύματα ἐπεδείξαντο, [ἐδοξάσθησαν] καὶ ἄγγελοι δὲ παρὰ ἀνθρώποις φανέντες, καὶ τὸ τῆς οἰκείας φύσεως ἀπαστράπτον φῶς διανοίξαντες τοῖς ὁρῶσιν, οὐκ ἄγγελοι δὲ μόνον, ἀλλὰ καὶ τὰ χερουβὶμ μετὰ πολλῆς ὤφθη τῷ προφήτῃ τῆς δόξης, καὶ τὰ σεραφὶμ ὁμοίως· πάντων δὴ τούτων ἀπάγων ἡμᾶς ὁ εὐαγγελιστὴς, καὶ τῆς κτίσεως, καὶ τῆς τῶν ὁμοδούλων * λαμπρότητος ἀπαναστὰς τὴν διάνοιαν, πρὸς αὐτὴν ἡμᾶς τῶν ἀγαθῶν ἵστησι τὴν κορυφήν. "οὐ γὰρ προφήτου φησὶν, οὐδὲ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, οὐδὲ τῶν ἀνωτέρω δυνάμεων, οὐκ ἄλλης τινὸς κτιστῆς φύσεως, εἴγε τίς ἐστι καὶ ἑτέρα, ἀλλ᾽ αὐτοῦ τοῦ δεσπότου, αὐτοῦ τοῦ βασιλέως, αὐτοῦ τοῦ γνησίου μονογενοῦς παιδὸς, αὐτοῦ τοῦ πάντων ἡμῶν Κυρίου * τὴν δόξαν ἐθεασάμεθα. τὸ δὲ, ὡς, ἐνταῦθα οὐχ ὁμοιώσεώς ἐστιν, οὐδὲ παραβολῆς, ἀλλὰ βεβαιώσεως, καὶ ἀναμφισβητήτου διορισμοῦ· ὡσανεὶ ἔλεγεν, ἐθεασάμεθα δόξαν, οἵαν ἔπρεπε καὶ εἰκὸς ἦν ἔχειν μονογενῆ καὶ γνήσιον υἱὸν ὄντα τοῦ πάντων βασιλέως Θεοῦ. καὶ τοῖς πολλοῖς δὲ ἔθος· οὐ γὰρ παραιτήσομαι καὶ ἀπὸ τῆς κοινῆς συνηθείας τὸν λόγον πιστώσασθαι. "οὐδὲ γὰρ πρὸς κάλλος ἡμῖν ὀνομάτων, οὐδὲ πρὸς ἁρμονίαν συνθήκης πρόκειται νῦν εἰπεῖν, ἀλλὰ πρὸς τὴν ὑμετέραν ὠφέλειαν μόνον· ὅθεν οὐδὲν κωλύει καὶ ἀπὸ τῆς τῶν πολλῶν συνηθείας αὐτὸ βεβαιῶσαι. "τίς δέ ἐστιν ἡ συνήθεια τῶν πολλῶν; βασιλέα πολλάκις σφόδρα κεκοσμημένον ὁρῶντές τινες, καὶ τιμίοις ἀπαστράπτοντα λίθοις πάντοθεν, ἐπειδὰν πρὸς τινὰς διηγῶνται τὸ κάλλος ἐκεῖνο, τὸν κόσμον, τὴν δόξαν, λέγουσι μὲν ὅσαπερ ἂν δυνηθῶσι, τῆς ἁλουργίδος τὸ ἄνθος, τῶν λίθων τὸ μέγεθος, τὴν λευκότητα τῶν ἡμιόνων, τὸν περὶ τὸ ζεῦγος χρυσὸν, τὴν "στρωμνὴν τὴν ἁπαλὴν καὶ στίλβουσαν. ἐπειδὰν δὲ καὶ ταῦτα καὶ ἕτερα πρὸς τούτοις καταλέξαντες, μὴ δυνηθῶσιν ἅπασαν τῷ λόγῳ παραστῆσαι τὴν λαμπρότητα, εὐθέως τοῦτο ἐπάγουσι· τί δεῖ τὰ πολλὰ λέγειν; ἅπαξ ὡς βασιλεύς, διὰ τοῦ, ὡς, οὐ τὸ βασιλέως ὅμοιον εἶναι δεῖξαι βουλόμενοι τοῦτον, περὶ οὗ ταῦτα λέγουσιν, ἀλλὰ τὸ αὐτὸν βασιλέα γνήσιον εἶναι. οὕτω τοίνυν καὶ ὁ εὐαγγελιστὴς τὸ, ὡς, τέθεικε, τὸ παρηλλαγμένον τῆς δόξης καὶ ὑπερέχον ἀσυγκρίτως παραστῆσαι θέλων. οἱ μὲν γὰρ ἄλλοι πάντες καὶ ἄγγελοι * καὶ προφῆται προσταττόμενοι πάντα ἐποίουν, αὐτὸς δὲ μετ᾽ ἐξουσίας

β. Βασ. ς. ιζ.

χ. μήποτ
χ. λεγόμ
χ. ὑπ᾽ ἄλλ
χ. ἐκεῖνοι
καιρόν
χ. τὸ ἀμή
νον τὸ ἰατ
ψεως δια
χ. θεῖναι
χ. ἔσται
* τί,
* ἡμῶν
χ. μονογε
λέγων, ὁ
προφήτ
* καὶ δεσπό
χ. οὐ
χ. τί δέ
χ. καθόρ
παρεσῶ
* καὶ ἀρχά
λοι

κεφ. α.

ἐξουσίας βασιλεῖ καὶ δεσπότῃ πρεπούσης· ὅπερ οὖν καὶ οἱ ὄχλοι ἐθαύμαζον, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων. ἐφάνησαν μὲν οὖν, ὅπερ εἶπον, καὶ ἄγγελοι μετὰ δόξης πολλῆς ἐπὶ τῆς γῆς· οἷον, ἐπὶ τοῦ Δανιὴλ, ἐπὶ τοῦ Δαβὶδ, ἐπὶ τοῦ Μωϋσέως, ἀλλ' ὡς δοῦλοι καὶ δεσπότην ἔχοντες, οὕτω πάντα ἔπραττον· αὐτὸς δὲ, ὡς δεσπότης καὶ πάντων κρατῶν, καὶ ταῦτα μετ' εὐτελοῦς σχήματος καὶ ταπεινοῦ φανείς, ἀλλ' ὅμως καὶ οὕτως ἡ κτίσις τὸν δεσπότην ἐπέγνω τὸν ἑαυτῆς· * ἀστὴρ μὲν ἀπ' οὐρανοῦ μάγους καλῶν προσκυνήσοντας αὐτὸν, ἀγγέλων δὲ ὄχλος πολὺς πανταχοῦ κεχυμένος τὸν δεσπότην περιεπόντων καὶ ἀνυμνούντων αὐτόν· καὶ ἕτεροι δὲ ἐξαπίνης ἀνεφύοντο κήρυκες, καὶ πάντες ἀλλήλοις ἀπαντῶντες εὐηγγελίζοντο τὸ ἀπόρρητον τοῦτο μυστήριον, τοὺς μὲν ποιμένας οἱ ἄγγελοι, τοὺς δὲ τῆς πόλεως οἱ ποιμένες, καὶ τὴν μὲν Μαρίαν ὁ Γαβριὴλ καὶ τὴν Ἐλισάβετ, τοὺς δὲ εἰς τὸ ἱερὸν παραγινομένους ἡ Ἄννα μετὰ τοῦ Συμεών. οὐκ ἄνδρες δὲ καὶ γυναῖκες μόνον ὑπὸ τῆς ἡδονῆς ἐπληρώθησαν, ἀλλὰ καὶ τὸ μηδέπω βρέφος εἰς φῶς ἐξελθὸν, ὁ τῆς ἐρήμου πολίτης λέγω, καὶ τούτου ὁμώνυμος τοῦ εὐαγγελιστοῦ, ἐσκίρτησεν ἐν τῇ νηδύϊ τῆς μητρὸς ὢν ἔτι, καὶ πάντες μετέωροι ταῖς ἐλπίσι πρὸς τὰ μέλλοντα ἦσαν. καὶ ταῦτα μὲν παρὰ τὸν τόκον εὐθέως. ὅτε δὲ ἐπὶ πλέον ἑαυτὸν ἐξέφηνε, πάλιν ἕτερα θαύματα τῶν προτέρων ἐφαίνετο μείζονα. οὐκ ἔτι γὰρ ἀστὴρ καὶ οὐρανὸς, οὐδὲ ἄγγελοι καὶ ἀρχάγγελοι, οὐδὲ Γαβριὴλ καὶ Μιχαὴλ, ἀλλ' αὐτὸς αὐτὸν ἄνωθεν ἀπὸ τῶν οὐρανῶν ἐκήρυττεν ὁ πατὴρ, καὶ μετὰ τοῦ πατρὸς ὁ παράκλητος ἐφιπτάμενος αὐτῷ μετὰ τῆς φωνῆς, καὶ μένων ἐπ' αὐτόν. ὄντως διὰ ταῦτα ἔλεγεν, ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὰ μετὰ ταῦτα τοῦτό φησιν. οὐκέτι γὰρ ποιμένες μόνον, οὐδὲ χῆραι γυναῖκες, οὐδὲ ἄνδρες πρεσβύται ἡμᾶς εὐαγγελίζονται, ἀλλὰ καὶ αὐτὴ τῶν πραγμάτων ἡ φωνὴ, πάσης σάλπιγγος λαμπρότερον βοῶσα, καὶ οὕτω γεγωνὸς, ὡς καὶ ἐνταῦθα αὐτοῦ εὐθέως ἀκουσθῆναι τὸν ἦχον. ἀπῆλθε γὰρ, φησιν, εἰς τὴν Συρίαν ἡ ἀκοὴ αὐτοῦ, καὶ πᾶσιν αὐτὸν ἀπεκάλυπτε, καὶ πάντα πάντοθεν ἐβόα, ὅτι βασιλεὺς τῶν οὐρανῶν παραγέγονεν. οἵ τε γὰρ δαίμονες πάντοθεν ἔφυγον καὶ ἀπεπήδων, ὅ τε διάβολος ἐγκαλυψάμενος ἀνεχώρησεν, ὅ τε θάνατος ὑπεξίστατο τότε, καὶ μετὰ ταῦτα τέλεον ἠφανίζετο, καὶ πάσης ἀρρωστίας εἶδος ἐλύετο, καὶ * τοὺς μὲν νεκροὺς ἠφίει τὰ μνήματα, τοὺς δὲ μεμηνότας οἱ δαίμονες, τοὺς δὲ ἀρρώστους αἱ νόσοι· καὶ ἦν ἰδεῖν πράγματα παράδοξα καὶ θαυμαστὰ, καὶ ἅπερ εἰκότως ἐπεθύμησαν προφῆται ἰδεῖν, καὶ οὐκ εἶδον. ἦν γὰρ ἰδεῖν ὀφθαλμοὺς διαπλαττομένους, καὶ τὸ ποθεινὸν ἐκεῖνο, ὃ πάντες ἐπεθύμησαν ἂν ἰδεῖν, πῶς τὸν Ἀδὰμ ἀπὸ τῆς γῆς ἔπλασεν ὁ Θεός, τοῦτο ἐν βραχεῖ πᾶσιν ἐπιδεικνύντα, καὶ ἐν τῷ βελτίονι τοῦ σώματος μέρει· τά τε παραλελυμένα καὶ διῳκισμένα μέλη συγκολλώμενα καὶ ἀλλήλοις συναρμοττόμενα, χεῖρας νεκρὰς κινουμένας, πόδας παραλελυμένους ἀθρόον ἁλλομένους, ὦτα βεβυσμένα ἀναπεταννύμενα, καὶ γλῶτταν ἠχοῦσαν μέγα τὴν πρότερον ἀφωνίᾳ δεδεμένην. καθάπερ γάρ τις τεχνίτης ἄριστος, οἰκίαν ὑπὸ χρόνου σαθρωθεῖσαν ἀναλαβὼν τὴν κοινὴν τότε τῶν ἀνθρώπων φύσιν, οὕτω ταύτης τά τε ἀποκλασθέντα ἀνεπλήρωσε μέρη, τά τε διεστῶτα καὶ διαλελυμένα συνέσφιγξε, καὶ τὰ τέλεον πεπτωκότα ἀνέστησε. τί δ' ἄν τις εἴποι τῆς ψυχῆς τὴν διάπλασιν, πολλῷ θαυμαστοτέραν τῆς ἐν τοῖς σώμασιν οὖσαν; μέγα μὲν γὰρ καὶ ἡ τῶν σωμάτων ὑγεία, πολλῷ δὲ μείζων ἡ τῶν ψυχῶν, καὶ τοσούτῳ μείζων, ὅσῳ ψυχὴ σώματος ἄμεινον· οὐ ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι ἡ μὲν τῶν σωμάτων φύσις, ἧπερ ἂν αὐτὴν ἄγειν ὁ δημιουργὸς βούληται, ταύτῃ ἕπεται, καὶ τὸ ἀντιπίπτον οὐδέν· ἡ δὲ ψυχὴ κυρία ἑαυτῆς γινομένη, καὶ τῆς προαιρέσεως τὴν ἐξουσίαν ἔχουσα, οὐ πάντα, ἂν μὴ βούληται, πείθεται τῷ Θεῷ. ἄκουσαν γὰρ αὐτὴν καὶ βίᾳ που κατηναγκασμένην, οὐ βούλεται ποιῆσαι καλὴν καὶ ἐνάρετον, ἐπειδήπερ μηδὲ ἔστι τοῦτο ἀρετή, ἀλλὰ χρὴ βουλομένην καὶ ἑκοῦσαν πεῖσαι γενέσθαι τοιαύτην. ὅθεν χαλεπώτερον τοῦτο ἐστὶν ἐκείνης τῆς ἰατρείας· ἀλλ' ὅμως καὶ τοῦτο κατωρθοῦτο, καὶ πᾶν εἶδος κακίας ἠλαύνετο· καὶ ὥσπερ τὰ σώματα τὰ θεραπευόμενα οὐ πρὸς ὑγίειαν μόνον, ἀλλὰ καὶ πρὸς εὐεξίαν τὴν ἀνωτάτω μετερρύθμιζεν, οὕτω καὶ τὰς ψυχὰς οὐ τῆς κακίας τῆς ἐσχάτης ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἤγαγε· καὶ ὁ τελώνης ἀπόστολος ἐγένετο, καὶ ὁ διώκτης καὶ βλάσφημος καὶ ὑβριστὴς κῆρυξ τῆς οἰκουμένης ἀπεδείκνυτο, καὶ μάγοι διδάσκαλοι Ἰουδαίων ἐγένοντο, καὶ λῃστὴς παραδείσου πολίτης ἀνεφαίνετο, καὶ πόρνη πολλῇ τῇ πίστει διέλαμπε, καὶ Χαναναία, καὶ Σαμαρεῖτις γυνή, ἑτέρα πόρνη καὶ αὐτή, ἡ μὲν τὸ κήρυγμα τῶν ὁμοφύλων ἀνεδέξατο, καὶ πόλιν ὁλόκληρον σαγηνεύσασα, οὕτω "προσήγαγε τῷ Χριστῷ, ἡ δὲ τῇ πίστει καὶ τῇ προσεδρίᾳ δαίμονα πονηρὸν ἀπελαθῆναι τῆς τοῦ θυγατρὸς ψυχῆς παρεσκεύασε· καὶ ἕτεροι δὲ πολλῷ τούτων χείρους εἰς τὴν τῶν μαθητῶν εὐθέως κατελέγοντο τάξιν, καὶ πάντα ἀθρόον μετεσχηματίζετο τῶν σωμάτων τὰ πάθη, τῶν ψυχῶν τὰ νοσήματα, καὶ πρὸς ὑγείαν καὶ τὴν ἀκριβεστάτην ἀρετὴν μετεπλάττοντο. καὶ τούτων οὐ δύο καὶ τρεῖς ἄνθρωποι, οὐδὲ πέντε καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν "μόνον, ἀλλὰ πόλεις ὁλόκληροι, καὶ ἔθνη μετὰ πολλῆς τῆς εὐκολίας μετερρυθμίζοντο. τί ἄν τις εἴποι τῶν προσταγμάτων τὴν φιλοσοφίαν, τῶν οὐρανίων νόμων τὴν ἀρετήν, τῆς ἀγγελικῆς πολιτείας τὴν εὐταξίαν; τοιοῦτον γὰρ ἡμῖν εἰσηγήσατο βίον, τοιούτους "ἡμῖν ἔθηκε νόμους, τοιαύτην κατεστήσατο πολιτείαν, ὡς τοὺς τούτοις χρωμένους ἀγγέλους εὐθέως γίνεσθαι, καὶ ὁμοίους Θεῷ κατὰ δύναμιν τὴν ἡμετέραν, κἂν ἁπάντων ἀνθρώπων κακίους "τύχωσιν ὄντες. ταῦτα οὖν ἅπαντα συναγαγὼν ὁ εὐαγγελιστής, τὰ θαύματα τὰ ἐν σώμασι, τὰ ἐν ψυχαῖς, τὰ ἐν τοῖς στοιχείοις, τὰ προστάγματα, τὰ δῶρα τὰ ἀπόρρητα ἐκεῖνα καὶ τῶν οὐρανῶν ὑψηλότερα, τοὺς νόμους, τὴν πολιτείαν, τὴν πειθώ, τὰς μελλούσας ὑποσχέσεις, τὰ παθήματα αὐτοῦ, τὴν θαυμαστὴν ταύτην καὶ ὑψηλῶν γέμουσαν δογμάτων ἀφῆκε φωνὴν λέγων· ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, "πλήρη χάριτος καὶ ἀληθείας. οὐ γὰρ διὰ τὰ θαύματα μόνον αὐτὸν θαυμάζομεν, ἀλλὰ καὶ διὰ τὰ παθήματα· οἷον, ὅτι προσηλώθη τῷ σταυρῷ καὶ ἐμαστιγώθη, ὅτι ἐρραπίσθη, ὅτι ἐνεπτύσθη, ὅτι ἔλαβεν ἐπὶ κόρρης πληγὰς παρὰ τῶν εὐεργετηθέντων αὐτῶν. καὶ γὰρ καὶ ἐπὶ τούτοις αὐτοῖς τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι, τὸ αὐτὸ ῥῆμα πάλιν ἄξιον ἐπιφθέγξασθαι, ἐπεὶ καὶ αὐτὸς δόξαν τὸ πρᾶγμα ἐκάλεσεν. οὐ γὰρ δὴ μόνον κηδεμονίας καὶ ἀγάπης ἦν τὰ γινόμενα, ἀλλὰ καὶ δυνάμεως ἀφάτου. τότε γὰρ καὶ θάνατος ἠφανίζετο, καὶ κατάρα ἐλύετο, καὶ δαίμονες κατῃσχύνοντο καὶ ἐδειγματίζοντο θριαμβευόμενοι, καὶ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν τῷ σταυρῷ προσηλοῦτο. εἶτα, ἐπειδὴ ταῦτα ἀοράτως ἐθαυματουργεῖτο, ἐγένετό τινα καὶ ὁρατά, δεικνύντα ὅτι ὄντως μονογενὴς ἦν υἱὸς τοῦ Θεοῦ, καὶ τῆς κτίσεως πάσης δεσπότης. ἔτι γὰρ τοῦ μακαρίου σώματος κρεμαμένου, ἀπέστρεφε μὲν ὁ ἥλιος τὰς ἀκτῖνας, ἐκλονεῖτο δὲ ἡ γῆ καὶ ἐσκοτίζετο πᾶσα, καὶ τάφοι μὲν διερρήγνυντο, καὶ τὸ ἔδαφος ἐτινάσσετο, καὶ νεκρῶν δῆμος ἄπειρος ἐξεπήδα καὶ εἰς τὴν πόλιν εἰσῄει· τῶν δὲ τοῦ μνήματος αὐτοῦ λίθων ἡρμοσμένων τῇ θήκῃ, ἔτι καὶ * σημάντρων ἐπικειμένων, ἀνίστατο ὁ νεκρός, ὁ σταυρωθείς, ὁ προσηλωθείς, "καὶ τῆς δυνάμεως "τῆς πολλῆς τότε τοὺς ἕνδεκα μαθητὰς ἐμπλήσας, ἔπεμπε τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις, ἰατροὺς κοινοὺς τῆς φύσεως ἐσομένους ἁπάσης, καὶ τὸν βίον ὀρθώσοντας, τὴν τῶν οὐρανίων δογμάτων γνῶσιν πανταχοῦ διασπεροῦντας γῆς, καὶ τὴν τῶν δαιμόνων λύσοντας τυραννίδα, καὶ τὰ μεγάλα καὶ ἀπόρρητα διδάξοντας ἀγαθά, καὶ εὐαγγελιουμένους ἡμῖν ψυχῆς ἀθανασίαν καὶ σώματος ζωὴν αἰώνιον, τὰ καὶ νῦν ὑπερβαίνοντα ἔπαθλα, καὶ μηδέποτε ἕξοντα τέλος. ταῦτ' οὖν, καὶ τὰ τούτων πλείονα ἐννοήσας ὁ μακάριος οὗτος, ἃ ᾔδει μὲν αὐτός, γράψαι δὲ οὐκ ἠνέσχετο διὰ τὸ μὴ χωρεῖν τὸν κόσμον (Πάντα γὰρ "ἂν γράφηται καθ' ἕν, οὐδ' αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία) ταῦτ' οὖν ἅπαντα λογισάμενος, ἀνεβόησεν· ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρη χάριτος καὶ ἀληθείας.

Ἰωαν. κα. κε.

γρ. ἐξήγαγε

γρ. μόνοι,

γρ. παρ' ἡμῖ

γρ. τύχωμεν

γρ. πλήρης

* τῶν

γρ. ἔπειτα πάλιν

γρ. προσάμ
χου καὶ δυνά

γρ. ἄν τις ἐπι
φησίν,

ΗΘΙΚΟΝ

Ἰωαν. ιδ. γ.

Ἰεζ. ιδ. ιδ.

Τοὺς δὴ* ″τοιούτων μετὰ θεαμάτων, τοιούτων δὲ καταξιωθέντας ἀκουσμάτων, τοσαύτης δὲ ἀπολαύσαντας δωρεᾶς, καὶ βίον ἄξιον τῶν δογμάτων ἐπιδείκνυσθαι χρή, ὥστε καὶ τῶν ἐκεῖσε ἀπολαῦσαι καλῶν. διὰ τοῦτο γὰρ καὶ παρεγένετο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἵνα μὴ μόνον τὴν ἐνταῦθα δόξαν ἴδωμεν αὐτοῦ, ἀλλὰ καὶ τὴν μέλλουσαν. διὰ τοῦτο ″φησι, Θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. εἰ δὲ αὕτη ἡ δόξα οὕτω γέγονε λαμπρὰ καὶ περιφανὴς, τί ἄν τις εἴποι περὶ ἐκείνης; οὐ γὰρ ἐν γῇ φανεῖται φθαρτῇ, οὐδὲ ἐν ἐπικήροις σώμασιν ὄντων ἡμῶν· ἀλλ' ἐν ἀκηράτῳ καὶ ἀγήρῳ τῇ κτίσει, καὶ μετὰ τοσαύτης λαμπρότητος, μεθ' ὅσης οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. ″ὦ μακάριοι, καὶ τρισμακάριοι, καὶ τοῦτο πολλάκις, οἱ τῆς δόξης καταξιούμενοι ἐκείνης γενέσθαι θεαταί. περὶ ταύτης * ὁ προφήτης φησίν, ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. ἀλλ' ἡμῶν μηδένα γένοιτο ἀρθῆναι, μηδὲ ἀθέατον αὐτῆς γενέσθαι ποτέ. εἰ γὰρ μὴ μέλλοιμεν ἀπολαύσεσθαι ταύτης, εὔκαιρον καὶ περὶ ἡμῶν εἰπεῖν· καλὸν ἦν ἡμῖν, εἰ μὴ ἐγεννήθημεν. τί γὰρ ζῶμεν καὶ ἀναπνέομεν; τί δὲ ἐσμὲν, ἂν τῆς θεωρίας ἀποτύχωμεν ἐκείνης, ἂν τὸν δεσπότην τὸν ἡμέτερον μηδεὶς ἡμῖν συγχωρήσῃ θεάσασθαι τότε; εἰ γὰρ οἱ τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι, παντὸς θανάτου πικροτέραν ὑπομένουσι ζωὴν, τί παθεῖν εἰκὸς τοὺς τοῦ φωτὸς ἀποστερηθέντας ἐκείνου; ἐνταῦθα μὲν γὰρ, ἐν τούτῳ μόνῳ ἡ ζημία· ἐκεῖ δὲ, οὐ μέχρι τούτου μόνον (καίτοι καὶ εἰ τοῦτο μόνον ἦν τὸ δεινὸν, οὐδὲ οὕτως ἴσον τὸ τῆς κολάσεως ἦν· ἀλλὰ τοσούτῳ χαλεπώτερον, ὅσον ὁ ἥλιος ἐκεῖνος τούτου κρείττων ἀσυγκρίτως ἐστὶ) νῦν δὲ καὶ ἑτέραν ἐστὶ προσδοκῆσαι τιμωρίαν. τὸν γὰρ ἐκεῖνο τὸ φῶς οὐχ ὁρῶντα ″οὐκ εἰς τὸ σκότος δεῖ ἀπενεχθῆναι μόνον, ἀλλὰ καὶ καίεσθαι διαπαντὸς, καὶ τήκεσθαι, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μυρία ἕτερα πάσχειν δεινά. μὴ δὴ περιίδωμεν ἑαυτοὺς διὰ τῆς βραχείας ταύτης ὀλιγωρίας καὶ ἀνέσεως εἰς αἰώνιον ἐμπίπτοντας κόλασιν, ἀλλὰ γρηγορήσωμεν, νήφωμεν, πάντα πράξωμεν καὶ πραγματευσώμεθα, ὥστε ἐκείνης τυχεῖν τῆς ἀπολαύσεως, καὶ πόρρω γενέσθαι τοῦ ποταμοῦ τοῦ πυρὸς τοῦ συρομένου μετὰ πολλοῦ ῥοίζου πρὸ τοῦ βήματος τοῦ φρικτοῦ. τὸν γὰρ ἅπαξ ἐμπεσόντα ἐκεῖ χρὴ μένειν διαπαντὸς, καὶ ὁ τῆς κολάσεως ἐξαιρησόμενος οὐδεὶς, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἀδελφός. καὶ ταῦτα αὐτοὶ οἱ προφῆται βοῶσιν· ὁ μὲν λέγων· Ἀδελφὸς [ἀδελφὸν] οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; ὁ δὲ Ἰεζεκιὴλ καὶ τούτου τι πλέον ἐδήλωσεν, εἰπών· Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας οὐ μὴ ἐξέλωνται. μία γὰρ προστασία μόνη, ἡ διὰ τῶν ἔργων ἐστὶν ἐκεῖ, καὶ τὸν ταύτης ἀπεστερημένον ἑτέρωθεν σωθῆναι οὐκ ἔνι. ταῦτ' οὖν διηνεκῶς στρέφοντες καὶ διαλογιζόμενοι, ἐκκαθάρωμεν ἡμῶν τὸν βίον καὶ λαμπρὸν ποιήσωμεν, ὥστε μετὰ παρρησίας ἰδεῖν τὸν Κύριον, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ιγ'. 15 ΙΩΑΝΝΗΣ ΜΑΡΤΥΡΕΙ ΠΕΡΙ ΑΥΤΟΥ, ΚΑΙ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

ΑΡα μὴ εἰς κενὸν τρέχομεν καὶ κοπιῶμεν; μὴ κατὰ πετρῶν σπείρομεν; ἆρα μὴ παρὰ τὴν ὁδὸν καὶ τὰς ἀκάνθας ἡμῖν λανθάνει τὰ σπέρματα πίπτοντα; ἀγωνιῶ γὰρ σφόδρα καὶ δέδοικα μὴ ἀνόνητος ἡμῖν ἡ γεωργία γένηται· καὶ ταῦτα ″οὐδὲ μέλλων αὐτὸς εἰς τὸν τοῦ κόπου τούτου παραβλάπτεσθαι μισθόν. οὐ γὰρ οἷα τῶν γηπόνων, τοιαῦτα καὶ τὰ τῶν διδασκόντων ἐστίν. ὁ μὲν γὰρ γεωργὸς μετὰ τοὺς ″ἐνιαυσιαίους πολλάκις μόχθους,

καὶ τὴν ταλαιπωρίαν ἐκείνην, καὶ τοὺς ἱδρῶτας, ἂν μηδὲν ἐξενέγκῃ τῶν πόνων ἄξιον ἡ γῆ, παρ'
οὐδενὸς ἑτέρου "δυνήσεται τῶν πόνων" τὴν παραμυθίαν εὑρεῖν, ἀλλ' ὑποστρέφει μετ' αἰσχύνης χ. δύναται
καὶ κατηφείας ἀπὸ τῆς ἅλω πρὸς τὴν οἰκίαν καὶ τὴν γυναῖκα καὶ τὰ παιδία, οὐδένα χ. πικ
ἔχων ἀπαιτῆσαι τῆς φιλοπονίας τῆς μακρᾶς τὴν ἀντίδοσιν. ἐπὶ δὲ ἡμῶν οὐδὲν τοιοῦτον
"ἐστι. κἂν γὰρ ἡ γεωργουμένη γῆ μηδένα ἐξενέγκῃ καρπόν, ἡμῶν δὲ ἅπαντα ἐπιδειξαμένων πόνον, χ. ἔσται, ἀλλὰ κἂν
ὁ καὶ ταύτης καὶ ἡμῶν κύριος οὐ περιόψεται κεναῖς ἡμᾶς ἀπερχομένους ἐλπίσιν, ἀλλὰ δώσει
α. Κορ. γ. η. τὰς ἀμοιβάς· Ἕκαστος γάρ, φησι, τὸν ἴδιον μισθὸν λήψεται * κατὰ τὸν ἴδιον κόπον, οὐ κατὰ τὸ τῶν * τουτέστι
πραγμάτων τέλος. καὶ ὅτι οὕτως ἔχει, ἄκουε· Καὶ σύ, φησιν, υἱὲ ἀνθρώπου διαμάρτυρε τῷ
Ιεζ. β. ε. λαῷ τούτῳ, Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι. καὶ "ὁ Ἰεζεκιὴλ δὲ" φησιν· Ἐὰν ὁ σκοπὸς χ. διὰ τοῦ
Ιεζ. γ. ιθ. προείπῃ τί μὲν φυγεῖν, τί δὲ ἑλέσθαι δέοι, τὴν ψυχὴν ἐξείλετο τὴν ἑαυτοῦ, κἂν ὁ προσέχων χ. τοῦτο μαθεῖν ἐστιν
μηδεὶς ᾖ. ἀλλ' ὅμως καὶ ἰσχυρὰν παραμυθίαν ταύτην ἔχοντες, καὶ ὑπὲρ τῆς εἰς
ἡμᾶς ἀμοιβῆς θαρροῦντες, ὅταν ὑμῶν τὸ ἔργον ἴδωμεν μὴ προκόπτον, οὐδὲν ἄμεινον
ἐκείνων διακείμεθα τῶν γεωργῶν τῶν στεναζόντων καὶ θρηνούντων, τῶν ἐγκαλυπτομένων καὶ
αἰσχυνομένων. τοῦτο γὰρ διδασκάλου συμπάθεια, τοῦτο κηδεμονία πατρός. ἐπεὶ καὶ Μωϋσῆς,
ἐξὸν * τῆς ἀγνωμοσύνης ἀπαλλαγῆναι τῆς Ἰουδαϊκῆς, καὶ λαμπροτέραν ἀρχὴν ἔθνους * αὐτῷ
Εξο. λβ. θ. ἑτέρου λαβεῖν καὶ πολλῷ "μείζονος (Ἔασόν γάρ με, φησι, καὶ ἐξαλείψω αὐτούς, καὶ ποιήσω σε χ. μείζονος
εἰς ἔθνος μέγα, ἢ τοῦτο) ἐπειδὴ ἅγιος ἦν καὶ Θεοῦ δοῦλος καὶ σφόδρα "φίλος γνήσιος καὶ χ. δοῦλοι
γενναῖος, οὐδὲ ἀκοῦσαι ταύτην ἠνέσχετο τὴν φωνήν, ἀλλ' εἵλετο μᾶλλον ἀπολέσθαι μετὰ
τῶν ἅπαξ κληρωθέντων αὐτῷ, ἢ χωρὶς ἐκείνων διασώζεσθαι καὶ ἐν ἀξιώματι εἶναι μείζονι.
τοιοῦτον εἶναι χρὴ τὸν προεστῶτα ψυχῶν. καὶ γὰρ ἄτοπον παῖδας μὲν ἔχοντά τινα φαύλους, μὴ
ἐθελῆσαι ἑτέρων κληθῆναι πατέρα, ἀλλὰ τῶν παρ' αὐτοῦ φύντων· μαθητὰς δὲ ἐγχειρισθέντα,
ἑτέρους ἐξ ἑτέρων ἀμείβειν ἀεί, καὶ νῦν μὲν τούτων, αὖθις δὲ ἐκείνων, καὶ μετὰ
"τοῦτο πάλιν ἄλλων" προστασίαν ἡμᾶς ἁρπάζειν, πρὸς οὐδένα οἰκείως διακειμένους. ἀλλὰ χ. τούτων
περὶ ὑμῶν μὴ γένοιτο ταῦτα ὑποπτεῦσαί ποτε. πεποίθαμεν γὰρ ὅτι μᾶλλον περισσεύετε χ. προστασίαν
ἐν τῇ πίστει τῇ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῇ ἀγάπῃ τῇ εἰς ἀλλήλους
καὶ εἰς πάντας. ταῦτα δὲ λέγομεν, βουλόμενοι τὴν σπουδὴν ἐπιταθῆναι τὴν
ὑμετέραν, καὶ ἐπὶ μεῖζον ἐπιδοθῆναι τῆς πολιτείας * τὴν ἀρετήν. οὕτω γὰρ καὶ τῶν * ὑμῶν
προκειμένων ἡμῖν λόγων εἰς αὐτὸ τὸ βάθος καταθεῖναι δυνήσεσθε τὰ νοήματα, ἂν μηδεμία
πορνείας "λήμη τοῖς ὀφθαλμοῖς ἐπισκοτῇ τῆς διανοίας, καὶ τὸ διορατικὸν αὐτῆς καὶ ὀξὺ χ. λύμη
συνταράττῃ. τί ποτ' οὖν ἐστι τὸ "προκείμενον ἡμῖν σήμερον; χ. λεγόμενον

Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος
ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Πολύς ἐστιν οὗτος ὁ εὐαγγελιστής, ἄνω καὶ
κάτω τὸν Ἰωάννην στρέφων, καὶ τὴν μαρτυρίαν αὐτοῦ πολλαχοῦ περιφέρων. ποιεῖ δὲ οὐχ ἁπλῶς
τοῦτο, ἀλλὰ καὶ σφόδρα συνετῶς. ἐπειδὴ γὰρ πολὺ τὸ θαῦμα εἶχον τοῦ ἀνδρὸς τούτου
πάντες οἱ Ἰουδαῖοι (καὶ γὰρ καὶ ὁ Ἰώσηππος τῇ τούτου τελευτῇ τὸν πόλεμον λογίζεται, "δι' χ. δι' ὃν οὐκέτι τῶν Ἰουδαίων ἡ πόλις ἡ ποτε μητρόπολις οὖσα,
αὐτόν τε δείκνυσι μηδὲ πόλιν εἶναι, τὴν ποτε μητρόπολιν οὖσαν, καὶ μακροὺς "συνείρει περὶ χ. αἴρει
αὐτοῦ λόγους ἐγκωμίων) ἀπ' αὐτοῦ τοίνυν τούτου Ἰουδαίους ἐντρέψαι βουλόμενος, συνεχῶς αὐτοὺς χ. αὐτῷ
ἀναμιμνήσκει τῆς τοῦ προδρόμου μαρτυρίας. καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ τῶν παλαιοτέρων
μέμνηνται προφητῶν, καὶ καθ' ἕκαστον τῶν ἐπ' "αὐτοῦ γινομένων, ἐκεῖ παραπέμπουσι
Ματθ. α. κβ. κγ. τὸν ἀκροατήν, καὶ ὅταν τίκτηται, λέγοντες, Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ
Ησ. ζ. ιδ. Ἡσαΐου τοῦ προφήτου λέγοντος, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ ὅταν ἐπιβουλεύηται
καὶ πανταχόθεν οὕτως ἀκριβῶς ἀναζητῆται, ὡς καὶ τὴν ἄωρον ἡλικίαν σφάττεσθαι ὑπὸ
Ιερ. λα. ιε. Ἡρώδου, τὸν Ἱερεμίαν εἰς μέσον ἄγοντες τὸν λέγοντα, Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς
καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ "τοῦ Ὠσηὲ μεμνημένοι, ὅταν ἐξ Αἰ- χ. τὸν Ὠσηὲ παρεισάγοντες

γύπτου

Ωσ. ια. γ.

γύπτου πάλιν ἀναβαίνῃ, Ἐξ Αἰγύπτου λέγοντος ἐκάλεσα τὸν υἱόν μου. καὶ πανταχοῦ τοῦτο ποιοῦσιν. οὗτος δὲ τρανοτέραν τὴν μαρτυρίαν ἐργαζόμενος καὶ νεαρωτέραν, ἅτε καὶ μεγαλοφωνότερον τῶν ἄλλων φθεγξάμενος, οὐ τοὺς ἀπελθόντας, οὐδὲ τοὺς τετελευτηκότας μόνον, ἀλλὰ καὶ τὸν ζῶντα καὶ παραγινόμενον, ὑποδείξαντα καὶ βαπτίσαντα αὐτὸν, τοῦτον εἰς μέσον ἄγει συνεχῶς, οὐ τὸν δεσπότην * ἀπὸ τοῦ δούλου ποιῆσαι ἀξιόπιστον σπουδάζων, ἀλλὰ τῇ τῶν ἀκροατῶν ἀσθενείᾳ συγκαταβαίνων. ὥσπερ γὰρ εἰ μὴ τὴν τοῦ δούλου μορφὴν ἔλαβεν, οὐκ ἂν εὐπαράδεκτος γέγονεν, οὕτως εἰ μὴ τῇ τοῦ δούλου φωνῇ τὰς ἀκοὰς τῶν ὁμοδούλων προεγύμνασεν, οὐκ ἂν οἵγε πολλοὶ τῶν Ἰουδαίων τὸν λόγον ἐδέξαντο. πρὸς δὲ τούτῳ, καὶ ἕτερον κατεσκεύαζε μέγα τι καὶ θαυμαστόν. ἐπειδὴ γὰρ τὸ αὐτόν τινα περὶ ἑαυτοῦ μέγα τι λέγειν, ὕποπτον ποιεῖ τὴν μαρτυρίαν, καὶ προσίσταται πολλοῖς τῶν ἀκουόντων πολλάκις, ἕτερος περὶ αὐτοῦ παραγίνεται μαρτυρήσων. καὶ χωρὶς τούτων εἰώθασί πως οἱ πολλοὶ πρὸς τὴν συνηθεστέραν καὶ σύντροφον αὐτοῖς ἐπιτρέχειν μᾶλλον φωνὴν, ἅτε αὐτὴν μᾶλλον τῶν ἄλλων ἐπιγινώσκοντες. διὰ δὴ τοῦτο ἡ μὲν ἀπὸ τοῦ οὐρανοῦ γέγονεν ἅπαξ ἢ δίς· ἡ δὲ τοῦ Ἰωάννου πολλάκις καὶ συνεχῶς. οἱ μὲν γὰρ διαβεβηκότες τοῦ λαοῦ τὴν ἀσθένειαν, καὶ τῶν αἰσθητῶν ἁπάντων ἀπαλλαγέντες, καὶ τῆς ἄνωθεν ἀκούειν ἠδύναντο φωνῆς, καὶ οὐ σφόδρα τῆς ἀνθρωπίνης ἐδέοντο, ἀλλ᾽ ἐκείνῃ πάντα ἐπείθοντο, καὶ ὑπ᾽ ἐκείνης ἤγοντο· οἱ δὲ ἔτι κάτω στρεφόμενοι, καὶ πολλοῖς περικαλύμμασι συγκεκαλυμμένοι, τῆς ταπεινοτέρας ταύτης ἐδέοντο. οὕτω γοῦν καὶ ὁ Ἰωάννης, ἐπειδὴ πάντοθεν ἑαυτὸν ἐγύμνωσε τῶν αἰσθητῶν, οὐκ ἐδεῖτο διδασκάλων ἑτέρων, ἀλλ᾽ ἀπὸ τῶν οὐρανῶν ἐπαιδεύετο. Ὁ γὰρ πέμψας με βαπτίζειν, φησὶν, ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, οὗτός ἐστιν. οἱ δὲ ἔτι παῖδες Ἰουδαῖοι, καὶ πρὸς τὸ ὕψος ἐκεῖνο μηδέπω φθάσαι δυνάμενοι, ἄνθρωπον εἶχον διδάσκαλον, ἄνθρωπον μὲν οὐ τὰ ἑαυτοῦ ἰδίως λέγοντα, ἀλλὰ τὰ ἄνωθεν ἀπαγγέλλοντα. τί οὖν οὗτός φησιν; αὐτὸς μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε, λέγων. τί ἐστι τὸ, κέκραγε; μετὰ παρρησίας, φησὶ, μετ᾽ ἐλευθερίας, χωρὶς ὑποστολῆς ἁπάσης ἀνακηρύττει. καὶ τί ἀνακηρύττει; τί δὲ μαρτυρεῖ καὶ κέκραγεν; οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. συνεσκιασμένη ἡ μαρτυρία, καὶ ἔτι πολὺ τὸ ταπεινὸν ἔχουσα. οὐ γὰρ εἶπεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ μονογενὴς, ὁ γνήσιος παῖς· ἀλλὰ τί; οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καθάπερ γὰρ αἱ μητέρες, * τῶν ὀρνίθων τοὺς νεοττοὺς οὐκ εὐθέως, οὐδὲ ἐν ἡμέρᾳ μιᾷ τὴν πτῆσιν ἐκδιδάσκουσιν ἅπασαν· ἀλλὰ νῦν μὲν τοσοῦτον ἐξάγουσιν, ὅσον ἔξω γενέσθαι τῆς καλιᾶς, νῦν δὲ αὖθις ἀναπαύσασαι πρότερον, προστιθέασι τῇ πτήσει πάλιν, καὶ τῇ μετὰ ταύτην ἡμέρᾳ ἑτέραν πολλῷ πλέονα συνάπτουσι, καὶ οὕτως ἠρέμα καὶ κατὰ μικρὸν ἐπὶ τὸ προσῆκον ἄγουσιν ὕψος· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Ἰωάννης οὐκ εὐθέως ἐπὶ τὰ ὑψηλὰ τοὺς Ἰουδαίους ἤγαγεν, ἀλλὰ τέως μικρὸν τῆς γῆς ἀναπτῆναι ἐδίδαξεν, εἰπὼν, ὅτι αὐτοῦ κρείττων ἦν ὁ Χριστός. οὐδὲ γὰρ, οὐδὲ τοῦτο μικρὸν ἦν τέως, τὸ τοὺς ἀκούοντας τοῦ οὕτω θαυμασίου, τοῦ Ἰωάννου λέγω, καὶ περιφανοῦς, καὶ πρὸς ὃν ἅπαντες ἔτρεχον, καὶ ὃν ἄγγελον ἐνόμιζον εἶναι, τὸν οὐδέπω φανέντα οὐδὲ θαυματουργήσαντα δυνηθῆναι πεῖσαι κρείττονα εἶναι. τέως οὖν τοῦτο κατορθῶσαι ἐσπούδαζεν ἐν ταῖς τῶν ἀκροατῶν διανοίαις, ὅτι τοῦ μαρτυροῦντος ὁ μαρτυρούμενος μείζων, τοῦ παραγινομένου πρότερος ὁ μετὰ ταῦτα ἐλθὼν, τοῦ δήλου καὶ περιφανοῦς ὁ μηδέπω φανείς. καὶ ὅρα πῶς συνετῶς εἰσάγει τὴν μαρτυρίαν. οὐ γὰρ φανέντα μόνον ἐπιδείκνυσιν, ἀλλὰ καὶ πρὶν ἢ φανῆναι, ἀνακηρύττει. τὸ γὰρ, οὗτός ἐστιν ὃν εἶπον, τοῦτο δηλοῦντός ἐστιν· ὥσπερ οὖν καὶ Ματθαῖος λέγει, ὅτι πάντων ἐρχομένων πρὸς αὐτὸν, ἔλεγεν· Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. τίνος οὖν ἕνεκεν καὶ πρὸ τοῦ φανῆναι τοῦτο ἐποίησεν; ἵνα εὐπαράδεκτος ἡ μαρτυρία γένηται φανέν-

Ματθ. γ. ια.

τος, τῆς διανοίας ἤδη τῶν ἀκουσάντων προκαταληφθείσης τοῖς περὶ αὐτοῦ λεχθεῖσι, καὶ μηδὲν τῆς εὐτελοῦς περιβολῆς λυμαινομένης αὐτῇ*. εἰ μὲν γὰρ μηδὲν μηδόλως ἀκούσαντες εἶδον τὸν Κύριον, καὶ ὁμοῦ μετὰ τῆς θέας καὶ τὴν τῶν λόγων μαρτυρίαν ἐδέξαντο τὴν οὕτω θαυμαστὴν καὶ μεγάλην, εὐθέως ἂν τὸ τοῦ σχήματος εὐτελὲς προσέστη τῷ μεγέθει τῶν λεγομένων. οὕτω γὰρ εὐτελὲς περιέκειτο σχῆμα καὶ κοινὸν ἅπασιν ὁ Χριστὸς, ὡς καὶ Σαμαρείτιδας γυναῖκας καὶ πόρνας καὶ τελώνας μετὰ πολλῆς τῆς ἀδείας θαρρεῖν αὐτῷ προσιέναι καὶ διαλέγεσθαι. ὅπερ οὖν ἔφην, εἰ ὁμοῦ καὶ τῶν ῥημάτων τούτων ἤκουσαν, καὶ αὐτὸν ἐθεάσαντο, κἂν κατεγέλασαν τῆς μαρτυρίας τοῦ Ἰωάννου· νῦν δὲ πρὶν ἢ φανῆναι τὸν Χριστὸν, πολλάκις ἀκούοντες καὶ ἐνεθιζόμενοι τοῖς λεγομένοις περὶ αὐτοῦ, τοὐναντίον ἔπαθον, οὐ τὴν τῶν ῥημάτων διδασκαλίαν ἀπὸ τῆς ὄψεως τοῦ μαρτυρηθέντος ἐκβάλλοντες, ἀλλ' ἀπὸ τῆς πίστεως τῶν ἤδη λεχθέντων καὶ αὐτὸν λαμπρότερον εἶναι νομίζοντες. τὸ δὲ, ὀπίσω μου ἐρχόμενος, ὁ μετ' ἐμὲ κηρύσσων, οὐχ ὁ μετ' ἐμὲ γενόμενος, ἐστί. τοῦτο γοῦν καὶ ὁ Ματθαῖος αἰνίττεται λέγων· ὀπίσω μου ἔρχεται ἀνὴρ, οὐ περὶ τῆς ἐκ Μαρίας γεννήσεως αὐτοῦ λέγων, ἀλλὰ περὶ τῆς παρουσίας τῆς κατὰ τὸ κήρυγμα. εἰ γὰρ περὶ τῆς γεννήσεως ἔλεγεν, οὐκ ἂν εἶπεν, ἔρχεται, ἀλλ' ἦλθε. γεγεννημένος γὰρ ἦν, ὅτε ταῦτα ἐλέγετο. τί οὖν ἐστι τὸ, ἔμπροσθέν μου γέγονε; λαμπρότερος, ἐντιμότερος. *μὴ γὰρ, ἐπειδὴ πρότερος ἦλθον κηρύττων ἐγὼ, φησὶν, ἀπὸ τούτου μείζονα ἐκείνου με εἶναι νομίσητε. πολὺ γὰρ ἐλάττων ἐγὼ, καὶ τοσοῦτον ἐλάττων, ὡς μηδὲ εἰς δούλου τάξιν ἄξιος εἶναι καταλέγεσθαι. τοῦτο γάρ ἐστι τὸ, ἔμπροσθέν μου γέγονεν, ὅπερ ἑτέρως παραδηλῶν ὁ Ματθαῖος ἔλεγεν· οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. ὅτι δὲ οὐδὲ τὸ, ἔμπροσθέν μου γέγονε, περὶ τῆς εἰς τὸ εἶναι προόδου εἴρηται, διὰ τῆς ἐπαγωγῆς δῆλόν ἐστιν. εἰ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, περιττὸν τὸ ἐπαγόμενον ἦν τὸ, ὅτι πρῶτός μου ἦν. τίς γὰρ οὕτως ἠλίθιος καὶ ἀνόητος, ὡς ἀγνοῆσαι, ὅτι ὁ ἔμπροσθεν αὐτοῦ γενόμενος, πρῶτος αὐτοῦ ἦν; εἰ δὲ περὶ ὑπάρξεως ἦν τῆς προαιωνίου, οὐδὲν ἕτερόν ἐστι τὸ λεγόμενον, ἀλλ' ἢ ὅτι ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν. ἄλλως δὲ, καὶ ἀπερινόητον τὸ τοιοῦτον, καὶ ἡ αἰτία εἰκῆ προσέρριπται. τοὐναντίον γὰρ, εἰ τοῦτο ἐβούλετο δηλῶσαι, ἐχρῆν εἰπεῖν· ὅτι ὁ ὀπίσω μου ἐρχόμενος πρῶτός μου ἦν, ἐπειδὴ καὶ ἔμπροσθέν μου γέγονε. τοῦ μὲν γὰρ πρῶτον εἶναι, εἰκότως ἄν τις ταύτην δοίη τὴν αἰτίαν*· τοῦ δὲ πρῶτον γενέσθαι, οὐκέτι τὸ πρῶτον εἶναι αἴτιον. ὃ δὲ ἡμεῖς λέγομεν, σφόδρα ἂν ἔχοι λόγον. ἴστε γὰρ δήπου τοῦτο πάντες, ὅτι οὐ τὰ δῆλα, ἀλλὰ τὰ ἄδηλα ἀεὶ αἰτιολογίας δεῖται. εἰ δὲ περὶ οὐσιώσεως ὁ λόγος ἦν, οὐκ ἦν ἄδηλον ὅτι πρῶτον γενόμενον, πρῶτον ἔδει εἶναι. ἐπειδὴ δὲ περὶ τιμῆς διαλέγεται, εἰκότως τὴν δοκοῦσαν ἀπορίαν εἶναι λύει. καὶ γὰρ εἰκὸς ἦν πολλοὺς ἀπορεῖν, πόθεν καὶ ἐκ ποίας προφάσεως ὁ ὕστερον ἐρχόμενος, ἔμπροσθεν γέγονε· τουτέστιν, ἐντιμότερος ἐφάνη. ταύτης τοίνυν τῆς ζητήσεως τίθησιν εὐθέως τὴν αἰτίαν· ἡ δὲ αἰτία, τὸ πρῶτον εἶναι αὐτόν. οὐδὲ γὰρ ἔκ τινος, φησὶ, προκοπῆς πρῶτόν με ὄντα ὀπίσω ῥίψας, ἔμπροσθεν γέγονεν, ἀλλὰ πρῶτός μου ἦν, εἰ καὶ ὕστερος παραγίνεται. καὶ πῶς, φησὶν, εἰ περὶ τῆς ἐκφάνσεως τῆς εἰς ἀνθρώπους, καὶ τῆς μελλούσης ἔσεσθαι μετ' αὐτὴν δόξης λέγει, τὸ μηδέπω τέλος εἰληφὸς ὡς ἤδη γεγενημένον λέγει; οὐ γὰρ εἶπε, γενήσεται, ἀλλὰ γέγονεν· ὅτι ἔθος τοῦτο τοῖς προφητεύουσιν ἄνωθέν ἐστιν, ὡς περὶ γεγενημένων πολλαχοῦ περὶ τῶν μελλόντων διαλέγεσθαι. ὁ γοῦν Ἠσαΐας περὶ τῆς σφαγῆς αὐτοῦ λέγων, οὐκ εἶπεν, ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται (ὅπερ ἦν μέλλοντος) ἀλλ', Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καίτοι οὐδέπω σαρκωθεὶς ἦν, ἀλλ' ὅμως τὸ ἐσόμενον ὁ προφήτης ὡς γεγενημένον λέγει. καὶ ὁ Δαβὶδ τὸν σταυρὸν δηλῶν, οὐκ εἶπεν· ὀρύξουσι χεῖράς μου καὶ πόδας, ἀλλ', Ὤρυξάν χεῖράς μου καὶ πόδας, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ περὶ τοῦ προδότου διαλεγόμενος τοῦ μηδέπω γενομένου, οὕτως ἔλεγεν· Ὁ ἐσθίων ἄρτους μου ἐπῆρεν ἐπ' ἐμὲ πτερνισμόν.* καὶ περὶ

Ἡσ. νγ. ζ.
Ψαλ. κα. ιη.
Ψαλ. μβ. θ.
Ἰωάν. ιγ. κϛ.

γρ. λαμπρότε
* ἀλλὰ μ
ἀδείας δυν
μένης τας
πολλῶν ψυ-
χὰς καταχ
γρ. Χριστὸ
τὸν,
γρ. φησι.
* ὃ δὲ λέγει τοῦτό ἐστι.
γρ. γὰρ.
γρ. ἀλλὰ
* τὶ πρῶτ
γενέσθαι·
γρ. ἦν ὁ λόγ
γρ. λέγων
γρ. πῶς πρ
γρ. ἐμεγά-
λυναν
* ὁμοίως

περὶ τῶν ἐν τῷ σταυρῷ γινομένων*, Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. βούλεσθε καὶ τὸ ἑξῆς ἐπαγάγωμεν, ἢ καὶ ταῦτα ἀπόχρη; ἔγωγε οἶμαι. εἰ γὰρ μὴ κατὰ πλάτος διωρύξαμεν τὸ χωρίον, ἀλλὰ κατὰ βάθος διεσκάψαμεν· οὐκ ἐλάττονα δὲ τοῦτο ἐκείνου πόνον ἔχει· καὶ δεδοίκαμεν μὴ κατατείναντες ὑμᾶς ἀμέτρως, ποιήσωμεν ἀναπεσεῖν.

Ψαλ. ξη. κα.

ΗΘΙΚΟΝ

Διὸ τέλος ἐπιθῶμεν τῷ λόγῳ τὸ προσῆκον. ποῖον δέ ἐστι τὸ προσῆκον; δοξολογία πρέπουσα τῷ Θεῷ. πρέπει δὲ οὐχ ἡ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἡ διὰ τῶν πραγμάτων. Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς, φησιν, ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὐ γὰρ οὐδὲν φωτεινότερον τῆς ἀρίστης πολιτείας ἐστί, καθάπερ καί τις ἔλεγε τῶν σοφῶν· Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι· λάμπουσι δὲ οὐκ αὐτοῖς μόνον τοῖς τὸ φῶς ἀνάπτουσι διὰ τῶν ἔργων, καὶ ὁδηγοῦσι πρὸς τὴν ὀρθὴν ὁδόν, ἀλλὰ καὶ τοῖς πλησίον οὖσιν ἐκείνων. ἐγχέωμεν τοίνυν τὸ ἔλαιον ταῖς λαμπάσι ταύταις, ὥστε ὑψηλότερον γενέσθαι τὸ πῦρ, ὥστε πλούσιον φανῆναι τὸ φῶς. οὐ γὰρ ἔλαιον τοῦτο οὐ νῦν μόνον πολλὴν ἔχει τὴν ἰσχύν, ἀλλ' ὅτε καὶ αἱ θυσίαι ἤνθουν, παρευδοκίμησε πολλῷ τῷ τρόπῳ τὴν ἐκείνων δύναμιν. Ἔλεον γάρ, φησι, θέλω, καὶ οὐ θυσίαν· καὶ μάλα εἰκότως. ἐκεῖνο μὲν γὰρ ἄψυχον τὸ θυσιαστήριον, τοῦτο δὲ ἔμψυχον· κἀκεῖ μὲν τὸ ἐπικείμενον ἅπαν τοῦ πυρὸς γίνεται δαπάνη, καὶ τελευτᾷ εἰς κόνιν, καὶ διαχεῖται εἰς τέφραν, καὶ εἰς τὴν τοῦ ἀέρος ὁ καπνὸς ἀναλύεται φύσιν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἑτέρους φέρει τοὺς καρπούς. καὶ ταῦτα ὁ Παῦλος ἐδήλωσε λέγων. τῆς γὰρ φιλοπτωχίας τῶν Κορινθίων τοὺς θησαυροὺς διηγούμενος οὕτως ἔγραφεν· ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ. καὶ πάλιν, Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ τῇ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς. ὁρᾷς εἰς εὐχαριστίαν ἀναλυομένην αὐτήν, καὶ αἶνον τοῦ Θεοῦ, καὶ συνεχεῖς εὐχὰς τῶν εὖ παθόντων καὶ θερμοτέραν ἀγάπην; θύσωμεν τοίνυν, ἀγαπητοί, θύσωμεν εἰς ταῦτα τὰ θυσιαστήρια καθ' ἑκάστην ἡμέραν. αὕτη γὰρ καὶ εὐχῆς καὶ νηστείας καὶ πολλῶν ἑτέρων ἐστὶ μείζων ἡ θυσία· μόνον ἂν ἐκ δικαίου γένηται κέρδους, καὶ πόνων τοιούτων, καὶ πάσης ᾖ καθαρὰ πλεονεξίας καὶ ἁρπαγῆς καὶ βίας. τοιαύτας γὰρ προσίεται προσφορὰς* ὁ Θεός, τὰς δὲ ἑτέρας καὶ ἀποστρέφεται καὶ μισεῖ. οὐδὲ γὰρ βούλεται ἐξ ἀλλοτρίων τιμᾶσθαι συμφορῶν. ἀκάθαρτος γὰρ καὶ βέβηλος ἡ τοιαύτη θυσία, καὶ παροξύνειε μᾶλλον ἄν, ἢ ἐξιλεώσαιτο τὸν Θεόν. διὸ πάσῃ δεῖ κεχρῆσθαι σπουδῇ, ὥστε μὴ ἐν τάξει θεραπείας τὸν τιμώμενον ἐξυβρίζειν. εἰ γὰρ τὰ δεύτερα προσενεγκὼν ὁ Κάϊν, καὶ οὐδὲ ἠδικηκὼς ἕτερον, ἔδωκε δίκην τὴν ἐσχάτην, ὅταν ἐξ ἁρπαγῆς καὶ πλεονεξίας προσφέρωμέν τι, πῶς οὐ πεισόμεθα χαλεπώτερα; διὰ γὰρ τοῦτο καὶ τὸ εἶδος τῆς ἐντολῆς ταύτης ὑπέδειξεν ἡμῖν ὁ Θεός, ἵνα ἐλεῶμεν, οὐχ ἵνα κολάζωμεν τοὺς ὁμοδούλους. ὁ δὲ τὰ ἑτέρων λαμβάνων, καὶ ἑτέρῳ διδούς, οὐκ ἠλέησεν, ἀλλ' ἐτιμωρήσατο, καὶ ἠδίκησεν ἀδικίαν τὴν ἐσχάτην. ὥσπερ οὖν ἔλαιον οὐκ ἂν τέκοι λίθος· οὕτως οὐδὲ ἀπήνεια φιλανθρωπίαν. ὅταν γὰρ τοιαύτην ἔχῃ ῥίζαν, οὐκ ἔτι ἐλεημοσύνη τὸ τοιοῦτόν ἐστι. διὸ παρακαλῶ μὴ πρὸς τοῦτο ὁρᾶν μόνον, ὅπως παρέχωμεν τοῖς δεομένοις, ἀλλὰ καὶ ὅπως μὴ ἐκ τῆς τῶν ἑτέρων ἁρπαγῆς. Εἷς γὰρ εὐχόμενος, καὶ εἷς καταρώμενος, τίνος φωνῆς ἀκούσεται ὁ δεσπότης; ἂν οὕτως ἑαυτοὺς μετὰ ἀκριβείας ἄγωμεν, δυνησόμεθα τῇ τοῦ Θεοῦ χάριτι πολλῆς φιλανθρωπίας καὶ ἐλέους καὶ συγγνώμης τυχεῖν ἐφ' οἷς ἡμάρτομεν πάντα τὸν μακρὸν τοῦτον χρόνον, καὶ τὸν τοῦ πυρὸς ποταμὸν ἐκφυγεῖν· οὗ γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας, εἰς τὴν τῶν οὐρανῶν ἀνελθεῖν βασιλείαν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. ιϛ.

Παρ. δ. ιη.

Ωσ. ϛ. ϛ. καὶ Ματθ. θ. ιγ.

β. Κορ. θ. ιβ.

Σειρ. λα. κε.

Ὁμιλ. ιδ´. 16 ΚΑΙ ΕΚ ΤΟΥ ΠΛΗΡΩΜΑΤΟΣ ΑΥΤΟΥ ΗΜεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.

ΠΡώην ἐλέγομεν, ὅτι Ἰωάννης τὴν ἀπορίαν λύων τῶν μελλόντων πρὸς ἑαυτοὺς ζητεῖν, πόθεν ὁ Κύριος ὕστερον ἐπὶ τὸ κήρυγμα ἐλθὼν πρῶτος αὐτοῦ γέγονε καὶ λαμπρότερος, ἐπήγαγεν, ὅτι πρῶτός μου ἦν. καὶ μία μὲν αὕτη αἰτία· οὐκ ἀρκεσθεὶς δὲ ἐκείνῃ, τίθησι καὶ δευτέραν πάλιν, ἣν νῦν φησι. τίς δέ ἐστιν αὕτη; ἐκ τοῦ πληρώματος αὐτοῦ, φησι, πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. καὶ μετὰ τοῦτον λέγει πάλιν καὶ ἄλλην. ποίαν δὲ ταύτην; ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. καὶ τί ποτέ ἐστι, φησι, τό, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν; ἐπὶ γὰρ τοῦτο τέως ἀκτέον τὸν λόγον. οὐ μεθεκτήν, φησιν, ἔχει τὴν δωρεάν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτοῤῥίζα ἐστὶ πάντων τῶν καλῶν, αὐτοζωὴ καὶ αὐτοφῶς καὶ αὐτοαλήθεια, οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτόν, καὶ μετὰ τὸ ὑπερβλύσαι, μένων πλήρης, καὶ οὐδὲν ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων, καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. ὃ δ' ἐγὼ φέρω, μεθεκτόν τε ἐστι (παρ' ἑτέρου γὰρ ἔλαβον αὐτὸ) καὶ μικρόν τι τοῦ παντός, καὶ οἱονεὶ σταγὼν ″εὐτελὴς πρὸς ἄβυσσον ἄφατον καὶ πέλαγος ἄπειρον· μᾶλλον δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα παραστῆσαι δυνήσαιτ' ἄν, ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. σταγόνα μὲν γὰρ ἀπὸ πελάγους ἂν ἐξέλῃς, αὐτὸ τοῦτο τὸ πέλαγος ἠλάττωσας, εἰ καὶ ἀφανὴς ἡ ἐλάττωσις· ἐπὶ δὲ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλ' ὅσον ἄν τις ἀρύσῃ), μένει μηδὲν ἐλαττουμένη. διὸ χρὴ μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν, ἀσθενὲς μὲν καὶ αὐτὸ καὶ οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι, μᾶλλον δὲ τοῦ προτέρου χειραγωγῆσαι ἡμᾶς πρὸς τὴν ἔννοιαν τῆς προκειμένης ἡμῖν νῦν. ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγήν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους καὶ δὶς τοσούτους καὶ τρὶς καὶ πολλάκις· ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας τῆς αὐτοῦ; παντί που δῆλόν ἐστιν. εἰ δὲ ἐπὶ τῶν σωμάτων τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις (τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται) πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον, καὶ σῶμα, καὶ μερίζεται καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον, ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγεν· ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ συνάπτει τὴν αὐτοῦ μαρτυρίαν τῇ τοῦ Βαπτιστοῦ. τὸ γάρ, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, οὐ τοῦ προδρόμου ἐστὶ ῥῆμα, ἀλλὰ τοῦ μαθητοῦ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ νομίσητε, φησιν, ὅτι ἡμεῖς οἱ συγγενόμενοι πολὺν αὐτῷ χρόνον, καὶ ἁλῶν καὶ τραπέζης κοινωνήσαντες, χάριτι μαρτυροῦμεν. καὶ γὰρ καὶ ὁ Ἰωάννης ὁ μηδὲ εἰδὼς αὐτὸν πρὸ τούτου, ὁ μηδὲ συγγενόμενος, ἀλλὰ τοσοῦτον μόνον, ὅτε ἐβάπτιζε, μετὰ τῶν ἄλλων αὐτὸν θεασάμενος, ἐβόα, πρῶτός μου ἦν, ″ἐκεῖθεν πάντα λαβών· καὶ ἡμεῖς δὲ πάντες οἱ δώδεκα, * οἱ τριακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαὶ τῶν Ἰουδαίων μυριάδες, ἅπαν τὸ πλήρωμα τῶν πιστῶν καὶ τῶν τότε, καὶ τῶν νῦν, καὶ τῶν αὖθις ἐσομένων, ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. τί δὲ ἐλάβομεν; χάριν ἀντὶ χάριτος, φησιν. ἀντὶ ποίας, ποίαν; ἀντὶ τῆς παλαιᾶς, τὴν καινήν. ὥσπερ γὰρ ἦν δικαιοσύνη, καὶ δικαιοσύνη (Κατὰ δικαιοσύνην γάρ, φησι, τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος) καὶ πίστις, καὶ πίστις (ἐκ πίστεως γάρ, φησιν, εἰς πίστιν) καὶ υἱοθεσία, καὶ υἱοθεσία

χ. ὀλίγη

ἴσ. αὐτῷ τὸ

χ. ἐκεῖθ. γ
ὅσα πάντ
λαβών

* οἱ τριακ
σιοι,

Φιλιπ. γ. ς.

(ὥσ

(ὧν ἡ υἱοθεσία φησί) καὶ δόξα καὶ δόξα (Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον β. Κορ. γ. ια.
τὸ μένον ἐν δόξῃ) καὶ νόμος καὶ νόμος (Ὁ νόμος γάρ, φησι, τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ Ρω. η. β.
με) καὶ λατρεία καὶ λατρεία (Ὧν ἡ λατρεία φησί· καὶ πάλιν, Πνεύματι "Θεῷ λατρεύοντες) Ιερ. λα. λα.
καὶ διαθήκη καὶ διαθήκη (Διαθήσομαι γὰρ ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν Εβρ. η. ι.
διεθέμην τοῖς πατράσιν ὑμῶν) καὶ ἁγιασμὸς καὶ ἁγιασμός, καὶ βάπτισμα καὶ βάπτισμα, καὶ θυσία
καὶ θυσία, καὶ ναὸς καὶ ναός, καὶ περιτομὴ καὶ περιτομή· οὕτω καὶ χάρις καὶ χάρις. ἀλλ' ἐκεῖνα μὲν
ὡς τύποι, ταῦτα δὲ ὡς ἀλήθεια, ὁμωνυμίαν τινά, ἀλλ' οὐχὶ συνωνυμίαν φυλάττοντα· ἐπεὶ
καὶ ἐν τοῖς τύποις, καὶ ἐν ταῖς εἰκόσι, καὶ ὁ διὰ τῶν "γραμμάτων τῶν λευκῶν "ἐπὶ τοῦ μέλανος
χρώματος ἐγχαραττόμενος, ἄνθρωπος λέγεται, καὶ ὁ δεξάμενος τὴν τῶν χρωμάτων
ἀλήθειαν· καὶ ἐπὶ τῶν ἀνδριάντων, ὅ τε "χρυσοῦς, ὅ τε πήλινος, ἀνδριὰς προσηγόρευται· ἀλλ'
ὁ μὲν ὡς τύπος, ὁ δὲ ὡς ἀλήθεια. μὴ τοίνυν ὡς ἀπὸ τῆς τῶν ὀνομάτων* κοινωνίας, ταυτότητα
πραγμάτων νομίσῃς, ἀλλὰ μηδὲ ἀλλοτρίωσιν. Εἰ μὲν γὰρ τύπος ἦν, οὐκ ἦν ἀλλοτρία
τῆς ἀληθείας· εἰ δὲ σκιὰν ἐφύλαττεν, ἐλάττων τῆς ἀληθείας ἦν. τί οὖν τὸ μέσον
τούτων ἁπάντων; βούλεσθε ἐπεξέλθωμεν ἓν ἢ δύο τῶν εἰρημένων περιχειρισάμενοι; οὕτω
γὰρ καὶ τὰ ἄλλα ἔσται ὑμῖν δῆλα· καὶ ὀψόμεθα πάντες ὡς ἐκεῖνα μὲν παίδων ἦν διδάγματα,
ταῦτα δέ, γενναίων καὶ μεγάλων ἀνδρῶν, καὶ τὰ μὲν ὡς ἀνθρώποις, τὰ δὲ ὡς ἀγγέλοις νενομοθέτητο.
πόθεν οὖν ποιήσασθαι δεῖ τὴν ἀρχήν; βούλεσθε ἀπὸ τῆς υἱοθεσίας αὐτῆς; τί δὲ οὖν τὸ μέσον
ταύτης κἀκείνης; ἐκείνη, ῥήματος ἦν τιμή· ἐνταῦθα δὲ καὶ τὸ πρᾶγμα ἔπεστι). καὶ περὶ μὲν ἐκείνης
φησίν· Ἐγὼ εἶπα, Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· περὶ δὲ ταύτης, ὅτι ἐκ Θεοῦ ἐγεννήθησαν. Ψαλμ. πβ. ς.
πῶς καὶ τίνι τρόπῳ; διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. κἀκεῖνοι
μὲν μετὰ τὴν τῶν υἱῶν προσηγορίαν ἔτι πνεῦμα δουλείας εἶχον (δοῦλοι γὰρ μένοντες οὕτως ἐτιμῶντο
τῇ κλήσει ταύτῃ) ἡμεῖς δὲ ἐλεύθεροι γενόμενοι [τότε] οὐκ ὀνόματι, ἀλλὰ πράγματι τὴν
τιμὴν ἐδεξάμεθα. καὶ τοῦτο ὁ Παῦλος δηλῶν, ἔλεγεν· Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας Ρω. η. ιε.
πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ πατήρ. γεννηθέντες
γὰρ ἄνωθεν, καί, ὡς ἂν εἴποι τις, ἀναστοιχειωθέντες, οὕτως ἐκλήθημεν υἱοί. καὶ τῆς ἁγιωσύνης
τὸν τρόπον εἴ τις καταμάθοι, τίς μὲν αὕτη, τίς δὲ ἐκείνη, οὐ πολλὴν ὄψεται κἀνταῦθα
τὴν διαφοράν. ἐκεῖνοι μὲν γάρ, ἡνίκα μὴ εἰδωλολάτρουν, μηδὲ ἐπόρνευον, μηδὲ ἐμοίχευον,
τοῦτο ἐκαλοῦντο τὸ ὄνομα· ἡμεῖς δὲ οὐκ ἐν τῇ τούτων ἀποχῇ*, ἀλλ'* ἐν τῇ τῶν
μειζόνων κτήσει γινόμεθα ἅγιοι. καὶ πρῶτον μὲν ἀπ' αὐτῆς τοῦ πνεύματος τῆς ἐπιφοιτήσεως,
ταύτης τυγχάνομεν τῆς δωρεᾶς· ἔπειτα δὲ καὶ ἐκ πολιτείας πολλῷ μείζονος τῆς Ἰουδαϊκῆς.
καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, ἄκουσον ἐκείνοις μὲν τί φησιν· Οὐ "φοιβάσεσθε, οὐ περικαθαρεῖτε Δευτ. ιδ. α.
τὰ τέκνα ὑμῶν, ὅτι λαὸς ἅγιός ἐστε. ὥστε παρ' ἐκείνοις τοῦτο ἡ ἁγιωσύνη τὸ τῶν εἰδωλικῶν ἀπηλλάχθαι
νόμων· παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλ' ἵνα ᾖ ἁγία, φησι, καὶ σώματι καὶ πνεύματι.
Εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· καί, Ἐπιτελοῦντες β. Κορ. ζ. α.
ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. οὐ γὰρ ἁπλῶς τό, ἅγιος, ὄνομα ἐπὶ πάντων, ὧν ἂν λέγηται, τὴν Εβ. ιβ. ιδ.
αὐτὴν ἔννοιαν παραστῆσαι· ἐπεὶ καὶ ὁ Θεὸς ἅγιος λέγεται, ἀλλ' οὐχ ὡς ἡμεῖς. ὅτε γοῦν ἤκουσε
τὴν φωνὴν ταύτην παρὰ τῶν σεραφὶμ "φερομένην ὁ προφήτης τί φησιν; Οἴμοι τάλας Ησ. ς. ε.
ἐγώ, *ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος
ἐγὼ οἰκῶ. καίτοι καὶ ἅγιος καὶ καθαρὸς ἦν· ἀλλὰ πρὸς τὴν ἁγιωσύνην ἡμεῖς "τὴν ἄνωθεν
κρινόμενοι, ἀκάθαρτοί ἐσμεν. ἅγιοι ἄγγελοι, ἅγιοι ἀρχάγγελοι, καὶ αὐτὰ τὰ σεραφὶμ καὶ
τὰ χερουβίμ· ἀλλὰ καὶ ταύτης τῆς ἁγιωσύνης "ἑτέρα πάλιν διαφορά, καὶ πρὸς ἡμᾶς, καὶ
πρὸς τὰς ὑπερεχούσας δυνάμεις. ἐνῆν καὶ τοῖς ἄλλοις ἅπασιν ἐπεξελθεῖν, ἀλλὰ μακρὸς
ὁ λόγος γίνεται καὶ πολὺ τὸ μῆκος· διὸ περαιτέρω "παυσάμενοι προελθεῖν, ὑμῖν ἀφήσομεν
τὰ λειπόμενα μεταχειρίσασθαι. ἔξεστι γὰρ καὶ ὑμῖν κατ' οἶκον ταῦτα συλλέγουσι συνιδεῖν τὴν διαφοράν,

φορὰν, καὶ τοῖς λοιποῖς ὁμοίως ἐπεξιέναι. Δίδου γάρ, φησι, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. ἡ μὲν γὰρ ἀρχὴ παρ' ἡμῶν, τὸ δὲ τέλος ἔσται παρ' ὑμῶν. ἡμῖν δὲ ἀναγκαῖον πάλιν ἅψασθαι τῆς ἀκολουθίας. Εἰπὼν, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, ἐπήγαγε, καὶ χάριν ἀντὶ χάριτος. χάριτι γὰρ καὶ Ἰουδαῖοι διεσώζοντο. οὐ γὰρ διὰ τὸ πολυπληθεῖν ὑμᾶς, φησιν, ἀλλὰ διὰ τοὺς πατέρας ὑμῶν ἐξελεξάμην. Εἰ τοίνυν οὐκ ἐξ οἰκείων κατορθωμάτων ἐξελέγησαν παρὰ Θεοῦ, δῆλον ὅτι χάριτι ταύτης ἔτυχον τῆς τιμῆς. καὶ ἡμεῖς δὲ χάριτι πάντες ἐσώθημεν, ἀλλ' οὐχ ὁμοίως. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ ὑψηλοτέροις. ″οὐ τοίνυν τοιαύτη παρ' ἡμῖν χάρις. οὐ γὰρ δὴ μόνον ἁμαρτημάτων συγχώρησις ἡμῖν ἐδόθη (ἐπεὶ κατὰ τοῦτο κοινωνοῦμεν ἐκείνοις· πάντες γὰρ ἥμαρτον) ἀλλὰ καὶ δικαιοσύνη, καὶ ἁγιασμὸς, καὶ υἱοθεσία, καὶ πνεύματος χάρις″ φαιδροτέρα πολλῷ καὶ δαψιλεστέρα. διὰ ταύτης τῆς χάριτος ἐγενόμεθα τῷ Θεῷ ποθεινοὶ, οὐκέτι μόνον ὡς δοῦλοι, ἀλλὰ καὶ ὡς υἱοὶ καὶ ὡς φίλοι. διὰ τοῦτό φησι, χάριν ἀντὶ χάριτος. καὶ γὰρ τὰ τοῦ νόμου καὶ αὐτὰ χάριτος ἦν, καὶ αὐτὸ τὸ γενέσθαι ″ἄνθρωπον ἐξ οὐκ ὄντων (οὐ γὰρ κατορθωμάτων προϋπηργμένων, ταύτην ἐλάβομεν τὴν ἀμοιβήν. πῶς γὰρ, οἱ μηδὲ ὄντες; ἀλλὰ Θεοῦ πανταχόθεν τῆς εὐεργεσίας κατάρχοντος) οὐ τὸ γενέσθαι δὲ μόνον ἐξ οὐκ ὄντων, ἀλλὰ καὶ τὸ γενομένους εὐθέως μαθεῖν τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα, καὶ τοῦτον ἐν τῇ φύσει λαβεῖν τὸν νόμον, καὶ τὸ τοῦ συνειδότος κριτήριον ἀδέκαστον ἡμῖν παρακαταθέσθαι τὸν ποιήσαντα, χάριτος ἦν μεγίστης καὶ φιλανθρωπίας ἀφάτου. καὶ τὸ, τὸν νόμον δὲ τοῦτον διαφθαρέντα ἀνακτήσασθαι διὰ τοῦ γραπτοῦ, χάριτος ἦν. τὸ μὲν γὰρ ἑπόμενον ἦν, τοὺς τὴν ἅπαξ δοθεῖσαν ἐντολὴν παραχαράττοντας, κολάζεσθαι καὶ τιμωρεῖσθαι· τὸ δὲ γενόμενον οὐ τοῦτο ἦν, ἀλλὰ πάλιν διόρθωσις, καὶ συγγνώμη οὐκ ὀφειλομένη, ἀλλ' ἀπὸ ἐλέου καὶ χάριτος διδομένη. ὅτι γὰρ χάριτος ἦν καὶ ἐλέους, ἄκουσον τί φησιν ὁ Δαβίδ· Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις, ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. καὶ πάλιν, Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἐν ὁδῷ ἁμαρτάνοντας. ἐλεημοσύνης οὖν ἄρα καὶ οἰκτιρμῶν καὶ χάριτος τὸ τὸν νόμον λαβεῖν. διὰ τοῦτό φησι, χάριν ἀντὶ χάριτος. ἔτι ″θερμότερον ἐπαγωνιζόμενος τῷ μεγέθει τῶν ″δεδομένων, ἐπάγει λέγων· ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Εἴδετε πῶς ἠρέμα ἑνὶ ῥήματι καὶ κατὰ μικρὸν, ὅ τε βαπτιστὴς Ἰωάννης, ὅ τε μαθητὴς πρὸς τὴν ὑψηλοτάτην τοὺς ἀκροατὰς ἀνάγουσι γνῶσιν, πρότερον τοῖς ταπεινοτέροις ἐγγυμνάσαντες; ἐκεῖνος μὲν γὰρ πρὸς ἑαυτὸν συγκρίνας τὸν ″ἀσυγκρίτως ἁπάντων ὑπερέχοντα, οὕτως αὐτοῦ μετὰ ταῦτα δείκνυσι τὴν ὑπεροχὴν, λέγων, ὅς ἔμπροσθέν μου γέγονεν, εἶτα ἐπάγων τὸ, πρῶτός μου ἦν· οὗτος δὲ ἐκείνου μὲν πολλῷ μεῖζον ἐποίησε, τῆς δὲ ἀξίας τῆς τοῦ μονογενοῦς ἔλαττον. οὐ γὰρ πρὸς Ἰωάννην, ἀλλὰ πρὸς τὸν ἐκείνου μᾶλλον θαυμαζόμενον παρὰ Ἰουδαίοις ποιεῖται τὴν σύγκρισιν, τὸν Μωϋσέα λέγω.

Ψαλ. ρβ. ϛ.

17 Ὁ νόμος γάρ, φησι, διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Καὶ θέα τὴν σύνεσιν. οὐ τοῦ προσώπου ποιεῖται τὴν ἐξέτασιν, ἀλλὰ τῶν πραγμάτων. τούτων γὰρ ἀποδειχθέντων, πολλῷ μείζονα ἐξ ἀνάγκης καὶ τοὺς ἀγνώμονας εἰκὸς ἦν παραδέξασθαι τὴν ψῆφον καὶ τὴν ὑπόνοιαν περὶ τοῦ Χριστοῦ. ὅταν γὰρ τὰ πράγματα μαρτυρῇ, τὰ μηδεμίαν ἔχοντα″ ὑποψίαν, ὡς πρὸς χάριν τινὸς, ἢ πρὸς ἀπέχθειαν τοῦτο ποιοῦντα, ἀναμφισβήτητον καὶ τοῖς ἀγνώμοσι τὴν ψῆφον παρίστησιν. οἷα γὰρ ἂν αὐτὰ διαθῶσιν οἱ ποιήσαντες, τοιαῦτα μένει φαινόμενα. διὸ μάλιστα πάντων ἀνύποπτος ἡ παρὰ τούτων ἐστὶ μαρτυρία. ὅρα δὲ καὶ πῶς ἀνεπαχθῆ ποιεῖται τὴν παράθεσιν καὶ παρὰ τοῖς ἀσθενεστέροις. οὐ γὰρ κατασκευάζει τῷ λόγῳ τὴν ὑπεροχὴν, ἀλλ' ἀπὸ τῶν ὀνομάτων γυμνὴν τὴν διαφορὰν παραδείκνυσι, χάριν καὶ ἀλήθειαν ἀντιθεὶς νόμῳ, καὶ τὸ ἐγένετο τῷ ἐδόθη.

γ. ἡ γὰρ

γ. σφοδρ… ερ…

γ. ἡμᾶς

γ. πανταχ…

γ. σαφέστερ…

γ. διαφόρων

ὁ νόμος, φησὶ, διὰ

γ. ἀσυγκριτ…

γ. αἰτίαν,

πολὺ δὲ τὸ μέσον ἑκατέρων. τὸ μὲν γὰρ διακονουμένου ἦν, τὸ ἐδόθη, λαβόντος παρ' ἑτέρου καὶ διδόντος οἷς προσετάγη δοῦναι· τὸ δὲ, ἐγένετο ἡ χάρις καὶ ἡ ἀλήθεια, βασιλέως μετ' ἐξουσίας πάντα ἀφιέντος τὰ ἁμαρτήματα, καὶ αὐτοῦ κατασκευάζοντος τὴν δωρεάν. διὸ ἔλεγεν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι. καὶ πάλιν, Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει τῷ παραλυτικῷ, ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. "ὁρᾷς πῶς ἡ χάρις γέγονε δι' αὐτοῦ; σκόπει δὲ καὶ τὴν ἀλήθειαν. τὴν μὲν οὖν χάριν καὶ ταῦτα, καὶ τὰ κατὰ τὸν λῃστὴν ἦν, καὶ ἡ τοῦ βαπτίσματος δωρεὰ, καὶ ἡ "τοῦ πνεύματος χάρις ἡ δι' αὐτοῦ διδομένη δείκνυσι, καὶ ἕτερα πολλά· τὴν δὲ ἀλήθειαν σαφέστερον εἰσόμεθα, ἂν τοὺς τύπους καταμάθωμεν. τὰς γὰρ μελλούσας" τελεῖσθαι ἐν τῇ καινῇ οἰκονομίας προλαβόντες προδιέγραψαν οἱ τύποι, ὡς τύποι· ἐλθὼν δὲ ἐπετέλεσεν αὐτὰ ὁ Χριστός. ἴδωμεν τοίνυν καὶ τοὺς τύπους ἐν ὀλίγοις. οὐδὲ γὰρ ἅπαντα διελθεῖν τὰ τῶν τύπων τοῦ" παρόντος καιροῦ· "ἀφ' ὧν δὲ παραθήσομαι τινὰ μαθόντες, καὶ τὰ λοιπὰ εἴσεσθε. βούλεσθε οὖν ἀπ' αὐτοῦ τοῦ πάθους ἀρξώμεθα; τί οὖν φησιν ὁ τύπος; Λάβετε ἀρνίον κατ' οἰκίαν, καὶ θύσατε, καὶ ποιήσατε ὡς προσέταξε καὶ ἐνομοθέτησεν· ὁ δὲ Χριστὸς οὐχ οὕτως. οὐ γὰρ προστάττει τοῦτο γενέσθαι, ἀλλ' αὐτὸς αὐτὸ γέγονε, θυσίαν ἑαυτὸν καὶ προσφορὰν τῷ πατρὶ προσενεγκών. ὅρα πῶς ὁ μὲν ὁ τύπος ἐδόθη διὰ Μωϋσέως, ἡ δὲ ἀλήθεια ἐγένετο διὰ Ἰησοῦ Χριστοῦ. πάλιν ἐν τῷ ὄρει Σινᾶ τῶν Ἀμαληκιτῶν "ἐπιστρατευόντων, αἱ χεῖρες μὲν ἐστηρίζοντο τοῦ Μωϋσέως αἰρόμεναι ὑπὸ Ἀαρὼν καὶ Ὢρ ἑκατέρωθεν ἑστώτων· ὁ δὲ Χριστὸς παραγενόμενος, αὐτὸς δι' ἑαυτοῦ τὰς χεῖρας ἀνέτεινεν ἐν τῷ σταυρῷ. εἶδες πῶς ὁ μὲν τύπος ἐδίδοτο, ἡ δὲ ἀλήθεια ἐγίνετο. πάλιν ὁ νόμος ἔλεγεν· ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ· ἡ δὲ χάρις τί φησι; Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ ὁ Παῦλος, Χριστὸς ὑμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα.

Μαρ. β. θ.

Ἐξοδ. ιβ. γ.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν τοσαύτης ἀπολελαύκαμεν χάριτος καὶ ἀληθείας, παρακαλῶ, μὴ διὰ τὸ μέγεθος τῆς δωρεᾶς γινώμεθα ῥαθυμότεροι. ὅσῳ γὰρ μείζονος ἠξιώθημεν τιμῆς, τοσούτῳ καὶ πλείονός ἐσμεν ἀρετῆς ὀφειλέται. ὁ μὲν γὰρ μικρὰ εὐεργετηθεὶς, κἂν μικρὰ ἐπιδείξηται, οὐ" τῆς αὐτῆς καταγνώσεως ἄξιός ἐστιν· ὁ δὲ πρὸς τὴν" ἀνωτέρω κορυφὴν τῆς τιμῆς ἀναβὰς, εἶτα χαμαίζηλα καὶ ταπεινὰ ἐπιδεικνύμενος, πολλῷ μείζονος ἔσται κολάσεως ἄξιος. ἀλλὰ μὴ γένοιτο περὶ ὑμῶν τοιαῦτα ὑποπτεῦσαί ποτε. πεποίθαμεν γὰρ ἐν Κυρίῳ, ὅτι πρὸς τὸν οὐρανὸν τὰς ψυχὰς ὑμῶν ἐπτερώσατε, καὶ τῆς γῆς ἀπανέστητε, καὶ ἐν τῷ κόσμῳ ὄντες, οὐ τὰ τοῦ κόσμου μεταχειρίζεσθε. ἀλλ' ὅμως καὶ πεπεισμένοι, οὐ παυόμεθα συνεχῶς τοιαῦτα παρακαλοῦντες. ἐπεὶ καὶ ἐν τοῖς ἔξωθεν ἀγῶσιν, οὐ τοὺς ἀναπεπτωκότας, οὐδὲ τοὺς ὑπτίους κειμένους, ἀλλὰ τοὺς ἐνεργοῦντας, τοὺς ἐπιτρέχοντας ἅπαντες προτρέπονται οἱ θεαταί. ἐπ' ἐκείνων μὲν γὰρ ὡς" ἀνόνητα ποιοῦντες, καὶ οὐ δυνάμενοι διὰ τῶν παρακλήσεων αὐτοὺς ἀναστῆσαι ἀπορραγέντας καθάπαξ τῆς νίκης, οὕτω παύονται καταγινώσκοντες· ἐν τούτῳ δὲ οὐκ ἐφ' ὑμῶν μόνον τῶν νηφόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀναπεσόντων, εἰ βουληθεῖεν μεταβάλλεσθαι, ἔστιν τι προσδοκῆσαι χρηστόν. διὸ πάντα πράττομεν παρακαλοῦντες, ὀνειδίζοντες, προτρέποντες, ἐπαινοῦντες, ὥστε τὴν ὑμετέραν πραγματεύσασθαι σωτηρίαν. μὴ τοίνυν τῇ συνεχεῖ τῇ περὶ τῆς πολιτείας δυσχεράνητε παραινέσει. οὐ γὰρ ῥαθυμίαν κατεγνωκότων ἐστὶ τὰ λεγόμενα, ἀλλὰ χρηστὰς σφόδρα ἐλπίδας ἐχόντων περὶ ὑμῶν. οὐ πρὸς ὑμᾶς δὲ μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς τοὺς λέγοντας ταῦτα εἴρηται, καὶ εἰρήσεται. καὶ γὰρ καὶ αὐτοὶ τῆς αὐτῆς δεόμεθα διδασκαλίας. εἰ γὰρ καὶ παρ' ἡμῶν λέγεται, ἀλλὰ καὶ πρὸς ἡμᾶς οὐδὲν κωλύει ταῦτα λέγεσθαι (τὸν μὲν γὰρ εὑρὼν ὑπεύθυνον ὄντα ὁ λόγος διωρθώσατο· τὸν δὲ ἐκτὸς καὶ ἀπηλλαγμένον, ὡς πορρωτάτω πάλιν ἀπήγαγεν) οὐδὲ γὰρ αὐτοὶ τῶν ἁμαρτημάτων ἐσμὲν καθαροί.

θαρρεῖ. ἥ τε οὖν ἰατρεία κοινὴ, τά τε φάρμακα ἅπασι πρόκειται· ἡ δὲ θεραπεία λοιπὸν οὐ κοινὴ, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται. ὁ μὲν γὰρ θέλων δεόντως μεταχειρίσασθαι τὸ φάρμακον, ἀπώνατό τι τῆς θεραπείας· ὁ δὲ μὴ ἐπιθεὶς τῷ τραύματι, μεῖζον εἰργάσατο τὸ κακὸν, καὶ εἰς τὴν χαλεπωτάτην κατέστρεψε τελευτήν. μὴ τοίνυν ἀλγῶμεν ἰατρευόμενοι, ἀλλὰ πολλῷ μᾶλλον χαίρωμεν, κἂν πικρὰς φέρῃ τὰς ὀδύνας τῆς διδασκαλίας ἡ μεθοδεία. πολὺ γὰρ ἥδιστον ἡμῖν ὕστερον ἐπιδείξεται τὸν καρπόν. πάντα οὖν εἰς τοῦτο πράττωμεν*, ὅπως καθαροὶ τραυμάτων καὶ πληγῶν, ἃς οἱ τῆς ἁμαρτίας ὀδόντες ἐντεθείκασι τῇ ψυχῇ, εἰς τὸν αἰῶνα ἀπάρωμεν ἐκεῖνον, ἵνα ἄξιοι τῆς ὄψεως γενόμενοι τοῦ Χριστοῦ, μὴ ταῖς τιμωρητικαῖς καὶ ἀποτόμοις δυνάμεσι κατὰ τὴν ἡμέραν παραδοθῶμεν ἐκείνην, ἀλλὰ ταῖς δυναμέναις πρὸς τὴν κληρονομίαν εἰσαγαγεῖν ἡμᾶς τῶν οὐρανῶν, τὴν ἡτοιμασμένην τοῖς ἀγαπῶσιν αὐτόν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιε. 18 ΘΕΟΝ ΟΥΔΕΙΣ ΕΩΡΑΚΕ ΠΩΠΟΤΕ· Ο ΜΟΝΟΓΕΝΗΣ υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

Τῶν ὀνομάτων καὶ τῶν ῥημάτων τῶν ἐν ταῖς γραφαῖς κειμένων οὐχ ἁπλῶς ἡμᾶς ὁ Θεὸς ἐπακούειν βούλεται, ἀλλὰ μετὰ πολλῆς τῆς συνέσεως. διὰ τοῦτο ὁ μὲν μακάριος Δαβὶδ πολλαχοῦ τῶν ψαλμῶν προέγραφε τῶν ἑαυτοῦ, τὸ εἰς σύνεσιν, καὶ ἔλεγεν· Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου. μετὰ δὲ τοῦτον καὶ ὁ τούτου παῖς ὑποτιθεὶς δείκνυσιν ὅτι δεῖ, καθάπερ ἀργύριον, ἐκζητεῖν τὴν σοφίαν, "μᾶλλον δὲ ὑπὲρ χρυσίον αὐτὴν ἐμπορεύεσθαι· καὶ ὁ Κύριος δὲ τοῖς Ἰουδαίοις παραινῶν τὰς γραφὰς ἐρευνᾷν, ἐπὶ πλέον ἡμᾶς εἰς ζήτησιν ἐνάγει. οὐκ ἂν γὰρ οὕτως εἶπεν, εἴγε αὐτόθεν καὶ ἐκ πρώτης αὐτὰς καταλαβεῖν δυνατὸν ἦν τῆς ἀναγνώσεως. τὸ γὰρ ἐν μέσῳ κείμενον καὶ πρόχειρον, οὐδείς ποτ' ἂν ἐρευνήσαιτο, ἀλλὰ τὸ συνεσκιασμένον καὶ μετὰ πολλῆς εὑρισκόμενον τῆς ζητήσεως. διὰ τοῦτο καὶ θησαυρὸν κεκρυμμένον αὐτὰς εἶναί φησι, πρὸς τὴν ζήτησιν ἡμᾶς διεγείρων. ταῦτα δὲ ἡμῖν εἴρηται, ἵνα μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, προσβάλλωμεν τοῖς τῶν γραφῶν ῥήμασιν, ἀλλὰ μετ' ἀκριβείας πολλῆς. εἰ μὲν γὰρ ἀνεξετάστως τις "ἐπακούσειε" τῶν λεγομένων ἐν αὐταῖς, καὶ δέξαιτο πάντα οὕτως, ὡς εἴρηται, κατὰ τὸ γράμμα, πολλὰ τὰ ἄτοπα ὑποπτεύσει περὶ Θεοῦ. καὶ γὰρ καὶ ἄνθρωπον αὐτὸν εἶναι, καὶ ἀπὸ χαλκοῦ συνεστάναι, καὶ ὀργίλον, καὶ θυμώδη, καὶ πολλὰ ἕτερα τούτων χείρονα περὶ αὐτοῦ δέξεται δόγματα. εἰ δὲ τὸν νοῦν" τὸν ἐν τῷ βάθει" κείμενον καταμάθῃ, πάσης ταύτης ἀπαλλαγήσεται τῆς ἀτοπίας. ἐπεὶ καὶ τὸ νῦν προκείμενον ἡμῖν ἀνάγνωσμα κόλπον φησὶ τὸν Θεὸν ἔχειν, ὅπερ σωμάτων ἐστὶν ἴδιον. ἀλλ' οὐδεὶς οὕτω μέμηνεν, ὥστε σῶμα ὑποπτεῦσαι τὸν ἀσώματον εἶναι. ἵν' οὖν ἀξίως τῆς πνευματικῆς ἐννοίας τὸ πᾶν ἐκλάβωμεν, φέρε, ἄνωθεν τὸ χωρίον διερευνησώμεθα. Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ἐκ ποίας ἐπὶ τοῦτο ἦλθεν ἀκολουθίας ὁ εὐαγγελιστής; δείξας πολλὴν τῶν τοῦ Χριστοῦ δωρημάτων τὴν ὑπερβολὴν, καὶ τὸ μέσον ἄπειρον τούτων τε καὶ τῶν διὰ Μωϋσέως οἰκονομηθέντων, ἐπάγει καὶ τὴν αἰτίαν εὔλογον τῆς διαφορᾶς. ἐκεῖνος μὲν γὰρ ὑπηρέτης ὢν, ταπεινοτέρων γέγονε πραγμάτων διάκονος· οὗτος δὲ, δεσπότης καὶ βασιλεὺς καὶ βασιλέως υἱὸς ὢν, τὰ πολλῷ μείζονα ἡμῖν ἐκόμισε, συνὼν ἀεὶ τῷ πατρὶ καὶ ὁρῶν αὐτὸν διηνεκῶς. "διὰ τοῦτο ἔλεγε, Θεὸν οὐδεὶς ἑώρακε πώποτε. τί οὖν ἐροῦμεν τῷ μεγαλοφωνοτάτῳ Ἡσαΐᾳ λέγοντι, Εἶδον τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον; "καὶ τῷ Ἰωάννῃ

Ψαλμ. ριη. ιη.

δὲ μαρτυρεῖ αὐτῷ, ὅτι ταῦτα εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ; τί δὲ τῷ Ἰεζεκιήλ; καὶ γὰρ καὶ αὐτὸς ἐπὶ τῶν χερουβὶμ καθήμενον αὐτὸν ὁρᾷ. τί δὲ τῷ Δανιήλ; καὶ γὰρ καὶ οὗτός φησιν· ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο. τί δὲ καὶ αὐτῷ τῷ Μωϋσεῖ λέγοντι, δεῖξόν μοι τὴν δόξαν σου, ὅπως γνωστῶς ἴδω σε; ὁ δὲ Ἰακὼβ καὶ ἀπὸ τούτου τὴν προσηγορίαν ἔλαβεν, Ἰσραὴλ ἐπικληθείς. Ἰσραὴλ γὰρ ὁ τὸν Θεὸν ὁρῶν ἐστί. καὶ ἕτεροι δὲ αὐτὸν ἑωράκασι. " πῶς οὖν ὁ Ἰωάννης φησί, Θεὸν οὐδεὶς ἑώρακε πώποτε; δηλῶν ὅτι πάντα ἐκεῖνα συγκαταβάσεως ἦν, οὐκ αὐτῆς τῆς οὐσίας γυμνῆς ὄψις. εἰ γὰρ αὐτὴν ἑώρων τὴν φύσιν, οὐκ ἂν διαφόρως αὐτὴν ἐθεάσαντο. ἁπλῆ γάρ τις καὶ ἀσχημάτιστος αὕτη καὶ ἀσύνθετος καὶ ἀπερίγραπτος· οὐ κάθηται, οὐδὲ ἕστηκεν, οὐδὲ περιπατεῖ. ταῦτα γὰρ πάντα σωμάτων. πῶς δέ ἐστιν, αὐτὸς οἶδε μόνος. καὶ τοῦτο διὰ προφήτου τινὸς * ἔλεγεν ἐμφαίνων· Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην, τουτέστι, συγκατέβην· οὐ τοῦτο, ὅπερ ἤμην, ἐφάνην. ἐπειδὴ γὰρ ἔμελλεν αὐτοῦ ὁ υἱὸς δι' ἀληθινῆς φανήσεσθαι σαρκός, ἄνωθεν αὐτοὺς προεγύμναζεν ὁρᾶν τοῦ Θεοῦ τὴν οὐσίαν, ὡς αὐτοῖς δυνατὸν ἦν ἰδεῖν. ἐπεὶ αὐτὸ ὅπερ ἐστὶν ὁ Θεὸς οὐ μόνον προφῆται, ἀλλ' οὐδὲ ἄγγελοι εἶδον, οὔτε ἀρχάγγελοι. ἀλλ' ἐὰν ἐρωτήσῃς αὐτούς, ἀκούσῃ περὶ μὲν τῆς οὐσίας οὐδὲν ἀποκρινομένους, " δόξαν δὲ ἐν ὑψίστοις " ἀναπέμποντας τῷ Θεῷ, καὶ ἐπὶ γῆς " εἰρήνην, ἐν ἀνθρώποις " εὐδοκίαν. κἂν παρὰ τῶν χερουβὶμ ἢ τῶν σεραφὶμ ἐπιθυμήσῃς τι μαθεῖν, τὸ μυστικὸν τοῦ ἁγιασμοῦ μέλος ἀκούσῃ, καὶ ὅτι πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. ἂν τὰς ἀνωτέρω δυνάμεις ἐξετάσῃς, " οὐδὲν ἄλλο εὑρήσεις, ἢ ὅτι ἓν ἔργον αὐτοῖς ἐστὶ τὸ αἰνεῖν τὸν Θεόν. Αἰνεῖτε γὰρ αὐτόν, φησι, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. μόνος δὲ ὁρᾷ αὐτὸν ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον. " ἡ γὰρ κτιστὴ φύσις ἅπασα πῶς καὶ ἰδεῖν δυνήσεται τὸ ἄκτιστον; Εἰ γὰρ ἁπλῶς τῆς ὁποιασοῦν ἀσωμάτου δυνάμεως, καίτοιγε γεννητῆς οὔσης, οὐ δυνάμεθα δέξασθαι θεωρίαν " σαφῆ, καὶ τοῦτο πολλάκις ἐπὶ τῶν ἀγγέλων ἐδείχθη, πολλῷ μᾶλλον τῆς καὶ ἀσωμάτου καὶ ἀγεννήτου οὐσίας. " διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται. ἆρ' οὖν τῷ πατρὶ μόνῳ τὸ ἐξαίρετον τοῦτο πρόσεστι, τῷ δὲ υἱῷ οὐκ ἔτι; ἄπαγε· ἀλλὰ καὶ τῷ υἱῷ. " ὅτι δὲ καὶ αὐτῷ, ἄκουε Παύλου τοῦτο δηλοῦντος καὶ λέγοντος, ὅτι εἰκών ἐστιν οὗτος τοῦ Θεοῦ τοῦ ἀοράτου. εἰ δὲ τοῦ ἀοράτου εἰκών, καὶ αὐτὸς ἀόρατος· ἐπεὶ οὐκ ἂν εἴη εἰκών. " εἰ δὲ ἀλλαχοῦ φησι, Θεὸς ἐφανερώθη ἐν σαρκί, μὴ θαυμάσῃς· ὅτι ἡ φανέρωσις διὰ τῆς σαρκός, οὐ μὴν κατὰ τὴν οὐσίαν γέγονεν. ἐπεὶ ὅτι καὶ αὐτὸς ἀόρατος, οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσι, " δείκνυσιν ὁ Παῦλος· εἰπὼν γάρ, ὅτι ἐφανερώθη ἐν σαρκί, ἐπήγαγεν, ὅτι ὤφθη ἀγγέλοις. ὥστε καὶ τοῖς ἀγγέλοις τότε ὤφθη, ὅτε σάρκα περιεβάλλετο· πρὸ τούτου δὲ οὐχ ἑώρων αὐτὸν οὕτως, ἐπειδὴ καὶ αὐτοῖς ἀόρατος ἡ οὐσία ἦν. " καὶ πῶς, φησιν, ὁ Χριστὸς εἶπε, Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς; τί οὖν, καὶ πρόσωπον ὁ Θεὸς ἔχει, καὶ ἐν οὐρανοῖς περιγέγραπται; ἀλλ' οὐκ ἄν τις οὕτω μανείη, ὥστε ταῦτα εἰπεῖν. τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; ὥσπερ ὅταν λέγῃ, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, τὴν κατὰ διάνοιαν ὄψιν φησὶ τὴν ἡμῖν δυνατήν, καὶ τὴν ἔννοιαν τὴν περὶ Θεοῦ· οὕτω καὶ ἐπὶ τῶν ἀγγέλων " ἐκληπτέον, ὅτι διὰ τὴν καθαρὰν αὐτῶν καὶ ἄγρυπνον φύσιν, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὸν Θεὸν ἀεὶ φαντάζονται. διὰ τοῦτο καὶ " ὁ Χριστός φησιν· οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός. τί οὖν, πάντες ἐν ἀγνοίᾳ ἐσμέν; μὴ γένοιτο· ἀλλ' οὕτως οὐδεὶς οἶδεν, ὡς ὁ υἱός. ὥσπερ οὖν εἶδον αὐτὸν " πολλοὶ κατὰ τὴν ἐγχωροῦσαν αὐτοῖς ὄψιν, τὴν δὲ οὐσίαν οὐδεὶς ἐθεάσατο· οὕτως ἴσμεν πολλοὶ τὸν Θεόν, τὴν δὲ οὐσίαν οὐδεὶς οἶδεν, ὅ, τι ποτέ ἐστιν, εἰ μὴ μόνος ὁ γεννηθεὶς ἐξ αὐτοῦ. γνῶσιν γὰρ ἐνταῦθα, τὴν ἀκριβῆ λέγει θεωρίαν τε καὶ κατάληψιν, καὶ τοσαύτην, ὅσην ὁ πατὴρ ἔχει περὶ τοῦ παιδός.

Ωσ. ιβ. ι.

Ματθ. ιη. ι.

Ματθ. ε. η.

δός. καθὼς γὰρ γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα. διὸ καὶ ὁ εὐαγγελιστὴς ὅρα μεθ' ὅσης φθέγγεται τῆς περιουσίας. Εἰπὼν γὰρ, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, οὐκ εἶπεν, ὅτι ὁ υἱὸς ἰδὼν ἐξηγήσατο, ἀλλ' ἕτερόν τι πλέον τοῦ ἰδεῖν ἔθηκεν, εἰπὼν, ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ πατρός. τοῦ γὰρ ἰδεῖν τὸ καὶ ἐν τῷ κόλπῳ ἐνδιαιτᾶσθαι, πολλῷ πλέον ἐστίν. ὁ μὲν γὰρ ἁπλῶς ὁρῶν, οὐ πάντως ἀκριβῆ τοῦ φαινομένου τὴν γνῶσιν ἔχει· ὁ δὲ τοῖς κόλποις ἐνδιατρίβων, οὐδὲν ἀγνοήσειέ ποτε. ἀκούων οὖν ὅτι οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός, ἵνα μὴ λέγῃς, ὅτι εἰ [καὶ] πλέον ἁπάντων οἶδε τὸν πατέρα, ἀλλ' οὐχ ὅσος ἐστὶν οἶδε· διὰ τοῦτο, ὅ τε εὐαγγελιστὴς ἐν τῷ κόλπῳ αὐτὸν διαιτᾶσθαί φησι τοῦ πατρός, αὐτός τε ὁ Χριστὸς τοσοῦτον αὐτὸν εἰδέναι φησὶν, ὅσον ὁ πατὴρ τὸν υἱόν. ἐρώτησον οὖν τὸν ἀντιλέγοντα· ἆρά γε, εἰπὲ, καὶ γινώσκει τὸν υἱὸν ὁ πατήρ; καὶ ἐρεῖ πάντως, ἂν μὴ μαίνηται, ὅτι ναί. μετὰ τοῦτο, κἀκεῖνο ἐρώμεθα πάλιν· τί δὲ, ἀκριβῆ τινα ὅρασιν καὶ γνῶσιν αὐτὸν ὁρᾷ καὶ γινώσκει; καὶ οὕτως ὅσπερ ἐστὶν οἶδε σαφῶς; πάντως καὶ τοῦτο ἐρεῖ. ἀπὸ γοῦν τούτου λοιπὸν συνάγαγε τὴν ἀκριβῆ τοῦ υἱοῦ περὶ τοῦ πατρὸς κατάληψιν. αὐτὸς γὰρ εἶπεν, Ὅτι ὡς γινώσκει με ὁ πατήρ, οὕτω καὶ ἐγὼ αὐτὸν γινώσκω· καὶ ἀλλαχοῦ, οὐχ ὅτι Θεὸν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ. διὰ τοῦτο, ὅπερ ἔφην, καὶ ὁ εὐαγγελιστὴς τοῦ κόλπου μέμνηται, πάντα ταῦτα διὰ τοῦ ἑνὸς ῥήματος τούτου ἡμῖν ἐμφαίνων, ὅτι πολλὴ τῆς οὐσίας ἡ συγγένεια καὶ ἡ ἐγγύτης, ὅτι ἀπαράλλακτος ἡ γνῶσις, ὅτι ἴση ἡ ἐξουσία. οὐ γὰρ τὸν ἑτερούσιον ἐν τοῖς κόλποις ἂν εἶχεν ὁ πατήρ· ἀλλ' οὐδ' ἂν αὐτὸς ἐτόλμησε, δοῦλος ὢν καὶ τῶν πολλῶν εἷς, ἐν τῷ κόλπῳ περιφέρεσθαι τοῦ δεσπότου. τοῦτο γὰρ υἱοῦ γνησίου μόνον, καὶ πολλῇ τῇ παῤῥησίᾳ πρὸς τὸν γεγεννηκότα χρωμένου, καὶ οὐδὲν ἔλαττον ἔχοντος. βούλει καὶ τὸ ἀΐδιον μαθεῖν; ἄκουσον τί φησιν ὁ Μωϋσῆς περὶ τοῦ πατρός. ἐρωτήσας γὰρ εἰ ἐρωτηθείη παρὰ τῶν Ἰουδαίων, τίς ὁ ἀπεσταλκὼς αὐτὸν εἴη, τί κελεύεται ἀποκρίνασθαι αὐτοῖς, ἤκουσεν· εἰπὲ, ὅτι ὁ ὢν ἀπέσταλκέ με. τὸ δὲ, ὁ ὢν, τοῦ ἀεὶ εἶναι σημαντικόν ἐστι καὶ τοῦ ἀνάρχως εἶναι, καὶ τοῦ ὄντως εἶναι καὶ κυρίως. τοῦτο καὶ τὸ, ἐν ἀρχῇ ἦν, ἐμφαίνει, τοῦ ἀεὶ εἶναι δηλωτικὸν ὄν· τούτῳ δὲ καὶ ἐνταῦθα κέχρηται τῷ ῥητῷ ὁ Ἰωάννης, δεικνὺς ὅτι ἀνάρχως καὶ ἀϊδίως ἐν τῷ κόλπῳ τοῦ πατρός ἐστιν ὁ υἱός. ἵνα γὰρ μὴ διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν ἕνα τινὰ τῶν κατὰ χάριν γινομένων υἱῶν εἶναι νομίσῃς αὐτὸν, πρῶτον μὲν πρόσκειται τὸ ἄρθρον, διαιροῦν αὐτὸν τῶν κατὰ χάριν. εἰ δὲ μὴ τοῦτο ἀρκεῖ σοι, ἀλλ' ἔτι κάτω κύπτεις, τούτου κυριώτερον ἄκουε ὄνομα, τὸ μονογενής. εἰ δὲ καὶ μετὰ τοῦτο πάλιν κάτω βλέπεις, οὐ παραιτήσομαι, φησὶ, καὶ ἀνθρωπίνην τινὰ ῥῆσιν εἰπεῖν περὶ τοῦ Θεοῦ, τὴν τοῦ κόλπου λέγω, μόνον ἵνα μηδὲν ὑποπτεύσῃς ταπεινόν. εἶδες φιλανθρωπίαν καὶ κηδεμονίαν δεσπότου; ἀνάξια ῥήματα περιτίθησιν ἑαυτῷ ὁ Θεός, ἵνα κἂν οὕτω διαβλέψῃς καὶ μέγα τι καὶ ὑψηλὸν ἐννοήσῃς· καὶ σὺ κάτω μένεις; εἰπὲ γάρ μοι τίνος ἕνεκεν ὁ κόλπος ἐνταῦθα παρείληπται, τὸ παχὺ τοῦτο ὄνομα καὶ σαρκικόν; ἵνα σῶμα τὸν Θεὸν ὑποπτεύσωμεν; ἄπαγε, οὐδαμῶς φησι. τίνος οὖν ἕνεκεν εἴρηται; εἰ γὰρ μήτε ἡ γνησιότης τοῦ υἱοῦ παρίσταται διὰ τούτου, μήτε τὸ, μὴ σῶμα εἶναι τὸν Θεὸν, περιττῶς προσέῤῥιπται τὸ ῥητὸν οὐδεμίαν χρείαν πληροῦν. τίνος οὖν ἕνεκεν εἴρηται; οὐ γὰρ ἀποστήσομαί σου τοῦτο πυνθανόμενος. οὐκ εὔδηλον, ὅτι δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ ἵνα ὑπολάβωμεν δι' αὐτοῦ τὸ γνήσιον τοῦ μονογενοῦς, καὶ τὸ συναΐδιον τῷ πατρί; ἐκεῖνος ἐξηγήσατό, φησι. τί ἐξηγήσατο; ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὅτι εἷς ἐστιν ὁ Θεός; ἀλλὰ τοῦτο μὲν καὶ οἱ λοιποὶ προφῆται, καὶ Μωϋσῆς ἄνω καὶ κάτω βοᾷ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ ὁ Ἡσαΐας· Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔστι. τί οὖν πλέον ἐμάθομεν παρὰ τοῦ υἱοῦ, ὡς ἐν τοῖς κόλποις ὄντος τοῖς πατρικοῖς; τί παρὰ τοῦ μονογενοῦς; πρῶτον μὲν καὶ αὐτὰ ταῦτα τῆς ἐνεργείας ἐστὶ τῆς ἐκείνου· ἔπειτα πολλῷ τρανοτέραν ἐδεξάμεθα τὴν διδασκαλίαν, καὶ ἔγνωμεν, Ὅτι πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ ἔτι αὐτὸ τοῦτο, ὅτι Θεὸν ἰδεῖν ἀδύνατον· ὅτι οὐδεὶς αὐτὸν γινώσκει, εἰ μὴ ὁ υἱός· ὅτι πατήρ ἐστι γνησίου μονογενοῦς·

Ἰωαν. ι. ιε.

Ἡσ. μγ. ι.

Ἰωαν. δ. κδ.

γμοὺς· καὶ τὰ ἄλλα ὅσα περὶ αὐτοῦ διελέχθη. ὃ δὲ ἐξηγήσατο, τὴν τρανοτέραν καὶ σαφεστέραν δείκνυσι διδασκαλίαν, ἣν οὐ πρὸς Ἰουδαίους μόνον, ἀλλὰ καὶ πρὸς ἅπασαν ἐποίησατο τὴν οἰκουμένην, καὶ κατώρθωσε. τοῖς μὲν γὰρ προφήταις οὐδὲ Ἰουδαῖοι πάντες προσεῖχον· τῷ δὲ μονογενεῖ υἱῷ τοῦ Θεοῦ πᾶσα ἡ οἰκουμένη καὶ εἶξε, καὶ ἐπείσθη. ἡ τοίνυν ἐξήγησις ἐνταῦθα τὸ σαφέστερον τῆς διδασκαλίας δηλοῖ· διὸ καὶ λόγος λέγεται, καὶ μεγάλης βουλῆς ἄγγελος.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν καὶ μείζονος καὶ τελειοτέρας κατηξιώθημεν τῆς διδασκαλίας, οὐκέτι διὰ προφητῶν, ἀλλὰ διὰ τοῦ υἱοῦ λαλήσαντος ἡμῖν τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων, πολλῷ μείζονα καὶ ἀξίαν πολιτείαν ἐπιδειξώμεθα τῆς τιμῆς. καὶ γὰρ ἄτοπον, αὐτὸν μὲν καταβῆναι τοσοῦτον, ὡς μηκέτι διὰ τῶν δούλων ἡμῖν ἐθέλειν διαλέγεσθαι, ἀλλὰ δι' ἑαυτοῦ, ἡμᾶς δὲ τῶν προτέρων μηδὲν ἐπιδείξασθαι πλέον. ἐκεῖνοι μὲν οὖν, Μωϋσέα· ἡμεῖς δὲ τὸν Μωϋσέως δεσπότην διδάσκαλον ἔχομεν. ταύτης οὖν τῆς τιμῆς ἀξίαν φιλοσοφίαν ἐπιδειξώμεθα, καὶ μηδὲν ἔχωμεν κοινὸν πρὸς τὴν γῆν. διὰ γὰρ τοῦτο ἡμῖν ἄνωθεν ἐκ τῶν οὐρανῶν διδασκαλίαν ἐκόμισεν, ἵνα ἐκεῖ μεταστήσῃ τὴν διάνοιαν, ἵνα μιμηταὶ τοῦ διδασκάλου γενώμεθα κατὰ δύναμιν τὴν ἡμετέραν. πῶς δὲ ἔστι μιμητὰς γενέσθαι Χριστοῦ; εἰς τὸ κοινωφελὲς ἅπαντα πραγματευομένους, καὶ μὴ τὰ ἑαυτῶν ζητοῦντας. Καὶ γὰρ ὁ Χριστός, φησιν, οὐχὶ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ. μηδεὶς τοιγαροῦν τὸ ἑαυτοῦ ζητείτω. οὕτω γάρ τις τὸ ἑαυτοῦ ζητεῖ, ἂν τὸ τοῦ πλησίον σκοπῇ· καὶ γὰρ τὰ ἐκείνων ἡμέτερα· σῶμά ἐσμεν ἓν καὶ ἀλλήλων μέρη καὶ μέλη. μὴ τοίνυν ὡς διεσπασμένοι διακείμεθα· μηδεὶς λεγέτω, ὁ δεῖνά μοι φίλος οὐκ ἔστιν, οὐδὲ συγγενής, οὐδὲ γείτων, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν· πῶς προσελεύσομαι; πῶς διαλέξομαι; εἰ γὰρ καὶ μὴ συγγενὴς μηδὲ φίλος ἐστίν, ἀλλ' ἄνθρωπός ἐστι τῆς αὐτῆς σοι μετέχων φύσεως, τὸν αὐτὸν ἔχων δεσπότην, ὁμόδουλος καὶ ὁμόσκηνος. ἐν γὰρ τῷ αὐτῷ γέγονε κόσμῳ. εἰ δὲ καὶ τῆς πίστεως μετέχει τῆς αὐτῆς, ἰδοὺ σοι καὶ μέλος γέγονε. ποία γὰρ φιλία τοσαύτην ἕνωσιν ἐργάσασθαι δύναιτ' ἄν, ὅσην τῆς πίστεως ἡ συγγένεια; οὐ γὰρ ὅσην φίλους πρὸς φίλους ἐπιδείκνυσθαι χρὴ τὴν ἐγγύτητα, τοσαύτην ἡμᾶς ἔχειν δεῖ τὴν πρὸς ἀλλήλους οἰκείωσιν· ἀλλ' ὅσην μέλος πρὸς μέλος. τούτου γὰρ τοῦ τρόπου τῆς φιλίας καὶ κοινωνίας ἄλλην μείζονα οἰκείωσιν οὐκ ἄν τις εὕροι ποτέ. ὥσπερ οὖν οὐκ ἂν δύναιο λέγειν, πόθεν μοι οἰκειότης καὶ ἐγγύτης πρὸς αὐτό (καταγέλαστον γὰρ τοῦτο) οὕτως οὐδὲ περὶ τοῦ ἀδελφοῦ δυνήσῃ τοῦτο εἰπεῖν. Οἱ γὰρ πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, φησί. διὰ τί εἰς ἓν σῶμα; ὥστε μὴ διεσπάσθαι, ἀλλὰ τῇ πρὸς ἀλλήλους συνόδῳ καὶ φιλίᾳ, σώματος ἑνὸς ἀκολουθίαν διατηρεῖν. μὴ δὴ καταφρονῶμεν ἀλλήλων, ἵνα μὴ ἑαυτῶν ὑπερίδωμεν. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν. διὰ τοῦτο οἰκίαν τοῦτον μίαν ἡμῖν τὸν κόσμον ἔδωκεν ὁ Θεός, πάντα ἐξ ἴσου διένειμεν, ἕνα ἀνῆψε πᾶσιν ἥλιον, ἕνα ἐξέτεινεν ὄροφον, τὸν οὐρανόν, μίαν ἔθηκε τράπεζαν, τὴν γῆν· ἔδωκε καὶ ἑτέραν ταύτης πολλῷ μείζονα τράπεζαν, ἀλλὰ καὶ ταύτην μίαν (ἴσασιν οἱ συμμύσται τὸ λεγόμενον) ἕνα τρόπον γεννήσεως ἅπασιν ἐχαρίσατο τὸν πνευματικόν, μία πᾶσι πατρὶς ἡ ἐν τοῖς οὐρανοῖς, ἐκ τοῦ ποτηρίου τοῦ αὐτοῦ πάντες πίνομεν. οὐ τῷ μὲν πλουτοῦντι πλέον καὶ τιμιώτερον, τῷ πένητι δὲ εὐτελέστερον καὶ ἔλαττον ἐχαρίσατο, ἀλλὰ πάντας ἐξίσης ἐκάλεσε. τὰ σαρκικὰ ὁμοτίμως, τὰ πνευματικὰ ὁμοίως παρέσχε· πόθεν ἡ ἀνωμαλία πολλὴ κατὰ τὸν βίον; ἐκ τῆς τῶν πλουτούντων πλεονεξίας τε καὶ ἀλαζονείας. ἀλλὰ μή, ἀδελφοί, μηκέτι ταῦτα γινέσθω, μηδὲ τῶν καθολικῶν καὶ ἀναγκαιοτέρων εἰς τὸ αὐτὸ συναγόντων ἡμᾶς, ἀπὸ τῶν γηΐνων καὶ εὐτελῶν διαιρώμεθα, πλούτου λέγω καὶ πενίας, καὶ συγγενείας σωματικῆς, καὶ ἔχθρας καὶ φιλίας. ταῦτα γὰρ πάντα σκιά, καὶ σκιᾶς εὐτελέστερα, τοῖς τὸν σύνδεσμον ἔχουσι τῆς ἀγάπης ἄνωθεν.

Ρω. ιε. γ.

α. Κορ. ιβ. ιγ.

τοῦτον οὕτω φυλάττωμεν ἄρραγῆ, καὶ οὐδὲν ἐπεισελθεῖν δυνήσεται τῶν" πνευμάτων τῶν πονηρῶν καὶ διαιρούντων "τὴν τοσαύτην ἕνωσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. πονηρῶν των

γρ. τῆς περὶ αὐτὸν ὑπονοίας

Ὁμιλ. ιϛ. 19 ΑΥΤΗ ΓΑΡ ΕΣΤΙΝ Η ΜΑΡΤΥΡΙΑ ΤΟΥ Ἰωάννου, ὅτε ἀπέστειλαν πρὸς αὐτὸν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν, σὺ τίς εἶ.

Δεινὸν ἡ βασκανία, ἀγαπητέ, δεινὸν καὶ ὀλέθριον τοῖς βασκαίνουσιν, οὐ τοῖς βασκαινομένοις. πρότερος γὰρ αὐτοὺς λυμαίνεται καὶ διαφθείρει, καθάπερ ἰός τις θανατηφόρος, ἐγκαθήμενος αὐτῶν ταῖς ψυχαῖς. εἰ δέ που καὶ τοὺς φθονουμένους παραβλάψειε, μικρὰν καὶ οὐδενὸς ἀξίαν βλάβην, καὶ μεῖζον τῆς ζημίας τὸ κέρδος ἔχουσαν. καὶ οὐκ ἐπὶ τῆς βασκανίας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ δράσας κακῶς, οὗτός ἐστιν ὁ τὴν βλάβην δεξάμενος. οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν προσέταξεν ὁ Παῦλος τοῖς μαθηταῖς, Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε, λέγων· διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; οἶδε γὰρ ἀκριβῶς, οὐ τῷ πάσχοντι κακῶς, ἀλλὰ τῷ ποιοῦντι κακῶς, τὸν ὄλεθρον ἑπόμενον πανταχοῦ. Ταῦτα δέ μοι πάντα διὰ τὴν βασκανίαν εἴρηται τὴν Ἰουδαϊκήν. οἱ γὰρ ἀπὸ τῶν πόλεων ἐκχυθέντες πρὸς τὸν Ἰωάννην, καὶ τῶν ἁμαρτημάτων καταγνόντες τῶν οἰκείων, καὶ βαπτισάμενοι, αὐτοὶ μετὰ τὸ βάπτισμα, καθάπερ ἔκ τινος μεταμελείας, πέμπουσιν ἐρωτῶντες αὐτόν, σὺ τίς εἶ; ὄντως γεννήματα ἐχιδνῶν καὶ ὄφεις, καὶ εἴ τι τούτων χαλεπώτερον. γενεὰ πονηρὰ καὶ μοιχαλὶς καὶ διεστραμμένη, μετὰ τὸ βαπτίσασθαι, τότε τὸν βαπτιστὴν περιεργάζῃ καὶ πολυπραγμονεῖς; καὶ τί ταύτης τῆς ἀλογίας ἀλογώτερον γένοιτ' ἄν; πῶς ἐξίητε; πῶς ἐξωμολογεῖσθε τὰ ἁμαρτήματα; πῶς ἐπετρέχετε τῷ βαπτίζοντι; πῶς αὐτὸν ἠρωτᾶτε περὶ τῶν πρακτέων; ταῦτα γὰρ ὑμῖν ἅπαντα ἀλόγως ἐπράττετο, τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἀγνοοῦσιν. ἀλλ' οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνεκάλεσεν ὁ μακάριος Ἰωάννης, οὐδὲ ὠνείδισεν, ἀλλὰ μετ' ἐπιεικείας ἁπάσης ἀποκρίνεται πρὸς αὐτούς. τίνος" δὲ οὖν ἕνεκεν τοῦτο ἐποίει, ἐκεῖνο" μαθεῖν ἄξιον. ὥστε πᾶσιν αὐτῶν κατάδηλον τὴν κακουργίαν γενέσθαι καὶ φανεράν. πολλάκις πρὸς Ἰουδαίους ἐμαρτύρησεν ὁ Ἰωάννης τῷ Χριστῷ, καὶ ὅτε ἐβάπτιζεν αὐτούς, συνεχῶς αὐτοῦ πρὸς τοὺς παρόντας ἐμέμνητο, καὶ ἔλεγεν· ἐγὼ μὲν ὑμᾶς βαπτίζω ὕδατι, ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστίν· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ἔπαθόν * τι πρὸς αὐτὸν ἀνθρώπινον πάθος. εἰς γὰρ τὴν τοῦ κόσμου δόξαν ἐπτοημένοι, καὶ * κατὰ πρόσωπον βλέποντες, ἀνάξιον εἶναι ἐνόμιζον ὑποτάσσεσθαι αὐτὸν τῷ Χριστῷ. τὸν μὲν γὰρ Ἰωάννην πολλὰ τὰ δεικνύντα λαμπρὸν ἦν· καὶ πρῶτον τὸ γένος καὶ ἐπίσημον καὶ περιφανές. ἀρχιερέως γὰρ ἦν υἱός. ἔπειτα ἡ δίαιτα, καὶ ἡ σκληραγωγία, ἡ τῶν ἀνθρωπίνων πάντων ὑπεροψία. καὶ γὰρ ἐσθῆτος καὶ τραπέζης καὶ οἰκίας καὶ τροφῆς δὲ αὐτῆς ὑπεριδών, κατὰ τὴν ἔρημον τὸν ἔμπροσθεν διετέλεσε χρόνον. ἐπὶ δὲ τοῦ Χριστοῦ πᾶν τοὐναντίον ἦν. τό τε γὰρ γένος εὐτελές (ὃ καὶ πολλάκις αὐτῷ προὔφερον, λέγοντες· οὐκ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ; καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ" Ἰωσῆς;) καὶ ἡ δοκοῦσα δὲ αὐτοῦ πατρὶς εἶναι, τοσοῦτον ἐπονείδιστος ἦν, ὡς καὶ τὸν Ναθαναὴλ λέγειν· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; καὶ ἡ δίαιτα δὲ κοινή, καὶ τὰ ἱμάτια δὲ οὐδὲν πλέον τῶν πολλῶν ἔχοντα. οὐ γὰρ περιέκειτο ζώνην δερματίνην, οὐδὲ ἀπὸ τριχῶν τὸ ἔνδυμα εἶχεν, οὐδὲ μέλι καὶ ἀκρίδας ἤσθιεν· ἀλλὰ

α. Κορ. ϛ. ζ.

γρ. ἡ

γρ. εἰπεῖν

* ἦν

* τὰ

γρ. Ἰωάννη

πᾶσιν ὁμοίως διητᾶτο, καὶ συμποσίοις παρεγίνετο πονηρῶν ἀνθρώπων καὶ τελωνῶν, ὥστε αὐτοὺς ἐπισπάσασθαι. ὅπερ οὐ συνιέντες οἱ Ἰουδαῖοι, διὰ ταῦτα αὐτῷ ὠνείδιζον, καθὼς καὶ αὐτός φησιν, Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. ἐπεὶ οὖν συνεχῶς ὁ Ἰωάννης ἀφ' ἑαυτοῦ πρὸς ἐκεῖνον αὐτοὺς παρέπεμπε τῶν δοκούντων παρ' αὐτοῖς εὐτελεστέρων εἶναι, αἰσχυνόμενοι καὶ δυσχεραίνοντες καὶ βουλόμενοι τοῦτον μᾶλλον ἔχειν διδάσκαλον, φανερῶς μὲν τοῦτο οὐκ ἐτόλμησαν εἰπεῖν, πέμπουσι δὲ πρὸς αὐτὸν προσδοκῶντες διὰ τῆς κολακείας αὐτὸν ἐπισπάσασθαι εἰς τὸ ἑαυτὸν ὁμολογῆσαι Χριστόν. οὐ τοίνυν τινὰς εὐκαταφρονήτους πέμπουσιν, ὡς ἐπὶ τοῦ Χριστοῦ. ἐκεῖνον μὲν γὰρ βουλόμενοι κατασχεῖν, ὑπηρέτας ἀπέστελλον, καὶ Ἡρωδιανοὺς πάλιν, καὶ τοιούτους τινάς· ἐνταῦθα δὲ ἱερεῖς καὶ λευΐτας, καὶ οὐχ ἁπλῶς ἱερεῖς, ἀλλὰ τοὺς ἐξ Ἱεροσολύμων, τουτέστι, τοὺς ἐντιμοτέρους (οὐδὲ γὰρ ἁπλῶς ταῦτα ἐπεσημήνατο ὁ εὐαγγελιστής) καὶ πέμπουσιν ἵνα ἐρωτήσωσι, σὺ τίς εἶ; καὶ μὴν ἡ γέννησις αὐτοῦ πᾶσι κατάδηλος ἦν, ὡς καὶ λέγειν ἅπαντας, τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ εἰς ὅλην τὴν ὀρεινὴν ὁ λόγος ἐξῆλθεν τότε. καὶ ὅτε παρεγένετο πάλιν ἐπὶ τὸν Ἰορδάνην, πᾶσαι αἱ πόλεις ἀνεπτερώθησαν, καὶ ἐξ Ἱεροσολύμων καὶ ἐκ πάσης τῆς Ἰουδαίας ἐπορεύοντο βαπτισθῆναι πρὸς αὐτόν. τί οὖν ἐρωτῶσι νῦν; οὐχ ὡς ἀγνοοῦντες (πῶς γὰρ, τὸν τοσούτοις τρόποις γενόμενον δῆλον;) ἀλλὰ βουλόμενοι εἰς τοῦτο, ὅπερ εἶπον, αὐτὸν ἐναγαγεῖν. ἄκουσον γοῦν πῶς καὶ ὁ μακάριος οὗτος πρὸς τὴν διάνοιαν μεθ' ἧς ἠρώτων, οὐ πρὸς τὴν ἐρώτησιν αὐτὴν ἀπεκρίνατο. εἰπόντων γὰρ, σὺ τίς εἶ, οὐκ εἶπεν εὐθέως, ὅπερ ἐξ εὐθείας ἦν εἰπεῖν· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἀλλὰ τί; ὅπερ ὑπώπτευον ἐκεῖνοι, τοῦτο ἀνεῖλεν. ἐρωτηθεὶς γάρ, φησι, τίς εἶ,

20 Ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

Καὶ ὅρα σοφίαν εὐαγγελιστοῦ· τρίτον τὸ αὐτὸ λέγει, καὶ τὴν ἀρετὴν τοῦ βαπτιστοῦ δηλῶν, καὶ τὴν πονηρίαν καὶ τὴν ἄνοιαν τὴν ἐκείνων. " καὶ ὁ Λουκᾶς δέ φησιν, ὅτι, τῶν ὄχλων ὑποπτευόντων αὐτὸν εἶναι τὸν Χριστόν, πάλιν ἀναιρεῖ τὴν ὑπόνοιαν. τοῦτο οἰκέτου εὐγνώμονος μὴ μόνον μὴ ἁρπάζειν δόξαν δεσποτικὴν, ἀλλὰ καὶ διακρούεσθαι διδομένην παρὰ τῶν πολλῶν. ἀλλ' οἱ μὲν ὄχλοι ἐξ ἀφελείας καὶ ἀγνοίας ἐπὶ ταύτην ἦλθον τὴν ὑποψίαν· οὗτοι δὲ ἀπὸ πονηρᾶς γνώμης, καὶ ἧς εἶπον, ἠρώτων αὐτὸν, προσδοκῶντες, ὅπερ ἔφην, ἀπὸ τῆς κολακείας αὐτὸν ἐπισπάσασθαι εἰς ὅπερ ἐσπούδαζον. εἰ γὰρ μὴ τοῦτο προσεδόκων, οὐκ ἂν εὐθέως ἐφ' ἑτέραν ἦλθον ἐρώτησιν, ἀλλ' ἠγανάκτησαν ἂν ὡς ἀπᾴδοντα ἀποκριναμένου καὶ οὐ πρὸς τὴν πεῦσιν, καὶ εἶπον ἄν· μὴ γὰρ τοῦτο ὑπωπτεύσαμεν; μὴ γὰρ τοῦτο παραγενόμενοι ἐρησόμενοι; ἀλλ' ὡς ἁλόντες καὶ κατάφωροι γενόμενοι, ἐφ' ἑτέραν ἔρχονται, καὶ λέγουσι·

21 Τί οὖν, Ἠλίας εἶ σύ; καὶ λέγει, οὐκ εἰμί. Καὶ γὰρ καὶ τοῦτον προσεδόκων ἥξειν, καθὼς καὶ ὁ Χριστός φησιν. " ἐρομένων γὰρ τῶν μαθητῶν, πῶς οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον, αὐτὸς ἔλεγεν, Ἠλίας μὲν ἔρχεται, καὶ ἀποκαταστήσει πάντα. εἶτα ἐρωτῶσιν·

Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη, οὔ. Καὶ μὴν προφήτης ἦν. τίνος οὖν ἕνεκεν ἀρνεῖται; πάλιν πρὸς τὴν διάνοιαν βλέπων τῶν ἐρωτώντων. προσεδόκων γάρ τινα προφήτην ἐξαίρετον ἥξειν διὰ τὸ λέγειν Μωϋσέα· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε. οὗτος δὲ ἦν ὁ Χριστός. διό τοι οὕτω οὐ λέγουσι, προφήτης εἶ σύ; ἕνα τῶν πολλῶν αἰνιττόμενοι· ἀλλὰ μετὰ τοῦ ἄρθρου· ὁ προφήτης εἶ σύ; ἐκεῖνος, φησιν, ὁ παρὰ Μωϋσέως προανακηρυχθείς; διὰ δὴ τοῦτο καὶ οὗτος ἠρνήσατο, οὐ τὸ, προφήτης εἶναι, ἀλλὰ τὸ, ἐκεῖνος ὁ προφήτης. Δευτ.ιη.ιε.

22 Εἶπον οὖν αὐτῷ, τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; Ὁρᾷς τοὺς μὲν σφοδρότερον ἐπικειμένους καὶ ἐπείγοντας, καὶ ἐρωτῶντας πά-

…τὸ αὐτὸ καὶ
…ὰ τῷ Λου-
…ὰν ἰδεῖν
…Ἰωάννην
…ρητα πρὸς
…ὸ διαλογι-
…μένους περὶ
…ῦ μήποτε
…ὸς εἴη ὁ
…ιστὸς, ὅτι
…χεται ἰσχυρό-
…ός μου· καὶ
…ὸν ἀποκρί-
…ται αἰ-
…τῶν πάλιν

λιν, καὶ οὐκ ἀφισταμένους· ὁ δὲ μετ' ἐπιεικείας πρὸς τὰς οὐκ οὔσας ὑπονοίας ἀναιροῦντα, καὶ τότε τὴν οὖσαν τιθέντα;

23 Ἐγὼ γάρ, φησι, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης. Ἐπειδὴ γὰρ μέγα τι καὶ ὑψηλὸν ἐφθέγξατο περὶ τοῦ Χριστοῦ, ὡς πρὸς τὴν ἐκείνων ὑπόνοιαν, ἐπὶ τὸν προφήτην εὐθέως κατέφυγεν, ἀξιόπιστον κἀντεῦθεν τὸν λόγον ποιῶν.

24 Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, φησί·

25 Καὶ ἐπηρώτησαν αὐτὸν καὶ εἶπον αὐτῷ· τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι εἰς τοῦτο αὐτὸν ἐναγαγεῖν ἠβούλοντο; καὶ ἐξ ἀρχῆς μὲν αὐτὸ οὐκ ἔλεγον, ἵνα μὴ κατάφωροι γένωνται ἅπασιν. Εἶτα ἐπειδὴ εἶπεν, οὐκ εἰμὶ ὁ Χριστός, πάλιν ἐκεῖνοι συσκιάσαι βουλόμενοι ἅπερ ἔνδον ἐτύρευον, ἐπὶ τὸν Ἠλίαν ἔρχονται καὶ τὸν προφήτην. ὡς δὲ ἔφησε μηδὲ ἐκείνων τις εἶναι, ἀπορούμενοι λοιπόν, καὶ τὸ προσωπεῖον ῥίψαντες, γυμνῇ τῇ κεφαλῇ τὴν δολερὰν αὐτῶν ἐμφαίνουσι γνώμην, λέγοντες· τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός; Εἶτα πάλιν συσκιάσαι βουλόμενοι, καὶ τοὺς ἄλλους προστιθέασι, τὸν Ἠλίαν, καὶ τὸν προφήτην. Ἐπειδὴ γὰρ κολακείᾳ οὐκ ἴσχυσαν ὑποσκελίσαι, ἐγκλήματι ″προσεδόκησαν αὐτὸν δύνασθαι ἀναγκάζειν εἰπεῖν ὅπερ οὐκ ἦν· ἀλλ' οὐκ ἴσχυσαν. ὢ τῆς ἀνοίας, ὢ τῆς ἀλαζονείας καὶ τῆς ἀκαίρου περιεργίας. ἀπεστάλητε μαθησόμενοι παρ' αὐτοῦ τίς εἴη καὶ πόθεν, οὐχὶ καὶ νόμους αὐτῷ θήσοντες. τοῦτο γὰρ πάλιν ἀναγκαζόντων ἦν ὁμολογῆσαι ἑαυτὸν Χριστόν. ἀλλ' ὅμως οὐδὲ νῦν ἀγανακτεῖ, οὐδὲ λέγει τι τοιοῦτον πρὸς αὐτοὺς οἷον εἰκός· ὑμεῖς ἐμοὶ διατάττεσθε καὶ νομοθετεῖτε; ἀλλὰ πολλὴν πάλιν τὴν ἐπιείκειαν ἐπιδείκνυται.

γρ. φει
αὐ. δ. ἀ
κάζοντες

26 Ἐγὼ μὲν γάρ, φησι, βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε·

27 Οὗτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν· οὗ οὐκ εἰμὶ ″ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος.

γρ. ἱκανὸς

Τί πρὸς ταῦτα λοιπὸν ἂν ἔχοιεν εἰπεῖν οἱ Ἰουδαῖοι; ἀπαραίτητος γὰρ κἀντεῦθεν ἡ κατ' αὐτῶν κατηγορία, ἀσύγγνωστος ἡ κατάκρισις· αὐτοὶ καθ' ἑαυτῶν τὴν ψῆφον ἐξήνεγκαν. πῶς καὶ τίνι τρόπῳ; ἀξιόπιστον ἡγήσαντο εἶναι τὸν Ἰωάννην, καὶ οὕτως ἀληθῆ, ὡς μὴ μόνον ἑτέροις ″μαρτυροῦντα, ἀλλὰ καὶ αὐτῷ περὶ ἑαυτοῦ λέγοντι πιστεῦσαι. οὐδὲ γὰρ ἄν, εἰ μὴ οὕτω διέκειντο, ἔπεμψαν εἰσόμενοι παρ' αὐτοῦ τὰ περὶ ἑαυτοῦ. ἴστε γὰρ ὅτι μόνοις ἐκείνοις μάλιστα περὶ ἑαυτῶν λέγουσι πιστεύομεν, οὓς ἂν ἁπάντων ἀληθεστέρους εἶναι νομίζομεν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἀποφράττον αὐτῶν τὰ στόματα, ἀλλὰ καὶ ἡ γνώμη μεθ' ἧς πρὸς αὐτὸν ″παρέβαλον. καὶ γὰρ μετὰ πολλῆς ἐξῆλθον τῆς προθυμίας πρὸς αὐτόν, εἰ καὶ ὕστερον μετεβάλλοντο. ἅπερ ἀμφότερα δηλῶν ὁ Χριστὸς ἔλεγεν· Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος· καὶ ὑμεῖς ἠθελήσατε πρὸς ὥραν ἀγαλλιαθῆναι ἐν τῷ φωτὶ αὐτοῦ. καὶ ἡ ἀπόκρισις δὲ αὐτοῦ πάλιν ἀξιοπιστότερον αὐτὸν ἐποίει. ὁ γὰρ μὴ ζητῶν τὴν δόξαν τὴν ἑαυτοῦ, φησιν, ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. οὗτος δὲ οὐκ ἐζήτησεν, ἀλλ' ἐφ' ἕτερον αὐτοὺς παραπέμπει· καὶ οἱ ἀποσταλέντες δὲ τῶν ἀξιοπίστων παρ' αὐτοῖς καὶ τὰ πρωτεῖα ἐχόντων· ὥστε μηδαμόθεν αὐτοῖς εἶναι ″καταφυγὴν μηδὲ παραίτησιν εἰς τὴν ἀπιστίαν, ἣν ἠπίστησαν τῷ Χριστῷ. τίνος γὰρ ἕνεκεν οὐκ ἐδέξασθε τὰ εἰρημένα περὶ αὐτοῦ παρὰ τοῦ Ἰωάννου; ὑμεῖς ἀπεστάλκατε τοὺς τὰ πρωτεῖα ἔχοντας, ὑμεῖς ἠρωτήσατε δι' αὐτῶν, ὑμεῖς ἠκούσατε ἅπερ ἀπεκρίνατο ὁ βαπτιστής· καίτοι ἐκεῖνοι περιεργίαν ἐπεδείξαντο, πάντα ἠρεύνησαν, καὶ οὓς ὑπωπτεύσατε, πάντας εἶπον· καὶ ὅμως μετὰ παρρησίας πολλῆς ὡμολόγησε, μὴ εἶναι μήτε ὁ Χριστός, μήτε Ἠλίας, μήτε ὁ προφήτης· καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ καὶ ἐδίδαξε τίς εἴη, καὶ διελέχθη περὶ τῆς τοῦ οἰκείου βαπτίσματος φύσεως· ὅτι μικρὸν καὶ ἀτελὲς καὶ ὕδατος πλέον ἔχον οὐδέν· ″εἶπε τὴν ὑπεροχὴν τοῦ βαπτίσματος τοῦ

Ἰωαν. ε. λε.

ἴσ. μαρτυροῦντι

γρ. ἔβαλλον

γρ. καταφυγεῖν

γρ. δεικνὺς

παρὰ τοῦ Χριστοῦ διδομένου· προήγαγε * καὶ Ἡσαΐαν τὸν προφήτην μαρτυροῦντα ἄνωθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου, "τὸν μὲν Κύριον καλοῦντα, "τὸν δὲ διάκονον αὐτοῦ καὶ ὑπηρέτην ὀνομάζοντα. τί λοιπὸν ἔδει; οὐχὶ πιστεῦσαι τῷ μαρτυρηθέντι καὶ προσκυνῆσαι, καὶ ὁμολογῆσαι Θεόν; ὅτι γὰρ οὐχὶ κολακείας ἦν ἡ μαρτυρία, ἀλλὰ ἀληθείας, ἐδείκνυ μὲν καὶ ὁ τρόπος καὶ ἡ φιλοσοφία τοῦ μαρτυρήσαντος. δηλοῖ δὲ κἀνθάδε. "οὐδεὶς γὰρ τὸν πλησίον ἑαυτοῦ προετίθησιν, οὐδὲ ἐξὸν αὐτῷ χαρίσασθαι τιμήν, ἑτέρῳ ταύτης παραχωρεῖν ἐθέλει, καὶ ταῦτα τοσαύτης οὔσης· ὥστε οὐκ ἂν οὐδὲ ὁ Ἰωάννης μὴ Θεῷ ὄντι τῷ Χριστῷ ταύτης ἂν ἐξέστη τῆς μαρτυρίας. Εἰ γὰρ καὶ ἀφ' ἑαυτοῦ ταύτην ὡς μείζονα οὖσαν τῆς οἰκείας φύσεως διεκρούσατο, ἀλλ' οὐκ ἂν ἑτέρᾳ φύσει πάλιν αὐτὴν ἀνέθηκε ταπεινοτέρᾳ. μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. Εἰκὸς γὰρ ἦν αὐτὸν καὶ ἀναμεμίχθαι τῷ λαῷ, ὡς ἕνα τῶν πολλῶν, ἅτε πανταχοῦ τὸ ἄτυφον καὶ ἀκόμπαστον διδάσκοντα. Εἴδησιν δὲ ἐνταῦθα γνῶσιν λέγει τὴν ἀκριβῆ, οἷον, τίς ἐστι καὶ πόθεν. τὸ δέ, ὀπίσω μου ἐρχόμενος, συνεχῶς τίθησι, μονονουχὶ λέγων· μὴ νομίσητε τὸ πᾶν ἐν τῷ ἐμῷ κεῖσθαι βαπτίσματι. οὐκ ἂν εἰ τοῦτο τέλειον ἦν, ἕτερος ἂν ἦλθε μετ' ἐμὲ προέξων ἕτερον· ἀλλὰ παρασκευὴ τοῦτο ἐστὶν ἐκείνου καὶ προοδοποίησις. τὰ ἡμέτερα σκιὰ καὶ εἰκών· ἄλλον χρὴ τὸν τὴν ἀλήθειαν ἐπιθήσοντα παραγενέσθαι. ὥστε αὐτὸ τὸ ὀπίσω μου ἐλθεῖν, τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὸ ἀξίωμα. Εἰ γὰρ τοῦτο ἦν τέλειον, οὐκ ἂν δευτέρου ἐζητεῖτο τόπος. ἔμπροσθέν μου γέγονε· τουτέστιν, ἐντιμότερος, λαμπρότερος. Εἶτα, ἵνα μὴ νομίσωσιν ἀπὸ συγκρίσεως εἶναι τὴν "ὑπερβολήν, τὸ ἀσύγκριτον παραστῆσαι "βουλόμενος, φησίν· οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα· τουτέστιν, οὐχ ἁπλῶς ἔμπροσθεν γέγονεν, ἀλλ' οὕτως, ὡς ἐμὲ μηδὲ ἐν τοῖς ἐσχάτοις τῶν τούτου διακόνων ἀριθμηθῆναι ἄξιον εἶναι. τὸ γὰρ ὑπόδημα λῦσαι, τῆς ἐσχάτης διακονίας ἐστί.

ΗΘΙΚΟΝ

Εἰ δὲ Ἰωάννης οὐκ ἄξιος τὸν ἱμάντα λῦσαι, Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐ γέγονε· ποῦ τάξομεν ἡμεῖς ἑαυτούς; Εἰ ὁ τῆς οἰκουμένης ἀντίρροπος, μᾶλλον δὲ μείζων ("οὐκ ἦν γὰρ αὐτῶν, φησίν, ἄξιος ὁ κόσμος) οὐδὲ ἐν τοῖς ἐσχάτοις τῶν "διακονησομένων ἑαυτὸν καταλέγεσθαί φησιν ἄξιον εἶναι, τί ἐροῦμεν ἡμεῖς οἱ μυρίων γέμοντες κακῶν; οἱ τοσοῦτον ἀποδέοντες τῆς ἀρετῆς τοῦ Ἰωάννου, ὅσον οὐδὲ ἡ γῆ τοῦ οὐρανοῦ; οὗτος μὲν οὖν οὐδὲ τοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος ἄξιον εἶναι ἑαυτόν φησιν· οἱ δὲ τῆς ἀληθείας ἐχθροὶ τοσαύτην ἐμάνησαν μανίαν, ὡς καὶ τοῦ εἰδέναι αὐτόν, ὡς αὐτὸς οἶδεν ἑαυτόν, "ἀξίους εἶναι λέγειν ἑαυτούς. τί ταύτης τῆς παραπληξίας χεῖρον; τί ταύτης τῆς ἀλαζονείας μανικώτερον; καλῶς τις ἔλεγε σοφὸς ἀνήρ· Ἀρχὴ ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον. οὐκ ἂν κατηνέχθη καὶ "διάβολος γέγονεν, οὐκ ὢν διάβολος πρότερον, εἰ μὴ τοῦτο τὸ νόσημα ἐνόσησε. τοῦτο αὐτὸν τῆς παρρησίας ἐξέβαλεν ἐκείνης, τοῦτο εἰς τὴν γέενναν ἔπεμψε, τοῦτο τῶν κακῶν αἴτιον αὐτῷ πάντων ἐγένετο. ἱκανὸν γὰρ καὶ καθ' ἑαυτὸ διαφθεῖραι πᾶσαν ἀρετὴν ψυχῆς, κἂν ἐλεημοσύνην εὕρῃ, κἂν εὐχήν, κἂν νηστείαν, κἂν ὁτιοῦν. Τὸ γὰρ ὑψηλὸν ἐν ἀνθρώποις, ἀκάθαρτον, φησί, παρὰ Κυρίῳ. οὐκ ἄρα πορνεία μόνον, οὐδὲ μοιχεία μολύνειν εἴωθε τοὺς χρωμένους αὐτῇ, ἀλλὰ καὶ ὑπερηφανία, καὶ πολλῷ πλέον ἐκείνων. διατί; ὅτι πορνεία μέν, εἰ καὶ ἀσύγγνωστον κακόν, ἀλλ' ὅμως ἔχει τις τὴν ἐπιθυμίαν εἰπεῖν· ἀλαζονεία δὲ οὐδὲ αἰτίαν ἂν εὕροι τινά, οὐδὲ οἵανδήποτε πρόφασιν, δι' ἣν ἂν τύχοι σκιᾶς γοῦν συγγνώμης, ἀλλ' οὐδέν ἕτερόν ἐστιν αὕτη, ἢ διαστροφὴ ψυχῆς καὶ νόσος χαλεπωτάτη, οὐδαμόθεν ἄλλοθεν τικτομένη, ἢ ἐξ ἀνοίας. οὐδὲν γὰρ ἀνοητότερον ἀλαζόνος ἀνθρώπου, κἂν πλοῦτον ᾖ περιβεβλημένος, κἂν πολλὴν κεκτημένος τὴν ἔξωθεν σοφίαν, κἂν ἐν δυναστείᾳ καθεστηκώς, κἂν ἅπαντα τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα ζηλωτὰ περιφέρων. Εἰ γὰρ ὁ ἐπὶ τοῖς ὄντως καλοῖς ἀλαζονευόμενος ἄθλιος καὶ ταλαίπωρος, καὶ πάντων ἐκείνων τὸν μισθὸν ἀπόλλυσιν, ὁ ἐν τοῖς μηδὲν οὖσιν ἐπαιρόμενος καὶ διὰ τὴν σκιὰν καὶ τὸ ἄνθος τοῦ χόρτου (τοῦτο

γάρ

Σειρ. ι. ιδ.

Λυκ. ιϛ. ιε.

γάρ ἐστιν ἡ περιοῦσα δόξα) φυσῶν ἑαυτὸν, πῶς οὐκ ἂν εἴη πάντων καταγελαστότερος, ταῦτα ποιῶν, ὅπερ ἂν τις ποιήσειε πτωχὸς καὶ πένης, πολὺν μὲν τὸν χρόνον λιμῷ τηκόμενος, εἰ δὲ συμβαίη ποτὲ μίαν νύκτα χρηστὸν ὄναρ ἰδεῖν, διὰ τοῦτο γαυρούμενος; ἄθλιε καὶ ταλαίπωρε, τῆς ψυχῆς σου διαφθειρομένης χαλεπωτάτῃ νόσῳ, καὶ τὴν ἐσχάτην πενόμενος πενίαν, μεγαφρονεῖς ὅτι χρυσοῦ τάλαντα ἔχεις τόσα καὶ τόσα; ὅτι πλῆθος ἀνδραπόδων; ἀλλὰ ταῦτα οὐ σά. καὶ εἰ μὴ πείθῃ τοῖς ἐμοῖς ῥήμασιν, ἀπὸ τῆς πείρας τῶν προλαβόντων μάνθανε. ἐὰν δὲ οὕτω μεθύῃς, ὡς μήτε ἐκ τῶν ἑτέροις συμβαινόντων ταῦτα παιδεύεσθαι, μικρὸν ἀνάμεινον, καὶ εἴσῃ διὰ τῶν εἰς σὲ συμβαινομένων, ὅτι σοι τούτων ὄφελος οὐδὲν, ὅτε ψυχορραγῶν, καὶ οὐδὲ ὥρας μιᾶς, οὐδὲ ῥοπῆς βραχείας κύριος ὢν, ἄκων εἰς τοὺς παρόντας αὐτὰ καταλείψεις, καὶ τούτους πολλάκις οὓς οὐκ ἐθέλεις. πολλοὶ γὰρ οὐδὲ ἐπισκῆψαι περὶ αὐτῶν συνεχωρήθησαν, ἀλλ' ἀπῆλθον ἀθρόον βουλόμενοι μὲν αὐτῶν ἀπολαύειν, οὐ συγχωρούμενοι δὲ, ἀλλ' ἑλκόμενοι καὶ ἑτέροις αὐτῶν ἐξιστάμενοι, καὶ μετὰ βίας παραχωροῦντες, οἷς οὐκ ἐβούλοντο. ὅπερ ἵνα μὴ πάθωμεν, ἐντεῦθεν ἤδη ἐρρωμένοι καὶ ὑγιαίνοντες διαπεμψώμεθα αὐτὰ πρὸς τὴν πόλιν τὴν ἡμετέραν. οὕτω γὰρ αὐτῶν ἀπολαῦσαι δυνησόμεθα μόνον, ἑτέρως δὲ οὐδαμῶς· οὕτως εἰς ἄσυλον καὶ ἀσφαλῆ τόπον αὐτὰ ἀποθησόμεθα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἐκεῖ τῶν δυναμένων αὐτὰ ἀφελέσθαι. οὐκ ἔστι θάνατος, οὐκ εἰσὶν ἀληθεῖς διαθῆκαι, οὐκ εἰσὶ διάδοχοι κλήρων, οὐ συκοφαντίαι καὶ ἐπιβουλαί, ἀλλὰ τὸν ἀπελθόντα ἐντεῦθεν πολλὰ ἐπιφερόμενον, διαπαντός ἐστιν αὐτὰ καρποῦσθαι. τίς οὖν οὕτως ἄθλιος, ὡς μὴ θελῆσαι τοῖς χρήμασιν ἐντρυφᾷν τοῖς ἑαυτοῦ δι' ὅλου; μετακομίσωμεν τοίνυν ἡμεῖς τὸν πλοῦτον, καὶ μεταθῶμεν ἐκεῖσε. οὐκ ὄνων ἡμῖν δεήσει, καὶ καμήλων, καὶ ὀχημάτων, οὐδὲ πλοίων πρὸς τὴν τοιαύτην μετάθεσιν (καὶ γὰρ καὶ ταύτης ἡμᾶς τῆς δυσκολίας ἀπήλλαξεν ὁ Θεός) ἀλλὰ πενήτων ἡμῖν δεῖ μόνον, τῶν χωλῶν, τῶν ἀναπήρων, τῶν ἀρρώστων. αὐτοὶ τὴν τοιαύτην εἰσὶν ἐγκεχειρισμένοι μετάθεσιν, οὗτοι τὰ χρήματα παραπέμπουσιν εἰς τὸν οὐρανὸν, οὗτοι τοὺς τῶν τοιούτων χρημάτων κυρίους εἰς τὴν τῶν αἰωνίων ἀγαθῶν κληρονομίαν εἰσάγουσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιζ. 28 ΤΑΥΤΑ ΕΝ ΒΗΘΑΝΙΑ ΕΓΕΝΕΤΟ ΠΕΡΑΝ τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων. 29 Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

χ. Βηθαβαρᾶ

Μέγα ἀγαθὸν παρρησία, καὶ τὸ ἐλευθεροστομεῖν καὶ πάντα δεύτερα τίθεσθαι τῆς ὁμολογίας τῆς εἰς τὸν Χριστόν· οὕτω μέγα καὶ θαυμαστὸν, ὡς τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ τὸν τοιοῦτον ἀνακηρύττειν ἐπὶ τοῦ Πατρός. καίτοιγε οὐκ ἴση ἡ ἀντίδοσις. σὺ μὲν γὰρ ὁμολογεῖς ἐπὶ τῆς γῆς, αὐτὸς δὲ ἐν τοῖς οὐρανοῖς· καὶ σὺ μὲν, ἀνθρώπων παρόντων, αὐτὸς δὲ ἐπὶ τοῦ πατρὸς καὶ τῶν ἀγγέλων ἁπάντων. τοιοῦτος ὁ Ἰωάννης ἦν, οὐ πλῆθος, οὐ δόξαν, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ὑφορώμενος, ἀλλὰ ταῦτα πάντα καταπατῶν, καὶ μετὰ τῆς προσηκούσης ἐλευθερίας τὰ περὶ τοῦ Χριστοῦ πᾶσιν ἀνακηρύττων. διὰ γὰρ τοῦτο καὶ τὸν τόπον ἐπισημαίνεται ὁ εὐαγγελιστής, ἵνα τὴν παρρησίαν δείξῃ τοῦ μεγαλοφώνου κήρυκος. οὐ γὰρ ἐν οἰκίᾳ, οὐδὲ ἐν γωνίᾳ, οὐδὲ ἐν ἐρημίᾳ, ἀλλὰ τὸν Ἰορδάνην καταλαβὼν, ἐν μέσῳ τῷ πλήθει, παρόντων ἁπάντων τῶν ὑπ' αὐτοῦ βαπτιζομένων (βαπτίζοντι γὰρ ἐπέστησαν οἱ Ἰουδαῖοι) τὴν θαυμαστὴν ἐκείνην ἀνεκήρυξεν ὁμολογίαν περὶ τοῦ Χριστοῦ, τὴν τῶν ὑψηλῶν ἐκείνων καὶ μεγάλων καὶ ἀποῤῥήτων γέμουσαν δογμάτων, καὶ ὡς οὐκ εἴη ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. διὰ τοῦτό φησι, ταῦτα ἐγένετο ἐν Βηθανίᾳ· ὅσα δὲ τῶν ἀντιγράφων ἀκριβέστερον ἔχει, ἐν Βηθαβαρᾶ φησιν. ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, οὐδὲ ἐπὶ τῆς ἐρήμου ἦν, ἀλλ᾽ ἐγγύς που τῶν Ἱεροσολύμων. τοὺς δὲ τόπους καὶ δι᾽ ἑτέραν αἰτίαν ἐπισημαίνεται. ἐπειδὴ γὰρ πράγματα οὐ παλαιὰ διηγεῖσθαι ἔμελλεν, ἀλλὰ πρὸ μικροῦ συμβάντα τοῦ χρόνου, τοὺς παρόντας καὶ θεωμένους μάρτυρας ποιεῖται τῶν λεγομένων, καὶ ἀπόδειξιν καὶ ἀπὸ τῶν τόπων παρέχεται). θαῤῥῶν γὰρ ὅτι οὐδὲν παρ᾽ ἑαυτοῦ προσετίθη τοῖς λεγομένοις, ἀλλὰ τὰ ὄντα ἁπλῶς ἅπαντα μετ᾽ ἀληθείας ἐξηγεῖτο, τὴν ἀπὸ τῶν τόπων μαρτυρίαν παραλαμβάνει, ἀπόδειξιν, ὅπερ ἔφην, οὐ τὴν τυχοῦσαν τῆς ἀληθείας ἐσομένην. τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. διενείμαντο τοὺς καιροὺς οἱ εὐαγγελισταί· καὶ ὁ μὲν Ματθαῖος τοὺς πρὶν ἢ δεθῆναι τὸν Βαπτιστὴν Ἰωάννην χρόνους ἐπιτεμὼν, ἐπείγεται πρὸς τοὺς ἑξῆς. ὁ δὲ εὐαγγελιστὴς [Ἰωάννης] οὐ μόνον οὐκ ἐπιτέμνει, ἀλλὰ τούτοις μάλιστα καὶ ἐνδιατρίβει. κἀκεῖνος μὲν, μετὰ τὸ ἐλθεῖν τὸν Ἰησοῦν ἀπὸ τῆς ἐρήμου, τὰ μεταξὺ σιωπήσας, οἷον, ὅσα ὁ Ἰωάννης ἐφθέγξατο, ὅσα οἱ Ἰουδαῖοι ἀποστείλαντες ἔλεγον, καὶ τὰ ἄλλα πάντα συντεμὼν, μετεπήδησεν εὐθέως ἐπὶ τὸ δεσμωτήριον. ἀκούσας γάρ, φησιν, ὁ Ἰησοῦς ὅτι παρεδόθη Ἰωάννης, ἀνεχώρησεν ἐκεῖθεν. ὁ δὲ Ἰωάννης οὐχ οὕτως· ἀλλὰ τὴν μὲν εἰς τὴν ἔρημον ὁδὸν ἀπεσιώπησεν, ἅτε ὑπὸ τοῦ Ματθαίου λεχθεῖσαν, τὰ δὲ μετὰ τὴν κάθοδον τὴν ἀπὸ τοῦ ὄρους γινομένην διηγεῖται, καὶ πολλὰ διελθὼν τότε ἐπάγει. Οὔπω γὰρ ἦν βεβλημένος ὁ Ἰωάννης εἰς τὴν φυλακήν. καὶ τίνος ἕνεκεν, φησι, νῦν παραγίνεται πρὸς αὐτὸν ὁ Ἰησοῦς, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον τοῦτο ποιεῖ; ὁ μὲν γὰρ Ματθαῖος ἀναγκαίαν αὐτοῦ τὴν παρουσίαν γεγενῆσθαί φησι διὰ τὸ βάπτισμα. ἐπάγει γὰρ ὁ Ἰησοῦς, ὅτι οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ὁ δὲ Ἰωάννης καὶ πάλιν αὐτὸν παραγεγονέναι ἔλεγε μετὰ τὸ βάπτισμα, καὶ τοῦτο ἐντεῦθεν ἐδήλωσεν. ἐγὼ γάρ, φησι, τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ᾽ αὐτόν. τίνος οὖν ἕνεκεν παραγίνεται πρὸς τὸν Ἰωάννην; οὐδὲ γὰρ ἁπλῶς ἦλθεν, ἀλλὰ πρὸς αὐτὸν ἐπορεύετο. ἐρχόμενον γάρ, φησι, πρὸς αὐτὸν βλέπει αὐτόν. τίνος οὖν ἕνεκεν ἔρχεται; ἐπειδὴ αὐτὸς αὐτὸν ἐβάπτισε μετὰ πολλῶν, ὥστε μηδένα ὑποπτεύειν, ὅτι ἀπὸ τῆς αὐτῆς αἰτίας, ἀφ᾽ ἧς καὶ οἱ ἄλλοι, πρὸς τὸν Ἰωάννην ἠπείγετο, οἷον, ὡς ἁμαρτήματα ἐξομολογησόμενος, καὶ εἰς μετάνοιαν λουσόμενος ἐν τῷ ποταμῷ· διὰ τοῦτο παραγίνεται, διδοὺς ἅμα τῷ Ἰωάννῃ ταύτην πάλιν διορθώσασθαι τὴν ὑπόνοιαν. καὶ γὰρ τῷ εἰπεῖν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πᾶσαν ταύτην ἀναιρεῖ τὴν ὑποψίαν. ὁ γὰρ οὕτω καθαρὸς, ὡς καὶ τὰ ἑτέρων ἁμαρτήματα ἀπολούεσθαι δύνασθαι, εὔδηλον ὅτι οὐχ ὥστε ἐξομολογήσασθαι ἁμαρτήματα παραγίνεται· ἀλλ᾽ ὥστε δοῦναι ἀφορμὴν ἐκείνῳ τῷ θαυμαστῷ κήρυκι, καὶ δευτέρᾳ φωνῇ τοῖς τὰ πρότερα ἀκηκόσιν ἀκριβέστερον ἐνθεῖναι τὰ εἰρημένα, καὶ προσθεῖναι ἕτερα πάλιν. τὸ δὲ, ἴδε, εἴρηται, διὰ τὸ πολλοὺς πολλάκις ἐπιζητεῖν αὐτὸν ἀπὸ τῶν εἰρημένων, καὶ ἀπὸ μακροῦ τοῦ χρόνου· διὰ τοῦτο παρόντα δεικνὺς αὐτὸν, ἔλεγεν· ἴδε, οὗτός ἐστιν ὁ πάλαι ζητούμενος, οὗτος ὁ ἀμνός. ἀμνὸν δὲ αὐτὸν καλεῖ, τῆς προφητείας ἀναμιμνήσκων Ἰουδαίους τῆς Ἡσαΐου, καὶ τῆς σκιᾶς τῆς κατὰ τὸν Μωϋσέα· ἵν᾽ ἀπὸ τοῦ τύπου μᾶλλον αὐτοὺς προσαγάγηται πρὸς τὴν ἀλήθειαν. ἐκεῖνος μὲν οὖν ὁ ἀμνὸς οὐδενὸς καθάπαξ ἁμαρτίαν ἔλαβεν· οὗτος δὲ τῆς οἰκουμένης ἁπάσης. κινδυνεύουσαν γὰρ αὐτὴν ἀπολέσθαι, ταχέως ἀπήλλαξε τῆς ὀργῆς τοῦ Θεοῦ.

Ιωαν. γ. κδ.

30 Οὗτος ἦν, περὶ οὗ εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν.

Ὁρᾷς καὶ ταῦτα πῶς τὸ ἔμπροσθεν ἑρμηνεύει; εἰπὼν γὰρ ἀμνὸν, καὶ ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, τότε φησίν· ὅτι ἔμπροσθέν μου γέγονε, δηλῶν, ὅτι τοῦτο

ἐστι τὸ ἔμπροσθεν, τὸ τὰς ἁμαρτίας λαβεῖν τοῦ κόσμου, τὸ βαπτίσαι ἐν πνεύματι ἁγίῳ. ἡ μὲν γὰρ ἐμὴ παρουσία πλέον οὐδὲν εἶχε τοῦ κηρύξαι τὸν κοινὸν τῆς οἰκουμένης εὐεργέτην, καὶ τὸ τοῦ ὕδατος βάπτισμα παρασχεῖν· ἡ δὲ τούτου, τὸ καθᾶραι πάντας ἀνθρώπους, καὶ χαρίσασθαι τοῦ παρακλήτου τὴν ἐνέργειαν. οὕτως ἔμπροσθεν γέγονέ μου, τουτέστιν, ἐδείχθη μου λαμπρότερος, ὅτι πρῶτός μου ἦν. αἰσχυνέσθωσαν οἱ Παύλου τοῦ Σαμοσατέως τὴν μανίαν "δεξάμενοι πρὸς οὕτω φανερὰν ἀλήθειαν ἀνθιστάμενοι.

γρ. διαλέξ.

31 Κἀγὼ οὐκ ᾔδειν αὐτόν, φησιν. ἀνύποπτον ἐνταῦθα τὴν μαρτυρίαν ἐργάζεται, δεικνὺς αὐτὴν οὐκ ἀνθρωπίνης οὖσαν φιλίας, ἀλλ' ἐξ ἀποκαλύψεως θείας γεγενημένην. οὐκ ᾔδειν γὰρ αὐτὸν ἐγώ, φησι. πῶς οὖν ἂν εἴης ἀξιόπιστος μάρτυς; πῶς ἂν ἑτέρους διδάξεις, αὐτὸς ἀγνοῶν; οὐκ εἶπεν, οὐκ οἶδα αὐτόν, ἀλλ' οὐκ ᾔδειν αὐτόν· ὥστε ταύτῃ μάλιστα ἀξιόπιστος ἂν γένοιτο. πῶς γὰρ ἂν ἐχαρίσατο τῷ ἀγνοουμένῳ;

Ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον βαπτίζων ἐν ὕδατι. Οὐ τοίνυν αὐτὸς βαπτίσματος ἐδεῖτο, οὐδὲ ἄλλην τινὰ αἰτίαν εἶχεν ἐκεῖνο τὸ λουτρὸν, ἢ τὸ προοδοποιῆσαι τῇ εἰς Χριστὸν πίστει τοῖς λοιποῖς ἅπασιν. οὐ γὰρ εἶπεν, ἵνα καθάρω τοὺς βαπτιζομένους, οὐδ' ἵν' ἀπαλλάξω ἁμαρτημάτων ἦλθον βαπτίζων· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ. τί γάρ, εἰπέ μοι, τοῦ βαπτίσματος χωρὶς οὐκ ἐνῆν κηρύξαι, καὶ ἐπαγαγέσθαι τοὺς "ὄχλους; ἀλλὰ ῥᾳδίως οὕτως οὐδαμῶς. οὐδὲ γὰρ ἂν οὕτω συνέδραμον ἅπαντες, εἰ βαπτίσματος χωρὶς τὸ κήρυγμα ἐγίνετο, οὐκ ἂν ἔμαθον τὴν ἀπὸ τῆς συγκρίσεως ὑπεροχήν. τὸ γοῦν πλῆθος ἐξήρχετο, οὐκ ἀκουσόμενον ὧν ἔλεγεν, ἀλλὰ τί; βαπτίσασθαι, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. παραγινόμενοι δὲ ἐδιδάσκοντο τὰ περὶ τοῦ Χριστοῦ, καὶ τοῦ βαπτίσματος τὸ "μέσον. καίτοι τοῦ Ἰουδαϊκοῦ τοῦτο σεμνότερον ἦν, καὶ διὰ τοῦτο πάντες ἐπέτρεχον· ἀλλ' ὅμως καὶ οὕτως ἀτελὲς ἦν. πῶς οὖν ἔγνως αὐτόν; διὰ τῆς τοῦ πνεύματος καθόδου, φησίν. ἵνα δὲ μή τις νομίσῃ πάλιν, ὅτι ἐν χρείᾳ καθειστήκει τοῦ πνεύματος, καθάπερ ἡμεῖς, ἄκουσον πῶς καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν, δεικνύς, ὅτι ἡ τοῦ πνεύματος κάθοδος ὑπὲρ τοῦ κηρύξαι τὸν Χριστὸν μόνον ἐγένετο. εἰπὼν γάρ, κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἐπήγαγεν·

γρ. ὄχλους ῥᾳδίως οὕτως; οὐδαμῶς.

γρ. διάφορον.

Ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, ἐκεῖνός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

Ὁρᾷς ὅτι τοῦτο ἔργον τοῦ πνεύματος ἦν, τὸ δεῖξαι τὸν Χριστόν; ἦν μὲν γὰρ καὶ ἡ τοῦ Ἰωάννου μαρτυρία ἀνύποπτος· βουλόμενος δὲ αὐτὴν ἀξιοπιστοτέραν ποιῆσαι, ἀνήγαγεν αὐτὴν ἐπὶ τὸν Θεόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἐπειδὴ γὰρ ἐμαρτύρησεν ὁ Ἰωάννης οὕτω μέγα τι καὶ θαυμαστόν, καὶ ἱκανὸν τοὺς ἀκούοντας ἐκπλῆξαι πάντας, οἷον, ὅτι τῆς οἰκουμένης ἁπάσης τὰς ἁμαρτίας λαμβάνει μόνος αὐτός, καὶ ὅτι πρὸς τοσοῦτον ἀρκεῖ λύτρον τῆς δωρεᾶς τὸ μέγεθος· κατασκευάζει λοιπὸν ταύτην τὴν ἀπόφασιν. ἡ δὲ κατασκευή, ὅτι υἱός ἐστι τοῦ Θεοῦ, καὶ ὅτι οὐκ ἐδεῖτο βαπτίσματος, καὶ ὅτι ἔργον τῆς τοῦ πνεύματος καθόδου γέγονε τὸ δῆλον αὐτὸν ποιῆσαι μόνον. οὐ γάρ ἦν τῆς τοῦ Ἰωάννου δυνάμεως πνεῦμα διδόναι· καὶ δηλοῦσι τοῦτο οἱ βαπτιζόμενοι ὑπ' αὐτοῦ λέγοντες· Ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν, ἀκηκόαμεν. οὐκ ἄρα τοῦ βαπτίσματος ἐδεῖτο ὁ Χριστός, οὐκ ἐκείνου, οὐχ ἑτέρου τινός, ἀλλὰ μᾶλλον τὸ βάπτισμα ἐχρῆζε τῆς δυνάμεως τοῦ Χριστοῦ. τὸ γὰρ ἐλλεῖπον, τοῦτο ἦν τὸ κεφάλαιον πάντων τῶν ἀγαθῶν, τὸ πνεύματος ἀξιωθῆναι τὸν βαπτιζόμενον. ταύτην οὖν τὴν τοῦ πνεύματος χορηγίαν προσέθηκε παραγινόμενος.

Πραξ. ιθ. β.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ ἔμεινεν ἐπ' αὐτόν.

33 Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

Λουκ. α. λς.

ἁγίῳ. 34 Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. Συνεχῶς δὲ τοῦτο οὐκ ᾔδειν αὐτὸν, τίθησιν. τίνος ἕνεκεν καὶ διὰ τί; συγγενὴς αὐτοῦ ἦν κατὰ σάρκα. Ἰδοὺ γάρ, φησιν, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱόν. ἵν' οὖν μὴ δόξῃ χαρίζεσθαι διὰ τὴν συγγένειαν, συνεχῶς φησι τό, οὐκ ᾔδειν αὐτόν· καὶ κατὰ λόγον δὲ τοῦτο συνέβαινε. τὸν γὰρ ἅπαντα χρόνον ἐπὶ τῆς ἐρήμου διετέλεσε [ὢν] τῆς πατρῴας οἰκίας ἐκτός. πῶς οὖν, εἰ οὐκ ᾔδει αὐτὸν πρὸ τῆς τοῦ πνεύματος καθόδου, καὶ εἰ τότε πρῶτον αὐτὸν ἐγνώρισε, πρὸ τοῦ βαπτίσματος διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι; τοῦτο γὰρ τεκμήριον τοῦ σφόδρα αὐτὸν εἰδέναι ἦν. ἀλλ' οὐκ ἔμπροσθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου, καὶ εἰκότως. τὰ μὲν γὰρ θαύματα, ὅσαπερ παιδὸς ὄντος ἐγένετο, οἷον, τὰ περὶ τοὺς μάγους, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, πρὸ πολλοῦ συμβεβήκει τοῦ χρόνου, τοῦ Ἰωάννου σφόδρα καὶ αὐτοῦ παιδὸς ὄντος· ἐν δὲ τῷ μεταξὺ πολλοῦ γενομένου τοῦ χρόνου, εἰκότως πᾶσιν ἄγνωστος ἦν· ἐπεί, εἰ γνώριμος ἦν, οὐκ ἂν εἶπεν, ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον βαπτίζων. ἐντεῦθεν ἡμῖν λοιπὸν δῆλον, ὅτι καὶ τὰ σημεῖα ἐκεῖνα, ἃ παιδικὰ εἶναι φασὶ τοῦ Χριστοῦ, ψευδῆ, καὶ πλάσματά τινων ἐπεισαγόντων ἐστίν. εἰ γὰρ ἐκ πρώτης ἀρξάμενος ἡλικίας ἐθαυματούργει, οὐκ ἂν οὔτε Ἰωάννης αὐτὸν ἠγνόησεν, οὔτε τὸ λοιπὸν πλῆθος ἐδεήθη ἂν διδασκάλου τοῦ φανερώσοντος αὐτόν. νῦν δὲ αὐτός φησι διὰ τοῦτο παραγεγονέναι, ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, καὶ διὰ τοῦτο ἔλεγε πάλιν· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. ὕστερον δὲ ἅτε σαφέστερον μαθών, τοῖς ὄχλοις αὐτὸν ἐκήρυττε, λέγων· οὗτός ἐστιν ὃν εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν. ὅτι καὶ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, καὶ διὰ τοῦτο πέμψας με, ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, αὐτὸς αὐτῷ καὶ πρὸ τῆς τοῦ πνεύματος καθόδου αὐτὸν ἀπεκάλυψε. διὸ καὶ πρὶν ἢ παραγενέσθαι, ἔλεγεν· ὀπίσω μου ἔρχεται ὃς ἔμπροσθέν μου γέγονεν. οὐ τοίνυν ᾔδει αὐτὸν πρὸ τοῦ ἐλθεῖν ἐπὶ τὸν Ἰορδάνην καὶ πάντας βαπτίζειν· ἀλλ' ὅτε ἤμελλε βαπτίζεσθαι, τότε αὐτὸν ἔγνω· καὶ ταῦτα τοῦ πατρὸς αὐτὸν ἀποκαλύψαντος τῷ προφήτῃ, καὶ τοῦ πνεύματος δείξαντος βαπτιζόμενον Ἰουδαίοις· δι' οὓς καὶ ἡ κάθοδος τοῦ πνεύματος γέγονεν. ἵνα γὰρ ἡ Ἰωάννου μὴ καταφρονηθῇ μαρτυρία λέγοντος· ὅτι πρῶτός μου ἦν, καὶ ὅτι ἐν πνεύματι βαπτίζει καὶ ὅτι κρινεῖ τὴν οἰκουμένην, καὶ ὁ πατὴρ φωνὴν ἀφίησιν ἀνακηρύττων τὸν υἱόν, καὶ τὸ πνεῦμα ἔπεισι, τὴν φωνὴν ἕλκον ἐπὶ τὴν κεφαλὴν τοῦ Χριστοῦ. ἐπειδὴ γὰρ ὁ μὲν ἐβάπτιζεν, ὁ δὲ ἐβαπτίζετο, ἵνα μή τις τῶν παρόντων περὶ Ἰωάννου νομίσῃ λέγεσθαι τὸ εἰρημένον, ἔρχεται τὸ πνεῦμα διορθούμενον τὴν τοιαύτην ὑπόνοιαν. ὥστε ὅταν λέγῃ, οὐκ ᾔδειν αὐτόν, τὸν ἔμπροσθεν λέγει χρόνον, οὐ τὸν ἐγγὺς τοῦ βαπτίσματος· ἐπεὶ πῶς αὐτὸν ἐκώλυε λέγων, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι; πῶς δὲ καὶ τοιαῦτα περὶ αὐτοῦ ἔλεγε; πῶς οὖν οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, φησιν; οὐδὲ γὰρ μόνος Ἰωάννης εἶδε τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς. ὅτι εἰ καὶ εἶδον, ἀλλὰ τὰ τοιαῦτα οὐχὶ τῶν τοῦ σώματος ὀφθαλμῶν δεῖται μόνον, ἀλλὰ πρὸ τούτων τῆς κατὰ διάνοιαν ὄψεως, ὥστε μὴ φαντασίαν περιττὴν τὸ πρᾶγμα νομίσαι. εἰ γὰρ θαυματουργοῦντα ὁρῶντες, καὶ ἁπτόμενον ταῖς οἰκείαις χερσὶ τῶν νενοσηκότων καὶ τῶν τεθνηκότων, καὶ οὕτως αὐτοὺς πρὸς ζωὴν ἐπανάγοντα καὶ ὑγείαν, τοσοῦτον ἐμέθυον ὑπὸ τῆς βασκανίας, ὥστε ἐναντία τοῖς ὁρωμένοις ἀποφαίνεσθαι· πῶς ἂν ἀπὸ τῆς ἐπιφοιτήσεως τοῦ πνεύματος μόνης ἀπεκρούσαντο τὴν ἀπιστίαν; τινὲς δέ φασιν οὐδὲ πάντας αὐτοὺς τεθεᾶσθαι, ἀλλ' ἢ μόνον Ἰωάννην, καὶ τοὺς εὐγνωμονεστέρους διακειμένους. εἰ γὰρ καὶ αἰσθητοῖς ὀφθαλμοῖς δυνατὸν ἦν ἰδεῖν ὡς ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα κατιόν, ἀλλ' ὅμως οὐ διὰ τοῦτο πᾶσα ἀνάγκη πᾶσι κατάδηλον εἶναι τὸ πρᾶγμα. καὶ γὰρ καὶ Ζαχαρίας ἐν αἰσθητῷ εἴδει πολλὰ τεθέαται, καὶ Δανιὴλ καὶ Ἰεζεκιὴλ, καὶ κοινωνὸν τῆς θέας οὐδένα ἔσχον· καὶ Μωϋσῆς δὲ πολλὰ εἶδε καὶ οἷα τῶν ἄλλων οὐδείς· καὶ τῆς μεταμορφώσεως δὲ τῆς ἐπὶ τοῦ ὄρους οὐ πάντες ἀπήλαυον οἱ μαθηταί· ἀλλ' οὐδὲ τῆς κατὰ τὴν ἀνάστασιν ὄψεως ἐκοινώνησαν ἅπαντες. καὶ τοῦτο δηλοῖ σαφῶς ὁ Λουκᾶς εἰπών· ὅτι ἔδειξεν ἑαυτοῦ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. καὶ ποῦ ἐμαρτύρησεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; ἀμνὸν μὲν γὰρ αὐτὸν ἐκάλεσε, καὶ ὅτι πνεύματι βαπτίζειν ἔμελλεν, εἶπεν· υἱὸν δὲ Θεοῦ, οὐδαμοῦ. καίτοιγε μετὰ τὸ βάπτισμα οὐδὲν αὐτὸν ἀναγράφουσιν εἰρηκότα οἱ ἄλλοι εὐαγγελισταί, ἀλλὰ τὰ μεταξὺ σιωπήσαντες, τὰ μετὰ τὴν σύλληψιν Ἰωάννου γενόμενα τοῦ Χριστοῦ θαύματα λέγουσιν· ἀφ' ὧν στοχάζεσθαι εἰκὸς, ὅτι καὶ ταῦτα καὶ πολλῷ ἕτερα πλείονα παραλέλειπται. καὶ τοῦτο αὐτὸς οὗτος ὁ εὐαγγελιστὴς πρὸς τῷ τέλει τῆς συγγραφῆς ἐδήλωσε. τοσοῦτον γὰρ ἀπέσχον τοῦ πλάσαι τι μέγα περὶ αὐτοῦ, ὅτι τὰ μὲν δοκοῦντα ἐπονείδιστα εἶναι πάντες ὁμοφώνως καὶ μετὰ ἀκριβείας ἔθηκαν ἁπάσης, καὶ οὐκ ἂν εὕροις οὐδένα αὐτῶν παραλιπόντα οὐδὲν τῶν τοιούτων· τῶν δὲ θαυμάτων, τὰ μὲν ἄλλοις εἴασαν, τὰ δὲ πάντες ἀπεσιώπησαν. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ πρὸς τὴν τῶν ἑλλήνων ἀναισχυντίαν. ἱκανὸν γὰρ τοῦτο τοῦ φιλαλήθους αὐτῶν τρόπου δεῖγμα, καὶ τοῦ μηδὲν πρὸς χάριν λέγειν. καὶ δυνήσεσθε καὶ ταύτῃ μετὰ τῶν ἄλλων ὁπλίζεσθαι τῇ τῶν λόγων ὑποθέσει πρὸς αὐτούς· ἀλλὰ προσέχετε. καὶ γὰρ ἄτοπον, τὸν μὲν ἰατρὸν μετὰ ἀκριβείας ὑπὲρ τῆς τέχνης ἀγωνίζεσθαι τῆς αὐτοῦ, καὶ τὸν σκυτοτόμον, καὶ τὸν ὑφάντην, καὶ πάντας ἁπλῶς τοὺς τεχνίτας· τὸν δὲ χριστιανὸν εἶναι φάσκοντα, μὴ δύνασθαι λόγον ὑπὲρ τῆς οἰκείας παρασχεῖν πίστεως. καίτοι ἐκεῖνα μὲν παροφθέντα, εἰς χρήματα τὴν ζημίαν ἤνεγκε· ταῦτα δὲ ἀμελούμενα αὐτὴν ἡμῖν διαφθείρει τὴν ψυχήν. ἀλλ' ὅμως οὕτως ἀθλίως διακείμεθα, ὡς ἐκείνοις μὲν ἅπασαν ἀπονέμειν σπουδήν· τῶν δὲ ἀναγκαίων καὶ ἃ σωτηρίας ὑπόθεσις τῆς ἡμετέρας ἐστὶ, τούτων ὡς οὐδενὸς ἀξίων καταφρονεῖν. τοῦτο οὐκ ἀφίησι τοὺς ἕλληνας τῆς οἰκείας ταχέως καταγελάσαι πλάνης. ὅταν γὰρ αὐτοὶ μὲν τῷ ψεύδει συνιστάμενοι πάντα πράττωσιν, ὥστε συσκιάσαι τῶν δογμάτων τὴν αἰσχύνην· ἡμεῖς δὲ, οἱ τῆς ἀληθείας θεραπευταὶ, μηδὲ διᾶραι τὸ στόμα δυνώμεθα, πῶς οὐ πολλὴν τοῦ δόγματος καταγνώσονται τὴν ἀσθένειαν; πῶς οὐκ ἀπάτην καὶ μωρίαν τὰ ἡμέτερα ὑποπτεύσουσι; πῶς οὐ βλασφημήσουσι τὸν Χριστὸν, ὡς εἴρωνα καὶ ἀπατεῶνα, καὶ τῇ τῶν πολλῶν ἀνοίᾳ πρὸς τὴν ἀπάτην ἀποχρησάμενον; ταύτης δὲ ἡμεῖς αἴτιοι τῆς βλασφημίας, οὐκ ἐθέλοντες ἀγρυπνεῖν ἐν τοῖς ὑπὲρ εὐσεβείας λόγοις, ἀλλὰ πάρεργα ἡγούμενοι ταῦτα, καὶ τὰ τῆς γῆς μεριμνῶντες. καὶ ὀρχηστοῦ μὲν τις ἐρῶν, ἢ ἡνιόχου, καὶ τοῦ τοῖς θηρίοις πυκτεύοντος, πάντα κινεῖ καὶ πραγματεύεται, ὥστε ἐν τοῖς ἀγῶσι τοῖς ὑπὲρ αὐτοῦ μὴ ἔλαττον ἔχων ἀπελθεῖν, καὶ μακροὺς συνείρουσιν ἐπαίνους, πρὸς τοὺς κατηγοροῦντας αὐτῶν ἀπολογίαν συντιθέντες, καὶ μυρίοις βάλλοντες σκώμμασι τοὺς ἐναντιουμένους· ὑπὲρ δὲ χριστιανισμοῦ προκειμένων λόγων, πάντες κάτω νεύουσι, καὶ κνῶνται, καὶ χασμῶνται, καὶ καταγελασθέντες ἀναχωροῦσι. καὶ πῶς οὐκ ἄξια ταῦτα μυρίας ὀργῆς, ὅταν ὁ Χριστὸς ἀτιμότερος ὀρχηστοῦ φαίνηται παρ' ὑμῖν, εἴ γε ὑπὲρ μὲν τῶν ἐκείνοις πεπραγμένων μυρίας ἀπολογίας μεμελετήκατε, καίτοιγε πάντων ὄντων αἰσχροτέρων, ὑπὲρ δὲ τῶν τοῦ Χριστοῦ θαυμάτων, καίτοιγε τὴν οἰκουμένην ἐπισπασαμένων, οὐδὲ ἐννοῆσαί τι καὶ μεριμνῆσαι ἀνέχεσθε; πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, εἰς ἀνάστασιν σωμάτων, εἰς ζωὴν αἰώνιον. ἂν τοίνυν ἔρηταί τις ἑλλήνων, τίς ποτέ ἐστιν οὗτος ὁ πατὴρ, τίς δὲ ὁ υἱὸς, τίς δὲ τὸ πνεῦμα τὸ ἅγιον; ἢ πῶς καὶ ὑμεῖς, τρεῖς λέγοντες θεοὺς, ἡμῖν ἐγκαλεῖτε πολυθεΐαν; τί ἐρεῖτε; τί δὲ ἀποκρινεῖσθε; πῶς ἀποκρούσεσθε τὴν προσβολὴν τῶν λόγων τούτων; τί δὲ, ἂν σιγώντων ὑμῶν πάλιν ἐπενέγκῃ τὸ ἕτερον ζήτημα, τί δέ ἐστιν ὅλως ἀνάστασις, ἐρωτῶν; ἆρα γὰρ ἐν τούτῳ τῷ σώματι πάλιν ἀναστησόμεθα; ἆρα ἐν ἑτέρῳ παρὰ τοῦτο; καὶ εἰ ἐν τούτῳ, τίς χρεία αὐτὸ καταλυθῆναι; τί πρὸς ταῦτα ἐρεῖτε; τί δὲ, ἂν λέγῃ· διατί νῦν, καὶ μὴ ἐν τοῖς ἔμπροσθεν χρόνοις παρεγένετο ὁ Χριστός; νῦν ἔδοξεν αὐτῷ προνοῆσαι τῶν ἀνθρώπων, τὸν δὲ ἄλλον ἅπαντα χρόνον ἡμῶν κατεφρόνει; ἢ καὶ ἄλλα ἔτι πρὸς τούτοις τούτων πλείονα ἐξετάζῃ; οὐδὲ γὰρ ἀναγκαῖον πολλὰ ἐφεξῆς ζητήματα τιθέντα, τὰς λύσεις ἀποσιγᾷν· ὥστε μὴ τοὺς ἀφελεστέρους ταύτῃ παραβλάψαι. ἀρκεῖ γὰρ καὶ τὰ εἰρημένα πρὸς τὸ ἀποτινάξαι ὑμῶν τὸν ὕπνον. τί οὖν, ἂν ταῦτα ἐξετάζωσιν, ὑμεῖς δὲ μηδὲ τῶν ῥημάτων ὑπακούειν δύνησθε ἁπλῶς τούτων, ἆρα μικρὰν ὑποστησόμεθα δίκην, εἰπέ μοι, τοσαύτης πλάνης αἴτιοι γινόμενοι τοῖς ἐν τῷ σκότει καθημένοις; ἐβουλόμην, εἴγε σχολῆς ἀπηλαύετε πολλῆς, εἰς μέσον ἁπάντων ὑμῶν μιαροῦ τινος ἕλληνος φιλοσόφου βιβλίον καθ' ἡμῶν εἰρημένον ἀναγνῶναι, καὶ ἑτέρου πάλιν πρεσβυτέρου τούτου, ἵν' οὕτω γοῦν ὑμᾶς διανέστησα καὶ τῆς πολλῆς νωθείας ἀπήγαγον. εἰ γὰρ ἐκεῖνοι, ὥστε καθ' ἡμῶν εἰπεῖν τοσαῦτα, ἠγρύπνησαν, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, εἰ μηδὲ τὰς προσβολὰς τὰς καθ' ἡμῶν εἰσόμεθα ἀποκρούσασθαι; τίνος δὲ ἕνεκεν καὶ παρήχθημεν; οὐκ ἀκούεις τοῦ ἀποστόλου λέγοντος· Ἕτοιμοι ἔσεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος; καὶ ὁ Παῦλος δὲ τὰ αὐτὰ παραινεῖ, λέγων· Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως. ἀλλὰ τί φασι πρὸς ταῦτα οἱ κηφήνων ἀργότεροι; Ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ· καὶ ὁ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. τοῦτο γὰρ πάντων αἴτιον τῶν κακῶν, ὅτι οὐδὲ τὰς μαρτυρίας τῶν γραφῶν πρὸς τὸ δέον ἐπίστανται παράγειν οἱ πολλοί. οὐ γὰρ τὸν ἀνόητον ἐνταῦθά φησιν, οὐδὲ τὸν οὐδὲν εἰδότα, ἀλλὰ τὸν ἀπόνηρον, τὸν μὴ κακοῦργον, τὸν συνετόν. ἐπεὶ εἰ* τοῦτο ἦν, περιττὸν ἦν λέγειν, Γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡσεὶ περιστεραί. ἀλλὰ τί ταῦτα χρὴ λέγειν, εἰς οὐδὲν δέον ἀπαντῶντος τούτου τοῦ λόγου; πρὸς γὰρ τοῖς εἰρημένοις, οὐδὲ τὰ ἄλλα ἡμῖν κατώρθωται, τὰ τοῦ βίου καὶ τῆς ζωῆς λέγω, ἀλλὰ πάντοθεν ἄθλιοι καὶ καταγέλαστοί ἐσμεν, καὶ αἰτιᾶσθαι μὲν ἀλλήλους ἀεὶ πρόχειροι, διορθοῦσθαι δὲ, ἐφ' οἷς αἰτιώμεθα καὶ ἐγκαλούμεθα, ὀκνηροί. διὸ παρακαλῶ νῦν γοῦν ἡμῶν αὐτῶν γινομένους μὴ μέχρι τῆς κατηγορίας ἵστασθαι μόνον (οὐ γὰρ ἀρκεῖ τοῦτο ἐξιλεώσασθαι τὸν Θεόν) ἀλλ' ἀρίστην πάντοθεν ἐπιδείξασθαι τὴν μεταβολήν, ἵνα εἰς δόξαν τοῦ Θεοῦ βιώσαντες, καὶ αὐτοὶ τῆς μελλούσης ἀπολαύσωμεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Πετ. γ. 15.

Κολ. γ. 16.

Παρ. ι. θ.

Ομιλ. ιη. 35 ΤΗ ΕΠΑΥΡΙΟΝ ΠΑΛΙΝ ΕΙΣΤΗΚΕΙ Ο ΙΩάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο· 36 Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. 37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν αὐτῷ.

ῬΑθυμόν πως ἡ ἀνθρωπίνη φύσις, καὶ ὀξύρροπον πρὸς ἀπώλειαν, οὐ παρὰ τὴν τῆς φύσεως κατασκευήν, ἀλλὰ παρὰ τὴν ἐκ προαιρέσεως ῥᾳθυμίαν· διὸ πολλῆς δεῖται τῆς ὑπομνήσεως. καὶ ὁ Παῦλος δὲ διὰ τοῦτο γράφων τοῖς Φιλιππησίοις ἔλεγε· Τὰ αὐτὰ γράφειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. ἡ μὲν γὰρ γῆ τὰ σπέρματα παραλαβοῦσα ἅπαξ, εὐθέως ἐκδίδωσι τοὺς καρπούς, καὶ οὐ δεῖται δευτέρας καταβολῆς· ἐπὶ δὲ τῆς ψυχῆς τῆς ἡμετέρας οὐχ οὕτως, ἀλλ' ἀγαπητὸν πολλάκις σπείραντα καὶ πολλὴν ἐπιδειξάμενον ἐπιμέλειαν, ἅπαξ γοῦν δυνηθῆναι τὸν καρπὸν ἀπολαβεῖν. πρῶτον μὲν γὰρ δυσκόλως ἐνιζάνει τῇ διανοίᾳ τὰ λεγόμενα, διὰ τὸ πολλὴν μὲν ὑποκεῖσθαι τὴν σκληρότητα, μυρίαις δὲ συνέχεσθαι ταῖς ἀκάνθαις, καὶ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ τὰ σπέρματα διαρπάζοντας. ἔπειτα, ὅταν παγῇ καὶ ῥιζωθῇ, τῆς αὐτῆς πάλιν δεῖται σπουδῆς, ὥστε πρὸς ἀκμὴν ἐλθεῖν αὐτά, καὶ ἐλθόντα μεῖναι ἀσινῆ, καὶ μηδὲν παραβλαβῆναι παρὰ μηδενός. ἐπὶ μὲν γὰρ τῶν σπερμάτων, ὅταν ὁ στάχυς ἀπαρτισθῇ, καὶ τὴν οἰ-

Φιλιππ. γ. α.

κείνην ἱκανὴν ἀπολάβῃ, καὶ ἐρυσίβης καὶ αὐχμοῦ καὶ τῶν ἄλλων ἁπάντων εὐκόλως καταφρονεῖ· ἐπὶ δὲ τῶν δογμάτων οὐχ οὕτως, ἀλλὰ καὶ μετὰ τὸ πλείως ἐργασθῆναι τὸ πᾶν, πολλάκις ἐπελθὼν χειμὼν εἰς τὸ κλυδώνιον ἀπώλεσε, καὶ περὶ δογμάτων δυσκολίας προσβαλλούσης, καὶ δι' ἀνθρώπων ἀπατᾶν εἰδότων ἐπιβουλευσάντων, καὶ ἑτέρων πειρασμῶν ποικίλων ἐπενεχθέντων, ἐλυμήνατο. ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵν', ὅταν ἀκούσῃς τοῦ Ἰωάννου τὰ αὐτὰ φθεγγομένου, μὴ φλυαρίας καταγνῷς, μηδὲ περιττόν τινα εἶναι νομίσῃς καὶ φορτικόν. ἐβούλετο μὲν γάρ, ἅπαξ εἰπών, ἀκουσθῆναι· ἐπειδὴ δὲ οὐ πολλοὶ τοῖς λεγομένοις προσεῖχον ἐξ ἀρχῆς διὰ τὸν πολὺν ὕπνον, καὶ δευτέρᾳ πάλιν αὐτοὺς ἀφυπνίζει φωνῇ. σκόπει δέ· εἶπεν, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε· καὶ ὅτι οὐχ ἱκανός εἰμι λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος· καὶ ὅτι αὐτὸς βαπτίζει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· καὶ ὅτι τὸ πνεῦμα τεθέαται καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν· καὶ μεμαρτύρηκεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οὐδεὶς προσέσχεν, οὐδὲ ἠρώτησεν, οὐδὲ εἶπε· τί ταῦτα λέγεις, καὶ ὑπὲρ τίνος, καὶ διὰ τί; εἶπε πάλιν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὐδὲ οὕτω καθήψατο τῆς ἀναισθησίας αὐτῶν. διὰ τοῦτο λοιπὸν ἀναγκάζεται τὰ αὐτὰ λέγειν πάλιν, καθάπερ τινὰ σκληρὰν καὶ ἀνένδοτον γῆν τῇ νεώσει μαλάττων, καὶ τῷ λόγῳ καθάπερ ἀρότρῳ πεπιλημένην ἀνεγείρων τὴν διάνοιαν, ὥστε εἰς τὸ βάθος τὰ σπέρματα καταβαλεῖν. διὰ δὴ τοῦτο οὐδὲ μακρὸν ἐκτείνει λόγον, ὅτι ἓν μόνον ἐσπούδαζε, προσαγαγεῖν αὐτοὺς καὶ κολλῆσαι τῷ Χριστῷ. ᾔδει γὰρ ὅτι τοῦτο καταδεξάμενοι καὶ πεισθέντες, οὐ δεήσονται τοῦ μαρτυρήσοντος αὐτῷ λοιπόν, ὅπερ οὖν καὶ γέγονεν. εἰ γὰρ οἱ Σαμαρεῖται λέγουσι μετὰ τὴν ἀκρόασιν αὐτοῦ τῇ γυναικί, Οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν (αὐτοὶ γὰρ οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός) πολλῷ μᾶλλον οἱ μαθηταὶ *τάχιον ἐχειρώθησαν ἄν, ὃ δὴ καὶ γέγονεν. ἐλθόντες γὰρ καὶ ἀκούσαντες μίαν ἑσπέραν αὐτοῦ, οὐκέτι πρὸς Ἰωάννην ὑπέστρεψαν, ἀλλ' οὕτως αὐτῷ προσηλώθησαν, ὥστε τὴν Ἰωάννου διακονίαν ἀναδέξασθαι, καὶ αὐτοὶ κηρύττειν αὐτόν. εὑρίσκει γὰρ οὗτος, φησί, τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Χριστός. θέα δέ μοι κἀκεῖνο, πῶς, ὅτε μὲν ἔλεγεν· ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε, καὶ ὅτι οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ, οὐδένα εἷλεν· ὅτε δὲ περὶ τῆς οἰκονομίας διελέχθη, καὶ ἐπὶ τὸ ταπεινότερον τὸν λόγον κατήγαγε, τότε ἠκολούθησαν οἱ μαθηταί. οὐ τοῦτο δὲ μόνον ἐστὶ κατιδεῖν, ἀλλ' ὅτι καὶ οὐχ οὕτως οἱ πολλοὶ προσάγονται, ὅταν τι μέγα καὶ ὑψηλὸν περὶ Θεοῦ λέγηται, ὡς ὅταν χρηστὸν καὶ φιλάνθρωπον καὶ εἰς τὴν τῶν ἀκουόντων ἀνθρώπων σωτηρίαν ἀνῆκον. ἤκουσαν γοῦν ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ εὐθέως ἐπέδραμον. εἰ γὰρ ἔστιν ἀπολούσασθαι τὰ ἐγκλήματα, τίνος ἕνεκεν, φησίν, ἀναβαλλόμεθα; πάρεστιν ὁ χωρὶς πόνων ἐλευθερώσων ἡμᾶς· πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας ὑπερτίθεσθαι τὴν δωρεάν; ἀκουέτωσαν οἱ κατηχούμενοι, καὶ πρὸς ἐσχάτας ἀναπνοὰς τὴν οἰκείαν ἀναβαλλόμενοι σωτηρίαν. πάλιν εἱστήκει, φησίν, ὁ Ἰωάννης καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. οὐδὲν ὁ Χριστὸς διαλέγεται, ἀλλὰ πάντα ἐκεῖνος. οὕτω καὶ ἐπὶ τοῦ νυμφίου γίνεται. οὐκ αὐτός τι λέγει πρὸς τὴν νύμφην τέως, ἀλλὰ πάρεστι μὲν σιγῇ, ἕτεροι δὲ αὐτὸν δηλοῦσι, καὶ τὴν νύμφην ἐγχειρίζουσι δὲ ἕτεροι· αὕτη δὲ φαίνεται μόνον, καὶ οὐκ ἀφ' ἑαυτοῦ ταύτην ἄπεισι λαβών, ἀλλ' ἑτέρου παραδόντος αὐτήν. ὅταν δὲ λάβῃ παραδοθεῖσαν, οὕτως αὐτὴν διατίθησιν, ὡς μηκέτι μεμνῆσθαι τῶν κατεγγυησάντων. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν· ἦλθεν ἁρμοσόμενος τὴν ἐκκλησίαν. οὐδὲν αὐτὸς εἶπεν, ἀλλὰ παρεγένετο μόνον· ὁ δὲ φίλος αὐτοῦ ὁ Ἰωάννης, τὴν δεξιὰν ἐνέθηκε τῆς νύμφης, διὰ τῶν λόγων ἐγχειρίσας αὐτῷ τὰς ψυχὰς τῶν ἀνθρώπων. λαβὼν αὐτὸς λοιπόν, οὕτως αὐτὰς διέθηκεν, ὡς μηκέτι πρὸς τὸν ἐγχειρίσαντα ἀπελθεῖν. οὐ τοῦτο δὲ μόνον*, ἀλλὰ καὶ ἕτερόν ἐστιν ἐνταῦθα παρατηρῆσαι. καθάπερ γὰρ ἐπὶ τῶν γάμων, οὐχ ἡ κόρη πρὸς τὸν

Ιωαν. δ. μϛ.

νυμφίον ἄπεισιν, ἀλλ' ἐκεῖνος πρὸς αὐτὴν ἐπείγεται, κἂν βασιλέως ὑὸς ᾖ, κἂν εὐτελῆ τινα καὶ ἀπερριμμένην, κἂν θεραπαινίδα καταγγυήσασθαι μέλλῃ· ὅπερ καὶ ἐνταῦθα γέγονεν. οὐκ εἰς τὸν οὐρανὸν ἀνῆλθε τῶν ἀνθρώπων ἡ φύσις, ἀλλ' αὐτὸς πρὸς τὴν εὐκαταφρόνητον ταύτην καὶ εὐτελῆ παραγέγονε, καὶ γενομένων τῶν γάμων, οὐκ εἴασεν ἐνταῦθα μένειν αὐτὴν λοιπὸν, ἀλλὰ παραλαβὼν πρὸς τὸν οἶκον ἀνήγαγε τὸν πατρικόν. τί δήποτε δὲ οὐ κατ' ἰδίαν λαμβάνων τοὺς μαθητὰς τοὺς ἑαυτοῦ, καὶ περὶ τούτων αὐτοῖς διαλέγεται ὁ Ἰωάννης, καὶ οὕτως αὐτοὺς παραδίδωσι τῷ Χριστῷ, ἀλλὰ δημοσίᾳ μετὰ πάντων αὐτοῖς φησιν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ; ἵνα μὴ δόξῃ συσκευῆς εἶναι τὸ ἔργον. εἰ μὲν γὰρ παρ' αὐτοῦ κατ' ἰδίαν παρακληθέντες ἀπῆλθον, καὶ ὡς χάριν αὐτῷ παρέχοντες, ταχέως ἂν ἴσως καὶ ἀπεπήδησαν· νῦν δὲ ἐκ τῆς κοινῆς γενομένης διδασκαλίας καταδεξάμενοι τὴν ἀκολούθησιν, βέβαιοι λοιπὸν ἔμενον μαθηταὶ, ὡς οὐ διὰ τὴν εἰς τὸν διδάσκαλον χάριν ἀκολουθήσαντες, ἀλλ' εἰλικρινῶς καὶ πρὸς τὸ κέρδος ὁρῶντες τὸ ἑαυτῶν. οἱ μὲν οὖν προφῆται καὶ οἱ ἀπόστολοι πάντες ἀπόντα αὐτὸν ἐκήρυττον, οἱ μὲν πρὸ τῆς κατὰ σάρκα παρουσίας, οἱ δὲ μετὰ τὴν ἀνάληψιν· οὗτος δὲ μόνος παρόντα. διὸ καὶ φίλον αὐτὸν τοῦ νυμφίου φησὶν, ἐπειδὴ καὶ ἐν τοῖς γάμοις μόνος αὐτὸς παρεγένετο, αὐτὸς πάντα ἐποίησε καὶ ἀπετέλεσεν, αὐτὸς τῷ πράγματι τὴν ἀρχὴν παρέσχε, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. οὐδὲ γὰρ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐμαρτύρει καὶ ἐθαύμαζε τὸν Χριστὸν, χαίρων καὶ ἀγαλλόμενος. καὶ οὐ ποιεῖ τὸν λόγον παρακλητικὸν τέως, ἀλλὰ θαυμάζει μόνον καὶ ἐκπλήττεται τὸν παρόντα, καὶ τὴν δωρεὰν δὲ αὐτοῖς πᾶσιν, ἐφ' ἣν παρεγένετο, δηλοῖ, καὶ τὸν τρόπον τοῦ καθαρμοῦ. ὁ γὰρ ἀμνὸς ἀμφότερα ταῦτα ἐμφαίνει. καὶ οὐκ εἶπεν, ὁ ληψόμενος, ἢ ὁ ἄρας, ἀλλ' ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, ὡς ἀεὶ τοῦτο ποιοῦντος αὐτοῦ. οὐ γὰρ τότε μόνον ἔλαβεν, ὅτε ἔπαθεν, ἀλλ' ἐξ ἐκείνου μέχρι τοῦ παρόντος αἴρει τὰς ἁμαρτίας, οὐκ ἀεὶ σταυρούμενος (μίαν γὰρ ὑπὲρ ἁμαρτιῶν προσήνεγκε θυσίαν) ἀλλ' ἀεὶ καθαίρων διὰ τῆς μιᾶς ἐκείνης. ὥσπερ οὖν ἡμῖν, ὁ λόγος, τὸ ἐξαίρετον δείκνυσι, καὶ ὁ ὑὸς, τὸ ἐξηλλαγμένον πρὸς τοὺς ἄλλους ἐμφαίνει· οὕτω καὶ ὁ ἀμνὸς, καὶ ὁ Χριστὸς, καὶ ὁ προφήτης, καὶ τὸ φῶς τὸ ἀληθινὸν, καὶ ὁ ποιμὴν ὁ καλὸς, καὶ ὅσα ἂν ἐπ' αὐτοῦ λέγηται διὰ τῆς τοῦ ἄρθρου προσθήκης, πολὺ δείκνυσι τὸ διωρισμένον. καὶ γὰρ ἀμνοὶ ἦσαν πολλοὶ, καὶ προφῆται, καὶ χριστοὶ, καὶ ὑοὶ, ἀλλὰ πάντων ἐκείνων αὐτὸν ἀφίστησι πολλῷ τῷ μέσῳ· καὶ οὐδὲ τῷ ἄρθρῳ τούτῳ ἠσφαλίσατο μόνον, ἀλλὰ καὶ τῇ τοῦ μονογενοῦς προσθήκῃ. οὐδὲν γὰρ αὐτῷ κοινὸν πρὸς τὴν κτίσιν. εἰ δέ τινι παράκαιρον εἶναι δοκεῖ, τὸ ὥρᾳ δεκάτῃ ταῦτα λέγεσθαι (καὶ γὰρ οὗτος ὁ καιρὸς τότε τῆς ἡμέρας ἦν· ὥρα γὰρ ἦν ὡς δεκάτη, φησὶν) ἐσφάλθαι σφόδρα ὁ τοιοῦτός μοι δοκεῖ. ἐπὶ μὲν γὰρ τῶν πολλῶν καὶ τῇ σαρκὶ δουλευόντων, εἰκότως ὁ μετὰ τὴν ἑστίασιν καιρὸς οὐκ ἔστι σφόδρα ἐπιτήδειος πρός τι τῶν ἀναγκαίων, διὰ τὸ τὴν καρδίαν τοῖς σιτίοις βαρύνεσθαι· ἔνθα δὲ ἀνὴρ ἦν οὐδὲ τῆς κοινῆς μετέχων τροφῆς, ἀλλὰ καὶ τὴν ἑσπέραν μετὰ τοσαύτης διάγων νήψεως, μεθ' ὅσης ἡμεῖς ὑπὸ τὴν ἕω (μᾶλλον δὲ καὶ μετὰ πολλῷ πλείονος· ἐπὶ μὲν γὰρ ἡμῶν πολλάκις τῆς ἑσπερινῆς τροφῆς λείψανα ἐναπολειφθέντα φαντάζει τὴν ψυχὴν· ἐκεῖνος δὲ οὐδ' ἑνὶ τούτων τὸ πλοῖον ἐβάρυνεν) εἰκότως καὶ δείλης ὀψίας περὶ τούτων ἐφθέγγετο. ἔπειτα καὶ ἐν ἐρήμῳ διέτριβε παρὰ τὸν Ἰορδάνην, ἔνθα πάντες μετὰ πολλοῦ τοῦ φόβου πρὸς τὸ βάπτισμα ἀπήντων, τῶν βιωτικῶν βραχὺ φροντίζοντες τότε. ἐπεὶ καὶ τῷ Χριστῷ τρεῖς ἡμέρας προσεκαρτέρησαν, καὶ ἦσαν ἄσιτοι. τοῦτο γὰρ σφοδροῦ κήρυκος καὶ ἐπιμελοῦς γεωργοῦ, μὴ πρότερον ἀποστῆναι, ἕως ἂν ἴδῃ κατασχόντα τὰ φυτευθέντα λόγων. τί δήποτε δὲ οὐ περιῆλθε πανταχοῦ τῆς Ἰουδαίας κηρύττων αὐτὸν, ἀλλ' εἱστήκει παρὰ τὸν ποταμὸν περιμένων ἐλθεῖν αὐτὸν, καὶ δεῖξαι παραγενόμενον; ὅτι διὰ τῶν ἔργων ἐκεῖνον γνωρίζεσθαι ἐβούλετο. τὸ δὲ σπουδαζόμενον, γνώριμον τέως ποιῆσαι μόνον, καὶ πεῖσαί τινας ἀκοῦσαι τῆς αἰωνίου ζωῆς· τὴν δὲ μείζονα αὐτῷ κατελίμπανε μαρτυρίαν τὴν διὰ τῶν ἔργων, καθὼς καὶ αὐτός φησιν· Ἐγὼ οὐ παρὰ ἀνθρώπου λαμβάνω τὴν μαρτυρίαν· τὰ ἔργα ἃ ἔδωκέ μοι ὁ Ἰωαν. ε. λϛ.

πατήρ, ταῦτά ἐστι τὰ μαρτυροῦντα περὶ ἐμοῦ. ὅρα γοῦν πῶς τοῦτο ἐνεργέστερον ἦν. ἐπειδὴ γὰρ μικρὸν ἐνέβαλε σπινθῆρα, ἀθρόως ἡ πυρὰ πρὸς τὸ ὕψος ἤρετο. οἱ γὰρ πρὸ τούτου μηδὲ προσέχοντες τοῖς λεγομένοις, ὕστερον λέγουσι, πάντα ὅσα εἶπεν ὁ Ἰωάννης, ἀληθῆ ἐστιν. "ἄλλως δὲ, καὶ εἰ προσιὼν ταῦτα ἔλεγεν, ἔδοξεν ἂν ἐκ σπουδῆς τινος ἀνθρωπίνης γίνεσθαι τὰ γινόμενα, καὶ ὑποψίας "εἶναι" μεστὸν τὸ κήρυγμα.

χ. [illegible]

χ. ἦν

χ. μετὰ τὸ κήρυγμα λοιπὸν

Καὶ ἤκουσαν οἱ μαθηταὶ αὐτοῦ οἱ δύο, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

Καίτοιγε καὶ ἕτεροι ἦσαν αὐτῷ μαθηταὶ, ἀλλ᾽ ἐκεῖνοι οὐ μόνον οὐκ ἠκολούθησαν, ἀλλὰ καὶ ζηλοτύπως πρὸς αὐτὸν διετέθησαν. Ῥαββὶ γὰρ, φησιν, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. καὶ πάλιν "φαίνονται ἐγκαλοῦντες· Διὰ τί ἡμεῖς νηστεύομεν, καὶ οἱ μαθηταί σου οὐ νηστεύουσιν; (Ματθ. θ. ιδ.) ἀλλ᾽ οἱ τῶν ἄλλων βελτίους οὐδὲν τοιοῦτον ἔπαθον, ἀλλ᾽ ὁμοῦ τε ἤκουσαν καὶ ἠκολούθησαν. ἠκολούθησαν δὲ οὐχ ὡς τοῦ διδασκάλου καταφρονήσαντες, ἀλλ᾽ ὡς αὐτῷ μάλιστα πεισθέντες, καὶ δεῖγμα μέγιστον τοῦ κρίσει λογισμῶν ὀρθῇ τοῦτο ποιεῖν ἐξενεγκόντες. οὐδὲ γὰρ παρακληθέντες αὐτὸ ἐποίησαν, ὅπερ ὕποπτον ἦν, ἀλλ᾽ ἐπειδὴ προεῖπε μόνον τὸ μέλλον, ὅτι βαπτίσει ἐν πνεύματι ἁγίῳ [καὶ πυρὶ,] ἠκολούθησαν αὐτῷ. οὐ τοίνυν ἀπέστησαν τοῦ διδασκάλου, ἀλλ᾽ ἐβουλήθησαν μαθεῖν τί πλέον φέρει τοῦ Ἰωάννου. καὶ ὅρα τὴν σπουδὴν μετ᾽ αἰδοῦς γινομένην. οὐδὲ γὰρ εὐθέως προσελθόντες ἐπηρώτησαν τὸν Ἰησοῦν περὶ ἀναγκαίων καὶ μεγίστων πραγμάτων, "οὐδὲ δημοσίᾳ παρόντων ἁπάντων ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἀλλ᾽ ἰδίᾳ διαλεχθῆναι αὐτῷ ἐσπούδαζον. ᾔδεισαν γὰρ οὐ ταπεινοφροσύνης, ἀλλ᾽ ἀληθείας ὄντα τοῦ διδασκάλου τὰ ῥήματα.

χ. οὗτοι αὐτῷ λέγουσιν ἐγκαλοῦντες

χ. οὐ

40 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων καὶ ἀκολουθησάντων αὐτῷ. Τίνος ἕνεκεν καὶ τὸ τοῦ ἑτέρου οὐκ ἐγνώρισεν ὄνομα; τινές φασι διὰ τὸ αὐτὸν εἶναι τὸν γράφοντα τὸν ἠκολουθηκότα· τινὲς δὲ οὐχ οὕτως, ἀλλ᾽ ὅτι ἐκεῖνος οὐχὶ τῶν ἐπισήμων ἦν. οὐδὲν οὖν πλέον τῶν ἀναγκαίων λέγειν ἐχρῆν. τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν ἐκείνου τὴν προσηγορίαν; ἐπεὶ οὐδὲ τῶν ἑβδομήκοντα δύο λέγει τὰ ὀνόματα. τοῦτο "καὶ Παῦλος ἐποίησε· (β. Κορ. η. ιη.) Συνεπέμψαμεν γάρ, φησι, τὸν ἀδελφὸν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. τοῦ δὲ Ἀνδρέου μέμνηται καὶ δι᾽ ἑτέραν αἰτίαν. ποίαν δὴ ταύτην; ἵνα, ὅταν ἀκούσῃς ὅτι Σίμων ἀκούσας μετ᾽ αὐτοῦ, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων, οὐ διηπόρησε πρὸς τὴν παράδοξον ταύτην ὑπόσχεσιν, μάθῃς ὅτι τὰς ἀρχὰς τῆς πίστεως ὁ ἀδελφὸς ἤδη "προκατεβάλλετο.

χ. καὶ παρὰ Παύλῳ ἔστιν ἰδεῖν

χ. προκαταβαλὼν ἦν

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ ἰδὼν αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, τί ζητεῖτε;

Ἐντεῦθεν παιδευόμεθα, ὅτι οὐ φθάνει τὰς βουλήσεις ἡμῶν ὁ Θεὸς ταῖς δωρεαῖς, ἀλλ᾽ ὅταν ἡμεῖς ἀρξώμεθα, ὅταν τὸ θέλειν παράσχωμεν, τότε καὶ αὐτὸς πολλὰς δίδωσιν ἡμῖν τῆς σωτηρίας τὰς ἀφορμάς. τί ζητεῖτε; τί τοῦτο; ὁ εἰδὼς "τὰς καρδίας τῶν ἀνθρώπων, ὁ τοῖς λογισμοῖς ἡμῶν ἐμβατεύων, οὗτος ἐρωτᾷ; ναὶ, οὐχ ἵνα μάθῃ (πῶς γάρ;) ἀλλ᾽ ἵνα διὰ τῆς ἐρωτήσεως μᾶλλον αὐτοὺς οἰκειώσηται, καὶ πλείονος μεταδῷ τῆς παρρησίας, καὶ δείξῃ τῆς ἀκροάσεως ὄντας ἀξίους. εἰκὸς γὰρ ἦν ἐρυθριᾷν καὶ δεδοικέναι, ἅτε ἀγνῶτας ὄντας, καὶ τοιαῦτα περὶ αὐτοῦ τοῦ διδασκάλου μαρτυροῦντος ἀκηκοότας. ταῦτ᾽ οὖν ἅπαντα λύων, τὴν αἰδῶ, τὸν φόβον, ἐρωτᾷ, καὶ οὐκ εἴασε σιγῇ μέχρι τῆς οἰκίας ἐλθεῖν· καίτοι τὸ αὐτὸ ἂν ἐγένετο, καὶ εἰ μὴ ἠρώτησε. παρέμεναν γὰρ ἂν ἀκολουθοῦντες αὐτῷ, καὶ κατὰ πόδας βαδίζοντες ἐπέστησαν τῇ οἰκίᾳ. τίνος οὖν ἕνεκεν ἐρωτᾷ; τοῦτο ὅπερ εἶπον κατασκευάζων, καταπραΰνων τε αὐτοῖς τὸν λογισμὸν ἐρυθριῶντα ἔτι καὶ ἀγωνιῶντα, καὶ παρέχων θαρρεῖν. οὐ διὰ τῆς ἀκολουθήσεως δὲ μόνον τὸν πόθον, ἀλλὰ καὶ διὰ τῆς ἐρωτήσεως ἐφανέρωσαν. οὐδὲν γὰρ οὐδέπω μαθόντες παρ᾽ αὐτοῦ, οὐδὲ ἀκούσαντες, διδάσκαλον αὐτὸν καλοῦσιν, εἰς τοὺς μαθητὰς εἰσωθοῦντες ἑαυτοὺς, καὶ τὴν αἰτίαν

χ. τὰς καρδίας

δεικνῦντες δι' ἣν ἠκολούθουν, ὡς τι τῶν χρησίμων ἀκουσόμενοι. Θέα δέ μοι καὶ τὴν σύνεσιν. Οὐκ εἶπον, δίδαξον ἡμᾶς περὶ δογμάτων, ἢ τινος ἑτέρου τῶν ἀναγκαίων· ἀλλὰ τί;

Ποῦ μένεις; Μετὰ γὰρ ἡσυχίας, ὅπερ ἔμπροσθεν ἔφην, καὶ εἰπεῖν τι πρὸς αὐτὸν, καὶ ἀκοῦσαί τι παρ' αὐτοῦ, καὶ μαθεῖν ἤθελον. διόπερ οὐδὲ ἀνεβάλοντο, οὐδὲ εἶπον, ἥξομεν πάντως αὔριον, καὶ ἀκουσόμεθα διαλεγομένου σου δημοσίᾳ· ἀλλὰ τὴν πολλὴν σπουδὴν ἣν εἶχον περὶ τὴν ἀκρόασιν ἐπιδείκνυνται, τῷ μηδὲ ὑπὸ τῆς ὥρας ἀποτραπῆναι. καὶ γὰρ ἔτυχε λοιπὸν πρὸς δυσμὰς ὁ ἥλιος ὤν (ὥρα γὰρ ἦν ὡς δεκάτη, φησί) καὶ διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ λέγει τὰ σημεῖα τῆς οἰκίας, οὐδὲ τὸν τόπον, ἀλλ' ἐπισπᾶται πλέον αὐτοὺς πρὸς τὴν ἀκολούθησιν, δεικνὺς ὅτι αὐτοὺς ἀπεδέξατο. καὶ διὰ τοῦτο οὐδὲ αὐτὸς τοιοῦτόν τι εἶπεν· ἄκαιρόν ἐστιν εἰς οἰκίαν νῦν ὑμᾶς εἰσελθεῖν, ἀκούσεσθε αὔριον, εἴ τι βούλεσθε, ἀναχωρήσατε οἴκαδε "νῦν· ἀλλ' ὡς πρὸς φίλους καὶ πολὺν αὐτῷ συγγεγονότας χρόνον, οὕτω διαλέγεται. πῶς οὖν ἀλλαχοῦ φησιν, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν "κλίναι·

Λουκ. θ. νη.

39 Ἐνταῦθα δὲ λέγει, ἔρχεσθε, καὶ ἴδετε ποῦ μένω; Ὅτι τὸ, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν "κλίναι, δηλωτικόν ἐστι τοῦ μηδὲν ἴδιον καταγώγιον κεκτῆσθαι, οὐχ ὅτι ἐν οἰκίᾳ οὐ κατέμενε. καὶ γὰρ καὶ ἡ παραβολὴ τοῦτο βούλεται. ὅτι μὲν οὖν παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, εἶπεν ὁ εὐαγγελιστής· τίνος δὲ ἕνεκεν, οὐκέτι προσέθηκεν, ὡς δήλου τῆς αἰτίας οὔσης. οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν οὔτε αὐτῷ ἠκολούθησαν, οὔτε ὁ Χριστὸς αὐτοὺς ἐπεσπάσατο, ἀλλ' ἢ διὰ τὴν διδασκαλίαν· ἧς οὕτω δαψιλῶς καὶ προθύμως ἀπήλαυσαν καὶ ἐν νυκτὶ μιᾷ, ὡς εὐθέως θατέρους καὶ ἐφ' ἑτέρων "θήραν ἐλθεῖν.

ΗΘΙΚΟΝ

β. Τιμ. δ. β.
Ψαλμ. α.

Οὐκοῦν καὶ ἡμεῖς ἐντεῦθεν διδαχθῶμεν πάντα πάρεργα τίθεσθαι τῆς θείας ἀκροάσεως, καὶ μηδένα καιρὸν ἄκαιρον εἶναι νομίζειν, ἀλλὰ, κἂν εἰς οἰκίαν ἀλλοτρίαν ἀπελθεῖν δέῃ, κἂν γνώριμον ἀνδράσι γενέσθαι μεγάλοις ἀγνῶτα ὄντα, κἂν ἀωρὶ τῆς ἡμέρας, κἂν οἱῳδήποτε καιρῷ, μηδέποτε ταύτης ἀμελεῖν τῆς ἐμπορείας. τροφὴ μὲν "οὖν καὶ λουτρὰ καὶ δεῖπνα καὶ τὰ ἄλλα τὰ βιωτικὰ, καιρὸν ἐχέτω τὸν ὡρισμένον· διδασκαλία δὲ περὶ φιλοσοφίας τῆς ἄνω, μηδεμίαν ἀφωρισμένην ὥραν ἐχέτω, ἀλλ' ἅπας αὐτῆς ἔστω ὁ καιρός. Εὐκαίρως γὰρ, φησιν, ἀκαίρως ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. "καὶ ὁ προφήτης δέ φησιν, Ὅτι ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ τοῖς Ἰουδαίοις δὲ ὁ Μωϋσῆς διαπαντὸς τοῦτο ποιεῖν ἐκέλευε. τὰ μὲν γὰρ βιωτικὰ, βαλανεῖα λέγω καὶ δεῖπνα, "εἰ καὶ ἀναγκαῖα, ὅμως συνεχῶς γινόμενα, τὸ σῶμα ἐξίτηλον ἐργάζεται· ἡ δὲ τῆς ψυχῆς διδασκαλία, ὅσῳπερ ἂν "ἐπιτείνῃ"), τοσούτῳ τὴν δεχομένην ἰσχυροτέραν ποιεῖ ψυχήν. νῦν δὲ λήρους μὲν καὶ φλυαρίας ἀνονήτους πάντα καιρὸν ἀφορίζομεν, καὶ τὸν ὑπὸ τὴν ἕω καὶ τὸν περὶ δείλην καὶ μεσημβρίαν καὶ ἑσπέραν δὲ αὐτὴν συνεδρεύομεν εἰκῆ, καὶ τόπους εἰς τοῦτο ἀπετάξαμεν· τῶν δὲ θείων δογμάτων ἅπαξ ἢ δὶς τῆς ἑβδομάδος ἀκούοντες, ναυτιῶμεν, διακορεῖς γινόμεθα. τί οὖν τὸ αἴτιον; κακῶς διακείμεθα τὴν ψυχὴν, τὸ ἐπιθυμητικὸν αὐτῆς τὸ περὶ ταῦτα καὶ ὀρεκτικὸν ἐξελύσαμεν ἅπαν· διὰ τοῦτο οὐκ ἔρρωται πρὸς τὴν τῆς πνευματικῆς τροφῆς ὄρεξιν. μέγα δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἀῤῥωστίας τεκμήριον, τὸ μὴ πεινῆν μηδὲ διψῆν, ἀλλὰ δυσαρέστως πρὸς ἀμφότερα ἔχειν. εἰ δὲ ἐπὶ σωμάτων τοῦτο συμβαῖνον, νοσήματος χαλεποῦ τεκμήριον, καὶ ἀῤῥωστίας ποιητικόν, πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς. πῶς οὖν αὐτὴν ἀναπεπτωκυῖαν καὶ ἐκλελυμένην ἀναῤῥῶσαι δυνησόμεθα; τί ποιοῦντές, φησι, καὶ τί λέγοντες; ἁπτόμενοι τῶν λόγων τῶν θείων, προφητικῶν, ἀποστολικῶν, εὐαγγελικῶν, καὶ τῶν ἄλλων ἁπάντων. τότε γὰρ εἰσόμεθα ὅτι πολλῷ βέλτιον ταῦτα σιτεῖσθαι, ἢ τὰς ἀκαθάρτους τροφάς. οὕτω γὰρ χρὴ τὰς ἀκαίρους φλυαρίας καὶ συνόδους καλεῖν. τί γὰρ ἄμεινον, εἰπέ μοι, περὶ τῶν κατὰ τὴν ἀγοράν, περὶ τῶν ἐν τοῖς δικαστηρίοις, περὶ τῶν ἐν τῷ στρατοπέδῳ διαλέγεσθαι, ἢ περὶ τῶν ἐν οὐρανοῖς, καὶ περὶ τῆς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; τί βέλτιον, περὶ τοῦ γείτονος λαλεῖν καὶ τῶν τοῦ γείτονος πραγμάτων, καὶ τὰ ἀλλότρια πολυπραγμονεῖν, ἢ τὰ τῶν ἀγγέλων, καὶ τὰ ἡμῖν αὐτοῖς διαφέροντα ἀναζητεῖν; τὰ μὲν γὰρ τοῦ γείτονος, οὐ πάντως σά, τὰ δὲ τῶν οὐρανῶν, σά. ἀλλ' ἔνεστι, φησίν, ἅπαξ εἰπόντα ταῦτα πληρῶσαι τὸ πᾶν. τί δὲ περὶ ὧν διαλέγεσθε μάτην καὶ εἰκῆ οὐκ ἐννοεῖτε τοῦτο, ἀλλὰ πάντα τὸν βίον εἰς τοῦτο καταναλίσκοντες, τὴν ὑπόθεσιν τῶν περὶ τούτων οὐδέποτε κατεδαπανήσατε; καὶ οὔπω λέγω τὰ πολλῷ τούτων φορτικώτερα. οἱ μὲν γὰρ ἐπιεικέστεροι ταῦτα πρὸς ἀλλήλους διαλέγονται· οἱ δὲ ῥαθυμότεροι καὶ μᾶλλον ἠμελημένοι, μίμους καὶ ὀρχηστὰς καὶ ἡνιόχους ἐν τοῖς αὐτῶν περιφέρουσι λόγοις, τὴν ἀκοὴν μολύνοντες, τὴν ψυχὴν διαφθείροντες, τὴν φύσιν ἐκβακχεύοντες τούτοις τοῖς διηγήμασιν, ἅπαν κακίας εἶδος εἰς τὴν ἑαυτῶν διάνοιαν διὰ ταύτης εἰσάγοντες τῆς διαλέξεως. ἅμα γὰρ ἐφθέγξατο ἡ γλῶσσα τοῦ ὀρχουμένου τὸ ὄνομα, καὶ εὐθέως ἀνετύπωσεν ἡ ψυχὴ τὴν ὄψιν, τὴν κόμην, τὴν ἐσθῆτα τὴν ἁπαλήν, αὐτὸν ἐκεῖνον τούτων μαλακώτερον ὄντα. ἕτερος πάλιν ἑτέρωθεν ἀνερρίπισε τὴν φλόγα, γυναῖκα πόρνην εἰς τὴν διάλεξιν εἰσαγαγών, κἀκείνης τὰ ῥήματα, τὰ σχήματα, τῶν ὀμμάτων τὰς διαστροφάς, τῆς ὄψεως τὸ ὑγρόν, τῶν τριχῶν τὰς στρεβλώσεις, τῶν παρειῶν τὰ ἐπιτρίμματα, τὰς ὑπογραφάς. ἆρα οὐκ ἐπάθετέ τι καὶ ἐμοῦ τοῦτο διηγουμένου; ἀλλὰ μὴ αἰσχυνθῆτε, μηδὲ ἐρυθριάσητε. ἡ γὰρ τῆς φύσεως ἀνάγκη τοῦτο ἀπαιτεῖ, καὶ οὕτω διατίθησι τὴν ψυχήν, ὡς ἂν ἡ τῶν ἀπαγγελλομένων δύναμις ἔχῃ. εἰ δὲ ἐμοῦ φθεγγομένου, εἰ δὲ ἐν ἐκκλησίᾳ ἑστῶτες, εἰ δὲ ἐκείνων ἀπέχοντες, ἐπάθετέ τι πρὸς τὴν ἀκρόασιν, ἐννόησον πῶς εἰκὸς διακεῖσθαι τοὺς ἐν αὐτῷ τῷ θεάτρῳ καθημένους, τοὺς ἄδειαν πολλὴν ἔχοντας, τοὺς ἐκτὸς τοῦ σεμνοῦ τούτου καὶ φρικώδους συνεδρίου, τοὺς μετὰ πολλῆς ἀναισχυντίας καὶ ὁρῶντας ἐκεῖνα καὶ ἀκούοντας. καὶ τί δήποτε, ἴσως ἂν εἴποι τις τῶν οὐ προσεχόντων, εἰ τῆς φύσεως ἡ ἀνάγκη τὴν ψυχὴν οὕτω διατίθησιν, ἐκείνην ἀφεὶς, ἡμῖν ἐγκαλεῖς; ὅτι τὸ μὲν ἀκούοντα τοιαῦτα μαλάττεσθαι, τῆς φύσεως ἔργον· τὸ δὲ τοιαῦτα ἀκούειν, οὐκέτι φύσεως, ἀλλὰ τῆς προαιρέσεως ἁμάρτημα. ἐπεὶ καὶ τὸν ὁμιλοῦντα πυρὶ διαφθείρεσθαι δεῖ, καὶ τοῦτο ἡ τῆς φύσεως ἀσθένεια βούλεται· ἀλλ' οὐκέτι καὶ πρὸς τὸ πῦρ ἡμᾶς καὶ τὴν ἐκεῖθεν ἄγει διαφθορὰν ἡ φύσις. τοῦτο γὰρ τῆς κατὰ προαίρεσιν μόνης ἂν εἴη διαστροφῆς. τοῦτο οὖν ἀνελεῖν ἀξιῶ καὶ διορθῶσαι, ὥστε μὴ ἑκόντας ἑαυτοὺς κατακρημνίζειν, μηδὲ πρὸς τὰ βάραθρα τῆς κακίας ὠθεῖν, μηδὲ αὐτομάτως τρέχειν ἐπὶ τὴν πυράν, ἵνα μὴ καὶ τῇ τῷ διαβόλῳ κατεσκευασμένῃ φλογὶ καταστήσωμεν ὑπευθύνους ἑαυτούς. γένοιτο δὲ πάντας ἡμᾶς καὶ ταύτης, κἀκείνης ἀπαλλαγέντας, πρὸς αὐτοὺς τοῦ Ἀβραὰμ χωρῆσαι τοὺς κόλπους, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιθ. 41 ΕΥΡΙΣΚΕΙ ΟΥΤΟΣ ΠΡΩΤΟΣ ΤΟΝ ΑΔΕΛΦΟΝ τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον Χριστός· 42 Καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν.

Ὁ Θεὸς παρὰ τὴν ἀρχὴν ποιήσας τὸν ἄνθρωπον, οὐκ ἀφῆκεν εἶναι μόνον, ἀλλ' ἔδωκεν αὐτῷ βοηθὸν τὴν γυναῖκα, καὶ συνοικεῖν ἐποίησεν, εἰδὼς ἀπὸ τῆς συσκηνίας ταύτης πολὺ τὸ κέρδος ἐσόμενον. τί γάρ, εἰ μὴ πρὸς τὸ δέον ἐχρήσατο τῇ εὐεργεσίᾳ ταύτῃ ἡ γυνή; ἀλλ' ὅμως εἰ τοῦ πράγματος αὐτοῦ τὴν φύσιν τις καταμάθοι, πολλὴν ἀπὸ τῆς συνοικήσεως ταύτης ὄψεται τὴν ὠφέλειαν ἐπὶ τῶν νοῦν ἐχόντων γινομένην.

οὐκ ἐπὶ γυναικὸς δὲ μόνον καὶ ἀνδρὸς, ἀλλὰ κἂν ἀδελφοὶ τοῦτο ποιῶσι, καὶ αὐτοὶ τῆς εὐεργεσίας ἀπολαύσονται. διὸ καὶ ὁ προφήτης ἔλεγε· Τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; καὶ ὁ Παῦλος παρῄνει μὴ ἐγκαταλιπεῖν τὴν ἐπισυναγωγὴν τὴν ἑαυτῶν. καὶ γὰρ τοῦτό ἐστιν, ᾧ τῶν θηρίων διεστήκαμεν· διὰ τοῦτο καὶ πόλεις ἐδειμάμεθα καὶ ἀγορὰς καὶ οἰκίας, ἵνα ὁμοῦ καὶ μετ' ἀλλήλων ὦμεν, οὐ κατὰ τὴν οἴκησιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν τῆς ἀγάπης σύνδεσμον. ἐπειδὴ γὰρ ἐνδεὴς ἡμῖν ἡ φύσις παρὰ τοῦ πεποιηκότος ἐγένετο, καὶ οὐκ αὐτάρκης ἐστὶν ἑαυτῇ, συμφερόντως ᾠκονόμησεν ὁ Θεὸς τὴν ἐντεῦθεν ἔνδειαν λοιπὸν ἐκ τῆς κατὰ τὴν σύνοδον πρὸς ἀλλήλων γινομένης ὠφελείας διορθωθῆναι* ὥστε τὸ λεῖπον ἑτέρῳ παρ' ἑτέρου πληροῦσθαι, καὶ τὴν ἐνδεῆ γενέσθαι οὕτως αὐτάρκη, καθάπερ οὖν καὶ θνητὴν γενομένην τῇ διαδοχῇ μέχρι πολλοῦ τὴν ἀθανασίαν διατηρεῖν. καὶ ἦν μὲν μακρότερον ἐπεξελθεῖν τούτῳ τῷ λόγῳ, δεικνύντα ὅσα ἀπὸ τῆς πρὸς ἀλλήλους συνόδου τῆς γνησίας καὶ εἰλικρινοῦς τὰ κέρδη τοῖς συνερχομένοις γίνεται· ἀλλ' ἕτερόν ἐστι τὸ κατεπεῖγον νῦν, οὗ δὴ καὶ ἕνεκεν ἡμῖν ταῦτα εἴρηται. ὁ γὰρ Ἀνδρέας μείνας παρὰ τῷ Ἰησοῦ, καὶ μαθὼν ἅπερ ἔμαθεν, οὐ κατέσχε πρὸς ἑαυτῷ τὸν θησαυρὸν, ἀλλ' ἐπείγεται καὶ τρέχει ταχέως πρὸς τὸν ἀδελφὸν, μεταδώσων αὐτῷ τῶν ἀγαθῶν, ὧν εἰλήφει. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ὁ Ἰωάννης, τίνα ἐστὶν ἃ διελέχθη πρὸς αὐτοὺς ὁ Χριστός; πόθεν δὲ καὶ δῆλόν ἐστιν ὅτι διὰ τοῦτο ἔμειναν παρ' αὐτῷ; ἀπεδείχθη μὲν ἡμῖν τοῦτο καὶ πρῴην· ἔξεστι δὲ καὶ ἐκ τῶν τήμερον ἀναγνωσθέντων μαθεῖν. ὅρα γάρ τί φησιν οὗτος πρὸς τὸν ἀδελφόν; εὑρήκαμεν τὸν Μεσσίαν, ὃς ἑρμηνεύεται Χριστός. εἶδες πῶς, ὅσα ἐν βραχεῖ ἔμαθεν, ἔδειξε καὶ τὴν τοῦ διδασκάλου σοφίαν πείσαντος αὐτοὺς, καὶ τὴν αὐτῶν προθυμίαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα μεριμνώντων. τοῦτο γὰρ τὸ ῥῆμα, εὑρήκαμεν, ψυχῆς ἐστιν ὠδινούσης τὴν παρουσίαν αὐτοῦ, καὶ προσδοκώσης τὴν ἄφιξιν ἄνωθεν, καὶ περιχαροῦς γεγενημένης μετὰ τὸ συμβῆναι τὸ προσδοκώμενον, καὶ ἐπειγομένης ἑτέροις μεταδοῦναι τῶν εὐαγγελίων. τοῦτο ἀδελφικῆς εὐνοίας, τοῦτο φιλίας συγγενικῆς, τοῦτο εἰλικρινοῦς διαθέσεως, ἐν τοῖς πνευματικοῖς σπουδάζειν χεῖρα ὀρέγειν ἀλλήλοις. ἄκουσον δὲ καὶ τούτου μετὰ τοῦ ἄρθρου προσθήκης λέγοντος. οὐ γὰρ εἶπε Μεσσίαν, ἀλλὰ τὸν Μεσσίαν· οὕτως ἕνα τινὰ Χριστὸν προσεδόκων, οὐδὲν κοινὸν πρὸς τοὺς ἄλλους ἔχοντα. θέα δέ μοι *καὶ τὴν ἐξ αὐτῆς τῆς ἀρχῆς τὴν εὐπειθῆ καὶ εὐήνιον τοῦ Πέτρου διάνοιαν. εὐθέως γὰρ ἐπέδραμε μηδὲν μελλήσας. ἤγαγε γὰρ αὐτόν, φησι, πρὸς τὸν Ἰησοῦν. ἀλλὰ μηδεὶς εὐκολίαν αὐτοῦ καταγινωσκέτω, εἰ μὴ πολλὰ ζητήσας οὕτω τὸν λόγον ἐδέξατο. εἰκὸς γὰρ καὶ τὸν ἀδελφὸν ἀκριβέστερον εἰρηκέναι αὐτῷ ταῦτα, καὶ διὰ μακρῶν, ἀλλ' οἱ εὐαγγελισταὶ πανταχοῦ πολλὰ ἐπιτέμνουσι βραχυλογίας ἐπιμελούμενοι. ἄλλως δὲ, οὐδὲ εἴρηται ὅτι ἐπίστευσεν ἁπλῶς, ἀλλ' ὅτι ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν, ἐκείνῳ λοιπὸν παραδώσων, ὥστε τὸ πᾶν παρ' ἐκείνου μαθεῖν· καὶ γὰρ καὶ ὁ ἕτερος μαθητὴς συνῆν καὶ συνεβάλλετο πρὸς ταῦτα. εἰ γὰρ ὁ βαπτιστὴς Ἰωάννης εἰπὼν, ὅτι ἀμνός ἐστι, καὶ ὅτι ἐν πνεύματι βαπτίζει, τὴν σαφεστέραν περὶ τούτου διδασκαλίαν ἐπέτρεψε παρ' ἐκείνου μαθεῖν· πολλῷ μᾶλλον Ἀνδρέας ἂν τοῦτο ἐποίησεν, αὐτὸς μὲν οὐχ ἡγούμενος πρὸς τὴν ἐξήγησιν πᾶσαν ἐξαρκεῖν, εἰς δὲ αὐτὴν τοῦ φωτὸς ἕλκων τὴν πηγὴν μετὰ τοσαύτης σπουδῆς καὶ χαρᾶς, ὡς μηδὲ τὸ τυχὸν ἀναβαλέσθαι καὶ μελλῆσαι ἐκεῖνον·

Καὶ ἐμβλέψας αὐτῷ, φησιν, ὁ Ἰησοῦς, λέγει· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Ἄρχεται λοιπὸν ἐνταῦθα ἀποκαλύπτειν τὰ τῆς θεότητος, καὶ κατὰ μικρὸν αὐτὴν παρανοίγειν ἀπὸ τῶν προῤῥήσεων. οὕτω καὶ ἐπὶ τοῦ Ναθαναὴλ ἐποίησε, καὶ ἐπὶ τῆς γυναικὸς τῆς Σαμαρείτιδος. τῶν γὰρ σημείων οὐχ ἧττον αἱ προφητεῖαι προσάγονται, καὶ τὸ ἀκόμπαστον ἔχουσι. τὰ μὲν γὰρ θαύματα κἂν διαβληθείη παρὰ τοῖς ἀνοήτοις (Ἐν Βεελζεβοὺλ γὰρ, φησιν, ἐκβάλλει τὰ δαιμόνια) περὶ δὲ τῆς προφητείας οὐδὲν τοιοῦτον ἐλέχθη ποτέ. ἐπὶ μὲν οὖν τοῦ Σίμωνος καὶ τοῦ Ναθαναὴλ τού-

Ψαλ. ρλβ. α.

Ματθ. ιβ. κδ.

τῷ τῆς διδασκαλίας τρόπῳ κέχρηται, ἐπὶ δὲ Ἀνδρέου καὶ Φιλίππου τοῦτο οὐκ ἐποίησε. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν εἶχον τὴν μαρτυρίαν Ἰωάννου, οὐ μικρὰν παρασκευήν· ὁ δὲ Φίλιππος τοὺς παρόντας ὁρῶν, ἀξιόπιστον τεκμήριον ἐλάμβανε πίστεως. σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ. ἀπὸ τοῦ παρόντος καὶ τὸ μέλλον πιστοῦται. ὁ γὰρ τὸν πατέρα εἰπών, δηλοῖ ὅτι καὶ τὸ μέλλον προῄδει. καὶ μετ᾽ ἐγκωμίου ἡ πρόρρησις. τοῦτο δὲ οὐ κολακεύοντος ἦν, ἀλλὰ τὸ μέλλον προλέγοντος· καὶ δῆλον ἐκεῖθεν. ἄκουσον γοῦν ἐπὶ τῆς Σαμαρείτιδος, πῶς μετὰ" σφοδρῶν ἐλέγχων ποιεῖται τὴν πρόρρησιν· πέντε γάρ, φησιν, ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ. οὕτω καὶ ὁ πατὴρ αὐτοῦ πολὺν περὶ προφητείας ποιεῖται λόγον, πρὸς τὴν τῶν εἰδώλων δόξαν ἱστάμενος· ἀπαγγειλάτωσαν γὰρ" ὑμῖν, τί μέλλει ἐφ᾽ ὑμᾶς ἔρχεσθαι· καὶ πάλιν, ἀπήγγειλα, καὶ ἔσωσα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· καὶ δι᾽ ὅλης τοῦτο τῆς προφητείας εἰς μέσον ἄγει. τοῦτο γὰρ μάλιστα ἔργον Θεοῦ, ὅπερ οὐδὲ μιμήσασθαι δύναιντ᾽ ἂν οἱ δαίμονες, κἂν σφόδρα φιλονεικῶσιν. ἐπὶ μὲν γὰρ τῶν θαυμάτων καὶ φαντασία γένοιτ᾽ ἄν· τὸ δὲ τὰ μέλλοντα προειπεῖν μετὰ ἀκριβείας, τῆς ἀκηράτου φύσεως ἐκείνης μόνης ἐστίν. εἰ δέ που καὶ δαίμονες τοῦτο πεποιήκασιν, ἀλλ᾽ ἀπατῶντες τοὺς ἀνοητοτέρους· ὅθεν καὶ εὐφώρατα αὐτῶν πανταχοῦ τὰ μαντεῖα. ὁ δὲ Πέτρος οὐδὲν πρὸς ταῦτα ἀποκρίνεται. οὐδέπω γὰρ οὐδὲν ᾔδει σαφῶς, ἀλλὰ τέως ἐμάνθανεν. ὅρα δὲ οὐδὲ ὁλόκληρον τὴν πρόρρησιν κειμένην. οὐ γὰρ εἶπεν, ἐγώ σε μετονομάσω Πέτρον, καὶ οἰκοδομήσω μου τὴν ἐκκλησίαν ἐπὶ τῇ πέτρᾳ ταύτῃ, ἀλλά, σὺ κληθήσῃ Κηφᾶς. ἐκεῖνο γὰρ αὐθεντίας ἦν καὶ ἐξουσίας μείζονος· ὁ δὲ Χριστὸς οὐκ εὐθέως οὐδὲ ἐξ ἀρχῆς τὰ τῆς ἐξουσίας ἐπιδείκνυται πάντα, ἀλλὰ τέως ταπεινότερον φθέγγεται. ὅτε γοῦν ἔδωκε τῆς αὐτοῦ θεότητος ἀπόδειξιν, λοιπὸν αὐθεντικώτερον αὐτὸ τίθησι, λέγων·" μακάριος εἶ Σίμων, ὅτι ὁ πατήρ μου ἀπεκάλυψέ σοι· καὶ πάλιν, κἀγώ σοι λέγω, σὺ εἶ Πέτρος, καὶ ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. τοῦτον μὲν οὖν οὕτως ὠνόμασε, τοὺς δὲ περὶ Ἰάκωβον, υἱοὺς βροντῆς. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; δεικνὺς ὅτι αὐτός ἐστιν ὁ καὶ τὴν παλαιὰν δεδωκώς, αὐτὸς ὁ τὰ ὀνόματα μεταρρυθμίζων, ὁ τὸν Ἀβρὰμ Ἀβραὰμ καλέσας, καὶ τὴν Σάραν Σάρραν, καὶ τὸν Ἰακὼβ Ἰσραήλ. πολλοῖς μὲν" καὶ ἐκ γενετῆς τὰ ὀνόματα ἔθηκεν, ὡς τῷ Ἰσαάκ, ὡς τῷ Σαμψών, ὡς τοῖς ἐν τῷ Ἠσαΐᾳ καὶ Ὠσηέ· τοῖς δὲ μετὰ τὴν παρὰ τῶν γονέων προσηγορίαν, ὡς τοῖς τε εἰρημένοις, καὶ τῷ Ἰησοῦ τοῦ Ναυῆ. ἔθος δὲ καὶ τοῖς παλαιοῖς ἦν ἀπὸ τῶν πραγμάτων τὰ ὀνόματα τίθεσθαι, ὅπερ" δήπου καὶ Ἠλίας πεποίηκε. τοῦτο δὲ οὐχ ἁπλῶς γέγονεν, ἀλλ᾽ ἵνα τὴν προσηγορίαν ἔχωσιν ὑπόμνημα τῆς εὐεργεσίας τοῦ Θεοῦ, ἵνα μνήμη διηνεκὴς τῆς διὰ τῶν ὀνομάτων προφητείας ἐνηχῆται τοῖς ἀκούουσιν. οὕτω καὶ τὸν Ἰωάννην ἄνωθεν ἐκάλεσεν. οἷς μὲν γὰρ ἔμελλεν ἐκ πρώτης ἡλικίας ἡ ἀρετὴ διαλάμπειν, ἐκεῖθεν τὰ ὀνόματα ἐλάμβανον· τοῖς δὲ μετὰ ταῦτα μέλλουσιν ἐπιδιδόναι, μετὰ ταῦτα καὶ ἡ προσηγορία ἐτίθετο.

γρ. σπουδῆς

γρ. ἡμῶν

γρ. κἀγώ σοι λέγω, σὺ εἶ Σίμων, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος

γρ. οὖν

γρ. οὖν καὶ Ἠλί

ΗΘΙΚΟΝ

Ἀλλὰ τότε μὲν διάφορα ἕκαστος ἐλάμβανεν ὀνόματα, νῦν δὲ ἓν πάντες ἔχομεν τὸ πάντων μεῖζον ἐκεῖνο," χριστιανοὶ προσαγορευόμενοι, καὶ υἱοὶ τοῦ Θεοῦ, καὶ φίλοι, καὶ σῶμα. ἱκανὴ γὰρ αὕτη ἡ προσηγορία πασῶν μᾶλλον ἐκείνων ἡμᾶς διαναστῆσαι, καὶ ποιῆσαι" σφοδροτέρους πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. μὴ τοίνυν ἀνάξια πράττωμεν τῆς κατὰ τὴν προσηγορίαν τιμῆς," ἐννοήσαντες τὴν ὑπερβολὴν τῆς ἀξίας, οἱ τοῦ Χριστοῦ καλούμεθα. οὕτω Παῦλος γὰρ ἡμᾶς ὠνόμασεν. ἐννοήσωμεν καὶ αἰδεσθῶμεν τῆς προσηγορίας τὸ μέγεθος. εἰ γὰρ στρατηγοῦ τινος ἐπισήμου, ἢ καὶ ἄλλως λαμπροῦ τινος εἶναι λεγόμενός τις, μέγα φρονεῖ, τοῦ δεῖνος ἀκούων ἢ τοῦ δεῖνος, καὶ ἀξίωμα τὸ ὄνομα νομίζει μέγα, καὶ πάντα ποιεῖ, ὥστε μὴ διὰ τῆς οἰκείας ῥαθυμίας βλασφημίαν τῷ, ᾧ ἐστιν ἐπώνυμος, περιστρέψασθαι· ἡμεῖς οὐ στρατηγοῦ, οὐδὲ ἄρχοντός τινος τῶν ἐπὶ γῆς, οὐδὲ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, οὐδὲ τῶν σεραφίμ, ἀλλ᾽ αὐτοῦ τοῦ τούτων βασιλέως καλούμενοι ἀπὸ τῆς προσηγορίας,

γρ. τὸ χριστιανοὶ προσαγορεύεσθαι

γρ. προθυμοτέρους

γρ. ἐννοήσαντες γοῦν ὑπερβολὴν τιμῆς, εἰ σοῦ ηγορίας, οὐχὶ καὶ τὴν ψυχὴν αὐτὴν προησόμεθα, ὥστε μὴ ὑβρίσαι τὸν τιμήσαντα; οὐκ ἴστε τὰ τάγματα τὰ βασιλικὰ τὰ τῶν ἀσπιδηφόρων καὶ λογχοφόρων, τὰ περὶ τὸν βασιλέα, πόσης ἀπολαύει τιμῆς; οὕτω καὶ ἡμεῖς ἐγγὺς αὐτοῦ γενέσθαι καταξιωθέντες καὶ πολλῷ πλησιέστεροι, καὶ τοσούτῳ ἐγγύτεροι τῶν εἰρημένων, ὅσῳ τὸ σῶμα τῇ κεφαλῇ μᾶλλον τούτων πλησίον ἐστὶ, πάντα πράττωμεν δι' ὧν τὸν Χριστὸν μιμησόμεθα. τί οὖν φησιν ὁ Χριστός; Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. τοῦτο μὲν οὖν ἂν ἀπαιτήσω παρ' ὑμῶν, φορτικὸν ἴσως καὶ ἐπαχθὲς εἶναι δόξει τοῖς πολλοῖς. διὰ τὴν μὲν ἀκρίβειαν ταύτην ἀφίημι διὰ τὴν ὑμετέραν ἀσθένειαν, ἀξιῶ δὲ μὴ προσηλῶσθαι τοῖς χρήμασιν, ἀλλ', ὥσπερ ἐγὼ τῆς ὑπερβολῆς ἀφίσταμαι τῆς κατὰ τὴν ἀρετὴν διὰ τὴν ἀσθένειαν τὴν τῶν πολλῶν, οὕτω καὶ ὑμᾶς τῆς κατὰ τὴν κακίαν ἀποστῆναι, καὶ πολλῷ πλέον. οὐκ ἐγκαλῶ τοῖς οἰκίας ἔχουσι, καὶ ἀγρούς, καὶ χρήματα, καὶ ἀνδράποδα· ἀλλὰ μετὰ ἀσφαλείας ταῦτα κεκτῆσθαι βούλομαι, καὶ μετὰ τοῦ πρέποντος. τί δέ ἐστι, μετὰ τοῦ πρέποντος; ἐν τάξει δεσποτῶν, καὶ μὴ δούλων, ὥστε κρατεῖν αὐτῶν, καὶ μὴ κρατεῖσθαι ὑπ' αὐτῶν, ὥστε κεχρῆσθαι αὐτοῖς, καὶ μὴ παραχρῆσθαι. χρήματα διὰ τοῦτο εἴρηται, ἵνα αὐτοῖς εἰς τὰς ἀναγκαίας χρώμεθα διακονίας, οὐχ ἵνα φυλάττωμεν. τοῦτο γὰρ οἰκέτου, δεσπότου δὲ ἐκεῖνο· δούλου τὸ τηρεῖν, τὸ δὲ ἀναλίσκειν, κυρίου, καὶ πολλὴν ἔχοντος τὴν ἐξουσίαν. οὐ διὰ τοῦτο ἔλαβες, ἵνα αὐτὰ καταχώσῃς, ἀλλ' ἵνα αὐτὰ διανείμῃς. εἰ δὲ ἐβούλετο ὁ Θεὸς αὐτὰ φυλάττεσθαι, οὐκ ἂν αὐτὰ ἀνθρώποις ἔδωκεν, ἀλλ' εἴασεν ἂν ἐν τῇ γῇ κείμενα μένειν· ἐπειδὴ δὲ βούλεται αὐτὰ δαπανᾶσθαι, διὰ τοῦτο αὐτὰ ἡμᾶς εἴασεν ἔχειν, ἵνα ἀλλήλοις μεταδῶμεν. ἂν δὲ παρ' ἑαυτοῖς κατέχωμεν, οὐκέτι δεσπόται τούτων ἐσμέν. εἰ δὲ βούλει αὐτὰ πλείω ποιῆσαι, καὶ διὰ τοῦτο κατέχεις, καὶ ἐνταῦθα αὕτη πασῶν ἀρίστη μέθοδος, τὸ σκορπίσαι καὶ πανταχοῦ διανεῖμαι. οὐδὲ γὰρ ἔνι γενέσθαι πρόσοδον δαπάνης χωρίς, οὐδὲ πλοῦτον ἄνευ ἀναλωμάτων. τοῦτο καὶ ἐν τοῖς βιωτικοῖς γινόμενον ἴδοι τις ἄν. οὕτως ὁ ἔμπορος, οὕτως ὁ γεωργός, ὁ μὲν τὰ σπέρματα, ὁ δὲ τὰ χρήματα ἐκβάλλοντες· ὁ μὲν θάλασσαν πλεῖ, ὥστε σκορπίσαι τὰ ἑαυτοῦ· ὁ δὲ ἐνιαυτὸν ὁλόκληρον μοχθεῖ, τὰ σπέρματα καταβάλλων καὶ θεραπεύων. ἐνταῦθα δέ, οὐδ' ἑνὸς δεῖ τούτων, οὐ κατασκευάσαι πλοῖον, οὐ ζεῦξαι βοῦς καὶ ἀρόσαι γῆν, οὐκ ἀνωμαλίαν ἀέρων μεριμνᾶν, οὐ χαλάζης καταβολὴν φοβηθῆναι· οὐκ ἔνι κύματα ἐνταῦθα οὐδὲ σκόπελος· ἀλλ' ὁ πλοῦς καὶ ἀλλ' ὁ σπόρος ἑνὸς δεῖται μόνου, τοῦ ῥῖψαι τὰ ὄντα, τὰ δὲ λοιπὰ ἅπαντα ὁ γεωργὸς ἐκεῖνος ποιήσει, περὶ οὗ φησιν ὁ Χριστός, Ὁ πατήρ μου ὁ γεωργός ἐστι. πῶς οὖν οὐκ ἄτοπον, ἔνθα μέν ἐστιν ἀπονητὶ πάντα λαβεῖν, ὕπτιον εἶναι καὶ ῥᾴθυμον· ἔνθα δὲ πολλοὶ μὲν ἱδρῶτες, πολλοὶ δὲ μόχθοι καὶ φροντίδες, καὶ μετὰ ταῦτα τὸ τῶν ἐλπίδων ἄδηλον, πᾶσαν ἐπιδείκνυσθαι προθυμίαν; μή, παρακαλῶ, μὴ μέχρι τοσούτου ἀνοηταίνωμεν περὶ τὴν οἰκείαν σωτηρίαν, ἀλλὰ τὰ φορτικώτερα ἀφέντες, πρὸς τὰ ῥᾷστα καὶ κερδαλεώτερα τρέχωμεν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. θ. νη.

Ομιλ. κ.

43 ΤΗ ΕΠΑΥΡΙΟΝ ΗΘΕΛΗΣΕΝ ΕΞΕΛΘΕΙΝ εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀκολούθει μοι. 44 Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδᾶ ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

Παροιμ. ιδ. κε.

ΠΑντὶ τῷ μεριμνῶντι ἔνεστί τι περισσόν, ὁ παροιμιώδης λόγος φησίν· ὁ δὲ Χριστὸς καί τι πλέον ᾐνίξατο εἰπών· ὁ ζητῶν εὑρίσκει· ὅθεν οὐδὲ ἔπεισί μοι λοιπὸν θαυμάζειν, πόθεν ὁ Φίλιππος ἠκολούθησε τῷ Χριστῷ. ὁ μὲν γὰρ Ἀνδρέας ἀκούσας παρὰ Ἰωάννου, καὶ ὁ Πέτρος παρὰ Ἀνδρέου, οὗτος δὲ παρ' οὐδενὸς οὐδὲν μαθών, ἢ τοῦτο μόνον εἰπόντος τοῦ Χριστοῦ πρὸς αὐτόν, ἀκολούθει μοι, ἐπείσθη τε εὐθέως, καὶ οὐκ ἀνεχώρησεν, ἀλλὰ καὶ κήρυξ ἑτέροις γίνεται. δραμὼν γὰρ ἐπὶ τὸν Ναθαναήλ· ὃν ἔγραψε, φησί, Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν. ὁρᾷς πῶς μεμεριμνημένην τὴν διάνοιαν εἶχε, καὶ συνεχῶς ἐμελέτα τὰ Μωϋσέως, καὶ προσεδόκα τὴν παρουσίαν; καὶ γάρ, τὸ εὑρήκαμεν, ζητούντων πώς ἐστιν ἀεί. τῇ ἐπαύριον ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν. πρὶν ἢ γὰρ αὐτῷ τινα κολληθῆναι, οὐδένα καλεῖ. ποιεῖ δὲ αὐτὸ οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν αὐτοῦ σοφίαν καὶ σύνεσιν. εἰ μὲν γάρ, μηδενὸς αὐτομάτου προσελθόντος, αὐτὸς αὐτοὺς ἐφειλκύσατο, κἂν ἀπεπήδησαν ἴσως· νῦν δὲ ἀφ' ἑαυτῶν ἑλόμενοι τοῦτο, βέβαιοι λοιπὸν ἔμενον. τὸν δὲ Φίλιππον καλεῖ μᾶλλον αὐτῷ γνώριμον ὄντα. ἅτε γὰρ ἐν τῇ Γαλιλαίᾳ γεννηθεὶς καὶ τραφείς, μᾶλλον αὐτὸν ἐπεγίνωσκε. λαβὼν τοίνυν τοὺς μαθητάς, ἔρχεται λοιπὸν ἐπὶ τὴν ἄγραν τῶν λοιπῶν, καὶ τὸν Φίλιππον καὶ τὸν Ναθαναὴλ ἐπισπᾶται. ἀλλ' ἐπὶ μὲν τούτου οὐκ ἦν οὕτω θαυμαστόν, ὅτι καὶ ἡ ἀκοὴ τοῦ Ἰησοῦ ἀπεληλύθει εἰς τὴν Συρίαν ἅπασαν· τὸ δὲ θαυμαστὸν τὸ τῶν περὶ Πέτρον καὶ Ἰάκωβον καὶ Φίλιππον ἦν, οὐχ ὅτι μόνον πρὸ τῶν σημείων ἐπείσθησαν, ἀλλ' ὅτι καὶ ἐκ τῆς Γαλιλαίας ὄντες, ὅθεν οὐδὲ προφήτης ἐγείρεται, οὐδὲ δύναταί τι ἀγαθὸν εἶναι. ἀγροικότεροι γάρ πως καὶ παχύτεροι οὗτοι διέκειντο. ὁ δὲ Χριστὸς κἀντεῦθεν αὐτοῦ τὴν ἰσχὺν ἐνέφηνεν, ἀπὸ γῆς οὐδένα φερούσης καρπὸν τοὺς τῶν μαθητῶν ἐκκρίτους ἐκλέγων. εἰκὸς μὲν οὖν τὸν Φίλιππον καὶ τοὺς περὶ Πέτρον ἰδόντα, καὶ παρὰ τοῦ Ἰωάννου ἀκηκοότα, ἀκολουθῆσαι· εἰκὸς δὲ καὶ τὴν φωνὴν τοῦ Χριστοῦ ἐργάσασθαί τι ἐν αὐτῷ. οἶδε γὰρ τοὺς μέλλοντας ἔσεσθαι ἐπιτηδείους. ὁ δὲ εὐαγγελιστὴς ἅπαντα ἐπιτέμνεται ταῦτα. ὅτι μὲν οὖν ὁ Χριστὸς ἤμελλεν ἥξειν, ἠπίστατο· ὅτι δὲ οὗτος ὁ Χριστὸς ἦν, ἠγνόει, ὅπερ αὐτὸν ἢ παρὰ Πέτρου ἢ παρὰ Ἰωάννου ἀκηκοέναι φημί. λέγει δὲ καὶ τὴν κώμην αὐτοῦ ὁ Ἰωάννης, ἵνα μάθῃς, ὅτι τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός.

45 Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσήφ, τὸν ἀπὸ Ναζαρέτ.

Λέγει δὲ ταῦτα ἀξιόπιστον ποιῶν τὸ κήρυγμα, εἴ γε ἀπὸ Μωϋσέως ἔτι καὶ τῶν προφητῶν, καὶ δυσωπῶν τὸν ἀκροατὴν ἐντεῦθεν. ἐπειδὴ γὰρ ὁ Ναθαναὴλ ἀκριβὴς ἦν, καὶ πάντα διεσκεμμένος μετ' ἀληθείας, ὡς καὶ ὁ Χριστὸς ἐμαρτύρησε καὶ τὸ ἔργον ἔδειξεν, εἰκότως αὐτὸν ἐπὶ τὸν Μωϋσέα καὶ τοὺς προφήτας παρέπεμψεν, ἵνα οὕτω παραδέξηται τὸν κηρυττόμενον. εἰ δὲ υἱὸν Ἰωσὴφ αὐτὸν λέγει, μὴ θορυβηθῇς. ἔτι γὰρ τούτου παῖς ἐνομίζετο εἶναι. καὶ πόθεν δῆλον, ὦ Φίλιππε, ὅτι οὗτος ἐκεῖνός ἐστι; τί λέγεις ἡμῖν τεκμήριον; οὐ γὰρ ἀρκεῖ μόνον τὸ ἀποφήνασθαι. ποῖον σημεῖον εἶδες, ποῖον θαῦμα; οὐκ ἔστιν ἀκίνδυνον πιστεύειν ἁπλῶς ὑπὲρ τοιούτων πραγμάτων. ποίαν οὖν ἔχεις ἀπόδειξιν; τὴν αὐτὴν τῷ Ἀνδρέᾳ, φησί. καὶ γὰρ ἐκεῖνος παραστῆσαι τὸν πλοῦτον, ὃν εὗρεν, οὐκ ἔχων, οὐδὲ διὰ ῥημάτων ἐπιδείξασθαι δυνάμενος τὸν θησαυρόν, ἄγει πρὸς τὸν εὑρεθέντα τὸν ἀδελφόν· οὕτω δὴ καὶ οὗτος. πῶς μὲν οὖν οὗτός ἐστιν ἐκεῖνος ὁ Χριστός, καὶ πῶς αὐτὸν οἱ προφῆται προανεκήρυξαν, οὐκ εἶπεν· ἕλκει δὲ αὐτὸν πρὸς τὸν Ἰησοῦν, οὐκ ἀποστησόμενον λοιπὸν εἰδώς, ἂν τῶν ῥημάτων γεύσηται καὶ τῆς διδασκαλίας ἐκείνου.

46 Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ Φίλιππος, ἔρχου, καὶ ἴδε.

47 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Τοῦτον ἐπειδὴ εἶπεν, ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι, ἐπαινεῖ καὶ θαυμάζει τὸν ἄνθρωπον· καὶ μὴν ἐγκληθῆναι αὐτὸν ἐχρῆν. οὐδαμῶς. οὐ γὰρ ἀπιστοῦντος ἦν τὰ ῥήματα, οὐδὲ ἐγκλημάτων ἄξια, ἀλλ' ἐπαίνων. πῶς καὶ τίνι τρόπῳ; ὅτι Φιλίππου μᾶλλον οὗτος ἐσκεμμένος ἦν τὰ προφητικά. καὶ γὰρ ″ ἦν ἀκούσας ἀπὸ τῶν γραφῶν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ τὸν Χριστὸν ἐλθεῖν, καὶ ἀπὸ τῆς κώμης, ἐν ᾗ ἦν Δαβίδ. τοῦτο γοῦν καὶ παρὰ Ἰουδαίοις ἐκράτει, καὶ ὁ προφήτης ἄνωθεν ἐκήρυττε λέγων· Καὶ σὺ Βηθλεὲμ οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. ἐπεὶ οὖν ἤκουσεν ὅτι ἐκ Ναζαρὲτ, ἐθορυβήθη καὶ διηπόρησεν, οὐχ εὑρίσκων συμβαίνουσαν τοῦ Φιλίππου τὴν ἐπαγγελίαν τῇ προφητικῇ προρρήσει. θέα δὲ αὐτοῦ καὶ ἐν τῇ διαπορήσει τὴν σύνεσιν καὶ τὴν ἐπιείκειαν. οὐ γὰρ εἶπεν εὐθέως, ἀπατᾷς με, ὦ Φίλιππε, καὶ ψεύδῃ. οὐ πείθομαι, οὐ παραγίνομαι. ἔμαθον ἀπὸ τῶν προφητῶν, ὅτι ἀπὸ Βηθλεὲμ τὸν Χριστὸν ἐλθεῖν δεῖ, σὺ δὲ λέγεις ἀπὸ Ναζαρέτ· οὐ τοίνυν οὗτος ἐκεῖνός ἐστιν. ἀλλ' οὐδὲν τούτων εἶπεν· ἀλλὰ τί; παραγίνεται καὶ αὐτὸς, τῷ μὲν μὴ καταδέξασθαι ἐκ Ναζαρὲτ αὐτὸν εἶναι, τὴν ἀκρίβειαν τὴν περὶ τὰς γραφὰς δηλῶν, καὶ τὸ τῶν τρόπων ἀνεξαπάτητον· τῷ δὲ μὴ διαπτύσαι τὸν ἀπαγγείλαντα, τὸν πολὺν πόθον, ὃν εἶχε περὶ τὴν τοῦ Χριστοῦ παρουσίαν, ἐμφαίνων. ἐνενόησε γὰρ ὅτι εἰκὸς ἦν Φίλιππον περὶ τὸν τόπον ἐσφάλθαι. θέα δέ μοι καὶ τὴν παραίτησιν πῶς ἐπιεικῆ πεποίηται″ καὶ ἐν ἐρωτήσεως τάξει. οὐ γὰρ εἶπεν, οὐδὲν ἀγαθὸν ἡ Γαλιλαία φέρει· ἀλλὰ πῶς; ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; σφόδρα δὲ ἦν καὶ ὁ Φίλιππος συνετός. οὐ γὰρ ὡς ἀπορηθεὶς ἀγανακτεῖ καὶ δυσχεραίνει, ἀλλ' ἐπιμένει, τὸν ἄνδρα βουλόμενος ἀγαγεῖν, καὶ ἐκ προοιμίων τὴν ἀποστόλῳ προσήκουσαν εὐτονίαν ἡμῖν ἐνδεικνύμενος. Διὰ ταῦτα ὁ Χριστός φησιν· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν. ὥστε ἔνι καὶ ψευδὴς Ἰσραηλίτης, ἀλλ' οὐχ οὗτος τοιοῦτος. ἀδέκαστος γὰρ αὐτοῦ, φησιν, ἡ κρίσις· οὐδὲν πρὸς χάριν, οὐδὲ πρὸς ἀπέχθειαν φθέγγεται. καίτοι Ἰουδαῖοι ἐπερωτηθέντες ποῦ ὁ Χριστὸς γεννᾶται, εἶπον ὅτι ἐν Βηθλεὲμ, καὶ τὴν μαρτυρίαν παρήγαγον, λέγοντες· Καὶ σὺ Βηθλεὲμ οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἀλλ' ἐκεῖνοι μὲν πρὶν ἴδωσιν, ἐμαρτύρουν ταῦτα· ἐπειδὴ δὲ εἶδον, ὑπὸ τῆς βασκανίας τὴν μαρτυρίαν ἀπέκρυψαν λέγοντες· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ὁ δὲ Ναθαναὴλ οὐχ οὕτως, ἀλλ' ἣν ἐξ ἀρχῆς περὶ αὐτοῦ γνώμην εἶχε, ταύτην ἔμεινε διατηρῶν, ὅτι οὐκ ἔστιν ἐκ Ναζαρέτ. πῶς οὖν αὐτὸν Ναζωραῖον οἱ προφῆται καλοῦσιν; ἀπὸ τῆς ἀνατροφῆς καὶ τῆς ἐκεῖ διαγωγῆς. τὸ μὲν οὖν εἰπεῖν, οὐκ εἰμὶ ἐκ Ναζαρὲτ, καθὼς ἀπήγγειλέ σοι Φίλιππος, ἀλλ' ἐκ Βηθλεὲμ, παρίησιν, ὥστε μὴ εὐθέως ἀμφισβητήσιμον ποιῆσαι τὸν λόγον, καὶ χωρὶς τούτων, ὅτι εἰ καὶ ἔπεισε″ τοῦτο, οὐκ ἂν ἱκανὸν τεκμήριον ἔδωκε τοῦ αὐτὸς εἶναι ὁ Χριστός. τί γὰρ ἐκώλυε καὶ μὴ ὄντα Χριστὸν ἀπὸ Βηθλεὲμ εἶναι κατὰ τοὺς ἄλλους τοὺς ἐκεῖ γεννηθέντας; τοῦτο μὲν οὖν παρίησιν· ὃ δὲ μάλιστα δύναται αὐτὸν ἐπαγαγέσθαι, τοῦτο ποιεῖ. δείκνυσι γὰρ ἑαυτὸν παρόντα διαλεγομένοις αὐτοῖς. εἰπόντος γὰρ ἐκείνου, 48 Πόθεν με γινώσκεις; λέγει, πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. Ὅρα ἄνθρωπον εὐσταθῆ καὶ βεβηκότα. εἰπόντος γὰρ τοῦ Χριστοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης, οὐκ ἐχαυνώθη τοῖς ἐπαίνοις, οὐκ ἐπέδραμε τοῖς ἐγκωμίοις, ἀλλ' ἐπιμένει ζητῶν καὶ ἀκριβέστερον διερευνώμενος, καὶ βούλεταί τι σαφὲς μαθεῖν. αὐτὸς μὲν οὖν ὡς ″ ἄνθρωπος ἐξήταζεν ἔτι, ὁ δὲ Ἰησοῦς ὡς Θεὸς ἀπεκρίνατο. ″καὶ γὰρ εἶπεν, ὅτι ἄνωθέν σε οἶδα (καὶ τῶν τρόπων αὐτοῦ τὴν ἐπιείκειαν, οὐχ ὡς ἄνθρωπος αὐτῷ παρηκολουθηκώς, ″ἀλλ' ἄνωθεν ὡς Θεὸς ἔγνω) ″καὶ νῦν εἶδόν σε ἐν τῇ συκῇ, ὅτε οὐδεὶς αὐτόθι παρῆν, ἀλλὰ μόνος Φίλιππος ἦν καὶ Ναθαναὴλ, καὶ κατ' ἰδίαν ἅπαντα ταῦτα εἶπον. Διὰ δὲ τοῦτο εἴρηται, ὅτι ἰδὼν αὐτὸν πόρρωθεν, εἶπεν· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἵνα μάθῃ, ὅτι πρὶν ἢ πλησιάσαι τὸν Φίλιππον, ταῦτα ἐφθέγξατο ὁ Χριστός,

Μιχ. ε. ϛ.
Ματθ. ϐ. ϛ.
Ιωαν. ζ. μϐ.

Χριστός, ὥστε μὴ ὕποπτον γενέσθαι τὴν μαρτυρίαν. διὸ καὶ τὸν καιρὸν εἶπε, καὶ τὸν τόπον, καὶ τὸ δένδρον. Εἰ μὲν γὰρ εἶπε μόνον πρὸ τοῦ Φίλιππον ἐλθεῖν πρὸς σὲ, εἶδόν σε, κἂν ὑπωπτεύθη ὡς αὐτὸς αὐτὸν ἀπεσταλκὼς, καὶ οὐδὲν μέγα λέγων· νῦν δὲ τῷ τὸν τόπον εἰπεῖν, καθ' ὃν διέτριβε φωνούμενος παρὰ τοῦ Φιλίππου, καὶ τοῦ δένδρου τὴν προσημείωσιν, καὶ τῆς διαλέξεως τὸν καιρὸν, ἀναμφισβήτητον τὴν πρόῤῥησιν ἔδειξεν οὖσαν. οὐ τὴν πρόῤῥησιν μόνον ἐδήλωσεν, ἀλλὰ καὶ ἑτέρως αὐτὸν ἐπαίδευσεν. Εἰς ὑπόμνησιν γὰρ αὐτὸν ἤγαγε τῶν τότε λεχθέντων, οἷον, ὅτι ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; ἐφ' ᾧ καὶ μάλιστα μειζόνως αὐτὸν ἀπεδέξατο, ὅτι καὶ ταῦτα αὐτοῦ φθεγξαμένου, οὐ κατέγνω, ἀλλ' ἐπήνεσε καὶ ἐθαύμασε. διὸ καὶ ἐκ τούτου συνεῖδεν, ὅτι ὁ Χριστὸς ὄντως ἐστὶν, ἀπό τε τῆς προῤῥήσεως, ἀπό τε τοῦ τὴν γνώμην ἐξετάσαι μετὰ ἀκριβείας αὐτοῦ· ὅπερ δεικνύοντος ἦν, ὅτι καὶ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ ἠπίστατο· ἄλλως τε, καὶ τὸ καθ' ἑαυτοῦ δόξαντα λέγειν, μὴ μέμψασθαι, ἀλλὰ καὶ ἐπαινέσαι. ὅτι μὲν οὖν ἐφώνησεν αὐτὸν ὁ Φίλιππος, εἶπε· τί δὲ αὐτῷ διελέχθη, καὶ τί ἐστιν ἐκεῖνο, παρῆκεν, ἀφεὶς ″ αὐτοῦ τῷ συνειδότι, καὶ οὐ βουλόμενος αὐτὸν ἐπὶ πλέον ἐλέγχειν. τί οὖν, πρὶν ἢ τὸν Φίλιππον φωνῆσαι εἶδεν αὐτὸν μόνον, οὐχὶ δὲ καὶ πρὸ τούτου ἑώρα τῷ ἀκοιμήτῳ ὄμματι; ἑώρα, καὶ οὐδεὶς ἀντείποι· ἀλλὰ τέως τοῦτο τὸ κατεπεῖγον ἦν εἰπεῖν. τί οὖν ἐκεῖνος; ἐπειδὴ τεκμήριον ἀναμφισβήτητον ἔλαβε τῆς προγνώσεως, ἦλθεν ἐπὶ τὴν ὁμολογίαν, καὶ τῇ ἀναβολῇ τῇ προτέρᾳ τὴν ἀκρίβειαν δηλῶν, καὶ τῇ μετὰ ταῦτα συγκαταθέσει τὴν εὐγνωμοσύνην. ἀπεκρίθη γάρ, φησι, καὶ λέγει αὐτῷ·

χ. αὐτῷ

49 Ραββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ισραήλ.

Εἶδες ψυχὴν περιχαρῆ γενομένην ἀθρόον, καὶ τοῖς ῥήμασι περιπτυσσομένην τὸν Ἰησοῦν; σὺ εἶ, φησιν, ἐκεῖνος ὁ προσδοκώμενος, ὁ ζητούμενος. Εἶδες ἐκπληττόμενον; θαυμάζοντα; σκιρτῶντα; πηδῶντα ὑπὸ τῆς ἡδονῆς;

ΗΘΙΚΟΝ

Οὕτω καὶ ἡμᾶς χαίρειν δεῖ, καταξιωθέντας μαθεῖν τοῦ Θεοῦ τὸν υἱὸν, χαίρειν δὲ οὐ κατὰ διάνοιαν μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν πραγμάτων αὐτῶν τοῦτο δεικνύναι. τί δὲ τῶν χαιρόντων ἐστί; πείθεσθαι τῷ γνωρισθέντι· πειθομένων δέ ἐστι, τὸ ποιεῖν ἅπερ ἂν ἐκεῖνος βούλεται. ἐπεὶ εἰ μέλλοιμεν τὰ προσκρούοντα αὐτὸν πράττειν, πόθεν δηλώσομεν ὅτι χαίρομεν; οὐχ ὁρᾶτε καὶ ἐν οἰκίαις, ὅταν τίς τινα ὑποδέχηται τῶν ποθουμένων, πῶς μετὰ χαρᾶς πάντα πράττει, πανταχοῦ περιτρέχων, κἂν εἰ δέοι πάντα τὰ ὄντα προέσθαι, μηδενὸς φειδόμενος, ὥστε ἀρέσαι τῷ παραγενομένῳ; εἰ δὲ καλῶν τις μὴ ὑπακούοι, καὶ τὰ ἀναπαύοντα αὐτὸν μὴ πράττοι, κἂν μυριάκις λέγοι τῇ παρουσίᾳ χαίρειν, οὐκ ἂν πεισθείη ποτὲ παρὰ τοῦ ξενιζομένου δικαίως. ἐπὶ γὰρ τῶν ἔργων τοῦτο ἐπιδεικνύναι χρή. οὐκοῦν ἐπεὶ ἦλθε καὶ πρὸς ἡμᾶς ὁ Χριστὸς, δείξωμεν ὅτι χαίρομεν, καὶ μηδὲν τῶν προσκρουόντων αὐτὸν πράττωμεν, καλλωπίσωμεν τὴν οἰκίαν εἰς ἣν παραγίνεται (τοῦτο γὰρ χαιρόντων) παραθῶμεν ἄριστον ὃ βούλεται φαγεῖν. τοῦτο γὰρ ἀγαλλομένων. ποῖον δέ ἐστι τοῦτο τὸ ἄριστον; αὐτός φησιν· Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με. θρέψωμεν αὐτὸν πεινῶντα, ποτίσωμεν διψῶντα. κἂν ″ ψυχροῦ δῷς ποτήριον, δέχεται. φιλεῖ γάρ σε· τὰ δὲ παρὰ τῶν φιλουμένων, κἂν μικρὰ τυγχάνῃ, μεγάλα τῷ ποθοῦντι φαίνεται. μόνον σὺ μὴ κατοκνήσῃς· κἂν ὀβολοὺς δύο καταβάλῃς, οὐκ ἀποστρέφεται, ἀλλ' ὡς πολὺν δέχεται πλοῦτον. ἐπειδὴ γὰρ ἀνενδεής ἐστι, καὶ οὐ χρείας ἕνεκεν ταῦτα λαμβάνει, εἰκότως οὐκ ἐν τῷ μέτρῳ τῶν διδομένων, ἀλλ' ἐν τῇ προαιρέσει τοῦ παρέχοντος τὸ πᾶν ὁρίζεται· μόνον δεῖξον ὅτι φιλεῖς τὸν παραγενόμενον αὐτὸν, ὅτι σπουδάζεις ἅπαντα ὑπὲρ τούτου, ὅτι χαίρεις ἐπὶ τῇ παρουσίᾳ. ὅρα αὐτὸς πῶς πρὸς σὲ διάκειται· ἦλθε διὰ σὲ, καὶ τὴν ψυχὴν ἔθηκεν ὑπὲρ σοῦ, καὶ μετὰ ταῦτα οὐδὲ ἱκετεῦσαί σε παρῃτήσατο· Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, φησιν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. καὶ τίς οὕτω μαινόμενος, φησιν, ὡς μὴ φιλεῖν τὸν δεσπότην τὸν ἑαυτοῦ; τοῦτο γὰρ κἀγώ φημι,

Ιωαν. δ. λδ.

β. Κορ. ε. κ.

χ. ψυχροῦ δόσης

μι, καὶ οἶδα μὲν ὅτι ἕκαστος ἡμῶν οὐκ ἂν ἀρνηθείη τοῦτο τοῖς ῥήμασι καὶ τῇ διανοίᾳ· ἀλλ' οὐκ ἀπὸ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πραγμάτων δείκνυσθαι βούλεται ὁ φιλούμενος τοῦτο. ἂν γὰρ λέγωμεν τοῦτο, μὴ ποιῶμεν δὲ τὰ τῶν ποθούντων, γέλως τοῦτό ἐστιν, οὐκ ἐπὶ τοῦ Θεοῦ δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνθρώπων. ἐπεὶ οὖν τὸ διὰ τῶν λόγων μόνον ὁμολογεῖν, διὰ δὲ τῶν ἔργων ἐναντιοῦσθαι, οὐχὶ ἀνόητον μόνον, ἀλλὰ καὶ ἐπιβλαβὲς ἡμῖν, παρακαλῶ, τὴν διὰ τῶν ἔργων ὁμολογίαν προσθῶμεν, ἵνα καὶ τῆς παρ' αὐτοῦ τύχωμεν ὁμολογίας κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἐπὶ τοῦ πατρὸς ὁμολογῇ τοὺς ἀξίους ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κα. ΑΠΕΚΡΙΘΗ ΝΑΘΑΝΑΗΛ ΚΑΙ ΛΕΓΕΙ ΑΥΤΩ,

Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ· σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. 50 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει.

ΠΟλλῆς ἡμῖν, ἀγαπητοὶ, δεῖ τῆς μερίμνης, πολλῆς τῆς ἀγρυπνίας, ὥστε δυνηθῆναι τὸ βάθος κατοπτεῦσαι τῶν θείων γραφῶν. οὐ γὰρ ἁπλῶς, οὐδὲ καθεύδοντας ἔνι τὸ θέλημα αὐτῶν εὑρεῖν, ἀλλὰ δεῖ μὲν ἐρεύνης ἀκριβοῦς, δεῖ δὲ καὶ εὐχῆς ἐκτενοῦς, ἵνα δυνηθῶμεν μικρόν τι διαβλέψαι πρὸς τὰ ἄδυτα τῶν θείων λογίων. ἰδοὺ γὰρ καὶ τήμερον οὐ μικρὸν ἡμῖν ζήτημα πρόκειται, ἀλλὰ καὶ πολλῆς δεόμενον τῆς σπουδῆς καὶ τῆς ἐρεύνης. εἰπόντος γὰρ τοῦ Ναθαναὴλ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Χριστός φησιν· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. τί ποτ' οὖν ἐν τοῖς εἰρημένοις ἐστὶ τὸ ζητούμενον; ὅτι Πέτρος μὲν μετὰ τοσαῦτα θαύματα καὶ διδασκαλίαν τοιαύτην ὁμολογήσας, ὅτι σὺ υἱὸς εἶ τοῦ Θεοῦ, μακαρίζεται, ὡς παρὰ τοῦ πατρὸς τὴν ἀποκάλυψιν δεξάμενος· ὁ δὲ Ναθαναὴλ καὶ πρὸ τῶν σημείων, καὶ πρὸ τῆς διδασκαλίας τὸ αὐτὸ τοῦτο εἰπὼν, οὐδὲν τοιοῦτον ἤκουσεν, ἀλλ' ὡς οὐδὲν εἰρηκὼς τοσοῦτον, ὅσον ἐχρῆν εἰπεῖν, ἐπὶ μείζω προσάγεται. τί ποτ' οὖν τὸ αἴτιον; ὅτι τὰ μὲν ῥήματα τὰ αὐτὰ ἐφθέγξατο καὶ ὁ Πέτρος καὶ ὁ Ναθαναὴλ, οὐ μετὰ τῆς αὐτῆς δὲ διανοίας ἑκάτερος, ἀλλ' ὁ μὲν Πέτρος ὡμολόγησεν υἱὸν τοῦ Θεοῦ ὡς Θεὸν ἀληθῆ, ὁ δὲ ἄνθρωπον ψιλόν. καὶ πόθεν δῆλον τοῦτο ἡμῖν; ἐκ τῶν μετὰ ταῦτα εἰρημένων. εἰπὼν γὰρ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, ἐπήγαγε· σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ὁ δὲ τοῦ Θεοῦ υἱὸς, οὐ τοῦ Ἰσραὴλ ἐστὶ βασιλεὺς μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης. οὐκ ἀπὸ τούτου δὲ μόνον τοῦτο δῆλον, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς. τῷ μὲν γὰρ Πέτρῳ οὐδὲν ὕστερον προσέθηκεν ὁ Χριστὸς, ἀλλ' ὡς ἀπηρτισμένης αὐτῷ τῆς πίστεως, τὴν ἐκκλησίαν ἔφησεν ἐπὶ τὴν ὁμολογίαν οἰκοδομήσειν τὴν ἐκείνου. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἐποίησεν, ἀλλὰ καὶ τὸ ἐναντίον. ὡς γὰρ πολλοῦ τινος καὶ τοῦ βελτίονος μέρους τῇ ὁμολογίᾳ λείποντος, τὰ λοιπὰ προσέθηκε. τί γάρ φησιν;

51 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Ὁρᾷς πῶς αὐτὸν ἀπὸ τῆς γῆς ἀνάγει κατὰ μικρὸν, καὶ ποιεῖ μηκέτι φαντάζεσθαι ἄνθρωπον ἁπλῶς; ᾧ γὰρ ἄγγελοι διακονοῦσι, καὶ ἐφ' ὃν ἄγγελοι ἀναβαίνουσι καὶ καταβαίνουσι, πῶς ἂν οὗτος ἄνθρωπος εἴη; διὰ τοῦτο μείζονα τούτων εἶπεν ὄψει· καὶ δεικνὺς αὐτὸ, ἐπήγαγε τὴν τῶν ἀγγέλων διακονίαν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μέγα σοί, φησιν, ὦ Ναθαναὴλ, ἔδοξεν εἶναι τοῦτο, καὶ διὰ τοῦτό με βασιλέα τοῦ Ἰσραὴλ ὡμολόγησας; τί οὖν ἐρεῖς, ὅταν ἴδῃς τοὺς ἀγγέλους ἐπ' ἐμὲ καταβαίνοντας; διὰ τούτων πείθων καὶ τῶν ἀγγέλων αὐτὸν ὁμολογῆσαι δεσπότην.

αὐτήν. ὡς γὰρ ἐπὶ υἱὸν βασιλέως γνήσιον, οὕτως ἀνήεσαν καὶ κατήεσαν οἱ διάκονοι οἱ βασιλικοί, τότε μὲν, παρὰ τὸν καιρὸν τοῦ σταυροῦ, τότε δὲ, παρὰ τὸν καιρὸν τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως, καὶ πρὸ τούτου δὲ, ὅτε προσῆλθον καὶ διηκόνουν αὐτῷ, ὅτε εὐηγγελίζοντο αὐτοῦ τὸν τόκον, ὅτε ἐβόων, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ὅτε πρὸς τὴν Μαριὰμ ἦλθον, ὅτε πρὸς τὸν Ιωσήφ. ὅπερ δὲ ἐπὶ πολλῶν ἐποίησε, τοῦτο καὶ νῦν ποιεῖ. δύο λέγει προῤῥήσεις, καὶ τῆς μὲν ἤδη τοὺς ἐλέγχους δίδωσι, τὴν δὲ μέλλουσαν ἀπὸ τῆς παρούσης βεβαιοῖ. καὶ γὰρ τῶν λεχθέντων τὰ μὲν τὴν ἀπόδειξιν ἔλαβεν, οἷόν ἐστι, πρὸ τοῦ Φίλιππον φωνῆσαί σε ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε· τὰ δὲ ἐκβήσεσθαι ἔμελλε [καὶ ἐκ μέρους ἐξέβη] ἡ τῶν ἀγγέλων κατάβασις καὶ ἀνάβασις ἡ ἐπὶ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναλήψεως· ὃ καὶ αὐτὸ διὰ τῶν εἰρημένων ἀξιόπιστον ποιεῖ καὶ πρὸ τῆς ἐκβάσεως. ὁ γὰρ ἐπὶ τοῖς παρελθοῦσιν αὐτοῦ τὴν δύναμιν γνοὺς, καὶ περὶ τῶν μελλόντων ἀκούων, εὐκολώτερον καταδέχοιτο ἂν καὶ ταύτην τὴν πρόῤῥησιν. τί οὖν ὁ Ναθαναήλ; οὐδὲν πρὸς τοῦτο ἀποκρίνεται. διὸ καὶ ὁ Χριστὸς μέχρι τούτου τὸν λόγον ἔστησε τὸν πρὸς αὐτόν, συγχωρῶν κατ' ἰδίαν ἀναλογίσασθαι τὰ λεχθέντα, καὶ οὐ βουλόμενος πάντα ἀθρόως ἐκχέειν, ἀλλὰ καταβαλὼν εἰς εὔφορον γῆν τὰ σπέρματα, ἀφίησιν αὐτὴν ἐπὶ σχολῆς βλαστῆσαι λοιπόν. ὅπερ καὶ ἀλλαχοῦ δεικνὺς ἔλεγεν· Ομοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα· καὶ ἐν τῷ καθεύδειν αὐτὸν ἐπέρχεται ὁ ἐχθρὸς αὐτοῦ, καὶ σπείρει ζιζάνια ἀνὰ μέσον τοῦ σίτου.

γ. ἐν τῇ σ

κεφ. β. 1 Εν τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας.

2 Καὶ ἐκλήθη ὁ Ιησοῦς εἰς τοὺς γάμους. ἦν δὲ καὶ ἡ μήτηρ τοῦ Ιησοῦ ἐκεῖ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ.

Εἶπον καὶ φθάσας ὅτι ἐν τῇ Γαλιλαίᾳ μᾶλλον γνώριμος ἦν· διὸ καὶ καλοῦσιν αὐτὸν εἰς τὸν γάμον, καὶ παραγίνεται. οὐδὲ γὰρ πρὸς τὴν ἀξίαν ἑώρα τὴν ἑαυτοῦ, ἀλλὰ πρὸς τὴν εὐεργεσίαν τὴν ἡμετέραν. ὁ γὰρ μὴ ἀπαξιώσας δούλου μορφὴν λαβεῖν, πολλῷ μᾶλλον οὐκ ἂν ἀπηξίωσεν εἰς γάμον ἐλθεῖν δούλων· ὁ τελώναις καὶ ἁμαρτωλοῖς συναναπεσὼν, πολλῷ μᾶλλον οὐκ ἂν παρῃτήσατο τοῖς ἐν τῷ γάμῳ παροῦσι συγκατακλίνεσθαι. οὐ μὴν οἱ καλέσαντες τὴν προσήκουσαν περὶ αὐτοῦ κρίσιν εἶχον, οὐδ' ὡς μέγαν τινὰ ἐκάλεσαν, ἀλλ' ἁπλῶς ὡς τῶν πολλῶν ἕνα καὶ ὡς γνώριμον. καὶ τοῦτο ᾐνίξατο ὁ εὐαγγελιστὴς εἰπών· ἦν δὲ ἡ μήτηρ τοῦ Ιησοῦ ἐκεῖ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ὥσπερ οὖν ἐκείνην καὶ τοὺς ἀδελφοὺς ἐκάλεσαν, ἐκάλεσαν καὶ τὸν Ιησοῦν.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ αὐτοῦ, οἶνον οὐκ ἔχουσιν.

Αξιον ἐνταῦθα ζητῆσαι, πόθεν ἐπῆλθε τῇ μητρὶ μέγα τι φαντασθῆναι περὶ τοῦ παιδός. οὐδὲ γὰρ σημεῖον ἦν τι πεποιηκώς. ταύτην γάρ, φησιν, ἀρχὴν ἐποίησε τῶν σημείων ὁ Ιησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας. εἰ δὲ λέγοι τις, μὴ εἶναι τοῦτο τεκμήριον ἱκανὸν τοῦ ταύτην ἀρχὴν εἶναι τῶν σημείων, διὰ τὸ προσκεῖσθαι ἐν Κανᾷ τῆς Γαλιλαίας, ὡς ἐγχωροῦν πρότερον ἐκεῖ γεγενῆσθαι, μὴ μέντοι πάντως πρότερον (εἰκὸς γὰρ αὐτὸν ἀλλαχοῦ πεποιηκέναι ἕτερα) ἐκεῖνο πρὸς αὐτὸν ἐροῦμεν, ὃ καὶ ἔμπροσθεν εἴπομεν, ποῖον δὴ τοῦτο; ὅτι Ιωάννης φησίν, ἐγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ισραήλ, διὰ τοῦτο ἦλθον βαπτίζων. εἰ δὲ κατὰ τὴν πρώτην ἡλικίαν ἐθαυματούργει, οὐκ ἂν ἐδεήθησαν Ισραηλῖται ἑτέρου τοῦ φανερώσοντος αὐτόν. ὁ γὰρ εἰς ἄνδρας ἐλθὼν, καὶ οὕτως ἀπὸ τῶν θαυμάτων οὐ τοῖς ἐν Ιουδαίᾳ γνωρισθεὶς μόνον, ἀλλὰ καὶ τοῖς ἐν Συρίᾳ καὶ περαιτέρω, καὶ ταῦτα ἐν τρισὶν ἔτεσι μόνον ταῦτα πεποιηκώς, μᾶλλον δὲ οὐδὲ τῶν τριῶν τούτων δεηθεὶς εἰς τὸ δεῖξαι ἑαυτόν (εὐθέως γὰρ καὶ ἐκ τῆς πρώτης πανταχοῦ ἡ ἀκοὴ αὐτοῦ ἀπῆλθεν) ὁ τοίνυν ἐν βραχεῖ καιρῷ οὕτω διὰ τοῦ πλήθους τῶν θαυμάτων ἐκλάμψας, ὡς αὐτοῦ τὸ ὄνομα κατάδηλον γενέσθαι πᾶσι· πολλῷ μᾶλλον, εἰ παῖς ὢν ἐκ πρώτης ἡλικίας ἐθαυματούργει, ἐπὶ τοσοῦτον χρόνον οὐκ ἔμελλε λήσεσθαι. τά τε γὰρ γινόμενα, παραδοξότερα ἂν ἔδοξεν εἶναι, ἅτε παρὰ μειρακίου γινόμενα, ὅ τε χρόνος διπλασίων καὶ τριπλασίων καὶ πολλῷ πλείων ἦν. ἀλλὰ γὰρ οὐδὲν ἐποίησε παῖς ὤν· ἀλλ' ἓν τοῦτο μόνον ἐμαρτύρησεν ὁ Λουκᾶς, ὅτι ἐκαθέζετο δωδεκαετὴς ὢν τῶν διδασκάλων ἀκροώμενος, καὶ διὰ τῆς ἐρωτήσεως ἐδόκει θαύματος εἶναι. καὶ ἄλλως δέ, εἰκότως καὶ κατὰ λόγον οὐκ ἤρξατο τῶν σημείων ἐκ πρώτης ἡλικίας εὐθέως. ἐνόμισαν γὰρ ἂν φαντασίαν εἶναι τὸ πρᾶγμα. εἰ γὰρ ἐν ἡλικίᾳ γενόμενον πολλοὶ τοῦτο ὑπώπτευσαν, πολλῷ μᾶλλον, ἐὰν μειράκιον ὢν κομιδῇ ἐθαυματούργει, καὶ θᾶττον δέ, καὶ πρὸ τοῦ προσήκοντος καιροῦ ἐπὶ τὸν σταυρὸν ὥρμησαν ἄν, τῇ βασκανίᾳ τηκόμενοι, καὶ αὐτὰ τὰ τῆς οἰκονομίας ἂν ἠπιστήθη πράγματα. πόθεν οὖν ἐπῆλθε τῇ μητρὶ μέγα τι φαντασθῆναι περὶ αὐτοῦ, φησίν; ἀποκαλύπτεσθαι λοιπὸν ἤρχετο, καὶ ἐκ τῆς Ἰωάννου κατάδηλος ἦν, καὶ ἀπὸ τῶν πρὸς τοὺς μαθητὰς εἰρημένων αὐτῷ· καὶ πρὸ τούτων δὲ ἁπάντων, αὐτὴ ἡ σύλληψις, καὶ τὰ περὶ τὴν σύλληψιν γενόμενα πάντα, μεγάλην αὐτῇ περὶ τοῦ παιδὸς ἐνέθηκε τὴν ὑπόνοιαν. ἤκουσε γάρ, φησι, πάντα τὰ περὶ τοῦ παιδός, καὶ συνετήρει ἐν τῇ καρδίᾳ αὐτῆς. τίνος οὖν ἕνεκεν, φησίν, οὐ πρὸ τούτου ταῦτα ἔλεγεν; ὅτι, ὅπερ ἔφην, τότε λοιπὸν ἀρχὴν τοῦ φανεροῦσθαι ἐλάμβανε. πρὸ μὲν γὰρ τούτου, ὡς τῶν πολλῶν εἷς ὤν, οὕτω διῆγεν· ὅθεν οὐδὲ ἐθάῤῥει τοιοῦτόν τι πρὸς αὐτὸν ἡ μήτηρ εἰπεῖν. ἐπειδὴ δὲ ἤκουσεν, ὅτι Ἰωάννης δι' αὐτὸν ἦλθε, καὶ ὅτι αὐτῷ ἐμαρτύρησεν ἅπερ ἐμαρτύρησε, καὶ ὅτι μαθητὰς εἶχε, τότε λοιπὸν θαῤῥοῦσα παρακαλεῖ, καὶ ὑστερήσαντος οἴνου λέγει, οἶνον οὐκ ἔχουσιν. ἐβούλετο γὰρ καὶ ἐκείνοις καταθέσθαι χάριν, καὶ ἑαυτὴν λαμπροτέραν ποιῆσαι διὰ τοῦ παιδός. καὶ τάχα τι καὶ ἀνθρώπινον ἔπασχε, καθάπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ λέγοντες, δεῖξον σεαυτὸν τῷ κόσμῳ, βουλόμενοι τὴν ἀπὸ τῶν θαυμάτων δόξαν καρπώσασθαι. διὰ τοῦτο καὶ αὐτὸς σφοδρότερον ἀπεκρίνατο λέγων,

4 Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. Ἐπεὶ ὅτι σφόδρα ᾐδεῖτο τὴν τεκοῦσαν, ἄκουσον τοῦ Λουκᾶ διηγουμένου, πῶς ὑποτεταγμένος τοῖς γονεῦσιν ἦν, καὶ αὐτοῦ δὲ τούτου τοῦ εὐαγγελιστοῦ λέγοντος, πῶς αὐτῆς προενόησε καὶ παρ' αὐτὸν τοῦ σταυροῦ τὸν καιρόν. ἔνθα μὲν γὰρ ἂν μηδὲν ἐμποδίζωσι μηδὲ παρεγκόπτωσί τι τῶν κατὰ Θεὸν πραγμάτων οἱ γονεῖς, ἀναγκαῖον εἴκειν καὶ ὀφειλόμενον, καὶ τὸ μὴ τοῦτο ποιεῖν, κίνδυνος μέγας· ὅταν δὲ ἀκαίρως τι ζητῶσι, καὶ ἐγκόπτωσί τι τῶν πνευματικῶν, οὐκ ἀσφαλὲς πείθεσθαι. διὸ καὶ ἐνταῦθα οὕτως ἀπεκρίνατο, καὶ ἀλλαχοῦ πάλιν· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; οὐδέπω γὰρ ἣν ἐχρῆν περὶ αὐτοῦ δόξαν εἶχεν, ἀλλ' ἐπειδὴ ὤδινεν αὐτόν, ἠξίου κατὰ τὴν λοιπὴν τῶν μητέρων συνήθειαν, οὕτως ἅπαντα ἐπιτάττειν αὐτῷ, δέον ὡς δεσπότην σέβειν καὶ προσκυνεῖν. διὰ τοῦτο καὶ τότε οὕτως ἀπεκρίνατο. ἐννόησον γὰρ οἷον ἦν, παντὸς τοῦ λαοῦ καὶ τοῦ δήμου περιεστῶτος αὐτόν, καὶ τοῦ πλήθους τῆς ἀκροάσεως ἐκκρεμαμένου, καὶ τῆς διδασκαλίας προτεθείσης, ἐκείνην παρελθοῦσαν μέσην ἀπάγειν μὲν αὐτὸν τῆς παραινέσεως, ἰδίᾳ δὲ διαλέγεσθαι, καὶ μηδὲ ἔνδον ἀνέχεσθαι ἐλθεῖν, ἀλλ' ἕλκειν αὐτὸν ἔξω μόνον πρὸς ἑαυτήν. διὰ τοῦτο ἔλεγε· τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; οὐχ ὑβρίζων τὴν γεγεννηκυῖαν, ἄπαγε, ἀλλ' ὠφελῶν τὰ μέγιστα, καὶ οὐκ ἀφεὶς ταπεινὰ περὶ αὐτοῦ φρονεῖν. εἰ γὰρ τῶν ἄλλων ἐκήδετο, καὶ πάντα ἔπραττεν, ὥστε ἐνθεῖναι αὐτοῖς τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν, πολλῷ μᾶλλον ἐπὶ τῆς μητρός. ἐπειδὴ γὰρ εἰκὸς ἦν ἀκούσασαν παρὰ τοῦ παιδὸς μὴ βούλεσθαι εὐκόλως πεισθῆναι, ἀλλ' ἀξιοῦν ἑαυτὴν πανταχοῦ τῶν πρωτείων ἅτε μητέρα οὖσαν, διὰ τοῦτο οὕτως ἀπεκρίνατο πρὸς τοὺς εἰπόντας. οὐδὲ γὰρ ἂν ἑτέρως αὐτὴν ἀνήγαγεν ἀπὸ τῆς ταπεινώσεως ταύτης πρὸς τὸ ὕψος ἐκεῖνο, εἰ προσεδόκα ὡς παρὰ παιδὸς ἀεὶ τιμηθήσεσθαι, ἀλλὰ μὴ ὡς δεσπότην ἥξειν αὐτόν. καὶ ἐνταῦθα μὲν ταύτης ἕνεκεν τῆς προφάσεως ἔλεγε, τί ἐμοὶ καὶ σοί, ὦ γύναι; καὶ δι' ἑτέραν δὲ ἀναγκαίαν αἰτίαν οὐχ ἧττον. ποίαν δὲ ταύτην; ὥστε μὴ ὑποπτευθῆναι τὰ γινόμενα θαύματα. παρὰ γὰρ τῶν δεομένων παρακληθῆναι ἐχρῆν, οὐ παρὰ τῆς μητρός. τί δήποτε; ὅτι τὰ μὲν ἐκ τῆς τῶν οἰκείων

μετὰ τὴν
...ππν
...τοῦτο καὶ ὁ
...ὑμᾶς ἡμῶν
...ι λέ-
...ς ἡ Μα-
...ν συνετή-
...τὰ ῥήματα
...τι συμ-
...λλουσα ἐν τῇ
...ἡμᾶς
...προσελθοῦ-
...σης
...μηδὲ οὕτω
...ἥξειν

παρακλήσεως γινόμενα, κἂν μεγάλα ᾖ, προσίσταται τοῖς ὁρῶσι πολλάκις. ὅταν δὲ οἱ χρείαν ἔχοντες αὐτοὶ δέωνται, ἀνύποπτον τὸ θαῦμα γίνεται, καὶ καθαρὸς ὁ ἔπαινος, καὶ πολλὴ ἡ ὠφέλεια. καθάπερ γὰρ ἰατρὸς εἴ τις ἄριστος εἰς οἰκίαν καμνόντων πολλῶν εἰσελθὼν, παρὰ μὲν τῶν ἀρρωστούντων μηδὲν ἀκούοι μηδὲ τῶν προσηκόντων ἐκείνοις, ὑπὸ δὲ τῆς οἰκείας μητρὸς παρακαλοῖτο μόνης, ὕποπτός τε παρὰ τοῖς κάμνουσιν ἔσται * καὶ ἐπαχθής, καὶ οὔτε τῶν κειμένων, οὔτε τῶν παρεστώτων αὐτοῖς ἡγήσεταί τις αὐτὸν μέγα τι καὶ γενναῖον ἐνδείξασθαι δύνασθαι. διὸ καὶ τότε ἐπετίμησε λέγων, τί ἐμοὶ καὶ σοὶ γύναι; παιδεύων αὐτὴν εἰς τὸ μέλλον μηκέτι τοιαῦτα ποιεῖν. ἔμελε γὰρ αὐτῷ καὶ τῆς εἰς τὴν μητέρα τιμῆς, πολλῷ δὲ πλέον τῆς σωτηρίας τῆς κατὰ ψυχὴν, καὶ τῆς τῶν πολλῶν εὐεργεσίας, δι' ἣν καὶ τὴν σάρκα ὑπέδυ. οὐ τοίνυν ἀπαυθαδιαζομένου πρὸς τὴν μητέρα ταῦτα τὰ ῥήματα ἦν, ἀλλ' οἰκονομίας πολλῆς ῥυθμιζούσης αὐτήν τε ἐκείνην, καὶ τὰ θαύματα μετὰ τῆς προσηκούσης γενέσθαι παρασκευαζούσης ἀξίας. ἐπεὶ ὅτι σφόδρα αὐτὴν ἐτίμα, καὶ χωρὶς τῶν ἄλλων αὐτὸ τοῦτο τὸ δοκοῦν ἐπιτιμητικῶς εἰρῆσθαι, μάλιστα ἱκανὸν ἐμφῆναι. τὸ γὰρ δυσχερᾶναι, ἔδειξεν ὅτι σφόδρα αὐτὴν δυσωπεῖται. πῶς δὲ τίνι τρόπῳ; τῇ ἑξῆς τοῦτο ἐροῦμεν. ταῦτ' οὖν ἐννοῶν, καὶ ὅταν ἀκούσῃς γυναικός τινος λεγούσης· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθήλασας, εἶτα αὐτοῦ ἀποκρινομένου· μενοῦνγε μακάριοι οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου, ἀπὸ τῆς αὐτῆς γνώμης κἀκεῖνα εἰρῆσθαι νόμιζε τὰ ῥήματα. οὐ γὰρ ἀπωθουμένου τὴν μητέρα ἡ ἀπόκρισις ἦν, ἀλλὰ δεικνύντος ὅτι οὐδὲν αὐτὴν ὁ τόκος ὤνησεν ἄν, εἰ μὴ σφόδρα ἦν ἀγαθὴ καὶ πιστή. εἰ δὲ τὴν Μαρίαν οὐδὲν ὠφελεῖ χωρὶς τῆς κατὰ ψυχὴν ἀρετῆς τὸ γεννηθῆναι παρ' αὐτῆς τὸν Χριστὸν, πολλῷ μᾶλλον ἡμᾶς, κἂν πατέρα, κἂν ἀδελφὸν, κἂν παῖδα ἔχωμεν ἐνάρετον καὶ γενναῖον, αὐτοὶ δὲ πόρρω ὦμεν τῆς ἀρετῆς τῆς ἐκείνου, οὐδὲν τοῦτο ὠφεληθῆναι δυνήσεται. Ἀδελφὸς γὰρ, φησὶν ὁ Δαβὶδ, [ἀδελφὸν] οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; ἐν οὐδενὶ γὰρ ἑτέρῳ, ἀλλ' ἐν μόνοις τοῖς οἰκείοις κατορθώμασι, μετὰ τὴν τοῦ Θεοῦ χάριν, τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν δεῖ. ἐπεὶ εἰ τοῦτο ἔμελλεν ὠφελήσειν καθ' ἑαυτὸ, * ὠφέλησεν ἂν καὶ Ἰουδαίους (συγγενὴς γὰρ ἦν αὐτῶν κατὰ σάρκα ὁ Χριστὸς) ὠφέλησεν ἂν καὶ τὴν πόλιν ἐν ᾗ ἐτέχθη, ὠφέλησεν ἂν καὶ τοὺς ἀδελφούς. νῦν δὲ καὶ οἱ ἀδελφοὶ, ἕως μὲν ἑαυτῶν ἠμέλουν, οὐδὲν αὐτοὺς τὸ τῆς συγγενείας ἀξίωμα ὠφέλει, ἀλλὰ μετὰ τοῦ λοιποῦ κατεγινώσκοντο κόσμου, τότε δὲ ἐθαυμάσθησαν, ὅτε ἀπὸ τῆς οἰκείας ἔλαμψαν ἀρετῆς. ἀλλ' ἡ πόλις καὶ ἔπεσε καὶ ἐνεπρήσθη, μηδὲν ἀπὸ τούτου κερδάνασα· κατεσφάγησαν δὲ καὶ ἀπώλοντο σφόδρα ἐλεεινῶς καὶ οἱ κατὰ σάρκα συγγενεῖς, οὐδὲν ἀπὸ τῆς πρὸς αὐτὸν συγγενείας εἰς τὸ σωθῆναι κερδάναντες, ἐπειδὴ τὴν ἀπὸ τῆς ἀρετῆς προστασίαν οὐκ εἶχον. πάντων δὲ μείζους ἀνεφάνησαν οἱ ἀπόστολοι, ἐπειδὴ τὸν ἀληθινὸν καὶ ζηλωτὸν τρόπον τῆς πρὸς αὐτὸν οἰκειώσεως μετῆλθον, τὸν διὰ τῆς ὑπακοῆς. κἀντεῦθεν οὖν μανθάνομεν ὅτι πίστεως ἡμῖν πανταχοῦ χρεία καὶ βίου λάμποντος καὶ φαιδροῦ. τοῦτο γὰρ ἡμᾶς μόνον διασῶσαι δυνήσεται. ἐπεὶ καὶ μέχρι πολλοῦ οἱ συγγενεῖς αὐτοῦ ἐθαυμάζοντο πανταχοῦ, οἱ δὲ δεσπόσυνοι ἐλέγοντο, ἀλλ' ὅμως αὐτῶν οὐδὲ τὰ ὀνόματα ἴσμεν· τῶν δὲ ἀποστόλων καὶ ὁ βίος καὶ τὰ ὀνόματα ᾄδεται πανταχοῦ.

Λουκ. ια. κζ.

Ψαλμ. μη. ζ.

* ἢ φορτι

γρ. λαλού

* τὴν πατ
ρον

γρ. ἄλλως
κατεσφάζ

ΗΘΙΚΟΝ

Μὴ τοίνυν μεγαφρονῶμεν ἐπὶ εὐγενείᾳ τῇ κατὰ σάρκα, ἀλλὰ, κἂν μυρίους ἔχωμεν προγόνους θαυμαστοὺς, αὐτοὶ σπουδάσωμεν ὑπερβαλέσθαι τὰς ἐκείνων ἀρετὰς, εἰδότες, ὅτι οὐδὲν ἀπὸ τῆς ἑτέρων σπουδῆς εἰς τὴν μέλλουσαν κερδανοῦμεν κρίσιν· ἀλλὰ καὶ τοῦτο κρίμα ἔσται σφοδρότερον, ὅτι ἀγαθῶν ὄντες πατέρων, καὶ οἴκοθεν ἔχοντες τὸ ὑπόδειγμα, μηδὲ οὕτω μιμούμεθα τοὺς διδασκάλους. ταῦτα δὲ λέγω νῦν, ἐπειδὴ ὁρῶ Ἕλληνας πολλοὺς, ὅταν ἐπὶ τὴν πίστιν αὐτοὺς ἄγωμεν, καὶ παρακαλῶμεν γενέσθαι Χριστιανοὺς, ἐπὶ τοὺς συγγενεῖς καὶ προγόνους καταφεύγοντας καὶ τὴν οἰκίαν, καὶ λέγοντας πάντες οἱ προσήκοντές μοι καὶ ἐπιτήδειοι καὶ

γρ. τῇ ἀγ
γενείᾳ

συνοικοῦντες πιστοὶ χριστιανοὶ τυγχάνουσι. τί οὖν τοῦτο πρὸς σέ, ἄθλιε καὶ ταλαίπωρε; τοῦτο γάρ σε μάλιστα ἀπολεῖ, ὅτι οὐδὲ τὸ πλῆθος τῶν συνοικούντων αἰδεσθεὶς, πρὸς τὴν ἀλήθειαν ἔδραμες. πάλιν ἄλλοι τινὲς, πιστοὶ μὲν ὄντες, βίου δὲ ἠμελημένου τυγχάνοντες, παρακαλούμενοι πρὸς ἀρετὴν, τὸ αὐτὸ δὴ τοῦτο προβάλλονται λέγοντες· ὁ πατὴρ ὁ ἐμὸς, καὶ ὁ πάππος, καὶ ὁ ἐπίπαππος, σφόδρα εὐσεβεῖς καὶ σπουδαῖοι ἐτύγχανον ὄντες. ἀλλὰ τοῦτο δή σε κατακρινεῖ μάλιστα, ὅτι τοιούτων ὢν ἔκγονος, ἀνάξια τῆς οἰκείας ἔπραξας ῥίζης. ἄκουσον ὁ προφήτης τί φησι πρὸς τοὺς Ἰουδαίους· Ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικὶ, καὶ ἐν γυναικὶ ἐφυλάξατο. (Ωσ. ιβ. ιϛ.) καὶ πάλιν ὁ Χριστός· Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. καὶ πανταχοῦ τὰ τῶν προγόνων κατορθώματα οὐ μόνον ἀντ᾽ ἐγκωμίων, ἀλλὰ καὶ ἀντὶ μείζονος αὐτοῖς προσφέρουσι τῆς κατηγορίας. ταῦτ᾽ οὖν εἰδότες, ἅπαντα πράττωμεν, ὥστε διὰ τῶν οἰκείων ἔργων σωθῆναι δυνηθῆναι, ἵνα μὴ μάτην ἑαυτοὺς ταῖς εἰς ἑτέρους ἀπατήσαντες ἐλπίσι, τότε μάθωμεν ὅτι μάτην ἠπατήθημεν, ὅτε τῆς γνώσεως ἡμῖν ταύτης ὄφελος οὐδέν. Ἐν γὰρ τῷ ᾅδῃ, φησὶ, τίς ἐξομολογήσεταί σοι; οὐκοῦν ἐνταῦθα μετανοήσωμεν, ὥστε τῶν αἰωνίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. κβ. ΤΙ ΕΜΟΙ ΚΑΙ ΣΟΙ ΓΥΝΑΙ· ΟΥΠΩ ΗΚΕΙ ἡ ὥρα μου.

Ἔχει μέν τινα πόνον τὸ λέγειν· καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν, Οἱ καλῶς προεστῶτες πρεσβύτεροι, διπλῆς τιμῆς ἀξιούσθωσαν· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. (α. Τιμ. ε. ιζ.) ἀλλὰ τὸν πόνον τοῦτον ὑμεῖς κύριοι καὶ κοῦφον ποιῆσαι, καὶ βαρύν. ἂν μὲν γὰρ ἀποπτύητε τὰ λεγόμενα, ἢ μὴ ἀποπτύητε μὲν, ἐν δὲ τοῖς ἔργοις μὴ δεικνύητε, βαρὺς ὁ κόπος ἡμῖν ἔσται, διὰ τὸ πονεῖν εἰκῇ καὶ μάτην· ἂν δὲ προσέχητε, καὶ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν παρέχητε, οὐδὲ αἴσθησιν ληψόμεθα τῶν ἱδρώτων. ὁ γὰρ ἀπὸ τῶν πόνων τικτόμενος καρπὸς, οὐκ ἀφίησι φανῆναι τοῦ πόνου τὸ σφοδρόν. ὥστε εἰ βούλεσθε ἡμῖν τὴν προθυμίαν διεγεῖραι, καὶ μὴ σβέσαι μηδὲ ἀσθενεστέραν ποιῆσαι, δείξατε ἡμῖν, παρακαλῶ, τὸν καρπὸν, ἵνα κομῶντα ὁρῶμεν τὰ λήϊα, καὶ ἡμεῖς ταῖς τῆς εὐθηνίας ἐλπίσι τρεφόμενοι, καὶ τὸν πλοῦτον ὑμῶν ἀναλογιζόμενοι, μὴ ναρκῶμεν ἐμπορευόμενοι τὴν καλὴν ταύτην πραγματείαν. οὐδὲ γὰρ μικρὸν ἡμῖν καὶ σήμερον πρόκειται ζήτημα. τῆς γὰρ μητρὸς τοῦ Ἰησοῦ εἰπούσης ὅτι οἶνον οὐκ ἔχουσιν, ὁ Χριστός φησι, τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου· καὶ τοῦτο εἰπὼν, ἔπραξεν ὅπερ εἶπεν ἡ μήτηρ. τοῦτο δὲ τοῦ προτέρου οὐκ ἔλαττόν ἐστιν εἰς ζητήσεως λόγον. αὐτὸν οὖν τοῦτον παρακαλέσαντες τὸν τὸ θαῦμα ἐργασάμενον, οὕτω κατίωμεν εἰς λύσιν. οὐ γὰρ ἐνταῦθα τοῦτο μόνον εἴρηται, ἀλλὰ καὶ ἀλλαχοῦ. φησὶ γὰρ ὁ εὐαγγελιστὴς ὅτι οὐκ ἠδύναντο αὐτὸν πιάσαι, ὅτι οὔπω ἥκει ἡ ὥρα αὐτοῦ. καὶ πάλιν· Οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. καὶ πάλιν· Ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν. τί οὖν ἐστι τὸ εἰρημένον; διὰ γὰρ τοῦτο πλείονα συνήγαγον, ἵνα πᾶσι μίαν ἐπαγάγω τὴν λύσιν. τίς ποτ᾽ οὖν ἐστι τῶν λεγομένων ἡ λύσις; οὐκ ἀνάγκῃ καιρῶν ὁ Χριστὸς ὑποκείμενος, οὐδὲ ὥρας παρατηρήσει, ἔλεγεν, οὔπω ἥκει ἡ ὥρα μου. πῶς γὰρ, ὁ τῶν καιρῶν ποιητὴς καὶ τῶν χρόνων καὶ τῶν αἰώνων δημιουργός; ἀλλὰ τί ποτέ ἐστιν ὅπερ ᾐνίξατο; τοῦτο δηλῶσαι βούλεται, ὅτι πάντα μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος ἐργάζεται, οὐχ ὁμοῦ πάντα ποιῶν. ἐπεὶ σύγχυσίς τις ἔμελλεν ἔσεσθαι καὶ

ἀταξία γίνεσθαι, εἰ μὲν τοῖς προσήκουσι καιροῖς πάντα ἐδημιούργησεν, ἀλλ' ὁμοῦ πάντα ἔφυρε, καὶ γέννησιν, καὶ ἀνάστασιν, καὶ κρίσιν. σκόπει δέ· ἔδει γενέσθαι τὴν κτίσιν, ἀλλ' οὐχ ὁμοῦ πᾶσαν, καὶ τὸν ἄνθρωπον δὲ μετὰ τῆς γυναικός, ἀλλ' οὐδὲ τοῦτον ὁμοῦ. ἔδει θανάτῳ κατακριθῆναι τὸ γένος τῶν ἀνθρώπων καὶ τὴν ἀνάστασιν γενέσθαι, ἀλλὰ πολὺ τὸ μέσον ἑκατέρων. ἐχρῆν δοθῆναι τὸν νόμον, ἀλλ' οὐχ ὁμοῦ καὶ τὴν χάριν, ἀλλ' ἕκαστα καιροῖς τοῖς προσήκουσιν οἰκονομεῖσθαι. οὐ τοίνυν αὐτὸς ὑπέκειτο τῇ τῶν καιρῶν ἀνάγκῃ· ἀλλὰ τοῖς καιροῖς [αὐτὸς] καὶ τάξιν ἐπέθηκεν, ἐπεὶ καὶ ποιητὴς αὐτῶν αὐτός ἐστι. διὸ καὶ ἐνταῦθά φησιν· οὔπω ἥκει ἡ ὥρα μου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὔπω δῆλός εἰμι τοῖς πολλοῖς, ἀλλ' οὐδὲ τῶν μαθητῶν τὸν χορὸν πάντα εἶχεν, ἀλλ' Ἀνδρέας αὐτῷ ἠκολούθει, καὶ μετ' αὐτοῦ Φίλιππος· ἄλλος δὲ οὐδείς. μᾶλλον δὲ οὐδὲ οὗτοι πάντες, ὡς ἐχρῆν, αὐτὸν ἐγνώκεσαν; *οὐδὲ ἡ μήτηρ, οὐδὲ οἱ ἀδελφοί. μετὰ γὰρ τὰ πολλὰ θαύματα τοῦτο περὶ τῶν ἀδελφῶν ἐσήμανεν ὁ εὐαγγελιστής, ὅτι οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν· ἀλλ' οὐδὲ οἱ ἐν τῷ γάμῳ αὐτὸν ᾔδεισαν· ἦ γὰρ ἂν αὐτοὶ προσῆλθον καὶ παρεκάλεσαν, ἐν χρείᾳ καταστάντες. διὰ τοῦτό φησιν, οὔπω ἥκει ἡ ὥρα μου, τουτέστιν, οὐδέπω γνώριμός εἰμι τοῖς παροῦσιν, ἀλλ' οὐδὲ ἴσασιν ὅτι ὑστέρησεν ὁ οἶνος· ἔασον αὐτοὺς αἰσθέσθαι τοῦτο πρότερον. οὐδὲ γὰρ παρὰ σοῦ ταῦτά με ἀκούειν ἐχρῆν· μήτηρ γὰρ εἶ, καὶ τὸ θαῦμα ὕποπτον ποιεῖς. ἐχρῆν δὲ τοὺς δεομένους προσελθεῖν καὶ δεηθῆναι, οὐκ ἐπειδὴ τούτου χρήζω, ἀλλ' ἵνα αὐτοὶ τὸ γινόμενον μετὰ πολλῆς δέξωνται τῆς συγκαταθέσεως. ὁ μὲν γὰρ εἰδὼς ὅτι ἐν χρείᾳ καθέστηκεν, ἐπειδὰν τύχῃ τῆς βοηθείας, πολλὴν ἔχει τὴν χάριν· ὁ δὲ τῆς χρείας μὴ λαβὼν αἴσθησιν, οὐδὲ τῆς εὐεργεσίας σαφῆ καὶ τρανῆ αἴσθησιν λήψεται. τίνος οὖν ἕνεκεν εἰπών, οὔπω ἥκει ἡ ὥρα μου, καὶ παραιτησάμενος, ἔπραξεν ὅπερ εἶπεν ἡ μήτηρ; μάλιστα μέν, ὥστε καὶ τοῖς ἀντιλέγουσι, καὶ ὥρᾳ αὐτὸν ὑποκεῖσθαι νομίζουσιν, ἱκανὴν γενέσθαι ἀπόδειξιν τοῦ μὴ ὑποκεῖσθαι αὐτὸν ὥρᾳ. εἰ γὰρ ὑπέκειτο, πῶς ἂν τῆς προσηκούσης ὥρας μὴ παραγενομένης, ἔπραξεν ἂν ὅπερ ἔπραξεν; ἔπειτα δὲ καὶ τιμῶν τὴν μητέρα, ἵνα μὴ διὰ παντὸς ἀντιλέγειν αὐτῇ δόξῃ, καὶ αἰσχύνῃ τὴν τεκοῦσαν, παρόντων τοσούτων, καὶ ἵνα μὴ ἀσθενείας λάβῃ δόξαν. καὶ γὰρ προσήγαγεν αὐτῷ τοὺς διακόνους. ἐπεὶ καὶ τῇ Χαναναίᾳ λέγων, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι τοῖς κυναρίοις, ἔδωκε τὸν ἄρτον, τὴν προσεδρείαν αὐτῆς αἰδεσθείς· καίτοιγε μετ' ἐκεῖνο, καὶ τοῦτο εἶπεν· ὅτι οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ἀλλ' ὅμως καὶ ταῦτα εἰπών, ἐθεράπευσε τὴν θυγατέρα τῆς γυναικός. ἐντεῦθεν μανθάνομεν ὅτι κἂν ἀνάξιοι ὦμεν, πολλάκις τῇ προσεδρείᾳ ποιοῦμεν ἀξίους ἑαυτοὺς τοῦ λαβεῖν. διὰ τοῦτο καὶ ἡ μήτηρ καὶ παρέμεινε, καὶ σαφῶς τοὺς διακόνους προσῆγεν, ὥστε παρὰ πλειόνων γενέσθαι τὴν αἴτησιν. διὸ τοῦτο καὶ προσέθηκε τό,

Ματθ. ιε. κε.

5 Ὅ,τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. Ἤδει γὰρ ὅτι οὐκ ἀσθενείας ἡ παραίτησις ἦν, ἀλλὰ τοῦ ἀκομπάστου, καὶ τοῦ μὴ δόξαι ἁπλῶς ἐπιῤῥίπτειν ἑαυτὸν τῷ θαύματι. διὸ καὶ τοὺς διακόνους προσῆγεν.

6 Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι κείμεναι ἓξ κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐμπλήσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐνέπλησαν ἕως ἄνω.

Οὐχ ἁπλῶς εἶπε, κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, ἀλλ' ἵνα μή τινες τῶν ἀπίστων ὑποπτεύσωσιν, ὅτι τρυγὸς ἔνδον ἀπομεινάσης, εἶτα τοῦ ὕδατος ἐπιβληθέντος καὶ κραθέντος, οἶνος λεπτότατος γέγονε. διὰ τοῦτό φησι, κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, δεικνὺς, ὅτι οὐδέποτε ἐκεῖνα οἴνου γέγονε δοχεῖα τὰ σκεύη. ἐπειδὴ γὰρ ἄνυδρός ἐστιν ἡ Παλαιστίνη, καὶ οὐκ ἦν πολλαχοῦ κρουνοὺς καὶ πηγὰς εὑρίσκειν, ἐπλήρουν ἀεὶ τὰς ὑδρίας ὕδατος, ὥστε μὴ τρέχειν εἰς ποταμούς, εἴποτε ἀκάθαρτοι γένοιντο, ἀλλ' ἐγγύθεν ἔχειν τοῦ καθαρσίου τὴν θεραπείαν. καὶ τί

δήποτε

γρ. ἐπισύστη

γρ. ἔχρην

γρ. ἐφεύρη,

γρ. ὁ Χριστὸς

γρ. ὃς καὶ τοῖς καιροῖς μάλιστα τάξιν ἐπ

γρ. ἀλλ' ὁ Ιω

άννης ἐνταῦ

θα τῆ, ὅπω

καὶ ἡ ὥρα μου

εἰσάγει τὸν

Χριστὸν λέγον

τα, δεικνὺς ὅ

ὔπω δῆλος

γρ. αὐτοῦ

γρ. οὐδαμῶς

δέοις.

* ὥσπερ

γρ. ὃ ἐν λέγει

δι' ὃ τοῦ, ὅπω

γρ. ὥστε πρ. αὐ

γρ. καὶ πῶς,

φησὶν, ἕνεκεν

γρ. μετὰ τὸ

ταῦτα,

γρ. ἐκεῖνον,

γρ. πρῶτ

γρ. καὶ τοῦ

πολὺ αὐ

Διὰ τί ποτε πρὶν ἢ γενέσθαι οὐκ ἐποίησε τὸ σημεῖον, ὃ πολλῷ θαυμαστότερον ἦν; ἕτερον γάρ ἐστιν, ἀποκειμένην ὕλην εἰς ποιότητα μεταβαλεῖν, καὶ αὐτὴν τὴν οὐσίαν ἐξ οὐκ ὄντων ποιῆσαι. θαυμαστότερον μὲν ἐκεῖνο, ἀλλ' οὐχ οὕτως ἂν ἔδοξεν εἶναι πιστὸν τοῖς πολλοῖς. Διὰ τοῦτο γοῦν πολλάκις τῶν θαυμάτων ὑποτέμνεται τὸ μέγεθος ἑκὼν, ὥστε εὐπαράδεκτον μᾶλλον γενέσθαι. Τίνος οὖν ἕνεκεν, φησὶν, οὐχὶ τὸ ὕδωρ αὐτὸς προήγαγε, καὶ τότε τὸν οἶνον ἔδειξεν, ἀλλὰ τοῖς διακόνοις ἐκέλευσε; Διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, καὶ ἵνα αὐτοὺς τοὺς μάρτυρας ἔχῃ τοῦ γινομένου, τοὺς ἀντλήσαντας, ὥστε μὴ δόξαι φαντασίαν εἶναι τὸ γινόμενον. Εἰ γὰρ ἤθελόν τινες ἀναισχυντεῖν, ἠδύναντο πρὸς αὐτοὺς ἐκεῖνοι λέγειν οἱ διακονησάμενοι· ἡμεῖς τὸ ὕδωρ ἠντλήσαμεν, ἡμεῖς τὰς ὑδρίας ἐνεπλήσαμεν. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ τὰ κατὰ τῆς ἐκκλησίας ἀναφυόμενα δόγματα ἀνατρέπει. Ἐπειδὴ γάρ εἰσί τινες οἳ τοῦ κόσμου δημιουργὸν ἕτερον εἶναί φασι, καὶ οὐκ αὐτοῦ ἔργα τὰ ὁρώμενα, ἀλλ' ἑτέρου τινὸς ἐναντίου θεοῦ· καὶ τούτων ἐπιστομίζων τὴν μανίαν, τὰ πλεῖστα ποιεῖται τῶν θαυμάτων ἐν τῇ ὑποκειμένῃ οὐσίᾳ. Εἰ γὰρ ἐναντίος ὁ δημιουργὸς ἦν αὐτοῦ, οὐκ ἂν τοῖς ἀλλοτρίοις ἐχρήσατο πρὸς τὴν τῆς οἰκείας δυνάμεως ἐπίδειξιν. Νῦν μέντοι δεικνὺς, ὅτι αὐτός ἐστιν ὁ ἐν ταῖς ἀμπέλοις τὸ ὕδωρ μεταβάλλων, καὶ τὸν ὑετὸν διὰ τῆς ῥίζης εἰς οἶνον τρέπων, ὅπερ ἐν τῷ φυτῷ διὰ πολλοῦ χρόνου γίνεται, τοῦτο ἀθρόον ἐν τῷ γάμῳ εἰργάσατο. Ἐπειδὴ δὲ ἐγέμισαν τὰς ὑδρίας, φησίν·

8 Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ, καὶ ἤνεγκαν. 9 Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον (καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,

10 Καὶ λέγει αὐτῷ· πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Πάλιν ἐνταῦθά τινες ἐπισκώπτουσι λέγοντες· οὗτος μεθυόντων ἦν ἀνθρώπων ὁ σύλλογος ἐκεῖ, καὶ ἡ αἴσθησις τῶν κρινόντων διεφθαρμένη, καὶ οὐχ ἱκανὴ ἀντιλαβέσθαι τῶν γινομένων, οὐδὲ κρῖναι τοῖς συνεστιωμένοις, ὡς μηδὲ εἰδέναι πότερον ὕδωρ ἢ οἶνος τὸ γινόμενον ἦν. ὅτι γὰρ ἐμέθυον, αὐτὸς ὁ ἀρχιτρίκλινος, φησὶν, ἔδειξε δι' ὧν εἶπε. μάλιστα μὲν οὖν τοῦτο γελοῖον· πλὴν ἀλλὰ καὶ ταύτην αὐτῶν ἐξέκοψε τὴν ὑποψίαν ὁ εὐαγγελιστής. οὐ γὰρ τοὺς δαιτυμόνας εἶναι, φησὶ, τοὺς ψηφιζομένους περὶ τοῦ γινομένου, ἀλλὰ τὸν ἀρχιτρίκλινον τὸν νήφοντα καὶ οὐδενὸς οὐδέπω γεγευμένον. ἴστε γὰρ δήπου τοῦτο, ὅτι μάλιστα πάντων οἱ τὰς διακονίας τῶν τοιούτων ἐμπιστευθέντες δείπνων, οὗτοι μάλιστά εἰσιν οἱ νήφοντες, ἓν ἔργον ἔχοντες, τὸ ἐν κόσμῳ καὶ ἐν τάξει πάντα διατιθέναι· διὰ τοῦτο τὴν νήφουσαν αἴσθησιν ταύτην εἰς μαρτυρίαν τῶν γινομένων ἐκάλεσεν. οὐ γὰρ εἶπεν, οἰνοχοήσατε τοῖς ἀνακειμένοις, ἀλλὰ φέρετε τῷ ἀρχιτρικλίνῳ. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον (καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος. καὶ τίνος ἕνεκεν μὴ τοὺς διακόνους ἐφώνησεν; (οὕτω γὰρ ἂν καὶ τὸ θαῦμα ἐξεκαλύφθη) ὅτι οὐδὲ αὐτὸς ὁ Ἰησοῦς ἐξεκάλυψε τὸ γεγονὸς, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἐβούλετο γνωσθῆναι τῶν σημείων τὴν δύναμιν. εἰ μὲν οὖν τότε ἐλέχθη, οὐκ ἂν διηγούμενοι οἱ διάκονοι ταῦτα ἂν ἐπιστεύθησαν, ἀλλ' ἔδοξαν ἂν μαίνεσθαι, ἀνθρώπῳ ψιλῷ τοῖς πολλοῖς εἶναι δοκοῦντι τότε τοιαῦτα μαρτυροῦντες. αὐτοὶ μὲν γὰρ καὶ διὰ τῆς πείρας τὸ σαφὲς ἔγνωσαν, (οὐ γὰρ δὴ ταῖς ἑαυτῶν χερσὶν ἤμελλον ἀπιστεῖν) ἑτέρους δὲ πιστώσασθαι οὐκ ἦσαν ἱκανοί. διὰ τοῦτο οὐδὲ αὐτὸς ἐξεκάλυψεν ἅπασιν, ἀλλὰ τῷ μάλιστα δυναμένῳ συνιδεῖν τὸ γεγονὸς, τὴν σαφεστέραν αὐτοῦ γνῶσιν τῷ μέλλοντι χρόνῳ τηρῶν. μετὰ γὰρ τὴν λοιπῶν σημείων ἐπίδειξιν, καὶ τοῦτο ἔμελλεν εἶναι πιστόν. ὅτι γοῦν τὸν τοῦ βασιλικοῦ υἱὸν ἔμελλε θεραπεύειν, ἐδήλωσεν ὁ εὐαγγελιστὴς, ὅτι καὶ τοῦτο σαφέστερον γέγονε. διὰ γὰρ τοῦτο μάλιστα αὐτὸν ἐκάλεσεν ἐκεῖνος, ἐπειδὴ τὸ σημεῖον ἐγνωκὼς ἦν, ὅπερ ὁ εὐαγγελιστὴς δηλῶν Ἰωάννης ἔλεγεν· ἦλθεν οὖν ὁ Ἰησοῦς εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. οὐχ

ἁπλῶς δὲ οἶνον, ἀλλ' οἶνον κάλλιστον. τοιαῦτα γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, πολλῷ τῶν διὰ φύσεως τελουμένων ὡραιότερα " γίνεται καὶ βελτίω. οὕτω καὶ ἐπὶ τῶν ἄλλων· ὅτε μέλος διώρθου σώματος χωλεῦον, τῶν ὑγιαινόντων ἐδείκνυ τοῦτο ἄμεινον. ὅτι μὲν οὖν οἶνος, καὶ οἶνος κάλλιστος ἦν ὁ γεγενημένος, οὐχ οἱ διάκονοι μόνοι, ἀλλὰ καὶ ὁ νυμφίος καὶ ὁ ἀρχιτρίκλινος μαρτυρεῖν ἤμελλον· ὅτι δὲ ὑπὸ τοῦ Χριστοῦ γεγενημένος, οἱ τὸ ὕδωρ ἀντλήσαντες. ὥστε εἰ καὶ μὴ τότε ἐξεκαλύφθη τὸ θαῦμα, ἀλλ' ὅμως εἰς τέλος σιγηθῆναι οὐκ εἶχεν· οὕτω πολλὰς καὶ ἀναγκαίας αὐτῷ πρὸς τὸ μέλλον προαπέθετο μαρτυρίας. τοῦ μὲν γὰρ τὸ ὕδωρ οἶνον ποιῆσαι, τοὺς διακόνους μάρτυρας εἶχε· τοῦ δὲ καλὸν γενέσθαι τὸν οἶνον, τὸν ἀρχιτρίκλινον καὶ τὸν νυμφίον. εἰκὸς μὲν οὖν τὸν νυμφίον ἀποκρίνασθαί τι πρὸς ταῦτα, καὶ εἰπεῖν· πλὴν ὁ εὐαγγελιστὴς ἐπειγόμενος πρὸς τὰ ἀναγκαιότερα τῶν πραγμάτων, ἀψάμενος τοῦ σημείου τούτου μόνον παρέδραμε. τὸ γὰρ ἀναγκαῖον ἦν μαθεῖν, ὅτι οἶνον τὸ ὕδωρ ἐποίησε, καὶ οἶνον καλόν· τί δὲ πρὸς τὸν ἀρχιτρίκλινον εἶπεν ὁ νυμφίος, οὐκ ἔτι ἀναγκαῖον ἐνόμισεν εἶναι προσθεῖναι. πολλὰ γὰρ τῶν σημείων πρότερον ὄντα ἀμυδρότερα, τοῦ χρόνου προϊόντος σαφέστερα γέγονεν, ὑπὸ τῶν ἐξ ἀρχῆς εἰδότων αὐτὰ ἀκριβέστερον " ἀγγελθέντα.

γρ. ποι.

γρ. ἀπαγ.

ΗΘΙΚΟΝ

Τότε μὲν οὖν οἶνον ἐξ ὕδατος ἐποίησεν ὁ Ἰησοῦς· καὶ τότε δὲ, καὶ νῦν προαιρέσεις χαύνας καὶ διαρρεούσας μεταβάλλων οὐ παύεται. εἰσὶ γάρ, εἰσὶν ἄνθρωποι οὐδὲν ὕδατος διαφέροντες, οὕτω ψυχροὶ καὶ χαῦνοι καὶ οὐδέποτε ἑστηκότες. τοὺς δὲ οὕτω διακειμένους προσάγωμεν τῷ Κυρίῳ, ὥστε " αὐτῶν τὴν προαίρεσιν εἰς τὴν τοῦ οἴνου μεταθεῖναι ἕξιν, ὥστε μηκέτι διαρρεῖν, ἀλλ' ἔχειν τὸ ἐπεστυμμένον, καὶ εὐφροσύνης καὶ ἑαυτοῖς καὶ ἑτέροις γίνεσθαι αἰτίους. τίνες δὲ ἂν εἶεν οὗτοι οἱ ψυχροί; οἱ τοῖς ῥεύσι τοῦ παρόντος βίου προσέχοντες πράγμασιν, οἱ μὴ καταγελῶντες τῆς ἐνταῦθα τρυφῆς, οἱ δόξης καὶ δυναστείας ἐρασταί. ταῦτα γὰρ πάντα ῥεύματά ἐστιν, ἑστάμενα μὲν οὐδαμοῦ, κατὰ δὲ πρανοῦς ἀεὶ φερόμενα μετὰ πολλῆς τῆς ῥύμης. καὶ γὰρ ὁ σήμερον πλούσιος, αὔριον πένης, ὁ σήμερον μετὰ κήρυκος καὶ ζώνης καὶ ὀχήματος καὶ πολλῶν τῶν ῥαβδούχων φαινόμενος, πολλάκις τῇ ἑξῆς ἡμέρᾳ τὸ δεσμωτήριον ᾤκησεν, ἑτέρῳ καὶ ἄκων τῆς φαντασίας παραχωρήσας ἐκείνης. ὁ τρυφῶν πάλιν καὶ διασπώμενος, ἐπειδὰν διαρρήξῃ τὴν ἑαυτοῦ γαστέρα, μέχρι μιᾶς ἡμέρας οὐ δύναται τὴν ἐκ τούτων ἐγγινομένην αὐτῷ χορηγίαν κατασχεῖν, ἀλλὰ διαπνευσθείσης ἐκείνης, ἀναγκάζεται πάλιν ἕτερα ἐπεμβάλλειν, οὐδὲν διαφέρων χειμάρρου. καθάπερ γὰρ ἐκεῖ τοῦ προτέρου ῥεύματος παραχωροῦντος, ἕτερα ἐπέρχεται πάλιν· οὕτω δὴ καὶ ἐνταῦθα, τῆς προτέρας ἐξισταμένης τροφῆς, ἑτέρας ἡμῖν δεῖ πάλιν. καὶ τοιαύτη τῆς βιωτικῆς ἡ φύσις, τὸ μήποτε ἑστάναι λαχοῦσα, ἀλλ' ἀεὶ ῥεῖν καὶ παρασύρεσθαι. ἐπὶ δὲ τῆς τρυφῆς οὐ τοῦτο μόνον ἐστὶ τὸ παραρρεῖν καὶ παρατρέχειν, ἀλλὰ καὶ πολλὰ ἡμῖν ἕτερα παρέχει πράγματα. τῷ γὰρ παριέναι μετὰ ῥύμης τό τε ἰσχυρὸν ἀποξύει τοῦ σώματος, τό τε ἀνδρεῖον παρασύρει τῆς ψυχῆς· καὶ οὐχ οὕτω τὰς σφοδρὰς τῶν ποταμείων ῥευμάτων τὰς ὄχθας εἴωθε διατρώγειν καὶ ποιεῖν ὑφιζάνειν, ὡς τρυφὴ καὶ σπατάλη τὰ τῆς ὑγείας ἡμῶν ἐρείσματα πάντα ὑποσύρει ῥᾳδίως. κἂν ἔλθῃς εἰς ἰατρεῖον, καὶ προσελθὼν ἐρωτήσῃς, πάσας σχεδὸν τῶν νοσημάτων τὰς αἰτίας ἐκεῖθεν εὑρήσεις οὔσας. ἡ μὲν γὰρ εὐτέλεια καὶ ἡ λιτὴ τράπεζα, ὑγείας μήτηρ ἐστί. διὰ τοῦτο καὶ ἰατρῶν παῖδες οὕτως αὐτὴν ὠνόμασαν, τό τε μὴ κορέννυσθαι ὑγείην καλέσαντες (ἀκορίη γὰρ τροφῆς ὑγιείη) τό τε ἐνδεῶς ἐσιτᾶσθαι μητέρα ὑγείας εἰπόντες. εἰ δὲ ἡ ἔνδεια μήτηρ ὑγείας, εὔδηλον ὅτι ἡ πλησμονὴ μήτηρ νόσου καὶ [ἀρχὴ] ἀρρωστίας ἐστί, καὶ τίκτει πάθη καὶ αὐτῶν ὑπερβαίνοντα τῶν ἰατρῶν τὴν τέχνην. καὶ γὰρ ποδαλγίαι, καὶ καρηβαρίαι, καὶ ἀμβλυωπίαι, καὶ χειραλγίαι, καὶ τρόμοι, καὶ παρέσεις, καὶ ἴκτερος, καὶ πυρετοὶ μακροὶ καὶ φλογώδεις, καὶ ἕτερα τούτων πολλῷ πλείονα (οὐ γὰρ καιρὸς πάντα ἐπιέναι) οὐκ ἀπὸ ἐνδείας καὶ φιλοσόφου διαίτης, ἀλλ' ἐξ ἀδηφαγίας καὶ πλησμονῆς τίκτεσθαι πέφυκεν. εἰ δὲ βούλει τῆς ψυχῆς τὰς νόσους ἰδεῖν τὰς ἐντεῦθεν φυομένας, ὄψει ὅτι πλεονεξία,

γρ. αὐτὸ

πλεονεξίαι, βλακεῖαι, μελαγχολίαι, νωθρίαι, ἀσέλγειαι, ἀμαθία πᾶσα ἐντεῦθεν ἔχει τὴν ἀρχήν. οἷον γὰρ οὐδὲν ἄμεινον ἀπὸ τῶν τοιούτων τραπεζῶν αἱ τρυφῶσαι γίνονται ψυχαί, ὑπὸ τοιούτων διασπώμεναι θηρίων. εἴπω καὶ λύπας ὅσας ἔχουσι καὶ ἀηδίας οἱ προσεδρεύοντες τῇ τρυφῇ; ἀλλὰ πάσας μὲν ἐπελθεῖν οὐ δυνατόν· ἑνὶ δὲ κεφαλαίῳ τὸ πᾶν ποιήσω φανερόν. τῆς γὰρ τραπέζης, ταύτης δὲ λέγω τῆς πολυτελοῦς, μεθ' ἡδονῆς οὐδέποτε ἀπογεύονται. ἡ μὲν γὰρ ἔνδεια, ὥσπερ ὑγιείας, οὕτω καὶ ἡδονῆς μήτηρ ἐστίν· ἡ πλησμονὴ δὲ ὥσπερ νόσων, οὕτω καὶ ἀηδίας ἐστὶ πηγὴ καὶ ῥίζα. ἔνθα γὰρ ἂν ᾖ κόρος, ἐπιθυμίαν εἶναι οὐκ ἔστιν· ἐπιθυμίας δὲ οὐκ οὔσης, πῶς ἂν εἴη ποτὲ ἡδονή; διὰ τοῦτο οὐ μόνον συνετωτέρους καὶ ὑγιεινοτέρους τοὺς πενομένους τῶν πλουσίων εὕροιμεν ἄν, ἀλλὰ καὶ πλείονα καρπουμένους τὴν εὐφροσύνην. ἅπερ πάντα ἐννοήσαντες, φύγωμεν μέθην τε καὶ τρυφήν, μὴ τὴν ἐν τραπέζαις μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν τὴν ἐν πράγμασι βιωτικοῖς, καὶ ἀντ' ἐκείνης ἀνταλλαξώμεθα τὴν ἀπὸ τῶν πνευματικῶν ἡδονήν, καί, κατὰ τὸν προφήτην, κατατρυφήσωμεν τοῦ Κυρίου (Κατατρύφησον γὰρ τοῦ Κυρίου, φησί, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου) ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κγ. 11 ΤΑΥΤΗΝ ΕΠΟΙΗΣΕ ΤΗΝ ΑΡΧΗΝ ΤΩΝ σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας.

ΠΟλὺς ὁ διάβολος ἔγκειται καὶ σφοδρός, πάντοθεν πολιορκῶν τὴν σωτηρίαν τὴν ἡμετέραν. δεῖ τοίνυν ἐγρηγορέναι καὶ νήφειν, καὶ πανταχόθεν ἀποτειχίζειν αὐτῷ τὴν ἔφοδον. κἂν γὰρ μικρᾶς ἐπιλάβηται τινὸς ἀφορμῆς, εὐρεῖαν ἑαυτῷ κατασκευάζει λοιπὸν τὴν εἴσοδον, καὶ ὅλην εἰσάγει κατὰ μικρὸν τὴν ἑαυτοῦ δύναμιν. εἰ τοίνυν λόγος τις ἡμῖν ἐστι τῆς σωτηρίας τῆς ἡμετέρας, μηδὲ ἐν τοῖς μικροῖς αὐτῷ συγχωρῶμεν ἡμῖν ἐπιέναι, ἵνα ἀπὸ τούτων τὰ μεγάλα προαναστείλωμεν. καὶ γὰρ ἐσχάτης ἀνοίας ἂν εἴη, ἐκεῖνον μὲν τοσαύτην ἐπιδείκνυσθαι σπουδήν, ὥστε τὴν ἡμετέραν ἀπολλύναι ψυχήν, ἡμᾶς δὲ ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας μηδὲ τὸ ἴσον ἄγειν μέτρον. ταῦτά μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἐπειδὴ δέδοικα, μήποτε ἐν μέσῳ τῷ σηκῷ καὶ νῦν ὁ λύκος οὗτος εἰσήκει μὴ καθορώμενος ἡμῖν, καὶ θηράλωτον ἐκ τούτου γένηται τὸ πρόβατον, ῥᾳθυμίᾳ καὶ ἐπιβουλῇ πονηρᾷ ἀποβουκοληθὲν τῆς ἀγέλης καὶ τῆς ἀκροάσεως. εἰ μὲν γὰρ ἦν αἰσθητὰ τὰ τραύματα, ἢ καὶ τὸ σῶμα τὰς πληγὰς ἐλάμβανεν, οὐκ ἦν ἔργον διαγνῶναι τὰς τοιαύτας ἐπιβουλάς. ἐπειδὴ δὲ ἀόρατος ἡ ψυχή, καὶ αὐτὴ τὰ ἕλκη δέχεται· πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, ὥστε ἕκαστον ἑαυτὸν δοκιμάζειν. Οὐδεὶς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. ὁ μὲν γὰρ λόγος ἅπασι διαλέγεται, καὶ κοινὸν πρόκειται φάρμακον τοῖς δεομένοις· ἑνὸς δὲ ἑκάστου τῶν ἀκροωμένων λαβεῖν ἐστι τὸ ἐπιτήδειον τῷ νοσήματι. οὐκ οἶδα ἐγὼ τοὺς ἀρρωστοῦντας, οὐκ οἶδα τοὺς ὑγιαίνοντας. διὰ τοῦτο πάντα λόγον κινῶ, * καὶ πᾶσιν ἐπιτήδειον πάθεσιν ἰατρείαν εἰσφέρω, νῦν μὲν πλεονεξίας κατηγορῶν, αὖθις δὲ τρυφῆς, πάλιν ἀσελγείας καθαπτόμενος, εἶτα ἐλεημοσύνης συντιθεὶς ἔπαινον καὶ παράκλησιν, εἶτα τῶν ἄλλων ἑκάστου κατορθωμάτων. δέδοικα γὰρ μή ποτε περὶ ἓν τῶν λόγων ἡμῖν ἀσχολουμένων λάθω θεραπεύων πάθος ἕτερον, ἄλλα καμνόντων ὑμῶν. ὥστε εἰ μὲν εἷς ἦν ἐνταῦθα ὁ συλλεγόμενος, οὐκ ἂν οὕτω σφόδρα ἀναγκαῖον εἶναι ἐνόμισα πολυειδῆ τὸν λόγον ποιῆσαι. ἐπειδὴ δὲ ἐν πλήθει τοσούτῳ πολλὰ εἶναι καὶ πάθη εἰκός, οὐκ ἀ-

πεικότως

. ποῖ τῶν

. σιτω.

ῖτι

. ἀπολέσαι

. εἰσαγαγεῖν

. ἔστηκε

. ἑστήκη

. ῥήματα,

πᾶσιν αὐ-

ὑποις ὁμοί-

ἁρμόζοντα

. λεγομένων

ὑμῶν

πεικότως ποικίλλομεν τὴν διδασκαλίαν. πάντως γὰρ εὑρήσει τὴν ἑαυτοῦ χρείαν ὁ λόγος, ἅπασιν ἐφαπλούμενος. Διά τοι τοῦτο καὶ ἡ γραφὴ πολυειδής τίς ἐστι, περὶ μυρίων ἡμῖν διαλεγομένη πραγμάτων, ἐπειδὴ κοινῇ τῇ φύσει διαλέγεται τῶν ἀνθρώπων· ἐν δὲ πλήθει τοσούτῳ, πάντα ἀνάγκη τὰ πάθη τῆς ψυχῆς εἶναι, εἰ καὶ μὴ πάντα ἐν πᾶσι. τούτων τοίνυν ἑαυτοὺς ἐκκαθάραντες, οὕτω "τῶν θείων λόγων ἀκούσωμεν, καὶ μετὰ συντετριμμένης διανοίας καὶ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων ἀκούωμεν. τίνα δὲ ταῦτά ἐστι; Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας. Εἶπον καὶ πρώην, ὅτι τινὲς οὐκ ἀρχὴν ταύτην εἶναί φασι. "Τί γάρ, φησιν, εἰ πρόσκειται ἐν Κανᾷ τῆς Γαλιλαίας; "τὴν γὰρ ἀρχήν, φησι, ταύτην ἐποίησεν ἐν Κανᾷ. ἐγὼ δὲ περὶ τούτων μὲν οὐδὲν ἂν ἀκριβολογησαίμην. ἀλλ' ὅτι μὲν μετὰ τὸ βάπτισμα τῶν σημείων ἤρξατο, καὶ πρὸ τοῦ βαπτίσματος οὐδὲν ἐθαυματούργησε, καὶ ἔμπροσθεν ἐδηλώσαμεν. Εἴτε δὲ τοῦτο, εἴτε ἕτερον πρῶτον σημεῖον ἐγένετο τῶν μετὰ τὸ βάπτισμα γινομένων, οὐ σφόδρα διϊσχυρίζεσθαι ἀναγκαῖον εἶναί μοι δοκεῖ.

γρ. τοῖς θείοις λόγοις προσ- βάλλωμεν, οὕτω μετὰ συν- τετριμμένης σφόδρα τῆς διανοίας.

γρ. τί γὰρ ἄτοπον προσκεῖσθαι ἐν Κα.

γρ. καὶ μὴ ἀρχὴν εἶναι ταύτην τῶν τοῦ Ἰησοῦ σημείων;

Καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, Φησι. πῶς καὶ τίνι τρόπῳ; οὐδὲ γὰρ πολλοὶ προσεῖχον τῷ "γινομένῳ, ἀλλ' οἱ διάκονοι καὶ ὁ ἀρχιτρίκλινος καὶ ὁ νυμφίος. πῶς οὖν ἐφανέρωσε τὴν δόξαν αὐτοῦ; τό γε αὐτοῦ μέρος· εἰ δὲ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον τὸ θαῦμα ἀκούσεσθαι ἅπαντες· μέχρι γὰρ τοῦ νῦν ᾄδεται, καὶ οὐ διέλαθεν. ὅτι γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐ πάντες ᾔδεσαν, ἀπὸ τῶν ἐπαγομένων δῆλον. Εἰπὼν γάρ, ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, ἐπήγαγε·

γρ. γεγενημένῳ,

Καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, Οἱ καὶ πρὸ τούτου θαυμάζοντες "αὐτόν. ὁρᾷς ὅτι τὰ σημεῖα τότε μάλιστα ἀναγκαῖον ἦν ποιεῖν, ὅτε οἱ εὐγνώμονες καὶ προσέχοντες τοῖς γινομένοις σαφῶς παρῆσαν; οὗτοι γὰρ ἔμελλον καὶ πιστεύειν εὐκολώτερον καὶ μετὰ ἀκριβείας προσέχειν τοῖς γινομένοις. καὶ πῶς ἂν ἐγένετο γνώριμος τῶν σημείων χωρίς; ὅτι καὶ διδασκαλία ἱκανὴ καὶ προφητεία "καὶ τὸ θαῦμα ἐνθεῖναι ταῖς τῶν ἀκουόντων ψυχαῖς, ὥστε μετὰ διαθέσεως προσέχειν τοῖς γινομένοις, τῆς ψυχῆς "προοικειουμένης ἤδη. διά τοι τοῦτο πολλαχοῦ καὶ ἀλλαχοῦ φασιν οἱ εὐαγγελισταὶ μὴ πεποιηκέναι σημεῖον αὐτόν, διὰ τὸ τῶν ἀνθρώπων σκαιὸν τῶν ἐκεῖ διατριβόντων.

γρ. ἐπίστευσαν

γρ. εἰς

γρ. προοικ.

12 Καὶ μετὰ ταῦτα κατέβη εἰς Καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ καὶ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἦσαν ἐκεῖ οὐ πολλὰς ἡμέρας.

Τίνος ἕνεκεν παραγίνεται μετὰ τῆς μητρὸς εἰς Καπερναούμ; οὔτε γὰρ θαῦμα οὐδὲν εἰργάσατο αὐτόθι, οὔτε οἱ τὴν πόλιν οἰκοῦντες ἐκείνην τῶν ὑγιῶς πρὸς αὐτὸν ἐχόντων ἦσαν, ἀλλὰ καὶ τῶν σφόδρα διεφθαρμένων. καὶ τοῦτο ἐδήλωσεν ὁ Χριστὸς εἰπών· Καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως τοῦ ᾅδου καταβιβασθήσῃ. τίνος οὖν ἕνεκεν παραγίνεται; ἐμοὶ δοκεῖ ἐπειδὴ μικρὸν ὕστερον ἔμελλεν ἀνιέναι εἰς τὰ Ἱεροσόλυμα, διὰ τοῦτο τότε ἀπελθεῖν, ὥστε μὴ πανταχοῦ τοὺς ἀδελφοὺς ἐπισύρεσθαι καὶ τὴν μητέρα. ἀπελθὼν δὲ καὶ ὀλίγον διατρίψας χρόνον διὰ τὴν εἰς τὴν μητέρα τιμήν, οὕτω πάλιν ἐπιλαμβάνεται τῶν θαυμάτων, ἀποκαταστήσας τὴν γεγεννηκυῖαν. διὰ τοῦτό φησιν· οὐ μετὰ πολλὰς ἡμέρας

Λουκ. ι.ιε.

13 Ανέβη εἰς Ἱεροσόλυμα. Πρὸ ὀλίγων ἄρα ἡμερῶν τοῦ "πάσχα ἐβαπτίσατο. ἀνελθὼν δὲ εἰς τὰ Ἱεροσόλυμα τί ποιεῖ; πρᾶγμα πολλῆς αὐθεντίας γέμον. τοὺς γὰρ καπήλους ἐκείνους, τοὺς τραπεζίτας, τοὺς τὰς περιστερὰς πωλοῦντας καὶ βόας καὶ πρόβατα, καὶ διὰ τοῦτο ἐκεῖ διατρίβοντας ἐξέβαλε. καὶ ἕτερος μὲν εὐαγγελιστής φησιν, ὅτι ἐκβάλλων ἔλεγε, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου σπήλαιον λῃστῶν· οὗτος δὲ

γρ. πάσχα τό

16 Οἶκον ἐμπορείου Φησίν, οὐκ ἐναντία ἀλλήλοις λέγοντες, ἀλλὰ δεικνύντες ὅτι ἐκ δευτέρου τοῦτο ἐποίησε, καὶ ὅτι οὐ κατὰ τὸν αὐτὸν καιρὸν ἀμφότερα γέγονεν, ἀλλὰ νῦν μὲν ἐν προοιμίοις,

οιμίοις, νῦν δὲ πρὸς αὐτὸ τὸ πάθος ἐλθὼν, τοῦτο ποιεῖ. διὸ καὶ σφοδροτέροις τοῖς λόγοις χρησάμενος, σπήλαιον ἐκάλεσε λῃστῶν. ἐνταῦθα δὲ ἐν ἀρχῇ τῶν σημείων οὐχ οὕτως, ἀλλ' ὑφειμένως μᾶλλον τῇ ἐπιτιμήσει κέχρηται· ὅθεν εἰκὸς δεύτερον τοῦτο γεγενῆσθαι. καὶ τίνος ἕνεκεν, φησὶν, αὐτὸ τοῦτο πεποίηκεν ὁ Χριστὸς, καὶ τοσαύτῃ σφοδρότητι κέχρηται κατ' αὐτῶν, ὅπερ οὐδαμοῦ φαίνεται ποιῶν, καὶ ταῦτα ὑβριζόμενος, λοιδορούμενος, καὶ Σαμαρείτης καὶ δαιμονῶν κληθεὶς παρ' αὐτῶν; οὐδὲ γὰρ ἠρκέσθη τοῖς λόγοις μόνον, ἀλλὰ καὶ φραγέλλιον λαβὼν οὕτως αὐτοὺς ἐξέβαλεν. οἱ δὲ Ἰουδαῖοι, ἑτέρων μὲν εὐεργετουμένων, ἐγκαλοῦσι καὶ ἀγριαίνουσιν· ὅτε δὲ εἰκὸς ἦν ἐκθηριωθῆναι ἐπιτιμωμένους, οὐ τοιούτῳ κέχρηνται πρὸς αὐτὸν τρόπῳ. οὐ γὰρ ἐπετίμησαν, οὐδὲ ὕβρισαν, ἀλλὰ τί φησι;

18 Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ὁρᾷς βασκανίας ὑπερβολήν; καὶ πῶς αἱ τῶν ἄλλων εὐεργεσίαι μᾶλλον αὐτοὺς παρώξυναν; ποτὲ μὲν οὖν σπήλαιον λῃστῶν τὸν ναὸν γίνεσθαι ἐλέγχει ὑπ' αὐτῶν, δεικνὺς, ὅτι τὰ πωλούμενα, ἀπὸ κλοπῆς ἦν καὶ ἁρπαγῆς καὶ πλεονεξίας, καὶ ἐκ τῶν ἀλλοτρίων ἐπλούτουν συμφορῶν· ποτὲ δὲ οἶκον ἐμπορείου, τὰς ἀναισχύντους αὐτῶν καπηλείας ἐνδεικνύμενος. ἀλλὰ τίνος ἕνεκεν τοῦτο πεποίηκεν; ἐπειδὴ ἔμελλεν ἐν σαββάτῳ θεραπεύειν, καὶ πολλὰ τοιαῦτα ποιεῖν ἃ ἐδόκει παρ' αὐτοῖς τοῦ νόμου παράβασις εἶναι, ἵνα μὴ δόξῃ ὡς ἀντίθεός τις καὶ ἐξ ἐναντίας ἥκων τῷ πατρὶ ταῦτα ποιεῖν, ἐντεῦθεν τῆς τοιαύτης ὑπονοίας αὐτῶν ποιεῖται τὴν διόρθωσιν. οὐ γὰρ ἂν ὁ τοσοῦτον ζῆλον ἐπιδειξάμενος ὑπὲρ τοῦ οἴκου, τῷ τοῦ οἴκου δεσπότῃ καὶ ἐν αὐτῷ θεραπευομένῳ ἔμελλεν ἐναντιοῦσθαι. ἦν μὲν οὖν ἱκανὰ καὶ τὰ πρότερα ἔτη, ἐν οἷς κατὰ τὸν νόμον ἐβίω, δεῖξαι τὴν πρὸς τὸν νομοθέτην αἰδῶ, καὶ ὅτι οὐκ ἀντινομοθετῶν ἦλθεν· ἐπειδὴ δὲ εἰκὸς ἦν ἐκεῖνα λήθῃ παραδοθῆναι τῷ χρόνῳ, ἅτε οὐ πᾶσιν ὄντα γνώριμα διὰ τὸ ἐν οἰκίᾳ τρέφεσθαι πτωχῇ καὶ εὐτελεῖ· παρόντων πάντων λοιπὸν (καὶ γὰρ πολλοὶ παρῆσαν, ἅτε ἑορτῆς πλησίον οὔσης) τοῦτο ποιεῖ, καὶ ″παρακεκινδυνευμένως. οὐδὲ γὰρ ἁπλῶς ἐξέβαλλεν, ἀλλὰ καὶ τὰς τραπέζας ἀνέτρεψε, καὶ τὸ ἀργύριον ἐξέχεε, διδοὺς αὐτοῖς ἐκ τούτων λογίσασθαι, ὅτι οὐκ ἂν ὁ εἰς κινδύνους ῥίπτων ἑαυτὸν ὑπὲρ τῆς εὐκοσμίας τοῦ οἴκου, τοῦ δεσπότου τοῦ οἴκου κατεφρόνησεν ἄν. εἰ γὰρ ὑποκρινόμενος ταῦτα ἐποίει, παραινέσαι ἐχρῆν μόνον· τὸ δὲ καὶ εἰς κινδύνους καταστῆναι * (οὐδὲ γὰρ τὸ τυχὸν ἦν) καὶ θυμῷ τοσούτων ἀγοραίων ἑαυτὸν ἐκδοῦναι, καὶ δῆμον πολλῆς γέμοντα ἀλογίας καπήλων ἀνθρώπων καθ' ἑαυτοῦ παροξῦναι ὑβρίζοντα, ζημιοῦντα, οὐχ ὑποκρινομένου ἦν, ἀλλὰ πάντα αἱρουμένου παθεῖν ὑπὲρ τῆς εὐκοσμίας τοῦ οἴκου. διὰ τοῦτο οὐδὲ δι' ὧν ποιεῖ μόνον, ἀλλὰ καὶ δι' ὧν λέγει, δείκνυσι τὴν πρὸς αὐτὸν συμφωνίαν· οὐδὲ γὰρ εἶπε τὸν οἶκον τὸν ἅγιον, ἀλλὰ

Τὸν οἶκον τοῦ πατρός μου. Ἰδοὺ καὶ πατέρα καλεῖ, καὶ οὐκ ὀργίζονται. ᾤοντο γὰρ ἁπλῶς αὐτὸν λέγειν. ἐπειδὴ δὲ προϊὼν τρανότερον ἐφθέγγετο, ὡς ἐκείνην παραστῆσαι τὴν διάνοιαν τὴν τῆς ἰσότητος, τότε ἀγριαίνουσι. τί οὖν ἐκεῖνοι; τί σημεῖον δεικνύεις ἡμῖν, φησὶν, ὅτι ταῦτα ποιεῖς; ὢ τῆς ἐσχάτης μανίας. σημείου γὰρ χρεία ἦν, ὥστε τὰ κακῶς γινόμενα παῦσαι, καὶ τὸν οἶκον ἀπαλλάξαι τοσαύτης αἰσχύνης; τὸ δὲ ζῆλον τοιοῦτον λαβεῖν ὑπὲρ τοῦ οἴκου τοῦ Θεοῦ οὐ μέγιστον σημεῖον ἀρετῆς ἦν; οἱ μὲν οὖν μαθηταὶ εὐγνώμονες καὶ ἐντεῦθεν ἐδείκνυντο. καὶ γὰρ

17 Ἐμνήσθησαν τότε, ὅτι ἐστὶ γεγραμμένον· ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.

Ἀλλ' οὐκ ἐκεῖνοι τῆς προφητείας ἐμνήσθησαν, ἀλλὰ τί σημεῖον δεικνύεις ἡμῖν, ἔλεγον, ἅμα μὲν ὑπὲρ τῆς αἰσχροκερδείας τῆς ἑαυτῶν ἀλγοῦντες ἐκκοπτομένης, καὶ προσδοκῶντες ταύτῃ κωλύειν αὐτὸν, ἅμα δὲ καὶ ἐκκαλέσασθαι αὐτὸν εἰς θαῦμα βουλόμενοι, καὶ ἐπισκῆψαι τοῖς γινομένοις. διὰ τοῦτο οὐδὲ δίδωσιν αὐτοῖς σημεῖον. ἐπεὶ καὶ πρότερον προσελθοῦσι καὶ αἰτοῦσι, τὸ αὐτὸ ἀπεκρίνατο· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. ἀλλὰ τότε μὲν σαφέστερον, νυνὶ δὲ αἰνιγματωδέστερον.

ρον. ποιεῖ δὲ τοῦτο διὰ τὴν ἐσχάτην αὐτῶν ἀναισθησίαν. οὐ γὰρ ἂν ὁ μὴ αἰτοῦντας προλαμβάνων καὶ σημεῖα διδοὺς, οὕτως αἰτοῦντας ἂν ἀπεστράφη, εἰ μὴ τὴν διάνοιαν αὐτῶν εἶδε πονηρὰν οὖσαν καὶ δολερὰν, καὶ ὕπουλον τὴν προαίρεσιν. αὐτὸ γὰρ ἀληθῶς τὸ ἐρώτημα ἐννόησον ὅσης κακίας μεστὸν ἦν. δέον γὰρ αὐτὸν ἀποδέξασθαι τῆς σπουδῆς καὶ τοῦ ζήλου, δέον ἐκπλαγῆναι ὅτι τοσαύτην τοῦ οἴκου ποιεῖται πρόνοιαν· οἱ δὲ ἐγκαλοῦσι, καπηλεύειν ἐξεῖναι λέγοντες, λύειν δὲ τὴν καπηλείαν οὐκ ἐξὸν εἶναι, ἂν μὴ σημεῖόν τις ἐπιδείξηται. Τί οὖν ὁ Χριστός;

χ. σεμνα- βαίον

χ. π

19 Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Πολλὰ τοιαῦτα φθέγγεται, τοῖς μὲν τότε ἀκούουσιν οὐκ ὄντα δῆλα, τοῖς δὲ μετὰ ταῦτα ἐσόμενα. τίνος δὲ ἕνεκεν τοῦτο ποιεῖ; ἵνα δειχθῇ προειδὼς ἄνωθεν τὰ μετὰ ταῦτα, ὅταν ἐξέλθῃ καὶ τῆς προρρήσεως τὸ τέλος, ὃ δὴ καὶ ἐπὶ τῆς προφητείας ταύτης γέγονεν.

22 Ὅτε γὰρ, φησιν, ἠγέρθη ἐκ νεκρῶν, τότε ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγε· καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς· Ὅτε δὲ ἐλέγετο, οἱ μὲν ἠπόρουν τί ποτε ἂν εἴη τὸ εἰρημένον, οἱ δὲ ἀμφέβαλον, λέγοντες·

20 Ἐν τεσσαρακονταὲξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος· καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; Τεσσαρακονταὲξ δὲ ἔτη ἔλεγον, τὴν ὑστέραν οἰκοδομὴν δηλοῦντες· ἡ γὰρ προτέρα εἰς εἴκοσι ἐτῶν ἀπηρτίσθη χρόνον. τίνος οὖν ἕνεκεν οὐκ ἔλυσε τὸ αἴνιγμα, καὶ εἶπεν· οὐ περὶ τοῦ ναοῦ λέγω τούτου, ἀλλὰ περὶ τῆς σαρκὸς τῆς ἐμῆς, ἀλλ' ὁ μὲν εὐαγγελιστὴς ὕστερον γράφων τὸ εὐαγγέλιον, ἑρμηνεύει τὸ εἰρημένον, αὐτὸς δὲ ἐσίγησε τότε; τίνος οὖν ἕνεκεν [τότε] ἐσίγησεν; ὅτι οὐκ ἂν τὸν λόγον ἐδέξαντο. εἰ γὰρ μηδὲ οἱ μαθηταὶ ἱκανοί πως συνιέναι τὸ λεχθὲν ἦσαν, πολλῷ μᾶλλον οἱ ὄχλοι. ὅτε γάρ, φησιν, ἀνέστη ἐκ νεκρῶν, τότε ἐμνήσθησαν, καὶ ἐπίστευσαν τῷ λόγῳ καὶ τῇ γραφῇ. δύο γὰρ ἦν αὐτοῖς τὰ προσιστάμενα τέως· ἓν μὲν, τὸ τῆς ἀναστάσεως· ἕτερον δὲ, τὸ τούτου μεῖζον, εἰ ὁ Θεὸς ἦν ὁ ἔνδον οἰκῶν· ἅπερ ἀμφότερα ἠνίξατο εἰπὼν, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὅπερ καὶ ὁ Παῦλος οὐ μικρὸν εἶναι σημεῖόν φησι θεότητος, οὕτω λέγων· Τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ. Διατί δὲ ἐκεῖ, καὶ ἐνταῦθα τοῦτο δίδωσι σημεῖον, καὶ πανταχοῦ, νῦν μὲν λέγων, ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι· νῦν δὲ, οὐ δοθήσεται ὑμῖν σημεῖον, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ· καὶ ἐνταῦθα πάλιν, ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν; ὅτι τοῦτο μάλιστα ἦν τὸ δεικνύον αὐτὸν οὐκ ὄντα ἄνθρωπον ψιλὸν, τὸ δυνηθῆναι κατὰ τοῦ θανάτου στῆσαι τρόπαιον, τὸ τὴν τυραννίδα αὐτοῦ τὴν μακρὰν καὶ τὸν χαλεπὸν καταλῦσαι πόλεμον οὕτω ταχέως. Διὰ τοῦτό φησι, τότε εἴσεσθε. τότε· πότε; ὅταν ἀναστὰς ἐπισπάσωμαι [πᾶσαν] τὴν οἰκουμένην, τότε εἴσεσθε ὅτι καὶ ταῦτα ὡς Θεὸς καὶ Θεοῦ υἱὸς γνήσιος ἐποίουν, ἐκδικῶν τὴν εἰς τὸν πατέρα ὕβριν. τί δήποτε δὲ οὐκ εἶπε, καὶ ποίων σημείων χρεία πρὸς τὸ παῦσαι τὸ γινόμενον κακῶς, ἀλλ' ἐπηγγείλατο δώσειν σημεῖον; ὅτι ἐκείνῳ μὲν ἂν αὐτοὺς πλέον παρώξυνε, ταύτῃ δὲ μᾶλλον κατέπληξεν. ἀλλ' ὅμως οὐδὲν πρὸς τοῦτο εἶπον. καὶ γὰρ ἔδοξεν αὐτοῖς ἄπιστον λέγειν, καὶ οὐδὲ ἐρωτῆσαι ἠνείχοντο, ἀλλ', ὡς ἀδύνατον ὄν, παρέδραμον. Εἰ δὲ νοῦν εἶχον, εἰ καὶ τότε ἄπιστον αὐτοῖς ἔδοξεν εἶναι, ὅτε τὰ πολλὰ ἐποίησε σημεῖα, τότε ἂν προσελθόντες ἠρώτησαν, τότε ἂν ἠξίωσαν τὴν ἀπορίαν αὐτοῖς λυθῆναι. ἀλλ' ἀνόητοι ὄντες, τοῖς μὲν οὐδὲ ὅλως προσεῖχον τῶν λεγομένων, τὰ δὲ μετὰ πονηρᾶς ἤκουον διανοίας. διὸ καὶ ὁ Χριστὸς αἰνιγματωδῶς πρὸς αὐτοὺς ἀπεφθέγγετο. ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ἐστι, πῶς οἱ μαθηταὶ οὐκ ᾔδεισαν, ὅτι δεῖ αὐτὸν ἀναστῆναι ἐκ τῶν νεκρῶν; ὅτι οὔπω τῆς τοῦ πνεύματος ἦσαν ἀξιωθέντες χάριτος. διὸ συνεχῶς οὗτοι περὶ ἀναστάσεως ἀκούοντες λόγους, οὐδὲν συνίεσαν, ἀλλὰ διελογίζοντο καθ' ἑαυτοὺς, τί ποτε τοῦτό ἐστι. καὶ γὰρ πολὺ ξένον καὶ παράδοξον ἦν τὸ λεγόμενον, τὸ, ἑαυτὸν τινὰ δύνασθαι ἀνιστᾶν, καὶ ἀνιστᾶν οὕτω. διὰ τοῦτο καὶ Πέτρος ἐπετιμήθη, ἐπειδὴ οὐδὲν εἰδὼς περὶ ἀναστάσεως ἔλεγεν.

Ρω. α. δ.

χ. εἰκοσι

. τῷ μ

λεχθέ

πως.

χ. εἶχεν ἀ- νέναι,

λέγων, ἵλεώς σοι. καὶ οὐδὲ ὁ Χριστὸς περὶ τοῦ πράγματος αὐτοῖς ἀπεκάλυψε τοῦτο σαφῶς, ἵνα μὴ σκανδαλισθῶσιν ἐν ἀρχῇ διαπιστοῦντες τῷ λεγομένῳ διὰ τὸ πολὺ παράδοξον, καὶ μηδέπω σαφῶς αὐτὴν εἰδέναι, ὅστις ἐστί. τοῖς μὲν γὰρ διὰ τῶν πραγμάτων βοωμένοις οὐδεὶς ἂν διαπιστήσειε· τοῖς δὲ διὰ τῶν λόγων λεγομένοις εἰκὸς ἦν τινας διαπιστεῖν. διὰ τοῦτο ἐκ πρώτης εἴασε συγκεκαλυμμένον εἶναι τὸν λόγον. ὅτε δὲ διὰ τῆς πείρας πρὸς τὴν ἀλήθειαν ἤγαγε τὰ εἰρημένα, τότε λοιπὸν ἔδωκε καὶ τῶν ῥημάτων τὴν σύνεσιν καὶ τοσαύτην τοῦ πνεύματος τὴν χάριν, ὥστε ἀθρόον πάντα ἀπολαβεῖν. ἐκεῖνος γὰρ ὑμᾶς ἀναμνήσει, φησί, πάντα. οἱ γὰρ καὶ τὴν πρὸς αὐτὸν αἰδῶ ἐν μιᾷ μόνον ἐκβαλόντες ἑσπέρᾳ καὶ φυγόντες, καὶ οὐδὲ ἰδεῖν αὐτὸν φάσκοντες, σχολῇ γ' ἂν τῶν ἐν παντὶ τῷ χρόνῳ γινομένων τε καὶ λεχθέντων ἐμνημόνευσαν, εἰ μὴ πολλῆς ἀπήλαυσαν τῆς τοῦ πνεύματος χάριτος. καὶ εἰ παρὰ τοῦ πνεύματος, φησιν, ἀκούσεσθαι ἤμελλον, τίς χρεία ἦν συγγίνεσθαι αὐτοὺς τῷ Χριστῷ, μέλλοντας μὴ κατέχειν τὰ λεγόμενα; ὅτι οὐκ ἐδίδασκε τὸ πνεῦμα, ἀλλ' ἀνεμίμνησκεν ἃ παρέλαβον ὁ Χριστὸς εἶπεν. οὐ μικρὸν δὲ εἰς τὴν δόξαν συνετέλει τοῦ Χριστοῦ, τὸ παραπεμφθῆναι " εἰς τὴν μνήμην τῶν λεχθέντων αὐτοῖς. παρὰ μὲν οὖν τὴν ἀρχήν, τῆς τοῦ Θεοῦ χάριτος ἐγένετο τὸ ἐπιπτῆναι τὴν τοῦ πνεύματος χάριν οὕτω δαψιλῆ καὶ πολλήν· ὕστερον δὲ τῆς ἑαυτῶν ἀρετῆς τὸ κατασχεῖν τὴν δωρεάν. βίον γὰρ ἐπεδείξαντο λαμπρόν, καὶ πολλὴν τὴν σοφίαν καὶ μεγάλους τοὺς πόνους, καὶ κατεγέλασαν μὲν τῆς παρούσης ζωῆς, οὐδὲν δὲ ἡγήσαντο τὰ ἀνθρώπινα, ἀλλ' ἀνώτεροι πάντων ἐγένοντο, καὶ καθάπερ τινὲς ἀετοὶ κοῦφοι, ὑψηλὰ πετόμενοι διὰ τῶν ἔργων, πρὸς αὐτὸν ἀφίκοντο τὸν οὐρανόν, καὶ διὰ τούτων ἔσχον τοῦ πνεύματος τὴν χάριν ἄφατον.

τῷ μνήμῃ
λεχθέντων
τοῖς.

ΗΘΙΚΟΝ

Τούτους τοίνυν καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ σβέσωμεν τὰς λαμπάδας, ἀλλὰ διατηρήσωμεν φαιδρὰς δι' ἐλεημοσύνης. ταύτῃ τοῦ πυρὸς τὸ φέγγος οὕτω διακρατεῖται. συνάξωμεν τοίνυν εἰς ἀγγεῖα τὸ ἔλαιον, ἕως ἐνταῦθά ἐσμεν. οὐδὲ γάρ ἐστι τοῦτο πρίασθαι ἀπελθόντας ἐκεῖ, οὐδὲ ἀλλαχόθεν αὐτὸ λαβεῖν, ἀλλ' ἢ διὰ τῆς τῶν πενήτων χειρός. συλλέξωμεν τοίνυν ἐντεῦθεν ἤδη μετὰ πολλῆς τῆς δαψιλείας, εἴγε βουλόμεθα μετὰ τοῦ νυμφίου εἰσελθεῖν· εἰ δὲ μή, ἔξω μένειν τοῦ νυμφῶνος ἀνάγκη. ἀμήχανον γάρ, ἀμήχανον, κἂν μυρία κατορθώσωμεν ἀγαθά, τῆς ἐλεημοσύνης χωρὶς ἐπιβῆναι τῶν τῆς βασιλείας προθύρων. διὸ μετὰ πολλῆς ταύτην ἐπιδειξώμεθα τῆς δαψιλείας, ὥστε ἀπολαῦσαι τῶν ἀπορρήτων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κδ. 23 ΩΣ ΔΕ ΗΝ ΕΝ ΤΟΙΣ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

Τῶν ἀνθρώπων τῶν τότε, οἱ μὲν τῇ πλάνῃ προσεῖχον, οἱ δὲ τῆς ἀληθείας ἀντείχοντο. ἀλλὰ καὶ τούτων ἔνιοι πρὸς ὀλίγον αὐτῆς ἀντιλαμβανόμενοι, πάλιν αὐτῆς ἐξέπιπτον. τούτους καὶ ὁ Χριστὸς αἰνιττόμενος, σπέρμασι παρέβαλε τοῖς οὐ κατὰ βάθους κειμένοις, ἀλλὰ τὰς ῥίζας ὑπὲρ τῆς ἐπιφανείας τῆς γῆς ἔχουσιν, οὓς καὶ ταχέως ἀπολέσθαι ἔφη. τούτους καὶ ὁ εὐαγγελιστὴς ἐνταῦθα ἡμῖν ἐδήλωσεν οὕτω λέγων, ὅτι ὡς ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν,

Θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. 24 Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς. Ἐκεῖνοι γὰρ ἀκριβέστεροι ἦσαν οἱ μαθηταί, ὅσοι μὴ ἀπὸ σημείων προσήεσαν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς διδασκαλίας. τοὺς μὲν γὰρ παχυτέρους, τὰ σημεῖα ἐφείλκετο· τοὺς δὲ λογικωτέρους, αἱ προφητεῖαι καὶ αἱ διδασκαλίαι. ὅσοι γοῦν ἀπὸ διδασκαλίας κατηχήθησαν, οὗτοι τῶν ἀπὸ σημείων ἦσαν βεβαιότεροι· οὓς καὶ ὁ Χριστὸς ἐμακάριζε λέγων· Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. ὅτι δὲ οὐ τῶν γνησίων ἦσαν οὗτοι, δείκνυσι καὶ ἡ ἐπαγωγή. αὐτὸς γάρ, φησιν, ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς. διατί; Διὰ τὸ αὐτὸν γινώσκειν [τὰ] "πάντα, 25 Καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου. αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ προσεῖχε τοῖς ἔξωθεν ῥήμασι, ταῖς καρδίαις ἐμβατεύων αὐταῖς καὶ πρὸς τὴν διάνοιαν εἰσιών· καὶ τὴν πρόσκαιρον αὐτῶν θερμότητα εἰδὼς σαφῶς, οὐκ "ἐθάῤῥει αὐτοῖς ὡς μαθηταῖς ἀπηρτισμένοις, οὐκ ἐνεχείριζε πάντα τὰ δόγματα αὐτοῖς ὡς ἤδη βεβαίως πιστοῖς γενομένοις. τὸ δὲ τὰ ἐν τῇ καρδίᾳ τῶν ἀνθρώπων εἰδέναι, τοῦ πλάσαντος καταμόνας τὰς καρδίας ἐστὶ *Θεοῦ· Σὺ γάρ, φησιν, ἐπίστασαι καρδίας μονώτατος. οὐκ ἐδεῖτο τοίνυν μαρτύρων, ὥστε τῶν οἰκείων πλασμάτων μαθεῖν τὴν διάνοιαν. ὅθεν οὐδὲ ἀπὸ τῆς προσκαίρου πίστεως "αὐτοῖς ἐθάῤῥει. ἄνθρωποι μὲν γὰρ οὔτε τὰ παρόντα, οὔτε τὰ μέλλοντα εἰδότες, πολλάκις καὶ τοῖς δολερῶς προσιοῦσι, καὶ τοῖς μικρὸν ὕστερον ἀποστησομένοις ἅπαντα χωρὶς τινος ὑποστολῆς καὶ λέγουσι καὶ ἐγχειρίζουσιν· ὁ δὲ Χριστὸς οὐχ οὕτως. ᾔδει γὰρ αὐτῶν τὰ ἀπόῤῥητα πάντα σαφῶς. τοιοῦτοι πολλοὶ καὶ νῦν εἰσι, τὸ μὲν τῆς πίστεως ὄνομα ἔχοντες, εὐρίπιστοι δὲ καὶ εὐάγωγοι. διὰ τοῦτο οὐδὲ νῦν* ὁ Χριστὸς ἑαυτὸν ἐμπιστεύει, ἀλλὰ τὰ πλείονα ἀποκρύπτεται. καθάπερ γὰρ ἡμεῖς οὐ τοῖς ἁπλῶς φίλοις, ἀλλὰ τοῖς γνησίοις θαῤῥοῦμεν, οὕτω καὶ ὁ "Χριστός. ἄκουσον γοῦν τί φησι τοῖς μαθηταῖς ὁ Χριστός. Οὐκέτι ὑμᾶς λέγω δούλους· ὑμεῖς γὰρ φίλοι μού ἐστε. πόθεν, καὶ διατί; ὅτι πάντα, ὅσα ἤκουσα παρὰ τοῦ πατρός, ἀπεκάλυψα ὑμῖν. διὰ τοῦτο οὐδὲ τοῖς Ἰουδαίοις τὰ σημεῖα ἐδίδου αἰτοῦσιν, ὅτι πειράζοντες ᾔτουν. ἆρ᾽ οὖν τὸ σημεῖα αἰτεῖν πειραζόντων ἐστὶ καὶ τότε, καὶ νῦν. καὶ γὰρ καὶ νῦν εἰσιν οἱ ζητοῦντες καὶ λέγοντες· διατί μὴ καὶ νῦν σημεῖα γίνεται; εἰ γὰρ πιστὸς εἶ, ὡς εἶναι χρή, καὶ φιλεῖς τὸν Χριστόν, ὡς φιλεῖν δεῖ, οὐ χρείαν ἔχεις σημείων. ταῦτα γὰρ τοῖς ἀπίστοις δίδοται. πῶς οὖν Ἰουδαίοις οὐκ ἐδόθη, φησί; μάλιστα μὲν ἐδόθη· εἰ δὲ ἐστὶν ὅπου καὶ αἰτοῦντες οὐκ ἔλαβον, ἐπειδὴ οὐχ ὑπὲρ τοῦ τῆς ἀπιστίας ἀπαλλαγῆναι ταῦτα ᾔτουν, ἀλλ᾽ ὑπὲρ τοῦ μᾶλλον αὐτῶν βεβαιῶσαι τὴν πονηρίαν.

Ιωαν. κ. κθ.
γ. Βασ. η. λθ.
Πραξ α. κδ.
Ιωαν. ιε. ιδ. ιε.

γρ. πάντα,
γρ. ἐθάῤῥει
* μόνου
γρ. αὐτῷ
* αὐτὸς ἄλλ. αὐτοῖς
γρ. Θεός.

κεφ. γ.

1 Καὶ ἦν ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων.

2 Οὗτος ἦλθε πρὸς αὐτὸν νυκτός. Οὗτος καὶ ἐν μέσῳ τῷ εὐαγγελίῳ φαίνεται τὸν ὑπὲρ τοῦ Χριστοῦ ποιούμενος λόγον. λέγει γάρ· Ὁ νόμος ἡμῶν κρίνει οὐδένα, ἐὰν μὴ πρότερον ἀκούσῃ. πρὸς τοῦτον καὶ οἱ Ἰουδαῖοι δυσχεραίνοντες, ἔλεγον· Ἐρώτησον καὶ ἴδε, ὅτι προφήτης ἀπὸ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. καὶ μετὰ τὸν σταυρὸν δὲ πάλιν, πολλὴν τὴν ἐπιμέλειαν τῆς ταφῆς τοῦ δεσποτικοῦ σώματος πεποίηται. Ἦλθε γάρ, φησι, καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς τὸν Κύριον νυκτός, φέρων μίγμα μύρου καὶ ἀλόης, ὡς λίτρας ἑκατόν. καὶ νῦν διέκειτο μὲν περὶ τὸν Χριστόν, οὐχ ὡς ἐχρῆν δέ, οὔτε μετὰ διανοίας τῆς προσηκούσης, ἀλλ᾽ ἔτι ὑπὸ τῆς Ἰουδαϊκῆς κατείχετο ἀσθενείας. διὰ τοῦτο καὶ νυκτὸς ἦλθε, δεδοικὼς ἐν ἡμέρᾳ τοῦτο ποιῆσαι. ἀλλ᾽ ὁ φιλάνθρωπος Θεὸς οὐδὲ οὕτως αὐτὸν ἀπώσατο, οὐδὲ διήλεγξεν, οὐδὲ τῆς αὐτοῦ διδασκαλίας ἀπεστέρησεν, ἀλλὰ καὶ μετὰ πολλῆς αὐτῷ τῆς ἐπιεικείας διαλέγεται, καὶ δόγματα αὐτῷ παρανοίγει σφόδρα ὑψηλά, αἰνιγματωδῶς μέν, παρανοίγει δὲ ὅμως. πολλῷ γὰρ μᾶλλον οὗτος συγγνώμης ἄξιος ἦν, τῶν διὰ πονηρίαν τοῦτο ποιούντων. ἐκεῖνοι μὲν γὰρ πάσης εἰσὶν ἀπολογίας ἐκτός· οὗτος δὲ καὶ αὐτὸς καταγνώσεως μὲν ὑπεύθυνος ἦν, οὐ μὴν τοσαύτης. πῶς οὖν ὁ εὐαγγελιστὴς οὐδὲν τοιοῦτον εἶπε περὶ αὐτοῦ; Εἶπε μὲν οὖν ἀλλαχοῦ, Ὅτι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· διὰ δὲ τοὺς Ἰουδαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἐνταῦθα δὲ τὸ πᾶν διὰ τῆς κατὰ τὴν νύκτα παρουσίας ᾐνίξατο. τί οὖν αὐτός φησι;

Ιωαν. ζ. να.
Ιωαν. ζ. ν.
Ιωαν. ιβ. μβ.

Ῥαββί,

Ραββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιῆσαι, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. Ἔτι κάτω στρέφεται ὁ Νικόδημος, ἔτι ἀνθρωπίνην ἔχει περὶ αὐτοῦ διάνοιαν, καὶ ὡς περὶ προφήτου διαλέγεται, οὐδὲν μέγα ἀπὸ τῶν σημείων φανταζόμενος. οἴδαμεν, φησὶν, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος. τί οὖν νύκτωρ ἔρχῃ καὶ λανθάνων πρὸς τὸν τὰ τοῦ Θεοῦ λέγοντα, πρὸς τὸν ἐκεῖθεν ἥκοντα; τί μὴ μετὰ παῤῥησίας διαλέγῃ; ἀλλ᾽ οὐδὲν τούτων εἶπεν ὁ Ἰησοῦς, οὐδὲ διήλεγξεν αὐτόν. Κάλαμον γὰρ συντετριμμένον οὐ κατεάξει, φησὶ, καὶ λίνον τυφόμενον οὐ σβέσει. οὐκ ἐρίσει γὰρ, φησὶν, οὐδὲ κραυγάσει. καὶ αὐτὸς πάλιν, Οὐκ ἦλθον, φησὶν, ἵνα κρίνω τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον. οὐδεὶς δύναται ταῦτα τὰ σημεῖα ποιεῖν, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. ἐκεῖνος μέν τοι ἔτι κατὰ τοὺς αἱρετικοὺς φθέγγεται, ἐνεργούμενον αὐτὸν, καὶ τῆς ἑτέρων βοηθείας δεόμενον ταῦτα πράττειν, ἅπερ ἔπραττε, λέγων. τί οὖν ὁ Χριστός; ὅρα συγκαταβάσεως ὑπερβολήν. Εἰπεῖν μὲν, ὅτι οὐδὲν δέομαι τῆς ἑτέρων βοηθείας, ἀλλὰ μετ᾽ ἐξουσίας πάντα πράττω (καὶ γὰρ υἱός εἰμι γνήσιος τοῦ Θεοῦ, καὶ τῆς αὐτῆς τῷ γεγεννηκότι δυνάμεως) παρῃτήσατο τέως διὰ τὸ προσάντες εἶναι τῷ ἀκούοντι. ὅπερ γὰρ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τὸ σπουδαζόμενον ἦν τῷ Χριστῷ, οὐχ οὕτω πως τὴν ἀξίαν ἐκκαλύψαι τὴν ἑαυτοῦ, ὡς τὸ πεῖσαι ὅτι οὐδὲν ἐξεναντίας ἔπραττε τῷ πατρί. διὰ τοῦτο ἐν μὲν τοῖς ῥήμασι πολλαχοῦ μετριάζων φαίνεται, ἐν δὲ τοῖς πράγμασιν οὐχ οὕτω ποιῶν. ὅταν γὰρ θαυματουργῇ, μετ᾽ ἐξουσίας ποιεῖ πάντα, λέγων, Θέλω, καθαρίσθητι· Ταλιθὰ ἀνάστηθι· ἔκτεινον τὴν χεῖρα· Ἀφέωνταί σου αἱ ἁμαρτίαι· Σιώπα, πεφίμωσο· Ἆρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου· Σοὶ λέγω τὸ πονηρὸν δαιμόνιον ἔξελθε ἀπ᾽ αὐτοῦ· Γενηθήτω σοι ὡς θέλεις· Ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει· Σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. καὶ πανταχοῦ πολλὴν ὁρῶμεν τὴν αὐθεντίαν οὖσαν αὐτοῦ. ἐν μὲν γὰρ τοῖς πράγμασιν οὐδεὶς ἂν ἐπελάβετο τῶν γινομένων. πῶς γάρ; εἰ μὲν γὰρ μὴ ἐξήει τὰ λεγόμενα, μηδὲ τέλος ἐλάμβανεν ἅπερ ἐκέλευεν, εἶχεν ἄν τις εἰπεῖν ἐκείνων, ὅτι ἀπονοίας ἦν τὰ ἐπιτάγματα. ἐπειδὴ δὲ ἐξέβαινε, καὶ ἄκοντας αὐτοὺς ἐπεστόμιζεν ἡ τοῦ τέλους τῶν γινομένων ἀλήθεια. ἐπὶ δὲ τῶν λόγων, ἠδύναντο πολλάκις κατὰ τὴν αὐτῶν ἀναισχυντίαν, ἀπόνοιαν ἐπισκήπτειν αὐτῷ. ὃ καὶ ἐπὶ τοῦ Νικοδήμου νῦν, φανερῶς μὲν οὐδὲν ὑψηλὸν φθέγγεται, αἰνιγματωδῶς δὲ αὐτὸν ἀνάγει τῆς ταπεινότητος, διδάσκων, ὅτι αὐτάρκης αὐτός ἐστιν ἑαυτῷ εἰς τὴν τῶν θαυμάτων ἐπίδειξιν. τέλειον γὰρ αὐτὸν ἐγέννησεν ὁ πατὴρ καὶ αὐταρκοῦντα ἑαυτῷ, καὶ οὐδὲν ἔχοντα ἀτελές. ἀλλ᾽ ἴδωμεν πῶς αὐτὸ τοῦτο κατασκευάζει. εἶπεν ἐκεῖνος, Ραββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος, καὶ ὅτι οὐδεὶς δύναται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. ἐνόμισε μεγάλα τινὰ εἰρηκέναι, ταῦτα εἰρηκὼς περὶ τοῦ Χριστοῦ. τί οὖν ὁ Χριστός; δεικνὺς ὅτι οὐδὲ τῶν προθύρων τῆς προσηκούσης γνώσεως ἐπέβη, οὐδὲ ἐν τοῖς προπυλαίοις ἔστη, ἀλλ᾽ ἔξω που τῆς βασιλείας πλανᾶται ἔτι καὶ αὐτὸς, καὶ ὅστις ἂν ἕτερος ταῦτα λέγῃ, καὶ οὐδὲ πρὸς τὴν ἀληθῆ παρέκυψε γνῶσιν ὁ ταύτην περὶ τοῦ μονογενοῦς ἔχων τὴν δόξαν, τί φησιν;

Ησ. μβ. γ.
Ματθ. ιϛ. κ.
Μαρ. α. μα.
Μαρ. ε. μα.
Λουκ. ε. κ.
Μαρ. ι. λθ.
Μαρ. ϛ. θ.

3 Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ· Τουτέστιν, ἐὰν σὺ μὴ γεννηθῇς ἄνωθεν, καὶ τὴν τῶν δογμάτων παραλάβῃς ἀκρίβειαν, ἔξω που πλανᾶσαι, καὶ πόῤῥω τῆς βασιλείας εἶ τῶν οὐρανῶν. ἀλλ᾽ οὕτω μὲν σαφῶς οὔ φησιν· ἵνα δὲ ἀνεπαχθέστερον ποιήσῃ τὸν λόγον, οὐ πρὸς αὐτὸν ἀποτείνεται φανερῶς, ἀλλ᾽ ἀορίστως λέγει· ἐὰν μή τις γεννηθῇ· μονονουχὶ λέγων, ὅτι κἂν σὺ, κἂν ὁστισοῦν ἕτερος ᾖ τοιαῦτα περὶ ἐμοῦ δοξάζων, ἔξω που τῆς βασιλείας ἐστίν· ἐπεὶ, εἰ μὴ τοῦτο βουλόμε-

νος κατασκευάσαι ταῦτα ἔλεγε, καὶ ἀνάρμοστος πρὸς τὰ εἰρημένα ἡ ἀπόκρισις ἦν. Ἰουδαῖοι μὲν οὖν, εἰ ταῦτα ἤκουσαν, καταγελάσαντες ἂν ἀνεχώρησαν· οὗτος δὲ καὶ ἐν τούτῳ τὸ ″ φιλομαθὲς δείκνυσι. διὰ τοῦτο γὰρ καὶ ἀσαφῶς πολλαχοῦ φθέγγεται ὁ Χριστός, πρὸς τὴν ἐρώτησιν τοὺς ἀκούοντας διαναστῆσαι βουλόμενος, καὶ προσεκτικωτέρους ἐργάσασθαι. τὸ μὲν γὰρ σαφῶς λεχθὲν καὶ παρατρέχει πολλάκις τὸν ἀκροατήν· τὸ δὲ ἀσαφὲς περιεργότερον αὐτὸν ποιεῖ καὶ σπουδαῖον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μὴ γεννηθῇς ἄνωθεν, ἐὰν μὴ μετάσχῃς πνεύματος τοῦ διὰ λουτροῦ παλιγγενεσίας, οὐ δύνασαι περὶ ἐμοῦ τὴν προσήκουσαν δόξαν λαβεῖν. αὕτη γὰρ ″ οὐ πνευματικὴ ἡ δόξα, ἀλλὰ ψυχική. ἀλλ᾽ οὕτω μὲν οὐκ εἶπε παραιτούμενος αὐτὸν πλῆξαι τὰ παρ᾽ ἑαυτοῦ συνεισενεγκόντα, καὶ ὅσον ἐγχωρεῖ φθεγξάμενον· ἀνάγει δὲ ἀνυπόπτως ἐπὶ τὴν μείζονα γνῶσιν αὐτόν, λέγων, ἐὰν μή τις γεννηθῇ ἄνωθεν. τὸ ἄνωθεν ἐνταῦθα, οἱ μὲν ἐκ τοῦ οὐρανοῦ φασιν, οἱ δὲ ἐξ ἀρχῆς. τὸν γὰρ μὴ οὕτω γεννηθέντα, οὐ δυνατὸν ἰδεῖν, φησι, τὴν βασιλείαν τοῦ Θεοῦ· ἑαυτὸν ἐνταῦθα δεικνὺς καὶ δηλῶν, ὅτι οὐ τοῦτό ἐστι τὸ ὁρώμενον μόνον, ἀλλ᾽ ἑτέρων ἡμῖν ὀφθαλμῶν δεῖ, ὥστε ἰδεῖν τὸν Χριστόν. Ταῦτα ἀκούσας

γρ. φιλομα

ἴσ. ἡ ψυχικὴ δόξα, ἀλλὰ πνευματική.

4 Ὁ Νικόδημός φησι· πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; Ῥαββὶ αὐτὸν καλεῖς, καὶ ἀπὸ Θεοῦ ἐληλυθέναι λέγεις, καὶ οὐ δέχῃ τὰ λεγόμενα, ἀλλὰ τὴν πολλοὺς θορύβους ἐπεισάγουσαν λέξιν φθέγγῃ πρὸς τὸν διδάσκαλον; τὸ γάρ, πῶς, τοῦτο ″ τῶν οὐ σφόδρα πιστευόντων ἐστὶν ἐπαπόρησις, τῶν ἀπὸ γῆς ὄντων ἔτι. ἐπεὶ καὶ ἡ Σάρρα διὰ τοῦτο ἐγέλασεν, ἐπειδὴ τό, πῶς, εἶπε· καὶ ἄλλοι πολλοὶ τοῦτο ζητήσαντες, τῆς πίστεως ἐξέπεσαν. οὕτω καὶ οἱ αἱρετικοὶ μένουσιν ἐπὶ τῆς αἱρέσεως, ταύτην πολλαχοῦ τὴν λέξιν ἐπιζητοῦντες, οἱ μὲν λέγοντες, πῶς ἐγεννήθη, οἱ δὲ λέγοντες, πῶς ἐσαρκώθη, καὶ τῇ τῶν οἰκείων λογισμῶν ἀσθενείᾳ τὴν ἄπειρον ἐκείνην ὑποβάλλοντες οὐσίαν. ἅπερ οὖν εἰδότας φεύγειν χρὴ τὴν ἄκαιρον ταύτην πολυπραγμοσύνην. οὔτε γὰρ τὸ πῶς εἴσονται οἱ ταῦτα ζητοῦντες, καὶ τῆς πίστεως ἐκπεσοῦνται τῆς ὀρθῆς. διὰ τοῦτο καὶ οὗτος ″ διαπορῶν τὸν τρόπον ἐπιζητεῖ (καὶ γὰρ συνῆκεν ὅτι καὶ πρὸς αὐτὸν λέγεται τὸ λεγόμενον) καὶ θορυβεῖται, καὶ ἰλιγγιᾷ, καὶ ἐν ἀμηχανίᾳ ἐστίν, ἐλθὼν μὲν ὡς εἰς ἄνθρωπον, ἀκούων δὲ μείζονα ἢ παρὰ ἄνθρωπον, καὶ ἃ μηδεὶς ἤκουσε πώποτε· καὶ διανίσταται μὲν πρὸς τὸ ὕψος τῶν λεγομένων τέως, σκοτοῦται δὲ καὶ οὐχ ἵσταται, πανταχοῦ περιφερόμενος, καὶ συνεχῶς ἐκπίπτων τῆς πίστεως. διὸ καὶ ἐπιμένει κατασκευάζων τὸ ἀδύνατον, ὥστε εἰς σαφεστέραν αὐτὸν ἐκκαλέσασθαι διδασκαλίαν. Μὴ δύναται γάρ, φησιν, ἄνθρωπος εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; Ὁρᾷς πῶς, ὅταν τοῖς οἰκείοις λογισμοῖς ἐπιτρέψῃ τις τὰ πνευματικά, καὶ καταγέλαστα φθέγγεται, καὶ ληρεῖν δοκεῖ, καὶ μεθύειν, ὅταν περιεργάζηται παρὰ τὸ τῷ Θεῷ δοκοῦν τὰ εἰρημένα, καὶ μὴ δέχηται τὴν τῆς πίστεως συγκατάθεσιν; ἤκουσε γέννησιν πνευματικήν, ἀλλ᾽ οὐκ ἐνόησε πνευματικήν, ἀλλ᾽ εἰς τὴν ταπεινότητα τῆς σαρκὸς καθείλκυσε τὸ εἰρημένον, καὶ μέγα δόγμα οὕτω καὶ ὑψηλὸν τῆς φυσικῆς ἀκολουθίας ἐξήρτησε. διὰ τοῦτο ληρῳδίας πλάττει λοιπόν, καὶ ἀπορίας καταγελάστους. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. πλὴν ἀλλὰ καὶ ἐν τούτῳ τὴν αἰδῶ τὴν ἐν τῷ Χριστῷ φυλάττει. οὐ γὰρ ἔσκωψε τὸ λεχθέν, ἀλλ᾽ ἀδύνατον εἶναι νομίζων, ἐσίγησε. δύο γὰρ ἦν τὰ ἄπορα, ἥ τε γέννησις ἡ τοιαύτη, ἥ τε βασιλεία. οὔτε γὰρ βασιλείας ὄνομα ἠκούσθη παρὰ Ἰουδαίοις ποτέ, οὔτε γεννήσεως τοιαύτης. ἀλλὰ τέως περὶ τὸ πρότερον ἵσταται, ὃ μάλιστα αὐτοῦ τὴν διάνοιαν κατέσεισε.

γρ. τῶν σφόδρα μὴ πι

γρ. δι᾽ ἀπο

α. Κορ. β. ιδ.

ΗΘΙΚΟΝ

Ταῦτ᾽ οὖν εἰδότες, μὴ λογισμῷ τὰ περὶ Θεοῦ ζητῶμεν, μηδὲ ὑπὸ τὴν ἀκολουθίαν τὴν παρ᾽ ἡμῖν ἄγωμεν τὰ ἐκεῖθεν, μηδὲ ἀνάγκῃ φύσεως ὑποβάλλωμεν, ἀλλ᾽ εὐσεβῶς πάντα νοῶμεν, πιστεύοντες ὡς εἶπον αἱ γραφαί. ὁ γὰρ ″ περίεργος καὶ πολυπράγμων κερδαίνει μὲν οὐδέν, πρὸς δὲ τῷ τὸ ζητούμενον μὴ εὑρεῖν, καὶ δίκην δώσει τὴν ἐσχάτην. ἤκουσας ὅτι ἐγέννησε· πίστευσον ὅπερ ἤκουσας· τὸ δὲ πῶς, μὴ ζήτει, μηδὲ διὰ τοῦτο ἀναίρει τὴν γέννησιν. ἀγνω-

γρ. πολυπρ

μοσύνης

μοσιώνης γὰρ ταῦτα ἐσχάτης. εἰ γὰρ τὸ ἀκοῦσαι γέννησιν, οὐκ ἐκείνην τὴν ἀπόρρητον, ἀλλὰ ταύτην τὴν κατὰ χάριν, ἐπειδὴ μηδὲν μέγα περὶ αὐτῆς ὑπώπτευσεν, ἀλλ' ἀνθρώπινα καὶ γεώδη, διὰ τοῦτο ἐσκοτώθη καὶ ἠπόρησεν· οἱ τὴν φρικωδεστάτην ἐκείνην καὶ πάντα ὑπερβαίνουσαν καὶ λόγον καὶ νοῦν περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες, πόσης ἂν εἶεν ἄξιοι τιμωρίας; οὐδὲν γὰρ οὕτω ποιεῖ" σκοτόδινον, ὡς ἀνθρώπινος λογισμός, ἀπὸ τῆς γῆς πάντα φθεγγόμενος, καὶ μὴ ἀνεχόμενος φωτίζεσθαι ἄνωθεν. πολλὴν γὰρ ἔχει τὴν ἰλὺν τὸ γεῶδες τῶν λογισμῶν. διὰ τοῦτο τῶν ἄνωθεν ἡμῖν ναμάτων χρεία, ἵνα τῆς ἰλύος ὑφιζανούσης, ὅσον αὐτοῦ καθαρὸν, τοῦτο ἄνω φέρηται, καὶ τοῖς ἐκεῖσε διδάγμασιν ἀναμιγνύηται. πῶς δὲ τοῦτο, ὅταν καὶ ψυχὴν εὐγνώμονα, καὶ ὀρθὸν ἐπιδειξώμεθα βίον. ἔστι γὰρ, ἔστι καὶ ἀπὸ τρόπων διεφθαρμένων, οὐκ ἀπὸ πολυπραγμοσύνης μόνον ἀκαίρου, σκοτωθῆναι τὴν διάνοιαν. διὸ καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις· Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. οὔπω γὰρ ἠδύνασθε· ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. ἔτι γὰρ σαρκικοί ἐστε. ὅπου γὰρ ἐν ὑμῖν, φησιν, ἔρεις, καὶ ζῆλοι, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; καὶ ἐν τῇ πρὸς Ἑβραίους δὲ, καὶ πολλαχοῦ, τῶν πονηρῶν δογμάτων ταύτην ἴδοι τις ἂν τὸν Παῦλον εἶναι λέγοντα τὴν αἰτίαν· τὴν γὰρ ἐμπαθῆ ψυχὴν οὐ δύνασθαι μέγα τι καὶ γενναῖον ἰδεῖν, ἀλλ' ὥσπερ ὑπό τινος λήμης θολουμένην, ἀμβλυωπίαν ὑπομένειν τὴν χαλεπωτάτην. ἐκκαθάρωμεν οὖν ἑαυτοὺς, φωτίσωμεν φῶς γνώσεως, μὴ σπείρωμεν ἐπ' ἀκάνθαις. τί δὲ τὸ τῶν ἀκανθῶν πλῆθος, ἴστε κἂν ἡμεῖς μὴ λέγωμεν. καὶ γὰρ πολλάκις ἠκούσατε τοῦ Χριστοῦ τὴν μέριμναν τοῦ παρόντος βίου, καὶ τὴν ἀπάτην τοῦ πλούτου, τῷ τῶν ἀκανθῶν καλοῦντος ὀνόματι· εἰκότως. καθάπερ γὰρ ἐκεῖναι ἄκαρποι, οὕτω καὶ ταῦτα· καθάπερ ἐκεῖναι τοὺς ἁπτομένους σπαράττουσιν, οὕτω καὶ ταῦτα τὰ πάθη· καὶ ὥσπερ εὐάλωτοι τῷ πυρὶ καὶ μισηταὶ τῷ γεωργοῦντι αἱ ἄκανθαι, οὕτω καὶ τὰ τοῦ κόσμου πράγματα· καὶ ὥσπερ ἐν ταῖς ἀκάνθαις θηρία κρύπτεται καὶ ἔχεις καὶ σκορπίοι, οὕτω καὶ ἐν τῇ ἀπάτῃ τοῦ πλούτου. ἀλλ' ἐπαφῶμεν" τὸ πῦρ τοῦ πνεύματος, ἵνα καὶ τὰς ἀκάνθας δαπανήσωμεν, καὶ τὰ θηρία φυγαδεύσωμεν, ἵνα καθαρὰν παράσχωμεν τῷ γεωργῷ τὴν ἄρουραν, καὶ μετὰ τὸ καθᾶραι, τοῖς πνευματικοῖς αὐτὴν ἀρδεύσωμεν νάμασι· φυτεύσωμεν τὴν κατάκαρπον ἐλαίαν, τὸ ἡμερώτατον φυτὸν, τὸ ἀειθαλὲς, τὸ φωτιστικὸν, τὸ θρεπτικὸν, τὸ ὑγείας ποιητικόν. ταῦτα πάντα ἡ ἐλεημοσύνη ἔχει, ὡς σφραγὶς οὖσα μετὰ τῶν κεκτημένων αὐτήν. τοῦτο οὐδὲ θάνατος" ἐπελθὼν ξηραίνει τὸ φυτὸν, ἀλλ' ἕστηκεν ἀεὶ φωτίζον τὴν διάνοιαν, τρέφον τὰ νεῦρα τῆς ψυχῆς, τὴν ἰσχὺν δυνατωτέραν ἐργαζόμενον. ἂν ταύτην ἔχωμεν διηνεκῶς, δυνησόμεθα μετὰ παρρησίας καὶ τὸν νυμφίον ἰδεῖν, καὶ εἰς τὸν νυμφῶνα εἰσελθεῖν· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. γ. β.

Σοφ. ιζ. κβ.

Ὁμιλ. κε. 5 ΑΜΗΝ ΛΕΓΩ ΣΟΙ· ΕΑΝ ΜΗ ΤΙΣ ΓΕΝΝΗθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

ΤΑ παιδία τὰ μικρὰ, καθ' ἑκάστην ἡμέραν εἰς" διδασκάλους φοιτῶντα, καὶ δέχεται τὰ μαθήματα, καὶ ἀποδίδωσι, καὶ οὐδέποτε παύεται ταύτης τῆς" κλήσεως, ἀλλ' ἔστιν ὅτε καὶ τὰς νύκτας" προστίθησι ταῖς ἡμέραις, καὶ ταῦτα ὑπὲρ ἐπικήρων" καὶ προσκαίρων ἀναγκάζεται ποιεῖν. ἀλλ' οὐχ ὑμᾶς τοὺς ἐν ἡλικίᾳ γενομένους ἡμεῖς τοσοῦτον ἀπαιτοῦμεν πόνον, ὅσον ὑμεῖς τοὺς παῖδας τοὺς ὑμετέρους. οὐ γὰρ καθ' ἑκάστῶν ἡμερῶν, ἀλλὰ δύο μόνον τῆς ἑβδομάδος ἡμέρας παρακαλοῦμεν προσέχειν τοῖς λεγομένοις, καὶ πρὸς βραχὺ τῆς ἡμέρας μέρος, ὥστε κοῦφον ὑμῖν γενέσθαι τὸν πόνον. διὰ τοῦτο καὶ κατὰ μικρὸν διαξαίνομεν ὑμῖν τὰ ἐν ταῖς γραφαῖς εἰρημένα, ἵνα μετ᾽ εὐκολίας ἐξῇ λαβεῖν ὑμῖν αὐτά, καὶ τοῖς ταμιείοις ἐναποθέσθαι τῆς διανοίας, καὶ οὕτω πάντα διὰ μνήμης ποιεῖσθαι σπουδάζειν, ὡς δύνασθαι καὶ ἀπαγγέλλειν αὐτὰ μετὰ ἀκριβείας ὑμᾶς, πλὴν εἰ μή τις σφόδρα ὑπνηλὸς εἴη, καὶ νωθής, καὶ παιδίου μικροῦ ῥᾳθυμότερος. ἐχώμεθα τοίνυν τῆς ἀκολουθίας τῶν ἔμπροσθεν εἰρημένων. τοῦ γὰρ Νικοδήμου καταπεσόντος, καὶ πρὸς τὴν ἐνταῦθα γέννησιν ἕλκοντος τὸ εἰρημένον, καὶ λέγοντος, οὐ δυνατόν ἐστι γέροντα γεννηθῆναι αἴωθεν, ὅρα πῶς πάλιν ὁ Χριστὸς σαφέστερον ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον, ἔχοντα μὲν καὶ οὕτω δυσκολίαν τῷ ψυχικῶς ἐρωτῶντι, δυνάμενον δὲ ὅμως ἀπὸ τῆς ταπεινότητος ἀνάγειν τὸν ἀκούοντα. τί γάρ φησιν; ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. ὃ δὲ διὰ τούτου δηλοῖ, τοῦτό ἐστι· σὺ μὲν ἀδύνατον αὐτὸ φὴς εἶναι· ἐγὼ δὲ οὕτως αὐτὸ σφόδρα δυνατὸν εἶναί φημι, ὡς καὶ ἀναγκαῖον εἶναι, καὶ μηδὲ δυνατὸν ἄλλως σωθῆναι. τὰ γὰρ ἀναγκαῖα, σφόδρα καὶ εὔκολα ἐποίησεν ὁ Θεός. ἡ μὲν γὰρ γηΐνη γέννησις ἡ κατὰ σάρκα, ἀπὸ τοῦ χοός ἐστι. διὸ καὶ ἀποτετείχισται τὰ ἐν τοῖς οὐρανοῖς αὐτῇ. τί γὰρ κοινὸν τῇ γῇ πρὸς τὸν οὐρανόν; ἐκείνη δὲ ἐκ πνεύματος οὖσα, ῥᾳδίως ἡμῖν τὰς ἁψῖδας ἀναπετάννυσι τὰς ἄνω. ἀκούσατε ὅσοι τοῦ φωτίσματός ἐστε ἐκτός· φρίξατε, στενάξατε· φοβερὰ γὰρ ἡ ἀπειλή, φοβερὰ ἡ ἀπόφασις. οὐκ ἔστι, φησί, τὸν μὴ γεννηθέντα ἐξ ὕδατος καὶ πνεύματος εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, διότι τὸ τοῦ θανάτου φορεῖ ἔνδυμα, τὸ τῆς κατάρας, τὸ τῆς φθορᾶς· οὐδέπω τὸ δεσποτικὸν ἔλαβε σύμβολον· ξένος ἐστὶ καὶ ἀλλότριος· οὐκ ἔχει τὸ σύνθημα τὸ βασιλικόν. ἐὰν μή τις, φησί, γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλ᾽ ὁ Νικόδημος οὐδὲ οὕτω συνῆκεν. οὐδὲν γὰρ χεῖρον τοῦ τοῖς λογισμοῖς τὰ πνευματικὰ ἐπιτρέπειν. τοῦτο καὶ τοῦτον οὐκ ἀφῆκεν ὑψηλόν τι καὶ μέγα φαντασθῆναι. διὰ τοῦτο καὶ ἡμεῖς πιστοὶ καλούμεθα, ἵνα τὴν τῶν λογισμῶν τὴν ἀσθένειαν ἀφέντες [τὴν] κάτω, πρὸς τὸ ὕψος τῆς πίστεως ἀναβαίνωμεν, καὶ τὰ πλείονα τῶν ἀγαθῶν τῶν ἡμετέρων τῇ διδασκαλίᾳ ταύτης ἐπιτρέψωμεν· ὅπερ εἰ καὶ Νικόδημος ἐποίησεν, οὐκ ἂν αὐτῷ τὸ πρᾶγμα ἀδύνατον εἶναι ἐνομίσθη. τί οὖν ὁ Χριστός; ἀπάγων αὐτὸν τῆς ἐννοίας ταύτης τῆς χαμαὶ συρομένης, καὶ δεικνὺς ὅτι οὐ περὶ ταύτης διαλέγεται τῆς γεννήσεως, φησίν· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ταῦτα δὲ ἐφθέγγετο, τῷ φόβῳ τῆς ἀπειλῆς ἐπισπάσασθαι πρὸς τὴν πίστιν αὐτὸν βουλόμενος, καὶ πεῖσαι τὸ πρᾶγμα μὴ νομίζειν εἶναι ἀδύνατον, καὶ τῆς περὶ τὴν σαρκικὴν γέννησιν φαντασίας ἀποστῆσαι σπουδάζων. ἑτέραν λέγω γέννησιν, φησίν, ὦ Νικόδημε. τί τὸν λόγον ἕλκεις πρὸς τὴν γῆν; τί τῇ τῆς φύσεως ἀνάγκῃ τὸ πρᾶγμα ὑποβάλλεις; ἀνώτερός ἐστι τῶν τοιούτων ὠδίνων οὗτος ὁ τόκος· οὐδὲν ἔχει κοινὸν πρὸς ὑμᾶς. γέννησις μὲν γὰρ καὶ αὐτὴ λέγεται, ἀλλὰ τῷ ὀνόματι κοινωνεῖ, τῷ δὲ πράγματι διέστηκεν. ἀπόστησον σεαυτὸν τῆς κοινῆς συνηθείας· ἑτέραν εἰσάγω λοχείαν εἰς τὸν κόσμον· ἄλλως βούλομαι γεννᾶσθαι τοὺς ἀνθρώπους· ξένον ἦλθον κομίζων δημιουργίας τρόπον· ἔπλασα ἀπὸ γῆς καὶ ὕδατος· οὐκ ἐγένετο χρήσιμον τὸ πλασθέν, ἀλλὰ διεστράφη τὸ σκεῦος. οὐκέτι λοιπὸν ἀπὸ γῆς καὶ ὕδατος πλάσαι βούλομαι, ἀλλ᾽ ἐξ ὕδατος καὶ πνεύματος. εἰ δέ τις ἐρωτᾷ, πῶς ἀπὸ ὕδατος; ἐρωτῶ κἀγώ, πῶς ἀπὸ γῆς; πῶς γὰρ ὁ πηλὸς εἰς διάφορα μέρη κατεμερίσθη; πῶς τὸ μὲν ὑποκείμενον μονοειδὲς (γῆ γὰρ ἦν μόνη) τὰ δὲ ἐξ αὐτῆς γενόμενα ποικίλα καὶ παντοδαπά; πόθεν ὀστᾶ καὶ νεῦρα καὶ ἀρτηρίαι καὶ φλέβες; πόθεν ὑμένες καὶ ἀγγεῖα ὀργανικά, καὶ χόνδροι, καὶ χιτῶνες, ἧπαρ, καὶ σπλήν, καὶ καρδία; πόθεν δέρμα, καὶ αἷμα, καὶ φλέγμα, καὶ χολή; πόθεν αἱ τοσαῦται ἐνέργειαι; πόθεν χρώματα ποικίλα; ταῦ-

τα

χ. κείμενα,
χ. ποσόσης μόνως πο… εἴωθεν φέρειν, αν,
χ. ἀλλὰ φησὶ πάλιν ἀψάμεθα τῆς ἀκολ.
χ. καὶ ἰδοὺ πῶς τοῦ Νικοδ…
χ. ἐπιζητοῦν… τοῦ, καὶ
χ. μᾶλλον
χ. καὶ ὅρα πῶς φη.
χ. ἡμῶν
χ. πετάννυ…
χ. ταύτῃ
χ. λέγων ὅτι

τὰ γὰρ οὐ γῆς, οὐδὲ πηλοῦ. πῶς ἡ γῆ δεχομένη σπέρματα βλαστάνει, ἡ δὲ σὰρξ δεχομένη σπέρματα σήπει; πῶς ἡ γῆ τρέφει τὰ βαλλόμενα, ἡ δὲ σὰρξ τρέφεται ὑπὸ τούτων, καὶ οὐ τρέφει ταῦτα; οἷον, ἡ γῆ δεχομένη ὕδωρ, οἶνον ποιεῖ· ἡ σὰρξ δεχομένη πολλάκις οἶνον, εἰς ὕδωρ μετέβαλε. πόθεν οὖν δῆλον ὅτι ἀπὸ γῆς ταῦτα, *τῆς γῆς ἐναντίως ἐχούσης πρὸς τὸ ″σῶμα; τὰ εἰρημένα λογισμῷ μὲν εὑρεῖν οὐ δύναμαι, πίστει δὲ δέχομαι μόνῃ. εἰ τοίνυν τὰ καθ' ἡμέραν γινόμενα καὶ ψηλαφώμενα πίστεως δεῖται, πολλῷ μᾶλλον τὰ ἀπορρητότερα τούτων καὶ πνευματικώτερα. καθάπερ γὰρ ἡ γῆ ἡ ἄψυχος, ἡ ἀκίνητος, ἐνεδυναμώθη τῷ θελήματι τοῦ Θεοῦ, καὶ τοσαῦτα ἐξ αὐτῆς τὰ θαύματα γέγονεν, οὕτω καὶ τοῦ πνεύματος τῷ ὕδατι παρόντος, τὰ παράδοξα ταῦτα καὶ λογισμὸν ὑπερβαίνοντα εὐκόλως πάντα γίνεται. μὴ ″γάρ, ἐπειδὴ μὴ ὁρᾷς αὐτά, ἀπίστει· ἐπεὶ οὐδὲ τὴν ψυχὴν ὁρᾷς, ἀλλ' ὅμως πιστεύεις ἔχειν ψυχήν, καὶ ἄλλο ψυχὴν εἶναί τι παρὰ τὸ σῶμα. ἀλλ' ὁ Χριστὸς οὐκ ἀπὸ τούτου τοῦ παραδείγματος αὐτὸν ἐνῆγεν, ἀλλ' ἑτέρου. τοῦτο μὲν γάρ, εἰ καὶ ἀσώματόν ἐστιν, ἡ ψυχὴ λέγω, διὰ τοῦτο οὐ παρήγαγεν αὐτό, ἐπειδὴ ἔτι παχύτερον ἐκεῖνος διέκειτο· τίθησι δὲ ἕτερον ὑπόδειγμα, ὃ μήτε κοινωνίαν τινὰ πρὸς τὴν τῶν σωμάτων ἔχει παχύτητα, μήτε εἰς τὴν τῶν ἀσωμάτων ἀνέβη φύσιν, ὅπερ ἐστὶν ἡ τοῦ ἀνέμου φορά. καὶ πρῶτον ἀπὸ τοῦ ὕδατος ἄρχεται τοῦ λεπτοτέρου μὲν τῆς γῆς, παχυτέρου δὲ τοῦ ἀνέμου. ὥσπερ γὰρ ἐν ἀρχῇ ὑπέκειτο στοιχεῖον ἡ γῆ, τὸ δὲ πᾶν τοῦ διαπλάττοντος ἦν· οὕτω καὶ νῦν, ὑπόκειται μὲν στοιχεῖον τὸ ὕδωρ, τὸ δὲ πᾶν τῆς τοῦ πνεύματός ἐστι χάριτος· καὶ τότε μὲν εἰς ψυχὴν ζῶσαν ἐγένετο ὁ ἄνθρωπος, νῦν δὲ εἰς πνεῦμα ζωοποιοῦν. πολὺ δὲ τὸ μέσον ἑκατέρων. ἡ μὲν γὰρ ψυχὴ οὐχ ἑτέρῳ παρέχει τὸ ζῆν· τὸ δὲ πνεῦμα οὐκ αὐτὸ ζῇ μόνον, ἀλλὰ καὶ ἑτέροις παρέχει τοῦτο. οὕτω γοῦν καὶ νεκροὺς ἀνέστησαν οἱ ἀπόστολοι. καὶ τότε μὲν τῆς κτίσεως γενομένης, ὁ ἄνθρωπος ὕστερον πλάττεται· νῦν δὲ τοὐναντίον. πρὸ γὰρ τῆς καινῆς κτίσεως, ὁ ἄνθρωπος ὁ νέος δημιουργεῖται. καὶ γὰρ πρῶτος οὗτος γεννᾶται, καὶ τότε ὁ κόσμος μετασχηματίζεται· καὶ καθάπερ ἐξ ἀρχῆς ὁλόκληρον ἔπλασεν, οὕτω καὶ νῦν ὁλόκληρον αὐτὸν δημιουργεῖ. καὶ τότε μέν, φησι, ποιήσωμεν αὐτῷ βοηθόν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ὁ γὰρ τὴν τοῦ πνεύματος λαβὼν χάριν, τίνος δεήσεται βοηθοῦ ἑτέρου; ὁ εἰς τὸ σῶμα τοῦ Χριστοῦ τελῶν, ποίαν ἔχει λοιπὸν συμμαχίας χρείαν; τότε κατ' εἰκόνα Θεοῦ ἐποίησε τὸν ἄνθρωπον· νῦν αὐτὸν τῷ Θεῷ ἥνωσε· τότε ἰχθύων ἄρχειν καὶ θηρίων ἐκέλευσε, νῦν ὑπεράνω τῶν οὐρανῶν τὴν ἀπαρχὴν ἡμῶν ἀνήγαγε· τότε παράδεισον ἔδωκε τὴν δίαιταν· νῦν δὲ οὐρανὸν ἡμῖν ἀνέῳξε· τότε ἐπλάσθη τῇ ἕκτῃ ἡμέρᾳ, ἐπειδὴ ἔμελλε καὶ συντελεῖσθαι ὁ αἰών· νῦν τῇ πρώτῃ ἡμέρᾳ καὶ ἐν προοιμίοις, ὅτε καὶ τὸ φῶς. ἐξ ὧν πάντων δῆλον ὅτι *ἑτέρας ζωῆς ἀμείνονος τὰ τελούμενα ἦν, καὶ καταστάσεως πέρας οὐκ ἐχούσης. ἡ μὲν οὖν προτέρα πλάσις ἀπὸ γῆς, ἡ τοῦ Ἀδάμ, καὶ ἀπὸ πλευρᾶς ἡ μετ' ἐκείνην, ἡ τῆς γυναικός, καὶ ἀπὸ σπέρματος ἡ μετ' αὐτήν, ἡ τοῦ Ἄβελ· ἀλλ' ὅμως οὐδὲ μιᾶς ἐφικέσθαι δυνάμεθα τούτων, οὐδὲ παραστῆσαι λόγῳ τὰ γενόμενα, καίτοι παχύτατα ὄντα. ″πῶς οὖν περὶ τῆς νοητῆς τῆς διὰ τοῦ βαπτίσματος γεννήσεως δυνησόμεθα δοῦναι εὐθύνας τῆς πολλῷ τούτων ὑψηλοτέρας, καὶ λογισμοὺς ἀπαιτεῖσθαι τῆς θαυμαστῆς καὶ παραδόξου ταύτης λοχείας; ἐπεὶ καὶ ἄγγελοι τῇ γεννήσει ταύτῃ παρεστήκασι γινομένῃ· εἰπεῖν δὲ τὸν τρόπον οὐκ ἂν ″ἔχοιεν τῆς θαυμαστῆς ταύτης παραδοξοποιΐας, ἀλλὰ παρεστήκασι μόνον, οὐδὲν μὲν τελοῦντες, ὁρῶντες δὲ τὰ γινόμενα. πατὴρ γὰρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα πάντα ἐργάζεται. πειθώμεθα τοίνυν τῇ ἀποφάσει τοῦ Θεοῦ· ὄψεως γάρ ἐστιν αὕτη πιστοτέρα. ἡ μὲν γὰρ ὄψις πολλαχοῦ καὶ σφάλλεται· ἐκείνην δὲ ἀμήχανον διαπεσεῖν· πειθώμεθα τοίνυν αὐτῇ. ἡ γὰρ ″τὰ μὴ ὄντα παραγαγοῦσα, ἀξιόπιστος ἂν εἴη καὶ περὶ τῆς φύσεως αὐτῶν διαλεγομένη. τί οὖν αὕτη φησίν; ὅτι γέννησίς ἐστι τὸ τελούμενον. εἰ δέ ″τις λέγει, πῶς; ἐπιστόμισον αὐτὸν τῇ ἀποφάσει τοῦ ″Θεοῦ, ἥπερ ἐστὶ μεγίστη καὶ σαφὴς ἀπόδειξις. ″εἰ δέ τις ἐρωτῴη, τίνος ἕνεκεν τὸ ὕδωρ παρείληπται, ″ἀντερωτήσωμεν

ποιῦ τὰ
σῶμα κτ
εἰρημένα;

τοίνυν,

ἀπαρχὴ
ἡ δὲ πρὸς
ῦπα λέγειν
ώματον,
ς περὶ τῆς
καὶ πολὺ
ων ὑψη-
τέρας γεν-
νως οὐκ ἀ-
ματώτερον
τὸ λέγειν;
ἄλλον δὲ πῶς
ταῦτα λό-
ἀπαιτεῖ-
ταῖς
ἔχοι τις τ
θαυμαστῆς ἐ-
ταύτης γεννή-
ως τ διὰ τοῦ
βαπτίσματος.
παρεστήκασι
οντες δὲ
ουδὲν, μόνον
ῶντες δὲ
τὰ γινόμενα.
ξια ὄντων
ρος.
σι
Χριστοῦ,
ἐπεὶ τ ἐ-
ἕνεκα τίνος
ἐρωτήσω-
μεν

μὲν καὶ ἡμεῖς, τίνος δὲ ἕνεκεν ἡ γῆ" παρὰ τὴν ἀρχὴν εἰς τὴν τοῦ ἀνθρώπου διάπλασιν παρήγετο; ὅτι γὰρ καὶ τῆς γῆς χωρὶς ποιῆσαι ἄνθρωπον αὐτῷ δυνατὸν ἦν, παντί που δῆλον. μηδὲν τοίνυν περιεργάζου. ὅτι γὰρ ἀναγκαία καὶ ἀπαραίτητος τοῦ ὕδατος ἡ χρεία, οὕτως ἂν μάθοις. τοῦ πνεύματός ποτε καταπτάντος πρὸ τοῦ ὕδατος, οὐκ ἔστη μέχρι τούτου ὁ ἀπόστολος, ἀλλ' ὡς ἀναγκαίου καὶ τούτου καὶ οὐ περιττοῦ, ὅρα τί φησι· Μήτι τὸ ὕδωρ δύναταί τις κωλῦσαι τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς; τίς οὖν ἐστιν ἡ τοῦ ὕδατος χρεία; καὶ ταύτην ἤδη λοιπὸν ἐρῶ, τὸ μυστήριον ὑμῖν ἐκκαλύπτων" τὸ ἀποκεκρυμμένον. Εἰσὶ μὲν γὰρ καὶ ἕτεροι ἀπόρρητοι λόγοι τοῦ πράγματος, τέως δὲ ἐκ τῶν πολλῶν ὑμῖν ἕνα ἐρῶ. τίς οὖν οὗτός ἐστι; θεῖα τελεῖται ἐν αὐτῷ σύμβολα, τάφος καὶ νέκρωσις, ἀνάστασις καὶ ζωή, καὶ ταῦτα ὁμοῦ γίνεται πάντα. καθάπερ γὰρ ἔν τινι τάφῳ, τῷ ὕδατι καταδυόντων ἡμῶν τὰς κεφαλάς, ὁ παλαιὸς ἄνθρωπος θάπτεται" κάτω, καὶ καταποντίζεται εἰς τέλος ἅπας· εἶτα, ἀνανευόντων ἡμῶν, ὁ καινὸς ἄνεισι πάλιν. ὥσπερ γὰρ εὔκολον ἡμῖν βαπτίσασθαι καὶ ἀνανεῦσαι· οὕτως εὔκολον τῷ Θεῷ θάψαι τὸν ἄνθρωπον τὸν παλαιόν, καὶ ἀναδεῖξαι τὸν νέον. τρίτον δὲ τοῦτο γίνεται, ἵνα μάθῃς, ὅτι δύναμις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ταῦτα πάντα πληροῖ. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουσον Παύλου λέγοντος· Συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· καὶ πάλιν, Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη· καὶ πάλιν, Σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. οὐ μόνον δὲ τὸ βάπτισμα σταυρὸς λέγεται, ἀλλὰ καὶ ὁ σταυρὸς βάπτισμα. Τὸ γὰρ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, φησί, βαπτισθήσεσθε· καί, βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε. καθάπερ γὰρ ἡμεῖς εὐκόλως βαπτιζόμεθα καὶ ἀναδυόμεθα, οὕτω καὶ αὐτὸς εὐκόλως ἀποθανών, ὅτε ἠθέλησεν, ἀνέστη· μᾶλλον δὲ καὶ πολλῷ ῥᾷον, εἰ καὶ τὰς τρεῖς ἡμέρας διὰ μυστηρίου τινὸς οἰκονομίαν ἀνέμεινε.

Πραξ. ι μζ.

Κολ. β. ιβ.

Ρω. ς. ε.

Ρω. ς. ς.

Μαρ. ι. λθ.

γ. πᾶσα

γ. ὡς εἴρηται, αὐτῶν.

γ. καὶ καταδ καταποντίζεται ὅλος καθάπαξ.

ΗΘΙΚΟΝ

Τηλικούτων οὖν μυστηρίων καταξιωθέντες, βίον ἐπιδειξώμεθα ἄξιον τῆς δωρεᾶς, πολιτείαν ἀρίστην. ὑμεῖς δὲ μηδέπω τούτων καταξιωθέντες, πάντα πράττετε ὥστε καταξιωθῆναι, ἵνα γενώμεθα σῶμα ἕν, ἵνα ὦμεν ἀδελφοί. ἕως μὲν γὰρ ἂν κατὰ τοῦτο διεστήκωμεν, κἂν πατήρ τις ᾖ, κἂν υἱός, κἂν ἀδελφός, κἂν ὁστισοῦν, οὐδέπω συγγενής ἐστι γνήσιος, τῆς ἄνωθεν συγγενείας διεσπασμένος. τί γὰρ ὄφελος ἀπὸ τοῦ πηλίνου γένους συνῆφθαι, ὅταν ἀπὸ τοῦ πνευματικοῦ μὴ συνημμένοι ὦμεν; ποῖον δὲ κέρδος τῆς ἐν τῇ γῇ ἀγχιστείας, ὅταν ἐν τοῖς οὐρανοῖς ἀλλότριοι ὦμεν; ἀλλότριος γὰρ ὁ κατηχούμενος τοῦ πιστοῦ. οὐ γὰρ ἔχει κεφαλὴν τὴν αὐτήν, οὐκ ἔχει πατέρα τὸν αὐτόν, οὐκ ἔχει πόλιν τὴν αὐτήν, οὐ τροφήν, οὐκ ἔνδυμα, οὐ τράπεζαν, οὐκ οἰκίαν, ἀλλὰ πάντα ἐξηλλαγμένα. καὶ γὰρ πάντα ἐπὶ γῆς τούτῳ, καὶ πάντα ἐν οὐρανοῖς ἐκείνῳ· βασιλεὺς τούτῳ ὁ Χριστός, ἐκείνῳ δὲ ἡ ἁμαρτία καὶ ὁ διάβολος· τροφὴ τούτῳ μέν, ὁ Χριστός, ἐκείνῳ δέ, ἡ σηπομένη καὶ φθειρομένη· καὶ ἔνδυμα πάλιν τούτῳ μὲν τὰ σητῶν ἔργα, ἐκείνῳ δέ, ὁ τῶν ἀγγέλων δεσπότης· πόλις τούτῳ μὲν ὁ οὐρανός, ἐκείνῳ δὲ ἡ γῆ. ὅταν οὖν μηδὲν ἔχωμεν κοινόν, κατὰ τί κοινωνήσομεν, εἰπέ μοι; ἀλλὰ τὰς αὐτὰς ἐλύσαμεν ὠδῖνας, καὶ ἐκ μιᾶς προήλθομεν γαστρός; ἀλλ' οὐδὲν τοῦτο πρὸς συγγένειαν τὴν ἀκριβεστάτην. σπουδάσωμεν τοίνυν τῆς ἄνω πόλεως γενέσθαι πολῖται. μέχρι τίνος ἐπὶ τῆς ὑπερορίας μένομεν, δέον τὴν ἀρχαίαν πατρίδα ἀπολαβεῖν; οὐδὲ γὰρ περὶ τῶν τυχόντων ὁ κίνδυνος. ἀλλ' εἰ γένοιτο, ὃ μὴ γένοιτο, ἀπροσδοκήτου τῆς τελευτῆς ἐπελθούσης, ἀμυήτους ἐντεῦθεν ἀπελθεῖν, κἂν μυρία ἔχωμεν ἀγαθά, οὐδὲν ἡμᾶς ἕτερον" λήψεται, ἢ γέεννα, καὶ σκώληξ ἰοβόλος, καὶ πῦρ ἄσβεστον, καὶ δεσμὰ ἄλυτα· ἀλλὰ μὴ γένοιτό τινα τῶν ταῦτα ἀκουόντων ἐκείνης πειραθῆναι τῆς κολάσεως. τοῦτο δὲ ἔσται, ἂν" τῶν ἁγίων καταξιωθέντες μυστηρίων, χρυσὸν καὶ ἄργυρον καὶ λίθους τιμίους οἰκοδομήσωμεν ἐπὶ τὸν θεμέλιον. οὕτω γὰρ δυνησόμεθα ἀπελθόντες ἐκεῖ φανῆναι πλούσιοι, ὅταν μὴ ἐνταῦθα χρήματα καταλείψωμεν, ἀλλὰ μετακομίσωμεν πρὸς τοὺς ἀσύλους θησαυρούς

γ. διαλεξ

διὰ τῶν χειρῶν τῶν πενήτων, ὅταν δανείσωμεν τῷ Χριστῷ. πολλὰ ὀφείλομεν ἐκεῖ, οὐ χρήματα, ἀλλ᾽ ἁμαρτήματα· δανείσωμεν τοίνυν αὐτῷ χρήματα, ἵνα λάβωμεν ἁμαρτημάτων συγχώρησιν. αὐτὸς γάρ ἐστιν ὁ δικάζων. μὴ περιίδωμεν αὐτὸν ἐνταῦθα πεινῶντα, ἵνα καὶ αὐτὸς ἡμᾶς ἐκεῖ διαθρέψῃ. ἐνταῦθα ἐνδύσωμεν αὐτὸν, ἵνα μὴ ἀφῇ ἡμᾶς γυμνοὺς τῆς ἀσφαλείας τῆς παρ᾽ αὐτοῦ. ἐὰν ἐνταῦθα αὐτὸν ποτίσωμεν, οὐκ ἐροῦμεν κατὰ τὸν πλούσιον, Πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ ἐπιστάξῃ τῇ γλώσσῃ ἡμῶν ἀποτηγανιζομένῃ· ἐὰν ἐνταῦθα εἰς τὰς οἰκίας ἡμῶν αὐτὸν "ὑποδεξώμεθα, ἐκεῖ πολλὰς παρασκευάσει ἡμῖν μονάς· ἐὰν ἀπέλθωμεν πρὸς αὐτὸν ἐν φυλακῇ ὄντα, καὶ αὐτὸς ἡμᾶς ἀπαλλάξει τῶν δεσμῶν· ἐὰν ξένον ὄντα συναγάγωμεν, οὐ περιόψεται ξένους ἡμᾶς ὄντας τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ μεταδώσει ἡμῖν τῆς πόλεως τῆς ἄνω· ἐὰν ἀσθενῆ ὄντα ἐπισκεψώμεθα, ταχέως ἐλευθερώσει ἡμᾶς καὶ αὐτὸς τῶν ἀσθενειῶν ἡμῶν. ὡς οὖν μεγάλα λαμβάνοντες καὶ μικρὰ διδόντες, κἂν τὰ μικρὰ δῶμεν, ἵνα ἐμπορευσώμεθα τὰ μεγάλα· ὡς ἔτι καιρὸς, σπείρωμεν, ἵνα ἀμήσωμεν. ὅταν ὁ χειμὼν * καταλάβῃ, ὅταν ἡ θάλασσα οὐκ ἔτι πλέηται, οὐκ ἔτι κύριοι τῆς ἐμπορείας ταύτης ἐσμέν. πότε δὲ ἔσται ὁ χειμών; ὅταν ἡ ἡμέρα ἐπιστῇ ἡ μεγάλη καὶ ἐπιφανής. τότε γὰρ οὐκ ἔτι πλευσούμεθα τὴν θάλασσαν ταύτην τὴν μεγάλην καὶ εὐρύχωρον. ταύτῃ γὰρ ὁ παρὼν ἔοικε βίος. νῦν ὁ τοῦ σπείρειν καιρὸς, τότε ὁ τοῦ ἀμᾶσθαι καὶ κερδαίνειν. ἐὰν τις ἐν τῷ καιρῷ τοῦ σπόρου μὴ καταβάλλῃ σπέρματα, ἐν ἀμητῷ σπείρων, πρὸς τῷ μηδὲν ἀνύειν καὶ καταγέλαστος ἔσται. εἰ δὲ σπόρου ἐστὶν ὁ παρὼν καιρὸς, οὐ τοῦ συλλέγειν, ἀλλὰ τοῦ σκορπίζειν "καιρὸς ἂν εἴη λοιπόν. σκορπίσωμεν τοίνυν, ἵνα συναγάγωμεν· μὴ βουληθῶμεν συναγαγεῖν νῦν, ἵνα μὴ τὸν ἄμητον ἀπολέσωμεν. ἔστι γὰρ, ὅπερ ἔφην, ὁ καιρὸς ἐπὶ τὸ σπείρειν καλῶν καὶ δαπανᾶν καὶ ἀναλίσκειν, οὐκ ἐπὶ τὸ συλλέγειν καὶ ἀποτίθεσθαι. μὴ τοίνυν προδῶμεν τὴν εὐκαιρίαν, ἀλλὰ δαψιλῆ τὸν σπόρον καταβάλλωμεν, καὶ μηδενὸς φεισώμεθα τῶν ἔνδον, ἵνα μετὰ πολλῆς αὐτὰ ἀπολάβωμεν τῆς ἀντιδόσεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λυκ. ις. κδ.

Ομιλ. κϛ. 6 ΤΟ ΓΕΓΕΝΝΗΜΕΝΟΝ ΕΚ ΤΗΣ ΣΑΡΚΟΣ, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι.

Μεγάλων ἡμᾶς μυστηρίων κατηξίωσεν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ· μεγάλων, καὶ οἵων οὐχ ἡμεῖς ἦμεν ἄξιοι, ἀλλ᾽ οἵων αὐτῷ παρέχειν πρέπον ἦν. ἂν μὲν γὰρ τὴν ἀξίαν τὴν ἡμετέραν λογίσηταί τις, οὐ μόνον τῆς δωρεᾶς ἦμεν ἀνάξιοι, ἀλλὰ καὶ κολάσεως ὑπεύθυνοι καὶ τιμωρίας. ἐπειδὴ δὲ οὐ πρὸς τοῦτο εἶδεν, οὐ μόνον κολάσεως ἀπήλλαξεν, ἀλλὰ καὶ ζωὴν ἐχαρίσατο, πολλῷ τῆς προτέρας "λαμπροτέραν, εἰς ἄλλον ἡμᾶς εἰσήγαγε κόσμον, ἑτέραν ἐδημιούργησε κτίσιν. Εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις, φησί. ποία καινὴ κτίσις; ἄκουσον αὐτοῦ λέγοντος· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. "παράδεισον ἐπιστεύθημεν, καὶ οὐδὲ τῆς "ἐν αὐτῷ διαγωγῆς "ἐφάνημεν ἄξιοι, καὶ εἰς τοὺς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν. ἐν τοῖς προτέροις οὐχ εὑρέθημεν πιστοὶ, καὶ μείζονα ἐνεχείρισεν· ἑνὸς ἀποσχέσθαι ξύλου οὐκ ἰσχύσαμεν, καὶ τὴν ἄνω παρέσχε τρυφήν. ἐν παραδείσῳ οὐκ ἐκαρτερήσαμεν, καὶ τοὺς οὐρανοὺς ἡμῖν ἀνεπέτασεν. Εἰκότως ἔλεγεν ὁ Παῦλος· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ. οὐκέτι μήτηρ, οὐκέτι ὠδῖνες, οὔτε ὕπνοι καὶ συνουσίαι καὶ περιπλοκαὶ σωμάτων· "ἄνω λοιπὸν ὑφαίνεται τῆς ἡμετέρας φύσεως ἡ κατασκευὴ,

β. Κορ. ε. ιζ.

Ρω. ια. λγ.

ἀπὸ πνεύματος ἁγίου καὶ ὕδατος. τὸ δὲ ὕδωρ παρείληπται τόκος τῷ τικτομένῳ γινόμενον· ὅπερ γάρ ἐστιν ἡ μήτρα τῷ ἐμβρύῳ, τοῦτο τῷ πιστῷ τὸ ὕδωρ. ἐν γὰρ τῷ ὕδατι
Γεν. α. κ. διαπλάττεται καὶ μορφοῦται. τὸ μὲν γὰρ πρῶτον ἐλέγετο, Εξαγαγέτω τὰ ὕδατα ἑρπετὰ
ψυχῶν ζωσῶν· ἐξ οὗ δὲ ἐπέβη τῶν Ἰορδανείων ῥείθρων ὁ δεσπότης, οὐκέτι ἑρπετὰ ψυχῶν ζωσῶν, γρ. Ἰορδάνου
ἀλλὰ ψυχὰς λογικὰς καὶ πνευματοφόρους τὸ ὕδωρ ἀναδίδωσι· καὶ ὃ περὶ τοῦ ἡλίου εἴρηται,
Ψαλ. ιη. ε. Οτι ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, τοῦτο περὶ τῶν πιστῶν καιρὸς ἂν εἴη
μᾶλλον εἰπεῖν. πολλῷ γὰρ φαιδροτέρας ἀφίησι τὰς ἀκτῖνας ἐκείνου. ἀλλὰ τὸ μὲν ἐν τῇ ἴσ. ἀφιᾶσι
μήτρᾳ διαπλαττόμενον χρόνου δεῖται, ἐν τῷ ὕδατι δὲ οὐχ οὕτως, ἀλλ' ἐν μιᾷ ῥοπῇ πάντα
γίνεται. ἔνθα μὲν γὰρ ἐπίκηρος ἡ ζωή, καὶ ἀπὸ σωματικῆς φθορᾶς ἔχει τὴν ἀρχήν, βραδέως
τὸ τικτόμενον (τοιαύτη γὰρ τῶν σωμάτων ἡ φύσις· χρόνῳ προσλαμβάνει τὸ τέλειον)
ἐπὶ δὲ τῶν πνευματικῶν οὐχ οὕτω. τί δήποτε; ὅτι τέλεια ἐξ ἀρχῆς κατασκευάζεται τὰ
γινόμενα. ἀλλ' ἐπειδὴ ὁ Νικόδημος ἀκούων ταῦτα συνεχῶς ἐταράττετο, ὅρα πῶς αὐτῷ παρανοίγει
τὸ ἀπόρρητον τοῦ μυστηρίου τούτου, καὶ σαφὲς ἐργάζεται τὸ ἀσαφὲς ἐκείνῳ τέως. τὸ
γὰρ γεγεννημένον, φησίν, ἐκ τῆς σαρκός, σάρξ ἐστι· τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά
ἐστιν. ἀπάγει τῶν αἰσθητῶν αὐτὸν ἁπάντων, καὶ οὐκ ἀφίησι τοῖς ὀφθαλμοῖς τούτοις περιεργάσασθαι
τὴν μυσταγωγίαν. οὐ γὰρ περὶ σαρκὸς διαλεγόμεθα, φησίν, ἀλλὰ περὶ πνεύματος,
ὦ Νικόδημε (τέως αὐτὸν τῷ λόγῳ τούτῳ πρὸς τὸ ἄνω παρέπεμψε) μηδὲν τοίνυν
τῶν αἰσθητῶν ἐπιζήτει. τὸ γὰρ πνεῦμα οὐκ ἂν φανείη τοῖς ὀφθαλμοῖς τούτοις, μηδὲ νόμιζε
ὅτι σάρκα τίκτει τὸ πνεῦμα. πῶς οὖν, ἴσως εἴποι ἄν τις, ἡ τοῦ Κυρίου σὰρξ ἐτέχθη; οὐκ
Γαλ. δ. δ. ἀπὸ πνεύματος μόνον, ἀλλὰ καὶ ἀπὸ σαρκός. διὸ καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· Γενόμενος γρ. γενόμενος
ἐκ γυναικός, γενόμενος ὑπὸ νόμον. τὸ μὲν γὰρ πνεῦμα αὐτὴν διέπλασεν, οὐ μὴν
ἐξ οὐκ ὄντων (ἐπεὶ τί ἔδει τῆς μήτρας;) ἀλλ' ἐκ τῆς σαρκὸς τῆς παρθενικῆς. τὸ δὲ πῶς, οὐ
δύναμαι ἑρμηνεύειν. τοῦτο δὲ γέγονεν, ἵνα μή τις ἀλλότριον εἶναι νομίσῃ τῆς ἡμετέρας φύσεως
τὸ τικτόμενον. εἰ γὰρ καὶ τούτου γινομένου, εἰσί τινες οἳ διαπιστοῦσι τῇ τοιαύτῃ γεννήσει,
εἰ μὴ τῆς σαρκὸς ἐκοινώνησε τῆς παρθενικῆς, ποῦ οὐκ ἂν ἐξέπεσαν ἀσεβείας οὗτοι; τὸ γεγεννημένον
ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. ὁρᾷς πνεύματος ἀξίαν; τὸ γὰρ τοῦ Θεοῦ ἔργον
φαίνεται ποιοῦν. ἀνωτέρω μὲν γάρ φησιν, ὅτι ἐκ τοῦ Θεοῦ ἐγεννήθησαν· ἐνταῦθα δέ, ὅτι γρ. μὲν οὖν ἀνω-
τὸ πνεῦμα αὐτοὺς γεννᾷ. τὸ γεγεννημένον, φησίν, ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. ὃ δὲ λέγει τέρω,
τοιοῦτόν ἐστιν· ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος, πνευματικός ἐστι. γέννησιν γὰρ ἐνταῦθα οὐ τὴν κατ'
οὐσίαν λέγει, ἀλλὰ τὴν κατὰ τιμὴν καὶ χάριν. εἰ τοίνυν καὶ ὁ υἱὸς οὕτω γεγέννηται, τί πλέον ἕξει τῶν ἀνθρώπων
τῶν οὕτω γεγεννημένων; πῶς δὲ μονογενής ἐστι; καὶ γὰρ καὶ ἐγὼ ἐκ τοῦ Θεοῦ γεγέννημαι, ἀλλ'
οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ. εἰ τοίνυν μηδὲ αὐτὸς ἐκ τῆς οὐσίας, τί κατὰ τοῦτο διενήνοχεν ἡμῶν; εὑρεθήσεται
ἄρα καὶ τοῦ πνεύματος ἐλάττων. ἡ γὰρ τοιαύτη γέννησις ἐκ τῆς τοῦ πνεύματος γίνεται
χάριτος. ἆρ' οὖν ἵνα μένῃ υἱός, τῆς παρὰ τοῦ πνεύματος δεῖται βοηθείας; καὶ τί ταῦτα Ιουδαϊκῶν
διέστηκε δογμάτων; εἰπὼν τοίνυν ὁ Χριστός, ὅτι ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν,
ἐπειδὴ θορυβούμενον πάλιν εἶδεν, ἐπὶ αἰσθητὸν παράδειγμα ἄγει τὸν λόγον, οὕτω λέγων·

7 Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, ὅτι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.

8 Τὸ πνεῦμα ὅπου θέλει, πνεῖ. Τῷ γὰρ εἰπεῖν, μὴ θαυμάσῃς, δείκνυσιν αὐτοῦ
τὸν θόρυβον τῆς ψυχῆς, καὶ ἐπὶ τὸ λεπτότερον αὐτὸν ἄγει τῶν σωμάτων. τὴν μὲν γὰρ σαρκικὴν
ἀπήγαγεν εἰπών, τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. ἐπειδὴ δὲ οὐκ ᾔδει τί γρ. ἀπήγαγεν, εἰπὼν δὲ τὸ
ποτέ ἐστιν ὅ φησι, τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι, λοιπὸν αὐτὸν πρὸς ἑτέραν γρ. ἄγει αὐτὸν
μεταφέρει εἰκόνα, οὔτε εἰς τὴν τῶν σωμάτων ἄγων παχύτητα, οὔτε περὶ ἀσωμάτων καθαρῶς ἐπὶ τὰ σωματικώτερα,
διαλεγόμενος (οὐδὲ γὰρ ἠδύνατο ἀκούων χωρεῖν ἐκεῖνος) ἀλλ' εὑρών τι μέσον σώματός γρ. πολὺ χωρεῖν
τε καὶ ἀσωμάτου, τὴν τοῦ ἀνέμου φοράν, ἐντεῦθεν αὐτὸν ἀνάγει. περὶ γὰρ αὐτοῦ φησιν,

ὅτι Τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

Ἂν δὲ λέγῃ, ὅπου θέλει, πνεῖ, οὐχ ὡς προαίρεσίν τινα τοῦ ἀνέμου ἔχοντος λέγει τοῦτο, ἀλλὰ τὴν ἀπὸ φύσεως φορὰν τὴν ἀκώλυτον καὶ μετ' ἐξουσίας γινομένην δηλῶν. οἶδε γὰρ ἡ γραφὴ καὶ περὶ τῶν ἀψύχων οὕτω διαλέγεσθαι, ὡς ὅταν λέγῃ· Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα. τὸ οὖν, ὅπου θέλει, πνεῖ, τὸ ἀκάθεκτόν ἐστι δηλοῦντος, καὶ ὅτι διαχεῖται πανταχοῦ, καὶ ὁ κωλύων οὐδεὶς τῇδε κἀκεῖσε φέρεσθαι· ἀλλὰ μετὰ πολλῆς τῆς ἐξουσίας σκεδάννυται, καὶ οὐδεὶς ὁ ἰσχύων παρατρέψαι τὴν ῥύμην αὐτοῦ. καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, τουτέστι, τὸν πάταγον, τὸν κτύπον· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

Ρω. η. κ.

Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. Ἐνταῦθά ἐστι τὸ συμπέρασμα ἅπαν. Εἰ γὰρ τούτου, φησὶ, τοῦ πνεύματος, οὗ τὴν αἴσθησιν δέχῃ τῇ ἀκοῇ καὶ τῇ ἁφῇ, τὴν ὁρμὴν ἑρμηνεῦσαι οὐκ οἶδας, οὐδὲ τὴν ὁδόν· πῶς τὴν ἀπὸ τοῦ θείου πνεύματος ἐνέργειαν περιεργάζῃ, τὴν τοῦ ἀνέμου οὐκ ἐπιστάμενος, καίτοι φωνὴν ἀκούων; τὸ δὲ ὅπου θέλει πνεῖ, καὶ πρὸς παράστασιν τῆς τοῦ παρακλήτου εἴρηται ἐξουσίας.* Εἰ γὰρ τοῦτο οὐδεὶς κατέχει, ἀλλ' ὅπου θέλει, φέρεται· πολλῷ μᾶλλον τὴν τοῦ πνεύματος ἐνέργειαν οὐ φύσεως δυνήσονται νόμοι κατασχεῖν, οὐχ ὅροι σωματικῆς γεννήσεως, οὐχ ἄλλο τῶν τοιούτων οὐδέν. ὅτι γὰρ περὶ ἀνέμου εἴρηται τὸ, τὴν φωνὴν αὐτοῦ ἀκούεις, δῆλον ἐκεῖθεν. οὐ γὰρ ἂν ἀπίστῳ διαλεγόμενος καὶ οὐκ εἰδότι τοῦ πνεύματος τὴν ἐνέργειαν, εἶπε, τὴν φωνὴν αὐτοῦ ἀκούεις. ὥσπερ οὖν ὁ ἄνεμος οὐ φαίνεται, καίτοιγε φωνὴν διδούς, οὕτως οὐδὲ ἡ τοῦ πνευματικοῦ φαίνεται γέννησις ὀφθαλμοῖς σώματος, καίτοιγε σῶμα ὁ ἄνεμος, εἰ καὶ λεπτότατον. τὸ γὰρ αἰσθήσει ὑποβαλλόμενον, σῶμα. Εἰ τοίνυν τὸ σῶμα οὐκ ἀγανακτεῖς ὅτι μὴ ὁρᾷς, οὐδὲ ἀπιστεῖς διὰ τοῦτο, τί δήποτε περὶ τοῦ πνεύματος ἀκούων ἰλιγγιᾷς, καὶ τοσαύτας ἀπαιτεῖς εὐθύνας, ἐπὶ σώματος τοῦτο οὐ ποιῶν; τί οὖν ὁ Νικόδημος; ἔτι ἐπὶ τῆς Ἰουδαϊκῆς εὐτελείας μένει, καὶ ταῦτα παραδείγματος οὕτω σαφοῦς λεχθέντος αὐτῷ. διὸ καὶ ἀπορητικῶς πάλιν εἰπόντος,

9 Πῶς δύναται ταῦτα γενέσθαι; Λοιπὸν πρὸς αὐτὸν πληκτικώτερον ὁ Χριστὸς διαλέγεται·

10 Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; Ὅρα πῶς οὐδαμοῦ πονηρίαν κατηγορεῖ τοῦ ἀνδρὸς, ἀλλ' εὐήθειαν καὶ ἀφέλειαν μόνον. καὶ τί κοινὸν αὕτη πρὸς τὰ Ἰουδαϊκὰ ἡ γέννησις ἔχει, εἴποι τις ἄν; τί γὰρ οὐ κοινὸν, εἰπέ μοι; ὅ τε γὰρ πρῶτος γενόμενος ἄνθρωπος, ἥ τε ἀπὸ τῆς πλευρᾶς γενομένη γυνὴ, καὶ αἱ στεῖραι, καὶ τὰ διὰ τῶν ὑδάτων ἐπιτελεσθέντα, λέγω δὲ τὰ κατὰ τὴν πηγὴν ἐξ ἧς ὁ Ἐλισσαῖος τὸν σίδηρον ἐμετεώρισε, τὰ κατὰ τὴν ἐρυθρὰν θάλασσαν ἣν διέβησαν οἱ Ἰουδαῖοι, τὰ κατὰ τὴν κολυμβήθραν ἣν ὁ ἄγγελος ἐκίνει, τὰ κατὰ τὸν Σύρον Νεεμὰν τὸν ἐν τῷ Ἰορδάνῃ καθαρθέντα, ταῦτα πάντα τὴν γέννησιν καὶ τὸν καθαρμὸν τὸν μέλλοντα ἔσεσθαι, ὡς ἐν τύπῳ προανεφώνει· καὶ τὰ παρὰ τῶν προφητῶν δὲ λεγόμενα τοῦτον αἰνίττεται τῆς γεννήσεως τὸν τρόπον· οἷον τὸ, Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη· καὶ, Ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος· καὶ τὸ, Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου· καὶ τὸ, Φωτίζου Ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται· καὶ, Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. καὶ ὁ Ἰσαὰκ δὲ τύπος ἦν τῆς γεννήσεως ταύτης. Εἰπὲ γὰρ, ὦ Νικόδημε, πῶς ἐκεῖνος ἐτέχθη; ἆρα νόμῳ φύσεως; οὐδαμῶς, ἀλλὰ μέσος ὁ τρόπος ταύτης τῆς γεννήσεως κἀκείνης ἐστὶν· ἦν ἐκείνης μὲν, ὅτι ἐκ συνουσίας, ταύτης δὲ, ὅτι οὐκ ἐξ αἱμάτων ἐτέχθη. ἐγὼ δὲ δείκνυμι ὅτι οὐ ταύτην μόνον τὴν γέννησιν, ἀλλὰ καὶ τὴν ἐκ παρθένου προανεφώνουν οὗτοι οἱ τόποι. ἐπειδὴ γὰρ οὐκ ἄν τις ῥᾳδίως ἐπίστευσεν ὅτι παρθένος τίκτει, στεῖραι προέλαβον, εἶτα οὐ στεῖραι μόνον, ἀλλὰ καὶ γεγηρακυῖαι. καίτοι τῆς στείρας πολὺ θαυμαστότερον τὸ ἀπὸ πλευρᾶς γενέσθαι γυναῖκα· ἀλλ' ἐπειδὴ ἀρχαῖον ἦν ἐκεῖνο καὶ παλαιὸν, πάλιν ἄλλος γίνεται τύπος νέος καὶ πρόσφατος ὁ τῶν στειρῶν, προοδοποιῶν

Ψαλμ. κα λδ.
λϐ.
Ψαλμ. ρϐ. θ.
Ησ. ξ. α.
Ψαλμ. λα. α.

ὧν τῇ πίστει τῆς παρθενικῆς ὠδῖνος. τούτων οὖν αὐτὸν ἀναμιμνήσκων, ἔλεγε· σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ, καὶ ταῦτα οὐ γινώσκεις;

11 Ὃ οἴδαμεν, λαλοῦμεν· καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει. Ταῦτα δὲ λέγει, καὶ ἑτέρωθεν πάλιν ἀξιόπιστον τὸν λόγον ποιῶν, καὶ πρὸς τὴν ἀσθένειαν ἐκείνου "συγκαταβαίνων τῇ λέξει." τί δέ ἐστιν ὅ φησιν, ὃ οἴδαμεν, λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν; ἐπειδὴ γὰρ παρ' ἡμῖν ἡ ὄψις ἐστὶ τῶν ἄλλων αἰσθήσεων πιστοτέρα, κἂν βουλώμεθά τινα πιστώσασθαι, οὕτω λέγομεν, ὅτι τοῖς ὀφθαλμοῖς ἡμῶν ἑωράκαμεν, οὐκ ἐξ ἀκοῆς οἴδαμεν, διὰ τοῦτο καὶ ὁ Χριστὸς ἀνθρωπινώτερον πρὸς αὐτὸν διαλέγεται, τὸν λόγον κἀντεῦθεν πιστούμενος. καὶ ὅτι τοῦτό ἐστι, καὶ οὐδὲν ἄλλο παραστῆσαι βούλεται, οὐδὲ ὄψιν αἰσθητὴν ἐμφαίνει, δῆλον ἐκεῖθεν. εἰπὼν γάρ, τὸ γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν, ἐπήγαγεν, ὃ οἴδαμεν, λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν. τοῦτο δὲ οὐδέπω γεγεννημένον ἦν. πῶς οὖν λέγει, ὃ ἑωράκαμεν; οὐκ εὔδηλον ὅτι λέγει περὶ τῆς ἀκριβοῦς γνώσεως, καὶ οὐκ ἄλλως ἐχούσης; καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει. "τὸ μὲν οὖν, ὃ οἴδαμεν, ἤτοι περὶ ἑαυτοῦ καὶ τοῦ πατρός φησιν, ἢ περὶ ἑαυτοῦ μόνου· τὸ δέ, οὐδεὶς λαμβάνει, οὐ δυσχεραίνοντός ἐστι τὸ ῥῆμα νῦν, ἀλλὰ τὸ γινόμενον ἀπαγγέλλοντος. οὐ γὰρ εἶπε, τί δὲ ὑμῶν ἀναισθητότερον γένοιτ' ἄν, οἱ τὰ παρ' ἡμῶν οὕτως ἀκριβῶς ἀπαγγελθέντα οὐ προσίεσθε; ἀλλὰ καὶ διὰ τῶν ἔργων καὶ διὰ τῶν ῥημάτων πᾶσαν ἐπιείκειαν ἐνδεικνύμενος, τούτων μὲν οὐδὲν ἐφθέγξατο, πράως δὲ καὶ ἡμέρως τὸ συμβησόμενον προανεφώνησεν, ἐντεῦθεν εἰς πᾶσαν καὶ ἡμᾶς ἐνάγων πραότητα, καὶ παιδεύων ἡμᾶς, ὅταν πρός τινας διαλεγώμεθα, καὶ μὴ πείθωμεν, μὴ δυσχεραίνειν μηδὲ ἐκθηριοῦσθαι. οὐ γάρ ἐστιν ἀνύσαι τὸν χαλεπαίνοντα, ἀλλὰ καὶ ἀπειθέστερον ἐργάσασθαι μᾶλλον. διὰ τοῦτο χρὴ τῆς μὲν ὀργῆς ἀπέχεσθαι, πανταχόθεν δὲ ἀξιόπιστον ποιεῖν τὸν λόγον, οὐ τῷ μὴ ὀργίζεσθαι μόνον, ἀλλὰ καὶ τῷ μηδὲ κράζειν. ὕλη γὰρ ὀργῆς, ἡ κραυγή.

γ. κατωτ.

γ. διὰ τοῦ φησιν·

γ. τοῦτο δ'

ΗΘΙΚΟΝ

Συμποδίσωμεν τοίνυν τὸν ἵππον, ἵνα καταστρέψωμεν τὸν ἀναβάτην· περικόψωμεν τὰ πτερὰ τοῦ θυμοῦ, καὶ οὐκ ἔτι πρὸς ὕψος ἀρθήσεται τὸ κακόν. ὀξὺ γὰρ ἡ ὀργὴ πάθος, ὀξὺ καὶ δεινὸν κλέψαι τὰς ἡμετέρας ψυχάς. διὰ τοῦτο χρὴ πανταχόθεν ἀποφράττειν αὐτῷ τὴν εἴσοδον. καὶ γὰρ ἄτοπον θηρία μὲν δύνασθαι ἡμεροῦν, τὴν δὲ ἡμετέραν διάνοιαν ἀγριαίνουσαν περιορᾶν. πῦρ ἐστι σφοδρὸν ὁ θυμὸς πάντα διατρώγων. καὶ γὰρ καὶ σῶμα λυμαίνεται, καὶ ψυχὴν διαφθείρει, καὶ ἀειδῆ κατασκευάζει καὶ αἰσχρὸν ἰδεῖν, καὶ εἰ τὸν ὀργιζόμενον ἦν δυνατὸν ἑαυτῷ δῆλον εἶναι κατὰ τὸν καιρὸν τῆς ὀργῆς, οὐκ ἂν ἑτέρας ἐδεήθη παραινέσεως. οὐδὲν γὰρ ἀτερπέστερον ὄψεως ὀργιζομένης. μέθη τίς ἐστιν ἡ ὀργή, μᾶλλον δὲ μέθης χαλεπωτέρα καὶ δαίμονος ἐλεεινοτέρα. ἀλλ' ἂν μελετήσωμεν μὴ κράζειν, ἀρίστην ὁδὸν φιλοσοφίας εὑρήσομεν. διὰ τοῦτο ὁ Παῦλος μετὰ τῆς ὀργῆς καὶ τὴν κραυγὴν ἀνεῖλε, λέγων· Πᾶσα ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν. οὐκοῦν πειθώμεθα τῷ πάσης φιλοσοφίας διδασκάλῳ, καὶ ὅταν ὀργιζώμεθα πρὸς τοὺς οἰκέτας, τὰ ἁμαρτήματα ἑαυτῶν ἐννοῶμεν, καὶ τὴν ἐπιείκειαν αἰσχυνώμεθα τὴν ἐκείνων. ὅταν γὰρ σὺ μὲν ὑβρίζῃς, ἐκεῖνος δὲ σιγῇ φέρῃ τὴν ὕβριν, καὶ σὺ μὲν ἀσχημονῇς, ἐκεῖνος δὲ φιλοσοφῇ, τοῦτο ἀντὶ πάσης δέχου νουθεσίας. εἰ γὰρ καὶ οἰκέτης ἐστίν, ἀλλ' ἄνθρωπος, καὶ ψυχὴν ἔχων ἀθάνατον, καὶ τοῖς αὐτοῖς παρὰ τοῦ κοινοῦ δεσπότου τιμηθεὶς δωρεαῖς. εἰ δὲ ὁ ἐν τοῖς μείζοσι καὶ πνευματικωτέροις ὁμότιμος ἡμῖν ὤν, δι' ἀνθρωπίνην τινὰ εὐτελῆ καὶ μικρὰν ὑπεροχὴν οὕτω πράως φέρει τὰ παρ' ἡμῶν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας, οἱ διὰ τὸν τοῦ Θεοῦ φόβον μὴ δυνάμενοι φιλοσοφεῖν, μᾶλλον δὲ οὐ βουλόμενοι, ὥσπερ ἐκεῖνος διὰ τὸν ἡμέτερον; ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, καὶ τὰ ἁμαρτήματα ἡμῶν ἐννοοῦντες, καὶ τὸ κοινὸν τῆς τῶν ἀνθρώπων φύσεως, μελετῶμεν ἠρέμα πανταχοῦ φθέγγεσθαι, ἵνα ταπεινοὶ τῇ καρδίᾳ γινόμενοι, τὰς

ψυχὰς

ψυχαῖς ἡμῶν ἀνάπαυσιν εὑρώμεθα, τήν τε παροῦσαν τήν τε μέλλουσαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κζ. 12 ΕΙ ΤΑ ΕΠΙΓΕΙΑ ΕΙΠΟΝ ΥΜΙΝ, ΚΑΙ ΟΥ ΠΙστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; 13 Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ.

Ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, καὶ οὐ παύσομαι λέγων. τί δὲ τοῦτό ἐστιν; ὅτι μέλλων ὁ Ἰησοῦς ὑψηλῶν ἅπτεσθαι δογμάτων, διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν ἑαυτὸν κατέχει πολλάκις, καὶ οὐ συνεχῶς τοῖς ἀξίοις τῆς μεγαλωσύνης αὐτοῦ λόγοις ἐνδιατρίβει, ἀλλὰ μᾶλλον τοῖς συγκατάβασιν ἔχουσι. τὸ μὲν γὰρ ὑψηλὸν καὶ μέγα, καὶ ἅπαξ λεχθὲν, ἱκανὸν παραστῆσαι τὴν ἀξίαν ἐκείνην, "καθόσον ἡμῖν ἀκοῦσαι δυνατόν· τὰ δὲ ταπεινότερα καὶ "ἐγγὺς τῆς τῶν ἀκροωμένων διανοίας, εἰ μὴ συνεχῶς ἐλέγετο, οὐκ ἂν ταχέως κατέσχε τὰ ὑψηλὰ "τὸν χαμαίζηλον ἀκροατήν. διὰ δὲ τοῦτο ἐστὶ καὶ τὰ πλείονα ταπεινότερα τῶν ὑψηλῶν εἰρημένα περὶ αὐτοῦ. ἀλλ' ἵνα μὴ τοῦτο ἑτέραν τινὰ ἐργάσηται βλάβην πάλιν, κατέχον κάτω τὸν μαθητὴν, οὐχ ἁπλῶς τὰ καταδεέστερα τίθησιν, ἂν μὴ πρότερον εἴπῃ καὶ τὴν αἰτίαν δι' ἣν ταῦτα "λέγει, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἐπειδὴ γὰρ εἶπε περὶ τοῦ βαπτίσματος ἅπερ εἶπε, καὶ τῆς κατὰ χάριν γεννήσεως τῆς ἐν τῇ γῇ γινομένης, "βουλόμενος μὲν καὶ εἰς τὴν γέννησιν καθεῖναι τὴν ἑαυτοῦ τὴν ἀπόρρητον ἐκείνην καὶ ἄφραστον, τέως διαβαστάζει, "καὶ οὐ καθίησιν· εἶτα καὶ τὴν αἰτίαν λέγει δι' ἣν οὐ καθίησι. τίς δὲ ἐστιν αὕτη; ἡ παχύτης καὶ ἡ ἀσθένεια τῶν ἀκουόντων. "καὶ ταύτην αἰνιττόμενος, ἔλεγεν· εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; ὥστε ὅπουπερ ἂν εἴπῃ μέτριόν τι καὶ ταπεινὸν, τῇ τῶν ἀκουόντων ἀσθενείᾳ λογιστέον αὐτό. τὰ δὲ ἐπίγεια ἐνταῦθά τινες μὲν περὶ τοῦ ἀνέμου φασὶν εἰρῆσθαι, τουτέστιν, εἰ καὶ ὑπόδειγμα ἀπὸ τῶν ἐπιγείων ἔδωκα, καὶ οὐδὲ οὕτως ἐπείσθητε, πῶς δυνήσεσθε τὰ ὑψηλότερα μαθεῖν; εἰ δὲ τὸ βάπτισμα ἐπίγειον ἐνταῦθα "λέγει, μὴ θαυμάσῃς. ἢ γὰρ διὰ τὸ ἐν τῇ γῇ τελεῖσθαι, ἢ πρὸς σύγκρισιν τῆς ἑαυτοῦ γεννήσεως τῆς φρικωδεστάτης ἐκείνης ὀνομάζων, οὕτως αὐτὸ καλεῖ. εἰ γὰρ καὶ ἐπουράνιος αὕτη ἡ γέννησις, ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένην τὴν ἀληθῆ καὶ ἐκ τῆς τοῦ πατρὸς οὐσίας οὖσαν, ἐπίγειός ἐστι. καὶ οὐκ εἶπεν, οὐκ ἐνοήσατε, ἀλλ' οὐκ ἐπιστεύσατε. ὅταν μὲν γὰρ περὶ ἐκεῖνά τις δυσκολαίνῃ, ἃ διὰ τοῦ νοῦ λαβεῖν ἐστι, καὶ μὴ ῥᾳδίως καταδέχηται, εἰκότως ἂν ἄνοιαν ἐγκαλοῖτο· ὅταν δὲ ταῦτα μὴ δέχηται ἃ λογισμῷ μὲν οὐκ ἔστι λαβεῖν, πίστει δὲ μόνῃ, οὐκέτι ἀνοίας, ἀλλ' ἀπιστίας ἐστὶ τὸ ἔγκλημα. ἀπάγων οὖν αὐτὸν τοῦ μὴ ζητεῖν λογισμοῖς τὸ λεχθὲν, σφοδρότερον αὐτοῦ καθικνεῖται, ἀπιστίαν ἐγκαλῶν. εἰ δὲ τὴν ἡμετέραν πίστει χρὴ δέχεσθαι γέννησιν, τίνος ἂν εἶεν ἄξιοι οἱ τὴν τοῦ μονογενοῦς λογισμοῖς περιεργαζόμενοι; ἀλλ' ἴσως, εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν ἐλέγετο ταῦτα, εἰ μὴ ἔμελλον πιστεύειν οἱ ἀκούοντες; ὅτι εἰ καὶ ἐκεῖνοι μὴ ἐπίστευον, ἀλλ' οἱ μετ' αὐτοὺς ἔμελλον αὐτὰ δέχεσθαι καὶ κερδαίνειν. "καθικνούμενος τοίνυν αὐτοῦ σφοδρότατα, δείκνυσιν *, ὅτι οὐ ταῦτα οἶδε μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ πλείονα τούτων καὶ μείζω. καὶ τοῦτο διὰ τῆς ἐπαγωγῆς ἐδήλωσεν, οὕτως εἰπών· καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. καὶ ποία αὕτη ἀκολουθία, φησί; μεγίστη μὲν οὖν καὶ σφόδρα τοῖς ἔμπροσθεν συνᾴδουσα. ἐπειδὴ γὰρ ἐκεῖνος εἶπεν, ὅτι οἴδαμεν, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας

λήλυθας διδάσκαλος, τοῦτο αὐτὸ διορθοῦται, μονονουχὶ λέγων· μὴ νομίσης με οὕτως εἶναι διδάσκαλον, ὡς τοὺς πολλοὺς τῶν προφητῶν ἀπὸ γῆς ὄντας· ἐξ οὐρανοῦ γὰρ πάρειμι νῦν. τῶν μὲν γὰρ προφητῶν οὐδεὶς ἀναβέβηκεν ἐκεῖ· ἐγὼ δὲ ἐκεῖ διατρίβω. Εἶδες πῶς καὶ τὸ σφόδρα δοκοῦν ὑψηλὸν εἶναι, σφόδρα ἀνάξιον αὐτοῦ τῆς μεγαλωσύνης ἐστίν; οὐ γὰρ ἐν οὐρανῷ μόνον ἐστὶν, ἀλλὰ καὶ πανταχοῦ, καὶ πάντα πληροῖ· ἀλλ' ἔτι πρὸς τὴν ἀσθένειαν τοῦ ἀκροατοῦ διαλέγεται, κατὰ μικρὸν αὐτὸν ἀνάγειν βουλόμενος. υἱὸν δὲ ἀνθρώπου ἐνταῦθα οὐ τὴν σάρκα ἐκάλεσεν, ἀλλ' ἀπὸ τῆς ἐλάττονος οὐσίας ὅλον ἑαυτὸν, ἵν' οὕτως εἴπω, ὠνόμασε νῦν. καὶ γὰρ τοῦτο ἔθος αὐτῷ, πολλάκις μὲν ἀπὸ τῆς θεότητος, πολλάκις δὲ ἀπὸ τῆς ἀνθρωπότητος τὸ πᾶν καλεῖν.

χ. τὸν

14 Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, φησὶν, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. Πάλιν καὶ τοῦτο δοκεῖ ἀπηρτῆσθαι τῶν ἔμπροσθεν, πολλὴν δὲ καὶ αὐτὸ τὴν συνάφειαν ἔχει. Εἰπὼν γὰρ τὴν μεγίστην εἰς ἀνθρώπους γεγενημένην εὐεργεσίαν διὰ τοῦ βαπτίσματος, ἐπάγει καὶ τὴν ταύτης αἰτίαν, καὶ ἐκείνης οὐκ ἐλάττονα τὴν διὰ τοῦ σταυροῦ. ὥσπερ οὖν καὶ Παῦλος Κορινθίοις διαλεγόμενος ταύτας ὁμοῦ τίθησι τὰς εὐεργεσίας, οὕτω λέγων· Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; μάλιστα γὰρ πάντων τὰ δύο ταῦτα τὴν ἄφατον αὐτοῦ δείκνυσιν ἀγάπην, ὅτι τε ὑπὲρ ἐχθρῶν ἔπαθε, καὶ ὅτι ἀποθανὼν ὑπὲρ ἐχθρῶν, διὰ τοῦ βαπτίσματος ὁλόκληρον τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἐδωρήσατο. τίνος δὲ ἕνεκεν οὐκ εἶπε σαφῶς, ὅτι μέλλω σταυροῦσθαι, ἀλλ' ἐπὶ τὸν παλαιὸν παρέπεμψε τύπον τοὺς ἀκροατάς; πρῶτον μὲν, ἵνα μάθης, ὅτι συγγενῆ τὰ παλαιὰ τοῖς καινοῖς, καὶ οὐκ ἀλλότρια τούτων ἐκεῖνα. ἔπειτα, ἵνα γνῷς ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἤρχετο. πρὸς τούτοις, ἵνα μάθης ὅτι οὔτε αὐτῷ τις ἀπὸ τοῦ πράγματος γίνεται βλάβη, καὶ πολλοῖς ἐντεῦθεν τίκτεται σωτηρία. ἵνα γὰρ μή τις λέγῃ, καὶ πῶς ἔνι εἰς τὸν σταυρωθέντα πιστεύσαντας σωθῆναι, ὅταν καὶ αὐτὸς ὑπὸ θανάτου κατεσχημένος ᾖ, ἐπὶ τὴν παλαιὰν ἡμᾶς ἱστορίαν ἄγει. Εἰ γὰρ πρὸς εἰκόνα χαλκῆν ὄφεως ἰδόντες οἱ Ἰουδαῖοι διέφυγον θάνατον, πολλῷ μᾶλλον οἱ εἰς τὸν ἐσταυρωμένον πιστεύοντες, εἰκότως καὶ πολλῷ μείζονος ἀπολαύσονται εὐεργεσίας. οὐ γὰρ διὰ τὴν ἀσθένειαν τοῦ ἐσταυρωμένου, οὐδὲ διὰ τὸ περιγενέσθαι Ἰουδαίους, τοῦτο γίνεται· ἀλλ' ἐπειδὴ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, διὰ τοῦτο ὁ ἔμψυχος αὐτοῦ ναὸς σταυροῦται,

α. Κορ. α. ιγ.

χ. δὲ

χ. μάθωσι

χ. καὶ ἔτι πρὸς τούτοις, ἵνα

15 Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὁρᾷς τὴν τοῦ σταυροῦ αἰτίαν καὶ τὴν ἐξ αὐτοῦ σωτηρίαν; ὁρᾷς τοῦ τύπου πρὸς τὴν ἀλήθειαν τὴν συγγένειαν; ἐκεῖ θάνατον διέφυγον οἱ Ἰουδαῖοι, ἀλλὰ τὸν πρόσκαιρον, ἐνταῦθα τὸν αἰώνιον οἱ πιστεύοντες· ἐκεῖ δήγματα ὄφεων ἰᾶτο ὁ κρεμάμενος ὄφις, ἐνταῦθα τοῦ νοητοῦ δράκοντος ἐθεράπευσε τὰς πληγὰς ὁ σταυρωθεὶς Ἰησοῦς· ἐκεῖ ὁ τοῖς ὀφθαλμοῖς τούτοις βλέπων ἐθεραπεύετο, ἐνταῦθα ὁ τοῖς τῆς διανοίας ὀφθαλμοῖς ὁρῶν πάντα ἀποτίθεται τὰ ἁμαρτήματα· ἐκεῖ χαλκὸς τὸ κρεμάμενον ἦν εἰς σχῆμα ὄφεως διατυπωθεὶς, ἐνταῦθα σῶμα δεσποτικὸν ὑπὸ πνεύματος κατασκευασθέν· ἐκεῖ ὄφις ἔδακνε, καὶ ὄφις ἰᾶτο, οὕτω καὶ ἐνταῦθα θάνατος ἀπώλεσε, καὶ θάνατος ἔσωσεν. ἀλλ' ὁ μὲν ἀπολλὺς ὄφις, ἰὸν εἶχεν, ὁ δὲ σώζων, ἰοῦ καθαρὸς ἦν· καὶ ἐνταῦθα τὸ αὐτὸ πάλιν. ὁ μὲν γὰρ ἀπολλὺς θάνατος, ἁμαρτίαν εἶχεν, ὥσπερ τὸν ἰὸν ὁ ὄφις, ὁ δὲ τοῦ δεσπότου, ἁμαρτίας πάσης ἀπήλλακτο, ὥσπερ ὁ χαλκοῦς ὄφις ἰοῦ. Ἁμαρτίαν γὰρ, φησιν, οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. καὶ τοῦτο ἐστιν ὅ φησι Παῦλος· Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. καθάπερ γάρ τις ἀθλητὴς γενναῖος, ὅταν ἐπὶ μετεώρου τὸν ἀνταγωνιστὴν ἄρας καὶ καταρράξας, λαμπροτέραν ἀποφαίνει τὴν νίκην· οὕτω καὶ ὁ Χριστὸς, τῆς οἰκουμένης ἁπάσης ὁρώσης, τὰς ἀντικειμένας δυνάμεις κατέβαλε, καὶ τοὺς ἐπὶ τῆς ἐ-

χ. ἔρημον

α. Πετ. ϐ. κϐ.

Κολ. ϐ. ιε.

ρημίας πληττόμενοι ἰασάμενος, πάντων τῶν θηρίων ἀπήλλαξε, κρεμασθεὶς ἐπὶ τοῦ σταυροῦ. ἀλλ' οὐκ εἶπε, κρεμασθῆναι δεῖ, ἀλλ' ὑψωθῆναι. ὅπερ γὰρ εὐφημότερον εἶναι ἐδόκει διὰ τὸν ἀκροώμενον καὶ ἐγγὺς τοῦ τύπου, τοῦτο τέθεικεν.

16 Οὕτω γὰρ ἠγάπησέ, φησιν, ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μὴ θαυμάσῃς ὅτι ἐγὼ μέλλω ὑψοῦσθαι, ἵνα ὑμεῖς σωθῆτε. καὶ γὰρ καὶ τῷ πατρὶ τοῦτο δοκεῖ, καὶ αὐτὸς οὕτως ὑμᾶς ἠγάπησεν, ὡς ὑπὲρ τῶν δούλων δοῦναι τὸν υἱὸν, καὶ δούλων ἀγνωμόνων. καίτοι οὐκ ἄν τις οὐδὲ ὑπὲρ φίλου τοῦτο ποιήσειεν, οὐδὲ ὑπὲρ δικαίου ταχέως, ὅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται. ἀλλ' ἐκεῖνος μὲν πλατύτερον (πρὸς πιστοὺς γὰρ διελέγετο) ἐνταῦθα δὲ συνεσταλμένως μὲν ὁ Χριστὸς, ἐπειδὴ πρὸς Νικόδημον ἦν ὁ λόγος, ἐμφαντικώτερον δέ. καὶ γὰρ ἑκάστη λέξις πολλὴν ἔχει τὴν ἔμφασιν. τῷ τε γὰρ εἰπεῖν, οὕτως ἠγάπησε, καὶ τῷ, ὁ Θεὸς τὸν κόσμον, πολλὴν δείκνυσι τῆς ἀγάπης τὴν ἐπίτασιν. πολὺ γὰρ τὸ μέσον καὶ ἄπειρον ἦν. ὁ γὰρ ἀθάνατος, ὁ ἄναρχος, ἡ μεγαλωσύνη ἡ ἀπέραντος, τοὺς ἀπὸ γῆς καὶ σποδοῦ, τοὺς μυρίων γέμοντας ἁμαρτημάτων, τοὺς διὰ παντὸς προσκεκρουκότας τοῦ χρόνου, τοὺς ἀγνώμονας, τούτους ἠγάπησε. καὶ τὰ μετὰ ταῦτα δὲ πάλιν ὁμοίως ἐμφαντικὰ, ἅπερ ἐπήγαγε, λέγων· ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, οὐ δοῦλον, οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον. καίτοιγε οὐδ' ἂν περὶ παῖδά τις τοσαύτην ἐπεδείξατο σπουδὴν, ὅσην περὶ τοὺς οἰκέτας τοὺς ἀγνώμονας ὁ Θεός. Τὸ μὲν οὖν πάθος οὐ σφόδρα γυμνῶς τίθησιν, ἀλλὰ συνεσκιασμένως· τὸ δὲ ἀπὸ τοῦ πάθους κέρδος σαφέστερον ἐπάγει, λέγων οὕτως· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ἐπειδὴ γὰρ εἶπεν, ὑψωθῆναι δεῖ, καὶ τὸν θάνατον ᾐνίξατο, ἵνα μὴ κατηφὴς ὁ ἀκροατὴς ἀπὸ τούτων γένηται τῶν ῥημάτων, ἀνθρώπινόν τι περὶ αὐτοῦ ὑποπτεύων, καὶ τὸν θάνατον αὐτοῦ νομίζων ἀνυπαρξίαν εἶναι, σκόπει πῶς αὐτὸ διορθοῦται, υἱόν τε Θεοῦ λέγων εἶναι τὸν διδόμενον, καὶ ζωῆς αἴτιον εἶναι, καὶ ζωῆς αἰωνίου. οὐκ ἂν δὲ ὁ τοῖς ἄλλοις ζωὴν παρέχων διὰ τοῦ θανάτου, αὐτὸς ἔμεινεν εἶναι ἐν τῷ θανάτῳ διηνεκῶς. Εἰ γὰρ οἱ πιστεύοντες εἰς τὸν σταυρούμενον οὐκ ἀπόλλυνται, πολλῷ μᾶλλον αὐτὸς σταυρωθεὶς οὐκ ἀπολεῖται. ὁ γὰρ τὴν ἄλλων τὴν ἀπώλειαν ἀναιρῶν, πολλῷ μᾶλλον αὐτὸς ταύτης ἀπήλλακται. ὁ τοῖς ἄλλοις παρέχων ζωὴν, πολλῷ μᾶλλον ἑαυτῷ πηγάζει ζωήν. ὁρᾷς ὅτι πανταχοῦ πίστεως χρεία; τὸν γὰρ σταυρὸν πηγὴν ζωῆς εἶναι φησιν, ὁ λογισμὸς μὲν οὐκ ἂν ῥᾳδίως παραδέξαιτο· καὶ μαρτυροῦσιν ἔτι καὶ νῦν Ἕλληνες καταγελῶντες. ἡ δὲ τὴν τῶν λογισμῶν ἀσθένειαν ὑπερβαίνουσα πίστις, ῥᾳδίως ἂν αὐτὸ καὶ δέξαιτο καὶ κατάσχοι. πόθεν δὲ οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον; ἄλλοθεν μὲν οὐδαμόθεν, ἐξ ἀγαθότητος δὲ μόνης.

Ρω. ε. ζ.

ΗΘΙΚΟΝ

Ἐντραπῶμεν τοίνυν αὐτοῦ τὴν ἀγάπην, αἰδεσθῶμεν τῆς φιλανθρωπίας τὴν ὑπερβολήν. αὐτὸς μὲν γὰρ οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ καὶ χρημάτων φειδόμεθα καθ' ἑαυτῶν. αὐτὸς καὶ τὸν γνήσιον υἱὸν ἔδωκεν ὑπὲρ ἡμῶν· ἡμεῖς δὲ οὐδὲ ἀργυρίου καταφρονοῦμεν ὑπὲρ αὐτοῦ, ἀλλ' οὐδὲ ὑπὲρ ἡμῶν. καὶ πῶς ἂν εἴη ταῦτα συγγνώμης ἄξια; κἂν μὲν ἄνθρωπον ἴδωμεν κινδύνους καὶ θανάτους ὑπὲρ ἡμῶν καταδεξάμενον, πάντων προτίθεμεν, καὶ ἐν τοῖς πρώτοις ἀριθμοῦμεν τῶν φίλων, καὶ πάντα αὐτῷ τὰ ἡμέτερα ἐγχειρίζομεν, καὶ αὐτοῦ μᾶλλον, ἢ ἡμέτερα εἶναι φαμὲν, καὶ οὐδὲ οὕτως ἡγούμεθα ἀντίδοσιν ἀξίαν αὐτῷ διδόναι. ἐπὶ δὲ τοῦ Χριστοῦ οὐδὲ τοῦτο τὸ μέτρον τῆς εὐγνωμοσύνης φυλάττομεν· ἀλλ' ἐκεῖνος μὲν τὴν ψυχὴν ἔθηκεν ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα τὸ τίμιον ἐξέχεε δι' ἡμᾶς, τοὺς οὐκ εὔνους οὐδὲ ἀγαθοὺς γεγενημένους. ἡμεῖς δὲ οὐδὲ χρήματα χέομεν δι' ἑαυτούς, ἀλλὰ περιορῶμεν αὐτὸν γυμνὸν καὶ ξένον ὑπὲρ ἡμῶν ἀποθανόντα. καὶ τίς ἡμᾶς τῆς μελλούσης ἐξαιρήσεται κοχειρ. γ.

λάσεως; εἰ γὰρ μὴ ὁ Θεός, ἀλλ' ἡμεῖς ἑαυτοὺς ἐκολάζομεν, ἆρα οὐκ ἂν καθ' ἑαυτῶν τὴν ψῆφον ἐξηνέγκαμεν; ἆρα οὐκ ἂν τὸ τῆς γεέννης ἑαυτοῖς κατεδικάσαμεν πῦρ, τὸν ὑφ' ἡμῶν τὴν ψυχὴν ἔνδον τῷ λιμῷ τηκόμενον περιορῶντες; (χ. ἑαυτῶν) καὶ τί λέγω χρήματα; εἰ γὰρ μυρίας εἴχομεν ψυχάς, οὐχ ἁπάσας ὑπὲρ αὐτοῦ θεῖναι ἐχρῆν; καίτοιγε οὐδὲ οὕτως ἄξιόν τι τῆς εὐεργεσίας ἐποιήσαμεν ἄν. ὁ μὲν γὰρ προηγουμένως εὐεργετῶν, φανερὰν ἐπιδείκνυται τὴν χρηστότητα· ὁ δὲ εὐεργετηθείς, ὅ,τι ἂν ἀντιδῷ, ὀφειλὴν ἀποδίδωσιν, οὐ χάριν κατατίθεται, καὶ μάλιστα, ὅταν ὁ κατάρξας ἐχθροὺς εὐεργετῶν εἴη· καὶ ὁ ἀντιδιδοὺς δέ, καὶ εἰς εὐεργεσίαν κατατίθεται τὰ διδόμενα, καὶ αὐτὸς αὐτῶν ἀπολαύει πάλιν. ἀλλ' ἡμᾶς οὐδὲ ταῦτα ἐφέλκεται· ἀλλὰ πάντων ἐσμὲν ἀγνωμονέστεροι, οἰκέταις μὲν καὶ ἡμιόνοις καὶ ἵπποις περιδέραια χρυσᾶ περιτιθέντες, τὸν δὲ δεσπότην γυμνὸν περιϊόντα, καὶ θύρας ἐκ θυρῶν ἀμείβοντα, καὶ ἀεὶ πρὸς ταῖς ἐξόδοις ἱστάμενον, καὶ χεῖρας ἐκτείνοντα περιορῶντες, πολλάκις δὲ καὶ ἀπηνεῖ βλέποντες ὀφθαλμῷ, καίτοιγε καὶ τοῦτο αὐτὸ δι' ἡμᾶς ὑπομένει. ἡδέως γὰρ πεινᾷ, ἵνα σὺ τραφῇς· καὶ γυμνὸς περίεισιν, ἵνα σοι παράσχῃ τοῦ τῆς ἀφθαρσίας ἐνδύματος τὴν ὑπόθεσιν. ἀλλ' οὐδὲ οὕτω προΐεσθε τῶν ὑμετέρων οὐδέν, ἀλλὰ τῶν ἱματίων τὰ μέν ἐστι σητόβρωτα, τὰ δὲ ἄχθος τῷ κιβωτίῳ, καὶ περιττὴ φροντὶς τοῖς κεκτημένοις· ὁ δὲ καὶ ταῦτα καὶ τὰ ἄλλα πάντα δεδωκώς, γυμνὸς περίεισιν. ἀλλ' οὐκ ἐν τῷ κιβωτίῳ αὐτὰ ἀποτίθεσθε,, ἀλλ' αὐτοὶ περιβεβλημένοι καλλωπίζεσθε; καὶ τί δὲ πλέον ὑμῖν ἀπὸ τούτων; ἵνα δὲ τῶν ἀγοραίων ἴδῃ πλῆθος ὑμᾶς; καὶ τί τοῦτο; οὐ γὰρ τὸν περικείμενόν σε ταῦτα θαυμάσονται, ἀλλὰ τὸν τοῖς δεομένοις παρέχοντα. ὥστε εἰ βούλει θαυμάζεσθαι, ἑτέρους περιβαλὼν μᾶλλον μυρίων ἀπολαύσῃ κρότων. τότε καὶ ὁ Θεός σε ἐπαινέσεται μετὰ τῶν ἀνθρώπων· νυνὶ δὲ ἐπαινέσεται μὲν οὐδείς, φθονήσουσι δὲ ἅπαντες, τὸ μὲν σῶμα κοσμούμενον ὁρῶντες, τὴν δὲ ψυχὴν ἠμελημένην ἔχοντα. οὕτω καὶ γυναιξὶ πόρναις πρόσεστιν ὁ κόσμος, πολλάκις δὲ καὶ πολυτελέστερα καὶ φαιδρότερα παρ' ἐκείναις τὰ ἱμάτια· ὁ δὲ τῆς ψυχῆς κόσμος παρὰ τοῖς ἐν ἀρετῇ ζῶσι μόνον ἐστί. ταῦτα συνεχῶς λέγω, καὶ λέγων οὐ παύομαι, οὐ πενήτων οὕτω κηδόμενος, ὡς τῶν ὑμετέρων ψυχῶν. ἐκείνοις μὲν γάρ, κἂν μὴ παρ' ἡμῶν, ἀλλ' ὅμως ἑτέρωθεν ἔσται τις παραμυθία· κἂν μὴ γένηται παραμυθία, ἀλλὰ λιμῷ διαφθαρῶσιν, οὐδὲν μέγα τὸ τῆς ζημίας αὐτοῖς. τί γὰρ ἔβλαψε τὸν Λάζαρον ἡ πενία, καὶ τὸ τῷ λιμῷ τήκεσθαι; ὑμᾶς δὲ οὐδὲν ἐξαιρήσεται τῆς γεέννης, ἂν μὴ τῆς παρὰ τῶν πενήτων τύχητε βοηθείας· (χ. πενήτων) ἀλλ' ἐροῦμεν τὰ αὐτὰ τῷ πλουσίῳ, τῷ διηνεκῶς μὲν τηγανιζομένῳ, παραμυθίας δὲ μηδεμιᾶς τυγχάνοντι. ἀλλὰ μὴ γένοιτο μηδένα ταῦτα ἀκοῦσαί ποτε τὰ ῥήματα, ἀλλ' εἰς τοὺς κόλπους Ἀβραὰμ ἀπελθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. κη. 17 ΟΥ ΓΑΡ ΑΠΕΣΤΕΙΛΕΝ Ο ΘΕΟΣ ΤΟΝ ΥΙὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον.

Πολλοὶ τῶν ῥαθυμοτέρων εἰς ἁμαρτημάτων μέγεθος καὶ ὀλιγωρίας ὑπερβολὴν τῇ τοῦ Θεοῦ κεχρημένοι φιλανθρωπίᾳ, ταῦτα φθέγγονται τὰ ῥήματα· οὐκ ἔστι γέεννα, οὐκ ἔστι κόλασις, πάντα ὁ Θεὸς ἀφίησιν ἡμῖν τὰ ἁμαρτήματα. οὓς ἐπιστομίζων σοφός τις ἀνήρ φησι· Μὴ εἴπῃς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται· ὅτι ἔλεος καὶ ὀργὴ παρ' αὐτῷ, καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. καὶ πάλιν· Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ πολὺς καὶ ὁ ἔλεγχος αὐτοῦ. ποῦ οὖν, φησι, τὰ τῆς φιλανθρωπίας, εἰ τὰ κατ' ἀξίαν ἀποληψόμεθα τῶν ἁμαρτημάτων; ὅτι μὲν τὰ κατ' ἀξίαν ἀποληψόμεθα

Σειρ. ε. θ.

Σειρ. ις. ιβ.

χ. ποιεῖ

χ. ἐξιλάσεται

ληψόμεθα, ἄκουε καὶ τοῦ προφήτου καὶ τοῦ Παύλου λέγοντος· τοῦ μὲν, Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῦ δὲ, Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. ὅτι δὲ καὶ οὕτω πολλὴ ἡ φιλανθρωπία τοῦ Θεοῦ, καὶ τοῦτο ἐντεῦθεν δῆλον. εἰς γὰρ δύο ζωῆς αἰῶνας τὰ ἡμέτερα διελὼν ὁ Θεὸς τούτους, τόν τε παρόντα καὶ τὸν μέλλοντα βίον, καὶ τὸν μὲν ἐν ἀγώνων τάξει, τὸν δὲ ἐν χώρᾳ στεφάνων ποιήσας εἶναι, πολλὴν κἀντεῦθεν τὴν φιλανθρωπίαν ἐπεδείξατο. πῶς καὶ τίνι τρόπῳ; ὅτι πράξαντας πολλὰ καὶ χαλεπὰ ἁμαρτήματα, καὶ οὐ διαλιπόντας ἀπὸ νεότητος εἰς ἔσχατον γῆρας μυρίοις τὴν ψυχὴν" καταῤῥυπαίνειν κακοῖς, οὐδενὸς τούτων ἀπῄτησεν εὐθύνας ἡμᾶς τῶν ἁμαρτημάτων, ἀλλ᾽ ἔδωκεν αὐτῶν ἄφεσιν διὰ λουτροῦ παλιγγενεσίας, καὶ δικαιοσύνην καὶ ἁγιασμὸν ἐχαρίσατο. τί οὖν, φησιν, ἂν ἐκ πρώτης ἡλικίας μυστηρίων καταξιωθείς τις μετὰ ταῦτα μυρία ἁμάρτῃ; ὁ τοιοῦτος λοιπὸν μείζονος κολάσεως ἄξιος. τῶν γὰρ αὐτῶν ἁμαρτημάτων οὐ τὰς αὐτὰς τίννυμεν δίκας, ἀλλὰ πολλῷ χαλεπωτέρας, ὅταν μετὰ τὴν μυσταγωγίαν πλημμελήσωμεν. καὶ δηλοῖ Παῦλος οὕτω λέγων· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶ καὶ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὴν χάριν τοῦ πνεύματος ἐνυβρίσας;" μείζονος οὖν ἔσται κολάσεως ἄξιος ὁ τοιοῦτος. πλὴν ἀλλὰ καὶ τούτῳ μετανοίας ἀνέῳξε θύρας, καὶ πολλοὺς τρόπους ἔδωκεν εἰς τὸ ἀπονίψασθαι τὰ πεπλημμελημένα, ἂν ἐθέλῃ. "ταῦτ᾽ οὖν ἐννόησον ἡλίκα φιλανθρωπίας δείγματα, τὸ καὶ χάριτι ἀφεῖναι, καὶ μετὰ τὴν χάριν τὸν ἁμαρτάνοντα καὶ ἄξιον ὄντα κολάσεως μὴ κολάζειν, ἀλλὰ διδόναι καιρὸν καὶ προθεσμίαν ἀπολογίας αὐτῷ. διὰ ταῦτα πάντα ὁ Χριστὸς πρὸς τὸν Νικόδημον ἔλεγεν· Οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν" υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσῃ τὸν κόσμον. δύο γάρ εἰσιν αἱ τοῦ Χριστοῦ παρουσίαι, ἡ ἤδη γενομένη, καὶ ἡ μέλλουσα· οὐκ ἐπὶ τοῖς αὐτοῖς δὲ αἱ δύο· ἀλλ᾽ ἡ μὲν προτέρα γέγονεν, οὐχ ἵνα ἐξετάσῃ τὰ πεπραγμένα ἡμῖν, ἀλλ᾽ ἵνα ἀφῇ· ἡ δὲ δευτέρα, οὐχ ἵνα ἀφῇ, ἀλλ᾽ ἵνα ἐξετάσῃ. διὰ τοῦτο περὶ μὲν τῆς προτέρας φησίν· Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσω τὸν κόσμον. περὶ δὲ τῆς δευτέρας· Ὅταν ἔλθῃ ὁ υἱὸς ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, καὶ τὰ ἐρίφια ἐξ εὐωνύμων. καίτοιγε καὶ ἡ προτέρα παρουσία κρίσεως ἦν κατὰ τὸν τοῦ δικαίου λόγον. διὰ τί; ὅτι πρὸ τῆς αὐτοῦ παρουσίας νόμος ἦν φυσικὸς, καὶ προφῆται, καὶ γραπτὸς πάλιν νόμος, καὶ διδασκαλία, καὶ μυρίαι ἐπαγγελίαι, καὶ σημείων ἐπιδείξεις, καὶ κολάσεις, καὶ τιμωρίαι, καὶ πολλὰ ἕτερα "διορθοῦν δυνάμενα· καὶ ἀκόλουθον ἦν τούτων πάντων ἀπαιτῆσαι εὐθύνας. ἀλλ᾽ ἐπειδὴ φιλάνθρωπός ἐστιν, οὐ ποιεῖται ἐξέτασιν, ἀλλὰ συγχώρησιν" τέως. ἐπεὶ, εἰ τοῦτο ἐποίησεν, ἅπαντες ἂν ἀθρόον ἀνηρπάσθησαν. Πάντες γὰρ ἥμαρτον, φησι, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Εἶδες φιλανθρωπίας ἄφατον ὑπερβολήν;

Ψαλμ. ξα. ιβ.
Εβ. ι. κη.
Ιωαν. γ. ιζ.
Ρω. γ. κγ.

18 Ὁ πιστεύων εἰς τὸν υἱὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. Καὶ μὴν εἰ μὴ διὰ τοῦτο ἦλθεν, ἵνα κρίνῃ τὸν κόσμον, πῶς ὁ μὴ πιστεύων ἤδη κέκριται, εἰ μηδέπω" πάρεστι τῆς κρίσεως ὁ καιρός; ἢ τοῦτό φησιν, ὅτι αὐτὸ τὸ ἀπιστεῖν ἀμετανοήτα, κόλασίς ἐστι (τὸ γὰρ ἐκτὸς εἶναι τοῦ φωτὸς καὶ καθ᾽ αὑτὸ μεγίστην ἔχει τὴν τιμωρίαν) ἢ τὸ μέλλον προαναφωνεῖ. καθάπερ γὰρ ὁ φονεύων, κἂν μὴ τῇ ψήφῳ τοῦ κρίνοντος καταδικασθῇ, τῇ τοῦ πράγματος" καταδεδίκασται φύσει· οὕτω καὶ ὁ ἄπιστος. ἐπεὶ καὶ ὁ Ἀδὰμ ᾗ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανεν. οὕτω γὰρ καὶ ἡ ἀπόφασις εἶχεν· ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, ἀποθανεῖσθε· καίτοι ἔζη. πῶς οὖν ἀπέθανε; τῇ ἀποφάσει, τῇ τοῦ πράγματος φύσει. ὁ γὰρ ὑπεύθυνον ἑαυτὸν τῇ κολάσει ποιήσας, ὑπὸ τὴν τιμωρίαν ἐστὶ, κἂν μὴ τῷ πράγματι τέως, ἀλλὰ τῇ ψήφῳ. ἵνα γὰρ μὴ ἀκούσας τις, ὅτι οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀτιμωρητὶ νομίσῃ ἁμαρτάνειν, καὶ ῥᾳθυμότερος γένηται· καὶ ταύτην" ἀποτειχίζει τὴν ὀλιγωρί-

ἂν, λέγων, ἤδη κέκριται. ἐπειδὴ γὰρ ἔμελλεν ἡ κρίσις, καὶ " οὔπω παρῆν, εἰς ἴσον ἄγει τὸν φόβον τῆς τιμωρίας, καὶ δείκνυσιν ἤδη τὴν κόλασιν. καὶ τοῦτο δὲ αὐτὸ πολλῆς φιλανθρωπίας ἐστὶ, τὸ, μὴ μόνον δοῦναι τὸν υἱὸν, ἀλλὰ καὶ τὸν τῆς κρίσεως " ἀναβάλλεσθαι καιρὸν, ἵνα γένηται ἐξουσία τοῖς ἡμαρτηκόσι καὶ τοῖς ἀπιστοῦσιν ἀπονίψασθαι τὰ πεπλημμελημένα. ὁ πιστεύων εἰς τὸν υἱὸν οὐ κρίνεται. ὁ πιστεύων, οὐχ ὁ περιεργαζόμενος· ὁ πιστεύων, οὐχ ὁ πολυπραγμονῶν. τί οὖν, ἂν ἀκάθαρτον βίον ἔχῃ καὶ πράξεις οὐκ ἀγαθάς; μάλιστα μὲν οὐδὲ τοιούτους, οὐδὲ γνησίους

Τιτ. α. ιϛ.

εἶναι πιστούς ὁ Παῦλός φησι· Θεὸν γὰρ ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. πλὴν ἐνταῦθα ἐκεῖνό " φησιν, ὅτι κατ' αὐτὸ τοῦτο οὐ κρίνεται, ἀλλὰ τῶν μὲν ἔργων χαλεπωτέραν δώσει δίκην, ἀπιστίας δὲ ἕνεκεν οὐ κολάζεται διὰ τὸ πιστεῦσαι ἅπαξ. ὁρᾷς πῶς ἀπὸ φοβερῶν ἀρξάμενος, εἰς αὐτὰ δὴ ταῦτα πάλιν τὸν λόγον κατέληξεν; ἀρχόμενος μὲν γάρ φησιν· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ἐνταῦθα δὲ πάλιν, ὁ μὴ πιστεύων εἰς τὸν υἱὸν, ἤδη κέκριται. μὴ γὰρ δὴ νομίσῃς, φησὶ, τὴν ἀναβολὴν ὠφελεῖν τι τὸν ὑπεύθυνον ἤδη γεγενημένον, ἐὰν μὴ μεταβάλληται. τῶν γὰρ ἤδη καταδικασθέντων καὶ κολαζομένων οὐδὲν ἄμεινον διακείσεται ὁ μὴ πιστεύσας.

19 Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι ἦλθε τὸ φῶς εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· διὰ τοῦτο κολάζονται, ὅτι σκότος ἀφεῖναι, καὶ φωτὶ προσδραμεῖν οὐκ ἠβουλήθησαν. ἐνταῦθα γὰρ λοιπὸν καὶ ἀπολογίας αὐτοὺς ἀποστερεῖ πάσης. εἰ μὲν γὰρ ἦλθον κολάζων, φησὶ, καὶ ἀπαιτῶν εὐθύνας τῶν πεπραγμένων, εἶχον εἰπεῖν, ὅτι διὰ τοῦτο ἀπεπηδήσαμεν. νῦν δὲ ἦλθον ἀπαλλάξαι τοῦ σκότους, καὶ πρὸς φῶς ἀγαγεῖν. τίς οὖν τὸν μὴ βουλόμενον ἀπὸ σκότους φωτὶ προσελθεῖν ἐλεήσειεν ἄν; οὐδὲν γὰρ ἔχοντες ἡμῖν ἐγκαλεῖν, ἀλλὰ μυρία εὐεργετούμενοι, φησιν, ἀποπηδῶσιν ἡμῶν. τοῦτο καὶ ἀλλαχοῦ ἐγκαλῶν ἔλεγεν, Ὅτι ἐμίσησάν με δωρεάν. καὶ πάλιν· Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. ὁ μὲν γὰρ ἐν ἀπουσίᾳ φωτὸς ἐν σκότῳ καθήμενος, ἴσως ἂν συγγνώμην σχοίη· ὁ δὲ μετὰ τὴν παρουσίαν αὐτοῦ τῷ σκότει προσεδρεύων, διεστραμμένης γνώμης καὶ φιλονείκου τεκμήριον ἐκφέρει καθ' ἑαυτοῦ. εἶτα, ἐπειδὴ ἐδόκει τὸ εἰρημένον ἄπιστον εἶναι τοῖς πολλοῖς (οὐδεὶς γὰρ ἂν σκότος προτιμήσειε φωτός) τίθησι καὶ τὴν αἰτίαν, ἀφ' ἧς τοῦτο ἔπαθον. τίς δὲ ἦν αὕτη;

Ἦν γὰρ αὐτῶν, φησι, πονηρὰ τὰ ἔργα. 20 Πᾶς δὲ ὁ τὰ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ " φανερωθῇ αὐτοῦ τὰ ἔργα.

Καὶ μὴν οὐ κρίνων οὐδὲ ἐξετάζων ἦλθεν, ἀλλὰ συγχωρῶν καὶ ἀφιεὶς τὰ πλημμεληθέντα, καὶ ἀπὸ πίστεως σωτηρίαν διδούς. " πῶς οὖν ἔφυγον; εἰ μὲν γὰρ δικαστήριον ἐλθὼν ἐκάθισεν, εἶχέ τινα λόγον τὸ εἰρημένον. ὁ γὰρ πονηρὰ συνειδὼς ἑαυτῷ, τὸν δικάζοντα φεύγειν εἴωθε· τῷ δὲ συγχωροῦντι καὶ προστρέχουσιν οἱ πεπλημμεληκότες. εἰ τοίνυν συγχωρῶν ἦλθε, τούτους μάλιστα προσδραμεῖν αὐτῷ εἰκὸς ἦν, τοὺς πολλὰ συνειδότας ἑαυτοῖς ἁμαρτήματα, ὅπερ οὖν καὶ ἐπὶ πολλῶν γέγονε. καὶ γὰρ καὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ. τί οὖν ἐστι τὸ λεγόμενον; περὶ τῶν αἱρουμένων διαπαντὸς ἐν κακίᾳ μένειν ταῦτά φησιν. αὐτὸς μὲν γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα τὰ μὲν πρότερα ἀφῇ ἁμαρτήματα, πρὸς δὲ τὰ μέλλοντα ἀσφαλίσηται. ἐπειδὴ δέ τινές εἰσιν οὕτω χαῦνοι καὶ διαλελυμένοι πρὸς τοὺς * τῆς ἀρετῆς πόνους, ὡς εἰς ἐσχάτας ἀναπνοὰς βούλεσθαι προσεδρεύειν τῇ πονηρίᾳ, καὶ μηδέποτε αὐτῆς ἀφίστασθαι, τούτους ἐπισκώπτων ἐνταῦθα " δηλοῖ. ἐπειδὴ γὰρ ὁ χριστιανισμός " καὶ τὸ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ πολιτείαν ὑγιαίνουσαν ἀπαιτεῖ, δεδοίκασί, φησι, μεταθέσθαι πρὸς ἡμᾶς, ἐπειδὴ μὴ βούλονται βίον ὀρθὸν ἐπιδείξασθαι. τὸν μὲν γὰρ ἐν ἑλληνισμῷ ζῶντα οὐδεὶς ἂν διελέγξειεν. ὁ γὰρ θεοὺς τοιούτους ἔχων, καὶ ἑορτὰς ὁμοίως τοῖς θεοῖς αἰσχρὰς καὶ καταγελάστους, ἄξια τῶν δογμάτων καὶ τὰ ἔργα ἐπιδείκνυται· οἱ δὲ τοῦ Θεοῦ, χξζ' γ

ῥᾳθύμως ζῶντες, ἅπαντας εὐθύνοντας ἔχουσι καὶ κατηγόρους. τοσοῦτον καὶ παρὰ τοῖς ἐχθροῖς τῆς ἀληθείας ἐστὶ τὸ θαῦμα. ὅρα τοίνυν πῶς μετ' ἀκριβείας τίθησιν ὅ φησιν. οὐ γὰρ εἶπεν, ὁ φαῦλα πράξας οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἀλλ' ὁ πράσσων ἀεί, τουτέστιν, ὁ ἀεὶ βουλόμενος ἐγκυλινδεῖσθαι τῷ τῆς ἁμαρτίας βορβόρῳ, οὐ βούλεται νόμοις ἑαυτὸν ὑποβάλλειν τοῖς ἐμοῖς, ἀλλ' ἔξω μένων πορνεύειν μετ' ἀδείας, καὶ τὰ ἄλλα πάντα πράττειν τὰ κεκωλυμένα. ἐνταῦθα γὰρ ἐλθών, ὡς ἐν φωτὶ κλέπτης, κατάδηλος γίνεται· διὰ ταῦτα τὴν ἀρχὴν φεύγει τὴν ἐμήν. πολλῶν γοῦν ἐστιν ἀκοῦσαι καὶ νῦν ἑλλήνων λεγόντων, διὰ τοῦτο μὴ δύνασθαι πρὸς τὴν πίστιν τὴν ἡμετέραν ἐλθεῖν, διὰ τὸ μὴ δύνασθαι μέθης καὶ πορνείας καὶ τῶν τοιούτων ἀφίστασθαι πλημμελημάτων. τί οὖν, φησιν; οὐκ εἰσὶ καὶ χριστιανοὶ φαῦλα πράσσοντες, καὶ ἕλληνες ἐν φιλοσοφίᾳ ζῶντες; χριστιανοὶ μὲν ὅτι φαῦλα πράσσοντές εἰσιν, οἶδα κἀγώ· εἰ δὲ καὶ ἕλληνες ὀρθῶς βιοῦντες, τοῦτο οὐκέτι οἶδα σαφῶς. μὴ γάρ μοι τοὺς ἀπὸ φύσεως εἴπῃς ἐπιεικεῖς καὶ κοσμίους (οὐ γάρ ἐστι τοῦτο ἀρετή) ἀλλ' εἰπὲ τὸν πολλὴν ἀπὸ τῶν παθῶν ὑπομένοντα βίαν, καὶ φιλοσοφοῦντα. ἀλλ' οὐκ ἂν ἔχοις. εἰ γὰρ βασιλείας ἐπαγγελία, καὶ γεέννης ἀπειλή, καὶ ἄλλη ἐπιμέλεια τοσαύτη, μόλις κατέχουσι τοὺς ἀνθρώπους ἐν ἀρετῇ, σχολῇ γ' ἂν οἱ περὶ μηδενὸς πεπεισμένοι τούτων μετέλθοιεν ἀρετήν. εἰ δέ τινες καὶ ὑποκρίνονται, δόξης ἕνεκεν τοῦτο ποιοῦσιν· ὁ δὲ δόξης ἕνεκα τοῦτο ποιῶν, ὅταν δέῃ λαθεῖν, οὐ φείσεται τοῦ χρήσασθαι ταῖς ἐπιθυμίαις ταῖς πονηραῖς. πλὴν ἀλλ' ἵνα μὴ δόξωμέν τισιν εἶναι φιλόνεικοι, συγχωρήσωμεν ὀρθῶς βιοῦντας εἶναι ἐν ἕλλησιν. οὐδέποτε γὰρ τοῦτο ἐναντιοῦται τῷ λόγῳ. τὸ γὰρ ἐπὶ πολὺ συμβαῖνον εἶπον, οὐ τὸ σπανιάκις γινόμενον. ὅρα δὲ καὶ ἑτέρωθεν πῶς πάσης ἀποστερεῖ ἀπολογίας αὐτούς εἰπών, ὅτι ἦλθε τὸ φῶς εἰς τὸν κόσμον. μὴ γὰρ αὐτοί, φησιν, αὐτὸ ἐζήτησαν; μὴ γὰρ ἔκαμον; μὴ γὰρ ἐπόνησαν ἵνα εὕρωσιν; αὐτὸ τὸ φῶς ἦλθε πρὸς αὐτούς, καὶ οὐδὲ οὕτω προσέδραμον. εἰ δέ τινες καὶ παρὰ χριστιανοῖς εἶεν πονηρῶς βιοῦντες, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐ περὶ τῶν ἐξ ἀρχῆς γινομένων χριστιανῶν καὶ ἐκ προγόνων διαδεξαμένων τὴν εὐσέβειαν τοῦτό φησιν (εἰ καὶ τὰ μάλιστα καὶ οὗτοι πολλάκις ἀπὸ βίου πονηροῦ ἐκ τῆς τῶν δογμάτων ἀκριβείας παρεσαλεύθησαν) ἀλλ' ὅμως οὐ περὶ τούτων αὐτὸν οἶμαι νῦν λέγειν, ἀλλὰ περὶ τῶν ἐξ ἑλλήνων ἢ Ἰουδαίων ὀφειλόντων πρὸς τὴν ὀρθὴν πίστιν ἐλθεῖν. δείκνυσι γὰρ ὅτι οὐδεὶς ἂν ἕλοιτο ἐν πλάνῃ ζῶν ἐπὶ τὴν πίστιν ἐλθεῖν, μὴ πρότερον ὑπογράψας ἑαυτῷ βίον ὀρθόν· καὶ οὐδεὶς ἂν ἐν ἀπιστίᾳ μείνειε, μὴ πρότερον ἑλόμενος διαπαντὸς εἶναι κακός. μὴ γάρ μοι τοῦτο εἴπῃς· ὅτι σωφρονεῖ, καὶ οὐχ ἁρπάζει. οὐ γὰρ δὴ μόνα ταῦτά ἐστιν ἀρετή. τί γὰρ ὄφελος, ὅταν ταῦτα μὲν ἔχῃ, δόξης δὲ ᾖ δοῦλος κενῆς, καὶ φίλων ἑταιρείαν αἰσχυνόμενος ἐπὶ τῆς πλάνης μένῃ; οὕτω γὰρ οὐκ ἔστιν ὀρθῶς βιοῦν. ὁ γὰρ δόξης δοῦλος, τοῦ πορνεύοντος οὐκ ἐλάττων ἐστίν· οὗτος πολλῷ πλείονα καὶ χαλεπώτερα ἐργάζεται* ἐκείνου. ἀλλ' εἰπέ μοι τινὰ πάντων ἀπηλλαγμένον τῶν παθῶν καὶ πάσης κακίας ἐλεύθερον, καὶ μένοντα παρ' ἕλλησιν. ἀλλ' οὐκ ἂν ἔχοις. καὶ γὰρ οἱ τὰ μεγάλα παρ' αὐτοῖς κομπάζοντες, καὶ χρημάτων καὶ γαστρὸς περιγινόμενοι, καθώς φασι, δόξῃ μάλιστα πάντων ἀνθρώπων ἐδουλώθησαν, ὃ πάντων ἐστὶν αἴτιον τῶν κακῶν. οὕτω καὶ οἱ Ἰουδαῖοι μεμενήκασιν Ἰουδαῖοι· διὸ καὶ ἐγκαλῶν αὐτοῖς ἔλεγε· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες; καὶ τί δήποτε τῷ Ναθαναήλ, ᾧ καὶ ἀλήθειαν ἐμαρτύρησεν, οὐ διελέχθη περὶ τούτων, οὐδὲ ἐξέτεινε λόγον μακρόν; ὅτι οὐδὲ ἐκεῖνος μετὰ τοσαύτης παρεγένετο σπουδῆς. οὗτος μὲν γὰρ τοῦτο ἔργον ἔθετο, καὶ ὃν ἄλλοι καιρὸν ἀναπαύσεως εἶχον, τοῦτον οὗτος καιρὸν ἀκροάσεως ἐποιεῖτο· ἐκεῖνος δὲ παρ' ἑτέρου πεισθείς, ἀφίκετο. πλὴν οὐδὲ ἐκεῖνον παρέδραμε. πρὸς γὰρ ἐκεῖνόν φησιν· Ἀπ' ἄρτι ὄψεσθε τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. τούτῳ δὲ τούτων μὲν οὐδὲν εἶπε, περὶ δὲ τῆς οἰκονομίας καὶ τῆς αἰωνίου ζωῆς διαλέγεται, διαφόρως

Ἰωάν. α. να.

ἑκάστῳ

κεφ. γ.

ἑκάστῳ πρὸς τὴν ὑποκειμένην προαίρεσιν φθεγγόμενος. ἐκείνῳ μὲν γάρ, ἐπειδὴ καὶ τὰ τῶν προφητῶν ἠπίστατο, καὶ οὐδὲ δειλὸς οὕτως ἦν, ἤρκει τοσοῦτον ἀκοῦσαι μόνον· οὗτος δέ, ἐπειδὴ δειλία ἔτι κατείχετο, σαφῶς μὲν αὐτῷ τὸ πᾶν οὐκ ἐξεκάλυψε, κατέσεισε δὲ αὐτοῦ τὴν γνώμην, ὥστε φόβῳ φόβον ἐκβαλεῖν, τόν τε μὴ πιστεύοντα λέγων κρίνεσθαι, καὶ τὸ μὴ πιστεύειν ἀπὸ πονηρᾶς γίνεσθαι συνειδήσεως. ἐπειδὴ γὰρ καὶ τῆς παρὰ τῶν ἀνθρώπων δόξης πολλὴν ἐποιεῖτο λόγον, καὶ ταύτης μᾶλλον ἢ τῆς κολάσεως (πολλοὶ γάρ, φησι, τῶν ἀρχόντων ἐπίστευσαν εἰς αὐτόν· διὰ δὲ τοὺς Ἰουδαίους οὐχ ὡμολόγουν) καὶ ἀπὸ ταύτης αὐτοῦ καθάπτεται, λέγων· ὅτι οὐκ ἔνεστι τὸν ἐμοὶ μὴ πιστεύοντα δι' ἄλλο τι μὴ πιστεύειν, ἀλλ' ἢ διὰ τὸ βίον ἀκάθαρτον ἔχειν. καὶ προϊὼν μέν φησιν, Ἐγώ εἰμι τὸ φῶς· ἐνταῦθα δέ, ἦλθε τὸ φῶς εἰς τὸν κόσμον. ἐν γὰρ προοιμίοις συνεσκιασμένως μᾶλλον ἐφθέγγετο, προϊὼν δέ, σαφέστερον. "ἀλλ' ὅμως ὑπὸ τῆς δόξης ὁ ἄνθρωπος κατείχετο τῆς τῶν πολλῶν, διόπερ οὐδὲ παρρησιάζεσθαι ἠνείχετο ὡς ἐχρῆν.

γρ. ὅπως

ΗΘΙΚΟΝ Φεύγωμεν τοίνυν τὴν κενὴν δόξαν· τοῦτο γάρ ἐστι πάντων τὸ πάθος τυραννικώτερον. ἐντεῦθεν πλεονεξία καὶ χρημάτων ἔρως, ἐντεῦθεν μῖσος καὶ πόλεμοι καὶ μάχαι. ὁ γὰρ τοῦ πλείονος ἐρῶν, οὐδαμοῦ στῆναι δυνήσεται. ἐρᾷ δὲ οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τοῦ δόξης ἐρᾷν κενῆς. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, πλῆθος εὐνούχων καὶ ἀνδραπόδων ἀγέλας, καὶ πολλὴν ἣν πολλοὶ περιβάλλονται φαντασίαν; οὐ χρείας ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ μάρτυρας ἔχειν τῆς ἀκαίρου ταύτης φαντασίας τοὺς ἀπαντῶντας. ἂν τοίνυν ταύτην ἀποτέμωμεν μετὰ τῆς κεφαλῆς, καὶ τὰ λοιπὰ τῆς κακίας "ἀνελοῦμεν μέλη, καὶ οὐδὲν" τὸ κωλῦσον ἔσται τὴν γῆν οὕτως ἡμᾶς οἰκεῖν ὡς τὸν οὐρανόν. οὐδὲ γὰρ πρὸς κακίαν μόνον ὠθεῖ τοὺς ἁλόντας, ἀλλὰ καὶ ταῖς ἀρεταῖς παρυφέστηκε· καί, ὅταν ἡμᾶς ἐκεῖθεν ἐκβαλεῖν μὴ δυνηθῇ, ἐν αὐτῇ τῇ ἀρετῇ πολλὴν τὴν ζημίαν ἐργάζεται, τοὺς μὲν πόνους ὑπομένειν ἀναγκάζουσα, τῶν δὲ καρπῶν ἀποστεροῦσα. ὁ γὰρ πρὸς ταύτην βλέπων, καὶ νηστεύων καὶ εὐχόμενος καὶ ἐλεῶν, ἀπέχει τὸν μισθὸν αὐτοῦ. τί ταύτης τῆς ζημίας ἐλεεινότερον γένοιτ' ἂν ἄλλο, ἢ ὅταν συμβαίνῃ κόπτεσθαι εἰκῇ καὶ μάτην, καὶ καταγέλαστον γίνεσθαι, καὶ τῆς ἄνωθεν ἐκπίπτειν δόξης; οὐ γάρ ἐστιν ἀμφοτέρων ἐφιέμενον, ἀμφοτέρων τυχεῖν. τυχεῖν μὲν γάρ ἐστιν ἀμφοτέρων, ὅταν μὴ ἀμφοτέρων, ἀλλὰ τῆς μιᾶς ἐπιθυμῶμεν τῆς ἐκ τῶν οὐρανῶν· ἀμφοτέρων δὲ ἐρῶντα οὐκ ἔστιν ἀμφοτέρων τυχεῖν. διόπερ, εἰ βουλόμεθα δόξης ἐπιτυγχάνειν, φεύγωμεν τὴν ἀνθρωπίνην δόξαν, καὶ τῆς παρὰ" τοῦ Θεοῦ μόνης ἐπιθυμῶμεν. οὕτω γὰρ καὶ ταύτης, κἀκείνης ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀνελοῦ

γρ. κωλύει

γρ. τὸ Θε

Ομιλ. κθ. 22 ΕΞΗΛΘΕ ΔΕ ΕΙΣ ΤΗΝ ΙΟΥΔΑΙΑΝ ΓΗΝ αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν [καὶ ἐβάπτιζεν.]

Οὐδὲν τῆς ἀληθείας φανερώτερον" ἢ ἰσχυρότερον γένοιτ' ἄν, ὥσπερ τοῦ ψεύδους οὐδὲν ἀσθενέστερον, κἂν μυρίοις παραπετάσμασι συσκιάζηται. εὐφώρατόν τε γὰρ καὶ οὕτω γίνεται, καὶ καταρρεῖ ῥᾳδίως. ἡ δὲ ἀλήθεια γυμνὴ πρόκειται πᾶσι τοῖς βουλομένοις αὐτῆς τὴν ὥραν περισκοπεῖν, καὶ οὔτε λανθάνειν βούλεται, οὔτε κίνδυνον δέδοικεν, οὐκ ἐπιβουλὰς τρέμει, οὐ δόξης ἐφίεται τῆς παρὰ τῶν πολλῶν, οὐκ ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων ἐστὶν ὑπεύθυνος, ἀλλὰ πάντων ἕστηκεν ἀνωτέρω, δεχομένη μὲν μυρίας ἐπιβουλάς, μένουσα δὲ ἀκαταγώνιστος, καὶ τοὺς πρὸς αὐτὴν καταφεύγοντας, ὥσπερ ἐν ἀσφα-

γρ. εὐ

λεῖ

λὰς τειχίῳ φυλάττουσα τῇ τῆς οἰκείας δυνάμεως ὑπερβολῇ, καὶ τὰς μὲν λαθραίους ἐκτρεπομένη καταδύσεις, πᾶσι δὲ εἰς τὸ μέσον προτιθεῖσα τὰ παρ' ἑαυτῆς. τοῦτο γοῦν καὶ ὁ Χριστὸς τῷ Πιλάτῳ διαλεγόμενος ἐδήλου λέγων· Ἐγὼ πάντοτε παῤῥησίᾳ ἐδίδαξα, καὶ ἐν "κρυφῇ ἐλάλησα οὐδέν. τοῦτο καὶ τότε εἶπε, καὶ νῦν ἔπραξε. "Μετὰ γὰρ ταῦτα, φησὶν," ἐξῆλθεν εἰς τὴν Ἰουδαίαν γῆν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ διέτριβε καὶ ἐβάπτισεν. ἐν μὲν γὰρ ταῖς ἑορταῖς εἰς τὴν πόλιν ἀνῄει, ὥστε ἐν μέσοις αὐτοῖς προτιθέναι τὰ δόγματα καὶ τὴν ἀπὸ τῶν θαυμάτων ὠφέλειαν· μετὰ δὲ τὸ λυθῆναι τὰς ἑορτὰς, ἐπὶ τὸν Ἰορδάνην πολλάκις ἤρχετο, ἐπειδὴ καὶ ἐνταῦθα πολλοὶ συνέτρεχον. τοὺς δὲ πολυοχλοῦντας ἀεὶ κατελάμβανε τόπους, οὐκ ἐπιδεικνύμενος, οὐδὲ φιλοτιμούμενος, ἀλλὰ πλείοσι τὴν παρ' ἑαυτοῦ παρέχειν ὠφέλειαν σπουδάζων. καίτοι προϊὼν φησὶν ὁ εὐαγγελιστὴς, ὅτι ὁ Ἰησοῦς οὐκ ἐβάπτισεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ· ὅθεν δῆλον, ὅτι καὶ ἐνταῦθα τοῦτό φησι. καὶ τίνος ἕνεκεν "αὐτὸς οὐκ ἐβάπτισε; προλαβὼν Ἰωάννης εἶπεν· ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· πνεῦμα δὲ οὔπω ἦν δεδωκώς. εἰκότως οὖν οὐκ ἐβάπτισεν· οἱ δὲ μαθηταὶ τοῦτο ἔπραττον, βουλόμενοι πολλοὺς" προσαγαγεῖν τῇ σωτηριώδει διδασκαλίᾳ. καὶ τί δήποτε, τῶν μαθητῶν τοῦ Ἰησοῦ βαπτιζόντων, οὐκ ἐπαύσατο ὁ Ἰωάννης τοῦτο ποιῶν, ἀλλὰ μεμένηκε βαπτίζων καὶ αὐτὸς, καὶ μέχρι τῆς εἰς τὸ δεσμωτήριον εἰσαγωγῆς τοῦτο ἔπραττε; τὸ γὰρ εἰπεῖν, ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν, καὶ ἐπαγαγεῖν, ὅτι

Ιωαν. ιη. κ.

24 Οὔπω ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης, Δηλοῦντος ἦν, ὅτι ἕως τότε οὐκ ἐπαύσατο βαπτίζων. "τίνος οὖν ἕνεκεν ἕως τότε ἐβάπτισε; καίτοιγε σεμνοτέρους ἂν ἀπέφηνε τοὺς μαθητὰς τοῦ Ἰησοῦ, εἴγε, ἐκείνων ἀρξαμένων, αὐτὸς ἐπαύσατο. τίνος "οὖν ἕνεκεν ἐβάπτισεν; ἵνα μὴ τοὺς ἑαυτοῦ μαθητὰς εἰς πλείονα ζῆλον" ἐμβάλῃ καὶ φιλονεικοτέρους ἐργάσηται. εἰ γὰρ μυριάκις βοῶν, καὶ τῶν πρωτείων ἀεὶ τῷ Χριστῷ παραχωρῶν, καὶ τοσοῦτον ἑαυτὸν ἐλαττῶν, οὐκ ἔπεισεν αὐτοὺς αὐτῷ προσδραμεῖν· εἰ καὶ τοῦτο προσέθηκε, πολλῷ φιλονεικοτέρους ἂν ἐποίησε. διὰ τοῦτο καὶ ὁ Χριστὸς τότε μάλιστα ἤρξατο κηρύττειν, ὅτε ἐκποδὼν" ὁ Ἰωάννης ἐγένετο. οἶμαι δὲ καὶ διὰ τοῦτο συγχωρηθῆναι τὴν τελευτὴν Ἰωάννου καὶ ταχίστην αὐτῷ γενέσθαι, ὥστε πᾶσαν τοῦ πλήθους τὴν διάθεσιν ἐπὶ τὸν Χριστὸν μετελθεῖν, καὶ μηκέτι ταῖς περὶ ἀμφοτέρων αὐτοὺς σχίζεσθαι γνώμαις. χωρὶς δὲ τούτων καὶ ἐν τῷ βαπτίζειν οὐκ ἐπαύσατο συνεχῶς παραινῶν, καὶ μεγάλα καὶ σεμνὰ δεικνὺς τὰ τοῦ Ἰησοῦ. ἐβάπτιζε γὰρ, οὐδὲν ἕτερον λέγων, ἢ εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσιν. ὁ τοίνυν "ταῦτα κηρύττων, πῶς ἂν σεμνοὺς ἀπέφηνε τοὺς μαθητὰς τοῦ Χριστοῦ παυσάμενος; καὶ γὰρ τοὐναντίον ἂν ἔδοξε ζήλῳ ἢ ὀργῇ τοῦτο ποιεῖν·" τὸ δὲ ἐπιμεῖναι κηρύττοντα, ἰσχυροτέρα ταῦτα ἀπέφαινεν. οὐ γὰρ ἑαυτῷ τὴν δόξαν ἐκτᾶτο, ἀλλὰ τῷ Χριστῷ παρέπεμπε τοὺς ἀκροωμένους, καὶ οὐχ ἧττον τῶν μαθητῶν" αὐτῷ συνέπραττεν, ἀλλὰ καὶ πολλῷ μᾶλλον, ὅσῳ καὶ ἀνύποπτος" αὐτοῦ ἡ μαρτυρία ἦν, καὶ πολλῷ μείζονα δόξαν παρὰ πᾶσιν εἶχεν ἐκείνων. ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν, ὅτι ἐξήρχοντο καὶ ἐβαπτίζοντο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία καὶ ἡ περίχωρος τοῦ Ἰορδάνου· καὶ τῶν μαθητῶν δὲ βαπτιζόντων, οὐ διέλιπον πολλοὶ πρὸς αὐτὸν τρέχοντες. εἰ δέ τις ἐξετάζοι· καὶ τί πλέον εἶχε τὸ τῶν μαθητῶν * βάπτισμα τοῦ Ἰωάννου; ἐροῦμεν, ὅτι οὐδέν. ἑκάτερα γὰρ ὁμοίως τῆς ἐκ τοῦ πνεύματος χάριτος ἄμοιρα ἦν, καὶ αἰτία μία ἀμφοτέροις ἦν τοῦ βαπτίζειν, τὸ τῷ Χριστῷ προσάγειν τοὺς βαπτιζομένους. ἵνα γὰρ μὴ ἀεὶ περιτρέχοντες οὕτω συνάγωσι τοὺς ὀφείλοντας πιστεύειν, ὅπερ ἐπὶ τοῦ Σίμωνος ὁ ἀδελφὸς ἐποίησε, καὶ ἐπὶ τοῦ Ναθαναὴλ ὁ Φίλιππος, τὸ βαπτίσαι ἐνεστήσαντο, ὥστε δι' αὐτοῦ ἅπαντας ἐπάγεσθαι ἀπονητὶ, καὶ τῇ μελλούσῃ προοδοποιεῖν πίστει. ὅτι δὲ οὐδὲν πλέον εἶχεν ἀλλήλων τὰ βαπτίσματα, τὰ ἐχόμενα δηλοῖ. ποῖα δὴ ταῦτα;

25 Ἐγένετο, φησι, ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ. Ζηλοτύπως γὰρ ἔχοντες ἀεὶ πρὸς τοὺς τοῦ Χριστοῦ μαθητὰς οἱ μαθηταὶ Ἰωάννου, πρὸς αὐτόν τε τὸν Χριστόν, ἐπειδὴ εἶδον αὐτοὺς βαπτίζοντας, ἤρξαντο διαλέγεσθαι πρὸς τοὺς βαπτιζομένους, ὡς τοῦ παρ' αὐτοῖς βαπτίσματος πλέον τι τοῦ τῶν μαθητῶν τοῦ Χριστοῦ ἔχοντος· καὶ λαβόντες ἕνα τῶν βαπτισθέντων, ἐπεχείρουν τοῦτον πείθειν· ἀλλ' οὐκ ἔπειθον. ὅτι γὰρ αὐτοὶ οἱ ἐπιδραμόντες εἰσίν, ἀλλ' οὐκ ἐκεῖνος ἐζήτησεν, ἄκουσον πῶς τοῦτο ὁ εὐαγγελιστὴς ᾐνίξατο. οὐ γὰρ εἶπεν, ὅτι Ἰουδαῖός τις μετ' αὐτῶν ἐζήτησεν, ἀλλ' ὅτι ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου ἐγένετο μετὰ Ἰουδαίου τινὸς περὶ καθαρισμοῦ. σκόπει δέ μοι καὶ τὸ ἀνεπαχθὲς τοῦ εὐαγγελιστοῦ. οὐ γὰρ καταφορικῶς ἐχρήσατο τῷ λόγῳ, ἀλλ' ὅση δύναμις, παραμυθεῖται τὸ ἔγκλημα, ζήτησιν γενέσθαι ἁπλῶς λέγων· ἐπεὶ ὅτι γε ἀπὸ ζηλοτυπίας ἐλέγετο τὰ λεγόμενα, τὰ ἑξῆς δηλοῖ, ἃ καὶ αὐτὰ ἀνεπαχθῶς τέθεικεν.

26 Ἦλθον γάρ, φησι, πρὸς τὸν Ἰωάννην καὶ λέγουσι, Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν·

Τουτέστιν, ὃν ἐβάπτισας σύ. τοῦτο γὰρ αἰνίττονται λέγοντες, ᾧ σὺ μεμαρτύρηκας, ὅ ἐστιν, ὃν σὺ λαμπρὸν ἔδειξας καὶ περίβλεπτον ἐποίησας, τὰ αὐτά σοι τολμᾷ. ἀλλ' οὐκ εἶπον, ὃν σὺ ἐβάπτισας, βαπτίζει (ἢ γὰρ ἂν ἠναγκάσθησαν καὶ τῆς φωνῆς ἀναμνῆσαι τῆς ἄνωθεν κατενεχθείσης, καὶ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως)" ἀλλὰ τί; ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, τουτέστιν, ὃς μαθητοῦ τάξιν ἐπεῖχεν, ὃς ἡμῶν πλέον εἶχεν οὐδέν, οὗτος ἑαυτὸν ἀποσχίσας, βαπτίζει. οὐ τούτῳ δὲ μόνον ᾤοντο παρακνίζειν αὐτόν, ἀλλὰ καὶ τῷ τὰ αὐτῶν παρευδοκιμεῖσθαι λοιπόν. πάντες γάρ, φησιν, ἔρχονται πρὸς αὐτόν. ὅθεν δηλοῖ ὅτι οὔτε τοῦ Ἰουδαίου περιεγένοντο, μεθ' οὗ τὴν ζήτησιν εἶχον. ταῦτα δὲ ἔλεγον ἀτελέστερόν τε διακείμενοι, καὶ οὐδέπω φιλοτιμίας ὄντες καθαροί. τί οὖν ὁ Ἰωάννης; οὐδὲ αὐτὸς αὐτοῖς σφοδρῶς ἐπετίμησε, δεδοικὼς μὴ καὶ αὐτοῦ πάλιν ἀποσχισθέντες, ἕτερόν τι κακὸν ἐργάσωνται·" ἀλλὰ τί φησιν;

27 Οὐδεὶς δύναται ἀνθρώπων λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Εἰ δὲ ταπεινότερον φθέγγεται περὶ τοῦ Χριστοῦ, μὴ θαυμάσῃς. οὐ γὰρ ἦν τοιούτῳ πάθει προκατειλημμένους ἀθρόον καὶ ἐκ προοιμίων διδάξαι τὸ πᾶν· ἀλλὰ θέλει τέως αὐτοὺς καταπλῆξαι καὶ φοβῆσαι, καὶ δεῖξαι, ὅτι οὐχ ἑτέρῳ, ἀλλ' ἢ τῷ Θεῷ πολεμοῦσιν, αὐτῷ πολεμοῦντες. ὅπερ οὖν καὶ ὁ Γαμαλιὴλ ἔλεγεν, Οὐ δύνασθε καταλῦσαι αὐτό, μήποτε καὶ θεομάχοι" εὑρεθῆτε, τοῦτο καὶ αὐτὸς λανθανόντως ἐνταῦθα κατασκευάζει. τὸ γὰρ εἰπεῖν, οὐδεὶς δύναται λαμβάνειν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ ἄνωθεν, οὐδὲν ἄλλο δηλοῦντός ἐστιν, ἢ ὅτι καὶ" ἀδυνάτοις ἐπιχειροῦσι, καὶ ὅτι θεομάχοι ἐντεῦθεν πάλιν εὑρίσκονται. τί οὖν; οἱ περὶ Θευδᾶν οὐκ ἔλαβον ἀφ' ἑαυτῶν; ἔλαβον, ἀλλ' εὐθέως διελύθησαν καὶ ἀπώλοντο· τὰ δὲ τοῦ Χριστοῦ οὐ τοιαῦτα. ἐντεῦθεν αὐτοὺς καὶ παραμυθεῖται ἠρέμα, δεικνὺς ὅτι οὐκ ἄνθρωπος, ἀλλὰ Θεός ἐστιν ὁ παρευδοκιμῶν αὐτούς. ὅθεν εἰ δὲ καὶ λαμπρὰ τὰ ἐκείνου, καὶ πάντες πρὸς αὐτὸν ἔρχονται, θαυμάζειν οὐ χρή. τοιαῦτα γὰρ τὰ θεῖα, καὶ Θεός ἐστιν ὁ ταῦτα κατασκευάζων. οὐ γὰρ ἄνθρωπος ἴσχυσε τοιαῦτά ποτε. "τὰ γὰρ ἀνθρώπινα πάντα εὔφωρα καὶ σαθρά, καὶ καταρρεῖ ταχέως καὶ ἀπόλλυται· ταῦτα δὲ οὐ τοιαῦτα· οὐκ ἄρα ἀνθρώπινα." καὶ ὅρα πῶς ὅτε εἶπον, ᾧ σὺ μεμαρτύρηκας, τότε καὶ τοῦτο ὃ ᾤοντο προβαλέσθαι εἰς τὴν τοῦ Χριστοῦ καθαίρεσιν, εἰς αὐτοὺς αὐτὸ περιέτρεψε. καὶ πρότερον δείξας, ὅτι οὐ παρὰ τῆς αὐτοῦ μαρτυρίας τὸ λάμψαι αὐτῷ γέγονε, μετὰ ταῦτα ἐντεῦθεν αὐτοὺς ἐπιστομίζει. οὐ γὰρ δύναταί, φησιν, ἄνθρωπος λαμβάνειν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ." Εἰ γὰρ ὅλως ἔχεσθε τῆς ἐμῆς μαρτυρίας, φησί, καὶ ἀληθῆ ταύτην ἡγεῖσθε, μάθετε ὅτι διὰ ταύτην μάλιστα οὐκ ἐμὲ ἐκείνου, ἀλλ'

Πράξ. γ.

ἐκεῖνον ἐμοῦ προτιμᾶν ἐχρῆν. τί γὰρ ἐμαρτύρησα; ὑμᾶς καλῶ τούτου μάρτυρας.

28 Αὐτοὶ γὰρ ὑμεῖς μοι μαρτυρεῖτε, ὅτι εἶπον, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Εἰ τοίνυν ἔχεσθε τῆς ἐμῆς μαρτυρίας (ταύτην γὰρ προβάλλεσθε νῦν, λέγοντες ᾧ σὺ μεμαρτύρηκας) οὐ μόνον οὐκ ἠλάττωται ἐκ τούτου τὴν ἐμὴν δέξασθαι μαρτυρίαν, ἀλλὰ πλεονεκτεῖ μάλιστα ἐκ τούτου, ἄλλως τε οὐδὲ ἐμὴ ἡ μαρτυρία, ἀλλὰ τοῦ Θεοῦ ἦν. ὥστε, εἰ ἀξιόπιστος ὑμῖν εἶναι δοκῶ, μετὰ τῶν ἄλλων καὶ τοῦτο εἶπον, ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. ὁρᾷς πῶς δείκνυσι κατὰ μικρὸν θείαν τὴν φωνὴν οὖσαν; ὃ γὰρ λέγει τοιοῦτόν ἐστι· διάκονός εἰμι, καὶ τὰ τοῦ πέμψαντος λέγω, οὐκ ἀνθρωπίνῃ χάριτι κολακεύων αὐτὸν, ἀλλὰ τῷ πατρὶ αὐτοῦ τῷ πέμψαντί με διακονούμενος. οὐκ ἄρα ἐχαρισάμην τὴν μαρτυρίαν, ἀλλ' ὅπερ ἀπεστάλην εἰπεῖν, εἶπον. μὴ τοίνυν διὰ τοῦτο νομίσητε μέγαν εἶναι ἐμέ. τοῦτο γὰρ ἐκεῖνον δείκνυσι μέγαν. ὁ γὰρ κύριος τῶν πραγμάτων ἐκεῖνός ἐστιν· ὃ καὶ δηλῶν πάλιν ἐπάγει καὶ λέγει·

29 Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. Καὶ πῶς ὁ λέγων, οὐκ εἰμὶ ἄξιος λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος, φίλον αὐτοῦ νῦν φησιν ἑαυτὸν εἶναι; οὐκ ἐπαίρων τὸ καθ' ἑαυτὸν, οὐδὲ κομπάζων ταῦτα λέγει, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι καὶ αὐτὸς τοῦτο μάλιστα σπεύδει, καὶ οὐκ ἄκοντος αὐτοῦ οὐδὲ λυπουμένου ταῦτα γίνεται, ἀλλ' ἐπιθυμοῦντος καὶ σπουδάζοντος, καὶ ὅτι ταῦτά ἐστιν ὑπὲρ ὧν μάλιστα πάντα ἔπραττεν· ὃ καὶ σφόδρα συνετῶς διὰ τῆς τοῦ φίλου προσηγορίας ἐδήλωσεν. οὐ γὰρ οὕτως οἱ διάκονοι τοῦ νυμφίου, ὡς οἱ φίλοι χαίρουσι καὶ εὐφραίνονται ἐν τοῖς τοιούτοις. οὐ τοίνυν τὸ ὁμότιμον, ἄπαγε, ἀλλὰ τὸ πολὺ τῆς ἡδονῆς παραστῆσαι βουλόμενος, ἅμα δὲ καὶ συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, φίλον ἑαυτόν φησιν εἶναι· ἐπεὶ καὶ τὴν διακονίαν ἐδήλωσεν εἰπὼν, ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. διὰ δὴ ταῦτα, καὶ διὰ τὸ νομίζειν αὐτοὺς δάκνεσθαι τοῖς γινομένοις, φίλον ἑαυτὸν ἐκάλεσε τοῦ νυμφίου, δεικνὺς ὅτι οὐ μόνον οὐ δάκνεται, ἀλλὰ καὶ σφόδρα χαίρει. τοῦτο γὰρ ἦλθον ἀνύσαι, φησὶ, καὶ τοσοῦτον ἀπέχω τοῦ ἀλγῆσαι τοῖς πραττομένοις, ὅτι τότε μάλιστα ἂν ἤλγησα, εἰ μὴ τοῦτο ἐγένετο. εἰ μὴ γὰρ προσῆλθεν ἡ νύμφη τῷ νυμφίῳ, τότε ἂν ἐδήχθην, ἀλλ' οὐχὶ νῦν, φησὶν, ὅτε τὰ ἡμέτερα ἤνυσται. καὶ γὰρ τῶν ἐκείνου προκοπτόντων ἡμεῖς ἐσμεν οἱ εὐδοκιμοῦντες. ὃ γὰρ ἐβουλόμεθα, γέγονε, καὶ ἐπιγινώσκει τὸν νυμφίον ἡ νύμφη, καὶ ὑμεῖς μαρτυρεῖτε αὐτοὶ λέγοντες, ὅτι πάντες ἔρχονται πρὸς αὐτόν. τοῦτο γὰρ καὶ ἐσπούδαζον, καὶ διὰ τοῦτο πάντα ἔπραττον, καὶ τοῦτο νῦν ἐκβεβηκὸς ὁρῶν, χαίρω καὶ ἀγάλλομαι καὶ σκιρτῶ. τί δέ ἐστιν, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου; ἀπὸ τῆς παραβολῆς τὸν λόγον μετήγαγεν ἐπὶ τὸ προκείμενον. ἐπειδὴ γὰρ νυμφίου καὶ νύμφης ἐμνημόνευσε, δείκνυσιν ἡ νυμφαγωγία πῶς γίνεται, ὅτι διὰ φωνῆς καὶ διδασκαλίας. οὕτω γὰρ ἡ ἐκκλησία ἁρμόζεται τῷ Θεῷ. διὸ δὲ Παῦλος ἔλεγεν, Ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. διὰ ταύτην ἐγὼ χαίρω τὴν φωνήν. καὶ τὸ, ὁ ἑστηκὼς δὲ, οὐχ ἁπλῶς τέθεικεν, ἀλλὰ δεικνὺς, ὅτι τὰ αὐτοῦ πέπαυται, καὶ ὅτι αὐτὸν λοιπὸν ἑστάναι χρὴ καὶ ἀκούειν ἐκείνῳ παραδόντα τὴν νύμφην, καὶ ὅτι λειτουργός ἐστι καὶ διάκονος, καὶ τὰ τῆς χρηστῆς ἐλπίδος αὐτοῦ, καὶ τὰ τῆς εὐφροσύνης ἐξῆλθεν εἰς ἔργον. διὰ τοῦτό φησιν,

Ρω ι. ζ.

Αὕτη οὖν ἡ ἐμὴ χαρὰ πεπλήρωται· Τουτέστιν, ἤνυσται παρ' ἐμοῦ τὸ ἔργον ὃ γενέσθαι ἔδει, καὶ πλέον οὐδὲν δυνάμεθα ἐργάσασθαι λοιπόν. Εἶτα οὐχὶ τὴν παροῦσαν μόνον, ἀλλὰ καὶ τῆς μελλούσης οὐ πάθεις αὔξησιν γίνεσθαι κωλύων, καὶ περὶ τῶν μελλόντων ἀποφαίνεται [λέγων] ἀπὸ τῶν εἰρημένων τε καὶ γεγενημένων ἤδη καὶ ταῦτα πιστούμενος. διὸ καὶ ἐπάγει λέγων·

30 Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι· Τουτέστι, τὰ μὲν ἡμέτερα ἔστη καὶ ἐπαύσατο λοιπὸν, αὔξει δὲ τὰ ἐκείνου. τοῦτο γὰρ ὃ δεδοίκατε νῦν, οὐχὶ νῦν ἔσται μόνον, ἀλλὰ

πολλῷ μᾶλλον προσιόν. τοῦτο γάρ ἐστιν ὃ μάλιστα λαμπρότερα δείκνυσι τὰ ἡμέτερα· διὰ τοῦτο δὴ καὶ ἦλθον, καὶ χαίρω, ὅτι τὰ αὐτοῦ πολλὴν ἔλαβε τὴν ἐπίδοσιν, καὶ γέγονε ταῦτα, δι᾽ ἅπερ πάντα τὰ παρ᾽ ἡμῶν ἐγίνοντο. Εἶδες πῶς ἠρέμα καὶ μετὰ πολλῆς τῆς σοφίας, τό τε πάθος αὐτῶν κατεπράϋνε, καὶ τὴν βασκανίαν ἔσβεσε, καὶ ἀδυνάτοις ἐπιχειροῦντας ἔδειξεν, ᾧ μάλιστα παύεται κακία; διὰ τοῦτο γὰρ καὶ ᾠκονομήθη, ἔτι ζῶντος αὐτοῦ καὶ βαπτίζοντος, ταῦτα γενέσθαι, ἵνα αὐτὸν μάρτυρα τῆς ὑπεροχῆς ἔχωσι, καὶ μηδεμίαν, εἰ μὴ πείθοιντο, ἀπολογίαν ἔχειν. οὐδὲ γὰρ ἀφ᾽ ἑαυτοῦ ἐπὶ τὸ ταῦτα εἰπεῖν ἦλθεν, οὐδὲ ἑτέρων ἐρωτησάντων. αὐτοὶ γὰρ ἦσαν καὶ οἱ πυθόμενοι, καὶ οἱ ἀκούσαντες. οὐδὲ γὰρ οὕτως ἀφ᾽ ἑαυτοῦ λέγοντι ἐπείθοντο, ὡς αὐτοκατάκριτον τὴν ψῆφον εἶχον, μετὰ τὴν ἐρώτησιν ἀκούοντες ἀποκρινομένου· ὥσπερ οὖν καὶ Ἰουδαῖοι καὶ διὰ τοῦτο μάλιστα, διὰ τὸ οἴκοθεν ἀποστεῖλαι πρὸς αὐτὸν, καὶ ἀκοῦσαι ἅπερ ἤκουσαν, καὶ μὴ πεισθῆναι, πάσης ἀπολογίας ἑαυτοὺς ἐξέβαλον.

ΗΘΙΚΟΝ

Ματθ. θ. ιδ.

Τί τοίνυν ἐντεῦθεν παιδευόμεθα; ὅτι πάντων αἴτιον τῶν κακῶν ἡ δοξομανία. τοῦτο γοῦν αὐτοὺς ἐπὶ τὴν ζηλοτυπίαν ἤγαγε, τοῦτο πάλιν αὐτοὺς μικρὸν λωφήσαντας διήγειρε. διὸ καὶ προσελθόντες τῷ Ἰησοῦ λέγουσι· Διὰ τί οἱ μαθηταί σου οὐ νηστεύουσι; φύγωμεν τοίνυν, ἀγαπητοὶ, τὸ πάθος. ἂν γὰρ τοῦτο φύγωμεν, τῆς γεέννης ἀπαλλαγησόμεθα. τούτου γὰρ μάλιστα αὐτῆς ἀνάπτει τὸ πῦρ, καὶ πανταχοῦ τὴν ἀρχὴν ἐκτείνει τὴν ἑαυτοῦ, καὶ ἡλικίαν πᾶσαν καὶ ἀξίαν πᾶσαν κατέχει τυραννικῶς. τοῦτο τὰς ἐκκλησίας ἄνω καὶ κάτω πεποίηκε, τοῦτο καὶ τοῖς πολιτικοῖς λυμαίνεται πράγμασι, τοῦτο καὶ οἰκίας ὁλοκλήρους ἀνέτρεψε, καὶ πόλεις καὶ δήμους καὶ ἔθνη. καὶ τί θαυμάζεις; ὅπουγε καὶ εἰς τὴν ἔρημον ἐξελθὸν, πολλὴν αὐτοῦ κἀκεῖ τὴν δύναμιν ἐπεδείξατο. οἱ γὰρ πολλὰ χρήμασι χαίρειν εἰπόντες καὶ τῇ τοῦ κόσμου φαντασίᾳ πάσῃ, καὶ μηδενὶ συγγινόμενοι, καὶ τῆς τυραννικωτέρας τῶν σωμάτων κρατοῦντες ἐπιθυμίας, οὗτοι πολλάκις, ἁλόντες ὑπὸ κενοδοξίας, πάντα ἀπώλεσαν. διὰ τοῦτο τὸ πάθος ὁ πολλὰ καμὼν τοῦ μηδὲν καμόντος, ἀλλὰ μυρία ἁμαρτήσαντος, ὁ Φαρισαῖος τοῦ τελώνου ἧττον ἔχων ἀπῆλθεν. ἀλλὰ τὸ μὲν κατηγορεῖν τοῦ πάθους, οὐδὲν ἔργον ἐστί (πάντες γὰρ τὰ αὐτὰ ψηφίζονται) τὸ δὲ ζητούμενον, ὅπως αὐτοῦ περιγενώμεθα. πῶς οὖν αὐτοῦ περιγενώμεθα; ἂν ἀντιστήσωμεν δόξαν δόξῃ. ὥσπερ γὰρ οὖν τοῦ τῆς γῆς πλούτου καταφρονοῦμεν, ὅταν πρὸς ἕτερον ἴδωμεν πλοῦτον, καὶ τῆς ζωῆς ταύτης ὑπερορῶμεν, ὅταν ἐννοήσωμεν τὴν πολλῷ ταύτης ἀμείνω· οὕτω καὶ δόξαν τὴν ἐνταῦθα διαπτύσαι δυνησόμεθα, ὅταν τὴν ταύτης ἐννοήσωμεν πολλῷ σεμνοτέραν, τὴν ὄντως δόξαν. ἡ μὲν γὰρ κενή τίς ἐστι καὶ ματαία, ὄνομα ἔχουσα πράγματος ἔρημον· ἐκείνη δὲ ἀληθὴς ἡ ἀπὸ τῶν οὐρανῶν, οὐκ ἀνθρώπους, ἀλλ᾽ ἀγγέλους καὶ ἀρχαγγέλους καὶ τὸν τῶν ἀρχαγγέλων δεσπότην, μᾶλλον δὲ μετ᾽ αὐτοῦ καὶ τοὺς ἀνθρώπους ἐπαινέτας ἔχουσα. ἂν πρὸς ἐκεῖνο τὸ θέατρον ἴδῃς, ἂν τοὺς ἐκεῖθεν μάθῃς στεφάνους, ἂν πρὸς τὸν ἐκεῖθεν κρότον σεαυτὸν μεταθῇς, οὐδέποτέ σε δυνήσεται τὰ ἐνταῦθα κατασχεῖν, οὐδὲ γινόμενα ἡγήσῃ μεγάλα, οὐδὲ ἀπόντα ζητήσεις. καὶ γὰρ ἐν τοῖς βασιλείοις τούτοις οὐδεὶς τῶν τῷ βασιλεῖ παρεστηκότων δορυφόρων ἀφεὶς ἀρέσαι τῷ τὸ διάδημα ἔχοντι καὶ ἐπὶ τοῦ θρόνου καθημένῳ, κολοιῶν περιεργάζεται φωνὰς, ἢ μυιῶν καὶ κωνώπων περιιπταμένων καὶ βομβούντων θόρυβον. οὐδὲν γὰρ τούτων ἄμεινον αἱ τῶν ἀνθρώπων εὐφημίαι διάκεινται. Εἰδότες τοίνυν τῶν ἀνθρωπίνων τὴν εὐτέλειαν, πάντα εἰς τοὺς ἀσύλους συναγάγωμεν θησαυροὺς, καὶ τὴν μένουσαν καὶ ἀκίνητον δόξαν ἐπιζητήσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λ. 31 Ο ΑΝΩΘΕΝ ΕΡΧΟΜΕΝΟΣ, ΕΠΑΝΩ ΠΑΝΤΩΝ ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ.

ΔΕινὸν ὁ τῆς δόξης ἔρως, δεινὸν, καὶ πολλῶν γέμον κακῶν, ἄκανθά τίς ἐστι δυσαπόσπαστος, καὶ θηρίον ἀτίθασον καὶ πολυκέφαλον, κατὰ τῶν τρεφόντων αὐτὸ ὁπλιζόμενον. καθάπερ γὰρ ὁ σκώληξ τὰ ξύλα, ἀφ' ὧν τίκτεται, διατρώγει, καὶ ὁ ἰὸς τὸν σίδηρον, ὅθεν πρόεισι, δαπανᾷ, καὶ οἱ σῆτες τὰ ἔρια· οὕτω καὶ ἡ κενοδοξία τὴν τρέφουσαν αὐτὴν ἀπόλλυσι ψυχήν· διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς σπουδῆς, ὥστε ἀφανίσαι τὸ πάθος. ὅρα γοῦν καὶ ἐνταῦθα ὅσα ἐπάδει τοῖς μαθηταῖς τοῦτο πάσχουσιν ὁ Ἰωάννης, καὶ μόλις αὐτοὺς καταπραΰνει. μετὰ γὰρ τῶν ἔμπροσθεν εἰρημένων καὶ ἑτέροις αὐτοὺς ἐπαντλεῖ λόγοις. ποίοις δὴ τούτοις; ὁ ἄνωθεν ἐρχόμενος, φησὶν, ἐπάνω πάντων ἐστίν· ὁ ἐκ τῆς γῆς ὢν, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ. ἐπειδὴ γὰρ τὴν ἐμὴν ἄνω καὶ κάτω στρέφετε, φησὶ, μαρτυρίαν, καὶ ταύτῃ με ἀξιοπιστότερον εἶναι φατέ· ἐκεῖνο ὑμᾶς ἀναγκαῖον εἰδέναι, ὡς οὐκ ἔνι τὸν ἐκ τῶν οὐρανῶν ἐρχόμενον ἀξιόπιστον ἀπὸ τοῦ τὴν γῆν οἰκοῦντος γενέσθαι. τὸ δὲ, ἐπάνω πάντων, τί ἐστι; καὶ τί βούλεται ἡμῖν ἐνδείξασθαι ἡ λέξις; ὅτι οὐδενὸς δεῖται, ἀλλ' ἀρκῶν ἐστιν αὐτὸς ἑαυτῷ, καὶ ὅτι πάντων μείζων ἀσυγκρίτως. τὸν δὲ ἐκ τῆς γῆς ὄντα καὶ λαλοῦντα ἑαυτόν φησιν, οὐχ ὅτι ἐξ οἰκείας διανοίας ἐφθέγγετο· ἀλλ', ὥσπερ ὁ Χριστὸς εἶπεν, Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, τὸ βάπτισμα οὕτω καλῶν, οὐκ ἐπειδὴ ἐπίγειον ἦν, ἀλλ' ἐπειδὴ πρὸς τὴν ἀπόρρητον αὐτοῦ γέννησιν παρέβαλε τὸ εἰρημένον· οὕτω καὶ ἐνταῦθα, ἐκ τῆς γῆς λαλεῖν ἑαυτὸν ὁ Ἰωάννης εἶπε, πρὸς τὴν τοῦ Χριστοῦ διδασκαλίαν τὰ αὐτοῦ παραβάλλων. οὐδὲν γὰρ ἄλλο δηλοῖ, τὸ ἐκ τῆς γῆς λαλεῖν, ἢ ὅτι μικρὰ καὶ ταπεινὰ καὶ εὐτελῆ τοῖς ἐκείνου παραβαλλόμενα τὰ ἐμὰ, καὶ τοιαῦτα, οἷα εἰκὸς γηΐνην δέξασθαι φύσιν. Παρὰ γὰρ ἐκείνῳ πάντες εἰσὶ θησαυροὶ τῆς σοφίας ἀπόκρυφοι. ὅτι γὰρ οὐ περὶ λογισμῶν ἀνθρωπίνων λέγει, δῆλον ἐκεῖθεν. ὁ ἐκ τῆς γῆς ὢν, φησιν, ἐκ τῆς γῆς ἐστι· καίτοιγε οὐκ ἐκ τῆς γῆς ἦν αὐτῷ τὸ πᾶν, ἀλλὰ τὰ κυριώτερα οὐράνια. καὶ γὰρ καὶ ψυχὴν εἶχε καὶ πνεύματος μετεῖχεν, οὐκ ἐκ τῆς γῆς. πῶς οὖν ἀπὸ τῆς γῆς εἶναί φησιν; ὁρᾷς ὅτι οὐδὲν ἄλλο φησὶν, ἢ ὅτι μικρὸς ἐγὼ καὶ οὐδενὸς ἄξιος λόγου, ἅτε χαμαὶ ἐρχόμενος καὶ ἐν τῇ γῇ τεχθείς· ὁ δὲ Χριστὸς ἄνωθεν ἡμῖν ἀφῖκται; διὰ δὴ τούτων πάντων σβέσας τὸ πάθος, τότε λοιπὸν μετὰ πλείονος τῆς παρρησίας φθέγγεται περὶ τοῦ Χριστοῦ. πρὸ μὲν γὰρ τούτου περιττὸν ἦν ῥήματα προΐεσθαι, μηδέποτε χώραν ἐν τῇ διανοίᾳ τῶν ἀκροωμένων ἔχειν δυνάμενα. ἐπειδὴ δὲ τὰς ἀκάνθας ἀνέσπασε, τότε μετὰ ἀδείας λοιπὸν καταβάλλει τὰ σπέρματα, λέγων ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί.

32 Καὶ ὃ ἤκουσε λαλεῖ, καὶ ὃ ἑώρακε μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.

Μέγα τι καὶ ὑψηλὸν εἰπὼν περὶ αὐτοῦ, πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον ἄγει. τὸ γὰρ, ὃ ἤκουσε καὶ ἑώρακεν, ἀνθρωπινώτερον εἴρηται. οὐ γὰρ ἀπὸ τοῦ παραλαβεῖν ὄψει, οὐδὲ ἀπὸ τοῦ ἀκοῦσαι ᾔδει ἃ ᾔδει· ἀλλ' ἐν τῇ φύσει τὸ πᾶν εἶχε, τέλειος ἐκ τῶν πατρικῶν κόλπων προελθὼν, καὶ οὐ δεόμενος τοῦ διδάσκοντος. Καθὼς γὰρ, φησι, γινώσκει με ὁ πατὴρ, οὕτω κἀγὼ γινώσκω τὸν πατέρα. τί οὖν ἐστιν, ὃ ἤκουσε λαλεῖ, καὶ ὃ ἑώρακε μαρτυρεῖ; ἐπειδὴ διὰ τῶν αἰσθήσεων τούτων ἡμεῖς πάντα μανθάνομεν ἀκριβῶς, καὶ ἀξιόπιστοι δοκοῦμεν εἶναι διδάσκαλοι, ὑπὲρ ὧν ἢ ὄψει παραλάβωμεν, ἢ ἀκοῇ δεξώμεθα, ἅτε οὐ πλαττόμενοι, οὐδὲ ψευδῆ λέγοντες· τοῦτο καὶ ἐνταῦθα κατασκευάσαι βουλόμενος ὁ Ἰωάννης, ἔλεγε τὸ, ἃ ἤκουσε καὶ ἑώρακε· τουτέστιν, οὐδὲν τῶν παρ' αὐτοῦ ψευδός ἐστιν, ἀλλὰ πάντα ἀληθῆ. οὕτω γοῦν καὶ ἡμεῖς περιεργαζόμενοι πολλάκις ἐρωτῶμεν, σὺ ἤκουσας; σὺ εἶδες; κἂν δειχθῇ τοῦτο, ἀναμφίβολος ἡ μαρτυρία. καὶ αὐτὸς δὲ ὅταν λέγῃ, Καθὼς ἀκούω κρίνω, καὶ ἃ ἤκουσα παρὰ τοῦ πατρός μου λαλῶ, καὶ ἃ ἑωράκαμεν λαλοῦμεν, καὶ ὅσα ἂν ἕτερα τοιαῦτα φθέγγηται, οὐχ ἵνα μάθωμεν ὅτι διδασκό-

Κολ. β. γ.

Ιωαν. ιε. ιε.

μένος λέγει ἃ λέγει (τοῦτο γὰρ τῆς ἐσχάτης ἀνοίας ἐστὶ νομίζειν) ἀλλ' ἵνα μηδὲν τῶν λεγομένων ὑποπτεύηται παρὰ τῶν ἀναισχύντων Ἰουδαίων. ἐπειδὴ γὰρ οὐδέπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον, συνεχῶς ἐπὶ τὸν πατέρα καταφεύγει, ἐκεῖθεν ἀξιόπιστα ποιῶν τὰ λεγόμενα. καὶ τί θαυμάζεις εἰ ἐπὶ τὸν πατέρα καταφεύγει· ὅπουγε αὐτὸς καὶ ἐπὶ τοὺς προφήτας, καὶ ἐπὶ τὰς γραφὰς πολλάκις ἔρχεται· "ὡς ὅταν λέγῃ, ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ; ἆρ' οὖν καὶ τῶν προφητῶν ἐλάττονα αὐτὸν φήσομεν, ἐπειδὴ τὰς ἐκεῖθεν ἕλκει μαρτυρίας; ἄπαγε. διὰ γὰρ τὴν τῶν ἀκουόντων ἀσθένειαν οὕτω μεθοδεύει τὸν λόγον, καὶ παρὰ τοῦ πατρὸς ἀκηκοὼς φησι λαλεῖν ἅπερ ἐλάλει, οὐχ ὡς διδασκάλου δεόμενος, ἀλλ' ἵνα ἐκεῖνοι πιστεύσωσι μηδὲν εἶναι ψεῦδος τῶν λεγομένων. ὃ δὲ λέγει ὁ Ἰωάννης τοιοῦτόν ἐστιν· ἐγὼ δέομαι ἀκοῦσαι τῶν παρ' ἐκείνου. ἄνωθεν γὰρ ἔρχεται, τὰ ἐκεῖθεν ἀπαγγέλλων, ἃ μόνος αὐτὸς "οἶδε σαφῶς· ὃ γὰρ, ἑώρακε καὶ ἤκουσε, τοῦτο ἐστὶ δηλοῦντος. καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. καίτοι καὶ μαθητὰς εἶχε, καὶ πολλοὶ προσεῖχον τοῖς λεγομένοις. πῶς οὖν φησιν, ὅτι οὐδείς; τοῦτο, ἀντὶ τοῦ ὀλίγοι, εἴρηται νῦν. ἐπεὶ εἰ μηδένα ἔλεγε, πῶς ἐπήγαγεν,

33 Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν;

Ἐνταῦθα καὶ τῶν ἰδίων καθάπτεται μαθητῶν, ὡς οὐ σφόδρα μελλόντων αὐτῷ πιστεύειν τέως. ὅτι γὰρ οὐδὲ μετὰ ταῦτα ἐπίστευσαν αὐτῷ, δῆλον καὶ ἐκ τῶν "μετέπειτα λεχθέντων. διὰ τοῦτο" γὰρ αὐτοὺς, καὶ δεσμωτήριον οἰκῶν, ἐκεῖθεν ἔπεμψε πρὸς αὐτὸν, ἵνα αὐτῷ συνδήσῃ μᾶλλον. οἱ δὲ καὶ τότε μόλις ἐπίστευον, ὅπερ δὴ καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγε, Καὶ μακάριος, ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ματθ. ια. ϛ. "καὶ διὰ τοῦτο καὶ νῦν ἔλεγε, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει," καὶ τοὺς μαθητὰς ἀσφαλιζόμενος τοὺς ἑαυτοῦ, καὶ μονονουχὶ "λέγων· μή, ἐπειδὴ μέλλουσιν αὐτῷ ὀλίγοι τέως πιστεύειν, διὰ τοῦτο ψευδῆ "νομίσητε εἶναι τὰ λεγόμενα, ἃ γὰρ ἑώρακε," λαλεῖ. ταῦτα δὲ λέγει ἅμα καὶ τῆς Ἰουδαϊκῆς καθαπτόμενος ἀναισθησίας· "ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς ἀρχόμενος ἐπετίμησεν αὐτοῖς, οὕτω λέγων· ὅτι εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. τοῦτο δὲ οὐκ αὐτοῦ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεξαμένων κατηγορία. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, δεικνὺς, ὅτι ὁ μὴ τούτῳ πιστεύων, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τῷ πατρὶ ἀπιστεῖ. διὸ καὶ ἐπάγει·

34 Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. Ἐπεὶ οὖν τὰ ἐκείνου φθέγγεται, ὅ τε πιστεύων, ὅ τε ἀπιστῶν, ἐκείνῳ καὶ πιστεύει καὶ ἀπιστεῖ. τὸ δὲ, ἐσφράγισε, τουτέστιν, ἔδειξεν. εἶτα αὔξων τὸν φόβον, "φησὶν, ὅτι ὁ Θεὸς ἀληθής ἐστι, δεικνὺς, ὡς οὐκ ἂν ἄλλως τις ἀπιστήσειε τούτῳ, εἰ μὴ ψεῦδος καταγνοίη τοῦ πέμψαντος αὐτὸν Θεοῦ. ἐπειδὴ "τοίνυν οὐδὲν ἐκτὸς τῶν τοῦ πατρὸς λέγει, ἀλλὰ πάντα τὰ ἐκείνου· ὁ παρακούων τούτου, τοῦ πέμψαντος παρήκουσεν. ὅρα πῶς αὐτοὺς καὶ διὰ τούτων καταπλήττει. τέως γὰρ οὐδὲν μέγα ἐνόμιζον εἶναι παρακοῦσαι τοῦ Χριστοῦ. διὰ τοῦτο τηλικοῦτον κίνδυνον "ἐπεκρέμασε τοῖς ἀπίστοις, ἵνα μάθωσιν ὅτι αὐτοῦ τοῦ Θεοῦ παρακούουσιν οἱ τοῦ Χριστοῦ παρακούοντες. εἶτα καὶ ἐπεξέρχεται τῷ λόγῳ τούτῳ, πρὸς τὸ "μέτρον τῆς ἀσθενείας αὐτῶν καταβαίνων καὶ λέγων· Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα. Πάλιν, ὅπερ ἔφην, ἐπὶ τὸ ταπεινότερον ἄγει τὸν λόγον, ποικίλλων αὐτὸν καὶ εὐπαράδεκτον ποιῶν τοῖς ἀκούουσι τότε. οὐ γὰρ ἦν ἄλλως ἐπᾶραι καὶ αὐξῆσαι τὸν φόβον. εἰ μὲν γάρ τι περὶ αὐτοῦ εἶπε μέγα καὶ ὑψηλὸν, οὐκ ἂν ἐπίστευσαν, ἀλλὰ καὶ κατεφρόνησαν ἄν. διὰ τοῦτο ἐπὶ τὸν πατέρα ἀνάγει τὸ πᾶν, πάλιν ὡς περὶ ἀνθρώπου τοῦ Χριστοῦ τέως διαλεγόμενος. τί δέ ἐστιν ὅ φησιν, οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα; "θέλει δεῖξαι, ὅτι πάντες ἡμεῖς μέτρῳ τὴν τοῦ πνεύματος ἐνέργειαν ἐλάβομεν (πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειάν φησιν· αὕτη γάρ ἐστιν ἡ μεριζομένη) οὗτος δὲ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν. εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ

γρ. λέγων,
γρ. εἶδε
γρ. μετὰ
γρ. οὖν ἐκεῖ
γρ. δι' οὐδέν
νυν ὑπεσ
πε καὶ τὴν
γρ. ἢ
γρ. ἀπολογ
μενος·
γρ. νομίσαι
γρ. μαρτυρ
φησι.
γρ. ὥσπερ
καὶ τῆς εὐαγγ
λίου ἀρχ.
γρ. προσέθη
γρ. γὰρ
γρ. ἐνεκρέμα
σε
γρ. ταπεινὸν
διανοίας
γρ. ἡμεῖς μὲν
πάντες, φη
μέτρῳ

αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. ὁρᾷς καὶ τὸ πνεῦμα ἄπειρον; ὁ τοίνυν πᾶσαν δεξάμενος τοῦ πνεύματος τὴν ἐνέργειαν, ὁ τὰ τοῦ Θεοῦ εἰδώς, ὁ λέγων· ὃ ἠκούσαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· πῶς ἂν εἴη δίκαιος ὑποπτεύεσθαι; οὐδὲν γάρ φησιν, ὃ μὴ τοῦ Θεοῦ ἐστιν, οὐδὲ ὃ μὴ τοῦ πνεύματός ἐστι. καὶ τέως περὶ τοῦ Θεοῦ λόγου οὐδὲν φθέγγεται, ἀλλ' ἀπὸ τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἀξιόπιστον ποιεῖται τὴν διδασκαλίαν. ὅτι μὲν γὰρ Θεός ἐστιν, ᾔδεσαν, καὶ ὅτι πνεῦμά ἐστιν, ἠπίσταντο, εἰ καὶ μὴ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον· ὅτι μέντοι υἱός ἐστιν, οὐκ ᾔδεσαν. διὰ τοῦτο ἀεὶ ἐπὶ τὸν πατέρα καὶ ἐπὶ τὸ πνεῦμα καταφεύγει, ἐκεῖθεν πιστούμενος τὰ λεγόμενα. ἐπεί, ἐάν τις ταύτην ἀνελὼν τὴν αἰτίαν, καθ' ἑαυτὸν ἐξετάσῃ τὸν λόγον, σφόδρα ἀποδεῖ τῆς ἀξίας τοῦ Χριστοῦ. οὐ γὰρ διὰ τοῦτο ἀξιόπιστος αὐτοῖς, ἐπειδὴ τὴν τοῦ πνεύματος ἐνέργειαν ἔχει (οὐ γὰρ τῆς ἐκεῖθεν δεῖται βοηθείας) ἀλλ' αὐτός ἐστιν ἀρκῶν ἑαυτῷ· πῶς δὲ πρὸς τὴν ὑπόνοιαν τῶν ἀτελεστέρων φθέγγεται, ἀπὸ τῶν ταπεινῶν κατὰ μικρὸν αὐτοὺς ἀναγαγεῖν βουλόμενος. ταῦτα δὲ λέγω, ἵνα μὴ ἁπλῶς τὰ ἐν ταῖς γραφαῖς κείμενα παρατρέχωμεν, ἀλλὰ καὶ τὸν σκοπὸν τοῦ λέγοντος, καὶ τὴν ἀσθένειαν τῶν ἀκροατῶν, καὶ πολλὰ ἕτερα τὰ ἐν αὐταῖς καταμανθάνωμεν. οὐ γὰρ πάντα ὡς βούλονται οἱ διδάσκαλοι φθέγγονται, ἀλλὰ τὰ πολλά, * ὡς ἡ ἕξις τῶν ἀσθενούντων ἀπαιτεῖ. διὸ καὶ Παῦλος λέγει· Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς· γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. ἐβουλόμην μὲν γάρ, φησιν, ὡς πνευματικοῖς λαλῆσαι, οὐκ ἠδυνάμην δὲ οὐκ ἐπειδὴ αὐτὸς ἀδυνάτως εἶχεν, ἀλλ' ἐπειδὴ ἐκεῖνοι οὐκ ἠδύναντο οὕτως ἀκοῦσαι. οὕτω καὶ Ἰωάννης ἐβούλετο μεγάλα τινὰ διδάξαι τοὺς μαθητάς, ἀλλ' οὐδέπω δέξασθαι ἠνείχοντο ἐκεῖνοι· διὰ τοῦτο τοῖς ταπεινοτέροις ἐνδιατρίβει μάλιστα.

α. Κορ. γ. β.

ΗΘΙΚΟΝ

Χρὴ τοίνυν διερευνᾶσθαι μετὰ ἀκριβείας πάντα. καὶ γὰρ ὅπλα ἐστὶ τὰ ἀπὸ τῶν γραφῶν πνευματικά. ἀλλ' ἂν μὴ εἰδῶμεν ἁρμόσαι τὰ ὅπλα, καὶ καθοπλίσαι καλῶς τοὺς μαθητάς, αὐτὰ μὲν ἔχει τὴν οἰκείαν ἰσχύν, τοὺς δεχομένους δὲ οὐδὲν ὠφελῆσαι δύναται. θῶμεν γὰρ εἶναι θώρακα ἰσχυρόν, καὶ κράνος, καὶ ἀσπίδα, καὶ δόρυ· εἶτα λαβέτω τις ταῦτα τὰ ὅπλα, καὶ τὸν θώρακα περιτιθέτω τοῖς ποσί, τὸ δὲ κράνος ἀντὶ τῆς κεφαλῆς, τῇ ὄψει, καὶ τὴν ἀσπίδα μὴ πρὸ τοῦ στήθους προβαλλέσθω, ἀλλὰ φιλονεικείτω περιαρτῆσαι τοῖς ποσίν· ἆρα δυνήσεταί τι τῶν ὅπλων ἀπόνασθαι τούτων, ἀλλ' οὐχὶ καὶ βλαβήσεται; παντί που δῆλον. ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τῶν ὅπλων, ἀλλὰ παρὰ τὴν ἀπειρίαν τοῦ οὐκ εἰδότος αὐτοῖς χρήσασθαι καλῶς. οὕτω καὶ ἐπὶ τῶν γραφῶν, ἂν τὴν τάξιν αὐτῶν συγχέωμεν, τὴν μὲν οἰκείαν αὗται δύναμιν ἕξουσι καὶ οὕτως, ἡμᾶς δὲ οὐδὲν ὠφελήσουσι. ταῦτα δὲ ἀεὶ καὶ ἰδίᾳ καὶ δημοσίᾳ διαλεγόμενος ὑμῖν, οὐδὲν ἀνύω πλέον, ἀλλὰ τοῖς βιωτικοῖς πάντα τὸν χρόνον προσηλωμένους ὑμᾶς ὁρῶ, τῶν δὲ πνευματικῶν οὐδὲ ὄναρ μετέχοντας. διὰ τοῦτο καὶ ὁ βίος ἡμῶν ἠμέληται, καὶ ὑπὲρ τῆς ἀληθείας ἀγωνιζόμενοι οὐ πολλὴν ἔχομεν τὴν ἰσχύν, ἀλλὰ καταγέλαστοι γινόμεθα καὶ παρ' Ἕλλησι καὶ Ἰουδαίοις καὶ παρ' αἱρετικοῖς. καὶ εἰ μὲν καὶ ἐν τοῖς ἄλλοις ἀμελοῦντες, τὴν αὐτὴν ἐνταῦθα ῥαθυμίαν ἐπεδείκνυσθε, ἦν μὲν οὐδὲ οὕτως ἀπολογίας ἄξιον τὸ γινόμενον. νυνὶ δὲ ἐν μὲν τοῖς βιωτικοῖς ἕκαστος ξίφους ἐστὶ τομώτερος, καὶ οἱ τὰς τέχνας μετιόντες, καὶ οἱ τὰ πολιτικὰ πράγματα πράττοντες· ἐν δὲ τοῖς ἀναγκαίοις καὶ πνευματικοῖς πάντων ἐσμὲν ῥαθυμότεροι, τοῖς μὲν παρέργοις ὡς ἔργοις κεχρημένοι, ἃ δὲ πάντων ἔργων ἀναγκαιότερα τίθεσθαι ἐχρῆν, ταῦτα οὐδὲ πάρεργα εἶναι νομίζοντες. ἢ οὐκ ἴστε ὅτι οὐ διὰ τοὺς πρώτους ἀνθρώπους μόνον ἐγράφη τὰ γραφέντα, ἀλλὰ καὶ δι' ἡμᾶς; οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος· Ὅτι ταῦτα δὲ εἰς νουθεσίαν ἡμῶν ἐγράφη, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησαν, Ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν; καὶ οἶδα μὲν εἰκῇ λέγων, πλὴν οὐ παύσομαι λέγων. οὕτω γὰρ ποιῶν, ἀπολογήσομαι τῷ Θεῷ, κἂν μὴ ὁ ἀκούων ᾖ. ὁ μὲν γὰρ τοῖς προσέχουσι λέγων, ἔχει παραμυθίαν τοῦ λέγειν τὴν πειθὼ τῶν ἀ-

α. Κορ. ι. ια.
Ρωμ. ιε. δ.

κρουομένων· ὁ δὲ συνεχῶς λέγων καὶ μὴ ἀκουόμενος, εἶτα οὐ παυόμενος τοῦ λέγειν, πλείονος ἂν εἴη τιμῆς ἄξιος, διὰ τὸ τῷ Θεῷ δοκοῦν καὶ μηδενὸς προσέχοντος τὸ αὐτοῦ πᾶν πληρῶν. ἀλλ' ὅμως εἰ καὶ ἡμῖν ὁ μισθὸς μείζων ἐκ τῆς ὑμετέρας παρακοῆς, ὅμως ἐπιθυμοῦμεν τοῦτον ἐλαττωθῆναι μᾶλλον, καὶ τὴν ὑμετέραν αὐξηθῆναι σωτηρίαν, μισθὸν μέγαν τὴν ὑμετέραν εὐδοκίμησιν εἶναι νομίζοντες. καὶ ταῦτα λέγομεν νῦν, οὐχ ἵνα ἐπαχθῆ καὶ βαρὺν τὸν λόγον ποιήσωμεν, ἀλλ' ἵνα τὴν ἀλγηδόνα ὑμῖν ἀποδείξωμεν, ἣν ἔχομεν διὰ τὴν ὑμετέραν ῥαθυμίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας, τῆς πνευματικῆς ἔχεσθαι σπουδῆς, καὶ τῶν οὐρανίων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λα. 35 Ο ΠΑΤΗΡ ΑΓΑΠΑ ΤΟΝ ΥΙΟΝ, ΚΑΙ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. 36 Ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπιστῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

ΠΟλὺ τῆς συγκαταβάσεως τὸ κέρδος ἐν ἅπασι δείκνυται πράγμασιν. οὕτω τὰς τέχνας κατωρθώσαμεν, οὐκ ἀθρόον παρὰ τῶν διδασκάλων πάντα μανθάνοντες· οὕτω πόλεις ἐδειμάμεθα, ἠρέμα καὶ κατὰ μικρὸν αὐτὰς συνιστῶντες· οὕτω τὴν ζωὴν διακρατοῦμεν τὴν ἡμετέραν. καὶ μὴ θαυμάσῃς εἰ ἐπὶ τῶν βιωτικῶν τὸ πρᾶγμα τοσαύτην ἔχει τὴν ἰσχὺν, ὅπου γε καὶ ἐν τοῖς πνευματικοῖς πολλὴν ἄν τις εὕροι ταύτης τῆς σοφίας οὖσαν τὴν δύναμιν. οὕτω γὰρ καὶ ἠδυνήθησαν ἀπαλλαγῆναι τῆς εἰδωλολατρείας Ἰουδαῖοι, ἠρέμα καὶ κατὰ μικρὸν ἐναγόμενοι, καὶ μηδὲν ἐξ ἀρχῆς ὑψηλὸν ἀκούοντες, μήτε δογμάτων, μήτε πολιτείας ἕνεκεν. οὕτω μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, ὅτε καὶ ὑψηλοτέρων δογμάτων ὁ καιρὸς ἦν, ἅπαντας προσήγαγον οἱ ἀπόστολοι, οὐδὲν ἐκ πρώτης ὑψηλὸν φθεγγόμενοι. οὕτω καὶ ὁ Χριστὸς τοῖς πλείοσι" διαλεγόμενος παρὰ τὴν ἀρχὴν ἐφαίνετο· οὕτω καὶ Ἰωάννης ἐποίησε νῦν, ὡς περὶ ἀνθρώπου διαλεγόμενός τινος θαυμαστοῦ, καὶ τὰ ὑψηλὰ συνεσκιασμένως παρενθείς. ἀρχόμενος γοῦν οὕτως ἔλεγεν· οὐ δύναται ἄνθρωπος ἀφ' ἑαυτοῦ λαμβάνειν οὐδέν. εἶτα ὑψηλόν τι συνάψας καὶ εἰπὼν, ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστὶ, πάλιν εἰς τὰ ταπεινὰ τὸν λόγον κατάγει λέγων ἄλλα τε πολλὰ, καὶ ὅτι, οὐ γὰρ ἐκ μέτρου ὁ Θεὸς δίδωσι τὸ πνεῦμα." εἶτα ἐπάγει λέγων· ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ·" εἶτα καὶ εἰδὼς πολλὴν τῆς κολάσεως οὖσαν τὴν ἰσχὺν, καὶ οὐχ οὕτω τῇ τῶν χρηστῶν ἐπαγγελίᾳ τοὺς πολλοὺς ἐπαγομένους, ὡς τῇ τῶν φοβερῶν ἀπειλῇ, ἐνταῦθα κατακλείει τὸν λόγον," οὕτω λέγων· ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ" ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν." πάλιν κἀνταῦθα ἐπὶ τὸν πατέρα ἀνάγει τὸν τῆς κολάσεως λόγον. οὐ γὰρ εἶπεν, ἡ ὀργὴ τοῦ υἱοῦ, καίτοιγε οὗτός ἐστιν ὁ κριτὴς, ἀλλὰ τὸν πατέρα αὐτοῖς ἐπέστησε, μᾶλλον φοβῆσαι βουλόμενος. ἆρα οὖν ἀρκεῖ τὸ πιστεῦσαι εἰς τὸν υἱὸν, φησὶ, πρὸς τὸ ζωὴν ἔχειν αἰώνιον; οὐδαμῶς, καὶ ἄκουε τοῦ Χριστοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος, Οὐ γὰρ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, φησὶν, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ ἡ εἰς τὸ πνεῦμα δὲ βλασφημία ἀρκεῖ καὶ μόνη εἰς γέενναν ἐμβαλεῖν. καὶ τί λέγω περὶ μέρους δόγματος; κἂν γὰρ εἰς τὸν πατέρα τις καὶ τὸν υἱὸν ὀρθῶς πιστεύσῃ, καὶ εἰς τὸ πνεῦμα δὲ τὸ ἅγιον, βίον δὲ μὴ ἔχῃ ὀρθὸν, οὐδὲν αὐτῷ" κέρδος τῆς πίστεως εἰς σωτηρίαν. οὐκοῦν καὶ ὅταν λέγῃ, αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, μὴ νομίσωμεν

Ματθ. ζ. κα.

Ιωαν. ιζ. γ.

χ. διελέγετ
π. τ. α. οὕτω

χ. μετὰ ἃ πάλιν ἐπάγει, ὁ πατὴρ

χ. ἔπειτα πολλὴν εἰδ
ὑπὸ τοῦ λόγου τ
κολάσεως γενομένην τὴν ὄνησιν, καὶ

χ. λοιπὸν
φησιν

χ. ἀπιστῶν

χ. ὁρᾷς πῶ
κἀντο.

χ. πλέον ὑπὸ τῆς πίσ. ἔσται

μένῳ ἀρκεῖ ἡμῖν εἰς σωτηρίαν τὸ λεγόμενον. δεῖ γὰρ ἡμῖν καὶ βίου καὶ πολιτείας "καθαρωτάτης· ἐπεὶ καὶ ἐνταῦθα εἴρηκεν, ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον, καὶ ἐνταῦθα καὶ σφοδρότερον. οὐ γὰρ ἀπὸ τῶν χρηστῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐναντίων τὸν λόγον "συντίθησιν, οὕτω λέγων· ὁ δὲ μὴ πιστεύων εἰς τὸν υἱὸν, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν φαμὲν ἀρκεῖν τὴν πίστιν εἰς σωτηρίαν μόνην. καὶ δεικνῦσι τὰ περὶ βίου πολλαχοῦ τῶν εὐαγγελίων εἰρημένα. διά τοι τοῦτο οὐκ εἶπεν, αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ μόνη, οὐδὲ, ὁ πιστεύων εἰς τὸν υἱὸν μόνον ἔχει ζωὴν αἰώνιον· ἀλλ' ἐν ἑκατέρῳ τοῦτο "ἐδήλου, ὅτι ἔχει ζωὴν τὸ πρᾶγμα· εἰ μέντοι τὰ τῆς πολιτείας μὴ "ἕπηται, πολλὴ ἕψεται ἡ κόλασις. καὶ οὐκ εἶπε, μένει αὐτὸν, ἀλλ' ἐπ' αὐτὸν, "τουτέστιν, οὐδέποτε ἀπ' αὐτοῦ ἀποστήσεται. ἵνα γὰρ μὴ νομίσῃς θάνατον εἶναι πρόσκαιρον τὸ, οὐκ ὄψεται ζωὴν, ἀλλὰ πιστεύσῃς ὅτι διηνεκὴς ἡ κόλασις, τοῦτο τέθεικε τὸ ῥῆμα, δεικνὺς ὅτι ἐνιζάνει αὐτῷ διηνεκῶς. ἐποίησε δὲ τοῦτο, διὰ τούτων αὐτοὺς τῶν ῥημάτων ὠθῶν πρὸς τὸν Χριστόν. διόπερ οὐδὲ ἰδίᾳ πρὸς αὐτοὺς τὴν παραίνεσιν ἐποιήσατο, ἀλλὰ καθολικὴν, καὶ ὡς ἂν μάλιστα αὐτοὺς ἐπάγεσθαι ἠδύνατο. οὐ γὰρ εἶπεν, ἐὰν πιστεύσητε, καὶ ἐὰν μὴ πιστεύσητε, ἀλλ' ἐπὶ τοῦ κοινοῦ προάγει τὸν λόγον, ὥστε ἀνύποπτα γενέσθαι τὰ λεγόμενα, καὶ σφοδρότερον ἢ ὁ Χριστὸς τοῦτο πεποίηκεν. ὁ μὲν γὰρ Χριστός φησιν, ὅτι ὁ μὴ πιστεύων ἤδη κέκριται· οὗτος δὲ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν· καὶ μάλα εἰκότως. οὐ γὰρ ὁμοίως ἦν, αὐτὸν τὰ περὶ ἑαυτοῦ λέγειν, καὶ ἕτερον περὶ αὐτοῦ. τὸν μὲν γὰρ Χριστὸν ἐνόμισαν ἂν φιλαυτίας ἕνεκα ταῦτα πολλάκις φθέγγεσθαι καὶ κομπάζειν· ὁ δὲ Ἰωάννης ταύτης ἀπήλλακτο τῆς ὑποψίας. εἰ δὲ μετὰ ταῦτα καὶ ὁ Χριστὸς σφοδροτέρῳ κέχρηται λόγῳ, ἀλλ' οὖν, ὅτε μεγάλην τὴν περὶ αὐτοῦ δόξαν ἔσχον λοιπόν.

1 Ὡς οὖν ἔγνω ὁ Ἰησοῦς, φησὶν, ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει, ἢ Ἰωάννης

2 (Καίτοιγε αὐτὸς ὁ Ἰησοῦς οὐκ ἐβάπτισεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ)

3 Ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας, καὶ ἦλθεν εἰς τὴν Γαλιλαίαν. Αὐτὸς μὲν οὐκ ἐβάπτιζεν, οἱ δὲ ἀπαγγέλλοντες βουλόμενοι διεγεῖραι τοὺς ἀκούοντας εἰς φθόνον, οὕτως ἀπήγγελλον. "τίνος οὖν ἕνεκεν ἀνεχώρει; οὐ δειλίας ἕνεκεν, ἀλλ' ἐκκόπτων αὐτῶν τὴν βασκανίαν, καὶ παραμυθούμενος τὸν φθόνον. δυνατὸς μὲν γὰρ ἦν καὶ ἐπελθόντας ἐπισχεῖν, ἀλλ' οὐκ ἐβούλετο συνεχῶς τοῦτο ποιεῖν, ὥστε μὴ ἀπιστεῖσθαι τῆς σαρκὸς τὴν οἰκονομίαν. εἰ γὰρ συνεχῶς κρατούμενος διέφυγε, τοῦτο ἂν ὑπωπτεύθη παρὰ πολλοῖς. διά τοι τοῦτο τὰ πολλὰ ἀνθρωπινώτερον οἰκονομεῖ. ὥσπερ γὰρ ἐβούλετο πιστευθῆναι ὅτι Θεὸς ἦν, οὕτως ὅτι Θεὸς ὢν, σάρκα ἐφόρει. διὰ τοῦτο καὶ μετὰ τὴν ἀνάστασιν πρὸς τὸν μαθητὴν ἔλεγε· Ψηλάφησόν με καὶ ἴδε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει. διὰ τοῦτο καὶ Πέτρῳ ἐπετίμησεν εἰπόντι, Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο. οὕτω σφόδρα αὐτῷ τὸ πρᾶγμα περισπούδαστον ἦν. ἐπεὶ καὶ τῶν τῆς ἐκκλησίας δογμάτων οὐ μικρὸν τοῦτο τὸ μέρος "ἐστὶ, καὶ τῆς ὑπὲρ ἡμῶν σωτηρίας τὸ κεφάλαιον τοῦτο, καὶ δι' οὗ πάντα γεγένηται καὶ κατώρθωται. οὕτω γὰρ καὶ θάνατος ἐλύθη, καὶ ἁμαρτία ἀνῃρέθη, καὶ κατάρα ἠφανίσθη, καὶ τὰ μυρία εἰσήχθη εἰς τὸν βίον ἡμῶν ἀγαθά. διὸ μάλιστα ἐβούλετο πιστεύεσθαι τὴν οἰκονομίαν, τὴν ῥίζαν καὶ τὴν πηγὴν "τῶν μυρίων γενομένην ἡμῖν ἀγαθῶν· οἰκονομῶν δὲ τὰ ἀνθρώπινα, οὐδὲ τὰ θεῖα συσκιάζεσθαι ἠφίει. ἀναχωρήσας γοῦν, πάλιν τῶν αὐτῶν εἴχετο, ὧν καὶ πρότερον. οὐ γὰρ ἁπλῶς ἐπὶ τὴν Γαλιλαίαν "ἀπήρχετο, ἀλλὰ μεγάλα τινὰ κατασκευάζων πράγματα τὰ κατὰ τοὺς Σαμαρείτας·" καὶ οὐχ ἁπλῶς οἰκονομῶν αὐτὰ, ἀλλὰ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας, καὶ τοῦ μηδεμίαν καταλιπεῖν Ἰουδαίοις μηδὲ ἀναισχύντου τινὸς ἀπολογίας πρόφασιν. ὅπερ οὖν ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν·

ἀκριβεστά-

ἱφαίνει. καὶ
πῶς. ὁ-
γαρ ὁ δὲ
ῶν πρ
ει ὄψ.

μαίνει,
ἀκολούθῃ;
λῶν ὅτι

ἤ δήποτε
σιν, αἰ.

Λουκ. κδ. λθ.

Ματθ. ις. κβ.

ἀπέστειλ,
λον δὲ τῶν

τῶν μυρίων

ἀπήρχετο,
μᾶλλον δὲ

4 Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. Δεικνὺς ὅτι ἐν παρέργῳ ″αὐτὸν τοῦτο ποιούμενον· ὅπερ καὶ οἱ ἀπόστολοι ἐποίουν. καθάπερ γὰρ ἐκεῖνοι διωκόμενοι ὑπὸ Ἰουδαίων, τότε ἐπὶ τὰ ἔθνη ἤρχοντο· οὕτω καὶ ὁ Χριστός, ὅτε αὐτὸν ἀπήλασαν, τότε καὶ ἐκείνων ἥπτετο· ὡς καὶ ἐπὶ τῆς Συροφοινίσσης ἐποίησε γυναικός. τοῦτο δὲ ἐγίνετο, ὥστε πᾶσαν ἐκκοπῆναι Ἰουδαίοις ἀπολογίαν, καὶ ἵνα μὴ δύνωνται λέγειν, ὅτι καταλιπὼν ἡμᾶς, πρὸς τοὺς ἀκροβύστους ἀπῆλθε. διὰ τοῦτο καὶ οἱ μαθηταὶ ἀπολογούμενοι, ἔλεγον· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀναξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. καὶ αὐτὸς πάλιν, Οὐκ ἦλθον, φησίν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. καὶ πάλιν, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ἐπειδὴ δὲ αὐτὸν ἀπήλασαν, θύραν τοῖς ἔθνεσιν ἀνέῳξαν. καὶ οὐδὲ οὕτω προηγουμένως ἐπ' ἐκείνους ἔρχεται, ἀλλὰ παριών. ″παριὼν τοίνυν

Πραξ.ιγ.με. μς.

Ματθ.ιε.κδ.

γρ. αὐτό

5 Ἦλθεν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου, οὗ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. 6 Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ.

γρ. ὅπως ἐβούλετο αὐτο- ξάιμ. Θ, πάλιν ἄρχεται λέγων· ἔρχεται οὖν ὁ Ἰησοῦς εἰς

Τίνος ἕνεκεν ἀκριβολογεῖται ὁ εὐαγγελιστὴς περὶ τοῦ τόπου; ἵν', ὅταν ἀκούσῃς τῆς γυναικὸς λαλούσης· Ἰακὼβ ὁ πατὴρ ἡμῶν ἔδωκεν ἡμῖν τὴν πηγὴν ταύτην, μὴ ξενισθῇς. ὁ γὰρ τόπος ἐκεῖνος ἦν, ἔνθα ὑπὲρ τῆς Δίνας οἱ περὶ τὸν Λευὶ καὶ Συμεὼν ἀγανακτοῦντες, τὸν χαλεπὸν ἐκεῖνον εἰργάσαντο φόνον. ἄξιον δὲ εἰπεῖν καὶ πόθεν οἱ Σαμαρεῖται συνέστησαν. καὶ γὰρ ὁ τόπος οὗτος ἅπας, Σαμάρεια καλεῖται. πόθεν οὖν τὴν προσηγορίαν ἔλαβον; Σομὴρ τὸ ὄρος ἐλέγετο ἀπὸ τοῦ κτησαμένου, καθάπερ καὶ Ἡσαΐας φησί· καὶ ἡ κεφαλὴ ″Σομόρων, Ἐφραΐμ. ἀλλ' οἱ κατοικοῦντες οὐ Σαμαρεῖται, ἀλλ' Ἰσραηλῖται ἐλέγοντο. χρόνου δὲ προϊόντος, προσέκρουσαν τῷ Θεῷ, καὶ βασιλεύσαντος Φακεὲ ἀνελθὼν ″Θεγλὰθ Φαλασάρ, πόλεις τε εἷλε πολλάς, καὶ ἐπέθετο τῷ Ἠλᾷ, καὶ ἀνελὼν αὐτόν, Ὠσηὲ τὴν βασιλείαν ἔδωκεν. ἐπὶ τοῦτον ἐλθὼν ὁ Σαλμανασάρ, εἷλε πόλεις ″ἑτέρας, καὶ ″ὑποφόρους ἐποίησε καὶ ὑποτελεῖς. ἀλλ' οὗτος τὸ μὲν πρῶτον εἶξεν· ὕστερον δὲ ἀπέστη τῆς ἀρχῆς, καὶ πρὸς τὴν τῶν Αἰθιόπων κατέφυγε συμμαχίαν. ἔγνω τοῦτο ὁ Ἀσσύριος, καὶ ἐπιστρατεύσας καὶ ἀνελὼν αὐτούς, οὐκέτι τὸ ἔθνος ἐκεῖ μένειν ἀφίησι διὰ τὰς τοιαύτας τῆς ″ἀποστάσεως ὑποψίας· ἀλλὰ τούτους μὲν εἰς Βαβυλῶνα ἤγαγε καὶ Μήδους, ἐκεῖθεν δὲ ἔθνη ἐκ διαφόρων τόπων ἀγαγών, κατῴκισεν ἐν τῇ Σαμαρείᾳ, ὥστε λοιπὸν ἀσφαλῆ αὐτῷ τὴν ἀρχὴν εἶναι, τῶν οἰκείων ἐχόντων τὸν τόπον. τούτων δὲ γινομένων, βουλόμενος ὁ Θεὸς δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ὡς οὐ δι' ἀσθένειαν ἐξέδωκεν Ἰουδαίους, ἀλλὰ δι' ἁμαρτίας τῶν ἐκδοθέντων, ἐπαφίησι λέοντας τοῖς βαρβάροις, οἵτινες ἐλυμαίνοντο τὸ ἔθνος ἅπαν. ἀπηγγέλθη ταῦτα τῷ βασιλεῖ· καὶ πέμπει ἱερέα τινὰ τὸν παραδώσοντα αὐτοῖς τοὺς τοῦ Θεοῦ νόμους. ἀλλ' ὅμως οὐδὲ οὕτως ἐξ ὁλοκλήρου τῆς ἀσεβείας ἀπέστησαν, ἀλλ' ἐξ ἡμισείας. ″χρόνου δὲ προϊόντος, πάλιν τῶν μὲν εἰδώλων ἀπεπήδησαν, ἔσεβον δὲ τὸν Θεόν. καὶ τῶν πραγμάτων ἐν τούτοις ὄντων, ἐπανελθόντες Ἰουδαῖοι, λοιπὸν ζηλοτύπως εἶχον πρὸς αὐτούς, ἅτε πρὸς ἀλλοφύλους καὶ πολεμίους, καὶ ἀπὸ τοῦ ὄρους Σαμαρείτας αὐτοὺς ἐκάλουν· ″καὶ οὐ μικρὰ ἦν ἐντεῦθεν πρὸς αὐτοὺς ἡ φιλονεικία. οὐδὲ γὰρ ταῖς γραφαῖς πάσαις ἐκέχρηντο, ἀλλὰ τὰ Μωϋσέως μόνα δεχόμενοι, τῶν προφητικῶν οὐ πολὺν ἐποιοῦντο λόγον. ἐφιλονείκουν μέντοι εἰς τὴν εὐγένειαν εἰσωθεῖν αὑτοὺς τὴν Ἰουδαϊκήν, καὶ ἐφιλοτιμοῦντο ἐπὶ τῷ Ἀβραάμ, καὶ πρόγονον αὐτὸν ἐπεγράφοντο, ἅτε ἀπὸ τῆς Χαλδαίας ὄντα· καὶ τὸν Ἰακὼβ δὲ πατέρα ἐκάλουν, ἅτε ἐκείνου ὄντα ἀπόγονον. οἱ δὲ Ἰουδαῖοι μετὰ πάντων καὶ τούτους ἐβδελύσσοντο. ὅθεν καὶ τῷ Χριστῷ ταῦτα ὠνείδιζον λέγοντες· Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις. καὶ ἐπὶ τοῦ καταβαίνοντος ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, ταύτης ἕνεκεν τῆς ὑποθέσεως, ὁ Χριστὸς Σαμαρείτην εἰσάγει, τὸν ἔλεον εἰς αὐτὸν πεποιηκότα, τὸν εὐτελῆ, τὸν καταφρόνητον,

Ἡσ. ζ. θ.

δ. Βασ. ιζ.

Ἰωαν. η. μη.

ἰσ. Ἐφραΐμ Σομόρων.

γρ. Θελγαθ σαρ,

γρ. μνείας,

γρ. φόρου ἐπ

ησ. ὑποτελ

γρ. ἀποστασ

γρ. καὶ γὰρ οὐ παρ.

γρ. Ἰουδαίοις

παραφέροντον, τὸ βδελυκτὸν παρ' αὐτοῖς· καὶ ἐπὶ τῶν δέκα λεπρῶν, ἀλλογενῆ τὸν ἕνα φησὶ διὰ τοῦτο (Σαμαρείτης γὰρ ἦν) καὶ αὐτὸς δὲ τοῖς μαθηταῖς οὕτω λέγων ἐκέλευσεν, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. (Ματθ. ι. ε. Λουκ. θ. νβ.) οὐ τῆς ἱστορίας δὲ ἕνεκεν μόνης τοῦ τόπου ἀνέμνησεν ἡμᾶς τοῦ Ἰακὼβ ὁ εὐαγγελιστής, ἀλλὰ καὶ ὑπὲρ τοῦ δεῖξαι τὴν ἀποβολὴν τὴν Ἰουδαϊκὴν πάλαι ″γεγυμνωμένην. καὶ γὰρ ἐπὶ τῶν προγόνων αὐτῶν οὓς τόπους ἀντ' αὐτῶν κατεῖχον ἐκεῖνοι. ἃ γὰρ οἱ πρόγονοι αὐτῶν εἶχον οὐκ ὄντα αὐτῶν, ταῦτα διὰ τὴν ῥαθυμίαν αὐτῶν καὶ παρανομίαν, ὄντα αὐτῶν ἀπώλεσαν οὗτοι. ″οὕτως οὐδὲν κέρδος προγόνων εἶναι χρηστῶν, ὅταν μὴ τοιοῦτοι τύχωσιν οἱ ἐξ ἐκείνων ὄντες. οἱ μὲν γὰρ βάρβαροι, ἵνα λεόντων πεῖραν λάβωσι μόνον, πρὸς τὴν Ἰουδαϊκὴν εὐσέβειαν ἐπανῆλθον εὐθέως· ἐκεῖνοι δὲ τοσαύτας ὑπομένοντες τιμωρίας, οὐδὲ οὕτως ἐσωφρονίσθησαν. ἐνταῦθα τοίνυν ὁ Χριστὸς παρεγένετο, τὸν μὲν βάναυσον καὶ ὑγρὸν ἐκβάλλων βίον ἀεί, τὸν δὲ ἐπίπονον εἰσάγων καὶ συνεσταλμένον. οὐ γὰρ ὑποζυγίοις κέχρηται, ἀλλ' οὕτω βαδίζει συντόνως, ὡς καὶ κοπιάσαι ἐκ τῆς ὁδοιπορίας. καὶ τοῦτο πανταχοῦ παιδεύει, τὸ αὐτουργὸν εἶναι, καὶ ἀπέριττον, καὶ μὴ πολλῶν δεῖσθαι. οὕτω γὰρ βούλεται τῶν περιττῶν ἡμᾶς ἀλλοτρίους εἶναι, ὡς καὶ αὐτῶν τῶν ἀναγκαίων πολλὰ περικόπτειν. διὰ τοῦτο ἔλεγεν· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι· διὰ τοῦτο καὶ ἐν τοῖς ὄρεσι τὰ πλείονα διατρίβει, οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν νυκτί, καὶ ἐν ταῖς ἐρήμοις. τοῦτο καὶ ὁ Δαβὶδ ἀνακηρύττων, ἔλεγεν· Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται, τὸ εὐτελὲς αὐτοῦ τοῦ βίου δηλῶν. τοῦτο καὶ* ἐνταῦθα δείκνυσιν· Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκάθητο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη.

7 Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· λέγει αὐτῇ ὁ Ἰησοῦς, δός μοι πιεῖν.

8 Οἱ δὲ μαθηταὶ αὐτοῦ ἀπῆλθον εἰς τὴν ἀγοράν, ἵνα τροφὰς ἀγοράσωσιν.

Ἐντεῦθεν μανθάνομεν καὶ τὸ περὶ τὰς ὁδοιπορίας εὔτονον αὐτοῦ, καὶ τὸ περὶ τὰς τροφὰς ἠμελημένον, καὶ πῶς ″παρέργως τῷ πράγματι κέχρηται. οὕτω καὶ οἱ μαθηταὶ ἐπαιδεύθησαν τὰ καθ' ἑαυτοὺς διατίθεσθαι. οὐ γὰρ ἐπήγοντο ἐφόδια. καὶ δηλοῖ τοῦτο ἕτερος εὐαγγελιστὴς λέγων, ἡνίκα περὶ τῆς ζύμης τῶν Φαρισαίων αὐτοῖς διελέγετο, ὅτι ἐκεῖνοι ἐνόμιζον ὅτι ἄρτους οὐκ ἐβάσταζον· καὶ ὅταν πεινῶντας εἰσάγῃ καὶ τίλλοντας τῶν ″σταχύων καὶ ἐσθίοντας· καὶ ὅταν λέγῃ αὐτὸν ἐπὶ τὴν συκῆν ἐληλυθέναι διὰ τὴν πεῖναν· οὐδὲν ἄλλο, ἢ τοῦτο διὰ πάντων ἡμᾶς παιδεύων, τὸ καταφρονεῖν γαστρός, καὶ μὴ περισπούδαστον αὐτῆς νομίζειν εἶναι τὴν λειτουργίαν. σκόπει γοῦν αὐτοὺς καὶ ἐνταῦθα οὔτε ἐπιφερομένους τι, οὔτε, ἐπειδὴ μὴ ἐβάσταζον, ἐκ προοιμίων καὶ εὐθὺς τῆς ἡμέρας τούτου φροντίζοντας, ἀλλὰ κατὰ τὸν ″καιρόν, καθ' ὃν ἅπαντες ἀριστοποιοῦνται, τροφὰς ἀγοράζοντας· οὐχ ὡς ἡμεῖς* εὐθέως ἀπὸ κλίνης διανιστάμενοι, πρὸ τῶν ἄλλων τοῦτο σκοπούμεθα, μαγείρους καὶ τραπεζοποιοὺς καλοῦντες, καὶ μετὰ πολλῆς ταῦτα ἐπισκήπτοντες τῆς σπουδῆς, καὶ μετ' ἐκεῖνα τῶν ἄλλων [ἁπάντων] ἁπτόμενοι, τὰ βιωτικὰ πρὸ τῶν πνευματικῶν ποιούμενοι, καὶ ἃ πάρεργα ἔχειν ἐχρῆν, ὡς ἀναγκαῖα τιμῶντες. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε. τοὐναντίον γὰρ ἐχρῆν, ἁπάντων τῶν πνευματικῶν πολλὴν ποιησαμένους λόγον, μετὰ τὸ πληρῶσαι ἐκεῖνα, τότε ἅπτεσθαι τούτων. οὐ τὸ ἐπίπονον δὲ μόνον, ἀλλὰ καὶ τὸ ἄτυφον ἐντεῦθεν δείκνυται, οὐ τῷ κοπιάσαι, οὐδὲ τῷ καθίσαι ἐπὶ τῆς ὁδοῦ μόνον, ἀλλὰ καὶ τῷ καταλειφθῆναι μόνον, καὶ τοὺς μαθητὰς αὐτοῦ ″χωρισθῆναι. καίτοιγε ἐξῆν αὐτῷ, εἴγε ἐβούλετο, ἢ μὴ πάντας ἐκπέμψαι, ἢ ἀπελθόντων ἐκείνων, ἑτέρους διακόνους ἔχειν· ἀλλ' οὐκ ἠθέλησε· καὶ γὰρ τοὺς μαθητὰς οὕτως εἴθισε πάντα τῦφον καταπατεῖν. καὶ τί μέγα, φησίν, εἰ ἐμετρίαζον, ἴσως εἴποι τις ἄν, ἁλιεῖς ὄντες καὶ σκηνοποιοί; ἁλιεῖς μὲν ἦσαν καὶ σκηνοποιοί, ″ἀθρόον δὲ εἰς αὐτὴν ἀνέβησαν τοῦ οὐρανοῦ τὴν κορυφήν, καὶ πάντων ἐγένοντο βασιλέων σεμνότεροι, ὁμιληταὶ γενέσθαι καταξιωθέντες τοῦ τῆς οἰκουμένης δεσπότου, καὶ παρακολουθῆσαι τῷ θαυμαζομένῳ πανταχόθεν. ἴστε δὲ κἀκεῖνο, ὅτι οἱ μάλιστα ἐκ ταπεινῶν ὄντες, ὅταν ἀξιωμάτων ἐπιλάβωνται, εὐκολώτερον αἴρονται πρὸς ἀπόνοιαν, ἅτε ἀπειροκάλως ἔχοντες πρὸς τὴν ἐξαίφνης τιμήν. κατέχων οὖν αὐτοὺς ἐπὶ τῆς αὐτῆς ταπεινοφροσύνης, ἐπαίδευεν αὐτοὺς διὰ πάντων συνεστάλθαι καὶ μηδαμοῦ δεῖσθαι τῶν διακονησομένων. αὐτὸς δὲ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, φησὶν, ἐκάθητο οὕτως ἐπὶ τῇ πηγῇ. ὁρᾷς ὅτι διὰ τὸν κόπον ἡ καθέδρα γέγονε; διὰ τὸ καῦμα; διὰ τὸ περιμεῖναι τοὺς μαθητάς; ᾔδει μὲν γὰρ τὸ συμβησόμενον τὸ κατὰ τοὺς Σαμαρείτας· οὐκ ἐπὶ τοῦτο δὲ ἦλθε προηγουμένως. οὐ μὴν, ἐπειδὴ διὰ τοῦτο οὐκ ἦλθε, παραγινόμενον τὸ γύναιον ἀπώσασθαι ἐχρῆν, οὕτω πολλὴν φιλομάθειαν ἐπιδεικνύμενον. οἱ μὲν γὰρ Ἰουδαῖοι καὶ πρὸς αὐτοὺς ἐρχόμενον ἀπήλαυνον, οἱ δὲ ἐξ ἐθνῶν καὶ ἀλλαχοῦ βαδίζοντα πρὸς ἑαυτοὺς εἷλκον· καὶ οἱ μὲν ἐφθόνουν, οἱ δὲ ἐπίστευον· ἐκεῖνοι ἠγανάκτουν, οὗτοι ἐθαύμαζον καὶ προσεκύνουν. τί οὖν; ἔδει τοσούτων σωτηρίαν ὑπεριδεῖν, καὶ προθυμίαν οὕτω γενναίαν ἀφεῖναι; τοῦτο μὲν οὖν ἀνάξιον ἦν αὐτοῦ τῆς φιλανθρωπίας. διόπερ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας πάντα τὰ παρόντα οἰκονομεῖ. ἐκάθητο μὲν γὰρ ἀναπαύων τὸ σῶμα, καὶ παρὰ τῇ πηγῇ ἀναψύχων αὐτό. αὐτὸ γὰρ ἦν τῆς ἡμέρας τὸ μεσαίτατον· ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἐδήλωσεν εἰπὼν, ὥρα ἦν ὡσεὶ ἕκτη. καὶ ἐκάθητο οὕτως. τί ἐστιν, οὕτως; οὐκ ἐπὶ θρόνου, φησὶν, οὐκ ἐπὶ προσκεφαλαίου, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπ' ἐδάφους. ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. ὅρα πῶς καὶ τὴν γυναῖκα δι' ἄλλο τι δείκνυσιν ἐξελθοῦσαν, πανταχοῦ τὴν ἀναίσχυντον τῶν Ἰουδαίων ἐπιστομίζων ἀντιλογίαν, [καὶ] ἵνα μή τις λέγῃ, ὅτι ἐναντιοῦται ἑαυτοῦ τῷ προστάγματι, εἰς μὲν πόλιν κελεύων μὴ εἰσιέναι Σαμαρειτῶν, Σαμαρείταις δὲ διαλεγόμενος. διὸ καὶ τό, ἀπεληλύθεισαν οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι, τέθεικεν ὁ εὐαγγελιστὴς, πολλὰς εἰσάγων αἰτίας τῆς πρὸς αὐτὴν διαλέξεως. τί οὖν ἡ γυνή; ἀκούσασα, δός μοι πιεῖν, σφόδρα συνετῶς εἰς κατασκευὴν ἐρωτήσεως τὸν παρὰ τοῦ Χριστοῦ λόγον λαμβάνει, καὶ λέγει·

9 Πῶς σὺ Ἰουδαῖος ὢν, αἰτεῖς παρ' ἐμοῦ πιεῖν, οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. Καὶ πόθεν αὐτὸν Ἰουδαῖον ἐνόμιζεν εἶναι; ἀπὸ τοῦ σχήματος ἴσως, καὶ ἀπὸ τῆς διαλέξεως. σὺ δέ μοι σκόπει, πῶς διεσκεμμένον τὸ γύναιον ἦν. εἰ γὰρ ἐχρῆν φυλάξασθαι, τὸν Ἰησοῦν ἐχρῆν οὐκ ἐκείνην. οὐ γὰρ εἶπε, Σαμαρεῖται τοῖς Ἰουδαίοις οὐ συγχρῶνται, ἀλλ' Ἰουδαῖοι Σαμαρείτας οὐ προσίενται. ἀλλ' ὅμως ἡ γυνὴ καίτοι κατηγορίας ἀπηλλαγμένη, ἐπειδὴ ἐνόμισεν ἑτέρῳ αὐτὴν περιπίπτειν, οὐδὲ οὕτως ἐσίγησεν, ἀλλ' ὡς οἴεται, διορθοῦται τὸ μὴ κατὰ νόμον γινόμενον. ἀλλ' ἐκεῖνο ἄν τις διαπορήσειε, πῶς ὁ Ἰησοῦς ἐζήτησε παρ' αὐτῆς πιεῖν, τοῦ νόμου οὐκ ἐπιτρέποντος. εἰ γὰρ λέγει τις, ὅτι διὰ τὸ προειδέναι μὴ δώσουσαν, δι' αὐτὸ μὲν οὖν τοῦτο οὐδὲ αἰτῆσαι ἐχρῆν. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἀδιάφορον αὐτῷ λοιπὸν ἦν τὰς τοιαύτας ἐκβάλλειν παρατηρήσεις. ὁ γὰρ τοὺς ἄλλους ἐνάγων εἰς τὸ λύειν, πολλῷ μᾶλλον αὐτὸς αὐτὰς ἂν παρέδραμεν. Οὐ γὰρ τὸ εἰσπορευόμενον, φησι, κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον. οὐ μικρὰ δὲ κατηγορία γένοιτ' ἂν τῶν Ἰουδαίων ἡ πρὸς τὴν γυναῖκα διάλεξις. ἐκείνους μὲν γὰρ πολλάκις ἐπεσπάσατο καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων, καὶ οὐκ ἠνείχοντο· αὕτη δὲ ὅρα πῶς κατέχεται ἀπὸ ψιλῆς ἐρωτήσεως. αὐτὸς μὲν γὰρ οὐκ ἐνεστήσατο τέως ταύτην τὴν πραγματείαν, οὐδὲ τὴν ὁδόν· εἰ δέ τινες προσήρχοντο, οὐκ ἐκώλυε. καὶ γὰρ τοῖς μαθηταῖς τοῦτο ἔλεγεν· εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· οὐχὶ, καὶ προσιόντας διακρούεσθε. σφόδρα γὰρ ἀνάξιον ἦν αὐτοῦ τῆς φιλανθρωπίας. διὰ δὴ τοῦτο καὶ ἀποκρίνεται τῇ γυναικί, καί φησιν·

10 Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν· σὺ ἂν ᾔτησας

αὐτὸν, καὶ ἔδωκεν ἄν σοι τὸ ὕδωρ τὸ ζῶν. Πρότερον δείκνυσιν ἀξίαν οὖσαν ἀκοῦσαι καὶ μὴ παροφθῆναι, καὶ τότε ἑαυτὸν ἐκκαλύπτει. καὶ γὰρ ἤμελλεν εὐθέως, μαθοῦσα ὅστις ἐστὶν, ὑπακούσεσθαι, καὶ προσέξειν αὐτῷ· ὅπερ περὶ Ἰουδαίων οὐκ ἄν τις εἴποι. καὶ γὰρ μαθόντες ᾔτησαν αὐτὸν οὐδὲν, οὐδὲ ἐπεθύμησάν τι μαθεῖν τῶν χρησίμων, ἀλλὰ καὶ ὕβριζον καὶ ἀπήλαυνον. ἡ δὲ γυνὴ ταῦτα ἀκούσασα, ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται·

11 Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ. πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;

Τέως αὐτὴν τῆς ὑπονοίας τῆς ταπεινῆς ἀνέστησε, καὶ τοῦ νομίζειν ἕνα τῶν πολλῶν εἶναι. οὐ γὰρ ἁπλῶς ἐνταῦθα καλεῖ κύριον, ἀλλὰ πολλὴν ἀπονέμουσα τὴν τιμήν. ὅτι γὰρ τιμῶσα ταῦτα ἔλεγεν, ἀπὸ τῶν ἑξῆς εἰρημένων δῆλον. οὐ γὰρ κατεγέλασεν, οὐδὲ ἐκωμῴδησεν, ἀλλ᾽ ἠπόρει τέως. εἰ δὲ μὴ εὐθέως τὸ πᾶν ἐνόησε, μὴ θαυμάσῃς. οὐδὲ γὰρ ὁ Νικόδημος. τί γὰρ ἐκεῖνός φησι; πῶς δύναται ταῦτα γενέσθαι; καὶ πάλιν, πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; καὶ πάλιν, μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; αὕτη δὲ αἰδεσιμώτερον· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; ἄλλο μὲν γὰρ ὁ Χριστὸς ἔλεγεν, ἄλλο δὲ ὑπώπτευσεν ἐκείνη, οὐδὲν πλέον ἀκούσασα τῶν ῥημάτων, οὐδὲ ἐννοῆσαι τέως τι ὑψηλὸν δυναμένη. καίτοιγε ἐνῆν εἰπεῖν προπετῶς φθεγγομένην, ὅτι εἰ εἶχες τὸ ὕδωρ τὸ ζῶν, οὐκ ἂν ᾔτησας παρ᾽ ἐμοῦ, ἀλλὰ σαυτῷ παρέσχες ἂν πρότερον· νῦν δὲ κομπάζεις. ἀλλ᾽ οὐδὲν τούτων εἶπεν, ἀλλὰ μετ᾽ ἐπιεικείας ἀποκρίνεται πολλῆς, καὶ ἐν ἀρχῇ, καὶ μετὰ ταῦτα. καὶ γὰρ ἐν ἀρχῇ φησι· πῶς σὺ Ἰουδαῖος ὢν αἰτεῖς παρ᾽ ἐμοῦ πιεῖν; καὶ οὐκ εἶπεν, ἅτε πρὸς ἀλλόφυλον καὶ ἐχθρὸν διαλεγομένη, μή μοι γένοιτό σοι μεταδοῦναι ἀνθρώπῳ πολεμίῳ καὶ τοῦ ἔθνους ἡμῶν ἠλλοτριωμένῳ. καὶ μετὰ ταῦτα πάλιν ἀκούσασα μεγάλα λέγοντος, ἐφ᾽ ᾧ μάλιστα δάκνονται οἱ ἐχθροὶ, οὐ κατεγέλασεν, οὐδὲ διέσυρεν· ἀλλὰ τί φησι;

12 Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ τοῦτο, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ;

Ὁρᾷ πῶς εἰσωθεῖ αὐτὴν εἰς τὴν εὐγένειαν τὴν Ἰουδαϊκήν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκεῖνος τούτῳ ἐκέχρητο τῷ ὕδατι, καὶ πλέον ἔχειν οὐδὲν δοῦναι. ταῦτα δὲ ἔλεγε, δεικνῦσα πῶς ἐκ πρώτης ἀποκρίσεως ἐδέξατο νόημα μέγα καὶ ὑψηλόν. τὸ γὰρ, αὐτὸς ἔπιεν ἀπ᾽ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ, οὐδὲν ἄλλο αἰνιττομένης ἐστὶν, ἢ ὅτι ἔχει μὲν ἔννοιαν μείζονος ὕδατος, οὐχ εὑρίσκει δὲ αὐτὸ, οὐδὲ οἶδε σαφῶς. ἵνα δὲ σαφέστερον εἴπω ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· οὐκ ἔχεις εἰπεῖν, φησιν, ὅτι Ἰακὼβ μὲν ἡμῖν ταύτην ἔδωκε τὴν πηγὴν, ἑτέρᾳ δὲ αὐτὸς ἐχρήσατο. καὶ γὰρ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἀπ᾽ αὐτῆς ἔπινον, οὐκ ἂν πίνοντες, εἴ γε βελτίονα εἶχεν ἑτέραν. ἀπὸ ταύτης μὲν οὖν οὐδὲ αὐτὸς δυνήσῃ δοῦναι, ἑτέραν δὲ βελτίονα οὐκ ἔστι σε ἔχειν, εἰ μὴ καὶ τοῦ Ἰακὼβ ὁμολογεῖς μείζονα εἶναι σαυτόν. πόθεν οὖν ἔχεις τὸ ὕδωρ ὃ ἐπαγγέλλῃ δώσειν ἡμῖν; ἀλλ᾽ οὐχὶ οἱ Ἰουδαῖοι οὕτω πρᾴως αὐτῷ διαλέγονται, καίτοι καὶ αὐτοῖς περὶ τῆς αὐτῆς ὑποθέσεως διελέχθη, τοῦ τοιούτου μνημονεύσας ὕδατος, ἀλλ᾽ οὐδὲν ἐκέρδαινον· ὅτε δὲ τοῦ Ἀβραὰμ ἐμνημόνευσε, καὶ λίθοις βάλλειν αὐτὸν ἐπεχείρουν. ἀλλ᾽ οὐχ ἡ γυνὴ τοῦτον αὐτῷ τὸν τρόπον προσφέρεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας, ἐν μέσῳ καύματι καὶ ἐν ἡμέρᾳ μέσῃ, καὶ λέγει καὶ ἀκούει πάντα μετὰ μακροθυμίας πολλῆς, καὶ οὐδὲ ἐννοεῖ τι τοιοῦτον, οἷον εἰκὸς Ἰουδαίους εἰπεῖν, ὅτι μαίνεται καὶ ἐξέστηκεν οὗτος· προσέδησέ με πηγῇ καὶ φρέατι, παρέχων μὲν οὐδὲν, φυσῶν δὲ τοῖς ῥήμασιν· ἀλλὰ καρτερεῖ καὶ προσεδρεύει ἕως εὕρῃ τὸ ζητούμενον.

Εἰ δὲ γυνὴ Σαμαρεῖτις τοσαύτην ποιεῖται σπουδὴν ὑπὲρ τοῦ μαθεῖν τι χρήσιμον, καὶ προσμένει τῷ Χριστῷ, καίτοιγε ἔτι ἀγνοοῦσα αὐτόν· τίνος ἡμεῖς τευξόμεθα συγγνώμης, οἱ καὶ εἰδότες αὐτὸν, καὶ μήτε ὄντες παρὰ φρέαρ, μήτε ἐν ἐρημίᾳ, μήτε ἐν ἡμέρᾳ μέσῃ, μήτε ΗΘΙΚΟΝ ἀκτῖνος καιούσης, ἀλλ' ὑπὸ τὴν ἕω καὶ ὑπὸ τοιοῦτον ὄρθρον σκιᾶς ἀπολαύοντες καὶ εὐψυχίας, καὶ μὴ καρτεροῦντες ἀκοῦσαί τι τῶν λεγομένων, ἀλλ' ″ἀποκναίοντες; ἀλλ' οὐκ ἐκείνη τοιαύτη, ἀλλ' οὕτω κατέχεται τοῖς λεγομένοις, ὡς καὶ ἑτέρους καλέσαι. Ἰουδαῖοι δὲ οὐ μόνον οὐκ ἐκάλεσαν, ἀλλὰ καὶ τοὺς βουλομένους ″προσελθεῖν ἐκώλυον καὶ ἐνεπόδιζον, λέγοντες· ὁρᾶτε, μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν ″εἰς αὐτόν; ἀλλ' ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσι. μιμησώμεθα τοίνυν τὴν Σαμαρεῖτιν, διαλεχθῶμεν τῷ Χριστῷ. καὶ γὰρ καὶ νῦν μέσος ἡμῶν ἕστηκε, καὶ διὰ τῶν προφητῶν καὶ διὰ τῶν μαθητῶν ἡμῖν φθεγγόμενος. ἀκούσωμεν οὖν καὶ πειθώμεθα· μέχρι τίνος ζῶμεν εἰκῆ καὶ μάτην; τὸ γὰρ ″μὴ τὰ δοκοῦντα τῷ Θεῷ ποιεῖν, εἰκῆ ζῆν ἐστι· μᾶλλον δὲ οὐκ εἰκῆ μόνον, ἀλλὰ καὶ ἐπὶ κακῷ. ὅταν γὰρ τὸν δοθέντα ἡμῖν χρόνον ἀναλώσωμεν εἰς οὐδὲν δέον, ἀπελευσόμεθα δίκην δώσοντες τὴν ἐσχάτην τῆς ἀκαίρου δαπάνης. οὐ γὰρ δήπου ὁ μὲν χρήματα ἐμπορεύσασθαι λαβὼν, εἶτα καταφαγὼν, *ἀπαιτηθήσεται παρὰ τοῦ πιστεύσαντος· ὁ δὲ ζωὴν τοιαύτην δαπανήσας μάτην, οὐ δώσει δίκην. οὐ διὰ τοῦτο ἡμᾶς ὁ Θεὸς ἤγαγεν εἰς τὸν παρόντα βίον, καὶ ψυχὴν ἐνέπνευσεν, ἵνα ″τῷ παρόντι χρησώμεθα μόνον· ἀλλ' ἵνα πάντα πρὸς τὴν μέλλουσαν πραγματευσώμεθα ζωήν. τὰ γὰρ ἄλογα μόνα τῷ παρόντι χρήσιμα βίῳ· ἡμεῖς δὲ διὰ τοῦτο ψυχὴν ἀθάνατον ἔχομεν, ἵνα πρὸς τὴν ἐκείνης τῆς ζωῆς παρασκευὴν πάντα πράξωμεν. ἵππων μὲν γὰρ καὶ ὄνων καὶ βοῶν καὶ τῶν ἄλλων τῶν τοιούτων βοσκημάτων ἂν ἐρωτήσῃ τις τὴν χρείαν, οὐδεμίαν ἄλλην ἐροῦμεν, ἀλλὰ τὴν ἐν τῷ παρόντι βίῳ διακονίαν· περὶ δὲ ἡμῶν οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλ' ἡ βελτίων κατάστασις, ἡ μετὰ τὴν ἐντεῦθέν ἐστιν ἀποδημίαν· καὶ δεῖ πάντα ποιεῖν, ἵνα ἐκεῖ λάμψωμεν, ἵνα μετὰ ἀγγέλων χορεύσωμεν, ἵνα τῷ βασιλεῖ παρεστήκωμεν διαπαντὸς ἐν τοῖς αἰῶσι τοῖς ″ἀπεράντοις. διὰ τοῦτο γὰρ καὶ ἀθάνατος γέγονεν ἡ ψυχὴ, καὶ τὸ σῶμα δὲ ἔσται ἀθάνατον, ἵνα τῶν ἀτελευτήτων ἀπολαύσωμεν ἀγαθῶν. εἰ δὲ τῇ γῇ προσηλωμένος ἧς, τῶν οὐρανίων προκειμένων· ἐννόησον ὅσην ὕβρεις εἰς τὸν δωρούμενον, ὅταν ἐκεῖνος μὲν τὰ ἄνω σοι προτείνῃ, σὺ δὲ οὐ πολλὴν αὐτῶν ποιούμενος λόγον, τὴν γῆν ἀνταλλάσσῃ. διὰ ταῦτα καὶ γέενναν ἠπείλησεν, ἅτε καταφρονούμενος, ἵνα μάθῃς ἐντεῦθεν ὅσων σαυτὸν ἀποστερεῖς καλῶν. ἀλλὰ μὴ γένοιτό τινα πεῖραν λαβεῖν τῆς κολάσεως ἐκείνης, ἀλλ' εὐαρεστήσαντας ἡμᾶς τῷ Χριστῷ τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λβ. 13 ΑΠΕΚΡΙΘΗ ΙΗΣΟΥΣ ΚΑΙ ΕΙΠΕΝ ΑΥΤΗ·

πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· 14 Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

Τὸ δὲ πνεύματος τὴν χάριν ποτὲ μὲν ἡ γραφὴ πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ἐστὶ παραστατικὰ ταῦτα τὰ ὀνόματα, ἀλλ' ἐνεργείας. οὐδὲ γὰρ ἐκ διαφόρων οὐσιῶν συνέστηκε τὸ πνεῦμα ἀόρατόν τε καὶ μονοειδὲς ὄν. ″τὸ μὲν οὖν ὁ Ἰωάννης δηλοῖ οὕτω λέγων, Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· ″τὸ δὲ ὁ Χριστὸς, Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, φησὶν, οὗ ἔμελλον λαμβάνειν. οὕτω καὶ τῇ γυναικὶ διαλεγόμενος, ὕδωρ ″καλεῖ τὸ πνεῦμα. ὃς γὰρ ἂν πίῃ ἀπὸ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα.

Ματθ. γ ια.
Ἰωαν. ζ. λη.

αἰῶνα. οὕτω δὲ τὸ πνεῦμα καλεῖ, διὰ μὲν τῆς τοῦ πυρὸς προσηγορίας, τὸ διεγηγερμένον καὶ θερμὸν τῆς χάριτος καὶ δαπανητικὸν ἁμαρτημάτων αἰνιττόμενος· διὰ δὲ τῆς τοῦ ὕδατος, τόν τε καθαρμὸν τὸν ἐξ αὐτοῦ, καὶ τὴν πολλὴν παραψυχὴν ταῖς ὑποδεξαμέναις αὐτὸ διανοίαις ἐμφαίνων· εἰκότως. ὥσπερ γάρ τινα παράδεισον παντοίοις δένδροις κομῶντα καρποφόροις τε καὶ ἀειθαλέσιν, οὕτω τὴν πρόθυμον κατασκευάζει ψυχὴν, οὔτε ἀθυμίας, οὔτε σατανικῆς συγχωροῦσα αἰσθέσθαι ἐπιβουλῆς, ἀλλὰ σβεννῦσι τοῦ πονηροῦ πάντα τὰ πεπυρωμένα βέλη. σὺ δέ μοι σκόπει τοῦ Χριστοῦ τὴν σοφίαν, πῶς ἠρέμα ἀνάγει τὸ γύναιον. οὐ γὰρ ἐκ πρώτης εἶπεν, εἰ ᾔδεις τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν· ἀλλ' ὅτε αὐτὴ ἀφορμὴν παρέσχεν Ἰουδαῖον αὐτὸν καλέσαι, καὶ ὑπὸ ἔγκλημα ἤγαγεν, ἀποκρουόμενος τὴν κατηγορίαν, φησὶν, εἰ ᾔδεις τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν· καὶ ἀναγκάσας τῷ μεγάλα ἐπαγγείλασθαι μνησθῆναι τοῦ πατριάρχου, οὕτω δίδωσι διαβλέψαι τῇ γυναικί. εἶτα ἀντεπαγαγούσης ἐκείνης, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, οὐκ εἶπε ναὶ, μείζων εἰμὶ (ἔδοξε γὰρ ἂν κομπάζειν μόνον, τῆς ἀποδείξεως μηδέπω φαινομένης) δι' ὧν δὲ λέγει, τοῦτο κατασκευάζει. οὐ γὰρ ἁπλῶς εἶπε, δώσω σοι ὕδωρ, ἀλλὰ πρότερον ἀνελὼν τὸ τοῦ Ἰακὼβ, τότε ἐπαίρει τὸ ἑαυτοῦ, ἀπὸ τῆς τῶν διδομένων φύσεως τὸ μέσον τῶν προσώπων ὅσον, καὶ τὸ διάφορον τῶν διδόντων παραστῆσαι βουλόμενος, καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὸν πατριάρχην. εἰ γὰρ θαυμάζεις, φησὶ, τὸν Ἰακὼβ, ὅτι τοῦτο ἔδωκε τὸ ὕδωρ· ἂν πολὺ τούτου βέλτιον δώσω σοι, τί ἐρεῖς; προλαβοῦσα μείζονα ὡμολόγησας εἶναί με τοῦ Ἰακὼβ, τῷ ἀνθυπενεγκεῖν καὶ εἰπεῖν, μὴ μείζων εἶ τοῦ Ἰακὼβ, ὅτι ἐπαγγέλλῃ βέλτιον ὕδωρ διδόναι; ἂν λάβῃς ἐκεῖνο τὸ ὕδωρ, πάντως ὁμολογήσεις μείζονα εἶναί με. ὁρᾷς κρίσιν ἀδέκαστον τῆς γυναικὸς ἀπὸ τῶν γινομένων ψηφιζομένης καὶ τῷ πατριάρχῃ καὶ τῷ Χριστῷ; ἀλλ' οὐκ Ἰουδαῖοι οὕτως· ἀλλὰ καὶ δαίμονας ὁρῶντες ἐκβάλλοντα αὐτὸν, οὐ μόνον τοῦ πατριάρχου οὐκ ἔλεγον μείζονα, ἀλλὰ καὶ δαιμονῶντα ἐκάλουν. ἡ δὲ γυνὴ οὐχ οὕτως, ἀλλ' ἐντεῦθεν φέρει τὴν ψῆφον, ὅθεν ὁ Χριστὸς βούλεται, ἀπὸ τῆς τῶν ἔργων ἀποδείξεως. καὶ γὰρ καὶ αὐτὸς ἐντεῦθεν δικάζεται οὕτω λέγων· Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις [μου] πιστεύσατε. Ιωαν. ι. λζ. οὕτω καὶ ἡ γυνὴ τῇ πίστει προσάγεται. διὰ τοῦτο καὶ αὐτὸς ἀκούσας, μὴ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, τὸν Ἰακὼβ ἀφεὶς, περὶ τοῦ ὕδατος διαλέγεται, λέγων· ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· καὶ τὴν σύγκρισιν οὐκ ἀπὸ κατηγορίας, ἀλλ' ἐξ ὑπεροχῆς ποιεῖται. οὐ γὰρ λέγει, ὅτι τὸ ὕδωρ τοῦτο οὐδέν ἐστιν, οὐδ' ὅτι εὐτελὲς καὶ εὐκαταφρόνητον, ἀλλ' ὅπερ καὶ ἡ φύσις μαρτυρεῖ, τοῦτο τίθησιν· ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. ἤκουσεν ὕδωρ ζῶν ἡ γυνὴ πρὸ τούτου, ἀλλ' οὐκ ἐνόησεν. ἐπειδὴ γὰρ καὶ ὕδωρ ζῶν τὸ ἀέναον καὶ διαπαντὸς ἀναβλύζον λέγεται, τῶν κρουνῶν οὐ διακοπτομένων, τοῦτο ἐνόμισεν ἡ γυνὴ λέγεσθαι. διὰ τοῦτο σαφέστερον αὐτῇ τοῦτο δείκνυσιν οὕτω λέγων, καὶ ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ποιούμενος. τί οὖν φησιν; ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. τοῦτο γὰρ μάλιστα ἔδειξε τὴν ὑπεροχὴν, καὶ τὰ ἑξῆς εἰρημένα. τούτων γὰρ οὐδὲν ἔχει τὸ αἰσθητὸν ὕδωρ. τίνα δέ ἐστι τὰ ἑξῆς; γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. ὥσπερ γὰρ ὁ πηγὴν ἔχων ἔνδον ἀποκειμένην, οὐκ ἂν ἁλώη δίψῃ ποτὲ, οὕτως οὐδὲ ὁ τὸ ὕδωρ τοῦτο ἔχων. ἐπίστευσεν εὐθέως ἡ γυνὴ, πολὺ συνετωτέρα τοῦ Νικοδήμου φανεῖσα· οὐ συνετωτέρα δὲ μόνον, ἀλλὰ καὶ ἀνδρειοτέρα. ἐκεῖνος μὲν γὰρ μυρίων τοιούτων ἀκούων, οὔτε ἄλλον τινὰ ἐπὶ τοῦτο παρεκάλεσεν, οὔτε αὐτὸς ἐπαρρησιάσατο· αὕτη δὲ ἀποστολικὰ ἐπιδείκνυται πράγματα, πάντας εὐαγγελιζομένη καὶ καλοῦσα πρὸς τὸν Ἰησοῦν, καὶ πόλιν ὁλόκληρον ἕλκουσα ἔξω πρὸς αὐτόν. κἀκεῖνος μὲν ἀκούσας, ἔλεγε· πῶς δύναται ταῦτα γενέσθαι; καὶ τοῦ Χριστοῦ θέντος παράδειγμα σαφές, τὸ τοῦ ἀνέμου, οὐδὲ οὕτω τὸν λόγον κατεδέχετο· ἡ γυνὴ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ μὲν πρῶτον ἠπόρει, ὕστερον δὲ οὐ μετὰ κατασκευῆς δεξαμένη τὸν λόγον, ἀλλ᾽ ἐν ἀποφάσεως τάξει, ἐπὶ τὴν λῆψιν εὐθέως ἐπείγεται. ἐπειδὴ γὰρ εἶπεν ὁ Χριστός, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, εὐθέως φησὶν ἡ γυνή·

15 Δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. Ὁρᾷς πῶς κατὰ μικρὸν εἰς τὸ τῶν δογμάτων ὕψος ἀνάγεται; πρῶτον ἐνόμισεν αὐτὸν παράνομον εἶναί τινα Ἰουδαῖον· εἶτα, ἐπειδὴ ταύτην ἀπεκρούσατο τὴν κατηγορίαν (ἔδει γὰρ μὴ εἶναι τὸ πρόσωπον ὕποπτον τὸ μέλλον τοιαῦτα αὐτὴν κατηχεῖν) ἀκούσασα ὕδωρ ζῶν, ἐνόμισε περὶ αἰσθητοῦ τοῦτο λέγεσθαι. ὕστερον δὲ μαθοῦσα, ὅτι πνευματικὰ ἦν τὰ λεγόμενα, ἐπίστευσε μὲν ὅτι δύναται τὸ ὕδωρ ἀναιρεῖν τοῦ δίψους τὴν χρείαν· οὔπω δὲ τί ποτε τοῦτο ἐστὶν ᾔδει, ἀλλ᾽ ἔτι διηπόρει, ἀνώτερον μὲν αὐτὸ τῶν αἰσθητῶν εἶναι νομίζουσα, τὸ δὲ σαφὲς οὐκ ἐπισταμένη. ἐνταῦθα δὲ ἀκριβέστερον μὲν διαβλέψασα, οὔπω δὲ τὸ πᾶν κατιδοῦσα, δὸς γάρ μοί, φησι, τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. τέως προετίμησεν αὐτὸν τοῦ Ἰακώβ. οὐ δέομαι γὰρ ταύτης τῆς πηγῆς, ἐὰν λάβω παρὰ σοῦ ἐκεῖνο τὸ ὕδωρ. ὁρᾷς πῶς αὐτὸν προτίθησι τοῦ πατριάρχου; τοῦτο ψυχῆς εὐγνώμονος. ἔδειξεν ἡλίκην εἶχε περὶ τὸν Ἰακὼβ δόξαν· εἶδε τὸν βελτίονα, καὶ οὐ κατεσχέθη τῇ προλήψει. οὔτε οὖν εὔκολος ἡ γυνὴ (οὐ γὰρ ἁπλῶς προσεδέξατο τὰ λεγόμενα. πῶς γάρ, ἡ μετὰ τοσαύτης ἀκριβείας ἐκζητήσασα;) οὔτε ἀπειθὴς καὶ φιλόνεικος. καὶ τοῦτο ἔδειξεν ἀπὸ τῆς αἰτήσεως. καίτοι καὶ Ἰουδαίοις εἶπέ ποτε· ὃς ἂν φάγῃ ἐκ τῆς σαρκός μου, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσῃ πώποτε· ἀλλ᾽ οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλὰ καὶ ἐσκανδαλίσθησαν. ἡ γυνὴ δὲ οὐδὲν τοιοῦτον ἔπαθεν, ἀλλὰ καὶ παραμένει καὶ αἰτεῖ. Ἰουδαίοις μὲν οὖν ἔλεγεν, ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσῃ· τῇ γυναικὶ δὲ οὐχ οὕτως, ἀλλὰ παχύτερον, ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, οὐ μὴ διψήσῃ. ἐπαγγελία γὰρ ἦν πνευματικῶν, καὶ οὐχ ὁρωμένων πραγμάτων. διὰ τοῦτο ἐπάρας αὐτῆς τὸν νοῦν ταῖς ὑποσχέσεσιν, ἔτι τοῖς αἰσθητοῖς ἐνδιατρίβει ῥήμασι διὰ τὸ μηδέπω δύνασθαι χωρῆσαι τῶν πνευματικῶν τὴν ἀκρίβειαν. εἰ γὰρ εἶπεν ὅτι ἐὰν πιστεύσῃς εἰς ἐμέ, οὐ διψήσεις, οὐκ ἂν ἐνόησε τὸ εἰρημένον, οὐκ εἰδυῖα τίς ποτέ ἐστιν ὁ διαλεγόμενος, οὐδὲ περὶ ποίου δίψους ἔλεγε. τίνος οὖν ἕνεκεν οὐχὶ καὶ ἐπὶ Ἰουδαίων τοῦτο ἐποίησεν; ὅτι ἐκεῖνοι μὲν πολλὰ σημεῖα ἑωρακότες ἦσαν· αὕτη δὲ σημεῖον μὲν εἶδεν οὐδέν, τῶν δὲ ῥημάτων τούτων ἤκουσε πρῶτον. διὰ τοῦτο λοιπὸν διὰ προφητείας ἀποκαλύπτει τὴν δύναμιν τὴν ἑαυτοῦ, καὶ οὐκ εὐθέως ἐπάγει τὸν ἔλεγχον, ἀλλὰ τί φησιν;

γρ. οὐκ

γρ. [illegible] ἐκζητοῦσα;

γρ. ὡρισμέν

16 Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε.

17 Ἡ δέ φησιν, οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς, καλῶς εἶπες, ὅτι ἄνδρα οὐκ ἔχω.

18 Πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.

19 Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ.

Βαβαί, πόση τῆς γυναικὸς ἡ φιλοσοφία; πῶς πράως τὸν ἔλεγχον δέχεται; πῶς γὰρ οὐκ ἔμελλε, φησί; διατί, εἰπέ μοι; οὐχὶ καὶ Ἰουδαίους ἤλεγξε πολλάκις καὶ τούτου μείζονα; (οὐ γάρ ἐστιν ἴσον τὰ ἐν διανοίᾳ ἀπόρρητα εἰς μέσον ἄγειν, καὶ πρᾶγμα γινόμενον λάθρα κατάδηλον ποιεῖν. τὸ μὲν γάρ, Θεοῦ μόνον ἐστί, καὶ οὐδεὶς ἕτερος οἶδεν, ἢ ὁ ἐν διανοίᾳ ἔχων· τὰ δὲ τῷ κοινωνοῦντες ἅπαντες ἐπίστανται) ἀλλ᾽ ὅμως ἐλεγχθέντες οὐ φέρουσι πράως· ἀλλ᾽, εἰπόντος, τί με ζητεῖτε ἀποκτεῖναι, οὐ μόνον οὐ θαυμάζουσιν, ὡς ἡ γυνή, ἀλλὰ καὶ λοιδοροῦσι καὶ ὑβρίζουσι. καίτοιγε ἐκεῖνοι μὲν καὶ ἀπὸ ἄλλων σημείων εἶχον τὴν ἀπόδειξιν, αὕτη δὲ τοῦτο μόνον ἦν ἀκηκουῖα· ἀλλ᾽ ὅμως οὐ μόνον οὐκ ἐθαύμασαν, ἀλλὰ καὶ ὕβρισαν, λέγοντες δαι-

γρ. εἰ μὴ

γρ. λοιδορεῦσι

μόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι; αὕτη δὲ οὐ μόνον οὐχ ὑβρίζει, ἀλλὰ καὶ θαυμάζει καὶ ἐκπλήττεται, καὶ προφήτην ὑπονοεῖ εἶναι. καίτοι μειζόνως ἂν ὁ ἔλεγχος οὗτος τῆς γυναικὸς ἥψατο, ἢ ἐκείνων ἐκεῖνος. τοῦτο γὰρ ταύτης μόνης ἁμάρτημα ἦν, ἐκεῖνο δὲ κοινόν· οὐχ οὕτω δὲ ἐπὶ τοῖς κοινοῖς, ὡς ἐπὶ τοῖς ἰδίοις δακνόμεθα. κἀκεῖνοι μὲν μέγα ᾤοντό τι κατορθοῦν, ἂν τὸν Χριστὸν ἀνέλωσι· τὸ δὲ τῆς γυναικὸς ὡμολόγητο παρὰ πᾶσι πονηρὸν εἶναι· ἀλλ' ὅμως οὐκ ἐδυσχέρανεν ἡ γυνή, ἀλλ' ἐξεπλάγη καὶ ἐθαύμαζε. καὶ ἐπὶ τοῦ Ναθαναὴλ τοῦτο αὐτὸ ἐποίησεν ὁ Χριστός. οὐ γὰρ προηγουμένως τὴν προφητείαν εἰσήγαγεν, οὐδὲ εἶπεν, εἶδόν σε ὑπὸ τὴν συκῆν· ἀλλ', ὅτε ἐκεῖνος εἶπε, πόθεν με γινώσκεις, τότε τοῦτο ἐπήγαγεν. ἐβούλετο γὰρ καὶ τῶν θαυμάτων καὶ τῶν προρρήσεων τὰς ἀρχὰς παρ' αὐτῶν λαμβάνειν τῶν προσιόντων αὐτῷ, ὥστε καὶ οἰκειοῦσθαι τοῖς γινομένοις μᾶλλον αὐτούς, καὶ τὴν τῆς κενοδοξίας διαφυγεῖν ὑπόνοιαν. τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. τὸ μὲν γὰρ προηγουμένως ἐλέγξαι, ὅτι ἄνδρα οὐκ ἔχεις, ἐδόκει φορτικὸν εἶναι καὶ περιττόν· τὸ δὲ παρ' αὐτῆς λαβόντα τὴν αἰτίαν, πάντα ταῦτα διορθοῦν, καὶ σφόδρα ἀκόλουθον ἦν, καὶ τὴν ἀκούουσαν πρᾳοτέραν εἰργάζετο. καὶ ποία ἀκολουθία, φησί, τὸ εἰπεῖν, ὕπαγε κάλεσόν σου τὸν ἄνδρα; περὶ δωρεᾶς ἦν ὁ λόγος καὶ χάριτος ὑπερβαινούσης τὴν ἀνθρωπίνην φύσιν· ἐπέκειτο ἡ γυνὴ ζητοῦσα λαβεῖν· λέγει, φώνησόν σου τὸν ἄνδρα, * ἐνδεικνύμενος, ὅτι κἀκεῖνον δεῖ κοινωνῆσαι τούτων. ἡ δὲ σπεύδουσα λαθεῖν, καὶ κρύπτουσα τοῦ πράγματος τὸ αἰσχρόν, καὶ οἰομένη πρὸς ἄνθρωπον διαλέγεσθαι, φησὶν οὐκ ἔχω ἄνδρα. ταῦτα ἀκούσας ὁ Χριστός, εὐκαίρως λοιπὸν ἐπάγει τὸν ἔλεγχον, ἀμφότερα μετὰ ἀκριβείας λέγων. τούς τε γὰρ προτέρους ἅπαντας ἠρίθμησε, καὶ τὸν νῦν κρυπτόμενον ἤλεγξε. τί οὖν ἡ γυνή; οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀφεῖσα ἔφυγεν, οὐδὲ ὕβριν τὸ πρᾶγμα ἐνόμισεν εἶναι, ἀλλὰ θαυμάζει μᾶλλον αὐτὸν καὶ προσκαρτερεῖ πλέον. θεωρῶ γάρ, φησιν, ὅτι προφήτης εἶ σύ. καὶ σκόπει αὐτῆς τὴν σύνεσιν. οὐδὲ ἐνταῦθα εὐθέως ἐπέδραμεν, ἀλλ' ἔτι περισκοπεῖται καὶ θαυμάζει. τὸ γὰρ θεωρῶ, τοῦτό ἐστι, φαίνῃ μοι προφήτης εἶναι. εἶτα, ἐπειδὴ τοῦτο ὑπώπτευσεν, οὐδὲν βιωτικὸν αὐτὸν ἐρωτᾷ, οὐ περὶ σώματος ὑγιείας, οὐ περὶ χρημάτων, οὐ περὶ πλούτου, ἀλλὰ περὶ δογμάτων εὐθέως. τί γάρ φησιν;

ὡμολογεῖτο

20 Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν (Τοὺς περὶ τὸν Ἀβραὰμ λέγουσα. καὶ γὰρ ἐκεῖ φασι τὸν υἱὸν αὐτοῦ ἀνενηνοχέναι) Καὶ πῶς ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου χρὴ προσκυνεῖν;

Εἶδες πῶς ὑψηλοτέρα τῇ διανοίᾳ γέγονεν; ἡ γὰρ περὶ τοῦ μὴ σκύλλεσθαι διὰ τὸ δίψος μεριμνῶσα, καὶ ὑπὲρ δογμάτων ἐρωτᾷ λοιπόν. τί οὖν ὁ Χριστός; οὐκ ἔλυσε τὸ ζήτημα (οὐ γὰρ τοῦτο ἦν αὐτῷ περισπούδαστον πρὸς τὰ λεγόμενα ἁπλῶς ἀποκρίνεσθαι· περιττὸν γὰρ ἦν) ἀλλ' ἄγει τὴν γυναῖκα πάλιν ἐπὶ τὸ μεῖζον ὕψος, καὶ οὐ πρότερον αὐτῇ περὶ τούτων διαλέγεται, ἕως ὡμολόγησεν ὅτι προφήτης ἐστίν, ὥστε μετὰ πολλῆς τῆς πληροφορίας ἀκοῦσαι λοιπὸν τῶν λεγομένων. ἡ γὰρ τοῦτο πεισθεῖσα, οὐκέτι λοιπὸν περὶ τῶν ῥηθησομένων ἀμφιβάλλειν εἶχεν.

ΗΘΙΚΟΝ

Αἰσχυνθῶμεν τοίνυν καὶ ἐρυθριάσωμεν λοιπόν. γυνὴ πέντε ἄνδρας ἐσχηκυῖα, καὶ Σαμαρεῖτις οὖσα, τοσαύτην περὶ δογμάτων ποιεῖται σπουδήν, καὶ οὐχ ὁ καιρὸς τῆς ἡμέρας, οὐ τὸ ἐφ' ἕτερόν τι παραγενέσθαι, οὐκ ἄλλο οὐδὲν αὐτὴν ἀπῆγε τῆς περὶ τὰ τοιαῦτα ζητήσεως· ἡμεῖς δὲ οὐ μόνον περὶ δογμάτων οὐ ζητοῦμεν, ἀλλὰ καὶ περὶ πάντων ἁπλῶς καὶ ὡς ἔτυχε διακείμεθα. διὰ τοῦτο τὰ πάντα ἠμέληται. τίς γὰρ ὑμῶν, εἰπέ μοι, ἐν οἰκίᾳ γενόμενος πυκτίον ἔλαβε χριστιανικὸν μετὰ χεῖρας, καὶ τὰ ἐγκείμενα ἐπῆλθε, καὶ ἠρεύνησε τὴν γραφήν; οὐδεὶς ἂν ἔχοι ταῦτα εἰπεῖν, ἀλλὰ πεττοὺς μὲν καὶ κύβους παρὰ τοῖς πλείοσιν εὑρήσομεν ὄντας, βιβλία δὲ οὐδαμοῦ, ἀλλὰ παρ' ὀλίγοις· καὶ οὗτοι δὲ τοῖς οὐκ ἔχουσιν ὁμοίως διάκεινται, δήσαντες αὐτὰ καὶ ἀποθέμενοι διὰ παντὸς ἐν κιβωτίοις· καὶ ἡ πᾶσα αὐτοῖς σπουδὴ περὶ τὴν τῶν ὑμένων λεπτότητα, καὶ τὸ τῶν γραμμάτων κάλλος, οὐ περὶ τὴν ἀνάγνωσιν. οὐδὲ γὰρ ὑπὲρ ὠφελείας καὶ κέρδους τὴν κτῆσιν αὐτῶν πεποίηνται, ἀλλὰ πλούτου καὶ φιλοτιμίας ἐπίδειξιν ποιούμενοι, περὶ ταῦτα ἐσπουδάκασι· τοσαύτη τῆς κενοδοξίας ἡ ὑπερβολή. οὐδενὸς γὰρ ἀκούω φιλοτιμουμένου, ὅτι οἶδε τὰ ἐγκείμενα, ἀλλ' ὅτι χρυσοῖς ἔχει γράμμασιν ἐγγεγραμμένον. καὶ τί τὸ κέρδος, εἰπέ μοι; οὐ γὰρ διὰ ταῦτα ἐδόθησαν αἱ γραφαί, ἵνα ἐν βιβλίοις αὐτὰς ἔχωμεν μόνον, ἀλλ' ἵνα καὶ ἐν καρδίαις ἐγκολάψωμεν αὐτάς· ὡς αὕτη γε ἡ κτῆσις, Ἰουδαϊκῆς ἐστι φιλοτιμίας, τὸ ἐν τοῖς γράμμασι κατατίθεσθαι μόνον τὰς ἐντολάς· ἡμῖν δὲ οὐδὲ τὴν ἀρχὴν ″οὕτως ὁ νόμος ἐδόθη, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. καὶ ταῦτα λέγω οὐ κωλύων βιβλία κεκτῆσθαι, ἀλλὰ καὶ παραινῶ τοῦτο καὶ σφόδρα εὔχομαι· βούλομαι δὲ ἐξ ἐκείνων καὶ τὰ γράμματα καὶ τὰ νοήματα εἰς τὴν διάνοιαν περιφέρεσθαι τὴν ἡμετέραν, ἵνα οὕτω καθαίρηται δεχομένη τὴν τῶν ″γραμμάτων νόησιν. εἰ γὰρ ἐν οἰκίᾳ, ἔνθα ἂν εὐαγγέλιον ᾖ κείμενον, οὐ τολμήσει προσελθεῖν ὁ διάβολος, πολλῷ μᾶλλον ψυχῆς νοήματα τοιαῦτα περιφερούσης οὐχ ἅψεταί ποτε, οὐδὲ ἐπιβήσεται δαίμων, ″οὐχ ἁμαρτίας φύσις. ἁγίασον τοίνυν τὴν ψυχήν, ἁγίασόν σου τὸ σῶμα, ἀεὶ ταῦτα ἐπὶ τῆς καρδίας καὶ ἐπὶ τῆς γλώττης ἔχων. εἰ γὰρ ἡ αἰσχρολογία καταρρυποῖ, καὶ δαίμονας καλεῖ, εὔδηλον ὅτι ἡ πνευματικὴ ἀνάγνωσις ἁγιάζει, καὶ τὴν τοῦ πνεύματος ἐπισπᾶται χάριν. θεῖαί εἰσιν ἐπῳδαὶ τὰ ″γράμματα· ἐπᾴδωμεν τοίνυν ἑαυτοῖς καὶ τοῖς ἐν τῇ ψυχῇ πάθεσι τὰ ἀπ' ἐκείνων φάρμακα*. ἂν γὰρ ″εἰδῶμεν τίνα ἐστὶ τὰ ἀναγινωσκόμενα, μετὰ πολλῆς ταῦτα ἀκουσόμεθα τῆς προθυμίας. ταῦτα ἀεὶ λέγω καὶ λέγων οὐ παύσομαι. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν ἐπὶ τῆς ἀγορᾶς καθημένους, καὶ ἡνιόχων καὶ ὀρχηστῶν καὶ ὀνόματα, καὶ γένη, καὶ πόλεις, καὶ ἐνεργείας λέγειν τρόπους, καὶ αὐτῶν δὲ τῶν ἵππων καὶ ἀρετήν, καὶ κακίαν μετὰ ἀκριβείας ἀπαγγέλλειν· τοὺς δὲ ἐνταῦθα ἀπαντῶντας μηδὲν τῶν ἐνταῦθα γινομένων εἰδέναι, ἀλλὰ καὶ αὐτῶν τῶν βιβλίων τὸν ἀριθμὸν ἀγνοεῖν; εἰ γὰρ ἡδονῆς ἕνεκεν ἐκεῖνα διώκεις· πλείονα ταύτην ἐνταῦθα οὖσαν ἐπιδείξω. τί γὰρ ἥδιον, εἰπέ μοι, τί δὲ θαυμασιώτερον, ἄνθρωπον ἀνθρώπῳ παλαίοντα ἰδεῖν, ἢ ἄνθρωπον διαβόλῳ πυκτεύοντα, καὶ σῶμα ἀσωμάτῳ δυνάμει συμπλεκόμενον, καὶ νικῶντα τὸν ἀπὸ τοῦ σοῦ γένους ὄντα; ταύτας θεωρῶμεν τὰς πάλας, ταύτας, ″ἃς καὶ μιμήσασθαι εὐπρεπὲς καὶ λυσιτελές, καὶ μιμουμένους στεφανωθῆναι ″ἔνι· ἀλλὰ μὴ ἐκείνας, ὧν ὁ ζῆλος αἰσχύνην φέρει τοῖς μιμουμένοις. ἐκείνην μὲν γὰρ μετὰ δαιμόνων θεωρεῖς τὴν πάλην, ὅταν ἄρα θεωρῇς· ταύτην δὲ μετὰ ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ τοῦ τῶν ″ἀρχαγγέλων δεσπότου. εἰπὲ οὖν μοι, εἴ σοι ἐξῆν μετὰ ἀρχόντων ἢ βασιλέων καθημένῳ θεωρεῖν καὶ ἀπολαύειν τῆς θεωρίας, οὐ μεγίστην ἡγοῦ τιμὴν εἶναι τοῦτο; ἐνταῦθα δὲ μετὰ τοῦ βασιλέως τῶν ἀγγέλων θεωρῶν, ″καὶ ὁρῶν ἐκ μέσων κατεχόμενον τῶν νώτων τὸν διάβολον καὶ πολλὰ φιλονεικοῦντα περιγενέσθαι, ἰσχύοντα δὲ οὐδέν, οὐ τρέχεις καὶ διώκεις τὴν τοιαύτην θεωρίαν; καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησίν; ἂν τὸ βιβλίον [αὐτὸ] μετὰ χεῖρας ἔχῃς. ὄψει γὰρ ἐν αὐτῷ καὶ τὰ σκάμματα καὶ τοὺς μακροὺς διαύλους, καὶ τὰς λαβὰς ἐκείνου, καὶ τοῦ δικαίου τὴν τέχνην. ταῦτα δὲ θεωρῶν εἴσῃ καὶ αὐτὸς οὕτω παλαίειν, καὶ ἀπαλλαγήσῃ δαιμόνων. δαιμόνων γὰρ πανηγύρεις, οὐκ ἀνθρώπων θέατρα, τὰ ἔξω τελούμενα. διὸ παρακαλῶ τῶν σατανικῶν ἀπέχεσθαι πανηγύρεων. εἰ γὰρ ἐν εἰδωλείῳ οὐ θέμις εἰσιέναι, πολλῷ μᾶλλον εἰς ἑορτὴν σατανικήν. ταῦτα ″λέγων καὶ διενοχλῶν οὐ παύσομαι, ἕως ἂν τὴν ἐπιστροφὴν ἴδω. ταῦτα γὰρ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, φησιν, ὑμῖν δὲ ἀσφαλές. μὴ δὴ βαρύνεσθε τῇ παραινέσει. εἰ γὰρ βαρύνεσθαι ἔδει, ἐμὲ ἔδει τὸν πολλάκις λέγοντα καὶ ″οὐκ ἀκουόμενον, οὐχ ὑμᾶς τοὺς ἀεὶ μὲν ἀκούοντας, ἀεὶ δὲ παρακούοντας. ἀλλὰ μὴ γένοιτο διὰ παντὸς ταῦτα ὑμᾶς ἐγκαλεῖσθαι, ἀλλ' ἀπαλλαγέντας τῆς αἰσχύνης ταύτης, καταξιωθῆναι ″τῆς πνευματικῆς θεωρίας, καὶ τῆς

μελλούσης

χ. οὕτως

χ. ἢ

χ. ἴδωμεν

χ. γὰρ

χ. ἔδει

χ. ἀγγέλων

μελλούσης δόξης ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λγ.

21 ΛΕΓΕΙ ΑΥΤΗ Ο ΙΗΣΟΥΣ, ΓΥΝΑΙ, ΠΙΣΤΕΥσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. 22 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί.

Πανταχοῦ πίστεως ἡμῖν δεῖ, ἀγαπητοί, πίστεως, τῆς μητρὸς τῶν ἀγαθῶν, τοῦ τῆς σωτηρίας φαρμάκου· καὶ ταύτης ἄνευ οὐδὲν τῶν μεγάλων δογμάτων ἔνι* καταχεῖν. ἀλλ' ἐοίκασι τοῖς πέλαγος νηὸς χωρὶς ἐπιχειροῦσι διαβαλεῖν, οἳ μέχρι μὲν ὀλίγου νηχόμενοι διαρκοῦσι, χερσὶν ὁμοῦ καὶ ποσὶ χρώμενοι, περαιτέρω δὲ προελθόντες, ταχέως ὑπὸ τῶν κυμάτων βαπτίζονται· οὕτω καὶ οἱ τοῖς οἰκείοις χρώμενοι λογισμοῖς, πρίν τι μαθεῖν, ναυάγιον ὑπομένουσι· καθὼς καὶ ὁ Παῦλός φησιν· Οἵτινες περὶ τὴν πίστιν ἐναυάγησαν. ὅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, τὴν ἱερὰν κατέχωμεν ἄγκυραν, δι' ἧς καὶ τὴν Σαμαρεῖτιν ὁ Χριστὸς ἐπάγεται νῦν. α. Τιμ. α. ιθ. Εἰπούσης γὰρ ἐκείνης, πῶς ὑμεῖς λέγετε, ὅτι ἐν τοῖς Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ἐν ᾧ δεῖ προσκυνεῖν, ὁ Χριστὸς ἔλεγε· πίστευσόν μοι γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ πατρί. πολὺ μέγα αὐτῇ δόγμα ἀπεκάλυψε, καὶ ὅπερ οὐδὲ Νικοδήμῳ, οὐδὲ τῷ Ναθαναὴλ εἶπεν. αὕτη μὲν οὖν ἐσπούδαζε σεμνότερα δεῖξαι τὰ αὐτῆς τῶν Ἰουδαϊκῶν, καὶ τοῦτο ἀπὸ τῶν πατέρων ἐσοφίζετο· ὁ δὲ Χριστὸς οὐ πρὸς ταύτην ἀπήντησε τὴν ἐρώτησιν. παρέλκον γάρ πως ἦν τοῦτο εἰπεῖν, καὶ δεῖξαι, διατί μὲν οἱ πατέρες ἐν τῷ ὄρει, διατί δὲ οἱ Ἰουδαῖοι ἐν Ἱεροσολύμοις προσεκύνουν. διὰ τοῦτο μὲν ἀπεσιώπησεν· ἀμφοτέρων δὲ τῶν τόπων τὰ πρεσβεῖα ἀνελών, διανίστησιν αὐτῆς τὴν ψυχήν, δεικνὺς ὅτι οὐδὲ Ἰουδαῖοι, οὐδὲ αὐτοὶ ἔχουσί τι μέγα πρὸς τὸ μέλλον δωρεῖσθαι· καὶ τότε τὴν διαφορὰν εἰσάγει. πλὴν καὶ οὕτω σεμνοτέρους τοὺς Ἰουδαίους ἀπέφηνεν, οὐ τόπον τόπου προτιμῶν, ἀλλὰ ἀπὸ τῆς διανοίας ἐκείνοις τὰ πρεσβεῖα διδούς, ὡσανεὶ ἔλεγε· τόπου μὲν ἕνεκεν οὐδὲν δεῖ λοιπὸν φιλονεικεῖν· Ἰουδαῖοι μέντοι τῷ τρόπῳ τὸ πλέον τῶν Σαμαρειτῶν ὑμῶν ἔχον. ὑμεῖς μὲν γάρ, φησι, προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς δὲ προσκυνοῦμεν ὃ οἴδαμεν. πῶς οὖν οὐκ ᾔδεισαν οἱ Σαμαρεῖται ὃ προσεκύνουν; ὅτι τοπικὸν καὶ μερικὸν Θεὸν ἐνόμιζον εἶναι. οὕτω γοῦν αὐτὸν καὶ ἐθεράπευον, οὕτω καὶ Πέρσαις πέμψαντες, ἀπήγγειλαν, ὅτι ὁ τοῦ τόπου τούτου Θεὸς ἡμῖν ἀγανακτεῖ, οὐδὲν πλέον περὶ αὐτοῦ κατὰ τοῦτο τῶν εἰδώλων φανταζόμενοι. διόπερ ἔμενον καὶ δαίμονας καὶ αὐτὸν θεραπεύοντες, καὶ τὰ ἄμικτα μιγνύντες. Ἰουδαῖοι δὲ ταύτης ἦσαν ἀπηλλαγμένοι τῆς ὑπονοίας, καὶ τῆς οἰκουμένης αὐτὸν ᾔδεσαν εἶναι Θεόν, εἰ καὶ μὴ πάντες. διὰ τοῦτό φησιν· ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν. μὴ θαυμάσῃς δέ, ὅτι μετὰ Ἰουδαίων ἑαυτὸν ἀριθμεῖ· πρὸς γὰρ τὴν ὑπόνοιαν τῆς γυναικὸς διαλέγεται, ὡς προφήτης ὢν Ἰουδαῖος· διὰ καί, τὸ προσκυνοῦμεν, τέθεικεν. ὅτι γὰρ τῶν προσκυνουμένων ἐστί, παντί που δῆλον. τὸ μὲν γὰρ προσκυνεῖν, τῆς κτίσεως· τὸ δὲ προσκυνεῖσθαι, τοῦ τῆς κτίσεως δεσπότου. ἀλλὰ τέως ὡς Ἰουδαῖος διαλέγεται· τὸ οὖν, ἡμεῖς, ἐνταῦθα, ἡμεῖς οἱ Ἰουδαῖοί φησιν. ἐπάρας τοίνυν τὰ Ἰουδαϊκά, πάλιν ἀξιόπιστον ἑαυτὸν ποιεῖ, καὶ πείθει μᾶλλον τοῖς ὑπ' αὐτοῦ λεγομένοις προσέχειν, ἀνύποπτον ποιῶν τὸν λόγον, καὶ δεικνύς, ὅτι οὐ τῇ πρὸς τὸ ὁμόφυλον συγγενείᾳ τὰ ἐκείνων ἐπαίρει. ὁ γὰρ περὶ τοῦ τόπου ταῦτα ἀποφηνάμενος, ἐφ' ᾧ μάλιστα ηὔχουν οἱ Ἰουδαῖοι, καὶ πλεονεκτεῖν πάντων ἐνόμιζον, καὶ τὰ σεμνὰ τούτων καθελών, εὔδηλον ὅτι οὐδὲ μετὰ ταῦτα πρὸς χάριν τινὸς ἔλεγεν, ἀλλὰ μετ' ἀληθείας καὶ προρρητικῇ δυνάμει. ἐπεὶ οὖν τῶν τοιούτων λογισμῶν τέως ἀπέστησεν, εἰπών, πίστευσόν μοι γύναι, καὶ τὰ ἑξῆς· ἐπάγει, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἢ ὅτι τῇ οἰκουμένῃ τὰ ἀγαθὰ ἐκεῖθεν γέγονε (τὸ γὰρ εἰδέναι Θεὸν καὶ καταγινώσκειν εἰδώλων, ἐκεῖθεν τὴν ἀρχὴν ἔσχε· καὶ τὰ ἄλλα πάντα δόγματα, καὶ παρ' ὑμῖν δὲ αὐτὸ τὸ τῆς προσκυνήσεως, εἰ καὶ μὴ ὀρθῶς, ἀπὸ γοῦν τῶν Ἰουδαίων τὴν ἀρχὴν ἔλαβε) σωτηρίαν οὖν ἢ ταῦτα, ἢ τὴν ἑαυτοῦ παρουσίαν καλεῖ· μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι ἀμφότερα ταῦτα σωτηρίαν καλῶν, ἣν εἶπεν ἐκ τῶν Ἰουδαίων εἶναι. ὅπερ καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν· Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. ὁρᾷς πῶς συγκροτεῖ τὴν παλαιάν, καὶ ῥίζαν δείκνυσι τῶν ἀγαθῶν, καὶ διὰ πάντων οὐκ ἐναντίον ὄντα ἑαυτὸν τῷ νόμῳ, εἴτε ἐκ τῶν Ἰουδαίων τὴν ὑπόθεσιν εἶναι πάντων τῶν ἀγαθῶν φησιν;

γρ. λογισμῶν τινων

γρ. αὐτοῦ

Ρωμ. θ. ε.

23 Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρί. Πλεονεκτοῦμεν ὑμῶν, ὦ γύναι, φησί, τῷ τρόπῳ τῆς προσκυνήσεως· πλὴν ἀλλὰ καὶ τοῦτο τέλος ἕξει λοιπόν. οὐ γὰρ τὰ τῶν τόπων ἀμειφθήσεται μόνον, ἀλλὰ καὶ τὰ τοῦ τρόπου τῆς λατρείας· καὶ ταῦτα ἐπὶ θύραις ἕστηκεν. ἔρχεται γὰρ ὥρα, καὶ νῦν ἐστιν. ἐπειδὴ γὰρ οἱ προφῆται πρὸ μακρῶν ἔλεγον χρόνων ἅπερ ἔλεγον, τοῦτο ἀναιρῶν ἐνταῦθα εἶπε, καὶ νῦν ἐστι. μὴ νομίσῃς, φησί, ταύτην τοιαύτην εἶναι τὴν προφητείαν, ὡς μετὰ πολὺν γενήσεσθαι χρόνον. τὰ γὰρ πράγματα ἐφέστηκεν ἤδη καὶ ἐπὶ θύραις ἐστίν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ Ἐν πνεύματι καὶ ἀληθείᾳ. Εἰπὼν ἀληθινούς, συνεξέβαλε Σαμαρείταις Ἰουδαίους. εἰ γὰρ καὶ ἐκείνων ἀμείνους οὗτοι, ἀλλὰ τῶν μελλόντων ἐλάττους πολλῷ, καὶ τοσοῦτον, ὅσον ἀληθείας τύπος. λέγει δὲ περὶ τῆς ἐκκλησίας, ὅτι ἡ ἀληθὴς προσκύνησις καὶ Θεῷ πρέπουσα αὕτη ἐστί. Καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Οὐκοῦν εἰ τοιούτους πάλαι ἐζήτει, οὐ βουλόμενος ἐκείνοις συνεχώρησε τὸν τρόπον, ἀλλὰ συγκαταβαίνων, καὶ διὰ τοῦτο ἵνα καὶ τούτους εἰσαγάγῃ. τίνες οὖν εἰσὶν οἱ ἀληθινοὶ προσκυνηταί; οἱ μήτε τόπῳ περικλείοντες τὴν λατρείαν, καὶ Θεὸν ἐν πνεύματι θεραπεύοντες· καθὼς καὶ ὁ Παῦλός φησιν, Ω λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ. καὶ πάλιν, Παρακαλῶ οὖν ὑμᾶς παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. ὅταν δὲ εἴπῃ,

γρ. γίνεσθαι

γρ. ἀληθείᾳ οὐ συνεξέβ.

γρ. τούτοις

γρ. τούτου

Ρωμ. ιβ. α.

γρ. ἐν πνεύματι π. ποῦ; οἱ

24 Πνεῦμα ὁ Θεός, Οὐδὲν ἄλλο δηλοῖ, ἢ τὸ ἀσώματον. δεῖ τοίνυν τοῦ ἀσωμάτου καὶ τὴν λατρείαν * τοιαύτην εἶναι, καὶ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προσφέρεσθαι, τουτέστι, διὰ τῆς ψυχῆς καὶ τῆς τοῦ νοῦ καθαρότητος. διό φησι, Καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἐπειδὴ γὰρ καὶ ἐκεῖνοι, καὶ Ἰουδαῖοι τῆς μὲν ψυχῆς ἠμέλουν, πολλὴν δὲ περὶ τὸ σῶμα σπουδὴν ἐποιοῦντο, καθαίροντες αὐτὸ παντοδαπῶς· φησίν, ὅτι οὐ τῇ τοῦ σώματος καθαρότητι, ἀλλὰ τῷ ἐν ἡμῖν ἀσωμάτῳ, τουτέστι, τῷ νῷ, ὁ ἀσώματος θεραπεύεται. μὴ τοίνυν πρόβατα θύετε καὶ μόσχους, ἀλλ' ὅλον σαυτὸν ἀνάθες τῷ Θεῷ καὶ ὁλοκαύτωσον. τοῦτο γάρ ἐστι θυσίαν ζῶσαν παραστῆσαι. ἐν γὰρ ἀληθείᾳ δεῖ προσκυνεῖν· ὡς τά γε πρότερα τύπος ἦν, ἡ περιτομή, τὰ ὁλοκαυτώματα, τὰ θύματα, τὰ θυμιάματα· νυνὶ δὲ οὐκέτι, ἀλλ' ἀλήθεια τὸ πᾶν. οὐ γὰρ σάρκα, ἀλλὰ πονηροὺς δεῖ περικόπτειν λογισμούς, καὶ σταυροῦν ἑαυτὸν καὶ τὰς ἀλόγους ἀναιρεῖν ἐπιθυμίας καὶ κατασφάττειν. ἰλιγγίασεν ἡ γυνὴ πρὸς τὰ λεχθέντα, καὶ ἀπηγόρευσε πρὸς τὸ τῶν εἰρημένων ὕψος, καὶ καμοῦσα, ἄκουσον τί φησιν·

* αὐτοῦ

γρ. τὸ σώματι

25 Οἶδα ὅτι ἔρχεται Μεσσίας ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.

Γεν. μθ. ι.

Δευτ. ιη. ιε.

26 Λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ λαλῶν σοι. Καὶ πόθεν Σαμαρείταις τὸ προσδοκᾶν τὴν τοῦ Χριστοῦ παρουσίαν, τῶν Μωϋσέα δεξαμένων μόνον; ἀπ' αὐτῶν τῶν Μωϋσέως γραμμάτων. καὶ γὰρ ἐν ἀρχῇ τὸν υἱὸν ἀπεκάλυψε. τὸ γὰρ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, πρὸς τὸν υἱὸν εἴρητο· καὶ τῷ Ἀβραὰμ ἐν τῇ σκηνῇ οὗτός ἐστιν ὁ διαλεγόμενος· καὶ ὁ Ἰακὼβ περὶ αὐτοῦ προφητεύων, ἔλεγεν· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. καὶ αὐτὸς δὲ ὁ Μωϋσῆς φησι· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε. καὶ τὰ κατὰ τὸν ὄφιν, καὶ τὰ κατὰ τὴν ῥάβδον τὴν Μωϋσέως, καὶ τὰ κατὰ τὸν Ἰσαὰκ, καὶ τὸ πρόβατον, καὶ πολλὰ ἕτερα ἐκεῖ βουλομένοις ἐκλέγειν, τὴν παρουσίαν αὐτοῦ ἀνακηρύττοντα. καὶ τί δήποτέ, φησιν, οὐκ ἀπὸ τούτων ἐνῆγε τὴν γυναῖκα ὁ Χριστός· ἀλλὰ τῷ μὲν Νικοδήμῳ τὸν ὄφιν εἰς μέσον ἤγαγε, καὶ τῷ Ναθαναὴλ προφητείας ἀνέμνησε· ταύτῃ δὲ οὐδὲν τοιοῦτον εἶπε; τίνος οὖν ἕνεκεν καὶ διατί; ὅτι ἐκεῖνοι μὲν ἄνδρες ἦσαν, καὶ ἐν τούτοις ἐστρέφοντο· αὕτη δὲ γυνὴ πενιχρὰ καὶ ἀμαθὴς καὶ γραφῶν ἄπειρος. διὰ τοῦτο αὐτῇ οὐκ ἀπὸ τούτων διαλέγεται, ἀλλ' ἀπὸ τοῦ ὕδατος καὶ τῆς προρρήσεως αὐτὴν ἐπισπᾶται, καὶ διὰ τούτων εἰς μνήμην ἄγει τοῦ Χριστοῦ, καὶ ἐκκαλύπτει λοιπὸν ἑαυτόν· ὅπερ ἂν εἰ παρὰ τὴν ἀρχὴν μὴ ζητησάσῃ τῇ γυναικὶ εἶπεν, ἔδοξεν ἂν αὐτῇ ληρεῖν καὶ εἰκῆ φθέγγεσθαι· νυνὶ δὲ κατὰ μικρὸν αὐτὴν ἐπὶ τὴν μνήμην ἀγαγὼν, εὐκαίρως ἑαυτὸν ἀπεκάλυψε. καὶ τοῖς μὲν Ἰουδαίοις (συνεχῶς λέγουσιν, ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰπὲ ἡμῖν εἰ σὺ εἶ ὁ Χριστὸς, τούτοις μὲν οὐκ ἀπεκρίνατο σαφῶς· ταύτῃ δὲ εἶπε φανερῶς αὐτὸς εἶναι). εὐγνωμονεστέρα γὰρ ἦν ἡ γυνὴ τῶν Ἰουδαίων. ἐκεῖνοι μὲν γὰρ οὐχ ὑπὲρ τοῦ μαθεῖν ἐζήτουν, ἀλλ' ὑπὲρ τοῦ κωμῳδεῖν αὐτὸν ἀεί. εἰ γὰρ ἐβούλοντο μαθεῖν, ἱκανὴ καὶ ἡ διὰ τῶν ῥημάτων, καὶ ἡ διὰ τῶν γραφῶν, καὶ ἡ διὰ τῶν σημείων διδασκαλία ἦν. αὕτη δὲ ἐξ ἀδεκάστου γνώμης καὶ ἁπλῆς διανοίας ἐφθέγγετο ἅπερ ἐφθέγγετο. καὶ δῆλον ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτῆς γινομένων. καὶ γὰρ ἤκουσε καὶ ἐπίστευσε, καὶ ἄλλους ἐπὶ τοῦτο ἐσαγήνευσε, καὶ πανταχοῦ τῆς γυναικός ἐστιν ἰδεῖν καὶ τὸ ἠκριβωμένον, καὶ τὸ πιστόν.

27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ. Σφόδρα εἰς καιρὸν ἀπήντησαν τῆς διδασκαλίας ἀπαρτισθείσης. Καὶ ἐθαύμαζον, ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς; ἢ τί λαλεῖς μετ' αὐτῆς; Τί δὲ ἐθαύμαζον; τὸ ἄτυφον καὶ τὸ ταπεινὸν μεθ' ὑπερβολῆς, ὅτι οὕτω περίβλεπτος ὢν, ἠνείχετο μετὰ τοσαύτης ταπεινοφροσύνης γυναικὶ διαλέγεσθαι πενιχρᾷ καὶ Σαμαρείτιδι. ἀλλ' ὅμως καὶ ἐκπλαγέντες, οὐκ ἠρώτησαν τὴν αἰτίαν. οὕτως ἦσαν πεπαιδευμένοι τὴν τῶν μαθητῶν τάξιν διατηρεῖν, οὕτως αὐτὸν ἐδεδοίκεσαν καὶ ᾐδοῦντο. εἰ γὰρ καὶ μηδέπω τὴν ἀξίαν περὶ αὐτοῦ δόξαν εἶχον, ἀλλ' ὅμως ὡς θαυμαστῷ τινι προσεῖχον, καὶ πολλὴν αὐτῷ ἀπένεμον τὴν αἰδῶ. καίτοιγε πολλαχοῦ φαίνονται πολλὰ παρρησιαζόμενοι· οἷον, ὅταν ὁ Ἰωάννης ἐπιπίπτῃ αὐτοῦ τῷ στήθει· ὅταν αὐτῷ προσιόντες λέγωσι, τίς μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὅταν οἱ υἱοὶ Ζεβεδαίου παρακαλῶσιν, ἵνα εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων καθίσῃ. τίνος οὖν ἕνεκεν ἐνταῦθα οὐκ ἠρώτησαν; ὅτι ἐκεῖνα μὲν πάντα, ὡς εἰς αὐτοὺς ἀνήκοντα, ἀνάγκην εἶχον ἐξετάζειν· ἐνταῦθα δὲ οὐδὲν αὐτοῖς τοσοῦτον διέφερε τὸ γινόμενον. καὶ Ἰωάννης δὲ μετὰ πολὺν χρόνον τοῦτο ἐποίησε πρὸς αὐτῷ τῷ τέλει, ὅτε πλείονος ἀπήλαυσε παρρησίας, καὶ ἐθάῤῥει τῇ ἀγάπῃ τοῦ Χριστοῦ· οὗτος γὰρ ἦν, φησιν, ὃν ἠγάπα ὁ Ἰησοῦς. τί τούτου τοῦ μακαρισμοῦ γένοιτ' ἂν ἴσον;

ΗΘΙΚΟΝ

Ἀλλὰ μὴ μέχρι τούτου στῶμεν, ἀγαπητοὶ, τοῦ μακαρίζειν τὸν ἀπόστολον· ἀλλ' ὥστε καὶ τῶν μακαριζομένων γενέσθαι, πάντα πράττωμεν, καὶ μιμησώμεθα τὸν εὐαγγελιστὴν, καὶ ἴδωμεν τίνα ἦν ἃ τὴν ἀγάπην ἐποίησε τὴν* τοσαύτην. τίνα οὖν ἦν ταῦτα; ἀφῆκε πατέρα τὸ πλοῖον καὶ δίκτυον, καὶ ἠκολούθει τῷ Ἰησοῦ. ἀλλὰ τοῦτο κοινὸν αὐτῷ καὶ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ πρὸς Πέτρον καὶ Ἀνδρέαν, καὶ πρὸς τοὺς ἄλλους τῶν ἀποστόλων. τί δὴ οὖν τὸ ἐξαίρετον αὐτοῦ, ὃ πολλὴν τὴν ἀγάπην ἐποίησεν; ἆρα εὑρήσομεν; αὐτὸς μὲν γὰρ περὶ ἑαυτοῦ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ἢ ὅτι ἠγαπᾶτο μόνον· τὰ δὲ κατορθώματα αὐτοῦ δι' ἃ ἠγαπᾶτο ἀπεσιώπησε μετριάζων. ὅτι γὰρ αὐτὸν ἐξαίρετόν τινα ἀγάπην ἠγάπα, παντί που δῆλον ἦν· ἀλλ' ὅμως οὐδὲ διαλεγόμενος, οὐδὲ ἐρωτῶν φαίνεται κατ' ἰδίαν αὐτὸν, καθὼς Πέτρος πολλάκις, καθὼς Φίλιππος, καθὼς Ἰούδας καὶ Θωμᾶς· ἀλλ' ὅτε τῷ συναποστόλῳ χαρίσασθαι καὶ ὑπακοῦσαι ἠθέλησε, τότε μόνον. ὅτε γὰρ ὁ κορυφαῖος τῶν ἀποστόλων αὐτὸν ἠνάγκασε νεύσας, τότε ἠρώτησε. πολλὴν γὰρ οὗτοι πρὸς ἀλλήλους εἶχον ἀγάπην. οὕτω γοῦν καὶ ἐπὶ τὸ ἱερὸν ὁμοῦ φαίνονται ἀναβαίνοντες, καὶ κοινῇ δημηγοροῦντες. καίτοιγε ὁ Πέτρος θερμότερος πολλαχοῦ καὶ κινεῖται καὶ φθέγγεται· καὶ πρὸς τῷ τέλει δὲ ἀκούει τοῦ Χριστοῦ λέγοντος, Πέτρε φιλεῖς με πλέον τούτων; ὁ δὲ πλέον τούτων ἀγαπῶν, εὔδηλον ὅτι καὶ ἠγαπᾶτο. ἀλλὰ τοῦτο μὲν ἐκ τοῦ ἀγαπᾶν τὸν Ἰησοῦν· ἐκεῖνο δὲ ἐκ τοῦ ἀγαπᾶσθαι παρὰ τοῦ Ἰησοῦ δῆλον ἐγένετο. τί οὖν ἐστιν ὃ τὴν ἀγάπην ἐποίησε τὴν ἐξαίρετον; ἐμοὶ δοκεῖν, πολλὴν τὸν ἄνδρα ἐπιείκειαν καὶ πραότητα ἐπιδείκνυσθαι· διόπερ οὐδὲ παρρησιαζόμενος πολλαχοῦ φαίνεται. τοῦτο δὲ ἡλίκον ἐστὶ, καὶ ἀπὸ τοῦ Μωϋσέως δῆλον· καὶ γὰρ ἐκεῖνον τοσοῦτον καὶ τηλικοῦτον τοῦτο εἰργάσατο. οὐδὲν γὰρ ταπεινοφροσύνης ἴσον. διὰ τοῦτο τῶν μακαρισμῶν ἐντεῦθεν ἤρξατο ὁ Ἰησοῦς. ὥσπερ γάρ τινα θεμέλιον καὶ κρηπῖδα μεγίστης οἰκοδομῆς καταβαλέσθαι μέλλων, οὕτω τὴν ταπεινοφροσύνην πρώτην ἔθηκεν. οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης σωθῆναι χωρίς· ἀλλὰ, κἂν νηστεύῃ τις, κἂν εὔχηται, κἂν ἐλεημοσύνην ποιῇ μετὰ ἀπονοίας, βδελυκτὰ ταῦτα, ταύτης μὴ παρούσης, ὥσπερ οὖν ποθεινὰ καὶ ἐπέραστα παρούσης, καὶ μετὰ ἀσφαλείας πάντα γίνεται. μετριάζωμεν τοίνυν, ἀγαπητοὶ, μετριάζωμεν. καὶ γὰρ σφόδρα ῥᾴδιον τὸ κατόρθωμα, ἐὰν νήφωμεν. τί γὰρ ὅλως ἐστὶ τὸ πρὸς ἀπόνοιάν σε ἐπαῖρον, ἄνθρωπε; οὐχ ὁρᾷς τῆς φύσεως τὸ εὐτελές; τῆς προαιρέσεως τὸ εὐόλισθον; ἐννόησον σαυτοῦ τὴν τελευτήν· ἐννόησον τῶν ἁμαρτημάτων τὸ πλῆθος. ἀλλ' ἴσως πολλὰ κατορθῶν μέγα φρονεῖς; αὐτῷ μὲν οὖν τούτῳ πάντα ἀπόλλεις. διόπερ οὐχ οὕτω τὸν ἁμαρτάνοντα, ὡς τὸν κατορθοῦντα σπουδάζειν χρὴ μετριάζειν. τί δήποτε; ὅτι ὁ μὲν ἔχει τὴν ἀνάγκην τοῦ συνειδότος· ὁ δὲ, ἂν μὴ σφόδρα νήφῃ, ταχέως, ὥσπερ ὑπό τινος πνεύματος ἀναῤῥιπισθεὶς, αἴρεταί τε καὶ ἀφανίζεται, καθάπερ ὁ φαρισαῖος. ἀλλὰ πένησι παρέχεις; ἀλλ' οὐ τὰ σὰ, ἀλλὰ τὰ τοῦ δεσπότου, τὰ κοινὰ τῶν ὁμοδούλων. καὶ διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι χρὴ ἐν ταῖς τῶν ὁμογενῶν συμφοραῖς, τὰ ἑαυτοῦ προορῶντα, καὶ τὴν οἰκείαν φύσιν ἐν ἐκείνοις μανθάνοντα. ἴσως καὶ ἡμεῖς τοιούτων ἦμεν προγόνων. εἰ δὲ μετέστη πρὸς ὑμᾶς ὁ πλοῦτος, ἀλλ' εἰκὸς αὐτὸν καὶ καταλιπεῖν πάλιν ὑμᾶς. τί δὲ ὅλως καὶ ὁ πλοῦτός ἐστι; σκιὰ ἀδρανὴς, καπνὸς διαλυόμενος, ἄνθος χόρτου, μᾶλλον δὲ καὶ ἄνθους εὐτελέστερον. τί οὖν ἐπὶ χόρτῳ μέγα φρονεῖς; οὐχὶ καὶ λῃσταῖς παραγίνεται πλοῦτος, καὶ μαλακοῖς καὶ πόρναις καὶ τυμβωρύχοις; τοῦτο οὖν σε ἐπαίρει, ὅτι τοιούτους ἔχεις κοινωνοὺς τοῦ κτήματος; ἀλλὰ τιμῆς ἐρᾷς; ἀλλ' οὐδὲν εἰς τιμῆς λόγον ἐλεημοσύνης ἐπιτηδειότερον. ἐκεῖναι μὲν γὰρ κατηναγκασμέναι εἰσὶ καὶ μετὰ μίσους, αἱ τιμαὶ τοῦ πλούτου καὶ τῆς δυναστείας· αὗται δὲ ἐκ προαιρέσεως καὶ ἀπὸ συνειδήσεως τῶν τιμώντων· διόπερ οὐδὲ ἐκβάλλειν αὐτὰς δύνανταί ποτε οἱ τιμῶντες. εἰ δὲ ἄνθρωποι τοσαύτην τοῖς ἐλεήμοσιν ἀπονέμουσι τὴν αἰδῶ, καὶ πάντα αὐτοῖς συνεύχονται τὰ ἀγαθὰ, ἐννόησον πηλίκην παρὰ τοῦ φιλανθρώπου Θεοῦ λήψονται τὴν ἀντίδοσιν, οἵαν τὴν ἀμοιβήν. τοῦτον τοίνυν ζητῶμεν τὸν πλοῦτον τὸν ἀεὶ μένοντα καὶ οὐδέποτε δραπετεύοντα· ἵνα καὶ ἐνταῦθα μεγάλοι, καὶ ἐκεῖ γενόμενοι λαμπροὶ, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ.

γ. τότε

γ. παντα

γ. μείζω

γ. πάντα,

γ. φρονῆς αὐτῷ. τότε μὲν, τούτῳ πάντα

γ. ἁμαρτάνοντα,

Ομιλ. λδ΄. 28 ΑΦΗΚΕ ΤΗΝ ΥΔΡΙΑΝ ΑΥΤΗΣ Η ΓΥΝΗ, καὶ ἦλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις· 29 Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός;

Πολλῆς ἡμῖν θερμότητος δεῖ καὶ σπουδῆς διεγηγερμένης. ταύτης γὰρ ἄνευ οὐκ ἔνεστι τυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. καὶ τοῦτο δεικνὺς ὁ Χριστός, φησι, νῦν μὲν, Ἐὰν μή τις αἴρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος· νῦν δὲ, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; δι' ἀμφοτέρων τούτων τὸν διάπυρον καὶ πεπυρωμένον μαθητὴν καὶ πρὸς πάντα κίνδυνον παρεσκευασμένον ἡμῖν παραστῆσαι βουλόμενος. τοιαύτη τις ἦν καὶ αὕτη ἡ γυνή. οὕτω γὰρ ὑπὸ τῶν εἰρημένων ἀνήφθη, ὡς καὶ τὴν ὑδρίαν ἀφεῖναι, καὶ τὴν χρείαν δι' ἣν παρεγένετο, καὶ δραμοῦσαν εἰς τὴν πόλιν, πάντα τὸν δῆμον ἑλκῦσαι πρὸς τὸν Ἰησοῦν. δεῦτε γάρ, φησι, καὶ ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. σκόπει σπουδὴν καὶ σύνεσιν. ἦλθεν ὑδρεύσασθαι· καὶ ἐπειδὴ τῆς ἀληθινῆς ἐπέτυχε πηγῆς, κατεφρόνησε λοιπὸν τῆς αἰσθητῆς, διδάσκουσα ἡμᾶς, εἰ καὶ διὰ μικροῦ παραδείγματος, ἐν τῇ τῶν πνευματικῶν ἀκροάσει, πάντων ὑπερορᾷν τῶν βιωτικῶν καὶ μηδένα λόγον αὐτῶν ποιεῖσθαι. κατὰ γὰρ τὴν ἰδίαν δύναμιν, ὅπερ οἱ ἀπόστολοι ἐποίησαν, καὶ αὐτὴ πεποίηκεν*. ἐκεῖνοι μὲν γὰρ κληθέντες, ἀφῆκαν τὰ δίκτυα· αὕτη δὲ αὐτομάτως, οὐδενὸς παραγγείλαντος, ἀφίησι τὴν ὑδρίαν, καὶ εὐαγγελιστῶν ἔργον ποιεῖ, ὑπὸ τῆς χαρᾶς ἀναπτερωθεῖσα· καὶ οὐχ ἕνα καλεῖ καὶ δεύτερον, καθάπερ Ἀνδρέας καὶ Φίλιππος, ἀλλὰ πόλιν ὁλόκληρον ἀναστήσασα καὶ δῆμον τοσοῦτον, οὕτω πρὸς αὐτὸν ἤγαγε. καὶ σκόπει πῶς συνετῶς*. οὐ γὰρ εἶπε, δεῦτε, ἴδετε τὸν Χριστόν· ἀλλὰ καὶ αὐτὴ μετὰ συγκαταβάσεως, μεθ' ἧς καὶ ὁ Χριστὸς αὐτὴν ἐσαγήνευσεν, ἐπισπᾶται τοὺς ἄνδρας. δεῦτε γὰρ, ἴδετε ἄνθρωπον, φησιν, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. καὶ οὐκ ᾐσχύνθη εἰπεῖν ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. καίτοιγε ἐνῆν εἰπεῖν ἑτέρως· δεῦτε, ἴδετε προφητεύοντα· ἀλλ' ὅταν πυρωθῇ ψυχὴ τῷ πυρὶ τῷ θείῳ, πρὸς οὐδὲν τῶν ἐν τῇ γῇ λοιπὸν ὁρᾷ, οὐ πρὸς δόξαν, οὐ πρὸς αἰσχύνην, ἀλλ' ἑνός ἐστι μόνου, τῆς κατεχούσης αὐτὴν φλογός. μήτι οὗτός ἐστιν ὁ Χριστός; ὅρα πάλιν σοφίαν πολλὴν γυναικός. οὔτε ἀπεφήνατο σαφῶς, οὔτε ἐσίγησεν. ἐβούλετο γὰρ οὐκ ἐκ τῆς οἰκείας ἀποφάσεως εἰσαγαγεῖν αὐτούς, ἀλλ' ἐκ τῆς ἀκροάσεως τῆς ἐκείνου τῆς ψήφου ταύτης ποιῆσαι κοινωνούς, ὃ μᾶλλον εὐπαράδεκτον ἐποίει τὸν λόγον. καίτοι οὐ πάντα αὐτῆς τὸν βίον ἐξήγγειλεν, ἀλλ' ἀπὸ τῶν εἰρημένων καὶ περὶ τῶν ἄλλων ἐπέπειστο. καὶ οὐκ εἶπε, δεῦτε, πιστεύσατε· ἀλλὰ, δεῦτε, ἴδετε, ὃ τούτου κουφότερον ἦν, καὶ μᾶλλον αὐτοὺς ἐφείλκετο. εἶδες τῆς γυναικὸς τὴν σοφίαν; ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι γευσάμενοι μόνον τῆς πηγῆς ἐκείνης, τὰ αὐτὰ πείσονται ἅπερ καὶ αὐτή. καίτοιγε εἴ τις τῶν ἄλλων ἦν τῶν παχυτέρων, καὶ συνεσκίασεν ἂν τὸν ἔλεγχον· αὕτη δὲ ἐκπομπεύει τὸν ἑαυτῆς βίον, καὶ εἰς μέσον προτίθησιν, ὥστε πάντας ἐπισπάσασθαι καὶ ἑλεῖν.

Ματθ. ι. λη.

Λυκ. ιβ. μθ.

31 Εν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες, Ραββὶ, φάγε.

Ορῶντες γὰρ αὐτὸν κεκμηκότα ἀπὸ τῆς ὁδοιπορίας, καὶ τῆς φλογὸς ἐπικειμένης, παρεκάλουν αὐτόν. οὐδὲ γὰρ ἦν προπετείας τὸ δεῖσθαι ὑπὲρ σιτίων, ἀλλὰ φιλοστοργίας τῆς περὶ τὸν διδάσκαλον. τί οὖν ὁ Χριστός;

32 Εγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.

33 Ελεγον οὖν, φησι, πρὸς ἀλλήλους· μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; Τί τοίνυν θαυμάζεις, εἰ ἡ γυνὴ ὕδωρ ἀκούσασα, ἔτι ὕδωρ ἐφαντάζετο, ὅπουγε καὶ οἱ μαθηταὶ ἔτι

ταῦτα πάσχουσι, καὶ οὐδὲν οὔπω πνευματικὸν νοοῦσιν· ἀλλ' ἀποροῦσι μὲν, πάλιν δὲ τὴν αἰδῶ τὴν συνήθη καὶ τὴν τιμὴν τῷ διδασκάλῳ νέμουσι, πρὸς ἀλλήλους μὲν διαλεγόμενοι, αὐτῷ δὲ πεῦσιν οὐ τολμῶντες προσαγαγεῖν. τοῦτο καὶ ἀλλαχοῦ ποιοῦσιν, ἐπιθυμοῦντες μὲν ἐρωτῆσαι, οὐκ ἐρωτῶντες δέ. τί οὖν ὁ Χριστός;

34 Ἐμὸν βρῶμά ἐστι, φησὶν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. Τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐνταῦθα βρῶσιν ἐκάλεσε, δεικνὺς ὅσην ἐπιθυμίαν ἔχει τῆς ἡμετέρας προνοίας. ὥσπερ γὰρ ἡμῖν ποθεινὸν τὸ ἐσθίειν, οὕτως αὐτῷ τὸ σωθῆναι ἡμᾶς. ἄκουε δὲ πῶς πανταχοῦ, οὐκ ἐκ τοῦ προχείρου πάντα ἀποκαλύπτει, ἀλλὰ πρότερον εἰς ἀπορίαν ἐμβάλλει τὸν ἀκροατὴν, ἵνα ἀρξάμενος ζητεῖν* τὸ λεγόμενον, εἶτα ἀπορῶν καὶ κάμνων, μετὰ πλείονος ὑποδέξηται) προθυμίας φανὲν τὸ ζητούμενον, καὶ μᾶλλον διαναστῇ πρὸς τὴν ἀκρόασιν. διατί γὰρ μὴ εὐθέως εἶπεν, ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πατρός μου; (καίτοι οὐδὲ τοῦτο σαφὲς ἦν, ἀλλὰ τοῦ προτέρου σαφέστερον) ἀλλὰ τί; ἐγὼ, φησὶ, βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. πρότερον γὰρ αὐτοὺς, ὅπερ ἔφην, τῇ διαπορήσει προσεκτικωτέρους ἐργάσασθαι βούλεται, καὶ ἐθίσαι [καὶ] διὰ τοιούτων αἰνιγμάτων ἀκούειν τὰ λεγόμενα. τί δέ ἐστι τὸ θέλημα τοῦ πατρός; λέγει λοιπὸν αὐτὸ, καὶ ἑρμηνεύει.

* ἤ

35 Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν.

Ἰδοὺ πάλιν τοῖς συνήθοις ὀνόμασιν ἀνάγει πρὸς τὴν τῶν μεγίστων θεωρίαν αὐτούς. καὶ γὰρ βρῶμα εἰπὼν, οὐδὲν ἕτερον ἐδήλωσεν, ἢ τὴν τῶν μελλόντων παραγίνεσθαι σωτηρίαν ἀνθρώπων· καὶ ἡ χώρα δὲ καὶ ὁ θερισμὸς τὸ αὐτὸ πάλιν τοῦτο δηλοῖ, τὸ πλῆθος τῶν ψυχῶν τῶν ἑτοίμων πρὸς τὴν ὑποδοχὴν τοῦ κηρύγματος. ὀφθαλμοὺς δὲ ἐνταῦθα λέγει, καὶ τοὺς τῆς διανοίας, καὶ τοὺς τοῦ σώματος (καὶ γὰρ ἑώρων λοιπὸν τὸ πλῆθος ἐρχόμενον τῶν Σαμαρειτῶν) τὴν δὲ τῆς προαιρέσεως αὐτῶν ἑτοιμότητα, τὰς χώρας τὰς λευκαινομένας φησίν. ὥσπερ γὰρ οἱ στάχυες, ἐπειδὰν λευκανθῶσι, πρὸς ἀμητόν εἰσιν ἕτοιμοι· οὕτω καὶ οὗτοι νῦν, φησὶ, πρὸς σωτηρίαν εἰσὶ παρεσκευασμένοι καὶ εὐτρεπεῖς. καὶ διατί μὴ εἶπε σαφῶς, ὅτι ἔρχονται πιστεῦσαι οἱ ἄνθρωποι, καὶ ἕτοιμοί εἰσι πρὸς ὑποδοχὴν τοῦ λόγου, κατηχηθέντες μὲν παρὰ τῶν προφητῶν, τὸν δὲ καρπὸν λοιπὸν ἀποδιδόντες, ἀλλὰ χώραν καὶ θερισμὸν ἐκάλεσε; τί βούλονται αὐτῷ αὗται αἱ τροπαί; οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν παντὶ τῷ εὐαγγελίῳ τοῦτο ποιεῖ, καὶ οἱ προφῆται δὲ τῷ αὐτῷ κέχρηνται τρόπῳ, μεταφορικῶς πολλὰ λέγοντες. τί δήποτε οὖν τὸ αἴτιον; οὐ γὰρ ἁπλῶς ταῦτα τοῦ πνεύματος ἐνομοθέτησεν ἡ χάρις· ἀλλὰ τίνος ἕνεκεν, καὶ διατί; δυοῖν ἕνεκεν προφάσεων. μιᾶς μὲν, ὥστε ἐμφαντικώτερον γενέσθαι τὸν λόγον, καὶ μᾶλλον ὑπὸ ὄψιν ἀγαγεῖν τὰ λεγόμενα. ἡ γὰρ διάνοια τῆς συνήθους τῶν πραγμάτων εἰκόνος ἐπιλαβομένη διανίσταται μᾶλλον, καὶ ὥσπερ ἐν γραφῇ τὰ πράγματα ὁρῶσα κατέχεται μειζόνως. ἑνὸς μὲν ἕνεκα, τούτου· ἑτέρου δὲ, ὥστε καὶ γλυκαίνεσθαι τὴν διήγησιν, καὶ μονιμωτέραν εἶναι τῶν λεγομένων τὴν μνήμην. οὐ γὰρ οὕτως ἀπόφασις χειροῦται καὶ ἐνάγει τὸν ἀκροατὴν [τὸν πολὺν,] ὡς ἡ διὰ τῶν πραγμάτων διήγησις, καὶ ἡ ὑπογραφὴ πείρας· ὃ διὰ τῆς παραβολῆς ἐστι μετὰ πολλῆς γινόμενον ἰδεῖν τῆς σοφίας.

γ. οἱ στάχ.

γ. ἐδάπιεν

γ. ἐν

γ. πεῖρα

36 Καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον.

Ὁ μὲν γὰρ τοῦ ἀμητοῦ τούτου καρπὸς οὐκ εἰς αἰώνιον ζωὴν, ἀλλ' εἰς τὴν πρόσκαιρον ταύτην προχωρεῖ· ὁ δὲ πνευματικὸς εἰς τὴν ἀγήρω καὶ ἀθάνατον. ὁρᾷς πῶς αἰσθητὰ μὲν τὰ ῥήματα, πνευματικὰ δὲ τὰ νοήματα, καὶ δι' αὐτῶν τῶν λέξεων διαιρεῖ τὰ γήϊνα ἀπὸ τῶν οὐρανίων; ὅπερ γὰρ ἐπὶ τοῦ ὕδατος διαλεγόμενος ἐποίησε, τὸ ἰδιάζον αὐτοῦ θεὶς, ὅτι ὁ πίνων τὸ ὕδωρ τοῦτο οὐ μὴ διψήσει, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, [τὸ] εἰς ζωὴν αἰώνιον λέγων τὸν καρπὸν

πὸν συνάγεσθαι τοῦτον. Ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. Τίς ἐστιν ὁ σπείρων, καὶ τίς ὁ θερίζων; οἱ προφῆταί εἰσιν οἱ σπείραντες, ἀλλ' οὐκ αὐτοὶ ἐθέρισαν, ἀλλ' οἱ ἀπόστολοι. οὐ μὴν διὰ τοῦτο ἀπεστέρηνται τῆς ἡδονῆς καὶ τῆς ἀμοιβῆς τῶν πόνων, ἀλλὰ συνήδονται καὶ σὺν ἡμῖν χαίρουσιν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσιν. οὐδὲ γὰρ ἀμητὸς ἔργον τοῦ σπόρου. ἔνθα οὖν ἐλάττων ἐστὶ μὲν ὁ πόνος, μείζων δὲ ἡ ἡδονή, ἐνταῦθα ὑμᾶς ἐτήρησα, οὐκ ἐν τῷ σπόρῳ. πολλὴ γὰρ ἐκεῖ ἡ ταλαιπωρία καὶ ὁ πόνος. ἐν γὰρ τῷ ἀμητῷ ἡ μὲν πρόσοδος πολλή, πόνος δὲ οὐ τοσοῦτος, ἀλλὰ καὶ πολλὴ ἡ εὐκολία. ἐνταῦθα δὲ βούλεται κατασκευάσαι διὰ τούτων, ὅτι καὶ προφητῶν θέλημα τοῦτο ἐστί, τὸ ἐμοὶ τοὺς ἀνθρώπους προσελθεῖν· τοῦτο καὶ ὁ νόμος κατεσκεύαζε. διὰ τοῦτο καὶ ἔσπειραν, ἵνα ″τοῦτον τέκωσι τὸν καρπόν. τούτῳ δείκνυσι δὲ ὅτι κἀκείνους αὐτὸς ἀπέστειλε, καὶ ὅτι πολλὴ ἡ συγγένεια τῇ καινῇ πρὸς τὴν παλαιάν, καὶ πάντα ὁμοῦ διὰ τῆς παραβολῆς ταύτης κατασκευάζει. μέμνηται δὲ καὶ λόγου παροιμιώδους περιφερομένου παρὰ πολλῶν. 37 Ἐν γὰρ τούτῳ, φησίν, ὁ λόγος ἐστὶν ἀληθής, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. Ταῦτα δὲ ἔλεγον οἱ πολλοί, εἴποτε ἄλλοι μὲν τοὺς πόνους ὑπέστησαν, ἄλλοι δὲ τοὺς καρποὺς ἐδρέποντο· καὶ λέγει, ὅτι οὗτος ὁ λόγος ἐνταῦθα μάλιστα τὴν ἀλήθειαν ἔχει. ἐπόνησαν μὲν γὰρ οἱ προφῆται, ὑμεῖς νῦν δὲ τοὺς καρποὺς τοὺς ἐκ τῶν ἐκείνων πόνων ἀμᾶσθε. ″καὶ οὐκ εἶπε τοὺς μισθούς (οὐδὲ γὰρ ἐκείνοις ἄμισθος ὁ πολὺς ἐκεῖνος πόνος) ἀλλὰ τοὺς καρπούς. τοῦτο καὶ Δανιὴλ ἐποίησε. καὶ γὰρ καὶ αὐτὸς παροιμίας μέμνηται λεγούσης, Ἐξῆλθεν ἐξ ἀνόμων πλημμέλεια. α. Βασ. κδ. καὶ ὁ Δαβὶδ ἐν τῷ θρήνῳ μέμνηται τοιαύτης παροιμίας. διὰ τοῦτο προλαβὼν εἶπεν, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐπειδὴ γὰρ ἤμελλε λέγειν, ὅτι ἄλλος ἔσπειρε καὶ ἄλλος θερίζει, ἵνα μή τις, ὅπερ ἔφην, ἀπεστερῆσθαι τοὺς προφήτας νομίσῃ τοῦ μισθοῦ, ξένον τι λέγει καὶ παράδοξον, καὶ τοῖς αἰσθητοῖς οὐ συμβαῖνον, ἀλλὰ τῶν πνευματικῶν ἐξαίρετον ὄν. ἐν μὲν γὰρ τοῖς πράγμασι τοῖς αἰσθητοῖς, ἐὰν συμβῇ ἕτερον σπεῖραι καὶ ἕτερον θερίσαι, οὐχ ὁμοῦ χαίρουσιν, ἀλλ' ἀλγοῦσιν οἱ σπείραντες, ἅτε ἑτέροις καμόντες· χαίρουσι δὲ οἱ θερίζοντες μόνοι. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ οἱ μὴ θερίζοντες ἅπερ ἔσπειραν, ὁμοίως τοῖς ἀμῶσι χαίρουσιν· ὅθεν δῆλον ὅτι καὶ αὐτοὶ κοινωνοῦσι τῶν μισθῶν.

38 Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι ἐκοπίασαν, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. Ταύτῃ προτρέπει μᾶλλον αὐτούς. ἐπειδὴ γὰρ ἐδόκει ἐπίπονον εἶναι τὸ πρᾶγμα, τὸ τὴν οἰκουμένην περιελθεῖν καὶ κηρύξαι, δείκνυσιν ὅτι καὶ ″ῥᾷστόν ἐστι. ῥᾷον τὸ γὰρ σφόδρα ἐπίπονον ἐκεῖνο ἦν, ὃ πολλοῦ καμάτου ἐδεῖτο, τὸ καταβαλεῖν τὰ σπέρματα καὶ ψυχὴν ἀμύητον ἐναγαγεῖν εἰς θεογνωσίαν. τίνος δὲ ἕνεκεν ταῦτα φθέγγεται; ἵν', ὅταν αὐτοὺς ἀποστείλῃ εἰς τὸ κηρύξαι, μὴ θορυβηθῶσιν, ὡς εἰς πρᾶγμα ἐπίπονον πεμπόμενοι. τὸ γὰρ ἐπιπονώτερον τῶν προφητῶν ἦν, φησί· καὶ μαρτυρεῖ τὸ ἔργον τῷ λόγῳ, ὅτι ὑμεῖς ἐπὶ τὰ εὔκολα ἤλθετε. ὥσπερ γὰρ ἐπὶ θερισμοῦ μετ' εὐκολίας μὲν ὁ καρπὸς συνάγεται, καὶ ἐν μιᾷ ῥοπῇ ἡ ἅλως πληροῦται τῶν δραγμάτων, οὐκ ″ἀναμενόντων ἀναμένων τὰς τῶν καιρῶν τροπάς, καὶ χειμῶνα, καὶ ἔαρ, καὶ ὄμβρον· οὕτω καὶ νῦν γέγονε. καὶ τὰ ἔργα βοᾷ. μεταξὺ γοῦν αὐτοῦ λέγοντος ταῦτα, ἐξῄεσαν οἱ Σαμαρεῖται, καὶ συνήγετο ἀθρόον ὁ καρπός. διὰ τοῦτο εἶπεν, ἄρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ βλέπετε τὰς χώρας, ὅτι λευκαί εἰσιν. εἶπε ταῦτα, καὶ τὸ ἔργον ἐφάνη, καὶ τὰ ῥήματα ἐκ τῶν πραγμάτων ἑωρᾶτο.

39 Ἐκ γὰρ τῆς πόλεως ἐκείνης πολλοί, φησίν, ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

Συνεώρων γὰρ ὅτι οὐκ ἂν ἐθαύμασε πρὸς χάριν ἡ γυνὴ τὸν διελέγξαντα αὐτῆς τὰ πλημμελήματα, οὐδ' ἂν ὑπὲρ τοῦ χαρίσασθαι ἑτέρῳ, τὸν ἑαυτῆς ἐξεπόμπευσε βίον.

ΗΘΙΚΟΝ

Μιμησώμεθα δὴ τὴν γυναῖκα καὶ ἡμεῖς· καὶ ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι μὴ αἰσχυνώμεθα.

νώμεθα ἀνθρώπους, ἀλλὰ φοβώμεθα, ὡς χρή, Θεόν, τὸν καὶ νῦν ὁρῶντα τὰ γινόμενα, καὶ τότε κολάζοντα τοὺς μὴ μετανοήσαντας νῦν· ὡς νῦν γε τοὐναντίον ποιοῦμεν. τὸν μὲν γὰρ μέλλοντα κρίνειν οὐ δεδοίκαμεν· τοὺς δὲ οὐδὲν ἡμᾶς παραβλάψοντας, τούτους φρίττομεν, καὶ τὴν παρ' αὐτῶν αἰσχύνην τρέμομεν. διὰ τοῦτο ἐν ᾧ δεδοίκαμεν, ἐν τούτῳ δίδομεν τὴν τιμωρίαν. ὁ γὰρ αἰσχύνην ἀνθρώπων ὑφορώμενος νῦν μόνον, Θεοῦ δὲ μὴ αἰσχυνόμενος πρᾶξαί τι ἄτοπον ὁρῶντος, μηδὲ θέλων μετανοῆσαι καὶ μεταβαλέσθαι, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐνώπιον ἑνὸς καὶ δευτέρου, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης ὁρώσης παραδειγματίζεται. ὅτι γὰρ καὶ τῶν ἀγαθῶν πράξεων καὶ τῶν οὐ τοιούτων μέγα θέατρον ἐκεῖ κάθηται, ἡ τῶν προβάτων καὶ τῶν ἐρίφων παραβολή σε παιδευέτω, καὶ ὁ μακάριος Παῦλος λέγων· Δεῖ γὰρ ἡμᾶς, φησί, παραστῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος ὅσα ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. καὶ πάλιν· Ὃς φανερώσει τὰ κρυπτὰ τοῦ σκότους. ἔπραξάς τι πονηρόν, ἢ ἐνενόησας, καὶ κρύπτεις ἄνθρωπον; ἀλλὰ Θεὸν οὐ κρύπτεις. ἀλλ' οὐδὲν τούτων σοι μέλει, οἱ δὲ ὀφθαλμοὶ τῶν ἀνθρώπων, τοῦτό σοι φόβος. ἐννόησον ὅτι οὐδὲ ἀνθρώπους λαθεῖν δυνήσῃ κατὰ τὴν ἡμέραν ἐκείνην. πάντα γάρ, ὡς ἐν εἰκόνι, τότε στήσεται καὶ κατ' ὀφθαλμοὺς ἡμῶν, ὡς αὐτοκατάκριτον ἕκαστον γενέσθαι. καὶ τοῦτο δῆλον καὶ ἀπὸ τοῦ πλουσίου. καὶ γὰρ τὸν ὑπεροφθέντα πένητα, τὸν Λάζαρον λέγω, πρὸ ὀφθαλμῶν εἶδεν ἑστῶτα ὁ πλούσιος, καὶ ὃν πολλάκις ἐβδελύξατο δάκτυλον, τοῦτον παρακαλεῖ παραμυθίαν αὐτῷ γενέσθαι τότε. παρακαλῶ τοίνυν, κἂν μηδεὶς ἴδῃ τὰ ἡμέτερα, ἕκαστον ἡμῶν εἰς τὸ ἑαυτοῦ συνειδὸς εἰσελθεῖν, καὶ καθίσαι ἑαυτῷ δικαστὴν τὸν λογισμόν, καὶ εἰς μέσον ἄγειν τὰ πεπλημμελημένα, καὶ εἰ μὴ βούλοιτο τότε ἐκπομπευθῆναι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ, ἰάσθω ἤδη τὰ τραύματα, ἐπιτιθέτω τὰ φάρμακα τῆς μετανοίας. ἔξεστι γάρ, ἔξεστι μυρίων γέμοντα τραυμάτων ἀπελθεῖν ὑγιαίνοντα. Ἐὰν γὰρ ἀφῆτέ, φησιν, ἀφέωνται ὑμῶν αἱ ἁμαρτίαι. ὥσπερ γὰρ ἐν τῷ βαπτίσματι καταχωννύμενα τὰ ἁμαρτήματα οὐκέτι φαίνεται· οὕτω καὶ ταῦτα ἀφανισθήσονται, ἐὰν θελήσωμεν μετανοῆσαι. ἔστι δὲ μετάνοια, τὸ μηκέτι ταὐτὰ ποιεῖν. ὁ γὰρ τοῖς αὐτοῖς ἐπιχειρῶν ἔοικε τῷ κυνὶ τῷ πρὸς τὸν ἴδιον ἔμετον ἐπανιόντι*. δεῖ τοίνυν ἀφίστασθαι καὶ τῇ πράξει καὶ τῇ γνώμῃ τῶν τολμηθέντων· καὶ ἀποστάντας [καὶ] φάρμακα ἐπιθεῖναι τοῖς τραύμασι τὰ ἐναντία τῶν ἁμαρτημάτων. οἷόν τι λέγω· ἥρπασας καὶ ἐπλεονέκτησας; ἀπόστηθι τῆς ἁρπαγῆς, καὶ ἐπίθες ἐλεημοσύνην τῷ τραύματι. ἐπόρνευσας; ἀπόστηθι τῆς πορνείας, καὶ ἐπίθες ἁγνείαν τῷ ἕλκει. κακῶς εἶπες τὸν ἀδελφὸν καὶ ἔβλαψας; παῦσαι κατηγορῶν, καὶ ἐπίθες φιλοφροσύνην. καὶ καθ' ἕκαστον οὕτω ποιῶμεν τῶν πεπλημμελημένων ἡμῖν, καὶ μὴ παρατρέχωμεν ἁπλῶς τὰ ἁμαρτήματα. ἐφέστηκε γὰρ λοιπόν, ἐφέστηκεν ὁ τῶν εὐθυνῶν καιρός. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. ἀλλ' ἡμῖν τάχα τοὐναντίον ἐστὶν ἐπιλέγειν· ὁ Κύριος ἐγγύς, μεριμνᾶτε. ἐκεῖνοι μὲν γὰρ καλῶς ἤκουον, μηδὲν μεριμνᾶτε οἱ ἐν θλίψει καὶ πόνοις καὶ ἀγῶσιν ὄντες· οἱ δὲ ἐν ἁρπαγαῖς ζῶντες, οἱ ἐν τρυφῇ, οἱ χαλεπὰς εὐθύνας μέλλοντες διδόναι, οὐ τοῦτο, ἀλλ' ἐκεῖνο ἂν ἀκούσαιεν εἰκότως· ὁ Κύριος ἐγγύς, μεριμνᾶτε. οὐδὲ γὰρ πολὺς λείπεται τῆς συντελείας ὁ χρόνος, ἀλλὰ πρὸς τὸ τέλος λοιπὸν ὁ κόσμος ἐπείγεται. τοῦτο οἱ πόλεμοι δηλοῦσι, τοῦτο αἱ θλίψεις, τοῦτο οἱ σεισμοί, τοῦτο ἡ ἀγάπη ψυγεῖσα. καθάπερ γὰρ σῶμα ψυχορραγοῦν, καὶ ἐγγὺς ὂν τῆς τελευτῆς, μυρίας ἐπισπᾶται κακώσεις· καὶ οἰκίας μελλούσης καταπίπτειν, πολλὰ προπίπτειν εἴωθε καὶ ἀπὸ τῆς ὀροφῆς καὶ ἀπὸ τῶν τοίχων· οὕτω καὶ τῆς οἰκουμένης ἐγγὺς καὶ ἐπὶ θύραις ἕστηκεν ἡ συντέλεια, καὶ διὰ τοῦτο τὰ μυρία διέσπαρται πανταχοῦ κακά. εἰ γὰρ τότε ὁ Κύριος ἐγγύς, πολλῷ μᾶλλον νῦν ἐγγύς. εἰ πρὸ τριακοσίων ἐτῶν, ὅτε ταῦτα ἔλεγεν, πλήρωμα τῶν χρόνων τὸν καιρὸν ἐκεῖνον ὁ Παῦλος ἐκάλει, πολλῷ μᾶλλον τὸν παρόντα. ἀλλ' ἴσως δι' αὐτὸ τοῦτο ἀπιστοῦσί τινες. καὶ μὴν διὰ τοῦτο πιστεύειν χρὴ μᾶλλον. πόθεν γὰρ οἶδας,

ἄνθρωπε,

β.Κορ. ε.ι.

β.Πετ.β.κα.

Φιλιπ.δ.ε.

χ. ταῦτα
* καὶ τὸ τῆς
παροιμίας
τὸ ῥ ξαίνοντ
καὶ ἐς τετρη-
μένον ἀν-
τλοῦντ πίθ

χ. κατηγορῶ

χ. πεντακο-
σίων

ἄνθρωπε, ὅτι οὐκ ἔστι τὸ τέλος, καὶ μετὰ βραχὺν χρόνον ἀπαντήσεται τὰ εἰρημένα; ὥσπερ γὰρ τοῦ ἐνιαυτοῦ τέλος οὐ τὴν ἐσχάτην ἡμέραν λέγομεν εἶναι, ἀλλὰ καὶ τὸν ἔσχατον μῆνα, καίτοιγε τριάκοντα ἡμέρας ἔχοντα· οὕτω καὶ τῶν τοσούτων ἐτῶν κἂν τετρακόσια ἔτη τέλος εἴπω, οὐχ ἁμαρτήσομαι· ὥστε ἐκ τότε προανεφώνει τὸ τέλος. συστείλωμεν οὖν ἑαυτοὺς, ἐντρυφήσωμεν τῷ φόβῳ τοῦ Θεοῦ. καὶ γὰρ ἐν ἀδείᾳ διατελούντων ἡμῶν, οὐ σφόδρα μεριμνώντων οὐδὲ προσδοκώντων, ἐπιστήσεται ἀθρόον ἡ παρουσία. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· Ὥσπερ γὰρ ἐν ταῖς ἡμέραις τοῦ Νῶε, καὶ ὥσπερ ἐν ταῖς ἡμέραις τοῦ Λὼτ, οὕτως ἔσται καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. τοῦτο καὶ ὁ Παῦλος δηλῶν, ἔλεγεν· Ὅταν δὲ λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, καὶ ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. τί δέ ἐστιν, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ; πολλάκις αἱ κύουσαι γυναῖκες παίζουσαι καὶ ἀριστοποιοῦσαι, ἢ ἐν βαλανείῳ, ἢ ἐν ἀγορᾷ διάγουσαι, οὐδὲν τῶν μελλόντων προορώμεναι, ὑπὸ τῆς ὀδύνης κατεσχέθησαν ἀθρόον. ἐπεὶ οὖν καὶ τὰ ἡμέτερα τοιαῦτα, ὦμεν ἀεὶ παρεσκευασμένοι. οὐ γὰρ ἀεὶ ταῦτα ἀκουσόμεθα, οὐκ ἀεὶ τούτων ἐξουσίαν ἕξομεν. Ἐν γὰρ τῷ ᾅδῃ, φησὶ, τίς ἐξομολογήσεταί σοι; οὐκοῦν ἐνταῦθα μετανοήσωμεν, ἵν' οὕτως ἵλεω τὸν Θεὸν ἔχωμεν κατὰ τὴν μέλλουσαν ἡμέραν, καὶ πολλῆς ἀπολαῦσαι δυνηθῶμεν συγγνώμης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κδ. λζ.

α. Θεσ. ε. γ.

Ὁμιλ. λε. 40 ΩΣ ΟΥΝ ΗΛΘΟΝ ΠΡΟΣ ΑΥΤΟΝ ΟΙ ΣΑμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

41 Καὶ πολλῷ πλείους ἐπίστευσαν εἰς αὐτὸν διὰ τὸν λόγον αὐτοῦ·

42 Τῇ τε γυναικὶ ἔλεγον· ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. 43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν.

Οὐδὲν φθόνου καὶ βασκανίας χεῖρον, οὐδὲν κενοδοξίας χαλεπώτερον· αὕτη τὰ μυρία εἴωθε διαφθείρειν ἀγαθά. οἱ οὖν Ἰουδαῖοι πλείονα τῶν Σαμαρειτῶν γνῶσιν ἔχοντες, καὶ τοῖς προφήταις συντραφέντες, ὕστεροι τούτων ἐφάνησαν ἐντεῦθεν. οὗτοι μὲν γὰρ καὶ ἀπὸ τῆς μαρτυρίας ἐπίστευσαν τῆς γυναικὸς, καὶ σημεῖον ἰδόντες οὐδὲν, ἐξῆλθον παρακαλοῦντες τὸν Χριστὸν μεῖναι παρ' αὐτοῖς· οἱ δὲ Ἰουδαῖοι, καὶ θαύματα θεασάμενοι, οὐ μόνον οὐ κατεῖχον αὐτὸν παρ' ἑαυτοῖς, ἀλλὰ καὶ ἀπήλαυνον, καὶ πάντα ἔπραττον ὥστε καὶ τῆς χώρας αὐτὸν ἐκβαλεῖν, καίτοιγε αὐτὴ ἡ παρουσία δι' ἐκείνους ἐγεγόνει. ἀλλ' ἐκεῖνοι μὲν ἀπήλαυνον, οὗτοι δὲ καὶ μεῖναι παρ' ἑαυτοῖς ἠξίουν. τούτους οὖν οὐκ ἐχρῆν προσίεσθαι παρακαλοῦντας, εἰπέ μοι, καὶ δεομένους· ἀλλὰ τοῖς μὲν ἐπιβουλεύουσι καὶ διακρουομένοις προσεδρεύειν, τοῖς δὲ ἀγαπῶσι καὶ βουλομένοις αὐτὸν κατέχειν μὴ διδόναι ἑαυτόν; ἀλλ' οὐκ ἦν τοῦτο ἄξιον τῆς αὐτοῦ κηδεμονίας. διὰ τοῦτο καὶ ἐδέξατο, καὶ ἔμεινε παρ' αὐτοῖς ἡμέρας δύο. αὐτοὶ μὲν γὰρ ἐβούλοντο διηνεκῶς αὐτὸν κατέχειν (τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπὼν, ὅτι ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς) αὐτὸς δὲ οὐκ ἠνείχετο· ἀλλ' ἡμέρας δύο μόνον ἔμεινε, καὶ ἐν ταύταις πολλῷ πλείους ἐπίστευσαν εἰς αὐτόν. καίτοιγε τούτους οὐκ εἰκὸς ἦν πιστεῦσαι, τῷ τε σημεῖον μηδὲν ἑωρακέναι, καὶ τῷ πρὸς Ἰουδαίους ἀπεχθῶς ἔχειν· ἀλλ' ὅμως ἐπειδὴ τοῖς λεγομένοις μετ' ἀληθείας ἐδίκαζον, οὐ προσέστη τοῦτο αὐτοῖς, ἀλλ' ὑψηλοτέραν τῶν κωλυμάτων ἔλαβον ἔννοιαν, καὶ ἐφιλοτιμοῦντο ἐπὶ τὸ μειζόνως θαυμάζειν αὐτόν. τῇ γὰρ γυναικὶ

διέφθειρεν

εἶναι σὺν
ῷ.

ἐξελέξατο,

ναικί, φησιν, ἔλεγον· οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν αὐτῷ. αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. οἱ μαθηταὶ τὴν διδάσκαλον ὑπερηκόντισαν. οὗτοι γὰρ καὶ τῶν Ἰουδαίων κατηγορήσαιεν ἂν δικαίως, καὶ τῷ πιστεῦσαι, καὶ τῷ δέξασθαι. ἐκεῖνοι μὲν γὰρ, ὑπὲρ ὧν πᾶσαν τὴν πραγματείαν συνεστήσατο, συνεχῶς αὐτὸν ἐλίθαζον· οὗτοι δὲ οὐδὲ πρὸς αὐτοὺς ὁρμώμενον εἵλκυσαν πρὸς ἑαυτούς. καὶ οἱ μὲν μετὰ σημείων ἀδιόρθωτοι μένουσιν· οὗτοι δὲ χωρὶς σημείων πολλὴν περὶ αὐτὸν τὴν πίστιν ἐπεδείξαντο, καὶ τούτῳ αὐτῷ φιλοτιμοῦνται, τῷ χωρὶς σημείων πιστεῦσαι· ἐκεῖνοι δὲ οὐ παύονται καὶ σημεῖα αἰτοῦντες καὶ πειράζοντες. οὕτως εὐγνώμονος ψυχῆς πανταχοῦ χρεία. κἂν ἐπιλάβηται τοιαύτης ἡ ἀλήθεια, κρατεῖ ῥᾳδίως· κἂν μὴ κρατήσῃ, οὐ παρὰ τὴν αὐτῆς ἀσθένειαν, ἀλλὰ παρὰ τὴν ταύτης ἀγνωμοσύνην τοῦτο γίνεται*. ἐπεὶ καὶ ὁ ἥλιος, ὅταν λάβῃ καθαροὺς ὀφθαλμοὺς, φωτίζει ῥᾳδίως· ἂν δὲ μὴ φωτίζῃ, τῆς ἐκείνων ἀῤῥωστίας τὸ ἁμάρτημα, οὐ τῆς ἀσθενείας τῆς τούτου. ἄκουσον γοῦν οὗτοι τί λέγουσιν. οἴδαμεν, φησιν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. ὁρᾷς πῶς εὐθέως ἐνενόησαν, ὅτι τὴν οἰκουμένην ἐπισπάσασθαι ἤμελλεν, ὅτι ἐπὶ διορθώσει τῆς κοινῆς ἦλθε σωτηρίας, ὅτι οὐκ ἐν Ἰουδαίοις ἔμελλεν ἀποκλείειν αὐτοῦ τὴν πρόνοιαν, ἀλλὰ πανταχοῦ σπείρειν αὐτοῦ τὸν λόγον; ἀλλ' οὐκ Ἰουδαῖοι οὕτως, ἀλλὰ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν· οὗτοι δὲ ὁμολογοῦσιν ἅπαντας ἐν ἐπιτιμίοις εἶναι, ἐκεῖνο τὸ ἀποστολικὸν δηλοῦντες, ὅτι πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. εἰπόντες γὰρ ὅτι σωτήρ ἐστι τοῦ κόσμου, ἔδειξαν ὅτι τοῦ ἀπολωλότος· καὶ οὐχ ἁπλῶς σωτὴρ, ἀλλ' ἐν σφόδρα μεγάλοις. ἦλθον μὲν γὰρ πολλοὶ σῶσαι καὶ προφῆται καὶ ἄγγελοι· ἀλλ' ὁ ἀληθινὸς σωτὴρ οὗτός ἐστι, φησιν, ὁ τὴν ἀληθῆ σωτηρίαν παρέχων, οὐ τὴν πρόσκαιρον μόνον. τοῦτο πίστεως εἰλικρινοῦς. καὶ γάρ εἰσιν ἀμφοτέρωθεν θαυμαστοὶ, καὶ ὅτι ἐπίστευσαν, καὶ ὅτι χωρὶς σημείων (οὓς καὶ ὁ Χριστὸς μακαρίζει λέγων, Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες) καὶ ὅτι εἰλικρινῶς τοῦτο. καίτοι τῆς γυναικὸς ἀμφιβόλως λεγούσης ἀκούσαντες, μήτι οὗτός ἐστιν ὁ Χριστὸς, οὐκ εἶπον καὶ αὐτοὶ, ὅτι καὶ ἡμεῖς ὑποπτεύομεν, οὐδ' ὅτι ὑπονοοῦμεν, ἀλλ' ὅτι οἴδαμεν· καὶ οὐχ ἁπλῶς, ἀλλ' ὅτι οὗτός ἐστιν ἀληθῶς τοῦ κόσμου ὁ σωτήρ. οὐ γὰρ ὡς ἕνα τῶν πολλῶν τὸν Χριστὸν ὡμολόγουν, ἀλλὰ τὸν ὄντως σωτῆρα. καίτοι τίνα εἶδον σωθέντα; τῶν ῥημάτων ἤκουσαν μόνον, καὶ εἶπον ἅπερ ἂν, εἰ καὶ θαύματα ἐθεάσαντο πολλὰ καὶ μεγάλα, εἶπον. καὶ τίνος ἕνεκεν ταῦτα οὐ λέγουσιν ἡμῖν οἱ εὐαγγελισταὶ τὰ ῥήματα, καὶ ὅτι θαυμαστῶς διελέχθη; ἵνα μάθῃς, ὅτι πολλὰ τῶν μεγάλων παρατρέχουσιν, ἀπὸ δὲ τοῦ τέλους τὸ πᾶν ἐδήλωσε. ἔπεισε γὰρ δῆμον ὁλόκληρον καὶ πόλιν ὅλην διὰ τῶν εἰρημένων. ἔνθα δὲ μὴ πείθονται, τότε ἀναγκάζονται λέγειν τὰ εἰρημένα, ἵνα μὴ ἀπὸ τῆς ἀγνωμοσύνης τῶν ἀκουόντων καταψηφίζηταί τις τοῦ δημηγοροῦντος. καὶ μετὰ δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν.

44 Αὐτὸς γὰρ ὁ Χριστὸς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. Διὰ τί τοῦτο πρόσκειται; ὅτι εἰς Καπερναοὺμ οὐκ ἀπῆλθεν, ἀλλ' εἰς τὴν Γαλιλαίαν, κἀκεῖθεν εἰς τὴν Κανᾶ. ἵνα γὰρ μὴ ἐξετάσῃς, διατί παρὰ μὲν τοῖς αὐτοῦ οὐκ ἔμενε, παρὰ δὲ τοῖς Σαμαρείταις ἔμενε, τίθησι τὴν αἰτίαν λέγων, ὅτι οὐ προσέσχον αὐτῷ. διὰ τοῦτο οὐκ ἀπῆλθεν ἐκεῖ, ὥστε μὴ μεῖζον αὐτοῖς γενέσθαι τὸ κρίμα. καὶ γὰρ πατρίδα ἐνταῦθα ἡγοῦμαι αὐτὸν λέγειν τὴν Καπερναούμ. ὅτι δὲ οὐκ ἀπήλαυσεν ἐκεῖ τιμῆς, ἄκουσον αὐτοῦ λέγοντος· καὶ σὺ Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. πατρίδα δὲ ἰδίαν καλεῖ, τὸν τῆς οἰκονομίας δηλῶν λόγον, καὶ τούτῳ πλέον ἐνδιατρίβων. τί οὖν; οὐχ ὁρῶμεν, φησι, καὶ παρὰ τοῖς οἰκείοις πολλοὺς θαυμαζομένους; μάλιστα μὲν οὐκ ἀπὸ τῶν σπανιζόντων τὰ τοιαῦτα δεῖ ψηφίζεσθαι. εἰ δέ τινες ἐν τῇ αὐτῶν ἐτιμήθησαν, πολλῷ μᾶλλον ἐν

τῇ

γρ. ἐπισ

γρ. αὐτοῦ

γρ. ζητοῦν

* ἤγουν τῆς ψυχῆς.

ἴσ. καὶ ὅτι

γρ. νομι

τῇ ἀλλοτρίᾳ. ἡ γὰρ συνήθεια εὐκαταφρονήτους ποιεῖν εἴωθεν.

45 Ὡς δὲ ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

Ὁρᾷς ὅτι οἱ κακιζόμενοι οὗτοι μάλιστα αὐτῷ προσιόντες εὑρίσκονται; ὁ μὲν γὰρ ἔλεγεν, ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; ἄλλος δὲ, ἐρώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται. ταῦτα δὲ καὶ αὐτὸν ὑβρίζοντες ἔλεγον, ἐπειδὴ ἐκ Ναζαρὲτ τοῖς πολλοῖς ἐδόκει εἶναι· καὶ τὸ Σαμαρείτην δὲ εἶναι ὠνείδιζον. Σαμαρείτης γὰρ εἶ, καὶ δαιμόνιον ἔχεις, φησίν. ἀλλ' ἰδοὺ καὶ Σαμαρεῖται καὶ Γαλιλαῖοι πιστεύουσιν εἰς αἰσχύνην τῶν Ἰουδαίων. εὑρίσκονται δὲ καὶ Γαλιλαίων οἱ Σαμαρεῖται βελτίους. ἐκεῖνοι μὲν γὰρ ἀπὸ τοῦ τῆς γυναικὸς ἐδέξαντο ῥήματος· οὗτοι δὲ ἑωρακότες τὰ σημεῖα ἃ ἐποίησεν.

46 Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Ἀναμιμνήσκει τοῦ θαύματος τὸν ἀκροατὴν, τῶν Σαμαρειτῶν τὸ ἐγκώμιον ἐπαίρων. οὗτοι μὲν γὰρ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις, καὶ ἀπὸ τῶν ἐκεῖ γινομένων σημείων ἐδέξαντο αὐτόν· οἱ Σαμαρεῖται δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ διδασκαλίας μόνης. ὅτι μὲν οὖν ἦλθεν ἐκεῖ, εἶπε, τὴν δὲ αἰτίαν οὐ προσέθηκε δι' ἣν ἦλθεν. εἰς μὲν γὰρ τὴν Γαλιλαίαν διὰ τὸν φθόνον τὸν Ἰουδαϊκὸν παρεγένετο· εἰς δὲ τὴν Κανᾶ τίνος ἕνεκεν; παρὰ μὲν γὰρ τὴν ἀρχὴν καλούμενος εἰς γάμον· νῦν δὲ τίνος ἕνεκεν καὶ διὰ τί; ἐμοὶ δοκεῖ, τὴν ἀπὸ τοῦ θαύματος πίστιν ἐγγινομένην ἰσχυροτέραν ποιῶν διὰ τῆς παρουσίας, καὶ μᾶλλον αὐτοὺς ἐφελκόμενος τῷ αὐτόκλητος παραγενέσθαι, καὶ τὴν μὲν ἰδίαν ἀφεῖναι πατρίδα, προτιμῆσαι δὲ ἐκείνους. Ἦν δέ τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ·

47 Οὗτος ἀκούσας ὅτι ἥκει ὁ Ἰησοῦς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἦλθε πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν, ἵνα ἔλθῃ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν·

Ἤτοι τοῦ γένους ὢν τοῦ βασιλικοῦ, ἢ ἀξίωμά τι ἀρχῆς ἕτερον οὕτω καλούμενον ἔχων. τινὲς μὲν οὖν τοῦτον ἐκεῖνον νομίζουσιν εἶναι τὸν παρὰ τῷ Ματθαίῳ· δείκνυται δὲ ἕτερος ὢν παρ' ἐκεῖνον, οὐκ ἀπὸ τοῦ ἀξιώματος μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πίστεως. ἐκεῖνος μὲν γὰρ καὶ βουλόμενον τὸν Χριστὸν ἐλθεῖν ἀξιοῖ μένειν· οὗτος δὲ καὶ μηδὲν τοιοῦτον ἐπαγγειλάμενον, εἰς τὴν οἰκίαν ἕλκει. κἀκεῖνος μέν φησιν, οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· οὗτος δὲ καὶ ἐπείγει, λέγων, κατάβηθι πρὶν ἢ ἀποθανεῖν τὸν υἱόν μου. κἀκεῖ μὲν ἀπὸ τοῦ ὄρους καταβὰς, εἰς Καπερναοὺμ εἰσῄει· ἐνταῦθα δὲ ἀπὸ τῆς Σαμαρείας, καὶ οὐκ εἰς Καπερναοὺμ, ἀλλ' εἰς Κανᾶ ἐλθόντος, παρεγένετο οὗτος. κἀκείνου μὲν ὁ παῖς παρέσει κατείχετο· ὁ δὲ τούτου υἱὸς πυρετῷ. καὶ ἐλθὼν ἠρώτα, ἵνα ἰάσηται αὐτοῦ τὸν υἱόν. Ἤμελλε γὰρ ἀποθνήσκειν. Τί οὖν ὁ Χριστός;

48 Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, φησὶν, οὐ μὴ πιστεύσητε. Καὶ μὴν τοῦτο πίστεως ἦν, καὶ τὸ ἐλθεῖν καὶ τὸ παρακαλέσαι· καὶ μετὰ ταῦτα δὲ αὐτῷ μαρτυρεῖ ὁ εὐαγγελιστὴς λέγων, ὅτι εἰπόντος τοῦ Ἰησοῦ, πορεύου, ὁ υἱός σου ζῇ, ἐπίστευσε τῷ λόγῳ αὐτοῦ, καὶ ἐπορεύετο. τί οὖν ἐστιν ὅ φησιν ἐνταῦθα; ἤτοι τοὺς Σαμαρείτας θαυμάζων ἔλεγε ταῦτα, ὅτι σημείων χωρὶς ἐπίστευσαν, ἢ τῆς δοκούσης αὐτοῦ πόλεως εἶναι καθαπτόμενος τῆς Καπερναούμ, ἀφ' ἧς οὗτος ἦν. ἐπεὶ καὶ ἕτερός τις ἐν τῷ Λουκᾷ λέγων, πιστεύω κύριε· βοήθει μου τῇ ἀπιστίᾳ, ἔλεγε πάλιν. ὥστε εἰ καὶ οὗτος ἐπίστευσεν, ἀλλ' οὐχ ὁλοκλήρως, οὐδὲ ὑγιῶς· καὶ τοῦτο δῆλον ἐκ τοῦ πυνθάνεσθαι ποίᾳ ὥρᾳ ἀφῆκεν αὐτὸν ὁ πυρετός. ἐβούλετο γὰρ μαθεῖν, εἴτε αὐτομάτως, εἴτε ἐκ τῆς ἐπιταγῆς τοῦ Χριστοῦ τοῦτο γέγονεν. ὡς οὖν ἔγνω ὅτι χθὲς ὥρᾳ ἑβδόμῃ, ἐπίστευσε καὶ αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. ὁρᾷς ὅτι τότε ἐπίστευσεν, ὅτε οἱ παῖδες εἶπον, οὐχ ὅτε ὁ Χριστός; τὴν διάνοιαν τοίνυν ἐλέγχει αὐτοῦ, μεθ' ἧς προσελθὼν, ταῦτα ἔλεγεν (οὕτω γὰρ μᾶλλον καὶ εἰς πίστιν αὐτὸν ἐφείλκετο) πρὸ γὰρ τοῦ σημείου οὐ σφόδρα ἦν πεπιστευκώς.

κῶς. Εἰ δὲ καὶ ἦλθε καὶ παρεκάλεσεν, οὐδὲν θαυμαστόν. Εἰώθασι γὰρ οἱ πατέρες ὑπὸ πολλῆς" φιλίας, οὐ μόνον οἷς θαῤῥοῦσιν ἰατροῖς προσιέναι, ἀλλὰ καὶ οἷς μὴ θαῤῥοῦσι διαλέγεσθαι, μηδὲν ὅλως παραλιπεῖν βουλόμενοι. ἐπεὶ ὅτι ἐκ παρέργου προσῆλθεν, ὅτε ἦλθεν εἰς τὴν Γαλιλαίαν, τότε αὐτὸν εἶδεν· ὡς εἴγε ἦν σφόδρα αὐτῷ πεπιστευκὼς, οὐκ ἂν ὤκνησε, τοῦ παιδὸς μέλλοντος τελευτᾶν, εἰς τὴν Ἰουδαίαν ἐλθεῖν. Εἰ δὲ ἐδεδοίκει, οὐδὲ τοῦτο ἀνεκτόν. ὅρα γοῦν καὶ αὐτὰ τὰ ῥήματα πῶς ἐμφαίνει τὴν ἀσθένειαν τοῦ ἀνδρός. δέον γὰρ, εἰ καὶ μὴ πρότερον, ἀλλ' ὅμως μετὰ τὸ τὴν διάνοιαν ἐλέγξαι μέγα τι φαντασθῆναι περὶ αὐτοῦ, ἄκουσον πῶς ἔτι χαμαὶ σύρεται.

γρ. φιλοστοργίας.

49 Κατάβηθι γὰρ, φησὶ, πρὶν ἢ ἀποθανεῖν τὸ παιδίον μου. Ὡς οὐ δυναμένου μετὰ τὸν θάνατον αὐτὸν ἀναστῆσαι, καὶ ὡς οὐκ εἰδότος ἐν οἷς τὰ τοῦ παιδίου πράγματα ἕστηκε. διὰ τοῦτο αὐτὸν ἐλέγχει, καὶ τοῦ συνειδότος καθάπτεται, δεικνὺς, ὅτι τὰ σημεῖα προηγουμένως τῆς ψυχῆς ἕνεκεν ἐγίνετο. ἐνταῦθα γὰρ οὐχ ἧττον τοῦ παιδὸς τὸν πατέρα ἀσθενοῦντα περὶ τὴν διάνοιαν θεραπεύει, πείθων ἡμᾶς μὴ ἀπὸ σημείων, ἀλλ' ἀπὸ διδασκαλίας προσέχειν αὐτῷ. τὰ γὰρ σημεῖα οὐ τοῖς πιστοῖς, ἀλλὰ τοῖς ἀπίστοις καὶ παχυτέροις. τότε μὲν οὖν ὑπὸ τοῦ πάθους οὐ σφόδρα προσεῖχε τοῖς λεγομένοις, " ἢ μόνοις τοῖς περὶ τοῦ παιδός· ὕστερον δὲ ἤμελλε τὸ λεχθὲν ἀναλαμβάνειν, καὶ τὰ μέγιστα κἀντεῦθεν κερδαίνειν· ὃ δὴ καὶ γέγονε. τί δήποτε δὲ ἐπὶ μὲν τοῦ ἑκατοντάρχου, αὐτεπάγγελτος ὑπέσχετο παραγίνεσθαι· ἐνταῦθα δὲ οὐδὲ καλούμενος ἄπεισιν; ὅτι ἐκεῖ μὲν ἡ πίστις ἀπήρτιστο. διὸ καὶ ὑπέσχετο ἀπιέναι, ἵνα μάθωμεν τοῦ ἀνδρὸς τὴν εὐγνωμοσύνην· ἐνταῦθα δὲ οὗτος ἀτελὴς ἦν. ἐπεὶ οὖν ἄνω καὶ κάτω ἤπειγεν αὐτὸν λέγων, κατάβηθι, καὶ οὔπω ᾔδει σαφῶς ὅτι καὶ ἀπὼν θεραπεῦσαι δύναται, δείκνυσιν ὅτι καὶ τοῦτο δυνατὸν αὐτῷ· ἵν', ὅπερ οἴκοθεν ὁ ἑκατόνταρχος ἔγνω, τοῦτο οὗτος ἐκ τοῦ μὴ παραγενέσθαι τὸν Ἰησοῦν μάθῃ. ὅταν οὖν εἴπῃ, ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε, τοῦτο λέγει, ὅτι τὴν προσήκουσαν πίστιν οὐδέπω ἔχετε, ἀλλ' ἔτι ὡς περὶ προφήτου διάκεισθε. ἐκκαλύπτων οὖν ἑαυτὸν, καὶ δεικνὺς ὅτι χωρὶς σημείων ἔδει πιστευθῆναι αὐτόν, ἔλεγεν ἅπερ καὶ τῷ Φιλίππῳ· πιστεύεις ὅτι ἐν ἐμοὶ ὁ πατὴρ, κἀγὼ ἐν τῷ πατρί; εἰ δὲ μὴ, διὰ τὰ ἔργα πιστεύετέ μοι.

γρ. περὶ τοῦ παιδὸς δὲ τοῖς γινομένοις μόνοις ἀπαίτει·

51 Ηδη δὲ αὐτοῦ καταβαίνοντος, ἀπήντησαν οἱ δοῦλοι αὐτοῦ λέγοντες, ὅτι ὁ παῖς σου ζῇ.

52 Επυνθάνετο οὖν παρ' αὐτῶν τὴν ὥραν, ἐν ᾗ κομψότερον ἔσχε. καὶ εἶπον αὐτῷ, ὅτι χθὲς ὥρᾳ ἑβδόμῃ ἀφῆκεν αὐτὸν ὁ πυρετός.

53 Εγνω οὖν ὁ πατὴρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι ὁ παῖς σου ζῇ. καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

Ορᾷς πῶς τὸ θαῦμα δῆλον ἐγένετο; οὐ γὰρ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν ἀπηλλάγη τοῦ κινδύνου, ἀλλ' ἀθρόον, ὡς φαίνεσθαι μηκέτι φύσεως ἀκολουθίαν εἶναι τὸ γινόμενον, ἀλλὰ τῆς ἐνεργείας τοῦ Χριστοῦ. πρὸς γὰρ αὐτὰς ἐλθὼν τοῦ θανάτου τὰς πύλας, ὡς καὶ ὁ πατὴρ ἐδήλωσεν εἰπὼν, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου, ἀθρόον ἀπηλλάγη τῆς νόσου· ὅπερ οὖν καὶ τοὺς οἰκέτας" διανέστησεν. ἐκεῖνοι μὲν γὰρ ἴσως, οὐχ ὡς εὐαγγελιζόμενοι μόνον, ἀλλὰ καὶ ὡς περιττὴν λοιπὸν τοῦ Ἰησοῦ τὴν παρουσίαν εἶναι νομίσαντες, ἀπήντησαν. καὶ γὰρ ᾔδεσαν ἐκεῖνοι παραγινόμενον· ὅθεν καὶ κατ' αὐτὴν αὐτῷ τὴν ὁδὸν περιέτυχον. ὁ δὲ ἄνθρωπος ἀνεθεὶς τοῦ φόβου, λοιπὸν πρὸς τὴν πίστιν διέκυψε, θέλων δεῖξαι ὅτι τῆς ὁδοῦ αὐτοῦ τὸ ἔργον γέγονε, καὶ φιλοτιμεῖται λοιπὸν ὥστε μὴ δόξαι εἰκῆ διεγηγέρθαι. ὅθεν μετὰ ἀκριβείας πάντα ἐμάνθανε, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. καὶ γὰρ ἦν ἀναμφισβήτητος ἡ μαρτυρία λοιπόν. οἱ γὰρ μὴ παρόντες μηδὲ ἀκούσαντες τοῦ Χριστοῦ διαλεγομένου, μηδὲ τὸν καιρὸν εἰδότες, οὗτοι παρὰ τοῦ δεσπότου μαθόντες, ὅτι οὗτος ἦν ὁ καιρὸς, ἀναμφισβήτητοι ἔσχον τὴν ἀπόδειξιν τῆς δυνάμεως αὐτοῦ. διὰ τοῦτο καὶ αὐτοὶ ἐπίστευσαν.

γρ. οἰκίαν.

ΗΘΙΚΟΝ

Τί τοίνυν ἀπὸ τούτων παιδευόμεθα; μὴ θαύματα περιμένειν, μηδὲ ἐνέχυρα ζητεῖν τῆς τοῦ Θεοῦ δυνάμεως. ὁρῶ γὰρ καὶ νῦν πολλοὺς τότε εὐλαβεστέρους γινομένους, ὅταν ἢ τοῦ παιδὸς κακουμένου, ἢ γυναικὸς ἀῤῥωστούσης, παραμυθίας τινὸς ἀπολαύσωσι. χρὴ δὲ καὶ μὴ τυγχάνοντας παραμυθίας ὁμοίως εὐχαριστοῦντας, δοξάζοντας. τοῦτο γὰρ οἰκετῶν εὐγνωμόνων ἐστὶ, τοῦτο στεργόντων καὶ φιλούντων, ὡς χρὴ, τὸν δεσπότην, μὴ μόνον ἀνιεμένους, ἀλλὰ καὶ μαστιζομένους προστρέχειν αὐτῷ. καὶ γὰρ καὶ ταῦτα τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργα. ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. ὅταν δὲ ἐν ἀνέσει τις αὐτὸν θεραπεύῃ μόνον, οὐ πολλῆς ἐπιδείκνυται ἀγάπης σημεῖα, οὐδὲ καθαρῶς φιλεῖ τὸν Χριστόν. καὶ τί λέγω ὑγείαν καὶ χρημάτων ἀφθονίαν, ἢ πενίαν, ἢ νόσον; κἂν γὰρ γέενναν ἀκούσῃς, κἂν ἕτερον χαλεπὸν, οὐδὲ οὕτως ἀφίστασθαι χρὴ τῆς περὶ τὸν δεσπότην εὐφημίας, ἀλλὰ πάντα παθεῖν καὶ πράττειν ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης. τοῦτο γὰρ οἰκετῶν εὐγνωμόνων, καὶ ψυχῆς ἀκλινοῦς· καὶ ὁ τοῦτον διακείμενος τὸν τρόπον, καὶ τὰ παρόντα οἴσει ῥᾳδίως, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν, καὶ πολλῆς ἀπολαύσεται παρρησίας παρὰ τῷ Θεῷ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. λϛ. 54 ΤΟΥΤΟ ΠΑΛΙΝ ΔΕΥΤΕΡΟΝ ΣΗΜΕΙΟΝ ἐποίησεν ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

1 Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. χζ ε.

ΚΑθάπερ ἐν τοῖς μετάλλοις τοῦ χρυσίου, οὐδὲ τὴν βραχυτάτην φλέβα παριδεῖν ἄν τις ἀνάσχοιτο τῶν περὶ ταῦτα δεινῶν, ἅτε πολὺν ἐργαζομένην πλοῦτον· οὕτω καὶ ἐν ταῖς θείαις γραφαῖς ἰῶτα ἓν, ἢ μίαν κεραίαν οὐκ ἀζήμιον παραδραμεῖν, ἀλλὰ πάντα διερευνᾶσθαι χρή. πνεύματι γὰρ ἁγίῳ πάντα εἴρηται, καὶ οὐδὲν περιέλκον ἐν αὐταῖς [γέγραπται]. σκόπει γοῦν καὶ ἐνταῦθα τί φησιν ὁ εὐαγγελιστής. τοῦτο πάλιν δεύτερον ἐπίησε σημεῖον ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. οὐδὲ γὰρ τὸ δεύτερον ἁπλῶς προσέθηκεν, ἀλλ' ἔτι τὸ θαῦμα τῶν Σαμαρειτῶν ἐπαίρει, δεικνὺς, ὅτι καὶ δευτέρου σημείου γενομένου, οὐδέπω πρὸς τὸ ὕψος ἐκείνων ἔφθασαν τῶν οὐδὲν ἑωρακότων οὗτοι οἱ τεθεαμένοι. μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων. ποία ἑορτή; ἐμοὶ δοκεῖ ἡ τῆς πεντηκοστῆς. καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. Συνεχῶς ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τῇ πόλει, τοῦτο μὲν ἵνα δόξῃ μετ' αὐτῶν ἑορτάζειν· τοῦτο δὲ, ἵνα τὸ πλῆθος ἐπισπάσηται τὸ ἄδολον. μάλιστα γὰρ ἐν ταῖς ἡμέραις ταύταις οἱ ἀφελέστεροι διακείμενοι συνέτρεχον.

2 Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις προβατικὴ κολυμβήθρα, ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα.

3 Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ χωλῶν, τυφλῶν, ξηρῶν ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Τίς ὁ τῆς θεραπείας τρόπος ἐστί; ποῖον ἡμῖν μυστήριον αἰνίττεται; οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ ταῦτα ἀναγέγραπται, ἀλλὰ τὰ μέλλοντα ἡμῖν ὡς ἐν εἰκόνι καὶ τύπῳ ὑπογράφει· ὥστε μὴ τὸ σφόδρα παράδοξον, ἀπροσδόκητον παραγινόμενον, λυμήνασθαι παρὰ τοῖς πολλοῖς, τῇ τῆς πίστεως δυνάμει. τί οὖν ἐστιν ὃ ὑπογράφει; ἔμελλε βάπτισμα δίδοσθαι, πολλὴν δύναμιν ἔχον καὶ δωρεὰν μεγίστην· βάπτισμα, πάσας ἁμαρτίας καθαῖρον, καὶ ἀντὶ νεκρῶν ζῶντας ποιοῦν. καθάπερ οὖν ἐν εἰκόνι προγράφεται

ταῦτα τῇ κολυμβήθρᾳ καὶ ἑτέροις πλείοσι. καὶ πρῶτον μὲν δίδοται ὕδωρ καθαῖρον σωμάτων κηλῖδας, καὶ μολυσμοὺς οὐκ ὄντας, ἀλλὰ δοκοῦντας εἶναι, οἷον τοὺς ἀπὸ κηδείας, τοὺς ἀπὸ λέπρας, τοὺς ἀπὸ τοιούτων ἑτέρων· καὶ πολλὰ ἄν τις ἴδοι δι᾽ ὕδατος γινόμενα ἐπὶ τῆς παλαιᾶς ταύτης ἕνεκεν τῆς προφάσεως. πλὴν ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἴωμεν νῦν. πρῶτον μὲν οὖν, ὡς ἔφθην εἰπὼν, μολυσμοὺς σωμάτων, ἔπειτα δὲ καὶ ἀρρωστήματα διάφορα δι᾽ ὕδατος ποιεῖ λύεσθαι. βουλόμενος γὰρ ἡμᾶς ὁ Θεὸς ἐγγύτερον ἀγαγεῖν τῆς τοῦ βαπτίσματος πίστεως, οὐκέτι μολυσμοὺς ἁπλῶς μόνον, ἀλλὰ καὶ νόσους ἰᾶται. αἱ γὰρ ἐγγύτεραι τῆς ἀληθείας εἰκόνες καὶ ἐπὶ τοῦ βαπτίσματος, καὶ ἐπὶ τοῦ πάθους, καὶ ἐπὶ τῶν ἄλλων τρανότεραι τῶν ἀρχαιοτέρων ἦσαν. καθάπερ γὰρ οἱ τοῦ βασιλέως ἐγγὺς τῶν ἔμπροσθεν εἰσὶ λαμπρότεροι δορυφόρων, οὕτω δὴ καὶ ἐπὶ τῶν τύπων ἐγίνετο. καὶ ἄγγελος καταβαίνων ἐτάραττε τὸ ὕδωρ, καὶ ἰατικὴν ἐνετίθει δύναμιν· ἵνα μάθωσιν Ἰουδαῖοι, ὅτι πολλῷ μᾶλλον ὁ τῶν ἀγγέλων δεσπότης πάντα τὰ νοσήματα τῆς ψυχῆς ἰάσασθαι δύναται. ἀλλ᾽ ὥσπερ ἐνταῦθα οὐχ ἁπλῶς ἰᾶτο τῶν ὑδάτων ἡ φύσις (ἦν γὰρ ἂν διαπαντὸς τοῦτο ἐγίνετο) ἀλλ᾽ ἐπὶ τῇ τοῦ ἀγγέλου ἐνεργείᾳ· οὕτω καὶ ἐφ᾽ ἡμῶν οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ᾽ ὅταν τὴν τοῦ πνεύματος δέξηται χάριν, τότε ἅπαντα λύει τὰ ἁμαρτήματα. περὶ ταύτην τὴν κολυμβήθραν κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. ἀλλὰ τότε μὲν ἡ ἀσθένεια κώλυμα τῷ βουλομένῳ θεραπευθῆναι ἐγίνετο· νῦν δὲ κύριος ἕκαστός ἐστι προσελθεῖν. οὐ γὰρ ἄγγελός ἐστιν ὁ ταράττων, ἀλλ᾽ ὁ τῶν ἀγγέλων δεσπότης ὁ τὸ πᾶν ἐργαζόμενος. καὶ οὐκ ἔστιν εἰπεῖν νῦν τὸν κάμνοντα, ἄνθρωπον οὐκ ἔχω· οὐκ ἔστιν εἰπεῖν, ἐν ᾧ ἔρχομαι κατελθεῖν, ἄλλος πρὸ ἐμοῦ καταβαίνει· ἀλλὰ, κἂν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐκ ἀναλίσκεται, οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ᾽ ὁμοία μένει καὶ τοιαύτη, οἵα καὶ πρὸ τούτου. καὶ καθάπερ αἱ ἡλιακαὶ ἀκτῖνες καθ᾽ ἑκάστην φωτίζουσι τὴν ἡμέραν, καὶ οὐ δαπανῶνται, οὐδὲ ἀπὸ τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τὸ φῶς· οὕτω, καὶ πολλῷ μᾶλλον ἡ τοῦ πνεύματος ἐνέργεια οὐδὲν ἐλαττοῦται παρὰ τὸ πλῆθος τῶν ἀπολαυόντων αὐτῆς. τοῦτο δὲ ἐγίνετο, ἵνα οἱ μαθόντες ὅτι ἐν ὕδατι νοσήματα σώματος ἔνι θεραπεῦσαι, καὶ τούτῳ πολὺν ἐγγυμνασθέντες χρόνον, ῥᾳδίως πιστεύσωσιν, ὅτι καὶ νοσήματα ψυχῆς ἰᾶσθαι δύναται. καὶ τί δήποτε πάντας ἀφεὶς ὁ Ἰησοῦς, ἐπὶ τὸν τριακονταοκτὼ ἔτη ἔχοντα ἦλθε; τί δὲ καὶ ἐρωτᾷ, θέλεις ὑγιὴς γενέσθαι; οὐχ ἵνα μάθῃ (τοῦτο γὰρ περιττὸν ἦν) ἀλλ᾽ ἵνα δείξῃ τούτου τὴν καρτερίαν, καὶ ἵνα γνῶμεν ὅτι διὰ τοῦτο τοὺς ἄλλους ἀφεὶς ἐπὶ τοῦτον ἦλθε. τί οὖν ἐκεῖνος;

Ναὶ Κύριε, φησιν, ἄνθρωπον δὲ οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. ἐν ᾧ γὰρ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει·

Διὰ τοῦτο ἠρώτησε· θέλεις ὑγιὴς γενέσθαι; ἵνα ταῦτα μάθωμεν. καὶ οὐκ εἶπε, θέλεις σε θεραπεύσω; (οὐδὲν γὰρ οὐδέπω μέγα ἐφαντάζετο περὶ αὐτοῦ) ἀλλὰ, θέλεις ὑγιὴς γενέσθαι; ἐκπληκτικὴ ἡ καρτερία τοῦ παραλυτοῦ. ἔτη τριακονταοκτὼ εἶχε, καὶ καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος προσδοκῶν, προσήδρευέ τε καὶ οὐκ ἀφίστατο. εἰ γὰρ μὴ τὰ παρελθόντα, τὰ γοῦν μέλλοντα οὐχ ἱκανὰ ἦν αὐτὸν, εἰ μὴ καρτερικὸς ἦν, ἀπαγαγεῖν τοῦ τόπου; ἐννόησον δέ μοι πῶς εἰκὸς ἦν ἐκεῖνον καὶ τοὺς λοιποὺς τοὺς κάμνοντας νήφειν. οὐδὲ γὰρ δῆλος ἦν ὁ καιρὸς καθ᾽ ὃν ἐτινάσσετο τὸ ὕδωρ· ἀλλ᾽ οἱ μὲν χωλοὶ καὶ κυλλοὶ ἠδύναντο παρατηρεῖν· οἱ δὲ τυφλοὶ πῶς ἑώρων; ἀπὸ τοῦ γινομένου θορύβου τοῦτο ἴσως ἐμάνθανον.

ΗΘΙΚΟΝ

Αἰσχυνθῶμεν τοίνυν, αἰσχυνθῶμεν, ἀγαπητοὶ, καὶ στενάξωμεν ἐπὶ τῇ πολλῇ ῥᾳθυμίᾳ. τριακονταοκτὼ ἔτη εἶχε προσεδρεύων ἐκεῖνος, καὶ οὐκ ἐτύγχανεν ὧν ἐβούλετο, καὶ οὐκ ἀφίστατο· καὶ οὐκ ἐτύγχανεν, οὐ παρὰ τὴν οἰκείαν ἀμέλειαν, ἀλλ᾽ ἐπηρεαζόμενος παρ᾽ ἑτέρων, καὶ βίαν πάσχων, καὶ οὐδὲ οὕτως ἐνάρκα· ἡμεῖς δὲ ἐὰν δέκα ἡμέρας προσεδρεύσωμεν σπουδαίως ὑπέρ τινος παρακαλοῦντες καὶ μὴ τύχωμεν, ὀκνοῦμεν λοιπὸν τῇ αὐτῇ κεχρῆσθαι σπουδῇ. Καὶ ἀνθρώποις μὲν τοσοῦτον παρεδρεύομεν χρόνον, στρατευόμενοι καὶ ταλαιπωρούμενοι καὶ διακονοῦντες δουλοπρεπεῖς διακονίας, καὶ πρὸς τῷ τέλει πολλάκις καὶ αὐτῆς τῆς ἐλπίδος ἐκπίπτοντες· τῷ δὲ δεσπότῃ τῷ ἡμετέρῳ, ἔνθα πάντως ἐστὶν ἀπολαβεῖν τὴν ἀμοιβὴν πολλῷ μείζω τῶν πόνων (Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει, φησὶν) οὐ καρτεροῦμεν προσεδρεῦσαι μετὰ τῆς προσηκούσης σπουδῆς. καὶ πόσης ταῦτα κολάσεως ἄξια; Εἰ γὰρ καὶ μηδὲν λαβεῖν ἦν, αὐτὸ τοῦτο τὸ συνεχῶς αὐτῷ διαλέγεσθαι, οὐχὶ μυρίων αἴτιον ἀγαθῶν ἄξιον ἦν ἡγεῖσθαι; ἀλλ' ἐπίπονον ἡ διηνεκὴς εὐχή· καὶ τί οὐκ ἐπίπονον τῶν τῆς ἀρετῆς; αὐτὸ" γοῦν τοῦτό, φησι, πολλῆς ἀπορίας ἀνάμεστον, ὅτι τῇ μὲν κακίᾳ ἡδονὴ, τῇ δὲ ἀρετῇ συγκεκλήρωται πόνος." καὶ πολλοὺς οἶμαι τοῦτο ζητεῖν. τί δήποτ' οὖν ἐστι τὸ αἴτιον; ἔδωκεν ἡμῖν ἐξ ἀρχῆς ὁ Θεὸς ἐλεύθερον φροντίδων βίον καὶ πόνων ἀπηλλαγμένον. οὐκ ἐχρησάμεθα εἰς δέον τῷ δώρῳ, ἀλλὰ διεστράφημεν ὑπὸ τῆς ἀργίας, καὶ ἐξεπέσαμεν τοῦ παραδείσου· διὰ τοῦτο ἐπίπονον ἐποίησεν ἡμῖν τὴν ζωὴν λοιπὸν, ὥσπερ ἀπολογούμενος τῷ γένει τῶν ἀνθρώπων, καὶ λέγων, ἔδωκα τρυφᾶν ὑμῖν ἐξ ἀρχῆς, ἀλλ' ἐγένεσθε χείρους τῇ ἀνέσει·" διὰ τοῦτο ἐκέλευσα λοιπὸν πόνους ὑμῖν ἐπιτεθῆναι καὶ ἱδρῶτας. ἐπεὶ δὲ οὐδὲ ἐκεῖνος κατεῖχεν ὁ πόνος, ἔδωκε πάλιν νόμον πολλὰς ἔχοντα ἐντολὰς, καθάπερ τινὶ ἵππῳ δυσηνίῳ ψάλια καὶ πέδας ἐπιτιθεὶς, ὥστε αὐτοῦ τὰ σκιρτήματα ἐπέχειν· οὕτω καὶ οἱ πωλοδάμναι ποιοῦσι. διὰ τοῦτο ἐπίπονος ὁ βίος, ἐπειδὴ τὸ μὴ πονεῖν διαφθείρειν εἴωθεν ἡμᾶς. ἡ γὰρ φύσις ἡμῶν ἀργεῖν οὐκ ἀνέχεται, ἀλλὰ πρὸς κακίαν ἀποκλίνει ῥᾳδίως. θῶμεν γὰρ μὴ δεῖσθαι πόνων τὸν σωφρονοῦντα, μηδὲ τὸν τὴν ἄλλην ἀρετὴν κατορθοῦντα, ἀλλὰ καθεύδοντας πάντα ἀνύειν· ποῦ ἂν ἐχρησάμεθα τῇ ἀνέσει; ἆρα οὐκ ἂν πρὸς ἀπόνοιαν καὶ ἀλαζονείαν; ἀλλὰ διατί, φησι, πολλὴ μὲν ἡ ἡδονὴ τῇ κακίᾳ, πολὺς δὲ τῇ ἀρετῇ συνέζευκται ὁ πόνος καὶ ὁ ἱδρώς; καὶ ποία σοι χάρις ἂν ἦν, τίνος δ' ἂν ἔλαβες μισθὸν, εἰ μὴ ἐπίπονον τὸ πρᾶγμα ἦν; καὶ γὰρ νῦν πολλοὺς ἔχω δεῖξαι φύσει τὸ μίγνυσθαι γυναιξὶ μισοῦντας, καὶ φεύγοντας ὡς βδελυρὰν τὴν πρὸς ἐκείνας ὁμιλίαν· τούτους οὖν σώφρονας καλέσομεν ἢ στεφανώσομεν, εἰπέ μοι, καὶ ἀνακηρύξομεν; οὐδαμῶς. σωφροσύνη γάρ ἐστιν, ἐγκράτεια, καὶ τὸ μαχομένων περιγενέσθαι τῶν ἡδονῶν. καὶ ἐν τοῖς πολέμοις δὲ ὅταν σφοδροὶ ὦσιν οἱ ἀγῶνες, τότε τὰ τρόπαια λαμπρότερα γίνονται, οὐχ ὅταν μηδεὶς ἀνταίρῃ τὰς χεῖρας. Εἰσὶ πολλοὶ καὶ νωθεῖς ἀπὸ φύσεως. τούτους οὖν ἐπιεικεῖς προσεροῦμεν; οὐδαμῶς. διὰ τοῦτο καὶ ὁ Κύριος τρεῖς τρόπους εὐνουχισμοῦ λέγων, τοὺς μὲν δύο ἀφίησιν ἀστεφανώτους, τὸν δὲ ἕνα εἰς τὴν βασιλείαν" εἰσάγει. καὶ τί ἔδει κακίας, φησί; καὶ ἐγὼ τοῦτό φημι. τίς οὖν ὁ τῆς κακίας δημιουργός; τίς δὲ ἄλλος, ἀλλ' ἢ ἡ ῥαθυμία τῆς προαιρέσεως; ἀλλ' ἔδει, φησὶν, ἀγαθοὺς εἶναι μόνους. καὶ τί ἴδιον ἀγαθοῦ, νήφειν καὶ ἐγρηγορέναι, ἢ καθεύδειν καὶ ῥέγχειν; καὶ διατί, φησι, μὴ τοῦτο" ἐδόκει εἶναι ἀγαθὸν, τὸ μὴ πονοῦντα κατορθοῦν; βοσκημάτων μοι ῥήματα λέγεις καὶ γαστριζομένων καὶ Θεὸν τὴν κοιλίαν ἡγουμένων. ὅτι γὰρ νωθείας ταῦτα τὰ ῥήματα, ἀπόκριναί μοι· εἰ βασιλέως ὄντος καὶ στρατηγοῦ, εἶτα τοῦ βασιλέως καθεύδοντος καὶ μεθύοντος, ταλαιπωρούμενος ὁ στρατηγὸς τὰ τρόπαια ἔστησε· τίνι ἂν ἐλογίσω τὴν νίκην; τίς δὲ ἐκαρπώσατο τῶν γινομένων τὴν ἡδονήν; ὁρᾷς ὅτι πρὸς ἐκεῖνα μᾶλλον ἡ ψυχὴ διάκειται, ὑπὲρ ὧν ἔκαμε; διὰ τοῦτο καὶ πόνους ἀνέμιξεν ἀρετῇ, οἰκειῶσαι αὐτῇ ταύτην βουλόμενος. διὰ δὴ τοῦτο τὴν μὲν ἀρετὴν κἂν μὴ κατορθώσωμεν, θαυμάζομεν· τῆς δὲ κακίας καὶ ἡδίστης οὔσης καταγινώσκομεν. εἰ δὲ λέγεις, διατί τοὺς φύσει καλοὺς μὴ θαυμάζομεν μᾶλλον τῶν προαιρέσει τοιούτων ὄντων; ὅτι δίκαιον τὸν πονοῦντα τοῦ μὴ πονοῦντος προτιθέναι. τίνος γὰρ ἕνεκεν πονοῦμεν; ἐπειδὴ τὸ μὴ πονεῖν οὐκ ἤνεγκας μετρίως. μᾶλλον δὲ εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, καὶ ἄλλως ἡ ἀργία διαφθείρειν ἡμᾶς εἴωθε, καὶ πολὺν παρέχειν τὸν πόνον. Καὶ, εἰ βούλει, συγκλείσωμεν ἄνδρα, τρέφοντες αὐτὸν μόνον καὶ γαστρίζοντες, μηδὲ βαδίζειν αὐτὸν ἐῶντες, μηδὲ εἰς ἔργον ἐξάγοντες, ἀλλ' ἀπολαυέτω τραπέζης καὶ κλίνης, καὶ τρυφάτω διηνεκῶς· τί ταύτης τῆς ζωῆς ἀθλιώτερον γένοιτ' ἄν; ἀλλ' ἕτερον τὸ ἐργάζεσθαι, φησίν, ἕτερον τὸ πονεῖν. " ἀλλ' ἦν τότε ἐργάζεσθαι χωρὶς πόνων. καὶ ἔνι, φησί, νῦν; ναὶ ἔνι. τοῦτο καὶ ὁ Θεὸς ἠθέλησεν, ἀλλ' οὐκ ἠνέσχου. ἔθηκε γοῦν σε ἐργάζεσθαι τὸν παράδεισον, ἐργασίαν μὲν ὁρίσας, πόνον δὲ οὐκ ἀναμίξας. οὐ γὰρ ἂν εἴπερ ἐπόνει παρὰ τὴν ἀρχὴν ὁ ἄνθρωπος, τοῦτο ἐν ἐπιτιμίου μέρει μετὰ ταῦτα ἔθηκεν. ἔστι γὰρ καὶ ἐργάζεσθαι καὶ μὴ ταλαιπωρεῖσθαι, ὥσπερ οἱ ἄγγελοι. ὅτι γὰρ ἐργάζονται, ἄκουσον τί φησι· Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. νῦν μὲν γὰρ ἡ τῆς ἰσχύος ἔνδεια πολὺν τὸν πόνον ποιεῖ· τότε δὲ οὐκέτι τοῦτο ἦν. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, κατέπαυσε, φησίν, ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός· οὐκ ἀργίαν λέγων ἐνταῦθα, ἀλλὰ τὸ μὴ πονεῖν. ὁ γὰρ Θεὸς ἔτι καὶ νῦν ἐργάζεται, καθὼς ὁ Χριστός φησιν· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. διὰ τοῦτο παραινῶ πάντα ἀποθεμένους τὰ τῆς ὀλιγωρίας, ζηλοῦν τὴν ἀρετήν. τῆς μὲν γὰρ κακίας ἡ ἡδονὴ βραχεῖα, ἡ δὲ λύπη διηνεκής· τῆς δὲ ἀρετῆς τοὐναντίον, ἀγήρως ἡ χαρά, καὶ πρόσκαιρος ὁ πόνος. κἀκείνη μὲν καὶ πρὸ τῶν στεφάνων τὸν ἐργάτην ἀνίησι τὸν ἑαυτῆς, ταῖς ἐλπίσι τρέφουσα· αὕτη δὲ καὶ πρὸ τῆς κολάσεως τιμωρεῖται τὸν ἑαυτῆς ἐργάτην, τὸ συνειδὸς ἄγχουσα καὶ ἐκδειματοῦσα, καὶ πάντα ὑποπτεύειν παρασκευάζουσα. καίτοι πόσων ταῦτα πόνων, πόσων ἱδρώτων χείρονα; εἰ δὲ μὴ ταῦτα ἦν, ἡδονὴ δὲ ἦν, τί τῆς ἡδονῆς ἐκείνης εὐτελέστερον; ὁμοῦ τε γὰρ φαίνεται καὶ ἀφίπταται μαραινομένη, καὶ φεύγουσα πρὸ τοῦ καταληφθῆναι, κἂν τὴν τῶν σωμάτων λέγῃς, κἂν τὴν τῆς τρυφῆς, κἂν τὴν τῶν χρημάτων. οὐ παύονται γὰρ καθ' ἡμέραν γηρῶσαι. ὅταν δὲ καὶ κόλασις ᾖ καὶ τιμωρία, τί γένοιτ' ἂν ἀθλιώτερον τῶν ταύτην μετιόντων; ταῦτα οὖν εἰδότες, ἅπαντα ὑπὲρ τῆς ἀρετῆς ὑπομένωμεν. οὕτω γὰρ τῆς ἀληθοῦς ἡδονῆς ἀπολαυσόμεθα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ρβ. κ.

Ὁμιλ. λζ. 6 ΛΕΓΕΙ ΑΥΤΩ Ο ΙΗΣΟΥΣ, ΘΕΛΕΙΣ ΥΓΙΗΣ γενέσθαι; 7 Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· ναὶ Κύριε· ἄνθρωπον δὲ οὐκ ἔχω, ἵν', ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν.

Μέγα τῶν θείων γραφῶν τὸ κέρδος, καὶ διαρκὴς ἡ ἐξ αὐτῶν ὠφέλεια. καὶ τοῦτο δεικνὺς ὁ Παῦλος ἔλεγεν, Ὅσα γὰρ προεγράφη, " εἰς νουθεσίαν ἡμῶν προεγράφη, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν. παντοδαπῶν γάρ ἐστι φαρμάκων θησαυρὸς τὰ θεῖα λόγια. ὥστε κἂν ἀπόνοιαν σβέσαι δέῃ, κἂν ἐπιθυμίαν κοιμίσαι, κἂν τὸν τῶν χρημάτων καταπατῆσαι ἔρωτα, κἂν ὀδύνην ὑπεριδεῖν, κἂν εὐθυμίαν ἐντεῖναι, καὶ ὑπομονὴν κατασκευάσαι, πολλὴν ἐντεῦθεν ἄν τις εὕροι τὴν ἀφορμήν. τίς γὰρ ἢ τῶν πενίᾳ μακρᾷ παλαιόντων, ἢ τῶν νόσῳ χαλεπῇ " προσηλωμένων, ἀναγνοὺς τὸ προκείμενον χωρίον, οὐ πολλὴν δέξεται τὴν παράκλησιν; τριάκοντα γὰρ καὶ ὀκτὼ ἔτη " παραλελυμένος οὗτος, καὶ καθ' ἕκαστον ἔτος ἑτέρους μὲν ἀπαλλαττομένους ὁρῶν, " αὐτὸν δὲ δεδεμένον τῷ νοσήματι, οὐδὲ οὕτως ἀνέπεσε καὶ ἀπέγνω. καίτοιγε οὐ μόνον ἡ τῶν παρελθόντων ἀθυμία, ἀλλὰ καὶ ἡ τῶν μελλόντων ἀνελπιστία ἱκανὴ ἦν αὐτὸν " κατατεῖναι. ἄκουσον γοῦν οἷά φησι, καὶ μάθε τῆς τραγῳδίας τὸ μέγεθος. ἐπειδὴ γὰρ εἶπεν ὁ Χριστός, θέλεις ὑγιὴς γενέσθαι; ναὶ Κύριε, φησίν· ἄνθρωπον δὲ οὐκ ἔχω, ἵν', ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. τί τούτων τῶν

Ρω. ιε. δ.

ῥημάτων ἐλεεινότερον γένοιτ' ἄν; τί τῶν πραγμάτων περιπαθέστερον; Εἶδες καρδίαν συντετριμμένην ὑπὸ τῆς μακρᾶς ἀῤῥωστίας; Εἶδες πᾶσαν φλεγμονὴν κατεσταλμένην; οὐδὲ γὰρ ἐφθέγξατό τι βλάσφημον, καὶ οἷα οὐ πολλοὺς ἀκούομεν ἐν ταῖς περιστάσεσιν, οὐ κατηράσατο αὐτοῦ τὴν ἡμέραν, οὐκ ἐδυσχέρανε πρὸς τὴν ἐρώτησιν, οὐδὲ εἶπε, διασύρειν ἡμᾶς παραγέγονας καὶ κωμῳδῆσαι, ὅτι ἐρωτᾷς, εἰ θέλω ὑγιὴς γενέσθαι; ἀλλὰ πράως καὶ μετ' ἐπιεικείας πολλῆς, Ναί Κύριε. καίτοι οὐδὲ ᾔδει τίς ποτε ἦν ὁ ἐρωτῶν, οὐδ' ὅτι θεραπεύσειν αὐτὸν ἤμελλεν· ἀλλ' ὅμως μετ' ἐπιεικείας ἅπαντα διηγεῖται, καὶ πλέον οὐδὲν ἀπαιτεῖ, ὡς πρὸς ἰατρὸν φθεγγόμενος, καὶ τὸ πάθος ἀπαγγεῖλαι μόνον βουλόμενος. προσεδόκησε γὰρ ἴσως εἰς τοῦτο χρησιμεύσειν αὐτῷ τὸν Χριστὸν, εἰς τὸ ἐμβαλεῖν εἰς τὸ ὕδωρ, καὶ διὰ τούτων αὐτὸν ἐπισπάσασθαι τῶν ῥημάτων βούλεται. τί οὖν ὁ Χριστός; * Ἐγερθεὶς, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. τινὲς μὲν οὖν οἴονται τοῦτον εἶναι τὸν ἐν τῷ Ματθαίῳ κείμενον. ἀλλ' οὐκ ἔστι· καὶ τοῦτο πολλαχόθεν δῆλόν ἐστι. πρῶτον μὲν, ἀπὸ τῆς ἐρημίας τῶν προϊσαμένων. ἐκεῖνος γὰρ πολλοὺς εἶχε τοὺς ἐπιμελουμένους καὶ φέροντας, οὗτος δὲ οὐδὲ ἕνα· διό φησιν, ἄνθρωπον οὐκ ἔχω. ἔπειτα ἐκ τῆς ἀποκρίσεως. ὁ μὲν γὰρ οὐδὲν φθέγγεται· οὗτος δὲ πάντα διηγεῖται τὰ καθ' ἑαυτόν. καὶ τρίτον, ἀπὸ τοῦ καιροῦ καὶ τοῦ χρόνου. οὗτος μὲν γὰρ ἐν ἑορτῇ καὶ ἐν σαββάτῳ· ἐκεῖνος δὲ ἐν ἑτέρᾳ ἡμέρᾳ. καὶ ὁ τόπος δὲ ἑκατέρων διάφορος. ὁ μὲν γὰρ ἐν οἰκίᾳ θεραπεύεται, ὁ δὲ παρὰ τὴν κολυμβήθραν. καὶ ὁ τρόπος δὲ τῆς θεραπείας ἐνηλλαγμένος. ἐκεῖ μὲν γάρ φησιν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἐνταῦθα δὲ τὸ σῶμα ἔσφιγξε πρότερον, καὶ τότε τῆς ψυχῆς ἐπεμελεῖτο. κἀκεῖ μὲν ἄφεσις (ἀφέωνται γάρ σοι αἱ ἁμαρτίαι σου, φησίν) ἐνταῦθα δὲ παραίνεσις καὶ ἀπειλὴ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλιζομένη· Μηκέτι γάρ, φησιν, ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. καὶ τὰ ἐγκλήματα δὲ τῶν Ἰουδαίων διάφορα. ἐνταῦθα μὲν γὰρ τοῦ σαββάτου τὴν ἐργασίαν προφέρουσιν· ἐκεῖ δὲ βλασφημίαν ἐγκαλοῦσιν αὐτῷ. σὺ δέ μοι σκόπει τῆς τοῦ Θεοῦ σοφίας τὴν ὑπερβολήν. οὐ γὰρ εὐθέως αὐτὸν ἀνέστησεν, ἀλλὰ πρότερον αὐτὸν οἰκειοῦται διὰ τῆς ἐρωτήσεως, τῇ μελλούσῃ προοδοποιῶν πίστει, καὶ οὐκ ἀνίστησι μόνον, ἀλλὰ καὶ τὸ κλινίδιον κελεύει ἆραι, ὥστε καὶ τὸ γινόμενον πιστώσασθαι θαῦμα, καὶ μηδένα νομίσαι φαντασίαν εἶναι τὸ γεγενημένον ἢ ὑπόκρισιν. οὐδὲ γὰρ ἄν, εἰ μὴ βεβαίως καὶ σφόδρα αὐτῷ συνεπάγη τὰ μέλη, τὴν κλίνην φέρειν ἠδύνατο. ποιεῖ δὲ ταῦτα πολλάκις ὁ Χριστὸς, ἐκ περιουσίας τοὺς ἀναισχυντεῖν βουλομένους ἐπιστομίζων. καὶ γὰρ ἐπὶ τῶν ἄρτων, ἵνα μηδεὶς εἴπῃ ὅτι ἁπλῶς ἐκορέσθησαν, καὶ φαντασία ἦν τὸ γεγενημένον, παρασκευάζει λείψανα τῶν ἄρτων γενέσθαι πολλά. καὶ τῷ καθαρθέντι δὲ λεπρῷ φησιν, ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ· ὁμοῦ τε τοῦ καθαρμοῦ παρεχόμενος ἀπόδειξιν ἀκριβεστάτην, καὶ τῶν ἀντινομοθετεῖν αὐτὸν λεγόντων τῷ Θεῷ, τὰ ἀναίσχυντα ἐμφράττων στόματα. καὶ ἐπὶ τοῦ οἴνου δὲ τοῦτο ὁμοίως ἐποίησεν. οὐ γὰρ ἁπλῶς ἔδειξε τὸν οἶνον, ἀλλὰ καὶ τῷ ἀρχιτρικλίνῳ ἐνεχθῆναι παρεσκεύασεν, ὥστε τὸν οὐδὲν τῶν γεγενημένων εἰδότα ὁμολογοῦντα, ἀνύποπτον αὐτῷ παρασχεῖν τὴν μαρτυρίαν. διὰ γὰρ τοῦτο καὶ ὁ εὐαγγελιστής φησιν, ὅτι οὐκ ᾔδει ὁ ἀρχιτρίκλινος πόθεν ἦν, τὸ ἀδέκαστον τῆς μαρτυρίας ἐμφαίνων. καὶ νεκρὸν ἀναστήσας ἀλλαχοῦ φησι· δότε αὐτῇ φαγεῖν, τῆς ἀκριβοῦς ἀναστάσεως τοῦτο παρεχόμενος σημεῖον· καὶ διὰ τούτων πάντων πείθων τοὺς ἀνοήτους, ὅτι οὐκ ἀπατεών τις ἦν, οὐδὲ φαντασιοκόπος, ἀλλὰ διὰ σωτηρίαν παρεγένετο τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων. τί δήποτε δὲ αὐτὸν οὐκ ἀπαιτεῖ πίστιν, ὡς ἐπὶ τῶν ἄλλων ἐποίει, λέγων· πιστεύεις ὅτι δύναμαι τοῦτο ποιῆσαι; ὅτι οὐδέπω αὐτὸν ᾔδει σαφῶς, ὅστις ἦν. οὐ γὰρ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὰ θαύματα τοῦτο φαίνεται ποιῶν. οἱ μὲν γὰρ ἐν ἑτέροις ἑωρακότες αὐτοῦ τὴν δύναμιν, εἰκότως τοῦτο ἤκουον· οἱ δὲ οὐδέπω μεμαθηκότες αὐτὸν, ἀλλ' ἀπὸ τῶν σημείων μέλλοντες εἴσεσθαι, μετὰ τὰ θαύματα ἀπαιτοῦνται τὴν πίστιν. διὰ τοῦτο καὶ οὐ παρὰ τὴν ἀρχὴν τῶν σημείων ὁ Ματθαῖος εἰσάγει τοῦτο τὸν Χριστὸν εἰρηκό-

θεραπείαν

...όπι
...ῳ πάντα;
...άπαι ποι-

...γερθεὶ,
...αι, ἆρον
...ὕπαγε εἰς
...οἶκόν σου.

...συνέσφιγγε

...ἀπαιτεῖ.
...πολλῶν ἐ-
...νάμει λέ-
...πις. 878

τα, ἀλλ' ὅτε πολλοὺς ἐθεράπευσε, τρεῖς μόνους ἢ δύο τυφλούς. σὺ δὲ καὶ οὕτως ὅρα τοῦ παραλύτου τὴν πίστιν. ἀκούσας γὰρ ὅτι* ἆρον τὸν κράββατόν σου καὶ "περιπάτει, οὐ κατεγέλασεν, οὐδὲ εἶπε· τί ποτε τοῦτό ἐστιν; ἄγγελος κατέρχεται καὶ ταράσσει τὸ ὕδωρ, καὶ ἕνα θεραπεύει μόνον· σὺ δὲ ἄνθρωπος ὢν ἀπὸ ἐπιτάγματος ψιλοῦ καὶ ῥήματος ἤλπισας μείζονα τῶν ἀγγέλων δυνήσεσθαι; τῦφος ταῦτα καὶ ἀλαζονεία καὶ γέλως. ἀλλὰ τούτων οὐδὲν εἶπεν οὐδὲ ἐνενόησεν· ἀλλ' ἅμα τε ἤκουσε, καὶ ἠγέρθη, καὶ γενόμενος ὑγιὴς, οὐκ ἠπείθησε τῷ κελεύσαντι αὐτῷ. εὐθέως γὰρ ἐγένετο ὑγιὴς, καὶ ἦρε τὸν κράββατον, καὶ περιεπάτει, "καὶ τὸ μετὰ ταῦτα δὲ πολλῷ μεῖζον ἦν. τὸ μὲν γὰρ παρὰ τὴν ἀρχὴν ἐνοχλοῦντος μηδενὸς πεισθῆναι, οὐχ οὕτω θαυμαστὸν τοῦτο· τὸ δὲ μετὰ ταῦτα μαινομένων Ἰουδαίων καὶ πανταχόθεν ἐπικειμένων καὶ ἐγκαλούντων καὶ πολιορκούντων αὐτὸν καὶ λεγόντων, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου, μηδὲ προσέχειν αὐτῶν τῇ μανίᾳ, ἀλλὰ μετὰ πολλῆς παῤῥησίας ἐν μέσῳ τῷ θεάτρῳ τὸν εὐεργέτην ἀνακηρύττειν, καὶ τὴν ἀναίσχυντον ἐπιστομίζειν γλῶτταν, πολλῆς ἔγωγε ἀνδρείας εἶναί φημι. "ἐπιστάντων γὰρ Ἰουδαίων καὶ λεγόντων ἐπιτιμητικῶς καὶ μετ' αὐθαδείας αὐτῷ,

10 Σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου, Ἄκουσον τί φησιν·

11 Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει,

Μονονουχὶ λέγων, ληρεῖτε καὶ παραπαίετε, κελεύοντες τὸν ἀπὸ μακρᾶς οὕτω καὶ χαλεπῆς με ἀπαλλάξαντα νόσου, μὴ ἡγεῖσθαι διδάσκαλον, μηδὲ πάντα πείθεσθαι ἅπερ ἂν κελεύῃ. καίτοιγε εἰ κακουργεῖν ἐβούλετο, ἐνῆν καὶ ἑτέρως εἰπεῖν, οἷον, ὅτι οὐχ ἑκὼν τοῦτο ποιῶ, ἀλλ' ἑτέρου κελεύσαντος· εἰ δὲ ἔγκλημα τοῦτο, ἐγκαλεῖτε τῷ ἐπιτάξαντι, καὶ ἀποτίθεμαι τὴν κλίνην· καὶ τὴν θεραπείαν δὲ ἔκρυψεν ἄν. καὶ γὰρ ᾔδει σαφῶς οὐχ οὕτω δακνομένους ἐπὶ τῇ τοῦ σαββάτου λύσει, ὡς ἐπὶ τῇ τῆς ἀῤῥωστίας διορθώσει. ἀλλ' οὐδὲ τοῦτο ἔκρυψεν, οὐδὲ ἐκεῖνο εἶπεν, οὐδὲ συγγνώμην ᾔτησεν, ἀλλὰ λαμπρᾷ τῇ φωνῇ τὴν εὐεργεσίαν ὡμολόγει καὶ ἀνεκήρυττε. καὶ ὁ μὲν παράλυτος οὕτως· ἐκεῖνοι δὲ σκόπει πῶς κακούργως. οὐ γὰρ εἶπον, τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ; ἀλλὰ τοῦτο μὲν ἐσίγησαν, ἄνω δὲ καὶ κάτω τὴν δοκοῦσαν εἶναι παράβασιν εἰς μέσον ἦγον·

12 Τίς ἐστιν ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει;

13 Ὁ δὲ τεθεραπευμένος οὐκ ᾔδει τίς ἐστιν· Ἰησοῦς γὰρ "ἐξέκλινεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.

Καὶ τί δήποτε ἔκρυψεν ἑαυτὸν ὁ Χριστός; πρῶτον μὲν, ἵνα ἀπόντος αὐτοῦ ἡ μαρτυρία ἀνύποπτος γένηται. ὁ γὰρ αἴσθησιν λαβὼν τῆς ὑγιείας, ἀξιόπιστος ἦν τῆς εὐεργεσίας μάρτυς. ἔπειτα δὲ, ἵνα μὴ πλέον τούτων παρασκευάσῃ τὸν θυμὸν ἐκκαῆναι. οἶδε γὰρ καὶ ὄψις μόνη τοῦ φθονουμένου οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σπινθῆρα. διὰ τοῦτο ἀναχωρήσας, ἀφίησιν αὐτὸ καθ' ἑαυτὸ τὸ ἔργον ἀγωνίζεσθαι πρὸς αὐτοὺς, ὥστε μηκέτι αὐτὸν "περὶ ἑαυτοῦ τι λέγειν, ἀλλὰ τοὺς τεθεραπευμένους, καὶ μετ' ἐκείνων αὐτοὺς τοὺς ἐγκαλοῦντας. καὶ γὰρ καὶ οὗτοι τέως μαρτυροῦσι τῷ θαύματι. οὐ γὰρ εἶπον, διατί ταῦτα ἐκέλευσας γενέσθαι ἐν σαββάτῳ; ἀλλὰ, διατί ταῦτα ποιεῖς ἐν σαββάτῳ; οὐχ ὑπὲρ τῆς παραβάσεως δυσχεραίνοντες, ἀλλὰ τῇ σωτηρίᾳ τοῦ παραλύτου φθονοῦντες. καίτοιγε ὅσον εἰς ἀνθρώπινον ἔργον, τοῦτο μᾶλλον ἔργον ἦν, ὅπερ ἐποίησεν ὁ παράλυτος· ἐκεῖνο δὲ λόγος καὶ ῥῆμα. ἐνταῦθα μὲν οὖν ἑτέρῳ κελεύει λύειν τὸ σάββατον· ἀλλαχοῦ δὲ δι' ἑαυτοῦ τοῦτο ἐργάζεται, φύρων πηλὸν, καὶ ἐπιχρίων ὀφθαλμούς. ποιεῖ δὲ ταῦτα οὐ παραβαίνων τὸν νόμον, ἀλλ' ὑπερβαίνων. καὶ ὑπὲρ μὲν τούτων ὕστερον. οὐδὲ γὰρ ὁμοίως πανταχοῦ περὶ σαββάτου πρὸς αὐτὸν ἐγκαλούμενος ἀπολογεῖται· καὶ δεῖ τοῦτο παρατηρῆσαι μετ' ἀκριβείας.

ΗΘΙΚΟΝ

Τέως δὲ ἴδωμεν ὅσον ἡ βασκανία κακὸν, καὶ πῶς τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πηροῖ κατὰ τῆς τοῦ ἁλόντος σωτηρίας. καθάπερ γὰρ οἱ μαινόμενοι καθ' ἑαυτῶν πολλάκις ὠθοῦσι τὰ ξίφη, οὕτω καὶ οἱ βασκαίνοντες πρὸς ἓν μόνον ὁρῶντες, τὴν ″λύμην τοῦ φθονουμένου, τῆς οἰκείας ἀλογοῦσι σωτηρίας. οὗτοι καὶ θηρίων χείρους. ἐκεῖνα γὰρ ἢ τροφῆς δεόμενα, ἢ πρότερον ὑφ' ἡμῶν παροξυνθέντα, ὁπλίζεται καθ' ἡμῶν· οὗτοι δὲ καὶ εὐεργετηθέντες πολλάκις, τὰ τῶν ἀδικούντων [εἰς] τοὺς εὐεργέτας διέθηκαν. θηρίων μὲν οὗτοι χαλεπώτεροι, δαιμόνων δὲ ἴσοι, τάχα δὲ καὶ ἐκείνων χείρους. ἐκεῖνοι γὰρ πρὸς μὲν ἡμᾶς ἄσπονδον ἔχουσιν ἔχθραν, τοῖς δὲ ὁμογενέσιν οὐκ ἐπιβουλεύουσιν (ὅθεν τούτῳ καὶ τοὺς Ἰουδαίους ἐπεστόμιζεν ὁ Χριστός, ἡνίκα αὐτὸν ἐν Βεελζεβοὺλ ἔλεγον ἐκβάλλειν τὰ δαιμόνια) οὗτοι δὲ οὔτε τὴν κοινωνίαν τῆς φύσεως ᾐδέσθησαν, οὔτε ἑαυτῶν ἐφείσαντο. πρὸ γὰρ τῶν φθονουμένων, τὰς ἑαυτῶν ψυχὰς κολάζουσι, θορύβου παντὸς καὶ ἀθυμίας πληροῦντες αὐτὰς εἰκῆ καὶ μάτην. τίνος γὰρ ἕνεκεν ἀλγεῖς, ἄνθρωπε, τοῖς τοῦ πλησίον καλοῖς; ἀλγεῖν χρὴ ἡμᾶς, ἐφ' οἷς πάσχομεν κακοῖς, οὐκ ἐφ' οἷς ἑτέρους εὐδοκιμοῦντας ὁρῶμεν. διὰ τοῦτο ἁπάσης ἀπεστέρηται συγγνώμης τουτὶ τὸ ἁμάρτημα. ὁ μὲν γὰρ πόρνος ἔχει τὴν ἐπιθυμίαν εἰπεῖν, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ ἀνδροφόνος τὸν θυμόν, ψυχρὰς μὲν καὶ ἀλόγους, ὅμως δὲ ἔχουσί τινας προφάσεις εἰπεῖν· σὺ δὲ ποίαν αἰτίαν ἐρεῖς, εἰπέ μοι; οὐδεμίαν οὐδαμόθεν*, ἀλλ' ἢ ″πονηρίαν ἐπιτεταμένην μόνην. εἰ γὰρ ἐχθροὺς ἀγαπᾶν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν, ποίαν τίσομεν δίκην; καὶ εἰ ὁ τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται· ὁ τοῖς μηδὲν ἠδικηκόσιν ἐπηρεάζων, ποίαν ἕξει συγγνώμην, τίνα παραμυθίαν; ἄκουσον τοῦ Παύλου, τί φησιν· Ἐὰν τὸ σῶμά μου παραδῶ, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· ὅτι δὲ ὅπου φθόνος καὶ βασκανία, τὰ τῆς ἀγάπης ἀνῄρηται, παντί που δῆλόν ἐστι. τοῦτο τὸ πάθος καὶ πορνείας καὶ μοιχείας χεῖρόν ″ἐστι. τὸ μὲν γὰρ μέχρι τοῦ πράξαντος ἵσταται· τῆς δὲ βασκανίας ἡ τυραννὶς ἐκκλησίας ὁλοκλήρους ἀνέτρεψε, καὶ τὴν οἰκουμένην ἅπασαν ἐλυμήνατο· αὕτη φόνου μήτηρ ἐστίν. οὕτως ἀπέκτεινε τὸν ἀδελφὸν ὁ Κάϊν, οὕτω τὸν Ἰακὼβ ὁ Ἠσαῦ, οὕτω τὸν Ἰωσὴφ οἱ ἀδελφοί, οὕτω τοὺς ἀνθρώπους ἅπαντας ὁ διάβολος. ἀλλὰ σὺ νῦν οὐκ ἀναιρεῖς, ἀλλὰ πολλὰ τοῦ φόνου ποιεῖς χαλεπώτερα, εὐχόμενος τὸν ἀδελφὸν ἀσχημονεῖν, παγὰς πανταχόθεν τιθείς, ἐκλύων τοὺς ὑπὲρ ἀρετῆς πόνους, ἀλγῶν ὅτι τῷ τῆς οἰκουμένης ἀρέσκει δεσπότῃ. οὐκ ἐκείνῳ ἄρα, ἀλλὰ τῷ δι' ἐκείνου θεραπευομένῳ πολεμεῖς, ἐκεῖνον ὑβρίζεις, τὴν σαυτοῦ τιμὴν τῆς ἐκείνου προτιθείς. καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅτι καὶ ἀδιάφορον δοκεῖ τὸ ἁμάρτημα εἶναι, καίτοιγε τῶν ἄλλων ἐστὶ χαλεπώτερον. κἂν γὰρ ἐλεῇς, κἂν ἀγρυπνῇς, κἂν νηστεύῃς, ἁπάντων ἐναγέστερος γέγονας φθονῶν τῷ ἀδελφῷ. καὶ τοῦτο δῆλον ἐκεῖθεν. ἐπόρνευσέ τις παρὰ Κορινθίοις ποτέ, ἀλλ' ἐνεκλήθη καὶ διωρθώθη ταχέως· καὶ ἐφθόνησε τῷ Ἄβελ ὁ Κάϊν, ἀλλ' οὐκ ἐθεραπεύθη, ἀλλὰ καὶ τοῦ Θεοῦ συνεχῶς ἐπᾴδοντος τῷ ἕλκει αὐτοῦ, μᾶλλον ὤδινε καὶ ἐκυματοῦτο, καὶ πρὸς τὸν φόνον ἠπείγετο. οὕτω τοῦτο ἐκείνου τοῦ πάθους χαλεπώτερον, καὶ οὐκ εὐκόλως εἴκει τῇ θεραπείᾳ, ἐὰν μὴ προσέχωμεν. πρόρριζον τοίνυν αὐτὸ πάντοθεν ἀνασπάσωμεν, ἐκεῖνο ἐννοοῦντες, ὅτι ὥσπερ προσκρούομεν τῷ Θεῷ τηκόμενοι τοῖς ἀλλοτρίοις καλοῖς, οὕτως εὐδοκιμοῦμεν συγχαίροντες, καὶ κοινωνοὺς ἑαυτοὺς ποιοῦμεν τῶν ἀποκειμένων τῷ κατορθοῦντι καλῶν. διὸ καὶ Παῦλος ″παραινεῖ Χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων· ἵνα ἑκατέρωθεν μέγα καρπωσώμεθα κέρδος. ἐννοήσαντες τοίνυν, ὅτι κἂν μὴ πονῶμεν, τῷ πονοῦντι συνηδόμενοι, μερισταὶ γινόμεθα τῶν ἐκείνου στεφάνων, πᾶσαν ἐκβάλωμεν βασκανίαν, καὶ τὴν ἀγάπην ἐν ταῖς ἑαυτῶν ψυχαῖς φυτεύσωμεν· ἵνα ″ συγκροτοῦντες τοὺς εὐδοκιμοῦντας τῶν ἀδελφῶν, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. ιγ. γ.

Ρω. ιβ, ιε.

Ομιλ. λη. 14 ΜΕΤΑ ΤΑΥΤΑ ΕΥΡΙΣΚΕΙ ΑΥΤΟΝ Ο ΙΗΣΟΥΣ ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ, ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

Δεινὸν ἡ ἁμαρτία, δεινὸν, καὶ ψυχῆς λύμη· πολλάκις δὲ ἐκ περιουσίας καὶ σωμάτων ἥψατο τὸ κακὸν ὑπερβλύσαν. ἐπειδὴ γὰρ τὰ πολλὰ, τῆς μὲν ψυχῆς ἡμῖν καμνούσης, ἀναλγήτως ἔχομεν, τὸ δὲ σῶμα κἂν μικρὰν δέξηται βλάβην, πᾶσαν ποιούμεθα σπουδὴν, ὥστε ἐλευθερῶσαι τῆς ἀῤῥωστίας αὐτό*· διὰ τοῦτο καὶ ὁ Θεὸς τοῦτο κολάζει" πολλάκις ὑπὲρ τῶν ἐκείνῃ πεπλημμελημένων, ὥστε διὰ τῆς τοῦ ἐλάττονος μάστιγος καὶ τὸ κρεῖττον τυχεῖν θεραπείας τινός. οὕτω καὶ παρὰ Κορινθίοις τὸν πορνεύσαντα ὁ Παῦλος διώρθωσε, διὰ τῆς σαρκὸς ὀλέθρῳ τὸ τῆς ψυχῆς νόσημα ἐπισχὼν, καὶ τῷ σώματι τὴν τομὴν ἐπαγαγὼν, οὕτω κατέστειλε τὸ κακὸν, καθάπερ τις ἰατρὸς ἄριστος ὕδερον ἢ σπλῆνα τοῖς ἔνδοθεν φαρμάκοις οὐκ εἴκοντα κατακαίων ἔξωθεν. τοῦτο καὶ ὁ Χριστὸς ἐποίησεν ἐπὶ τοῦ παραλύτου. καὶ δηλῶν αὐτὸ, ἔλεγεν· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. τί τοίνυν ἐντεῦθεν μανθάνομεν; πρῶτον μὲν, ὅτι αὐτῷ ἐξ ἁμαρτιῶν ἐτέχθη τὸ νόσημα· δεύτερον δὲ, ὅτι πιστὸς ὁ τῆς γεέννης λόγος· καὶ τρίτον δὲ, μακρὰν εἶναι καὶ ἄπειρον τὴν τιμωρίαν. ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι ἐν ὥρᾳ μιᾷ ἐφόνευσα, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἐμοίχευσα καὶ ἀθάνατα κολάζομαι; ἰδοὺ γὰρ καὶ οὗτος οὐκ ἐν τοσούτοις ἥμαρτεν ἔτεσιν, ἐν ὅσοις καὶ ἐκολάζετο. ὁλόκληρον γὰρ ἀνθρώπου βίον ἀνάλωσεν ἐν τῷ μήκει τῆς τιμωρίας. οὐδὲ γὰρ ἐν χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ' ἐν αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων. μετὰ τούτων κἀκεῖνό ἐστιν" ἰδεῖν, ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων δίκην, εἶτα τοῖς αὐτοῖς περιπέσωμεν, χαλεπώτερα πολλῷ [μᾶλλον] πεισόμεθα πάλιν· καὶ μάλα εἰκότως. ὁ γὰρ μηδὲ τῇ τιμωρίᾳ γενόμενος βελτίων, ὡς ἀναίσθητος λοιπὸν καὶ καταφρονητὴς ἐπὶ μείζονα ἄγεται κόλασιν. ἤρκει μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ ἁμαρτία συστεῖλαι καὶ ποιῆσαι σωφρονέστερον τὸν " ὀλισθήσαντα ἅπαξ· ὅταν δὲ μηδὲ ἡ τιμωρία προστεθεῖσα τοῦτο ἐργάζηται, εἰκότως πικροτέρας αὐτῷ δεῖ τῆς βασάνου. εἰ δὲ " δίκην δόντες, εἶτα τοῖς αὐτοῖς περιπεσόντες χαλεπώτερον κολαζόμεθα· ὅταν μηδ' ὅλως τιμωρηθῶμεν" ἁμαρτάνοντες, πῶς οὐ σφόδρα χρὴ τότε μάλιστα δεδοικέναι καὶ τρέμειν, ἅτε ἀνήκεστα μέλλοντας ὑπομένειν; καὶ τίνος ἕνεκεν, φησὶ, μὴ πάντες οὕτω κολάζονται; καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας, σφριγῶντας, καὶ πολλῆς ἀπολαύοντας εὐημερίας. ἀλλὰ μὴ θαῤῥῶμεν, ἀλλ' ἐπὶ τούτοις μάλιστα πάντων * δακρύωμεν. τὸ γὰρ μηδὲν αὐτοὺς ἐνταῦθα παθεῖν, ἐφόδιον γίνεται μείζονος τῆς ἐκεῖ τιμωρίας. καὶ τοῦτο δηλῶν ὁ Παῦλος, ἔλεγε· Νῦν δὲ κρινόμενοι ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. τὰ μὲν γὰρ ἐνταῦθα, νουθεσίας· τὰ δὲ ἐκεῖ, τιμωρίας ἐστί. τί οὖν; πάντα, φησὶ, τὰ νοσήματα ἐξ ἁμαρτημάτων; οὐ πάντα μὲν, ἀλλὰ τὰ πλείονα. ἔνια δὲ καὶ ἀπὸ ῥᾳθυμίας ἑτέρας γίνεται. καὶ γὰρ καὶ γαστριμαργία καὶ μέθη καὶ ἀργία τὰ τοιαῦτα τίκτουσι πάθη. δεῖ δὲ πανταχοῦ διατηρεῖν ἓν μόνον, ὥστε εὐχαρίστως φέρειν πᾶσαν πληγήν. γίνεται δὲ καὶ δι' ἁμαρτήματα, ὥσπερ καὶ ἐν ταῖς Βασιλείαις ὁρῶμεν τινὰ ποδαλγίᾳ κατασχεθέντα*. γίνεται δὲ καὶ δι' εὐδοκίμησιν· ὥσπερ τῷ Ἰὼβ φησὶν ὁ Θεὸς, Μὴ ἄλλως σοι οἴει με κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς; ἀλλὰ τί δήποτε ἐπὶ τῶν παραλυτικῶν τούτων τὰς ἁμαρτίας εἰς μέσον φέρει ὁ Χριστός; καὶ γὰρ καὶ ἐκείνῳ τῷ παρὰ τῷ Ματθαίῳ κειμένῳ φησί· Θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· καὶ τούτῳ, ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε. καὶ οἶδα μὲν, ὅτι τινὲς

α. Κορ. ια. λβ.

γ. Βασ. ιε. κγ.

β. Παραλ. ις. ιβ.

Ἰὼβ μ. γ.

Ματθ. θ. β.

* διὰ τὸ τῆς ἀῤῥωστίας ἀ... ἀπαλλαγῆναι

χ. μᾶλλον

χ. μᾶλλον,

χ. ὀλισθαίνοντα

χ. καὶ ἐν... τιμωρηθῶμεν

χ. τοῖς αὐτοῖς ἐπιμένοντες ἁμαρτήμασι

* αὐτοὺς

τινὲς τὸν παράλυτον τοῦτον διαβάλλοντές, φασιν αὐτὸν τοῦ Χριστοῦ γενέσθαι κατήγορον, καὶ διὰ τοῦτο ταῦτα ἀκηκοέναι. τί οὖν περὶ ἐκείνου τοῦ παρὰ τῷ Ματθαίῳ τὰ αὐτὰ σχεδὸν ἀκούσαντος ἐροῦμεν; καὶ γὰρ καὶ ἐκείνῳ φησίν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι. ὅθεν δῆλον, ὅτι οὐδὲ οὗτος ταύτης ἕνεκεν τῆς ὑποθέσεως ταῦτα ἤκουε. καὶ τοῦτο καὶ ″ ἐκ τῶν ἑπομένων σαφέστερόν ἐστιν ἰδεῖν. μετὰ ταῦτα γάρ, φησιν, εὑρίσκει αὐτὸν ἐν τῷ ἱερῷ ὁ Ἰησοῦς· ὅπερ μεγίστης εὐλαβείας σημεῖόν ἐστιν. οὐ γὰρ ἀνεχώρησεν εἰς ἀγορὰς καὶ περιπάτους, οὐδὲ τρυφῇ καὶ ἀνέσει ἔδωκεν ἑαυτόν, ἀλλ᾽ ἐν τῷ ἱερῷ διῆγε, καίτοιγε τοσαύτην μέλλων ὑπομένειν ἔφοδον, καὶ παρὰ πάντων ἐλαύνεσθαι ″ἐκεῖ. ἀλλ᾽ οὐδὲν τούτων ἔπεισεν αὐτὸν ἀποστῆναι τοῦ ἱεροῦ. εὑρὼν τοίνυν αὐτὸν ὁ Χριστὸς καὶ μετὰ τὸ διαλεχθῆναι τοῖς Ἰουδαίοις, οὐδὲν τοιοῦτον ᾐνίξατο. εἰ δὲ τοῦτο ἐγκαλεῖν ἤθελεν, εἶπεν ἂν πρὸς αὐτόν· πάλιν τοῖς αὐτοῖς ἐπιχειρεῖς, καὶ οὔτε τῇ θεραπείᾳ γέγονας βελτίων; ἀλλ᾽ οὐδὲν τούτων εἶπεν, ἀλλὰ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλίζεται μόνον. τί δήποτε οὖν καὶ χωλοὺς καὶ κυλλοὺς θεραπεύσας, οὐδαμοῦ τούτων ἐμνημόνευσεν; ἐμοὶ δοκεῖ, τούτοις μὲν ἐξ ἁμαρτημάτων τὰ νοσήματα γενέσθαι, τοῖς δὲ ἄλλοις ἐξ ἀσθενείας φυσικῆς. εἰ δὲ μὴ τοῦτο, καὶ τοῖς ἄλλοις, διὰ τούτων καὶ τῶν πρὸς τούτους εἰρημένων, διελέχθη. ἐπειδὴ γὰρ τῶν ἄλλων πάντων τὸ νόσημα τοῦτο χαλεπώτερον· διὰ τοῦ μείζονος καὶ τὰ ἐλάττονα διορθοῦται. ὥσπερ γὰρ θεραπεύσας τινὰ ἕτερον, παρήγγειλε δοῦναι δόξαν τῷ Θεῷ, οὐκ ἐκείνῳ μόνῳ ταῦτα παραινῶν, ἀλλὰ καὶ δι᾽ ἐκείνου πᾶσιν· οὕτω καὶ τούτοις καὶ διὰ τούτων πᾶσι καὶ τοῖς λοιποῖς παραινεῖ, καὶ συμβουλεύει ταῦτα, ἃ καὶ πρὸς τούτους εἴρηκε. πρὸς δὲ τούτοις, κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι πολλὴν ἐνεῖδεν αὐτοῦ τῇ ψυχῇ τὴν καρτερίαν, καὶ ὡς δυναμένῳ τὸ παράγγελμα δέξασθαι, παραινεῖ, τῇ τε εὐεργεσίᾳ καὶ τῷ φόβῳ τῶν μελλόντων κακῶν κατέχων αὐτὸν ἐπὶ τῆς ὑγιείας. καὶ ὅρα τὸ ἀκόμπαστον. οὐ γὰρ εἶπεν, ἴδε ὑγιῆ σε ἐποίησα, ἀλλ᾽ ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε. καὶ πάλιν οὐκ εἶπεν, ἵνα μή σε κολάσω, ἀλλ᾽ ἵνα μὴ χεῖρόν τί σοι γένηται, ἀπροσώπως ἀμφότερα τιθείς, καὶ δεικνὺς χάριτος μᾶλλον οὖσαν τὴν ὑγίειαν, ἢ τῆς ἀξίας. οὐ γὰρ ἐνέφηνεν ὅτι τὴν ἀξίαν δοὺς ἀπηλλάγη δίκην, ἀλλ᾽ ὅτι φιλανθρωπίᾳ ἐσώζετο. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, εἶπεν ἄν, ἰδοὺ δέδωκας τῶν ἡμαρτημένων δίκην ἱκανήν· ἀσφαλίζου λοιπόν. νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε. ταῦτα καὶ ἡμῖν αὐτοῖς συνεχῶς ἐπιλέγωμεν, κἂν μὲν κολασθέντες ἀπαλλαγῶμεν, τοῦτο ἕκαστος πρὸς ἑαυτὸν λεγέτω, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ἂν δὲ μὴ δῶμεν δίκην τοῖς αὐτοῖς ἐπιμένοντες, ἐκεῖνο τὸ ἀποστολικὸν ἐπᾴδωμεν, Ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιαν ἡμᾶς ἄγει· κατὰ δὲ τὴν σκληρότητα καὶ ἀμετανόητον ἡμῶν καρδίαν θησαυρίζομεν ἑαυτοῖς ὀργήν. οὐ τῷ σφίγξαι δὲ τὸ σῶμα μόνον, ἀλλὰ καὶ ἑτέρωθεν μέγα αὐτῷ παρέσχε τὸ τῆς οἰκείας θεότητος σημεῖον. τῷ γὰρ εἰπεῖν, μηκέτι ἁμάρτανε, ἐδήλωσεν εἰδότα πάντα τὰ ἔμπροσθεν αὐτῷ γεγενημένα πλημμελήματα· ὅθεν καὶ πρὸς τὰ μέλλοντα ἔμελλεν ἀξιόπιστος εἶναι.

Ρω. β. ε.

15 Ἀπῆλθεν οὖν ὁ ἄνθρωπος, καὶ ἀπήγγειλε τοῖς Ἰουδαίοις, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. Ὅρα αὐτὸν πάλιν ἐπὶ τῆς αὐτῆς μένοντα εὐγνωμοσύνης. οὐ γὰρ εἶπεν ὅτι αὐτός ἐστιν ὁ εἰπών, ἆρον τὸν κράββατόν σου. ἐπειδὴ γὰρ ἐκεῖνοι τὸ δοκοῦν ἔγκλημα ″ τοῦτο ἀεὶ προέφερον, αὐτὸς τὴν ἀπολογίαν ἀεὶ προβάλλεται, πάλιν τὸν ἰατρὸν δῆλον ποιῶν, καὶ τοὺς ἄλλους ἐφελκύσασθαι σπουδάζων ″ καὶ οἰκειώσασθαι. οὐ γὰρ οὕτως ἀναίσθητος ἦν, ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ παραίνεσιν προδοῦναι τὸν εὐεργέτην, καὶ κακούργῳ διανοίᾳ τοῦτο εἰπεῖν. εἰ γὰρ καὶ θηρίον ἦν, εἰ γὰρ ἀπάνθρωπός τις καὶ λίθινος, ἱκανὴ ἦν καὶ ἡ εὐεργεσία καὶ ὁ φόβος αὐτὸν κατασχεῖν. καὶ γὰρ ἔναυλον ἔχων τὴν ἀπειλήν, ἔδεισεν ἂν μὴ χεῖρόν τι πάθῃ, μέγιστα λαβὼν τῆς τοῦ ἰατροῦ δυνάμεως ″ τὰ ἐνέχυρα· ἄλλως τε, εἰ διαβάλλειν ἐβούλετο, τὴν ὑγίειαν σιγήσας, τὴν παράβασιν εἶπεν ἂν καὶ κατηγόρησεν. ἀλλ᾽ οὐκ ἔστι τοῦτο,

οὐκ ἔστιν· ἀλλὰ πολλῆς παῤῥησίας τὰ ῥήματα καὶ εὐγνωμοσύνης, καὶ ἀνακηρύττει τὸν εὐεργέτην οὐδὲν ἔλαττον τοῦ τυφλοῦ. Τί γὰρ ἐκεῖνός φησιν; ἐποίησε πηλὸν, καὶ ἔχρισέ μου τοὺς ὀφθαλμούς. οὕτω καὶ οὗτος, Ἰησοῦς ἐστιν ὁ ποιήσας με ὑγιῆ.

16 Ἐδίωκον οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. Τί οὖν ὁ Χριστός;

17 Ὁ πατήρ μου, φησὶν, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Ὅτε μὲν γὰρ ὑπὲρ τῶν μαθητῶν ἀπολογήσασθαι ἔδει, τὸν Δαβὶδ τὸν ὁμόδουλον αὐτῶν εἰς μέσον ἔφερεν, Οὐκ ἀνέγνωτε, λέγων, τί ἐποίησε Δαβὶδ, ὅτε ἐπείνασεν αὐτός; ὅτε δὲ περὶ ἑαυτοῦ, ἐπὶ τὸν πατέρα κατέφυγεν, ἑκατέρωθεν τὸ ὁμότιμον δεικνὺς, τῷ τε πατέρα εἰπεῖν ἰδιαζόντως, καὶ τῷ τὰ αὐτὰ ἐκείνῳ πράττειν. Καὶ διὰ τί [γὰρ] μὴ εἶπε τὰ περὶ τὴν Ἱεριχὼ γενόμενα; ἀναγαγεῖν αὐτοὺς ἠθέλησεν ἀπὸ τῆς γῆς, ἵνα μηκέτι ὡς ἀνθρώπῳ προσέχωσιν, ἀλλ' ὡς Θεῷ, καὶ νομοθετεῖν ὀφείλοντι. Εἰ δὲ μὴ γνήσιος ἦν υἱὸς, καὶ τῆς αὐτῆς οὐσίας, ἡ ἀπολογία κατηγορίας μείζων ἐστίν. Οὐδὲ γὰρ εἴ τις ὕπαρχος νόμον βασιλικὸν μεταθεὶς, εἶτα ἐγκαλούμενος ἀπολογοῖτο οὕτω, καὶ λέγοι ὅτι, καὶ γὰρ ὁ βασιλεὺς ἔλυσε, δυνήσεται διαφυγεῖν, ἀλλὰ καὶ μεῖζον τὸ ἔγκλημα οὕτως ἐργάσεται. ἀλλ' ἐπειδὴ ἴσα τὰ τῆς ἀξίας ἐνταῦθα, καὶ τὰ τῆς ἀπολογίας ἀπήρτισται μετὰ ἀσφαλείας ἁπάσης. ἀφ' ὧν γὰρ, φησιν, ἀπολύετε τὸν Θεὸν ἐγκλημάτων, ἀπὸ τῶν αὐτῶν καὶ ἐμέ. διὰ τοῦτο καὶ προλαβὼν εἴρηκεν, ὁ πατήρ μου, ἵνα καὶ ἄκοντας πείσῃ τὰ αὐτὰ συγχωρεῖν τὴν ἀκριβῆ γνησιότητα αἰδεσθέντας. Εἰ δὲ λέγοι τις, καὶ πῶς ὁ πατὴρ ἐργάζεται, ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καταπαύσας ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; τὸν τρόπον μαθέτω, καθ' ὃν ἐργάζεται. τίς οὖν ὁ τρόπος τῆς ἐργασίας; προνοεῖ, καὶ συγκροτεῖ τὰ γενόμενα πάντα. ὁρῶν τοίνυν ἥλιον ἀνατέλλοντα, καὶ σελήνην τρέχουσαν, καὶ λίμνας, καὶ πηγὰς, καὶ ποταμοὺς, καὶ ὑετοὺς, καὶ φύσεως δρόμον τὸν ἐν τοῖς σπέρμασι, τὸν ἐν τοῖς σώμασι τοῖς ἡμετέροις, καὶ τοῖς τῶν ἀλόγων, τὰ ἄλλα πάντα δι' ὧν τόδε τὸ πᾶν συνέστηκε, μάνθανε τὴν διηνεκῆ τοῦ πατρὸς ἐργασίαν. Ματθ. ε. με. Ἀνατέλλει γὰρ τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ματθ. ϛ. λ. καὶ πάλιν· Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς πῦρ βαλλόμενον οὕτως ὁ Θεὸς ἀμφιέννυσι· καὶ περὶ τῶν πετεινῶν διαλεγόμενος, ἔλεγεν· ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. ἐνταῦθα μὲν οὖν διὰ ῥημάτων τὸ πᾶν ἐποίησεν ἐν σαββάτῳ, καὶ οὐδὲν πλέον προσέθηκεν· ἀλλ' ἀπὸ τῶν ἐν τῷ ἱερῷ γινομένων, καὶ ἀφ' ὧν αὐτοὶ πράττουσι λύει τὰ ἐγκλήματα· ἔνθα δὲ καὶ ἔργον γενέσθαι ἐκέλευσεν, οἷον, τὸ τὴν κλίνην ἆραι, οὐδὲν μέγα πρὸς τὸ πρᾶγμα συντελοῦν, ἀλλ' ἐν τούτῳ μόνον δεικνύων σαφῆ τοῦ σαββάτου τὴν λύσιν, ἐπὶ τὸ μεῖζον ἀνάγει τὸν λόγον, μᾶλλον αὐτοὺς καταπλῆξαι βουλόμενος ἀπὸ τῆς τοῦ πατρὸς ἀξίας, καὶ ἀναγαγεῖν ἐπὶ τὸ ὑψηλότερον. διὰ τοῦτο ὅταν περὶ σαββάτου ᾖ ὁ λόγος, οὔτε ὡς ἄνθρωπος μόνον ἀπολογεῖται, οὔτε ὡς Θεὸς μόνον, ἀλλὰ ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἐκείνως. ἠβούλετο γὰρ ἀμφότερα πιστεύεσθαι, καὶ τῆς οἰκονομίας τὴν συγκατάβασιν, καὶ τῆς θεότητος τὸ ἀξίωμα. διὰ τοῦτο νῦν ὡς Θεὸς ἀπολογεῖται. Εἰ γὰρ ἔμελλεν ἀπὸ τῶν ἀνθρωπίνων αὐτοῖς ἀεὶ διαλέγεσθαι μόνον, ἔμειναν ἂν ἐπὶ τῆς αὐτῆς ταπεινότητος. διόπερ ἵνα μὴ τοῦτο γένηται, τὸν πατέρα εἰς μέσον ἄγει. καίτοι καὶ αὐτὴ ἡ κτίσις ἐργάζεται ἐν σαββάτῳ (καὶ γὰρ ὁ ἥλιος τρέχει, καὶ ποταμοὶ ῥέουσι, καὶ πηγαὶ βλύζουσι, καὶ γυναῖκες τίκτουσιν) ἀλλ' ἵνα μάθῃς ὅτι οὐ τῆς κτίσεώς ἐστιν, οὐκ εἶπε, ναὶ ἐργάζομαι, καὶ γὰρ ἡ κτίσις ἐργάζεται· ἀλλὰ, ναὶ ἐργάζομαι, καὶ γὰρ ὁ πατήρ μου ἐργάζεται.

18 Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι, φησὶν, ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυσε τὸ σάββατον, ἀλλ' ὅτι καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

Καὶ οὐκ εἶπε λέγων μόνον, ἀλλὰ καὶ πράττων· οὐ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο ἐδείκνυ μόνοις, ἀλλὰ πυκνότερον ἐν τοῖς πράγμασι. τί δήποτε; ὅτι τοῖς μὲν λόγοις εἶχον ἐπισκή-

πτειν,

πλὴν, καὶ ἀλαζονείαν ἐγκαλοῦσι· τὴν δὲ τῶν πραγμάτων ὁρῶντες ἀλήθειαν ἐκβαίνουσαν, καὶ ἐπὶ τῶν ἔργων ἀνακηρυττομένην τὴν δύναμιν, οὐδὲν ἀντειπεῖν ἠδύναντο λοιπόν. ἀλλ' οἱ μὴ βουλόμενοι μετ' εὐγνωμοσύνης ταῦτα δέχεσθαί φασιν, ὅτι οὐχ ὁ Χριστὸς ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ, ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο ὑπώπτευον. οὐκοῦν ἄνωθεν φέρε τὰ εἰρημένα ἐπέλθωμεν. εἰπὲ δή μοι, ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, ἢ οὐκ ἐδίωκον; παντί που δῆλον ὅτι ἐδίωκον. καὶ διὰ τοῦτο ἐδίωκον, ἢ δι' ἕτερόν τι; καὶ τοῦτο συνομολογεῖται, ὅτι διὰ τοῦτο. ἔλυσεν οὖν τὸ σάββατον, ἢ οὐκ ἔλυσεν; οὐδὲ πρὸς τοῦτο ἔχοι τις ἂν ἀντειπεῖν. πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἢ οὐκ ἔλεγε; καὶ τοῦτο ἀληθές. οὐκοῦν καὶ τὰ ἑξῆς τῆς αὐτῆς ἀκολουθίας ἔχεται. ὥσπερ γὰρ τὸ πατέρα λέγειν ἴδιον τὸν Θεὸν, καὶ τὸ λύειν τὸ σάββατον, καὶ τὸ διώκεσθαι παρὰ τῶν Ἰουδαίων διά τε ἐκεῖνο καὶ διὰ τοῦτο μᾶλλον, οὐχ ὑπονοίας ἦν ἐψευσμένης, ἀλλὰ πράγματος ἀληθείας· οὕτω καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, τῆς αὐτῆς γνώμης ἀπόφασις ἦν. καὶ ἀπὸ τῶν ἔμπροσθεν δὲ εἰρημένων τοῦτο σαφέστερόν ἐστιν ἰδεῖν. τὸ γὰρ, ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι, ἴσον ἐστὶν ἑαυτὸν δεικνύντος τῷ Θεῷ. ʺοὐδὲ γὰρ ἐδείκνυ ἐν τούτοις οὐδεμίαν διαφοράν. οὐ γὰρ εἶπεν, ἐκεῖνος μὲν ἐργάζεται, ἐγὼ δὲ ὑπουργῶ· ἀλλ' ὥσπερ ἐκεῖνος ἐργάζεται, οὕτω καὶ ἐγὼ, καὶ ἰσότητα πολλὴν ἐπεδείξατο. εἰ δὲ οὐκ αὐτὸς τοῦτο ἐβούλετο κατασκευάσαι, ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο μάτην ὑπώπτευον· οὐκ ἂν ἀφῆκεν αὐτῶν εἶναι τὴν διάνοιαν ἐσφαλμένην, ἀλλὰ καὶ διώρθωσεν ἂν ʺτοῦτο. καὶ ὁ εὐαγγελιστὴς δὲ οὐκ ἂν αὐτὸ παρεσιώπησεν, ἀλλ' εἶπεν ἂν φανερῶς, ὅτι Ἰουδαῖοι μὲν οὕτως ὑπώπτευον, αὐτὸς δὲ οὐκ ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ· ὥσπερ καὶ ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο ποιεῖ, ὅταν ἴδῃ ἄλλως μὲν λεγόμενον, ἄλλως δὲ ὑποπτευόμενον τὸ λεχθέν· οἷον, λύσατε τὸν ναὸν τοῦτον, ἔλεγεν ὁ Χριστὸς, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, περὶ τῆς σαρκὸς αὐτοῦ λέγων. ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο μὴ συνιέντες, καὶ νομίσαντες περὶ τοῦ Ἰουδαϊκοῦ ναοῦ λέγεσθαι, ἐν τεσσαράκοντα ἓξ ἔτεσιν, ἔλεγον, ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ʺἐγείρεις αὐτόν; ἐπεὶ οὖν ἄλλο μὲν εἶπεν αὐτὸς, ἄλλο δὲ ὑπώπτευσαν ἐκεῖνοι (αὐτὸς μὲν γὰρ περὶ τῆς σαρκὸς αὐτοῦ ἔλεγεν, ἐκεῖνοι δὲ περὶ τοῦ ναοῦ τοῦ ἑαυτῶν ἐνόμιζον τοῦτο εἰρῆσθαι) ἐπισημαινόμενος τοῦτο ὁ εὐαγγελιστὴς, μᾶλλον δὲ διορθούμενος αὐτῶν τὴν ὑπόνοιαν, ἐπήγαγε λέγων· ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὥστε εἰ καὶ ἐνταῦθα Χριστὸς οὐκ ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ, οὐδὲ τοῦτο ἐβούλετο παραστῆσαι, οἱ δὲ Ἰουδαῖοι τοῦτο ὑπώπτευσαν, διώρθωσεν ἂν καὶ ἐνταῦθα τὴν ὑπόνοιαν αὐτῶν, καὶ εἶπεν· Ἰουδαῖοι μὲν ἐνόμιζον ἑαυτὸν ἴσον ποιεῖν τῷ Θεῷ, ἐκεῖνος δὲ οὐ περὶ τῆς ἰσότητος ἔλεγε. καὶ γὰρ οὐδὲ ἐνταῦθα μόνον, οὐδὲ οὗτος μόνος, ἀλλὰ καὶ ἀλλαχοῦ πάλιν τὸ αὐτὸ τοῦτο φαίνεται ποιῶν καὶ ἕτερος εὐαγγελιστής. ὅτε γὰρ παρήγγειλε τοῖς μαθηταῖς λέγων· Προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἐκεῖνοι δὲ διελογίζοντο, λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν, καὶ ἄλλο μὲν αὐτὸς εἶπε, ζύμην τὴν διδασκαλίαν καλῶν, ἄλλο δὲ ὑπώπτευσαν οἱ μαθηταὶ, περὶ ἄρτων εἰρῆσθαι νομίζοντες, διορθοῦται αὐτὸ πάλιν οὐκέτι ὁ εὐαγγελιστὴς, ἀλλ' αὐτὸς ὁ Χριστὸς, οὕτω λέγων, ʺπῶς οὐ νοεῖτε, ὅτι προσέχειν οὐ περὶ ἄρτων εἶπον ὑμῖν; ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. καὶ μὴν, φησὶν, αὐτὸ τοῦτο ἀναιρῶν, ἐπήγαγεν ὁ Χριστός,

Ματθ. 16. 6.

ʺ... οὐ γὰρ ἐδεί-
... νυ

ʺ... τούτῳ,

ʺ... ἐγερεῖς

ʺ... ὑπονοεῖτε
... συνίετε,
... οὐ περὶ ἄρ.

19 Οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. Τοὐναντίον μὲν οὖν, ἄνθρωπε, πεποίηκεν· οὐδὲ γὰρ ἀναιρῶν, ἀλλὰ καὶ ἐπισφίγγων τὴν ἰσότητα τοῦτο λέγει. ἀλλὰ προσέχετε μετ' ἀκριβείας. οὐδὲ γάρ τὸ τυχόν ἐστι τὸ ζητούμενον. τὸ γὰρ ἀφ' ἑαυτοῦ τοῦτο πολλαχοῦ τῆς γραφῆς κεῖται καὶ ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου· καὶ δεῖ μαθεῖν τῆς λέξεως τὴν δύναμιν, ἵνα μὴ τὰ μέγιστα ἁμαρτάνωμεν. εἰ γὰρ αὐτὴν καθ' ἑαυτὴν οὕτως ἐκλάβοι τις, ὥσπερ ἐστὶ πρόχειρον ἐκλαβεῖν, σκόπησον ἡλίκον ἕψεται τὸ ἄτοπον. οὐδὲ γὰρ εἶπεν, ὅτι τὰ μὲν δύναται ἀφ' ἑαυτοῦ ποιεῖν, τὰ δὲ οὐ δύναται· ἀλλὰ καθόλου φησὶν, οὐ δύνα-

ται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. ἐρωτῶ τοίνυν τὸν ἀντιλέγοντά μοι· οὐδὲν οὖν ἀφ' ἑαυτοῦ
δύναται ποιεῖν ὁ υἱός, εἰπέ μοι; κἂν εἴπῃ, ὅτι οὐδέν· ἐροῦμεν ὅτι καὶ μὴν τὸ μέγιστον τῶν ἀγαθῶν
Φιλιπ. β. ς. ζ. ἀφ' ἑαυτοῦ πεποίηκε. καὶ βοᾷ Παῦλος λέγων, Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ
ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. καὶ πάλιν
Ιωαν. ι. ιη. ιθ. αὐτὸς ὁ Χριστὸς ἀλλαχοῦ φησιν, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω
λαβεῖν αὐτήν, καὶ οὐδεὶς αὐτὴν αἴρει ἀπ' ἐμοῦ· ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ὁρᾷς καὶ
θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχοντα, καὶ τὴν τοσαύτην οἰκονομίαν ἀφ' ἑαυτοῦ ἐργασάμενον; καὶ
τί λέγω περὶ τοῦ Χριστοῦ; ἡμεῖς γάρ, ὧν οὐδὲν εὐτελέστερον γένοιτ' ἄν, πολλὰ ἀφ' ἑαυτῶν
πράττομεν, καὶ κακίαν ἀφ' ἑαυτῶν αἱρούμεθα, καὶ ἀρετὴν ἀφ' ἑαυτῶν μετερχόμεθα. εἰ δὲ
μὴ ἀφ' ἑαυτῶν, μηδὲ ἐξουσίαν ἔχοντες, οὔτε γέενναν ἁμαρτάνοντες ὑπομενοῦμεν, οὔτε
βασιλείας κατορθοῦντες ἀπολαύσομεν. τί οὖν ἐστι τό, ἀφ' ἑαυτοῦ οὐ δύναται ποιεῖν οὐδέν;
ὅτι οὐδὲν ἐναντίον τῷ πατρί, οὐδὲν ἀλλότριον, οὐδὲν ξένον δύναται ποιεῖν· ὃ μάλιστα τὴν
ἰσότητα ἐνδεικνυμένου καὶ τὴν πολλὴν συμφωνίαν ἐστί. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὅτι οὐδὲν
ἐναντίον ποιεῖ, ἀλλ' ὅτι οὐ δύναται; ἵνα κἀντεῦθεν δείξῃ πάλιν τὸ ἀπαράλλακτον καὶ τὴν
ἀκρίβειαν τῆς ἰσότητος. οὐ γὰρ ἀσθένειαν αὐτοῦ κατηγορεῖ τὸ ῥῆμα, ἀλλὰ καὶ πολλὴν αὐτοῦ δύναμιν
δείκνυσιν· ἐπεὶ καὶ ἀλλαχοῦ περὶ τοῦ πατρός φησιν ὁ Παῦλος· Ἵνα διὰ δύο πραγμάτων
β. Τιμ. β. ιβ. ιγ. ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν· καὶ πάλιν, Εἰ ἀρνησόμεθα, ἐκεῖνος
πιστὸς μένει. ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται· καὶ οὐδήπου τοῦτο τό, ἀδύνατον, δηλωτικὸν χ. ὃ δύναται
ἀσθενείας, ἀλλὰ δυνάμεώς ἐστι, καὶ δυνάμεως ἀφάτου. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν, ὅτι χ. τούτων
ἀνεπίδεκτος ἡ οὐσία ἐκείνη τῶν τοιούτων ἐστίν. ὥσπερ γὰρ ὅταν λέγωμεν καὶ ἡμεῖς, ἀδύνατον
τὸν Θεὸν ἁμαρτεῖν, οὐκ ἀσθένειαν αὐτοῦ κατηγοροῦμεν, ἀλλὰ ἄρρητόν τινα δύναμιν αὐτοῦ
ὁμολογοῦμεν· οὕτω δὴ καὶ αὐτὸς ὅταν εἴπῃ, οὐ δύναμαι ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν, τοῦτο
λέγει, ὅτι ἀδύνατον καὶ ἀνεγχώρητόν ἐστιν ἐμὲ ποιῆσαί τι ἐναντίον τῷ πατρί. καὶ ἵνα μάθῃς
ὅτι τοῦτό ἐστι τὸ λεγόμενον, τὰ ἑξῆς ἐπελθόντες, ἴδωμεν τίσι ψηφίζεται ὁ Χριστός, πότερον τοῖς
παρ' ἡμῶν λεχθεῖσιν, ἢ τοῖς παρ' ὑμῖν. σὺ μὲν γὰρ φῂς τὴν ἐξουσίαν ἀναιρεῖν τὸ ῥῆμα, καὶ τὴν ἴσ. ἡμῶν·
προσήκουσαν αὐθεντίαν αὐτοῦ, καὶ τὴν δύναμιν ἀσθενῆ δεικνύναι· ἐγὼ δέ φημι, ὅτι τὴν χ. ἐλαθερία
ἰσότητα καὶ τὸ ἀπαράλλακτον, καὶ τὸ ὡσανεὶ ἐκ μιᾶς γνώμης καὶ ἐξουσίας καὶ δυνάμεως γινόμενον
ἐμφαίνει τοῦτο. οὐκοῦν αὐτὸν ἐρώμεθα τὸν Χριστόν, καὶ ἴδωμεν δι' ὧν φησιν ἑξῆς, πότερον
πρὸς τὴν σὴν ὑπόνοιαν, ἢ πρὸς τὴν ἡμετέραν ἑρμηνεύει τὰ εἰρημένα. τί οὖν φησιν;

Ἃ γὰρ ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. Εἶδες πῶς πρόρριζον ἀνεῖλε τὸ
ὑμέτερον, καὶ τὰ εἰρημένα παρ' ἡμῶν ἐβεβαίωσε; εἰ γὰρ ἀφ' ἑαυτοῦ οὐδὲν ποιεῖ· ἔσται οὐδὲ ὁ
πατὴρ ἀφ' ἑαυτοῦ τι ποιῶν, εἴπε ὁμοίως αὐτῷ πάντα ποιεῖ. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, καὶ ἕτερον χ. ἵνα τὸ ὁμοίως μάθῃ.
ἄτοπον ἕψεται. οὐδὲ γὰρ εἶπεν, ὅτι ἃ εἶδε τὸν πατέρα ποιοῦντα, ἐποίησεν· ἀλλ', ἐὰν
μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα, οὐ ποιεῖ, τῷ παντὶ διατείνων χρόνῳ τὸν λόγον· καὶ ἔσται
καθ' ὑμᾶς ἀεὶ τὰ αὐτὰ μανθάνων. Εἶδες πῶς τὸ μὲν νόημά ἐστιν ὑψηλόν, ἡ δὲ ταπεινότης
τοῦ ῥήματος καὶ τοὺς λίαν ἀναισχύντους καὶ μὴ βουλομένους ἀναγκάζει φυγεῖν τὸ χαμαίζηλον, χ. σφόδρα
καὶ σφόδρα τῆς ἀξίας ἐκείνης ἀπᾷδον; τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς
εἰπεῖν τὸν υἱὸν καθ' ἑκάστην ἡμέραν μανθάνειν ἃ δεῖ ποιεῖν; πῶς δὲ ἔσται ἐκεῖνο ἀληθὲς τό,
Ψαλμ. ρα. κη. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι; πῶς δὲ τό, Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς
αὐτοῦ ἐγένετο οὐδὲ ἕν, εἴ γε τὰ μὲν ὁ πατὴρ ποιεῖ, τὰ δὲ αὐτὸς ὁρῶν μιμεῖται; ὁρᾷς ὅτι
καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων, καὶ ἐκ τῶν μετὰ ταῦτα λεχθέντων, δείκνυται τῆς αὐθεντίας ἡ
ἀπόδειξις; εἰ δὲ ταπεινότερον προάγει τῶν ῥημάτων ἔνια, μὴ θαυμάσῃς. ἐπειδὴ γὰρ ἐδίωκον
αὐτὸν τὰ ὑψηλὰ ἀκούσαντες, καὶ ἀντίθεον εἶναι ἐνόμιζον, ὀλίγον καθυφεὶς διὰ τῶν ῥημάτων μόνων,
πάλιν ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον, εἶτα πάλιν ἐπὶ τὰ ταπεινά, ποικίλλων

αὐτοῦ τὴν διδασκαλίαν, ὥστε εὐπαράδεκτον γενέσθαι καὶ τοῖς ἀγνώμοσι. σκόπει δέ· εἰπών, ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι, καὶ ἀποφήνας ἴσον ἑαυτὸν τῷ Θεῷ, πάλιν λέγει· Οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν ὁ υἱὸς οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. Εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. πάλιν ἐπὶ τὸ ταπεινότερον·

20 Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα. Εἶδες ὅσον πάλιν τὸ ταπεινόν; Εἰκότως. ὃ γὰρ ἔφθην εἰπών, καὶ λέγων οὐ παύσομαι, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι ἡνίκα ἂν λέγῃ τι χαμαίζηλον καὶ ταπεινόν, μεθ' ὑπερβολῆς αὐτὸ τίθησιν, ἵνα καὶ τοὺς ἀγνώμονας ἡ τῶν ῥημάτων εὐτέλεια πείσῃ μετ' εὐσεβοῦς διανοίας δέξασθαι τὰ νοήματα. ἐπεὶ εἰ μὴ τοῦτο ἐστιν, ἐννόησον πῶς ἄτοπον τὸ εἰρημένον, ἀπ' αὐτῶν τῶν ῥημάτων γυμνάζων. ὅταν γὰρ εἴπῃ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, εὑρεθήσεται πολλὰ μηδέπω μαθών· ὅπερ οὐδὲ περὶ ἀποστόλων ἐστὶν εἰπεῖν. τοῦ γὰρ πνεύματος ἅπαξ λαβόντες τὴν χάριν, ἀθρόον πάντα καὶ ᾔδεσαν καὶ ἐδύναντο ἐκεῖνοι, ἅπερ καὶ εἰδέναι αὐτοὺς καὶ δύνασθαι ἔδει· οὗτος δὲ εὑρεθήσεται πολλά, ὧν εἰδέναι ἐχρῆν, μηδέπω μαθών. καὶ τί τούτου γένοιτ' ἂν ἀτοπώτερον; τί οὖν ἐστι τὸ εἰρημένον; ἐπειδὴ τὸν παράλυτον ἔσφιγξε, μέλλει δὲ νεκρὸν ἐγείρειν, διὰ τοῦτο οὕτως εἶπε, μονονουχὶ τοῦτο λέγων· θαυμάζετε ὅτι παράλυτον ἔσφιγξα; μείζονα τούτων ὄψεσθε. ἀλλ' οὕτω μὲν οὐκ εἶπε, ταπεινότερον δέ πως διέξεισιν, ἵνα αὐτῶν παραμυθήσηται τὴν μανίαν. καὶ ἵνα μάθῃς ὅτι τό, δείξει, οὐ κυρίως εἴρηται, ἄκουσον τῶν ἑξῆς πάλιν.

εἰκότως
ἐρθ.

θεραπεύσῃ

21 Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, φησιν, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. Καίτοι τό, οὐδὲν δύναται ἀφ' ἑαυτοῦ ποιεῖν, τῷ, οὓς θέλει, ἐναντίον ἐστίν. εἰ γὰρ οὓς θέλει, δύναται ἀφ' ἑαυτοῦ ποιεῖν (τὸ γὰρ θέλειν ἐξουσίας) εἰ δὲ οὐ δύναται ἀφ' ἑαυτοῦ, οὐκέτι οὓς θέλει. τὸ μὲν γάρ, ὥσπερ ὁ πατὴρ ἐγείρει, τῆς δυνάμεως δείκνυσι τὴν ἀπαραλλαξίαν· τὸ δέ, οὓς θέλει, τῆς ἐξουσίας τὴν ἰσότητα. ὁρᾷς ὅτι τό, οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν, οὐ τὴν ἐξουσίαν ἀναιροῦντός ἐστιν, ἀλλὰ τὸ ἀπαράλλακτον τῆς δυνάμεως καὶ τοῦ θελήματος ἐνδεικνυμένου; οὕτω καὶ τό, δείξει αὐτῷ, νόησον. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· Ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ πάλιν δεικνὺς ὅτι οὐκ ἐνέργειαν δεχόμενος ποιεῖ, Ἐγώ εἰμι ἡ ἀνάστασις, φησι, καὶ ἡ ζωή. Εἶτα, ἵνα μὴ λέγῃς, ὅτι νεκροὺς μὲν ἐγείρει οὓς θέλει καὶ ζωοποιεῖ, τὰ δὲ ἄλλα οὐχ οὕτω ποιεῖ, προλαβὼν πᾶσαν ἀπέκλεισεν ἀντιλογίαν τοιαύτην, εἰπών· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· δηλῶν, ὅτι καὶ πάντα ἃ ἐκεῖνος, καὶ οὕτως ὡς ἐκεῖνος ποιεῖ, κἂν νεκρῶν λέγῃς ἀνάστασιν, κἂν σωμάτων διάπλασιν, κἂν ἁμαρτημάτων ἄφεσιν, κἂν ἀλλοτιοῦν, ὁμοίως ἐργάζεται τῷ γεγεννηκότι.

Ιωαν. ια. κδ.

ΗΘΙΚΟΝ

Ἀλλ' οὐδενὶ τούτων προσέχουσιν οἱ τῆς ἑαυτῶν ἀμελοῦντες σωτηρίας· τοσοῦτον κακὸν τὸ προεδρίας ἐρᾶν. τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο τὴν τῶν ἑλλήνων ἐβεβαίωσεν ἀσέβειαν. ὁ μὲν γὰρ Θεὸς τὰ ἀόρατα αὐτοῦ ἠβούλετο διὰ τῆς κτίσεως τοῦ κόσμου νοηθῆναι τούτου· ἐκεῖνοι δὲ ταῦτα ἀφέντες, καὶ ἀπαξιώσαντες διὰ ταύτης ἐλθεῖν τῆς διδασκαλίας, ἑτέραν ἔτεμον ἑαυτοῖς ὁδόν· διὸ καὶ τῆς οὔσης ἐξέπεσαν. καὶ Ἰουδαῖοι μὲν οὐκ ἐπίστευσαν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ Θεοῦ δόξαν οὐ ζητοῦντες. ἀλλ' ἡμεῖς, ἀγαπητοί, τοῦτο φύγωμεν τὸ νόσημα μεθ' ὑπερβολῆς καὶ σπουδῆς ἁπάσης. κἂν γὰρ μυρία κατορθώματα ἔχωμεν, πάντα ἱκανὴ διαλῦσαι τῆς κενοδοξίας ἡ λύμη. εἰ τοίνυν ἐπαίνων ἐρῶμεν, τοὺς παρὰ τῷ Θεῷ ζητῶμεν ἐπαίνους. ὁ μὲν γὰρ παρὰ τῶν ἀνθρώπων ἔπαινος, οἷος ἂν ᾖ, ὁμοῦ τε ἐφάνη καὶ ἀπώλετο· κἂν μὴ ἀπόληται, τὸ κέρδος οὐδὲν ἡμῖν ἤνεγκε, καὶ ἀπὸ κρίσεως δὲ γίνεται διεφθαρμένης πολλάκις. τί γὰρ θαυμαστὸν ἡ παρὰ ἀνθρώπων ἔχει δόξα· ἧς καὶ ὀρχούμενοι ἀπολαύουσι νέοι, καὶ διεφθαρμέναι γυναῖκες, καὶ πλεονέκται καὶ ἅρπαγες; ὁ δὲ παρὰ τοῦ Θεοῦ θαυμαζόμενος, οὐ μετὰ τούτων, ἀλλὰ μετὰ τῶν ἁγίων ἐκείνων θαυμάζεται, τῶν προφητῶν

ἀνθρώπων

λέγω, τῶν ἀποστόλων, τῶν ἀγγελικὸν ἐπιδειξαμένων βίον. Εἰ δὲ τὸ περιάγειν ὄχλους καὶ τὸ ἀποβλέπεσθαι ποθοῦμεν, ἐξετάσωμεν αὐτὸ καθ' ἑαυτὸ, καὶ οὐδενὸς ἄξιον εὑρήσομεν ὄν. Ὅλως δὲ, εἰ καὶ ὄχλων ἐρᾷς, ἐφέλκου τὸν δῆμον τῶν ἀγγέλων, καὶ γίνου φοβερὸς δαίμοσι, καὶ τῶν ἀνθρωπίνων οὐδένα ποιήσῃ λόγον, ἀλλὰ πάντα οὕτω καταπατήσεις τὰ λαμπρὰ, ὡς βόρβορον καὶ πηλόν· καὶ ὄψει τότε σαφῶς, ὅτι οὐδὲν οὕτω παρασκευάζει ψυχὴν ἀσχημονεῖν, ὡς τὸ δόξης ἐρᾷν. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ταύτης ἐρῶντα, ζῆσαι βίον ἐσταυρωμένον· ὥσπερ οὖν οὐκ ἔστι πατήσαντα ταύτην, μὴ τὰ πλείονα τῶν παθῶν καταπατῆσαι. ὁ γὰρ ταύτης περιγινόμενος, καὶ φθόνου, καὶ φιλοχρηματίας, καὶ πάντων περιέσται τῶν χαλεπῶν νοσημάτων. Καὶ πῶς αὐτῆς περιεσόμεθα, φησιν; ἂν πρὸς τὴν ἄλλην ἴδωμεν δόξαν τὴν ἐκ τῶν οὐρανῶν, ἧς ἐκβάλλειν ἡμᾶς αὕτη βιάζεται. ἐκείνη γὰρ καὶ ἐνταῦθα ποιεῖ λαμπροὺς, καὶ μετὰ ἡμῶν πρὸς τὴν μέλλουσαν συναποδημεῖ ζωὴν, καὶ πάσης ἡμᾶς ἐλευθεροῖ δουλείας σαρκικῆς, ᾗ μετὰ πολλῆς ἀθλιότητος δουλεύομεν νῦν, ὅλους ἑαυτοὺς τῇ γῇ καὶ τοῖς ταύτης ἐκδόντες πράγμασι. κἂν εἰς ἀγορὰν ἐμβάλῃς, κἂν εἰς οἰκίαν εἰσέλθῃς, κἂν εἰς τὰς ὁδοὺς, κἂν εἰς τοὺς σταθμοὺς, κἂν εἰς τὰ καταγώγια, κἂν εἰς τὰ πανδοχεῖα, κἂν εἰς πλοῖον, κἂν εἰς νῆσον, κἂν εἰς τὰ βασίλεια, κἂν εἰς τὰ δικαστήρια, κἂν εἰς βουλευτήρια, πανταχοῦ τῶν παρόντων καὶ τῶν βιωτικῶν πραγμάτων ὄψει τὴν φροντίδα, καὶ ἕκαστον ὑπὲρ τούτων κοπτόμενον, τούς τε ἀπιόντας, τούς τε ἐπιόντας, τοὺς ἀποδημοῦντας, τοὺς μένοντας, τοὺς πλέοντας, τοὺς γεωργοῦντας, τοὺς ἐν τοῖς ἀγροῖς, τοὺς ἐν ταῖς πόλεσι, πάντας ἁπλῶς. Τίς οὖν ἡμῖν ἐλπὶς σωτηρίας ἔσται, ὅταν τὴν γῆν οἰκοῦντες τὴν Θεοῦ, μὴ τὰ τοῦ Θεοῦ φρονῶμεν, ἀλλὰ κελευσθέντες εἶναι ξένοι τῶν ἐνταῦθα, ξένοι τῶν οὐρανῶν ὦμεν, καὶ τῶν ἐνταῦθα πολῖται; Τί ταύτης τῆς ἀναισθησίας χεῖρον γένοιτ' ἂν, ὅταν καθ' ἑκάστην ἡμέραν τὰ τῆς κρίσεως, τὰ τῆς βασιλείας ἀκούοντες, τοὺς ἐπὶ τοῦ Νῶε μιμώμεθα καὶ τοὺς ἐν Σοδόμοις, τῇ πείρᾳ τῶν πραγμάτων μένοντες πάντα μαθεῖν; καίτοιγε διὰ τοῦτο ἐκεῖνα πάντα γέγραπται, ἵνα εἴ τις τοῖς μέλλουσιν ἀπιστεῖ, ἀπὸ τῶν ἤδη γεγενημένων σαφῆ λάβῃ καὶ περὶ τῶν μελλόντων τὴν ἀπόδειξιν. Ταῦτα οὖν ἐννοοῦντες καὶ τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα, μικρὸν γοῦν ἀναπνεύσωμεν τῆς χαλεπῆς ταύτης δουλείας, καὶ ἵνα καὶ τῆς ψυχῆς ποιησώμεθα λόγον· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. λθ. 22 Ο ΠΑΤΗΡ ΜΟΥ ΟΥ ΚΡΙΝΕΙ ΟΥΔΕΝΑ, ΑΛλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ· 23 Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα.

Πολλῆς ἡμῖν δεῖ τῆς σπουδῆς ἐν ἅπασιν, ἀγαπητοί. καὶ γὰρ λόγον δώσομεν καὶ εὐθύνας ὑφέξομεν ἀκριβεῖς καὶ ῥημάτων καὶ πραγμάτων. οὐ γὰρ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἕστηκεν, ἀλλὰ καὶ ἑτέρα τις ἡμᾶς ἐντεῦθεν ἐκδέξεται ζωῆς κατάστασις, καὶ δικαστηρίῳ παραστησόμεθα φοβερῷ. β. Κορ. ε. ι. Δεῖ γὰρ ἡμᾶς παραστῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. τοῦτο τοίνυν τὸ δικαστήριον ἐννοῶμεν ἀεὶ, καὶ οὕτω δυνησόμεθα διὰ παντὸς τοῦ χρόνου εἶναι ἐν ἀρετῇ. ὥσπερ γὰρ ὁ τῆς ψυχῆς ἐκβαλὼν τὴν ἡμέραν ἐκείνην, καθάπερ ἵππος τὸν χαλινὸν ἀπορρήξας, εἰς κρημνοὺς φέρεται Ψαλμ. θ. κζ. (Βεβηλοῦνται γὰρ αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· διὸ καὶ τὴν αἰτίαν τιθεὶς, ἐπήγαγεν· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ) οὕτως ὁ διὰ παντὸς τοῦτον ἔχων τὸν φόβον,

βον, σωφρόνως βαδιεῖται. Ἀναμιμνήσκου γάρ, φησι, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσῃς. ὁ γὰρ ἀφεὶς ἡμῖν τὰ ἁμαρτήματα νῦν, οὗτος καθεδεῖται δικάζων τότε· ὁ ἀποθανὼν δι' ἡμᾶς, οὗτος φανεῖται πάλιν κρίνων τὴν φύσιν ἅπασαν. ἐκ δευτέρου γάρ, φησι, χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. διὸ καὶ ἐνταῦθα ἔλεγεν· Ὁ πατήρ μου οὐ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα. οὐκοῦν καὶ πατέρα αὐτὸν προσερεῖς, φησιν; ἄπαγε· διὰ γὰρ τοῦτο εἶπε τὸν υἱόν, ἵνα μένοντα υἱὸν τιμῶμεν, ὡς τὸν πατέρα· ὁ δὲ πατέρα αὐτὸν λέγων, οὐκέτι τὸν υἱὸν ὡς πατέρα ἐτίμησεν, ἀλλὰ τὸ πᾶν συνέχεεν. ἐπεὶ τοίνυν εὐεργετούμενοι οἱ ἄνθρωποι οὐχ οὕτω προσέχουσιν, ὡς τιμωρούμενοι· διὰ τοῦτο οὕτως εἶπε φοβερῶς, ἵνα κἂν ὁ φόβος εἰς τιμὴν ἑαυτοῦ ἐπισπάσηται. πᾶσαν δὲ ὅταν εἴπῃ, τοῦτο λέγει, ὅτι καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν ἐστὶ κύριος, καὶ ἑκάτερα ποιεῖ, ὡς ἂν ἐθέλῃ. τὸ δέ, δέδωκεν, εἴρηται, ἵνα μὴ ἀγέννητον αὐτὸν ὑποπτεύσῃς, μηδὲ δύο πατέρας εἶναι νομίσῃς. πάντα γὰρ ὅσα ἐστὶν ὁ πατήρ, ταῦτά ἐστι καὶ ὁ υἱός, γεννηθείς, καὶ μένων ἐν τῷ εἶναι υἱός. καὶ ἵνα μάθῃς, ὅτι τό, ἔδωκεν, ἴσον τῷ ἐγέννησέν ἐστιν, ἄκουσον ἐξ ἑτέρου τοῦτο αὐτοῦ δηλούμενον. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, φησιν, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. τί οὖν; πρότερον αὐτὸν ἐγέννησε, καὶ τότε ἔδωκε τὴν ζωήν; ὁ γὰρ διδούς, ὅν τινι δίδωσιν. οὐκοῦν ἦν τῆς ζωῆς χωρὶς γεννηθείς; ἀλλὰ τοῦτο οὐδ' ἂν δαίμονες ὑποπτεύσαιεν· μετὰ γὰρ τῆς ἀσεβείας πολὺ καὶ τὸ ἀνόητον ἔχει. ὥσπερ οὖν τό, ἔδωκε ζωήν, ἐγέννησεν αὐτὸν ζωήν ἐστιν· οὕτω καὶ τό, ἔδωκε κρίσιν, κριτὴν αὐτὸν ἐστιν ἐγέννησεν. ἵνα γὰρ μή, ἀκούων ὅτι αἴτιον ἔχει τὸν πατέρα, παραλλαγὴν οὐσίας νομίσῃς καὶ τιμῆς ἐλάττωσιν, αὐτὸς ἔρχεταί σε κρίνων, τὴν ἰσότητα καὶ ἐντεῦθεν δεικνύς. ὁ γὰρ ἔχων ἐξουσίαν κολάζειν καὶ τιμᾶν οὓς βούλεται, τὰ αὐτὰ δύναται τῷ πατρί. ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλ' ὕστερον γεννηθεὶς ἔλαβε τὴν τιμήν, τί γέγονεν ὥστε αὐτὸν ὕστερον τιμηθῆναι; ἐκ ποίας ἐπὶ τοῦτο ἦλθε προκοπῆς, ὥστε τὴν ἀξίαν ταύτην λαβεῖν καὶ χειροτονηθῆναι; οὐκ αἰσχύνεσθε τὰ ἀνθρώπινα ταῦτα καὶ εὐτελῆ νοήματα τῇ ἀκηράτῳ φύσει καὶ οὐδὲν ἐπείσακτον ἐχούσῃ ἀναισχύντως οὕτως ἐπεισάγοντες; τίνος οὖν ἕνεκεν οὕτω φθέγγεται, φησιν; ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ τοῖς ὑψηλοῖς προοδοποιῆσαι ῥήμασι· διὰ τοῦτο ἀναμίγνυσι ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις. καὶ ὅρα πῶς· καλὸν γὰρ ἐξ ἀρχῆς ταῦτα ἰδεῖν. ὁ πατήρ μου ἐργάζεται, φησι, κἀγὼ ἐργάζομαι, δεικνὺς ἐκ τούτων τὸ ἴσον καὶ τὸ ὁμότιμον. ἀλλ' ἠθέλησαν αὐτὸν ἀποκτεῖναι. τί οὖν ποιεῖ λοιπόν; τῇ λέξει μὲν καθυφίησι, τὰ νοήματα δὲ τὰ αὐτὰ τίθησιν, οὕτω λέγων· οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ ἀνάγει τὸν λόγον, ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, λέγων. εἶτα πάλιν ἐπὶ τὸ ταπεινότερον· ὁ γὰρ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ. εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. καὶ μετὰ τοῦτο πάλιν τὸ ταπεινὸν ὁμοῦ καὶ ὑψηλόν· οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ. εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον· ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα. εἶδες πῶς τὸν λόγον ποικίλλει, δι' ὑψηλῶν τε καὶ ταπεινῶν αὐτὸν ὑφαίνων ὀνομάτων τε καὶ ῥημάτων, ὥστε καὶ τοῖς τότε γενέσθαι εὐπαράδεκτον, καὶ τοὺς μετὰ ταῦτα μηδὲν βλαβῆναι, ἀπὸ τῶν ὑψηλῶν καὶ περὶ τῶν ἑτέρων τὴν προσήκουσαν λαβόντας ἔννοιαν; εἰ γὰρ μὴ τοῦτό ἐστι, μηδὲ συγκαταβάσεως ἕνεκεν εἴρηται τὰ εἰρημένα, τίνος ἕνεκεν τὰ ὑψηλὰ προσέκειτο; ὁ μὲν γὰρ ὀφείλων μεγάλα περὶ ἑαυτοῦ φθέγγεσθαι, ὅταν μικρόν τι εἴπῃ καὶ ταπεινόν, πρόφασιν εὐπρόσωπον ἔχει, οἰκονομίας τινὸς ἕνεκεν τοῦτο ποιῶν. ὁ δὲ εὐτελῆ λέγειν ὀφείλων περὶ ἑαυτοῦ, ἂν μέγα τι εἴπῃ, τίνος ἕνεκεν τὰ ὑπερβαίνοντα αὐτοῦ τὴν φύσιν φθέγγεται; τοῦτο γὰρ οὐκέτι οἰκονομίας τινός, ἀλλ' ἐσχάτης ἀσεβείας ἐστίν. ὥστε ἡμεῖς μὲν δικαίαν καὶ τῷ Θεῷ πρέπουσαν αἰτίαν ἔχομεν εἰπεῖν τῶν ταπεινῶν ῥημάτων, τὴν συγκατάβα-

Σειρ. ζ. λϛ.

Εβρ. θ. κη.

πίνων

ὁ χριστὸς ἐν-
ῦθα δηλῶν
ω·

ἐπειδὴ γὰρ
οὐχ οὕτως
θάνονται,
ὶν τὴν κρί-
δέδωκεν
ῷ, φησιν,

άπαντας οὓς
θέλῃ.
ἐστὶ τῷ πα-

τῷ υἱῷ,
ἔδωκε τοῦ-
, τὸ οὐ γ.

ἀ γέννητον

ὅρα γοῦν
ἀρχῆς·
ἐδίδαξεν
πάλιν;

ρητικῶν
τῷ μεγάλα

διαπαντός,
ος
φθέγγεσθαι
ῆς
ἀγνοίας

σιν, καὶ τὸ παιδεύειν μετειάζειν, καὶ τὴν διὰ ταύτης ἡμῖν οἰκονομουμένην σωτηρίαν· ὃ καὶ αὐτὸς δηλῶν ἔλεγεν ἀλλαχοῦ, Ταῦτα δὲ λέγω, ἵνα ὑμεῖς σωθῆτε. ἐπειδὴ γὰρ εἰς τὴν Ἰωάννου κατέφυγε μαρτυρίαν, τὴν ἑαυτοῦ ἀφείς· ὅπερ ἀνάξιον αὐτοῦ τῆς μεγαλωσύνης ἦν, τῆς εὐτελείας [τῆς] τοσαύτης τῶν ῥημάτων τιθεὶς τὴν αἰτίαν, ἔλεγε· Ταῦτα δὲ λέγω ἵνα ὑμεῖς σωθῆτε. ὑμεῖς δὲ οἱ λέγοντες μὴ ἔχειν αὐτὸν τὴν αὐτὴν ἐξουσίαν καὶ τὴν δύναμιν τῷ γεγεννηκότι, τί ἂν εἴπητε, ὅταν ἀκούσητε αὐτοῦ φθεγγομένου, δι' ὧν ἴσην δείκνυσι τὴν πρὸς τὸν πατέρα καὶ δύναμιν καὶ ἐξουσίαν καὶ δόξαν; τίνος δὲ ἕνεκεν καὶ τὴν αὐτὴν τιμὴν ἀπαιτεῖ σφόδρα καταδεέστερος ὤν, ὥς φατε; καὶ οὐδὲ ἐνταῦθα ἵσταται μόνον, ἀλλὰ καὶ ἐπάγει λέγων·

Ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. Ὁρᾷς πῶς συμπλέκεται ἡ τιμὴ τοῦ υἱοῦ τῇ τιμῇ τοῦ πατρός; καὶ τί τοῦτό, φησι; τοῦτο γὰρ καὶ ἐπὶ τῶν ἀποστόλων ἐστὶν ἰδεῖν. ὁ γὰρ δεχόμενός, φησιν, ὑμᾶς, ἐμὲ δέχεται. ἀλλ' ἐκεῖ μέν, ἐπειδὴ τὰ τῶν δούλων οἰκειοῦται τῶν ἑαυτοῦ, διὰ τοῦτο ταῦτά φησιν· ἐνταῦθα δέ, ἐπειδὴ μία ἐστὶν ἡ οὐσία καὶ ἡ δόξα. διὰ τοῦτο ἐπὶ μὲν τῶν ἀποστόλων οὐκ εἴρηται, ἵνα τιμῶσι. καλῶς δὲ εἶπεν, ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα. καὶ γάρ, δύο βασιλέων ὄντων, εἰ ὁ εἷς ὑβρίζοιτο, συνυβρίζεται καὶ ὁ ἕτερος, καὶ μάλιστα ὅταν ὁ ὑβριζόμενος υἱὸς ᾖ. ὑβρίζεται μὲν γὰρ καὶ ὁπλίτου παροινηθέντος, ἀλλ' οὐχ ὁμοίως, ἀλλ' ὡς διὰ μέσου. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὡς δι' ἑαυτοῦ. διὰ τοῦτο προλαβὼν εἶπεν· ἵνα τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα, ἵν', ὅταν εἴπῃ, ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα, τὴν αὐτὴν ″ ἐννοήσῃς τιμήν. οὐ γὰρ ἁπλῶς ὁ μὴ τιμῶν, ἀλλ' ὁ μὴ τιμῶν οὕτως, ὡς εἶπον, φησίν, οὐ τιμᾷ τὸν πατέρα. καὶ πῶς, φησί, τῆς αὐτῆς οὐσίας ὁ πέμπων καὶ ὁ πεμπόμενος; πάλιν ἐπὶ τὰ ἀνθρώπινα καταφέρεις τὸν λόγον, καὶ οὐκ ἐννοεῖς ὅτι ταῦτα πάντα δι' οὐδὲν ἕτερον εἴρηται, ἀλλ' ἵνα καὶ τὸ αἴτιον ἴδωμεν, καὶ εἰς τὴν Σαβελλίου μὴ καταπέσωμεν νόσον, καὶ τῶν Ἰουδαίων ἡ ἀσθένεια τοῦτον θεραπευθῇ τὸν τρόπον, ″ ὥστε μὴ νομισθῆναι αὐτὸν ἀντίθεον εἶναι παρ' αὐτοῖς. καὶ γὰρ ἔλεγον, οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· οὗτος ἀπὸ Θεοῦ οὐκ ἐλήλυθε. πρὸς δὲ τὸ τὴν ὑποψίαν ταύτην ἀνελεῖν, οὐχ οὕτω τὰ ὑψηλὰ ὡς τὰ ταπεινὰ συνεβάλλετο. διὰ τοῦτο συνεχῶς ἄνω καὶ κάτω ἔλεγεν ἀπεστάλθαι, οὐχ ἵνα ἐλάττωσιν τινα αὐτοῦ ″ νομίσῃς εἶναι τὸ ῥῆμα, ἀλλ' ἵνα ἐμφράξῃ τὰ ἐκείνων στόματα. διὰ τοῦτο καὶ καταφεύγει συνεχῶς ἐπὶ τὸν πατέρα, τιθεὶς μεταξὺ καὶ τὴν οἰκείαν ″ εὐγένειαν. εἴτε γὰρ πάντα πρὸς τὴν ἀξίαν ἔλεγε τὴν ἑαυτοῦ, οὐκ ἂν ἐδέξαντο τὰ λεγόμενα ἐκεῖνοι, ὅπουγε καὶ ἀπὸ ὀλίγων τοιούτων ῥημάτων ἐδίωξάν τε αὐτὸν καὶ ἐλίθασαν πολλάκις· εἴτε πρὸς ἐκείνους ἀφορῶν πάντα ἐφθέγγετο ταπεινά, μετὰ ταῦτα πολλοὶ ἐβλάβησαν ἄν. διόπερ ἀναμίγνυσι καὶ κιρνᾷ τὴν διδασκαλίαν, καὶ διὰ τούτων, ὅπερ ἔφην, τῶν ταπεινῶν ἐμφράττων τὰ ἐκείνων στόματα, καὶ διὰ τῶν πρὸς τὴν ἀξίαν λεχθέντων τὴν εὐτελῆ τῶν εἰρημένων ″ ἀποκρουόμενος ἔννοιαν παρὰ τοῖς νοῦν ἔχουσι, καὶ δεικνὺς οὐδὲν αὐτῷ προσήκουσαν ὅλως. τὸ γὰρ πεμφθῆναι, μεταβάσεώς ἐστιν· ὁ δὲ Θεὸς πανταχοῦ πάρεστι. ″ τίνος οὖν ἕνεκέν φησιν ἀπεστάλθαι; παχύτερα λέγει, τὴν πρὸς τὸν πατέρα ὁμόνοιαν δηλῶν. οὕτω γοῦν καὶ τὰ ἑξῆς σχηματίζει ῥήματα, τοῦτο κατασκευάσαι θέλων.

24 Ἀμὴν γάρ, ἀμὴν λέγω ὑμῖν, φησίν, ὁ ἀκούων μου τοὺς λόγους, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον. Ὁρᾷς πῶς συνεχῶς τὸ αὐτὸ τίθησι, θεραπεύων ἐκείνην τὴν ὑποψίαν, καὶ ἐντεῦθεν καὶ διὰ τῶν ἑξῆς, καὶ φόβῳ καὶ εὐεργεσίας ἐπαγγελίᾳ τὴν πρὸς αὐτὸν φιλονεικίαν καταλύων, κἀντεῦθεν πάλιν καταβαίνων πολὺ τοῖς ῥήμασιν; οὐ γὰρ εἶπεν, ὁ ἀκούων μου τοὺς λόγους, καὶ πιστεύων ἐμοί. ἢ γὰρ ἂν τῦφον τὸ πρᾶγμα ἐνόμισαν εἶναι καὶ κόμπον ῥημάτων περιττόν. εἰ γὰρ μετὰ τοσοῦτον χρόνον καὶ μυρία θαύματα τοῦτο ὑπώπτευον, φθεγξαμένου αὐτοῦ οὕτω, πολλῷ μᾶλλον τότε. διὸ καὶ ἔλεγον αὐτῷ τότε· Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται ἀπέθανον· πῶς σὺ λέγεις, ″ ἐάν τις τὸν λόγον μου τηρήσῃ εἰς τὸν αἰῶνα,

Ιωαν. η. νβ.

αἰῶνα, οὐ μὴ γεύσεται θανάτου; ἵν' οὖν μὴ καὶ ἐνταῦθα ἐκθηλωθῶσιν, ὅρα τί φησιν· ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον. τοῦτο δὲ οὐ μικρῶς εὐπαράδεκτον ἐποίει τὸν λόγον, τῷ μαθεῖν αὐτοὺς, ὅτι τῷ πατρὶ πιστεύουσιν οἱ αὐτοῦ ἀκούοντες. τοῦτο γὰρ δεξάμενοι μετὰ προθυμίας, καὶ τὰ λοιπὰ ἔμελλον εὐκολώτερον δέχεσθαι· ὥστε καὶ τὸ ταπεινόν τι εἰπεῖν, τοῖς ὑψηλοῖς συνετέλει καὶ προωδοποίει. εἰπὼν δὲ, ἔχει ζωὴν αἰώνιον, ἐπάγει, Καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Δύο τούτοις εὐπαράδεκτον ποιεῖ τὸν λόγον, καὶ τῷ τὸν πατέρα εἶναι τὸν πιστευόμενον, καὶ τῷ πολλῶν ἀπολαύειν ἀγαθῶν τὸν πειθόμενον. τὸ δὲ εἰς κρίσιν οὐκ ἔρχεται, τουτέστιν, οὐ κολάζεται. θάνατον γὰρ οὐ τοῦτόν φησι τὸν ἐνταῦθα, ἀλλὰ τὸν αἰώνιον, ὥσπερ οὖν καὶ ζωὴν ἐκείνην τὴν ἀθάνατον.

25 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσουσιν. Εἰπὼν τὰ ῥήματα, λέγει καὶ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν. ἐπειδὴ γὰρ ἔλεγεν, ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· ἵνα μὴ δόξῃ κόμπος εἶναι τὸ πρᾶγμα καὶ τῦφος, παρέχεται καὶ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν, λέγων· ἔρχεται ὥρα. εἶτα, ἵνα μὴ μακρὸν ὑποπτεύσῃς χρόνον, φησί· καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. εἶδες αὐθεντίαν ἐνταῦθα καὶ ἐξουσίαν ἄφατον; ὥσπερ γὰρ ἐν τῇ ἀναστάσει, οὕτω καὶ νῦν ἔσται, φησί. καὶ γὰρ τότε φωνῆς ἀκούσαντες ἐπιταττούσης, ἐγειρόμεθα· Ἐν κελεύσματι γάρ, φησι, * τοῦ Θεοῦ οἱ νεκροὶ * ἀναστήσονται. καὶ πόθεν δῆλον τοῦτό, φησιν, ὅτι οὐ κόμπος τὰ εἰρημένα; ἐξ ὧν ἐπήγαγεν, ὅτι καὶ νῦν ἐστιν. εἰ μὲν γὰρ εἰς τὸν μέλλοντα μόνον ἐπήγγελτο χρόνον, ἔμελλεν ὁ λόγος ὕποπτος εἶναι παρ' αὐτοῖς· νυνὶ δὲ παρέχει τὴν ἀπόδειξιν. ἐμοῦ γάρ, φησι, διατρίβοντος μεθ' ὑμῶν, τοῦτο γενήσεται· οὐκ ἂν δὲ, μὴ δυνάμενος, ἐπηγγείλατο κατὰ τὸν καιρὸν ἐκεῖνον, ὥστε μὴ πλείονα γέλωτα ὀφλεῖν ἐκ τῆς ὑποσχέσεως. εἶτα καὶ λογισμὸν ἐπάγει τῶν εἰρημένων ἀποδεικτικὸν, λέγων·

26 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Ὁρᾷς τὸ ἀπαράλλακτον καὶ ἐνὶ μόνῳ τὴν διαφορὰν ἐμφαῖνον, τῷ τὸν μὲν, πατέρα εἶναι, τὸν δὲ, υἱόν; ἡ γὰρ, ἔδωκε, λέξις, ταύτην εἰσάγει τὴν διαίρεσιν μόνην, τὰ δὲ ἄλλα πάντα ἴσα καὶ ἀπαράλλακτα δείκνυσιν. ὅθεν δῆλον ὅτι μετὰ τοσαύτης ἐξουσίας πάντα ποιεῖ καὶ δυνάμεως, μεθ' ὅσης καὶ ὁ πατήρ, καὶ οὐχ ἑτέρωθεν δυναμούμενος. οὕτω γὰρ ἔχει ζωὴν, ὥσπερ ὁ πατήρ. διὰ δὴ τοῦτο καὶ τὸ ἐφεξῆς εὐθέως προσέθηκε πάλιν, ἵνα ἀπὸ τούτου κἀκεῖνο νοήσωμεν. ποῖον δὴ τοῦτο; τὸ, ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν. καὶ τίνος ἕνεκεν ἀνάστασιν καὶ κρίσιν ἄνω καὶ κάτω στρέφει; ὥσπερ γὰρ ὁ πατήρ, φησιν, ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. καὶ πάλιν, ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ. καὶ πάλιν, ὥσπερ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ πάλιν, οἱ ἀκούσαντες τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ ζήσουσι· καὶ ἐνταῦθα δὲ πάλιν, ἔδωκεν αὐτῷ ἐξουσίαν καὶ κρίσιν ποιεῖν. τίνος οὖν ἕνεκεν ταῦτα στρέφει συνεχῶς, κρίσιν λέγω καὶ ζωὴν καὶ ἀνάστασιν; ὅτι ταῦτα μάλιστα πάντων ἐστὶ τὰ καὶ ἐπάγεσθαι δυνάμενα καὶ τὸν ἀνένδοτον ἀκροατήν. ὁ γὰρ πεισθεὶς, ὅτι καὶ ἀναστήσεται, καὶ τούτῳ δώσει τὰς εὐθύνας τῶν πεπλημμελημένων, εἰ καὶ μηδὲν ἕτερον εἶδε σημεῖον, τοῦτο καταδεξάμενος, προσδραμεῖται πάντως, ἥμερον κατασκευάζων ἑαυτῷ τὸν δικαστήν.

Ὅτι υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο. Παῦλος μὲν ὁ Σαμοσατεὺς οὐχ οὕτω φησὶν, ἀλλὰ πῶς; ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. ἀλλ' οὐδεμίαν ἀκολουθίαν ἔχει τοῦτο οὕτω λεγόμενον. οὐ γὰρ διὰ τοῦτο ἔλαβε κρίσιν ὅτι ἄνθρωπός ἐστιν (ἐπεὶ, τί ἐκώλυε πάντας ἀνθρώπους εἶναι κριτάς;) ἀλλ' ἐπειδὴ τῆς ἀρρήτου οὐσίας ἐκείνης ἐστὶν υἱός, διὰ τοῦτο καὶ κριτής ἐστιν. οὕτω τοίνυν ἀναγνωστέον· ὅτι υἱὸς ἀνθρώπου ἐστί, μὴ θαυμάζετε τοῦτο. ἐπειδὴ γὰρ ἐδόκει τοῖς ἀκούουσι προσίστασθαι τὸ λεγόμενον, καὶ πλέον οὐδὲν ἐνόμιζον εἶναι ἢ ψιλὸν ἄνθρωπον, τὰ δὲ λεγόμενα μείζονα ἢ κατὰ ἄνθρωπον ἦν, μᾶλλον δὲ μείζονα ἢ κατὰ ἄγγελον, καὶ Θεοῦ μόνου· ταύτην λύων τὴν ἀντίθεσιν, ἐπήγαγε·

28 Μὴ θαυμάζετε, ὅτι υἱὸς ἀνθρώπου ἐστίν· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ·

29 Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Καὶ τίνος ἕνεκεν οὐκ εἶπε, μὴ θαυμάζετε ὅτι υἱὸς ἀνθρώπου ἐστί· καὶ γὰρ καὶ υἱὸς Θεοῦ ἐστιν· ἀλλὰ τῆς ἀναστάσεως ἐμνημόνευσεν; ἔθηκε μὲν αὐτὸ ἀνωτέρω λέγων, ἀκούσουσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ. εἰ δὲ ἐνταῦθα ἀπεσιώπησε, μὴ θαυμάσῃς. τὸ γὰρ ἔργον εἰπών, ὃ Θεοῦ ἴδιον ἦν, δίδωσι τοῖς ἀκροωμένοις ἐξ αὐτοῦ συλλογίσασθαι λοιπόν, ὅτι καὶ Θεὸς ἦν καὶ Θεοῦ παῖς. τοῦτο αὐτὸ μὲν γὰρ λεγόμενον συνεχῶς προσέστη ἂν τότε ἐκείνοις· ἀπὸ δὲ τοῦ συλλογισμοῦ τῶν θαυμάτων δεικνύμενον, ἀνεπαχθεστέραν τὴν διδασκαλίαν ἐποίει. καὶ γὰρ οἱ τοὺς συλλογισμοὺς πλέκοντες, ὅταν τὰ μέρη θέντες, γνησίως ἀποδείξωσι τὸ ζητούμενον, οὐκ ἐπάγουσιν αὐτοὶ τὸ συμπέρασμα πολλάκις, ἀλλ' εὐγνωμονέστερον κατασκευάζοντες τὸν ἀκροατὴν καὶ τὴν νίκην λαμπροτέραν ποιοῦντες, αὐτὸν ἐκεῖνον παρασκευάζουσι τὸν ἀντιλέγοντα τὴν ἀπόφασιν ἐξενεγκεῖν, ὥστε μᾶλλον αὐτοῖς ψηφίσασθαι τοὺς παρόντας, τῶν ἀντιδίκων τὴν ὑπὲρ αὐτῶν φερόντων ψῆφον. τῆς μὲν οὖν κατὰ τὸν Λάζαρον μνημονεύσας ἀναστάσεως, τὴν κρίσιν ἐσίγησεν (οὐ γὰρ διὰ τοῦτο ἀνέστη Λάζαρος) τῆς δὲ καθόλου εἰπών, καὶ τοῦτο προσέθηκεν, ὅτι οἱ τὰ ἀγαθὰ ποιήσαντες ἐκπορεύσονται εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. οὕτω καὶ Ἰωάννης ἐπήγετο τὸν ἀκροατήν, τὴν κρίσιν λέγων, καὶ ὅτι ὁ μὴ πιστεύων εἰς τὸν υἱὸν οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν· οὕτω καὶ αὐτὸς τὸν Νικόδημον· ὁ γὰρ πιστεύων εἰς τὸν υἱόν, ἔλεγε πρὸς αὐτόν, οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. οὕτω καὶ ἐνταῦθα καὶ δικαστηρίου καὶ κολάσεως μέμνηται τῆς ἐπὶ ταῖς πονηραῖς πράξεσιν. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ὁ ἀκούων μου τοὺς λόγους καὶ πιστεύων τῷ πέμψαντί με, οὐ κρίνεται· ἵνα μὴ νομίσῃ τις ὅτι τοῦτο ἀρκεῖ πρὸς σωτηρίαν μόνον, καὶ τὰ ἐκ τοῦ βίου προσέθηκεν, εἰπών, ὅτι οἱ τὰ ἀγαθὰ ποιήσαντες ἐκπορεύσονται εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. ἐπεὶ οὖν ἔφησεν αὐτῷ τὴν οἰκουμένην ἅπασαν δώσειν λόγον, καὶ πάντας ἀπὸ τῆς φωνῆς ἀναστήσεσθαι τῆς αὐτοῦ, πρᾶγμα καινὸν καὶ παράδοξον καὶ ἔτι καὶ νῦν ἀπιστούμενον παρὰ πολλοῖς καὶ τῶν δοκούντων πεπιστευκέναι, μήτιγε τότε παρὰ Ἰουδαίοις, ἄκουσον πῶς αὐτὸ κατασκευάζει, πάλιν τῇ ἀσθενείᾳ συγκαταβαίνων τῶν ἀκροωμένων.

30 Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

Καίτοι οὐ μικρὰν τέως ἀναστάσεως ἦν δεδωκὼς ἀπόδειξιν τὸν παράλυτον σφίγξας. διὰ τοῦτο οὐδὲ πρότερον περὶ ἀναστάσεως διελέχθη, ἕως ἐκεῖνο ἐποίησεν, ὃ τῆς ἀναστάσεως οὐ σφόδρα ἀποδέον ἦν. καὶ τὴν κρίσιν δὲ ᾐνίξατο τότε μετὰ τὴν τοῦ σώματος σφίγξιν, εἰπών· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· ἀλλ' ὅμως καὶ τὴν Λαζάρου προαναφωνεῖ, καὶ τὴν τῆς οἰκουμένης. καὶ ἐπειδὴ δύο ταύτας ἀναστάσεις προεῖπε, τήν τε τοῦ Λαζάρου τὴν αὐτίκα μάλα ἐκβησομένην, καὶ τὴν τῆς οἰκουμένης, τὴν μακροῖς ὕστερον ἐσομένην χρόνοις· ταύτην μέν, ἀπὸ τοῦ παραλύτου πιστοῦται καὶ τῆς ἐγγύτητος τοῦ καιροῦ, λέγων· ἔρχεται ὥρα καὶ νῦν ἐστιν· ἐκείνην δὲ ἀπὸ τῆς κατὰ τὸν Λάζαρον ἀναστάσεως, διὰ τῶν ἤδη γινομένων τὰ μηδέπω γινόμενα ὑπὸ ὄψιν ἄγων. καὶ τοῦτο ποιοῦντα πανταχοῦ αὐτόν ἐστιν ἰδεῖν, δύο τιθέντα προρρήσεις ἢ καὶ τρεῖς, καὶ τὰ ἐσόμενα ἀπὸ τῶν γινομένων ἀεὶ πιστούμενον. ἀλλ' ὅμως τοσαῦτα καὶ εἰπὼν καὶ ποιήσας, ἐπειδὴ "πρὸς ἀσθενεστέρους ἦσαν, οὐκ ἀρκεῖται τούτοις· ἀλλὰ καὶ δι' ἑτέρων ῥημάτων αὐτῶν καταστέλλει τὴν "φιλονεικίαν, λέγων· οὐ δύναμαι ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. ἐπειδὴ γὰρ ξένα τινὰ καὶ παρηλλαγμένα παρὰ τοὺς προφήτας ἐδόκει λέγειν (ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι ὁ Θεός ἐστιν ὁ κρίνων τὴν γῆν ἅπασαν, τουτέστι, τὸ ἀνθρώπινον γένος· καὶ τοῦτο ὁ Δαβὶδ πανταχοῦ ἀνακηρύττων ἔλεγε, Κρινεῖς λαοὺς ἐν εὐθύτητι· καί, Ο Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος· καὶ τῶν προφητῶν δὲ πάντες καὶ ὁ Μωϋσῆς· ὁ δὲ Χριστὸς ἔλεγεν, ὁ πατὴρ οὐ κρίνει οὐδένα, "ἀλλὰ τὴν κρίσιν δέδωκε τῷ υἱῷ· ἱκανὸν δὲ τοῦτο ἦν θορυβῆσαι τὸν ἀκούοντα τότε Ἰουδαῖον, καὶ παρασκευάσαι πάλιν ἀντίθεον αὐτὸν ὑποπτεύειν) σφόδρα ἐνταῦθα συγκαταβαίνει τῷ λόγῳ, καὶ τοσοῦτον, ὅσον ἀπήτει αὐτῶν ἡ ἀσθένεια, ὥστε τὴν ὀλεθρίαν ταύτην ὑποψίαν πρόρριζον ἀνελεῖν· καί φησιν, ἐγὼ οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν· τουτέστιν, οὐδὲν ξένον οὐδὲ παρηλλαγμένον, οὐδὲ ὃ μὴ βούλεται ὁ πατήρ, παρ' ἐμοῦ γινόμενον ὄψεσθε, ἢ λεγόμενον ἀκούσεσθε. καὶ πρότερον εἰπών, ὅτι υἱὸς ἀνθρώπου ἐστί, "καὶ δείξας ὅτι ἄνθρωπον αὐτὸν τέως ὑπώπτευον, "οὕτω καὶ ἐνταῦθα τίθησιν. ὥσπερ οὖν ἀνωτέρω εἰπών, ὃ ἀκηκόαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ ὁ Ἰωάννης, ὃ ἑώρακε μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει· περὶ ἀκριβοῦς ἀμφότερα εἴρηται γνώσεως, "οὐχ ἁπλῶς περὶ ἀκοῆς καὶ ὄψεως· οὕτω καὶ ἐνταῦθα ἀκοὴν εἰπών, οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι ἀδύνατον ἄλλο τι θελῆσαι αὐτόν, ἢ ὅπερ ὁ πατήρ. ἀλλ' οὐκ εἶπεν οὕτω σαφῶς (οὐ γὰρ ἂν ἐδέξαντο ἐξ εὐθείας τέως οὕτως ἀκούοντες) ἀλλὰ πῶς; συγκαταβατικῶς καὶ ἀνθρωπίνως σφόδρα· καθὼς ἀκούω, κρίνω. πάλιν οὐ διδασκαλίαν λέγων ἐνταῦθα (οὐ γὰρ εἶπε, καθὼς διδάσκομαι, ἀλλὰ καθὼς ἀκούω) ἀλλ' οὐδὲ ὡς δεόμενος ἀκροάσεως ταῦτά φησιν (οὐ γὰρ μόνον τοῦ διδάσκεσθαι ἀνενδεὴς ἦν, ἀλλὰ καὶ τοῦ δεῖσθαι ἀκούειν) τὴν δὲ ὁμόνοιαν δηλῶν καὶ τὸ ἀπαράλλακτον τῆς ψήφου· ὡσανεὶ ἔλεγεν, οὕτω κρίνω, ὡς ἂν εἰ αὐτὸς ὁ πατὴρ ὁ κρίνων ἦν. εἶτά φησι, καὶ οἶδα ὅτι ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. τί λέγεις; ἔχεις γὰρ θέλημα ἕτερον παρὰ τὸν πατέρα; καὶ μὴν ἀλλαχοῦ φησι· καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν (περὶ θελήματος λέγων καὶ ὁμονοίας) δὸς αὐτοῖς, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι· τουτέστιν, ἐν τῇ περὶ ἡμῶν πίστει. ὁρᾷς ὅτι τὰ μάλιστα δοκοῦντα εἶναι ταπεινά, ταῦτά ἐστιν ἅπερ ἔχει ἐγκεκρυμμένον τὸ ὑψηλὸν νόημα; ὃ γὰρ αἰνίττεται, τοιοῦτόν ἐστιν· ὅτι οὐκ ἄλλο μὲν τοῦ πατρὸς τὸ θέλημα, ἄλλο δὲ τὸ αὐτοῦ· ἀλλ' ὥσπερ μιᾶς διανοίας ἓν θέλημα, οὕτως "ἐμοῦ καὶ τοῦ πατρός. καὶ μὴ θαυμάσῃς εἰ τοσαύτην εἶπε συνάφειαν. καὶ γὰρ ἐπὶ τοῦ πνεύματος τούτῳ κέχρηται τῷ ὑποδείγματι ὁ Παῦλος, λέγων· Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. οὐδὲν οὖν ἄλλο, ἢ τοῦτό φησιν, ὅτι οὐκ ἔστι μοι θέλημα ἕτερον καὶ ἴδιον" παρὰ τοῦ πατρός, ἀλλ' εἴ τι ἐκεῖνος βούλεται, τοῦτο καὶ ἐγώ, καὶ εἴ τι ἐγώ, τοῦτο καὶ ἐκεῖνος. ὥσπερ οὖν τῷ πατρὶ οὐδεὶς ἂν ἐγκαλέσειε κρίνοντι, οὕτως οὐδὲ ἐμοί. ἀπὸ γὰρ τῆς αὐτῆς γνώμης ἑκατέρων ἡ ψῆφος φέρεται. εἰ δὲ ἀνθρωπινώτερον ταῦτα διαλέγεται, μὴ θαυμάσῃς. ἄνθρωπον γὰρ αὐτὸν ἔτι ἐνόμιζον εἶναι ψιλόν. διὸ χρὴ μάλιστα ἐν τοῖς τοιούτοις μὴ τὰ λεγόμενα ἐξετάζειν μόνον, ἀλλὰ καὶ τὴν ὑπόνοιαν τῶν ἀκροωμένων προστιθέναι, καὶ οὕτω τῶν λεγομένων ἀκούειν, ὡς πρὸς ἐκείνην εἰρημένων. ἐπεί, πολλὰ ἕψεται τὰ ἄτοπα. σκόπει γάρ· εἶπεν, οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν. οὐκοῦν ἕτερόν ἐστι τὸ αὐτοῦ θέλημα, καὶ σφόδρα ἀπόδεον, καὶ οὐδὲ ἁπλῶς ἀπόδεον, ἀλλ' οὐδὲ ὠφέλιμον οὕτως. ἐπεί, εἰ σωτήριον ἦν, καὶ συμβαῖνον τῷ τοῦ πατρός, τίνος ἕνεκεν αὐτὸ οὐ ζητεῖς; ἄνθρωποι

Ψαλμ. ϟε. ι.
Ψαλμ. ζ. ιβ.

α. Κορ. β. ια.

μὲν γὰρ εἰκότως ἂν τοῦτο λέγοιεν, ὡς πολλὰ θελήματα ἔχοντες παρὰ τὰ τῷ Θεῷ δοκοῦντα· σὺ δὲ τίνος ἕνεκεν τοῦτό φῂς, κατὰ πάντα ἐοικὼς τῷ πατρί; τοῦτο γὰρ οὐδὲ ἀνδρὸς ἠκριβωμένου, καὶ ἐσταυρωμένου εἴποι τις ἂν εἶναι τὸ ῥῆμα. εἰ γὰρ ὁ Παῦλος οὕτως ἑαυτὸν ἐκέρασε τῷ θελήματι τοῦ Θεοῦ, ὡς εἰπεῖν, Ζῶ δὲ, οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός· πῶς ὁ πάντων δεσπότης φησὶν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, ὡς ἑτέρου ὄντος ἐκείνου; τί οὖν ἐστιν ὅ φησιν; ὡς ἐπ' ἀνθρώπου″ παράγει τὸν λόγον, καὶ πρὸς τὴν ὑπόνοιαν τῶν ἀκροωμένων φθέγγεται. ἐπειδὴ γὰρ ἀπὸ τῶν ἔμπροσθεν ἀπέδειξε τὰ λεγόμενα, τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωπίνως διαλεχθεὶς, πάλιν ὡς ἄνθρωπος κατασκευάζει ταῦτα, καὶ λέγει, ὅτι ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστί. πόθεν δῆλον; ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. ὥσπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ὁ φιλαυτίας ἀπηλλαγμένος, οὐκ ἂν ἔχοι δικαίως ἐγκαλεῖσθαι, ὡς παρὰ τὸ δέον δικάσας· οὕτως οὐδὲ ἐμοὶ δυνήσεσθε νῦν ἐπιτιμᾶν. ὁ μὲν γὰρ θέλων τὰ ἑαυτοῦ στῆσαι, ἴσως ὑποπτευθείη ἂν παρὰ πολλῶν ταύτῃ παραφθείρειν τὸ δίκαιον· ὁ δὲ μὴ τὰ ἑαυτοῦ σκοπῶν, τίνα ἂν ἔχοι πρόφασιν τοῦ μὴ τὰ δίκαια ψηφίσασθαι; τοῦτον τοίνυν τὸν λογισμὸν καὶ ἐπ″ ἐμοῦ ἐξετάζετε. εἰ μὲν γὰρ ἔλεγον μὴ ἀπεστάλθαι παρὰ τοῦ πατρὸς, μηδὲ εἰς ἐκεῖνον τὴν δόξαν τῶν γινομένων ἀνέφερον, ἴσως ἄν τις ὑμῶν ὑπενόησεν, ὅτι βουλόμενος ἐμαυτὸν ποιῆσαι λαμπρὸν, οὐ λέγω τὰ ὄντα· εἰ δὲ ἑτέρῳ λογίζομαι καὶ ἀνατίθημι τὰ″ γινόμενα, τίνος ἕνεκεν, ἢ πόθεν ἂν ἔχοιτε ὑποπτεύειν τὰ λεγόμενα; ὁρᾷς″ οὖν πῶς τὸν λόγον κατεβίβασε, καὶ πόθεν τὴν κρίσιν τὴν ἑαυτοῦ δικαίαν εἶναι ἔφησεν, ὅθεν ἂν καὶ τῶν πολλῶν εἷς ἀπολογούμενος εἶπεν; ὁρᾷς, ὃ πολλάκις εἶπον, πῶς διαλάμπει σαφῶς; τί δέ ἐστιν ὃ εἶπον; ὅτι ἡ ὑπερβολὴ τῆς ταπεινότητος τῶν λέξεων, αὕτη μάλιστα πείθει τοὺς νοῦν ἔχοντας, μὴ ἐκ τοῦ προχείρου δεχομένους τὰ λεγόμενα καταπίπτειν, ἀλλὰ παρασκευάζειν μᾶλλον ἐπὶ τὸ ὕψος τῶν νοημάτων ἐλθεῖν. αὕτη καὶ τοὺς χαμαὶ συρομένους τότε μετὰ πολλῆς κατὰ μικρὸν ἀνίστησι τῆς εὐκολίας.

Γαλ. β. κ.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, παρακαλῶ, μὴ παρατρέχωμεν ἁπλῶς τὰ εἰρημένα, ἀλλὰ μετὰ ἀκριβείας ἐξετάσωμεν ἅπαντα,″ τὴν αἰτίαν τῶν λεγομένων πανταχοῦ″ σκοποῦντες· μηδὲ νομίζωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν τὴν ἄγνοιαν καὶ τὴν ἁπλότητα. οὐ γὰρ ἀκεραίους ἐκέλευσε μόνον εἶναι, ἀλλὰ καὶ φρονίμους. ἀσκῶμεν τοίνυν μετὰ τῆς ἁπλότητος καὶ τὴν φρόνησιν, καὶ ἐπὶ τῶν δογμάτων καὶ ἐπὶ τῶν τοῦ βίου κατορθωμάτων· καὶ δικάζωμεν ἑαυτοῖς ἐνταῦθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν τότε, καὶ τοιοῦτοι γινώμεθα περὶ τοὺς συνδούλους, οἵους βουλόμεθα περὶ ἡμᾶς γενέσθαι τὸν δεσπότην ἡμῶν. ἄφες γὰρ ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. καὶ οἶδα μὲν, ὅτι οὐ φέρει πρᾴως πληττομένη ἡ ψυχή. ἀλλ' ἐὰν ἐννοήσωμεν ὅτι οὐχὶ τῷ λελυπηκότι, ἀλλ' ἑαυτοῖς χαριζόμεθα, ταχέως ἀφήσομεν τὸν ἰὸν τῆς ὀργῆς. καὶ γὰρ ὁ τὰ ἑκατὸν δηνάρια μὴ συγχωρήσας τῷ πεπλημμεληκότι, οὐ τὸν ὁμόδουλον ἠδίκησεν, ἀλλ' ἑαυτὸν, τοῖς μυρίοις ταλάντοις ὑπεύθυνον ποιήσας, ὧν πρότερον τὴν ἄφεσιν ἔλαβεν. ὅταν οὖν ἑτέροις μὴ ἀφῶμεν, ἑαυτοῖς οὐκ ἀφίεμεν. μὴ τοίνυν τῷ Θεῷ λέγωμεν μόνον, μὴ μνησθῇς τῶν ἁμαρτημάτων ἡμῶν· ἀλλὰ καὶ πρὸς ἑαυτὸν ἕκαστος, μὴ μνησθῶμεν τῶν ἁμαρτημάτων τῶν συνδούλων τῶν εἰς ἡμᾶς γεγενημένων. καὶ γὰρ σὺ πρότερον δικάζεις τοῖς σοῖς, καὶ τότε ἕπεται ὁ Θεός· σὺ τὸν νόμον γράφεις τὸν περὶ ἀφέσεως καὶ τιμωρίας, καὶ τὴν περὶ τῶν τοιούτων ἐκφέρεις ψῆφον. οὐκοῦν καὶ τοῦ μνησθῆναι καὶ τοῦ μὴ μνησθῆναι τὸν Θεὸν σὺ κύριος εἶ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἀφεῖναι κελεύει, ἐάν τις πρός τινα ἔχῃ μομφὴν, καὶ οὐχ ἁπλῶς ἀφεῖναι, ἀλλ' ὥστε μηδὲ λείψανα μένειν. ἐπεὶ καὶ ὁ Χριστὸς οὐ μόνον οὐκ ἤνεγκεν εἰς μέσον ἡμῶν τὰ ἁμαρτήματα, ἀλλ' οὐδὲ ἡμᾶς αὐτοὺς πεπλημμεληκότας ἀνέμνησεν, οὐδὲ εἶπε, τὰ καὶ τὰ ἥμαρτες· ἀλλὰ καὶ ἀφῆκε καὶ ἐξήλειψε τὸ χειρόγραφον, μηδὲ λογισάμενος τὰ παραπτώματα, καθὼς καὶ τοῦτο Παῦλος ἐδήλωσε. τοῦτο δὴ ποιῶμεν καὶ ἡμεῖς, καὶ ἀπὸ τῆς διανοίας ἐξαλείφωμεν ἅπαντα. κἂν μὲν ἀγαθόν τι γεγενημένον ᾖ παρὰ τοῦ λελυπηκότος, τοῦτο λογισώμεθα μόνον· ἂν δὲ λυπηρὸν καὶ ἐπαχθὲς, ἐκβάλλωμεν καὶ ἐξαλείψωμεν, ὥστε μηδὲ ἴχνος ἐναπομένειν. εἰ δὲ μηδὲν ἡμῖν ἀγαθὸν γέγονε παρὰ τούτου, [τοσούτῳ] πάλιν ὁ μισθὸς μείζων συγχωροῦσιν ἡμῖν, καὶ πλείων ἡ εὐδοκίμησις. ἄλλοι δὲ ἀγρυπνίας καὶ χαμευνίας καὶ μυρίας ταλαιπωρίας ἐξαλείφουσι τὰ ἁμαρτήματα· σοὶ δὲ διὰ τῆς εὐκολωτέρας ὁδοῦ, τοῦ μὴ μνησικακεῖν λέγω, πάντα ἔξεστιν ἀφανίσαι τὰ πλημμεληθέντα. τί τοίνυν κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, ὡς οἱ μαινόμενοι, καὶ παραπαίοντες, καὶ τῆς μενούσης σαυτὸν ἐκβάλλεις ζωῆς, δέον πάντα πράττειν, ὥστε αὐτῆς ἐπιτυχεῖν; εἰ γὰρ ἡ παροῦσα οὕτω ποθεινὴ, τί ἂν εἴποι τις περὶ ἐκείνης, ἔνθα ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός; ἐκεῖ δεῖσαι θάνατον οὐκ ἔστιν, οὐδὲ πέρας ἐκείνων ὑποπτεῦσαι τῶν ἀγαθῶν. μακάριοι καὶ τρισμακάριοι, καὶ πολλάκις τοῦτο, οἱ τῆς μακαρίας ἐκείνης ἀπολαύοντες λήξεως, ὥσπερ οὖν ἄθλιοι καὶ τρισάθλιοι, καὶ μυριάκις τοῦτο, οἱ τῆς μακαριότητος ἐκείνης ἑαυτοὺς ἐκβαλόντες. καὶ τί ποτ᾽ οὖν ἐστὶ, φησὶ, τὸ ποιοῦν ἡμᾶς ἀπολαῦσαι τῆς ζωῆς ἐκείνης; ἄκουσον αὐτοῦ τοῦ δικάζοντος νεανίσκῳ τινὶ διαλεγομένου περὶ τούτου. ἐπειδὴ γὰρ εἶπε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; εἰπὼν ὁ Χριστὸς αὐτῷ τὰς ἄλλας ἐντολὰς, κατέληξεν εἰς τὴν τοῦ πλησίον ἀγάπην. καὶ τάχα ἐρεῖ τις τῶν ἀκουόντων κατὰ τὸν πλούσιον ἐκεῖνον, ὅτι καὶ ἡμεῖς ταῦτα ἐφυλαξάμεθα. οὐδὲ γὰρ ἐκλέψαμεν, οὐκ ἐφονεύσαμεν, οὐκ ἐμοιχεύσαμεν· ἀλλ᾽ οὐδήπου καὶ τοῦτο εἰπεῖν δυνήσῃ, ὅτι ἠγάπησας τὸν πλησίον, ὡς ἀγαπῆσαι ἔδει. εἰ γὰρ ἐβάσκηνέ τις, ἢ κατηγόρησεν, ἢ οὐκ ἤμυνεν ἀδικουμένῳ, ἢ οὐ μετέδωκε τῶν ὄντων, οὐδ᾽ ἠγάπησε. νῦν δὲ οὐ τοῦτο μόνον ἐπέταξεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἕτερον. ποῖον δὴ τοῦτο; πώλησόν σου τὰ ὑπάρχοντά, φησι, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, τὴν διὰ τῶν ἔργων μίμησιν λέγων ἀκολούθησιν. τί τοίνυν ἐντεῦθεν μανθάνομεν; πρῶτον μὲν ὅτι τὸν μὴ πάντα ἔχοντα ταῦτα, οὐκ ἔνι τῶν πρωτείων ἐπιτυχεῖν τῶν ἐν τῇ λήξει ἐκείνῃ. μετὰ γὰρ τὸ εἰπεῖν αὐτὸν, ὅτι πάντα ταῦτα ἐποίησα, ὡς καταλελειμμένου μεγάλου τινὸς εἰς τελείαν εὐδοκίμησιν, φησίν· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. πρῶτον μὲν οὖν τοῦτο ἔστι μαθεῖν· δεύτερον δὲ, ὅτι καὶ αὐτὸν ἐκεῖνον διήλεγξεν εἰκῆ κομπάζοντα. ὁ γὰρ ἐν περιουσίᾳ τοσαύτῃ ζῶν, καὶ τοὺς ἄλλους περιορῶν ἐν πενίᾳ, πῶς ἂν τὸν πλησίον ἠγάπησεν. οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἠλήθευσεν. ἀλλ᾽ ἡμεῖς κἀκεῖνο καὶ ταῦτα ποιῶμεν, καὶ σπουδάζωμεν τὰ ὄντα κενῶσαι, καὶ τὸν οὐρανὸν πρίασθαι. εἰ γὰρ ὑπὲρ ἀξιώματός τις βιωτικοῦ ὅλην πολλάκις τὴν οὐσίαν ἐπέδωκεν, ἀξιώματος τοῦ* μέλλοντος ἐνταῦθα μένειν, ″ καὶ οὐδὲ ἐνταῦθα πολὺν παραμένοντος χρόνον (πολλοὶ γὰρ καὶ πρὸ πολλοῦ τῆς τελευτῆς ταύτην ἀπεδύσαντο τὴν ἀρχὴν, ἕτεροι δὲ διὰ ταύτην ἐζημιώθησαν καὶ τὴν ζωὴν αὐτὴν πολλάκις· ἀλλ᾽ ὅμως καὶ ταῦτα εἰδότες, πάντα κενοῦσιν ὑπὲρ αὐτῆς) εἰ τοίνυν ὑπὲρ ταύτης τοσαῦτα ποιοῦσιν, ὑπὲρ τῆς μενούσης ἐκείνης καὶ ἀναφαιρέτου, τί γένοιτ᾽ ἂν ἡμῶν ἀθλιώτερον μηδὲ ὀλίγα προϊεμένων, μηδὲ ταῦτα παρεχόντων, ἃ καὶ μικρὸν ὕστερον ὄντες ἐνταῦθα ἀφήσομεν; ποίας οὖν ταῦτα οὐκ ἂν εἴη μανίας, ἅπερ ἄκοντες ἀφαιρούμεθα, ταῦτα παρὸν ἑκόντας δοῦναι, καὶ μεθ᾽ ἑαυτῶν λαβεῖν μὴ βουληθῆναι; ἀλλ᾽ εἰ μὲν ἐπὶ θάνατόν τις ἦγεν, εἶτα παρεῖχεν, πάντα τὰ ὄντα προϊέμενον ἀπαλλαγῆναι, καὶ χάριν ἂν τὸ πρᾶγμα ἐνομίσαμεν· νῦν δὲ παρὸν τὴν ἐπὶ γέενναν ἀγομένους ὁδὸν, τὰ ἡμίση δόντας ἐλευθερωθῆναι, αἱρούμεθα καὶ κολάζεσθαι καὶ κατέχειν εἰκῆ τὰ μὴ ἡμέτερα, ὥστε τὰ ἡμέτερα προέσθαι; τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν συγγνώμην, οὕτως εὐκόλου τετμημένης ἡμῖν ὁδοῦ πρὸς ζωὴν, κατὰ κρημνῶν φερόμενοι, καὶ τὴν ἄκαρπον βαδίζοντες ὁδὸν, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ πάντων ἑαυτοὺς ἀποστεροῦντες, παρὸν ἀμφότερα καρπώσασθαι μετ᾽ ἀδείας; ἀλλ᾽

εἰ

…κατηγόρη-
…ε μὴ ἤ-
…ν ἀδικου-
…ἢ μὴ
…έδωκε τῶν
…ν, οὐκ ἠγ-

…τοῦ κα-
…μένοντος πολ.

εἰ καὶ μὴ πρότερον, κἂν νῦν γοῦν ἀνενέγκωμεν, καὶ ἡμῶν αὐτῶν γενόμενοι, τὰ παρόντα διαθῶμεν εἰς δέον, ἵνα καὶ τὰ μέλλοντα μετ' εὐκολίας λάβωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. μ. 31 ΕΑΝ ΕΓΩ ΜΑΡΤΥΡΩ "ΠΕΡΙ ΕΜΑΥΤΟΥ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. 32 Ἄλλος ἐστὶν ὁ μαρτυρῶν" περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

ΕΙ τις χώραν μεταλλικὴν ἀνορύττειν ἐπιχειροίη τῆς τέχνης ταύτης ἄπειρος ὤν, χρυσίον μὲν οὐκ "ἐργάσεται, πάντα δὲ ἁπλῶς καὶ ὁμοῦ συγχέων, πόνον ἀνόνητον ὑπομενεῖ καὶ ἐπιβλαβῆ· οὕτω καὶ τῶν θείων γραφῶν οἱ τὴν ἀκολουθίαν οὐκ εἰδότες, οὐδὲ τὰ ἰδιώματα καὶ τοὺς νόμους αὐτῆς ἐξετάζοντες, ἀλλ' ἁπλῶς καὶ ἑνὶ τρόπῳ πάντα ἐπιόντες, χρυσίον μετὰ γῆς φύροντες, οὐδέποτε τὸν ἐναποκείμενον αὐτῇ θησαυρὸν εὑρήσουσι. Ταῦτα δὲ εἶπον νῦν, ἐπειδὴ τὸ προκείμενον ἡμῖν χωρίον ἔχει μὲν πολὺν τὸν χρυσὸν, οὐ μὴν κατάδηλον, ἀλλὰ πολλῇ κατακεχωσμένον ἄνωθεν ἀσαφείᾳ. διὸ χρὴ διασκάπτοντας καὶ διακαθαίροντας, ἐπὶ τὰ γνήσια τῶν νοημάτων ἐλθεῖν. τίς γὰρ οὐκ ἂν εὐθέως θορυβηθείη ἀκούων τοῦ Χριστοῦ λέγοντος· ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής; καὶ γὰρ πολλαχοῦ φαίνεται μαρτυρήσας ἑαυτῷ. τῇ γοῦν Σαμαρείτιδι διαλεγόμενος, "ἔλεγεν· ἐγώ εἰμι" ὁ λαλῶν σοι· καὶ τῷ τυφλῷ ὁμοίως· ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστι· καὶ τοῖς Ἰουδαίοις *· πῶς ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, ὅτι εἶπον υἱὸς τοῦ Θεοῦ εἰμι; καὶ ἑτέρωθι δὲ πολλαχοῦ τοῦτο ποιεῖ. ἂν οὖν ἅπαντα ταῦτα ψευδῆ ᾖ, τίς ἡμῖν ἔσται σωτηρίας ἐλπίς; πόθεν δὲ τὴν ἀλήθειαν εὑρήσομεν, ὅταν αὐτὴ ἡ ἀλήθεια λέγῃ, ὅτι οὐκ ἔστιν ἡ μαρτυρία μου ἀληθής; οὐ τοῦτο δὲ δοκεῖ τὸ ἐναντίωμα εἶναι μόνον, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. προϊὼν γάρ φησι, καὶ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι. ποῖον οὖν, εἰπέ μοι, δέξομαι, ποῖον δὲ νομίσω ψεῦδος εἶναι; εἰ γὰρ οὕτως ἐκλάβοιμεν ἁπλῶς ὡς εἴρηται, μὴ πρόσωπον περιεργασάμενοι, μὴ αἰτίαν, μὴ ἄλλο τι τῶν τοιούτων οὐδὲν, ἀμφότερα ἔσται ψευδῆ. εἰ γὰρ ἡ μαρτυρία αὐτοῦ οὐκ ἔστιν ἀληθής, οὐδὲ τοῦτο αὐτὸ ἀληθές, οὐ τὸ δεύτερον μόνον, ἀλλὰ καὶ τὸ πρότερον. τί οὖν ἐστι τὸ εἰρημένον; πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, μᾶλλον δὲ τῆς τοῦ Θεοῦ χάριτος, ἵνα μὴ τοῖς ῥήμασιν ἐναπομείνωμεν ψιλοῖς. οὕτω γὰρ καὶ οἱ αἱρετικοὶ πλανῶνται, ὅταν" μήτε τὸν σκοπὸν ἐξετάζωσι τοῦ λέγοντος," μήτε τὴν ἕξιν τῶν ἀκουόντων. ἂν γὰρ ταῦτα μὴ προσθῶμεν, καὶ ἕτερα δὲ, οἷον καιρούς, καὶ τόπους, καὶ γνώμην ἀκροατοῦ, πολλὰ ἕψεται τὰ ἄτοπα. "τί οὖν ἐστι τὸ εἰρημένον; ἔμελλον" ὑποφέρειν αὐτῷ οἱ Ἰουδαῖοι· ἐὰν σὺ μαρτυρῇς περὶ σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. διὰ τοῦτο ταῦτα προλαβὼν εἶπεν, ὡσανεὶ "ἔλεγε· "πάντως ἐρεῖτέ μοι, ὅτι σοὶ οὐ πιστεύομεν. οὐδεὶς" γὰρ ταχέως ἑαυτῷ μαρτυρῶν, ἀξιόπιστός ἐστιν ἐν ἀνθρώποις. τὸ οὖν, οὐκ ἔστιν ἀληθής, οὐχ ἁπλῶς ἀναγνωστέον, ἀλλὰ" πρὸς τὴν ἐκείνων ὑπόνοιαν, οἷον, ὅτι ὑμῖν οὐκ ἔστιν ἀληθής. οὐ τοίνυν πρὸς τὴν ἀξίαν τὴν αὐτοῦ, ἀλλὰ πρὸς τὴν ὑπόνοιαν τὴν ἐκείνων ἐφθέγγετο ταῦτα. καὶ ὅταν μὲν λέγῃ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής, τὴν γνώμην ἐλέγχει τὴν ἐκείνων, καὶ τὴν μέλλουσαν αὐτῷ παρ' ἐκείνων ἀντίθεσιν ἐπάγεσθαι· ὅταν δὲ, ὅτι κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, αὐτὴν δείκνυσι τοῦ πράγματος τὴν φύσιν, ὅτι ὡς Θεὸν ἀξιόπιστον αὐτὸν ἔδει νομίζειν καὶ περὶ ἑαυτοῦ λέγοντα. ἐπειδὴ γὰρ εἶπεν ἀνάστασιν νεκρῶν καὶ κρίσιν, καὶ ὅτι ὁ πιστεύων αὐτῷ οὐ κρίνεται, ἀλλ' εἰς ζωὴν ἔρχεται, καὶ

ὅτι καθεδεῖται πάντας εὐθύνας ἀπαιτήσων, καὶ ὅτι τὴν αὐτὴν ἐξουσίαν ἔχει τῷ πατρὶ καὶ δύναμιν· μέλλων πάλιν ἅπαντα ταῦτα κατασκευάζειν, ἀναγκαίως τὴν ἀντίθεσιν αὐτῶν τέθεικε πρώτην. Εἶπον, φησιν, ὅτι ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· εἶπον ὅτι ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ υἱῷ· εἶπον ὅτι δεῖ τιμᾶν τὸν υἱὸν, ὡς τὸν πατέρα· εἶπον ὅτι ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμᾷ· εἶπον ὅτι ὁ ἀκούων μου τοὺς λόγους καὶ πιστεύων, οὐκ ὄψεται θάνατον, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν· εἶπον ὅτι ἡ φωνή μου τοὺς νεκροὺς ἀναστήσει, τοὺς μὲν νῦν, τοὺς δὲ μετὰ ταῦτα· εἶπον ὅτι ἀπαιτήσω λόγον τῶν πεπλημμελημένων ἅπαντας· εἶπον ὅτι δικαίως κρινῶ, καὶ ἀμείψομαι τοὺς κατορθοῦντας. ἐπεὶ οὖν ἅπαντα ταῦτα ἀπόφασις ἦν, καὶ τὰ μὲν λεγόμενα μεγάλα, ἀπόδειξις δὲ οὐκ ἦν οὐδέπω εἰρημένη σαφὴς ἐκείνοις, ἀλλ' "ἀμυδροτέρα· πρότερον τὴν ἀντίθεσιν τίθησι, μέλλων ἐπὶ τὴν κατασκευὴν τῶν "εἰρημένων ὁρμᾶν," οὑτωσί πως λέγων, εἰ καὶ μὴ τοῖς ῥήμασι τούτοις· ἀλλ' ἴσως ἐρεῖτε, πάντα ταῦτα σὺ λέγεις· οὐκ εἶ δὲ ἀξιόπιστος μάρτυς σαυτῷ μαρτυρῶν. τοῦτο τοίνυν πρότερον καταλύων αὐτῶν τὴν φιλονεικίαν, τῷ θεῖναι ὅπερ ἔμελλον ἐρεῖν, καὶ δεῖξαι ὅτι οἶδεν αὐτῶν τὰ ἀπόρρητα τῆς διανοίας, καὶ ταύτην πρώτην ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως παρεχόμενος, ὕστερον μετὰ τὴν ἀντίθεσιν καὶ ἑτέρας ἀποδείξεις παρέχεται σαφεῖς καὶ ἀναντιρρήτους, τρεῖς παράγων μάρτυρας τῶν λεγομένων, τὰ ἔργα τὰ ὑπ' αὐτοῦ γινόμενα, τοῦ πατρὸς τὴν μαρτυρίαν, τοῦ Ἰωάννου τὸ κήρυγμα. καὶ τίθησι προτέραν τὴν ἐλάττω τὴν Ἰωάννου. Εἰπὼν γὰρ, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, ἐπήγαγεν·

Ιωαν. ε. κβ.

33 Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ ἐμαρτύρησε τῇ ἀληθείᾳ.

Καίτοιγε εἰ οὐκ ἔστιν ἀληθὴς ἡ μαρτυρία σου, πῶς λέγεις, ὅτι οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία τοῦ Ἰωάννου, καὶ ὅτι ἐμαρτύρησε τῇ ἀληθείᾳ; ὁρᾷς πῶς σαφὲς κἀντεῦθέν ἐστιν, ὅτι τὸ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής, πρὸς τὴν ἐκείνων ὑπόνοιαν εἴρηται; τί οὖν εἰ ἐκεῖνος ἐμαρτύρησε χάριτι, φησιν; ἵνα γὰρ μὴ τοῦτο λέγωσιν, ὅρα πῶς καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν. οὐ γὰρ εἶπεν, Ἰωάννης ἐμαρτύρησέ μοι, ἀλλὰ πρότερον ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην· οὐκ ἂν δὲ "ἀπεστείλατε, εἰ μὴ ἀξιόπιστον ἡγεῖσθε. καὶ τὸ δὴ μεῖζον· οὐ γὰρ ἔπεμψαν, αὐτὸν περὶ τοῦ Χριστοῦ ἐρωτῶντες, ἀλλ' ὑπὲρ ἑαυτοῦ. ὃν δὲ ἐν τοῖς ὑπὲρ ἑαυτοῦ ἀξιόπιστον εἶναι ἐνόμιζον, πολλῷ μᾶλλον ἐν τοῖς ὑπὲρ ἑτέρου. πεφύκαμεν γάρ, ὡς εἰπεῖν, ἅπαντες ἄνθρωποι μὴ οὕτω πιστεύειν τοῖς περὶ ἑαυτῶν λέγουσιν, ὡς τοῖς περὶ ἄλλων. τοῦτον δὲ οὕτως ἀξιόπιστον εἶναι ἐνόμισαν, ὡς καὶ ἐν τοῖς περὶ ἑαυτοῦ μὴ δεηθῆναι μαρτυρίας ἑτέρας. οἱ γὰρ ἀποσταλέντες οὐκ εἶπον, τί λέγεις περὶ τοῦ Χριστοῦ; ἀλλὰ, σὺ τίς εἶ; τί λέγεις περὶ σεαυτοῦ; οὕτω μέγα τοῦ ἀνδρὸς τὸ θαῦμα εἶχον. τοῦτο οὖν ὅλον ᾐνίξατο διὰ τοῦ εἰπεῖν, ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς οὐχ ὅτι ἀπέστειλαν, εἶπε μόνον, ἀλλὰ καὶ περὶ τῶν ἀπεσταλμένων ἀκριβολογεῖται, * ὅτι ἦσαν καὶ ἱερεῖς, καὶ ἐκ τῶν Φαρισαίων, οὐχ οἱ τυχόντες, οὐδὲ ἀπερριμμένοι, οὐδὲ οἷοι διαφθαρῆναι καὶ παραλογισθῆναι, ἀλλὰ μετ' ἀκριβείας ἱκανοὶ μαθεῖν τὰ παρ' ἐκείνου λεγόμενα.

34 Ἐγὼ δὲ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω.

Τίνος οὖν ἕνεκεν τὴν Ἰωάννου παρήγαγες; καίτοι οὐδὲ ἡ ἐκείνου, ἀνθρώπου μαρτυρία ἦν. ὁ γὰρ πέμψας με βαπτίζειν ἐν ὕδατι, φησιν, ἐκεῖνός μοι εἶπεν. ὥστε καὶ ἡ τοῦ Ἰωάννου μαρτυρία, τοῦ Θεοῦ μαρτυρία ἦν· παρὰ γὰρ ἐκείνου μαθὼν, ἔλεγεν ἅπερ ἔλεγεν. ἀλλ' ἵνα μὴ λέγωσι, πόθεν τοῦτο δῆλον, ὅτι παρὰ τοῦ Θεοῦ ἔμαθε, καὶ περὶ ταῦτα καταγίνωνται, ἐκ τοῦ περιόντος αὐτοὺς ἐπιστομίζει, ἔτι πρὸς τὴν ὑπόνοιαν αὐτῶν διαλεγόμενος. οὐδὲ γὰρ ἦν εἰκὸς ταῦτα πολλοὺς εἰδέναι, ἀλλ' ὡς οἴκοθεν λέγοντι, τέως προσεῖχον τῷ Ἰωάννῃ. διὰ τοῦτό φησιν, ἐγὼ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω. καὶ εἰ μὴ ἔμελλες παρὰ ἀν-

ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνειν, καὶ ἐντεῦθεν ἰσχυρίζεσθαι, τίνος ἕνεκεν παρήγαγες τὴν μαρτυρίαν αὐτοῦ; ἵνα οὖν μὴ ταῦτα λέγωσιν, ἄκουσον πῶς καὶ διωρθώσατο τῇ ἐπαγωγῇ τὴν τοιαύτην ἀντίθεσιν. Εἰπὼν γὰρ ὅτι παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἐπήγαγεν·

Αλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐγὼ μὲν οὐκ ἐδεόμην τῆς τούτου μαρτυρίας, Θεὸς ὤν, τῆς ἀνθρωπίνης. ἐπειδὴ δὲ μᾶλλον αὐτῷ προσείχετε, καὶ πάντων ἀξιοπιστότερον ἡγεῖσθε, καὶ ἐκείνῳ μὲν ὡς προφήτῃ προσεδράμετε (καὶ γὰρ ἡ πόλις ἐπὶ τὸν Ἰορδάνην ἐξεχύθη) ἐμοὶ δὲ οὐδὲ θαυματουργοῦντι ἐπιστεύσατε, διὰ τοῦτο ὑμᾶς ἀναμιμνήσκω τῆς μαρτυρίας ἐκείνης.

35 Εκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ ἠθελήσατε πρὸς ὥραν ἀγαλλιασθῆναι ἐν τῷ φωτὶ αὐτοῦ. Ινα γὰρ μὴ λέγωσι· τί οὖν εἰ ἐκεῖνος μὲν εἶπεν, ἡμεῖς δὲ οὐκ ἐδεξάμεθα; δείκνυσιν ὅτι καὶ ἀπεδέξαντο τὰ εἰρημένα. καὶ γὰρ οὐδὲ τοὺς τυχόντας ἔπεμψαν, ἀλλ' ἱερεῖς καὶ Φαρισαίους. καὶ ἠθελήσατε ἀγαλλιασθῆναι. οὕτω τὸν ἄνδρα ἐθαύμαζον, καὶ τοῖς λεγομένοις ἀντειπεῖν οὐκ εἶχον τότε. τὸ δὲ πρὸς ὥραν, τὴν εὐκολίαν αὐτῶν δεικνύντος ἐστί, καὶ ὅτι ταχέως αὐτοῦ ἀπεπήδησαν.

36 Εγὼ δὲ ἔχω μαρτυρίαν μείζονα τοῦ Ἰωάννου. Εἰ μὲν γὰρ ἐβούλεσθε κατὰ τὴν ἀκολουθίαν τῶν πραγμάτων παραδέχεσθαι τὴν πίστιν, ἀπὸ τῶν ἔργων μᾶλλον ὑμᾶς ἂν ἐπηγαγόμην. ἐπειδὴ δὲ οὐ βούλεσθε, ἐπὶ τὸν Ἰωάννην ὑμᾶς ἄγω, οὐχ ὡς τῆς ἐκείνου δεόμενος μαρτυρίας, ἀλλ' ἐπειδὴ διὰ τοῦτο πάντα ποιῶ, ὥστε ὑμᾶς σωθῆναι. ἔχω μὲν γὰρ μαρτυρίαν Ἰωάννου μείζονα, τὴν ἀπὸ τῶν ἔργων· ἀλλ' οὐ τοῦτο σκοπῶ μόνον, ὅπως ἀπὸ τῶν ἀξιοπίστων εὐπαράδεκτος ὑμῖν γενοίμην, ἀλλ' ὅπως καὶ ἀπὸ τῶν'' ὑμῖν γνωρίμων καὶ παρ' ὑμῖν θαυμαζομένων. Εἶτα καθαπτόμενος αὐτῶν, καὶ εἰπὼν, ὅτι πρὸς ὥραν ἠθέλησαν ἀγαλλιασθῆναι ἐν τῷ φωτὶ αὐτοῦ, τὴν πρόσκαιρον αὐτῶν ἔδειξε σπουδὴν καὶ ἀβέβαιον. λύχνον δὲ αὐτὸν ἐκάλεσε, δηλῶν, ὅτι οὐκ οἴκοθεν εἶχε τὸ φῶς, ἀλλ' ἀπὸ τῆς τοῦ πνεύματος χάριτος. τὸ δὲ πρὸς ἀντιδιαστολὴν αὐτοῦ, τοῦτο οὐκ ἐπιτέθεικεν, ὅτι αὐτός ἐστιν ὁ ἥλιος τῆς δικαιοσύνης· ἀλλὰ τέως αἰνιξάμενος μόνον,'' καθήψατο σφόδρα αὐτῶν, δεικνὺς, ὅτι ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς ἐκείνου κατεφρόνησαν, οὐδὲ τῷ Χριστῷ πιστεῦσαι ἠδυνήθησαν. καὶ γὰρ τὸν θαυμαζόμενον παρ' αὐτοῖς, πρὸς ὥραν ἐθαύμασαν μόνον· ὡς εἰ μὴ τοῦτο ἐποίησαν, ταχέως ἂν αὐτοὺς πρὸς τὸν Ἰησοῦν ἐχειραγώγησε. δείξας τοίνυν αὐτοὺς πανταχόθεν ἀναξίους ὄντας συγγνώμης, ἐπήγαγε λέγων· ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζονα Ἰωάννου. ποίαν δὴ ταύτην; τὴν ἀπὸ τῶν ἔργων.

χ. ὑμῖν ἐγγ
τέρων

χ. καθη

Τὰ γὰρ ἔργα, φησὶν, ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα περὶ ἐμοῦ μαρτυρεῖ, ὅτι ὁ πατήρ με ἀπέστειλεν. Ενταῦθα τοῦ παραλυθέντος καὶ ὀρθωθέντος ἀνέμνησε, καὶ ἑτέρων πλειόνων. ''τὰ μὲν ῥήματα εἶπεν ἴσως ἄν τις αὐτῶν κόμπον εἶναι, καὶ φιλίας τῆς Ἰωάννου χάριν (καίτοι οὐδὲ τοῦτο ἐνῆν αὐτοῖς εἰπεῖν περὶ Ἰωάννου, ἀνδρὸς μετὰ ἀκριβείας φιλοσοφεῖν εἰδότος, καὶ οὕτω παρ' αὐτοῖς θαυμασθέντος) τὰ δὲ πράγματα οὐκέτι οὐδὲ παρὰ τοῖς μαινομένοις σφόδρα ταύτην ἠδύνατο τὴν ὑπόνοιαν ἔχειν. διὰ τοῦτο δευτέραν ταύτην ἐπήγαγε μαρτυρίαν, εἰπών· τὰ ἔργα ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ἀπέστειλέ με ὁ πατήρ. ἐνταῦθα καὶ πρὸς τὴν κατηγορίαν τῆς τοῦ σαββάτου λύσεως ἵσταται. ἐπειδὴ γὰρ ἔλεγον ἐκεῖνοι, πῶς δύναται εἶναι ἀπὸ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ; διὰ τοῦτο'' φησιν, ἃ ἔδωκέ μοι ὁ πατήρ. καίτοιγε αὐθεντίᾳ ἐποίει, ἀλλὰ δεικνὺς μετὰ πολλῆς τῆς περιουσίας, ὅτι οὐδὲν ἐναντίον τῷ πατρὶ πράττει, διὰ τοῦτο καὶ τὸ πολλῷ ἔλαττον ἔθηκε. Διατί γὰρ οὐκ εἶπεν ὅτι τὰ ἔργα, ἃ ἔδωκέ μοι ὁ πατὴρ, μαρτυρεῖ ὅτι ἴσος εἰμὶ τοῦ πατρός; ἀμφότερα γὰρ ἦν ἀπὸ τῶν ἔργων μαθεῖν,

χ. ἐπειδὴ
τὰ μὲν ῥ.

χ. εἶπε καὶ
αὐτίσα.

θεῖν, καὶ ὅτι οὐδὲν ἐναντίον ποιεῖ, καὶ ὅτι ἴσος ἐστὶ τῷ γεγεννηκότι. ὅπερ ἀλλαχοῦ κατασκευάζων ἔλεγεν· Εἰ ἐμοὶ μὴ πιστεύετε, τοῖς ἔργοις πιστεύετε, ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. ἀμφότερα οὖν αὐτῷ ἐμαρτύρει, καὶ ὅτι ἴσος ἦν τῷ πατρὶ, καὶ ὅτι οὐδὲν ἐναντίον ἔπραττεν ἐκείνῳ. τίνος οὖν ἕνεκεν οὐχ οὕτως εἶπεν, ἀλλὰ τὸ μεῖζον ἀφεὶς, τοῦτο τέθηκεν; ὅτι τὸ σπουδαζόμενον τοῦτο πρότερον ἦν. εἰ γὰρ καὶ πολλῷ ἔλαττον τὸ πιστευθῆναι ὅτι παρὰ τοῦ Θεοῦ ἦλθε, τοῦ πιστευθῆναι ὅτι Θεός ἐστιν ἴσος αὐτῷ (ἐκεῖνο μὲν γὰρ καὶ προφῆται ἦσαν, τοῦτο δὲ, οὐκέτι) ὅμως αὐτὸς ὑπὲρ τοῦ ἐλάττονος πολλὴν τίθεται σπουδὴν, εἰδὼς ὅτι τούτου δεχθέντος, καὶ ἐκεῖνο γένοιτ' ἂν λοιπὸν εὐπαράδεκτον. καὶ τῆς μείζονος οὐδὲν μνημονεύσας μαρτυρίας, τὸ ἔλαττον αὐτῆς ἔργον τίθησιν, ἵνα διὰ τούτου κἀκείνην δέξωνται. τοῦτο κατασκευάσας πάλιν, ἐπάγει

37 Καὶ ὁ πέμψας με πατὴρ, φησιν, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ.

Καὶ ποῦ μεμαρτύρηκε περὶ αὐτοῦ; ἐν τῷ Ἰορδάνῃ· οὗτος ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ἀλλὰ καὶ τοῦτο κατασκευῆς ἐδεῖτο. τὸ μὲν οὖν Ἰωάννου δῆλον ἦν. αὐτοὶ γὰρ ἀπέστειλαν, καὶ ἀρνήσασθαι οὐκ εἶχον. καὶ τὸ ἐκ τῶν σημείων δὲ ὁμοίως. εἶδον γὰρ γινόμενα· καὶ παρὰ τοῦ θεραπευθέντος ἤκουσαν, καὶ ἐπίστευσαν, ὅθεν καὶ ἐνεκάλουν. ἐλείπετο δὴ λοιπὸν τὸ περὶ τῆς τοῦ πατρὸς μαρτυρίας ἀποδεῖξαι. εἶτα μέλλων αὐτὸ κατασκευάζειν, φησίν· Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε. Καὶ πῶς Μωϋσῆς λέγει· Ὁ Θεὸς ἐλάλει, Μωϋσῆς δὲ ἀπεκρίνατο; πῶς δὲ Δαβὶδ φησι· Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσε; καὶ πάλιν Μωϋσῆς· Εἰ ἔστιν ἔθνος τοιοῦτον, ὃ ἤκουσε φωνῆς Θεοῦ; Ἐξοδ. θ. ιθ. Δαβ. δ. λγ.

Οὔτε εἶδος αὐτοῦ ἑωράκατε. Καίτοι καὶ ἑωρακέναι αὐτὸν λέγονται καὶ Ἡσαΐας, καὶ Ἱερεμίας, καὶ Ἰεζεκιὴλ, καὶ ἕτεροι πλείους. τί οὖν ἐστιν ὅ φησιν ὁ Χριστὸς νῦν; εἰς φιλόσοφον αὐτοὺς ἐνάγει δόγμα κατὰ μικρὸν, δεικνὺς ὅτι οὔτε φωνὴ περὶ Θεὸν, οὔτε εἶδος, ἀλλ' ἀνώτερος καὶ σχημάτων ἐστὶ καὶ φθόγγων τοιούτων. ὥσπερ γὰρ εἰπὼν, ὅτι οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὐ τοῦτό φησιν, ὅτι φωνὴν μὲν προΐεται, οὐκ ἀκουστὴν δέ· οὕτως εἰπὼν· οὔτε εἶδος αὐτοῦ ἑωράκατε, οὐ τοῦτό φησιν, ὅτι εἶδος μὲν ἔχει, οὐ θεατὸν δέ· ἀλλ' ὅτι οὐδὲν τούτων περὶ Θεόν. ἵνα γὰρ μὴ λέγωσιν ὅτι κομπάζεις, Μωϋσῇ λελάληκεν ὁ Θεὸς μόνῳ (τοῦτο γοῦν καὶ ἔλεγον· Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί) διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς, ὅτι οὔτε φωνὴ περὶ Θεὸν, οὔτε εἶδος. καὶ τί λέγω ταῦτα, φησιν; οὐ μόνον οὔτε φωνὴν αὐτοῦ οὐκ ἀκηκόατε, οὔτε εἶδος ἑωράκατε, ἀλλ' οὐδὲ ἐφ' ᾧ μάλιστα αὐχεῖτε, καὶ ἐφ' ᾧ μάλιστα πάντες ἐστὲ πεπληροφορημένοι, ὅτι τὰ προστάγματα αὐτοῦ ἐδέξασθε καὶ κατέχετε, οὐδὲ τοῦτο ὑμῖν δυνατὸν εἰπεῖν. διὸ τοῦτο ἐπήγαγεν·

38 Οὐδὲ τὸν λόγον αὐτοῦ ἔχετε μένοντα ἐν ὑμῖν· Τουτέστι, τὰς διαταγὰς, τὰ προστάγματα, τὸν νόμον, τοὺς προφήτας. εἰ γὰρ καὶ ὁ Θεὸς αὐτὰ διετάξατο, ἀλλ' ὅμως παρ' ὑμῖν οὐκ ἔστιν, ἐπειδὴ μὴ πιστεύετέ μοι. εἰ γὰρ ἄνω καὶ κάτω τοῦτό φασιν αἱ γραφαὶ, ὅτι ἐμοὶ χρὴ προσέχειν, ὑμεῖς δὲ οὐ πιστεύετε· εὔδηλον ὅτι καὶ ὁ λόγος αὐτοῦ ἀπέστη ἀφ' ὑμῶν. διὸ τοῦτο πάλιν ἐπήγαγεν, Ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

Εἶτα, ἵνα μὴ λέγωσι, πῶς οὖν, εἰ μὴ φωνὴν αὐτοῦ ἠκούσαμεν, σοι ἐμαρτύρησεν; λέγει· Ἐρευνᾶτε τὰς γραφάς· κἀκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. διὰ γὰρ τούτων ἐμαρτύρησε. καὶ μὴν καὶ ἐν τῷ Ἰορδάνῃ ἐμαρτύρησε, καὶ ἐν τῷ ὄρει. ἀλλ' οὐ φέρει εἰς μέσον τὴν φωνὴν ἐκείνην. ἴσως γὰρ ἂν καὶ ἠπιστήθη ἐντεῦθεν. τὴν μὲν γὰρ οὐδὲ ἤκουσαν, τὴν ἐν τῷ ὄρει· τὴν δὲ ἤκουσαν μὲν, οὐ προσέσχον δέ. διὰ τοῦτο παραπέμπει αὐτοὺς ταῖς γραφαῖς, δεικνὺς ὅτι καὶ ἡ τοῦ πατρὸς μαρτυρία ἐκεῖθεν ἐστί· πρότερον μέντοι τὰ παλαιὰ ἀναιρῶν ἐφ' οἷς ἐκόμπαζον, ἢ ὡς ἑωρακότες τὸν Θεὸν, ἢ ὡς φωνῆς αὐτοῦ ἀκούσαντες. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς τῇ φωνῇ διαπιστεῖν, καὶ τὰ ἐν τῷ Σιναίῳ ὄρει φαντάζεσθαι, διορθωσάμενος Ἰωαν. ε. λθ.

τὴν περὶ ἐκείνων ὑπόνοιαν πρότερον, καὶ δείξας συγκατάβασιν ὄντα τὰ γεγενημένα, τότε αὐτοὺς ἐπὶ τὴν μαρτυρίαν παρέπεμψε τῶν γραφῶν.

ΗΘΙΚΟΝ

β. Τιμ. γ. ιϛ.

Καὶ ἡμεῖς τοίνυν, ὅταν πρὸς αἱρετικοὺς μαχώμεθα, καὶ καθοπλιζώμεθα ἐντεῦθεν καὶ ἰσχυριζώμεθα. Πᾶσα γὰρ γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ· ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ″ἐξηρτισμένος· οὐχ ἵνα τὰ μὲν ἔχῃ, τὰ δὲ μὴ ἔχῃ. ὁ γὰρ τοιοῦτος οὐκ ἄρτιος. Τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν εὔχηται μὲν ἐκτενῶς, μὴ ἐλεῇ δὲ δαψιλῶς; ἢ ὅταν ἐλεῇ μὲν δαψιλῶς, πλεονεκτῶν δὲ [εἴη] καὶ βιαζόμενος; ἢ ὅταν μὴ πλεονεκτῶν μηδὲ βιαζόμενος, πρὸς ἐπίδειξιν δὲ τῶν ἀνθρώπων καὶ φιλοτιμίαν τῶν ὁρώντων; ἢ ὅταν ἐλεῇ μὲν μετὰ πάσης ἀκριβείας καὶ πρὸς τὸ τῷ Θεῷ δοκοῦν, ἐπαίρηται δὲ αὐτῷ τούτῳ καὶ μέγα φρονῇ; ἢ ὅταν ταπεινὸς μὲν ᾖ καὶ νηστείαις προσέχων, φιλάργυρος δὲ καὶ ἐμπορικὸς καὶ τῇ γῇ προσηλωμένος, καὶ τὴν μητέρα τῶν κακῶν ἐπεισάγων τῇ ψυχῇ;″ ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. Φρίξωμεν τοίνυν τὸ πρᾶγμα, φύγωμεν τὴν ἁμαρτίαν. αὕτη τὴν οἰκουμένην ἀνάστατον ἐποίησε, τοῦτο πάντα συνέχεε, τοῦτο τῆς μακαριωτάτης ἡμᾶς δουλείας ἀπάγει τοῦ Χριστοῦ. οὐκ ἔστι γάρ, φησι, Θεῷ δουλεύειν καὶ μαμμωνᾷ. ἐξεναντίας γὰρ ἐπιτάττει τῷ Χριστῷ. ὁ μὲν γὰρ λέγει, δίδου τοῖς δεομένοις· ὁ δέ, ἅρπαζε τὰ τῶν δεομένων. ὁ Χριστὸς λέγει, καὶ τοῖς * ἀδικοῦσι συγχώρει· οὗτος ″λέγει, κατασκεύαζε πάγας κατὰ τῶν οὐδὲν ἀδικούντων. ὁ Χριστὸς λέγει, φιλάνθρωπος ἔσο καὶ ἥμερος· οὗτος ″φησιν, ὠμὸς ἔσο καὶ ἀπηνής, καὶ μηδὲν εἶναι νόμιζε δάκρυα πενήτων· ἵνα κατὰ τὴν ἡμέραν ἐκείνην αὐστηρὸν ἡμῖν κατασκευάσῃ τὸν δικαστήν. τότε γὰρ ἡμῖν ἅπαντα πρὸ τῶν ὀφθαλμῶν ″ἥξει τὰ πεπραγμένα, καὶ οἱ ἠδικημένοι καὶ οἱ γυμνωθέντες παρ' ἡμῶν, πᾶσαν ἀπολογίαν ἡμῖν ἐκκλείοντες. Εἰ γὰρ ὁ Λάζαρος ἀδικηθεὶς μὲν οὐδὲν παρὰ τοῦ πλουσίου, μὴ ἀπολαύσας δὲ τῶν ἐκείνου, πικρὸς ἔστηκε τότε κατήγορος, καὶ οὐδεμιᾶς ἀφῆκεν αὐτὸν συγγνώμης τυχεῖν· τίνος ἀπολογίας, εἰπέ μοι, τεύξοιντο οἱ πρὸς τῷ μὴ ἐλεεῖν οἴκοθεν, καὶ τὰ ἀλλότρια λαμβάνοντες, καὶ τὰς τῶν ὀρφανῶν ἀνατρέποντες οἰκίας; Εἰ οἱ μὴ θρέψαντες πεινῶντα τὸν Χριστόν, τοσοῦτον ἐπὶ τὴν κεφαλὴν αὐτῶν εἵλκυσαν πῦρ· οἱ τὰ μηδὲν αὐτοῖς προσήκοντα ἁρπάζοντες καὶ μυρίας πλέκοντες δίκας, καὶ τὰ πάντων ἀδίκως περιβαλλόμενοι, ποίας ἀπολαύσουσι παραμυθίας; ἐκβάλωμεν τοίνυν τοῦτον τὸν ἔρωτα. ἐκβαλοῦμεν δέ, ἂν ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν ἀδικήσαντας, τοὺς πλεονεκτήσαντας καὶ ἀπελθόντας. οὐχὶ τῶν μὲν χρημάτων αὐτῶν καὶ πόνων ″ἀπολαύουσιν ἕτεροι, αὐτοὶ δὲ ἐν κολάσει καὶ τιμωρίᾳ καὶ τοῖς ἀνηκέστοις ″εἰσὶ κακοῖς; πῶς οὖν οὐκ ἐσχάτης ταῦτα ἀνοίας, κόπτεσθαι καὶ ταλαιπωρεῖν, ἵνα καὶ ζῶντες τοῖς πόνοις κατατεινώμεθα, καὶ ἀπελθόντες τὰς ἀφορήτους ὑπομένωμεν κολάσεις καὶ τιμωρίας, δέον καὶ ἐνταῦθα τρυφᾶν (οὐδὲν γὰρ οὕτως ἡδονὴν ἐργάζεται, ὡς ″ἐλεημοσύνης συνειδὸς) καὶ ἀπελθόντας ἐκεῖ πάντων ἀπηλλάχθαι τῶν κακῶν, καὶ μυρίων ἐπιτυγχάνειν τῶν ἀγαθῶν; ὥσπερ γὰρ ἡ κακία καὶ πρὸ τῆς γεέννης τοὺς ἐνταῦθα αὐτὴν μετιόντας κολάζειν εἴωθεν· οὕτω καὶ ἀρετή, καὶ πρὸ τῆς βασιλείας, τοὺς ἐνταῦθα αὐτὴν ἐργαζομένους παρασκευάζει τρυφᾶν, ἐλπίσι χρησταῖς καὶ ἡδονῇ διηνεκεῖ συζῆν ποιοῦσα. ἵν' οὖν ταύτης ἐπιτύχωμεν καὶ ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωήν, ἀντεχώμεθα τῶν ἀγαθῶν ἔργων. οὕτω γὰρ τῶν μελλόντων ἐπιτευξόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀπηρτισμένος·

γρ. ῥίζαν γὰρ π. τ. κ. εἶπεν ὁ Παῦλος τὴν φιλαργυρίαν.

* ἐπιβουλεύουσι καὶ

γρ. ἔμπαλιν,

γρ. ἀπηνείας,

γρ. σύστημα

γρ. ἀπολαύσουσιν

γρ. ἔσονται

γρ. -σωὶς, Συνειδὸς καθαρόν

Ὁμιλ.

Ομιλ. μα. 39 ΕΡΕΥΝΑΤΕ ΤΑΣ ΓΡΑΦΑΣ, ΟΤΙ ΥΜΕΙΣ ΔΟΚΕΙΤΕ ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, κἀκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. 40 Καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν αἰώνιον ἔχητε.

Πολλὴν ποιώμεθα τῶν πνευματικῶν, ἀγαπητοὶ, λόγων, μηδὲ ἀρκεῖν ἡμῖν νομίζωμεν πρὸς σωτηρίαν, τὸ καὶ ὁπωσοῦν αὐτὰ μετιέναι. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς οὐδὲν μέγα ἀπόνασθαι δυνήσεταί τις, παρέργως καὶ ὡς ἔτυχεν αὐτοῖς κεχρημένος, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς τοῦτο συμβήσεται, ἐπειδὴ καὶ πλείονος ταῦτα δεῖται σπουδῆς. διὰ τοῦτο καὶ ὁ Χριστὸς παραπέμπων τοὺς Ἰουδαίους ταῖς γραφαῖς, οὐκ εἰς ἁπλῆν ἀνάγνωσιν, ἀλλ' εἰς ἔρευναν ἀκριβῆ καὶ κατανενοημένην αὐτοὺς παρέπεμπεν. οὐ γὰρ εἶπεν, ἀναγινώσκετε τὰς γραφὰς, ἀλλ', ἐρευνᾶτε τὰς γραφάς. ἐπειδὴ γὰρ τὰ περὶ αὐτοῦ λεγόμενα πολλῆς ἐδεῖτο τῆς ἐπιμελείας (συνεσκίαστο γὰρ ἄνωθεν συμφερόντως τοῖς τότε) διὰ τοῦτο καὶ διασκάπτειν αὐτοὺς μετ' ἀκριβείας κελεύει νῦν, ἵνα τὰ ἐν τῷ βάθει κείμενα δυνηθῶσιν εὑρεῖν. οὐ γὰρ ἐξεπιπολῆς εἴρητο, οὐδὲ ὑπὲρ τὴν ἐπιφάνειαν ἔρριπτο, ἀλλ' ὥσπερ τις θησαυρὸς ἐν πολλῷ τῷ βάθει κατέκειτο· ὁ δὲ τὰ κάτω κείμενα ζητῶν, ἂν μὴ μετ' ἀκριβείας ζητῇ καὶ πόνου, οὐδέποτε δυνήσεται εὑρεῖν τὸ ζητούμενον. διόπερ ἔλεγεν, ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν. οὐκ εἶπεν, ἔχετε, ἀλλὰ δοκεῖτε· δεικνὺς, ὅτι οὐδὲ ἐκεῖθεν ἐκαρποῦντο μέγα τι καὶ γενναῖον, ἀπὸ τῆς ἀναγνώσεως προσδοκῶντες σωθήσεσθαι μόνης, πίστεως μὴ προσούσης. ὃ τοίνυν λέγει τοιοῦτόν ἐστιν· οὐχὶ θαυμάζετε τὰς γραφάς; οὐχὶ πάσης ζωῆς νομίζετε αἰτίας εἶναι; ἀπὸ τούτων καὶ αὐτὸς ἰσχυρίζομαι νῦν. αὗται γάρ εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν αἰώνιον ἔχητε. εἰκότως τοίνυν ἔλεγε τὸ, δοκεῖτε, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς πείθεσθαι, ἀλλ' ἐπὶ τῇ ψιλῇ ἀναγνώσει μόνον αὐχεῖν. εἶτα, ἵνα μὴ ἐκ πολλῆς κηδεμονίας φιλοδοξίας λάβῃ παρ' αὐτοῖς ὑπόνοιαν, καὶ διὰ τὸ βούλεσθαι πιστευθῆναι παρ' αὐτῶν, τὸ ἑαυτοῦ σκοπεῖν νομίζηται (καὶ γὰρ τῆς Ἰωάννου φωνῆς ἀνέμνησε καὶ τῆς μαρτυρίας τοῦ Θεοῦ, καὶ τῶν ἔργων τῶν αὐτοῦ, καὶ πάντα ἔλεγεν ὥστε αὐτοὺς ἐπισπάσασθαι, καὶ ζωὴν ἐπηγγείλατο) ἐπεὶ οὖν πολλοὺς εἰκὸς ἦν ὑποπτεύειν, ὅτι δόξης ἐρῶν ταῦτα ἔλεγεν, ἄκουσον τί φησι·

41 Δόξαν παρὰ ἀνθρώπου οὐ λαμβάνω· Τουτέστιν, οὐ δέομαι. οὐκ ἔστι, φησὶν, ἡ ἐμὴ φύσις τοιαύτη, ὥστε δεῖσθαι τῆς παρὰ ἀνθρώπων δόξης. εἰ γὰρ ἥλιος ἀπὸ λυχνιαίου φωτὸς οὐκ ἂν λάβοι προσθήκην, πολλῷ μᾶλλον ἐγὼ τῆς ἀνθρωπίνης ἀπέχω δεηθῆναι δόξης. τίνος οὖν ἕνεκεν ταῦτα λέγεις, φησὶν, ἐὰν οὐ δέῃ; ἵνα ὑμεῖς σωθῆτε. ἀλλὰ τοῦτο μὲν ἀνωτέρω εἴρηκεν, ᾐνίξατο δὲ αὐτὸ καὶ ἐνταῦθα εἰπὼν, ἵνα ζωὴν ἔχητε. τίθησι δὲ καὶ ἑτέραν αἰτίαν. ποίαν δὴ ταύτην;

42 Ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς.

Ἐπειδὴ γὰρ, ὡς δῆθεν τὸν Θεὸν ἀγαπῶντες, ἐδίωκον αὐτὸν ὅτι ἴσον ἑαυτὸν ἐποίει τῷ Θεῷ, ᾔδει δὲ ὅτι οὐκ ἔμελλον αὐτῷ πείθεσθαι· ἵνα μή τις εἴπῃ, τίνος οὖν ἕνεκεν ταῦτα λέγεις, ἵνα ἐλέγξω ὑμᾶς, φησιν, ὅτι οὐ δι' ἀγάπην τὴν τοῦ Θεοῦ με διώκετε, εἴπερ αὐτὸς μαρτυρεῖ μοι καὶ διὰ τῶν ἔργων καὶ διὰ τῶν γραφῶν. ὥσπερ γὰρ πρὸ τούτου νομίζοντες ἀντίθεον εἶναί με ἠλαύνετε, οὕτω καὶ νῦν ἐξ οὗ ταῦτα ἀπέδειξα, προσδραμεῖν ὑμᾶς ἔδει, εἴπερ ἠγαπᾶτε τὸν Θεόν. ἀλλ' οὐκ ἀγαπᾶτε. διὰ δὴ τοῦτο καὶ ταῦτα εἶπον, ἵνα δείξω ὑμᾶς περιττὸν ἔχοντας τῦφον, καὶ κομπάζοντας εἰκῇ, καὶ τὴν οἰκείαν βασκανίαν συσκιάζοντας. οὐκ ἀπὸ τούτων δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων αὐτὰ κατασκευάζει.

43 Ἐγὼ γὰρ ἦλθον, φησιν, ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Ὁρᾷς ὅτι ἄνω καὶ κάτω διὰ τοῦτό φησιν ἀπεστάλθαι, καὶ παρὰ τοῦ πατρὸς εἰληφέναι τὴν κρίσιν, καὶ οὐδὲν δύνασθαι ποιεῖν ἀφ᾽ ἑαυτοῦ, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν ἀγνωμοσύνης; τίνα δέ φησιν ἥξειν ἐν τῷ ὀνόματι τῷ ἰδίῳ; τὸν ἀντίχριστον αἰνίττεται ἐνταῦθα· * καὶ ἀναντίρρητον αὐτῶν τῆς ἀγνωμοσύνης τίθησιν ἀπόδειξιν. Εἰ γὰρ ὡς ἀγαπῶντες τὸν Θεόν με διώκετε, πολλῷ μᾶλλον ἐπὶ τοῦ ἀντιχρίστου "τοῦτο γενέσθαι ἔδει. ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον ἐρεῖ, οὔτε ἀπεστάλθαι παρὰ τοῦ πατρὸς, οὔτε κατὰ τὴν γνώμην ἥκειν τὴν ἐκείνου· ἀλλὰ τοὐναντίον ἅπαν, τυραννικῶς τὰ μηδὲν αὐτῷ προσήκοντα ἁρπάζων, καὶ τὸν ἐπὶ πάντων Θεὸν ἑαυτὸν εἶναι "λέγων, καθὼς ὁ Παῦλός φησιν, β. Θεσ. β. δ. Ὑπεραιρόμενον ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ἀποδεικνύντα ἑαυτὸν ὅτι αὐτός ἐστι Θεός. τοῦτο γάρ ἐστιν ἐν τῷ ὀνόματι τῷ ἰδίῳ ἐλθεῖν. ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ᾽ ἐν τῷ ὀνόματι τοῦ πατρός μου παραγέγονα. ἱκανὸν μὲν οὖν ἦν καὶ τοῦτο δεῖξαι αὐτοὺς οὐκ ἀγαπῶντας τὸν Θεὸν, ὅτι τὸν λέγοντα ἀπεστάλθαι παρ᾽ ἐκείνου, οὐκ ἐδέχοντο· νῦν δὲ καὶ ἐξ ἐναντίου δείκνυσιν αὐτῶν τὴν "ἀναισχυντίαν, ἐκ τοῦ τὸν ἀντίχριστον μέλλειν δέχεσθαι. ὅταν γὰρ τὸν μὲν ἀπ᾽ ἐκείνου λέγοντα ἀπεστάλθαι μὴ δέχωνται, τὸν δὲ μὴ εἰδότα ἐκεῖνον, κομπάζοντα δὲ καὶ λέγοντα ἑαυτὸν εἶναι τὸν ἐπὶ πάντων Θεὸν μέλλωσι προσκυνεῖν, εὔδηλον ὅτι βασκανίας ἡ δίωξις ἦν καὶ τοῦ μισεῖν τὸν Θεόν. διὰ δὴ τοῦτο δύο τίθησιν αἰτίας τῶν εἰρημένων, καὶ προτέραν μὲν, τὴν "χρηστοτέραν· ἵνα σωθῆτε, καὶ ἵνα ζωὴν ἔχητε. ἐπειδὴ δὲ ἔμελλον αὐτὸν χλευάζειν, * τίθησι καὶ τὴν πληκτικωτέραν, δεικνὺς, ὅτι κἂν μὴ πείθωνται οἱ ἀκούοντες, τὰ αὐτοῦ ὁ Θεὸς πανταχοῦ ποιεῖν εἴωθεν. ὁ μὲν οὖν Παῦλος περὶ τοῦ ἀντιχρίστου διαλεγόμενος, προφητικῶς εἶπεν, ὅτι πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ᾽ εὐδοκήσαντες τῇ ἀδικίᾳ. ὁ δὲ Χριστὸς οὐκ εἶπεν ὅτι ἥξει, ἀλλ᾽ ἐὰν ἔλθῃ, φειδόμενος τῶν ἀκουόντων. ἐπειδὴ δὲ οὐδέπω "πᾶσα ἀπηρτισμένη ἦν αὐτῶν ἡ "ἀγνωμοσύνη, διὰ τοῦτο αὐτὸς μὲν τὴν αἰτίαν ἐσίγησεν αὐτοῦ τῆς παρουσίας, ὁ δὲ Παῦλος τοῖς δυναμένοις συνιδεῖν, μετὰ ἀκριβείας αὐτὴν ᾐνίξατο. καὶ γὰρ ἐκεῖνός ἐστιν ὁ πᾶσαν ἀπολογίαν αὐτῶν ἀφαιρούμενος. εἶτα καὶ τὴν αἰτίαν τῆς ἀπιστίας αὐτῶν τίθησι "λέγων· 44 Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; Καὶ ἐντεῦθεν δείκνυσι πάλιν, ὅτι οὐ τὰ τοῦ Θεοῦ ἐσκόπουν, ἀλλ᾽ ἐν προσχήματι τοιούτῳ τὸ οἰκεῖον ἐβούλοντο πάθος ἐκδικεῖν, καὶ * τοσοῦτον ἀπεῖχον διὰ τὴν αὐτοῦ δόξαν ποιεῖν ταῦτα, ὅτι αὐτοὶ τὴν ἀνθρωπίνην ᾑροῦντο μᾶλλον, ἢ τὴν παρ᾽ ἐκείνου. πῶς οὖν ἔμελλον οὗτοι ὑπὲρ αὐτῆς ἀναδέχεσθαι τοσαύτην ἀπέχθειαν, ἧς οὕτω κατεφρόνουν, ὥστε τὴν ἀνθρωπίνην αὐτῆς προτιμᾶν; εἰπὼν δὲ ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχουσι, καὶ ἀποδείξας τοῦτο διὰ τούτων ἑκατέρων, διά τε τῶν εἰς αὐτὸν γινομένων, καὶ διὰ τῶν εἰς τὸν ἀντίχριστον ἐσομένων, "καὶ διελέγξας "σαφῶς, ὅτι πάσης εἰσὶν ἀπεστερημένοι συγγνώμης, λοιπὸν αὐτοῖς ἐφίστησι τὸν Μωϋσέα κατήγορον, ἐπάγων καὶ λέγων·

45 Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε.

46 Εἰ γὰρ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί. περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψεν.

47 Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· περὶ ἐμοῦ ἐκεῖνός ἐστιν ὁ ὑβρισμένος ἐν τοῖς εἰς ἐμέ. Μωϋσῇ γὰρ μᾶλλον ἠπιστήσατε, ἢ ἐμοί. ὅρα πῶς πανταχόθεν πάσης αὐτοὺς ἐξέβαλεν ἀπολογίας. Θεὸν ἐλέγετε ἀγαπᾶν ἐν τῷ διώκειν με· ἔδειξα ὅτι μισοῦντες αὐτὸν τοῦτο ποιεῖτε. "λέγετε λύειν με τὸ σάββατον, καὶ παραλύειν τὸν νόμον· ἀπεδυσάμην καὶ ταύτην τὴν διαβολήν.

* ὧν
χ. πειθό-
μας τὸν δι
χ. φησι,
χ. βασκα
χ. χρησ
λέγοι
* καὶ ἐπι
χ. ποτὲ
χ. πονηρὰ
πᾶσα,
χ. σι ἰσ
γων
* γὰρ
χ. ἔπειτα δι
χ. σφοδρῶς
χ. κατηγο-
ρεῖ

λήν. "διϊσχυρίζεσθε Μωϋσῇ πιστεύειν, δι' ὧν κατ' ἐμοῦ τολμᾶτε· δείκνυμι πάλιν ὅτι τοῦτο μέν ἐστι μάλιστα ἀπιστεῖν τῷ Μωϋσῇ. τοσούτῳ γὰρ δέω ἐξ ἐναντίας ἥκειν τῷ νόμῳ, ὅτι οὐδέ ἐστιν ἄλλος τις ὁ κατηγορήσων ὑμῶν, ἀλλ' ἢ αὐτὸς ὁ τὸν νόμον ὑμῖν δεδωκώς. ὥσπερ οὖν καὶ περὶ τῶν γραφῶν ἔλεγεν, ἐν αἷς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν· οὕτω καὶ περὶ Μωϋσέως φησίν· εἰς ὃν ὑμεῖς ἠλπίκατε, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος πανταχοῦ. καὶ πόθεν δῆλον, φησίν, ὅτι κατηγορήσει Μωϋσῆς, καὶ οὐ κομπάζεις; τί γάρ σοι καὶ Μωϋσεῖ κοινόν; τὸ σάββατον ἔλυσας, ὅπερ ἐκεῖνος ἐνομοθέτησε κρατεῖν. πῶς οὖν ἡμῶν ἐκεῖνος κατηγορήσει; πόθεν δὲ δῆλον ὅτι καὶ εἰς "ἄλλον πιστεύσομεν τὸν ἰδίῳ ὀνόματι ἥξοντα; ταῦτα γὰρ πάντα ἀμάρτυρα λέγεις. καὶ μὴν ἅπαντα ταῦτα ἄνωθεν ἔχει τὴν κατασκευήν. ὅταν γὰρ ὁμολογηθῇ, ὅτι παρὰ τοῦ Θεοῦ ἦλθον, ἀπὸ τῶν ἔργων, ἀπὸ τῆς φωνῆς Ἰωάννου, ἀπὸ τῆς μαρτυρίας τοῦ πατρός, εὔδηλον ὅτι Μωϋσῆς αὐτῶν κατηγορήσει. τί γὰρ ἐκεῖνός φησιν; ἐάν τις ἔλθῃ σημεῖα ποιῶν, καὶ πρὸς τὸν Θεὸν ἄγων, καὶ τὰ μέλλοντα προλέγων μετ' ἀληθείας, μετὰ πάσης ὑπακούειν αὐτῷ χρὴ τῆς προθυμίας. ὁ δὲ Χριστὸς ταῦτα πάντα πεποίηκε. καὶ γὰρ σημεῖα εἰργάσατο μετ' ἀληθείας ἁπάσης, καὶ πρὸς τὸν Θεὸν ἅπαντας εἷλκε, "καὶ ταῖς προρρήσεσι τὸ τέλος ἐπήγαγεν. ἀλλὰ πόθεν δῆλον ὅτι ἑτέρῳ πιστεύσουσιν; ἐκ τοῦ τὸν Χριστὸν μισεῖν. οἱ γὰρ τὸν μετὰ τῆς τοῦ Θεοῦ γνώμης ἥκοντα ἀποστρεφόμενοι, εὔδηλον ὅτι καὶ τὸν ἀντίθεον δέξονται. εἰ δὲ Μωϋσέα νῦν προβάλλεται, καίτοι εἰπών, ἐγὼ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, μὴ θαυμάσῃς. οὐδὲ γὰρ εἰς Μωϋσέα, ἀλλ' εἰς τὰ τοῦ Θεοῦ γράμματα αὐτοὺς παραπέμπει. πλὴν ἀλλ' ἐπειδὴ αἱ γραφαὶ ἔλαττον αὐτοὺς ἐφόβουν, εἰς τὸ πρόσωπον αὐτοὺς περιάγει τὸν λόγον, τὸν νομοθέτην αὐτὸν αὐτοῖς ἐφιστὰς κατήγορον, καὶ "ἐμφαντικώτερον οὕτω τὸ δέος ποιῶν, καὶ ἕκαστον τῶν παρ' αὐτῶν λεγομένων ἐλέγχει. σκόπει δέ· ἔλεγον διὰ τὴν εἰς τὸν Θεὸν ἀγάπην διώκειν αὐτόν· δείκνυσιν ὅτι διὰ τὸ μισεῖν τὸν Θεὸν τοῦτο ποιοῦσιν. ἔλεγον ἀντέχεσθαι Μωϋσέως· δείκνυσιν ὅτι διὰ τὸ μὴ πιστεύειν Μωϋσεῖ ταῦτα ἔπραττον. εἰ γὰρ τὸν νόμον ἐζήλουν, ἔδει δέξασθαι τὸν ἐκεῖνον πληροῦντα· εἰ τὸν Θεὸν ἠγάπων, ἔδει πεισθῆναι τῷ πρὸς ἐκεῖνον ἕλκοντι· εἰ Μωϋσεῖ ἐπίστευον, ἔδει προσκυνῆσαι τὸν ὑπ' ἐκείνου προφητευόμενον· εἰ δὲ ἐκεῖνος ἀπιστεῖται πρὸ ἐμοῦ, οὐδὲν ἀπεικὸς καὶ ἐμέ, τὸν ὑπ' αὐτοῦ κηρυττόμενον, ἐλαύνεσθαι παρ' ὑμῶν. ὥσπερ οὖν θαυμάζοντας Ἰωάννην, ἔδειξε καταφρονοῦντας Ἰωάννου διὰ τῶν εἰς αὐτὸν γεγενημένων· οὕτω νομίζοντας πιστεύειν Μωϋσεῖ, δείκνυσιν ἀπιστοῦντας, καὶ ἀεὶ εἰς τὴν κεφαλὴν αὐτῶν περιτρέπει πάντα ἅπερ ἐνόμιζον ὑπὲρ ἑαυτῶν προβάλλεσθαι. τοσοῦτον γὰρ ἀπέχω, φησίν, ἀπαγαγεῖν ὑμᾶς τοῦ νόμου, ὅτι καὶ αὐτὸν καλῶ κατήγορον ὑμῶν τὸν νομοθέτην. ὅτι μὲν οὖν αἱ γραφαὶ μαρτυροῦσιν, εἶπε· ποῦ δὲ μαρτυροῦσιν, οὐκέτι προσέθηκε, τὸν φόβον μείζονα αὐτοῖς ἐνθεῖναι βουλόμενος, καὶ εἰς ἔρευναν παραπέμψαι, καὶ εἰς ἀνάγκην καταστῆσαι ἐρωτήσεως. εἰ μὲν γὰρ εἶπεν ἐκ τοῦ προχείρου καὶ μηδὲ ἐρωτῶσιν αὐτοῖς, ἀπέβαλον ἂν τὴν μαρτυρίαν· νῦν δέ, εἰ προσεῖχον τοῖς λεγομένοις, ἔδει περὶ τῶν ἄλλων "τοῦτο ἐρωτῆσαι καὶ μαθεῖν παρ' αὐτοῦ. διὰ γὰρ τοῦτο καὶ ἐν ταῖς ἀποφάσεσι καὶ ἐν ταῖς ἀπειλαῖς πλεονάζει μᾶλλον, οὐκ ἐν ταῖς ἀποδείξεσι μόνον, ἵνα κἂν οὕτως αὐτοὺς ἐπαγάγηται τῷ φόβῳ τῶν λεγομένων. οἱ δὲ καὶ οὕτω σιγῶσι. τοιοῦτον γὰρ ἡ πονηρία. ὅσα ἂν τις λέγῃ καὶ ποιῇ, οὐ διανίσταται, ἀλλὰ μένει τὸν οἰκεῖον ἰὸν διατηροῦσα.

Δευτ. ιγ. α.

ΗΘΙΚΟΝ

Παρ. κα. η.
Σοφ. α. ε.

Διὸ χρὴ πᾶσαν κακίαν ἀπὸ τῆς ψυχῆς ἐκβαλόντας, μηδένα πλέκειν μηδέποτε δόλον. Πρὸς γὰρ τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει, φησίν, ὁ Θεός· "καὶ ἅγιον πνεῦμα σοφίας φεύξεται δόλον καὶ "ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων. οὐδὲν γὰρ οὕτω ποιεῖ μωρούς, ὡς πονηρία. ὅταν γὰρ ὕπουλος ᾖ τις, ὅταν ἀγνώμων, ὅταν ἀχάριστος (ταῦτα δὲ τῆς πονηρίας τὰ εἴδη) ὅταν μηδὲν ἠδικημένος λυπῇ, ὅταν πλέκῃ δόλους, πῶς οὐκ ἐσχάτης ἀνοίας ἐξοίσει στι δεῖγμα; οὐδὲν οὕτω ποιεῖ φρονίμους ὡς ἀρετή. καὶ γὰρ εὐχαρίστους καὶ εὐγνώμονας ἐργάζεται, φιλανθρώπους, ἡμέρους, πράους, ἐπιεικεῖς· τὰ ἄλλα ἅπαντα ἀγαθὰ αὐτὴ τίκτειν εἴωθε. τί δὲ τοῦ οὕτω διακειμένου συνετώτερον; πηγὴ γὰρ καὶ μήτηρ καὶ ῥίζα φρονήσεώς ἐστιν ἡ ἀρετή· ὥσπερ οὖν καὶ πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν. καὶ γὰρ ὁ ἀλαζὼν καὶ ὁ ὀργίλος, ἐξ ἐνδείας φρονήσεως ὑπὸ τῶν παθῶν ἁλίσκεται. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· Ψαλμ. λζ. δ. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· δεικνὺς ὅτι πᾶσα ἁμαρτία τὴν ἀρχὴν ἐξ ἀφροσύνης ἔχει· ὥσπερ ὁ ἐνάρετος καὶ φόβον Θεοῦ ἔχων, πάντων ἐστὶ συνετώτερος. διὸ καὶ σοφός τις ἔλεγεν· Παροιμ. α ζ. Ἀρχὴ σοφίας φόβος Κυρίου. Εἰ τοίνυν τὸ φοβεῖσθαι Θεὸν σοφίαν ἐστὶν ἔχειν, ὁ δὲ πονηρὸς τοῦτο οὐκ ἔχει, τῆς ὄντως σοφίας ἐστέρηται. τῆς δὲ σοφίας ἐστερημένος τῆς ὄντως, πάντων ἐστὶν ἀνοητότερος, καίτοιγε πολλοὶ τοὺς πονηροὺς θαυμάζουσιν ὡς ἰσχυροὺς ὄντας ἀδικεῖν καὶ βλάπτειν, οὐκ εἰδότες ὅτι μάλιστα πάντων αὐτοὺς ταλανίζειν χρή, ὅτι νομίζοντες ἑτέρους βλάπτειν, καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦσιν· ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης, ἑαυτὸν πλήττοντα, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ἀλλ' ἕτερον δοκεῖν ἀδικεῖν ἐν τῷ κατασφάττειν ἑαυτόν. διὰ τοῦτο καὶ Παῦλος εἰδὼς ὅτι ἐν τῷ πλήττειν ἑτέρους ἑαυτοὺς ἀναιροῦμεν, φησί· α. Κορ. ϛ ζ. Διατί μὴ μᾶλλον ἀδικεῖσθε; διατί μὴ μᾶλλον ἀποστερεῖσθε; τὸ γὰρ μὴ ἀδικεῖσθαι, ἐν τῷ μὴ ἀδικεῖν κεῖται· ὥσπερ οὖν τὸ μὴ πάσχειν κακῶς, ἐν τῷ μὴ ποιεῖν κακῶς, κἂν αἴνιγμα εἶναι δοκῇ τοῖς πολλοῖς τὸ λεγόμενον, καὶ φιλοσοφεῖν οὐκ ἐθέλουσι. Ταῦτ' οὖν εἰδότες, μὴ τοὺς ἀδικουμένους, μηδὲ τοὺς ἐπηρεαζομένους, ἀλλὰ τοὺς ταῦτα ποιοῦντας ταλανίζωμεν καὶ δακρύωμεν. οὗτοι γάρ εἰσιν οἱ μάλιστα ἠδικημένοι, οἱ τὸν Θεὸν ἑαυτοῖς ἐκπολεμώσαντες, καὶ μυρίων κατηγόρων ἀνοίγοντες στόματα, καὶ πονηρὰν κτώμενοι κατὰ τὸν παρόντα βίον ὑποψίαν, καὶ μεγάλην κατὰ τὸν μέλλοντα αἰῶνα ἐπισπώμενοι κόλασιν. ὡς οἵγε ἀδικούμενοι, καὶ πάντα φέροντες γενναίως, τόν τε Θεὸν ἔχουσιν ἵλεων, καὶ πάντας συναλγοῦντας αὐτοῖς, καὶ ἐπαινοῦντας, καὶ ἀποδεχομένους· οἱ τοιοῦτοι καὶ κατὰ τὸν παρόντα βίον πολλῆς ἀπολαύσονται τῆς εὐφημίας, φιλοσοφίας μέγιστον παρεχόμενοι δεῖγμα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν, τῶν αἰωνίων μεθέξουσιν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ϛ.

Ὁμιλ. μβ. 1 ΜΕΤΑ ΤΑΥΤΑ ΑΠΗΛΘΕΝ Ο ΙΗΣΟΥΣ ΠΕΡΑΝ τῆς θαλάσσης τῆς Γαλιλαίας εἰς τὰ μέρη Τιβεριάδος· 2 Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. 3 Ἀπῆλθε δὲ εἰς [τὸ] ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. 4 Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων.

ΤΟῖς δεινοῖς ἀνδράσι μὴ ὁμόσε χωρῶμεν, ἀγαπητοί· ἀλλὰ μανθάνωμεν, ὅταν μηδὲν παραβλάπτῃ τὴν ἡμετέραν ἀρετὴν, διδόναι τόπον αὐτῶν ταῖς πονηραῖς ἐπιβουλαῖς. οὕτω γὰρ παύεται πᾶσα θρασύτης. καὶ καθάπερ τὰ ἀκόντια, ὅταν εἰς ἐντεταμένον ἐμπέσῃ τι καὶ σκληρὸν καὶ ἀντιτυπὲς, μετὰ πολλῆς τῆς ῥύμης ἐξακοντίζεται ἐπὶ τοὺς ἀποστείλαντας πάλιν· ὅταν δὲ τὸ ῥαγδαῖον τῆς ἀφέσεως μὴ ἔχῃ τὸ ἀντιπίπτον, ἐκλύεται ταχέως καὶ λήγει· οὕτω καὶ ἐπὶ τῶν θρασυνομένων ἀνθρώπων· ὅταν μὲν αὐτοῖς ὁμόσε χωρῶμεν, ἀγριαίνουσι μᾶλλον, ὅταν δὲ εἴκωμεν καὶ παραχωρῶμεν, χαλῶμεν ῥᾳδίως πᾶσαν αὐτῶν τὴν μανίαν. διὰ δὴ τοῦτο καὶ ὁ Κύριος, ἐπειδὴ ἤκουσεν ὅτι ἤκουσαν οἱ Φαρισαῖοι, ὅτι ὁ Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης, ἦλθεν εἰς τὴν Γαλιλαίαν, τὸν φθόνον αὐτῶν σβεννύς, καὶ τὸν θυμόν, ὃν εἰκὸς ἦν ἀπὸ τούτων τεχθῆναι τῶν λόγων, διὰ τῆς ἀναχωρήσεως καταπραΰνων· καὶ εἰς τὴν Γαλιλαίαν πάλιν ἀπερχόμενος, οὐ τοῖς αὐτοῖς ἐπιβαίνει τόποις. οὐ γὰρ εἰς Κανὰ ἦλθεν, ἀλλὰ πέραν τῆς θαλάσσης, ἠκολούθουν δὲ αὐτῷ ὄχλοι πολλοὶ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. ποῖα σημεῖα; διατί μὴ αὐτὰ λέγει κατ' εἶδος; ὅτι τὸ πλέον τοῦ βιβλίου τοῦτο μάλιστα ὁ εὐαγγελιστὴς ἐν τοῖς λόγοις καὶ ταῖς δημηγορίαις καταναλῶσαι ἐσπούδασεν. ὅρα γοῦν πῶς ἐν ἐνιαυτῷ ὁλοκλήρῳ, μᾶλλον δὲ πῶς καὶ νῦν ἐν τῇ ἑορτῇ τοῦ πάσχα οὐδὲν πλέον ἡμᾶς ἐδίδαξε σημείων ἕνεκεν, ἢ ὅτι τὸν παραλελυμένον μόνον ἐθεράπευσε, καὶ τὸν υἱὸν τοῦ βασιλικοῦ. οὐ γὰρ τοῦτο ἐσπούδαζεν ὥστε ἅπαντα καταλέγειν (ἐπεὶ καὶ μηδὲ δυνατὸν ἦν) ἀλλ' ἐκ πολλῶν καὶ μεγάλων, ὀλίγα. ἠκολούθει αὐτῷ ὄχλος πολύς, θεωροῦντες τὰ σημεῖα ἃ ἐποίει. οὐ σφόδρα φιλοσόφου γνώμης τὸ εἰρημένον. τοσαύτης γὰρ διδασκαλίας ἀπολαύσαντες, ἀπὸ τῶν σημείων ἐνήγοντο μᾶλλον· ὃ παχυτέρας γνώμης ἦν. τὰ γὰρ σημεῖα, φησίν, οὐ τοῖς πιστοῖς, ἀλλὰ τοῖς ἀπίστοις. ἀλλ' οὐκ ἐκεῖνος ὁ δῆμος ὁ παρὰ τῷ Ματθαίῳ οὕτως. ἀλλὰ πῶς; Ἐξεπλήσσοντο πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ, φησίν, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων. τί δήποτε δὲ τὸ ὄρος καταλαμβάνει νῦν, καὶ ἐκεῖ κάθηται μετὰ τῶν μαθητῶν; διὰ τὸ μέλλον ἔσεσθαι σημεῖον. τὸ δὲ τοὺς μαθητὰς ἀναβῆναι μόνους, κατηγορία τοῦ πλήθους ἦν οὐκ ἀκολουθήσαντος αὐτῷ. οὐ τούτου δὲ ἕνεκεν μόνου τοῦτο ποιεῖ, τὸ ὄρος καταλαμβάνων, ἀλλὰ καὶ παιδεύων ἡμᾶς ἀεὶ διαναπαύεσθαι ἀπὸ τῶν θορύβων καὶ τῆς ἐν μέσῳ ταραχῆς. ἐπιτήδειον γὰρ πρὸς φιλοσοφίαν ἡ ἐρημία. πολλάκις δὲ καὶ μόνος αὐτὸς τὸ ὄρος καταλαμβάνει, καὶ διανυκτερεύει καὶ εὔχεται, διδάσκων ἡμᾶς ὅτι τὸν μάλιστα Θεῷ προσιόντα, πάσης ἀπηλλάχθαι δεῖ ταραχῆς, καὶ καιρὸν καὶ τόπον θορύβου καθαρὸν ἐπιζητεῖν. καὶ ἦν ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. πῶς οὖν οὐκ ἀναβαίνει εἰς τὴν ἑορτήν, φησίν, ἀλλὰ πάντων ἐπειγομένων εἰς τὰ Ἱεροσόλυμα, αὐτὸς εἰς τὴν Γαλιλαίαν ἔρχεται, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τοὺς μαθητὰς ἄγει, καὶ ἐκεῖθεν εἰς Καπερναούμ; ἠρέμα λοιπὸν ὑπεξέλυε τὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τῆς Ἰουδαϊκῆς πονηρίας.

λέξεις

βεβαίας
νείας ἢ
λούθησις.

πιστις.

α. Κορ. ιδ. κβ.

5 Καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς, ὁρᾷ ὄχλον πολύν. Δείκνυσιν ὅτι οὐδέποτε ἁπλῶς ἐκάθητο μετὰ τῶν μαθητῶν, ἀλλ' ἴσως ἀκριβολογούμενός τι πρὸς αὐτοὺς καὶ προσέχων καὶ ἐπιστρέφων αὐτοὺς πρὸς ἑαυτόν, ὃ μάλιστα αὐτοῦ τὴν κηδεμονίαν ἐνδείκνυται, καὶ τὸ ταπεινὸν καὶ συγκαταβατικὸν τὸ πρὸς ἐκείνους. συνεκάθηντο γὰρ αὐτῷ τάχα πρὸς ἀλλήλους ὁρῶντες. εἶτα ἀναβλέψας ὁρᾷ τὸν ὄχλον παραγινόμενον πρὸς αὐτόν. οἱ μὲν οὖν ἄλλοι εὐαγγελισταὶ τοὺς μαθητάς φασι προσελθόντας ἐρωτᾶν καὶ παρακαλεῖν ὥστε μὴ ἀπολῦσαι αὐτοὺς νήστεις· οὗτος δέ φησι τὸν Φίλιππον ἐρωτηθῆναι παρὰ τοῦ Χριστοῦ. καὶ ἐμοὶ δοκεῖ ἀμφότερα εἶναι ἀληθῆ, οὐκ ἐπὶ τῶν αὐτῶν γινόμενα καιρῶν, ἀλλ' ἐκεῖνα τούτων εἶναι πρεσβύτερα· ὡς ἕτερα μὲν ἐκεῖνα, ἕτερα δὲ ταῦτα. τίνος οὖν ἕνεκεν τὸν Φίλιππον ἐρωτᾷ; ᾔδει τῶν μαθητῶν τοὺς μάλιστα πλείονος δεομένους διδασκαλίας. οὗτος γάρ ἐστιν ὁ μετὰ ταῦτα λέγων· δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν. διὰ τοῦτο ἄνωθεν αὐτὸν ἐρρύθμιζεν. εἰ μὲν γὰρ ἁπλῶς τὸ σημεῖον ἐγένετο, οὐκ ἂν τοσοῦτον ἐφάνη τὸ θαῦμα· νῦν δὲ πρότερον αὐτὸν ἀναγκάζει ὁμολογῆσαι τὴν οὖσαν ἀπορίαν, ἵνα μαθὼν ἐν τίσιν ἦν, ἀκριβέστερον μάθῃ τοῦ μέλλοντος γίνεσθαι θαύματος τὸ μέγεθος. διὰ τοῦτό φησι,

διδάσκων

Πόθεν ἡμῖν ἄρτοι τοσοῦτοι, ἵνα φάγωσιν οὗτοι; Οὕτω καὶ ἐν τῇ παλαιᾷ πρὸς τὸν Μωϋσέα φησίν. οὐ γὰρ πρότερον τὸ σημεῖον ἐποίησεν, ἕως ἂν αὐτὸν ἠρώτησε· τί ποτέ ἐστιν ἐν τῇ χειρί σου; ἐπειδὴ γὰρ τὰ παράδοξα καὶ ἀήθη συμβαίνοντα τῶν προτέρων ἡμᾶς εἰς λήθην ἐμβάλλειν εἴωθε· πρότερον αὐτὸν ἐν τῇ τοῦ παρόντος κατέδησεν ὁμολογίᾳ, ἵνα τῆς ἐκπλήξεως γινομένης τὴν μνήμην τῶν ὁμολογηθέντων μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν· εἶθ' οὕτως ἀπὸ τῆς συγκρίσεως μάθῃ καὶ τοῦ σημείου τὸ μέγεθος. ὃ δὴ καὶ ἐνταῦθα γέγονε. καὶ ἐρωτηθεὶς ἐκεῖνός, φησι· 7 Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν, ἵνα ἕκαστος βραχύ τι λάβῃ. 6 Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν. αὐτὸς γὰρ ᾔδει τί ἤμελλε ποιεῖν. Τί ἐστι, πειράζων αὐτόν; ἆρα ἠγνόει τὸ μέλλον ὑπ' αὐτοῦ ῥηθήσεσθαι; οὐκ ἔστι τοῦτο εἰπεῖν. ἀλλὰ τίς ποτε τῆς λέξεως ἡ δύναμις; ἀπὸ τῆς παλαιᾶς δυνατὸν αὐτὴν καταμαθεῖν. καὶ γὰρ ἐκεῖ φησι· Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ, καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ. οὐδὲ ἐκεῖ οὕτω λέγων φαίνεται ὅτι ἀπὸ τῆς πείρας διέμεινεν ἰδεῖν τὸ τέλος, εἴτε ὑπακούσεται, εἴτε μή (πῶς γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;) ἀλλ' ἀνθρωπίνως ἀμφότερα εἴρηται. ὥσπερ γὰρ ὅταν λέγῃ ἐρευνᾶν τὰς καρδίας τῶν ἀνθρώπων, οὐκ ἀγνοίας τὴν ἔρευναν εἶναι, φησιν, ἀλλ' ἀκριβοῦς εἰδήσεως· οὕτω δὴ καὶ ὅταν λέγῃ, ὅτι ἐπείραζεν, οὐδὲν ἄλλο φησὶν, ἀλλ' ἢ ὅτι ἠπίστατο ἀκριβῶς. κἂν ἕτερον δὲ ἔστιν εἰπεῖν, ὅτι δοκιμώτερον αὐτὸν εἰργάζετο, ὥσπερ οὖν τὸν Ἀβραὰμ τότε, οὕτω καὶ τοῦτον διὰ τῆς τοιαύτης ἐρωτήσεως ἐνάγων νῦν εἰς τὴν ἀκριβῆ τοῦ σημείου γνῶσιν. διὰ δὴ τοῦτο καὶ ὁ εὐαγγελιστής, ἵνα μὴ τῇ ἀσθενείᾳ τῆς λέξεως ἐναπομείνας ὑποπτεύσῃς τι ἄτοπον περὶ τῶν εἰρημένων, φησίν· αὐτὸς ᾔδει τί ἔμελλε ποιεῖν. πλὴν ἐκεῖνο παρατηρεῖν ἀναγκαῖον, πῶς, ὅταν ᾖ ὑπόνοια πονηρά, εὐθὺς αὐτὴν ὁ εὐαγγελιστὴς μετὰ πολλῆς " ἐπιδιορθοῦται τῆς σπουδῆς. ὥσπερ οὖν ἐνταῦθα ἵνα μή τι τοιοῦτον ὑποπτεύσωσιν οἱ ἀκούοντες, προσέθηκε τὴν ἐπιδιόρθωσιν, εἰπών· αὐτὸς γὰρ ᾔδει τί ἤμελλε ποιεῖν· οὕτω καὶ ἐκεῖ λέγων, ὅτι ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐ μόνον ὅτι ἔλυε τὸ σάββατον, ἀλλ' ὅτι καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ· εἰ μὴ ἀπόφασις ἦν αὐτοῦ τοῦ Χριστοῦ διὰ τῶν ἔργων βεβαιουμένη, προσέθηκεν ἂν καὶ ἐκεῖ τὴν διόρθωσιν ταύτην. εἰ γὰρ, ἐν οἷς αὐτός φησιν, ὑφορᾶται ὁ εὐαγγελιστὴς μή τις ὑποπτεύσῃ, πολλῷ μᾶλλον ἐν οἷς ἕτεροι περὶ αὐτοῦ τοῦτο ἔλεγον, ὑπείδετο ἄν, εἰ μὴ προσήκουσαν ἑώρα περὶ αὐτοῦ κρατοῦσαν ὑπόνοιαν. ἀλλ' οὐκ ἐποίησεν. ᾔδει γὰρ αὐτοῦ τὴν γνώμην οὖσαν τοῦτο καὶ ψῆφον ἀκίνητον. διὰ τοῦτο εἰπών· ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ, οὐκ ἐχρήσατο ἐπιδιορθώσει τινὶ τοιαύτῃ. οὐ γὰρ ἐκείνων ἦν ὑπόνοια διεφθαρμένη τὸ λεγόμενον, ἀλλ' ἀπόφασις αὐτοῦ κεκυρωμένη διὰ τῶν ἔργων. ἐρωτηθέντος τοίνυν τοῦ Φιλίππου, φησὶν

8 Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος,

9 Ἔστιν ὧδε παιδάριον ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια. ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Ὑψηλότερος μὲν τοῦ Φιλίππου ὁ Ἀνδρέας· οὐ μὴν εἰς τὸ πᾶν ἔφθασεν. οἶμαι " δὲ μηδὲ ἁπλῶς τοῦτο εἰπεῖν, ἀλλ' ἀκηκοότα αὐτὸν τῶν προφητῶν τὰ θαύματα, καὶ πῶς Ἐλισσαῖος ἐποίησε τὸ ἐπὶ τῶν ἄρτων σημεῖον. διὰ δὴ τοῦτο ἀνέβη μὲν " ἐπί τι ὕψος, οὐκ ἴσχυσε δὲ πρὸς αὐτὴν φθάσαι τὴν κορυφήν. μανθάνωμεν " τοίνυν οἱ τῇ τρυφῇ προσέχοντες, τίνα ἐσιτοῦντο οἱ θαυμαστοὶ ἄνδρες ἐκεῖνοι καὶ μεγάλοι, καὶ τῇ ποσότητι * καὶ τῇ ποιότητι τὴν εὐτέλειαν αὐτῶν τῆς τραπέζης ἴδωμέν τε καὶ μιμησώμεθα. καὶ τὰ ἑξῆς δὲ πολλῆς ἀσθενείας. μετὰ γὰρ τὸ εἰπεῖν, ἔχει πέντε ἄρτους κριθίνους, ἐπήγαγεν, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; ἐνόμιζε γὰρ ὅτι ἀπὸ μὲν ἐλαττόνων ἐλάττονα, ἀπὸ δὲ πλειόνων πλείονα ἔμελλε ποιεῖν ὁ θαυματουργῶν· ὅπερ οὐκ ἦν. ὁμοίως γὰρ ἦν αὐτῷ εὔκολον ἀπό τε πλειόνων, ἀπό τε ἐλαττόνων ποιῆσαι πηγάσαι τῶν ἄρτων τὴν φύσιν. οὐ γὰρ ὕλης ἐδεῖτο τῆς ὑποκειμένης· ἀλλ' ὥστε μὴ δόξαι τὴν κτίσιν ἀλλοτρίαν εἶναι τῆς αὐτοῦ σοφίας, ὡς οἱ μετὰ ταῦτα διαβάλλοντες οἱ τὰ Μαρκίωνος νοσήσαντες ἔλεγον, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν θαυμάτων. ἐπεὶ οὖν ἀπέγνωσαν ἀμφότεροι οἱ μαθηταί, τότε λοιπὸν θαυματουργεῖ. οὕτω γὰρ μᾶλλον ἐκέρδαινον, πρότερον ὁμολογήσαντες τοῦ πράγματος τὴν δυσκολίαν.

Γεν. κβ. α.

ἴσ.

γρ. ὑποπτεύσῃ

γρ. γὰρ αὐτὸν ἐπεληλυθέναι τὴν

γρ. φθάσαι τὴν

γρ. ἐπιπόθων

* τῶν ὀπωρῶν
μένων

σκελίαν, ἵν', ὅταν γένηται, μάθωσι τοῦ Θεοῦ τὴν δύναμιν. ἐπεὶ γὰρ γίνεσθαι σημεῖον ἔμελλε τὸ καὶ προφήταις κατορθωθὲν, εἰ καὶ μὴ ὁμοίως· ἔμελλε δὲ καὶ εὐχαριστήσας πρότερον αὐτὸ ποιεῖν· ἵνα μὴ εἰς ἀσθενῆ τινα καταπέσωσιν ὑπόνοιαν, ὅρα πῶς αὐτῷ τῷ τρόπῳ διὰ πάντων ἐπῆρε, καὶ τὴν διαφορὰν ἔδειξεν. οὔπω γὰρ τῶν ἄρτων φανέντων, ἵνα μάθῃς ὅτι τὰ μὴ ὄντα, ὡς ὄντα αὐτῷ ὑφέστηκε (καθάπερ ὁ Παῦλός φησιν· Ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα) ὡς ἑτοίμου καὶ παρεσκευασμένης τῆς τραπέζης, ἐκέλευσεν αὐτοὺς εὐθέως ἀναπεσεῖν, διὰ τούτου τὴν διάνοιαν τῶν μαθητῶν ἀναστήσας. ὅτι δὲ καὶ ἐκέρδαναν ἀπὸ τῆς ἐρωτήσεως, εὐθέως ὑπήκουσαν· καὶ οὐκ ἐθορυβήθησαν, οὐδὲ εἶπον· τί ποτε τοῦτο ἐστι; πῶς κελεύεις ἀναπεσεῖν, οὐδενὸς ἐν τῷ μέσῳ φαινομένου; οὕτω καὶ πρὸ τῆς ὄψεως τοῦ σημείου πιστεύειν ἤρξαντο καὶ οἱ παρὰ τὴν ἀρχὴν τοσοῦτον ἀπιστήσαντες, ὡς εἰπεῖν, πόθεν ἀγοράσομεν ἄρτους; ὅτι καὶ μετὰ προθυμίας ἀνέκλιναν τοὺς ὄχλους. ἀλλὰ τί δήποτε τὸν μὲν παραλυτικὸν μέλλων διορθοῦν οὐκ εὔχεται, οὐδὲ τὸν νεκρὸν ἐγείρων, οὐδὲ τὴν θάλατταν χαλινῶν· ἐνταῦθα δὲ ἐπὶ τῶν ἄρτων τοῦτο ποιεῖ; δεικνὺς ὅτι τοὺς τροφῆς ἀρχομένους, εὐχαριστεῖν δεῖ τῷ Θεῷ· καὶ ἄλλως δὲ, ἐπὶ τῶν ἐλαττόνων αὐτὸ μάλιστα ἐργάζεται, ἵνα μάθῃς ὅτι οὐ δεόμενος αὐτὸ ποιεῖ. εἰ γὰρ δεόμενος, πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων ἂν αὐτὸ ἐποίησεν. ὁ δὲ ἐκεῖνα αὐθεντίᾳ ποιήσας, εὔδηλον ὅτι καὶ ταῦτα συγκαταβατικῶς ἔπραττεν. ἄλλως δὲ, καὶ ὄχλος πολὺς ἦν ὁ παρὼν, καὶ ἔδει πεισθῆναι αὐτοὺς ὅτι κατὰ γνώμην Θεοῦ παρεγένετο. διὰ τοῦτο ὅταν μὲν μόνος ποιῇ σημεῖα, οὐδὲν τοιοῦτον ἐπιδείκνυται· ὅταν δὲ ἐπὶ πολλῶν αὐτὸ ποιῇ, ὥστε πιστεῦσαι αὐτοὺς ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, οὐδὲ ἐναντίος τῷ γεγεννηκότι, διὰ τῆς εὐχαριστίας ἀναιρεῖ τὴν ὑποψίαν. καὶ ἔδωκε τοῖς ἀνακειμένοις, καὶ ἐνεπλήσθησαν. εἶδες πόσον δούλου καὶ δεσπότου τὸ μέσον; ἐκεῖνοι μὲν γὰρ ἐκ μέτρου ἔχοντες τὴν χάριν, οὕτως ἐθαυματούργουν· ὁ δὲ Θεὸς ἀπολελυμένῃ δυνάμει ποιῶν, μετὰ πολλῆς ἅπαντα εἰργάζετο τῆς περιουσίας.

12 Καὶ εἶπε τοῖς μαθηταῖς· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα. οἱ δὲ συνήγαγον, καὶ ἐγέμισαν δώδεκα κοφίνους. Οὐκ ἐπίδειξις ἦν τοῦτο περιττὴ, ἀλλ' ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ πρᾶγμα. διὰ δὴ τοῦτο καὶ ἐξ ὑποκειμένης ὕλης δημιουργεῖ. τίνος δὲ ἕνεκεν οὐ τοῖς ὄχλοις ἔδωκε βαστάσαι, ἀλλὰ τοῖς μαθηταῖς; ὅτι μάλιστα τούτους παιδεῦσαι ἠβούλετο τοὺς μέλλοντας εἶναι διδασκάλους τῆς οἰκουμένης. τὸ μὲν γὰρ πλῆθος οὐδὲν μέγα ἤμελλε καρπώσασθαι ἐκ τῶν θαυμάτων τέως (εὐθέως γοῦν ἐπελάθοντο αὐτοῦ, καὶ ᾔτουν ἕτερον θαῦμα) οὗτοι δὲ οὐ τὰ τυχόντα κερδαίνειν ἔμελλον. ἦν δὲ καὶ τῷ Ἰούδᾳ κατάκριμα τὸ γινόμενον οὐ τὸ τυχὸν, βαστάζοντι τὸν κόφινον. ὅτι δὲ τῆς αὐτῶν παιδεύσεως ἕνεκεν ταῦτα ἐγίνετο, τὸ εἰρημένον ὕστερον δηλοῖ, ὅπερ ἀνέμνησεν αὐτοὺς λέγων· οὔπω νοεῖτε πόσους κοφίνους ἐλάβετε; καὶ τὸ ἰσαρίθμους εἶναι τοῖς μαθηταῖς τοὺς κοφίνους τῶν λειψάνων τῆς αὐτῆς ἕνεκεν αἰτίας γέγονεν. ὕστερον δὲ ἐπειδὴ ἐπαιδεύθησαν, οὐκ ἔτι τοσούτους, ἀλλὰ σπυρίδας ἑπτά. ἐγὼ δὲ οὐ τὸ πλῆθος θαυμάζω τῶν γενομένων ἄρτων μόνον, ἀλλὰ καὶ μετὰ τοῦ πλήθους καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύματος· ὅτι οὔτε πλεῖον οὔτε ἔλαττον ἐποίησε περισσευθῆναι, ἀλλὰ τοσοῦτον ὅσον ἐβούλετο, προειδὼς πόσα ἀναλώσουσιν· ὅπερ ἀφάτου δυνάμεως ἦν. ἐπὶ τούτου μὲν οὖν τὰ κλάσματα τὸ γεγονὸς, ἀμφότερα ἐμφαίνοντα, ὅτι οὔτε φαντασία τις ἦν τὰ γινόμενα, καὶ ὅτι ἐξ ἐκείνων ἦν ὧν ἐτράφησαν· τὸ δὲ τῶν ἰχθύων, τότε μὲν ὑποκειμένων ἐγίνετο· ὕστερον δὲ μετὰ τὴν ἀνάστασιν οὐκέτι ἐξ ὕλης ὑποκειμένης. τίνος ἕνεκεν; ἵνα μάθῃς ὅτι καὶ νῦν τῇ ὕλῃ ἐκέχρητο οὐ δι' ἔνδειαν, οὐδὲ δεόμενος ὑποβάθρας, ἀλλ' ὥστε τὰ τῶν αἱρετικῶν ἐμφράξαι στόματα.

Ρω. δ. ιζ.

14 Οἱ δὲ ὄχλοι ἔλεγον, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης. Ὢ γαστριμαργίας ὑπερβολή. μυρία τούτων εἰργάσατο θαυμαστότερα, καὶ οὐδαμοῦ τοῦτο ὡμολόγησαν, ἀλλ'

πλήξεως γινομένης τὴν μνήμην τῶν ὁμολογηθέντων μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν· εἶθ' οὕτως ἀπὸ τῆς συγκρίσεως μάθῃ καὶ τοῦ σημείου τὸ μέγεθος. ὃ δὴ καὶ ἐνταῦθα γέγονε. καὶ ἐρωτηθεὶς ἐκεῖνός, φησι· 7 Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν, ἵνα ἕκαστος βραχύ τι λάβῃ. 6 Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν. αὐτὸς γὰρ ᾔδει τί ἤμελλε ποιεῖν. Τί ἐστι, πειράζων αὐτόν; ἆρα ἠγνόει τὸ μέλλον ὑπ' αὐτοῦ ῥηθήσεσθαι; οὐκ ἔστι τοῦτο εἰπεῖν. ἀλλὰ τίς ποτε τῆς λέξεως ἡ δύναμις; ἀπὸ τῆς παλαιᾶς δυνατὸν αὐτὴν καταμαθεῖν. καὶ γὰρ ἐκεῖ φησι· Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ, καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ· οὐδὲ ἐκεῖ τοῦτο λέγων φαίνεται ὅτι ἀπὸ τῆς πείρας ἀνέμεινεν ἰδεῖν τὸ τέλος, εἴτε ὑπακούσεται, εἴτε μή (πῶς γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;) ἀλλ' ἀνθρωπίνως ἀμφότερα εἴρηται. ὥσπερ γὰρ ὅταν λέγῃ ἐρευνᾶν τὰς καρδίας τῶν ἀνθρώπων, οὐκ ἀγνοίας τὴν ἔρευναν εἶναι φησιν, ἀλλ' ἀκριβοῦς εἰδήσεως· οὕτω δὴ καὶ ὅταν λέγῃ, ὅτι ἐπείραζεν, οὐδὲν ἄλλο φησίν, ἀλλ' ἢ ὅτι ἠπίστατο ἀκριβῶς. κἂν ἕτερον δὲ ἔστιν εἰπεῖν, ὅτι δοκιμώτερον αὐτὸν εἰργάζετο, ὥσπερ οὖν τὸν Ἀβραὰμ τότε, οὕτω καὶ τοῦτον διὰ τῆς τοιαύτης ἐρωτήσεως ἐνάγων νῦν εἰς τὴν ἀκριβῆ τοῦ σημείου γνῶσιν. διὰ δὴ τοῦτο καὶ ὁ εὐαγγελιστής, ἵνα μὴ τῇ ἀσθενείᾳ τῆς λέξεως ἐναπομείνας ὑποπτεύσῃς τι ἄτοπον περὶ τῶν εἰρημένων, φησίν· αὐτὸς ᾔδει τί ἔμελλε ποιεῖν. πλὴν ἐκεῖνο παρατηρεῖν ἀναγκαῖον, πῶς, ὅταν ἡ ὑπόνοια πονηρά, εὐθὺς αὐτὴν ὁ εὐαγγελιστὴς μετὰ πολλῆς ἐπιδιορθοῦται τῆς σπουδῆς. ὥσπερ οὖν ἐνταῦθα ἵνα μή τι τοιοῦτον ὑποπτεύσωσιν οἱ ἀκούοντες, προσέθηκε τὴν ἐπιδιόρθωσιν, εἰπών· αὐτὸς γὰρ ᾔδει τί ἤμελλε ποιεῖν· οὕτω καὶ ἐκεῖ λέγων, ὅτι ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐ μόνον ὅτι ἔλυε τὸ σάββατον, ἀλλ' ὅτι καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ· εἰ μὴ ἀπόφασις ἦν αὐτοῦ τοῦ Χριστοῦ διὰ τῶν ἔργων βεβαιουμένη, προσέθηκεν ἂν καὶ τὴν διόρθωσιν ταύτην. εἰ γάρ, ἐν οἷς αὐτός φησιν, ὑφορᾶται ὁ εὐαγγελιστὴς μή τις ὑποπτεύσῃ, πολλῷ μᾶλλον ἐν οἷς ἕτεροι περὶ αὐτοῦ τοῦτο ἔλεγον, ὑπείδετο ἄν, εἰ μὴ προσήκουσαν ἑώρα περὶ αὐτοῦ κρατοῦσαν ὑπόνοιαν. ἀλλ' οὐκ ἐποίησεν. ᾔδει γὰρ αὐτοῦ τὴν γνώμην οὖσαν τοῦτο καὶ ψῆφον ἀκίνητον. διὰ τοῦτο εἰπών· ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ, οὐκ ἐχρήσατο ἐπιδιορθώσει τινὶ τοιαύτῃ. οὐ γὰρ ἐκείνων ἦν ὑπόνοια διεφθαρμένη τὸ λεγόμενον, ἀλλ' ἀπόφασις αὐτοῦ κεκυρωμένη διὰ τῶν ἔργων. ἐρωτηθέντος τοίνυν τοῦ Φιλίππου, φησίν

Γεν. κβ. α.

ἴσ. περὶ

χ. ὑποπτεύῃ

8 Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος,

9 Ἔστιν ὧδε παιδάριον ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια. ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Ὑψηλότερος μὲν τοῦ Φιλίππου ὁ Ἀνδρέας· οὐ μὴν εἰς τὸ πᾶν ἔφθασεν. οἶμαι δὲ μηδὲ ἁπλῶς τοῦτο εἰπεῖν, ἀλλ' ἀκηκοότα αὐτὸν τῶν προφητῶν τὰ θαύματα, καὶ πῶς Ἐλισσαῖος ἐποίησε τὸ ἐπὶ τῶν ἄρτων σημεῖον. διὰ δὴ τοῦτο ἀνέβη μὲν ἐπί τι ὕψος, οὐκ ἴσχυσε δὲ πρὸς αὐτὴν φθάσαι τὴν κορυφήν. μάθωμεν τοίνυν οἱ τῇ τρυφῇ προσέχοντες, τίνα ἐσιτοῦντο οἱ θαυμαστοὶ ἄνδρες ἐκεῖνοι καὶ μεγάλοι, καὶ τῇ ποσότητι * καὶ τῇ ποιότητι τὴν εὐτέλειαν αὐτῶν τῆς τραπέζης ἴδωμέν τε καὶ μιμησώμεθα. καὶ τὰ ἑξῆς δὲ πολλῆς ἀσθενείας. μετὰ γὰρ τὸ εἰπεῖν, ἔχει πέντε ἄρτους κριθίνους, ἐπήγαγεν, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; ἐνόμιζε γὰρ ὅτι ἀπὸ μὲν ἐλαττόνων ἐλάττονα, ἀπὸ δὲ πλειόνων πλείονα ἔμελλε ποιεῖν ὁ θαυματουργῶν· ὅπερ οὐκ ἦν. ὁμοίως γὰρ ἦν αὐτῷ εὔκολον ἀπό τε πλειόνων, ἀπό τε ἐλαττόνων ποιῆσαι πηγάσαι τῶν ἄρτων τὴν φύσιν. οὐ γὰρ ὕλης ἐδεῖτο τῆς ὑποκειμένης· ἀλλ' ὥστε μὴ δόξαι τὴν κτίσιν ἀλλοτρίαν εἶναι τῆς αὐτοῦ σοφίας, ὡς οἱ μετὰ ταῦτα διαβάλλοντες οἱ τὰ Μαρκίωνος νοσήσαντες ἔλεγον, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν θαυμάτων. ἐπεὶ οὖν ἀπέγνωσαν ἀμφότεροι οἱ μαθηταί, τότε λοιπὸν θαυματουργεῖ. οὕτω γὰρ μᾶλλον ἐκέρδαινον, πρότερον ὁμολογήσαντες τοῦ πράγματος τὴν δυσκολίαν,

χ. γὰρ αὐτὸν ἐπεληλυθέναι τῶν

χ. προαιρε

χ. ἐσπούδαν

* τῶν ὀπωρ

μένων

κεφ. ϛ.

σκολίαν, ἵν᾽, ὅταν γένηται, μάθωσι τοῦ Θεοῦ τὴν δύναμιν. ἐπειδὴ γὰρ γίνεσθαι σημεῖον ἔμελλε τὸ καὶ προφήταις κατορθωθέν, εἰ καὶ μὴ ὁμοίως· ἔμελλε δὲ καὶ εὐχαριστήσας πρότερον αὐτὸ ποιεῖν· ἵνα μὴ εἰς ἀσθενῆ τινα καταπέσωσιν ὑπόνοιαν, ὅρα πῶς αὐτῷ τῷ τρόπῳ διὰ πάντων ἐτήρησε, καὶ τὴν διαφορὰν ἔδειξεν. οὔπω γὰρ τῶν ἄρτων φανέντων, ἵνα μάθῃς ὅτι τὰ μὴ ὄντα, ὡς ὄντα αὐτῷ ὑφέστηκε (καθάπερ ὁ Παῦλός φησιν· Ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα) ὡς ἑτοίμου καὶ παρεσκευασμένης τῆς τραπέζης, ἐκέλευσεν αὐτοὺς εὐθέως ἀναπεσεῖν, διὰ τούτου τὴν διάνοιαν τῶν μαθητῶν ἀναστήσας. ὅτι δὲ καὶ ἐκέρδαναν ἀπὸ τῆς ἐρωτήσεως, εὐθέως ὑπήκουσαν· καὶ οὐκ ἐθορυβήθησαν, οὐδὲ εἶπον· τί ποτε τοῦτό ἐστι; πῶς κελεύεις ἀναπεσεῖν, οὐδενὸς ἐν τῷ μέσῳ φαινομένου; οὕτω καὶ πρὸ τῆς ὄψεως τοῦ σημείου πιστεύειν ἤρξαντο καὶ οἱ παρὰ τὴν ἀρχὴν τοσοῦτον ἀπιστήσαντες, ὡς εἰπεῖν, πόθεν ἀγοράσομεν ἄρτους; οὗτοι καὶ μετὰ προθυμίας ἀνέκλιναν τοὺς ὄχλους. ἀλλὰ τί δήποτε τὸν μὲν παραλυτικὸν μέλλων ἀνορθοῦν οὐκ εὔχεται, οὐδὲ τὸν νεκρὸν ἐγείρων, οὐδὲ τὴν θάλατταν χαλινῶν· ἐνταῦθα δὲ ἐπὶ τῶν ἄρτων τοῦτο ποιεῖ; δεικνὺς ὅτι τοὺς τροφῆς ἀρχομένους, εὐχαριστεῖν δεῖ τῷ Θεῷ· καὶ ἄλλως δέ, ἐπὶ τῶν ἐλαττόνων αὐτὸ μάλιστα ἐργάζεται, ἵνα μάθῃς ὅτι οὐ δεόμενος αὐτὸ ποιεῖ. εἰ γὰρ δεόμενος, πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων ἂν αὐτὸ ἐποίησεν. ὁ δὲ ἐκεῖνα αὐθεντίᾳ ποιήσας, εὔδηλον ὅτι καὶ ταῦτα συγκαταβατικῶς ἔπραττεν. ἄλλως δέ, καὶ ὄχλος πολὺς ἦν ὁ παρών, καὶ ἐχρῆν αὐτοὺς πεισθῆναι ὅτι κατὰ γνώμην Θεοῦ παρεγένετο. διὰ τοῦτο ὅταν μὲν μόνος ποιῇ σημεῖα, οὐδὲν τοιοῦτον ἐπιδείκνυται· ὅταν δὲ ἐπὶ πολλῶν αὐτὸ ποιῇ, ὥστε πιστεῦσαι αὐτοὺς ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, οὐδὲ ἐναντίος τῷ γεγεννηκότι, διὰ τῆς εὐχαριστίας ἀναιρεῖ τὴν ὑποψίαν. καὶ ἔδωκε τοῖς ἀνακειμένοις, καὶ ἐνεπλήσθησαν. Εἶδες πόσον δούλου καὶ δεσπότου τὸ μέσον; ἐκεῖνοι μὲν γὰρ ἐκ μέτρου ἔχοντες τὴν χάριν, οὕτως ἐθαυματούργουν· ὁ δὲ Θεὸς ἀπολελυμένῃ δυνάμει ποιῶν, μετὰ πολλῆς ἅπαντα εἰργάζετο τῆς περιουσίας.

12 Καὶ εἶπε τοῖς μαθηταῖς· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα. οἱ δὲ συνήγαγον, καὶ ἐγέμισαν δώδεκα κοφίνους. Οὐκ ἐπίδειξις ἦν τοῦτο περιττή, ἀλλ᾽ ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ πρᾶγμα. διὰ δὴ τοῦτο καὶ ἐξ ὑποκειμένης ὕλης δημιουργεῖ. τίνος δὲ ἕνεκεν οὐ τοῖς ὄχλοις ἔδωκε βαστάσαι, ἀλλὰ τοῖς μαθηταῖς; ὅτι μάλιστα τούτους παιδεῦσαι ἐβούλετο τοὺς μέλλοντας εἶναι διδασκάλους τῆς οἰκουμένης. τὸ μὲν γὰρ πλῆθος οὐδὲν μέγα ἔμελλε καρπώσασθαι ἐκ τῶν θαυμάτων τέως (εὐθέως γοῦν ἐπελάθοντο αὐτοῦ, καὶ ᾔτουν ἕτερον θαῦμα) οὗτοι δὲ οὐ τὰ τυχόντα κερδαίνειν ἔμελλον. ἦν δὲ καὶ τῷ Ἰούδᾳ κατάκριμα τὸ γινόμενον οὐ τὸ τυχόν, βαστάζοντι τὸν κόφινον. ὅτι δὲ τῆς αὐτῶν παιδεύσεως ἕνεκεν ταῦτα ἐγίνετο, τὸ εἰρημένον ὕστερον δηλοῖ, ὅπερ ἀνέμνησεν αὐτοὺς λέγων· οὔπω νοεῖτε πόσους κοφίνους ἐλάβετε; καὶ τὸ ἰσαρίθμους εἶναι τοῖς μαθηταῖς τοὺς κοφίνους τῶν λειψάνων τῆς αὐτῆς ἕνεκεν αἰτίας γέγονεν. ὕστερον δὲ ἐπειδὴ ἐπαιδεύθησαν, οὐκ ἔτι τοσούτους, ἀλλὰ σπυρίδας ἑπτά. ἐγὼ δὲ οὐ τὸ πλῆθος θαυμάζω τῶν γενομένων ἄρτων μόνον, ἀλλὰ καὶ μετὰ τοῦ πλήθους καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύματος· ὅτι οὔτε πλεῖον οὔτε ἔλαττον ἐποίησε περισσευθῆναι, ἀλλὰ τοσοῦτον ὅσον ἐβούλετο, προειδὼς πόσα ἀναλώσουσιν· ὅπερ ἀφάτου δυνάμεως ἦν. ἐπιστοῦτο μὲν οὖν τὰ κλάσματα τὸ γεγονός, ἀμφότερα ἐμφαίνοντα, ὅτι οὔτε φαντασία τις ἦν τὰ γινόμενα, καὶ ὅτι ἐξ ἐκείνων ἦν ὧν ἐτράφησαν· τὸ δὲ τῶν ἰχθύων, τότε μὲν ὑποκειμένων ἐγίνετο· ὕστερον δὲ μετὰ τὴν ἀνάστασιν οὐκέτι ἐξ ὕλης ὑποκειμένης. τίνος ἕνεκεν; ἵνα μάθῃς ὅτι καὶ νῦν τῇ ὕλῃ ἐκέχρητο οὐ δι᾽ ἔνδειαν, οὐδὲ δεόμενος ὑποβάθρας, ἀλλ᾽ ὥστε τὰ τῶν αἱρετικῶν ἐμφράξαι στόματα.

14 Οἱ δὲ ὄχλοι ἔλεγον, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης. Ὢ γαστριμαργίας ὑπερβολή. μυρία τούτων εἰργάσατο θαυμαστότερα, καὶ οὐδαμοῦ τοῦτο ὡμολόγησαν, ἀλλ᾽

ὅτε

Ρω. δ. ιζ.

πίστεως

αὶ ἐπεὶσ-
ή, φησι,
άματα.

Οἱ οὖν ἄν-
ποι ἰδόν-
τὸ σημεῖον

ὅτε ἐνεπλήσθησαν. ἐκ δὲ τούτου δῆλον ὅτι προφήτην τινὰ προσεδόκων ἐξαίρετον. καὶ γὰρ ἐκεῖνοι ἔλεγον· σὺ εἶ ὁ προφήτης; καὶ οὗτοι, οὗτός ἐστιν ὁ προφήτης.

χ. διὸ καὶ ἄλλως ἔλεγον μήποτε οὗτος

15 Ὁ γοῦν Ἰησοῦς γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησεν εἰς τὸ ὄρος. Βαβαὶ, πόση τῆς γαστριμαργίας ἡ τυραννὶς, πόση τῆς γνώμης ἡ εὐκολία; οὐκέτι νόμον ἐκδικοῦσιν, οὐκέτι αὐτοῖς τῆς τοῦ σαββάτου παραλύσεως μέλει, οὐκέτι ζηλοῦσιν ὑπὲρ Θεοῦ, ἀλλὰ πάντα ἔῤῥιπτο τῆς γαστρὸς αὐτοῖς ἐμπλησθείσης· καὶ προφήτης ἦν παρ' αὐτοῖς, καὶ βασιλέα χειροτονεῖν ἔμελλον. ὁ δὲ Χριστὸς φεύγει. τί δήποτε; παιδεύων ἡμᾶς τῶν κοσμικῶν καταφρονεῖν ἀξιωμάτων, καὶ δεικνὺς ὅτι οὐδενὸς δεῖται τῶν ἐπὶ γῆς. ὁ γὰρ πάντα εὐτελῆ ἐπιλεξάμενος, καὶ μητέρα, καὶ οἰκίαν, καὶ πόλιν, καὶ ἀνατροφὴν, καὶ ἱματίων στολὴν, οὐκ ἔμελλεν ὕστερον ἀπὸ τῶν ἐν τῇ γῇ φαίνεσθαι. τὰ μὲν γὰρ ἀπὸ τῶν οὐρανῶν λαμπρά τε ἦν καὶ μεγάλα, ἄγγελοί τε, καὶ ἀστὴρ, καὶ πατὴρ βοῶν, καὶ πνεῦμα μαρτυροῦν, καὶ προφῆται πόῤῥωθεν ἀνακηρύττοντες· τὰ δὲ ἐν τῇ γῇ πάντα εὐτελῆ, ἵνα καὶ οὕτω μειζόνως ἡ δύναμις φαίνηται. ἦλθε δὲ καὶ παιδεύσων ἡμᾶς καταφρονεῖν τῶν ἐνταῦθα, καὶ μὴ τεθηπέναι μηδὲ ἐκπλήττεσθαι τὰ τοῦ βίου λαμπρὰ, ἀλλὰ καταγελᾷν ἁπάντων τούτων, καὶ τῶν μελλόντων ἐρᾷν. ὁ γὰρ τὰ ἐνταῦθα θαυμάζων, οὐ θαυμάσεται τὰ ἐν τοῖς οὐρανοῖς. διὰ τοῦτο καὶ τῷ Πιλάτῳ φησί· Ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τῆς γῆς, ἵνα μὴ δόξῃ λοιπὸν ἀνθρωπίνῳ φόβῳ καὶ δυναστείᾳ πρὸς τὸ πείθειν ἀποκεχρῆσθαι. τί οὖν φησιν ὁ προφήτης; Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον. βασιλείαν ἐκείνην λέγει τὴν ἐν τοῖς οὐρανοῖς, ἀλλ' οὐχὶ ταύτην. διὰ δὴ τοῦτό φησι· καὶ δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω.

χ. παραλύσεως

Ἰωαν. ιη. λϛ.

Ζαχαρ. θ. θ.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν, ἀγαπητοὶ, τῆς τιμῆς τῆς παρὰ ἀνθρώποις καταφρονεῖν, καὶ μὴ ἐφίεσθαι. τετιμήμεθα γὰρ τιμὴν μεγίστην, καὶ πρὸς ἣν αὕτη παραβαλλομένη, ὕβρεις καὶ γέλως καὶ κωμῳδία ὄντως ἐστίν. ὥσπερ οὖν ὁ πλοῦτος ὁ πρὸς ἐκεῖνον πενία, καὶ ἡ ζωὴ αὕτη χωρὶς ἐκείνης νέκρωσις (ἄφετε γὰρ τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς) οὕτω καὶ ἡ δόξα αὕτη πρὸς ἐκείνην αἰσχύνη καὶ γέλως ἐστί. μὴ τοίνυν αὐτὴν διώκωμεν. εἰ γὰρ οἱ παρέχοντες αὐτὴν σκιᾶς καὶ ὀνείρων εἰσὶν εὐτελέστεροι, πολλῷ μᾶλλον αὐτὴ ἡ δόξα. δόξα γὰρ ἀνθρώπου ὡς ἄνθος χόρτου. τί δὲ ἄνθους χόρτου εὐτελέστερον γένοιτ' ἄν; εἰ δὲ καὶ μόνιμος ἦν, τί τὴν ψυχὴν ὠφελῆσαι ἴσχυσεν ἄν; οὐδέν· ἀλλὰ καὶ καταβλάπτει τὰ μέγιστα δούλους ποιοῦσα, δούλους ἀργυρωνήτων χείρους, δούλους οὐχ ἑνὶ δεσπότῃ μόνον, ἀλλὰ καὶ δυσὶ καὶ τρισὶ καὶ μυρίοις διάφορα ἐπιτάττουσιν ὑπακούοντας. πόσῳ βέλτιον ἐλεύθερον εἶναι, ἢ δοῦλον, ἐλεύθερον μὲν τῆς τῶν ἀνθρώπων δουλείας, δοῦλον δὲ τῆς τοῦ Θεοῦ δεσποτείας; ὅλως δὲ, εἰ βούλει δόξης ἐρᾷν, ἔρα δόξης, ἀλλὰ τῆς ἀθανάτου. καὶ γὰρ λαμπρότερον αὐτῆς τὸ θέατρον, καὶ μεῖζον τὸ κέρδος. οὗτοι μὲν γάρ σε κελεύουσι δαπανώμενον ἀρέσκειν αὐτοῖς· ὁ δὲ Χριστὸς τοὐναντίον ἅπαν. καὶ γὰρ ἑκατονταπλασίονά σοι δίδωσι τῶν διδομένων παρὰ σοῦ, καὶ ζωὴν αἰώνιον τούτοις προστίθησι. τί τοίνυν βέλτιον ἐν τῇ γῇ εἶναι, ἢ ἐν τοῖς οὐρανοῖς; ὑπὸ ἀνθρώπων, ἢ ὑπὸ Θεοῦ θαυμάζεσθαι; ἐπὶ ζημίᾳ, ἢ ἐπὶ κέρδει; στεφανοῦσθαι πρὸς μίαν ἡμέραν, ἢ πρὸς ἀπείρους αἰῶνας; δὸς τῷ δεομένῳ, καὶ μὴ δὸς τῷ ὀρχουμένῳ, ἵνα μὴ μετὰ τῶν σῶν χρημάτων καὶ τὴν ψυχὴν ἀπολέσῃς τὴν ἐκείνου. σὺ γὰρ αἴτιος εἶ τῆς ἀπωλείας τῆς ἐκείνου διὰ τῆς ἀκαίρου φιλοτιμίας. εἰ γὰρ οἱ ἐπὶ τῆς ὀρχήστρας ᾔδεσαν, ὅτι τὸ ἐπιτήδευμα αὐτοῖς ἀκερδὲς ἔμελλεν ἔσεσθαι, πάλαι ἂν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες. ὅταν δέ σε κροτοῦντα, καὶ ἐπέχοντα, ἀναλίσκοντα, ἅπαντα τὰ σαυτοῦ δαπανῶντα θεάσωνται, κἂν μὴ βούλωνται τοῦτο μετιέναι, τῇ τοῦ κέρδους ἐπιθυμίᾳ κατέχονται. εἰ δὲ ἔγνωσαν ὅτι οὐδεὶς ἂν ἐπαινέσειε τὰ ἐκείνων, ταχέως ἂν ἀπέστησαν τῶν πόνων διὰ τὸ ἀκερδές. ὅταν δὲ ἴδωσι τὸ πρᾶγμα παρὰ πολλῶν θαυμαζόμενον, γίνεται δέλεαρ αὐτοῖς ὁ τῶν ἄλλων ἔπαινος. ἀποστῶμεν τοίνυν τῆς ἀκερδοῦς δαπάνης, μάθωμεν ἐπὶ τίσιν ἀναλίσκειν, καὶ πότε χρή. μὴ δὴ ἀμφοτέρωθεν προσκρούωμεν τὸν Θεόν, καὶ συνάγοντες ὅθεν οὐ χρή, καὶ σκορπίζοντες εἰς ἅπερ οὐ δεῖ. πόσης γὰρ οὐκ ἂν ἄξιον εἴη ὀργῆς, ὅταν τῇ πόρνῃ διδῷς παρατρέχων τὸν πένητα; εἰ γὰρ καὶ ἐκ δικαίων πόνων παρέσχες, οὐχὶ ἔγκλημα ἦν τὸ πρᾶγμα, μισθὸν κακίας παρέχειν, καὶ ὑπὲρ ὧν κολάζειν ἐχρῆν, ὑπὲρ τούτων τιμᾶν; ὅταν δὲ καὶ ὀρφανοὺς ἀποδύων καὶ χήρας ἀδικῶν τρέφῃς ἀσέλγειαν, ἐννόησον ἡλίκον τοῖς ταῦτα τολμῶσιν ἔσται τὸ πῦρ. ἄκουσον τί φησιν ὁ Παῦλος· Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι. Ρω. α. λβ. τάχα σφοδρῶς ὑμῶν καθηψάμεθα. ἀλλὰ κἂν ἡμεῖς μὴ καθαψώμεθα, αἱ διὰ τῶν πραγμάτων μένουσι τιμωρείαι τοὺς ἀδιόρθωτα ἁμαρτάνοντας. τί οὖν ὄφελος ἐν τοῖς λόγοις χαρίζεσθαι τοῖς διὰ τῶν ἔργων κολάζεσθαι μέλλουσι; συνευδοκεῖς τῷ ὀρχουμένῳ; ἐπαινεῖς καὶ θαυμάζεις; οὐκοῦν ἐκείνου γέγονας χείρων. τῷ μὲν γὰρ ἡ πενία συγγνώμην δίδωσιν, εἰ καὶ λόγον οὐκ ἔχουσαν· σὺ δὲ καὶ ταύτης ἀπεστέρησαι τῆς ἀπολογίας. κἀκεῖνον μὲν ἐὰν ἐρώμεθα, τί δήποτε τὰς ἄλλας τέχνας ἀφεὶς ἐπὶ ταύτην ἦλθες τὴν ἐναγῆ καὶ μιαράν; ἐρεῖ, ὅτι ἔξεστιν ὀλίγα πονοῦντα, πολλὰ καρποῦσθαι." σὲ δὲ ἐὰν ἐρώμεθα, τί δήποτε θαυμάζεις τὸν ἐν ἀσελγείᾳ βιοῦντα καὶ ἐπὶ λύμῃ ζῶντα πολλῶν; οὐκ ἔχεις ἐπὶ τὴν αὐτὴν πρόφασιν καταφυγεῖν, ἀλλ' ἀνάγκη κάτω κύπτειν καὶ αἰσχύνεσθαι καὶ ἐρυθριᾶν. εἰ δὲ παρ' ἡμῶν εὐθύνας ἀπαιτούμενος οὐδὲν ἂν" ἔχοις εἰπεῖν, ὅταν τὸ φοβερὸν ἐκεῖνο καὶ ἀπαραίτητον παραγένηται δικαστήριον, ἔνθα τῶν νοημάτων καὶ πραγμάτων καὶ πάντων τίνομεν εὐθύνας, πῶς στησόμεθα; ποίοις ὀφθαλμοῖς τὸν κριτὴν ὀψόμεθα; τί ἐροῦμεν; τί ἀπολογησόμεθα; ποίαν εὔλογον, ποίαν ἄλογον προβαλούμεθα πρόφασιν; τὴν τῆς δαπάνης; τὴν τῆς τέρψεως; ἢ τὴν τῆς ἑτέρων ἀπωλείας, οὓς διὰ τῆς ἐκείνου τέχνης ἀπόλλυμεν; οὐκ ἔστιν οὐδὲν εἰπεῖν· ἀλλ' ἀνάγκη κολάζεσθαι κόλασιν τέλος οὐκ ἔχουσαν, πέρας οὐκ ἐπισταμένην. ὅπερ ἵνα μὴ γένηται, ἐντεῦθεν ἤδη πάντα φυλαξώμεθα· ἵνα μετὰ χρηστῆς ἐλπίδος ἀπελθόντες τύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. μγ. 16 ΩΣ ΔΕ ΟΨΙΑ ΕΓΕΝΕΤΟ, ΚΑΤΕΒΗΣΑΝ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν θάλασσαν, 17 Καὶ ἀναβάντες εἰς τὸ πλοῖον ἤρχοντο εἰς τὸ πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ιησοῦς· 18 Ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο.

Οὐχὶ παρὼν τοῖς μαθηταῖς ὁ Χριστὸς σωματικῶς μόνον, ἀλλὰ καὶ" μακρὰν γενόμενος τὸ συμφέρον οἰκονομεῖ. καὶ γὰρ εὔπορος ὢν καὶ εὐμήχανος, διὰ τῶν ἐναντίων πραγμάτων ἓν καὶ τὸ αὐτὸ κατασκευάζει. ὅρα γοῦν καὶ ἐνταῦθα τί πεποίηκεν. ἀφίησι τοὺς μαθητάς, καὶ ἀνέρχεται εἰς τὸ ὄρος. ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν εἰς τὴν θάλασσαν. καὶ μέχρι μὲν τῆς ἑσπέρας περιέμενον αὐτόν, ἥξειν προσδοκῶντες πρὸς αὐτούς. γενομένης δὲ ἑσπέρας, οὐκέτι ἠνείχοντο μὴ ζητεῖν τὸν διδάσκαλον· τοσοῦτος αὐτοὺς κατεῖχεν ἔρως. οὐδὲ γὰρ εἶπον, ἑσπέρα νῦν ἐστι καὶ νὺξ κατέλαβε· ποῦ νῦν ἀπελευσόμεθα; ἐπικίνδυνος ὁ τόπος, ἐπισφαλὴς ὁ καιρός· ἀλλ' ὑπὸ τοῦ πόθου" κεντούμενοι ἐνέβησαν εἰς τὸ πλοῖον. οὐ γὰρ ἁπλῶς ὁ εὐαγγελιστὴς καὶ τὸν καιρὸν" ἐδήλωσεν, "ἀλλὰ διὰ τούτου τὴν θερμὴν αὐτῶν ἀγάπην" ἐμφαίνων. τίνος οὖν ἕνεκεν αὐτοὺς ἀφίησι, καὶ" οὐ φαίνεται; τίνος δὲ ἕἕνεκεν φαίνεται πάλιν μόνος ἐπὶ τῆς θαλάσσης βαδίζων; ἐκείνῳ μὲν διδάσκων αὐτοὺς πόσον ἐστὶν ἡ ἀπόλειψις, καὶ τὸν πόθον ἐργαζόμενος μείζονα· τούτῳ δὲ πάλιν τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος. ὥσπερ γὰρ ἐν τῇ διδασκαλίᾳ οὐ μετὰ τοῦ ὄχλου πάντα ἤκουον, οὕτω καὶ ἐπὶ τῶν σημείων οὐ μετὰ τοῦ πλήθους πάντα ἑώρων. ἐχρῆν γὰρ αὐτοὺς μέλλοντας ἐγχειρίζεσθαι τῆς οἰκουμένης τὴν προστασίαν, ἔχειν τι τῶν λοιπῶν πλέον. καὶ ποῖα σημεῖα καθ' ἑαυτοὺς εἶδον, φησί; τὴν μεταμόρφωσιν τὴν ἐπὶ τοῦ ὄρους, τοῦτο τὸ ἐπὶ τῆς θαλάσσης, τὰ μετὰ τὴν ἀνάστασιν πολλὰ καὶ μεγάλα ὄντα. ἐγὼ δὲ καὶ ἕτερα στοχάζομαι ἀπὸ τούτων. ἤρχοντο εἰς Καπερναούμ, τὸ μὲν σαφὲς οὐκ εἰδότες, ἐκεῖ δὲ προσδοκῶντες εὑρήσειν αὐτόν, ἢ κατὰ μέσον τὸ πλοῖον. τοῦτο οὖν ὁ εὐαγγελιστὴς αἰνίττεται εἰπών· ὅτι σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, ἥ τε θάλασσα μεγάλου ἀνέμου πνέοντος διηγείρετο. τί οὖν ἐκεῖνοι; ταράσσονται· πολλὰ δὲ ἦν τὰ τοῦτο ποιεῖν αὐτοὺς ἀναγκάζοντα καὶ πολλαχόθεν. καὶ "γὰρ καὶ ἀπὸ τοῦ καιροῦ (σκοτία γὰρ ἦν) καὶ ἀπὸ τοῦ χειμῶνος (ἡ γὰρ θάλασσα διηγείρετο) καὶ ἀπὸ τοῦ τόπου (οὐ γὰρ ἦσαν ἐγγὺς τῆς γῆς,

19 Ἀλλ' ἐληλακότες ὡς σταδίους εἴκοσι πέντε) Καὶ ἀπὸ τοῦ παραδόξου τὸ τελευταῖον ταράττονται. Θεωροῦσι γὰρ αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα. Καὶ ταραχθεῖσιν αὐτοῖς σφόδρα λέγει·

20 Ἐγώ εἰμι, μὴ φοβεῖσθε. Τίνος οὖν ἕνεκεν ἐφάνη; δεικνὺς, ὅτι αὐτός ἐστιν ὁ τὸν χειμῶνα λύσων. τοῦτο γὰρ "ἐνέφηνεν ὁ εὐαγγελιστὴς εἰπὼν, ὅτι

21 Ἤθελον αὐτὸν λαβεῖν. καὶ εὐθέως τὸ πλοῖον ἐγγὺς τῆς γῆς ἐγένετο. Οὐ γὰρ μόνον ἀσφαλῆ, ἀλλὰ καὶ ἐξ οὐρίων αὐτοῖς παρέσχε τὸν πλοῦν. τῷ ὄχλῳ δὲ οὐκ ἐπέδειξεν ἑαυτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα. "μεῖζον γὰρ ἢ κατὰ τὴν ἐκείνων ἀσθένειαν τὸ σημεῖον ἦν. ἀλλ' οὐδὲ τοῖς μαθηταῖς ὤφθη ἐπὶ πολὺ τοῦτο ποιῶν, ἀλλ' ἅμα τε ὤφθη, καὶ "ἀνεχώρησεν. ἐμοὶ δὲ καὶ τοῦτο δοκεῖ τὸ σημεῖον ἕτερον εἶναι τοῦ παρὰ τῷ Ματθαίῳ κειμένου. καὶ ὅτι ἕτερον, πολλαχόθεν δῆλον. "πολλάκις γὰρ τὰ αὐτὰ ποιεῖ σημεῖα, ὥστε "παρασκευάσαι μὴ μόνον σφόδρα ξενίζεσθαι τοὺς ὁρῶντας, ἀλλὰ καὶ μετὰ πολλῆς αὐτὰ δέχεσθαι πίστεως. ἐγώ εἰμι, μὴ φοβεῖσθε. μετὰ τοῦ ῥήματος καὶ τὴν δειλίαν ἐξέβαλεν ἀπὸ τῆς ἐκείνων ψυχῆς. ἀλλαχοῦ δὲ οὐχ οὕτως*. διὰ τοῦτο καὶ ὁ Πέτρος ἔλεγε· Κύριε εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρός σε. πόθεν οὖν τότε μὲν οὐκ εὐθέως "τοῦτο ἐδέξαντο, νῦν δὲ ἐπείσθησαν; ὅτι τότε μὲν ἔτι ὁ χειμὼν ἐπέμενε σαλεύων τὸ πλοῖον, νῦν δὲ μετὰ τῆς φωνῆς ἡ γαλήνη παρεγένετο. ἢ εἰ μὴ τοῦτο, τὸ πρότερον ἐκεῖνό ἐστιν ὅπερ ἔφθην εἰπὼν, ὅτι πολλάκις τὰ αὐτὰ ποιῶν σημεῖα, εὐπαράδεκτα [τῷ χρόνῳ] τὰ δεύτερα ἀπὸ τῶν προτέρων εἰργάζετο. τίνος δὲ ἕνεκεν οὐκ ἀνέβη εἰς τὸ πλοῖον; τὸ θαῦμα μεῖζον ἐργάσασθαι βουλόμενος, καὶ ἅμα τὴν θεότητα αὐτοῖς ἐκκαλύψαι "γυμνότερον, καὶ δεῖξαι ὅτι τότε εὐχαριστήσας, οὐχὶ δεόμενος βοηθείας τοῦτο ἐποίησεν, ἀλλ' ἐκείνοις συγκαταβαίνων. καὶ εἴασε μὲν γενέσθαι τὸν χειμῶνα, ἵνα ἀεὶ αὐτὸν ἐπιζητῶσιν· ἔπαυσε δὲ "τὸν χειμῶνα, ἵνα τὴν δύναμιν αὐτοῦ γνωρίσῃ· οὐκ ἀνέβη δὲ εἰς τὸ πλοῖον, ἵνα τὸ θαῦμα μεῖζον ἐργάσηται.

22 "Οἱ δὲ ὄχλοι οἱ ὄντες ἐκεῖ εἶδον ὅτι ἄλλο πλοιάριον οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν, εἰς ὃ ἀνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι "Ἰησοῦς οὐκ ἀνέβη εἰς τὸ πλοῖον, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ. Καὶ τίνος ἕνεκεν ἀκριβολογεῖται ὁ Ἰωάννης; "διὰ τί γὰρ οὐκ εἶπεν ὅτι, οἱ δὲ ὄχλοι τῇ ἑξῆς περάσαντες "ἀπῆλθον; ἕτερόν τι ἡμᾶς βούλεται διδάξαι, ὅτι καὶ τοῖς ὄχλοις, εἰ καὶ μὴ οὕτω φανερῶς, ἔδωκε γοῦν λανθανόντως ὑπονοῆσαι τὸ γεγενημένον. εἶδον γάρ, φησιν, ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἕν, καὶ ὅτι Ἰησοῦς οὐ "συνανέβη τοῖς μαθηταῖς. καὶ "ἐμβάντες εἰς τὰ ἐκ Τιβεριάδος πλοιάρια, ἦλθον ζητοῦντες τὸν Ἰησοῦν εἰς Καπερναούμ. τί "οὖν ἦν ἕτερον ὑποτοπῆσαι, ἀλλ' ἢ ὅτι τὴν θάλασσαν πεζεύων παρεγένετο; οὐδὲ γὰρ ἦν

εἰπεῖν ὅτι ἑτέρῳ πλοίῳ διέβη. ἓν γὰρ ἦν, φησιν, εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ. ἀλλ' ὅμως μετὰ θαῦμα "τηλικοῦτον ἐλθόντες οὐκ ἠρώτησαν αὐτὸν πῶς διέβη, πῶς παρεγένετο, οὐδὲ ἐζήτησαν τὸ τοσοῦτον σημεῖον μαθεῖν· ἀλλὰ τί φασι;

25 Ῥαββὶ, πότε ὧδε γέγονας; Πλὴν εἰ μὴ τὸ, πότε, τις ἐνταῦθα λέγοι ἀντὶ τοῦ πῶς, εἰρῆσθαι παρ' αὐτῶν. ἄξιον δὲ καὶ" ἐνταῦθα συνιδεῖν τὴν" εὔθραυστον αὐτῶν" ὁρμήν. οἱ γὰρ λέγοντες, οὗτός ἐστιν ὁ προφήτης, οἱ σπουδάζοντες ἁρπάσαι καὶ ποιῆσαι βασιλέα, εὑρόντες αὐτὸν οὐδὲν τοιοῦτον βουλεύονται· ἀλλὰ τὸ θαῦμα ἐκβαλόντες, ὡς ἔγωγε οἶμαι, οὐκέτι λοιπὸν ὑπὲρ τῶν προτέρων" ἐθαύμαζον· "ἀλλ' ἐπεζήτουν βουλόμενοι πάλιν τραπέζης ἀπολαύειν οἵας καὶ πρότερον. διέβησαν μὲν τὴν ἐρυθρὰν θάλασσαν καὶ Ἰουδαῖοι Μωϋσέως προηγουμένου, ἀλλὰ πολὺ τὸ μέσον ἐνταῦθα. ὁ μὲν γὰρ εὐχόμενος καὶ ὡς δοῦλος πάντα εἰργάζετο· οὗτος δὲ μετ' ἐξουσίας ἁπάσης. κἀκεῖ μὲν νότου τότε πνέοντος εἶξε τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν· ἐνταῦθα δὲ τὸ θαῦμα μεῖζον ἐγίνετο. μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν δεσπότην ἐπὶ τῶν νώτων, μαρτυροῦσα ἐκείνῃ τῇ ῥήσει τῇ λεγούσῃ, Ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους. εἰκότως δὲ μέλλων εἰς Καπερναοὺμ ἐμβαίνειν τὴν σκληρὰν καὶ ἀπειθῆ, τὸ σημεῖον τῶν ἄρτων εἰργάσατο· οὐ μόνον τοῖς ἐν αὐτῇ γινομένοις, ἀλλὰ καὶ τοῖς ἔξω τῆς πόλεως θαυματουργουμένοις μαλάξαι βουλόμενος" αὐτῆς τὴν ἀπείθειαν. τὸ γὰρ ὄχλους παραγενέσθαι τοσούτους εἰς τὴν πόλιν ἐκείνην, πολλὴν τιθεμένους σπουδὴν, ποῖον οὐκ ἦν ἱκανὸν μαλάξαι λίθον; ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτον οὐδὲν ἔπαθον, ἀλλὰ πάλιν τροφῆς ἐπεθύμουν σωματικῆς. διὸ καὶ ὀνειδίζονται παρὰ τοῦ Ἰησοῦ.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες ἡμεῖς, ὦ ἀγαπητοὶ, εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῶν αἰσθητῶν μὲν ἕνεκεν, πολλῷ δὲ μᾶλλον τῶν πνευματικῶν. οὕτω γὰρ καὶ αὐτὸς βούλεται, καὶ διὰ ταῦτα καὶ ἐκεῖνα δίδωσι, τοὺς ἀτελεστέρους ἐνάγων τούτοις καὶ προπαιδεύων, "ἐπειδὴ πρὸς τὸν κόσμον ἐπικεχήνασιν. ἀλλ' ὅταν αὐτὰ λαβόντες ἐν αὐτοῖς ἐναπομείνωσιν, ἐγκαλοῦνται καὶ ἐπιτιμῶνται. ἐπεὶ καὶ ἐπὶ τοῦ "παραλελυμένου πρότερον ἐκεῖνο ἠθέλησε δοῦναι, ἀλλ' οὐκ ἠνείχοντο οἱ παρόντες. εἰπόντος γὰρ Ὅτι ἀφέωνταί "σοι αἱ ἁμαρτίαι, ἔλεγον, οὗτος βλασφημεῖ. μὴ δὴ, παρακαλῶ, τοιοῦτον πάθωμέν τι ἡμεῖς, ἀλλ' ἐκείνων ἡμῖν "πλείων ἔστω λόγος. διὰ τί; ὅτι τῶν μὲν γὰρ πνευματικῶν παρόντων, οὐδεμία ἀπὸ τῆς τῶν σαρκικῶν ἡμῖν "ἀπουσίας γίνεται βλάβη· ἐκείνων δὲ οὐκ ὄντων, τίς ἔσται λοιπὸν ἡμῖν ἐλπὶς, τίς δὲ παραμυθία; διὸ χρὴ περὶ τούτων ἀεὶ τὸν Θεὸν παρακαλεῖν καὶ ταῦτα αἰτεῖν. τοιαῦτα γὰρ καὶ ὁ Χριστὸς ἡμᾶς "εὔχεσθαι ἐδίδαξε. κἂν ἀναπτύξωμεν τὴν εὐχὴν ἐκείνην, οὐδὲν εὑρήσομεν ἐν αὐτῇ σαρκικὸν, ἀλλὰ πάντα πνευματικὰ, καὶ αὐτὸ δὲ τὸ μικρὸν ἐκεῖνο τὸ αἰσθητὸν, τῷ τρόπῳ γινόμενον πνευματικόν. τὸ γὰρ παραινεῖν μηδὲν πλέον ἐπιζητεῖν τοῦ ἄρτου τοῦ ἐπιουσίου, τουτέστι, τοῦ καθημερινοῦ, πνευματικῆς ἂν εἴη καὶ φιλοσόφου διανοίας. τὰ δὲ πρὸ τούτου ὅρα· Ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. εἶτα εἰπὼν τὸ αἰσθητὸν ἐκεῖνο, ταχέως ἀπηλλάγη αὐτοῦ, καὶ πάλιν ἐπὶ τὴν πνευματικὴν" ἤγαγε διδασκαλίαν, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, λέγων, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. οὐδαμοῦ ἀρχὴν, οὐδαμοῦ πλοῦτον, οὐδαμοῦ δόξαν, οὐδαμοῦ δυναστείαν, ἀλλὰ πάντα τὰ εἰς ψυχῆς ὠφέλειαν συντελοῦντα ἐνέθηκε τῇ εὐχῇ· οὐδὲν γήινον, ἀλλὰ πάντα οὐράνια. εἰ τοίνυν κελευόμεθα ἀπέχεσθαι τῶν βιωτικῶν καὶ παρόντων, πῶς οὐκ ἂν εἴημεν ἄθλιοι καὶ ταλαίπωροι ταῦτα αἰτοῦντες παρὰ Θεοῦ, ἃ ἐκέλευσε καὶ ἔχοντας ἐκβάλλειν, φροντίδος ἀπαλλάττων ἡμᾶς, ὑπὲρ ὧν δὲ ἐπέταξε μηδεμίαν τίθεσθαι σπουδὴν*; τοῦτο γάρ ἐστιν τὸ βαττολογεῖν. διὰ ταῦτα εὐχόμενοι οὐκ ἀνυόμεθα. πῶς οὖν οἱ πονηροὶ, φησι, πλουτοῦσι; πῶς οἱ ἄδικοι καὶ μιαροὶ, ἁρπάζοντες, πλεονεκτοῦντες; οὐ τοῦ Θεοῦ παρέχοντος· ἄπαγε·

Ματθ. θ. κ.

Ματθ. ς. ι.

Ματθ. ς. ιβ.

ἀλλ' ἁρπάζοντες αὐτὰ καὶ πλεονεκτοῦντες. καὶ πῶς ὁ Θεὸς συγχωρεῖ; ὅτι καὶ τῷ πλουσίῳ τότε
Λουκ. ιϛ. κε. συνεχώρησε, μείζονι τηρῶν αὐτὸν κολάσει. ἄκουσον οὖν τί φησι πρὸς αὐτόν· Τέκνον, ἀπέλαβες τὰ
ἀγαθά σου, καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ἵν' οὖν μὴ καὶ
ἡμεῖς ταύτης ἀκούσωμεν τῆς φωνῆς, τρυφῶντες εἰκῆ καὶ μάτην, καὶ πολλὰ συνάγοντες ἑαυτοῖς
ἁμαρτήματα, τὸν ἀληθῆ πλοῦτον ἑλώμεθα καὶ τὴν ἀκριβῆ φιλοσοφίαν, ὥστε
τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ
πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ομιλ. μδ. 26 ΑΠΕΚΡΙΘΗ ΑΥΤΟΙΣ Ο ΙΗΣΟΥΣ· ΑΜΗΝ, ΑΜΗΝ λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. 27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον.

ΤΟ προσηνὲς καὶ λεῖον οὐ πανταχοῦ χρήσιμον, ἀλλ' ἔστιν ὅτε καὶ τοῦ πληκτικωτέρου δεῖ τῷ διδασκάλῳ. ὅταν γὰρ νωθὴς ᾖ ὁ μαθητὴς καὶ παχύς, κέντρῳ διεγείρειν αὐτὸν λοιπὸν χρή, ὥστε τῆς πολλῆς καθικέσθαι νωθείας. τοῦτο καὶ ὁ υἱὸς τοῦ Θεοῦ πεποίηκεν ἀλλαχοῦ τε πολλαχοῦ, καὶ ἐν τῷ παρόντι τόπῳ. ἐλθόντων γὰρ τῶν ὄχλων καὶ εὑρόντων τὸν Ἰησοῦν, καὶ κολακευόντων αὐτὸν καὶ λεγόντων· Ῥαββί, πότε ὧδε γέγονας· δεικνὺς ὅτι τῆς παρὰ ἀνθρώπων οὐκ ἐφίεται τιμῆς, ἀλλ' ἓν μόνον ὁρᾷ, τὴν σωτηρίαν αὐτῶν, ἐπιπληκτικῶς αὐτοῖς ἀποκρίνεται, οὐ ταύτῃ μόνον διορθῶσαι βουλόμενος, ἀλλὰ καὶ τὴν διάνοιαν αὐτῶν ἐκκαλύψαι καὶ εἰς μέσον ἀγαγεῖν. τί γάρ φησιν; ἀμήν, ἀμὴν λέγω ὑμῖν· μετὰ διισχυρισμοῦ καὶ βεβαιώσεως· ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. πλήττει μὲν τῷ λόγῳ καὶ ἐλέγχει, ἀλλ' οὐκ ἀποτόμως καὶ σφόδρα, ἀλλὰ μετὰ πολλῆς τῆς φειδοῦς τοῦτο ποιῶν. οὐ γὰρ εἶπεν, ὦ λαίμαργοι καὶ γαστρίδουλοι, τοσαῦτα ἐθαυματούργησα, καὶ οὐδαμοῦ οὔτε ἠκολουθήσατε, οὔτε ἐθαυμάσατε τὰ γεγενημένα· ἀλλὰ προσηνῶς οὕτω πως καὶ ἠρέμα· ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε· οὐ περὶ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ περὶ τοῦ παρόντος σημείου λέγων. οὐ γὰρ τὸ θαῦμα ὑμᾶς ἐξέπληξέ, φησι, τὸ ἐπὶ τοῖς ἄρτοις, ἀλλὰ τὸ ἐμπλησθῆναι. καὶ ὅτι οὐ καταστοχαζόμενος αὐτῶν ἔλεγεν, εὐθέως ἔδειξαν ἐκεῖνοι. καὶ γὰρ διὰ τοῦτο πάλιν ἦλθον, ὡς μέλλοντες τῶν αὐτῶν ἀπολαύσεσθαι. διὰ τοῦτο καὶ ἔλεγον· οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ. πάλιν ἐπὶ τὴν τροφὴν αὐτὸν ἕλκουσι σαρκικήν, ὅπερ ἦν ἔγκλημα καὶ κατηγορία μεγίστη. ἀλλ' αὐτὸς οὐχ ἵσταται μέχρι τῶν ἐλέγχων, ἀλλὰ καὶ διδασκαλίαν προστίθησι, λέγων· ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον,

Ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου δίδωσιν ὑμῖν. τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ Θεός. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μηδεὶς ὑμῖν ἔστω λόγος ταύτης τῆς τροφῆς, ἀλλ' ἐκείνης τῆς πνευματικῆς. ἀλλ' ἐπειδή τινες τῶν βουλομένων ἀργῶς τρέφεσθαι ἀποκέχρηνται τούτῳ τῷ λόγῳ, ὡς τὴν ἐργασίαν ἐκκόπτοντος τοῦ Χριστοῦ, εὔκαιρον καὶ πρὸς αὐτοὺς εἰπεῖν. ὅλον γάρ, ὡς εἰπεῖν, διαβάλλουσι τὸν χριστιανισμόν, καὶ ἐπὶ ἀργίᾳ κωμῳδεῖσθαι παρασκευάζουσι. πρότερον δὲ ἀναγκαῖον εἰπεῖν τὸ τοῦ Παύλου. τί δὲ ἐκεῖνός φησι; μνημονεύετε τοῦ Κυρίου εἰρηκότος·
Πραξ. κ. λε. Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν. καίτοι πόθεν ἂν γένοιτο τὸ διδόναι, τῷ οὐκ ἔχοντι; πῶς οὖν τῇ Μάρθᾳ ὁ Ἰησοῦς φησι· μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία·

γρ. κέντρῳ χρὴ δὲ αὐτὸν λοιπ
γρ. παρόντων,
γρ. πλὴν ἐπι μιξ καὶ μετ
φειδ
γρ. προσην
στερὸν φησί
γρ. ἐμφαίν
μονονουχί
τοῦτο λέγων
ὧν περὶ
τοῦ ἀπολ
ται. οὐ τὸ
μα
γρ. ἕλκουσ

χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο; καὶ πάλιν· Μὴ μεριμνᾶτε, φησὶν, εἰς τὴν αὔριον. ἀναγκαῖον γὰρ πάντα νῦν ταῦτα "διαλῦσαι, οὐχ ἵνα μόνον παύσωμεν αὐτοὺς ἀργοῦντας εἰ βούλοιντο, ἀλλ' ἵνα μὴ μάχην εἰσάγειν δοκῇ τὰ λόγια τοῦ Θεοῦ. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος· Παρακαλοῦμεν δὲ ὑμᾶς περισσεύειν καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, ἵνα εὐσχημόνως περιπατῆτε πρὸς τοὺς ἔξω. καὶ πάλιν· Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος ταῖς ἰδίαις χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. ἐνταῦθα γὰρ ὁ Παῦλος οὐδὲ ἁπλῶς ἐργάζεσθαι ἐκέλευσεν, ἀλλ' ὑπὸ μετὰ πόνου καὶ κόπου, "ὡς ἔχειν ἐντεῦθεν καὶ ἑτέρῳ μεταδιδόναι. καὶ ἑτέρωθι δὲ ὁ αὐτός φησι· ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγε· Τίς οὖν μοῦ ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον. καὶ ἐν τῇ πόλει δὲ ἐκείνῃ γενόμενος, ἔμενε πρὸς Ἀκύλαν καὶ Πρίσκιλλαν, καὶ εἰργάζετο. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. ἀλλὰ ταῦτα τὴν μάχην δείκνυσι σφοδροτέραν κατὰ τὸ ῥητόν· οὐκοῦν ἀνάγκη λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν. τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι τὸ μὴ μεριμνᾶν, οὐ τὸ μὴ ἐργάζεσθαί ἐστιν, ἀλλὰ τὸ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς πράγμασι· τουτέστι, τὸ μὴ ποιεῖσθαι φροντίδα περὶ τῆς εἰς αὔριον ἀναπαύσεως, ἀλλὰ περίεργον αὐτὴν εἶναι νομίζειν. ἔνεστι γὰρ ἐργαζόμενον μηδὲν εἰς τὴν αὔριον θησαυρίζειν, καὶ ἔνεστιν ἐργαζόμενον μηδὲν μεριμνᾶν. οὐ γὰρ ταὐτόν ἐστι μέριμνα καὶ ἐργασία. οὐδὲ γὰρ ὡς τῷ ἔργῳ θαρρῶν ἐργάζεταί τις, ἀλλ' ἵνα μεταδῷ τῷ χρείαν ἔχοντι. καὶ τὸ πρὸς Μάρθαν δὲ εἰρημένον, οὐ περὶ ἔργου καὶ ἐργασίας ἐστὶν, ἀλλὰ περὶ τοῦ δεῖν καιρὸν εἰδέναι, καὶ μὴ τὸν τῆς ἀκροάσεως χρόνον πρὸς τὰ σαρκικώτερα ἀναλίσκειν. οὐ τοίνυν εἰς ἀργίαν αὐτὴν ἐμβάλλων, ταῦτα ἔλεγεν, ἀλλὰ προσηλῶν τῇ ἀκροάσει. παρεγενόμην, φησὶ, διδάξων ὑμᾶς τὰ δέοντα, σὺ δὲ περὶ ἄριστον ἐσπούδακας. ὑποδέξασθαί με βούλει, καὶ πολυτελῆ παρασκευάσαι τράπεζαν; ἑτέραν παρασκεύασον ἑστίασιν, τὴν μετὰ προθυμίας ἀκρόασίν μοι παρεχομένη, καὶ τὸν τῆς ἀδελφῆς μιμουμένη πόθον. οὔτε οὖν τὴν φιλοξενίαν κωλύων ταῦτα ἔλεγεν (ἄπαγε· πῶς γάρ;) ἀλλὰ τὸ μὴ δεῖν ἐν ἀκροάσεως καιρῷ περὶ ἕτερα ἀσχολεῖσθαι. τὸ δὲ λέγειν, μὴ ἐργάζεσθε τὴν βρῶσιν τὴν ἀπολλυμένην, οὐ τοῦτό ἐστιν αἰνιττομένου, ὥστε δεῖν ἀργεῖν (καὶ γὰρ καὶ τοῦτο μάλιστα ἀπολλυμένη βρῶσίς ἐστι. πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία) ἀλλ' ὥστε ἐργάζεσθαι καὶ μεταδιδόναι. τοῦτο γὰρ οὐκ ἀπολλυμένη βρῶσίς ἐστι λοιπόν. εἰ δέ τις ἀργῶν γαστρίζοιτο καὶ τρυφῆς ἐπιμελοῖτο, οὗτος τὴν βρῶσιν ἐργάζεται τὴν ἀπολλυμένην· ὥσπερ εἴ τις ἐργαζόμενος τὸν Χριστὸν τρέφοι καὶ ποτίζοι καὶ ἐνδύοι, τίς οὕτως ἀναίσθητος καὶ "μανιώδης, ὡς εἰπεῖν ἀπολλυμένην βρῶσιν ἐργάζεσθαι τὸν τοιοῦτον, δι' ἣν τῆς βασιλείας ἡ ἐπαγγελία τῆς μενούσης καὶ τῶν ἀγαθῶν ἐκείνων; αὕτη γὰρ μένει διηνεκῶς ἡ βρῶσις. "καὶ τότε δὲ ἐπειδὴ τῆς μὲν πίστεως οὐδένα λόγον ἐποιοῦντο, οὐδὲ ἐσκόπουν μαθεῖν τίς ὁ ταῦτα ἐργαζόμενος καὶ ποίᾳ δυνάμει, ἓν δὲ μόνον ἐβούλοντο, γαστρίζεσθαι μηδὲν ποιοῦντες, τὴν τοιαύτην τροφὴν εἰκότως βρῶσιν ἐκάλεσεν ἀπολλυμένην. ἔθρεψα ὑμῶν τὰ σώματα, φησὶν, ἵνα ἀπὸ τούτου τὴν ἑτέραν ἐπιζητήσητε τροφὴν τὴν μένουσαν, τὴν τρέφουσαν ὑμῶν τὴν ψυχήν· ὑμεῖς δὲ πάλιν ἐπὶ τὴν γηΐνην "τρέχετε. διὰ τοῦτο οὐ συνίετε ὅτι ὑμᾶς οὐκ ἐπὶ ταύτην ἄγω τὴν ἀτελῆ, ἀλλ' ἐπ' ἐκείνην τὴν οὐ πρόσκαιρον παρέχουσαν ζωὴν, ἀλλ' αἰώνιον, τὴν οὐ σῶμα, ἀλλὰ ψυχὴν τρέφουσαν. εἶτα ἐπειδὴ οὕτω μέγα περὶ ἑαυτοῦ ἐφθέγξατο, καὶ ἔφησεν αὐτὸς δώσειν αὐτὴν, ἵνα μὴ πάλιν αὖθις προσιστῇ τὸ λεγόμενον, ἀξιόπιστον τὸν λόγον ποιῶν, ἐπὶ τὸν πατέρα τὴν χορηγίαν αὐτῆς ἀνάγει. εἰπὼν γάρ, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου δώσει ὑμῖν, ἐπήγαγε· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ Θεός, τουτέστιν, ἐπὶ τοῦτο ἔπεμψε ταύτην ὑμῖν κομίζοντα τὴν τροφήν. δηλοῖ δὲ καὶ ἑτέραν ἑρμηνείαν ἡ λέξις. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν ὁ Χριστός· ὁ ἀκούων μου τοὺς λόγους ἐσφράγισεν, ὅτι ὁ

ἐπιλῦσαι,

ὥστε καὶ

ἀμαθὴς,

ἄλλως δὲ, καὶ
ἀπὸ τῆς

Ματθ.ς.λδ.

α.Θεσ.δ.ι.

Εφ.δ.κη.

α.Κορ.θ.ιη.

Πραξ.ιη.β.

Σειρ λ.λθ.

Θεὸς ἀληθής ἐστι, τουτέστιν, ἀπέδειξεν ἀναντιρρήτως· ὃ δή μοι δοκεῖ καὶ ἐνταῦθα ἡ λέξις αἰνίττεσθαι. οὐδὲν γάρ ἐστιν ἄλλο τὸ, ἐσφράγισεν ὁ πατὴρ, ἀλλ᾽ ἢ, ἀπέδειξεν, ἐξεκάλυψε διὰ τῆς αὐτοῦ μαρτυρίας. ἔδειξε μὲν γὰρ καὶ αὐτὸς ἑαυτόν· ἐπειδὴ δὲ πρὸς Ἰουδαίους διελέγετο, τὴν τοῦ πατρὸς μαρτυρίαν εἰς μέσον ἤγαγε.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν, ἀγαπητοὶ, ταῦτα αἰτεῖν τὸν Θεὸν, ἃ ἄξιόν ἐστι παρ᾽ αὐτοῦ αἰτεῖν. ἐκεῖνα μὲν γὰρ, ὅπως ἂν τύχῃ, τὰ βιωτικὰ λέγω, βλάβην οὐδεμίαν φέρει. ἄν τε γὰρ πλουτήσωμεν, ἐνταῦθα μόνον ἀπολαυσόμεθα τῆς τρυφῆς· ἄν τε εἰς πενίαν καταπέσωμεν, οὐδὲν πεισόμεθα δεινόν. οὔτε γὰρ τὰ λαμπρὰ τοῦ παρόντος βίου, οὔτε τὰ λυπηρὰ, εἰς ἀθυμίας καὶ ἡδονῆς λόγον ἔχει τὴν ἰσχὺν, ἀλλ᾽ ἑκάτερα εὐκαταφρόνητα καὶ μετὰ πολλῆς παρατρέχει τῆς ταχύτητος. διὸ καὶ ὁδὸς κέκληται· εἰκότως, ἅτε παροδεύοντα καὶ ἐπὶ πλεῖστον μένειν οὐ πεφυκότα· τὰ δὲ μέλλοντα ἑκάτερα ἀθάνατα μένει, τά τε τῆς κολάσεως, τά τε τῆς βασιλείας. περὶ ἐκείνων τοίνυν πολλὴν ποιώμεθα σπουδὴν ὥστε τὰ μὲν φυγεῖν, τὰ δὲ ἑλέσθαι. τί γὰρ τῆς ἐνταῦθα τρυφῆς ὄφελος; σήμερόν ἐστι, καὶ αὔριον οὐκ ἔστι, σήμερον ἄνθος λαμπρὸν, καὶ αὔριον κόνις σκεδαννυμένη, σήμερον πῦρ καιόμενον, καὶ αὔριον τέφρα κατασβεννυμένη. ἀλλ᾽ οὐ τὰ πνευματικὰ τοιαῦτα, ἀλλ᾽ ἀεὶ μένει λάμποντα καὶ ἀνθοῦντα καὶ φαιδρότερα γινόμενα καθ᾽ ἡμέραν. ὁ πλοῦτος ἐκεῖνος οὐδέποτε ἀπόλλυται, οὐδέποτε μεθίσταται, οὐδέποτε λήγει, οὐδέποτε ἐπάγει φροντίδα καὶ φθόνον καὶ κατηγορίαν· οὐ σῶμα ἀπόλλυσιν, οὐ ψυχὴν διαφθείρει, οὐ φθόνον ἔχει, οὐ βασκανίαν ἐπισωρεύει. ἅπερ ἅπαντα [ταῦτα] τῷ πλούτῳ τούτῳ πρόσεστιν. ἡ δόξα ἐκείνη οὐκ εἰς ἀπόνοιαν αἴρει, οὐ φλεγμαίνειν παρασκευάζει, οὐδέποτε παύεται, οὐδὲ ἀμαυροτέρα γίνεται· ἡ ἄνεσις καὶ ἡ τρυφὴ ἐπὶ τοῖς οὐρανοῖς πάλιν μένει διηνεκὴς, ἀεὶ ἀκίνητος οὖσα καὶ ἀθάνατος· οὐκ ἔστι πέρας αὐτῆς καὶ τέλος εὑρεῖν. ταύτην τοίνυν ποθήσωμεν τὴν ζωήν. ἂν γὰρ ποθήσωμεν αὐτὴν, οὐδένα τῶν παρόντων ποιησόμεθα λόγον, ἀλλὰ καταφρονήσομεν τούτων ἁπάντων καὶ καταγελασόμεθα. κἂν εἰς βασιλικὰς αὐλάς τις ἡμᾶς εἰσελθεῖν κελεύῃ, οὐχ αἱρησόμεθα ἐκείνην ἔχοντες τὴν ἐλπίδα· καίτοι τούτου οὐδὲν μακαριώτερον εἶναι δοκεῖ. ἀλλὰ τοῖς κατεχομένοις τῷ τῶν οὐρανῶν ἔρωτι, καὶ τοῦτο μικρὸν καὶ εὐτελὲς καὶ οὐδενὸς ἄξιον λόγου. πᾶν γὰρ ὃ τέλος ἔχει, οὐ σφόδρα περισπούδαστον· πᾶν ὃ παύεται καὶ σήμερόν ἐστι καὶ αὔριον οὐκ ἔστι, κἂν σφόδρα ᾖ μέγα, σφόδρα μικρὸν καὶ εὐκαταφρόνητον εἶναι δοκεῖ. μὴ τοίνυν τῶν φευγόντων ἀντεχώμεθα, μηδὲ τῶν παραρρεόντων καὶ ἀπερχομένων, ἀλλὰ τῶν μενόντων καὶ ἀκινήτων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. παρὰ τοῦ Θεοῦ. ἡ μὲ
εὐρύχωρος
ἡ δὲ στενὴ καὶ
τεθλιμμένη
τὰ δὲ

χ. ἀπολλυμένη,

χ. παύεται

Ὁμιλ. με. 28 ΕΙΠΟΝ ΟΥΝ ΠΡΟΣ ΑΥΤΟΝ· ΤΙ ΠΟΙΩμεν ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;

29 Εἶπεν οὖν αὖθις ὁ Ἰησοῦς· τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. 30 Εἶπον οὖν αὐτῷ· τί οὖν ποιεῖς σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

Οὐδὲν γαστριμαργίας χεῖρον, οὐδὲν αἰσχρότερον. τοῦτο παχεῖαν ποιεῖ διάνοιαν, τοῦτο σαρκικὴν ποιεῖ ψυχὴν, τοῦτο πηροῖ καὶ διαβλέπειν οὐκ ἀφίησιν. ὅρα γοῦν καὶ ἐπὶ τῶν Ἰουδαίων τοῦτο γινόμενον. ἐπειδὴ γὰρ πρὸς γαστριμαργίαν κεχήνασι, καὶ ὅλοι τῶν βιωτικῶν ἦσαν, καὶ οὐδὲν ἐνενόουν πνευματικὸν, μυρίοις αὐτοὺς λόγοις ἐνάγει ὁ Χριστὸς καὶ κέντρον ἔχουσι καὶ φειδώ· καὶ οὐδὲ οὕτως ἀνίστανται, ἀλλ᾽ ἔτι κάτω μένουσι κείμενοι.

χ. κεχηνότ
ὅλοι

κείμενοι. σκόπει γάρ· εἶπεν αὐτοῖς, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. ἔπληξε διὰ τοῦ ἐλέγχου, ἔδειξεν ὁποίαν ζητεῖν χρὴ τροφὴν, εἰπὼν, ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην· ἔθηκεν αὐτοῖς τὸ ἔπαθλον, εἰπὼν, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· ἔπειτα καὶ τὸ προσιστάμενον αὐτοῖς ἐθεράπευσεν, εἰπὼν ἀπὸ τοῦ πατρὸς ἀπεστάλθαι. τί οὖν ἐκεῖνοι; ὥσπερ οὐδὲν ἀκηκοότες, τί οὖν ποιῶμεν, φασιν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; ταῦτα δὲ ἔλεγον, οὐχ ὥστε μαθεῖν καὶ πρᾶξαι (καὶ δείκνυσι τὰ ἑξῆς) ἀλλὰ πάλιν αὐτὸν ἐπὶ τὴν τῆς τροφῆς χορηγίαν ἄγοντες, καὶ εἰς τὸ κορέσαι αὐτοὺς προσκαλέσαι ἐθέλοντες. τί οὖν ὁ Χριστός; τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. οἱ δὲ εἶπον· τί σημεῖον ποιεῖς, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν;

31 Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ. Οὐδὲν ἀναισθητότερον τούτων, οὐδὲν ἀλογώτερον. τοῦ σημείου ὄντος αὐτοῖς ἐν χερσὶν ἔτι, ὡς οὐδενὸς γεγονότος, οὕτως ἔλεγον· τί σημεῖον ποιεῖς; καὶ εἰπόντες, οὐδὲ αὐτῆς τῆς αἱρέσεως τοῦ σημείου κύριον ἀφιᾶσιν εἶναι, ἀλλ' εἰς ἀνάγκην αὐτὸν οἴονται μεθιστᾶν τοῦ μηδὲν ἕτερον ποιῆσαι, ἀλλ' ἢ τοιοῦτον, οἷον ἐγένετο ἐπὶ τῶν προγόνων. διὰ τοῦτο λέγουσιν· οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ· διὰ τούτου νομίζοντες αὐτὸν ἐρεθίζειν, ὥστε τοιοῦτον ποιῆσαι σημεῖον, ὅπερ αὐτοὺς θρέψαι δύναται σωματικῶς. διὰ τί γὰρ οὐδενὸς ἑτέρου τῶν προτέρων σημείων ἐμνημόνευσαν, καίτοιγε πολλῶν γενομένων τότε, καὶ κατ' Αἴγυπτον, καὶ κατὰ τὴν θάλατταν, καὶ ἐν τῇ ἐρήμῳ, ἀλλὰ τοῦ μάννα; ἆρα οὐ διότι σφόδρα αὐτοῦ ἐπεθύμουν διὰ τὴν τῆς γαστρὸς τυραννίδα; πῶς δὲ οἱ προφήτην αὐτὸν λέγοντες καὶ βασιλέα ἐπιχειροῦντες ποιεῖν, ἐπειδὴ τὸ σημεῖον εἴδετε, νῦν ὡς οὐδενὸς γενομένου ἀχάριστοι καὶ ἀγνώμονες γεγόνατε καὶ σημεῖον αἰτεῖτε, παρασίτων καὶ κυνῶν λιμωττόντων ῥήματα ἀφιέντες; νῦν τὸ μάννα θαυμαστὸν ὑμῖν; οὐκέτι ἡ ψυχὴ ὑμῶν κατάξηρος. καὶ ὅρα εἰρωνείαν. οὐκ εἶπον ὅτι Μωϋσῆς τόδε ἐποίησε τὸ σημεῖον, σὺ τί ποιεῖς; νομίζοντες πλήττειν αὐτὸν, ἀλλὰ τέως αὐτῷ μετὰ πολλῆς διαλέγονται τῆς τιμῆς, προσδοκίᾳ τῆς τροφῆς· οὔτε οὖν τοῦτο λέγουσιν, ὅτι ὁ Θεὸς τόδε ἐποίησε, σὺ τί ποιεῖς; ἵνα μὴ δόξωσιν αὐτὸν ἐξισοῦν τῷ Θεῷ· οὔτε Μωϋσέα παράγουσιν, ἵνα μὴ δόξωσιν αὐτὸν ταπεινοῦν· ἀλλὰ μέσον αὐτὸ τεθείκασι λέγοντες, οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ. καὶ ἐνῆν μὲν εἰπεῖν, ὅτι Μωϋσέως μείζονα ἐθαυματούργησα νῦν, οὐ ῥάβδου δεηθεὶς, οὐκ εὐχῆς χρείαν ἐσχηκὼς, ἀλλὰ πάντα ποιήσας οἴκοθεν· εἰ δὲ καὶ τοῦ μάννα μέμνησθε, ἰδοὺ καὶ ἄρτον ὑμῖν παρέσχον. ἀλλ' οὐκ ἦν ὁ καιρὸς τούτων τῶν λόγων νῦν, ἀλλ' ἓν ἦν τὸ σπουδαζόμενον, ἐπὶ τὴν πνευματικὴν αὐτοὺς ἀγαγεῖν τροφήν. καὶ ὅρα τὴν ἄπειρον σύνεσιν, πῶς ἀποκρίνεται.

32 Οὐ Μωϋσῆς ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Τί δήποτε γὰρ οὐκ εἶπεν· οὐχ ὁ Μωϋσῆς δέδωκεν, ἀλλ' ἐγώ; ἀλλ' ἀντὶ μὲν Μωϋσέως τὸν Θεὸν, ἀντὶ δὲ τοῦ μάννα ἑαυτὸν τέθεικεν; ὅτι πολλὴ ἦν τῶν ἀκουόντων ἡ ἀσθένεια. καὶ δῆλον ἐκ τῶν ἑξῆς. καὶ γὰρ καὶ οὕτως εἰρηκὼς, οὐδὲ οὕτως αὐτοὺς κατέσχε, καίτοιγε ἀρχόμενος ἔλεγε· ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. καὶ ὅτι ταῦτα ζητοῦσι, καὶ διὰ τῶν ἑξῆς αὐτοῖς διωρθώσατο, καὶ οὐδὲ οὕτως ἀφίστανται. ἀλλ' οὐχ ὅτε τῇ Σαμαρείτιδι ὑπισχνεῖτο δώσειν τὸ ὕδωρ, ἐμνημόνευσε τοῦ πατρὸς, ἀλλὰ τί φησιν; εἰ ᾔδεις τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι τὸ ὕδωρ τὸ ζῶν. καὶ πάλιν, τὸ ὕδωρ ὃ ἐγὼ δώσω· καὶ οὐ παραπέμπει πρὸς τὸν πατέρα. ἐνταῦθα δὲ τοῦ πατρὸς μέμνηται, ἵνα μάθῃς πόση μὲν τῆς Σαμαρείτιδος ἡ πίστις, πόση δὲ τῶν Ἰουδαίων ἡ ἀσθένεια. οὐκ ἄρα ἐκ τοῦ οὐρανοῦ ἦν τὸ μάννα; πῶς οὖν ἐκ τοῦ οὐρανοῦ λέγεται; ὥσπερ πετεινὰ οὐρανοῦ φησιν ἡ γραφή· καὶ πάλιν, καὶ ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ ὁ Κύριος. ἄρτον δὲ ἀληθινὸν καλεῖ ἐκεῖνον, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα τὸ ἐπὶ τοῦ μάννα, ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια. μνησθεὶς δὲ Μωϋσέως, οὐχ ἑαυτὸν ἀντέ-

θηκεν ἐκεῖνο. οὔπω γὰρ αὐτὸν προετίμων Μωϋσέως, ἀλλ' ἔτι περὶ ἐκείνου μείζονα δόξαν εἶχον. διὰ τοῦτο εἰπὼν, οὐ Μωϋσῆς δέδωκεν, οὐκ ἐπήγαγεν, ὅτι ἐγὼ δίδωμι, ἀλλ' ἀντ' αὐτοῦ τὸν πατέρα φησὶ διδόναι. οἱ δὲ ἀκούσαντες λέγουσι πάλιν· δὸς ἡμῖν τὸν ἄρτον τοῦτον φαγεῖν. ἔτι γὰρ αἰσθητὸν τὸ πρᾶγμα ἐνόμιζον εἶναι, ἔτι γαστρὸς ἀπολαύειν προσεδόκων· διὸ καὶ ταχέως προσέδραμον. τί οὖν ὁ Χριστός; ″ἐνάγων αὐτοὺς κατὰ μικρόν, φησιν·

33 Ὁ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, καὶ ζωὴν τῷ κόσμῳ διδούς·

Οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ πάσῃ τῇ οἰκουμένῃ, φησί· καὶ οὐκ εἶπεν ἁπλῶς τροφὴν, ἀλλὰ ζωὴν, ἑτέραν τινὰ καὶ ἐνηλλαγμένην*. ζωὴν δὲ λέγει, ἐπειδὴ ἅπαντες ἦσαν νενεκρωμένοι. οἱ δὲ κάτω ἔτι ἔνευον λέγοντες·

34 Δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. Ἐλέγχων δὲ αὐτοὺς ὅτι, ἕως μὲν αἰσθητὴν ὑπώπτευον εἶναι τὴν τράπεζαν, ἐπέτρεχον· ὅταν δὲ μάθωσιν ὅτι πνευματική τίς ἐστιν, οὐκέτι, φησίν·

35 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρὸς μὲ οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε.

36 Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετέ μοι.

Τοῦτο καὶ Ἰωάννης φθέγγεται ἄνωθεν προειπών· ὃ οἶδε λαλεῖ, καὶ ὃ ἑώρακε μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. καὶ πάλιν αὐτός· ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ ″ οὐ πιστεύετέ μοι. τοῦτο δὲ ποιεῖ προλαμβάνων αὐτοὺς καὶ δεικνὺς, ὅτι οὐ ταράττει τὸ πρᾶγμα αὐτὸν, οὐδὲ δόξης ἐφίεται, οὐδὲ ἀγνοεῖ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν, οὐδὲ τὰ παρόντα, οὐδὲ τὰ μέλλοντα. ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. μέλλει λοιπὸν εἰς τὴν τῶν μυστηρίων ἐμβάλλειν παράδοσιν. καὶ πρότερον περὶ τῆς θεότητος αὐτοῦ διαλέγεται, λέγων· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. οὐδὲ γὰρ περὶ τοῦ σώματος αὐτοῦ τοῦτο εἴρηται (περὶ ἐκείνου γὰρ πρὸς τῷ τέλει λέγει· καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν) ἀλλὰ τέως περὶ τῆς θεότητος. καὶ γὰρ ἐκείνη διὰ τὸν Θεὸν λόγον ἄρτος ἐστίν· ὥσπερ οὖν καὶ οὗτος ὁ ἄρτος διὰ τὸ ἐπιφοιτῶν αὐτῷ πνεῦμα ἄρτος οὐράνιος γίνεται. ἐνταῦθα δὲ οὐ κέχρηται μάρτυσι, καθάπερ ἐπὶ τῆς προτέρας δημηγορίας. εἶχε γὰρ αὐτῷ μαρτυροῦν τὸ ἔργον τῶν ἄρτων, καὶ τέως ὑπεκρινόμενοι αὐτῷ πείθεσθαι. ἐκεῖ δὲ ἀντέλεγον καὶ ἐνεκάλουν, διὰ τοῦτο ἐνταῦθα καὶ ἀποφαίνεται. οἱ δὲ ἐπειδὴ προσεδόκων ἑστιάσεως ἀπολαύσεσθαι σωματικῆς, ″διὰ τοῦτο οὐκ ἐταράττοντο, ἕως ὅτε μετὰ ταῦτα ἀπέγνωσαν τῆς ἐλπίδος. πλὴν οὐδὲ οὕτως ἐσίγησεν ὁ Χριστός, ἀλλὰ καὶ πολλὰ ἐντρεπτικὰ λέγει. οἱ γὰρ, ἡνίκα ἤσθιον, προφήτην αὐτὸν λέγοντες, ἐνταῦθα σκανδαλίζονται, καὶ τοῦ τέκτονος καλοῦσιν υἱόν· ἀλλ' οὐχ ὅτε τοὺς ἄρτους ἤσθιον, ἀλλ' αὐτός ἐστιν ὁ προφήτης, ἔλεγον, καὶ ἤθελον αὐτὸν ποιῆσαι βασιλέα. ἐδόκουν μὲν οὖν ἀγανακτεῖν ἐπὶ τῷ λέγειν αὐτὸν ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι· τὸ δὲ ἀληθὲς, οὐ τοῦτο ἦν τὸ ποιοῦν τὴν ἀγανάκτησιν, ἀλλὰ τὸ μὴ προσδοκᾶν ἀπολαύσεσθαι τραπέζης σωματικῆς. εἰ γὰρ ὄντως ἠγανάκτουν, ἐχρῆν ἐρωτᾶν καὶ πυνθάνεσθαι, πῶς ἄρτος ζωῆς ἐστι, πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε. νῦν δὲ τοῦτο μὲν οὐ ποιοῦσι, γογγύζουσι δέ. καὶ ὅτι οὐ τοῦτο αὐτοὺς ἐσκανδάλιζε, δῆλον ἐκεῖθεν. εἰπόντος γὰρ ὅτι ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον, οὐκ εἶπον, παρακάλεσον ἵνα δῷ, ἀλλὰ τί; δὸς ἡμῖν τὸν ἄρτον. καίτοι οὐκ εἶπεν, ἐγὼ δίδωμι, ἀλλ' ὁ πατήρ μου δίδωσιν· οἱ δὲ ἐπιθυμίᾳ τῆς τροφῆς καὶ αὐτὸν ἀξιόπιστον εἶναι ἐνόμισαν πρὸς τὴν χορηγίαν. οἱ τοίνυν ἀξιόπιστον εἶναι νομίσαντες πρὸς τὸ δοῦναι, πῶς ἔμελλον μετὰ ταῦτα σκανδαλίζεσθαι, καὶ ταῦτα ἀκούσαντες ὅτι ὁ πατὴρ δίδωσι; τί οὖν ἐστι τὸ αἴτιον; ἐπειδὴ ἤκουσαν ὅτι φαγεῖν οὐκ ἔνι, πάλιν ἠπίστησαν, καὶ προβάλλονται δῆθεν τῆς ἀπιστίας προκάλυμμα τὸ, ὑψηλὸν εἶναι τὸν λόγον. διὰ τοῦτό φησι, καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε· τοῦτο μὲν, τὰ σημεῖα αἰνιττόμενος, τοῦτο δὲ, τὴν ἀπὸ τῶν γραφῶν μαρτυρίαν.

γρ. αὐτῶν

* ὥστε δηλῶσαι.

γρ. τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε

γρ. μόνον, καὶ ἐταράττοντο

είαν. ἐκεῖναι γάρ εἰσι, φησὶν, αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· καὶ, ὅτι ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· καὶ, πῶς δύνασθε πιστεῦσαι, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες;

37 Πᾶν, ὃ δίδωσί μοι ὁ πατήρ μου, πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω.

Ὅρα πῶς πάντα ποιεῖ διὰ τοὺς σωζομένους. διὰ γὰρ τοῦτο ἐπήγαγε τοῦτο, ἵνα μὴ δόξῃ περιεργάζεσθαι καὶ εἰκῇ ταῦτα λέγειν. τί δέ ἐστιν ὅ φησι, πᾶν, ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει, καὶ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ; τίνος γὰρ ἕνεκεν τῆς κοινῆς ἀναστάσεως, ἧς καὶ ἀσεβεῖς μετέχουσιν, ὡς ἐξαιρέτου δώρου μέμνηται τῶν πιστευόντων εἰς αὐτόν; ὅτι οὐχ ἁπλῶς ἀναστάσεως μέμνηται, ἀλλὰ τῆς τοιᾶσδε ἀναστάσεως. πρότερον γὰρ εἰπὼν, οὐ μὴ ἐκβάλω αὐτὸν, καὶ οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ, τότε εἶπε τὴν ἀνάστασιν. ἐν γὰρ τῇ ἀναστάσει οἱ μὲν ἐκβάλλονται, φησὶν (Ἄρατε αὐτὸν καὶ ἐμβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον) οἱ δὲ ἀπόλλυνται· Φοβήθητε γὰρ μᾶλλον, φησὶ, τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι. καὶ τὸ, ζωὴν αἰώνιον δίδωμι, τοῦτο δηλοῖ. ἐκπορεύσονται γὰρ οἱ μὲν τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως· οἱ δὲ τὰ ἀγαθὰ, εἰς ἀνάστασιν ζωῆς. ταύτην τοίνυν τὴν ἀνάστασιν ἐδήλωσεν ἐνταῦθα, τὴν ἐπὶ τοῖς ἀγαθοῖς. τί δὲ βούλεται διὰ τοῦ λέγειν, πᾶν, ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει; καθάπτεται τῆς ἀπιστίας αὐτῶν, δεικνὺς ὅτι ὁ μὴ πιστεύων αὐτῷ, τὸ θέλημα παραβαίνει τοῦ πατρός. καὶ οὕτω μὲν αὐτὸ γυμνῶς οὔ φησιν, ὑφειμένως δέ. καὶ πανταχοῦ τοῦτο ποιεῖ, θέλων δεῖξαι τῷ πατρὶ προσκεκρουκότας τοὺς ἀπίστους, οὐκ αὐτῷ μόνῳ. εἰ γὰρ θέλημα αὐτοῦ τοῦτό ἐστι, καὶ διὰ τοῦτο ἧκεν, ἵνα σώσῃ τοὺς ἀνθρώπους, οἱ μὴ πιστεύοντες, τὸ θέλημα αὐτοῦ παραβαίνουσιν. ὅταν οὖν φησιν, ὁ πατὴρ ὁδηγῇ τινα, οὐδέν ἐστι τὸ κωλῦον αὐτὸν ἐλθεῖν πρὸς μέ. καὶ ἀλλαχοῦ φησιν· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν. ὁ δὲ Παῦλός φησιν, ὅτι αὐτὸς παραδίδωσιν αὐτοὺς τῷ πατρί. ὅταν γὰρ παραδῷ, φησὶ, τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί. ὥσπερ οὖν διδοὺς ὁ πατὴρ, οὐκ ἀποστερῶν ἑαυτὸν πρότερον τοῦτο ποιεῖ· οὕτω καὶ παραδιδοὺς ὁ υἱὸς, οὐκ ἐκβαλὼν ἑαυτὸν τοῦτο ποιεῖ. λέγεται δὲ παραδιδόναι, ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν. τὸ δὲ, δι' οὗ, τοῦτο καὶ ἐπὶ τοῦ πατρὸς εἴρηται, ὥσπερ ὅταν λέγῃ· Δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ· καὶ διὰ τοῦ θελήματος τοῦ πατρός. καὶ πάλιν· Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι. ὃ δὲ αἰνίττεται ἐνταῦθα, τοιοῦτόν ἐστιν· ὅτι οὐ τὸ τυχὸν πρᾶγμα ἡ πίστις ἡ εἰς ἐμὲ, ἀλλὰ τῆς ἄνωθεν δεῖται ῥοπῆς. καὶ τοῦτο δι' ὅλου κατασκευάζει τοῦ λόγου, δεικνὺς, ὅτι ψυχῆς γενναίας τινὸς * καὶ τῆς παρὰ τοῦ Θεοῦ ἐφελκομένης αὕτη δεῖται ἡ πίστις. ἀλλ' ἴσως ἐρεῖ τις· εἰ πᾶν, ὃ δίδωσιν ὁ πατὴρ, ἔρχεται πρός σε, καὶ οὓς ἂν ἑλκύσῃ, καὶ οὐδεὶς δύναται ἐλθεῖν πρός σε, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν, πάσης αἰτίας εἰσὶ καὶ ἐγκλημάτων ἀπηλλαγμένοι οἷς οὐ δίδωσιν ὁ πατήρ. λόγοι ταῦτα ψιλοὶ καὶ προφάσεις. δεόμεθα γὰρ καὶ τῆς οἴκοθεν προαιρέσεως. τὸ γὰρ διδάσκεσθαι προαιρέσεώς ἐστι, καὶ τὸ πιστεύειν. ἐνταῦθα δὲ οὐδὲν ἄλλο ἐμφαίνει διὰ τοῦ, ὃ δίδωσί μοι ὁ πατὴρ, ἀλλ' ἢ, ὅτι οὐ τὸ τυχὸν πρᾶγμά ἐστι τὸ πιστεῦσαι εἰς ἐμὲ, οὐδὲ λογισμῶν ἀνθρωπίνων, ἀλλὰ τῆς ἄνωθεν ἀποκαλύψεως δεῖ, καὶ ψυχῆς εὐγνωμόνως δεχομένης τὴν ἀποκάλυψιν. καὶ τὸ, ὁ ἐρχόμενος πρός με σωθήσεται, τοῦτο δηλοῖ, ἐπιμελείας ἀπολαύσεται πολλῆς. ὑπὲρ γὰρ τούτων καὶ παρεγενόμην, φησὶ, καὶ σάρκα ἀνέλαβον, καὶ τὴν τοῦ δούλου μορφὴν ὑπῆλθον. εἶτα ἐπήγαγε·

Ματθ. κβ. ιγ.
α. Κορ. α. θ.
Ματθ. ιϛ.

38 Κατέβην οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιῶ, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

Τί λέγεις; ἕτερον γὰρ τὸ σὸν, καὶ ἕτερον τὸ ἐκείνου; ἵνα οὖν μὴ τοῦτό τις ὑποπτεύσῃ, διώρθωσε τῇ ἐπαγωγῇ, πάλιν λέγων·

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων

Λουκ. ιβ. μθ.

Εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον. Τοῦτο οὖν οὐκ ἔστι σὸν θέλημα; καὶ πῶς λέγεις· Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον ἰδεῖν, εἰ ἤδη ἀνήφθη; εἰ δὲ καὶ σὺ τοῦτο θέλεις, εὔδηλον ὅτι ἓν θέλημα. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. τί δέ ἐστι τὸ θέλημα τοῦ πατρός; ἆρα οὐχ ἵνα μὴ ἀπόληται ἐξ αὐτῶν μηδὲ εἷς; τοῦτο δὲ καὶ σὺ θέλεις· οὐ τοίνυν ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ τοῦτο. οὕτω καὶ ἀλλαχοῦ φαίνεται τὸ πρὸς τὸν πατέρα ἴσον ἔτι βεβαιότερον παριστῶν, τῷ λέγειν· ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ὃ οὖν λέγει τοῦτό ἐστιν· οὐκ ἄλλο τι πράξων ἦλθον ἢ τοῦτο, ὅπερ καὶ ὁ πατὴρ βούλεται. οὐκ ἴδιόν τι ἐμὸν παρὰ τὸ τοῦ πατρὸς ἔχω θέλημα. πάντα γὰρ τὰ τοῦ πατρὸς ἐμά ἐστι, καὶ τὰ ἐμὰ ἐκείνου. εἰ τοίνυν κοινὰ τὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· εἰκότως φησὶν, οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιήσω. ἀλλ' οὔπω μὲν ἐνταῦθα οὐκ εἶπεν, ἀλλὰ πρὸς τῷ τέλει τοῦτο τηρεῖ. τὰ γὰρ ὑψηλά, ὅπερ ἔφην, τέως ἐγκρύπτει καὶ συσκιάζει, καὶ βούλεται δεῖξαι, ὅτι εἰ εἶπεν ὅτι τὸ θέλημα τὸ ἐμὸν τοῦτό ἐστι, κατεφρόνησαν ἄν. λέγει τοίνυν, ὅτι καὶ ἐγὼ ἐκείνῳ συμπράττω τῷ θελήματι, βουλόμενος αὐτοὺς μᾶλλον πλῆξαι, ὡσανεὶ ἔλεγε· τί νομίζετε; ἐμὲ παροργίζετε ἀπιστοῦντες; τὸν πατέρα μὲν οὖν τὸν ἐμὸν παροξύνετε. τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ. δείκνυσιν ἐνταῦθα οὐκ αὐτὸν δεόμενον τῆς αὐτῶν θεραπείας, οὐδὲ δι' οἰκείαν "χρείαν παραγινόμενον, ἀλλὰ διὰ τὴν ἐκείνων σωτηρίαν, οὐ διὰ τὴν παρ' αὐτῶν τιμήν. ὅπερ καὶ ἐν τῇ προτέρᾳ δημηγορίᾳ φησὶν, ὅτι δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω. καὶ πάλιν, ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. ἄνω γὰρ καὶ κάτω τοῦτο σπουδάζει πεῖσαι ὅτι διὰ τὴν ἐκείνων σωτηρίαν παρεγένετο. λέγει δὲ καὶ τῷ πατρὶ δόξαν παρασκευάζειν, ὥστε ἀνύποπτος εἶναι. καὶ ὅτι διὰ τοῦτο οὕτω λέγει, διὰ τῶν ἑξῆς τοῦτο σαφέστερον ἀπεκάλυψεν. ὁ γὰρ ζητῶν, φησὶ, τὸ θέλημα τὸ ἑαυτοῦ, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, ἀληθής ἐστι καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πατρὸς, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον,

Καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Τί δήποτε συνεχῶς ἄνω καὶ κάτω στρέφει τὴν ἀνάστασιν; ἵνα μὴ τοῖς παροῦσι πράγμασι κρίνωσι μόνον τὴν τοῦ Θεοῦ πρόνοιαν· ἵνα κἂν ἐνταῦθα μὴ ἀπολαύσωσι, μὴ διὰ τοῦτο ὑπτιώτεροι γίνωνται, ἀλλὰ τὰ μέλλοντα προσδοκῶσιν, καὶ ἵνα μὴ διὰ τὸ μὴ κολάζεσθαι πρὸς τὸ παρὸν, αὐτοῦ καταφρονῶσιν, ἀλλ' ἑτέραν προσδοκῶσι ζωήν.

ΗΘΙΚΟΝ

Ἀλλ' ἐκεῖνοι μὲν οὐδὲν ἐκέρδανον, ἡμεῖς δὲ "κερδᾶναι σπουδάσωμεν ἐκ τοῦ συνεχῶς ἡμῖν τὴν ἀνάστασιν ἐνηχεῖσθαι. κἂν πλεονεκτῆσαι βουληθῶμεν, κἂν ἁρπάσαι, κἂν ἄτοπόν τι πρᾶξαι, εὐθέως τὴν ἡμέραν ἐκείνην εἰς νοῦν βαλώμεθα, καὶ τὸ δικαστήριον ὑπογράψωμεν, καὶ παντὸς χαλινοῦ σφοδρότερον καθέξει τὴν ὁρμὴν τὴν ἄτοπον ὁ λογισμὸς οὗτος· καὶ λέγωμεν πρὸς "ἄλλοις τε ἀεὶ καὶ πρὸς ἑαυτοὺς, ἀνάστασίς ἐστι, καὶ δικαστήριον ἡμᾶς μένει φοβερόν. κἂν ἴδωμέν τινα γαυρούμενον καὶ ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς φλεγμαίνοντα, τὸ αὐτὸ ἐπιλέγωμεν, ἐμφαίνοντες ὅτι πάντα ἐνταῦθα μένει. κἂν ἕτερον ἀλγοῦντα ἴδωμεν καὶ ἀποδυσπετοῦντα, καὶ πρὸς ἐκεῖνον τὸ αὐτὸ φθεγξώμεθα, δηλοῦντες ὅτι τέλος ἕξει τὰ λυπηρά. κἂν ῥᾳθυμοῦντα καὶ διακεχυμένον, τὸ αὐτὸ πάλιν ἐπᾴδωμεν δηλοῦντες, ὅτι ἀνάγκη τῆς ῥᾳθυμίας εὐθύνας διδόναι. ἱκανὸν τοῦτο τὸ ῥῆμα παντὸς φαρμάκου μᾶλλον τὴν ἡμετέραν θεραπεῦσαι ψυχήν. καὶ γάρ ἐστιν ἀνάστασις, καὶ ἀνάστασις ἐπὶ θύραις, οὐ μακρὰν, οὐδὲ πόρρω. ἔτι γὰρ "μικρὸν ὅσον, Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. καὶ πάλιν· Πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· τουτέστι, καὶ πονηροὺς καὶ ἀγαθούς· τοὺς μὲν, ἵνα ἐπὶ πάντων αἰσχύνωνται, τοὺς δὲ, ἵνα ἐπὶ πάντων λαμπρότεροι φαίνωνται. καθάπερ γὰρ ἐνταῦθα οἱ δικάζοντες καὶ πονηροὺς κολάζουσι καὶ ἀγαθοὺς

Ἑβρ. ι. λζ.

β. Κορ. ε. ι.

τιμῶσι

τιμωρῆται δημοσίᾳ· οὕτω δὴ καὶ ἐκεῖ γίνεται), ὥστε τοῖς μὲν τὴν αἰσχύνην μείζω, τοῖς δὲ τὴν λαμπρότητα γίνεσθαι περιφανεστέραν. Ταῦτα τοίνυν καθ' ἑκάστην ἑαυτοῖς ὑπογράφωμεν τὴν ἡμέραν. ταῦτα ἂν ἀεὶ στρέφωμεν, οὐδεμία φροντὶς τῶν παρόντων ἡμᾶς δάκνειν δυνήσεται πραγμάτων. τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Συνεχῶς τοίνυν καὶ πρὸς ἑαυτοὺς φθεγγώμεθα καὶ πρὸς ἄλλους· ἀνάστασίς ἐστι καὶ κρίσις καὶ εὐθύναι τῶν πεπραγμένων. καὶ ὅσοι νομίζουσιν εἱμαρμένην εἶναι, τοῦτο λεγέτωσαν, καὶ εὐθέως ἀπαλλαγήσονται τῆς σηπεδόνος τοῦ νοσήματος. Εἰ γὰρ ἀνάστασίς ἐστι καὶ κρίσις, οὐκ ἔστιν εἱμαρμένη, κἂν μυρία φιλονεικῶσι καὶ ἀποπνίγωνται. ἀλλὰ γὰρ αἰσχύνομαι χριστιανοὺς περὶ ἀναστάσεως διδάσκων. ὁ γὰρ δεόμενος μαθεῖν ὅτι ἐστὶν ἀνάστασις, καὶ μὴ σφόδρα πεπεικὼς ἑαυτὸν, ὅτι οὐκ ἀνάγκῃ καὶ ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ πράγματα φέρεται, οὐκ ἂν εἴη χριστιανός. διὰ τοῦτο παρακαλῶ καὶ δέομαι, πάντων τῶν πονηρῶν ἑαυτοὺς ἐκκαθάρωμεν, καὶ πάντα πράξωμεν ὥστε συγγνώμης τυχεῖν καὶ ἀπολογίας κατὰ τὴν ἡμέραν ἐκείνην. ἀλλ' ἴσως ἐρεῖ τις· καὶ πότε συντέλεια, πότε δὲ ἀνάστασις ἔσται; ἰδοὺ πόσος γέγονε χρόνος, καὶ οὐδὲν τοιοῦτον συνέβη. ἀλλ' ἔσται, πιστεύσατε. καὶ γὰρ τότε περὶ τοῦ κατακλυσμοῦ τοιαῦτα ἔλεγον, καὶ κατεγέλων τοῦ Νῶε, ἀλλ' ἦλθεν ὁ κατακλυσμὸς καὶ παρέσυρε τούτους μὲν ἅπαντας ἀπιστοῦντας, ἐκεῖνον δὲ ἔσωσε τὸν πιστεύσαντα. καὶ τότε ἐπὶ τοῦ Λὼτ οὐ προσεδόκων τὴν θεήλατον πληγὴν ἐκείνην, ἕως τότε πρηστῆρες ἐκεῖνοι καὶ κεραυνοὶ κατενεχθέντες ἅπαντας ἠφάνισαν. καὶ οὔτε ἐπὶ τούτων, οὔτε ἐπὶ τῶν κατὰ τὸν Νῶε ἐγένετο προοίμιον τῶν μελλόντων συμβήσεσθαι, ἀλλὰ τρυφώντων, μεθυόντων, ἐμπαροινούντων ἁπάντων, οὕτως ἐκεῖνα γέγονε τὰ ἀφόρητα. οὕτω καὶ ἡ ἀνάστασις ἔσται οὐ μετὰ προοιμίων τινῶν, ἀλλ' ἐν μέσαις οὔσων ἡμῶν εὐημερίαις. διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· Ὅταν δὲ λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι. α. Θεσ. ε. γ. τοῦτο δὲ οὕτως ᾠκονόμησεν ὁ Θεός, ἵνα διαπαντὸς ὦμεν ἐναγώνιοι καὶ ἐν αὐτῇ τῇ ἀσφαλείᾳ μὴ θαρρῶμεν. τί λέγεις; οὐ προσδοκᾷς τὴν ἀνάστασιν ἔσεσθαι καὶ κρίσιν; δαίμονες ὁμολογοῦσι ταῦτα, καὶ σὺ ἀναισχυντεῖς; ἦλθες γάρ, φασι, πρὸ καιροῦ βασανίσαι ἡμᾶς; οἱ δὲ βάσανον ἔσεσθαι λέγοντες, καὶ κρίσιν ἴσασι καὶ εὐθύνας καὶ τιμωρίας. μὴ τοίνυν παροξύνωμεν τὸν Θεόν, πρὸς τῷ φαῦλα τολμᾶν, καὶ ἀπιστοῦντες τῷ τῆς ἀναστάσεως λόγῳ. ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις ἦρξεν ἡμῶν ὁ Χριστός, οὕτω καὶ ἐν τούτῳ. καὶ γὰρ πρωτότοκος διὰ τοῦτο λέγεται ἐκ τῶν νεκρῶν. Εἰ δὲ μὴ ἀνάστασις ἦν, πῶς ἔμελλε πρωτότοκος ἔσεσθαι, μηδενὸς ἐκ τῶν νεκρῶν ἑπομένου; Εἰ μὴ ἀνάστασις ἦν, ποῦ τοῦ Θεοῦ τὸ δίκαιον σώζεται, τοσούτων μὲν πονηρῶν εὐημερούντων, τοσούτων δὲ ἀγαθῶν θλιβομένων, καὶ ἐν τῇ θλίψει τὸν βίον καταλυόντων; ποῦ γὰρ τὰ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται τούτων, εἴγε ἀνάστασις μὴ ἔστιν; οὐδεὶς τῶν ὀρθῶς βεβιωκότων τῇ ἀναστάσει διαπιστεῖ, ἀλλὰ καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν, τὴν ῥῆσιν ἐκείνην τὴν ἁγίαν λέγοντες· ἐλθέτω ἡ βασιλεία σου. τίνες οὖν εἰσιν οἱ τῇ ἀναστάσει διαπιστοῦντες; οἱ βεβήλους ἔχοντες τὰς ὁδοὺς καὶ ἀκάθαρτον τὸν βίον, καθάπερ ὁ προφήτης φησί· Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. Ψαλμ. θ. κη. κθ. Ιεζ. κγ. ιγ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνθρωπον βίον ἔχειν καθαρὸν ἀναστάσει διαπιστοῦντα· ὡς οἵ γε μηδὲν συνειδότες ἑαυτοῖς πονηρόν, καὶ λέγουσι, καὶ βούλονται, καὶ πιστεύουσιν ὥστε τὴν ἀνταπόδοσιν λαβεῖν. μὴ τοίνυν αὐτὸν παροξύνωμεν, ἀλλ' ἀκούωμεν αὐτοῦ λέγοντος, Ὅτι φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι· Ματθ. ι. κη. ἵνα διὰ τοῦ φόβου γινώμεθα βελτίους, καὶ τῆς ἀπωλείας ταύτης ἀπαλλαγέντες καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. μϛ΄. 41 ΕΓΟΓΓΥΖΟΝ ΟΥΝ ΟΙ ΙΟΥΔΑΙΟΙ ΠΕΡΙ αὐτοῦ ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·

42 Καὶ ἔλεγον, οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι;

ΩΝ ὁ Θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, "γράφων Φιλιππησίοις ὁ Παῦλος περί τινων ἔλεγε. ὅτι δὲ καὶ Ἰουδαῖοι τοιοῦτοι, δῆλον μὲν καὶ ἀπὸ τῶν ἔμπροσθεν, δῆλον δὲ καὶ ἀφ' ὧν τῷ Χριστῷ προσελθόντες διελέγοντο. ὅτε μὲν γὰρ ἄρτον ἔδωκεν αὐτοῖς καὶ τὴν γαστέρα ἐνέπλησε, καὶ προφήτην ἔλεγον εἶναι, καὶ βασιλέα ποιῆσαι ἐζήτουν· ὅτε δὲ αὐτοὺς ἐδίδασκε περὶ τῆς πνευματικῆς τροφῆς, περὶ ζωῆς αἰωνίου, ὅτε ἀπήγαγεν αὐτοὺς τῶν αἰσθητῶν, καὶ περὶ ἀναστάσεως διελέγετο, καὶ ὑψηλοτέραν ἐποίει τὴν γνώμην, ὅτε μάλιστα θαυμάζειν αὐτὸν ἐχρῆν, τότε γογγύζουσι καὶ ἀποπηδῶσι. καὶ μὴν, εἰ οὗτός ἐστιν ὁ προφήτης, καθὼς "ἔφθησαν εἰπόντες," οὗτός ἐστι περὶ οὗ φησιν ὁ Μωϋσῆς, Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε, ἐχρῆν "αὐτοὺς τούτου ἀκούειν λέγοντος, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. ἀλλ' οὐκ ἤκουον, ἀλλ' ἐγόγγυζον. ἔτι γὰρ αὐτὸν ᾐδοῦντο διὰ τὸ νεαρὸν εἶναι τὸ τῶν ἄρτων σημεῖον· διὰ τοῦτο φανερῶς μὲν οὐκ ἀντέλεγον, τῷ δὲ γογγύζειν ἐνέφαινον ὡς ἠγανάκτουν, ὅτι μὴ ἔδωκεν αὐτοῖς τράπεζαν ἣν ἐβούλοντο, καὶ γογγύζοντες ἔλεγον· οὐκ ἔστιν οὗτος ὁ υἱὸς Ἰωσήφ; ὅθεν δῆλον ὅτι οὐδὲ τὴν θαυμαστὴν αὐτοῦ καὶ παράδοξον οὐδέπω ᾔδεισαν γέννησιν. διὰ τοῦτο γοῦν αὐτὸν υἱὸν Ἰωσὴφ ἔτι λέγουσιν εἶναι, καὶ οὐκ ἐπιτιμᾶται, οὐδὲ λέγει αὐτοῖς, οὐκ εἰμὶ υἱὸς Ἰωσήφ· οὐχ ὅτι υἱὸς Ἰωσὴφ ἦν, ἀλλ' ἐπειδὴ οὐδέπω ἠδύναντο τὸν θαυμαστὸν ἐκεῖνον ἀκοῦσαι τόκον. εἰ δὲ τὸν κατὰ σάρκα οὐκ ἠδύναντο σαφῶς ἀκοῦσαι, πολλῷ μᾶλλον τὸν ἄρρητον τὸν ἄνω. εἰ δὲ τὸν ταπεινὸν οὐκ ἀπεκάλυψε, πολλῷ μᾶλλον ἐκεῖνο οὐκ ἂν ἐνεχείρισε. καίτοι τοῦτο αὐτοὺς σφόδρα ἐσκανδάλιζε, τὸ ἐξ εὐτελοῦς εἶναι πατρὸς καὶ τοῦ τυχόντος· ἀλλ' ὅμως οὐκ ἀπεκάλυψεν, ἵνα μὴ ἕτερον σκάνδαλον ἀναιρῶν, ἕτερον ποιήσῃ. τί οὖν αὐτὸς γογγυζόντων αὐτῶν ἔλεγεν;

Δευτ. ιη. ιε.

44 Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ μου, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν.

"Τούτοις ἐπιπηδῶσι Μανιχαῖοι λέγοντες, ὅτι οὐδὲν ἐφ' ἡμῖν κεῖται. καὶ μὴν τοῦτο δείκνυσι κυρίους ὄντας τῆς γνώμης. εἰ γάρ τις ἔρχεται πρὸς αὐτόν, φησι, τί δεῖ τῆς ἕλξεως; τοῦτο δὲ οὐ τὸ ἐφ' ἡμῖν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν ἡμᾶς βοηθείας δεομένους. καὶ αἰνίττεται ἐνταῦθα οὐ τὸν ἄκοντα ἐρχόμενον, ἀλλὰ τὸν πολλῆς ἀπολαύοντα συμμαχίας. εἶτα δείκνυσι καὶ τὸν τρόπον καθ' ὃν ἕλκει. ἵνα γὰρ μὴ πάλιν αἰσθητόν τι περὶ τὸν Θεὸν ὑποπτεύσωσιν, ἐπήγαγεν·

46 Οὐχ ὅτι τὸν Θεόν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. Πῶς οὖν ἕλκει, φησί; τοῦτο ὁ προφήτης ἄνωθεν εἶπε προαναφωνήσας,

45 Ὅτι ἔσονται πάντες διδακτοὶ Θεοῦ. Εἶδες τῆς πίστεως τὸ ἀξίωμα; "καὶ πῶς οὐ παρὰ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ δι' αὐτοῦ τοῦ Θεοῦ" τοῦτο μέλλουσι μανθάνειν; διὰ δὴ τοῦτο καὶ τὸν λόγον ποιῶν ἀξιόπιστον, ἐπὶ τοὺς προφήτας αὐτοὺς παρέπεμψεν. εἰ τοίνυν ἔσονται πάντες διδακτοὶ Θεοῦ, πῶς τινες οὐ πιστεύουσιν; ὅτι τὸ εἰρημένον περὶ τῶν πλειόνων εἴρηται. * καὶ χωρὶς τούτου, "οὐχ ἁπλῶς πάντας τὸ προφητικόν, ἀλλὰ πάντας δηλοῖ τοὺς βουλομένους. διδάσκαλος γὰρ πρόκειται, πᾶσιν ἕτοιμος ὢν τὰ αὐτοῦ παρέχειν, καὶ εἰς πάντας ἐκχέων τὴν διδασκαλίαν τὴν ἑαυτοῦ. Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ

Ἰωαν. ς. λθ.

ἐσχάτῃ

γρ. ὁ Παῦ
περὶ Ἰουδαί
διαλεγόμ
ἔλεγ. καὶ π
δῆλον

γρ. ἔφθησ
γρ. ὅπως γ
γρ. οὖν αὐτοῦ

γρ. Τούτῳ

γρ. ὅτι
γρ. περὶ
ὅπ

* ἄλλως
γρ. δ
δηλοῖ τι
φητικὸν
παι
τοῦ

ἐσχάτῃ ἡμέρᾳ. οὐ μικρὸν ἐνταῦθα τοῦ υἱοῦ τὸ ἀξίωμα, εἴγε ὁ πατὴρ προσάγει, καὶ αὐτὸς ἀνίστησιν· οὐχὶ διαιρούμενος πρὸς τὸν πατέρα τὰ ἔργα (πῶς γάρ;) ἀλλὰ δεικνὺς τὸ ἰσοστάσιον τῆς δυνάμεως. ὥσπερ οὖν ἐκεῖ λέγων, καὶ ὁ πέμψας με πατὴρ μαρτυρεῖ περὶ ἐμοῦ, εἶτα, ἵνα μὴ φωνὴν περιεργάζωνται, παρέπεμψεν αὐτοὺς ταῖς γραφαῖς· οὕτω καὶ ἐνταῦθα, ἵνα μὴ τὸ αὐτὸ ὑποπτεύσωσι, παραπέμπει αὐτοὺς τοῖς προφήταις, τούτους συνεχῶς ἄνω καὶ κάτω στρέφων, δεικνὺς ἑαυτὸν οὐκ ἐναντίον ὄντα τῷ πατρί. τί δὲ οἱ πρὸ τούτου, φησὶν, οὐχὶ διδακτοὶ ἦσαν τοῦ Θεοῦ; τί οὖν ἐνταῦθα τὸ ἐξαίρετον; ὅτι τότε μὲν δι᾽ ἀνθρώπων ἐμάνθανον τὰ τοῦ Θεοῦ· νῦν δὲ διὰ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ διὰ τοῦ πνεύματος τοῦ ἁγίου. εἶτά φησιν, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὐ κατὰ τὸν τῆς αἰτίας λόγον ἐνταῦθα τοῦτο λέγων, ἀλλὰ κατὰ τὸν τρόπον τῆς οὐσίας. ἐπεὶ εἰ τοῦτο ἔλεγε, πάντες παρὰ τοῦ Θεοῦ ἐσμεν. ποῦ οὖν τὸ ἐξαίρετον τοῦ υἱοῦ καὶ κεχωρισμένον; τίνος δὲ ἕνεκεν τρανότερον αὐτὸ οὐ τέθεικε, φησί; διὰ τὴν ἐκείνων ἀσθένειαν. εἰ γὰρ εἰπόντος, ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, οὕτως ἐσκανδαλίσθησαν· τί οὐκ ἂν ἔπαθον, εἰ καὶ τοῦτο προσέθηκεν; ἄρτον δὲ ζωῆς ἑαυτὸν καλεῖ, ὅτι τὴν ζωὴν ἡμῶν συγκροτεῖ καὶ ταύτην καὶ τὴν μέλλουσαν, καί φησιν· ὃς ἂν φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα. ἄρτον δὲ ἤτοι τὰ δόγματά φησιν ἐνταῦθα τὰ σωτήρια, καὶ τὴν πίστιν τὴν εἰς αὐτὸν, ἢ τὸ σῶμα τὸ ἑαυτοῦ. ἀμφότερα γὰρ νευροῖ τὴν ψυχήν. καίτοιγε ἀλλαχοῦ φησιν, ἐάν τις μου τὸν λόγον ἀκούσῃ, οὐ μὴ γεύσηται θανάτου· καὶ ἐσκανδαλίσθησαν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔπαθον, τάχα διὰ τὸ ἔτι δυσωπεῖσθαι αὐτὸν ἀπὸ τῶν γεγενημένων ἄρτων. ὅρα δὲ πόθεν ποιεῖται τὴν πρὸς τὸ μάννα διαφοράν. ἀπὸ τοῦ εἰς τὸ τέλος ἀκοῦσαι ἑκατέρας τῆς τροφῆς. δεικνὺς γὰρ ὅτι οὐ ξένην τινὰ ἐκείνη παρέσχε τὴν χάριν, ἐπήγαγεν·

49 Οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, καὶ ἀπέθανον. Εἶτα κατασκευάζει τὸ μάλιστα πεῖθον αὐτοὺς, ὅτι πολλῷ τῶν πατέρων αὐτῶν μειζόνων αὐτοὶ ἠξίωνται, τοὺς περὶ Μωϋσέα αἰνιττόμενος θαυμαστοὺς ἄνδρας ἐκείνους. διὰ τοῦτο, ἐπειδὴ εἶπεν ὅτι ἀπέθανον οἱ τὸ μάννα φαγόντες, ἐπήγαγεν, ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ τὸ, ἐν τῇ ἐρήμῳ, δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ᾽ αἰνιττόμενος ὅτι οὐδὲ ἐξετάθη ἐπὶ χρόνον πολὺν, οὐδὲ συνεισῆλθεν εἰς τὴν τῆς ἐπαγγελίας γῆν. οὗτος δὲ ὁ ἄρτος οὐ τοιοῦτος.

51 Καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Εἰκότως δὲ ἐνταῦθα διαπορήσειεν ἄν τις, ποῖος τῶν λόγων τούτων καιρὸς ἦν, οἰκοδομούντων μὲν οὐδὲν οὐδὲ χρησιμευόντων, καὶ τοῖς οἰκοδομηθεῖσι δὲ λυμαινομένων. ἐκ γὰρ τούτου, φησὶ, πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, λέγοντες· σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν; ἐχρῆν γὰρ ταῦτα μόνοις παραδοθῆναι τοῖς μαθηταῖς, καθάπερ ὁ Ματθαῖος ἔλεγεν, ὅτι ἰδίᾳ διελέγετο αὐτοῖς. τί δήποτε οὖν ἐροῦμεν; τί τὸ χρήσιμον τῶν ῥημάτων; πολὺ καὶ τὸ χρήσιμον καὶ τὸ ἀναγκαῖον. ἐπειδὴ ἐπέκειντο τροφὴν αἰτοῦντες αὐτὸν τὴν σωματικὴν, καὶ τῆς ἐπὶ τῶν προγόνων παρασχεθείσης ἀναμιμνήσκοντες, καὶ μέγα τὸ μάννα λέγοντες· δεικνὺς ὅτι πάντα ἐκεῖνα τύπος ἦν καὶ σκιὰ, ἡ δὲ τῶν πραγμάτων ἀλήθεια ἡ παροῦσά ἐστι, μέμνηται τροφῆς πνευματικῆς. ἀλλ᾽ ἔδει, φησὶν, εἰπεῖν, ὅτι οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, ἐγὼ δὲ ἄρτον παρέσχον ὑμῖν. ἀλλὰ πολὺ τὸ μέσον. ἐδόκει γὰρ τοῦτο καὶ ἔλαττον εἶναι ἐκείνου, τῷ ἐκεῖνο μὲν ἄνωθεν φέρεσθαι, τοῦτο δὲ κάτω γεγενῆσθαι τὸ θαῦμα τῶν ἄρτων. ἐπεὶ οὖν ἐζήτουν ἐκ τοῦ οὐρανοῦ φερομένην τροφὴν, διὰ τοῦτο συνεχῶς ἔλεγεν· ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. εἰ δὲ ἐξετάζοι τις, τί δήποτε καὶ τὸν περὶ μυστηρίων ἐνέβαλε λόγον, ἐκεῖνο ἐροῦμεν πρὸς αὐτὸν, ὅτι καὶ τούτων σφόδρα τῶν λόγων ὁ καιρὸς ἦν. τὸ γὰρ ἀσαφὲς τῶν εἰρημένων ἀεὶ τὸν ἀκροατὴν διανίστησι καὶ προσεκτικώτερον ἐργάζεται. οὐ τοίνυν σκανδαλίζεσθαι ἔδει, ἀλλ' ἐρωτᾷν μᾶλλον καὶ πυνθάνεσθαι· νῦν δὲ ἀνεχώρησαν. εἰ γὰρ προφήτην αὐτὸν εἶναι ἐνόμιζον, ἔχρῆν πιστεῦσαι τοῖς λεγομένοις. ὥστε τῆς ἐκείνων ἀνοίας τὸ σκάνδαλον ἦν, οὐ τῆς ἀπορίας τῶν λεγομένων. σὺ δὲ ὅρα πῶς κατὰ μικρὸν αὐτοὺς ἀνήγαγε πρὸς αὐτόν. ἐνταῦθα γὰρ ἑαυτόν φησι διδόναι, οὐ τὸν πατέρα. καὶ ὁ ἄρτος δέ, φησιν, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἀλλὰ ξένη τις ἦν ἡ διδασκαλία, φησί, καὶ παρηλλαγμένη. καίτοιγε ὁ Ἰωάννης ἄνωθεν τοῦτο ἠνίξατο, ἀμνὸν αὐτὸν ἀποκαλέσας· ἀλλ' οὐδὲ οὕτως ᾔδεσαν, φησιν. οἶδα κἀγώ. ἀλλ' οὐδὲ οἱ μαθηταὶ ἠπίσταντο. εἰ γὰρ περὶ ἀναστάσεως οὐδέπω τι ᾔδεσαν σαφές, καὶ διὰ τοῦτο ἠγνόησαν τί ποτέ ἐστι, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· πολλῷ μᾶλλον περὶ τῶν εἰρημένων. ταῦτα γὰρ ἐκείνων ἀσαφέστερα ἦν. ὅτι μὲν γὰρ προφῆται ἀνέστησαν, ᾔδεσαν, εἰ καὶ μὴ οὕτω σαφῶς εἰρήκασιν αἱ γραφαί· ὅτι δὲ σάρκα τις ἔφαγεν, οὐδέποτε οὐδεὶς εἶπεν ἐκείνων. ἀλλ' ὅμως ἐπείθοντο καὶ ἠκολούθουν, καὶ ὡμολόγουν ῥήματα ζωῆς αἰωνίου αὐτὸν ἔχειν. τοῦτο γὰρ μαθητοῦ, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ διδασκάλου, ἀλλ' ἀκούειν καὶ πείθεσθαι, καὶ τὸν προσήκοντα καιρὸν ἀναμένειν τῆς λύσεως. τί οὖν, φησιν, ὅτι τοὐναντίον συνέβη, καὶ ἀπῆλθον εἰς τοὐπίσω; τοῦτο παρὰ τὴν ἐκείνων ἄνοιαν. ὅταν γὰρ ἡ ζήτησις τοῦ πῶς εἰσέλθῃ, συνέρχεται καὶ ἀπιστία. οὕτω καὶ Νικόδημος ἐθορυβεῖτο λέγων· πῶς δύναται ἄνθρωπος εἰσελθεῖν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ; οὕτω καὶ οὗτοι ταράττονται λέγοντες,

52 Πῶς δύναται δοῦναι ἡμῖν φαγεῖν τὴν σάρκα αὐτοῦ;

Εἰ γὰρ τό, πῶς, ζητεῖς, διὰ τί τοῦτο ἐπὶ τῶν ἄρτων οὐκ εἶπες, πῶς τοὺς πέντε εἰς τοσούτους ἐξέτεινεν; ὅτι τοῦ κορεσθῆναι μόνον ἦσαν τότε, οὐ τοῦ τὸ θαῦμα ἰδεῖν. ἀλλ' ἡ πεῖρα τότε, φησιν, ἐπαίδευσεν. οὐκοῦν ἐξ ἐκείνης ἔδει καὶ ταῦτα γενέσθαι εὐπαράδεκτα. διὰ γὰρ τοῦτο προλαβὼν ἐθαυματούργησε τὸ παράδοξον ἐκεῖνο, ἵνα δι' ἐκείνου διδαχθέντες, μηκέτι ἀπιστῶσι τοῖς μετὰ ταῦτα λεγομένοις.

ΗΘΙΚΟΝ

Ἐκεῖνοι μὲν οὖν οὐδὲν ἐκαρπώσαντο τότε ἐκ τῶν εἰρημένων, ἡμεῖς δὲ τῆς εὐεργεσίας δι' αὐτῶν τῶν ἔργων ἀπολελαύκαμεν. διὸ καὶ ἀναγκαῖον μαθεῖν τὸ θαῦμα τῶν μυστηρίων τί ποτέ ἐστι, καὶ διὰ τί ἐδόθη, καὶ τίς ἡ ὠφέλεια τοῦ πράγματος. ἓν σῶμά ἐσμεν, καὶ μέλη ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. οἱ δὲ μεμυημένοι παρακολουθείτωσαν τοῖς λεγομένοις. ἵν' οὖν μὴ μόνον κατὰ τὴν ἀγάπην τοῦτο γινώμεθα, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα εἰς ἐκείνην ἀνακερασθῶμεν τὴν σάρκα. διὰ τῆς τροφῆς τοῦτο γίνεται, ἧς ἐχαρίσατο, βουλόμενος ἡμῖν δεῖξαι τὸν πόθον, ὃν ἔχει περὶ ἡμᾶς. διὰ τοῦτο ἀνέμιξεν ἑαυτὸν ἡμῖν, καὶ ἀνέφυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἕν τι γινώμεθα, καθάπερ σῶμα κεφαλῇ συνημμένον. τῶν γὰρ σφόδρα ποθούντων ἐστὶ τοῦτο*. τοῦτο γοῦν ὁ Ἰὼβ αἰνιττόμενος ἔλεγε περὶ τῶν οἰκετῶν, οἷς ἦν οὕτω μεθ' ὑπερβολῆς ποθεινός, ὡς προσφῦναι ταῖς σαρξὶν αὐτοῦ ἐπιθυμεῖν. οὗτοι γὰρ τὸν πολὺν αὐτῶν ἐνδεικνύμενοι πόθον ὃν εἶχον, ἔλεγον· τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; διὸ δὴ καὶ ὁ Χριστὸς αὐτὸ πεποίηκεν, εἰς φιλίαν ἡμᾶς ἐνάγων μείζονα, καὶ τὸν αὐτοῦ πόθον ἐνδεικνύμενος τὸν περὶ ἡμᾶς· οὐκ ἰδεῖν αὐτὸν μόνον παρέχει τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ ἅψασθαι καὶ φαγεῖν, καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκὶ, καὶ συμπλακῆναι καὶ τὸν πόθον ἐμπλῆσαι πάντα. ὡς λέοντες τοίνυν πῦρ πνέοντες, οὕτως ἀναχωρῶμεν ἀπὸ τῆς τραπέζης ἐκείνης, φοβεροὶ τῷ διαβόλῳ γινόμενοι, καὶ τὴν κεφαλὴν τὴν ἡμετέραν ἐννοοῦντες, καὶ τὴν ἀγάπην ἣν περὶ ἡμᾶς ἐπεδείξατο. οἱ μὲν οὖν γεννήσαντες πολλάκις ἑτέροις τρέφειν διδόασι τὰ τεχθέντα· ἐγὼ δὲ οὐχ οὕτω, φησιν, ἀλλὰ ταῖς σαρξὶ τρέφω ταῖς ἐμαῖς, ἐμαυτὸν ὑμῖν παρατίθημι, πάντας ὑμᾶς εὐγενεῖς εἶναι βουλόμενος, καὶ χρηστὰς ὑμῖν περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας. ὁ γὰρ ἐνταῦθα ὑμῖν ἐκδοὺς ἑαυτὸν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. ἀδελ-

φος

φὸς ἠθέλησα ὑμέτερος γενέσθαι, ἐκοινώνησα σαρκὸς καὶ αἵματος δι' ὑμᾶς, πάλιν αὐτὴν ὑμῖν τὴν σάρκα καὶ τὸ αἷμα, δι' ὧν συγγενὴς ἐγενόμην, ἐκδίδωμι. τοῦτο τὸ αἷμα τὴν εἰκόνα ἡμῖν ἀνθηρὰν ἐργάζεται τὴν βασιλικήν, τοῦτο κάλλος ἀμήχανον τίκτει, τοῦτο ἀπομαραίνεσθαι τῆς ψυχῆς τὴν εὐγένειαν οὐκ ἀφίησιν, ἄρδον αὐτὴν συνεχῶς καὶ τρέφον. τὸ μὲν γὰρ ἀπὸ τῶν σιτίων ἡμῖν αἷμα γινόμενον οὐκ εὐθέως τοῦτο γίνεται, ἀλλ' ἕτερόν τι· τοῦτο δὲ οὐχ οὕτως, ἀλλ' εὐθέως τὴν ψυχὴν ἀρδεύει καὶ μεγάλην τινὰ δύναμιν ἐμποιεῖ. τοῦτο τὸ αἷμα " ἀξίως λαμβανόμενον ἐλαύνει μὲν δαίμονας καὶ πόῤῥωθεν εἶναι ποιεῖ, καλεῖ δὲ ἀγγέλους πρὸς ἡμᾶς καὶ τὸν δεσπότην τῶν ἀγγέλων. ὅπου γὰρ ἂν ἴδωσι τὸ αἷμα τὸ δεσποτικόν, φεύγουσι μὲν δαίμονες, συντρέχουσι δὲ ἄγγελοι. τοῦτο τὸ αἷμα ἐκχυθὲν πᾶσαν τὴν οἰκουμένην ἐξέπλυνε· πολλὰ περὶ τοῦ αἵματος τούτου ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐφιλοσόφησε. τοῦτο τὸ αἷμα τὰ ἄδυτα καὶ τὰ ἅγια τῶν ἁγίων ἐκάθηρεν. εἰ δὲ ὁ τύπος αὐτοῦ τοσαύτην ἔσχεν ἰσχὺν ἔν τε τῷ ναῷ τῶν Ἑβραίων, ἔν τε Αἰγύπτῳ μέσῃ τῆς * φλιαῖς ἐπιχριόμενον, πολλῷ μᾶλλον ἡ ἀλήθεια. τοῦτο τὸ αἷμα τὸ χρυσοῦν θυσιαστήριον ἡγίασε· τούτου χωρὶς οὐκ ἐτόλμα ὁ ἀρχιερεὺς εἰς τὰ ἄδυτα εἰσιέναι· τοῦτο τὸ αἷμα ἱερέας ἐχειροτόνει· τοῦτο ἐκάθηρεν ἁμαρτίας ἐν τοῖς τύποις. εἰ δὲ ἐν τοῖς τύποις τοσαύτην ἔσχεν ἰσχύν, εἰ τὴν σκιὰν οὕτως ὁ θάνατος ἔφριξε, τὴν ἀλήθειαν αὐτήν, εἰπέ μοι, πῶς οὐκ ἂν ἐφοβήθη; τοῦτο ἡ σωτηρία τῶν ἡμετέρων ψυχῶν, τούτῳ " λούεται ἡ ψυχή, τούτῳ καλλωπίζεται, τούτῳ πυροῦται, τοῦτο πυρὸς λαμπρότερον ἐργάζεται τὸν νοῦν τὸν ἡμέτερον, τοῦτο χρυσίου φαιδροτέραν τὴν ψυχὴν ποιεῖ, τοῦτο ἐξεχύθη τὸ αἷμα καὶ τὸν οὐρανὸν ἐποίησε βατόν. φρικτὰ ὄντως τὰ μυστήρια τῆς ἐκκλησίας, φρικτὸν ὄντως τὸ θυσιαστήριον. ἀνέβαινεν ἐκ τοῦ παραδείσου πηγὴ ποταμοὺς αἰσθητοὺς " ἀφιεῖσα· ἀπὸ τῆς τραπέζης ταύτης ἄνεισι πηγὴ ποταμοὺς ἀφιεῖσα πνευματικούς. παρὰ ταύτην τὴν πηγὴν πεφυτευμέναι εἰσὶν οὐκ ἰτέαι ἄκαρποι, ἀλλὰ δένδρα πρὸς αὐτὸν φθάνοντα τὸν οὐρανόν, καρπὸν ἔχοντα ὥριμον ἀεὶ καὶ ἀμάραντον. εἴ τις καυσοῦται, παρὰ ταύτην ἡκέτω τὴν πηγήν, καὶ καταψυχέτω τὸ καῦσος. καὶ γὰρ αὐχμοὺς λύει, καὶ τὰ διακαῆ πάντα " παραμυθεῖται, οὐ τὰ ἐξ ἡλίου *, ἀλλὰ τὰ ἀπὸ τῶν βελῶν τῶν πεπυρωμένων. καὶ γὰρ τὴν ἀρχὴν ἄνωθεν ἔχει, καὶ τὴν ῥίζαν ἐκεῖθεν, ὅθεν καὶ ἄρδεται. πολλοὶ ταύτης οἱ ῥύακες τῆς πηγῆς, οὓς ἀφίησιν ὁ παράκλητος· καὶ μεσίτης ὁ υἱὸς γίνεται, οὐ δίκελλαν ἔχων καὶ ὁδοποιῶν, ἀλλὰ τὴν διάθεσιν ἀνοίγων τὴν παρ' ἡμῖν. αὕτη ἡ πηγή, φωτός ἐστι πηγὴ ἀναβλύζουσα ἀληθείας ἀκτῖνας. ταύτῃ καὶ αἱ ἄνω παρεστήκασι δυνάμεις πρὸς τὸ κάλλος ἐνορῶσαι τῶν ῥείθρων, ἐπεὶ καὶ σαφέστερον ἐκεῖναι τῶν προκειμένων θεωροῦσι τὴν δύναμιν καὶ τὰς μαρμαρυγὰς τὰς ἀπροσίτους. ὥσπερ γὰρ χρυσοῦ τηκομένου ἄν τε τὴν χεῖρά τις ἐμβάλῃ, εἰ οἷόν τε ἦν, ἄν τε τὴν γλῶτταν, χρυσῆν εὐθέως αὐτὴν ἐποίησεν· οὕτω δή, καὶ πολλῷ πλέον ἐνταῦθα τὴν ψυχὴν ἐργάζεται τὰ προκείμενα. ἀναζεῖ μὲν γὰρ πυρὸς σφοδρότερον ὁ ποταμός, ἀλλ' οὐ καίει, ἀλλὰ βαπτίζει μόνον ὅπερ ἂν λάβῃ. τοῦτο τὸ αἷμα ἄνωθεν προετυποῦτο ἀεὶ ἐν θυσιαστηρίοις καὶ ἐν δικαίων σφαγαῖς, τοῦτο ἡ τιμὴ τῆς οἰκουμένης, τούτῳ ἠγόρασε τὴν ἐκκλησίαν ὁ Χριστός, τούτῳ κατεκόσμησεν αὐτὴν ἅπασαν. καθάπερ γὰρ ἄνθρωπος οἰκέτας ὠνούμενος χρυσίον δίδωσι, καὶ καλλωπίσαι πάλιν αὐτοὺς βουλόμενος, χρυσῷ τοῦτο ποιεῖ· οὕτω καὶ ὁ Χριστὸς καὶ ἠγόρασεν ἡμᾶς αἵματι, καὶ ἐκόσμησεν αἵματι. οἱ τούτου μετέχοντες τοῦ αἵματος μετ' ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων ἑστήκασιν, αὐτὴν περικείμενοι τοῦ Χριστοῦ τὴν βασιλικὴν στολήν, τὰ ὅπλα ἔχοντες τὰ πνευματικά. ἀλλ' οὐδὲν εἶπον οὐδέπω μέγα· αὐτὸν γὰρ εἰσὶν ἐνδεδυμένοι τὸν βασιλέα. ἀλλ' ὥσπερ ἐστὶ μέγα καὶ θαυμαστόν· οὕτως ἂν μὲν μετὰ καθαρότητος προσέλθῃς, εἰς σωτηρίαν προσῆλθες· ἂν δὲ μετὰ πονηροῦ συνειδότος, εἰς κόλασιν καὶ τιμωρίαν. Ὁ γὰρ ἐσθίων, φησί, καὶ πίνων ἀναξίως τοῦ Κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. εἰ γὰρ οἱ ῥυποῦντες τὴν πορφύραν τὴν βασιλικὴν

τὶ μυστικὸν

αὐτοῖς ταῖς

α. Κορ. ια. κθ.

κολάζονται ὁμοίως, ὥσπερ οἱ διαρρηγνύντες· οὐδὲν ἀπεικὸς καὶ τοὺς ἀκαθάρτῳ διανοίᾳ δεχομένους τὸ σῶμα, τὴν αὐτὴν ὑπομένειν τιμωρίαν τοῖς αὐτὸ διαρρήξασι διὰ τῶν ἥλων. ὅρα γοῦν πῶς φοβερὰν ἔδειξεν ὁ Παῦλος τὴν κόλασιν, εἰπών· Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη; προσέχωμεν τοίνυν ἑαυτοῖς, ἀγαπητοί, τοιούτων ἀπολαύοντες ἀγαθῶν· καὶ ὅταν βουληθῶμεν αἰσχρὸν εἰπεῖν, ἢ συναρπαζομένους ἑαυτοὺς ἴδωμεν ὑπὸ ὀργῆς ἢ ἑτέρου τινὸς τοιούτου πάθους· λογισώμεθα τίνων κατηξιώθημεν, οἵου πνεύματος ἀπηλαύσαμεν, καὶ ἔσται σωφρονισμὸς ἡμῖν τῶν ἀλόγων παθῶν οὗτος ὁ λογισμός. μέχρι γὰρ τίνος τοῖς παροῦσι προσηλώμεθα; μέχρι τίνος οὐ διεγειρόμεθα; μέχρι τίνος οὐ φροντίζομεν τῆς σωτηρίας τῆς ἑαυτῶν; ἐννοήσωμεν τίνων ἡμᾶς κατηξίωσεν ὁ Χριστός, εὐχαριστήσωμεν, δοξάσωμεν, μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν· ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑβρ. ι. κη.

γ. τὴν

γ. ἴσω

Ὁμιλ. μζ. 53 ΕΙΠΕΝ ΟΥΝ ΑΥΤΟΙΣ Ο ΙΗΣΟΥΣ· ΑΜΗΝ,

ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς.

54 Ὁ δὲ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν ἐν ἑαυτῷ.

Ὅταν περὶ πνευματικῶν διαλεγώμεθα, μηδὲν ἔστω βιωτικὸν ἐν ταῖς ἡμετέραις ψυχαῖς, μηδὲν γήϊνον· ἀλλὰ πάντα ἀναχωρείτω, πάντα ἐξοριζέσθω τὰ τοιαῦτα, καὶ ὅλοι γινώμεθα τῆς τῶν θείων λογίων ἀκροάσεως μόνης. εἰ γὰρ βασιλέως ἐπιβαίνοντος [πόλει] ἅπας ἀπελαύνεται θόρυβος· πολλῷ μᾶλλον, τοῦ πνεύματος ἡμῖν διαλεγομένου, πολλῆς μὲν ἡσυχίας, πολλῆς δὲ ἡμῖν δεῖ τῆς φρίκης. καὶ γὰρ φρίκης ἄξια τὰ λεγόμενα σήμερον. καὶ πῶς, ἄκουε. ἀμὴν [γάρ] φησι, λέγω ὑμῖν, ἐὰν μή τις μου φάγῃ τὴν σάρκα καὶ πίῃ μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ. ἐπειδὴ ἔμπροσθεν ἔλεγον, ὅτι ἀδύνατον τοῦτο ἐστί, δείκνυσιν αὐτὸς οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον. διὸ καὶ ἐπάγει· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι ὁ τρώγων ἐκ τοῦ ἄρτου τούτου οὐκ ἀποθανεῖται εἰς τὸν αἰῶνα· εἰκὸς δὲ ἦν αὐτοὺς προσστῆναι τοῦτο, καθὼς καὶ πρότερον ἔλεγον, Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται ἀπέθανον· καὶ πῶς σὺ λέγεις, οὐ μὴ γεύσεται θανάτου; τὴν ἀνάστασιν ἔθηκε, λύων τὸ ζητούμενον, καὶ δηλῶν ὅτι οὐκ ἀποθανεῖται εἰς τέλος. Συνεχῶς δὲ στρέφει τὸν περὶ τῶν μυστηρίων λόγον, δεικνὺς τοῦ πράγματος τὸ ἀναγκαῖον, καὶ ὅτι αὐτὸ πάντως γενέσθαι δεῖ.

γ. ἀλλὰ π των ἀπαρ ρίψαντες των, καὶ πά ἐξορίσαντ ἐκ τῆς διανοί ἡμῶν ταῦτα ὅλοι

γ. ἅπας τῆς πόλεως ἀπ

γ. μετὰ πολλ μὲν ἡσυχίας, πολλῆς δὲ φρίκης ἀκ ειν ἡμᾶς

55 Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις.

Τί ἐστιν ὃ λέγει; ἢ τοῦτο βούλεται εἰπεῖν, ὅτι ἀληθὴς βρῶσις αὕτη ἐστὶν ἡ ψυχὴν σώζουσα, ἢ πιστώσασθαι αὐτοὺς περὶ τῶν εἰρημένων, ὥστε μὴ νομίζειν αἴνιγμα εἶναι τὸ εἰρημένον καὶ παραβολήν, ἀλλ᾽ εἰδέναι ὅτι πάντως δεῖ φαγεῖν τὸ σῶμα. Εἶτά φησιν·

56 Ὁ τρώγων μου τὴν σάρκα, ἐν ἐμοὶ μένει. Τοῦτο δὲ ἔλεγε, δηλῶν, ὅτι ἐν αὐτῷ ἀνακίρναται. τὸ δὲ ἑξῆς δοκεῖ μὲν ἀσυνάρτητον εἶναί τι, ἂν μὴ τὸν νοῦν ἐξετάσωμεν.

γ. τί δ᾽ ἐστι ἀληθής ἐστι βρῶσις καὶ κ.τ. ἢ τοῦτ βούλεται

γ. δι᾽ ὧν ἐ γαγε δηλῶ

ποία

κεφ. ϛ.

ποία γάρ, φησιν, ἀκολουθία, μετὰ τὸ εἰπεῖν, ὁ τρώγων μου τὴν σάρκα ἐν ἐμοὶ μένει, ἐπαγαγεῖν,

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα; Ἔχει δὲ πολλὴν τὴν ἁρμονίαν τὸ λεγόμενον. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγε ζωὴν αἰώνιον, κατασκευάζων αὐτὸ ἐπήγαγε τὸ, ἐν ἐμοὶ μένει. εἰ γὰρ ἐν ἐμοὶ μένει, ζῶ δὲ ἐγὼ, δῆλον ὅτι κἀκεῖνος ζήσεται. εἶτά φησι· καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. τοῦτο δέ ἐστι συγκριτικὸν καὶ ὁμοιωματικόν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ζῶ ἐγὼ οὕτως, ὡς ὁ πατήρ. καὶ ἵνα μὴ ἀγέννητον νομίσῃς, προσέθηκεν εὐθὺς τὸ, διὰ τὸν πατέρα, οὐ τοῦτο δεικνὺς, ὅτι ἐνεργείας τινὸς χρείαν ἔχει πρὸς τὸ ζῆν. ἀνωτέρω γὰρ τοῦτο ἀναιρῶν ἔλεγεν· ὥσπερ ["γὰρ] ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ἔχειν ζωὴν ἐν ἑαυτῷ. εἰ δὲ δεῖται ἐνεργείας, εὑρεθήσεται, ἢ ὁ πατὴρ μὴ δεδωκὼς οὕτω, καὶ ψευδὴς ὁ λόγος· ἢ εἰ οὕτως ἔδωκεν, οὐδενὸς αὐτὸς [λοιπὸν] δεηθήσεται ἑτέρου τοῦ συγκροτοῦντος. "Τί οὖν ἐστι διὰ τὸν πατέρα; τὴν αἰτίαν ἐνταῦθα αἰνίττεται μόνον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· καθώς ἐστι ζῶν ὁ πατὴρ, οὕτω κἀγὼ ζῶ· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει δι᾽ ἐμέ. ζωὴν δὲ ἐνταῦθα λέγει, οὐ τὴν ἁπλῶς, ἀλλὰ τὴν εὐδόκιμον. καὶ ὅτι οὐ περὶ τῆς ἁπλῶς ζωῆς εἶπεν, ἀλλὰ περὶ τῆς ἐνδόξου καὶ ἀπορρήτου ἐκείνης, δῆλον ἐκεῖθεν. καὶ γὰρ πάντες, καὶ οἱ ἄπιστοι ζῶσι, καὶ οἱ ἀμύητοι, μὴ φαγόντες ἀπὸ τῆς σαρκὸς ἐκείνης; ὁρᾷς ὅτι οὐ περὶ ταύτης "ὁ λόγος ἐστὶ τῆς ζωῆς, ἀλλὰ περὶ ἐκείνης; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ τρώγων μου τὴν σάρκα οὐκ ἀπολεῖται τελευτήσας, οὐδὲ κολασθήσεται· ἀλλ᾽ οὐδὲ περὶ τῆς ἀναστάσεως τῆς κοινῆς (καὶ γὰρ ὁμοίως πάντες ἀνίστανται) ἀλλὰ περὶ τῆς ἐξαιρέτου, τῆς ἐνδόξου, καὶ μισθὸν ἐχούσης.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον. ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα. Συνεχῶς τὸ αὐτὸ περιστρέφει, ὥστε αὐτὸ ἐντυπῶσαι τῇ τῶν ἀκουόντων διανοίᾳ (ἐσχάτη γάρ τις ἦν διδασκαλία ἡ περὶ τούτων) καὶ τὸ περὶ ἀναστάσεως δόγμα πιστῶσαι, καὶ τὸ περὶ ζωῆς αἰωνίου· διὸ καὶ τὴν ἀνάστασιν προστίθησιν, ἐπειδὴ ζωὴν αἰώνιον ἐπαγγέλλεται, δεικνὺς ὅτι οὐ νῦν ἐστιν αὕτη, ἀλλὰ μετὰ τὴν ἀνάστασιν. καὶ πόθεν ταῦτα δῆλα, φησιν; ἀπὸ τῶν γραφῶν. πανταχοῦ γὰρ αὐτοὺς ἐκεῖ παραπέμπει, παρ᾽ αὐτῶν κελεύων ταῦτα μαθεῖν. εἰπὼν δὲ, ζωὴν διδοὺς τῷ κόσμῳ, εἰς ζῆλον αὐτοὺς ἐνάγει, ὥστε κἂν ἀλγήσαντας ἐπὶ τῷ ἄλλους ἀπολαύειν τῆς δωρεᾶς μὴ μεῖναι ἔξω. συνεχῶς δὲ ἀναμιμνήσκει τοῦ μάννα, καὶ τὸ διάφορον παριστὰς, καὶ [αὐτοὺς] εἰς πίστιν ἐνάγων. "εἰ γὰρ δυνατὸν ἐγένετο τεσσαράκοντα ἔτεσιν, ἀμητοῦ χωρὶς καὶ σίτου καὶ τῆς ἄλλης ἀκολουθίας διακρατῆσαι τὴν ἐκείνων ζωήν· πολλῷ μᾶλλον νῦν, ἅτε ἐπὶ μείζοσι παραγενόμενος, δυνήσεται τοῦτο. "ἄλλως δὲ, καὶ εἰ ἐκεῖνα τύποι τινὲς ἦσαν, καὶ χωρὶς ἱδρώτων καὶ πόνων συνέλεγον τὸ φερόμενον· πολλῷ μᾶλλον νῦν τοῦτο ἔσται, ἔνθα πολλὴ ἡ διαφορὰ, καὶ τῷ μηδέποτε τελευτᾷν, καὶ τὸ ζωῆς ἀπολαύειν τῆς ἀληθοῦς. καλῶς δὲ ζωῆς πολλάκις μέμνηται, ἐπειδὴ τοῦτο ποθεινὸν ἀνθρώποις, καὶ οὐδὲν οὕτως ἡδὺ, ὡς τὸ μὴ ἀποθανεῖν. ἐπεὶ καὶ ἐν τῇ παλαιᾷ τοῦτο ἦν ἡ ὑπόσχεσις, μῆκος βίου, καὶ πολλαὶ ἡμέραι· ἀλλὰ νῦν οὐκ ἔστι μῆκος ἁπλῶς, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. ἅμα δὲ καὶ δεῖξαι βούλεται, ὅτι τὴν ἐκ τῆς ἁμαρτίας γενομένην κόλασιν ἀνακαλεῖται νῦν, τὴν ψῆφον λύων ἐκείνην τὴν θανατοῦσαν, καὶ ζωὴν φέρουσαν οὐχ ἁπλῶς, ἀλλ᾽ αἰώνιον εἰσάγων ἀπεναντίας τοῖς προτέροις.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ, Ἔνθα αἱ πλεῖσται γεγένηνται δυνάμεις, ὥστε ἐχρῆν αὐτὸν ἀκουσθῆναι μάλιστα. Τίνος δὲ ἕνεκεν ἐν συναγωγῇ ἐδίδασκε καὶ ἐν ἱερῷ; ὁμοῦ μὲν τὸ πλῆθος αὐτῶν θηρεῦσαι θέλων, ὁμοῦ δὲ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ πατρί.

60 Πολλοὶ δὲ ἐκ τῶν μαθητῶν ἀκούσαντες, ἔλεγον· σκληρός ἐστιν ὁ λόγος οὗτος.

Τί ἐστι σκληρός; τραχύς, ἐπίπονος, μόχθον ἔχων. καίτοι οὐδὲν τοιοῦτον ἔλεγεν. οὐδὲ γὰρ περὶ πολιτείας διελέγετο, ἀλλὰ περὶ δογμάτων, ἄνω καὶ κάτω στρέφων τὴν πίστιν τὴν εἰς ἑαυτόν. τί οὖν ἐστι, σκληρός ἐστιν ὁ λόγος; ὅτι ζωὴν ἐπαγγέλλεται καὶ ἀνάστασιν; ὅτι ἐκ τοῦ οὐρανοῦ ἔφη καταβεβηκέναι; ἀλλ' ὅτι σωθῆναι ἀδύνατον τὸν μὴ φαγόντα αὐτοῦ τὴν σάρκα; ταῦτα οὖν, εἰπέ μοι, σκληρά; καὶ τίς ἂν ταῦτα εἴποι; τί οὖν ἐστι σκληρός; δυσπαράδεκτος, ὑπερβαίνων αὐτῶν τὴν ἀσθένειαν, πολὺν ἔχων τὸν φόβον. ἐνόμιζον γὰρ μείζονα τῆς οἰκείας ἀξίας φθέγγεσθαι καὶ ὑπὲρ αὐτόν. διὸ καὶ ἔλεγον· τίς δύναται αὐτοῦ ἀκούειν; ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι τάχα, ἐπειδὴ ἔμελλον ἀποπηδᾶν.

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν ἐν ἑαυτοῖς οἱ μαθηταὶ περὶ τούτου (καὶ γὰρ τοῦτο τῆς αὐτοῦ θεότητος, τὸ τὰ ἀπόρρητα φέρειν εἰς μέσον) εἶτα λέγει·

Τοῦτο ὑμᾶς σκανδαλίζει; 62 Ἂν οὖν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον. Τοῦτο καὶ ἐπὶ τοῦ Ναθαναὴλ ἐποίησε λέγων· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζονα τούτων ὄψει. καὶ ἐπὶ Νικοδήμου· ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. τί οὖν; ἀπορίας ἀπορίαις συνάπτει; οὐχί (μὴ γένοιτο) ἀλλὰ τῷ μεγέθει τῶν δογμάτων καὶ τῷ πλήθει αὐτοὺς ἐπαγαγέσθαι βούλεται. ὁ μὲν γὰρ εἰπὼν ἁπλῶς, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, καὶ μηδὲν πλέον προσθείς, μᾶλλον ἂν ἐσκανδάλισεν· ὁ δὲ εἰπών, ὅτι τὸ σῶμά μου ζωὴ τοῦ κόσμου, καὶ ὁ εἰπών, ὅτι καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ εἰπών, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, τὴν ἀπορίαν λύει. ὁ μὲν γὰρ ἕν τι μέγα περὶ ἑαυτοῦ φθεγγόμενος, κἂν ὕποπτος γένοιτο, ὡς πλάττων· ὁ δὲ τοσαῦτα συνείρων ἐφεξῆς, πᾶσαν ἀναιρεῖ τὴν ὑποψίαν. πάντα δὲ ποιεῖ καὶ λέγει, ὥστε αὐτοὺς ἀπαγαγεῖν τοῦ νομίζειν αὐτοῦ πατέρα τὸν Ἰωσήφ. οὐ τοίνυν τὸ σκάνδαλον ἐπιτεῖναι θέλων τοῦτο ἔλεγεν, ἀλλὰ λῦσαι μᾶλλον. ὁ μὲν γὰρ ἀπὸ τοῦ Ἰωσὴφ αὐτὸν εἶναι νομίζων, οὐκ ἂν προσεδέξατο τὰ λεγόμενα· ὁ δὲ πεισθείς, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ ἐκεῖ ἀναβήσεται, εὐκολώτερον ἂν προσέσχε τοῖς λεγομένοις. μετὰ δὲ τούτων καὶ ἑτέραν λύσιν ἐπάγει, λέγων·

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Ὁ δὲ λέγει τοιοῦτόν ἐστι· πνευματικῶς δεῖ τὰ περὶ ἐμοῦ ἀκούειν. ὁ γὰρ σαρκικῶς ἀκούσας, οὐδὲν ἀπώνατο, οὔτε χρηστόν τι ἀπέλαυσε. σαρκικὸν δὲ ἦν τὸ ἀμφισβητεῖν πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ τὸ νομίζειν ὅτι υἱός ἐστι τοῦ Ἰωσήφ, καὶ τό, πῶς δύναται ἡμῖν τὴν σάρκα δοῦναι φαγεῖν; ταῦτα πάντα σαρκικά· ἅπερ ἔδει μυστικῶς νοεῖν καὶ πνευματικῶς. καὶ πόθεν, φησίν, ἠδύναντο νοῆσαι τί ποτέ ἐστι τὸ σάρκα φαγεῖν ἐκεῖνοι; οὐκοῦν ἔδει τὸν προσήκοντα ἀναμεῖναι καιρόν, καὶ πυνθάνεσθαι, καὶ μὴ ἀπαγορεύειν.

Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή· Τουτέστι, θεῖα καὶ πνευματικά ἐστιν, οὐδὲν ἔχοντα σαρκικόν, οὐδὲ ἀκολουθίαν φυσικήν· ἀλλ' ἀπήλλακται πάσης μὲν τοιαύτης ἀνάγκης, καὶ ὑπέρκειται καὶ τῶν νόμων τῶν ἐνταῦθα κειμένων. ἕτερον δὲ ἔχει νοῦν ἐξηλλαγμένον. ὥσπερ οὖν ἐνταῦθα τὸ πνεῦμα εἶπεν, ἀντὶ τοῦ πνευματικά, οὕτω σάρκα εἰπών, οὐ σαρκικὰ εἶπεν, ἀλλὰ τὸ σαρκικῶς ἀκοῦσαι, ἅμα καὶ αὐτοὺς αἰνιττόμενος, ὅτι ἀεὶ σαρκικῶν ἐπεθύμουν, δέον πνευματικῶν ἐφίεσθαι. ἐὰν γὰρ αὐτὸ σαρκικῶς τις ἐκλάβοι, οὐδὲν ἀπώνατο. τί οὖν; οὐκ ἔστιν ἡ σὰρξ αὐτοῦ σάρξ; καὶ σφόδρα μὲν οὖν. καὶ πῶς εἶπεν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν; οὐ περὶ τῆς ἑαυτοῦ σαρκὸς λέγων (μὴ γένοιτο) ἀλλὰ περὶ τῶν σαρκικῶς ἐκλαμβανόντων τὰ λεγόμενα. τί δέ ἐστι τὸ σαρκικῶς νοῆσαι; τὸ ἁπλῶς εἰς τὰ προκείμενα ὁρᾶν, καὶ μὴ πλέον τι φαντάζεσθαι. τοῦτο γάρ ἐστι σαρκικῶς. χρὴ δὲ μὴ οὕτω κρίνειν τοῖς ὁρωμένοις, ἀλλὰ πάντα τὰ μυστήρια τοῖς ἔνδον ὀφθαλμοῖς κατοπτεύειν. τοῦτο γάρ ἐστι πνευματικῶς. ὁ μὴ τρώγων αὐτοῦ τὴν σάρκα καὶ πίνων αὐτοῦ τὸ αἷμα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ· πῶς οὖν οὐδὲν ὠφελεῖ ἡ σὰρξ, ἧς ἄνευ ζῆν οὐκ ἔνι; ὁρᾷς ὅτι τὸ, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδὲν, οὐ περὶ τῆς σαρκὸς αὐτοῦ εἴρηται, ἀλλὰ περὶ τῆς σαρκικῆς ἀκροάσεως;

64 Ἀλλ' εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσι. Πάλιν κατὰ τὸ συνῆθες αὐτοῦ τοῖς λόγοις ἀξίωμα περιτίθησι, τά τε μέλλοντα προλέγων, καὶ δεικνὺς ὡς οὐ τῆς ἐκείνων δόξης ἐφιέμενος ταῦτα ἔλεγεν, ἀλλ' αὐτῶν κηδόμενος. Εἰπὼν δὲ, τινὲς, τοὺς μαθητὰς ὑπεξήγαγε. παρὰ γὰρ τὴν ἀρχὴν ἔλεγε· καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετέ μοι· ἐνταῦθα δὲ, εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν. ᾔδει γὰρ ἐξ ἀρχῆς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.

65 Καὶ ἔλεγε, διὰ τοῦτο εἴρηκα, οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν ἐκ τοῦ πατρός μου. Τὸ ἑκούσιον ἐνταῦθα τῆς οἰκονομίας ὁ εὐαγγελιστὴς ἡμῖν αἰνίττεται, καὶ τὸ ἀνεξίκακον. καὶ τὸ ἐξ ἀρχῆς δὲ, οὐχ ἁπλῶς ἐνταῦθα κεῖται· ἀλλ' ἵνα μάθῃς αὐτοῦ τὴν ἄνωθεν πρόγνωσιν, καὶ ὅτι πρὸ τῶν ῥημάτων τούτων, καὶ οὐ μετὰ τὸ γεύσασθαι, οὐδὲ μετὰ τὸ σκανδαλισθῆναι, τὸν προδότην ᾔδει, ἀλλὰ καὶ πρὸ τούτου, ὅπερ ἦν θεότητος. Εἶτα καὶ ἐπήγαγεν· ἐὰν μὴ δεδομένον αὐτῷ ἄνωθεν ἐκ τοῦ πατρός μου, πείθων αὐτοὺς πατέρα αὐτοῦ νομίζειν τὸν Θεὸν, ἀλλὰ μὴ τὸν Ἰωσὴφ, καὶ δεικνὺς ὅτι οὐκ ἔστι τὸ τυχὸν τὸ πιστεῦσαι εἰς αὐτόν. ὡσανεὶ ἔλεγεν, οὐ θορυβοῦσιν, οὐδὲ ταράττουσιν, οὐδὲ ξενίζουσί με οἱ μὴ πιστεύοντες· οἶδα τοῦτο ἄνωθεν πρὶν ἢ γενέσθαι· οἶδα τίσιν ἔδωκεν ὁ πατήρ. ὅταν δὲ ἀκούσῃς, ὅτι δέδωκε, μὴ ἀποκλήρωσιν ἁπλῶς νόμιζε, ἀλλ' ἐκεῖνο πίστευε, ὅτι ὁ παρασχὼν ἑαυτὸν ἄξιον τοῦ λαβεῖν, αὐτὸς ἔλαβεν.

66 Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Καλῶς ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, διεχώρησαν· ἀλλὰ ἀπῆλθον εἰς τὰ ὀπίσω, δηλῶν ὅτι τῆς κατ' ἀρετὴν ἐπιδόσεως ὑπετέμοντο, καὶ ὅτι ἣν εἶχον πάλαι πίστιν ἀπώλεσαν, ἀποσχίσαντες ἑαυτούς. ἀλλ' οὐχ οἱ δώδεκα τοῦτο ἔπαθον. διὸ καί φησι πρὸς αὐτούς·

67 Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Δεικνὺς πάλιν ὅτι οὐ δεῖται τῆς διακονίας αὐτῶν καὶ τῆς θεραπείας, οὐδὲ διὰ τοῦτο αὐτοὺς περιεῖχεν ἐπιδεικνύμενος. πῶς γὰρ ὁ καὶ τούτοις ταῦτα λέγων; διατί οὖν αὐτοὺς μὴ ἐπῄνεσε; διατί μὴ ἐθαύμασεν; ὁμοῦ μὲν τὸ τῷ διδασκάλῳ πρέπον ἀξίωμα τηρῶν, ὁμοῦ δὲ δεικνὺς ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι ἔδει τοῦ τρόπου. Εἰ μὲν γὰρ ἐπῄνεσε, νομίζοντες αὐτῷ χάριν διδόναι, κἂν ἔπαθόν τι ἀνθρώπινον· τῷ δὲ δεικνύναι μὴ δεόμενον αὐτὸν τῆς ἀκολουθήσεως αὐτῶν, κατεῖχε μᾶλλον. καὶ ὅρα πῶς αὐτὸ συνετῶς εἴρηκεν. οὐ γὰρ εἶπεν, ἀπέλθετε (τοῦτο γὰρ ἀπωθουμένου ἦν) ἀλλ' ἐρωτᾷ λέγων, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ὅπερ πᾶσαν ἦν ἀφαιροῦντος βίαν καὶ ἀνάγκην, καὶ οὐ βουλομένου αἰδοῖ τινι προσηρτῆσθαι, ἀλλὰ μετὰ τοῦ χάριν εἰδέναι. τῷ δὲ μήτε ἐκείνων κατηγορῆσαι φανερῶς, ἀλλ' ἠρέμα καθάψασθαι, ἔδειξεν ὅπως δεῖ φιλοσοφεῖν ἐν τοῖς τοιούτοις. ἡμεῖς δὲ τοὐναντίον πάσχομεν· εἰκότως, ἐπειδὴ τῆς οἰκείας ἐχόμενοι δόξης, ἅπαντα πράττομεν. διὸ καὶ ἐλαττοῦσθαι νομίζομεν τὰ ἡμέτερα διὰ τῆς ἀναχωρήσεως τῶν θεραπευόντων. αὐτὸς δὲ οὔτε ἐκολάκευσεν, οὔτε διεκρούσατο· ἀλλ' ἠρώτησεν. οὐκ ἄρα καταφρονοῦντος ἦν, ἀλλὰ μὴ βουλομένου βίᾳ καὶ ἀνάγκῃ κατέχεσθαι. τὸ γὰρ οὕτω μένειν, ἴσον ἐστὶ τῷ ἀπελθεῖν. τί οὖν ὁ Πέτρος;

68 Πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις.

69 Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

Ὁρᾷς ὅτι οὐ τὰ ῥήματα ἦν τὰ σκανδαλίζοντα, ἀλλ' ἡ ἀπροσεξία καὶ [ἡ] ῥᾳθυμία καὶ ἀγνωμοσύνη τῶν ἀκουόντων; καὶ γὰρ καὶ εἰ μὴ εἶπεν, ἐσκανδαλίσθησαν ἂν, καὶ οὐκ ἂν ἐπαύσαντο τροφῇ προσέχοντες ἀεὶ σωματικῇ, καὶ τῇ γῇ προσηλωμένοι. ἄλλως δὲ, καὶ οὗτοι μετ

ἐκείνων ἤκουον," ἀλλ' ὅμως τἀναντία ἐκείνων ἀπεφήναντο, λέγοντες· πρὸς τίνα ἀπελευσόμεθα; πολλῆς τὸ ῥῆμα φιλοστοργίας ἐμφαντικόν. δείκνυσι γὰρ ὅτι πάντων αὐτοῖς ἐστιν ὁ "διδάσκαλος τιμιώτερος, καὶ πατέρων, καὶ μητέρων, καὶ τῶν ὄντων ἁπάντων, καὶ ἀποστάντας αὐτοῦ οὐκ ἔνι λοιπὸν ποῦ καταφυγεῖν. εἶτα, ἵνα μὴ δοκῇ τό, πρὸς τίνα ἀπελευσόμεθα, διὰ τοῦτο" εἰρηκέναι αὐτοῦ, ὡς οὐκ ὄντων τῶν ὑποδεξαμένων αὐτούς, εὐθέως ἐπήγαγε· ῥήματα ζωῆς αἰωνίου ἔχεις. οἱ μὲν γὰρ σαρκικῶς καὶ μετὰ λογισμῶν ἀνθρωπίνων ἤκουον, οὗτοι δὲ πνευματικῶς, καὶ τῇ πίστει τὸ πᾶν ἐπιτρέποντες. διὸ καὶ ὁ Χριστὸς ἔλεγε· πνεῦμά ἐστι τὰ ῥήματα, ἃ λελάληκα ὑμῖν· τουτέστι, μὴ ὑπολάβῃς τῇ τῶν πραγμάτων ἀκολουθίᾳ καὶ τῇ τῶν γινομένων ἀνάγκῃ τῶν ῥημάτων τῶν ἐμῶν τὴν διδασκαλίαν ὑποκεῖσθαι. οὐ τοιαῦτα τὰ πνευματικά· οὐκ ἀνέχεται δουλεύειν νόμοις τοῖς ἐπὶ γῆς. τοῦτο καὶ Παῦλος δηλοῖ, λέγων· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ῥήματα ζωῆς αἰωνίου ἔχεις. ἤδη τὴν ἀνάστασιν οὗτοι προσεδέξαντο, καὶ τὴν ἐκεῖ λῆξιν ἅπασαν. ὅρα δὲ τὸ φιλάδελφον, καὶ φιλόστοργον, πῶς ὑπὲρ πάντων ἀπολογεῖται τοῦ χοροῦ. οὐ γὰρ εἶπεν, ἔγνωκα, ἀλλ' ἐγνώκαμεν· μᾶλλον δὲ σκόπει πῶς ἐπ' αὐτὴν ἔρχεται τὴν ῥημάτων τοῦ διδασκάλου, οὐ τὰ αὐτὰ τοῖς Ἰουδαίοις φθεγγόμενος. οἱ μὲν γὰρ ἔλεγον· οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ· οὗτος δέ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ὅτι ῥήματα ζωῆς αἰωνίου ἔχεις, τάχα πολλάκις ἀκούσας αὐτοῦ* λέγοντος, ὅτι ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἔδειξε γὰρ ὅτι πάντα κατέχει τὰ εἰρημένα, αὐτοῦ ἀναμνήσας τῶν ῥημάτων. τί οὖν ὁ Χριστός; οὐκ ἐπῄνεσε τὸν Πέτρον, οὐδὲ ἐθαύμασε, καίτοι ἀλλαχοῦ τοῦτο ποιήσας· ἀλλὰ τί φησιν;

χ. καὶ πάσ

χ. Χριστὸς

χ. εἰρῆσθαι,

Ρωμ. ι. ς.

* τοῦ διδασκά λου

.70 Οὐχὶ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν;

Ἐπειδὴ γὰρ εἶπε, καὶ ἡμεῖς πεπιστεύκαμεν, ἐξαιρεῖ τοῦ χοροῦ τὸν Ἰούδαν. ἐκεῖ μὲν" γὰρ οὐδὲν περὶ τῶν μαθητῶν αὐτὸς εἶπε, ἀλλὰ τοῦ Χριστοῦ εἰπόντος· ὑμεῖς δὲ τίνα με λέγετε; φησί, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ἐνταῦθα δὲ ἐπειδὴ εἶπε, καὶ ἡμεῖς πεπιστεύκαμεν, εἰκότως οὐκ ἀφίησι τὸν Ἰούδαν εἰς τὸν ἐκείνων χορόν. τοῦτο δὲ ἐποίει πόρρωθεν καὶ ἄνωθεν τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος, εἰδὼς μὲν ὅτι οὐδὲν ὀνήσει, τὸ δὲ ἑαυτοῦ πράττων. καὶ θέα τὴν σοφίαν· οὔτε αὐτὸν φανερὸν ἐποίησεν, οὔτε λαθεῖν εἴασεν· ἐκεῖνο μέν, ἵνα μὴ ἀναισχυντήσῃ καὶ φιλονεικότερος γένηται· τοῦτο δέ, ἵνα μὴ νομίζων λανθάνειν, ἀδεῶς ἐργάσηται τὸ τόλμημα. διὸ καὶ προϊὼν φανερωτέρους ἐπάγει τοὺς ἐλέγχους. πρότερον μὲν γὰρ καὶ αὐτὸν μετὰ τῶν ἄλλων ἠρίθμησεν, εἰπών, ὅτι εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν (ὅτι δὲ καὶ τὸν προδότην ἠρίθμησεν, ἐδήλωσεν εἰπὼν ὁ εὐαγγελιστής· ᾔδει γὰρ ἐξ ἀρχῆς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν) ἐπειδὴ δὲ ἐνέμεινε, σφοδρότερον ἐπάγει τὸν ἔλεγχον, εἷς ἐξ ὑμῶν διάβολός ἐστι, καὶ κοινὸν πᾶσι τὸν φόβον καθίστησιν, ἐκεῖνον συσκιάσαι βουλόμενος. ἄξιον δὲ ἐνταῦθα διαπορῆσαι, τί δήποτε νῦν μὲν οὐδὲν λέγουσιν οἱ μαθηταί, ὕστερον δὲ δεδοίκασι καὶ διαποροῦνται πρὸς ἀλλήλους ὁρῶντες καὶ πυνθανόμενοι, μή τι ἐγώ εἰμι Κύριε; καὶ τῷ Ἰωάννῃ ὁ Πέτρος ἐννεύει μαθεῖν τὸν προδότην καὶ πυθέσθαι τοῦ διδασκάλου τίς ἐστι;" τί ποτε οὖν ἐστι τὸ αἴτιον; οὔπω ἦν ὁ Πέτρος ἀκούσας, ὕπαγε ὀπίσω μου Σατανᾶ, διὰ τοῦτο οὐδέ τι δέος εἶχεν· ἐπειδὴ δὲ ἐπετιμήθη, καὶ ἀπὸ πολλῆς διαθέσεως εἰπὼν οὐκ εὐδοκίμησεν, ἀλλὰ καὶ Σατανᾶς ἤκουσεν, ἀκούων ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, εἰκότως λοιπὸν ἔδεισεν." ἄλλως δέ, οὐδὲ νῦν φησιν, εἷς ἐξ ὑμῶν παραδώσει με, ἀλλ' εἷς ἐξ ὑμῶν διάβολός ἐστι. διόπερ οὐδὲ ᾔδεσαν τὸ λεγόμενον, ἀλλὰ πονηρίας ᾤοντο σκώπτεσθαι μόνον. τί δήποτε δὲ τό, οὐχὶ ἐγὼ ὑμᾶς, εἶπε, τοὺς δώδεκα ἐξελεξάμην, καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστι; κολακείας ἀπηλλαγμένην αὐτοῦ τὴν διδασκαλίαν δεικνύς*. ἐπειδὴ γὰρ

χ. οὖν

χ. ἀκούσας φησὶν ὁ ἀ

χ. μήποτε ἐστὶ τὸ αἴτιον

χ. καὶ νῦν λέγει, εἷς

* τὸ φησ

γὰρ πάντων αὐτὸν ἐγκαταλειψάντων αὐτοὶ παρέμειναν μόνοι, καὶ διὰ τοῦ Πέτρου ὡμολόγουν εἶναι Χριστόν, ἵνα μὴ νομίσωσιν ὅτι διὰ τοῦτο ἔμελλεν αὐτοὺς κολακεύειν, ἀπάγει ταύτης τῆς ὑποψίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδέν με δυσωπεῖ πρὸς τὸ τοὺς κακοὺς μὴ ἐλέγχειν. μὴ νομίσητε ὅτι ἐπειδὴ ἐπεμείνατε, κολακεῦσαι ὑμᾶς αἱρήσομαι, ἢ ἐπειδὴ ἠκολουθήσατε, οὐκ ἐλέγξω τοὺς πονηρούς. ὃ γὰρ πολὺ τούτου μεῖζόν ἐστιν εἰς τὸ δυσωπῆσαι τὸν διδάσκαλον, οὐδὲ τοῦτό με δυσωπεῖ. ὁ μὲν γὰρ παραμένων, τῆς αὐτοῦ φιλοστοργίας παρέχεται τεκμήριον· ὁ δὲ ἐκλεγεὶς παρὰ τοῦ διδασκάλου, περιάπτει δόξαν ἀνοίας, ἐκειπλύμενος, παρὰ τοῖς ἀνοήτοις. ἀλλ' ὅμως οὐδὲ τοῦτό με ἀπάγει τῶν ἐλέγχων. τοῦτο γοῦν καὶ νῦν ἐγκαλοῦσι τῷ Χριστῷ Ἕλληνες ψυχρῶς καὶ ἀνοήτως. οὐ γὰρ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν ἀγαθοὺς εἴωθεν ὁ Θεός, οὐδὲ ἡ ἐκλογὴ αὐτοῦ καὶ ἡ αἵρεσις βιαστικὴ τῶν καλουμένων ἐστίν, ἀλλὰ προτρεπτική. καὶ ἵνα μάθῃς, ὅτι οὐ βιάζεται ἡ κλῆσις, σκόπει πόσους συνέβη τῶν κληθέντων ἀπολέσθαι. ὅθεν φανερόν, ὅτι καὶ ἐν τῇ γνώμῃ κεῖται τῇ ἡμετέρᾳ, τὸ σωθῆναι καὶ ἀπολέσθαι.

Ταῦτα οὖν ἀκούοντες παιδευώμεθα νήφειν ἀεὶ καὶ ἐγρηγορέναι. εἰ γὰρ ὁ εἷς τῶν ἁγίων ἐκείνων χορὸν τελῶν, ὁ τοσαύτης ἀπολελαυκὼς δωρεᾶς, ὁ σημεῖα πεποιηκώς (καὶ γὰρ καὶ αὐτὸς μετὰ τῶν ἄλλων ἦν τῶν πεμφθέντων νεκροὺς ἐγεῖραι καὶ λεπροὺς καθαρίσαι) ἐπειδὴ ἑάλω νοσήματι [δεινῷ τῷ] τῆς φιλαργυρίας κακῷ, καὶ τὸν δεσπότην τὸν ἑαυτοῦ προὔδωκεν, οὐδὲν αὐτὸν ὠφέλησεν, οὔτε αἱ εὐεργεσίαι, οὐχ αἱ δωρεαί, οὐ τὸ μετ' αὐτοῦ εἶναι, οὐ θεραπεία, οὐ τὸ τοὺς πόδας νίψαι, οὐ τὸ τῆς τραπέζης κοινωνῆσαι, οὐ τὸ γλωσσόκομον κατέχειν, ἀλλὰ καὶ ἐφόδια αὐτῷ ταῦτα κολάσεως γέγονε. φοβηθῶμεν καὶ ἡμεῖς, μή ποτε τὸν Ἰούδαν μιμησώμεθα διὰ τῆς φιλαργυρίας. οὐ προδίδως τὸν Χριστόν; ἀλλ' ὅταν περιίδῃς πένητα λιμῷ τηκόμενον, ἢ ὑπὸ ψύχους διαφθειρόμενον, τὴν αὐτὴν καὶ αὐτὸς ἐφέλκῃ καταδίκην· καὶ ὅταν ἀναξίως μετέχωμεν τῶν μυστηρίων, ὁμοίως ἀπολλύμεθα τοῖς χριστοκτόνοις. ὅταν ἁρπάζωμεν, ὅταν ἄγχωμεν τοὺς καταδεεστέρους, μεγίστην ἐπισπασόμεθα τὴν τιμωρίαν. καὶ μάλα εἰκότως. μέχρι γὰρ τίνος ὁ ἔρως ἡμᾶς οὗτος κατέχει τῶν παρόντων πραγμάτων τῶν περιττῶν καὶ ἀνονήτων; ὁ γὰρ πλοῦτος ἐν τοῖς περιττοῖς, ἐν οἷς οὐδὲν ὄφελος γίνεται. μέχρι τίνος προσηλώμεθα τοῖς ματαίοις; μέχρι τίνος οὐ διαβλέπομεν ἐν τοῖς οὐρανοῖς; οὐ νήφομεν; οὐ λαμβάνομεν κόρον τῶν γηΐνων τούτων καὶ παραρρεόντων; οὐ παιδευόμεθα διὰ τῆς πείρας αὐτῶν τὴν εὐτέλειαν; ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν πλουτήσαντας· οὐχὶ ὄναρ πάντα ἐκεῖνα; οὐχὶ σκιὰ καὶ ἄνθος; [οὐ ῥεῦμα παραρρέον;] οὐχὶ διήγημα καὶ μῦθος; ὁ δεῖνα πεπλούτηκε· καὶ ποῦ νῦν ὁ πλοῦτος; ἀπώλετο καὶ διέφθαρται· ἀλλὰ τὰ δι' αὐτὸν ἁμαρτήματα διαμένει, καὶ ἡ διὰ τὰ ἁμαρτήματα κόλασις. μᾶλλον δέ, εἰ μὴ κόλασις ἦν, μηδὲ βασιλεία προὔκειτο, τὸν ὁμόφυλον καὶ τὸν ὁμογενῆ αἰδεσθῆναι ἐχρῆν, τὸν ὁμοιοπαθῆ δυσωπηθῆναι. νῦν δὲ κύνας μὲν τρέφομεν· πολλοὶ δὲ καὶ ὀνάγρους καὶ ἄρκτους, καὶ διάφορα θηρία· ἄνθρωπον δὲ περιορῶμεν λιμῷ τηκόμενον, καὶ τιμιώτερον ἡμῖν τὸ ἀλλότριον τοῦ συγγενοῦς, καὶ ἀτιμότερον ἡμῖν τὸ οἰκεῖον τοῦ μὴ ὄντος οὐδὲ προσήκοντος. ἀλλ' οἰκοδομεῖσθαι λαμπρὰς οἰκίας, καὶ πολλοὺς ἔχειν οἰκέτας, καὶ εἰς χρυσοῦν ὄροφον κατακειμένους ὁρᾶν καλόν; περιττὸν μὲν οὖν καὶ ἀνόνητον. ἔστι γὰρ ἄλλα οἰκοδομήματα, λαμπρότερα πολλῷ καὶ σεμνότερα τούτων. ἐπὶ τοῖς τοιούτοις εὐφραίνειν τοὺς ὀφθαλμοὺς ἀναγκαῖον. ὁ γὰρ κωλύσων οὐδείς. βούλει κάλλιστον ὄροφον ἰδεῖν; ἑσπέρας καταλαβούσης, ἴδε κατηστερισμένον τὸν οὐρανόν. ἀλλ' οὐκ ἔστιν ἐμὸς ὄροφος, φησί. καὶ μὴν οὗτος μᾶλλον σός, ἢ ἐκεῖνος. καὶ γὰρ διὰ σὲ γέγονε, καὶ κοινός σοι μετὰ τῶν ἀδελφῶν ἐστιν· ἐκεῖνος δὲ οὐ σός, ἀλλὰ τῶν μετὰ τὴν τελευτὴν κληρονομούντων. καὶ ὁ μὲν τὰ μέγιστα ὀφελῆσαι δυνήσεται, διὰ τοῦ κάλλους πρὸς τὸν δημιουργὸν παραπέμπων· ἐκεῖνος δὲ τὰ μέγιστά σε καταβλάψει, κατήγορός σου μέγιστος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως γινόμενος, ὅταν αὐτὸς μὲν χρυσῷ περιβεβλημένος ᾖ, ὁ δὲ Χριστὸς μηδὲ ἀναγκαῖον ἔχων ἱμάτιον. μὴ δὴ τοσαύτην ἄνοιαν ὑπομένωμεν· μηδὲ διώκωμεν

ΗΘΙΚΟΝ

μεν τὰ φεύγοντα, καὶ φεύγωμεν τὰ μένοντα· μηδὲ προδῶμεν ἡμῶν τὴν σωτηρίαν, ἀλλ' ἀντεχώμεθα τῆς μενούσης ἐλπίδος, οἱ μὲν γεγηρακότες, ἅτε εἰδότες φανερῶς, ὅτι ὀλίγος ἡμῖν ὑπολείπεται τῆς ζωῆς χρόνος· οἱ δὲ νέοι, ἅτε πεπεισμένοι σαφῶς, ὅτι οὐ πολὺ τὸ λειπόμενον. ὡς γὰρ κλέπτης ἐν νυκτὶ, οὕτως ἡ ἡμέρα ἐκείνη ἔρχεται. ταῦτ' οὖν εἰδότες, καὶ γυναῖκες ἄνδρας παρακαλῶμεν, καὶ ἄνδρες γυναῖκας νουθετῶμεν, καὶ νεωτέρους καὶ παρθένους διδάσκωμεν, καὶ πάντες ἀλλήλους παιδεύωμεν, τῶν μὲν παρόντων ὑπερορᾶν, τῶν δὲ μελλόντων ἐφίεσθαι, ἵνα καὶ τυχεῖν αὐτῶν δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, [δι' οὗ καὶ] μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ζ.

Ὁμιλ. μη. 1 ΚΑΙ ΠΕΡΙΕΠΑΤΕΙ Ο ΙΗΣΟΥΣ ΜΕΤΑ ταῦτα ἐν τῇ Γαλιλαίᾳ. οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. 2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ σκηνοπηγία.

Οὐδὲν φθόνου χεῖρον καὶ βασκανίας· οὕτως ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. ἐπειδὴ γὰρ εἶδεν ὁ διάβολος τὸν ἄνθρωπον τιμώμενον, οὐκ ἐνεγκὼν τὴν εὐημερίαν, πάντα ἔπραττεν ὥστε αὐτὸν ἀνελεῖν. καὶ πανταχοῦ τῆς ῥίζης ταύτης τοῦτον ἴδοι τις ἂν τὸν καρπὸν γινόμενον. οὕτω καὶ Ἄβελ ἐσφάγη, οὕτω καὶ Δαβὶδ ἔφυγεν, οὕτω καὶ ἄλλοι πολλοὶ τῶν δικαίων· ἐντεῦθεν καὶ Ἰουδαῖοι χριστοκτόνοι γεγόνασι. καὶ τοῦτο δηλῶν ὁ εὐαγγελιστὴς ἔλεγε· μετὰ ταῦτα περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ. οὐ γὰρ εἶχεν ἐξουσίαν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. τί λέγεις, ὦ μακάριε Ἰωάννη; οὐκ εἶχεν ἐξουσίαν ὁ δυνηθεὶς πάντα ὅσα ἠθέλησεν; ὁ εἰπὼν, τίνα ζητεῖτε, καὶ ῥίψας αὐτοὺς εἰς τὰ ὀπίσω; ὁ παρὼν καὶ μὴ ὁρώμενος, πῶς οὐκ εἶχεν ἐξουσίαν; πῶς δὲ καὶ ὕστερον εἰς μέσον αὐτῶν παρελθὼν, ἐν μέσῳ τῷ ἱερῷ, ἐν μέσῃ τῇ ἑορτῇ, συνόδου οὔσης, καὶ τῶν φονώντων παρόντων, διελέγετο ταῦτα, ἃ μᾶλλον αὐτοὺς παρώξυνε; τοῦτο γοῦν καὶ ἐθαύμαζον λέγοντες, οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ" λέγουσι. τίνα" δὴ ἐστι ταῦτα τὰ αἰνίγματα;" ἄπαγε· οὐχ ἵνα αἰνίγματα λέγειν νομισθῇ, οὕτως εἶπεν, ἀλλ' ἵνα δηλώσῃ ὅτι καὶ τὰ τῆς θεότητος ἐπεδείκνυτο, καὶ τὰ τῆς ἀνθρωπότητος. ὅταν μὲν γὰρ λέγῃ, ὅτι ἐξουσίαν οὐκ εἶχεν, ὡς περὶ ἀνθρώπου διαλέγεται, πολλὰ καὶ ἀνθρωπίνως ποιοῦντος· ὅταν δὲ λέγῃ, ὅτι ἐν μέσοις αὐτοῖς εἱστήκει, καὶ οὐ κατεῖχον αὐτὸν, τῆς θεότητος τὴν δύναμιν ἐνδείκνυται ἡμῖν. καὶ γὰρ ἔφευγεν ὡς ἄνθρωπος, καὶ ἐφαίνετο ὡς Θεός· ἀμφότερα ἀληθεύων. τό τε γὰρ ἐν μέσοις ὄντα τοῖς ἐπιβουλεύουσι μὴ κατέχεσθαι, τὸ ἀκαταγώνιστον αὐτοῦ καὶ ἄμαχον ἐδήλου· τό τε ὑποστέλλεσθαι, τὴν οἰκονομίαν ἐβεβαίου καὶ ἐπιστοῦτο, ἵνα μήτε Παῦλος ὁ Σαμοσατεὺς ἔχῃ τι λέγειν, μήτε Μαρκίων καὶ οἱ τὰ ἐκείνων νοσοῦντες. διὰ τούτου τοίνυν" πάντων ἐμφράττει τὰ στόματα. μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία. τὸ, μετὰ ταῦτα, οὐδὲν ἄλλο δηλοῖ, ἢ ὅτι πολὺν μεταξὺ χρόνον ἐπιτεμὼν ὑπερεπήδησε. καὶ τοῦτο δῆλον ἐκεῖθεν." ὅτε γὰρ εἰς τὸ ὄρος ἐκάθητο, φησιν, ἦν ἡ ἑορτὴ τοῦ πάσχα· ἐνταῦθα δὲ τῆς σκηνοπηγίας μέμνηται, καὶ ἐν τοῖς πέντε μησὶν οὐδὲν ἕτερον ἡμῖν διηγήσατο, οὔτε ἐδίδαξεν ἡμᾶς ἄλλο τι, ἢ τὸ κατὰ τοὺς ἄρτους σημεῖον, καὶ τὴν πρὸς τοὺς φαγόντας γενομένην δημηγορίαν· καίτοι αὐτὸς οὐ διελίμπανε σημεῖα ποιῶν, καὶ διαλεγόμενος, οὐκ ἐν ἡμέρᾳ, οὐκ ἐν ἑσπέρᾳ, πολλάκις δὲ καὶ νυκτός. τοῖς γοῦν μαθηταῖς οὕτως ἐπέστη, ὡς πάντες φασὶν οἱ εὐαγγελισταί. τί δήποτε οὖν παρέλιπον ἐκεῖνο; ὅτι οὐκ ἐνῆν ἅπαντα καταλέγειν.

ἄλλως

γρ. ποιοῦσι.
γρ. οὖν
γρ. οὐκ ἔστιν
νίγματα, μ
γένοιτο, ἀ
ἐκεῖνό ἐστιν
πεῖν, ὅτι καὶ

γρ. ἀμφοτέ
ἐμφ.

γρ. ὅτι μὲν
καθήμενον
αὐτὸν εἰς
ὄρος ἐδεί
φησὶν, ἦν

ἄλλως δὲ, καὶ ταῦτα λέγειν ἐσπουδάκασιν, ὑπὲρ ὧν ἡ μέμψις, ἢ ἀντιλογία τις παρὰ τῶν Ἰουδαίων παρηκολουθήκει. ἐκείνοις μὲν γὰρ πολλὰ ὅμοια ἦν. καὶ γὰρ ὅτι νοσοῦντας ἐθεράπευσε, καὶ νεκροὺς ἤγειρε, καὶ ὅτι ἐθαυμάσθη, πολλάκις ἀνέγραψαν· ἔνθα δὲ ξένον ἔχουσι λέγειν τι, ἢ μέμψιν τινὰ δοκοῦσαν κατ' αὐτοῦ φέρεσθαι διηγεῖσθαι, ταῦτα τιθέασιν· οἷον δὴ καὶ τὸ νῦν ἐστιν, ὅτι οἱ ἀδελφοὶ αὐτοῦ ἠπίστουν αὐτῷ. καὶ γὰρ οὐ τὴν τυχοῦσαν ἔχει διαβολὴν τὸ πρᾶγμα· καὶ ἄξιον θαυμάσαι τὸ φιλάληθες αὐτῶν ἦθος, πῶς οὐκ αἰσχύνονται λέγοντες ταῦτα, ἃ δοκεῖ τῷ διδασκάλῳ φέρειν αἰσχύνην· ἀλλὰ καὶ ταῦτα μάλιστα τῶν ἄλλων ἐσπουδάκασιν ἀπαγγέλλειν. καὶ νῦν γοῦν πολλὰ παραδραμόντες [καὶ] σημεῖα, καὶ θαύματα, καὶ δημηγορίας, ἐπὶ τοῦτο εὐθέως ἐπεπήδησεν.

3 Εἶπον γὰρ, φησὶ, πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· μετάβηθι ἐντεῦθεν εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖς.

4 Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. Φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Καὶ ποία, φησὶν, ἀπιστία ἐνταῦθα; παρακαλοῦσι γὰρ αὐτὸν θαυματουργῆσαι. πολλὴ σφόδρα. ἀπιστίας γὰρ καὶ τὰ ῥήματα, καὶ ἡ θρασύτης, καὶ ἡ ἄκαιρος παρρησία. ᾤοντο γὰρ ἀπὸ τῆς συγγενείας ἐξεῖναι αὐτοῖς μετὰ παρρησίας διαλέγεσθαι. καὶ δοκεῖ μὲν ἡ ἀξίωσις δῆθεν φίλων εἶναι· πολλῆς δὲ πονηρίας ἦν τὰ λεγόμενα. ἐνταῦθα γὰρ αὐτῷ καὶ δειλίαν καὶ φιλοδοξίαν ὀνειδίζουσι. τὸ μὲν οὖν εἰπεῖν, οὐδείς τι ἐν κρυπτῷ ποιεῖ, δειλίαν ἐγκαλούντων ἐστὶν, ἅμα καὶ ὑποπτευόντων τὰ γινόμενα ὑπ' αὐτοῦ, ὡς οὐκ ἀληθῶς γινόμενα· τὸ δὲ ἐπαγαγεῖν, ὅτι ζητεῖ ἐν παρρησίᾳ εἶναι, φιλοδοξίας. σὺ δέ μοι σκόπει τοῦ Χριστοῦ τὴν δύναμιν. ἀπὸ γὰρ τούτων τῶν ταῦτα λεγόντων τὰ ῥήματα ὁ πρῶτος τῶν Ἱεροσολύμων ἐπίσκοπος γέγονεν, ὁ μακάριος Ἰάκωβος, περὶ οὗ καὶ Παῦλός φησιν· Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· Γαλ. α. ιθ. λέγεται δὲ καὶ ὁ Ἰούδας θαυμαστός τις γεγονέναι. καίτοιγε οὗτοι καὶ ἐν Κανᾶ παρῆσαν τοῦ οἴνου γινομένου· ἀλλ' οὐδὲν ἀπώναντο τέως. πόθεν οὖν αὐτοῖς ἡ τοσαύτη ἀπιστία; ἀπὸ πονηρᾶς γνώμης καὶ φθόνου. τὸ γὰρ συγγενὲς ὑπερέχον εἴωθέ πως διαφθονεῖσθαι παρὰ τῶν οὐ τοιούτων. τίνας δὲ ἐνταῦθα λέγουσι τοὺς μαθητάς; τὸν ὄχλον τὸν παρεπόμενον, οὐ τοὺς δώδεκα. τί οὖν ὁ Χριστός; ὅρα πῶς προσηνῶς ἀπεκρίνατο. οὐ γὰρ εἶπεν, ὑμεῖς δὲ τίνες ἐστὲ ταῦτα συμβουλεύοντες καὶ διδάσκοντες; ἀλλὰ τί;

6 Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν. Ἐνταῦθά μοι δοκεῖ καὶ ἕτερόν τι αἰνίττεσθαι. ἴσως γὰρ αὐτὸν καὶ παραδοῦναι ἐβούλοντο, βασκαίνοντες, τοῖς Ἰουδαίοις. διὸ καὶ τοῦτο ἐμφαίνων φησὶν, ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστι· τουτέστιν, ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου. τί πρὸ καιροῦ κατεπείγετε ἀνελεῖν; Ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτε ἕτοιμός ἐστιν. Ὡσεὶ ἔλεγεν· ὑμεῖς κἂν ἀεὶ συνῆτε τοῖς Ἰουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς, τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς· ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν. ὥστε ὑμῖν μὲν ἀεὶ καὶ καιρὸς συνεῖναι μὴ κινδυνεύουσιν· ἐμοὶ δὲ τότε καιρὸς, ὅταν ὁ τοῦ σταυροῦ καιρὸς ἐπιστῇ, ὅταν δέῃ ἀποθανεῖν. καὶ γὰρ ὅτι τοῦτο λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν· — — — —

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς. Πῶς γὰρ τοὺς τὰ αὐτὰ βουλομένους καὶ ὑπὲρ τῶν αὐτῶν τρέχοντας; Ἐμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτὸν, ὅτι πονηρὰ εἰσὶν αὐτοῦ τὰ ἔργα· Τουτέστιν, ὅτι καθάπτομαι καὶ ἐλέγχω, διὰ τοῦτο μισοῦμαι. ἀπὸ τούτων παιδευώμεθα κρατεῖν ὀργῆς, καὶ μὴ ἀπαξιοπαθεῖν, κἂν εὐτελεῖς ὦσιν οἱ συμβουλεύοντες. εἰ γὰρ τοὺς οὐ πιστεύοντας ὁ Χριστὸς συμβουλεύοντας ἤνεγκε πρᾴως, καὶ συμβουλεύοντας τὰ μὴ [δέοντα, καὶ συμβουλεύοντας τὰ οὐκ] ἀπὸ προαιρέσεως ἀγαθῆς, τίνος ἡμεῖς τευξόμεθα συγγνώμης, γῆ καὶ σποδὸς ὄντες, καὶ πρὸς τοὺς συμβουλεύοντας δυσχεραίνοντες, κἂν ὀλίγῳ εὐτελέστεροι

τελέσεσθαι ἢ οὕτω ποιοῦντες ὦσιν, ἀλλ' ἄξιον ἑαυτοῦ ἡγούμενοι τοῦτο; σκόπει γοῦν πῶς μετὰ πρᾳότητος πάσης ἀποκρούεται τὴν κατηγορίαν. εἰπόντων γὰρ ἐκείνων, φανέρωσον σεαυτὸν τῷ κόσμῳ, αὐτός φησιν· οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ ὁ κόσμος μισεῖ, ἀναιρῶν αὐτῶν τὴν κατηγορίαν. τοσοῦτον γὰρ ἀπέχω, φησί, ζητεῖν τὴν παρὰ ἀνθρώπων δόξαν, ὅτι οὐ διαλιμπάνω ἐλέγχων αὐτούς, καὶ ταῦτα εἰδὼς μῖσος ἐκ τούτου τικτόμενον, καὶ θάνατον κατασκευαζόμενον. καὶ ποῦ ἤλεγξε, φησί; πότε γὰρ ἐπαύσατο τοῦτο ποιῶν; οὐχὶ ἔλεγε· μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα; ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς. καί, ἐγὼ ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε. καί, πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; εἶδες πῶς ἔδειξε διὰ πάντων, ὅτι τὸ πρὸς αὐτὸν μῖσος ἐποίει ὁ ἔλεγχος ὁ πεπαρρησιασμένος, οὐχ ἡ τοῦ σαββάτου λύσις; τί δήποτε δὲ αὐτοὺς πέμπει εἰς τὴν ἑορτήν, λέγων·

8 Ἀνάβητε εἰς τὴν ἑορτήν, ἐγὼ οὐκ ἀναβαίνω ἄρτι; Δεικνὺς ὅτι ταῦτα εἶπεν, οὐχὶ δεόμενος αὐτῶν, οὐδὲ κολακεύεσθαι θέλων, ἀλλὰ συγχωρῶν τὰ Ἰουδαϊκὰ ποιεῖν. πῶς οὖν, φησιν, ἀνέβη, εἰπὼν οὐκ ἀναβαίνω; οὐκ εἶπε, καθάπαξ οὐκ ἀναβαίνω· ἀλλά, νῦν· τουτέστι, μεθ' ὑμῶν. Ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. Καὶ μὴν τῷ μέλλοντι πάσχα σταυροῦσθαι ἔμελλε. πῶς οὖν οὐκ ἀνέβη καὶ αὐτός; εἰ γὰρ ἐπειδὴ ὁ καιρὸς οὔπω παρῆν, διὰ τοῦτο οὐκ ἀνέβη, ἐχρῆν μηδὲ ὅλως ἀναβῆναι. ἀλλ' οὐ διὰ τοῦτο ἀνέβαινεν, ἵνα πάθῃ, ἀλλ' ἵνα αὐτοὺς παιδεύσῃ. τίνος δὲ ἕνεκεν λάθρα; καὶ γὰρ ἐδύνατο φανερῶς ἀνελθὼν ἐν τῷ μέσῳ τε εἶναι, καὶ κατέχειν αὐτῶν τὴν ὁρμὴν τὴν ἄτακτον, ὃ πολλάκις ἐποίησεν. ἀλλ' οὐκ ἐβούλετο συνεχῶς τοῦτο ποιεῖν. εἰ γὰρ ἀνῆλθε φανερῶς καὶ πάλιν αὐτοὺς ἐπήρωσε, μειζόνως ἂν τὴν ἑαυτοῦ θεότητα διαλάμπειν ἐποίει, ὃ τέως οὐκ ἔδει, καὶ μᾶλλον αὐτὴν ἐξεκάλυψεν. ἐπειδὴ δὲ ἐνόμιζον ἐκεῖνοι δειλίας εἶναι τὸ μένειν, δείκνυσιν αὐτὸς τοὐναντίον, καὶ θάρσους ὂν καὶ οἰκονομίας· καὶ ὅτι τὸν καιρὸν προειδὼς καθ' ὃν πείσεται, ὅτε λοιπὸν ἐπιστῇ, τότε μάλιστα βουλήσεται εἰς τὰ Ἱεροσόλυμα ἀναβῆναι. ἐμοὶ δὲ δοκεῖ καὶ διὰ τοῦ εἰπεῖν, ἀνάβητε ὑμεῖς, τοῦτο λέγειν, μὴ νομίσητε, ὅτι ἀναγκάζω ὑμᾶς σὺν ἐμοὶ μένειν μὴ βουλομένους· τὸ δὲ ἐπάγειν, οὔπω πεπλήρωται ὁ καιρὸς μου, δηλοῦντός ἐστιν, ὅτι ἔδει καὶ σημεῖα γενέσθαι, καὶ δημηγορίας λεχθῆναι, ὥστε καὶ ὄχλους πιστεῦσαι πλείονας, καὶ τοὺς μαθητὰς στερροτέρους γενέσθαι, τὴν παρρησίαν ὁρῶντας τοῦ διδασκάλου καὶ ἅπερ ἔπαθε.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν αὐτοῦ ἀπὸ τῶν εἰρημένων τὴν ἐπιείκειαν, τὴν πρᾳότητα· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ πᾶσαν πικρίαν ἐκβάλωμεν. κἂν ἐπαίρηταί τις καθ' ἡμῶν, ἡμεῖς ταπεινοὶ γινώμεθα· κἂν θρασύνηταί τις, θεραπεύσωμεν· κἂν δάκνῃ καὶ κατεσθίῃ σκώπτων καὶ κωμῳδῶν, ἡμεῖς μὴ νικώμεθα, μὴ ἀμυνόμενοι ἑαυτοῖς ἀνέλωμεν ἑαυτούς. καὶ γὰρ θηρίον ἐστὶν ὁ θυμός, θηρίον ὀξὺ καὶ θερμόν. ἐπᾴδωμεν τοίνυν ἑαυτοῖς τὰς ἀπὸ τῆς θείας γραφῆς ἐπῳδάς, καὶ λέγωμεν, Ὅτι γῆ εἶ καὶ σποδός· καί, Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καί, Ὅτι ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις αὐτῷ· καί, Ὅτι ἀνὴρ θυμώδης, οὐκ εὐσχήμων. οὐδὲν γὰρ αἰσχρότερον ὄψεως θυμουμένης, οὐδὲν δυσειδέστερον· εἰ δὲ ὄψεως, πολλῷ μᾶλλον ψυχῆς. καθάπερ γὰρ ἀνακυκωμένου βορβόρου δυσωδία εἴωθε γίνεσθαι· οὕτω ψυχῆς ταραττομένης ὑπὸ θυμοῦ, πολλὴ ἔσται ἡ ἀσχημοσύνη καὶ ἀηδία. ἀλλ' οὐ φέρω, φησί, τὴν παρὰ τῶν ἐχθρῶν ὕβριν. τίνος ἕνεκεν, εἰπέ; ἂν μὲν γὰρ ἀληθὴς ᾖ, καὶ πρὸ ἐκείνου ὀφείλων κατανύττεσθαι, καὶ χάριν ἔχε αὐτῷ τῶν ἐλέγχων· ἂν δὲ ψευδής, καταφρόνησον. εἶπε πένητα, καταγέλασον· * εἶπε δυσγενῆ ἢ ἀνόητον, στέναξον ὑπὲρ ἐκείνου λοιπόν. ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ὅταν οὖν ὑβρίσῃ, ἐννόησον τὴν κόλασιν ἣν κολάζεται, καὶ οὐ μόνον οὐχ ἕξεις ὀργήν, ἀλλὰ καὶ δάκρυα ἀφήσεις. οὐδὲ γὰρ πρὸς τὸν πυρέττοντά τις παροξύνεται, οὔτε πρὸς τὸν

φλεγμαίνοντα.

Γεν. γ. 19.
Σειρ. ι. 9.
Σειρ. α. κγ.
Παροιμ. ια. κε.

γρ. τὸ συνεί
καὶ τὸ τιμῆς,
ἀλλά.

γρ. μείζονα
τῆς θεότητ
ἐπεδείξατο
τὰ σημεῖα,
μᾶλλον ἂν
τὴν ἀπεγύμν
σεν. ἐπειδ.
γρ. καὶ τὴν οἰκο
νομίαν ὁμο
καὶ τὸ θάρσος
ὅτι καὶ τὴν
γρ. ἅπερ ἐπ
θε, τότε μά
λιστα αἱρήσ
εἰς τὰ Ἱερ.
ναβῆναι. αἰ
λέγων δέ, ἀ-
νάβητε ὑμεῖ
εἰς τὴν ἑορτὴν
τοῦτο λέγει,
νομί.
γρ. ἐκκόψω-
μεν.
γρ. αὐτῷ
γρ. κινουμέν
βορβόρου
δυσω. γίνεσ
αι πολλή, οὔ
ψ. τ. ὑπὸ
καὶ χειμῶνος
ἔνδον πολλ
καταπαυομέν
γρ. καταγέ-
λασον.
* εἶπε πτω-
χόν, κατα-
γέλασον.

φλεγμαίνοντα, ἀλλ' ἐλεεῖ πάντας τοὺς τοιούτους καὶ δακρύει. τοιοῦτον γάρ ἐστι ψυχὴ ὀργιζομένη. ἀλλά, κἂν ἀμύνασθαι βούλῃ, σίγησον, καὶ καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν· ἂν δὲ λοιδορίαν λοιδορίᾳ συνάψῃς, τὸ πῦρ ἀνῆψας. ἀλλ' ἀσθένειαν καταγνώσονται οἱ παρόντες, φησίν, ἂν σιγήσωμεν. οὐκ ἀσθένειαν καταγνώσονται, ἀλλ' ἐπὶ φιλοσοφίᾳ θαυμάσονται. ἂν δὲ ὑβρισθεὶς δηχθῇς, ὕβρισας· δηχθεὶς δέ, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι τὰ λεγόμενα. διὰ τί, εἰπέ μοι, ὁ πλούσιος γελᾷ ἀκούων πένης; ἆρ' οὐχ ὅτι μὴ σύνοιδεν ἑαυτῷ πενίαν; "ἂν τοίνυν μέλλωμεν γελᾶν ἐπὶ ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρέξομεν τοῦ μὴ συνειδέναι τοῖς λεγομένοις. ἄλλως δέ, μέχρι πότε τὰς τῶν ἀνθρώπων δεδοίκαμεν εὐθύνας; μέχρι πότε τοῦ κοινοῦ καταφρονοῦμεν δεσπότου, καὶ τῇ σαρκὶ προσηλώμεθα; ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; γενώμεθα τοίνυν πνευματικοί, καὶ χαλινώσωμεν τὸ δεινὸν τοῦτο θηρίον. ὀργῆς καὶ μανίας μέσον οὐδέν· ἀλλὰ πρόσκαιρός ἐστι δαίμων, μᾶλλον δὲ καὶ δαιμονῶντος χαλεπώτερον. ὁ μὲν γὰρ δαιμονῶν, καὶ συγγνώμης ἀπολαύσειεν ἄν· ὁ δὲ ὀργιζόμενος, μυρίων ἔσται κολάσεων ἄξιος, ἑκὼν ἑαυτὸν ἐπὶ βάραθρα τῆς ἀπωλείας φέρων, καὶ πρὸ τῆς μελλούσης γεέννης ἐντεῦθεν ἤδη τὴν δίκην τιννύων, θόρυβόν τινα ἄπαυστον καὶ ζάλην "ἀσίγητον διὰ πάσης μὲν νυκτός, διὰ πάσης δὲ ἡμέρας ἐπεισάγων τοῖς τῆς ψυχῆς λογισμοῖς. ἵν' οὖν καὶ τῆς ἐν τῷ παρόντι κολάσεως, καὶ τῆς ἐν τῷ μέλλοντι τιμωρίας ἑαυτοὺς ἀπαλλάξωμεν, ἐκβαλόντες τουτὶ τὸ πάθος, πρᾳότητα πᾶσαν ἐπιδειξώμεθα καὶ ἐπιείκειαν, ἵνα καὶ ἐνταῦθα ἀνάπαυσιν εὕρωμεν τῇ ψυχῇ ἡμῶν, καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, [δι' οὗ καὶ] μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, [νῦν καὶ ἀεί, καὶ] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. μθ. 9 ΤΑΥΤΑ ΔΕ ΕΙΠΩΝ ΑΥΤΟΙΣ, ΕΜΕΙΝΕΝ ἐν τῇ Γαλιλαίᾳ. 10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν· οὐ φανερῶς, "ἀλλ' ὡς ἐν κρυπτῷ.

ΤΑ ἀνθρωπίνως ὑπὸ τοῦ Χριστοῦ οἰκονομούμενα, οὐ διὰ τοῦτο μόνον οἰκονομεῖται, ἵνα τὴν σάρκωσιν βεβαιώσηται, ἀλλ' ἵνα καὶ ἡμᾶς παιδεύσῃ πρὸς ἀρετήν. εἰ γὰρ πάντα ὡς Θεὸς ἔπραττε, πόθεν ἐδυνάμεθα ἡμεῖς εἰδέναι, περιπίπτοντες ἀβουλήτοις, τί χρὴ ποιεῖν; οἷόν τι λέγω. ἐν τούτῳ τε αὐτῷ ὢν τῷ χωρίῳ φονώντων τῶν Ἰουδαίων εἰς μέσον εὐθέως παρελθὼν κατέστειλε τὴν ὁρμήν. εἰ τοίνυν τοῦτο ἐποίει διηνεκῶς, ἡμεῖς οὐ δυνάμενοι τοῦτο ποιεῖν, περιπίπτοντες δέ, πόθεν ἂν ἔγνωμεν πῶς δεῖ τῷ πράγματι χρήσασθαι; καὶ πότερον εὐθέως ἀποθανεῖν, ἢ τί καὶ οἰκονομῆσαι [δέον] ὥστε προχωρῆσαι τῶν λόγων; ἐπεὶ οὖν οὐκ ἂν ἐμάθομεν ἡμεῖς, οἱ μὴ δυνάμενοι, παρελθόντες εἰς μέσον τί δεῖ ποιεῖν, διὰ τοῦτο καὶ ταῦτα παρ' αὐτοῦ παιδευόμεθα. Ταῦτα γάρ, φησιν, εἰπὼν ὁ Ἰησοῦς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε ἀνέβη καὶ αὐτός, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. τὸ εἰπεῖν, ὅτι ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, ἐμφαίνοντός ἐστιν, ὅτι οὐκ ἐβούλετο μετ' ἐκείνων ἀνελθεῖν. "διὸ καὶ μένει ἐν ᾧπερ ἦν, οὔτε δῆλον κατέστησεν ἑαυτόν, ἐκείνων πως "κατεπειγόντων τοῦτο ποιῆσαι. τί δήποτε δὲ ἐν παρρησίᾳ διαλεγόμενος ἀεί, ὡς ἐν κρυπτῷ νῦν τοῦτο ποιεῖ; οὐκ εἶπε, κρύφα, ἀλλ' ὡς ἐν κρυπτῷ. οὕτω γὰρ "ἐδόκει, ὅπερ εἶπον, παιδεύων ἡμᾶς τὰ πράγματα οἰκονομεῖν. "καὶ χωρὶς τούτου δὲ οὐκ ἦν ἴσον ζεόντων αὐτῶν καὶ "σφαδαζόντων ἐμπεσεῖν, καὶ μετὰ ταῦτα τῆς ἑορτῆς διαλυθείσης.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτόν, καὶ ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος;

ταῖς ἑορταῖς κατορθώματα. ἐπὶ φόνον ὁρμῶσι, καὶ ἐν τῇ ἑορτῇ βουλεύονται αὐτὸν συλλαβεῖν. οὕτω γοῦν καὶ ἀλλαχοῦ λέγουσι· Ιωαν. ια. νε. Δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ ἐν τῇ ἑορτῇ; καὶ ἐνταῦθα ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος; ὑπὸ τοῦ πολλοῦ μίσους καὶ [τῆς] ἀπεχθείας, οὐδὲ ὀνομαστὶ αὐτὸν καλεῖν ἐβούλοντο. πολλὴ ἡ εἰς τὴν ἑορτὴν αἰδὼς, μεγάλη ἡ εὐλάβεια. ἀπ' αὐτῆς τῆς ἑορτῆς αὐτὸν θηρεῦσαι ἐβούλοντο.

12 Καὶ γογγυσμὸς ἦν περὶ αὐτοῦ πολὺς ἐν τοῖς ὄχλοις. Ἐγὼ δὲ οἶμαι καὶ ἀπὸ τοῦ τόπου παροξύνεσθαι αὐτοὺς ἔνθα τὸ σημεῖον ἐγένετο, καὶ μάλιστα ἀγριαίνειν καὶ δεδοικέναι, οὐχ οὕτως ὑπὲρ τοῦ παρελθόντος ὀργιζομένους, ὡς φοβουμένους, μὴ πάλιν ἐργάσηταί τι τοιοῦτον. ἐξέβαινε δὲ πᾶν τοὐναντίον, καὶ ἄκοντες φανερὸν αὐτὸν ἐποίουν. Καὶ οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν· οἱ δὲ, οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον. Ἐκείνην μὲν [οὖν] οἶμαι τὴν δόξαν τῶν πολλῶν εἶναι, ταύτην δὲ τῶν ἀρχόντων καὶ τῶν ἱερέων. τὸ γὰρ διαβάλλειν, τῆς ἐκείνων βασκανίας καὶ πονηρίας ἐστί. πλανᾷ, φησι, τὸν ὄχλον. τί ποιῶν, εἰπέ μοι; ἆρα φαντάζων, καὶ οὐκ ἐργαζόμενος τὰ σημεῖα; καὶ μὴν τοὐναντίον ἡ πεῖρα μαρτυρεῖ. 13 Οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. Ὁρᾷς πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον· τοὺς δὲ ἀρχομένους ὑγιαίνοντας μὲν τῇ κρίσει, οὐκ ἔχοντας δὲ ἀνδρείαν προσήκουσαν, ἧς μάλιστα τῷ πλήθει δεῖ;

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς, καὶ ἐδίδασκε. Τῇ ἀναβολῇ προσεκτικωτέρους αὐτοὺς ἐποίησεν. οἱ γὰρ ταῖς ἡμέραις ζητήσαντες αὐτὸν ταῖς πρώταις, καὶ λέγοντες, ποῦ ἐστιν ἐκεῖνος; ἄφνω παρόντα ἰδόντες, ὅρα πῶς ἐπέστησαν καὶ ἔμελλον ἐπικεῖσθαι λέγοντι, οἵ τε ἀγαθὸν λέγοντες, οἵ τε μὴ τοιοῦτον· ἀλλ' ἐκεῖνοι μὲν, ὥστε κερδᾶναί τι καὶ θαυμάσαι· οὗτοι δὲ, ὥστε ἐπιλαβέσθαι, καὶ κατασχεῖν. τὸ μὲν οὖν, πλανᾷ τὸν ὄχλον, ἀπὸ τῆς διδασκαλίας τῶν δογμάτων ἔλεγον, οὐ νοοῦντες τὰ λεγόμενα· τὸ δὲ, ἀγαθὸς, ἀπὸ τῶν σημείων. χαλάσας τοίνυν αὐτῶν τὸν θυμὸν οὕτως ἐπέστη, ὥστε μετὰ σχολῆς ἀκοῦσαι τῶν λεγομένων, μηκέτι τῆς ὀργῆς ἐμφραττούσης τὰ ὦτα. τί μὲν οὖν ἐδίδαξεν, οὐκ εἶπεν· ὅτι δὲ θαυμαστῶς, τοῦτο μόνον λέγει, καὶ ὅτι εἷλεν αὐτοὺς καὶ μετέβαλε. τοσαύτη τῶν λεγομένων ἦν ἡ δύναμις. οἱ δὲ εἰπόντες, ὅτι πλανᾷ τὸν ὄχλον, μεταβαλλόμενοι ἐθαύμαζον· διὸ καὶ ἔλεγον,

15 Πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; Ὁρᾷς πῶς δείκνυσι καὶ ἐνταῦθα πονηρίας γέμον τὸ θαῦμα αὐτῶν; οὐ γὰρ εἶπεν, ὅτι τὴν διδασκαλίαν ἐθαύμαζον, ἢ ὅτι ἐδέχοντο τὰ λεγόμενα, ἀλλ' ἁπλῶς, ἐθαύμαζον· τουτέστιν, εἰς ἔκπληξιν ἐνέπιπτον, καὶ διηπόρουν λέγοντες, πόθεν τούτῳ ταῦτα; δέον ἀπὸ τῆς ἀπορίας ταύτης συνιδεῖν, ὅτι οὐδὲν ἦν ἀνθρώπινον ἐν αὐτῷ. ἀλλ' ἐπειδὴ τοῦτο αὐτοὶ οὐκ ἤθελον ὁμολογῆσαι, ἀλλὰ μέχρι τοῦ θαυμάζειν ἵσταντο μόνον, ἄκουσον τί φησιν αὐτός.

16 Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή. Πάλιν πρὸς τὴν ὑπόνοιαν αὐτῶν ἀποκρίνεται, ἐπὶ τὸν πατέρα αὐτοὺς ἄγων, κἀκεῖθεν ἐπιστομίσαι βουλόμενος.

17 Ἐὰν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδασκαλίας, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὃ δὲ λέγει, τοῦτό ἐστι· τὴν πονηρίαν ἐξ ἑαυτῶν ἐκβάλετε, καὶ τὴν ὀργὴν καὶ τὸν φθόνον, καὶ τὸ μῖσος τὸ εἰκῇ πρὸς ἐμὲ γεγενημένον, καὶ οὐδὲν τὸ κωλῦον ὑμᾶς γνωρίσαι ὅτι Θεοῦ ὄντως ἐστὶ τὰ ῥήματα τὰ ἐμά. νῦν μὲν γὰρ ὑμῖν ταῦτα ἐπισκοτεῖ, καὶ τὴν ὀρθὴν διαφθείρει κρίσιν λάμπουσαν· ἂν δὲ ταῦτα ἐξέλητε, οὐκέτι τοῦτο πείσεσθε. ἀλλ' οὕτω μὲν οὐκ εἶπεν (ἔπληξε γὰρ ἂν αὐτοὺς σφοδρῶς) πάντα δὲ ταῦτα ᾐνίξατο διὰ τοῦ εἰπεῖν, ὁ ποιῶν τὸ θέλημα αὐτοῦ γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ, τουτέστιν, ἢ ἐγὼ ἀλλότριόν τι καὶ ξένον καὶ ἐναντίον φθέγγομαι. τὸ γὰρ, ἀπ' ἐμαυτοῦ, ἀεὶ ἐπὶ τούτου κεῖται, ὅτι οὐδὲν ἔξω τῶν αὐτῷ δοκούντων λέγω, ἀλλὰ πάντα ἃ ὁ πατὴρ βούλεται, ταῦτα κἀγώ. ἐὰν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς. τί ἐστιν, ἐὰν τις τὸ θέλημα αὐτοῦ ποιῇ; ἐὰν τις ἐραστὴς ᾖ τοῦ βίου τοῦ κατ' ἀρετὴν, εἴσεται τῶν λεγομένων τὴν δύναμιν· ἐὰν τις θέλῃ προσέχειν ταῖς προφητείαις, πό-

τερον κατ᾽ αὐτὰς λαλῶν ἢ οὔ. πῶς δὲ αὐτοῦ, καὶ οὐκ αὐτοῦ; οὐ γὰρ εἶπεν, ἡ διδασκαλία αὕτη οὐκ ἔστιν ἐμή· ἀλλὰ πρότερον εἰπὼν, ὅτι ἐμή ἐστι, καὶ οἰκειωσάμενος αὐτὴν, τότε ἐπήγαγεν, οὐκ ἔστιν ἐμή. πῶς οὖν τὸ αὐτὸ δύναται εἶναι καὶ αὐτοῦ, καὶ οὐκ αὐτοῦ; αὐτοῦ μὲν, ὅτι ὡς μὴ διδασκόμενος ἔλεγεν· οὐκ αὐτοῦ δὲ, ὅτι τοῦ πατρὸς ἦν ἡ διδασκαλία. πῶς οὖν λέγει· Πάντα τὰ τοῦ πατρὸς ἐμά ἐστι, καὶ τὰ ἐμὰ αὐτοῦ; εἰ γὰρ ἐπειδὴ τοῦ πατρός ἐστι, διὰ τοῦτο οὐκ ἔστι σή, ψεῦδος ἐκεῖνο· διὰ τοῦτο γὰρ ὤφειλεν εἶναι σή. ἀλλὰ τὸ, οὐκ ἐμὴ, σφόδρα αὐτοῦ καὶ τοῦ πατρὸς μίαν εἶναι δηλοῖ τὴν διδασκαλίαν· ὡσανεὶ ἔλεγεν· οὐδὲν ἔχει παρηλλαγμένον, ὡς ἑτέρου οὖσα. εἰ γὰρ καὶ ἡ ὑπόστασις ἄλλη, ἀλλ᾽ οὕτω καὶ λέγω καὶ πράττω, ὡς μὴ νομίζεσθαι ἕτερόν τι παρὰ τὸν πατέρα, ἀλλὰ τὸ αὐτὸ ὅπερ ὁ πατὴρ εἶπεν, ἢ ἔπραξεν. εἶτα καὶ ἄλλον ἐπάγει συλλογισμὸν ἀναντίρρητον, ἀνθρώπινόν τι παράγων εἰς μέσον, καὶ ἀπὸ τῶν ἐν συνηθείᾳ παιδεύων. Τί δὲ τοῦτο ἐστιν;

Ιωαν. ιζ. ι.

18 Ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. Τουτέστιν, ὁ βουλόμενος ἰδίαν τινὰ στῆσαι διδασκαλίαν, δι᾽ οὐδὲν ἕτερον βούλεται, φησὶν, ἀλλ᾽ ὥστε τὴν δόξαν αὐτὸς καρπώσασθαι. εἰ δὲ ἐγὼ οὐ βούλομαι καρπώσασθαι δόξαν, τίνος ἕνεκεν ἰδίαν τινὰ βούλομαι στῆσαι διδασκαλίαν; ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν, τουτέστιν, ὁ ἴδιόν τι καὶ παρηλλαγμένον, διὰ τοῦτο λαλεῖ, ἵνα τὴν δόξαν αὐτοῦ στήσῃ. εἰ δὲ ἐγὼ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, τίνος ἕνεκεν ἂν ἐβουλόμην ἕτερα διδάσκειν; ὁρᾷς ὅτι αἰτία τις ἦν, δι᾽ ἣν καὶ ἐκεῖ ἔλεγε μηδὲν ἀφ᾽ ἑαυτοῦ ποιεῖν; τίς δὲ αὕτη; ἵνα πιστεύσωσιν, ὅτι οὐ δόξης ἐφίεται τῆς τῶν πολλῶν. διὰ τοῦτο ὅταν μὲν ταπεινὰ λέγῃ, ἐγὼ τὴν δόξαν τοῦ πατρὸς ζητῶ, φησὶ, πανταχοῦ πεῖσαι βουλόμενος αὐτοὺς, ὅτι οὐ δόξης ἐρᾷ. τοῦ μὲν οὖν ταπεινὰ φθέγγεσθαι πολλαί εἰσιν αἰτίαι, οἷον, τὸ μὴ ἀγέννητον νομισθῆναι, τὸ μὴ ἀντίθεον, τὸ σάρκα περιβεβλῆσθαι, τὸ ἀσθενὲς τῶν ἀκουόντων, τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριάζειν καὶ μηδὲν περὶ ἑαυτῶν λέγειν μέγα· τοῦ δὲ ὑψηλὰ φθέγγεσθαι μίαν εὕροι τις ἂν αἰτίαν, τῆς φύσεως τὸ μέγεθος. εἰ γὰρ, ἐπειδὴ εἶπε, πρὸ τοῦ Ἀβραὰμ ἐγώ εἰμι, ἐσκανδαλίσθησαν, τί οὐκ ἂν ἔπαθον, ἀεὶ ῥημάτων ὑψηλῶν ἀκούοντες;

19 Οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖτε ἀποκτεῖναι; Καὶ ποίαν ἀκολουθίαν ἔχει τοῦτο, φησὶν, ἢ τί κοινὸν πρὸς τὰ πρότερον εἰρημένα; δύο ἐγκλήματα ἐπήγαγον· ἓν, ὅτι τὸ σάββατον λύει· ἄλλο, ὅτι πατέρα ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. ὅτι γὰρ οὐ τῆς ἐκείνων ὑπονοίας ἦν, ἀλλὰ τῆς αὐτοῦ γνώμης, καὶ ὅτι οὐχ ὡς οἱ πολλοὶ, ἀλλ᾽ ἐξαιρέτως καὶ ἰδιαζόντως ἔλεγε, δῆλον ἐκεῖθεν. πολλοὶ πολλάκις πατέρα εἶπον τὸν Θεὸν ἑαυτῶν· οἷον, Ὅτι Θεὸς εἷς ἔκτισεν ἡμᾶς, καὶ πατὴρ εἷς πάντων ἡμῶν· ἀλλ᾽ οὐ παρὰ τοῦτο ἴσος ἦν ὁ λαὸς τῷ Θεῷ, ὅθεν οὐδὲ ἐσκανδαλίζοντο ἀκούοντες. ὥσπερ οὖν ὅτε, οὐκ ἔστιν ἐκ Θεοῦ, ἔλεγον, καὶ ἐθεράπευσεν αὐτοὺς πολλάκις, καὶ ὑπὲρ τῆς τοῦ σαββάτου λύσεως ἀπελογήσατο· οὕτω καὶ τοῦτο, εἰ τῆς ἐκείνων ὑποψίας ἦν καὶ μὴ τῆς αὐτοῦ γνώμης, διώρθωσεν ἂν καὶ εἶπε· τί με νομίζετε ἴσον τῷ Θεῷ; οὐκ εἰμὶ ἴσος. ἀλλ᾽ οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ [καὶ] τοὐναντίον, καὶ ἀπέδειξεν, ὅτι ἴσος ἐστὶ διὰ τῶν ἑξῆς. τὸ γὰρ, Ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς, καὶ, Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα, καὶ, τὰ ἔργα ἃ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, ταῦτα πάντα τῆς ἰσότητός ἐστι συστατικά. καὶ περὶ τοῦ νόμου δὲ λέγει· Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. οὕτως οἶδε καὶ τὰς ἐν διανοίᾳ πονηρὰς ὑπονοίας ἐξελεῖν. ἐνταῦθα δὲ τὴν τοῦ ἴσου ὑπόνοιαν, οὐ μόνον οὐκ ἀναιρεῖ, ἀλλὰ καὶ βεβαιοῖ. διὸ καὶ ἀλλαχοῦ εἰπόντων αὐτῶν, ὅτι ποιεῖς σεαυτὸν Θεὸν, οὐκ ἀνεῖλε τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐβεβαίωσεν εἰπών· Ἵνα δὲ εἴδητε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει τῷ παραλυτικῷ· ἆρον τὸν κράββατόν σου καὶ περιπά-

Μαλ. β. ι.
Ιωαν. ε. κα.
Ματθ. ε. ιζ.
Ματθ. θ. ϛ.

τι. ἐκεῖνο μὲν οὖν τὸ πορρώτερον ἐπέτεινε, τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, δεικνὺς ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ καὶ τὰ αὐτὰ λέγει, καὶ τὰ αὐτὰ ἐκείνῳ διδάσκει· λοιπὸν δὲ πρὸς τὴν τοῦ σαββάτου λύσιν ἵσταται λέγων· οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν τηρεῖ τὸν νόμον; ὡσανεὶ ἔλεγεν· εἶπεν ὁ νόμος, οὐ φονεύσεις· ὑμεῖς δὲ φονεύετε, καὶ ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον. διὰ τί δὲ εἶπεν, οὐδείς; ὅτι πάντες ἐζήτουν αὐτὸν ἀποκτεῖναι. ἐγὼ μὲν οὖν εἰ καὶ ἔλυσα τὸν νόμον, φησίν, ἀλλὰ ἄνθρωπον σώσας· ὑμεῖς δὲ παραβαίνοντες ἐπὶ κακῷ. τὸ ἐμὸν εἰ καὶ παράβασις ἦν, ἀλλ' ἐπὶ σωτηρίᾳ, καὶ οὐκ ἐχρῆν ὑφ' ὑμῶν τῶν τὰ μεγάλα παραβαινόντων ἐμὲ κρίνεσθαι. τὸ γὰρ ὑμέτερον, ἀνατροπὴ τοῦ νόμου παντός. εἶτα καὶ ἐπαγωνίζεται, καίτοι πολλὰ καὶ πάλαι διαλεχθείς· ἀλλὰ τότε μὲν ὑψηλότερον καὶ κατὰ τὴν ἀξίαν τὴν αὐτοῦ, νῦν δὲ ταπεινότερον. τί δήποτε; ὅτι οὐκ ἐβούλετο συνεχῶς παρακνίζειν αὐτούς. νῦν δὲ τὰ τῆς ὀργῆς ἐπιτέτατο, καὶ εἰς φόνον προῄεσαν. διὸ μένει δύο τούτοις καταστέλλων αὐτούς· τῷ τε ἐλέγξαι αὐτῶν τὸ τόλμημα καὶ εἰπεῖν, τί με ζητεῖτε ἀποκτεῖναι; καὶ τῷ μετ' ἐπιεικείας εἰπεῖν, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν λελάληκα, καὶ τῷ δεῖξαι, ὅτι φονῶντες οὐκ εἰσὶν ἄξιοι κρίνειν ἕτερον. σὺ δὲ ὅρα καὶ τῆς ἐρωτήσεως τὸ ταπεινὸν τῆς τοῦ Χριστοῦ, καὶ τῆς ἀποκρίσεως ἐκείνων τὸ θρασύ.

20 Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι; Ὀργῆς τὸ ῥῆμα καὶ θυμοῦ καὶ ψυχῆς ἀναισχυντούσης ἐπὶ τῷ παραδόξως ἐληλέγχθαι, καὶ προκαταπληττομένης αὐτῶν, ὡς ᾤοντο. καθάπερ γὰρ λῃσταί τινες ᾄδοντες ἐπὶ ταῖς ἐπιβουλαῖς, εἶτα βουλόμενοι ἀφύλακτον ἐργάσασθαι τὸν ἐπιβουλευόμενον, διὰ τῆς σιωπῆς τοῦτο ποιοῦσιν· οὕτω καὶ οὗτοι. αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, πάλιν τῆς ἀπολογίας ἅπτεται τῆς ὑπὲρ τοῦ σαββάτου, ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτούς. καὶ ὅρα πῶς συνετῶς. οὐδὲν θαυμαστόν, φησιν, εἰ ἐμοῦ παρακούετε, ὅπου γε τοῦ νόμου, οὗ δοκεῖτε ἀκούειν, καὶ ὃν νομίζετε παρὰ Μωϋσέως δεδόσθαι, παρακούετε. οὐδὲν οὖν καινόν, εἰ τοῖς ἐμοῖς οὐ προσέχετε λόγοις. ἐπειδὴ γὰρ ἔλεγον, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί, δείκνυσιν ὅτι καὶ εἰς ἐκεῖνον ὕβριζον. καὶ γὰρ τὸν νόμον ἐκεῖνος ἔδωκε, καὶ οὐκ ἤκουσαν.

21 Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. Σκόπει πῶς ἔνθα ἂν ἀπολογήσασθαι δέῃ καὶ ὡς ἔγκλημα δεῖξαι, συλλογίζεται. τὸ γὰρ γεγονός, οὐ τὸ τοῦ πατρός, ἀλλὰ τὸ αὐτοῦ πρόσωπον εἰσάγει· ἓν ἔργον ἐποίησα. θέλει δεῖξαι, ὅτι τὸ μὴ ποιῆσαι, λῦσαι τὸν νόμον ἦν· καὶ ὅτι ἐστὶ πολλὰ τοῦ νόμου κυριώτερα· καὶ ὅτι ἐντολὴν ὑπέσχετο δέξασθαι Μωϋσῆς κατὰ τοῦ νόμου, καὶ τοῦ νόμου κυριωτέραν. τοῦ γὰρ σαββάτου ἡ περιτομὴ κυριωτέρα· καίτοι οὐκ ἔστι τοῦ νόμου, ἀλλὰ τῶν πατέρων. ἐγὼ δὲ καὶ τῆς περιτομῆς τὸ κυριώτερον ἐποίησα καὶ κρεῖττον. εἶτα οὐ μέμνηται ἐντολῆς νομικῆς, οἷον, ὅτι οἱ ἱερεῖς τὸ σάββατον βεβηλοῦσι, καθάπερ ἤδη εἶπεν, ἀλλ' ἐκ μείζονος περιουσίας. τὸ δὲ θαυμάζετε, τοῦτο ἐστί, θορυβεῖσθε, ταράττεσθε. εἰ γὰρ ἔδει εἶναι βέβαιον τὸν νόμον, οὐκ ἂν ἡ περιτομὴ αὐτοῦ κυριωτέρα ἦν. καὶ οὐκ εἶπεν, ὅτι μεῖζον ἐποίησα τῆς περιτομῆς, ἀλλ' ἐκ περιουσίας ἐλέγχει τῷ εἰπεῖν,

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος. Ὁρᾷς ὅτι τότε μάλιστα ἵσταται ὁ νόμος, ὅταν αὐτὸν λύῃ; ὁρᾷς ὅτι ἡ τοῦ σαββάτου λύσις, τήρησίς ἐστι τοῦ νόμου; ὡς εἰ μὴ ἐλύθη τὸ σάββατον, ἀνάγκη τὸν νόμον ἦν λυθῆναι· ὥστε καὶ ἐγὼ ἔστησα αὐτόν. καὶ οὐκ εἶπεν, ἐμοὶ χολᾶτε ὅτι μεῖζον περιτομῆς εἰργασάμην, ἀλλὰ τὸ γεγονὸς μόνον εἰπών, αὐτοῖς τὴν κρίσιν ἐπέτρεψεν, εἰ μὴ περιτομῆς ἀναγκαιότερον ὁλόκληρος ὑγίεια. ἵνα σημεῖον λάβῃ ὁ ἄνθρωπος οὐδὲν πρὸς ὑγείαν συντελοῦν, λύεται νόμος, φησίν· ἵνα νόσου τοσαύτης ἀπαλλαγῇ, δυσχεραίνετε καὶ ἀγανακτεῖτε;

24 Μὴ κρίνετε κατ' ὄψιν. Τί ἐστι, κατ' ὄψιν; μὴ ἐπειδὴ Μωϋσῆς μείζονα παρ' ὑμῖν ἔχει τὴν δόξαν, ἀπὸ τοῦ τῶν προσώπων ἀξιώματος φέρετε τὴν ψῆφον· ἀλλ' ἀπὸ τῆς τῶν

πραγμάτων φύσεως. τοῦτο γάρ ἐστι τὸ δικαίως κρῖναι. διὰ τί γὰρ οὐδεὶς ἐνεκάλεσε Μωϋσεῖ; διὰ τί οὐδεὶς ἠπείθησε κελεύοντι τὸ σάββατον λύεσθαι ὑπὸ ἐντολῆς ἔξωθεν ἐπεισενεχθείσης τῷ νόμῳ; ἀλλ' ἐκεῖνος μὲν τοῦ οἰκείου νόμου ἀνέχεται ἐντολὴν εἶναι κυριωτέραν, ἐντολήν, τὴν οὐχ ὑπὸ τοῦ νόμου εἰσενεχθεῖσαν, ἀλλ' ἔξωθεν, ὅπερ ἐστὶ μάλιστα θαυμαστόν· ὑμεῖς δὲ οἱ οὐ νομοθέται, πέρα τοῦ μέτρου ἐκδικεῖτε τὸν νόμον καὶ ἀμύνετε αὐτῷ. ἀλλὰ ἀξιοπιστότερος ὑμῶν ἐστιν ὁ Μωϋσῆς, ὁ κελεύων λύεσθαι τὸν νόμον παρὰ ἐντολῆς οὐ νομίμης. τὸ γοῦν εἰπεῖν, ὅλον ἄνθρωπον, δείκνυσι μερικὴν ὑγείαν οὖσαν τὴν περιτομήν. καὶ τίς ἡ ὑγεία τῆς περιτομῆς; Ψυχή, φησι, πᾶσα, ἥτις ἐὰν μὴ περιτμηθῇ, ἐξολοθρευθήσεται. ἐγὼ δὲ οὐκ ἀπὸ μέρους κεκακωμένον, ἀλλ' ὅλον διεφθαρμένον ἀνέστησα. μὴ κρίνετε [τοίνυν] κατ' ὄψιν. Γεν. ιζ. ιδ.

ΗΘΙΚΟΝ

Τοῦτο πειθώμεθα μὴ τοῖς τότε εἰρῆσθαι μόνον, ἀλλὰ καὶ ἡμῖν, ὥστε μηδενὶ πράγματι διαφθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα ὑπὲρ τούτου ποιεῖν· εἴτε πένης, εἴτε πλούσιος ἢ τις, μὴ τοῖς προσώποις προσέχειν, ἀλλὰ τὰ πράγματα ἐξετάζειν. οὐκ ἐλεήσεις, φησί, πένητα ἐν κρίσει. τί δή ἐστι τὸ λεγόμενον; μὴ κατακλασθῇς, μηδὲ ἐπικαμφθῇς, φησιν, ἐὰν πένης ὁ ἀδικῶν τύχῃ. εἰ δὲ πένητι χαρίζεσθαι οὐ χρή, πολλῷ μᾶλλον πλουτοῦντι. ταῦτα δὲ λέγω, οὐ πρὸς τοὺς δικάζοντας μόνον, ἀλλὰ καὶ πρὸς πάντας ἀνθρώπους, ὥστε μηδαμοῦ διαφθείρειν τὸ δίκαιον, ἀλλὰ πανταχοῦ ἀκέραιον φυλάττειν. Ἀγαπᾷ, φησι, δικαιοσύνην ὁ Κύριος· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Ψαλμ. ι. ε. μὴ δὴ μισήσωμεν τὰς ἑαυτῶν ψυχάς, μηδὲ ἀγαπήσωμεν ἀδικίαν. πάντως γὰρ αὐτῆς τὸ κέρδος νῦν μικρὸν καὶ οὐδέν· ἀλλ' εἰς τὸ μέλλον μεγάλα ζημιοῖ· μᾶλλον δὲ οὐδὲ ἐνταῦθα αὐτῆς ἀπολαυσόμεθα. ὅταν γὰρ μετὰ συνειδότος πονηροῦ τρυφῶμεν, ἆρα οὐχὶ κόλασις καὶ τιμωρία τοῦτο; ἀγαπήσωμεν τοίνυν τὸ δίκαιον καὶ μηδαμοῦ παραβλέψωμεν τοῦτον τὸν νόμον. τί γὰρ δυνησόμεθα ἐκ τοῦ παρόντος καρπώσασθαι βίου, ἂν μὴ λαβόντες ἀρετὴν ἀπέλθωμεν; τί δὲ ἐκεῖ ἡμῶν προστήσεται; φιλία καὶ συγγένεια καὶ ἡ τοῦ δεῖνος χάρις; καὶ τί λέγω, ἡ τοῦ δεῖνος χάρις; κἂν γὰρ τὸν Νῶε, κἂν τὸν Ἰώβ, κἂν τὸν Δανιὴλ ἔχωμεν πατέρα, οὐδὲν ἡμᾶς ὠφελήσει τοῦτο, ὅταν ἀπὸ τῶν οἰκείων ἔργων ὦμεν προδεδομένοι. [ἀλλ'] ἑνὸς ἡμῖν δεῖ μόνου, ἀρετῆς τῆς κατὰ ψυχήν. αὕτη ἡμᾶς διασῶσαι δυνήσεται καὶ ἀπαλλάξαι τοῦ αἰωνίου πυρός· αὕτη παραπέμψει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ν. 25 ΕΛΕΓΟΝ ΟΥΝ ΤΙΝΕΣ ΕΚ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΙΤΩΝ· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; 26 Καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. μήτι ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; 27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν.

Οὐδὲν ἁπλῶς ἐν ταῖς θείαις γραφαῖς κεῖται· πνεύματι γὰρ εἰρημέναι εἰσὶν ἁγίῳ· διὸ πάντα μετὰ ἀκριβείας ἐξετάζωμεν. Καὶ γὰρ ἀπὸ μιᾶς λέξεως ἔνεστιν ὁλόκληρον εὑρεῖν νοῦν, οἷον δὴ καὶ νῦν ἡμῖν ἐστι προκείμενον. πολλοὶ γὰρ ἐκ τῶν Ἱεροσολυμιτῶν ἔλεγον· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. τί δήποτε πρόσκειται τῶν Ἱεροσολυμιτῶν; δείκνυσιν ὁ εὐαγγελιστής, ὅτι οἱ μάλιστα τῶν μεγάλων ἀπολελαυκότες σημείων οὗτοι πάντων ἦσαν ἐλεεινότεροι, οἱ τῆς θεότητος αὐτοῦ σημεῖον ἑωρακότες μέγιστον, τὸ πᾶν τῇ κρίσει τῶν ἀρχόντων ἐπέτρεπον τῶν διεφθαρμένων.

Ιωαν. θ. κθ.

γρ. ἀπορία,

ἐφθαρμένων. ἦ γὰρ οὐ μέγα σημεῖον, μαινομένους καὶ φονῶντας καὶ περιιόντας καὶ ζητοῦντας ἀνελεῖν, καὶ κατέχοντας ἐν χερσίν, ἡσυχάζειν ἐξαίφνης; τίς γὰρ ἂν τοῦτο ἐποίησε; τίς ὁλόκληρον μανίαν οὕτως ἔσβεσεν; ἀλλ' ὅμως μετὰ τοσαῦτα σημεῖα, ὅρα τὴν ἄνοιαν καὶ τὴν μανίαν. οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ὅρα πῶς ἑαυτῶν κατηγοροῦσιν. ὃν ζητοῦσί, φησιν, ἀποκτεῖναι, καὶ οὐδὲν αὐτῷ λέγουσι. καὶ οὐχ ἁπλῶς οὐδὲν αὐτῷ λέγουσιν, ἀλλὰ καὶ παρρησιαζομένῳ. ὁ γὰρ παρρησίᾳ λαλῶν καὶ μετ' ἐλευθερίας ἁπάσης, μᾶλλον ἂν αὐτοὺς παρώξυνεν· ἀλλ' οὐδὲν ἐποίουν. μήποτε ἀληθῶς ἔγνωσαν, ὅτι οὗτός ἐστιν ὁ Χριστός; ὑμῖν δὲ τί δοκεῖ; ποίαν περὶ αὐτοῦ φέρετε ψῆφον; τὴν ἐναντίαν, φησί. διὰ τοῦτο ἔλεγον· ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν. ὢ τῆς πονηρίας, ὢ τῆς ἐναντιολογίας· οὐδὲ ταῖς τῶν ἀρχόντων ἕπονται ψήφοις, ἀλλ' ἑτέραν ἐκφέρουσι διεφθαρμένην, καὶ τῆς οἰκείας ἀνοίας ἀξίαν. οἴδαμεν αὐτόν, φησι, πόθεν ἐστίν· Ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. Καὶ μὴν οἱ ἄρχοντες ὑμῶν ἐρωτώμενοι ἔλεγον, ὅτι ἐν Βηθλεὲμ γεννᾶται. καὶ πάλιν ἄλλοι τινές, Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. οἴδαμεν πόθεν ἐστί, καὶ οὐκ οἴδαμεν πόθεν ἐστίν. ὅρα μεθυόντων ῥήματα. καὶ πάλιν· μὴ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός; οὐκ ἀπὸ Βηθλεὲμ τῆς κώμης; εἶδες μαινομένων ψῆφον; οἴδαμεν, καὶ οὐκ οἴδαμεν· ἀπὸ Βηθλεὲμ ἔρχεται ὁ Χριστός, ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. τί ταύτης τῆς μάχης σαφέστερον; πρὸς ἓν γὰρ μόνον ἑώρων, τὸ μὴ πεισθῆναι. τί οὖν πρὸς ταῦτα ὁ Χριστός;

α. Βασ. β. ιϛ.
Ησ. α. γ.
Τιτ. α. ιϛ.

28 Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Καὶ πάλιν· Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. πῶς οὖν φησιν αὐτοὺς καὶ εἰδέναι αὐτόν, καὶ πόθεν ἐστί· καὶ πάλιν, μήτε αὐτὸν εἰδέναι, μήτε τὸν πατέρα; οὐκ ἐναντιολογῶν (ἄπαγε) ἀλλὰ καὶ σφόδρα ἑαυτῷ ἀκολουθῶν. ἑτέραν δὲ λέγει γνῶσιν, ὅταν λέγῃ, οὐκ οἴδατε, ὥσπερ ὅταν λέγῃ· υἱοὶ Ἠλεί, υἱοὶ λοιμοί, καὶ οὐκ εἰδότες τὸν Κύριον. καὶ πάλιν, Ἰσραὴλ δέ με οὐκ ἔγνω. ὡς καὶ Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ἔστιν ἄρα μὴ εἰδέναι εἰδότα. τοῦτο οὖν φησιν, Εἰ ἐμὲ οἴδατε, οἴδατε ὅτι τοῦ Θεοῦ υἱός εἰμι. τὸ γὰρ, πόθεν εἰμί, οὐ τὸν τόπον ἐνταῦθά φησι. καὶ δῆλον ἐκ τῆς ἐπαγωγῆς· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· ἄγνοιαν ἐνταῦθα λέγων, τὴν διὰ τῶν ἔργων. [καθὼς Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.] οὐδὲ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα, ἀλλὰ κακίας καὶ πονηρᾶς γνώμης, ὅτι καὶ τοῦτο εἰδότες, ἀγνοεῖν βούλονται. πλὴν ποία ἀκολουθία ταῦτα; πῶς γὰρ ἐλέγχων αὐτούς, τὰ αὐτῶν φθέγγεται; εἰπόντων γὰρ ἐκείνων, τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν, ἐπήγαγε, καὶ ἐμὲ οἴδατε. τί γὰρ εἶπον ἐκεῖνοι; ὅτι οὐκ οἴδαμεν; καὶ αὐτοὶ μὲν οὖν τοῦτο ἔλεγον, ὅτι οἴδαμεν. ἀλλ' ἐκεῖνοι μὲν τὸ, οἴδαμεν πόθεν ἐστὶ λέγοντες, οὐδὲν ἄλλο ἐνέφαινον, ἀλλ' ἢ ὅτι ἐκ τῆς γῆς ἐστι, καὶ ὅτι τοῦ τέκτονός ἐστιν υἱός· αὐτὸς δὲ αὐτοὺς ἀνῆγεν εἰς τὸν οὐρανόν, λέγων· οἴδατε πόθεν εἰμί, τουτέστιν, οὐκ ἐντεῦθεν ὅθεν ὑποπτεύετε, ἀλλ' ὅθεν ὁ πέμψας με. τὸ γὰρ εἰπεῖν, ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, τοῦτο αἰνίττεται, ὅτι ᾔδεσαν ὅτι παρὰ τοῦ πατρὸς ἀπέσταλτο, εἰ καὶ μὴ ἐξεκάλυπτον. διπλῆ γοῦν αὐτοὺς ἐλέγχει. καὶ πρότερον μὲν ἃ κατ' ἰδίαν ἐλάλουν, ταῦτα εἰς μέσον ἤγαγε κράζων, ὥστε αὐτοὺς ἐντρέψαι· ἔπειτα καὶ τὰ κατὰ διάνοιαν ἐξεκάλυπτεν· ὡσανεὶ ἔλεγεν, οὐκ εἰμὶ τῶν ἀπερριμμένων, οὐδὲ τῶν ἁπλῶς ἐλθόντων· ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. τί ἐστιν, ἀληθὴς ὁ πέμψας με; εἰ ἀληθής ἐστιν, ἐπ' ἀληθείᾳ ἔπεμψεν· εἰ ἀληθής ἐστι, καὶ τὸν ἀπεσταλμένον εἰκὸς ἀληθῆ εἶναι. καὶ ἑτέρως δὲ τοῦτο κατασκευάζει, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος λόγων. ἐπειδὴ γὰρ ἔλεγον· ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστὶ, δείκνυσι καὶ ἐντεῦθεν ἑαυτὸν εἶναι τὸν Χριστόν. καὶ γὰρ ἐκεῖνοι τὸ, οὐδεὶς γινώσκει, πρὸς ἀπὸ διαστολὴν τοπικοῦ τινος ἔλεγον διορισμοῦ, καὶ ἐντεῦθεν δείκνυσιν ἑαυτὸν ὄντα τὸν Χριστὸν, ὅτι παρὰ τοῦ πατρὸς ἦλθε, καὶ πανταχοῦ τὴν γνῶσιν ἑαυτῷ μαρτυρεῖ μόνῳ τοῦ πατρὸς, λέγων· οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ πατρός. καὶ παρώξυνεν αὐτοὺς τὰ λεγόμενα. τὸ γὰρ εἰπεῖν, ὅτι οὐκ οἴδατε αὐτὸν, καὶ τὸ ἐλέγξαι ὅτι εἰδότες προσποιοῦνται ἀγνοεῖν, ἱκανὸν δακεῖν καὶ καθάψασθαι.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Ὁρᾷς αὐτοὺς ἀοράτως κατεχομένους, καὶ τὸν θυμὸν αὐτῶν χαλινούμενον; διὰ τί δὲ μὴ εἶπεν, ὅτι κατεῖχεν αὐτοὺς ἀοράτως, ἀλλ' ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ; ἀνθρωπινώτερον ἠβουλήθη φθέγξασθαι καὶ ταπεινότερον ὁ εὐαγγελιστὴς, ὥστε αὐτὸν καὶ ἄνθρωπον ὑποπτευθῆναι. ἐπειδὴ γὰρ πανταχοῦ ὑψηλὰ λέγει, τούτου ἕνεκεν ταῦτα παρασπείρει. ὅταν δὲ λέγῃ, ὅτι παρ' αὐτοῦ εἰμι, οὐχ ὡς προφήτης μανθάνων λέγει, ἀλλ' ὡς ὁρῶν αὐτὸν καὶ μετ' αὐτοῦ ὤν.

γρ. ἀπορία,

29 Οἶδα γὰρ αὐτόν, φησιν, ὅτι ἐγὼ παρ' αὐτοῦ εἰμι. Ὁρᾷς πῶς ἄνω καὶ κάτω κατασκευάζει τό, ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, καὶ ὁ πέμψας με ἀληθής ἐστι, πρὸς ἐκεῖνο μαχόμενος, τὸ μὴ νομισθῆναι ἀλλότριον τοῦ Θεοῦ; καὶ σκόπει πόσον τῆς ταπεινότητος τῶν ῥημάτων τὸ κέρδος. μετὰ γὰρ ταῦτα πολλοί, φησιν, ἔλεγον·

31 Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησε; Πόσα σημεῖα; καὶ μὴν τρία ἦν σημεῖα, τὸ τοῦ οἴνου, καὶ τὸ τοῦ παραλυτικοῦ, καὶ τὸ τοῦ υἱοῦ τοῦ βασιλικοῦ· καὶ οὐδὲν διηγήσατο πλέον ὁ εὐαγγελιστής. ὅθεν δῆλον, ὃ πολλάκις εἶπον, ὅτι τὰ πολλὰ παρατρέχουσι, καὶ ὑπὲρ τούτων ἡμῖν διαλέγονται, ὑπὲρ ὧν οἱ ἄρχοντες ἐκακούργουν. ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ ἀνελεῖν. τίνες; οὐ τὸ πλῆθος, τὸ τῆς ἀρχῆς οὐκ ἐφιέμενον, οὐδὲ βασκανίᾳ ἁλῶναι δυνάμενον· ἀλλ' οἱ ἱερεῖς. οἱ γὰρ τοῦ πλήθους ἔλεγον· ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; πλὴν ἀλλ' οὐδὲ αὕτη ἦν ὑγιὴς ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου. τὸ γὰρ λέγειν, ὅταν ἔλθῃ, οὐ σφόδρα πεπεισμένων ἦν τοῦτον εἶναι τὸν Χριστόν. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι κατὰ συνδρομὴν εἴρηται παρὰ τῶν ὄχλων. ὡς γὰρ τῶν ἀρχόντων ἄνω καὶ κάτω σπουδαζόντων δεῖξαι οὐκ ὄντα αὐτὸν τὸν Χριστὸν, θῶμεν μηδὲ εἶναι αὐτὸν τὸν Χριστόν· μὴ τούτου βελτίων ἔσται ἐκεῖνος; ὅπερ ἀεὶ λέγω, ὅτι οἱ παχύτεροι, οὐκ ἀπὸ διδασκαλίας, οὐδὲ ἀπὸ δημηγορίας, ἀλλ' ἀπὸ σημείων ἐνάγονται.

32 Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος, καὶ ἔπεμψαν ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν. Ὁρᾷς ὅτι τοῦ σαββάτου ἡ λύσις πρόσχημα ἦν; ὃ δὲ μάλιστα αὐτοὺς ἔδακνε, τοῦτο ἦν. ἐνταῦθα γὰρ οὐδὲν ἔχοντες ἐγκαλεῖν, οὔτε τοῖς εἰρημένοις, οὔτε τοῖς πεπραγμένοις, διὰ τὸν ὄχλον ἐβούλοντο πιάσαι αὐτόν· καὶ αὐτοὶ μὲν οὐκ ἐτόλμων, τὸν κίνδυνον ὑφορώμενοι· τοὺς δὲ διακόνους ἀπέστελλον ἐκδότους. ὢ τῆς τυραννίδος καὶ τῆς μανίας· μᾶλλον δὲ ὢ τῆς ἀνοίας. αὐτοὶ πολλάκις ἐπιχειρήσαντες καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέταις τὸ πρᾶγμα ἐπέτρεψαν, ἁπλῶς τὸν θυμὸν αὐτῶν διαναπαύοντες· καίτοι πολλὰ διελέχθη καὶ ἐν τῇ κολυμβήθρᾳ, καὶ οὐδὲν τοιοῦτον ἐποίησαν, ἀλλ' ἐζήτησαν μὲν, οὐκ ἐπεχείρησαν δέ. ἐνταῦθα δὲ οὐκ ἔτι φέρουσι, τοῦ ὄχλου μέλλοντος αὐτῷ προστρέχειν. τί οὖν ὁ Χριστός;

33 Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. Δυνάμενος καὶ ἐπικάμψαι καὶ φοβῆσαι τοὺς ἀκούοντας,
ῥήματα φθέγγεται ταπεινοφροσύνης γέμοντα· ὡσανεὶ ἔλεγε, τί σπουδάζετέ με
ἀνελεῖν καὶ διῶξαι; μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ σπουδαζόντων με κατέχειν ἀνέξομαι. εἶτα
ἵνα μή τις θάνατον κοινὸν νομίσῃ, τὸ ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι (καὶ γὰρ τοῦτο ἐνόμισαν)
ἵν' οὖν τοῦτο μή τις νομίσῃ, καὶ ὅτι οὐδὲν ἐνεργεῖ μετὰ τελευτὴν, ἐπήγαγε· 34 Καὶ
ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἰ δὲ ἔμελλεν ἐναπομένειν τῷ θανάτῳ, ἐδύναντο
ἀπελθεῖν.

ἀπελθεῖν. ἐκεῖ γὰρ πάντες ἀπίμεν. τὸ μὲν οὖν ἀφελέστερον πλῆθος ἐπέκαμπτε τὰ λεγόμενα, τὸ δὲ θρασύτερον ἐφόβει, τὸ δὲ φιλομαθέστερον σπεύδειν ἐποίει πρὸς τὴν ἀκρόασιν, ὡς ὀλίγου λοιπὸν ὑπολειπομένου χρόνου, καὶ οὐκ ὄντος ἀεὶ ταύτης ἀπολαῦσαι τῆς διδασκαλίας. καὶ οὐκ εἶπεν ἁπλῶς, ἐνταῦθά εἰμι, ἀλλά, μεθ' ὑμῶν εἰμι, τουτέστι, κἂν διώκητε, κἂν ἐλαύνητε, μικρὸν χρόνον οὐ παύσομαι τὰ ὑπὲρ ὑμῶν οἰκονομῶν, καὶ τὰ πρὸς σωτηρίαν λέγων καὶ παραινῶν ὑμῖν. Καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Φοβῆσαι τοῦτο ἱκανὸν ἦν καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν. καὶ γὰρ ὅτι ἐν χρείᾳ αὐτοῦ καταστήσονται δηλοῖ. ζητήσετε γάρ με, φησίν, οὐ μόνον οὐκ ἐπιλήσεσθε, ἀλλὰ καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. καὶ ποῦ ἐζήτησαν αὐτὸν οἱ Ἰουδαῖοι; λέγει ὁ Λουκᾶς, ὅτι ἐκόπτοντο γυναῖκες ἐπ' αὐτῷ. εἰκὸς δὲ καὶ ἄλλους πολλοὺς καὶ εὐθέως, καὶ τῆς πόλεως ἁλισκομένης, μεμνῆσθαι τοῦ Χριστοῦ καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τὴν παρουσίαν ζητεῖν τὴν αὐτοῦ. ταῦτα δὴ πάντα ἐπήγαγε, βουλόμενος αὐτοὺς ἐφελκύσασθαι. καὶ γὰρ τὸ μικρὸν χρόνον εἶναι τὸν λειπόμενον, καὶ τὸ μετὰ τὴν ἀναχώρησιν ποθεινὸν ἔσεσθαι, καὶ τὸ μὴ δύνασθαι λοιπὸν αὐτὸν εὑρεῖν, ἱκανὰ πάντα πεῖσαι προσελθεῖν. εἰ μὲν γὰρ μὴ ἔμελλε ποθεινὴ εἶναι ἡ παρουσία, οὐδὲν μέγα αὐτοῖς ἐδόκει λέγειν. πάλιν δέ, εἰ ἔμελλε ποθεινὴ εἶναι, δυνατὸν δὲ ἦν εὑρεῖν, οὐδ' ἂν οὕτως αὐτοὺς ἐθορύβησε. πάλιν, εἰ πολὺν ἔμελλε χρόνον παρεῖναι, καὶ οὕτως ὕπτιοι ἂν ἐγένοντο. νῦν δὲ πάντοθεν αὐτοὺς συνελαύνει καὶ φοβεῖ. τὸ δέ, ὑπάγω πρὸς τὸν πέμψαντά με, δεικνύντος ἐστὶν οὐδεμίαν αὐτῷ γενησομένην βλάβην ἀπὸ τῆς ἐπιβουλῆς τῆς αὐτῶν, καὶ τὸ πάθος ἑκούσιον. δύο τοίνυν προεῖπε προρρήσεις, ὅτι μετὰ μικρὸν ἀπελεύσεται χρόνον, καὶ ὅτι οὐχ ἥξουσι πρὸς αὐτόν· ὅπερ οὐκ ἦν ἀνθρωπίνης διανοίας, τὴν ἑαυτοῦ τελευτὴν προειπεῖν. ὅρα γοῦν καὶ τὸν Δαβὶδ λέγοντα· γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ· καὶ ὅλως οὐδείς ἐστιν ὁ μαθὼν τοῦτο. ἐκ δὲ τοῦ ἑνὸς καὶ τὸ ἕτερον πιστοῦται. ἐγὼ δὲ οἶμαι καὶ πρὸς τοὺς ὑπηρέτας τοῦτο αἰνίττεσθαι, καὶ πρὸς αὐτοὺς τὸν λόγον ἀποτείνειν· ᾧ μάλιστα αὐτοὺς ἐπεσπάσατο, δείξας ἑαυτὸν εἰδότα τῆς ἀφίξεως τὴν αἰτίαν· ὡσανεὶ ἔλεγε, περιμείνατε μικρόν, καὶ ἀπελεύσομαι.

35 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι; Καὶ μὴν οὓς ἐπιθυμοῦνται ἀπαλλαγῆναι, οὓς πάντα πράττονται ὥστε μὴ βλέπειν αὐτόν, οὐκ ἐχρῆν τοῦτο ζητεῖν, ἀλλ' εἰπεῖν, ὅτι καὶ ἀσμενίζομεν, καὶ πότε γὰρ τοῦτο ἔσται; ἀλλ' ἔπαθόν τι πρὸς τὰ λεχθέντα, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς ἀνοήτως ὑποπτεύοντες, ποῦ μέλλει πορεύεσθαι;

Μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων; Τί ἐστι, διασπορὰν τῶν Ἑλλήνων; οὕτω τὰ ἔθνη ἐκάλουν οἱ Ἰουδαῖοι, διὰ τὸ πανταχοῦ διεσπάρθαι, καὶ ἀδεῶς ἀλλήλοις ἐπιμίγνυσθαι. τοῦτο δὲ καὶ αὐτοὶ λοιπὸν τὸ ὄνειδος ὑπέμειναν. διασπορὰ γὰρ ἦσαν καὶ αὐτοί. τὸ γὰρ παλαιόν, ἅπαν τὸ ἔθνος εἰς ἓν συνείλεκτο, καὶ οὐκ ἦν ἀλλαχοῦ Ἰουδαῖον εὑρεῖν, ἀλλ' ἢ ἐν Παλαιστίνῃ μόνῃ. πρὸς δὴ τοῦτο διασπορὰν τοὺς Ἕλληνας ἐκάλουν, ὀνειδίζοντες καὶ μεγαλαυχοῦντες ἐφ' ἑαυτοῖς. τί οὖν ἐστιν, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; ἐκείνοις δὲ πάντες ἐπεμίγνυντο τότε, καὶ πανταχοῦ τῆς οἰκουμένης ἦσαν Ἰουδαῖοι. οὐκ ἂν οὖν, εἰ τοὺς Ἕλληνας ἐδήλου, εἶπεν, ὅπου οὐ δύνασθε ἐλθεῖν. εἰπόντες δέ, μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι; οὐκ εἶπον καὶ λυμαίνεσθαι αὐτούς, ἀλλὰ διδάσκειν. οὕτως ἤδη καθυφῆκαν τῆς ὀργῆς, καὶ τοῖς λεχθεῖσιν ἐπίστευσαν. οὐκ ἂν δέ, εἰ μὴ ἐπίστευσαν, ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος.

ΗΘΙΚΟΝ

Ἀλλὰ ταῦτα μὲν εἴρηται πρὸς ἐκείνους· δέος δὲ μὴ καὶ πρὸς ἡμᾶς καιρὸν ἔχῃ τὰ λεγόμενα, ὅτι ὅπου ἐστίν, οὐ δυνάμεθα ἀπελθεῖν διὰ τὸν βίον ἡμῶν τὸν ἁμαρτημάτων γέμοντα. περὶ μὲν γὰρ τῶν μαθητῶν φησι, Θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· περὶ δὲ ἡμῶν δέδοικα μὴ τοὐναντίον λεχθῇ, ὅτι ὅπου εἰμὶ ἐγώ, οὐ δύνασθε ἐλθεῖν. ὅταν γὰρ τὰ

Ἰωαν. ιζ. κδ.

ἐναντία τῶν προσταγμάτων πράττωμεν, πῶς δυνησόμεθα ἀπελθεῖν ἐκεῖ; καὶ γὰρ καὶ κατὰ τὸν παρόντα βίον, εἴ τις τῶν στρατευομένων ἀνάξια πράττοι τοῦ βασιλέως, οὐ δυνήσεται τὸν βασιλέα ἰδεῖν, ἀλλά, τῆς ἀρχῆς παραλυθείσης, τὴν ἐσχάτην ὑποστήσεται κόλασιν. ὅταν οὖν ἁρπάζωμεν, πλεονεκτῶμεν· ὅταν ἀδικῶμεν, πλήττωμεν· ὅταν μὴ ἐλεημοσύνην ἐργασώμεθα, οὐ δυνησόμεθα ἀπελθεῖν ἐκεῖσε, ἀλλὰ καὶ πεισόμεθα ὃ γέγονε ταῖς παρθένοις. ὅπου γὰρ ἦν, οὐκ ἐδυνήθησαν εἰσελθεῖν, ἀλλ' ἀνεχώρησαν σβεσθεισῶν αὐτῶν τῶν λαμπάδων· τουτέστι, τοῦ χαρίσματος αὐτὰς καταλιπόντος. τὴν γὰρ φλόγα ἐκείνην, ἣν εὐθέως ἐδεξάμεθα τῇ τοῦ πνεύματος χάριτι, ἂν μὲν βουλώμεθα, σφοδροτέραν ἐργασόμεθα· ἂν δὲ μὴ βουλώμεθα, ταχέως αὐτὴν ἀπολέσομεν. σβεσθείσης δὲ ἐκείνης, οὐδὲν ἕτερον, ἀλλ' ἢ σκότος ἐν ταῖς ἡμετέραις ἔσται ψυχαῖς. ὥσπερ γὰρ καιομένης τῆς λαμπάδος πολὺ τὸ φῶς· οὕτω διαλυθείσης οὐδὲν ἕτερον, ἀλλ' ἢ γνόφος ἔσται. διό φησι, τὸ πνεῦμα μὴ σβέννυτε· σβέννυται δέ, ὅταν ἔλαιον μὴ ἔχῃ, ὅταν ἀνέμου σφοδροτέρα τις ἐμβολὴ γένηται, ὅταν συνέχηται καὶ στενοχωρῆται (καὶ γὰρ οὕτω σβέννυται πῦρ) συνέχεται δὲ ὑπὸ φροντίδων βιωτικῶν, καὶ σβέννυται ὑπὸ ἐπιθυμίας πονηρᾶς. οὐδὲν δὲ αὐτὴν παρὰ τοῖς εἰρημένοις οὕτω σβέννυσιν, ὡς ἀπανθρωπία καὶ ὠμότης καὶ ἁρπαγή. ὅταν γὰρ πρὸς τῷ ἔλαιον μὴ ἔχειν καὶ ὕδωρ ἐπεμβάλωμεν ψυχρόν (τοῦτο γάρ ἐστιν ἡ πλεονεξία, ἀποψύχουσα διὰ τῆς ἀθυμίας τῶν ἀδικουμένων τὰς ψυχάς) πόθεν δυνήσεται ἀναφθῆναι λοιπόν; ἀπελευσόμεθα τοίνυν τέφραν τε καὶ κόνιν φέροντες καὶ πολὺν ἔχοντες τὸν καπνὸν κατηγοροῦντα ἡμῶν, ὅτι λαμπάδας ἔχοντες ἀπεσβέσαμεν. ἔνθα γὰρ ἂν ἡ καπνός, ἀνάγκη πῦρ εἶναι τὸ σβεσθέν. ἀλλὰ μὴ γένοιτο ταύτην ἀκοῦσαι τὴν φωνὴν τήν, οὐκ οἶδα ὑμᾶς. πόθεν δὲ ταύτην ἐστὶν ἀκοῦσαι τὴν φωνήν, ἢ ὅταν πένητα ἰδόντες, ὡς οὐκ ἰδόντες αὐτὸν διακεώμεθα; ὅταν ἡμεῖς ἀγνοῶμεν τὸν πεινῶντα Χριστόν, ἀγνοήσει ἡμᾶς καὶ αὐτὸς ἐλέου δεομένους· καὶ δικαίως. ὁ γὰρ περιιδὼν τὸν θλιβόμενον, καὶ μὴ δοὺς ἐκ τῶν αὐτοῦ, πῶς ζητήσει λαβεῖν ἐκ τῶν οὐκ αὐτοῦ; διό, παρακαλῶ, πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε μὴ ἐκλιπεῖν ἡμᾶς τὸ ἔλαιον, ἀλλὰ κοσμῆσαι τὰς λαμπάδας, καὶ συνεισελθεῖν τῷ νυμφίῳ εἰς τὸν νυμφῶνα· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. να.

37 ΕΝ ΔΕ ΤΗ ΕΣΧΑΤΗ ΗΜΕΡΑ ΤΗ ΜΕΓΑΛΗ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραζε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. 38 Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

Τοὺς προσιόντας τῷ θείῳ κηρύγματι καὶ τῇ πίστει προσέχοντας, τὸν τῶν διψώντων ἔρωτα ἐπιδείκνυσθαι χρή, καὶ τοσαύτην ἀνάπτειν ἐπιθυμίαν ἐν ἑαυτοῖς. οὕτω γὰρ δυνήσονται καὶ τὰ λεγόμενα μετὰ πολλῆς κατασχεῖν τῆς φυλακῆς. καὶ γὰρ οἱ διψῶντες, ἐπειδὰν κύλικα λάβωσι, μετὰ πολλῆς αὐτὴν ἕλκουσι τῆς προθυμίας, καὶ τότε διαναπαύονται. οὕτω τοίνυν καὶ οἱ τῶν θείων ἀκούοντες λογίων, εἰ διψῶντες προσλάβοιεν, οὐδέποτε καμοῦνται, ἕως ἂν ἐκπίωσιν. ὅτι γὰρ ἀεὶ χρὴ διψᾷν καὶ πεινῆν, Μακάριοι, φησιν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. Ματθ. ε. ς. καὶ ἐνταῦθά φησιν ὁ Χριστός· εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδένα ἀνάγκῃ καὶ βίᾳ ἐφέλκομαι· ἀλλ' εἴ τις ἔχει προθυμίαν πολλήν, εἴ τις ἐκκαίεται τῷ πόθῳ, τοῦτον ἐγὼ καλῶ. τίνος δὲ ἕνεκεν ἐπεσημήνατο ὁ εὐαγγελιστής, ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ; καὶ γὰρ καὶ ἡ πρώτη καὶ ἡ τελευταία, μεγάλη ἦν.

Ταὶ

τὰς γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον. τίνος οὖν ἕνεκεν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ λέγει; ὅτι ἐν αὐτῇ πάντες ἦσαν συγκεκροτημένοι. τῇ μὲν γὰρ πρώτῃ οὐ παρεγένετο, καὶ τὴν αἰτίαν εἶπε πρὸς τοὺς ἀδελφούς. ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τι τοιοῦτον λέγει, ὥστε μὴ ἐκλυθῆναι τὰ λεγόμενα, μελλόντων αὐτῶν εἰς τρυφὴν ἰέναι. τῇ δὲ ἐσχάτῃ, ὅτε ἀνεχώρουν οἴκαδε, ἐφόδια αὐτοῖς δίδωσι πρὸς σωτηρίαν, καὶ κράζει, τοῦτο μὲν τὴν παρρησίαν αὐτοῦ ἐμφαίνων· τοῦτο δὲ διὰ τὸν πολὺν ὄχλον. καὶ δηλῶν ὅτι περὶ τοῦ νοητοῦ διελέγετο πόματος, ἐπάγει· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. κοιλίαν
Ψαλ. λθ. ια. ἐνταῦθα τὴν καρδίαν φησί, καθάπερ καὶ ἀλλαχοῦ φησι· Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. καὶ ποῦ εἶπεν ἡ γραφή, ὅτι ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος; οὐδαμοῦ. τί οὖν ἐστιν, ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή; ἐνταῦθα ὑποστίξαι δεῖ, ἵνα ᾖ τό, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τῆς αὐτοῦ ἀποφάσεως. ἐπειδὴ γὰρ ἔλεγον πολλοί, οὗτός ἐστιν ὁ Χριστός· καί, ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; δεικνύουσιν, ὅτι διωρθωμένην δεῖ τὴν γνῶσιν ἔχειν, καὶ οὐκ ἀπὸ τῶν σημείων οὕτως, ὡς ἀπὸ τῶν γραφῶν πιστεύεσθαι. πολλοὶ γοῦν αὐτὸν καὶ θαυματουργοῦντα ἰδόντες, οὐχ ὡς Χριστὸν ἐδέχοντο· ἔμελλον δὲ λέγειν, ὅτι οὐχὶ αἱ γραφαὶ λέγουσιν, ὅτι ὁ Χριστὸς ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ ἔρχεται; καὶ ταύτην ἄνω καὶ κάτω ἔστρεφον. δεῖξαι τοίνυν βουλόμενος, ὅτι οὐ φεύγει τὴν διὰ τούτων ἀπόδειξιν, πάλιν αὐτοὺς εἰς τὰς γραφὰς παραπέμπει. καὶ γὰρ ἄνω ἔλεγεν, ἐρευνᾶτε τὰς γραφάς· καὶ πάλιν, Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ· καί, Μωϋσῆς ὑμῶν κατηγορεῖ· καὶ ἐνταῦθα, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος· ὥσπερ ἀλλαχοῦ φησι, πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστι, πολλὴν ἕξει χάριν. ἀλλαχοῦ μὲν οὖν ζωὴν αἰώνιον λέγει· ἐνταῦθα δέ, ὕδωρ ζῶν. ζῶν δὲ λέγει, τὸ ἐνεργοῦν ἀεί. ἡ γὰρ τοῦ πνεύματος χάρις, ἐπειδὰν εἰς διάνοιαν εἰσέλθῃ καὶ ἱδρωθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει οὐδὲ κενοῦται οὐδὲ ἵσταται). ὁμοῦ τοίνυν καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλῶν, καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγὴν καὶ ποταμοὺς ἐκάλεσεν· οὐχ ἕνα ποταμόν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ δέ, τὴν πλημμύραν διὰ τοῦ ἅλλεσθαι παρέστησε.
Ιωαν. δ. ιδ. καὶ ἴδοι τις ἂν τὸ λεγόμενον σαφῶς, εἰ τὴν σοφίαν τοῦ Στεφάνου, εἰ τὴν Πέτρου γλῶτταν, καὶ τὴν Παύλου ῥύμην ἐννοήσειε, πῶς οὐδὲν αὐτοὺς ἔφερεν, οὐδὲν ὑφίστατο, οὐ δήμων θυμός, οὐ τυράννων ἐπαναστάσεις, οὐ δαιμόνων ἐπιβουλαί, οὐ θάνατοι καθημερινοί· ἀλλ' ὥσπερ ποταμοὶ πολλῷ τῷ ῥοίζῳ φερόμενοι, οὕτω πάντα παρασύροντες ἀπῄεσαν. 39 Ταῦτα δὲ ἔλεγε περὶ τοῦ πνεύματος, φησίν, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. Πῶς οὖν οἱ προφῆται προεφήτευσαν, καὶ τὰ μυρία εἰργάσαντο θαύματα; οἱ ἀπόστολοι μὲν γάρ, οὐ πνεύματι
Ματθ. ιβ. κζ. ἐξέβαλον, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ, ὡς αὐτός φησιν· Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; τοῦτο δὲ ἔλεγε, δηλῶν ὅτι οὐ πάντες πνεύματι ἐξέβαλον πρὸ τοῦ σταυροῦ, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ. ὅτε γοῦν αὐτοὺς ἔμελλε πέμπειν, τότε ἔλεγε· λάβετε πνεῦμα ἅγιον· καὶ πάλιν· ἦλθεν ἐπ' αὐτοὺς πνεῦμα ἅγιον, καὶ τότε τὰ σημεῖα ἐποίουν. ὅτε δὲ ἔπεμπεν αὐτούς, οὐκ εἶπεν, ἔδωκεν αὐτοῖς πνεῦμα ἅγιον· ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν,
Ματθ. ι η. λέγων, Λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. ἐπὶ δὲ τῶν προφητῶν, παρὰ πάντων ὡμολόγηται, ὅτι πνεύματος ἁγίου δόσις ἦν· ἀλλ' ἦν αὕτη ἡ χάρις συσταλεῖσα καὶ ἀποστᾶσα, καὶ ἀπὸ τῆς γῆς ἀπολιποῦσα, ἀπὸ τῆς ἡμέρας
Ματθ. κγ. λη. ἐκείνης, ἀφ' ἧς ἐρρήθη, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ πρὸ ἐκείνης δέ, ἀρχὴν ἐλάμβανεν αὕτη ἡ σπάνις. οὐκέτι γὰρ προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις. ἐπεὶ οὖν ἀνέσταλτο μὲν τὸ πνεῦμα τὸ ἅγιον· ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγίνετο, οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων (καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεά, ὡς ὅταν λέγῃ· οὐκ οἴδατε ποίου

πνεύματος

γρ. ἱδρυθῇ

γρ. θεῖα

πνεύματός ἐστι· καὶ πάλιν, οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ γὰρ οἱ παλαιοὶ καὶ αὐτοὶ μὲν πνεῦμα εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν) ἐπειδὴ οὖν ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτό φησιν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. ἐπεὶ οὖν ὁ Κύριος περὶ ταύτης λέγει τῆς χάριτος, ὁ εὐαγγελιστὴς ἔλεγεν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, τουτέστι, δοθὲν, ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν καλῶν τὸν σταυρόν. ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοστυγεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις· δῶρον δὲ οὐ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς εὐηρεστηκόσιν· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραάμ, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Εἰ γὰρ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν· ἀλλ᾽ ἀνάξιοι ἦσαν τῆς ἐπαγγελίας οἱ ἔκγονοι, καὶ ἐξ οἰκείων οὐκ ἠδύναντο εὐαρεστῆσαι πόνων. διὰ τοῦτο εἰσῆλθεν ἡ πίστις, πρᾶγμα εὔκολον, ἵνα τὴν χάριν ἐπισπάσηται, καὶ μὴ διαπέσωσιν αἱ ἐπαγγελίαι. καὶ λέγει· διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν. διὰ τοῦτο κατὰ χάριν, ἐπειδὴ ἐξ ἱδρώτων οὐκ ἴσχυσαν. τίνος δὲ ἕνεκεν εἰπὼν, κατὰ τὰς γραφὰς, οὐκ ἐπάγει καὶ τὴν μαρτυρίαν; ὅτι διεφθαρμένη αὐτῶν ἡ γνώμη ἦν.

Ρω. δ. ιδ.

40 Οἱ μὲν γὰρ ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης·

41 Ἄλλοι δὲ ἔλεγον, ὅτι πλανᾷ τὸν ὄχλον· ἄλλοι δὲ ἔλεγον,

42 Οὐκ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστὸς, ἀλλὰ ἀπὸ Βηθλεὲμ τῆς κώμης.

Ἄλλοι δὲ ἔλεγον, ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. καὶ διάφορος ἦν ἡ γνώμη, ἅτε ἐν πλήθει τεταραγμένῳ. οὐδὲ γὰρ ἀκριβῶς προσεῖχον τοῖς λεγομένοις, οὐδὲ τοῦ μαθεῖν ἕνεκεν. διὰ δὴ τοῦτο τούτοις μὲν οὐδὲν ἀποκρίνεται. καίτοι λέγουσι· μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; τὸν δὲ Ναθαναὴλ σφοδρότερον εἰπόντα καὶ πληκτικώτερον, ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι, ἐπῄνεσεν ὡς ἀληθῶς Ἰσραηλίτην. οὗτοι μὲν γὰρ, καὶ οἱ πρὸς τὸν Νικόδημον εἰπόντες, ἐρεύνησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται, οὐ μαθεῖν ζητοῦντες ἔλεγον, ἀλλ᾽ ἁπλῶς ἀνατρέψαι τὴν περὶ τοῦ Χριστοῦ δόξαν. ἐκεῖνος δὲ ἀληθείας ὢν ἐραστὴς, καὶ τὰ παλαιὰ ἀκριβῶς πάντα ἐπιστάμενος, τοῦτο ἔλεγεν· αὐτοὶ δὲ πρὸς ἓν μόνον ἑώρων, τὸ ἀνατρέψαι ὅτι ὁ Χριστός ἐστι. διόπερ αὐτοῖς οὐδὲν ἀπεκάλυψεν. οἱ γὰρ καὶ ἑαυτοῖς ἐναντία λέγοντες, καὶ ποτὲ μὲν, οὐδεὶς γινώσκει πόθεν ἔρχεται· ποτὲ δὲ, ἀπὸ Βηθλεέμ, εὔδηλον ὅτι καὶ μαθόντες ἠναντιώθησαν. ἔστω γὰρ, τὸν τόπον ἠγνόουν, ὅτι ἀπὸ Βηθλεέμ, διὰ τὴν ἀναστροφὴν τὴν ἐν Ναζαρὲθ (καίτοι οὐδὲ τούτου συγγνώμην εἶχεν· οὐ γὰρ ἐκεῖ ἐτέχθη) ἆρα καὶ τὸ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ; πῶς οὖν ἔλεγον, οὐκ ἀπὸ τοῦ σπέρματος Δαβὶδ ἔρχεται ὁ Χριστός; ἀλλὰ καὶ τοῦτο ἐκείνῳ συσκιάσαι ἐβούλοντο, κακούργως ἅπαντα φθεγγόμενοι. τίνος δὲ ἕνεκεν οὐχὶ προσελθόντες εἶπον· ἐπειδὴ τὰ μὲν ἄλλα πάντα θαυμάζομεν, κελεύεις δέ σοι πείθεσθαι κατὰ τὰς γραφὰς, εἰπὲ πῶς αἱ μὲν γραφαὶ λέγουσιν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ τὸν Χριστὸν ἐλθεῖν, σὺ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀφῖξαι; ἀλλ᾽ οὐδὲν τούτων εἶπον, ἀλλὰ πάντα πονηρῶς φθέγγονται. ὅτι γὰρ οὐ ζητοῦντες, οὐδὲ μαθεῖν βουλόμενοι, εὐθέως ἐπήγαγεν ὁ εὐαγγελιστής·

44 Ὅτι τινὲς ἤθελον πιάσαι αὐτὸν, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὴν χεῖρα αὐτοῦ.

Εἰ γὰρ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἱκανὸν ἦν εἰς κατάνυξιν αὐτοὺς ἀγαγεῖν· ἀλλ᾽ οὐ κατενύγησαν, καθώς φησιν ὁ προφήτης· Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. τοιοῦτον γὰρ ἡ πονηρία, οὐδενὶ βούλεται εἴκειν, πρὸς ἓν βλέπει μόνον, ὥστε τὸν ἐπιβουλευόμενον ἀνελεῖν. ἀλλὰ

Ψαλμ. λδ. ιϛ.

τί

τὰς γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον. τίνος οὖν ἕνεκεν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ λέγει, ὅτι
ἐν αὐτῇ πάντες ἦσαν συγκεκροτημένοι. τῇ μὲν γὰρ πρώτῃ οὐ παρεγένετο, καὶ τὴν αἰτίαν εἶπε
πρὸς τοὺς ἀδελφούς. ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τι τοιοῦτον λέγει, ὥστε μὴ ἐκλυθῆναι
τὰ λεγόμενα, μελλόντων αὐτῶν εἰς τρυφὴν ἰέναι. τῇ δὲ ἐσχάτῃ, ὅτε ἀνεχώρουν οἴκαδε, ἐφόδια
αὐτοῖς δίδωσι πρὸς σωτηρίαν, καὶ κράζει, τοῦτο μὲν τὴν παρρησίαν αὐτοῦ ἐμφαίνων· τοῦτο δὲ διὰ
14 τὸν πολὺν ὄχλον. καὶ δηλῶν ὅτι περὶ τοῦ νοητοῦ διελέγετο πόματος, ἐπάγει· ὁ πιστεύων εἰς
ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. κοιλίαν
Ψαλ. λθ. ια. ἐνταῦθα τὴν καρδίαν φησὶ, καθάπερ καὶ ἀλλαχοῦ φησι· Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας
μου. καὶ ποῦ εἶπεν ἡ γραφὴ, ὅτι ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος; οὐδαμοῦ.
τί οὖν ἐστιν, ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή; ἐνταῦθα ὑποστίξαι δεῖ, ἵνα ᾖ τὸ, ποταμοὶ
ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τῆς αὐτοῦ ἀποφάσεως. ἐπειδὴ γὰρ ἔλεγον πολλοὶ, οὗτός ἐστιν ὁ
Χριστός· καὶ, ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; δείκνυσιν, ὅτι διωρθωμένην δεῖ
τὴν γνῶσιν ἔχειν, καὶ οὐκ ἀπὸ τῶν σημείων οὕτως, ὡς ἀπὸ τῶν γραφῶν πιστεύεσθαι. πολλοὶ γοῦν
αὐτὸν καὶ θαυματουργοῦντα ἰδόντες, οὐχ ὡς Χριστὸν ἐδέχοντο· ἔμελλον δὲ λέγειν, ὅτι οὐχὶ αἱ γραφαὶ
λέγουσιν, ὅτι ὁ Χριστὸς ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ ἔρχεται; καὶ ταῦτα ἄνω καὶ κάτω
ἔστρεφον. δεῖξαι τοίνυν βουλόμενος, ὅτι οὐ φεύγει τὴν διὰ τούτων ἀπόδειξιν, πάλιν αὐτοὺς εἰς τὰς
γραφὰς παραπέμπει. καὶ γὰρ ἄνω ἔλεγεν, ἐρευνᾶτε τὰς γραφάς· καὶ πάλιν, Ἐστι γεγραμμένον
ἐν τοῖς προφήταις, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ· καὶ, Μωϋσῆς ὑμῶν κατηγορεῖ· καὶ
ἐνταῦθα, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τὸ δαψιλὲς καὶ ἄφθονον
τῆς χάριτος αἰνιττόμενος· ὅπερ ἀλλαχοῦ φησι, πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον,
τουτέστι, πολλὴν ἕξει χάριν. ἀλλαχοῦ μὲν οὖν ζωὴν αἰώνιον λέγει· ἐνταῦθα δὲ, ὕδωρ ζῶν. ζῶν
δὲ λέγει, τὸ ἐνεργοῦν ἀεί. ἡ γὰρ τοῦ πνεύματος χάρις, ἐπειδὰν εἰς διάνοιαν εἰσέλθῃ καὶ ἱδρυνθῇ, χ. ἱδρυθῇ
πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει οὐδὲ κενοῦται οὐδ' ἵσταται). ὁμοῦ τοίνυν καὶ τὸ
ἀνελλιπὲς τῆς χορηγίας δηλῶν, καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγὴν καὶ ποταμοὺς ἐκάλεσεν·
οὐχ ἕνα ποταμὸν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ δὲ, τὴν πλημμύραν διὰ τοῦ ἅλλεσθαι παρέστησε.
Ιωάν. δ. ιδ. καὶ ἴδοι τις ἂν τὸ λεγόμενον σαφῶς, εἰ τὴν σοφίαν τοῦ Στεφάνου, εἰ τὴν Πέτρου γλῶτταν, καὶ τὴν
Παύλου ῥύμην ἐννοήσειε, πῶς οὐδὲν αὐτοὺς ἔφερεν, οὐδὲν ὑφίστατο, οὐ δήμων θυμὸς, οὐ τυράννων
ἐπαναστάσεις, οὐ δαιμόνων ἐπιβουλαὶ, οὐ θάνατοι καθημερινοί· ἀλλ' ὥσπερ ποταμοὶ πολλῷ τῷ
ῥοίζῳ φερόμενοι, οὕτω πάντα παρασύροντες ἀπῄεσαν. 39 Ταῦτα δὲ ἔλεγε περὶ τοῦ πνεύ-
ματός, φησιν, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. Πῶς οὖν οἱ προφῆται
προεφήτευον, καὶ τὰ μυρία εἰργάσαντο θαύματα; οἱ ἀπόστολοι μὲν γὰρ, οὐ πνεύματι
Ματθ. ιβ. κζ. ἐξέβαλον, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ, ὡς αὐτός φησιν· Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ
δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; τοῦτο δὲ ἔλεγε, δηλῶν ὅτι οὐ πάντες πνεύματι ἐξέβαλον
πρὸ τοῦ σταυροῦ, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ. ὅτε γοῦν αὐτοὺς ἔμελλε πέμπειν, τότε ἔλεγε·
λάβετε πνεῦμα ἅγιον· καὶ πάλιν· ἦλθεν ἐπ' αὐτοὺς πνεῦμα ἅγιον, καὶ τότε τὰ σημεῖα ἐποίουν·
ὅτε δὲ ἔπεμπεν αὐτοὺς, οὐκ εἶπεν, ἔδωκεν αὐτοῖς πνεῦμα ἅγιον· ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν,
Ματθ. ι η. λέγων, Λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε· δωρεὰν ἐλάβετε, δωρεὰν
δότε. ἐπὶ δὲ τῶν προφητῶν, παρὰ πάντων ὡμολόγηται, ὅτι πνεύματος ἁγίου δόσις ἦν·
ἀλλ' ἦν αὕτη ἡ χάρις συσταλεῖσα καὶ ἀποστᾶσα, καὶ ἀπὸ τῆς γῆς ἀπολιποῦσα, ἀπὸ τῆς ἡμέρας
Ματθ. κγ. λη. ἐκείνης, ἀφ' ἧς ἐρρήθη, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ πρὸ ἐκείνης δὲ, ἀρχὴν ἐλάμβανεν
αὐτῆς ἡ σπάνις. οὐκέτι γὰρ προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπωτοίβευεν αὐτῶν τὰ ἅγια χ. θεῖα
ἡ χάρις. ἐπεὶ οὖν ἀνέσταλτο μὲν τὸ πνεῦμα τὸ ἅγιον· ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς,
ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγίνετο, οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ
μειζόνων χαρισμάτων (καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεὰ, ὡς ὅταν λέγῃ· Οὐκ οἴδατε ποίου

πνεύματός ἐστε· καὶ πάλιν, οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ γὰρ οἱ παλαιοὶ καὶ αὐτοὶ μὲν πνεῦμα εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν) ἐπειδὴ οὖν ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτό φησιν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. ἐπεὶ οὖν ὁ Κύριος περὶ ταύτης λέγει τῆς χάριτος, ὁ εὐαγγελιστὴς ἔλεγεν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, τουτέστι, δοθέν, ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν καλῶν τὸν σταυρόν. ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοστυγεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις· δῶρον δὲ οὐ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς εὐηρεστηκόσιν· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραάμ, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Εἰ γὰρ οἱ ἐκ Ρω. δ. ιδ.
νόμου κληρονόμοι, κεκένωται ἡ πίστις· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν· ἀλλ' ἀνάξιοι ἦσαν τῆς ἐπαγγελίας οἱ ἔκγονοι, καὶ ἐξ οἰκείων οὐκ ἠδύναντο εὐαρεστῆσαι πόνων. διὰ τοῦτο εἰσῆλθεν ἡ πίστις, πρᾶγμα εὔκολον, ἵνα τὴν χάριν ἐπισπάσηται, καὶ μὴ διαπέσωσιν αἱ ἐπαγγελίαι. καὶ λέγει· διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν. διὰ τοῦτο κατὰ χάριν, ἐπειδὴ ἐξ ἱδρώτων οὐκ ἴσχυσαν. τίνος δὲ ἕνεκεν εἰπών, κατὰ τὰς γραφάς, οὐκ ἐπάγει καὶ τὴν μαρτυρίαν; ὅτι διεφθαρμένη αὐτῶν ἡ γνώμη ἦν.

40 Οἱ μὲν γὰρ ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης·

41 Ἄλλοι δὲ ἔλεγον, ὅτι πλανᾷ τὸν ὄχλον· ἄλλοι δὲ ἔλεγον,

42 Οὐκ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός, ἀλλὰ ἀπὸ Βηθλεὲμ τῆς κώμης.

Ἄλλοι δὲ ἔλεγον, ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. καὶ διάφορος ἦν ἡ γνώμη, ἅτε ἐν πλήθει τεταραγμένῳ. οὐδὲ γὰρ ἀκριβῶς προσεῖχον τοῖς λεγομένοις, οὐδὲ τοῦ μαθεῖν ἕνεκεν. διὰ δὴ τοῦτο τούτοις μὲν οὐδὲν ἀποκρίνεται. καίτοι λέγουσι· μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; τὸν δὲ Ναθαναὴλ σφοδρότερον εἰπόντα καὶ πληκτικώτερον, ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι, ἐπῄνεσεν ὡς ἀληθῶς Ἰσραηλίτην. οὗτοι μὲν γάρ, καὶ οἱ πρὸς τὸν Νικόδημον εἰπόντες, ἐρεύνησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται, οὐ μαθεῖν ζητοῦντες ἔλεγον, ἀλλ' ἁπλῶς ἀνατρέψαι τὴν περὶ τοῦ Χριστοῦ δόξαν. ἐκεῖνος δὲ ἀληθείας ὢν ἐραστής, καὶ τὰ παλαιὰ ἀκριβῶς πάντα ἐπιστάμενος, τοῦτο ἔλεγεν· αὐτοὶ δὲ πρὸς ἓν μόνον ἑώρων, τὸ ἀνατρέψαι ὅτι ὁ Χριστός ἐστι. διόπερ αὐτοῖς οὐδὲν ἀπεκάλυψεν. οἱ γὰρ καὶ ἑαυτοῖς ἐναντία λέγοντες, καὶ ποτὲ μέν, οὐδεὶς γινώσκει πόθεν ἔρχεται· ποτὲ δέ, ἀπὸ Βηθλεέμ, εὔδηλον ὅτι καὶ μαθόντες ἠναντιώθησαν. ἔστω γάρ, τὸν τόπον ἠγνόουν, ὅτι ἀπὸ Βηθλεέμ, διὰ τὴν ἀναστροφὴν τὴν ἐν Ναζαρέθ (καίτοι οὐδὲ τούτου συγγνώμην εἶχον· οὐ γὰρ ἐκεῖ ἐτέχθη) ἆρα καὶ τὸ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ; πῶς οὖν ἔλεγον, οὐκ ἀπὸ τοῦ σπέρματος Δαβὶδ ἔρχεται ὁ Χριστός; ἀλλὰ καὶ τοῦτο ἐκείνῳ συσκιάσαι ἐβούλοντο, κακούργως ἅπαντα φθεγγόμενοι. τίνος δὲ ἕνεκεν οὐχὶ προσελθόντες εἶπον· ἐπειδὴ τὰ μὲν ἄλλα πάντα θαυμάζομεν, κελεύεις δέ σοι πείθεσθαι κατὰ τὰς γραφάς, εἰπὲ πῶς αἱ μὲν γραφαὶ λέγουσιν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ τὸν Χριστὸν ἐλθεῖν, σὺ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀφῖξαι; ἀλλ' οὐδὲν τούτων εἶπον, ἀλλὰ πάντα πονηρῶς φθέγγονται. ὅτι γὰρ οὐ ζητοῦντες, οὐδὲ μαθεῖν βουλόμενοι, εὐθέως ἐπήγαγεν ὁ εὐαγγελιστής·

44 Ὅτι τινὲς ἤθελον πιάσαι αὐτόν, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα αὐτοῦ.

Εἰ γὰρ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἱκανὸν ἦν εἰς κατάνυξιν αὐτοὺς ἀγαγεῖν· ἀλλ' οὐ κατενύγησαν, καθώς φησιν ὁ προφήτης· Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. τοιοῦτον γὰρ ἡ πονηρία, Ψαλμ. λδ. ιθ.
οὐδενὶ βούλεται εἴκειν, πρὸς ἓν βλέπει μόνον, ὥστε τὸν ἐπιβουλευόμενον ἀνελεῖν. ἀλλὰ

τί

Παροιμ. κς. κζ. τί φησιν ἡ γραφή; Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· ὅπερ καὶ τότε γέγονεν. αὐτοὶ μὲν γὰρ ἐβούλοντο αὐτὸν ἀνελεῖν, ὡς δὴ σβεννύντες τὸ κήρυγμα· γέγονε δὲ τοὐναντίον. τὸ μὲν γὰρ κήρυγμα αὔξει τῇ τοῦ Χριστοῦ χάριτι· τὰ δὲ ἐκείνων πάντα ἐσβέσθη καὶ ἀπόλωλε, καὶ πατρίδος καὶ ἐλευθερίας καὶ ἀδείας καὶ λατρείας ἐξέπεσον, καὶ πάσης ἀπεστερήθησαν εὐημερίας, καὶ γεγόνασι δοῦλοι καὶ αἰχμάλωτοι.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, μηδέποτε ἐπιβουλεύωμεν ἑτέροις, μαθόντες ὅτι καθ' ἑαυτῶν ἀκονῶμεν τὸ ξίφος, καὶ βαθυτέραν ἑαυτοῖς διδῶμεν τὴν πληγήν. ἀλλ' ἐλύπησέ τις, καὶ βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀμύνῃ· οὕτω γὰρ ἀμύνασθαι δυνήσῃ. ἐὰν δὲ ἀμύνῃ, οὐκ ἠμύνω. καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον, ἀλλ' ἀληθῆ λόγον. πῶς, καὶ τίνι τρόπῳ; ὅτι σὺ μὴ ἀμυνόμενος, Ρω. ιβ. ιθ. τὸν Θεὸν αὐτῷ καθίστας ἐχθρόν· ἀμυνόμενος δὲ, οὐκέτι. Ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. εἰ γὰρ οἰκέτας ἔχομεν, κἂν πρὸς ἀλλήλους διενεχθέντες (γρ. διαλεχθέντες) μὴ τῆς δίκης καὶ τῆς κολάσεως ἡμῖν παραχωρήσωσιν, ἀλλ' ἑαυτοῖς ἐπιτρέψωσιν, κἂν μυριάκις προσέλθωσιν, οὐ μόνον οὐκ ἀμυνόμεθα, ἀλλὰ καὶ ἀγανακτοῦμεν, δραπέτας λέγοντες καὶ μαστιγίας, τὸ παρ' ἡμῖν ἐπιτρέψαι ἔργον· ἐπειδὴ δὲ σαυτῷ προλαβὼν ἤμυνες, μηδὲν ἐνόχλει λοιπόν· πολλῷ μᾶλλον ὁ Θεὸς, ὁ παραγγείλας αὐτῷ παραχωρεῖν ἁπάντων, τοῦτο ἐρεῖ. πῶς γὰρ οὐκ ἄτοπον, ἡμᾶς παρὰ μὲν παίδων τῶν ἡμετέρων τοσαύτην ἀπαιτεῖν φιλοσοφίαν καὶ ὑπακοήν· τῷ δὲ δεσπότῃ μὴ παραχωρῶμεν, ὧν βουλόμεθα τοὺς οἰκέτας ἡμῖν παραχωρεῖν; ταῦτα δὲ λέγω διὰ τὸ πρόθυμον ὑμῶν περὶ τὴν ἀλλήλων κόλασιν. ἐπεὶ τόν γε ἀληθῶς φιλοσοφοῦντα, οὐδὲ τοῦτο χρὴ ποιεῖν· ἀλλὰ συγγινώσκειν καὶ ἀφιέναι τὰ ἁμαρτήματα, εἰ καὶ μὴ ἐκεῖνο ἦν τὸ μέγα ἔπαθλον, τὸ ἄφεσιν ἀντὶ τούτων λαμβάνειν. Εἰ γάρ, εἰπέ μοι, καταγινώσκεις τοῦ ἡμαρτηκότος, τίνος ἕνεκεν καὶ αὐτὸς ἁμαρτολμεῖς, καὶ τοῖς αὐτοῖς περιπίπτεις; ὕβρισε; μὴ ἀνθυβρίσῃς· ἐπεὶ σαυτὸν ὕβρισας. ἔπληξε; μὴ ἀντιπλήξῃς· ἐπεὶ οὐδὲν διέφερες οὐδαμοῦ. ἐλύπησε; μὴ ἀντιλυπήσῃς· ἐπεὶ τὸ κέρδος οὐδὲν, ἀλλὰ γέγονας ἐκείνῳ πάλιν ἴσος. οὕτως αὐτοῦ ἐντρέψαι δυνήσῃ, ἂν μετὰ πραότητος ἐνέγκῃς καὶ ἐπιεικῶς, οὕτως αὐτοῦ καταιδέσαι, οὕτως αὐτοῦ ἐγκόψαι τῆς ὀργῆς. οὐδεὶς κακῷ κακὸν ἰᾶται, ἀλλ' ἀγαθῷ τὸ κακόν. Ταῦτα παρ' Ἕλλησί τινες φιλοσοφοῦσιν. αἰσχυνθῶμεν τοίνυν, εἰ παρ' Ἕλλησι τοῖς ἀνοήτοις τοσαύτης οὔσης τῆς φιλοσοφίας, ἡμεῖς ἐλάττους φαινοίμεθα. πολλοὶ ἠδικήθησαν, καὶ ἤνεγκαν· πολλοὶ ἐσυκοφαντήθησαν, καὶ οὐκ ἠμύναντο· ἐπεβουλεύθησαν, καὶ εὐηργέτησαν. δέος δὲ οὐ μικρὸν, μὴ μείζους ἡμῶν τινες παρ' αὐτοῖς κατὰ τὸν βίον εὑρεθῶσι, καὶ σφοδροτέραν ἡμῖν τὴν κόλασιν ἐργάσωνται. ὅταν γὰρ οἱ πνεύματος μετεσχηκότες, οἱ βασιλείαν προσδοκῶντες, οἱ ὑπὲρ τῶν οὐρανίων φιλοσοφοῦντες, οἱ [μὴ] δεδοικότες γέενναν, οἱ κελευόμενοι ἄγγελοι γίνεσθαι, οἱ μυστηρίων ἀπολαύοντες, μηδὲ εἰς τὴν αὐτὴν ἐκείνοις φθάσωμεν ἀρετὴν, ποίαν ἕξομεν (γρ. ποίαν ἐλπίδα ἕξομεν.) Ματθ. ε. κ. συγγνώμην; Εἰ γὰρ Ἰουδαίους ὑπερβαίνειν χρὴ (Ἐὰν γὰρ μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη, φησὶ, πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν) πολλῷ μᾶλλον Ἕλληνας· εἰ Φαρισαίους, πολλῷ μᾶλλον τοὺς ἀπίστους. Εἰ γὰρ μὴ ὑπερβαίνοντων ἡμῶν τὴν ἐκείνων πολιτείαν, ἀποκέκλεισται τὰ τῆς βασιλείας· ὅταν καὶ Ἑλλήνων φαινώμεθα χείρους, πῶς ἕξομεν ταύτης ἐπιτυχεῖν; πᾶσαν τοίνυν πικρίαν καὶ ὀργὴν Φιλιππ. γ. α. καὶ θυμὸν ἐκβάλωμεν. Τὰ αὐτὰ λέγειν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. καὶ γὰρ καὶ ἰατροὶ τῷ αὐτῷ πολλάκις χρῶνται) φαρμάκῳ· καὶ ἡμεῖς οὐ παυσόμεθα τὰ αὐτὰ ἐνηχοῦντες, ἀναμιμνήσκοντες, διδάσκοντες, παρακαλοῦντες. καὶ γὰρ πολὺς τῶν βιωτικῶν πραγμάτων ὁ ὄχλος, καὶ λήθην ἡμῖν ἐμποιῶν, καὶ διδασκαλίας δεῖ ἡμῖν συνεχοῦς. ἵν' οὖν μὴ μάτην, μηδὲ εἰκῆ ἐνταῦθα συλλεγώμεθα, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν παρεχώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. νβ. 45 ΗΛΘΟΝ ΟΥΝ ΟΙ ΥΠΗΡΕΤΑΙ ΠΡΟΣ ΤΟΥΣ ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν; 46 Ἀπεκρίθησαν οὖν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.

Οὐδὲν τῆς ἀληθείας σαφέστερον, οὐδὲν ἁπλούστερον, ἐὰν μὴ κακουργῶμεν ἡμεῖς· ὥσπερ οὖν κακουργούντων οὐδὲν δυσκολώτερον. ἰδοὺ γὰρ οἱ μὲν Φαρισαῖοι καὶ οἱ γραμματεῖς, οἱ δῆθεν δοκοῦντες εἶναι σοφώτεροι, συνόντες ἀεὶ τῷ Χριστῷ ἐπιβουλῆς ἕνεκεν, καὶ θαύματα ὁρῶντες, καὶ γραφὰς ἀναγινώσκοντες, οὐδὲν ἀπώναντο, ἀλλὰ καὶ ἐβλάβησαν· οἱ δὲ ὑπηρέται, οὐδὲν τούτων ἔχοντες εἰπεῖν, ἀπὸ μιᾶς μόνης δημηγορίας ἐχειρώθησαν, καὶ ἀπελθόντες ὥστε αὐτὸν δῆσαι, ἐπανῆλθον δεθέντες τῷ θαύματι. οὐ τὴν σύνεσιν δὲ αὐτῶν θαυμάσαι μόνον ἐστὶν, ὅτι σημείων οὐκ ἐδεήθησαν, ἀλλ᾽ ἀπὸ τῆς διδασκαλίας μόνης ἑάλωσαν (οὐ γὰρ εἶπον, ὅτι οὐδέποτε ἐθαυματούργησεν ἄνθρωπος οὕτως· ἀλλὰ τί; οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος) οὐ ταύτην τὴν σύνεσιν αὐτῶν μόνον ἐστὶ θαυμάσαι, ἀλλὰ καὶ τὴν παῤῥησίαν, ὅτι πρὸς τοὺς ἀποστείλαντας ταῦτα ἔλεγον, πρὸς τοὺς Φαρισαίους, πρὸς τοὺς πολεμοῦντας καὶ πάντα ὑπὲρ τούτου πράττοντας. ἦλθον γὰρ, φησὶν, οἱ ὑπηρέται, καὶ λέγουσιν αὐτοῖς οἱ Φαρισαῖοι· διὰ τί οὐκ ἠγάγετε αὐτόν; τὸ δὲ ἐλθεῖν, πολλῷ μεῖζον ἦν τοῦ μεῖναι. τότε μὲν γὰρ ἀπηλλάγησαν ἂν τῆς τούτων ἐπαχθείας· νυνὶ δὲ κήρυκες γίνονται τῆς τοῦ Χριστοῦ σοφίας, καὶ μειζόνως ἐνδείκνυνται τὴν παῤῥησίαν. καὶ οὐ λέγουσιν, οὐκ ἠδυνήθημεν διὰ τὸν ὄχλον, ὅτι ὡς προφήτῃ προσεῖχον· ἀλλὰ τί; οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος. καίτοιγε ἠδύναντο ἐκείνην εἰπεῖν τὴν ἀπολογίαν· ἀλλ᾽ ἐμφαίνουσιν ἑαυτῶν τὴν ὀρθὴν γνώμην. τοῦτο γὰρ οὐχὶ θαυμαζόντων ἐκεῖνον μόνον ἦν, ἀλλὰ καὶ τούτων κατηγορούντων, ὅτι ἔπεμψαν δήσοντας αὐτὸν, οὓς ἀκούειν ἐχρῆν. καίτοιγε οὐδὲ μακρᾶς ἤκουσαν δημηγορίας, ἀλλὰ βραχείας. ὅταν γὰρ ἡ διάνοια ἀδέκαστος ᾖ, οὐδὲ μακρῶν λόγων δεῖ. τοιοῦτον γὰρ ἡ ἀλήθεια. τί οὖν οἱ Φαρισαῖοι; δέον κατανυγῆναι, τὸ ἐναντίον ποιοῦσιν, ἀντεγκαλοῦσιν αὐτοῖς,

47 Μὴ καὶ ὑμεῖς πεπλάνησθε, λέγοντες; Ἔτι αὐτοὺς κολακεύουσι, καὶ οὐ καταφορικῶς κέχρηνται τῷ λόγῳ, δεδοικότες μὴ τέλεον ἀποσχισθῶσιν· ἀλλὰ τὸν θυμὸν ἐμφαίνουσι, καὶ μετὰ φειδοῦς φθέγγονται. δέον γὰρ ἐρωτῆσαι, τί ἐλάλησε, καὶ θαυμάσαι τὰ λεχθέντα, τοῦτο μὲν οὐ ποιοῦσιν (ᾔδεισαν γὰρ ὅτι ἁλῶναι εἶχον) ἀπὸ δὲ τεκμηρίου σφόδρα ἀνοήτου αὐτοὺς συλλογίζονται.

48 Διὰ τί γὰρ οὐδεὶς, φησὶ, τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν; Τοῦτο οὖν τῷ Χριστῷ ἐγκαλεῖς, εἰπέ μοι, καὶ οὐχὶ τοῖς ἀπιστήσασιν;

49 Ἀλλ᾽ ὁ ὄχλος, φησὶν, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν,

Αὕτη γὰρ ὑμῶν ἡ μείζων κατηγορία, ὅτι ὁ μὲν ὄχλος ἐπίστευσεν, ὑμεῖς δὲ ἠπιστήσατε. καὶ μὴν τὰ τῶν γινωσκόντων τὸν νόμον ἐποίουν ἐκεῖνοι· πῶς οὖν ἐπάρατοί εἰσιν; ὑμεῖς γὰρ ἐπάρατοι, οἱ μὴ τηροῦντες τὸν νόμον, οὐκ ἐκεῖνοι οἱ τῷ νόμῳ πειθόμενοι. ἐχρῆν δὲ οὐκ ἀπὸ τῶν ἀπιστούντων διαβάλλειν τὸν ἀπιστούμενον. οὐ γὰρ ὀρθὸς ὁ τρόπος οὗτος. ἐπεὶ καὶ ὑμεῖς ἠπιστήσατε τῷ Θεῷ, καθὼς Παῦλός φησι· Τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; μὴ γένοιτο. (Ρω. γ. γ.) καὶ γὰρ οἱ προφῆται αὐτοῖς ἀεὶ ἐνεκάλουν λέγοντες· Ἀκούσατε ἄρχοντες Σοδόμων· καὶ, Οἱ ἄρχοντές σου ἀπειθοῦσι. (Ησ. α. ι.) καὶ πάλιν· Οὐχ ὑμῶν ἐστι γνῶναι τὸ κρίμα; (Μιχ. γ. α.) καὶ πανταχοῦ σφοδρότερον ἐπιτίθενται αὐτοῖς. τί οὖν; καὶ τῷ

Θεοῦ τις ἐγκαλέσει διὰ τοῦτο; ἄπαγε. ἐκείνων γὰρ τοῦτο τὸ ἔγκλημα. ποῖον δ' ἂν ἄλλο τις ποιήσειε σημεῖον τοῦ μὴ γινώσκειν ὑμᾶς τὸν νόμον, ἢ τὸ μὴ πείθεσθαι; ἐπειδὴ δὲ εἶπον, ὅτι μὴ τῶν ἀρχόντων τις ἐπίστευσεν εἰς αὐτὸν, καὶ ὅτι οἱ μὴ γινώσκοντες τὸν νόμον· ἀκολούθως αὐτῶν καθάπτεται ὁ Νικόδημος, οὕτω λέγων·

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον;

γρ. ὑμῶν

Δείκνυσι γὰρ αὐτοὺς μήτε γινώσκοντας τὸν νόμον, μήτε ποιοῦντας τὸν νόμον. εἰ γὰρ ἐκεῖνος μὲν οὐδένα κελεύει ἀποκτιννύναι ἄνθρωπον μὴ πρότερον ἀκούσαντας, οὗτοι δὲ πρὶν ἀκοῦσαι ἐπὶ τοῦτο ὥρμησαν, παραβάται εἰσὶ τοῦ νόμου. καὶ ἐπειδὴ εἶπον, οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, διὰ τοῦτο ἐπισημαίνεται ὁ εὐαγγελιστὴς, ὅτι εἷς ἦν ἐξ αὐτῶν, δεικνὺς ὅτι καὶ ἄρχοντες ἐπίστευσαν εἰς αὐτόν. παρρησίαν μὲν γὰρ οὐδέπω τὴν προσήκουσαν ἐπεδείκνυντο· πλὴν ᾠκειοῦντο τῷ Χριστῷ. ὅρα δὲ πῶς καὶ μετὰ φειδοῦς τὸν ἔλεγχον ἐπάγει. οὐ γὰρ εἶπεν, ὑμεῖς δὲ βούλεσθε αὐτὸν ἀποκτεῖναι, καὶ ἁπλῶς καταδικάζετε τὸν ἄνθρωπον, ὡς πλάνον· ἀλλὰ προσηνέστερον, τὴν ἄφατον αὐτῶν ὁρμὴν ἐγκόπτων, καὶ τὸ ἀσκέπτον καὶ φονικόν. διὰ τοῦτο ἐπὶ τὸν νόμον τρέπει τὸν λόγον, λέγων· ἐὰν μὴ ἀκούσῃ ἀκριβῶς, καὶ γνῷ τί ποιεῖ. ὥστε οὐδὲ ἀκροάσεως δεῖ ψιλῆς, ἀλλὰ καὶ ἀκριβοῦς. τοῦτο γάρ ἐστι, καὶ γνῷ τί ποιεῖ, τί βούλεται, καὶ διὰ τί, καὶ ἐπὶ τίνι, πότερον ἐπ' ἀνατροπῇ τῆς πολιτείας, καὶ ὡς ἐχθρός. ἀπορηθέντες τοίνυν, ἐπειδὴ εἶπον, οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, οὔτε σφοδρῶς, οὔτε μετὰ φειδοῦς αὐτῷ προσηνέχθησαν. ποίαν γὰρ ἀκολουθίαν ἔχει, εἰπέ μοι, εἰπόντος ἐκείνου, ὅτι ὁ νόμος ἡμῶν οὐ κρίνει οὐδένα, εἰπεῖν,

γρ. εἰ χρὴ,

52 Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; Δέον γὰρ δεῖξαι, ὅτι οὐκ ἀκρίτως ἔπεμψαν αὐτὸν καλέσοντες, ἢ ὅτι οὐ χρὴ μεταδοῦναι λόγου, ἀγροικότερον καὶ θυμικώτερον κέχρηνται τῇ ἀντιρρήσει· Ἐρώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται.

Τί γὰρ εἶπεν ὁ ἄνθρωπος; ὅτι προφήτης ἐστίν; εἶπεν ὅτι ἄκριτον ἀναιρεθῆναι οὐ δεῖ. οἱ δὲ ὑβριστικῶς, ὡς οὐκ εἰδότι περὶ τῶν γραφῶν οὐδὲν, ταῦτα ἐπήγαγον· ὡσανεὶ εἴποι τις, ὕπαγε, μάθε· τοῦτο γάρ ἐστιν, ἐρώτησον καὶ ἴδε. τί οὖν ὁ Χριστός; ἐπειδὴ ἄνω καὶ κάτω τὴν Γαλιλαίαν ἔστρεφον καὶ τὸν προφήτην, ἀπαλλάττων πάντας ταύτης τῆς ἀλλοτρίας ὑποψίας, καὶ δεικνὺς ὅτι οὐχ εἷς τῶν προφητῶν ἐστιν, ἀλλὰ τοῦ κόσμου δεσπότης, φησίν·

κεφ. η.

12 Ἐγώ φῶς εἰμι τοῦ κόσμου· Οὐ Γαλιλαίας, οὐ Παλαιστίνης, οὐδὲ τῆς Ἰουδαίας. τί οὖν [οἱ] Ἰουδαῖοι;

13 Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Ὢ τῆς ἀνοίας· ταῖς γραφαῖς παρέπεμψεν ἄνω καὶ κάτω, καὶ λέγουσιν, ὅτι σὺ περὶ σεαυτοῦ μαρτυρεῖς. τί δὲ ἐμαρτύρησεν; ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. μέγα τὸ λεχθὲν, καὶ ὄντως μέγα· ἀλλ' οὐ σφόδρα αὐτοὺς ἔπληξεν, ἐπειδὴ οὔτε ἐξίσου νῦν ἑαυτὸν τῷ πατρὶ, οὔτε υἱὸς ἐκείνου εἶπεν εἶναι, οὔτε Θεὸς, ἀλλὰ φῶς τέως. ἐβούλοντο μὲν γὰρ ἀνατρέψαι καὶ τοῦτο· καίτοι πολὺ τοῦτο μεῖζον. τοῦ εἰπεῖν, Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, Φῶς καὶ σκοτίαν νοητῶς λέγων· τουτέστιν, οὐ μενεῖ ἐν τῇ πλάνῃ. ἐνταῦθα καὶ τὸν Νικόδημον ἐφέλκεται, καὶ ἀνάγει ὡς σφόδρα παρρησιασάμενον, καὶ [τοὺς] ὑπηρέτας ἐπαινεῖ τοῦτο πεποιηκότας. τὸ γὰρ κρᾶξαι, τοῦτό ἐστι βουλομένου κατασκευάσαι, ὥστε κἀκείνους ἀκοῦσαι. ἅμα δὲ καὶ αὐτοὺς αἰνίττεται κρυφῇ τοὺς δόλους πλέκοντας, καὶ ἐν τῷ σκότῳ καὶ τῇ πλάνῃ· ἀλλὰ τοῦ φωτὸς οὐ περιέσονται· καὶ τὸν Νικόδημον ὑπομιμνήσκει τῶν ῥημάτων ἐκείνων ἅπερ ἔλεγε πρώην· Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ αὐτοῦ τὰ ἔργα. ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐδεὶς ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, διὰ τοῦτό φησιν, ὁ τὰ φαῦλα πράσσων οὐκ ἔρχεται πρὸς τὸ φῶς· δεικνὺς ὅτι οὐ τῆς τοῦ φωτὸς ἀσθενείας τὸ μὴ ἐλθεῖν, ἀλλὰ τῆς ἐκείνων διεστραμμένης γνώμης.

γρ. ὅπη

γρ. οὖν

Ἰωάν. γ. κ.

14 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς; Τί οὖν αὐτός; Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν· ὅτι οἶδα πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι. Ὅπερ φθάσας εἶπον, τοῦτο οὗτοι προβάλλονται ὡς προηγουμένως λεχθέν. τί οὖν ὁ Χριστός; ἀνατρέπων αὐτό, καὶ δεικνύς, ὅτι ἐκεῖνα ὡς πρὸς αὐτοὺς καὶ τὴν ὑπόνοιαν αὐτῶν διελέγετο, ἄνθρωπον αὐτὸν ὑποπτευόντων ψιλόν, φησί· καὶ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἔρχομαι. τί ἐστι τοῦτο; ἐκ τοῦ Θεοῦ εἰμι, καὶ Θεός, καὶ υἱὸς Θεοῦ· ὁ δὲ Θεὸς αὐτὸς ἑαυτῷ ἀξιόπιστος μάρτυς. ὑμεῖς δὲ οὐκ οἴδατε. ἐθελοκακεῖτε, φησί, καὶ εἰδότες προσποιεῖσθε μὴ εἰδέναι· ἀλλ' ἀπὸ ἀνθρωπίνης διανοίας ἅπαντα φθέγγεσθε, οὐδὲν πλέον βουλόμενοι τοῦ φαινομένου νοεῖν.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε. Ὥσπερ τὸ κατὰ σάρκα ζῆν, τὸ φαύλως ζῆν· οὕτω τὸ κατὰ σάρκα κρίνειν, ἀδίκως κρίνειν ἐστίν.

Ἐγὼ οὐ κρίνω οὐδένα· 16 Καὶ ἐὰν κρίνω, ἡ ἐμὴ κρίσις δικαία ἐστίν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀδίκως κρίνετε. καὶ εἰ ἀδίκως κρίνομεν, φησί, διατί μὴ ἐγκαλεῖς; διατί μὴ κολάζεις; διατί μὴ κατακρίνεις; ὅτι οὐκ ἐπὶ τοῦτο ἦλθον, φησί. τοῦτο γάρ ἐστι τό, ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις μου ἀληθής ἐστιν. ἐπεὶ εἰ ἐβουλήθην κρῖναι, ὑμεῖς ἂν τῶν καταδεδικασμένων ἦτε. καὶ ταῦτα οὐχὶ κρίνων λέγω, φησίν. οὐ διὰ τοῦτο δὲ εἶπον, οὐχὶ κρίνων λέγω, ὡς οὐ θαρρῶν· ὅτι εἰ ἔκρινον, εἷλον ἂν ὑμᾶς. καὶ γὰρ εἰ ἔκρινον, δικαίως ἂν ὑμᾶς κατεδίκασα· ἀλλὰ νῦν καιρὸς κρίσεως οὐκ ἔστι. καὶ περὶ τῆς μελλούσης μὲν κρίσεως ᾐνίξατο εἰπών, Ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. Ἐνταῦθα δὲ ᾐνίξατο, ὅτι οὐκ αὐτὸς μόνος αὐτοὺς καταδικάζει, ἀλλὰ καὶ ὁ πατήρ. Εἶτα αὐτὸ συνεσκίασεν, εἰς τὴν αὐτοῦ μαρτυρίαν ἐνάγων·

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι. Τί ἂν εἴποιεν ἐνταῦθα οἱ αἱρετικοί; τί πλέον ἔχει τῶν ἀνθρώπων, εἰ ἁπλῶς οὕτως ἐκλάβοιμεν τὸ λεχθέν; ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων διὰ τοῦτο ὥρισται τοῦτο, ἐπειδὴ καθ' ἑαυτὸν οὐκ ἔστιν ἀξιόπιστός τις· ἐπὶ δὲ Θεοῦ πῶς ἂν ἔχοι τοῦτο λόγον; πῶς οὖν εἴρηται τὸ δύο; ἆρα ἐπειδὴ δύο, ἢ ἐπειδὴ ἄνθρωποι, διὰ τοῦτο δύο; εἰ γάρ, ἐπειδὴ δύο εἰσί, τίνος ἕνεκεν οὐ κατέφυγεν ἐπὶ τὸν Ἰωάννην, οὐδὲ εἶπε, μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ Ἰωάννης; τίνος ἕνεκεν ἐπὶ τὸν ἄγγελον; τίνος ἕνεκεν ἐπὶ τοὺς προφήτας; καὶ γὰρ μυρίας ἂν εὗρεν ἄλλας μαρτυρίας. ἀλλ' οὐ τοῦτο βούλεται δεῖξαι μόνον, ὅτι δύο, ἀλλ' ὅτι καὶ τῆς αὐτῆς οὐσίας.

19 Λέγουσιν αὐτῷ· τίς ἐστιν ὁ πατήρ σου; εἶτά φησιν· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. Ἐπειδὴ γὰρ εἰδότες, ὡς οὐκ εἰδότες ἔλεγον καὶ ὡς πειράζοντες αὐτόν, οὐδὲ ἀποκρίσεως αὐτοὺς ἀξιοῖ. Διὰ τοῦτο λέγει λοιπὸν τρανότερον ἅπαντα καὶ μετὰ πλείονος παρρησίας, ἀπό τε τῶν σημείων καὶ τῆς διδασκαλίας τῆς ἀκολουθούσης τὴν μαρτυρίαν λαβών, τῷ τε ἐγγὺς εἶναι τὸν σταυρόν. οἶδα γάρ, φησι, πόθεν ἔρχομαι. τοῦτο οὐ σφόδρα ἂν αὐτῶν καθήψατο· τὸ δὲ ἐπαγαγεῖν, καὶ ὅπου ἐγὼ ὑπάγω, μᾶλλον αὐτοὺς ἐφόβησεν ἄν, ὡς οὐ μέλλοντος αὐτοῦ μένειν ἐν τῷ θανάτῳ. διατί δὲ οὐκ εἶπεν, ὅτι οἶδα, ὅτι Θεός εἰμι, ἀλλ' ὅτι οἶδα πόθεν ἔρχομαι; ἀεὶ τὰ ταπεινὰ ἀναμίγνυσι τοῖς ὑψηλοῖς, καὶ αὐτὰ δὲ ταῦτα περιστέλλει. Εἰπὼν γὰρ ὅτι ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, καὶ τοῦτο δείξας, ἦλθεν ἐπὶ τὸ ταπεινότερον· ὡσανεὶ ἔλεγεν· οἶδα παρὰ τίνος ἀπέσταλμαι, καὶ πρὸς τίνα ἀπέρχομαι. οὕτω γὰρ οὐδὲν ἂν εἶχον ἀντειπεῖν, ἀκούσαντες ὅτι παρ' ἐκείνου ἀπέσταλται, καὶ πρὸς ἐκεῖνον ἄπεισιν. οὐ γὰρ ἂν εἶπον, φησί, τι ψεῦδος, ἐκεῖθέν τε ἥκων, καὶ ἐκεῖσε ἀπιών, πρὸς τὸν ἀληθῆ Θεόν. ὑμεῖς δὲ οὐκ ἴστε τὸν Θεόν, διὰ τοῦτο κατὰ τὴν σάρκα κρίνετε. εἰ γὰρ τοσούτων ἀκούσαντες τεκμηρίων τε καὶ ἐλέγχων, ἔτι λέγετε, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· καὶ Μωϋσέα ἀξιόπιστον ἡγεῖσθε, καὶ ὑπὲρ ὧν περὶ ἄλλων, καὶ ὑπὲρ ὧν περὶ ἑαυτοῦ λέγει, τὸν δὲ Χριστὸν οὐκέτι, τοῦτο κατὰ σάρκα κρίνειν ἐστίν. ἐγὼ δὲ οὐ κρίνω οὐδένα· καὶ μὴν φησιν, ὅτι ὁ πατὴρ οὐ κρίνει οὐδένα. πῶς οὖν ἐνταῦθά φησι, καὶ ἐὰν κρίνω δέ, ἡ κρίσις ἡ Ιωαν. ε. κβ.

ἐμὴ δικαία ἐστὶν, ὅτι οὐκ εἰμὶ μόνος; πάλιν πρὸς τὴν ὑπόληψιν τὴν ἐκείνων φθέγγεται· τουτέστιν, ἡ κρίσις ἡ ἐμὴ, τοῦ πατρός ἐστιν. οὐκ ἂν ἄλλως ἔκρινεν ὁ πατὴρ κρίνων, εἰ μὴ ὡς ἐγώ· καὶ οὐκ ἂν ἄλλως ἐγὼ, εἰ μὴ ὡς ὁ πατήρ. τίνος δὲ ἕνεκεν καὶ τοῦ πατρὸς ἐμνημόνευσεν; οὐ γὰρ ἐνόμιζον ἀξιόπιστον εἶναι τὸν υἱὸν, εἰ μὴ τοῦ πατρὸς τὴν μαρτυρίαν προσέλαβεν· ἄλλως δὲ, οὐδὲ ἕστηκε τὸ λεχθέν. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων, ὅταν δύο ἀλλοτρίῳ πράγματι μαρτυρῶσι, τότε ἡ μαρτυρία ἐστὶν ἀληθής (τοῦτο γάρ ἐστι δύο μαρτυρεῖν) εἰ δὲ μέλλοι τις ἑαυτῷ μαρτυρεῖν, οὐκέτι δύο εἰσίν. ὁρᾷς ὅτι δι' οὐδὲν ἕτερον τοῦτο εἴρηκεν, ἢ ἵνα δείξῃ ὁμοούσιον ἑαυτὸν, καὶ οὐ δεόμενον ἄλλης μαρτυρίας, καὶ οὐδὲν ἔλαττον ἔχοντα τοῦ πατρός; ὅρα γοῦν τὴν αὐθεντίαν. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ· οὐκ ἂν δὲ, εἰ ἐλάττονος οὐσίας ἦν, τοῦτο ἂν ἔθηκε. νυνὶ δὲ, ἵνα μὴ νομίσῃς ὅτι ἀριθμοῦ ἕνεκεν παρείληπται, θέα τὴν ἐξουσίαν οὐδὲν ἔχουσαν παρηλλαγμένον. μαρτυρεῖ ἄνθρωπος, ὅταν ἀφ' ἑαυτοῦ ἀξιόπιστος ᾖ, οὐχ ὅταν μαρτυρίας δέηται, καὶ τοῦτο ἐν ἀλλοτρίῳ πράγματι· ἐν δὲ ἰδίῳ, ὅταν μαρτυρίας δέηται τῆς παρ' ἑτέρου, οὐκ ἔτι ἐστὶν ἀξιόπιστος. ἐνταῦθα δὲ, πᾶν τοὐναντίον. καὶ γὰρ ἐν ἰδίῳ πράγματι μαρτυρῶν, καὶ παρ' ἑτέρου λέγων μαρτυρεῖσθαι, ἀξιόπιστον ἑαυτὸν εἶναί φησι, πανταχόθεν δεικνὺς ἑαυτοῦ τὴν αὐθεντίαν. διὰ τί γὰρ εἰπὼν, οὐκ εἰμὶ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατὴρ, καὶ τὸ, δύο ἀνθρώπων ἡ μαρτυρία ἐστὶν ἀληθὴς, οὐκ ἀπεσιώπησεν, ἀλλ' ἐπήγαγεν, ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ; δηλονότι τὴν αὐθεντίαν δηλῶν. καὶ πρῶτον μὲν ἑαυτὸν τέθεικεν· ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ. δείκνυσιν ἐνταῦθα τό τε ὁμότιμον, καὶ ὅτι οὐδὲν ὠφελοῦνται τὸν θεὸν λέγοντες εἰδέναι πατέρα, αὐτὸν οὐκ εἰδότες. καὶ τοῦτο αἴτιον εἶναί φησι, τὸ αὐτὸν μὴ θέλειν εἰδέναι. λέγει οὖν, ὅτι οὐ δυνατὸν εἰδέναι τὸν πατέρα αὐτοῦ χωρὶς, ἵνα κἂν οὕτως αὐτοὺς ἐπισπάσηται εἰς τὴν αὐτοῦ γνῶσιν. ἐπειδὴ γὰρ ἀφιέντες αὐτὸν, ἀεὶ τὸν πατέρα ἐζήτουν μαθεῖν, λέγει· οὐ δύνασθε εἰδέναι τὸν πατέρα χωρὶς ἐμοῦ. ὥστε οἱ τὸν υἱὸν βλασφημοῦντες, οὐκ αὐτὸν βλασφημοῦσι μόνον, ἀλλὰ καὶ τὸν γεγεννηκότα.

ΗΘΙΚΟΝ

Ταῦτα φύγωμεν ἡμεῖς, καὶ δοξάσωμεν τὸν υἱόν. καίτοι εἰ μὴ φύσεως ἦν τῆς αὐτῆς, οὐκ ἂν οὕτως εἶπεν. εἰ γὰρ ἐδίδασκε μόνον, ἑτεροούσιος δὲ ἦν, ἐνῆν καὶ αὐτὸν ἀγνοοῦντα, εἰδέναι τὸν πατέρα· καὶ πάλιν οὐκ ἦν αὐτὸν εἰδότα πάντως εἰδέναι τὸν πατέρα· οὐδὲ γὰρ ὁ ἄνθρωπον εἰδὼς, οἶδεν ἄγγελον. ναί φησι. καὶ γὰρ ὁ τὴν κτίσιν εἰδὼς, οἶδε τὸν θεόν. οὐδαμῶς. πολλοὶ γάρ εἰσιν οἱ τὴν κτίσιν εἰδότες, μᾶλλον δὲ πάντες ἄνθρωποι. (ὁρῶσι γὰρ αὐτὴν,) καὶ τὸν θεὸν οὐκ ἴσασι. δοξάζωμεν τοίνυν τὸν υἱὸν τοῦ θεοῦ, μὴ τῇ δόξῃ ταύτῃ μόνον, ἀλλὰ καὶ τῇ διὰ τῶν ἔργων. αὕτη γὰρ ἐκείνης ἐκτὸς, οὐδέν ἐστιν. ἴδε σὺ, φησὶν, Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ· ὁ οὖν διδάσκων τὸν ἕτερον, σεαυτὸν οὐ δικάζεις; ὁ ἐν νόμῳ καυχώμενος, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις; ὅρα μή ποτε καὶ ἡμεῖς ἐπὶ τῇ ὀρθότητι τῆς πίστεως καυχώμενοι, διὰ τοῦ μὴ συμβαίνοντα τῇ πίστει τὸν βίον ἐπιδείκνυσθαι, τὸν θεὸν ἀτιμάζωμεν, ποιοῦντες αὐτὸν βλασφημεῖσθαι. καὶ γὰρ διδάσκαλον τῆς οἰκουμένης, καὶ ζύμην, καὶ φῶς, καὶ ἅλας εἶναι βούλεται τὸν χριστιανόν. τί δέ ἐστι τὸ φῶς; βίος λάμπων, μηδὲν ἔχων ἐσκοτισμένον. τὸ φῶς οὐχ ἑαυτῷ χρήσιμον, οὐδὲ τὸ ἅλας, οὐδὲ ἡ ζύμη, ἀλλ' εἰς ἑτέρους ἐπιδείκνυται τὴν ὠφέλειαν. οὕτως οὐ τὴν ἑαυτῶν ὠφέλειαν ἀπαιτούμεθα μόνον, ἀλλὰ καὶ τὴν ἑτέρων. τὸ γὰρ ἅλας ἐὰν μὴ ἁλίζῃ, οὐκ ἔστιν ἅλας. καὶ ἕτερον δέ τι ἐνδείκνυται, ὅτι, ἐὰν αὐτοὶ κατορθώσωμεν, ἔσονται πάντως καὶ ἕτεροι. ἕως δ' ἂν αὐτοὶ μὴ κατορθώσωμεν, οὐδὲ ἑτέρους ὀνῆσαι δυνησόμεθα. μηδὲν μωρὸν, μηδὲν χαῦνον παρ' ἡμῖν. τοιαῦτα γὰρ τὰ κοσμικὰ πράγματα, τοιαῦται αἱ βιωτικαὶ φροντίδες· διὰ τοῦτο αἱ παρθένοι μωραὶ ἐκλήθησαν, ὅτι περὶ τὰ μωρὰ, τὰ κοσμικὰ πράγματα, ἠσχολοῦντο· ἐνταῦθα μὲν συνάγουσαι, ἔνθα δὲ ἐχρῆν μὴ ἀποτιθέμεναι. δέος οὖν μὴ καὶ ἡμεῖς τὸ αὐτὸ πάθωμεν· δέος μὴ καὶ ἡμεῖς ῥυπαρὰ ἀπέλθωμεν ἐνδεδυμένοι

ἰσ. διδάσκ

δυμένοι ἱμάτια, ἔνθα πάντες ἔχουσι λαμπρὰ καὶ περιφανῆ. οὐδὲν γὰρ ἁμαρτίας ῥυπαρώτερον, οὐδὲν ἀκαθαρτότερον. διὸ τὴν φύσιν αὐτῆς ὁ προφήτης ἑρμηνεύων ἐβόα· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. καὶ εἰ βούλει μαθεῖν τῆς ἁμαρτίας τὸ δυσῶδες, ἐννόησον αὐτὴν μετὰ τὸ γενέσθαι, ὅταν τῆς ἐπιθυμίας ἀπαλλαγῇς, ὅταν μὴ ἔτι ἐνοχλῇ τὸ πῦρ· καὶ τότε ὄψει τίς ἐστιν ἡ ἁμαρτία. ἐννόησον τὸν θυμὸν, ὅταν ἐν γαλήνῃ ᾖς· ἐννόησον τὴν πλεονεξίαν, ὅταν ἔξω γένῃ τοῦ πάθους. οὐδὲν αἰσχρότερον, οὐδὲν μιαρώτερον ἁρπαγῆς καὶ πλεονεξίας. Ταῦτα συνεχῶς λέγομεν, οὐκ ἐνοχλεῖν ὑμῖν βουλόμενοι, ἀλλὰ κερδᾶναί τι μέγα καὶ θαυμαστόν. ὁ γὰρ ἐκ τοῦ ἅπαξ μὴ κατορθώσας, ἴσως ἐκ τοῦ δευτέρου ἀκούσαι ποιήσει τοῦτο· καὶ ὁ δεύτερον παραδραμὼν, ἐκ τοῦ τρίτου διορθώσεται. γένοιτο δὲ πάντας ἡμᾶς πάντων ἀπαλλαγέντας τῶν πονηρῶν, τὴν εὐωδίαν τοῦ Χριστοῦ ἔχειν, ὅτι αὐτῷ ἡ δόξα σὺν τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. νγ. 20 ΤΑΥΤΑ ΤΑ ΡΗΜΑΤΑ ΕΛΑΛΗΣΕΝ Ο ΙΗΣΟΥΣ ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν. οὔπω γὰρ ἐληλύθει ἡ ὥρα αὐτοῦ.

Ω τῆς ἀνοίας τῆς Ἰουδαϊκῆς· περὶ οὗ πάλαι ζητοῦντες αὐτὸν, εἶτα ἐν μέσῳ λαβόντες, καὶ πολλάκις ἐπιχειρήσαντες κατασχεῖν καὶ δι᾽ ἑαυτῶν καὶ δι᾽ ἑτέρων, καὶ οὐ δυνηθέντες, οὔτε οὕτως αὐτοῦ τὴν δύναμιν ἐξεπλάγησαν, ἀλλ᾽ ἐπετίθεντο τῇ κακίᾳ, καὶ οὐκ ἀφίσταντο. ὅτι γὰρ ἐπεχείρουν ἀεί, φησί· Ταῦτα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν. ἐν τῷ ἱερῷ ἐλάλει, καὶ ἐν τάξει διδασκάλου· ὃ μᾶλλον ἱκανὸν ἦν αὐτοὺς διεγεῖραι, καὶ ταῦτα ἐλάλει, ἐφ᾽ οἷς ἐδάκνοντο, καὶ ἐνεκάλουν, ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ πατρί. καὶ γὰρ τὸ, δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι, τοῦτο ἐμφαίνει. ἀλλ᾽ ὅμως ταῦτά, φησιν, ἐλάλει ἐν τῷ ἱερῷ, καὶ ἐν τάξει διδασκάλου, καὶ οὐδεὶς αὐτὸν ἐπίασεν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ· τουτέστιν, ὅτι οὐδέπω καιρὸς ἦν ἐπιτήδειος, καθ᾽ ὃν ἠθέλησε σταυρωθῆναι. ὥστε καὶ τότε οὐ τῆς ἐκείνων δυνάμεως γέγονεν ἔργον, ἀλλὰ τῆς οἰκονομίας τῆς αὐτοῦ. αὐτοὶ γὰρ καὶ πάλαι ἐβούλοντο, οὐκ ἴσχυον δέ. οὐ τοίνυν οὐδὲ τότε ἴσχυσαν ἄν, εἰ μὴ αὐτὸς συνεχώρησεν. 21 Εἶπεν οὖν αὐτοῖς πάλιν ὁ Ἰησοῦς· ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με. Τί δήποτε λέγει τοῦτο συνεχῶς; κατασείων αὐτῶν τὰς ψυχὰς καὶ φοβῶν. ὅρα γὰρ ὅσον τοῦτο ἐνεποίει τὸν φόβον. καὶ γὰρ ἀνελεῖν αὐτὸν βουλόμενοι, ἵνα ἀπαλλαγῶσι, ζητοῦσιν ὅπου ὑπάγει. οὕτω μεγάλα ἀπὸ τοῦ πράγματος ἐφαντάζοντο. καὶ ἕτερον δὲ διδάξαι αὐτοὺς ἐβούλετο, ὅτι οὐ τῆς ἐκείνων βίας τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ἄνωθεν αὐτὸ προδιετύπωσε, καὶ τὴν ἀνάστασιν ἤδη διὰ τούτων προέγραψε τῶν λόγων. ἔλεγον οὖν·

22 Μήτι ἀποκτενεῖ ἑαυτόν; Τί οὖν ὁ Χριστός; ἀναιρῶν αὐτῶν τὴν ὑποψίαν, καὶ δεικνὺς ὅτι τὸ πρᾶγμα ἁμάρτημά ἐστι, φησίν·

23 Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν θαυμαστὸν ὑμᾶς τοιαῦτα ἐννοεῖν ἀνθρώπους σαρκικοὺς, καὶ οὐδὲν λογιζομένους πνευματικόν· ἀλλ᾽ οὐκ ἐγὼ πράξω τι τοιοῦτον· ἄνωθεν γάρ εἰμι. Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ. Πάλιν ἐνταῦθα τὰς κοσμικὰς ἐννοίας καὶ σαρκικάς φησιν· ὅθεν δῆλον, ὅτι καὶ τὸ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου, οὐ τὸ σάρκα μὴ ἀνειληφέναι ἐστὶν, ἀλλὰ τὸ πόρρω εἶναι τῆς ἐκείνων πονηρίας. καὶ γὰρ τοὺς μαθητάς φησι μὴ εἶναι ἐκ τοῦ κόσμου, ἀλλ᾽ ὅμως σάρκα εἶχον ἐκεῖνοι. ὥσπερ οὖν ὁ Παῦλος λέγων, Οὐκ ἐστὲ ἐν σαρκὶ, οὐχὶ ἀσωμάτους αὐτοὺς εἶναί φησιν· οὕτω λέγων τοὺς μαθητὰς οὐκ εἶναι ἐκ τοῦ κόσμου, οὐδὲν ἕτερον, ἢ φιλοσοφίαν αὐτοῖς μαρτυρεῖ. Ρω. η. β.

24 Εἶπον οὖν ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. Εἰ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ἑτέρως αὐτὴν ἀποδύσασθαι οὐκ ἔνι, εἰ μὴ διὰ λουτροῦ, ἀνάγκη τὸν μὴ πιστεύοντα, ἔχοντα τὸν παλαιὸν ἄνθρωπον, ἀπελθεῖν. ὁ γὰρ μὴ βουλόμενος "αὐτὸν θανατῶσαι διὰ τῆς πίστεως καὶ θάψαι, ἐναποθανεῖται αὐτῷ, καὶ ἀπελεύσεται ἐκεῖ δώσων εὐθύνας τῶν προτέρων ἡμαρτημένων. διὰ τοῦτο ἔλεγεν· Ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται· οὐ τῷ μὴ πιστεύειν μόνον, ἀλλ' ὅτι καὶ τὰ πρότερα ἁμαρτήματα ἔχων ἀπέρχεται. ἔλεγον οὖν·

γρ. ἑαυτὸν

Ιωαν. γ. ιη.

25 Σὺ τίς εἶ; Ὢ τῆς ἀνοίας· μετὰ χρόνον τοσοῦτον, καὶ σημεῖα, καὶ διδασκαλίαν, ἐρωτῶσι, σὺ τίς εἶ; τί οὖν ὁ Χριστός; Τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ ὑμῖν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τοῦ ὅλως ἀκούειν τῶν λόγων τῶν παρ' ἐμοῦ ἀνάξιοί ἐστε, μήτιγε καὶ μαθεῖν, ὅστις ἐγώ εἰμι. ὑμεῖς γὰρ πάντα πειράζοντες φθέγγεσθε, καὶ οὐδενὶ τῶν παρ' ἐμοῦ προσέχοντες· καὶ ταῦτα πάντα ἠδυνάμην ἐλέγξαι νῦν. τοῦτο γάρ ἐστι,

26 Πολλὰ ἔχω λέγειν καὶ κρίνειν· Οὐκ ἐλέγξαι δὲ μόνον, ἀλλὰ καὶ κολάσαι· ἀλλ' ὁ πέμψας με, τουτέστιν, ὁ πατήρ, οὐ βούλεται τοῦτο. οὐ γὰρ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι τὸν κόσμον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, φησίν, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον. Εἰ τοίνυν εἰς τοῦτό με ἀπέστειλεν, ἀληθὴς δέ ἐστιν, εἰκότως οὐδένα ἐγὼ κρίνω νῦν. ἀλλὰ ταῦτα λαλῶ τὰ πρὸς σωτηρίαν, οὐ τὰ πρὸς ἔλεγχον. λέγει δὲ ταῦτα, ἵνα μὴ νομίσωσιν ὅτι τοσαῦτα ἀκούων, παρὰ ἀσθένειαν οὐκ ἐπεξέρχεται, ἢ ὅτι οὐκ οἶδεν αὐτῶν τὰς διανοίας καὶ τὰς χλευασίας.

Ιωαν. γ. ιζ.

27 Οὐκ ἔγνωσαν δὲ ὅτι τὸν πατέρα αὐτοῖς λέγει. Ὢ τῆς ἀνοίας· οὐ διέλιπεν αὐτοῖς περὶ αὐτοῦ διαλεγόμενος, καὶ οὐκ ἐγίνωσκον. Εἶτα, ἐπειδὴ πολλὰ σημεῖα ποιήσας καὶ διδάξας, οὐκ ἐπεσπάσατο, περὶ τοῦ σταυροῦ λοιπὸν διαλέγεται, λέγων·

28 Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ,

29 Καὶ ὅτι μετ' ἐμοῦ ἐστιν ὁ πέμψας με, καὶ οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ.

Δείκνυσιν ὅτι δικαίως ἔλεγε, τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ ὑμῖν. οὕτως οὐ προσεῖχον τοῖς λεγομένοις. ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου. οὐχ ὑμεῖς τότε μάλιστα προσδοκᾶτε ἀπαλλαγήσεσθαί μου καὶ ἀναιρήσειν; ἐγὼ δὲ λέγω, ὅτι τότε μάλιστα εἴσεσθε, ὅτι ἐγώ εἰμι, τῶν τε σημείων ἕνεκεν, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἁλώσεως. πάντα γὰρ ταῦτα ἱκανὰ ἦν ἐμφῆναι αὐτοῦ τὴν ἰσχύν. καὶ οὐκ εἶπε, τότε γνώσεσθε τίς εἰμι. ὅταν γὰρ ἴδητε, φησίν, ὅτι οὐδὲν ἀπὸ τοῦ θανάτου πείσομαι, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι· τουτέστιν, ὁ Χριστός, καὶ ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ὁ πάντα φέρων καὶ ἄγων, καὶ οὐκ ἐναντίος ἐκείνῳ. διὰ τοῦτο γοῦν ἐπήγαγε, καὶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ οὐδέν. ἀμφότερα γὰρ εἴσεσθε, καὶ τὴν ἰσχὺν τὴν ἐμήν, καὶ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν πατέρα. τὸ γάρ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ οὐδέν, τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ, "καὶ τὸ οὐδὲν ἐκτὸς τῶν πατρικῶν νοημάτων" φθέγγεσθαι. ὅταν γὰρ ἐκπέσητε τῆς λατρείας, ὅταν μὴ συγχωρηθῇ ὑμῖν μηδὲ αὐτὸν θεραπεύειν, ὡς πρὸ τούτου, τότε εἴσεσθε ὅτι ἀμύνων ἐμοὶ ταῦτα ποιεῖ, καὶ παροξυνόμενος ὑπὲρ τῶν μὴ ἀκουσάντων μου· ὡσανεὶ ἔλεγεν· οὐκ ἂν εἴγε ἀντίθεός τις ἦμην καὶ ἀλλότριος, τοσαύτην ἂν ὀργὴν καθ' ὑμῶν ἐκίνησε. τοῦτο καὶ Ἡσαΐας φησί· Δώσει τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ· καὶ ὁ Δαβίδ, Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· καὶ αὐτός, Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ αἱ παραβολαὶ δὲ αὐτὸ δηλοῦσιν, ὅταν λέγῃ· Τί ποιήσει "τοῖς γεωργοῖς ἐκείνοις ὁ κύριος τοῦ ἀμπελῶνος ἐκείνου; κακοὺς κακῶς ἀπολέσει αὐτούς. ὁρᾷς ὅτι πανταχοῦ διὰ τὸ μηδέπω πιστεύεσθαι οὕτω φθέγγεται; ἐπεὶ εἰ αὐτοὺς ἀπολεῖ, ὥσπερ οὖν καὶ ἀπολεῖ (φέρετε γάρ, φησιν, αὐτοὺς ὧδε τοὺς μὴ θέλοντάς με βασιλεῦσαι, καὶ κατασφάξατε) τίνος ἕ-

γρ. ὅτι οὐδὲν
γρ. φθέγγεται

Ησ. νγ. θ.
Ψαλ. β. ε.
Ματθ. κγ. λη.
Ματθ. κα. μ.

γρ. τοὺς γεωργοὺς ἐκείνους

ἕνεκεν οὐκ αὐτοῦ φησιν ἔργον, ἀλλὰ τοῦ πατρὸς τὸ γινόμενον; πρὸς τὴν ἐκείνων ἀσθένειαν διαλεγόμενος, ὁμοῦ δὲ καὶ τιμῶν τὸν γεγεννηκότα. διὰ τοῦτο οὐκ εἶπεν, ἀφίω τὸν οἶκον ὑμῶν ἔρημον, ἀλλ' ἀφίεται. τοῦτο μὲν γὰρ ἀπροσώπως τέθεικε. διὰ δὲ τοῦ εἰπεῖν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε, εἶτα ἐπαγαγεῖν, ὅτι ἀφίεται, δείκνυσιν ὅτι αὐτὸς τὴν ἐρήμωσιν εἰργάζετο. ἐπεὶ γάρ, φησιν, εὐεργετούμενοι καὶ θεραπευόμενοι οὐκ ἠθελήσατε γνῶναι, κολαζόμενοι εἴσεσθε ὅστις ἐγώ. Καὶ μετ' ἐμοῦ ἐστιν ὁ πατήρ. Ἵνα γὰρ μὴ νομίσωσι τό, ὁ πέμψας με, ἐλαττώσεως εἶναι, λέγει· μετ' ἐμοῦ ἐστι. τὸ μὲν γάρ, τῆς οἰκονομίας· τὸ δέ, τῆς θεότητος. Καὶ οὐκ ἀφῆκέ με μόνον, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. Πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον κατήγαγε, πρὸς ἐκεῖνο συνεχῶς ἱστάμενος ὅπερ ἔλεγον, ὅτι οὐκ ἔστιν ἐξ αὐτοῦ, καὶ ὅτι τὸ σάββατον οὐ τηρεῖ, πρὸς τοῦτό φησιν· τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε· δεικνύς, ὅτι καὶ τὸ λύεσθαι τὸ σάββατον, ἀρεστὸν αὐτῷ. οὕτω γοῦν καὶ ἐπὶ τοῦ σταυροῦ φησι· δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου; καίτοιγε εἰπὼν μόνον, τίνα ζητεῖτε, ἔρριψεν ὑπτίους. τί οὖν οὐ λέγει, δοκεῖτε ὅτι οὐ δύναμαι ὑμᾶς ἀπολέσαι, ἔργῳ τοῦτο ἐπιδειξάμενος; πρὸς τὴν ἀσθένειαν αὐτῶν καταβαίνει. πολλὴν γὰρ ἐποιεῖτο σπουδήν, ὥστε δεῖξαι, ὅτι οὐδὲν ἐναντίον ποιεῖ τῷ πατρί, οὕτω δὴ καὶ ἐνταῦθα ἀνθρωπινώτερον φθέγγεται. ὥσπερ δὲ τό, οὐκ ἀφῆκέ με μόνον, εἴρηται· οὕτω καὶ τό, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

30 Ταῦτα αὐτοῦ λαλήσαντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. Ὅτε εἰς τὸ ταπεινὸν τὸν λόγον κατήγαγε, τότε πολλοὶ ἐπίστευσαν. ἔτι οὖν ἐρωτᾷς, τίνος ἕνεκεν ταπεινῶς φθέγγεται; καίτοιγε σαφῶς ὁ εὐαγγελιστὴς ᾐνίξατο τοῦτο, εἰπών· ὅτι ταῦτα αὐτοῦ λαλήσαντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· μονονουχὶ βοῶν διὰ τούτων τῶν πραγμάτων· μὴ θορυβοῦ, ὦ ἀκροατά, ἐάν τι ταπεινὸν ἀκούσῃς. οἱ γὰρ μετὰ τοσαύτην διδασκαλίαν μηδέπω πεπεισμένοι ὅτι παρὰ τοῦ πατρός ἐστιν, εἰκότως ταπεινότερα ἤκουον ἵνα πεισθῶσι. καὶ τοῦτο οὖν ἀπολογία ἐστὶν ὑπὲρ τῶν μελλόντων ταπεινῶς εἰρήσεσθαι. ἐπίστευσαν μὲν οὖν, οὐχ ὡς ἐχρῆν δέ· ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν, ἡσθέντες καὶ ἀναπαυσάμενοι ἐπὶ τῇ τῶν λόγων ταπεινότητι. ὅτι γὰρ οὐ τελείαν πίστιν εἶχον, δείκνυσιν ὁ εὐαγγελιστὴς ἐκ τῶν μετὰ ταῦτα λόγων, ἐν οἷς αὐτὸν πάλιν ὑβρίζουσι. καὶ ὅτι οὗτοι αὐτοί εἰσιν ἐκεῖνοι, ἐδήλωσεν εἰπών·

31 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ· Δεικνὺς, ὅτι οὐδέπω προσεδέξαντο τὴν διδασκαλίαν, ἀλλὰ μόνον προσεῖχον τοῖς λεγομένοις. διὸ [καὶ] πληκτικώτερον εἶπεν. ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπε, Ζητήσετέ με· νῦν δὲ μεῖζον προσέθηκεν, Ὅτι ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. καὶ Ιωαν. ζ. λδ. Ιωαν. η. κα. τὸ πῶς δείκνυσιν, ὅτι οὐ δύνασθε ἐλθόντες ἐκεῖ παρακαλέσαι με λοιπόν, ταῦτα ἃ λαλῶ εἰς τὸν κόσμον. διὰ τούτων ἐδήλωσε λοιπὸν ἐξερχόμενον αὐτὸν εἰς τὰ ἔθνη. ἐπειδὴ δὲ οὐκ ἔγνωσαν λοιπόν, ὅτι τὸν πατέρα αὐτοῖς λέγει ἔμπροσθεν, πάλιν φθέγγεται περὶ αὐτοῦ, καὶ τὴν αἰτίαν τῆς ταπεινότητος τῶν ῥημάτων τέθεικεν ὁ εὐαγγελιστής.

ΗΘΙΚΟΝ

Ἂν οὕτω τοίνυν θέλωμεν τὰς γραφὰς ἐρευνᾷν μετὰ ἀκριβείας καὶ μὴ ἁπλῶς, δυνησόμεθα τῆς σωτηρίας τῆς ἡμετέρας ἐπιτυχεῖν· ἂν διὰ παντὸς αὐταῖς ἐνδιατρίβωμεν, καὶ δογμάτων ὀρθότητα καὶ βίον εἰσόμεθα ἠκριβωμένον. κἂν σφόδρα σκληρός τις εἴη καὶ ἀπηνὴς καὶ χαῦνος, κἂν μηδὲν κερδαίνῃ ἐν τοῖς ἄλλοις χρόνοις, τὸν χρόνον γοῦν καρπώσεται τοῦτον, καὶ λήψεταί τινα ὠφέλειαν, εἰ καὶ μὴ τοσαύτην, ὡς αἴσθησιν ἔχειν, ἀλλ' ὅμως λήψεται. εἰ γὰρ μυρεψεῖόν τις περιιών, καὶ προσκαθήμενος ἐργαστηρίοις τοιούτοις, καὶ ἄκων ἀναχρώννυται ἐκ τῆς εὐωδίας· πολλῷ μᾶλλον εἰς ἐκκλησίαν ἀπιών. ὥσπερ γὰρ ἐξ ἀργίας ἀργία τίκτεται, οὕτω ἐκ τῆς ἐνεργείας προθυμία γίνεται. κἂν μυρίων ᾖς γέμων κακῶν, κἂν ἀκάθαρτος, μὴ φύγῃς τὴν ἐνταῦθα διατριβήν. τί οὖν, φησιν, ὅτι ἀκούων οὐ ποιῶ; οὐ μικρὸν τὸ κέρδος ταλανίζειν ἑαυτόν· οὐκ ἄχρηστος ἐστὶν ὁ φόβος· οὐκ ἄκαιρον τοῦτο τὸ δέος. ἐὰν στενάξῃς μόνον, ὅτι ἀκούων οὐ ποιεῖς, πάντως καὶ ἐπὶ τὸ ποιεῖν ἥξεις ποτέ. οὐ γὰρ ἔνεστι τὸν Θεῷ διαλεγόμενον καὶ ἀκούοντα Θεοῦ διαλεγομένου, μὴ κερδαίνειν. εὐθέως γοῦν συστελλόμεθα, καὶ τὰς χεῖρας νιπτόμεθα, ὅταν βιβλίον βουλώμεθα λαβεῖν. ὁρᾷς καὶ πρὸ τῆς ἀναγνώσεως πόση εὐλάβεια; ἂν δὲ καὶ μετὰ ἀκριβείας ἐπέλθωμεν, πολλὴν καρπωσόμεθα τὴν ὠφέλειαν. οὐ γὰρ ἄν, εἰ μὴ ἐν εὐλαβείᾳ καθίστη τὴν ψυχήν, τὰς χεῖρας ἂν ἀπενιψάμεθα· καὶ γυνὴ, κἂν ἀκατακάλυπτος ᾖ, περιτίθεται εὐθέως τὸ φάρος, τῆς ἔνδοθεν εὐλαβείας τὸ δεῖγμα ἐνδεικνυμένη· καὶ ἀνὴρ, ἐὰν κατακεκαλυμμένος ᾖ, γυμνοῖ τὴν κεφαλήν. ὁρᾷς πῶς κήρυξ γίγνεται τῆς ἔνδον εὐλαβείας τὸ ἔξωθεν σχῆμα; εἶτα καὶ εἰς ἀκρόασιν ὁ καθίσας, ἐστέναξε πολλάκις, καὶ κατέγνω τοῦ βίου τοῦ παρόντος. προσέχωμεν τοίνυν ταῖς γραφαῖς, ἀγαπητοί, καὶ εἰ μηδὲν ἕτερον, τὰ γοῦν εὐαγγέλια περισπούδαστα ἡμῖν γενέσθω, καὶ ταῦτα μεταχειριζώμεθα. εὐθέως γὰρ ἀναπτύξας τὸ βιβλίον, τοῦ Χριστοῦ τὸ ὄνομα ὄψει ἐγκείμενον, καὶ ἀκούσῃ εὐθέως λέγοντος τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις ἦν οὕτω. μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. ὁ δὲ ταῦτα ἀκούων, ἐπιθυμήσει παρθενίας εὐθέως, θαυμάσεται τὸν τόκον, ἀπαλλαγήσεται τῆς γῆς. οὐ μικρὰ καὶ ταῦτα, ὅταν ἴδῃς καὶ πνεύματος καταξιωθεῖσαν τὴν παρθένον, καὶ ἄγγελον αὐτῇ διαλεγόμενον. καὶ ταῦτα μὲν ἐξ ἐπιπολῆς· εἰ δὲ ἐπιμείνῃς μέχρι τέλους ἐπιών, πάντα εὐθέως διαπτύσεις τὰ βιωτικά, πάντων καταγελάσῃ τῶν ἐνταῦθα. κἂν πλούσιος ᾖς, οὐδὲν ἡγήσῃ τὸν πλοῦτον, ἀκούσας ὅτι τέκτονος οὖσα ἐκείνη καὶ ταπεινῆς οἰκίας, μήτηρ τοῦ δεσπότου σου γέγονε· κἂν πένης ᾖς, οὐκ ἐπαισχυνθήσῃ τὴν πενίαν, μαθὼν ὅτι τὴν εὐτελεστάτην οἰκίαν οὐκ ἐπῃσχύνθη ὁ τοῦ κόσμου δημιουργός. ταῦτα ἐννοῶν, οὐχ ἁρπάσεις, οὐ πλεονεκτήσεις, οὐ λήψῃ τὰ τῶν ἑτέρων σύ· ἀλλ' ἐραστὴς ἔσῃ μᾶλλον πενίας, καὶ ὑπερόψει τὸν πλοῦτον. ἂν δὲ τοῦτο γένηται, πάντα ἐξορίεις τὰ κακά. πάλιν, ὅταν ἴδῃς αὐτὸν ἐπὶ φάτνης κείμενον, οὐ σπουδάσεις τῷ παιδίῳ σου περιθεῖναι κόσμον χρυσοῦν, οὐδὲ τῇ γυναικὶ ἀργυρένδετον ποιῆσαι κλίνην. ταῦτα δὲ μὴ σπουδάζων, οὐδὲ τὰς ἐκ τούτων ἐργάσῃ πλεονεξίας καὶ ἁρπαγάς. πολλὰ καὶ ἕτερά ἐστι κερδᾶναι, ἅπερ οὐκ ἔνεστι νῦν κατὰ μέρος λέγειν· εἴσονται δὲ οἱ πεῖραν εἰληφότες. διὸ παρακαλῶ καὶ κτᾶσθαι βιβλία, καὶ μετὰ τῶν βιβλίων τὰ νοήματα κατέχειν, καὶ ταῖς διανοίαις ἐγγράφειν. οἱ μὲν γὰρ Ἰουδαῖοι, ἐπειδὴ οὐ προσεῖχον, τῶν χειρῶν ἐκελεύοντο τὰ βιβλία ἐξαρτᾶν· ἡμεῖς δὲ οὔτε ἐν χερσὶν, ἀλλ' ἐν οἰκίᾳ τίθεμεν, δέον ἐντυποῦν τῇ καρδίᾳ. οὕτω γὰρ τὸν παρόντα ἐκκαθαίροντες βίον, τευξόμεθα τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. νδ'. 31 ΕΛΕΓΕΝ ΟΥΝ Ο ΙΗΣΟΥΣ ΠΡΟΣ ΤΟΥΣ πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ, 32 Καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

Πολλῆς ὑπομονῆς δεῖται τὰ ἡμέτερα, ἀγαπητοί· ἡ δὲ ὑπομονὴ γίνεται, ὅταν κατὰ βάθους ἐρριζωμένα τὰ δόγματα ᾖ. καθάπερ γὰρ τὴν δρῦν τὴν εἰς τοὺς κάτω κόλπους ἀφιεῖσαν τὰς ῥίζας καὶ περισφιγγομένην μετὰ ἀκριβείας οὐδεὶς ἄνεμος προσπεσὼν ἀνασπάσαι δυνήσεται· οὕτω δὴ καὶ τὴν ψυχὴν τὴν καθηλωμένην τῷ τοῦ Θεοῦ φόβῳ, οὐδεὶς περιτρέψαι δυνήσεται. τὸ γὰρ ἐρριζῶσθαι, τὸ καθηλῶσθαι

λανθάνει πλέον ἐστί. τοῦτο γοῦν ὁ προφήτης εὔχεται, λέγων· Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· οὕτω καὶ σὺ καθήλωσον καὶ συνάψον, ὡσανεὶ ἥλῳ προσπεπερονημένῳ. ὥσπερ γὰρ οὗτοι δυσάλωτοι, οὕτως οἱ ἐναντίοι εὐάλωτοι γίνονται, καὶ καταρριπτοῦνται ῥαδίως· ὅπερ καὶ τότε ἔπαθον οἱ Ἰουδαῖοι. ἀκούσαντες γὰρ καὶ πιστεύσαντες, πάλιν ἐξετράπησαν. βουλόμενος οὖν ἐμβαθῦναι τὴν πίστιν αὐτῶν ὁ Χριστὸς, ὥστε μὴ ἐπιπολαίαν εἶναι, διασκάπτει τὴν ψυχὴν πληκτικωτέροις λόγοις. τῶν γὰρ πιστευόντων ἦν καὶ ἐλέγχων ἀνέχεσθαι· οἱ δὲ εὐθέως ἠγρίαινον. πῶς δὲ τοῦτο ποιεῖ; πρότερον προαγγέλλει· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντως μαθηταί μου ἐστε, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς, μονονουχὶ λέγων, μέλλω βαθεῖαν διδόναι τομὴν, ἀλλὰ μὴ σαλεύεσθε· μᾶλλον δὲ καὶ διὰ τούτων αὐτῶν τὸν τῦφον αὐτῶν τῆς διανοίας κατέστειλε. τίνος ἐλευθερώσει, εἰπέ μοι; ἁμαρτημάτων. τί οὖν οἱ ἀλαζόνες ἐκεῖνοι;

Ψαλμ. ριθ. ρκ.

33 Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. Κατέπεσεν εὐθέως αὐτῶν ἡ διάνοια. τοῦτο δὲ γέγονεν ἀπὸ τοῦ πρὸς τὰ κοσμικὰ ἐπτοῆσθαι. ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, δηλοῦντος ἦν τὰ ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ εἰδότος, ὅτι ἐπίστευσαν μὲν, οὐκ ἔμειναν δέ. καὶ μέγα ἐπαγγέλλεται, τὸ μαθητὰς αὐτοῦ ἐκείνους γενέσθαι. ἐπειδὴ γὰρ τινες ἀνεχώρησαν πρώην, αἰνιττόμενος αὐτούς φησιν, ἐὰν μείνητε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν καὶ ἐπίστευσαν, καὶ ἀνεχώρησαν, ἐπειδὴ οὐκ ἔμειναν. Πολλοὶ γὰρ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ' αὐτοῦ [παῤῥησίᾳ] περιεπάτουν. γνώσεσθε τὴν ἀλήθειαν· τουτέστιν, ἐμέ. ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια. τὰ μὲν Ἰουδαϊκὰ πάντα τύπος ἦν· τὴν δὲ ἀλήθειαν παρ' ἐμοῦ εἴσεσθε, καὶ ἐλευθερώσει ὑμᾶς τῶν ἁμαρτημάτων. ὥσπερ γὰρ ἐκείνοις ἔλεγεν, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε· οὕτω καὶ τούτοις ἔλεγεν, ἐλευθερώσει ὑμᾶς. καὶ οὐκ εἶπεν, ἀπαλλάξω ὑμᾶς δουλείας· ἀλλὰ τοῦτο αὐτοῖς εἴασε συνιδεῖν. τί οὖν ἐκεῖνοι; σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. καίτοι εἰ ἐχρῆν ἀγανακτῆσαι, ἐπὶ τῷ προτέρῳ εἰκὸς ἦν, τῷ εἰρηκέναι, γνώσεσθε τὴν ἀλήθειαν, καὶ εἰπεῖν· τί οὖν; νῦν τὴν ἀλήθειαν οὐκ ἴσμεν; ὁ νόμος οὖν ψεῦδος καὶ ἡ γνῶσις ἡ ἡμετέρα; ἀλλ' οὐδενὸς τούτων αὐτοῖς ἔμελεν, ἀλλ' ἐπὶ κοσμικοῖς πράγμασιν ἀλγοῦσι, καὶ ταύτην δουλείαν ὑποπτεύσαντες. εἰσὶ γάρ, εἰσὶ καὶ νῦν πολλοὶ, οἳ ἐπὶ μὲν τοῖς ἀδιαφόροις αἰσχύνονται, καὶ ἐπὶ τῇ δουλείᾳ ταύτῃ· ἐπὶ δὲ τῆς δουλείας τῆς ἁμαρτίας οὐκέτι, καὶ ἕλοιντο ἂν μυριάκις ἐκείνην κληθῆναι δοῦλοι τὴν δουλείαν, ἢ ταύτην ἅπαξ. τοιοῦτοί τινες ἦσαν κἀκεῖνοι, καὶ οὐδὲ ᾔδεσαν ἄλλην δουλείαν, καί φασι· δούλους ἐκάλεσας τοὺς ἀπὸ τοῦ γένους τοῦ Ἀβραάμ; τοὺς εὐγενεῖς, οὓς οὐκ ἐχρῆν διὰ τοῦτο καλέσαι δούλους; οὐδέποτε γάρ, φασιν, ἐδουλεύσαμεν. τοιαῦτα γὰρ τῶν Ἰουδαίων τὰ αὐχήματα· σπέρμα Ἀβραάμ ἐσμεν, Ἰσραηλῖταί ἐσμεν· οὐδαμοῦ τῶν οἰκείων κατορθωμάτων μέμνηνται. διὰ τοῦτο πρὸς αὐτοὺς ἀνέκραγεν Ἰωάννης, λέγων· Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ. διὰ τί δὲ μὴ ἤλεγξεν αὐτοὺς ὁ Χριστός; καὶ γὰρ πολλάκις ἐδούλευσαν καὶ Αἰγυπτίοις, καὶ Βαβυλωνίοις, καὶ ἑτέροις πολλοῖς. ὅτι οὐ πρὸς φιλοτιμίαν αὐτῷ τὰ λεγόμενα ἦν, ἀλλὰ πρὸς σωτηρίαν, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τοῦτο ἠπείγετο. ἐπεὶ, εἶπεν ἂν τὰ τετρακόσια ἔτη· εἶπεν ἂν τὰ ἑβδομήκοντα· εἶπεν ἂν τὰ ἐπὶ τῶν κριτῶν, τὰ ποτὲ μὲν εἴκοσι, ποτὲ δὲ δύο, ποτὲ δὲ ἑπτά· ~~εἶπεν ἂν, πῶς~~ οὐδέποτε διέλιπον δουλεύοντες. ἀλλ' οὐ τοῦτο ἐσπούδαζε δεῖξαι, δούλους ἀνθρώπων γενομένους· ἀλλὰ τῆς ἁμαρτίας, ἥπερ ἐστὶ καὶ χαλεπωτάτη δουλεία, ἧς Θεὸς μόνος ἀπαλλάξαι δύναται. τὸ γὰρ ἀφεῖναι ἁμαρτίας, οὐδενὸς ἑτέρου ἐστί· καὶ τοῦτο καὶ αὐτοὶ ὡμολόγουν. ἐπεὶ οὖν τοῦτο ὡμολόγουν Θεοῦ ἔργον εἶναι, εἰς τοῦτο αὐτοὺς ἐνάγει, καί φησι·

Ιωαν. ς. ξς.

Ματθ. γ. θ.

34 πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Δεικνὺς ὅτι περὶ ταύτης λέγει τῆς ἐλευθερίας, τῆς ἀπὸ ταύτης τῆς δουλείας.

35 Ὁ δὲ

Ρωμ. γ. κγ.
Εβρ. ε. γ.
Ιωαν. ιδ. β.

35 Ο δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ· ὁ δὲ ὑὸς μένει εἰς τὸν αἰῶνα. Ηρέμα καὶ διὰ τοῦ νόμου καταβάλλει, αἰνιττόμενος τοὺς προτέρους χρόνους. ἵνα γὰρ μὴ ἀνατρέχωσι καὶ λέγωσι· θυσίας ἔχομεν ἃς ἐπέταξε Μωϋσῆς, ἐκεῖναι ἡμᾶς ἀπαλλάξαι δύνανται· διὰ τοῦτο ταῦτα ἐπήγαγεν. ἐπεὶ ποίαν ἀκολουθίαν εἶχε τὰ εἰρημένα; Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, καὶ οἱ ἱερεῖς αὐτοί. διὰ τοῦτο καὶ Παῦλός φησι περὶ τοῦ ἱερέως, Οτι ὀφείλει προσφέρειν ὑπὲρ ἑαυτοῦ, καθὼς ὑπὲρ τοῦ λαοῦ· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. καὶ τοῦτο δηλοῦται διὰ τοῦ εἰπεῖν, ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ. ἐνταῦθα δὲ καὶ τὸ ὁμότιμον αὐτοῦ δείκνυσι τὸ πρὸς τὸν πατέρα, καὶ τὸ διάφορον δούλου καὶ ἐλευθέρου. ἡ γὰρ παραβολὴ τοῦτο βούλεται, τουτέστιν, οὐκ ἔχει ἐξουσίαν ὁ δοῦλος. τοῦτο γάρ ἐστι, τὸ, οὐ μένει. διὰ τί δὲ περὶ ἁμαρτημάτων διαλεγόμενος, οἰκίας ἐμνημόνευσε; δεικνὺς ὅτι ὥσπερ ἐπὶ οἰκίας ὁ δεσπότης, οὕτω πάντων αὐτὸς ἐξουσιάζει. τὸ δὲ, οὐ μένει, τοῦτο ἐστιν, οὐκ ἔχει ἐξουσίαν χαρίζεσθαι, ἅτε μὴ ὢν οἰκοδεσπότης· ὁ δὲ ὑὸς οἰκοδεσπότης ἐστί. τοῦτο γάρ ἐστι, μένει εἰς τὸν αἰῶνα, ἀπὸ μεταφορᾶς τῶν ἀνθρωπίνων, ἵνα μὴ λέγωσι, σὺ τίς εἶ; ἐμά ἐστι πάντα· ὑὸς γάρ εἰμι, καὶ ἐν τῇ οἰκίᾳ μένω τοῦ πατρὸς, οἰκίαν, τὴν ἐξουσίαν καλῶν. καὶ γὰρ καὶ ἀλλαχοῦ οἰκίαν καλεῖ τοῦ πατρὸς, τὴν ἀρχήν· Εν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσι. ἐπειδὴ γὰρ περὶ ἐλευθερίας καὶ δουλείας ὁ λόγος, εἰκότως ταύτῃ κέχρηται τῇ μεταφορᾷ, λέγων ὅτι οὐκ εἶχον ἐξουσίαν ἐκεῖνοι ἀφιέναι.

36 Ἐὰν οὖν ὁ ὑὸς ὑμᾶς ἐλευθερώσῃ. Εἶδες τὸ ὁμοούσιον τὸ πρὸς τὸν πατέρα, καὶ πῶς δείκνυσι τὴν αὐτὴν ἔχοντα αὐτῷ ἐξουσίαν ἐκείνῳ; ἐὰν ὁ ὑὸς ἐλευθερώσῃ, οὐδεὶς ἀντιλέγει λοιπόν· ἀλλὰ βεβαίαν ἔχετε τὴν ἐλευθερίαν. Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων; ἐνταῦθα δείκνυσι καὶ ἁμαρτίας ἑαυτὸν καθαρὸν, καὶ τὴν μέχρι προσηγορίας ἐλευθερίαν αἰνίττεται· ταύτην γὰρ καὶ ἄνθρωποι διδόασιν, ἐκείνην δὲ μόνος ὁ Θεός· καὶ διὰ τούτου πείθει αὐτοὺς μὴ αἰσχύνεσθαι ἐπὶ τῇ δουλείᾳ ταύτῃ, ἀλλ' ἐπὶ τῇ τῆς ἁμαρτίας. καὶ βουλόμενος δεῖξαι ὅτι δοῦλοι οὐκ ἦσαν, διὰ τοῦ ἐκείνην ἀποκρούσασθαι μᾶλλον δὲ δείκνυσιν ὄντας δούλους, τῷ εἰπεῖν,

Οντως ἐλεύθεροι ἔσεσθε. Τοῦτο γὰρ ἐμφαίνοντός ἐστιν, ὅτι αὕτη ἡ ἐλευθερία οὐκ ἀληθής. εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν (εἰκὸς γὰρ τοῦτο καὶ εἰπεῖν) ὅρα πῶς αὐτοὺς εἰς τὴν κατηγορίαν ἐνέβαλε ταύτην. ἀφεὶς γὰρ πάντα αὐτῶν ἐλέγξαι τὸν βίον, τοῦτο δὲ μετὰ χεῖρας, ὃ ἔτι πράττειν ἐβούλοντο, ἄγει εἰς μέσον, καί φησιν·

37 Οἶδα ὅτι σπέρμα Αβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι. Ηρέμα καὶ κατὰ μικρὸν ἐκβάλλει τῆς συγγενείας αὐτοὺς ἐκείνης, παιδεύων μὴ μέγα φρονεῖν ἐπὶ τούτῳ. ὥσπερ γὰρ ἐλευθερία καὶ δουλεία ἀπὸ τῶν ἔργων, οὕτω καὶ συγγένεια. καὶ οὐκ εἶπεν εὐθέως, οὐκ ἐστὲ τοῦ Αβραάμ, οἱ ἀνδροφόνοι τοῦ δικαίου· ἀλλὰ καὶ συντρέχει τέως καί φησιν· οἶδα ὅτι σπέρμα Αβραάμ ἐστε· ἀλλὰ οὐ τοῦτο ἐστι τὸ ζητούμενον, καὶ λοιπὸν καταφορικωτέρᾳ κέχρηται τῇ δημηγορίᾳ ταύτῃ. καὶ γάρ ἐστιν ὡς τὰ πολλὰ παρατηρῆσαι, ὅτι μέλλων μέγα ἐργάζεσθαί τι, μετὰ δὲ ἐργάσασθαι πλείονι κέχρηται τῇ παρρησίᾳ, ὡς τῆς μαρτυρίας τῆς ἀπὸ τῶν ἔργων ἐπιστομιζούσης αὐτούς. ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι. τί οὖν, εἰ δικαίως φησίν; ἀλλ' οὐδὲ τοῦτο. διὸ καὶ τὴν αἰτίαν τίθησιν, Οτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

Πῶς οὖν φησιν, ὅτι ἐπίστευον εἰς αὐτόν; ἀλλ' ὅπερ ἔφην, μετετίθεντο πάλιν· διὸ καὶ σφόδρα αὐτῶν καθήψατο. εἰ γὰρ τὴν συγγένειαν αὐχεῖτε ἐκείνου, καὶ τὸν βίον ἐπιδείξασθαι χρή. καὶ οὐκ εἶπεν, οὐ χωρεῖτε τὸν λόγον, ἀλλ' οὐ χωρεῖ ὁ ἐμὸς λόγος ἐν ὑμῖν, τὸ ὑψηλὸν αὐτοῦ τῶν δογμάτων ἐπιδεικνύμενος. καίτοι οὐδὲ ὑπὲρ τούτου ἀναιρεῖν ἐχρῆν, ἀλλὰ μᾶλλον τιμᾶν καὶ θεραπεύειν ὥστε μαθεῖν. τί οὖν, φησιν, ἂν ἀπὸ σαυτοῦ ταῦτα λαλῇς; διὰ τοῦτο ἐπήγαγεν·

38 Α ἐγὼ

38 Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ πατρί μου, ταῦτα λαλῶ· καὶ ὑμεῖς ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν, ποιεῖτε. Ὥσπερ, φησὶν, ἐγὼ καὶ ἀπὸ τῶν ῥημάτων, καὶ ἀπὸ τῆς ἀληθείας ἐμφαίνω τὸν πατέρα, οὕτω καὶ ὑμεῖς ἀπὸ τῶν πραγμάτων. οὐ γὰρ τὴν αὐτὴν οὐσίαν μόνον, ἀλλὰ καὶ τὴν αὐτὴν ἀλήθειαν ἔχω τῷ πατρί.

39 Λέγουσιν αὐτῷ· ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ πατέρα ἔχετε τὸν Ἀβραάμ, τὰ ἔργα αὐτοῦ ἐποιεῖτε ἄν·

40 Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι. Συνεχῶς ἐνταῦθα τὴν φονικὴν αὐτῶν στρέφει προαίρεσιν, καὶ τοῦ Ἀβραὰμ μέμνηται. ποιεῖ δὲ τοῦτο καὶ ταύτης αὐτοὺς ἀπαγαγεῖν βουλόμενος τῆς συγγενείας, καὶ τὸ περιττὸν καύχημα ἐξελεῖν, καὶ πεῖσαι μηκέτι ἐν ἐκείνῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ ἐν τῇ κατὰ φύσιν συγγενείᾳ, ἀλλ' ἐν τῇ κατὰ προαίρεσιν. τοῦτο γὰρ ἦν τὸ κωλῦον αὐτοὺς προσελθεῖν τῷ Χριστῷ, τὸ νομίζειν ἀρκεῖν αὐτοῖς τὴν συγγένειαν ἐκείνην εἰς σωτηρίαν. ποίαν δὲ ἀλήθειαν λέγει; ὅτι ἴσος ἐστὶ τῷ πατρί. διὰ γὰρ τοῦτο ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. καί φησι· Ζητεῖτέ με ἀποκτεῖναι, ὅτι τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ πατρός μου. Δεικνὺς, ὅτι οὐκ ἐναντία τῷ πατρὶ ταῦτά ἐστι, πάλιν ἐπ' αὐτὸν καταφεύγει. λέγουσιν αὐτῷ·

41 Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν Θεόν. Τί λέγεις; ὑμεῖς πατέρα τὸν Θεὸν ἔχετε, καὶ τῷ Χριστῷ ἐγκαλεῖτε τοῦτο λέγοντι; ὁρᾷς ὅτι ἐξαιρέτως ἔλεγεν αὐτοῦ πατέρα εἶναι τὸν Θεόν; ἐπειδὴ τοίνυν τῆς συγγενείας αὐτοὺς ἐξέβαλε τοῦ Ἀβραάμ, οὐδὲν ἔχοντες εἰπεῖν, ἕτερόν τι μεῖζον τολμῶσιν, εἰς τὸν Θεὸν ἀνατρέχοντες. ἀλλὰ καὶ ταύτης αὐτοὺς ἐκβάλλει τῆς τιμῆς, λέγων· 42 Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμὲ, ὅτι ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε. 43 Διὰ τί οὐκ οἴδατε τὴν λαλιὰν τὴν ἐμήν; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

44 Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἕστηκεν· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. Ἐξέβαλεν αὐτοὺς τῆς συγγενείας τοῦ Ἀβραάμ· καὶ ἐπειδὴ μείζονα ἐτόλμησαν, τότε λοιπὸν ἐπάγει τὴν πληγὴν λέγων· ὅτι οὐ μόνον τοῦ Ἀβραὰμ οὐκ εἰσὶν, ἀλλ' ὅτι καὶ τοῦ διαβόλου εἰσὶν, ἀντίρροπον τῆς ἀναισχυντίας διδοὺς τὴν τομὴν, καὶ οὐδὲ ἀμάρτυρον αὐτὴν ἀφίησιν, ἀλλ' ἐλέγχοις αὐτὴν κατασκευάζει. τὸ γὰρ φονεύειν, φησὶ, τῆς ἐκείνου κακίας ἐστί. καὶ οὐκ εἶπεν ἁπλῶς, τὰ ἔργα, ἀλλὰ τὰς ἐπιθυμίας αὐτοῦ ποιεῖτε, δεικνὺς ὅτι σφοδρῶς κἀκεῖνος καὶ οὗτοι φόνων ἔχονται, καὶ ὅτι φθόνος ἦν ἡ αἰτία. οὐδὲ γὰρ ἔχων τι τῷ Ἀδὰμ ἐγκαλεῖν, ἀλλ' ἢ βασκαίνων μόνον, ἀνεῖλε. τοῦτο οὖν καὶ ἐνταῦθα αἰνίττεται· καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε· τουτέστιν, ἐν τῷ ὀρθῷ βίῳ. ἐπειδὴ γὰρ συνεχῶς αὐτοῦ κατηγόρουν ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἔστι, λέγει, ὅτι καὶ τοῦτο ἐκεῖθέν ἐστιν. ἐκεῖνος γὰρ ἔτεκε τὸ ψεῦδος πρῶτος, λέγων· ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ αὐτὸς αὐτῷ πρῶτος ἐχρήσατο. ἄνθρωποι μὲν γὰρ, οὐχ ὡς ἰδίῳ αὐτῷ χρῶνται, ἀλλ' ὡς ἀλλοτρίῳ· οὗτος δὲ ὡς ἰδίῳ.

45 Ἐγὼ δὲ ὅτι ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. Ποία αὕτη ἀκολουθία; οὐδὲν ἐγκαλοῦντες, ἀνελεῖν με θέλετε. ἐπειδὴ γὰρ ἐχθροί ἐστε τῆς ἀληθείας, διὰ τοῦτό με διώκετε. ἐπεὶ εἰ μὴ διὰ τοῦτο, εἴπατε τὸ ἔγκλημα. διὰ τοῦτο ἐπήγαγε·

46 Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; Εἶτα ἐκεῖνοι· ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα. καὶ μὴν ἐκ πορνείας ἐγεννήθησαν πολλοί. καὶ γὰρ οὐ προσηκούσας ἐπιμιξίας ἐποιοῦντο. ἀλλ' οὐδὲ τοῦτο ἐλέγχει, ἀλλὰ πρὸς ἐκεῖνο ἵσταται. ἐπειδὴ γὰρ ἔδειξεν οὐκ ὄντας ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τοῦ διαβόλου ἐκ τούτων ἀπὸ τῶν (καὶ γὰρ τὸ φονεύειν διαβολικόν,

κόν, καὶ τὸ ψεύδεσθαι διαβολικόν· ἅπερ ἀμφότερα ὑμεῖς ποιεῖτε) δείκνυσιν ὅτι τὸ ἀγαπᾶν, τοῦτο σημεῖον τοῦ ἐκ τοῦ Θεοῦ εἶναι. διὰ τί οὐκ οἴδατε τὴν λαλιὰν τὴν ἐμήν; ἐπειδὴ γὰρ ἀεὶ ἠπόρουν λέγοντες· τί ἐστιν ὅ, τι λέγει, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; διὰ τοῦτό φησιν· οὐκ οἴδατε τὴν ἐμὴν λαλιάν, ὅτι τὸν λόγον τοῦ Θεοῦ οὐκ ἔχετε. τοῦτο δὲ ὑμῖν γίνεται διὰ τὸ χαμαίζηλον τῆς διανοίας, καὶ διὰ τὸ πολὺ μείζονα εἶναι τὰ ἐμά. τί οὖν, εἰ μὴ δύναιντο συνιδεῖν; ἐνταῦθα τὸ μὴ δύνασθαι, τὸ μὴ βούλεσθαί ἐστιν, ὅτι ταπεινοὺς ἑαυτοὺς εἶναι ἐπαιδεύσατε, ὅτι οὐδὲν μέγα φαντάζεσθαι. ἐπειδὴ γὰρ ἔλεγον διώκειν αὐτὸν ὡς ὑπὲρ τοῦ Θεοῦ ζηλοῦντες, διὰ τοῦτο πανταχοῦ πειρᾶται δεῖξαι, ὅτι τὸ διώκειν αὐτόν, τοῦτο μισούντων ἐστὶ τὸν Θεόν· τοὐναντίον δέ, τὸ ἀγαπᾶν, εἰδότων τὸν Θεόν φησιν. ἕνα πατέρα ἔχομεν, τὸν Θεόν. ἀπὸ τούτων σεμνύνονται, ἀπὸ τιμῆς, οὐκ ἀπὸ κατορθωμάτων. οὐκ ἄρα τοῦ ἀλλότριόν με εἶναι, τὸ μὴ πιστεύειν ὑμᾶς τεκμήριον· ἀλλὰ τοῦ ὑμᾶς μὴ εἰδέναι τὸν Θεόν, ἡ ἀπιστία σημεῖον. τὸ δὲ αἴτιον, ἐκ τοῦ θέλειν ψεύδεσθαι καὶ τὰ τοῦ διαβόλου ποιεῖν. τοῦτο δὲ ποιεῖ ψυχῆς εὐτέλεια, καθάπερ ὁ ἀπόστολός φησιν· Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος, οὐχὶ σαρκικοί ἐστε; διὰ τί δὲ οὐ δύνασθε; ὅτι τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν, σπουδάζετε, φιλονεικεῖτε. ὁρᾷς ὅτι τό, οὐ δύνασθε, τὸ μὴ θέλειν λέγει; ὅτι Ἀβραὰμ τοῦτο οὐκ ἐποίησεν. ἀλλὰ τίνα ἐστὶν αὐτοῦ τὰ ἔργα; τὸ ἥμερον, τὸ ἐπιεικές, τὸ πειθήνιον. ὑμεῖς δὲ ἐξ ἐναντίας ἵστασθε, ἀπηνεῖς ὄντες καὶ ὠμοί. πόθεν δὲ αὖθις ἐπῆλθεν ἐπὶ τὸν Θεὸν καταφυγεῖν; ἀναξίους αὐτοὺς ἔδειξε τοῦ Ἀβραάμ. βουλόμενοι οὖν τοῦτο διαφυγεῖν, ἐπὶ τὸ μεῖζον ἀνέβησαν. ἐπειδὴ γὰρ ὠνείδισε φόνον, ὥσπερ ἀπολογίαν τινὰ ποιούμενοι ὅτι τὸν Θεὸν ἐκδικοῦσι, τοῦτο λέγουσι. δείκνυσιν [οὖν] ὅτι τοῦτο αὐτὸ ἐναντιουμένων ἐστὶ τῷ Θεῷ. τὸ δέ, ἐξῆλθον, δείκνυσιν αὐτὸν ἐκεῖθεν ὄντα. ἐξῆλθον δὲ λέγει, τὴν πρὸς ἡμᾶς ἄφιξιν αἰνιττόμενος. ἐπειδὴ δὲ εἰκὸς ἦν αὐτοὺς εἰπεῖν, ὅτι ξένα τινὰ λέγεις καὶ "καινά, παρὰ τοῦ Θεοῦ φησιν" ἥκειν. Εἰκότως οὖν οὐκ ἀκούετε αὐτῶν, φησιν, ἐκ τοῦ διαβόλου ὄντες. τίνος γὰρ ἕνεκεν ἀναιρεῖτε; τί ἔχοντες ἐγκαλέσαι; εἰ μὴ τοῦτό ἐστι, διὰ τί οὐ πιστεύετέ μοι; οὕτως οὖν αὐτοὺς ὄντας ἐκ τοῦ διαβόλου, ἀπὸ τοῦ ψεύδους καὶ τοῦ φόνου δείξας, ἔδειξε [καὶ] ἀλλοτρίους ὄντας τοῦ Ἀβραὰμ καὶ τοῦ Θεοῦ, ἀπό τε τοῦ μισεῖν τὸν οὐδὲν ἠδικηκότα, ἀπό τε τοῦ μὴ ἀκούειν τὸν λόγον αὐτοῦ. καὶ δείκνυσιν ἄνω καὶ κάτω, ὅτι οὔτε ἀντίθεος ἦν, οὔτε διὰ τοῦτο οὐκ ἐπίστευον, ἀλλ' ὅτι ἀλλότριοι ἦσαν τοῦ Θεοῦ. ὁ γὰρ ἁμαρτίαν μὴ πεποιηκώς, ὁ λέγων ἑαυτὸν ἥκειν ἀπὸ τοῦ Θεοῦ, καὶ ἐκεῖθεν ἀπεστάλθαι, ὁ τὴν ἀλήθειαν λαλῶν, καὶ οὕτω τὴν ἀλήθειαν λαλῶν, ὡς πάντας πρὸς ἔλεγχον προσκαλεῖσθαι, εἶτα μὴ πιστευόμενος, εὔδηλον ὅτι διὰ τὸ σαρκικοὺς ἐκείνους εἶναι οὐ πιστεύεται. οἶδε γάρ, οἶδε ταπεινὴν ψυχὴν ποιεῖν ἁμαρτήματα. διὰ τοῦτό φησιν· Ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς ὑμῶν. ὅταν γὰρ τῶν ἐν τῇ γῇ καταφρονεῖν μὴ δύνηταί τις, πῶς ὑπὲρ τῶν ἐν οὐρανοῖς φιλοσοφήσει ποτέ;

α. Κορ. γ. γ.

Ἑβρ. ε. ια.

γ. καινά, γ. ἥκει.

πειρᾶται

ΗΘΙΚΟΝ

Διὰ τοῦτο, παρακαλῶ, πάντα πράττωμεν, ὥστε τὸν βίον ἡμῶν κατορθωθῆναι, ὥστε καθαρθῆναι τὴν διάνοιαν, ὥστε μηδὲν ἡμῖν ῥυπαρὸν γενέσθαι κώλυμα. Φωτίσατε γὰρ ἑαυτοῖς φῶς γνώσεως, καὶ μὴ σπείρητε ἐπ' ἀκάνθαις. ὁ γὰρ μὴ εἰδὼς ὅτι τὸ πλεονεκτεῖν κακόν, πότε εἴσεται τὸ μεῖζον; ὁ μὴ ἀπεχόμενος τούτων, πότε ἐκείνων ἀνθέξεται; καλὸν τὸ ἁρπάζειν, ἀλλ' οὐχὶ τὰ ἀπολλύμενα, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Βιασταὶ γάρ, φησιν, ἁρπάζουσιν αὐτήν. οὐκ ἄρα μετὰ ῥᾳθυμίας ἐστὶν ἐπιτυχεῖν αὐτῆς, ἀλλὰ μετὰ σπουδῆς. τί δέ ἐστι, βιασταί; βίας χρεία πολλῆς (στενὴ γὰρ ἡ ὁδός) καὶ νεανικῆς δεῖ ψυχῆς καὶ γενναίας. οἱ ἁρπάζοντες πάντας βούλονται προλαβεῖν· πρὸς οὐδὲν ὁρῶσιν, οὐ πρὸς κατάγνωσιν, οὐ πρὸς κατηγορίαν, οὐ πρὸς τιμωρίαν· ἀλλ' ἑνὸς γίνονται μόνου, τοῦ λαβεῖν ἅπερ βούλονται ἁρπάσαι, καὶ πάντας τοὺς ἔμπροσθεν παρατρέχουσιν. ἁρπάσωμεν τοίνυν τὴν βασιλείαν τῶν οὐρανῶν. οὐ γάρ ἐστιν ἐνταῦθα ἔγκλημα τὸ ἁρπάσαι, ἀλλ' ἔπαινος· ἔγκλημα δέ, τὸ μὴ ἁρπάσαι. ἐνταῦθα οὐ τῆς ἑτέρου ζημίας ὁ ἡμέτερος γίνεται

Ματθ. ια. ιβ.

πλοῦτος. σπουδάσωμεν οὖν αὐτὴν ἁρπάσαι· κἂν ἐνοχλῇ θυμὸς, κἂν ἐνοχλῇ ἐπιθυμία, βιασώμεθα τὴν φύσιν· ἡμερώτεροι γενώμεθα· κάμωμεν ὀλίγον, ἵνα ἀναπαυσώμεθα διηνεκῶς. μὴ ἁρπάσῃς χρυσὸν, ἀλλὰ ἅρπασον πλοῦτον τὸν βόρβορον δεικνύντα τὸν χρυσόν. εἰπὲ γάρ μοι· εἰ προὔκειτο μόλυβδος καὶ χρυσὸς, τί ἂν ἥρπασας; οὐκ εὔδηλον ὅτι τὸν χρυσόν; εἶτα ἔνθα μὲν ὁ ἁρπάζων κολάζεται, τὸ μεῖζον τιμᾷς· ἔνθα δὲ ὁ ἁρπάζων τιμᾶται, προδίδως τὸ μεῖζον; εἰ γὰρ ἀμφοτέρωθεν κόλασις ἦν, οὐκ ἂν ἐπὶ τούτου μᾶλλον ἦλθες; ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ μακαρισμός. καὶ πῶς ἔστιν ἁρπάσαι, φησί; ῥίψον τὰ ὄντα ἐν χερσίν. ἕως γὰρ ἂν αὐτὰ κατέχῃς, ἐκεῖνα ἁρπάσαι οὐ δυνήσῃ. ἐννόησον γάρ μοι ἄνδρα ἀργυρίου τὰς χεῖρας πεπληρωμένας ἔχοντα· μὴ δυνήσεται, ἕως ἂν κατέχῃ τοῦτο, ἁρπάσαι χρυσίον, ἐὰν μὴ ῥίψῃ αὐτὸ καὶ εὔλυτος γένηται; τὸν γὰρ ἁρπάζοντα εὔζωνον εἶναι δεῖ, ὥστε μὴ καταληφθῆναι. καὶ γὰρ καὶ νῦν εἰσιν ἐναντίαι δυνάμεις κατατρέχουσαι ἡμῶν, ἵνα ἀφέλωνται· ἀλλὰ φεύγωμεν αὐτὰς, φεύγωμεν [μηδεμίαν ἐπιστρεφόμενοι λαβὴν ἔξωθεν,] διατέμωμεν τὰ σχοινία, γυμνοὶ γενώμεθα τῶν βιωτικῶν. τίς χρεία τῶν σηρικῶν ἱματίων; μέχρι πότε τὸν γέλωτα τοῦτον ἀνελίττομεν; μέχρι πότε τὸ χρυσίον κατορύττομεν; ἐβουλόμην παύσασθαι ταῦτα λέγων ἀεί· ἀλλ' ὑμεῖς οὐκ ἐᾶτε, ἀεί μοι παρέχοντες ἀφορμὰς καὶ ὑποθέσεις. ἀλλὰ νῦν γοῦν ἀποστῶμεν, ἵνα καὶ ἑτέρους διὰ τοῦ βίου παιδεύσαντες, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. νε. 48 ΑΠΕΚΡΙΘΗΣΑΝ ΟΥΝ ΟΙ ΙΟΥΔΑΙΟΙ ΚΑΙ εἶπον αὐτῷ· οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; 49 Ἀπεκρίθη ὁ Ἰησοῦς· ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα.

ἈΝαίσχυντον ἡ κακία καὶ ἰταμὸν, καὶ ὅταν καταδύεσθαι δέῃ, τότε μᾶλλον ἀγριοῦται· ὅπερ καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονε. δέον γὰρ ἐπὶ τοῖς ῥηθεῖσι κατανυγῆναι, θαυμάσαντας τὴν παρρησίαν καὶ τὴν τῶν εἰρημένων ἀκολουθίαν· οἱ δὲ καὶ ὑβρίζουσι, Σαμαρείτην καλοῦντες καὶ δαιμονῶντα λέγοντες, καί φασιν· οὐχὶ καλῶς ἐλέγομεν, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; ὅταν γὰρ ὑψηλόν τι εἴπῃ, μανία τοῦτο δοκεῖ παρὰ τοῖς λίαν ἀναισθήτοις εἶναι. καίτοιγε οὐδαμοῦ ὁ εὐαγγελιστὴς εἶπεν ἔμπροσθεν, ὅτι Σαμαρείτην ἐκάλεσαν· ἀλλ' εἰκὸς ἐκ τῆς ῥήσεως ταύτης πολλάκις παρ' αὐτῶν εἰρῆσθαι τοῦτο. δαιμόνιον ἔχεις, φησί. καίτοι τίς ὁ δαιμόνιον ἔχων; ὁ τιμῶν τὸν Θεὸν, ἢ ὁ τὸν τιμῶντα ὑβρίζων; τί οὖν ὁ Χριστὸς, ἡ πρᾳότης, ἡ ἐπιείκεια; ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πέμψαντά με. ἔνθα μὲν διδάξαι αὐτοὺς ἐχρῆν, καὶ τὸν πολὺν αὐτῶν κατασπάσαι τῦφον, καὶ παιδεῦσαι μὴ μεγαφρονεῖν ἐπὶ τῷ Ἀβραὰμ, σφοδρὸς ἦν· ἔνθα δὲ ὑβριζόμενον αὐτὸν ἔδει ἐνεγκεῖν, πολλῇ πρᾳότητι κέχρηται. ὅτε μὲν γὰρ ἔλεγον, ὅτι πατέρα τὸν Θεὸν ἔχομεν καὶ τὸν Ἀβραὰμ, σφόδρα αὐτῶν καθήψατο· ὅτε δὲ αὐτὸν δαιμονῶντα ἐκάλουν, ὑφειμένως τῷ λόγῳ κέχρηται, παιδεύων ἡμᾶς, τὰ μὲν εἰς τὸν Θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς παρορᾶν.

50 Ἐγὼ οὐ ζητῶ τὴν δόξαν τὴν ἐμήν. Ταῦτα εἶπόν, φησι, δεικνὺς ὅτι οὐ προσῆκεν ὑμῖν τὸν Θεὸν καλεῖν πατέρα, ἀνδροφόνοις οὖσιν. ὥστε τῇ τιμῇ τῇ πρὸς ἐκεῖνον ταῦτα ἐφθεγξάμην, καὶ δι' ἐκεῖνον ταῦτα ἀκούω, καὶ δι' αὐτὸν ἀτιμάζετέ με. ἀλλ' οὐδέν μοι μέλει τῆς

ὕβρεως ταύτης· ἐκείνῳ γὰρ εὐθύνας ὀφείλετε τῶν λεχθέντων, δι' ὃν ταῦτα ἀκούω νῦν. ἐγὼ οὐ ζητῶ τὴν δόξαν τὴν ἐμήν. διὰ τοῦτο ἀφεὶς τὸ κολάζειν ὑμᾶς, ἐπὶ παραίνεσιν τρέπομαι, καὶ συμβουλεύω ταῦτα ποιεῖν, ἐξ ὧν οὐ μόνον τὴν κόλασιν διαφεύξεσθε, ἀλλὰ καὶ τῆς αἰωνίου ζωῆς ἐπιτεύξεσθε.

51 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ἐάν τις μου τὸν λόγον τηρήσῃ, οὐ μὴ θεωρήσει θάνατον εἰς τὸν αἰῶνα. Ἐνταῦθα οὐ τὴν πίστιν μόνον φησὶν, ἀλλὰ καὶ τὸν βίον τὸν καθαρόν. καὶ ἄνω μὲν ἔλεγε, ζωὴν αἰώνιον ἕξει· ἐνταῦθα δέ φησι, θάνατον οὐ μὴ θεωρήσει. ἅμα δὲ καὶ αἰνίττεται, ὅτι οὐδὲν δύνανται αὐτῷ ποιῆσαι. εἰ γὰρ ὁ τὸν λόγον αὐτοῦ τηρῶν, οὐκ ἀποθνήσκεται, πολλῷ μᾶλλον αὐτός. τοῦτο γοῦν συνειδότες καὶ αὐτοὶ λέγουσι·

52 Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται ἀπέθανον· Τουτέστιν, οἱ τὸν λόγον ἀκούσαντες τοῦ Θεοῦ ἀπέθανον· καὶ οἱ τὸν σὸν ἀκούσαντες οὐκ ἀποθανοῦνται;

53 Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ; Ὢ τῆς κενοδοξίας. πάλιν ἐπὶ τὴν συγγένειαν αὐτοῦ καταφεύγουσι. καίτοι ἀκόλουθον ἦν εἰπεῖν· μὴ σὺ μείζων εἶ τοῦ Θεοῦ; ἢ οἱ ἀκούσαντές σου, τοῦ Ἀβραάμ; ἀλλ' οὐ λέγουσι τοῦτο, ἐπειδὴ καὶ τοῦ Ἀβραὰμ ἐλάττονα αὐτὸν εἶναι ἐνόμιζον. ὁ μὲν οὖν πρότερον ἔδειξεν ἀνδροφόνους, καὶ ταύτῃ αὐτοὺς ἀπήγαγε τῆς συγγενείας· ὡς δὲ ἐνέμενον, ἑτέρως αὐτοὺς μετοδεύει πάλιν, δεικνὺς ὅτι ἀνόνητα πονοῦσι. καὶ περὶ μὲν τοῦ θανάτου οὐδὲν αὐτοῖς διελέχθη, οὐδὲ ἀπεκάλυψεν, οὐδὲ εἶπε, ποῖον λέγει θάνατον· τέως δὲ πείθει, ὅτι τοῦ Ἀβραὰμ κρείττων ἐστὶν, ἵνα καὶ τούτῳ δυσωπήσῃ. μάλιστα μὲν γὰρ εἰ καὶ ὁ τυχὼν, φησὶν, ἤμην, οὐκ ἔδει ἀποθανεῖν οὐδὲν ἀδικήσαντα· ὅταν δὲ καὶ τὴν ἀλήθειαν λέγω, καὶ μηδεμίαν ἁμαρτίαν ἔχω, καὶ παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος ὦ, καὶ Ἀβραὰμ ὦ κρείττων, πῶς οὐ μαίνεσθε καὶ ἀνόνητα πονεῖτε, ἐπιχειροῦντες ἀνελεῖν; τί οὖν ἐκεῖνοι; νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. ἀλλ' οὐχ ἡ Σαμαρεῖτις οὕτως. οὐ γὰρ εἶπεν αὐτῷ, δαιμόνιον ἔχεις· ἀλλὰ τοσοῦτον μόνον, Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ; Ιωαν. δ. ιϛ. οὗτοι μὲν γὰρ ἦσαν ὑβρισταὶ καὶ ἀλάστορες· ἐκείνη δὲ μαθεῖν ἐβούλετο. διὸ καὶ ἠπόρησε, καὶ μετὰ τῆς προσηκούσης συμμετρίας ἀπεκρίνατο, καὶ Κύριον αὐτὸν καλεῖ. τὸν γὰρ πολλῷ μείζονα ἐπαγγελλόμενον καὶ ἀξιόπιστον ὄντα οὐχ ὑβρίζεσθαι ἔδει, ἀλλὰ καὶ θαυμάζεσθαι· οὗτοι δὲ, δαιμονῶντα αὐτὸν λέγουσιν. ἐκεῖνα μὲν γὰρ τὰ τῆς Σαμαρείτιδος, ἀπορούσης ἦν· ταῦτα δὲ, ἀπιστούντων καὶ διεστραμμένων. μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ; ὥστε τοῦτο μείζονα εἶναι ποιεῖ τοῦ Ἀβραάμ. ὅταν οὖν ὑψωθέντα ἴδητε, ὁμολογήσετε ὅτι μείζων ἐστί. διὰ τοῦτο ἔλεγεν, ὅταν ὑψώσητέ με, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. καὶ θέα σύνεσιν. πρότερον αὐτοὺς ἀποσχίσας τῆς συγγενείας, δείκνυσιν ἑαυτὸν ἐκείνου μείζονα ὄντα, ἵνα ἐκ πολλῆς τῆς ὑπεροχῆς μείζων θεωρηθῇ καὶ τῶν προφητῶν. Ιωαν. ε κα. ἐπειδὴ γὰρ ἀεὶ προφήτην ἔλεγον αὐτὸν, διὰ ταῦτα ἔλεγεν· Ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. ἐκεῖ μὲν οὖν ἔλεγεν, ὅτι ἐγείρει τοὺς νεκρούς· ἐνταῦθα δὲ, οὐ μὴ θεωρήσει θάνατον ὁ πιστεύων, ὃ πολλῷ μεῖζον ἦν τοῦ μὴ συγχωρῆσαι κρατηθῆναι θανάτῳ· διὸ μᾶλλον ἠγριαίνοντο. τί οὖν ἐκεῖνοι; Τίνα σεαυτὸν ποιεῖς; Καὶ τοῦτο ὑβριστικῶς. σὺ, φησὶ, χαρίζῃ σαυτῷ. πρὸς τοῦτο οὖν ὁ Χριστός·

54 Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, φησὶν, ἡ δόξα μου οὐδέν ἐστι. Τί λέγουσιν ἐνταῦθα οἱ αἱρετικοί; ἤκουσε, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, καὶ οὐκ ἐθάρρησεν εἰπεῖν αὐτοῖς ὅτι ναί· ἀλλὰ συνεσκιασμένως αὐτὸ ποιεῖ. τί οὖν; οὐδέν ἐστιν ἡ δόξα αὐτοῦ; πρὸς ἐκείνους οὐδέν ἐστιν. ὥσπερ γὰρ λέγει, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς, πρὸς τὴν ἐκείνων ὑπόνοιαν· οὕτω καὶ ἐνταῦθά φησιν, Ἔστιν ὁ δοξάζων με. Καὶ διατί μὴ εἶπεν, ὁ πατὴρ ὁ πέμψας με, ὡς ἄνω ἔλεγεν, ἀλλ', ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι, καὶ οὐκ οἴδατε αὐτόν; ἐβούλετο γὰρ δεῖξαι, ὅτι οὐ μόνον πατέρα αὐτὸν οὐκ ἴσασιν, ἀλλ' οὐδὲ Θεόν· ἐγὼ δὲ οἶδα αὐτόν. ὥστε οὐ

τὸ λέγειν, ἐγὼ οἶδα αὐτόν, κόμπος ἐστίν· ἀλλὰ τὸ εἰπεῖν μὴ εἰδέναι, ψεῦδος. ὑμεῖς δὲ λέγοντες εἰδέναι αὐτόν, ψεύδεσθε. ὥσπερ οὖν ὑμεῖς εἰδέναι λέγοντες ψεύδεσθε· οὕτως ἐγώ, ἐὰν εἴπω μὴ εἰδέναι.

Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν. Ἐπειδὴ ἔλεγον, τίνα σεαυτὸν ποιεῖς; φησίν· ἐὰν ἐγὼ ποιῶ, ἡ δόξα μου οὐδέν ἐστιν. ὥσπερ οὖν ἐγὼ αὐτὸν οἶδα ἀκριβῶς, οὕτως αὐτὸν ἀγνοεῖτε ὑμεῖς. καθάπερ οὖν ἐπὶ τοῦ Ἀβραὰμ οὐ τὸ πᾶν ἀνεῖλεν, ἀλλά φησιν, οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ὥστε μείζονα ποιῆσαι τὴν κατηγορίαν· οὕτως ἐνταῦθα οὐ τὸ πᾶν ἀνεῖλεν· ἀλλὰ τί; ὃν ὑμεῖς λέγετε. δοὺς τὴν διὰ τῶν ῥημάτων καύχησιν, μεῖζον ἐποίησε τὸ ἔγκλημα. πῶς δὲ οὐκ οἴδατε αὐτόν; ὅτι τὸν πάντα ὑπὲρ αὐτοῦ καὶ λέγοντα καὶ ποιοῦντα, ὥστε αὐτὸν δοξασθῆναι, ὑβρίζετε, καίτοι παρ' ἐκείνου ἀποσταλέντα. ἀλλὰ τοῦτο ἀμάρτυρον· ἀλλὰ τὸ ἑξῆς κατασκευαστικόν.

55 Καὶ τὸν λόγον αὐτοῦ τηρῶ. Ἐνταῦθα " δὲ εἴτε τι εἶχον, ἠδύναντο ἐλέγξαι. μεγίστη γὰρ αὕτη ἀπόδειξις " τὸ παρ' ἐκείνου ἀπεστάλθαι.

56 Ἀβραάμ, ὁ πατὴρ ὑμῶν, ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη. Πάλιν δείκνυσιν αὐτοὺς ὄντας ἀλλοτρίους ἐκείνου, εἴγε ἐφ' οἷς ἐκεῖνος ἔχαιρεν, οὗτοι ἀλγοῦσι. τὴν δὲ ἡμέραν ἐνταῦθά μοι δοκεῖ λέγειν, τὴν τοῦ σταυροῦ, ἣν ἐν τῇ τοῦ κριοῦ προσφορᾷ καὶ τῇ τοῦ Ἰσαὰκ προδιετύπωσε. τί οὖν ἐκεῖνοι;

57 Τεσσαράκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; Ὡς ἐγγὺς τῶν τεσσαράκοντα ἐτῶν λοιπὸν εἶναι τὸν Χριστόν. λέγει αὐτοῖς· 58 Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.

59 Καὶ ἔλαβον λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν. Ὁρᾷς πῶς τὸ μείζονα εἶναι τοῦ Ἀβραὰμ κατεσκεύασεν; ὁ γὰρ χαρείς, ἵνα ἴδῃ τὴν ἡμέραν, καὶ περισπούδαστον αὐτὸ θέμενος, εὔδηλον ὅτι τὴν ἐπὶ εὐεργεσίᾳ γινομένην, καὶ ὡς μείζονος. ἐπειδὴ γὰρ ἔλεγον, ὁ τοῦ τέκτονος υἱός, καὶ οὐδὲν πλέον ἐφαντάζοντο, κατὰ μικρὸν αὐτοὺς ἀνάγει πρὸς ὑψηλὴν διάνοιαν. ὅτε μὲν οὖν ἤκουσαν, ὅτι οὐκ οἴδατε τὸν Θεόν, οὐκ ἤλγησαν· ὅτε δὲ ἤκουσαν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι, ὡς τῆς εὐγενείας αὐτῶν ταπεινουμένης, ἠγρίαινον καὶ ἐλίθαζον. Εἶδε τὴν ἡμέραν τὴν ἐμήν, καὶ ἐχάρη. δείκνυσιν ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, εἴγε ἐπαινεῖ τὸν ἡσθέντα ἐπὶ τῷ σταυρῷ. τοῦτο γὰρ σωτηρία τῆς οἰκουμένης ἦν. οἱ δὲ λίθοις ἔβαλλον. οὕτω πρὸς φόνους ἕτοιμοι ἦσαν, καὶ δι' ἑαυτῶν ταῦτα ἔπραττον, μηδὲν ἐξετάζοντες. Διατί δὲ μὴ εἶπε, πρὸ τοῦ Ἀβραὰμ γενέσθαι ἐγὼ ἤμην, ἀλλ' ἐγώ εἰμι; ὥσπερ ὁ πατὴρ αὐτοῦ ταύτῃ κέχρηται τῇ λέξει τῇ, εἰμί, οὕτω καὶ αὐτός. τοῦ διηνεκῶς γὰρ εἶναι σημαντικὴ αὕτη, παντὸς ἀπηλλαγμένη χρόνου· διὰ τοῦτο καὶ βλάσφημον αὐτοῖς εἶναι δοκεῖ τὸ ῥῆμα. Εἰ δὲ τὴν πρὸς Ἀβραὰμ σύγκρισιν οὐκ ἤνεγκαν, καίτοιγε μικρὰν οὖσαν· εἰ συνεχῶς ἑαυτὸν ἐξίσου τῷ πατρί, ἆρα ἂν διέλιπον αὐτὸν βάλλοντες; Εἶτα φεύγει πάλιν ἀνθρωπίνως, καὶ κρύπτεται, ἱκανὴν διδασκαλίαν αὐτοῖς παραθέμενος· καὶ τὰ αὐτοῦ πληρώσας, ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, καὶ ἀνεχώρησεν ἐπὶ τὴν ἴασιν τοῦ τυφλοῦ, διὰ τῶν ἔργων πιστούμενος, ὅτι πρὸ τοῦ Ἀβραάμ ἐστιν. ἀλλ' ἴσως ἐρεῖ τις· τίνος ἕνεκεν οὐκ ἐξέλυσεν αὐτῶν τὴν δύναμιν; οὕτω γὰρ ἂν ἐπίστευσαν. παραλελυμένον ἐθεράπευσε, καὶ οὐκ ἐπίστευσαν, ἀλλὰ μυρία εἰργάσατο· καὶ ἐν αὐτῷ δὲ τῷ πάθει ἔρριψεν αὐτοὺς ὑπτίους, καὶ ἐσκότωσεν αὐτῶν τὰς ὄψεις, καὶ οὐκ ἐπίστευσαν· καὶ πῶς ἂν ἐπίστευσαν, εἰ τὴν δύναμιν αὐτῶν ἐξέλυσε; ψυχῆς γὰρ ἀπεγνωκυίας χεῖρον οὐδέν· κἂν σημεῖα ἴδῃ, κἂν τέρατα, μένει τὴν αὐτὴν ἀναισχυντίαν ἔχουσα. καὶ γὰρ ὁ Φαραὼ μυρίας δεχόμενος πληγάς, ὅτε ἐκολάζετο μόνον, ἐσωφρονίζετο, καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας τοιοῦτος ἔμεινε, διώκων οὓς ἀπέλυσε. διὰ τοῦτο ἄνω καὶ κάτω ὁ Παῦλός φησι· Μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. καθάπερ γὰρ οἱ τύλοι τοῦ σώματος νεκροῦνται λοιπόν, καὶ οὐδεμίαν αἴσθησιν ἔχουσιν· οὕτω καὶ ψυχή, ὅταν πολλοῖς κατασχεθῇ πάθεσι, νεκροῦται πρὸς τὴν ἀρετήν. κἂν εἴ τι οὖν προσενέγκῃς, οὐ λαμβάνει τοῦ πράγματος αἴσθησιν· ἀλλά, κἂν κόλασιν, κἂν ὁποιανοῦν ἀπειλήσῃς, ἀνάλγητος μένει.

Ἑβρ. γ. ιγ.

ΗΘΙΚΟΝ Διὸ δὴ δέομαι, ἕως ἐλπίδας ἔχομεν σωτηρίας, ἕως δυνάμεθα ἐπιστρέψαι, πάντα ποιεῖν. οἱ γὰρ ἀπηλγηκότες, καθάπερ τῶν κυβερνητῶν οἱ ἀπογνόντες, τῇ πνεούσῃ τὸ σκάφος παραδιδόντες, οὐδὲν παρ' ἑαυτῶν εἰσφέρουσιν· οὕτω καὶ οὗτοι πειρῶνται λοιπόν. ὅ τε γὰρ βάσκανος εἰς ἓν ὁρᾷ μόνον, τὴν ἐπιθυμίαν πληρῶσαι τὴν ἑαυτοῦ· κἂν κολάζεσθαι μέλλῃ, κἂν ἀναιρεῖσθαι, τοῦ πάθους γέγονε μόνου· καὶ ὁ ἀκόλαστος καὶ ὁ φιλοχρήματος. Εἰ δὲ τῶν παθῶν τοσαύτη ἡ τυραννὶς, πολλῷ μᾶλλον τῆς ἀρετῆς. Εἰ δι' ἐκεῖνα θανάτου καταφρονοῦμεν, πολλῷ μᾶλλον διὰ ταύτην. Εἰ ἐκεῖνοι τῆς ψυχῆς καταφρονοῦσι τῆς ἑαυτῶν, πολλῷ μᾶλλον ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας τοῦτο ποιεῖν χρή. τίς γὰρ ἡμῖν ἔσται λόγος, ὅταν τῶν ἀπολλυμένων οὕτω σπουδαζόντων ὑπὲρ τῆς ἑαυτῶν ἀπωλείας, ἡμεῖς ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας μηδὲ τοσαύτην ἐπιδειξώμεθα σπουδὴν, ἀλλ' ἀεὶ φθόνῳ τηκόμενοι διαμένωμεν; οὐδὲν γὰρ βασκανίας χεῖρον· ἵνα ἕτερον ἀπολέσῃ, καὶ ἑαυτὸν προσαπολλύει. Βασκαίνου ὀφθαλμὸς ἐκτήκεται λύπῃ, θανάτῳ συζῇ διηνεκεῖ, πάντας ἐχθροὺς ἡγεῖται, τοὺς οὐδὲν ἠδικηκότας. ἀλγεῖ ὅτι ὁ Θεὸς τιμᾶται, χαίρει ἐφ' οἷς ὁ διάβολος χαίρει. ὁ δεῖνα τετίμηται παρὰ ἀνθρώποις; ἀλλ' οὐκ ἔστιν αὕτη τιμὴ, μὴ βασκαίνῃς. ἀλλὰ παρὰ Θεῷ τετίμηται; ζήλωσον καὶ γενοῦ ὅμοιος. ἀλλ' οὐ βούλει; τί τοίνυν καὶ σαυτὸν προσαπολλύεις; τί καὶ ὃ ἔχεις ῥίπτεις; οὐ δύνασαι γενέσθαι ἴσος ἐκείνῳ, οὐδὲ λαβεῖν τι καλόν; τί καὶ κακὸν προσλαμβάνεις, δέον συνήδεσθαι, ἵνα, κἂν κοινωνῆσαι τῶν πόνων μὴ δυνηθῇς, ἐκ τοῦ συνήδεσθαι κερδάνῃς; ἀρκεῖ γὰρ πολλαχοῦ καὶ προαίρεσις μέγα ποιῆσαι ἀγαθόν. ὁ γοῦν Ἰεζεκιὴλ φησὶ διὰ τοῦτο τοὺς Μωαβίτας κολάζεσθαι, διὰ τὸ ἐπιχαίρειν τοῖς Ἰσραηλίταις· καὶ ἄλλους τινὰς σώζεσθαι, ὅτι ἔστενον ἐπὶ τοῖς ἑτέρων κακοῖς. Ἰεζεκ. λε. ιε. Εἰ δὲ τοῖς στενάζουσιν ἐπὶ τοῖς ἑτέρων κακοῖς ἐστί τις παραμυθία, πολλῷ μᾶλλον τοῖς ἡδομένοις ἐπὶ ταῖς ἑτέρων τιμαῖς· ἐνεκάλει τοῖς Μωαβίταις, ὅτι ἐπέχαιρον τοῖς Ἰσραηλίταις· καίτοιγε ὁ Θεὸς ἐκόλαζεν· ἀλλ' οὐδὲ ὅταν αὐτὸς κολάζῃ, ἐφήδεσθαι ἡμᾶς βούλεται τοῖς κολαζομένοις. οὐδὲ γὰρ αὐτὸς βούλεται αὐτοὺς κολάσαι. Εἰ δὲ συναλγεῖν χρὴ τοῖς κολαζομένοις, πολλῷ μᾶλλον τιμωμένοις μὴ φθονεῖν. οὕτω γοῦν οἱ περὶ Κορὲ καὶ Δαθὰν ἀπώλοντο, τοὺς μὲν φθονουμένους λαμπροτέρους ποιήσαντες, ἑαυτοὺς δὲ κολάσει παραδόντες. Θηρίον γάρ ἐστιν ἰοβόλον ὁ φθόνος· θηρίον ἀκάθαρτον [καὶ] κακία προαιρέσεως συγγνώμην οὐκ ἔχουσα, πονηρία ἀπολογίας ἀπεστερημένη, πάντων αἰτία καὶ μήτηρ τῶν κακῶν. διὸ πρόρριζον αὐτὴν ἀνέλωμεν, ἵνα καὶ τῶν παρόντων κακῶν ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. θ.

Ὁμιλ. νϛ. 1 ΚΑΙ ΠΑΡΑΓΩΝ Ο ΙΗΣΟΥΣ ΕΙΔΕΝ ΑΝΘΡΩΠΟΝ τυφλὸν ἐκ γενετῆς.

2 Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;

ΚΑὶ παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. σφόδρα φιλάνθρωπος ὢν, καὶ τῆς ἡμετέρας σωτηρίας κηδόμενος, καὶ τῶν ἀγνωμόνων τὰ στόματα ἐμφράξαι θέλων, οὐδὲν τῶν εἰς αὐτὸν ἡκόντων παραλιμπάνει, κἂν μηδεὶς ὁ προσέχων ᾖ. τοῦτο γοῦν καὶ ὁ προφήτης εἰδὼς ἔλεγεν· Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ψαλμ. ν. ϛ. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα, ἐπειδὴ τὸ τῶν λόγων ὑψηλὸν οὐκ ἐδέξαντο, ἀλλὰ καὶ δαιμονῶντα ἐκάλεσαν, καὶ ἀνελεῖν ἐπεχείρουν, ἐξελθὼν ἐκ τοῦ ἱεροῦ, θεραπεύει τυφλὸν, τῇ τε ἀπουσίᾳ τὸν θυμὸν παραμυθούμενος, καὶ διὰ τῆς ἐργασίας τοῦ σημείου τὸ σκληρὸν αὐτῶν καὶ ἀπηνὲς καταμαλάττων, καὶ τὰ εἰρημένα πιστούμενος· καὶ ποιεῖ σημεῖον, οὐ τὸ τυχὸν, ἀλλὰ τότε πρῶτον συμβάν. ἀπὸ γὰρ τοῦ αἰῶνος, φησιν, οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. τυφλοῦ μὲν γὰρ ἴσως ἤνοιξέ τις· γεγεννημένου δὲ τυφλοῦ, οὐκέτι. καὶ ὅτι ἐξελθὼν ἐκ τοῦ ἱεροῦ, ἐπὶ τὸ ἔργον ἦλθεν ἐπιτηδὲς, δῆλον ἐκεῖθεν. αὐτὸς γὰρ εἶδε τὸν τυφλὸν, οὐχ ὁ τυφλὸς αὐτῷ προσῆλθε· καὶ οὕτω σπουδαίως ἐνέβλεψεν, ὡς καὶ τοῖς μαθηταῖς αἴσθησιν παρασχεῖν. ἀπὸ τούτου γοῦν καὶ ἐπὶ τὴν ἐρώτησιν ἦλθον· ὁρῶντες γὰρ αὐτὸν σπουδαίως προσέχοντα, ἐπυνθάνοντο λέγοντες· τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ; ἐσφαλμένη ἡ ἐρώτησις. πῶς γὰρ ἂν ἥμαρτε, πρὶν ἢ γεννηθῆναι; πῶς δὲ, τῶν γονέων ἁμαρτόντων, αὐτὸς ἂν ἐκολάσθη; πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν ταύτην; πρὸ τούτου τὸν παραλελυμένον θεραπεύων, ἔλεγεν, Ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. οὗτοι τοίνυν ἐννοήσαντες ὅτι ἐκεῖνος δι' ἁμαρτίας παρελύθη, λέγουσιν· ἔστω, ἐκεῖνος δι' ἁμαρτήματα παρελύθη· περὶ τούτου δὲ τί ἂν εἴποις; οὗτος ἥμαρτεν; ἀλλ' οὐκ ἔστιν εἰπεῖν. ἐκ γενετῆς γάρ ἐστι τυφλός. ἀλλ' οἱ γονεῖς αὐτοῦ; ἀλλ' οὐδὲ τοῦτο. παῖς γὰρ ὑπὲρ πατρὸς οὐ δίδωσι δίκην. ὥσπερ οὖν παιδίον κακούμενον ὁρῶντες λέγομεν· τί ἄν τις εἴπῃ περὶ τούτου; τί ἐποίησε τὸ παιδίον; οὐκ ἐρωτῶντες, ἀλλὰ διαποροῦντες· οὕτω δὴ καὶ οἱ μαθηταὶ οὐ τοσοῦτον ἐρωτῶντες τοῦτο ἔλεγον, ἀλλ' ἀποροῦντες. τί οὖν ὁ Χριστός;

Ιωαν. ε. ιδ.

3 Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ. Τοῦτο δὲ οὐχ ἁμαρτημάτων ἀπαλλάττων αὐτούς φησιν· οὐ γὰρ ἁπλῶς εἶπεν, οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἐπήγαγεν, Ἵνα τυφλὸς γεννηθῇ· Ἀλλ' ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ. ἥμαρτε μὲν γὰρ καὶ οὗτος καὶ οἱ γονεῖς αὐτοῦ· ἀλλ' οὐκ ἐντεῦθεν, φησιν, ἡ πήρωσις. ταῦτα δὲ ἔλεγεν, οὐ τοῦτο ἐμφαίνων, ὅτι οὗτος μὲν οὐχ οὕτως, ἄλλοι δέ τινες ἐκ τούτων ἐτυφλώθησαν τῶν αἰτιῶν, διὰ τὰς τῶν γονέων ἁμαρτίας. οὐδὲ γὰρ ἔνι, ἁμαρτάνοντος ἑτέρου, κολάζεσθαι ἕτερον. ἐπεὶ, εἰ τοῦτο δώσομεν, κἀκεῖνο δώσομεν, ὅτι πρὸ γενέσεως ἥμαρτεν. ὥσπερ οὖν εἰπὼν, ὅτι οὔτε οὗτος ἥμαρτεν, οὐ τοῦτο λέγει, ὅτι ἔνι ἐκ γενετῆς ἁμαρτεῖν καὶ κολασθῆναι· οὕτως εἰπὼν, οὔτε οἱ γονεῖς αὐτοῦ, οὐ τοῦτο εἶπεν, ὅτι ἔνι διὰ γονέας κολασθῆναι. καὶ γὰρ διὰ τοῦ Ἰεζεκιὴλ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. Ζῶ ἐγὼ λέγει Κύριος, εἰ ἔσται ἡ παραβολὴ αὕτη ἡ λεγομένη· οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων "ὠμοδίασαν. καὶ ὁ Μωϋσῆς δέ φησιν· Οὐκ ἀποθανεῖται πατὴρ ὑπὲρ τέκνου. καὶ περί τινος βασιλέως φησὶν, ὅτι διὰ τοῦτο τοῦτο οὐκ ἐποίησε, φυλάττων τὸν Μωϋσέως νόμον. Εἰ δὲ λέγει τις, πῶς οὖν εἴρηται, ὁ ἀποδιδοὺς ἁμαρτίας γονέων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἔστι καθολικὴ ἡ ἀπόφασις, ἀλλ' ἐπί τινων εἴρηται τῶν ἐξ Αἰγύπτου ἐξελθόντων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐπειδὴ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες, μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα, τῶν προγόνων γεγόνασι χείρους, τῶν οὐδὲν τούτων τεθεαμένων, τὰ αὐτὰ πείσονται, φησιν, ἅπερ ἔπαθον ἐκεῖνοι, ἐπειδὴ τὰ αὐτὰ τετολμήκασι. καὶ ὅτι περὶ ἐκείνων εἴρηται, τῷ τόπῳ τις ἐπιστήσας, ἀκριβέστερον εἴσεται. τίνος οὖν ἕνεκεν τυφλὸς ἐγεννήθη; Ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ, φησιν. Ἰδοὺ πάλιν ἄπορον ἄλλο, εἰ χωρὶς τῆς τούτου κολάσεως οὐκ ἐνῆν φανῆναι τοῦ Θεοῦ τὴν δόξαν. μάλιστα μὲν οὐ τοῦτο εἴρηται, ὅτι οὐκ ἐνῆν (ἐνῆν γάρ) ἀλλὰ καὶ ἐν τούτῳ, ἵνα φανερωθῇ. τί οὖν, φησιν, ἠδικήθη διὰ τὴν τοῦ Θεοῦ δόξαν; ποίαν ἀδικίαν, εἰπέ μοι; εἰ γὰρ μηδὲ ὅλως παραγαγεῖν αὐτὸν ἐβούλετο. ἐγὼ δὲ καὶ εὐηργετῆσθαι αὐτόν φημι ἀπὸ τῆς πηρώσεως. τοὺς γὰρ ἔνδον ἀνέβλεψεν ὀφθαλμούς. τί γὰρ ὄφελός ἐστι τοῖς Ἰουδαίοις τῶν ὀμμάτων; μείζονα γὰρ κόλασιν ἔσχον, πηρωθέντες ἐν τῷ βλέπειν. τί δὲ τούτῳ βλάβος ἀπὸ τῆς πηρώσεως; διὰ γὰρ ταύτης ἀνέβλεψεν. ὥσπερ οὖν τὰ κακὰ οὐκ ἔστι κακὰ τὰ κατὰ τὸν παρόντα βίον· οὕτως οὐδὲ τὰ ἀγαθὰ ἀγαθά· ἀλλ' ἁμαρτία μόνη κακὸν, πήρωσις δὲ οὐ κακόν. ὁ δὲ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, ἐξουσίαν εἶχε καὶ οὕτως αὐτὸν ἀφεῖναι. Φασὶ δέ τινες, ὅτι τοῦτο οὐδὲ αἰτιολογικόν ἐστι τὸ ἐπίρρημα, ἀλλὰ τῆς

Ιεζεκ. ιη. γ.

ἠμωδίασαν.

Δευτ. κδ. ιϛ.

δ. Βασ. ιδ. ϛ.

ἐκβάσεως ἐστίν· ὡς ὅταν λέγῃ, Ιωαν. θ. λθ. Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ μὴν οὐ διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται. Ρωμ. α. ιθ. καὶ πάλιν ὁ Παῦλος· Τὸ γὰρ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. καίτοι οὐ διὰ τοῦτο αὐτοῖς ἔδειξεν, ἵνα ἀποστερηθῶσιν ἀπολογίας, ἀλλ' ἵνα τύχωσιν ἀπολογίας. Ρωμ. ε. κ. καὶ πάλιν ἀλλαχοῦ· Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. καίτοι οὐ διὰ τοῦτο παρεισῆλθεν, ἀλλ' ἵνα κωλυθῇ ἡ ἁμαρτία. ὁρᾷς πανταχοῦ τὸ ἐπίρρημα τῆς ἐκβάσεως ὄν; καθάπερ γάρ τις οἰκοδόμος ἄριστος, τῆς οἰκίας τὸ μὲν εἰργάσατο, τὸ δὲ ἀφῆκεν ἀτέλεστον, ὥστε τοῖς ἀπιστοῦσι διὰ τοῦ λειπομένου καὶ περὶ τοῦ παντὸς ἀπολογήσασθαι· οὕτω καὶ ὁ Θεός, καθάπερ οἰκίαν τινὰ σεσαθρωμένην, τὸ σῶμα τὸ ἡμέτερον συγκολλᾷ καὶ ἀναπληροῖ, τήν τε χεῖρα τὴν ξηρὰν θεραπεύων, τὰ παραλελυμένα μέλη σφίγγων, τοὺς χωλοὺς διορθούμενος, τοὺς λεπροὺς καθαίρων, τοὺς νοσοῦντας ἐγείρων, τοὺς τὰ σκέλη πεπηρωμένους ἀρτίους ποιῶν, τοὺς νεκροὺς ἀπὸ θανάτου καλῶν, μεμυκότας ὀφθαλμοὺς διανοίγων, οὐκ ὄντας ἐπιτιθείς· ἅπερ ἅπαντα τῆς κατὰ φύσιν ἀσθενείας ὄντα πηρώματα, εἶτα διορθούμενος, ἐδείκνυ αὐτοῦ τὴν δύναμιν. Εἰπὼν δέ, ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ, περὶ ἑαυτοῦ φησιν, οὐ περὶ τοῦ πατρός. ἐκείνου γὰρ ἡ δόξα ἦν φανερά. ἐπειδὴ γὰρ ἤκουον, ὅτι τὸν ἄνθρωπον ὁ Θεὸς ἐποίησε λαβὼν χοῦν ἀπὸ τῆς γῆς, διὰ τοῦτο οὕτω καὶ αὐτὸς ἔπλασε. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐγώ εἰμι ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ πλάσας τὸν ἄνθρωπον, προσέσαντες ἐδόκει εἶναι τοῖς ἀκούουσι· διὰ δὲ τοῦ ἔργου τοῦτο δεικνύμενον οὐκέτι λοιπὸν προσίστατο. διὸ δὴ καὶ αὐτὸς χοῦν λαβών, καὶ φύρων τῷ πτύσματι, οὕτω τὴν κεκρυμμένην αὐτοῦ δόξαν ἐφανέρωσεν. οὐ μικρὰ γὰρ δόξα, τὸ δημιουργὸν αὐτὸν νομισθῆναι τῆς κτίσεως. ἀπὸ γὰρ τούτου καὶ τὰ ἄλλα συνεισήρχετο, ἀπὸ τοῦ μέρους καὶ τὸ ὅλον ἐπιστοῦτο. ἡ γὰρ περὶ τοῦ μείζονος πίστις καὶ τὸ ἔλαττον ἐβεβαίου. τῆς κτίσεως γὰρ ἁπάσης τιμιώτερον ἄνθρωπος, καὶ τῶν ἐν ἡμῖν μελῶν τιμιώτερος ὀφθαλμός. διὰ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐκείνῳ τῷ τρόπῳ τὰ ὄμματα ἐδημιούργησεν. εἰ γὰρ καὶ μικρὸν τῷ μεγέθει τὸ μέλος, ἀλλ' ὅλου τοῦ α. Κορ. ιβ. ιϛ. σώματός ἐστιν ἀναγκαιότερον. καὶ τοῦτο Παῦλος δηλῶν ἔλεγεν· Ἐὰν εἴπῃ ἡ ἀκοή, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; πάντα μὲν γὰρ τὰ ἐν ἡμῖν, τῆς τοῦ Θεοῦ σοφίας ἐστὶν ἀπόδειξις· πολλῷ δὲ μᾶλλον ὀφθαλμός. οὗτος γοῦν τὸ πᾶν διακυβερνᾷ σῶμα, τοῦτο τῷ παντὶ σώματι τὸ κάλλος ἐργάζεται, τοῦτο κοσμεῖ τὴν ὄψιν, τοῦτο λύχνος ἐστὶν ἁπάντων τῶν μελῶν. ὅπερ γὰρ ἥλιος κατὰ τὴν οἰκουμένην, τοῦτο ὀφθαλμὸς ἐν τῷ σώματι. ἂν σβέσῃς τὸν ἥλιον, πάντα ἀπώλεσας καὶ συνετάραξας· ἂν σβέσῃς τοὺς ὀφθαλμούς, καὶ πόδες ἄχρηστοι, καὶ χεῖρες, καὶ ψυχή. οἴχεται γὰρ ἡ γνῶσις, πηρωθέντων Ρωμ. α. κ. τούτων. διὰ γὰρ τούτων τὸν Θεὸν ἐγνώκαμεν. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. οὐκ ἄρα τῷ σώματι λύχνος ὁ ὀφθαλμὸς μόνον, ἀλλὰ καὶ πρὸ τοῦ σώματος τῇ ψυχῇ. διόπερ ὥσπερ ἔν τινι βασιλικῷ χωρίῳ ἵδρυται, τὴν ἄνω λῆξιν λαχών, καὶ τῶν ἄλλων αἰσθήσεων προκαθήμενος. τοῦτον οὖν διαπλάττει. εἶτα, ἵνα μὴ νομίσῃς ὅτι ὕλης δεῖται ὅταν ποιῇ, καὶ ἵνα μάθῃς ὅτι οὐδὲ παρὰ τὴν ἀρχὴν πηλοῦ χρείαν εἶχεν (ὁ γὰρ οὐκ οὔσας οὐσίας τὰς μείζους παραγαγών, πολλῷ μᾶλλον ταύτην χωρὶς ὕλης ἐποίησεν) ἵνα οὖν μάθῃς ὅτι οὐ χρείας ἕνεκεν τοῦτο ποιεῖ, ἀλλὰ διδάσκων ἑαυτὸν εἶναι δημιουργὸν τὸν ἐν ἀρχῇ,

6 Χρίσας τὸν πηλόν, φησιν· 7 Ἀπελθὲ νίψαι· Ἵνα εἰδῇς ὅτι οὐ πηλοῦ δεόμενος πρὸς τὸ ποιῆσαι ὀφθαλμούς, ἀλλ' ἵνα φανερωθῇ ἐν αὐτῷ ἡ δόξα ἡ ἐμή. ὅτι γὰρ περὶ ἑαυτοῦ φησιν, εἰπών, ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ, ἐπήγαγεν·

4 Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με· Τουτέστιν, ἐμὲ δεῖ φανερῶσαι ἐμαυτόν, καὶ ποιῆσαι τὰ δυνάμενά με δεῖξαι τὰ αὐτὰ τῷ πατρὶ ποιοῦντα, οὐ τοιαῦτα,

ἀλλὰ τὰ αὐτά, ὁ μείζονός ἐστιν ἀπαραλλαξίας, καὶ ὅπερ ἐστὶ τῶν οὐδὲ κατὰ μικρὸν διεστηκότων λέγεται. τίς οὖν ἀντιβλέψει λοιπόν, ὁρῶν αὐτὸν τὰ αὐτὰ δυνάμενον τῷ πατρί; οὐ γὰρ ἔπλασε μόνον ὀφθαλμούς, οὐδὲ ἀνέῳξεν, ἀλλὰ καὶ τὸ ὁρᾷν ἐχαρίσατο· ὅπερ τεκμήριόν ἐστι τοῦ καὶ ψυχὴν ἐμφυσῆσαι. ἐκείνης γὰρ μὴ ἐνεργούσης, ὀφθαλμός, κἂν ἀπηρτισμένος ᾖ, οὐκ ἂν ἴδοι ποτὲ οὐδέν. ὥστε καὶ τὴν ἀπὸ τῆς ψυχῆς ἐνέργειαν ἐχαρίσατο, καὶ τὸ μέλος ἔδωκε πάντα ἔχον, καὶ ἀρτηρίας, καὶ νεῦρα, καὶ φλέβας, καὶ αἷμα, καὶ τὰ ἄλλα πάντα, ἐξ ὧν σύγκειται ἡμῖν τὸ σῶμα. Εμὲ δεῖ ἐργάζεσθαι ἕως ἡμέρα ἐστί. Τί ταῦτα βούλεται τὰ ῥήματα; ποίαν δὲ ἀκολουθίαν ἔχει; πολλήν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ἕως ἡμέρα ἐστίν, ἕως ἔξεστι τοῖς ἀνθρώποις πιστεύειν εἰς ἐμέ, ἕως ὁ βίος οὗτος ἐνέστηκε, δεῖ με ἐργάζεσθαι. Ερχεται νύξ, Τουτέστιν, ὁ μέλλων καιρός· Οτε οὐδεὶς δύναται ἐργάζεσθαι. Οὐκ εἶπεν, ὅτε ἐγὼ οὐ δύναμαι ἐργάζεσθαι· ἀλλ' ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι, τουτέστιν, ὅτε οὐκ ἔτι πίστις ἐστίν, οὔτε πόνοι, οὔτε μετάνοια. ὅτι γὰρ ἔργον τὴν πίστιν λέγει, λέγουσιν αὐτῷ· τί ποιήσωμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; λέγει, τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. πῶς οὖν τοῦτο τὸ ἔργον οὐδεὶς δύναται ἐργάζεσθαι τότε; ὅτι οὔτε πίστις ἐστίν, ἀλλὰ καὶ ἑκόντες καὶ ἄκοντες ὑπακούσονται. ἵνα γὰρ μή τις εἴπῃ, ὅτι φιλοτιμούμενος τοῦτο ποιεῖ, δείκνυσιν, ὅτι φειδόμενος αὐτῶν πάντα ἐργάζεται, ἐνταῦθα μόνον ἐξουσίαν ἐχόντων πιστεύειν, καὶ μηκέτι δυναμένων ἐκεῖ καρποῦσθαί τι. Διὰ τοῦτο οὐδὲ προσελθόντος τοῦ τυφλοῦ ἐποίησεν ὅπερ ἐποίησεν. ὅτι μὲν γὰρ ἄξιος ἦν θεραπευθῆναι, καί, εἰ ἔβλεπεν, ἐπίστευσεν ἂν καὶ προσῆλθεν, καί, εἰ παρά τινος ἤκουσε παρόντα, οὐδ' ἂν οὕτως ἠμέλησεν, ἐκ τῶν ἑξῆς δῆλον, ἐκ τῆς ἀνδρείας, ἐκ τῆς πίστεως αὐτῆς. καὶ γὰρ ἦν εἰκὸς αὐτὸν ἐννοῆσαι καὶ εἰπεῖν· τί ποτε τοῦτό ἐστι; πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι, ὕπαγε νίψαι· οὐκ ἠδύνατο θεραπεῦσαι, καὶ τότε πέμψαι εἰς τὸν Σιλωάμ; πολλάκις ἐνιψάμην ἐκεῖ μετὰ ἑτέρων πολλῶν, καὶ οὐδενὸς ἀπήλαυσα χρηστοῦ. εἴ τινα δύναμιν εἶχε, παρὼν ἂν ἐθεράπευσεν· ὅπερ καὶ ὁ Νεεμὰν πρὸς τὸν Ελισσαῖον ἔλεγε. καὶ γὰρ ἐκεῖνος κελευσθεὶς ἀπελθεῖν λούσασθαι εἰς τὸν Ιορδάνην, ἠπίστει, καὶ ταῦτα φήμης τοσαύτης οὔσης περὶ τοῦ Ελισσαίου. δ. Βασ. ε. ιδ. ἀλλ' οὐχ ὁ τυφλὸς ἠπίστησεν, οὐδὲ ἀντεῖπεν, οὐδὲ ἐλογίσατο πρὸς ἑαυτόν, τί ποτε τοῦτό ἐστι; πηλὸν ἐχρῆν ἐπιθεῖναι; τοῦτο πηρῶσαι μᾶλλόν ἐστι. τίς οὕτως ἀνέβλεψέ ποτε; ἀλλ' οὐδὲν τούτων ἐλογίσατο. Εἶδες πίστιν στερρὰν καὶ προθυμίαν; ἔρχεται νύξ. δείκνυσιν ἐκ τούτου, ὅτι καὶ μετὰ τὸν σταυρὸν μέλλει προσάξειν τῶν ἀσεβῶν καὶ ἐπάγεσθαι πολλούς. Ετι γὰρ ἡμέρα ἐστί.

Μετὰ δὲ τοῦτο τέλεον αὐτοὺς ἀποσχίζει. καὶ τοῦτο δηλῶν ἔλεγεν·

5 Οταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου· Ο καὶ ἑτέροις ἔλεγε· Πιστεύετε, ἕως τὸ φῶς μεθ' ὑμῶν ἐστι. Ιωαν. ιβ. λε. τί δήποτε ὁ Παῦλος νύκτα μὲν τὸν παρόντα βίον ἐκάλεσεν, ἐκεῖνον δὲ ἡμέραν; οὐκ ἐναντιούμενος τῷ Χριστῷ, ἀλλὰ τὰ αὐτὰ λέγων, εἰ καὶ μὴ τοῖς ῥήμασιν, ἀλλὰ ταῖς ἐννοίαις. καὶ γάρ φησιν, Η νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. Ρωμ. ιγ. ιβ. νύκτα γὰρ τὸν παρόντα καλεῖ καιρόν, διὰ τοὺς ἐν σκότῳ καθημένους, ἢ διὰ τὸ παραβαλεῖν αὐτὴν τῇ ἡμέρᾳ ἐκείνῃ. ὁ δὲ Χριστὸς νύκτα τὸ μέλλον καλεῖ, διὰ τὸ τῶν ἁμαρτημάτων ἀνενέργητον· ὁ δὲ Παῦλος νύκτα τὸν παρόντα βίον καλεῖ, διὰ τὸ ἐν σκότῳ εἶναι τοὺς ἐν κακίᾳ διατρίβοντας καὶ ἀπιστίᾳ.

ΗΘΙΚΟΝ

Πιστοῖς τοίνυν διαλεγόμενος ἔλεγεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν, ὡς μελλόντων ἀπολαύσεσθαι τοῦ φωτὸς ἐκείνου· καὶ νύκτα τὸν παλαιὸν βίον καλεῖ. ἀποθώμεθα γάρ, φησι, τὰ ἔργα τοῦ σκότους. ὁρᾷς ὅτι ἐκείνοις εἶναι νύκτα φησί; διὸ λέγει· ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, ἵνα τοῦ φωτὸς ἀπολαύσωμεν ἐκείνου. εἰ γὰρ τοῦτο οὕτω καλὸν τὸ φῶς, ἐννόησον ἡλίκον ἔσται ἐκεῖνο. ὅσον γὰρ τοῦ λυχνιαίου φωτὸς τὸ ἡλιακὸν κρεῖττον, τοσοῦτον, καὶ πολλῷ πλέον, ἐκεῖνο βέλτιον τούτου. καὶ τοῦτο δηλῶν ἔλεγεν· ὅτι ὁ ἥλιος σκοτισθήσεται, τουτέστι, διὰ τὴν περιουσίαν ἐκείνης τῆς μαρμαρυγῆς, οὔτε ἐστὶ φράσαι. Εἰ δὲ νῦν ὑπὲρ τοῦ φωτεινὰς ἔχειν οἰκίας καὶ εὐαέρους μυρία δαπανώμενοι χρήματα, οἰκοδομοῦντες, ταλαιπωρούμενοι· ἐννόησον πῶς χρὴ καὶ τὰ σώματα αὐτὰ δαπανᾷν, ὑπὲρ τοῦ λαμπρὰς ἡμῖν οἰκίας ἐν οὐρανοῖς οἰκοδομηθῆναι, ἔνθα τὸ φῶς ἐκεῖνο τὸ ἀπόρρητον. ἐνταῦθα μὲν γὰρ καὶ μάχαι καὶ φιλονεικίαι περὶ ὅρων καὶ τοίχων· ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν· οὐ φθόνος, οὐ βασκανία· οὐδὲ φιλονεικήσει τις ἡμῖν περὶ ὁροθεσίων. καὶ ταύτην μὲν ἀπολιπεῖν ἀνάγκη πάντως, ἐκείνη δὲ συμπαραμένει διηνεκῶς· καὶ ταύτην μὲν ἀνάγκη σαθροῦσθαι τῷ χρόνῳ καὶ μυρίαις ὑποκεῖσθαι βλάβαις, ἐκείνην δὲ μένειν ἀγήρω διηνεκῶς· καὶ ταύτην μὲν ὁ πένης οὐ δύναται οἰκοδομεῖν, ἐκείνην δὲ ἔστι καὶ διὰ δύο ὀβολῶν οἰκοδομῆσαι, καθάπερ ἡ χήρα. διὸ ταῦτα ἀποπνίγομαι, ὅτι, τοσούτων ἡμῖν προκειμένων ἀγαθῶν, ῥαθυμοῦμεν, ὀλιγωροῦμεν· καὶ ὅπως μὲν ἐνταῦθα λαμπρὰς ἔχοιμεν οἰκίας, ἅπαντα πράττομεν· ὅπως δὲ ἐν τοῖς οὐρανοῖς κἂν μικρὸν κτησώμεθα καταγώγιον, οὐ μεριμνῶμεν, οὐ φροντίζομεν. εἰπὲ γάρ μοι· ποῦ ἐβούλου οἰκίαν ἔχειν ἐνταῦθα; ἆρα ἢ ἐν ἐρημίᾳ, ἢ ἐν μιᾷ τῶν πόλεων τῶν μικρῶν; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐν ταῖς βασιλικωτάταις καὶ μεγάλαις, ἔνθα πλείων ἡ ἐμπορεία, ἔνθα μείζων ἡ περιφάνεια. ἐγὼ δέ σε εἰς πόλιν ἄγω τοιαύτην, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἐκεῖ παρακαλῶ κτίζειν τε καὶ οἰκοδομεῖν, δι' ἐλαττόνων χρημάτων, [δι' ἐλάττονος πόνου.] ἐκείνην τὴν οἰκίαν τῶν πενήτων οἰκοδομοῦσιν αἱ χεῖρες, καὶ τοῦτο μάλιστά ἐστιν οἰκοδομή· ὡς τά γε νῦν γινόμενα ἐσχάτης ἀνοίας. καὶ γὰρ εἴ τις σε εἰς Περσικὴν ἤγαγε γῆν, ὀψόμενον τὰ ἐκεῖ, καὶ ἐπανήξοντα· εἶτα ἐκέλευσεν οἰκίας δείμασθαι, ἆρα οὐκ ἂν αὐτοῦ κατέγνως ἄνοιαν τὴν ἐσχάτην, ὡς ἀκαίρως δαπανᾷν κελεύοντος; πῶς οὖν ἐπὶ τῆς γῆς τὸ αὐτὸ τοῦτο ποιεῖς, ἣν μικρὸν ὕστερον ἀπολείψεις; ἀλλὰ τοῖς παιδίοις καταλείψω, φησίν. ἀλλὰ καὶ ἐκεῖνοι μικρὸν ὕστερον καταλείψουσι μετὰ σέ· πολλάκις δὲ καὶ πρὸ σοῦ· καὶ οἱ μετ' ἐκείνους πάλιν. καὶ γίνεταί σοι καὶ ἐνταῦθα τὸ πρᾶγμα ἀθυμίας ὑπόθεσις, ὅταν οὐ κληρονόμους κατέχοντας μὴ ἴδῃς· ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαι· ἀλλ' ἀκίνητος ἡ κτῆσις μένει, καί σοι, καὶ τοῖς παιδίοις, καὶ τοῖς ἐγγόνοις, ἂν τὴν αὐτὴν ἀρετὴν μιμήσωνται. ἐκείνης τῆς οἰκοδομῆς ὁ Χριστὸς ἐφάπτεται· ἐκείνην οἰκοδομοῦντα, οὐκ ἀνάγκη ἐπιμελητὰς ἐφιστᾷν, οὐδὲ φροντίζειν, οὐδὲ μεριμνᾷν. ὅταν γὰρ ὁ Θεὸς τὸ ἔργον ἀναδέξηται, τίς χρεία φροντίδος; ἐκεῖνος πάντα συνάγει, καὶ ἀνίστησι τὴν οἰκίαν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι οὕτως αὐτὴν οἰκοδομεῖ, ὡς σοι ἀρεστόν ἐστι· μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἀρεστόν, καὶ ὑπὲρ ὃ βούλει. τεχνίτης γάρ ἐστιν ἄριστος, καὶ σφόδρα σου κήδεται τῶν συμφερόντων. κἂν πένης ᾖς, καὶ βουληθῇς οἰκοδομῆσαι τὴν οἰκίαν ταύτην, οὐ φέρει σοι φθόνον, οὐδὲ τίκτει σοι βασκανίαν. οὐδεὶς γὰρ αὐτὴν ὁρᾷ τῶν ἐπισταμένων φθονεῖν, ἀλλ' οἱ ἐπιστάμενοι χαίρειν ἄγγελοι τοῖς ἀγαθοῖς τοῖς σοῖς· οὐδεὶς αὐτῇ παρεῖσαι δυνήσεται. οὐδεὶς γὰρ αὐτὴν παροικεῖ τῶν τὰ τοιαῦτα νοσούντων. γείτονας ἔχεις ἐκεῖ, τοὺς ἁγίους, τοὺς περὶ Παῦλον καὶ Πέτρον, τοὺς προφήτας ἅπαντας, τοὺς μάρτυρας, τὸν δῆμον τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων. διὸ δὴ ταῦτα πάντα, τὰ ὄντα εἰς τοὺς πένητας κενώσωμεν, ἵνα ἐκείνων ἐπιτύχωμεν [τῶν σκηνῶν·] ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. νζ.

6 ΤΑΥΤΑ ΕΙΠΩΝ Ο ΙΗΣΟΥΣ, ΕΠΤΥΣΕ ΧΑΜΑΙ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ εἶπεν· 7 Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ.

Τοὺς μέλλοντάς τι παρὰ τῶν ἀναγινωσκομένων καρποῦσθαι, οὐδὲ τὸ μικρὸν τῶν λεγομένων παρατρέχειν δεῖ. διὰ γὰρ τοῦτο ἐρευνᾷν τὰς γραφὰς ἐκελεύσθημεν· ἐπειδὴ δοκεῖ τὰ πολλὰ, καίτοιγε αὐτόθεν ὄντα εὔκολα, πολλὴν ἐν τῷ βάθει διάνοιαν ἔχειν ἀποκεκρυμμένην. ὅρα γὰρ οἷόν ἐστι καὶ τὸ παρόν. ταῦτα γὰρ εἰπὼν, φησιν, ἔπτυσε χαμαί. ποῖα ταῦτα; ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ, καὶ ὅτι δεῖ με ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με. οὐ γὰρ ἁπλῶς ἀνέμνησεν ἡμᾶς τῶν εἰρημένων ὁ εὐαγγελιστὴς, καὶ ἐπήγαγεν ὅτι ἔπτυσεν· ἀλλὰ δηλῶν ὅτι τὸν λόγον διὰ τῶν ἔργων ἐπιστώσατο. καὶ διὰ τί μὴ ὕδατι κέχρηται, ἀλλὰ πτύσματι εἰς τὸν πηλόν; ἔμελλεν αὐτὸν πέμπειν εἰς τὸν Σιλωάμ. ἵν' οὖν μηδὲν ἐπιγραφῇ τῇ πηγῇ, ἀλλὰ μάθῃς ὅτι ἡ ἐκ τοῦ στόματος ἐξελθοῦσα δύναμις αὐτὴ καὶ διέπλασε, καὶ ἀνέῳξε τοὺς ὀφθαλμοὺς, ἔπτυσε χαμαί. τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς ἐπισημηνάμενος ἔλεγε, καὶ ἐποίησε πηλὸν ἀπὸ τοῦ πτύσματος. εἶτα, ἵνα μὴ δόξῃ τῆς γῆς εἶναι τὸ κατόρθωμα, ἐκέλευσε νίψασθαι. τίνος οὖν ἕνεκεν οὐκ εὐθέως τοῦτο ἐποίησεν, ἀλλ' ἐπὶ τὸν Σιλωὰμ ἔπεμψεν; ἵνα μάθῃς τοῦ τυφλοῦ τὴν πίστιν, [καὶ] ἵνα ἐπιστομισθῇ τῶν Ἰουδαίων ἡ ἀγνωμοσύνη. εἰκὸς γὰρ ἦν ἅπαντας ὁρᾷν αὐτὸν ἀπιόντα, τὸν πηλὸν ἔχοντα ἐπὶ τοὺς ὀφθαλμοὺς κεχρισμένον. τῷ γὰρ παραδόξῳ πάντας ἂν ἐπέστρεψε πρὸς ἑαυτὸν, τούς τε εἰδότας αὐτὸν, τούς τε ἀγνοοῦντας, καὶ μετὰ ἀκριβείας ἂν αὐτῷ προσέσχον. ἐπειδὴ γὰρ οὐκ εὔκολον τυφλὸν ἀναβλέψαντα γνωρίσαι, πολλοὺς ποιεῖ γινέσθαι πρότερον μάρτυρας διὰ μακρᾶς τῆς ὁδοῦ, καὶ ἀκριβεῖς θεατὰς τῷ παραδόξῳ τῆς θέας, ἵνα προσεσχηκότες γινόμενοι, μήκετι δύνωνται λέγειν, οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος. πρὸς δὲ τούτοις, κἀκεῖνο βούλεται κατασκευάζειν, ὅτι οὐκ ἀλλότριός ἐστι τοῦ νόμου καὶ τῆς παλαιᾶς, πέμπων εἰς τὸν Σιλωάμ. οὐδὲ γὰρ ἐκεῖνο λοιπὸν ὑποπτεῦσαι ἦν, μὴ ὁ Σιλωὰμ λάβῃ τὴν δόξαν. καὶ γὰρ πολλοὶ πολλάκις ἐκεῖ τοὺς ὀφθαλμοὺς ἀπονιψάμενοι, οὐδενὸς ἀπήλαυσαν τοιούτου. κἀκεῖ γὰρ ἡ δύναμις ἦν τοῦ Χριστοῦ, ἡ πάντα ἐργαζομένη. διὰ τοῦτο καὶ τὴν ἑρμηνείαν ἡμῖν προστίθησιν ὁ εὐαγγελιστής. εἰπὼν γὰρ, εἰς τὸν Σιλωάμ, προσέθηκεν, ὅ ἐστιν ἀπεσταλμένος· ἵνα μάθῃς, ὅτι κἀκεῖ ὁ Χριστὸς αὐτὸν ἐθεράπευσε, καθάπερ ὁ Παῦλός φησιν· Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. α. Κορ. ι. δ. ὥσπερ οὖν πέτρα ἦν ὁ Χριστὸς πνευματική· οὕτω καὶ Σιλωὰμ ἦν πνευματικός. ἐμοὶ δὲ δοκεῖ καὶ τὸ ἀθρόον τῆς τοῦ ὕδατος παρουσίας αἰνίττεσθαι μυστήριον ἡμῖν ἀπόρρητον. ποῖον δὴ τοῦτο; τὸ ἀπροσδόκητον τῆς ἐπιφανείας καὶ παρὰ ἐλπίδα πᾶσαν. ἀλλ' ὅρα τοῦ τυφλοῦ τὴν γνώμην τὴν πρὸς πάντα ὑπακούουσαν. οὐδὲ γὰρ εἶπεν, εἰ ὅλως ὁ πηλός ἐστιν, ἢ τὸ πτύσμα τὸ περιέχον τοὺς ὀφθαλμοὺς, τί μοι χρεία τοῦ Σιλωάμ; εἰ δὲ χρεία τοῦ Σιλωάμ, τίς χρεία τοῦ πηλοῦ; τίνος ἕνεκεν ἔχρισεν; τίνος ἕνεκεν νίψασθαι ἐκέλευσεν; ἀλλ' οὐδὲν τούτων ἐλογίσατο· ἀλλὰ πρὸς ἓν παρεσκεύαστο μόνον, ἅπαντα πείθεσθαι τῷ κελεύοντι, καὶ οὐδὲν αὐτὸν τῶν γινομένων ἐσκανδάλιζεν. εἰ δὲ λέγοι τις, πῶς οὖν ἀνέβλεψεν ἀποθέμενος τὸν πηλόν; οὐδὲν ἄλλο ἀκούσεται παρ' ἡμῶν, ἢ ὅτι τὸν τρόπον οὐκ ἴσμεν. καὶ τί θαυμαστὸν, εἰ ἡμεῖς οὐκ ἴσμεν; οὐδὲ γὰρ ὁ εὐαγγελιστὴς ἠπίστατο, οὐδὲ αὐτὸς ὁ τεθεραπευμένος· ἀλλὰ τὸ μὲν γεγενημένον οἶδε, τὸν δὲ τρόπον καταλαβεῖν οὐ δύναται. τοῦτο δὲ καὶ ἐρωτώμενος ἔλεγεν· ὅτι πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω. πῶς δὲ τοῦτο γέγονεν, οὐκ ἔχει λέγειν, κἂν μυριάκις ἐρωτήσωσιν.

8 Οἱ οὖν γείτονες, φησι, καὶ οἱ θεωροῦντες αὐτὸν ὅτι προσαίτης ἦν, ἔλεγον· οὐχ οὗτός
ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; 9 Ἄλλοι ἔλεγον· οὗτός ἐστι. Τὸ γὰρ παράδοξον τοῦ γε-
γενημένου, καὶ εἰς ἀπιστίαν αὐτοὺς ἦγε· καίτοιγε τοσούτων οἰκονομηθέντων ὥστε μὴ ἀπιστῆσαι. οἱ
δὲ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; βαβαὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ποῦ κα-
τέβαινε,

τίβαινε, τοὺς προσαιτοῦντας μετὰ πολλῆς τῆς εὐνοίας θεραπεύων, κἀντεῦθεν τοὺς Ἰουδαίους ἐπιστομίζων· ὅτι οὐ τοὺς λαμπροὺς, οὐδὲ τοὺς περιφανεῖς, οὐδὲ τοὺς ἄρχοντας, ἀλλὰ καὶ τοὺς ἀσήμους τῆς αὐτῆς ἠξίου προνοίας. καὶ γὰρ ἐπὶ σωτηρίᾳ πάντων ἀφῖκτο. ὃ δὲ ἐπὶ τοῦ παραλυτικοῦ γέγονε, τοῦτο καὶ ἐπὶ τούτου γέγονεν. οὔτε γὰρ ἐκεῖνος ᾔδει τίς ἐστιν ὁ θεραπεύσας αὐτὸν, οὔτε οὗτος. ἐγίνετο δὲ τοῦτο διὰ τὴν ἀναχώρησιν τοῦ Χριστοῦ. ἀνεχώρει δὲ ἀεὶ θεραπεύων ὁ Ἰησοῦς, ὥστε πᾶσαν ὑποψίαν περιαιρεθῆναι τῶν σημείων. οἱ γὰρ μὴ εἰδότες αὐτὸν ὅστις ἐστὶ, πῶς ἂν ἐχαρίσαντο αὐτῷ καὶ συγκατεσκεύασαν τὰ γεγενημένα; οὐδὲ γὰρ τῶν περιϊόντων ἦν οὗτος, ἀλλὰ τῶν καθημένων παρὰ τὰς θύρας τοῦ ἱεροῦ. ἀμφισβητούντων δὲ πάντων περὶ αὐτοῦ, τί φησιν ἐκεῖνος; Ἐγώ εἰμι. Οὐκ ᾐσχύνθη τὴν προτέραν πήρωσιν, οὐδὲ ἔδεισε τοῦ δήμου τὸν θυμὸν, οὐδὲ παρῃτήσατο δεῖξαι ἑαυτὸν, ἵνα κηρύξῃ τὸν εὐεργέτην.

10 Λέγουσιν αὐτῷ· πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; 11 Λέγει αὖθις· ἄνθρωπος λεγόμενος Ἰησοῦς. Τί λέγεις; ἄνθρωπος τοιαῦτα ἐργάζεται; ἀλλ' οὐδὲν μέγα τέως ᾔδει περὶ αὐτοῦ. ἄνθρωπος λεγόμενος Ἰησοῦς Ἐποίησε πηλὸν, καὶ ἐπέχρισεν.

Ὅρα πῶς ἀληθής ἐστιν. οὐκ εἶπε πόθεν ἐποίησεν· ὃ γὰρ οὐκ οἶδεν, οὐ λέγει. οὐδὲ γὰρ εἶδεν ὅτι χαμαὶ ἔπτυσεν· ὅτι δὲ ἐπέχρισε, διὰ τῆς αἰσθήσεως ἐμάνθανε καὶ τῆς ἁφῆς.

Καὶ εἶπέ μοι· ὕπαγε νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ. Καὶ τοῦτο ἡ ἀκοὴ ἐμαρτύρησε. καὶ πόθεν ἐπεγίνωσκεν αὐτοῦ τὴν φωνήν; ἀπὸ τῆς διαλέξεως τῆς πρὸς τοὺς μαθητάς. καὶ ταῦτα λέγων ἅπαντα, καὶ τὴν διὰ τῶν ἔργων μαρτυρίαν λαβὼν, τὸν τρόπον εἰπεῖν οὐ δύναται. εἰ δὲ ἐπὶ τῶν αἰσθητῶν καὶ ψηλαφωμένων πίστεως δεῖ, πολλῷ μᾶλλον ἐπὶ τῶν ἀοράτων. 12 Λέγουσιν αὐτῷ· ποῦ ἐστιν ἐκεῖνος; λέγει· οὐκ οἶδα.

Ἔλεγον δὲ τοῦτο, τὸ ποῦ ἐστιν ἐκεῖνος, φονῶντες ἤδη κατ' αὐτοῦ. θέα δὲ τοῦ Χριστοῦ τὸ ἀκόμπαστον, πῶς οὐ παρῆν τοῖς θεραπευομένοις. οὐ γὰρ δόξαν καρπώσασθαι ἐβούλετο, οὐδὲ ὀχλαγωγεῖν, οὐδὲ ἐπιδείκνυσθαι. ὅρα πῶς ἅπαντα φιλαλήθως ἀποκρίνεται ὁ τυφλός. ἐβούλοντο μὲν οὖν τὸν Χριστὸν εὑρεῖν, ὥστε αὐτὸν ἀγαγεῖν πρὸς τοὺς ἱερεῖς· ἐπειδὴ δὲ οὐκ ἐπέτυχον, ἄγουσι τὸν τυφλὸν πρὸς τοὺς Φαρισαίους, ὡς σφοδρότερον ἐρωτήσοντας. διὰ γὰρ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται, ὅτι σάββατον ἦν, ἵνα τὴν πονηρὰν αὐτῶν γνώμην ἐνδείξηται, καὶ τὴν αἰτίαν, δι' ἣν ἐζήτουν, ὡς λαβὴν δῆθεν εὑρίσκοντες, καὶ δυνάμενοι τὸ θαῦμα διαβάλλειν, διὰ τῆς δοκούσης εἶναι τοῦ νόμου παραβάσεως. καὶ τοῦτο δῆλον ἐκ τοῦ εὐθέως ἰδόντας αὐτὸν μηδὲν ἄλλο εἰπεῖν, ἀλλ' ἢ, πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς; καὶ ὅρα πῶς λέγουσιν. οὐ γὰρ εἶπον, πῶς ἀνέβλεψας, ἀλλὰ, πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς; διδόντες αὐτῷ πρόφασιν τοῦ διαβάλλειν αὐτὸν ἐπ' ἐργασίᾳ. ὁ δὲ ὡς πρὸς ἀκηκοότας συντομώτερον φθέγγεται. οὔτε γὰρ τὸ ὄνομα εἰπὼν, οὔτε ὅτι εἶπέ μοι, ὕπαγε νίψαι, εὐθέως φησί·

15 Πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω. Ὡς πολλῆς ἤδη γεγενημένης διαβολῆς, κἀκείνων εἰρηκότων· ἴδε ὁ Ἰησοῦς οἷα ἐργάζεται ἐν σαββάτῳ, πηλὸν χρίει. σὺ δέ μοι σκόπει, πῶς οὐ ταράττεται ὁ τυφλός. ὅτε μὲν γὰρ ἐπ' ἐκείνων ἔλεγεν ἀκινδύνως ἐρωτώμενος, οὐχ οὕτω μέγα ἦν τὸ τὴν ἀλήθειαν εἰπεῖν· τὸ δὲ θαυμαστόν ἐστι νῦν, ὅτι καὶ ἐν πλείονι φόβῳ καταστὰς, οὔτε ἀρνεῖται, οὔτε ἐναντία λέγει τοῖς προτέροις. τί οὖν οἱ Φαρισαῖοι; μᾶλλον δὲ καὶ οἱ ἄλλοι; ἤγαγον μὲν αὐτὸν ὡς ἀρνησόμενον, τοὐναντίον δὲ, ἔπαθον ὅπερ οὐκ ἐβούλοντο, καὶ ἀκριβέστερον ἔμαθον. καὶ τοῦτο πανταχοῦ τῶν σημείων ὑπομένουσι· μᾶλλον δὲ ἐν τοῖς ἑξῆς τοῦτο σαφέστερον ἀποδείξομεν. τί οὖν οἱ Φαρισαῖοι ἔλεγον; τινὲς, οὐ πάντες, ἀλλ' οἱ ἰταμώτεροι·

16 Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ· ἄλλοι ἔλεγον, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; Ὁρᾷς ὅτι ἀπὸ τῶν σημείων ˮἀνήγοντο; οἱ γὰρ πρὸ τούτου πέμψαντες, ὥστε ἀγαγεῖν αὐτὸν, ἄκουσον τί λέγουσι νῦν, Ἴσ. ἐπηγ

εἰ καὶ μὴ πάντες. καὶ γὰρ ἄρχοντες ὄντες ὑπὸ τῆς φιλοδοξίας εἰς ἀπιστίαν ἔπιπτον. ὅμως δὲ καὶ τῶν ἀρχόντων οἱ πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· οὐχ ὡμολόγουν δέ. ὁ μὲν οὖν πολὺς λαὸς εὐκαταφρόνητος ἦν, ἅτε μηδὲν μέγα συντελῶν εἰς τὴν συναγωγὴν αὐτῶν· οἱ δὲ ἄρχοντες μᾶλλον περίβλεπτοι ὄντες, δυσκολώτερον ἐπαρρησιάζοντο. τοὺς μὲν γὰρ φιλαρχία κατεῖχε, τοὺς δὲ δειλία καὶ ὁ παρὰ τῶν πολλῶν φόβος. διὸ καὶ ἔλεγε· πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες; καὶ αὐτοὶ μὲν φονεύειν ζητοῦντες ἀδίκως, τοῦ Θεοῦ ἔλεγον εἶναι· τὸν δὲ τυφλοὺς θεραπεύοντα, οὐ δύνασθαι εἶναι ἐκ τοῦ Θεοῦ, διὰ τὸ σάββατον μὴ τηρεῖν. πρὸς ταῦτα ἀντέθηκαν οὗτοι, ὅτι ἁμαρτωλὸς τοιαῦτα σημεῖα οὐ δύναται ποιεῖν. ἐκεῖνοι μὲν οὖν κακούργως τὸ γεγονὸς σιγῶντες, τὴν δοκοῦσαν εἶναι παράβασιν εἰς μέσον ἔφερον. οὐ γὰρ ἔλεγον, ὅτι ἐν τῷ σαββάτῳ θεραπεύει, ἀλλ' ὅτι τὸ σάββατον οὐ τηρεῖ· οὗτοι δὲ πάλιν ἀσθενῶς. δέον γὰρ ἐπιδεῖξαι πῶς τὸ σάββατον οὐ λύεται, ἀπὸ τῶν σημείων ἰσχυρίζονται μόνον· καὶ εἰκότως. ἔτι γὰρ ἄνθρωπον αὐτὸν ἐνόμιζον εἶναι. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, καὶ ἑτέρως εἶχον ἀπολογήσασθαι, ὅτι τοῦ σαββάτου κύριος ἦν, καὶ αὐτὸς αὐτὸ πεποίηκεν. ἀλλ' οὐδέπω ταύτην εἶχον τὴν γνώμην. οὐδεὶς μέντοι αὐτῶν ἐτόλμα, ἅπερ ἐβούλετο, φανερῶς εἰπεῖν, οὐδὲ ἐν ἀποφάσει, ἀλλ' ἐν ἀμφισβητήσει· οἱ μὲν διὰ τὸ ἀπαρρησίαστον, οἱ δὲ διὰ φιλαρχίαν.

Σχίσμα οὖν ἦν ἐν αὐτοῖς. Τοῦτο τὸ σχίσμα πρότερον ἤρξατο ἐν τῷ λαῷ· εἶτα ὕστερον καὶ ἐν τοῖς ἄρχουσι. καὶ οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν· ἄλλοι δὲ, οὐχί, ἀλλ', ἀπατᾷ τὸν ὄχλον. ὁρᾷς πῶς ἀσυνετώτεροι τῶν πολλῶν οἱ ἄρχοντες σχισθέντες ὕστερον; ἀλλὰ μετὰ τὸ σχισθῆναι πάλιν, οὐδὲν ἐπεδείξαντο γενναῖον, ὁρῶντες τοὺς Φαρισαίους ἐπικειμένους. ὡς εἴγε τέλεον ἀπεσχίσθησαν, ταχέως ἂν τὴν ἀλήθειαν ἐπέγνωσαν. ἔστι γὰρ σχισθῆναι καλῶς. διὸ καὶ αὐτὸς ἔλεγεν· Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. ἔστι γὰρ καὶ κακὴ ὁμόνοια, ἔστι καὶ καλὴ διαφωνία. καὶ γὰρ οἱ τὸν πύργον οἰκοδομοῦντες, ὡμονόησαν ἐπὶ κακῷ τῷ ἑαυτῶν· καὶ οἱ αὐτοὶ οὗτοι πάλιν, ἄκοντες μὲν, ἐπὶ συμφέροντι δὲ ὅμως ἐσχίσθησαν. καὶ οἱ περὶ Κορὲ δὲ κακῶς ὡμονόησαν, διὰ τοῦτο καλῶς ἐσχίσθησαν· καὶ Ἰούδας ὡμονόησε μετὰ τῶν Ἰουδαίων κακῶς. ἔστιν οὖν σχισθῆναι καλῶς, καὶ ἔστιν ὁμονοῆσαι κακῶς. διὰ τοῦτό φησιν· Ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτόν· ἐὰν ὁ πούς σου, ἔκτεμε αὐτόν. εἰ δὲ ἀπὸ μελῶν ἀποσχίζεσθαι χρὴ κακῶς συνημμένων, οὐ πολλῷ μᾶλλον ἀπὸ φίλων κακῶς ἡνωμένων ἡμῖν; ὥστε οὐ πανταχοῦ ὁμόνοια καλὸν, ὥσπερ οὖν οὐδὲ πανταχοῦ ἡ διάστασις κακόν.

Ματθ. ι. λδ.

Ματθ. ε. κθ.

ΗΘΙΚΟΝ

Ταῦτα λέγω, ἵνα φεύγωμεν πονηροὺς, καὶ διώκωμεν ἀγαθούς. εἰ γὰρ ἐν τοῖς μέλεσι τὸ σεσηπὸς καὶ ἀνιάτως ἔχον ἐκκόπτομεν, φοβούμενοι μὴ καὶ τὸ λοιπὸν τὴν αὐτὴν λύμην ὑποδέξηται σῶμα· καὶ ποιοῦμεν τοῦτο, οὐκ ἐκείνου καταφρονοῦντες, ἀλλὰ τὸ λοιπὸν διαφυλάξαι μᾶλλον βουλόμενοι· πόσῳ μᾶλλον ἐπὶ τῶν συνόντων ἡμῖν ἐπὶ κακίᾳ τοῦτο πράττειν ἀναγκαῖον; εἰ μὲν γὰρ δυνάμεθα κἀκείνους διορθῶσαι, καὶ αὐτοὶ μὴ παραβλαβῆναι, πάντα ποιεῖν χρή· εἰ δὲ κἀκεῖνοι μένοιεν ἀδιόρθωτοι, καὶ ἡμᾶς παραβλάπτοιεν, ἐκκόπτειν αὐτοὺς καὶ ῥίπτειν ἀναγκαῖον. πολλάκις γὰρ οὕτω κερδαίνουσι μᾶλλον. διὸ καὶ Παῦλος οὕτω παρῄνει λέγων· Καὶ ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· καὶ, Ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. δεινὸν γὰρ, δεινὸν συνουσία πονηρῶν. οὐχ οὕτω ταχέως λοιμὸς ἅπτεται, καὶ ψώρα διαφθείρει τοὺς ἀναχρωννυμένους, τοὺς τῷ νοσήματι κατεχομένους, ὡς ἡ τῶν πονηρῶν κακία ἀνδρῶν. Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί. καὶ ὁ προφήτης πάλιν· Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε. μηδεὶς τοίνυν φαῦλον ἐχέτω φίλον. εἰ γὰρ υἱοὺς φαύλους ἔχοντες ἐκκηρύττομεν, καὶ οὐκ αἰδούμεθα τὴν φύσιν, οὐδὲ τοὺς ταύτης νόμους, οὐδὲ τὴν ἐξ αὐτῆς ἀνάγκην· πολλῷ μᾶλλον τοὺς συνήθεις καὶ γνωρίμους φεύγειν δεῖ, πονηροὺς ὄντας. κἂν γὰρ μηδεμίαν παρ' αὐτῶν δεξώμεθα βλάβην, τὴν γοῦν πονηρὰν δόξαν διαφυγεῖν οὐκ ἰσχύσομεν. οἱ γὰρ ἔξωθεν, οὐ τὸν βίον ἐρευνῶσιν, ἀλλ' ἀπὸ τῶν συνόντων ἡμᾶς κρίνουσι. ταῦτα καὶ γυναιξὶ

α. Κορ. ε. ιγ.

α. Κορ. ιε. λγ.

Ιερ. να. ς.

καὶ

Ρω. ιβ. ιζ.

καὶ παρθένοις παρεγγυᾷ. Προνοούμενοι γάρ, φησι, καλά, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. πάντα τοίνυν πράττωμεν, ὥστε μὴ σκανδαλισθῆναι τὸν πλησίον. βίος γὰρ κἂν σφόδρα ὀρθὸς ᾖ, σκάνδαλον ἑτέροις παρέχων, τὸ πᾶν ἀπώλεσε. καὶ πῶς ἔνι τὸν ὀρθὸν βίον σκανδαλίσαι; ὅταν ἡ συνουσία τῶν οὐκ ὀρθῶν πονηρὰν αὐτῷ περιθῇ δόξαν. ἐπειδὰν γὰρ θαρροῦντες ἑαυτοῖς συνῶμεν τοῖς πονηροῖς, κἂν αὐτοὶ μὴ βλαβῶμεν, ἑτέρους ἐσκανδαλίσαμεν. Ταῦτα καὶ ἀνδράσι καὶ γυναιξὶ λέγω καὶ παρθένοις, καταλιμπάνων αὐτῶν τῷ συνειδότι μετὰ ἀκριβείας εἰδέναι πόσα ἐντεῦθεν τίκτεται κακά. ἐγὼ μὲν γὰρ οὐδὲν ὑποπτεύω πονηρόν, οὐδὲ ἄλλος τις ἴσως τῶν τελειοτέρων· ὁ δὲ ἀφελέστερος ἀδελφός, ἐπὶ τῇ σῇ παραβλάπτεται τελειότητι· δεῖ δὲ καὶ τῆς ἀσθενείας τῆς ἐκείνου προνοεῖν. κἂν οὗτος μὴ βλαβῇ· ἀλλ' ὁ ἕλλην παραβλάπτεται. ὁ δὲ Παῦλος ἐκέλευσεν ἀπροσκόπους εἶναι καὶ Ἰουδαίοις καὶ ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. ἐγὼ πονηρὸν οὐδὲν ὑποπτεύω περὶ τῆς παρθένου (ἀγαπῶ γὰρ τὴν παρθενίαν· ἡ δὲ ἀγάπη οὐ λογίζεται τὸ κακόν) ἐγὼ σφόδρα ἐραστής εἰμι τῆς πολιτείας ταύτης, καὶ οὐδὲ λογίσασθαί τι δύναμαι ἄτοπον. πῶς τοὺς ἔξω πείσομεν; δεῖ γὰρ κἀκείνων ποιεῖσθαι πρόνοιαν. οὕτω τοίνυν τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, ἵνα μηδὲ τῶν ἀπίστων τις ἔχῃ καθ' ἡμῶν δικαίαν εὑρεῖν λαβήν. ὥσπερ γὰρ οἱ βίον ὀρθὸν ἐπιδεικνύμενοι, δοξάζουσι τὸν Θεόν· οὕτως οἱ τὸ ἐναντίον, βλασφημηθῆναι παρασκευάζουσιν. ἀλλὰ μὴ γένοιτό τινας τοιούτους εἶναι παρ' ἡμῖν, ἀλλ' οὕτω λάμψαι τὰ ἔργα ἡμῶν, ὥστε δοξασθῆναι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, καὶ τῆς παρ' αὐτοῦ δόξης ἡμᾶς ἀπολαῦσαι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

χ. ἡμῶν.

Ομιλ. νη. 17 ΛΕΓΟΥΣΙ ΤΩ ΤΥΦΛΩ ΠΑΛΙΝ· ΣΥ ΤΙ ΛΕγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν, ὅτι προφήτης ἐστίν. 18 Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι.

Τὰς γραφὰς οὐχ ἁπλῶς οὐδὲ παρέργως ἐπιέναι χρή, ἀλλὰ μετὰ ἀκριβείας ἁπάσης, ὥστε μὴ συμποδίζεσθαι. καὶ γὰρ καὶ νῦν εἰκότως ἄν τις ἐνταῦθα διαπορήσειε, πῶς, εἰπόντες, οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ ὅτι τὸ σάββατον οὐ τηρεῖ, λέγουσιν αὐτῷ· σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; καὶ οὐκ εἶπον, σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι παρέλυσε τὸ σάββατον; ἀλλὰ τὸ τῆς ἀπολογίας νῦν ἀντὶ τῆς κατηγορίας τιθέασι. τί οὖν ἐστιν εἰπεῖν; οὐκ εἰσὶν αὐτοὶ οἱ λέγοντες, οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· ἀλλ' οἱ διαστάντες ἀπ' αὐτῶν, οἱ καὶ εἶπον, ἄνθρωπος ἁμαρτωλὸς οὐ δύναται τοιαῦτα σημεῖα ποιεῖν. βουλόμενοι γὰρ αὐτοὺς ἐπιστομίσαι πλέον, ἵνα μὴ δόξωσιν αὐτοὶ συνηγορεῖν τῷ Χριστῷ, τὸν λαβόντα τῆς δυνάμεως αὐτοῦ πεῖραν εἰς μέσον ἄγουσι καὶ ἐρωτῶσιν. ὅρα τοίνυν τοῦ πένητος τὴν σοφίαν. ἁπάντων γὰρ τούτων συνετωτέρως φθέγγεται. καὶ πρῶτον μέν φησιν, ὅτι προφήτης ἐστί, καὶ οὐ κατέπληξεν αὐτῶν τῶν διεστραμμένων Ἰουδαίων τὴν κρίσιν τῶν ἀντιλεγόντων καὶ λεγόντων· πῶς δύναται οὗτος εἶναι παρὰ τοῦ Θεοῦ, τὸ σάββατον οὐ τηρῶν; ἀλλ' ἔλεγεν, ὅτι προφήτης ἐστί.

χ. κατέ-
ξεν αὐτὴν
χ. ἡ κρίσ
ἀντιλ.

Καὶ οὐκ ἐπίστευσαν ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως οὗ ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ.

Καὶ σκόπει πόσοις τρόποις ἐπιχειροῦσι τὸ θαῦμα συσκιάσαι καὶ ἀνελεῖν· ἀλλ' αὕτη τῆς ἀληθείας ἡ φύσις, δι' ὧν δοκεῖ παρὰ τῶν ἀνθρώπων ἐπιβουλεύεσθαι, διὰ τούτων ἰσχυροτέρα γίνεται· διὰ τούτων λάμπει, δι' ὧν συσκιάζεται. εἰ γὰρ μὴ ταῦτα ἐγένετο, κἂν ὑπωπτεύθη παρὰ τοῖς πολλοῖς τὸ θαῦμα. νυνὶ δὲ ὡς σπουδάζοντες γυμνῶσαι τὴν ἀλήθειαν, οὕτως ἅπαντα πράττουσι, καὶ οὐκ ἂν ἑτέρως ἐποίησαν, εἴπερ ὑπὲρ τοῦ Χριστοῦ πάντα ἐποίουν. καὶ γὰρ ἐπεχείρησαν διὰ τούτου τοῦ τρόπου καταβαλεῖν αὐτὸν, λέγοντες· πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς; τουτέστι, μὴ γοητείᾳ τινί; καὶ γὰρ ἀλλαχοῦ μηδὲν ἔχοντες ἐπισκῆψαι, τῷ τρόπῳ τῆς θεραπείας ἐπηρεάζειν ἐπιχειροῦσι, λέγοντες· Οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ. Καὶ ἐνταῦθα πάλιν, οὐδὲν ἔχοντες εἰπεῖν, ἐπὶ τὸν καιρὸν καταφεύγουσι, λέγοντες, ὅτι λύει τὸ σάββατον· καὶ πάλιν, ὅτι ἁμαρτωλός ἐστι. καὶ μὴν φονῶντας ὑμᾶς καὶ ἑτοίμους ὄντας ἐπιλαβέσθαι τῶν αὐτῷ πεπραγμένων, μετὰ πάσης ἠρώτησεν ἀκριβείας, λέγων· τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ οὐδεὶς ἐφθέγξατο, οὐδὲ εἶπεν, ὅτι βλασφημεῖς, ἀναμάρτητον λέγων σεαυτόν. καίτοιγε εἰ εἶχον εἰπεῖν, οὐκ ἂν ἐσίγησαν. οἱ γὰρ διὰ τὸ ἀκοῦσαι, ὅτι πρὸ τοῦ Ἀβραάμ ἐστι, λιθάσαντες αὐτὸν, καὶ εἰπόντες, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ἑαυτοὺς μὲν ἐκ τοῦ Θεοῦ αὐχοῦντες εἶναι ἀνδροφόνους ὄντας, τὸν δὲ τοιαῦτα σημεῖα περιάπτοντα, ἐπειδὴ ἐθεράπευσεν, οὐκ εἶναι ἐκ τοῦ Θεοῦ διὰ τὸ μὴ τηρεῖν τὸ σάββατον λέγοντες, εἰ σκιὰν γοῦν εἶχον ἐγκλήματος, οὐκ ἂν παρέδραμον. εἰ δὲ διὰ τοῦτο ἁμαρτωλὸν καλοῦσι, διότι τὸ σάββατον ἐδόκει λύειν, καὶ τοῦτο ἔωλον ἐφάνη τὸ ἔγκλημα, τῶν μετ' αὐτῶν τεταγμένων ψυχρότητα πολλὴν καὶ μικροψυχίαν καταγνόντων αὐτῶν. πανταχόθεν τοίνυν συμποδισθέντες, ἐφ' ἕτερον ἔρχονται λοιπὸν ἀναισχυντότερον καὶ ἰταμώτερον. ποῖον δὴ τοῦτο; οὐκ ἐπίστευσαν, φησιν, ὅτι ἦν τυφλὸς καὶ ἀνέβλεψε. πῶς οὖν ἐνεκάλεσαν ὅτι τὸ σάββατον οὐ τηρεῖ; ἢ δῆλον, ὅτι ὡς πιστεύσαντες. πῶς δὲ οὐ προσείχετε τῷ πολλῷ λαῷ; τοῖς γείτοσι τοῖς εἰδόσιν αὐτόν; ἀλλ', ὅπερ ἔφην, πανταχοῦ τὸ ψεῦδος ἑαυτῷ μὲν περιπίπτει, δι' ὧν ἐπηρεάζειν τῇ ἀληθείᾳ δοκεῖ, τὴν δὲ ἀλήθειαν λαμπροτέραν ἐμφαίνει. ὃ δὴ καὶ νῦν γέγονεν. ἵνα γὰρ μή τις λέγοι, ὅτι οὐδὲν ἀκριβὲς εἶπον οἱ γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν, ἀλλὰ παρωμοίαζον, ἄγουσιν εἰς μέσον τοὺς γονεῖς, δι' ὧν ἐποίουν ἄκοντες, τὸ γεγενημένον ἀληθὲς δεικνύντες. καὶ γὰρ οὐχὶ μάλιστα πάντων τὸ τέκνον ἠπίσταντο τὸ ἑαυτῶν. ἐπειδὴ γὰρ αὐτὸν καταπλήξασθαι οὐκ ἴσχυσαν, ἀλλ' ἑώρων μετὰ πάσης παρρησίας τὸν εὐεργέτην κηρύττοντα, ἀπὸ τῶν γονέων προσεδόκων τιτρώσκειν τὸ θαῦμα. καὶ ὅρα τῆς ἐρωτήσεως τὴν κακίαν. τί γάρ φησι; στήσαντες αὐτοὺς εἰς τὸ μέσον, ὥστε εἰς ἀγωνίαν ἐμβαλεῖν, μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τοῦ θυμοῦ προσάγουσι τὴν πεῦσιν·

Ματθ. ιβ. κδ.

19 Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν; Καὶ οὐκ εἶπον, ὁ ποτὲ τυφλός· ἀλλὰ πῶς;

Ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη,

Ὡσανεὶ κακουργούντων αὐτῶν, καὶ τὰ τοῦ Χριστοῦ συγκροτούντων. ὦ μιαροὶ καὶ παμμίαροι· καὶ τίς ἂν ἕλοιτο πατὴρ τοιαῦτα καταψεύσασθαι παιδός; μονονουχὶ γὰρ λέγουσιν, ὃν ὑμεῖς ἐποιήσατε τυφλόν· οὐ μόνον δὲ, ἀλλὰ καὶ διεδώκατε πανταχοῦ τὸν λόγον.

Πῶς οὖν βλέπει νῦν; Ὢ τῆς ἀνοίας. ὑμῶν, φησὶν, ἐστὶ τὸ σκαιώρημα καὶ ἡ κατασκευή. δύο γὰρ τούτοις αὐτοὺς εἰς ἄρνησιν ἄγειν ἐπιχειροῦσι, τῷ τε εἰπεῖν, ὃν ὑμεῖς λέγετε, καὶ τῷ εἰπεῖν, πῶς οὖν βλέπει ἄρτι; τριῶν τοίνυν ἐρωτήσεων γενομένων, εἰ υἱὸς αὐτῶν ἦν, εἰ τυφλὸς ἦν, καὶ πῶς ἀνέβλεψε, τὰς δύο μόνας ὁμολογοῦσι, τὴν δὲ τρίτην οὐ προστιθέασι. καὶ τοῦτο δὲ ὑπὲρ τῆς ἀληθείας γέγονεν, ὥστε μηδένα ἄλλον, ἀλλὰ τὸν τεθεραπευμένον, τὸν καὶ ἀξιόπιστον ὄντα, ταῦτα ὁμολογεῖν. πῶς γὰρ ἂν ἐχαρίσαντο οἱ γονεῖς, οἱ καὶ ὧν ᾔδεσαν τινὰ σιγήσαντες διὰ τὸν φόβον τῶν Ἰουδαίων; τί γάρ φασιν;

20 Ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, ἡμεῖς οἴδαμεν, καὶ ὅτι τυφλὸς ἐγεννήθη·

21 Πῶς δὲ νῦν βλέπει, ἢ τίς ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸς περὶ ἑαυτοῦ λόγον λαλήσει. Ἀξιόπιστον αὐτὸν ποιήσαντες, οὕτω παρῃτήσαντο· οὐκ ἔστι παιδίον, φησιν, οὐδὲ ἀτελὴς, ἀλλ' ἱκανὸς ἑαυτῷ μαρτυρῆσαι.

22 Ταῦτα δὲ εἶπον διὰ τὸν φόβον τῶν Ἰουδαίων. Ὅρα πῶς πάλιν τὴν δόξαν αὐτῶν ὁ εὐαγγελιστὴς καὶ τὴν γνώμην εἰς μέσον ἄγει. ταῦτα λέγω διὰ τὸ ῥῆμα ἐκεῖνο, ὃ ἔμπροσθεν ἔλεγον εἰπόντες, ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ· ὅτι εἰ καὶ ἐκεῖνο τῆς γνώμης

ἦν τῶν Ἰουδαίων, ἀλλὰ μὴ τῆς κρίσεως τοῦ Χριστοῦ, προσέθηκεν αὐτὸ καὶ εἶπεν, ὅτι γνώμη ἦν Ἰουδαϊκή. ἐπεὶ οὖν παρέπεμψαν αὐτοὺς πρὸς τὸν τεθεραπευμένον, πάλιν ἐφώνησαν ἐκ δευτέρου. καὶ φανερῶς μὲν καὶ ἀναισχύντως οὐ λέγουσιν, ἀρνῆσαι ὅτι ὁ Χριστός σε ἐθεράπευσε· προσχήματι δὲ εὐλαβείας τοῦτο κατασκευάσαι βούλονται.

24 Δὸς γὰρ, φησὶ, δόξαν τῷ Θεῷ. Τοῖς μὲν γὰρ γονεῦσιν εἰπεῖν, ἀρνήσασθε ὅτι υἱὸς ὑμῶν ἐστι, καὶ ὅτι τυφλὸν ἐγεννήσατε, σφόδρα ἐδόκει καταγέλαστον εἶναι· αὐτῷ δὲ πάλιν εἰπεῖν τοῦτο, φανερὰ ἦν ἀναισχυντία. διὰ τοῦτο μὲν οὐ λέγουσιν, ἑτέρως δὲ αὐτὸ μεθοδεύουσι, δὸς δόξαν τῷ Θεῷ, λέγοντες· τουτέστιν, ὁμολόγησον ὅτι οὗτος οὐδὲν εἰργάσατο.

ἴσ. διὸ

Ἰωάν. η. μϛ.

Ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστι. Πῶς οὖν αὐτὸν οὐκ ἠλέγξατε λέγοντα, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; πόθεν δὲ ἴστε ὅτι ἁμαρτωλός ἐστιν; εἰπόντων δὲ αὐτῶν, δὸς δόξαν τῷ Θεῷ, καὶ τούτου μηδὲν εἰπόντος, ἀπαντήσας ὁ Χριστὸς, ἐπῄνεσε, καὶ οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπε, διατί οὐκ ἔδωκας δόξαν τῷ Θεῷ; ἀλλὰ τί; πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἵνα μάθῃς, ὅτι τοῦτο ἐστὶ δοῦναι δόξαν τῷ Θεῷ. εἰ δὲ οὐκ ἦν ἰσότιμος τῷ πατρὶ, αὕτη δόξα οὐκ ἂν ἦν. ἀλλ' ἐπειδὴ ὁ τιμῶν τὸν υἱὸν, αὐτός ἐστιν ὁ τιμῶν τὸν πατέρα, εἰκότως οὐκ ἐπιτιμᾶται ὁ τυφλός. ὅτε μὲν οὖν προσεδόκων τοὺς γονέας ἀνανεύειν καὶ ἀρνεῖσθαι, οὐδὲν αὐτῷ ἔλεγον· ἐπειδὴ δὲ εἶδον οὐδὲν πλέον αὐτοῖς γεγενημένον ἐκ τούτου, ἐπὶ τοῦτον ἔρχονται πάλιν λέγοντες, ὅτι ἁμαρτωλός ἐστιν οὗτος.

γρ. ἀνθρώπου

25 Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω. Ἆρα μὴ ἐφοβήθη ὁ τυφλός; μὴ γένοιτο. καὶ πῶς, ὁ εἰπὼν, ὅτι προφήτης ἐστὶ, λέγει, εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα; οὐχ οὕτως ἔχων, οὐδὲ τοῦτο πεπεικὼς ἑαυτὸν ἀλλὰ βουλόμενος ἀπὸ τῆς τοῦ πράγματος μαρτυρίας, ἀλλ' οὐκ ἀπὸ τῆς αὐτοῦ φωνῆς ἀπαλλάξαι τῶν ἐγκλημάτων αὐτὸν, καὶ ἀξιόπιστον ποιῆσαι τὴν ἀπολογίαν, τῆς ἀπὸ τῆς εὐεργεσίας μαρτυρίας καταψηφιζομένης αὐτῶν. εἰ γὰρ μετὰ πλείονας λόγους εἰπόντος αὐτοῦ, ὅτι εἰ μὴ οὗτος ἦν θεοσεβὴς, οὐκ ἠδύνατο τοιαῦτα σημεῖα ποιεῖν, οὕτως ἠγανάκτησαν ὡς εἰπεῖν, ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος· καὶ σὺ διδάσκεις ἡμᾶς; εἰ ἐξ ἀρχῆς τοῦτο εἶπε, τί οὐκ ἂν ἔπραξαν; τί δὲ οὐκ εἶπον; εἰ ἁμαρτωλός ἐστι, οὐκ οἶδα· ὡσανεὶ ἔλεγεν, οὐδὲν ὑπὲρ τούτου λέγω νῦν, οὐδὲ ἀποφαίνομαι τέως· ἐκεῖνο μέντοι οἶδα σαφῶς, κἂν διισχυρισαίμην ἄν, ὅτι ἁμαρτωλὸς ὢν, οὐκ ἂν τοιαῦτα ἐποίησε. διὰ τοῦτο καὶ ἀνύποπτον ἐποίησεν ἑαυτὸν, καὶ τὴν μαρτυρίαν ἀδέκαστον, ὡς οὐκ ἔτι χαριζόμενος, ἀλλ' ἀπὸ τοῦ πράγματος μαρτυρῶν. ἐπεὶ οὖν οὐκ ἴσχυσαν ἀνατρέψαι οὐδὲ ἀνελεῖν τὸ γεγονὸς, πάλιν ἐπὶ τὸ πρότερον ἔρχονται, τὸν τρόπον τῆς θεραπείας περιεργαζόμενοι, καθάπερ τινὲς θήραν ἀσφαλῶς περικειμένην πάντοθεν διερευνώμενοι, καὶ νῦν μὲν ὧδε, νῦν δὲ ἐκεῖ περιτρέχοντες· καὶ ἐπὶ τοὺς προτέρους ἔρχονται λόγους, ἵνα πάλιν σαθροὺς αὐτοὺς ποιήσωσι τῷ συνεχῶς ἐρωτᾷν, καὶ λέγουσι·

γρ. καὶ ἀπὸ

γρ. τινὲς κύνες θήραν ἀσφαλῶς συγκεκλεισμένην πάντο.

γρ. κειμένην

26 Τί ἐποίησέ σοι; πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς; Τί οὖν ἐκεῖνος; νικήσας αὐτοὺς καὶ καταβαλὼν, οὐκ ἔτι λοιπὸν ὑφειμένως διαλέγεται. ἕως μὲν γὰρ τὸ πρᾶγμα ἐξετάσεως ἐδεῖτο καὶ ἐλέγχων, παρείχετο τὴν ἀπόδειξιν ὑπεσταλμένως φθεγγόμενος. ἐπειδὴ δὲ εἷλε καὶ ἐνίκησε νίκην λαμπρὰν, θαρρῶν ἐπεμβαίνει αὐτοῖς λοιπόν· καὶ τί φησιν;

27 Εἶπον ὑμῖν ἅπαξ, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν;

Εἶδες παρρησίαν ἐπαίτου πρὸς ἄνδρας γραμματεῖς καὶ Φαρισαίους; οὕτως ἰσχυρὸν ἡ ἀλήθεια, οὕτως ἀσθενὲς τὸ ψεῦδος. ἐκείνη μὲν γὰρ, κἂν τῶν τυχόντων ἐπιλάβηται, λαμπροὺς αὐτοὺς ἀποφαίνει· τοῦτο δὲ, κἂν μετὰ τῶν ἰσχυρῶν ᾖ, ἀσθενεῖς αὐτοὺς δείκνυσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ προσέχετε τοῖς λεγομένοις· διὰ τοῦτο οὐκ ἔτι ἐρῶ, οὐδὲ ἀποκρινοῦμαι συνεχῶς ὑμῖν ἐρωτῶσιν εἰκῆ, καὶ οὐχ ὑπὲρ τοῦ μαθεῖν βουλομένοις ἀκοῦσαι, ἀλλ' ὑπὲρ τοῦ τοῖς λεγομένοις ἐπηρεάσαι. Μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι; Τέως ἑαυτὸν εἰς τὸν τῶν μαθητῶν ἐγκατέταξε χορόν. τὸ γὰρ, μὴ καὶ ὑμεῖς, δεικνύντος ἑαυτόν ἐστι μαθητὴν ὄντα. εἶτα αὐτοὺς ἐκωμῴδησε καὶ διέπληξεν ἰσχυρῶς. ἐπειδὴ γὰρ ᾔδει, ὅτι σφόδρα αὐτοὺς τοῦτο ἔπληττε, καθάψασθαι μεθ' ὑπερβολῆς αὐτῶν βουλόμενος, τοῦτο εἴρηκεν· ὅπερ ἦν ψυχῆς πεπαῤῥησιασμένης καὶ ἀνεπτερωμένης καὶ ὑπερορώσης αὐτῶν τῆς μανίας, καὶ δεικνυούσης αὐτοὺς μέγα τὸ ἀξίωμα, ἐφ' ᾧ σφόδρα ἐθάῤῥει, καὶ δηλούσης ὡς ἐκεῖνοι θαυμαστὸν ὄντα αὐτὸν ὕβριζον, αὐτὸς δὲ οὐχ ὑβρίζετο, ἀλλ' ὅπερ ὡς ὕβριν προσέφερον, τοῦτο ὡς τιμὴν ἥρπασε.

28 Σὺ εἶ μαθητὴς ἐκείνου, φασίν· ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί.

Ἀλλ' οὐκ ἂν ἔχοι λόγον τοῦτο. ὑμεῖς γὰρ οὔτε Μωϋσέως, οὔτε τούτου. εἰ γὰρ ἦτε Μωϋσέως, καὶ τούτου ἂν ἐγένεσθε. Διὰ τοῦτο ἄνωθεν ἔλεγεν αὐτοῖς ὁ Χριστός, Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοὶ (περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν) ἐπειδὴ εἰς τούτους ἀεὶ τοὺς λόγους κατέφευγον.

Ιωαν. ε. μς.

29 Ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός. Τίνος εἰπόντος; τίνος ἀπαγγείλαντος; τῶν προγόνων, φασί, τῶν ἡμετέρων. Εἶτα, τῶν προγόνων τῶν ὑμετέρων οὐκ ἔστιν ἀξιοπιστότερος, ὁ διὰ τῶν σημείων τοῦτο διαβεβαιούμενος, ὅτι τε ἀπὸ Θεοῦ ἥκει, καὶ ὅτι τὰ ἄνωθεν φθέγγεται; καὶ οὐκ εἶπον, ἡμεῖς ἠκούσαμεν, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός, ἀλλ' ὅτι οἴδαμεν. τὰ ἐξ ἀκοῆς ὑμεῖς, ὦ Ἰουδαῖοι, ὡς εἰδότες, διϊσχυρίζεσθε· τὰ δὲ ἀπὸ τῆς ὄψεως, ἀκοῆς ἐλάττονα εἶναι νομίζετε; καὶ μὴν ἐκεῖνα μὲν οὐκ οἴδατε, ἀλλ' ἠκούσατε· ταῦτα δὲ οὐκ ἠκούσατε, ἀλλ' εἴδετε. τί οὖν ὁ τυφλός; 30 Ἐν τούτῳ γάρ ἐστι τὸ θαυμαστόν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ τοιαῦτα σημεῖα ποιεῖ. Ὅτι ἄνθρωπος οὐ τῶν ἐπισήμων παρ' ὑμῖν ὤν, οὐδὲ τῶν περιφανῶν, οὐδὲ τῶν δεδοξασμένων, τοιαῦτα δύναται. ὡς εἶναι πάντοθεν δῆλον, ὅτι Θεός ἐστιν, οὐδὲ μιᾶς ἀνθρωπίνης δεόμενος βοηθείας.

31 Οἴδαμεν δὲ ὅτι ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει. Ἐπειδὴ γὰρ προλαβόντες εἶπον, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; λοιπὸν καὶ τὴν ἐκείνων παραλαμβάνει κρίσιν, τῶν οἰκείων αὐτοὺς ὑπομιμνήσκων ῥημάτων. ἡ δόξα, φησίν, αὕτη καὶ ἐμοῦ καὶ ὑμῶν κοινή· ταύτῃ τοίνυν ἐμμείνατε. καὶ θέα μοι τὴν σύνεσιν. πανταχοῦ τὸ σημεῖον περιστρέφει, ἐπειδὴ τοῦτο ἑλεῖν οὐκ εἶχον, καὶ ἀπ' αὐτοῦ συλλογίζεται. ὁρᾷς ὅτι καὶ ὁ ἐξ ἀρχῆς ἔλεγεν, ὅτι εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα, οὐχὶ ἀμφιβάλλων (μὴ γένοιτο) ἀλλ' εἰδὼς ὅτι οὐχ ἁμαρτωλός ἐστι; νῦν γοῦν ὅτε καιρὸν ἔσχεν, ὅρα πῶς ἀπελογήσατο. οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, Ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ. Ἐνταῦθα γὰρ οὐχὶ μόνον ἁμαρτημάτων αὐτὸν ἀπήλλαξεν, ἀλλὰ καὶ σφόδρα ἀρέσκοντα τῷ Θεῷ δείκνυσι, καὶ τὰ ἐκείνου πάντα πράττοντα. ἐπειδὴ γὰρ ἐκεῖνοι θεοσεβεῖς ἔλεγον ἑαυτούς, προσέθηκε, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ. οὐκ ἀρκεῖ γὰρ τοῦτο, φησι, τὸ ἐπιγινώσκειν τὸν Θεόν, ἀλλὰ καὶ τὸ θέλημα αὐτοῦ ποιεῖν. Εἶτα ἐπαίρει τὸ γεγονός, λέγων·

32 Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου.

Εἰ τοίνυν ὁμολογεῖτε, ὅτι ἁμαρτωλῶν οὐκ ἀκούει, οὗτος δὲ θαῦμα ἐποίησε, καὶ θαῦμα τοιοῦτον, οἷον οὐδεὶς ἄνθρωπος ἐποίησεν, εὔδηλον ὅτι πάντας ἐνίκησεν ἀρετῇ, καὶ μείζων αὐτοῦ ἐστιν, ἢ κατὰ ἄνθρωπον, ἡ δύναμις. τί οὖν ἐκεῖνοι;

34 Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Ἕως μὲν γὰρ αὐτὸν προσεδόκων ἀρνήσασθαι, καὶ ἀξιόπιστον εἶναι ἐνόμιζον, καὶ ἅπαξ καὶ δεύτερον καλοῦντες αὐτόν. Εἰ δὲ μὴ ἐνομίζετε ἀξιόπιστον, τίνος ἕνεκεν ἐκαλεῖτε καὶ δεύτερον ἠρωτᾶτε; ἐπειδὴ δὲ τὴν ἀλήθειαν ἐφθέγξατο οὐδὲν αἰδεσθείς, ὅτε μάλιστα αὐτὸν θαυμάσαι ἐχρῆν, τότε αὐτὸν καταδικάζουσι. τί δέ ἐστιν, ἐν ἁμαρτίαις ἐγεννήθης ὅλος; ἐνταῦθα αὐτοῦ καὶ τὴν τύφλωσιν ὀνειδίζουσιν ἀφειδῶς· ὡσανεὶ ἔλεγον, ἐκ πρώτης ἡλικίας ἐν ἁμαρτίαις εἶ σύ, παραδηλοῦντες ὅτι διὰ

Ιωα. θ. λθ.

τοῦτο γέγονε τυφλός, ὅπερ λέγειν οὐκ εἶχεν. ἐν τούτῳ γοῦν αὐτὸν παραμυθούμενος ὁ Χριστός, ἔλεγεν· Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; τί γὰρ εἶπεν ὁ ἄνθρωπος; μὴ γὰρ οἰκείαν γνώμην ἐξέθετο; οὐχὶ κοινὴν κρίσιν ἐξήτασε, λέγων· οἴδαμεν ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει; οὐχὶ τὰ παρ' ὑμῶν λεχθέντα, εἰς μέσον ἤγαγε;

Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Εἶδες τὸν κήρυκα τῆς ἀληθείας, πῶς ἡ πενία τῆς φιλοσοφίας οὐκ ἐγένετο κώλυμα; ὁρᾷς ὅσα ἤκουσεν ἐκ προοιμίων καὶ ὅσα ἔπαθε, καὶ διὰ λόγων καὶ διὰ ἔργων πῶς ἐμαρτύρησε;

ΗΘΙΚΟΝ

Ταῦτα δὲ ἀναγέγραπται, ἵνα καὶ ἡμεῖς μιμώμεθα. Εἰ γὰρ ὁ ἐπαίτης, ὁ τυφλός, ὁ μηδὲ ἑωρακὼς αὐτόν, τοσαύτην εὐθέως παρρησίαν ἐπεδείξατο πρὸ τῆς τοῦ Χριστοῦ παρακλήσεως, πρὸς ὁλόκληρον δῆμον στὰς φονῶντα καὶ δαιμονῶντα καὶ μαινόμενον, καὶ ἀπὸ τῆς ἐκείνου φωνῆς βουλόμενον καταδικάσαι τὸν Χριστόν, καὶ οὐκ εἶξεν οὐδὲ ὑπεχώρησεν, ἀλλὰ μετὰ παρρησίας ἁπάσης αὐτοὺς ἐπεστόμισε, καὶ εἵλετο βληθῆναι ἔξω μᾶλλον, ἢ προδοῦναι τὴν ἀλήθειαν· πόσῳ μᾶλλον ἡμᾶς τοὺς ἐπὶ τοσοῦτον χρόνον ἐν πίστει ζήσαντας, τοὺς μυρία θαύματα διὰ τῆς πίστεως ἑωρακότας, τοὺς μείζονα εὐεργετηθέντας ἐκείνου, καὶ τοὺς ἔνδοθεν ὀφθαλμοὺς ἀναβλέψαντας, καὶ τὰ ἀπόρρητα θεασαμένους μυστήρια, καὶ εἰς τοσαύτην κληθέντας τιμήν, ἅπασαν παρρησίαν ὑπὲρ αὐτοῦ ἐπιδείκνυσθαι χρή, πρὸς τοὺς ἐγκαλεῖν ἐπιχειροῦντας καὶ λέγοντάς τι κατὰ Χριστιανῶν, καὶ ἐπιστομίζειν, ἀλλὰ μὴ συγγινώσκειν ἁπλῶς; δυνησόμεθα δὲ τοῦτο ποιεῖν, ἐὰν καὶ παρρησίαν ἔχωμεν, καὶ ταῖς γραφαῖς προσέχωμεν, καὶ μὴ παρέργως αὐτῶν ἀκούωμεν. Εἰ γάρ τις ἀκριβῶς ἐνταῦθα εἰσέρχοιτο, κἂν οἴκοι μὴ ἀναγινώσκῃ, προσέχῃ δὲ τοῖς ἐνταῦθα λεγομένοις, ἀρκεῖ καὶ ἐνιαυτὸς εἷς εἰς ἐμπειρίαν αὐτὸν καταστῆσαι πολλήν. οὐ γὰρ νῦν μὲν ταύτας, αὔριον δὲ ἑτέρας ἀναγινώσκομεν γραφάς· ἀλλ' ἀεὶ τὰς αὐτὰς καὶ διαπαντός. ἀλλ' ὅμως οὕτως ἀθλίως οἱ πολλοὶ διάκεινται, ὡς μετὰ τοσαύτην ἀνάγνωσιν μηδὲ τὰ ὀνόματα εἰδέναι τῶν βιβλίων· καὶ οὐκ αἰσχύνονται, οὐδὲ φρίττουσιν, οὕτω παρέργως εἰς ἀκροατήριον θεῖον εἰσερχόμενοι. ἀλλ' ἂν μὲν κιθαρῳδός, ἢ ὀρχηστής, ἢ ἄλλος τις τῶν ἐπὶ τῆς σκηνῆς καλέσῃ τὴν πόλιν, μετὰ σπουδῆς ἅπαντες τρέχουσι, καὶ χάριν αὐτῷ τῆς κλήσεως ἴσασι, καὶ ἡμέρας ὁλοκλήρου τὸ ἥμισυ μέρος ἀναλίσκουσιν, ἐκείνῳ μόνῳ προσέχοντες· τοῦ δὲ Θεοῦ διὰ προφητῶν καὶ ἀποστόλων ἡμῖν διαλεγομένου, χασμώμεθα, κνώμεθα, ἰλιγγιῶμεν· καὶ ἐν μὲν τῷ θέρει πολὺς ὁ αὐχμὸς εἶναι δοκεῖ, καὶ τὴν ἀγορὰν καταλαμβάνομεν· καὶ ἐν χειμῶνι πάλιν ὁ ὑετὸς κώλυμα καὶ ὁ πηλός, καὶ οἴκοι καθήμεθα. καὶ ἐν μὲν ταῖς ἱπποδρομίαις, οὐκ ὀρόφου ἐπικειμένου τοῦ τὸν ὑετὸν στέγοντος, οἱ πλείους, πολλῶν ὄμβρων καταφερομένων, καὶ ἀνέμου τὸ ὕδωρ εἰς τὰς ὄψεις ῥιπίζοντος, ἑστήκασι μαινόμενοι, καὶ ψύχους καὶ ὑετοῦ καὶ πηλοῦ καὶ μήκους ὁδοῦ καταφρονοῦντες, καὶ οὐδὲν αὐτοὺς οὔτε οἴκοι κατέχει, οὔτε ἐκεῖ κωλύει διαβῆναι· ἐνταῦθα δὲ καὶ ὀρόφων ἐπικειμένων, καὶ θέρμης οὔσης θαυμαστῆς, ἀναδύονται καὶ οὐ συντρέχουσι· καὶ ταῦτα ἐπὶ κέρδει τῆς οἰκείας ψυχῆς. πόθεν ταῦτα ἀνεκτά, εἰπέ μοι; διὰ τοῦτο ἐν ἐκείνοις πάντων ὄντες ἐμπειρότεροι, ἐν τοῖς ἀναγκαίοις παίδων ἐσμὲν ἀμαθέστεροι. κἂν μέν τις ἡνίοχόν σε καὶ ὀρχηστὴν καλέσῃ, ὑβρίσθαι φῄς, καὶ πάντα ποιεῖς, ὥστε σε τὸ ὄνειδος ἀποτρίψασθαι· ἂν δὲ ἐπὶ τὴν θεωρίαν σε ἑλκύσῃ τοῦ πράγματος, οὐκ ἀποπηδᾷς· καὶ ἧς τὸ ὄνομα φεύγεις τέχνης, ταύτην μεταδιώκεις σχεδὸν ἅπασαν. ἔνθα δὲ καὶ τὸ πρᾶγμα καὶ τὸ ὄνομα ἔχειν ὀφείλεις, καὶ εἶναι καὶ καλεῖσθαι χριστιανός, οὐδὲ τί ποτέ ἐστι τὸ πρᾶγμα οἶδας. τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν χεῖρον; ταῦτα ἐβουλόμην συνεχῶς λέγειν πρὸς ὑμᾶς· δέδοικα δέ, μὴ μάτην ἀπεχθάνωμαι καὶ κέρδους χωρίς. ὁρῶ γὰρ μεμηνότας οὐ νέους μόνον, ἀλλὰ καὶ γέροντας· ἐφ' ὧν μάλιστα αἰσχύνομαι, ὅταν ἴδω ἄνδρα ἀπὸ τῆς πολιᾶς αἰδέσιμον, καταισχύνοντα τὴν πολιάν, καὶ παιδίον ἐπισυρόμενον. τί γὰρ τοῦ γέλωτος τούτου χεῖρον; τί τοῦ ἔργου τούτου αἰσχρότερον; ὁ παῖς παρὰ τοῦ πατρὸς διδάσκεται ἀσχημονεῖν. δάκνει τὰ ῥήματα; τοῦτο κἀγὼ βούλομαι ἀναγκάσαι ὑμᾶς τῆς διὰ τῶν ῥημάτων ἀλγηδόνος, ἵνα τῆς διὰ τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῆτε. καὶ γάρ εἰσί τινες, οἱ πολλῷ ψυχρότεροι τούτων ὄντες· οἱ οὐδὲ αἰσχύνονται ἐπὶ τοῖς λεγομένοις, ἀλλὰ καὶ μακρὸν εἴρουσιν ὑπὲρ τοῦ πράγματος λόγον. κἂν μὲν ἐρωτήσῃς, τίς ἐστιν ὁ Ἀμώς, ἢ ὁ Ἀβδίας, ἢ ποῖος τῶν προφητῶν ὁ ἀριθμός, ἢ τῶν ἀποστόλων, οὐδὲ χάναι δύνανται. ὑπὲρ δὲ τῶν ἵππων καὶ ἡνιόχων, σοφιστῶν καὶ ῥητόρων δεινότερον ἀπολογίαν συντιθέασι· καὶ μετὰ ταῦτα ἅπαντα λέγουσι, καὶ τί τὸ βλάβος; καὶ τίς ἡ ζημία; διὰ γὰρ τοῦτο στένω, ὅτι οὐδὲ ζημίαν ἴστε τὸ πρᾶγμα, οὐδὲ αἴσθησιν λαμβάνετε τῶν κακῶν. ἔδωκέ σοι βίου προθεσμίαν ὁ Θεός, εἰς τὸ θεραπεύειν αὐτόν· σὺ δὲ μάτην ἀναλίσκων αὐτὸν καὶ εἰκῇ καὶ ἐν οὐδενὶ χρησίμῳ, ἐξετάζεις ἔτι τίς ἡ ζημία; κἂν μὲν ἀργύριον ὀλίγον δαπανήσῃς ἁπλῶς, ζημίαν τὸ πρᾶγμα καλεῖς· τὰς δὲ ἡμέρας σὺ δαπανῶν ὁλοκλήρους εἰς σατανικὰς πομπάς, οὐδὲν ἡγῇ ποιεῖν ἄτοπον; δέον εἰς λιτὰς καὶ εὐχὰς δαπανᾶν σε τὴν ζωὴν ἅπασαν· σὺ δὲ εἰς κραυγὰς καὶ θορύβους καὶ αἰσχρὰ ῥήματα, καὶ μάχην καὶ τέρψιν ἄκαιρον, καὶ ἔργα ἀπὸ μαγγανείας γινόμενα τὸν βίον σου καταναλίσκεις εἰκῇ καὶ ἐπὶ κακῷ τῷ σῷ· καὶ μετὰ ταῦτα πάντα ἐρωτᾷς, τίς ἡ ζημία, οὐκ εἰδὼς ὅτι παντὸς μᾶλλον ἀφειδεῖν χρή, ἢ χρόνου. χρυσίον μὲν ἀναλώσῃς, δυνήσῃ πάλιν ἀνακτήσασθαι· χρόνον δὲ ἂν ἀπολέσῃς, δυσκόλως αὐτὸν ἀναλήψῃ. ὀλίγος γὰρ ἡμῖν τεταμίευται κατὰ τὸν παρόντα βίον. ἂν οὖν εἰς δέον αὐτῷ μὴ χρησώμεθα, τί ἐροῦμεν ἀπελθόντες ἐκεῖ; εἰπὲ γάρ μοι· εἴ τινά σου τῶν υἱῶν ἐκέλευσας τέχνην μαθεῖν· εἶτα ἐκεῖνος οἴκοι διὰ παντὸς ἔμενεν, ἢ καὶ ἀλλαχοῦ που διέτριβεν, οὐκ ἂν αὐτὸν παρῃτήσατο ὁ διδάσκαλος; οὐκ ἂν εἶπε πρὸς σέ, συγγραφὴν πρὸς μὲ πεποίηκας, καὶ χρόνον ὥρισας· εἰ μὴ μέλλει τοίνυν τὸν χρόνον τοῦτον παρ' ἡμῖν, ἀλλ' ἑτέρωθι ἀναλίσκειν ὁ παῖς, πῶς σοι παραστησόμεθα μαθητήν; ταῦτα καὶ ἡμᾶς εἰπεῖν ἀνάγκη. ἐρεῖ δὲ καὶ ὁ Θεὸς ἡμῖν· χρόνον ὑμῖν δέδωκα, φησί, πρὸς τὸ μαθεῖν τὴν τέχνην ταύτην τὴν τῆς εὐλαβείας· τίνος ἕνεκεν εἰκῇ καὶ μάτην τὸν χρόνον ἀναλώσατε τοῦτον; τί δὲ πρὸς τὸν διδάσκαλον συνεχῶς οὐκ ἐβαδίζετε, οὐδὲ προσείχετε τοῖς λεγομένοις; ὅτι γὰρ τέχνη ἐστὶν ἡ εὐλάβεια, ἄκουσον τί φησιν ὁ προφήτης· Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Ψαλμ. λγ. ια. καὶ πάλιν· Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. Ψαλμ. ϟγ. ιβ. ὅταν οὖν τοῦτον ἀναλώσῃς εἰκῇ, ποίαν ἕξεις ἀπολογίαν; καὶ τίνος ἕνεκεν, φησίν, ὀλίγον ἡμῖν ἐταμιεύσατο χρόνον; ὢ τῆς ἀναισθησίας καὶ τῆς ἀγνωμοσύνης. ὑπὲρ οὗ μάλιστα εὐχαριστεῖν ἔδει, ὅτι σοι τοὺς πόνους ἐπέτεμε, καὶ τοὺς ἱδρῶτας συνέκοψε, καὶ τὴν ἀνάπαυσιν μακρὰν ἐποίησε καὶ ἀθάνατον, ὑπὲρ τούτων ἐγκαλεῖς καὶ δυσχεραίνεις; ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἐνταῦθα τὸν λόγον ἐξηγάγομεν, καὶ μακρὸν εἰργασάμεθα. διόπερ ἀναγκαῖον αὐτὸν συστεῖλαι πάλιν. καὶ γὰρ καὶ τοῦτο τῆς ἡμετέρας ταλαιπωρίας, ὅτι ἐνταῦθα μέν, ἂν μακρὸς γένηται ὁ λόγος, πάντες ἀκηδιῶμεν· ἐκεῖ δέ, ἐκ μέσης ἡμέρας ἀρχόμενοι, ὑπὸ λαμπάσι καὶ λύχνοις ἀναχωροῦσιν. ἀλλ' ἵνα μὴ ἀεὶ ἐγκαλῶμεν, παρακαλοῦμεν ὑμᾶς λοιπὸν καὶ δεόμεθα· δότε ταύτην τὴν χάριν καὶ ἡμῖν καὶ ἑαυτοῖς, καὶ πάντων ἀπαλλαγέντες τῶν ἄλλων, τούτοις ἑαυτοὺς προσηλώσωμεν. κερδανοῦμεν μὲν γὰρ καὶ ἡμεῖς ἐξ ὑμῶν τὴν χαρὰν καὶ τὴν εὐφροσύνην, καὶ τὸ σεμνύνεσθαι ἐφ' ὑμῖν, καὶ τὴν ἐπὶ τούτοις λαβεῖν ἀμοιβήν· τὸν δὲ μισθὸν ἅπαντα ὑμεῖς καρπώσεσθε, ὅτι μανικῶς οὕτω προσηλωμένοι τῇ ὀρχήστρᾳ περὶ τούτου, διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τὴν ἡμετέραν παράκλησιν, ἀπερρήξατε τοῦ νοσήματος ἑαυτοὺς ἐκείνου, καὶ τὰ δεσμὰ διελύσατε, καὶ πρὸς τὸν Θεὸν ἐδράμετε. οὐκ ἐκεῖ δὲ μόνον λήψεσθε τὸν μισθόν, ἀλλὰ καὶ ἐνταῦθα εἰλικρινῆ καρπώσεσθε τὴν ἡδονήν. τοιοῦτον γὰρ ἡ ἀρετή, μετὰ τῶν ἐκεῖ στεφάνων καὶ ἐνταῦθα ἡδίω καθίστησιν ἡμῖν τὸν βίον. πειθώμεθα τοίνυν τοῖς εἰρημένοις, ἵνα καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖσε ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. νθ 35 ΚΑΙ ΕΞΕΒΑΛΟΝ ΑΥΤΟΝ ΕΞΩ. ΚΑΙ ΗΚΟΥΣΕΝ ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; 36 Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπε· καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; καὶ τὰ λοιπά.

Οἱ διὰ τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν ὁμολογίαν πάσχοντές τι δεινὸν καὶ ὑβριζόμενοι, οὗτοι μάλιστά εἰσιν οἱ τιμώμενοι. ὥσπερ γὰρ ὁ χρήματα ἀπολλὺς δι' αὐτὸν, οὗτος μάλιστά ἐστιν ὁ εὑρίσκων· καὶ ὁ τὴν ψυχὴν αὐτοῦ μισῶν, αὐτὸς μάλιστά ἐστιν ὁ φιλῶν· οὕτω καὶ ὁ ὑβριζόμενος, οὗτος μάλιστά ἐστιν ὁ τιμώμενος· ὅπερ καὶ ἐπὶ τοῦ τυφλοῦ γεγένηται. ἐξέβαλον οὖν αὐτὸν ἐκ τοῦ ἱεροῦ οἱ Ἰουδαῖοι, καὶ εὗρεν αὐτὸν ὁ δεσπότης τοῦ ἱεροῦ· ἀπηλλάγη τοῦ συνεδρίου τοῦ λοιμικοῦ, καὶ περιέτυχε τῇ σωτηρίῳ πηγῇ· ἠτιμάσθη παρὰ τῶν τὸν Χριστὸν ἀτιμασάντων, καὶ ἐτιμήθη παρὰ τοῦ τῶν ἀγγέλων δεσπότου. τοιαῦτα τὰ τῆς ἀληθείας ἔπαθλα. οὕτω καὶ ἡμεῖς, ἂν ἐνταῦθα ἀφῶμεν τὰ χρήματα, εὑρίσκομεν ἐκεῖ παρρησίαν· ἂν ἐνταῦθα δῶμεν τοῖς θλιβομένοις, ἀναπαυσόμεθα ἐν τοῖς οὐρανοῖς· ἂν ὑβρισθῶμεν διὰ τὸν Θεόν, τιμώμεθα καὶ ἐνταῦθα, καὶ ἐκεῖ. ὡς δὲ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ, εὗρεν αὐτὸν ὁ Ἰησοῦς. δείκνυσιν ὁ εὐαγγελιστὴς ὅτι ἐπὶ τούτῳ ἦλθεν, ὥστε αὐτῷ συντυχεῖν. καὶ ὅρα τίσιν αὐτὸν ἀμείβεται· τῷ κεφαλαίῳ τῶν ἀγαθῶν. καὶ γὰρ ἑαυτὸν ἐγνώρισεν αὐτῷ πρότερον ἀγνοοῦντι, καὶ εἰς τὸν τῶν οἰκείων μαθητῶν ἐγκατέλεξε χορόν. σὺ δὲ σκόπει, πῶς τὴν ἀκρίβειαν ὁ εὐαγγελιστὴς ἐξηγεῖται. εἰπόντος γὰρ αὐτοῦ, σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; λέγει· Κύριε, καὶ τίς ἐστιν; οὐδέπω γὰρ αὐτὸν ᾔδει, καίτοι τεθεραπευμένος. τυφλὸς γὰρ ἦν, πρὶν ἢ πρὸς τὸν εὐεργέτην ἐλθεῖν, καὶ μετὰ τὴν ἴασιν ὑπὸ τῶν κυνῶν ἐκείνων περιείλκετο. καθάπερ οὖν τις ἀγωνοθέτης, ἀθλητὴν πολλὰ καμόντα καὶ στεφανωθέντα δέχεται. καὶ τί φησι; πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; τί τοῦτο; μετὰ τοσαύτην ἀντίρρησιν τὴν πρὸς τοὺς Ἰουδαίους, μετὰ τοσαῦτα ῥήματα, ἐρωτᾷ εἰ πιστεύεις; οὐκ ἀγνοῶν, ἀλλὰ βουλόμενος ἑαυτὸν γνωρίσαι, καὶ δεικνὺς, ὅτι πολλοῦ τιμᾶται τὴν αὐτοῦ πίστιν. ὕβρισέ με δῆμος τοσοῦτος, φησιν, ἀλλ' οὐδείς ἐμοὶ λόγος ἐκείνων· ἑνός μοι μέλει, τοῦ σε πιστεῦσαι. κρεῖττον γὰρ εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μυρίοι παράνομοι. σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ὡς καὶ παρὼν καὶ ἀποδεξάμενος τὰ εἰρημένα, οὕτως αὐτὸν ἐρωτᾷ· καὶ πρότερον αὐτὸν εἰς πόθον ἑαυτοῦ κατέστησεν. οὐ γὰρ εἶπεν εὐθέως, πίστευσον, ἀλλὰ κατ' ἐρώτησιν. τί οὖν ἐκεῖνος; καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; ποθούσης καὶ σφόδρα ἐπιζητούσης ψυχῆς τὸ ῥῆμα. ὑπὲρ οὗ τοσαῦτα διελέχθη, τοῦτον ἀγνοεῖ, ἵνα μάθῃς αὐτοῦ τὸ φιλάληθες. οὔπω γὰρ ἦν αὐτὸν ἑωρακώς.

γρ. τοῦτο

37 Λέγει αὐτῷ· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. Οὐκ εἶπεν, ἐγώ εἰμι· ἀλλὰ, μέσως ἔτι καὶ ὑπεσταλμένως, καὶ ἑώρακας αὐτόν. τοῦτο ἔτι ἄδηλον ἦν· διὸ τὸ σαφέστερον ἐπήγαγεν, ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστι. 38 Λέγει· πιστεύω, Κύριε. καὶ προσεκύνησεν αὐτῷ εὐθέως. Καὶ οὐκ εἶπεν, ἐγώ εἰμι ὁ τεθεραπευκώς σε, ὁ εἰπών σοι, ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ· ἀλλὰ πάντα ἐκεῖνα σιγήσας, φησί· πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; εἶτα τὴν πολλὴν διάθεσιν ἐμφαίνων προσεκύνησεν εὐθέως, ὅπερ ὀλίγοι τῶν τεθεραπευμένων ἐποίησαν, οἷον οἱ λεπροὶ, καὶ εἴ τις ἄλλος, διὰ τούτου ἐμφαίνων αὐτοῦ τὴν θείαν δύναμιν. ἵνα γὰρ μή τις νομίσῃ ῥῆμα μόνον εἶναι τὸ λεχθέν, καὶ τὸ ἔργον προσέθηκε. προσκυνήσαντος δὲ αὐτοῦ,

39 Φησὶν ὁ Χριστός· εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι,

πωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Τοῦτο καὶ ὁ Παῦλός φησι· Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν. Εἰπὼν δὲ, εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, κἀκεῖνον σφοδρότερον περὶ τὴν πίστιν εἰργάσατο, καὶ διανέστησε τοὺς ἀκολουθοῦντας αὐτῷ. καὶ γὰρ ἠκολούθουν αὐτῷ Φαρισαῖοι. τὸ δὲ, εἰς κρίμα, εἰς μείζονα κόλασιν ἔλεγε· δεικνὺς ὅτι οἱ καταδικάσαντες αὐτὸν, αὐτοί εἰσιν οἱ καταδεδικασμένοι· οἱ καὶ ὡς ἁμαρτωλὸν κατακρίνοντες, αὐτοί εἰσιν οἱ κατακεκριμένοι. ἐνταῦθα δὲ δύο λέγει ἀναβλέψεις καὶ δύο τυφλότητας· τήν τε αἰσθητὴν, τήν τε νοητήν.

40 Λέγουσιν αὐτῷ ἐκ τῶν ἀκολουθούντων αὐτῷ· μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;

Ὥσπερ ἀλλαχοῦ ἔλεγον, οὐδενὶ δεδουλεύκαμεν πώποτε, καὶ, ἐκ πορνείας οὐ γεγεννήμεθα· οὕτω καὶ νῦν πρὸς τὰ αἰσθητὰ κεχήνασι μόνον, καὶ ταύτην ἐπαισχύνονται τὴν πήρωσιν. εἶτα δεικνὺς ὅτι βέλτιον τυφλοὺς αὐτοὺς εἶναι ἢ βλέποντας, φησίν·

41 Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν. Ἐπειδὴ αἰσχύνης τὸ πρᾶγμα ἐνόμιζον εἶναι τὴν συμφορὰν, περιέτρεψεν αὐτὸ εἰς τὴν αὐτῶν κεφαλὴν, εἰπὼν ὅτι τοῦτο ἀνεκτοτέραν ὑμῖν ἔφερε τὴν κόλασιν, πανταχοῦ περικόπτων τὰ ἀνθρώπινα φρονήματα, καὶ εἰς ἔννοιαν ἄγων μεγάλην καὶ θαυμαστήν. Νῦν δὲ λέγετε, ὅτι βλέπομεν.

Ὥσπερ ἐκεῖ φησιν, ὃν ὑμεῖς ἐλέγετε, ὅτι Θεὸς ὑμῶν ἐστιν, οὕτω δὴ καὶ ἐνταῦθα· νῦν δὲ λέγετε ὅτι βλέπετε· οὐ γὰρ βλέπετε. ἐνταῦθα ὅπερ ἐνόμιζον ἐγκώμιον εἶναι μέγα, τοῦτο δείκνυσιν αὐτοῖς κόλασιν φέρον. καὶ ὑπὲρ τῆς προτέρας δὲ πηρώσεως παρεμυθήσατο τὸν ἐκ γενετῆς τυφλόν· εἶτα περὶ τῆς τυφλότητος αὐτῶν διαλέγεται. ἵνα γὰρ μὴ λέγωσιν, οὐ παρὰ τὴν ἡμετέραν πήρωσιν οὐ προσερχόμεθα, ἀλλ' ὡς πλάνον φεύγοντες ἀποστρεφόμεθα, ὑπὲρ τούτου πάντα ποιεῖται τὸν λόγον. οὐχ ἁπλῶς δὲ ὁ εὐαγγελιστὴς ἐμνημόνευσεν, ὅτι ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ μετ' αὐτοῦ ὄντες, καὶ εἶπον· μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν· ἀλλ' ἵνα σε ἀναμνήσῃ, ὅτι οὗτοι ἐκεῖνοι ἦσαν οἱ πρότερον ἀποστάντες, εἶτα λιθάσαντες. ἦσαν γάρ τινες ἐπιπολαίως ἀκολουθοῦντες, καὶ ῥᾳδίως εἰς τοὐναντίον μεταβαλλόμενοι. πόθεν οὖν κατασκευάζει, ὅτι οὐκ ἔστι πλάνος, ἀλλὰ ποιμήν; θεὶς τὰ γνωρίσματα ἑκατέρου, καὶ τοῦ ποιμένος, καὶ τοῦ πλάνου καὶ λυμεῶνος, καὶ ἀπ' αὐτῶν παρέχων αὐτοῖς ἐξετάζειν τὴν τῶν πραγμάτων ἀλήθειαν. καὶ πρότερον, τίς ὁ πλάνος καὶ ὁ κλέπτης δείκνυσιν, ἀπὸ γραφῶν αὐτὸν οὕτω καλῶν, καὶ λέγων·

κεφ. ι. 1 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. Ὅρα τὰ δείγματα τοῦ λῃστοῦ· πρῶτον, ὅτι οὐ παρρησίᾳ εἰσέρχεται· δεύτερον, ὅτι οὐ κατὰ τὰς γραφάς· τοῦτο γάρ ἐστι τὸ, μὴ διὰ τῆς θύρας. ἐνταῦθα δὲ καὶ τοὺς πρὸ αὐτοῦ αἰνίττεται, καὶ τοὺς μετ' αὐτὸν ἐσομένους· τόν τε ἀντίχριστον, καὶ τοὺς ψευδοχρίστους· τόν τε Ἰούδαν καὶ Θευδᾶν, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγόνασιν. εἰκότως δὲ θύραν τὰς γραφὰς ἐκάλεσεν. αὗται γὰρ ἡμᾶς προσάγουσι τῷ Θεῷ, καὶ τὴν θεογνωσίαν ἀνοίγουσιν· αὗται πρόβατα ποιοῦσιν· αὗται φυλάττουσι, καὶ τοὺς λύκους οὐκ ἀφιᾶσιν ἐπεισελθεῖν. καθάπερ γάρ τις θύρα ἀσφαλὴς, οὕτως ἀποκλείει τοῖς αἱρετικοῖς τὴν εἴσοδον, ἐν ἀσφαλείᾳ καθιστῶσα ἡμᾶς περὶ ὧν ἂν βουλώμεθα πάντων, καὶ οὐκ ἐῶσα πλανᾶσθαι. κἂν μὴ παραλύσωμεν αὐτὴν, οὐκ ἐσόμεθα εὐχείρωτοι τοῖς ἐχθροῖς. διὰ ταύτης καὶ τοὺς ποιμένας καὶ τοὺς οὐ ποιμένας εἰσόμεθα ἅπαντας. τί δέ ἐστιν, εἰς τὴν αὐλήν; πρὸς τὰ πρόβατα καὶ τὴν ἐκείνων πρόνοιαν. ὁ γὰρ μὴ ταῖς γραφαῖς χρώμενος, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, τουτέστιν, ἑτέραν ἑαυτῷ καὶ μὴ νενομισμένην τέμνων ὁδὸν, οὗτος κλέπτης ἐστίν. ὁρᾷς κἀντεῦθεν τῷ πατρὶ συμφωνοῦντα, τῷ τὰς γραφὰς εἰς μέσον προφέρειν;

Ιωαν. ε. λθ.

φέρειν; διὰ τοῦτο καὶ τοῖς Ἰουδαίοις ἔλεγεν, Ἐρευνᾶτε τὰς γραφάς· καὶ Μωϋσέα παρῆγεν εἰς μέσον, καὶ μάρτυρα αὐτὸν ἐκάλει, καὶ τοὺς προφήτας πάντας. πάντες γάρ, φησιν, οἱ ἀκούσαντες ἐκ τῶν προφητῶν, ἥξουσι πρός μέ. καὶ Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί. ἐνταῦθα δὲ τὸ αὐτὸ μεταφορικῶς ἔθηκεν. Εἰπὼν δέ, ἀναβαίνων ἀλλαχόθεν, καὶ τοὺς γραμματέας ἠνίξατο, ὅτι ἐδίδασκον ἐντάλματα, διδασκαλίας ἀνθρώπων, καὶ τὸν νόμον παρέβαινον· ὅπερ οὖν καὶ αὐτὸς ὀνειδίζων ἔλεγεν, οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. καὶ καλῶς εἶπεν, ἀναβαίνων, οὐκ εἰσιών, ὅπερ ἐστὶ κλέπτου θριγκὸν ὑπερπηδῆσαι βουλομένου, καὶ ἐπικινδύνως πάντα πράττοντος. Εἶδες πῶς ὑπέγραψε τὸν λῃστήν; σκόπει καὶ τοῦ ποιμένος τὸ γνώρισμα. τί οὖν τοῦτό ἐστιν;

2 Ὁ εἰσερχόμενος διὰ τῆς θύρας, οὗτός ἐστιν ὁ ποιμὴν τῶν προβάτων·

3 Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούει τὰ πρόβατα, καὶ τὰ ἴδια καλεῖ κατ' ὄνομα. 4 Καὶ ὅταν ἐξαγάγῃ αὐτά, πορεύεται ἔμπροσθεν αὐτῶν. Ἔθηκε καὶ τοῦ ποιμένος καὶ τοῦ λυμεῶνος τὰ δείγματα. ἴδωμεν πάλιν πῶς αὐτοῖς ἐφήρμοσε τὰ ἑξῆς. τούτῳ, φησίν, ὁ θυρωρὸς ἀνοίγει. ἐπέμεινε τῇ μεταφορᾷ, ὥστε ἐμφαντικώτερον ποιῆσαι τὸν λόγον. Εἰ δὲ καὶ κατὰ λέξιν ἐθέλοις τὴν παραβολὴν ἐξετάζειν, οὐδὲν κωλύει θυρωρὸν ἐνταῦθα νοεῖν τὸν Μωϋσέα. ἐκεῖνος γὰρ ἦν ὁ τὰ λόγια τοῦ Θεοῦ ἐμπιστευθείς· οὗ καὶ τὴν φωνὴν ἀκούει τὰ πρόβατα, καὶ τὰ ἴδια καλεῖ κατ' ὄνομα. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγον αὐτὸν ἀπατεῶνα εἶναι, καὶ τοῦτο ἐκ τῆς ἀπιστίας τῆς ἑαυτῶν ἐβεβαίουν λέγοντες· τίς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν; δείκνυσιν, ὅτι οὐκ αὐτὸν ἐκ τῆς ἐκείνων ἀπιστίας λυμεῶνα καὶ πλάνον δεῖ καλεῖν, ἀλλ' αὐτοὺς ἐκ τοῦ μὴ προσέχειν αὐτῷ, καὶ τῆς τῶν προβάτων ἀκολούθως ἐκβληθῆναι τάξεως. εἰ γὰρ ποιμένος ἐστὶ, τὸ διὰ τῆς νενομισμένης εἰσιέναι θύρας· αὐτὸς δὲ εἰσῆλθε διὰ ταύτης· οἱ μὲν ἀκολουθήσαντες ἅπαντες δύναιντ' ἂν εἶναι πρόβατα· οἱ δὲ ἀπορραγέντες οὐ τὸν ποιμένα διέβαλον, ἀλλὰ τῆς τῶν προβάτων συγγενείας ἐξέβαλον ἑαυτούς. Εἰ δὲ λέγει προϊὼν τὴν θύραν ἑαυτὸν εἶναι, πάλιν οὐ χρὴ θορυβεῖσθαι. καὶ γὰρ καὶ ποιμένα ἑαυτὸν λέγει, καὶ πρόβατον, καὶ διαφόρως τὰς οἰκονομίας κηρύττει τὰς ἑαυτοῦ. ὅταν γὰρ προσάγῃ ἡμᾶς τῷ πατρί, θύραν ἑαυτὸν καλεῖ· ὅταν δὲ ἐπιμελῆται, ποιμένα. ἵνα γὰρ μὴ τοῦτο ἔργον εἶναι νομίσῃς αὐτοῦ μόνον τὸ προσαγαγεῖν, λέγει καὶ ποιμένα ἑαυτόν. καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ καλεῖ τὰ ἴδια πρόβατα, καὶ ἐξάγει αὐτά, καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν πορεύεται. καὶ μὴν τοὐναντίον οἱ ποιμένες ποιοῦσιν, ὄπισθεν αὐτῶν ἀκολουθοῦντες. ἀλλ' αὐτός, δεικνὺς ὅτι ἅπαντας ὁδηγήσει πρὸς τὴν ἀλήθειαν, ἀπεναντίας ἐκείνοις ποιεῖ· ὥσπερ οὖν καὶ ὅτε τὰ πρόβατα ἔπεμπε, οὐκ ἔξω τῶν λύκων, ἀλλ' ἐν μέσῳ τῶν λύκων ἔπεμπε. πολὺ γὰρ παραδοξοτέρα αὕτη ἡ ποιμαντικὴ τῆς παρ' ἡμῖν. δοκεῖ δέ μοι καὶ περὶ τοῦ τυφλοῦ αἰνίττεσθαι. καὶ γὰρ ἐκεῖνον ἐξήγαγε καλέσας ἐκ μέσου τῶν Ἰουδαίων, καὶ ἤκουσεν αὐτοῦ τῆς φωνῆς, καὶ ἐπέγνω.

5 Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

Ἤτοι τοὺς περὶ Θευδᾶν λέγει ἐνταῦθα καὶ Ἰούδαν (καὶ γὰρ ἅπαντες, ὅσοι ἐπίστευσαν αὐτοῖς, διεσκορπίσθησαν, φησιν) ἢ τοὺς μετὰ ταῦτα μέλλοντας ἀπατᾶν ψευδοχρίστους. ἵνα γὰρ μὴ λέγωσιν ἕνα ἐκείνων τοῦτον εἶναι, διὰ πολλῶν ἑαυτὸν ἀπ' ἐκείνων διαιρεῖ. καὶ πρῶτον μὲν τίθησι διαφοράν, τὴν ἀπὸ τῶν γραφῶν διδασκαλίαν (αὐτὸς μὲν γὰρ διὰ τούτων αὐτοὺς προσήγετο, ἐκεῖνοι δὲ οὐκ ἐντεῦθεν αὐτοὺς ἐφείλκοντο) δευτέραν, τὴν τῶν προβάτων ὑπακοήν. αὐτῷ μὲν γὰρ οὐ ζῶντι μόνον, ἀλλὰ καὶ τελευτήσαντι πάντες ἐπίστευσαν· ἐκείνους δὲ εὐθέως εἴασαν. καὶ τρίτην δὲ μετὰ τούτων ἐστὶν εἰπεῖν οὐ μικράν. ἐκεῖνοι μὲν γὰρ ὡς τύραννοι, καὶ ἐπὶ ἀποστασίᾳ" πάντα ἐποίουν· αὐτὸς δὲ οὕτω πόρρω ἑαυτὸν τοιαύτης κατέστησεν ὑποψίας, ὡς, καὶ θελόντων αὐτὸν ποιῆσαι βασιλέα, φυγεῖν, καὶ ἐπερωτώντων, εἰ ἔξεστι δοῦναι κῆνσον Καί-

" γρ. πάντων

σαρι,

σασι, κελεῦσαι καταθεῖναι, καὶ αὐτὸν ἐπιδοῦναι τὸ δίδραχμα. πρὸς τούτοις, αὐτὸς μὲν ὑπὲρ τῆς σωτηρίας τῶν προβάτων ἦλθεν, ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσι, φησίν· ἐκεῖνοι δὲ καὶ τῆς παρούσης αὐτοὺς ζωῆς ἀπεστέρησαν. καὶ οἱ μὲν προὔδωκαν τοὺς ἐμπιστευθέντας καὶ ἔφυγον· αὐτὸς δὲ οὕτως ἔστη γενναίως, ὡς καὶ τὴν ψυχὴν ἐπιδοῦναι· καὶ οἱ μὲν ἄκοντες καὶ ἀναγκαζόμενοι καὶ φεύγοντες ἔπαθον ἃ ἔπαθον· οὗτος δὲ, ἑκὼν καὶ προαιρούμενος ὑπέμεινεν ἅπαντα.

6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Καὶ τίνος ἕνεκεν ἀσαφῶς εἶπε; προσεκτικωτέρους αὐτοὺς ποιῆσαι βουλόμενος. ἐπεὶ οὖν τοῦτο κατεσκεύασε, λύει λοιπὸν τὴν ἀσάφειαν, οὕτω λέγων·

9 Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Οἷον, ἐν ἀσφαλείᾳ ἔσται καὶ ἀδείᾳ (νομὴν δὲ τὴν τροφὴν ἐνταῦθα λέγει καὶ βοσκὴν τῶν προβάτων, καὶ ἐξουσίαν καὶ κυριότητα) τουτέστιν, ἔνδον μενεῖ, καὶ οὐδεὶς αὐτὸν ἐξωθήσεται· ὅπερ οὖν ἐπὶ τῶν ἀποστόλων γέγονεν, οἳ μετ' ἀδείας εἰσῄεσαν, καὶ ἐξῄεσαν, ὡς πάσης κύριοι γεγενημένοι τῆς οἰκουμένης, καὶ οὐδεὶς αὐτοὺς ἐκβαλεῖν ἴσχυσε.

8 Πάντες ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Οὐ περὶ τῶν προφητῶν φησιν ἐνταῦθα, καθὼς οἱ αἱρετικοί φασιν. ἐκείνων γὰρ ἤκουσαν, καὶ δι' ἐκείνων ἐπίστευσαν, ὅσοι καὶ ἐπίστευσαν τῷ Χριστῷ· ἀλλὰ περὶ Θευδᾶ καὶ Ἰούδα λέγει καὶ τῶν ἄλλων στασιαστῶν. ἄλλως δὲ, καὶ τὸ, οὐκ ἤκουσαν τὰ πρόβατα, ἐπαινῶν εἶπεν· οὐδαμοῦ δὲ φαίνεται ἐπαινῶν τοὺς παρακούσαντας τῶν προφητῶν, ἀλλὰ τοὐναντίον κακίζων καὶ διαβάλλων σφοδρῶς. ὅθεν δῆλον, ὅτι τὸ, οὐκ ἤκουσαν νῦν περὶ τῶν στασιαστῶν ἐκείνων εἴρηται. 10 Ὁ κλέπτης οὐ μὴ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ·

Ὅπερ τότε γέγονε, πάντων σφαγέντων καὶ ἀπολομένων. Ἐγὼ δὲ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι. Καὶ τί ζωῆς περισσότερον, εἰπέ μοι; βασιλεία οὐρανῶν. ἀλλ' οὔπω λέγει τοῦτο, ἀλλὰ τὸ τῆς ζωῆς ὄνομα περιστρέφει, ὅπερ ἦν αὐτοῖς γνώριμον.

11 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.

Ἐνταῦθα λοιπὸν περὶ τοῦ πάθους διαλέγεται, δεικνὺς ὅτι ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τοῦτο γίνεται, καὶ οὐκ ἄκων ἐπὶ τοῦτο ἔρχεται. Εἶτα λέγει τὸ δεῖγμα τοῦ ποιμένος πάλιν καὶ τοῦ μισθωτοῦ.

Ὁ μὲν γὰρ ποιμὴν τὴν ψυχὴν ἑαυτοῦ τίθησιν· 12 Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει, καὶ ἔρχεται ὁ λύκος καὶ ἁρπάζει αὐτά. Ἐνταῦθα δείκνυσιν ἑαυτὸν οὕτω κρατοῦντα, ὡς τὸν πατέρα, εἴγε ποιμὴν αὐτός ἐστι, καὶ ἴδια αὐτοῦ ἐστι τὰ πρόβατα. ὁρᾷς πῶς ἐν ταῖς παραβολαῖς ὑψηλότερον φθέγγεται, ἔνθα συνεσκίασται ὁ λόγος, καὶ οὐ δίδωσι λαβὴν φανερὰν τοῖς ἀκροωμένοις; τί οὖν ὁ μισθωτὸς οὗτος ποιεῖ; θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ ἔρχεται ὁ λύκος καὶ ἁρπάζει αὐτά. τοῦτο ἐκεῖνοι πεποιήκασιν· αὐτὸς δὲ τοὐναντίον. καὶ γὰρ, ἡνίκα συνελήφθη, φησίν· Ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο. ἔστι δὲ ἐνταῦθα καὶ νοητὸν ὑποπτεῦσαι λύκον. καὶ γὰρ οὐδὲ ἐκεῖνον εἴασεν ἀπελθόντα ἁρπάσαι τὰ πρόβατα. οὐ λύκος δέ ἐστιν οὗτος μόνον, ἀλλὰ καὶ λέων. Ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολος, φησὶν, ὡς λέων περιέρχεται ὠρυόμενος. οὗτος καὶ ὄφις καὶ δράκων ἐστί. Πατεῖτε γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων.

Ιω. ιη. θ.

α. Πετ. ε. η.
Λυκ. ι. ιθ.

ΗΘΙΚΟΝ

Διὸ, παρακαλῶ, μένωμεν ὑπὸ τῷ ποιμένι νεμόμενοι· μενοῦμεν δὲ, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούωμεν, ἐὰν αὐτῷ πειθώμεθα, ἐὰν μὴ ἀλλοτρίῳ ἑπώμεθα. καὶ ποία αὐτοῦ ἐστιν ἡ φωνή; Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ ἐλεήμονες. ἂν ταῦτα πράττωμεν, ὑπὸ τῷ ποιμένι μενοῦμεν, καὶ ὁ λύκος ἔνδον γενέσθαι οὐ δυνήσεται· ἀλλὰ, κἂν ἐπέλθῃ, ἐπὶ κακῷ τῷ ἑαυτοῦ τοῦτο ἐργάσεται. ποιμένα γὰρ ἔχομεν

Ματθ. ε. γ.

Ματθ. ϛ. κδ'.

γρ. χαλεπ
τερον,

μὲν οὕτω φιλοῦντα ἡμᾶς, ὡς καὶ τὴν ψυχὴν ὑπὲρ ἡμῶν ἐπιδοῦναι. ὅταν οὖν καὶ δυνατὸς ᾖ, καὶ φιλῇ, τί τὸ κωλῦον ἡμᾶς σωθῆναι; οὐδέν, εἰ μὴ ἡμεῖς αὐτοὶ ἀποσταίημεν. πῶς δὲ ἀποστησόμεθα; ἄκουσον αὐτοῦ λέγοντος· Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν, Θεῷ καὶ μαμμωνᾷ. ἂν τοίνυν τούτῳ δουλεύωμεν, οὐχ ὑποστησόμεθα τὴν ἐκείνου τυραννίδα. καὶ γὰρ τυραννίδος ἁπάσης πικροτέρα ἡ τῶν χρημάτων ἐπιθυμία. ἡδονὴν μὲν γὰρ οὐδεμίαν ἔχει, φροντίδας δὲ, καὶ φθόνους, καὶ ἐπιβουλάς, καὶ μῖσος, καὶ συκοφαντίας, καὶ ἀρετῆς μυρία κωλύματα, ῥᾳθυμίαν, ἀσέλγειαν, πλεονεξίαν, μέθην· ἃ καὶ τοὺς ἐλευθέρους δούλους ποιεῖ καὶ ἀργυρωνήτων χείρους, καὶ δούλους, οὐκ ἀνθρώπων, ἀλλὰ καὶ τῶν χαλεπωτέρων τῶν παθῶν καὶ τῶν νοσημάτων τῆς ψυχῆς. ὁ τοιοῦτος πολλὰ τῶν καὶ Θεῷ καὶ ἀνθρώποις μὴ ἀρεσκόντων τολμᾷ, δεδοικὼς μή τις αὐτοῦ τὴν δεσποτείαν ἀφέληται ταύτην. ὢ πικρᾶς δουλείας καὶ διαβολικῆς δυναστείας. τοῦτο γὰρ μάλιστα πάντων ἐστὶ τὸ χαλεπώτατον, ὅτι ἐν τοσούτοις κατεχόμενοι κακοῖς ἡδόμεθα, καὶ τὴν ἅλυσιν ἀσπαζόμεθα, καὶ δεσμωτήριον οἰκοῦντες σκότους πεπληρωμένον, εἰς φῶς ἐξελθεῖν οὐ βουλόμεθα, ἀλλ' ἐπισφίγγομεν ἑαυτοῖς τὰ κακά, καὶ ἐνηδόμεθα τῷ νοσήματι. ὅθεν οὐδὲ ἀπαλλαγῆναι δυνάμεθα, ἀλλὰ τῶν τὰ μέταλλα ἐργαζομένων χαλεπώτερον διακείμεθα· τοὺς μὲν πόνους καὶ τὴν ταλαιπωρίαν ὑπομένοντες, τῶν δὲ καρπῶν οὐκ ἀπολαύοντες. καὶ τὸ δὴ χεῖρον πάντων, ὅτι, κἂν ἀπαλλάξαι βουληθῇ τις τῆς πικρᾶς ταύτης αἰχμαλωσίας ἡμᾶς, οὐκ ἀνεχόμεθα, ἀλλὰ καὶ δυσχεραίνομεν καὶ ἀγανακτοῦμεν, οὐδὲν ἄμεινον τῶν μαινομένων διακείμενοι ταύτῃ, ἀλλὰ καὶ πολλῷ πάντων ἐκείνων ἀθλιώτερον, καὶ τοσοῦτον, ὅσον οὐδὲ ἀπαλλαγῆναι τῆς μανίας ἐθέλομεν. μὴ γὰρ διὰ τοῦτο παρήχθης εἰς τὸν κόσμον, ὦ ἄνθρωπε, τοῦτον; μὴ γὰρ διὰ τοῦτο γέγονας ἄνθρωπος, ἵνα τὰ μέταλλα ταῦτα ἐργάζῃ, καὶ συλλέγῃς χρυσίον; οὐ διὰ ταῦτα ἔπλασέ σε κατ' εἰκόνα, ἀλλ' ἵνα αὐτῷ ἀρέσῃς, ἵνα τῶν μελλόντων ἐπιτύχῃς, ἵνα μετὰ ἀγγέλων χορεύσῃς. τί τοίνυν ἐκβάλλεις σεαυτὸν τῆς τοιαύτης συγγενείας, καὶ πρὸς τὴν ἐσχάτην ἀτιμίαν καὶ δυσγένειαν ἐξωθεῖς; ὁ τὰς αὐτάς σοι λύσας ὠδῖνας (ὠδῖνας δὲ λέγω τὰς πνευματικάς) λιμῷ διαφθείρεται, σὺ δὲ ὑπὸ πλησμονῆς διαρρήγνυσαι· ὁ ἀδελφός, γυμνὸς τὸ σῶμα περιάγει, σὺ δὲ καὶ τοῖς ἱματίοις ἱμάτια κατασκευάζεις, ἐπιτειχίζων τοῖς σκώληξι τὴν τοιαύτην περιβολήν. καὶ πόσῳ βέλτιον ἦν τὰ σώματα περιβάλλειν τὰ τῶν πενήτων. οὕτω γὰρ καὶ ἀνάλωτα ἔμενε, καὶ φροντίδος ἁπάσης ἀπήλλαττε, καὶ τὴν μέλλουσάν σοι ζωὴν ἐκόμιζεν. εἰ γὰρ μὴ βούλει ταῦτα γενέσθαι σητόβρωτα, δὸς τοῖς πτωχοῖς. ἐκεῖνοι γάρ εἰσιν οἱ τὰ ἱμάτια ταῦτα εἰδότες τινάσσειν καλῶς. καὶ γὰρ τοῦ κιβωτίου τὸ σῶμα τοῦ Χριστοῦ τιμιώτερόν τε καὶ ἀσφαλέστερον. οὐδὲ γὰρ μόνον φυλάττει τὰ ἱμάτια, οὐδὲ ἀνάλωτα διατηρεῖ μόνον, ἀλλὰ καὶ λαμπρότερα ἐργάζεται. τὸ κιβώτιον πολλάκις μετὰ τῶν ἱματίων ληφθέν, ἐσχάτῃ σε περιέβαλε ζημίᾳ· ταύτην δὲ οὐδὲ θάνατος λυμήνασθαι δύναται τὴν φυλακήν. οὐδὲ γὰρ θυρῶν ἐνταῦθα ἡμῖν δεῖ καὶ μοχλῶν· οὐκ οἰκετῶν ἀγρυπνούντων· οὐκ ἄλλης τινὸς τοιαύτης ἀσφαλείας. καὶ γὰρ πάσης ἐπιβουλῆς ἀπήλλακται, καὶ ἀπόκειται φυλαττόμενα, ὥσπερ εἰκὸς τὰ ἐν τοῖς οὐρανοῖς κείμενα. πάσῃ γὰρ κακίᾳ ἐκεῖνος ὁ τόπος ἄβατος. ταῦτα οὔτε ἡμεῖς ἀεὶ λέγοντες διαλιμπάνομεν, οὔτε ὑμεῖς ἀκούοντες πείθεσθε. τὸ δὲ αἴτιον, ψυχῆς ἐσμεν εὐτελοῦς, καὶ πρὸς τὴν γῆν κεχηνυίας καὶ χαμαὶ συρομένης· μᾶλλον δὲ μὴ γένοιτο πάντων ὑμῶν καταγνῶναι κακίαν, ὡς πάντας ἀνίατα νοσεῖν. εἰ γὰρ καὶ οἱ τῷ πλούτῳ μεθύοντες, ἐμφράττουσι τὴν ἀκοὴν πρὸς τὰ λεγόμενα, ἀλλ' οἱ πενίᾳ συζῶντες δυνήσονται διαβλέψαι πρὸς τὰ λεγόμενα. καὶ τί ταῦτα πρὸς τοὺς πένητας, φησίν; οὐ γὰρ χρυσὸς αὐτοῖς ἐστιν, οὐδὲ ἱμάτια τοσαῦτα, φησίν. ἀλλ' ἄρτος ἐστὶν αὐτοῖς καὶ ὕδωρ ψυχρόν ἀλλ' ὀβολοὶ δύο, καὶ πόδες, ὥστε ἐπισκέψασθαι τοὺς ἀρρωστοῦντας· ἀλλὰ γλῶσσα καὶ λόγος, ὥστε παρακαλέσαι τὸν βεβλημένον· ἀλλ' οἰκία καὶ στέγη, ὥστε ὁμοδίαιτον ποιῆσαι τὸν ξένον. οὐ γὰρ δὴ τάλαντα χρυσοῦ τόσα καὶ τόσα ἀπαιτοῦμεν παρὰ τῶν πενήτων· ἀλλὰ ταῦτα μὲν παρὰ τῶν πλουτούντων. Εἰ δέ τις πένης εἴη, καὶ ἐπὶ τὰς τῶν ἄλλων ἔρχεται θύρας, οὐδὲ ὀβολὸν λαβὼν ὁ δεσπότης ἡμῶν ἐπαισχύνεται, ἀλλὰ καὶ μείζονα ἐρεῖ τῶν πολλὰ βεβληκότων εἰληφέναι παρ' αὐτοῦ. Πόσοι τῶν νῦν ὄντων ηὔξαντο κατ' ἐκεῖνον γενέσθαι τὸν καιρόν, καθ' ὃν μετὰ σαρκὸς ὁ Χριστὸς περιεπόλει τὴν γῆν, ὥστε καὶ ὁμοδίαιτοι αὐτῷ γενέσθαι καὶ σύσσιτοι; ἰδοὺ νῦν ἔξεστι τοῦτο γενέσθαι, καὶ καλεῖν αὐτὸν μᾶλλον ἐπὶ ἄριστον καὶ ἑστιαθῆναι μετ' αὐτοῦ, καὶ ἐπὶ μείζονι κέρδει. Τῶν μὲν γὰρ τότε αὐτῷ συνεστιαθέντων πολλοὶ καὶ ἀπώλοντο, οἷος καὶ ὁ Ἰούδας ἦν, καὶ ἕτεροι δὲ τοιοῦτοι· τῶν δὲ καλούντων αὐτὸν ἕκαστος νῦν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ μεταδιδόντων αὐτῷ τραπέζης καὶ στέγης, εὐλογίας ἀπολαύσεται μεγάλης. Δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα [γάρ,] καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Ἵν' οὖν τούτων ἀκούσωμεν τῶν ῥημάτων, ἐνδύσωμεν τὸν γυμνόν, συναγάγωμεν τὸν ξένον, θρέψωμεν τὸν πεινῶντα, ποτίσωμεν τὸν διψῶντα, ἐπισκεψώμεθα τὸν ἀρρωστοῦντα, ἴδωμεν τὸν ἐν φυλακῇ, ἵνα παρρησίας ἀπολαύσωμεν, καὶ ἁμαρτημάτων συγχώρησιν λάβωμεν, καὶ τῶν ἀγαθῶν μετάσχωμεν ἐκείνων, τῶν καὶ λόγον ὑπερβαινόντων καὶ νοῦν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, " ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ματθ. κε. λδ.

Ὁμιλ. ξ. 14 ΕΓΩ ΕΙΜΙ Ο ΠΟΙΜΗΝ Ο ΚΑΛΟΣ, ΚΑΙ ΓΙνώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. 15 Καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.

Μέγα, ἀγαπητοί, μέγα ἐκκλησίας προστασία, καὶ πολλῆς δεόμενον φιλοσοφίας καὶ ἀνδρείας τοσαύτης, ὅσης ὁ Χριστὸς εἶπεν, ὥστε τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων θεῖναι, ὥστε μηδέποτε ἐγκαταλιπεῖν αὐτὰ ἔρημα καὶ γυμνά, ὥστε πρὸς τὸν λύκον ἵστασθαι γενναίως. τούτῳ γὰρ ὁ ποιμὴν τοῦ μισθωτοῦ διέστηκεν. ὁ μὲν γὰρ τὴν ἰδίαν σωτηρίαν πανταχοῦ σκοπεῖ, τῶν προβάτων ἀμελῶν· οὗτος δὲ πανταχοῦ τὴν τῶν προβάτων ἐπιζητεῖ, τὴν ἑαυτοῦ παρατρέχων. Εἰπὼν τοίνυν τοῦ ποιμένος τὰ δείγματα, δύο τίθησι τοὺς λυμεῶνας· ἕνα, τὸν κλέπτην τὸν θύοντα καὶ ἁρπάζοντα· ἕτερον δέ, τὸν τούτων μὲν οὐδὲν ποιοῦντα, γινομένων δὲ τούτων οὐκ ἐπιστρεφόμενον οὐδὲ κωλύοντα· δι' ἐκείνων μὲν τοὺς περὶ Θευδᾶν αἰνιττόμενος, διὰ τούτων δὲ τοὺς Ἰουδαίων διδασκάλους ἐκπομπεύων, οὐ κηδομένους οὐδὲ φροντίζοντας τῶν ἐμπεπιστευμένων αὐτοῖς προβάτων. ὅπερ οὖν καὶ ὁ Ἰεζεκιὴλ ἄνωθεν ἐγκαλῶν αὐτοῖς ἔλεγεν, Οὐαί, ὦ οἱ ποιμένες Ἰσραήλ· μὴ βόσκουσιν ἑαυτοὺς οἱ ποιμένες; οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; ἀλλ' ἐκεῖνοι τοὐναντίον ἐποίουν, ὅπερ μέγιστόν ἐστιν εἶδος κακίας, καὶ τῶν ἄλλων αἴτιον πάντων. διὰ τοῦτο γάρ φησιν· οὔτε τὸ πεπλανημένον ἐπέστρεφον, οὐδὲ τὸ ἀπολωλὸς ἐζήτουν, οὐδὲ τὸ συντετριμμένον ἐδέσμουν, οὐδὲ τὸ ἀρρωστοῦν ἐθεράπευον, ἐπειδὴ ἑαυτούς, καὶ οὐ τὰ πρόβατα, ἔβοσκον. ὅπερ καὶ ὁ Παῦλος ἑτέρῳ ῥήματι πάλιν ἐδήλου λέγων· Οἱ γὰρ πάντες τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Χριστοῦ Ἰησοῦ. καὶ πάλιν· Μηδεὶς "τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ" τὸ τοῦ πλησίον ἕκαστος. ἀλλ' ἀμφοτέρων ἑαυτὸν διΐστησιν ὁ Χριστός· ἐκείνων μὲν τῶν ἐπὶ λύμῃ παραγινομένων, τῷ εἰπεῖν, Διὰ τοῦτο ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι· τούτων δὲ τῶν περιορώντων ὑπὸ τῶν λύκων ἁρπαζόμενα τὰ πρόβατα, τῷ μὴ καταλιπεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτῶν, ὥστε μὴ τὰ πρό-

Ἰεζεκ. λδ. β.

Φιλιπ. β. κα.

α. Κορ. ι. κδ.

βατα ἀποθανεῖν. ἐπειδὴ γὰρ αὐτὸν ἐβουλεύοντο ἀνελεῖν, οὔτε τῆς διδασκαλίας μετέθετο, οὔτε τοὺς πιστεύοντας προέδωκεν· ἀλλ' ἔστη καὶ εἵλετο ἀποθανεῖν. διὰ τοῦτο ἄνω καὶ κάτω ἔλεγεν· ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Εἶτα, ἐπειδὴ ἀμάρτυρα ἐδόκει τὰ λεγόμενα εἶναι (τὸ μὲν γὰρ, τὴν ψυχήν μου τίθημι, οὐ μετὰ πολὺ τὴν ἀπόδειξιν ἔλαβε· τὸ δὲ, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι, μετὰ τὴν ἐντεῦθεν ἔμελλεν ἀποδημίαν συμβήσεσθαι, κατὰ τὸν αἰῶνα τὸν μέλλοντα) τί ποιεῖ; θάτερον ἀπὸ θατέρου πιστοῦται, ἀπὸ τοῦ δοῦναι τὴν ψυχὴν, ὅτι καὶ τὴν ζωὴν δίδωσιν. ὅπερ καὶ ὁ Παῦλος ἔλεγεν· Ὅτι εἰ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα. καὶ πάλιν ἀλλαχοῦ· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐγκαλοῦσιν αὐτῷ νῦν, ἃ καὶ πρότερον, λέγοντες· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής; ὅτι πολλάκις ἐπεστόμισεν αὐτοὺς, καὶ πλείων ἡ παρρησία πρὸς αὐτοὺς ἀπὸ τῶν σημείων ἐγένετο. εἶτα, ἐπειδὴ εἶπεν ἀνωτέρω, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ ἀκολουθεῖ αὐτῷ, ἵνα μή τις εἴπῃ τί οὖν πρὸς τοὺς μὴ πιστεύσαντας; ἄκουσον τί ἐπήγαγε, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. καὶ ὁ Μωϋσῆς· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· ἐκείνους λέγω, φησὶν, οὓς προέγνω. εἶτα, ἵνα μὴ τῆς γνώσεως ἴσον τὸ μέτρον νομίσῃς, ἄκουσον πῶς διορθοῦται αὐτὸ τῇ ἐπαγωγῇ· γινώσκω τὰ ἐμὰ, φησὶ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. ἀλλ' οὐκ ἴση ἡ γνῶσις. ἀλλὰ ποῦ ἴση; ἐπὶ τοῦ πατρὸς καὶ ἐμοῦ. ἐκεῖ γὰρ, καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. ἐπεὶ, εἰ μὴ τοῦτο ἐβούλετο κατασκευάσαι, τίνος ἕνεκεν αὐτὸ ἐπήγαγεν; ἐπειδὴ γὰρ πολλαχοῦ ἑαυτὸν τίθησιν ἐν τάξει τῶν πολλῶν, ἵνα μή τις νομίσῃ ὅτι, ὡς ἄνθρωπος, οὕτως ἐγίνωσκεν, ἐπήγαγε· καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. οὕτως ἀκριβῶς αὐτὸν ἐπίσταμαι, ὡς αὐτὸς ἐμέ. διὰ τοῦτο καὶ ἔλεγεν· Οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· καὶ τὸν πατέρα, εἰ μὴ ὁ υἱός, κεχωρισμένην τινὰ γνῶσιν λέγων, καὶ τοιαύτην, οἵαν οὐδεὶς ἕτερος δύναται ἔχειν. ἐγὼ τίθημι τὴν ψυχήν μου. Συνεχῶς τοῦτο λέγει, δηλῶν ὅτι οὐκ ἔστι πλάνος. ἐπεὶ καὶ ὁ ἀπόστολος, ὅτε αὐτὸν ἐβούλετο δεῖξαι γνήσιον ὄντα διδάσκαλον, καὶ πρὸς τοὺς ψευδαποστόλους ἀντιπαρεξήγαγε τὸν λόγον, ἀπὸ τῶν κινδύνων καὶ τῶν θανάτων ἑαυτὸν συνίστησι, λέγων· Ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. τὸ μὲν γὰρ λέγειν, ὅτι φῶς εἰμι καὶ ζωή εἰμι, ἐδόκει εἶναι τύφου παρὰ τοῖς ἀνοήτοις· τὸ δὲ λέγειν, ἀποθανεῖν βούλομαι, οὐδεμίαν βασκανίαν εἶχεν, οὐδὲ φθόνον. διὰ τοῦτο οὐδὲ λέγουσιν αὐτῷ· σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. πολλὴν γὰρ ἐδείκνυ τὸ ῥῆμα κηδεμονίαν, εἴγε ὑπὲρ τῶν λιθαζόντων ἐβούλετο ἑαυτὸν ἐκδοῦναι. διὰ τοῦτο καὶ εὐκαίρως τὸν περὶ τῶν ἐθνῶν εἰσάγει λόγον.

Ρω. ε. ι.
Ρω. η. λβ.
Ρω. ια. α.
β. Τιμ. β. ιθ.
Λουκ. ι. κβ.
β Κορ. ια κγ.

16 Καὶ γὰρ καὶ ἄλλα πρόβατα ἔχω, φησὶν, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν. Ἰδοὺ πάλιν τὸ, δεῖ, ῥῆμα κείμενον, οὐκ ἀνάγκης ἐστὶν, ἀλλὰ τοῦ πάντως ἐσομένου δηλωτικόν· ὡσανεὶ ἔλεγε, τί θαυμάζετε, εἰ οὗτοί μοι μέλλουσιν ἕπεσθαι, καὶ τὰ πρόβατα τῆς φωνῆς μου ἀκούειν; ὅταν γὰρ καὶ ἄλλα ἴδητέ μοι ἀκολουθοῦντα καὶ τῆς φωνῆς μου ἀκούοντα, τότε ἐκπλαγήσεσθε μειζόνως. εἰ δὲ λέγει, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, μὴ θορυβηθῇς. ἡ γὰρ διαφορὰ περὶ τὸν νόμον μόνον, καθάπερ καὶ ὁ Παῦλός φησιν· Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία. κἀκεῖνά με δεῖ ἀγαγεῖν. δείκνυσιν ἀμφοτέρους ἐσκορπισμένους καὶ μεμισημένους, καὶ ποιμένας οὐκ ἔχοντας, κἀκείνους καὶ τούτους, οὔπω τοῦ καλοῦ παραγενομένου ποιμένος. εἶτα καὶ τὴν μέλλουσαν αὐτῶν προαναφωνεῖ συνάφειαν, Ὅτι ἔσονται μία ποίμνη. Ὅπερ καὶ αὐτὸ πάλιν ὁ Παῦλος ἐδήλωσεν εἰπών· Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.

α. Κορ. ζ. ιθ.
Ἐφεσ. β. ιε.

17 Διὰ τοῦτό με ἀγαπᾷ ὁ πατὴρ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν.

τὴν. Καὶ τί τοῦ ῥήματος τούτου ταπεινότερον γένοιτ' ἄν, εἴγε δι' ἡμᾶς ὁ δεσπότης ἀγαπᾶσθαι μέλλει ὁ ἡμέτερος, ἐπειδὴ ὑπὲρ ἡμῶν ἀποθνήσκει; τί οὖν, εἰπέ μοι, τὸν ἔμπροσθεν χρόνον οὐκ ἠγαπᾶτο, ἀλλὰ νῦν τῆς ἀγάπης ἤρξατο ὁ πατὴρ, καὶ ἡμεῖς γεγόναμεν τῆς ἀγάπης αὐτῷ αἴτιοι; ὁρᾷς πῶς κέχρηται τῇ συγκαταβάσει; τί οὖν ἐνταῦθα κατασκευάσαι βούλεται; ἐπειδὴ ἀλλότριον αὐτὸν ἔλεγον τοῦ πατρὸς καὶ πλάνον, καὶ ἐπὶ λύμῃ ἥκειν αὐτὸν καὶ ἀπωλείᾳ, λέγει· καὶ εἰ μηδὲν ἄλλο, τοῦτο γοῦν με ἔπεισεν ἀγαπᾷν ὑμᾶς, τὸ οὕτω ὑμᾶς ἀγαπᾶσθαι παρὰ τοῦ πατρὸς, ὡς ἐμὲ καὶ διὰ τοῦτο ἀγαπᾶσθαι παρ' αὐτοῦ, ἐπειδὴ ὑπὲρ ὑμῶν ἀποθνήσκω. μετὰ τούτου δὲ καὶ ἐκεῖνο κατασκευάσαι βούλεται, ὅτι τε οὐκ ἄκων ἐπὶ τὸ πρᾶγμα ἔρχεται (εἰ γὰρ ἄκων, πῶς ἀγάπης ἦν ποιητικὸν τὸ γινόμενον;) καὶ ὅτι καὶ τῷ πατρὶ μεθ' ὑπερβολῆς τοῦτο δοκεῖ. εἰ δὲ ὡς ἄνθρωπος ταῦτα διαλέγεται, μὴ θαυμάσῃς. πολλάκις γὰρ τὴν ὑπὲρ τούτων εἰρήκαμεν αἰτίαν, καὶ πάλιν τὰ αὐτὰ λέγειν περιττὸν καὶ ἐπαχθές. Ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν·

18 Καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν. Ἐπειδὴ γὰρ πολλάκις ἐβουλεύοντο αὐτὸν ἀνελεῖν, λέγει, ὅτι μὴ βουλομένου ἐμοῦ, ἀνόνητος ὑμῖν ἐστιν ὁ πόνος. καὶ ἐκ τοῦ προτέρου τὸ δεύτερον κατασκευάζει, ἀπὸ τοῦ θανάτου τὴν ἀνάστασιν. τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν καὶ παράδοξον. καὶ γὰρ ἀμφότερα καινῶς γέγονε, καὶ ὑπὲρ τὴν κοινὴν συνήθειαν. προσέχωμεν δὲ μετὰ ἀκριβείας τῷ λεγομένῳ· ἐξουσίαν ἔχω θεῖναι, φησὶ, τὴν ψυχήν μου. καὶ τίς οὐκ ἔχει ἐξουσίαν θεῖναι τὴν ψυχὴν τὴν ἑαυτοῦ; ἑκάστῳ γὰρ βουλομένῳ δυνατὸν ἑαυτὸν ἀνελεῖν. ἀλλ' οὐχ οὕτω φησίν· ἀλλὰ πῶς; οὕτως ἐξουσίαν ἔχω θεῖναι, ὡς μηδένα δυνηθῆναι, ἄκοντος ἐμοῦ, τοῦτο ποιῆσαι, ὅπερ ἐπὶ ἀνθρώπων οὐκ ἔνι. ἡμεῖς γὰρ οὐκ ἔχομεν ἐξουσίαν ἄλλως θεῖναι, ἀλλ' ἀναιροῦντες ἑαυτούς. εἰ δὲ ἐμπίπτοιμεν εἰς ἐπιβουλεύοντάς τινας καὶ κυρίους ἀνελεῖν, οὐκ ἔτι ἔχομεν ἐξουσίαν τοῦ θεῖναι, καὶ μή· ἀλλὰ καὶ ἀκόντων ἡμῶν ἐκεῖνοι αὐτὴν ἀναιροῦσιν. ἐπ' αὐτοῦ δὲ οὐχ οὕτως· ἀλλὰ, καὶ ἑτέρων ἐπιβουλευόντων, κύριος ἦν αὐτὸς μὴ θεῖναι αὐτήν. εἰπὼν οὖν, ὅτι οὐδεὶς αὐτὴν αἴρει ἀπ' ἐμοῦ, τότε ἐπήγαγεν· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου· τουτέστιν, ἐγὼ μόνος εἰμὶ κύριος τοῦ θεῖναι αὐτὴν, ὅπερ ἐφ' ἡμῶν οὐκ ἔστι· καὶ γὰρ καὶ ἄλλοι πολλοὶ κύριοί εἰσι τοῦ λαβεῖν αὐτὴν ἀφ' ἡμῶν. ἀλλὰ τοῦτο παρὰ τὴν ἀρχὴν οὐκ εἶπεν (οὐδὲ γὰρ ἔμελλεν ὁ λόγος ἀξιόπιστος εἶναι) ἀλλ' ὅτε τὴν ἀπὸ τῶν πραγμάτων ἔλαβε μαρτυρίαν, καὶ πολλάκις ἐπιβουλεύσαντες οὐκ ἴσχυσαν αὐτὸν κατασχεῖν (καὶ γὰρ ἐξῆλθεν ἐκ τῶν χειρῶν αὐτῶν μυριάκις) τότε λοιπόν φησιν, οὐδεὶς αὐτὴν αἴρει ἀπ' ἐμοῦ. εἰ δὲ τοῦτο ἀληθὲς, κἀκεῖνο ἕπεται, τὸ ἑκόντα ἐπὶ τοῦτο ἔρχεσθαι. τούτου δὲ ὄντος ἀληθοῦς, κἀκεῖνο συνέστηκε, τὸ, ἡνίκα ἂν βουληθῇ λαβεῖν αὐτὴν, δυνηθῆναι πάλιν. εἰ γὰρ τὸ ἀποθανεῖν μεῖζον ἢ κατὰ ἄνθρωπον ἦν, μηδὲ περὶ ἐκείνου λοιπὸν ἀμφίβαλλε. τὸ γὰρ αὐτὸν μόνον εἶναι κύριον τοῦ τὴν ψυχὴν ἀφεῖναι, δείκνυσι καὶ τοῦ λαβεῖν αὐτὴν κύριον ὄντα ἀπὸ τῆς αὐτῆς ἐξουσίας. ὁρᾷς πῶς ἀπὸ τοῦ προτέρου τὸ δεύτερον κατεσκεύασε, καὶ ἀπὸ τοῦ θανάτου καὶ τὴν ἀνάστασιν ἔδειξεν ἀναμφισβήτητον; Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός. Ποίαν δὴ ταύτην; τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου. ἆρ' οὖν ἀνέμεινεν ἀκοῦσαι πρότερον, καὶ τότε εἵλετο, καὶ ἐδέησεν αὐτὸ μαθεῖν; καὶ τίς ἂν τοῦτο νοῦν ἔχων εἴποι; ἀλλ' ὥσπερ ἀνωτέρω εἰπὼν, διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, τὴν ἑκούσιον ἐδήλωσεν ὁρμὴν, καὶ τὴν τῆς ἐναντιότητος ἀνεῖλεν ὑπόνοιαν· οὕτω καὶ ἐνταῦθα ἐντολὴν εἰληφέναι παρὰ τοῦ πατρὸς εἰπὼν, οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι ἐκείνῳ δοκεῖ τοῦτο, ὃ ἐγὼ ποιῶ· ἵν', ὅταν αὐτὸν ἀνέλωσι, μὴ νομίσωσιν ὡς ἐγκαταλελειμμένον καὶ προδιδόμενον ὑπὸ τοῦ πατρὸς ἀνῃρηκέναι, μηδὲ ὀνειδίσωσιν ἅπερ ὠνείδισαν· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· καὶ, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. καὶ μὴν διὰ τοῦτο οὐ καταβαίνει, ἐπειδὴ υἱός ἐστι τοῦ Θεοῦ. εἶτα, ἵνα μὴ ἀκούων, ὅτι ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρὸς, ἀλλότριον αὐτοῦ τὸ κατόρθωμα εἶναι νομίσῃς, προλαβὼν ἔλεγεν· ὁ

ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, διὰ τούτων δεικνὺς αὐτοῦ ὄντα
τὰ πρόβατα, καὶ ὅτι αὐτοῦ τὸ κατόρθωμα ἦν πᾶν τὸ γεγενημένον, καὶ οὐ δεόμενον αὐτὸν ἐντολῆς.
εἰ γὰρ ἐντολῆς ἐδεῖτο, πῶς ἔλεγεν, ἀπ' ἐμαυτοῦ τίθημι; ὁ γὰρ ἀφ' ἑαυτοῦ τιθεὶς, οὐ δέεται ἐντολῆς.
καὶ τὴν αἰτίαν δὲ τίθησι, δι' ἣν τοῦτο ποιεῖ. ποία δὲ αὕτη ἐστί; τὸ ποιμένα αὐτὸν εἶναι, καὶ καλὸν ποιμένα.
ὁ δὲ καλὸς ποιμὴν οὐ δεῖται ἑτέρου τοῦ πρὸς τοῦτο αὐτὸν διαναστήσοντος. εἰ δὲ ἐπ' ἀνθρώπων τοῦτο,
Φιλιπ. β. ζ. πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· Ὅτι ἑαυτὸν ἐκένωσεν. οὐδὲν οὖν
ἄλλο ἡ ἐντολὴ ἐνταῦθα βούλεται κειμένη, ἀλλ' ἢ τὴν πρὸς τὸν πατέρα ὁμόνοιαν δεῖξαι.
Εἰ δὲ οὕτω ταπεινῶς εἴρηται καὶ ἀνθρωπίνως, τῆς τῶν ἀκουόντων ἐστὶν ἀσθενείας ἡ αἰτία.

19 Σχίσμα οὖν ἐγένετο ἐν τοῖς Ἰουδαίοις. 20 Καὶ πολλοὶ μὲν ἔλεγον, ὅτι δαιμόνιον
ἔχει [καὶ μαίνεται·] τί αὐτοῦ ἀκούετε; 21 Οἱ δὲ, ὅτι τὰ ῥήματα ταῦτα οὐκ ἔστι δαιμο-
νιζομένου. μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν ἀνοῖξαι; Ἐπειδὴ γὰρ
μείζονα ἢ κατὰ ἄνθρωπον τὰ λεγόμενα καὶ οὐ τῆς κοινῆς συνηθείας, δαιμονῶντα αὐτὸν ἔλεγον,
Ιωαν. ζ. κ. τέταρτον ἤδη τοῦτο αὐτὸν προσειπόντες. καὶ γὰρ ἔμπροσθεν ἔλεγον· Δαιμόνιον ἔχεις, τίς σε
Ιωαν. η. μη. ζητεῖ ἀποκτεῖναι; καὶ πάλιν· Οὐ καλῶς ἐλέγομεν, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις;
καὶ ἐνταῦθα· δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε; μᾶλλον δὲ οὐ τέταρτον, ἀλλὰ καὶ
πολλάκις αὐτὸν ἀκηκοέναι. τὸ γὰρ λέγειν, οὐ καλῶς ἐλέγομεν ὅτι δαιμόνιον ἔχεις, οὐ τοῦ δεύ-
τερον καὶ τρίτον, ἀλλὰ τοῦ πολλάκις εἰρηκέναι τοῦτο, σημεῖόν ἐστιν. Ἄλλοι δὲ ἔλεγον, φησι, γρ. οἱ δὲ
Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν
ἀνοῖξαι; ἐπειδὴ γὰρ ἀπὸ ῥημάτων οὐκ ἐδύναντο ἐπιστομίζειν, τὴν ἀπόδειξιν λοιπὸν ἀπὸ
τῶν ἔργων ἐποιοῦντο. μάλιστα μὲν γὰρ οὐδὲ τὰ ῥήματα δαιμονῶντός ἐστιν· εἰ δὲ οὐ πείθεσθε
ἀπὸ τῶν ῥημάτων, ἀπὸ τῶν ἔργων δυσωπήθητε. εἰ δὲ μὴ δαιμονῶντός ἐστι, μείζονα δὲ ἢ κατὰ
ἄνθρωπον, εὔδηλον ὅτι θείας τινὸς ταῦτά ἐστι δυνάμεως. Εἶδες συλλογισμόν; ὅτι γὰρ μεί-
ζονα ἢ κατὰ ἄνθρωπον ἦν, δῆλον ἐκ τοῦ λέγειν, ὅτι δαιμόνιον ἔχει· ὅτι δὲ δαιμόνιον οὐκ εἶχεν, ἐ-
δήλωσεν ἀφ' ὧν ἐποίησε. τί οὖν ὁ Χριστός; οὐδὲν πρὸς ταῦτα ἀποκρίνεται. πρότερον μὲν γὰρ
ἀπεκρίνατο, ἐγὼ δαιμόνιον οὐκ ἔχω· νυνὶ δὲ, οὐ τοῦτο. ἐπειδὴ γὰρ τὴν διὰ τῶν πραγμάτων παρέσχεν
ἀπόδειξιν, ἐσίγα λοιπόν. οὐδὲ γὰρ ἀποκρίσεως ἦσαν ἄξιοι οἱ δαιμονῶντα αὐτὸν καλοῦντες ὑπὲρ
τούτων, ὑπὲρ ὧν θαυμάζειν καὶ Θεὸν ἡγεῖσθαι αὐτὸν ἐχρῆν. τί δὲ καὶ ἔδει τῶν παρ' αὐτοῦ λοιπὸν ἐλέγ-
χων, αὐτῶν κατ' ἀλλήλων ἱσταμένων καὶ διελεγχόντων ἀλλήλους; διὰ τοῦτο ἐσίγα καὶ πρᾴως
πάντα ἔφερεν. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἡμᾶς παιδεύων ἐπιείκειαν καὶ μακροθυμίαν πᾶσαν.

ΗΘΙΚΟΝ Τοῦτον τοίνυν ζηλώσωμεν. οὐδὲ γὰρ ἐσίγησε μόνον, ἀλλὰ καὶ πάλιν ἐπέστη, καὶ ἐρωτηθεὶς
ἀποκρίνεται, καὶ τὰ τῆς προνοίας αὐτοῦ ἐπιδείκνυται· καὶ δαιμονᾶν κληθεὶς καὶ μαινόμενος παρὰ
ἀνθρώπων μυρία εὐηργετημένων, καὶ οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις, οὐ μόνον οὐκ
ἠμύνατο, ἀλλὰ καὶ εὐεργετῶν αὐτοὺς οὐ διέλιπε. καὶ τί λέγω εὐεργετῶν; ὑπὲρ αὐτῶν καὶ τὴν
ψυχὴν αὐτοῦ ἔθηκε, καὶ σταυρούμενος ὑπὲρ αὐτῶν τῷ πατρὶ διαλέγεται. ταῦτ' οὖν καὶ ἡμεῖς
μιμησώμεθα. τοῦτο γάρ ἐστι Χριστοῦ εἶναι μαθητὴν, τὸ πρᾶον εἶναι καὶ ἐπιεικῆ. πόθεν δὲ γένοιτ'
ἂν ἡμῖν αὕτη ἡ πρᾳότης; ἂν τὰς ἁμαρτίας ἡμῶν λογιζώμεθα συνεχῶς, ἂν πενθῶμεν, ἂν
δακρύωμεν. οὐδὲ γὰρ ἀνέχεται ψυχὴ τοσαύτῃ συνοικοῦσα ὀδύνῃ παροξύνεσθαι καὶ ὀργίζε-
σθαι. ἔνθα γὰρ ἂν ᾖ πένθος, ὀργὴν εἶναι ἀμήχανον· ἔνθα λύπη, πᾶσα ἐκποδὼν ὀργή· ἔνθα
συντριβὴ διανοίας, οὐδεὶς παροξυσμός. ὑπὸ γὰρ πένθους μαστιζομένη ἡ διάνοια, οὐδὲ
χολὴν ἔχει διεγερθῆναι· ἀλλὰ στενάξει πικρὸν, καὶ κλαύσεται πικρότερον. καὶ οἶδα μὲν, ὅτι γρ. στενάζει
πολλοὶ γελῶσι ταῦτα ἀκούοντες· ἀλλ' ἐγὼ τοὺς γελῶντας θρηνῶν οὐ παύσομαι. πένθους
γὰρ ὁ παρὼν καιρὸς καὶ θρήνων καὶ ὀδυρμῶν. πολλὰ γὰρ καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασιν
ἁμαρτάνομεν· τοὺς δὲ τοιαῦτα πλημμελοῦντας γέεννα ἐκδέχεται, καὶ ποταμὸς ζέων τῷ
ῥοθίῳ τοῦ πυρὸς, καὶ βασιλείας ἔκπτωσις, τὸ πάντων χαλεπώτατον. τούτων οὖν ἠπειλημένων,

εἰπέ μοι, γελᾷς σὺ καὶ τρυφᾷς; καὶ τοῦ δεσπότου σου περιξενουμένου καὶ ἀπελασιῶτος, ἔστηκας ἀναπεπτωκώς; καὶ οὐ δέδοικας μὴ τούτῳ σαυτῷ λαμπρὰν ἀνάψῃς τὴν κάμινον; οὐκ ἀκούεις τί καθ' ἑκάστην ἡμέραν βοᾷ; πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε· διψῶντα, καὶ οὐκ Ματθ. κε. ἐποτίσατε. πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ ταῦτα ἀπειλεῖ καθ' ἑκάστην ἡμέραν. ἀλλ' ἔθρεψα, φησὶν, αὐτόν. πότε, καὶ πόσας ἡμέρας; δέκα καὶ εἴκοσι; ἀλλ' οὐ τοσοῦτον βούλεται χρόνον μόνον, ἀλλ' ὅσον ἐπὶ [τῆς] γῆς διατρίβεις. ἐπεὶ καὶ αἱ παρθένοι εἶχον ἔλαιον, ἀλλ' οὐκ ἤρκουν πρὸς σωτηρίαν αὐταῖς. καὶ γὰρ καὶ αὗται ἀνῆψαν τὰς λαμπάδας, ἀλλ' ἀπεκλείσθησαν τοῦ νυμφῶνος· καὶ μάλα εἰκότως. ἔφθησαν γὰρ σβεσθεῖσαι πρὸ τῆς τοῦ νυμφίου παρουσίας. διὰ τοῦτο πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλαίου, καὶ δαψιλοῦς τῆς φιλανθρωπίας. ἄκουσον γοῦν τί φησιν ὁ προφήτης· Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Ψαλ. ν. α. οὐκοῦν καὶ ἡμᾶς τοὺς πλησίον οὕτως ἐλεεῖν δεῖ, κατὰ τὸ μέγα ἔλεος τὸ παρ' ἡμῖν. οἷοι γὰρ ἂν γινώμεθα περὶ τοὺς ὁμοδούλους, τοιούτου τευξόμεθα τοῦ δεσπότου. ποῖον δὲ ἔλεος μέγα; ὅταν μὴ ἐκ τοῦ περισσεύματος δῶμεν, ἀλλ' ἐκ τοῦ ὑστερήματος. εἰ δὲ μηδὲ ἐκ τοῦ περισσεύματος, τίς ἡμῖν ἔσται ἐλπίς; πόθεν τῶν κακῶν ἐκείνων ἀπαλλαγή; ποῦ δυνησόμεθα φυγεῖν καὶ σωτηρίαν εὑρεῖν; εἰ γὰρ αἱ παρθένοι μετὰ τοσούτους καὶ τηλικούτους ἱδρῶτας οὐδεμίαν οὐδαμόθεν ἔσχον παραμυθίαν, τίς ἡμῶν προστήσεται, ὅταν ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ ῥήματα αὐτοῦ τοῦ δικάζοντος, λέγοντος καὶ ὀνειδίζοντος ἡμᾶς, ὅτι πεινῶντά με οὐκ ἐθρέψατε; ἐφ' ὅσον γὰρ οὐκ ἐποιήσατε ἑνὶ, φησὶ, τῶν ἐλαχίστων τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε· οὐ περὶ τῶν μαθητῶν λέγων ταῦτα μόνον, οὐδὲ περὶ τῶν ἀνῃρημένων τὸν τῶν μοναχῶν βίον, ἀλλὰ περὶ παντὸς ἀνθρώπου πιστοῦ. ὁ γὰρ τοιοῦτος, κἂν δοῦλος ᾖ, κἂν τῶν ἐν ἀγορᾷ προσαιτούντων, πιστεύῃ δὲ εἰς τὸν Θεὸν, δίκαιον πάσης αὐτὸν ἀπολαύειν εὐνοίας. κἂν περιίδωμεν τὸν τοιοῦτον γυμνὸν, ἢ πεινῶντα, ταῦτα ἀκουσόμεθα τὰ ῥήματα· καὶ μάλα εἰκότως. τί γὰρ βαρὺ, ἢ τί ἐπαχθὲς ᾔτησε παρ' ἡμῶν; τί δὲ οὐ τῶν σφόδρα εὐκολωτάτων καὶ ῥᾴστων; οὐδὲ γὰρ εἶπεν, ἀσθενῶν ἤμην, καὶ οὐκ ἀνεστήσατέ με, ἀλλ' οὐκ ἐπεσκέψασθέ με· οὐκ εἶπεν, ἐν φυλακῇ ἤμην, καὶ οὐκ ἐξεβάλετέ με, ἀλλ' οὐκ ἤλθετε πρός με. ὅσῳ τοίνυν κοῦφα τὰ ἐπιτάγματα, τοσούτῳ μείζων ἡ κόλασις τοῖς παρακούουσι. τί γὰρ κουφότερον, εἰπέ μοι, τοῦ βαδίσαι καὶ εἰς δεσμωτήριον εἰσελθεῖν; τί δὲ ἥδιον; ὅταν γὰρ ἴδῃς τοὺς μὲν δεδεμένους, τοὺς δὲ αὐχμῶντας, τοὺς δὲ κομῶντας καὶ ῥάκια περικειμένους, τοὺς δὲ ὑπὸ λιμοῦ φθειρομένους, καὶ ὡς κύνας τοῖς ποσὶ προστρέχοντας, ἑτέρους τὰς πλευρὰς διωρυγμένους, ἄλλους ἐκ τῆς ἀγορᾶς νῦν ἐπανιόντας δεδεμένους, καὶ μεθ' ἡμέραν μὲν ἐπαιτοῦντας, καὶ οὐδὲ τὴν ἀναγκαίαν συλλέγοντας τροφὴν, ἐν ἑσπέρᾳ δὲ παρὰ τῶν ἐφεστώτων τὴν πονηρὰν ἐκείνην καὶ ὠμὴν ἀπαιτουμένους λειτουργίαν· κἂν λίθος τις ᾖς, πάντως ἔσῃ φιλανθρωπότερος· κἂν τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶν βίον, πάντως ἔσῃ φιλοσοφώτερος, τὰ ἀνθρώπινα πράγματα ἐπὶ ταῖς ἀλλοτρίαις ἐπισκοπῶν συμφοραῖς. καὶ γὰρ τῆς φοβερᾶς ἐκείνης ἡμέρας ἔννοιαν λήψῃ πάντως, καὶ τῶν ποικίλων κολάσεων. ταῦτα δὲ στρέφων καὶ λογιζόμενος, καὶ θυμὸν, καὶ ἡδονὴν, καὶ τὸν τῶν βιωτικῶν πραγμάτων ἔρωτα ἐκβαλεῖς πάντως, καὶ παντὸς λιμένος γαληνοτάτου γαληνοτέραν ἐργάσῃ τὴν ψυχήν· καὶ περὶ τοῦ δικαστηρίου φιλοσοφήσεις ἐκείνου, ἐννοῶν ὅτι εἰ παρὰ ἀνθρώποις τοσαύτη πρόνοια καὶ τάξις καὶ φόβος καὶ ἀπειλαὶ, πολλῷ μᾶλλον παρὰ Θεῷ. Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ παρὰ Ρωμ. ιγ. α. Θεοῦ. ὁ τοίνυν τοῖς ἄρχουσι ταῦτα δοὺς διατάσσειν, πολλῷ μᾶλλον αὐτὸς αὐτὰ ἐργάσεται. καὶ γὰρ, εἰ μὴ τοῦτο ἦν ὁ φόβος, πάντα ἂν ἀπολώλει· ὅπουγε τοσούτων κολάσεων ἐπικειμένων πολλοὶ ἔτι πρὸς τὴν κακίαν αὐτομολοῦντές εἰσι. ταῦτα φιλοσοφῶν, καὶ πρὸς τὴν ἐλεημοσύνην ἔσῃ προθυμότερος, καὶ πολλὴν καρπώσῃ τὴν ἡδονὴν, καὶ πολλῷ μείζονα τῶν ἀπὸ θεάτρου καταβαινόντων. οἱ μὲν γὰρ ἐκεῖθεν ἀναστάντες, φλέγονται ὑπὸ τῆς ἐπιθυμίας χαιρόμενοι. ὅταν γὰρ ἴδωσι τὰς ἀνεπτερωμένας ἐκείνας ἐπὶ τῆς σκηνῆς γυναῖκας, καὶ μυρία λάβωσιν ἐκεῖθεν τραύματα, θαλάσσης κυμαινούσης οὐδὲν ἄμεινον διακεῖσονται, τοῦ τύπου τῶν ὄψεων, τῶν σχημάτων, τῶν ῥημάτων, τῆς βαδίσεως, τῶν ἄλλων πάντων παρὰ τῶν ὀφθαλμῶν ἱσταμένων, καὶ τὴν ψυχὴν αὐτοῖς πολιορκούντων. οἱ δὲ ἐντεῦθεν ἐξελθόντες, οὐδὲν ὑποστήσονται τοιοῦτον, ἀλλὰ πολλὴν καρπώσονται τὴν γαλήνην καὶ τὴν ἀταραξίαν. ἡ γὰρ κατάνυξις ἡ ἐκ τῆς ὄψεως τῶν δεδεμένων ἐγγενομένη, ἅπαν ἐκεῖνο σβέννυσι τὸ πῦρ. κἂν ἀπαντήσῃ γυνὴ πορνευομένη καὶ ἀκόλαστος ἐξελθόντι τῶν δεσμωτῶν, οὐδὲν αὐτὸν ἐργάσεται χαλεπόν. ὡς γὰρ ἄπλαστος λοιπὸν γενόμενος, οὕτως οὐχ ἁλώσεται τοῖς δικτύοις τῆς ὄψεως ἐκείνης, ἀντὶ τῆς ὄψεως τῆς ἀκολάστου, τοῦ φόβου τῆς κρίσεως παρὰ ὀφθαλμῶν αὐτῷ τότε κειμένου. διὰ τοῦτο καὶ ὁ πᾶν εἶδος τρυφῆς ἐπελθὼν ἔλεγεν· Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον γέλωτος. καὶ ἐνταῦθα μὲν τοσαύτην ἐπιδείξει τὴν φιλοσοφίαν, ἐκεῖ δὲ ἀκούσῃ τὰ μυρίων μακαρισμῶν ἄξια ῥήματα. μὴ τοίνυν ἀμελῶμεν τῆς τοιαύτης πράξεως καὶ πραγματείας. κἂν γὰρ μὴ δυνηθῶμεν τροφὴν εἰσενεγκεῖν, μηδὲ ἀργύριον βοηθῆσαι δόντες, ἀλλὰ παρακαλέσαι λόγῳ, καὶ τὴν κειμένην ἀναστῆσαι ψυχὴν δυνησόμεθα, καὶ ἕτερα ἐπικουρῆσαι πολλά, καὶ τοῖς ἐμβάλλουσι διαλεγόμενοι, καὶ τοὺς ἐφεστῶτας ἡμερωτέρους ποιοῦντες, καὶ ἢ μικρὸν ἢ μέγα πάντως ἐργασόμεθα κέρδος. εἰ δὲ λέγεις, ὅτι οὐκ εὐδαίμονές εἰσιν ἐκεῖ, οὐδὲ εὔχρηστοι, οὐδὲ ἐπιεικεῖς ἄνδρες· ἀλλ' ἀνδροφόνοι καὶ τυμβωρύχοι καὶ βαλαντιοτόμοι καὶ μοιχοὶ καὶ ἀκόλαστοι καὶ πολλῶν γέμοντες κακῶν, πάλιν ἀναγκαίαν μοι καὶ ἐντεῦθεν δεικνύεις τῆς ἐκεῖ διατριβῆς τὴν πρόφασιν. οὐ γὰρ δὴ τοὺς μὲν ἀγαθοὺς ἐλεεῖν, τοὺς δὲ πονηροὺς κολάζειν ἐκελεύσθημεν· ἀλλὰ περὶ πάντας ἐνδείκνυσθαι τὴν φιλανθρωπίαν ταύτην. Γίνεσθε γάρ, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. μὴ τοίνυν κατηγόρει τῶν ἀλλοτρίων πικρῶς, μηδὲ ἔσο σφοδρὸς δικαστής, ἀλλ' ἥμερος καὶ φιλάνθρωπος. καὶ γὰρ καὶ ἡμεῖς, εἰ καὶ μὴ μοιχοὶ μηδὲ τυμβωρύχοι μηδὲ βαλαντιοτόμοι γεγόναμεν, ἀλλ' ἔχομεν ἕτερα πλημμελήματα μυρίας ἄξια κολάσεως. καὶ γὰρ καὶ τὸν ἀδελφὸν μωρὸν ἐκαλέσαμεν πολλάκις, ὅπερ τὴν γέενναν ἡμῖν προξενεῖ· καὶ γυναῖκας ἀκολάστοις εἴδομεν ὀφθαλμοῖς, ὅπερ μοιχείαν ἀπηρτισμένην συνίστησι· καὶ τὸ πάντων χαλεπώτερον, τῶν μυστηρίων οὐ μετέχομεν ἀξίως, ὅπερ ἡμᾶς ἐνόχους ποιεῖ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. μὴ τοίνυν πικροὶ γινώμεθα τῶν ἄλλων ἐξετασταί, ἀλλὰ τὰ ἡμῶν αὐτῶν ἐννοῶμεν, καὶ οὕτω παυσόμεθα τῆς ἀπανθρωπίας ταύτης καὶ τῆς ὠμότητος. χωρὶς δὲ τούτων, κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι καὶ ἐπιεικεῖς ἄνδρας πολλοὺς εὑρήσομεν αὐτόθι, καὶ τῆς πόλεως πολλάκις ἀνταξίους πάσης. ἐπεὶ καὶ τὸ δεσμωτήριον ἐκεῖνο, ἔνθα ὁ Ἰωσὴφ ἦν, πολλοὺς εἶχε πονηρούς· ἀλλ' ὅμως πάντων ἐπεμελεῖτο ὁ δίκαιος ἐκεῖνος, καὶ ἦν [καὶ] αὐτὸς μετὰ τῶν ἄλλων κρυπτόμενος ὅστις ἦν. καὶ γὰρ τῆς Αἰγύπτου πάσης ἀντάξιος ἦν, καὶ τὸ δεσμωτήριον ὅμως ᾤκει, καὶ οὐδεὶς ᾔδει τῶν ἔνδον ὄντων. καὶ νῦν τοίνυν πολλοὺς εἶναι εἰκὸς χρηστοὺς καὶ ἐπιεικεῖς, εἰ καὶ μὴ πᾶσιν εἶεν κατάδηλοι· καὶ ἡ περὶ τοὺς τοιούτους ἐπιμέλεια, τῆς περὶ πάντας σπουδῆς δίδωσί σοι τὴν ἀμοιβήν. ἂν δὲ καὶ μηδεὶς ᾖ τοιοῦτος, καὶ ἐνταῦθα πολλὴ ἡ ἀντίδοσις. ἐπεὶ καὶ ὁ δεσπότης ὁ σός, οὐχὶ δικαίοις διελέγετο μόνον, τοὺς δὲ ἀκαθάρτους ἔφευγεν· ἀλλὰ καὶ τὴν Χαναναίαν μετὰ πολλῆς ἐδέξατο τῆς εὐνοίας, καὶ τὴν Σαμαρεῖτιν τὴν ἐναγῆ καὶ ἀκάθαρτον, καὶ ἑτέραν δὲ πόρνην πάλιν, ὑπὲρ ἧς καὶ ὠνείδιζον οἱ Ἰουδαῖοι, καὶ ἐδέξατο καὶ ἐθεράπευσε, καὶ τοὺς πόδας βρεχομένους ὑπὸ τῶν δακρύων τῆς ἐναγοῦς ἠνείχετο, παιδεύων ἡμᾶς συγκατιέναι τοῖς ἐν ἁμαρτίαις οὖσι. τοῦτο γὰρ μάλιστα φιλανθρωπία. τί φῄς; λῃσταὶ καὶ τυμβωρύχοι τὸ δεσμωτήριον οἰκοῦσι; τὴν δὲ πόλιν, εἰπέ μοι, δίκαιοι πάντες εἰσὶν οἱ κατοικοῦντες; ἀλλ' οὐχὶ πολλοὶ καὶ τούτων χείρους μετὰ πλείονος λῃστεύοντες ἀναισχυντίας; οἱ

Ἐκκλησ. ζ. γ.

Ματθ. ε. με.

μὲν γὰρ εἰ καὶ μηδὲν ἕτερον, τὴν γοῦν ἐρημίαν καὶ τὸ σκότος προβάλλονται, καὶ τὸ λανθάνοντες ταῦτα ποιεῖν· οἱ δὲ τὸ προσωπεῖον ῥίψαντες, γυμνῇ τῇ κεφαλῇ τὰ κακὰ μετέρχονται, βίαιοι καὶ ἅρπαγες ὄντες καὶ πλεονέκται. καὶ γὰρ δύσκολον εὑρεῖν ἄνθρωπον ἀδικίας καθαρόν. εἰ δὲ μὴ χρυσίον ἁρπάζομεν, μηδὲ πλέθρα γῆς τόσα καὶ τόσα, ἀλλ' ὅμως ἀπάτῃ τινὶ καὶ κλοπῇ τὸ αὐτὸ ἐπ' ἐλάττοσι καὶ οἷς δυνάμεθα κατεργαζόμεθα. ὅταν γὰρ ἐν τοῖς συμβολαίοις, καὶ ἡνίκα δ' ἂν ἀγοράσαι δέῃ τι, ἢ καὶ ἀποδόσθαι, φιλονεικῶμεν καὶ βιαζώμεθα ἔλαττον τῆς ἀξίας καταβαλεῖν, καὶ πάντα ὑπὲρ τούτου ποιῶμεν, οὐ λῃστεία τὸ πρᾶγμά ἐστιν; οὐ κλοπὴ καὶ πλεονεξία; μὴ γάρ μοι εἴπῃς, ὅτι οὐκ οἰκίαν, οὐκ ἀνδράποδα περιεσπάσω. ἡ γὰρ ἀδικία οὐ τῷ μέτρῳ τῶν ἀφαιρουμένων, ἀλλὰ τῇ προαιρέσει τῶν κλεπτόντων κρίνεται. τὸ γὰρ ἄδικον καὶ τὸ δίκαιον ἐν μεγάλοις καὶ ἐν μικροῖς τὴν αὐτὴν ἔχει δύναμιν· καὶ βαλαντιοτόμους ὁμοίως ἐγὼ καλῶ, κἂν βαλάντιόν τις διατεμὼν χρυσίον λάβῃ, κἂν ὠνούμενος παρά τινος τῶν ἀγοραίων τῆς ἀξίας παρασπάσῃ τι τιμῆς· καὶ τοιχωρύχος δὲ, οὐχ ὁ τοῖχον διελὼν μόνον καὶ ὑφελόμενός τι τῶν ἔνδον, ἀλλὰ καὶ ὁ δίκαιον διαφθείρας καὶ ἀφελόμενός τι τοῦ πλησίον. μὴ τοίνυν τὰ ἡμέτερα παρατρέχοντες, τῶν ἀλλοτρίων γινώμεθα δικασταί· μηδὲ, ὅπου φιλανθρωπίας καιρὸς, ἐξετάζωμεν πονηρίαν· ἀλλ' ἐννοήσαντες πῶς καὶ ἡμεῖς διεκείμεθα πάλαι, γινώμεθά ποτε ἥμεροι καὶ φιλάνθρωποι. πῶς οὖν διεκείμεθα; ἄκουσον Παύλου λέγοντος· Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀπειθεῖς, ἀνόητοι, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, στυγητοὶ, μισοῦντες ἀλλήλους. καὶ πάλιν, Ἦμεν γάρ, φησι, τέκνα ὀργῆς. ἀλλ' ὁ Θεὸς ὥσπερ ἐν δεσμωτηρίῳ κατεχομένους ἰδὼν, καὶ ἁλύσεσι χαλεπαῖς δεδεμένους πολὺ τῶν ἀπὸ σιδήρου χαλεπωτέραις, οὐκ ἐπῃσχύνθη, ἀλλ' ἦλθε καὶ ἐπέστη τῷ δεσμωτηρίῳ, καὶ τοὺς μυρίων ἀξίους κολάσεων ἐξήγαγέ τε ἐκεῖθεν, καὶ εἰς βασιλείαν ἤγαγε, καὶ τοῦ οὐρανοῦ λαμπροτέρους ἐποίησεν, ἵνα καὶ ἡμεῖς τὰ αὐτὰ ποιῶμεν κατὰ δύναμιν τὴν ἡμετέραν. καὶ γὰρ ὅταν λέγῃ τοῖς μαθηταῖς· Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα, καθὼς ἐγὼ ἐποίησα, καὶ ὑμεῖς ποιῆτε. οὐκ ἐπὶ τῷ νίπτειν τοὺς πόδας τοῦτον γράφει τὸν νόμον μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷς περὶ ἡμᾶς ἐπεδείξατο. ἀνδροφόνος ἐστὶν ὁ τὸ δεσμωτήριον οἰκῶν; ἀλλ' ἡμεῖς τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν. τυμβωρύχος ἐστὶ καὶ μοιχός; ἀλλὰ μὴ τὴν κακίαν, ἀλλὰ τὴν συμφορὰν ἐλεῶμεν. πολλάκις δὲ, ὅπερ ἔφην, εὑρεθήσεται ἐκεῖ καὶ εἷς μυρίων ἀντάξιος ἀνδρῶν. κἂν συνεχῶς ἀπίῃς πρὸς τοὺς δεδεμένους, οὐκ ἀποτεύξῃ τῆς τοιαύτης θήρας. ὥσπερ γὰρ ὁ Ἀβραὰμ καὶ τοὺς τυχόντας ξενοδοχῶν ἐπέτυχέ ποτε καὶ ἀγγέλων, οὕτω καὶ ἡμεῖς ἐπιτευξόμεθα καὶ μεγάλων ἀνδρῶν, ἂν ἔργον τὸ πρᾶγμα ποιησώμεθα. εἰ δὲ χρὴ καὶ θαυμαστόν τι εἰπεῖν, οὐχ οὕτως ἐπαίνων ἄξιος ὁ μέγαν ὑποδεχόμενος, ὡς ὁ τὸν οἰκτρὸν καὶ ταλαίπωρον. ἐκεῖνος μὲν γὰρ οὐ μικρὰν ἀφορμὴν ἔχει τὸν ἑαυτοῦ βίον πρὸς τὸ παθεῖν εὖ· ὁ δὲ ἀπερριμμένος καὶ ὑπὸ πάντων προδεδομένος, ἕνα λιμένα μόνον ἔχει, τὸν ἔλεον τοῦ ποιοῦντος αὐτὸν εὖ· ὥστε φιλανθρωπία καθαρὰ τοῦτο μάλιστά ἐστι. καὶ ὁ μὲν τὸν θαυμαστὸν καὶ περιφανῆ θεραπεύων, πολλάκις καὶ πρὸς ἀνθρώπων ἐπίδειξιν τοῦτο ἐποίησεν· ὁ δὲ τὸν ἀπερριμμένον καὶ ἀπεγνωσμένον, διὰ μόνην τὴν ἐντολὴν τοῦ Θεοῦ τοῦτο ἐργάζεται. διὸ, κἂν δοχὴν ποιῶμεν, χωλοὺς καὶ ἀναπήρους ὑποδέχεσθαι κελευόμεθα· κἂν ἐλεημοσύνην ἐργαζώμεθα, ἐλαχίστους καὶ εὐτελεῖς ἐλεεῖν ἐπετάγημεν. Ἐφ' ὅσον γὰρ ἐποιήσατε, φησὶν, ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Εἰδότες τοίνυν τὸν ἐκεῖ κείμενον θησαυρὸν, εἰσίωμεν συνεχῶς καὶ πραγματευώμεθα, καὶ τὰς περὶ τὰ θέατρα σπουδὰς ἐκεῖ τρέψωμεν. κἂν μηδὲν ἔχῃς εἰσενεγκεῖν, εἰσάγαγε τὴν ἀπὸ τῶν λόγων παράκλησιν. οὐ γὰρ δὴ μόνον τὸν τρέφοντα, ἀλλὰ καὶ τὸν εἰσιόντα ὁ Θεὸς ἀμείβεται. ὅταν γὰρ εἰσελθὼν τρέμουσαν καὶ δεδοικυῖαν τὴν ψυχὴν διαναστήσῃς, παρακαλῶν, βοηθῶν, ὑπισχνούμενος ἀμύνειν, φιλοσοφεῖν παρασκευάζων, οὐ μικρὸν καὶ ἐντεῦθεν λήψῃ τὸν μισθόν. ἔξω

Τιτ. γ. γ.

Ἐφ. β. γ.

Ἰωαν. ιγ. ιδ.

Ματθ. κε. μ.

χεζ 1.

μὲν γὰρ σοῦ τοιαῦτα διαλεγομένου, πολλοὶ καὶ γελάσονται ὑπὸ τῆς πολλῆς τρυφῆς διακεχυμένοι· οἱ δὲ ἐν συμφοραῖς ὄντες, κατεσταλμένης αὐτοῖς τῆς διανοίας, μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ προσέξουσι τοῖς λεγομένοις, καὶ ἐπαινέσονται καὶ ἔσονται βελτίους. ἐπεὶ καὶ Παύλου δημηγοροῦντος, Ἰουδαῖοι μὲν πολλάκις κατεγέλων· οἱ δὲ δεσμῶται μετὰ πολλῆς ἐπηκροῶντο τῆς ἡσυχίας. οὐδὲν γὰρ οὕτως εἰς φιλοσοφίαν ἐπιτηδείαν κατασκευάζει τὴν ψυχὴν, ὡς συμφορὰ καὶ πειρασμὸς καὶ θλίψις ἐπικειμένη. ταῦτ᾽ οὖν ἐννοήσαντες ἅπαντα, ὅσα μὲν τὰ ἔνδον ἀγαθὰ, ὅσα δὲ ἡμᾶς αὐτοὺς ἐργασόμεθα συνεχῶς αὐτοῖς ἀναμιγνύμενοι, καὶ τὰς ἐν ἀγορᾷ διατριβὰς, καὶ τὰς ἀκαίρους ἀδολεσχίας ἐκεῖ καταναλώσωμεν, ἵνα κἀκείνους κερδαίνωμεν, καὶ ἡμᾶς αὐτοὺς εὐφραίνωμεν, καὶ τὸν Θεὸν δοξασθῆναι παρασκευάσαντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. αὐτῶν

κ. ἀναμιγνύμεθα.

Ὁμιλ. ξα. 22 ΕΓΕΝΕΤΟ ΔΕ ΤΑ ΕΓΚΑΙΝΙΑ ΕΝ ΙΕΡΟΣΟλύμοις, καὶ χειμὼν ἦν. 23 Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, ἐν τῇ στοᾷ Σολομῶντος. 24 Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;

Πᾶσα μὲν ἀρετὴ καλὸν, μάλιστα δὲ ἐπιείκεια καὶ πρᾳότης. τοῦτο ἀνθρώπους δείκνυσιν ἡμᾶς· τοῦτο τῶν θηρίων διΐστησι· τοῦτο τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι παρασκευάζει. διὰ τοῦτο καὶ ὁ Χριστὸς συνεχῶς περὶ ταύτης πολλοὺς λόγους ἀναλίσκει τῆς ἀρετῆς, πρᾴους εἶναι καὶ ἐπιεικεῖς κελεύων. οὐ λόγους δὲ ἀναλίσκει μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων τοῦτο παιδεύει· νῦν μὲν ῥαπιζόμενος, καὶ φέρων· νῦν δὲ λοιδορούμενος καὶ ἐπιβουλευόμενος, καὶ πάλιν τοῖς ἐπιβουλεύουσιν ἐφιστάμενος. οἱ γὰρ καὶ δαιμονῶντα καλέσαντες καὶ Σαμαρείτην, καὶ πολλάκις θελήσαντες ἀνελεῖν καὶ λιθάσαντες, οὗτοι κυκλώσαντες αὐτὸν ἠρώτων, εἰ σὺ εἶ ὁ Χριστός· καὶ οὐδὲ οὕτως αὐτοὺς διεκρούετο μετὰ τοσαύτας καὶ τοιαύτας ἐπιβουλὰς, ἀλλὰ μετὰ πολλῆς ἀπεκρίνατο τῆς ἐπιεικείας· μᾶλλον δὲ ἄνωθεν ἀναγκαῖον ἐξετάσαι τὸν λόγον ἅπαντα. ἐγένετο γὰρ, φησι, τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν. μεγάλη τις ἦν αὕτη ἡ ἑορτὴ καὶ δημοτελής. τὴν γὰρ ἡμέραν καθ᾽ ἣν ὁ ναὸς ᾠκοδομήθη, ἐπανελθόντων αὐτῶν ἀπὸ τῆς μακρᾶς αἰχμαλωσίας τῆς ἐν τῇ Περσίδι, ταύτην ἦγον μετὰ πολλῆς τῆς σπουδῆς. ἐν ταύτῃ παρῆν καὶ ὁ Χριστὸς τῇ ἑορτῇ. λοιπὸν γὰρ τῇ Ἰουδαίᾳ συνεχῶς ἐπεχωρίαζεν, ἐπειδὴ τὸ πάθος ἦν ἐπὶ θύραις. ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;

Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παρρησίᾳ. Καὶ οὐκ εἶπε, τί ζητεῖτε παρ᾽ ἐμέ; δαιμονῶντα ἐκαλέσατε πολλάκις καὶ μαινόμενον καὶ Σαμαρείτην, καὶ ἀντίθεον εἶναι ἐνομίσατε καὶ πλάνον· καὶ πρώην ἐλέγετε, σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· πῶς οὖν ἐξετάζετε, καὶ παρ᾽ ἐμοῦ βούλεσθε μαθεῖν, οὗ τὴν μαρτυρίαν ἐκβάλλετε; ἀλλ᾽ οὐδὲν τούτων εἶπε, καίτοιγε εἰδὼς τὴν γνώμην μεθ᾽ ἧς ἐξήταζον πονηρὰν οὖσαν. τὸ μὲν γὰρ κυκλῶσαι αὐτὸν καὶ εἰπεῖν, ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; ἐδόκει πόθου τινὸς εἶναι καὶ φιλομαθείας· ἡ δὲ διάνοια μεθ᾽ ἧς ἠρώτων, διεφθαρμένη τις ἦν καὶ ὕπουλος. ἐπεὶ γὰρ τὰ μὲν ἔργα οὐκ ἀνεδέξαντο συκοφαντίαν τε καὶ ἐπήρειαν, τοῖς δὲ λόγοις ἐπισκήπτειν εἶχον, ἑτέρως ἐξετάζοντες ἢ ὡς εἴρηται, ἀεὶ πεύσεις προσῆγον, ἐπιστομίζειν αὐτὸν ἀπὸ τῶν λόγων βουλόμενοι· καὶ τοῖς ἔργοις οὐδὲν ἐγκαλεῖν δυνάμενοι, λαβὴν τινὰ ἀπὸ τῶν ῥημάτων ἐπεθύμουν εὑρεῖν. διὰ τοῦτο ἔλεγον, εἰπὲ ἡμῖν. καίτοι πολλάκις εἶπε. καὶ γὰρ

κ. ἐπι[illegible]

τῇ Σαμαρείτιδι ἔλεγεν, Ἐγώ εἰμι ὁ λαλῶν σοι· καὶ πρὸς τὸν τυφλὸν, Ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστι. κἀκείνοις δὲ εἶπεν, εἰ καὶ μὴ οὕτως, ἀλλὰ δι' ἑτέρων ῥημάτων. καίτοιγε εἰ νοῦν εἶχον, καὶ ὀρθῶς ἐξετάζειν ἐβούλοντο, διὰ λόγων αὐτὸν ὁμολογῆσαι λοιπὸν ἐκείνων ἦν. διὰ γὰρ τῶν ἔργων αὐτὸς ἐπεδείξατο τοῦτο πολλάκις. νυνὶ δὲ σκόπει τὸ διεστραμμένον αὐτῶν καὶ φιλόνεικον. ὅταν μὲν γὰρ δημηγορῇ καὶ διὰ λόγων παιδεύῃ, λέγουσι· Τί σημεῖον δεικνύεις; ὅταν δὲ διὰ τῶν ἔργων παρέχηται τὰς ἀποδείξεις, λέγουσιν αὐτῷ, Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παῤῥησίᾳ, τῶν ἔργων βοώντων ῥήματα ζητοῦντες, καὶ τῶν ῥημάτων διδασκόντων ἐπὶ τὰ ἔργα καταφεύγουσι, πρὸς τὸ ἐναντίον ἀεὶ ἱστάμενοι. ὅτι γὰρ οὐ τοῦ μαθεῖν ἕνεκεν ἐζήτουν, τὸ τέλος ἔδειξεν. ὃν γὰρ οὕτως ἀξιόπιστον εἶναι ἐνόμιζον, ὡς καὶ περὶ ἑαυτοῦ μαρτυροῦντα δέξασθαι, μικρά τινα φθεγξάμενον, εὐθέως ἐλίθασαν, ὥστε καὶ τὸ κυκλῶσαι καὶ τὸ ἐπικεῖσθαι μετὰ πονηρίας ἐγίνετο. καὶ ὁ τρόπος δὲ τῆς ἐρωτήσεως πολλῆς ἔγεμεν ἀπεχθείας. Εἰπὲ [γὰρ] ἡμῖν παῤῥησίᾳ, εἰ σὺ εἶ ὁ Χριστός. καίτοιγε μετὰ παῤῥησίας ἅπαντα ἔλεγεν ἐν ταῖς ἑορταῖς ἐπιχωριάζων ἀεὶ, καὶ οὐδὲν κρύφα ἐλάλει, ἀλλὰ διὰ τοῦτο κολακείας προβάλλονται ῥήματα, λέγοντες· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; ἵνα αὐτὸν ἐκκαλεσάμενοι, πάλιν λαβὴν εὕρωσιν. ὅτι γὰρ πανταχοῦ διὰ τοῦτο ἠρώτων, οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα τοῖς λεγομένοις ἐπισκήψωσιν, οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἀλλαχόθεν πολλαχόθεν δῆλόν ἐστι. καὶ γὰρ ὅτε προσῆλθον ἐρωτῶντες, Εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ· καὶ ὅτε περὶ ἀφέσεως γυναικὸς διελέγοντο· καὶ ὅτε περὶ ἐκείνης ἐπυνθάνοντο, ἣν ἔφασαν ἑπτὰ ἄνδρας ἐσχηκέναι, ἑάλωσαν οὐκ ἀπὸ φιλομαθείας, ἀλλ' ἀπὸ γνώμης σκαιᾶς πεύσεις αὐτῷ προσάγοντες. ἀλλ' ἐκεῖ μὲν αὐτοὺς ἐλέγχει λέγων· τί με πειράζετε, ὑποκριταί; δεικνὺς ὅτι οἶδεν αὐτῶν τὰ ἀπόῤῥητα· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον φθέγγεται, παιδεύων ἡμᾶς μὴ πάντοτε ἐλέγχειν τοὺς ἐπιβουλεύοντας, ἀλλ' ἐπιεικείᾳ καὶ πρᾳότητι πολλὰ φέρειν. ἐπεὶ οὖν ἀνοίας ἦν, τῶν ἔργων αὐτὸν ἀνακηρυττόντων, τὴν ἀπὸ τῶν λόγων ζητεῖν μαρτυρίαν, ἄκουσον πῶς αὐτοῖς ἀποκρίνεται· ὁμοῦ μὲν αὐτοὺς αἰνιττόμενος ὅτι περιττῶς ταῦτα ἐζήτουν, καὶ οὐχ ὑπὲρ τοῦ μαθεῖν· ὁμοῦ δὲ δηλῶν, ὅτι καὶ τῆς διὰ τῶν ῥημάτων σαφεστέραν ἀφῆκε φωνὴν, τὴν διὰ τῶν ἔργων.

Ιωαν. δ. κϛ.
Ιωαν. θ. λζ.
Ματθ. κϐ. ιζ.

25 Πολλάκις γὰρ, φησὶν, εἶπον ὑμῖν, καὶ οὐ πιστεύετέ μοι. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ἐκεῖνά ἐστι τὰ μαρτυροῦντα περὶ ἐμοῦ. Ὅπερ καὶ οἱ ἀνεκτότεροι αὐτῶν συνεχῶς πρὸς ἀλλήλους ἔλεγον· οὐ γὰρ δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν· καὶ πάλιν, οὐ δύναται δαιμόνιον ὀφθαλμοὺς τυφλῶν ἀνοίγειν· καὶ, οὐδεὶς δύναται σημεῖα τοιαῦτα ποιεῖν, ἐὰν μὴ ᾖ μετ' αὐτοῦ ὁ Θεός. καὶ θεωροῦντες τὰ σημεῖα ἃ ἐποίει, ἔλεγον· μήτι οὗτός ἐστιν ὁ Χριστός; ἄλλοι δὲ ἔλεγον, ὅταν ἔλθῃ ὁ Χριστὸς, μὴ πλείονα σημεῖα ποιήσει ὧν ἐποίησεν οὗτος; καὶ αὐτοὶ δὲ οὗτοι ἐντεῦθεν ἐβούλοντο πιστεῦσαι αὐτῷ, λέγοντες· τί σημεῖον δεικνύεις ἡμῖν, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; ἐπεὶ οὖν προσεποιοῦντο τότε ἀπὸ ψιλοῦ πείθεσθαι ῥήματος, οἱ τοσούτοις μὴ πεισθέντες ἔργοις, ἐλέγχει τὴν πονηρίαν αὐτῶν λέγων· ὅτι εἰ τοῖς ἔργοις οὐ πιστεύετε, πῶς τοῖς ῥήμασι πιστεύσετε; ὥστε περιττὴ ἡ ἐρώτησις. 26 Ἀλλ' εἶπον ὑμῖν, φησὶ, καὶ οὐ πιστεύετέ μοι, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν. Ἐγὼ μὲν γὰρ τὰ παρ' ἐμαυτοῦ πάντα ἐπλήρωσα, ἃ τὸν ποιμένα ποιῆσαι ἐχρῆν· εἰ δὲ μὴ ἀκολουθεῖτέ μοι, οὐκ ἐπειδὴ οὐκ εἰμὶ ποιμὴν, ἀλλ' ἐπειδὴ ὑμεῖς οὐκ ἐστὲ πρόβατα τὰ ἐμά.

27 Τὰ γὰρ πρόβατα τὰ ἐμὰ, φησὶ, τῆς φωνῆς μου ἀκούει, καὶ ἀκολουθεῖ μοι,

28 Καὶ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐδεὶς δύναται ταῦτα ἁρπάσαι ἐκ τῆς χειρός μου. 29 Ὅτι ὁ πατὴρ, ὃς ἔδωκέ μοι, μείζων πάντων ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν αὐτὰ ἐκ τῆς χειρὸς τοῦ πατρός μου.

30 Εγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Σκόπει πῶς ἐν τῷ ἀπαγορεύειν, [illegible]τε ἐπεὶ εἰς τὴν ἀκολούθησιν αὐτούς. ὑμεῖς οὐκ ἀκούετέ μου, φησίν· οὐδὲ γάρ ἐστε [illegible]βατα. οἱ δὲ ἀκολουθοῦντες, οὗτοι τῆς ποίμνης εἰσί. Ταῦτα δὲ ἔλεγεν, ἵνα φιλονεικήσωσι γενέσθαι πρόβατα. Εἶτα, εἰπὼν ὧν τεύξονται, παρακνίζει τούτους, ὥστε αὐτοὺς διεγεῖραι καὶ εἰς ἐπιθυμίαν ἐμβαλεῖν. τί οὖν; εἰ διὰ τὴν δύναμιν τοῦ πατρὸς οὐδεὶς ἁρπάζει· σὺ δὲ οὐκ ἰσχύεις, ἀλλ' ἀσθενὴς εἶ πρὸς τὴν φυλακήν; οὐδαμῶς. καὶ ἵνα μάθῃς ὅτι τὸ, ὁ πατὴρ, ὃς ἔδωκέ μοι, δι' ἐκείνους εἴρηται, ἵνα μὴ πάλιν αὐτὸν ἀντίθεον εἴπωσιν· εἰπὼν, ὅτι οὐδεὶς ἁρπάζει αὐτὰ ἐκ τῆς χειρός μου, προϊὼν ἔδειξε τὴν αὐτοῦ χεῖρα καὶ τοῦ πατρὸς μίαν οὖσαν. εἰ γὰρ μὴ τοῦτο, ἀκόλουθον ἦν εἰπεῖν, ὅτι ὁ πατὴρ, ὃς ἔδωκέ μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν αὐτὰ ἐκ τῆς χειρός μου. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐκ τῆς χειρὸς τοῦ πατρός μου. Εἶτα ἵνα μὴ νομίσῃς, ὅτι αὐτὸς μέν ἐστιν ἀσθενὴς, διὰ δὲ τὴν τοῦ πατρὸς δύναμιν ἐν ἀσφαλείᾳ τὰ πρόβατά ἐστιν, ἐπήγαγεν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· ὡσανεὶ ἔλεγεν, οὐ διὰ τοῦτο εἶπον, ὅτι διὰ τὸν πατέρα οὐδεὶς αὐτὰ ἁρπάζει, ὡς αὐτὸς ἀσθενῶν τηρῆσαι τὰ πρόβατα. ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἕν ἐσμεν· κατὰ τὴν δύναμιν ἐνταῦθα λέγων. καὶ γὰρ περὶ ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ. εἰ δὲ ἡ δύναμις ἡ αὐτὴ, εὔδηλον ὅτι καὶ ἡ οὐσία. ἐπειδὴ γὰρ μυρία ἐποίουν οἱ Ἰουδαῖοι, ἐπιβουλεύοντες, ἀποσυναγώγους ποιοῦντες, λέγει ὅτι πάντα αὐτοῖς εἰκῇ καὶ μάτην μεμηχάνηται. ἐν γὰρ τῇ χειρὶ τοῦ πατρός μου ἐστὶ τὰ πρόβατα, ὥσπερ ὁ προφήτης λέγει· Εν τῇ χειρί μου ἐζωγράφησά σου τὰ τείχη. Εἶτα δεικνὺς μίαν οὖσαν τὴν χεῖρα, ποτὲ μὲν αὐτοῦ, ποτὲ δὲ τοῦ πατρὸς εἶναι φησὶν αὐτήν. χεῖρα δὲ ὅταν ἀκούσῃς, μηδὲν αἰσθητὸν νομίσῃς, ἀλλὰ τὴν δύναμιν, καὶ τὴν ἐξουσίαν. Εἰ δὲ διὰ τοῦτο οὐδεὶς ἥρπαζεν, ὅτι αὐτὸν ἐνεδυνάμου, περιττὸν ἦν τὸ ἑξῆς εἰπεῖν, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Εἰ γὰρ ἐλάττων ἦν, πολλῆς τοῦτο τόλμης τὸ ῥῆμα. οὐδὲν γὰρ ἕτερον, ἢ τὸ τῆς δυνάμεως ἰσοστάσιον δείκνυσιν· ὅπερ [οὖν] καὶ Ἰουδαῖοι συνειδότες, λίθοις αὐτὸν ἔβαλον. ἀλλ' οὐδὲ οὕτω καθεῖλε τὴν δόξαν ταύτην καὶ τὴν ὑπόνοιαν. Καίτοι μὴν εἰ κακῶς ὑπώπτευσαν ἐκεῖνοι, ἔδει διορθῶσαι καὶ εἰπεῖν· τίνος ἕνεκεν ταῦτα ποιεῖτε; οὐκ ἴσην μαρτυρῶν ἐμοὶ καὶ τῷ πατρὶ δύναμιν ταῦτα εἶπον ἐγώ. νῦν δὲ, πᾶν τοὐναντίον ποιεῖ, καὶ ἵστησι τὴν ὑπόνοιαν, καὶ συγκροτεῖ, καὶ ταῦτα ἀγριουμένων ἐκείνων. οὐ γὰρ ἀπολογεῖται ὑπὲρ τῶν εἰρημένων, ὡς κακῶς λεχθέντων, ἀλλὰ καὶ ἐκείνοις ἐπιτιμᾷ, ὡς μὴ τὴν προσήκουσαν δόξαν ἔχουσι περὶ αὐτοῦ. ἐπειδὴ γὰρ ἔλεγον,

Ἡσ. μθ. 15.

33 Οτι περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν, Ακουσον τί φησιν· 35 Εἰ ἐκείνους εἶπεν ἡ γραφὴ θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, 36 Πῶς ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον υἱὸς Θεοῦ εἰμι; Ο δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ οἱ χάριτι τοῦτο λαβόντες, οὐκ ἐγκαλοῦνται θεοὺς ἑαυτοὺς καλοῦντες, ὁ τῇ φύσει τοῦτο ἔχων, πῶς ἂν εἴη δίκαιος ἐπιτιμᾶσθαι; ἀλλ' οὕτω μὲν οὐκ εἶπεν, ὕστερον δὲ αὐτὸ κατεσκεύασε, πρότερον χαλάσας καὶ καθυφεὶς τῷ λόγῳ, καὶ εἰπών· Ον ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλε· Καὶ παραμυθησάμενος αὐτῶν τὸν θυμὸν, τότε ἐπάγει σαφῆ τὴν ἀπόφασιν. τέως μὲν γὰρ ὥστε δεχθῆναι τὸν λόγον, ταπεινότερον διελέχθη· ὕστερον δὲ ἐπὶ τὸ μεῖζον αὐτὸν ἀνήγαγεν, οὕτως εἰπών· 37 Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· 38 Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ οὐ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε. Ορᾷς πῶς τοῦτο, ὅπερ εἶπον, κατασκευάζει, ὅτι εἰς οὐδέν ἐστιν ἐλάττων αὐτοῦ, ἀλλὰ πανταχοῦ ἴσος; ἐπειδὴ γὰρ τὴν οὐσίαν αὐτοῦ ἰδεῖν ἀμήχανον ἦν, ἀπὸ τῆς τῶν ἔργων ἰσότητός τε καὶ ταυτότητος τὴν ἀπόδειξιν τῆς κατὰ τὴν δύναμιν ἀπαραλλαξίας παρέχεται. καὶ τί πιστεύσομεν, εἰπέ; Οτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. Ουδὲν γὰρ ἄλλο ἐγὼ, ἢ ὅπερ ὁ πατὴρ, μένων υἱός· οὐδὲν ἄλλο ἐκεῖνος, ἢ ὅπερ ἐγὼ, μένων πατήρ. καὶ

ἐμὲ γνῷ τις, τὸν πατέρα ἔγνω· κἂν τὸν πατέρα ἔγνω, τὸν υἱὸν ἔμαθεν. Εἰ δὲ ἐλάττονα ἦν τὰ τῆς δυνάμεως, καὶ τὰ τῆς γνώσεως διέψευστο. οὐδὲ γάρ ἐστιν ἄλλην δι' ἄλλης οὔτε οὐσίαν οὔτε δύναμιν μαθεῖν. 39 Ἠθέλησαν οὖν αὐτὸν πιάσαι, καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν, 40 Καὶ ἀπῆλθε πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων τὸ πρότερον, 41 Καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον· ὅτι Ἰωάννης ἐποίησε σημεῖον οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ αὐτοῦ, ἐστὶν ἀληθῆ. Ὅταν γάρ τι μέγα καὶ ὑψηλὸν φθέγξηται, ἀναχωρεῖ ταχέως, ἐνδιδοὺς αὐτῶν τῷ θυμῷ, ὥστε λωφῆσαι καὶ λῆξαι τὸ πάθος διὰ τῆς ἀπουσίας αὐτοῦ· ὃ δὴ καὶ τότε ἐποίησε. τίνος δὲ ἕνεκεν τὸν τόπον ὁ εὐαγγελιστὴς λέγει; ἵνα μάθῃς ὅτι διὰ τοῦτο ἀπῆλθεν ἐκεῖ, ἀναμιμνήσκων αὐτοὺς τῶν ἐκεῖ γενομένων τε καὶ λεχθέντων παρὰ Ἰωάννου, καὶ τῆς μαρτυρίας τῆς ἐκείνου. ἐλθόντες γοῦν ἐκεῖ, εὐθέως ἀνεμνήσθησαν τοῦ Ἰωάννου. διὰ τοῦτο καὶ λέγουσιν, ὅτι Ἰωάννης μὲν οὐδὲν σημεῖον ἐποίησεν. ἐπεὶ ποία ἀκολουθία τοῦτο ἦν προσθεῖναι, ἀλλ' ἐπειδὴ ὁ τόπος αὐτοὺς εἰς μνήμην ἤγαγε τοῦ βαπτιστοῦ, καὶ εἰς τὴν τῆς μαρτυρίας αὐτοῦ μνήμην ἦλθον; ὅρα δὲ πῶς συλλογισμοὺς πλέκουσιν ἀναμφισβητήτους. Ἰωάννης μὲν σημεῖον οὐδὲν ἐποίησεν· οὗτος δὲ ποιεῖ, φησίν. οὐκοῦν κἀντεῦθεν ἡ ὑπεροχὴ δείκνυται. Εἰ τοίνυν, ἐκείνου σημεῖον οὐδὲν ποιήσαντος, ἐπίστευσαν, πολλῷ μᾶλλον τούτῳ. Εἶτα, ἐπειδὴ αὐτὸς ἦν ὁ μαρτυρήσας, ἵνα μὴ τὸ σημεῖον αὐτὸν μὴ πεποιηκέναι δόξῃ ἀνάξιον τῆς μαρτυρίας ἀποφαίνειν, ἐπήγαγον· εἰ καὶ σημεῖον οὐδὲν ἐποίησεν, ἀλλ' ὅμως πάντα ἠλήθευσε τὰ περὶ αὐτοῦ, οὐκ ἐπὶ τοῦτον ἐξ ἐκείνου, ἀλλ' ἐκεῖνον ἀφ' ὧν οὗτος ἐποίησεν ἀξιόπιστον ἀποφαίνοντες. 42 Πολλοὶ τοίνυν ἐπίστευσαν εἰς αὐτόν.

Πολλὰ γὰρ ἦν αὐτοὺς τὰ ἐφελκόμενα. καὶ γὰρ ἐμέμνηντο τῶν ῥημάτων ὧν ἔλεγεν, ἰσχυρότερον ἑαυτοῦ καλῶν αὐτὸν, καὶ φῶς, καὶ ζωὴν, καὶ ἀλήθειαν, καὶ τὰ λοιπὰ ἅπαντα, καὶ τῆς φωνῆς τῆς ἄνωθεν ἐνεχθείσης, καὶ τοῦ πνεύματος τοῦ ἐν περιστερᾶς εἴδει φανέντος τότε καὶ δείξαντος αὐτὸν ἅπασι· καὶ μετὰ τούτων, τὴν ἀπὸ τῶν θαυμάτων ἀπόδειξιν, εἰς ἣν ὁρῶντες ἐβεβαιοῦντο λοιπόν. Εἰ γὰρ Ἰωάννῃ, φησὶ, πιστεύειν ἔχρην· πολλῷ μᾶλλον τούτῳ. Εἰ χωρὶς σημείων ἐκείνῳ, πολλῷ μᾶλλον τούτῳ, μετὰ τῆς ἐκείνου μαρτυρίας, καὶ τὴν ἀπὸ τῶν σημείων ἀπόδειξιν ἔχοντι. ὁρᾷς ὅσον αὐτοὺς ὤνησεν ἡ περὶ τὸν τόπον διατριβὴ, καὶ ἡ τῶν πονηρῶν ἀνθρώπων ἀπαλλαγή; διὰ τοῦτο αὐτοὺς συνεχῶς ἐξάγει καὶ ἀπάγει τῆς ἐκείνων συνουσίας. ὅπερ οὖν καὶ ἐπὶ τῆς παλαιᾶς ποιήσας φαίνεται, πόρρω τῶν Αἰγυπτίων ἐπὶ τῆς ἐρήμου τοὺς Ἰουδαίους διαπλάττων καὶ ῥυθμίζων ἐν ἅπασιν.

ΗΘΙΚΟΝ

Ὃ καὶ ἡμῖν παραινεῖ ποιεῖν, ἀγορὰς μὲν φεύγειν κελεύων καὶ θορύβους καὶ ταραχὰς, ἐν δὲ τῷ ταμιείῳ προσεύχεσθαι μετὰ τῆς ἡσυχίας. καὶ γὰρ πλοῖον ταραχῆς ἀπηλλαγμένον, ἐξουρίας πλεῖ· καὶ ψυχὴ πραγμάτων οὖσα ἐκτὸς, ἐν λιμένι κάθηται. διὸ καὶ τὰς γυναῖκας φιλοσοφωτέρας τῶν ἀνδρῶν ἔχρην εἶναι, οἰκουρίᾳ προσηλωμένας τὰ πλείονα. οὕτω γοῦν καὶ ὁ Ἰακὼβ ἄπλαστος ἐλέγετο, ἐπειδὴ οἰκίαν ᾤκει, καὶ τῶν ἐν μέσῳ θορύβων ἐλεύθερος ἦν. οὐδὲ γὰρ ἁπλῶς αὐτὸ τέθεικεν ἡ γραφὴ εἰποῦσα, οἰκῶν οἰκίαν. ἀλλὰ καὶ ἐν οἰκίᾳ πολὺς, φησὶν, ὁ θόρυβος. ἐπειδὴ σὺ βούλει, καὶ περιίστας σαυτῇ φροντίδων ὄχλον. ὁ μὲν γὰρ ἀνὴρ ἐν μέσαις στρεφόμενος [ταῖς] ἀγοραῖς καὶ δικαστηρίοις, ὥσπερ ὑπό τινων κυμάτων, τῶν ἔξωθεν περιαντλεῖται θορύβων· ἡ δὲ γυνὴ καθάπερ ἔν τινι διδασκαλείῳ φιλοσοφίας τῇ οἰκίᾳ καθημένη, καὶ τὸν νοῦν συνάγουσα εἰς ἑαυτὴν, καὶ εὐχαῖς προσέχειν καὶ ἀναγνώσεσι καὶ τῇ ἄλλῃ δυνήσεται φιλοσοφίᾳ. καὶ καθάπερ οἱ τὰς ἐρήμους οἰκοῦντες, οὐδένα ἔχουσι τὸν ἐνοχλοῦντα· οὕτω καὶ αὕτη διαπαντὸς ἔνδον οὖσα, διηνεκῶς δύναται ἀπολαύειν γαλήνης. Εἰ δέ ποτε καὶ ἐξελθεῖν ἀνάγκη γένοιτ' ἄν, οὐδὲ τότε ἐκεῖ θορύβων ὑπόθεσις. ἡ γὰρ μέχρι τῆς ἐνταῦθα παρουσίας, ἢ ἡνίκα ἂν τὸ σῶμα λουτρῷ θεραπευθῆναι δέῃ, ἀναγκαῖαι ταῖς γυναιξὶν αἱ ἔξοδοι· τὸν δὲ πλείονα χρόνον ἔνδον κάθηται, καὶ δυνατὸν αὐτήν τε φιλοσοφεῖν, καὶ τὸν ἄνδρα δεχομένην

Γεν. κε. κζ.

ὴν τεταραγμένον καταστέλλειν, ῥυθμίζειν, περικόπτειν αὐτοῦ τὰ περιττὰ καὶ ἄγρια τῶν λογισμῶν, καὶ οὕτω πάλιν ἐκπέμπειν, ὅσα μὲν ἀπὸ τῆς ἀγορᾶς ἐφειλκύσατο κακὰ, ἀποθέμενον· ὅσα δὲ ἀπὸ τῆς οἰκίας ἔμαθε καλὰ, μεθ' ἑαυτοῦ φέροντα. οὐδὲν γὰρ, οὐδὲν ἰσχυρότερον γυναικὸς εὐλαβοῦς καὶ συνετῆς πρὸς τὸ ῥυθμίζειν ἄνδρα καὶ διαπλάττειν αὐτοῦ τὴν ψυχὴν ἐν οἷς ἂν θέλῃ. οὔτε γὰρ φίλων, οὔτε διδασκάλων, οὔτε ἀρχόντων οὕτως ἀνέξεται, ὡς τῆς συνοίκου παραινούσης, συμβουλευούσης. ἔχει γάρ τινα καὶ ἡδονὴν ἡ παραίνεσις, διὰ τὸ σφόδρα φιλεῖσθαι τὴν συμβουλεύουσαν. καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν ἄνδρας σκληροὺς καὶ ἀπειθεῖς καταμαλαχθέντας οὕτως. αὕτη γὰρ καὶ τραπέζης αὐτῷ, καὶ εὐνῆς, καὶ παιδοποιίας, καὶ ῥητῶν καὶ ἀπορρήτων, καὶ εἰσόδων καὶ ἐξόδων, καὶ πολλῶν πλειόνων κοινωνοῦσα ἑτέρων, καὶ ἐν ἅπασιν αὐτῷ δεδομένη, καὶ οὕτως αὐτῷ συνημμένη, ὡς εἰκὸς σῶμα κεφαλῇ συνῆφθαι, ἂν τύχῃ συνετή τις οὖσα καὶ ἐμμελὴς, ἅπαντας ὑπερβήσεται καὶ νικήσει εἰς τὴν τοῦ συνοικοῦντος ἐπιμέλειαν. διὸ τοῦτο παραινῶ ἔργον τοῦτο τίθεσθαι καὶ τὰ δέοντα συμβουλεύειν. ὥσπερ γὰρ πρὸς ἀρετὴν, οὕτω καὶ πρὸς κακίαν πολλὴν ἔχει τὴν ἰσχύν. αὕτη τὸν Ἀβεσσαλὼμ ἀπώλεσεν, αὕτη τὸν Ἀμνὼν, αὕτη τὸν Ἰὼβ ἔμελλεν· αὕτη τὸν Νάβαλ ἐξήρπασε τῆς σφαγῆς· αὕτη ὁλόκληρον ἔθνος διέσωσε. καὶ γὰρ Δεββώρα καὶ Ἰουδὶθ ἀνδρῶν στρατηγῶν κατορθώματα ἐπεδείξαντο· καὶ ἄλλαι δὲ μυρίαι γυναῖκες. διὰ τοῦτο καὶ Παῦλός φησι· Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; καὶ ἐπὶ τῶν χρόνων δὲ ἐκείνων, τὴν Περσίδα καὶ τὴν Μαρίαμ καὶ τὴν Πρίσκιλλαν, ἀποστολικῶν ἁψαμένας σκαμμάτων εἴδομεν, ἅσπερ ἀναγκαῖον καὶ ἡμᾶς ζηλοῦν, καὶ μὴ ῥήμασι μόνον, ἀλλὰ καὶ πράγμασι ῥυθμίζειν τὸν συνοικοῦντα. πῶς δὲ αὐτὸν παιδεύσομεν; διὰ τῶν πραγμάτων· ὅταν σε μὴ πονηρὰν οὖσαν ἴδῃ, μηδὲ πολυτελῆ καὶ φιλόκοσμον, μηδὲ προσόδους χρημάτων ἀπαιτοῦσαν περιττὰς, ἀλλ' ἀρκουμένην τοῖς οὖσι, τότε γὰρ, τότε καὶ συμβουλευούσης ἀνέξεται. ἐὰν δὲ φιλοσοφῇς μὲν τοῖς ῥήμασιν, ἐν δὲ τοῖς πράγμασι τἀναντία ποιῇς, καταγνώσεταί σου φλυαρίαν πολλήν. ὅταν δὲ μετὰ τῶν ῥημάτων καὶ τὴν ἀπὸ τῶν ἔργων παρέχεις αὐτῷ διδασκαλίαν, τότε καὶ ἀποδέξεταί σε καὶ πεισθήσεται μᾶλλον· οἷον, ὅταν χρυσίον μὴ ζητῇς, μηδὲ μαργαρίτας, μηδὲ ἱματισμὸν πολυτελῆ· ἀλλ' ἀντὶ τούτων, κοσμιότητα, σωφροσύνην, εὔνοιαν, καὶ παρὰ σαυτῆς ταῦτα εἰσαγάγῃς, καὶ παρ' ἐκείνου ταῦτα ἀπαιτῇς. εἰ γὰρ χρή τι εἰς ἀρέσκειαν ποιεῖν ἀνδρὸς, ψυχὴν δεῖ, οὐ σῶμα κοσμεῖν, καὶ διαφθείρειν. οὐδὲ γὰρ οὕτω χρυσίον περικείμενον ποιήσει ἐπέραστον καὶ ποθεινὴν ἐκείνῳ, ὡς σωφροσύνη καὶ εὔνοια περὶ αὐτὸν, καὶ τὸ ὑπεραποθνήσκειν τοῦ συνοικοῦντος. ταῦτα μᾶλλον χειροῦται τοὺς ἄνδρας. ἐκεῖνος μὲν γὰρ ὁ κόσμος καὶ προσίσταται αὐτῷ, εἰς στενὸν τὰ χρήματα αὐτῷ καθιστὰς, καὶ δαπάνην καὶ φροντίδα πολλὴν παρέχων· τὰ δὲ εἰρημένα προσηλώσει τῇ γυναικὶ τὸν ἄνδρα. εὔνοια γὰρ καὶ φιλία καὶ πόθος οὔτε φροντίδας παρέχει, οὔτε δαπάνην ἐργάζεται, ἀλλὰ τοὐναντίον ἅπαν. κἀκεῖνος μὲν ὁ κόσμος ὑπὸ τῆς συνηθείας προσκορὴς γίνεται· ὁ δὲ τῆς ψυχῆς καθ' ἑκάστην ἀνθεῖ τὴν ἡμέραν καὶ μείζονα ἀνάπτει τὴν φλόγα. ὥστε, εἰ βούλει ἀνδρὶ ἀρέσκειν, κόσμει τὴν ψυχὴν σωφροσύνῃ, εὐλαβείᾳ, προστασίᾳ οἰκίας. ταῦτα καὶ μᾶλλον χειροῦται, καὶ οὐδέποτε παύεται. οὐ γῆρας καταλύει τὸν κόσμον τοῦτον, οὐ νόσος ἀπόλλυσι. τὸν μὲν γὰρ τοῦ σώματος κόσμον χρόνος πολὺς ἐξέλυσε, καὶ νόσος ἀνάλωσε, καὶ ἕτερα πλείονα· τὰ δὲ τῆς ψυχῆς πάντων ἐστὶν ἀνώτερα τούτων. κἀκεῖνος μὲν ὁ κόσμος καὶ φθόνον ἔχει, καὶ ζηλοτυπίαν ἀνάπτει· οὗτος δὲ καθαρός ἐστι νοσήματος, καὶ πάσης ἀπήλλακται κενοδοξίας. οὕτω καὶ τὰ κατὰ τὴν οἰκίαν εὐκολώτερα ἔσται, καὶ ἡ πρόσοδος μετ' εὐμαρείας, ὅταν τὸ χρυσίον μὴ τῷ σώματι τῷ σῷ περικείμενον ᾖ, μηδὲ τὰς χεῖρας δεσμοῖ, ἀλλ' εἰς ἀναγκαίας παραχωρῇ χρείας· οἷον, εἰς διατροφὴν οἰκετῶν, καὶ παίδων ἐπιμέλειαν ἀναγκαίαν, καὶ ἑτέρας χρειώδεις προφάσεις. ἂν δὲ μὴ ταῦτα ᾖ, περικέηται δὲ αὐτὰ ἡ ὄψις, καὶ ἡ καρδία στενοχωρῆται, τί τὸ κέρδος; ποῖον τὸ ὄφελος; οὐκ ἀφίησι τὸ ταύ-

α. Κορ. ζ. 15.

γρ. παρέχει

της θαῦμα ὀφθῆναι ἐκείνη λυπουμένη. ἴστε γάρ, ἴστε ὅτι, κἂν αὐτὴν πασῶν εὐπρεπεστάτην ἴδῃ τις γυναῖκα, οὐ δύναται τέρπεσθαι ἐν ὀδυνωμένῃ τῇ ψυχῇ. τὸν γὰρ μέλλοντα τέρπεσθαι, χαίρειν δεῖ πρότερον καὶ ἀγάλλεσθαι. τοῦ χρυσίου δὲ παντὸς σεσωρευμένου εἰς τὸν κόσμον τοῦ σώματος τοῦ γυναικείου, καὶ στενοχωρίας οὔσης κατὰ τὴν οἰκίαν, οὐδεμία τέρψις ἐστὶ τῷ συνοικοῦντι. ὥστε, εἰ βουλόμεθα ἀρέσκειν τοῖς ἀνδράσιν, ἐν ἡδονῇ αὐτοὺς καταστήσωμεν. ἐν ἡδονῇ δὲ καταστήσομεν, ἂν περιέλωμεν τὸν κόσμον καὶ τοὺς καλλωπισμούς. ταῦτα γὰρ ἅπαντα παρ' αὐτὸν τῆς νυμφαγωγίας τὸν καιρὸν ἔχειν τινὰ τέρψιν δοκεῖ· ὕστερον δὲ τῷ χρόνῳ μαραίνεται. εἰ γὰρ τὸν οὐρανὸν οὕτω καλὸν ὄντα, καὶ τὸν ἥλιον οὕτω λαμπρόν, οὗ σῶμα οὐδὲν ἂν ἔχοις ἴσον εἰπεῖν, οὐχ ὁμοίως θαυμάζομεν διὰ τὴν συνήθειαν· πῶς σῶμα κεκαλλωπισμένον θαυμάσομεν; ταῦτα λέγω, βουλόμενος ὑμᾶς κοσμεῖσθαι τὸν κόσμον τὸν ὑγιῆ, ὃν ὁ Παῦλος ἐπέταξε· Μὴ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν. ἀλλὰ τοῖς ἔξω ἀρέσκειν βούλει, καὶ ἐπαινεῖσθαι παρ' αὐτῶν; μάλιστα μὲν οὖν, οὐ σώφρονος γυναικὸς ὁ πόθος οὗτος· πλήν, εἰ βούλει, καὶ τούτους οὕτως ἐραστὰς ἕξεις σφοδροὺς καὶ τῆς σωφροσύνης ἐπαινέτας. ἐκείνην μὲν γὰρ οὐδεὶς ἐπαινέσεται ἐπιεικὴς καὶ μέτριος, ἀλλ' ἀκόλαστοι καὶ λάγνοι· μᾶλλον δέ, οὐδὲ οὗτοι ἐπαινέσονται, ἀλλὰ καὶ κακῶς ἐροῦσιν, ἀναπληρούμενοι τὰς ὄψεις ὑπὸ τῆς περὶ τὴν γυναῖκα ἀσωτίας· ταύτην δὲ κἀκεῖνοι καὶ οὗτοι καὶ πάντες ἀποδέξονται, ἅτε μηδὲν κακὸν παρ' αὐτῆς λαμβάνοντες, ἀλλὰ καὶ διδασκαλίαν φιλοσοφίας· καὶ πολὺς μὲν ἔσται παρὰ ἀνθρώπων ὁ ἔπαινος, πολὺς δὲ παρὰ τῷ Θεῷ ὁ μισθός. τοῦτον τοίνυν ζηλώσωμεν τὸν κόσμον, ἵνα καὶ ἐνταῦθα μετ' ἀδείας ζήσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξβ. 1 ΗΝ ΔΕ ΤΙΣ ΑΣΘΕΝΩΝ ΛΑΖΑΡΟΣ ΑΠΟ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. 2 Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ.

κεφ. ια.

Πολλοὶ τῶν ἀνθρώπων, ὅταν ἴδωσί τινας τῶν ἀρεσκόντων τῷ Θεῷ πάσχοντάς τι δεινόν, οἷον, ἢ ἀρρωστίᾳ περιπεσόντας, ἢ πενίᾳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ, σκανδαλίζονται· οὐκ εἰδότες, ὅτι τῶν μάλιστα τῷ Θεῷ φίλων τὸ ταῦτα πάσχειν ἐστίν· ἐπεὶ καὶ ὁ Λάζαρος τῶν φίλων ἦν τοῦ Χριστοῦ, καὶ ἠσθένει. τοῦτο γοῦν καὶ οἱ πέμψαντες ἔλεγον· ἴδε, ὃν φιλεῖς ἀσθενεῖ. ἀλλ' ἴδωμεν ἄνωθεν τὴν περικοπήν. ἦν τις, φησίν, ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, εἶπε πόθεν ἦν ὁ Λάζαρος, ἀλλὰ διά τινα αἰτίαν ἣν μετὰ ταῦτα ἐρεῖ. τέως δὲ τοῦ προκειμένου ἐχώμεθα. καὶ τὰς ἀδελφὰς δὲ αὐτοῦ ἡμᾶς διδάσκει χρησίμως· [καὶ ἔτι ὃ πλέον εἶχε Μαρία, ἐπάγων καὶ λέγων·] "ἦν δὲ Μαρία, ἡ ἀλείψασα τὸν Κύριον μύρῳ. ἐνταῦθά τινες" διαποροῦντες, πῶς, φασίν, ἠνέσχετο ὁ Χριστὸς γυναικὸς τοιαῦτα ποιούσης; πρότερον μὲν οὖν ἐκεῖνο ἀναγκαῖον μαθεῖν, ὅτι οὐχ αὕτη ἐστὶν ἡ πόρνη ἡ ἐν τῷ Ματθαίῳ, οὐδὲ ἡ ἐν τῷ Λουκᾷ· "ἄλλη γὰρ αὕτη. ἐκεῖναι μὲν γὰρ πόρναι" δή τινες ἦσαν καὶ πολλῶν γέμουσαι κακῶν· αὕτη δέ, καὶ σεμνὴ καὶ σπουδαία. καὶ γὰρ περὶ τὴν ὑποδοχὴν ἐσπούδαζε τοῦ Χριστοῦ. δείκνυσι δὲ ὁ εὐαγγελιστής, ὅτι καὶ αἱ ἀδελφαὶ ἐφίλουν αὐτόν, καὶ ὅμως συνεχώρησε τὸν Λάζαρον ἀποθανεῖν. τίνος δὲ ἕνεκεν οὐκ ἐάσασαι τὸν ἀδελφὸν κάμνοντα, ὅπερ ἐποίησεν ὁ ἑκατόνταρχος καὶ ὁ ἄρχων ὁ βασιλικός, ἀπῆλθον πρὸς αὐτόν, ἀλλὰ πέμπουσι; σφόδρα ἐθάῤῥουν τῷ Χριστῷ, καὶ πολλὴν πρὸς αὐτὸν εἶχον οἰκείωσιν.

α. Τιμ. β. θ.

σιν. ἄλλως δέ, καὶ γυναῖκες ἦσαν ἀσθενεῖς, καὶ τῷ πένθει κατείχοντο· ἐπεὶ ὅτι οὐ καταφρονοῦσαι τοῦτο ἐποίουν, ὕστερον ἐδήλωσαν. ὅτι μὲν οὖν οὐκ ἦν αὕτη ἐκείνη, δῆλον. ἀλλὰ καὶ ἐκείνην τίνος ἕνεκεν ἐδέξατο ὁ Χριστός, φησιν; ἵνα λύσῃ τὴν κακίαν· ἵνα δείξῃ τὴν φιλανθρωπίαν· ἵνα μάθῃς, ὅτι οὐκ ἔστι νόσημα νικῶν αὐτοῦ τὴν ἀγαθότητα. μὴ τοίνυν τοῦτο μόνον ἴδῃς, ὅτι ἐδέξατο, ἀλλὰ κἀκεῖνο σκόπει, πῶς μετέβαλε. καὶ τίνος ἕνεκεν "ἀναμιμνήσκει τῆς ἱστορίας ταύτης ἡμᾶς ὁ εὐαγγελιστής· μᾶλλον δὲ τί διδάξαι βούλεται τῷ λέγειν,

5 Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον;

Μηδέποτε ἀγανακτεῖν μηδὲ δυσχεραίνειν, εἴ τις ἀσθένεια γένοιτο περὶ τοὺς σπουδαίους ἄνδρας καὶ τῷ Θεῷ φίλους.

3 Ἴδε, ὃν φιλεῖς ἀσθενεῖ. Εἰς οἶκτον ἐπισπάσασθαι ἐβούλοντο τὸν Χριστόν. ἔτι γὰρ ὡς ἀνθρώπῳ προσεῖχον. καὶ δῆλον ἐξ ὧν λέγουσιν, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανε· "καὶ ἐκ τοῦ μὴ εἰπεῖν, ἴδε, Λάζαρος ἀσθενεῖ, ἀλλ᾽ ἴδε, ὃν φιλεῖς ἀσθενεῖ. τί οὖν ὁ Χριστός;

4 Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ᾽ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ δι᾽ αὐτῆς ὁ υἱὸς τοῦ Θεοῦ. Ὅρα πῶς πάλιν μίαν τὴν δόξαν φησὶν αὐτοῦ καὶ τοῦ πατρός. εἰπὼν γὰρ Θεοῦ, ἐπήγαγεν, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ. αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον. ἐπειδὴ γὰρ ἔμελλεν ἐκεῖ ἡμέρας δύο μένειν, τέως αὐτοὺς ἀποπέμπεται ταῦτα ἀπαγγέλλοντας. ἐφ᾽ ᾧ καὶ θαυμάσαι ἔστι τὰς ἀδελφὰς αὐτοῦ," πῶς ἀκούσασαι, ὅτι οὐκ ἔστι πρὸς θάνατον, καὶ ἰδοῦσαι αὐτὸν ἀποθανόντα, οὐκ ἐσκανδαλίσθησαν, ἀπεναντίας τοῦ πράγματος γενομένου· ἀλλὰ προσῆλθον" καὶ οὕτω, καὶ οὐκ ἐνόμισαν αὐτὸν διαψεύσασθαι. τὸ δέ, ἵνα, ἐνταῦθα οὐκ αἰτιολογίας, ἀλλ᾽ ἐκβάσεώς ἐστι. συνέβη μὲν γὰρ ἑτέρωθεν ἡ ἀῤῥωστία, ἐχρήσατο δὲ αὐτῇ εἰς δόξαν Θεοῦ.

6 Καὶ ταῦτα εἰπών, ἔμεινεν ἡμέρας δύο. Τίνος ἕνεκεν ἔμεινεν; ἵνα ἀποπνεύσῃ καὶ ταφῇ, ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι οὔπω τελευτήσαντα αὐτὸν ἀνέστησεν· ὅτι κάρος ἦν, ὅτι ἔκλυσις ἦν, ὅτι καταφορὰ ἦν, καὶ οὐ θάνατος. διὰ τοῦτο καὶ χρόνον τοσοῦτον" ἔμεινεν, ὡς καὶ φθορὰν γενέσθαι, καὶ εἰπεῖν," ἤδη ὄζει. 7 Εἶτα λέγει τοῖς μαθηταῖς· ἄγωμεν εἰς τὴν Ἰουδαίαν.

Τί δήποτε οὐδαμοῦ προειπὼν ἀλλαχοῦ, ἐνταῦθα προλέγει; ἐδεδοίκεισαν σφόδρα· "καὶ ἐπεὶ ταύτῃ διέκειντο, προλέγει, ἵνα μὴ τὸ ἀθρόον ταράξῃ αὐτούς. τί δὲ οἱ μαθηταί;

8 Νῦν ἐζήτουν σε Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; Ἐδεδοίκεισαν μὲν οὖν καὶ ὑπὲρ αὐτοῦ· τὸ δὲ πλέον, μᾶλλον ὑπὲρ ἑαυτῶν. οὔπω γὰρ ἦσαν ἀπηρτισμένοι. διὸ καὶ τῷ δέει κατασειόμενος λέγει Θωμᾶς· ἄγωμεν, ἵνα καὶ ἡμεῖς ἀποθάνωμεν. ἀσθενέστερος γὰρ τῶν ἄλλων ἦν καὶ "ἀπιστότερος. ἀλλ᾽ ὅρα πῶς αὐτοὺς δι᾽ ὧν φησι παραθαῤῥύνει ὁ Ἰησοῦς.

9 Οὐχὶ δώδεκα ὧραί εἰσι τῆς ἡμέρας; "Ἢ τοῦτο τοίνυν φησίν, ὅτι ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, οὐδὲν πείσεται δεινόν· ὁ δὲ τὰ φαῦλα πράττων, πείσεται (ὥστε ἡμᾶς οὐ χρὴ δεδοικέναι, οὐδὲν γὰρ ἄξιον θανάτου ἐπράξαμεν) ἢ ὅτι ὁ τὸ φῶς τοῦ κόσμου τούτου βλέπων, ἐν ἀσφαλείᾳ" ἐστίν. εἰ δὲ ὁ τὸ φῶς τοῦ κόσμου τούτου βλέπων, πολλῷ μᾶλλον ὁ μετ᾽ ἐμοῦ, ἐὰν μὴ ἀποστήσῃ ἑαυτὸν ἐμοῦ. τούτοις παραθαῤῥύνας, ἐπάγει καὶ τὴν αἰτίαν ἀναγκαίαν οὖσαν τῆς ἀφίξεως τῆς ἐκεῖσε· καὶ δεικνύς, ὅτι οὐκ εἰς τὰ Ἱεροσόλυμα μέλλουσιν ἀπιέναι, ἀλλ᾽ εἰς Βηθανίαν,

11 Λάζαρος ὁ φίλος, φησί, κεκοίμηται, καὶ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν·

Τουτέστιν, οὐκ ἐπὶ τοῖς αὐτοῖς ἄπειμι πάλιν διαλεξόμενος καὶ ὁμόσε χωρήσων τοῖς Ἰουδαίοις, ἀλλὰ τὸν φίλον ἐξυπνίσων τὸν ἡμέτερον. 12 Λέγουσιν οἱ μαθηταί· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. Τοῦτο δὲ οὐχ ἁπλῶς εἶπον, ἀλλ᾽ ἐγκόψαι βουλόμενοι τὴν ἐκεῖ παρουσίαν. λέγεις, φησίν, ὅτι καθεύδει; οὐκοῦν οὐ κατεπείγει τὸ ἀπελθεῖν. καίτοι αὐτὸς διὰ τοῦτο εἶπεν, ὅτι ὁ φίλος ἡμῶν, ἵνα δείξῃ ἀναγκαίαν τὴν παρουσίαν. ἐπεὶ οὖν ὀκνη-

γρ. ὑπομιμ

γρ. καὶ ἐκ τοῦ εἰπ

γρ. ὅτι

γρ. τῷ Κυρ

γρ. μένειν,

γρ. ὅτι

γρ. διὰ τὸ περιλ.

γρ. δειλότεροι.

γρ. τοῦτο δὲ εἶπεν ἐμφῆναι βουλόμενος, ὅ

γρ. ἔστι.

κεφ. ια.

θρότερον διέκειντο, 14 Τότε λέγει, ἀπέθανε. Τὸ μὲν οὖν πρότερον, τὸ ἀκόμπαστον παραδεῖξαι βουλόμενος, ἔλεγεν· ἐπεὶ δὲ οὐ συνῆκαν, ἐπάγει· ἀπέθανε,

15 Καὶ χαίρω δι' ὑμᾶς. Τί δήποτε δι' ὑμᾶς; ὅτι προεῖπον οὐκ ὢν ἐκεῖ, καὶ ὅτι, ἐπειδὰν ἀναστήσω, οὐδεμία ἔσται ὑποψία. ὁρᾷς πῶς ἔτι ἀτελέστερον διέκειντο οἱ μαθηταί, καὶ οὐκ ᾔδεσαν αὐτοῦ τὴν δύναμιν ὡς ἐχρῆν; τοῦτο δὲ ἐποίουν οἱ μεταξὺ φόβοι ταράττοντες αὐτῶν τὰς ψυχὰς καὶ θορυβοῦντες. Καὶ ὅτε μὲν ἔλεγε, κεκοίμηται, λέγει· πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν· ὅτε δὲ εἶπεν, ἀπέθανεν, οὐκέτι προσέθηκε, πορεύομαι ἵνα ἀναστήσω αὐτόν. οὐ γὰρ ἠβούλετο τοῖς ῥήμασι προλέγειν, ἀλλὰ διὰ τῶν ἔργων ἔμελλε βεβαιοῦσθαι, τὸ ἀκενόδοξον πανταχοῦ διδάσκων ἡμᾶς, καὶ τὸ μὴ δεῖν ἁπλῶς ὑπισχνεῖσθαι. Εἰ δὲ ἐπὶ τοῦ ἑκατοντάρχου τοῦτο ἐποίησε παρακληθεὶς (εἶπε γάρ, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν) ἵνα δείξῃ τὴν ἐκείνου πίστιν, τοῦτο εἶπεν. Εἰ δὲ λέγοι τις, πόθεν ὕπνον ὑπέλαβον οἱ μαθηταί, καὶ οὐδὲ ἀπὸ τούτου συνέγνωσαν θάνατον εἶναι, ἀπὸ τοῦ εἰπεῖν, πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν; (καὶ γὰρ ἀνοίας ἦν, εἴγε προσεδόκων στάδια πέντε καὶ δέκα αὐτὸν πορεύεσθαι ὥστε ἐξυπνίσαι) ἐκεῖνο ἂν εἴποιμεν, ὅτι ἐνόμιζον τοῦτο αἴνιγμα εἶναι, οἷα πολλὰ διελέγετο. πάντες μὲν οὖν ἐδεδοίκεισαν τὴν τῶν Ἰουδαίων ἔφοδον, ὑπὲρ δὲ τοὺς ἄλλους ὁ Θωμᾶς· διὸ καὶ ἔλεγεν,

Ματθ. η. ζ.

16 Ἄγωμεν, ἵνα καὶ ἡμεῖς ἀποθάνωμεν μετ' αὐτοῦ. Καί τινες μέν φασιν, ὅτι ἐπεθύμει καὶ αὐτὸς ἀποθανεῖν· οὐκ ἔστι δέ. δειλίας γὰρ μᾶλλον τὸ ῥῆμα. ἀλλ' οὐκ ἐπετιμήθη. διεβάσταζε γὰρ αὐτοῦ τὴν ἀσθένειαν ἔτι. ὕστερον μέντοι πάντων ἰσχυρότερος γέγονε καὶ ἄληπτος. τὸ γὰρ θαυμαστὸν τοῦτο ἐστιν, ὅτι τὸν οὕτως ἀσθενῆ πρὸ τοῦ σταυροῦ, μετὰ τὸν σταυρὸν καὶ τὸ πιστεῦσαι τῇ ἀναστάσει θερμότερον πάντων αὐτὸν ὁρῶμεν· τοσαύτη ἡ τοῦ Χριστοῦ δύναμις. ὁ γὰρ μετὰ τοῦ Χριστοῦ εἰς Βηθανίαν μὴ τολμῶν ἀπελθεῖν, οὗτος τὸν Χριστὸν οὐχ ὁρῶν, σχεδὸν τὴν οἰκουμένην διέδραμε, καὶ ἐν μέσοις δήμοις ἐστρέφετο φονῶσι καὶ βουλομένοις αὐτὸν ἀνελεῖν. Εἰ δὲ ἀπὸ δεκαπέντε σταδίων ἦν ἡ Βηθανία, ὅπερ ἐστὶ μίλια δύο, πῶς τεταρταῖος ὁ Λάζαρος; ἔμεινε δύο, καὶ πρὸ τῶν δύο ἦλθέ τις ἀπαγγέλλων καθ' ἣν καὶ ἐτελεύτησεν· εἶτα κατ' αὐτὴν τὴν τετάρτην ἡμέραν παραγίνεται. διὰ τοῦτο καὶ κληθῆναι ἀνέμεινε, καὶ οὐχὶ αὐτεπάγγελτος ἦλθεν, ἵνα μή τις ὑποπτεύσῃ τὸ γεγονός. καὶ οὐδὲ αὗται παραγίνονται αἱ φιλούμεναι, ἀλλὰ ἄλλοι πέμπονται. 18 Ἦν δὲ ἡ Βηθανία ὡς ἀπὸ σταδίων δεκαπέντε. Οὐχ ἁπλῶς τοῦτο ἐπισημαίνεται· ἀλλὰ βούλεται διδάξαι ὅτι ἐγγὺς ἦν, καὶ εἰκὸς ἀπὸ τούτου παρεῖναι πολλούς. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει λέγων· 19 Πολλοὶ ἐκ τῶν Ἰουδαίων ἦλθον, ἵνα παραμυθήσωνται αὐτάς.

Καὶ πῶς παρεμυθοῦντο αὐτὰς φιλουμένας ὑπὸ τοῦ Χριστοῦ, καίτοι συνέθεντο, ἐάν τις ὁμολογήσῃ Χριστόν, ἵνα ἀποσυνάγωγος γένηται; ἢ διὰ τὴν ἀνάγκην τῆς συμφορᾶς, ἢ ὡς εὐγενεστέρας αἰδούμενοι, ἢ οἱ μὴ πονηροί, οὗτοι παρῆσαν. πολλοὶ γοῦν καὶ ἐξ αὐτῶν ἐπίστευσαν. Ταῦτα δὲ λέγει ὁ εὐαγγελιστής, πιστούμενος ὅτι τέθνηκε Λάζαρος. Τί δήποτε δὲ οὐ παραλαμβάνει τὴν ἀδελφὴν Μάρθα εἰς ἀπάντησιν ἐρχομένη τοῦ Χριστοῦ; βούλεται κατιδίαν αὐτῷ συντυχεῖν, καὶ τὸ γεγονὸς ἀπαγγεῖλαι. ἐπειδὴ δὲ αὐτὴν εἰς ἐλπίδας χρηστὰς ἤγαγε, τότε ἄπεισι καὶ καλεῖ τὴν Μαρίαν, καὶ ἀπήντησεν αὐτῷ, τοῦ πένθους ἀκμάζοντος ἔτι. ὁρᾷς πῶς ζέον τὸ φίλτρον ἦν; αὕτη ἐστὶ περὶ ἧς ἔλεγε· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο. πῶς οὖν, φησί, θερμοτέρα νῦν ἡ Μάρθα φαίνεται; οὐ θερμοτέρα, ἀλλ' ἐπειδὴ οὔπω μαθοῦσα ἦν ἐκείνη· ἐπεὶ αὕτη καὶ ἀσθενεστέρα ἦν. καὶ γὰρ ἀκούσασα τοσαῦτα, ἔτι ταπεινὰ φθέγγεται· ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν. ἐκείνη δέ, καίτοι μηδὲν ἀκούσασα, τοιοῦτον οὐδὲν ἐφθέγξατο, ἀλλ' εὐθὺς πιστεύσασα λέγει· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἀπέθανεν. ὁρᾶτε ὅση φιλοσοφία γυναικῶν, εἰ καὶ ἀσθενὴς αὐτῶν ἡ γνώμη; ἰδοῦσαι γὰρ τὸν Χριστόν, οὐκ εὐθέως εἰς θρήνους οὐδὲ εἰς κωκυτοὺς οὐδὲ ὀλολυγμοὺς ἐκπίπτουσιν, ὅπερ πά-

Λουκ. ι. μβ.

κεφ. ια.

γόμεθα ἡμεῖς, ἐπειδὰν τινας γνωρίμους ἐπεισιόντας ἴδωμεν τῷ πένθει· ἀλλὰ εὐθέως τὸν διδάσκαλον θαυμάζουσιν. ἐπίστευον μὲν οὖν καὶ ἀμφότεραι εἰς τὸν Χριστὸν, ἀλλ' οὐχ ὡς προσῆκεν. οὔπω γὰρ ἀκριβῶς ἠπίσταντο, οὔτε ὅτι Θεὸς ἦν, οὔτε ὅτι οἰκείᾳ δυνάμει καὶ αὐθεντίᾳ ταῦτα ποιεῖ· ἅπερ ἀμφότερα αὐτὰς ἐδίδαξεν. ἐκεῖνο μὲν γὰρ ἠγνόουν τῷ λέγειν,

21 Εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός ἡμῶν, Τοῦτο δὲ τῷ λέγειν,

22 Ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι, Ὡς περὶ ἐναρέτου τινὸς καὶ εὐδοκίμου διαλεγόμεναι. ὅρα δὲ καὶ τί φησιν ὁ Χριστός·

23 Ἀναστήσεται ὁ ἀδελφός σου. Ἐκεῖνο τέως ἀνατρέπει τὸ, ὅσα ἂν αἰτήσῃ· οὐ γὰρ εἶπεν, αἰτῶ, ἀλλὰ τί; ἀναστήσεται ὁ ἀδελφός σου. τὸ μὲν οὖν εἰπεῖν, ὦ γύναι, ἔτι κάτω βλέπεις, οὐ δέομαι βοηθείας ἑτέρας, ἀπ' ἐμαυτοῦ πάντα ποιῶ, σφόδρα ἦν φορτικὰ, καὶ προσέστη ἂν τῇ γυναικί· τὸ δὲ εἰπεῖν ἀναστήσεται, μέσον ἦν ποιοῦντος τὸν λόγον. καὶ διὰ τῶν ἑξῆς δὲ ταῦτα ἅπερ εἶπον ᾐνίξατο. εἰπούσης γὰρ,

24 Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, Σαφέστερον δεικνὺς αὐτοῦ τὴν αὐθεντίαν, λέγει· 25 Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· Δηλῶν, ὅτι οὐ δεῖται ἑτέρου βοηθοῦντος, εἴγε αὐτός ἐστιν ἡ ζωή. εἰ δὲ δεῖται ἑτέρου, πῶς ἂν εἴη αὐτὸς ἡ ἀνάστασις καὶ ἡ ζωή; ἀλλ' οὕτω φανερῶς οὐκ εἶπεν, ᾐνίξατο δὲ αὐτό. πάλιν δὲ ἐκείνης εἰπούσης, ὅσα ἂν αἰτήσῃ, αὐτὸς πάλιν λέγει· Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται, Δεικνὺς ὅτι αὐτός ἐστιν ὁ χορηγὸς τῶν ἀγαθῶν, καὶ παρ' αὐτοῦ δεῖ αἰτεῖν.

26 Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Ὅρα πῶς αὐτῆς ἀνάγει τὸν νοῦν. οὐ γὰρ τοῦτο ἦν τὸ ζητούμενον μόνον, τὸ Λάζαρον ἀναστῆσαι, ἀλλ' ἔδει καὶ ταύτην καὶ τοὺς παρόντας μετ' αὐτῆς τὴν ἀνάστασιν μαθεῖν. διὰ τοῦτο περὶ τῆς ἀναστάσεως φιλοσοφεῖ διὰ τῶν ῥημάτων. εἰ δὲ ἡ ἀνάστασις αὐτός ἐστι καὶ ἡ ζωὴ, οὐ τόπῳ περικλείεται, ἀλλὰ πανταχοῦ παρὼν οἶδεν ἰᾶσθαι. εἰ μὲν οὖν εἶπον, ὡς ὁ ἑκατοντάρχης, εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου, τοῦτο ἂν ἐποίησεν· ἐπειδὴ δὲ ἐκάλεσαν αὐτὸν πρὸς ἑαυτὰς, καὶ παραγενέσθαι ἠξίωσαν, τούτου ἕνεκεν συγκατέβη, ὥστε αὐτὰς ἀναστῆσαι ἀπὸ τῆς ταπεινότητος τῆς περὶ αὐτὸν, καὶ παραγίνεται κατὰ τὸν τόπον. ὅμως καὶ συγκατιὼν δείκνυσι καὶ οὕτως, ὅτι καὶ ἀπὼν δύναται θεραπεύειν. διὰ τοῦτο δὲ καὶ βραδύνει. οὐ γὰρ ἂν ἔφαινεν ἡ χάρις εὐθέως δοθεῖσα, εἰ μὴ καὶ ἡ δυσωδία προεχώρησε. καὶ πόθεν ᾔδει ἡ γυνὴ τὴν μέλλουσαν ἀνάστασιν; ἤκουσαν πολλὰ τοῦ Χριστοῦ περὶ ἀναστάσεως λέγοντος, ἀλλ' ὅμως ἐκείνη ἄρτι ἐπεθύμει ἰδεῖν· καὶ ὅρα πῶς κάτω στρέφεται ἔτι. ἀκούσασα γὰρ ὅτι ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωὴ, οὐδὲ οὕτως εἶπεν, ἀνάστησον αὐτόν· ἀλλὰ τί; 27 Πιστεύω ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. Τί οὖν ὁ Χριστὸς πρὸς αὐτήν; 25 Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται, Τοῦτον τὸν θάνατον τὸν κοινὸν λέγων· 26 Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ, Τὸν θάνατον ἐκεῖνον δηλῶν. ἐπεὶ οὖν ἐγώ εἰμι ἡ ἀνάστασις, μὴ θορυβηθῇς, εἰ καὶ τέθνηκεν ἤδη, ἀλλὰ πίστευε. οὐ γάρ ἐστι τοῦτο θάνατος. τέως αὐτὴν ἐπὶ τῷ συμβεβηκότι παρεμυθήσατο, καὶ ἐλπίδας ὑπέφηνε, καὶ τῷ εἰπεῖν ὅτι ἀναστήσεται, καὶ τῷ εἰπεῖν, ἐγώ εἰμι ἡ ἀνάστασις· καὶ ὅτι ἀναστὰς, κἂν πάλιν ἀποθάνῃ, οὐδὲν πείσεται. ὥστε οὐ χρὴ φρίττειν τοῦτον τὸν θάνατον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι οὔτε οὗτος τέθνηκεν, οὔτε ὑμεῖς τεθνήξεσθε. Πιστεύεις τοῦτο; λέγει ἐκείνη· πιστεύω ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Δοκεῖ μοι μὴ συνιέναι τὸ γύναιον τὸ λεχθέν. ἀλλ' ὅτι μὲν μέγα τι ἦν, συνῄδει· οὐ μὴν κατενόησε τὸ πᾶν. διὰ τοῦτο ἕτερον ἐρωτηθεῖσα, ἕτερον ἀποκρίνεται. τέως μέντοι ἐκεῖνο ἐκέρδανε, τὸ καταλῦσαι τὸ πένθος. τοιαύτη γὰρ τῶν τοῦ Χριστοῦ λόγων ἡ δύναμις· διὰ τοῦτο καὶ ἐκείνη προέφθασε, καὶ αὕτη ἠκολούθησεν. ἡ γὰρ εἰς τὸν διδάσκα-

λον

γρ. οὐδέπω γ
γνωρίζουσι

γρ. ὅτι ἢ ἐκ
δεῦσαι, δῆλο
καὶ ἐκ τοῦ ἐπι

γρ. καὶ ἐκ τοῦ
παραγαγεῖν, ο

γρ. πῶς οὖν ὁ
Χριστός;

γρ. ἑτέρας
βοηθείας,

γρ. ἐκείνης
παραγινόμε-
νος εἰς τὸν τό-
πον· καὶ αὐ

γρ. ὅρα ἔτι κά-
τω στρεφομέν

λον εὔνοια, τοῦ παρόντος οὐ σφόδρα αἰσθάνεσθαι συνεχώρει· ὥστε μετὰ τῆς χάριτος καὶ ἡ γνώμη τῶν γυναικῶν φιλόσοφος ἦν.

ΗΘΙΚΟΝ

Ἀλλὰ νῦν μετὰ τῶν ἄλλων κακῶν καὶ τοῦτο τῶν γυναικῶν τὸ νόσημα κρατεῖ. ἐπίδειξιν ἐν τοῖς θρήνοις ποιοῦνται καὶ τοῖς κωκυτοῖς, γυμνοῦσαι βραχίονας, σπαράττουσαι τρίχας, χαράδρας ποιοῦσαι κατὰ τῶν παρειῶν. καὶ τοῦτο ποιοῦσιν αἱ μὲν ὑπὸ πένθους, αἱ δὲ ὑπὸ ἐπιδείξεως καὶ φιλοτιμίας, αἱ δὲ ὑπὸ ἀσωτίας· καὶ τοὺς βραχίονας γυμνοῦσιν, ἐπ' ὄψεσι καὶ ταῦτα ἀνδρῶν. τί ποιεῖς, ὦ γύναι; γυμνοῖς σεαυτὴν ἀσχημόνως, εἰπέ μοι, ἐπὶ μέσης τῆς ἀγορᾶς, τοῦ Χριστοῦ μέλος οὖσα, ἀνδρῶν παρόντων κατὰ τὴν ἀγοράν; καὶ τρίχας τίλλεις, καὶ διαῤῥήζεις ἐσθῆτα, καὶ μέγα κωκύεις, καὶ χορὸν περιΐστᾷς, καὶ μαινάδων γυναικῶν εἰκόνα διασώζεις, καὶ οὐχ ἡγῇ τῷ Θεῷ προσκρούειν; πόσης ταῦτα μανίας; ἆρ' οὐ γελάσονται Ἕλληνες; ἆρ' οὐ μύθους τὰ ἡμέτερα εἶναι νομίσουσιν; ἐροῦσι γάρ· οὐκ ἔστιν ἀνάστασις, ἀλλὰ χλεύη τὰ τῶν χριστιανῶν, ἀπάτη καὶ συσκευή. καθάπερ γὰρ οὐδενὸς ὄντος μετὰ ταῦτα, οὕτω κωκύουσιν αἱ παρ' αὐτοῖς γυναῖκες. οὐ προσέχουσι τοῖς ῥήμασι τοῖς ἐν τοῖς βιβλίοις αὐτῶν κεχαραγμένοις· πλάσματα ἐκεῖνα πάντα, καὶ δηλοῦσιν αὗται. εἰ γὰρ ἐπίστευον, ὅτι ὁ τετελευτηκὼς οὐ τετελεύτηκεν, ἀλλ' ἐπὶ βελτίονα ζωὴν μετέστη, οὐκ ἂν αὐτὸν ὡς οὐκ ἔτι ὄντα ἐθρήνησαν, οὐκ ἂν οὕτω κατεκόπτοντο, οὐκ ἂν τοιαύτας ἀφῆκαν φωνὰς ἀπιστίας γεμούσας· οὐκ ἔτι σε ὄψομαι, οὐκ ἔτι σε ἀπολήψομαι. μῦθος ἅπαντα τὰ παρ' αὐτοῖς. εἰ δὲ τὸ κεφάλαιον τῶν ἀγαθῶν οὕτω διαπιστεῖται, πολλῷ μᾶλλον καὶ τὰ ἄλλα τὰ παρ' αὐτοῖς σεμνά. οὐχ οὕτως Ἕλληνες γυναικίζονται. πολλοὶ παρ' αὐτοῖς ἐφιλοσόφησαν· καὶ ἀκούσασα [Ἑλλὴν] γυνὴ περὶ παιδὸς ἐν πολέμῳ περιπεσόντος, εὐθέως ἤρετο· τὰ δὲ τῆς πόλεως πῶς διάκειται πράγματα; καὶ ἄλλος φιλόσοφος ἐστεφανωμένος, ἐπειδὴ ἤκουσεν ὅτι ὑπὲρ τῆς πατρίδος ὁ παῖς ἔπεσεν, ἀφελόμενος τὸν στέφανον, καὶ ἐρόμενος ὁπότερος τοῖν δυοῖν, ἐπειδὴ ἔμαθε τὸν πεσόντα, τὸν στέφανον εὐθὺς πάλιν ἐπέθηκε. πολλοὶ δὲ καὶ υἱοὺς καὶ θυγατέρας ἐπέδωκαν εἰς σφαγὴν, δαίμονας τιμῶντες· αἱ δὲ Λακωνικαὶ γυναῖκες καὶ παραινοῦσι τοῖς παισὶν, ἢ τὴν ἀσπίδα διασῶσαι ἐκ τοῦ πολέμου, ἢ ἐπ' αὐτῆς ἐνεχθῆναι νεκρόν. διὰ ταῦτα αἰσχύνομαι ὅτι Ἕλληνες τοιαῦτα φιλοσοφοῦσιν, ἡμεῖς δὲ ἀσχημονοῦμεν. οἱ περὶ ἀναστάσεως οὐδὲν εἰδότες, τὰ τῶν εἰδότων πράττουσιν· οἱ δὲ εἰδότες, τὰ τῶν ἀγνοούντων. πολλοὶ καὶ ὃ διὰ Θεὸν οὐ ποιοῦσι, τοῦτο δι' ἀνθρώπων αἰδῶ πράττουσι πολλάκις. αἱ γὰρ εὐπορώτεραι τῶν γυναικῶν τρίχας οὐ τίλλουσιν, οὐ βραχίονας γυμνοῦσιν. ὃ καὶ αὐτὸ κατηγορίας ἐσχάτης, οὐκ ἐπειδὴ οὐ γυμνοῦσιν, ἀλλ' ἐπειδὴ οὐ δι' εὐλάβειαν αὐτὸ πράττουσιν, ἀλλὰ διὰ τὸ μὴ δόξαι καταισχύνειν ἑαυτάς. εἶτα αἰδὼς μὲν πένθους κρατεῖ, ὁ δὲ τοῦ Θεοῦ φόβος οὐ κρατεῖ; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα κατηγορίας ἄξια; ἐχρῆν οὖν ὃ ποιοῦσιν αἱ πλουτοῦσαι διὰ τὸν πλοῦτον, ταῖς πενομέναις διὰ τὸν τοῦ Θεοῦ φόβον ποιεῖν· νῦν δὲ πάντα ἀπεναντίας, κἀκεῖναι διὰ κενοδοξίαν φιλοσοφοῦσι, καὶ αὗται διὰ μικροψυχίαν ἀσχημονοῦσι. τί ταύτης τῆς ἀνωμαλίας χεῖρον; πάντα δι' ἀνθρώπους, πάντα διὰ τὰ ἐνταῦθα πράττομεν· καὶ ῥήματα παραφροσύνης γέμοντα φθέγγονται καὶ πολλοῦ γέλωτος. καὶ ὁ μὲν Κύριός φησι· Μακάριοι οἱ πενθοῦντες, τοὺς τὰ ἁμαρτήματα πενθοῦντας λέγων. καὶ οὐδεὶς ἐκεῖνο πενθεῖ τὸ πένθος, οὐδὲ φροντίζει τῆς ψυχῆς ἀπολωλυίας· τοῦτο δὲ οὐκ ἐκελεύσθημεν πράττειν, καὶ πράττομεν. τί οὖν φησι; καὶ ἄνθρωπον ὄντα ἔνι μὴ δακρύειν; οὐδὲ ἐγὼ τοῦτο κωλύω, ἀλλὰ κωλύω τὸ κόπτεσθαι, τὸ ἀμέτρως τοῦτο ποιεῖν. οὐκ εἰμὶ θηριώδης, οὐδὲ ἀπηνής· οἶδα ὅτι ἡ φύσις ἐλέγχεται, καὶ ἐπιζητεῖ τὴν συνήθειαν καὶ τὴν ὁμιλίαν τὴν καθημερινήν. οὐκ ἔνεστι μὴ λυπεῖσθαι. τοῦτο καὶ ὁ Χριστὸς ἔδειξεν. ἐδάκρυσε γὰρ ἐπὶ τοῦ Λαζάρου. τοῦτο καὶ σὺ ποίησον· δάκρυσον, ἀλλ' ἠρέμα, ἀλλὰ μετ' εὐσχημοσύνης, ἀλλὰ μετὰ τοῦ φόβου τοῦ Θεοῦ. ἂν δακρύσῃς οὕτως, οὐχ ὡς τῇ ἀναστάσει διαπιστῶν τοῦτο ποιεῖς, ἀλλ' ὡς οὐ φέρων τὸν χωρισμόν. ἐπεὶ καὶ τοὺς ἀποδημοῦντας καὶ ἀναχωροῦντας δακρύομεν· ἀλλ' οὐ ποιοῦμεν τοῦτο ὡς

Ματθ. ε. δ.

ἀπογινώσκοντες. οὕτω καὶ σὺ δάκρυσον, ὡς ἀποδημοῦντα προπέμπων. ταῦτα οὐ νομοθετῶν λέγω, ἀλλὰ συγκατιών. Εἰ μὲν γὰρ ἁμαρτωλὸς ὁ τεθνηκώς, καὶ πολλὰ τῷ Θεῷ προσκεκρουκώς, δεῖ δακρύειν· μᾶλλον δὲ οὐδὲ δακρύειν μόνον (τοῦτο γὰρ οὐδὲν ὄφελος ἐκείνῳ) ἀλλὰ ποιεῖν τὰ δυνάμενά τινα παραμυθίαν αὐτῷ περιποιῆσαι, ἐλεημοσύνας καὶ προσφοράς. δεῖ δὲ καὶ ἐπὶ τούτῳ χαίρειν, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτοῦ. Εἰ δὲ δίκαιος, ἀγάλλεσθαι πάλιν, ὅτι ἐν ἀσφαλείᾳ τὰ ἐκείνου κεῖται, καὶ ἀπήλλακται τῆς τοῦ μέλλοντος ἀδηλίας· ἂν μὲν νέος, ὅτι ταχέως ἀπηλλάγη τῶν ἐν τῷ μέσῳ κακῶν· ἂν δὲ πρεσβύτης, ὅτι ὃ δοκεῖ ποθεινὸν εἶναι, τοῦτο μετὰ κόρου λαβὼν ἀπῆλθε. σὺ δὲ ταῦτα ἀφεὶς λογίζεσθαι, τὰς θεραπαινίδας κατακόπτεσθαι παρορμᾷς, ὡς δῆθεν τιμῶσα τὸν ἀπελθόντα, ὅπερ ἐσχάτης ἐστὶν ἀτιμίας. ἡ γὰρ τιμὴ τῷ τετελευτηκότι, οὐ θρῆνοι καὶ οἰμωγαί· ἀλλ' ὕμνοι καὶ ψαλμῳδίαι, καὶ βίος ἄριστος. ἐκεῖνος μὲν γὰρ ἀπελθών, μετ' ἀγγέλων ἀπελεύσεται, κἂν μηδεὶς παρατύχῃ τῷ λειψάνῳ· ὁ δὲ διεφθαρμένος, κἂν τὴν πόλιν ἔχῃ προπέμπουσαν, οὐδὲν καρπώσεται. Βούλει τιμῆσαι τὸν ἀπελθόντα; ἑτέρως τίμησον, ἐλεημοσύνας ποιῶν, [εὐεργεσίας, λειτουργίας.] τί τὸ ὄφελος ἀπὸ τῶν πολλῶν ὀδυρμῶν; ἐγὼ δὲ καὶ ἕτερον ἤκουσα χαλεπόν· ὅτι δὴ πολλαὶ καὶ ἐραστὰς ἐπισπῶνται) διὰ τῶν θρήνων, τῇ θερμότητι τοῦ κοπετοῦ φιλανδρίας δόξαν ἑαυταῖς κατασκευάζουσαι. ὢ διαβολικῆς ἐπινοίας· ὢ σατανικῆς ἐφευρέσεως. μέχρι πότε γῆ καὶ σποδὸς ἡμεῖς; μέχρι πότε αἷμα καὶ σάρκες; ἀναβλέψωμεν εἰς τοὺς οὐρανούς, λάβωμεν ἔννοιαν τῶν πνευματικῶν. πῶς Ἕλλησιν ἐπιτιμῆσαι δυνησόμεθα; πῶς παραμυθήσασθαι, τοιαῦτα ποιοῦντες; πῶς αὐτοῖς περὶ ἀναστάσεως διαλεξόμεθα; πῶς περὶ τῆς ἄλλης φιλοσοφίας; πῶς αὐτοὶ βιωσόμεθα μετ' ἀδείας; οὐκ οἶδας, ὅτι ἀπὸ λύπης ἐκβαίνει θάνατος; σκοτίζουσα γὰρ τὸ διορατικὸν τῆς ψυχῆς, οὐ μόνον οὐδὲν ἀφίησιν ἰδεῖν τῶν δεόντων, ἀλλὰ καὶ πολὺ τὸ βλάβος ἐργάζεται. ἐκείνως μὲν οὖν καὶ τῷ Θεῷ προσκρούομεν, καὶ οὔτε ἑαυτούς, οὔτε τὸν ἀπελθόντα ὠφελοῦμεν· οὕτω δὲ καὶ τῷ Θεῷ εὐαρεστοῦμεν, καὶ παρὰ ἀνθρώποις εὐδοκιμοῦμεν. ἐὰν γὰρ μὴ καταπέσωμεν καὶ αὐτοί, ταχέως ἀναιρεῖ τὸ λείψανον τῆς ἀθυμίας· ἐὰν δὲ ἀγανακτῶμεν, ἀφίησιν ἡμᾶς ἐκδότους τῇ λύπῃ γενέσθαι. ἐὰν εὐχαριστῶμεν, οὐκ ἀθυμήσομεν. καὶ πῶς δύναται, φησί, μὴ λυπεῖσθαι, ὁ υἱὸν ἢ θυγατέρα ἢ γυναῖκα ἀποβαλών; οὐ λέγω, μὴ λυπεῖσθαι, ἀλλὰ μὴ ἀμέτρως τοῦτο ποιεῖν. ἐὰν γὰρ ἐννοήσωμεν ὅτι ὁ Θεὸς ἀφείλετο, ὅτι θνητὸν εἴχομεν ἄνδρα καὶ υἱόν, ταχέως ληψόμεθα παραμυθίαν. τὸ γὰρ ἀγανακτεῖν, μεῖζόν τι τῆς φύσεως ἐπιζητούντων ἐστίν. ἄνθρωπος ἐγεννήθης, καὶ θνητός· τί οὖν ἀλγεῖς, ὅτι τὸ κατὰ φύσιν ἐγένετο; μὴ ἀλγεῖς ὅτι ἐσθίων τρέφῃ; μὴ ζητεῖς χωρὶς τούτου ζῆν; οὕτω ποίει καὶ ἐπὶ τοῦ θανάτου, καὶ μὴ ζήτει τέως ἀθανασίαν θνητὸς γενόμενος· ἅπαξ τοῦτο ὡρίσθη. μὴ τοίνυν ἄλγει, μηδὲ κατακόπτου, ἀλλὰ στέργε τὰ κοινῇ πᾶσι νομοθετηθέντα· ἄλγει δὲ ὑπὲρ τῶν ἁμαρτημάτων. τοῦτο γὰρ πένθος καλόν, τοῦτο φιλοσοφία μεγίστη. οὐκοῦν τοῦτο πενθῶμεν διηνεκῶς, ἵνα τῆς ἐκεῖ χαρᾶς ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. δοῦναι,
γρ. πλέον
γρ. ἀνοίας.
ἀλ. μανίας.
γρ. διανοίας
γρ. ἐνθυμήσεως.
γρ. ἐννοήσωμεν τὸ πνευματικόν.
γρ. ἀπὸ γὰρ λυπ.
γρ. σκοτοῖ τὸ διορατ.
γρ. τροφῆς
γρ. φιλοσοφίας μεγίστης.

Ὁμιλ. ξγ. 30 ΟΥΠΩ ΔΕ ΕΛΗΛΥΘΕΙ Ο ΙΗΣΟΥΣ ΕΙΣ ΤΗΝ κώμην, ἀλλ' ἦν ἐν τῷ τόπῳ, ὅπου ἀπήντησεν αὐτῷ ἡ Μάρθα.

31 Οἱ δὲ Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ τὰ ἑξῆς.

Μέγα ἀγαθὸν φιλοσοφία· φιλοσοφίαν δὲ λέγω, τὴν παρ' ἡμῖν. τὰ γὰρ τῶν ἔξωθεν, ῥήματα καὶ μῦθοι μόνον εἰσί, καὶ οὐδὲ αὐτοὶ οἱ μῦθοι φιλόσοφόν τι ἔχοντες. δόξης γὰρ ἕνεκεν ἅπαντα γίνονται τὰ παρ' ἐκείνοις. μέγα τοίνυν ἀγαθὸν ἡ φιλοσοφία, καὶ τὰς ἀμοιβὰς ἐντεῦθεν ἡμῖν ἀποδίδωσιν. ὅ τε γὰρ χρημάτων καταφρονῶν, ἐντεῦθεν ἤδη καρποῦται τὸ ὄφελος, φροντίδων ἀπαλλαττόμενος περιττῶν καὶ ἀνονήτων·

γρ. φιλοσοφίαν
γρ. καλόν,

ὅτε δόξαν καταπατῶν, ἐντεῦθεν ἤδη λαμβάνει τὸν μισθὸν, οὐδενὸς δοῦλος ὢν, ἀλλὰ τὴν ὄντως ἐλευθερίαν ἐλεύθερος· ὁ τῶν οὐρανίων ἐπιθυμῶν, ἐντεῦθεν λαμβάνει τὴν ἀντίδοσιν, οὐδὲν τὰ παρόντα εἶναι νομίζων πράγματα, καὶ λύπης ἁπάσης κρατῶν ῥᾳδίως. ἰδοὺ γοῦν καὶ ἡ γυνὴ αὕτη φιλοσοφοῦσα τὸν μισθὸν ἐντεῦθεν ἀπέλαβε. καὶ γὰρ, πάντων παρακαθημένων ′πενθούσῃ καὶ κοπτομένῃ, οὐ περιέμενεν ἐλθεῖν πρὸς αὐτὴν τὸν διδάσκαλον, οὔτε τὴν ἀξίαν ἐτήρησεν, οὔτε ὑπὸ τοῦ πένθους κατεσχέθη (καὶ γὰρ μετὰ τῆς ἄλλης ταλαιπωρίας αἱ πενθοῦσαι καὶ τοῦτο τὸ νόσημα ἔχουσι, φιλοτιμεῖσθαι ἐπὶ τῶν παρόντων βουλόμεναι) ἀλλ' οὐδὲν τούτων αὕτη ἔπαθεν, ″ἀλλ', ἅμα ἤκουσε, καὶ ἔρχεται ταχὺ πρὸς αὐτόν. ὁ δὲ Ἰησοῦς οὔπω ἐληλύθει εἰς ″τὴν κώμην. βραδύτερον γὰρ ἐβάδιζεν, ἵνα μὴ δόξῃ ἐπιρρίπτειν ἑαυτὸν τῷ σημείῳ, ἀλλ' ′ἀξιοῦσθαι παρ' ἐκείνων. ἢ τοῦτο γοῦν βουλόμενος αἰνίξασθαι ὁ εὐαγγελιστής φησιν, ἐγείρεται ταχὺ, εἶπεν· ἢ δείκνυσιν, ὅτι οὕτως ἔδραμεν, ὡς προφθάσαι αὐτὸν ἐρχόμενον. ἔρχεται δὲ οὐ μόνη, ἀλλὰ καὶ τοὺς ἐν τῇ οἰκίᾳ ἐπισυρομένη Ἰουδαίους· σφόδρα συνετῶς διὰ τοῦτο καὶ λάθρα ″ἐφώνησεν αὐτὴν ἡ ἀδελφὴ, ὥστε μὴ διαταράξαι τοὺς συνελθόντας, καὶ οὐδὲ τὴν αἰτίαν εἶπεν. ἦ γὰρ ἂν πολλοὶ καὶ ἀνεχώρησαν. νῦν δὲ ὡς ″κλαῦσαι ἀπερχομένῃ πάντες ἠκολούθουν· καὶ διὰ τοῦτο πάλιν, ὅτι τέθνηκε Λάζαρος, πιστοῦται.

32 Καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ. Θερμοτέρα αὕτη τῆς ἀδελφῆς. οὐ τὸν ὄχλον ᾐδέσθη, οὐ τὴν ὑποψίαν ἣν εἶχον περὶ αὐτοῦ (ἦσαν γὰρ πολλοὶ καὶ τῶν ἐχθρῶν, οἵτε καὶ ἔλεγον· οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;) ἀλλὰ πάντα ἐξέβαλε τὰ ἀνθρώπινα, παρόντος τοῦ διδασκάλου, καὶ ἑνὸς ἐγίνετο μόνου, τῆς εἰς τὸν διδάσκαλον τιμῆς. καὶ τί φησι; Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου. ″Τί δὲ ὁ Χριστός; οὐδὲν αὐτῇ διαλέγεται τέως, οὐδὲ λέγει ταῦτα, ἃ καὶ πρὸς τὴν ἀδελφὴν αὐτῆς (ὄχλος γὰρ παρῆν πολὺς, καὶ οὐκ ἦν τῶν ῥημάτων καιρὸς ἐκείνων) ἀλλὰ μόνον μετριάζει τε καὶ συγκαταβαίνει, καὶ τὴν ἀνθρωπίνην φύσιν πιστούμενος δακρύει ἠρέμα, καὶ τὸ σημεῖον πρὸς τὸ παρὸν ἀναβάλλεται. ἐπειδὴ γὰρ τὸ θαῦμα μέγα ἦν, καὶ τοσοῦτον, οἷον ὀλιγάκις ἐποίησε, καὶ ἔμελλον ″πολλοὶ πιστεύειν δι' αὐτοῦ, ἵνα μὴ τὸ ἄνευ αὐτῶν ποιῆσαι προσστῇ τοῖς ὄχλοις, καὶ μηδὲν κερδάνωσιν ὑπὸ τοῦ μεγέθους, πολλοὺς ἐπισπᾶται ″) μάρτυρας ″τῇ συγκαταβάσει, ἵνα μὴ τὴν θήραν ἀπολέσῃ, καὶ ″δείκνυσιν ὅσαπερ ἦν ἀνθρωπίνης φύσεως. δακρύει γὰρ καὶ συγχεῖται. οἶδε γὰρ πάθος ἀναρριπίζειν πένθος. εἶτα ἐπιτιμήσας τῷ πάθει (τὸ γὰρ, ἐνεβριμήσατο τῷ πνεύματι, τοῦτό ἐστιν, ἐπέσχε τὴν σύγχυσιν) οὕτως ἐρωτᾷ, 34 Ποῦ τεθείκατε αὐτόν; Ὥστε μὴ μετ' ὀλοφυρμοῦ γενέσθαι τὴν ἐρώτησιν. τί δήποτε δὲ ἐρωτᾷ; οὐ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν, ἀλλὰ πάντα παρ' ἐκείνων μανθάνειν καὶ παρακαλούμενος ποιεῖν, ὥστε πάσης ὑποψίας ἀπαλλάξαι τὸ σημεῖον. Λέγουσιν αὐτῷ· ἔρχου καὶ ἴδε. 35 Ἐδάκρυσεν ὁ Ἰησοῦς. Ὁρᾷς ὅτι οὐδὲν οὔπω ἀναστάσεως σημεῖον ἐπεδέδεικτο, οὐδὲ οὕτως ἄπεισιν ὡς ἀναστήσων, ἀλλ' ὡς δακρύσων; ὅτι γὰρ οὕτως ἀπιέναι ἐδόκει, ὡς θρηνήσων, ἀλλ' οὐχ ὡς ἀναστήσων, ″δηλοῦσιν Ἰουδαῖοι, οἳ δὴ καὶ ἔλεγον· 36 Ἴδε πῶς ἐφίλει αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον·

37 Οὐκ ἠδύνατο οὗτος ὁ ποιήσας ἀνοιχθῆναι τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Οὐδὲ ἐν ταῖς συμφοραῖς τῆς πονηρίας καθυφίεσαν· καίτοι ὃ μέλλει ποιεῖν, πολὺ θαυμαστότερον. τὸ γὰρ στῆσαι τὸν θάνατον ἐπιόντα, τὸ παραγενόμενον καὶ κρατήσαντα ἀπελάσαι, πολλῷ μεῖζόν ἐστιν. ἐξ ὧν οὖν ἔδει θαυμάζειν αὐτοῦ τὴν δύναμιν, ἐκ τούτων αὐτὸν διαβάλλουσι. τέως ὁμολογοῦσιν ὅτι ἀνέῳξε τοῦ τυφλοῦ τοὺς ὀφθαλμούς· καὶ δέον ὑπὲρ ἐκείνου θαυμάζειν, οἱ δὲ ἀπὸ τούτου καὶ ἐκεῖνο ἐνδιαβάλλουσιν, ὡς οὐδὲ γεγονός. οὐκ ἐντεῦθεν δὲ μόνον δείκνυνται πάντες διεφθαρμένοι· ἀλλὰ καὶ ἐκ τοῦ μήπω ἐλθόντος, μηδὲ ἐπιδειξαμένου, προλαμβάνειν αὐτοὺς ταῖς κατηγορίαις, οὐκ ἀναμένοντας τοῦ

γρ. πενθοῦσα

γρ. ἀλλ' ἀνασα-
λευθεὶς ἀ-
ίπησιν.

γρ. τὸν τόπον

γρ. ἀξιούμενος

γρ. ἧπτε πρὸς
αὐτήν.

γρ. ὀλοφυρο-
μένη

γρ. τί οὖν; οὐδὲν

γρ. μεγάλα
ροβαίνειν δι'

γρ. ἐπὶ συγκα-
βαίνων,

γρ. τέως τὴν
ἀνθρωπίνην
σιν.

γρ. πῶς οὐδὲν
ἤπω τὸ
ὡς.

γρ. πεν, ἀκου-
στὶ φησιν, οἱ
ἔλεγον, ἴδε
οῦς ἐφ. α. ἄλ-
οι δὲ ἔλεγον,
ἰδίων.

προστάγματος τὸ τέλος. Εἶδες πῶς διεφθαρμένη αὐτῶν ἡ κρίσις ἦν; ἔρχεται τοίνυν εἰς τὸ μνῆμα, καὶ πάλιν ἐπιτιμᾷ τῷ πάθει. τί δήποτε δὲ περισπουδάστως ὁ εὐαγγελιστὴς ἄνω καὶ κάτω φησὶν, ὅτι ἐδάκρυσε, καὶ ὅτι ἐνεβρίμησεν; ἵνα μάθῃς, ὅτι ἀληθῶς τὴν φύσιν τὴν ἡμετέραν περιεβάλετο. ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτοῦ δηλός ἐστι λέγων τῶν ἄλλων μᾶλλον οὗτος, καὶ ἐν τοῖς σωματικοῖς πολὺ ταπεινότερον ἐνταῦθα φθέγγεται. οὐδὲν γοῦν περὶ τοῦ θανάτου τοιοῦτον εἶπεν, οἷον οἱ λοιποὶ, ὅτι περίλυπος γέγονεν, ὅτι ἐναγώνιος· ἀλλὰ πᾶν τοὐναντίον, ὅτι καὶ ὑπτίους ἔρριψε. τὸ γοῦν ἐλλειφθὲν ἐκεῖ ἀνεπλήρωσεν ἐνταῦθα διὰ τοῦ πένθους. περὶ γὰρ τοῦ θανάτου διαλεγόμενος, λέγει· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου· καὶ οὐδὲν ταπεινὸν ἐκεῖ φθέγγεται. διὰ τοῦτο δὲ καὶ ἐν τῷ πάθει πολὺ τὸ ἀνθρώπινον αὐτῷ προσάπτουσιν, ἀπὸ τούτου δηλοῦντες, ὅτι ἀληθῆ τὰ τῆς οἰκονομίας. καὶ ὁ μὲν Ματθαῖος, ἀπὸ τῆς ἀγωνίας καὶ τοῦ θορύβου καὶ τοῦ τρόμου καὶ τοῦ ἱδρῶτος· οὗτος δὲ, ἀπὸ τοῦ πένθους πιστοῦται. οὐκ ἂν δὲ, εἰ μὴ τῆς φύσεως ἦν τῆς ἡμετέρας, ὑπὸ τοῦ πένθους ἐκρατήθη, καὶ ἅπαξ, καὶ δεύτερον. τί δὲ ὁ Ἰησοῦς; τῶν μὲν ἐγκλημάτων ἕνεκεν οὐδὲν αὐτοῖς ἀπολογεῖται· τί γὰρ ἔδει διὰ ῥημάτων ἐπιστομίζειν μέλλοντας αὐτίκα διὰ τῶν ἔργων τοῦτο πάσχειν, ὅπερ ἀνεπαχθέστερον ἦν καὶ μᾶλλον καταισχῦναι αὐτοὺς ἱκανόν;

39 Φησὶ δὲ, ἄρατε τὸν λίθον. Τί δήποτε δὲ οὐχὶ ἀπὼν ἐκάλεσε καὶ παρέστησεν αὐτόν; μᾶλλον δὲ διὰ τί οὐχὶ τοῦ λίθου ἐπικειμένου ἐποίησεν ἀναστῆναι; καὶ γὰρ ὁ δυνάμενος σῶμα κινῆσαι νεκρὸν τῇ φωνῇ, καὶ ἐμψυχωμένον πάλιν δεῖξαι, πολλῷ μᾶλλον λίθον κινῆσαι ἴσχυσεν ἂν τῇ αὐτῇ φωνῇ· ὁ τὸν δεδεμένον κειρίαις καὶ ταύταις συμπεποδισμένον διὰ τῆς φωνῆς βαδίζειν παρασκευάσας, πολλῷ μᾶλλον λίθον ἐκίνησεν ἄν. τί δήποτε οὖν οὐκ ἐποίησεν; ἵνα αὐτοὺς μάρτυρας ποιήσῃ τοῦ θαύματος· ἵνα μὴ τοῦτο λέγωσιν, ὃ καὶ ἐπὶ τοῦ τυφλοῦ, ὅτι οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος. αἱ γὰρ χεῖρες, καὶ τὸ παραγενέσθαι εἰς τὸ μνημεῖον, ἐμαρτύρουν ὅτι αὐτός ἐστιν. ὥστε, εἰ μὴ παρεγένοντο, καὶ φάντασμα ἂν ἐνόμισαν, ἢ ἕτερον ἀνθ' ἑτέρου ὁρᾶν. νῦν δὲ τὸ παραγενέσθαι εἰς τὸν τόπον, καὶ τὸν λίθον ἆραι, καὶ τὸ ἐσπαργανωμένον τὸν τεθνηκότα ἐπιτραπῆναι λῦσαι τῶν δεσμῶν, καὶ τὸ τοὺς φίλους τοὺς ἐξενεγκόντας τοῦ τάφου, ὡς αὐτός ἐστιν, ἀπὸ τῶν σπαργάνων ἐπιγινώσκειν, καὶ τὸ τὰς ἀδελφὰς μὴ ἀπολειφθῆναι, καὶ τὸ ταύτην εἰπεῖν, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστι· πάντα ἤδη ταῦτα ἱκανὰ ἐπιστομίσαι ἀγνωμονοῦντας, μάρτυρας γενομένους τοῦ σημείου. διὰ τοῦτο αὐτοὺς κελεύει τὸν λίθον ἆραι ἀπὸ τοῦ τάφου, δεικνὺς ὅτι αὐτὸν ἐγείρει. διὰ τοῦτο καὶ ἐρωτᾷ· ποῦ τεθείκατε αὐτόν; ἵνα οἱ εἰπόντες, ἔρχου καὶ ἴδε, καὶ ἀγαγόντες αὐτὸν, μὴ ἔχωσι λέγειν ὅτι ἕτερον ἤγειρεν· ἵνα καὶ ἡ φωνὴ καὶ αἱ χεῖρες μαρτυρῶσιν (ἡ μὲν φωνὴ λέγουσα, ἔρχου καὶ ἴδε· αἱ δὲ χεῖρες τὸν λίθον ἄρασαι, τὰ σπάργανα λύσασαι) καὶ ἡ ὄψις καὶ ἡ ἀκοὴ (ἐκείνη τῆς φωνῆς ἀκούσασα, αὕτη ἰδοῦσα ἐξελθόντα) καὶ ἡ ὄσφρησις δὲ τῆς δυσωδίας ἀντιλαμβανομένη. φησὶ γὰρ, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν. Εἰκότως ἄρα ἔλεγον, ὅτι οὐδὲν οὐ συνίει τὸ γύναιον ὧν εἶπεν ὁ Χριστὸς, ὅτι, κἂν ἀποθάνῃ, ζήσεται. ὅρα γοῦν καὶ ἐνταῦθα τί φησιν, ὡς ἀδυνάτου τοῦ πράγματος ὄντος λοιπὸν διὰ χρόνον. καὶ γὰρ ἦν ξένον, τὸ τεταρταῖον καὶ διεφθορότα ἀναστῆσαι νεκρόν. καὶ τοῖς μὲν μαθηταῖς εἶπεν, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ, περὶ ἑαυτοῦ δηλῶν· τῇ γυναικὶ δὲ, ὄψει τὴν δόξαν τοῦ Θεοῦ, περὶ τοῦ πατρὸς λέγων. ὁρᾷς ὅτι ἡ ἀσθένεια τῶν ἀκουόντων τῆς διαφορᾶς τῶν λεγομένων αἰτία ἐστίν; ἀναμιμνήσκει δὲ ὧν διελέχθη πρὸς αὐτὴν, σχεδὸν ἐπιτιμῶν ὡς ἂν ἀμνημονούσῃ. οὐκ ἐβούλετο δὲ τέως ταράξαι τοὺς παρόντας· διό φησιν,

40 Οὐκ εἶπόν σοι, ὅτι, ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;

ΗΘΙΚΟΝ

Μέγα ἄρα πίστις ἀγαθὸν, μέγα, καὶ μεγάλους δεικνῦον τοὺς μετὰ βίου κατορθοῦντας αὐτήν· ἀπὸ ταύτης καὶ ἄνθρωποι τὰ τοῦ Θεοῦ ποιοῦσιν ἐν τῷ ὀνόματι ἐκείνου. καὶ καλῶς ὁ Χριστὸς ἔλεγεν· Ἐὰν ἔχητε πίστιν, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται· καὶ πάλιν, Ὁ πιστεύ-

Ματθ. ιζ. κ.
Ἰωαν. ιδ. ιβ.

γρ. δὲ συνεχ
φησιν ὁ εὐαγ
γελιστὴς, ἄνω
καὶ κάτω φέ-
ρων, ὅτι ἐδά
κρυσε, καὶ ὅτι
ἐπετίμησε;
γρ. -νότερα
πάλιν πάντα
φθέγγεται.
γρ. οὕτως οὐδὲ
ταπεινὸν
φθέγγεται.

γρ. τί δήποτε
δὲ οὐχὶ

γρ. -μένον ἐξ
ελθεῖν, καὶ π
ἐπιτρα. λῦ.
δεσμ. καὶ π
γρ. ἱματίων

γρ. ἤδει τὸ γυν

γρ. ἢ καὶ ἐπεὶ
οὐκ ἐβούλετο
τέως ἐκπλῆ-
ξαι τοὺς πα-
ρόντας, ἠρέμα
φησίν·

ων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, ποιήσει, καὶ μείζονα τούτων ποιήσει. ποῖα φησὶ μείζονα; ἃ οἱ μαθηταὶ φαίνονται μετὰ ταῦτα ποιοῦντες. καὶ γὰρ ἡ σκιὰ Πέτρου νεκρὸν ἤγειρεν. οὕτως ἐκηρύττετο καὶ ἡ τοῦ Χριστοῦ μᾶλλον δύναμις. καὶ γὰρ οὐχ οὕτως ἦν θαυμαστὸν ζῶντα αὐτὸν θαυματουργεῖν, ὡς θανόντος αὐτοῦ ἑτέρους ἐν τῷ ὀνόματι ἐκείνου μείζονα αὐτοῦ δυνηθῆναι. ἀναμφισβήτητος γὰρ ἦν τοῦτο τῆς ἀναστάσεως ἀπόδειξις· οὐκ ἂν οὐδέ, εἰ πᾶσιν ὤφθη, οὕτως ἐπιστεύθη. ἐκεῖνοι μὲν γὰρ εἶχον ἂν καὶ εἰπεῖν, ὅτι φάντασμα ἦν τὸ ὁρώμενον· ἀπὸ δὲ τοῦ ὀνόματος αὐτοῦ μόνου πολλῷ μείζονα γινόμενα σημεῖα, ἢ ὅτε αὐτὸς συνανεστρέφετο μετὰ τῶν ἀνθρώπων, οὐκ ἂν ἠπίστησεν, εἰ μὴ σφόδρα ἀναίσθητος ἦν. μέγα τοίνυν ἀγαθὸν πίστις, ὅταν ἀπὸ θερμῆς γίνηται διανοίας, ἀπὸ φίλτρου πολλοῦ καὶ ζεούσης ψυχῆς. αὕτη φιλοσόφους ἡμᾶς δείκνυσιν, αὕτη τὴν εὐτέλειαν τῶν ἀνθρωπίνων ἀποκρύπτει, καὶ τοὺς λογισμοὺς ἀφεῖσα κάτω, περὶ τῶν ἐν οὐρανοῖς φιλοσοφεῖ πραγμάτων· μᾶλλον δέ, ὅπερ ἡ τῶν ἀνθρώπων σοφία εὑρεῖν οὐ δύναται, * ἐκ περιουσίας τοῦτο αὕτη καταλαμβάνει καὶ κατορθοῖ. ἐχώμεθα τοίνυν ταύτης, καὶ μὴ λογισμοῖς τὰ καθ' ἑαυτοὺς ἐπιτρέπωμεν. διὰ τί γὰρ Ἕλληνες, εἰπέ μοι, οὐδὲν εὑρεῖν ἠδυνήθησαν; οὐχὶ σοφίαν πᾶσαν τὴν ἔξωθεν ἔγνωσαν; πόθεν οὖν ἁλιέων καὶ σκηνοποιῶν καὶ τῶν ἀσυνέτων περιγενέσθαι οὐκ ἴσχυσαν; ἆρ' οὐχ ὅτι ἐκεῖνοι μὲν λογισμοῖς, οὗτοι δὲ πίστει τὸ πᾶν ἐπέτρεψαν; διὰ τοῦτο Πλάτωνος καὶ Πυθαγόρου καὶ πάντων ἁπλῶς τῶν πλανηθέντων οὗτοι περιεγίνοντο, καὶ τῶν ἀστρολογίᾳ καὶ μαθηματικῇ καὶ γεωμετρίᾳ καὶ ἀριθμητικῇ κατατριβέντων, καὶ πᾶσαν παίδευσιν ἐκμαθόντων ὑπερέβησαν, καὶ τοσοῦτον ἐγένοντο βελτίους, ὅσον οἱ ἀληθῶς φιλόσοφοι καὶ ὄντως τῶν φύσει μωρῶν καὶ παραπαιόντων. ὅρα γάρ· ἀθάνατον εἶπον τὴν ψυχὴν οὗτοι· μᾶλλον δὲ οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἔπεισαν. ἐκεῖνοι δὲ πρότερον μὲν οὐδὲ ᾔδεσαν ὅ, τι ποτὲ ἐστὶ ψυχή· ἐπειδὴ δὲ εὗρον, καὶ διέστησαν ἀπὸ τοῦ σώματος αὐτήν, πάλιν τὸ αὐτὸ ἔπαθον, οἱ μὲν ἀσώματον εἰπόντες εἶναι αὐτήν, οἱ δὲ σῶμα, καὶ αὐτῷ σώματι συνδιαλύεσθαι. περὶ οὐρανοῦ πάλιν οἱ μὲν εἶπον, ὅτι ἔμψυχος καὶ Θεός· οἱ δὲ ἁλιεῖς, ὅτι ἔργον Θεοῦ καὶ τέχνημα, καὶ ἐδίδαξαν καὶ ἔπεισαν. ἀλλὰ τὸ μὲν Ἕλληνας λογισμοῖς κεχρῆσθαι θαυμαστὸν οὐδέν· τὸ δὲ τοὺς δοκοῦντας εἶναι πιστούς, τούτους εὑρίσκεσθαι ψυχικούς, τοῦτό ἐστι τὸ θρήνων ἄξιον. διὰ τοῦτο καὶ οὗτοι ἐπλανήθησαν, οἱ μὲν λέγοντες οὕτως εἰδέναι Θεόν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν, ὅπερ οὐδεὶς οὐδὲ ἐκείνων ἐτόλμησεν εἰπεῖν· οἱ δὲ λέγοντες μὴ δύνασθαι τὸν Θεὸν ἀπαθῶς γεννᾶν, μηδὲ συγχωροῦντες αὐτῷ πλέον τι τῶν ἀνθρώπων ἔχειν· οἱ δὲ λέγοντες, ὅτι οὔτε δὴ βίος ὀρθὸς οὐδὲν ὠφελεῖ, οὔτε πολιτεία ἀκριβής. ἀλλ' οὐ καιρὸς ταῦτα ἐλέγχειν νῦν. ὅτι μὲν γὰρ οὐδὲν ὠφελεῖ πίστις ὀρθή, βίου ὄντος διεφθαρμένου, καὶ ὁ Χριστὸς, καὶ ὁ Παῦλος δηλοῦσι, τὸ πλεῖον τούτου τοῦ μέρους φροντίσαντες· ὁ μὲν Χριστὸς, ὅταν διδάσκῃ· Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ πάλιν, Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν (οἱ γὰρ μὴ προσέχοντες ἑαυτοῖς, εὐκόλως εἰς πονηρίαν ἐξολισθαίνουσι, κἂν πίστιν ἔχωσιν ὀρθήν) ὁ δὲ Παῦλος, ὅταν Ἑβραίοις ἐπιστέλλων οὕτω λέγῃ καὶ παραινῇ, Εἰρήνην μετὰ πάντων διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, ἁγιασμὸν καλῶν τὴν σωφροσύνην, ὥστε ἕκαστον ἀρκεῖσθαι τῇ ἰδίᾳ γυναικὶ χρή, καὶ μὴ περιπίπτειν ἑτέρᾳ. τὸν γὰρ μὴ ἀρκούμενον, ἀμήχανον σωθῆναι· ἀλλ' ἀνάγκη πάντως ἀπολέσθαι, κἂν μυρία ἔχῃ κατορθώματα. μετὰ γὰρ πορνείας ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. μᾶλλον δὲ οὐ πορνεία τοῦτο λοιπόν, ἀλλὰ μοιχεία. ὥσπερ γὰρ ἡ δεδεμένη ἀνδρί, ἂν ἑτέρῳ συνέλθῃ, λοιπὸν μεμοίχευται· οὕτως ὁ δεδεμένος γυναικί, ἂν ἑτέραν ἔχῃ, ἐμοίχευσεν. ὁ δὲ τοιοῦτος οὐ κληρονομήσει βασιλείαν, ἀλλ' εἰς γέενναν ἐμπεσεῖται. ἄκουσον καὶ περὶ τούτων τί φησιν ὁ Χριστός· Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. οὐδεμίαν γὰρ ἔχει

Ματθ. ζ.
Λεκ. ι. ι

Μαρκ. θ. μδ.

ἔχει συγγνώμην ὁ μετὰ γυναῖκα καὶ παραμυθίαν τοσαύτην ἐξυβρίζων εἰς ἑτέραν. τοῦτο γὰρ ἀκρασία λοιπόν. Εἰ δὲ καὶ αὐτῆς τῆς γυναικὸς ἀπέχονται οἱ πολλοὶ ὅταν νηστείας καιρὸς ᾖ, γρ. ἐκκλησίας ὅταν προσευχῆς· ὁ μηδὲ ταύτῃ ἀρκούμενος, ἀλλὰ καὶ ἑτέρᾳ μιγνύμενος, πόσον οὐχὶ σωρεύει πῦρ ἑαυτῷ; Εἰ δὲ τὸν ἀπολύσαντα τὴν ἑαυτοῦ καὶ ἐκβαλόντα ἑτέρᾳ μίγνυσθαι οὐκ ἔνι (μοιχεία γὰρ τοῦτό ἐστιν) ὁ ἔνδον αὐτῆς οὔσης ἑτέραν ἐπεισάγων, πόσον ἐργάζεται κακόν; μηδεὶς τοίνυν τὸ τοιοῦτο νόσημα συγχωρείτω μένειν ἐν τῇ ψυχῇ, ἀλλὰ πρόρριζον ἀνασπάτω. οὐχ οὕτως ἀδικεῖ τὴν γυναῖκα, ὡς ἑαυτόν. οὕτω γὰρ τὸ ἁμάρτημα τοῦτο χαλεπὸν καὶ ἀσύγγνωστον, ὅτι, ἂν μὲν εἰδωλολατρεῖν ἀναγκασθῇ μὴ βουλομένου ἐκείνου, κολάζει τὴν γυναῖκα ὁ Θεός· α Κορ. ζ. ιϛ. πόρνου δὲ ἐὰν χωρισθῇ, οὐκέτι. ὁρᾷς ὅσον ἐστὶ τοῦτο κακόν; Ἐὰν γάρ τις, φησί, πιστὴ ἄνδρα ἔχῃ ἄπιστον, καὶ αὐτὸς εὐδοκῇ οἰκεῖν μετ᾽ αὐτῆς, μὴ ἀφιέτω αὐτόν. περὶ δὲ πόρνης οὐχ οὕ- γρ. συνευδ. Ματθ. ε. λϐ. τως· ἀλλὰ τί; Ἐάν τις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρ᾽ ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. Εἰ γὰρ ἡ συνουσία σῶμα ἓν ποιεῖ, τὸν συγγινόμενον πόρνῃ ἀνάγκη ἓν σῶμα γίνεσθαι. πῶς οὖν δέξεται ἡ κοσμία τοῦτον Χριστοῦ μέλος οὖσα; ἢ πῶς ἑαυτῇ συνάψει τὸ μέλος τῆς πόρνης; καὶ ὅρα τὴν ὑπερβολήν. ἡ μὲν παρ᾽ ἀπίστῳ συνοικοῦσα, οὐκ ἔστιν ἀκάθαρτος (ἡγίασται γάρ, φησιν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί) ἐπὶ δὲ τῆς πόρνης οὐχ οὕτως· ἀλλὰ τί; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω μέλη πόρνης; ἐκεῖ μὲν γὰρ ὁ ἁγιασμὸς μένει κἀκείνου συνοικοῦντος, καὶ οὐκ ἐξίσταται· ἐνταῦθα δὲ ἀναχωρεῖ. δεινὸν γὰρ ἡ πορνεία, δεινόν, καὶ ἀθάνατον προξενοῦσα κόλασιν. καὶ ἐνταῦθα δὲ μυρία ἐπισπᾶται κακά. γρ. ἐπάγουσα βίον γὰρ ταλαίπωρον καὶ μοχθηρὸν ἀναγκάζεται ζῆν ὁ τοιοῦτος, καὶ τῶν κολαζομένων οὐδὲν ἄμεινον διάγει), εἰς ἀλλοτρίαν οἰκίαν ὑπεισιὼν μετὰ δέους καὶ τρόμου πολλοῦ, καὶ πάντας ὁμοῦ ὑποπτεύων καὶ οἰκέτας γρ. ἑαυτὴν εἰσάγων μετὰ γρ. πανταχοῦ ὑποπτ. καὶ ἐλευθέρους. διὸ παρακαλῶ ἀπηλλάχθαι τοῦ νοσήματος τούτου. εἰ δὲ μὴ πείθεσθε, τῶν προθύρων μὴ ἐπιβαίνετε τῶν ἱερῶν. καὶ γὰρ τὰ ψώρας ἐμπεπλησμένα πρόβατα, καὶ νόσου γέμοντα, οὐ δεῖ γρ. ἐβούλεσθε, τῶν [illegible] μὴ μετὰ τῶν ὑγιαινόντων ἀγελάζεσθαι, ἀλλ᾽ ἀπελαύνειν τῆς ποίμνης, ἕως ἂν τὴν νόσον ἀποθῶνται. μέλη Χριστοῦ γεγόναμεν· μὴ δὴ μέλη πόρνης γινώμεθα. οὐκ ἔστι τὰ ἐνταῦθα πορνεῖον, ἀλλ᾽ ἐκκλησία· τὰ δὲ μέλη τῆς πόρνης ἂν ἔχῃς, μὴ στῇς ἐν ἐκκλησίᾳ, ἵνα μὴ ἐξυβρίσῃς τὸν τόπον. εἰ γὰρ μὴ γέεννα ἦν, εἰ γὰρ μὴ κόλασις ἦν, μετὰ τὰς συνθήκας ἐκείνας καὶ τὰς γαμηλίους λαμπάδας, μετὰ τὴν εὐνὴν τὴν δικαίαν, μετὰ τὴν παιδοποιΐαν, μετὰ τὴν κοινωνίαν, πῶς ἀνέξῃ προσκολλᾶσθαι γρ. [illegible] ἑτέρᾳ; πῶς οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς; οὐκ οἶδας, ὅτι οἱ μετὰ τὴν τελευτὴν τῆς ἑαυτῶν ἑτέραν ἐπεισαγόμενοι, παρὰ πολλῶν καταγινώσκονται, καίτοι οὐ κόλασιν ἔχει τὸ πρᾶγμα; σὺ δὲ καὶ ζώσης ἑτέραν ἐπεισάγεις. καὶ πόσης ταῦτα λαγνείας; μάθε τί περὶ τῶν τοιούτων εἴρηται· ὁ σκώληξ, φησίν, αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. φρίξον τὴν ἀπειλήν, φοβήθητι τὴν κόλασιν. οὐκ ἔστιν ἐνταῦθα τοσαύτη ἡ ἡδονή, ὅση ἐκεῖ ἡ τιμωρία. ἀλλὰ μὴ γένοιτο τινὰ ὑπεύθυνον γενέσθαι τῆς κολάσεως ἐκείνης· ἀλλὰ τὴν ἁγιωσύνην ἀσκοῦντας ἰδεῖν τὸν Χριστόν, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, [ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι] χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ξδ. 41 Ο ΔΕ ΙΗΣΟΥΣ ΗΡΕ ΤΟΥΣ ΟΦΘΑΛΜΟΥΣ

ἄνω, καὶ εἶπε, πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. 42 Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, καὶ τὰ ἑξῆς.

Ὁ Πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι ὁ Χριστὸς οὐχ οὕτω πρὸς τὴν ἀξίαν ὁρᾷ τὴν ἑαυτοῦ, ὡς πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν· οὐδ' ὅπως τι μέγα φθέγξηται, ἀλλ' ὅπως δυνάμενον ἡμᾶς ἐπισπάσασθαι. Διὰ τοῦτο τὰ μὲν ὑψηλὰ καὶ μεγάλα, ὀλίγα, καὶ αὐτὰ δὲ ἐγκεκρυμμένα· τὰ δὲ ταπεινὰ καὶ εὐτελῆ, πολλὰ περιρρεῖ τοῖς αὐτοῦ λόγοις. ἐπειδὴ γὰρ τούτοις ἐνήγοντο μᾶλλον, τούτοις καὶ ἐνδιατρίβει, καὶ οὔτε αὐτὰ διόλου φθέγγεται, ὥστε μὴ τοὺς μετὰ ταῦτα βλαβῆναι, οὔτε αὐτὰ ἀποσιωπᾷ, ὥστε μὴ τοὺς τότε σκανδαλισθῆναι. Οἱ μὲν γὰρ τῆς ταπεινότητος πρὸς τὸ τέλειον ἐξελθόντες, καὶ ἐξ ἑνὸς ὑψηλοῦ δόγματος τὸ πᾶν δυνήσονται κατιδεῖν· οἱ δὲ ἀεὶ ταπεινοὶ ὄντες, εἰ μὴ πολλάκις ταῦτα ἤκουον, οὐδ' ἂν ὅλως προσῆλθον. ἀμέλει γοῦν οὐδὲ μετὰ τοσαῦτα μένουσιν, ἀλλὰ καὶ λιθάζουσι καὶ διώκουσι, καὶ ἀναιρεῖν ἐπιχειροῦσι, καὶ βλάσφημον ἀποκαλοῦσι. καὶ ὅταν μὲν ἴσον ἑαυτὸν ποιῇ τῷ Θεῷ, οὕτω λέγουσιν, οὗτος βλασφημεῖ· ὅταν δὲ εἴπῃ, ἀφέωνταί σου αἱ ἁμαρτίαι σου, ἔτι καὶ δαιμονῶντα καλοῦσιν· ὥσπερ καὶ ὅταν θανάτου κρείττονα εἶναι τοὺς ἀκούοντας αὐτοῦ τῶν ῥημάτων, ἢ καὶ ὅταν λέγῃ, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, ἐγκαταλιμπάνουσιν αὐτόν· καὶ σκανδαλίζονται πάλιν, ὅταν λέγῃ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι. Εἰ γοῦν ταῦτα οὐκ ἔφερον σπανιάκις λεγόμενα, σχολῇ γ' ἂν εἰ διὰ πάντων ὑψηλὸς ἦν ὁ λόγος καὶ οὕτως ὑφαίνετο, προσέσχον ἂν αὐτῷ. ὅταν γοῦν λέγῃ, καθὼς ἐνετείλατό μοι ὁ πατὴρ οὕτω λαλῶ· καί, ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, τότε πιστεύουσι. Καὶ ὅτι τότε, δῆλον ἀπὸ τοῦ τὸν εὐαγγελιστὴν τοῦτο ἐπισημήνασθαι καὶ εἰπεῖν, ὅτι ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. Εἰ τοίνυν τὸ μὲν ταπεινὰ φθέγγεσθαι πρὸς πίστιν ἐφέλκε, τὸ δὲ ὑψηλὰ ἀπεσόβει, πῶς οὐκ ἐσχάτης ἀνοίας μὴ συνορᾶν λογίζεσθαι τῶν ταπεινῶν τὴν αἰτίαν, ὅτι διὰ τοὺς ἀκροατὰς εἴρηται. ἐπεὶ καὶ ἀλλαχοῦ μέγα τι εἰπεῖν βουληθεὶς ἐσίγησε, τὴν αἰτίαν ταύτην προσθεὶς καὶ εἰπών· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν· ὃ δὴ ποιεῖ καὶ ἐνταῦθα. μετὰ γὰρ τὸ εἰπεῖν· ἐγὼ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἐπήγαγεν· ἀλλὰ διὰ τὸν ὄχλον περιεστῶτα εἶπον, ἵνα πιστεύσωσι. μὴ ἡμέτερα τὰ ῥήματα; μὴ στοχασμὸς ἀνθρώπινος; ὅταν οὖν τις ἀπὸ τῶν γεγραμμένων μὴ ἀνέχηται πείθεσθαι, ὅτι ἐσκανδαλίζοντο ἐπὶ τοῖς ὑψηλοῖς, ἀκούων τοῦ Χριστοῦ λέγοντος διὰ τοῦτο ταπεινὰ φθέγγεσθαι, ἵνα μὴ σκανδαλισθῶσι, πῶς λοιπὸν τῆς φύσεως εἶναι τὰ εὐτελῆ ὑποπτεύσει ῥήματα, ἀλλὰ μὴ συγκαταβάσεως; οὕτω καὶ ἀλλαχοῦ, φωνῆς ἐνεχθείσης ἄνωθεν, ἔλεγεν· Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. καίτοι τῷ μὲν ὑψηλῷ ἔξεστι πολλὰ περὶ ἑαυτοῦ λέγειν ταπεινά· τῷ δὲ ταπεινῷ οὐ θέμις περὶ ἑαυτοῦ μέγα τι καὶ ὑψηλὸν φθέγξασθαι. ἐκεῖνο μὲν γὰρ ἀπὸ συγκαταβάσεως γίνεται, καὶ τὴν τῶν διδασκομένων ἀσθένειαν αἰτίαν ἔχει, μᾶλλον δὲ τὸ ἐνάγειν εἰς ταπεινοφροσύνην, καὶ τὸ σάρκα περικεῖσθαι, καὶ τὸ παιδεύειν τοὺς ἀκούοντας μηδὲν περὶ ἑαυτῶν μέγα λαλεῖν, καὶ τὸ * νομίζεσθαι ἀντίθεον, καὶ τὸ ἀπιστεῖσθαι ἥκειν παρὰ τοῦ Θεοῦ, καὶ τὸ ὑποπτεύεσθαι λύειν τὸν νόμον, καὶ τὸ βασκαίνειν τοὺς ἀκούοντας, καὶ πρὸς αὐτὸν ἀπεχθῶς διακεῖσθαι, διότι ἔλεγεν ἑαυτὸν ἴσον τῷ Θεῷ· τὸ δὲ ταπεινὸν ὄντα τινὰ ὑψηλόν τι περὶ ἑαυτοῦ λέγειν, οὐδεμίαν ἔχει αἰτίαν οὔτε εὔλογον, οὔτε ἄλογον· ἀλλ' ἡ ἀπόνοια ἂν εἴη μόνον καὶ ἀναίδεια καὶ τόλμα ἀσύγγνωστος. Τίνος οὖν ἕνεκεν ταπεινὰ φθέγγεται, τῆς ἀπορρήτου καὶ μεγάλης οὐσίας ἐκείνης ὤν; τῶν τε εἰρημένων ἕνεκεν, καὶ ὥστε μὴ νομισθῆναι ἀγέννητος. καὶ γὰρ Παῦλος τοιοῦτόν τι φαίνεται φοβηθείς· διὸ καὶ ἔλεγε, Χωρὶς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. ἀσεβὲς γὰρ τοῦτο καὶ λογίσασθαι. Εἰ γὰρ ἐλάττων τοῦ γεγεννηκότος ὢν καὶ ἑτέρας οὐσίας, ἴσος ἐνομίζετο, οὐκ ἂν πάντα ἐποίησεν, ὥστε μὴ νομισθῆναι τοῦτο; νῦν δὲ αὐτὸς τοὐναντίον ποιεῖ, λέγων· εἰ μὴ ποιῶ τὰ ἔρ-

γα

Μαρ. β. ζ.
Ιω. ι. λγ.
Ιω. ι. ιβ.
Ιωαν. ιβ. λγ.
α. Κορ. ιε. κζ.

γα τοῦ πέμψαντός με, μὴ πιστεύετέ μοι. καὶ τὸ λέγειν δὲ, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, τὴν ἰσότητα ἡμῖν αἰνίττεται. ἐξῆν δὲ μετὰ πολλῆς αὐτὸ σφοδρότητος καθελεῖν, εἴγε καταδεέστερος ἦν, καὶ μηδαμοῦ ὅλως εἰπεῖν, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, ἢ ὅτι ἕν ἐσμεν, ἢ ὅτι ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. καὶ γὰρ περὶ δυνάμεως ὅτε λόγος ἦν αὐτῷ, ἔλεγεν, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ περὶ ἐξουσίας ὅτε λόγος ἦν, πάλιν ἔλεγεν, Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· ὅπερ οὐ δυνατὸν ἦν ἑτέρας οὔσης οὐσίας ποιεῖν. εἰ δὲ καὶ δυνατὸν ἦν, οὐκ ἐξῆν τοῦτο εἰπεῖν, ἵνα μὴ ὑποπτεύσωσι μίαν καὶ τὴν αὐτὴν οὐσίαν εἶναι. εἰ γὰρ ἵνα μὴ ὑποπτεύσωσιν ὅτι ἀντίθεός ἐστι, καὶ τὰ μὴ προσήκοντα αὐτῷ φθέγγεται πολλάκις, πολλῷ μᾶλλον ἔδει τότε. νῦν δὲ τὸ λέγειν, ἵνα τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα· καὶ τὸ λέγειν, τὰ ἔργα ἃ ἐκεῖνος ἐργάζεται κἀγὼ ὁμοίως ποιῶ· καὶ τὸ λέγειν ἑαυτὸν ἀνάστασιν εἶναι καὶ ζωὴν καὶ φῶς τοῦ κόσμου, ἐξισοῦντός ἐστι τῷ γεγεννηκότι ἑαυτὸν, καὶ τὴν ὑποψίαν ἰσῶντος, ἣν εἶχον ἐκεῖνοι. Εἶδες πῶς ὅτι μὲν τὸν νόμον οὐ λύει, τοσαῦτα λέγει καὶ ἀπολογεῖται· τὴν δὲ δόξαν τῆς ἰσότητος τῆς πρὸς τὸν πατέρα οὐ μόνον οὐ καθαιρεῖ, ἀλλὰ καὶ ἵστησιν; [οὕτω] καὶ εἰπόντων, ὅτι βλασφημεῖς ὅτι ποιεῖς σεαυτὸν Θεὸν, ἀπὸ τῆς τῶν ἔργων ἰσότητος αὐτὸ ἔστησε. καὶ τί λέγω, ὅτι ὁ υἱὸς τοῦτο ἐποίησεν, ὅπου γε καὶ ὁ πατὴρ, ὁ μὴ σάρκα λαβὼν, τὸ αὐτὸ τοῦτο ποιεῖ; καὶ γὰρ καὶ αὐτὸς ἠνέσχετο πολλὰ περὶ αὐτοῦ ταπεινὰ λεχθῆναι διὰ τὴν σωτηρίαν τῶν ἀκουόντων. τὸ γὰρ, Ἀδὰμ ποῦ εἶ; καὶ τὸ, Ἵνα γνῶ, εἰ ἄρα κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται· καὶ τὸ, Νῦν ἔγνων ὅτι φοβῇ τὸν Θεὸν σύ· καὶ τὸ, Ἐὰν ἄρα ἀκούσωσι· καὶ [τὸ,] Ἐὰν ἄρα συνῶσι· καὶ, Τίς δώσει τὴν καρδίαν τοῦ λαοῦ τούτου οὕτως εἶναι; καὶ τὸ λέγεσθαι, Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· καὶ πολλὰ ἕτερα τοιαῦτα ἐν τῇ παλαιᾷ εἴ τις ἐκλέγοι, ἀνάξια τῆς τοῦ Θεοῦ ἀξίας ὄντα εὑρήσει. καὶ ἐπὶ τοῦ Ἀχαὰβ δὲ εἴρηται· Τίς ἀπατήσει μοι τὸν Ἀχαάβ; καὶ τὸ ἀεὶ τῶν ἑλληνικῶν θεῶν κατὰ σύγκρισιν ἑαυτὸν προστιθέναι, πάντα ἀνάξια τοῦ Θεοῦ· ἀλλ' ἑτέρως ἄξια γίνεται, ὅτι οὕτω φιλάνθρωπός ἐστιν, ὡς διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ τῶν τῇ ἀξίᾳ αὐτοῦ πρεπόντων ῥημάτων ὑπεριδεῖν. καὶ γὰρ καὶ αὐτὸ, τὸ ἄνθρωπον γενέσθαι, ἀνάξιον, καὶ τὸ δούλου μορφὴν λαβεῖν, καὶ ταπεινὰ φθέγγεσθαι ῥήματα, καὶ ταπεινὰ περιβεβλῆσθαι, ἀνάξιον μὲν, εἴ τις πρὸς τὴν ἀξίαν ἐκείνην ἴδοι· ἄξιον δὲ, εἴ τις τὸν ἄφατον τῆς αὐτοῦ φιλανθρωπίας πλοῦτον λογίσαιτο. ἔστι δὲ καὶ ἑτέρα τῆς ταπεινότητος τῶν ῥημάτων αἰτία. ποία αὕτη; ὅτι τὸν μὲν πατέρα καὶ ᾔδεσαν καὶ ὡμολόγουν, αὐτὸν δὲ οὐκ ᾔδεσαν. διὰ τοῦτο συνεχῶς ἐπ' αὐτὸν καταφεύγει ὡς ὡμολογημένον, ἅτε αὐτὸς οὐκ ὢν οὐδέπω ἀξιόπιστος· οὐ παρὰ τὴν οἰκείαν εὐτέλειαν, ἀλλὰ παρὰ τὴν ἄνοιαν τῶν ἀκουόντων καὶ τὴν ἀσθένειαν. διὰ τοῦτο καὶ εὔχεται καὶ λέγει· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. εἰ γὰρ οὓς θέλει ζωοποιεῖ, καὶ καθὼς ὁ πατὴρ, οὕτω ζωοποιεῖ, τίνος ἕνεκεν παρακαλεῖ; ἀλλ' ὥρα λοιπὸν ἄνωθεν ἐπεξελθεῖν τὸ χωρίον. ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος. ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. ἐρωτήσωμεν οὖν τὸν αἱρετικόν· ἀπὸ τῆς εὐχῆς ῥοπὴν ἔλαβε, καὶ τὸν νεκρὸν ἀνέστησε; πῶς οὖν τὰ ἄλλα χωρὶς εὐχῆς ἐποίει, λέγων· Σοὶ λέγω τὸ δαιμόνιον, ἔξελθε ἀπ' αὐτοῦ· καὶ, Θέλω, καθαρίσθητι· καὶ, Ἐγερθεὶς ἆρον τὸν κράββατόν σου· καὶ, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· καὶ τῇ θαλάσσῃ, Σιώπα, πεφίμωσο; τί δὲ ὅλως ἔχει τῶν ἀποστόλων πλέον, εἴγε καὶ αὐτὸς ἀπὸ εὐχῆς ποιεῖ; μᾶλλον δὲ οὔτε ἐκεῖνοι μετὰ εὐχῆς πάντα ἐποίουν, ἀλλὰ καὶ χωρὶς εὐχῆς πολλάκις τὸ ὄνομα τοῦ Ἰησοῦ καλοῦντες. εἰ δὲ τὸ ὄνομα αὐτοῦ τοσαύτην εἶχεν ἰσχὺν, πῶς ἂν αὐτὸς εὐχῆς ἐδεήθη; εἰ δὲ εὐχῆς ἐδεῖτο, οὐκ ἂν τὸ ὄνομα αὐτοῦ ἴσχυσεν. ὅτε δὲ ὅλως ἐποίει τὸν ἄνθρωπον, ποίας εὐχῆς ἐδεήθη; οὐχὶ ὁμοτιμία ἐκεῖ πολλή; ποιήσωμεν γὰρ, φησιν, ἄνθρωπον. τί δὲ ἀσθενέστερον, εἰ εὐχῆς ἐδεῖτο; ἴδωμεν δὲ καὶ τίς ἡ εὐχή. πάτερ, εὐχαρι-

στῶ

Ιωαν. ι. λ.
Ιωαν. ε. κα.
Γεν. γ. θ.
Γεν. ιη. κα.
Γεν. κβ. ιβ.
Ιεζεκ. γ. ια.
Δευτ. ε. κθ.
Ψαλμ. πε. ιζ.
β. Παραλ. ιη. ι
Μαρκ. θ. κε.
Μαρκ. α. μα.
Ιωαν. ε. θ.
Ιωαν. α. μα.
Ματθ. θ. β.
Μαρκ. δ. λθ.

γρ. ὁ λόγος ἦν, καὶ ἔλεγ
γρ. ὁ λ. ἦν, κ. ἔλ.
γρ. νῦν δὲ ὅτι μὲν
γρ. εἰ ὁ υἱὸς
γρ. σάρκα ἐνδυόμενος καὶ γὰρ
γρ. καὶ γὰρ
γρ. ἀλλὰ καὶ αὐτὸ
γρ. ταπεινὰ
γρ. ὄγκον
γρ. ἐθαύμαζ
γρ. εἰς αὐτὸ ἐμβῆναι τὸ χωρίον.
γρ. ἐπεξελθεῖν
γρ. δεῖ

στῶ σοι, ὅτι ἤκουσάς μου· τίς τοίνυν οὕτως ηὔξατό ποτε; πρὶν ἢ [γάρ] τι εἰπεῖν, εὐχαριστῶ σοι λέγει, δεικνὺς ὅτι οὐ δεῖται εὐχῆς. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις. τοῦτο εἶπεν, οὐχ ὡς αὐτοῦ ἀδυνατοῦντος, ἀλλ' ὡς μιᾶς γνώμης οὔσης. τίνος δὲ ἕνεκεν καὶ εὐχῆς σχῆμα ἀνέλαβε, μὴ ἐμοῦ, ἀλλ' αὐτοῦ ἄκουσον λέγοντος· διὰ τὸν περιεστῶτα ὄχλον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. οὐκ εἶπεν, ἵνα πιστεύσωσιν ὅτι ἐλάττων εἰμί· ὅτι χρείαν ἔχω ῥοπῆς τῆς ἄνωθεν· ὅτι χωρὶς εὐχῆς οὐ δύναμαι ποιῆσαι· ἀλλ' ὅτι σύ με ἀπέστειλας. ταῦτα γὰρ πάντα ἡ εὐχὴ δηλοῖ, ἂν ἁπλῶς αὐτὴν ἐκλάβωμεν. οὐκ εἶπεν, ἀπέστειλάς με τὸν ἀσθενοῦντα, τὸν τὴν δουλείαν ἐπεγνωκότα, τὸν ἀφ' ἑαυτοῦ οὐδὲν ποιοῦντα· ἀλλὰ ταῦτα πάντα ἀφεὶς, ἵνα μηδὲν τούτων ὑποπτεύσῃς, τίθησι τὴν ἀληθῆ τῆς εὐχῆς αἰτίαν, ἵνα μὴ ἀντίθεόν με νομίσωσιν· ἵνα μὴ λέγωσιν, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· ἵνα δείξω κατὰ γνώμην σὴν τὸ ἔργον γινόμενον· μονονουχὶ λέγων, ὅτι εἰ ἤμην ἀντίθεος, οὐκ ἂν προεχώρησε τὸ γινόμενον. τὸ δὲ, ἤκουσάς μου, καὶ ἐπὶ φίλων λέγεται καὶ ἐπὶ ὁμοτίμων. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, τουτέστι, πρὸς τὸ γενέσθαι μου τὸ θέλημα οὐ δέομαι εὐχῆς, ἀλλ' ὥστε πεῖσαι ὅτι σοὶ καὶ ἐμοὶ μία βούλησις. τί οὖν εὔχῃ; διὰ τοὺς ἀσθενεῖς καὶ παχυτέρους. 43 Καὶ ταῦτα εἰπὼν, ἔκραξε φωνῇ μεγάλῃ. Διὰ τί γὰρ οὐκ εἶπεν, ἐν τῷ ὀνόματι τοῦ πατρός μου δεῦρο ἔξω; διὰ τί μὴ εἶπεν, ἀνάστησον αὐτὸν, πάτερ· ἀλλὰ ταῦτα πάντα ἀφεὶς, καὶ εὐχομένου σχῆμα ἀναλαβὼν, διὰ τῶν πραγμάτων τὴν αὐθεντίαν ἐνδείκνυται; ὅτι καὶ τοῦτο τῆς αὐτοῦ σοφίας, διὰ μὲν ῥημάτων συγκατάβασιν, διὰ δὲ τῶν ἔργων ἐξουσίαν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ οὐδὲν ἄλλο εἶχον ἐγκαλεῖν αὐτῷ, ἀλλ' ἢ ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ οὕτω τοὺς πολλοὺς ἠπάτων, τούτου ἕνεκεν μετὰ ὑπερβολῆς δείκνυσι τοῦτο αὐτοῖς δι' ὧν φησι, καὶ καθ' ὃν τρόπον ἡ ἀσθένεια ἐκείνων ἀπῄτει. ἐνῆν μὲν γὰρ καὶ ἄλλως δεῖξαι τὴν συμφωνίαν μετὰ τῆς οἰκείας ἀξίας· ἀλλ' οὐκ ἐδύνατο ἀναβῆναι τοσοῦτον ὁ ὄχλος. καί φησι· Λάζαρε, δεῦρο ἔξω. τοῦτο ἐστὶν ὃ ἔλεγεν· Ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσουσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. ἵνα γὰρ μὴ νομίσῃς, ὅτι παρ' ἑτέρου ἔλαβε τὴν ἐνέργειαν, ἄνωθέν σε τοῦτο ἐδίδαξε, καὶ διὰ τῶν ἔργων ἐπέδειξε. καὶ οὐκ εἶπεν, ἀνάστηθι· ἀλλὰ, δεῦρο ἔξω, ὡς ζῶντι διαλεγόμενος τῷ τετελευτηκότι. τί ταύτης τῆς ἐξουσίας γένοιτ' ἂν ἴσον; εἰ δὲ μὴ ἰδίᾳ δυνάμει τοῦτο ποιεῖ, τί πλέον ἕξει τῶν ἀποστόλων τῶν λεγόντων· Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; εἰ γὰρ οὐ ποιῶν ἰδίᾳ δυνάμει, οὐ προσέθηκε τοῦτο, ὅπερ οἱ ἀπόστολοι περὶ ἑαυτῶν ἔλεγον, ἔσονταί πως ἐκεῖνοι μᾶλλον φιλοσοφοῦντες, τῷ διακρούεσθαι τὴν δόξαν. καὶ ἀλλαχοῦ· ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι. εἶτα οἱ μὲν ἀπόστολοι, ἐπειδὴ οὐδὲν οἴκοθεν ἔπραττον, ταῦτα ἔλεγον ὥστε πεῖσαι τοῦτο· αὐτὸς δὲ τοιαύτην περὶ ἑαυτοῦ δόξαν ἔχων, οὐκ ἂν τὴν ὑπόνοιαν ἀνεῖλεν, εἴγε μὴ οἰκείᾳ αὐθεντίᾳ ἐποίει; καὶ τίς ἂν τοῦτο εἴποι; καὶ μὴν τὸ ἐναντίον ποιεῖ ὁ Χριστὸς λέγων· διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα πιστεύσωσιν. ὥστε εἰ ἐπίστευον, οὐκ ἦν χρεία τῆς εὐχῆς. εἰ δὲ μὴ ἦν ἀνάξιον αὐτοῦ τὸ εὔχεσθαι, διὰ τί ἐκείνοις τὴν αἰτίαν λογίζεται; διὰ τί δὲ μὴ εἶπεν, ὅτι ἵνα πιστεύσωσιν ὅτι οὐκ εἰμί σου ἴσος; ἐχρῆν γὰρ διὰ τὴν ὑπόνοιαν πρὸς τοῦτο ἐλθεῖν. ἀλλ' ὅτε μὲν ὑπωπτεύετο λύειν τὸν νόμον, τὴν λέξιν αὐτὴν τέθεικε, μηδὲ εἰρηκότων τι ἐκείνων, Μὴ νομίσητε ὅτι ἦλθον λῦσαι τὸν νόμον· ἐνταῦθα δὲ ἵστησι τὴν ὑπόνοιαν. ὅλως δὲ, τί ἔδει περιόδου τοσαύτης καὶ αἰνιγμάτων; ἤρκει γὰρ εἰπεῖν, οὐκ εἰμὶ ἴσος, καὶ ἀπαλλαγῆναι. τί οὖν; οὐκ εἶπε, φησὶν, ὅτι οὐ ποιῶ τὸ θέλημα τὸ ἐμόν; ἀλλὰ καὶ τοῦτο συνεσκιασμένως, καὶ πρὸς τὴν ἐκείνων ἀσθένειαν, καὶ ἀπὸ τῆς αὐτῆς αἰτίας ἀφ' ἧς καὶ ἡ εὐχὴ γέγονε. τί δέ ἐστιν, ὅτι ἤκουσάς μου; τουτέστιν, ὅτι οὐδὲν ἐναντίον ἐμοῦ πρὸς σέ. ὥσπερ οὖν τὸ, ὅτι ἤκουσάς μου, οὐ τοῦτο ἐστὶ δηλοῦντος, ὅτι αὐτὸς οὐκ ἴσχυσεν (εἰ γὰρ τοῦτο ἦν, οὐκ ἀδυναμία μόνον ἔσται, ἀλλὰ καὶ ἄγνοια, εἴγε πρὸ τοῦ εὔξασθαι οὐκ ᾔδει ὅτι μέλλει ἐπινεύειν ὁ Θεός· εἰ δὲ οὐκ ᾔδει, πῶς ἔλεγεν, ὅτι πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν;

Ιωαν. ε. κη.

Πραξ. γ.

Ματθ. ε. ιζ.

ἀκούσης,
αὐτοῦ λέ-
ντος.

τελεστέ-

. πάλιν, τί
προσέχετε ἡ-
ῖν ὡς ἰδίᾳ
νάμει; ὁ-
μοιοπαθ.
ἀλλὰ καὶ τὸ
αντίον φησὶ,
ὰ τοὺς περιε-
ῶτας ὄχλους
α πιστεύ. ὥστε
ἐπίστευον.

α τὸ παν-
ε μου ἀκού-
τοῦτο δηλοῖ,
ὲν ἐναντί-
μοῦ πρὸς

τόν; καὶ οὐκ εἶπε, προθυμοῦμαι ἵνα εὔξωμαι τῷ πατρὶ ἵνα ἐξυπνίσω αὐτὸν) ὥσπερ οὖν τοῦτο οὐκ ἀσθενείας, ἀλλ' ὁμογνωμοσύνης· οὕτω καὶ τὸ, πάντοτέ μου ἀκούεις. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι πρὸς τὴν ὑπόνοιαν τὴν ἐκείνων εἴρηται. εἰ δὲ οὔτε ἠγνόει, οὔτε ἠσθένει, εὔδηλον ὅτι διὰ τοῦτο τὰ ταπεινὰ φθέγγεται ῥήματα, ἵνα κἂν ἐκ τῆς ὑπερβολῆς πεισθῇς καὶ ἀναγκασθῇς ὁμολογῆσαι, ὅτι οὐ τῆς ἀξίας αὐτοῦ ἐστιν, ἀλλὰ τῆς συγκαταβάσεως. τί οὖν οἱ τῆς ἀληθείας ἐχθροί; οὐ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων εἴρηκέ, φησι, τὸ ἤκουσάς μου, ἀλλ' ἵνα δείξῃ τὴν ὑπεροχήν. καὶ μὴν τοῦτο οὐκ ἦν δεῖξαι τὴν ὑπεροχὴν, ἀλλὰ σφόδρα ταπεινῶσαι ἑαυτὸν, καὶ ἀποφῆναι οὐδὲν ἀνθρώπου πλέον ἔχοντα. τὸ γὰρ εὔχεσθαι, οὐ κατὰ Θεὸν, οὐδὲ κατὰ σύνθρονον. ὁρᾷς ὅτι οὐδαμόθεν ἑτέρωθεν ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ διὰ τὴν ἀπιστίαν ἐκείνων; ὅρα γοῦν [καὶ] τὸ ἔργον μαρτυροῦν αὐτῷ τὴν αὐθεντίαν. Ἐκάλεσε, καὶ ἐξῆλθεν ὁ τεθνηκὼς συνειλημμένος. Εἶτα, ἵνα μὴ δόξῃ φαντασία εἶναι τὸ πρᾶγμα (τοῦ γὰρ ἀναστῆναι τὸ ἐξελθεῖν δεδεμένον οὐκ ἔλαττον ἐδόκει εἶναι παράδοξον) ἐκέλευσεν αὐτὸν λῦσαι, ἵνα καὶ ἁψάμενοι καὶ πλησίον γενόμενοι, ἴδωσιν ὅτι ὄντως ἐκεῖνός ἐστι. καί φησιν·

44 Ἄφετε αὐτὸν ὑπάγειν. Εἶδες τὸ ἀκόμπαστον; οὐκ ἐπάγεται αὐτὸν, οὐδὲ κελεύει μετ' αὐτοῦ "περιϊέναι, ὥστε μὴ δόξαι τισὶν ἐπιδείκνυσθαι. οὕτως ᾔδει μετριάζειν. γενομένου δὲ "τοῦ σημείου, οἱ μὲν ἐθαύμαζον· οἱ δὲ προσελθόντες ἀπήγγελλον τοῖς φαρισαίοις. τί οὖν ἐκεῖνοι; δέον ἐκπλήττεσθαι καὶ θαυμάζειν, "βουλεύονται αὐτὸν ἀνελεῖν, τὸν ἀναστήσαντα νεκρόν. ὢ τῆς ἀνοίας· τὸν ἐν τοῖς ἄλλων σώμασι θανάτου περιγενόμενον θανάτῳ παραδώσειν ἐνόμιζον.

47 Καὶ λέγουσι· τί ποιοῦμεν, ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ; Ἄνθρωπον αὐτὸν ἔτι καλοῦσιν, οἱ τοσαύτην λαβόντες ἀπόδειξιν τῆς αὐτοῦ θεότητος. τί ποιοῦμεν; πιστεῦσαι ἔδει καὶ θεραπεῦσαι καὶ προσκυνῆσαι, καὶ μηκέτι νομίζειν ἄνθρωπον.

48 Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, "ἔρχονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸ ἔθνος καὶ τὴν πόλιν. Τί ἐστιν "ὃ βουλεύονται ποιεῖν; τὸν λαὸν ἐπισεῖσαι βούλονται λοιπὸν, ὡς μέλλοντες κινδυνεύειν ἐπὶ ὑποψίᾳ τυραννίδος. ἐὰν γὰρ ὀχλαγωγοῦντα, φησὶ, "μάθωσιν αὐτὸν οἱ Ῥωμαῖοι, ὑποπτεύσουσιν ἡμᾶς," καὶ ἐλεύσονται καὶ καθελοῦσιν ἡμῶν τὴν πόλιν. τίνος ἕνεκεν, εἰπέ μοι; μὴ γὰρ ἀποστασίαν ἐδίδασκεν; οὐκ ἐπέτρεψε φόρον δοῦναι Καίσαρι; οὐχὶ βασιλέα αὐτὸν ποιῆσαι ἠθελήσατε, καὶ ἔφυγεν; οὐχὶ τὸν εὐτελῆ καὶ "ἀκόμπαστον μετεδίωκε βίον, μήτε οἰκίαν ἔχων, μήτε ἄλλο τῶν τοιούτων οὐδέν; ταῦτα μὲν οὖν ἔλεγον, οὐ προσδοκῶντες, ἀλλὰ βασκαίνοντες. ἐξέβη δὲ καὶ μὴ προσδοκώντων αὐτῶν, καὶ τὸ ἔθνος καὶ τὴν πόλιν ἔλαβον, ἐπειδὴ ἀνεῖλον αὐτόν. καὶ γὰρ πόρρω πάσης ὑποψίας ἦν τὰ γινόμενα. ὁ γὰρ ἰώμενος νοσοῦντας, καὶ ἄριστον διδάσκων βίον, καὶ ἄρχουσι πείθεσθαι ἐπιτάττων, οὐχὶ τυραννίδα συνίστη, ἀλλὰ κατέλυεν. ἀλλ' ἀπὸ τῶν προτέρων στοχαζόμεθα, φησίν. ἀλλ' ἐκεῖνοι ἀποστασίαν ἐδίδασκον· οὗτος δὲ τοὐναντίον. ὁρᾷς ὅτι ὑπόκρισις ἦν τὰ λεγόμενα; τί γὰρ ἐπεδείξατο τοιοῦτον; δορυφόρους "συμβοῶντας ἐπήγετο; ὀχήματα ἐπεσύρετο; οὐχὶ τὰς ἐρημίας ἐδίωκεν; ἀλλ' ἵνα μὴ δόξωσι "τὸ πάθος τοῦ ἑαυτῶν λέγειν, τὴν πόλιν φασὶ κινδυνεύειν πᾶσαν, καὶ τὸ κοινὸν ἐπιβουλεύεσθαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς εἶναι τὸν "φόβον. οὐ ταῦτα τῆς αἰχμαλωσίας ὑμῖν αἴτια γέγονεν, ἀλλὰ τὰ ἐναντία, καὶ ταύτης, καὶ τῆς εἰς Βαβυλῶνα, καὶ τῆς ἐπὶ Ἀντιόχου τῆς μετὰ ταῦτα· οὐ τὸ εἶναι παρ' ὑμῖν θεραπεύοντας, ἀλλὰ τὸ εἶναι ἐν ὑμῖν ἀδικοῦντας καὶ τὸν Θεὸν παροργίζοντας, τοῦτο ὑμᾶς ἐκδότους ἐποίησεν. ἀλλὰ τοιοῦτον ὁ φθόνος· οὐδὲν τῶν δεόντων ὁρᾶν ἀφίησιν, ἅπαξ πηρώσας τὴν ψυχήν. οὐχὶ πράους ἐδίδασκεν εἶναι; οὐχὶ ῥαπιζομένους τὴν δεξιὰν στρέφειν καὶ τὴν ἑτέραν; οὐ φέρειν ἀδικουμένους; οὐ μείζονα ἐπιδείκνυσθαι προθυμίαν πρὸς τὸ κακῶς παθεῖν, ἢ ἕτεροι ἔχουσι πρὸς τὸ κακῶς ποιῆσαι; ταῦτ' οὖν, εἰπέ μοι, τυραννίδα συνιστῶντος, ἀλλ' οὐ τυραννίδα καθαιροῦντος;

ΗΘΙΚΟΝ

Ἀλλ', ὅπερ ἔφην, δεινὸν ἡ βασκανία καὶ ὑποκρίσεως γέμον· τοῦτο τὴν οἰκουμένην μυρί-

ων

γρ. περιπατ
γρ. τότε τὰ
θαύματα,
γρ. ἐβούλοντο

γρ. ἐλάσαν
γρ. ὃ βούλον
εἰπεῖν;
γρ. ἴδωσιν
γρ. ἐπὶ τυρα
νίδι,

γρ. ἀπέριττ
ἐπεδείκνυτ
βίον,

γρ. περιεφέρ
καὶ
γρ. ἀπὸ πάθ
τοῦ ἑαυτοῦ λέ
γρ. λόγον

ων ἐνέπλησε κακῶν· ἀπὸ τοῦ νοσήματος τούτου τὰ δικαστήρια [κρινομένων] πεπλήρωται· ἀπὸ τούτου δόξης καὶ χρημάτων ἔρως· ἀπὸ τούτου φιλαρχία καὶ ὑπεροψία· ἐντεῦθεν οὐδὲ λῃσταὶ μιαροὶ, καὶ θάλαττα πειρατὰς ἔχει· ἐντεῦθεν οἱ κατὰ τὴν οἰκουμένην φόνοι· ἐντεῦθεν τὸ γένος ἡμῶν διέσπασται. ὅπερ ἂν ἴδῃς κακὸν, ἀπὸ ταύτης ὂν ὄψει. οὗτος καὶ εἰς τὰς ἐκκλησίας εἰσεκώμασε· οὗτος ἄνωθεν τὰ μυρία εἰργάσατο δεινά· οὗτος τὴν φιλαργυρίαν ἔτεκεν. αὕτη ἡ νόσος τὰ ἄνω κάτω ἐποίησε, καὶ τὸ δίκαιον διέφθειρε. Δῶρα γάρ, φησιν, ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς στόματι, ἀποστρέφει ἐλέγχους. οὗτος δούλους ἀντ' ἐλευθέρων ποιεῖ· περὶ τούτου καθ' ἑκάστην διαλεγόμεθα τὴν ἡμέραν, καὶ πλέον οὐδὲν γίνεται. θηρίων γινόμεθα χείρους· ὀρφανοὺς ἁρπάζομεν, χήρας γυμνοῦμεν, πένητας ἀδικοῦμεν, οὐαὶ ἐπὶ οὐαὶ συνάπτομεν. οἴμοι, ὅτι ἀπόλωλε εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ἡμῖν ἐστι τὸ θρηνεῖν λοιπόν· μᾶλλον δὲ τοῦτο δεῖ καθ' ἑκάστην λέγειν τὴν ἡμέραν. οὐδὲν ἐν εὐχαῖς ἀνύομεν, οὐδὲν ἐν συμβουλαῖς καὶ παραινέσεσι· λείπεται ἄρα τὸ δακρύειν. τοῦτο καὶ ὁ Χριστὸς ἐποίησε· πολλὰ τοῖς ἐν Ἱεροσολύμοις παραινέσας, ὡς οὐδὲν ἐκέρδανον ἐκεῖνοι, ἐδάκρυσεν αὐτῶν τὴν πώρωσιν. τοῦτο καὶ οἱ προφῆται ποιοῦσι· τοῦτο καὶ ἡμεῖς πράττωμεν νῦν. θρήνου λοιπὸν ὁ καιρὸς, καὶ δακρύων καὶ οἰμωγῆς. εὔκαιρον εἰπεῖν καὶ ἡμᾶς νῦν, Καλέσατε τὰς θρηνούσας, καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε, καὶ φθεγξάσθωσαν. τάχα οὕτω δυνησόμεθα ἐκβαλεῖν τὸ νόσημα τῶν τὰς οἰκίας οἰκοδομούντων τὰς λαμπρὰς, τῶν ἀγροὺς περιβαλλομένων ἐξ ἁρπαγῆς. θρηνεῖν εὔκαιρον· ἀλλὰ συλλάβεσθέ μοι καὶ ὑμεῖς τῶν θρήνων, οἱ γεγυμνωμένοι τε καὶ ἠδικημένοι· τοῖς ὑμῶν θρήνοις καταγάγετέ μου τὰ δάκρυα. ἀλλὰ θρηνοῦντες, μὴ ἑαυτοὺς, ἀλλ' ἐκείνους θρηνήσωμεν· οὐχ ὑμᾶς ἠδίκησαν, ἀλλ' ἑαυτοὺς ἀπώλεσαν. ὑμεῖς μὲν γὰρ ἔχετε τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τῆς ἀδικίας· ἐκεῖνοι δὲ τὴν γέενναν ἀντὶ κέρδους. διὰ τοῦτο βέλτιον ἀδικεῖσθαι ἢ ἀδικεῖν. θρηνήσωμεν αὐτοὺς θρῆνον, μὴ τὸν ἀνθρώπινον, ἀλλὰ τὸν ἀπὸ τῶν θείων γραφῶν, ὃν καὶ οἱ προφῆται ἐθρήνησαν. θρηνήσωμεν μετὰ τοῦ Ἠσαΐου πικρὸν, καὶ εἴπωμεν· Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; οἰκίαι μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. θρηνήσωμεν μετὰ τοῦ Ναοὺμ, καὶ εἴπωμεν μετ' ἐκείνου· οὐαὶ ὁ οἰκοδομῶν εἰς ὕψος τὴν οἰκίαν αὐτοῦ· μᾶλλον δὲ θρηνήσωμεν αὐτοὺς, καθάπερ καὶ ὁ Χριστὸς τοὺς τότε, λέγων· Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. οὕτω, παρακαλῶ, θρηνοῦντες καὶ ἡμεῖς μὴ παυσώμεθα. εἰ δὲ μὴ ἄδημον, καὶ κουφώμεθα ὑπὲρ τῆς τῶν ἀδελφῶν ῥαθυμίας· μὴ κλαίωμεν τὸν ἤδη τεθνηκότα, ἀλλὰ κλαίωμεν τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν φιλάργυρον, τὸν ἄπληστον. διὰ τί νεκροὺς θρηνοῦμεν, ἐφ' ὧν οὐδέν ἐστιν ἀνῦσαι λοιπόν; θρηνήσωμεν τούτους, ἐφ' ὧν ἐστι καὶ μεταβολή. ἀλλ', ἡμῶν θρηνούντων, τάχα αὐτοὶ γελῶσιν. ἀλλὰ καὶ τοῦτο θρήνων ἄξιον, ὅτι γελῶσιν ἐφ' οἷς ἔδει πενθεῖν. εἰ μὲν γὰρ ἔπαθόν τι ἀπὸ τῶν ὀδυρμῶν τῶν ἡμετέρων, ἐχρῆν παύσασθαι ὀδυρομένους ὡς μέλλοντας διορθοῦσθαι· ἐπειδὴ δὲ ἀναισθήτως διάκεινται, μένωμεν ἡμεῖς κλαίοντες, μὴ τοὺς πλουτοῦντας ἁπλῶς, ἀλλὰ τοὺς φιλαργύρους, τοὺς πλεονέκτας, τοὺς ἅρπαγας. οὐ κακὸν ὁ πλοῦτος (ἔστι γὰρ αὐτῷ καὶ εἰς δέον χρήσασθαι, ὅταν εἰς τοὺς δεομένους ἀναλίσκωμεν) ἀλλὰ κακὸν ἡ πλεονεξία, τὰς ἀθανάτους προξενοῦσα κολάσεις. θρηνήσωμεν τοίνυν. ἴσως γάρ τις ἔσται διόρθωσις· ἢ κἂν οἱ ἐμπεσόντες μὴ ἀπαλλαγῶσιν, ἕτεροι γοῦν οὐ περιπεσοῦνται τῷ δεινῷ, ἀλλὰ φυλάξονται. γένοιτο δὲ κἀκείνους ἐλευθερωθῆναι τοῦ νοσήματος, καὶ ἡμῶν μηδένα περιπεσεῖν ποτε, ἵνα κοινῇ πάντες τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. κ. κθ.
Ψαλμ. ιβ. α.
Ιερ. θ. ιε.
Ησ. ε. η.
Λουκ. ς. κδ.

Ομιλ. ξε. 49 ΕΙΣ ΔΕ ΤΙΣ ΕΞ ΑΥΤΩΝ ΚΑΙΑΦΑΣ ΑΡχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ οἴδατε οὐδέν,
50 Οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ὑμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται; καὶ τὰ ἑξῆς.

Ψαλμ. θ. ιε.

Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν· ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν. τοῦτο ἐπὶ Ἰουδαίων γέγονεν. αὐτοὶ μὲν γὰρ ἔλεγον ἀνελεῖν τὸν Ἰησοῦν, ἵνα μὴ ἔλθωσιν οἱ Ῥωμαῖοι, καὶ ἄρωσιν αὐτῶν καὶ τὸ ἔθνος καὶ τὴν πόλιν. ἐπειδὴ δὲ ἀνεῖλον, ταῦτα ἔπαθον· καὶ ἅπερ ὡς διαφευξόμενοι ἔπραξαν, ταῦτα ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον. ἀλλ' ὁ μὲν ἀναιρεθεὶς ἔστιν ἐν οὐρανοῖς· οἱ δὲ ἀνελόντες, τὴν γέενναν κληρονομοῦσι. καίτοι οὐ ταῦτα ἐσκέψαντο· ἀλλὰ τί; ἐβούλοντο, φησιν, ἀνελεῖν αὐτὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης. εἶπον γάρ, ὅτι ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος. Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν, ἀναισχυντότερος ὢν τῶν λοιπῶν· ὑμεῖς οὐκ οἴδατε οὐδέν. ἅπερ ἐκεῖνοι ἀμφέβαλλον, καὶ ἐν τάξει βουλῆς προετίθεσαν (ἔλεγον γάρ· τί ποιοῦμεν;) τοῦτο οὗτος ἀναισχύντως καὶ γυμνῇ τῇ κεφαλῇ καὶ μετὰ ἰταμότητος ἀνεβόησε. τί γάρ φησιν; ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.

51 Τοῦτο δὲ οὐκ εἶπεν ἀφ' ἑαυτοῦ, ἀλλὰ προεφήτευσεν ἀρχιερεὺς ὤν.

Ὁρᾷς πόση τῆς ἀρχιερατικῆς ἐξουσίας ἡ δύναμις; ἐπειδὴ γὰρ ὅλως ἠξίωτο τῆς ἀρχιερωσύνης, καίτοι ἀνάξιος ὢν τοῦ πράγματος, προεφήτευσεν, οὐκ εἰδὼς ἅπερ ἔλεγε· καὶ τῷ στόματι μόνον ἐκέχρητο ἡ χάρις, τῆς δὲ μιαρᾶς καρδίας οὐχ ἥψατο. πολλοὶ γοῦν καὶ ἄλλοι τὰ μέλλοντα εἶπον, ἀνάξιοι ὄντες, ὁ Ναβουχοδονόσορ, ὁ Φαραώ, ὁ Βαλαάμ· καὶ πάντων ἡ αἰτία δήλη. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὑμεῖς ἔτι κάθησθε, ἔτι ὀκνηρότερον τῷ πράγματι προσέχετε, καὶ οὐκ ἴστε ἑνὸς ἀνδρὸς σωτηρίας ὑπὲρ τοῦ κοινοῦ καταφρονῆσαι. ὅρα πόση τοῦ πνεύματος ἡ δύναμις· ἀπὸ διανοίας πονηρᾶς ἴσχυσε ῥήματα προενεγκεῖν προφητείας γέμοντα θαυμαστῆς. τέκνα δὲ Θεοῦ τὰ ἔθνη καλεῖ ὁ εὐαγγελιστής, ἀπὸ τοῦ μέλλοντος ἔσεσθαι· ὥσπερ οὖν καὶ αὐτός φησι, Καὶ ἄλλα πρόβατα ἔχω, καὶ αὐτὸς ἀπὸ τοῦ μέλλοντος αὐτὰ καλῶν. τί δέ ἐστιν, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου; μετὰ τῶν ἄλλων καὶ τοῦτο διέφθαρτο. οὐκέτι γὰρ τὸν χρόνον ἅπαντα τῆς ζωῆς ἱεράτευον, ἀλλ' ἐνιαυτόν, ἐξ οὗ γεγόνασιν ὠνηταὶ αἱ ἀρχαί. πλὴν ἀλλὰ καὶ οὕτω παρῆν ἔτι τὸ πνεῦμα. ἐπειδὴ δὲ τὰς χεῖρας ἦραν κατὰ τοῦ Χριστοῦ, το τηνικαῦτα αὐτοὺς ἐγκατέλιπε, καὶ μετῆλθεν ἐπὶ τοὺς ἀποστόλους. καὶ τοῦτο τὸ καταπέτασμα ἐδήλου σχιζόμενον, καὶ ἡ τοῦ Χριστοῦ φωνὴ ἡ λέγουσα· Ἰδού, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ Ἰώσηππος δὲ μετὰ βραχὺν γενόμενος χρόνον, ἔφη τινὰς ἀγγέλους τοὺς ἔτι παραμένοντας, εἰ μὴ βουληθεῖεν ἐκεῖνοι μεταστῆναι, καταλιπεῖν αὐτούς. ἕως μὲν γὰρ ὁ ἀμπελὼν εἱστήκει, πάντα ἐγίνετο· ἐπειδὴ δὲ τὸν κληρονόμον ἀπέκτειναν, οὐκ ἔτι, ἀλλ' ἀπώλοντο· καὶ καθάπερ ἱμάτιον λαμπρὸν ἀπὸ παιδὸς ἀχρήστου τῶν Ἰουδαίων λαβὼν ὁ Θεός, τοῖς εὐγνώμοσι δούλοις ἔδωκε τοῖς ἐξ ἐθνῶν, ἐκείνους ἐρήμους ἀφεὶς καὶ γυμνούς. οὐ μικρὸν δὲ τοῦτο ἦν, τὸ καὶ τὸν ἐχθρὸν προφητεῦσαι ταῦτα. τοῦτο καὶ τοὺς ἄλλους ἐπισπάσασθαι ἠδύνατο. κατὰ μὲν γὰρ τὴν αὐτοῦ προαίρεσιν, ἐναντίως ἐξέβη. ἐπειδὴ γὰρ ἀπέθανε, διὰ τοῦτο τῆς μενούσης κολάσεως ἀπηλλάγησαν οἱ πιστοί. τί ἐστιν, ἵνα συναγάγῃ τοὺς ἐγγὺς καὶ τοὺς μακράν; ἓν σῶμα ἐποίησεν. ὁ ἐν Ῥώμῃ καθήμενος, τοὺς Ἰνδοὺς μέλος εἶναι νομίζει ἑαυτοῦ. τί ταύτης τῆς συναγωγῆς ἴσον; καὶ πάντων κεφαλὴ ὁ Χριστός.

Ιωαν. ι. ιε.

Ματθ. κγ. λη.

53 Ἀπ' ἐκείνης τῆς ἡμέρας ἐβουλεύσαντο οἱ Ἰουδαῖοι, ἵνα ἀποκτείνωσιν αὐτόν.

Καὶ μὴν πρότερον ἐζήτουν. λέγει γάρ· Διὰ τοῦτο ἐζήτουν οἱ Ἰουδαῖοι αὐτὸν ἀποκτεῖναι· καί, Τί με ζητεῖτε ἀποκτεῖναι; ἀλλὰ τότε μὲν ἐζήτουν, νῦν δὲ καὶ ἐκύρωσαν τὴν γνώμην, καὶ ὡς ἔργῳ τῷ πράγματι κέχρηνται.

Ιωαν. ε ιη.
Ιωαν. ζ. ιθ.

54 Ἰησοῦς δὲ οὐκ ἔτι παρρησίᾳ περιεπάτει ἐν τῇ Ἰουδαίᾳ. Πάλιν ἀνθρωπίνως ἑαυτὸν σώζει, καὶ συνεχῶς τοῦτο ποιεῖ· τὴν δὲ αἰτίαν εἶπον, δι' ἣν πολλάκις ἀπῆλθε καὶ ἀνεχώρησε. καὶ νῦν ἐγγὺς τῆς ἐρήμου διατρίβει ἐν Ἐφραθᾷ, καὶ ἐκεῖ ἔμενε μετὰ τῶν μαθητῶν αὐτοῦ. πῶς οἴει θορυβεῖσθαι τοὺς μαθητάς, ὁρῶντας αὐτὸν ἀνθρωπίνως σωζόμενον; οὐδεὶς λοιπὸν ἠκολούθησε. τῆς γὰρ ἑορτῆς οὔσης ἐγγύς, πάντες ἐπὶ τὰ Ἱεροσόλυμα ἔτρεχον· αὐτοὶ δέ, ὅτε πάντες ἔχαιρον καὶ ἐπανηγύριζον, τότε κρύπτονται, τότε ἐν κινδύνοις εἰσίν· ἀλλ' ὅμως παρέμενον. καὶ γὰρ ἐν τῇ Γαλιλαίᾳ, τοῦ πάσχα ὄντος καὶ τῆς σκηνοπηγίας, ἐκρύπτοντο· καὶ πάλιν μετὰ ταῦτα τῆς ἑορτῆς οὔσης, τῷ φεύγειν καὶ τῷ κρύπτεσθαι μόνοι τῶν ἄλλων μετὰ τοῦ διδασκάλου, τὴν εὔνοιαν ἐπιδεικνύμενοι. ἐντεῦθέν φησιν ὁ Λουκᾶς αὐτὸν εἰρηκέναι, ἐγὼ παρέμεινα ὑμῖν ἐν τοῖς πειρασμοῖς. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι παρὰ τῆς αὐτοῦ ῥοπῆς ἐνδυναμοῦνται.

γρ. πάντα

55 Πολλοὶ δὲ ἐκ τῆς χώρας ἀνέβησαν ἁγνίσαι ἑαυτούς. 57 Καὶ ἔδωκαν παραγγελίας οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, ἵνα πιάσωσιν αὐτόν. Θαυμαστὸς ἁγνισμὸς μετὰ μιαιφόνου προαιρέσεως, μετὰ ἀνδροφόνου διανοίας, μετὰ ᾑμαγμένων χειρῶν.

56 Καὶ ἔλεγον· δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ ἐν τῇ ἑορτῇ; Διὰ τοῦ πάσχα ἐπεβούλευον, καὶ τὸν καιρὸν τῆς ἑορτῆς ἐποίουν τὸν καιρὸν σφαγῆς· τουτέστιν, ἐνταῦθα αὐτὸν ἐμπεσεῖν δεῖ, τοῦ καιροῦ καλοῦντος αὐτόν. ὢ τῆς ἀσεβείας· ὅτε πλείονος ἔδει τῆς εὐλαβείας, καὶ τοὺς ἐπὶ τοῖς ἐσχάτοις εἰλημμένους ἀφιέναι, τότε τὸν οὐδὲν ἠδικηκότα θηρεῦσαι ἐπιχειροῦσι. καίτοι καὶ ἤδη τοῦτο ποιήσαντες οὐ μόνον οὐδὲν ὤνησαν, ἀλλὰ καὶ καταγέλαστοι γεγόνασι. διὰ τοῦτο συνεχῶς ἐμπίπτων διαφεύγει, καὶ βουλομένους αὐτὸν ἀνελεῖν κατέχει καὶ ἀπόρους ποιεῖ, τῇ τῆς δυνάμεως ἀποδείξει κατανύξαι βουλόμενος· καὶ ἵνα, ὅταν λάβωσιν αὐτόν, μάθωσιν ὅτι οὐ τῆς οἰκείας ἰσχύος ἦν, ἀλλὰ τῆς ἐκείνου συγχωρήσεως τὸ γινόμενον. οὐδὲ γὰρ τότε ἴσχυσαν αὐτὸν συλλαβεῖν, καὶ ταῦτα πλησίον οὔσης τῆς Βηθανίας· καὶ ὅτε δὲ συνέλαβον, ἔρριψεν αὐτοὺς ὑπτίους.

γρ. βουλομένους

1 Πρὸ ἓξ δὲ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, 2 Καὶ εἱστιᾶτο παρ' αὐτοῖς, καὶ Μάρθα διηκόνει, καὶ Λάζαρος ἐσθίει. Τοῦτο δὲ τῆς εἰλικρινοῦς ἀναστάσεως σημεῖον ἦν, τὸ μετὰ ἡμέρας πολλὰς καὶ ζῆν καὶ ἐσθίειν. καὶ ἡ Μάρθα διηκόνει. ὅθεν δῆλον, ὅτι ἐν τῇ οἰκίᾳ αὐτῆς τὸ ἄριστον ἦν· ἅτε γὰρ φίλοι καὶ φιλούμενοι δέχονται τὸν Ἰησοῦν. τινὲς δέ φασιν ὅτι ἐν ἀλλοτρίᾳ οἰκίᾳ τοῦτο ἐγένετο. ἡ δὲ Μαρία οὐ διηκόνει· μαθήτρια γὰρ ἦν. πάλιν ἐνταῦθα αὐτὴ πνευματικώτερον. οὐ διηκόνει γάρ, ὡς κεκλημένη, οὐδὲ κοινὴν ποιεῖται τὴν ὑπηρεσίαν· ἀλλ' εἰς αὐτὸν μόνον περιΐστησι τὴν τιμήν, καὶ οὐχ ὡς ἀνθρώπῳ πρόσεισιν, ἀλλ' ὡς Θεῷ. τὸ γὰρ μύρον διὰ τοῦτο ἐξέχεε, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἀπέμαξεν, ἅτινα οὐκ ἦν ὑπόληψιν ἐχούσης περὶ αὐτοῦ τοιαύτην, οἵαν οἱ πολλοί. ἀλλ' ἐπετίμησεν ὁ Ἰούδας, προσχήματι δῆθεν εὐλαβείας. τί οὖν ὁ Χριστός;

κεφ. ιβ.

7 Ἔργον καλὸν ἐποίησεν εἰς τὸν ἐνταφιασμόν μου. Τί δήποτε δὲ οὐκ ἤλεγξε τὸν μαθητὴν ἐπὶ τῆς γυναικός, οὐδὲ εἶπε τοῦτο ὅπερ ὁ εὐαγγελιστὴς εἶπεν, ὅτι διὰ τὴν οἰκείαν κλοπὴν ἐπετίμα τῇ γυναικί; τῇ πολλῇ μακροθυμίᾳ ἐντρέψαι αὐτὸν ἐβούλετο. ὅτι γὰρ ᾔδει ὅτι προδότης ἦν, ἄνωθεν αὐτὸν ἤλεγξε πολλάκις εἰπών· οὐ πάντες πιστεύουσι· καί, εἷς ἐξ ὑμῶν διάβολός ἐστιν. ἐδήλωσε μὲν οὖν, ὅτι οἶδεν αὐτὸν προδότην, οὐκ ἤλεγξε δὲ φανερῶς, ἀλλὰ συνεχώρησεν, ἀνακαλέσασθαι αὐτὸν θέλων. πῶς οὖν ἄλλος φησίν, ὅτι πάντες οἱ μαθηταὶ τοῦτο ἐφθέγξαντο; καὶ πάντες, κἀκεῖνος· ἀλλ' οἱ λοιποὶ οὐ τῇ αὐτῇ προαιρέσει. εἰ δὲ τις ἐξετάζοι, τί δήποτε κλέπτῃ ὄντι τὸ γλωσσόκομον ἐνεχείρισε τῶν πτωχῶν, καὶ

οἰκονομεῖν ἐποίησε φιλάργυρον ὄντα, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι τὸν μὲν ἀπόῤῥητον λόγον ὁ Θεὸς οἶδεν· εἰ δὲ τι χρὴ καὶ ἡμᾶς στοχαζομένους εἰπεῖν, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν. οὐ γὰρ εἶχεν εἰπεῖν, ὅτι διὰ χρημάτων ἔρωτα τοῦτο ἐποίησε (καὶ γὰρ ἱκανὴν εἶχεν ἐκ τοῦ γλωσσοκόμου τῆς ἐπιθυμίας τὴν παραμυθίαν) ἀλλὰ διὰ πονηρίαν πολλήν, ἣν ἐβούλετο κατέχειν ὁ Χριστός, πολλῇ συγκαταβάσει πρὸς αὐτὸν κεχρημένος. διὸ οὐδὲ ἐνεκάλει αὐτῷ κλέπτοντι, καίτοιγε εἰδώς, ἐμφράττων τὴν πονηρὰν ἐπιθυμίαν, καὶ πᾶσαν ἐξαίρων ἀπολογίαν. ἄφετε αὐτήν, φησίν· εἰς γὰρ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τοῦτο ἐποίησε. πάλιν τὸν προδότην ἀνέμνησεν, ἐνταφιασμὸν εἰπών. ἀλλ' οὐ καθικνεῖται αὐτοῦ ὁ ἔλεγχος, οὐδὲ ″μαλάσσει τὸ ῥῆμα, καίτοι ἱκανὸν αὐτὸν εἰς οἶκτον ἐμβαλεῖν· ὡσανεὶ ἔλεγεν, ἐπαχθής εἰμι καὶ φορτικός; ἀλλὰ ἀνάμεινον μικρόν, καὶ ἀπελεύσομαι. καὶ γὰρ τοῦτο κατεσκεύαζεν ἐν τῷ λέγειν·

γρ. κολάσαι

8 Ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ἀλλ' οὐδὲν τούτων τὸν θηριώδη καὶ μαινόμενον ἐπέκαμψε. καίτοιγε καὶ τούτων πολλῷ πλείονα καὶ εἶπε καὶ ἐποίησε, καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε κατ' αὐτὴν τὴν νύκτα, καὶ τραπέζης αὐτῷ μετέδωκε καὶ ἁλῶν· ὃ καὶ τὰς ληστρικὰς οἶδε κατέχειν ψυχάς (καὶ ῥήματα ἕτερα ἐφθέγξατο, ἱκανὰ καὶ λίθον μαλάξαι) καὶ ταῦτα, οὐ πρὸ πολλοῦ τοῦ χρόνου, ἀλλ' ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα μηδὲ ὁ χρόνος εἰς λήθην ἐμβάλῃ. ἀλλὰ πρὸς ἅπαντα ἔστη.

ΗΘΙΚΟΝ

Δεινὸν γὰρ ἡ φιλαργυρία, δεινόν· καὶ ὀφθαλμοὺς καὶ ὦτα πηροῖ, καὶ θηρίου χαλεπωτέρους ποιεῖ, οὐ συνειδός, οὐ φιλίαν, οὐ κοινωνίαν, οὐ τὴν τῆς οἰκείας ψυχῆς σωτηρίαν ἐννοῆσαι συγχωροῦσα, ἀλλὰ καθάπαξ πάντων ἀποστήσασα, δούλους αὐτῆς ποιεῖ τοὺς ἁλόντας, καθάπερ τις τυραννὶς χαλεπή. καὶ τὸ δεινὸν τῆς οὕτω πικρᾶς δουλείας, ὅτι καὶ χάριν αὐτῆς ἔχειν ἀναπείθει· καὶ ὅσῳπερ ἂν αὐτῇ μᾶλλον δουλεύσωσι, τοσούτῳ τὰ τῆς ἡδονῆς αὔξεται· καὶ ταύτῃ μάλιστα ἀνίατον τὸ νόσημα γίνεται, ταύτῃ δυσάλωτον τὸ θηρίον. τοῦτο τὸν Γιεζῆ λεπρὸν ἀντὶ μαθητοῦ καὶ προφήτου πεποίηκε· τοῦτο τοὺς περὶ Ἀνανίαν ἀπώλεσε· τοῦτο τὸν Ἰούδαν προδότην εἰργάσατο· τοῦτο τοὺς Ἰουδαίων ἄρχοντας διέφθειρε, λαμβάνοντας δῶρα καὶ κοινωνοὺς κλεπτῶν γενομένους. τοῦτο μυρίους πολέμους εἰσήγαγεν, αἱμάτων μὲν τὰς ὁδούς, θρήνων δὲ καὶ οἰμωγῶν τὰς πόλεις πληρῶσαν. τοῦτο καὶ δεῖπνα ἐποίησε γίνεσθαι ἀκάθαρτα καὶ τραπέζας ἐναγεῖς, καὶ ἐδέσματα παρανομίας ἐνέπλησε. διὰ τοῦτο αὐτὸ εἰδωλολατρείαν ἐκάλεσεν ὁ Παῦλος. ἀλλ' οὐδὲ οὕτως ἐφόβησε. διὰ τί δὲ εἰδωλολατρείαν φησίν; ἔχουσι πολλοὶ χρήματα, καὶ χρήσασθαι αὐτοῖς οὐ τολμῶσιν, ἀλλὰ ἀφιεροῦσιν, εἰς ἐγγόνους [καὶ ἐξ ἐγγόνων] παραπέμποντες ἀνέπαφα, καθάπερ τινῶν ἀναθημάτων οὐ τολμῶντες ἅψασθαι. ἐὰν δέ ποτε καὶ ἀναγκασθῶσιν, ὥσπερ ἀθέμιτόν τι πράξαντες, οὕτω διάκεινται. καὶ ἄλλως δέ, ὥσπερ ″τὸ ξόανον περιέπει ὁ Ἕλλην· οὕτω σὺ τὸ χρυσίον θύραις ″πιστεύῃ καὶ μοχλοῖς, ἀντὶ ναοῦ τὸ κιβώτιον κατασκευάζων καὶ ἐναποτιθέμενος σκεύεσιν ἀργυροῖς. ἀλλ' οὐ προσκυνεῖς, καθάπερ ἐκεῖνος τὸ ξόανον; ἀλλὰ πᾶσαν ἐπιδείκνυσαι περὶ αὐτὸ θεραπείαν. πάλιν ἐκεῖνος ἡδέως ἂν τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχὴν προοῖτο, ἢ τὸ ξόανον. τοῦτο καὶ οἱ τὸ χρυσίον φιλοῦντες. ἀλλ' οὐ προσκυνῶ τὸ χρυσίον, φησίν. οὐδὲ ἐκεῖνος τὸ εἴδωλον, φησί, προσκυνεῖ, ἀλλὰ τὸν ἐνοικοῦντα δαίμονα· οὕτω καὶ σύ, κἂν μὴ τὸ χρυσίον προσκυνῇς, ἀλλὰ τὸν ἀπὸ τῆς ὄψεως τοῦ χρυσίου καὶ τῆς ἐπιθυμίας ἐπιπηδῶντα σου τῇ ψυχῇ δαίμονα. δαίμονος γὰρ χαλεπωτέρα τῆς φιλαργυρίας ἡ ἐπιθυμία, καὶ ταύτῃ πολλοὶ μᾶλλον πείθονται, ἢ ἕτεροι τοῖς εἰδώλοις. ἐκεῖνοι μὲν γὰρ πολλὰ παρακούουσιν· ἐνταῦθα δὲ πάντα εἴκουσι, καὶ ὅπερ ἂν εἴπῃ ποιῆσαι, πείθονται. τί λέγει; πολέμιος ἔσο, φησίν, ἐχθρὸς ἁπάντων, ἀγνόει τὴν φύσιν, καταφρόνει Θεοῦ, κατάθυσόν μοι σαυτόν· καὶ πάντα πείθονται. καὶ τοῖς μὲν ξοάνοις βοῦς καὶ πρόβατα θύουσιν· ἡ δὲ φιλαργυρία λέγει, θῦσόν μοι τὴν σαυτοῦ ψυχήν, καὶ πείθει. ὁρᾷς οἵους ἔχει βωμούς; οἷα δέχεται θύματα; βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν οἱ πλεονέκται· καὶ οὐδὲ οὕ-

γρ. τὶς ξόανον τὸ λίθινον, οὕτω καὶ τὸ χρυσίον ἰσ. πιστεύει

τω

πω δεδοίκασι. καίτοιγε πάντων ἡ ἐπιθυμία αὕτη ἀσθενεστέρα. οὐ γὰρ ἔμφυτος οὐδὲ φυσικὴ (ἦ γὰρ ἂν παρὰ τὴν ἀρχὴν ἐνετέθη) νῦν δὲ χρυσίον οὐκ ἦν ἄνωθεν, οὐδὲ ἤρα τις χρυσίου. ἀλλ', εἰ βούλεσθε, λέγω πόθεν εἰσῆλθε τὸ κακόν. ἕκαστος τὸν πρὸ αὐτοῦ ζηλοῦντες ἐπέτεινον τὸ νόσημα, καὶ τὸν οὐ βουλόμενον ὁ προλαβὼν ἐρεθίζει. ὅταν γὰρ ἴδωσιν οἰκίας λαμπρὰς, καὶ πλῆθος ἀγρῶν, καὶ ἀνδραπόδων ἀγέλας, καὶ ἀργυρᾶ σκεύη, καὶ πολὺν ἱματίων φορυτὸν, πάντα πράττουσιν, ὥστε ὑπερβαλέσθαι. ὥστε οἱ πρότεροι τῶν δευτέρων αἴτιοι γίνονται), κἀκεῖνοι τῶν μετ' αὐτούς. εἰ δὲ ἐβούλοντο σωφρονεῖν, οὐκ ἂν τοῖς ἄλλοις ἐγίνοντο διδάσκαλοι, μᾶλλον δὲ οὐδὲ τούτοις ἐστὶν ἀπολογία. εἰσὶ γὰρ καὶ ἕτεροι χρημάτων καταφρονοῦντες. καὶ τίς, φησὶ, καταφρονεῖ; τὸ γὰρ δεινὸν, ὅτι ὑπὸ πολλῆς κακίας εἰς ἀδύνατον δοκεῖ περιεστάναι, καὶ οὐδὲ πιστεύεταί τις κατορθῶν. εἴπω τοίνυν πολλοὺς τοὺς ἐν ταῖς πόλεσι, τοὺς ἐν τοῖς ὄρεσι; καὶ τί τὸ κέρδος; οὐδὲ γὰρ ἀπὸ τούτων ἔσεσθε βελτίους. ἄλλως δὲ, οὐ περὶ τούτου ἡμῖν ὁ λόγος νῦν, ὥστε κενῶσαι τὰ ὄντα· ἐβουλόμην δὲ· πλὴν ἀλλ' ἐπειδὴ μεῖζον ὑμῶν τὸ φορτίον, οὐκ ἀναγκάζω· ἀλλ' ὥστε μὴ τῶν ἀλλοτρίων ἐφίεσθαι παραινῶ, ὥστε ἐκ τῶν ὄντων μεταδιδόναι. πολλοὺς δὲ τοιούτους εὑρήσομεν τοῖς οἰκείοις ἀρκουμένους, τῶν ἑαυτῶν ἐπιμελουμένους, καὶ ἀπὸ δικαίων ζῶντας πόνων. διατί μὴ τούτους ζηλοῦμεν καὶ μιμούμεθα; ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν· οὐχὶ τὰ κτήματα αὐτῶν ἕστηκε μόνον τὰ ὀνόματα αὐτῶν διασώζοντα; τοῦ δεῖνος τὸ βαλανεῖον, καὶ τοῦ δεῖνος τὸ προάστειον, καὶ τὸ κατάλυμα; οὐχὶ εὐθέως θεασάμενοι στένομεν, ἐννοοῦντες πόσον πόνον ὑπέμεινε, πόσας ἁρπαγὰς ἥρπασε, καὶ οὐδαμοῦ φαίνεται); ἀλλ' ἐντρυφῶσιν ἕτεροι τοῖς ἐκείνου, οὓς οὐδὲ προσεδόκησε, τάχα δὲ καὶ ἐχθροὶ, ἐκείνου τὴν ἐσχάτην διδόντος δίκην. ταῦτα καὶ ἡμᾶς μένει. πάντως γὰρ ἀποθανούμεθα, πάντως τὸ αὐτὸ τέλος ὑποστησόμεθα. πόσην ὀργὴν, εἰπέ μοι, πόσην δαπάνην, πόσας ἀπεχθείας ὑπέστησαν; καὶ τί τὸ κέρδος; κόλασις ἀθάνατος, καὶ τὸ μηδεμιᾶς τυχεῖν παραμυθίας· καὶ τὸ μὴ ζῶντας μόνον, ἀλλὰ καὶ ἀπελθόντας κατηγορεῖσθαι παρὰ πάντων. τί δέ; τῶν πολλῶν τὰς εἰκόνας ὅταν ἴδωμεν ἀνακειμένας ἐν ταῖς οἰκίαις, οὐχὶ μᾶλλον θρηνοῦμεν; ἀληθῶς καλῶς εἶπεν ὁ προφήτης· Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν. Ψαλμ. λη. η. ταραχὴ γὰρ ὄντως ἡ περὶ τὰ τοιαῦτα σπουδή· ταραχὴ καὶ θόρυβος περιττός. ἀλλ' οὐκ ἐν ταῖς μοναῖς ταῖς αἰωνίοις τοῦτό ἐστιν, οὐδὲ ἐν ταῖς σκηναῖς ἐκείναις. ἐνταῦθα μὲν γὰρ ἕτερος ἐμόχθησε, καὶ ἕτερος ἀπολαύει· ἐκεῖ δὲ τῶν ἑαυτοῦ μόχθων ἕκαστος ἔσται κύριος, καὶ πολυπλασίονα λήψεται τὴν ἀμοιβήν. πρὸς ἐκείνην τοίνυν ἐπειγώμεθα τὴν κτῆσιν, ἐκεῖ κατασκευάζωμεν ἑαυτοῖς οἰκίας, ἵνα ἀναπαυσώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. ξς. ΕΓΝΩ ΟΥΝ ΟΧΛΟΣ ΠΟΛΥΣ ΕΚ ΤΩΝ ΙΟΥΔΑΙΩΝ ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον, οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν.

Ὥσπερ ὁ πλοῦτος τοὺς οὐ προσέχοντας ἐκτραχηλίζειν εἴωθεν, οὕτω καὶ ἡ ἀρχή. ἐκεῖνος μὲν γὰρ εἰς πλεονεξίαν, αὕτη δὲ εἰς ἀπόνοιαν ἄγει. ὅρα γοῦν τὸ ἀρχόμενον πλῆθος τῶν Ἰουδαίων ὑγιαῖνον, τοὺς δὲ ἄρχοντας διεφθαρμένους. ὅτι γὰρ οὗτοι αὐτῷ ἐπίστευον, λέγουσι μὲν συνεχῶς οἱ εὐαγγελισταὶ, ὅτι πολλοὶ ἐκ τοῦ ὄχλου ἐπίστευσαν αὐτῷ, ἐκ δὲ τῶν ἀρχόντων ἠπίστουν. καὶ αὐτοὶ λέγουσιν, οὐχὶ ὁ ὄχλος, Μή τις τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν; Ἰωαν. ζ. μη. ἀλλὰ τί, φησί; τὸ πλῆθος, οἱ μὴ εἰδότες τὸν Θεὸν, ἐπικατάρατοί εἰσι. τοὺς πιστεύοντας ἐπικαταράτους ἔλεγον, ἑαυτοὺς δὲ ἀναιροῦντας συνετοίς. καὶ ἐνταῦθα δὲ τὸ θαῦμα θεασάμενοι, ἐπίστευον οἱ πολλοί· οἱ δὲ ἄρχοντες οὐκ ἠρκοῦντο μόνον τοῖς οἰκείοις κακοῖς, ἀλλὰ καὶ τὸν Λάζαρον ἀνελεῖν ἐπεχείρουν. ἔστω, τὸν Χριστὸν, ὅτι τὸ σάββατον ἔλυεν, ὅτι ἴσον ἑαυτὸν ἐποίει τῷ πατρὶ, καὶ διὰ τοὺς Ῥωμαίους οὓς φατε· τῷ Λαζάρῳ τί ἔχοντες ἐγκαλεῖν ἐπεχείρουν αὐτὸν ἀναιρεῖν; μὴ ἄρα τὸ καλῶς παθεῖν ἔγκλημα; ὁρᾷς πῶς αὐτῶν φονικὴ ἡ προαίρεσις; καίτοι πολλὰ σημεῖα εἰργάσατο· ἀλλ' οὐδὲν αὐτοὺς οὕτως ἐξεθηρίωσεν, οὐχ ὁ παραλελυμένος, οὐχ ὁ τυφλός. τοῦτο γὰρ καὶ τῇ φύσει θαυμαστότερον ἦν, καὶ μετὰ πολλὰ ἐγεγόνει, καὶ ἦν παράδοξον νεκρὸν τετραήμερον ἰδεῖν περιπατοῦντα καὶ φθεγγόμενον. καλά γε τῆς ἑορτῆς τὰ κατορθώματα, φόνοις ἀναμιγνύναι τὴν πανήγυριν. ἄλλως δὲ, ἐκεῖ μὲν ἐδόκουν ἐγκαλεῖν τὸ σάββατον, καὶ ταύτῃ ἀπῆγον τοὺς ὄχλους· ἐνταῦθα δὲ, ἐπειδὴ μηδὲν εἶχον μέμψασθαι, κατὰ τοῦ θεραπευομένου ποιοῦνται τὴν ἐπιχείρησιν. ἐνταῦθα γὰρ, οὐδ' ὅτι ἐναντιοῦται τῷ πατρὶ εἶχον εἰπεῖν. ἡ γὰρ εὐχὴ αὐτοὺς ἐπεστόμιζεν. ἐπεὶ οὖν καὶ ὃ ἀεὶ ἐνεκάλουν ἀνῄρητο, καὶ τὸ σημεῖον λαμπρὸν ἦν, ἐπὶ τὸν φόνον ὁρμῶσιν. ὥστε καὶ ἐπὶ τοῦ τυφλοῦ τοῦτο ἂν ἐποίησαν, εἰ μὴ εἶχον ἐγκαλεῖν τὸ σάββατον. ἄλλως δὲ, ἐκεῖνος μὲν ἄσημος ἦν, καὶ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ· οὗτος δὲ ἐπίσημος· καὶ δῆλον ἐκ τοῦ πολλοὺς ἐλθεῖν εἰς παραμυθίαν τῶν ἀδελφῶν· καὶ πάντων ὁρώντων τὸ θαῦμα ἐγένετο, καὶ μετὰ πολλῆς τῆς παραδοξοποιΐας. διὰ τοῦτο πάντες ἔτρεχον ὀψόμενοι. τοῦτο οὖν αὐτοὺς ἔδακνε, τὸ τῆς ἑορτῆς ἑστώσης πάντας ἀφέντας ἐπὶ τὴν Βηθανίαν ἔρχεσθαι. ἐπεχείρησαν οὖν αὐτὸν ἀνελεῖν, καὶ οὐδὲν ἐδόκουν τολμᾶν· οὕτως ἦσαν φονικοί. καὶ διὰ τοῦτο παρερχόμενος ὁ νόμος, ἀπὸ τούτου ἄρχεται· οὐ φονεύσεις. καὶ ὁ Ἠσ. α. ιε. προφήτης τοῦτο ἐγκαλεῖ· Αἱ χεῖρες αὐτῶν αἵματος πλήρεις. πῶς οὖν παρρησίᾳ μὴ περιπατῶν ἐν τῇ Ἰουδαίᾳ, καὶ εἰς τὴν ἔρημον ἀναχωρῶν, πάλιν εἰσέρχεται μετὰ παρρησίας; σβέσας τὸν θυμὸν τῇ ἀναχωρήσει, πεπαυμένοις αὐτοῖς ἐφίσταται· ἄλλως δὲ, τὸ πλῆθος τὸ προάγον καὶ τὸ ἑπόμενον ἱκανὸν ἦν εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. οὐδὲν γὰρ οὕτως ἐπεσπάσατο αὐτοὺς σημεῖον, ὡς τὸ τοῦ Λουκ. ιθ. λϛ. Λαζάρου. καὶ ἄλλος δὲ εὐαγγελιστής φησιν, Ὅτι ὑπέστρωσαν τοῖς ποσὶν αὐτοῦ τὰ ἱμάτια, καὶ ὅτι πᾶσα ἡ πόλις ἐσείσθη· μετὰ τοσαύτης εἰσῄει τιμῆς. ἐποίει δὲ τοῦτο, προφητείαν τὴν μὲν τυπῶν, τὴν Ματθ. κα. ε. δὲ πληρῶν· καὶ τὸ αὐτὸ τῆς μὲν ἐγένετο ἀρχὴ, τῆς δὲ τέλος. τὸ μὲν γὰρ, Χαῖρε ὅτι ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, προφητείαν πληροῦντος ἦν· τὸ δὲ ἐπ' ὄνον καθίσαι, μέλλον πρᾶγμα προδιατυποῦντος, ὅτι τὸ ἀκάθαρτον τῶν ἐθνῶν γένος ἔμελλεν ὑποχείριον ἔχειν. πῶς δὲ οἱ ἄλ- Μαρκ. ια. ε. λοι φασὶν, ὅτι μαθητὰς ἔπεμψε καὶ εἶπε· Λύσατε τὴν ὄνον καὶ τὸν πῶλον· οὗτος δὲ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ὅτι ὀνάριον εὑρὼν ἐκάθισεν; ὅτι ἀμφότερα γενέσθαι εἰκὸς ἦν, καὶ μετὰ τὸ λυθῆναι τὴν ὄνον ἀγόντων τῶν μαθητῶν, εὑρόντα αὐτὸν ἐπικαθίσαι. τὰ δὲ βαΐα τῶν φοινίκων καὶ τῶν ἐλαιῶν ἔλαβον, καὶ τὰ ἱμάτια ὑπεστόρεσαν, δεικνύντες ὅτι λοιπὸν μείζονα, ἢ περὶ προφήτου δόξαν εἶχον περὶ αὐτοῦ, καὶ ἔλεγον·

γρ. οὐ γὰρ τῆς ἑορ

γρ. ὁ προσχαρατυπ.

13 Ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁρᾷς ὅτι τοῦτο μάλιστα αὐτοὺς ἀπέπνιγε, τὸ πεισθῆναι πάντας ὅτι οὐκ ἔστιν ἀντίθεος; καὶ τοῦτο μάλιστα διῄρει τὸν δῆμον, τὸ λέγειν αὐτὸν παρὰ τοῦ πατρὸς ἥκειν; τί δέ ἐστι,

15 Χαῖρε σφόδρα, θύγατερ Σιών; Ἐπειδὴ πάντες αὐτῶν οἱ βασιλεῖς ὡς ἐπὶ τὸ πολὺ ἄδικοί τινες ἦσαν καὶ πλεονέκται, καὶ προέδωκαν αὐτοὺς τοῖς ἐχθροῖς, καὶ τὸ πλῆθος διέστρεφον, καὶ ὑπευθύνους ἐποίουν τοῖς πολεμίοις, θάρρει, φησίν· οὗτος οὐ τοιοῦτος, ἀλλὰ πρᾶος καὶ ἐπιεικής· καὶ δείκνυται ἀπὸ τῆς ὄνου. οὐ γὰρ στρατόπεδον ἐπισυρόμενος εἰσῆλθεν, ἀλλ' ὄνον ἔχων μόνον.

16 Τοῦτο δὲ οὐκ ᾔδεσαν, φησὶν, οἱ μαθηταὶ αὐτοῦ, ὅτι ἦν ἐπ' αὐτῷ γεγραμμένον.

Ὁρᾷς ὅτι τὰ πλείονα ἠγνόουν, ἐπειδὴ αὐτὸς οὐκ ἀπεκάλυπτεν αὐτοῖς; καὶ γὰρ ὅτε εἶπε, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, οὐδὲ τότε ᾔδεσαν οἱ μαθηταί.

γρ. τότε

ται. καὶ ἄλλος δὲ εὐαγγελιστὴς λέγει, ὅτι ἦν κεκρυμμένος ὁ λόγος ἀπ' αὐτῶν, καὶ οὐκ ᾔδεσαν ὅτι δεῖ αὐτὸν ἀναστῆναι ἐκ τῶν νεκρῶν. ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο (διὸ καὶ ἄλλος λέγει εὐαγγελιστὴς, ὅτι καθ' ἕκαστον ἀκούοντες ἤλγουν καὶ ἦσαν ἐν κατηφείᾳ· τοῦτο δὲ, ἐκ τοῦ μὴ εἰδέναι τὸν περὶ τῆς ἀναστάσεως λόγον) ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο, ἅτε μεῖζον ἢ κατ' αὐτούς· τὸ μέντοι τῆς ὄνου διὰ τί αὐτοῖς οὐκ ἀπεκαλύφθη; ὅτι καὶ τοῦτο μέγα ἦν. ὅρα δὲ φιλοσοφίαν εὐαγγελιστοῦ, πῶς οὐκ ἐπαισχύνεται τὴν προτέραν αὐτῶν ἄγνοιαν ἐκπομπεύειν. ὅτι μὲν οὖν γέγραπται, ᾔδεσαν· ὅτι δὲ ἐπ' αὐτῷ γέγραπται, οὐκ ᾔδεσαν. καὶ γὰρ ἂν ἐσκανδάλισεν αὐτοὺς, εἴγε βασιλεὺς ὢν τοιαῦτα μέλλοι πάσχειν καὶ οὕτως ἐκδίδοσθαι. καὶ ἄλλως δὲ, οὐκ ἂν εὐθέως ἐχώρησαν τὴν γνῶσιν τῆς βασιλείας, ἣν ἔλεγε. καὶ γὰρ ἄλλος εὐαγγελιστής φησιν, Οτι περὶ βασιλείας ἐδόκουν ταύτης λέγεσθαι.

Ματθ. ιζ. κγ.
Ματθ. κ. κα.

17 Εμαρτύρει δὲ ὁ ὄχλος, ὅτι ἀνέστησε τὸν Λάζαρον. Ου γὰρ ἂν τοσοῦτοι μετέθεντο ἐξαίφνης, φησὶν, εἰ μὴ ἐπίστευσαν τῷ σημείῳ.

19 Οἱ δὲ Φαρισαῖοι εἶπον πρὸς αὐτούς· θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει· Δοκεῖ δέ μοι τοῦτο εἶναι τῶν ὑγιαινόντων μὲν, οὐ τολμώντων δὲ παρρησιάσασθαι· εἶτα ἀπὸ τῆς ἐκβάσεως κατεχόντων αὐτοὺς ὡς ἀνήνυτα ἐπιχειροῦντας. κόσμον δὲ ἐνταῦθα πάλιν, τὸν ὄχλον φασίν. οἶδε γὰρ ἡ γραφὴ κόσμον καὶ τὴν κτίσιν λέγειν, καὶ τοὺς ἐν πονηρίᾳ ζῶντας. καὶ τὸ μὲν φησιν, ὅταν λέγῃ, Ο ἐκφέρων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ· τὸ δὲ, ὅταν λέγῃ, Ο κόσμος ὑμᾶς οὐ μισεῖ, ἐμὲ δὲ μισεῖ. καὶ χρὴ ταῦτα ἀκριβῶς εἰδέναι, ἵνα μὴ παρὰ τὴν σημασίαν τῶν ὀνομάτων λαβὴν παρέχωμεν τοῖς αἱρετικοῖς.

Ησ. μ. κϛ.
Ιωαν. ζ. ζ.

20 Ησαν δέ τινες τῶν ἑλλήνων ἀναβάντες προσκυνῆσαι εἰς τὴν ἑορτήν.

Εγγὺς ὄντες λοιπὸν τοῦ προσήλυτοι γίνεσθαι, ἦσαν εἰς τὴν ἑορτήν. τῆς φήμης οὖν διαδοθείσης, λέγουσι· 21 Θέλομεν τὸν Ιησοῦν ἰδεῖν. Ο δὲ Φίλιππος παραχωρεῖ τῷ Ανδρέᾳ, ἅτε πρὸ αὐτοῦ ὄντι, καὶ τὸ πρᾶγμα αὐτῷ κοινοῦται. ἀλλ' οὐδὲ οὗτος ἁπλῶς αὐθεντεῖ. ἤκουσε γάρ· Οτι εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. διὰ τοῦτο μετὰ τοῦ μαθητοῦ κοινωσάμενος, τῷ διδασκάλῳ ἀναφέρει· ἀμφότεροι γὰρ εἶπον αὐτῷ. ὁ δὲ τί φησιν;

Ματθ. ι. ε.

23 Ηλθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.

24 Εαν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει.

Τί ἐστιν, ἦλθεν ἡ ὥρα; ἔλεγεν, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, πᾶσαν ἐκκόπτων ἀγνωμοσύνης πρόφασιν ἀπὸ Ιουδαίων, καὶ κατεῖχεν αὐτούς. ἐπεὶ οὖν ἐπέμενον οὗτοι ἀπειθοῦντες, ἐκεῖνοι δὲ ἐβούλοντο προσελθεῖν, καιρὸς λοιπὸν, φησιν, ἐπὶ τὸ πάθος ἐλθεῖν πάντων πεπληρωμένων. Εἰ γὰρ μέλλοιμεν τούτοις μὲν [καὶ] ἀπειθοῦσι προσεδρεύειν, ἐκείνους δὲ καὶ βουλομένους μὴ προσίεσθαι, ἀνάξια τῆς ἡμετέρας ἔσται ταῦτα κηδεμονίας. ἐπεὶ οὖν ἔμελλεν ἀφήσειν τοὺς μαθητὰς ἐπὶ τὰ ἔθνη λοιπὸν ἰέναι μετὰ τὸν σταυρὸν, ὁρᾷ δὲ αὐτοὺς προπηδῶντας, φησί· καιρὸς ἐπὶ τὸν σταυρὸν ἐλθεῖν. οὐ πρότερον γὰρ αὐτοὺς εἴασεν, ἵνα ᾖ εἰς μαρτύριον αὐτοῖς. ἕως γὰρ διὰ τῶν ἔργων αὐτὸν διεκρούσαντο, ἕως αὐτὸν ἐσταύρωσαν, οὐκ εἶπε, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη· ἀλλ', Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· καὶ, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ισραήλ· καὶ, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ἐπειδὴ δὲ ἐμίσησαν αὐτὸν, καὶ οὕτως ἐμίσησαν ὡς ἀνελεῖν, περιττὸν ἦν προσεδρεύειν διακρουομένων ἐκείνων. καὶ γὰρ παρῃτήσαντο αὐτὸν λέγοντες· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. τότε δὴ λοιπὸν αὐτοὺς ἀφῆκεν, ἐπειδὴ αὐτοὶ ἀφῆκαν. διὰ τοῦτο λέγει· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε; τί ἐστιν, ὁ κόκκος τοῦ σίτου ἐὰν μὴ πεσὼν ἀποθάνῃ; περὶ τοῦ σταυροῦ λέγει. ἵνα γὰρ μὴ θορυβῶνται ἐννοοῦντες ὅτι, ὅτε καὶ ἕλληνες προσῆλθον, τότε ἀνῃρέθη, λέγει, αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοὺς ποιεῖ προσελθεῖν, καὶ αὐξήσει τὸ κήρυγμα τὸ ἐμόν. Εἶτα, ἐπειδὴ ἀπὸ λόγων οὐχ οὕτως ἔπειθεν, ἀ-

Ματθ. κη. ιθ.
Ματθ. ι. ε.
Ματθ. ιε. κδ.
Ματθ. ιε. κϛ.
Ιωαν. ιθ. ιε.
Ματθ. κγ. λζ.

πὸ τῆς τῶν πραγμάτων πείρας αὐτὸ μεθοδεύει λέγων, ἐπεὶ καὶ ἐν τῷ σίτῳ τοῦτο γίνεται· μᾶλλον φέρει καρπὸν, ὅταν ἀποθάνῃ. εἰ δὲ ἐν τοῖς σπέρμασι τοῦτο, πολλῷ μᾶλλον ἐν ἐμοί. ἀλλ' οὐκ ᾔδεσαν οἱ μαθηταὶ τὰ λεγόμενα. διὸ συνεχῶς αὐτὸ τίθησιν ὁ εὐαγγελιστὴς, ἀπολογούμενος ὑπὲρ τῆς μετὰ ταῦτα φυγῆς. τοῦτον καὶ περὶ τῆς ἀναστάσεως διαλεγόμενος ὁ Παῦλος τὸν λόγον ἐκίνησε.

ΗΘΙΚΟΝ

Ποίαν οὖν ἕξουσιν ἀπολογίαν οἱ τῇ ἀναστάσει διαπιστοῦντες, ἐν τοῖς σπέρμασι τοῦ πράγματος καθ' ἑκάστην γινομένου τὴν ἡμέραν, καὶ ἐν φυτοῖς, καὶ ἐπὶ τῆς γενέσεως τῆς ἡμετέρας; πρότερον γὰρ δεῖ φθαρῆναι τὸ σπέρμα, καὶ τότε γενέσθαι γένεσιν. ὅλως δὲ, ὅταν ὁ Θεὸς τι ποιῇ, λογισμῶν οὐκ ἔστι χρεία. πῶς γὰρ ἐξ οὐκ ὄντων ἡμᾶς ἐποίησε; ταῦτα πρὸς Χριστιανοὺς λέγω, τοὺς λέγοντας πείθεσθαι γραφαῖς. ἐγὼ δὲ καὶ ἕτερον ἐρῶ ἀπὸ λογισμῶν ἀνθρωπίνων. τῶν ἀνθρώπων οἱ μὲν ἐν κακίᾳ διάγουσιν, οἱ δὲ ἐν ἀρετῇ. ἀλλὰ τῶν ἐν κακίᾳ διατριβόντων πολλοὶ εἰς ἔσχατον γῆρας ἦλθον εὐπαθοῦντες· τῶν δὲ ἐν ἀρετῇ, τὰ ἐναντία ὑπομείναντες. πότε οὖν τὰ κατ' ἀξίαν ἀπολήψεται ἕκαστος; ἐν ποίῳ καιρῷ; ναί, φησιν· ἀλλὰ σωμάτων οὐκ ἔστιν ἀνάστασις. οὐκ ἀκούουσι τοῦ Παύλου λέγοντος, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν; οὐ περὶ ψυχῆς (οὐδὲ γὰρ φθείρεται ἡ ψυχή) ἡ ἀνάστασις δὲ τοῦ πεπτωκότος λέγεται· ἔπεσε δὲ τὸ σῶμα. διὰ τί δὲ οὐ βούλει ἀνάστασιν εἶναι σώματος; πότερον οὐ δυνατὸν τῷ Θεῷ; ἀλλὰ τοῦτο μὲν ἐσχάτης ἀνοίας λέγειν. ἀλλ' οὐ πρέπει; διὰ τί οὐ πρέπει τὸ φθαρτὸν καὶ πόνου καὶ θανάτου κοινωνῆσαν, κοινωνῆσαι καὶ τῶν στεφάνων; εἰ γὰρ μὴ ἔπρεπεν, οὐδ' ἂν παρὰ τὴν ἀρχὴν ἐγένετο, οὐκ ἂν σάρκα αὐτὸς ἀνέλαβεν. ὅτι δὲ καὶ ἀνέλαβε, καὶ αὐτὴν ἀνέστησεν, ἄκουσον τί φησι· Βάλε τοὺς δακτύλους, καὶ ἴδε, ὅτι πνεῦμα ὀστᾶ καὶ νεῦρα οὐκ ἔχει. διὰ τί δὲ τὸν Λάζαρον ἀνέστησεν, εἰ βέλτιον ἦν χωρὶς σώματος ἀναστῆναι; τί ἐν τάξει σημείου καὶ εὐεργεσίας αὐτὸ ποιεῖ; τί δὲ ὅλως ἔδωκε τροφάς; μὴ τοίνυν ἀπατᾶσθε παρὰ τῶν αἱρετικῶν, ἀγαπητοί. καὶ γὰρ ἀνάστασίς ἐστι, καὶ κρίσις ἐστί. ταῦτα δὲ ἀναιροῦσιν, ὅσοι μὴ βούλονται δοῦναι λόγον τῶν πεπραγμένων. καὶ γὰρ δεῖ τὴν ἀνάστασιν τοιαύτην εἶναι, οἵα γέγονεν ἡ τοῦ Χριστοῦ. ἀπαρχὴ γὰρ ἐκεῖνος, καὶ πρωτότοκος ἀπὸ τῶν νεκρῶν. εἰ δὲ ἀνάστασις τοῦτο ἐστι, ψυχῆς καθαρμὸς καὶ ἁμαρτιῶν ἀπαλλαγή, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἀνέστη; πῶς ἡμᾶς τῆς κατάρας ἀπηλλάγημεν, εἴπερ καὶ αὐτὸς ἥμαρτε; πῶς δὲ λέγει, Ὅτι ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν; ταῦτα γὰρ τὸ ἀναμάρτητον δηλοῦντός ἐστιν. οὐκοῦν κατ' αὐτοὺς ἢ οὐκ ἀνέστη, ἢ ἵνα ἀναστῇ, ἥμαρτε πρὸ τῆς ἀναστάσεως. ἀλλὰ καὶ ἀνέστη, καὶ ἁμαρτίαν οὐκ ἐποίησεν. οὐκοῦν ἀνέστη σώματι· καὶ τὰ δόγματα ταῦτα τὰ πονηρὰ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ κενοδοξίας ἔκγονα. φεύγωμεν τοίνυν τοῦτο τὸ νόσημα. φθείρουσι γὰρ, φησιν, ἤθη χρηστὰ ὁμιλίαι κακαί. οὐκ ἔστι ταῦτα ἀποστόλων διδάγματα. Μαρκίων ἐστὶ καὶ Οὐαλεντῖνος ὁ ταῦτα καινοτομήσας. φεύγωμεν τοίνυν, ἀγαπητοί. οὐδὲν γὰρ ὄφελος βίου καθαροῦ, δογμάτων διεφθαρμένων· ὥσπερ οὖν οὐδὲ τοὐναντίον, δογμάτων ὑγιῶν, ἐὰν βίος ᾖ διεφθαρμένος. ταῦτα Ἕλληνες ἔτεκον, ταῦτα ἐκεῖνοι ηὔξησαν, ἀπὸ τῶν ἔξωθεν φιλοσόφων λαβόντες, καὶ τὴν ὕλην ἀγέννητον λέγοντες, καὶ πολλὰ τοιαῦτα. ὥσπερ οὖν εἶπον, ὅτι οὐκ ἂν εἴη δημιουργὸς, μὴ ὑποκειμένης ὕλης ἀγεννήτου· οὕτω καὶ τὴν ἀνάστασιν ἠθέτησαν. ἀλλὰ μὴ προσέχωμεν, εἰδότες Θεοῦ δύναμιν παναρχῆ· μὴ προσέχωμεν. ὑμῖν λέγω ταῦτα. ἡμεῖς γὰρ τὴν πρὸς αὐτοὺς οὐ παραιτησόμεθα μάχην. ἀλλ' ὁ ἄοπλος καὶ γυμνὸς, κἂν εἰς ἀσθενεῖς ἐμπέσῃ, κἂν ἰσχυρότερος ᾖ, ῥᾳδίως ἁλώσεται. εἰ μὲν γὰρ γραφαῖς προσείχετε, καὶ καθ' ἑκάστην ἑαυτοὺς ἠκονᾶτε τὴν ἡμέραν, οὐκ ἂν παρῄνεσα τὴν πρὸς ἐκείνους φεύγειν μάχην, ἀλλὰ καὶ συμπλέκεσθαι συνεβούλευσα ἄν. ἡ γὰρ ἰσχυρὰ ἡ ἀλήθεια. ἐπειδὴ δὲ χρήσασθαι αὐταῖς οὐκ ἴστε, δέδοικα τὴν συμπλοκὴν, μὴ λαβόντες ὑμᾶς ἀόπλους καταβάλωσιν. οὐδὲν γὰρ, οὐδὲν ἀσθενέστερον ἐκείνων τῶν τῆς τοῦ πνεύματος

βοηθείας

α. Κορ. ιε. νγ.

Ιωαν. κ. κζ.

Ιωαν. ιδ. λ.

γρ. ἢ εἰ ἀνέσ

γρ. [illegible]

βοηθείας ἠρημωμένων. Εἰ δὲ τῇ ἔξωθεν κέχρηνται σοφίᾳ, θαυμάζειν οὐ χρή, ἀλλὰ καταγελᾶν, ὅτι τοῖς μωροῖς κέχρηνται διδασκάλοις. οὔτε γὰρ περὶ Θεοῦ, οὔτε περὶ κτίσεώς τι ὑγιὲς εὑρεῖν ἠδυνήθησαν ἐκεῖνοι· ἀλλ' ἅπερ ἡ παρ' ἡμῖν χήρα ἐπίσταται, ταῦτα Πυθαγόρας οὐδέπω ᾔδει, ἀλλ' ἔλεγεν ὅτι θάμνος* καὶ ἰχθὺς καὶ κύων γίνεται ἡ ψυχή. τούτοις οὖν, εἰπέ μοι, προσέχειν δεῖ; καὶ πῶς ἂν ἔχοι λόγον; μεγάλοι εἰσὶν ἐν τῇ κώμῃ ἐκεῖνοι, καλοὺς βοστρύχους τρέφουσι, καὶ τρίβωνας ἀναβέβληνται· μέχρι τούτων αὐτοῖς ἡ φιλοσοφία. ἂν δὲ τὰ ἔνδοθεν ἴδῃς, τέφρα καὶ κόνις καὶ ὑγιὲς οὐδέν, ἀλλὰ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, πάντα ἀκαθαρσίας ἔχων γέμοντα καὶ ἰχῶρος, καὶ τὰ δόγματα πάντα σκωλήκων. ὁ γοῦν πρῶτος αὐτῶν τὸ ὕδωρ ἔφησεν εἶναι Θεόν, καὶ ὁ μετ' ἐκεῖνον τὸ πῦρ, ἄλλος τὸν ἀέρα, καὶ εἰς τὰ σώματα κατηνέχθησαν. τούτους οὖν, εἰπέ μοι, θαυμάζειν χρή, τοὺς οὐδὲ ἔννοιαν ἀσωμάτου λαβόντας Θεοῦ; εἰ δέ ποτε καὶ ὕστερον ἔλαβον, μετὰ τὸ συγγενέσθαι ἐν Αἰγύπτῳ τοῖς ἡμετέροις. ἀλλ' ἵνα μὴ πολὺν ὑμῖν ἐπαγάγωμεν θόρυβον, ἐνταῦθα τὸν λόγον καταλύσωμεν. ἂν γὰρ ἀρξώμεθα τὰ ἐκείνων παρατιθέναι δόγματα, καὶ τί μὲν περὶ Θεοῦ, τί δὲ περὶ ὕλης, τί δὲ περὶ ψυχῆς, τί δὲ περὶ σωμάτων εἶπον, πολὺς ἕψεται γέλως· καὶ οὐδὲ τῆς παρ' ἡμῶν κατηγορίας δεήσονται. αὐτοὶ γὰρ ἀλλήλους ἔβαλον. ὁ γοῦν καθ' ἡμῶν γράψας τὸν περὶ τῆς ὕλης λόγον, ἑαυτὸν ἀνεῖλε. διόπερ ἵνα μὴ ματαίως ὑμᾶς ἀπασχολήσωμεν, καὶ λαβύρινθον λόγων ἀνελίττωμεν, ταῦτα ἀφέντες, ἐκεῖνο ἐρῶμεν, τῆς ἀκροάσεως τῶν θείων ἔχεσθαι γραφῶν, καὶ μή μοι λογομαχεῖν εἰς οὐδὲν δέον· ὃ καὶ Παῦλος παραινεῖ Τιμοθέῳ, καίτοιγε πολλῆς σοφίας ἐμπεπλησμένῳ, καὶ τὴν ἀπὸ τῶν σημείων ἔχοντι δύναμιν. πειθώμεθα τοίνυν ἐκείνῳ, καὶ τὰς φλυαρίας ἀφέντες, τῶν ἔργων ἐχώμεθα, φιλαδελφίας λέγω καὶ φιλοξενίας· καὶ πολὺν ποιησώμεθα τῆς ἐλεημοσύνης λόγον, ἵνα τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ομιλ. ξζ. 25 Ο ΦΙΛΩΝ ΤΗΝ ΨΥΧΗΝ ΑΥΤΟΥ, ΑΠΟΛΕΣΕΙ αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. 26 Ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω·

ΓΛυκὺς ὁ παρὼν βίος, καὶ πολλῆς γέμων ἡδονῆς· ἀλλ' οὐχ ἅπασιν, ἀλλὰ τοῖς προσηλωμένοις αὐτῷ. Εἰ δέ τις εἰς τὸν οὐρανὸν διαβλέψειε, καὶ τὰ ἐκεῖ ἴδοι καλά, ταχέως αὐτοῦ καταφρονήσει, καὶ οὐδένα ποιήσεται λόγον. ἐπεὶ καὶ κάλλος σώματος, ἕως ἂν ἕτερον μὴ φαίνηται λαμπρότερον, θαυμάζεται· ἐπειδὰν δὲ φανῇ τὸ κρεῖττον, καταφρονεῖται τὸ πρότερον. ἂν τοίνυν θελήσωμεν καὶ ἡμεῖς εἰς ἐκεῖνο τὸ κάλλος ἰδεῖν, καὶ τὴν εὐπρέπειαν τῆς ἐκεῖ βασιλείας κατοπτεῦσαι, ταχέως ἑαυτοὺς τῶν δεσμῶν ἀπολύσομεν τῶν παρόντων. δεσμὸς γάρ τίς ἐστιν ἡ πρὸς τὰ παρόντα συμπάθεια. καὶ εἰς τοῦτο ἡμᾶς ἐνάγων ὁ Χριστός, ἄκουσον τί φησιν· ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω. καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός. αἰνίγματι ἐοικέναι δοκεῖ τὰ λεγόμενα. ἀλλ' οὐκ ἔστιν, ἀλλὰ πολλῆς ἐμπέπλησται σοφίας. καὶ πῶς ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν; ὁ τὰς ἐπιθυμίας αὐτῆς ποιῶν τὰς ἀτόπους, ὁ χαριζόμενος αὐτῇ παρὰ τὸ δέον. διὸ ἑτέρωθι παραινεῖ τις λέγων, Μὴ πορεύου ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς σου. οὕτω γὰρ αὐτὴν ἀπολεῖς (τῆς γὰρ ὁδοῦ τῆς ἐπὶ τὴν ἀρετὴν ἀγούσης ἀπάγει) ὥσπερ οὖν τὸ ἐναντίον ὁ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ, σώσει αὐτήν. τί δέ ἐστιν, ὁ μισῶν αὐτήν; ὁ μὴ εἴκων αὐτῇ τὰ βλάπτοντα κελευούσῃ. καὶ οὐκ εἶπεν, Σειρ. ιη. λ.

εἶπεν, ὁ μὴ εἴκων αὐτῇ, ἀλλ' ὁ μισῶν αὐτήν. καθάπερ γὰρ τῶν μισουμένων οὐδὲ φωνὴν ἀκοῦσαι ἀνεχόμεθα, οὐδὲ ὄψιν ἰδεῖν ἡδέως· οὕτω καὶ τὴν ψυχὴν, ὅταν ἐναντία ἐπιτάττῃ τῶν τῷ Θεῷ δοκούντων, μετὰ σφοδρότητος ἀποστρέφεσθαι χρή. ἐπειδὴ γὰρ περὶ θανάτου μέλλει λοιπὸν αὐτοῖς διαλέγεσθαι, θανάτου τοῦ ἑαυτοῦ, καὶ προεῖδε κατηφοῦντας καὶ καταπίπτοντας, ὑπερβολὴν ἐποιήσατο λέγων, τί λέγω, ἐὰν μὴ τὸν ἐμὸν θάνατον γενναίως ἐνέγκητε; ἂν γὰρ ὑμεῖς αὐτοὶ μὴ ἀποθάνητε, ὑμῖν ἔσται κέρδος οὐδέν. καὶ ὅρα πῶς παραμυθεῖται τὸν λόγον. σφόδρα ἦν φορτικὸν καὶ ἐπαχθὲς τὸ ἀκοῦσαι ὅτι δεῖ ἀποθανεῖν φιλοψυχοῦντα ἄνθρωπον. καὶ τί λέγω τὸ παλαιόν; ὅπου γε καὶ νῦν πολλοὺς εὑρήσομεν ἡδέως πάντα παθεῖν ὑπομένοντας, ὑπὲρ τοῦ τὸν παρόντα καρπώσασθαι βίον, καὶ ταῦτα περὶ τῶν μελλόντων πεπιστευμένους· οἱ, ἐπειδὰν ἴδωσιν οἰκοδομήματα καὶ τεχνήματα καὶ μηχανήματα, δακρύουσιν ἐπιλέγοντες· πόσα ἄνθρωπος μηχανᾶται, καὶ γίνεται κόνις; οὕτω πολλὴ τῆς παρούσης ζωῆς ἡ ἐπιθυμία. ταῦτα τοίνυν διαλύων ὁ Χριστὸς τὰ δεσμά, φησιν· ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ὅτι γὰρ ἐκείνοις παραινῶν ἔλεγε, καὶ τὸν φόβον αὐτῶν ὑπεκλύων, ἄκουσον τῶν ἑξῆς· ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω, περὶ τοῦ θανάτου λέγων, καὶ τὴν διὰ τῶν ἔργων ἀκολούθησιν ἀπαιτῶν. δεῖ γὰρ πάντως τὸν διακονοῦντα τῷ διακονουμένῳ ἕπεσθαι. καὶ σκόπει πότε αὐτοῖς ταῦτα διαλέγεται· οὐχ ὅτε ἐδιώκοντο, ἀλλ' ὅτε ἐθάρρησαν, ὅτε ἐνόμισαν ἐν ἀσφαλείᾳ εἶναι διὰ τὴν τῶν πολλῶν τιμὴν καὶ θεραπείαν· ὅτε καὶ διαναστῆναι ἠδύναντο καὶ ἀκοῦσαι· καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· τουτέστιν, ἀεὶ παρατεταγμένος ἔσο, φησὶ, πρὸς κινδύνους, πρὸς θάνατον, πρὸς ἀποδημίαν τὴν ἐντεῦθεν. Εἶτα, ἐπειδὴ τὰ φορτικὰ εἶπε, καὶ τὸ ἔπαθλον τίθησι. ποῖον δὲ τοῦτο ἦν; τὸ αὐτῷ ἀκολουθεῖν, καὶ εἶναι ἔνθα ἐστί· δεικνὺς ὅτι ἀνάστασις τὸν θάνατον διαδέξεται. Ὅπου γὰρ εἰμί, φησιν, ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός. Ποῦ δὲ ὁ Χριστός; ἐν οὐρανοῖς. καὶ πρὸ τῆς ἀναστάσεως τοίνυν ἐκεῖ μεταστῶμεν τῇ ψυχῇ καὶ τῷ νῷ. Ἐάν τις ἐμοὶ διακονῇ, ἀγαπήσει αὐτὸν ὁ πατήρ. Διατί οὐκ εἶπεν, ἐγώ; ἐπειδὴ οὐδέπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον, ἀλλὰ μείζονα περὶ τοῦ πατρός. οἱ γὰρ μηδὲ ὅτι ἀναστῆναι αὐτὸν ἐχρῆν εἰδότες, πῶς μεγάλα περὶ αὐτοῦ ἐφαντάσθησαν; διὸ καὶ τοῖς υἱοῖς Ζεβεδαίου φησίν, Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου· καίτοιγε αὐτός ἐστιν ὁ κρίνων. ἐνταῦθα δὲ καὶ τὸ γνήσιον παρίστησιν. ὡς γὰρ γνησίου παιδὸς διακόνους, οὕτως ὁ πατὴρ ἀποδέξεται.

γρ. καταφρο-νοῦντας

Μαρκ. ι μ.

γρ. ἐφαντάζον-το;

27 Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης.

Καὶ μὴν τοῦτο οὐκ ἔστι προτρεπομένου ἐπὶ τὸν θάνατον ἐλθεῖν. μάλιστα μὲν οὖν προτρεπομένου. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι αὐτὸς ἔξω τῶν ὠδίνων ὢν τῶν ἀνθρωπίνων, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, καὶ ἡμῖν ἐξ ἀκινδύνου παραινεῖ, δείκνυσιν ὅτι καίτοι ἀγωνιῶν αὐτὸν, ὅμως διὰ τὸ χρήσιμον οὐ παραιτεῖται. ταῦτα δὲ τῆς οἰκονομίας ἐστὶν, οὐ τῆς θεότητος. διὰ τοῦτό φησι· νῦν ἡ ψυχή μου τετάρακται (ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, ποίαν ἀκολουθίαν ἔχει τὸ λεχθὲν, καὶ τὸ εἰπεῖν, πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης;) καὶ οὕτω τετάρακται, ὡς καὶ ἀπαλλαγὴν ζητεῖν, εἴγε ἐνῆν διαφυγεῖν. ταῦτα τῆς ἀνθρωπίνης φύσεως τὰ ἀσθενήματα. ἀλλ' οὐκ ἔχω τί εἴπω, φησίν, ἀπαλλαγὴν αἰτούμενος. Διὰ γὰρ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην· Ὡσανεὶ ἔλεγε, κἂν θορυβώμεθα, κἂν ταραττώμεθα, μὴ φεύγωμεν θάνατον· ἐπεὶ κἀγὼ νῦν ταραττόμενος, οὐ λέγω ὥστε φυγεῖν. δεῖ γὰρ φέρειν τὸ ἐπιόν. οὐ λέγω, ἀπάλλαξόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ τί;

γρ. ἐπὶ

28 Πάτερ, δόξασόν σου τὸ ὄνομα. Καίτοι τῆς ταραχῆς τοῦτο ἀναγκαζούσης λέγειν, τὸ ἐναντίον λέγω, δόξασόν σου τὸ ὄνομα, τουτέστιν, ἄγαγε λοιπὸν ἐπὶ τὸν σταυρόν· ὃ πολὺ τὸ ἀνθρώπινον ἐπιδείκνυται, καὶ τὴν φύσιν μὴ βουλομένην ἀποθανεῖν, ἀλλὰ τῆς παρούσης ἀντεχομένην ζωῆς· δεικνὺς, ὅτι οὐκ ἔξω τῶν ἀνθρωπίνων παθῶν ἦν. ὥσπερ γὰρ τὸ πει-

νῆν

νῦν οὐκ ἔγκλημα, οὐδὲ τὸ καθεύδειν· οὕτως οὐδὲ τὸ τῆς παρούσης ζωῆς ἐφίεσθαι. ὁ δὲ Χριστὸς σῶμα καθαρὸν ἁμαρτημάτων εἶχεν, οὐχὶ φυσικῆς ἀνάγκης ἀπηλλαγμένον· ἐπεὶ οὐδ' ἂν σῶμα ἦν. ἀλλὰ διὰ τούτων καὶ ἕτερόν τι ἐπαίδευσε. ποῖον δὴ τοῦτο; ἵνα, εἴ ποτε ἐν ἀγῶνι κατασταίημεν καὶ δειλίᾳ, μηδὲ οὕτως ἀποπηδήσωμεν τῶν προκειμένων. τῷ δὲ εἰπεῖν, πάτερ, δόξασόν σου τὸ ὄνομα, δείκνυσιν, ὅτι ὑπὲρ ἀληθείας ἀποθνήσκει, δόξαν εἰς τὸν Θεὸν τὸ πρᾶγμα καλῶν· καὶ τοῦτο συνέβαινε μετὰ τὸν σταυρόν. ἔμελλεν ἐπιστρέφειν ἡ οἰκουμένη, καὶ γνωρίζειν τὸ ὄνομα τοῦ Θεοῦ καὶ θεραπεύειν αὐτόν· καίτοι οὐ τὸ τοῦ πατρὸς μόνον, ἀλλὰ καὶ τὸ τοῦ υἱοῦ· ἀλλ' ὅμως τοῦτο σιγᾷ. Ηλθεν οὖν φωνὴ ἐκ τῶν οὐρανῶν· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Ποῦ ἐδόξασεν; ἐν τοῖς πρὸ τούτων γινομένοις. καὶ πάλιν δοξάσω μετὰ τὸν σταυρόν. τί οὖν ὁ Χριστός;

30 Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Εκεῖνοι δὲ βροντὴν ἐνόμιζον εἶναι, ἢ ἄγγελον αὐτῷ λελαληκέναι. καὶ πόθεν τοῦτο ἐνόμισαν; μὴ γὰρ οὐχὶ τρανὴ καὶ εὔσημος ἦν ἡ φωνή; ἀλλὰ ταχέως αὐτοὺς ἀπέπτη, ἅτε παχυτέρων ὄντων καὶ σαρκικῶν καὶ ῥαθύμων. καὶ οἱ μὲν τὸν ἦχον κατεῖχον μόνον· οἱ δὲ, ὅτι μὲν ἔναρθρος ἦν ἡ φωνὴ, ᾔδεσαν· τί δὲ ἐσήμαινεν, οὐκ ἔτι. τί οὖν ὁ Χριστός; οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. ἀλλὰ τί τοῦτο εἶπε; πρὸς ἐκεῖνο ἐνιστάμενος ὃ ἔλεγον ἀεὶ, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. ὁ γὰρ ὑπὸ τοῦ Θεοῦ δοξαζόμενος, πῶς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὗ τὸ ὄνομα δι' αὐτὸν δοξάζεται; διὰ γὰρ τοῦτο καὶ ἡ φωνὴ ἠνέχθη. διὸ καὶ αὐτός φησιν, οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς· οὐχ ἵνα ἐγὼ μάθω τι ἀγνοῶν περὶ αὐτῆς (πάντα γὰρ οἶδα τὰ τοῦ πατρὸς) ἀλλὰ δι' ὑμᾶς. ἐπειδὴ γὰρ ἔλεγον, ὅτι ἄγγελος ἐλάλησεν αὐτῷ, ἢ βροντὴ γέγονε, καὶ οὐ προσεῖχον, φησίν· ὅτι δι' ὑμᾶς ἐγένετο, ἵνα κἂν οὕτως ἐναχθῆτε πρὸς τὸ ἐρωτῆσαι τί τὸ λεχθέν. οἱ δὲ ἐπτοημένοι, οὐδὲ οὕτως ἐπύθοντο ἀκούσαντες, ὅτι αὐτοῖς ἀνήκει τὸ πρᾶγμα. τῷ γὰρ οὐκ εἰδότι πρὸς ὃ ἔλεγεν, εἰκότως οὐκ ἐδόκει εὔσημος εἶναι ἡ φωνή. δι' ὑμᾶς ἡ φωνὴ γέγονεν. ὁρᾷς ὅτι τὰ ταπεινὰ δι' αὐτοὺς γίνεται, οὐχ ὡς τοῦ υἱοῦ δεομένου βοηθείας;

31 Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν δὲ ὁ ἄρχων τοῦ κόσμου τούτου κάτω βληθήσεται. Τοῦτο ποίαν ἀκολουθίαν ἔχει πρὸς τὸ, ἐδόξασα καὶ δοξάσω; πολλὴν καὶ σφόδρα συνᾴδουσαν. ἐπειδὴ γὰρ εἶπε, δοξάσω, δείκνυσι καὶ τὸν τρόπον τῆς δόξης. τίς δὲ ὁ τρόπος ἐστίν; ἐκεῖνος βληθήσεται κάτω, φησί. τί δέ ἐστι, κρίσις ἐστὶ τοῦ κόσμου τούτου; ὡσανεὶ ἔλεγε, δικαστήριον ἔσται καὶ ἐκδίκησις. πῶς καὶ τίνι τρόπῳ; ἀνεῖλε τὸν πρῶτον ἄνθρωπον, ὑπεύθυνον λαβὼν τῇ ἁμαρτίᾳ (διὰ γὰρ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος) ἐν ἐμοὶ τοῦτο οὐχ εὗρε. τίνος οὖν ἕνεκεν ἐνεπήδησε, καὶ θανάτῳ παρέδωκε; τίνος ἕνεκεν εἰς τὴν Ιούδα ψυχὴν ἐνέβαλεν ὥστε με ἀνελεῖν; μὴ γάρ μοι εἴπῃς νῦν, ὅτι ὁ Θεὸς ᾠκονόμησε (τοῦτο γὰρ οὐ τοῦ διαβόλου, ἀλλὰ τῆς αὐτοῦ σοφίας) τέως ἐκείνου ἡ γνώμη ἐξεταζέσθω τοῦ πονηροῦ. πῶς οὖν κρίνεται ὁ κόσμος ἐν ἐμοί; ὡσανεὶ δικαστηρίου καθεζομένου, λεχθήσεται πρὸς αὐτὸν, ἔστω, πάντας ἀνεῖλες διὰ τὸ ἁμαρτίας ὑπευθύνους εὑρεῖν· τὸν Χριστὸν διὰ τί ἀνεῖλες; οὐκ εὔδηλον, ὅτι ἀδίκως; οὐκοῦν δι' αὐτοῦ ἐκδικηθήσεται ὁ κόσμος ἅπας. ἵνα δὲ καὶ σαφέστερον ᾖ, καὶ ἐπὶ παραδείγματος αὐτὸ ποιήσω φανερόν. ἔστω τις βίαιος τύραννος, πάντας τοὺς ἐμπίπτοντας μυρίοις περιβάλλων κακοῖς· οὗτος ἐὰν συμβαλὼν βασιλεῖ, ἢ υἱῷ βασιλέως, ἀνέλῃ αὐτὸν ἀδίκως, ὁ ἐκείνου θάνατος καὶ τοὺς ἄλλους ἐκδικῆσαι δυνήσεται. ἔστω τις ὀφειλέτας ἀπαιτῶν, καὶ τυπτέτω, καὶ εἰς δεσμωτήριον ἐμβαλλέτω· εἶτα ἐκ τῆς αὐτῆς ἀπονοίας καὶ τὸν οὐδὲν ὀφείλοντα ὑπὸ τὴν αὐτὴν εἱρκτὴν ἀγέτω. οὗτος καὶ ὧν εἰς τοὺς ἄλλους ἐποίησε δώσει δίκην. ἀναιρήσει γὰρ αὐτὸν ἐκεῖνος. οὕτω καὶ ἐπὶ υἱοῦ γέγονεν. ὧν γὰρ εἰς ἡμᾶς ἐποίησεν ὁ διάβολος, δι' ὧν εἰς τὸν Χριστὸν ἐτόλμησεν, ἀπαιτηθήσεται δίκην. καὶ ὅτι τοῦτο αἰνίττεται, ἄκουσον τί φησι· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου βληθήσεται κάτω διὰ τοῦ θανάτου τοῦ ἐμοῦ·

32 Καὶ

32 Κἀγὼ δὲ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· Τουτέστι, καὶ τοὺς ἐκ τῶν ἐθνῶν. καὶ ἵνα μή τις εἴπῃ, πῶς βληθήσεται κάτω, εἰ καὶ σοῦ περιγίνεται; λέγει, οὐ περιγίνεται· πῶς γάρ, τοῦ καὶ τοὺς ἄλλους ἕλκοντος; καὶ οὐ λέγει τὴν ἀνάστασιν, ἀλλ' ὃ τῆς ἀναστάσεως πλέον ἐστί, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. εἰ μὲν γὰρ εἶπεν, ὅτι ἀναστήσομαι, οὔπω δῆλον ὅτι καὶ πιστεύουσι· τῷ δὲ εἰπεῖν, ὅτι πιστεύουσιν, ἀμφότερα συναποδέδεικται, ὅτι καὶ ἀναστήσεται. εἰ γὰρ νεκρὸς ἔμεινε, καὶ ψιλὸς ἄνθρωπος ἦν, οὐδεὶς ἂν ἐπίστευσε. πάντας ἑλκύσω πρὸς ἐμαυτόν. πῶς οὖν φησιν, ὅτι ὁ πατὴρ ἕλκει; ὅτι, υἱοῦ ἕλκοντος, πατὴρ ἕλκει. ἑλκύσω δέ, φησιν, ἅτε ὑπὸ τυράννου κατεχομένους, καὶ ἀφ' ἑαυτῶν μόνων οὐ δυναμένοις προσελθεῖν καὶ τὰς ἐκείνου χεῖρας διαφυγεῖν, ἅτε ἀντεχομένου. ἀλλαχοῦ δὲ τοῦτο ἁρπαγὴν καλεῖ. Ματθ. ιβ. κθ. Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρότερον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσῃ. ταῦτα δὲ τὸ βίαιον αὐτοῦ παριστῶν ἔλεγεν. ὅπερ οὖν ἐκεῖ ἁρπαγήν, ἐνταῦθα ἕλξιν ἐκάλεσε.

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, διαναστῶμεν, δοξάσωμεν τὸν Θεόν, μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ βίου· ἐπεὶ οὐκ ἂν εἴη δόξα, ἀλλὰ βλασφημία. οὐ γὰρ οὕτω βλασφημεῖται Θεός, Ἕλληνος ὄντος μιαροῦ, ὡς Χριστιανοῦ διεφθαρμένου. διὸ δὴ δέομαι πάντα ποιεῖν, ὥστε δοξάζεσθαι τὸν Θεόν. οὐαὶ γάρ, φησι, τῷ δούλῳ ἐκείνῳ, δι' οὗ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται (ὅταν δὲ οὐαὶ ᾖ, πᾶσα εὐθέως κόλασις καὶ τιμωρία ἕπεται) μακάριος δέ, δι' οὗ τὸ ὄνομα δοξάζεται. μὴ τοίνυν ὡς ἐν τῷ σκότει ὦμεν· ἀλλὰ πάντα φεύγωμεν τὰ ἁμαρτήματα, μάλιστα δὲ τὰ εἰς κοινὴν διαβαίνοντα βλάβην, ἐπειδὴ μάλιστα ἐν τούτοις ὁ Θεὸς βλασφημεῖται. τίνα γὰρ ἕξομεν συγγνώμην, ὅταν ἑτέροις δοῦναι προσταττόμενοι, τὰ ἑτέρων ἁρπάζωμεν; τίς ἡμῖν ἔσται ἐλπὶς σωτηρίας; εἰ μὴ πεινῶντα ἔθρεψας, κολάζῃ· εἰ δὲ καὶ ἀπέδυσας ἐνδεδυμένον, ποίας τεύξῃ συγγνώμης; ταῦτα συνεχῶς λέγοντες οὐ παυσόμεθα. ἴσως γὰρ οἱ τήμερον μὴ ἀκούσαντες, αὔριον ἀκούσονται· οἱ δὲ τὴν αὔριον μὴ προσέχοντες, τὴν μετ' ἐκείνην πεισθήσονται. εἰ δέ τινες καὶ ἀπειθῶς εἶεν διακείμενοι, ἀλλ' ἡμῖν ἀνεύθυνον ἔσται τὸ δικαστήριον. τὸ γὰρ ἡμέτερον ἐπληρώσαμεν. γένοιτο δὲ μήτε ἡμᾶς αἰσχυνθῆναι ἐπὶ τοῖς λεγομένοις, μήτε ὑμᾶς ἐγκαλύψασθαι· ἀλλὰ πάντας δυνηθῆναι μετὰ παρρησίας στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα καὶ αὐτοὶ δυνηθῶμεν καυχήσασθαι ἐφ' ὑμῖν, καὶ τῶν ἡμετέρων καμάτων παραμυθίαν τινὰ λαβεῖν, τὴν ὑμετέραν εὐδοκίμησιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. ξη. 34 ΑΠΕΚΡΙΘΗ ΑΥΤΩ Ο ΟΧΛΟΣ, ΗΜΕΙΣ ΗΚΟΥσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς λέγεις σύ, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;

ΕΥφώρατον ἡ πλάνη καὶ ἀσθενές, κἂν μυρίοις ἔξωθεν ἀλείφηται χρώμασι. καὶ καθάπερ οἱ τὰ σαθρὰ τῶν τοίχων κονιῶντες, οὐκ ἰσχύουσι διὰ τῆς ἀλοιφῆς ἐξορθοῦν· οὕτω καὶ οἱ ψευδόμενοι ῥᾳδίως ἐλέγχονται· ὃ δὴ καὶ ἐνταῦθα πεπόνθασιν [οἱ] Ἰουδαῖοι. τοῦ γὰρ Χριστοῦ πρὸς αὐτοὺς εἰπόντος· ὅταν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· ἡμεῖς ἠκούσαμεν, φασιν, ἀπὸ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; ἄρα ᾔδεσαν κἀκεῖνοι ὅτι ὁ Χριστὸς ἀθάνατός τίς ἐστι, καὶ ζωὴν ἔχει πέρας οὐκ ἔχουσαν. οὐκοῦν κἀκεῖνοι ᾔδεσαν ὅπερ ἔλεγε. καὶ γὰρ πολλαχοῦ τῶν γραφῶν ὁμοῦ καὶ τὸ πάθος καὶ ἡ ἀνάστασις κεῖται. Ησ. νγ. ζ. καὶ γὰρ Ἡσαΐας ἅμα ταῦτα τίθησιν, Ὡς πρόβατον

ἐπὶ σφαγὴν ἤχθη λέγων, καὶ τὰ ἑξῆς ἅπαντα· καὶ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ, καὶ ἀλλαχοῦ πολλαχοῦ συνάπτει ταῦτα ἀμφότερα. καὶ ὁ πατριάρχης δὲ εἰπών, ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, ἐπήγαγε· Καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν; ὁμοῦ καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν ἐνδείκνυται. ἀλλ' οὗτοι νομίζοντες ἐπιστομίζειν αὐτὸν καὶ δεικνύναι οὐκ ὄντα Χριστὸν ἐκ τούτου, ὁμολογοῦσιν ὅτι ὁ Χριστὸς εἰς τὸν αἰῶνα μένει. καὶ ὅρα πῶς κακούργως. οὐ γὰρ εἶπον, ὅτι ἠκούσαμεν ὅτι ὁ Χριστὸς οὐδὲν πάσχει, οὐδὲ σταυροῦται, ἀλλ' ὅτι μένει εἰς τὸν αἰῶνα. καίτοι οὐδὲ τοῦτο τὸ εἰρημένον ἐναντίον ἦν. τῇ γὰρ ἀθανασίᾳ τὸ πάθος οὐκ ἐγένετο κώλυμα. ἐντεῦθέν ἐστιν ἰδεῖν, ὅτι πολλὰ τῶν ἀμφιβόλων συνίεσαν, καὶ ἑκόντες ἐκακούργουν. ἐπειδὴ γὰρ ἔφθη περὶ θανάτου διαλεχθεὶς ἀνωτέρω, ἀκούσαντες τὸ ὑψωθῆναι ἐνταῦθα, τοῦτο ὑπώπτευσαν. Εἶτα λέγουσι· Τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; καὶ τοῦτο κακούργως. μὴ γὰρ δὴ νομίσῃς, φησίν, ὅτι περὶ σοῦ τοῦτο λέγομεν, καὶ εἴπῃς ὅτι δι' ἀπέχθειαν ἐναντιούμεθα. ἰδοὺ γὰρ οὐκ οἴδαμεν περὶ τίνος λέγεις, καὶ ὅμως ἀποφαινόμεθα. Τί οὖν ὁ Χριστός; ἐπιστομίζων αὐτοὺς καὶ δεικνύς, ὅτι τὸ πάθος οὐδὲν κώλυμα πρὸς τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα,

35 Ἔτι, φησί, μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· Δηλῶν, ὅτι ὁ θάνατος αὐτοῦ μετάστασίς ἐστι. καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται, ἀλλὰ μικρὸν ὑποχωρῆσαν πάλιν φαίνεται. Περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε. Ποῖον ἐνταῦθα λέγει καιρόν; ἆρα τὴν παροῦσαν ζωὴν ἅπασαν, ἢ τὸν πρὸ τοῦ σταυροῦ χρόνον; ἔγωγε οἶμαι ἀμφοτέρους. διὰ γὰρ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, πολλοὶ καὶ μετὰ τὸν σταυρὸν ἐπίστευσαν. λέγει δὲ ταῦτα κατεπείγων αὐτοὺς εἰς τὴν πίστιν, ὅπερ καὶ ἀνωτέρω πεποίηκεν, οὕτω λέγων, Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει.

Πόσα γοῦν καὶ Ἰουδαῖοι νῦν πράττουσιν, καὶ οὐκ ἴσασι τί πράττουσιν, ἀλλ' ὡς ἐν σκότῳ οὕτω βαδίζοντες; δοκοῦσι μὲν τὴν ὀρθὴν ὁδεύειν ὁδόν, τὴν δὲ ἐναντίαν βαδίζουσι, σάββατον ″κατηγορῶντες, καὶ νόμον φυλάττοντες, καὶ βρωμάτων παρατηρήσεις, καὶ οὐκ ἴσασι ποῦ περιπατοῦσι. Διὰ τοῦτο ἔλεγε·

36 Περιπατεῖτε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε, Τουτέστιν, ἐμοὶ υἱοί. καίτοι ἐν προοιμίοις φησὶν ὁ εὐαγγελιστής, Ὅτι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, τουτέστι, τοῦ πατρός· ἐνταῦθα δὲ αὐτὸς λέγεται τούτους γεννᾷν, ἵνα μάθῃς, ὅτι μία ἐνέργεια πατρὸς καὶ υἱοῦ. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἀπ' αὐτῶν, ἐκρύβη. Νῦν τί κρύπτεται; οὐδὲ γὰρ λίθους ἦραν κατ' αὐτοῦ, οὐδὲ ἐβλασφήμησάν τι τοιοῦτον, οἷον ἔμπροσθεν. τίνος οὖν ἕνεκεν ἐκρύβη; τὰς καρδίας ἐμβατεύων ᾔδει τὸν θυμὸν αὐτοῖς ἀγριαίνοντα, εἰ καὶ μηδὲν ἐφθέγγοντο· ᾔδει ζέοντα καὶ φονῶντα, καὶ οὐ περιέμενεν ὥστε εἰς ἔργον ἐξελθεῖν, ἀλλὰ κρύπτεται, παραμυθούμενος αὐτῶν τὸν φθόνον. ὅρα γοῦν πῶς αὐτὸν ᾐνίξατο ὁ εὐαγγελιστής. εὐθέως γοῦν ἐπήγαγε·

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν. Ποῖα τοσαῦτα; ὅσα παρέλιπεν ὁ εὐαγγελιστής. καὶ ἐκ τῶν μετὰ ταῦτα δὲ τοῦτο δῆλον. καὶ γὰρ ὑποχωρήσας καὶ ἐνδούς, καὶ ἐπανελθὼν πάλιν ὑφειμένως αὐτοῖς διαλέγεται, οὕτω λέγων· Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με. ὅρα γὰρ τί ποιεῖ. ἄρχεται ἀπὸ ταπεινῶν καὶ συνεσταλμένων, καὶ καταφεύγει εἰς τὸν πατέρα· εἶτα πάλιν ἀνάγει τὸν λόγον. καὶ ὅταν ἴδῃ ἐκθηριουμένους, ὑποχωρεῖ, καὶ πάλιν ἐφίσταται, καὶ ἀπὸ ταπεινῶν προοιμιάζεται πάλιν. καὶ ποῦ τοῦτο ἐποίησε; ποῦ γὰρ οὐκ ἐποίησεν; ὅρα γοῦν ἐν ἀρχῇ τί φησι· Καθὼς ἀκούω, κρίνω. εἶτα ὑψηλότερον· Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. πάλιν, Ἐγὼ οὐ κρίνω ὑμᾶς, ″ἄλλος ἐστὶν ὁ κρίνων. εἶτα ἀναχωρεῖ πάλιν. εἶτα ἐπιστὰς τῇ Γαλιλαίᾳ, Ἐργάζεσθε, φησί, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην. καὶ εἰπὼν περὶ αὐτοῦ μεγάλα, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, ὅτι ζωὴν αἰώνιον δίδωσι, πάλιν ἀναχωρεῖ. καὶ τῇ σκηνοπηγίᾳ πά-

Γεν. μθ. θ.
Αριθ. κδ. θ.
Ιωαν. ζ. λγ.
ἄλ. περιῶντες,
Ιωαν. α. ιγ.
Ιωαν. ιβ. μδ.
Ιωαν. ε. λ.
Ιωαν. ε. κα.
Ιωαν. η. ν.
γ. ἀλλ'
Ιωαν. ς. κζ.

λιν ἐπιστάς, ὃ αὐτὸς τοῦτο ποιεῖ. καὶ διηνεκῶς ἴδοι τις ἂν οὕτω ποικίλλοντα τὴν διδασκαλίαν, παρουσίᾳ, ἀπουσίᾳ, ταπεινοῖς, ὑψηλοῖς λόγοις· ὃ καὶ ἐνταῦθα πεποίηκε. τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν, φησιν,

38 Ἵνα πληρωθῇ ὁ λόγος Ἡσαΐου, ὃν εἶπε· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Καὶ πάλιν· 39 Οὐκ ἠδύναντο, φησι, πιστεύειν, ὅτι εἶπεν Ἡσαΐας· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. 41 Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ. Ἰδοὺ πάλιν τὸ, ὅτι, καὶ εἶπεν, οὐχὶ αἰτιολογίας, ἀλλ᾽ ἐκβάσεως. οὐδὲ γὰρ ἐπειδὴ εἶπεν Ἡσαΐας, οὐκ ἐπίστευον· ἀλλ᾽ ἐπειδὴ οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ἡσαΐας. τί οὖν οὐχ οὕτως ὁ εὐαγγελιστὴς λέγει, ἀλλὰ τὴν ἀπιστίαν ἀπὸ τῆς προφητείας, οὐ τὴν προφητείαν ἀπὸ τῆς ἀπιστίας εἶναί φησι· καὶ προϊὼν, σφοδρότερον τοῦτο αὐτὸ τίθησιν, οὕτω λέγων, διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι εἶπεν Ἡσαΐας; ἐντεῦθεν παραστῆσαι διὰ πολλῶν βούλεται τὸ τῆς γραφῆς ἀψευδές· καὶ ὅτι ἅπερ προεφήτευσεν, οὐχ ἑτέρως ἐξέβη, ἀλλ᾽ ὡς εἶπεν. ἵνα γὰρ μή τις λέγῃ, καὶ τίνος ἕνεκεν ἦλθεν ὁ Χριστός; οὐκ ᾔδει ὅτι οὐκ ἔμελλον αὐτῷ προσέχειν; καὶ τοὺς προφήτας εἰσάγει τοῦτο εἰδότας. ἦλθε δὲ, ἵνα πρόφασιν μὴ ἔχωσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ἃ γὰρ προεῖπεν ὁ προφήτης, ὡς πάντως ἐσόμενα προεῖπεν. εἰ γὰρ μὴ πάντως ἔμελλεν ἔσεσθαι, οὐκ ἂν προεῖπε· πάντως δὲ ἔμελλεν ἔσεσθαι, ἐπειδὴ ἀνιάτως εἶχον ἐκεῖνοι. εἰ δὲ κεῖται τὸ, οὐκ ἠδύναντο, ἀντὶ τοῦ, οὐκ ἤθελον, μὴ θαυμάσῃς. Ματθ. ιθ. ιβ. καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω. οὕτως οἶδε Ιωαν. ζ. ζ. πολλαχοῦ δύναμιν τὴν προαίρεσιν λέγειν. καὶ πάλιν· Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ. τοῦτο δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ φυλαττόμενον ἴδοι τις ἄν· ὡς ὅταν λέγῃ τις, οὐ δύναμαι ἀγαπῆσαι τὸν δεῖνα, τὸ σφοδρὸν τῆς βουλήσεως δύναμιν λέγων. καὶ πάλιν, Ιερ. ιγ. κγ. οὐ δύναται ὁ δεῖνα γενέσθαι χρηστός. καὶ ὁ προφήτης δὲ τί φησιν; Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὁ λαὸς οὗτος δυνήσεται εὖ ποιῆσαι μεμαθηκὼς κακά. οὐ τοῦτό φησιν, ὅτι ἀδύνατος αὐτοῖς ἡ τῆς ἀρετῆς ἐργασία· ἀλλ᾽ ὅτι οὐ βούλονται, διὰ τοῦτο οὐ δύνανται. καὶ ὃ λέγει ὁ εὐαγγελιστής, τοῦτό φησιν, ὅτι ἀδύνατον ἦν ψεύσασθαι τὸν προφήτην. οὐ μὴν διὰ τοῦτο ἀδύνατον ἦν αὐτοὺς πιστεῦσαι. ἐνῆν γὰρ, καὶ πιστευσάντων αὐτῶν, ἀψευδῆ μένειν. οὐ γὰρ ἂν ταῦτα προεῖπεν, εἰ πιστεύειν ἔμελλον. τί οὖν, φησιν, οὐχ οὕτως εἶπεν; ὅτι ἰδιώματά τινα ἡ γραφὴ τοιαῦτα ἔχει, καὶ δεῖ τοῖς νόμοις αὐτῆς παραχωρεῖν. Ταῦτα δὲ εἶπεν, ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ. τίνος; τοῦ πατρός. πῶς οὖν ὁ Ἰωάννης περὶ τοῦ υἱοῦ λέγει, ὁ δὲ Παῦλος περὶ τοῦ πνεύματος; οὐχ ὡς συναλείφοντες τὰς ὑποστάσεις, ἀλλὰ μίαν Πραξ. κη. κε. ἀξίαν δηλοῦντες εἶναι, φασί. καὶ γὰρ τὰ τοῦ πατρός, τοῦ υἱοῦ, καὶ τὰ τοῦ υἱοῦ, τοῦ πνεύματός ἐστι. καίτοι πολλὰ δι᾽ ἀγγέλων εἶπε, καὶ οὐδεὶς λέγει, καθὼς εἶπεν ὁ ἄγγελος· ἀλλὰ τί; ὁ Θεὸς εἶπε. τὰ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ δι᾽ ἀγγέλων εἰρημένα, τοῦ Θεοῦ ἂν εἴη· οὐκ ἔτι δὲ καὶ τὰ τοῦ Θεοῦ, τῶν ἀγγέλων. ἐνταῦθα δὲ τοῦ πνεύματός φησιν εἶναι τὰ ῥήματα. Καὶ ἐλάλησε περὶ αὐτοῦ. Ησ. ϛ. α. τί ἐλάλησεν; Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὰ ἑξῆς. δόξαν οὖν ἐνταῦθά φησι, τὴν ὄψιν ἐκείνην, τὸν καπνὸν, τὸ ἀκοῦσαι μυστηρίων ἀπορρήτων, τὸ ἰδεῖν τὰ Σεραφὶμ, τὴν ἀστραπὴν τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν, ἣν ἀντιβλέψαι αἱ δυνάμεις οὐκ εἶχον ἐκεῖναι. Ησ. ϛ. η. θ. καὶ ἐλάλησε περὶ αὐτοῦ. τί ἐλάλησεν; ὅτι ἤκουσε φωνὴν λέγουσαν· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται; καὶ εἶπον· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. καὶ εἶπεν· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. 40 Ἐτύφλωσε γὰρ αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσιν.

Ἰδοὺ πάλιν ἕτερον ζήτημα· ἀλλ᾽ οὐκ ἔστιν, ἐὰν ὀρθῶς προσέχωμεν. ὥσπερ γὰρ ὁ ἥλιος τῶν ἀσθενῶν πλήττει τὰς ὄψεις οὐ παρὰ τὴν οἰκείαν φύσιν· οὕτω καὶ ἐπὶ τῶν μὴ προσεχόντων τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. οὕτω καὶ ἐπὶ τοῦ Φαραὼ τὴν καρδίαν σκληρῶσαι λέγεται, οὕτω καὶ ἐπὶ τῶν φιλονεικούντων τι τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. ἰδίωμα δὲ καὶ τοῦτο τῆς γραφῆς· ὡς καὶ τὸ, Παρέδωκεν εἰς ἀδόκιμον νοῦν, καὶ τὸ, ἀπένειμε τοῖς ἔθνεσι· τουτέστι, συνεχώρησεν, ἀφῆκεν. οὐχὶ γὰρ ἐνεργοῦντα αὐτὸν ἐνταῦθα εἰσάγει, ἀλλ' ἐκ τῆς ἑτέρων πονηρίας ταῦτα γινόμενα δείκνυσιν. ὅταν γὰρ ἐγκαταλειφθῶμεν ὑπὸ τοῦ Θεοῦ, παραδιδόμεθα τῷ διαβόλῳ· τῷ διαβόλῳ δὲ παραδοθέντες, μυρία πάσχομεν δεινά. φοβῶν τοίνυν τὸν ἀκροατὴν φησιν, ἐσκλήρυνε καὶ παρέδωκεν. ὅτι γὰρ αὐτὸς οὐ μόνον οὐ παραδίδωσιν, ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ βουληθῶμεν, ἄκουσον τί φησιν· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διïστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν; καὶ πάλιν, Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. ὁ δὲ Ὡσηέ φησιν· Ἐπελάθου νόμου Θεοῦ σου, ἐπιλήσομαί σου κἀγώ. καὶ αὐτὸς δὲ ἐν τοῖς εὐαγγελίοις· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε; καὶ ὁ Ἡσαΐας δὲ πάλιν, Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος. ταῦτα δὲ λέγει, δεικνὺς ἡμᾶς ἀρχομένους τῆς ἐγκαταλείψεως, καὶ αἰτίους γινομένους τῆς ἀπωλείας. ὁ γὰρ Θεὸς οὐ μόνον οὐ καταλιπεῖν οὐδὲ κολάσαι βούλεται, ἀλλὰ καὶ ὅτε κολάζει, μὴ θέλων αὐτὸ ποιεῖ. Οὐ βούλομαι γάρ, φησι, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὁ δὲ Χριστὸς "καὶ ἐπὶ τῇ καταστροφῇ Ἱερουσαλὴμ δακρύει, ὃ καὶ ἡμεῖς ἐπὶ φίλων ποιοῦμεν.

Ῥωμ. α. κη.
Ἡσ. νθ. β.
Ψαλ. οϛ. κζ.
Ὡση. δ. ϛ.
Λουκ. ιγ. λδ.
Ἡσ. ν. β.
Ἰεζεκ. ιη. λβ.

χ. ἀπολλυμέ-
νων τῆς Ἱε-
ρουσαλὴμ καὶ
δακρύει, ὃ καὶ
... τῶν μαιν.

χ. πολλὰ

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, πάντα πράττωμεν ὥστε μὴ ἀφίστασθαι τοῦ Θεοῦ, ἀλλ' ἐχώμεθα τῆς κατὰ ψυχὴν ἐπιμελείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης, καὶ μὴ ἀπαράττωμεν ἡμῶν τὰ μέλη ("τοῦτο γὰρ μαινομένων καὶ ἐξεστηκότων ἐστίν) ἀλλ' ὅσῳ ἂν κακῶς διακειμένους ἴδωμεν, θεραπεύσωμεν μᾶλλον. καὶ γὰρ καὶ ἐν τοῖς σώμασι "πολλοὺς πολλάκις ὁρῶμεν δυστράπελα ἔχοντας καὶ ἀνίατα νοσήματα, καὶ οὐ παυόμεθα ἐπιτιθέντες φάρμακα. τί γὰρ ποδαλγίας χεῖρον; τί δὲ χειράγρας; ἆρ' οὖν ἀποκόπτομεν τὰ κῶλα; οὐδαμῶς· ἀλλὰ πάντα ποιοῦμεν ὥστε παραμυθίας τινὸς ἀπολαῦσαι, ἐπειδὴ λῦσαι τὸ κακὸν οὐ δυνάμεθα. τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποιῶμεν· καὶ, ἂν ἀνίατα νοσῶσι, μένωμεν θεραπεύοντες, καὶ βαστάζωμεν ἀλλήλων τὰ βάρη. οὕτω γὰρ πληρώσομεν τὸν νόμον τοῦ Χριστοῦ, καὶ τευξόμεθα τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. ξθ. 42 ΟΜΩΣ ΜΕΝΤΟΙ ΚΑΙ ΕΚ ΤΩΝ ΑΡΧΟΝΤΩΝ πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. 43 Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον "ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

χ. παρὰ τὴν
τοῦ Θεοῦ.

Πάντα μὲν φεύγειν ὁμοίως ἡμῖν ἀναγκαῖον τὰ τὴν ψυχὴν διαφθείροντα πάθη· πολλῷ δὲ πλέον ἐκεῖνα τὰ πολλὰ καὶ ἐξ ἑαυτῶν τίκτοντα ἁμαρτήματα· τίνα δὴ λέγω, ἡ φιλαργυρία. ἔστι μὲν οὖν καθ' ἑαυτὸ δεινὸν τὸ νόσημα· πολλῷ δὲ γίνεται χαλεπώτερον, ὅτι ῥίζα καὶ μήτηρ ἐστὶ πάντων τῶν κακῶν. τοιοῦτον καὶ ἡ κενοδοξία. ἰδοὺ γοῦν καὶ οὗτοι τῆς πίστεως διὰ τὸν τῆς δόξης ἀπεῤῥάγησαν ἔρωτα. πολλοὶ γάρ, φησιν, καὶ ἐκ τῶν ἀρχόντων ἐπίστευσαν εἰς αὐτόν· διὰ δὲ τοὺς Ἰουδαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ὅπερ οὖν καὶ αὐτὸς ἄνωθεν ἔλεγε, Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; οὐκ ἄρα ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι δουλείαν τὴν ἐσχάτην. πλὴν ἀλλὰ καὶ τοῦτο ὕστερον ἐλύθη ὁ φόβος. οὐδαμοῦ γὰρ ἐπὶ τῶν ἀποστόλων ὁρῶμεν τούτῳ κατεχομένους τῷ πάθει. καὶ γὰρ ἄρχοντες ἐπ' ἐκείνων ἐπίστευσαν καὶ ἱερεῖς. ἡ γὰρ τοῦ πνεύματος χάρις ἐλθοῦ-

Ἰωαν. ε. μδ.

σα, πάντας αὐτοὺς ἀδάμαντος ἐποίησε στεῤῥοτέρους. ἐπεὶ δὲ τοῦτο ἦν τὸ κωλύον αὐτοὺς πιστεῦσαι
τότε, ἄκουσον τί φησιν·

44 Ο πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με·

Ὡσανεὶ ἔλεγε, τί δεδοίκατε πιστεῦσαι εἰς ἐμέ; εἰς τὸν Θεὸν ἡ πίστις διαβαίνει δι' ἐμοῦ,
ὥσπερ οὖν καὶ ἡ ἀπιστία. ὅρα πῶς διὰ πάντων τὸ ἀπαράλλακτον δείκνυσι τῆς οὐσίας. καὶ οὐκ
εἶπεν, ὁ πιστεύων ἐμοὶ, ἵνα μή τις εἴπῃ, ὅτι τῶν ῥημάτων ἕνεκεν ἔλεγεν, ὃ καὶ ἐπ' ἀνθρώπων
δυνατὸν ἦν εἰπεῖν. ὁ γὰρ τοῖς ἀποστόλοις πιστεύων, οὐκ αὐτοῖς πιστεύει, ἀλλὰ τῷ Θεῷ.
ἀλλ' ἵνα μάθῃς, ὅτι περὶ τῆς εἰς τὴν οὐσίαν πίστεως αὐτοῦ φησιν, οὐκ εἶπεν, ὁ πιστεύων μου
τοῖς ῥήμασιν, ἀλλ' ὁ πιστεύων εἰς ἐμέ. καὶ διατί μηδαμοῦ, φησιν, εἶπεν ἀντιστρόφως· ὁ πιστεύ-
ων εἰς τὸν πατέρα, οὐκ εἰς τὸν πατέρα πιστεύει, ἀλλ' εἰς ἐμέ; ὅτι εἶπον ἂν, ἰδοὺ ἡμεῖς
πιστεύομεν εἰς τὸν πατέρα, καὶ εἰς σὲ οὐ πιστεύομεν. καὶ γὰρ ἀσθενέστερον ἔτι διέκειντο. τοῖς γοῦν
Ιωαν. ιδ. α. μαθηταῖς διαλεγόμενος οὕτως εἶπε· Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. τούτους δὲ
ἀσθενεστέρους ὁρῶν τοῦ τοιαῦτα ἀκοῦσαι ῥήματα, ἄλλως ἐνάγει, δεικνὺς ὅτι οὐκ ἔστι πιστεῦσαι
τῷ πατρὶ, μὴ πιστεύσαντας εἰς αὐτόν. καὶ ἵνα μὴ νομίσῃς ὅτι ὡς ἐπ' ἀνθρώπου εἴρηται, ἐπάγει·

45 Ο θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. Τί οὖν; σῶμά ἐστιν ὁ Θεός; οὐδαμῶς.
θεωρίαν γὰρ, τὴν τοῦ νοῦ φησιν ἐνταῦθα, καὶ ἐντεῦθεν τὸ ὁμοούσιον δηλῶν. καὶ τί
ἐστιν, ὁ πιστεύων εἰς ἐμέ; ὡς ἂν εἴποι τις· ὁ τὸ τοῦ ποταμοῦ ἀναιρούμενος ὕδωρ, οὐ τὸ τοῦ ποταμοῦ,
ἀλλὰ τὸ τῆς πηγῆς λαμβάνει. μᾶλλον δὲ καὶ αὕτη ἔτι ἀσθενεστέρα ἡ εἰκὼν πρὸς τὸ προκείμενον.

46 Εγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα. Επειδὴ γὰρ ὁ πατὴρ τούτῳ καλεῖται πανταχοῦ
Εβρ. α. γ. ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ, καὶ αὐτὸς κέχρηται τῷ ὀνόματι. διὰ τοῦτο καὶ Παῦλος ἀπαύγασμα
αὐτὸν καλεῖ, ἐντεῦθεν μαθών. καὶ πολλὴν δείκνυσιν ἐνταῦθα τὴν πρὸς τὸν πατέρα
συγγένειαν καὶ οὐδὲν τὸ μέσον, εἴγε τὴν εἰς αὐτὸν πίστιν, μὴ εἰς αὐτὸν, ἀλλ' εἰς ἐκεῖνον
διαβαίνειν φησί. φῶς δὲ ἑαυτὸν ἐκάλεσε, διὰ τὸ τῆς πλάνης ἀπαλλάττειν, καὶ τὸ νοητὸν λύειν
σκότος. 47 Εάν τίς μου μὴ ἀκούσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν
κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ινα γὰρ μὴ νομίσωσιν ὅτι δι' ἀσθένειαν αὐτοὺς καταφρονοῦντας
περιέδραμε, διὰ τοῦτο εἶπε τὸ, οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον. εἶτα, ἵνα μὴ
ῥᾳθυμότεροι ταύτῃ γένωνται, μαθόντες ὅτι ὁ πιστεύων σώζεται, ὁ δὲ ἀπιστῶν κολάζεται, ὅρα
πῶς αὐτοῖς καὶ φοβερὸν ἐπέστησε δικαστήριον, ἐπάγων καὶ λέγων· 48 Ο ἐμὲ ἀθετῶν, καὶ
μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν. Εἰ ὁ πατὴρ οὐδένα κρίνει,
καὶ σὺ οὐκ ἦλθες ἵνα κρίνῃς τὸν κόσμον, τίς αὐτὸν κρινεῖ; Ο λόγος ὃν ἐλάλησα,
ἐκεῖνος κρινεῖ αὐτόν. Επειδὴ γὰρ ἔλεγον, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, τοῦτό φησιν,
ὅτι οὐ τότε δυνήσονται ταῦτα λέγειν, ἀλλὰ τὰ ῥήματα, ἃ ἐλάλησα νῦν, ἐν τάξει στήσονται κατηγόρου,
ἐλέγχοντα αὐτοὺς καὶ πᾶσαν διακόπτοντα ἀπολογίαν. καὶ ὁ λόγος ὃν ἐλάλησα.
ποῖος λόγος;

49 Οτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα· ὅτι ὁ πέμψας με πατὴρ, ἐκεῖνός μοι ἔδωκεν ἐντολὴν,
τί εἴπω καὶ τί λαλήσω, Καὶ ὅσα τοιαῦτα ἕτερα. ἆρα ταῦτα δι' αὐτοὺς οὕτως ἔλεγεν,
ἵνα μηδεμίαν ἔχωσιν ἀπολογίας πρόφασιν. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί Ησαΐου
Ησ. ν. δ. πλέον ἕξει; καὶ γὰρ ἐκεῖνος δὲ αὐτὸ τοῦτό φησι· Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ
γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. τί δὲ Ἱερεμίου; καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπέμπετο, ἐνεπνεῖτο. τί δὲ
Ιεζ. γ. α. Ιεζεκιήλ; καὶ γὰρ καὶ οὗτος τὴν κεφαλίδα καταφαγὼν, οὕτως ἐφθέγξατο. ἄλλως δὲ, εὑρεθήσονται
οἱ μέλλοντες ἀκούειν ὅπερ ἔλεγεν, αἴτιοι τῆς γνώσεως ὄντες αὐτῷ. εἰ γὰρ ὅτε ἐπέμπετο,
ἐντολὴν τότε ἔλαβε, τί εἴπῃ, λοιπὸν ἐρεῖς ὅτι καὶ πρὶν ἢ πεμφθῆναι οὐκ ᾔδει. καὶ τί
τούτων ἀσεβέστερον τῶν ῥημάτων, εἰ οὕτως αὐτά τις δέχοιτο, καὶ μὴ καταμανθάνοι τῆς ταπεινότη-

τος

πος αὐτῶν τὴν αἰτίαν; ἀλλ' ὁ μὲν Παῦλός φησι καὶ αὐτὸς εἰδέναι καὶ τοὺς μαθητευομένους, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον· ὁ δὲ υἱὸς οὐκ ἠπίστατο ἕως ἐντολὴν ἔλαβε; καὶ πῶς ἂν ἔχοι λόγον τοῦτο; ὁρᾷς ὅτι διὰ τοῦτο εἰς ὑπερβολὴν ταπεινότητος τὰ λεγόμενα ἄγει, ἵνα κἀκείνους ἐπισπάσηται, καὶ τοὺς μετὰ ταῦτα ἐπιστομίσῃ; διὰ γοῦν τοῦτο ἀνθρώπινα φθέγγεται ῥήματα, ἵνα καὶ οὕτως ἀναγκάσῃ φυγεῖν τὸ εὐτελὲς τῶν λεχθέντων, συνειδότας ὅτι οὐ τῆς φύσεώς ἐστι τὰ λεγόμενα, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας.

50 Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λαλῶ, καθὼς ἐνετείλατό μοι ὁ πατήρ μου, οὕτω λαλῶ. Ὁρᾷς τὸ ταπεινὸν τῶν εἰρημένων; ὁ γὰρ ἐντολὴν λαβὼν, οὐκ ἔστιν ἑαυτοῦ κύριος. καίτοιγε αὐτός φησιν· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἶτα ἐγεῖραι μὲν οὓς θέλει ἐξουσίαν ἔχει· εἰπεῖν δὲ ὃ βούλεται οὐκ ἔχει; ὃ οὖν θέλει εἰπεῖν διὰ τοῦ εἰρημένου, τοῦτό ἐστιν· ὅτι οὐκ ἔχει φύσιν τὸ πρᾶγμα ἕτερα μὲν ἐκεῖνον λέγειν, ἕτερα δὲ ἐμὲ φθέγγεσθαι. καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι. πρὸς ἐκείνους τοὺς πλανῶντα αὐτὸν λέγοντας, καὶ ἐπὶ λύμῃ παραγεγενῆναι τοῦτο εἶπεν. ὅταν δὲ λέγῃ, ἐγὼ οὐ κρίνω, μὴ εἶναι τῆς ἀπωλείας τῶν τοιούτων ἑαυτὸν δείκνυσιν αἴτιον. διὰ γὰρ τούτων μονονουχὶ διαμαρτύρεται, μέλλων ἀφίστασθαι αὐτῶν καὶ μηκέτι συγγίνεσθαι, ὅτι οὐδὲν ἐγὼ ὡς ἴδιον φθεγγόμενος διελέχθην ὑμῖν, ἀλλὰ πάντα ὡς παρὰ τοῦ πατρός. καὶ διὰ τοῦτο εἰς τὰ ταπεινὰ τῶν λόγων πρὸς αὐτοὺς κατέκλεισεν, ἵνα εἴπῃ, ὅτι ἕως τέλους ταύτην πρὸς αὐτοὺς ὑστέραν ἀφῆκα φωνήν. ποίαν δὴ ταύτην; καθὼς εἴρηκέ μοι ὁ πατήρ, οὕτω λαλῶ. εἰ δὲ ἀντίθεος ἤμην, τοὐναντίον ἂν εἶπον· ὅτι οὐδὲν τῶν τῷ Θεῷ δοκούντων λέγω, ὥστε εἰς ἐμαυτὸν περιστῆσαι τὴν δόξαν. νυνὶ δὲ τοσοῦτον εἰς αὐτὸν πάντα ἀνήγαγον, ὡς μηδὲν ἐμὸν φῆσαι. τίνος οὖν ἕνεκεν οὐ πιστεύετέ μοι λέγοντι, ὅτι ἐντολὴν ἔλαβον, καὶ οὕτω σφοδρῶς ἀναιροῦντι τὴν πονηρὰν ὑμῶν ὑπόνοιαν τὴν τῆς ἀντιστάσεως; ὥσπερ γὰρ τοὺς ἐντολὴν δεχομένους ἀδύνατον ἄλλο τι ποιεῖν ἢ λέγειν, ἢ ὅσα οἱ πέμψαντες βούλονται, ἕως ἂν ἐντολὴν πληρῶσι καὶ μὴ παραχαράττωσιν· οὕτως οὐδὲ ἐμὲ ἄλλο τι πρᾶξαι ἢ εἰπεῖν δυνατόν, ἀλλ' ἢ ἅπερ ὁ πατὴρ βούλεται. Ἃ γὰρ ἐγὼ ποιῶ, ἐκεῖνος ποιεῖ, ὅτι μετ' ἐμοῦ ἐστι, καὶ οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ. ὁρᾷς πῶς πανταχοῦ δείκνυσι συνημμένον ἑαυτὸν τῷ γεγεννηκότι, καὶ οὐδὲν μέσον ὄν; καὶ γὰρ ὅταν λέγῃ, ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, οὐ τὴν ἐξουσίαν ἀφαιρούμενος λέγει, ἀλλὰ τὸ ἀλλότριον καὶ ἐναντίον ἀναιρῶν. εἰ γὰρ ἄνθρωποι κύριοι ἑαυτῶν, πολλῷ μᾶλλον ὁ μονογενὴς υἱός. καὶ ὅτι τοῦτο ἐστὶ ἀληθές, ἄκουσον τί φησιν ὁ Παῦλος, ὅτι Ἐκένωσεν ἑαυτὸν καὶ παρέδωκεν ὑπὲρ ἡμῶν. ἀλλ', ὅπερ ἔφην, δεινὸν ἡ κενοδοξία, δεινόν. αὕτη γὰρ καὶ ἐκείνους μὴ πιστεύειν, καὶ ἑτέρους κακῶς πιστεύειν παρεσκεύασε, καὶ ἃ δι' ἐκείνους ἐλέγετο φιλανθρωπίας ἕνεκεν, ταῦτα εἰς ἀσέβειαν ἔλαβον.

Ιωαν. η κθ.

Φιλιπ. β. ζ.

ΗΘΙΚΟΝ

Φύγωμεν τοίνυν τὸ θηρίον τοῦτο διὰ πάντων. ποικίλον γάρ ἐστι καὶ παντοδαπόν, καὶ πανταχοῦ διασπείρει τὸν οἰκεῖον ἰόν, καὶ ἐν χρήμασι, καὶ ἐν τρυφῇ, καὶ ἐν κάλλει σωμάτων. διὰ τοῦτο πανταχοῦ τὴν χρείαν ὑπερβαινόμεθα· διὰ τοῦτο ἡ περὶ τὰ ἱμάτια πλεονεξία, ὁ πολὺς τῶν οἰκετῶν ἐσμός· διὰ τοῦτο πανταχοῦ μὲν ἡ χρεία καταπεφρόνηται, καὶ ἐν οἰκίαις, καὶ ἐν ἱματίοις, καὶ ἐν τραπέζῃ· ἡ δὲ πλεονεξία κρατεῖ. βούλει δόξης ἀπολαύειν; ἐργάσαι ἐλεημοσύνην· τότε σε ἐπαινέσονται οἱ ἄγγελοι, τότε σε ὁ Θεὸς ἀποδέξεται. νῦν μὲν γὰρ τὸ θαῦμα μέχρι τῶν χρυσοχόων ἕστηκε καὶ τῶν ὑφαντῶν· σὺ δὲ ἀστεφάνωτος ἀναχωρεῖς, κατάρας ὁρῶσα σεαυτὴν δεχομένην πολλάκις. ἂν δὲ ταῦτα μὴ τῷ σώματι περιθῇς, ἀλλ' εἰς τὰς γαστέρας τῶν πενομένων κενώσῃς, πολὺς ὁ κρότος πανταχόθεν ἔσται, πολὺς ὁ ἔπαινος. τότε αὐτὰ ἕξεις, ὅταν ἑτέροις δῷς· ἕως δ' ἂν μόνη κατέχῃς, οὐκ ἔχεις. θησαυρὸς γὰρ ἄπιστος ἡ οἰκία· θησαυρὸς δὲ βέβαιος αἱ τῶν πενήτων χεῖρες. τί τὸ σῶμα κοσμεῖς, τῆς ψυχῆς ἠμελημένης, ἀκαθαρσίᾳ κατεχομένης; τί μὴ τοσαύτην ἀπονέμεις τῇ ψυχῇ πρόνοιαν, ὅσην τῷ σώματι; καί-

τοιγε πλείονα ἔδει· ἀλλ' ὅμως, ″ ἀγαπητοί, κἂν τὴν ἴσην αὐτῇ παρέχειν ἔδει πρόνοιαν. εἰπὲ χ. ἀγαπητέ
γάρ μοι· εἴ τίς σε ἤρετο, τί βούλει, τὸ σῶμά σου εἶναι λαμπρὸν καὶ εὐεκτοῦν καὶ ὡραῖον, κἂν
καὶ ἱμάτια φορεῖν εὐτελῆ· ἢ τοῦτο μὲν ἀνάπηρον ἔχειν καὶ νόσων ἐμπεπλησμένον, καὶ χρυσοφορεῖν
καὶ καλλωπίζεσθαι; οὐ πολλῷ μᾶλλον εἵλου ἂν τῇ φύσει τοῦ σώματος ἔχειν τὴν εὐμορφίαν,
ἢ τῇ περιβολῇ τῶν ἱματίων; εἶτα ἐπὶ μὲν τοῦ σώματος τοῦτο αἱρήσῃ, ἐπὶ δὲ τῆς ψυχῆς τοὐναντίον;
καὶ αἰσχρὰν αὐτὴν ἔχουσα καὶ δυσειδῆ καὶ μέλαιναν, οἴει τι καρποῦσθαι ἀπὸ τῶν χρυσίων;
καὶ πόσης ταῦτα ἀνοίας; στρέψον τὸν κόσμον τοῦτον ἔνδον, καὶ τὰ περιδέραια ταῦτα τῇ
ψυχῇ περίθες. τὰ μὲν γὰρ σώματι περικείμενα, οὔτε εἰς ὑγίειαν, οὔτε εἰς εὐμορφίαν αὐτοῦ τοῦτο
ὀνίνησιν (οὔτε γὰρ τὸ μέλαν λευκὸν ἐργάσεται, οὔτε τὸ αἰσχρὸν καλὸν ἢ εὐειδές) τῇ δὲ ψυχῇ
ἂν περιθῇς, ταχέως ἂν τὴν ἀντὶ μελαίνης λευκὴν ἐργάσῃ· ἀντὶ αἰσχρᾶς καὶ δυσειδοῦς καλὴν
Ησ. α. ιη. καὶ εὐειδῆ. καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Κυρίου οὕτω λέγοντος· Ἐὰν ὦσιν αἱ ἁμαρτίαι
Λουκ. ια. μα. ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ, Δότε ἐλεημοσύνην, καὶ πάντα ὑμῖν ἔσται καθαρά.
οὐ σαυτὴν δὲ μόνην, ἀλλὰ καὶ τὸν ἄνδρα οὕτω διακείμενον καλὸν ποιήσεις. ἂν γὰρ
ἴδωσι τὸν κόσμον τοῦτον ἀποθεμένας, οὐ πολλὴν ἕξουσι δαπάνης ἀνάγκην· οὐκ ἔχοντες δὲ,
πλεονεξίας ἀποστήσονται πάσης, καὶ εἰς ἐλεημοσύνην ἔσονται εὐκολώτεροι, καὶ ὑμεῖς δὲ αὐτοῖς
δυνήσεσθε μετὰ παρρησίας συμβουλεύειν τὰ δέοντα. νῦν μὲν γὰρ πᾶσαν παρῄρησθε τὴν τοιαύτην
ἐξουσίαν. ποίῳ γὰρ στόματι ταῦτα διαλέξεσθε; ποίοις δὲ ὀφθαλμοῖς ἀντιβλέψετε
ἐλεημοσύνην ἀπαιτοῦσαι τοὺς ἄνδρας, ὅταν τὰ πλείονα εἰς τὴν τοῦ σώματος περιβολὴν
ἀναλίσκητε; τότε δυνήσῃ μετὰ παρρησίας διαλέγεσθαι τῷ ἀνδρὶ περὶ ἐλεημοσύνης, ὅταν
τὸν κόσμον τῶν χρυσίων ἀποθῇ. κἂν μηδὲν ἀνύσῃς, ὃ σαυτῆς ἐπλήρωσας ἅπαν· μᾶλλον
α. Κορ. ζ. ις. δὲ ἀμήχανον μὴ καὶ ἐκεῖνον κερδᾶναι, διὰ τῶν πραγμάτων ″ αὐτῶν διαλεγομένην. Τί γὰρ χ. αὐτῷ
οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ὥσπερ οὖν νῦν καὶ ὑπὲρ ἑαυτῆς καὶ ὑπὲρ ἐκείνου δώσεις
τὸν λόγον, οὕτως, ἐὰν τὴν φαντασίαν ταύτην ἀποδύσῃ πᾶσαν, διπλοῦν τὸν στέφανον ἕξεις,
μετὰ τοῦ ἀνδρὸς στεφανηφοροῦσα καὶ πομπεύουσα κατὰ τοὺς ἀκηράτους αἰῶνας ἐκείνους, καὶ τῶν
αἰωνίων ἀπολαύουσα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ιγ.

Ομιλ. ο. ΠΡΟ ΔΕ ΤΗΣ ΕΟΡΤΗΣ ΤΟΥ ΠΑΣΧΑ, ΕΙδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς.

α. Κορ. ια. α. Μιμηταί μου γίνεσθε, φησὶν ὁ Παῦλος, καθὼς κἀγὼ Χριστοῦ. διὰ γὰρ
τοῦτο καὶ σάρκα ἐκ τοῦ φυράματος ἔλαβε τοῦ ἡμετέρου, ἵνα δι' αὐτῆς
Ρωμ. η. γ. ἡμᾶς παιδεύσῃ τὴν ἀρετήν. Ἐν γὰρ ὁμοιώματι σαρκὸς, φησὶν, ἁμαρτίας,
καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. καὶ αὐτὸς
Ματθ. ια. κθ. ὁ Χριστός φησι· Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς
τῇ καρδίᾳ· καὶ ταῦτα οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων
ἐδίδασκε. καὶ γὰρ καὶ Σαμαρείτην καὶ δαιμονῶντα αὐτὸν ἐκάλουν, καὶ πλάνον, καὶ λίθους
ἠφίεσαν κατ' αὐτοῦ· καὶ νῦν μὲν ὑπηρέτας ἀπέστελλον οἱ Φαρισαῖοι, ὥστε αὐτὸν ″ συλλαβεῖν, χ. ἀνελεῖν,
νῦν δὲ ἄλλους καθίεσαν ἐπιβουλεύοντας· καὶ αὐτοὶ πολλάκις ὑβρίζοντες διετέλουν, καὶ
ταῦτα οὐδὲν ἔχοντες ἐγκαλεῖν, ἀλλὰ καὶ εὐεργετούμενοι διηνεκῶς· ″ καὶ ὅμως μετὰ τοσαῦτα χ. ἀλλ'
οὐκ ἀφίσταται αὐτοὺς εὖ ποιῶν καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων. καὶ οἰκέτου δέ τινος ῥαπίσαντος
αὐτόν, φησίν· Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς,

τί με δέρεις; ἀλλ' ἐκεῖνα μὲν πρὸς τοὺς ἐχθροὺς καὶ τοὺς ἐπιβουλεύοντας. ἴδωμεν δὲ καὶ πρὸς τοὺς μαθητὰς τί ποιεῖ νῦν· μᾶλλον δὲ καὶ ἃ νῦν ἐπιδείκνυται πρὸς τὸν ἐπίβουλον. ὃν γὰρ μάλιστα πάντων ἐχρῆν μισεῖν, ὅτι μαθητὴς ὢν, καὶ τραπέζης καὶ ἁλῶν κοινωνήσας, καὶ θαύματα ἰδὼν, καὶ τοσούτων ἀξιωθεὶς, πάντων ἐποίησε χαλεπώτερα, λίθοις μὲν οὐ βάλλων, οὐδὲ ὑβρίσας, ἀλλὰ προδοὺς αὐτὸν καὶ παραδοὺς, τοῦτον ὅρα πῶς φιλοφρόνως δέχεται, νίπτων αὐτοῦ τοὺς πόδας. καὶ γὰρ ταύτῃ αὐτὸν κατασχεῖν ἐβούλετο τῆς πονηρίας ἐκείνης. καίτοιγε ἐνῆν, εἴπερ ἤθελε, καὶ ξηρᾶναι αὐτὸν ὡς τὴν συκῆν, καὶ διατεμεῖν ὥσπερ τὰς πέτρας ἔρρηξε, καὶ διασχίσαι ὥσπερ τὸ καταπέτασμα· ἀλλ' οὐκ ἐβούλετο ἀνάγκῃ, ἀλλὰ προαιρέσει τῆς ἐπιβουλῆς αὐτὸν ἀπαγαγεῖν. διὰ τοῦτο καὶ νίπτει τοὺς πόδας· καὶ οὐδὲ τοῦτο ἠδέσθη ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος. πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, φησὶν, Εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα. οὐ τότε εἰδώς· ἀλλ' ὅτι ἐποίησεν, ὅπερ ἐποίησεν, εἰδὼς πάλαι. ἵνα μεταβῇ. μεγαλοφρόνως ὁ εὐαγγελιστὴς μετάβασιν αὐτοῦ τὸν θάνατον καλεῖ. ἀγαπήσας τοὺς ἰδίους, εἰς τέλος ἠγάπησεν αὐτούς. εἶδες πῶς μέλλων ἐγκαταλιμπάνειν αὐτοὺς σφοδροτέραν τὴν ἀγάπην ἐπιδείκνυται; τὸ γὰρ, ἀγαπήσας, εἰς τέλος ἠγάπησεν αὐτούς, τοῦτο δηλοῖ, οὐδὲν ἐνέλιπεν ὧν τὸν σφόδρα ἀγαπῶντα εἰκὸς ἦν ποιῆσαι. τί δήποτε δὲ οὐκ ἐξ ἀρχῆς τοῦτο ἐποίησε; τὰ μείζονα ὕστερον ἐργάζεται, ὥστε αὐτῶν ἐπιτεῖναι τὴν οἰκείωσιν, καὶ πολλὴν αὐτοῖς προαποθέσθαι παράκλησιν πρὸς τὰ μέλλοντα ἐπιέναι δεινά. ἰδίους δὲ αὐτοὺς λέγει κατὰ τὸν τῆς οἰκειώσεως λόγον· ἐπεὶ καὶ ἄλλους ἰδίους λέγει κατὰ τὸν τῆς δημιουργίας, ὡς ὅταν λέγῃ· Οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. τί δέ ἐστι, τοὺς ἐν τῷ κόσμῳ; ἐπειδὴ ἦσαν αὐτοῦ ἴδιοι καὶ οἱ τετελευτηκότες, οἱ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οἱ κατ' ἐκείνους· ἀλλ' οὐκ ἐν τῷ κόσμῳ ἦσαν ἐκεῖνοι. ὁρᾷς ὅτι παλαιᾶς καὶ καινῆς αὐτός ἐστιν ὁ Θεός; τί δέ ἐστιν, Εἰς τέλος ἠγάπησεν αὐτούς; ἔμενεν ἀγαπῶν διηνεκῶς, καὶ τεκμήριον τῆς πολλῆς ἀγάπης τοῦτο λέγει. καίτοιγε ἀλλαχοῦ ἕτερον εἶπε, τὸ, τὴν ψυχὴν θεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ· ἀλλ' οὔπω ἐκεῖνο ἐγεγόνει. τίνος δὲ ἕνεκεν τοῦτο [νῦν] ἐποίησεν; ὅτι πολλῷ θαυμαστότερον ἦν, ὅτε λαμπρότερος παρὰ πᾶσιν ἐφαίη· καὶ παραμυθίαν δὲ οὐ μικρὰν κατέλιπε μέλλων ἀναχωρεῖν. ἐπειδὴ γὰρ ἔμελλον ὀδυνᾶσθαι σφοδρῶς, ἀντίρροπον αὐτοῖς διὰ τούτων παράκλησιν ἐπεισάγει.

γρ. ποιεῖ

γρ. μεγαλοφρόνως

γρ. ἐπίτηδες,

Ιωαν. α. ια.

2 Καὶ δείπνου γινομένου, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα παραδῷ αὐτόν. Τοῦτο ἐκπληττόμενος εἶπεν ὁ εὐαγγελιστὴς δηλῶν, ὅτι τοῦτον, τὸν ἤδη προδοῦναι ἑλόμενον αὐτὸν, ἔνιψε. δείκνυσι δὲ αὐτοῦ πολλὴν τὴν πονηρίαν, ὅτι οὐδὲ τῶν ἁλῶν αὐτὸν ἡ κοινωνία κατέσχεν, ὃ μάλιστα οἶδεν ἐπέχειν πονηρίαν, οὐ τὸ μέχρι τῆς ἐσχάτης ἡμέρας παραμεῖναι τὸν διδάσκαλον αὐτοῦ διαβαστάζοντα.

γρ. παρενέβαλεν ὁ εὐαγ.

3 Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα αὐτῷ εἰς χεῖρας δέδωκεν ὁ πατὴρ, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει. Ἐνταῦθα καὶ θαυμάζων λέγει, ὅτι ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ παρὰ Θεοῦ ἐλθὼν, καὶ πρὸς αὐτὸν ἀπιὼν, ὁ πάντων κρατῶν, τοῦτο εἰργάσατο, καὶ οὐδὲ οὕτως ἀπηξίωσε καταδέξασθαι πρᾶγμα τοσοῦτον. παράδοσιν δὲ, ὡς ἐμοὶ δοκεῖ, τὴν τῶν πιστῶν σωτηρίαν ἐνταῦθα καλεῖ. καὶ γὰρ ὅταν λέγῃ, Πάντα μοι παρεδόθη παρὰ τοῦ πατρός μου, ταύτην λέγει τὴν παράδοσιν· ὡς καὶ ἀλλαχοῦ φησι, Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ πάλιν, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν· καὶ, Ὅτι ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. ἢ τοῦτο οὖν φησιν, ἢ ὅτι οὐδὲν ἐλαττοῦσθαι ἔμελλεν ἀπὸ τούτου, ἀπὸ Θεοῦ ἐξελθὼν καὶ πρὸς τὸν Θεὸν ὑπάγων καὶ πάντα ἔχων. ὅταν δὲ ἀκούσῃς παράδοσιν, μηδὲν ἀνθρώπινον ὑπολάβῃς. τὴν γὰρ εἰς τὸν πατέρα ἐνδείκνυται τιμὴν καὶ ὁμόνοιαν. ὥσπερ γὰρ ὁ πατὴρ αὐτῷ παραδίδωσιν, οὕτω καὶ αὐτὸς τῷ πατρί. καὶ δηλοῖ Παῦλος λέγων, Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί. ἀνθρωπινώτερον δὲ αὐτὸ ἐνταῦθα εἶπε, τὴν πολλὴν περὶ αὐτοὺς ἐπιμέλειαν δεικνύμενος καὶ τὴν ἄφατον περὶ

αὐτοὺς

γρ. παρέδωκεν

γρ. Ἢ τοῦτό φησιν, ὅτι

γρ. καθώς φησι

γρ. ἴσα

Ματθ. ια. κζ.
Ιωαν. ιζ. ϛ.
Ιωαν. ϛ. μδ.
Ιωαν. γ. κζ.
α. Κορ. ιε. κδ.

αὐτοῖς ἐμφαίνων ἀγάπην, ὅτι ὡς οἰκείων ἐπεμελεῖτο λοιπόν, διδάσκων αὐτοὺς τὴν μητέρα τῶν ἀγαθῶν τὴν ταπεινοφροσύνην, ἣν καὶ ἀρχὴν καὶ τέλος ἔφησεν εἶναι τῆς ἀρετῆς." οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ, ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει·" ἀλλ' ἵνα μάθωμεν ὅτι ἄξια ἐποίει τοῦ ἐκεῖθεν ἐληλυθότος καὶ ἐκεῖ ἀπιόντος, ἅπαντα καταπατῶν τῦφον.

γρ. πῶς οὖν προσκ

γρ. τουτέστιν ἄξια ἐπ.

4 Καὶ ἀναστὰς ἀπὸ τοῦ δείπνου, καὶ θεὶς τὰ ἱμάτια. Ὅρα πῶς οὐ τῷ νίψαι μόνον, ἀλλὰ καὶ ἑτέρως τὸ ταπεινὸν ἐνδείκνυται. οὐ γὰρ πρὶν ἢ κατακλιθῆναι, ἀλλὰ μετὰ τὸ διαπεσεῖν πάντας, τότε ἀνέστη. ἔπειτα οὐδὲ ἁπλῶς νίπτει, ἀλλὰ τὰ ἱμάτια ἀποτιθέμενος. καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ λέντιον διεζώσατο. καὶ οὐδὲ τούτῳ ἠρκέσθη· ἀλλὰ καὶ αὐτὸς ἐγέμισε, καὶ οὐχ ἑτέρῳ" πληρῶσαι ἐκέλευσεν, ἀλλὰ πάντα αὐτὸς ἐργάζεται ταῦτα, διὰ πάντων δεικνὺς ὅτι οὐκ ἀφοσιουμένους δεῖ ποιεῖν τὰ τοιαῦτα, ὅταν ποιῶμεν, ἀλλὰ μετὰ πάσης προθυμίας. ἐμοὶ δὲ δοκεῖ τοῦ προδότου πρώτου νίψαι τοὺς πόδας, ἐκ τοῦ εἰπεῖν,

γρ. τούτῳ

γρ. ἐμπλῆσαι

5 Ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, Καὶ ἐπαγαγεῖν,

6 Ἔρχεται πρὸς Σίμωνα Πέτρον· καὶ λέγει αὐτῷ ἐκεῖνος, σύ μου νίπτεις τοὺς πόδας;

Ταῖς χερσὶ ταύταις, φησὶν, αἷς ὀφθαλμοὺς ἀνέῳξας καὶ λεπροὺς ἐκάθηρας, καὶ νεκροὺς ἀνέστησας; πολλὴν γὰρ ἔμφασιν καὶ τοῦτο ἔχει· διόπερ οὐδὲ ἐδέησεν αὐτῷ τι πλέον εἰπεῖν, ἢ τὸ σύ. καὶ γὰρ καθ' ἑαυτὸ ἱκανὸν ἦν τὸ πᾶν ἐνδείξασθαι. ζητήσειε δ' ἄν τις εἰκότως, πῶς οὐδεὶς αὐτὸν τῶν ἄλλων ἐκώλυσεν, ἀλλὰ Πέτρος μόνος, ὅπερ οὐ μικροῦ φίλτρου καὶ αἰδοῦς ἦν. τίς οὖν ἐστιν ἡ αἰτία; ἐμοὶ δοκεῖ πρότερον τὸν προδότην νίψαι, εἶτα πρὸς τὸν Πέτρον ἐλθεῖν, καὶ τοὺς ἄλλους" ἀπ' ἐκείνου παιδευθῆναι λοιπόν. ὅτι μὲν οὖν ἄλλον τινὰ πρὸ αὐτοῦ ἔνιψε, δῆλον ἐκ τοῦ εἰπεῖν, ὅτε δὲ ἦλθε πρὸς Πέτρον. ἀλλ' οὐκ ἔστι σφοδρὸς κατήγορος ὁ εὐαγγελιστής. τὸ γὰρ ἤρξατο, τοῦτό ἐστιν αἰνιττομένου. εἰ δὲ καὶ ὁ Πέτρος πρῶτος ἦν, ἀλλ' εἰκὸς τὸν προδότην ἰταμὸν ὄντα καὶ πρὸ τοῦ κορυφαίου κατακλιθῆναι. καὶ γὰρ καὶ ἑτέρωθεν τὸ ἰταμὸν αὐτοῦ δείκνυται, ὅταν βάπτῃ μετὰ τοῦ διδασκάλου, καὶ ὅταν ἐλεγχόμενος μὴ κατανύσσηται. ἀλλ' ὁ μὲν Πέτρος ἅπαξ ἐπιτιμηθεὶς ἐν τοῖς ἔμπροσθεν, καὶ ταῦτα ἀπὸ φιλοστοργίας τὰ ῥήματα εἰπὼν, οὕτω συνεστάλη, ὡς καὶ ἀγωνιῶν καὶ τρέμων ἑτέρου δεηθῆναι πρὸς τὴν ἐρώτησιν· οὗτος δὲ συνεχῶς ἐλεγχόμενος οὐκ ᾐσθάνετο.

γρ. τῶ

6 Ὅτε γοῦν ἦλθε πρὸς τὸν Πέτρον, λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας;

7 Λέγει αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι· γνώσῃ δὲ μετὰ ταῦτα.

Τουτέστι, τὸ κέρδος ὅσον τὸ ἐκ τούτου, τὴν ὠφέλειαν τῆς διδασκαλίας, καὶ πῶς ἱκανὸν εἰς πᾶσαν ἀγαγεῖν ταπεινοφροσύνην ἡμᾶς. τί οὖν ὁ Πέτρος; ἔτι κωλύει, καὶ λέγει·

8 Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Τί ποιεῖς, ὦ Πέτρε; οὐ μέμνησαι τῶν προτέρων ῥημάτων; οὐκ εἶπας, ἵλεώς σοι, καὶ ἤκουσας, ὕπαγε ὀπίσω μου Σατανᾶ· καὶ οὐδὲ οὕτω σωφρονίζῃ, ἀλλ' ἔτι σφοδρὸς εἶ; ναὶ, φησί· πολὺ γὰρ τὸ γινόμενον καὶ ἐκπλήξεως γέμον. ἐπεὶ οὖν ἀπὸ πολλῆς ἀγάπης τοῦτο ἔπραττεν ἐκεῖνος, ἀπὸ τῆς αὐτῆς αὐτὸν χειροῦται πάλιν καὶ ὁ Χριστὸς, ὥσπερ [οὖν] καὶ ἐκεῖ σφοδρῶς ἐπιτιμήσας καὶ εἰπὼν, Σκάνδαλόν μοι εἶ, οὕτω καὶ ἐνταῦθα λέγων, Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Τί οὖν ὁ θερμὸς καὶ διακαής;

Ματθ. ις. κγ.

9 Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Καὶ ἐν τῇ παραιτήσει σφοδρὸς, καὶ ἐν τῇ συγχωρήσει σφοδρότερος γίνεται· ἑκάτερα δὲ ἐξ ἀγάπης. διατί γὰρ οὐκ εἶπε, τίνος ἕνεκεν ἐποίει τοῦτο, ἀλλ' ἀπειλὴν ἐνέθηκεν; ὅτι ἐκεῖνος μὲν οὐκ ἂν ἐπείσθη. εἰ γὰρ εἶπεν, ἔασον, διὰ γὰρ τούτου πείθω ὑμᾶς ταπεινοφρονεῖν, ὑπέσχετο ἂν μυριάκις τοῦτο ὑπὲρ τοῦ μὴ τὸν δεσπότην τοῦτο ποιῆσαι. νῦν δὲ τί φησιν; ὃ μάλιστα ἐδεδοίκει καὶ ἔτρεμε, τὸ διαιρεθῆναι αὐτοῦ. αὐτὸς γάρ ἐστιν ὁ συνεχῶς ἐρωτῶν, ποῦ ὑπάγεις; διόπερ καὶ ἔλεγεν,

Ιωαν. ις. ε.

ὅτι καὶ τὴν ψυχὴν "θήσω ὑπὲρ σοῦ. Εἰ γὰρ ἀκούσας, ὅτι οὐκ οἶδας ὃ ποιῶ ἐγὼ, γνώσῃ δὲ μετὰ ταῦτα, οὐδὲ οὕτως ἀπέστη, πολλῷ μᾶλλον, εἰ ἔμαθε. Διὰ γὰρ τοῦτο εἶπε, γνώσῃ δὲ μετὰ ταῦτα, εἰδὼς, ὅτι εἰ καὶ νῦν μάθῃ, ἀντικείσεται ἔτι. καὶ οὐκ εἶπε, δίδαξον οὖν με, ἵνα ἀφῶ· ἀλλ' ὃ πολλῷ σφοδρότερον ἦν, οὐδὲ μαθεῖν ἠνέσχετο, ἀλλ' ἐνίσταται λέγων· οὐ μὴ νίψῃς μου τοὺς πόδας. Ἐπειδὴ δὲ ἠπείλησεν, εὐθέως ἐχάλασε τὸν τόνον. Τί δέ ἐστι, γνώσῃ μετὰ ταῦτα; μετὰ ταῦτα· πότε; ὅταν τῷ ἐμῷ ὀνόματι δαιμόνια ἐκβάλῃς, φησίν· ὅταν ἴδῃς εἰς τοὺς οὐρανοὺς ἀναλαμβανόμενον· ὅταν παρὰ τοῦ πατρὸς μάθῃς, ὅτι ἐκ δεξιῶν "κάθηται, τότε εἴσῃ τὸ νῦν γινόμενον. Τί οὖν ὁ Χριστός; ἐπειδὴ εἶπεν ὁ Πέτρος, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν,

γρ. ἐπιδώσω

γρ. κάθημαι,

10 Ὁ λελουμένος, φησὶν, οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνον, ἀλλ' ἔστι καθαρὸς ὅλος. καὶ ὑμεῖς καθαροί "ἐστε, ἀλλ' οὐχὶ πάντες.

11 Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν. Καὶ εἰ καθαροί εἰσι, τίνος ἕνεκεν νίπτει τοὺς πόδας; ὥστε ἡμᾶς μετριάζειν μαθεῖν. Διὰ τοῦτο οὐκ ἐφ' ἕτερον μέρος ἦλθεν, ἀλλ' ὃ τῶν ἄλλων ἀτιμότερον εἶναι δοκεῖ. τί δέ ἐστιν, ὁ λελουμένος; ἀντὶ τοῦ, ὁ καθαρός. ἆρ' οὖν αὐτοὶ καθαροὶ ἦσαν·" οἵ γε οὐδέπω τῶν ἁμαρτημάτων ἦσαν ἀπηλλαγμένοι, οὐδὲ πνεύματος ἠξιωμένοι, ἅτε τῆς ἁμαρτίας ἔτι κρατούσης, τῆς κατάρας τοῦ χειρογράφου μενούσης, τοῦ ἱερείου οὐδέπω προσενεχθέντος; πῶς οὖν αὐτοὺς καθαροὺς εἶναι λέγει;" ἀλλ' ἵνα μὴ διὰ ταῦτα νομίσῃς αὐτοὺς καθαροὺς ὡς ἁμαρτημάτων ἀπηλλαγμένους, ἐπήγαγεν· ἴδε, ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν· τουτέστι, ταύτῃ τέως ἐστὲ καθαροί· ἤδη τὸ φῶς ἐδέξασθε· ἤδη τῆς πλάνης ἀπηλλάγητε τῆς Ἰουδαϊκῆς. καὶ γὰρ ὁ προφήτης φησί· Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. ὥστε ὁ τοιοῦτος λέλουται καὶ καθαρός ἐστιν. ἐπεὶ οὖν πᾶσαν πονηρίαν ἔρριψαν ἀπὸ τῆς ψυχῆς ἐκεῖνοι, καὶ μετὰ εἰλικρινοῦς διανοίας συνῆσαν αὐτῷ, διὰ τοῦτό φησι κατὰ τὸν προφητικὸν λόγον, ὁ λελουμένος ἤδη καθαρός ἐστι. καὶ γὰρ ἐκεῖ λουτρὸν, οὐ τὸ δι' ὕδατος λέγει τὸ Ἰουδαϊκὸν, ἀλλὰ τὸν τῆς "συνειδήσεως καθαρμόν.

γρ. ἐπειδὴ διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. ἀλλ' οὐχὶ π. ἤ. γ. τ. π. αὐ. ἢ πάντων καθ. [illegible]

γρ. καίτοι

γρ. ἵνα γὰρ μὴ

Ησ. α. ις.

γρ. δημιουργίας

ΗΘΙΚΟΝ

Γενώμεθα τοίνυν καὶ ἡμεῖς καθαροί· μάθωμεν καλὸν ποιεῖν. τί δέ ἐστι τὸ καλόν; Κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος. πολὺς ὁ λόγος ἐν ταῖς γραφαῖς τῶν χηρῶν καὶ [τῶν] ὀρφανῶν· ἀλλ' ἡμῖν οὐδεὶς τούτου λόγος. καίτοιγε ἐννόησον ἡλίκον τὸ ἔπαθλον. Ἐὰν ὦσι, φησιν, αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. καὶ γὰρ ἀπροστάτευτον ἡ χήρα· διὰ τοῦτο πολλὴν ὑπὲρ αὐτῆς ποιεῖται σπουδήν. καὶ γὰρ παρὸν δευτέροις ὁμιλῆσαι γάμοις, διὰ τὸν τοῦ Θεοῦ φόβον τὰ ἀπὸ τῆς χηρείας ὑπομένουσι δεινά. ὀρέγωμεν τοίνυν αὐταῖς χεῖρα ἅπαντες καὶ ἄνδρες καὶ γυναῖκες, ἵνα μήποτε ὑποστῶμεν τὰ τῆς χηρείας δεινά. "κἂν ὑποστῶμεν, πολλὴν ἀποθώμεθα φιλανθρωπίας" ἡμῖν ἀφορμήν. οὐ μικρὰ δύναμις τῶν δακρύων τῆς χήρας ἐστὶν, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρανὸν διανοῖξαι δύναται. μὴ τοίνυν αὐταῖς ἐπεμβαίνωμεν, μηδὲ χείρονα ποιῶμεν τὴν συμφορὰν, ἀλλὰ παντὶ τρόπῳ βοηθῶμεν." ἂν οὕτω ποιῶμεν, πολλὴν ἑαυτοῖς περιβαλοῦμεν ἀσφάλειαν καὶ κατὰ τὸν παρόντα καὶ κατὰ τὸν μέλλοντα αἰῶνα. οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ ἡμῶν προστήσονται, τὰ πλείονα τῶν ἁμαρτημάτων ἡμῶν διὰ τῆς εἰς αὐτὰς εὐεργεσίας ὑποτεμνόμεναι, καὶ μετὰ παρρησίας ποιοῦσαι παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ· "οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. α. κγ.

Ησ. α. ιη.

γρ. οὐχ ὑποστησόμεθα γ', ἂν

γρ. ἑαυτοῖς

γρ. πολλὴν ἑαυτοῖς περιβάλλοντες ἀσφάλειαν

γρ. ἧς

Ομιλ.

Ομιλ. οα. 12 ΚΑΙ ΕΛΑΒΕ ΤΑ ΙΜΑΤΙΑ ΑΥΤΟΥ, ΚΑΙ Ἀναπεσὼν, πάλιν εἶπεν αὐτοῖς· γινώσκετε τί πεποίηκα ἡμῖν; καὶ τὰ ἑξῆς.

ΧΑλεπὸν, ἀγαπητοὶ, χαλεπὸν εἰς βάθος κακῶν ἐλθεῖν. λοιπὸν γὰρ δυσδιόρθωτος ἡ ψυχὴ γίνεται. διὰ τοῦτο χρὴ πάντα πράττειν, ὥστε μὴ ἁλῶναι τὴν ἀρχήν. εὐκολώτερον γὰρ μὴ ἐμπεσεῖν, ἢ ἐμπεσόντα ἀνακλήσασθαι ἑαυτόν. (γ. ἐκπεσεῖν) ὅρα γοῦν, ἐπειδὴ ἐνέβαλεν ἑαυτὸν ὁ Ἰούδας, πόσης ἀπολαύει βοηθείας, καὶ οὐδὲ οὕτω διανίσταται. εἶπε πρὸς αὐτὸν, ὅτι εἷς ἐξ ὑμῶν διάβολός ἐστιν· εἶπεν, ὅτι οὐ πάντες πιστεύουσιν· εἶπεν, ὅτι οὐ περὶ πάντων λέγω· καὶ, ὅτι οἶδα ἐγὼ οὓς ἐξελεξάμην, καὶ οὐδενὸς τούτων αἰσθάνεται. ὡς δὲ ἔνιψε τοὺς πόδας, καὶ ἀνέλαβε τὰ ἱμάτια αὐτοῦ καὶ κατεκλίθη, φησί· γινώσκετε τί πεποίηκα ὑμῖν; οὐκέτι πρὸς Πέτρον μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας διαλέγεται.

13 Ὑμεῖς φωνεῖτέ με, ὁ κύριος καὶ ὁ διδάσκαλος· καὶ καλῶς λέγετε, εἰμὶ γάρ. γ. Χριστὸς

Ὑμεῖς φωνεῖτέ με· τὴν κρίσιν αὐτῶν προσλαμβάνει. εἶτα ἵνα μὴ τῆς ἐκείνων χάριτος εἶναι δόξῃ τὰ ῥήματα, ἐπάγει· εἰμὶ γάρ. τὸ μὲν οὖν παρ' αὐτῶν τὸν λόγον εἰσαγαγεῖν, (γ. αὐτοῦ) εὐθέως ἀνεπαχθῆ ποιεῖ· τὸ δὲ παρ' ἐκείνων εἰσαχθέντα βεβαιῶσαι περὶ ἑαυτοῦ, ἀνύποπτον. εἰμὶ γάρ, φησιν. ὁρᾷς ὅταν πρὸς τοὺς μαθητὰς διαλέγηται, πῶς ἐκκαλύπτων τὰ καθ' ἑαυτὸν φθέγγεται μᾶλλον; ὥσπερ οὖν λέγει, μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής· οὕτω λέγει, καὶ μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς. τὸ δὲ εἷς καὶ εἷς, οὐ περὶ τοῦ πατρὸς εἴρηται μόνον, ἀλλὰ καὶ περὶ αὐτοῦ. εἰ γὰρ ἑαυτὸν ἐκβάλλων ἔλεγε, πῶς φησιν, ἵνα υἱοὶ φωτὸς γένησθε; καὶ πάλιν, εἰ διδάσκαλον μόνον ἔλεγε τὸν πατέρα, πῶς λέγει, εἰμὶ γάρ· καὶ πάλιν, εἷς ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός;

14 Εἰ οὖν ἐγὼ, φησιν, ὁ κύριος καὶ ὁ διδάσκαλος, ἔνιψα ὑμῶν τοὺς πόδας, καὶ ὑμεῖς ἀλλήλους ὀφείλετε νίπτειν. (γ. Χριστὸς) 15 Τοῦτο γὰρ ὑπόδειγμα ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, οὕτω καὶ ὑμεῖς ποιῆτε.

Καὶ μὴν οὐκ ἔστι τὸ αὐτό. αὐτὸς μὲν γὰρ διδάσκαλος καὶ κύριος, ὑμεῖς δὲ ἀλλήλων ὁμόδουλοι. τί οὖν ἐστι τὸ, οὕτω; μετὰ τῆς αὐτῆς σπουδῆς. διὰ γὰρ τοῦτο ἀπὸ τῶν μειζόνων πραγμάτων λαμβάνει τὰ παραδείγματα, ἵνα κἂν τὸ ἔλαττον ἐργασώμεθα. καὶ γὰρ οἱ διδάσκαλοι τοῖς παισὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ κάλλους γράφουσιν, ἵνα κἂν πρὸς τὸ καταδεέστερον ἔλθωσι τῆς μιμήσεως. ποῦ νῦν οἱ διαπτύοντες τοὺς ὁμοδούλους; ποῦ νῦν οἱ τὰς τιμὰς ἀπαιτοῦντες; τοῦ προδότου τοὺς πόδας ὁ Χριστὸς ἔνιψε, τοῦ ἱεροσύλου καὶ κλέπτου, καὶ παρὰ τὸν καιρὸν τῆς προδοσίας, καὶ ἀνιάτως ἔχοντα τραπέζης κοινωνὸν ἐποίησε, καὶ σὺ μεγαφρονεῖς καὶ τὰς ὀφρῦς ἀνασπᾷς; τοὺς πόδας οὖν ἀλλήλων νίπτωμεν, φησιν· οὐκοῦν καὶ τῶν οἰκετῶν. καὶ τί μέγα, εἰ καὶ τῶν οἰκετῶν; ἐνταῦθα μὲν γὰρ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ὀνομάτων ἐστὶ διαφορά· ἐκεῖ δὲ, πραγμάτων ἀλήθεια. φύσει γὰρ αὐτὸς κύριος ἦν, καὶ ἡμεῖς δοῦλοι, καὶ οὐδὲ τοῦτο παρῃτήσατο νῦν [ποιεῖν.] νυνὶ δὲ ἀγαπητὸν, εἰ μὴ τοῖς ἐλευθέροις ὡς δούλοις ἡμεῖς χρησαίμεθα, ὡς ἀνδραπόδοις ἀργυρωνήτοις. καὶ τί ἐροῦμεν τότε, τοσαύτης μὲν ἀνεξικακίας ὑποδείγματα λαβόντες, αὐτοὶ δὲ οὐδὲ μικρὸν μιμούμενοι, ἀλλ' ἐξ ἐναντίας ἑστῶτες καὶ πρὸς διάμετρον, ἐπαιρόμενοι καὶ τὴν ὀφειλὴν οὐκ ἀποδιδόντες; ὀφειλέτας γὰρ ἡμᾶς ἀλλήλων κατέστησεν ὁ Θεὸς, αὐτὸς καταρξας τούτου, (γ. καταρξάμενος) καὶ ὀφειλέτας ἐλάττονος μοίρας. αὐτὸς μὲν γὰρ κύριος ἦν· ἡμεῖς δὲ πρὸς τοὺς συνδούλους τοῦτο ποιοῦμεν, ἐὰν ποιήσωμεν. ὃ δὴ καὶ αὐτὸ ᾐνίξατο διὰ τοῦ εἰπεῖν· εἰ οὖν ἐγὼ, ὁ κύριος καὶ ὁ διδάσκαλος, οὕτω καὶ ὑμεῖς. τὸ μὲν γὰρ ἀκόλουθον ἦν εἰπεῖν, πόσῳ μᾶλλον ὑμεῖς οἱ δοῦλοι· ἀλλ' ἀφῆκεν αὐτὸ τῷ συνειδότι τῶν ἀκροωμένων.

τί δήποτε δὲ αὐτὸ νῦν πεποίηκεν; ἔμελλον λοιπὸν τιμῆς ἀπολαύσεσθαι οἱ μὲν πλείονος, οἱ δὲ ἐλάττονος. ἵν' οὖν μὴ κατ' ἀλλήλων ἐπαίρωνται, καὶ ταῦτα λέγωσιν ἃ καὶ περὶ τούτου, τίς ἐστι μείζων; μηδὲ ἀγανακτῶσι πρὸς ἀλλήλους, πάντων αὐτῶν καθαιρεῖ τὰ φρονήματα, λέγων· ὅτι κἂν σφόδρα ᾖς μέγας, ὀφείλεις ἐπὶ τοῦ ἀδελφοῦ μηδὲν μέγα φρονεῖν. καὶ οὐκ εἶπε τὸ μεῖζον, ὅτι εἰ ἐγὼ τοῦ προδότου τοὺς πόδας ἔνιψα, τί μέγα, ἂν ὑμεῖς τοὺς ἀλλήλων; ἀλλὰ διὰ τῶν ἔργων αὐτὸ δηλώσας, εἴασεν ἐν τῇ κρίσει τῶν θεωμένων λοιπόν. διὰ τοῦτο ἔλεγεν, ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. τοῦτο γάρ ἐστι τὸ διδάξαι, τὸ διὰ τῶν ἔργων αὐτὸ ποιεῖν. τίνα γὰρ οὐκ ἂν τοῦτο τῦφον καθέλοι; ποίαν οὐκ ἂν κενώσειεν ἀπόνοιαν καὶ ἀλαζονείαν; ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, τοὺς πόδας ἔνιψε τοῦ προδότου· σὺ δὲ ἄνθρωπε, γῆ καὶ σποδὸς ὢν καὶ τέφρα καὶ κόνις, ἐπαίρεις σεαυτὸν, καὶ μέγα φρονεῖς; καὶ πόσης οὐκ ἂν εἴης ἄξιος γεέννης; εἰ δ' οὖν ὄντως ἐπιθυμεῖς μεγάλου φρονήματος, δεῦρο ἐγώ σοι δείξω ὁδόν. οὐδὲ γὰρ οἶδας τί ποτέ ἐστιν. ὁ τοίνυν τοῖς παροῦσι ὡς μεγάλοις προσέχων, οὗτος ψυχῆς ἐστιν εὐτελοῦς. ὥστε οὐδὲ ταπεινοφροσύνη γένοιτ' ἂν, εἰ μὴ μετὰ μεγαλοψυχίας· οὐδὲ φύσημα, εἰ μὴ ἀπὸ μικροψυχίας. καθάπερ γὰρ οἱ παῖδες οἱ μικροὶ πρὸς τὰ εὐτελῆ τῶν πραγμάτων ἐπτόηνται, πρὸς σφαίρας καὶ τροχοὺς καὶ ἀστραγάλους κεχηνότες, τῶν δὲ μεγάλων οὐδὲ ἔννοιαν λαβεῖν δύνανται· οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν φιλοσοφῶν οὐδὲν ἡγήσεται τὰ παρόντα (οὐκοῦν οὐδὲ αὐτὸς αἱρήσεται κατασχεῖν, οὐδὲ παρ' ἑτέρου αὐτὰ λαβεῖν) ὁ δὲ μὴ τοιοῦτος ἐναντία πείσεται, πρὸς ἀράχνας καὶ σκιὰς καὶ ὀνείρατα καὶ τὰ τούτων ἀδρανέστερα πράγματα ἐπτοημένος.

χ. καθαίρει

χ. γρ.

16 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.

17 Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. 18 Οὐ περὶ πάντων ὑμῶν λέγω, ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὅτι ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ [τὴν] πτέρναν αὐτοῦ. Ὃ ἀνωτέρω εἶπε, τοῦτο καὶ ἐνταῦθα λέγει ἐντρέπων. εἰ γὰρ οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν, παρ' ἐμοῦ δὲ ταῦτα γέγονε, πολλῷ μᾶλλον χρὴ ταῦτα παρ' ὑμῶν γίνεσθαι. εἶτα, ἵνα μή τις εἴπῃ, τί δήποτε ταῦτα λέγεις; νῦν γὰρ οὐκ οἴδαμεν; προσέθηκε τοῦτο αὐτό, οὐχ ὡς ἀγνοοῦσι ταῦτα λέγω, ἀλλ' ἵνα διὰ τῶν ἔργων ἐπιδείξητε τὰ λεγόμενα. τὸ μὲν γὰρ εἰδέναι, πάντων· τὸ δὲ ποιεῖν, οὐ πάντων. διὰ γὰρ τοῦτο εἶπε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. διὰ δὴ τοῦτο αὐτὸ συνεχῶς καὶ ἐγὼ ἀεὶ λέγω, καίτοιγε εἰδότων ὑμῶν, ἵνα εἰς τὸ ἔργον ὑμᾶς ἐμβιβάσω. ἐπεὶ καὶ Ἰουδαῖοι οἴδασιν, ἀλλ' οὐκ εἰσὶ μακάριοι. οὐ γὰρ ποιοῦσιν αὐτά. οὐ περὶ πάντων, φησίν, ὑμῶν λέγω. βαβαὶ τῆς ἀνεξικακίας. οὐδέπω τὸν προδότην ἐλέγχει, ἀλλὰ συσκιάζει τὸ πρᾶγμα, ἐντεῦθεν διδοὺς αὐτῷ μετανοίας χώραν. καὶ ἐλέγχει, καὶ οὐκ ἐλέγχει οὕτω λέγων· ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ πτέρναν. δοκεῖ δέ μοι καὶ τὸ, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, καὶ πρὸς τοῦτο εἰρῆσθαι, ἵνα εἴ ποτε παρὰ οἰκετῶν, ἢ παρά τινων εὐτελεστέρων πάθοιέν τινες κακὸν, μὴ σκανδαλίζωνται, εἰς τὸ κατὰ τὸν Ἰούδαν ἀφορῶντες παράδειγμα, ὃς μυρίων ἀπολαύσας ἀγαθῶν, τοῖς ἐναντίοις ἠμείβετο τὸν εὐεργέτην. διὸ καὶ ἐπήγαγεν· ὁ τρώγων μετ' ἐμοῦ ἄρτον· καὶ πάντα τὰ ἄλλα παρεὶς, τοῦτο, ὃ μάλιστα ἱκανὸν ἦν αὐτὸν κατασχεῖν καὶ ἐντρέψαι, τέθεικεν· ὁ παρ' ἐμοῦ τρεφόμενος, ὁ παρ' ἐμοῦ τραπέζης κοινωνῶν, φησί. ταῦτα δὲ ἔλεγε, παιδεύων αὐτοὺς τοὺς κακῶς ποιοῦντας εὐεργετεῖν, κἂν μένωσιν ἀνιάτως ἔχοντες. εἰπὼν δὲ, οὐ περὶ πάντων ὑμῶν λέγω, ἵνα μὴ εἰς πολλοὺς περιστήσῃ τὸ δέος, ἀποσχίζει λοιπὸν αὐτὸν οὕτω λέγων· ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον. τὸ γὰρ, οὐ περὶ πάντων, οὐ πάντως εἰς ἕνα περιΐστη τὸν λόγον· διὸ ἐπήγαγεν, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, δεικνὺς ἐκείνῳ τῷ ταλαιπώρῳ, ὅτι οὐκ ἀγνοῶν συλλαμβάνεται,

ἀλλὰ καὶ σφόδρα εἰδώς· ὃ καὶ αὐτὸ μάλιστα πάντων ἱκανὸν ἦν αὐτὸν κατασχεῖν. καὶ οὐκ εἶπε, παραδίδωσιν ἐμέ· ἀλλ', ἦρεν ἐπ' ἐμὲ πτερνισμόν, τὸ δολερὸν καὶ ὕπουλον καὶ λαθραῖον τῆς ἐπιβουλῆς παραστῆσαι βουλόμενος.

ΗΘΙΚΟΝ

Ταῦτα δὲ γέγραπται, ἵνα μὴ μνησικακῶμεν τοῖς ἀδικοῦσιν· ἀλλ' ἐλέγχωμεν αὐτοὺς καὶ θρηνῶμεν. θρήνων γὰρ ἄξιοι, οὐχ οἱ πάσχοντες, ἀλλ' οἱ ποιοῦντες κακῶς. ἑαυτοὺς μὲν γὰρ μέγιστα ἀδικοῦσιν ὅ τε πλεονέκτης, ὅ τε συκοφάντης, ὅ τε ἕτερόν τι κακὸν ἐργαζόμενος· ἡμᾶς δὲ ὠφελοῦσι τὰ μέγιστα, ἐὰν μὴ ἑαυτοὺς ἐκδικῶμεν. οἷόν τι λέγω· ἥρπασεν ὁ δεῖνα; ηὐχαρίστησας ὑπὲρ τῆς ἀδικίας σὺ, καὶ ἐδόξασας τὸν Θεόν; μυρίους διὰ τῆς εὐχαριστίας ἐκείνης ἐκαρπώσω μισθούς· ὥσπερ οὖν ἐκεῖνος ἄφατον ἑαυτῷ συνήγαγε πῦρ. εἰ δὲ λέγει τις· τί γὰρ, εἰ μὴ ἠδυνάμην ἀμύνασθαι τὸν ἀδικήσαντα ἀσθενέστερος ὤν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἠδύνασο πρᾶξαι τὸ δυσχερᾶναι, τὸ ἀποδυσπετῆσαι. ταῦτα γὰρ ἐν ἐξουσίᾳ ἡμῶν, τὸ κατεύξασθαι τοῦ λελυπηκότος, τὸ καταράσασθαι αὐτῷ μυρία, τὸ πρὸς πάντας διαβάλλειν. ὁ τοίνυν ταῦτα μὴ ποιήσας, καὶ τοῦ μὴ ἀμύνασθαι μισθὸν λήψεται. δῆλον γὰρ ὅτι καὶ ἐκείνου κύριος ὤν, οὐκ ἂν ἐποίησεν. ὁ γὰρ ἠδικημένος, τῷ παρατυχόντι κέχρηται ὅπλῳ, ὅταν μικρόψυχος ὤν, κατάραις, λοιδορίαις, ἐπιβουλαῖς ἀμύνεται τὸν ἠδικηκότα. ταῦτα τοίνυν σὺ μὴ ποιήσῃς μόνον, ἀλλὰ καὶ εὖξαι περὶ αὐτοῦ. '' καὶ γὰρ ἂν ταῦτα μὴ ποιήσῃς, ἀλλὰ καὶ εὔξῃ ὑπὲρ αὐτοῦ, τῷ Θεῷ γέγονας ὅμοιος. Εὔχεσθε γάρ, φησιν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. ὁρᾷς πῶς μέγιστα κερδαίνομεν ἀπὸ τῆς τῶν ἑτέρων ἐπηρείας; οὐδὲν οὕτω τὸν Θεὸν εὐφραίνει, ὡς τὸ μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ. καὶ τί λέγω, μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ; τἀναντία μὲν οὖν ἀποδιδόναι ἐπετάγημεν, εὐεργεσίας, εὐχάς. διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν μέλλοντα αὐτὸν προδιδόναι, τοῖς ἐναντίοις πᾶσιν ἠμείψατο· οἷον, τοὺς πόδας ἔνιπτεν, ἤλεγχε λάθρα, φειδομένως ἐπέπληττεν, ἐθεράπευσε, τραπέζης καὶ φιλήματος μετεδίδου· καὶ οὐδὲ '' τούτοις ἐγένετο βελτίων· καὶ [ὅμως] ἐπέμενεν αὐτὸς τὰ ἑαυτοῦ ποιῶν. ἀλλά, φέρε, καὶ ἀπὸ τῶν δούλων σε παιδεύσωμεν, καὶ ἐκ περιουσίας, τῶν ἐν τῇ παλαιᾷ, ἵνα εἰδῇς οὐδεμίαν ἔχοντας ἡμᾶς ἀπολογίας ἀφορμὴν, ὅταν μνησικακῶμεν. βούλεσθε οὖν εἴπω Μωϋσέα, ἢ ἐπὶ τὸν λόγον ἀνωτέρω ἀγάγωμεν; ὅσῳ γὰρ ἂν ἀρχαιότερα δειχθῇ τὰ παραδείγματα, τοσούτῳ μᾶλλον ἡμεῖς νικώμεθα. τί δήποτε δέ; ὅτι τότε δυσκολωτέρα ἦν ἡ ἀρετή. οὐδὲ γὰρ ὑποθήκας ἐγγράφους εἶχον ἐκεῖνοι τότε, οὐ βίων παραδείγματα· ἀλλὰ γυμνὴ καθ' ἑαυτὴν ἡ φύσις ἠγωνίζετο, καὶ ἀνερμάτιστος πανταχοῦ νήχεσθαι ἠναγκάζετο. διὰ τοῦτο καὶ τὸν Νῶε ἐπαινῶν, οὐχ ἁπλῶς τέλειον ἐκάλεσεν, ἀλλὰ προσέθηκεν, ἐν τῇ γενεᾷ αὐτοῦ, τουτέστιν, ἐν ἐκείνῳ τῷ χρόνῳ, ὅτε πολλὰ τὰ κωλύματα ἦν. ἐπεὶ μετ' αὐτὸν ἔλαμψαν ἕτεροι, καὶ ὅμως οὐδὲν ἔλαττον αὐτῶν ἕξει. ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ τέλειος ἦν. τίς οὖν πρὸ Μωϋσέως μακρόθυμος; ὁ μακάριος καὶ γενναῖος Ἰωσήφ· ὃς τῇ σωφροσύνῃ λάμψας, οὐκ ἔλαττον ἔλαμψε τῇ μακροθυμίᾳ. ἐπράθη γὰρ οὐδὲν ἠδικηκώς, ἀλλὰ θεραπεύων, δουλεύων, τὰ οἰκετῶν πάντα ἐπιδεικνύμενος. κατήνεγκεν γοῦν αὐτῷ ψόγον πονηρόν, καὶ οὐκ ἠμύνατο, καίτοι τὸν πατέρα ἔχων μεθ' ἑαυτοῦ· ἀλλὰ καὶ ἀπῆλθε κομίζων αὐτοῖς εἰς τὴν ἔρημον τροφήν· καὶ οὐχ εὑρὼν αὐτούς, οὐ περιεκάκησεν, οὐδὲ ὑπέστρεψε (καίτοιγε εἶχε πρόφασιν, εἴγε ἐβούλετο) ἀλλὰ πρὸς τὰ θηρία καὶ τοὺς ὠμοὺς ἐκείνους ἔμενεν ἀδελφοῦ γνησίου φυλάττων προαίρεσιν. πάλιν τὸ δεσμωτήριον οἰκήσας, καὶ '' τὴν αἰτίαν ἐρωτηθείς, οὐδὲν εἶπε περὶ αὐτῶν πονηρόν· ἀλλ' ὅτι οὐδὲν ἐποίησα, καὶ κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων. καὶ μετὰ ταῦτα πάλιν γενόμενος κύριος, καὶ ἔθρεψε καὶ ἀπήλλαξε μυρίων δεινῶν. ἂν γὰρ νήφωμεν, οὐκ ἰσχύει τοῦ πλησίον ἡ κακία τῆς ἀρετῆς ἡμᾶς ἐκβαλεῖν τῆς ἑαυτῶν. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι· ἀλλὰ καὶ ἀπέδυσαν, καὶ ἀνελεῖν ἐπεχείρησαν, καὶ ὀνειδίζουσι τὸ ἐνύπνιον, καίτοι καὶ τροφὴν παρ' αὐτοῦ '' κομισάμενοι, καὶ ζωῆς καὶ ἐλευθερίας αὐτὸν

ἐκβαλεῖν

Ματθ. ε. μδ.

γρ. ἂν τοίνυν ταῦτα

γρ. τοῦτο

γρ. που δεξά
μενοι,

ἐκβαλεῖν ἐπεχείρησαν. καὶ τὸ μὲν ἤλαθον, τὸν δὲ ἀδελφὸν περιεώρων ἐν λάκκῳ γυμνὸν ἐῤῥιμμένον. τί ταύτης τῆς θηριωδίας γένοιτ' ἂν χεῖρον; πόσων ἀνδροφόνων οὐκ ἦσαν χείρους; καὶ μετὰ ταῦτα δὲ αὐτὸν "ἀνελκύσαντες, μυρίοις θανάτοις παρέδωκαν, ἀνθρώποις βαρβάροις καὶ ἀγρίοις αὐτὸν ἀποδόμενοι πρὸς βαρβάρους μέλλουσιν ἀπιέναι. ἀλλ' αὐτὸς γενόμενος βασιλεὺς, οὐ μόνον τὴν τιμωρίαν αὐτοῖς ἀφῆκεν, ἀλλὰ καὶ τῆς ἁμαρτίας αὐτοὺς τότε, πότε εἰς αὐτὸν ἧκον, ἀπήλλαξεν, οἰκονομίαν Θεοῦ τὰ γεγενημένα καλῶν, οὐ πονηρίαν ἐκείνων· καὶ ἅπερ δὲ ἐποίησεν εἰς αὐτοὺς, οὐ μνησικακῶν, ἀλλ' ὑπὲρ τοῦ ἀδελφοῦ ταῦτα πάντα ὑπεκρίνατο. μετὰ γοῦν ταῦτα, ἐπειδὴ εἶδεν ἀντεχομένους "αὐτοῦ, ἔῤῥιψε τὸ προσωπεῖον εὐθέως, καὶ ὠλόλυξε καὶ περιεπλύξατο ὡς τὰ μέγιστα εὐηργετημένος, ὁ πάλαι παρ' αὐτῶν ἀνῃρημένος, καὶ πάντας αὐτοὺς εἰς Αἴγυπτον κατήγαγε, καὶ μυρίαις εὐεργεσίαις ἠμείψατο. τίνα οὖν ἕξομεν ἀπολογίαν, μετὰ νόμον καὶ χάριν καὶ τοσαύτης φιλοσοφίας ἐπίδοσιν μηδὲ τὸν πρὸ τῆς χάριτος καὶ τοῦ νόμου ζηλώσαντες; τίς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως; οὐ γὰρ ἔστιν, οὐκ ἔστι τι μνησικακίας χαλεπώτερον. καὶ τοῦτο ἐδήλωσεν ὁ τὰ μυρία τάλαντα ὀφείλων· εἶτα οὐκ ἀπαιτηθεὶς, καὶ πάλιν ἀπαιτηθείς· οὐκ ἀπαιτηθεὶς μὲν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· ἀπαιτηθεὶς δὲ διὰ τὴν οἰκείαν πονηρίαν, καὶ τὸ μνησικακῆσαι τῷ συνδούλῳ. ἅπερ πάντα μαθόντες, ἀφῶμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, καὶ τοῖς ἐναντίοις αὐτοὺς ἀμειβώμεθα, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ τύχωμεν φιλανθρωπίας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀναπά-ντητοι,

γρ. αὐτοῦ,

Ὁμιλ. οϛ. 20 ΑΜΗΝ, ΑΜΗΝ ΛΕΓΩ ΥΜΙΝ, Ο ΛΑΜΒΑνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· καὶ ὁ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

Μεγάλη τῆς περὶ τοὺς δούλους τοῦ Θεοῦ θεραπείας ἡ "ἀνταπόδοσις, καὶ τοὺς καρποὺς ἐντεῦθεν ἡμῖν ἀποδίδωσιν. ὁ δεχόμενος γὰρ, φησιν, ὑμᾶς, ἐμὲ δέχεται· ὁ δὲ λαμβάνων ἐμὲ, λαμβάνει τὸν πέμψαντά με. τοῦ δὲ τὸν Χριστὸν δέξασθαι καὶ τὸν τούτου πατέρα, τί γένοιτ' ἂν ἴσον; καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ ἔμπροσθεν εἰρημένα; τί δὲ κοινὸν ἔχει πρὸς ὃ εἶπεν, ἐὰν ποιῆτε ταῦτα, μακάριοί ἐστε, τὸ ἐπάγειν, ὁ δεχόμενος ὑμᾶς; "μεγάλη καὶ σφόδρα συνᾴδουσα. καὶ σκόπει πῶς. ἐπειδὴ γὰρ ἔμελλον ἐξιέναι καὶ πολλὰ πάσχειν δεινὰ, δύο τρόποις αὐτοὺς παραμυθεῖται· ἑνὶ μὲν, τῷ παρ' ἑαυτοῦ· ἑτέρῳ δὲ, τῷ παρ' ἑτέρων. ἐὰν γὰρ φιλοσοφῆτε, φησιν, ἐμὲ διὰ παντὸς ἔχοντες ἐν μνήμῃ, καὶ ἅπερ ἔπαθον, καὶ ἅπερ ἐποίησα, περιφέροντες ἅπαντα, ῥᾳδίως οἴσετε τὰ δεινά. οὐ τούτῳ δὲ μόνῳ τῷ τρόπῳ, ἀλλὰ καὶ τῷ παρὰ πάντων πολλῆς ἀπολαύειν θεραπείας. καὶ τὸ μὲν πρότερον ἐδήλωσεν, εἰπών· ἐὰν ποιῆτε ταῦτα, μακάριοί ἐστε· τὸ δὲ ἕτερον, ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται, λέγων. τὰς γὰρ πάντων ἀνέῳξεν αὐτοῖς οἰκίας, ὥστε καὶ ἐκ τῆς τῶν τρόπων φιλοσοφίας, καὶ ἐκ τῆς τῶν θεραπευόντων προθυμίας διπλῆν ἔχειν παράκλησιν. εἶτα, ἐπειδὴ ταῦτα αὐτοῖς διετάξατο ὡς μέλλουσι τὴν οἰκουμένην διατρέχειν ἅπασαν, ἐννοῶν ὅτι ἑκατέρων τούτων ὁ προδότης ἀπεστέρηται, καὶ οὐδενὸς αὐτῶν ἀπολαύσεται, οὔτε τῆς ἐν τοῖς πόνοις ὑπομονῆς, οὔτε "τῆς τῶν ὑποδεχομένων θεραπείας, ἐταράχθη πάλιν. ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαινόμενος καὶ δηλῶν, ὅτι δι' ἐκεῖνον ταράττεται, ἐπάγει·

21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν· εἷς ἐξ ὑμῶν παραδώσει με. Πάλιν εἰς πάντας περιΐστησι τὸν φόβον τῷ μὴ ὀνομάσαι εἰπεῖν·

γρ. ἀντίδοσις,

γρ. καὶ πολὺ τὸ ἀκόλουθον ἐστιν ...εῖν, ἐπειδὴ

γρ. τὸ ἀπὸ τῆς ...

22 Οἱ δὲ ἀπορούμενοι, Καίτοι ἑαυτοῖς μηδὲν συνειδότες πονηρόν. τὴν γὰρ οἰκείων λογισμῶν τὴν ἀπόφασιν τοῦ Χριστοῦ πιστοτέραν ἡγοῦντο· διὸ καὶ ἔβλεπον εἰς ἀλλήλους. "ὥστε μὲν οὖν εἰς ἕνα περιστῆσαι τὸ πᾶν, ὑπετέμνετο τὸν φόβον· "ὥστε δὲ παραθεῖναι, εἷς ἐξ ὑμῶν, συνετάραττεν ἅπαντας. τί οὖν; οἱ μὲν ἄλλοι βλέπουσιν εἰς ἀλλήλους, ὁ δὲ πανταχοῦ θερμὸς Πέτρος

γρ. τὸ
γρ. τὸ

24 Τῷ Ἰωάννῃ νεύει. Ἐπειδὴ γὰρ καὶ πρότερον ἐπετιμήθη, καὶ βουλόμενον νίψαι ἐκώλυσε, καὶ πανταχοῦ εὑρίσκεται ἀπὸ πόθου μὲν ὁρμῶν, ἐγκαλούμενος δὲ, τούτου χάριν δεδοικὼς, οὔτε ἡσύχασεν, οὔτε ἐφθέγξατο· ἀλλὰ διὰ μέσου τοῦ Ἰωάννου βούλεται μαθεῖν. ἐκεῖνο δὲ ἄξιον διαπορῆσαι, τί δήποτε, πάντων ἀγωνιώντων, τρεμόντων, τοῦ κορυφαίου δεδοικότος, ὁ Ἰωάννης ὥσπερ ἐντρυφῶν, ἀνάκειται εἰς τὸν κόλπον τοῦ Ἰησοῦ· καὶ οὐκ ἀνάκειται μόνον, ἀλλὰ καὶ τῷ στήθει ἐπιπίπτει; καὶ οὐ τοῦτο μόνον ἄξιον ζητήσεως, ἀλλὰ καὶ τὸ ἑξῆς. τί δὲ τοῦτό ἐστιν; ὃ περὶ ἑαυτοῦ λέγει, ὃν ἠγάπα ὁ Ἰησοῦς. διατί γὰρ μηδεὶς ἕτερος τοῦτο εἶπε περὶ αὐτοῦ; καίτοι καὶ οἱ ἄλλοι ἠγαπῶντο· ἀλλ' οὗτος πλέον τῶν ἄλλων. εἰ δὲ μηδεὶς ἄλλος τοῦτο περὶ αὐτοῦ εἶπεν, ἀλλ' αὐτὸς περὶ ἑαυτοῦ, θαυμαστὸν οὐδέν. ποιεῖ δὲ αὐτὸ καὶ Παῦλος, καιροῦ καλοῦντος, οὕτω λέγων· Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων. καίτοιγε οὐ μικρὰ αὐτοῦ διῆλθεν ἐγκώμια ἕτερα. ἢ μικρὸν εἶναι σοι δοκεῖ τὸ ἀκούσαντα, ἀκολούθει μοι, εὐθέως ἀφέντα τὰ δίκτυα καὶ τὸν πατέρα, ἀκολουθῆσαι, καὶ τὸ μετὰ Πέτρου μόνον αὐτὸν λαβεῖν εἰς τὸ ὄρος, καὶ ἀλλαχοῦ πάλιν εἰς οἰκίαν εἰσελθόντα; αὐτὸς δὲ ἡλίκον ἐγκώμιον τοῦ Πέτρου διῆλθε, καὶ οὐκ ἀπεκρύψατο, εἰρηκέναι τὸν Χριστὸν λέγων· Πέτρε, φιλεῖς με πλέον τούτων; καὶ πανταχοῦ δὲ δείκνυσιν αὐτὸν θερμὸν καὶ γνησίως ἔχοντα πρὸς αὐτόν. ὅτε γοῦν ἔλεγεν, οὗτος δὲ τί; ἐκ πολλοῦ πόθου τοῦτο ἔλεγε. τί οὖν ἄλλος οὐδὲν εἶπε περὶ αὐτοῦ; "ὅτι οὐδὲ αὐτὸς εἶπεν ἂν, εἰ μὴ εἰς τοῦτο ἐνέπεσε τὸ χωρίον. εἰ γὰρ εἰπὼν, ὅτι Πέτρος ἔνευσεν Ἰωάννῃ ἐρωτῆσαι, καὶ μηδὲν ἄλλο προσέθηκε, πολλὴν ἐποίει τὴν ἀπορίαν, καὶ ζητεῖν ἠνάγκαζεν ἡμᾶς τὴν αἰτίαν. διὰ τοῦτο λύων αὐτὸς ταύτην, ἀνέκειτο, φησιν, εἰς τὸν κόλπον τοῦ Ἰησοῦ. ἢ μικρὸν οἴει μεμαθηκέναι, ἀκούσας ὅτι ἀνέκειτο· καὶ τοσαύτης "αὐτοῖς ὁ διδάσκαλος μετεδίδου παῤῥησίας; εἰ δὲ καὶ τούτου τὴν αἰτίαν ζητεῖς μαθεῖν, ἀγάπης τὸ πρᾶγμα ἦν. διὰ τοῦτό φησιν, ὃν ἐφίλει ὁ Ἰησοῦς. ἐγὼ δὲ αὐτὸν καὶ δι' ἄλλο οἶμαι τοῦτο ποιεῖν, βουλόμενον δεῖξαι ἀλλότριον "ἑαυτὸν τοῦ ἐγκλήματος. διὰ τοῦτο παῤῥησιάζεται καὶ θαῤῥεῖ. ἐπεὶ διατί μὴ ἐν ἄλλῳ χωρίῳ τοῦτο εἶπεν, ἀλλ' ὅτε ὁ κορυφαῖος ἔνευσεν; ἵνα γὰρ μὴ νομίσῃς, ὅτι ὡς μείζονι ὄντι ἔνευσεν, λέγει ὅτι διὰ τὴν πολλὴν ἀγάπην τοῦτο ἐγίνετο. τί δὲ καὶ ἐπιπίπτει τῷ στήθει; οὐδὲν οὐδέπω περὶ αὐτοῦ μέγα ὑπώπτευον· ἄλλως δὲ, καὶ τὴν ἀθυμίαν κατεπραΰνεν. εἰκὸς γὰρ καὶ τὴν ὄψιν αὐτῶν εἶναι κατηφῆ τότε. εἰ γὰρ ταῖς ψυχαῖς αὐτῶν ἐταράχθησαν, πολλῷ μᾶλλον ταῖς ὄψεσι. μειλισσόμενος τοίνυν αὐτοὺς καὶ τῷ λόγῳ καὶ τῇ ἐρωτήσει, προοδοποιεῖ καὶ συγχωρεῖ ἀναπεσεῖν ἐπὶ τὸ στῆθος. σκόπει δὲ αὐτοῦ καὶ τὸ ἀκόμπαστον. οὐ γὰρ εἶπε τὸ ὄνομα, ἀλλ' ὅτι ὃν ἠγάπα· "καθάπερ καὶ Παῦλος, ὅτε ἔλεγεν, οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων. τότε δὴ πρῶτον αὐτὸν ἐλέγχει ὁ Ἰησοῦς, καὶ οὐδὲ τότε ὀνομαστί· ἀλλὰ πῶς;

β. Κορ. ιβ. β.
γρ. ἀλλ'
ἴσ. αὐτῷ
γρ. αὐτὸν
γρ. -τερον ὁ Π. ἔλεγ.

26 Ὧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. Καὶ ὁ τρόπος ἐντρεπτικός. οὐδὲ γὰρ τὴν τράπεζαν ᾐδέσθη, τοῦ αὐτοῦ ἄρτου κοινωνήσας. ἔστω, ἡ κοινωνία τῶν ἄλλων οὐκ ἐνέτρεψε· τὸ καὶ παρ' αὐτοῦ δέξασθαι τὸ ψωμίον, τίνα οὐκ ἂν ἐπεσπάσατο; ἀλλ' οὐκ ἐκεῖνον.

27 Διὸ καὶ ὁ Σατανᾶς τότε εἰσῆλθεν εἰς αὐτὸν, Γελάσας αὐτὸν τῆς ἀναισχυντίας. ἕως γὰρ ἦν τοῦ χοροῦ, οὐκ ἐτόλμα ἐπιπηδῆσαι, ἀλλ' ἔξωθεν "προσέβαλλεν. ἐπειδὴ δὲ δῆλον αὐτὸν ἐποίησε καὶ ἀφώρισεν, ἐπεπήδησε λοιπὸν μετὰ ἀδείας. οὐδὲ γὰρ ἔδει τοιοῦτον ὄντα καὶ ἀδιόρθωτον ἐπὶ πολὺ μένοντα κατέχειν ἔνδον. διὰ τοῦτο καὶ ἐξέβαλεν αὐτὸν λοιπὸν, καὶ ἀποτμηθέντα λαμβάνει τότε ἐκεῖνος, καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθε "νυκτός.

γρ. προσέβ.
γρ. ἐκτὸς

27 Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὃ ποιεῖς, ποίησον τάχιον. 28 Καὶ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων. Βαβαὶ, πόση ἡ ἀναισθησία; πῶς οὐκ ἐμαλάχθη οὐδὲ ᾐδέσθη· ἀλλὰ ἀναισχυντότερος γινόμενος, ἐξῄει. τὸ δὲ, ποίησον τάχιον, οὐ προστάττοντός ἐστιν οὐδὲ συμβουλεύοντος, ἀλλ' ὀνειδίζοντος καὶ δεικνύντος, ὅτι αὐτὸς μὲν ἐβούλετο διορθώσασθαι· ἐπεὶ δὲ ἀδιορθώτως εἶχεν, ἀφίησιν αὐτόν. καὶ τοῦτο οὐδεὶς, φησιν, ἔγνω τῶν ἀνακειμένων. πολλὴν ἄν τις ἐνταῦθα ἀπορίαν εὕροι, εἴγε, ἐρωτησάντων τῶν μαθητῶν τίς ἐστι, λέγει· ᾧ βάψας τὸ ψωμίον ἐπιδώσω, καὶ οὐδὲ οὕτω συνῆκαν· πλὴν εἰ μὴ λάθρα εἴρηκεν, ὥστε μηδένα ἀκοῦσαι. καὶ γὰρ ὁ Ἰωάννης, διὰ τοῦτο παρὰ τὸ στῆθος ἀναπεσὼν, ἐρωτᾷ μονονουχὶ πρὸς τὸ οὖς, ὥστε μὴ γενέσθαι φανερὸν τὸν προδότην, καὶ ὁ Χριστὸς οὕτως ἀπεκρίνατο, ὥστε οὐδὲ τότε αὐτὸν ἐποίησε φανερόν. καὶ ὁ μὲν καίτοι ἐμφαντικῶς εἶπεν, ἐταῖρε, ὃ ποιεῖς, ποίησον τάχιον, οἱ δὲ οὐδὲ οὕτω συνίεσαν. τοῦτο δὲ ἔλεγε, δεικνὺς ὅτι ἀληθῆ τὰ πρὸς τοὺς Ἰουδαίους εἰρημένα ἦν αὐτῷ περὶ τοῦ θανάτου. καὶ γὰρ πρὸς ἐκείνους εἴρηκε τὸ, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν, καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. Ιωαν. ι. ιη. ἕως μὲν γοῦν κατεῖχεν, οὐδεὶς ἴσχυσεν· ἐπεὶ δὲ ἀφῆκε λοιπὸν, εὔκολον τότε τὸ πρᾶγμα γέγονε. ταῦτ' οὖν ἅπαντα αἰνιττόμενος εἶπεν, ὃ ποιεῖς, ποίησον τάχιον· καὶ οὐδὲ τότε αὐτὸν δῆλον ἐποίησε. τάχα γὰρ ἂν αὐτὸν καὶ διέσπασαν, τάχα ἂν ὁ Πέτρος καὶ ἀνεῖλεν αὐτόν. διὰ τοῦτο οὐδεὶς ἔγνω τῶν ἀνακειμένων. ἆρα οὐδὲ ὁ Ἰωάννης; οὐδὲ οὗτος· οὐ γὰρ ἂν προσεδόκησεν ὅτι μαθητὴς ἐπὶ τοσοῦτον χωρήσει παρανομίας. ἐπεὶ γὰρ πόρρω τῆς τοιαύτης πονηρίας ἦσαν, οὐδὲ περὶ ἑτέρων τοιαῦτα ὑποπτεύειν εἶχον. ὥσπερ οὖν ἔμπροσθεν αὐτοῖς εἶπεν, ὅτι οὐ περὶ πάντων λέγω, καὶ οὐδαμοῦ ἐξεκάλυψεν, οὕτω καὶ ἐνταῦθα ἐνόμισαν περὶ ἑτέρου λέγεσθαι.

30 Ην δὲ νὺξ ὅτε ἐξῆλθε, φησι. Διὰ τί μοι τὸν καιρὸν λέγεις; ἵνα μάθῃς τὴν ἰταμότητα, ὅτι οὐδὲ ὁ καιρὸς αὐτὸν ἐπέσχε τῆς ὁρμῆς· ἀλλ' οὐδὲ τοῦτο αὐτὸν κατάδηλον ἐποίησε. καὶ γὰρ φόβῳ κατεχόμενοι καὶ ἀγωνίᾳ πολλῇ τότε ἐθορυβοῦντο, καὶ τὴν μὲν ἀληθῆ τῶν εἰρημένων αἰτίαν οὐκ ᾔδεσαν, ὑπώπτευον δὲ, ὅτι, τοῖς πένησιν ἵνα τι δῷ, ταῦτα ἔλεγε. πολλὴν γὰρ ἐποιεῖτο τῶν πτωχῶν τὴν ἐπιμέλειαν, διδάσκων καὶ ἡμᾶς πολλὴν ὑπὲρ τούτου ποιεῖσθαι σπουδήν.

29 Εδόκουν δὲ οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ τὸ γλωσσόκομον εἶχε·

Καίτοιγε οὐδεὶς φαίνεται προσενεγκὼν αὐτῷ χρήματα, ἀλλ' ὅτι μὲν ἔτρεφον αὐτὸν ἐκ τῶν ὑπαρχόντων αἱ μαθήτριαι, εἶπε· τοῦτο δὲ οὐδαμοῦ ἠνίξατο. πῶς δὲ, μὴ πήραν, μὴ χαλκὸν, μὴ ῥάβδον κελεύων ἐπιφέρεσθαι, γλωσσόκομον ἐπεφέρετο πρὸς τὴν τῶν πενήτων διακονίαν; ἵνα μάθῃς ὅτι καὶ τὸν σφόδρα ἀκτήμονα καὶ ἐσταυρωμένον, τούτου δεῖ τοῦ μέρους πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν. πολλὰ γὰρ πρὸς τὴν ἡμετέραν οἰκονομῶν διδασκαλίαν ἔπραττε. τοῦτο οὖν καὶ λέγειν ἐνόμισαν οἱ μαθηταὶ, ἵνα τοῖς πένησί τι δῷ, καὶ οὐδὲ οὕτω ἐνέτρεψε τὸ μέχρις ἐσχάτης ἡμέρας μὴ θελῆσαι αὐτὸν παραδειγματίσαι. τοῦτο καὶ ἡμᾶς δεῖ ποιεῖν, καὶ μὴ ἐκπομπεύειν τὰ τῶν συνόντων ἁμαρτήματα, κἂν ἀνιάτως ἔχωσι. καὶ γὰρ καὶ μετὰ ταῦτα ἐλθόντι ~~προδιδοῦναι φίλημα ἔδωκε,~~ καὶ κατεδέξατο πρᾶγμα τοσοῦτον, καὶ ἐπὶ τὸ πολλῷ τολμηρότερον προῄει, τὸν σταυρὸν αὐτὸν, τὸν θάνατον τὸν ἐπονείδιστον· καὶ πάλιν ἐκεῖ τὴν αὐτοῦ φιλανθρωπίαν ἐπεδείκνυτο, καὶ δόξαν ἐνταῦθα τὸ πρᾶγμα καλεῖ, διδάσκων ἡμᾶς, ὅτι οὐδὲν οὕτως αἰσχρὸν καὶ ἐπονείδιστον, ὃ μὴ λαμπρότερον ποιεῖ τὸν μετιόντα, ὅταν κατὰ Θεὸν γένηται. μετὰ γοῦν τὸ ἐξελθεῖν τὸν Ἰούδαν ἐπὶ τὸ παραδοῦναι, λέγει·

31 Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, Ταύτῃ πεπτωκότας αὐτῶν λογισμοὺς τῶν μαθητῶν ἀνιστῶν, καὶ πείθων μὴ μόνον μὴ κατηφεῖν, ἀλλὰ καὶ χαίρειν. διὰ τοῦτο καὶ Πέτρον ἐξ ἀρχῆς ἐπετίμησε. τὸ γὰρ ἐν θανάτῳ γινόμενον περιγενέσθαι θανάτου, δόξα μεγάλη· καὶ

Ἰωαν. ιβ. λγ.
Ἰωαν. β. ιθ.
Λουκ. ια. κθ.

τοῦτο ἐστιν ὃ περὶ ἑαυτοῦ ἔλεγεν, Ὅταν ὑψωθῶ, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι· καὶ πάλιν, Λύσατε τὸν ναὸν τοῦτον· καὶ πάλιν, Σημεῖον οὐ δοθήσεται ὑμῖν, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. πῶς γὰρ οὐ δόξα μεγάλη, τὸ καὶ μετὰ θάνατον ἰσχύσαι τῶν πρὸ τοῦ θανάτου μείζονα; ἵνα γάρ τις λυθῇ ἡ ἀνάστασις, μείζονα εἰργάσαντο οἱ μαθηταί. εἰ δὲ μὴ ἔζη, καὶ Θεὸς ἦν, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ τοσαῦτα εἰργάσαντο οὗτοι;

32 Καὶ ὁ Θεὸς δοξάσει αὐτόν. Τί ἐστι, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ; τουτέστι, δι᾽ ἑαυτοῦ, οὐ δι᾽ ἑτέρου. Καὶ εὐθέως δοξάσει αὐτόν· Τουτέστιν, ἅμα τῷ σταυρῷ. οὐδὲ γὰρ διὰ χρόνου πολλοῦ φησιν, οὐδὲ τὸν μακρὸν τῆς ἀναστάσεως ἀναμένων καιρόν· οὐδὲ τότε δείξει λαμπρὸν, ἀλλ᾽ εὐθέως ἐν αὐτῷ τῷ σταυρῷ τὰ λαμπρὰ φαίνεται. ὁ γοῦν ἥλιος ἐσκοτίσθη, αἱ πέτραι ἐρράγησαν, τὸ καταπέτασμα ἐσχίσθη, πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, ὁ τάφος σήμαντρα εἶχε, καὶ φύλακες παρεκαθέζοντο· καὶ ἐπικειμένου τῷ σώματι τοῦ λίθου, ἀνέστη τὸ σῶμα· τεσσαράκοντα ἡμέραι παρῆλθον, καὶ ἡ τοῦ πνεύματος ἦλθε χορηγία, καὶ πάντες αὐτὸν εὐθέως ἀνεκήρυττον. τοῦτο ἐστι, δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθέως δοξάσει αὐτόν· οὐ δι᾽ ἀγγέλων καὶ ἀρχαγγέλων, οὐδὲ δι᾽ ἄλλης τινὸς δυνάμεως, ἀλλὰ δι᾽ ἑαυτοῦ. πῶς δὲ καὶ ἐδόξασε δι᾽ ἑαυτοῦ; πάντα πράξας τὰ πρὸς δόξαν τοῦ υἱοῦ· καίτοι πάντα ὁ υἱὸς ἐποίησεν. ὁρᾷς ὅτι τὰ ὑπ᾽ αὐτοῦ γινόμενα τῷ πατρὶ ἀνατίθησι;

γρ. ἀπηρτι
γρ. αὐτῷ

33 Τεκνία, ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις, ὅτι ὅπου ὑπάγω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι.

Ἰωαν. 15. 5.

Ἄρχεται λοιπὸν τῶν λυπηρῶν μετὰ τὸ δεῖπνον. ὅτε γὰρ Ἰούδας ἐξῆλθεν, οὐκ ἔτι ἑσπέρα ἦν, ἀλλὰ νύξ. ἐπειδὴ γὰρ ἔμελλον μικρὸν ὕστερον ἐπιστήσεσθαι, ἔδει πάντα παρακατατίθεσθαι αὐτοῖς, ὥστε ἔχειν ἐν μνήμῃ· μᾶλλον δὲ τὸ πνεῦμα πάντα αὐτοὺς ἀνέμνησε. πολλὰ γὰρ εἰκὸς, ἅτε πρῶτον τότε ἀκούοντας, καὶ τοιούτους μέλλοντας πειρασμοὺς ὑπομένειν, ἀποβάλλειν αὐτούς. οἱ γὰρ καὶ πρὸς ὕπνον καταφερόμενοι (καθὼς καὶ ἕτερός φησιν εὐαγγελιστὴς) καὶ ἀθυμίᾳ συνεχόμενοι (καθὼς καὶ αὐτὸς ὁ Χριστὸς λέγει· Ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν) πῶς ἂν ταῦτα πάντα κατεῖχον ἀκριβῶς; τί δήποτε οὖν ἐλέγετο; οὐ μικρὸν αὐτοῖς ἐγίνετο κέρδος εἰς τὴν Χριστοῦ δόξαν, τὸ σαφῶς εἰδέναι μετὰ ταῦτα ὑπομιμνησκομένους, ὅτι ταῦτα πάλαι ἀκηκοότες ἦσαν παρὰ τοῦ Χριστοῦ. τίνος δὲ ἕνεκεν προκαταβάλλει αὐτῶν τὴν ψυχὴν, λέγων· ἔτι μικρὸν χρόνον μεθ᾽ ὑμῶν εἰμι; τοῖς μὲν γὰρ Ἰουδαίοις εἰκότως ἐλέγετο· ἡμᾶς δὲ τίνος ἕνεκεν ἐπίσης εἰς τὴν αὐτὴν τάξιν ἄγεις ἐκείνοις τοῖς ἀγνώμοσιν; οὐδαμῶς. καὶ τίνος ἕνεκεν εἶπε, καθὼς εἶπον τοῖς Ἰουδαίοις; ἀνέμνησεν ὅτι οὐχὶ νῦν ἀπὸ τῆς τῶν δεινῶν παρουσίας ταῦτα προλέγει· ἀλλ᾽ ἄνωθεν αὐτὰ προῄδει, καὶ μάρτυρες αὐτοὶ οἱ ἀκούσαντες, ὅτι καὶ πρὸς Ἰουδαίους ταῦτα ἔλεγε. διὸ καὶ προσέθηκε τὸ, τεκνία· ἵνα ἀκούσαντες, καθὼς εἶπον τοῖς Ἰουδαίοις, μὴ καὶ πρὸς αὐτοὺς ὁμοίως εἰρῆσθαι τὸ εἰρημένον νομίσωσιν. οὐ καταβάλλων τοίνυν αὐτοὺς, ἀλλὰ παραμυθούμενος ταῦτά φησιν· ἵνα μὴ ἀπροσδόκητα ἐπιστάντα αὐτοῖς τὰ δεινὰ ἐκταράξῃ. ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. δείκνυσιν, ὅτι ὁ θάνατος αὐτοῦ μετάστασίς ἐστι, καὶ μετάθεσις ἀμείνων εἰς τόπον σώματα οὐ δεχόμενον φθαρτά. ταῦτα δὲ λέγει, καὶ τὸν εἰς αὐτὸν διεγείρων πόθον καὶ θερμότερον ποιῶν. ἴστε γὰρ ὅτι, ἐπειδὰν ἴδωμεν τῶν φιλτάτων τινὰς ἀναχωροῦντας, μάλιστα διαθερμαινόμεθα, καὶ μᾶλλον, ὅταν ἴδωμεν εἰς τόπον ἀπιόντας, εἰς ὃν οὐδὲ δυνατὸν ἡμῖν ἀπελθεῖν. ἐκείνους μὲν οὖν φοβῶν ταῦτα ἔλεγε, τούτοις δὲ τὸν πόθον ἐξάπτων. τοιοῦτός, φησὶν, ἐστὶν ὁ τόπος, ὥστε μὴ μόνον ἐκείνους, ἀλλὰ μηδὲ ὑμᾶς τοὺς φιλτάτους δύνασθαι παραγενέσθαι ἐκεῖ. ἐνταῦθα καὶ τὸ ἀξίωμα τὸ ἑαυτοῦ δείκνυσι· καὶ ὑμῖν λέγω ἄρτι. διὰ τί ἄρτι; ἑτέρως ἐκείνοις, καὶ ἑτέρως ὑμῖν· τουτέστιν, οὐ μετ᾽ ἐκείνων. ποῦ δὲ αὐτὸν ἐζήτησαν οἱ Ἰουδαῖοι, ποῦ δὲ οἱ μαθηταί; οἱ μαθηταὶ μὲν, ὅτε ἔφυγον· οἱ Ἰουδαῖοι δὲ, ὅτε τὰ ἀνήκεστα ἔ-

γρ. πάντα ὑπομιμνήσκει.

παθον

παρὸν δεινὰ καὶ πάντα ὑπερβαίνοντα λόγον, τῆς πόλεως αὐτῆς ἁλούσης, καὶ τῆς θεηλάτου πάντοθεν κατ' αὐτῶν φερομένης ὀργῆς. ἐκείνοις μὲν οὖν τότε ἔλεγε διὰ τὴν ἀπιστίαν, ὑμῖν δὲ νῦν διὰ τὸ μὴ ἀπροσδόκητα ἐπελθεῖν τὰ δεινά.

34 Ἐντολὴν καινὴν δίδωμι ὑμῖν. Ἐπειδὴ γὰρ εἰς θόρυβον αὐτοὺς ἐμπεσεῖν εἰκὸς ἦν ταῦτα ἀκούοντας, ὡς ἐρήμους μέλλοντας ἔσεσθαι, παραμυθεῖται αὐτούς, τὴν πάντων τῶν ἀγαθῶν ῥίζαν καὶ ἀσφάλειαν περιβάλλων αὐτοῖς, τὴν ἀγάπην· ὡσανεὶ ἔλεγεν, ἀλγεῖτε ἀπιόντος ἐμοῦ; ἀλλ', ἐὰν ἀγαπᾶτε ἀλλήλους, ἔσεσθε ἰσχυρότεροι. πῶς οὖν οὐ τοῦτο εἶπεν; ὅτι ὃ τούτου μᾶλλον ὤνησεν αὐτούς, εἶπεν· 35 Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε.

Διὰ γὰρ τούτου ἅμα ἐδήλωσεν, ὅτι οὐ σβεσθήσεται ὁ χορός, ὁπότε καὶ γνώρισμα αὐτοῖς ἔδωκε. τοῦτο δὲ εἶπεν, ὅτε ὁ προδότης αὐτῶν ἀπεσχίσθη. πῶς δὲ αὐτὴν ἐντολὴν λέγει καινήν, τὴν καὶ ἐν τῇ παλαιᾷ κειμένην; αὐτὸς αὐτὴν ἐποίησε καινὴν τῷ τρόπῳ. ἐπήγαγε γοῦν· Καθὼς ἠγάπησα ὑμᾶς. Οὐ γὰρ προϋπηργμένων ὑμῖν κατορθωμάτων ὄφλημα ὑμῖν ἀπέδωκα, ἀλλ' αὐτὸς κατῆρξα, φησίν. οὕτω καὶ ὑμᾶς εὐεργετεῖν τοὺς φιλτάτους χρὴ καὶ μὴ ὀφείλοντας αὐτοῖς. καὶ ἀφεὶς εἰπεῖν τὰ θαύματα, ἃ ἔμελλον ποιεῖν, ἀπὸ τῆς ἀγάπης αὐτοὺς χαρακτηρίζει. τί δήποτε; ὅτι τοῦτο μάλιστά ἐστι τὸ δεικνύον ἀνθρώπους ἁγίους. πάσης γάρ ἐστιν ἀρετῆς ὑπόθεσις. διὰ τούτου μάλιστα καὶ σωζόμεθα πάντες. Τοῦτο γάρ ἐστιν εἶναι, φησί, μαθητήν. οὕτως ὑμᾶς ἅπαντες ἐπαινέσονται, ὅταν ἴδωσιν ὑμᾶς μιμουμένους τὴν ἐμὴν ἀγάπην. τί οὖν; οὐ πολλῷ μᾶλλον τὰ θαύματα δείκνυσι τοῦτο; οὐδαμῶς. πολλοὶ γὰρ ἐροῦσι· Κύριε, οὐκ ἐν τῷ ὀνόματί σου δαιμόνια ἐξεβάλομεν; καὶ πάλιν χαιρόντων αὐτῶν ὅτι τὰ δαιμόνια αὐτοῖς ὑπακούει, φησί· Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει· ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. καὶ μὴν τοῦτο τὴν οἰκουμένην ἐπηγάγετο, ἐπεὶ ἐκεῖνο προῆν. εἰ δὲ μὴ ἦν ἐκεῖνο, οὐδὲ τοῦτο παρέμενε. τοῦτο γοῦν εὐθέως αὐτοὺς ἐποίησε καλοὺς καὶ ἀγαθούς, διὰ τὸ τὴν καρδίαν πάντων καὶ τὴν ψυχὴν εἶναι μίαν. εἰ δὲ διέστησαν ἀπ' ἀλλήλων, ἅπαντα ἂν ἀπολώλει.

Λουκ. ι. κ.

ΗΘΙΚΟΝ

Οὐκ ἐκείνοις δὲ ταῦτα διελέγετο μόνοις, ἀλλὰ καὶ πᾶσι τοῖς μέλλουσι πιστεύειν εἰς αὐτόν. ἐπεὶ καὶ νῦν οὐδὲν ἄλλο ἐστὶ τὸ σκανδαλίζον Ἕλληνας, ἢ τὸ μὴ ἀγάπην εἶναι. ἀλλὰ καὶ τὸ σημεῖα μὴ γίνεσθαι ἐγκαλοῦσι, φησίν. ἀλλ' οὐχ οὕτω. ποῦ δὲ τὴν ἀγάπην ἐπεδείξαντο οἱ ἀπόστολοι; ὁρᾷς Πέτρον καὶ Ἰωάννην ἀδιασπάστως ἔχοντας ἀλλήλων, καὶ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντας; ὁρᾷς Παῦλον οὕτω πρὸς αὐτοὺς διακείμενον, καὶ ἀπορεῖς; εἰ γὰρ τὰ ἄλλα ἐκέκτηντο, πολλῷ μᾶλλον εἶχον τὴν μητέρα τῶν ἀγαθῶν. ἀπὸ γὰρ ψυχῆς ἐναρέτου τοῦτο τὸ πρᾶγμα βλαστάνει· ἔνθα δὲ πονηρία, τοῦτο ξηραίνεται τὸ φυτόν. ὅταν γάρ, φησί, Πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. καὶ Ἕλληνας δὲ οὐχ οὕτως ἐπάγεται σημεῖα, ὡς βίος· βίον δὲ οὐδὲν οὕτως εἶναι ποιεῖ, ὡς ἀγάπη. ἐκεῖνα μὲν γὰρ τοὺς ποιοῦντας πολλάκις καὶ πλάνους ἐκάλεσαν· βίου δὲ ἐπιλαβέσθαι οὐκ ἂν ἔχοιεν καθαροῦ. ὅτε μὲν οὖν οὔπω τὸ κήρυγμα διαδοθὲν ἦν, εἰκότως τὰ σημεῖα ἐθαυμάζετο· νῦν δὲ ἀπὸ βίου χρὴ θαυμάζεσθαι. οὐδὲν γὰρ οὕτως ἐντρέπει Ἕλληνας, ὡς ἀρετή· οὐδὲν σκανδαλίζει, ὡς κακία· καὶ εἰκότως. ὅταν γὰρ ἴδῃ πλεονεκτοῦντα, ἁρπάζοντα, τὰ ἐναντία κελεύοντα, καὶ τοῖς ὁμοφύλοις, ὡς θηρίοις, κεχρημένον τὸν κελευσθέντα καὶ ἐχθροὺς ἀγαπᾶν, λῆρον ἐρεῖ τὰ εἰρημένα. ὅταν ἴδῃ τρέμοντα θάνατον, πῶς δέξεται τοὺς περὶ ἀθανασίας λόγους; ὅταν ἴδῃ φιλαρχοῦντας καὶ τοῖς ἄλλοις δουλεύοντας πάθεσιν, ἀκριβέστερον ἐν τοῖς ἑαυτοῦ μενεῖ δόγμασιν, οὐδὲν μέγα περὶ ἡμῶν φανταζόμενος. ἡμεῖς γάρ ἐσμεν αἴτιοι, ἡμεῖς τοῦ μένειν αὐτοὺς ἐπὶ τῆς πλάνης. τῶν μὲν γὰρ δογμάτων, τῶν παρ' ἑαυτοῖς πάλαι κατέγνωσαν, καὶ τὰ ἡμέτερα δὲ ὁμοίως θαυμάζουσιν· ἐκ τοῦ βίου δὲ ἡμῶν κωλύονται. τὸ μὲν γὰρ διὰ λόγων φιλοσοφῆσαι, εὔκολον (πολλοὶ γὰρ καὶ παρ' αὐτοῖς τοῦτο ἐποίησαν) ἐπιζητοῦσι δὲ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν. ἀλλ' οὐδὲ τοὺς παλαιοὺς

Ματθ. κδ. ιϛ.

παρ' ἡμῖν ἐννοείτωσαν. ἀλλ' οὐδαμῶς πείθουσιν, ἀλλὰ τοὺς νῦν ζῶντας ἐπιζητοῦσιν. δεῖξον γάρ μοι, φησί, τὴν πίστιν διὰ τῶν ἔργων σου. ἀλλ' οὐκ ἔστιν· ἀλλὰ μᾶλλον ὁρῶντες καὶ θηρίου σπαράττοντας ἡμᾶς τοὺς πλησίον, λύμην ἡμᾶς καλοῦσι τῆς οἰκουμένης. ταῦτα Ἕλληνας κατέχει, καὶ οὐκ ἀφίησι πρὸς ἡμᾶς μεταστῆναι. ὥστε ἡμεῖς καὶ τούτων δίκην δώσομεν· οὐχ ὑπὲρ ὧν κακῶς πράττομεν μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ. μέχρι τίνος χρήμασι, καὶ τρυφῇ, καὶ τοῖς ἄλλοις ἐσμὲν προσδεδεμένοι πάθεσιν; ἀποστῶμεν οὖν λοιπόν. ἄκουσον τί φησιν ὁ προφήτης περί τινων ἀνοήτων· Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. ἐπὶ δὲ τῶν παρόντων οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. οὕτω πολλοὶ τὰ τῶν ἀπολύτων περιβάλλονται. οὕτω καὶ αὐτοῖς ὀνειδίζων ἔλεγεν ὁ προφήτης· Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; διὸ καὶ δέδοικα μή τι γένηται χαλεπόν, καὶ πολλὴν ἐπισπασώμεθα τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν. ὅπερ ἵνα μὴ γένηται, τῆς ἀρετῆς ″ ἐπιμελώμεθα πάσης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. κβ. ιγ.

Ησ. ε. η.

γρ. ἐπιλαβώμεθα

Ομιλ. ογ. 37 ΛΕΓΕΙ ΣΙΜΩΝ ΠΕΤΡΟΣ, ΚΥΡΙΕ· ΠΟΥ ΥΠάγεις; ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ὅπου ὑπάγω ἐγώ, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι· ὕστερον δὲ ἀκολουθήσεις μοι.

Μέγα ἀγάπη″, καὶ πυρὸς αὐτοῦ σφοδρότερον, καὶ πρὸς αὐτὸν ἄνεισι τὸν οὐρανόν· ″καὶ οὐδέν ἐστι κώλυμα, ὅπερ αὐτῆς τὴν ῥαγδαίαν ὁρμὴν ἐπισχεῖν δυνήσεται. ὁ γοῦν θερμότατος Πέτρος, ἀκούσας ὅτι ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, τί λέγει; Κύριε, ποῦ ὑπάγεις; τοῦτο δὲ εἶπεν, οὐχ οὕτω μαθεῖν βουλόμενος, ὡς ἀκολουθῆσαι ἐπιθυμῶν. φανερῶς μὲν οὖν εἰπεῖν, ὅτι ἔρχομαι, οὐκ ἐτόλμησέ πως· φησὶ δὲ ποῦ ὑπάγεις; ὁ Χριστὸς δὲ οὐ πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν διάνοιαν ἀπεκρίνατο. ὅτι γὰρ τοῦτο ἤθελε, δι' ὧν ὁ Χριστὸς εἶπε, δῆλον. τί γάρ φησιν; ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι. ὁρᾷς ὅτι τὸ ἀκολουθῆσαι ἐπεπόθει, καὶ διὰ τοῦτο ἐρωτᾷ; ἀκούσας δὲ, ὅτι ἀκολουθήσεις ὕστερον, οὐδὲ οὕτω τὸν πόθον κατέχει· καίτοι χρηστὰς ἐλπίδας λαβών, ἀλλ' οὕτως ἐπείγεται ὡς εἰπεῖν,

γρ. καλὸν πυρός ἐστι σφοδρότερον, καὶ ὅθεν οὐδὲ ἔσται τι κώλυμα,

38 Διατί οὐ δύναμαί σοι νῦν ἀκολουθῆσαι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.

Ἐπειδὴ γὰρ ἀπεσείσατο τὸν φόβον τῆς προδοσίας, καὶ τῶν γνησίων ἐφάνη καὶ αὐτὸς ὤν, μετὰ παρρησίας δι' ἑαυτοῦ λοιπὸν ἐρωτᾷ, τῶν ἄλλων σιγώντων. τί λέγεις, Πέτρε; εἶπεν, ὅτι οὐ δύνασαι, καὶ σὺ λέγεις, * δύναμαι; οὐκοῦν εἴσῃ διὰ τῆς πείρας αὐτῆς, ὅτι οὐδέν σου ἐστὶν ἡ ἀγάπη, μὴ τῆς ἄνωθεν παρούσης ῥοπῆς. ὅθεν δῆλον, ὅτι καὶ τὸ πταῖσμα ἐκεῖνο, αὐτοῦ κηδόμενος, συνεχώρησεν. ἐβούλετο μὲν γὰρ καὶ διὰ τῶν προτέρων παιδεῦσαι· ἐπειδὴ δὲ ἐπέμενε τῇ σφοδρότητι, αὐτὸς μὲν οὐκ ἐνέβαλεν αὐτὸν, οὔτε ὦσεν ἐπὶ τὴν ἄρνησιν, εἴασε δὲ ἔρημον, ὥστε μαθεῖν τὴν ἑαυτοῦ ἀσθένειαν. εἶπεν, ὅτι δεῖ παραδοθῆναι, καὶ λέγει· Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο. ἐπετιμήθη, καὶ οὐκ ἐπαιδεύθη· ἀλλὰ πάλιν, βουλομένου τοῦ Χριστοῦ νίψαι αὐτοῦ τοὺς πόδας, φησίν· ″οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. ἀκούσας πάλιν, ὅτι οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, λέγει· κἂν πάντες ἀρνήσωνται, ἐγὼ οὐκ ἀρνήσομαι. ἐπεὶ οὖν εἰκὸς ἦν αὐτὸν καὶ εἰς ἀπόνοιαν ἀρθῆναι μελετῶντα ἀντιλέγειν αὐτῷ, παιδεύει λοιπὸν αὐτὸν μὴ ἀντιπίπτειν. τοῦτο γοῦν καὶ ὁ Λουκᾶς αἰνιττόμενος, αὐτόν φησιν εἰρηκέναι· Καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· τουτέστιν, ἵνα μὴ εἰς τέλος ἀπόλῃ, διὰ πάντων

* ὅτι

Ματθ. ις. κβ.

γρ. οὐ μὴ ποιήσεις ὃ ποιεῖς +

Λουκ. κβ. λβ.

κεφ. ιδ.

πάντων ταπεινοφροσύνην αὐτὸν διδάσκων, καὶ τὴν ἀνθρωπίνην ἐλέγχων φύσιν οὐδὲν αὐτὴν καθ' ἑαυτὴν οὖσαν. ἐπειδὴ γὰρ ἡ πολλὴ ἀγάπη ἀντιλογικὸν αὐτὸν ἐποίησε, σωφρονίζει λοιπὸν αὐτόν, ἵνα μὴ καὶ ἐν τοῖς μετὰ ταῦτα τοῦτο πάθῃ, ὅταν τῆς οἰκουμένης τὴν οἰκονομίαν ἀναδέξηται· ἀλλ' ἵνα ἀναμιμνησκόμενος ὧν ἔπαθεν, ἐπιγινώσκῃ ἑαυτόν. καὶ ὅρα σφοδρότητα πτώματος. οὐ γὰρ ἅπαξ καὶ δὶς τοῦτο ἔπαθεν, ἀλλ' οὕτως ἐξέστη, ὡς ἐν βραχεῖ καιρῷ τρίτον εἰπεῖν τὸ ῥῆμα τὸ τῆς ἀρνήσεως· ἵνα μάθῃ, ὅτι οὐχ οὕτως ἠγάπησεν, ὡς ἠγαπήθη. ἀλλ' ὅμως τῷ οὕτω πεσόντι πάλιν λέγει· ἀγαπᾷς με πλέον τούτων; οὕτως οὐκ ἀπὸ ψύξεως, ἀλλ' ἐκ τοῦ γυμνωθῆναι τῆς ἄνωθεν βοηθείας γέγονε. τὴν μὲν οὖν ἀγάπην ἀποδέχεται τοῦ Πέτρου, τὴν δὲ ἐξ αὐτῆς τικτομένην ἀντιλογίαν περικόπτει. Εἰ γὰρ ἀγαπᾷς, ὀφείλεις τῷ ἠγαπημένῳ πείθεσθαι. Εἶπε καὶ σοὶ καὶ τοῖς μετὰ σοῦ, οὐ δύνασαι· τί φιλονεικεῖς; οὐκ οἶδας, τί ποτέ ἐστιν ἀπαγόρευσις Θεοῦ; ἐπειδὴ ἐν τούτῳ μαθεῖν οὐ θέλεις, ὅτι οὐχ οἷόν τε μὴ γενέσθαι ὃ λέγω, ἐν τῇ ἀρνήσει αὐτὸ μαθήσῃ. καίτοι πολύ σοι τοῦτο τότε ἀπιστότερον εἶναι ἐφαίνετο. τοῦτο μὲν γὰρ οὐδὲ ᾔδεις· ἐκείνου δὲ τὴν γνῶσιν αὐτὸς εἶχες ἐν τῇ ψυχῇ. ἀλλ' ὅμως ἐγίνετο τὸ μηδὲ προσδοκηθέν. τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. ἐπειδὴ γὰρ ἤκουσεν, ὅτι μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἐπεπήδησεν εὐθέως, ἀκόρεστος ὢν καὶ τῶν ἄκρων ἐφικέσθαι βουλόμενος. ἀλλ' ὁ Χριστός, δεικνὺς ὅτι αὐτοῦ μόνου ἐστὶ ταῦτα μετ' αὐθεντίας ἐπαγγέλλεσθαι, φησί·

γρ. ἔσται.
γρ. τὸ συνειδὸς
γρ. μὴ
γρ. [illegible]

Ιωαν. ιε. ιγ.

39 Πρὶν ἀλέκτορα φωνῆσαι· Τουτέστι, νῦν. οὐδὲ γὰρ ἦν πολὺ τὸ διάστημα. ἀωρὶ γὰρ τῶν νυκτῶν διελέγετο, καὶ πρώτη καὶ δευτέρα ἦν φυλακὴ διελθοῦσα.

κεφ. ιδ.

1 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. Τοῦτο λέγει, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἀκούσαντας ταράττεσθαι. Εἰ γὰρ ὁ κορυφαῖος καὶ οὕτω διάπυρος πρὶν φωνῆς ἀλέκτορος τρὶς ἀπαρνήσεσθαι ἤκουσε, μεγάλην τινὰ προσδοκᾶν αὐτοὺς περιστάσιν ὑποστήσεσθαι εἰκὸς ἦν, ἱκανὴν καὶ τὰς ἀδαμαντίνους περιτρέψαι ψυχάς. ἐπεὶ οὖν ταῦτα λογιζομένους εἰκὸς ἦν αὐτοὺς καὶ ἐκστῆναι, ὅρα πῶς αὐτοὺς παραμυθεῖται, μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, λέγων· τούτῳ πρώτῳ τῆς θεότητος αὐτοῦ τὴν δύναμιν ἐνδεικνύμενος, ὅτι ἃ κατὰ ψυχὴν εἶχον, ταῦτα οἶδε καὶ εἰς μέσον ἄγει.

γρ. ἀπαρνήσεσθαι

Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε· Τουτέστι, πάντα παρελεύσεται τὰ δεινά. ἡ γὰρ εἰς ἐμὲ πίστις καὶ τὸν γεγεννηκότα, δυνατωτέρα τῶν ἐπιόντων ἐστί, καὶ οὐδὲν ἐάσει κρατῆσαι τῶν δυσχερῶν. Εἶτα ἐπάγει·

2 Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. Ὥσπερ τὸν Πέτρον ἀλύοντα παραμυθεῖται λέγων, ἀκολουθήσεις δὲ ὕστερον· οὕτω καὶ τούτοις ταύτην τὴν ἐλπίδα ὑποφαίνει. ἵνα γὰρ μὴ νομίσωσιν ἐκείνῳ μόνῳ τὴν ἐπαγγελίαν δεδόσθαι, φησίν· ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. Εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν·

γρ. πορεύσομαι

Τουτέστιν, ὅτι καὶ ὑμᾶς ἐκεῖνος ὁ χῶρος δέξεται ὁ καὶ τὸν Πέτρον. ἀφθονία γὰρ ἐκεῖ πολλὴ καταγωγίων, καὶ οὐκ ἔνι εἰπεῖν ὅτι ἑτοιμασίας δεῖται. ἐπειδὴ γὰρ εἶπεν, οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι, ἵνα μὴ νομίσωσιν εἰς τέλος ἐκκεκόφθαι, ἐπήγαγεν·

γρ. τοῦτ' εἶπε, καὶ ἐπάγει·

3 Ἵνα, ὅπου ἐγώ εἰμι, καὶ ὑμεῖς ἐκεῖ ἦτε. Τοσαύτην ὑπὲρ τοῦ πράγματος τούτου πεποίημαι τὴν σπουδήν, ὅτι ἤδη ἂν τούτου ἐγενόμην, εἰ μὴ πάλαι ὑμῖν προεσκεύαστο, δεικνὺς ὅτι σφόδρα αὐτοὺς χρὴ θαρρεῖν καὶ πεποιθέναι. Εἶτα, ἵνα μὴ δόξῃ, ὥσπερ ψυχαγωγῶν αὐτούς, λέγειν, ἀλλὰ πιστεύσωσιν ὅτι οὕτως ἐστίν, ἐπάγει·

γρ. ἐνταῦθα δείκνυσιν
γρ. τοῦτο

4 Καὶ ὅπου ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Ὁρᾷς πῶς δίδωσιν αὐτοῖς ἀπόδειξιν τοῦ μὴ ἁπλῶς ταῦτα εἰρῆσθαι; τοῦτο δὲ λέγει, ἐπειδὴ συνῄδει αὐτῶν τὴν ψυχὴν τοῦτο λοιπὸν ζητοῦσαν μαθεῖν. ὁ μὲν γὰρ Πέτρος, οὐχ ὑπὲρ τοῦ μαθεῖν, ἀλλ' ὥστε ἀκολουθῆσαι, ἔλεγεν ὅπερ ἔλεγεν. ἐπειδὴ δὲ ἐπετιμήθη ἐκεῖνος, καὶ ὃ τέως ἀδύνατον ἐδόκει εἶναι, δυνατὸν αὐτὸς ἀπεφήνατο, ἀδύνατον δὲ φανὲν εἰς ἐπιθυμίαν αὐτὸν ἤγαγε τοῦ γνῶναι μετ' ἀκριβείας αὐτό.

γρ. ἐκεῖνο δὲ εἶπεν, ἐπεὶ συνῄδει.
γρ. ἔδειξεν,

αὐτό. διὰ τοῦτο τούτοις φησί· καὶ τὴν ὁδὸν οἴδατε. ὥσπερ γὰρ εἶπεν, ἀπαρνήσῃ με, μηδενὸς μηδὲν προφθεγξαμένου, ἀλλὰ τὰ ἐν τῇ καρδίᾳ ἐρευνῶν, ἔλεγε· μὴ ταραττέσθε· οὕτω καὶ ἐνταῦθα εἰπὼν, ὅτι οἴδατε, τὴν ἐπιθυμίαν ἐδήλου τὴν ἐν τῇ διανοίᾳ αὐτῶν, καὶ αὐτὸς αὐτοῖς δίδωσι πρόφασιν τοῦ ἐρωτῆσαι. τὸ δὲ, ποῦ ὑπάγεις, Πέτρος μὲν ἀπὸ φιλοστοργίας ″πολλῆς, Θωμᾶς δὲ ἀπὸ δειλίας λέγει.

γρ. φη

5 Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις. Τὸν τόπον οὐκ ἴσμεν, φησί· καὶ τὴν ἐκεῖ φέρουσαν ὁδὸν πῶς εἰσόμεθα; καὶ ὅρα μεθ' ὅσης ὑποστολῆς. οὐ γὰρ εἶπεν, εἰπὲ ἡμῖν τὸν τόπον· ἀλλ', οὐκ οἴδαμεν ποῦ ὑπάγεις. τοῦτο γὰρ πάλαι πάντες μαθεῖν ὤδινον. εἰ γὰρ Ἰουδαῖοι διηπόρουν ἀκούοντες, καίτοιγε ἀπαλλαγῆναι αὐτοῦ βουλόμενοι, πολλῷ μᾶλλον οἱ μηδέποτε αὐτοῦ χωρισθῆναι βουλόμενοι μαθεῖν ἤθελον. ἐδεδοίκεισαν μὲν οὖν αὐτὸν ἐρωτῆσαι· ἐρωτῶσι δὲ ὅμως ″ἀπό τε τοῦ πολλοῦ πόθου καὶ τῆς ἀγωνίας. τί οὖν ὁ ″Χριστός;

γρ. ὑπὸ τοῦ
γρ. Κύριος;

6 Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. Τί οὖν οὐκ εὐθέως ἐρωτηθεὶς παρὰ τοῦ Πέτρου, ποῦ ὑπάγεις, εἶπεν, ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, ὑμεῖς δὲ οὐ δύνασθε ἐλθεῖν νῦν· ἀλλὰ τοσούτων ἐνέβαλε λόγων περίοδον, ἐρωτήσεις καὶ ἀποκρίσεις συντιθείς; Ἰουδαίοις μὲν γὰρ εἰκότως τοῦτο οὐκ ἔλεγε· τούτοις δὲ διατί; εἶπε μὲν καὶ τούτοις καὶ Ἰουδαίοις, ὅτι ἐκ τοῦ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει· καὶ νῦν δὲ αὐτὸ λέγει σαφέστερον ἢ πρότερον. ἄλλως δὲ, καὶ Ἰουδαίοις μὲν σαφῶς οὕτως οὐκ εἶπεν. εἰ γὰρ εἶπεν, ὅτι οὐ δύνασθε πρὸς τὸν πατέρα ἐλθεῖν, εἰ μὴ δι' ἐμοῦ, εὐθέως ἂν τῦφον τὸ πρᾶγμα ἐνόμισαν· νῦν δὲ ἀποκρύψας, εἰς ἀγωνίαν αὐτοὺς ἐνέβαλε. ″καὶ τοῖς μαθηταῖς δὲ τίνος ἕνεκεν οὕτως εἶπε, φησι, καὶ τῷ Πέτρῳ; ᾔδει αὐτοῦ τὴν πολλὴν προθυμίαν, καὶ ὅτι μᾶλλον ἐντεῦθεν ἐπικείσεται ἐνοχλῶν. ὥστε οὖν αὐτὸν ἀπαγαγεῖν, κρύπτει. κατορθώσας δὲ ὅπερ ἐβούλετο διὰ τῆς ἀσαφείας καὶ τοῦ κρύψαι τὸν λόγον, πάλιν αὐτὸ ἐκκαλύπτει. εἰπὼν γὰρ, ὅτι ὅπου εἰμὶ, οὐδεὶς δύναται ἐλθεῖν, ἐπήγαγεν, ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσι· καὶ πάλιν, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. τοῦτο οὖν οὐκ ἐβούλετο αὐτοῖς παρὰ τὴν ἀρχὴν εἰπεῖν, ὥστε μὴ εἰς πλείονα ἀθυμίαν ἐμβαλεῖν· ἐπειδὴ δὲ αὐτοὺς κατεπράϋνε, τότε λέγει. ἀπὸ γὰρ τῆς ἐπιτιμήσεως τοῦ Πέτρου τὸ πολὺ τῆς ἀθυμίας ″ἐξέβαλεν, εἰς φόβον ″τε ἐμπεσόντες μήποτε τὰ αὐτὰ ἀκούσωσι, κατεστέλλοντο μᾶλλον. ἐγώ εἰμι ἡ ὁδός. ″τοῦτο ἀπόδειξις τοῦ, οὐδεὶς ἔρχεται, εἰ μὴ δι' ἐμοῦ· τὸ δὲ, καὶ ἀλήθεια καὶ ἡ ζωὴ τοῦ, ὅτι πάντως ταῦτα ἔσται. οὐδὲν τοίνυν παρ' ἐμοῦ ψεῦδος, εἰ ἀλήθεια· εἰ δὲ καὶ ζωή, οὔτε αὐτὸς ὁ θάνατος ὑμᾶς κωλῦσαι δυνήσεται ἐλθεῖν. ἄλλως δὲ, εἰ ἐγώ εἰμι ἡ ὁδὸς, οὐ δεήσεσθε τοῦ χειραγωγοῦντος· εἰ δὲ καὶ ἡ ἀλήθεια, οὐ ψεῦδος τὰ λεγόμενα· εἰ δὲ καὶ ζωή, κἂν ἀποθάνητε, τεύξεσθε τῶν εἰρημένων. τὸ μὲν οὖν τῆς ὁδοῦ καὶ συνῆκαν καὶ ὡμολόγησαν· τὰ δὲ λοιπὰ ἠγνόουν. οὐ μὴν ἐτόλμων εἰπεῖν ἅπερ ἠγνόουν· ἀλλ' ὅμως πολλὴν ἀπὸ τῆς ὁδοῦ τὴν παραμυθίαν ἔλαβον. εἰ ″τοίνυν ἐγὼ κύριός εἰμι, φησι, τοῦ πρὸς τὸν πατέρα ἀγαγεῖν, πάντως ἥξετε ἐκεῖ. οὐδὲ γάρ ἐστιν ἑτέραν ἐλθεῖν ὁδόν. εἰπὼν δὲ ἔμπροσθεν, οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν· καὶ πάλιν, ἐὰν ἐγὼ ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· καὶ νῦν πάλιν, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ, δείκνυσιν ἴσον ἑαυτὸν τῷ γεγεννηκότι. πῶς δὲ εἰπὼν, ὅποι ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε, ἐπήγαγεν· 7 Εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν, καὶ ἀπάρτι γνώσεσθε αὐτὸν, καὶ ἑωράκατε αὐτόν; Οὐχὶ ἐναντιολογῶν. ᾔδεσαν μὲν γὰρ αὐτὸν, οὐχ οὕτω δὲ, ὡς ἐχρῆν. Θεὸν μὲν γὰρ ᾔδεσαν, πατέρα δὲ οὐδέπω. ὕστερον γὰρ τὸ πνεῦμα ἐπελθὸν πᾶσαν ἐν αὐτοῖς κατεσκεύασε τὴν γνῶσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ ᾔδειτε τὴν ἐμὴν οὐσίαν καὶ τὴν ἀξίαν, καὶ τὴν τοῦ πατρὸς ᾔδειτε. καὶ ἀπάρτι γνώσεσθε αὐτὸν, καὶ ἑωράκατε αὐτὸν (τὸ μὲν μέλλοντος, τὸ δὲ παρόντος) τουτέστιν, δι' ἐμοῦ. ὄψιν δὲ λέγει, τὴν κατὰ

διάνοιαν

γρ. τοῖς δὲ μαθηταῖς τίνος
γρ. ἐξέκοψεν,
γρ. γὰρ
γρ. τουτέστιν, ὅτι δι' ἐμοῦ ἔρχεσθε· τὸ δὲ, καὶ ἀλήθεια, ὅτι
γρ. γὰρ

διάνοιαν γνῶσιν. τοὺς μὲν γὰρ ὁρωμένους δυνάμεθα καὶ ὁρᾶν καὶ ἀγνοεῖν· τοὺς δὲ γινωσκομένους οὐ δυνάμεθα γινώσκειν καὶ ἀγνοεῖν. διὰ τοῦτό φησι, καὶ ἑωράκατε αὐτόν· ὥσπερ φησὶν, ὤφθη καὶ ἀγγέλοις. καίτοιγε οὐκ αὐτὴ ἡ οὐσία ὤφθη· ἀλλ' ὅμως φησὶν ὦφθαι δηλαδὴ, ὡς ἐκείνοις ἰδεῖν δυνατόν. ″οὕτω δὲ εἴρηται, ἵνα μάθῃς ὅτι ὁ αὐτὸν ἑωρακὼς, τὸν γεγεννηκότα οἶδεν. ἐθεάσαντο δὲ αὐτὸν οὐ γυμνῇ τῇ οὐσίᾳ, ἀλλὰ σάρκα περιβεβλημένον. οἶδε δὲ ἀλλαχοῦ καὶ τὴν ὄψιν γνῶσιν λέγειν· ὡς ὅταν λέγῃ, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. καθαροὺς δὲ, οὐχὶ τοὺς πορνείας ἀπηλλαγμένους, ἀλλὰ τοὺς πάντων ἁμαρτημάτων φησί. πᾶσα γὰρ ἁμαρτία ῥύπον ἐντίθησι τῇ ψυχῇ.

γρ. δεικνὺς ὅτι αὐτὸν

Ματθ. ε. η.

Πάντα τοίνυν πράττωμεν, ὥστε ἀποσμῆξαι τὴν ῥυπαρίαν. ἀποσμήχει δὲ πρῶτον τὸ λουτρόν· ὕστερον δὲ καὶ ἕτεραι ὁδοὶ πολλαὶ καὶ παντοδαπαί. φιλάνθρωπος γὰρ ὢν ὁ Θεὸς, καὶ μετὰ ταῦτα ἔδωκεν ἡμῖν ὁδοὺς ποικίλας ἀπαλλαγῆς· ὧν πρώτη πασῶν ἐστὶν ἡ διὰ τῆς ἐλεημοσύνης. Ἐλεημοσύναις γὰρ, φησὶ, καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. ἐλεημοσύνην δὲ οὐ τὴν ἐξ ἀδικίας λέγω. τοῦτο γὰρ οὐδὲ ἐλεημοσύνη, ἀλλ' ὠμότης καὶ ἀπανθρωπία. τί γὰρ ὄφελος ἐκδῦσαι ἕτερον, καὶ ἐνδῦσαι ἕτερον; ἀπὸ γὰρ οἴκτου τοῦ πράγματος ἄρχεσθαι δεῖ. τοῦτο δὲ ἀπανθρωπία. κἂν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν, οὐδὲν κέρδος ἡμῖν. καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησεν ἐξιλεοῦσθαι τὸν Θεὸν, δοὺς τῶν ἀφαιρεθέντων τετραπλασίονα. ἡμεῖς δὲ μυρία ἁρπάζοντες, καὶ ὀλίγα διδόντες, νομίζομεν ἵλεων ποιεῖν τὸν Θεὸν, ″οὐκ εἰδότες ὅτι μᾶλλον αὐτὸν παροξύνομεν. εἰπὲ γάρ μοι· εἴγε ὄνον νεκρὸν καὶ σεσηπότα ἀπὸ τῆς τριόδου καὶ τῶν ἀμφόδων ἑλκύσας ἐπὶ τὸ θυσιαστήριον ἔφερες, ἆρα οὐκ ἂν ἅπαντές σε κατέλευσαν, ὡς ἐναγῆ καὶ ″μυσαρόν; τί οὖν, ἐὰν ἐλέγξω ὅτι ἡ θυσία ἡ ἐξ ἁρπαγῆς μυσαρωτέρα τούτου, ποίας τευξόμεθα ἀπολογίας; θῶμεν γάρ τι κειμήλιον γεγενῆσθαι ἐξ ἁρπαγῆς· οὐχὶ ὄνου τεθνηκότος μᾶλλον ὄδωδε; βούλει μαθεῖν πόση τῆς ἁμαρτίας ἡ σηπεδών ἐστιν; ἄκουσον τοῦ προφήτου λέγοντος· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. σὺ δὲ διὰ μὲν ῥήματος τὸν Θεὸν ἀξιοῖς ἐπιλαθέσθαι ὧν ποιεῖς κακῶν· αὐτὸς δὲ δι' ὧν ποιεῖς ἁρπάζων καὶ πλεονεκτῶν, καὶ παρασκευάζεις μεμνῆσθαι διηνεκῶς, ἐπιτιθεὶς σου τὴν ἁμαρτίαν ἐπὶ τὸ θυσιαστήριον. νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἁμάρτημα, ἀλλὰ καὶ τὸ τούτου χαλεπώτερον, ὅτι τὰς τῶν ἁγίων μολύνεις ψυχάς. τοῦτο μὲν γὰρ λίθος ἐστὶ καὶ ἁγιάζεται· ἐκεῖναι δὲ διὰ παντὸς αὐτὸν φέρουσι τὸν Χριστόν· καὶ τολμᾷς ἐκεῖ πέμπειν ἀπὸ τοιαύτης ἀκαθαρσίας; οὐχὶ, φησίν· οὐκ αὐτὰ τὰ χρήματα, ἀλλ' ἕτερα. γέλως ταῦτα καὶ λῆρος. οὐκ οἶδας, ὅτι κἂν εἰς πολὺ πλῆθος χρημάτων τῆς ἀδικίας ἐμπέσῃ ῥανὶς, πάντα μολύνεται; καθάπερ οὖν εἰς πηγὴν καθαρὰν κόπρον τις ἐμβαλὼν, πᾶσαν αὐτὴν ἀκάθαρτον εἰργάσατο· οὕτω καὶ ἐν πλούτῳ πλεονεξία τις εἰσελθοῦσα, πάντα ἀποπνεῖν ποιεῖ τῆς ἐκεῖθεν δυσωδίας. εἶτα χεῖρας μὲν νιπτόμεθα εἰς ἐκκλησίαν εἰσιόντες· τὴν δὲ καρδίαν οὐκέτι. μὴ γὰρ αἱ χεῖρες φωνὴν ἀφιᾶσιν; ἡ ψυχὴ″ προσφέρει τὰ ῥήματα· εἰς ἐκείνην ὁ Θεὸς καθορᾷ. οὐδὲν δεῖ τῆς τοῦ σώματος καθαρότητος, ἐκείνης μεμολυσμένης. τί γὰρ ὄφελος, ἂν τὰς ἔξωθεν μὲν χεῖρας ἀποσμήξῃς, τὰς δὲ ἔνδον ἀκαθάρτους ἔχῃς; τὸ γὰρ δεινὸν καὶ πάντα ἀνατρέπον τοῦτό ἐστιν, ὅτι τὰ μικρὰ δεδοικότες, τῶν μεγάλων καταφρονοῦμεν. τὸ μὲν οὖν ἀνίπτοις χερσὶν εὔξασθαι, ἀδιάφορον· τὸ δὲ ἀνίπτῳ διανοίᾳ, τοῦτο ἔστι τὸ πάντων ἔσχατον τῶν κακῶν. ″ἄκουσον καὶ Ἰουδαίοις τοῖς περὶ τὰς τοιαύτας ἀκαθαρσίας ἠσχολημένοις τί ″εἴρηται; Ἀπόπλυναι ἀπὸ κακίας τὴν καρδίαν σου· ἕως πότε ἔσονταί σοι διαλογισμοὶ πόνων σου; ἀποπλύνωμεν ″καὶ ἡμεῖς, μὴ βορβόρῳ, ἀλλ' ὕδατι καθαρῷ, ἐλεημοσύνῃ, καὶ μὴ πλεονεξίᾳ. πρῶτον ἀπαλλάγηθι τοῦ ἁρπάζειν, καὶ τότε ἐπίδειξαι τὴν ἐλεημοσύνην. Ἐκκλίνωμεν ἀπὸ κακοῦ, καὶ ποιήσωμεν ἀγαθόν. στῆσον τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ οὕτως αὐτὰς ἐπὶ τὴν ἐλεημοσύνην ἄγε. ἂν δὲ ταῖς αὐταῖς ἄλλους ἀποδύωμεν, εἰ καὶ μὴ τοῖς ἐξ ἐκείνων″ ἀφῃρημένοις ἐνδύωμεν,

ΗΘΙΚΟΝ

Σειρ. γ. λθ.

Λουκ. ιθ. η.

γρ. καίτοιγε μᾶλλον αὐτὸ

γρ. μιαρόν;

Ψαλμ. λζ. ε.

γρ. προσφέρει

γρ. διὰ τοῦτο καὶ

γρ. φησιν;

Ιερ. δ. ιδ.

γρ. πίνωμεν μὴ

Ψαλμ. λς. κζ.

γρ. διδομένοις

οὐδὲ οὕτω διαφευξόμεθα τὴν κόλασιν. ἡ γὰρ ὑπόθεσις τοῦ ἱλασμοῦ, πάσης πλημμελείας ὑπόθεσις γέγονε. τοῦ γὰρ οὕτως ἐλεεῖν τὸ μὴ ἐλεεῖν κρεῖττον. ἐπεὶ καὶ τῷ Καΐν βέλτιον ἦν μηδὲ ὅλως προσενεγκεῖν. εἰ δὲ ὁ τὰ ἐλάττω κομίσας, τὸν Θεὸν παρώξυνεν, ὁ τὰ ἀλλότρια διδοὺς, πῶς οὐ παροξυνεῖ; ἐγώ σοι εἶπον, φησὶ, μὴ ἁρπάζειν, καὶ σύ με δι' αὐτῶν τιμᾷς; τί νομίζεις; ὅτι ἥδομαι τούτοις; οὐκοῦν ἐρεῖ πρὸς σὲ, Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. ἀλλὰ μὴ γένοιτο μηδένα ταύτης ἀκοῦσαι τῆς φωνῆς, ἀλλ' ἐλεημοσύνην καθαρὰν ἐργασαμένους, καὶ λαμπρὰς τὰς λαμπάδας ἔχοντας, οὕτως εἰς τὸν νυμφῶνα εἰσελθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. μθ. κα.

Ὁμιλ. οδ. 8 ΛΕΓΕΙ ΑΥΤΩ ΦΙΛΙΠΠΟΣ, ΚΥΡΙΕ· ΔΕΙΞΟΝ ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.. 9 Λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα.

Ἱερ. γ. γ.

Ὁ μὲν προφήτης ἔλεγεν Ἰουδαίοις· Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. ὡς ἔοικε δὲ οὐκ ἐκείνῃ τῇ πόλει δίκαιον μόνον ταῦτα εἰπεῖν, ἀλλὰ καὶ τοῖς ἀναισχύντως πρὸς τὴν ἀλήθειαν ἀντιβλέπουσι. τοῦ γὰρ Φιλίππου πρὸς τὸν Χριστὸν εἰπόντος, δεῖξον ἡμῖν τὸν πατέρα σου, φησί· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; καὶ ὅμως τινές εἰσι καὶ μετὰ τὰ ῥήματα ταῦτα ἀποσχίζοντες τοῦ γεγεννηκότος τὸν υἱόν. καίτοι ποίαν μείζω ταύτης ζητεῖς ἐγγύτητα; τινὲς γὰρ ἐκ τῆς ῥήσεως ταύτης καὶ εἰς τὴν Σαβελλίου νόσον ἐνέπεσον. ἀλλὰ καὶ τούτους καὶ ἐκείνους ἀφέντες ἡμεῖς, ὡς ἐκ διαμέτρου παρανομοῦντας, ἴδωμεν τῶν εἰρημένων τὴν ἀκρίβειαν. τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε, φησί; τί γάρ; σὺ εἶ ὁ πατὴρ, ὃν ἐπιζητῶ; οὐχὶ, φησί. διὰ τοῦτο οὐδὲ εἶπεν, οὐκ ἔγνωκας αὐτόν· ἀλλ', οὐκ ἔγνωκάς με, οὐδὲν ἄλλο ἐμφαίνων, ἢ ὅτι οὐδὲν ἕτερόν ἐστιν ὁ υἱὸς, ἢ τοῦτο ὅπερ ἐστὶν ὁ πατὴρ, μένων ἐν τῷ εἶναι υἱός. πόθεν δὲ ἐπὶ τοῦτο ἦλθεν ὁ Φίλιππος; ἔλεγεν, Εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν· καὶ τοῖς Ἰουδαίοις πολλάκις εἶπε τοῦτο. ἐπεὶ οὖν ἠρώτησεν αὐτὸν ὁ Πέτρος πολλάκις, καὶ Ἰουδαῖοι, τίς ἐστιν ὁ πατὴρ, ἠρώτησεν δὲ αὐτὸν καὶ Θωμᾶς, καὶ οὐδεὶς οὐδὲν ἔμαθε σαφὲς, ἀλλ' ἔτι ἠγνοεῖτο τὰ λεγόμενα, ἵνα μὴ δόξῃ προσκορὴς εἶναι ὁ Φίλιππος καὶ διενοχλεῖν αὐτὸν μετὰ τῶν Ἰουδαίων ἐρωτῶν καὶ αὐτὸς, δεῖξον ἡμῖν τὸν πατέρα σου, ἐπήγαγε, καὶ ἀρκεῖ ἡμῖν· οὐδὲν πλέον ζητοῦμεν. καίτοι ὁ Χριστὸς ἔλεγεν, Εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν, καὶ δι' ἑαυτοῦ τὸν πατέρα ἐδήλου· ὁ δὲ ἀντέστρεψε τὴν τάξιν, καὶ φησὶ, τὸν πατέρα δεῖξον, ὡς αὐτὸν εἰδὼς ἀκριβῶς. ἀλλ' οὐκ ἀνέχεται αὐτοῦ ὁ Χριστὸς, ἀλλ' ἐπὶ τὴν ὁδὸν αὐτὸν ἵστησι, δι' αὐτοῦ τὸν πατέρα μανθάνειν πείθων. αὐτὸς δὲ τοῖς τοῦ σώματος ὀφθαλμοῖς τούτοις ἐβούλετο ἰδεῖν, ἴσως περὶ τῶν προφητῶν ἀκούων, ὅτι εἶδον τὸν Θεόν. ἀλλὰ συγκατάβασις ἦν ἐκεῖνα, ὦ Φίλιππε. διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· Θεὸν οὐδεὶς ἑώρακε πώποτε· καὶ πάλιν, Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Θεοῦ καὶ μαθὼν, ἔρχεται πρός με· Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε· καὶ ἐν τῇ παλαιᾷ, Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται. τί οὖν ὁ Χριστός; σφόδρα ἐπιτιμητικῶς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; καὶ οὐκ εἶπεν, οὐκ εἶδές με, ἀλλ' οὐκ ἔγνωκάς με. μὴ γὰρ σὲ βούλομαι, φησὶ, μαθεῖν; τὸν πατέρα σου ἰδεῖν ζη-

τῶ

Ἰω. ιδ. ζ.

Ἰωαν. α. ιη.
Ἰωαν. ς. με.
Ἰωαν. ε. λζ.
Ἐξοδ. λγ. κ.

τῷ υἱῷ· σὺ δέ μοι λέγεις, οὐκ ἔγνωκάς με; ποίαν οὖν ἀκολουθίαν ἔχει τοῦτο; πολλὴν μὲν οὖν. ἐπειδὴ γὰρ τοῦτό ἐστιν, ὅπερ ἐστὶν ὁ πατὴρ, μένων υἱὸς, εἰκότως ἐν αὐτῷ δείκνυσι τὸν γεγεννηκότα. εἶτα διαιρῶν τὰς ὑποστάσεις, φησίν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· ἵνα μή τις εἴπῃ, ὅτι αὐτὸς πατὴρ, αὐτὸς υἱός. εἰ γὰρ αὐτὸς ἦν ὁ πατὴρ, οὐκ ἂν εἶπεν, ὁ ἑωρακὼς ἐμὲ, ἐκεῖνον ἑώρακε. πῶς δὲ οὐκ εἶπεν αὐτῷ, ἀδύνατα αἰτεῖς, καὶ οὐ κατὰ ἄνθρωπον; ἐμοὶ γὰρ μόνῳ τοῦτο δυνατόν. ἐπειδὴ εἶπεν, ἀρκεῖ ἡμῖν, ὡς αὐτὸν εἰδὼς, δείκνυσιν ὅτι οὐδὲ αὐτὸν ἑώρακεν. ἦ γὰρ ἂν κἀκεῖνον εἶδεν, εἰ καὶ αὐτὸν ἠδυνήθη. διόπερ ἔλεγεν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. εἴ τις ἐμὲ εἶδε, κἀκεῖνον ὄψεται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οὔτε ἐμὲ, οὔτε ἐκεῖνον δυνατόν ἐστιν ἰδεῖν. ὁ γὰρ Φίλιππος τὴν δι' ὄψεως ἐζήτει γνῶσιν. καὶ ἐπειδὴ αὐτὸν μὲν ἑωρακέναι ἐνόμιζεν, ἐβούλετο δὲ καὶ τὸν πατέρα οὕτως ἰδεῖν, δείκνυσιν ὅτι οὐδὲ αὐτὸν εἶδεν. εἰ δὲ λέγοι τις ὄψιν ἐνταῦθα τὴν γνῶσιν, οὐδὲ τοῦτο ἀντιλέγω· ὁ γὰρ ἐμὲ γνοὺς, φησὶν, ἔγνω τὸν πατέρα. ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλὰ τὸ ὁμοούσιον παραστῆσαι βουλόμενος εἶπεν, ὁ τὴν ἐμὴν οὐσίαν εἰδὼς, οἶδε καὶ τὴν τοῦ πατρός. καὶ τί τοῦτό φησι; καὶ γὰρ ὁ τὴν κτίσιν εἰδὼς, οἶδε καὶ τὸν Θεόν. καίτοι πάντες ἴσασι τὴν κτίσιν καὶ ἑωράκασι· τὸν δὲ Θεὸν οὐκ ἴσασι πάντες. ἄλλως δὲ, ἴδωμεν τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν. ἆρα τὴν σοφίαν τοῦ πατρός; ἆρα τὴν ἀγαθότητα; οὐχί· ἀλλὰ αὐτὸ τὸ τί ποτέ ἐστιν ὁ Θεὸς, αὐτὴν τὴν οὐσίαν. πρὸς τοῦτο οὖν ἀποκρίνεται ὁ Χριστός, ὁ ἑωρακὼς ἐμέ. ὁ δὲ τὴν κτίσιν ἰδὼν, οὐχὶ καὶ τοῦ Θεοῦ τὴν οὐσίαν εἶδεν. εἴ τις εἶδεν ἐμὲ, τὸν πατέρα μου εἶδε, φησίν· εἰ δὲ ἑτέρας οὐσίας ἦν, οὐκ ἂν τοῦτο εἶπεν. ἵνα δὲ καὶ παχυτέρου ἅψωμαι λόγου, οὐδεὶς χρυσὸν ἀγνοῶν, ἐν ἀργύρῳ τοῦ χρυσίου τὴν οὐσίαν ἰδεῖν δύναται. οὐ γὰρ ἄλλη δι' ἄλλης φαίνεται φύσις. διὰ τοῦτο καὶ καλῶς ἐπετίμησεν εἰπὼν, τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι· τοσαύτης ἀπέλαυσας διδασκαλίας, εἶδες σημεῖα μετ' αὐθεντίας, καὶ πάντα ἅπερ θεότητος ἦν ἴδια, καὶ ἃ ὁ πατὴρ μόνος ἐργάζεται, ἁμαρτήματα λυόμενα, ἀπόρρητα εἰς μέσον ἀγόμενα, θάνατον ἀναχωροῦντα, δημιουργίαν ἀπὸ γῆς γινομένην, καὶ οὐκ ἔγνωκάς με; ἐπειδὴ γὰρ σάρκα περιέκειτο, διὰ τοῦτο εἶπεν, οὐκ ἔγνωκάς με. εἶδες τὸν πατέρα· μὴ ζήτει πλέον ἰδεῖν. ἐν ἐκείνῳ γάρ με ἑώρακας. εἰ εἶδές με, μηδὲν περιεργάζου. καὶ γὰρ ἐν ἐμοὶ ἐκεῖνον ἔγνως.

γ. τοῦτο

10 Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρί; Τουτέστιν, ἐν ἐκείνῃ τῇ οὐσίᾳ φαίνομαι.

Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. Εἶδες ἐγγύτητος ὑπερβολὴν, καὶ μιᾶς οὐσίας ὑπόδειγμα; ὁ δὲ πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. πῶς ἀπὸ ῥημάτων ἀρξάμενος ἐπὶ τὰ ἔργα ἦλθε; τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν, αὐτὸς λαλεῖ τὰ ῥήματα· ἀλλὰ δύο τίθησιν ἐνταῦθα, περὶ διδασκαλίας καὶ σημείων· ἢ ἐπειδὴ καὶ τὰ ῥήματα ἔργα ἦν. πῶς οὖν αὐτὸς ποιεῖ; καὶ μὴν ἀλλαχοῦ φησιν· εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. πῶς οὖν ἐνταῦθα τὸν πατέρα φησὶ ποιεῖν; τὸ αὐτὸ τοῦτο δηλῶν, ὅτι οὐδὲν μέσον πατρὸς καὶ υἱοῦ. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἂν ἄλλως ἐποίησεν ὁ πατὴρ, καὶ ἄλλως ἐγώ. καὶ μὴν ἀλλαχοῦ καὶ αὐτὸς καὶ ὁ πατὴρ ἐργάζεται, λέγων· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ἐκεῖ μὲν τὸ ἀπαράλλακτον τῶν ἔργων, ἐνταῦθα δὲ τὸ ταὐτὸν ἐνδεικνύμενος. εἰ δὲ ἡ πρόχειρος τῶν λέξεων ἔμφασις ταπεινότητα ἐμφαίνει, μὴ θαυμάσῃς. πρότερον γὰρ εἰπὼν, οὐ πιστεύεις, τότε τοῦτο ἐφθέγξατο, δεικνὺς, ὅτι ὑπὲρ τοῦ εἰς πίστιν αὐτὸν ἀγαγεῖν οὕτως ἐσχημάτισε τὰ ῥήματα. τὰς γὰρ καρδίας αὐτῶν ἐνεβάτευε.

Ιωαν. ε. ιζ.

γ. πιστευσ.

11 Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί; Ἔδει μὲν ὑμᾶς ἀκούοντας πατέρα καὶ υἱὸν, μηδὲν ἕτερον ζητεῖν εἰς παράστασιν τῆς κατὰ τὴν οὐσίαν συγγενείας. εἰ δὲ ὑμῖν οὐκ ἀρκεῖ τοῦτο πρὸς τὸ δεῖξαι τὸ ὁμότιμον καὶ ὁμοούσιον, κἂν ἀπὸ τῶν ἔργων μάθετε. καὶ τὸ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα μου, εἰ περὶ ἔργων ἐλέγετο, οὐκ ἂν ὕστερον εἶπεν·

γ. καὶ

Εἰ δὲ μὴ, διὰ τὰ ἔργα πιστεύετέ μοι. Εἶτα δεικνὺς, ὅτι οὐ ταῦτα δύναται μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ τούτων μείζονα, μεθ' ὑπερβολῆς αὐτὰ τίθησιν. οὐ γὰρ λέγει, ὅτι καὶ μείζονα τούτων δύναμαι ποιῆσαι· ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, καὶ ἑτέροις δύναμαι δοῦναί, φησι, καὶ μείζονα ποιῆσαι τούτων.

12 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι πρὸς τὸν πατέρα πορεύομαι· Τουτέστιν, ὑμῶν ἐστι λοιπὸν τὸ θαυματουργεῖν, ἐγὼ γὰρ ἀπέρχομαι. Εἶτα, ἐπειδὴ ἤνυσεν ὅπερ ὁ λόγος ἐβούλετό, φησιν·

13 Ὅτι ὃ ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου [λήψεσθε, καὶ ἐγὼ] τοῦτο ποιήσω, ἵνα ἐν ἐμοὶ δοξασθῇ ὁ πατήρ. Ὁρᾷς πῶς πάλιν αὐτὸς ποιεῖ τοῦτο; ποιήσω γάρ, φησιν, ἐγώ. καὶ οὐκ εἶπεν, ἀξιῶ τὸν πατέρα, ἀλλ' ἵνα δοξασθῇ ἐν ἐμοὶ ὁ πατήρ. καὶ μὴν ἀλλαχοῦ ἔλεγεν· ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ· ἐνταῦθα δὲ αὐτὸς δοξάσει τὸν πατέρα. ὅταν γὰρ ὁ υἱὸς φαίνηται μεγάλα δυνάμενος, δοξασθήσεται ὁ γεγεννηκώς. τί δέ ἐστιν, ἐν τῷ ὀνόματί μου; ὅταν οἱ ἀπόστολοι ἔλεγον, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει. πάντα γὰρ τὰ σημεῖα, ἅπερ ἐποίησαν, αὐτὸς ἐνήργει, καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτῶν.

14 Ἐγὼ ποιήσω, φησίν. Ὁρᾷς αὐθεντίαν; τὰ δι' ἄλλων αὐτὸς ποιεῖ· τὰ δὲ δι' αὐτοῦ οὐκ ἰσχύει, ἀλλ' ὑπὸ τοῦ πατρὸς ἐνεργούμενος; καὶ τίς ἂν ταῦτα εἴποι; τίνος δὲ ἕνεκεν δεύτερον αὐτὸ τίθησι; βεβαιῶν τὸν ἑαυτοῦ λόγον, καὶ δεικνὺς ὅτι τὰ πρότερα συγκαταβάσεως ἦν. τὸ δέ, πρὸς τὸν πατέρα πορεύομαι, τοῦτό ἐστιν· οὐκ ἀπόλλυμαι, ἀλλ' ἐπὶ τῆς οἰκείας ἀξίας μένω, καὶ ἐν τοῖς οὐρανοῖς εἰμι. πάντα δὲ ταῦτα παραμυθούμενος αὐτοὺς ἔλεγεν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς μηδέπω τοὺς περὶ τῆς ἀναστάσεως εἰδότας λόγους ἐννοεῖν τι σκυθρωπὸν, ἑτέροις ἐπαγγέλλεται τοιαῦτα δώσειν αὐτοῖς, πανταχοῦ θεραπεύων αὐτούς, καὶ δεικνὺς ὅτι μένει διηνεκῶς, καὶ οὐ μένει μόνον, ἀλλὰ καὶ μείζονα ἐπιδείξεται δύναμιν.

ΗΘΙΚΟΝ

Κολ. γ. ε.

Ἀκολουθήσωμεν τοίνυν αὐτῷ καὶ λάβωμεν τὸν σταυρόν. εἰ γὰρ καὶ μὴ πάρεστι διωγμὸς, ἀλλ' ἑτέρου πάρεστι θανάτου καιρός. Νεκρώσατε γάρ, φησι, τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς. σβέσωμεν οὖν ἐπιθυμίαν, ἀποκτείνωμεν θυμόν, ἀνέλωμεν φθόνον. τοῦτό ἐστι θυσία ζῶσα. οὐκ εἰς τέφραν αὕτη ἡ θυσία τελευτᾷ, οὐδὲ εἰς καπνὸν διαχεῖται, οὐδὲ ξύλων δεῖται καὶ πυρὸς καὶ μαχαίρας. ἔχει γὰρ πῦρ καὶ μάχαιραν, τὸ πνεῦμα τὸ ἅγιον. ταύτῃ χρησάμενος τῇ μαχαίρᾳ περίτεμε τῆς καρδίας τὸ περιττὸν καὶ ἀλλότριον· ἄνοιξον τὸ μεμυκὸς τῆς ἀκοῆς. τὰ γὰρ νοσήματα καὶ αἱ πονηραὶ ἐπιθυμίαι ἐμφράττειν εἰώθασι τοῦ λόγου τὴν εἴσοδον. καὶ γὰρ χρημάτων ἐπιθυμία προστεθεῖσα, οὐκ ἀφίησιν ἀκοῦσαι τὸν περὶ ἐλεημοσύνης λόγον, καὶ βασκανία παραγενομένη διατειχίζει τὴν περὶ τῆς ἀγάπης διδασκαλίαν, καὶ ἕτερον νόσημα ἐμπεσὸν πάλιν νωθεστέραν αὐτὴν κατασκευάζει πρὸς πάντα. ἀνέλωμεν τοίνυν τὰς πονηρὰς ἐπιθυμίας. καὶ γὰρ ἀρκεῖ θελῆσαι, καὶ πάντα ἔσβεσται. μὴ γὰρ δὴ τοῦτο ἴδωμεν, ὅτι τυραννικὸν ὁ τῶν χρημάτων ἔρως, ἀλλ' ὅτι τῆς ἡμετέρας ῥαθυμίας ἡ τυραννίς. πολλοὶ γοῦν οὐδ' ὅ,τι ἐστὶν ἀργύριον εἰδέναι λέγουσιν. οὐ γάρ ἐστι φυσικὴ ἡ ἐπιθυμία αὕτη. αἱ γὰρ φυσικαὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς κατεβλήθησαν· χρυσὸς δὲ καὶ ἄργυρος καὶ μέχρι πολλοῦ χρόνου οὐδ', ὅ,τι ποτέ ἐστι, γνώριμον ἦν. πόθεν οὖν ηὐξήθη ἡ ἐπιθυμία αὕτη; ἀπὸ κενοδοξίας καὶ ῥαθυμίας ἐσχάτης. τῶν γὰρ ἐπιθυμιῶν αἱ μέν εἰσιν ἀναγκαῖαι, αἱ δὲ φυσικαί, αἱ δὲ οὐδέτερον τούτων. οἷόν τι λέγω· ὅσαι μὴ πληρούμεναι φθείρουσι τὸ ζῶον, αὗται φυσικαὶ καὶ ἀναγκαῖαι τυγχάνουσιν, οἷον ἡ τῶν σιτίων καὶ ποτῶν, καὶ ἡ τοῦ καθεύδειν ἐπιθυμία· ὁ δὲ τῶν σωμάτων ἔρως, φυσικὸς μέν ἐστιν, οὐκ ἀναγκαῖος δέ. πολλοὶ γὰρ αὐτοῦ περιγεγόνασι, καὶ οὐκ ἀπώλοντο. ἡ δὲ τῶν χρημάτων ἐπιθυμία, οὔτε φυσική, οὔτε ἀναγκαία, ἀλλὰ περιττή. κἂν βουλώμεθα, οὐ δεξόμεθα αὐτῆς τὴν ἀρχήν. ἀμέλει καὶ ὁ Χριστὸς περὶ παρθενίας διαλεγόμενός, φησιν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω· περὶ δὲ χρημάτων, οὐχ οὕτως, ἀλλὰ τί; Ἐὰν μή τις ἀποτάξηται αὐ-

Ματθ. ιθ. ιβ.

Λουκ. ιδ. λγ.

τοῦ πᾶσι τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. ὁ μὲν γὰρ τὴν εὔκολον παρῄνει· ὁ δὲ ὑπερβαίνει τοὺς πολλοὺς, ἐπιτρέπει τῇ προαιρέσει. τί τοίνυν πάσης ἀποστεροῦμεν ἑαυτοὺς ἀπολογίας; ὁ μὲν γὰρ ὑπὸ τοῦ τυραννικωτέρου πάθους ἁλοὺς οὐ πολλὴν δώσει δίκην· ὁ δὲ ὑπὸ τοῦ ἀσθενοῦς χειρωθεὶς, πάσης ἀπεστέρηται ἀπολογίας. τί γὰρ ἐροῦμεν, ὅταν λέγῃ· πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε; ποίαν ἕξομεν ἀπολογίαν; τὴν πενίαν προβαλούμεθα πάντως. ἀλλ᾽ οὐκ ἐσμὲν τῆς χήρας ἐκείνης πενέστεροι, ἥτις δύο ὀβολοὺς βαλοῦσα, πάντας ὑπερηκόντισεν. οὐ γὰρ ποσότητα εἰσφορᾶς ἀπαιτεῖ ὁ Θεὸς, ἀλλὰ μέτρα γνώμης· καὶ τοῦτο δὲ τῆς αὐτοῦ κηδεμονίας. θαυμάσαντες τοίνυν αὐτοῦ τὴν φιλανθρωπίαν, τὰ δυνατὰ συνεισενέγκωμεν· ἵνα καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὸν μέλλοντα πολλῆς τυχόντες τῆς τοῦ Θεοῦ φιλανθρωπίας, δυνηθῶμεν ἀπολαῦσαι τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. σφεῖς

Ομιλ. οε

15 ΕΑΝ ΑΓΑΠΑΤΕ ΜΕ, ΤΑΣ ΕΝΤΟΛΑΣ ΤΑΣ ΕΜΑΣ τηρήσατε· 16 Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, 17 Ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό.

Ἔργων ἡμῖν δεῖ καὶ πράξεων πανταχοῦ, οὐ τῆς διὰ ῥημάτων ἐπιδείξεως. εἰπεῖν γὰρ καὶ ὑποσχέσθαι, παντὶ τῷ ῥᾴδιον· πρᾶξαι δὲ οὐκ ἔτι ὁμοίως εὔκολον. τί δή ποτε δὲ ταῦτα εἶπον; ὅτι πολλοὶ νῦν εἰσι λέγοντες φοβεῖσθαι τὸν Θεὸν καὶ ἀγαπᾶν, τοῖς δὲ ἔργοις τὰ ἐναντία ἐπιδείκνυνται· ὁ δὲ Θεὸς τὴν διὰ τῶν ἔργων ἀγάπην ἐπιζητεῖ. διὰ τοῦτο καὶ πρὸς τοὺς μαθητὰς ἔλεγεν· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὃ ἐὰν αἰτήσητε, ἐγὼ ποιήσω, ἵνα μὴ νομίσωσιν ἁπλῶς τὴν αἴτησιν ἰσχύειν, ἐπήγαγεν· ἐὰν ἀγαπᾶτέ με, τότε, φησὶ, ποιήσω. ἐπειδὴ δὲ εἰκὸς ἦν αὐτοὺς καὶ ἀκούοντας, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, θορυβεῖσθαι, φησίν· οὐ τοῦτό ἐστι τὸ ἀγαπᾶν, τὸ θορυβεῖσθαι νῦν, ἀλλὰ τὸ πείθεσθαι τοῖς λεγομένοις. ἔδωκα ὑμῖν ἐντολὴν, ἵνα ἀγαπᾶτε ἀλλήλους· ἵνα οὕτω ποιῆτε ἀλλήλοις, καθὼς καὶ ἐγὼ ὑμῖν ἐποίησα. τοῦτό ἐστιν ἀγάπη, τὸ πείθεσθαι τούτοις, καὶ εἴκειν τῷ ποθουμένῳ. καὶ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν. συγκαταβάσεως πάλιν ὁ λόγος. ἐπειδὴ γὰρ οὐδέπω αὐτὸν ἐγνωκότας εἰκὸς ἦν σφόδρα ἐπιζητεῖν τὴν συνουσίαν ἐκείνην, τὰ ῥήματα, τὴν κατὰ σάρκα αὐτοῦ παρουσίαν, καὶ μηδεμίαν δέχεσθαι παραμυθίαν ἀπόντος, τί φησιν; ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, τουτέστιν, ἄλλον ὡς ἐμέ. αἰσχυνθήτωσαν καὶ οἱ τὰ Σαβελλίου νοσοῦντες, καὶ οἱ περὶ τοῦ πνεύματος οὐ τὴν προσήκουσαν δόξαν ἔχοντες. καὶ γὰρ τὸ θαῦμα τοῦ λόγου τοῦτό ἐστιν, ὅτι τὰς ἐκ διαμέτρου ἑστώσας αἱρέσεις μιᾷ πληγῇ κατήνεγκε. τῷ μὲν γὰρ εἰπεῖν, ἄλλον, δείκνυσιν αὐτοῦ τῆς ὑποστάσεως τὴν διαφοράν· τῷ δὲ εἰπεῖν, παράκλητον, τῆς οὐσίας τὴν συγγένειαν. διὰ τί δέ φησιν, ἐρωτήσω τὸν πατέρα; ὅτι εἰ εἶπεν, ἐγὼ πέμψω, οὐκ ἂν ὁμοίως ἐπίστευσαν· νῦν δὲ τὸ σπουδαζόμενον τοῦτό ἐστιν, ὥστε πιστευθῆναι αὐτόν. ὕστερον γὰρ αὐτός φησιν αὐτὸν πέμπειν, λέγων· λάβετε πνεῦμα ἅγιον· ἐνταῦθα δέ φησιν ἐρωτᾶν τὸν πατέρα, ὥστε ἀξιόπιστον ποιῆσαι αὐτοῖς τὸν λόγον. ἐπειδὴ ὁ Ἰωάννης φησὶ περὶ αὐτοῦ, Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. ὃ δὲ εἶχε, πῶς παρ᾽ ἑτέρου λαμβάνει; καὶ πάλιν, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. τί δὲ τῶν ἀποστόλων πλέον εἶχεν, εἰ τὸν πατέρα ἀξιοῦν ἔμελλεν, ὥστε διδόναι ἑτέροις, ὁπότε ἐκεῖνοι πολλάκις καὶ χωρὶς εὐχῆς φαίνονται τοῦτο ποιοῦντες; πῶς δὲ, εἰ κατὰ ἀξίωσιν πα-

γρ. ἀπέρχομαι,

Ιωαν. α. 15.

Πραξ. ιγ c.

ρὰ τοῦ πατρὸς πέμπεται, αὐτὸ ἀφ' ἑαυτοῦ ἐφίπταται; πῶς δὲ παρ' ἑτέρου πέμπεται τὸ πανταχοῦ παρόν, καὶ διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, καὶ λέγον μετὰ αὐθεντίας, Ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν; καίτοι τῷ Θεῷ ἐλειτούργουν οἱ λειτουργοῦντες, ἀλλ' ὅμως μετ' αὐθεντίας εἰς τὸ ἴδιον ἔργον ἐκάλεσεν· οὐχ ὅτι ἐπ' ἄλλο ἔργον ἐκάλει, ἀλλ' ἵνα τὴν ἐξουσίαν δείξῃ. Τί οὖν, φησίν, ἐστιν, ἐρωτήσω τὸν πατέρα; δεικνὺς τῆς παρουσίας τὸν καιρόν. Ὅτε γὰρ αὐτοὺς ἐκάθαρε διὰ τῆς θυσίας, τότε ἐπέπτη τὸ πνεῦμα τὸ ἅγιον. Καὶ τί δήποτε ὄντος μετ' αὐτῶν οὐκ ἐπήρχετο; ὅτι οὐδέπω ἦν ἡ θυσία ἀνενηνεγμένη. Ἐπειδὴ δὲ λοιπὸν καὶ ἡ ἁμαρτία ἐλύθη, καὶ αὐτοὶ πρὸς κινδύνους ἐπέμποντο, καὶ πρὸς τοὺς ἀγῶνας ἀπεδύοντο, ἔδει τὸν ἀλείφοντα ἐλθεῖν. Τίνος δὲ ἕνεκεν οὐκ εὐθέως μετὰ τὴν ἀνάστασιν τὸ πνεῦμα ἔρχεται; ἵνα ἐν πολλῇ αὐτοῦ καταστάντες ἐπιθυμίᾳ, μετὰ πολλῆς αὐτὸ δέξωνται χάριτος. Ἕως μὲν γὰρ ἦν μετ' αὐτῶν ὁ Χριστός, οὐκ ἦσαν ἐν θλίψει· ἐπειδὴ δὲ ἀπῆλθε, γυμνωθέντες καὶ ἐν φόβῳ πολλῷ καταστάντες, μετὰ πολλῆς ἔμελλον αὐτὸ τῆς προθυμίας δέχεσθαι. Μεθ' ὑμῶν μένει.

Τοῦτο δηλοῖ, ὅτι οὐδὲ μετὰ τελευτὴν ἀφίσταται. Ἵνα δὲ μὴ παράκλητον ἀκούσαντες, πάλιν ἐνσάρκωσιν ἑτέραν ὑποπτεύσωσι καὶ ὀφθαλμοῖς προσδοκήσωσιν αὐτὸ θεωρεῖν, διορθούμενός φησιν·

Ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό. Οὐ γὰρ οὕτως ὑμῖν συνέσται, ὥσπερ ἐγώ· ἀλλ' ἐν αὐταῖς οἰκήσει ταῖς ὑμετέραις ψυχαῖς. Τοῦτο γάρ ἐστι, τὸ ἐν ὑμῖν ἔσται. Πνεῦμα δὲ ἀληθείας αὐτὸ καλεῖ, διὰ τούτου τοὺς τύπους τοὺς ἐν τῇ παλαιᾷ δηλῶν. Ἵνα μεθ' ὑμῶν ᾖ. Τί ἐστι, μεθ' ὑμῶν ᾖ; ὅ φησιν αὐτός, ὅτι ἐγὼ μεθ' ὑμῶν εἰμι. Ἄλλως δέ, καὶ ἕτερόν τι αἰνίττεται, ὅτι οὐ πείσεται ταῦτα ἅπερ ἐγώ, οὔτε ἀποφοιτήσει. Ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό. Τί γάρ, εἰπέ μοι, τῶν ἄλλων θεωρητόν; οὐδέν. Ἀλλ' ἐνταῦθα τὴν γνῶσίν φησιν. Ἐπήγαγε γοῦν· Οὐδὲ γινώσκει αὐτό. Οἶδε γὰρ καὶ ἐπὶ τῆς ἀκριβοῦς γνώσεως θεωρίαν λέγειν. Ἐπειδὴ γὰρ τῶν αἰσθήσεων τρανοτέρα ἐστὶν ἡ ὄψις, διὰ ταύτης ἀεὶ τὴν ἀκριβῆ παρίστησι γνῶσιν. Κόσμον δὲ ἐνταῦθα, τοὺς πονηρούς φησι, καὶ ταύτῃ παραμυθούμενος αὐτούς, τῷ δοῦναι αὐτοῖς δωρεὰν ἐξαίρετον. Ὅρα πόσοις ἐπῆρε τὸν περὶ αὐτοῦ λόγον. Εἶπεν, ὅτι ἄλλος ὡς ἐγώ ἐστιν· εἶπεν, ὅτι οὐκ ἀφίησιν ὑμᾶς· εἶπεν, ὅτι πρὸς ὑμᾶς μόνους ἔρχεται, ὥσπερ οὖν καὶ ἐγώ· εἶπεν, ὅτι ἐν ὑμῖν μένει· ἀλλ' οὐδὲ οὕτω τὴν ἀθυμίαν αὐτῶν ἐξέβαλεν. Αὐτὸν γὰρ ἐζήτουν ἔτι, καὶ τὴν συνήθειαν τὴν αὐτοῦ. Τοῦτο γοῦν θεραπεύων, φησίν·

γρ. μένει.

18 Οὐδὲ ἐγὼ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Μὴ δείσητε, φησίν· οὐ διὰ τοῦτο εἶπον ἄλλον παράκλητον πέμπειν, ὡς αὐτὸς ὑμῶν εἰς τέλος ἀπολυσάμενος· οὐ διὰ τοῦτο εἶπον, ὅτι παρ' ὑμῖν μένει, ὡς οὐκέτι ὀψόμενος ὑμᾶς. Καὶ γὰρ καὶ αὐτὸς ἔρχομαι πρὸς ὑμᾶς. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς. Ἐπειδὴ γὰρ ἀρχόμενος ἔλεγε, τεκνία, διὰ τοῦτο καὶ ἐνταῦθά φησιν· οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς. Παρὰ μὲν οὖν τὴν ἀρχὴν ἔλεγεν, ὅτι ἥξετε ὅπου ἐγὼ ὑπάγω, καὶ ὅτι ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· ἐνταῦθα δέ, ἐπειδὴ μακρὸς ὁ χρόνος ἐκεῖνος ἦν, δίδωσι τὸ πνεῦμα. Ἀλλ' ἐπειδὴ μὴ εἰδότες, ὅ, τι ποτὲ ἦν τὸ λεγόμενον, οὐκ εἶχον ἱκανὴν παράκλησιν, οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς λέγει. Τοῦτο γὰρ μάλιστα ἐζήτουν· ἀλλ' ἐπειδὴ [τὸ,] ἔρχομαι πρὸς ὑμᾶς δηλοῦντός ἐστι παρουσίαν, ἵνα μὴ πάλιν τὴν αὐτὴν ἐπιζητῶσι παρουσίαν οἵαν καὶ πρότερον, ὅρα πῶς αὐτὸ σαφῶς μὲν οὐκ εἶπεν, ᾐνίξατο δέ. Εἰπὼν γάρ,

19 Ἔτι μικρόν, καὶ ὁ κόσμος οὐ θεωρεῖ με, Ἐπήγαγεν, Ὑμεῖς δὲ θεωρεῖτέ με·

Ὡσανεὶ ἔλεγεν, ἔρχομαι μὲν πρὸς ὑμᾶς, οὐ μὴν ὁμοίως, ὡς πρότερον, καθ' ἑκάστην ὑμῖν ἀεὶ συγγινόμενος τὴν ἡμέραν. Καὶ ἵνα μὴ λέγωσι, πῶς οὖν Ἰουδαίοις εἶπας, ἀπάρτι οὐκ ὄψεσθέ με; λύει τὴν ἀντίθεσιν εἰπών, πρὸς ὑμᾶς μόνους· ἐπεὶ καὶ τὸ πνεῦμα τοιοῦτόν ἐστιν. Ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Οὐ γὰρ δὴ ὁ σταυρὸς διΐστησιν ἡμᾶς εἰς τέλος, ἀλλ' ἢ ῥοπὴν μικρὰν ἀ-

ποκρύπτει

κεφ. ιδ.

ἀποκρύπτει μόνον ζωήν· δοκεῖ δέ μοι οὐχὶ τὴν παροῦσαν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν λέγειν.

20 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὑμεῖς ἐν ἐμοὶ, καὶ ἐγὼ ἐν ὑμῖν.

Ἐπὶ μὲν οὖν τοῦ πατρὸς, οὐσίας ἐστίν· ἐπὶ δὲ αὐτῶν, ὁμονοίας καὶ βοηθείας τῆς παρὰ τοῦ Θεοῦ τὸ εἰρημένον. καὶ πῶς ἔχει λόγον, εἰπέ μοί, φησι; πῶς μὲν οὖν τὸ ἐναντίον ἔχει λόγον; πολὺ γὰρ τὸ μέσον καὶ σφόδρα ἄπειρον τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν. εἰ δὲ τὰ αὐτὰ κεῖται ῥήματα, μὴ θαυμάσῃς. οἶδε γὰρ ἡ γραφὴ πολλάκις τοῖς αὐτοῖς ῥήμασιν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων κειμένοις οὐχ ὁμοίως κεχρῆσθαι· ἐπεὶ καὶ θεοὶ λεγόμεθα, καὶ υἱοὶ Θεοῦ, καὶ οὐ τὴν αὐτὴν ἰσχὺν ἔχει τὸ ῥῆμα ἐφ' ἡμῶν καὶ τοῦ Θεοῦ κείμενον. καὶ εἰκὼν ὁ υἱὸς λέγεται καὶ δόξα, καὶ ἡμεῖς· ἀλλὰ πολὺ τὸ μέσον. καὶ πάλιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ· οὐχ ὁμοίως δὲ Θεοῦ ὁ Χριστὸς, καὶ ἡμεῖς τοῦ Χριστοῦ. τί δέ ἐστιν ὃ λέγει; ὅταν ἀναστῶ, φησιν, εἴσεσθε ὅτι οὐκ ἀπέσχισμαι τοῦ πατρὸς, ἀλλὰ τὴν αὐτὴν ἔχω δύναμιν, καὶ ὅτι μεθ' ὑμῶν εἰμι διηνεκῶς, τῶν πραγμάτων ἀνακηρυττόντων τὴν περὶ ὑμᾶς βοήθειαν παρ' ἐμοῦ γινομένην, τῶν ἐχθρῶν κατεσταλμένων, ὑμῶν παρρησιαζομένων, τῶν δεινῶν ἐκ μέσου γινομένων, τοῦ κηρύγματος καθ' ἑκάστην ἀνθοῦντος τὴν ἡμέραν, πάντων εἰκόντων καὶ παραχωρούντων τῷ λόγῳ τῆς εὐσεβείας. καθὼς ἀπέστειλέ με, κἀγὼ ἀπέστειλα ὑμᾶς. ὁρᾷς ὅτι οὐδὲ ἐνταῦθα τὴν αὐτὴν ἰσχὺν ἡ λέξις ἔχει; εἰ γὰρ τοῦτο οὕτως ἐκδεξόμεθα, οὐδὲν ἔσονται διεστηκότες οἱ ἀπόστολοι τοῦ Χριστοῦ. διὰ τί δέ φησι, τότε γνώσεσθε; ὅτι τότε εἶδον αὐτὸν ἀναστάντα καὶ συνόντα αὐτοῖς· τότε τὴν ἀκριβῆ πίστιν ἔμαθον. μεγάλη γὰρ ἡ τοῦ πνεύματος δύναμις ἦν, ἡ πάντα αὐτοὺς παιδεύουσα.

21 Ὁ ἔχων μου τὰς ἐντολὰς καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με.

Οὐ γὰρ ἀρκεῖ τὸ ἔχειν μόνον, ἀλλὰ καὶ φυλακῆς ἡμῖν δεῖ ἀκριβοῦς. διὰ τί δὲ πολλάκις αὐτοῖς τὸ αὐτὸ λέγει; οἷον, ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε· καὶ, ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς· καὶ, ἐάν τις μου ἀκούσῃ τὸν λόγον καὶ τηρήσῃ αὐτὸν, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ μὴ ἀκούων τοὺς λόγους μου οὐκ ἀγαπᾷ με. οἶμαι αὐτὸν αἰνίττεσθαι τὴν ἀθυμίαν αὐτῶν. ἐπειδὴ γὰρ πολλὰ περὶ θανάτου αὐτοῖς ἐφιλοσόφησε λέγων· ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν· καὶ, ἐὰν μή τις λάβῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος· μέλλει δὲ καὶ ἕτερα πλείονα λέγειν, ὀνειδίζων αὐτοὺς φησί· νομίζετε ὑμεῖς ἐξ ἀγάπης πάσχειν τὸ λυπεῖσθαι; τὸ μὴ λυπεῖσθαι μὲν οὖν ἀγάπης ἦν. ὅτι δὲ τοῦτο δι' ὅλου κατασκευάσαι βούλεται, εἰς αὐτὸ περιϊὼν τὸν λόγον ἀνεκεφαλαίωσεν. εἰ γὰρ ἠγαπᾶτέ με, φησιν, ἐχάρητε ἂν ὅτι πρὸς τὸν πατέρα μου πορεύομαι. νῦν γὰρ ὑπὸ δειλίας τοῦτο πάσχετε. τὸ δὲ οὕτω διακεῖσθαι πρὸς θάνατον, οὐκ ἔστι τῶν ἐμῶν ἐντολῶν μεμνημένους ποιεῖν. ἐχρῆν γὰρ ὑμᾶς σταυροῦσθαι, εἴγε ὄντως ἠγαπᾶτέ με. καὶ γὰρ ὁ ἐμὸς λόγος παραινεῖ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα. τοὺς τοιούτους καὶ ὁ πατὴρ ἀγαπᾷ, καὶ ἐγώ,

22 Καὶ ἐμφανίσω αὐτοῖς ἐμαυτόν. Εἶτα ὁ Ἰούδας· καὶ τί, φησιν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν;

Ὁρᾷς ἀπὸ δειλίας πεπιλημένην αὐτῶν τὴν ψυχήν; συνεχύθη γὰρ καὶ ἐταράχθη, καὶ ἐνόμισεν, ὥσπερ τοὺς νεκροὺς ὁρῶμεν ὄναρ, οὕτω καὶ αὐτὸν μέλλειν ὁρᾶσθαι. ἵν' οὖν μὴ τοῦτο ὑποπτεύσωσιν, ἄκουσον τί φησιν·

23 Ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα πρὸς αὐτὸν, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν·

Μονονουχὶ λέγων, ὥσπερ ὁ πατὴρ ἐμφανίζει ἑαυτὸν, οὕτω καὶ ἐγώ. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, ὅτι μονὴν παρ' αὐτῷ ποιήσομεν, ἀνεῖλε τὴν ὑπόνοιαν, ὅπερ ὀνειράτων οὐκ ἔστι. σὺ δέ μοι θέα τὸν μαθητὴν καὶ θορυβούμενον καὶ οὐ τολμῶντα σαφῶς εἰπεῖν, ὅπερ εἰπεῖν ἐπεθύμει. οὐ γὰρ εἶπεν, οὐαὶ ἡμῖν ὅτι ἀποθνήσκεις, καὶ ὡς οἱ τετελευτηκότες, μέλλεις ἡμῖν ἐφίστασθαι· ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ, τί ἐστιν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ; λέγει οὖν, ὅτι ὑμᾶς ἀποδέχομαι, ὅτι ὑμεῖς τὴν ἐντολήν μου τηρεῖτε. ἵνα γὰρ μὴ μετὰ ταῦτα ὁρῶντες αὐτὸν, φάντασμα νομίσωσι, διὰ τοῦτο ταῦτα προλέγει. καὶ ἵνα μὴ οὕτως, ὡς εἶπον, νομίσωσιν αὐτὸν φαίνεσθαι, λέγει καὶ τὴν αἰτίαν· διὰ τὸ τὰς ἐντολάς μου τηρεῖν, λέγει ὅτι καὶ τὸ πνεῦμα οὕτω μέλλει φαίνεσθαι. Εἰ δὲ τοσοῦτον αὐτῷ συγγινόμενοι χρόνον, οὔπω φέρουσιν ἐκείνην τὴν οὐσίαν, μᾶλλον δὲ οὐδὲ νοοῦσιν αὐτήν· τί ἂν ἔπαθον, εἰ παρὰ τὴν ἀρχὴν οὕτως αὐτοῖς ἐφάνη; Διὰ τοῦτο καὶ συνεσθίει, ἵνα μὴ φάντασμα τὸ πρᾶγμα νομισθῇ. Εἰ γὰρ ἐπὶ τῶν ὑδάτων ἰδόντες τοῦτο ἐνόμισαν, καίτοι τῆς αὐτῆς ὄψεως φαινομένης καὶ οὐ πρὸ πολλοῦ διαστάντος, τί ἂν ὑπώπτευσαν, εἴγε εἶδον αὐτὸν εὐθέως ἀναστάντα, ὃν εἶδον κατεχόμενον καὶ ἐσπαργανωμένον; Διὰ τοῦτο συνεχῶς αὐτοῖς λέγει, ὅτι φανεῖται, καὶ διὰ τί φανεῖται, καὶ πῶς, ἵνα μὴ φάντασμα νομίσωσιν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. Καὶ ὁ λόγος, ὃν ἠκούσατε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με. Ὥστε οὐκ ἐμὲ μόνον, ἀλλ᾽ οὐδὲ τὸν πατέρα ἀγαπᾷ ὁ μὴ τούτων ἀκούων τῶν λόγων. Εἰ γὰρ τοῦτο τεκμήριον ἀγάπης, τὸ ἀκούειν τῶν ἐντολῶν, αὗται δὲ τοῦ πατρός εἰσιν, ὁ ἀκούων οὐχὶ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα ἠγάπησε. Πῶς δὲ σὸς καὶ οὐ σός; τουτέστιν, ὅτι οὐδὲν ἔξω τοῦ πατρὸς φθέγγομαι, οὐδὲ ἴδιόν τι ἄλλο παρὰ τὸ δοκοῦν αὐτῷ. γρ. ἐκεῖνο.

25 Ταῦτα ἐλάλησα ὑμῖν παρ᾽ ὑμῖν μένων. Ἐπειδὴ ταῦτα ἀσαφῆ ἦν, καὶ τὰ μὲν οὐδὲ συνίεσαν, τὰ δὲ πλείονα καὶ ἀμφέβαλλον, ἵνα μὴ θορυβῶνται πάλιν, μηδὲ λέγωσι, ποίας ἐντολάς, ἀπήλλαξεν αὐτοὺς τῆς ἀγωνίας ἁπάσης, εἰπών·

26 Ὁ δὲ παράκλητος, ὃν πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει.

Τάχα ἀσαφῆ τὰ εἰρημένα νῦν ὑμῖν, ἀλλ᾽ ἔστι τούτων σαφὴς διδάσκαλος ἐκεῖνος. Τὸ δέ, παρ᾽ ὑμῖν μένει, αἰνιττομένου ἐστίν, ὅτι αὐτὸς ἄπεισιν. Εἶτα, ἵνα μὴ λυπῶνται, φησίν· ὅτι ἕως ἂν παρ᾽ αὐτοῖς αὐτὸς μένῃ, καὶ τὸ πνεῦμα μὴ ἔρχηται, οὐδὲν μέγα οὐδὲ ὑψηλὸν δυνήσονται συνιδεῖν. Ταῦτα δὲ λέγει, παρασκευάζων αὐτοὺς γενναίως ἐνεγκεῖν αὐτοῦ τὴν ἀναχώρησιν, ὡς μεγάλων αἰτίαν ἐσομένην αὐτοῖς ἀγαθῶν. Συνεχῶς δὲ παράκλητον καλεῖ, διὰ τὰς συνεχούσας αὐτοὺς τότε θλίψεις. Ἐπεὶ οὖν καὶ ταῦτα ἀκούοντες ἐταράττοντο ἐννοοῦντες τὰς ἐπαχθείας, τοὺς πολέμους, τὴν ἀναχώρησιν τὴν αὐτοῦ, ὅρα πῶς αὐτοὺς καταστέλλει πάλιν λέγων·

27 Εἰρήνην ἀφίημι ὑμῖν, Μονονουχὶ λέγων, τί βλάπτεσθε ἀπὸ τῆς τοῦ κόσμου ταραχῆς, ἕως ἂν εἰρηνεύητε πρὸς ἐμέ; οὐ γὰρ τοιαύτη αὕτη ἡ εἰρήνη. Ἡ μὲν γὰρ ἔξωθεν, καὶ ἐπὶ κακῷ γίνεται πολλάκις καὶ ἀνόνητος, καὶ τοὺς ἔχοντας οὐδὲν ὠφέλησεν· ἐγὼ δὲ δίδωμι τοιαύτην, ὥστε μετ᾽ ἀλλήλων εἰρηνεύειν, ὅπερ ὑμᾶς ἰσχυροτέρους ποιεῖ. Ἀλλ᾽ ἐπειδὴ πάλιν εἶπεν, ἀφίημι, ὅπερ ἦν ἀναχωροῦντος, καὶ ἱκανὸν ἦν αὐτοὺς συγχεῖν, διὰ τοῦτο πάλιν φησί·

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. Ὁρᾷς ὅτι τὰ μὲν ὑπὸ φιλοστοργίας, τὰ δὲ ὑπὸ δειλίας ἔπασχον; γρ. ἀπὸ

28 Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὅτι ὑπάγω πρὸς τὸν πατέρα, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατὴρ μείζων μού ἐστι. Καὶ ποίαν τοῦτο αὐτοῖς χαρὰν φέρειν ἔμελλε; ποίαν παραμυθίαν; τί οὖν ἐστι τὸ εἰρημένον; Οὐδέπω ᾔδεσαν περὶ τῆς ἀναστάσεως, οὐδὲ οἵαν ἐχρῆν περὶ αὐτοῦ δόξαν ἔχειν· πῶς γάρ, οἱ μηδὲ ὅτι ἀναστήσεται εἰδότες; τὸν δὲ πατέρα μέγαν εἶναι ἐνόμιζον. Λέγει οὖν, ὅτι εἰ καὶ περὶ ἐμοῦ δεδοίκατε, ὡς οὐκ ἀρκοῦντος ἐμαυτῷ προστῆναι, οὐδὲ θαρρεῖτε ὅτι μετὰ τὸν σταυρὸν πάλιν ὑμᾶς ὄψομαι· ἀλλὰ ἀκούσαντες ὅτι πρὸς τὸν πατέρα ἀπέρχομαι, ἔδει χαίρειν λοιπόν, ὅτι πρὸς τὸν μείζονα ἄπειμι καὶ δυνατὸν πάντα λῦσαι τὰ δεινά. γρ. ἑαυτῷ Ὑμεῖς ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν. Διὰ τί τοῦτο τέθεικεν; ὅτι οὕτω σφόδρα θαρρῶ, φησί, τοῖς γινομένοις, ὡς καὶ προειπεῖν· οὕτως οὐ δέδοικα.

29 Τοῦτο γοῦν καὶ μετὰ ταῦτα εἶπον ὑμῖν πρὶν γενέσθαι, ἵν᾽, ὅταν γένηται, πιστεύσητε ὅτι ἐ-

γώ

κεφ. ιδ.

γώ εἰμι. Ὡσανεὶ ἔλεγε, μὴ ᾔδειτε, εἰ μὴ ἐγὼ εἶπον. οὐκ ἂν δὲ εἶπον, εἰ μὴ ἐθάῤῥουν. Εἶδες συγκαταβάσεως τὸν λόγον ὄντα; καὶ γὰρ ὅταν λέγῃ· Δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα, καὶ παραστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων, πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων φθέγγεται. οὐδὲ γὰρ ἂν ἐκεῖνο εἴποι τις ἄν, κἂν σφόδρα ᾖ μεμηνὼς, ὅτι οὐκ ἐδύνατο ἑαυτῷ βοηθῆσαι, ἀλλ' ἀγγέλων ἐδεῖτο· ἀλλ' ἐπειδὴ περὶ αὐτοῦ, ὡς ἀνθρώπου, δόξαν εἶχον, διὰ τοῦτό φησι δώδεκα λεγεῶνας ἀγγέλων. καίτοιγε ἁπλῶς αὐτοὺς ἠρώτησε, καὶ ἔῤῥιψεν εἰς τὰ ὀπίσω. Εἰ δὲ λέγοι τις μείζονα εἶναι τὸν πατέρα καθ' ὃ αἴτιος τοῦ υἱοῦ, οὐδὲ τοῦτο ἀντεροῦμεν. ἀλλ' οὐ μὴν τοῦτο ἑτέρας εἶναι τὸν υἱὸν οὐσίας ποιεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἕως μὲν ἂν ἐνταῦθα ὦ, εἰκὸς νομίζειν ὑμᾶς ὅτι κινδυνεύομεν· ἐὰν δὲ ἐκεῖ ἀπέλθω, θαῤῥεῖτε ὅτι ἐν ἀσφαλείᾳ ἐσμέν. ἐκείνου γὰρ οὐδεὶς περιγενέσθαι δυνήσεται. Ταῦτα δὲ πάντα πρὸς τὴν ἀσθένειαν τῶν μαθητῶν ἐλέγετο. καὶ αὐτὸς μὲν γὰρ θαῤῥῶ καὶ οὐ φροντίζω τοῦ θανάτου. διὰ γὰρ τοῦτο εἶπε, ταῦτα εἶπον ὑμῖν πρὶν γενέσθαι. ἐπειδὴ δέ, φησιν, ὑμεῖς οὐδέπω δύνασθε τὸν περὶ τούτων δέξασθαι λόγον, καὶ ἀπὸ τοῦ πατρὸς, ὃν ὀνομάζετε μέγαν εἶναι, εἰσάγω τὴν παράκλησιν. παραμυθησάμενος τοίνυν αὐτοὺς, πάλιν λέγει τὰ λυπηρά·

Ματθ κς. νγ.

γρ. ἡ αἰτ.

γρ. μὴ θαρ.

30 Οὐκέτι λαλήσω μεθ' ὑμῶν. διὰ τί; ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν. Κόσμου δὲ ἄρχοντα, τὸν διάβολόν φησι, καὶ τοὺς πονηροὺς ἀνθρώπους οὕτω καλῶν. οὐ γὰρ οὐρανοῦ ἄρχει καὶ γῆς· ἐπεὶ ἀνέτρεψε πάντα καὶ κατέβαλεν· ἄρχει δὲ τῶν ἑαυτοὺς παραδιδόντων αὐτῷ. διὰ τοῦτο καὶ ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου καλεῖ, σκότος ἐνταῦθα πάλιν τὰς πονηρὰς πράξεις καλῶν. τί οὖν; ὁ διάβολός σε ἀναιρεῖ; οὐδαμῶς. οὐ γὰρ ἔχει ἐν ἐμοὶ οὐδέν. πῶς οὖν σε ἀναιροῦσιν; ἐπειδὴ βούλομαι, καὶ ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πατέρα. οὐ γὰρ ὑπεύθυνος ὢν θανάτῳ, φησὶν, οὐδὲ ὀφείλων αὐτῷ, διὰ τὴν ἀγάπην τὴν εἰς τὸν πατέρα ὑπομένω. τοῦτο δέ φησιν, ἵνα πάλιν αὐτῶν ἀναστήσῃ τὴν ψυχὴν, καὶ μάθωσιν ὅτι οὐκ ἄκων, ἀλλ' ἑκὼν ἐπὶ τοῦτο ἔρχεται, καὶ ὅτι καταφρονῶν τοῦ διαβόλου. οὐ γὰρ ἤρκει τὸ εἰπεῖν, ὅτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, ἀλλὰ συνεχῶς αὐτὸ τοῦτο στρέφει τὸ λυπηρὸν, εἰκότως, ἕως ἂν αὐτὸ πρὸς αὐτοὺς εὐπαράδεκτον ποιήσῃ παρυφαίνων αὐτῷ τὰ χρηστά. διὰ τοῦτο ποτὲ μὲν λέγει, ὑπάγω καὶ ἔρχομαι, καὶ ὅτι ὅπου εἰμὶ ἐγὼ ἵνα καὶ ὑμεῖς ἦτε· καὶ, οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσετε δὲ ὕστερον, καὶ πρὸς τὸν πατέρα πορεύομαι· καὶ, ὁ πατήρ μείζων μού ἐστι· καὶ, πρὶν γενέσθαι εἴρηκα ὑμῖν· καὶ, ὅτι οὐκ ἀπὸ ἀνάγκης ταῦτα πάσχω, ἀλλὰ δι' ἀγάπην τοῦ πατρός· ὥστε ἐννοῆσαι αὐτοὺς ὅτι οὐκ ὀλέθριον τὸ πρᾶγμα οὐδὲ βλάβην ἔχον, εἴγε ὅ τε σφόδρα αὐτὸν ἀγαπῶν, καὶ ὁ ἀγαπώμενος παρ' αὐτοῦ οὕτω βούλεται. διὰ δὴ τοῦτο τὰ χρηστὰ ταῦτα ἀναμιγνὺς, συνεχῶς ἔλεγε καὶ τὰ λυπηρὰ, ἐγυμνάζων αὐτῶν τὴν διάνοιαν. καὶ γὰρ τὸ, παρ' ὑμῖν μένει, καὶ ὅτι συμφέρει ὑμῖν ἡ ἀναχώρησις, παραμυθουμένου ἦν. διὰ γάρ τοι τοῦτο προλαβὼν μυρία εἶπε περὶ τοῦ πνεύματος, τὸ, ἐν ὑμῖν ἐστι, καὶ, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, καὶ, αὐτὸς ἀναμνήσει πάντα· καὶ, πνεῦμα ἀληθείας, καὶ πνεῦμα ἅγιον, καὶ παράκλητον· καὶ, ὅτι συμφέρει ὑμῖν, ἵνα μὴ ἀθυμῶσιν ὡς οὐδενὸς ὄντος τοῦ προστησομένου καὶ βοηθήσοντος. συμφέρει δὲ λέγει, δηλῶν ὅτι πνευματικοὺς αὐτοὺς ἐργάσεται.

γρ. αὐτοῦ, τὸ,

Τοῦτο γοῦν καὶ ὁρῶμεν γεγενημένον. οἱ γὰρ τρέμοντες καὶ δεδοικότες, μετὰ τὸ λαβεῖν τὸ πνεῦμα εἰς μέσους ἥλλοντο τοὺς κινδύνους, καὶ πρὸς σίδηρον καὶ πῦρ καὶ θηρία καὶ πελάγη, καὶ πρὸς πᾶσαν ἀπεδύσαντο τιμωρίαν. καὶ οἱ ἀγράμματοι καὶ ἰδιῶται μετὰ τοσαύτης διελέγοντο παῤῥησίας, ὡς ἐκπλήττειν τοὺς ἀκροωμένους. ἀπὸ γὰρ πηλίνων σιδηροῦς αὐτοὺς ἐποίησε τὸ πνεῦμα, καὶ πτερωτοὺς εἰργάσατο, καὶ πρὸς οὐδὲν τῶν ἀνθρωπίνων καταπεσεῖν ἀφῆκε. τοιαύτη γὰρ ἡ χάρις ἐκείνη. κἂν ἀθυμίαν εὕρῃ, διαλύει, κἂν ἐπιθυμίαν πο-

ΗΘΙΚΟΝ

μὴ οὕτως, ὡς εἶπον, νομίσωσιν αὐτοῖς φαίνεσθαι, λέγει καὶ τὴν αἰτίαν· διὰ τὸ τὰς ἐντολάς μου τηρεῖν, λέγει ὅτι καὶ τὸ πνεῦμα οὕτω μέλλει φαίνεσθαι. εἰ δὲ τοσοῦτον αὐτῷ συγγινόμενοι χρόνον, οὔπω φέρουσιν ἐκείνην τὴν οὐσίαν, μᾶλλον δὲ οὐδὲ νοοῦσιν αὐτήν· τί ἂν ἔπαθον, εἰ παρὰ τὴν ἀρχὴν οὕτως αὐτοῖς ἐφάνη; διὰ τοῦτο καὶ συνεσθίει, ἵνα μὴ φάντασμα τὸ πρᾶγμα νομισθῇ. εἰ γὰρ ἐπὶ τῶν ὑδάτων ἰδόντες τοῦτο ἐνόμισαν, καίτοι τῆς αὐτῆς ὄψεως φαινομένης καὶ οὐ πρὸ πολλοῦ διαστάντος, τί ἂν ὑπώπτευσαν, εἴγε εἶδον αὐτὸν εὐθέως ἀναστάντα, ὃν εἶδον κατεχόμενον καὶ ἐσπαργανωμένον; διὰ τοῦτο συνεχῶς αὐτοῖς λέγει, ὅτι φανεῖται, καὶ διὰ τί φανεῖται, καὶ πῶς, ἵνα μὴ φάντασμα νομίσωσιν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. καὶ ὁ λόγος, ὃν ἠκούσατε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με. Ὥστε οὐκ ἐμὲ μόνον, ἀλλ' οὐδὲ τὸν πατέρα ἀγαπᾷ ὁ μὴ τούτων ἀκούων τῶν λόγων. εἰ γὰρ τοῦτο τεκμήριον ἀγάπης, τὸ ἀκούειν τῶν ἐντολῶν, αὗται δὲ τοῦ πατρός εἰσιν, ὁ ἀκούων οὐχὶ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα ἠγάπησε. πῶς δὲ σὸς καὶ οὐ σός; τουτέστιν, ὅτι οὐδὲν ἔξω τοῦ πατρὸς φθέγγομαι, οὐδὲ ἴδιόν τι ἄλλο παρὰ τὸ δοκοῦν ″αὐτῷ.

γρ. ἐκείνῳ.

25 Ταῦτα ἐλάλησα ὑμῖν παρ' ὑμῖν μένων. Ἐπειδὴ ταῦτα ἀσαφῆ ἦν, καὶ τὰ μὲν οὐδὲ συνίεσαν, τὰ δὲ πλείονα καὶ ἀμφέβαλλον, ἵνα μὴ θορυβῶνται πάλιν, μηδὲ λέγωσι, ποίας ἐντολάς, ἀπήλλαξεν αὐτοὺς τῆς ἀγωνίας ἁπάσης, εἰπών·

26 Ὁ δὲ παράκλητος, ὃν πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει.

Τάχα ἀσαφῆ τὰ εἰρημένα νῦν ὑμῖν, ἀλλ' ἔστι τούτων σαφὴς διδάσκαλος ἐκεῖνος. τὸ δὲ, παρ' ὑμῖν μένει, αἰνιττομένου ἐστὶν, ὅτι αὐτὸς ἄπεισιν. Εἶτα, ἵνα μὴ λυπῶνται, φησίν· ὅτι ἕως ἂν παρ' αὐτοῖς αὐτὸς μένῃ, καὶ τὸ πνεῦμα μὴ ἔρχηται, οὐδὲν μέγα οὐδὲ ὑψηλὸν δυνήσονται συνιδεῖν. ταῦτα δὲ λέγει, παρασκευάζων αὐτοὺς γενναίως ἐνεγκεῖν αὐτοῦ τὴν ἀναχώρησιν, ὡς μεγάλων αἰτίαν ἐσομένην αὐτοῖς ἀγαθῶν. Συνεχῶς δὲ παράκλητον καλεῖ, διὰ τὰς συνεχούσας αὐτοὺς τότε θλίψεις. ἐπεὶ οὖν καὶ ταῦτα ἀκούοντες ἐταράττοντο ἐννοοῦντες τὰς ἐπαχθείας, τοὺς πολέμους, τὴν ἀναχώρησιν τὴν αὐτοῦ, ὅρα πῶς αὐτοὺς καταστέλλει πάλιν λέγων·

27 Εἰρήνην ἀφίημι ὑμῖν, Μονονουχὶ λέγων, τί βλάπτεσθε ἀπὸ τῆς τοῦ κόσμου ταραχῆς, ἕως ἂν εἰρηνεύητε πρὸς ἐμέ; οὐ γὰρ τοιαύτη αὕτη ἡ εἰρήνη. ἡ μὲν γὰρ ἔξωθεν, καὶ ἐπὶ κακῷ γίνεται πολλάκις καὶ ἀνόνητος, καὶ τοὺς ἔχοντας οὐδὲν ὠφέλησεν· ἐγὼ δὲ δίδωμι τοιαύτην, ὥστε μετ' ἀλλήλων εἰρηνεύειν, ὅπερ ὑμᾶς ἰσχυροτέρους ποιεῖ. ἀλλ' ἐπειδὴ πάλιν εἶπεν, ἀφίημι, ὅπερ ἦν ἀναχωροῦντος, καὶ ἱκανὸν ἦν αὐτοὺς συγχεῖν, διὰ τοῦτο πάλιν φησί·

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. Ὁρᾷς ὅτι τὰ μὲν ″ὑπὸ φιλοστοργίας, τὰ δὲ ὑπὸ δειλίας ἔπασχον;

γρ. ἀπὸ

28 Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὅτι ὑπάγω πρὸς τὸν πατέρα, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ μείζων μού ἐστι. Καὶ ποίαν τοῦτο αὐτοῖς χαρὰν φέρειν ἔμελλε; ποίαν παραμυθίαν; τί οὖν ἐστι τὸ εἰρημένον; οὐδέπω ᾔδεσαν περὶ τῆς ἀναστάσεως, οὐδὲ οἵαν ἔχειν περὶ αὐτοῦ δόξαν εἶχον· πῶς γάρ, οἱ μηδὲ ὅτι ἀναστήσεται εἰδότες; τὸν δὲ πατέρα μέγαν εἶναι ἐνόμιζον. λέγει οὖν, ὅτι εἰ καὶ περὶ ἐμοῦ δεδοίκατε, ὡς οὐκ ἀρκοῦντος ″ἐμαυτῷ προστῆναι, οὐδὲ θαρρεῖτε ὅτι μετὰ τὸν σταυρὸν πάλιν ὑμᾶς ὄψομαι· ἀλλὰ ἀκούσαντες ὅτι πρὸς τὸν πατέρα ἀπέρχομαι, ἔδει χαίρειν λοιπόν, ὅτι πρὸς τὸν μείζονα ἄπειμι καὶ δυνατὸν πάντα λῦσαι τὰ δεινά. ὑμεῖς ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν. διὰ τί τοῦτο τέθεικεν; ὅτι οὕτω σφόδρα θαρρῶ, φησί, τοῖς γινομένοις, ὡς καὶ προειπεῖν· οὕτως οὐ δέδοικα.

γρ. ἑαυτῷ

29 Τοῦτο γοῦν καὶ μετὰ ταῦτα εἶπον ὑμῖν πρὶν γενέσθαι, ἵν', ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ

κεφ. ιδ.

γώ εἰμι. Ὡσανεὶ ἔλεγε, μὴ ᾔδειτε, εἰ μὴ ἐγὼ εἶπον. οὐκ ἂν δὲ εἶπον, εἰ μὴ ἐθάῤῥουν. Εἶδες συγκαταβάσεως τὸν λόγον ὄντα; καὶ γὰρ ὅταν λέγῃ· Δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα, καὶ παραστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων, πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων φθέγγεται. οὐδὲ γὰρ ἂν ἐκεῖνο εἴποι τις ἄν, κἂν σφόδρα ᾖ μεμηνώς, ὅτι οὐκ ἐδύνατο ἑαυτῷ βοηθῆσαι, ἀλλ' ἀγγέλων ἐδεῖτο· ἀλλ' ἐπειδὴ περὶ αὐτοῦ, ὡς ἀνθρώπου, δόξαν εἶχον, διὰ τοῦτό φησι δώδεκα λεγεῶνας ἀγγέλων. καίτοιγε ἁπλῶς αὐτοὺς ἠρώτησε, καὶ ἔρριψεν εἰς τὰ ὀπίσω. εἰ δὲ λέγοι τις μείζονα εἶναι τὸν πατέρα καθ' ὃ αἴτιος τοῦ υἱοῦ, οὐδὲ τοῦτο ἀντεροῦμεν. ἀλλ' οὐ μὴν τοῦτο ἑτέρας εἶναι τὸν υἱὸν οὐσίας ποιεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἕως μὲν ἂν ἐνταῦθα ὦ, εἰκὸς νομίζειν ὑμᾶς ὅτι κινδυνεύομεν· ἐὰν δὲ ἐκεῖ ἀπέλθω, θαῤῥεῖτε ὅτι ἐν ἀσφαλείᾳ ἐσμέν. ἐκείνου γὰρ οὐδεὶς περιγενέσθαι δυνήσεται. ταῦτα δὲ πάντα πρὸς τὴν ἀσθένειαν τῶν μαθητῶν ἐλέγετο. καὶ αὐτὸς μὲν γὰρ θαῤῥῶ καὶ οὐ φροντίζω τοῦ θανάτου. διὰ γὰρ τοῦτο εἶπε, ταῦτα εἶπον ὑμῖν πρὶν γενέσθαι. ἐπειδὴ δέ, φησιν, ὑμεῖς οὐδέπω δύνασθε τὸν περὶ τούτων δέξασθαι λόγον, καὶ ἀπὸ τοῦ πατρός, ὃν ὀνομάζετε μέγαν εἶναι, εἰσάγω τὴν παράκλησιν. παραμυθησάμενος τοίνυν αὐτούς, πάλιν λέγει τὰ λυπηρά·

γρ. αὐτ.

γρ. οὐ θαρ.

30 Οὐκέτι λαλήσω μεθ' ὑμῶν. διὰ τί; ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν. Κόσμου δὲ ἄρχοντα, τὸν διάβολόν φησι, καὶ τοὺς πονηροὺς ἀνθρώπους οὕτω καλῶν. οὐ γὰρ οὐρανοῦ ἄρχει καὶ γῆς· ἐπεὶ ἀνέτρεψε πάντα καὶ κατέβαλεν· ἄρχει δὲ τῶν ἑαυτοὺς παραδιδόντων αὐτῷ. διὰ τοῦτο καὶ ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου καλεῖ, σκότος ἐνταῦθα πάλιν τὰς πονηρὰς πράξεις καλῶν. τί οὖν; ὁ διάβολός σε ἀναιρεῖ; οὐδαμῶς. οὐ γὰρ ἔχει ἐν ἐμοὶ οὐδέν. πῶς οὖν σε ἀναιροῦσιν; ἐπειδὴ βούλομαι, καὶ ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πατέρα. οὐ γὰρ ὑπεύθυνος ὢν θανάτῳ, φησίν, οὐδὲ ὀφείλων αὐτῷ, διὰ τὴν ἀγάπην τὴν εἰς τὸν πατέρα ὑπομένω. τοῦτο δέ φησιν, ἵνα πάλιν αὐτῶν ἀναστήσῃ τὴν ψυχήν, καὶ μάθωσιν ὅτι οὐκ ἄκων, ἀλλ' ἑκὼν ἐπὶ τοῦτο ἔρχεται, καὶ ὅτι καταφρονῶν τοῦ διαβόλου. οὐ γὰρ ἤρκει τὸ εἰπεῖν, ὅτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, ἀλλὰ συνεχῶς αὐτοῖς τοῦτο στρέφει τὸ λυπηρόν, εἰκότως, ἕως ἂν αὐτὸ παρ' αὐτοῖς εὐπαράδεκτον ποιήσῃ παρυφαίνων αὐτῷ τὰ χρηστά. διὰ τοῦτο ποτὲ μὲν λέγει, ὑπάγω καὶ ἔρχομαι, καὶ ὅτι ὅπου εἰμὶ ἐγὼ ἵνα καὶ ὑμεῖς ἦτε· καί, οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσετε δὲ ὕστερον, καὶ πρὸς τὸν πατέρα πορεύομαι· καί, ὁ πατήρ μείζων μου ἐστί· καί, πρὶν γενέσθαι εἴρηκα ὑμῖν· καί, ὅτι οὐκ ἀπὸ ἀνάγκης ταῦτα πάσχω, ἀλλὰ δι' ἀγάπην τοῦ πατρός· ὥστε ἐννοῆσαι αὐτοὺς ὅτι οὐκ ὀλέθριον τὸ πρᾶγμα οὐδὲ βλάβην ἔχον, εἴγε ὅ τε σφόδρα αὐτὸν ἀγαπῶν, καὶ ὁ ἀγαπώμενος παρ' αὐτοῦ οὕτω βούλεται. διὰ δὴ τοῦτο τὰ χρηστὰ ταῦτα ἀναμιγνύς, συνεχῶς ἔλεγε καὶ τὰ λυπηρά, ἐγγυμνάζων αὐτῶν τὴν διάνοιαν. καὶ γὰρ τό, παρ' ὑμῖν μένει, καὶ ὅτι συμφέρει ὑμῖν ἡ ἀναχώρησις, παραμυθουμένου ἦν. διὰ γάρ τοι τοῦτο προλαβὼν μνεία εἶπε περὶ τοῦ πνεύματος, τό, ἐν ὑμῖν ἐστι, καί, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, καί, αὐτὸς ἀναμνήσει πάντα· καί, πνεῦμα ἀληθείας, καὶ πνεῦμα ἅγιον, καὶ παράκλητον· καί, ὅτι συμφέρει ὑμῖν, ἵνα μὴ ἀθυμῶσιν ὡς οὐδενὸς ὄντος τοῦ προστησομένου καὶ βοηθήσοντος. συμφέρει δὲ λέγει, δηλῶν ὅτι πνευματικοὺς αὐτοὺς ἐργάσεται.

αὐτῷ, τί,

Ματθ κϛ. νγ.

ΗΘΙΚΟΝ

Τοῦτο γοῦν καὶ ὁρῶμεν γεγενημένον. οἱ γὰρ τρέμοντες καὶ δεδοικότες, μετὰ τὸ λαβεῖν τὸ πνεῦμα εἰς μέσους ἥλλοντο τοὺς κινδύνους, καὶ πρὸς σίδηρον καὶ πῦρ καὶ θηρία καὶ πελάγη, καὶ πρὸς πᾶσαν ἀπεδύσαντο τιμωρίαν. καὶ οἱ ἀγράμματοι καὶ ἰδιῶται μετὰ τοσαύτης διελέγοντο παῤῥησίας, ὡς ἐκπλήττειν τοὺς ἀκροωμένους. ἀπὸ γὰρ πηλίνων σιδηροῦς αὐτοὺς ἐποίησε τὸ πνεῦμα, καὶ τελείους εἰργάσατο, καὶ πρὸς οὐδὲν τῶν ἀνθρωπίνων καταπεσεῖν ἀφῆκε. τοιαύτη γὰρ ἡ χάρις ἐκείνη. κἂν ἀθυμίαν εὕρῃ, διαλύει, κἂν ἐπιθυμίαν πονηράν,

νηρὰν, δαπανᾷ, κἂν δειλίαν, ἐκβάλλει, καὶ οὐκ ἀφίησι λοιπὸν ἄνθρωπον εἶναι τῶν μεταξὺ ὄντα αὐτοῦ, ἀλλ' ὥσπερ εἰς αὐτὸν μεταστάντα τὸν οὐρανὸν, πάντα τὰ ἐκεῖ φαντάζεσθαι παρασκευάζει. διὰ τοῦτο οὐδεὶς τι τῶν ὑπαρχόντων" αὐτῷ ἔλεγεν ἴδιον εἶναι· ἀλλὰ προσεκαρτέρουν ταῖς εὐχαῖς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας. τούτου γὰρ μάλιστα δεῖται τὸ πνεῦμα τὸ ἅγιον. Ὁ γὰρ καρπὸς τοῦ πνεύματος, χαρὰ, εἰρήνη, πίστις, πρᾳότης. καὶ μὴν καὶ ἀλγοῦσι πολλάκις οἱ πνευματικοί, φησιν. ἀλλ' ἡ λύπη χαρᾶς ἐστιν ἡδίων. ἐπεὶ καὶ ὁ Κάϊν ἐλυπήθη, ἀλλὰ τὴν τοῦ κόσμου λύπην· καὶ ὁ Παῦλος ἐλυπήθη, ἀλλὰ τὴν κατὰ Θεόν. πᾶν γὰρ ὅπερ ἂν ᾖ πνευματικὸν, κέρδος ἔχει μέγιστον· ὥσπερ καὶ τὸ κοσμικὸν ἅπαν, ζημίαν ἐσχάτην. ἐπισπασώμεθα τοίνυν τὴν ἄμαχον τοῦ πνεύματος βοήθειαν, τὰς ἐντολὰς τηροῦντες, καὶ οὐδὲν τῶν ἀγγέλων ἐσόμεθα ἐλάττους. οὔτε γὰρ ἐκεῖνοι, ἐπειδὴ ἀσώματοί εἰσι, τοιοῦτοί εἰσιν (εἰ γὰρ τοῦτο ἦν, οὐδεὶς ἂν τῶν ἀσωμάτων ἐγένετο πονηρός) ἀλλ' ἡ προαίρεσις πανταχοῦ πάντων αἰτία. διὰ τοῦτο καὶ ἐν τοῖς ἀσωμάτοις, ἀνθρώπων χείρους καὶ ἀλόγων εὑρέθησαν· καὶ ἐν τοῖς σώματα ἔχουσιν, ἀσωμάτων κρείττους. πάντες γοῦν οἱ δίκαιοι τὴν γῆν οἰκοῦντες, καὶ σώματα ἔχοντες, κατώρθωσαν ἅπερ κατώρθωσαν. ὡς γὰρ παρεπίδημοι ὄντες καὶ ξένοι, τὴν γῆν ᾤκησαν· τὸν δὲ οὐρανὸν, ὡς πολῖται. μὴ τοίνυν μηδὲ σὺ λέγε, σάρκα περίκειμαι· οὐ δύναμαι περιγενέσθαι," οὐδὲ τῶν ὑπὲρ ἀρετῆς ἱδρώτων λαβέσθαι. μὴ κατηγορήσῃς τοῦ δημιουργοῦ. εἰ γὰρ τὸ σάρκα φορεῖν ἀδύνατον ποιεῖ τὴν ἀρετὴν, οὐχ ἡμέτερον τὸ ἔγκλημα. ὅτι δὲ οὐ ποιεῖ ἀδύνατον, ἔδειξεν ὁ τῶν ἁγίων χορός. τὸν γοῦν Παῦλον οὐκ ἐκώλυσε τῆς σαρκὸς ἡ φύσις γενέσθαι τοιοῦτον, οἷος ἐγένετο· οὐδὲ Πέτρον λαβεῖν τὰς κλεῖς τῶν οὐρανῶν. καὶ ὁ Ἐνὼχ δὲ σάρκα φορέσας, μετετέθη, καὶ οὐχ εὑρίσκετο. οὕτω καὶ ὁ Ἠλίας ἡρπάγη μετὰ τῆς σαρκός· καὶ ὁ Ἀβραὰμ μετὰ τοῦ Ἰσαὰκ καὶ τοῦ ἐγγόνου σάρκα ἔχοντες ἔλαμψαν· καὶ ὁ Ἰωσὴφ μετὰ ταύτης ἐπάλαισε πρὸς τὸ ἀκόλαστον ἐκεῖνο γύναιον. καὶ τί λέγω σάρκα; κἂν γὰρ ἅλυσιν τῇ σαρκὶ περιθῇς, οὐδὲν ἐβλάβη. Εἰ γὰρ καὶ ἐγὼ δέδεμαι, φησὶν ὁ Παῦλος, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. καὶ τί λέγω δεσμὰ καὶ ἅλυσιν; πρόσθες καὶ" δεσμωτήριον καὶ κλεῖθρα, καὶ οὐδὲ οὕτω κώλυμα γίνεται ταῦτα τῇ ἀρετῇ. οὕτω γοῦν ἐμυσταγώγησεν ὁ Παῦλος. δεσμὸς γὰρ ψυχῆς, οὐ σίδηρος, ἀλλὰ δειλία καὶ χρημάτων ἐπιθυμία, καὶ τὰ μυρία πάθη. ταῦτα δεσμεῖ, κἂν λελυμένον ᾖ τὸ σῶμα. ἀλλ' ἀπὸ τοῦ σώματος ταῦτα τίκτεται, φησί. σκῆψις ταῦτα καὶ πρόφασις ψευδής. εἰ γὰρ ἀπὸ τοῦ σώματος ἐτίκτετο, πάντες ἂν αὐτὰ ὑπέμενον. ὥσπερ γὰρ κόπον καὶ ὕπνον καὶ τὸ πεινῆν καὶ διψῆν οὐκ ἔνι διαφυγεῖν, ἐπειδὴ φύσεώς ἐστιν· οὕτω καὶ ταῦτα, εἰ τοιαῦτα ἦν, οὐδένα ἂν ἀφῆκαν ἔξω τῆς αὐτῶν εἶναι τυραννίδος. εἰ δὲ πολλοὶ διαφεύγουσιν, εὔδηλον ὅτι ῥᾳθυμούσης ἐστὶ ψυχῆς τὰ τοιαῦτα ἐλαττώματα. ταύτην τοίνυν ἐγκόψωμεν, καὶ μὴ κατηγορῶμεν τοῦ σώματος, ἀλλ' ὑποτάξωμεν αὐτὸ τῇ ψυχῇ· ἵνα εὐήνιον ἔχοντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. δ. λβ.

Γαλ. ε. κβ.

β. Τιμ. β. θ.

γρ. αὐτοῦ

γρ. τῶν ὑπὲρ ἀρετῆς ἱδρώτων. μὴ κατηγ.

γρ. δεσμωτήρια

κεφ. ιε.

Ὁμιλ. οϛ. 31 ΕΓΕΙΡΕΣΘΕ, ΑΓΩΜΕΝ ΕΝΤΕΥΘΕΝ. 1 ΕΓΩ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· ὑμεῖς τὰ κλήματα, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι.

ΔΕιλὴν καὶ ἄνανδρον τὴν ψυχὴν ἡ ἀμαθία ποιεῖ· ὥσπερ οὖν μεγάλην καὶ ὑψηλὴν, ἡ τῶν οὐρανίων δογμάτων παίδευσις. οὐδεμιᾶς γὰρ ἀπολαύουσα ἐπιμελείας, δειλή τίς ἐστιν· οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ προαίρεσιν. ὅταν γὰρ ἴδω τὸν ἀνδρεῖον μὲν ποτε, νῦν δὲ δειλὸν, οὐκέτι φύσεως εἶναι φημὶ τὸ πάθος. τὰ γὰρ τῆς φύσεως ἀμετάθετα. πάλιν, ὅταν ἴδω τοὺς νῦν δειλοὺς ἀθρόον τολμητὰς γινομένους, τὸ αὐτὸ πάλιν

ψηφίζομαι, τῇ προαιρέσει τὸ πᾶν ἀναθείς. ἐπεὶ δὲ οἱ μαθηταὶ σφόδρα ἦσαν δειλοί, πρὶν ἢ μαθεῖν ἅπερ ἐχρῆν, καὶ τῆς τοῦ πνεύματος ἀξιωθῆναι δωρεᾶς· ὕστερον μέντοι, λεόντων ἐγένοντο θρασύτεροι. ὁ δὲ Πέτρος, κορασίου οὐκ ἐνεγκὼν ἀπειλήν, μετὰ ταῦτα κεφαλῆς ἐκρέματο καὶ ἐμαστιγοῦτο, καὶ μυρία κινδυνεύων οὐκ ἐσίγα· ἀλλ' ὥσπερ ὄναρ πάσχων ἃ ἔπασχεν, οὕτως ἐπαρρησιάζετο. ἀλλ' οὐ πρὸ τοῦ σταυροῦ. διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. τίνος ἕνεκεν, εἰπέ μοι; οὐκ ᾔδει τὴν ὥραν, καθ' ἣν ἔμελλεν ἐπιστῆναι ὁ Ἰούδας; ἀλλ' ἐδεδοίκει μὴ ἐκεῖ ἐλθὼν κατάσχῃ αὐτούς, καὶ πρὶν ἢ πληρῶσαι τὴν ἀρίστην διδασκαλίαν, ἐπιστῶσιν οἱ ἐπιβουλεύοντες; ἄπαγε· πόρρω ταῦτα αὐτοῦ τῆς ἀξίας. εἰ τοίνυν μὴ ἐδεδοίκει, τί δήποτε ἀπανίστησιν αὐτούς, καὶ μετὰ τὸ πληρῶσαι, τότε εἰς τὸν κῆπον ἄγει τὸν τῷ Ἰούδᾳ γνώριμον; εἰ δὲ καὶ παρεγένετο ὁ Ἰούδας, οὐκ ἠδύνατο αὐτὸν πηρῶσαι ταῖς ὄψεσιν, ὃ καὶ μὴ παρόντος ἐποίησε; τίνος οὖν ἕνεκεν ἀφίσταται; μικρὸν ἀναπνεῦσαι δίδωσι τοῖς μαθηταῖς. καὶ γὰρ εἰκὸς ἦν αὐτούς, ἅτε ἐν καταδήλῳ χωρίῳ ὄντας, τρέμειν καὶ δεδοικέναι, ἀπό τε τοῦ καιροῦ, ἀπό τε τοῦ τόπου (καὶ γὰρ νὺξ ἦν βαθυτάτη) καὶ μηδὲ '' προσέχειν τοῖς λεγομένοις, ἀλλ' ἀεὶ περιστρέφεσθαι καὶ φαντάζεσθαι τοὺς ἐπιστησομένους· καὶ μάλιστα ὁπότε καὶ ὁ λόγος ὁ τοῦ διδασκάλου προσδοκᾶν ἐποίει τὰ δεινά. ἔτι γὰρ μικρόν, φησι, καὶ οὐκ εἰμὶ μεθ' ὑμῶν, καὶ ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων. ἐπεὶ οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἀκούοντες ἐθορυβοῦντο, ὡς αὐτίκα μάλα ἁλωσόμενοι, ἄγει εἰς τόπον αὐτοὺς ἕτερον, ἵνα νομίσαντες ἐν ἀσφαλείᾳ εἶναι, μετὰ ἀδείας λοιπὸν ἀκούωσι. καὶ γὰρ ἔμελλον μεγάλων ἀκούσεσθαι δογμάτων. διὰ τοῦτό φησιν, ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. εἶτα ''ἐπαγαγών, φησιν· ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. τί βούλεται διὰ τῆς παραβολῆς αἰνίττεσθαι; ὅτι τὸν μὴ προσέχοντα τοῖς λεγομένοις ζῆν οὐκ ἔνι, καὶ ὅτι τὰ μέλλοντα σημεῖα ἀπὸ τῆς τοῦ Χριστοῦ γίνεται δυνάμεως. ὁ πατήρ μου ὁ γεωργός ἐστι. τί οὖν; ἐνεργείας δεῖται ὁ υἱός; ἄπαγε. τὸ γὰρ ὑπόδειγμα τοῦτο οὐ τοῦτο δηλοῖ. ὅρα γοῦν μεθ' ὅσης ἀκριβείας ἐπέρχεται τὴν παραβολήν. οὐ γὰρ τὴν ῥίζαν ἀπολαύειν τῆς ἐπιμελείας τοῦ γεωργοῦ, ἀλλὰ τὰ κλήματά φησιν. ἡ ῥίζα δὲ δι' οὐδὲν παρείληπται ἐνταῦθα, ἀλλ' ἵνα μάθωσιν, ὅτι τῆς αὐτοῦ δυνάμεως χωρὶς οὐδὲν ἐργάζεσθαι δύνανται, καὶ ὅτι οὕτως αὐτοὺς ἑνῶσθαι δεῖ τῇ πίστει, ὡς τὸ κλῆμα τῇ ἀμπέλῳ.

γρ. καὶ παρῆσαν ἐπί.

γρ. προσέχειν

γρ. ἐπαγαγών,

2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτὸ ὁ πατήρ. Ἐνταῦθα τὸν βίον αἰνίττεται, δεικνύς, ὅτι χωρὶς ἔργων οὐκ ἔστιν εἶναι ἐν αὐτῷ. Καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό· Τουτέστι, πολλῆς ἐπιμελείας ἀπολαύειν ποιεῖ. καίτοι ἡ ῥίζα δεῖται ἐπιμελείας πρὸ τῶν κλημάτων, περισκαπτομένη, γυμνουμένη· ἀλλ' οὐδὲν ἐνταῦθα περὶ ταύτης φησίν, ἀλλὰ τὸ πᾶν περὶ τῶν κλημάτων· δεικνύς, ὅτι αὐτὸς μὲν ἑαυτῷ ἀρκεῖ, οἱ δὲ μαθηταὶ δέονται πολλῆς παρὰ τοῦ γεωργοῦ βοηθείας, κἂν σφόδρα ἐνάρετοι ὦσι. διὰ τοῦτό φησι, τὸ καρπὸν φέρον, καθαίρει αὐτό. τὸ μὲν γάρ, ἐπειδὴ ἄκαρπόν ἐστιν, οὐδὲ ἐν τῇ ἀμπέλῳ εἶναι δύναται· τὸ δέ, ἐπειδὴ καρπὸν φέρει, γονιμώτερον αὐτὸ ἐργάζεται. τοῦτο δὲ καὶ πρὸς τὰς θλίψεις αὐτὸν εἰρῆσθαι τὰς τότε ἐπαγομένας εἴποι τις ἄν. τὸ γάρ, καθαίρει αὐτό, περικόπτει ἐστίν, ὅπερ γονιμώτερον ποιεῖ τὸ κλῆμα. ὅθεν δείκνυται ὅτι οἱ πειρασμοὶ μᾶλλον αὐτοὺς ἰσχυροτέρους ἐργάζονται. εἶτα, ἵνα μὴ λέγωσι, περὶ τίνων ταῦτα λέγει, καὶ πάλιν εἰς φροντίδα αὐτοὺς ἐμβάλῃ, φησίν· 3 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν.

Ὁρᾷς πῶς ἑαυτὸν εἰσάγει ἐπιμελούμενον τῶν κλημάτων; ἐγὼ γὰρ ὑμᾶς ἐκάθηρα, φησι. καίτοι γε ἀνωτέρω δείκνυσι τὸν πατέρα τοῦτο ποιοῦντα. ἀλλ' οὐδὲν μέσον πατρὸς καὶ υἱοῦ. δεῖ δὲ ὑπάρξαι λοιπὸν τὰ παρ' ὑμῶν. εἶτα, ἵνα δείξῃ, ὅτι οὐχὶ τῆς αὐτῶν δεόμενος ''διακονίας τοῦτο ἐποίησεν, ἀλλ' ἵνα προκόψωσιν, ἐπάγει· 4 Ὥσπερ τὸ κλῆμα οὐ δύναται ἀφ' ἑαυτοῦ φέρειν καρπόν, οὕτως οὐδὲ ὁ ἐν ἐμοὶ μὴ μένων. Ἵνα γὰρ μὴ ἀπὸ τῆς δειλίας ἀποσχισθῶσι,

γρ. διδασκαλίας

ἀποραθῶσι, χαυνωθεῖσαν αὐτῶν τῷ φόβῳ τὴν ψυχὴν ἐπισφίγγει καὶ ἑαυτῷ συγκολλᾷ καὶ χρηστὰς ὑποτείνει λοιπὸν ἐλπίδας. ἡ μὲν γὰρ ῥίζα μένει· τὸ δὲ αἱρεῖσθαι καὶ ἀφίεσθαι, τῶν κλημάτων ἐστίν. Εἶτα, ἑκατέρωθεν παρορμήσας, καὶ ἀπὸ τῶν χρηστῶν, καὶ ἀπὸ τῶν λυπηρῶν, τὰ παρ' ἡμῶν ἀπαιτεῖ πρᾶξαι·

5 Ὁ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ. Ὁρᾷς καὶ τὸν υἱὸν οὐκ ἔλαττον συντελοῦντα τοῦ πατρὸς περὶ τὴν τῶν μαθητῶν ἐπιμέλειαν; ὁ μὲν γὰρ πατὴρ καθαίρει, αὐτὸς δὲ ἐν ἑαυτῷ κατέχει. Τὸ δὲ ἐν τῇ ῥίζῃ μένειν, τοῦτο ποιεῖ καρποφορεῖν τὰ κλήματα. τὸ μὲν γὰρ μὴ καθαιρόμενον, μένον δὲ ἐν τῇ ῥίζῃ, φέρει καρπόν, εἰ καὶ μὴ ὅσον προσῆκε· τὸ δὲ μὴ μένον, οὐδ' ὅλως. Ἀλλ' ὅμως καὶ τὸ καθαίρειν, τοῦ υἱοῦ ἐδείχθη ὄν, καὶ τὸ μένειν ἐν τῇ ῥίζῃ, τοῦ πατρὸς τοῦ καὶ τὴν ῥίζαν γεγεννηκότος. Εἶδες πῶς κοινὰ πάντα, καὶ τὸ καθαίρειν, καὶ τὸ τῆς δυνάμεως τῆς ἀπὸ τῆς ῥίζης ἀπολαύειν; μεγάλη μὲν οὖν ζημία καὶ τὸ μηδὲν δύνασθαι ποιεῖν, πλὴν οὐ μέχρι τούτου ἵστησι τὴν κόλασιν, ἀλλὰ περαιτέρω προάγει τὸν λόγον. 6 Ἐβλήθη γάρ, φησιν, ἔξω. Οὐκ ἔτι τῆς γεωργικῆς ἀπολαῦον χειρός· Καὶ ξηραίνεται, Τουτέστιν, εἴ τι εἶχε τῆς ῥίζης, ἀποτίθεται, εἴ τινα χάριν, γυμνοῦται ταύτης, καὶ ἐρημοῦται τῆς ἐκεῖθεν βοηθείας καὶ ζωῆς. καὶ τί τὸ τέλος; Εἰς τὸ πῦρ βάλλεται. Ἀλλ' οὐ τοιοῦτος ὁ μένων παρ' αὐτῷ. Εἶτα δείκνυσι τί ἐστι τὸ μένειν, καί φησιν· 7 Ἐὰν τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ. Ὁρᾷς ὅτι καὶ περὶ τούτου εἰκότως ἔλεγον, ὅτι τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ζητεῖ; Εἰπὼν γάρ, ὅτι ὃ ἐὰν αἰτήσητε ποιήσω, ἐπήγαγεν· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσετε· καὶ ἐνταῦθα, ἐὰν μένητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θελήσητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οἱ μὲν ἐπιβουλεύοντες αὐτῷ, κατακαήσονται· αὐτοὶ δὲ καρπὸν οἴσουσι. τὸν φόβον τοίνυν ἐξ αὐτῶν εἰς ἐκείνους μεταθείς, καὶ δείξας ὅτι αὐτοὶ ἀκαταγώνιστοι ἔσονται, φησιν· 8 Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα ὑμεῖς ἐμοὶ γένησθε μαθηταί, καὶ καρπὸν πολὺν φέρητε. Ἐντεῦθεν τὸν λόγον ἀξιόπιστον ποιεῖ. Εἰ γὰρ εἰς δόξαν τοῦ πατρὸς ἀνήκει τὸ καρποφορεῖν, οὐκ ἀμελήσει τῆς δόξης τῆς ἑαυτοῦ. καὶ γενήσεσθε ἐμοὶ μαθηταί. ὁρᾷς πῶς ὁ τὸν καρπὸν φέρων, ἐκεῖνός ἐστι μαθητής; τί δέ ἐστιν, ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ; τουτέστι, χαίρει, ὅταν ἐν ἐμοὶ μένητε, ὅταν καρπὸν φέρητε.

9 Καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς. Ἐνταῦθα λοιπὸν ἀνθρωπινώτερον διαλέγεται. τὸ γάρ, ὡς πρὸς ἀνθρώπους εἰρημένον, τὴν οἰκείαν ἔχει ἰσχύν. ὁ γὰρ καὶ ἀποθανεῖν ἑλόμενος, καὶ δούλους ὄντας καὶ ἐχθροὺς καὶ πολεμίους τοσαύτης καταξιώσας τιμῆς, καὶ εἰς οὐρανοὺς ἀναγαγών, πόσον ἐπεδείξατο μέτρον ἀγάπης; Εἰ τοίνυν ἀγαπῶ ὑμᾶς, θαρρεῖτε· εἰ τοῦ πατρός ἐστι δόξα τὸ καρποφορεῖν, μηδὲν ὑποπτεύετε πονηρόν. Εἶτα ἵνα μὴ ὑπτίους ἐργάσηται, ὅρα πῶς ἐπισφίγγει πάλιν. Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

Τούτου γὰρ ὑμεῖς κύριοι. πῶς δὲ τοῦτο ἔσται; 10 Ἐὰν τὰς ἐντολάς μου τηρῆτε, φησί, καθὼς ἐγὼ τοῦ πατρὸς τὰς ἐντολὰς τετήρηκα. Πάλιν ἀνθρωπίνως ὁ λόγος πρόεισιν. οὐ γὰρ δήπου ὁ νομοθέτης ὑπὸ ἐντολὰς ἔμελλε κεῖσθαι. ὁρᾷς ὅτι ὅπερ ἀεὶ λέγω, τοῦτο καὶ ἐνταῦθα δείκνυται διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν; πρὸς γὰρ τὴν ὑπόνοιαν αὐτῶν τὰ πολλὰ λέγει, καὶ διὰ πάντων δείκνυσιν ἐν ἀσφαλείᾳ ὄντας, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἀπολλυμένους, καὶ τὰ πάντα, ὅπερ ἔχουσιν, ἀπὸ τοῦ υἱοῦ ἔχουσι, καὶ ὅτι βίον ἂν ἐπιδείξωνται καθαρόν, οὐδεὶς αὐτῶν περιέσται ποτέ. σκόπει δὲ αὐτὸν αὐθεντικώτερον αὐτοῖς διαλεγόμενον. οὐ γὰρ εἶπε, μείνατε ἐν τῇ ἀγάπῃ τοῦ πατρός, ἀλλ' ἐν τῇ ἐμῇ· εἶτα ἵνα μὴ λέγωσιν, ὅτε πᾶσιν ἡμᾶς ἐξεπολέμωσας, τότε ἡμᾶς ἀφίης καὶ διαχωρεῖς, δείκνυσιν ὅτι οὐκ ἀφίησιν, ἀλλ' οὕτως αὐτοῖς κεκόλληται, ἐὰν θέλωσιν, ὡς τὸ κλῆμα [ἐν] τῇ ἀμπέλῳ. καὶ πάλιν, ἵνα μὴ θαρρήσαντες ὕπτιοι γένωνται, οὐ φησιν ἀκίνητον εἶναι τὸ καλόν, ἐὰν ῥαθυμῶσιν. Εἶτα ἵνα μὴ εἰς ἑαυτὸν περιστήσῃ τὸ πρᾶγμα, καὶ πεσεῖν παρασκευάσῃ μᾶλλον, φησιν· ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ. πανταχοῦ γὰρ τὴν ἑαυτοῦ καὶ τὴν

τοῦ πατρὸς δείκνυσιν ἀγάπην εἰς αὐτούς. Οὐκ ἄρα τὰ Ἰουδαίων δόξα, ἀλλὰ ταῦτα ἀεμήγον λαμβάνειν. Εἶτα, ἵνα μὴ λέγωσιν, ἐξεπέσομεν τῶν πατρῴων, ἐγκατελείφθημεν, γυμνοὶ καὶ ἔρημοι πάντων ἐγενόμεθα, εἰς ἐμέ, φησι, βλέπετε. ἠγάπημαι παρὰ τοῦ πατρός, ἀλλ' ὅμως πάσχω ταῦτα τὰ προκείμενα. οὐ τοίνυν οὐδὲ ὑμᾶς διὰ τὸ μὴ ἀγαπᾶν ἐγκαταλιμπάνω νῦν. εἰ γὰρ ἐγὼ ἀναιροῦμαι, καὶ οὐ ποιοῦμαι τοῦτο τεκμήριον τοῦ μὴ ἀγαπᾶσθαι παρὰ τοῦ πατρός, οὐδὲ ὑμᾶς θορυβεῖσθαι χρή. ἂν γὰρ ἐπὶ τῆς ἀγάπης μένητε τῆς ἐμῆς, οὐδὲν ὑμᾶς ταῦτα τὰ δεινὰ παραβλάψαι δυνήσεται εἰς τὸν τῆς ἀγάπης λόγον.

γ. ἐγκατελιπόμεθα,

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν μέγα τὸ ἀκαταγώνιστον ἡ ἀγάπη, καὶ οὐκ ἔστι ῥῆμα ψιλόν, ἐπιδειξώμεθα διὰ τῶν ἔργων αὐτήν. αὐτὸς ἐχθροὺς ὄντας κατήλλαξεν, ἡμεῖς φίλοι γενόμενοι μείνωμεν· αὐτὸς ἤρξατο, ἡμεῖς κἂν ἀκολουθήσωμεν· αὐτὸς οὐκ εἰς οἰκεῖον κέρδος ἀγαπᾷ (ἀνενδεὴς γάρ ἐστιν) ἡμεῖς κἂν εἰς τὸ συμφέρον ἡμῖν· αὐτὸς ἐχθροὺς ὄντας ἐφίλησεν, ἡμεῖς κἂν φίλον ὄντα ἀγαπήσωμεν· ὡς νῦν γε τὰ ἐναντία ποιοῦμεν. καθ' ἑκάστην γὰρ ἡμέραν βλασφημεῖται δι' ἡμᾶς ὁ Θεός, διὰ τὰς ἁρπαγάς, διὰ τὰς πλεονεξίας. καὶ τάχα τις ὑμῶν ἴσως ἐρεῖ· καθ' ἑκάστην ἡμέραν περὶ πλεονεξίας διαλέγῃ. Εἴθε καὶ καθ' ἑκάστην νύκτα ἐνῆν τοῦτο εἰπεῖν· εἴθε καὶ ἐν ἀγορᾷ παρακολουθοῦντα, καὶ ἐπὶ τῆς τραπέζης· εἴθε καὶ γυναῖκας, καὶ φίλους, καὶ παῖδας, καὶ οἰκέτας, καὶ γεωργούς, καὶ γείτονας, καὶ αὐτὸ τὸ ἔδαφος, καὶ τοὺς τοίχους ἦν δυνατὸν ταύτην ἀεὶ ῥηγνῦναι τὴν φωνήν, ἵνα κἂν μικρὸν οὕτως ἐνεδώκαμεν. τὴν γὰρ οἰκουμένην κατέλαβεν ἅπασαν τουτὶ τὸ νόσημα, καὶ τὰς πάντων κατέχει ψυχάς, καὶ πολλὴ τοῦ μαμμωνᾶ ἡ τυραννίς. ὑπὸ Χριστοῦ ἐλυτρώθημεν, καὶ τῷ χρυσίῳ δουλεύομεν. ἑτέρου τὴν δεσποτείαν ἀνακηρύττομεν, καὶ ἑτέρῳ πειθόμεθα· καὶ ὅπερ ἂν ἐπιτάξῃ, μετὰ προθυμίας ὑπακούομεν, καὶ γένος, καὶ φιλίαν, καὶ φύσιν, καὶ νόμους, καὶ πάντα ἠγνοήσαμεν δι' ἐκεῖνον. οὐδεὶς ἀναβλέπει εἰς τὸν οὐρανόν· οὐδεὶς ἐννοεῖ τὰ μέλλοντα. ἀλλ' ἔσται καιρός, ὅτε οὐδὲ τῶν λόγων τούτων ἔσται κέρδος. Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; ποθεινὸν τὸ χρυσίον, καὶ πολλὴν παρέχει τὴν τρυφὴν ἡμῖν, καὶ τιμίους εἶναι ποιεῖ· ἀλλ' οὐχ οὕτως, ὡς ὁ οὐρανός. τὸν γὰρ πλουτοῦντα καὶ ἀποστρέφονται πολλοὶ καὶ μισοῦσι· τὸν δὲ ἐν ἀρετῇ ζῶντα αἰδοῦνται καὶ τιμῶσιν. ἀλλὰ καταγελᾶται ὁ πένης, κἂν ἐνάρετος ᾖ, φησιν. ἀλλ' οὐ παρὰ τοῖς ἀνθρώποις, ἀλλὰ παρὰ τοῖς ἀλόγοις. διόπερ οὐδὲ ἐπιστρέφεσθαι χρή. οὐδὲ γάρ, εἰ κατεμυκῶντο μὲν ὄνοι, καὶ κατέκραζον κολοιοί, οἱ δὲ σοφοὶ πάντες ἐπῄνουν· ἀφέντες τοῦτο τὸ θέατρον, πρὸς τὰς τῶν ἀλόγων κραυγὰς εἴδομεν ἄν. καὶ γὰρ ὅμοιοι κολοιῶν, καὶ ὄνων χείρους οἱ τὰ παρόντα θαυμάζοντες. Εἶτα ἂν μὲν βασιλεὺς ἐπίγειος θαυμάζῃ, οὐδένα τῶν πολλῶν ποιῇ λόγον, κἂν πάντες καταγελῶσιν· ἂν δὲ ὁ τῶν ὅλων δεσπότης σε ἐπαινῇ, κανθάρων καὶ κωνώπων εὐφημίας ἐπιζητεῖς; τοῦτο γὰρ οὗτοι πρὸς τὸν Θεόν, μᾶλλον δὲ οὐδὲ τοῦτο, ἀλλ' εἴ τι τούτων εὐτελέστερον. μέχρι τίνος ἐν βορβόρῳ στρεφόμεθα; μέχρι τίνος βλάκας καὶ γαστριμάργους καθίζομεν ἡμῖν θεατάς; ἐκεῖνοι τοὺς κυβεύοντας δύναιντ' ἂν δοκιμάζειν καλῶς, τοὺς μεθύοντας, τοὺς τῇ γαστρὶ ζῶντας· ἀρετῆς δὲ καὶ κακίας οὐδὲ ὄναρ φαντάζεσθαι δύνανται. εἶτα ἐὰν μέν τίς σε σκώπτῃ, ὅτι τοὺς ὀχετοὺς τῶν ἀμαρῶν οὐκ ἐπίστασαι ἕλκειν, οὐδὲν ἡγήσῃ δεινόν, ἀλλὰ καὶ καταπελάσῃ τοῦ τὴν ἀπειρίαν ταύτην προβαλλομένου· ἀρετὴν δὲ ἀσκεῖν βουλόμενος, τοὺς οὐδὲν ταύτης εἰδότας, δοκιμαστὰς τούτων καθίζεις; διὰ τοῦτο οὐδέποτε φθάνομεν εἰς τὴν τέχνην ἐκείνην. οὐ γὰρ τοῖς ἐμπείροις, ἀλλὰ τοῖς ἀμαθέσιν ἐπιτρέπομεν τὰ ἡμέτερα. ἐκεῖνοι δὲ οὐ κατὰ τὸν τῆς τέχνης λόγον, ἀλλὰ κατὰ τὴν οἰκείαν ἀμαθίαν δοκιμάζουσι. διόπερ, παρακαλῶ, καταφρονῶμεν τῶν πολλῶν· μᾶλλον δὲ μηδὲ ἐπαίνων ἐπιθυμῶμεν, μὴ χρημάτων, μὴ πλούτου, μηδὲ κακόν τι νομίζωμεν πενίαν. καὶ γὰρ φρονήσεως καὶ καρτερίας καὶ πάσης φιλοσοφίας διδάσκαλος ἡμῖν ἡ πενία. ἐπεὶ καὶ ὁ Λάζαρος πενίᾳ συνέζη, καὶ ἐστεφανοῦτο· καὶ ὁ Ἰακὼβ ἄρτου μόνου ἐπιτυχεῖν ἐπεθύμει, καὶ ὁ Ἰωσὴφ ἐν ἐσχάτῃ

γ. καιρός.

Ψαλμ. ϛ. ϛ.

πενίᾳ

πενία ἐπεγένει, καὶ οὐχὶ δοῦλος μόνον ἦν, ἀλλὰ καὶ δεσμώτης· καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν. καὶ οὐχ οὕτως ἐπαινοῦμεν, ὅτε τὸν σῖτον διένεμεν, ὡς ὅτε τὸ δεσμωτήριον ᾤκει· οὐχ ὅτε τὸ διάδημα περιέκειτο, ἀλλ' ὅτε τὴν ἅλυσιν· οὐχ ὅτε ἐπὶ τοῦ θρόνου ἐκαθέζετο, ἀλλ' ὅτε ἐπεβουλεύετο καὶ ἐπολεμεῖτο. Ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ τοὺς ἀπὸ τῶν ἀγώνων τούτων πλεκομένους στεφάνους, μὴ πλοῦτον καὶ τιμὴν καὶ τρυφὰς καὶ δυναστείαν· ἀλλὰ πενίαν, καὶ ἅλυσιν, καὶ δεσμὰ, καὶ καρτερίαν τὴν ὑπὲρ ἀρετῆς θαυμάζωμεν. τὸ μὲν γὰρ τέλος ἐκείνων, θορύβων γέμει καὶ ταραχῆς, καὶ τῷ παρόντι συγκεκλήρωται βίῳ· ὁ δὲ τούτων καρπὸς, οὐρανὸς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

γ. ἐπολεμ.

γ. τρυφὴν

Ὁμιλ. οζ. 11 ΤΑΥΤΑ ΛΕΛΑΛΗΚΑ ΥΜΙΝ, ΙΝΑ Η ΧΑΡΑ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. 12 Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

ΠΑντα τὰ ἀγαθὰ τότε ἔχει τὸν μισθὸν, ὅταν εἰς τέλος ἔλθῃ τὸ προσῆκον· ἐὰν δὲ ἐκκοπῇ μεταξὺ, ναυάγιον γίνεται. καὶ καθάπερ τὸ πλοῖον τὸ μυρία ἄγον, ἐὰν μὴ φθάσῃ καταντῆσαι πρὸς τοὺς λιμένας, ἀλλ' ἐν μέσῳ βαπτισθῇ τῷ πελάγει, οὐδὲν ἀπώνατο τοῦ πολλοῦ πλοῦ, ἀλλὰ καὶ μείζονα εἰργάσατο τὴν συμφορὰν, ὅσῳ καὶ πλείους ὑπέμεινε πόνους· οὕτω καὶ αἱ πρὸς τὸ τέλος τῶν πόνων ἀναπεσοῦσαι ψυχαὶ καὶ ἐν μέσοις ἐκλυόμεναι τοῖς ἀγῶσι. διὰ τοῦτο καὶ ὁ Παῦλος δόξαν καὶ τιμὴν καὶ εἰρήνην ἔλεγε συναντήσεσθαι τοῖς καθ' ὑπομονὴν ἔργων ἀγαθῶν τρέχουσιν· ὅπερ οὖν καὶ ἐπὶ τῶν μαθητῶν ὁ Χριστὸς κατασκευάζει νῦν. ἐπειδὴ γὰρ ἀπεδέξατο αὐτοὺς, καὶ ἔχαιρον ἐπ' αὐτῷ· εἶτα τὸ πάθος παρεμπεσὸν καὶ τὰ σκυθρωπὰ ῥήματα διακόπτειν ἔμελλε τὴν ἡδονὴν, μετὰ τὸ διαλεχθῆναι ἱκανὰ καὶ παραμυθήσασθαι αὐτοὺς, φησί· Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ· τουτέστιν, ἵνα μὴ ἀποσπασθῆτέ μου, ἵνα μὴ διακόψητε τὸν δρόμον. ἐχαίρετε ἐν ἐμοὶ καὶ σφόδρα ἐχαίρετε, ἀλλ' ἐνέπεσεν ἀθυμία. ταύτην οὖν ἐξαιρῶ, ἵνα πρὸς τὸ τέλος ἔλθῃ ἡ χαρὰ, δεικνὺς, ὅτι οὐ λύπης ἄξια τὰ παρόντα, ἀλλ' ἡδονῆς. Εἶδον ὑμᾶς σκανδαλισθέντας· οὐ κατεφρόνησα, οὐκ εἶπον, διὰ τί γὰρ μὴ μένετε γενναῖοι; ἀλλ' ἐλάλησα ὑμῖν τὰ παράκλησιν φέροντα. οὕτω βούλομαι ὑμᾶς διαπαντὸς ἐπὶ τῆς αὐτῆς ἀγάπης τηρεῖν. ἠκούσατε περὶ βασιλείας· ἐχάρητε. ἵν' οὖν πληρωθῇ ἡ χαρὰ ὑμῶν, ταῦτα εἶπον ὑμῖν. αὕτη δέ ἐστιν ἡ ἐντολὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. ὁρᾷς τοῦ Θεοῦ τὴν ἀγάπην συμπεπλεγμένην τῇ ἡμετέρᾳ, καὶ ὥσπερ σειράν τινα συνημμένην; διὰ τοῦτο ποτὲ μὲν δύο φησὶ τὰς ἐντολὰς, ποτὲ δὲ μίαν. οὐ γὰρ ἔνι τῆς προτέρας λαβόμενον, μὴ τὴν ἄλλην ἔχειν. ποτὲ μὲν γάρ φησιν, Ἐν τούτῳ ὁ νόμος καὶ οἱ προφῆται κρέμανται· ποτὲ δὲ, Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, τὰ αὐτὰ καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. καὶ, Πλήρωμα νόμου ἡ ἀγάπη· ὃ καὶ ἐνταῦθα λέγει. Εἰ γὰρ τὸ μεῖναι, ἀπὸ τῆς ἀγάπης γίνεται· ἡ δὲ ἀγάπη, ἀπὸ τῆς τῶν ἐντολῶν τηρήσεως· ἡ δὲ ἐντολή ἐστιν, ἵνα ἀγαπῶμεν ἀλλήλους· τὸ μεῖναι ἐν τῷ Θεῷ, ἀπὸ τῆς πρὸς ἀλλήλους ἀγάπης γίνεται. καὶ οὐχ ἁπλῶς ἀγάπην φησὶν, ἀλλὰ καὶ τὸν τρόπον δηλοῖ· καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. πάλιν δείκνυσιν, ὅτι οὐχὶ μίσους ἐστὶν αὕτη ἡ ἀναχώρησις, ἀλλὰ ἀγάπης· ὥστε με μᾶλλον ἐχρῆν θαυμάζεσθαι ὑπὲρ τούτου. ὑπὲρ γὰρ ὑμῶν τὴν ψυχήν μου τίθημι. ἀλλ' οὐδαμοῦ οὕτω φησὶν αὐτό· ἀλ-

Ρω. ϐ. ζ.

Ματθ. κϐ. μ.

Ματθ. ζ. ιϐ.

Ρω. ιγ. ι.

λὰ

λαὶ ἀνωτέρω μὲν, τῶν ἄριστον ὑπογράφων ποιμένα· ἐνταῦθα δὲ, ἐν τῷ παραινεῖν αὐτοῖς καὶ δεικνύναι τῆς ἀγάπης τὸ μέγεθος, καὶ ἑαυτὸν ὅστις ἐστί. τίνος δὲ ἕνεκεν πανταχοῦ τὴν ἀγάπην ἐπαίρει; ὅτι τοῦτο ἐστὶ τὸ δεῖγμα τῶν μαθητῶν, τοῦτο τὸ συγκροτοῦν τὴν ἀρετήν. διὰ τοῦτο καὶ ὁ Παῦλος τοσαῦτα περὶ αὐτῆς φησιν, ἅτε μαθητὴς ὢν γνήσιος τοῦ Χριστοῦ, καὶ πεῖραν αὐτῆς λαβών.

14 Ὑμεῖς φίλοι μου ἐστέ. οὐκ ἔτι ὑμᾶς λέγω δούλους.

15 Ὁ γὰρ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ· ὑμεῖς φίλοι μου ἐστέ. πάντα γὰρ ὅσα ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν. Πῶς οὖν λέγει, πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι; οὐδὲν ἄλλο διὰ τοῦ πάντα τοῦ, καὶ ἀκοῦσαι κατασκευάζει, ἢ ὅτι οὐδὲν ἀλλότριον φθέγγεται, ἀλλ' ἢ τὰ τοῦ πατρός. ἐπειδὴ δὲ τοῦτο μάλιστα δοκεῖ φιλίας εἶναι τὸ τὰ ἀπόρρητα λέγειν, καὶ ταύτης ἠξιώθητε, φησὶ, τῆς κοινωνίας. πάντα δὲ ὅταν εἴπῃ, ὅσα αὐτοὺς ἀκοῦσαι ἐχρῆν, λέγει. Εἶτα καὶ ἄλλο τεκμήριον οὐ τὸ τυχὸν φιλίας τίθησι. ποῖον δὴ τοῦτο;

16 Οὐχ ὑμεῖς με ἐξελέξασθε, φησὶν, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς· Τουτέστιν, ἐγὼ τῇ φιλίᾳ ἐπέδραμον τῇ ὑμετέρᾳ. καὶ οὐδὲ ἐνταῦθα ἔστη· Ἀλλὰ καὶ ἔθηκα, φησὶν, ὑμᾶς, Τουτέστιν, ἐφύτευσα, Ἵνα καὶ ὑμεῖς ὑπάγητε. Ἐπὶ τῇ μεταφορᾷ κέχρηται τῆς ἀμπέλου· τουτέστιν, ἵνα ἐκταθῆτε, Καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ. Εἰ δὲ ὁ καρπὸς μένει, πολλῷ μᾶλλον ὑμεῖς. οὐ γὰρ ἐφίλησα μόνον ὑμᾶς, φησὶν, ἀλλὰ καὶ τὰ μέγιστα εὐηργέτησα, πανταχοῦ τῆς οἰκουμένης ἐκτείνων ὑμῶν τὰ κλήματα. ὁρᾷς δι' ὅσων δείκνυσι τὴν ἀγάπην; τῷ τὰ ἀπόρρητα εἰπεῖν, τῷ πρώτως ἐπιδραμεῖν τῇ φιλίᾳ, τῷ μεγάλα αὐτοῖς χαρίσασθαι τὰ ἀγαθὰ, τῷ παθεῖν ὑπὲρ αὐτῶν ἅπερ ἔπαθε τότε. ἀπὸ δὲ τούτου δείκνυσιν, ὅτι καὶ παραμένει διηνεκῶς αὐτοῖς μέλλουσι διδόναι καρπόν. ἀνάγκη γὰρ τῆς παρ' αὐτοῦ βοηθείας ἀπολαύοντας, οὕτω καὶ καρποφορῆσαι. Ἵνα ὃ ἐὰν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. Καίτοι τοῦ αἰτουμένου ἐστὶ τὸ ποιῆσαι. εἰ δὲ ὁ πατὴρ αἰτεῖται, πῶς ὁ υἱὸς ποιεῖ; ἵνα μάθῃς, ὅτι οὐκ ἐλάττων ὁ υἱός.

17 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· Τουτέστιν, οὐκ ὀνειδίζων ταῦτα λέγω, ὅτι τὴν ψυχήν μου τίθημι, ὅτι πρῶτος ὑμῖν ἐπέδραμον, ἀλλ' εἰς φιλίαν ὑμᾶς ἐνάγων. Εἶτα ἐπειδὴ τὸ διώκεσθαι παρὰ τῶν πολλῶν καὶ ὀνειδίζεσθαι χαλεπὸν ἦν καὶ ἀνήκεστον, καὶ ἱκανὸν καὶ τὴν ὑψηλὴν ταπεινῶσαι ψυχὴν, διὰ τοῦτο μυρία προειπὼν, τότε εἰς τοῦτο καθῆκεν ὁ Χριστός. προλεάνας γὰρ αὐτῶν τὴν ψυχὴν, οὕτως ἐπὶ ταῦτα ἔρχεται, καὶ αὐτὰ ἐκ περιουσίας δεικνὺς ὑπὲρ αὐτῶν ὄντα, ὥσπερ καὶ τὰ ἄλλα ἀπέδειξε. καθάπερ γὰρ εἶπεν, ὅτι οὐ μᾶλλον οὐκ ἀλγεῖν, ἀλλὰ καὶ χαίρειν δεῖ, ὅτι ἀπέρχομαι πρὸς τὸν πατέρα (οὐ γὰρ ἐγκαταλιμπάνων αὐτοὺς, ἀλλὰ καὶ σφόδρα φιλῶν τοῦτο ποιεῖ) οὕτω καὶ ἐνταῦθα δείκνυσιν, ὅτι χαίρειν, οὐκ ἀλγεῖν δεῖ. καὶ ὅρα πῶς αὐτὸ κατασκευάζει. οὐ γὰρ εἶπεν, οἶδα λυπηρὸν ὂν τὸ πρᾶγμα, ἀλλὰ δι' ἐμὲ φέρετε, ἐπειδὴ καὶ δι' ἐμὲ πάσχετε. οὐδέπω γὰρ αὕτη ἡ πρόφασις ἱκανὴ ἦν παραμυθήσασθαι. διόπερ αὐτὴν ἀφεὶς, ἑτέραν προστίθησι. ποίαν δὴ ταύτην; ὅτι τῆς προτέρας ἀρετῆς τοῦτο τεκμήριον. καὶ τοὐναντίον ἀλγεῖν ἐχρῆν, οὐχ ὅτι μισεῖσθε νῦν, ἀλλ' εἰ ἐμέλλετε φιλεῖσθαι. τοῦτο γὰρ αἰνίττεται ἐκ τοῦ λέγειν.

19 Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. Ὥστε εἰ ἐφιλεῖσθε, εὔδηλον ὅτι πονηρίας ἐξεφέρετε δεῖγμα. Εἶτα, ἐπειδὴ τοῦτο προειπὼν οὐκ ἐξειργάσατο αὐτὸ, ἐπεξέρχεται πάλιν τῷ λόγῳ·

20 Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Ἔδειξε ζηλωτὰς αὐτοὺς κατὰ τοῦτο μάλιστα γινομένους. ἕως μὲν γὰρ ἦν ἐν σαρκὶ ὁ Χριστὸς, πρὸς ἐκεῖνον τὸν πόλεμον εἶχον· ἐπειδὴ δὲ μετέστη, πρὸς αὐτοὺς πάλιν ἦλθεν ἡ μάχη. Εἶτα ἐπειδὴ ὀλίγοι ὄντες ἐθορυβοῦντο δήμου τοσούτου μέλλοντες πόλεμον καταδέχεσθαι, ἀνίστησιν αὐτῶν τὴν

ψυχὴν λέγων· ὅτι τοῦτο μάλιστα χαρᾶς ἔργον ἐστὶ, τὸ μισεῖσθαι παρ' αὐτῶν. οὕτω γάρ μοι κοινωνήσετε τῶν παθῶν. οὐ τοίνυν ὑμᾶς θορυβεῖσθαι χρή. οὐ γάρ ὑμεῖς ἐμοῦ κρείττους, ὥσπερ οὖν καὶ προλαβὼν εἶπον, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἶτα καὶ τρίτη παραμυθία, ὅτι καὶ ὁ πατὴρ ὑβρίζεται μετ' αὐτῶν.

21 Ταῦτα γὰρ ἅπαντα ποιήσουσί, φησι, διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με· Τουτέστι, κἀκεῖνον ὑβρίζουσι. πρὸς τούτοις συγγνώμης αὐτοὺς ἀποστερῶν, καὶ τιθεὶς καὶ ἑτέραν παραμυθίαν, φησίν·

22 Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, Δεικνὺς ὅτι ἀδίκως καὶ τὰ εἰς αὐτὸν καὶ τὰ εἰς ἐκείνους ἐργάζονται. τί οὖν ἐπὶ τοσαῦτα ἡμᾶς ἤγαγες κακά; οὐχὶ προῄδεις τοὺς πολέμους; τὸ μῖσος; διὰ τοῦτο πάλιν φησίν·

23 Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ, Οὐ μικρὰν καὶ ἐντεῦθεν αὐτοῖς προαναφωνῶν κόλασιν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω προεφασίζοντο, ὅτι διὰ τὸν πατέρα αὐτὸν ἐδίωκεν, ἀναιρῶν αὐτῶν τὴν ἀπολογίαν ταῦτα εἴρηκεν. οὐ γὰρ ἔχουσι πρόφασιν· τὴν ἀπὸ τῶν λόγων διδασκαλίαν παραδραμὼν, τὴν ἀπὸ τῶν ἔργων προσέθηκα κατὰ τὸν Μωϋσέως νόμον· ὃς τῷ τὰ τοιαῦτα ποιοῦντι καὶ λέγοντι πείθεσθαι ἅπαντας ἐκέλευσεν, ὅταν καὶ πρὸς εὐσέβειαν ἄγῃ, καὶ θαύματα παρέχῃ μέγιστα. οὐχ ἁπλῶς δὲ εἶπε σημεῖα, ἀλλ' ἃ μηδεὶς ἄλλος ἐποίησε. καὶ τούτων αὐτοὶ μάρτυρες οὕτω λέγοντες· Οὐδέποτε οὕτως ἐφάνη ἐν τῷ Ἰσραήλ· καὶ, Οὐκ ἠκούσθη ἐκ τοῦ αἰῶνος, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· καὶ τὸ κατὰ τὸν Λάζαρον τοιοῦτον, καὶ τὰ ἄλλα πάντα τοιαῦτα, καὶ ὁ τῆς θαυματουργίας τρόπος καινός, καὶ παράδοξα ἅπαντα. τίνος οὖν ἕνεκέν, φησι, καὶ σὲ καὶ ἡμᾶς διώκουσιν; ὅτι ἐκ τοῦ κόσμου οὐκ ἐστέ. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. προαναμιμνήσκει τῶν ῥημάτων αὐτούς, ὧν καὶ πρὸς τοὺς ἀδελφοὺς εἶπε τοὺς ἑαυτοῦ· ἀλλ' ἐκεῖ μὲν ἠθικώτερον, ἵνα μὴ πλήξῃ· ἐνταῦθα δὲ τοὐναντίον τὸ πᾶν ἀπεκάλυψε. καὶ πόθεν δῆλον ὅτι διὰ τοῦτο μισούμεθα; ἀπὸ τῶν εἰς ἐμὲ γινομένων. τίνος γὰρ, εἰπέ μοι, τῶν λεχθέντων ἢ τῶν πραχθέντων ἐπιλαβέσθαι ἔχοντες οὐκ ἐδέξαντό με; εἶτα ἐπειδὴ τὸ πρᾶγμα ἔκπληκτον ἦν ἡμῖν, εἶπε καὶ τὴν αἰτίαν· τουτέστι, τὴν πονηρίαν τὴν αὐτῶν. καὶ οὐδὲ ἐνταῦθα ἵσταται· ἀλλὰ καὶ τὸν προφήτην ἐπάγεται, δεικνὺς αὐτὸν ἄνωθεν προαναφωνοῦντα καὶ λέγοντα,

Ματθ. θ. λγ.
Ιωαν. θ. λϐ.

25 Ὅτι ἐμίσησάν με δωρεάν· Ὃ καὶ Παῦλος ποιεῖ. πολλῶν γὰρ θαυμαζόντων πῶς Ἰουδαῖοι οὐκ ἐπίστευσαν, προφήτας ἄγει προλέγοντας ἄνωθεν καὶ τὴν αἰτίαν δηλοῦντας, ὅτι ἡ πονηρία αὐτῶν καὶ ἡ ἀπόνοια τῆς ἀπιστίας αἰτία. τί οὖν; εἰ τὸν λόγον σου οὐκ ἐτήρησαν, οὐδὲ τὸν ἡμέτερον τηρήσουσιν· εἰ σὲ ἐδίωξαν, καὶ ἡμᾶς διώξουσιν· εἰ σημεῖα εἶδον, οἷα οὐδεὶς ἄλλος πεποίηκεν, εἰ ῥημάτων ἤκουσαν, οἵων οὐδεὶς, καὶ οὐδὲν ἀπώναντο· εἰ τὸν πατέρα σου μισοῦσι, καὶ σὲ μετ' ἐκείνου· τίνος οὖν ἕνεκεν ἡμᾶς ἐνέβαλες; πῶς ἡμεῖς ἀξιόπιστοι λοιπὸν ἐσόμεθα; τίς δὲ προσέξει τῶν ὁμοφύλων ἡμῖν; ἵν' οὖν μὴ ταῦτα ἐννοοῦντες θορυβῶνται, ὅρα οἵαν ἐπάγει παράκλησιν.

Ψαλμ. ξη. ε.

26 Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

27 Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ἐκεῖνος ἀξιόπιστος ἔσται· πνεῦμα γὰρ ἀληθείας ἐστί. διὰ τοῦτο οὐ πνεῦμα ἅγιον, ἀλλ' ἀληθείας αὐτὸ ἐκάλεσε. τὸ δὲ, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, δηλοῖ ὅτι πάντα οἶδεν ἀκριβῶς, καθάπερ καὶ αὐτός φησι περὶ ἑαυτοῦ· ὅτι οἶδα πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω, καὶ ἐκεῖ περὶ ἀληθείας διαλεγόμενος. ὃν ἐγὼ πέμψω. ἰδοὺ οὐκ ἔτι ὁ πατὴρ μόνος, ἀλλὰ καὶ ὁ υἱός ἐστιν ὁ πέμπων. καὶ ὑμεῖς δὲ ἔχετε, φησι, τὸ ἀξιόπιστον οἱ σὺν ἐμοὶ γενόμενοι, οἱ μὴ παρ' ἑτέρων ἀκηκοότες. καὶ οἱ ἀπόστολοι ἐντεῦθεν διϊσχυρίζονται, λέγοντες· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. ὅτι δὲ οὐ πρὸς

Πραξ. ι. μα.

κεφ. ιϛ.

κεφ. ιϛ.

πρὸς χάριν εἴρηται, ἐπιμαρτυρεῖ τὸ πνεῦμα τοῖς λεγομένοις. 1 Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε· Τουτέστιν, ὅταν ἴδητε πολλοὺς ἀπειθοῦντας καὶ δεινὰ πάσχοντας ὑμᾶς. 2 Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς. Ἤδη γὰρ συνέθεντο, ἐάν τις ὁμολογήσῃ τὸν Χριστὸν, ἵνα ἀποσυνάγωγος γένηται. Ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Οὕτω τὸν ὑμέτερον "διώξουσι φόνον, ὡς πρᾶγμα εὐσεβὲς καὶ τῷ Θεῷ ἀρέσκον. εἶτα τὴν παραμυθίαν ἐπάγει πάλιν·

διώξουσι

3 Καὶ ταῦτα ποιήσουσιν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ.

Ἀρκεῖ ὑμῖν εἰς παράκλησιν, τὸ δι' ἐμὲ καὶ τὸν πατέρα ταῦτα πάσχειν. ἐνταῦθα ἀναμιμνήσκει πάλιν αὐτοὺς μακαρισμοῦ, ὃν ἀρχόμενος ἔλεγε· Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ματθ. ε. ια.

4 Ταῦτα λελάληκα ὑμῖν, ἵν', ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε τούτων.

Ὥστε ἀπὸ τούτων καὶ τὰ λοιπὰ πιστὰ ἡγεῖσθε. οὐ γὰρ ἕξετε εἰπεῖν, ὅτι κολακεύων ἡμᾶς τὰ πρὸς χάριν ἔλεγον μόνον· οὐχ ὅτι ἀπάτης ἦν τὰ εἰρημένα. οὐ γὰρ ἂν ὁ μέλλων ἀπατᾷν, καὶ ταῦτα προεῖπεν ὑμῖν τὰ ἀποτρέποντα. διὰ τοῦτο οὖν προεῖπον, ἵνα μὴ ἀπροσδόκητα προσπεσόντα ὑμᾶς διαταράξῃ· καὶ δι' ἑτέραν δὲ αἰτίαν, ἵνα μὴ λέγητε, ὅτι οὐ προῄδειν ἐσόμενα ταῦτα. μνημονεύετε οὖν, ὅτι ἐγὼ εἶπον ὑμῖν. καὶ γὰρ ἀεὶ προσετίθεσαν σχῆμα τῇ διώξει αὐτῶν πονηρὸν, ὡς λυμεῶνας ἐλαύνοντες· ἀλλ' οὐκ ἐθορύβει τοὺς μαθητὰς τοῦτο, προακούσαντας καὶ εἰδότας ὑπὲρ ὧν ἔπασχον. ἱκανὴ γὰρ αὐτοὺς ἡ αἰτία τῶν γινομένων ἀναστῆσαι. διὰ τοῦτο αὐτὴν πανταχοῦ περιστρέφει λέγων· οὐκ ἔγνωσάν με, καὶ ὅτι δι' ἐμὲ ποιήσουσι καὶ διὰ τὸ ὄνομά μου καὶ διὰ τὸν πατέρα, καὶ ὅτι ἐγὼ πρῶτος ἔπαθον, καὶ ὅτι οὐκ ἀπὸ δικαίας αἰτίας ταῦτα τολμῶσι.

ΗΘΙΚΟΝ

Ταῦτα καὶ ἡμεῖς ἐν τοῖς πειρασμοῖς στρέφωμεν, ὅταν παρὰ πονηρῶν τι πάσχωμεν ἀνθρώπων, εἰς τὸν ἀρχηγὸν ἡμῶν ὁρῶντες καὶ τελειωτὴν τῆς πίστεως, καὶ ὅτι παρὰ φαύλων ἀνθρώπων, καὶ ὅτι δι' ἀρετὴν, καὶ ὅτι δι' αὐτόν. ἂν γὰρ ταῦτα ἐννοῶμεν, ἅπαντα ῥᾷστα ἔσται καὶ φορητά. εἰ γὰρ ὑπὲρ ἀγαπητῆς τις πάσχων καὶ ἐναβρύνεται· διὰ τὸν Θεὸν ἐάν τις πάθῃ τι, ποίαν λήψεται αἴσθησιν τῶν δεινῶν; εἰ γὰρ αὐτὸς πρᾶγμα ἐπονείδιστον τὸν σταυρὸν, δόξαν ἐκάλει δι' ἡμᾶς· πολλῷ μᾶλλον ἡμᾶς οὕτω διακεῖσθαι χρή. Εἰ γὰρ παθῶν οὕτω δυνάμεθα καταφρονεῖν, πολλῷ μᾶλλον χρημάτων καὶ πλεονεξίας. δεῖ τοίνυν, ὅταν τι μέλλωμεν πάσχειν ἀηδὲς, μὴ τοὺς πόνους, ἀλλὰ καὶ τοὺς στεφάνους ἐννοεῖν. ὥσπερ γὰρ οἱ ἔμποροι, οὐ τὰ πελάγη μόνον, ἀλλὰ καὶ τὰ κέρδη λογίζονται· οὕτω καὶ ἡμᾶς, τὸν οὐρανὸν, καὶ τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν ἀναλογίζεσθαι χρή. κἂν ἡδὺ φανῇ τὸ πλεονεκτεῖν, ἐννόησον ὅτι ὁ Χριστὸς οὐ βούλεται, καὶ ἀηδὲς εὐθέως φανεῖται. πάλιν ἂν ἐπαχθὲς ᾖ τὸ πένησι διδόναι, μὴ μέχρι τῆς δαπάνης στήσῃς τὸν λογισμόν· ἀλλ' εὐθέως μετάγαγε τὴν διάνοιαν ἐπὶ τὸν ἀμητὸν ἀπὸ τοῦ σπόρου. καὶ ὅταν φορτικὸν ᾖ τὸ καταφρονεῖν ἔρωτος γυναικὸς ἀλλοτρίας, λογίζου τὸν ἀπὸ τοῦ πόνου στέφανον, καὶ ῥᾳδίως οἴσεις τὸν πόνον. Εἰ γὰρ ἀνθρώπων φόβος ἀποτρέπει τῶν ἀτόπων πραγμάτων, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ πόθος. σκληρὰ ἡ ἀρετή· ἀλλὰ περιθῶμεν αὐτῆς τῇ ὄψει τῆς τῶν μελλόντων ἐπαγγελίας τὸ μέγεθος. οἱ μὲν γὰρ ἐνάρετοι, καὶ χωρὶς τούτων αὐτὴν καθ' ἑαυτὴν ὡραίαν ὁρῶσι, καὶ διὰ τοῦτο αὐτὴν μετέρχονται, καὶ διὰ τὸ τῷ Θεῷ δοκοῦν, οὐκ ἐπὶ μισθῷ ἐργάζονται· καὶ μέγα ἡγοῦνται τὸ σωφρονεῖν, οὐ διὰ τὸ μὴ κολάζεσθαι, ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἐπέταξεν. Εἰ δέ τις ἀσθενέστερος, καὶ τὰ βραβεῖα ἐννοείτω. οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν, καὶ ἐλεῶμεν τοὺς ὁμοφύλους, μὴ δὴ περιορῶμεν ὑπὸ τοῦ λιμοῦ φθειρομένους. πῶς γὰρ οὐκ ἄτοπον, αὐτοὺς μὲν ἐπὶ τῆς τραπέζης καθέζεσθαι γελῶντας καὶ τρυφῶντας· ἑτέρων δὲ

διὰ τῆς ἀμφόδου παριόντων ἀκούοντας ὀλοφυρομένων, μηδὲ ἐπιστρέφεσθαι πρὸς τὴν ὀλολυγὴν,
ἀλλὰ καὶ δυσχεραίνειν καὶ ἀπατεῶνα καλεῖν; τί λέγεις, ἄνθρωπε; δι' ἄρτον ἕνα τὶς
ἀπάτην πλέκει; ναί, φησιν. οὐκοῦν ταύτῃ μάλιστα ἐλεείσθω· ταύτῃ μάλιστα τῆς ἀνάγκης
ἀπαλλαττέσθω. εἰ δὲ μὴ βούλει δοῦναι, μηδὲ ὑβρίσῃς· εἰ δὲ μὴ βούλει λῦσαι τὸ ναυάγιον,
μὴ ὤσῃς εἰς βάραθρον. ἐννόησον γὰρ ὅταν προσελθόντα ἀπώσῃ τὸν πένητα, οἷος ἔσῃ
Ματθ. ζ. β. τὸν Θεὸν παρακαλῶν. ᾯ γὰρ μέτρῳ μετρεῖτε, φησιν, ἀντιμετρηθήσεται ὑμῖν. ἐννόησον πῶς
συντριβεὶς ἐκεῖνος ἄπεισι, κάτω κεκυφὼς, ὀδυρόμενος, μετὰ τῆς πενίας καὶ τὴν ἀπὸ τῆς ὕβρεως
πληγὴν λαβών. εἰ γὰρ τὸ ἐπαιτεῖν κατάραν ὑμεῖς τίθεσθε, τὸ αἰτοῦντα μὴ λαβεῖν, καὶ ὑβρισθέντα
ἀπελθεῖν, σκόπει πόσον χειμῶνα ἐργάζεται. μέχρι τίνος τοῖς θηρίοις ἐοίκαμεν, καὶ
τὴν φύσιν αὐτὴν διὰ τὴν πλεονεξίαν ἀγνοοῦμεν; πολλοὶ στενάζουσιν ἐπὶ τούτοις· ἀλλ' οὐ βούλομαι
νῦν, ἀλλὰ διὰ παντὸς τοῦτον ἔχειν τὸν ἔλεον. ἐννόησόν μοι τὴν ἡμέραν ἐκείνην, ὅταν
παρεστῶμεν τῷ βήματι τοῦ Χριστοῦ, ὅταν παρακαλῶμεν ἐλεηθῆναι, καὶ εἰς μέσον
αὐτοὺς ἀγαγὼν ὁ Χριστὸς λέγῃ πρὸς ἡμᾶς, ὅτι δι' ἄρτον ἕνα καὶ ὀβολὸν ἕνα, τοσοῦτον ταῖς ψυχαῖς
ταύταις ἐνειργάσασθε κλυδώνιον, τί ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα; ὅτι γὰρ καὶ εἰς μέσον
αὐτοὺς ἄξει, ἄκουσον τί φησιν· ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε. οὐδὲ
γὰρ ἐκεῖνοι λοιπὸν ἐροῦσί τι πρὸς ἡμᾶς, ἀλλ' ὁ Θεὸς ὑπὲρ αὐτῶν ἡμῶν καθάψεται. ἐπεὶ καὶ
Λουκ. ιϛ. τὸν Λάζαρον ὁ πλούσιος εἶδε· καὶ ὁ μὲν Λάζαρος οὐδὲν πρὸς αὐτὸν εἶπεν, ὁ δὲ Ἀβραὰμ τὸν
ὑπὲρ ἐκείνου λόγον ἐποιήσατο· οὕτω καὶ ἐπὶ τῶν πενήτων ἔσται, τῶν νῦν παρ' ἡμῶν καταφρονουμένων.
οὐ γὰρ χεῖρας αὐτοὺς προτείνοντας ὀψόμεθα ἐλεεινῷ σχήματι, ἀλλ' ἐν ἀναπαύσει ὄντας·
ἡμεῖς δὲ τὸ ἐκείνων ληψόμεθα σχῆμα· καὶ εἴθε τὸ σχῆμα μόνον, καὶ μὴ τὸ πολλῷ χαλεπώτερον, τιμωρίαν.
οὐδὲ γὰρ ὁ πλούσιος ψιχίων ἐπεθύμει χορτασθῆναι ἐκεῖ· ἀλλ' ἀπετηγανίζετο καὶ ἐκολάζετο
Λουκ. ιϛ. κε. χαλεπῶς, καὶ ἤκουσεν, Ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ
κακά. μὴ τοίνυν μέγα τι τὸν πλοῦτον νομίζωμεν. ἔστι γὰρ ἐφόδιον ἡμῖν ἔσται κολάσεως, ἐὰν μὴ
προσέχωμεν· ὥσπερ οὖν ἐὰν προσέχωμεν, καὶ ἡ πενία προσθήκη γίνεται καὶ τρυφῆς καὶ ἀναπαύσεως
ἡμῖν. καὶ γὰρ καὶ ἁμαρτήματα ἀποτιθέμεθα, ἂν εὐχαρίστως ταύτην φέρωμεν, καὶ πολλὴν
παρὰ τῷ Θεῷ κτώμεθα τὴν παρρησίαν. μὴ τοίνυν ἀεὶ τὴν ἄδειαν ζητῶμεν, ἵνα ἀδείας ἀπολαύσωμεν
ἐκεῖ· ἀλλὰ τοὺς ὑπὲρ ἀρετῆς δεχώμεθα πόνους, καὶ τὰ περιττὰ περικόπτωμεν, καὶ μηδὲν
πλέον ἐπιζητῶμεν, ἀλλ' εἰς τοὺς δεομένους τὰ ὄντα πάντα ἀναλίσκωμεν. τίνα γὰρ ἕξομεν
ἀπολογίαν, ὅταν αὐτὸς μὲν ἡμῖν τὸν οὐρανὸν ἐπαγγέλληται, ἡμεῖς δὲ μηδὲ ἄρτον αὐτῷ
παρέχωμεν; ὅταν αὐτὸς μέν σοι τὸν ἥλιον ἀνατέλλῃ, καὶ πᾶσαν τῆς κτίσεως παρέχῃ τὴν διακονίαν·
σὺ δὲ οὐδὲ ἱμάτιον αὐτῷ δίδως, οὐδὲ στέγης κοινωνεῖν ποιεῖς; καὶ τί λέγω ἥλιον καὶ κτίσιν;
τὸ σῶμά σοι παρέθηκε, τὸ αἷμα τὸ τίμιον ἔδωκε· σὺ δὲ οὐδὲ ποτηρίου μεταδίδως. ἀλλ' ἔδωκας
ἅπαξ; ἀλλ' οὐκ ἔστι τοῦτο ἔλεος. ἕως γὰρ ἂν ἔχων μὴ παρέχῃς, οὐδέπω τὸ πᾶν ἐπλήρωσας.
ἐπεὶ καὶ αἱ παρθένοι τὰς λαμπάδας ἔχουσαι, εἶχον ἔλαιον, ἀλλ' οὐ δαψιλές.
ἐχρῆν μὲν οὖν εἰ καὶ ἀπὸ τῶν σαυτοῦ παρεῖχες, μηδὲ οὕτως εἶναι φειδωλός· νῦν δὲ τὰ τοῦ δεσπότου
διδοὺς, τίνος ἕνεκεν μικρολογῇ; εἰπεῖν βούλεσθε τὴν αἰτίαν ταύτης τῆς ἀπανθρωπίας;
ἀπὸ πλεονεξίας συνάγουσι τὰ ὄντα, καὶ πρὸς τὴν ἐλεημοσύνην εἰσὶν ὀκνηροὶ οὗτοι. ὁ
γὰρ οὕτω μαθὼν κερδαίνειν, ἀναλίσκειν οὐκ οἶδε. πῶς γὰρ ἄν τις παρεσκευασμένος εἰς ἁρπαγὴν,
πρὸς τὸ ἐναντίον ἑαυτὸν ῥυθμίσειεν; ὁ γὰρ τὰ παρ' ἑτέρων λαμβάνων, πῶς δυνήσεται
τὰ ἑαυτοῦ προΐεσθαι ἑτέρῳ; καὶ γὰρ κύων μελετήσας σαρκῶν ἀπογεύεσθαι, φυλάττειν οὐκέτι
δύναται τὴν ἀγέλην. διὰ τοῦτο τοὺς τοιούτους καὶ ἀναιροῦσιν οἱ ποιμένες. ὅπερ ἵνα μὴ καὶ ἡμεῖς
πάθωμεν, ἀποσχώμεθα τῆς τοιαύτης θοίνης. καὶ γὰρ καὶ οὗτοι σαρκῶν ἀπογεύονται, οἱ τὸν διὰ
λιμοῦ θάνατον ἐπεισάγοντες. οὐχ ὁρᾷς πῶς πάντα κοινὰ ἡμῖν ἀνῆκεν ὁ Θεός; εἰ γὰρ ἐν
χρήμασιν εἴασε πένεσθαι, καὶ αὐτὸ τῆς τῶν πλουτούντων ἕνεκα παραμυθίας· ἵνα ἔχωσι διὰ

κεφ. ις.

τῆς εἰς ἐκείνους ἐλεημοσύνης ἀποδύεσθαι τὰ ἁμαρτήματα. σὺ δὲ καὶ ἐν τούτῳ ὠμὸς καὶ ἀπάνθρωπος γέγονας. ὅθεν δῆλον ὅτι εἰ καὶ ἐν τοῖς μείζοσι ταύτην ἔλαβες τὴν ἐξουσίαν, μυρίους ἂν εἰργάσω φόνους, καὶ τὸ φῶς καὶ τὴν ζωὴν ἅπασαν ἀπέκλεισας. ὅπερ ἵνα μὴ γένηται, ἀνάγκη τὴν ἐν ἐκείνοις ἀπληστίαν διέκοψεν. εἰ δὲ ἀλγεῖτε ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ἐγὼ ταῦτα γινόμενα ὁρῶν. μέχρι πότε σὺ πλούσιος, κἀκεῖνος πένης; μέχρι τῆς ἑσπέρας, περαιτέρω δὲ οὐκ ἔτι. οὕτω γὰρ βραχὺς ὁ βίος, καὶ πάντα ἐν ἐσχάτοις, καὶ πάντα ἐπὶ θύραις ἕστηκε λοιπόν, ὡς ὥραν βραχεῖαν τὸ πᾶν εἶναι νομίζεσθαι. τί σοι δεῖ ταμιείων ἐρευγομένων, καὶ πλήθους οἰκετῶν καὶ οἰκονόμων; διὰ τί μὴ μυρίους ἔχεις κήρυκας τῆς ἐλεημοσύνης; τὸ μὲν γὰρ ταμιεῖον οὐδεμίαν ἀφίησι φωνήν, ἀλλὰ καὶ πολλοὺς ἐπισπάσεται λῃστάς· τὰ δὲ τῶν πενήτων ταμιεῖα πρὸς αὐτὸν ἀναβήσεται τὸν Θεόν, καὶ ἡδὺν τὸν παρόντα ἐργάσεται βίον, καὶ πάντα λύσει τὰ ἁμαρτήματα, καὶ δόξαν παρὰ Θεῷ, καὶ τιμὴν παρὰ ἀνθρώποις οἴσει. τί τοίνυν φθονεῖς σεαυτῷ τοσούτων ἀγαθῶν; οὐ γὰρ ἐκείνους, ἀλλὰ σαυτὸν εὖ ποιήσεις μειζόνως, ἐκείνους εὐεργετῶν. τοῖς μὲν γὰρ τὰ παρόντα ἐπανορθώσεις, σαυτῷ δὲ τὴν μέλλουσαν δόξαν καὶ παρρησίαν προαποθήσῃ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. οη'. 4 ΤΑΥΤΑ ΔΕ ΕΞ ΑΡΧΗΣ ΟΥΚ ΕΙΠΟΝ ΥΜΙΝ,

ὅτι μεθ' ὑμῶν ἤμην. 5 Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις· 6 Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

Μεγάλη τῆς ἀθυμίας ἡ τυραννίς, καὶ πολλῆς ἡμῖν τῆς ἀνδρείας δεῖ, ὥστε στῆναι πρὸς τουτὶ τὸ πάθος γενναίως, καὶ τὸ χρήσιμον ἀπ' αὐτοῦ καρπουμένους, τὸ περιττὸν ἐᾶν. ἔχει γάρ τι καὶ χρήσιμον. ὅταν μὲν γὰρ ἁμαρτάνωμεν ἡμεῖς ἢ ἕτεροι, τότε μόνον λυπεῖσθαι καλόν· ὅταν δὲ ἀνθρωπίναις περιστάσεσιν ἐμπέσωμεν, ἄχρηστος λοιπὸν τῆς ἀθυμίας ἡ χρῆσις. ἐπεὶ οὖν καὶ τοὺς μαθητὰς οὐδέπω τελείους ὄντας αὕτη κατεπάλαισεν, ὅρα πῶς αὐτοὺς διορθοῦται διὰ τῆς ἐπιπλήξεως. οἱ γὰρ μυρία περὶ τούτου αὐτὸν ἐρωτῶντες (καὶ γὰρ ὁ Πέτρος ἔλεγε, ποῦ ὑπάγεις; καὶ ὁ Θωμᾶς δέ, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; καὶ ὁ Φίλιππος· δεῖξον ἡμῖν τὸν πατέρα σου) οὗτοι νῦν ἀκούσαντες ὅτι ἀποσυναγώγους ποιήσουσι, καὶ ὅτι μισήσουσιν ὑμᾶς, καὶ ὅτι ὁ ἀποκτείνας ὑμᾶς δόξει λατρείαν προσφέρειν τῷ Θεῷ, οὕτω κατέπεσον, ὡς ἀφασίᾳ καταληφθῆναι λοιπόν, καὶ μηδὲν αὐτῷ διαλέγεσθαι. ὅπερ οὖν αὐτοῖς ὀνειδίζων ἔλεγε· ταῦτα ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν, ὅτι μεθ' ὑμῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις· ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. δεινὸν γὰρ ἡ ταύτης ἀμετρία, δεινὸν καὶ θανάτου κατασκευαστικόν. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. ταῦτα δὲ ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν, φησί. τίνος δὲ ἕνεκεν ἐξ ἀρχῆς οὐκ εἶπεν; ἵνα μή τις λέγῃ, ὅτι ἀπὸ τῶν πολλάκις συμβάντων στοχαζόμενος ἔλεγε. καὶ τί δήποτε πράγματι ἐπιχειρεῖς τοσαύτην ἔχοντι δυσκολίαν; ᾔδειν μέν, φησιν, αὐτὰ καὶ ἐξ ἀρχῆς, καὶ οὐ διὰ τὸ μὴ εἰδέναι οὐκ ἔλεγον, ἀλλ' ὅτι μεθ' ὑμῶν ἤμην. καὶ τοῦτο ἀνθρωπίνως πάλιν· ὡσανεὶ ἔλεγεν, ὅτι ἐν ἀσφαλείᾳ ἦτε, καὶ ἐξὸν ἦν ἐρωτᾶν ὅτε ἐβούλεσθε, καὶ ἐπ' ἐμὲ ὁ πόλεμος ἅπας ἀνερριπίζετο, καὶ περιττὸν ἦν εἰπεῖν ταῦτα ἐξ ἀρχῆς. ἆρ' οὖν τοῦτο τότε οὐκ εἶπεν; οὐχὶ τοὺς δώδεκα καλέσας ἔλεγεν·

Ματθ. ι. ιη.

Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε, καὶ μαστιγώσουσιν ὑμᾶς ἐν ταῖς συναγωγαῖς; πῶς οὖν φησιν, ὅτι ἀπ' ἀρχῆς οὐκ εἶπον; ὅτι μάστιγας καὶ ἀπαγωγὰς προανεφώνησεν, οὐ μὴν ὅτι οὕτω δόξει ὁ θάνατος αὐτῶν εἶναι περισπούδαστος, ὡς καὶ λατρείαν τὸ πρᾶγμα νομίζεσθαι. τοῦτο γὰρ πάντων μᾶλλον ἱκανὸν ἦν αὐτοὺς καταπλῆξαι, εἴπερ ἔμελλον ὡς ἀσεβεῖς καὶ λυμεῶνες κριθήσεσθαι. πρὸς τούτοις δὲ κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ἃ παρὰ τῶν ἐθνῶν ἔμελλον πάσχειν εἶπεν· ἐνταῦθα δὲ καὶ τὰ Ἰουδαϊκὰ προσέθηκε μετὰ πλείονος τῆς ὑπερβολῆς, καὶ ὅτι ἐπὶ θύραις ἐστὶν ἐδίδαξε. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν λέγει, ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. οὐ μικρὰ καὶ αὕτη παραμυθία, τὸ μαθεῖν αὐτοὺς, ὅτι ᾔδει τῆς ἀθυμίας τὴν ὑπερβολήν. ὑπὸ γὰρ τῆς ἀγωνίας τῆς διὰ τὴν ἐρημίαν τὴν αὐτοῦ καὶ τὰ μέλλοντα ἐκδέχεσθαι αὐτοὺς δεινὰ (οὐδὲ γὰρ ᾔδεσαν, εἰ δυνήσονται ἀνδρείως ἐνεγκεῖν) ἀπεσίγησαν. τίνος οὖν ἕνεκεν οὐ μετὰ ταῦτα εἶπεν αὐτοῖς, ὅτε τοῦ πνεύματος κατηξιώθησαν; ἵνα μάθῃς ὅτι σφόδρα ἦσαν ἐνάρετοι. εἰ γὰρ μηδέπω πνεύματος καταξιωθέντες, οὐκ ἀπεπήδησαν τῇ λύπῃ καταχωσθέντες, ἐννόησον τίνες ἔμελλον ἔσεσθαι τῆς χάριτος ἀπολαύσαντες. εἰ γὰρ τότε ἀκούσαντες ἠνέσχον, τῷ πνεύματι ἂν τὸ πᾶν ἐλογισάμεθα· νῦν δὲ ὁλόκληρος τῆς διανοίας αὐτῶν ἐστιν ὁ καρπὸς, καὶ σαφὴς τοῦ πόθου τοῦ περὶ τὸν Χριστὸν ἀπόδειξις, γυμνὴν ἔτι τὴν διάνοιαν βασανίζοντος.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν ὑμῖν λέγω. Ὅρα πῶς παραμυθεῖται αὐτοὺς πάλιν. οὐ γὰρ τὰ πρὸς χάριν λέγω, φησὶν, ἀλλὰ, κἂν μυριάκις λυπῆσθε, τὸ συμφέρον ἀκοῦσαι δεῖ. ὑμῖν μὲν γὰρ κατὰ γνώμην ἐστὶν ἐμὲ παρεῖναι· τὸ δὲ συμφέρον ἕτερον. κηδεμόνου δέ ἐστι, τὸ μὴ ἐπὶ τοῖς συμφέρουσι τῶν γνωρίμων φείδεσθαι, καὶ ἀπάγειν τοῦ λυσιτελοῦντος αὐτούς.

Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, φησὶν, ὁ παράκλητος οὐ μὴ ἔλθῃ. Τί λέγουσιν ἐνταῦθα οἱ τὴν προσήκουσαν περὶ τοῦ πνεύματος οὐκ ἔχοντες δόξαν; συμφέρει δεσπότην ἀπελθεῖν, καὶ δοῦλον παραγενέσθαι; ὁρᾷς πῶς πολλὴ τοῦ πνεύματος ἡ ἀξία;

Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ τί τὸ κέρδος;

8 Ἐκεῖνος ἐλθὼν, ἐλέγξει τὸν κόσμον· Τουτέστιν, οὐκ ἀτιμωρητὶ ταῦτα πράξουσιν, ἂν ἐκεῖνος ἔλθῃ. ἱκανὰ μὲν γὰρ καὶ τὰ ἤδη γεγενημένα ἐπιστομίσαι αὐτούς· ὅταν δὲ καὶ δι' ἐκείνου "ταῦτα γίνηται, καὶ διδάγματα τελειότερα καὶ σημεῖα μείζονα, πολλῷ μᾶλλον κατακριθήσονται, ὁρῶντες τοσαῦτα ἐν τῷ ὀνόματί μου γινόμενα· ὅπερ σαφεστέραν ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. νῦν μὲν γὰρ δύνανται λέγειν, ὅτι ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα· ὅταν δὲ ἴδωσι θάνατον λυόμενον, κακίαν ἐκβαλλομένην, χωλείαν φύσεως διορθουμένην, δαίμονας ἐλαυνομένους, πνεύματος χορηγίαν ἄφατον, καὶ ταῦτα πάντα ἐμοῦ καλουμένου γινόμενα, τί ἐροῦσιν; ἐμαρτύρησε γὰρ περὶ ἐμοῦ καὶ ὁ πατήρ· μαρτυρήσει δὲ καὶ τὸ πνεῦμα. καίτοι καὶ "παρὰ τὴν ἀρχὴν ἐμαρτύρησεν· ἀλλὰ καὶ νῦν τοῦτο ποιήσει. τὸ δὲ, ἐλέγξει 9 Περὶ ἁμαρτίας, Τουτέστι, πᾶσαν ἀπολογίαν αὐτῶν ἐκκόψει, καὶ δείξει πεπλημμεληκότας ἀσύγγνωστα.

χ. πάντα

χ. τὴν ἀρχὴν

10 Καὶ περὶ δικαιοσύνης, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, καὶ οὐκέτι θεωρεῖτέ με. Τουτέστιν, ὅτι "ἄληπτον παρεσχόμην βίον. καὶ τούτου τεκμήριον, τὸ πρὸς τὸν πατέρα πορεύεσθαι. ἐπειδὴ γὰρ αὐτῷ ἀεὶ τοῦτο ἐνεκάλουν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἁμαρτωλὸν αὐτὸν ἔλεγον καὶ παράνομον, φησὶν ὅτι καὶ ταύτην ἀναιρήσει τὴν πρόφασιν. εἰ γὰρ τὸ νομίζεσθαι ἐμὲ μὴ εἶναι ἐκ τοῦ Θεοῦ τοῦτο παράνομον δείκνυσιν· ὅταν δείξῃ τὸ πνεῦμα ἐκεῖ με ἀπελθόντα, καὶ οὐ πρὸς ὥραν, ἀλλὰ μένοντα ἐκεῖ (τὸ γὰρ, οὐκ ἔτι θεωρεῖτέ με, τοῦτο ἐστὶ δηλοῦντος) τί ἐροῦσι λοιπόν; ὅρα διὰ δύο τούτων ἀναιρουμένην τὴν πονηρὰν ὑποψίαν. οὔτε γὰρ τὸ σημεῖα ποιεῖν, ἁμαρτωλοῦ (οὐ γὰρ δύναται ἁμαρτωλὸς σημεῖα ποιεῖν) οὔτε τὸ παρὰ Θεῷ εἶναι διαπαντὸς, ἁμαρτωλοῦ. ὥστε οὐκ ἔτι "δύνασθε λέγειν, ὅτι οὗτος ἁμαρτωλός ἐστιν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ.

ἴσ. ἀνεπίληπτον

χ. δυνάμεθα

11 Περὶ

κεφ. ιϛ.

11 Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Πάλιν ἐνταῦθα τὸν περὶ δικαιοσύνης ἀνακινεῖ λόγον, ὅτι κατεπάλαισε τὸν ἀντίδικον. οὐκ ἂν δὲ ἁμαρτωλὸς ὢν κατεπάλαισεν· ὅπερ οὐδὲ δίκαιός τις ἀνθρώπων ποιῆσαι ἴσχυσεν. ὅτι γὰρ κατακέκριται δι' ἐμέ, εἴσονται οἱ καταπατοῦντες αὐτὸν ὕστερον, καὶ τὴν ἀνάστασίν μου σαφῶς εἰδότες, ὅπερ κατακρίνοντος αὐτόν ἐστιν. οὐ γὰρ ἴσχυσέ με κατασχεῖν. ἐπεὶ οὖν ἔλεγον, ὅτι δαιμόνιον ἔχω, καὶ ὅτι πλάνος εἰμί, καὶ ταῦτα μετὰ ταῦτα δειχθήσεται ἕωλα ὄντα. οὐ γὰρ ἂν αὐτὸν εἷλον, εἴγε ἁμαρτίᾳ ὑπεύθυνος ἤμην· νυνὶ δὲ κατακέκριται καὶ ἐκβέβληται. 12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Οὐκοῦν συμφέρει ἐμὲ ἀπελθεῖν, εἴγε τότε μέλλετε βαστάζειν, ὅταν ἀπέλθω. καὶ τί γέγονε; μεῖζόν σου τὸ πνεῦμά ἐστιν, ὅτι νῦν μὲν οὐ βαστάζομεν, ἐκεῖνο δὲ ἡμᾶς βαστάζειν παρασκευάσει; μείζων ἡ ἐκείνου ἐνέργεια καὶ τελειοτέρα; οὐ τοῦτο. καὶ γὰρ ἐκεῖνος τὰ ἐμὰ ἐρεῖ. διὰ τοῦτό φησιν· 13 Ἀφ' ἑαυτοῦ λαλήσει οὐδέν, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. 14 Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 Πάντα, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει, καὶ ἐν ταῖς θλίψεσιν ὑμᾶς παραμυθήσεται, ὅπερ αὐτὸς οὐκ ἐποίησε, καὶ ὅτι συμφέρει ἐμὲ ἀπελθεῖν, κἀκεῖνον ἐλθεῖν, καὶ νῦν μὲν οὐ δύνασθε βαστάζειν, τότε δὲ δυνήσεσθε, καὶ ὅτι ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν· ἵνα μὴ ταῦτα ἀκούοντες μεῖζον τὸ πνεῦμα νομίσωσι, καὶ εἰς ἀσεβείας ὑπόθεσιν ἐσχάτην ἐμπέσωσι, διὰ τοῦτό φησιν, ἐκ τοῦ ἐμοῦ λήψεται· τουτέστιν, ἅπερ ἂν εἶπον ἐγώ, ταῦτα κἀκεῖνος ἐρεῖ. ὅταν δὲ εἴπῃ, οὐδὲν ἀφ' ἑαυτοῦ λαλήσει, οὐδὲν ἐναντίον, οὐδὲν ἴδιον παρὰ τὰ ἐμά φησιν. ὥσπερ οὖν περὶ ἑαυτοῦ λέγων, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, τοῦτό φησιν, ὅτι οὐδὲν ἐκτὸς τῶν τοῦ πατρός, οὐδὲν ἴδιόν τι παρ' ἐκεῖνον καὶ ἀλλότριον, οὕτω καὶ ἐπὶ τοῦ πνεύματος. τὸ δὲ ἐκ τοῦ ἐμοῦ, ἐξ ὧν ἐγὼ οἶδα, ἐκ τῆς ἐμῆς γνώσεως. μία γὰρ ἐμοῦ καὶ τοῦ πνεύματος γνῶσις. καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐπῆρεν αὐτῶν τὴν διάνοιαν. πρὸς οὐδὲν γὰρ οὕτω λίχνον τὸ ἀνθρώπινον γένος, ὡς πρὸς τὸ μανθάνειν τὰ μέλλοντα. τοῦτο γοῦν συνεχῶς ἠρώτων αὐτόν, ποῦ ὑπάγεις, τίς ἐστιν ἡ ὁδός; καὶ ταύτης οὖν ἀπαλλάττων αὐτοὺς τῆς φροντίδος, λέγει· ὅτι πάντα ὑμῖν προερεῖ, ὥστε μὴ ἐμπεσεῖν ἀφυλάκτως. ἐκεῖνος ἐμὲ δοξάσει. πῶς; ἐν τῷ ὀνόματι τῷ ἐμῷ δώσει τὰς ἐνεργείας. ἐπειδὴ γὰρ μείζονα ἔμελλον ποιεῖν σημεῖα παραγινομένου τοῦ πνεύματος, διὰ τοῦτο πάλιν τὴν ἰσοτιμίαν εἰσάγων, φησίν· ἐκεῖνος ἐμὲ δοξάσει. ποίαν λέγει πᾶσαν ἀλήθειαν; καὶ γὰρ καὶ τοῦτο αὐτῷ μαρτυρεῖ, ὅτι ἡμᾶς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν. αὐτὸς μὲν γὰρ καὶ διὰ τὸ σάρκα περικεῖσθαι, καὶ διὰ τὸ μὴ δόξαι περὶ ἑαυτοῦ λέγειν, καὶ διὰ τὸ μηδέπω αὐτοὺς τὴν ἀνάστασιν εἰδέναι σαφῶς, καὶ ἀτελεστέρους εἶναι, καὶ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ὡς παρανομοῦντα δόξωσι κολάζειν, οὐδὲν μέγα ἐφθέγγετο συνεχῶς, οὔτε τοῦ νόμου σαφῶς ἀπέστησεν. ἐπειδὴ δὲ αὐτῶν ἀπεσχίσθησαν οἱ μαθηταί, καὶ ἔξω λοιπὸν ἦσαν ἐκεῖνοι, καὶ πολλοὶ πιστεύειν ἔμελλον καὶ τὰ ἁμαρτήματα ἀφίεσθαι, καὶ ἄλλοι ἦσαν οἱ περὶ αὐτοῦ λέγοντες, οὐκ ἔτι αὐτὸς περὶ ἑαυτοῦ μεγάλα εἰκότως ἐφθέγγετο. ὥστε οὐ τῆς ἀγνοίας τῆς ἐμῆς, φησι, τὸ μὴ εἰπεῖν ἅπερ εἰπεῖν ἐχρῆν, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας. διὰ τοῦτο εἰπών, ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν, ἐπήγαγεν· ἀφ' ἑαυτοῦ οὐκ ἐρεῖ. ὅτι γὰρ οὐ διδασκαλίας τὸ πνεῦμα δεῖται, ἄκουσον τοῦ Παύλου λέγοντος· Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὥσπερ οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου οὐ μανθάνον παρ' ἑτέρου οἶδεν· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ ἐμοῦ λήψεται· τουτέστι, συνῳδὰ τοῖς ἐμοῖς ἐρεῖ. πάντα, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν. ἐπεὶ οὖν ἐμά ἐστιν ἐκεῖνα, ἐκεῖνος δὲ ἐκ τῶν τοῦ πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ. διὰ τί δὲ οὐκ ἤρχετο πρὶν ἢ αὐτὸν ἀπελθεῖν; ὅτι οὔπω τῆς κατάρας ἀρθείσης, οὔπω τῆς ἁμαρτίας λυθείσης, ἀλλ' ἔτι πάντων ὑπευθύνων ὄντων τῇ τιμωρίᾳ, οὐκ ἂν παρεγένετο. δεῖ οὖν, φησι, τὴν ἔχθραν λυθῆναι, καὶ καταλλαγῆναι ἡμᾶς τῷ Θεῷ, καὶ τότε δέξασθαι τὸ δῶρον ἐκεῖνο. διὰ τί δέ φησι, πέμψω αὐτόν; τουτέστι, προπαρα-

α. Κορ. β. ια.

Ματθ. ι.

Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε, καὶ μαστιγώσουσιν ὑμᾶς ἐν ταῖς συναγωγαῖς; πῶς οὖν φησιν, ὅτι ἀπ' ἀρχῆς οὐκ εἶπον; ὅτι μάστιγας καὶ ἀπαγωγὰς προανεφώνησεν, οὐ μὴν ὅτι οὕτω δόξει ὁ θάνατος αὐτῶν εἶναι περισπούδαστος, ὡς καὶ λατρείαν τὸ πρᾶγμα νομίζεσθαι. τοῦτο γὰρ πάντων μᾶλλον ἱκανὸν ἦν αὐτοὺς καταπλῆξαι, εἴπερ ἔμελλον ὡς ἀσεβεῖς καὶ λυμεῶνες κριθήσεσθαι. πρὸς τούτοις δὲ κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ἃ παρὰ τῶν ἐθνῶν ἔμελλον πάσχειν εἶπεν· ἐνταῦθα δὲ καὶ τὰ Ἰουδαϊκὰ προσέθηκε μετὰ πλείονος τῆς ὑπερβολῆς, καὶ ὅτι ἐπὶ θύραις ἐστὶν ἐδίδαξε. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν λέγει, ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. οὐ μικρὰ καὶ αὕτη παραμυθία τὸ μαθεῖν αὐτοὺς, ὅτι ᾔδει τῆς ἀθυμίας τὴν ὑπερβολήν. ὑπὸ γὰρ τῆς ἀγωνίας τῆς διὰ τὴν ἐρημίαν τὴν αὐτοῦ καὶ τὰ μέλλοντα ἐκδέχεσθαι αὐτοὺς δεινὰ (οὐδὲ γὰρ ᾔδεσαν, εἰ δυνήσονται ἀνδρείως ἐνεγκεῖν) ἐξέστησαν. τίνος οὖν ἕνεκεν οὐ μετὰ ταῦτα εἶπεν αὐτοῖς, ὅτε τοῦ πνεύματος κατηξιώθησαν; ἵνα μάθῃς ὅτι σφόδρα ἦσαν ἐνάρετοι. εἰ γὰρ μηδέπω πνεύματος καταξιωθέντες, οὐκ ἀπεπήδησαν τῇ λύπῃ καταχωσθέντες, ἐννόησον τίνες ἔμελλον ἔσεσθαι τῆς χάριτος ἀπολαύσαντες. εἰ γὰρ τότε ἀκούσαντες ἠνέσχον, τῷ πνεύματι ἂν τὸ πᾶν ἐλογισάμεθα· νῦν δὲ ὁλόκληρος τῆς διανοίας αὐτῶν ἐστιν ὁ καρπὸς, καὶ σαφὴς τοῦ πόθου τοῦ περὶ τὸν Χριστὸν ἀπόδειξις, γυμνὴν ἔτι τὴν διάνοιαν βασανίζοντος.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν ὑμῖν λέγω. Ὅρα πῶς παραμυθεῖται αὐτοὺς πάλιν. οὐ γὰρ τὰ πρὸς χάριν λέγω, φησίν, ἀλλὰ, κἂν μυριάκις λυπῆσθε, τὸ συμφέρον ἀκοῦσαι δεῖ. ὑμῖν μὲν γὰρ κατὰ γνώμην ἐστὶν ἐμὲ παρεῖναι· τὸ δὲ συμφέρον ἕτερον. κηδεμόνος δέ ἐστι, τὸ μὴ ἐπὶ τοῖς συμφέρουσι τῶν γνωρίμων φείδεσθαι καὶ ἀπάγειν τοῦ λυσιτελοῦντος αὐτούς.

Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, φησίν, ὁ παράκλητος οὐ μὴ ἔλθῃ. Τί λέγουσιν ἐνταῦθα οἱ τὴν προσήκουσαν περὶ τοῦ πνεύματος οὐκ ἔχοντες δόξαν; συμφέρει δεσπότην ἀπελθεῖν, καὶ δοῦλον παραγενέσθαι; ὁρᾷς πῶς πολλὴ τοῦ πνεύματος ἡ ἀξία;

Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ τί τὸ κέρδος;

8 Ἐκεῖνος ἐλθὼν, ἐλέγξει τὸν κόσμον· Τουτέστιν, οὐκ ἀτιμωρητὶ ταῦτα πράξουσιν, ἂν ἐκεῖνος ἔλθῃ. ἱκανὰ μὲν γὰρ καὶ τὰ ἤδη γεγενημένα ἐπιστομίσαι αὐτούς· ὅταν δὲ καὶ δι' ἐκείνου ταῦτα γίνηται, καὶ διδάγματα τελειότερα καὶ σημεῖα μείζονα, πολλῷ μᾶλλον κατακριθήσονται, ὁρῶντες τοσαῦτα ἐν τῷ ὀνόματί μου γινόμενα· ὅπερ σαφεστέραν ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. νῦν μὲν γὰρ δύνανται λέγειν, ὅτι ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα· ὅταν δὲ ἴδωσι θάνατον λυόμενον, κακίαν ἐκβαλλομένην, χωλείαν φύσεως διορθουμένην, δαίμονας ἐλαυνομένους, πνεύματος χορηγίαν ἄφατον, καὶ ταῦτα πάντα ἐμοῦ καλουμένου γινόμενα, τί ἐροῦσιν; ἐμαρτύρησε γὰρ περὶ ἐμοῦ καὶ ὁ πατήρ· μαρτυρήσει δὲ καὶ τὸ πνεῦμα. καίτοι καὶ παρὰ τὴν ἀρχὴν ἐμαρτύρησεν· ἀλλὰ καὶ νῦν τοῦτο ποιήσει. τὸ δὲ, ἐλέγξει 9 Περὶ ἁμαρτίας, Τουτέστι, πᾶσαν ἀπολογίαν αὐτῶν ἐκκόψει, καὶ δείξει πεπλημμεληκότας ἀσύγγνωστα.

χ. πάντα

χ. τὴν ἀρχὴν

10 Καὶ περὶ δικαιοσύνης, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, καὶ οὐκέτι θεωρεῖτέ με· Τουτέστιν, ὅτι ἄληπτον παρεχόμην βίον. καὶ τοῦτο τεκμήριον, τὸ πρὸς τὸν πατέρα πορεύεσθαι. ἐπειδὴ γὰρ αὐτῷ ἀεὶ τοῦτο ἐνεκάλουν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἁμαρτωλὸν αὐτὸν ἔλεγον καὶ παράνομον, φησὶν ὅτι καὶ ταύτην ἀναιρήσει τὴν πρόφασιν. εἰ γὰρ τὸ νομίζεσθαι ἐμὲ μὴ εἶναι ἐκ τοῦ Θεοῦ τοῦτο παράνομον δείκνυσιν· ὅταν δείξῃ τὸ πνεῦμα ἐκεῖ με ἀπελθόντα, καὶ οὐ πρὸς ὥραν, ἀλλὰ μένοντα ἐκεῖ (τὸ γὰρ, οὐκ ἔτι θεωρεῖτέ με, τοῦτο ἐστι δηλοῦντος) τί ἐροῦσι λοιπόν; ὅρα διὰ δύο τούτων ἀναιρουμένην τὴν πονηρὰν ὑπόληψιν. οὔτε γὰρ τὸ σημεῖα ποιεῖν, ἁμαρτωλοῦ (οὐ γὰρ δύναται ἁμαρτωλὸς σημεῖα ποιεῖν) οὔτε τὸ παρὰ Θεῷ εἶναι διαπαντὸς, ἁμαρτωλοῦ. ὥστε οὐκ ἔτι δύνασθε λέγειν, ὅτι οὗτος ἁμαρτωλός ἐστιν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ.

ἴσ. ἀνεπίληπτον

χ. δύνανται

11 Περὶ

κεφ 15.

11 Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Πάλιν ἐνταῦθα τὸν περὶ δικαιοσύνης ἀνακινεῖ λόγον, ὅτι κατεπάλαισε τὸν ἀντίδικον. οὐκ ἂν δὲ ἁμαρτωλὸς ὢν κατεπάλαισεν· ὅπερ οὐδὲ δίκαιός τις ἀνθρώπων ποιῆσαι ἴσχυσεν. ὅτι γὰρ κατακέκριται δι' ἐμὲ, εἴσονται οἱ καταπατοῦντες αὐτὸν ὕστερον, καὶ τὴν ἀνάστασίν μου σαφῶς εἰδότες, ὅπερ κατακρίνοντος αὐτόν ἐστιν. οὐ γὰρ ἴσχυσέ με κατασχεῖν. ἐπεὶ οὖν ἔλεγον, ὅτι δαιμόνιον ἔχω, καὶ ὅτι πλάνος εἰμὶ, καὶ ταῦτα μετὰ ταῦτα δειχθήσεται ἕωλα ὄντα. οὐ γὰρ ἂν αὐτὸν εἷλον, εἴγε ἁμαρτίᾳ ὑπεύθυνος ἤμην· νυνὶ δὲ κατακέκριται καὶ ἐκβέβληται. 12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Οὐκοῦν συμφέρει ἐμὲ ἀπελθεῖν, εἴγε τότε μέλλετε βαστάζειν, ὅταν ἀπέλθω. καὶ τί γέγονε; μεῖζόν σου τὸ πνεῦμά ἐστιν, ὅτι νῦν μὲν οὐ βαστάζομεν, ἐκεῖνο δὲ ἡμᾶς βαστάζειν παρασκευάσει; μείζων ἡ ἐκείνου ἐνέργεια καὶ τελειοτέρα; οὐ τοῦτο. καὶ γὰρ ἐκεῖνος τὰ ἐμὰ ἐρεῖ. διὰ τοῦτό φησιν· 13 Ἀφ' ἑαυτοῦ λαλήσει οὐδὲν, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. 14 Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 Πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει, καὶ ἐν ταῖς θλίψεσιν ὑμᾶς παραμυθήσεται, ὅπερ αὐτὸς οὐκ ἐποίησε, καὶ ὅτι συμφέρει ἐμὲ ἀπελθεῖν, κἀκεῖνον ἐλθεῖν, καὶ νῦν μὲν οὐ δύνασθε βαστάζειν, τότε δὲ δυνήσεσθε, καὶ ὅτι ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν· ἵνα μὴ ταῦτα ἀκούοντες μεῖζον τὸ πνεῦμα νομίσωσι, καὶ εἰς ἀσεβείας ὑπόθεσιν ἐσχάτην ἐμπέσωσι, διὰ τοῦτό φησιν, ἐκ τοῦ ἐμοῦ λήψεται· τουτέστιν, ἅπερ ἂν εἶπον ἐγὼ, ταῦτα κἀκεῖνος ἐρεῖ. ὅταν δὲ εἴπῃ, οὐδὲν ἀφ' ἑαυτοῦ λαλήσει, οὐδὲν ἐναντίον, οὐδὲν ἴδιον παρὰ τὰ ἐμά φησιν. ὥσπερ οὖν περὶ ἑαυτοῦ λέγων, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, τοῦτό φησιν, ὅτι οὐδὲν ἐκτὸς τῶν τοῦ πατρὸς, οὐδὲν ἴδιόν τι παρ' ἐκεῖνον καὶ ἀλλότριον, οὕτω καὶ ἐπὶ τοῦ πνεύματος. τὸ δὲ ἐκ τοῦ ἐμοῦ, ἐξ ὧν ἐγὼ οἶδα, ἐκ τῆς ἐμῆς γνώσεως. μία γὰρ ἐμοῦ καὶ τοῦ πνεύματος γνῶσις. καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐπῆρεν αὐτῶν τὴν διάνοιαν. πρὸς οὐδὲν γὰρ οὕτω λίχνον τὸ ἀνθρώπινον γένος, ὡς πρὸς τὸ μανθάνειν τὰ μέλλοντα. τοῦτο γοῦν συνεχῶς ἠρώτων αὐτὸν, ποῦ ὑπάγεις, τίς ἐστιν ἡ ὁδός; καὶ ταύτης οὖν ἀπαλλάττων αὐτοὺς τῆς φροντίδος, λέγει· ὅτι πάντα ὑμῖν προερεῖ, ὥστε μὴ ἐμπεσεῖν ἀφυλάκτως. ἐκεῖνος ἐμὲ δοξάσει. πῶς; ἐν τῷ ὀνόματι τῷ ἐμῷ δώσει τὰς ἐνεργείας. ἐπειδὴ γὰρ μείζονα ἔμελλον ποιεῖν σημεῖα παραγινομένου τοῦ πνεύματος, διὰ τοῦτο πάλιν τὴν ἰσοτιμίαν εἰσάγων, φησίν· ἐκεῖνος ἐμὲ δοξάσει. ποίαν λέγει πᾶσαν ἀλήθειαν; καὶ γὰρ καὶ τοῦτο αὐτῷ μαρτυρεῖ, ὅτι ἡμᾶς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν. αὐτὸς μὲν γὰρ καὶ διὰ τὸ σάρκα περικεῖσθαι, καὶ διὰ τὸ μὴ δόξαι περὶ ἑαυτοῦ λέγειν, καὶ διὰ τὸ μηδέπω αὐτοὺς τὴν ἀνάστασιν εἰδέναι σαφῶς, καὶ ἀτελεστέρους εἶναι, καὶ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ὡς παρανομοῦντα δόξωσι κολάζειν, οὐδὲν μέγα ἐφθέγγετο συνεχῶς, οὔτε τοῦ νόμου σαφῶς ἀπέστησεν. ἐπειδὴ δὲ αὐτῶν ἀπεσχίσθησαν οἱ μαθηταὶ, καὶ ἔξω λοιπὸν ἦσαν ἐκεῖνοι, καὶ πολλοὶ πιστεύειν ἔμελλον καὶ τῶν ἁμαρτημάτων ἀφίεσθαι, καὶ ἄλλοι ἦσαν οἱ περὶ αὐτοῦ λέγοντες, οὐκ ἔτι αὐτὸς περὶ ἑαυτοῦ μεγάλα εἰκότως ἐφθέγγετο. ὥστε οὐ τῆς ἀγνοίας τῆς ἐμῆς, φησι, τὸ μὴ εἰπεῖν ἅπερ εἰπεῖν ἐχρῆν, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας. διὰ τοῦτο εἰπὼν, ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν, ἐπήγαγεν· ἀφ' ἑαυτοῦ οὐκ ἐρεῖ. ὅτι γὰρ οὐ διδασκαλίας τὸ πνεῦμα δεῖται, ἄκουσον τοῦ Παύλου λέγοντος· Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὥσπερ οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου οὐ μανθάνον παρ' ἑτέρου οἶδεν· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ ἐμοῦ λήψεται· τουτέστι, συνῳδὰ τοῖς ἐμοῖς ἐρεῖ. πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν. ἐπεὶ οὖν ἐμά ἐστιν ἐκεῖνα, ἐκεῖνος δὲ ἐκ τοῦ πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ. διὰ τί δὲ οὐκ ἤρχετο πρὶν ἢ αὐτὸν ἀπελθεῖν; ὅτι οὔπω τῆς κατάρας ἀρθείσης, οὔπω τῆς ἁμαρτίας λυθείσης, ἀλλ' ἔτι πάντων ὑπευθύνων ὄντων τῇ τιμωρίᾳ, οὐκ ἂν παρεγένετο. δεῖ οὖν, φησι, τὴν ἔχθραν λυθῆναι, καὶ καταλλαγῆναι ἡμᾶς τῷ Θεῷ, καὶ τότε δέξασθαι τὸ δῶρον ἐκεῖνο. διὰ τί δέ φησι, πέμψω αὐτόν; τουτέστι, προπαρα-

α. Κορ. β. ια.

σκευάσει ὑμᾶς πρὸς τὴν ὑποδοχήν. πῶς γὰρ τὸ πανταχοῦ ὂν πέμπεται; ἄλλως δὲ, καὶ τῶν ὑποστάσεων τὸ διάφορον δείκνυσι. διὰ δύο δὲ ταῦτα οὕτω φθέγγεται, καὶ ἐπειδὴ οὗτοι δυσαποσπάστως εἶχον, πείθων τοῦ πνεύματος ἔχεσθαι, καὶ ἵνα αὐτὸ θεραπεύσωσιν. ἠδύνατο μὲν γὰρ καὶ αὐτὸς ταῦτα ἐργάζεσθαι· ἀλλὰ διὰ τοῦτο ἐκείνῳ συγχωρεῖ θαυματουργεῖν, ἵνα μάθωσιν αὐτοῦ τὴν ἀξίαν. ὥσπερ γὰρ ὁ πατὴρ ἠδύνατο τὰ ὄντα παραγαγεῖν· ὁ δὲ υἱὸς αὐτὸ ποιεῖ, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν, οὕτω καὶ τοῦτο. διὰ τοῦτο καὶ αὐτὸς ἐσαρκώθη, τῷ πνεύματι τηρῶν τὴν ἐνέργειαν, καὶ ἐμφράττων τὰ στόματα τῶν τὴν ὑπόθεσιν τῆς ἀφάτου φιλανθρωπίας εἰς ἀφορμὴν ἀσεβείας λαμβανόντων. ὅταν γὰρ λέγωσιν, ὅτι διὰ τοῦτο ἐσαρκώθη ὁ υἱὸς, ἐπειδὴ καταδεέστερος ἦν τοῦ πατρὸς, ἐροῦμεν πρὸς αὐτοὺς, τί οὖν ἂν εἴποιτε περὶ τοῦ πνεύματος; οὐ γὰρ ἔλαβε σάρκα, καὶ οὐ δήπου διὰ τοῦτο μεῖζον τοῦ υἱοῦ αὐτὸ ἐρεῖτε, οὐδὲ τὸν υἱὸν αὐτοῦ καταδεέστερον. διὰ τοῦτο καὶ ἐπὶ τοῦ βαπτίσματος ἡ τριὰς παραλαμβάνεται. καὶ γὰρ ὁ πατὴρ τὸ πᾶν ἐργάσασθαι δύναται, καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ', ἐπειδὴ περὶ τοῦ πατρὸς οὐδεὶς ἀμφιβάλλει, τὸ δὲ ἀμφιβαλλόμενον ἦν περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου, παρείληπται ἐν τῇ μυσταγωγίᾳ, ἵνα ἐν τῇ κοινωνίᾳ τῆς χορηγίας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν καὶ τὴν κοινωνίαν τῆς ἀξίας καταμανθάνωμεν. ἐπεὶ ὅτι δύναται ὁ υἱὸς καθ' ἑαυτὸν ταῦτα, ἅπερ ἐπὶ τοῦ βαπτίσματος μετὰ τοῦ πατρὸς δύναται, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἄκουσον ταῦτα σαφῶς. τοῖς γὰρ Ἰουδαίοις ἔλεγεν· Ἵνα γὰρ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· καὶ πάλιν, Ἵνα υἱοὶ φωτὸς γένησθε· καὶ, Ἐγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς. εἶτα μετὰ ταῦτα, Ἵνα ζωὴν, φησὶν, ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἴδωμεν δὲ καὶ τὸ πνεῦμα τὸ αὐτὸ τοῦτο ποιοῦν. ποῦ ἐστιν ἰδεῖν; Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματός, φησι, δίδοται πρὸς τὸ συμφέρον. ὁ τοίνυν ταῦτα παρέχων, καὶ ἁμαρτήματα πολλῷ μᾶλλον ἀφίησι. καὶ πάλιν· Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· καὶ, Ζωοποιήσει διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν· καὶ, Τὸ πνεῦμα ζωὴ διὰ δικαιοσύνην· καὶ πάλιν, Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ τότε δὲ πάντα ἅπερ ἐποίουν, παραγινομένου τοῦ πνεύματος ἐθαυματούργουν. καὶ Κορινθίοις δὲ γράφων ἔλεγε Παῦλος· Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. ἐπεὶ οὖν περὶ μὲν τοῦ πατρὸς πολλὰ ἤκουσαν, καὶ τὸν υἱὸν δὲ εἶδον πολλὰ ἐργασάμενον, περὶ δὲ τοῦ πνεύματος οὐδὲν οὐδέπω σαφῶς ᾔδεσαν, θαυματουργεῖ, καὶ τὴν τελείαν εἰσάγει γνῶσιν. ἀλλ' ἵνα μὴ μεῖζον ἐντεῦθεν ὑποπτεύηται (ὅπερ ἔφθην εἰπὼν) διὰ τοῦτό φησιν· ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. ἐπεὶ, εἰ μὴ τοῦτο ἐστι, πῶς οὐκ ἄτοπον, εἰ τότε ἔμελλεν ἀκούειν, καὶ διὰ τοὺς μαθητευομένους; οὐδὲ γὰρ τότε ἔμελλε καθ' ὑμᾶς εἰδέναι, εἰ μὴ διὰ τοὺς ἀκουσομένους. καὶ τί τούτου παρανομώτερον τοῦ ῥήματος γένοιτ' ἄν; ἄλλως δέ· τί καὶ ἔμελλεν ἀκούσεσθαι; οὐ ταῦτα πάντα εἶπε διὰ τῶν προφητῶν; εἴτε γὰρ περὶ τῆς τοῦ νόμου λύσεως ἔμελλε διδάσκειν, εἴρηται· εἴτε περὶ τοῦ Χριστοῦ καὶ τῆς θεότητος αὐτοῦ, καὶ τῆς οἰκονομίας, καὶ ταῦτα εἴρηται. τί γὰρ καὶ τρανότερον ἔμελλε μετὰ ταῦτα ἐρεῖν; καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. ἐνταῦθα μάλιστα δείκνυσιν αὐτοῦ τὸ ἀξίωμα, ἐπειδὴ Θεοῦ τοῦτο μάλιστα ἴδιον, τὸ λέγειν τὰ μέλλοντα. εἰ δὲ καὶ αὐτὸ μανθάνοι παρ' ἑτέρων, οὐδὲν πλέον ἕξει τῶν προφητῶν· ἀλλ' ἐνταῦθα τὴν ἀπηκριβωμένην πρὸς τὸν Θεὸν γνῶσιν δηλοῖ, ὅτι ἀδύνατον ἄλλο τι φθέγξασθαι αὐτό. τὸ δὲ, ἐκ τοῦ ἐμοῦ λήψεται, ἤτοι ἐκ τοῦ χαρίσματος τοῦ εἰς τὴν σάρκα τὴν ἐμὴν ἐλθόντος, ἢ [ὅτι] ἀπὸ τῆς γνώσεως, ἧς καὶ ἐγὼ ἔχω, οὐχ ὡς δεόμενος, οὐδὲ ὡς παρ' ἑτέρου μαθὼν, ἀλλ' ὡς μιᾶς οὔσης καὶ τῆς αὐτῆς. καὶ διὰ τί οὕτως εἶπε, καὶ μὴ ἑτέρως; ὅτι οὐδέπω τὸν περὶ τοῦ πνεύματος ᾔδεσαν λόγον. διόπερ ἓν κατασκευάζει μόνον, ὥστε πιστευθῆναι αὐτὸ καὶ δεχθῆναι παρ' αὐτῶν, καὶ μὴ σκανδαλισθῆναι. ἐπειδὴ γὰρ ἔλεγεν, εἷς ἐστιν ὑμῶν ὁ διδάσκαλος ὁ Χριστὸς, ἵνα

μὴ

Μαρκ. β. ι.
Ιωαν. ιβ. λε.
Ιωαν. ι. κη.
α. Κορ. ιβ. ζ.
Ιωαν. ς. ξγ.
Ρω. η. ια.
Ρω. η. ι.
Ρω. η. ιδ.
α. Κορ. ς. ια.

γ. δι' ἡμῶν
γ. ῥήματος
γ. προφητῶν

κεφ. ις.

μὴ νομίσωσι παρακούειν ἐκείνῳ πειθόμενοι, μία ἡ ἐμὴ καὶ ἡ ἐκείνου διδασκαλία, φησίν, ἐστιν· ἐξ ὧν ἔμελλον ἐγὼ διδάσκειν, ἐκ τῶν αὐτῶν καὶ αὐτὸς ἐρεῖ. μὴ δὴ νομίσητε ἕτερα εἶναι τὰ ἐκείνου. καὶ γὰρ καὶ ἐκεῖνα ἐμά ἐστι καὶ τὴν ἐμὴν συγκροτεῖ δόξαν. ἓν γὰρ θέλημα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. οὕτω καὶ ἡμᾶς εἶναι βούλεται λέγων, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἐγὼ καὶ σὺ ἕν ἐσμεν.

ΗΘΙΚΟΝ

Οὐδὲν γὰρ ὁμονοίας ἴσον οὐδὲ συμφωνίας. ὁ γὰρ εἷς, πολλοστός ἐστιν οὕτως. ἂν γὰρ ὁμόψυχοι ὦσι δύο ἢ δέκα, οὐκ ἔτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δεκαπλασίων ἕκαστος αὐτῶν γίνεται, καὶ εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα, καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα. κἂν ἐχθρὸν ἔχωσιν, ὁ τῷ ἑνὶ προσβαλών, ὡς τοῖς δέκα προσβαλών, οὕτως ἁλίσκεται. οὐ γὰρ ὑφ' ἑνὸς βάλλεται μόνον, ἀλλ' ὑπὸ τῶν δέκα συμμάχων. ἠπόρησεν ὁ εἷς; ἀλλ' οὐκ ἔστιν ἐν ἀπορία. τῷ γὰρ μείζονι μέρει, τουτέστι, τοῖς ἐννέα, εὐπορεῖ, καὶ τὸ ἀποροῦν συσκιάζεται μέρος, τὸ ἔλαττον, διὰ τοῦ πλείονος τοῦ εὐποροῦντος. ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει καὶ εἴκοσι ὀφθαλμούς, καὶ πόδας τοσούτους. οὐ γὰρ τοῖς ἑαυτοῦ μόνον ὀφθαλμοῖς ὁρᾷ, ἀλλὰ καὶ τοῖς ἑτέρων, οὐ τοῖς ἑαυτοῦ βαδίζει ποσίν, ἀλλὰ καὶ τοῖς ἑτέρων· οὐ ταῖς ἑαυτοῦ χερσὶν ἐργάζεται, ἀλλὰ καὶ ταῖς ἐκείνων. ψυχὰς ἔχει δέκα. οὐ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἐκεῖναι ὑπὲρ αὐτοῦ μεριμνῶσιν. εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσται πάλιν, καὶ ἐκταθήσεται τὰ τῆς δυνάμεως. εἶδες ἀγάπης ὑπερβολήν, πῶς ἀκαταγώνιστον ποιεῖ τὸν ἕνα καὶ πολλαπλάσιον; πῶς ὁ εἷς καὶ πολλαχοῦ δύναται εἶναι; ὁ αὐτὸς καὶ ἐν Περσίδι καὶ ἐν Ῥώμῃ· καὶ ὅπερ φύσις οὐ δύναται, ἡ ἀγάπη δύναται. τὸ μὲν γὰρ αὐτοῦ ἐνταῦθα ἔσται· τὸ δὲ ἐκεῖ· μᾶλλον δὲ ὁλόκληρος ἐνταῦθα, καὶ ὁλόκληρος ἐκεῖ. ἐὰν οὖν χιλίους ἔχῃ φίλους, ἢ δισχιλίους, ἐννόησον ποῦ πάλιν ὑπερβήσεται τὰ τῆς δυνάμεως. ὁρᾷς πῶς αὐξητικὸν ἡ ἀγάπη; ὃ γὰρ θαυμαστὸν τοῦτό ἐστι, τὸ χιλιοστὸν ποιῆσαι τὸν ἕνα. τίνος οὖν ἕνεκεν οὐ κτώμεθα τὴν δύναμιν ταύτην, καὶ ἐν ἀσφαλείᾳ καθιστῶμεν ἑαυτούς; τοῦτο δυναστείας καὶ πλούτου κρεῖττον πάντων, τοῦτο ὑγείας, τοῦτο αὐτοῦ τοῦ φωτὸς πλέον, τοῦτο εὐθυμίας ὑπόθεσις. μέχρι τίνος εἰς ἕνα καὶ δύο περιΐστωμεν τὴν ἀγάπην; μάθε καὶ ἐξ ἐναντίας τὸ πρᾶγμα. ἔστω τις μηδένα φίλον ἔχων, ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης (μωρὸς γὰρ ἐρεῖ, οὐχ ὑπάρχει μοι φίλος) ὁ τοιοῦτος ποίαν ζήσεται ζωήν; κἂν γὰρ μυριάκις ᾖ πλούσιος, κἂν ἐν ἀφθονίᾳ καὶ τρυφῇ, κἂν μυρία ἀγαθὰ κεκτημένος, πάντων ἔρημος καὶ γυμνὸς καθίσταται. ἐπὶ δὲ τῶν φίλων οὐχ οὕτως, ἀλλά, κἂν πένητες ὦσι, τῶν πλουσίων εὐπορώτεροι τυγχάνουσι· καὶ ἅπερ αὐτὸς ὑπὲρ αὐτοῦ οὐκ εἰπεῖν ἐπιχειρεῖ, ταῦτα ὁ φίλος ἐρεῖ· καὶ ὅσα οὐ δύναται ἑαυτῷ χαρίσασθαι, δι' ἑτέρου δυνήσεται καὶ πολλῷ πλείονα, καὶ πάσης ἡμῖν ἔσται ἀπολαύσεως καὶ ἀσφαλείας ὑπόθεσις. οὐ γὰρ ἔστι παθεῖν κακῶς ὑπὸ τοσούτοις δορυφόροις φυλαττόμενον. οὐ γὰρ τοιοῦτοι τοῦ βασιλέως οἱ σωματοφύλακες ἀκριβεῖς, ὡς οὗτοι. οἱ μὲν γὰρ ἀνάγκῃ καὶ φόβῳ τὴν φυλακὴν ἐπιδείκνυνται· οἱ δὲ εὐνοίᾳ καὶ ἀγάπῃ· πολλῷ δὲ φόβου τυραννικωτέρα αὕτη. κἀκεῖνος μὲν τοὺς φύλακας αὐτοῦ δέδοικεν, οὗτος δὲ τούτοις μᾶλλον, ἢ ἑαυτῷ θαρρεῖ, καὶ διὰ τούτους οὐδένα τῶν ἐπιβουλευόντων δέδοικεν. ἐμπορευσώμεθα τοίνυν τὴν ἐμπορίαν ταύτην· ὁ πένης, ἵνα τῆς πενίας ἔχῃ παραμυθίαν· ὁ πλούσιος, ἵνα τὸν πλοῦτον ἐν ἀσφαλείᾳ κεκτημένος ᾖ· ὁ ἄρχων, ἵνα μετὰ ἀσφαλείας ἀσφαλείᾳ ἄρχῃ· ὁ ἀρχόμενος, ἵνα εὐμενεῖς ἔχῃ τοὺς ἄρχοντας. τοῦτο ἡμερότητος ἀφορμή, τοῦτο πραότητος ὑπόθεσις. ἐπεὶ καὶ ἐν τοῖς θηρίοις ἐκεῖνα μάλιστά ἐστι χαλεπὰ καὶ ἀτίθασσα, τὰ μὴ συναγελαζόμενα. διὰ τοῦτο πόλεις οἰκοῦμεν, καὶ ἀγορὰς ἔχομεν, ἵνα ἀλλήλοις συγγινώμεθα. τοῦτο καὶ Παῦλος ἐκέλευσε λέγων· Μὴ ἐγκαταλιμπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. οὐδὲν γὰρ οὕτως ὡς μόνωσις κακόν, καὶ τὸ ἄσπονδον καὶ ἀπρόσοπτον. τί οὖν οἱ μοναχοί, φησι, καὶ οἱ τὰς κορυφὰς τῶν ὀρέων κατειληφότες; οὐδὲ ἐκεῖνοι φίλων εἰσὶ χωρίς, ἀλλὰ τοὺς μὲν ἐπὶ τῆς ἀγορᾶς ἔφυγον θορύβους, πολλοὺς δὲ ἔχουσιν ὁμοψύχους καὶ ἀκριβῶς ἀλλήλοις συνδεδεμένους. καὶ ἵνα τοῦτο κατορθώσω-

καθέστηκεν.

Εβρ. ι. κε.

σιν, ἀνεχώρησαν. ἐπεὶ γὰρ ἡ τῶν πραγμάτων φιλονεικία πολλὰς ποιεῖ τὰς ἔριδας, διὰ τοῦτο ἐκ μέσου γενόμενοι τὴν ἀγάπην γεωργοῦσι μετὰ ἀκριβείας πολλῆς. τί οὖν, εἴ τις μόνος εἴη, φησί, κἀκεῖνος μυρίους ἔχει φίλους; ἐγὼ μὲν γὰρ βούλομαι, εἰ δυνατὸν, καὶ συνδιατρίβειν ἀλλήλοις εἰδέναι· τέως δὲ μηδέπω τὰ τῆς φιλίας ἀκίνητα. οὐ γὰρ ὁ τόπος ποιεῖ τοὺς φίλους. πολλοὺς γοῦν ἔχουσι τοὺς θαυμάζοντας· οὐκ ἂν δὲ ἐθαύμασαν, εἰ μὴ ἐφίλουν. καὶ αὐτοὶ πάλιν ὑπὲρ ἁπάσης εὔχονται τῆς οἰκουμένης, ὅπερ μέγιστον φιλίας ἐστὶ τεκμήριον. διὰ τοῦτο καὶ ἐν τοῖς μυστηρίοις ἀσπαζόμεθα ἀλλήλους, ἵνα οἱ πολλοὶ γενώμεθα ἕν· καὶ ἐπὶ τῶν ἀμυήτων κοινὰς ποιούμεθα τὰς εὐχὰς, λιτανεύοντες ὑπὲρ νοσούντων, καὶ τῶν καρπῶν τῆς οἰκουμένης, καὶ γῆς καὶ θαλάττης. ὁρᾷς πᾶσαν τῆς ἀγάπης τὴν δύναμιν; ἐν ταῖς εὐχαῖς; ἐν τοῖς μυστηρίοις; ἐν ταῖς παραινέσεσι; τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν. ἂν ταύτης ἐχώμεθα μετὰ ἀκριβείας, καὶ τὰ παρόντα καλῶς οἰκονομήσομεν, καὶ τῆς βασιλείας ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. οθ.

16 ΜΙΚΡΟΝ, ΚΑΙ ΟΥ ΘΕΩΡΕΙΤΕ ΜΕ· ΚΑΙ ΠΑλιν μικρὸν, καὶ ὄψεσθέ με, ὅτι ὑπάγω πρὸς τὸν πατέρα. 17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· τί ἐστιν ὃ λέγει, μικρόν; καὶ τὰ ἑξῆς.

γρ. ὐχ. π

ΤΗν ὀδυνωμένην ψυχὴν καὶ ὑπὸ ἀθυμίας κατεχομένην πολλῆς, οὐδὲν οὕτως εἴωθε καταβάλλειν, ὡς τὰ τὴν λύπην τίκτοντα ῥήματα στρεφόμενα συνεχῶς. τί δήποτε οὖν ὁ Χριστὸς εἰπὼν, ὑπάγω, καὶ οὐκ ἔτι λαλήσω μεθ' ὑμῶν, συνεχῶς τὰ αὐτὰ στρέφει, λέγων· μικρὸν, καὶ οὐκ ἔτι θεωρεῖτέ με, καὶ ὅτι ὑπάγω πρὸς τὸν πέμψαντά με; ὅτε γὰρ αὐτοὺς ἀνεκτήσατο διὰ τῶν περὶ τοῦ πνεύματος λόγων, τότε πάλιν αὐτῶν καταβάλλει τὰ φρονήματα. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; βασανίζει τὴν διάνοιαν καὶ δοκιμωτέραν ἐργάζεται, καὶ συνεθίζει καλῶς αὐτοὺς ἐν τῇ τῶν λυπηρῶν ἀκροάσει γενναίως ἐνεγκεῖν αὐτοῦ τὸν χωρισμόν. οἱ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο μελετήσαντες, ἔμελλον καὶ ἐν τοῖς πράγμασιν αὐτὸ ῥᾳδίως οἴσειν λοιπόν. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτὸ τοῦτο" παραμυθία ἐστὶ, τὸ εἰπεῖν ὅτι πρὸς τὸν πατέρα ἀπέρχομαι. τοῦτο γὰρ δηλοῦντός ἐστιν, ὅτι οὐκ ἀπόλλυται, ἀλλὰ μετάστασίς τίς ἐστιν αὐτοῦ ἡ τελευτή. καὶ ἑτέραν παραμυθίαν αὐτοῖς ἐνέθηκεν. οὐ γὰρ εἶπε, μικρὸν, καὶ οὐκ ἔτι θεωρεῖτέ με, μόνον, ἀλλὰ καὶ προσέθηκε· μικρὸν, καὶ ὄψεσθέ με, δηλῶν ὅτι καὶ ἐπανήξει, καὶ πρὸς ὀλίγον ἔσται ὁ χωρισμὸς, καὶ διηνεκὴς ἡ μετ' αὐτῶν συνουσία. τοῦτο μέντοι οὐ συνεῖδον. ὅθεν καὶ εἰκότως ἄν τις θαυμάσειε, πῶς πολλάκις ταῦτα ἀκούοντες, ὡς μηδὲν ἀκηκοότες, οὕτως ἀμφιβάλλουσι. πόθεν οὖν οὐ συνίεσαν; ἢ διὰ τὴν λύπην, ὡς ἔγωγε οἶμαι (αὕτη γὰρ ἐξέβαλλε τῆς διανοίας αὐτῶν τὰ λεγόμενα) ἢ διὰ τὴν ἀσάφειαν τῶν λεγομένων. διὸ καὶ ἔδοξεν αὐτοῖς δύο ἐναντία τιθέναι οὐκ ὄντα ἐναντία. εἰ γὰρ ὀψόμεθά σε, φησί, ποῦ ὑπάγεις; εἰ δὲ ὑπάγεις, πῶς ὀψόμεθά σε; διὰ τοῦτο λέγουσιν, οὐκ οἴδαμεν τί λαλεῖ. ὅτι μὲν γὰρ ἀπιέναι ἤμελλεν, ᾔδεσαν· ἠγνόουν δὲ ὅτι μετὰ μικρὸν ἥξει πρὸς αὐτούς. διὰ δὴ τοῦτο καὶ ἐπιτιμᾷ αὐτοῖς, ὅτι οὐ συνεῖδον τὸ λεγόμενον. βουλόμενος γὰρ αὐτοῖς ἐμπῆξαι τὸ περὶ τοῦ θανάτου δόγμα, τί φησιν;

γρ. παραμυθί

20 Αμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς·

Οπερ ἦν τοῦ θανάτου καὶ τοῦ σταυροῦ· Ο δὲ κόσμος χαρήσεται. Επειδὴ γὰρ διὰ τὸ μὴ βούλεσθαι, ταχέως ἐπέτρεχον τῷ πιστεύειν, ὅτι οὐκ ἀποθανεῖται, εἶτα ἀκούσαντες ὅτι ἀποθανεῖται, ἀμφέβαλλον οὐκ εἰδότες τί ποτέ ἐστι τὸ μικρόν, φησί· κλαύσετε καὶ θρηνήσετε·

κεφ. ιϛ

τε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται). Εἶτα δεικνὺς, ὅτι μετὰ τὴν λύπην χαρὰ γίνεται, καὶ ὅτι ἡ λύπη τίκτει τὴν χαρὰν, καὶ ὅτι αὕτη μὲν βραχεῖα, ἡ δὲ ἡδονὴ ἀπέραντος, ἐπὶ παράδειγμα ἦλθε κοσμικόν· καὶ τί φησιν;

21 Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει. Καὶ κέχρηται παραβολῇ ᾗ καὶ οἱ προφῆται, συνεχῶς τῇ ὑπερβολῇ τῶν ὠδίνων τὰς ἀθυμίας παραβάλλοντες. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὠδῖνες λήψονται ὑμᾶς· ἀλλ' ἡ ὠδὶς τοῦ τόκου γίνεται χαρᾶς αἰτία· ἅμα καὶ τὸν περὶ ἀναστάσεως πιστούμενος λόγον, καὶ δεικνὺς ὅτι τὸ ἐντεῦθεν ἀπελθεῖν, ὅμοιόν ἐστι τῷ ἀπὸ μήτρας ἀπελθεῖν εἰς λαμπρὸν φῶς· ὡσανεὶ ἔλεγε, μὴ θαυμάσητε ὅτι διὰ λύπης τοιαύτης ἐπὶ τὰ συμφέροντα ὑμᾶς ἄγω· ἐπεὶ καὶ ἡ μήτηρ ἐπὶ τὸ γενέσθαι μήτηρ οὕτως ἔρχεται διὰ λύπης. αἰνίττεται δὲ ἐνταῦθα καί τι μυστικόν· ὅτι ἔλυσεν αὐτὸς τοῦ θανάτου τὰς ὠδῖνας, καὶ νέον ἄνθρωπον ἀπογεννηθῆναι πεποίηκε. καὶ οὐκ εἶπεν ὅτι παρελεύσεται ἡ θλῖψις μόνον, ἀλλ' οὐδὲ μέμνηται αὐτῆς (τοσαύτη ἡ διαδεχομένη χαρά) οὕτω καὶ τοῖς ἁγίοις ἔσται. καὶ μὴν οὐ διὰ τοῦτο χαίρει ἡ γυνὴ, ὅτι ἦλθεν ἄνθρωπος εἰς τὸν κόσμον, ἀλλ' ὅτι αὐτῇ παιδίον ἐτέχθη. ἐπεὶ, εἰ διὰ τοῦτο ἔχαιρεν, οὐδὲν ἐκώλυε καὶ ἐφ' ἑτέρᾳ γυναικὶ τικτούσῃ τὰς μὴ τικτούσας χαίρειν. τίνος οὖν ἕνεκεν οὕτως εἶπεν; ὅτι εἰς τοῦτο μόνον παρέλαβε τὸ ὑπόδειγμα, εἰς τὸ δεῖξαι πρόσκαιρον μὲν τὴν λύπην, διηνεκῆ δὲ τὴν χαράν· καὶ εἰς τὸ μετάστασιν εἶναι πρὸς ζωὴν, καὶ εἰς τὸ μέγα τῶν ὠδίνων τὸ κέρδος. καὶ οὐκ εἶπεν, ἐτέχθη παιδίον, ἀλλ', ὅτι ἄνθρωπος. ἐνταῦθα γάρ μοι τὴν ἀνάστασιν αἰνίττεται τὴν αὐτοῦ, καὶ ὅτι οὐκ ἐκείνῳ τῷ ὠδίναντι θανάτῳ, ἀλλὰ τῇ βασιλείᾳ τίκτεσθαι ἔμελλε. διὰ τοῦτο οὐκ εἶπεν, ἐγεννήθη αὐτῇ παιδίον, ἀλλ', ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

22 Καὶ ὑμεῖς οὖν νῦν μὲν λυπηθήσεσθε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Εἶτα, ὅτι οὐκ ἔτι ἀποθανεῖται δηλῶν, φησί·

Καὶ οὐδεὶς αὐτὴν αἴρει ἀφ' ὑμῶν. 23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν.

Πάλιν οὐδὲν ἄλλο κατασκευάζει διὰ τούτων, ἢ ὅτι ἀπὸ τοῦ Θεοῦ ἐστι. τότε γὰρ εἴσεσθε πάντα λοιπόν. τί δέ ἐστιν, ἐμὲ οὐκ ἐρωτήσετε; οὐ δεήσεσθε μεσίτου, ἀλλ' ἀρκεῖ τὸ ὄνομα μόνον εἰπόντας πάντα λαβεῖν. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἐὰν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου. Δείκνυσι τοῦ ὀνόματος τὴν δύναμιν, εἴγε μὴ ὁρώμενος, μηδὲ παρακαλούμενος, ἀλλ' ὀνομαζόμενος μόνον, καὶ παρὰ τῷ πατρὶ ποιεῖ θαυμαστούς. ποῦ δὴ τοῦτο γέγονεν; ἔνθα λέγουσιν, Ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας λαλεῖν τὸν λόγον σου, καὶ ποιεῖν ἐν τῷ ὀνόματί σου σημεῖα. καὶ ἐσείσθη ὁ τόπος ἔνθα ἦσαν.

Πραξ. δ. κθ.

24 Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδέν. Ἐντεῦθεν δείκνυσιν, ὅτι συμφέρει πάλιν αὐτὸν ἀπελθεῖν, εἴγε ἕως τότε οὐδὲν ᾔτησαν, καὶ τότε [δὲ] λήψονται πάντα ὅσα ἂν αἰτήσωσι. μὴ γὰρ, ἐπειδὴ λοιπὸν οὐ συνέσομαι ὑμῖν, νομίσητε ἐγκαταλελεῖφθαι· τὸ ὄνομά μου μείζονα ὑμῖν δώσει παρρησίαν. ἐπεὶ οὖν συνεσκιασμένα ἦν τὰ εἰρημένα, φησί·

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν, καὶ ἔρχεται ὥρα ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν. Ἔσται καιρὸς, ὅτε πάντες εἴσεσθε σαφῶς. λέγει δὲ τὸν τῆς ἀναστάσεως χρόνον. τότε παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν (καὶ γὰρ ἐπὶ τεσσαράκοντα ἡμέρας συνὼν καὶ διελέχθη αὐτοῖς, συναλιζόμενος καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ) νῦν μὲν γὰρ ἐν φόβῳ ὄντες, οὐ προσέχετε τοῖς λεγομένοις· τότε δὲ ἀναστάντα ἰδόντες καὶ συνόντες δυνήσεσθε παρρησίᾳ πάντα μανθάνειν, ὅτι αὐτὸς ὁ πατὴρ ὑμᾶς φιλήσει, τῆς εἰς ἐμὲ πίστεως βεβαίας γεγενημένης.

26 Καὶ οὐκ ἐρωτήσω τὸν πατέρα. Ἀρκεῖ ἡ εἰς ἐμὲ ἀγάπη προστῆναι ὑμῶν.

27 Ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἀπὸ τοῦ Θεοῦ ἐξῆλθον. 28 Ἀπὸ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἔρχομαι εἰς τὸν κόσμον. πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πα-

τέρα. Ἐπειδὴ γὰρ ὁ τῆς ἀναστάσεως λόγος οὐχ ὡς ἔτυχεν αὐτοὺς παρεμυθεῖτο, καὶ μετὰ τούτων τὸ ἀκούειν ὅτι παρὰ Θεοῦ ἐξῆλθον, καὶ ἐκεῖ ὑπάγω, συνεχῶς αὐτὰ περιστρέφει. τὸ μὲν γὰρ ἠνίξατο, ὅτι ὀρθῶς πιστεύουσιν εἰς αὐτόν· τὸ δὲ, ὅτι μέλλουσιν ἐν ἀσφαλείᾳ εἶναι. ὅτε μὲν οὖν ἔλεγε, μικρὸν, καὶ οὐ θεωρεῖτέ με, καὶ μικρὸν, καὶ ὄψεσθέ με, εἰκότως ἠγνόουν· νῦν δὲ οὐκ ἔτι. τί δή ἐστιν, ἐμὲ οὐκ ἐρωτήσετε; οὐκ ἐρεῖτε, δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ποῦ ὑπάγεις, ὅτι πᾶσαν εἴσεσθε τὴν γνῶσιν, καὶ διακείσεται πρὸς ὑμᾶς ὁ πατὴρ, ὥσπερ καὶ ἐγώ. τοῦτο μάλιστα αὐτοὺς ἀναπνεῦσαι ἐποίησε τὸ μαθεῖν ὅτι τῷ πατρὶ ἔσονται φίλοι. διὸ λέγουσι

30 Νῦν οἴδαμεν ὅτι οἶδας πάντα. Ὁρᾷς ὅτι πρὸς τὸ ὑφορμοῦν τῇ διανοίᾳ ἀπεκρίνατο; Καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. Τουτέστι, πρὶν ἢ ἀκοῦσαι οἶδας τὰ σκανδαλίζοντα ἡμᾶς, καὶ ἀνέπαυσας, ἐπειδὴ εἶπες ὁ πατὴρ ὑμᾶς φιλεῖ, ὅτι ἐμὲ πεφιλήκατε. μετὰ τοσαῦτα καὶ τηλικαῦτα, τότε λέγουσι, νῦν οἴδαμεν. ὁρᾷς πῶς ἀτελῶς εἶχον; εἶτα ἐπειδὴ ὥσπερ τινὰ χάριν αὐτῷ παρέχοντες λέγουσι, νῦν οἴδαμεν, λέγει, πολλῶν δεῖσθε ἑτέρων, ὥστε ἐπὶ τὸ τέλειον ἐλθεῖν. οὐδὲν οὐδέπω ὑμῖν κατώρθωται. νῦν οὖν παραδώσετέ με τοῖς ἐχθροῖς, καὶ τοσοῦτος ὑμῶν κρατήσει φόβος, ὥστε μηδὲ μετ' ἀλλήλων δυνηθῆναι ἀναχωρῆσαι. ἀλλ' οὐδὲν ἀπὸ τούτων πείσομαι δεινόν. ὁρᾷς πῶς πάλιν συγκαταβατικὸς ὁ λόγος; τοῦτο γοῦν αὐτοῖς καὶ ἐγκαλεῖ, ὅτι συγκαταβάσεως δέονται διηνεκῶς. ἐπειδὴ γὰρ ἔλεγον, ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις, καὶ διὰ τοῦτο πιστεύομέν σοι, δείκνυσιν ὅτι νῦν, ὅτε πιστεύουσιν, οὔπω πιστεύουσιν, οὐδὲ προσίεται αὐτῶν τὰ ῥήματα. ταῦτα λέγει, εἰς ἕτερον αὐτοὺς παραπέμπων καιρόν. τὸ δὲ, 32 Ὁ πατὴρ μετ' ἐμοῦ ἐστι, Δι' αὐτοὺς πάλιν τέθεικε. τοῦτο γὰρ ἄνω καὶ κάτω ἐβούλοντο μαθεῖν. εἶτα δεικνὺς, ὅτι οὐ τὴν τελείαν γνῶσιν παρεδίδου αὐτοῖς ταῦτα λέγων, ἀλλ' ὥστε τὸν λογισμὸν αὐτοῖς μὴ στασιάζειν (εἰκὸς γὰρ αὐτοὺς λογίζεσθαι ἀνθρώπινά τινα, καὶ ὅτι οὐδὲ μιᾶς ἀπολαύσουσι παρ' αὐτοῦ βοηθείας) φησί· 33 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. Τουτέστιν, ἵνα μὴ ἐκβάλητέ με τῆς διανοίας ὑμῶν, ἀλλὰ παραδέξησθε. μὴ τοίνυν εἰς δόγμα τις ἑλκέτω τὰ λεγόμενα. εἰς γὰρ ἡμετέραν εἴρηται παράκλησιν καὶ ἀγάπην. οὐδὲ γὰρ μέχρι τούτου, φησὶ, τοιαῦτα πάσχουσι, "στήσεται ὑμῖν τὰ τῶν δεινῶν· ἀλλ' ἕως ἂν ἦτε ἐν τῷ κόσμῳ, θλίψιν ἕξετε, οὐ νῦν ὅτε παραδίδομαι, ἀλλὰ καὶ μετὰ ταῦτα. ἀλλὰ διανάστητε τῷ λογισμῷ. οὐδὲν γὰρ πείσεσθε δεινόν. τοῦ γὰρ διδασκάλου περιγενομένου τῶν ἐχθρῶν, οὐ χρὴ τοὺς μαθητὰς ἀλύειν. καὶ πῶς νενίκηκας, εἰπέ μοι, τὸν κόσμον; εἶπον μὲν ἤδη, ὅτι τὸν ἄρχοντα αὐτοῦ κατέβαλον κάτω· εἴσεσθε δὲ καὶ ὕστερον, πάντων εἰκόντων ὑμῖν καὶ παραχωρούντων.

χ. ἐβούλετο

χ. στήσω

ΗΘΙΚΟΝ Ἔξεστι δὲ καὶ ἡμῖν νικᾶν, ἐὰν βουλώμεθα, εἰς τὸν ἀρχηγὸν τῆς πίστεως ἡμῶν ἀφορῶντας, καὶ ταύτην βαδίζοντας τὴν ὁδὸν, ἣν αὐτὸς ἡμῖν ἔτεμεν. οὕτως οὐδὲ θάνατος ἡμῶν περιέσται. τί οὖν; οὐ "τεθνηξόμεθα, φησιν; ἀπὸ γὰρ τούτου δῆλον, ὅτι οὐ περιέσται. καὶ μὴν τότε ὁ ἀνταγωνιστὴς ἔσται λαμπρὸς, οὐχ ὅταν μὴ συμπλακῇ τῷ ἐχθρῷ, ἀλλ' ὅταν συμπλακεὶς μὴ κατέχηται. οὐ τοίνυν διὰ τὴν συμπλοκὴν θνητοὶ, ἀλλὰ διὰ τὴν νίκην ἀθάνατοι. τότε γὰρ ἂν ἦμεν θνητοὶ, εἰ ἐμένομεν παρ' αὐτῷ διηνεκῶς. ὥσπερ οὖν οὐκ ἂν εἴποιμι τὰ μακροβιώτατα τῶν ζώων ἀθάνατα, καίτοιγε πολὺν μένοντα χρόνον ἔξω θανάτου· οὕτως οὐδὲ θνητὸν, διὰ τὸ λύεσθαι θανάτῳ, τὸν μέλλοντα μετὰ τὸν θάνατον ἀνίστασθαι. εἰπὲ γάρ μοι, εἴ τις πρὸς ὀλίγον ἐρυθριάσειε, τοῦτον οὕτω καλέσωμεν διηνεκῶς ἐρυθρὸν *; οὐδαμῶς. οὐ γάρ ἐστι τὸ πρᾶγμα ἕξις. εἴ τις ὠχρὸς γένοιτο, τοῦτον ἰκτεριῶντα προσεροῦμεν; οὐδαμῶς. πρόσκαιρον γὰρ τὸ πάθος. οὐκοῦν οὐδὲ θνητὸν καλέσῃς τὸν ἐν ὀλίγῳ χρόνῳ γενόμενον ἐν θανάτῳ· ἐπεὶ καὶ τοὺς καθεύδοντας οὕτως ἐροῦμεν. τεθνήκασι γὰρ, ὡς εἰπεῖν, καί εἰσιν ἀνενέργητοι. ἀλλὰ φθείρει τὰ σώματα; καὶ τί τοῦτο; οὐ γὰρ ἵνα ἐν φθορᾷ μείνῃ, ἀλλ' ἵνα βελτίω γένηται. νικήσωμεν τοίνυν τὸν κόσμον, πρὸς ἀθανασίαν δράμωμεν.

χ. ἡμᾶς

χ. τεθνηξόμεθα,

* εἶναι;

μεθα, ἀκολουθήσωμεν τῷ βασιλεῖ, στήσωμεν καὶ αὐτοῦ τρόπαιον· καταφρονήσωμεν αὐτοῦ τῶν ἡδονῶν. καὶ οὐ δεῖ πόνων. μεταθῶμεν τὴν ψυχὴν πρὸς τὸν οὐρανόν, καὶ νενίκηται ὁ κόσμος ἅπας. ἂν μὴ ἐπιθυμήσῃς αὐτοῦ, νενίκηται· ἂν καταγελάσῃς αὐτοῦ, ἥττηται. ξένοι ἐσμὲν καὶ παρεπίδημοι· μηδενὶ τοίνυν τῶν λυπηρῶν ἀλγῶμεν. οὐδὲ γάρ, εἰ πατρίδος γενόμενος λαμπρᾶς καὶ προγόνων ἐπιφανῶν εἰς μακράν τινα γῆν ἀπῆλθες, μηδενὶ γνώριμος ὤν, μηδὲ παῖδας ἔχων, μηδὲ πλοῦτον, εἶτά τις ὕβρισεν, ἤλγησας ἄν, ὡς οἴκοι ταῦτα παθών. τὸ γὰρ εἰδέναι σαφῶς, ὅτι ἐν ξένῃ καὶ ἀλλοτρίᾳ εἶ, πάντα φέρειν εὐκόλως ἔπειθε, καὶ τὸ καταφρονεῖσθαι καὶ τὸ πεινῆν καὶ διψῆν καὶ τὸ ὁτιοῦν παθεῖν. τοῦτο λόγισαι καὶ νῦν, ὅτι ξένος εἶ καὶ παρεπίδημος, καὶ μηδέν σε τῶν ἐν τῇ ξένῃ ταύτῃ θορυβείτω. καὶ γὰρ πόλιν ἔχεις, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. ἡ δὲ παροίκησις αὐτὴ πρὸς βραχὺ γίνεται καὶ ὀλίγον· ὁ βουλόμενος τυπτέτω, ὑβριζέτω, λοιδορείτω· ἐν ξένῃ ἐσμὲν καὶ εὐτελῶς ζῶμεν. τὸ γὰρ δεινόν, ἐπὶ τῆς πατρίδος τοῦτο παθεῖν, ἐπὶ τῶν πολιτῶν· τότε ἡ μεγίστη ἀσχημοσύνη καὶ ζημία. ἐὰν δὲ ἦ τις ἔνθα μηδένα γνώριμον ἔχῃ, πάντα εὐκόλως ὑφίσταται· ἡ γὰρ ὕβρις ἀπὸ τῆς γνώμης τῶν ὑβριζόντων χαλεπωτέρα γίνεται· οἷον, ἐάν τις εἰδὼς τὸν ὕπαρχον ὄντα ὕπαρχον ὑβρίσῃ, τότε ἡ ὕβρις πικρά· ἐὰν δὲ ἰδιώτην νομίσας ὑβρίσῃ, οὐδὲ ἅψασθαι δύναται τοῦ ταῦτα πάσχοντος· οὕτω δὴ καὶ ἡμεῖς λογισώμεθα. οὐδὲ γὰρ ἴσασιν ὅπερ ἐσμὲν οἱ ὑβρίσαι, οἷον, ὅτι πολῖται τῶν οὐρανῶν καὶ εἰς τὴν ἄνω ἀπογεγραμμένοι πατρίδα, καὶ τῶν χερουβὶμ ἐσμὲν συγχορευταί. μὴ τοίνυν ἀλγῶμεν, μηδὲ ὕβριν ἡγώμεθα τὴν ὕβριν. εἰ ἐγνώριζον, οὐκ ἂν ὕβρισαν. ἀλλὰ πτωχοὺς καὶ εὐτελεῖς νομίζουσι; μὴ τοίνυν μηδὲ ἡμεῖς ταύτην ὕβριν νομίζωμεν. εἰπὲ γάρ μοι, εἴ τις ὁδοιπορῶν, παῖδας τοὺς αὐτοῦ φθάσας, ὀλίγον διάστημα ἐν πανδοχείῳ ἐκαθέζετο περιμένων αὐτούς· εἶτα ὁ πανδοχεύς, ἢ τῶν ὁδοιπόρων τις, ἀγνοῶν ὅστις ἂν εἴη, δυσχεραίνοι πρὸς ἐκεῖνον καὶ λοιδορηθείη· ἆρα οὐ γελάσεται τὴν ἄγνοιαν ἐκείνου; οὐ τέρψει μᾶλλον αὐτὸν ἡ πλάνη; οὐκ ἐντρυφήσει, ὡς ἄλλου τινὸς ὑβριζομένου; οὕτω καὶ ἡμεῖς πράττωμεν. καὶ γὰρ ἐν πανδοχείῳ καθήμεθα περιμένοντες τοὺς ἡμετέρους, τοὺς ὁδεύοντας τὴν ὁδὸν ταύτην. ὅταν ὁμοῦ πάντες γενώμεθα, τότε εἴσονται τίνας ὑβρίζουσιν. οὗτοι τότε κάτω νεύσουσι, τότε ἐροῦσιν· οὗτός ἐστιν ὃν ἔχομεν ἡμεῖς οἱ ἄφρονες εἰς γέλωτα. δύο τοίνυν τούτοις παραμυθησώμεθα ἑαυτούς, ὅτι τε ἡμεῖς οὐχ ὑβριζόμεθα (οὐ γὰρ ἴσασιν οἵτινές ἐσμεν) καὶ ὅτι, κἂν βουλώμεθα δίκην λαβεῖν, δώσουσιν ὕστερον χαλεπωτάτην. ἀλλὰ μὴ γένοιτο ἵνα οὕτως ὠμὴν καὶ ἀπάνθρωπον ἔχειν ψυχήν. τί οὖν, ἂν παρὰ τῶν ὁμοφύλων ὑβριζώμεθα; τοῦτο γάρ ἐστι τὸ φορτικόν. τοῦτο μὲν οὖν ἐστι τὸ κοῦφον. τί δήποτε; ὅτι οὐχ ὁμοίως τοὺς ἀγαπωμένους ὑβρίζοντας φέρομεν, καὶ οὓς οὐκ ἴσμεν. ταῦτα γοῦν παρακαλοῦντες τοὺς ὑβρισμένους, λέγομεν τὰ ῥήματα πολλάκις· ἀδελφός ἐστιν ὁ ὑβρικώς, φέρε γενναίως· πατήρ ἐστι· θεῖός ἐστιν. εἰ δὲ τοῦ ἀδελφοῦ καὶ πατρὸς τὸ ὄνομα δυσωπεῖ, πολλῷ μᾶλλον, ἂν εἴπω τούτων γνησιώτερον. οὐ γὰρ ἀδελφοὶ μόνοι ἀλλήλοις ἐσμέν, ἀλλὰ καὶ μέλη καὶ σῶμα ἕν. εἰ δὲ τοῦ ἀδελφοῦ ὄνομα δυσωπεῖ, πολλῷ μᾶλλον τὸ τοῦ μέλους. οὐκ ἤκουσας τῆς ἔξω παροιμίας λεγούσης, ὅτι δεῖ τοὺς φίλους μετὰ τῶν ἐλαττωμάτων ἔχειν; οὐκ ἤκουσας Παύλου λέγοντος, Ἀλλήλων τὰ βάρη βαστάζετε; Γαλ. ϛ. β. οὐχ ὁρᾷς τοὺς ἐρῶντας; ἀναγκαζόμεθα γάρ, ἐπειδὴ ἀφ' ὑμῶν τὸ παράδειγμα ἔχειν οὐκ ἔχομεν, ἐπ' ἐκείνην τὴν ὑπόθεσιν τῶν λόγων ἀγαγεῖν. ποιεῖ δὲ αὐτὸ καὶ ὁ Παῦλος οὕτω λέγων· Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ * ἐνετρεπόμεθα; Ἑβρ. ιβ. θ. μᾶλλον δὲ ἐκεῖνο εὐχερέστερον εἰπεῖν, ὅπερ Ῥωμαίοις φησίν, Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ. Ρω. ϛ. ιθ. διὰ τοῦτο καὶ ἡμεῖς θαρροῦντες ἐχόμεθα τοῦ παραδείγματος. οὐχ ὁρᾷς τοίνυν τοὺς ἐρῶντας, πόσα οὗτοι πορνικῶν γυναικῶν περικαιόμενοι πάσχουσι δεινά, ῥαπιζόμενοι, τυπτόμενοι, γελώμενοι, θρυπτομένης ἀνεχόμενοι πόρνης, ἀποστρεφομένης, μυρία ὑβριζούσης; ἀλλ' ὅμως κἂν ἅπαξ ἡδύ τι καὶ

ἥμερον ἴδωσιν, πάντα αὐτοῖς ἐν εὐπραγίᾳ, καὶ πάντα οἴχεται τὰ πρότερα, καὶ πάντα εὐχερείων φέρεται, κἂν πενία, κἂν νόσος, κἂν ὁτιοῦν τούτοις ἕτερον. τὸν γὰρ βίον τὸν ἑαυτῶν τίθενται ἄθλιόν τε καὶ μακάριον, ὡς ἂν τὴν ἐρωμένην ἔχωσι πρὸς αὐτοὺς διακειμένην. καὶ οὐ δόξαν ἴσασιν ἀνθρωπίνην, οὐκ ἀτιμίαν· ἀλλά, κἂν ὑβρίζῃ τις, ὑπὸ τῆς πολλῆς ἡδονῆς καὶ τῆς περὶ ἐκείνης εὐημερίας, ἅπαντα φέρουσι ῥᾳδίως· ἐκείνη δὲ κἂν λοιδορήσηται, κἂν εἰς τὸ πρόσωπον πτύσῃ, ῥόδοις βάλλεσθαι νομίζουσι ταῦτα πάσχοντες. καὶ τί θαυμαστόν, εἰ περὶ αὐτὴν οὕτω διάκεινται; καὶ γὰρ τὴν οἰκίαν [τὴν] ἐκείνης πασῶν εἶναι λαμπροτέραν νομίζουσι, κἂν πηλίνη ᾖ, κἂν καταπίπτουσα. καὶ τί λέγω τοὺς τοίχους; καὶ γὰρ τοὺς τόπους αὐτούς, ἔνθα διατρίβουσιν ἐν ἑσπέρᾳ, ὁρῶντες διανίστανται. ἐνταῦθα δέ μοι δότε λοιπὸν τὸ ἀποστολικὸν εἰπεῖν. καθάπερ ἐκεῖνός φησιν, ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παραστήσατε τὰ μέλη ὑμῶν τῇ δικαιοσύνῃ· τὸν αὐτὸν τρόπον κἀγὼ λέγω, ὡς ἠγαπήσαμεν ταύτας, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδὲν δεινὸν ἡγησόμεθα πάσχειν. καὶ τί λέγω ἀλλήλους; οὕτως ἀγαπήσωμεν τὸν Θεόν. ἐφρίξατε ἀκούσαντες ὅτι τοσοῦτον ἀπαιτῶ μέτρον ἀγάπης ἐπὶ Θεοῦ, ὅσον περὶ τὴν πόρνην ἐπεδειξάμεθα; ἀλλ' ἐγὼ φρίττω, ὅτι οὐδὲ τοσοῦτον ἐπιδεικνύμεθα. καί, εἰ βούλεσθε, ἐπεξέλθωμεν τῷ λόγῳ, εἰ καὶ σφόδρα φορτικὸν τὸ λεγόμενον. ἡ ἐρωμένη τοῖς ἐρῶσιν οὐδὲν ὑπισχνεῖται χρηστόν, ἀλλ' ἀτιμίαν καὶ αἰσχύνην καὶ ὕβριν. τοῦτο γὰρ εἶναι ποιεῖ τὸ προσεδρεύειν πόρνῃ γυναικί, καταγέλαστον, αἰσχρόν, ἄτιμον. ὁ δὲ Θεὸς οὐρανὸν καὶ τὰ ἐν οὐρανοῖς ἐπαγγέλλεται ἀγαθά, καὶ υἱοὺς ἡμᾶς ἐποίησε, καὶ ἀδελφοὺς τοῦ μονογενοῦς, καὶ ζῶντί σοι μυρία παρέσχε, καὶ τελευτῶντι ἀνάστασιν, καὶ τοσαῦτα ἐπαγγέλλεται δώσειν ἀγαθά, ὅσα μηδὲ ἐννοῆσαι δυνατόν, καὶ τιμίους καὶ αἰδεσίμους ἡμᾶς ποιεῖ. καὶ πάλιν, ἐκείνη δαπανᾶν ἀναγκάζει πάντα τὰ αὐτῶν εἰς βάραθρον καὶ ἀπώλειαν· ὁ δὲ Θεὸς σπείρειν κελεύει τὸν οὐρανόν, καὶ ἑκατονταπλασίονα δίδωσι, καὶ ζωὴν αἰώνιον. πάλιν, ἐκείνη ὡς ἀνδραπόδῳ κέχρηται τῷ φιλοῦντι, τυράννου παντὸς χαλεπώτερον ἐπιτάττουσα· ὁ δὲ Θεός φησιν, οὐκέτι λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους. εἴδετε τὴν ὑπερβολὴν καὶ τῶν ἐνταῦθα κακῶν, καὶ τῶν ἀγαθῶν τῶν ἐκεῖ; τί οὖν τὰ μετὰ ταῦτα; ταύτης μὲν ἕνεκεν καὶ ἀγρυπνοῦσι πολλοί, καὶ ἅπερ ἂν ἐπιτάξῃ μετὰ προθυμίας ὑπακούουσι, καὶ οἰκίαν ἀφιᾶσι, καὶ πατέρα, καὶ μητέρα, καὶ φίλους, καὶ χρήματα, καὶ προστασίαν, καὶ πάντα ἐν ἀπορίᾳ καὶ ἐρημίᾳ τὰ αὐτῶν· τοῦ δὲ Θεοῦ πολλάκις ἕνεκεν, μᾶλλον δὲ ἡμῶν αὐτῶν ἕνεκεν, οὐδὲ τρίτην μοῖραν ἀναλῶσαι αἱρούμεθα τῶν ὄντων, ἀλλὰ πεινῶντα ὁρῶντες περιορῶμεν, καὶ παρατρέχομεν γυμνόν, καὶ οὐδὲ λόγου μεταδίδομεν. ἐκείνης δὲ κἂν θεραπαινίδα ἴδωσιν οἱ ἐρασταὶ καὶ βάρβαρον, ἐν μέσῃ τῇ ἀγορᾷ ἑστῶτες, ὥσπερ ἐγκαλλωπιζόμενοι καὶ ἀγαλλόμενοι διαλέγονται, μακρῶν λόγων ἀνελίττοντες διαύλους· καὶ οὐδὲν εἶναι τὸν βίον πάντα νομίζουσι δι' αὐτήν, οὐκ ἀρχάς, οὐ βασιλείαν (καὶ ἴσασιν ὅσοι τοῦ νοσήματος εἰλήφασι πεῖραν) καὶ χάριν ἔχουσι πλείονα ἐπιταττούσῃ, ἢ δουλεύουσιν ἑτέροις. ἆρ' οὐκ εἰκότως γέεννα; ἆρ' οὐκ εἰκότως μυρίαι κολάσεις; ἀνανήψωμεν τοίνυν, καὶ παράσχωμεν τῇ τοῦ Θεοῦ διακονίᾳ κἂν τοσοῦτον, κἂν τὸ ἥμισυ μέρος, οὗ τῇ πόρνῃ παρέχουσιν ἕτεροι, κἂν τὸ τρίτον. τάχα φρίττετε πάλιν· καὶ γὰρ καὶ αὐτός. ἀλλ' οὐκ ἐβουλόμην ἐπὶ τῶν λόγων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν πραγμάτων φρίττειν ὑμᾶς. νῦν δὲ ἐνταῦθα μὲν ἡμῖν ἡ καρδία συστέλλεται, ἐξελθόντες δὲ πάντα ῥίπτομεν. τί οὖν τὸ κέρδος; ἂν μὲν γὰρ ἐκεῖ δέῃ χρήματα ἀναλίσκειν, οὐδεὶς πενίαν ὀδύρεται, ἀλλὰ καὶ δανεισάμενος ἔδωκε πολλάκις ἄλλοις· ἐνταῦθα δέ, ἐὰν ἐλεημοσύνης μνησθῶμεν, παῖδας καὶ γυναῖκας, καὶ οἰκίαν καὶ προστασίαν, καὶ μυρίας προφάσεις ἡμῖν προβάλλονται. ἀλλ' ἡδονὴ πολλή, φησίν, ἐκεῖ; τοῦτο γάρ ἐστιν ὃ θρηνῶ καὶ ὀδύρομαι. τί οὖν, ἐὰν δείξω μείζονα ἐνταῦθα τὴν ἡδονήν; ἐκεῖ μὲν γὰρ οὐ μικρὸν ὑποτέμνεται τῆς ἡδονῆς ἡ αἰσχύνη καὶ ἡ ὕβρις καὶ ἡ δαπάνη, δεύτερον ὁ πόλεμος καὶ ἡ ἀπέχθεια· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. τί γὰρ τῆς ἡδονῆς ταύτης ἴσον, εἰπέ μοι, καθῆσθαι προσδοκῶντα τὸν οὐ-

ρανὸν καὶ τὴν ἐκεῖ βασιλείαν, καὶ τὴν λαμπρότητα τῶν ἁγίων, καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον; ἀλλὰ ταῦτα ἐν προσδοκίαις, φησὶν, ἐκεῖνα δὲ ἐν πείρᾳ. ποίᾳ πείρᾳ; βούλει καὶ ἐνταῦθα τὰ ἐν πείρᾳ εἴπω; ἐννόησον πόσης ἐλευθερίας ἀπολαύεις, καὶ πῶς οὐδένα δέδοικας οὐδὲ τρέμεις ἀρετῇ συζῶν, οὐκ ἐχθρὸν, οὐκ ἐπίβουλον, οὐ συκοφάντην, οὐ τὸν περιδοκιμοῦντα, οὐκ ἀντεραστὴν, οὐ ζηλότυπον, οὐ πενίαν, οὐ νόσον, οὐκ ἄλλο τῶν ἀνθρωπίνων οὐδέν· ἐκεῖ δὲ, κἂν μυρία κατὰ γνώμην ᾖ, καὶ ὥσπερ ἐκ πηγῶν ὁ πλοῦτος ἐπιρρέῃ, ὁ τῶν ἀντεραστῶν πόλεμος, καὶ αἱ ἐπιβουλαὶ, καὶ οἱ λόχοι πάντων ἀθλιώτερον ποιήσει τὸν μετ᾽ ἐκείνων πλουτουμένου τὸν βίον. τῆς γὰρ καταπλύστου θρυπτομένης ἐκείνης καὶ τρυφώσης, ἀνάγκη τὸν πόλεμον ἀναρριπίζεσθαι εἰς τὴν ἐκείνης ἀρέσκειαν. τοῦτο οὖν μυρίων θανάτων χαλεπώτερον καὶ πάσης ἀφορητότερον τιμωρίας. ἀλλ᾽ οὐκ ἐνταῦθα τοιοῦτον οὐδέν. Ὁ γὰρ καρπός, φησι, τοῦ πνεύματος, ἀγάπη, χαρά, εἰρήνη. οὐδαμοῦ πόλεμος, οὐδὲ χρημάτων ἄκαιρος δαπάνη, οὐδὲ ὀνείδη μετὰ δαπάνης. κἂν ὀβολὸν δῷς, κἂν ἄρτον, κἂν ποτήριον ψυχροῦ, πολλήν σοι τὴν χάριν εἴσεται, καὶ οὐδέν ἐστιν ὃ τό σε δακεῖν καὶ λυπῆσαι ποιεῖ, ἀλλὰ πάντα ὥστε ποιῆσαί σε ἔνδοξον, καὶ πάσης ἀπαλλάξαι αἰσχύνης. τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν συγγνώμην, ταῦτα μὲν ἀφιέντες, τοῖς δὲ ἐναντίοις ἑαυτοὺς ἐκδιδόντες, καὶ εἰς τὴν τοῦ πυρὸς κάμινον τὴν καιομένην ἑκόντες ἑαυτοὺς ἐκβάλλοντες; διὸ παρακαλῶ τοὺς τὰ τοιαῦτα νοσοῦντας ἀνακλήσασθαι ἑαυτούς, καὶ πρὸς τὴν ὑγείαν ἐπαναγαγεῖν, μηδὲ ἀφιέναι εἰς ἀπόγνωσιν ἐμπεσεῖν. ἐπεὶ καὶ ὁ υἱὸς ἐκεῖνος πολλῷ χαλεπώτερα τούτων ἔπαθεν· ἀλλ᾽ ἐπειδὴ πρὸς τὸν οἶκον ἐπανῆλθε τὸν πατρῷον, καὶ ἐπὶ τῆς προτέρας ἐγένετο τιμῆς, καὶ τοῦ διαπαντὸς εὐδοκιμήσαντος ἐφάνη λαμπρότερος. τοῦτον καὶ ἡμεῖς ζηλώσωμεν, καὶ πρὸς τὸν πατέρα ἐπανελθόντες ὀψὲ γοῦν ποτε, τῆς αἰχμαλωσίας ἀποστῶμεν ἐκείνης, καὶ πρὸς τὴν ἐλευθερίαν ἑαυτοὺς μεταγάγωμεν, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Γαλ. ε. κβ.

Ομιλ. ϖ. 1 ΤΑΥΤΑ ΕΛΑΛΗΣΕΝ Ο ΙΗΣΟΥΣ, ΚΑΙ ΕΠΗΡΕ τοὺς ὀφθαλμοὺς [αὐτοῦ] εἰς τὸν οὐρανόν, καὶ εἶπε· πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε.

Ὁ Ποιήσας καὶ διδάξας, φησὶν, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· καὶ μάλα εἰκότως. τὸ μὲν γὰρ διὰ ῥημάτων φιλοσοφεῖν, εὔκολον· ἡ δὲ διὰ τῶν ἔργων ἐπίδειξις, γενναίου τινὸς καὶ μεγάλου. διὸ καὶ ὁ Χριστὸς περὶ ἀνεξικακίας διαλεγόμενος μέσον ἑαυτὸν προστίθησι, κελεύων ἐκεῖθεν λαμβάνειν τὰ ὑποδείγματα. διὰ τοῦτο καὶ μετὰ τὴν παραίνεσιν ταύτην ἐπὶ εὐχὴν τρέπεται, παιδεύων ἡμᾶς ἐν τοῖς πειρασμοῖς πάντα ἀφέντας ἐπὶ τὸν Θεὸν καταφεύγειν. ἐπειδὴ γὰρ εἶπεν, ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, καὶ κατέσεισεν αὐτῶν τὰς ψυχάς, διὰ τῆς εὐχῆς ἀνίστησι πάλιν. ὡς γὰρ ἀνθρώπῳ τέως προσεῖχον· καὶ δι᾽ ἐκείνους ταῦτα ποιεῖ, ὥσπερ οὖν καὶ ἐπὶ Λαζάρου, καὶ λέγει τὴν αἰτίαν, ὅτι διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. ναί, φησιν· ἀλλ᾽ ἐπὶ μὲν τῶν Ιουδαίων εἰκότως ταῦτα ἐγίνετο· ἐπὶ δὲ τῶν μαθητῶν τίνος ἕνεκεν; καὶ ἐπὶ τῶν μαθητῶν εἰκότως. οἱ γὰρ μετὰ τοσαῦτα λέγοντες, νῦν οἴδαμεν, ὅτι πάντα οἶδας, μάλιστα πάντων βεβαιωθῆναι ἐδέοντο. ἄλλως δὲ, οὐδὲ εὐχὴν ὁ εὐαγγελιστὴς τὸ πρᾶγμα καλεῖ· ἀλλὰ τί φησιν; ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ διάλεξιν αὐτὸ πρὸς τὸν πατέρα μᾶλλον εἶναί φησιν. εἰ δὲ ἀλλαχοῦ λέγει εὐχήν, καὶ δείκνυσιν αὐτὸν ποτὲ μὲν ἐπὶ γό-

Ιωαν. ια. μβ.

Ιωαν. ια. μϛ. νατα καμπτόμενον, ποτὲ δὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν αἴροντα, μὴ θορυβηθῇς. διὰ γὰρ τούτων παιδευόμεθα τὸ ἐκτενὲς τὸ ἐν ταῖς δεήσεσιν, ἵνα καὶ ἑστῶτες ἀναβλέπωμεν, μὴ τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς διανοίας· καὶ ἵνα κάμπτωμεν τὰ γόνατα, τὴν ἑαυτῶν καρδίαν συντρίβοντες. ἦλθε γὰρ ὁ Χριστὸς, οὐχ ἑαυτὸν δεῖξαι μόνον, ἀλλὰ καὶ ἀρετὴν παιδεύσων ἄφατον. τὸν δὲ παιδεύοντα, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων παιδεύειν χρή. ἀκούσωμεν τοίνυν τί φησιν ἐνταῦθα. πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. πάλιν δείκνυσιν ἡμῖν ὅτι οὐκ ἄκων ἐπὶ τὸν σταυρὸν ἔρχεται. πῶς γὰρ ὁ καὶ εὐχόμενος τοῦτο γενέσθαι, καὶ δόξαν τὸ πρᾶγμα καλῶν, οὐκ αὐτοῦ μόνου τοῦ σταυρουμένου, ἀλλὰ καὶ τοῦ πατρός; ἐπεὶ καὶ οὕτως ἐγένετο. οὐ γὰρ ὁ υἱὸς μόνον, ἀλλὰ καὶ ὁ πατὴρ ἐδοξάσθη. πρὸ
Ησ. α. γ. μὲν γὰρ τοῦ σταυροῦ οὐδὲ Ἰουδαῖοι αὐτὸν ᾔδεσαν· Ἰσραὴλ γάρ με, φησιν, οὐκ ἔγνω· μετὰ δὲ τὸν σταυρὸν ἡ οἰκουμένη ἅπασα προσέδραμεν. εἶτα λέγει καὶ τὸν τρόπον τῆς δόξης, καὶ πῶς αὐτὸν δοξάσει.

2 Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ μὴ ἀπόληται.

Τὸ γὰρ εὐεργετεῖν ἀεὶ, τῷ Θεῷ δόξα. τί δέ ἐστι· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; τέως δείκνυσιν, ὅτι οὐκ εἰς Ἰουδαίους μόνους τὰ τοῦ κηρύγματός ἐστι συνεσταλμένα, ἀλλ' εἰς τὴν οἰκουμένην ἐκτείνεται πᾶσαν, καὶ προκαταβάλλεται προοίμια τῶν ἐθνῶν. ἐπειδὴ γὰρ εἶπεν, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· μέλλει δὲ μετὰ ταῦτα λέγειν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, δείκνυσι καὶ τὸν πατέρα τοῦτο βουλόμενον. σφόδρα γὰρ τοῦτο ἐσκανδάλιζεν Ἰουδαίους, καὶ τοὺς μαθητὰς δέ. οὐδὲ γὰρ μετὰ ταῦτα εὐκόλως ἠνείχοντο τῶν ἐθνῶν ἅπτεσθαι, ἕως τὴν τοῦ πνεύματος ἔλαβον διδασκαλίαν. καὶ γὰρ οὐ μικρὸν σκάνδαλον ἐντεῦθεν Ἰουδαίοις ἐγίνετο. μετὰ οὖν [τὴν] τοσαύτην τοῦ πνεύματος ἐπίδειξιν, εἰς τὰ Ἱεροσόλυμα παραγενόμενος ὁ Πέτρος, μόλις ἴσχυσε τὰ ἐγκλήματα διαφυγεῖν, εἰπὼν τὰ κατὰ τὴν σινδόνα. τί δέ ἐστιν, ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; πότε ἄρα τὴν ἐξουσίαν ταύτην ἔλαβεν, ἐρήσομαι τοὺς αἱρετικούς; πρὸ τοῦ πλάσαι αὐτοὺς, ἢ μετὰ τὸ πλάσαι; αὐτὸς μὲν γάρ φησι μετὰ τὸ σταυρωθῆναι καὶ ἀναστῆναι. τότε γοῦν λέγει, ἐδόθη μοι πᾶσα ἐξουσία· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. τί οὖν; οὐκ εἶχεν ἐξουσίαν τῶν ἔργων τῶν ἑαυτοῦ· ἀλλ' ἐποίησε μὲν αὐτοὺς, ἐξουσίαν δὲ αὐτῶν οὐκ εἶχε μετὰ τὸ ποιῆσαι; καὶ μὴν φαίνεται πάντα αὐτὸς ποιῶν καὶ ἐν τοῖς ἄνω χρόνοις, καὶ τοὺς μὲν κολάζων ὡς ἁμαρτάνοντας (οὐ μὴ κρύψω γάρ, φησιν, ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ, ὃ ἐγὼ μέλλω ποιεῖν) τοὺς δὲ καὶ τιμῶν ὡς κατορθοῦντας. εἶτα τότε μὲν εἶχε, νῦν δὲ ἀπώλεσε, καὶ πάλιν ἔλαβε; καὶ ποῖος ἂν ταῦτα δαίμων ἐφθέγξατο; εἰ δὲ ἡ αὐτὴ ἐξουσία καὶ τότε καὶ νῦν (ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει, φησὶ, τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ) τί ἐστι τὸ εἰρημένον; ἔμελλεν αὐτοὺς πέμπειν εἰς τὰ ἔθνη· ἵν' οὖν μὴ νομίσωσι καινοτομίαν εἶναι διὰ τὸ λέγειν, οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, δείκνυσι καὶ τῷ πατρὶ τοῦτο δοκοῦν. εἰ δὲ μετὰ πολλῆς αὐτὸ τῆς εὐτελείας φθέγγεται, θαυμαστὸν οὐδέν. οὕτω γὰρ κἀκείνους ᾠκοδόμει τότε, καὶ τοὺς μετὰ ταῦτα· καὶ ὅπερ εἶπον, ἀεὶ τῇ τῆς εὐτελείας ὑπερβολῇ σφόδρα ἔπειθεν ὅτι συγκαταβάσεως ἦν τὰ λεγόμενα. τί δέ ἐστι, πάσης σαρκός; οὐ γὰρ δὴ πάντες ἐπίστευσαν. καὶ μὴν, τὸ αὐτοῦ μέρος, πάντες ἐπίστευσαν· εἰ δὲ μὴ προσεῖχον τοῖς λεγομένοις, οὐ τοῦ διδάσκοντος τὸ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεχομένων.

χ. καὶ οἱ μαθηταὶ δὲ οὐδὲ μετὰ ταῦτα
χ. σαρκωθῆναι
χ. εἰρημένα.

Ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. Εἰ δὲ καὶ ἐνταῦθα ἀνθρωπινώτερον φθέγγεται, μὴ θαυμάσῃς. τῶν τε γὰρ εἰρημένων αἰτιῶν ἕνεκεν τοῦτο ποιεῖ, καὶ φυλαττόμενος ἀεὶ τὸ αὐτός τι περὶ ἑαυτοῦ λέγειν μέγα, ἐπειδὴ τοῦτο προσίστατο τοῖς ἀκροωμένοις, διὰ τὸ μηδὲν μέγα περὶ αὐτοῦ φαντάζεσθαι τέως. ὁ γοῦν Ἰωάννης, ὅταν ἐξ οἰκείου φθέγγηται προσώπου, οὐχ οὕτω ποιεῖ, ἀλλ' ἐπὶ τὸ ὑψηλότερον ἀνάγει τὸν λόγον, οὕτω λέγων· πάντα

δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· καὶ, ὅτι ζωὴ ἦν, καὶ ὅτι φῶς ἦν, καὶ ὅτι εἰς τὰ ἴδια ἦλθεν· οὐχ ὅτι οὐκ εἶχει ἐξουσίαν, εἰ μὴ ἔλαβεν, ἀλλ' ὅτι καὶ ἑτέροις ἔδωκεν ἐξουσίαν τοῦ γενέσθαι τέκνα Θεοῦ. καὶ ὁ Παῦλος ὁμοίως ἴσον αὐτὸν λέγει τῷ Θεῷ. αὐτὸς δὲ ἀνθρωπινώτερον αἰτεῖ οὕτω λέγων· ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον.

Φιλιπ. β. ς.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Μόνον ἀληθινὸν Θεὸν, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν φησι. καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν. εἰ δὲ οὐκ ἀνέξονται, ἀλλὰ διὰ τὸ τὸ μόνον ἐκβάλλουσι τὸ εἶναι ἀληθινὸν Θεὸν τὸν υἱὸν, οὕτω προϊόντες καὶ τὸν Θεὸν εἶναι ἐκβάλλουσι. καὶ γάρ φησι, Τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε. τί οὖν; οὐκ ἔσται Θεὸς ὁ υἱός; εἰ δὲ Θεὸς ὁ υἱὸς, καὶ μόνου τοῦ πατρὸς λεγομένου, εὔδηλον ὅτι καὶ ἀληθινὸς, καὶ μόνου ἀληθινοῦ καλουμένου. τί δέ; ὅταν λέγῃ Παῦλος· Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας, ἆρα ἐκβάλλει τὸν Βαρνάβαν; οὐδαμῶς. τὸ γὰρ, μόνος, πρὸς ἀντιδιαστολὴν ἑτέρων κεῖται. εἰ δὲ οὐκ ἀληθινὸς Θεὸς, πῶς ἀλήθεια; ἐπιπολὺ γὰρ τοῦ ἀληθινοῦ ἡ ἀλήθεια διαφέρει. τὸν μὴ ἀληθινὸν ἄνθρωπον εἶναι τί ἐροῦμεν, εἰπέ μοι; οὐχὶ οὐδὲ ἄνθρωπον; οὕτως, εἰ ἀληθινὸς Θεὸς οὐκ ἔστιν ὁ υἱός, πῶς ἐστι Θεός; πῶς δὲ ἡμᾶς θεοὺς ποιεῖ καὶ υἱοὺς, μὴ ὢν ἀληθής; ἀλλ' ὑπὲρ τούτων ἀκριβέστερον ἡμῖν ἐν ἑτέροις εἴρηται· διὸ τῶν ἑξῆς ἐχώμεθα.

Ιωαν. ε. μδ.
α. Κορ. θ. ς.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. Καλῶς εἶπε, ἐπὶ τῆς γῆς. ἐν γὰρ τῷ οὐρανῷ δεδόξαστο, ἔν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν ἀγγέλων προσκυνούμενος. οὐ τοίνυν περὶ ἐκείνης τῆς δόξης φησὶ τῆς τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένης (ἐκείνην γὰρ τὴν δόξαν, κἂν μηδεὶς αὐτὸν δοξάσῃ, μένει πεπληρωμένην ἔχων) ἀλλὰ ταύτην φησὶ τὴν ἀπὸ τῆς τῶν ἀνθρώπων λατρείας γινομένην. οὐκοῦν καὶ τὸ, δόξασόν με, τοιοῦτόν ἐστι. καὶ ἵνα μάθῃς, ὅτι τοῦτον τὸν τρόπον τῆς δόξης φησὶν, ἄκουσον τῶν ἑξῆς. Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω αὐτό. Καίτοι [γε] ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε, μᾶλλον δὲ οὐδὲ ἀρχήν. πῶς οὖν λέγει, ἐτελείωσα; ἢ ὅτι τὸ ἐμαυτοῦ πᾶν ἐποίησα· ἢ ὅτι τὸ ἐσόμενον, ὡς ἤδη γεγενημένον λέγει· ἢ ὃ μάλιστα πάντων ἐστὶν εἰπεῖν, ὅτι τὸ πᾶν ἦν ἤδη γεγενημένον τῷ τὴν ῥίζαν τῶν ἀγαθῶν καταβεβλῆσθαι, ἣ πάντως ἐξ ἀνάγκης ἔμελλον ἕψεσθαι οἱ καρποὶ, καὶ τῷ τοῖς μέλλουσι μετὰ ταῦτα γίνεσθαι αὐτὸν παρεῖναι καὶ συνεφάπτεσθαι. διὰ τοῦτο πάλιν συγκαταβατικῶς φησιν, ὃ ἔδωκάς μοι. εἰ γὰρ δὴ περιέμενεν ἀκοῦσαι καὶ μαθεῖν, πολὺ ταῦτα τῆς δόξης αὐτοῦ ἀποδέοντα ἂν εἴη. ὅτι γὰρ ἐξ οἰκείας ἐπὶ τοῦτο γνώμης ἦλθε, πολλαχόθεν δῆλον· ὡς ὅταν λέγῃ Παῦλος, Ὅτι οὕτως ἠγάπησεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν· καὶ, Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· καὶ πάλιν, καθὼς ἠγάπησέ με ὁ πατὴρ, ″κἀγὼ ἠγάπησα ὑμᾶς. 5 Δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί. Καὶ ποῦ ἡ δόξα ἐκείνη; ἔστω μὲν γὰρ παρὰ ἀνθρώποις εἰκότως ἄδοξος* ἦν διὰ τὸ περικείμενον ἔνδυμα· πῶς καὶ παρὰ Θεῷ δοξασθῆναι ″ζητεῖ; τί οὖν ἐνταῦθά φησι; περὶ τῆς οἰκονομίας ὁ λόγος· ἐπεὶ οὔπω δεδόξαστο τῆς σαρκὸς ἡ φύσις, οὐδὲ ἀφθαρσίας ἀπολαύσασα, οὔτε τοῦ θρόνου κοινωνήσασα τοῦ βασιλικοῦ. διὰ τοῦτο οὐκ εἶπεν, ἐπὶ τῆς γῆς· ἀλλὰ παρὰ σοί.

Φιλιπ. β. ζ.
Ιωαν. ιε. θ.

γρ. ἴσως
γρ. ἧς
γρ. ζητεῖς;

ΗΘΙΚΟΝ

Ταύτης καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς δόξης κατὰ τὸ ἡμέτερον μέτρον, ἐὰν νήφωμεν. διὰ τοῦτο καὶ Παῦλός φησιν· Εἴπερ συμπάσχωμεν, ἵνα καὶ συνδοξασθῶμεν. μυρίων ἄρα ἄξιοι δακρύων εἰσὶ, τοσαύτης προκειμένης δόξης, διὰ νωθείαν καὶ ὕπνον ἐπιβουλεύοντες ἑαυτοῖς. καὶ εἰ γέεννα μὴ ἦν, ἀθλιώτεροι πάντων, οἷς βασιλεῦσαι παρὸν καὶ συνδοξασθῆναι τῷ υἱῷ τοῦ Θεοῦ, τοσούτων ἑαυτοὺς ἀποστεροῦντες ἀγαθῶν. εἰ γὰρ κατακοπῆναι ἔδει, εἰ γὰρ μυρίους ἀποθανεῖν θανάτους, εἰ μυρίας ἐπιδοῦναι ψυχὰς καὶ τοσαῦτα σώματα καθ' ἑκάστην ἡμέραν· οὐκ ἔδει ″τοσαῦτα ὑποστῆναι ὑπὲρ τοσαύτης δόξης; νυνὶ δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν,

Ρω. η. ιζ.

γρ. πάντα

νούμεθα, ὧνπερ ὕστερον καὶ ἄκοντες ἀποστησόμεθα· οὐ καταφρονοῦμεν χρημάτων, τῶν μυρίοις ἡμᾶς περιβαλλόντων κακοῖς, τῶν ἐνταῦθα μενόντων, τῶν οὐχ ἡμετέρων. τὰ γὰρ οὐχ ἡμέτερα ἐξοικειούμεθα, κἂν πατρῷα ἔχωμεν. ὅταν δὲ καὶ γέεννα προσῇ, καὶ σκώληξ ἀτελεύτητος, καὶ ἄσβεστον πῦρ, καὶ βρυγμὸς ὀδόντων, πῶς οἴσομεν ταῦτα, εἰπέ μοι; μέχρι τίνος οὐ διαβλέπομεν; ἀλλ' εἰς μάχας καθημερινὰς καὶ φιλονεικίας καὶ λόγους ἀνονήτους τὸ πᾶν δαπανῶμεν, τὴν γλῶτταν τρέφοντες, τὸ σῶμα πιαίνοντες, καὶ τῆς ψυχῆς ἀμελοῦντες· τῶν μὲν ἀναγκαίων οὐδένα ποιούμενοι λόγον, τῶν δὲ περιττῶν καὶ ἀνονήτων πολλὴν τὴν φροντίδα; καὶ λαμπροὺς μὲν οἰκοδομοῦμεν τάφους, καὶ ὠνούμεθα πολυτελεῖς οἰκίας, καὶ παντοδαπῶν οἰκετῶν ἀγέλας περισύρομεν, καὶ οἰκονόμους διαφόρους ἐπινοοῦμεν, ἀγρῶν, οἰκιῶν, χρημάτων ἄρχοντας, καὶ ἄρχοντας ἀρχόντων καθιστῶντες· τῆς δὲ ψυχῆς ἠρημωμένης οὐδεὶς ἡμῖν λόγος. καὶ τί τούτων ἔσται τὸ πέρας; οὐχὶ μίαν γαστέρα πληροῦμεν; οὐχὶ ἓν σῶμα περιβάλλομεν; τίς ὁ πολὺς τῶν πραγμάτων θόρυβος; τί δήποτε καὶ διὰ τί τὴν μίαν ψυχήν, ἣν ἐλάχομεν, κατακόπτομεν, παραρρίπτομεν εἰς τὴν τῶν τοιούτων λειτουργίαν, χαλεπὴν ἑαυτοῖς ἐπινοοῦντες δουλείαν; ὁ γὰρ πολλῶν δεόμενος, πολλῶν δοῦλός ἐστι, κἂν δοκῇ κρατεῖν τούτων. ἐπεὶ καὶ τῶν οἰκετῶν δοῦλός ἐστιν ὁ δεσπότης, καὶ θεραπείας ἕτερον εἰσφέρει τρόπον μείζονα· καὶ ἄλλως δὲ δοῦλος. χωρὶς ἐκείνων οὐκ εἰς ἀγορὰν ἐμβαλεῖν τολμῶμεν, οὐκ εἰς βαλανεῖον, οὐκ εἰς ἀγρόν· οὗτοι δὲ πολλάκις χωρὶς ἐκείνου πανταχοῦ περιίασιν. ἀλλ' ὁ δοκῶν εἶναι κύριος, ἂν μὴ παρῶσιν οἱ δοῦλοι, οὐ τολμᾷ προελθεῖν οἴκοθεν, ἀλλὰ κἂν προκύψῃ τῆς οἰκίας μόνος, καταγέλαστον ἑαυτὸν εἶναι νομίζει. τάχα τινὲς γελῶσιν ἡμᾶς ταῦτα λέγοντας· ἀλλὰ δι' αὐτὸ μὲν τοῦτο μυρίων δακρύων ἄξιοι ἂν εἶεν. ὅτι γὰρ δουλεία τοῦτο, ἡδέως ἄν σε ἐροίμην· ἐβούλου δεῖσθαι τοῦ τὸν ψωμὸν τῷ στόματί σου προστιθέντος, ἢ τὴν κύλικα τοῖς χείλεσι προσάγοντος; οὐχὶ δακρύων ἐνόμιζες ἀξίαν εἶναι τὴν διακονίαν ταύτην; τί δέ, εἰ βασταζόντων τινῶν ἐδέου πρὸς τὸ βαδίζειν διηνεκῶς, οὐκ ἂν σεαυτὸν ἐλεεινὸν καὶ ἀθλιώτερον ταύτῃ πάντων ἐνόμισας; οὐκοῦν καὶ νῦν οὕτω διακεῖσθαι ἔδει. οὐδὲν γὰρ διαφέρει, εἴτε ὑπὸ ἀλόγων, εἴτε ὑπὸ ἀνθρώπων ταῦτά τις πάσχει. τί δέ, εἰπέ μοι· οὐχὶ καὶ ταύτῃ διεστήκασιν ἡμῶν οἱ ἄγγελοι, ὅτι οὐ δέονται ὅσων ἡμεῖς; οὐκοῦν ὅσῳ μὲν ἂν ἐλαττόνων δεώμεθα, τοσούτῳ πρὸς ἐκείνους ὁδεύομεν· ὅσῳ δὲ ἂν πλειόνων, τοσούτῳ πρὸς τὸν ἐπίκηρον τοῦτον καταπίπτομεν βίον. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα οὕτως ἔχει, ἐρώτησον τοὺς γεγηρακότας, ποῖον μακαρίζουσι βίον, τὸν ὅτε ἐκρατοῦντο μάτην, ἢ τὸν ὅτε αὐτῶν κρατοῦσι νῦν; διὰ γὰρ τοῦτο αὐτοὺς ἐκείνους ἐκαλέσαμεν, ἐπειδὴ οἱ ἐν νεότητι μεθύοντες οὐδὲ ἴσασι τῆς δουλείας τὴν ὑπερβολήν. τί δὲ οἱ πυρέττοντες· ὅταν πολλὰ διψῶντες πολλὰ πίνωσι καὶ πολλῶν δέωνται, ἢ ὅταν ὑγιάναντες ἀπαλλαγῶσι τῆς ἐπιθυμίας, ἑαυτοὺς μακαρίζουσιν; ὁρᾷς, ὅτι πανταχοῦ τὸ πολλῶν δεῖσθαι ἐλεεινόν, καὶ πόρρω φιλοσοφίας, καὶ δουλείας καὶ ἐπιθυμίας ἐπίτασις; τί τοίνυν ἑκόντες ἐπιτείνομεν ἑαυτοῖς τὴν ἀθλιότητα; εἰπὲ γάρ μοι· εἴγε ἦν χωρὶς στέγης καὶ τοίχων μηδὲν βλαπτόμενον οἰκεῖν, οὐκ ἂν εἵλου τοῦτο μᾶλλον; τίνος οὖν ἕνεκεν τὰ σύμβολα τῆς ἀσθενείας ἐπιτείνεις; οὐ διὰ τοῦτο τὸν Ἀδὰμ μακαρίζομεν, ὅτι οὐδενὸς ἐδεῖτο, οὐκ οἰκημάτων, οὐκ ἐνδυμάτων; ναί, φησίν· ἀλλὰ νῦν ἐν χρείᾳ καθεστήκαμεν. τί τοίνυν τὴν χρείαν αὔξομεν; εἰ γὰρ πολλοὶ καὶ τῶν τῆς χρείας πολλὰ περικόπτουσι (δούλους λέγω καὶ οἰκήματα καὶ χρήματα) τίνα ἂν ἔχοιμεν ἀπολογίαν, τὴν χρείαν ὑπερβαίνοντες; ὅσῳ ἂν πλείονα περιβάλλῃ, τοσούτῳ δουλικώτερος γέγονας. ὅσῳ γὰρ ἂν πλειόνων δεηθῇς, τοσούτῳ τὴν ἐλευθερίαν ἐπετέμου. ἡ μὲν γὰρ ἀκριβὴς ἐλευθερία, τὸ μηδενὸς ὅλως δεῖσθαι· ἡ δὲ μετ' ἐκείνην, τὸ ὀλίγων δεῖσθαι, ἣν ἄγγελοι μάλιστα ἔχουσι, καὶ οἱ τούτων μιμηταί. τὸ δὲ καὶ ἐν θνητῷ σώματι μένοντας κατορθῶσαι τοῦτο, ἐννόησον ἡλίκον ἔχει τὸν ἔπαινον. τοῦτο καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις γράφων· Ἐγὼ δὲ ὑμῶν φείδομαι· καί, ἵνα μὴ θλῖψιν τῇ σαρκὶ ἕξωσιν οἱ πιστοί. διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν καὶ κατορύττωμεν.

α. Κορ. ζ. κη.

χ. καθ' ἡμέρ

ἐλάβομεν, χ. τούτων

χ. τὸ ἐκείν. ἐκαλ.

χ. ἐμπιπλ… πίνοντες

γρ. ὑποτέμν.

ρύπτωμεν. τοῦτο γὰρ οὐκ ἔστι κτήσασθαι, ἀλλὰ κτηθῆναι. Εἰ γὰρ τοῦτο μέλλοιμεν σκοπεῖν, ὅπως αὐτὰ πολλὰ ποιησαίμεθα, οὐχ ἵνα ἀπολαύσωμεν εἰς δέον, ἀντέστραπται ἡ τάξις, καὶ ἐκεῖνα ἡμᾶς κέκτηται, οὐχ ἡμεῖς ἐκεῖνα. ἀπαλλαγῶμεν τοίνυν τῆς χαλεπῆς ταύτης δουλείας, καὶ γενώμεθά ποτε ἐλεύθεροι. τί μυρίους ἑαυτοῖς ἐπινοοῦμεν καὶ ποικίλους δεσμούς; οὐκ ἀρκεῖ σοι τῆς φύσεως ὁ δεσμὸς, καὶ τῆς ζωῆς ἡ ἀνάγκη, καὶ ὁ τῶν μυρίων πραγμάτων ὄχλος· ἀλλὰ καὶ ἕτερα σεαυτῷ πλέκεις δίκτυα, καὶ τοῖς ποσὶ περιβάλλεις; καὶ πότε ἐπιλήψῃ τοῦ οὐρανοῦ, καὶ πρὸς τὸ ὕψος στῆναι ἐκεῖνο δυνήσῃ; ἀγαπητὸν γὰρ, ἀγαπητὸν πάντα ταῦτα διακόψαντα τὰ σχοινία δυνηθῆναι ἐπιλαβέσθαι τῆς ἄνω πόλεως· τοσαῦτα ἕτερά ἐστι τὰ κωλύματα· ἅπερ ἵνα νικήσωμεν ἅπαντα, τῆς εὐτελείας ἐχώμεθα. οὕτω γὰρ ἐπιληψόμεθα καὶ τῆς αἰωνίου ζωῆς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ομιλ. πα. 6 ΕΦΑΝΕΡΩΣΑ ΣΟΥ ΤΟ ΟΝΟΜΑ ΤΟΙΣ ἀνθρώποις, οὓς ἔδωκάς μοι ἐκ κόσμου. 7 Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας, καὶ τὸν λόγον σου τετηρήκασι.

Μεγάλης βουλῆς ἄγγελος λέγεται ὁ υἱὸς τοῦ Θεοῦ, τῶν τε ἄλλων ἕνεκεν ὧν ἐδίδαξε, καὶ προηγουμένως ὅτι τὸν πατέρα εἰς ἀνθρώπους κατήγγειλεν· ὅπερ οὖν καὶ νῦν φησιν, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. Εἰπὼν γὰρ, ὅτι ἐτελείωσά σου τὸ ἔργον, ἐπεξηγεῖται πάλιν αὐτὸ, λέγων ποῖον ἔργον. καὶ μὴν δῆλον ἦν τὸ ὄνομα. καὶ γὰρ ὁ Ἡσαΐας φησίν· Ὀμεῖσθε τὸν Θεὸν τὸν ἀληθινόν. ἀλλ' ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, ὅτι εἰ καὶ δῆλον ἦν, ἀλλ' Ἰουδαίοις, καὶ οὐδὲ τούτοις πᾶσι· νυνὶ δὲ περὶ τῶν ἐθνῶν φησι. καὶ οὐ τοῦτο μόνον δηλοῖ, ἀλλ' ὅτι καὶ πατέρα αὐτὸν ἔγνωσαν. οὐκ ἔστι δὲ ὅμοιον μαθεῖν, ὅτι δημιουργός ἐστι, καὶ ὅτι υἱὸν ἔχει. ἐφανέρωσε δὲ αὐτοῦ τὸ ὄνομα, καὶ διὰ λόγων, καὶ διὰ πραγμάτων. οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου. ὥσπερ ἀνωτέρω φησὶν, οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ· καὶ, ἐὰν μὴ ἑλκύσῃ αὐτὸν ὁ πατήρ μου· οὕτω καὶ ἐνταῦθα, οὓς ἔδωκάς μοι. καὶ μὴν αὐτός φησιν ὁδὸν εἶναι ἑαυτόν. ὅθεν δῆλον, ὅτι δύο ἐνταῦθα κατασκευάζει διὰ τῶν εἰρημένων, ὅτι τε οὐκ ἐναντίος τῷ πατρὶ, καὶ ὅτι βούλημα αὐτοῦ τὸ πιστεῦσαι αὐτοὺς τῷ υἱῷ. σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας. ἐνταῦθα διδάξαι σφόδρα ἀγαπώμενον παρὰ τοῦ πατρός. ἐπεὶ ὅτι γε οὐκ ἐδεήθη τοῦ λαβεῖν αὐτοὺς, δῆλον ἐκεῖθεν. αὐτὸς αὐτοὺς καὶ ἐποίησεν, αὐτὸς αὐτῶν προνοεῖ διηνεκῶς· πῶς οὖν αὐτοὺς ἔλαβεν; ἀλλ', ὅπερ ἔφην, τοῦτο δηλοῖ τὴν πρὸς τὸν πατέρα ὁμόνοιαν. Εἰ δὲ ἀνθρωπίνως τις βούλοιτο αὐτὸ ἐξετάζειν, καὶ οὕτως ὡς εἴρηται, οὐκέτι ἔσονται τοῦ πατρός. Εἰ γὰρ ὅτε ὁ πατὴρ αὐτοὺς εἶχεν, οὐκ εἶχεν αὐτοὺς ὁ υἱὸς, εὔδηλον ὅτι καὶ ὅτε ἔδωκεν αὐτοὺς τῷ υἱῷ, αὐτὸς ἀπέστη τῆς δεσποτείας· καὶ τὸ ἀτοπώτερον πάλιν. εὑρεθήσονται γὰρ ἡνίκα μὲν ἦσαν παρὰ τῷ πατρὶ ἀτελεῖς ὄντες· ὅτε δὲ πρὸς τὸν υἱὸν ἦλθον, τότε γινόμενοι τέλειοι. ἀλλὰ γέλως ταῦτα καὶ εἰπεῖν. τί οὖν διὰ τούτου δηλοῖ; ὅτι καὶ αὐτῷ δέδοκται τὸ πιστεῦσαι αὐτοὺς τῷ υἱῷ. καὶ τὸν λόγον σου τετηρήκασι,

Ησ. ξε. ις.

Καὶ νῦν ἔγνωσαν ὅτι πάντα ἃ ἔδωκάς μοι, παρὰ σοῦ ἦσαν.

Πῶς τὸν λόγον σου ἐτήρησαν; τῷ ἐμοὶ πιστεῦσαι, καὶ μὴ προσέχειν τοῖς Ἰουδαίοις. ὁ γὰρ πιστεύων αὐτῷ, φησιν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστι. τινὲς μὲν γὰρ λέγουσιν, ὅτι νῦν ἔγνων ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον. πῶς γὰρ ἔμελλεν ἀγνοεῖν ὁ υἱὸς τὰ τοῦ πατρός; ἀλλὰ περὶ τῶν μαθητῶν εἴρηται. ἐξ οὗ γὰρ αὐτὰ εἶπον, φησιν, ἔμαθον ὅτι πάντα ὅσα ἔδωκάς μοι, παρὰ σοῦ ἐστιν· οὐδὲν ἀλλότριον, οὐδὲν ἴδιον ἐμοὶ παρὰ σοί. τὸ γὰρ ἴδιον, ὡς ἐπ' ἀλλοτρίῳ τὰ πολλὰ τίθησιν. ἔγνωσαν οὖν ὅτι πάντα, ὅσα ἂν διδάξω, σά ἐστι καὶ διδάγματα καὶ δόγματα. καὶ πόθεν ἔμαθον; ἀπὸ τῶν ῥημάτων τῶν ἐμῶν. οὕτω γὰρ καὶ ἐδίδασκον. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ παρὰ σοῦ ἐξῆλθον. τοῦτο γὰρ διὰ παντὸς ἐσπούδασε κατασκευάσαι εὐαγγελίου.

9 Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ. Τί λέγεις; ὡς ἀγνοοῦντα τὸν πατέρα διδάσκεις; ὡς πρὸς ἄνθρωπον οὐκ εἰδότα διαλέγῃ; τί οὖν βούλεται αὕτη ἡ διαίρεσις; ὁρᾷς ὅτι δι' οὐδὲν ἕτερον ἡ εὐχὴ γέγονεν, ἀλλ' ἵνα μάθωσι τὴν ἀγάπην ἣν ἔχει εἰς αὐτούς; ὁ γὰρ μὴ μόνον τὰ παρ' αὐτοῦ παρέχων, ἀλλὰ καὶ ἑτέρους ἐπὶ τοῦτο παρακαλῶν, πλείονα δείκνυσι τὸν πόθον. τί οὖν ἐστι, περὶ τούτων ἐρωτῶ; Οὐχ ὑπὲρ παντὸς τοῦ κόσμου, φησὶν, ἀλλ' ὑπὲρ ὧν ἔδωκάς μοι. Συνεχῶς τίθησι τὸ, ἔδωκας, ἵνα μάθωσιν, ὅτι τῷ πατρὶ τοῦτο δοκεῖ. Εἶτα ἐπειδὴ συνεχῶς εἶπε, σοί εἰσι, καὶ σύ μοι αὐτοὺς ἔδωκας, ἀναιρῶν τὴν πονηρὰν ὑποψίαν, ἵνα μή τις νομίσῃ πρόσφατον αὐτοῦ εἶναι τὴν ἀρχὴν, καὶ νῦν αὐτοὺς εἰληφέναι, τί φησι;

10 Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς. Εἶδες ἰσοτιμίαν; ἵνα γὰρ μὴ, ἀκούων ὅτι ἔδωκάς μοι, νομίσῃς αὐτοὺς ἀλλοτρίους εἶναι τῆς τοῦ πατρὸς ἐξουσίας, ἢ πρὸ τούτου τῆς τοῦ υἱοῦ, ἀμφότερα ἀνεῖλεν, εἰπὼν ἅπερ εἶπεν· ὡσανεὶ ἔλεγε, μήτε ἀκούων ὅτι ἐμοὶ αὐτοὺς ἔδωκας, νομίσῃς αὐτοὺς ἀλλοτρίους εἶναι τοῦ πατρὸς (τὰ γὰρ ἐμὰ αὐτοῦ ἐστι) μήτε ἀκούων ὅτι σοὶ ἦσαν, νομίσῃς ἀλλοτρίους αὐτοὺς εἶναι ἐμοῦ. τὰ γὰρ αὐτοῦ ἐμά ἐστιν. ὥστε τὸ, ἔδωκας, συγκαταβάσεως μόνης ἕνεκεν εἴρηται. ἅπερ γὰρ ὁ πατὴρ ἔχει, τοῦ υἱοῦ ἐστι· καὶ ἅπερ ὁ υἱὸς ἔχει, τοῦ πατρός. τοῦτο δὲ οὐδὲ ἐπὶ υἱοῦ κατὰ ἄνθρωπον δύναται λέγεσθαι, ἀλλ' ἐπειδὴ μεῖζόν εἰσιν ἰσοτιμίας. τὸ μὲν γὰρ τοῦ ἐλάττονος, ὅτι τοῦ μείζονός ἐστι παντί που δῆλον· τὸ δὲ ἔμπαλιν, οὐκέτι. ἐνταῦθα δὲ ἀντιστρέφει, ἡ δὲ ἀντιστροφὴ τὴν ἰσότητα δηλοῖ. τοῦτο καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· Πάντα τὰ τοῦ πατρὸς ἐμά ἐστι, περὶ γνώσεως διαλεγόμενος. τὸ δὲ, ἔδωκάς μοι, καὶ ὅσα τοιαῦτα, ἵνα δείξῃ, ὅτι οὐχ ὡς ἀλλότριος ἐλθὼν αὐτοὺς ἐπεσπάσατο, ἀλλὰ τοὺς ἰδίους ἔλαβεν. Εἶτα καὶ τὴν αἰτίαν τίθησι καὶ ἀπόδειξιν, λέγων· καὶ δεδόξασμαι ἐν αὐτοῖς· τουτέστιν, ἢ ὅτι ἐξουσίαν αὐτῶν ἔχω, ἢ ὅτι δοξάσουσιν ἐμὲ, σοὶ πιστεύοντες καὶ ἐμοὶ, καὶ δοξάσουσιν ὁμοίως. Εἰ δὲ οὐχ ὁμοίως δεδόξασαι ἐν αὐτοῖς, οὐκέτι αὐτοῦ ἐστι τὰ ἐκείνου. οὐδεὶς γὰρ ἐν οἷς οὐκ ἔχει ἐξουσίαν δοξάζεται. πῶς δὲ δεδόξασαι ὁμοίως; ἅπαντες ὁμοίως ἀποθνήσκουσιν ὑπὲρ αὐτοῦ, ὡς καὶ ὑπὲρ τοῦ πατρὸς, καὶ κηρύττουσιν, ὥσπερ καὶ τὸν πατέρα· καὶ ὥσπερ ἐν τῷ ὀνόματι αὐτοῦ λέγουσι πάντα γίνεσθαι, οὕτω καὶ ἐν τῷ ὀνόματι τοῦ υἱοῦ. Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί· Τουτέστι, κἂν μὴ φαίνωμαι κατὰ σάρκα, διὰ τούτων δοξάζομαι. τί δήποτε δὲ συνεχῶς λέγει, ὅτι ἐν τῷ κόσμῳ οὐκ εἰμί· καὶ ὅτι, ἐπειδὴ ἀφίημι αὐτοὺς, σοὶ αὐτοὺς παρατίθεμαι· καὶ, ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐγὼ τετήρηκα αὐτούς; εἰ γὰρ ταῦτα ἁπλῶς ἐκλάβοι τις, πολλὰ ἕψεται τὰ ἄτοπα. πῶς γὰρ ἂν ἔχοι λόγον, τὸ μὴ εἶναι αὐτὸν ἐν τῷ κόσμῳ, καὶ ὅτι ἄπεισιν, ἑτέρῳ αὐτοὺς παρακαταθέσθαι; ταῦτα γὰρ ὡς ἂν ἀνθρώπου ψιλοῦ χωριζομένου αὐτῶν διηνεκῶς τὰ ῥήματα. ὁρᾷς ὅτι ἀνθρωπίνως τὰ πλεῖστα διαλέγεται, καὶ πρὸς τὴν αὐτῶν διάνοιαν, νομιζόντων ὅτι πλείονά τινα εἶχον ἀσφάλειαν ἀπὸ τῆς παρουσίας αὐτοῦ; διό φησιν, ὅτε ἐγὼ ἤμην, ἐτήρουν αὐτούς. καὶ μὴν λέγει, ὅτι ἔρχομαι πρὸς ὑμᾶς, καὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας. πῶς οὖν ὡς χωρίζεσθαι μέλλων ταῦτα λέγει; ἀλλ', ὅπερ ἔφην, πρὸς τὴν ἐκείνων ὑπόνοιαν, ἵνα μικρὸν ἀναπνεύσωσιν, ἀκούοντες αὐτοῦ ταῦτα λέγοντος καὶ παρακατατιθεμένου τῷ πατρί. ἐπειδὴ γὰρ πολλὰς παρ' αὐτοῦ παρακλήσεις ἀκούοντες οὐκ ἐπείσθησαν, λοιπὸν τῷ πατρὶ διαλέγεται τὴν εἰς αὐτοὺς στοργὴν ἐπιδεικνύμενος· ὡσανεὶ ἔλεγεν, ἐπειδὴ πρὸς ἑαυτόν με συγκαλεῖς, κατάστησον αὐτοὺς ἐν ἀσφαλείᾳ. ἐγὼ γὰρ πρὸς σὲ ἔρχομαι. τί λέγεις; καὶ οὐ δύνασαι τηρεῖν αὐτούς; ναὶ, δύναμαι. τίνος οὖν ἕνεκεν ταῦτα λέ-

Ιωαν.15.16.

γεις; ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην· τουτέστιν, ἵνα μὴ θορυβῶνται ἀτελέστεροι ὄντες. ταῦτα δὲ εἰπὼν, ἐδήλωσεν ὅτι διὰ τὴν ἐκείνων ἀνάπαυσιν καὶ τὴν χαρὰν πάντα ταῦτα οὕτως ἔλεγεν· ἐπεὶ ″ἐδόκει ἐναντίος ὁ λόγος εἶναι. νῦν δὲ οὐκ εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί. τοῦτο γὰρ ὑπώπτευον ἐκεῖνοι. τέως οὖν αὐτοῖς συγκαταβαίνει. εἰ γὰρ εἶπεν, ὅτι ἐγὼ τηρῶ αὐτοὺς, οὐκ ἂν οὕτως ἐπίστευσαν. διόπερ φησί·

χ. ἰδίων

11 Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου· Τουτέστι, διὰ τῆς σῆς βοηθείας.

12 Οτε ἤμην ἐν τῷ κόσμῳ, ἐγὼ αὐτοὺς ἐτήρουν ἐν τῷ ὀνόματί σου.

Πάλιν ὡς ἄνθρωπος διαλέγεται καὶ ὡς προφήτης· ἐπεὶ οὐδαμοῦ φαίνεται οὐδὲν ἐν τῷ ὀνόματι τοῦ Θεοῦ πεποιηκώς. Οὓς ἔδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Καὶ ἀλλαχοῦ φησι· πᾶν ὃ ἔδωκάς μοι, οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ. καίτοι οὐκ ἐκεῖνος ἀπώλετο μόνος, ἀλλὰ καὶ πολλοὶ ὕστερον. πῶς οὖν φησιν, οὐ μὴ ἀπολέσω; τὸ ἐμὸν μέρος, οὐ μὴ ἀπολέσω· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον δηλῶν ἔλεγεν, οὐ μὴ ἐκβάλω αὐτὸν ἔξω· οὐ παρὰ τὴν ἐμὴν αἰτίαν, οὐδὲ ἐμοῦ ὠθοῦντος, οὐδὲ ἐγκαταλιμπάνοντος. εἰ δὲ ἀφ' ἑαυτῶν ἀποπηδῶσι, πρὸς ἀνάγκην οὐχ ἕλκω.

13 Νῦν δὲ πρὸς σὲ ἔρχομαι. Ορᾷς ἀνθρωπινώτερον συγκειμένην τὴν διάλεξιν; ὥστε εἴ τις βούλοιτο ἐλαττοῦν τὸν υἱὸν ἀπὸ τούτων, ἐλαττώσει καὶ τὸν πατέρα. ὅρα ″γοῦν ἐξ ἀρχῆς, πῶς τὰ μὲν ὡς διδάσκων φησὶ καὶ σαφηνίζων αὐτῷ, τὰ δὲ ὡς παραγγέλλων. τὰ μὲν ὡς διδάσκων, ὡς ὅταν λέγῃ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ· τὰ δὲ ὡς παραγγέλλων· ἐγὼ ἐτήρησα αὐτοὺς ἕως ἄρτι, καὶ οὐδεὶς ἀπώλετο· καὶ σὺ τοίνυν τήρησον αὐτούς, φησι. καὶ πάλιν· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας· καὶ, ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐτήρουν αὐτούς. ἀλλὰ πάντων ἡ λύσις, τὸ πρὸς τὴν ἀσθένειαν αὐτῶν εἰρῆσθαι τὰ εἰρημένα. εἰπὼν δὲ, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἐπήγαγεν, ἵνα ἡ γραφὴ πληρωθῇ. ποίαν γραφήν φησι; τὴν πολλὰ περὶ αὐτοῦ προλέγουσαν. οὐ μὴν διὰ τοῦτο ἀπώλετο, ἵνα ἡ γραφὴ πληρωθῇ. καὶ περὶ τούτου πολλὰ καὶ ἔμπροσθεν διελέχθημεν, ὅτι ἰδιάζων οὗτος τῆς γραφῆς ἐστιν ὁ τρόπος, ὡς αἰτιολογίαν τιθεμένης τὰ ἐκ τῆς ἐκβάσεως συμβαίνοντα. καὶ δεῖ πάντα μετὰ ἀκριβείας ἐξετάζειν, καὶ τὸν τρόπον τοῦ λέγοντος, καὶ τὴν ὑπόθεσιν, καὶ τοὺς νόμους τοὺς τῆς γραφῆς, εἴγε μὴ μέλλοιμεν παραλογίζεσθαι. ἀδελφοὶ γὰρ, μὴ παιδία γίνεσθε ταῖς φρεσί.

χ. μὲν γὰρ

ΗΘΙΚΟΝ

Τοῦτο δὲ οὐχ ὑπὲρ τῆς τῶν γραφῶν κατανοήσεως ἀναμιμνήσκειν χρὴ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς περὶ τὸν βίον σπουδῆς. καὶ γὰρ οἱ παῖδες οἱ μικροὶ, τῶν μὲν μεγάλων οὐκ ἐφίενται, τὰ δὲ μηδενὸς ἄξια θαυμάζειν εἰώθασι. καὶ γὰρ ὀχήματα, καὶ ἵππους, καὶ τὸν ὀρεωκόμον, καὶ τοὺς τροχούς, πάντα ἐξ ὀστράκου πεποιημένα, χαίρουσι βλέποντες· ἂν δὲ βασιλέα καθήμενον ἐπ' ὀχήματος ἴδωσι χρυσοῦ καὶ ἡμιόνων ζεῦγος λευκῶν καὶ πολὺν τὸν κόσμον, οὐδὲ ἐπιστρέφονται. καὶ νύμφας πάλιν ἀπὸ μὲν τῆς αὐτῆς ὕλης λαβόντες πεποιημένας, καλλωπίζουσι· τὰς δὲ ὄντως ἀληθεῖς καὶ λαμπούσας, οὐδὲ ἴσασι. καὶ ἐπὶ πολλῶν ἑτέρων τὸ αὐτὸ πάσχουσι. τοῦτο πολλοὶ καὶ τῶν ἀνθρώπων ὑπομένουσι νῦν. τὰ μὲν γὰρ τῶν οὐρανῶν ἀκούοντες, οὐδὲ προσέχουσι· πρὸς δὲ τὰ πήλινα πάντα ὁμοίως τοῖς παισὶν εἰσὶν ἐπτοημένοι, καὶ τὸν ἀπὸ τῆς γῆς πλοῦτον τεθήπασι, καὶ δόξαν καὶ τρυφὴν τὴν ἐν τῷ παρόντι βίῳ τιμῶσι· καίτοι αὐτὰ μέν ἐστι παιδικὰ ὥσπερ ἐκεῖνα· ἐκεῖνα δὲ ζωῆς καὶ δόξης καὶ ἀνέσεως αἴτια. ἀλλ' ὥσπερ οἱ παῖδες, τούτων μὲν ἀποστερούμενοι κλαίουσιν, ἐκείνων δὲ οὐδὲ γενέσθαι ἐν ἐπιθυμίᾳ ἴσασιν· οὕτω δὴ καὶ τῶν ἀνδρῶν εἶναι δοκούντων πολλοί. διὰ τοῦτό φησι· Μὴ παιδία γίνεσθε ταῖς φρεσί. χρημάτων ἐρᾷς, εἰπέ μοι· καὶ οὐκ ἐρᾷς πλούτου τοῦ μένοντος, ἀλλὰ ἀθυρμάτων παιδικῶν; εἶτα, ἂν μέν τινα ἴδῃς θαυμάζοντα μολύβδου νόμισμα καὶ κατακύπτοντα ὥστε ἀνελέσθαι, καὶ καταγνώσῃ πολλὴν αὐτοῦ τὴν πενίαν. σὺ δὲ τὰ τούτων εὐτελέστερα συνάγων, ἐν τοῖς πλουτοῦσι ″σαυτὸν ἀριθμεῖς; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; πλούσιον γὰρ ἐκεῖνον εἶναι φήσομεν, τὸν ὑπερορῶντα

α. Κορ. ιδ. κ.

ὑπερορῶντα τῶν παρόντων ἁπάντων. οὐδεὶς γάρ, οὐδεὶς τῶν μικρῶν τούτων, ἀργύρου καὶ χρυσοῦ καὶ τῆς ἄλλης φαντασίας αἱρήσεται καταγελάσαι, ἂν μὴ τῶν μειζόνων τὸν πόθον ἔχῃ, ὥσπερ οὐδὲ τοῦ μολυβδίνου νομίσματος, ἂν μὴ χρυσᾶ νομίσματα κεκτημένος ᾖ. καὶ σὺ τοίνυν ὅταν ἴδῃς ἄνθρωπον πάντα τὸν κόσμον παρατρέχοντα, μηδαμόθεν ἄλλοθεν νόμιζε τοῦτο ποιεῖν, ἢ ἀπὸ τοῦ πρὸς μείζονα βλέπειν κόσμον. οὕτω καὶ γεωργὸς τῶν ὀλίγων πυρῶν καταφρονεῖ, ὅταν μείζονα προσδοκήσῃ τὸν ἀμητόν. εἰ δὲ ἀδήλου τῆς ἐλπίδος οὔσης, τῶν ὄντων καταφρονοῦμεν· πολλῷ μᾶλλον ἐπὶ τῆς βεβαίας προσδοκίας τοῦτο δεῖ ποιεῖν. διὸ δὴ δέομαι καὶ παρακαλῶ, μὴ ζημιοῦν ἑαυτούς, μηδὲ βορβόρῳ κατέχοντας ἀποστερεῖν ἑαυτοὺς τῶν ἄνωθεν θησαυρῶν, μηδὲ καλάμης καὶ ἀχύρου τὸ πλοῖον εἰς τοὺς λιμένας ἄγοντας. ὃ βούλεταί τις λεγέτω περὶ ἡμῶν, δυσχεραινέτω πρὸς τὸ συνεχὲς τῆς παραινέσεως· φλυάρους καλείτω, προσκορεῖς, ἐπαχθεῖς· οὐκ ἀποστησόμεθα συνεχῶς ὑπὲρ αὐτῶν παραινοῦντες, καὶ συνεχῶς ἐκεῖνο τὸ τοῦ προφήτου πᾶσιν ὑποφωνοῦντες ὑμῖν· Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων, καὶ ἅψασθαι αὐτὰς ἐπὶ τῷ τραχήλῳ. μὴ σήμερον μὲν ποιήσῃς, αὔριον δὲ ἀποστῇς. καὶ γὰρ τὸ σῶμα τοῦτο καθημερινῆς δεῖται τροφῆς· οὕτω καὶ ἡ ψυχή, καὶ πολλῷ μᾶλλον ἐκείνη. κἂν μὴ καταβάλῃ, ἀσθενεστέρα γίνεται καὶ αἰσχροτέρα. μὴ δὴ περιίδωμεν ἀπολλυμένην, ἀγχομένην. πολλὰ λαμβάνει καθ' ἑκάστην ἡμέραν τραύματα, ἐπιθυμοῦσα, ὀργιζομένη, ῥαθυμοῦσα, λοιδορουμένη, ἀμυνομένη, βασκαίνουσα. δεῖ τοίνυν αὐτῇ καὶ φάρμακα κατασκευάζειν. οὐ μικρὸν δὲ τὸ τῆς ἐλεημοσύνης φάρμακον, πᾶσι τοῖς τραύμασιν ἐπιτεθῆναι δυνάμενον. Δότε γὰρ ἐλεημοσύνην, φησί, καὶ πάντα ὑμῖν ἔσται καθαρά· ἐλεημοσύνην, μὴ πλεονεξίαν. τὰ γὰρ ἐκ πλεονεξίας οὐ μένει, κἂν τοῖς δεομένοις δῷς. ἐλεημοσύνη γάρ, ἡ πάσης ἀπηλλαγμένη ἀδικίας ἐστίν· αὕτη πάντα ποιεῖ καθαρά. τοῦτο καὶ νηστείας βέλτιον καὶ χαμευνίας. καίτοιγε ἐκεῖνα μοχθηρότερα καὶ ἐπιπονώτερα, ἀλλ' αὕτη κερδαλεωτέρα. φωτίζει ψυχήν, λιπαίνει, καλὴν καὶ ὡραίαν ποιεῖ. οὐχ οὕτω τοὺς ἀθλητὰς ὁ τῆς ἐλαίας καρπὸς ἀνέχει, ὡς τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας τοῦτο τὸ ἔλαιον ἀνακτᾶται. ἀλειφώμεθα τοίνυν τὰς χεῖρας, ἵνα πρὸς τὸν ἀντίπαλον ἐπάρωμεν καλῶς. ὁ μελετῶν ἐλεεῖν τὸν δεόμενον, ταχέως καὶ τοῦ πλεονεκτεῖν ἀποστήσεται· ὁ διατελῶν ἐν τῷ διδόναι πένησι, ταχέως καὶ ὀργῆς ἀποστήσεται, καὶ οὐδὲ μέγα φρονήσει ποτέ. καθάπερ γὰρ τοὺς τετραυματισμένους συνεχῶς θεραπεύων ἰατρός, συστέλλεται ῥᾳδίως, ἐν ταῖς ἑτέρων συμφοραῖς τὴν ἀνθρωπίνην καθορῶν φύσιν· οὕτω καὶ ἡμεῖς ἐὰν* ταῖς τῶν πενήτων συνεισέλθωμεν ἐπικουρίαις, φιλοσοφήσομεν εὐκόλως, καὶ οὐ θαυμασόμεθα πλοῦτον, οὐδὲ μέγα τι τὰ παρόντα ἡγησόμεθα, ἀλλὰ καταφρονήσομεν πάντων, καὶ μετάρσιοι γενόμενοι πρὸς τὸν οὐρανόν, εὐκόλως ἐπιτευξόμεθα τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. μολίβδου

γ. ἀπος

Δαν. δ. κδ.

Λουκ. ια. μα.

* ἐν

Ὁμιλ. πβ. 14 ΕΓΩ ΔΕΔΩΚΑ ΑΥΤΟΙΣ ΤΟΝ ΛΟΓΟΝ σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.

Ὅταν ἐνάρετοι γενόμενοι διωκώμεθα παρὰ τῶν πονηρῶν, καὶ τῆς ἀρετῆς ἐφιέμενοι χλευαζώμεθα παρ' ἐκείνων, μὴ ἀλύωμεν, μηδὲ δυσχεραίνωμεν. τοιαύτην γὰρ τὸ πρᾶγμα τὴν φύσιν ἔχει, καὶ πανταχοῦ μῖσος εἴωθε τίκτειν ἡ ἀρετὴ παρὰ τοῖς πονηροῖς. φθονοῦντες γὰρ τοῖς ἐπιεικῶς βιοῦν βουλομένοις, καὶ οἰόμενοι παρασκευάζειν ἑαυτοῖς ἀπολογίαν, ἐὰν τὴν ἑτέρων δόξαν καταβάλωσι, μισοῦσί τε ὡς τὰ ἐναντια μετιόντας, καὶ πάντα πράττουσιν ὑπὲρ τοῦ καταισχύνειν τὸν βίον τὸν ἐκείνων. ἀλλὰ μὴ ἀλγῶμεν. τοῦτο γὰρ ἀρετῆς σημεῖον. διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει. καὶ ἀλλαχοῦ πάλιν· Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. διὰ τοῦτο καὶ ἐνταῦθά φησι· τὸν λόγον σου δέδωκα αὐτοῖς, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς. πάλιν λέγει τὴν αἰτίαν, δι' ἣν ἄξιοί εἰσι πολλῆς παρὰ τοῦ πατρὸς ἐπιμελείας τυχεῖν. διὰ γάρ σε ἐμισήθησαν, φησί, καὶ τὸν λόγον τὸν σόν· ὥστε δίκαιοι πάσης ἂν εἶεν ἀπολαῦσαι προνοίας.

Ιωαν. ιε. ιθ.
Λουκ. ϛ. κϛ.

15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Πάλιν σαφηνίζει τὸν λόγον, πάλιν τρανότερον ἐργάζεται· ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἐνδεικνυμένου, ἢ ὅτι πολλὴν αὐτῶν ποιεῖται κηδεμονίαν, ὥστε μετὰ ἀκριβείας ποιεῖσθαι τὴν ὑπὲρ αὐτῶν παράκλησιν. καὶ μὴν αὐτὸς ἔλεγεν, ὅτι πάντα ποιήσει ὁ πατήρ, ὅσα ἂν αἰτήσωσι. πῶς οὖν ἐνταῦθα αὐτὸς ὑπὲρ αὐτῶν παρακαλεῖ; οὐδὲν ἄλλο, ὅπερ ἔφην, ἢ τὴν ἀγάπην ἐνδεικνύμενος.

16 Ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Πῶς οὖν ἀλλαχοῦ φησιν, Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν; ἐκεῖ μὲν τὴν φύσιν λέγων, ἐνταῦθα δὲ περὶ πράξεων πονηρῶν. καὶ μακρὸν αὐτοῖς συντίθησιν ἐγκώμιον· πρῶτον, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου· εἶτα, ὅτι αὐτὸς αὐτοὺς ἔδωκεν, καὶ ὅτι τὸν λόγον αὐτοῦ ἐτήρησαν, καὶ ὅτι διὰ τοῦτο μισοῦνται. εἰ δὲ λέγει, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου, μὴ θορυβηθῇς. τὸ γάρ, καθώς, ἐνταῦθα οὐκ ἔστιν ἀπαραλλάκτου ἀκριβείας. ὥσπερ γάρ, ὅταν ἐπ' αὐτοῦ καὶ τοῦ πατρὸς λέγηται τὸ καθώς, πολλὴ ἡ ἰσότης διὰ τὸ τῆς φύσεως συγγενές· οὕτως ὅταν ἐφ' ἡμῶν καὶ αὐτοῦ λέγηται, πολὺ τὸ μέσον διὰ τὸ καὶ πολὺ εἶναι τὸ μέσον καὶ ἄπειρον ἑκατέρας τῆς φύσεως. εἰ γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν αὐτός, οὐδὲ δόλος τις εὑρέθη ἐν τῷ στόματι αὐτοῦ, πῶς δύναιντ' ἂν οἱ ἀπόστολοι παρισοῦσθαι αὐτῷ; τί οὖν ἐστιν ὅ φησιν, ἐκ τοῦ κόσμου οὐκ εἰσί; πρὸς ἕτερον ὁρῶσιν, οὐδὲν κοινὸν πρὸς τὴν γῆν ἐστιν αὐτοῖς, ἀλλὰ τῶν οὐρανῶν γεγόνασι πολῖται. καὶ ἐκ τούτων δὲ τὴν ἀγάπην αὐτοῦ δείκνυσιν, ὅταν πρὸς τὸν πατέρα αὐτοὺς ἐγκωμιάζῃ, καὶ παρατίθηται τῷ γεγεννηκότι. εἰπὼν δέ, τήρησον αὐτούς, οὐ περὶ τῆς τῶν κινδύνων ἀπαλλαγῆς φησι μόνον, ἀλλὰ καὶ περὶ τῆς ἐν πίστει παραμονῆς. διὸ καὶ ἐπήγαγεν,

Ιωαν. ιζ. ϛ.
Ησ. νγ. θ.

17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· Ἁγίους ποίησον διὰ τῆς τοῦ πνεύματος δόσεως καὶ τῶν ὀρθῶν δογμάτων. ὥσπερ ὅταν λέγῃ, καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν, καὶ νῦν τὸ αὐτό φησι· παίδευσον αὐτούς, δίδαξον τὴν ἀλήθειαν. καὶ μὴν τοῦτο λέγεται τὸ πνεῦμα ποιεῖν. πῶς οὖν αὐτὸ παρὰ τοῦ πατρὸς αἰτεῖ νῦν; ἵνα μάθῃς πάλιν τὴν ἰσοτιμίαν. τὰ γὰρ ὀρθὰ δόγματα περὶ Θεοῦ λεγόμενα, ἁγιάζει τὴν ψυχήν. εἰ δὲ λόγῳ φησὶν ἁγιάζεσθαι, μὴ θαυμάσῃς. καὶ ὅτι περὶ δογμάτων φησίν, ἐπήγαγεν· Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι·

Τουτέστιν, οὐδὲν ψεῦδος ἐν αὐτῷ, πάντως δὲ ἐκβῆναι δεῖ πάντα τὰ εἰρημένα, καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σωματικόν. καθὼς καὶ Παῦλός φησι περὶ τῆς ἐκκλησίας, ὅτι ἡγίασεν αὐτὴν ἐν ῥήματι. οἶδε γὰρ καὶ ῥῆμα Θεοῦ καθαίρειν. δοκεῖ δέ μοι καὶ ἕτερον δηλοῦν τό, ἁγίασον αὐτούς, οἱονεὶ τὸ ἀφόρισον αὐτοὺς τῷ λόγῳ καὶ τῷ κηρύγματι. καὶ τοῦτο πάλιν ἐκ τῶν ἑξῆς δῆλον.

18 Καθὼς γὰρ ἐμέ, φησιν, ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτούς·

Ὃ λέγει καὶ Παῦλος, Θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ οὗ γὰρ ὁ Χριστὸς ἀφῖκται, ὑπὲρ τούτου καὶ οὗτοι τὴν οἰκουμένην κατέλαβον. τὸ δέ, καθώς, πάλιν ἐνταῦθα οὐχ ὁμοιώσεως ἐπὶ αὐτοῦ καὶ τῶν ἀποστόλων κεῖται. πῶς γὰρ ἄλλως ἦν ἐγχωροῦν ἀνθρώποις ἀποσταλῆναι; ἔθος δὲ αὐτῷ καὶ τὸ μέλλον ὡς γεγονὸς λέγειν.

β. Κορ. ε. ιθ.

19 Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ.

Τί ἐστιν, ἁγιάζω ἐμαυτόν; προσφέρω σοι θυσίαν. αἱ δὲ θυσίαι πᾶσαι ἅγιαι λέγονται·

καὶ κυρίως ἅγια, τὰ τῷ Θεῷ ἀνακείμενα. ἐπειδὴ γὰρ τὸ παλαιὸν ἐν τύπῳ ὁ ἁγιασμὸς ἦν ἐν τῷ προβάτῳ· νυνὶ δὲ οὐκ ἔστιν ἐν τύπῳ, ἀλλ᾽ ἐν αὐτῇ τῇ ἀληθείᾳ· διὸ φησὶν· ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ σου. καὶ γὰρ καὶ αὐτούς σοι ἀνατίθημι καὶ ποιῶ προσφοράν· ἤτοι διὰ τὸ τὴν κεφαλὴν τοῦτο γίνεσθαί φησιν, ἢ διὰ τὸ καὶ αὐτοὺς θύεσθαι. Παραστήσατε γάρ, φησι, τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν· καὶ, Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. καὶ χωρὶς θανάτου, θυσίαν αὐτοὺς ἐργάζεται καὶ προσφοράν. ὅτι γὰρ τὴν θυσίαν ᾐνίξατο τὴν αὐτοῦ, εἰπὼν ἁγιάζω, δῆλον ἐκ τῶν ἑξῆς.

Ρω. ιβ. α. Ψαλμ. μγ. κβ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων.

Ἐπειδὴ γὰρ ὑπὲρ αὐτῶν ἀπέθνησκεν, εἶπε δὲ, ὅτι ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν· ἵνα μή τις νομίσῃ, ὅτι ὑπὲρ τῶν ἀποστόλων τοῦτο μόνον ἐποίει, ἐπήγαγεν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἐντεῦθεν πάλιν ἀνέστησεν αὐτῶν τὰς ψυχὰς, δείξας ἐσομένους πολλοὺς μαθητάς. ἐπειδὴ γάρ, ὅπερ εἶχον ἐξαίρετον, κοινὸν ἐποίησε, πάλιν αὐτοὺς παραμυθεῖται, δηλῶν καὶ τῆς τῶν ἄλλων σωτηρίας γινομένους αὐτοὺς αἰτίους. εἰπὼν δὲ καὶ περὶ τῆς σωτηρίας αὐτῶν καὶ τοῦ ἁγιασθῆναι τῇ πίστει καὶ τῇ θυσίᾳ, λέγει λοιπὸν περὶ ὁμονοίας, καὶ εἰς τοῦτο λοιπὸν κατακλείει τὸν λόγον, ἐντεῦθεν ἀρξάμενος, καὶ εἰς αὐτὸ καταλύσας. καὶ γὰρ ἀρχόμενός φησιν, ἐντολὴν καινὴν δίδωμι ὑμῖν. καὶ ἐνταῦθα,

21 Ἵνα ὦσιν ἓν, καθὼς σὺ πάτερ ἐν ἐμοὶ, καὶ ἐγὼ ἐν σοί. Πάλιν τὸ, καθὼς, οὐκ ἀκριβοῦς ἐξισώσεως ἐπ᾽ αὐτῶν. οὐδὲ γὰρ δυνατὸν αὐτοῖς ἦν τοσοῦτον, ἀλλ᾽ ὡς ἀνθρώποις δυνατόν· ὥσπερ ὅταν λέγῃ, γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν. τί δέ ἐστιν,

Ἐν ἡμῖν; Ἐν τῇ πίστει τῇ εἰς ἡμᾶς. ἐπειδὴ γὰρ οὐδὲν οὕτω σκανδαλίζει ἅπαντας, ὡς τὸ διεσπάσθαι, τοῦτο κατασκευάζει ὥστε γενέσθαι ἕν. τί οὖν; ἤνυσεν αὐτό, φησι; καὶ σφόδρα ἤνυσεν. ἅπαντες γὰρ οἱ διὰ τῶν ἀποστόλων πιστεύσαντες, ἕν εἰσιν, εἰ καί τινες ἐξ αὐτῶν διεσπάσθησαν. οὐδὲ γὰρ τοῦτο αὐτὸν παρέλαθεν, ἀλλὰ καὶ αὐτὸ προεῖπε, καὶ ἔδειξε τῆς τῶν ἀνθρώπων ῥᾳθυμίας ὄν. Ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας. Ὅπερ οὖν καὶ ἀρχόμενος ἔλεγεν, ὅτι ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοί ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους. καὶ πῶς ἐντεῦθεν πιστεύειν ἔμελλον; ὅτι τῆς εἰρήνης εἶ Θεός, φησιν. ἂν τοίνυν, ἅπερ ἐξ ὧν ἔμαθον, διατηρήσωσιν, εἴσονται τὸν διδάσκαλον ἀπὸ τῶν μαθητῶν οἱ ἀκούοντες· ἐὰν δὲ μάχωνται, οὐκ ἐροῦσιν εἰρηνικοῦ Θεοῦ εἶναι μαθητάς· μὴ ὄντα δέ με εἰρηνικὸν, οὐχ ὁμολογήσουσιν ἀπεστάλθαι παρὰ σοῦ. ὁρᾷς πῶς μέχρι τέλους τοῦτο κατασκευάζει τὸ πρὸς τὸν πατέρα ὁμονοητικόν;

22 Κἀγὼ τὴν δόξαν, ἣν ἔδωκάς μοι, ἔδωκα αὐτοῖς· Τὴν διὰ τῶν σημείων, τὴν διὰ τῶν δογμάτων, καὶ ἵνα ὁμόψυχοι ὦσιν. αὕτη γὰρ δόξα, ἵνα ὦσιν ἕν, καὶ τῶν σημείων μείζων. ὥσπερ γὰρ καὶ τὸν Θεὸν θαυμάζουσιν, ὅτι οὐκ ἔστι στάσις, οὐδὲ μάχη παρὰ τῇ φύσει ἐκείνῃ, καὶ μεγίστη αὕτη δόξα· οὕτω καὶ οὗτοί, φησιν, ἐντεῦθεν γενέσθωσαν λαμπροί. καὶ πῶς τὸν πατέρα, φησιν, αἰτεῖ τοῦτο δοῦναι αὐτοῖς, αὐτὸς αὐτὸ λέγων διδόναι; εἴτε γὰρ περὶ σημείων, εἴτε περὶ ὁμονοίας, εἴτε περὶ εἰρήνης ὁ λόγος αὐτῷ, φαίνεται αὐτὸς αὐτοῖς ταῦτα παρεσχηκώς. ὅθεν δῆλον ἦν, ὅτι παραμυθίας ἕνεκεν τῆς αὐτῶν ἡ αἴτησις γέγονε.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί. Πῶς ἔδωκε τὴν δόξαν; ἐν αὐτοῖς γενόμενος, καὶ τὸν πατέρα ἔχων μεθ᾽ ἑαυτοῦ, ὥστε αὐτοὺς συγκροτεῖν. ἀλλαχοῦ δὲ, οὐχ οὕτω φησίν. οὐ γὰρ δι᾽ αὐτοῦ τὸν πατέρα παραγίνεσθαι, ἀλλ᾽ αὐτὸν καὶ τὸν πατέρα παραγίνεσθαι, καὶ μονὴν παρ᾽ αὐτῷ ποιεῖν, ἐκεῖ μὲν τὸ τοῦ Σαβελλίου, ἐνταῦθα δὲ Ἀρείου τὴν ὑπόνοιαν ἀναιρῶν.

Ἵνα ὦσι τετελειωμένοι εἰς τὸ ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας.

Συνεχῶς αὐτὸ λέγει, δεικνὺς σημείου μᾶλλον τὴν εἰρήνην δυναμένην ἐπισπάσασθαι. ὥσπερ γὰρ ἡ ἔρις διαλυτικὸν, οὕτως ἡ συμφωνία συγκροτητικόν. Καὶ ἠγάπησα αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. Πάλιν ἐνταῦθα τὸ, καθὼς, ὡς ἄνθρωπον ἀγαπηθῆναι ἐγχωρεῖ.

γ. ἐκεῖ
γ. γίνεται
γ. αὐτόν
γ. πλεον
γ. διδαγμάτων,
γ. θαυμάζομεν,
γ. ὡς
γ. συγκροτεῖν
γ. τὰ τῶν Σαβελλίου ἐπιστομίζων δόγματα, ἐν-
γ. ἀνοίας
γ. διαίρεσις
γ. ἄνθρωποι

χωρεῖ· καὶ τεκμήριον τῆς ἀγάπης τὸ ἑαυτὸν ὑπὲρ αὐτῶν δοῦναι. εἰπὼν τοίνυν, ὅτι ἔσονται ἐν ἀσφαλείᾳ, ὅτι οὐ περιτραπήσονται, ὅτι ἔσονται ἅγιοι, ὅτι πολλοὶ πιστεύσουσι δι' αὐτῶν, ὅτι πολλῆς ἀπολαύσονται δόξης, ὅτι οὐκ αὐτὸς αὐτοὺς ἠγάπησε μόνος, ἀλλὰ καὶ ὁ πατὴρ, λέγει λοιπὸν καὶ περὶ τῶν μετὰ τὴν ἐνταῦθα ἀποδημίαν, περὶ τῶν βραβείων καὶ τῶν στεφάνων τῶν ἀποκειμένων αὐτοῖς. 24 Πάτερ γάρ, φησιν, οὓς ἔδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσιν.

Ὅπερ οὖν ἐζήτουν ἀεὶ λέγοντες, ποῦ ὑπάγεις; τί λέγεις; τοῦτο ἐν αἰτήσει λαμβάνεις, καὶ οὐδέπω ἔχεις; πῶς οὖν αὐτοῖς ἔλεγες, καθίσεσθε ἐπὶ δώδεκα θρόνους; πῶς ἕτερα ἐπηγγείλω πλείονα καὶ μείζω; ὁρᾷς ὅτι πάντα συγκαταβάσεως ἕνεκεν λέγει; ἐπεὶ, πῶς ἔλεγεν, ἀκολουθήσεις δὲ ὕστερον; ἀλλ' ὑπὲρ πλείονος πληροφορίας καὶ ἐνδείξεως ἀγάπης τοῦτό φησιν.

Ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι. Πάλιν τοῦτο τοῦ πρὸς τὸν πατέρα ὁμονοεῖν σημεῖον, ὑψηλότερον μετὰ τῶν προτέρων (πρὸ καταβολῆς γὰρ κόσμου, φησὶν) ἔχον δὲ ὅμως καὶ αὐτὸ συγκατάβασιν. ἔδωκας γάρ μοι, λέγει. εἰ δὲ μὴ τοῦτο ἐστιν, ἡδέως ἂν ἐροίμην τοὺς ἀντιλέγοντας· ὁ διδοὺς, ὑφεστῶτι τινὶ δίδωσιν. ἆρ' οὖν πρότερον αὐτὸν γεννήσας, ὕστερον τὴν δόξαν ἔδωκε, πρότερον ἀφεὶς εἶναι ἄδοξον; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁρᾷς ὅτι τὸ, ἔδωκεν, ἐγέννησεν ἐστί; διατί δὲ μὴ εἶπεν, ἵνα μετέχωσι τῆς δόξης· ἀλλ' ἵνα θεωρῶσι τὴν δόξαν; ἐνταῦθα αἰνίττεται, ὅτι ἡ πᾶσα ἀνάπαυσις αὕτη ἐστὶ, τὸ θεωρεῖν εἰς τὸν υἱὸν τοῦ Θεοῦ. τοῦτο γοῦν καὶ δοξάζεσθαι ποιεῖ· ὃ καὶ Παῦλός φησιν, Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι. ὥσπερ γὰρ οἱ πρὸς ἀκτῖνας θεωροῦντες καὶ ἀέρος ἀπολαύοντες λεπτοτάτου, ἀπὸ τῆς ὄψεως ἔχουσι τὴν ἀπόλαυσιν· οὕτω καὶ τότε, καὶ πολλῷ πλέον τοῦτο ἡμῖν ἐργάσεται τὴν ἡδονήν. ἅμα δὲ καὶ δείκνυσιν, ὅτι οὐ τοῦτο ἐστὶ τὸ ὁρώμενον, ἀλλὰ φρικτή τις οὐσία.

β. Κορ. γ. ιη.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. Τί βούλεται τοῦτο; ποίαν ἔχει τὴν ἀκολουθίαν; δείκνυσιν ἐνταῦθα μηδένα εἰδότα Θεὸν, ἀλλ' ἢ μόνους τοὺς τὸν υἱὸν ἐπεγνωκότας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐβουλόμην ἅπαντας τοῦτο εἶναι, ἀλλ' οὐκ ἔγνωσάν σε, καίτοι οὐδὲν ἔχοντες ἐγκαλεῖν. τοῦτο γάρ ἐστι, πάτερ δίκαιε. ἐνταῦθά μοι δοκεῖ καὶ δυσχεραίνων ταῦτα λέγειν, ὅτι τὸν οὕτως ἀγαθὸν καὶ δίκαιον οὐκ ἠθέλησαν ἐπιγνῶναι. ἐπειδὴ γὰρ Ἰουδαῖοι ἔλεγον τὸν Θεὸν εἰδέναι, αὐτὸν δὲ μὴ εἰδέναι, πρὸς τοῦτο ἀποτείνεται λέγων, Ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου, Ἀπολογίαν συντιθεὶς πρὸς τὰς κατηγορίας τὰς Ἰουδαϊκάς. ὁ γὰρ δόξαν λαβὼν, ὁ ἀγαπηθεὶς πρὸ καταβολῆς κόσμου, ὁ μάρτυρας βουλόμενος ἔχειν αὐτοὺς τῆς δόξης ἐκείνης, πῶς ἐναντίος ἦν τῷ πατρί; οὐ τοίνυν τοῦτο ἐστιν ὅπερ φασὶν οἱ Ἰουδαῖοι, ὅτι αὐτοὶ μὲν σε γινώσκουσιν, ἐγὼ δὲ ἀγνοῶ· ἀλλὰ τοὐναντίον, ἐγὼ μὲν σε οἶδα, αὐτοὶ δέ σε οὐκ ἔγνωσαν. Καὶ οὗτοι δὲ ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας.

Ὁρᾷς ὅτι αὐτοὺς αἰνίττεται τοὺς λέγοντας μὴ εἶναι αὐτὸν ἐκ τοῦ Θεοῦ, καὶ πρὸς τοῦτον τὸν λόγον ἀνακεφαλαιοῦται πάντα;

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω. Καὶ μὴν τοῦ πνεύματός φησι τὴν τελείαν γνῶσιν· ἀλλὰ τὰ τοῦ πνεύματος ἐμά ἐστιν. Ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς μένῃ, κἀγὼ ἐν αὐτοῖς. Ἐὰν γὰρ μάθωσι, τίς σὺ, τότε εἴσονται ὅτι οὐκ ἀπεσχισμένος ἐγὼ, ἀλλὰ τῶν σφόδρα ἠγαπημένων, καὶ γνήσιος υἱὸς καὶ συνημμένος. τοῦτο δὲ πεισθέντες ὡς χρὴ, καὶ τὴν πίστιν τὴν εἰς ἐμὲ καὶ τὴν ἀγάπην διατηρήσουσιν ἀκριβῆ. ἀγαπώντων δὲ αὐτῶν ὡς χρὴ, ἐγὼ μενῶ ἐν αὐτοῖς. ὁρᾷς πῶς εἰς καλὸν τέλος ἀπήρτησεν, εἰς ἀγάπην, τὴν πάντων μητέρα τῶν ἀγαθῶν, ἀπαρτίσας τὸν λόγον;

ΗΘΙΚΟΝ

Πιστεύωμεν τοίνυν, καὶ ἀγαπῶμεν τὸν Θεὸν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· καὶ πάλιν, Τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. ὅταν γὰρ ἐκεῖνος μὲν καὶ οἰκέταις καὶ συγγενέσι καὶ ἀλλοτρίοις ἐπικουρῇ· σὺ δὲ μηδὲ τοὺς

Τιτ. α. ιϛ.
α. Τιμ. ε. η.

πρὸς

...ἐν. αὐτοῦ τὸν
χ. λέγεται;
χ. πάντα
χ. πλείονα
χ. ἔστω
χ. πᾶν τὸ
...ἀπήντησεν,
χ. καλῶν

παρεὶς γένους προσήκοντας θεραπεύῃς, τίς ἔσται σοι λοιπὸν ἀπολογία, τοῦ Θεοῦ βλασφημουμένου καὶ ὑβριζομένου διὰ σέ; σκόπει γὰρ πόσας ἔδωκεν ἡμῖν ἀφορμὰς εὐποιΐας ὁ Θεός. τὸν μὲν ὡς συγγενῆ, τὸν δὲ ὡς φίλον, τὸν δὲ ὡς γείτονα, τὸν δὲ ὡς πολίτην, τὸν δὲ ὡς ἄνθρωπον ἐλέει, φησίν. ἂν δὲ μηδέν σε τούτων κατέχῃ, ἀλλὰ πάντα διαῤῥήξῃς τὰ δεσμὰ, ἄκουσον τοῦ Παύλου, ὅτι ἀπίστου εἶ χείρων· ὅτι ἐκεῖνος μὲν οὐδὲν περὶ ἐλεημοσύνης ἀκούσας, οὐδὲ τῶν ἐν οὐρανῷ, ὑπερηκόντισέ σε τῇ φιλανθρωπίᾳ· σὺ δὲ αὐτοὺς ἐχθροὺς ἀγαπᾷν κελευσθεὶς, τοὺς οἰκείους ὡς ἐχθροὺς ὁρᾷς, καὶ χρημάτων φείδῃ μᾶλλον ἢ σωμάτων. καίτοι τὰ μὲν ἀναλισκόμενα οὐδὲν πείσεται δεινόν· οὗτος δὲ περιορώμενος, οἰχήσεται. τίς οὖν ἡ μανία χρημάτων φείδεσθαι, καὶ ἀφειδεῖν συγγενῶν; πόθεν οὗτος ὁ πόθος εἰσεκώμασε; πόθεν ἡ ἀπανθρωπία αὕτη καὶ ἡ ὠμότης; εἰ γάρ τις, ὥσπερ ἐπὶ θεάτρου κορυφῆς καθίσας, τὸν κόσμον κατοπτεύσειε πάντα, μᾶλλον δὲ, εἰ βούλεσθε, μίαν τέως μεταχειρισώμεθα πόλιν. εἴ τις τοίνυν ἐφ᾽ ὑψηλοῦ καθίσας πάντα κατιδεῖν δυνηθείη τὰ ἀνθρώπινα, ἐννόησον ὅσην καταγνώσεται ἀλογίαν; ὅσα δάκρυα οἴσει; ὅσον γελάσεται γέλωτα; ὅσον μισήσει μῖσος; τοιαῦτα γὰρ πράττομεν ὡς καὶ γέλωτος καὶ ἀνοίας καὶ δακρύων καὶ μίσους εἶναι ἄξια. ὁ δεῖνα τρέφει κύνας, ἵνα θηρία ἄγρια σαγηνεύσῃ, αὐτὸς εἰς θηριωδίαν ἐκπίπτων· ἕτερος ὄνους καὶ ταύρους, ἵνα μετακομίζῃ λίθους· ἀνθρώπους δὲ περιορᾷ λιμῷ τηκομένους. καὶ χρυσίον μὲν ἄπειρον δαπανᾷ, ἵνα λιθίνους ἀνθρώπους ἐργάσηται· τοὺς δὲ ὄντως ἀνθρώπους λιθίνους γινομένους ὑπὸ τῆς κακουχίας, ὑπερορᾷ. ἕτερος ψηφῖδας χρυσᾶς συλλέγων μετὰ πολλῆς ταλαιπωρίας περιβάλλει τοὺς τοίχους· τὰς δὲ γαστέρας τῶν πενήτων γυμνὰς ὁρῶν, οὐκ ἐπικάμπτεται. καὶ οἱ μὲν τοῖς ἱματίοις αὐτῶν ἱμάτια πάλιν ἐπινοοῦσιν· ἕτερος δὲ οὐδὲ αὐτὸ τὸ σῶμα γυμνὸν περιβάλλειν ἔχει. ἐν δικαστηρίοις δὲ πάλιν ἄλλος ἄλλον κατέπιεν· ἄλλος εἰς πόρνας ἀνάλωσε καὶ εἰς παρασίτους· ἕτερος εἰς μίμους καὶ ὀρχήστρας· εἰς οἰκοδομὰς ἕτερος λαμπρὰς, εἰς ἀγορασίας ἀγρῶν καὶ οἰκιῶν. πάλιν ὁ μὲν τόκους ἀριθμεῖ, ὁ δὲ τόκους τόκων, ὁ δὲ γραμματεῖα συντίθησι πολλῶν γέμοντα φόνων, καὶ οὐδὲ τὴν ἀπὸ τῆς νυκτὸς ἀνάπαυσιν καρποῦται, ἐπὶ τοῖς ἑτέρων κακοῖς ἀγρυπνῶν. ἡμέρας δὲ γινομένης, ὁ μὲν ἐπὶ κέρδος ἄδικον, ὁ δὲ ἐπὶ δαπάνην ἀσελγῆ, οἱ δὲ ἐπὶ κλοπὴν δεδημοσιευμένην τρέχουσι. καὶ τῶν μὲν περιττῶν καὶ κεκωλυμένων πολλὴ ἡ σπουδή· τῶν δὲ ἀναγκαίων οὐδεὶς ὁ λόγος. οἱ δὲ κρίνοντες, τὸ μὲν ὄνομα δικαστῶν ἔχουσι· τὸ δὲ ἔργον λῃστῶν καὶ ἀνδροφόνων. κἂν τὰς δίκας τις ἐξετάσῃ, κἂν τὰς διαθήκας, μυρία πάλιν εὑρήσει καὶ ἐνταῦθα κακὰ, δόλους, κλοπὰς, ἐπιβουλάς· καὶ περὶ ταῦτα ἅπασα ἡ σχολὴ, τῶν δὲ πνευματικῶν λόγος οὐδείς· ἀλλὰ τὴν ἐκκλησίαν ὑπὲρ τοῦ μόνον ἰδεῖν ἐνοχλοῦσιν ἅπαντες· τὸ δὲ ζητούμενον οὐ τοῦτό ἐστιν· ἀλλ᾽ ἔργων δεῖ ἡμῖν καὶ διανοίας καθαρᾶς. ἂν δὲ τὴν πᾶσαν ἡμέραν ἀναλώσῃς εἰς πλεονεξίαν, εἶτα μικρὰ ῥήματα εἰσελθὼν εἴπῃς, οὐ μόνον οὐκ ἐποίησας ἵλεω τὸν Θεὸν, ἀλλὰ καὶ παρώξυνας μειζόνως. εἰ γὰρ βούλει καταλλάξαι σου τὸν δεσπότην, ἔργα ἐπίδειξαι, μάθε τὸν φορυτὸν τῶν συμφορῶν, βλέπε τοὺς γυμνοὺς, τοὺς πεινῶντας, τοὺς ἀδικουμένους. μυρίας σοι φιλανθρωπίας ἔτεμεν ὁδούς. μὴ τοίνυν ἀπατῶμεν ἑαυτοὺς, εἰκῇ καὶ μάτην ζῶντες· μηδὲ, ὅτι νῦν ὑγιαίνομεν, καταφρονήσωμεν· ἀλλ᾽ ἐννοήσαντες ὅτι πολλάκις εἰς νόσον καταπεσόντες καὶ εἰς ἔσχατον ἀῤῥωστίας ἐλθόντες, ἀπεθάνομεν τῷ δέει καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων, προσδοκήσωμεν πάλιν εἰς τὰ αὐτὰ καταπεσεῖσθαι, καὶ τὸν αὐτὸν κτησώμεθα φόβον, καὶ γενώμεθα βελτίους· ὡς τά γε νῦν μυρίας κατηγορίας ἄξια. οἱ μὲν γὰρ ἐν τοῖς δικαστηρίοις λέουσιν ἐοίκασι καὶ κυσὶν, οἱ δὲ ἐν ταῖς ἀγοραῖς, ἀλώπηξιν, οἱ δὲ τὸν ἀπράγμονα ζῶντες βίον, οὐδὲ οὗτοι εἰς δέον τῇ ἀπραγμοσύνῃ κέχρηνται, τὴν σχολὴν ἅπασαν εἰς θέατρα καὶ τὰ ἐκεῖθεν κακὰ ἀναλίσκοντες. καὶ ὁ μὲν ἐπιτιμῶν τοῖς γινομένοις, οὐδείς· οἱ δὲ ζηλοῦντες καὶ δακνόμενοι, ὅτι μὴ ἴσα αὐτοῖς πράττουσι, πολλοί· ὥστε καὶ τούτους πάλιν κολάζεσθαι, καὶ μὴ ποιοῦντας τὰ πονηρά. Οὐ γὰρ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι. καὶ γὰρ τὰ τῆς

προθυμίας

χ. ἐμπίπτων

χ. πίνει

Ρω.α.λβ.

προθυμίας αὐτοῖς ὁμοίως διέφθαρται. ὅθεν δῆλον, ὅτι καὶ γνώμης ἐστὶ τοιαῦται δίκην. Ταῦτα καθ' ἑκάστην ἡμέραν λέγω, καὶ λέγων οὐ παύσομαι. ἂν μὲν γάρ τινες ἀκούσωσι, κέρδος· ἂν δὲ μηδεὶς ὁ προσέχων ᾖ, τότε ἀκούσεσθε ταῦτα, ὅτε κέρδος οὐδὲν ὑμῖν, καὶ μέμψεσθε ἑαυτοῖς, καὶ τῆς αἰτίας ἡμεῖς καθαροί. ἀλλὰ μὴ γένοιτο ταύτην μόνον ἡμᾶς τὴν ἀπολογίαν ἔχειν, ἀλλὰ καὶ καύχημα ὑμᾶς γενέσθαι ἡμῶν παρὰ τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κοινῇ τῶν ἀγαθῶν ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁμιλ. πγ. 1 ΤΑΥΤΑ ΕΙΠΩΝ Ο ΙΗΣΟΥΣ ΕΞΗΛΘΕ ΣΥΝ τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

Φρικτὸν ὁ θάνατος καὶ φόβου γέμων πολλοῦ· ἀλλ' οὐ παρὰ τοῖς τὴν ἄνω φιλοσοφίαν εἰδόσιν. ὁ μὲν γὰρ μηδὲν περὶ τῶν μελλόντων σαφὲς ἐπιστάμενος, ἀλλὰ διάλυσίν τινα καὶ τελευτὴν ζωῆς τὸ πρᾶγμα νομίζων, εἰκότως φρίττει καὶ δέδοικεν, ὡς εἰς τὸ μὴ εἶναι χωρῶν. ἡμεῖς δὲ τῇ τοῦ Θεοῦ χάριτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθόντες, καὶ ἀποδημίαν τὸ πρᾶγμα εἶναι νομίζοντες, οὐκ ἂν εἴημεν δίκαιοι τρέμειν, ἀλλὰ καὶ χαίρειν καὶ εὐθυμεῖσθαι, ὅτι τὸν ἐπίκηρον τοῦτον βίον ἀφέντες, ἐφ' ἕτερον ἐρχόμεθα ἀμείνω πολλῷ καὶ λαμπρότερον καὶ τέλος οὐκ ἔχοντα. ἅπερ οὖν καὶ ὁ Χριστὸς διδάσκων διὰ τῶν ἔργων, οὐ βίᾳ καὶ ἀνάγκῃ, ἀλλ' ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. Ταῦτα, φησὶν, ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπῆλθε πέραν τοῦ χειμάρρου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ καὶ ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Μέσων νυκτῶν ὁδοιπορεῖ, καὶ ποταμὸν διαβαίνει, καὶ ἐπείγεται πρὸς τὸν τῷ προδότῃ γνώριμον τόπον ἐλθεῖν, ἐκκόπτων τοῖς ἐπιβουλεύουσι τὸν πόνον, καὶ ἀπαλλάττων ταλαιπωρίας αὐτοὺς ἁπάσης, καὶ δεικνὺς τοῖς μαθηταῖς ὅτι ἑκὼν ἐπὶ τὸ πρᾶγμα ἔρχεται· ὅπερ ἱκανὸν αὐτοὺς μάλιστα παραμυθήσασθαι ἦν. καὶ γὰρ καθίστησιν ἑαυτὸν, ὥσπερ ἐν δεσμωτηρίῳ, ἐν τῷ κήπῳ. Ταῦτα ἐλάλησεν αὐτοῖς. τί λέγεις; καὶ μὴν τῷ πατρὶ διελέγετο, καὶ μὴν ηὔχετο. διὰ τί οὖν μὴ λέγεις, ὅτι παυσάμενος τῆς εὐχῆς ἦλθεν ἐκεῖ; ὅτι οὐκ εὐχὴ ἦν, ἀλλὰ λαλιὰ διὰ τοὺς μαθητὰς γινομένη. καὶ εἰσῆλθεν οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν κῆπον. οὕτως αὐτοὺς τοῦ δέους ἀπήλλαξεν, ὡς μὴ ἀντιτείνειν λοιπὸν, ἀλλὰ καὶ εἰς τὸν κῆπον εἰσελθεῖν. πῶς δὲ ὁ Ἰούδας ἐκεῖ ἤρχετο; ἢ πόθεν μαθὼν ἐκεῖ ἦλθεν; ἐντεῦθεν δῆλον, ὅτι τὰ πολλὰ ἔξω διενυκτέρευεν. οὐ γὰρ ἂν, εἴγε οἴκοι διῆγεν, ἐπὶ τὴν ἔρημον ὁ Ἰούδας ἦλθεν, ἀλλ' ἐπὶ τὴν οἰκίαν, ἐκεῖ προσδοκῶν αὐτὸν εὑρήσειν καθεύδοντα. ἵνα δὲ μὴ ἀκούσας, κῆπον, κρύπτεσθαι νομίσῃς, ἐπήγαγεν, ὅτι ᾔδει ὁ Ἰούδας τὸν τόπον· καὶ οὐχ ἁπλῶς, ἀλλ' ὅτι καὶ πολλάκις συνήχθη ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. καὶ γὰρ πολλάκις αὐτοῖς συνεγίνετο ἰδίᾳ, περὶ ἀναγκαίων διαλεγόμενος, καὶ ὧν οὐ θέμις ἑτέρους ἀκοῦσαι. ποιεῖ δὲ τοῦτο καὶ ἐν ὄρεσι καὶ ἐν κήποις μάλιστα, καθαρὸν θορύβων ἐπιζητῶν ἀεὶ χωρίον, ὥστε μὴ τὴν διάνοιαν ἐκκρούεσθαι τῆς ἀκροάσεως.

3 Ὁ δὲ Ἰούδας παραλαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ. Καίτοι πολλάκις καὶ ἄλλοτε ἔπεμψαν συλλαβεῖν αὐτὸν· ἀλλ' οὐκ ἴσχυσαν. ὅθεν δῆλον, ὅτι καὶ τότε ἑκὼν ἑαυτὸν ἐξέδωκε. καὶ πῶς τὴν σπεῖραν ἔπεισαν; ἄνδρες ἦσαν στρατιῶται, χρημάτων χάριν ποιεῖν πάντα μεμελετηκότες.

4 Ἰησοῦς δὲ εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξῆλθε, καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε;

Τουτέστιν, οὐκ ἀπὸ τῆς παρουσίας ἐκείνων περιέμενεν αὐτὰ μαθεῖν, ἀλλ' ἀταράχως ὡς πάντα εἰδὼς ταῦτα, οὕτω καὶ ἔλεγε καὶ ἐποίει. διὰ τί δὲ μετὰ ὅπλων ἐπέρχονται μέλλοντες συλλαμβάνειν; ἐδεδοίκεσαν τοὺς ἑπομένους· καὶ διὰ τοῦτο καὶ ἀωρεὶ τῶν νυκτῶν ἐπέστησαν. καὶ ἐξελθὼν λέγει αὐτοῖς· Τίνα ζητεῖτε; 5 Οἱ δὲ λέγουσιν, Ἰησοῦν τὸν Ναζωραῖον.

Εἶδες δύναμιν ἄμαχον, πῶς ἐν μέσῳ ὢν ἐπήρωσεν αὐτῶν τοὺς ὀφθαλμούς; ὅτι γὰρ οὐ τὸ σκότος αἴτιον ἦν, ἐδήλωσεν ὁ εὐαγγελιστὴς, εἰπὼν, ὅτι καὶ λαμπάδας εἶχον. εἰ δὲ μὴ λαμπάδες ἦσαν, ἀπὸ τῆς φωνῆς γοῦν ἔδει γνωρίσαι· εἰ δὲ καὶ ἐκεῖνοι ἠγνόουν, πῶς ὁ Ἰούδας ἠγνόησεν, ὁ συνὼν αὐτῷ διηνεκῶς; καὶ γὰρ καὶ αὐτὸς εἱστήκει μετ' αὐτῶν, καὶ οὐδὲν ᾔδει πλέον, ἀλλὰ καὶ ἔπεσε μετ' αὐτῶν ὕπτιος. ἐποίησε δὲ τοῦτο ὁ Ἰησοῦς, δηλῶν ὅτι οὐ μόνον συλλαβεῖν αὐτὸν οὐ δυνάμενοι), ἀλλ' οὐδὲ ἰδεῖν ἐν μέσῳ ὄντα, εἰ μὴ αὐτὸς ἐνδοίη.

7 Πάλιν λέγει αὐτοῖς, Τίνα ζητεῖτε; Ὢ τῆς ἀνοίας. τὸ ῥῆμα αὐτοῦ ἔβαλεν αὐτοὺς ὑπτίους, καὶ οὐδὲ οὕτως ἐπέστρεψαν τοσαύτην μαθόντες δύναμιν, ἀλλὰ πάλιν ἐπιτίθενται τοῖς αὐτοῖς. ἐπεὶ οὖν τὰ αὐτοῦ πάντα ἐπλήρωσε, τότε λοιπὸν ἑαυτὸν παραδίδωσι.

8 Καὶ λέγει αὐτοῖς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτόν. Ὅρα τὸ ἀνεπαχθὲς τοῦ εὐαγγελιστοῦ, πῶς οὐχ ὑβρίζει τὸν προδότην, ἀλλὰ διηγεῖται τὸ γεγονὸς, ἓν μόνον δεῖξαι σπουδάζων, ὅτι τὸ πᾶν τῆς αὐτοῦ συγχωρήσεως γέγονεν. Εἶτα ἵνα μή τις λέγῃ, ὅτι αὐτὸς αὐτοὺς εἰς τοῦτο ἤγαγεν, ἑαυτὸν ἐγχειρίσας καὶ δῆλον καταστήσας αὐτοῖς, ἐπιδειξάμενος ἅπαντα ἅπερ ἱκανὰ ἦν αὐτοὺς ἀνακρούσασθαι, ἐπειδὴ ἐπέμενον τῇ κακίᾳ καὶ οὐδεμίαν εἶχον ἀπολογίαν, τότε ἑαυτὸν ἐνεχείρισε λέγων· Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν, μέχρι τῆς ἐσχάτης ὥρας τὴν εἰς αὐτοὺς φιλανθρωπίαν ἐνδεικνύμενος. Εἰ γὰρ ἐμοῦ δεῖσθε, φησὶ, μηδὲν ὑμῖν ἔστω πρὸς τούτους κοινόν. ἰδοὺ γὰρ ἐμαυτὸν παραδίδωμι.

9 Ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

Ἀπώλειαν δὲ ἐνταῦθα οὐ ταύτην φησὶ τὴν τοῦ θανάτου, ἀλλ' ἐκείνην τὴν αἰώνιον. ὁ δὲ εὐαγγελιστὴς καὶ ἐπὶ τοῦ παρόντος αὐτὸ παρέλαβε. θαυμάσειε δ' ἄν τις, πῶς καὶ αὐτοὺς οὐ συνέλαβον μετ' αὐτοῦ καὶ κατέκοψαν, καὶ μάλιστα τοῦ Πέτρου παροξύναντος αὐτοὺς δι' ὧν εἰς τὸν δοῦλον ἐποίησε. τίς οὖν αὐτοὺς κατεῖχεν; ἄλλος μὲν οὐδεὶς, ἡ δὲ ῥίψασα αὐτοὺς δύναμις ὑπτίους. ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς δηλῶν, ὅτι οὐ τῆς ἐκείνων γνώμης ἦν, ἀλλὰ τῆς τοῦ συλληφθέντος δυνάμεώς τε καὶ ἀποφάσεως, ἐπήγαγεν· ἵνα ὁ λόγος πληρωθῇ ὃν εἶπεν, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο. ὁ γοῦν Πέτρος θαρσήσας ταύτῃ τῇ φωνῇ καὶ τοῖς ἤδη γεγενημένοις, ὁπλίζεται κατὰ τῶν ἐπελθόντων. Καὶ πῶς, φησιν, ὁ κελευσθεὶς μὴ πήραν ἔχειν, μὴ δύο χιτῶνας, μάχαιραν ἔχει; ἐμοὶ δοκεῖ τοῦτο αὐτὸ δεδοικὼς προεσκευάσθαι πάλαι. Εἰ δὲ λέγεις, πῶς ὁ κελευσθεὶς μὴ ῥαπίζειν, ἀνδροφόνος γίνεται; μάλιστα μὲν μὴ ἀμύνεσθαι προσετάχθη· ἐνταῦθα δὲ οὐχ ἑαυτῷ ἤμυνεν, ἀλλὰ τῷ διδασκάλῳ. ἔπειτα δὲ οὐδὲ τέλειοί πως καὶ ἀπηρτισμένοι ἦσαν. σὺ δὲ, εἰ βούλει Πέτρον φιλοσοφοῦντα ἰδεῖν, ὄψει μετὰ ταῦτα τραυματιζόμενον καὶ πρᾴως φέροντα, καὶ μυρία πάσχοντα δεινὰ, καὶ οὐ παροξυνόμενον. ὁ δὲ Ἰησοῦς καὶ ἐνταῦθα θαυματουργεῖ, ὁμοῦ τε παιδεύων ὅτι τοὺς ποιοῦντας κακῶς εὐεργετεῖν χρὴ, καὶ τὴν δύναμιν ἐκκαλύπτων τὴν ἑαυτοῦ. τούτῳ μὲν οὖν τὸ ὠτίον ἀπέδωκε, Πέτρῳ δέ φησιν, ὅτι πάντες οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀπολοῦνται· ὥσπερ καὶ ἐπὶ τοῦ νιπτῆρος ἐποίησε, δι' ἀπειλῆς τὸν τόνον αὐτοῦ χαλάσας· οὕτω καὶ ἐνταῦθα. τὸ δὲ ὄνομα τοῦ δούλου προστίθησιν ὁ εὐαγγελιστὴς, ἐπειδὴ πολὺ μέγα τὸ γινόμενον ἦν, οὐχ ὅτι ἐθεράπευσε μόνον, ἀλλ' ὅτι καὶ τὸν ἐπ' αὐτῷ ἐλθόντα, καὶ μικρὸν ὕστερον μέλλοντα ῥαπίζειν αὐτὸν, καὶ ὅτι τὸν ἐντεῦθεν μέλλοντα ἀναρριπίζεσθαι πόλεμον κατὰ τῶν μαθητῶν ἐπέσχε. διὰ τοῦτο καὶ τὸ ὄνομα τέθεικεν ὁ εὐαγγελιστής,

λιστής, ὥστε τοῖς τότε ἀναγινώσκουσιν ἐξεῖναι ζητῆσαι καὶ περιεργάσασθαι, εἴγε ὄντως γέγονε τὰ γεγενημένα. οὐχ ἁπλῶς δὲ καὶ τὸ δεξιὸν ὠτίον λέγει· ἀλλ', ἐμοὶ δοκεῖ, τὴν ὁρμὴν εἰπεῖν τοῦ ἀποστόλου θέλων, ὅτι σχεδὸν ἐπ' αὐτὴν ὥρμησε τὴν κεφαλήν. ἀλλ' ὁ Ιησοῦς οὐκ ἀπειλῇ μόνον αὐτὸν κατέχει, ἀλλὰ καὶ ἑτέροις παραμυθεῖται, λέγων·

ἴσ. ἑτέρως

11 Τὸ ποτήριον, ὃ ἔδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό; Δεικνὺς ὅτι οὐ τῆς ἐκείνων δυνάμεως τὸ γινόμενον, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως· καὶ δηλῶν, ὅτι οὐκ ἔστιν ἀντίθεός τις, ἀλλ' ὑπήκοος μέχρι θανάτου τῷ πατρί. 12 Τότε λοιπὸν συλλαμβάνεται ὁ Ιησοῦς· καὶ ἔδησαν αὐτόν, 13 Καὶ ἀπήγαγον πρὸς Ανναν. Διὰ τί πρὸς Ανναν; ὑπὸ τῆς ἡδονῆς ἐνεπόμπευον τοῖς γινομένοις, ὡς δὴ τρόπαιον στήσαντες. Ην δὲ οὗτος πενθερὸς τοῦ Καϊάφα· 14 Ο δὲ Καϊάφας οὗτος ἦν ὁ συμβουλεύσας τοῖς Ιουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν. Τί πάλιν ὑπέμνησεν ἡμᾶς τῆς προφητείας ὁ εὐαγγελιστής; δηλῶν ὅτι ὑπὲρ σωτηρίας ταῦτα ἐγένετο. καὶ τοσαύτη τῆς ἀληθείας ἡ ὑπερβολή, ὡς καὶ τοὺς ἐχθροὺς αὐτὰ προαναφωνεῖν. ἵνα γὰρ μὴ δεσμοὺς ἀκούσας ὁ ἀκροατὴς θορυβῆται, ἀναμιμνήσκει τῆς προφητείας ἐκείνης, ὅτι ἡ σωτηρία τῇ οἰκουμένῃ ὁ θάνατος αὐτοῦ ἦν.

15 Ηκολούθησε δὲ Πέτρος, καὶ ὁ ἄλλος μαθητής. Τίς ἐστιν ὁ ἄλλος μαθητής; αὐτὸς ὁ ταῦτα γράψας. καὶ τίνος ἕνεκεν ἑαυτὸν οὐ λέγει; ὅτε μὲν γὰρ ἐπὶ τὸ στῆθος ἀνέπεσε τοῦ Ιησοῦ, εἰκότως ἑαυτὸν κρύπτει· νῦν δὲ τίνος ἕνεκεν τοῦτο ποιεῖ; τῆς αὐτῆς ἕνεκεν αἰτίας. καὶ γὰρ καὶ ἐνταῦθα μέγα κατόρθωμα διηγεῖται, ὅτι πάντων ἀποπηδησάντων αὐτὸς ἐπηκολούθει. διὰ τοῦτο κρύπτει ἑαυτόν, καὶ προτίθησιν ἑαυτοῦ τὸν Πέτρον. καὶ ἑαυτοῦ δὲ ἠναγκάσθη ἐπιμνησθῆναι νῦν, ἵνα μάθῃς, ὅτι ἀκριβέστερον διηγεῖται τῶν ἄλλων τὰ κατὰ τὴν αὐλήν, ἅτε ἔνδον ὤν. καὶ ὅρα πῶς ὑποτέμνεται τὸ ἴδιον ἐγκώμιον. ἵνα γὰρ μή τις λέγῃ, πῶς, πάντων ἀναχωρησάντων, οὗτος καὶ ἐνδοτέρω τοῦ Σίμωνος εἰσῆλθε; λέγει, ὅτι καὶ τοῦ ἀρχιερέως γνώριμος ἦν· ὡς μηδένα θαυμάζειν ὅτι ἠκολούθησε, μηδὲ ἐπ' ἀνδρείᾳ αὐτὸν ἀνακηρύττειν. τὸ δὲ θαῦμα ἐκεῖνο ἦν τὸ τοῦ Πέτρου, ὅτι οὕτω περιδεὴς ὢν καὶ μέχρι τῆς αὐλῆς ἦλθε, τῶν ἄλλων ἀναχωρησάντων. τὸ μὲν οὖν ἐλθεῖν ἐκεῖ, πόθου· τὸ δὲ μὴ εἰσελθεῖν ἔνδον, ἀγωνίας καὶ φόβου. διὰ τοῦτο γὰρ καὶ ταῦτα ἀνέγραψεν ὁ εὐαγγελιστής, προοδοποιῶν τῇ ἀπολογίᾳ τῆς ἀρνήσεως. οὐ γὰρ ὡς μέγα τι περὶ αὐτοῦ τίθησιν, ὅτι γνώριμος ἦν τῷ ἀρχιερεῖ· ἀλλ' ἐπειδὴ εἶπεν, ὅτι συνεισῆλθε τῷ Ιησοῦ μόνος, ἵνα μὴ νομίσῃς ὅτι ὑψηλῆς γνώμης ἦν τὸ πρᾶγμα, τίθησι καὶ τὴν αἰτίαν. ὅτι δὲ καὶ ὁ Πέτρος εἰσῆλθεν ἄν, εἴπερ ἐπετράπη, διὰ τῶν ἑξῆς ἐδήλωσεν. ἐπειδὴ γοῦν ἐξῆλθε, καὶ τὴν θυρωρὸν ἐκέλευσεν αὐτὸν εἰσαγαγεῖν, εὐθέως εἰσῆλθεν ὁ Πέτρος. διὰ τί δὲ αὐτὸς αὐτὸν οὐκ εἰσήγαγε; τοῦ Χριστοῦ εἴχετο, καὶ ἐπηκολούθει. διὰ τοῦτο τὴν γυναῖκα ἐκέλευσεν εἰσαγαγεῖν αὐτόν. τί οὖν ἡ γυνή;

χ. ἀναχωρησάντων

σ. ἑαυτοῦ

χ. -σης ὑ. ψ.

γ. εἶναι τό.

χ. ἐπέστρεψεν

17 Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; ὁ δέ φησιν, οὐκ εἰμί.

Τί λέγεις, ὦ Πέτρε; οὐχὶ πρώην εἶπες, ὅτι, ἂν δέῃ με καὶ τὴν ψυχὴν ὑπὲρ σοῦ θεῖναι, θήσω; τί τοίνυν γέγονεν, ὅτι οὐδὲ θυρωροῦ φέρεις ἐρώτησιν; μὴ γὰρ στρατιώτης ἦν ὁ ἐρωτῶν; μὴ γὰρ τῶν κατασχόντων τις; θυρωρὸς ἦν εὐτελὴς καὶ ἀπερριμμένη, καὶ οὐδὲ ἡ ἐρώτησις θρασεῖα. οὐ γὰρ εἶπε, τοῦ πλάνου καὶ τοῦ λυμεῶνος μαθητὴς εἶ, ἀλλά, τοῦ ἀνθρώπου τούτου· ὅπερ ἐλεούσης μᾶλλον καὶ κατακαμπτομένης ἦν. ἀλλ' οὐδὲν τούτων ἤνεγκεν ὁ Πέτρος. τὸ δέ, μὴ καὶ σύ, διὰ τοῦτο εἴρηται, ἐπειδὴ ὁ Ιωάννης ἔνδον ἦν. οὕτω προσηνῶς διελέγετο ἡ γυνή· ἀλλ' οὐδενὸς τούτων ᾔσθετο, οὐδὲ εἰς ἔννοιαν ἔλαβεν, οὐδὲ ὅτε τὸ πρῶτον, οὐδὲ ὅτε τὸ δεύτερον, ἀλλ' οὐδὲ τὸ τρίτον, ἀλλ' ἡνίκα ἀλέκτωρ ἐφώνησε. καὶ οὐδὲ τοῦτο αὐτὸν εἰς ἔννοιαν ἤγαγεν, ἕως ὅτε ἔβλεψεν εἰς αὐτὸν ὁ Ιησοῦς πικρόν. καὶ αὐτὸς μὲν εἱστήκει θερμαινόμενος μετὰ τῶν τοῦ ἀρχιερέως δούλων· ὁ δὲ Χριστὸς ἔνδον κατείχετο δεδεμένος. ταῦτα δὲ λέγομεν, οὐ τοῦ Πέτρου κατηγοροῦντες, ἀλλὰ τῶν ὑπὸ τοῦ Χριστοῦ εἰρημένων τὴν ἀλήθειαν ἐπιδεικνύμενοι.

χ. καὶ σὺ

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Χριστὸν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ τῆς διδασκαλίας. Ὢ τῆς πονηρίας. Συνεχῶς ἀκούων ἐν τῷ ἱερῷ δημηγοροῦντος καὶ παρρησίᾳ διδάσκοντος, νῦν βούλεται μαθεῖν. ἐπειδὴ γὰρ ἔγκλημα οὐδὲν εἶχον προσενεγκεῖν, περὶ τῶν μαθητῶν ἠρώτων· ἴσως, ποῦ εἰσι, καὶ τίνος ἕνεκεν αὐτοὺς συνέλεξε, καὶ τί βουλόμενος, καὶ ἐπὶ τίσι. τοῦτο δὲ ἔλεγεν, ὡσανεὶ στασιαστὴν καὶ νεωτεροποιὸν ἐλέγξαι θέλων, ὡς οὐδενὸς ἑτέρου προσέχοντος αὐτῷ, ἀλλ᾽ ἢ μόνων ἐκείνων, ὡς ἐργαστηρίου τινὸς ὄντος πονηροῦ. Τί οὖν ὁ Χριστός; τοῦτο ἀνατρέπων, φησίν·

20 Ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ, Οὐχὶ τοῖς μαθηταῖς ἰδίᾳ· Ἐγὼ παρρησίᾳ ἐδίδαξα ἐν τῷ ἱερῷ. Τί οὖν; οὐδὲν ἐλάλησεν ἐν τῇ κρυφῇ; ἐλάλησε μέν, ἀλλ᾽ οὐχ, ὡς οὗτοι ἐνόμιζον, δεδοικὼς καὶ συστάσεις ποιούμενος, ἀλλ᾽ εἴπου τῆς τῶν πολλῶν ἀκροάσεως ἀνώτερα τὰ λεγόμενα ἦν. 21 Τί με ἐπερωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας. Οὐκ αὐθαδιαζομένου ἐστὶ τὰ ῥήματα, ἀλλὰ θαρροῦντος τῇ τῶν εἰρημένων ἀληθείᾳ. ὅπερ οὖν ἀρχόμενος ἔλεγεν· ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής, τοῦτο καὶ νῦν αἰνίττεται, ἐκ περιουσίας βουλόμενος ἀξιόπιστον καταστῆσαι τὴν μαρτυρίαν. ἐπειδὴ γὰρ τῶν μαθητῶν ἐμνημόνευσε, τί φησιν; ἐμὲ περὶ τῶν ἐμῶν ἐρωτᾷς; ἐρώτησον τοὺς ἐχθρούς, τοὺς ἐπιβούλους, τοὺς δήσαντας· οὗτοι λεγέτωσαν. αὕτη γάρ ἐστι τῆς ἀληθείας ἀναμφισβήτητος ἡ ἀπόδειξις, ὅταν τοὺς ἐχθροὺς τις ὑπὲρ ὧν λέγει καλῇ μάρτυρας. Τί οὖν ὁ ἀρχιερεύς; δέον οὕτω ποιήσασθαι τὴν ἐξέτασιν, τοῦτο μὲν οὐκ ἐποίησεν ἐκεῖνος.

χ. ἐρωτῆς

22 Εἷς δὲ τῶν παρεστηκότων ὑπηρετῶν ἔδωκεν αὐτῷ ῥάπισμα ταῦτα εἰπόντι.

Τί τούτου γένοιτ᾽ ἂν ἰταμώτερον; φρῖξον οὐρανέ, ἔκστηθι γῆ τῇ τοῦ δεσπότου μακροθυμίᾳ καὶ τῇ τῶν δούλων ἀγνωμοσύνῃ. καίτοι τί ποτε ἦν τὸ λεχθέν; οὐ γὰρ ὡς παραιτούμενος εἰπεῖν ἔλεγε, τί με ἐρωτᾷς; ἀλλὰ πᾶσαν ἐκκόψαι βουλόμενος ἀγνωμοσύνης ὑπόθεσιν. καὶ ἐπὶ τούτοις ῥαπισθείς, πάντα σεῖσαι καὶ ἀφανίσαι καὶ μετακινῆσαι δυνάμενος, τούτων μὲν οὐδὲν ποιεῖ· φθέγγεται δὲ ῥήματα πᾶσαν δυνάμενα θηριωδίαν ἐκλῦσαι. 23 Καί φησιν, Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· Τουτέστιν, εἰ μὲν ἔχεις ἐπιλαβέσθαι τῶν εἰρημένων, ἀπόδειξον· εἰ δὲ οὐκ ἔχεις, τί με τύπτεις; ὁρᾷς τὸ δικαστήριον θορύβου γέμον καὶ ταραχῆς καὶ θυμοῦ καὶ συγχύσεως; ἠρώτησεν ὁ ἀρχιερεὺς ὑπούλως καὶ δολερῶς· ἀπεκρίνατο ὁ Χριστὸς ἐξ εὐθείας, καὶ ὡς ἐχρῆν. Τί τοίνυν τὸ ἀκόλουθον ἦν; διελέγξαι, ἢ ἀποδέξασθαι τὸ εἰρημένον. ἀλλ᾽ οὐ γίνεται· ἀλλ᾽ ὁ δοῦλος αὐτὸν ῥαπίζει. οὕτως οὐχὶ δικαστήριον, ἀλλὰ σύστασις καὶ τυραννὶς τὰ γινόμενα. Εἶτα μηδὲ οὕτως εὑρίσκοντές τι πλέον,

24 Πέμπουσιν αὐτὸν δεδεμένον πρὸς Καϊάφαν. 25 Ἦν δὲ Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Βαβαί, πόσῳ κάρῳ κατείχετο ὁ θερμὸς καὶ μεμηνὼς ἀπαγομένου τοῦ Ἰησοῦ; καὶ μετὰ τοσαῦτα οὐδὲ κινεῖται λοιπόν, ἀλλ᾽ ἔτι θερμαίνεται, ἵνα μάθῃς ὅση τῆς φύσεως ἡ ἀσθένεια, ὅταν Θεὸς ἐγκαταλίπῃ· καὶ ἐρωτηθεὶς πάλιν ἀρνεῖται,

26 Εἶτα λέγει ὁ συγγενὴς τοῦ δούλου οὗ ἀπέκοψεν ὁ Πέτρος τὸ ὠτίον, Ἀλγῶν ἐπὶ τῷ γεγενημένῳ· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ; Καὶ οὐδὲ ὁ κῆπος αὐτὸν εἰς μνήμην τῶν γεγενημένων ἤγαγεν, οὐδὲ ἡ πολλὴ φιλοστοργία, ἣν ἐκεῖ διὰ τῶν ῥημάτων ἐπεδείξατο ἐκείνων, ἀλλὰ πάντα ταῦτα ὑπὸ τῆς ἀγωνίας ἐξέβαλε. Τί δήποτε δὲ οἱ εὐαγγελισταὶ ὁμοφώνως περὶ αὐτοῦ ἀνέγραψαν; οὐχὶ τοῦ μαθητοῦ κατηγοροῦντες, ἀλλ᾽ ἡμᾶς παιδεῦσαι βουλόμενοι, πόσον κακὸν τὸ μὴ Θεῷ τὸ πᾶν ἐπιτρέπειν, ἀλλ᾽ ἑαυτῷ θαρρεῖν. σὺ δὲ θαύμασον τοῦ διδασκάλου τὴν κηδεμονίαν, ὅτι καὶ κατεχόμενος καὶ δεδεμένος πολλὴν ἐποιεῖτο τοῦ μαθητοῦ πρόνοιαν, διὰ τοῦ βλέμματος αὐτὸν κείμενον ἀνιστάς, καὶ εἰς δάκρυα καθέλκων. ἄγουσιν οὖν αὐτὸν πρὸς Πιλάτον ἀπὸ τοῦ Καϊάφα. ἐγένετο δὲ τοῦτο, ἵνα τῶν δικαστῶν τὸ πλῆθος καὶ ἀκόντων αὐτῶν ἐπιδείξῃ τὸ βεβασανισμένον τῆς ἀληθείας. ἦν δὲ πρωΐα. πρὶν ἢ μὲν

χ. ἐγημμένων

ἀλέκτορα φωνῆσαι, πρὸς Καϊάφαν ἄγεται· εἶτα πρὸς Πιλάτον· δι' ὧν δείκνυται ὁ εὐαγγελιστὴς, ὅτι τὸ ἥμισυ τῆς νυκτὸς ἅπαν ὑπὸ Καϊάφα ἐρωτώμενος, οὐδὲν ἐξηλέγχετο· διὸ καὶ παρέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. ἀλλ' ἐκεῖνα τοῖς ἄλλοις ἀφεὶς διηγήσασθαι, αὐτὸς τὰ ἑξῆς λέγει. καὶ σκόπει τῶν Ἰουδαίων τὸ καταγέλαστον. τὸν ἀθῷον συλλαβόντες, καὶ ὅπλα βαστάσαντες, εἰς τὸ πραιτώριον οὐκ εἰσέρχονται, ἵνα μὴ μιανθῶσι. καίτοι ποῖος μολυσμὸς, εἰπέ μοι, ἐπιβῆναι δικαστηρίῳ, ἔνθα δίκην οἱ ἀδικοῦντες διδόασιν; οἱ ἀποδεκατοῦντες τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, φονῶντες μὲν ἀδίκως οὐκ ἐνόμιζον μιαίνεσθαι· δικαστηρίῳ δὲ καὶ ἐπιβαίνοντες μιαίνειν ἑαυτοὺς ἡγοῦντο. καὶ τίνος ἕνεκεν αὐτὸν οὐκ ἀνεῖλον, ἀλλ' ἐπὶ τὸν Πιλάτον ἤγαγον; μάλιστα μὲν τὸ πολὺ τῆς ἀρχῆς αὐτῶν καὶ τῆς ἐξουσίας″ ὑποτέτμητο λοιπὸν, ὑπὸ Ῥωμαίοις τῶν πραγμάτων κειμένων. καὶ ἄλλως δὲ, ἐδεδοίκεισαν μὴ δίκην ὕστερον″ δώσειν κατηγορηθέντες παρ' αὐτοῦ. τί δέ ἐστιν, ἵνα φάγωσι τὸ πάσχα; καὶ μὴν αὐτὸς ἦν αὐτὸ πεποιηκὼς τῇ μιᾷ τῶν ἀζύμων. ἤτοι οὖν τὸ πάσχα τὴν ἑορτὴν πᾶσαν λέγει· ἢ ὅτι τότε ἐποίουν τὸ πάσχα, αὐτὸς δὲ πρὸ μιᾶς αὐτὸ προέδωκε, τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ παρασκευῇ, ὅτε καὶ τὸ παλαιὸν ἐγίνετο τὸ πάσχα. αὐτοὶ δὲ ὅπλα βαστάσαντες, ὅπερ οὐκ ἐξῆν, καὶ αἷμα ἐκχέοντες, ὑπὲρ τοῦ τόπου ἀκριβολογοῦνται, καὶ ἐξάγουσι πρὸς ἑαυτοὺς τὸν Πιλάτον.

γρ. ἀποτέτμ.

γρ. δίδωσι

29 Καὶ ἐξελθὼν, φησί· τίνα κατηγορίαν ἔχετε κατὰ τοῦ ἀνθρώπου τούτου;

Ὁρᾷς ἀπηλλαγμένον τῆς φιλαρχίας″ αὐτὸν καὶ βασκανίας; ἰδὼν γὰρ αὐτὸν δεδεμένον καὶ ὑπὸ τοσούτων ἀγόμενον, οὐκ ἐνόμισεν ἔλεγχον ἔχειν ἀναμφισβήτητον κατηγορίας· ἀλλ' ἐρωτᾷ, ἄτοπον εἶναι λέγων τὴν μὲν κρίσιν αὐτοὺς ἁρπάσαι, τὴν δὲ κόλασιν χωρὶς κρίσεως ἐπιτρέψαι ἐκείνῳ. τί οὖν ἐκεῖνοι;

ἴσ. αὐτῶν

30 Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Ὢ τῆς ἀνοίας. τί γὰρ οὐ λέγετε τὴν κακοποιΐαν, ἀλλὰ συσκιάζετε; τί οὐκ ἐλέγχετε τὸ κακόν; ὁρᾷς πανταχοῦ παραιτουμένους τὴν ἐξ εὐθείας κατηγορίαν, καὶ οὐδὲν δυναμένους εἰπεῖν; Ἄννας″ ἐκεῖνος ἠρώτησε περὶ τῆς διδασκαλίας, καὶ ἀκούσας ἔπεμψε πρὸς Καϊάφαν· καὶ αὐτὸς ἐρωτήσας πάλιν, καὶ μηδὲν εὑρὼν, ἀπέστειλεν αὐτὸν τῷ Πιλάτῳ. ὁ Πιλάτος λέγει, τίνα κατηγορίαν φέρετε κατ' αὐτοῦ; καὶ οὐδὲ ἐνταῦθα ἔχουσί τι εἰπεῖν, ἀλλὰ στοχασμοῖς τισι κέχρηνται πάλιν. ἐντεῦθεν αὐτὸς ἀπορήσας φησί· 31 Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε [αὐτόν.] εἶπον οὖν ἐκεῖνοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα.

ἴσ. ἐκεῖνον

32 Τοῦτο δὲ ἐλέγετο, ἵνα πληρωθῇ ὁ λόγος τοῦ Κυρίου, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Καὶ πῶς τοῦτο ἐδήλου, οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα; ἢ τοῦτό φησιν ὁ εὐαγγελιστὴς, ὅτι οὐχ ὑπ' αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν ἐθνῶν ἔμελλεν αἱρεθῆναι· ἢ ὅτι σταυρῶσαι αὐτοῖς οὐκ ἐξῆν. εἰ δὲ λέγουσιν, οὐκ ἔξεστιν ἡμῖν οὐδένα, κατὰ τὸν καιρὸν ἐκεῖνόν φασιν. ἐπεὶ ὅτι γε ἀνῄρουν, καὶ ἄλλῳ τρόπῳ ἀνῄρουν, δείκνυσιν ὁ Στέφανος λιθαζόμενος· ἀλλὰ σταυρῶσαι αὐτὸν ἐπεθύμουν, ἵνα καὶ τὸν τρόπον τῆς τελευτῆς ἐκπομπεύσωσιν. ὁ δὲ Πιλάτος ἀπαλλαγῆναι ἐπαχθείας βουλόμενος, εἰς κρίσιν μὲν οὐκ ἀφίησι μακράν·

33 Εἰσελθὼν δὲ ἐρωτᾷ τὸν Ἰησοῦν, καί φησι, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;

34 Ὁ δὲ εἶπεν· ἀπὸ σαυτοῦ τοῦτο λέγεις, ἢ ἄλλοι σοι τοῦτο εἶπον; Τίνος ἕνεκεν τοῦτο ἐρωτᾷ ὁ Χριστός; τὴν πονηρὰν τῶν Ἰουδαίων ἐκκαλύψαι γνώμην θέλων. ἠκηκόει μὲν οὖν παρὰ πολλῶν τοῦτο ὁ Πιλάτος. ἐπειδὴ δὲ οὐδὲν εἶχον εἰπεῖν ἐκεῖνοι, ὑπὲρ τοῦ μὴ πολλὴν γίνεσθαι τὴν ἐξέτασιν, ὅπερ ἀεὶ περιεφέρετο, τοῦτο εἰς μέσον ἀγαγεῖν βούλεται. ἐπειδὴ δὲ εἶπεν αὐτοῖς, ὅτι κατὰ τὸν νόμον ὑμῶν κρίνετε αὐτὸν, δεῖξαι βουλόμενοι ὅτι οὐκ ἔστιν Ἰουδαϊκὸν τὸ ἁμάρτημα, λέγουσιν· ὅτι οὐκ ἔξεστιν ἡμῖν. οὐ γὰρ δὴ κατὰ τὸν νόμον τὸν ἡμέτερον ἥμαρτεν, ἀλλὰ κοινόν ἐστι τὸ ἔγκλημα. τοῦτο οὖν συνιδὼν ὁ Πιλάτος, ὡς μέλλων κινδυνεύειν, λέγει· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; οὐ τοίνυν ἀγνοῶν ὁ Χριστὸς ἐρωτᾷ, ἀλλὰ καὶ ὑπ' αὐτοῦ κατηγορηθῆναι

τοὺς Ιουδαίους βουλόμενος, φησιν, ἄλλοι σοι εἶπον; ὅπερ οὖν ἐμφαίνων ὁ Πιλάτος ἔλεγε,
35 Μήτι ἐγὼ Ιουδαῖός εἰμι; τὸ ἔθνος σου καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;
Ἐνταῦθα βουλόμενος ἑαυτὸν ἀπαλλάξαι. εἶτα ἐπειδὴ εἶπε, σὺ εἶ ὁ βασιλεύς; ἐλέγχων
αὐτὸν ὁ Ιησοῦς, φησὶ· τοῦτο γὰρ ἤκουσας παρὰ τῶν Ιουδαίων. τίνος ἕνεκεν οὐκ ἀκριβῆ ποιῇ τὴν ἐξέτασιν;
εἶπον, ὅτι κακοποιός εἰμι· ἐρώτησον, τί κακὸν ἐποίησα. ἀλλὰ τοῦτο μὲν οὐ ποιεῖς, ἁπλῶς
δὲ αἰτίας συντιθεῖς. ἀπεκρίθη αὐτῷ ὁ Ιησοῦς· ἀπὸ σαυτοῦ τοῦτο λέγεις, ἢ ἑτέρωθεν; εἶτα
ἐκεῖνος, ὅτι μὲν ἤκουσε, παραχρῆμα οὐκ ἔχει λέγειν, ἁπλῶς δὲ ἕπεται τῷ δήμῳ, παρέδωκάν
σε ἐμοὶ, λέγων· δεῖ οὖν σε ἐρωτῆσαι τί ἐποίησας. τί οὖν ὁ Χριστός;
36 Η βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. Ανάγει τὸν Πιλάτον οὐ σφόδρα
ὄντα πονηρὸν, οὐδὲ κατ' ἐκείνους, καὶ βούλεται δεῖξαι, ὅτι οὐκ ἔστιν ἄνθρωπος ψιλὸς, ἀλλὰ
Θεὸς, καὶ Θεοῦ υἱός. καὶ τί φησιν; Εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ
ὑπηρέται οἱ ἐμοὶ ἠγωνίσαντο ἂν, ἵνα μὴ παραδοθῶ τοῖς Ιουδαίοις. Ὅπερ ἐδεδοίκει
τέως ὁ Πιλάτος, διέλυσε, τὴν τῆς τυραννίδος ὑποψίαν. εἶτα οὐκ ἔστι καὶ τοῦ κόσμου τούτου γρ. ἦν
ἡ βασιλεία αὐτοῦ; πάνυ μὲν οὖν. πῶς οὖν φησιν, οὐκ ἔστιν; οὐχ ὅτι οὐ κρατεῖ καὶ ἐνταῦθα, ἀλλ'
ὅτι καὶ ἄνωθεν ἔχει τὴν ἀρχὴν, καὶ οὐκ ἔστιν ἀνθρωπίνη, ἀλλὰ πολλῷ μείζων ταύτης καὶ
λαμπροτέρα. εἰ οὖν μείζων, πῶς ὑπὸ ταύτης ἑάλω; ἑκὼν, καὶ ἑαυτὸν παραδούς. ἀλλ' οὐκ γρ. οὐ καλύπτει
ἀποκαλύπτει τέως τοῦτο, ἀλλὰ τί φησιν; Εἰ ἐκ τοῦ κόσμου τούτου ἦν, οἱ ὑπηρέται οἱ
ἐμοὶ ἠγωνίσαντο ἂν, ἵνα μὴ παραδοθῶ. δείκνυσιν ἐνταῦθα τῆς βασιλείας τῆς παρ' ἡμῖν τὸ ἀσθενές,
ὅτι ἐν τοῖς ὑπηρέταις ἔχει τὴν ἰσχύν· ἡ δὲ ἄνω, αὐτάρκης ἐστὶν ἑαυτῇ, μηδενὸς δεομένη.
ἐντεῦθεν οἱ αἱρετικοὶ λαβόντες ἀφορμὰς, ἀλλότριον αὐτὸν εἶναι φασὶ τοῦ δημιουργοῦ. τί οὖν, ὅταν
Ιωαν. α. ια. λέγῃ, Εἰς τὰ ἴδια ἦλθε; τί δὲ, ὅταν λέγῃ, οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ
ἐκ τοῦ κόσμου τούτου; οὕτω καὶ τὴν βασιλείαν οὔ φησιν ἐντεῦθεν εἶναι, οὐ τὸν κόσμον ἀποστερῶν
αὐτοῦ τῆς προνοίας καὶ τῆς ἐπιστασίας, ἀλλὰ δεικνὺς, ὅπερ ἔφην, οὐκ οὖσαν ἀνθρωπίνην οὐδὲ
ἐπίκηρον. τί οὖν ὁ Πιλάτος; 37 Οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ Ιησοῦς·
σὺ λέγεις ὅτι καὶ βασιλεύς εἰμι. ἐγὼ εἰς τοῦτο γεγέννημαι. Εἰ τοίνυν βασιλεὺς
γεγέννηται, καὶ τὰ ἄλλα πάντα γεγέννηται, καὶ οὐδὲν προσλαβὼν ἔχει. ὥστε ὅταν ἀκούσῃς,
ὅτι καθὼς ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν, μηδὲν
ἄλλο, ἢ τὴν γέννησιν νόμιζε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Καὶ διὰ τοῦτο ἦλθον, ἵνα
μαρτυρήσω τῇ ἀληθείᾳ· Τουτέστιν, ἵνα τοῦτο αὐτὸ εἴπω καὶ διδάξω καὶ πείσω πάντας.

ΗΘΙΚΟΝ Σὺ δὲ ταῦτα ἀκούων, ἄνθρωπε, καὶ ὁρῶν τὸν δεσπότην σου δεδεμένον καὶ περιαγόμενον,
μηδὲν εἶναι τὰ παρόντα πράγματα νόμιζε. πῶς γὰρ οὐκ ἄτοπον, εἰ ὁ μὲν Χριστὸς τοσαῦτα
ὑπέμεινε διὰ σέ· σὺ δὲ οὐδὲ ῥήματα πολλάκις φέρεις; ἀλλ' αὐτὸς μὲν ἐμπτύεται, σὺ δὲ
καλλωπίζῃ ἱματίοις καὶ δακτυλίοις; κἂν μὴ τῆς παρὰ πάντων εὐφημίας τύχῃς, ἀβίωτον
εἶναι νομίζεις τὸν βίον. καὶ ὁ μὲν ὀνειδίζεται, σκώμματα φέρει, πληγὰς καταπλάστους κατὰ
τῆς σιαγόνος· σὺ δὲ πανταχοῦ τιμᾶσθαι βούλει, καὶ οὐ φέρεις τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ; οὐκ
α. Κορ. ια. α. ἀκούεις Παύλου λέγοντος· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ; ὅταν οὖν σέ τις κωμῳδήσῃ,
μνήσθητι σου τοῦ δεσπότου, ὅτι μετὰ χλεύης αὐτῷ προσεκύνουν, καὶ διὰ ῥημάτων, καὶ
διὰ πραγμάτων αὐτὸν διέσυρον, καὶ εἰρωνείαν πολλὴν ἐπεδείκνυντο· αὐτὸς δὲ οὐ μόνον
οὐκ ἠμύνατο, ἀλλὰ καὶ τοῖς ἐναντίοις ἠμείψατο, πρᾳότητι καὶ ἐπιεικείᾳ. τοῦτον δὴ καὶ ἡμεῖς
ζηλώσωμεν. οὕτω γὰρ δυνησόμεθα καὶ ὕβρεως ἀπαλλαγῆναι πάσης. οὐ γὰρ ὁ ὑβρίζων, ἀλλ'
ὁ μικροψυχῶν καὶ ἀλγῶν ταῖς ὕβρεσιν, ἐκεῖνός ἐστιν ὁ κατασκευάζων τὰς ὕβρεις καὶ δάκνειν ποιῶν.
ἂν γὰρ μὴ ἀλγήσῃς, οὐχ ὑβρίσθης. οὐ γὰρ παρὰ τῶν ποιούντων, ἀλλὰ παρὰ τῶν πασχόντων
γίνεται τὸ τὰ δεινὰ πάσχειν. τί γὰρ ὅλως ἀλγεῖς; εἰ μὲν ἀδίκως ὕβρισε, ταύτῃ μάλιστα ἀγανακτεῖν
οὐ χρὴ, ἀλλ' ἐκεῖνον ἐλεεῖν· εἰ δὲ δικαίως, πολλῷ μᾶλλον ἡσυχάζειν χρή. ὥσπερ

γὰρ εἰ πένητα ὄντα πλούσιον προσεῖπέ τις, οὐδὲν πρὸς σὲ τῶν εἰρημένων ὁ ἔπαινος, ἀλλὰ χλευασία μᾶλλον τὸ ἐγκώμιον· οὕτως ἂν ὑβρίζων τὰ μὴ ὄντα εἴπῃ, οὐδὲν πρὸς σὲ πάλιν τὸ ὄνειδος. εἰ δὲ ἐπιλαμβάνεταί σου τὸ συνειδὸς τῶν εἰρημένων, μὴ ἀλγήσῃς τοῖς ῥήμασιν, ἀλλὰ διόρθωσον τοῖς πράγμασι. καὶ ταῦτα λέγω ἐπὶ τῶν ἀληθῶς ὕβρεων. ἐπεὶ ἂν πενίαν ὀνειδίζῃ καὶ δυσγένειαν, καταγέλασον πάλιν. οὐ γὰρ ὄνειδος ταῦτα τοῦ ἀκούοντος, ἀλλὰ τοῦ λέγοντος, ἅτε οὐκ εἰδότος φιλοσοφεῖν. ἀλλ' ὅταν ἐπὶ πολλῶν ταῦτα λέγηται, φησὶν, ἀγνοούντων τὴν ἀλήθειαν, ἀφόρητον γίνεται τὸ ἕλκος. τοῦτο μὲν μάλιστά ἐστι φορητὸν, ὅταν σοι θέατρον παρῇ μαρτύρων ἐπαινούντων, ἀποδεχομένων, σκωπτόντων ἐκεῖνον, κωμῳδούντων. οὐ γὰρ ὁ ἀμυνόμενος, ἀλλ' ὁ μηδὲν εἰπὼν, οὗτος θαυμαστὸς παρὰ τοῖς νοῦν ἔχουσιν. εἰ δὲ μηδεὶς ἢ νοῦν ἔχων τῶν παρόντων, ταύτῃ μάλιστα αὐτὸν καταγέλασον, καὶ ἐντρύφησον τῷ θεάτρῳ τοῦ οὐρανοῦ. ἐκεῖ γάρ σε πάντες ἐπαινέσονται καὶ κροτήσουσι καὶ ἀποδέξονται. ἀρκεῖ δὲ εἷς ἄγγελος ἀντὶ τῆς οἰκουμένης ἁπάσης. καὶ τί λέγω τοὺς ἀγγέλους, ὁπότε αὐτός σε ὁ δεσπότης ″ἀνακηρύξῃ; τούτοις τοῖς λογισμοῖς γυμνάζωμεν ἑαυτούς. οὐ γάρ ἐστιν ἐλάττωμα ὑβρισθέντα σιγῆσαι, ἀλλὰ τοὐναντίον ὑβρισθέντα ἀμύνασθαι. εἰ γὰρ ἐλάττωμα ἦν τὸ φέρειν σιγῇ τὰ λεγόμενα, οὐκ ἂν εἶπεν ὁ Χριστός· Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. ἂν μὲν οὖν τὰ μὴ ὄντα λέγῃ, καὶ διὰ τοῦτο αὐτὸν ἐλεῶμεν, ὅτι τὴν τῶν ″κατηγορούντων ἐπισπᾶται κόλασιν καὶ τιμωρίαν, οὐδὲ γραφὰς ἀναγινώσκειν γινόμενος ἄξιος. Τῷ γὰρ ἁμαρτωλῷ φησὶν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἂν δὲ τὰ ὄντα εἴπῃ, καὶ οὕτως ἐλεεινός. ἐπεὶ καὶ ὁ Φαρισαῖος τὰ ὄντα ἔλεγεν· ἀλλὰ καὶ οὕτως, τὸν μὲν ἀκούοντα ἔβλαψεν οὐδὲν, ἀλλὰ καὶ ὠφέλησεν· ἑαυτὸν δὲ ἀπεστέρησε μυρίων ἀγαθῶν, ναυάγιον ἀπὸ τῆς κατηγορίας ὑπομείνας ταύτης. ὥστε ἀμφοτέρωθεν ἐκεῖνός ἐστιν ὁ ἀδικούμενος, οὐ σύ. σὺ δὲ, ἂν νήφῃς, διπλᾶ κερδαίνεις· τό τε ἐξιλεῶσαι τὸν Θεὸν τῇ σιγῇ, καὶ τὸ μετριάζειν μειζόνως, καὶ ἀφορμὴν λαμβάνειν ἐκ τῶν εἰρημένων διορθοῦσθαι τὰ πεπραγμένα, καὶ τὸ τῆς δόξης τῆς ἀνθρωπίνης ὑπεροράν. καὶ γὰρ ἐντεῦθεν ἡμῖν τὸ ἄλγος ἐγένετο, ὅτι πολλοὶ πρὸς τὴν τῶν ἀνθρωπίνων ὑπόνοιαν κεχήνασιν. οὕτως ἐὰν θελήσωμεν φιλοσοφεῖν, εἰσόμεθα καλῶς ὅτι οὐδὲν τὰ ἀνθρώπινα. μάθωμεν τοίνυν, καὶ τὰ ἐλαττώματα ἑαυτῶν ἀναλογισάμενοι, διανύσωμεν τῷ χρόνῳ τὴν τούτων διόρθωσιν, καὶ τῷ μὲν παρόντι μηνὶ τοῦτο, τῷ δὲ ἐπιόντι τὸ ἕτερον, καὶ τῷ μετ' ἐκεῖνον ἄλλο πάλιν ὁρίσωμεν ἑαυτοὺς κατορθοῦν. καὶ οὕτω, καθάπερ βαθμοῖς τισιν ἀναβαίνοντες, φθάσομεν πρὸς τὸν οὐρανὸν διὰ τῆς κλίμακος τοῦ Ἰακώβ. καὶ γὰρ ἡ κλίμαξ ἐκείνη καὶ τοῦτό μοι διὰ τῆς ὄψεως ἐκείνης αἰνίττεσθαι δοκεῖ, τὴν κατὰ μικρὸν διὰ τῆς ἀρετῆς ἀνάβασιν, δι' ἧς ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀναβῆναι ἔνι, οὐ βαθμοῖς αἰσθητοῖς ″χρωμένοις, ἀλλ' ἐπιδόσει τρόπων καὶ διορθώσει. ἐπιλαβώμεθα τοίνυν τῆς ἀποδημίας ταύτης καὶ τῆς ἀναβάσεως, ἵνα ἐπιτυχόντες τῶν οὐρανῶν, καὶ τῶν ἐκεῖ πάντων ἀπολαυσώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἴσ. ἀνακηρύξει;

ἴσ. κατηγ.

ἴσ. χρωμένους,

Ματθ. ε. λθ.

Ψαλμ. μθ. ις.

Ομιλ. πδ.

37 ΕΓΩ ΕΙΣ ΤΟΥΤΟ ΓΕΓΕΝΝΗΜΑΙ, ΚΑΙ ΕΙΣ τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

Θαυμαστὴ ἡ μακροθυμία, καὶ ὥσπερ ἐν εὐδίῳ λιμένι καθίστησι τὴν ψυχήν, κυμάτων ἀπαλλάττουσα καὶ πνευμάτων πονηρῶν. καὶ ταύτην πανταχοῦ μὲν ἡμᾶς ὁ Χριστὸς ἐπαίδευσεν· μάλιστα δὲ νῦν κρινόμενος καὶ ἀγόμενος καὶ περιαγόμενος. καὶ γὰρ πρὸς τὸν Ἄνναν ἀπενεχθείς, μετὰ πολλῆς ἀπεκρίνατο τῆς ἐπιεικείας, καὶ πρὸς τὸν ῥαπίσαντα ὑπηρέτην εἶπε τὰ πάντα καθελεῖν δυνάμενα τῦφον· κἀκεῖθεν πρὸς Καϊάφαν, εἶτα πρὸς τὸν Πιλάτον ἐλθών, καὶ ὁλόκληρον δαπανήσας νύκτα ἐν τούτοις, διὰ πάντων τὴν αὐτοῦ πραότητα ἐπιδείκνυται· καὶ λεγόντων, ὅτι κακοποιός ἐστι, καὶ ἐλέγξαι μὴ δυναμένων, εἱστήκει σιγῶν· ὅτε δὲ ἠρωτήθη περὶ τῆς βασιλείας, τότε ἐφθέγξατο πρὸς τὸν Πιλάτον, παιδεύων αὐτὸν καὶ " ἀνάγων πρὸς ὑψηλότερα. ἀλλὰ τί δήποτε ὁ Πιλάτος οὐκ ἐπ' αὐτῶν ποιεῖται τὴν ἐξέτασιν, ἀλλ' ἰδίᾳ εἰς τὸ πραιτώριον εἰσελθών; μεγάλην τινὰ εἶχεν ὑπόνοιαν περὶ αὐτοῦ, καὶ ἐβούλετο μὴ θορυβούντων Ἰουδαίων πάντα ἀκριβῶς μαθεῖν. εἶτα ἐπειδὴ εἶπε, τί ἐποίησας; περὶ μὲν τούτου οὐδὲν ἀπεκρίνατο· περὶ δὲ οὗ μάλιστα ὁ Πιλάτος ἀκοῦσαι ἐπόθει, τῆς βασιλείας τῆς αὐτοῦ, περὶ ταύτης ἀποκρίνεται λέγων· ἡ βασιλεία μου οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· τουτέστι, βασιλεὺς μέν εἰμι, ἀλλ' οὐ τοιοῦτος, οἷς ὑποπτεύεις, ἀλλὰ πολλῷ λαμπρότερος, καὶ διὰ τούτων καὶ διὰ τῶν ἑξῆς, ὅτι οὐδὲν εἴργασται αὐτῷ δεινόν, " ἀποφαίνων. ὁ γὰρ εἰπών, εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἦλθον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ, δείκνυσιν οὐδὲν εἰργασμένον αὐτῷ δεινόν. εἶτα εἰπών, πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς, ἐπισπᾶται διὰ τούτων καὶ πείθει γενέσθαι τῶν λεγομένων ἀκροατήν. εἴ τις γάρ ἐστι, φησιν, ἀληθής, καὶ ταῦτα ποθεῖ, πάντως ἀκούσεταί μου. οὕτω γοῦν καὶ αὐτὸν εἷλε τοῖς βραχέσι ῥήμασιν, ὡς εἰπεῖν·

ἴσ. ἀνάγων

γ. ἀποφαί.

38 Τί ἐστιν ἀλήθεια; Ἀλλὰ τέως πρὸς τὸ κατεπεῖγον ἵσταται. Συνῄδει γάρ, ὅτι τοῦτο μὲν ἐδεῖτο καιροῦ τὸ ἐρώτημα· θέλει δὲ αὐτὸν ἐξαρπάσαι τῆς ὁρμῆς τῶν ἰουδαίων. διὸ καὶ ἐξῆλθε, καὶ τί φησιν; Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. Καὶ σκόπει πῶς συνετῶς. οὐ γὰρ εἶπεν, ὅτι, ἐπειδὴ ἥμαρτε καὶ ἄξιός ἐστι θανάτου, χαρίσασθε αὐτὸν τῇ ἑορτῇ· ἀλλὰ πρότερον αὐτὸν ἀπαλλάξας αἰτίας ἁπάσης, τότε ἐκ περιουσίας ἀξιοῖ, εἰ καὶ μὴ βούλοιντο ὡς ἀθῷον ἀφιέναι, κἂν ὡς ὑπεύθυνον τῷ καιρῷ χαρίσασθαι. διὸ καὶ ἐπήγαγεν·

39 Ἔστι συνήθεια ὑμῖν, ἵνα ἕνα ἀπολύσω ἐν τῷ πάσχα· Εἶτα ἐντρεπτικῶς, Βούλεσθε οὖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων; ἔκραξαν οὖν πάντες· 40 Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν. Ὢ τῆς μιαρᾶς γνώμης· τοὺς μὲν ὁμοτρόπους αἰτοῦσι, καὶ τοὺς ὑπευθύνους ἀφιᾶσι· τὸν δὲ ἀνεύθυνον κολάσαι κελεύουσιν. οὗτος γὰρ αὐτοῖς ἄνωθεν ὁ νόμος. σὺ δὲ διὰ πάντων σκόπει τὴν φιλανθρωπίαν τοῦ δεσπότου ἐπὶ τούτοις. ἐμάστιξεν αὐτὸν ὁ Πιλάτος, τάχα ἐκλῦσαι βουλόμενος καὶ παραμυθήσασθαι τὸν Ἰουδαϊκὸν ζῆλον. ἐπειδὴ γὰρ τοῖς προτέροις οὐκ ἴσχυσεν αὐτὸν ἐξελέσθαι, σπεύδων μέχρι τούτου τὸ δεινὸν στῆσαι, καὶ ἐμάστιξε, καὶ γενέσθαι τὰ γινόμενα συνεχώρησε, τὴν χλαμύδα καὶ τὸν στέφανον περιτεθῆναι, ὥστε αὐτῶν χαλάσαι τὴν ὀργήν. διὰ τοῦτο καὶ ἐστεφανωμένον ἐξήγαγε πρὸς αὐτούς, ἵνα τὴν ὕβριν τὴν εἰς αὐτὸν γεγενημένην ἰδόντες, μικρὸν ἀναπνεύσωσι τοῦ πάθους καὶ ἐμέσωσι τὸν ἰόν. καὶ πῶς οἱ στρατιῶται ταῦτα ἐποίουν, εἴγε μὴ ἐπίταγμα τοῦ ἄρχοντος ἦν; εἰς χάριν τὴν Ἰουδαϊκήν. ἐπεὶ οὐδὲ τὴν ἀρχὴν παρ' ἐκείνου κελευσθέντες εἰσῆλθον νυκτός, ἀλλὰ τοῖς Ἰουδαίοις χαριζόμενοι, χρημάτων ἕνεκεν πάντα ἐτόλμων. ἀλλ' ὅμως τοσούτων καὶ τηλικούτων γινομένων αὐτὸς εἱστήκει σιγῶν, ὅπερ οὖν καὶ ἐπὶ τῆς ἐξετάσεως ἐποίησε, καὶ οὐδὲν ἀπεκρίνατο. σὺ δὲ μὴ μόνον ἄκουε ταῦτα, ἀλλὰ καὶ ἐπὶ τῆς διανοίας ἔχε διηνεκῶς, καὶ τὸν βασιλέα τῆς οἰκουμένης καὶ τῶν ἀγγέλων πάντων ὁρῶν χλευαζόμενον ὑπὸ στρατιωτῶν, διὰ ῥημάτων, διὰ πραγμάτων,

μάτων, καὶ πάντα φέροντα σιγῇ, μιμούμενος διὰ τῶν ἔργων αὐτός. ἐπειδὴ γὰρ εἶπεν ὁ Πιλᾶτος, τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ σχῆμα αὐτῷ χλευασίας λοιπὸν περιτιθέασιν.

κεφ. ιθ.

4 Εἶτα ἐξαγαγὼν αὐτόν, φησιν· οὐδεμίαν αἰτίαν εὑρίσκω κατ᾽ αὐτοῦ. Ἐξῆλθεν οὖν ἔχων τὸν στέφανον, καὶ οὐδὲ οὕτως ἐσβέσθη ἡ ὀργή, ἀλλ᾽ ἐβόων· σταύρωσον, σταύρωσον αὐτόν. ἰδὼν τοίνυν ὁ Πιλᾶτος εἰκῆ πάντα γινόμενα, φησιν·

6 Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε. Ὅθεν δῆλον ὅτι καὶ τὰ πρότερα διὰ τὴν ἐκείνων συνεχώρησε μανίαν. Ἐγὼ γάρ, φησιν, οὐδεμίαν αἰτίαν εὑρίσκω κατ᾽ αὐτοῦ.

Ὅρα δὲ πόσων ὁ δικαστὴς ἀπολογεῖται, συνεχῶς αὐτὸν ἀπαλλάττων ἐγκλημάτων· ἀλλὰ τοὺς κύνας οὐδὲν τούτων ἐνέτρεψε. καὶ γὰρ τό, λάβετε καὶ σταυρώσατε, * ἀφοσιουμένου ἐστί, καὶ ἐπὶ πρᾶγμα οὐ συγκεχωρημένον αὐτοὺς ὠθοῦντος. αὐτοὶ μὲν οὖν ἤγαγον αὐτόν, ἵνα μετὰ τῆς τοῦ ἄρχοντος κρίσεως τοῦτο γένηται· συνέβη δὲ τοὐναντίον, ἀπὸ τῆς κρίσεως τοῦ ἄρχοντος αὐτὸν ἀπολύεσθαι μᾶλλον. Εἶτα, ἐπειδὴ κατῃσχύνθησαν,

7 Ἡμεῖς νόμον ἔχομεν, φησί, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν Θεοῦ ἐποίησεν ἑαυτόν. Πῶς οὖν, εἰπόντος τοῦ δικαστοῦ, λάβετε αὐτόν, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε, ἐλέγετε, οὐκ ἔξεστιν ἡμῖν ἀποκτεῖναι οὐδένα· ἐνταῦθα δὲ ἐπὶ τὸν νόμον καταφεύγετε; καὶ σκόπει τὴν κατηγορίαν. υἱὸν Θεοῦ ἐποίησεν ἑαυτόν. τοῦτο ἔγκλημα, εἰπέ μοι, τὸ τὰ τοῦ υἱοῦ τοῦ Θεοῦ πράττοντα λέγειν αὐτὸν εἶναι υἱὸν τοῦ Θεοῦ; τί οὖν ὁ Χριστός; καὶ ταῦτα πρὸς ἀλλήλους διαλεγομένων αὐτῶν ἐσίγα, πληρῶν τὸ προφητικὸν ἐκεῖνο, ὅτι οὐκ ἤνοιξε τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Εἶτα Πιλᾶτος μὲν φοβεῖται, παρ᾽ αὐτῶν ἀκούσας, ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησε, καὶ δέδοικε μήποτε ἀληθὲς ᾖ τὸ λεγόμενον, καὶ δόξῃ παρανομεῖν· αὐτοὶ δὲ διὰ πραγμάτων καὶ ῥημάτων τοῦτο μαθόντες οὐ πεφρίκασιν, ἀλλ᾽ αἱροῦσιν αὐτόν, ὑπὲρ ὧν ἐχρῆν προσκυνεῖν. διὰ τοῦτο οὐκέτι αὐτὸν ἐρωτᾷ, τί ἐποίησας; ἀλλ᾽ δὺς ἐν πάλιν ὑπὸ τοῦ φόβου κατασειόμενος ποιεῖται τὴν ἐξέτασιν, λέγων· Εἰ σὺ εἶ ὁ Χριστός; ἀλλ᾽ οὐκ ἀπεκρίνατο. ὁ γὰρ ἀκούσας, ὅτι εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἦλθον, καὶ ὅτι ἡ βασιλεία μου οὐκ ἔστιν ἐντεῦθεν, καὶ ὀφείλων ἀντιστῆναι καὶ ἐξελέσθαι, τοῦτο μὲν οὐκ ἐποίησεν, ἠκολούθησε δὲ τῇ Ἰουδαϊκῇ ὁρμῇ. Εἶτα ἐκεῖνοι πάντοθεν ἐπιστομιζόμενοι, ἐπὶ δημόσιον ἔγκλημα τὸν λόγον ἐξάγουσι, λέγοντες· Ὁ ποιῶν ἑαυτὸν βασιλέα, ἀντιλέγει τῷ Καίσαρι. Ἐχρῆν οὖν τοῦτο ἐξετάσαι μετ᾽ ἀκριβείας, εἴτε τυραννίδι ἐπέθετο, καὶ τὸν Καίσαρα τῆς βασιλείας ἐκβαλεῖν ἐπεχείρησεν. ἀλλ᾽ οὐ ποιεῖται τὴν ἐξέτασιν μετ᾽ ἀκριβείας. διὰ τοῦτο οὐδὲν αὐτῷ ἀπεκρίνατο, ἐπειδὴ ᾔδει εἰκῆ πάντα ἐρωτῶν. καὶ ἄλλως δέ, τῶν ἔργων μαρτυρούντων αὐτῷ, οὐκ ἐβούλετο διὰ λόγου νικᾶν καὶ ἀπολογίαν συντιθέναι, δεικνὺς ὅτι ἑκὼν ἐπὶ τοῦτο ἔρχεται. ἐπεὶ οὖν ἐσίγησε, 10 Φησὶν ὁ Πιλᾶτος· οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε; Ὁρᾷς πῶς ἑαυτὸν προκατέκρινεν; εἰ γὰρ ἐν σοὶ τὸ πᾶν κεῖται, τίνος ἕνεκεν οὐδεμίαν αἰτίαν εὑρὼν οὐκ ἀπολύεις; ἐπεὶ οὖν καθ᾽ ἑαυτοῦ τὴν ἀπόφασιν ἐξήνεγκε, τότε λέγει·

11 Μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς με σοι, Δεικνὺς ὅτι καὶ αὐτὸς ὑπεύθυνος ἁμαρτίᾳ ἐστίν. Εἶτα κατασπῶν αὐτοῦ τὸ φρόνημα καὶ τὸν τῦφον, φησιν· Οὐκ εἶχες ἐξουσίαν, εἰ μὴ ἦν σοι δεδομένον, Δηλῶν οὐχ ἁπλῶς καὶ κατὰ τὴν τῶν πολλῶν ἀκολουθίαν τοῦτο γινόμενον, ἀλλὰ μυστικῶς ἐπιτελούμενον. ἵνα δὲ μὴ ἀκούσας, εἰ μὴ ἦν σοι δεδομένον, νομίσῃ τοῦ παντὸς ἀπηλλάχθαι ἐγκλήματος, διὰ τοῦτο εἶπε· μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς με σοι. καὶ μὴν εἰ δεδομένον ἦν, οὔτε σύ, οὔτε ἐκεῖνοι ὑπεύθυνοι ἐγκλημάτων. Εἰκῆ ταῦτα λέγεις. τὸ γὰρ δεδομένον ἐνταῦθα τὸ συγκεχωρημένον ἐστίν· ὡσανεὶ ἔλεγεν, εἴασε ταῦτα γενέσθαι· οὐ μὴν διὰ τοῦτο τῆς πονηρίας ἐκτὸς ὑμεῖς. κατέπληξεν αὐτὸν διὰ τῶν ῥημάτων, καὶ σαφῆ παρέσχετο τὴν ἀπολογίαν. ὅθεν καὶ ἐζήτει αὐτὸν ἀπολῦσαι ἐκεῖνος. ἀλλ᾽ αὐτοὶ πάλιν ἔκραζον·

12 Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. Ἐπειδὴ γὰρ ἀπὸ τοῦ νόμου παραγαγόντες ἐγκλήματα οὐδὲν ὤνησαν, κακούργως ἐπὶ τοὺς ἔξω τρέπονται νόμους, λέγοντες· Πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι. Καὶ ποῦ οὗτος τυραννὸς ἐφάνη; πόθεν δὲ ἔχετε δεῖξαι τοῦτο; ἀπὸ τῆς ἁλουργίδος; ἀπὸ τοῦ διαδήματος; ἀπὸ τοῦ ″ σχήματος; ἀπὸ τῶν στρατιωτῶν; οὐχὶ μόνος ἀεὶ μετὰ τῶν δώδεκα μαθητῶν ἐβάδιζε, πάντα εὐτελῶς μετιών, καὶ τροφήν, καὶ στολήν, καὶ οἴκησιν; ἀλλ' ὢ τῆς ″ ἀναιδείας, καὶ τῆς ἀκαίρου δειλίας. ὁ γὰρ Πιλάτος, νομίσας κινδυνεύειν λοιπόν, εἰ παρίδοι ταῦτα, ἐξέρχεται μὲν ὡς ἐξετάσων τὸ πρᾶγμα (τὸ γὰρ καθίσαι τοῦτο ἐδήλου) οὐδεμίαν δὲ ″ ποιησάμενος ἐξέτασιν, παραδίδωσιν αὐτόν, νομίζων δυσωπήσειν αὐτούς. ὅτι γὰρ οὕτως αὐτὸ ἐποίει, ἄκουσον τί φησιν· γ. ὀχήματος; γ. ἀνανδρίας γ. ποιησάμενος

14 Ἴδε ὁ βασιλεὺς ὑμῶν. Ἐπειδὴ δὲ εἶπον [ἐκεῖνοι,] σταύρωσον, πάλιν ἐπήγαγε λέγων· 15 Τὸν βασιλέα ὑμῶν σταυρώσω; οἱ δὲ ἔκραζον, οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Ἑκόντες ἑαυτοὺς ὑπέβαλον τῇ κολάσει. διὰ τοῦτο καὶ ὁ Θεὸς αὐτοὺς παρέδωκεν, ὅτι καὶ αὐτοὶ πρῶτοι τῆς προνοίας αὐτοῦ καὶ τῆς ἐπιστασίας ἑαυτοὺς ἐξέβαλον. καὶ ἐπειδὴ ὁμοφώνως ἠρνήσαντο τὴν βασιλείαν, εἴασεν αὐτοὺς ταῖς ἑαυτῶν ψήφοις περιπεσεῖν. καίτοι τὰ λεγόμενα ἱκανὰ παῦσαι τῆς ὀργῆς αὐτοὺς λοιπόν. ἀλλ' ἐδεδοίκεισαν, μὴ πάλιν ἀφεθεὶς ὀχλαγωγήσῃ, καὶ πάντα ὑπὲρ τούτου ἔπραττον. δεινὸν γὰρ ἡ φιλαρχία, δεινόν, καὶ ψυχὴν ἱκανὸν ἀπολέσαι. διὰ τοῦτο οὐδέποτε αὐτοῦ ἤκουσαν· ἀλλ' ὁ μὲν Πιλάτος ἀπὸ ψιλῶν ῥημάτων ἐβούλετο ἀφεῖναι· οὗτοι δὲ ἔγκεινται λέγοντες, σταύρωσον. καὶ τί δήποτε οὕτως ἀνελεῖν αὐτὸν ἐπεχείρουν; ἐπονείδιστος οὗτος ὁ θάνατος ἦν. δεδοικότες οὖν μή τις αὐτοῦ μετὰ ταῦτα μείνῃ μνήμη, σπουδάζουσι καὶ ἐπὶ τιμωρίαν ἀγαγεῖν τὴν ἐπάρατον, οὐκ εἰδότες, ὅτι διὰ τῶν κωλυμάτων αἴρεται ἡ ἀλήθεια. ὅτι γὰρ τοῦτο ὑπώπτευον, ἄκουσον τί ″ φασιν· ἠμεῖς ἠκούσαμεν, ὅτι πλάνος ἐκεῖνος εἶπεν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. διὰ τοῦτο πάντα ἐκύκων, ἄνω καὶ κάτω στρέφοντες, ὥστε τὰ μετὰ ταῦτα λυμήνασθαι· καὶ συνεχῶς ἐπεβόων, σταύρωσον, δῆμος ἄτακτος ὑπὸ τῶν ἀρχόντων διεφθαρμένος. γ. φησιν·

ΗΘΙΚΟΝ

Ἡμεῖς δὲ μὴ μόνον ἀναγινώσκωμεν ταῦτα, ἀλλὰ καὶ ἐπὶ τῆς διανοίας φέρωμεν αὐτά, τὸν στέφανον τὸν ἀκάνθινον, τὸ ἱμάτιον, τὸν κάλαμον, τὰ ῥαπίσματα, τὰς ἐπὶ κόρρης πληγάς, τὰ ἐμπτύσματα, τὴν εἰρωνείαν. ἱκανὰ γὰρ ταῦτα συνεχῶς στρεφόμενα ἅπασαν ὀργὴν καθελεῖν. κἂν χλευαζώμεθα, κἂν ἀδίκως τι πάσχωμεν, συνεχῶς λέγωμεν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· καὶ τὰ παρὰ τῶν Ἰουδαίων λεγόμενα προφέρωμεν εἰς μέσον, ἅπερ ἐφθέγξαντο λυττῶντες καὶ λέγοντες, ὅτι δαιμόνιον ἔχεις, καὶ Σαμαρείτης εἶ σύ, καὶ ὅτι ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. διὰ γὰρ τοῦτο ταῦτα πάντα ὑπέμεινεν, ἵνα αὐτοῦ κατ' ἴχνος βαίνωμεν ἡμεῖς, καὶ σκώμματα φέρωμεν ἃ μάλιστα τῶν λοιδοριῶν ἐξίστησι. ἀλλ' ὅμως αὐτὸς οὐ μόνον ἔφερε ταῦτα, ἀλλὰ καὶ πάντα ἔπραττεν, ὥστε σῶσαι καὶ ἀπαλλάξαι τοὺς ταῦτα ποιοῦντας τῆς ἀποκειμένης κολάσεως. ″καὶ γὰρ καὶ τοὺς ἀποστόλους ἐπὶ τῇ τούτων ἔπεμψε σωτηρίᾳ. ἀκούεις γοῦν αὐτῶν λεγόντων, ὅτι οἴδαμεν ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καὶ διὰ τούτων εἰς μετάνοιαν αὐτοὺς ἑλκόντων. ταῦτα καὶ ἡμεῖς ζηλώσωμεν. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν ἵλεω ποιεῖ, ὡς τὸ ἀγαπᾶν τοὺς ἐχθρούς, καὶ εὖ ποιεῖν τοὺς ἐπηρεάζοντας. ὅταν τις ἐπηρεάζῃ, μὴ πρὸς αὐτὸν ἴδῃς, ἀλλὰ πρὸς τὸν κινοῦντα δαίμονα, καὶ τὴν ὀργὴν ἅπασαν κατ' ἐκείνου κένωσον· αὐτὸν δὲ καὶ ἐλέει τὸν ὑπ' ἐκείνου κινούμενον. εἰ γὰρ τὸ ψεῦδος ἀπὸ τοῦ διαβόλου, καὶ τὸ ὀργίζεσθαι εἰκῇ πολλῷ μᾶλλον ἐκεῖθεν. ὅταν κωμῳδοῦντα ἴδῃς, ἐννόησον ὅτι ὁ διάβολός ἐστιν αὐτὸν ὁ κινῶν. οὐ γὰρ χριστιανῶν τὰ σκώμματα. ὁ γὰρ κελευσθεὶς πενθεῖν, καὶ ἀκούων, οὐαὶ οἱ γελῶντες· εἶτα ὀνειδίζων καὶ σκώπτων καὶ διαχεόμενος, οὐ τοῦ λοιδορεῖσθαι παρ' ἡμῶν, ἀλλὰ θρηνεῖσθαι ἄξιος, ἐπεὶ καὶ ὁ Χριστὸς ἐταράχθη τὸν Ἰούδαν ἐννοήσας. ταῦτα οὖν ἅπαντα μελετῶμεν ἐπὶ τῶν ἔργων. ἂν γὰρ ταῦτα μὴ κατορθώσωμεν, εἰκῇ καὶ μάτην εἰς τὸν κόσμον ἤλθομεν· μᾶλλον γ. καὶ τοὺς λον δὲ καὶ ἐπὶ κακῷ. οὐ γάρ ἐστιν ἡ πίστις ἱκανὴ εἰς τὴν βασιλείαν εἰσαγαγεῖν· ἀλλὰ καὶ ταύτη μάλιστα κατακρῖναι τοὺς βίον φαῦλον ἐπιδεικνυμένους ἔχει. Ὁ γὰρ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. καὶ πάλιν, Εἰ μὴ ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. ποίαν οὖν ἕξομεν ἀπολογίαν, ἐντὸς τῶν βασιλείων γινόμενοι, καὶ εἰς τὰ ἄδυτα διακύψαι καταξιωθέντες, καὶ κοινωνοὶ καταστάντες μυστηρίων ἀπαλλαττόντων, καὶ τῶν οὐδενὸς τούτων μετεσχηκότων ἑλλήνων γινόμενοι χείρους; εἰ γὰρ ἐκεῖνοι διὰ δόξαν κενὴν τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, πολλῷ μᾶλλον ἡμᾶς διὰ τὸ τῷ Θεῷ δοκοῦν χρὴ πᾶσαν ἀρετὴν ἐπιέναι. νῦν δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν· ἀλλ' ἐκεῖνοι μὲν καὶ τῆς ἑαυτῶν πολλάκις ὑπερεῖδον ψυχῆς, καὶ παῖδας ἐπέδωκαν ἐν πολέμοις τῇ τῶν δαιμόνων μανίᾳ, καὶ τῆς φύσεως κατεφρόνησαν διὰ τοὺς δαίμονας· ἡμεῖς δὲ οὐδὲ ἀργυρίου διὰ τὸν Χριστὸν, οὐδὲ ὀργῆς διὰ τὸ δοκοῦν τῷ Θεῷ, ἀλλὰ φλεγμαίνομεν, καὶ πυρεττόντων οὐδὲν ἄμεινον διακείμεθα. καὶ καθάπερ ἐκεῖνοι τῷ καύσῳ κατεχόμενοι διακαεῖς εἰσιν· οὕτω καὶ ἡμεῖς, ὥσπερ ἀπὸ πυρός τινος ἀγχόμενοι, οὐδαμοῦ τῆς ἐπιθυμίας στῆναι δυνάμεθα, καὶ ὀργὴν καὶ φιλοχρηματίαν αὔξοντες. διὰ ταῦτα αἰσχύνομαι καὶ ἐκπλήττομαι, παρὰ μὲν ἕλλησι βλέπων χρημάτων ὑπερορῶντας, παρὰ δὲ ἡμῖν μαινομένους ἅπαντας. εἰ γὰρ καὶ τούτων εὑρίσκομεν τινας καταφρονοῦντας, ἑτέροις ἁλόντας, θυμῷ καὶ βασκανίᾳ· καὶ πρᾶγμα δύσκολον καθαρὰν φιλοσοφίαν εὑρεῖν. τὸ δὲ αἴτιον, οὐ σπουδάζομεν τὰ φάρμακα λαβεῖν παρὰ τῶν γραφῶν, οὐδὲ μετὰ κατανύξεως αὐταῖς προσέχομεν, καὶ ὀδύνης καὶ στεναγμοῦ, ἀλλ' ἁπλῶς, εἴ ποτε σχολὴν ἀγάγοιμεν. διὰ τοῦτο, ἐπειδὰν πολὺς φορυτὸς ἔλθῃ βιωτικῶν πραγμάτων, ἐπικλύζει πάντα, καὶ εἴ τι γέγονε κέρδος, ἀπόλλεσιν. οὐδὲ γὰρ, εἴ τις τραῦμα ἔχων, εἶτα φάρμακον ἐπιτιθεὶς, μὴ μετὰ ἀκριβείας ἐπιδήσειεν, ἀλλ' ἐάσειεν ἐκπεσεῖν, καὶ ὕδατι, καὶ κόνει, καὶ αὐχμῷ, καὶ μυρίοις ἑτέροις τοῖς δυναμένοις ἐπιτεῖναι τὸ ἕλκος ἑαυτὸν ἐκδοίη, ὀνήσεταί τι πλέον αὐτῷ· ἀλλὰ οὐ παρὰ τὴν τῶν φαρμάκων ἀσθένειαν, ἀλλὰ παρὰ τὴν οἰκείαν ῥαθυμίαν. τοῦτο καὶ ἡμῖν συμβαίνειν εἴωθεν, ὅταν τοῖς μὲν θείοις λογίοις μικρὸν προσέχωμεν, τοῖς δὲ βιωτικοῖς ἀθρόον ἑαυτοὺς ἐκδῶμεν καὶ διηνεκῶς. οὕτω γὰρ ὁ σπόρος ἀποπνίγεται πᾶς, καὶ πάντα ἄκαρπα γίνεται. ἵν' οὖν μὴ τοῦτο γένηται, μικρὸν διαβλέψωμεν, ἀναβλέψωμεν εἰς τὸν οὐρανὸν, καὶ καταδύσωμεν εἰς τὰ μνήματα καὶ τὰς σοροὺς τῶν ἀπελθόντων. καὶ ἡμᾶς γὰρ τὸ αὐτὸ μένει τέλος, καὶ αὐτὴ τῆς ἀποδημίας ἀνάγκη πολλάκις πρὸ τῆς ἑσπέρας ἡμῖν ἐπιστήσεται. παρασκευαζώμεθα τοίνυν πρὸς τὴν ἔξοδον ταύτην. καὶ γὰρ πολλῶν ἡμῖν δεῖ τῶν ἐφοδίων· ἐπεὶ καὶ πολὺ τὸ καῦμα ἐκεῖ, πολὺς ὁ αὐχμὸς, πολλὴ ἡ ἐρημία. οὐκ ἔστιν εἰς πανδοχεῖον καταλῦσαι λοιπὸν, οὐκ ἔστιν ἀγοράσαι τι μὴ πάντα ἐντεῦθεν λαβόντα. ἄκουσον γοῦν τί λέγουσιν αἱ παρθένοι, ὑπάγετε πρὸς τοὺς πωλοῦντας· ἀλλ' οὐχ εὗρον ἀπελθοῦσαι. ἄκουσον τί φησιν ὁ Ἀβραάμ· ὅτι χάσμα μεταξὺ ἡμῶν καὶ ὑμῶν. ἄκουσον τί φησιν ὁ Ἰεζεκιὴλ περὶ τῆς ἡμέρας ἐκείνης· ὅτι Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ τοὺς υἱοὺς αὐτῶν οὐ μὴ ῥύσονται. ἀλλ' ἡμᾶς μὴ γένοιτο τούτων ἀκοῦσαι τῶν ῥημάτων, ἀλλ' ἀρκοῦντα τῆς αἰωνίου ζωῆς λαβόντας ἐντεῦθεν τὰ ἐφόδια, μετὰ παρρησίας ἰδεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιϛ. μη.
Ιωαν. ιε. κγ.

Ομιλ. πε.

16 ΤΟΤΕ ΟΥΝ ΠΑΡΕΔΩΚΕΝ ΑΥΤΟΝ ΑΥτοῖς ὁ Πιλάτος ἵνα σταυρωθῇ. παρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ ἤγαγον [αὐτόν.] 17 Καὶ βαστάζων τὸν σταυρὸν ἑαυτοῦ ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τόπον, ἑβραϊστὶ δὲ Γολγοθᾶ, 18 Ὅπου αὐτὸν ἐσταύρωσαν.

Αἱ εὐπραγίαι τοὺς οὐ προσέχοντας δειναὶ * καταβαλεῖν καὶ παρασῦραι. οὕτω καὶ Ἰουδαῖοι παρὰ τὴν ἀρχὴν ἀπολαύοντες τῆς τοῦ Θεοῦ ῥοπῆς, τὸν νόμον τῆς τῶν ἐθνῶν βασιλείας ἐπεζήτουν, καὶ ἐν ἐρήμῳ μετὰ τὸ μάννα κρομμύων ἐμέμνηντο. κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα, τὴν βασιλείαν τοῦ Χριστοῦ παραιτούμενοι, τὴν τοῦ Καίσαρος ἐπ' αὐτοὺς ἐκάλουν. τοίγαρτοι διὰ τοῦτο ἐπέστησεν αὐτοῖς βασιλέα κατὰ τὴν αὐτῶν ἀπόφασιν. ἐπεὶ οὖν ταῦτα ἤκουσεν ὁ Πιλάτος, παρέδωκεν αὐτὸν ἵνα σταυρωθῇ· σφόδρα ἀλόγως. δέον γὰρ ἐρωτῆσαι, εἴγε ἐσπούδασεν ὁ Χριστὸς ἐπιθέσθαι τυραννίδι, ἀπὸ τοῦ φόβου μόνου τὴν ἀπόφασιν ἤνεγκε. καίτοιγε ἵνα μὴ τοῦτο πάθῃ, προλαβὼν ὁ Χριστός φησιν, ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. ἀλλὰ τοῖς παροῦσιν ἑαυτὸν ὅλον δούς, οὐδὲν μέγα φιλοσοφῆσαι ἠθέλησε· καίτοι τὸ τῆς γυναικὸς ὄναρ ἱκανὸν ἦν αὐτὸν καταπλῆξαι. ἀλλ' οὐδενὶ τούτων ἐγένετο βελτίων, οὐδὲ πρὸς τὸν οὐρανὸν εἶδεν, ἀλλὰ παρέδωκεν αὐτόν. οἱ δὲ ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν ὡς καταδίκῳ λοιπόν. καὶ γὰρ τὸ ξύλον οἰωνίζοντο, καὶ οὐδὲ θίγειν ἠνείχοντο. οὕτω καὶ ἐν τῷ τύπῳ γέγονε. καὶ γὰρ ὁ Ἰσαὰκ τὰ ξύλα ἐβάστασεν. ἀλλὰ τότε μὲν μέχρι τῆς γνώμης τοῦ πατρὸς ἔστη τὸ πρᾶγμα (τύπος γὰρ ἦν) νῦν δὲ καὶ ἐπὶ τῶν ἔργων ἐξῆλθεν. ἀλήθεια γὰρ ἦν. καὶ ἦλθεν εἰς τὸν κρανίου τόπον. τινές φασιν ἐκεῖ τὸν Ἀδὰμ τετελευτηκέναι καὶ κεῖσθαι· καὶ τὸν Ἰησοῦν ἐν τῷ τόπῳ, ἔνθα ὁ θάνατος ἐβασίλευσεν, ἐκεῖ καὶ τὸ τρόπαιον στῆσαι. καὶ γὰρ τρόπαιον ἐξῄει βαστάζων τὸν σταυρὸν κατὰ τῆς τοῦ θανάτου τυραννίδος. καὶ καθάπερ οἱ νικηταί, οὕτω καὶ αὐτὸς ἐπὶ τῶν ὤμων ἔφερε τὸ τῆς νίκης σύμβολον. τί γάρ, εἰ καὶ ἑτέρᾳ γνώμῃ ἔπραττον ταῦτα οἱ Ἰουδαῖοι; σταυροῦσι δὲ αὐτὸν καὶ μετὰ λῃστῶν, ἄκοντες καὶ ἐν τούτῳ τὴν προφητείαν πληροῦντες. ἃ γὰρ ὑβρίζοντες ἐποίουν οὗτοι, ταῦτα τῇ ἀληθείᾳ συνετέλει· ἵνα μάθῃς ὅση αὐτῆς ἡ δύναμις. καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης, Ὅτι μετὰ ἀνόμων ἐλογίσθη. ἐβούλετο τοιγαροῦν συσκιάσαι τὸ γινόμενον ὁ δαίμων· ἀλλ' οὐκ ἴσχυσεν. ἐσταυρώθησαν μὲν γὰρ οἱ τρεῖς, ἔλαμψε δὲ μόνος ὁ Ἰησοῦς· ἵνα μάθῃς, ὅτι ἡ δύναμις αὐτοῦ τὸ πᾶν εἰργάσατο. καίτοι, τῶν τριῶν ἐπὶ τοῦ σταυροῦ προσηλωμένων, τὰ θαύματα οὕτως ἐγένετο· ἀλλ' ὅμως οὐδεὶς οὐδὲν τῶν γινομένων ἐπέτρεψεν οὐδενὶ ἐκείνων, ἀλλ' ἢ μόνῳ τῷ Ἰησοῦ. οὕτως ἕωλος ἡ τοῦ διαβόλου ἐπιβουλὴ γέγονε, καὶ εἰς τὴν αὐτοῦ τὸ πᾶν περιετράπη κεφαλήν. καὶ γὰρ ἐκ τῶν δύο τούτων διεσώθη εἷς. οὐ μόνον τοίνυν οὐκ ἐπηρέασε τῇ δόξῃ τοῦ σταυροῦ, ἀλλὰ καὶ συνετέλεσεν οὐ μικρόν. τοῦ γὰρ κλονῆσαι τὰς πέτρας οὐκ ἔλαττον ἦν τὸ λῃστὴν ἐν σταυρῷ μεταβαλεῖν, καὶ εἰς παράδεισον εἰσαγαγεῖν.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος· Ὁμοῦ μὲν τοὺς Ἰουδαίους ἀμυνόμενος, ὁμοῦ δὲ ἀπολογούμενος ὑπὲρ τοῦ Χριστοῦ. ἐπειδὴ γὰρ ὡς φαῦλον ἐξέδωκαν, καὶ τὴν ψῆφον ταύτην τῇ κοινωνίᾳ τῶν λῃστῶν βεβαιῶσαι ἐπεχείρουν, ἵνα μηδενὶ λοιπὸν ἐξῇ πονηρὰς ἐπιφέρειν αἰτίας καὶ κατηγορεῖν, ὡς φαύλου τινὸς καὶ πονηροῦ, ἐμφράττων αὐτῶν τὰ στόματα καὶ πάντων τῶν κατηγορεῖν βουλομένων, καὶ δεικνὺς ὅτι τῷ οἰκείῳ βασιλεῖ ἐπανέστησαν, ὥσπερ ἐπὶ τροπαίου τινός, οὕτω τὰ γράμματα ἔθηκε, λαμπρὰν ἀφιέντα φωνήν, καὶ τὴν νίκην δηλοῦντα, καὶ τὴν βασιλείαν ἀνακηρύττοντα, εἰ καὶ μὴ ὁλόκληρον· καὶ τοῦτο οὐ μιᾷ γλώττῃ, ἀλλὰ τρισὶ φωναῖς δῆλον ἐποίησεν. ἐπειδὴ γὰρ πολλοὺς εἶναι εἰκὸς μιγάδας ἐν τοῖς Ἰουδαίοις διὰ τὴν ἑορτήν, ὥστε μηδένα ἀγνοεῖν τὴν ἀπολογίαν, ταῖς φωναῖς ἁπάσαις τῶν Ἰουδαίων τὴν μανίαν ἐστηλίτευσε. καὶ γὰρ καὶ ἐσταυρωμένῳ ἐβάσκαινον. καίτοι τί τοῦτο ὑμᾶς ἔβλαπτεν; οὐδέν. εἰ γὰρ θνητὸς ἦν καὶ ἀσθενὴς καὶ σβέννυσθαι ἔμελλε, τί δεδοίκατε τὰ γράμματα λέγοντα, ὅτι βασιλεύς ἐστι τῶν Ἰουδαίων; καὶ τί φασιν;

21 Εἶπε,

* καὶ

γρ. ἐπέπραττον

Ἡσ. νγ. θ.

γρ. ἀλλ' οὐκ ἴσχυσεν ὁ δαίμων.

γρ. σταυρωμένου

21 Εἰπὲ, ὅτι αὐτὸς εἶπε. Νῦν μὲν γὰρ ἀπόφασίς ἐστι καὶ κοινὴ ψῆφος· ἂν δὲ προστεθῇ, ὅτι ἐκεῖνος εἶπε, τῆς αὐτοῦ προπετείας καὶ ἀλαζονείας δείκνυται τὸ ἔγκλημα ὄν. ἀλλ' οὐχ ὁ Πιλάτος μετετράπη, ἀλλ' ἐπὶ τῆς προτέρας ἔστη γνώμης. οὐ μικρὸν δὲ καὶ ἐντεῦθεν οἰκονομεῖται, ἀλλὰ τὸ πᾶν. ἐπειδὴ γὰρ κατεχώσθη τοῦ σταυροῦ τὸ ξύλον, ὡς οὐδενὸς αὐτὸν ἀνελέσθαι σπουδάζοντος, τῷ καὶ φόβον ἐπικεῖσθαι, καὶ πρὸς ἕτερα κατεπείγοντα τοὺς πιστεύοντας σπεύδειν, ἔμελλε δὲ χρόνοις ὕστερον ἐπιζητεῖσθαι· εἰκὸς δὲ τοὺς τρεῖς ὁμοῦ κεῖσθαι σταυρούς· ἵνα μὴ ἀγνοῆται ὁ τοῦ δεσπότου, πρῶτον μὲν ἀπὸ τοῦ μέσον αὐτὸν κεῖσθαι, ἔπειτα δὲ καὶ ἀπὸ τοῦ τίτλου δῆλος πᾶσιν ἐγένετο. οἱ γὰρ τῶν λῃστῶν τίτλους οὐκ εἶχον. οἱ δὲ στρατιῶται διενείμαντο τὰ ἱμάτια, τὸν δὲ χιτῶνα οὐκ ἔτι. ὅρα πανταχοῦ δι' ὧν ἐπονηρεύοντο τὰς προφητείας πληρουμένας. καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προείρητο. καίτοιγε τρεῖς ἦσαν σταυρούμενοι· ἀλλὰ ″τὰ τῶν προφητειῶν ἐπ' αὐτοῦ ἐπληροῦτο. διατί γὰρ μὴ ἐπὶ τῶν ἄλλων τοῦτο ἐποίησαν, ἀλλ' ἐπὶ τούτου μόνου; σὺ δέ μοι σκόπει προφητείας ἀκρίβειαν. οὐ γὰρ ὅτι ἐμερίσαντο μόνον, ἀλλὰ ὅτι καὶ οὐκ ἐμερίσαντο, εἶπεν ὁ προφήτης. τὰ μὲν οὖν διενείμαντο, τὸν δὲ χιτῶνα οὐ διενείμαντο, ἀλλὰ κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψαν. τὸ δὲ,

γρ. τὸ τῆς προφητικὸν ἐπ' αὐτοῦ ἐπληροῦτο.

23 Εκ τῶν ἄνωθεν ὑφαντὸς, Οὐχ ἁπλῶς πρόσκειται· ἀλλ' οἱ μέν φασιν ἀλληγορίαν δι' αὐτοῦ δηλοῦσθαι, ὅτι οὐχ ἁπλῶς ἄνθρωπος ἦν ὁ σταυρούμενος, ἀλλὰ καὶ ἄνωθεν τὴν θεότητα εἶχε. τινὲς δὲ αὐτὸ τὸ εἶδος τοῦ χιτωνίσκου φασὶ τὸν εὐαγγελιστὴν ἱστορεῖν. ἐπειδὴ γὰρ ἐν Παλαιστίνῃ δύο ῥάκη συμβάλλοντες οὕτως ὑφαίνουσι τὰ ἱμάτια, δηλῶν ὁ Ἰωάννης ὅτι τοιοῦτος ἦν ὁ χιτωνίσκος, φησὶν ἐκ τῶν ἄνωθεν ὑφαντός. τοῦτο δὲ ἐμοὶ δοκεῖ λέγειν αἰνιττόμενος τὸ εὐτελὲς τῶν ἱματίων, καὶ ὅτι καθάπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ ἐν τῇ στολῇ τὸ λιτὸν ἐδίωκε σχῆμα. 24 Καὶ οἱ μὲν στρατιῶται ταῦτα ἐποίουν, Αὐτὸς δὲ καὶ σταυρούμενος παρατίθεται τὴν μητέρα αὐτοῦ τῷ μαθητῇ, παιδεύων ἡμᾶς μέχρις ἐσχάτης ἀναπνοῆς πᾶσαν ποιεῖσθαι ἐπιμέλειαν τῶν γεγεννηκότων. ὅτε μὲν οὖν ἀκαίρως ἠνώχλησε, λέγει· τί ἐμοὶ καὶ σοὶ γύναι; καὶ, τίς ἐστιν ἡ μήτηρ μου; ἐνταῦθα δὲ πολλὴν τὴν φιλοστοργίαν ἐπιδείκνυται, καὶ παρατίθεται αὐτὴν τῷ μαθητῇ ὃν ἠγάπα. πάλιν ἑαυτὸν κρύπτει ὁ Ἰωάννης μετριάζων. εἰ γὰρ καὶ ἐβούλετο κομπάζειν, καὶ τὴν αἰτίαν ἂν ἐνέθηκε δι' ἣν ἠγαπᾶτο. καὶ γὰρ εἰκὸς ἦν μεγάλην τινὰ εἶναι καὶ θαυμαστήν. τίνος δὲ ἕνεκεν οὐδὲν ἕτερον τῷ Ἰωάννῃ διαλέγεται, οὐδὲ παραμυθεῖται αὐτὸν ″κατηφοῦντα; ὅτι καιρὸς οὐκ ἦν τῆς τῶν ῥημάτων παρακλήσεως· καὶ ἄλλως δὲ, οὐ μικρὸν ἦν τὸ τιμηθῆναι αὐτὸν τιμῇ τοιαύτῃ, καὶ τῆς παραμονῆς λαβεῖν τὸν μισθόν. σὺ δέ μοι σκόπει πῶς καὶ ἐσταυρωμένος ἅπαντα ἀταράχως ἔπραττε, τῷ μαθητῇ διαλεγόμενος περὶ τῆς μητρὸς, προφητείας πληρῶν, τῷ λῃστῇ χρηστὰς ὑποτείνων ἐλπίδας. καίτοιγε πρὶν ἢ σταυρωθῆναι, φαίνεται ἱδρῶν, ἀγωνιῶν, δεδοικώς. τί οὖν τοῦτό ἐστιν; οὐδὲν ἄπορον, οὐδὲν ἀσαφές. ἐκεῖ μὲν γὰρ ἡ τῆς φύσεως ἀσθένεια ἐδείχθη· ἐνταῦθα δὲ ἡ τῆς δυνάμεως περιουσία ἐδείκνυτο. ἄλλως δὲ, καὶ ἡμᾶς δι' ἀμφοτέρων παιδεύει τούτων, κἂν πρὸ τῶν δεινῶν θορυβώμεθα, μὴ διὰ τοῦτο ἀφίστασθαι τῶν δεινῶν· ἐπειδὰν δὲ εἰς τὸν ἀγῶνα ἐμβάλωμεν, πάντα ῥᾷστα καὶ εὔκολα ἡγεῖσθαι. μὴ τοίνυν τρέμωμεν θάνατον. ἔχει μὲν γὰρ ἡ ψυχὴ κατὰ φύσιν τὸ φιλόζωον· ἀλλ' ἐν ἡμῖν κεῖται λοιπὸν ἢ λῦσαι ταύτης τὰ δεσμὰ, καὶ τὴν ἐπιθυμίαν ἀσθενῆ ποιῆσαι, ἢ δῆσαι καὶ τυραννικωτέραν ἐργάσασθαι. ὥσπερ γὰρ ἔχομεν τὴν ἐπιθυμίαν τῆς τῶν σωμάτων μίξεως, ὅταν δὲ φιλοσοφῶμεν, ἀσθενῆ ποιοῦμεν τὴν τυραννίδα· οὕτω καὶ ἐπὶ τῆς ζωῆς συμβαίνει. καθάπερ γὰρ τὴν ἐπιθυμίαν τῶν σωμάτων ἐνέθηκε ταῖς παιδοποιΐαις, συγκροτῶν ἡμῶν τὰς διαδοχὰς ὁ Θεὸς, οὐ κωλύων τὴν ἀνωτέρω τῆς ἐγκρατείας ὁδεύειν ὁδόν· οὕτω καὶ τὸν πόθον τῆς ζωῆς ἐνέσπειρε, κωλύων ἑαυτοὺς ἀναιρεῖν, οὐκ ἐμποδίζων δὲ ἡμῖν πρὸς τὸ τῆς μελλούσης ζωῆς ἀφορᾶν. καὶ χρὴ ταῦτα εἰδότας τὰ μέτρα διατηρεῖν, καὶ μήτε αὐτομάτως ἐπὶ τὸν θάνατον ἰέναι ποτὲ, κἂν μυρία ἔχῃ δεινά· μήτε ἑλκομένους ὑπὸ τῶν

γρ. κατηφιῶντα,

τῷ Θεῷ δοκούντων ἀναδύεσθαι καὶ ὀκνεῖν, ἀλλὰ θαῤῥοῦντας ἀποδύεσθαι, τὴν μέλλουσαν τῆς παρούσης ζωῆς προτιμῶντας. 25 Αἱ δὲ γυναῖκες παρεστήκεισαν τῷ σταυρῷ,

Καὶ τὸ ἀσθενέστερον γένος ἀνδρειότερον ἐφάνη τότε. οὕτω πάντα μετεσκευάζετο λοιπόν. αὐτὸς δὲ τὴν μητέρα παρατιθέμενος, φησίν·

26 Ἴδε ὁ υἱός σου. Βαβαὶ τῆς τιμῆς· ὅσῃ τὸν μαθητὴν ἐτίμησε τιμῇ; ἐπειδὴ γὰρ αὐτὸς ἀπῄει λοιπόν, τῷ μαθητῇ παρέδωκε τημελήσοντι. ἐπειδὴ γὰρ εἰκὸς ἦν, ἅτε μητέρα οὖσαν, ἀλγεῖν, καὶ τὴν προστασίαν ζητεῖν, εἰκότως αὐτὴν ἐγχειρίζει τῷ ποθουμένῳ.

27 Τούτῳ φησίν, Ἴδε ἡ μήτηρ σου. Ταῦτα δὲ ἔλεγε, συνάπτων αὐτοὺς εἰς ἀγάπην· ὅπερ οὖν καὶ ὁ μαθητὴς συνιείς, εἰς τὰ ἴδια αὐτὴν ἔλαβε. διατί γὰρ μηδεμιᾶς ἄλλης ἐμνημόνευσε γυναικός, καίτοι καὶ ἑτέρας εἱστήκει; διδάσκων ἡμᾶς πλέον τι νέμειν ταῖς μητράσιν. ὥσπερ γὰρ ἐναντιουμένοις τοῖς γονεῦσι περὶ τὰ πνευματικά, οὐδὲ εἰδέναι χρή, οὕτως ὅταν μηδὲν ἐμποδίζωσιν, ἅπαν τὸ εἰκὸς ἀπονέμειν αὐτοῖς δεῖ, καὶ πρὸ τῶν ἄλλων αὐτοὺς τιθέναι, ἀνθ' ὧν ἔτεκον, ἀνθ' ὧν ἀνέθρεψαν, ἀνθ' ὧν μυρία ὑπέστησαν δεινά. οὕτω καὶ Μαρκίωνος ἐπιστομίζει τὴν ἀναισχυντίαν. εἰ γὰρ μὴ ἐγεννήθη κατὰ σάρκα, μηδὲ μητέρα ἔσχε, τίνος ἕνεκεν τοσαύτην περὶ αὐτὴν μόνην ποιεῖται πρόνοιαν; 28 Μετὰ ταῦτα εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα τετέλεσται· Τουτέστιν, ὅτι οὐδὲν λείπει τῇ οἰκονομίᾳ. πανταχοῦ γὰρ ἐσπουδάκει καινὸν δεῖξαι τὸν θάνατον τοῦτον ὄντα, εἴγε ἐν τῇ ἐξουσίᾳ τοῦ τελευτῶντος τὸ πᾶν ἔκειτο, καὶ οὐ πρότερον ἐπῄει τῷ σώματι ἡ τελευτή, ἕως ὅτε αὐτὸς ἐβούλετο· ἐβούλετο δὲ μετὰ τὸ πάντα πληρῶσαι. διὰ τοῦτο καὶ ἔλεγεν, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Εἰδὼς οὖν πάντα πεπληρωμένα λέγει· Διψῶ, πάλιν ἐνταῦθα προφητείαν πληρῶν. σὺ δέ μοι τὸ μιαρὸν τῶν παρεστώτων ἐννόησον. κἂν γὰρ μυρίους ἔχωμεν ἐχθρούς, καὶ ἀνήκεστα πεπονθότες ὦμεν, ὁρῶντες αὐτοὺς ἀναιρουμένους κατακαμπτόμεθα· οὗτοι δὲ οὐδὲ οὕτως ἐσπείσαντο πρὸς αὐτόν, οὐδὲ τοῖς ὁρωμένοις γεγόνασιν ἥμεροι, ἀλλ' ἐξεθηριοῦντο μᾶλλον, καὶ τὴν εἰρωνείαν ἐπέτεινον· καὶ σπόγγῳ προσενέγκαντες ὄξος, οὕτως αὐτὸν ἐπότιζον, ὡς τοῖς καταδίκοις αὐτὸ προσφέρονται· ἐπεὶ καὶ τὸ ὕσσωπον διὰ τοῦτο πρόσκειται).

30 Λαβὼν οὖν φησι, τετέλεσται. Εἶδες ἀταράχως καὶ μετ' ἐξουσίας πάντα πράττοντα; καὶ τὸ ἑξῆς δὲ τοῦτο δηλοῖ. ἐπειδὴ γὰρ πάντα ἀπηρτίσθη, κλίνας τὴν κεφαλὴν (οὐδὲ γὰρ αὐτὴ προσήλωτο) τὸ πνεῦμα ἀφῆκε, τουτέστιν, ἀπέψυξε. καίτοι οὐ μετὰ τὸ κλῖναι τὴν κεφαλὴν τὸ ἐκπνεῦσαι· ἐνταῦθα δὲ τοὐναντίον. οὐδὲ γὰρ ἐπειδὴ ἐξέπνευσεν, ἔκλινε τὴν κεφαλήν, ὅπερ ἐφ' ἡμῶν γίνεται, ἀλλ', ἐπειδὴ ἔκλινε τὴν κεφαλήν, τότε ἐξέπνευσε· δι' ὧν πάντων ἐδήλωσεν ὁ εὐαγγελιστής, ὅτι τοῦ παντὸς κύριος αὐτὸς ἦν. ἀλλ' οἱ Ἰουδαῖοι πάλιν, οἱ τὴν κάμηλον καταπίνοντες, καὶ τὸν κώνωπα διϋλίζοντες, τηλικοῦτον ἐργασάμενοι τόλμημα, περὶ τῆς ἡμέρας ἀκριβολογοῦνται). 31 Ἐπεὶ γὰρ παρασκευὴ ἦν λοιπόν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα, ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη. Ὁρᾷς πῶς ἐστιν ἰσχυρὸν ἡ ἀλήθεια; δι' ὧν ἐκεῖνοι σπουδάζουσι, διὰ τούτων ἡ προφητεία πληροῦται. ἀπὸ γὰρ τούτων ἑτέρα αὐτοῖς αὕτη προαναφώνησις λαμβάνει τέλος. ἐλθόντες γὰρ οἱ στρατιῶται, τῶν μὲν ἄλλων κατέαξαν τὰ σκέλη· τοῦ δὲ Χριστοῦ οὐκ ἔτι. ἀλλ' ὅμως οὗτοι χαριζόμενοι τοῖς Ἰουδαίοις ἔνυξαν αὐτοῦ τὴν πλευρὰν τῇ λόγχῃ, καὶ νεκρὸν τὸ σῶμα λοιπὸν ἐνύβριζον. ὢ τῆς μιαρᾶς προαιρέσεως καὶ ἐναγοῦς. ἀλλὰ μὴ θορυβηθῇς μηδὲ κατηφήσῃς, ἀγαπητέ. ἃ γὰρ ἀπὸ πονηρᾶς ἔπραττον γνώμης ἐκεῖνοι, ταῦτα τῇ ἀληθείᾳ συνηγωνίζετο. προφητεία γὰρ ἦν καὶ ἐντεῦθεν λέγουσα· Ὄψονται), εἰς ὃν ἐξεκέντησαν. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῖς μέλλουσιν ἀπιστεῖν ἐγίνετο πίστεως ἀπόδειξις τὸ τολμηθέν, οἷον τῷ Θωμᾷ καὶ τοῖς κατ' ἐκεῖνον. μετὰ δὲ τούτου καὶ μυστήριον ἀπόρρητον ἐτελεῖτο. ἐξῆλθε γὰρ ὕδωρ καὶ αἷμα. οὐχ ἁπλῶς δέ, οὐδὲ ὡς ἔτυχεν, αὗται ἐξῆλθον αἱ πηγαί· ἀλλ', ἐπειδὴ ἐξ ἀμφοτέρων τούτων ἡ ἐκκλησία συνέστηκε.

Ιω. ι. ιη.

Ζαχ. ιβ. ι.

συνέστηκε. καὶ ἴσασιν οἱ μυσταγωγούμενοι, δι᾽ ὕδατος μὲν ἀναγεννώμενοι, δι᾽ αἵματος δὲ καὶ σαρκὸς τρεφόμενοι. ἐντεῦθεν ἀρχὴν λαμβάνει τὰ μυστήρια, ἵν᾽, ὅταν προσίῃς τῷ φρικτῷ ποτηρίῳ, ὡς ἀπ᾽ αὐτῆς πίνων τῆς πλευρᾶς, οὕτω προσίῃς.

35 Καὶ τοῦτο ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ· Τουτέστιν, οὐ παρ᾽ ἑτέρων ἤκουσα, ἀλλ᾽ αὐτὸς παρὼν εἶδον, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία· εἰκότως. ὕβριν γὰρ γενομένην ἐξηγεῖται, οὐ μέγα τι καὶ θαυμαστὸν ἐξηγεῖται, ἵνα ὑποπτεύσῃς τὸν λόγον· ἀλλ᾽ αὐτὸς τὰ τῶν αἱρετικῶν ἀσφαλιζόμενος στόματα, καὶ τὰ μέλλοντα προαναφωνῶν μυστήρια, καὶ τὸν ἐναποκείμενον αὐτοῖς κατοπτεύων θησαυρὸν, ἀκριβολογεῖται περὶ τοῦ συμβάντος.

36 Πληροῦται δὲ καὶ ἐκείνη ἡ προφητεία, ὅτι ὀστοῦν αὐτοῦ οὐ συντρίψουσιν.

Εἰ γὰρ καὶ περὶ τοῦ παρὰ Ἰουδαίοις ἀμνοῦ τοῦτο εἴρηται, ἀλλὰ διὰ τὴν ἀλήθειαν ὁ τύπος προέδραμε, καὶ ἐπὶ τούτου μᾶλλον ἐξέβη. διὰ τοῦτο καὶ τὸν προφήτην εἰς μέσον ἤγαγεν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἑαυτὸν εἰς μέσον φέρων οὐκ ἐδόκει ἀξιόπιστος εἶναι, παράγει τὸν Μωϋσέα λέγων, ὅτι ἁπλῶς οὐδὲ τοῦτο ἐγίνετο, ἀλλ᾽ ἄνωθεν προεγράφη. καὶ τοῦτό ἐστιν ἐκεῖνο τὸ εἰρημένον, ὅτι ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται. καὶ πάλιν τὸν προφήτην παρ᾽ ἑαυτοῦ τὴν πίστιν παρέχει. Ταῦτα δὲ εἶπον, φησὶν, ἵνα μάθητε ὅτι πολλὴ ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθειαν. ὁρᾷς πόσην ποιεῖται σπουδὴν ὥστε πιστευθῆναι ὃ δοκοῦν ἐπονείδιστον εἶναι καὶ αἰσχύνην φέρον; τὸ γὰρ καὶ εἰς νεκρὸν ὑβρίσαι σῶμα τὸν στρατιώτην, τοῦ σταυρωθῆναι πολλῷ χεῖρον ἦν. ἀλλ᾽ ὅμως καὶ ταῦτα, φησὶν, εἶπον, καὶ μετὰ πολλῆς σπουδῆς εἶπον, ἵνα πιστεύσητε. μηδεὶς τοίνυν ἀπιστείτω, μηδὲ αἰσχυνόμενος βλαπτέτω τὰ ἡμέτερα. τὰ γὰρ μάλιστα ἐπονείδιστα δοκοῦντα εἶναι, ταῦτά ἐστι τὰ σεμνολογήματα τῶν ἡμετέρων ἀγαθῶν. 38 Μετὰ ταῦτα ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, μαθητὴς ὤν·

Οὐ τῶν δώδεκα, ἀλλὰ τῶν ἑβδομήκοντα ἴσως. λοιπὸν γὰρ νομίσαντες ἐσβέσθαι τὴν ὀργὴν τῷ σταυρῷ, μετ᾽ ἀδείας προσήεσαν, καὶ τῆς κηδείας ἐπεμελοῦντο. προσελθὼν τοίνυν, παρὰ τοῦ Πιλάτου τὴν χάριν αἰτεῖ, καὶ δίδωσιν ἐκεῖνος. τί γὰρ οὐκ ἔμελλε; συναντιλαμβάνεται αὐτῷ καὶ Νικόδημος, καὶ πολυτελῆ ποιεῖ τὴν ταφήν. ἔτι γὰρ ὡς περὶ ἀνθρώπου διέκειντο ψιλοῦ. καὶ ″ταῦτα φέρουσιν ἀρώματα, ἃ μάλιστα τὸ σῶμα πέφυκεν ἐπὶ πολὺ διατηρεῖν, καὶ μὴ συγχωρεῖν ταχέως ἐνδιδόναι τῇ φθορᾷ· ὅπερ οὐδὲν μέγα περὶ αὐτοῦ φανταζομένων ἦν· πλὴν ἀλλὰ πολλὴν φιλοστοργίαν ἐπεδείκνυντο. πῶς δὲ οὐδεὶς τῶν δώδεκα προσῆλθεν, οὐκ Ἰωάννης, οὐ Πέτρος, οὐκ ἄλλος τις τῶν ἐπισήμων; καὶ οὔτε τοῦτο κρύπτει ὁ μαθητής. εἰ γὰρ τὸν φόβον λέγοι τις τῶν Ἰουδαίων, καὶ οὗτοι τῷ αὐτῷ κατείχοντο φόβῳ. καὶ γὰρ καὶ οὗτος ἦν, φησὶ, κεκρυμμένος διὰ τὸν φόβον τῶν Ἰουδαίων. καὶ οὐκ ἔχοι τις εἰπεῖν, ὅτι ″τῷ σφόδρα αὐτοῦ καταφρονεῖν τοῦτο ἐποίησεν, ἀλλὰ καὶ αὐτὸς δεδοικὼς ὅμως προσῆλθεν. ὁ δὲ Ἰωάννης καὶ παρὼν καὶ ἰδὼν αὐτὸν ἀποψύξαντα, οὐδὲν τοιοῦτον ἐποίησε. τί οὖν ἐστι; ἐμοὶ δοκεῖ τῶν σφόδρα ἐπισήμων εἶναι (καὶ ἀπὸ τῶν ἐνταφίων δῆλον) καὶ τῷ Πιλάτῳ δῆλος ″τῷ ἦν· ὅθεν καὶ τὴν χάριν ἔλαβε. καὶ ἐνταφιάζει λοιπὸν, οὐχ ὡς κατάδικον, ἀλλ᾽ ὡς ἔθος τοῖς Ἰουδαίοις πολυτελῶς, ὡς μέγαν τινὰ καὶ θαυμαστόν. ἐπειδὴ δὲ ὑπὸ τοῦ καιροῦ συνείχοντο (ἐννάτης γὰρ ὥρας γενομένης τῆς τελευτῆς, εἶτα μεταξὺ τῷ Πιλάτῳ προσιόντων, καὶ καθαιρούντων τὸ σῶμα, εἰκὸς ἦν ἑσπέραν καταλαβεῖν, ἐν ᾗ θέμις οὐκ ἦν ἐργάσασθαι) τιθέασιν αὐτὸν εἰς τὸ πλησίον μνημεῖον. οἰκονομεῖται δὲ εἰς καινὸν αὐτὸν τεθῆναι μνημεῖον, ἔνθα μηδεὶς ἐτέθη, ὥστε μὴ ἑτέρου τινὸς νομισθῆναι τὴν ἀνάστασιν γεγενῆσθαι τοῦ μετ᾽ αὐτοῦ κειμένου· καὶ ὥστε τοὺς μαθητὰς δυνηθῆναι μετ᾽ εὐκολίας παραγενέσθαι, καὶ θεατὰς τῶν συμβάντων γενέσθαι πλησίον ὄντος τοῦ τόπου· καὶ τῆς ταφῆς δὲ μάρτυρας εἶναι οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἐχθρούς. τὸ γὰρ σήμαντρα ἐπιθεῖναι τῷ τάφῳ, καὶ φύλακας ἐκεῖ παρακαθῆσθαι στρατιώτας, μαρτυρούντων ἦν τῇ ταφῇ. τῆς γὰρ ἀναστάσεως οὐχ

χ. πιαδτα

χ. τὸ

χ. ὤν

ἧττον ὁμολογηθῆναι τοῦτο ἐσπούδακεν ὁ Χριστός. διὸ καὶ οἱ μαθηταὶ πολλὴν περὶ τούτου ποιοῦνται σπουδὴν, ὥστε δεῖξαι ὅτι ἐτελεύτησε. τὴν μὲν γὰρ ἀνάστασιν ὁ μετὰ ταῦτα ἅπας ἔμελλε βεβαιοῦν χρόνος· ἐκείνη δὲ εἰ τότε συνεσκιάσθη, καὶ μὴ σφόδρα κατάδηλος γέγονεν, ἔμελλε λυμαίνεσθαι τῷ τῆς ἀναστάσεως λόγῳ. οὐ τούτων δὲ μόνον ἕνεκεν τὸ ἐγγὺς τεθῆναι γέγονεν, ἀλλ' ὥστε καὶ ψευδῆ δειχθῆναι τὸν περὶ τῆς κλοπῆς λόγον.

κεφ. κ.

1 Τῇ δὲ μιᾷ τῶν σαββάτων (τουτέστι, τῇ κυριακῇ) Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ ὄρθρου βαθέος, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

Ανέστη μὲν γὰρ, καὶ τοῦ λίθου καὶ τῶν σημάντρων ἐπικειμένων. ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἄλλους πληροφορηθῆναι, ἀνοίγεται τὸ μνημεῖον μετὰ τὴν ἀνάστασιν, καὶ οὕτω πιστοῦται τὸ γεγονός. τοῦτο γοῦν καὶ τὴν Μαρίαν ἐκίνησε. πάνυ γὰρ περὶ τὸν διδάσκαλον φιλοστόργως ἔχουσα, ἐπειδὴ τὸ σάββατον παρῆλθεν, οὐκ ἠνέσχετο ἡσυχάζειν, ἀλλ' ἦλθεν ὄρθρου βαθέος, ἀπὸ τοῦ τόπου παραμυθίαν τινὰ εὑρεῖν βουλομένη. καὶ ἰδοῦσα τὸν τόπον, καὶ τὸν λίθον ἠρμένον, οὐκ εἰσῆλθεν, οὐδὲ διέκυψεν, ἀλλ' ἐπὶ τοὺς μαθητὰς ἔδραμεν ἀπὸ πολλοῦ τοῦ πόθου. τοῦτο γὰρ ἦν αὐτῇ τὸ σπουδαζόμενον, μετὰ πολλοῦ τοῦ τάχους μαθεῖν ἤθελε τί γέγονε τὸ σῶμα. καὶ γὰρ ὁ δρόμος τοῦτο ἐβούλετο, καὶ τὰ ῥήματα τοῦτο ἐμφαίνει.

γρ. -σα τὸν λίθον ἠρμ.

2 Ηραν γὰρ, φησὶ, τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ τεθείκασιν αὐτόν.

Ορᾷς πῶς οὐδέπω περὶ ἀναστάσεως ᾔδει τι σαφὲς, ἀλλ' ᾤετο μετάθεσιν γεγενῆσθαι τοῦ σώματος, καὶ ἀπλάστως πάντα ἀπαγγέλλει τοῖς μαθηταῖς; ὁ δὲ εὐαγγελιστὴς οὐκ ἀπεστέρησε τὴν γυναῖκα ἐγκωμίου τηλικούτου, οὐδὲ αἰσχύνην ἐνόμισε τὸ παρ' αὐτῆς αὐτοὺς μαθεῖν προτέρας ταῦτα διανυκτερευούσης. οὕτω πανταχοῦ τὸ φιλάληθες αὐτοῦ διαλάμπει τῶν τρόπων. ἐπεὶ οὖν ἦλθε, καὶ ταῦτα εἶπεν, ἀκούσαντες ἐκεῖνοι μετὰ πολλῆς τῆς σπουδῆς ἐφίστανται τῷ μνημείῳ, καὶ θεωροῦσι τὰ ὀθόνια κείμενα, ὅπερ ἦν ἀναστάσεως σημεῖον. οὔτε γὰρ εἰ μετέθηκάν τινες, τοῦτο ἂν ἐποίησαν τὸ σῶμα γυμνώσαντες· οὔτ' εἰ ἔκλεψαν, τούτου ἂν ἐφρόντισαν, ὥστε ἆραι τὸ σουδάριον, καὶ ἐντυλίξαι, καὶ θεῖναι εἰς ἕνα τόπον· ἀλλὰ πῶς; ὡς εἶχεν ἔλαβον ἂν τὸ σῶμα. διὰ γὰρ τοῦτο προλαβὼν ὁ Ἰωάννης φησὶν ὅτι σμύρνῃ συνετάφη πολλῇ, ἣ μολύβδου οὐχ ἧττον συγκολλᾷ τῷ σώματι τὰ ὀθόνια· ἵν' ὅταν ἀκούσῃς ὅτι τὰ σουδάρια ἔκειτο ἰδίᾳ, μὴ ἀνάσχῃ τῶν λεγόντων ὅτι ἐκλάπη. οὐ γὰρ οὕτως ἀνόητος ἦν ὁ κλέπτων, ὡς περὶ πρᾶγμα περιττὸν τοσαύτην ἀναλίσκειν σπουδήν. τίνος γὰρ ἕνεκεν τὰ σουδάρια ἠφίει; πῶς δ' ἂν ἔλαθε τοῦτο ποιῶν; καὶ γὰρ πολὺν εἰκὸς ἦν αὐτὸν ἀναλῶσαι χρόνον, καὶ κατάφωρον γενέσθαι μέλλοντα καὶ βραδύνοντα. τί δήποτε δὲ καὶ χωρὶς τὰ ὀθόνια κεῖται, καὶ τὸ σουδάριον χωρὶς ἐντετυλιγμένον; ἵνα μάθῃς, ὅτι οὐκ ἦν σπευδόντων οὐδὲ θορυβουμένων τὸ πρᾶγμα, τὸ χωρὶς μὲν ἐκεῖνα, χωρὶς δὲ ταῦτα ἐνθεῖναι καὶ ἐντυλίξαι. ἀπὸ τούτου τῇ ἀναστάσει ἐπίστευσαν. διὰ τοῦτο μετὰ ταῦτα αὐτοῖς φαίνεται ὁ Χριστὸς ἀπὸ τῆς ὄψεως πιστωθεῖσιν. ὅρα γοῦν καὶ ἐνταῦθα τὸ ἄτυφον τοῦ εὐαγγελιστοῦ, πῶς τὴν ἀκρίβειαν τῆς ἐρεύνης τῷ Πέτρῳ μαρτυρεῖ. προφθάσας γὰρ αὐτὸν καὶ ἰδὼν τὰ ὀθόνια κείμενα, οὐδὲν πλέον πολυπραγμονεῖ, ἀλλ' ἀφίσταται· ἐκεῖνος δὲ ὁ θερμὸς ἐνδοτέρω γενόμενος, ἅπαντα κατώπτευσεν ἀκριβῶς, καὶ τι πλέον εἶδε, καὶ τότε οὗτος ἐπὶ τὴν θέαν παρεκλήθη. μετὰ γὰρ ἐκεῖνον εἰσελθὼν, τὰ ἐντάφια εἶδε κείμενα καὶ διῃρημένα. τὸ γὰρ διελεῖν, καὶ χωρὶς μὲν τοῦτο, χωρὶς δὲ ἐκεῖνο θεῖναι ἑλίξαντα, τινὸς ἦν μετ' ἐπιμελείας ποιοῦντος, καὶ οὐχ ὡς ἔτυχε θορυβουμένου.

γρ. τοῦτο

ΗΘΙΚΟΝ

Σὺ δὲ ὅταν ἀκούσῃς, ὅτι γυμνὸς ὁ δεσπότης ἀνέστη, παῦσαι τῆς πρὸς τὴν κηδείαν μανίας. τί γὰρ βούλεται ἡ περιττὴ αὕτη δαπάνη καὶ ἀνόητος, πολλὴν μὲν φέρουσα τοῖς κηδεύουσι ζημίαν, τῷ δὲ ἀπελθόντι κέρδος οὐδὲν, ἀλλ', εἰ χρή τι εἰπεῖν, καὶ βλάβην; ἡ γὰρ πολυτέλεια τῆς ταφῆς τυμβωρυχίας αἰτία γέγονε πολλάκις, καὶ γυμνὸν καὶ ἄταφον ἐποίησεν ἐρρίφθαι ῥίφθαι τῶν ἐπιμελῶς ταφέντα. ἀλλ' ὢ τῆς κενοδοξίας. πόσην καὶ ἐν τῷ πένθει τὴν τυραννίδα ἐπιδείκνυται; πόσην τὴν ἄνοιαν; πολλοὶ γοῦν, ἵνα μὴ τοῦτο γένηται, τὰς λεπτὰς ἐκείνας ὀθόνας διατεμόντες, καὶ πολλῶν τῶν ἀρωμάτων ἐμπλήσαντες, ὥστε διπλῆ γενέσθαι τοῖς ἐπηρεάζουσιν ἄχρηστα, οὕτω τῇ γῇ παραδεδώκασι. ταῦτ' οὖν οὐ μαινομένων; ταῦτ' οὐ παραπαιόντων; φιλοτιμίαν ἐπιδείκνυσθαι, καὶ πάλιν αὐτὴν ἀφανίζειν; ναί, φησιν· ἵνα μετὰ ἀσφαλείας κέηται παρὰ τῷ νεκρῷ, ταῦτα πάντα μηχανώμεθα. τί οὖν, ἂν οἱ τυμβωρύχοι μὴ λάβωσιν, οἱ σῆτες οὐ λήψονται καὶ οἱ σκώληκες; τί δὲ ἂν οἱ σῆτες καὶ οἱ σκώληκες μὴ λάβωσιν, ὁ χρόνος καὶ ὁ ἰχὼρ οὐκ ἀπόλλυσι; θῶμεν δὲ μὴ τυμβωρύχους, μὴ σῆτας, μὴ σκώληκας, μὴ χρόνον, μὴ ἄλλο μηδὲν δαπανᾶν τὰ κείμενα· ἀλλὰ καὶ τὸ σῶμα ἀνέπαφον εἶναι μέχρι τῆς ἀναστάσεως, καὶ αὐτὰ δὴ ταῦτα καινὰ καὶ νεοπαγῆ καὶ λεπτὰ τηρεῖσθαι. τί πλέον ἐντεῦθεν τοῖς ἀπελθοῦσι ἔσται, ὅταν γυμνὸν μὲν τὸ σῶμα ἐγείρηται, ταῦτα δὲ ἐνταῦθα μένῃ καὶ μηδὲν ἡμᾶς ὠφελῇ πρὸς τὰς εὐθύνας ἐκείνας; τίνος οὖν ἕνεκεν, φησιν, ἐπὶ τοῦ Χριστοῦ γέγονε; μάλιστα μὲν μὴ παράβαλλε ταῦτα τοῖς ἀνθρωπίνοις· ἐπεὶ καὶ μύρον ἐξέχεεν ἡ πόρνη ἐπὶ τοὺς ἁγίους πόδας ἐκείνου. εἰ δὲ χρὴ καὶ περὶ τούτων εἰπεῖν, πρῶτον μὲν οὐκ εἰδότων τὸν περὶ ἀναστάσεως λόγον τῶν ποιούντων ταῦτα ἐγίνετο· διὰ τοῦτό φησι· καθὼς ἔθος ἦν τοῖς Ἰουδαίοις. οὐ γὰρ τῶν δώδεκα ἦσαν οἱ τὸν Χριστὸν τιμήσαντες, ἀλλ' ἐκεῖνοι οἱ μὴ σφόδρα αὐτὸν τιμῶντες. οἱ γοῦν δώδεκα οὐχ οὕτως αὐτὸν ἐτίμων, ἀλλὰ θανάτῳ καὶ σφαγῇ καὶ τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις. ἦν μὲν γὰρ καὶ ἐκείνη τιμή· πολλῷ δὲ ἐλάττων ταύτης ἧς εἶπον. ἄλλως δέ, ὅπερ ἔφθην εἰπών, περὶ ἀνθρώπων ἡμῖν ὁ λόγος νῦν· τότε δὲ ταῦτα περὶ τὸν δεσπότην ἐγίνετο. καὶ ἵνα μάθῃς ὅτι τούτων οὐδεὶς τῷ Χριστῷ λόγος, εἶπε· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· καὶ διψῶντα, καὶ ἐποτίσατε· καὶ γυμνόν, καὶ περιεβάλετε· καὶ οὐδαμοῦ εἶπε, καὶ τεθνεῶτα, καὶ ἐθάψατε. καὶ ταῦτα λέγω, οὐ ταφὴν ἀναιρῶν (μὴ γένοιτο) ἀλλὰ τὴν ἀσωτίαν ἐκκόπτων καὶ τὴν ἄκαιρον φιλοτιμίαν. τὸ γὰρ πάθος, φησί, καὶ ἡ ὀδύνη, καὶ ἡ πρὸς τὸν ἀπελθόντα συμπάθεια ταῦτα πείθει. οὐκ ἔστι ταῦτα συμπαθείας τῆς πρὸς τὸν ἀπελθόντα, ἀλλὰ κενοδοξίας. ἐπεὶ εἰ βούλει συναλγῆσαι τῷ τεθνηκότι, δείκνυμί σοι ἑτέραν ὁδὸν κηδείας, καὶ διδάσκω σε ἱμάτια τιθέναι, τὰ συνανιστάμενα αὐτῷ, καὶ λαμπρὸν ἀποφαίνοντα. ταῦτα γὰρ τὰ ἱμάτια, οὔτε ὑπὸ σητῶν ἀναλίσκεται, οὔτε ὑπὸ χρόνου δαπανᾶται, οὐδὲ ὑπὸ τυμβωρύχων κλέπτεται. ποῖα δὴ ταῦτά ἐστιν; ἡ τῆς ἐλεημοσύνης περιβολή. αὕτη γὰρ μετ' αὐτοῦ ἀνίσταται ἡ στολή. ἐλεημοσύνης γὰρ σφραγὶς μετ' αὐτοῦ. ἀπὸ τούτων λάμπουσι τῶν ἱματίων οἱ τότε ἀκούοντες, πεινῶντά με ἐθρέψατε. ταῦτα ἐπισήμους ποιεῖ, ταῦτα περιφανεῖς, ταῦτα ἐν ἀσφαλείᾳ καθίστησι· τὰ δὲ νῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ δαπάνη σητῶν, καὶ τράπεζα σκωλήκων. καὶ ταῦτα λέγω, οὐ κηδεύειν κωλύων, ἀλλὰ μετὰ συμμετρίας τοῦτο ποιεῖν, ὥστε σκέπειν τὸ σῶμα, καὶ μὴ γυμνὸν παραδιδόναι τῇ γῇ. εἰ γὰρ ζῶντας μηδὲν ἔχειν πλέον κελεύει ἀλλ' ἢ σκέπασμα· πολλῷ μᾶλλον τελευτήσαντας. οὐ γὰρ οὕτω τετελευτηκὸς τὸ σῶμα δεῖται ἱματίων ὡς ζῶν καὶ ἐμπνέον. ζῶντες μὲν γάρ, καὶ ψύχους ἕνεκεν καὶ εὐσχημοσύνης δεόμεθα τῆς τῶν ἱματίων περιβολῆς· τελευτήσαντες δέ, τούτων μὲν οὐδενὸς ἕνεκεν· ἵνα δὲ μὴ γυμνὸν κέηται τὸ σῶμα, δεόμεθα τῶν ἐνταφίων· καὶ πρὸ τῶν ἐνταφίων δὲ ἔχομεν κάλυμμα κάλλιστον τὴν γῆν, καὶ τῇ τοιαύτῃ τῶν σωμάτων φύσει πρεπωδεστέραν. εἰ τοίνυν ἔνθα τοσαῦται χρεῖαι, οὐδὲν δεῖ περιττὸν ἐπιζητεῖν· πολλῷ μᾶλλον, ἔνθα οὐ τοσαύτη ἡ ἀνάγκη, ἄκαιρος ἡ φιλοτιμία. ἀλλ' οἱ ὁρῶντες γελάσονται, φησι. μάλιστα μὲν κἂν ᾖ τις ὁ γελῶν, οὐ πολλοῦ δεῖ ποιεῖσθαι λόγον τοῦ οὕτω σφόδρα ἀνοηταίνοντος· νυνὶ δὲ πολλοὶ οἱ θαυμάζοντες μᾶλλον, καὶ τὴν φιλοσοφίαν δεχόμενοι τὴν ἡμετέραν. γέλωτος γὰρ ἄξια οὐ ταῦτα, ἀλλ' ἃ ποιοῦμεν νῦν, ὀδυρόμενοι, πενθοῦντες, συγκατορύττοντες ἑαυτοὺς τοῖς ἀπελθοῦσι. ταῦτα καὶ γέλωτος καὶ κολάσεως ἄξια· τὸ δὲ φιλοσοφεῖν καὶ ἐν τούτοις καὶ ἐν τῇ τῶν ἱματίων συμμετρίᾳ, στεφάνους καὶ ἐπαίνους ἡμῖν προξενεῖ, καὶ πάντες ἡμᾶς κροτήσουσι, καὶ θαυμάσονται τοῦ Χριστοῦ τὴν

Ματθ. κε. λζ.

γρ. τετελευτηκότος

δύναμιν, καὶ ἐροῦσι· βαβαί, πόση ἡ τοῦ σταυρωθέντος ἰσχύς; ἔπεισε τοὺς ἀπολλυμένους καὶ φθειρομένους, ὅτι οὐκ ἔστι θάνατος ὁ θάνατος. οὐ τοίνυν τὰ τῶν ἀπολλυμένων ποιοῦσιν, ἀλλὰ τὰ τῶν προπεμπόντων εἰς ἀποδημίαν ἀμείνω. ἔπεισεν αὐτούς, ὅτι τὸ σῶμα τὸ φθαρτὸν τοῦτο καὶ γήϊνον, ἱμάτιον ἐνδύσεται τῶν σηρικῶν καὶ χρυσοπάστων πολὺ λαμπρότερον, τὴν ἀφθαρσίαν. διόπερ οὐδὲ πολλὴν περὶ τὴν ταφὴν ποιοῦνται σπουδήν, ἀλλ' ἐντάφιον ἡγοῦνται θαυμαστὸν, βίον ἐνάρετον. ταῦτα, ἂν φιλοσοφοῦντας ἴδωσιν, ἐροῦσιν· ἂν δὲ κατακαμπτομένους, γυναικιζομένους, χοροὺς περιϊστῶντας θρηνουσῶν γυναικῶν, γελάσονται καὶ κωμῳδήσουσι, καὶ μυρία κατηγορήσουσι, διασύροντες τὴν εἰκῆ δαπάνην, τὴν ματαιοπονίαν. καὶ γὰρ ταῦτα ἀκούομεν κατηγορούντων πάντων· καὶ μάλα εἰκότως. ποίαν γὰρ ἕξομεν ἀπολογίαν, ὅταν τὸ μὲν σῶμα εἰς ἰχῶρας καὶ σκώληκας δαπανώμενον καλλωπίζωμεν, τὸν δὲ Χριστὸν περιορῶμεν διψῶντα, γυμνὸν περιϊόντα καὶ ξένον. παυσώμεθα τοίνυν τῆς ματαίας ταύτης σπουδῆς· κηδεύσωμεν τοὺς ἀπελθόντας, ὡς καὶ ἡμῖν καὶ ἐκείνοις συμφέρει πρὸς δόξαν Θεοῦ· πολλὴν ὑπὲρ αὐτῶν ἐπιτελέσωμεν ἐλεημοσύνην· συμπέμψωμεν αὐτοῖς ἐφόδια κάλλιστα. Βασ. δ. ιθ. λδ εἰ γὰρ μνήμη θαυμαστῶν ἀνδρῶν τετελευτηκότων προέστη τῶν ζώντων (Ὑπερασπιῶ γάρ, φησι, τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου) πολλῷ μᾶλλον ἐλεημοσύνη τοῦτο ἐργάσεται. αὕτη γάρ, αὕτη καὶ νεκροὺς ἀνέστησεν, ἡνίκα περιέστησαν αἱ χῆραι Πραξ. θ. λϛ. ἐπιδεικνύμεναι ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς. ὅταν οὖν τις μέλλῃ τελευτᾶν, ὁ οἰκεῖος τῷ τελευτῶντι κατασκευαζέτω τὰ ἐντάφια, καὶ πειθέτω τὸν ἀπιόντα τοῖς δεομένοις τι καταλιμπάνειν. μετὰ δὲ τούτων ἀποπεμπέτω τῶν ἱματίων, κληρονόμον ἀφιέναι τὸν Χριστόν. εἰ γὰρ οἱ βασιλέας ἐγγράφοντες κληρονόμους, τοῖς οἰκείοις μοῖραν καταλιμπάνουσιν ἀσφαλείας· ὁ τὸν Χριστὸν ἀφιεὶς μετὰ τῶν παίδων, ἐννόησον ὅσην ἐπισπάσεται εὔνοιαν καὶ ἑαυτῷ καὶ τοῖς αὐτοῦ πᾶσι; ταῦτά ἐστι τὰ ἐντάφια καλά, ταῦτα ὀνίνησι καὶ τοὺς μένοντας καὶ τοὺς ἀπερχομένους. ἂν οὕτως ἐνταφιασθῶμεν, λαμπροὶ κατὰ τὸν τῆς ἀναστάσεως ἐσόμεθα καιρόν. ἂν δὲ τὸ σῶμα θεραπεύοντες τῆς ψυχῆς ἀμελῶμεν, πολλὰ ἐκεῖ πεισόμεθα δεινά, καὶ πολλὴν ὀφλήσομεν γέλωτα. οὐδὲ γὰρ ἡ τυχοῦσα ἀσχημοσύνη, γυμνὸν τῆς ἀρετῆς ἀπελθεῖν· οὐδὲ οὕτω τὸ σῶμα ἄταφον ἐρριμμένον καταισχύνεται, ὡς ψυχὴ τότε γυμνὴ τῆς ἀρετῆς φαινομένη. ταύτην ἀμφιασώμεθα, ταύτην περιστείλωμεν, μάλιστα μὲν παρὰ πάντα τὸν χρόνον· εἰ δὲ ἐνταῦθα ἠμελήσαμεν, κἂν τελευτῶντες νήψωμεν, καὶ τοῖς οἰκείοις ἐπισκήψωμεν συμπράττειν ἀπελθοῦσι δι' ἐλεημοσύνης ἡμῖν. οὕτω ὑπ' ἀλλήλων βοηθούμενοι παῤῥησίας πολλῆς ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Ισ. ἐπιτευξώμεθα, πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. πϛ. 10 ΑΠΗΛΘΟΝ ΟΥΝ ΠΑΛΙΝ ΠΡΟΣ ΕΑΥΤΟΥΣ οἱ μαθηταί· 11 Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω.

Περιπαθές πως τὸ γυναικεῖον γένος, καὶ πρὸς οἶκτον ἐπιῤῥεπέστερον. τοῦτο δὲ εἶπον, ἵνα μὴ θαυμάσῃς τί δήποτε Μαρία μὲν πικρῶς ἐθρήνει τῷ τάφῳ· Πέτρος δὲ οὐδὲν τοιοῦτον ἔπαθεν. οἱ μὲν γὰρ μαθηταί, φησιν, ἀπῆλθον πρὸς ἑαυτούς· ἡ δὲ εἱστήκει δακρύουσα. καὶ γὰρ ἡ φύσις εὐέμπλωτος, καὶ τὸν περὶ ἀναστάσεως οὐδέπω σαφῶς ᾔδει λόγον· καθάπερ ἐκεῖνοι τὰ ὀθόνια θεασάμενοι καὶ πιστεύσαντες, ἀπῆλθον πρὸς ἑαυτοὺς ἐκπληττόμενοι. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθον εἰς τὴν Γαλιλαίαν, καθάπερ αὐτοῖς ἐπετέτακτο πρὸ τοῦ πάθους; ἀνέμενον τοὺς λοιποὺς ἴσως· καὶ ἄλλως δέ, ἔτι ἐν ἀκμαζούσῃ ἦσαν ἐκπλήξει. οὗτοι μὲν οὖν ἀπῆλθον· ἐκείνη δὲ εἱστήκει πρὸς τῷ τόπῳ. μέγα γάρ, ὅπερ ἔφην, πρὸς παραμυθίαν καὶ μνῆμα φαινόμενον. ὁρᾷς γοῦν αὐτήν, ὥστε πλέον ἀναπαύεσθαι, καὶ παρακύπτουσα: καὶ βουλομένην τὸν τόπον ἰδεῖν ἔνθα τὸ σῶμα ἔκειτο; διὰ δὴ τοῦτο καὶ τῆς πολλῆς ταύτης σπουδῆς μισθὸν ἔλαβεν οὐ μικρόν. ὃ γὰρ οὐκ εἶδον οἱ μαθηταί, τοῦτο εἶδεν ἡ γυνὴ πρώτη, καθημένους ἀγγέλους, τὸν μὲν πρὸς ποδῶν, τὸν δὲ πρὸς κεφαλῆς ἐν λευκοῖς· καὶ τὸ σχῆμα φαιδρότητος πολλῆς γέμον καὶ χαρᾶς. ἐπειδὴ γὰρ οὐκ ἦν ὑψηλὴ τῆς γυναικὸς ἡ διάνοια, ὡς ἀπὸ τῶν σουδαρίων παραδέξασθαι τὴν ἀνάστασιν, γίνεταί τι πλέον, καὶ ἀγγέλους θεωρεῖ καθημένους ἐν φαιδρῷ τῷ σχήματι, ὥστε αὐτὴν ἀναστῆσαι τέως τοῦ πάθους ἐντεῦθεν καὶ παραμυθήσασθαι. ἀλλ' οὐδὲν αὐτῇ περὶ ἀναστάσεως λέγουσιν· ἀλλ' ἠρέμα προσβιβάζεται τῷ δόγματι τούτῳ. εἶδεν ὄψεις φαιδρὰς καὶ μᾶλλον ἢ κατὰ τὴν συνήθειαν· εἶδε σχῆμα λαμπρόν· ἤκουσε συμπαθοῦς φωνῆς.

γ. ὑποδέξ.

13 Τί γάρ, φησι, γύναι, τί κλαίεις; Διὰ δὲ τούτων ἁπάντων, ὥσπερ θύρας ἀνοιγομένης κατὰ μικρὸν εἰς τὸν περὶ ἀναστάσεως ἤγετο λόγον. καὶ ὁ τρόπος δὲ τῆς καθέδρας αὐτῶν, εἰς ἐρώτησιν αὐτὴν ἦγε. καὶ γὰρ ἐνέφαινον ὅτι ᾔδεσαν τὸ γεγονός. διὰ τοῦτο οὐδὲ ὁμοῦ κάθηνται, ἀλλὰ διεστηκότες ἀλλήλων. ἐπειδὴ γὰρ οὐκ εἰκὸς αὐτὴν τολμῆσαι ἁπλῶς πυθέσθαι, καὶ τῇ ἐρωτήσει καὶ τῷ τρόπῳ τῆς καθέδρας ἄγουσιν αὐτὴν ἐπὶ διάλεξιν. τί οὖν αὕτη; θερμῶς ἅμα καὶ φιλοστόργως· Ηραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ τεθείκασιν αὐτόν. Τί φῇς; οὐδέπω οὐδὲν περὶ ἀναστάσεως οἶδας, ἀλλ' ἔτι θέσιν φαντάζῃ; ὁρᾷς πῶς οὐδέπω ὑψηλὸν κατεδέξατο δόγμα;

14 Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω. Καὶ ποία αὕτη ἀκολουθία, πρὸς ἐκείνους διαλεγομένην, καὶ μηδέπω μηδὲν ἀκούσασαν παρ' αὐτῶν, στραφῆναι εἰς τὰ ὀπίσω; ἐμοὶ δοκεῖ ταῦτα λεγούσης αὐτῆς ἄφνω φανεὶς ὁ Χριστὸς ὄπισθεν αὐτῆς ἐκπλῆξαι τοὺς ἀγγέλους· κἀκείνους θεασαμένους τὸν δεσπότην καὶ τῷ σχήματι καὶ τῷ βλέμματι καὶ τῷ κινήματι εὐθέως ἐμφῆναι, ὅτι τὸν Κύριον εἶδον· καὶ τοῦτο τὴν γυναῖκα ἐπέστρεψε καὶ εἰς τὰ ὀπίσω στραφῆναι ἐποίησεν. ἐκείνοις μὲν οὖν οὕτως ἐφάνη· τῇ γυναικὶ δὲ οὐχ οὕτως, ὥστε αὐτὴν μὴ ἐκ πρώτης ἐκπλῆξαι τῆς ὄψεως, ἀλλ' ἐν εὐτελεστέρῳ καὶ κοινῷ τῷ σχήματι. καὶ δῆλον ἐξ ὧν καὶ κηπουρὸν αὐτὸν εἶναι ἐνόμιζε. τὴν δὲ οὕτω ταπεινὴν οὐκ ἔδει ἀθρόον ἐπὶ τὰ ὑψηλὰ ἀγαγεῖν, ἀλλ' ἠρέμα. πάλιν οὖν αὐτὴν ἐρωτᾷ·

γ. ἀτελεστέρῳ

15 Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Τοῦτο ἐνέφηνεν εἰδέναι αὐτὸν ὃ βούλεται ἐρωτῆσαι, καὶ εἰς ἀπόκρισιν ἤγαγε. τοῦτο οὖν καὶ ἡ γυνὴ συνιεῖσα, οὐκ ἔτι τὸ ὄνομα τοῦ Ἰησοῦ λέγει, ἀλλ' ὡς εἰδότος τοῦ ἐρωτῶντος περὶ οὗ πυνθάνεται, φησίν· Εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας, κἀγὼ αὐτὸν ἀρῶ. Πάλιν θέσιν καὶ ἄρσιν, καὶ τὸ βαστάσαι, ὡς περὶ νεκροῦ διαλεγομένη, φησίν. ὃ δὲ ἐμφαίνει, τοῦτό ἐστιν· εἰ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἤρατε αὐτὸν ἐντεῦθεν, εἴπατέ μοι, καὶ ἐγὼ λήψομαι αὐτόν. πολλὴ ἡ εὔνοια καὶ φιλοστοργία τῆς γυναικός· ὑψηλὸν δὲ οὐδὲν οὐδέπω παρ' αὐτῇ. διὰ τοῦτο λοιπὸν προστίθησιν αὐτῇ τοῦτο, οὐ δι' ὄψεως, ἀλλὰ διὰ φωνῆς. ὥσπερ γὰρ τοῖς Ἰουδαίοις ποτὲ μὲν ἐγνωρίζετο, ποτὲ δὲ ἄδηλος ἦν καὶ παρών· οὕτω καὶ φθεγγόμενος, ἡνίκα ἐβούλετο, τότε γνώριμον ἑαυτὸν ἐποίει. καὶ γὰρ ὅτε τοῖς Ἰουδαίοις ἔλεγε, τίνα ζητεῖτε; οὐ τὴν ὄψιν, οὐ τὴν φωνὴν ἐπέγνωσαν, ἕως ἠθέλησεν. ὃ δὴ καὶ ἐνταῦθα συνέβη. καὶ τὸ ὄνομα αὐτῆς μόνον ἐκάλεσεν, ὀνειδίζων καὶ καθαπτόμενος, ὅτι ταῦτα περὶ τοῦ ζῶντος ἐφαντάζετο. πῶς δὲ 16 Στραφεῖσα λέγει, Εἴγε πρὸς αὐτὴν διελέγετο; ἐμοὶ δοκεῖ εἰποῦσαν αὐτὴν τό, ποῦ τεθείκατε αὐτόν, στραφεῖσαν πρὸς τοὺς ἀγγέλους, ὡς ἐρωτῶσαν, τί ἐξεπλάγησαν· εἶτα τὸν Χριστὸν καλέσαντα αὐτὴν ἐπιστρέψαι πρὸς ἑαυτὸν ἀπὸ ἐκείνων, καὶ διὰ τῆς φωνῆς δῆλον ἑαυτὸν ποιῆσαι. ὅτε γὰρ ἐκάλεσεν αὐτήν,

γ. αὐτὴν

γ. ὑψηλὸν δὲ οὐδέπω παρ' αὐτῆς.

ἴσ. στραφῆναι

Μαρία, τότε αὐτὸν ἐπέγνω. οὕτως οὐκ ὄψεως ἦν, ἀλλὰ φωνῆς ἡ ἐπίγνωσις. Εἰ δὲ λέγοιεν, πόθεν δῆλον ὅτι οἱ ἄγγελοι ἐξεπλάγησαν, καὶ διὰ τοῦτο ἐπεστράφη ἡ γυνή; καὶ ἐνταῦθα ἐροῦσι, πόθεν δῆλον ὅτι ἥψατο αὐτοῦ, καὶ προσέπεσεν; ἀλλ' ὥσπερ τοῦτο δῆλον ἀπὸ τοῦ εἰπεῖν, μή μου ἅπτου· οὕτω κἀκεῖνο ἀπὸ τοῦ εἰπεῖν, ὅτι ἐστράφη. τίνος δὲ ἕνεκεν εἶπε,

17 Μή μου ἅπτου; Τινές φασιν, ὅτι χάριν αἰτεῖ πνευματικήν, ἀκούσασα μετὰ τῶν μαθητῶν λέγοντος· Ἐὰν πορευθῶ πρὸς τὸν πατέρα, ἐρωτήσω αὐτόν, καὶ δώσει ὑμῖν ἄλλον παράκλητον. καὶ πῶς ἡ μὴ παροῦσα μετὰ τῶν μαθητῶν ταῦτα ἤκουσεν; ἄλλως δέ, καὶ πόρρω τῆς διανοίας ταύτης ἡ τοιαύτη φαντασία. πῶς δὲ αἰτεῖ, οὐδέπω πρὸς τὸν πατέρα ἀπελθόντος; τί οὖν; δοκεῖ μοι βούλεσθαι αὐτὴν ἔτι συνεῖναι αὐτῷ, ὥσπερ τότε, καὶ ἀπὸ τῆς χαρᾶς μηδὲν ἐννοῆσαι μέγα, εἰ καὶ πολλῷ βελτίων ἐγεγόνει κατὰ σάρκα. ταύτης γοῦν ἀπάγων αὐτὴν τῆς ἐννοίας, καὶ τοῦ μετὰ πολλῆς αὐτῷ δειλίας διαλέγεσθαι (οὐδὲ γὰρ τοῖς μαθηταῖς φαίνεται λοιπὸν ἐπιχωριάζων ὁμοίως) ἀνάγει αὐτῆς τὴν διάνοιαν, ὥστε αἰδεσιμώτερον αὐτῷ προσέχειν. τὸ μὲν οὖν εἰπεῖν, μὴ πρόσιθί μοι, καθάπερ καὶ πρότερον (οὐ γὰρ ἐν τοῖς αὐτοῖς τὰ πράγματα, οὐδὲ ὁμοίως μέλλω συνεῖναι λοιπὸν ὑμῖν) προσάντες ἦν καὶ κόμπον ἔχον· τὸ δὲ εἰπεῖν, οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα, εἰ καὶ ἀνεπαχθές, τὸ αὐτὸ δηλοῦντος ἦν. Εἰπὼν γὰρ ὅτι οὔπω ἀναβέβηκα, ἐμφαίνει ὅτι ἐκεῖ σπεύδει καὶ ἐπείγεται· τὸν δὲ ἐκεῖ μέλλοντα ἀπιέναι, καὶ μηκέτι μετὰ ἀνθρώπων στρέφεσθαι, οὐκ ἔδει μετὰ τῆς αὐτῆς ὁρᾶν διανοίας, ἧς καὶ πρὸ τούτου. καὶ ὅτι τοῦτό ἐστι, δηλοῖ τὸ ἑξῆς.

Ἰωάν. ιϛ. 15.

γρ. πίν

γρ. ϛ

Πορεύου, καὶ εἰπὲ τοῖς ἀδελφοῖς, ὅτι πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Καίτοι οὐκ ἔμελλεν εὐθέως τοῦτο ποιεῖν, ἀλλὰ μετὰ τεσσαράκοντα ἡμέρας. πῶς οὖν τοῦτό φησιν; ἀναστῆσαι βουλόμενος αὐτῆς τὴν διάνοιαν καὶ πεῖσαι, ὅτι εἰς τοὺς οὐρανοὺς ἀπέρχεται. τὸ δέ, πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν, τῆς οἰκονομίας ἐστίν, ἐπεὶ καὶ τὸ ἀναβῆναι τῆς σαρκός ἐστι. πρὸς γὰρ τὴν οὐδὲν μέγα φανταζομένην ταῦτα φθέγγεται. ἑτέρως οὖν αὐτοῦ πατήρ, καὶ ἑτέρως ἡμῶν; πάνυ μὲν οὖν. εἰ γὰρ τῶν δικαίων ἑτέρως Θεός, καὶ τῶν ἄλλων ἀνθρώπων· πολλῷ μᾶλλον τοῦ υἱοῦ καὶ ἡμῶν. ἐπειδὴ γὰρ εἶπε, εἰπὲ τοῖς ἀδελφοῖς, ἵνα μὴ ἀπὸ τούτου ἴσον τι φαντασθῶσι, δείκνυσι τὸ ἐνηλλαγμένον. αὐτὸς μὲν γὰρ ἔμελλε καθέζεσθαι ἐπὶ τοῦ θρόνου τοῦ πατρικοῦ, οὗτοι δὲ παρεστηκέναι. ὥστε εἰ καὶ κατὰ τὴν οὐσίαν τὴν ἐν σαρκὶ ἀδελφὸς ἡμῶν ἐγένετο, ἀλλὰ τῇ τιμῇ πολὺ διενήνοχε, καὶ οὐδέ ἐστιν εἰπεῖν ὅσον.

γρ. κατ σιν.

18 Αὕτη μὲν οὖν ἀπέρχεται ταῦτα ἀπαγγέλλουσα τοῖς μαθηταῖς. Τοσοῦτόν ἐστι προσεδρία καὶ καρτερία καλόν. ἐκεῖνοι δὲ πῶς λοιπὸν οὐκ ἤλγησαν μέλλοντος ἀπιέναι, οὐδὲ ἐφθέγξαντο οἷα καὶ πρότερον; τότε μὲν οὖν ὡς τεθνηξόμενος, τοῦτο ἔπαθον· νῦν δὲ ἀναστάντος, τίνος ἕνεκεν ἔμελλον ἀλγεῖν; ἀπήγγειλε δὲ καὶ τὴν ὄψιν καὶ τὰ ῥήματα, ἅπερ ἱκανὰ ἦν αὐτοὺς παραμυθήσασθαι. ἐπεὶ οὖν εἰκὸς ἦν τοὺς μαθητὰς ταῦτα ἀκούοντας, ἢ διαπιστεῖν τῇ γυναικί, ἢ πιστεύσαντας ἀλγεῖν, ὅτι αὐτοὺς οὐ κατηξίωσε τῆς ὄψεως, καίτοιγε ἐπαγγειλάμενος ἐν τῇ Γαλιλαίᾳ αὐτοῖς φαίνεσθαι· ἵν' οὖν μὴ ταῦτα στρέφοντες ἀλύωσιν, οὐδὲ ἡμέραν μίαν ἀφῆκε διελθεῖν, ἀλλ' εἰς ἐπιθυμίαν αὐτοὺς ἀγαγὼν τῷ τε ἤδη εἰδέναι ἐγηγέρθαι αὐτόν, τῷ τε παρὰ τῆς γυναικὸς ἀκοῦσαι, διψῶντας αὐτὸν ἰδεῖν καὶ περιφόβους ὄντας (ὃ καὶ αὐτὸ μάλιστα τὸν πόθον ἐποίει πλείονα) τότε ὀψίας γενομένης ἐφίστατο, καὶ μετὰ πολλοῦ τοῦ θαύματος. καὶ τί δήποτε ἑσπέρας ἐφάνη; ὅτι τότε μάλιστα εἰκὸς ἦν αὐτοὺς εἶναι περιδεεῖς. ἀλλὰ τὸ θαυμαστόν, πῶς φάντασμα αὐτὸν οὐκ ἐνόμισαν. καὶ γὰρ κεκλεισμένων εἰσῆλθε τῶν θυρῶν καὶ ἀθρόον. μάλιστα μὲν οὖν ἡ γυνὴ προλαβοῦσα πολλὴν τὴν πίστιν εἰργάσατο· ἄλλως δέ, καὶ τρανὴν καὶ ἡμερινὴν τὴν ὄψιν αὐτοῖς ἐπέδειξεν. ἡμέρας δὲ οὐκ ἐπέστη μέν, ὡς συλλεγῆναι ἅπαντας ὁμοῦ. πολλὴ γὰρ ἡ ἔκπληξις. οὐδὲ γὰρ τὴν θύραν ἐπάταξεν, ἀλλ' ἀθρόον ἔστη μέσος, καὶ ἐπέδειξε

ἴσ. πεν

γρ. ἐφίστατο

γρ. ὅτι

ἐπέδειξε τὴν πλευρὰν καὶ τὰς χεῖρας. ἅμα δὲ καὶ τῇ φωνῇ κατεστόρεσε κυμαίνοντα τὸν λογισμόν, εἰπών·

19 Εἰρήνη ὑμῖν, Τουτέστι, μὴ θορυβεῖσθε, καὶ ῥήματος ἀναμνήσας, ὃ πρὸ τοῦ σταυροῦ πρὸς αὐτοὺς εἶπεν, Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· καὶ πάλιν, ἐν ἐμοὶ εἰρήνην ἔχετε, ἐν τῷ κόσμῳ θλίψιν ἕξετε.

20 Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Ὁρᾷς ἐπὶ τῶν ἔργων τοὺς λόγους ἐκβαίνοντας; ὃ γὰρ ἔλεγε πρὸ τοῦ σταυροῦ, ὅτι πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν, τοῦτο ″ νῦν ἔργῳ ἐπλήρωσεν. ἅπαντα δὲ ταῦτα ἐνῆγεν αὐτοὺς εἰς πίστιν ἀκριβεστάτην. ἐπειδὴ ″ γὰρ πόλεμον ἄσπονδον εἶχον πρὸς Ἰουδαίους, συνεχῶς ἐπιλέγει τό, Εἰρήνη ὑμῖν, ἀντίρροπον διδοὺς τοῦ πολέμου τὴν παραμυθίαν. τοῦτο γοῦν πρῶτον μετὰ τὴν ἀνάστασιν εἶπε τὸ ῥῆμα (διὸ καὶ Παῦλος πανταχοῦ φησι, χάρις ὑμῖν καὶ εἰρήνη) ταῖς δὲ γυναιξὶ χαρὰν εὐαγγελίζεται, διότι ἐν λύπαις τὸ γένος ἐκεῖνο ἦν, καὶ ταύτην ἐδέξατο πρώτην τὴν ἀράν. καταλλήλως μὲν οὖν τοῖς ἀνδράσι διὰ τὸν πόλεμον, εἰρήνην, ταῖς δὲ γυναιξὶ, διὰ τὴν λύπην, εὐαγγελίζεται χαράν. πάντα δὲ καταλύσας τὰ λυπηρὰ, ἐπιλέγει τὰ κατορθώματα τοῦ σταυροῦ. ταῦτα δὲ ἦν ἡ εἰρήνη. ἐπεὶ οὖν ἅπαντα ἀνῄρηται τὰ κωλύματά, φησι, καὶ τὴν νίκην κατέστησα λαμπρὰν καὶ κατώρθωται πάντα, εἶτα λοιπόν φησι·

γ. πίνω
γ. δὲ

Ματθ. κη. θ.

21 Καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Οὐδεμίαν ἔχετε δυσκολίαν ἀπό τε τῶν ἤδη γεγενημένων, ἀπό τε τῆς ἀξίας ἐμοῦ τοῦ πέμποντος. [διό φησιν] ἐνταῦθα ἐπαίρει αὐτῶν τὴν ψυχὴν, καὶ δείκνυσι πολὺ τὸ ἀξιόπιστον, εἴγε μέλλοιεν αὐτοῦ τὸ ἔργον ἀναδέχεσθαι. καὶ οὐκέτι παράκλησις πρὸς τὸν πατέρα γίνεται, ἀλλ᾽ αὐθεντίᾳ δίδωσι αὐτοῖς τὴν δύναμιν. 22 Ἐνεφύσησε γὰρ, καὶ εἶπε· λάβετε πνεῦμα ἅγιον.

23 Ὧν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται, καὶ ὧν κρατῆτε, κεκράτηνται.

Καθάπερ γὰρ τις βασιλεὺς ἄρχοντας ἀποστέλλων, ἐξουσίαν εἰς δεσμωτήριον καὶ ἐμβαλεῖν καὶ ἀφιέναι δίδωσιν· οὕτω καὶ τούτους ἐκπέμπων, ταύτῃ περιβάλλει τῇ δυνάμει. πῶς οὖν φησιν, ἐὰν μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ, καὶ νῦν τὸ πνεῦμα δίδωσι; τινὲς μέν φασιν, ὅτι οὐ τὸ πνεῦμα ἔδωκεν, ἀλλ᾽ ἐπιτηδείους αὐτοὺς πρὸς ὑποδοχὴν δι᾽ ἐμφυσήματος ″ κατέστησεν. εἰ γὰρ ἄγγελον ἰδὼν ὁ Δανιὴλ ἐξέστη, τί τὴν ἀπόρρητον χάριν ἐκείνην δεξάμενοι οὐκ ἂν ἔπαθον, εἰ μὴ μαθητὰς αὐτοὺς πρότερον κατεσκεύασε; διὰ τοῦτο οὐκ εἶπε, φησιν, ἐλάβετε πνεῦμα ἅγιον· ἀλλὰ, λάβετε πνεῦμα ἅγιον. οὐκ ἂν δέ τις ἁμάρτῃ καὶ τότε εἰληφέναι αὐτοὺς λέγων ἐξουσίαν τινὰ πνευματικὴν καὶ χάριν· ἀλλ᾽ οὐχ ὥστε νεκροὺς ἐγείρειν καὶ δυνάμεις ποιεῖν, ἀλλ᾽ ὥστε ἀφιέναι ἁμαρτήματα. διάφορα γὰρ τὰ χαρίσματα τοῦ πνεύματος. διὸ ἐπήγαγεν, ὧν ἂν ἀφῆτε, ἀφέωνται, δεικνὺς ποῖον εἶδος ἐνεργείας δίδωσιν. ἐκεῖ δὲ μετὰ ″ τεσσαράκοντα ἡμέρας τὴν τῶν σημείων ἔλαβον ἐνέργειαν. διό φησι· λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ· μάρτυρες δὲ διὰ τῶν σημείων ἐγίνοντο. καὶ γὰρ ἄφατος ἡ τοῦ πνεύματος χάρις, καὶ πολυειδὴς ἡ δωρεά. τοῦτο δὲ γίνεται, ἵνα μάθῃς, ὅτι πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου μία ἡ δωρεὰ καὶ ἐξουσία. ἃ γὰρ δοκεῖ ἰδιάζοντα εἶναι τοῦ πατρὸς, ταῦτα καὶ τοῦ υἱοῦ εἶναι φαίνεται καὶ τοῦ ἁγίου πνεύματος. πῶς οὖν οὐδεὶς ἔρχεται πρὸς τὸν υἱόν, φησιν, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν; ἀλλὰ τοῦτο δείκνυται τοῦ υἱοῦ ὄν. ἐγὼ γὰρ εἰμί, φησιν, ἡ ὁδός· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι᾽ ἐμοῦ. ὅρα δὲ αὐτὸ καὶ τοῦ πνεύματος ὄν. οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν Χριστὸν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. καὶ πάλιν, τοὺς ἀποστόλους ποτὲ μὲν ὑπὸ τοῦ πατρὸς, ποτὲ δὲ ὑπὸ τοῦ υἱοῦ, ποτὲ δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος δεδόσθαι τῇ ἐκκλησίᾳ, καὶ τὰς διαιρέσεις τῶν χαρισμάτων πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁρῶμεν οὔσας.

γ. κατεσκεύασεν.

ἴσ. πεντήκοντα

ΗΘΙΚΟΝ

Ἑβρ. ιγ. ιζ.
Ἑβρ. ιγ. ιζ.
β. Κορ. ε. κ.

Πάντα τοίνυν πράττωμεν ὥστε δύνασθαι τὸ πνεῦμα τὸ ἅγιον ἔχειν παρ' ἑαυτοῖς, καὶ τοὺς ἐγκεχειρισμένους τὴν ἐνέργειαν μετὰ πολλῆς θεραπεύωμεν τῆς τιμῆς. μεγάλη γὰρ ἡ τῶν ἱερέων ἀξία. ὧν ἂν ἀφῆτέ, φησιν, ἀφέωνται αἱ ἁμαρτίαι. διὸ καὶ Παῦλος ἔλεγε· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, καὶ ὑπερεκπερισσοῦ ἡγεῖσθε αὐτοὺς ἐν τιμῇ. σὺ μὲν γὰρ τὰ σαυτοῦ μεμέριμνας· κἂν ταῦτα διάθῃ καλῶς, οὐδείς σοι τῶν ἄλλων "ἔσται λόγος· ὁ δὲ ἱερεὺς, κἂν τὸν οἰκεῖον καλῶς οἰκονομήσῃ βίον, τῶν δὲ σῶν, ἤτοι ἁπάντων τῶν περὶ αὐτὸν μὴ μετ' ἀκριβείας ἐπιμεληθήσηται, μετὰ τῶν πονηρῶν εἰς τὴν γέενναν ἄπεισι· καὶ πολλάκις ἀπὸ τῶν οἰκείων οὐ προδοθεὶς, ἀπὸ τῶν ὑμετέρων ἀπόλλυται, ἂν μὴ πάντα τὰ εἰς αὐτὸν ἥκοντα ἀπαρτίσῃ καλῶς. Εἰδότες οὖν τοῦ κινδύνου τὸ μέγεθος, πολλὴν ἀπονέμετε αὐτοῖς εὔνοιαν· ὃ καὶ Παῦλος ᾐνίξατο λέγων, Ὅτι ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν· καὶ οὐχ ἁπλῶς, ἀλλ' ὡς λόγον ἀποδώσοντες. διὸ τῆς πολλῆς δεῖ θεραπείας αὐτοὺς ἀπολαύειν. ἐὰν δὲ ἐπεμβαίνητε μετὰ τῶν ἄλλων αὐτοῖς καὶ ὑμεῖς, καὶ οὐδὲ τὰ ὑμέτερα καλῶς διακείσεται. ἕως μὲν γὰρ ἐν εὐθυμίᾳ διάγει ὁ κυβερνήτης, ἐν ἀσφαλείᾳ ἔσται καὶ τὰ τῶν ἐπιβατῶν· ἂν δὲ, λοιδορουμένων ἐκείνων καὶ ἀπεχθῶς ἐχόντων πρὸς αὐτὸν ταλαιπωρῆται, οὐδὲ ἀγρυπνεῖν ὁμοίως δύναται, οὔτε τὴν τέχνην διασώζειν, καὶ ἄκων μυρίοις αὐτοὺς περιβάλλει κακοῖς. οὕτω καὶ ἱερεὺς, "ἂν μὲν ἀπολαύῃ τῆς παρ' ὑμῶν "τιμῆς, καὶ τὰ ὑμέτερα διαθεῖναι καλῶς δυνήσεται· ἂν δὲ ἀθυμίᾳ αὐτοὺς περιβάλλητε, τὰς χεῖρας ἐκλύσαντες, εὐχειρώτους μεθ' ὑμῶν αὐτοὺς ποιήσετε τοῖς κύμασι, κἂν σφόδρα γενναῖοι ὦσιν. ἐννόησον τί περὶ τῶν Ἰουδαίων φησὶν ὁ Χριστός; ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. πάντα οὖν ὅσα λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε. νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ ἱερεῖς· ἀλλ' ἐπὶ τῆς τοῦ Χριστοῦ. τὴν γὰρ ἐκείνου διεδέξαντο διδασκαλίαν. διὸ καὶ Παῦλός φησιν· Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. οὐχ ὁρᾶτε ἐπὶ τῶν ἔξωθεν ἀρχόντων ἅπαντας ὑποκύπτοντας, καὶ γένει βελτίους ὄντας πολλάκις καὶ βίῳ καὶ συνέσει τῶν δικαζόντων αὐτούς; ἀλλ' ὅμως διὰ τὸν δεδωκότα οὐδὲν τούτων ἐννοοῦσιν, ἀλλ' αἰδοῦνται τὴν ψῆφον τοῦ "βασιλεύοντος, κἂν ὁστισοῦν ὁ λαβὼν ᾖ τὴν ἀρχήν. εἶτα ἂν μὲν ἄνθρωπος χειροτονήσῃ, τοσοῦτος φόβος· οὗ δὲ Θεοῦ χειροτονοῦντος, καὶ ὑπερορῶμεν τὸν χειροτονούμενον καὶ "λοιδοροῦμεν καὶ μυρίοις ὀνείδεσι πλύνομεν, καὶ τοὺς ἀδελφοὺς ἡμῶν κωλυθέντες κρίνειν, κατὰ τῶν ἱερέων τὴν γλῶτταν ἀκονῶμεν; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια, ὅταν τὴν μὲν ἐν τῷ ὀφθαλμῷ τῷ ἡμετέρῳ δοκὸν μὴ βλέπωμεν, τὸ δὲ κάρφος τὸ ἑτέρου πικρῶς περιεργαζώμεθα; οὐκ οἴδατε ὅτι καὶ χαλεπώτερον σαυτῷ ποιεῖς τὸ δικαστήριον οὕτω δικάζων; καὶ ταῦτα λέγω, οὐκ ἀποδεχόμενος τοὺς ἀναξίως τὴν ἱερωσύνην διακονοῦντας, ἀλλὰ καὶ σφόδρα ἐλεῶν καὶ δακρύων. οὐ μὴν διὰ τοῦτό φημι δίκαιον εἶναι παρὰ τῶν ἀρχομένων κρίνεσθαι, [καὶ μάλιστα τῶν πάνυ ἀφελεστέρων.] κἂν ὁ βίος αὐτῶν σφόδρα διαβεβλημένος ᾖ, σὺ δὲ, ἂν σαυτῷ προσέχῃς, "οὐδὲν παραβλαβήσῃ εἰς τὰ ἐγκεχειρισμένα αὐτῷ παρὰ τοῦ Θεοῦ. εἰ γὰρ δι' ὄνου φωνὴν ἀφεθῆναι ἐποίησε, καὶ διὰ μάντεως εὐλογίας πνευματικὰς ἐχαρίσατο, ἐν ἀλόγῳ στόματι καὶ ἐν ἀκαθάρτῳ γλώττῃ τοῦ Βαλαὰμ ἐνεργήσας διὰ τοὺς προσκεκρουκότας Ἰουδαίους· πολλῷ μᾶλλον δι' ὑμᾶς τοὺς "εὐγνώμονας, καὶ εἰ σφόδρα φαῦλοι εἰσὶν οἱ ἱερεῖς, τὰ αὐτοῦ πάντα ἐργάσεται, καὶ πέμψει τὸ πνεῦμα τὸ ἅγιον. οὐδὲ γὰρ ὁ καθαρὸς ἀπὸ τῆς οἰκείας ἐπισπᾶται αὐτὸ καθαρότητος, ἀλλὰ χάρις ἐστὶν ἡ τὸ πᾶν ἐργαζομένη. πάντα γὰρ, φησι, δι' ὑμᾶς, εἴτε Παῦλος, εἴτε Ἀπολλὼς, εἴτε Κηφᾶς. ἃ γὰρ ἐγκεχείρισται οἱ ἱερεῖς, Θεοῦ μόνου ἐστὶ δωρεῖσθαι· καὶ ὅπουπερ ἂν ἡ ἀνθρωπίνη φθάσῃ φιλοσοφία, ἐλάττων τῆς χάριτος ἐκείνης φανεῖται. καὶ ταῦτα λέγω, οὐχ ἵνα ῥαθύμως τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, ἀλλ' ἵνα μὴ ῥαθυμούντων τινῶν τῶν προεστώτων ὑμεῖς οἱ ἀρχόμενοι ἑαυτοῖς πολλάκις ἐπισωρεύητε τὰ κακά. καὶ τί λέγω τοὺς ἱερεῖς; οὔτε ἄγγελος οὔτε ἀρχάγγελος ἐργάσασθαί τι δύναται

γρ. περὶ
γρ. κἂν μὲν θεραπείας,
γρ. βασιλέως,
γρ. λοιδορῶμεν
γρ. οὐδὲ
γρ. ἀγνώμονας,

εἰς τὰ δεδομένα παρὰ τοῦ Θεοῦ· ἀλλὰ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα πάντα οἰκονομεῖ· ὁ δὲ ἱερεὺς τὴν ἑαυτοῦ δανείζει γλῶτταν, καὶ τὴν ἑαυτοῦ παρέχει χεῖρα. καὶ γὰρ οὐδὲ δίκαιον ἦν διὰ τὴν ἑτέρου κακίαν εἰς τὰ σύμβολα τῆς σωτηρίας ἡμῶν τοὺς πίστει προσιόντας παραβλάπτεσθαι. ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὸν Θεὸν φοβώμεθα, καὶ τοὺς ἱερέας αὐτοῦ ἐντίμως ἔχωμεν, πᾶσαν αὐτοῖς ἀπονέμοντες τιμήν· ἵνα καὶ ὑπὲρ τῶν οἰκείων κατορθωμάτων, καὶ ὑπὲρ τῆς εἰς ἐκείνους θεραπείας πολλὴν λάβωμεν παρὰ τοῦ Θεοῦ τὴν ἀμοιβήν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁμιλ. πζ. 24 ΘΩΜΑΣ ΔΕ ΕΙΣ ΤΩΝ ΔΩΔΕΚΑ, ΛΕΓΟΜΕΝΟΣ Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. 25 Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν, ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ, οὐ μὴ πιστεύσω.

Ὥσπερ τὸ ἁπλῶς καὶ ὡς ἔτυχε πιστεύειν, εὐκολίας ἐστίν· οὕτω τὸ πέρα τοῦ μέτρου περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, παχυτάτης διανοίας. διὰ τοῦτο καὶ ὁ Θωμᾶς ἐγκαλεῖται. τοῖς γὰρ ἀποστόλοις εἰρηκόσιν, ὅτι ἑωράκαμεν τὸν Κύριον, οὐκ ἐπίστευσεν· οὐ τοσοῦτον ἐκείνοις ἀπιστῶν, ὅσον τὸ πρᾶγμα ἡγούμενος ἀδύνατον εἶναι· τουτέστι, τὴν ἐκ νεκρῶν ἀνάστασιν. οὐ γὰρ εἶπεν, ὅτι οὐ πιστεύω ὑμῖν· ἀλλ', ἐὰν μὴ βάλω τὴν χεῖρά μου, οὐ πιστεύω. πῶς οὖν, πάντων συνηγμένων, οὗτος ἀπελιμπάνετο μόνος; εἰκὸς ἦν ἀπὸ τῆς διασπορᾶς τῆς ἤδη γενομένης μηδέπω καὶ τότε αὐτὸν ἐπανελθεῖν. σὺ δὲ ὅταν ἴδῃς ἀπιστοῦντα τὸν μαθητὴν, ἐννόησον τοῦ δεσπότου τὴν φιλανθρωπίαν, πῶς καὶ ὑπὲρ μιᾶς ψυχῆς δείκνυσιν ἑαυτὸν τραύματα ἔχοντα, καὶ παραγίνεται ἵνα διασώσῃ καὶ τὸν ἕνα, καίτοι τῶν ἄλλων παχύτερον ὄντα. διὸ τὴν διὰ τῆς αἰσθήσεως τῆς παχυτάτης ἐζήτει πίστιν, καὶ οὐδὲ τοῖς ὀφθαλμοῖς ἐπίστευεν. οὐ γὰρ εἶπεν, ἂν μὴ ἴδω· ἀλλ', ἐὰν μὴ ψηλαφήσω, φησί, μήπως φαντασία τὸ ὁρώμενον ᾖ. καὶ μὴν οἱ μαθηταὶ ταῦτα ἀπαγγέλλοντες ἀξιόπιστοι τότε ἦσαν, καὶ αὐτὸς ὑπισχνούμενος· ἀλλ' ὅμως, ἐπειδὴ πλέον ἐζήτησεν, οὐδὲ τούτων αὐτὸν ἀπεστέρησεν ὁ Χριστός. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως αὐτῷ φαίνεται, ἀλλὰ μετὰ ἡμέρας ὀκτώ; ὥστε μεταξὺ κατηχούμενον αὐτὸν ὑπὸ τῶν μαθητῶν καὶ τὸ αὐτὸ ἀκούοντα, καὶ εἰς πλείονα ἐκκαῆναι πόθον, καὶ πιστότερον πρὸς τὸ μέλλον γενέσθαι. πόθεν δὲ ἤδει ὅτι καὶ ἡ πλευρὰ ἠνεῴχθη; παρὰ τῶν μαθητῶν ἀκούσας. πῶς οὖν τὸ μὲν ἐπίστευσε, τὸ δὲ οὐκ ἐπίστευσεν; ὅτι τοῦτο πολὺ παράδοξον καὶ θαυμαστὸν ἦν. σκόπει δέ μοι τὸ φιλάληθες τῶν ἀποστόλων, πῶς τὰ ἐλαττώματα οὐ κρύπτουσιν, οὔτε τὰ ἑαυτῶν, οὔτε τὰ ἑτέρων, ἀλλὰ μετὰ πολλῆς αὐτὰ ἀναγράφουσι τῆς ἀληθείας. ἐφίσταται δὲ πάλιν ὁ Ἰησοῦς, καὶ οὐ περιμένει παρ' ἐκείνου ἀξιωθῆναι, οὐδὲ ἀκοῦσαί τι τοιοῦτον, ἀλλὰ, μηδὲν εἰπόντος, αὐτὸς προλαβὼν, ἅπερ ἐπεθύμει, πληροῖ, δεικνὺς ὅτι καὶ, ἡνίκα ταῦτα ἐφθέγγετο πρὸς τοὺς μαθητὰς, παρῆν. καὶ γὰρ τοῖς ῥήμασιν ἐχρήσατο τοῖς αὐτοῖς, καὶ σφόδρα ἐπιτιμητικῶς καὶ εἰς τὸ ἑξῆς παιδευτικῶς. εἰπὼν γὰρ,

γ. ἠνοίγη;

27 Φέρε τὸν δάκτυλόν σου, καὶ ἴδε τὰς χεῖράς μου, καὶ βάλε [τὴν χεῖρά σου] εἰς τὴν πλευράν μου· Ἐπήγαγε, Καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Ὁρᾷς ὅτι ἀπιστίας ἦν ἡ ἀμφιβολία; ἀλλὰ πρὶν ἢ τὸ πνεῦμα λαβεῖν· μετὰ δὲ ταῦτα οὐκέτι, ἀλλ' ἀπηρτισμένοι λοιπὸν ἦσαν. οὐ ταύτῃ δὲ μόνον ἐπετίμησεν, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. ἐπειδὴ γὰρ ἐκεῖνος ἀνέπνευσε πληροφορηθεὶς, καὶ ἀνεβόησεν,

28 Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει, 29 Ὅτι ἑώρακάς με, πεπίστευκας. μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Τοῦτο γάρ ἐστι πίστεως, τὸ τὰ μὴ ὁρώμενα δέξασθαι. Ἔστι γὰρ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων. ἐνταῦθα δὲ οὐ τοὺς μαθητὰς μακαρίζει μόνους, ἀλλὰ καὶ τοὺς μετ᾽ ἐκείνους πιστεύσοντας. καίτοι, φησίν, οἱ μαθηταὶ εἶδον, καὶ ἐπίστευσαν. ἀλλ᾽ οὐδὲν τοιοῦτον ἐζήτησαν, ἀλλ᾽ ἀπὸ τῶν σουδαρίων εὐθέως τὸν περὶ ἀναστάσεως ἐδέξαντο λόγον, καὶ πρὶν ἢ τὸ σῶμα θεάσασθαι, τὴν πίστιν ἐπεδείξαντο πᾶσαν. ὅταν οὖν λέγῃ τις νυνί, ἐβουλόμην κατὰ τοὺς καιροὺς ἐκείνους εἶναι, καὶ ὁρᾶν τὸν Χριστὸν θαυματουργοῦντα, ἐννοείτω, ὅτι μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. ἄξιον δὲ διαπορῆσαι πῶς σῶμα ἄφθαρτον τύπους ἐδείκνυτο τῶν ἥλων, καὶ ἁπτὸν ἦν θνητῇ χειρί. ἀλλὰ μὴ θορυβηθῇς. συγκαταβάσεως γὰρ ἦν τὸ γινόμενον. τὸ γὰρ οὕτω λεπτὸν καὶ κοῦφον, ὡς κεκλεισμένων εἰσελθεῖν τῶν θυρῶν, παχύτητος πάσης ἀπήλλακτο· ἀλλ᾽ ὥστε πιστευθῆναι τὴν ἀνάστασιν, τοῦτο δείκνυται, καὶ ὥστε μαθεῖν ὅτι αὐτὸς ἦν ὁ σταυρωθείς, καὶ οὐκ ἄλλος ἀντ᾽ αὐτοῦ ἀνέστη. διὰ τοῦτο ἀνέστη ἔχων τὰ σημεῖα τοῦ σταυροῦ, καὶ τρώγει διὰ τοῦτο. οἱ γοῦν ἀπόστολοι τοῦτο ἄνω καὶ κάτω σημεῖον ἐποιοῦντο τῆς ἀναστάσεως, λέγοντες· οἵτινες συνεφάγομεν αὐτῷ καὶ συνεπίομεν. ὥσπερ οὖν ἐπὶ τῶν κυμάτων περιπατοῦντα θεωροῦντες πρὸ τοῦ σταυροῦ, οὐ λέγομεν ἄλλης φύσεως τὸ σῶμα ἐκεῖνο, ἀλλὰ τῆς ἡμετέρας· οὕτω μετὰ τὴν ἀνάστασιν αὐτὸν ὁρῶντες τοὺς τύπους ἔχοντα, οὐκ ἐροῦμεν αὐτὸν φθαρτὸν εἶναι λοιπόν. διὰ γὰρ τὸν μαθητὴν ταῦτα ἐνεδείκνυτο.

Ἑβρ. ια. α.

γ. ἀνίσταται

γ. αὐτό.

30 Πολλὰ δὲ καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς. Ἐπειδὴ γὰρ ἐλάττονα τῶν ἄλλων οὗτος εἶπεν ὁ εὐαγγελιστής, λέγει ὅτι οὐδὲ οἱ λοιποὶ πάντες πάντα εἶπον, ἀλλ᾽ ὅσα ἱκανὰ ἦν πρὸς πίστιν ἐφελκύσασθαι τοὺς ἀκούοντας. ἐπεί, εἰ πάντα, φησίν, ἐγέγραπτο, οὐδὲ τὸν κόσμον οἶμαι χωρῆσαι τὰ βιβλία. ὅθεν δῆλον ὅτι οὐ φιλοτιμίας ἕνεκεν, ἅπερ ἔγραψαν, εἶπον, ἀλλὰ τοῦ χρησίμου μόνον. οἱ γὰρ τὰ πλείονα ἀφέντες, πῶς ἐνταῦθα διὰ φιλοτιμίαν ἔγραψαν; τίνος οὖν ἕνεκεν οὐ πάντα ἐπῆλθον; μάλιστα μὲν διὰ τὸ πλῆθος· ἔπειτα δὲ κἀκεῖνο ἐνενόουν, ὅτι ὁ μὴ πιστεύσας τοῖς εἰρημένοις, οὐδὲ τοῖς πλείοσι προσέξει· ὁ δὲ ταῦτα δεξάμενος, οὐδὲν δεήσεται ἑτέρου εἰς τὸν τῆς πίστεως λόγον. ἐμοὶ δὲ ἐνταῦθα τέως δοκεῖ τὰ μετὰ τὴν ἀνάστασιν λέγειν σημεῖα. διό φησιν, Ἐνώπιον τῶν μαθητῶν αὐτοῦ.

ἴσ. ταῦτα

Ὥσπερ γὰρ πρὸ τῆς ἀναστάσεως ἔδει γενέσθαι πολλά, ἵνα πιστεύσωσιν ὅτι υἱός ἐστι Θεοῦ· οὕτω καὶ μετὰ τὴν ἀνάστασιν, ἵνα καταδέξωνται ὅτι ἀνέστη. διὰ τοῦτο καὶ προσέθηκεν, ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἐπειδὴ μόνοις αὐτοῖς συνεγίνετο μετὰ τὴν ἀνάστασιν. διὸ καὶ ἔλεγεν· ὁ κόσμος οὐκέτι με θεωρεῖ. Εἶτα, ἵνα μάθῃς ὅτι τῶν μαθητῶν ἕνεκεν μόνον ἐγίνετο τὰ γινόμενα, ἐπήγαγεν, 31 Ἵνα καὶ πιστεύσαντες ζωὴν αἰώνιον ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

κεφ. κα.

Κοινῇ πρὸς τὴν φύσιν διαλεγόμενος, καὶ δηλῶν ὅτι οὐκ ἐκείνῳ τῷ πιστευομένῳ, ἀλλ᾽ ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενος. ἐν τῷ ὀνόματι αὐτοῦ, τουτέστι, δι᾽ αὐτοῦ. αὐτὸς γάρ ἐστιν ἡ ζωή. 1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. Ὁρᾷς ὅτι οὐ συνεχῶς αὐτοῖς ἐπιχωριάζει, οὐδ᾽ ὥσπερ ἔμπροσθεν; ἐφάνη γοῦν τῇ ἑσπέρᾳ, καὶ ἀπέπτη· εἶτα μετὰ ὀκτὼ ἡμέρας πάλιν, καὶ πάλιν ἀπέπτη· εἶτα μετὰ ταῦτα ἐπὶ τῆς θαλάσσης, καὶ πάλιν μετὰ πολλοῦ τοῦ φόβου. τί δέ ἐστι τό, ἐφανέρωσεν; ἐκ τούτου δῆλον, ὅτι οὐχ ἑωρᾶτο, εἰ μὴ συγκατέβη, διὰ τὸ λοιπὸν ἄφθαρτον εἶναι τὸ σῶμα καὶ ἀκήρατον. τίνος δὲ ἕνεκεν ἐμνήσθη τοῦ τόπου; δεικνὺς ὅτι τὸ πλέον ἀφεῖλε τοῦ δέους, ὡς λοιπὸν αὐτοὺς καὶ προκύπτειν τῆς οἰκίας, καὶ πανταχοῦ περιιέναι. οὐκέτι γὰρ ἐπὶ τῆς οἰκίας συγκεκλεισμένοι ἦσαν, ἀλλ᾽ ἐπὶ τὴν Γαλιλαίαν ᾔεσαν, τὸν κίνδυνον ἐκκλίνοντες τῶν Ἰουδαίων. ἔρχεται τοίνυν ὁ Σίμων ἁλιεῦσαι. ἐπειδὴ γὰρ οὔτε αὐτὸς αὐτοῖς συνεχῶς συνῆν, οὔτε τὸ πνεῦμα δοθὲν ἦν, οὔτε τι ἐγκεχειρισμένοι τότε ἐτύγχανον, οὐδὲν ἔχοντες πράττειν, τὴν τέχνην μετῄεσαν. 2 Καὶ ἦσαν Σίμων ὁμοῦ καὶ Θωμᾶς καὶ Να-

θαναὴλ ὁ ἀπὸ τοῦ Φιλίππου κληθείς, καὶ οἱ υἱοὶ Ζεβεδαίου, καὶ ἄλλοι δύο. Οὐδὲν οὖν ἔχοντες πράττειν, ἐπὶ τὴν ἁλιείαν ᾔεσαν, καὶ ἐν νυκτὶ τοῦτο αὐτὸ ἐποίουν διὰ τὸ περιδεεῖς εἶναι. τοῦτο καὶ ὁ Λουκᾶς φησιν. ἀλλ' οὐκ ἔστι τοῦτο ἐκεῖνο, ἀλλ' ἕτερον τοῦτο. οἱ δὲ ἄλλοι μαθηταὶ εἵποντο διὰ τὸ συνδεδέσθαι λοιπὸν ἀλλήλοις, καὶ ἅμα βουλόμενοι θεάσασθαι τὴν ἁλιείαν καὶ τὴν σχολὴν δια″θέασθαι. κάμνουσι τοίνυν καὶ ταλαιπωρουμένοις ἐφίσταται ὁ Ἰησοῦς, καὶ οὐκ εὐθέως ἑαυτὸν δείκνυσιν, ὥστε καὶ εἰς διάλεξιν ἐλθεῖν. λέγει οὖν αὐτοῖς·

ἢ. διαθέσθαι.

5 Μήτι προσφάγιον ἔχετε; Τέως ἀνθρωπινώτερον διαλέγεται, ὡς μέλλων τι ὠνεῖσθαι παρ' αὐτῶν. ὡς δὲ ἀνένευσαν μηδὲν ἔχειν, ἐκέλευσε βαλεῖν εἰς τὰ δεξιά. καὶ βαλόντες ἐπέτυχον τῆς ἄγρας. ὡς δὲ ἐπέγνωσαν αὐτόν, πάλιν τὰ ἰδιώματα τῶν οἰκείων ἐπιδείκνυνται τρόπων οἱ μαθηταί, Πέτρος καὶ Ἰωάννης. ὁ μὲν γὰρ θερμότερος, ὁ δὲ ὑψηλότερος ἦν· καὶ ὁ μὲν ὀξύτερος ἦν, ὁ δὲ διορατικώτερος. διὰ τοῦτο ὁ μὲν Ἰωάννης πρῶτος ἐπέγνω τὸν Ἰησοῦν, ὁ δὲ Πέτρος πρῶτος ἦλθε πρὸς αὐτόν. καὶ γὰρ οὐ τὰ τυχόντα γινόμενα ἦν σημεῖα. τίνα δὲ ἦν τὰ γινόμενα; πρῶτον μὲν τὸ πολλοὺς συλληφθῆναι τοὺς ἰχθύας· ἔπειτα, τὸ μὴ διαρραγῆναι τὸ δίκτυον· εἶτα, τό, πρὶν ἐπιβῆναι, εὑρεθῆναι τοὺς ἄνθρακας, καὶ ἰχθὺν ἐπικείμενον καὶ ἄρτον. οὐκέτι γὰρ ἐξ ὕλης ὑποκειμένης ἐποίει, ὥσπερ διά τινα οἰκονομίαν ἐποίει πρὸ τοῦ σταυροῦ. ὡς οὖν ἐπέγνω αὐτόν, πάντα ἔρριψε, καὶ τοὺς ἰχθῦς καὶ τὰ δίκτυα, καὶ διεζώσατο ὁ Πέτρος. ὁρᾷς καὶ τὴν αἰδῶ καὶ τὸν πόθον; καίτοι ἀπὸ διακοσίων πηχῶν ἦσαν· ἀλλ' οὐδὲ οὕτως ἐκαρτέρησε τῷ πλοίῳ πρὸς αὐτὸν ἐλθεῖν, ἀλλὰ νηχόμενος παρεγίνετο. τί οὖν ὁ Ἰησοῦς;

12 Δεῦτε, φησίν, ἀριστήσατε. καὶ οὐδεὶς ἐτόλμα ἐρωτῆσαι αὐτόν.

Οὐκέτι γὰρ τὴν αὐτὴν παρρησίαν εἶχον, οὐδὲ ὁμοίως ἐθάρρουν, οὐδὲ ἤρχοντο πρὸς αὐτὸν διὰ λόγου λοιπόν, ἀλλὰ μετὰ σιγῆς καὶ δέους πολλοῦ καὶ αἰδοῦς ἐκαθέζοντο προσέχοντες πρὸς αὐτόν.

Ἤδεισαν μὲν γὰρ ὅτι ὁ Κύριός ἐστι. Καὶ διὰ τοῦτο οὐκ ἠρώτων, τίς εἶ. τὴν δὲ μορφὴν ἀλλοιοτέραν ὁρῶντες, καὶ πολλῆς ἐκπλήξεως γέμουσαν, σφόδρα ἦσαν καταπεπληγμένοι, καὶ ἐβούλοντό τι περὶ αὐτῆς ἐρωτᾶν· ἀλλὰ τὸ δέος, καὶ τὸ εἰδέναι αὐτούς, ὅτι οὐχ ἕτερός τις ἦν, ἀλλ' αὐτός, ἐπεῖχον τὴν ἐρώτησιν, καὶ μόνον ἤσθιον, ἅπερ αὐτοῖς ἐδημιούργησε μετὰ πλείονος ἐξουσίας. ἐνταῦθα δὲ οὐκέτι ἀναβλέπει εἰς τὸν οὐρανόν, οὐδὲ τὰ ἀνθρώπινα ἐκεῖνα ποιεῖ, δεικνὺς ὅτι κἀκεῖνα συγκαταβάσεως ἕνεκεν ἐγίνετο. ὅτι δὲ οὐδὲ συνεχῶς ἐπεχωρίαζεν, οὐδὲ ὁμοίως, λέγει,

14 Ὅτι τρίτον τοῦτο ἐφάνη αὐτοῖς, ὅτε ἠγέρθη ἐκ νεκρῶν. Καὶ κελεύει ἐκ τῶν ὀψαρίων ἐνεγκεῖν, δεικνὺς ὅτι τὸ ὁρώμενον οὐκ ἦν φάντασμα. ἀλλ' ἐνταῦθα μὲν οὐ λέγει, ὅτι ἔφαγε μετ' αὐτῶν· ὁ δὲ Λουκᾶς ἀλλαχοῦ″ αὐτόν φησιν, ὅτι συναλιζόμενος αὐτοῖς ἦν. τὸ δὲ πῶς, οὐχ ἡμέτερον εἰπεῖν· τρόπῳ γάρ τινι παραδοξοτέρῳ ταῦτα ἐγίνετο· οὐχ ὡς τῆς φύσεως δεομένης βρωμάτων λοιπόν, ἀλλὰ συγκαταβάσεως πρὸς ἀπόδειξιν τῆς ἀναστάσεως γινομένης.

ἴσ. περὶ αὐτοῦ

ΗΘΙΚΟΝ

Τάχα ταῦτα ἀκούοντες διεθερμάνθητε, καὶ τοὺς συνόντας αὐτῷ τότε ἐμακαρίσατε, καὶ τοὺς μέλλοντας συνέσεσθαι κατὰ τὴν ἡμέραν τῆς κοινῆς ἀναστάσεως. οὐκοῦν ἅπαντα πραττώμεν, ὥστε τὸ πρόσωπον ἐκεῖνο τὸ θαυμαστὸν ἰδεῖν. εἰ γὰρ νῦν ἀκούοντες οὕτως ἐκκαιόμεθα, καὶ ἐπιθυμοῦμεν κατ' ἐκείνας γενέσθαι τὰς ἡμέρας, ἃς ἐπὶ τῆς γῆς διέτριβε, καὶ φωνῆς ἀκοῦσαι, καὶ ὄψιν ἰδεῖν, καὶ προσελθεῖν, καὶ ἅψασθαι, καὶ διακονῆσαι· ἐννόησον ἡλίκον αὐτὸν ἐστὶν ἰδεῖν οὐκέτι ἐν θνητῷ σώματι, οὐδὲ ἀνθρώπινα ποιοῦντα, ἀλλ' ὑπὸ ἀγγέλων δορυφορούμενον, ἐν ἀκηράτῳ καὶ αὐτοὺς ὄντας, καὶ ἐκεῖνον βλέποντας, καὶ τῆς ἄλλης εὐημερίας ἀπολαύοντας τῆς πάντα νικώσης λόγον. διὸ δή, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μὴ τῆς τοσαύτης ἐκπεσεῖν δόξης. οὐδὲν γὰρ δύσκολον, ἐὰν θέλωμεν· οὐδὲν φορτικόν, ἐὰν προσέχωμεν.

ἐχώμεθα. εἰ γὰρ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τί ἐστιν, ὑπομένομεν; εἰ τὰς θλίψεις φέρομεν,
εἰ τοὺς διωγμοὺς, εἰ τὴν στενὴν βαδίζομεν ὁδόν. ἡ γὰρ στενὴ, τῇ φύσει μέν ἐστιν ἐπίμοχθος· τῇ
β. Κορ. δ. ιζ. προαιρέσει δὲ τῇ ἡμετέρᾳ κούφη γίνεται, τῇ τῶν μελλόντων ἐλπίδι. Τὸ γὰρ παραυτίκα ἐλα-
φρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζε-
ται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. μεταστήσωμεν τοίνυν
τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν, καὶ διαπαντὸς ἐκεῖνα φανταζώμεθα, καὶ βλέπωμεν. ἂν
γὰρ ἐν ἐκείνοις ἀεὶ διατρίβωμεν, οὔτε πρὸς τὰ ἡδέα τὰ ἐνταῦθα πεισόμεθά τι, οὔτε τὰ λυ-
πηρὰ βαρέως οἴσομεν· ἀλλὰ καὶ τούτων καὶ τῶν ὁμοίων καταγελασόμεθα, καὶ οὐδὲν ἡμᾶς οὔτε
δουλῶσαι, οὔτε ἐπᾶραι δυνήσεται, μόνον ἂν τὸν πόθον ἐκεῖ τείνωμεν, ἂν πρὸς τὴν ἀγά- γ. ἐκείνου
πην ἐκείνην βλέπωμεν. καὶ τί λέγω, οὐκ ἀλγήσομεν τοῖς παροῦσι δεινοῖς; οὔτε γὰρ ὁρᾷν
δόξομεν αὐτὰ λοιπόν. τοιοῦτον γάρ ἐστιν ὁ ἔρως. τοὺς γοῦν μὴ συμπαρόντας ἡμῖν, ἀλλ' ἀπόν-
τας, ποθουμένους δὲ, καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν. μεγάλη γὰρ τῆς ἀγάπης ἡ
τυραννίς. πάντων ἀφίστησι, καὶ τῷ ποθουμένῳ προσδεσμεῖ τὴν ψυχήν. ἂν οὕτω τὸν Χρι-
στὸν ἀγαπήσωμεν, πάντα τὰ ἐνταῦθα σκιὰ, πάντα εἰκὼν φανεῖται καὶ ὄναρ. ἐροῦμεν καὶ ἡ-
Ρωμ. η. λε. μεῖς· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις ἢ στενοχωρία; οὐκ εἶπε, χρήματα,
ἢ πλοῦτος, ἢ κάλλος (ταῦτα γὰρ σφόδρα εὐτελῆ καὶ καταγέλαστα) ἀλλὰ τὰ δοκοῦντα εἶναι
βαρέα τέθεικε, λιμοὺς, διωγμοὺς, θανάτους. εἶτα ἐκεῖνος μὲν ὡς οὐδὲν ὄντα καὶ ταῦτα διέ-
πτυσεν· ἡμεῖς δὲ διὰ χρήματα χωριζόμεθα τῆς ζωῆς τῆς ἡμετέρας, καὶ τοῦ φωτὸς ἀποσχιζόμεθα.
καὶ Παῦλος μὲν οὐ θάνατον, οὐδὲ ζωὴν, οὐδὲ ἐνεστῶτα, οὐ μέλλοντα, οὐ κτίσιν ἑτέραν προετί-
μα τῆς εἰς αὐτὸν ἀγάπης· ἡμεῖς δὲ χρυσίον ὀλίγον ἂν ἴδωμεν, ἐκκαιόμεθα, καὶ τοὺς αὐτοῦ πα-
τοῦμεν νόμους. εἰ δὲ οὐκ ἀνεκτὰ ταῦτα λεγόμενα, πολλῷ μᾶλλον γινόμενα. τὸ γὰρ δεινὸν
τοῦτο ἐστιν, ὅτι ἀκούοντες μὲν φρίττομεν, πράττοντες δὲ οὐ φρίττομεν· ἀλλὰ καὶ ὄμνυμεν εὐκόλως,
καὶ ἐπιορκοῦμεν, καὶ ἁρπάζομεν, καὶ τόκους ἀπαιτοῦμεν, καὶ σωφροσύνης ἀμελοῦμεν, καὶ εὐχῆς
ἀκριβεστάτης ἀφεστήκαμεν, καὶ τὰ πλείονα παραβαίνομεν τῶν ἐπιταγμάτων, καὶ χρημάτων ἕνεκεν
τῶν μελῶν τῶν ἡμετέρων οὐδένα ποιούμεθα λόγον. ὁ γὰρ χρημάτων ἐρῶν, μυρία τὸν πλησίον
διαθήσει κακὰ, καὶ ἑαυτὸν μετ' ἐκείνου. καὶ γὰρ ὀργιεῖται ῥᾳδίως, καὶ λοιδορήσεται, καὶ μωρὸν
καλέσει, καὶ ὀμεῖται, καὶ ἐπιορκήσει, καὶ οὐδὲ τοῦ παλαιοῦ τὰ μέτρα διατηρεῖ νόμου. οὐ γὰρ γ. διατηρεῖν
ἀγαπήσει τὸν πλησίον ὁ τὸ χρυσίον ἀγαπῶν. καίτοιγε καὶ ἡμεῖς καὶ τοὺς ἐχθροὺς κελευόμεθα
διὰ τὴν βασιλείαν φιλεῖν. εἰ γὰρ τὰ παλαιὰ ἐπιτάγματα πληροῦντες, οὐ δυνησόμεθα
ἐπιβῆναι τῆς βασιλείας τῶν οὐρανῶν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον ἐκείνων·
οἱ καὶ ἐκεῖνα παραβαίνοντες, τίνος τευξόμεθα ἀπολογίας; ὁ χρημάτων ἐρῶν, οὐ μόνον ἐχθροὺς οὐκ
ἀγαπήσει, ἀλλὰ καὶ φίλοις ὡς ἐχθροῖς χρήσεται. καὶ τί λέγω φίλους; καὶ γὰρ αὐτὴν πολ-
λάκις τὴν φύσιν ἠγνόησαν οἱ χρημάτων ἐρῶντες. ὁ τοιοῦτος οὐ συγγένειαν οἶδεν, οὐ συνηθείας
μέμνηται, οὐχ ἡλικίαν αἰδεῖται, οὐ φίλον ἔχει τινὰ, ἀλλὰ πρὸς πάντας ἀπεχθῶς διάκειται,
καὶ πρὸ τῶν ἄλλων πάντων, πρὸς ἑαυτόν· οὐ μόνον τῷ ἀπολλύναι τὴν ψυχὴν τὴν ἑαυτοῦ,
ἀλλὰ καὶ τῷ μυρίαις ἑαυτὸν κατατείνειν φροντίσι καὶ μόχθοις καὶ λύπαις. καὶ γὰρ ἀποδημίας καὶ
ἀπεχθείας καὶ κινδύνους καὶ ἐπιβουλὰς, καὶ πᾶν ὁτιοῦν ὑποστήσεται, μόνον ἵνα τὴν ῥίζαν τῶν
κακῶν ἔχῃ παρ' ἑαυτῷ, καὶ πολὺ χρυσίον ἀριθμῇ. τί τοίνυν γένοιτ' ἂν τῆς νόσου ταύτης χαλε-
πώτερον; καὶ γὰρ καὶ τρυφῆς καὶ ἡδονῆς ἁπάσης ἐστέρηται, δι' ἣν πολλὰ ἁμαρτάνουσιν ἄνθρωποι, καὶ
δόξης καὶ τιμῆς. ὁ γὰρ χρημάτων ἐρῶν, καὶ ὑποπτεύει μυρίους, καὶ κατηγόρους ἔχει πολλοὺς,
καὶ τοὺς βασκαίνοντας, καὶ τοὺς διαβάλλοντας, καὶ τοὺς ἐπιβουλεύοντας. οἱ μὲν γὰρ ἀδικούμε-
νοι μισοῦσιν, ἅτε κακῶς παθόντες· οἱ δὲ μηδέπω παθόντες, δεδοικότες μὴ πάθωσι, καὶ συν-
αλγοῦντες τοῖς πεπονθόσιν, ἐπιδείκνυνται πόλεμον τὸν αὐτόν· οἱ δὲ μείζους καὶ δυνατώτεροι,
δακνόμενοι καὶ ἀγανακτοῦντες ὑπὲρ τῶν ταπεινοτέρων, ἔτι δὲ καὶ βασκαίνοντες, ὁμοίως εἰ-

σίν

σιν ἐχθροὶ καὶ μισοῦσι. καὶ τί λέγω τοὺς ἀνθρώπους; ὅταν γὰρ καὶ τὸν Θεὸν ἐκπεπολεμωμένον ἔχῃ τις, τίς αὐτῷ λοιπὸν ἐλπὶς ἔσται; ποία παραμυθία; τίς παραψυχή; ὁ χρημάτων ἐρῶν, οὐ χρῆσθαι αὐτοῖς δυνήσεταί ποτε, ἀλλὰ δοῦλος ἔσται καὶ φύλαξ, οὐ δεσπότης. πλείονα γὰρ ἀεὶ ποιεῖν σπουδάζων, οὐδαμοῦ ἀναλίσκειν ἐθελήσει, συγκόψει δὲ ἑαυτὸν, καὶ πάντων πενήτων πενέστερον διακείσεται, [ὡς] οὐδαμοῦ τῆς ἐπιθυμίας ἱστάμενος. καίτοιγε χρήματα, οὐχ ἵνα φυλάξωμεν, ἀλλ' ἵνα χρώμεθα, γεγόνασιν· εἰ δὲ μέλλοιμεν αὐτὰ κατορύττειν ἑτέροις, τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον, οἳ περιτρέχομεν τὰ πάντων συλλαβεῖν σπουδάζοντες, ἵνα ἀποκλείσωμεν ἔνδον, καὶ τὴν κοινὴν ἐκκόψωμεν χρῆσιν; ἔστι καὶ ἑτέρα νόσος ταύτης οὐχ ἥττων. οἱ μὲν γὰρ εἰς τὴν γῆν κατορύττουσιν, οἱ δὲ εἰς τὴν γαστέρα καὶ ἡδονὴν καὶ μέθην, μετὰ τῆς ἀδικίας καὶ τὴν ἀπὸ τῆς ἀσελγείας προστιθέντες ἑαυτοῖς κόλασιν. καὶ οἱ μὲν παρασίτοις καὶ κόλαξιν· οἱ δὲ κύβοις καὶ πόρναις· οἱ δὲ ἑτέραις τοιαύταις λειτουργοῦσι δαπάναις, μυρίας τέμνοντες ἑαυτοῖς εἰς γέενναν φερούσας ὁδοὺς, τὴν ὀρθὴν καὶ νενομισμένην ἀφέντες, τὴν πρὸς τὸν οὐρανὸν φέρουσαν. καίτοιγε οὐχὶ κέρδος μόνον, ἀλλὰ καὶ ἡδονὴν μείζονα τῶν εἰρημένων ἔχει. ὁ μὲν γὰρ πόρναις διδοὺς, καταγέλαστος ἔσται καὶ αἰσχρὸς, καὶ πολλοὺς ἕξει πολέμους καὶ βραχεῖαν τὴν ἡδονήν· μᾶλλον δὲ οὐδὲ βραχεῖαν. ὅσα γὰρ ἂν δῷ ταῖς ἑταιριζομέναις γυναιξὶν, οὐδεμίαν χάριν αὐτῷ εἴσονται. Πίθος γὰρ τετρημένος ἐστὶν οἶκος ἀλλότριος. ἄλλως δὲ, ἰταμὸν τὸ γένος ἐκεῖνο, καὶ τῷ ᾅδῃ προσεοικέναι αὐτῆς τὸν ἔρωτα παρέβαλεν ὁ Σολομῶν, καὶ τότε ἵσταται μόνον, ὅταν πάντων γυμνωθέντα ἴδῃ τὸν ἐραστήν· μᾶλλον δὲ οὐδὲ τότε ἵσταται, ἀλλὰ καὶ ἐπικαλλωπίζεται μειζόνως, καὶ ἐπεμβαίνει κειμένῳ, καὶ πολὺν κατ' αὐτοῦ κινεῖ γέλωτα, καὶ τοσαῦτα αὐτὸν ἐργάζεται κακὰ, ὅσα οὐδὲ ἐπελθεῖν λόγῳ δυνατόν. ἀλλ' οὐχ ἡ ἡδονὴ τῶν σωζομένων τοιαύτη. οὔτε γὰρ ἀντεραστὴν ἔχει τις ἐνταῦθα, ἀλλὰ πάντες χαίρουσι καὶ ἀγάλλονται, οἵ τε εὖ πάσχοντες, οἵ τε ὁρῶντες. οὐ θυμὸς, οὐκ ἀθυμία, οὐκ αἰσχύνη καὶ ὄνειδος τὴν τοῦ τοιούτου πολιορκεῖ ψυχήν· ἀλλὰ πολλὴ μὲν εὐφροσύνη τοῦ συνειδότος, πολλὴ δὲ ἡ τῶν μελλόντων ἐλπίς· λαμπρὰ δὲ ἡ δόξα καὶ πολλὴ ἡ περιφάνεια, καὶ πλείων πάντων ἡ παρὰ τοῦ Θεοῦ εὔνοια καὶ ἀσφάλεια, καὶ κρημνὸς οὐδὲ εἷς, οὐδὲ ὑποψία· ἀλλὰ λιμὴν ἀκύμαντος καὶ γαλήνη. ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ ἡδονὴν ἡδονῇ παραβάλλοντες, ἑλώμεθα "τὴν βελτίω, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κ. ἐκ τῶν χρημ. οὐ

Κ. τῇ

Παρ. κγ. κζ.

Ομιλ. πη. 15 ΟΤΕ ΟΥΝ ΗΡΙΣΤΗΣΑΝ, ΛΕΓΕΙ Ο ΙΗΣΟΥΣ τῷ Σίμωνι Πέτρῳ, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε.

ΠΟλλὰ μέν ἐστι καὶ ἕτερα τὰ δυνάμενα δοῦναι παρρησίαν ἡμῖν πρὸς τὸν Θεὸν, καὶ δεῖξαι λαμπροὺς καὶ εὐδοκίμους· ὃ δὲ μάλιστα πάντων παρέχον ἡμῖν τὴν ἄνωθεν εὔνοιαν, ἡ περὶ τοὺς πλησίον ἐστὶ κηδεμονία· ὅπερ οὖν καὶ ὁ Χριστὸς ἀπαιτεῖ τὸν Πέτρον. ἐπεὶ γὰρ τέλος εἶχεν αὐτοῖς τὰ τῆς ἐδωδῆς, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ· ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· Βόσκε τὰ πρόβατά μου. Καὶ τί δήποτε, τοὺς ἄλλους παραδραμὼν, τούτῳ περὶ τούτων διαλέγεται; ἔκκριτος ἦν τῶν ἀποστόλων, καὶ στόμα τῶν μαθητῶν, καὶ κορυφὴ τοῦ χοροῦ. διὰ τοῦτο καὶ Παῦλος ἀνέβη ποτὲ αὐτὸν ἱστορῆσαι παρὰ τοὺς ἄλλους· ἅμα δὲ καὶ δεικνὺς αὐτῷ, ὅτι χρὴ θαρρεῖν λοιπὸν, ὡς τῆς ἀρνήσεως ἐξεληλαμένης, "ἐγχειρίζεται τὴν προστα-

Κ. ἐγχειρίζει

σίαν αὐτῷ τῶν ἀδελφῶν. καὶ τὴν μὲν ἄρνησιν οὐ προφέρει, οὐδὲ ὀνειδίζει τὸ γεγονός· λέγει δὲ, ὅτι Εἰ φιλεῖς με, προΐστασο τῶν ἀδελφῶν, καὶ τὴν θερμὴν ἀγάπην, ἣν διὰ πάντων ἐπεδείκνυσο καὶ ἐφ' ᾗ ἠγαλλιάσω, νῦν δεῖξον, καὶ τὴν ψυχὴν, ἣν ἔλεγες θήσειν ὑπὲρ ἐμοῦ, ταύτην ὑπὲρ τῶν προβάτων ἐπίδος τῶν ἐμῶν. ἐπεὶ οὖν ἅπαξ ἐρωτηθεὶς καὶ δεύτερον, αὐτὸν τὸν τὰ ἀπόρρητα τῆς καρδίας εἰδότα μάρτυρα ἐκάλεσεν, εἶτα δὲ ἠρωτήθη καὶ τρίτον, συνεταράχθη, πάλιν δεδοικὼς τὰ πρότερα (καὶ γὰρ τότε διϊσχυριζόμενος ἠλέγχετο μετὰ ταῦτα) διὰ τοῦτο πάλιν ἐπ' αὐτὸν καταφεύγει. τὸ γὰρ εἰπεῖν,

γρ. ἐπερωτ.

17 Σὺ οἶδας πάντα, Τοῦτο ἐστι, τὰ παρόντα καὶ τὰ μέλλοντα.. ὁρᾷς πῶς ἐγένετο βελτίων καὶ σωφρονέστερος, οὐκ αὐθαδιαζόμενος λοιπὸν καὶ ἀντιλέγων; διὰ γὰρ τοῦτο ἐταράχθη, μή ποτε ἐγὼ μὲν νομίζω φιλεῖν, οὐ φιλῶ δέ· ὥσπερ καὶ πρότερον πολλὰ νομίζων καὶ διϊσχυριζόμενος ἠλέγχθη ὕστερον. τρίτον δὲ αὐτὸν ἐρωτᾷ καὶ τρίτον ἐπιτάττει τὰ αὐτὰ, δεικνὺς ὅσου τιμᾶται τὴν προστασίαν τῶν οἰκείων προβάτων, καὶ ὅτι τοῦτο μάλιστα τῆς εἰς αὐτὸν ἀγάπης σημεῖον. Εἰπὼν δὲ αὐτῷ περὶ τῆς εἰς αὐτὸν ἀγάπης, προαγορεύει αὐτῷ καὶ τὸ μαρτύριον ὅπερ ἔμελλεν ὑπομένειν, ἐμφαίνων ὅτι οὐκ ἀπιστῶν αὐτῷ ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ καὶ σφόδρα πιστεύων, τῆς δὲ εἰς αὐτὸν ἀγάπης τὸ δεῖγμα δεῖξαι βουλόμενος καὶ παιδεῦσαι ἡμᾶς, ποίῳ δεῖ τρόπῳ μάλιστα αὐτὸν ἀγαπᾶν. διό φησιν·

18 Ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἄλλοι σε ζώσουσι καὶ οἴσουσιν, ὅπου οὐ θέλεις. Καὶ μὴν τοῦτο ἤθελε καὶ ἐπεθύμει· διὸ καὶ δῆλον αὐτῷ τοῦτο πεποίηκεν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγε, τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω, καὶ, κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι, ἀπέδωκεν αὐτῷ τὴν ἐπιθυμίαν. τί οὖν ἐστι τὸ, ὅπου οὐ θέλεις; τῆς φύσεως λέγει τὸ συμπαθὲς καὶ τῆς σαρκὸς τὴν ἀνάγκην, καὶ ὅτι ἄκουσα ἀπορρήγνυται τοῦ σώματος ἡ ψυχή. ὥστε εἰ καὶ τὰ τῆς προαιρέσεως ἔρρωτο, ἀλλ' ὅμως καὶ οὕτως ἡ φύσις ἠλέγχετο. οὐδεὶς γὰρ ἀπαθῶς τὸ σῶμα ἀποτίθεται, τοῦτο τοῦ Θεοῦ, ὅπερ καὶ ἔμπροσθεν ἔφην, συμφερόντως οἰκονομήσαντος, ὥστε μὴ πολλοῖς γίνεσθαι τοὺς βιαίους θανάτους. εἰ γὰρ τούτων ὄντων ἴσχυσεν ὁ διάβολος τοῦτο ἐργάσασθαι, καὶ μυρίους ἐπὶ κρημνοὺς ἤγαγε καὶ βόθρους· εἰ μὴ τοσαύτη ἦν ἡ ἐπιθυμία τῇ ψυχῇ τοῦ σώματος, κἂν ἀπὸ τῆς τυχούσης ἀθυμίας ταχέως ἂν οἱ πολλοὶ πρὸς τοῦτο ὥρμησαν. τὸ οὖν, ὅπου οὐ θέλεις, τὴν φυσικὴν δηλοῦντός ἐστι συμπάθειαν. πῶς δὲ εἰπὼν, ὅτε ἦς νεώτερος, πάλιν λέγει, ὅταν δὲ γηράσῃς; τοῦτο γὰρ δεικνύντος ἐστὶ οὐκ ὄντα τότε νέον. οὐδὲ γὰρ ἦν· ἀλλ' οὐδὲ γεγηρακὼς, ἀλλ' ἀνὴρ τέλειος. τίνος οὖν ἕνεκεν ἀνέμνησεν αὐτὸν τοῦ προτέρου βίου; δηλῶν, ὅτι τοιαῦτα τὰ αὐτοῦ. ἐν μὲν γὰρ τοῖς βιωτικοῖς, ὁ μὲν νέος χρήσιμος, ὁ δὲ γεγηρακὼς ἄχρηστος· ἐν δὲ τοῖς ἐμοῖς, φησιν, οὐχ οὕτως, ἀλλ', ὅταν ἐπέλθῃ τὸ γῆρας, τότε ἡ ἀριστεία λαμπροτέρα, τότε ἡ ἀνδραγαθία περιφανεστέρα, οὐδὲν ἀπὸ τῆς ἡλικίας κωλυομένη. Ταῦτα δὲ ἔλεγεν, οὐ καταπληττόμενος αὐτὸν, ἀλλὰ διεγείρων. ᾔδει γὰρ αὐτοῦ τὸν πόθον, καὶ ὅτι τοῦτο πάλαι ὤδινε τὸ καλόν. ὁμοῦ δὲ καὶ τὸν τρόπον δηλοῖ τοῦ θανάτου. ἐπειδὴ γὰρ ὁ Πέτρος διὰ παντὸς ἐβούλετο εἶναι ἐν τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις, θάρρει, φησίν. οὕτω γὰρ ἐμπλήσω σου τὴν ἐπιθυμίαν, ὥστε ἅπερ οὐκ ἔπαθες νέος ὢν, ταῦτά σε δεῖ παθεῖν γεγηρακότα. Εἶτα ἐγείρων τὸν ἀκροατὴν ὁ εὐαγγελιστὴς, ἐπήγαγε·

γρ. ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ ἄξουσιν, ὅπου

γρ. ἔδωκεν

19 Ταῦτα δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Οὐκ εἶπεν, ἀποθανεῖται· ἀλλὰ, δοξάσει τὸν Θεὸν, ἵνα μάθῃς ὅτι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, δόξα τοῦ πάσχοντος καὶ τιμή.

Καὶ ταῦτα εἰπὼν, φησι, λέγει· ἀκολούθει μοι. Ἐντεῦθεν πάλιν τὸ κηδεμονικὸν αἰνίττεται καὶ τὸ σφόδρα πρὸς αὐτὸν οἰκείως διακεῖσθαι. Εἰ δὲ λέγοι τις, πῶς οὖν ὁ Ἰάκωβος τὸν θρόνον ἔλαβε τῶν Ἱεροσολύμων; ἐκεῖνο ἂν εἴποιμι, ὅτι τοῦτον [οὐ τοῦ θρόνου, ἀλλὰ] τῆς οἰκουμένης ἐχειροτόνησε διδάσκαλον. 20 Στραφεὶς οὖν ὁ Πέτρος, βλέπει τὸν μαθητὴν, χε̃ζ κα

θητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ,

21 Καὶ λέγει· Κύριε, οὗτος δὲ τί; Τίνος ἕνεκεν ἀνέμνησεν ἡμᾶς τῆς ἀνακλίσεως ἐκείνης; οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ δεικνὺς ὅσην ὁ Πέτρος τὴν παῤῥησίαν εἶχε μετὰ τὴν ἄρνησιν. ὁ γὰρ τότε μὴ τολμῶν ἐρωτῆσαι, ἀλλ' ἑτέρῳ ταῦτα ἐπιτρέπων, οὗτος καὶ τὴν προστασίαν ἐνεπιστεύθη τῶν ἀδελφῶν, καὶ οὐ μόνον ἑτέρῳ τὰ καθ' ἑαυτὸν οὐκ ἐπιτρέπει, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ ἑτέρου προσάγει τῷ διδασκάλῳ πεῦσιν λοιπόν· καὶ Ἰωάννης μὲν σιγᾷ, ἐκεῖνος δὲ διαλέγεται. δείκνυσι δὲ καὶ ἐνταῦθα τὴν ἀγάπην ἣν πρὸς αὐτὸν εἶχε. καὶ γὰρ σφόδρα ἐφίλει τὸν Ἰωάννην ὁ Πέτρος, καὶ τοῦτο καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον· καὶ διὰ τοῦ εὐαγγελίου δὲ παντὸς δείκνυται τούτων ὁ συνδεσμὸς, καὶ ἐν ταῖς πράξεσιν. ἐπεὶ οὖν μεγάλα αὐτῷ προεῖπε, καὶ τὴν οἰκουμένην ἐνεχείρισε, καὶ τὸ μαρτύριον προανεφώνησε, καὶ ἀγάπην ἐμαρτύρησε πλείονα τῶν ἄλλων, βουλόμενος καὶ τοῦτον λαβεῖν κοινωνόν, φησιν· οὗτος δὲ τί; οὐ τὴν αὐτὴν ἡμῖν ὁδὸν ἥξει; καὶ καθάπερ τότε αὐτὸς μὴ δυνάμενος ἐρωτῆσαι, τοῦτον προβάλλεται· οὕτω καὶ νῦν ἀποδιδοὺς αὐτῷ τὴν ἀμοιβὴν, καὶ νομίσας αὐτὸν βούλεσθαι ἐρωτᾷν τὰ κατ' αὐτὸν, εἶτα μὴ θαῤῥεῖν, αὐτὸς ἀνεδέξατο τὴν ἐρώτησιν. τί οὖν ὁ Χριστός;

22 Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Ἐπειδὴ σφόδρα κηδόμενος ἔλεγε, καὶ μὴ βουλόμενος αὐτοῦ διασπασθῆναι, δεικνὺς ὁ Χριστὸς ὅτι ὅσον ἂν ἀγαπήσῃ, τὴν ἀγάπην τὴν αὐτοῦ οὐ φθάνει, φησίν· ἐὰν αὐτὸν θέλω μένειν, τί πρὸς σέ; διὰ τούτων παιδεύων ἡμᾶς μὴ ἀσχάλλειν, μηδὲ πολυπραγμονεῖν μηδὲν πέρα τῶν δοκούντων αὐτῷ. ἐπειδὴ γὰρ ἀεὶ ὁ Πέτρος εἰς τὰς τοιαύτας ἐρωτήσεις θερμὸς ἦν καὶ προεπήδα, ἐκκόπτων αὐτοῦ πάλιν τὴν θερμότητα, καὶ παιδεύων περαιτέρω μὴ περιεργάζεσθαι, τοῦτό φησιν.

23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς [ἤγουν τοὺς μαθητὰς] ὅτι ἐκεῖνος οὐκ ἀποθνήσκει. οὐκ εἶπε δὲ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ', ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ἑνὶ τρόπῳ με τὰ καθ' ὑμᾶς διοικεῖν. τοῦτο δὲ ἐποίει τῆς ἀκαίρου συμπαθείας τῆς πρὸς ἀλλήλους ἀπάγων αὐτούς. ἐπειδὴ γὰρ ἔμελλον τῆς οἰκουμένης τὴν ἐπιτροπὴν ἀναδέξασθαι, οὐκ ἔδει συμπεπλέχθαι λοιπὸν ἀλλήλοις. ἦ γὰρ ἂν μεγάλη τοῦτο τῇ οἰκουμένῃ γέγονε ζημία. διόπερ αὐτῷ φησιν· ἔργον ἐνεχειρίσθης, αὐτὸ σκόπει, καὶ ἄνυε καὶ ἄθλει καὶ ἀγωνίζου. τί γὰρ εἰ καὶ βούλομαι αὐτὸν μένειν ἐνταῦθα; σὺ τὰ σεαυτοῦ σκόπει καὶ μερίμνα. σὺ δέ μοι κἀνταῦθα τὸ ἄτυφον ἐννόησον τοῦ εὐαγγελιστοῦ. εἰπὼν γὰρ τὴν δόξαν τῶν μαθητῶν, διορθοῦται αὐτὴν, ὡς οὐ συνεωρακότων αὐτῶν ὅπερ εἶπεν. οὐ γὰρ εἶπε, φησιν, ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθανεῖται, ἀλλ', ὅτι ἐὰν αὐτὸν θέλω μένειν.

24 Οὗτός ἐστιν ὁ μαθητὴς, ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Τί δήποτε τῶν ἄλλων οὐδενὸς τοῦτο ποιοῦντος, οὗτος μόνος ταῦτά φησι, καὶ δεύτερον τοῦτο ποιεῖ μαρτυρῶν ἑαυτῷ; δοκεῖ γὰρ προσίστασθαι τοῖς ἀκροωμένοις. τί οὖν ἐστι τὸ αἴτιον; λέγεται ὕστερος πάντων ἐπὶ τὸ γράφειν ἐλθεῖν, τοῦ "Χριστοῦ κινήσαντος αὐτὸν ἐπὶ τοῦτο καὶ διεγείραντος, καὶ διὰ τοῦτο δείκνυσιν αὐτοῦ τὴν ἀγάπην συνεχῶς, ἀντιλαμβανόμενος τὴν αἰτίαν, ἀφ' ἧς ἐπὶ τὸ γράφειν ὥρμησε. διὰ τοῦτο καὶ συνεχῶς μέμνηται)*, ἀξιόπιστον ποιῶν τὸν λόγον, καὶ δηλῶν ὅτι κινηθεὶς ἐκεῖθεν ἦλθεν ἐπὶ τοῦτο. καὶ οἶδα, φησιν, ὅτι ἀληθῆ ἐστιν ἃ λέγει. Εἰ δὲ μὴ" πιστεύουσιν οἱ πολλοὶ, ἔξεστιν αὐτοῖς ἀπὸ τούτου πιστεῦσαι. ποίου; τοῦ ἑξῆς εἰρημένου.

χ. θεοῦ

* αὐτῆς,

χ. πιστεύσωσιν

25 Ἔστι γάρ, φησι, καὶ ἄλλα πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ὅθεν δῆλον, ὅτι οὐκ ἂν ἐχαρισάμην. ὁ γὰρ τοσούτων ὄντων οὐδὲ τοσαῦτα εἰπὼν ὅσα οἱ λοιποὶ, ἀλλὰ τούτων μὲν τὰ πλείονα παραλιπὼν, τὰς δὲ ἐπιβουλὰς τὰς Ἰουδαϊκὰς, τὰς καταλεύσεις, τὸ μῖσος, τὰς ὕβρεις, τὰς λοιδορίας εἰς μέσον προθεὶς, καὶ δηλώσας πῶς καὶ δαιμονῶντα καὶ πλάνον ἐκάλουν, εὐδη-

λον ὅτι οὐκ ἂν ἐχαρισάμην. τὸν γὰρ χαριζόμενον τοὐναντίον ἔδει ποιεῖν, τὰ μὲν ἐπονείδιστα ἀποκρούεσθαι, τὰ λαμπρὰ περιτιθέναι. ἐπεὶ οὖν ἀπὸ πολλῆς πληροφορίας ἔγραψεν ἅπερ ἔγραψεν, οὐ παραιτεῖται τὴν ἑαυτοῦ μαρτυρίαν εἰς μέσον φέρειν, παρακαλούμενος καθ' ἕκαστον ἐξετάζειν καὶ βασανίζειν τὰ γεγενημένα. ἔθος γὰρ ἡμῖν, ὅταν σφόδρα ἀληθεύειν δοκῶμεν, μήτε τὴν ἑαυτῶν μαρτυρίαν ἀρνεῖσθαι. εἰ δὲ ἡμεῖς τοῦτο ποιοῦμεν, πολλῷ μᾶλλον ἐκεῖνος ὁ πνεύματι γράφων· ὅπερ οὖν καὶ οἱ λοιποὶ ἀπόστολοι κηρύττοντες ἔλεγον· Ἡμεῖς ἐσμὲν μάρτυρες, φησὶν, ὧν λέγομεν, καὶ τὸ πνεῦμα ὃ ἔδωκε τοῖς πειθαρχοῦσιν αὐτῷ. καὶ πᾶσι δὲ παρῆν, καὶ οὐδὲ σταυρουμένου ἀπελιμπάνετο, καὶ τὴν μητέρα ἐνεχειρίσθη· ἅπερ πάντα σημεῖα τῆς εἰς αὐτὸν ἀγάπης, καὶ τοῦ μετὰ ἀκριβείας εἰδέναι πάντα. εἰ δὲ τοσαῦτα ἔφησε γεγενῆσθαι τὰ σημεῖα, μὴ θαυμάσῃς· ἀλλ' ἐννοήσας τὴν ἄφατον τοῦ ποιοῦντος δύναμιν, δέξαι μετὰ πίστεως τὸ εἰρημένον. ὥσπερ γὰρ ἡμῖν εὔκολον φθέγγεσθαι· οὕτως ἐκείνῳ, μᾶλλον δὲ πολλῷ ῥᾷον, ποιεῖν ἅπερ ἤθελεν. ἤρκει γὰρ θελῆσαι μόνον, καὶ πάντα εἵπετο.

Πραξ. β λβ.

ἴσ. ἀποκρύπτεσθαι,

ΗΘΙΚΟΝ

Προσέχωμεν τοίνυν ἀκριβῶς τοῖς εἰρημένοις, καὶ μὴ διαλίπωμεν ἀναπτύσσοντες αὐτὰ καὶ διερευνώμενοι. ἀπὸ γὰρ τῆς συνεχοῦς ἐντεύξεώς ἐστί τι πλέον ἡμῖν. οὕτω τὸν βίον τὸν ἑαυτῶν ἐκκαθᾶραι δυνησόμεθα, οὕτω τὰς ἀκάνθας ἐκτεμεῖν. τοιοῦτον γὰρ ἡ ἁμαρτία καὶ ἡ βιωτικὴ φροντὶς, ἄκαρπον καὶ ὀδυνηρόν. καὶ καθάπερ ἡ ἄκανθα, ὅθεν ἂν κατέχηται, κεντεῖ τὸν κατέχοντα· οὕτω καὶ τὰ βιωτικὰ, ὅθεν ἂν κατάσχῃς, λυπεῖ τὸν περισφίγγοντα αὐτὰ καὶ θάλποντα. ἀλλ' οὐ τὰ πνευματικὰ τοιαῦτα, ἀλλὰ μαργαρίτῃ τινὶ προσέοικεν· ὅθεν ἂν περιστρέψῃς, τέρπει σου ὀφθαλμούς. οἷόν τι λέγω· ἐποίησέ τις ἐλεημοσύνην· οὐ μόνον τῇ ἐλπίδι τοῦ μέλλοντος τρέφεται, ἀλλὰ καὶ τοῖς ἐνταῦθα ἀγαθοῖς γάνυται, θαρρῶν πανταχοῦ καὶ μετὰ πολλῆς πάντα ποιῶν τῆς παρρησίας. περιεγένετο πονηρᾶς ἐπιθυμίας· καὶ πρὸ τῆς βασιλείας ἐντεῦθεν ἤδη τὸν καρπὸν ἔλαβεν, ἐπαινούμενος, θαυμαζόμενος παρὰ τῶν ἄλλων πάντων ὑπὸ τοῦ οἰκείου συνειδότος. καὶ ἕκαστον δὲ τῶν ἀγαθῶν ἔργων τοιοῦτόν ἐστιν, ὥσπερ οὖν τὰ πονηρὰ καὶ πρὸ τῆς γεέννης ἐνταῦθα κολάζει τὸ συνειδός. κἂν τὰ μέλλοντα ἐννοήσῃς ἁμαρτὼν, περιδεὴς καὶ ἔντρομος καὶ μηδενὸς κολάζοντος γέγονας· κἂν τὰ παρόντα, πολλοὺς ἔχεις ἐχθροὺς καὶ μεθ' ὑποψίας ζῇς, καὶ οὐδὲ ἀντιβλέψαι δυνήσῃ τοῖς ἠδικηκόσι λοιπόν· μᾶλλον δὲ καὶ τοῖς μὴ ἠδικηκόσιν. οὐ γὰρ τοσαύτην ἐπ' αὐτῶν καρπούμεθα τὴν ἡδονὴν, ὅσην τὴν ἀθυμίαν, τοῦ συνειδότος καταβοῶντος, τῶν ἔξωθεν ἀνθρώπων καταγινωσκόντων, τοῦ Θεοῦ παροξυνομένου, τῆς γεέννης ὠδινούσης ἡμᾶς λαβεῖν, τῶν λογισμῶν οὐχ ἡσυχαζόντων. βαρὺ γὰρ, βαρὺ καὶ φορτικὸν ἡ ἁμαρτία, καὶ μολίβδου παντὸς χαλεπώτερον. ὁ γοῦν αἰσθόμενος αὐτῆς, οὐδὲ μικρὸν ἀναβλέψαι δυνήσεται, κἂν σφόδρα ἀναίσθητος ᾖ. οὕτω γοῦν καὶ ὁ Ἀχαὰβ, καίτοι σφόδρα ἀσεβὴς ὢν, ἐπειδὴ ταύτης ᾔσθετο, κάτω κύπτων ἐβάδιζε, συντετριμμένος, καὶ τεταλαιπωρημένος. διὰ τοῦτο καὶ σάκκον περιεβάλετο καὶ πηγὰς ἠφίει δακρύων. ἂν τοῦτο ποιῶμεν ἡμεῖς, καὶ πενθῶμεν ὡς ἐκεῖνος, ἀποδυσόμεθα τὰ ἐγκλήματα, ὡς Ζακχαῖος, καὶ ἡμεῖς τευξόμεθά τινος συγγνώμης. καθάπερ γὰρ ἐπὶ τῶν οἰδημάτων καὶ τῶν συρίγγων, ἂν μὴ πρότερον στήσῃ τις τὸν χυμὸν τὸν ἐπιρρέοντα καὶ τὸ τραῦμα ἐπιτείνοντα, ὅσα ἂν ἐπιθήσῃ φάρμακα, τῆς πηγῆς τοῦ κακοῦ μὴ καταφραχθείσης, εἰκῆ πάντα ποιεῖ· οὕτω καὶ ἡμεῖς, ἂν μὴ τὴν χεῖρα στήσωμεν τῆς πλεονεξίας, καὶ τὴν πονηρὰν ταύτην ἐπιρροὴν ἀναστείλωμεν, κἂν ἐλεημοσύνην δῶμεν, εἰκῆ πάντα ποιοῦμεν. τὸ γὰρ θεραπευθὲν δι' αὐτῆς, ἐπελθοῦσα ἡ πλεονεξία κατέκλυσε καὶ ἐλυμήνατο, καὶ χαλεπώτερον τοῦ προτέρου εἰργάσατο. παυσώμεθα τοίνυν ἁρπάζοντες, καὶ οὕτως ἐλεήσωμεν. εἰ δὲ εἰς κρημνοὺς ἑαυτοὺς φέρωμεν, πῶς

γ. Βασ. κα. κζ.

χ. νοσημάτων

χ. κατέλυσε

δυνησόμεθα ἀναπνεῦσαι; καὶ γὰρ εἴ τις τὸν μέλλοντα καταπίπτειν ἄνωθεν ἕλκει (ὅπερ ἐστὶν ἡ ἐλεημοσύνη) ἕτερος δὲ κάτωθεν βιάζοιτο, οὐδὲν ἔσται τι πλέον ἀπὸ τῆς τοιαύτης πάλης, ἢ τὸ διασπασθῆναι τὸν ἄνθρωπον. ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μηδὲ, βαρούσης τῆς πλεονεξίας κάτωθεν, ἡ ἐλεημοσύνη καταλιποῦσα ἡμᾶς ἀπέλθῃ, κουφίσωμεν ἑαυτοὺς, καὶ ἀναπετάσωμεν, ἵνα διὰ τῆς ἀπαλλαγῆς τῶν κακῶν καὶ διὰ τῆς τῶν αἰωνίων ἀγαθῶν ἐργασίας τελειωθέντες, ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ETONÆ,
Excuſum in Collegio Regali.
M. DC. X.

MVSEVM
BRITAN
NICVM